Gal 10 L La

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
Πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ
εὑρισκομένων

ΤΟΜΟΣ ΤΡΙΤΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.

ETONÆ, in Collegio Regali,
Excudebat IOANNES NORTON, in Græcis &c.
Regius Typographus.

ANNO cIↄ. Iↄc. XII.

MVSEVM
BRITAN
NICVM

TERTII TOMI CATALOGVS.

IN Epiſtolam ad Romanos Præfatio. Pag. 1
In Epiſtolam ad Romanos Hom. xxxii. 5
In Epiſtolã ad Corinthios priorem Præfatio. 243
In Epiſtolam priorem ad Corinthios Homiliæ xliiij. 245
In Epiſtolam poſteriorem ad Corinthios Homiliæ xxx. 541
In Epiſtolam ad Galatas Expoſitio perpetua. 709
In Epiſtolam ad Epheſios Præfatio. 763
In Epiſtolam ad Epheſios ſermon. xxiiij. 764

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν.

ὙΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ Ἐπιστολῆς.

Συνεχῶς ἀκούων ἀναγινωσκομένων τῶν ἐπιστολῶν τοῦ μακαρίου Παύλου, καὶ καθ' ἑκάστην ἑβδομάδα δὶς, πολλάκις καὶ τρεῖς, καὶ τετράκις, ἡνίκα ἂν μαρτύρων ἁγίων μνήμας ἐπιτελῶμεν, χαίρω μὲν τῆς σάλπιγγος ἀπολαύων τῆς πνευματικῆς, καὶ διανίσταμαι, καὶ θερμαίνομαι τῷ πόθῳ, τὴν ἐμοὶ φίλην ἐπιγινώσκων φωνὴν, καὶ μονονουχὶ παρόντα αὐτὸν δοκῶ φαντάζεσθαι, καὶ διαλεγόμενον ὁρᾶν· ἀλγῶ δὲ καὶ ὀδυνῶμαι, ὅτι τὸν ἄνδρα τοῦτον οὐχ ἅπαντες ἴσασιν, ὥσπερ εἰδέναι χρή· ἀλλ' οὕτω τινὲς αὐτὸν ἀγνοοῦσιν, ὡς μηδὲ τῶν ἐπιστολῶν τὸν ἀριθμὸν εἰδέναι σαφῶς. τοῦτο δὲ γίνεται, οὐ παρὰ ἀμαθίαν, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι συνεχῶς ὁμιλεῖν τῷ μακαρίῳ τούτῳ. οὐδὲ γὰρ ἡμεῖς ὅσαπερ ἴσμεν, εἴπερ τινὰ ἴσμεν, δι' εὐφυΐαν καὶ ὀξύτητα διανοίας ἐπιστάμεθα, ἀλλὰ διὰ τὸ συνεχῶς ἔχεσθαι τοῦ ἀνδρὸς, καὶ σφόδρα διακεῖσθαι περὶ αὐτόν. τὰ γὰρ τῶν φιλουμένων, παρὰ τῶν ἄλλων ἁπάντων οἱ φιλοῦντες ἴσασιν, ἅτε δὴ μεριμνῶντες αὐτούς. ὅπερ καὶ ὁ μακάριος οὗτος ἐνδεικνύμενος, ἔλεγε Φιλιππησίοις· Καθὼς ἐμοὶ δίκαιόν ἐστι τοῦτο Φιλιπ. α. ιζ.
φρονεῖν περὶ ὑμῶν διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ, καὶ βεβαιώσει τοῦ εὐαγγελίου. ὥστε καὶ ὑμεῖς εἰ θέλετε μετὰ προθυμίας προσέχειν τῇ ἀναγνώσει, οὐδενὸς ἑτέρου δεηθήσεσθε. ἀψευδὴς γὰρ ὁ τοῦ Χριστοῦ λόγος, εἰπών· Ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. ἀλλ' ἐπειδὴ οἱ πλείους ἡμῖν τῶν ἐνταῦθα συλλεγομένων καὶ παιδοτροφίαν, καὶ γυναικὸς ἐπιμέλειαν, καὶ οἰκίας πρόνοιαν ἀνεδέξαντο, καὶ διὰ τοῦτο οὐκ ἂν ἀνάσχοιντο ὅλους ἑαυτοὺς ἐκδοῦναι τῷ πόνῳ τούτῳ, πρὸς γοῦν τὸ λαβεῖν τὰ παρ' ἑτέρων συλλεγέντα διανάστητε, καὶ τοσαύτην ἀπονείματε σπουδὴν τῇ τῶν λεγομένων ἀκροάσει, ὅσην τῇ τῶν χρημάτων συλλογῇ. εἰ γὰρ καὶ αἰσχρὸν τοσαύτην ἀπαιτῆσαι παρ' ὑμῶν μόνην, [πλὴν] ἀλλ' ἀγαπητὸν ἂν τοσαύτην γοῦν δῶτε. καὶ γὰρ ἐντεῦθεν τὰ μυρία ἔφυ κακὰ, ἀπὸ τῆς τῶν γραφῶν ἀγνοίας· ἐντεῦθεν ἡ πολλὴ τῶν αἱρέσεων ἐβλάστησε

γρ. εἰς πάσας τοῦ Παύλου ἐπιστολὰς πρόλογος.
γρ. ἐμὴν
γρ. αὐτὸς
γρ. οὐ
γρ. περὶ
γρ. ἐμὲ
γρ. ὑπὲρ πάντων ὑμ.
γρ. κἂν ὑμ. θέλητε
γρ. δεήσεσθε.
γρ. αἰδάς.

λύμη, ἐντεῦθεν οἱ ἠμελημένοι βίοι, ἐντεῦθεν οἱ ἀκερδεῖς πόνοι. ὥσπερ γὰρ οἱ τοῦ φωτὸς ἀπεστερημένοι τούτου οὐκ ἂν ὀρθὰ βαδίσειαν· οὕτως οἱ πρὸς τὴν ἀκτῖνα τῶν θείων μὴ βλέποντες γραφῶν, πολλὰ ἀναγκάζονται καὶ συνεχῶς ἁμαρτάνειν, ἅτε δὴ ἐν σκότῳ χαλεπωτάτῳ βαδίζοντες. ὅπερ ἵνα μὴ γένηται, διανοίξωμεν τοὺς ὀφθαλμοὺς πρὸς τὴν λαμπηδόνα τῶν ἀποστολικῶν ῥημάτων. καὶ γὰρ ὑπὲρ τὸν ἥλιον ἔλαμψεν ἡ τούτου γλῶττα, καὶ τῶν ἄλλων ἁπάντων ἐπλεονέκτησε τῷ τῆς διδασκαλίας λόγῳ. ἐπειδὴ γὰρ περισσότερον αὐτῶν ἐκοπίασε, πολλὴν καὶ [τὴν] τοῦ πνεύματος ἐπεσπάσατο χάριν. καὶ τοῦτο οὐκ ἀπὸ τῶν ἐπιστολῶν διισχυρίζομαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν πράξεων. εἰ γάρ που δημηγορίας ἦν καιρὸς, αὐτῷ πανταχοῦ παρεχώρουν· διὸ καὶ Ἑρμῆς εἶναι ἐνομίζετο παρὰ τοῖς ἀπίστοις, διὰ τὸ τοῦ λόγου κατάρχειν. μέλλοντας δὲ εἰς τὴν ἐπιστολὴν κατιέναι ταύτην, ἀναγκαῖον καὶ τὸν χρόνον εἰπεῖν καθ' ὃν ἐγράφη. οὐδὲ γὰρ, ὡς πολλοὶ νομίζουσι, πρὸ πασῶν τῶν ἄλλων ἐστὶν, *χ. ὥσπερ οἱ πολ.* ἀλλὰ τῶν μὲν ἀπὸ Ῥώμης γραφεισῶν προτέρα πασῶν, τῶν δὲ ἄλλων ὑστέρα, εἰ καὶ μὴ πασῶν. καὶ γὰρ αἱ πρὸς Κορινθίους ἀμφότεραι πρὸ ταύτης εἰσὶν ἀπεσταλμέναι. καὶ τοῦτο *χ. ἐπισ.* *Ρω. ιε. κε.* δηλοῖ, ἀφ' ὧν ἐν τῷ τέλει ταύτης ἔγραφεν, οὕτω λέγων· Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι *χ. -σι δὲ Μακεδόσι καὶ Ἀχαΐα.* *α. Κορ. ις. δ.* εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν, Ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται, περὶ τῶν ἀποκομιζόντων ἐκεῖσε τὰ χρήματα ταῦτα λέγων. *χ. δὲ* *χ. κἀμὲ* ὅθεν δῆλον ὅτι ἡνίκα μὲν ἐπέστελλε Κορινθίοις, ἀμφίβολον ἦν τὸ τῆς τοιαύτης ἀποδημίας αὐτοῦ· ὅτε δὲ Ῥωμαίοις, ἦν κεκυρωμένον λοιπόν. τούτου δὲ ὁμολογουμένου, κἀκεῖνο δῆλον, ὅτι αὕτη μετ' ἐκείνας ἡ ἐπιστολή. καὶ ἡ πρὸς Θεσσαλονικεῖς δὲ ἐμοὶ δοκεῖ προτέρα τῆς πρὸς Κορινθίους ἐπιστολῆς εἶναι. καὶ γὰρ ἐκείνοις πρότερον ἐπιστείλας, καὶ τῆς ἐ- *α. Θεσ. δ. θ.* λεημοσύνης πρὸς αὐτοὺς κινήσας λόγον, ὅτε ἔλεγε· Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους· καὶ γὰρ *χ. ἔχετε* ποιεῖτε αὐτὸ πρὸς πάντας τοὺς ἀδελφούς· τότε Κορινθίοις ἐπέστελλε, καὶ τοῦτο αὐτὸ δηλοῖ λέγων, *β. Κορ. θ. β.* Οἶδα γὰρ ἐγὼ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι, καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. ἐξ ὧν ἔδειξεν ὅτι πρὸ τούτοις ἐκείνοις περὶ τούτου διελέχθη. τούτων μὲν οὖν ὑστέρα τῶν ἐπιστολῶν αὕτη, τῶν δὲ ἀπὸ Ῥώμης, προτέρα. οὐδέπω γὰρ ἦν τῆς Ῥωμαίων πόλεως ἐπιβὰς, ἡνίκα ταύτην ἔγρα- *Ρω. α. ια.* φε τὴν ἐπιστολήν· καὶ τοῦτο δηλοῖ λέγων, Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα *Φιλιπ. δ. κβ.* ὑμῖν πνευματικόν. ἀπὸ Ῥώμης δὲ Φιλιππησίοις ἐπέστελλε· διό φησιν, Ἀσπάζονται δὲ ὑμᾶς οἱ ἅγιοι πάντες, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας. καὶ Ἑβραίοις δὲ ἐκεῖθεν ὁμοίως· διό φησι, *Εβ. ιγ. κδ.* Τοὺς ἀπὸ τῆς Ἰταλίας ἀσπάζεσθαι πάντας αὐτοῖς. καὶ τὴν πρὸς Τιμόθεον δὲ ἐπιστολὴν καὶ αὐτὴν ἀπὸ Ῥώμης δεδεμένος ἔπεμψεν, ἣ καὶ ἐσχάτη μοι δοκεῖ πασῶν εἶναι τῶν ἐπιστολῶν· *β. Τιμ. δ. ς.* καὶ δῆλον ἀπὸ τοῦ τέλους. Ἐγὼ γὰρ ἤδη σπένδομαι, φησὶ, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. ὅτι δὲ τὸν βίον ἐκεῖ κατέλυσε, παντί που δῆλόν ἐστιν. ἡ δὲ πρὸς Φιλήμο- *Φιλημ. α. θ.* να, ἐσχάτη μὲν καὶ αὐτή (πρὸς γὰρ ἐσχάτῳ γήρᾳ αὐτὴν ἔγραψε, διὸ καὶ ἔλεγεν· Ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ) τῆς μέντοι πρὸς Κολοσσαεῖς *Κολ. δ. ζ.* *χ. Ἰησοῦ Χριστοῦ.* προτέρα. καὶ τοῦτο ἀπὸ τοῦ τέλους δῆλον πάλιν. Κολοσσαεῦσι γὰρ γράφων φησὶν, Ὅτι Τυχικὸς πάντα γνωρίσει ὑμῖν, ὃν ἔπεμψα σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ. Ὀνήσιμος δὲ οὗτος ἦν, ὑπὲρ οὗ τὴν πρὸς Φιλήμονα ἐπιστολὴν συνέθηκε. καὶ ὅτι οὐκ ἦν ἄλλος οὗτος ὁμώνυμος ἐκείνῳ, δῆλον καὶ ἀπὸ τοῦ Ἀρχίππου. ὃν γὰρ ἔλαβε συνεργὸν ἐν τῇ πρὸς Φιλήμονα ἐπιστολῇ τῆς παρακλήσεως τῆς ὑπὲρ Ὀνησίμου, τοῦτον Κολοσσαεῦσιν ἐπιστέλλων *Κολ. δ. ιζ.* διεγείρει λέγων· Εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν ἣν παρέλαβες, ἵνα αὐτὴν πληροῖς.

δοκεῖ

δοκεῖ δέ μοι καὶ ἡ πρὸς Γαλάτας προτέρα εἶναι τῆς πρὸς Ῥωμαίους. Εἰ δὲ ἐν ταῖς βίβλοις ἑτέραν ἔχουσι τάξιν, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ οἱ προφῆται οἱ δώδεκα οὐκ ἐφεξῆς ἀλλήλοις ὄντες κατὰ τοὺς χρόνους, ἀλλὰ πολὺ διεστηκότες ἀλλήλων, ἐν τῇ τῶν βιβλίων τάξει ἐφεξῆς εἰσι κείμενοι. ὁ γοῦν Ἀγγαῖος καὶ Ζαχαρίας [καὶ ἄλλοι] μετὰ τὸν Ἰεζεκιὴλ καὶ Δανιὴλ προεφήτευσαν, καὶ πολλοὶ μετὰ τὸν Ἰωνᾶν, καὶ τὸν Σοφονίαν, καὶ τοὺς ἄλλους δὲ πάντας· ἀλλ' ὅμως συμπεπλεγμένοι πᾶσιν εἰσὶν ἐκείνοις, ὧν τοσοῦτον τῷ χρόνῳ διεστήκασι. μηδεὶς δὲ πάρεργον τοῦτον ἡγείσθω τὸν πόνον, μηδὲ περιεργίας περιττῆς τὴν τοιαύτην ἔρευναν. συντελεῖ γὰρ ἡμῖν πρὸς τὰ ζητούμενα οὐ μικρὸν ὁ τῶν ἐπιστολῶν χρόνος. ὅταν γὰρ ἴδω Ῥωμαίοις, καὶ Κολοσσαεῦσιν ὑπὲρ τῶν αὐτῶν μὲν ἐπιστέλλοντα, οὐχ ὁμοίως δὲ ὑπὲρ τῶν αὐτῶν, ἀλλ' ἐκείνοις μὲν μετὰ πολλῆς τῆς συγκαταβάσεως, ὡς ὅταν λέγῃ· Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει· Κολοσσαεῦσι δὲ οὐχ οὕτω περὶ τῶν αὐτῶν, ἀλλὰ μετὰ πλείονος παρρησίας· Εἰ γὰρ ἀπεθάνετε, φησί, σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε, μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς; ἅτινά ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός· οὐδὲν ἄλλο αἴτιον εὑρίσκω τῆς διαφορᾶς ταύτης, ἢ τὸν τῶν πραγμάτων χρόνον. ἐν ἀρχῇ μὲν γὰρ συγκαταβαίνειν ἔδει, μετὰ δὲ ταῦτα, οὐκέτι. καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο ἂν τις εὕροι ποιοῦντα αὐτόν. οὕτω καὶ ἰατρός, καὶ διδάσκαλος ποιεῖν εἰώθασιν. οὔτε γὰρ τοῖς ἐξ ἀρχῆς νοσοῦσιν ὁ ἰατρός, καὶ τοῖς πρὸς τὸ τέλος [λοιπὸν τῆς] ὑγείας ἐλθοῦσιν, οὔτε τοῖς ἐξ ἀρχῆς μανθάνουσι παιδίοις ὁ διδάσκαλος, καὶ τοῖς τῶν τελεωτέρων δεομένοις διδαγμάτων ὁμοίως χρήσονται. τοῖς μὲν οὖν ἄλλοις ἐξ αἰτίας τινὸς καὶ ὑποθέσεως κινούμενος ἐπέστελλε· καὶ δηλοῖ τοῦτο Κορινθίοις μὲν λέγων· Περὶ δὲ ὧν ἐγράψατέ μοι· καὶ Γαλάταις δὲ εὐθέως ἐκ τοῦ προοιμίου τῆς ἐπιστολῆς ἁπάσης τὸ αὐτὸ ἐμφαίνων. τούτοις δὲ τίνος ἕνεκεν, καὶ διὰ τί; καὶ γὰρ φαίνεται μαρτυρῶν αὐτοῖς, ὅτι μεστοὶ [μέν] εἰσιν ἀγαθωσύνης, πεπληρωμένοι πάσης * γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. τίνος οὖν ἕνεκεν ἐπέστελλε; Διὰ τὴν χάριν τοῦ Θεοῦ, φησί, τὴν δοθεῖσάν μοι εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ. διὸ καὶ ἐν ἀρχῇ ἔλεγεν, Ὀφειλέτης εἰμί, τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι. καὶ γὰρ τὰ εἰρημένα, οἷον ὅτι δύνανται καὶ ἄλλους νουθετεῖν, καὶ ὅσα τοιαῦτα, ἐγκωμίου μᾶλλόν ἐστι καὶ προτροπῆς. καὶ ἀναγκαία καὶ ἡ διὰ τῶν γραμμάτων διόρθωσις καὶ τούτοις ἦν. ἐπειδὴ γὰρ οὔπω παραγεγονὼς ἦν, διπλῇ ῥυθμίζει τοὺς ἄνδρας, καὶ τῇ τῶν γραμμάτων ὠφελείᾳ, καὶ τῇ τῆς παρουσίας προσδοκίᾳ. τοιαύτη γὰρ ἡ ἁγία ψυχή, πᾶσαν περιελάμβανε τὴν οἰκουμένην, καὶ ἐν ἑαυτῷ περιέφερεν ἅπαντας, συγγένειαν μεγίστην τὴν κατὰ Θεὸν εἶναι νομίζων· καὶ ὥσπερ πάντας αὐτοὺς ἀποτεκών, οὕτως ἐφίλει, μᾶλλον δὲ καὶ πατρὸς παντὸς μείζονα ἐπεδείκνυτο φιλοστοργίαν. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χάρις· νικᾷ τὰς σαρκικὰς ὠδῖνας, καὶ θερμότερον ἐπιδείκνυται τὸν πόθον. καὶ τοῦτο μάλιστά ἐστιν ἰδεῖν ἐπὶ τῆς τοῦ Παύλου ψυχῆς, ὃς καθάπερ πτηνός τις ὑπὸ τῆς ἀγάπης γενόμενος, ἅπαντας περιῄει συνεχῶς, οὐδαμοῦ μένων, οὐδὲ ἱστάμενος. ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, Πέτρε, φιλεῖς με; ποίμαινέ μου τὰ πρόβατα, καὶ τοῦτον μέγιστον ὅρον ἐκφέροντος ἀγάπης, μετὰ ὑπερβολῆς αὐτὸν ἐπεδείκνυτο. τοῦτον οὖν καὶ ἡμεῖς ζηλώσαντες, εἰ καὶ μὴ τὴν οἰκουμένην, μηδὲ πόλεις ὁλοκλήρους, καὶ ἔθνη, ἀλλὰ τὴν οἰκίαν ἕκαστος ῥυθμιζέτω τὴν ἑαυτοῦ, τὴν γυναῖκα, τὰ παιδία, τοὺς φίλους, τοὺς γείτονας. καὶ μή μοι λεγέτω τις, ὅτι ἄπειρός εἰμι, καὶ ἰδιώτης. οὐδὲν ἀμαθέστερον Πέτρου, οὐδὲν ἰδιωτικώτερον Παύλου· καὶ τοῦτο αὐτὸς ὡμολόγει, καὶ οὐκ ᾐσχύνετο λέγων· Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. ἀλλ' ὅμως ὁ ἰδιώτης οὗτος καὶ ὁ ἀμαθὴς ἐκεῖνος, μυρίους ἐνίκησαν φιλοσόφους, μυρίους ἐπεστόμισαν ῥήτορας, ἀπὸ τῆς αὐτῶν προθυμίας καὶ τῆς τοῦ

Margin notes: γρ. Ἀμὼς καὶ Ζαχαρίας καὶ Ἀγγαῖος — γρ. -σαυτο — * τῆς — γρ. ἀλλήλους — γρ. -γενόμενος — γρ. πατρὸς πρὸς [illegible]τας μείζω. — Ρω. ιδ. α. — Κολ. β. κ. — α. Κορ. ζ. α. — Ρω. ιε. ιδ. ιε. — Ρω. α. ιε. — β. Κορ. ια. ς.

Θεοῦ χάριτος τὸ πᾶν εἰργασμένοι. ἵνα μὴ ἔχωμεν ἀπολογίαν ἡμεῖς, οὐδὲ εἴκοσι ἀρκοῦντες ὀνόμασιν, οὐδὲ τοῖς συνοικοῦσιν ὄντες χρήσιμοι; σκῆψις ταῦτα, καὶ πρόφασις. οὐδὲ γὰρ ἀμαθία, οὐδὲ ἀπαιδευσία κωλύει τὴν διδασκαλίαν, ἀλλὰ νωθεία καὶ ὕπνος. ἔτι οὖν ἀποτιναξάμενοι τὸν ὕπνον μετὰ πάσης σπουδῆς ἀντεχώμεθα τῶν οἰκείων μελῶν, ἵνα καὶ ἐνταῦθα πολλῆς ἀπολαύσωμεν τῆς γαλήνης, κατὰ τὸν τοῦ Θεοῦ φόβον τοὺς ἡμῖν ἐπιτηδείους ῥυθμίζοντες, καὶ τῶν μυρίων μετάσχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

Κεφάλαιον α.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΔΟΥΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, ΚΛΗΤΟΣ ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, 2 Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις.

ΜΩυσῆς μὲν πέντε βιβλία "συγγράψας, οὐδαμοῦ τὸ ὄνομα τὸ ἑαυτοῦ τέθεικεν, οὐδὲ οἱ μετ' ἐκεῖνον τὰ μετ' ἐκεῖνον συνθέντες, ἀλλ' οὐδὲ Ματθαῖος, οὐδὲ Ἰωάννης, οὐ Μάρκος, οὐ Λουκᾶς· ὁ δὲ μακάριος Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν αὐτοῦ τὸ ὄνομα αὐτοῦ "προτίθησι. τί δήποτε; ὅτι ἐκεῖνοι μὲν παροῦσιν ἔγραφον, καὶ περιττὸν ἦν ἑαυτοὺς δηλοῦν παρόντας, οὗτος δὲ διὰ μακροῦ τὰ γράμματα διεπέμπετο, καὶ ἐν ἐπιστολῆς σχήματι. διὸ καὶ ἀναγκαία ἦν ἡ τοῦ ὀνόματος προσθήκη. εἰ δὲ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ οὐ ποιεῖ τοῦτο, καὶ τοῦτο κατὰ τὴν αὐτοῦ σύνεσιν. ἐπειδὴ γὰρ ἀπεχθῶς εἶχον πρὸς αὐτόν, ἵνα μὴ ἐκ προοιμίων ἀκούσαντες τοῦ ὀνόματος, ἀποκλείσωσι τῷ λόγῳ τὴν εἴσοδον, ἐσοφίσατο διὰ τοῦ κρύψαι τὸ ὄνομα τὴν ἀκρόασιν τὴν ἐκείνων. εἰ δὲ προφῆται * τὰ ὀνόματα τὰ ἑαυτῶν τεθείκασι, καὶ Σολομών, τοῦτο ὑμῖν καταλιμπάνω λοιπὸν ἐπιζητεῖν, τίνος ἕνεκεν οἱ μὲν "ἠθέλησαν, οἱ δὲ οὐκ "ἠθέλησαν. οὐδὲ γὰρ ἅπαντα παρ' ἐμοῦ χρὴ μανθάνειν ὑμᾶς, ἀλλὰ καὶ αὐτοὺς πονεῖν, καὶ ἐπιζητεῖν, ἵνα μὴ νωθρότεροι γίνησθε. Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ. τίνος ἕνεκεν μετέθηκε τὸ ὄνομα αὐτοῦ ὁ Θεός, καὶ Σαῦλον ὄντα Παῦλον ἐκάλεσεν; ἵνα μηδὲ ταύτῃ τῶν ἀποστόλων ἔλαττον ἔχῃ, ἀλλ' ὅπερ εἶχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτήσηται, καὶ πλείονος οἰκειώσεως ὑπόθεσιν λάβῃ. "δοῦλον δὲ ἑαυτόν, οὐχ ἁπλῶς εἶπε τοῦ Χριστοῦ. εἰσὶ γὰρ πολλοὶ δουλείας τρόποι· εἷς μὲν ὁ κατὰ τὴν δημιουργίαν, καθ' ὅν φησιν, ὅτι τὰ σύμπαντα δοῦλα σά, καὶ καθ' ὅν φησιν, ὁ δοῦλός μου Ναβουχοδονόσορ. τὸ γὰρ ἔργον, τοῦ ποιήσαντος δοῦλον. ἕτερος δὲ ὁ ἀπὸ τῆς πίστεως, περὶ ἧς φησιν, [ὅτι] Χάρις δὲ τῷ Θεῷ, ὅτι δοῦλοι ἦτε τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ * καρδίας, εἰς ὃν παρεδόθητε τύπον διδαχῆς, καὶ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. ἕτερος ὁ ἀπὸ τῆς πολιτείας, καθ' ὅν φησι, Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε. καίτοι καὶ Ἰουδαῖοι πάντες θεράποντες ἦσαν, ἀλλ' ἐξαιρέτως ὁ Μωϋσῆς πολιτείᾳ διαλάμπων. ἐπεὶ οὖν κατὰ πάντας τοὺς τρόπους τῆς * δουλείας δοῦλος ἦν ὁ Παῦλος, ἀντὶ μεγίστου ἀξιώματος τοῦτο τίθησι λέ-

Marginal notes: γ. γράψας, — γ. τίθησι. — * πως — γ. ἔθεσαν, — γ. ἔθεσαν, — γ. δοῦλόν τε — * καθαρᾶς — * θαυμαστῆς

Ματ. γ. ιε. — Λυκ. ε. ιδ. — Ψαλμ. ριη. ϟα. — Ιερ. κε. θ. — Ρω. ς. ιζ. — Ιησ. α. β.

γων, δοῦλος Ἰησοῦ Χριστοῦ. καὶ τὰ τῆς οἰκονομίας ὀνόματα προβάλλεται, κάτωθεν ἀναβαίνων. καὶ γὰρ τὸ Ἰησοῦς ὄνομα φέρων ὁ ἄγγελος ἦλθεν ἐκ τῶν οὐρανῶν, ὅτε ἐτίκτετο ἐκ τῆς παρθένου· καὶ Χριστὸς δὲ ἀπὸ τοῦ χρισθῆναι λέγεται, ὃ καὶ αὐτὸ τῆς σαρκός ἐστι. καὶ ποίῳ, φησὶν, ἐλαίῳ ἐχρίσθη; ἐλαίῳ μὲν οὐκ ἐχρίσθη, πνεύματι δέ. οἶδε δὲ καὶ τοὺς τοιούτους χριστοὺς ἡ γραφὴ καλεῖν. τὸ γὰρ προηγούμενον ἐν τῇ χρίσει, πνεῦμά ἐστι· δι' ὃ καὶ τὸ ἔλαιον παραλαμβάνεται. καὶ ποῦ τοὺς
Ψαλμ. ρδ. ιε.
χριστοὺς καλεῖ τοὺς μὴ χρισθέντας ἐλαίῳ; ὅπου λέγει, Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. τότε γὰρ οὐδὲ ἡ κατασκευὴ τῆς χρίσεως ἦν τοῦ ἐλαίου.

Κλητὸς ἀπόστολος. Πανταχοῦ κλητὸν ἑαυτὸν καλεῖ, δεικνὺς τὴν οἰκείαν εὐγνωμοσύνην, καὶ ὅτι οὐκ αὐτὸς ζητήσας εὗρεν, ἀλλὰ κληθεὶς παρεγένετο καὶ ὑπήκουσε. καὶ τοὺς πιστοὺς δὲ οὕτως ὀνομάζει, κλητοὺς ἁγίους. οἱ μὲν γὰρ μέχρι τοῦ πιστεῦσαι ἐκλήθησαν, οὗτος δὲ καὶ ἕτερον ἐνεχειρίσθη,
Ρω. α. ζ.
τὴν ἀποστολὴν, πρᾶγμα μυρίων ἀγαθῶν γέμον, καὶ τῶν χαρισμάτων ἁπάντων καὶ μεῖζον καὶ περιεκτικόν. καὶ τί γὰρ δεῖ πλέον εἰπεῖν, ἀλλ' ἢ ὅτι ὅπερ ὁ Χριστὸς παραγενόμενος ἔπραττε, τοῦτο αὐτοῖς ἐγχειρίσας ἀπῆλθεν; ὃ καὶ βοᾷ Παῦλος λέγων, καὶ τὸ τῶν ἀποστόλων ἐπαίρων ἀξίωμα, Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, τουτέστιν,
β. Κορ. ε. κ.
ἀντὶ Χριστοῦ. Ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ. Καθάπερ ἐν οἰκίᾳ πρὸς διάφορα ἕκαστος ἀφώρισται ἔργα, οὕτω καὶ ἐπὶ τῆς ἐκκλησίας διάφοροι τῶν διακονιῶν εἰσιν αἱ διανομαί. ἐμοὶ δὲ ἐνταῦθα οὐ τὴν ἀποκλήρωσιν δοκεῖ μόνον αἰνίττεσθαι, ἀλλ' ὅτι πάλαι καὶ
Ιερ. α. ε.
ἄνωθεν πρὸς τοῦτο ἦν τεταγμένος. ὅπερ καὶ Ἱερεμίας φησὶ τὸν Θεὸν εἰρηκέναι περὶ αὐτοῦ, Πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε. ἐπειδὴ γὰρ πρὸς πόλιν ἀλαζονικὴν ἔγραφε, καὶ πεφυσιωμένην πάντοθεν, διὰ πάντων δείκνυσι τοῦ Θεοῦ τὴν χειροτονίαν οὖσαν. καὶ γὰρ αὐτὸς ἐκάλεσε, καὶ αὐτὸς ἀφώρισε. ποιεῖ δὲ τοῦτο, ἵνα ἀξιόπιστον καὶ εὐπαράδεκτον ποιήσῃ τὴν ἐπιστολήν. Εἰς εὐαγγέλιον Θεοῦ. Οὐκ ἄρα μόνος Ματθαῖος εὐαγγελιστὴς, οὐδὲ Μάρκος, ὥσπερ οὐδὲ οὗτος μόνος ἀπόστολος, ἀλλὰ καὶ ἐκεῖνοι· εἰ καὶ κατ' ἐξαίρετον ὁ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο λέγονται εἶναι. εὐαγγέλιον δὲ αὐτὸ, οὐ διὰ τὰ γεγενη- χ. Θεοῦ.
μένα ἀγαθὰ μόνον καλεῖ, ἀλλὰ καὶ διὰ τὰ μέλλοντα. πῶς δὲ τὸν Θεὸν εὐαγγελίζεσθαι δι' αὐτοῦ φησιν; ἀφωρισμένος γὰρ, φησιν, εἰς εὐαγγέλιον Θεοῦ. ὁ γὰρ πατὴρ καὶ πρὸ τῶν εὐαγγελίων δῆλος ἦν. ἀλλ' εἰ καὶ δῆλος ἦν, Ἰουδαίοις μόνοις, καὶ οὐδὲ τούτοις πᾶσιν ὡς ἔδει. οὔτε γὰρ πατέρα αὐτὸν ὄντα ᾔδεσαν, καὶ πολλὰ ἀνάξια αὐτοῦ πότε ἐφαντάζοντο. διὸ καὶ ἔλεγεν ὁ Χριστὸς,
Ιωαν. δ. κγ.
Ὅτι ἔρχονται οἱ ἀληθινοὶ προσκυνηταὶ, καὶ ὅτι ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. ὕστερον δὲ καὶ αὐτὸς μετὰ τοῦ υἱοῦ ἐξεφάνθη τῇ οἰκουμένῃ πάσῃ· ὅπερ οὖν προαναφωνῶν χ. ἐξεκαλύφθη
Ιωαν. ιζ. γ.
ἔλεγεν ὁ Χριστὸς, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. εὐαγγέλιον δὲ Θεοῦ καλεῖ, ἀπὸ τῶν προοιμίων ἀνορθῶν τὸν ἀκροατήν. οὐ γὰρ ἦλθέ τι σκυθρωπὸν ἀπαγγέλλων, ὥσπερ οἱ προφῆται κατηγορίας, καὶ ἐγκλήματα, καὶ ἐπιτιμήσεις, ἀλλ' εὐαγγέλια, καὶ εὐαγγέλια Θεοῦ, μυρίων καὶ ἀκινήτων ἀγαθῶν θησαυροὺς μυρίους. Ὃ
Ψαλμ. ξζ. ιβ.
προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις. Κύριος γὰρ δώσει ῥῆμα,
Ησ. β. νζ.
φησὶ, τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ· καὶ πάλιν, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. ὁρᾷς καὶ ῥητῶς τοῦ εὐαγγελίου καὶ τὸ ὄνομα, καὶ τὸν τρόπον ἐν τῇ παλαιᾷ κείμενον; οὐ γὰρ διὰ ῥημάτων αὐτὸ καταγγελλόμενον μόνον, φησὶν, ἀλλὰ καὶ διὰ πραγμάτων. οὐδὲ γὰρ ἀνθρώπινον ἦν, ἀλλὰ καὶ θεῖον, καὶ ἀπόρρητον, καὶ πᾶσαν ὑπερβαῖνον φύσιν. ἐπειδὴ δὲ καινοτομίαν ἐνεκάλουν τῷ πράγματι, δείκνυσιν αὐτὸ πρεσβύτερον Ἑλλήνων ὂν, καὶ ἐν τοῖς προφήταις χ. Θεῶν,
προδιαγραφόμενον. Εἰ δὲ μὴ ἐξ ἀρχῆς ἔδωκε, διὰ τοὺς μὴ βουλομένους δέξασθαι· οἱ
Ιωαν. η. λϛ.
Ματθ. ιγ. ιζ.
γοῦν βουλόμενοι ἤκουσαν. Ἀβραὰμ ὁ πατὴρ ὑμῶν, φησιν, ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε, καὶ ἐχάρη. πῶς οὖν φησιν, Ὅτι πολλοὶ προφῆται, καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον; οὕτω, φησὶν, ὡς ὑμεῖς βλέπετε καὶ ἀκούετε, αὐτὴν σάρκα,

καὶ αὐτὰ τὰ σημεῖα τὰ ἐπὶ τὸν ὄφιν. σὺ δέ μοι σκόπει, πρὸ πόσων ταῦτα προεκηρύττετο χρόνων. καὶ γὰρ ὅταν μεγάλα τινὰ προκατασκευάζειν ὁ Θεὸς μέλλῃ, πρὸ πολλῶν αὐτὰ προαναφωνεῖ χρόνων, γυμνάζων τὴν ἀκοὴν πρὸς τὴν ὑποδοχὴν τῆς παρουσίας αὐτῶν. Ἐν γραφαῖς ἁγίαις.

χ. κατασκ.

Οὐ γὰρ ἔλεγον οἱ προφῆται μόνον, ἀλλὰ καὶ ἔγγραφον ἅπερ ἔλεγον· οὐκ ἔγγραφον δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἐτύπουν, ὡς Ἀβραὰμ τὸν Ἰσαὰκ ἄγων, καὶ Μωϋσῆς τὸν ὄφιν ὑψῶν, καὶ τὰς χεῖρας ἐκτείνων ἐπὶ τὸν Ἀμαλὴκ, καὶ τὸν ἀμνὸν τὸ πάσχα θύων.

χ. ἀνάγων,

3 Περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα.

Τί ποιεῖς, ὦ Παῦλε; μετεωρίσας ἡμῶν τὰς ψυχὰς, καὶ ἀναγαγὼν, καὶ μεγάλα καὶ ἀπόρρητα φαντασθῆναι ποιήσας, καὶ εὐαγγέλιον εἰπὼν, καὶ Θεοῦ εὐαγγέλιον, καὶ χορὸν προφητῶν εἰσαγαγὼν, καὶ δείξας πάντας ἀνακηρύττοντας πρὸ πολλῶν ἐτῶν τὰ ἐσόμενα, πῶς πάλιν ἡμᾶς κατάγεις πρὸς τὸν Δαβίδ; περὶ ἀνθρώπου τινὸς διαλέγῃ, εἰπέ μοι, καὶ πατέρα δίδως αὐτῷ τὸν τοῦ Ἰεσσαὶ υἱόν; καὶ πῶς ταῦτα τῶν εἰρημένων ἄξια; σφόδρα μὲν οὖν ἄξια· οὐ γὰρ περὶ ἀνθρώπου ψιλοῦ, φησὶν, ὁ λόγος ἡμῖν. διὰ τοῦτο προσέθηκα δὲ, κατὰ σάρκα, αἰνιττόμενος ὅτι καὶ κατὰ πνεῦμα γέννησίς ἐστι τοῦ αὐτοῦ. καὶ τίνος ἕνεκεν ἐντεῦθεν ἤρξατο, καὶ οὐκ ἐκεῖθεν ἀπὸ τῶν ὑψηλοτέρων; ὅτι καὶ Ματθαῖος ἐντεῦθεν, καὶ Λουκᾶς, καὶ Μάρκος. τὸν γὰρ μέλλοντα χειραγωγεῖν πρὸς τὸν οὐρανὸν, κάτωθεν ἄνω χειραγωγεῖν ἀναγκαῖον. οὕτω γὰρ καὶ τὸ πρᾶγμα ᾠκονομήθη. πρότερον γοῦν εἶδον αὐτὸν ἄνθρωπον ἐπὶ γῆς, καὶ τότε ἐνόησαν Θεόν. ἣν τοίνυν αὐτὸς τὴν διδασκαλίαν ἐποιήσατο, ταύτῃ καὶ ὁ μαθητὴς αὐτοῦ τέμνει τὴν ἐκεῖ φέρουσαν ὁδόν. πρότερον οὖν λέγει τὴν κατὰ σάρκα γέννησιν, οὐκ ἐπειδὴ προτέρα ἦν, ἀλλ' ἐπειδὴ ἀπὸ ταύτης πρὸς ἐκείνην ἀνῆγε τὸν ἀκροατήν.

χ. ἐπόμενα

4 Τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει, καὶ πνεύματι ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ.

χ. κατὰ πνεῦμα

Ἀσαφὲς δὲ τὸ εἰρημένον ἀπὸ τῆς τῶν λέξεων πλοκῆς γέγονε· διόπερ αὐτὸ διελεῖν ἀνάγκη. τί οὖν ἐστιν ὃ λέγει; τὸν ἐκ Δαβὶδ γενόμενον ἀνακηρύττομεν, φησίν· ἀλλὰ τοῦτο δῆλον. πόθεν δὲ, ὅτι καὶ υἱὸς Θεοῦ ἐστιν οὗτος ὁ σαρκωθείς; πρῶτον ἀπὸ τῶν προφητῶν. διὸ ἔλεγεν, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις. οὐ μικρὸς δὲ ἀποδείξεως οὗτος ὁ τρόπος. ἔπειτα, καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς γεννήσεως· ὃ καὶ αὐτὸς ἐδήλωσεν εἰπὼν, ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. τὸν γὰρ τῆς φύσεως ἔλυσε νόμον. τρίτον, ἀπὸ τῶν θαυμάτων ὧνπερ ἔπραττε, πολλῆς δυνάμεως ἀπόδειξιν παρεχόμενος. τοῦτο γάρ ἐστιν, ἐν δυνάμει. τέταρτον, ἀπὸ τοῦ πνεύματος οὗπερ ἐδίδου τοῖς πιστεύουσιν εἰς αὐτὸν, καὶ δι' οὗ πάντας ἁγίους ἐποίει· διὸ φησι, Κατὰ πνεῦμα ἁγιωσύνης. Θεοῦ γὰρ ἦν μόνου τὰ τοιαῦτα δῶρα χαρίζεσθαι. πέμπτον, ἀπὸ τῆς ἀναστάσεως Κυρίου. πρῶτος γὰρ οὗτος μόνος ἑαυτὸν ἤγειρεν· ὅπερ καὶ αὐτὸς μάλιστα πάντων ἔφησεν εἶναι σημεῖον ἱκανὸν καὶ τοὺς ἀναισχυντοῦντας ἐπιστομίσαι. Λύσατε γάρ, φησι, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Ιωαν. β. ιθ.
καὶ, Ὅταν ὑψώσητέ με ἀπὸ τῆς γῆς, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. καὶ πάλιν, Ἡ γενεὰ αὕτη Ιω. η. κη. Ματθ. ιβ. λθ.
σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. τί οὖν ἐστιν, ὁρισθέντος; * δειχθέντος, ἀποφανθέντος, κριθέντος, ὁμολογηθέντος παρὰ τῆς ἁπάντων γνώμης καὶ ψήφου, ἀπὸ τῶν προφητῶν, ἀπὸ τῆς παραδόξου γεννήσεως τῆς κατὰ σάρκα, ἀπὸ τῆς δυνάμεως, τῆς ἐν τοῖς σημείοις, ἀπὸ τοῦ πνεύματος, δι' οὗ τὸν ἁγιασμὸν ἔδωκεν, ἀπὸ τῆς ἀναστάσεως, δι' ἧς τοῦ θανάτου τὴν τυραννίδα κατέλυσε.

* τοῦ
χ. ἀπὸ τ

5 Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως.

Ὅρα εὐγνωμοσύνην οἰκέτου. οὐδὲν ἑαυτοῦ εἶναι βούλεται, ἀλλὰ πάντα τοῦ δεσπότου. καὶ μὴν τὸ πνεῦμα τοῦτο ἔδωκε. διὸ ἔλεγε, Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν Ιωαν. ις. ιβ.
ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνο τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. Πραξ. ιγ. β.
καὶ πάλιν, Ἀφορίσατέ μοι τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν. καὶ ἐν τῇ πρὸς Κορινθίοις

(α. Κορ. ιβ. η.) (Πραξ. κ. κη.) Παῦλος δέ φησιν, ὅτι Ὧι μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως· καὶ ὅτι αὐτὸ πάντα διαιρεῖ, καθὼς βούλεται. καὶ Μιλησίοις δὲ δημηγορῶν, ἔλεγεν, Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους. ὁρᾷς ὅτι τὰ τοῦ πνεύματος, τοῦ υἱοῦ φησι, καὶ τὰ τοῦ υἱοῦ, τοῦ πνεύματος; Χάριν καὶ ἀποστολήν· Τουτέστιν, οὐχ ἡμεῖς αὐτοὶ κατορθώσαμεν τὸ γενέσθαι ἀπόστολοι. οὐδὲ γὰρ καμόντες πολλὰ καὶ πονέσαντες, τὴν ἀξίαν ταύτην ἐλάχομεν, ἀλλὰ χάριν ἐλάβομεν, καὶ τῆς ἄνωθεν δωρεᾶς τὸ κατόρθωμα γέγονεν. Εἰς ὑπακοὴν πίστεως. Οὐκ ἄρα οἱ ἀπόστολοι ἦσαν οἱ κατορθοῦντες, ἀλλ' ἡ προοδοποιοῦσα χάρις αὐτοῖς. ἐκείνων μὲν γὰρ ἦν τὸ περιϊέναι καὶ κηρύττειν, τὸ δὲ (Πραξ. ις. ιδ.) πείθειν, τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς Θεοῦ· καθὼς καὶ ὁ Λουκᾶς φησιν, Ὅτι διήνοιξε τὴν καρδίαν αὐτῶν. καὶ πάλιν, Οἷς ἦν δεδομένον ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. Εἰς ὑπακοήν. (Πραξ. ιδ. ι.)

Οὐκ εἶπεν, Εἰς ζήτησιν καὶ κατασκευήν, ἀλλ', Εἰς ὑπακοήν. οὐδὲ γὰρ ἐπέμφθημεν, φησί, συλλογίζεσθαι, ἀλλ', ὅπερ ἐνεχειρίσθημεν, ἀποδοῦναι. ὅταν γὰρ ὁ δεσπότης ἀποφαίνηταί τι, οὐ τοὺς ἀκούοντας περιεργάζεσθαι χρὴ τὰ λεγόμενα καὶ πολυπραγμονεῖν, ἀλλὰ δέχεσθαι μόνον. οἱ γὰρ ἀπόστολοι διὰ τοῦτο ἐπέμφθησαν, ἵνα ἅπερ ἤκουσαν, εἴπωσιν, οὐχ ἵνα οἴκοθέν τι προσθῶσι, καὶ ἡμεῖς δὲ λοιπὸν ἵνα πιστεύσωμεν. τί ἵνα πιστεύσωμεν;

Περὶ τοῦ ὀνόματος αὐτοῦ. Οὐχ ἵνα τὴν οὐσίαν αὐτοῦ περιεργασώμεθα, ἀλλ' εἰς τὸ ὄνομα αὐτοῦ (Πραξ. γ. ϛ.) πιστεύσωμεν· τοῦτο γὰρ ἦν ὃ καὶ τὰ σημεῖα ἐποίει. Ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, φησίν, ἔγειραι, καὶ περιπάτει. καὶ τοῦτο δὲ αὐτὸ πίστεως δεῖται· καὶ οὐδὲν τούτων λογισμῷ καταλαβεῖν δυνατόν. Ἐν πᾶσι τοῖς ἔθνεσιν, ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ. Τί οὖν; πᾶ- (Ρω. ιε. ιθ.) σι τοῖς ἔθνεσιν ὁ Παῦλος ἐκήρυξεν; ὅτι μὲν γὰρ ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ διέδραμε, κἀκεῖθεν πάλιν εἰς αὐτὰς ἐξέβη τῆς γῆς τὰς ἐσχατιάς, δῆλον ἐξ ὧν Ῥωμαίοις ἐπέστειλεν. εἰ δὲ καὶ μὴ πᾶσιν ἐπέστη, οὐδὲ οὕτω ψεῦδος τὸ λεγόμενον. οὐ γὰρ περὶ ἑαυτοῦ μόνου φησίν, ἀλλὰ καὶ περὶ τῶν δώδεκα ἀποστόλων, καὶ πάντων τῶν καταγγειλάντων τὸν λόγον μετ' ἐκείνους. ἄλλως δέ, οὐδὲ ἐπ' αὐτοῦ τὸν λόγον ἐλεγχόμενον ἴδοι τις ἄν, εἰ τὴν προθυμίαν ἐννοήσει τὴν ἐκείνου, καὶ ὅτι μετὰ τὴν τελευτὴν οὐ παύεται πανταχοῦ τῆς οἰκουμένης κηρύττων. ἐννόησον δὲ πῶς ἐπαίρει τὴν δωρεάν, καὶ δείκνυσι μεγάλην οὖσαν καὶ πολὺ τῆς προτέρας ὑψηλοτέραν· εἴγε τὰ μὲν παλαιὰ περὶ ἔθνος ἓν ἐγίνετο, αὕτη δὲ γῆν καὶ θάλασσαν ἐπεσπάσατο. σκόπει δέ μοι κἀκεῖνο· πῶς κολακείας πάσης ἀπηλλαγμένη ἐστὶν ἡ τοῦ Παύλου ψυχή. Ῥωμαίοις γὰρ διαλεγόμενος * τοῖς ὥσπερ ἐν κορυφῇ τινι τῆς οἰκουμένης ἁπάσης καθημένοις, οὐδὲν πλέον αὐτοῖς δίδωσι τῶν λοιπῶν ἐθνῶν· οὐδέ, ἐπειδὴ τότε ἐκράτουν καὶ ἐβασίλευον, καὶ ἐν τοῖς πνευματικοῖς φησί τι πλέον αὐτοὺς ἔχειν· ἀλλ' ὥσπερ φησί, τοῖς ἔθνεσι πᾶσι κηρύττομεν, οὕτω καὶ ὑμῖν, μετὰ Σκυθῶν καὶ Θρᾳκῶν αὐτοὺς ἀριθμῶν. ἐπεὶ εἰ μὴ τοῦτο ἐβούλετο δηλῶσαι, περιττὸν ἦν τὸ εἰπεῖν, ἐν οἷς ἐστε καὶ ὑμεῖς. ταῦτα δὲ ποιεῖ καθαιρῶν αὐτῶν τὸ φρόνημα, καὶ κενῶν τὸ φύσημα τῆς διανοίας, καὶ διδάσκων αὐτοὺς τὴν πρὸς τοὺς ἄλλους ἰσοτιμίαν. διὸ ἐπήγαγεν αὐτὸ τοῦτο λέγων,

(* αὐτοῖς)

6 Ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ· Τουτέστι, μεθ' ὧν ἐστε καὶ ὑμεῖς. καὶ οὐκ εἶπεν, ὅτι τοὺς ἄλλους μεθ' ὑμῶν, ἀλλ' ὑμᾶς μετὰ τῶν ἄλλων ἐκάλεσεν. εἰ γὰρ ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος, οὐδὲ ἐλεύθερος, πολλῷ μᾶλλον οὐδὲ βασιλεὺς καὶ ἰδιώτης· καὶ γὰρ καὶ ὑμεῖς ἐκλήθητε, καὶ οὐκ ἀφ' ἑαυτῶν προσήλθετε.

7 Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὅρα πῶς συνεχῶς τὸ ὄνομα τῆς κλήσεως τίθησι, κλητὸς ἀπόστολος, λέγων, ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοί, πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ κλητοῖς. τοῦτο δὲ οὐ περιττολογῶν ποιεῖ, ἀλλὰ βουλόμενος αὐτοὺς τῆς εὐεργεσίας ἀναμνῆσαι. ἐπειδὴ γὰρ εἰκὸς ἦν ἐν τοῖς πιστεύουσι καὶ ὑπάρχους εἶναι, καὶ ὑπάτους, καὶ πένητας, καὶ ἰδιώτας·

ἐκβάλλων

Margin notes: ἴσ. Ἐφεσίοις; γ. ἡμᾶς; γ. ἀπόστολος.

ἐκβάλλων τὴν ἀνωμαλίαν τῶν ἀξιωμάτων, πῶς μίαν ἐπιστέλλει προσηγορίαν. Εἰ γὰρ ἐν τοῖς ἀναγκαιοτέροις καὶ πνευματικοῖς κοινὰ δούλοις καὶ ἐλευθέροις ἅπαντα πρόκειται, οἷον ἡ ἀγάπη ἡ παρὰ τοῦ Θεοῦ, ἡ κλῆσις, τὸ εὐαγγέλιον, ἡ υἱοθεσία, ἡ χάρις, ἡ εἰρήνη, ὁ ἁγιασμὸς, τὰ ἄλλα πάντα, πῶς ἐσχάτης ἀνοίας οὐκ ἂν εἴη, οὓς ὁ Θεὸς συνῆψε καὶ ὁμοτίμους ἐποίησεν ἐν τοῖς μείζοσι, τούτους διαιρεῖν ἀπὸ τῶν ἐν τῇ γῇ πραγμάτων; διά τοι τοῦτο ἀπὸ τῶν προοιμίων αὐτῶν τὴν χαλεπὴν ταύτην ἐκβαλὼν νόσον ὁ μακάριος οὗτος, εἰς τὴν μητέρα τῶν ἀγαθῶν αὐτοὺς ἐμβιβάζει, ταπεινοφροσύνην. τοῦτο καὶ οἰκέτας βελτίους εἰργάζετο, μανθάνοντας ὡς οὐδὲν ἐκ τῆς δουλείας παραβλαβήσονται, τὴν ὄντως ἐλευθερίαν ἔχοντες· τοῦτο καὶ τοὺς δεσπότας παρεσκεύαζε μετριάζειν, παιδευομένους ὡς οὐδὲν αὐτοῖς ὄφελος τῆς ἐλευθερίας, ἂν μὴ τὰ τῆς πίστεως ᾖ προηγούμενα. καὶ ἵνα μάθῃς ὅτι οὐ σύγχυσιν ἐργαζόμενος τοῦτο ἐποίει καὶ πάντα μιγνὺς, ἀλλ' οἶδε καὶ διαίρεσιν ἀρίστην, οὐχ ἁπλῶς ἔγραψε πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀλλὰ μετὰ διορισμοῦ, τοῖς ἀγαπητοῖς τοῦ Θεοῦ. αὕτη γὰρ ἡ ἀρίστη διάκρισις, καὶ δείκνυσι πόθεν ὁ ἁγιασμός. πόθεν οὖν ὁ ἁγιασμός; ἀπὸ τῆς ἀγάπης. εἰπὼν γὰρ, ἀγαπητοῖς, τότε ἐπήγαγε, κλητοῖς ἁγίοις, δηλονότι ἐντεῦθεν ἡμῖν ἡ πηγὴ τῶν ἀγαθῶν ἁπάντων. ἁγίους δὲ τοὺς πιστοὺς καλεῖ πάντας. Χάρις ὑμῖν καὶ εἰρήνη.

γρ. ἐργάζεται τὰ πάντα μιγνύμενα, ἀλλ'

γρ. διαίρεσις, ἣ καὶ

ἴσ. δηλῶν ὅτι

Ὢ προσηγορίας μυρία φερούσης ἀγαθά. τοῦτο καὶ ὁ Χριστὸς τοῖς ἀποστόλοις εἰς τὰς οἰκίας εἰσιοῦσι, πρῶτον ῥῆμα φάσκειν ἐπέταξε. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐντεῦθεν πανταχοῦ προοιμιάζεται, ἀπὸ τῆς χάριτος καὶ τῆς εἰρήνης. οὐδὲ γὰρ μικρὸν κατέλυσεν ὁ Χριστὸς πόλεμον, ἀλλὰ ποικίλον καὶ παντοδαπὸν, καὶ χρόνιον· καὶ τοῦτον οὐκ ἐκ τῶν ἡμετέρων πόνων, ἀλλὰ διὰ τῆς αὐτοῦ χάριτος. ἐπεὶ οὖν ἡ μὲν ἀγάπη τὴν χάριν, ἡ δὲ χάρις τὴν εἰρήνην ἐδωρήσατο, ὡς ἐν τάξει προσηγορίας αὐτὰ θεὶς, ἐπεύχεται μένειν διηνεκῆ καὶ ἀκίνητα, ὥστε μὴ πάλιν ἑτέρου ἀναρριπισθῆναι πόλεμον, καὶ παρακαλεῖ τὸν δεδωκότα, πάγια ταῦτα διατηρεῖν, οὕτω λέγων, Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ἰδοὺ ἐνταῦθα τὸ, ἀπὸ, κοινόν ἐστι πατρὸς καὶ υἱοῦ, ὅπερ ἐστὶν ἴσον τὸ, ἐξ οὗ. οὐ γὰρ εἶπε, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ, ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. βαβαὶ, πόσον ἴσχυσεν ἡ τοῦ Θεοῦ ἀγάπη; οἱ ἐχθροὶ καὶ ἠτιμωμένοι, ἅγιοι καὶ υἱοὶ γεγόνασιν ἐξαίφνης. ὅταν γὰρ πατέρα καλέσῃ, υἱοὺς ἐδήλωσεν· ὅταν δὲ υἱοὺς εἴπῃ, ἅπαντα τῶν ἀγαθῶν τὸν θησαυρὸν ἀνεκάλυψε.

γρ. λέγειν

Λουκ. ι. ε.

γρ. καὶ

γρ. γεγόναμεν

Μένωμεν τοίνυν ἀξίαν τῆς δωρεᾶς τὴν πολιτείαν ἐνδεικνύμενοι, καὶ τὴν εἰρήνην, καὶ τὴν ἁγιωσύνην διατηροῦντες. τὰ μὲν γὰρ ἄλλα ἀξιώματα πρόσκαιρά τέ ἐστι, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ χρημάτων ἐστὶν ὤνια (ὅθεν οὐδὲ ἀξιώματα αὐτὰ εἶναι ἄν τις φαίη, ἀλλ' ὀνόματα ἀξιωμάτων μόνον, ἐν τῇ τῶν ἱματίων περιβολῇ, καὶ τῇ τῶν δορυφόρων κολακείᾳ τὴν δύναμιν ἔχοντα) τοῦτο δὲ, ἅτε παρὰ τοῦ Θεοῦ δοθὲν, τὸ δῶρον τὸ τῆς ἁγιωσύνης καὶ τῆς υἱοθεσίας, οὐδὲ θανάτῳ διακόπτεται, ἀλλὰ καὶ ἐνταῦθα ποιεῖ λαμπροὺς, καὶ πρὸς τὴν μέλλουσαν ἡμῖν συναποδημεῖ ζωήν. ὁ γὰρ τὴν υἱοθεσίαν διατηρῶν, καὶ τὴν ἁγιωσύνην μετὰ ἀκριβείας φυλάττων, αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου καὶ τὴν ἁλουργίδα ἔχοντος, λαμπρότερός τέ ἐστι πολλῷ, καὶ μακαριώτερος, καὶ κατὰ τὸν παρόντα βίον γαλήνῃ τε ἐντρυφῶν πολλῇ, καὶ χρησταῖς συντρεφόμενος ἐλπίσι, καὶ οὐδεμίαν θορύβου καὶ ταραχῆς ἔχων ὑπόθεσιν, ἀλλὰ ἡδονῆς διηνεκοῦς ἀπολαύων. εὐθυμίαν γὰρ καὶ χαρὰν οὐκ ἀρχῆς μέγεθος, οὐ χρημάτων πλῆθος, οὐ δυναστείας ὄγκος, οὐκ ἰσχὺς σώματος, οὐ πολυτέλεια τραπέζης, οὐχ ἱματίων κόσμος, οὐκ ἄλλο τι τῶν ἀνθρωπίνων ποιεῖν εἴωθεν, ἀλλ' ἢ κατόρθωμα μόνον πνευματικὸν, καὶ συνειδὸς ἀγαθόν. καὶ ὁ τοῦτο κεκαθαρμένον ἔχων, κἂν ῥάκια περικείμενος ᾖ, καὶ λιμῷ παλαίων, τῶν σφόδρα τρυφώντων ἐστὶν εὐθυμότερος· ὥσπερ οὖν ὁ πονηρὰ συνειδὼς

ΗΘΙΚΟΝ

γρ. μακαριώτατος.

γρ. καὶ οὐδὲν ὑπὸ τοῦ θορύβου, καὶ

ιδὼς ἑαυτῷ, καὶ τὰ πάντων περιβάλληται χρήματα, πάντων ἐστὶν ἀθλιώτερος. διὰ δὴ τοῦτο, ὁ μὲν Παῦλος ἐν λιμῷ ζῶν τῷ διηνεκεῖ καὶ γυμνότητι, καὶ μαστιζόμενος καθ' ἑκάστην ἡμέραν, ἔχαιρέ τε, καὶ ἐτρύφα μᾶλλον τῶν βασιλευόντων τότε· ὁ δὲ Ἀχαὰβ βασιλεύων, καὶ τρυφῆς ἀπολαύων πολυτελοῦς, ἐπειδὴ τὴν ἁμαρτίαν ἐκείνην εἰργάσατο, ἔστενέ τε καὶ ἠθύμει, καὶ τὸ πρόσωπον αὐτοῦ συμπεπτωκὸς ἦν, καὶ πρὸ τῆς ἁμαρτίας, καὶ μετὰ τὴν ἁμαρτίαν. εἰ τοίνυν βουλόμεθα ἀπολαύειν ἡδονῆς, πρὸ τῶν ἄλλων ἁπάντων φεύγωμεν πονηρίαν, καὶ διώκωμεν ἀρετήν· ὡς οὐκ ἔνι ἄλλως τούτου μετασχεῖν, κἂν ἐπ' αὐτὸν ἀναβῶμεν τὸν θρόνον τὸν βασιλικόν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, Ὁ δὲ καρπὸς τοῦ πνεύματος, ἀγάπη, χαρά, εἰρήνη. τοῦτον οὖν τὸν καρπὸν τρέφωμεν παρ' ἑαυτοῖς, ἵνα καὶ τῆς ἐνταῦθα χαρᾶς ἀπολαύσωμεν, καὶ τῆς μελλούσης ἐπιτύχωμεν βασιλείας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γαλ. ε. κβ.

γρ. -μῷ τῷ διηνεκεῖ, καὶ γυμνότητι παλαίων, καὶ μαστ-

γρ. -λεις ὤν,

γρ. οὐκ ἐνὸν τῷ ἄλλως

Λογ. ϛ. 8 ΠΡΩΤΟΝ ΕΥΧΑΡΙΣΤΩ ΤΩ ΘΕΩ ΜΟΥ ΔΙΑ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

Πρέπον τῇ μακαρίᾳ ψυχῇ τὸ προοίμιον, καὶ ἱκανὸν ἅπαντας παιδεῦσαι καὶ ἔργων καὶ λόγων ἀγαθῶν ἀπάρχεσθαι τῷ Θεῷ, καὶ μὴ μόνον ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων εὐχαριστεῖν κατορθωμάτων, ὃ καὶ φθόνου καὶ βασκανίας καθαρὰν ποιεῖ τὴν ψυχὴν, καὶ τὸν Θεὸν ἐπισπᾶται μειζόνως πρὸς τὴν τῶν εὐχαριστούντων εὔνοιαν. διὸ καὶ ἀλλαχοῦ φησιν, Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ. εὐχαριστεῖν δὲ δεῖ οὐχὶ πλουτοῦντας μόνον, ἀλλὰ καὶ πενομένους, οὐχ ὑγιαίνοντας, ἀλλὰ καὶ νοσοῦντας, οὐκ εὐημεροῦντας, ἀλλὰ καὶ τἀναντία ὑπομένοντας. τὸ μὲν γὰρ ἐξ οὐρίας τῶν πραγμάτων φερομένων εὐχαριστεῖν, θαυμαστὸν οὐδέν· ὅταν δὲ πολὺς ὁ κλύδων ᾖ, καὶ τὸ σκάφος περιτρέπηται καὶ κινδυνεύῃ, τότε ἐστὶν ἡ πολλὴ τῆς ὑπομονῆς καὶ τῆς εὐγνωμοσύνης ἐπίδειξις. διὰ δὴ τοῦτο, καὶ ὁ Ἰὼβ ἐντεῦθεν ἐστεφανοῦτο, καὶ τὸ ἀναίσχυντον τοῦ διαβόλου στόμα ἐνέφραττε, καὶ ἐδείκνυ σαφῶς, ὅτι οὐδὲ ἡνίκα εὐημερῶν ἦν, διὰ τὰ χρήματα εὐχάριστος ἦν, ἀλλὰ διὰ τὴν πολλὴν πρὸς τὸν Θεὸν ἀγάπην. ὅρα δὲ καὶ ἐπὶ τίσιν εὐχαριστεῖ. οὐκ ἐπὶ τοῖς γηΐνοις καὶ ἀπολλυμένοις, οἷον ἐπὶ ἀρχῇ, καὶ δυναστείᾳ, καὶ δόξῃ (ταῦτα γὰρ οὐδενὸς ἄξια λόγου) ἀλλ' ἐπὶ τοῖς ὄντως ἀγαθοῖς, τῇ πίστει, καὶ τῇ παῤῥησίᾳ· καὶ μεθ' ὅσης εὐχαριστεῖ διαθέσεως. οὐ γὰρ εἶπε, τῷ Θεῷ, ἀλλὰ, τῷ Θεῷ μου· ὃ καὶ οἱ προφῆται ποιοῦσι, τὸν κοινὸν ἰδιοποιούμενοι. καὶ τί θαυμαστὸν, εἰ οἱ προφῆται; αὐτὸς γὰρ αὐτὸ συνεχῶς ὁ Θεὸς φαίνεται ποιῶν ἐπὶ τῶν δούλων, Θεὸν Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἰδιαζόντως λέγων αὑτόν. Ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

Εφ. α. γ.

Τί οὖν; πᾶσα ἡ γῆ τὴν πίστιν ἤκουσε τῶν Ῥωμαίων; πᾶσα δὲ ἐκείνου· καὶ οὐδὲν ἀπεικός. οὐ γὰρ ἄσημος ἡ πόλις ἦν, ἀλλ' ὥσπερ ἐπί τινος κορυφῆς κειμένη, διὰ πάντα κατάδηλος ἦν. σὺ δέ μοι σκόπει τοῦ κηρύγματος τὴν δύναμιν, πῶς ἐν χρόνῳ βραχεῖ διὰ τελωνῶν καὶ ἁλιέων αὐτῆς τῆς τῶν πόλεων ἐπελάβετο κορυφῆς, καὶ ἄνδρες Σύροι Ῥωμαίων ἐγένοντο διδάσκαλοι καὶ καθηγηταί. δύο τοίνυν αὐτοῖς μαρτυρεῖ κατορθώματα· καὶ ὅτι ἐπίστευον, καὶ ὅτι μετὰ παῤῥησίας ἐπίστευον, καὶ τοσαύτης ὡς πᾶσαν τὴν γῆν καταλαβεῖν τὴν ὑπὲρ αὐτῶν φήμην. ἡ πίστις γὰρ ὑμῶν, φησὶ, καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ· ἡ πίστις, οὐχ αἱ λογομαχίαι, οὐδὲ αἱ συζητήσεις, οὐδὲ οἱ συλλογισμοί· καίτοι πολλὰ ἦν ἐκεῖ τὰ κωλύματα

γρ. κορυφαῖς,

γρ. καὶ τοσοῦτον ὡς ἅπασαν

ματα τῆς διδασκαλίας. καὶ γὰρ ἄρτι τῆς οἰκουμένης δεξάμενοι τὴν ἀρχὴν μέγα ἐφρόνουν, καὶ πλούτῳ καὶ τρυφῇ συνέζων, τὸ δὲ κήρυγμα ἁλιεῖς ἐκόμιζον, Ἰουδαῖοι καὶ ἐξ Ἰουδαίων, ἔθνους μεμισημένου καὶ παρὰ πᾶσι βδελυκτοῦ, καὶ τὸν ἐσταυρωμένον προσκυνεῖν ἐκέλευον, τὸν ἐν Ἰουδαίᾳ τραφέντα· καὶ μετὰ τοῦ δόγματος καὶ βίον αὐστηρὸν κατήγγελλον οἱ διδάσκαλοι ἀνθρώποις τρυφᾶν μεμελετηκόσι, καὶ περὶ τὰ παρόντα ἐπτοημένοις. καὶ οἱ καταγγέλλοντες ἦσαν πένητες καὶ ἰδιῶται, ἀγνῶτες, καὶ ἐξ ἀγνώτων· ἀλλ' οὐδὲν τούτων τοῦ λόγου τὸν δρόμον ἐκώλυσε. τοσαύτη τοῦ σταυρωθέντος ἡ δύναμις ἦν, ὡς πανταχοῦ περιάγειν τὸν λόγον. καταγγέλλεται γάρ, φησίν, ἐν ὅλῳ τῷ κόσμῳ. καὶ οὐκ εἶπε, δηλοῦται, ἀλλά, καταγγέλλεται, ὡς πάντων ἐν στόμασιν αὐτοὺς ἐχόντων. Θεσσαλονικεῦσι μὲν οὖν τοῦτο μαρτυρῶν, καὶ ἕτερον προστίθησιν. εἰπὼν γάρ, * ἀφ' ὑμῶν ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ, ἐπήγαγεν, ὥστε μὴ χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι. οἱ γὰρ μαθηταὶ ἐν τάξει διδασκάλων κατέστησαν, διὰ τῆς παῤῥησίας αὐτῶν πάντας παιδεύοντες, καὶ πρὸς ἑαυτοὺς ἐφελκόμενοι. οὐ γὰρ ἵστατό που τὸ κήρυγμα, ἀλλὰ πυρὸς σφοδρότερον πᾶσαν ἐπῄει τὴν οἰκουμένην. ἐνταῦθα δὲ τοσοῦτον μόνον, ὅτι καταγγέλλεται. καλῶς εἶπεν ὅτι καταγγέλλεται, δεικνὺς ὅτι οὐδὲν ἔδει προσθεῖναι τοῖς εἰρημένοις, οὐδὲ ἀφελεῖν. ἀγγέλου γὰρ τοῦτο ἔργον ἐστί, τὸ μόνα τὰ λεγόμενα διακομίζειν. διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἄγγελος καλεῖται, ὅτι οὐ τὰ ἑαυτοῦ, ἀλλὰ τοῦ πέμποντος ἀναγγέλλει. καίτοιγε Πέτρος ἐκήρυξεν ἐκεῖ, ἀλλὰ καὶ τὰ ἐκείνου, ἑαυτοῦ ἡγεῖται. οὕτως, ὅπερ ἔφθην εἰπών, μετ' ὑπερβολῆς ἁπάσης βασκανίας ἦν καθαρός.

9 Μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ. Ἀποστολικῶν σπλάγχνων τὰ ῥήματα, πατρικῆς κηδεμονίας ἡ ἀπόφασις. τί δέ ἐστιν ὅ φησι, καὶ τίνος ἕνεκεν τὸν Θεὸν μάρτυρα καλεῖ; περὶ διαθέσεως ὁ λόγος ἦν αὐτῷ. ἐπεὶ οὖν οὐδέπω ἦν αὐτοὺς ἑωρακώς, διὰ τοῦτο ἀνθρώπων μὲν οὐδένα, τὸν δὲ ἐμβατεύοντα ταῖς καρδίαις, τοῦτον ἐκάλεσε μάρτυρα. ἐπειδὴ γὰρ ἔλεγεν, ὅτι ἀγαπῶ ὑμᾶς, καὶ σημεῖον ἐποίει τὸ διηνεκῶς εὔχεσθαι, καὶ τὸ βούλεσθαι ἐλθεῖν πρὸς αὐτούς, καὶ οὐδὲ τοῦτο δῆλον ἦν, ἐπὶ τὴν ἀξιόπιστον καταφεύγει μαρτυρίαν. ἆρα δυνήσεταί τις ἡμῶν καυχήσασθαι, ὅτι μέμνηται ἐπὶ τῆς οἰκίας εὐχόμενος τοῦ τῆς ἐκκλησίας πληρώματος; οὐκ οἶμαι. ἀλλ' ὁ Παῦλος οὐχ ὑπὲρ πόλεως μιᾶς, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης προσήει τῷ Θεῷ, καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δεύτερον, οὐ τρίτον, ἀλλὰ διηνεκῶς. εἰ δὲ [τὸ] διηνεκῶς ἐν μνήμῃ τινὰ περιφέρειν, οὐκ ἂν γένοιτο, εἰ μὴ ἀπὸ ἀγάπης πολλῆς· τὸ ἐν εὐχαῖς [γὰρ] ἔχειν, καὶ ἀδιαλείπτως ἔχειν, ἐννόησον πόσης ἐστὶ διαθέσεως καὶ φιλίας. ὅταν δὲ εἴπῃ, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὁμοῦ μὲν τὴν τοῦ Θεοῦ χάριν, ὁμοῦ δὲ τὴν αὐτοῦ ταπεινοφροσύνην ἐνδείκνυται ἡμῖν· τὴν μὲν τοῦ Θεοῦ χάριν, ὅτι τοσοῦτον αὐτῷ πρᾶγμα ἐπέτρεψε, τὴν δὲ αὐτοῦ ταπεινοφροσύνην, ὅτι οὐχὶ τῇ ἑαυτοῦ σπουδῇ, ἀλλὰ τῇ τοῦ πνεύματος βοηθείᾳ τὸ πᾶν λογίζεται. ἡ δὲ τοῦ εὐαγγελίου προσθήκη τὸ εἶδος δηλοῖ τῆς διακονίας. καὶ γὰρ πολλοὶ τῆς διακονίας οἱ τρόποι καὶ διάφοροι, καὶ τῆς λατρείας δὲ ὡσαύτως. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων πάντες μέν εἰσιν ὑφ' ἑνὶ τεταγμένοι τῷ βασιλεύοντι, διακονοῦνται δὲ οὐ πάντες τὰ αὐτά, ἀλλὰ τῷ μέν ἐστιν ἡ διακονία ἐν τῷ στρατοπέδων ἄρχειν, τῷ δὲ ἐν τῷ πόλεις οἰκονομεῖν, ἑτέρῳ πάλιν ἐν τῷ φυλάττειν τὰ ἐν τοῖς ταμιείοις χρήματα· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν, ὁ μὲν λατρεύει τῷ Θεῷ καὶ δουλεύει ἐν τῷ πιστεύειν καὶ τὸν βίον αὐτοῦ καλῶς οἰκονομεῖν, ὁ δὲ ἐν τῷ ξένων θεραπείαν ἀναδεδέχθαι, ὁ δὲ ἐν τῷ τὴν προστασίαν τῶν δεομένων μεταχειρίζεσθαι· καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων αὐτῶν, οἱ περὶ τὸν Στέφανον ἐν τῇ τῶν χηρῶν προστασίᾳ ἐδούλευον τῷ Θεῷ, ἄλλος ἐν τῇ τοῦ λόγου διδασκαλίᾳ, ὧν καὶ ὁ Παῦλος ἦν, ἐν τῷ τὸ κήρυγμα εὐαγγελίζεσθαι λατρεύων· καὶ οὗτος ἦν ὁ τῆς δουλείας αὐτοῦ τρόπος. τοῦτο γὰρ ἦν ἐπιτεταγμένος. διὰ τοῦτο οὐ μάρτυρα καλεῖ τὸν Θεὸν μόνον, ἀλλὰ καὶ ὅπερ ἐνεπιστεύθη λέγει, δεικνὺς ὅτι οὐκ

ἂν

γ. -σκοντες

* ὅτι
γ. -λου

α. Θεσσ. α. α.

γ. ἦν,
γ. ἀπαγγ.

γ. διδασκαλίας

γ. ὑμῶν

γ. λατρείας οἱ τρόποι καὶ διάφοροι. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων

δὴ τηλικαῦτα ἐγχειρισθεὶς, τὸν ἐμπιστεύσαντα μάρτυρα ἐπὶ ψευδέσιν ἐκάλει. μετὰ δὲ τοῦτο κἀκεῖνο δεῖξαι βούλεται, τὴν ἀγάπην τὴν ὑπὲρ αὐτῶν, καὶ τὴν φροντίδα ἀναγκαίαν οὖσαν. ἵνα γὰρ μὴ λέγωσι, σὺ τίς ὢν, καὶ πόθεν, πόλιν οὕτω μεγάλην καὶ βασιλικωτάτην μεριμνᾶν φῄς; δείκνυσιν ἀναγκαίαν οὖσαν αὐτῷ τὴν τοιαύτην φροντίδα, εἴγε αὐτῷ τῆς δουλείας τοσαύτης ὁ τρόπος ἐπιτέτακται, τὸ καταγγέλλειν τὸ εὐαγγέλιον. ὁ γὰρ τοῦτο ἐγκεχειρισμένος, ἀνάγκην ἔχει τοὺς μέλλοντας ὑποδέχεσθαι τὸν λόγον διηνεκῶς ἔχειν ἐπὶ τῆς διανοίας. δηλοῖ δὲ καὶ ἑτέραν πρὸς τούτοις εἰπὼν, ἐν τῷ πνεύματί μου· ὅτι πολὺ καὶ τῆς ἑλληνικῆς, καὶ τῆς Ἰουδαϊκῆς λατρείας ἀνωτέρα αὕτη. ἡ μὲν γὰρ ἑλληνικὴ, καὶ πεπλανημένη καὶ σωματική· ἡ δὲ Ἰουδαϊκὴ, ἀληθὴς μὲν, σωματικὴ δὲ καὶ αὐτή· ἡ δὲ τῆς ἐκκλησίας, τῆς μὲν ἑλληνικῆς ἐναντία, τῆς δὲ Ἰουδαϊκῆς ὑψηλοτέρα πολλῷ τῷ μέτρῳ. οὐ γὰρ διὰ προβάτων, καὶ μόσχων, καὶ καπνοῦ, καὶ κνίσσης ὁ τῆς ἡμετέρας λατρείας τρόπος, ἀλλὰ διὰ ψυχῆς πνευματικῆς· ὅπερ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγε, Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἰωάν. δ. κδ.

Ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ. Ἀνωτέρω εἰπὼν τὸ εὐαγγέλιον τοῦ πατρὸς εἶναι, ἐνταῦθα τοῦ υἱοῦ αὐτό φησιν· οὕτως ἀδιαφορεῖ καὶ πατρὸς, καὶ υἱοῦ λέγειν. καὶ γὰρ ἔμαθε παρὰ τῆς μακαρίας ἐκείνης φωνῆς, ὅτι τὰ τοῦ πατρὸς, τοῦ υἱοῦ, καὶ τὰ τοῦ υἱοῦ, τοῦ πατρός. Ἰωάν. ιζ. ι. Πάντα γὰρ τὰ ἐμὰ, σά ἐστι, καὶ τὰ σὰ, ἐμά. Ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι ἐπὶ τῶν προσευχῶν μου. Τοῦτο γνησίας ἀγάπης. καὶ δοκεῖ μὲν ἕν τι λέγειν, τέσσαρα δὲ τίθησιν ἐνταῦθα· καὶ ὅτι μέμνηται, καὶ ὅτι ἀδιαλείπτως, καὶ ὅτι ἐν εὐχαῖς, καὶ ὅτι ὑπὲρ μεγάλων πραγμάτων δεόμενος. 10 Εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς.

Ὁρᾷς καὶ ὠδίνοντα αὐτοὺς ἰδεῖν, καὶ οὐκ ἀνεχόμενον παρὰ τὸ τῷ Θεῷ δοκοῦν ἰδεῖν, ἀλλὰ κεκερασμένον φόβῳ Θεοῦ τὸν πόθον ἔχοντα; ἐφίλει μὲν γὰρ αὐτοὺς, καὶ ἠπείγετο πρὸς αὐτούς· οὐ μὴν, ἐπειδὴ ἐφίλει, παρὰ τὸ τῷ Θεῷ δοκοῦν ἐβούλετο ἰδεῖν. αὕτη γνησία ἀγάπη, οὐχ ὡς ἡμεῖς οἱ ἀμφοτέρωθεν τῶν νόμων τῆς ἀγάπης ἐκπίπτοντες. (χ. οὐκ ἐπειδὴ ἐφίλει αὐτούς,) ἢ γὰρ οὐδένα φιλοῦμεν, ἢ ἐπειδὰν φιλήσωμέν ποτε, παρὰ τὸ τῷ Θεῷ δοκοῦν φιλοῦμεν, ἀμφότερα παρὰ τὸν θεῖον ποιοῦντες νόμον. (χ. ποιοῦμεν,) εἰ δὲ φορτικὰ ταῦτα λεγόμενα, φορτικώτερα γινόμενα. καὶ πῶς παρὰ τὸ τῷ Θεῷ δοκοῦν φιλοῦμεν, φησίν; ὅταν τὸν μὲν Χριστὸν λιμῷ τηκόμενον περιορῶμεν, παισὶ δὲ, καὶ φίλοις, καὶ συγγενέσιν ὑπὲρ τὴν χρείαν παρέχωμεν. μᾶλλον δὲ τί χρὴ περαιτέρω τὸν λόγον προάγειν; ἐὰν γὰρ τὸ ἑαυτοῦ συνειδὸς ἕκαστος ἐξετάσῃ, ἐπὶ πολλῶν τοῦτο εὑρήσει γινόμενον πρᾶγμα. ἀλλ᾽ οὐχ ὁ μακάριος ἐκεῖνος τοιοῦτος ἦν, ἀλλ᾽ ᾔδει καὶ φιλεῖν, καὶ φιλεῖν, ὡς χρὴ, [καὶ ὡς προσῆκον ἦν] καὶ πάντας νικῶν τῷ φιλεῖν, οὐχ ὑπερέβαινε τῆς ἀγάπης τὰ μέτρα. ὅρα γοῦν ἀμφότερα μετὰ ὑπερβολῆς ἐν αὐτῷ βρύοντα, καὶ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὸν τῶν Ῥωμαίων πόθον. (χ. ἐνόντα,) τὸ μὲν γὰρ διηνεκῶς εὔχεσθαι, καὶ μὴ τυγχάνοντα μὴ ἀφίστασθαι, ἀγάπης σφοδρᾶς ἦν· τὸ δὲ ἀγαπῶντα * μένειν τῷ τοῦ Θεοῦ νεύματι εἴκοντα, εὐλαβείας ἐπιτεταμένης. (χ. οὕτω) β. Κορ. ιβ. η. ἀλλαχοῦ μὲν οὖν τρεῖς τὸν Κύριον παρακαλέσας, οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ τὸ ἐναντίον, μὴ λαβὼν, χάριν ἔγνω τοῦ παρακληθῆναι πολλήν· οὕτω πρὸς τὸν Θεὸν ἐν ἅπασιν ἔβλεπεν· ἐνταῦθα δὲ ἔλαβε μὲν, οὐχ ὅτε δὲ ᾔτησεν, ἀλλὰ βραδέως, καὶ οὐδὲν ἐντεῦθεν ἐδυσχέραινε. (χ. οὐδ᾽ [illegible]) ταῦτα δὲ λέγω, ἵνα μὴ ἀσχάλλωμεν μὴ ἀκουόμενοι, ἢ βραδέως ἀκουόμενοι. οὐ γάρ ἐσμεν Παύλου βελτίους, ὃς ἐπ᾽ ἀμφοτέροις χάριν ὁμολογεῖ· καὶ μάλα εἰκότως. ἐπειδὴ γὰρ ἅπαξ ἑαυτὸν ἔδωκε τῇ πάντα κυβερνώσῃ χειρὶ, καὶ μετὰ τοσαύτης ὑποταγῆς ὑπέθηκε, μεθ᾽ ὅσης ὁ πηλὸς τῷ κεραμεῖ, ἅπερ ἦγεν ὁ Θεὸς, ἠκολούθει. εἰπὼν τοίνυν, ὅτι ηὔχετο ἰδεῖν αὐτοὺς, λέγει καὶ τὴν αἰτίαν τῆς ἐπιθυμίας. τίς δέ ἐστιν αὕτη;

11 Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς.

Οὐ

γρ. ἐπιδημίας

Οὐ γὰρ ἁπλῶς ὥσπερ πολλοὶ νῦν περιττὰς καὶ ἀλυσιτελεῖς ἀποδημίας ποιοῦνται, οὕτω καὶ ἐκεῖνος, ἀλλ' ὑπὲρ ἀναγκαίων καὶ σφόδρα κατεπειγόντων. καὶ σαφῶς μὲν λέγειν τοῦτο οὐ βούλεται, αἰνιγματωδῶς δέ. οὐδὲ γὰρ εἶπεν, ἵνα διδάξω ὑμᾶς, ἵνα κατηχήσω, ἵνα τὸ λεῖπον ἀναπληρώσω, ἀλλ' ἵνα τι μεταδῶ, δεικνὺς ὅτι οὐ τὰ αὐτοῦ αὐτοῖς δίδωσιν, ἀλλ' ἅπερ ἔλαβε μεταδίδωσι. καὶ ἐνταῦθα δὲ μετριάζει πάλιν εἰπὼν, ἵνα τι· μικρόν τι, φησὶ, καὶ ἐμοὶ σύμμετρον. (γρ. ἡμῖν) καὶ τί ποτέ ἐστι τὸ μικρὸν τοῦτο, ὃ μέλλεις νῦν μεταδιδόναι; τοῦτο δέ ἐστι, φησὶν, εἰς τὸ στηριχθῆναι ὑμᾶς. ἄρα καὶ τοῦτο χάριτος τὸ μὴ σαλεύεσθαι, ἀλλ' ἑστάναι βεβαίως. χάριν δὲ ὅταν ἀκούσῃς, μὴ νομίσῃς ἐκβεβλῆσθαι τὸν ἀπὸ τῆς προαιρέσεως μισθόν. χάριν γὰρ εἶπεν, οὐχὶ τὸν ἐκ προαιρέσεως ἀτιμάζων πόνον, ἀλλὰ τὸν ἐξ ἀπονοίας ὑποτεμνόμενος τῦφον. μὴ τοίνυν ἐπειδὴ Παῦλος αὐτὸ χάρισμα ἐκάλεσεν, ἀναπέσῃς. οἶδε γὰρ οὗτος εὐγνωμοσύνῃ πολλάκις καὶ τὰ κατορθώματα χαρίσματα καλεῖν, διὰ τὸ καὶ ἐν τούτοις πολλῆς ἡμᾶς δεῖσθαι τῆς ἄνωθεν ῥοπῆς. εἰπὼν δὲ, εἰς τὸ στηριχθῆναι ὑμᾶς, λανθανόντως ἔδειξε δεομένους πολλῆς διορθώσεως. ὃ γὰρ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ἐκ πολλοῦ τοῦ χρόνου ἐπεθύμουν, καὶ ηὐχόμην ὑμᾶς ἰδεῖν, δι' ἕτερον μὲν οὐδὲν, ἵνα δὲ ὑμᾶς βεβαιώσω, στηρίξω τε καὶ πήξω καλῶς εἰς τὸν τοῦ Θεοῦ φόβον, ὥστε μὴ σαλεύεσθαι διηνεκῶς. (γρ. λόγον) ἀλλ' οὕτω μὲν οὐκ εἶπεν (ἐπέπληξε γὰρ ἄν) ἑτέρως δὲ ὑφειμένως τὸ αὐτὸ αἰνίττεται. ὅταν γὰρ εἶπεν, εἰς τὸ στηριχθῆναι ὑμᾶς, τοῦτο δηλοῖ. εἶτα ἐπειδὴ καὶ τοῦτο σφόδρα φορτικὸν ἦν, ὅρα πῶς αὐτὸ παραμυθεῖται διὰ τῆς ἐπαγωγῆς. ἵνα γὰρ μὴ λέγωσι, τί γάρ; σαλευόμεθα; περιφερόμεθα; καὶ τῆς παρὰ σοῦ δεόμεθα γλώττης εἰς τὸ στῆναι βεβαίως; προλαβὼν ἀναιρεῖ τὴν τοιαύτην ἀντίρρησιν, οὕτω λέγων·

12 Τοῦτο δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ. Ὡς ἂν εἰ ἔλεγε, μὴ ὑποτοπεύσητε ὅτι κατηγορῶν ὑμῶν εἶπον· οὐ ταύτῃ τῇ γνώμῃ ἐφθεγξάμην τὸ ῥῆμα. (γρ. ὑποπτεύσητε) ἀλλὰ τί ποτέ ἐστιν ὅπερ ἠβουλήθην εἰπεῖν; πολλὰς ὑπεμείνατε θλίψεις, ὑπὸ τῶν διωκόντων περιελαυνόμενοι. ἐπεθύμησα τοίνυν ὑμᾶς ἰδεῖν, ἵνα παρακαλέσω, μᾶλλον δὲ οὐχ ἵνα παρακαλέσω μόνον, ἀλλ' ἵνα καὶ αὐτὸς παράκλησιν δέξωμαι. ὅρα σοφίαν διδασκάλου. εἶπεν εἰς τὸ στηριχθῆναι ὑμᾶς· οἶδε βαρὺ καὶ φορτικὸν τὸ εἰρημένον τοῖς μαθηταῖς ὂν, καὶ λέγει, εἰς τὸ παρακληθῆναι ὑμᾶς. ἀλλὰ καὶ τοῦτο βαρὺ πάλιν, οὐχ οὕτω μὲν ὡς τὸ πρότερον, βαρὺ δὲ ὅμως. ὑποτέμνεται τοίνυν καὶ τούτου πάλιν τὸ φορτικὸν, λεαίνων πανταχόθεν τὸν λόγον, καὶ ποιῶν εὐπαράδεκτον. οὐ γὰρ ἁπλῶς εἶπε παρακληθῆναι, ἀλλὰ συμπαρακληθῆναι, καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἑτέραν εἰσάγει πλείονα θεραπείαν, εἰπὼν, διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ. βαβαὶ, πόση* ἡ ταπεινοφροσύνη; (* ἦν) ἔδειξε καὶ ἑαυτὸν ἐκείνων δεόμενον, οὐκ ἐκείνους τούτου μόνον· καὶ τοὺς μαθητὰς ἐν τάξει διδασκάλων ἐκάθισεν, οὐδεμίαν ὑπεροχὴν ἀφεὶς μεῖναι παρ' αὐτῷ, ἀλλὰ πολλὴν τὴν ἰσοτιμίαν ἐπιδειξάμενος. κοινὸν γάρ ἐστι τὸ κέρδος, φησὶ, καὶ ἐγὼ τῆς παρ' ὑμῶν δέομαι παρακλήσεως, καὶ ὑμεῖς τῆς παρ' ἐμοῦ. καὶ πῶς τοῦτο γίνεται; διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ. καθάπερ γὰρ ἐπὶ πυρὸς ἂν πολλάς τις συναγάγῃ λαμπάδας, λαμπρὰν ἀνάπτει τὴν φλόγα· οὕτω καὶ ἐπὶ τῶν πιστῶν γίνεσθαι πέφυκεν. ὅταν μὲν γὰρ καθ' ἑαυτοὺς ὦμεν διεσπασμένοι, ἀθυμότεροί πως ἐσμέν· ὅταν δὲ ἴδωμεν ἀλλήλους τοῖς οἰκείοις περιπλακέντες μέλεσι, πολλὴν δεχόμεθα τὴν παράκλησιν. μὴ γάρ μοι τὸν παρόντα καιρὸν ἐξετάσῃς, καθ' ὃν τῇ τοῦ Θεοῦ χάριτι κατὰ κώμην καὶ πόλιν, καὶ ἐν αὐτῇ τῇ ἐρήμῳ πολλὰ τῶν πιστευόντων τὰ τάγματα, καὶ πᾶσα ἀσέβεια ἐξελήλαται, (γρ. Χριστοῦ) ἀλλ' ἐννόησον κατ' ἐκεῖνον τὸν καιρὸν ὅσον ἦν ἀγαθὸν καὶ διδασκάλους ἰδεῖν τοὺς μαθητὰς, καὶ ὑπὸ ἀδελφῶν ἀδελφοὺς ὀφθῆναι ἐξ ἄλλης πόλεως ἐπελθόντας. ἵνα δὲ καὶ σαφέστερον τὸ λεγόμενον ποιήσω, ἐπὶ ὑποδείγματος τὸν λόγον ἀγάγωμεν. (γρ. ἀγάγω.) εἰ γὰρ συμβῇ ποτε, καὶ ἡμοί-

τὸ (ὃ μὴ γένοιτο) ἀπενεχθέντας εἰς τὴν Περσῶν γῆν, ἢ Σκυθῶν, ἢ βαρβάρων ἑτέρων διεσπάρθαι κατὰ δύο καὶ τρεῖς ἐν ἐκείναις ταῖς πόλεσιν, εἶτα ἐξαίφνης τινὰ τῶν ἐντεῦθεν ἰδεῖν ἐπελθόντα, ἐννόησον, ὅσην ἂν ἐκαρπωσάμεθα τὴν παραμυθίαν. οὐχ ὁρᾶτε καὶ νῦν ἐν τοῖς δεσμωτηρίοις ὄντας, εἴ τινα τῶν ἐπιτηδείων ἴδοιεν, ἀνισταμένους, καὶ ἐπτερωμένους ὑπὸ τῆς ἡδονῆς; εἰ δὲ αἰχμαλωσίᾳ καὶ δεσμωτηρίῳ παραβάλλω τοὺς τότε καιρούς, μὴ θαυμάσῃς. πολὺ γὰρ χαλεπώτερα τούτων ἔπασχον ἐκεῖνοι διεσπαρμένοι, καὶ ἐλαυνόμενοι, καὶ λιμῷ, καὶ πολέμοις συζῶντες, καὶ καθημερινοὺς θανάτους τρέμοντες, καὶ ὑποπτεύοντες καὶ φίλους, καὶ οἰκείους, καὶ συγγενεῖς, καὶ καθάπερ ξένην τὴν οἰκουμένην οἰκοῦντες, μᾶλλον δὲ πολλῷ τῶν ἐν ἀλλοτρίᾳ διατριβόντων χαλεπώτερον. διά τοι τοῦτό φησιν, εἰς τὸ στηριχθῆναι ὑμᾶς, καὶ συμπαρακληθῆναι διὰ τῆς ἐν ἀλλήλοις πίστεως. τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς αὐτὸς χρῄζων τῆς παρ' ἐκείνων συμμαχίας (ἄπαγε· πῶς γὰρ ὁ τῆς ἐκκλησίας στῦλος, ὁ σιδήρου καὶ πέτρας στερρότερος, ὁ πνευματικὸς ἀδάμας καὶ μυρίαις ἀρκῶν πόλεσιν;) ἀλλ' ἵνα μὴ καταφορτικὸν ποιήσῃ τὸν λόγον, μηδὲ σφοδρὰν τὴν ἐπιτίμησιν, καὶ αὐτὸς δεῖσθαι τῆς παρακλήσεως ἔλεγε τῆς ἐκείνων. εἰ δέ τις ἐνταῦθα παράκλησιν καὶ εὐφροσύνην, τὴν ἐπὶ τῆς πίστεως αὐτῶν ἐπίδοσιν λέγοι, καὶ ταύτης δεῖσθαι τὸν Παῦλον, οὐκ ἂν οὐδὲ οὕτως ἁμάρτοι τοῦ λόγου. εἰ οὖν καὶ ἐπιθυμεῖς, φησί, καὶ εὔχῃ, καὶ μέλλεις παρακλήσεως ἀπολαύειν καὶ παρακλήσεως μεταδιδόναι, τί τὸ κωλῦον ἐλθεῖν; ταύτην τοίνυν λύων τὴν ὑπόνοιαν, ἐπήγαγεν·

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο. Ὅρα μέτρα δουλικῆς ὑπακοῆς, καὶ πολλῆς εὐγνωμοσύνης ἀπόδειξιν. ὅτι μὲν ἐκωλύθη, λέγει· διὰ τί δέ, οὐκέτι. οὐ γὰρ ἐξετάζει τοῦ δεσπότου τὸ πρόσταγμα, ἀλλὰ πείθεται μόνον. καίτοι εἰκὸς ἦν διαπορῆσαι, τίνος ἕνεκεν πόλιν οὕτω λαμπρὰν καὶ μεγάλην, καὶ πρὸς ἣν ἅπασα ἔβλεπεν ἡ οἰκουμένη, ἐκώλυσεν ὁ Θεὸς ἀπολαῦσαι διδασκάλου τοιούτου, καὶ ἐπὶ χρόνον τοσοῦτον. ὁ μὲν γὰρ τῆς κρατούσης πόλεως περιγενόμενος, καὶ τοῖς ἀρχομένοις ῥᾳδίως ἐπῄει· ὁ δὲ τὴν βασιλικωτέραν ἀφεὶς, τοῖς δὲ ὑπηκόοις ἐφεδρεύων, τὸ κεφάλαιον εἶχεν ἠμελημένον. ἀλλ' ὅμως οὐδὲν τούτων περιεργάζεται, ἀλλὰ παραχωρεῖ τῷ τῆς προνοίας ἀκαταλήπτῳ, τό τε ἐμμελὲς ἐπιδεικνύμενος τῆς ἑαυτοῦ ψυχῆς, καὶ παιδεύων πάντας ἡμᾶς μηδέποτε τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας τῶν γινομένων, κἂν δοκῇ πολλοὺς θορυβεῖν τὰ πραττόμενα. δεσπότου μὲν γάρ ἐστι μόνον τὸ ἐπιτάττειν, δούλων δὲ τὸ πείθεσθαι. διὰ τοῦτο ὅτι μὲν ἐκώλυε, λέγει· τίνος δὲ ἕνεκεν, οὐκέτι. οὐδὲ γὰρ ἐγὼ οἶδα, φησί. μὴ τοίνυν ἐρώτα με Θεοῦ βουλὴν, ἢ γνώμην. Ρω. θ. κ. Οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτω; τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, καὶ ζητεῖς μαθεῖν; οὐκ οἶσθα ὅτι μέλει πάντων αὐτῷ; ὅτι σοφός ἐστιν; ὅτι οὐδὲν ἁπλῶς ἐργάζεται, καὶ εἰκῇ; ὅτι τοῦ γεγεννηκότος σε μᾶλλον φιλεῖ, καὶ πατρὸς ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνει φιλοστοργίαν, καὶ μητρὸς κηδεμονίαν; μηδὲν οὖν πλέον ζήτει, μηδὲ πρόβαινε περαιτέρω. καὶ γὰρ ἀρκεῖ σοι ταῦτα εἰς παραμυθίαν· ἐπεὶ καὶ τότε σοφῶς ᾠκονόμητο τὰ τῶν Ῥωμαίων. εἰ δὲ τὸν τρόπον ἀγνοεῖς, μὴ δυσχέραινε. τοῦτο γὰρ πίστεως μάλιστα, τὸ καὶ ἀγνοοῦντα τὸν τρόπον τῆς οἰκονομίας, δέχεσθαι τὸν περὶ προνοίας λόγον. κατορθώσας τοίνυν ὅπερ ἐσπούδαζεν ὁ Παῦλος (τί δὲ τοῦτο ἦν; τὸ δεῖξαι, ὅτι οὐ καταφρονῶν αὐτῶν οὐκ ἤρχετο, ἀλλὰ καὶ σφόδρα ἐπιθυμῶν ἐκωλύετο) καὶ τὸ ἔγκλημα ἀποδυσάμενος τῆς ῥᾳθυμίας, καὶ πείσας, ὅτι αὐτῶν οὐχ ἧττον ἐκεῖνος ἰδεῖν αὐτοὺς ἐπεθύμει, πάλιν καὶ δι' ἑτέρων ἐνδείκνυται τὴν ἀγάπην. οὐδὲ γὰρ, ἐπειδὴ ἐκωλύθην, φησὶν, ἀπέστην τοῦ ἐπιχειρεῖν, ἀλλ' ἀεὶ μὲν ἐπεχείρουν, ἀεὶ δὲ ἐκωλυόμην, οὐδέποτε δὲ ἀφιστάμην, τῷ μὲν θελήματι τοῦ Θεοῦ οὐκ ἀντιπίπτων, τὴν δὲ ἀγάπην τηρῶν. διὰ μὲν γὰρ τοῦ προτίθεσθαι, καὶ μὴ ἀφίστασθαι, τὸ φίλτρον ἐπεδείκνυτο· διὰ δὲ τοῦ κωλύεσθαι, καὶ μὴ ἀντιτείνειν, τὴν περὶ τὸν Θεὸν ἅπασαν ἀγάπην ἐδήλου.

γ. διεσπάρθαι
γ. ἐθέλησα
γ. οἰκονόμει
γ. ἐκωλύθη
γ. ᾠκονόμει τὰ Ῥω-
γ. τό τε
γ. ἐκεῖνον
γ. διαπ.
γ. εὐνοίας

ἐδήλου. Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν. Καίτοι δηλωτέραν τὴν αἰτίαν εἶπε τῆς ἐπιθυμίας, καὶ αὐτοῦ πρέπουσαν ἔδειξεν, ἀλλ' ὅμως καὶ ἐν ταῦτα αὐτὴν τίθησι, σφοδρῶς ἐκκαθαίρων αὐτῶν τὴν ὑπόνοιαν. ἐπειδὴ γὰρ περίβλεπτος ἦν ἡ πόλις, καὶ μόνη πανταχοῦ γῆς καὶ θαλάττης τοιαύτη, καὶ τῆς ἱστορίας αὐτῆς ἡ ἐπιθυμία μόνη πολλοῖς ἀποδημίας πρόφασις γέγονεν, ἵνα μὴ καὶ περὶ τοῦ Παύλου τοιοῦτόν τι νομίσωσι, μηδὲ ὑποπτεύσωσιν, ὅτι ἁπλῶς τῇ οἰκειώσει αὐτῶν ἐγκαλλωπιζόμενος ἐπιθυμεῖ τῆς ἐκεῖ προσεδρίας, συνεχῶς τίθησι τὴν ὑπόθεσιν τῆς ἐπιθυμίας. καὶ ἔμπροσθεν μὲν φησιν, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, ἐπιθυμῶν ἰδεῖν· ἐν ταῦτα δὲ σαφέστερον, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν. Καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι. Τοὺς ἄρχοντας μετὰ τῶν ἀρχομένων ἔστησε, καὶ μετὰ τὰ μνεῖα τρόπαια, καὶ τὰς νίκας, καὶ τὴν τῶν ὑπάτων περιφάνειαν, μετὰ τῶν βαρβάρων αὐτοὺς τίθησι· καὶ μάλα εἰκότως. ὅπου γὰρ ἡ τῆς πίστεως εὐγένεια, οὐδεὶς βάρβαρος, οὐδεὶς ἕλλην, οὐδεὶς ξένος, οὐδεὶς πολίτης, ἀλλ' εἰς μίαν ἅπαντες ἀξιώματος ἀναβαίνουσιν ὑπεροχήν. ὅρα δὲ αὐτὸν καὶ ἐν ταῦτα μετριάζοντα. οὐ γὰρ εἶπεν, ἵνα διδάξω, καὶ κατηχήσω, ἀλλὰ τί; ἵνα τινὰ καρπὸν σχῶ. καὶ οὐδὲ ἁπλῶς καρπόν, ἀλλ' ἵνα τινὰ καρπόν· πάλιν συστέλλων τὰ καθ' ἑαυτόν, ὥσπερ δηλωτέρως εἶπεν, ἵνα τι μεταδῶ. εἶτα καὶ αὐτούς, ὥσπερ ἔφθην εἰπών, καταστέλλων, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσί, φησιν. οὐ γὰρ, ἐπειδὴ πλουτεῖτε, καὶ τῶν ἄλλων ἔχετέ τι πλέον, ἐλάττονα περὶ τῶν λοιπῶν σπουδὴν ἐπιδείκνυμι. οὐ γὰρ τοὺς πλουτοῦντας ζητοῦμεν, ἀλλὰ τοὺς πιστούς. ποῦ νῦν οἱ σοφοὶ τῶν ἑλλήνων, οἱ τοὺς βαθεῖς πώγωνας ἕλκοντες, καὶ τὰς ἐξωμίδας ἀναβεβλημένοι, καὶ τὰ μεγάλα φυσῶντες; τὴν Ἑλλάδα, τὴν βάρβαρον πᾶσαν ὁ σκηνοποιὸς ἐπέστρεψεν. ὁ δὲ παρ' αὐτοῖς ἀδόμενος καὶ περιφερόμενος Πλάτων, τρίτον εἰς Σικελίαν ἐλθὼν μετὰ τοῦ κόμπου τῶν ῥημάτων ἐκείνων, μετὰ τῆς ὑπολήψεως τῆς λαμπρᾶς, οὐδὲ ἑνὸς περιεγένετο τυράννου, ἀλλ' οὕτως ἀθλίως ἀπήλλαξεν, ὡς καὶ αὐτῆς ἐκπεσεῖν τῆς ἐλευθερίας. ὁ δὲ σκηνοποιὸς οὐ Σικελίαν μόνον, οὐδὲ Ἰταλίαν, ἀλλὰ πᾶσαν ἐπέδραμε τὴν οἰκουμένην, καὶ οὐδὲ ἐν τῷ κηρύττειν τῆς τέχνης ἀπέστη, ἀλλὰ καὶ τότε δέρματα ἔρραπτε, καὶ ἐργαστηρίου προειστήκει. καὶ οὐδὲ τοῦτο ἐσκανδάλισε τοὺς ἐξ ὑπάτων· καὶ μάλα εἰκότως. οὐ γὰρ αἱ τέχναι καὶ τὰ ἐπιτηδεύματα, ἀλλὰ τὸ ψεῦδος καὶ τὰ πεπλασμένα δόγματα εὐκαταφρονήτους ποιεῖν εἰώθε τοὺς διδάσκοντας. διό τοι τοῦτο ἐκείνων μὲν καὶ Ἀθηναῖοι λοιπὸν καταγελῶσι· τούτῳ δὲ καὶ βάρβαροι προσέχουσι, καὶ ἀνόητοι, καὶ ἰδιῶται. κοινὸν γὰρ τὸ κήρυγμα πρόκειται πᾶσιν· οὐκ ἀξιώματος οἶδε διαφοράν, οὐκ ἔθνους ὑπεροχήν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. πίστεως γὰρ δεῖται μόνης, οὐ συλλογισμῶν. διὸ δὴ μάλιστα αὐτὸ θαυμάζειν ἄξιον, οὐχ ὅτι χρήσιμον καὶ σωτήριον μόνον, ἀλλ' ὅτι καὶ εὔκολον, καὶ ῥᾷστον, καὶ τοῖς πᾶσιν εὔληπτον· ὃ δὴ μάλιστα τῆς τοῦ Θεοῦ προνοίας ἔργον ἐστί, κοινὰ τὰ παρ' ἑαυτοῦ προτιθέντος ἅπασιν. ὅπερ γὰρ ἐπὶ ἡλίου, καὶ σελήνης, καὶ γῆς, καὶ θαλάττης, καὶ τῶν ἄλλων ἐποίησεν, οὐ τοῖς μὲν πλουτοῦσι καὶ σοφοῖς πλείονος μεταδιδοὺς τῆς ἀπὸ τούτων χορηγίας, ἐλάττονος δὲ τοῖς πένησιν, ἀλλ' ἴσην ἅπασι τὴν ἀπόλαυσιν προθεὶς, τοῦτο καὶ ἐπὶ τοῦ κηρύγματος εἰργάσατο, καὶ πολλῷ πλέον, ὅσῳ καὶ ἀναγκαιότερον τοῦτο ἐκείνων. διὸ καὶ Παῦλος φησι συνεχῶς, * πᾶσι τοῖς ἔθνεσιν. εἶτα δεικνὺς αὐτοῖς, ὅτι οὐδὲν αὐτοῖς αὐτὸς χαρίζεται, ἀλλ' ἐπίταγμα πληροῖ δεσποτικόν, καὶ ἀποπέμπων αὐτοὺς ἐπὶ τὴν τοῦ Θεοῦ τῶν ὅλων εὐεργεσίαν, φησίν· 14 Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί. Ὃ καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε. λέγει δὲ τοῦτο, τὸ πάντα ἀναθεὶς τῷ Θεῷ.

15 Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

Ὢ ψυχῆς γενναίας, πρᾶγμα τοσούτων κινδύνων μεστὸν ἀναδεξάμενος, ἀποδημίαν διαπόντιον, πειρασμούς, ἐπιβουλάς, ἐπαναστάσεις (καὶ γὰρ εἰκὸς πόλει τοσαύτῃ μέλλοντα διαλέγεσθαι

διαλέγεσθαι ὑπὸ ἀσεβείας τυραννουμένῃ, νιφάδας πειρασμῶν ὑπομένειν· οὕτω γοῦν καὶ τὸν βίον κατέλυσεν ἐν τῇ πόλει ταύτῃ, παρὰ τοῦ τότε τυραννοῦντος ἀποτμηθείς) ἀλλ᾽ ὅμως τοσαῦτα προσδοκῶν ὑπομένειν, οὐδενὶ τούτων ὀκνηρότερος ἐγίνετο, ἀλλὰ κατηπείγετο, καὶ ὤδινε, καὶ πρόθυμος ἦν. διό φησιν, οὕτω τὸ κατ᾽ ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

16 Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον. Τί φῄς, ὦ Παῦλε; δέον εἰπεῖν, ὅτι καὶ καυχῶμαι, καὶ σεμνύνομαι, καὶ ἐναβρύνομαι, τοῦτο μὲν οὐ λέγεις, τὸ δὲ ἔλαττον τούτου, ὅτι οὐκ ἐπαισχύνομαι; ὅπερ οὐκ ἐπὶ τῶν σφόδρα λαμπρῶν λέγειν εἰώθαμεν. τί οὖν ἐστιν ὅ φησι; καὶ τίνος ἕνεκεν οὕτω φθέγγεται, καίτοι ἀγαλλόμενος ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ἐπὶ τῷ οὐρανῷ; Γαλάταις γοῦν ἐπιστέλλων ἔλεγεν, Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τίνος οὖν ἕνεκεν ἐνταῦθα οὐ λέγει, ὅτι καὶ καυχῶμαι, ἀλλ᾽, ὅτι οὐκ ἐπαισχύνομαι; σφόδρα πρὸς τὰ τοῦ κόσμου πράγματα ἦσαν ἐπτοημένοι οἱ Ῥωμαῖοι διά τε τὸν πλοῦτον, διά τε τὴν ἀρχήν, διά τε τὰς νίκας καὶ τοὺς αὐτῶν βασιλέας. ἰσοθέους γὰρ ἡγοῦντο τούτους. οὕτω γοῦν αὐτοὺς καὶ ἐκάλουν. διὰ δὴ τοῦτο καὶ ναοῖς αὐτοὺς ἐθεράπευον, καὶ βωμοῖς, καὶ θυσίαις. ἐπεὶ οὖν οὕτως ἦσαν πεφυσιωμένοι, ὁ δὲ Παῦλος ἔμελλε κηρύττειν τὸν Ἰησοῦν τὸν νομιζόμενον τοῦ τέκτονος υἱόν, τὸν ἐν Ἰουδαίᾳ τραφέντα καὶ ἐν οἰκίᾳ γυναικὸς εὐτελοῦς, οὐ δορυφόρους ἔχοντα, οὐ χρήματα περιβαλλόμενον, ἀλλὰ καὶ ὡς κατάδικον ἀποθανόντα μετὰ λῃστῶν, καὶ ἕτερα πολλὰ ἄδοξα ὑπομείναντα, καὶ εἰκὸς ἦν αὐτοὺς ἐγκαλύπτεσθαι οὐδέπω τὰ ἀπόρρητα καὶ μεγάλα εἰδότας, διὰ τοῦτό φησιν, οὐκ ἐπαισχύνομαι· ἐκείνους διδάσκων τέως μὴ ἐπαισχύνεσθαι. ἤδει γὰρ ὅτι ἂν τοῦτο κατορθώσωσι, ταχέως προϊόντες καὶ ἐπὶ τὸ καυχᾶσθαι ἥξουσι. καὶ σὺ τοίνυν ἐὰν ἀκούσῃς τινὸς λέγοντος, τὸν ἐσταυρωμένον προσκυνεῖς; μὴ ἐπαισχυνθῇς, μηδὲ κάτω βλέψῃς, ἀλλὰ καὶ ἐναβρύνου καὶ καλλωπίζου, καὶ ἐλευθέροις ὀφθαλμοῖς καὶ ὑψηλῷ προσώπῳ κατάδεξαι τὴν ὁμολογίαν. κἂν εἴπῃ πάλιν, τὸν ἐσταυρωμένον προσκυνεῖς; εἰπὲ πάλιν πρὸς αὐτόν, ἀλλ᾽ οὐ τὸν μοιχόν, οὐδὲ τὸν πατραλοίαν, οὐδὲ τὸν παιδοκτόνον (τοιοῦτοι γὰρ οἱ παρ᾽ αὐτοῖς θεοὶ πάντες) ἀλλὰ τὸν διὰ σταυροῦ δαίμονας ἐπιστομίσαντα, καὶ τὰς μυρίας αὐτῶν ἀνελόντα μαγγανείας. καὶ γὰρ ὁ σταυρὸς δι᾽ ἡμᾶς, τῆς ἀφάτου φιλανθρωπίας ἔργον, τῆς πολλῆς κηδεμονίας σύμβολον. πρὸς δὲ τοῖς εἰρημένοις, ἐπειδὴ καὶ λόγῳ μέγα κομπάζοντες, καὶ τὴν ἔξωθεν περιβεβλημένοι σοφίαν ἐφυσῶντο, ἐγώ, φησιν, ἐρρῶσθαι πολλὰ τούτοις εἰπὼν τοῖς συλλογισμοῖς, σταυρὸν ἔρχομαι κηρύττων, καὶ οὐ διὰ τοῦτο αἰσχύνομαι. Δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν. Ἐπειδὴ γὰρ ἔστι δύναμις Θεοῦ καὶ εἰς κόλασιν (καὶ γὰρ ὅτε τοὺς Αἰγυπτίους ἐκόλαζεν, ἔλεγεν, αὕτη ἐστὶν ἡ δύναμίς μου ἡ μεγάλη) καὶ δύναμις εἰς ἀπώλειαν (φοβήθητε γάρ, φησι, τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ) διὰ τοῦτό φησιν, οὐ ταῦτα ἐλθὼν κομίζω, οὐ τὰ περὶ κολάσεως καὶ τιμωρίας, ἀλλὰ τὰ περὶ σωτηρίας. τί οὖν; οὐχὶ καὶ ταῦτα κατήγγελλε τὸ εὐαγγέλιον, τὰ περὶ γεέννης λέγον, τὰ περὶ τοῦ σκότους τοῦ ἐξωτέρου, καὶ τοῦ σκώληκος τοῦ ἰοβόλου; καὶ μὴν οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τοῦ εὐαγγελίου ταῦτα ἔγνωμεν. πῶς οὖν, φησι, δύναμις Θεοῦ εἰς σωτηρίαν; ἀλλ᾽ ἄκουε καὶ τῶν ἑξῆς. Παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι.

Οὐ γὰρ ἁπλῶς πᾶσιν, ἀλλὰ τοῖς δεχομένοις. κἂν γὰρ Ἕλλην ᾖς, κἂν πᾶσαν ἐπελθὼν κακίαν, κἂν Σκύθης, κἂν βάρβαρος, κἂν αὐτὸ θηρίον, καὶ πάσης ἀλογίας γέμων, καὶ μυρία ἁμαρτημάτων ἐπιφερόμενος φορτία, ἅμα τὸν περὶ σταυροῦ λόγον κατεδέξω καὶ ἐβαπτίσθης, καὶ πάντα ἐκεῖνα ἐξήλειψας. διὰ τί δέ φησιν ἐνταῦθα, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι; τί βούλεται αὕτη ἡ διαφορά; καίτοι πολλαχοῦ εἶπεν, ὅτι οὔτε περιτομή τί ἐστιν, οὔτε ἀκροβυστία. πῶς ἐνταῦθα διαιρεῖ, προτιθεὶς τὸν Ἰουδαῖον τοῦ Ἕλληνος; τί τοῦτο; οὐδὲ γάρ, ἐπεὶ πρῶτός ἐστι, καὶ πλέον λαμβάνει τῆς χάριτος (ἡ γὰρ αὐτὴ δωρεὰ καὶ τούτῳ κἀκείνῳ δίδοται) ἀλλὰ

Γαλ. ς. ιδ.

Ματθ. ι. κη.

τάξεώς ἐστι τιμὴ μόνον τὸ πρότερος. καὶ γὰρ οὐκ ἐν τῷ μείζονα λαβεῖν δικαιοσύνην πλεονεκτεῖ, ἀλλ' ἐν τῷ πρότερος αὐτὴν λαβεῖν τετίμηται μόνον. ἐπεὶ καὶ ἐπὶ τῶν φωτιζομένων (ἴσασι δὲ οἱ μύσται τὸ λεγόμενον) πάντες μὲν ἐπὶ τὸ βάπτισμα τρέχουσιν, οὐ πάντες δὲ ἐν τῇ αὐτῇ ὥρᾳ, ἀλλ' ὁ μὲν πρότερος, ὁ δὲ δεύτερος· οὐ μὴν ὁ πρότερος τοῦ δευτέρου πλέον λαμβάνει, οὐδὲ ἐκεῖνος τοῦ μετ' αὐτὸν, ἀλλὰ τὴν αὐτὴν ἅπαντες ἀπολαύουσι. τὸ τοίνυν, πρότερος, ἐνταῦθα ῥήματός ἐστι τιμὴ, οὐ χάριτος πλεονασμός. εἶτα εἰπὼν, εἰς σωτηρίαν, πάλιν αὔξει τὴν δωρεὰν, δεικνὺς οὐκ ἄχρι τοῦ παρόντος ἱσταμένην, ἀλλὰ περαιτέρω προϊοῦσαν. τοῦτο γὰρ ἐδήλωσεν εἰπών,

17 Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται, ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Ὁ γοῦν γενόμενος δίκαιος, οὐ κατὰ τὸν παρόντα βίον μόνον, ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα ζήσεται. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερον αἰνίττεται μετὰ τούτου, τὸ λαμπρὸν καὶ περιφανὲς τῆς τοιαύτης ζωῆς. ἐπειδὴ γάρ ἐστι καὶ μετ' αἰσχύνης σωθῆναι (ὥσπερ οὖν πολλοὶ τῶν ἀπὸ φιλανθρωπίας βασιλικῆς ἀπαλλαττομένων κολάσεως σώζονται) ἵνα μὴ τοῦτο ὑποπτεύσῃ τις σωτηρίαν ἀκούσας, προσέθηκε καὶ δικαιοσύνην, καὶ δικαιοσύνην οὐ σὴν, ἀλλὰ Θεοῦ, καὶ τὸ δαψιλὲς αὐτῆς καὶ τὸ εὔκολον αἰνιττόμενος. οὐ γὰρ ἐξ ἱδρώτων καὶ πόνων αὐτὴν κατορθοῖς, ἀλλ' ἀπὸ τῆς ἄνωθεν δωρεᾶς λαμβάνεις, ἓν μόνον εἰσφέρων οἴκοθεν, τὸ πιστεῦσαι. εἶτα, ἐπειδὴ ἀπίθανος ὁ λόγος εἶναι ἐδόκει, εἰ ὁ μοιχὸς, καὶ μαλακὸς, καὶ τυμβωρύχος, καὶ γόης, ἀθρόον οὐχὶ κολάσεως ἀπαλλάττεται μόνον, ἀλλὰ καὶ δίκαιος γίνεται, καὶ δίκαιος τὴν ἀνωτάτω δικαιοσύνην, ἀπὸ τῆς παλαιᾶς πιστοῦται τὸν λόγον. καὶ πρότερον μὲν βραχεῖ ῥήματι πέλαγος ἱστοριῶν ἀχανὲς τῷ δυναμένῳ βλέπειν ἀναπετάννυσιν. εἰπὼν γὰρ, ἐκ πίστεως εἰς πίστιν, παραπέμπει τὸν ἀκροατὴν ἐπὶ τὰς οἰκονομίας τοῦ Θεοῦ τὰς ἐν τῇ παλαιᾷ γενομένας, *ἃς Ἑβραίοις ἐπιστέλλων μετὰ πολλῆς ἐξηγεῖται σοφίας, καὶ τοὺς δικαίους καὶ τοὺς ἁμαρτωλοὺς οὕτω δικαιωθέντας δείκνυσι καὶ τότε. διὸ καὶ τῆς "Ῥαὰβ, καὶ τοῦ Ἀβραὰμ Ἑβρ. ια.
ἐμνημόνευσεν. ἔπειτα δὲ ἐνταῦθα αἰνιξάμενος αὐτὸ μόνον (καὶ γὰρ ἐφ' ἕτερον ἔσπευδε θεώρημα, καὶ κατεπείγετο) ἀπὸ τῶν προφητῶν πάλιν πιστοῦται τὸν λόγον, τὸν Σοφονίαν εἰς μέσον παράγων βοῶντα καὶ λέγοντα, ὅτι οὐδὲ ἔνι ἄλλως ζῆν τὸν μέλλοντα ζήσεσθαι, ἀλλὰ διὰ πίστεως. ὁ γὰρ δίκαιος, φησὶν, ἐκ πίστεως ζήσεται, περὶ τῆς μελλούσης λέγων ζωῆς. ἐπειδὴ γὰρ, ἅπερ ὁ Θεὸς χαρίζεται, πάντα ὑπερβαίνει λογισμὸν, εἰκότως πίστεως ἡμῖν δεῖ. ὁ δὲ κακοποιούμενος, καὶ καταφρονητὴς ἀνὴρ, καὶ ἀλαζὼν οὐδὲν οὐ μὴ περάνῃ. ἀκουέτωσαν αἱρετικοὶ τῆς πνευματικῆς φωνῆς. τοιαύτη γὰρ ἡ τῶν λογισμῶν φύσις· λαβυρίνθῳ τινὶ καὶ γρίφοις ἔοικεν, οὐδὲν οὐδαμοῦ τέλος ἔχουσα, οὐδὲ ἀφιεῖσα τὸν λογισμὸν ἑστάναι ἐπὶ τῆς πέτρας, καὶ τὴν ἀρχὴν ἐξ ἀλαζονείας λαμβάνουσα. αἰσχυνόμενοι γὰρ ἐπὶ τῷ παραδέχεσθαι πίστιν, καὶ δοκεῖν ἀγνοεῖν τὰ οὐράνια, εἰς κονιορτὸν ἑαυτοὺς μυρίων λογισμῶν ἐμβάλλουσιν. εἶτα ἄθλιε, καὶ ταλαίπωρε, καὶ μυρίων ἄξιε δακρύων, ἂν μέν τίς σε ἔρηται, πῶς ὁ οὐρανὸς γέγονεν, ἢ πῶς ἡ γῆ· τί λέγω τὸν οὐρανὸν, καὶ τὴν γῆν; πῶς αὐτὸς ἐτέχθης, πῶς ἐτράφης, καὶ ηὐξήθης, οὐκ αἰσχύνῃ τὴν ἄγνοιαν; ἐὰν δὲ περὶ τοῦ μονογενοῦς γένηταί τις λόγος, δι' αἰσχύνην εἰς βάραθρον ἑαυτὸν ἐμβάλλεις ἀπωλείας, ἀνάξιον σεαυτῷ νομίζων * τὸ μὴ πάντα εἰδέναι; καὶ μὴν ἀνάξιον ἡ φιλονεικία, καὶ τὸ πολυπραγμονεῖν ἀκαίρως. καὶ τί λέγω περὶ δογμάτων; αὐτῆς γὰρ τῆς κατὰ τὸν παρόντα βίον πονηρίας οὐδαμόθεν ἀπηλλάγημεν ἄλλοθεν, ἀλλ' ἢ διὰ πίστεως. οὕτω καὶ οἱ πρὸ τούτου ἔλαμψαν ἅπαντες, οὕτως ὁ Ἀβραὰμ, οὕτως ὁ Ἰσαὰκ, οὕτως ὁ Ἰακὼβ, οὕτω καὶ πόρνη ἐσώθη, καὶ ἡ ἐν τῇ παλαιᾷ, καὶ ἡ ἐν τῇ καινῇ. Πίστει Ἑβ. ια. λα.
γὰρ, φησὶ, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους· οὐδὲ πρὸς ἑαυτὴν εἶπε, καὶ πῶς δυνήσονται οὗτοι αἰχμάλωτοι καὶ φυγάδες ὄντες, καὶ μετανάσται, καὶ νομάδων βίον ζῶντες, ἡμῶν τὴν πόλιν ἐχόντων καὶ τείχη καὶ πύργους περιγενέσθαι;

λύμεθα; ὡς εἰ πρὸς ἑαυτὸν ταῦτα εἶπε, καὶ ἑαυτὸν καὶ ἐκείνους ἂν προσαπώλεσεν, ὅπερ οὖν καὶ οἱ πρόγονοι τῶν τότε σωθέντων ἔπαθον. ἐκεῖνοι γὰρ ἐπειδὴ ἄνδρας εἶδον μεγάλους καὶ εὐμήκεις, τὸν τρόπον τῆς νίκης ἐζήτουν [καὶ] ἀπώλοντο χωρὶς πολέμου καὶ παρατάξεως ἅπαντες. Ἰη. ς. δ. εἶδες πόσον τῆς ἀπιστίας τὸ βάραθρον, καὶ πόσον τῆς πίστεως τὸ τεῖχος; ἡ μὲν γὰρ ἀπείρους κατήνεγκε χιλιάδας· αὕτη δὲ πόρνην γυναῖκα οὐ μόνον διέσωσεν, ἀλλὰ καὶ δήμου τοσούτου προστάτιν ἐποίησε.

ΗΘΙΚΟΝ Ταῦτ' οὖν εἰδότες, καὶ τὰ τούτων πλείονα, μηδέποτε τὸν Θεὸν εὐθύνας τῶν γινομένων ἀπαιτῶμεν, ἀλλ' ὅπερ ἂν ἐπιτάξῃ, δεχώμεθα· καὶ μὴ περιεργαζώμεθα, μηδὲ πολυπραγμονῶμεν, κἂν ἀνθρωπίνοις λογισμοῖς ἄτοπον εἶναι δοκῇ τὸ κελευόμενον. τί γάρ, εἰπέ μοι, τοῦ σφάξαι μονογενῆ παῖδα καὶ γνήσιον, αὐτὸν τὸν γεγεννηκότα, ἀτοπώτερον εἶναι δόξει; ἀλλ' ὅμως ὁ δίκαιος κελευσθεὶς, οὔτε περιειργάσατο τοῦτο, ἀλλ' ἀπὸ τῆς ἀξίας τοῦ κελεύσαντος ἐδέξατο τὸ ἐπίταγμα μόνον, καὶ ὑπήκουσε. καὶ ἕτερος δὲ προφήτην παρὰ τοῦ Θεοῦ κελευσθεὶς ῥαπίσαι, ἐπειδὴ τὸ δοκοῦν ἄτοπον εἶναι τοῦ πράγματος περιειργάσατο, καὶ οὐχ ἁπλῶς ὑπήκουσε, δίκην ἔδωκε τὴν ἐσχάτην· ὁ δὲ πλήξας εὐδοκίμησε. γ. Βασ. κ. λε. καὶ ὁ Σαοὺλ δὲ σώσας ἀνθρώπους παρὰ τὸ τῷ Θεῷ δοκοῦν, τῆς βασιλείας ἐξέπεσε, καὶ τὰ ἀνήκεστα ἔπαθε. καὶ ἕτερα πλείονα τούτων ἄν τις εὕροι παραδείγματα, δι' ὧν ἁπάντων παιδευόμεθα μηδέποτε τῶν ἐπιταγμάτων τοῦ Θεοῦ λόγον ἀπαιτεῖν, ἀλλ' εἴκειν καὶ πείθεσθαι μόνον. εἰ δὲ ἅπερ ἂν ἐπιτάξῃ, περιεργάζεσθαι ἐπισφαλές, καὶ ἐσχάτη κόλασις κεῖται τοῖς πολυπραγμονοῦσι· τὰ πολλῷ τούτων ἀπορρητότερα καὶ φρικωδέστερα περιεργαζόμενοι, τουτέστι, πῶς ἐγέννησε τὸν υἱόν, καὶ τίνι τρόπῳ, καὶ τίς ἡ οὐσία, τίνα ἕξουσιν ἀπολογίαν ποτέ; ταῦτ' οὖν εἰδότες, τὴν πάντων τῶν ἀγαθῶν μητέρα πίστιν μετὰ πάσης ἀποδεχώμεθα τῆς εὐνοίας, ἵνα ὥσπερ ἐν γαλήνῃ πλέοντες λιμένι τά τε ὀρθὰ διατηρῶμεν δόγματα, καὶ τὸν βίον ἡμῶν μετὰ ἀσφαλείας κατευθύνοντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν ἁγίῳ πνεύματι.

Λογ. γ. 18 ΑΠΟΚΑΛΥΠΤΕΤΑΙ ΓΑΡ ΟΡΓΗ ΘΕΟΥ ΑΠ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων.

Ὅρα τὴν Παύλου σύνεσιν, πῶς ἀπὸ τῶν χρηστοτέρων προτρέψας, ἐπὶ τὰ φοβερώτερα τρέπει τὸν λόγον. εἰπὼν γὰρ ὅτι σωτηρίας αἴτιον τὸ εὐαγγέλιον, ὅτι ζωῆς, ὅτι Θεοῦ δύναμις, ὅτι σωτηρίας καὶ δικαιοσύνης ποιητικόν, λέγει καὶ τὰ φοβῆσαι δυνάμενα τοὺς οὐ προσέχοντας. ἐπειδὴ γὰρ ὡς τὰ πολλά, τῶν ἀνθρώπων οἱ πλείους οὐχ οὕτω τῇ τῶν χρηστῶν ἐπαγγελίᾳ, ὡς τῷ φόβῳ τῶν λυπηρῶν πρὸς τὴν ἀρετὴν ἕλκονται, ἑκατέρωθεν αὐτοὺς ἐπισπᾶται. διὰ τοῦτο καὶ ὁ Θεὸς οὐ βασιλείαν ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ γέενναν ἠπείλησε· καὶ οἱ προφῆται δὲ τοῖς Ἰουδαίοις οὕτω διελέγοντο, τὰ κακὰ τοῖς ἀγαθοῖς ἀναμιγνύντες διηνεκῶς. διὰ τοῦτο καὶ ὁ Παῦλος οὕτω ποικίλλει τὸν λόγον· οὐ μὴν ἁπλῶς, ἀλλὰ τὰ χρηστὰ τίθησι πρῶτον, καὶ μετὰ ταῦτα τὰ λυπηρά, δεικνὺς ὅτι ἐκεῖνα μὲν τῆς προηγουμένης τοῦ Θεοῦ γνώμης ἐστί, ταῦτα δὲ τῆς τῶν ῥαθυμούντων πονηρίας. Ησ. α. 19. οὕτω καὶ ὁ προφήτης πρῶτον τὰ ἀγαθὰ τίθησι λέγων, Ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θελήσητε, καὶ μὴ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. οὕτω καὶ ἐνταῦθα προάγει τὸν λόγον ὁ Παῦλος. σκόπει

δέ

δὲ ἦλθε φέρων ὁ Χριστὸς ἄφεσιν, φησί, δικαιοσύνην, ζωήν, καὶ οὐχ ἁπλῶς, ἀλλὰ διὰ σταυροῦ φέρει. ὃ δὴ μέγιστον καὶ θαυμαστόν, οὐχ ὅτι τοιαῦτα ἐχαρίσατο μόνον, ἀλλ' ὅτι καὶ τοιαῦτα ἔπαθεν. ἂν τοίνυν ὑβρίσητε εἰς τὰς δωρεάς, τότε ἀναμείνατε τὰ λυπηρά. καὶ ὅρα πῶς ἐπαίρει τὸν λόγον· ἀποκαλύπτεται γάρ, φησίν, ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ. πόθεν τοῦτο δῆλον; ἂν μὲν ὁ πιστὸς λέγῃ, τοῦ Χριστοῦ τὰς ἀποφάσεις ἐροῦμεν, ἂν δὲ ὁ ἄπιστος καὶ ὁ Ἕλλην, ἀπὸ τῶν ἑξῆς αὐτὸν ὁ Παῦλος ἐπιστομίζει τῶν περὶ τῆς κρίσεως τοῦ Θεοῦ λόγων, ἐκ τῶν ὑπ' ἐκείνων γινομένων ἀπόδειξιν ἀναντίῤῥητον εἰσάγων. ὃ δὴ καὶ ἔστι μάλιστα παραδοξότατον, ὅταν τοὺς ἀντιλέγοντας αὐτῇ τῇ ἀληθείᾳ, δι' ὧν ποιοῦσι καθ' ἑκάστην * ἢ καὶ λέγουσι, συνιστάμενους αὐτοὺς ἀποφαίνει τοῖς τῆς ἀληθείας δόγμασιν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἑξῆς, τέως δὲ τῶν προκειμένων ἐχώμεθα. Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ.

Καίτοι καὶ ἐνταῦθα πολλάκις τοῦτο γίνεται, οἷον ἐν λιμοῖς, καὶ λοιμοῖς, καὶ πολέμοις. καὶ γὰρ ἰδίᾳ ἕκαστος, καὶ κοινῇ πάντες κολάζονται. τί οὖν τὸ ξένον τότε; ὅτι καὶ μείζων ἡ κόλασις, καὶ κοινή, καὶ οὐκ ἐπὶ τοῖς αὐτοῖς. νῦν μὲν γὰρ πρὸς διόρθωσιν τὰ γινόμενα· τότε δὲ πρὸς τιμωρίαν. ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν, Ὅτι παιδευόμεθα νῦν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. a. Κορ. ια. λβ. καὶ νῦν μὲν οὐ διὰ τὴν ἄνωθεν ὀργὴν πολλοῖς δοκεῖ τὰ πολλὰ γίνεσθαι, ἀλλὰ διὰ ἀνθρώπων ἐπήρειαν· τότε δὲ φανερὰ ἔσται ἡ παρὰ τοῦ Θεοῦ κόλασις, ὅταν καθήμενος ἐπὶ τοῦ φοβεροῦ βήματος ὁ κριτής, τοὺς μὲν ἐπὶ τὰς καμίνους ἕλκεσθαι κελεύῃ, τοὺς δὲ ἐπὶ τὸ σκότος τὸ ἐξώτερον, τοὺς δὲ ἐπ' ἄλλας ἀπαραιτήτους καὶ ἀφορήτους κολάσεις. καὶ τίνος ἕνεκεν οὐχ οὕτως εἶπε σαφῶς, οἷον ὅτι υἱὸς τοῦ Θεοῦ μέλλει παραγίνεσθαι μετὰ μυρίων ἀγγέλων, καὶ τὰς εὐθύνας ἀπαιτεῖν ἕκαστον, ἀλλ' ὅτι ἀποκαλύπτεται ὀργὴ Θεοῦ; τῶν νεοφύτων ἦσαν οἱ ἀκούοντες ἔτι. διὰ τοῦτο ἀπὸ τῶν σφόδρα ὡμολογημένων παρ' αὐτοῖς προσάγων αὐτοὺς ἐπισπᾶται. χωρὶς δὲ τῶν εἰρημένων καὶ πρὸς Ἕλληνας ἀποτείνεσθαί μοι δοκεῖ. διὸ καὶ ἐντεῦθεν προοιμιάζεται· ὕστερον δὲ καὶ τὸν περὶ τῆς κρίσεως τοῦ Χριστοῦ λόγον εἰσάγει.

Ἐπὶ πᾶσαν ἀσέβειαν, καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων.

Ἐνταῦθα δείκνυσιν ὅτι πολλαὶ τῆς ἀσεβείας αἱ ὁδοί, ἡ δὲ τῆς ἀληθείας, μία. καὶ γὰρ ποικίλον, καὶ πολυειδές, καὶ συγκεχυμένον ἡ πλάνη· ἡ δὲ ἀλήθεια, μία. εἰπὼν δὲ περὶ δογμάτων, λέγει καὶ περὶ βίου, ἀδικίαν ἀνθρώπων εἰπών. καὶ γὰρ αἱ ἀδικίαι, ποικίλαι· καὶ ἡ μὲν περὶ χρήματα γίνεται, οἷον ὅταν τις ἐν τούτοις ἀδικῇ τὸν πλησίον· ἡ δὲ περὶ γυναῖκας, ὅταν τις ἀφεὶς τὴν ἑαυτοῦ, τὸν ἑτέρου διορύττῃ γάμον. καὶ γὰρ καὶ τοῦτο πλεονεξίαν ὁ Παῦλος καλεῖ, οὕτω λέγων, Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν. a. Θεσ. δ. ς. ἕτεροι πάλιν ἀντὶ γυναικός, καὶ χρημάτων, δόξαν λυμαίνονται τὴν τοῦ πλησίον, καὶ τοῦτο δὲ ἀδικία. καὶ γὰρ Παροιμ. κβ. α. κρεῖσσον ὄνομα καλόν, ἢ πλοῦτος πολύς. τινὲς δέ φασιν ὅτι καὶ τοῦτο περὶ δογμάτων εἴρηται τῷ Παύλῳ· πλὴν οὐδὲν κωλύει περὶ ἀμφοτέρων εἰρῆσθαι. τί δέ ἐστι, τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων, διὰ τῶν ἑξῆς μάνθανε.

19 Ὅτι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσεν·

Ἀλλὰ ταύτην τὴν δόξαν ξύλοις περιέθηκαν καὶ λίθοις. ὥσπερ οὖν ὁ χρήματα τις δεχθεὶς βασιλικά, καὶ εἰς τὴν τοῦ βασιλέως δόξαν ἀναλῶσαι κελευσθείς, ἂν εἰς λῃστὰς, καὶ πόρνας, καὶ γόητας δαπανήσῃ ταῦτα, καὶ λαμπροὺς τούτους ἀπὸ τῶν τοῦ βασιλέως ποιήσῃ χρημάτων, ὡς τὰ μέγιστα ἠδικηκὼς τὸν βασιλέα κολάζεται· οὕτω καὶ οὗτοι λαβόντες τὴν περὶ τοῦ Θεοῦ γνῶσιν καὶ τῆς δόξης αὐτοῦ, εἶτα εἰδώλοις αὐτὴν περιθέντες, ἐν ἀδικίᾳ τὴν ἀλήθειαν κατέσχον, καί, τό γε εἰς αὐτοὺς ἧκον, ἠδίκησαν τὴν γνῶσιν, οὐκ εἰς τὰ προσήκοντα αὐτῇ χρησάμενοι. ἆρα γέγονεν ὑμῖν σαφὲς τὸ λεχθέν, ἢ δεῖ σαφέστερον αὐτὸ πάλιν εἰπεῖν; τάχα ἀναγκαῖον πάλιν εἰπεῖν. τί οὖν ἐστι τὸ λεγόμενον; τὴν περὶ αὐτοῦ γνῶσιν ἐξ ἀρχῆς τοῖς ἀνθρώποις ἐνέθηκεν ὁ Θεός· ἀλλὰ ταύτην τὴν γνῶσιν οἱ Ἕλληνες ξύλοις περιθέντες

θέντες καὶ λίθοις, ἠδίκησαν τὴν ἀλήθειαν, τό γε αὐτῶν μέρος. ἐκείνη γὰρ ἄτρεπτος μένει, τὴν οἰκείαν δόξαν ἔχουσα ἀκίνητον. καὶ πόθεν δῆλον ὅτι ἐνέθηκεν αὐτοῖς τὴν γνῶσιν, ὦ Παῦλε; ὅτι, φησὶ, τὸ γνωστὸν αὐτοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. ἀλλὰ τοῦτο ἀπόφασίς ἐστιν, οὐκ ἀπόδειξις· σὺ δέ μοι κατασκεύασον, καὶ δεῖξον ὅτι ἡ γνῶσις ἡ περὶ τοῦ Θεοῦ δήλη ἦν αὐτοῖς, καὶ ἑκόντες παρέδραμον. πόθεν οὖν δήλη ἦν; φωνὴν αὐτοῖς ἀφῆκεν; οὐδαμῶς· ἀλλ' ὃ φωνῆς αὐτοὺς ἐφέλκεσθαι μᾶλλον ἠδύνατο, τοῦτο ἐποίησε, τὴν κτίσιν εἰς μέσον παραθεὶς, ὥστε καὶ σοφὸν, καὶ ἰδιώτην, καὶ Σκύθην, καὶ βάρβαρον διὰ τῆς ὄψεως καταμαθόντα τῶν ὁρωμένων τὸ κάλλος, ἐπὶ τὸν Θεὸν ἀναβαίνειν. διό φησι,

20 Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται·

Ψαλμ. ιη. α.

Ὅπερ οὖν καὶ ὁ προφήτης ἔλεγεν, Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. τί γὰρ ἐροῦσι κατ' ἐκείνην τὴν ἡμέραν οἱ ἕλληνες; ὅτι ἠγνοήσαμέν σε; εἶτα οὐκ ἠκούσατε τοῦ οὐρανοῦ φωνὴν διὰ τῆς ὄψεως ἀφιέντος, τῆς εὐτάκτου πάντων ἁρμονίας σάλπιγγος λαμπρότερον βοώσης; νυκτὸς καὶ ἡμέρας νόμους οὐκ εἴδετε μένοντας ἀκινήτους διηνεκῶς; χειμῶνος, ἔαρος, καὶ τῶν ἄλλων ὡρῶν τὴν εὐταξίαν βεβαίαν τε καὶ ἀκίνητον οὖσαν; θαλάττης εὐγνωμοσύνην ἐν ταραχῇ τοσαύτῃ καὶ κύμασι; πάντα ἐν τάξει μένοντα, καὶ διὰ τοῦ κάλλους καὶ διὰ τοῦ μεγέθους ἀνακηρύττοντα τὸν δημιουργόν; ταῦτα γὰρ πάντα, καὶ τὰ τούτων πλείονα συνελὼν ὁ Παῦλος ἔλεγε· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. Ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. Καίτοι γε οὐ διὰ τοῦτο ταῦτα ἐποίησεν ὁ Θεὸς, εἰ καὶ τοῦτο ἐξέβη. οὐ γὰρ ἵνα αὐτοὺς ἀπολογίας ἀποστερήσῃ, διδασκαλίαν τοσαύτην εἰς μέσον προὔθηκεν, ἀλλ' ἵνα αὐτὸν ἐπιγνῶσιν. ἀγνωμονήσαντες δὲ πάσης ἑαυτοὺς ἐστέρησαν ἀπολογίας. εἶτα δεικνὺς πῶς εἰσὶν ἀπολογίας ἀπεστερημένοι, φησίν·

γρ. ἀγνοήσαντες

21 Ὅτι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν.

Ἓν τοῦτο ἔγκλημα μέγιστον· δεύτερον δὲ μετ' ἐκεῖνο, τὸ καὶ εἴδωλα προσκυνῆσαι, ὃ καὶ Ἱερεμίας κατηγορῶν ἔλεγε, Δύο * πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν ζῶντος ὕδατος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους. εἶτα καὶ σημεῖον τοῦ εἰδέναι τὸν Θεὸν, καὶ μὴ χρῆσθαι εἰς δέον τῇ γνώσει, προσάγει τοῦτο αὐτὸ, τὸ θεοὺς ἐγνωκέναι. διόπερ ἐπήγαγε, διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν. καὶ τὴν αἰτίαν τίθησι δι' ἣν εἰς τοσαύτην ἄνοιαν ἐξέπεσον. τίς οὖν αὕτη ἐστί; τοῖς λογισμοῖς τὸ πᾶν ἐπέτρεψαν· ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ πολλῷ πληκτικώτερον, Ἐματαιώθησαν γὰρ ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία.

Ιερ. β. ιγ.

* καὶ

γρ. τί

γρ. χάρ. φησὶν

Ὥσπερ γὰρ ἐν ἀσελήνῳ νυκτὶ εἴ τις ξένην ἐπιχειρήσει βαδίζειν ὁδὸν, ἢ πέλαγος πλεῖν, οὐ μόνον οὐ φθάσει πρὸς τὸ τέλος, ἀλλὰ καὶ ἀπολεῖται ταχέως· οὕτω καὶ οὗτοι τὴν πρὸς τὸν οὐρανὸν φέρουσαν ὁδὸν βαδίζειν ἐπιχειροῦντες, καὶ τὸ φῶς ἀφ' ἑαυτῶν ἀφελόντες, εἶτα ἀντ' ἐκείνου τῷ σκότῳ τῶν λογισμῶν ἑαυτοὺς ἐπιτρέψαντες, καὶ ἐν σώμασι τὸν ἀσώματον, καὶ ἐν σχήμασι τὸν ἀσχημάτιστον ἐπιζητοῦντες, ναυάγιον ὑπέστησαν χαλεπώτατον. μετὰ δὲ τῶν εἰρημένων, καὶ ἑτέραν τίθησιν αἰτίαν τῆς πλάνης αὐτῶν λέγων,

γρ. ἀφελ.

γρ. τὸ σκότος

γρ. ἑαυτοῖς

22 Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν. Μέγα γάρ τι περὶ ἑαυτῶν φαντασθέντες, καὶ οὐκ ἀνασχόμενοι ταύτην ἐλθεῖν, ἣν ὁ Θεὸς ἐκέλευσεν αὐτοῖς, ἐβαπτίσθησαν τοῖς τῆς ἀνοίας λογισμοῖς. εἶτα δεικνὺς καὶ ὑπογράφων τὸν κλυδώνιον, πῶς χαλεπὸν καὶ συγγνώμης πάσης ἐστερημένον, ἐπήγαγε λέγων·

23 Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. Πρῶτον ἔγκλημα, ὅτι Θεὸν οὐχ εὗρον· δεύτερον, ὅτι καὶ ἀφορμὰς ἔχοντες μεγάλας καὶ σαφεῖς· τρίτον, ὅτι σοφοὶ λέγοντες

γρ. σοφοί

εἶναι

εἶναι. τέταρτον, ὅτι οὐ μόνον οὐχ εὗρον, ἀλλὰ καὶ εἰς δαίμονας κατήγαγον, καὶ λίθους, καὶ ξύλα τὸ σέβας ἐκεῖνο. καθαιρεῖ μὲν οὖν αὐτῶν καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ τὸν τῦφον, ἀλλ' οὐχ ὁμοίως ἐκεῖ, καὶ ἐνταῦθα. ἐκεῖ μὲν γὰρ ἀπὸ τοῦ σταυροῦ δίδωσιν αὐτοῖς πληγὴν λέγων, Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν. (α. Κορ. α. κε.) ἐνταῦθα δὲ καὶ χωρὶς συγκρίσεως αὐτὴν καθ' ἑαυτὴν κωμῳδεῖ τὴν σοφίαν αὐτῶν, δεικνὺς μωρίας οὖσαν, καὶ ἀλαζονείας ἐπίδειξιν μόνον. εἶτα ἵνα μάθῃς ὅτι ἔχοντες τὴν περὶ Θεοῦ γνῶσιν, οὕτως αὐτὴν προὔδωκαν, ἤλλαξαν εἶπεν. ὁ δὲ ἀλλάσσων, ὡς ἄλλο ἔχων, ἀλλάσσει. ἤθελον γὰρ τι πλέον εὑρεῖν, καὶ οὐκ ἠνέσχοντο τῶν δοθέντων ὅρων· διὸ καὶ τούτων ἐξέπεσον. καινοτομίας γὰρ ἦσαν ἐπιθυμηταί. καὶ γὰρ τὰ τοιαῦτα πάντα ἑλληνικά. διὰ τοῦτο καὶ κατ' ἀλλήλων ἔστησαν, καὶ Ἀριστοτέλης μὲν ἐπανέστη Πλάτωνι, καὶ Στωϊκοὶ δὲ πρὸς τοῦτον ἐφρυάξαντο, καὶ ἄλλος ἄλλῳ πολέμιος γέγονεν· ὥστε οὐχ οὕτως αὐτοὺς χρὴ θαυμάζειν διὰ τὴν σοφίαν, ὡς ἀποστρέφεσθαι καὶ μισεῖν, ὅτι δι' αὐτὸ τοῦτο μωροὶ γεγόνασιν. εἰ γὰρ μὴ λογισμοῖς ἐπέτρεψαν καὶ συλλογισμοῖς, καὶ σοφίσμασι τὰ καθ' ἑαυτοὺς, οὐκ ἂν ἔπαθον, "ὅπερ ἔπαθον. (γ. ἅπερ) εἶτα ἐπιτείνων αὐτῶν τὴν κατηγορίαν, κωμῳδεῖ τὴν εἰδωλολατρείαν αὐτῶν ἅπασαν. μάλιστα μὲν "οὖν (γ. γὰρ) καὶ τὸ ἀλλάξαι, καταγέλαστον· τὸ δὲ εἰς τοιαῦτα ἀλλάξαι, πάσης ἀπολογίας ἐκτός ἐστιν. εἰς τίνα οὖν ἤλλαξαν, καὶ τίσι περιέθηκαν τὴν δόξαν, σκόπει. φαντασθῆναι ἔδει περὶ ἐκείνου, ὅτι Θεός, ὅτι πάντων Κύριος, ὅτι οὐκ ὄντας ἐποίησεν, ὅτι προνοεῖ, ὅτι κήδεται. ταῦτα γὰρ δόξα Θεοῦ. τίσιν οὖν ταύτην ἀνέθηκαν; οὐκ ἀνθρώποις, "ἀλλ' ὁμοιώματι (γ. ἐν ὁμοιώματι) εἰκόνος φθαρτοῦ ἀνθρώπου. καὶ οὐδὲ ἐνταῦθα ἔστησαν, ἀλλὰ καὶ εἰς κνώδαλα κατηνέχθησαν, μᾶλλον δὲ καὶ εἰς τὰς τούτων εἰκόνας. σὺ δέ μοι σκόπει τὴν σοφίαν τοῦ Παύλου, πῶς τὰ δύο ἄκρα τέθεικε, Θεὸν τὸν ἀνωτάτω, καὶ τὰ ἑρπετὰ τὰ "κατωτάτω· (γ. κάτω) μᾶλλον δὲ οὐ τὰ ἑρπετὰ, ἀλλὰ τὰ τούτων ὁμοιώματα, ἵνα σαφῶς δείξῃ τὴν λαμπρὰν αὐτῶν μανίαν. τὴν γὰρ γνῶσιν ἣν ἔδει περὶ τοῦ πάντων ἀσυγκρίτως ὑπερέχοντος ἔχειν, ταύτην τῷ πάντων ἀσυγκρίτως εὐτελεστέρῳ περιέθηκαν. καὶ τί ταῦτα πρὸς τοὺς φιλοσόφους, φησί; πρὸς "αὐτοὺς (γ. τούτους) μὲν οὖν μάλιστα "πάντα (γ. πάντως) τὰ εἰρημένα. καὶ γὰρ οὗτοι τοὺς ταῦτα ἐφευρόντας Αἰγυπτίους διδασκάλους ἔχουσι· καὶ Πλάτων ὁ δοκῶν εἶναι τῶν ἄλλων σεμνότερος, ἐγκαλλωπίζεται τούτοις· καὶ ὁ τούτου διδάσκαλος περὶ τὰ εἴδωλα ταῦτα ἐπτόηται. τὸν γοῦν ἀλεκτρυόνα ὁ κελεύων τῷ Ἀσκληπιῷ θύειν, οὗτός ἐστιν. ἔνθα τῶν κνωδάλων τούτων καὶ τῶν ἑρπετῶν εἰκόνας, καὶ τὸν Ἀπόλλωνα δὲ καὶ τὸν Διόνυσον μετὰ τούτων θεραπευομένους τῶν ἑρπετῶν ἴδοι τις ἄν. τινὲς δὲ τῶν φιλοσόφων καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγον ταύρους, καὶ σκορπίους, καὶ δράκοντας, καὶ τὸν ἄλλον ἅπαντα λῆρον. πανταχοῦ γὰρ ὁ διάβολος ἐσπούδασεν εἰς τὰ τῶν ἑρπετῶν ὁμοιώματα τοὺς ἀνθρώπους καταγαγεῖν, καὶ ὑποτάξαι τοῖς πάντων ἀλογωτέροις "αὐτοὺς, οὓς ὁ (γ. τοῦτον, ὃν ὁ) Θεὸς ὑπὲρ τὸν οὐρανὸν ἀναγαγεῖν ἠθέλησεν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὄψει τὸν κορυφαῖον αὐτῶν ὑπεύθυνον τοῖς λεγομένοις ὄντα. ὅταν γὰρ τοὺς ποιητὰς συνάγῃ, καὶ λέγῃ χρῆναι πιστεύειν αὐτοῖς ἐν τοῖς περὶ Θεῶν λόγοις, ὡς ἀκριβῶς εἰδόσιν, οὐδὲν ἕτερον, ἢ τὸν ὁρμαθὸν τῶν λήρων τούτων εἰσάγει, καὶ τὸν πολὺν γέλωτα τοῦτον ὅτι ἀληθῆ χρὴ νομίζειν εἶναι, φησί.

24 Διὸ καὶ παρέδωκεν ὁ Θεὸς αὐτοὺς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς. Δείκνυσιν ἐντεῦθεν, ὅτι καὶ τῆς τῶν νόμων διαστροφῆς ἡ ἀσέβεια γέγονεν αἰτία. τὸ δὲ, παρέδωκεν, ἐνταῦθα εἴασεν ἐστίν. ὥσπερ γὰρ ὁ στρατοπέδου προεστηκὼς ἐν τῷ πολέμῳ βαρήσαντος ἀναχωρήσας ἀπέλθοι, παραδίδωσι τοῖς πολεμίοις τοὺς στρατιώτας, οὐκ αὐτὸς ὠθῶν, ἀλλὰ γυμνῶν τῆς ἑαυτοῦ βοηθείας, οὕτω καὶ ὁ Θεὸς τοὺς οὐ βουληθέντας δέξασθαι "τὰ (γ. τῶν) παρ' αὐτοῦ, ἀλλὰ πρώτους ἀποπηδήσαντας, ἀφῆκεν, αὐτὸς τὰ παρ' ἑαυτοῦ πάντα πληρώσας. σκόπει δέ· προὔθηκεν αὐτοῖς διδασκαλίας εἰς μέσον, τὸν κόσμον· ἔδωκε νοῦν καὶ διάνοιαν δυναμένην τὸ δέον συνιδεῖν. οὐδενὶ τούτων

ἐχρήσαντο

ἐχρήσαντο πρὸς σωτηρίαν τότε, ἀλλὰ καὶ εἰς τοὐναντίον περιέτρεψαν ὅπερ ἔλαβον. τί οὖν ποιῆσαι ἐχρῆν; πρὸς ἀνάγκην ἕλκειν καὶ βίαν; ἀλλ᾽ οὐκ ἔστι τοῦτο ποιεῖν ἐναρέτους. ἐλείπετο δὲ * ἀφεῖναι, ὅπερ καὶ ἐποίησεν, ἵνα καὶ οὕτω τῇ πείρᾳ μαθόντες, ὧν ἐπεθύμησαν, φύγωσι τὴν αἰσχύνην. καὶ γὰρ εἴ τις βασιλέως υἱὸς ὤν, τὸν πατέρα ἀτιμάσας ἕλοιτο εἶναι μετὰ λῃστῶν, καὶ ἀνδροφόνων, καὶ τυμβωρύχων, καὶ τὰ ἐκείνων προτιμήσειε τῆς πατρῴας οἰκίας, ἀφίησιν αὐτὸν ὁ πατήρ, ὥστε διὰ τῆς πείρας αὐτῆς μαθεῖν τῆς οἰκείας ἀνοίας τὴν ὑπερβολήν. διὰ τί δὲ μηδεμιᾶς ἄλλης ἐμνημόνευσεν ἁμαρτίας, οἷον φόνου, πλεονεξίας, τῶν ἄλλων τῶν τοιούτων, ἀλλ᾽ ἀκολασίας; τοὺς ἀκούοντας τότε μοι δοκεῖ, καὶ τοὺς τὴν ἐπιστολὴν δεχομένους αἰνίττεσθαι. Εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς.

Ὅρα τὴν ἔμφασιν πληκτικωτάτην οὖσαν. οὐ γὰρ ἑτέρων ἐδεήσαν, φησί, τῶν ὑβριζόντων, ἀλλ᾽ ἅπερ ἂν αὐτοὺς οἱ ἐχθροὶ διέθηκαν, ταῦτα ἑαυτοῖς κατειργάσαντο. Εἶτα πάλιν τὴν αἰτίαν ἀναλαβών, φησίν·

25 Οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Ἃ μὲν οὖν σφόδρα καταγέλαστα, ἔθηκε κατ᾽ εἶδος, ἃ δὲ δοκεῖ σεμνότερα εἶναι τῶν ἄλλων, καθολικῶς· καὶ διὰ πάντων δείκνυσιν, ὅτι τὸ τῇ κτίσει λατρεύειν, ἑλληνικόν. καὶ ὅρα πῶς τὸν λόγον ἐδήλωσεν. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐλάτρευσαν τῇ κτίσει, ἀλλά, παρὰ τὸν κτίσαντα· πανταχοῦ ταύτῃ τὸ ἔγκλημα ἐπαίρων, καὶ τῇ παραθέσει πάσης συγγνώμης αὐτοὺς ἀποστερῶν. Ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν. Ἀλλ᾽ οὐ διὰ τοῦτό τι παρεβλάβη, φησίν· αὐτὸς μὲν γὰρ εἰς τοὺς αἰῶνας εὐλογητός. ἐνταῦθα δείκνυσιν ὅτι οὐχ ἑαυτὸν ἀμυνόμενος εἴασεν αὐτούς, ὅπου γε αὐτὸς οὐδὲν ἔπαθεν. Εἰ γὰρ καὶ οὗτοι ὕβρισαν, ἀλλ᾽ ἐκεῖνος οὐχ ὑβρίσθη, οὐδὲ ἠκρωτηριάσθη τὰ τῆς δόξης αὐτοῦ, ἀλλὰ μένει διαπαντὸς εὐλογητός. Εἰ γὰρ ἄνθρωπος πολλάκις φιλοσοφῶν οὐδὲν πάθῃ ἂν παρὰ τῶν ὑβριζόντων, πολλῷ μᾶλλον ὁ Θεός, ἡ ἀνώλεθρος καὶ ἄτρεπτος φύσις, ἡ ἀναλλοίωτος καὶ ἀκίνητος δόξα.

ΗΘΙΚΟΝ

Καὶ γὰρ ἄνθρωποι καὶ αὐτοὶ ὁμοιοῦνται Θεῷ, ὅταν μηδὲν πάσχωσι παρὰ τῶν ἐπηρεάζειν βουλομένων, μηδὲ ὑβριζόντων ὑβρίζωνται, μηδὲ τυπτόντων τύπτωνται, μηδὲ καταπαίζωνται, καταπαιζόντων ἑτέρων αὐτούς. καὶ πῶς ἔνι γενέσθαι τοῦτο, φησίν; ἔνι, καὶ σφόδρα ἔνι, ὅταν μὴ ἀλγῇς τοῖς γινομένοις. καὶ πῶς ἔνι μὴ ἀλγεῖν, φησί; πῶς ἔνι μὲν οὖν ἀλγεῖν; εἰπὲ γάρ μοι, εἰ τὸ παιδίον ὑβρίσειέ σε τὸ σόν, ἆρα ὑβρίζειν ἡγήσῃ τὴν ὕβριν; τί δέ, ἀλγήσεις; οὐδαμῶς. ἂν δὲ ἀλγήσῃς, οὐ πάντως ἔσῃ καταγέλαστος; οὕτω καὶ ἐπὶ τῶν πλησίον διακεισώμεθα, καὶ οὐδὲν πεισόμεθα ἀηδές. τῶν γὰρ παίδων οἱ ὑβρίζοντες ἀνοητότεροι. μηδὲ ζητῶμεν μὴ ὑβρίζεσθαι, ἀλλὰ ὑβριζόμενοι φέρωμεν γενναίως. αὕτη γάρ ἐστιν ἡ βεβαία τιμή. τί δήποτε; ὅτι σὺ κύριος τούτου, ἐκείνου δὲ ἕτερος. οὐχ ὁρᾷς τὸν ἀδάμαντα ἐν τῷ παίεσθαι πλήττοντα; ἀλλ᾽ ἡ φύσις, φησί, τοῦτο ἔχει. ἀλλὰ καὶ σοὶ δυνατὸν ἐν τῇ προαιρέσει γενέσθαι τοιοῦτον, ὅπερ ἀπὸ φύσεως ἐκείνῳ συμβαίνει. τί δέ; οὐκ εἶδες τοὺς παῖδας ἐν τῇ καμίνῳ μὴ καιομένους; * τὸν Δανιὴλ ἐν τῷ λάκκῳ μηδὲν πάσχοντα δεινόν; ἔξεστι καὶ νῦν τοῦτο γενέσθαι. παρεστήκασι καὶ ἡμῖν λέοντες, θυμός, ἐπιθυμία, χαλεποὺς ἔχοντες ὀδόντας, διασπῶντες τὸν ἐμπίπτοντα. γενοῦ τοίνυν κατὰ τὸν Δανιήλ, καὶ μὴ δῷς τοῖς πάθεσι τούτοις τοὺς ὀδόντας ἐμπῆξαί σου τῇ ψυχῇ. ἀλλ᾽ ἐκεῖνος τῆς χάριτος τὸ ὅλον εἶχε συμπράττον, φησί. καλῶς· ἐπειδὴ ταύτης τὰ τῆς προαιρέσεως προηγήσατο. ὥστε ἐὰν θέλωμεν καὶ ἡμεῖς τοιούτους ἑαυτοὺς κατασκευάσαι, πάρεστι καὶ νῦν ἡ χάρις. κἂν πεινᾷ τὰ θηρία, οὐχ ἅψεταί σου τῶν πλευρῶν. εἰ γὰρ σῶμα δουλικὸν ἰδόντες ᾐδέσθησαν, τὰ μέλη τοῦ Χριστοῦ θεασάμενοι (τοῦτο γὰρ ἐσμὲν οἱ πιστοὶ) πῶς οὐχ ἡσυχάσουσιν; εἰ δὲ οὐχ ἡσυχάσουσι, παρὰ τὴν τῶν ἐμβληθέντων αἰτίαν. καὶ γὰρ πολλοὶ τοῖς λέουσι τούτοις πολλὴν παρέχουσι δαπάνην, πόρνας τρέφοντες, γάμους διορύττοντες, ἐχθροὺς ἀμυνόμενοι· διὸ πρὶν

πρὸς

χ. [illegible]ψαν
* λοιπὸν
χ. ἑαυτοὺς
χ. γελώντων
χ. πῶς; ἔνι ὅτε μὴ ἀλγεῖν.
χ. οὐ πάντως ἔσῃ καταγέλ.
χ. δεινόν.
* καὶ
χ. ἡ προαίρεσις
χ. πεινῶσι.
χ. γὰρ [illegible]

πρὸς τὸ ἔδαφος ἐλθεῖν, διεσώθη. ἀλλ' οὐκ ἐπὶ τοῦ Δανιὴλ τοῦτο γέγονεν, ἀλλ' οὐδὲ ἐφ' ἡμῶν, εἰ βουληθείημεν, τοῦτο ἔσται, ἀλλὰ καὶ πλέον τι συμβήσεται τῶν γινομένων τότε. ἐκεῖ μὲν γὰρ οὐκ ἠδίκησαν οἱ λέοντες, ἡμᾶς δὲ, ἐὰν νήφωμεν, καὶ ὠφελήσουσιν οἱ ἀδικοῦντες. οὕτω γοῦν ὁ Παῦλος λαμπρὸς ἐγένετο ἀπὸ τῶν ἐπηρεαζόντων καὶ ἐπιβουλευόντων, οὕτως ὁ Ἰὼβ ἀπὸ τῶν πολλῶν πληγῶν ἐκείνων, οὕτως ὁ Ἱερεμίας ἀπὸ τοῦ λάκκου τοῦ βορβόρου, Ἱερ. λη. οὕτως ὁ Νῶε ἀπὸ τοῦ κατακλυσμοῦ, οὕτως ὁ Ἄβελ ἀπὸ τῆς ἐπιβουλῆς, οὕτως ὁ Μωϋσῆς ἀπὸ τῶν φονώντων Ἰουδαίων, οὕτως Ἐλισσαῖος, οὕτως ἕκαστος τῶν μεγάλων ἐκείνων, οὐκ ἀπὸ ἀνέσεως καὶ τρυφῆς, ἀλλ' ἀπὸ θλίψεων καὶ πειρασμῶν λαμπροὺς ἀνεδήσαντο στεφάνους. διὰ τοῦτο καὶ ὁ Χριστὸς ταύτην εἰδὼς τῆς εὐδοκιμήσεως * τὴν ὑπόθεσιν, τοῖς μαθηταῖς ἔλεγεν, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. Ἰωάν. ις. λγ. τί οὖν, φησίν; οὐ πολλοὶ περιετράπησαν ὑπὸ τῶν δεινῶν; οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν ἑαυτῶν ῥαθυμίαν. ὁ δὲ ποιῶν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν, αὐτὸς παρασχαίη πᾶσιν ἡμῖν, καὶ χεῖρα ὀρέξειεν, ἵνα λαμπρῶς ἀνακηρυχθέντες, τῶν αἰωνίων ἐπιτύχωμεν στεφάνων, χάριτι καὶ φιλανθρωπία.

Λογ. δ. 26 ΔΙΑ ΤΟΥΤΟ ΠΑΡΕΔΩΚΕΝ ΑΥΤΟΥΣ Ο ΘΕΟΣ εἰς πάθη ἀτιμίας. αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. 27 Ὁμοίως δὲ καὶ οἱ ἄρρενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους.

Πάντα μὲν οὖν ἄτιμα τὰ πάθη, μάλιστα δὲ ἡ κατὰ τῶν ἀρρένων μανία. καὶ γὰρ πάσχει ἐν τοῖς ἁμαρτήμασιν ἡ ψυχὴ μᾶλλον, καὶ καταισχύνεται, ἢ τὸ σῶμα ἐν τοῖς νοσήμασι. θέα δὲ πῶς αὐτοὺς καὶ ἐνταῦθα συγγνώμης ἀποστερεῖ, καθάπερ ἐπὶ τῶν δογμάτων, ἐπὶ μὲν τῶν θηλειῶν εἰπών, μετήλλαξαν τὴν φυσικὴν χρῆσιν. οὐ γὰρ ἔχοι τις εἰπεῖν, φησίν, ὅτι κωλυθεῖσαι τῆς κατὰ νόμον μίξεως, ἐπὶ τοῦτο ἦλθον, οὐδ' ὅτι οὐκ ἔχουσαι τὴν ἐπιθυμίαν πληρῶσαι, πρὸς τὴν ἀλλόκοτον ταύτην λύσσαν ἐξώκειλαν. τὸ γὰρ μεταλλάξαι, τῶν ἐχόντων ἐστίν· ὅπερ καὶ ἐπὶ τῶν δογμάτων διαλεγόμενος ἔλεγε, μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει. ἐπὶ δὲ τῶν ἀρρένων πάλιν ἑτέρως τὸ αὐτὸ ἐδήλωσεν εἰπών, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας. καὶ ὁμοίως ἐκείνας καὶ τούτους ἐκβάλλει πάσης ἀπολογίας, κατηγορῶν αὐτῶν, οὐ μόνον ὅτι εἶχον ἀπόλαυσιν, καὶ ἀφέντες ἣν εἶχον, ἐπ' ἄλλην ἦλθον, ἀλλ' ὅτι τὴν κατὰ φύσιν ἀτιμάσαντες, ἐπὶ τὴν παρὰ φύσιν ἔδραμον. δυσκολώτερα δὲ τὰ παρὰ φύσιν, καὶ ἀηδέστερα, ὥστε οὐδὲ ἡδονὴν ἂν ἔχοιεν εἰπεῖν. ἡ γὰρ γνησία ἡδονὴ, ἡ κατὰ φύσιν ἐστίν. ἀλλ' ὅταν ὁ Θεὸς ἐγκαταλίπῃ, πάντα ἄνω καὶ κάτω γίνεται. διὰ τοῦτο οὐ τὸ δόγμα αὐτοῖς σατανικὸν μόνον ἦν, ἀλλὰ καὶ ὁ βίος διαβολικός. ὅτε μὲν οὖν περὶ δογμάτων διελέγετο, τὸν κόσμον εἰς μέσον ἔθηκε καὶ τὴν διάνοιαν τὴν ἀνθρωπίνην, εἰπὼν ὅτι τῇ συνέσει τῇ παρὰ Θεοῦ δεδομένῃ διὰ τῶν ὁρωμένων ἠδύναντο χειραγωγηθέντες πρὸς τὸν δημιουργὸν, εἶτα μὴ βουληθέντες, ἔμειναν ἀσύγγνωστοι. ἐνταῦθα δὲ ἀντὶ τοῦ κόσμου, τὴν κατὰ φύσιν τέθεικεν ἡδονὴν, ἧς ἠδύναντο μετ' ἀδείας πλείονος ἀπολαύοντες καὶ μείζονος τῆς εὐφροσύνης ἀπηλλάχθαι αἰσχύνης· ἀλλ' οὐκ ἠθέλησαν, ὅθεν καὶ συγγνώμης ἁπάσης εἰσὶν ἐκτὸς, καὶ εἰς αὐτὴν τὴν φύσιν ὑβρίσαντες· καὶ τὸ δὴ τούτων ἀτιμότερον, ὅταν καὶ γυναῖκες ταύτας ἐπιζητῶσι τὰς μίξεις, ἃς ἀνδρῶν μᾶλλον αἰδεῖσθαι ἐχρῆν. ἄξιον δὲ θαυμάσαι καὶ ἐνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς εἰς δύο πράγματα ἐμπεσὼν ἐναντία, ἀμφότερα ἤνυσε μετὰ πάσης ἀκριβείας. ἐβούλετο γὰρ καὶ σεμνῶς εἰπεῖν, καὶ

δακεῖν

δακεῖν τὸν ἀκροατήν. ταῦτα δὲ ἀμφότερα οὐκ ἔνι, ἀλλὰ θάτερον ἐμποδίζει θατέρῳ. ἂν μὲν γὰρ σεμνῶς εἴπῃς, οὐ δυνήσῃ καθικέσθαι τοῦ ἀκούοντος· ἐὰν δὲ βουληθῇς καθάψασθαι σφοδρῶς, ἀνάγκην ἔχεις ἀπογυμνῶσαι σαφέστερον τὸ λεγόμενον. ἀλλ' ἡ συνετὴ καὶ ἁγία ψυχὴ μετὰ ἀκριβείας ἀμφότερα ἴσχυσεν, ἐν τῷ τῆς φύσεως ὀνόματι καὶ τὴν κατηγορίαν αὐξήσας, καὶ ὥσπερ παραπετάσματί τινι ταύτῃ χρησάμενος εἰς τὸ σεμνὸν τῆς διηγήσεως. εἶτα τῶν γυναικῶν καθαψάμενος πρότερον, καὶ ἐπὶ τοὺς ἄνδρας πρόεισι λέγων· ὁμοίως δὲ καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας. ὅπερ ἐσχάτης ἐστὶν ἀπωλείας δεῖγμα, ὅταν ἑκάτερον ᾖ τὸ γένος διεφθαρμένον, καὶ ὅ τε διδάσκαλος τῆς γυναικὸς εἶναι ταχθείς, ἥ τε βοηθὸς τοῦ ἀνδρὸς κελευσθεῖσα γενέσθαι, τὰ τῶν ἐχθρῶν εἰς ἀλλήλους ἐργάζωνται. σκόπει δὲ πῶς καὶ ἐμφαντικῶς κέχρηται ταῖς λέξεσιν. οὐ γὰρ εἶπεν, ὅτι ἠράσθησαν καὶ ἐπεθύμησαν ἀλλήλων, ἀλλ' ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους. ὁρᾷς ὅτι ἀπὸ πλεονεξίας τὸ πᾶν τῆς ἐπιθυμίας, οὐκ ἀνεχομένης εἴσω τῶν οἰκείων ὅρων μένειν; πᾶν γὰρ τὸ παραβαῖνον τοὺς παρὰ Θεοῦ τεθέντας νόμους, τῶν ἀλλοκότων ἐπιθυμεῖ, καὶ οὐχὶ τῶν νενομισμένων. ὥσπερ γὰρ πολλοὶ πολλάκις τὴν τῶν σιτίων ἐπιθυμίαν ἀφέντες, γῆν σιτοῦνται καὶ λίθους μικρούς, καὶ ἕτεροι ὑπὸ δίψους κατεχόμενοι σφοδροῦ, καὶ βορβόρου πολλάκις ἐπιθυμοῦσιν· οὕτω καὶ ἐκεῖνοι πρὸς τὸν παράνομον τοῦτον ἐξεβακχεύθησαν ἔρωτα. εἰ δὲ λέγεις, καὶ πόθεν ἡ ἐπίτασις τῆς ἐπιθυμίας αὕτη; ἀπὸ τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως. ἡ δὲ ἐγκατάλειψις τοῦ Θεοῦ πόθεν; ἀπὸ τῆς τῶν ἀφέντων αὐτὸν ἀνομίας. Ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι. Μὴ, ἐπειδὴ ἤκουσας, φησὶν, ὅτι ἐξεκαύθησαν, τῆς ἐπιθυμίας μόνης εἶναι νομίσῃς τὸ νόσημα. καὶ γὰρ τὸ πλέον τῆς αὐτῶν ῥᾳθυμίας ἐστὶν, ἣ καὶ τὴν ἐπιθυμίαν ἀνῆψε. διὰ τοῦτο οὐκ εἶπε, παρασυρέντες, ἢ περιληφθέντες, ὅπερ ἀλλαχοῦ φησιν, ἀλλὰ τί; κατεργαζόμενοι. ἔργον ἔθεντο τὴν ἁμαρτίαν, καὶ οὐχ ἁπλῶς ἔργον, ἀλλὰ καὶ ἐσπουδασμένον. καὶ οὐκ εἶπεν ἐπιθυμίαν, ἀλλ' ἀσχημοσύνην κυρίως. καὶ γὰρ καὶ τὴν φύσιν ᾔσχυναν, καὶ τοὺς νόμους ἐπάτησαν. καὶ ὅρα πολλὴν τὴν σύγχυσιν ἐξ ἀμφοτέρων τῶν μερῶν γινομένην. οὐ γὰρ ἡ κεφαλὴ μόνον κάτω γέγονεν, ἀλλὰ καὶ οἱ πόδες ἄνω, καὶ πολέμιοι ἑαυτῶν καὶ ἀλλήλων ἐγένοντο, χαλεπήν τινα καὶ παντὸς ἐμφυλίου πολέμου παρανομωτέραν εἰσάγοντες μάχην καὶ πολυειδῆ καὶ ποικίλην. καὶ γὰρ εἰς τέσσαρα ταύτην διεῖλον εἴδη καινά τε καὶ παράνομα. οὐ γὰρ διπλοῦς καὶ τριπλοῦς, ἀλλὰ καὶ τετραπλοῦς ἐστιν ὁ πόλεμος οὗτος.

Γεν. β. κδ. σκόπει δέ· ἔδει τοὺς δύο ἓν εἶναι, γυναῖκα καὶ ἄνδρα λέγω. Ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. ἐποίει δὲ τοῦτο ἡ τῆς ὁμιλίας ἐπιθυμία, καὶ συνῆπτε τὰ γένη πρὸς ἄλληλα. ταύτην ἀνελὼν ὁ διάβολος τὴν ἐπιθυμίαν, καὶ ἐφ' ἕτερον μετοχετεύσας τρόπον, ἀπέσχισεν οὕτως ἀπ' ἀλλήλων τὰ γένη, καὶ ἐποίησε τὸ ἓν δύο γενέσθαι μέρη, ἀπεναντίας τῷ τοῦ Θεοῦ νόμῳ. ὁ μὲν γάρ φησιν, ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὁ δὲ τὴν μίαν εἰς δύο διεῖλεν. ἰδοὺ πόλεμος εἷς. πάλιν αὐτὰ τὰ δύο μέρη ταῦτα καὶ πρὸς αὐτοὺς καὶ πρὸς ἀλλήλους ἐξεπολέμωσεν. αἵ τε γὰρ γυναῖκες γυναῖκας ὕβριζον πάλιν, οὐκ ἄνδρας μόνον· οἵ τε ἄνδρες κατά τε ἀλλήλων ἵσταντο, καὶ κατὰ τοῦ γυναικείου γένους, καθάπερ ἐν νυκτομαχίᾳ τινί. εἶδες δεύτερον καὶ τρίτον πόλεμον, καὶ τέταρτον, καὶ πέμπτον; ἔστι * καὶ ἕτερος. μετὰ γὰρ τῶν εἰρημένων, καὶ εἰς τὴν φύσιν αὐτὴν παρηνόμησαν. ἐπειδὴ γὰρ εἶδεν ὁ διάβολος ὅτι αὕτη μάλιστα συνάγει τὰ γένη ἡ ἐπιθυμία, τὸν δεσμὸν ἐσπούδασε διακόψαι, ὥστε οὐ τῷ μὴ σπείρεσθαι μόνον κατὰ νόμον τὸ γένος διαλῦσαι, ἀλλὰ καὶ τῷ πρὸς ἀλλήλους ἐκπεπολεμῶσθαι τὸ γένος καὶ στασιάζειν. Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. Ὅρα πῶς πάλιν ἐπὶ τὴν πηγὴν ἔρχεται τοῦ κακοῦ, τὴν ἀσέβειαν τὴν ἀπὸ τῶν δογμάτων, καὶ μισθὸν τοῦτον εἶναί φησι τῆς παρανομίας ἐκείνης. ἐπειδὴ γὰρ περὶ γεέννης καὶ κολάσεως λέγων, οὐκ ἐδόκει πιστὸς εἶναι τοῖς ἀσεβέσι, καὶ οὕτω ζῆν προαιρουμένοις, ἀλλὰ καὶ καταγέλαστος, δείκνυσιν ἐν

αὐτῇ

αὐτὴ τῇ ἡδονῇ ταύτην τὴν κόλασιν οὖσαν. εἰ δὲ οὐκ αἰσθάνονται, ἀλλ᾽ ἥδονται, μὴ θαυμάσῃς. καὶ γὰρ καὶ οἱ μαινόμενοι καὶ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ πολλὰ ἑαυτοὺς ἀδικοῦντες, καὶ ἐλεεινὰ πράττοντες, ἐφ᾽ οἷς αὐτοὺς ἕτεροι δακρύουσι, γελῶσι καὶ ἐντρυφῶσι τοῖς γινομένοις αὐτοῖς. ἀλλ᾽ οὐ διὰ τοῦτο φαμὲν αὐτοὺς ἀπηλλάχθαι κολάσεως, ἀλλὰ καὶ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο ἐν χαλεπωτέρᾳ εἶναι τιμωρίᾳ, ὅτι οὐδὲ ἴσασιν ἐν οἷς εἰσιν. οὐ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ᾽ ἀπὸ τῶν ὑγιαινόντων δεῖ φέρειν τὰς ψήφους. ἐπεὶ τότε παλαιὸν καὶ νόμος εἶναι τὸ πρᾶγμα ἐδόκει, καὶ νομοθέτης τις παρ᾽ αὐτοῖς οἰκέτας ἐκέλευσε μήτε ξηραλοιφεῖν, μήτε παιδεραστεῖν, τοῖς ἐλευθέροις τῆς προεδρείας παραχωρήσας ταύτης, μᾶλλον δὲ τῆς ἀσχημοσύνης. ἀλλ᾽ ὅμως οὐκ ἐνόμισαν ἀσχημοσύνην εἶναι τὸ πρᾶγμα, ἀλλ᾽ ὡς σεμνὸν καὶ μεῖζον ἢ κατ᾽ οἰκέτου ἀξίωμα, τοῖς ἐλευθέροις ἐπέτρεψαν. καὶ τοῦτο * ὁ σοφώτατος τῶν Ἀθηναίων δῆμος, καὶ ὁ μέγας παρ᾽ αὐτοῖς Σόλων. καὶ ἕτερα δὲ πολλὰ τῶν φιλοσόφων βιβλία ταύτης ἄν τις εὕροι γέμοντα τῆς νόσου. ἀλλ᾽ οὐ διὰ τοῦτο νενομισμένον εἶναι τὸ πρᾶγμα φαμὲν, ἀλλὰ καὶ τοὺς τὸν νόμον δεξαμένους τοῦτον, ἐλεεινοὺς καὶ δακρύων ἀξίους εἶναι πολλῶν. ἃ γὰρ αἱ πορνευόμεναι πάσχουσι γυναῖκες, ταῦτα καὶ οὗτοι· μᾶλλον δὲ ἐκείνων ἀθλιώτερα. ταῖς μὲν γὰρ εἰ καὶ παράνομος, ἀλλὰ κατὰ φύσιν ἡ μίξις· αὕτη δὲ καὶ παράνομος, καὶ παρὰ φύσιν. εἰ γὰρ καὶ μὴ γέεννα ἦν, μηδὲ κόλασις ἠπείλητο, τοῦτο πάσης κολάσεως χεῖρον ἦν. εἰ δὲ ἥδονται, τὴν προσθήκην μοι λέγεις τῆς τιμωρίας. οὐδὲ γὰρ εἴ τινα εἶδον γυμνὸν τρέχοντα, βορβόρῳ τὸ σῶμα ἀνακεχρωσμένον ἅπαν, εἶτα οὐκ ἐγκαλυπτόμενον, ἀλλὰ καὶ ἐγκαλλωπιζόμενον, συνήσθην ἂν αὐτῷ, ἀλλὰ καὶ μᾶλλον ἂν αὐτὸν ἐθρήνησα, ὅτι οὐδὲ αἰσθάνεται ἀσχημονῶν. ἵνα δὲ καὶ σαφέστερον δείξω τὴν ὕβριν, ἀνάσχεσθέ μου καὶ ἑτέρου παραδείγματος. εἰ γὰρ παρθένον τις κατεδίκασε θαλαμευομένην ἀλόγοις μιγῆναι ζώοις, εἶτα ἥδετο ἐκείνη τῇ μίξει, οὐ διὰ τοῦτο μάλιστα δακρύων ἦν ἀξία, ὅτι οὐδὲ ἀπαλλαγῆναι τῆς νόσου ταύτης ἠδύνατο τῷ μηδὲ αἰσθάνεσθαι τῆς νόσου; παντί που δῆλόν ἐστιν. εἰ δὲ ἐκεῖνο χαλεπὸν, οὐδὲ τοῦτο ἔλαττον ἐκείνου. τὸ γὰρ ὑπὸ τῶν οἰκείων ὑβρίζεσθαι, ἐλεεινότερον τοῦ ὑπὸ τῶν ἀλλοτρίων. τούτους ἐγὼ καὶ ἀνδροφόνων χείρους εἶναί φημι. καὶ γὰρ βέλτιον ἀποθανεῖν, ἢ ζῆν ὑβριζόμενον οὕτως. ὁ μὲν γὰρ ἀνδροφόνος τὴν ψυχὴν ἀπὸ τοῦ σώματος διέρρηξεν, οὗτος δὲ τὴν ψυχὴν μετὰ τοῦ σώματος ἀπώλεσε. καὶ ὅπερ ἂν εἴποις ἁμάρτημα, οὐδὲν ἴσον ἐρεῖς τῆς παρανομίας ταύτης. καὶ εἰ ἐπῃσθάνοντο τῶν γινομένων οἱ πάσχοντες, μυρίους ἂν κατεδέξαντο θανάτους, ὥστε μὴ τοῦτο παθεῖν. οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης τῆς ὕβρεως ἀλογώτερόν τε καὶ χαλεπώτερον. εἰ γὰρ περὶ πορνείας διαλεγόμενος ὁ Παῦλος ἔλεγεν, Ὅτι πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει· [α Κορ. ς. ιη.] τί ἂν εἴποιμεν περὶ τῆς μανίας ταύτης, ἣ τοσοῦτον πορνείας χείρων ἐστὶν, ὅσον οὐδὲ ἔστιν εἰπεῖν; οὐδὲ γὰρ τοῦτο λέγω μόνον, ὅτι γέγονας γυνὴ, ἀλλ᾽ ὅτι ἀπώλεσας καὶ τὸ εἶναι ἀνήρ, καὶ οὔτε εἰς ταύτην μετέστης τὴν φύσιν, οὔτε ἣν εἶχες διετήρησας, ἀλλὰ κοινὸς ἑκατέρας ἐγένου προδότης, καὶ παρὰ ἀνδρῶν καὶ γυναικῶν ἄξιος ἐλαύνεσθαι, καὶ καταλεύεσθαι, ἅτε ἑκάτερον ἀδικήσας τὸ γένος. καὶ ἵνα μάθῃς ἡλίκον τοῦτό ἐστιν, εἴ τις ἐλθὼν ἐπηγγέλλετο ἐξ ἀνθρώπων κύνα ποιεῖν σε, ἆρα οὐκ ἂν ὡς λυμεῶνα ἔφυγες; ἀλλ᾽ ἰδοὺ οὐ κύνα ἐξ ἀνθρώπων σαυτὸν ἐποίησας, ἀλλὰ τοῦ ζώου τούτου ἀτιμότερον. ἐκεῖνο μὲν γὰρ εἰς χρῆσιν ἐπιτήδειον, ὁ δὲ ἡταιρηκὼς οὐδαμοῦ χρήσιμος. τί δὲ, εἰπέ μοι, εἴ τις ἠπείλει ποιεῖν τίκτειν ἄνδρας καὶ λοχεύεσθαι, οὐκ ἂν ἐπλήσθημεν θυμοῦ; ἀλλ᾽ ἰδοὺ νῦν χαλεπώτερα ἑαυτοὺς κατειργάσαντο οἱ τὰ τοιαῦτα λυττῶντες. οὐ γάρ ἐστιν ἴσον εἰς γυναικείαν μεταβαλεῖν φύσιν, καὶ μένοντα ἄνδρα γενέσθαι γυναῖκα, μᾶλλον δὲ μήτε τοῦτο, μήτε ἐκεῖνο. εἰ δὲ βούλει καὶ ἑτέρωθεν μαθεῖν τοῦ κακοῦ τὴν ὑπερβολὴν, ἐρώτησον τίνος ἕνεκεν τοὺς εὐνούχους ποιοῦντας κολάζουσιν οἱ νομοθέται, καὶ εἴσῃ, ὅτι δι᾽ οὐδὲν ἕτερον πάντως, ἢ ὅτι τὴν φύσιν ἀκρωτηριάζουσι. καίτοιγε οὐδὲν ἀδικοῦσιν ἐκεῖνοι

τοσοῦτον. ἐγένοντο γὰρ οἱ ἀκρωτηριασθέντες, καὶ μετὰ τὸν ἀκρωτηριασμὸν, πολλαχοῦ χρήσιμοι. ἀνθρώπου δὲ πεπορνευμένου οὐδὲν ἀχρηστότερον γένοιτ' ἄν. οὐ γὰρ ἡ ψυχὴ μόνον, ἀλλὰ καὶ τὸ σῶμα τοῦ τὰ τοιαῦτα παθόντος, ἄτιμοι καὶ ἄξιον ἐλαύνεσθαι πανταχόθεν. πόσαι γέενναι τούτοις ἀρκέσουσιν; εἰ δὲ γεέννης καταγελᾷς ἀκούων, καὶ ἀπιστεῖς, ἐκεῖνο τὸ πῦρ ἀναμνήσθητι τῶν Σοδόμων. εἴδομεν γὰρ, εἴδομεν καὶ ἐν τῷ παρόντι βίῳ γεέννης εἰκόνα. ἐπειδὴ γὰρ πολλοὶ τῶν μετὰ τὴν ἀνάστασιν ἔμελλον διαπιστεῖν νῦν ἀκούοντες πῦρ ἄσβεστον εἶναι, ἀπὸ τῶν παρόντων αὐτοὺς ἐσωφρόνισεν ὁ Θεός. τοιοῦτος γοῦν ἐστιν ὁ Σοδόμων ἐμπρησμὸς καὶ ἡ πυρπόλησις ἐκείνη· καὶ ἴσασιν οἱ παραγινόμενοι, καὶ τῇ θέᾳ τὴν πληγὴν ἐκείνην τὴν θεήλατον καὶ τῶν ἄνωθεν κεραυνῶν τὸ ἔργον ἰδόντες. ἐννόησον ἡλίκον ἐστὶ τὸ ἁμάρτημα, ὡς βιάσασθαι καὶ πρὸ καιροῦ τὴν γέενναν φανῆναι. ἐπειδὴ γὰρ πολλοὶ τῶν λόγων κατεφρόνουν, διὰ τῶν ἔργων αὐτοῖς τὴν ἐκείνης εἰκόνα ἐπέδειξεν ὁ Θεὸς καινῷ τινι τρόπῳ. καὶ γὰρ παράδοξος ἦν ὁ ὑετὸς ἐκεῖνος, ἐπειδὴ καὶ παρὰ φύσιν ἡ μίξις· καὶ κατέκλυσε τὴν γῆν, ἐπειδὴ καὶ τὰς ἐκείνων ψυχὰς ἡ ἐπιθυμία. διὸ καὶ ἀπεναντίας ἦν ὁ ὑετὸς τῷ συνήθει. οὐ γὰρ μόνον οὐ διήγειρε τὴν γαστέρα τῆς γῆς πρὸς τὴν τῶν καρπῶν γένεσιν, ἀλλὰ καὶ πρὸς τὴν ὑποδοχὴν αὐτὴν τῶν σπερμάτων ἄχρηστον ἐποίει. τοιαύτη γὰρ ἦν ἡ μίξις τῶν ἀνδρῶν τῆς γῆς Σοδόμων, τὸ τοιοῦτον σῶμα ἀχρηστότερον ἀποφαίνουσα. τί γὰρ ἀνδρὸς πεπορνευμένου μυσαρώτερον; τί δὲ ἐναγέστερον; ὢ τῆς μανίας, ὢ τῆς παραπληξίας. πόθεν εἰσεκώμασεν ἡ ἐπιθυμία αὕτη, τὰ τῶν πολεμίων διαθεῖσα τὴν ἀνθρωπίνην φύσιν, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτερα, ὅσῳ καὶ ψυχὴ σώματος ἀμείνων; ὦ καὶ ἀλόγων ὑμεῖς ἀνοητότεροι, καὶ κυνῶν ἀναιδέστεροι. οὐδαμοῦ γὰρ τοιαύτη μίξις παρ' ἐκείνοις, ἀλλ' ἐπιγινώσκει τοὺς ἰδίους ὅρους ἡ φύσις. ὑμεῖς δὲ καὶ τῶν ἀλόγων ἀτιμότερον τὸ γένος εἰργάσασθε τὸ ὑμέτερον καθυβρίζοντες. πόθεν οὖν ταῦτα ἐτέχθη τὰ κακά; ἀπὸ τρυφῆς, ἀπὸ τοῦ μὴ εἰδέναι Θεόν. ὅταν γὰρ ἐκβάλωσί τινες αὐτοῦ τὸν φόβον, πάντα οἴχεται λοιπὸν τὰ καλά.

γ. ἀποτμηθέντες,

γ. τοῖς ἐπὶ τῷ πνεύματι

γ. τῆς συνήθους φορᾶς.

γ. τῇ ἀνθρωπίνῃ φύσει, πολλῷ δὲ

γ. τὸ ἡμέτερον, καὶ ὑβρίζοντες τοιαῦτα, καὶ δι' ἀλλήλων ὑβρίζοντες. πάντα

ΗΘΙΚΟΝ

Ἵν' οὖν μὴ τοῦτο γένηται, ἔχωμεν πρὸ ὀφθαλμῶν ἀκριβῶς τὸν τοῦ Θεοῦ φόβον. οὐδὲν γὰρ, οὐδὲν οὕτως ἀπόλλυσιν ἀνθρώπους, ὡς τὸ ταύτης ἐκπεσεῖν τῆς ἀγκύρας· ὥσπερ οὐδὲν σώζει, ὡς τὸ διηνεκῶς εἰς αὐτὴν βλέπειν. εἰ γὰρ ἄνθρωπον ἔχοντες πρὸ ὀφθαλμῶν, ὀκνηρότεροι γινόμεθα περὶ τὰ ἁμαρτήματα, πολλάκις δὲ καὶ οἰκέτας ἐρυθριάσαντες ἐπιεικεστέρους, οὐδὲν πράττομεν ἄτοπον, ἐννόησον πόσης ἀπολαύσομεν ἀσφαλείας, τὸν Θεὸν πρὸ ὀφθαλμῶν ἔχοντες. οὐδαμοῦ γὰρ ὁ διάβολος ἡμῖν οὕτω διαχειμάρροις ἐπιθήσεται, ἅτε ἀνόητα πονῶν. ἂν δὲ πλανωμένους ἔξω, καὶ χωρὶς χαλινοῦ περιιόντας ἴδῃ, πρότερον ἡμῶν λαβὼν τὴν ἀρχὴν, πανταχοῦ λοιπὸν ἡμᾶς ἀποδουλώσασθαι δυνήσεται. καὶ ὅπερ οἱ ῥᾴθυμοι τῶν οἰκετῶν πάσχουσιν ἐπ' ἀγορᾶς, τὰς μὲν ἀναγκαίας ἀφέντες διακονίας, ἐφ' ἃς εἰσὶν ἀπεσταλμένοι παρὰ τῶν δεσποτῶν, ἁπλῶς δὲ καὶ εἰκῆ τοῖς παρεμπίπτουσι προσηλούμενοι, καὶ τὸν χρόνον ἐκεῖ καταναλίσκοντες, τοῦτο καὶ ἡμεῖς ὑπομένομεν, ὅταν ἀποστῶμεν τῶν ἐπιταγμάτων τοῦ Θεοῦ. ἑστήκαμεν γὰρ λοιπὸν πλοῦτον θαυμάζοντες, καὶ κάλλος σώματος, καὶ τὰ ἄλλα τὰ μηδὲν πρὸς ἡμᾶς, ὥσπερ ἐκεῖνοι οἱ οἰκέται τῶν ἐπαιτῶν τοῖς θαυματοποιοῦσι προσέχουσιν, εἶτα ἐλθόντες βραδέως, οἴκοι τὰς ἐσχάτας ὑπομένουσι πληγάς. πολλοὶ δὲ καὶ τὴν ὁδὸν τὴν προκειμένην παρῆλθον, ἑτέροις τοιαῦτα ἀσχημονοῦσιν ἀκολουθοῦντες· ἀλλὰ μὴ ἡμεῖς τοῦτο ποιῶμεν. καὶ γὰρ ἀπεστάλμεθα ἀνύσαι πολλὰ τῶν κατεπειγόντων· καὶ εἰ ἀφέντες ἐκεῖνα στῶμεν κεχηνότες πρὸς τὰ ἀνόητα ταῦτα, ἀναλωθέντος ἡμῖν τοῦ καιροῦ παντὸς εἰκῇ καὶ μάτην, τὴν ἐσχάτην δώσομεν δίκην. εἰ γὰρ καὶ ἀσχολεῖν βούλει σαυτὸν, ἔχεις ἃ θαυμάζειν ὀφείλεις, καὶ περὶ ἃ κεχηνέναι πάντα τὸν χρόνον· ἅπερ οὐ γέλωτός ἐστιν ἄξια, ἀλλὰ θαύματος καὶ ἐπαίνων πολλῶν. ὡς ὅγε τὰ καταγέλαστα θαυμάζων, καὶ αὐτὸς ἔσται * τοιοῦτος, καὶ τοῦ γελωτοποιοῦντος χείρων. ὅπερ ἵνα μὴ πάθῃς, ἀποπήδησον ταχέως. τί γὰρ καὶ ἕστηκας, εἰπέ μοι, πρὸς τὸν πλοῦτον κε-

* πολλάκις

χηνώς

χηνὼς καὶ ἀναπεπληρωμένος; τί θαυμαστὸν ὁρᾷς καὶ ἱκανόν σου τοὺς ὀφθαλμοὺς καταπλῆξαι; τοὺς χρυσοφοροῦντας ἵππους, καὶ τοὺς οἰκέτας, τοὺς μὲν βαρβάρους, τοὺς δὲ εὐνούχους, καὶ τὰ ἱμάτια τὰ πολυτελῆ, καὶ τὴν καταμαλακιζομένην ἐν τούτοις ψυχήν, καὶ τὴν ἀνεσπασμένην ὀφρῦν, καὶ τὰς περιδρομάς, καὶ τοὺς θορύβους; καὶ ποῦ ταῦτα ἄξια θαύματος; τί δὲ οὗτοι τῶν ἐπαιτῶν διεστήκασι τῶν ὀρχουμένων, καὶ συριζόντων ἐπὶ τῆς ἀγορᾶς; καὶ γὰρ καὶ οὗτοι πολλῷ τῷ λιμῷ τῆς ἀρετῆς κατεχόμενοι, χορεύουσιν ἐκείνων χορείαν καταγελαστοτέραν, ἀγόμενοι καὶ περιαγόμενοι, νῦν μὲν εἰς τραπέζας πολυτελεῖς, νῦν δὲ εἰς ἑταιριζομένων γυναικῶν καταγώγιον, νῦν δὲ εἰς κολάκων ἑσμοὺς καὶ παρασίτων πλῆθος. Εἰ δὲ χρυσοφοροῦσι, διὰ τοῦτο μάλιστα ἐλεεινοί, ὅτι τὰ μηδὲν πρὸς αὐτούς, περισπούδαστα αὐτοῖς μᾶλλόν εἰσι. μὴ γάρ μοι τὰ ἱμάτια ἴδῃς, ἀλλὰ ἀνακάλυψον αὐτῶν τὴν ψυχήν, καὶ σκόπησον εἰ μὴ μυρίων γέμει τραυμάτων, καὶ ῥάκια περιβέβληται, καὶ ἔστιν ἔρημος καὶ ἀπροστάτευτος. τί οὖν ὄφελος τῆς ἔξω μανίας; καὶ γὰρ πολλῷ βέλτιον πένητα εἶναι ἐν ἀρετῇ ζῶντα, ἢ βασιλέα ὄντα μετὰ πονηρίας. ὁ μὲν γὰρ πένης παρ' ἑαυτῷ ἀπολαύει πάσης τῆς κατὰ ψυχὴν τρυφῆς, καὶ οὐδὲ τῆς ἔξωθεν αἰσθάνεται πενίας διὰ τὸν ἔνδον πλοῦτον· ὁ δὲ βασιλεὺς τρυφῶν ἐν τοῖς οὐδὲν αὐτῷ προσήκουσιν, ἐν τοῖς μάλιστα αὐτῷ διαφέρουσι κολάζεται, ἐν ψυχῇ καὶ λογισμοῖς καὶ τῷ συνειδότι, τοῖς ἐκεῖ συναποδημοῦσιν αὐτῷ. Ταῦτ' οὖν εἰδότες, τὰ μὲν ἱμάτια ἀποθώμεθα τὰ χρυσᾶ· ἀνελώμεθα δὲ ἀρετὴν καὶ τὴν ἐκ ταύτης ἡδονήν. οὕτω γὰρ καὶ ἐνταῦθα καὶ ἐκεῖ πολλῆς ἀπολαύσομεν τῆς τρυφῆς, καὶ τῶν ἐπηγγελμένων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ε. 28 ΚΑΘΩΣ ΟΥΚ ΕΔΟΚΙΜΑΣΑΝ ΤΟΝ ΘΕΟΝ ΕΧΕΙΝ ἐν ἐπιγνώσει, παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα.

Ἵνα μὴ δόξῃ αὐτοὺς αἰνίττεσθαι, ἐπὶ πολὺ τὸν τῆς παιδεραστίας ἐνδιατρίβων λόγον, μετέβη λοιπὸν ἐφ' ἕτερα εἴδη ἁμαρτημάτων. διὸ καὶ ἐφ' ἑτέρων προσώπων προάγει τὸν λόγον ἅπαντα. καὶ ὥσπερ ἀεὶ τοῖς πιστοῖς διαλεγόμενος περὶ ἁμαρτημάτων, καὶ βουλόμενος ταῦτα δεῖξαι φαῦλα, παράγει εἰς μέσον τὰ ἔθνη λέγων, Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ λοιπὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν· καὶ πάλιν, Μὴ λυπεῖσθε, ὥσπερ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα· οὕτω καὶ ἐνταῦθα δείκνυσιν ἐκείνων τὰ ἁμαρτήματα ὄντα, καὶ πάσης αὐτοὺς ἀποστερεῖ συγγνώμης. οὐ γὰρ ἀγνοίας, ἀλλὰ μελέτης εἶναί φησι τὰ τολμήματα. διόπερ οὐκ εἶπε, καὶ καθὼς οὐκ ἔγνωσαν, ἀλλά, καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, κρίσεως διεφθαρμένης καὶ φιλονεικίας μᾶλλον, οὐ συναρπαγῆς λέγων εἶναι τὸ ἁμάρτημα, καὶ δεικνὺς οὐχὶ τῆς σαρκὸς (καθώς τινες τῶν αἱρετικῶν φασιν) ἀλλὰ τῆς διανοίας ὄντα τῆς πονηρᾶς ἐπιθυμίας τὰ ἁμαρτήματα, καὶ τὴν πηγὴν ἐκεῖθεν οὖσαν τῶν κακῶν. ἐπειδὴ γὰρ ὁ νοῦς ἀδόκιμος γέγονε, πάντα παρέσυρε λοιπόν, καὶ ἀνετράπη, τοῦ ἡνιόχου διαφθαρέντος. α. Θεσ. δ. ε.

29 Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ. Ὅρα πάντα μετ' ἐπιτάσεως. καὶ γὰρ πεπληρωμένους εἶναί φησι, καὶ πάσῃ. ὀνομάσας δὲ γενικῶς τὴν κακίαν, καὶ τοῖς μέρεσιν ἐπεξέρχεται, καὶ τούτοις μεθ' ὑπερβολῆς, λέγων Μεστοὺς φθόνου, φόνου. τοῦτο γὰρ ἐξ ἐκείνου, ὥσπερ ἐπὶ τοῦ Ἄβελ, καὶ τοῦ Ἰωσὴφ ἐδείχθη. εἶτα εἰπών, Ἔριδος, δόλου, κακοηθείας,

30 Ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, Καὶ τὰ δοκοῦντα ἀδιάφορα εἶναι πολλοῖς

ἐν τάξει θεὶς ἐγκλημάτων, αὔξει πάλιν τὴν κατηγορίαν, ἐπὶ τὴν ἀκρόπολιν ἀναβὰς τῶν κακῶν, καὶ εἰπὼν ἀλαζόνας. τοῦ γὰρ ἁμαρτάνειν, τὸ καὶ ἁμαρτάνοντα φρονεῖν μέγα, χαλεπώτεροι. διὸ καὶ Κορινθίοις αὐτὸ ἐγκαλεῖ λέγων, Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ. α. Κορ. ε. ς. εἰ γὰρ ἐπὶ κατορθώματί τις φυσιώμενος τὸ πᾶν ἀπώλεσεν, ὁ μετὰ ἁμαρτημάτων τοῦτο ποιῶν, πόσης οὐκ ἂν εἴη τιμωρίας ἄξιος; οὐδὲ γὰρ μεταγνῶναι δυνήσεται λοιπὸν ὁ τοιοῦτος. εἶτά φησιν, Ἐφευρετὰς κακῶν· Δηλῶν ὅτι οὐδὲ τοῖς ἤδη οὖσιν ἠρκέσθησαν, ἀλλὰ καὶ ἐφεῦρον ἕτερα· ὅπερ πάλιν μελετώντων ἦν καὶ σπουδαζόντων, οὐχὶ συναρπαζομένων καὶ παρασυρομένων. εἰπὼν δὲ κατὰ μέρος τὴν κακίαν, καὶ δείξας ὅτι καὶ πρὸς αὐτὴν πάλιν τὴν φύσιν ἔστησαν (Γονεῦσι γάρ, φησιν, ἀπειθεῖς) ἐπὶ τὴν ῥίζαν λοιπὸν πρόεισι τῆς τοσαύτης λύμης, 31 Ἀστόργους καὶ ἀσπόνδους καλῶν.

Ματθ. κδ. ιβ. Ταύτην γὰρ καὶ ὁ Χριστὸς τὴν αἰτίαν εἶναί φησι τῆς πονηρίας, λέγων, Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη. τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει ὁ Παῦλος, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας καλῶν, καὶ δηλῶν ὅτι καὶ αὐτὸ τὸ τῆς φύσεως προὔδωκαν δῶρον. ἔχομεν γὰρ καὶ φυσικήν τινα πρὸς ἀλλήλους οἰκείωσιν, ἣν καὶ θηρία πρὸς ἄλληλα κέκτηνται. πᾶν γὰρ ζῶον, φησιν, ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ, καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ. Σειρ. ιγ. ιθ. ἀλλ' οὗτοι κἀκείνων κατέστησαν ἀγριώτεροι. τὴν μὲν οὖν νόσον τὴν ἀπὸ τῶν πονηρῶν δογμάτων τῇ οἰκουμένῃ γινομένην διὰ τούτων ἡμῖν παρέστησε, καὶ σαφῶς ἔδειξε τῆς τῶν νοσούντων ῥαθυμίας τὴν ἀρρωστίαν οὖσαν ἑκατέραν. γ. -τέραν. δείκνυσι δὲ λοιπόν, ὅπερ ἐπὶ τῶν δογμάτων ἐποίησε, καὶ ἐνταῦθα συγγνώμης αὐτοὺς ἀπεστερημένους. διό φησιν,

32 Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ εἰδότες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, γ. ἰδόντες, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι. Δύο θεὶς ἀντιθέσεις, ἐνταῦθα ἀνεῖλεν ἀμφοτέρας αὐτὰς περιηγουμένως. τί γὰρ ἂν εἴποις, φησίν, ὅτι οὐκ οἶδας τὰ πρακτέα; μάλιστα μὲν εἰ καὶ μὴ ᾔδεις, σὺ αἴτιος, ἀφεὶς τὸν γνωρίσαντά σοι Θεόν. νυνὶ δὲ καὶ διὰ πολλῶν σε δείκνυμεν εἰδότα, καὶ ἑκόντι πλημμελοῦντα. ἀλλ' ὑπὸ τοῦ πάθους ἕλκῃ; τί οὖν καὶ συμπράττεις, καὶ ἐπαινεῖς; οὐ γὰρ μόνον αὐτὰ ποιοῦσι, φησιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. τὴν οὖν χαλεπωτέραν πρότερον θεὶς καὶ ἀσύγγνωστον, ἵνα ἕλῃ (ὁ γὰρ τοῦ πλημμελοῦντος ὁ τὴν ἁμαρτίαν ἐπαινῶν χαλεπώτερος πολύ) τοῦτο οὖν πρότερον εἰπών, διὰ τοῦτο σφοδρότερον πάλιν ἐν τοῖς ἑξῆς αὐτὸν χειροῦται λέγων οὕτω,

κεφ. ς. 1 Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων. ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. Ταῦτα πρὸς τοὺς ἄρχοντας ἀποτεινόμενος ἔλεγεν, ἐπειδὴ καὶ ἡ πόλις τότε ἐκείνη τὴν ἀρχὴν ἦν ἐγκεχειρισμένη τῆς οἰκουμένης. προλαβὼν οὖν φησι, σαυτοῦ ἀφαιρῇ τὴν ἀπολογίαν πᾶς ὅστις ἂν ᾖς. ὅταν γὰρ κατακρίνῃς τὸν μοιχόν, μοιχεύῃς δὲ καὶ αὐτός, κἂν μηδεὶς ἀνθρώπων σε δικάζῃ, ἐν τῇ παρὰ τοῦ ὑπευθύνου ψήφῳ καὶ κατὰ σαυτοῦ τὴν ἀπόφασιν ἤνεγκας. ἴσ. καὶ 2 Οἴδαμεν γὰρ ὅτι τὸ κρίμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι τέως διέφυγον, φοβῶν φησίν, γ. -γορεῦσαι φησίν, ὅτι οὐχ οὕτως ἐστὶ παρὰ τῷ Θεῷ ὥσπερ ἐνταῦθα. ἐνταῦθα γὰρ ὁ μὲν κολάζεται, ὁ δὲ διαφεύγει τὰ αὐτὰ ποιῶν· ἐκεῖ δὲ οὐχ οὕτως. ὅτι μὲν οὖν οἶδε τὸ δίκαιον ὁ κρίνων, εἶπε· πόθεν δὲ οἶδεν, οὐκέτι προσέθηκε. γ. ὁ κατεῖς προσέθηκε· περιττὸν γάρ ἦν. ἐπεὶ μὲν γὰρ τῆς ἀσεβείας ἀμφότερα δείκνυσι, καὶ ὅτι τὸν Θεὸν εἰδώς, ἠσέβει, καὶ πόθεν εἰδώς, ἀπὸ τῆς κτίσεως. ἐπειδὴ γὰρ οὐκ ἦν δῆλον ἅπασιν, εἶπε καὶ τὴν αἰτίαν· ἐνταῦθα δὲ ὡς ὡμολογημένου, παρῆκεν. ὅταν δὲ εἴποι, πᾶς ὁ κρίνων, οὐ τοῖς ἄρχουσι διαλέγεται μόνον, ἀλλὰ καὶ ἰδιώταις καὶ ἀρχομένοις. καὶ γὰρ ἅπαντες ἄνθρωποι, κἂν μὴ θρόνον ἔχωσι, μηδὲ δημίους, καὶ ξύλον, ἀλλ' ὅμως καὶ αὐτοὶ κρίνουσι τοὺς ἁμαρτάνοντας, ἐν διαλέξεσι καὶ κοινοῖς συλλόγοις, γ. συλλογισμοῖς, καὶ τῇ τοῦ συνειδότος ψήφῳ· καὶ οὐδεὶς

οὐδεὶς ἂν τολμήσειεν εἰπεῖν, ὅτι οὐκ ἄξιος κολάσεως ὁ μοιχός. ἀλλ' ἑτέρους, φησὶ, καταδικάζουσιν, οὐχ ἑαυτούς. διὰ γὰρ τοῦτο αὐτῶν καὶ σφοδρῶς κατεξανίσταται λέγων,

3 Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράττοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; Ἐπειδὴ γὰρ πολλὴν ἔδειξε τῆς οἰκουμένης τὴν ἁμαρτίαν, ἀπὸ τῶν δογμάτων, ἀπὸ τῶν πραγμάτων, καὶ ὅτι σοφοὶ ὄντες, καὶ ὅτι τὴν κτίσιν ἔχοντες χειραγωγοῦσαν, καὶ ὅτι οὐ τῷ τὸν Θεὸν ἀφεῖναι μόνον, ἀλλὰ καὶ τῷ ἑλέσθαι τὰ ὁμοιώματα τῶν ἑρπετῶν, καὶ τῷ τὴν ἀρετὴν ἀτιμάσαι, καὶ τῷ τῆς φύσεως ἀνθελκούσης ἐπὶ τὴν κακίαν αὐτομολῆσαι, καὶ τῷ παρὰ φύσιν εἶναι, πρόεισι λοιπὸν εἰς τὸ δεῖξαι ὅτι καὶ κολάζονται οἱ τὰ τοιαῦτα πράσσοντες. ἔδειξε μὲν οὖν ἤδη τιμωρίαν, εἰπὼν τὴν πρᾶξιν αὐτήν. τὴν γὰρ ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν αὐτοῖς ἀπολαμβάνουσι, φησίν· ἀλλ' ἐπειδὴ οὐκ αἰσθάνονται ἐκείνης, εἶπε καὶ ἑτέραν, ἣν μάλιστα δεδοίκασι. μάλιστα μὲν ἤδη καὶ ταύτην ἔδειξεν. ὅταν γὰρ λέγῃ, ὅτι τὸ κρίμα τοῦ Θεοῦ κατὰ ἀλήθειάν ἐστιν, οὐδὲν ἕτερον, ἢ τοῦτο λέγει. πλὴν ἀλλὰ καὶ ἐφ' ἑτέρων αὐτὸ πλειόνων κατασκευάζει πάλιν, οὕτω λέγων, λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; τὸ σὸν οὐκ ἐξέφυγες κρίμα, καὶ τὸ τοῦ Θεοῦ διαφεύξῃ; καὶ τίς ἂν τοῦτο εἴποι; καίτοιγε σὺ σαυτὸν ἔκρινας. ἀλλ' ἐπειδὴ τοσαύτη ἦν ἡ περιουσία τοῦ δικαστηρίου, καὶ οὐδὲ σαυτοῦ φείσασθαι ἠδυνήθης, πῶς * ὁ Θεὸς, ὁ ἀναμάρτητος, ὁ μὲν ὑπερβολῆς δίκαιος, οὐ πολλῷ μᾶλλον τοῦτο ποιήσει; ἀλλὰ σὺ μὲν σαυτοῦ κατέγνως, ὁ δὲ Θεὸς ἀποδέξεται καὶ ἐπαινέσει; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; καίτοιγε ἐκείνου τοῦ παρὰ σοῦ καταδικαζομένου κολάσεως μείζονος σὺ ἀξιώτατος. οὐ γάρ ἐστι ταυτὸν ἁμαρτάνειν ἁπλῶς, καὶ ἕτερον ἁμαρτάνοντα κολάσαντα τοῖς αὐτοῖς περιπεσεῖν πάλιν. ὁρᾷς πῶς τὸ ἔγκλημα ηὔξησεν; εἰ γὰρ σὺ, φησὶ, τὸν ἐλάττονα ἁμαρτόντα κολάζεις, καίτοιγε μέλλων αἰσχύνειν σαυτὸν, πῶς ὁ Θεὸς τὸν μείζονα πλημμελήσαντά σε, καὶ ταῦτα οὐ μέλλων ἑαυτὸν αἰσχύνειν, οὐ καταδικάσει καὶ καταψηφιεῖται μείζονος, ἤδη κατακεκριμένον ἀπὸ τῶν οἰκείων λογισμῶν; εἰ δὲ λέγεις, ὅτι οἶδα μὲν ὅτι ἄξιός εἰμι κολάσεως, διὰ δὲ τὴν μακροθυμίαν καταφρονεῖς, καὶ διὰ τὸ μὴ δοῦναι παραπόδας δίκην, θαῤῥεῖς· δεδοικέναι μὲν καὶ τρέμειν διὰ τοῦτο ἂν εἴης δίκαιος. οὐ γὰρ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ δοῦναι χαλεπωτέραν, εἰ μένεις ἀδιόρθωτος ὤν, ἀναβάλλεται. ὃ μηδέποτε συμβήσεταί σοι. διὸ καὶ ἐπάγει λέγων·
4 Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καταφρονεῖς, καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Ἐπαινέσας γὰρ τοῦ Θεοῦ τὴν μακροθυμίαν, καὶ δείξας αὐτῆς τὸ κέρδος μέγιστον τοῖς προσέχουσι (τοῦτο δὲ ἦν τὸ εἰς μετάνοιαν ἕλκειν τοὺς ἁμαρτάνοντας) αὔξει τὸν φόβον. ὥσπερ γὰρ τοῖς εἰς δέον χρησαμένοις σωτηρίας ἐστὶν ὑπόθεσις, οὕτω τοῖς καταφρονήσασιν, ἐφόδιον μείζονος τιμωρίας. τοῦτο γὰρ τὸ περιφερόμενον, ὅτι χρηστὸς καὶ μακρόθυμος ὢν ὁ Θεὸς οὐκ ἀπαιτεῖ δίκην· ὅταν δὲ εἴπῃς τοῦτό, φησιν, οὐδὲν ἄλλο λέγεις, ἢ τῆς τιμωρίας τὴν ἐπίτασιν. τὴν γὰρ χρηστότητα ὁ Θεὸς ἐπιδείκνυται, ἵνα ἀπαλλαγῇς ἁμαρτημάτων, οὐχ ἵνα προσθῇς. ἂν τοίνυν μὴ τοῦτο ποιῇς, φοβερωτέρα ἡ δίκη. διὸ μάλιστα ἁμαρτάνειν οὐ χρὴ, ἐπειδὴ μακρόθυμος ὁ Θεὸς, οὐδὲ τὴν εὐεργεσίαν ὑπόθεσιν ἀγνωμοσύνης ποιεῖσθαι. εἰ γὰρ μακρόθυμος, καὶ κολάζει πάντως. πόθεν δῆλον; ἀπὸ τῶν ἑξῆς εἰρημένων. εἰ γὰρ πολλὴ ἡ κακία, οὐκ ἀπέλαβον δὲ οἱ κακοὶ, ἀνάγκη πάντως ἀπολαβεῖν. εἰ γὰρ ἄνθρωποι ταῦτα οὐ περιορῶσι, πῶς ὁ Θεὸς περιόψεται; ὥστε ἐντεῦθεν, καὶ τὸν περὶ τῆς κρίσεως εἰσήγαγε λόγον. τὸ γὰρ δεῖξαι πολλοὺς ὄντας ὑπευθύνους, εἰ μὴ μετανοήσειεν, εἶτα οὐ κολασθέντας ἐνταῦθα, τὴν κρίσιν συνάγει πάντως, καὶ μετ' ἐπιτάσεως· διό φησι,

5 Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν. Ὅταν γὰρ μήτε χρηστότητι μαλάσσηται, μήτε φόβῳ κάμπτηται, τί τοῦ τοιούτου σκληρό-

περον γένοιτ' ἄν; ἐπειδὴ γὰρ ἔδειξε τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, τότε δείκνυσι τὴν τιμωρίαν, ὅτι ἐστὶν ἀφόρητος τῷ μηδὲ οὕτως ἐπιστραφέντι· καὶ ὅρα πῶς κυρίως ταῖς λέξεσι κέχρηται. θησαυρίζεις γάρ, φησι, σεαυτῷ ὀργήν, τὸ πάντως ἀποκείμενον δηλῶν, καὶ δεικνύς, οὐ τὸν δικάζοντα, ἀλλὰ τὸν κρινόμενον αἴτιον τούτου. σεαυτῷ γάρ, φησι, θησαυρίζεις, οὐχ ὁ Θεός σοι. ἐκεῖνος γὰρ πάντα ἐποίησεν ὅσα ἐχρῆν, καὶ διαγνωστικόν σε τῶν καλῶν καὶ τῶν οὐ τοιούτων κατεσκεύασε, καὶ μακροθυμίαν ἐπεδείξατο, καὶ εἰς μετάνοιαν ἐκάλεσε, καὶ ἡμέραν ἠπείλησε φοβεράν, διὰ πάντων σε ἐπὶ τὴν μετάνοιαν ἕλκων. εἰ δὲ μένεις ἀνένδοτος, Σεαυτῷ θησαυρίζεις ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ. Ἵνα γὰρ μή, ἀκούσας ὀργήν, νομίσῃς πάθος, ἐπήγαγε, δικαιοκρισίας τοῦ Θεοῦ. καὶ καλῶς εἶπεν, ἀποκαλύψεως· τότε γὰρ ἀποκαλύπτεται τοῦτο, ὅταν τὰ κατ' ἀξίαν ἕκαστος ἀπολαμβάνῃ. ἐνταῦθα γὰρ πολλοὶ πολλάκις ἐπηρεάζουσι παρὰ τὸ δίκαιον, καὶ ἐπιβουλεύουσιν· ἐκεῖ δὲ οὐχ οὕτως.

χ. ἀποτρέπ π.

6 Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ.

Ἐπειδὴ φοβερὸς ἦν μὲν καὶ βαρύς, περὶ κρίσεως καὶ τῆς μελλούσης διαλεγόμενος κολάσεως, εὐθέως οὐκ εἰς τὸ προσδοκώμενον ἐνέβαλε τὴν τιμωρίαν, ἀλλ' ἐπὶ τὸ ἡδύτερον ἔτρεψε τὸν λόγον, τὴν τῶν ἀγαθῶν ἀντίδοσιν, οὕτω λέγων· 7 Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον. Ἐνταῦθα καὶ τοὺς ἀναπεπτωκότας ἐν τοῖς πειρασμοῖς διανίστησι, καὶ δείκνυσιν ὅτι οὐ χρὴ τῇ πίστει θαρρεῖν μόνον· καὶ γὰρ καὶ πράξεών ἐστι τὸ δικαστήριον ἐκεῖνο ἐξεταστικόν. ὅρα δὲ αὐτὸν ὅταν περὶ τῶν μελλόντων διαλέγηται, μὴ δυνάμενον τρανῶς εἰπεῖν τὰ ἀγαθά, ἀλλὰ καὶ δόξαν καὶ τιμὴν λέγοντα. ἐπειδὴ γὰρ πάντα ὑπερβαίνει τὰ ἀνθρώπινα, οὐκ ἔχει εἰκόνα αὐτῶν ἐντεῦθεν δεῖξαι, ἀλλ' ἀπὸ τῶν δοκούντων εἶναι λαμπρῶν παρ' ἡμῖν, ἀπὸ τούτων αὐτά, ὡς ἐγχωρεῖ, παρίστησιν, ἀπὸ τῆς δόξης, ἀπὸ τῆς τιμῆς, ἀπὸ τῆς ζωῆς. ταῦτα γάρ ἐστι τὰ ἀνθρώποις περισπούδαστα. ἀλλ' οὐ τοιαῦτα ἐκεῖνα, ἀλλὰ πολλῷ βελτίω τούτων, ὅσῳ καὶ ἄφθαρτα καὶ ἀθάνατα. Εἶδες πῶς καὶ τὰς περὶ τῆς ἀναστάσεως τῶν σωμάτων ἡμῖν θύρας ἀνέῳξεν, ἀφθαρσίαν εἰπών; ἡ γὰρ ἀφθαρσία τοῦ φθειρομένου σώματός ἐστιν. Εἶτα, ἐπειδὴ οὐκ ἤρκει τοῦτο, προσέθηκε, δόξαν καὶ τιμήν. πάντες γὰρ ἀναστησόμεθα ἄφθαρτοι, ἀλλ' οὐ πάντες εἰς δόξαν· ἀλλ' οἱ μὲν εἰς κόλασιν, οἱ δὲ εἰς δόξαν.

χ. ἐκ ἐκείνων

8 Τοῖς δὲ ἐξ ἐριθείας, φησί. Πάλιν γὰρ ἀποστερεῖ συγγνώμης τοὺς ἐν κακίᾳ ζῶντας· καὶ δείκνυσιν ἀπὸ φιλονεικίας τινὸς καὶ ῥᾳθυμίας ἐπὶ τὴν πονηρίαν πίπτοντας.

χ. ζωήν.

Καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ. Ἰδοὺ καὶ ἑτέρα κατηγορία πάλιν. ποίαν γὰρ ἀπολογίαν ἂν ἔχοι ὁ τὸ φῶς φεύγων, καὶ τὸ σκότος αἱρούμενος; καὶ οὐκ εἶπε βιαζομένοις, τυραννουμένοις, ἀλλά, πειθομένοις τῇ ἀδικίᾳ· ἵνα μάθῃς, ὅτι προαιρέσεως τὸ πτῶμα, οὐκ ἀνάγκης τὸ ἔγκλημα.

χ. ἔχει

9 Θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν· Τουτέστι, κἂν εὔπορός τις ᾖ, κἂν ὕπατος, κἂν αὐτοβασιλεύς, οὐδένα ὁ τῆς κρίσεως δυσωπεῖται λόγος. οὐδεμίαν γὰρ ἐνταῦθα χώραν τὰ ἀξιώματα ἔχει. δείξας τοίνυν τὴν ὑπερβολὴν τῆς νόσου, καὶ τὴν αἰτίαν προσθείς, ὅτι ἀπὸ ῥᾳθυμίας τῶν ἀρρωστούντων, καὶ τὸ τέλος, ὅτι ἀπώλεια αὐτοῖς διαδέξεται, καὶ τὸ εὔκολον τῆς διορθώσεως, βαρεῖ πάλιν καὶ ἐν τῇ κολάσει τὸν Ἰουδαῖον. Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος. Ὁ γὰρ πλείονος ἀπολαύσας τῆς διδασκαλίας, μείζονα ἂν εἴη καὶ τιμωρίαν ἄξιος ὑπομεῖναι παραβαινόμενος. ὥστε ὅσῳ ἂν συνετώτεροι ὦμεν, ἢ δυνατώτεροι, τοσοῦτον κολαζόμεθα μᾶλλον ἁμαρτάνοντες. καὶ γὰρ εἰ πλούσιος εἶ, πλείονα ἀπαιτηθήσῃ χρήματα τοῦ πένητος, καὶ εἰ συνετώτερος, μείζονα ὑπακοήν, καὶ εἰ δυναστείαν περιεβέβλησαι, λαμπρότερα κατορθώματα· καὶ ἐπὶ πάν-

πον δὲ τῶν ἄλλων οὕτω πρὸς τὴν δύναμιν καὶ τὰ μέτρα εἰσοίσεις.

10 Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι. Ποῖον Ἰουδαῖον ἐνταῦθά φησιν; ἢ περὶ ποίων Ἑλλήνων διαλέγεται; τῶν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. οὔπω γὰρ εἰς τοὺς τῆς χάριτος ἔφθασε χρόνους ὁ λόγος, ἀλλ' ἔτι τοῖς ἀνωτέρω χρόνοις ἐνδιατρίβει, προανακαθαίρων πόρρωθεν, καὶ ἀναιρῶν τὸ μέσον τοῦ Ἕλληνος καὶ τοῦ Ἰουδαίου, ἵν', ὅταν ἐν τῇ χάριτι τοῦτο ποιῇ, μηκέτι δόξῃ καινόν τι καὶ φορτικὸν ἐπινοεῖν. εἰ γὰρ ἐν τοῖς ἀνωτέροις χρόνοις, ὅτε οὔπω ἡ χάρις ἦν ἐκλάμψασα ἡ τοσαύτη, ὅτε τὰ τῶν Ἰουδαίων σεμνὰ καὶ περιβόητα καὶ λαμπρὰ παρὰ πᾶσιν ἦν, οὐδὲν ἦν τὸ μέσον, τίνα ἂν ἔχοιεν λοιπὸν εἰπεῖν λόγον μετὰ τὴν τοσαύτην τῆς χάριτος ἐπίδειξιν; διὰ τοῦτο καὶ μετὰ πολλῆς αὐτὸ κατασκευάζει τῆς σπουδῆς. καὶ γὰρ ὁ ἀκροατὴς τοῦτο μαθὼν ἐν τοῖς ἀνωτέρω χρόνοις κρατοῦν, πολλῷ μᾶλλον μετὰ τὴν πίστιν αὐτὸ παραδέξεται. Ἕλληνας δὲ ἐνταῦθά φησιν, οὐ τοὺς εἰδωλολατροῦντας, ἀλλὰ τοὺς θεοσεβοῦντας, τοὺς τῷ φυσικῷ πειθομένους νόμῳ, τοὺς, πλὴν τῶν Ἰουδαϊκῶν παρατηρήσεων, πάντα τὰ πρὸς εὐσέβειαν συντελοῦντα διατηροῦντας· οἷοι ἦσαν οἱ περὶ τὸν Μελχισεδὲκ, οἷος ἦν ὁ Ἰὼβ, οἷοι ἦσαν οἱ Νινευῖται, οἷος ἦν ὁ Κορνήλιος. ἤδη τοίνυν προδιορύττει τῆς περιτομῆς καὶ τῆς ἀκροβυστίας τὸ μέσον, καὶ πόρρωθεν ταύτην προκαταλύει τὴν διαφορὰν, ὥστε καὶ ἀνυπόπτως αὐτὸ ποιῆσαι, καὶ ἐξ ἑτέρας ἀνάγκης εἰς τοῦτο ἐμβαλεῖν· ὅπερ ἀεὶ τῆς συνέσεώς ἐστιν ἴδιον τῆς ἀποστολικῆς. εἰ μὲν γὰρ ἐπὶ τῶν καιρῶν αὐτὸ τῆς χάριτος ἔδειξεν, ἔδοξεν ἂν πολλὴν ὑποψίαν ἔχειν ὁ λόγος· τὸ δὲ διηγούμενον τὴν κατέχουσαν τὸν κόσμον κακίαν καὶ πονηρίαν, ἐκ τῆς ἀκολουθίας ἐκείνης εἰς τὸν περὶ τούτων ἐμβῆναι λόγον, ἀνύποπτον ἐποίει τὴν διδασκαλίαν. καὶ ὅτι τοῦτο βούλεται, καὶ διὰ τοῦτο οὕτω συνέθηκε, δῆλον ἐκεῖθεν. εἰ μὴ γὰρ τοῦτο ἐσπούδαζε κατασκευάσαι, ἤρκει εἰπόντα, ὅτι κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, παύσασθαι τῆς ὑποθέσεως ταύτης. καὶ γὰρ ἀπηρτισμένη ἦν. ἀλλ' ἐπειδὴ οὐ τοῦτο ἦν αὐτῷ τὸ ζητούμενον, περὶ κρίσεως μόνον εἰπεῖν τῆς μελλούσης, ἀλλὰ καὶ δεῖξαι οὐδὲν πλέον ἔχοντα τὸν Ἰουδαῖον τοῦ τοιούτου Ἕλληνος, ἵνα μὴ μέγα φρονῇ, πρόεισι περαιτέρω, καὶ τάξει κέχρηται. σκόπει δέ· ἐφόβησε τὸν ἀκροατὴν, ἐπήχησεν αὐτῷ τὴν ἡμέραν τὴν φοβερὰν, εἶπεν ὅσοι κακοὶ τῇ πονηρίᾳ συζῆν, ἔδειξεν οὐδένα ἐξ ἀγνοίας ἁμαρτάνοντα, οὐδὲ ἀτιμωρητὶ, ἀλλὰ, κἂν μὴ νῦν δῷ δίκην, δώσοντα πάντως· ἐντεῦθεν λοιπὸν βούλεται κατασκευάσαι, ὅτι ἡ τοῦ νόμου διδασκαλία οὐ σφόδρα τῶν κατεπειγόντων ἦν. ἐν γὰρ τοῖς ἔργοις ἡ κόλασις καὶ ἡ τιμὴ, οὐκ ἐν περιτομῇ καὶ ἀκροβυστίᾳ. ἐπεὶ οὖν εἶπεν ὅτι πάντως κολασθήσεται ὁ Ἕλλην, καὶ ἔλαβεν ὡμολογημένον τοῦτο, καὶ ἀπ' αὐτοῦ κατεσκεύασεν ὅτι καὶ τιμηθήσεται, περιττὸν λοιπὸν ἐδήλωσε τὸν νόμον καὶ τὴν περιτομήν. μάλιστα γὰρ Ἰουδαίοις ἐνταῦθα μάχεται. ἐπειδὴ γὰρ ἐκεῖνοι φιλονεικότερον διέκειντο, πρῶτον μὲν ἀπὸ τύφου οὐκ ἀξιοῦντες μετὰ τῶν ἐξ ἐθνῶν συναριθμεῖσθαι, δεύτερον καταγελῶντες, εἰ ἡ πίστις πάντα ἀφανίζει τὰ ἁμαρτήματα, διὰ τοῦτο πρότερον κατηγόρησε τῶν Ἑλλήνων ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ἵνα ἀνυπόπτως καὶ μετὰ παρρησίας τῶν Ἰουδαίων καθίκηται· εἶτα εἰς τὴν περὶ τῆς κολάσεως ἐξέτασιν ἐλθὼν, δείκνυσιν οὐ μόνον οὐδὲν ὠφελούμενον τὸν Ἰουδαῖον ἀπὸ τοῦ νόμου, ἀλλὰ καὶ βαρούμενον· καὶ τοῦτο ἄνωθεν κατασκευάζει. εἰ γὰρ ὁ Ἕλλην διὰ τοῦτο ἀναπολόγητος, ὅτι τῆς κτίσεως αὐτὸν ἐναγούσης, καὶ τῶν λογισμῶν, οὐκ ἐγένετο βελτίων· πολλῷ μᾶλλον ὁ Ἰουδαῖος μετὰ τούτων καὶ τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν λαβών. πείσας τοίνυν αὐτὸν εὐκόλως δέξασθαι τὸν λογισμὸν τοῦτον ἐν τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ ἄκοντα ἀναγκάζει λοιπὸν ἐν τοῖς περὶ ἑαυτοῦ τοῦτο ποιῆσαι. καὶ ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, καὶ ἐπὶ τῶν χρηστοτέρων αὐτὸν προάγει λέγων οὕτω· δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον,

τι, καὶ ἕλληνι. ἐνταῦθα μὲν γὰρ ὅσα ἄν τις ἔχῃ καλὰ, μετὰ πολλῶν ἔχει ταραχῶν· καὶ πλοῦτος ἢ, καὶ δυνάστης, καὶ βασιλεὺς, καὶ μὴ πρὸς ἑτέρους, πρὸς γοῦν ἑαυτὸν διαστασιάζει πολλάκις, καὶ πολλὺν ἐν τοῖς λογισμοῖς ἔχει πόλεμον. ἐκεῖ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ πάντα γαλήνη, καὶ ταραχῆς ἀπηλλαγμένα, καὶ γνησίαν ἔχοντα τὴν εἰρήνην. κατασκευάσας τοίνυν ἐκ τῶν ἄνωθεν εἰρημένων, ὅτι καὶ οἱ μὴ νόμον ἔχοντες τῶν αὐτῶν ἀπολαύσονται, ἐπάγει καὶ λογισμὸν οὕτω λέγων,

11 Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Ὅταν μὲν γὰρ λέγῃ ὅτι κολάζεται καὶ ὁ Ἰουδαῖος καὶ ὁ ἕλλην ἁμαρτάνοντες, οὐ δεῖται λογισμῶν· ὅταν δὲ, ὅτι καὶ τιμᾶται ὁ ἕλλην, συστῆσαι βούλεται, * κατασκευῆς δεῖται λοιπόν. καὶ γὰρ ἐδόκει θαυμαστὸν εἶναι καὶ παράδοξον, εἰ ὁ μὴ νόμου μηδὲ προφητῶν ἀκούσας, τιμᾶται τὰ ἀγαθὰ ἐργαζόμενος. διὰ τοῦτο (ὅπερ καὶ ἔμπροσθεν εἶπον) ἐν τοῖς περὶ τῆς χάριτος χρόνοις γυμνάζει αὐτῶν τὰς ἀκοὰς, ἵν' εὐκολώτερον ἐπεισαγάγῃ λοιπὸν μετὰ τῆς πίστεως καὶ τὴν ἐν τούτοις συγκατάθεσιν. ἐνταῦθα γὰρ ἀνύποπτος μάλιστα γίνεται, ἅτε οὐ τὸ ἑαυτοῦ κατασκευάζων. εἰπὼν τοίνυν, δόξα, καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ ἕλληνι, ἐπήγαγεν, οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. βαβαί, ἐξ ὅσης ἐνίκησε τῆς περιουσίας· δείκνυσι γὰρ εἰς ἄτοπον τὸν λόγον ἀπαγαγὼν, ὅτι οὐ κατὰ Θεὸν τὸ μὴ οὕτω γίνεσθαι. καὶ γὰρ προσωποληψίας τὸ πρᾶγμα· ὁ δὲ Θεὸς, οὐ τοιοῦτος. καὶ οὐκ εἶπεν, εἰ δὲ μὴ τοῦτο γένοιτο, προσωπολήπτης ὁ Θεὸς, ἀλλὰ σεμνότερον· οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ· τουτέστιν, οὐ προσώπων ποιότητα, ἀλλὰ πραγμάτων ἐξετάζει διαφοράν. οὕτω εἰπὼν, ἐδήλωσεν οὐκ ἐν πράγμασιν, ἀλλ' ἐν προσώποις μόνον διαφέροντα τὸν Ἰουδαῖον τοῦ ἕλληνος. τούτοις ἀκόλουθον ἦν εἰπεῖν, οὐ γὰρ, ἐπειδὴ ὁ μὲν Ἰουδαῖος, ὁ δὲ ἕλλην, διὰ τοῦτο ὁ μὲν τιμᾶται, ὁ δὲ ὑβρίζεται, ἀλλ' ἀπὸ τῶν ἔργων ἑκάτερα γίνεται. ἀλλ' οὐκ εἶπεν οὕτω (διήγειρε γὰρ ἂν τὸν θυμὸν τοῦ Ἰουδαίου) ἀλλ' ἕτερον τι πλέον τίθησι κατασπῶν αὐτῶν κατωτέρω τὸ φρόνημα, καὶ καταστέλλων, ὥστε ἐκεῖνο καταδέξασθαι. τί δέ ἐστι τοῦτο; τὸ ἑξῆς κείμενον.

12 Ὅσοι γὰρ ἀνόμως, φησὶν, ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. Ἐνταῦθα γὰρ (ὅπερ ἔφθην εἰπὼν) οὐ μόνον ἰσοτιμίαν δείκνυσι Ἰουδαίου καὶ ἕλληνος, ἀλλὰ καὶ πολὺ τὸν Ἰουδαῖον βαρούμενον ἀπὸ τῆς τοῦ νόμου δόσεως. ὁ μὲν γὰρ ἕλλην ἀνόμως κρίνεται. τὸ δὲ, ἀνόμως, ἐνταῦθα οὐ τὸ χαλεπώτερον, ἀλλὰ τὸ ἡμερώτερον λέγει· τουτέστιν, οὐκ ἔχει κατηγοροῦντα τὸν νόμον. τὸ γὰρ ἀνόμως, τουτέστι, χωρὶς τῆς ἐξ ἐκείνου κατακρίσεως, φησιν, ἀπὸ τῶν τῆς φύσεως λογισμῶν καταδικάζεται μόνον. ὁ δὲ Ἰουδαῖος ἐννόμως· τουτέστι, μετὰ τῆς φύσεως καὶ τοῦ νόμου κατηγοροῦντος. ὅσῳ γὰρ πλείονος ἀπήλαυσε τῆς ἐπιμελείας, τοσούτῳ μείζονα δώσει δίκην. ὁρᾷς πῶς μείζονα τοῖς Ἰουδαίοις τὴν ἀνάγκην ἐπέστησε τοῦ τῇ χάριτι προσδραμεῖν; ἐπειδὴ γὰρ ἔλεγον, ὅτι οὐ δέονται τῆς χάριτος, διὰ μόνου τοῦ νόμου δικαιούμενοι, δείκνυσιν ὅτι αὐτοὶ μᾶλλον τῶν ἑλλήνων δέονται, εἴγε μᾶλλον μέλλουσι κολάζεσθαι. εἶτα πάλιν ἐπάγει λογισμὸν ἕτερον, τοῖς εἰρημένοις ἐπαγωνιζόμενος.

13 Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ. Καλῶς προσέθηκε, παρὰ τῷ Θεῷ. παρὰ μὲν γὰρ ἀνθρώποις ἴσως σεμνοὶ δύνανται φαίνεσθαι καὶ μεγάλα κομπάζειν, παρὰ δὲ τῷ Θεῷ, τοὐναντίον ἅπαν, οἱ ποιηταὶ τοῦ νόμου δικαιοῦνται μόνον. εἶδες πόσῃ τῇ περιουσίᾳ κέχρηται εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον; εἰ γὰρ διὰ τὸν νόμον ἀξιοῖς σωθῆναι, φησι, πρότερός σου ταύτῃ ὁ ἕλλην ἐστὶ, ποιητὴς φανεὶς τῶν ἐγγεγραμμένων. καὶ πῶς ἔνι, φησὶν, ἀκροατὴν μὴ γενόμενον, ποιητὴν γενέσθαι; ἔνι, φησὶν, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ τούτου πολλῷ πλέον. οὐ γὰρ μόνον χωρὶς ἀκροάσεώς ἐστι γενέσθαι ποιητὴν, ἀλλὰ καὶ μετὰ ἀκροάσεως μὴ εἶναι τοῦτο· ὅπερ ὕστερον σαφέστερον τίθησι λέγων, καὶ μετὰ

πλείονος

χ. πολέμων
χ. διάζει
* ἢ
χ. —
χ. δώσει
χ. ἄξιον
χ. τότε

πλείονος τῆς προεδρίας. Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ἐνταῦθα δὲ πῶς τὸ πρότερον κατασκευάζει.

14 Ὅταν γὰρ ἔθνη, φησί, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. Οὐκ ἐκβάλλω τὸν νόμον, φησίν, ἀλλὰ καὶ ἐντεῦθεν δικαιῶ τὰ ἔθνη. Εἶδες πῶς ὑπορύττων τοῦ Ἰουδαϊσμοῦ τὴν δόξαν, οὐδεμίαν καθ' ἑαυτοῦ δίδωσι λαβὴν ὡς ἀτιμάζων τὸν νόμον, ἀλλὰ τοὐναντίον, ὡς ἐπαίρων τε καὶ μέγα δεικνὺς, οὕτω κατασκευάζει τὸ πᾶν; φύσει δὲ ὅταν εἴπῃ, τοῖς ἐκ φύσεως λέγει λογισμοῖς. καὶ δείκνυσιν ἑτέρους ὄντας αὐτῶν βελτίους, καὶ τὸ μεῖζον, διὰ τοῦτο βελτίους, ἐπειδὴ μὴ νόμον ἔλαβον, μηδὲ ἔχουσι τοῦτον, ᾧ δοκοῦσιν αὐτῶν πλεονεκτεῖν οἱ Ἰουδαῖοι. Διὰ τοῦτο γάρ, φησίν, εἰσὶ θαυμαστοί, ὅτι νόμου οὐκ ἐδεήθησαν, καὶ τὰ τοῦ νόμου πάντα ἐπεδείξαντο, τὰ ἔργα, οὐ τὰ γράμματα, ταῖς διανοίαις αὐτῶν ἐγκολάψαντες. τοῦτο γάρ φησιν,

15 Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτοῖς τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων

16 Ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. Ὁρᾷς πῶς πάλιν προφέρεις τὴν ἡμέραν ἐκείνην καὶ εἰς μέσον ἤγαγε, κατασείων αὐτῶν τὴν διάνοιαν, καὶ δεικνὺς, ὅτι τούτους δεῖ τιμᾶσθαι μᾶλλον τῶν χωρὶς νόμου τὰ τοῦ νόμου κατορθοῦν ἐσπουδακότας; ὃ δὲ μάλιστά ἐστι θαυμάσαι τῆς συνέσεως τῆς ἀποστολικῆς, τοῦτο ἄξιον εἰπεῖν νῦν. ἀπὸ γὰρ τῆς κατασκευῆς δείξας ὅτι μείζων ὁ Ἕλλην τοῦ Ἰουδαίου, ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ συμπεράσματι τῶν λογισμῶν οὐκ εἴρηκεν αὐτό, ὥστε μὴ τραχῦναι τὸν Ἰουδαῖον. ἵνα δὲ καὶ σαφέστερον ὅπερ εἶπον ποιήσω, αὐτὰ ἐρῶ τὰ ῥήματα τὰ ἀποστολικά. ἐπειδὴ γὰρ εἶπεν, οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται, ἀκόλουθον ἦν εἰπεῖν, ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, τούτων πολλῷ βελτίους εἰσὶ τῶν ἀπὸ νόμου διδασκομένων· ἀλλ' οὐ λέγει τοῦτο, ἀλλ' ἵσταται μέχρι τοῦ ἐγκωμίου τῶν Ἑλλήνων, καὶ οὐ προάγει τὸν λόγον κατὰ σύγκρισιν τέως, ἵνα κἂν οὕτως ὁ Ἰουδαῖος δέξηται τὸ λεγόμενον. διόπερ οὐχ οὕτως εἶπεν, ὡς εἶπον, ἀλλὰ πῶς; ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως. ἀρκεῖ γὰρ ἀντὶ τοῦ νόμου τὸ συνειδὸς καὶ λογισμός. διὰ τούτων ἔδειξε πάλιν, ὅτι αὐτάρκη τὸν ἄνθρωπον ἐποίησεν ὁ Θεὸς πρὸς τὴν τῆς ἀρετῆς αἵρεσιν, καὶ τὴν τῆς κακίας φυγήν. καὶ μὴ θαυμάσῃς, εἰ καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις αὐτὸ κατασκευάζει. σφόδρα γὰρ ἦν ἀναγκαῖον αὐτῷ τὸ κεφάλαιον τοῦτο, διὰ τοὺς λέγοντας, τί δήποτε νῦν ὁ Χριστὸς παρεγένετο; καὶ ποῦ τὸν ἔμπροσθεν χρόνον τὰ τῆς τοσαύτης προνοίας ἦν; καὶ πρὸς τούτους νῦν ἐν παρέργῳ νῦν ἀπομαχόμενος, δείκνυσιν ὅτι καὶ ἐν τοῖς ἄνωθεν χρόνοις, καὶ πρὸ τῆς τοῦ νόμου δόσεως πάσης ἀπήλαυσε προνοίας ἡ τῶν ἀνθρώπων φύσις. καὶ γὰρ τὸ γνωστὸν τοῦ Θεοῦ φανερὸν ἦν ἐν αὐτοῖς, καὶ τί μὲν καλόν, τί δὲ κακὸν ᾔδεσαν, δι' ὧν τοὺς ἄλλους ἔκρινον· ὅπερ ὀνειδίζων αὐτοῖς, ἔλεγεν, ὅτι ἐν ᾧ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. ἐπὶ δὲ τῶν Ἰουδαίων, μετὰ τῶν εἰρημένων καὶ ὁ νόμος ἐπῆχεν, οὐχὶ λογισμὸς μόνον, οὐδὲ συνείδησις. τίνος δὲ ἕνεκεν τίθησι τὸ, κατηγορούντων, ἢ καὶ ἀπολογουμένων; εἰ γὰρ νόμον ἔχουσι γραπτὸν καὶ τὸ ἔργον ἐνδείκνυνται, τί ἔχει κατηγορῆσαι λοιπὸν ὁ λογισμός; ἀλλ' οὐκέτι περὶ ἐκείνων φησὶ τὸ, κατηγορούντων, μόνον, ἀλλὰ καὶ περὶ τῆς φύσεως ἁπάσης. τότε γὰρ ἑστήκασιν ἡμῶν καὶ οἱ λογισμοί, οἱ μὲν κατηγοροῦντες, οἱ δὲ ἀπολογούμενοι· καὶ οὐ δεῖται ἑτέρου κατηγόρου ὁ ἄνθρωπος ἐπ' ἐκείνου τοῦ δικαστηρίου. Εἶτα αὔξων τὸν φόβον, οὐκ εἶπε, τὰ ἁμαρτήματα τῶν ἀνθρώπων, ἀλλὰ τὰ κρυπτὰ τῶν ἀνθρώπων. ἐπειδὴ γὰρ εἶπε, λογίζῃ ὁ κρίνων τοὺς τὰ τοιαῦτα

αὐτὰ

αῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; ἵνα μὴ τοιαύτην ἐκδέξῃ ψῆφον, οἵαν καὶ αὐτὸς φέρεις, ἀλλ' ἴδῃς ὅτι πολλῷ τῆς σῆς ἀκριβεστέρα ἡ τοῦ Θεοῦ, ἐπήγαγε, Τὰ κρυπτὰ τῶν ἀνθρώπων, καὶ προσέθηκε, κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. ἄνθρωποι γὰρ τῶν φανερῶν κάθηνται δικασταὶ μόνων. καίτοιγε ἄνω περὶ τοῦ πατρὸς ἔλεγε μόνου, ἀλλ' ἐπειδὴ λοιπὸν αὐτοὺς κατελέανε τῷ φόβῳ, ἐπήγαγε καὶ τὸν περὶ τοῦ Χριστοῦ λόγον. καὶ οὐδὲ οὕτω τοῦτον ἁπλῶς, ἀλλὰ καὶ ἐνταῦθα τοῦ πατρὸς μνημονεύσας, οὕτως αὐτὸν ἐπεισήγαγε· καὶ τοῦ κηρύγματος δὲ τὸ ἀξίωμα δι' αὐτῶν ἐπαίρει. τοῦτο γάρ, φησί, τὸ κήρυγμα ταῦτα προαναφωνεῖ, ἃ προλαβοῦσα ἡ φύσις ἔδειξεν. Εἶδες πῶς συνετῶς καὶ τῷ εὐαγγελίῳ, καὶ τῷ Χριστῷ φέρων αὐτοὺς προσέδησε, καὶ ἀπέδειξεν, ὅτι οὐ μέχρι τῶν ἐνταῦθα τὰ ἡμέτερα ἵσταται, ἀλλὰ ὁδεύει περαιτέρω; ὃ καὶ ἄνω κατεσκεύασεν εἰπών, Θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἐνταῦθα πάλιν, κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.

ΗΘΙΚΟΝ

Ἕκαστος τοίνυν εἰς τὸ ἑαυτοῦ συνειδὸς ἐλθών, καὶ ἀναλογιζόμενος τὰ πλημμελήματα, ἀπαιτείτω τὰς εὐθύνας ἑαυτὸν ἀκριβῶς, ἵνα τότε μὴ κατακριθῶμεν μετὰ τῆς οἰκουμένης. φοβερὸν γὰρ ἐκεῖνο τὸ δικαστήριον, φρικτὸν τὸ βῆμα, τρόμου γέμουσιν αἱ εὐθῦναι, πυρὸς ἕλκεται ποταμός. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; (Ψαλμ. μη. ζ.) ἀναμνήσθητι γὰρ τῶν ἐν τῷ εὐαγγελίῳ λεγομένων, τῶν ἀγγέλων τῶν περιτρεχόντων, τοῦ νυμφῶνος τοῦ ἀποκλειομένου, τῶν λαμπάδων τῶν [μὴ] σβεννυμένων, τῶν δυνάμεων τῶν εἰς τὰς καμίνους ἑλκουσῶν· κἀκεῖνο λόγισαι, ὅτι εἴ τινος ἡμῶν πρᾶγμα κρυπτὸν εἰς μέσον ἐνεχθῇ τήμερον ἐπὶ τῆς ἐκκλησίας μόνης, πῶς ἂν ἀπολέσθαι, καὶ τὴν γῆν αὐτῷ διαστῆναι ηὔξατο μᾶλλον, ἢ τοσούτους μάρτυρας τῆς κακίας ἔχειν. τί οὖν τότε πεισόμεθα, ὅταν ἐπὶ τῆς οἰκουμένης εἰς μέσον ἅπαντα φέρηται ἐν τοιούτῳ θεάτρῳ λαμπρῷ καὶ περιφανεῖ, καὶ τῶν γνωρίμων καὶ τῶν ἀγνώστων ἡμῖν ἅπαντα κατοπτευόντων; ἀλλ' οἴμοι πόθεν ἀναγκάζομαι φοβεῖν ὑμᾶς; ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως, δέον ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ, καὶ τῆς ἑαυτοῦ καταγνώσεως τοῦτο ποιεῖν; τίνες γὰρ ἐσόμεθα, εἰπέ μοι, τότε, ὅταν δεθέντες, τῶν ὀδόντων βρυχόντων, εἰς τὸ ἐξώτερον ἀγώμεθα σκότος; μᾶλλον δὲ τί ποιήσομεν (ὃ πάντων ἐστὶ φοβερώτερον) ὅταν τῷ Θεῷ προσκρούσωμεν; εἰ γάρ τις αἴσθησιν ἔχει τοῦ νοῦ, ἤδη καὶ τὴν γέενναν ὑπέμεινεν, ὅταν ἐξ ὄψεως γένηται τοῦ Θεοῦ. ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ὀδυνᾷ, διὰ τοῦτο ἠπείλει πῦρ. τὸ γὰρ ἐχρῆν, οὐχ ὅταν κολαζώμεθα, ἀλγεῖν, ἀλλ' ὅταν ἁμαρτάνωμεν. ἄκουσον γοῦν τοῦ Παύλου θρηνοῦντος, καὶ ἀποδυρομένου ὑπὲρ ἁμαρτημάτων, ὧν οὐκ ἔμελλε δώσειν δίκην. Οὐ γάρ εἰμι ἱκανός, (α. Κορ. ιε. θ.) φησί, καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν. ἄκουσον γοῦν καὶ τοῦ Δαβὶδ τῆς μὲν κολάσεως ἀπηλλαγμένου, ἐπειδὴ δὲ ἐνόμισε τῷ Θεῷ προσκεκρουκέναι, τὴν τιμωρίαν καθ' ἑαυτοῦ καλοῦντος, καὶ λέγοντος, Γενέσθω ἡ χείρ σου ἐν ἐμοί, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. (β. Βασ. κδ. ιζ.) τὸ γὰρ προσκροῦσαι τῷ Θεῷ, τοῦ κολασθῆναι χαλεπώτερον. νῦν δὲ οὕτως ἀθλίως διακείμεθα, ὡς εἰ μὴ γεέννης φόβος ἦν, μηδὲ ἂν ἑλέσθαι ταχέως ποιῆσαί τι καλόν. διὸ γὰρ εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου, τούτου γε ἕνεκεν γεέννης ἂν ἦμεν ἄξιοι, τὴν γέενναν μᾶλλον τοῦ Χριστοῦ φοβούμενοι. ἀλλ' οὐχ ὁ μακάριος Παῦλος οὕτως, ἀλλ' ἀντιστρόφως. ἐπειδὴ δὲ ἡμεῖς ἑτέρως, διὰ τοῦτο τῇ γεέννῃ καταδικαζόμεθα· ὡς εἴγε τὸν Χριστὸν ἐφιλοῦμεν ὡς φιλεῖν ἐχρῆν, ἔγνωμεν ἂν ὅτι γεέννης χαλεπώτερον τὸ προσκροῦσαι τῷ φιλουμένῳ. ἐπειδὴ δὲ οὐ φιλοῦμεν, οὐκ ἴσμεν τῆς κολάσεως ταύτης τὸ μέγεθος. καὶ τοῦτό ἐστιν ὃ μάλιστα ὀδύρομαι καὶ θρηνῶ. καίτοι τί οὐκ ἐποίησεν ὁ Θεός, ὥστε φιληθῆναι παρ' ἡμῶν; τί δὲ οὐκ ἐμηχανήσατο; τί δὲ παρέλιπεν; ὑβρίσαμεν αὐτὸν μηδὲν ἠδικηκότα, ἀλλὰ καὶ εὐεργετήσαντα μυρία καὶ ἀπόρρητα ἀγαθά· ἀπεστράφημεν καλοῦντα καὶ πανταχόθεν ἐφελκόμενον, καὶ οὐδὲ οὕτως ἡμᾶς ἐκόλασεν, ἀλλὰ προσέδραμεν αὐτός, καὶ κατέσχε φεύγοντας, καὶ ἀπετιναξάμεθα, καὶ πρὸς τὸν διάβολον ἀπεπηδήσαμεν·

γ. τὸ τῶν
γ. ἰδίᾳ ἀλήθ.
γ. ἐπί
γ. ἀπόλ.
γ. λαν.
γ. ἔχει.
γ. ἡμῶν.
γ. λαμ.
γ. Θεοῦ
γ. κολασ.
γ. φιλοῦ.

ἀπεπηδήσαμεν· καὶ οὐδὲ οὕτως ἀπέστη, ἀλλ' ἔπεμψε μυρίους παρακαλοῦντας πάλιν, προφήτας, ἀγγέλους, πατριάρχας· ἡμεῖς δὲ οὐ μόνον οὐκ ἐδεξάμεθα τὴν πρεσβείαν, ἀλλὰ καὶ ὑβρίσαμεν τοὺς ἐλθόντας. ὁ δὲ οὐδὲ ἐπὶ τούτοις ἡμᾶς διέπτυσεν, ἀλλ', ὥσπερ οἱ σφοδροὶ τῶν ἐραστῶν τῶν καταφρονουμένων, περιῄει πᾶσιν ἐντυγχάνων, τῷ οὐρανῷ, τῇ γῇ, τῷ Ἱερεμίᾳ, τῷ Μιχαίᾳ, οὐχ ἵνα βαρήσῃ, ἀλλ' ἵνα ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσηται, καὶ μετὰ τῶν προφητῶν καὶ αὐτὸς προσῄει τοῖς ἀποστρεφομένοις αὐτὸν, εὐθέως ἕτοιμος ὢν παρέχειν, καὶ εἰς τὸν λόγον ἀξιῶν καθεῖναι, καὶ πρὸς ἅπαντα κεκωφωμένους εἰς τὴν πρὸς αὐτὸν διάλεξιν ἕλκων. Λαός γάρ μου, φησὶ, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; ἀποκρίθητί μοι. [Μιχ. ς. γ.] μετὰ ταῦτα πάντα ἀπεκτείναμεν τοὺς προφήτας, ἐλιθάσαμεν, μυρία ἕτερα εἰργασάμεθα κακά. τί οὖν; ἀντὶ τούτων, οὐκέτι προφήτας, οὐκέτι ἀγγέλους, οὐκέτι πατριάρχας, ἀλλ' αὐτὸν ἔπεμψε τὸν υἱόν. ἀνῃρέθη καὶ ὁ υἱὸς ἐλθὼν, καὶ οὐδὲ οὕτως ἔσβεσε τὸν ἔρωτα, ἀλλ' ἀνῆψε μειζόνως, καὶ ἐπιμένει παρακαλῶν μετὰ τὸ τὸν υἱὸν ἀναιρεθῆναι τὸν αὐτοῦ, καὶ δεόμενος, καὶ πάντα ποιῶν ὑπὲρ τοῦ πρὸς αὐτὸν ἐπιστρέψαι. καὶ βοᾷ Παῦλος λέγων, Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καταλλάγητε τῷ Θεῷ. [β. Κορ. ε. κ.] ἀλλ' οὐδὲν τούτων ἡμᾶς κατήλλαξεν. ὁ δὲ οὐδὲ οὕτως ἡμᾶς κατέλιπεν, ἀλλὰ μένει καὶ γέενναν ἀπειλῶν, καὶ βασιλείαν ἐπαγγελλόμενος, ἵνα κἂν οὕτως ἡμᾶς ἐφελκύσηται· ἡμεῖς δὲ ἀναλγήτως ἔτι διακείμεθα. τί ταύτης τῆς θηριωδίας χεῖρον γένοιτ' ἄν; εἰ γὰρ ἄνθρωπος ταῦτα ἐποίησεν, οὐκ ἂν αὐτοῦ πολλάκις ἐγενόμεθα δοῦλοι; τὸν δὲ Θεὸν ποιοῦντα ἀποστρεφόμεθα; ὢ τῆς ῥαθυμίας, ὢ τῆς ἀγνωμοσύνης· οἱ διαπαντὸς μὲν ἐν ἁμαρτίαις καὶ πονηρίαις ζῶμεν, ἂν δέ ποτέ τι καὶ ποιήσωμεν μικρὸν ἀγαθὸν, κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν, μετὰ πολλῆς τῆς καπηλείας ἐξετάζομεν, καὶ ἀκριβολογούμεθα περὶ τῆς ἀντιδόσεως, εἴγε ἔχει μισθόν τινα τὸ γινόμενον. καίτοι μείζων ὁ μισθὸς, ἐὰν μὴ ἐπ' ἐλπίδι μισθῶν ποιῇς. τὸ γὰρ ταῦτα λέγειν, καὶ ἀκριβολογεῖσθαι, μισθωτοῦ μᾶλλον ῥήματά ἐστιν, ἢ εὐγνώμονος οἰκέτου. δεῖ γὰρ πάντα διὰ τὸν Χριστὸν ποιεῖν, οὐ διὰ τὸν μισθόν*. καὶ γὰρ καὶ γέενναν διὰ τοῦτο ἠπείλησε, καὶ βασιλείαν ἐπηγγείλατο, ἵνα φιληθῇ παρ' ἡμῶν. φιλήσωμεν τοίνυν αὐτὸν, ὡς φιλεῖν χρή. τοῦτο γὰρ ὁ μέγας μισθὸς, τοῦτο βασιλεία καὶ ἡδονὴ, τοῦτο τρυφὴ καὶ δόξα καὶ τιμὴ, τοῦτο φῶς, τοῦτο ἡ μυρία μακαριότης, ἣν οὐ λόγος παραστῆσαι δύναται, οὐ νοῦς καταλαβεῖν. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τούτους περιῆλθον τοὺς λόγους, ἀνθρώποις μηδὲ ἀρχῆς καὶ δόξης καταφρονοῦσι τῆς παρούσης διὰ τὸν Χριστὸν, βασιλείας κελεύων καταφρονεῖν. καίτοιγε οἱ μεγάλοι καὶ γενναῖοι ἄνδρες ἐκεῖνοι, καὶ εἰς τοῦτο τὸ μέτρον τῆς ἀγάπης ἔφθασαν. ἄκουσον γοῦν πῶς ὁ Πέτρος περὶ αὐτοῦ περικαίεται, καὶ ψυχῆς καὶ ζωῆς καὶ πάντων αὐτὸν προετίθει. καὶ ἡνίκα δὲ αὐτὸν ἠρνήσατο, οὐ διὰ τὴν κόλασιν ἐπένθει, ἀλλ' ἐπειδὴ τὸν ποθούμενον ἠρνήσατο, ὃ πάσης κολάσεως αὐτῷ πικρότερον ἦν. καὶ ταῦτα ἅπαντα πρὸ τῆς τοῦ πνεύματος χάριτος ἐπεδείκνυτο, καὶ συνεχῶς ἐπέκειτο λέγων, ποῦ ὑπάγεις; καὶ πρὸ τούτου, πρὸς τίνα ἀπελευσόμεθα; καὶ πάλιν, ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ. πάντα γὰρ αὐτὸς ἦν αὐτοῖς, καὶ οὔτε οὐρανὸν, οὔτε βασιλείαν οὐρανῶν πρὸ τοῦ ποθουμένου ἦγεν. σὺ γάρ μοι πάντα ἐκεῖνα, φησί. καὶ τί θαυμάζεις εἰ Πέτρος οὕτω διέκειτο; καὶ γὰρ ὁ προφήτης ἄκουσον τί φησι· Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; ὃ δὲ λέγει, [Ψαλμ. ογ. κε.] τοιοῦτόν ἐστιν· οὐ τῶν ἄνω, οὐ τῶν κάτω οὐδενὸς ἐφίεμαι ἑτέρου, ἀλλ' ἢ σοῦ μόνου. τοῦτο ἐστὶν ἔρως, τοῦτο ἐστὶ φιλία. ἂν οὕτω φιλήσωμεν, οὐ τὰ παρόντα μόνον, ἀλλ' οὐδὲ τὰ μέλλοντα πρὸς τὸ φίλτρον ἐκεῖνο ἡγησόμεθά τι εἶναι, καὶ τὴν βασιλείαν ἐντεῦθεν καρπωσόμεθα, ἐντρυφῶντες αὐτοῦ τῇ ἀγάπῃ. καὶ πῶς ἔσται τοῦτο, φησίν; εἰ ἐννοήσομεν ποσάκις αὐτὸν ὑβρίζομεν μετὰ μυρία ἀγαθὰ, αὐτὸς δὲ ἕστηκε παρακαλῶν, ὁσάκις αὐτὸν παρατρέχομεν, αὐτὸς δὲ οὐ παρορᾷ, ἀλλ' ἐπιτρέχει, καὶ ἐφέλκεται, καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται. ἂν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα λογισώμεθα, δυνησόμεθα τὸν πόθον ἀνάψαι τοῦτον. εἰ γὰρ ἄνθρωπος εὐτελὴς ἦν ὁ οὕτω φιλῶν, βασιλεὺς

δὲ ὁ οὕτω φιλούμενος, οὐκ ἂν ᾐδέσθη τὸ τοῦ ἔρωτος μέγεθος; σφόδρα μὲν οὖν. ὅταν δὲ ὁ πολυτίμητος τι ᾖ, καὶ ἄφατον μὲν ἐκείνου τὸ κάλλος, καὶ ἡ δόξα, καὶ ὁ πλοῦτος τοῦ φιλοῦντος ἡμᾶς, ἡμῶν δὲ πολλὴ ἡ εὐτέλεια, πῶς οὐχὶ μυρίας ἐσμὲν κολάσεως ἄξιοι καὶ οὕτως εὐτελεῖς, καὶ ἀπερριμμένοι, παρὰ τοιούτου μεγάλου καὶ θαυμαστοῦ φιλούμενοι μεθ' ὑπερβολῆς ἁπάσης, καὶ καταστρηνιῶντες αὐτοῦ τῆς ἀγάπης; οὐδενὸς δεῖται ἐκεῖνος τῶν ἡμετέρων, καὶ οὐδὲ οὕτω παύεται ἡμῶν ἐρῶν· ἡμεῖς σφόδρα δεόμεθα τῶν αὐτοῦ, καὶ οὐδὲ οὕτως ἀντεχόμεθα αὐτοῦ τῆς ἀγάπης, ἀλλὰ χρήματα αὐτοῦ προτιμῶμεν, καὶ φιλίας ἀνθρώπων, καὶ σώματος ἄνεσιν, καὶ δυναστείαν, καὶ δόξαν, τοῦ μηδὲν ἡμῶν προτιμῶντος. ἕνα γὰρ εἶχεν υἱὸν μονογενῆ καὶ γνήσιον, καὶ οὐδὲ τούτου ἐφείσατο δι' ἡμᾶς· ἡμεῖς δὲ αὐτοῦ πολλὰ προτιμῶμεν. ἆρ' οὖν οὐκ εἰκότως γέεννα, καὶ κόλασις, εἰ καὶ διπλῆ, καὶ τριπλῆ ἦν, καὶ μυριάκις τοσαύτη; τί γὰρ ἂν ἔχοιμεν εἰπεῖν, ὅταν τοῦ Σατανᾶ τὰ ἐπιτάγματα προτιμῶμεν τοῦ τοῦ Χριστοῦ νόμου, καὶ τῆς σωτηρίας τῆς ἡμετέρας ἀφειδῶμεν, ἵνα προτιμήσωμεν τὰ τῆς πονηρίας ἔργα τοῦ πάντα ὑπὲρ ἡμῶν παθόντος; καὶ ποίας συγγνώμης τὰ τοιαῦτα ἄξια; ποίας ἀπολογίας; οὐδεμιᾶς. στῶμεν οὖν λοιπὸν μὴ κατὰ κρημνῶν φερόμενοι, καὶ ἀνανήψωμεν, καὶ πάντα ἀναλογισάμενοι ταῦτα, δόξαν ἀναπέμψωμεν αὐτῷ διὰ τῶν ἔργων (οὐ γὰρ ἀρκεῖ διὰ τῶν ῥημάτων) ἵνα καὶ τῆς δόξης ἀπολαύσωμεν τῆς παρ' αὐτοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λόγ. ς. 17 ΙΔΕ, ΣΥ ΙΟΥΔΑΙΟΣ ΕΠΟΝΟΜΑΖΗ, ΚΑΙ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, 18 Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου.

Εἰπὼν ὅτι οὐδὲν λείπει τῷ Ἕλληνι πρὸς τὸ σωθῆναι ἐὰν τοῦ νόμου ᾖ ποιητής, καὶ τὴν θαυμαστὴν σύγκρισιν ποιησάμενος ἐκείνην, τίθησι λοιπὸν καὶ τὰ σεμνὰ τῶν Ἰουδαίων, ἀφ' ὧν κατὰ τῶν Ἑλλήνων ἐφρόνουν. καὶ πρῶτον, αὐτὸ τὸ ὄνομα, σφόδρα σεμνὸν ὄν, ὥσπερ νῦν ὁ Χριστιανισμός· καὶ γὰρ ἀπὸ τῆς προσηγορείας πολλὴ ἦν ἡ διαφορὰ καὶ τότε. διὸ καὶ ἐντεῦθεν ἄρχεται. καὶ ὅρα πῶς αὐτὸ καθαιρεῖ. οὐ γὰρ εἶπε, σὺ Ἰουδαῖος εἶ, ἀλλ', ἐπονομάζῃ, καὶ καυχᾶσαι ἐν Θεῷ· τουτέστιν, ὡς φιληθεὶς παρ' αὐτοῦ, καὶ προτιμηθεὶς τῶν ἄλλων ἀνθρώπων. ἐνταῦθα δέ μοι ἠρέμα δοκεῖ εἰς ἀπόνοιάν τε αὐτοὺς σκώπτειν, καὶ εἰς πολλὴν τὴν δοξομανίαν, ὅτι τῷ δώρῳ τούτῳ οὐκ εἰς τὴν σωτηρίαν τὴν ἑαυτῶν, ἀλλ' εἰς τὸ τῶν ἄλλων κατεξανίστασθαι καὶ ὑπερορᾶν κατεχρῶντο.

Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα. Καὶ μὴν καὶ τοῦτο ἐλάττωμα χωρὶς ἔργου· ἀλλ' ὅμως ἐδόκει πλεονέκτημα εἶναι· διὸ καὶ μετ' ἀκριβείας αὐτὸ τίθησιν. οὐ γὰρ εἶπε, πράττεις, ἀλλὰ γινώσκεις καὶ δοκιμάζεις, οὐ, μετέρχῃ καὶ ποιεῖς.

19 Πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν. Πάλιν ἐνταῦθα οὐκ εἶπεν, ὅτι εἶ ὁδηγὸς τυφλῶν, ἀλλὰ πέποιθας, οὕτω κομπάζεις, φησί. πολλὴ γὰρ ἦν ἡ ἀπόνοια τῶν Ἰουδαίων. διὸ καὶ σχεδὸν αὐτὰ φθέγγεται τὰ ῥήματα, ἅπερ ἐκεῖνοι κομπάζοντες ἔλεγον. ὅρα γοῦν

Ιωαν. θ. λδ'. ἐν τοῖς εὐαγγελίοις τί λέγουσιν· Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ μέγα ἐφρόνουν κατὰ πάντων. ὅπερ ἐλέγχων ὁ Παῦλος ἐπέθηκε τούτους μὲν ἐπαίρων, ἐκείνους δὲ καθαιρῶν, ἵνα οὕτω μᾶλλον αὐτῶν καθάψηται, καὶ βαρυτέραν ποιήσῃ τὴν κατηγορίαν. διὸ προσέθηκεν αὔξων τὸ τοιοῦτο, καὶ πλεονάζων τῷ διαφόρως ἀπαγγέλλειν. Πέποιθας γὰρ σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει,

20 Παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. Οὐκ εἶπε πάλιν, ἐν τῷ συνειδότι, καὶ ἐν ταῖς πράξεσι, καὶ

ἐν τοῖς κατορθώμασιν, ἀλλ᾽, ἐν τῷ νόμῳ. καὶ ταῦτα εἰπὼν, ὅπερ καὶ ἐπὶ τῶν ἐθνικῶν ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. ὥσπερ γὰρ ἐκεῖ φησιν, ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις, οὕτω καὶ ἐνταῦθα λέγει,

21 Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; Ἀλλ᾽ ἐκεῖ μὲν ἀποτομώτερον, ἐνταῦθα δὲ ἡμερώτερον κέχρηται τῷ λόγῳ. οὐ γὰρ εἶπε, καὶ μὴν διὰ τοῦτο μείζονος εἶ κολάσεως ἄξιος, ὅτι τοσαῦτα ἐγχειρισθεὶς, οὐδενὶ τούτων εἰς δέον κέχρησαι· ἀλλὰ κατ᾽ ἐρώτησιν προάγει τὸν λόγον, ἐντρέπων καὶ λέγων, ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; σκόπει δέ μοι καὶ ἑτέρωθεν τοῦ Παύλου τὴν σύνεσιν. τὰ γὰρ πλεονεκτήματα τίθησι τῶν Ἰουδαίων ταῦτα, ἅπερ οὐ τῆς αὐτῶν σπουδῆς ἦν, ἀλλὰ τῆς ἄνωθεν δωρεᾶς, καὶ δείκνυσιν, οὐ μόνον περιττὰ ὄντα ἀμελοῦσιν αὐτοῖς, ἀλλὰ καὶ προσθήκην κολάσεως φέροντα. οὐ γὰρ τὸ Ἰουδαῖον καλεῖσθαι, αὐτῶν κατόρθωμα, οὐδὲ τὸ νόμον λαβεῖν, οὐδὲ τὰ ἄλλα ἅπερ ἀπηριθμήσατο νῦν, ἀλλὰ τῆς ἄνωθεν χάριτος. καὶ παρὰ μὲν τὴν ἀρχὴν ἔλεγεν, ὅτι οὐδὲν ὠφελεῖ ἡ ἀκρόασις τοῦ νόμου, ἐὰν μὴ πρᾶξις προσῇ (οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, φησὶ, δίκαιοι παρὰ τῷ Θεῷ) νῦν δὲ πολλῷ μᾶλλον δείκνυσιν, ὅτι οὐ μόνον ἡ ἀκρόασις, ἀλλὰ καὶ, ὃ πλέον τῆς ἀκροάσεως ἦν, ἡ διδασκαλία οὐδὲ αὐτὴ δυνήσεται προστῆναι τοῦ διδάσκοντος, μὴ πράττοντος ἅπερ, φησὶ, διδάσκει· καὶ οὐ μόνον οὐ προστήσεται, ἀλλὰ καὶ κολάσει μειζόνως. καλῶς δὲ καὶ ταῖς λέξεσι κέχρηται. οὐ γὰρ εἶπεν, ἔλαβες νόμον, ἀλλ᾽, ἐπαναπαύῃ νόμῳ. καὶ γὰρ οὐκ ἐκάμνεν ὁ Ἰουδαῖος περιιὼν, καὶ ζητῶν τὰ πρακτέα, ἀλλ᾽ ἐξ εὐκολίας εἶχε τὸν νόμον δεικνύντα τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. εἰ γὰρ καὶ τὰ ἔθνη ἔχει τὸν τῆς φύσεως λογισμὸν (ὅθεν αὐτῶν καὶ πλεονεκτεῖ, χωρὶς ἀκροάσεως [ὡς] ποιοῦντα ἅπαντα) ἀλλ᾽ ὅμως ἐκεῖ μείζων εὐκολία ἦν. εἰ δὲ λέγεις, ὅτι οὐκ ἀκούω μόνον, ἀλλὰ καὶ διδάσκω, καὶ τοῦτο αὐτὸ προσθήκη τιμωρίας. ἐπὶ γὰρ τούτῳ μέγα ἐφρόνουν, ἐντεῦθεν μάλιστα αὐτοὺς δείκνυσιν ὄντας καταγελάστους. ὅταν δὲ λέγῃ ὁδηγὸν τυφλῶν, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, τὸν ἐκείνων λέγει τῦφον. σφόδρα γὰρ ἀπεκέχρηντο τοῖς προσηλύτοις, καὶ ἀπὸ τούτων ἐκάλουν τῶν ὀνομάτων αὐτούς. διὸ καὶ ἐπίτηδες πλατύνεται τοῖς δοκοῦσιν αὐτῶν εἶναι ἐγκωμίοις, εἰδὼς ὅτι μείζονος κατηγορίας ὑπόθεσις τὰ λεγόμενα. Ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ· Ὥσπερ ἐάν τις τὴν βασιλικὴν εἰκόνα ἔχων, μηδὲν πρὸς ἐκείνην γράφοι (οἱ δὲ μὴ πιστευθέντες αὐτὴν, καὶ χωρὶς τοῦ πρωτοτύπου μετ᾽ ἀκριβείας αὐτὴν μιμοῦνται). εἶτα εἰπὼν τὰ πλεονεκτήματα ἅπερ εἶχον παρὰ τοῦ Θεοῦ, λέγει αὐτῶν τὰ ἐλαττώματα, ἅπερ (οἱ προφῆται) κατηγόρουν, ταῦτα εἰς μέσον φέρων. Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; 22 Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; Καὶ γὰρ σφόδρα ἦν ἀπηγορευμένον τῶν ἐν τοῖς εἰδωλείοις ἅπτεσθαι χρημάτων διὰ τὸ βδέλυγμα· ἡ δὲ τῆς φιλοχρηματίας τυραννὶς, φησι, καὶ τοῦτον ὑμᾶς ἔπεισε καταπατῆσαι τὸν νόμον. εἶτα τὸ πολὺ βαρύτερον, ὕστερον ἐπάγει λέγων,

23 Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; Δύο τέθεικεν ἐγκλήματα, μᾶλλον δὲ τρία· ὅτι τε ἀτιμάζουσι, καὶ ὅτι δι᾽ ὧν ἐτιμήθησαν, καὶ ὅτι τὸν τιμήσαντα ἀτιμάζουσιν, ὅπερ ἦν ἐσχάτης ἀγνωμοσύνης ὑπερβολή. εἶτα ἵνα μὴ δόξῃ κατηγορεῖν οἴκοθεν, τὸν προφήτην ἐπήγαγεν αὐτῶν κατήγορον, νῦν μὲν ἐν βραχεῖ καὶ συντόμως καὶ ὡς ἐν κεφαλαίῳ, ὕστερον δὲ καὶ κατὰ μέρος, καὶ νῦν μὲν τὸν Ἡσαΐαν, μετὰ δὲ ταῦτα, τὸν Δαβίδ· ὅτε καὶ πλείονας ἐπεδείξατο τοὺς ἐλέγχους. ὅτι γὰρ, φησιν, οὐκ ἐγὼ λοιδορούμενος ὑμῖν ταῦτα λέγω, ἄκουσον τί φησιν Ἡσαΐας·

24 Ὅτι τὸ ὄνομα τοῦ Θεοῦ δι᾽ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Ἰδοὺ καὶ ἑτέρα διπλῆ κατηγορία πάλιν. οὐ γὰρ μόνον αὐτοί, φησιν, ὑβρίζουσιν, ἀλλὰ καὶ ἑτέρους εἰς τοῦτο Ησ. νβ. ε.

παρασκευάζουσι. τί τοίνυν τῆς διδασκαλίας ὄφελος, ὅταν ἑαυτοὺς μὴ διδάσκητε; ἀλλ' ἀνωτέρω μὲν τοῦτο εἶπε μόνον, ἐνταῦθα δὲ καὶ εἰς τὸ ἐναντίον περιέτρεψεν. οὐδὲ γὰρ μόνον ἑαυτοὺς, ἀλλ' οὐδὲ ἑτέρους διδάσκετε τὰ [illegible]. καὶ τὸ πολλῷ χαλεπώτερον, ὅτι οὐ μόνον οὐ διδάσκετε τὰ τοῦ νόμου, ἀλλὰ καὶ τὰ ἐναντία διδάσκετε, βλασφημεῖσθαι τὸν Θεόν, ὅπερ ἐναντίον ἐστὶ τῷ νόμῳ. ἀλλ' ἡ περιτομὴ μέγα, φησίν. ὁμολογῶ κἀγώ, ἀλλὰ τότε, ὅταν ἔχῃ τὴν ἔνδον περιτομήν. καὶ σκόπει σύνεσιν, πῶς εὐκαίρως τὸν περὶ αὐτῆς εἰσήγαγε λόγον. οὐ γὰρ εὐθέως ἀπ' αὐτῆς ἤρξατο, ἐπειδὴ πολλὴ ἦν αὐτῆς ἡ ὑπόληψις· ἀλλ' ἡνίκα ἔδειξεν αὐτοὺς ἀπὸ τοῦ μείζονος προσκεκρουκότας, καὶ τῆς εἰς τὸν Θεὸν βλασφημίας αἰτίους, τότε λοιπὸν λαβὼν τὸν ἀκροατὴν κατεγνωκότα αὐτῶν, καὶ γυμνώσας τῆς προεδρίας, εἰσάγει τὸν περὶ τῆς περιτομῆς λόγον, θαρρῶν ὅτι οὐδεὶς αὐτῇ ψηφιεῖται λοιπόν, καί φησι,

γρ. πότε; γρ. αὐτὴν

25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς. Καίτοιγε ἐνῆν ἄλλως αὐτὴν ἐκβαλεῖν, καὶ εἰπεῖν, τί γάρ ἐστιν ἡ περιτομή; μὴ γὰρ κατόρθωμά ἐστι τοῦ ἔχοντος; μὴ γὰρ προαιρέσεως ἀγαθῆς ἐπίδειξις; καὶ γὰρ ἐν ἀώρῳ γίνεται ἡλικίᾳ, καὶ οἱ ἐν τῇ ἐρήμῳ δὲ πάντες ἔμενον ἀπερίτμητοι χρόνον πολύν. καὶ ἑτέρωθεν πολλαχόθεν ἴδοι τις ἂν αὐτὴν οὐ σφόδρα ἀναγκαίαν οὖσαν· ἀλλ' ὅμως οὐκ ἐντεῦθεν αὐτὴν ἐκβάλλει, ἀλλ' ὅθεν μάλιστα ἐχρῆν, ἀπὸ τοῦ Ἀβραάμ. ἡ γὰρ ὑπερβολὴ τῆς νίκης αὕτη· δεῖξαι ἐντεῦθεν αὐτὴν οὖσαν εὐκαταφρόνητον, ὅθεν αἰδέσιμος ἦν. καίτοιγε ἠδύνατο λέγειν, ὅτι καὶ οἱ προφῆται ἀπεριτμήτους καλοῦσιν Ἰουδαίους· ἀλλ' οὔπω τοῦτο τῆς περιτομῆς ἐστιν ἐλάττωμα, ἀλλὰ τῶν κακῶς αὐτὴν μετιόντων. ὃ δὲ ζητούμενον, δεῖξαι ὅτι ἐν ἀρίστῳ βίῳ οὐδεμίαν ἰσχὺν ἔχει· τοῦτο δὴ κατασκευάζει λοιπόν. καὶ ἐνταῦθα μὲν οὐ παράγει τὸν πατριάρχην, ἀλλὰ πρότερον ἑτέρωθεν αὐτὴν προκαταβαλών, ὕστερον ἐκεῖνον τηρεῖ, ὅταν τὸν περὶ τῆς πίστεως εἰσάγῃ λόγον, οὕτω λέγων· Πῶς οὖν ἐλογίσθη ἡ πίστις τῷ Ἀβραάμ; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; ἕως μὲν γὰρ ἂν πρὸς τὸν ἐθνικὸν καὶ τὸν ἀκρόβυστον αὐτῇ ἀγωνίζεται, οὐδὲν βούλεται τούτων εἰπεῖν, ἵνα μὴ σφόδρα φορτικὸς ᾖ· ὅταν δὲ πρὸς τὴν πίστιν ἀπομάχηται, τότε μειζόνως πρὸς αὐτὴν ἀποδύεται. τέως μέντοι πρὸς τὴν ἀκροβυστίαν ἡ μάχη, διὸ καὶ ὑφειμένως προάγει τὸν λόγον, καί φησι,

Ρωμ. δ. 1.

Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν πράσσῃς τὸν νόμον· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε. Δύο γὰρ ἐνταῦθα ἀκροβυστίας καὶ δύο περιτομάς φησιν, ὥσπερ καὶ δύο νόμους. ἔστι γὰρ νόμος ὁ φυσικός, καὶ ἔστιν ὁ γραπτός· ἀλλὰ καὶ ὁ μέσος τούτων ὁ διὰ τῶν ἔργων. καὶ σκόπει πῶς τοὺς τρεῖς τούτους δείκνυσι, καὶ εἰς μέσον ἄγει.

14 Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φησί. Ποῖον δὴ νόμον, εἰπέ μοι; τὸν γραπτόν. Φύσει τὰ τοῦ νόμου ποιῇ. Ποίου; τοῦ διὰ τῶν ἔργων. Οὗτοι νόμον μὴ ἔχοντες. Ποῖον; τὸν γραπτόν. Ἑαυτοῖς εἰσὶ νόμος. Πῶς; τῷ φυσικῷ κεχρημένοι.

15 Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου. Ποίου; τοῦ διὰ τῶν πράξεων. ἐκεῖνος γὰρ ἔξω κεῖται ὁ διὰ τῶν γραμμάτων, οὗτος δὲ ἔνδον ὁ διὰ τῆς φύσεως, ὁ δὲ, ἐν ταῖς πράξεσι. καὶ τὸν μὲν τὰ γράμματα ἀναγορεύει, τὸν δὲ ἡ φύσις, τὸν δὲ ἡ πρᾶξις. τούτου δὴ τοῦ τρίτου χρεία· δι' ὃν καὶ ἐκεῖνοι οἱ δύο, ὅ τε ἀπὸ φύσεως, ὅ τε τῶν γραμμάτων. κἂν οὗτος μὴ παρῇ, οὐδὲν ὄφελος ἐκείνων, ἀλλὰ καὶ βλάβος μέγιστον. καὶ τοῦτο δείκνυσιν ἐπὶ τοῦ φυσικοῦ μέν, λέγων· Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· ἐπὶ δὲ τοῦ γραπτοῦ, Ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; οὕτω καὶ ἀκροβυστίαι δύο, μία μὲν ἡ φυσική, δευτέρα δὲ ἡ ἀπὸ πράξεως. καὶ περιτομὴ μία μὲν ἡ ἐν τῇ σαρκί, δευτέρα δὲ ἡ ἀπὸ προαιρέσεως. οἷόν τι λέγω· περιετμήθη τις ὀκταήμερος· αὕτη σαρκικὴ περιτομή. ἔπραξέ τις τὰ νόμιμα ἅπαντα· αὕτη διανοίας περιτομή, ἣν μάλιστα ὁ Παῦλος ζητεῖ, μᾶλλον δὲ καὶ ὁ νόμος. ὅρα τοίνυν πῶς συγχωρήσας αὐτὴν τῷ λόγῳ, καθεῖλε τῷ πράγματι. οὐ γὰρ εἶπε,

γρ. αἱ [illegible] γρ. καὶ [illegible] οἱ [illegible] γρ. ἴσως

περιττὸν ἡ περιτομὴ, ἀνόνητον, ἄχρηστον· ἀλλὰ τί; Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς. Κατεδέξατο αὐτὴν πῶς λέγων, ὁμολογῶ καὶ οὐκ ἀντιλέγω, ὅτι καλὴ ἡ περιτομή· ἀλλὰ πότε; ὅταν καὶ τὴν τοῦ νόμου φυλακὴν ἔχῃ.

Ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν. Οὐκ εἶπεν, οὐκέτι ὠφελεῖ, ἵνα μὴ δόξῃ αὐτὴν ὑβρίζειν· ἀλλὰ γυμνώσας αὐτῆς τὸν Ἰουδαῖον, τότε αὐτὸν βάλλει λοιπόν. ὅταν οὐκέτι τῆς περιτομῆς ᾖ ὕβρις, ἀλλὰ τοῦ διὰ τῆς ῥαθυμίας αὐτὴν ἀπολέσαντος. ὥσπερ οὖν τοὺς ἐν ἀξιώμασιν ὄντας, εἶτα ἁλισκομένους ἐπὶ μεγίστοις ἐγκλήμασιν, οἱ δικάζοντες ἀφῃρόμενοι τὴν τοῦ ἀξιώματος τιμὴν, τότε κολάζουσιν· οὕτω καὶ Παῦλος ἐποίησεν. Εἰπὼν γὰρ, ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἐπήγαγεν, ἡ περιτομή σου ἀκροβυστία γέγονε, καὶ δείξας ἀπερίτμητον, καταδικάζει λοιπὸν ἀδεῶς.

26 Ὅταν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάττῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν περιτραπήσεται; Ὅρα τί ποιεῖ. οὐ λέγει ὅτι ἡ ἀκροβυστία τὴν περιτομὴν νικᾷ (τοῦτο γὰρ σφόδρα ἦν ἐπαχθὲς τοῖς τότε ἀκούουσιν) ἀλλ' ὅτι ἡ ἀκροβυστία περιτομὴ γέγονε. καὶ ζητεῖ λοιπὸν τί ἐστι περιτομὴ, καὶ τί ἀκροβυστία· καὶ λέγει, ὅτι περιτομὴ πρᾶξίς ἐστιν ἀγαθὴ, καὶ ἡ ἀκροβυστία πρᾶξις πονηρά. καὶ πρότερον μεταστήσας εἰς τὴν περιτομὴν τὸν ἀκρόβυστον τὸν πράξεις ἔχοντα χρηστὰς, καὶ τὸν ἐμπερίτομον τὸν ἐν διεφθαρμένῳ βίῳ εἰς τὴν ἀκροβυστίαν ἐξωθήσας, οὕτω τὴν νίκην δίδωσι τῷ ἀκροβύστῳ. καὶ οὐ λέγει τῷ ἀκροβύστῳ, ἀλλ' ἐπὶ τὸ πρᾶγμα μέτεισιν οὕτω λέγων, οὐχὶ ἡ ἀκροβυστία σου εἰς περιτομὴν μετατραπήσεται; καὶ οὐκ εἶπε λογισθήσεται, ἀλλὰ τραπήσεται, ὅπερ ἐμφατικώτερον ἦν· ὥσπερ καὶ ἀνωτέρω οὐκ εἶπεν, ἡ περιτομή σου ἀκροβυστία λογίζεται, ἀλλὰ, γέγονε.

γρ. λογισθήσεται

γρ. αὐτῆς

27 Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία. Ὁρᾷς ὅτι δύο οἶδεν ἀκροβυστίας, τὴν μὲν ἐκ φύσεως, τὴν δὲ ἐκ προαιρέσεως; ἐνταῦθα μέντοι τὴν ἐκ φύσεως λέγει, ἀλλ' οὐχ ἵσταται μέχρι τούτου, ἀλλ' ἐπάγει, Τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου; Ὅρα τὴν λεπτοτάτην αὐτοῦ σύνεσιν. οὐκ εἶπεν, ὅτι ἡ ἐκ φύσεως ἀκροβυστία τὴν περιτομὴν κρινεῖ, ἀλλὰ, ἔνθα μὲν ἡ νίκη ἦν, τὴν ἀκροβυστίαν εἰσάγει, ἔνθα δὲ ἡ ἧττα ἦν, οὐκέτι τὴν περιτομὴν δείκνυσιν ἡττωμένην, ἀλλὰ τὸν αὐτὴν ἔχοντα Ἰουδαῖον, φειδόμενος διὰ τῶν ῥημάτων πλῆξαι τὸν ἀκροατήν. καὶ οὐκ εἶπε, σὲ τὸν νόμον ἔχοντα καὶ περιτομὴν, ἀλλ' ἔτι ἡμερώτερον, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου· τουτέστι, καὶ ἀμυνεῖ τῇ περιτομῇ ἡ τοιαύτη ἀκροβυστία, ἠδίκηται γάρ· καὶ βοηθεῖ τῷ νόμῳ, ἐπηρέασαι γάρ. καὶ περιφανὲς ἵστησι τρόπαιον. ἡ γὰρ νίκη τότε ἐστὶ λαμπρὰ, ὅταν μὴ παρὰ Ἰουδαίου Ἰουδαῖος, ἀλλὰ παρὰ ἀκροβύστου κρίνηται· ὥσπερ ὅταν λέγῃ, Ἄνδρες Νινευῖται ἐγερθήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. Οὐκοῦν οὐ τὸν νόμον ἀτιμάζει (σφόδρα γὰρ αὐτὸν αἰδεῖται) ἀλλὰ τὸν εἰς τὸν νόμον ὑβρίζοντα. εἶτα ὅτε κατεσκεύασε ταῦτα σαφῶς, θαρρῶν λοιπὸν ὁρίζεται τί ποτέ ἐστιν ὁ Ἰουδαῖος· καὶ δείκνυσιν, ὅτι οὐχὶ τὸν Ἰουδαῖον, οὐδὲ τὴν περιτομὴν, ἀλλὰ τὸν οὐκ Ἰουδαῖον, καὶ τὸν ἀπερίτμητον ἐκβάλλει. καὶ δοκεῖ μὲν ἀμύνειν αὐτῇ, καταλύει δὲ αὐτῆς τὴν ὑπόληψιν, ἀπὸ τοῦ συμβαίνοντος ἔχων τὰς ψήφους. δείκνυσι γὰρ οὐ μόνον οὐδὲν μέσον Ἰουδαίου καὶ ἀκροβύστου, ἀλλὰ καὶ ἀνώτερον ὄντα τὸν ἀκρόβυστον, ἐὰν αὐτῷ προσέχῃ, καὶ τοῦτον ὄντα ἀκριβῶς τὸν Ἰουδαῖον. διό φησιν, Matth. 12. μα.

28 Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ, Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ, περιτομή.

Ἐνταῦθα αὖθις πλήττει, ὡς πρὸς ἐπίδειξιν ἅπαντα πράττοντας. 29 Ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, Ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι. Τοῦτο δὲ εἰπὼν, ἐξέβαλε τὰ σωματικὰ ἅπαντα. καὶ γὰρ ἡ περιτομὴ ἐν τῷ φανερῷ, καὶ τὰ σάββατα, καὶ

ζήτ. γ.

αἱ θυσίαι, καὶ οἱ καθαρισμοί. ἅπερ ἅπαντα δι' ἑνὸς ᾐνίξατο ῥήματος εἰπών, οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν. ἀλλ' ἐπειδὴ περὶ τῆς περιτομῆς πολὺς ἦν ὁ λόγος, ὅπουγε καὶ τὸ σάββατον αὐτῇ παρεχώρει, εἰκότως τὰ πλείονα πρὸς αὐτὴν ἀποτείνεται. εἰπὼν δὲ, ἐν πνεύματι, προοδοποιεῖ λοιπὸν τῇ τῆς ἐκκλησίας πολιτείᾳ, καὶ τὴν πίστιν εἰσάγει. καὶ γὰρ αὕτη ἐν καρδίᾳ καὶ πνεύματι τὸν ἔπαινον ἀπὸ τοῦ Θεοῦ ἔχει. καὶ διὰ τί μὴ ἔδειξεν, ὅτι ὁ κατορθῶν Ἕλλην Ἰουδαίου κατορθοῦντος οὐκ ἔστιν ἐλάττων· ἀλλ' ὅτι κατορθῶν Ἕλλην Ἰουδαίου παραβαίνοντος κρείττων ἐστίν; ἵν' ἀναμφίβολον ποιήσῃ τὴν νίκην. τούτου γὰρ ὁμολογηθέντος, ἐξ ἀνάγκης ἡ περιτομὴ τῆς σαρκὸς ἐκβάλλεται, καὶ δείκνυται ὅτι πανταχοῦ βίου χρεία. ὅταν γὰρ ὁ μὲν Ἕλλην χωρὶς τούτων σώζηται, ὁ δὲ Ἰουδαῖος μετὰ τούτων κολάζηται, ἔστηκεν ἀργὸν ὁ Ἰουδαϊσμός. Ἕλληνα δὲ πάλιν οὐ τὸν εἰδωλολάτρην, ἀλλὰ τὸν θεοσεβῆ, καὶ ἐνάρετον, καὶ τῆς νομικῆς παρατηρήσεως ἀπηλλαγμένον φησί.

γρ. τὴν
γρ. -πίστιν
γρ. ἀεὶ

ζήτ. γ.

1 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; Ἐπειδὴ πάντα ἐξέβαλε, τὴν ἀκρόασιν, τὴν διδασκαλίαν, τὸ ὄνομα τοῦ Ἰουδαίου, τὴν περιτομὴν, τὰ ἄλλα πάντα, διὰ τοῦ λέγειν, ὅτι ὁ ἐν τῷ φανερῷ, Ἰουδαῖος οὐκ ἔστιν, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, ὁρᾷ λοιπὸν ἀντίθεσιν ἀνακύψασαν, καὶ πρὸς αὐτὴν ἵσταται. τίς δέ ἐστιν ἡ ἀντίθεσις; εἰ μηδέν, φησιν, ὠφελεῖ ταῦτα, τίνος ἕνεκεν καὶ ἐκλήθη τὸ ἔθνος, καὶ περιτομὴ ἐδόθη; τί οὖν ποιεῖ, καὶ πῶς αὐτὴν λύει; δι' ὧν ἔλυσε καὶ τὰ ἀνωτέρω. ὥσπερ γὰρ ἐκεῖ οὐ τὰ ἐγκώμια αὐτῶν εἶπεν, ἀλλὰ τοῦ Θεοῦ τὰς εὐεργεσίας, οὐ τὰ αὐτῶν κατορθώματα (τὸ γὰρ Ἰουδαῖον ὀνομάζεσθαι, καὶ γινώσκειν τὸ θέλημα, καὶ δοκιμάζειν τὰ διαφέροντα, οὐκ αὐτῶν ἦν κατόρθωμα, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος· ὅπερ καὶ ὀνειδίζων αὐτοῖς ὁ προφήτης ἔλεγεν, Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς· καὶ ὁ Μωϋσῆς πάλιν, Ἐρωτήσατε εἰ γέγονε κατὰ τὸ ῥῆμα τοῦτο, φησιν, εἰ ἤκουσεν ἔθνος φωνὴν Θεοῦ ζῶντος ἐκ μέσου πυρός, καὶ ἔζησε) τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ. ὥσπερ γὰρ ὅτε ἔλεγε περὶ τῆς περιτομῆς, οὐκ εἶπεν, ὅτι ἡ δὲ περιτομὴ οὐδὲν ὠφελεῖ χωρὶς βίου, ἀλλὰ, περιτομὴ ὠφελεῖ μετὰ βίου, τὸ αὐτὸ μὲν δηλῶν, ἡμερώτερον δέ· καὶ πάλιν, ἐὰν δὲ παραβάτης νόμου ᾖς, οὐκ εἶπεν οὐδὲν ὠφελῇ σὺ ὁ ἐμπερίτομος, ἀλλ' ἡ περιτομή σου ἀκροβυστία γέγονε, καὶ μετ' ἐκεῖνο δὲ πάλιν, κρινεῖ, φησιν, ἡ ἀκροβυστία οὐχὶ τὴν περιτομὴν, ἀλλά σε τὸν παραβάτην νόμου, τῶν μὲν νομίμων φειδόμενος, τοὺς δὲ ἀνθρώπους βάλλων· οὕτω καὶ ἐνταῦθα ποιεῖ. ἀντιθεὶς γὰρ ἑαυτῷ τοῦτο, καὶ εἰπών, τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; οὐκ εἶπεν ὅτι οὐδὲν, ἀλλὰ συνέδραμε τῷ λόγῳ, καὶ διὰ τῶν ἑξῆς πάλιν αὐτοὺς ἀνεῖλε, καὶ ἔδειξε καὶ κολαζομένους ἀπὸ ταύτης τῆς προεδρίας. καὶ πῶς, ἐγὼ λέγω, τὴν ἀντίθεσιν εἰς μέσον ἀγαγών. Τί γὰρ τὸ περισσὸν τοῦ Ἰουδαίου, φησίν, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς;

Ψαλμ. ρμζ. θ.
Δευτ. ε. κς.

γρ. αὐτῷ
γρ. ἢ

2 Πολὺ κατὰ πάντα τρόπον. πρῶτον, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. Εἶδες, ὅπερ ἔφθην εἰπών, οὐδαμοῦ τὰ κατορθώματα αὐτῶν, ἀλλὰ τοῦ Θεοῦ τὰς εὐεργεσίας ἀπαριθμούμενον; τί δέ ἐστιν ἐπιστεύθησαν; ὅτι αὐτοῖς ἐνεχειρίσθησαν τὸν νόμον, ὅτι τοσούτου ἀξίους ἐνόμιζεν, ὡς πιστεῦσαι χρησμοὺς αὐτοῖς ἄνωθεν κατενεχθέντας. καὶ οἶδα μὲν ὅτι τινὲς τὸ ἐπιστεύθησαν οὐκ ἐπὶ τῶν Ἰουδαίων λέγουσιν, ἀλλ' ἐπὶ τῶν λογίων, τουτέστιν, ὅτι ἐπιστεύθη ὁ νόμος. ἀλλὰ τὸ ἑξῆς οὐκ ἀφίησι τοῦτο νομίζεσθαι. πρῶτον μὲν γὰρ, κατηγορῶν αὐτῶν ταῦτα λέγει, καὶ δεικνὺς πολλῆς μὲν ἄνωθεν ἀπολαύσαντας εὐεργεσίας, πολλὴν δὲ ἐπιδειξαμένους ἀγνωμοσύνην. ἔπειτα δὲ καὶ τὰ ἑξῆς τοῦτο δηλοῖ. ἐπήγαγε γὰρ,

γρ. λογίων

3 Τί γὰρ εἰ ἠπίστησάν τινες; Εἰ δὲ ἠπίστησαν, πῶς τινές φασιν, ὅτι ἐπιστεύθησαν τὰ λόγια; τί οὖν φησιν; ὅτι ὁ Θεὸς αὐτοῖς ταῦτα ἐπίστευσεν, οὐχ ὅτι αὐτοὶ τοῖς λόγοις ἐπίστευον. ἐπεὶ πῶς ἔχει λέγειν τὸ ἑξῆς; καὶ γὰρ ἐπήγαγε, τί γὰρ εἰ ἠπίστησάν τινες; καὶ τὸ μετὰ τοῦτο δὲ τοῦτο δηλοῖ. προσέθηκε γὰρ πάλιν λέγων, Μὴ γὰρ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει;

γρ. λογίοις

4 Μὴ γένοιτο. Τοῦτο τοίνυν ὃ ἐπιστεύθησαν, τοῦ Θεοῦ τὴν δωρεὰν ἀνακηρύττει·

σὺ δέ μοι σκόπει καὶ ἐνταῦθα σύνεσιν. τὴν γὰρ κατηγορίαν αὐτῶν οὐ παρ' ἑαυτοῦ πάλιν εἰσάγει, ἀλλ' ὡς ἐξ ἀντιθέσεως ὡσανεὶ ἔλεγεν, ἀλλ' ἴσως ἐρεῖς, καὶ τί τὸ ὄφελος τῆς περιτομῆς ταύτης; οὐ γὰρ ἐχρήσαντο αὐτῇ εἰς δέον. ἐπιστεύθησαν γὰρ τὸν νόμον, καὶ ἠπίστησαν. καὶ πῶς οὐ σφοδρός ἐστι κατήγορος, ἀλλ' ὡς τὸν Θεὸν ἀπαλλάττων ἐγκλημάτων, οὕτω περιτρέπει εἰς αὐτοὺς τὴν κατηγορίαν ἅπασαν. τί γὰρ ἐγκαλεῖς, φησὶν, ὅτι ἠπίστησαν; καὶ τί τοῦτο πρὸς τὸν Θεόν; μὴ γὰρ τὴν εὐεργεσίαν αὐτοῦ ἀνατρέπει τῶν εὐεργετηθέντων ἡ ἀγνωμοσύνη; ἢ τὴν τιμὴν ποιεῖ μὴ εἶναι τιμήν; τοῦτο γάρ ἐστι τὸ, μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; μὴ γένοιτο. ὡς ἂν εἰ ἔλεγέ τις, ἐγὼ τὸν δεῖνα ἐτίμησα. εἰ δὲ μὴ προσήκατο τὴν τιμὴν ἐκεῖνος, τοῦτο ἐμοὶ κατηγορίαν οὐ φέρει, οὐδὲ λυμαίνεταί μου τὴν φιλανθρωπίαν, ἀλλ' ἐκείνου δείκνυσι τὴν ἀναισθησίαν. ὁ δὲ Παῦλος οὐ τοῦτο μόνον λέγει, ἀλλὰ καὶ τὸ πολλῷ πλέον. ὅτι οὐ μόνον οὐ περιτρίβεται ἔγκλημα τῷ Θεῷ ἡ ἀπιστία ἐκείνων, ἀλλὰ καὶ μείζονα δείκνυσιν αὐτοῦ τὴν τιμὴν καὶ τὴν φιλανθρωπίαν, ὅταν καὶ τὸν μέλλοντα αὐτὸν ἀτιμάζειν φαίνηται τιμῶν. εἶδες πῶς αὐτοὺς ἐποίησεν ὑπευθύνους ἐγκλημάτων, ἀφ' ὧν ἐκαλλωπίζοντο; εἴπερ ὁ μὲν Θεὸς τοσαύτῃ περὶ αὐτοὺς ἐχρήσατο τῇ τιμῇ, ὡς μηδὲ τὸ μέλλον προορῶν ἀποσχέσθαι τῆς περὶ αὐτοὺς εὐνοίας· αὐτοὶ δὲ τὸν τιμήσαντα, δι' ὧν ἐτιμήθησαν, ὕβριζον. εἶτα ἐπειδὴ εἶπε, τί γὰρ εἰ ἠπίστησάν τινες; φαίνονται δὲ πάντες ἠπιστηκότες, ἵνα μὴ πάλιν κατὰ τὴν ἱστορίαν λέγων, δόξῃ σφοδρὸς αὐτῶν εἶναι κατήγορος ὡς ἐχθρὸς, ἐν τάξει λογισμοῦ καὶ συλλογισμοῦ τίθησι τὸ ἐπὶ τῆς ἀληθείας γεγενημένον, οὕτω λέγων, Γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ λέγω, φησὶν, ὅτι τινὲς ἠπίστησαν, ἀλλ', εἰ βούλει, τίθει πάντας ἠπιστηκέναι· τὸ ἀληθὲς γεγενημένον κατὰ συνδρομὴν συγχωρῶν, ἵνα ἀνεπαχθὴς εἶναι δόξῃ, καὶ ἀνύποπτος. καὶ γὰρ οὕτω μᾶλλον δικαιοῦται, φησὶν, ὁ Θεός. τί ἐστι δικαιοῦται; εἰ κρίσις γένοιτο, καὶ ἐξέτασις τῶν ὑπηργμένων τοῖς Ἰουδαίοις παρ' αὐτοῦ, καὶ τῶν παρ' αὐτῶν εἰς αὐτὸν γεγενημένων, τὰ νικητήρια ἔσται παρὰ τῷ Θεῷ, καὶ τὰ δικαιώματα αὐτοῦ πάντα. καὶ δείξας τοῦτο σαφῶς ἐκ τῶν ἔμπροσθεν εἰρημένων, τότε καὶ τὸν προφήτην εἰσάγει τούτοις ψηφιζόμενον, καὶ λέγοντα, Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ψαλμ. ν. γ. αὐτὸς μὲν γὰρ τὰ παρ' ἑαυτοῦ πάντα ἐποίησεν, ἐκεῖνοι δὲ οὐδὲ οὕτως ἐγένοντο βελτίους. εἶτα ἐκ τούτου πάλιν ἀντίθεσιν ἑτέραν ἀνακύπτουσαν εἰς μέσον ἄγει, καί φησιν,

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν (κατὰ ἄνθρωπον λέγω)

6 Μὴ γένοιτο. Ἄτοπον ἀτόπῳ λύει λοιπόν. ἐπειδὴ δὲ τοῦτο ἀσαφὲς, ἀναγκαῖον αὐτὸ σαφέστερον εἰπεῖν. τοῦτο δέ ἐστιν ὅ φησιν· ἐτίμησε τοὺς Ἰουδαίους ὁ Θεὸς, ὕβρισαν αὐτὸν ἐκεῖνοι. τοῦτο αὐτὸν ποιεῖ νικῆσαι, καὶ πολλὴν αὐτοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ὅτι καὶ τοιούτους ὄντας ἐτίμησεν. οὐκοῦν ἐπειδὴ ὅτι ὑβρίσαμεν, φησὶν, ἡμεῖς, καὶ ἠδικήσαμεν, διὰ τοῦτο ὁ Θεὸς ἐνίκησε, καὶ ἡ δικαιοσύνη αὐτοῦ λαμπρὰ ἐφάνη, τίνος * ἕνεκεν κολάζομαι, φησὶν, αἴτιος αὐτῷ τοῦ νικῆσαι γενόμενος δι' ὧν ὕβρισα; πῶς οὖν αὐτὸ λύει; ἑτέρῳ, ὅπερ ἔφην, ἀτόπῳ πάλιν. εἰ γὰρ αἴτιος, φησὶ, σὺ τῆς νίκης ἐγένου, καὶ μετὰ ταῦτα κολάζῃ, ἀδικία τὸ γινόμενον. εἰ δὲ οὐκ ἄδικος, κολάζῃ δὲ, οὐκέτι αἴτιος αὐτῷ τῆς νίκης γέγονας. καὶ ὅρα τὴν εὐλάβειαν τὴν ἀποστολικήν. εἰπὼν γὰρ, μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; ἐπήγαγε, κατὰ ἄνθρωπον λέγω· ὡς ἄν τις, φησὶ, κατὰ ἀνθρώπινον διαλεχθείη λογισμόν. πολὺ γὰρ καὶ τὰ παρ' ἡμῖν δοκοῦντα εἶναι δίκαια ὑπερβαίνει τοῦ Θεοῦ ἡ δικαιοκρισία, καὶ ἔχει τινὰς καὶ ἑτέρους ἀπορρήτους λόγους. εἶτα ἐπειδὴ ἀσαφὲς ἦν, καὶ ἐκ δευτέρου τὸ αὐτὸ λέγει πάλιν.

7 Εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύδει ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι; Εἰ γὰρ ὁ Θεὸς, φησὶ, φιλάνθρωπος καὶ δίκαιος ἐφάνη, καὶ ἀγαθὸς, ἐξ ὧν σὺ παρήκουσας, οὐ μόνον οὐκ ὀφείλεις κολάζεσθαι, ἀλλὰ καὶ εὐ-

ἐργάζεσθαι. Εἰ δὲ τοῦτο, εὑρεθήσεται τὸ ἄτοπον ἐκεῖνο, καὶ παρὰ πολλῶν περιφερόμενον, τὸ ἐκ τῶν κακῶν εἶναι τὰ καλά, καὶ αἴτια τῶν καλῶν τὰ κακά. καὶ ἀνάγκη δὲ δυοῖν θάτερον, ἢ κολάζοντα ἄδικον φαίνεσθαι, ἢ μὴ κολάζοντα, ἀπὸ τῶν ἡμετέρων κακῶν ἔχειν τὰ νικητήρια. ἅπερ ἀμφότερα μετ' ὑπερβολῆς ἄτοπα. ὅπερ δεικνὺς καὶ αὐτός, τοὺς πατέρας τῶν τοιούτων ἐπεισήγαγε δογμάτων Ἕλληνας, ἀρκεῖν ἡγούμενος εἰς κατηγορίαν τῶν εἰρημένων, τὴν ποιότητα τῶν προσώπων τῶν ταῦτα λεγόντων. τότε γὰρ ἡμᾶς κωμῳδοῦντες ἔλεγον, ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθοι τὰ ἀγαθά. διὸ καὶ τέθεικεν αὐτὸ σαφῶς οὕτω λέγων,

8 Εἰ μὴ καθὼς βλασφημούμεθα, καὶ καθώς φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθοι τὰ ἀγαθά· ὧν τὸ κρίμα ἔνδικόν ἐστιν.

Ρωμ. ε. κ. — Ρωμ. ς. α. — χ. εἰρήκαμεν

Ἐπειδὴ γὰρ ἔλεγεν ὁ Παῦλος, Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, κωμῳδοῦντες αὐτόν, καὶ ἑτέρᾳ γνώμῃ διαστρέφοντες τὸ εἰρημένον, ἔλεγον ὅτι δεῖ κακίας ἔχεσθαι ἵνα ἀπολαύσωμεν ἀγαθῶν. ὁ δὲ Παῦλος οὐχ οὕτως ἔλεγε. διορθούμενος γοῦν αὐτό, φησι, Τί οὖν; ἐπιμένωμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο. ὑπὲρ γὰρ τῶν παρελθόντων εἴρηκα χρόνων, οὐχ ἵνα μηκέτι τοῦτο ποιῶμεν. ταύτης γοῦν ἀπάγων τῆς ὑπονοίας, ἔφησεν αὐτὸ καὶ ἀδύνατον εἶναι λοιπόν. οἵτινες γάρ, φησιν, ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; τῶν μὲν οὖν Ἑλλήνων εὐκόλως κατέδραμεν· ὁ γὰρ βίος αὐτῶν σφόδρα διέφθαρτο. τῶν δὲ Ἰουδαίων εἰ καὶ ὁ βίος ἐδόκει περιημελῆσθαι, ἀλλ' ἦν προκαλύμματα τούτων μεγάλα, νόμος καὶ περιτομή, καὶ τὸ τὸν Θεὸν αὐτοῖς ὡμιληκέναι, καὶ τὸ πάντων εἶναι διδασκάλους. διὰ τοῦτο καὶ τούτων αὐτοὺς ἐγύμνωσε, καὶ μᾶλλον ἔδειξεν ἐκ τούτων κολαζομένους, εἰς ὃ καὶ ἐνταῦθα τὸν λόγον συνέκλεισεν. Εἰ γὰρ μὴ κολάζονται, φησι, τοιαῦτα ποιοῦντες, ἀνάγκη τὸν βλάσφημον ἐκεῖνον περιφέρεσθαι λόγον, τό, ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά. Εἰ δὲ τοῦτο ἀσεβές, καὶ οἱ λέγοντες αὐτὸ δίκην δώσουσι (τοῦτο γὰρ ἐδήλωσεν εἰπών, ὧν τὸ κρίμα ἔνδικόν ἐστιν) εὔδηλον ὅτι κολάζονται. Εἰ γὰρ οἱ λέγοντες, τιμωρίας ἄξιοι, πολλῷ μᾶλλον οἱ πράσσοντες. Εἰ δὲ ἄξιοι τιμωρίας, ὡς ἡμαρτηκότες ἄξιοι. οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ κολάζων, ἵνα καί τις ὑποπτεύσῃ τὴν ψῆφον, ἀλλ' ὁ Θεὸς ὁ δικαίως πάντα ποιῶν. Εἰ δὲ δικαίως τιμωροῦνται, ἀδίκως ἐκεῖνα ἔλεγον ἅπερ ἔλεγον οἱ κωμῳδοῦντες ἡμᾶς. πάντα γὰρ ὁ Θεὸς ἔπραξε καὶ πράττει, ὥστε τὴν πολιτείαν ἡμῶν διαλάμπειν καὶ ὀρθοῦσθαι πάντοθεν.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ῥᾳθυμῶμεν. οὕτω γὰρ καὶ τοὺς Ἕλληνας ἀποστῆσαι δυνησόμεθα τῆς πλάνης. ὅταν γὰρ ἐν μὲν ῥήμασι φιλοσοφῶμεν, ἐν δὲ ἔργοις ἀσχημονῶμεν, ποίοις ὀφθαλμοῖς αὐτοὺς ὀψόμεθα; ποίοις στόμασι διαλεξόμεθα περὶ δογμάτων; ἐρεῖ γὰρ πρὸς ἕκαστον ἡμῶν ὁ τὸ ἔλαττον μὴ κατωρθωκώς, πῶς ἀξιοῖς περὶ τοῦ μείζονος * διδάσκειν, ὁ μηδέπω μαθὼν ὅτι πλεονεξία κακόν; πῶς περὶ τῶν ἐν τοῖς οὐρανοῖς " πραγμάτων φιλοσοφεῖς; ἀλλ' οἶδας ὅτι κακόν; οὐκοῦν μεῖζον τὸ ἔγκλημα, ὅτι καὶ εἰδὼς πλημμελεῖς. καὶ τί λέγω τὸν Ἕλληνα; οὐδὲ γὰρ οἱ παρ' ἡμῖν νόμοι συγχωροῦσιν ἡμῖν ταύτης ἀπολαύειν τῆς παρρησίας, ὅταν ὁ βίος ἡμῶν διεφθαρμένος ᾖ. Τῷ γὰρ ἁμαρτωλῷ, φησιν, εἶπεν ὁ Θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; ἀπῃτήθησάν ποτε αἰχμάλωτοι Ἰουδαῖοι, καὶ τῶν Περσῶν ἐπικειμένων καὶ ἀξιούντων ᾄδειν αὐτοῖς ἐκείνας τὰς θείας ᾠδάς, ἔλεγον· Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Εἰ δὲ ἐν βαρβάρῳ γῇ τὰ λόγια τοῦ Θεοῦ θέμις οὐκ ἦν ᾄδειν, πολλῷ μᾶλλον τὴν βάρβαρον ψυχήν. βάρβαρος γάρ ἐστιν ἡ ἀνηλεὴς ψυχή. Εἰ γὰρ τοὺς αἰχμαλώτους ὄντας, καὶ δούλους ἀνθρώπων ἐν ἀλλοτρίᾳ γῇ γενομένους ὁ νόμος ἐκάθισεν ἐν σιγῇ, πολλῷ μᾶλλον τοὺς δούλους ὄντας τῆς ἁμαρτίας καὶ ἐν ἀλλοτρίᾳ πολιτείᾳ γενομένους ἐπιστομίζεσθαι δίκαιον. καίτοι καὶ τὰ ὄργανα εἶχον τότε ἐκεῖνοι. ἐν γὰρ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, φησιν, ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. ἀλλ' οὐδὲ οὕτως ᾖδον. οὐκοῦν οὐδὲ ἡμῖν,

* μ — χ. δογμάτ — Ψαλμ. μθ. ιϛ. — Ψαλμ. ρλς. δ.

καὶ στόμα ἔχωμεν καὶ γλῶτταν, ἅπερ ἐστὶν ὄργανα τοῦ λόγου, θέμις παρρησιάζεσθαι, ἕως ἂν τῇ πάντων βαρβάρων τυραννικωτέρᾳ δουλεύωμεν ἁμαρτίᾳ. εἰπὲ γάρ μοι, τί πρὸς τὸν ἕλληνα ἐρεῖς ἁρπάζων καὶ πλεονεκτῶν; ἀπόστηθι τῆς εἰδωλολατρείας; ἐπίγνωθι τὸν Θεόν, μηδὲ ἀργύρῳ καὶ χρυσῷ πρόσιθι; ἆρ' οὖν οὐ γελάσεται καὶ ἐρεῖ, σαυτῷ ταῦτα διαλέγου πρότερον; οὐ γάρ ἐστιν ἴσον ἕλληνα ὄντα εἰδωλολατρεῖν, καὶ χριστιανὸν ὄντα τὸ αὐτὸ τοῦτο πλημμελεῖν. πῶς γὰρ δυνησόμεθα ἑτέρους ἀπαγαγεῖν τῆς εἰδωλολατρείας ἐκείνης, ἑαυτοὺς ταύτης οὐκ ἀπάγοντες; τοῦ γὰρ πλησίον ἡμεῖς ἐγγύτεροι ἑαυτοῖς. ὅταν οὖν ἑαυτοὺς μὴ πείθωμεν, πῶς ἑτέρους πείσομεν; εἰ γὰρ ὁ τῆς οἰκίας τῆς ἑαυτοῦ μὴ προεστὼς καλῶς, οὐδὲ ἐκκλησίας ἐπιμελήσεται· πῶς ὁ μηδὲ τῆς ἑαυτοῦ ψυχῆς προεστώς, ἑτέρους διορθῶσαι δυνήσεται; μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὐ προσκυνεῖς εἴδωλον χρυσοῦν· ἀλλ' ἐκεῖνό μοι δεῖξον, ὅτι μὴ ποιεῖς ταῦτα ἅπερ ὁ χρυσὸς κελεύει. καὶ γὰρ διάφοροι εἰδωλολατρείας τρόποι, καὶ ὁ μὲν τὸν μαμμωνᾶν ἡγεῖται Κύριον, ὁ δὲ τὴν κοιλίαν Θεόν, ὁ δὲ ἑτέραν ἐπιθυμίαν χαλεπωτάτην. ἀλλ' οὐ καταθύεις αὐτοῖς βόας, καθάπερ οἱ ἕλληνες· ἀλλὰ καὶ πολλῷ χαλεπώτερον τὴν σαυτοῦ κατασφάζεις ψυχήν. ἀλλ' οὐ κάμπτεις τὰ γόνατα καὶ προσκυνεῖς. ἀλλὰ μετὰ πλείονος ὑπακοῆς ποιεῖς πάντα ἅπερ ἂν ἐπιτάξωσι καὶ ἡ γαστήρ, καὶ τὸ χρυσίον, καὶ ἡ τῆς ἐπιθυμίας τυραννίς. ἐπεὶ καὶ οἱ ἕλληνες διὰ τοῦτό εἰσι βδελυκτοί, ὅτι τὰ πάθη* ἐθεοποίουν, τὴν μὲν ἐπιθυμίαν Ἀφροδίτην, τὸν δὲ θυμὸν Ἄρην, τὴν δὲ μέθην Διόνυσον προσειπόντες. εἰ δὲ οὐ γλύφεις εἴδωλα σύ, καθάπερ ἐκεῖνοι, ἀλλὰ μετὰ πολλῆς τῆς προθυμίας τοῖς αὐτοῖς ὑποκύπτεις πάθεσι, τὰ μέλη τοῦ Χριστοῦ μέλη πόρνης ποιῶν, καὶ ταῖς ἄλλαις σαυτὸν πλύνων παρανομίαις. διὸ παρακαλῶ τῆς ἀτοπίας τὴν ὑπερβολὴν ἐννοήσαντας φεύγειν τὴν εἰδωλολατρείαν· οὕτω γὰρ ὁ Παῦλος καλεῖ τὴν πλεονεξίαν· φεύγειν δὲ μὴ τὴν ἐν χρήμασι πλεονεξίαν μόνον, ἀλλὰ καὶ τὴν ἐν ἐπιθυμίᾳ πονηρᾷ, καὶ τὴν ἐν ἱματίοις, καὶ τὴν ἐν τραπέζῃ, καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασι. καὶ γὰρ πολλῷ χαλεπωτέραν δώσομεν δίκην ἡμεῖς μὴ πειθόμενοι τοῖς τοῦ Κυρίου νόμοις. Ὁ γὰρ δοῦλος, φησίν, ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. ἵν' οὖν καὶ τὴν κόλασιν ταύτην διαφύγωμεν, καὶ ἑτέροις καὶ ἑαυτοῖς γενώμεθα χρήσιμοι, πᾶσαν κακίαν ἀπὸ τῆς ψυχῆς ἐκβαλόντες ἑλώμεθα τὴν ἀρετήν. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

[Marginalia: γρ. στόματα; * ἐθεοποίουν; γρ. Ἄρεα; γρ. τραπέζαις; Κολοσ. γ. ε.; Λουκ. ιβ. μζ.]

Λογ. ζ. 9 ΤΙ ΟΥΝ; ΠΡΟΕΧΟΜΕΘΑ; ΟΥ ΠΑΝΤΩΣ. ΠΡΟ-
ῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι, 10 Κα-
θὼς γέγραπται, οὐκ ἔστι δίκαιος οὐδὲ εἷς, 11 Οὐκ ἔστιν ὁ συνιῶν, οὐκ
ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν. 12 Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔ-
στι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. 13 Τάφος ἀνεῳγμένος ὁ λάρυγξ
αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν·
14 Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, 15 Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι
αἷμα· 16 Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, 17 Καὶ ὁ-
δὸν εἰρήνης οὐκ ἔγνωσαν· 18 Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλ-
μῶν αὐτῶν.

Κατηγόρησεν Ἑλλήνων, κατηγόρησεν Ἰουδαίων, ἀκόλουθον ἦν εἰπεῖν τὴν δικαιοσύνην λοιπὸν τὴν διὰ τῆς πίστεως. εἰ γὰρ μήτε ὁ τῆς φύσεως ὤνησε νόμος, μήτε ὁ γραπτὸς ἐποίησέ τι πλέον, ἀλλ' ἀμφότεροι τοὺς οὐκ εἰς δέον αὐτοῖς χρησαμένους ἐβάρησαν, καὶ μείζονος ἔδειξαν κολάσεως ὄντας ἀξίους, ἀναγκαία λοιπὸν ἡ διὰ τῆς χάριτος σωτηρία. Εἰπὲ τοίνυν αὐτήν, ὦ Παῦλε, καὶ δεῖξον. ἀλλ' οὐδέπω θαρρεῖ, τὸ ἰταμὸν τῶν Ἰουδαίων ὑφορώμενος, ἀλλ' ἐπὶ τὴν κατηγορίαν αὐτῶν πάλιν ἄγει τὸν λόγον. καὶ πρότερον εἰσάγει κατηγοροῦντα τὸν Δαβὶδ ταῦτα λέγοντα διὰ πολλῶν, ἅπερ ἐν βραχεῖ πάντα εἶπεν Ἡσαΐας, ἰσχυρὸν κατασκευάζων αὐτοῖς χαλινόν, ὥστε μὴ ἀποπηδῆσαι, μηδὲ τῶν περὶ τῆς πίστεως γυμναζομένων λόγων λοιπὸν ἀποσκιρτῆσαί τινα τῶν ἀκουόντων, ἱκανῶς ταῖς τῶν προφητῶν προκατειλημμένοι κατηγορίαις. καὶ γὰρ τρεῖς τίθησιν ὑπερβολὰς ὁ προφήτης, ὅτι τε πάντες ὁμοῦ τὰ κακὰ ἔπραττον, λέγων, καὶ ὅτι οὐκ ἀνέμιξαν τὰ καλὰ τοῖς κακοῖς, ἀλλὰ τὴν πονηρίαν μόνην μετῄεσαν, καὶ ὅτι μετ' ἐπιτάσεως ταύτην ἁπάσης. Εἶτα ἵνα μὴ λέγωσι, τί οὖν, εἰ πρὸς ἑτέρους ταῦτα εἴρηται; ἐπήγαγεν, γ. κατειλ.

19 Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. Διά τοι τοῦτο μετὰ τὸν Ἡσαΐαν τὸν ὡμολογημένως πρὸς αὐτοὺς ἀποτεινόμενον, ἐπεισήγαγε τὸν Δαβίδ, ἵνα δείξῃ καὶ ταῦτα τῆς αὐτῆς ὄντα ἀκολουθίας. ποία γὰρ ἦν ἀνάγκη, φησίν, ἑτέρων κατηγορεῖν τὸν εἰς τὴν ὑμετέραν διόρθωσιν ἀποσταλέντα προφήτην; οὐδὲ γὰρ ὁ νόμος ἑτέροις γ. ἡμετ. ἐδόθη, ἀλλ' ὑμῖν. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, οἴδαμεν ὅτι ὅσα ὁ προφήτης λέγει, ἀλλ' ὅσα γ. ἡμῖν. ὁ νόμος λαλεῖ; ὅτι τὴν παλαιὰν πᾶσαν νόμον καλεῖν εἴωθεν ὁ Παῦλος. καὶ γὰρ ἀλλαχοῦ Γαλ. δ. κβ. φησι, Τὸν νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχε; καὶ ἐνταῦθα τοὺς ψαλμοὺς νόμον ἐκάλεσεν εἰπών, οἴδαμεν ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. Εἶτα δείκνυσιν οὐδὲ ἁπλῶς ταῦτα λεγόμενα κατηγορίας ἕνεκεν, ἀλλ' ἵνα τῇ πίστει προοδοποιήσῃ πάλιν ὁ νόμος. τοσαύτη τῆς παλαιᾶς πρὸς τὴν καινὴν ἡ συμφωνία, ὅτι καὶ αἱ κατηγορίαι καὶ οἱ γ. συμφων. ἔλεγχοι διὰ τοῦτο πάντως ἐγένοντο, ἵνα λαμπρῶς παρὰ τοῖς ἀκούουσιν ἀνοιγῇ τῆς πίστεως ἡ θύρα. ἐπειδὴ γὰρ τοῦτο μάλιστα Ἰουδαίους ἀπώλεσε, τὸ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς (ὅπερ οὖν καὶ προϊὼν ἔλεγεν, ὅτι ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν) προλαβὼν καὶ ὁ νόμος καὶ ὁ προφήτης προκατέβαλον αὐτῶν τὰ φρονήματα, καὶ κατέστειλαν αὐτῶν τὸ φύσημα, ἵνα εἰς γ. -λεν ἔννοιαν τῶν οἰκείων ἐλθόντες ἁμαρτημάτων, καὶ τὴν ἀπόνοιαν πᾶσαν κατακενώσαντες, καὶ ἰδόντες γ. -λεν ἑαυτοὺς περὶ τῶν ἐσχάτων κινδυνεύοντας, μετὰ πολλῆς προθυμίας προσδράμωσι τῷ τὴν ἄφεσιν αὐτοῖς τῶν ἁμαρτημάτων παρέχοντι, καὶ τὴν χάριν διὰ τῆς πίστεως καταδέξωνται). τοῦτο γοῦν καὶ ἐνταῦθα αἰνιττόμενος ὁ Παῦλος ἔλεγεν,

Οἴδαμεν ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. Ἐνταῦθα γὰρ δείκνυσιν αὐτοὺς τῆς μὲν ἀπὸ τῶν ἔργων παρρησίας ἐρήμους ὄντας, ἐν δὲ τοῖς ῥήμασιν ἀλαζονευομένους μόνον, καὶ ἀναισχυντοῦντας. διὸ καὶ κυρίως ἐχρήσατο τῇ λέξει, εἰπών, ἵνα πᾶν στόμα φραγῇ, τὴν ἀναίσχυντον αὐτῶν καὶ δυσκάθεκτον μεγαληγορίαν δηλῶν, καὶ τὴν μετὰ ἀκριβείας ἐπιστομιζομένην αὐτῶν γλῶτταν. καθάπερ γὰρ ῥεῦμα ἀφόρητον, οὕτως αὕτη ἐφέρετο. ἀλλ' ἐνέφραξεν αὐτὴν ὁ προφήτης. ὅταν δὲ λέγῃ Παῦλος, ἵνα πᾶν στόμα φραγῇ, οὐ τοῦτό φησιν, ὅτι διὰ τοῦτο ἥμαρτον ἵνα φραγῇ αὐτῶν τὸ στόμα, ἀλλὰ διὰ τοῦτο ἠλέγχοντο, ἵνα μὴ ἀγνοῶσιν ἁμαρτάνοντες τοῦτο αὐτό. Καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ.

Οὐκ

Οὐκ εἶπεν Ἰουδαῖος, ἀλλὰ πᾶσα ἡ φύσις. τὸ μὲν γὰρ, ἵνα πᾶν στόμα φραγῇ, ἐκείνους ἐστὶν αἰνιττόμενον, εἰ καὶ μὴ φανερῶς αὐτὸ τίθησιν, ὥστε μὴ τραχύτερον φαίνεσθαι τὸν λόγον. τὸ δὲ, ἵνα ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ, ὁμοῦ καὶ περὶ Ἰουδαίων καὶ Ἑλλήνων εἴρηται. οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ καταστεῖλαι τὴν ἐκείνων ἀπόνοιαν· ὅταν καὶ ἐνταῦθα μηδὲν ἔχωσι πλέον τῶν Ἑλλήνων, ἀλλ' ὁμοίως ὦσι προδεδομένοι κατὰ τὸν τῆς σωτηρίας λόγον. ὁ γὰρ ὑπόδικος κυρίως ἂν ἐκεῖνος λέγοιτο, ὁ μὴ δυνάμενος ἀρκεῖν ἑαυτῷ πρὸς ἀπολογίαν, ἀλλὰ τῆς ἑτέρου δεόμενος βοηθείας· οἷα ἦν καὶ τὰ ἡμέτερα πάντα, ἀπολωλεκότων ἡμῶν τὰ πρὸς σωτηρίαν συντείνοντα.

20 Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Πάλιν ἐφήλατο τῷ νόμῳ, μετὰ φειδοῦς μὲν (οὐ γὰρ αὐτοῦ κατηγορία τὸ εἰρημένον, ἀλλὰ τῆς τῶν Ἰουδαίων ῥαθυμίας) πλὴν ἀλλ' ὅμως ἐσπούδακεν ἐνταῦθα, ἐπειδὴ μέλλει τὸν περὶ τῆς πίστεως εἰσάγειν λόγον, δεῖξαι αὐτὸν σφόδρα ἠσθενηκότα. εἰ γὰρ αὐχεῖς ἐπὶ τῷ νόμῳ, φησὶν, αὐτός σε μᾶλλον καταισχύνει· ἐπειδή σου τὰς ἁμαρτίας ἐκπομπεύει. ἀλλ' οὐκ εἶπεν οὕτω τραχέως, ἀλλ' ὑφειμένως πάλιν, διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. οὐκοῦν καὶ ἡ κόλασις μείζων, ἀλλὰ παρὰ τῶν Ἰουδαίων. ὁ μὲν γὰρ νόμος ἴσχυε τὸ φανεράν σοι ποιῆσαι τὴν ἁμαρτίαν, σὸν δὲ ἦν λοιπὸν τὸ φυγεῖν. μὴ φυγὼν τοίνυν, μᾶλλον ἐπεσπάσω τὴν κόλασιν, καὶ τὸ τοῦ νόμου κατόρθωμα γέγονέ σοι μείζονος ἐφόδιον τιμωρίας. ὅτε τοίνυν τὸν φόβον ηὔξησε, τότε λοιπὸν ἐπάγει τὰ τῆς χάριτος, ἐν πολλῇ καταστήσας ἐπιθυμίᾳ τῆς τῶν ἁμαρτιῶν ἀφέσεως, καί φησι,

21 Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται. Μέγα ἐνταῦθα ἐφθέγξατο, καὶ πολλῆς δεόμενον τῆς κατασκευῆς. εἰ γὰρ οἱ ἐν νόμῳ ζῶντες οὐ μόνον οὐκ ἔφυγον κόλασιν, ἀλλὰ καὶ πλέον ἐβαρήθησαν, πῶς ἔστι χωρὶς νόμου μὴ μόνον τιμωρίαν φυγεῖν, ἀλλὰ καὶ δικαιωθῆναι; δύο γὰρ ἄκρα ἐνταῦθα τέθηκε, καὶ τὸ δικαιοῦσθαι, καὶ τὸ χωρὶς νόμου τούτων τυχεῖν τῶν ἀγαθῶν. διὰ τοῦτο οὐκ ἁπλῶς εἶπε δικαιοσύνη, ἀλλὰ δικαιοσύνη Θεοῦ, ἀπὸ τῆς ἀξίας τοῦ προσώπου μείζονα δείξας τὴν δωρεὰν, καὶ δυνατὴν τὴν ὑπόσχεσιν. πάντα γὰρ αὐτῷ δυνατά. καὶ οὐκ εἶπεν ἐδόθη, ἀλλὰ πεφανέρωται, τὸ τῆς καινοτομίας ὑποτεμνόμενος ἔγκλημα. τὸ γὰρ πεφανερωμένον, ὡς παλαιὸν καὶ κρυπτόμενον φανεροῦται. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ ἑξῆς δείκνυσιν οὐ πρόσφατον ὂν τοῦτο. εἰπὼν γὰρ, πεφανέρωται, ἐπήγαγε,

Μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν. Μὴ γὰρ, ἐπειδὴ νῦν ἐδόθη, θορυβηθῇς, φησι, μηδὲ ὡς πρόσκαιρον καὶ ξένον πρᾶγμα ταραχθῇς. ἄνωθεν γὰρ αὐτὸ καὶ ὁ νόμος καὶ οἱ προφῆται προέλεγον. καὶ τὰ μὲν ἔδειξε διὰ τῆς κατασκευῆς ταύτης, τὰ δὲ μέλλει, ἐν μὲν τοῖς ἔμπροσθεν παραγαγὼν τὸν Ἀββακοὺμ λέγοντα, Ὁ δίκαιος ἐκ πίστεως ζήσεται· ἐν δὲ τοῖς μετὰ ταῦτα, τὸν Ἀβραὰμ, τὸν Δαβὶδ, καὶ αὐτοὺς περὶ τούτων διαλεγομένους ἡμῖν. καὶ γὰρ πολὺς τῶν προσώπων τούτων ὁ λόγος ἦν παρ' αὐτοῖς. ὁ μὲν γὰρ ἦν πατριάρχης καὶ προφήτης, ὁ δὲ βασιλεὺς καὶ προφήτης. καὶ αἱ ἐπαγγελίαι δὲ αἱ περὶ τούτων πρὸς ἀμφοτέρους τούτους ἦσαν γεγενημέναι. διὸ καὶ ὁ Ματθαῖος ἀρχόμενος τοῦ εὐαγγελίου ἀμφοτέρων τούτων μέμνηται πρῶτον, καὶ τότε κατ' ἀκολουθίαν προάγει τοὺς προγόνους. εἰπὼν γὰρ, Βίβλος γενέσεως (Ματθ. α. α.) Ἰησοῦ Χριστοῦ, οὐκ ἀνέμεινεν εἰπὼν μετὰ τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ, ἀλλὰ μετὰ τοῦ Ἀβραὰμ τοῦ Δαβὶδ ἐμνημόνευσε· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ πρὸ τοῦ Ἀβραὰμ τὸν Δαβὶδ τέθηκεν, οὕτω λέγων, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ, καὶ τότε ἤρξατο καταλέγειν τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ, καὶ τοὺς ἑξῆς ἅπαντας. διὸ καὶ ὁ ἀπόστολος ἐνταῦθα αὐτοὺς περιστρέφει συνεχῶς, καί φησι, δικαιοσύνη δὲ Θεοῦ μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν. ἵνα δὲ μή τις εἴπῃ, καὶ πῶς αὐτοὶ μηδὲν συντελοῦντες εἰς τὸ προκείμενον, σωζόμεθα, δείκνυσι καὶ ἡμᾶς εἰσφέροντας

φέροντας οὐ μικρὰν εἰς τοῦτο, τὴν πίστιν λέγω. εἰπὼν γοῦν, 22 Δικαιοσύνη Θεοῦ, ἐπήγαγε, Διὰ τῆς πίστεως, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας.

Πάλιν ἐνταῦθα θορυβεῖται ὁ Ἰουδαῖος, οὐδὲν ἐξαίρετον παρὰ τοὺς λοιποὺς ἔχων, καὶ μετὰ τῆς οἰκουμένης ἀριθμούμενος ἁπάσης. ἵν' οὖν μὴ τοῦτο πάθοι, συστέλλει πάλιν αὐτὸν τῷ φόβῳ, ἐπάγων, * Οὐ γάρ ἐστι διαστολή. 23 Πάντες γὰρ ἥμαρτον. Μὴ γάρ μοι εἴπῃς, ὅτι ὁ δεῖνα ὁ Ἕλλην, ὁ δεῖνα ὁ Σκύθης, ὁ δεῖνα ὁ Θρᾷξ· ἐν γὰρ τοῖς αὐτοῖς ἅπαντες. εἰ γὰρ καὶ νόμον ἔλαβες, ἓν μόνον ἔμαθες ἀπὸ τοῦ νόμου, τὸ εἰδέναι τὴν ἁμαρτίαν, οὐ τὸ φυγεῖν αὐτήν. εἶτα, ἵνα μὴ λέγωσιν, ὅτι εἰ καὶ ἡμάρτομεν, ἀλλ' οὐχ οὕτως ὡς ἐκεῖνοι, ἐπήγαγε, Καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Ὥστε εἰ καὶ μὴ τὰ αὐτὰ τοῖς ἄλλοις ἥμαρτες, ἀλλὰ τῆς δόξης ὁμοίως ἀπεστερήθης. τῶν γὰρ προσκεκρουκότων εἶ· ὁ δὲ προσκεκρουκὼς οὐ τῶν δοξαζομένων, ἀλλὰ τῶν καταισχυνομένων. ἀλλὰ μὴ φοβηθῇς· διὰ γὰρ τοῦτο ταῦτα εἶπον, οὐχ ἵνα σε εἰς ἀπόγνωσιν ἐμβάλω, ἀλλ' ἵνα δείξω τοῦ δεσπότου τὴν φιλανθρωπίαν. διὸ καὶ ἐπήγαγε, 24 Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, 25 Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ. Ὅρα διὰ πόσων κατασκευάζει τὸ εἰρημένον. πρῶτον ἀπὸ τῆς ἀξίας τοῦ προσώπου· οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ ἐργαζόμενος ταῦτα, ἵνα ἀτονήσῃ, ἀλλ' ὁ Θεὸς ὁ πάντα δυνάμενος. Θεοῦ γάρ ἐστιν ἡ δικαιοσύνη, φησί. δεύτερον ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν· μὴ γάρ, ἐπειδὴ χωρὶς νόμου ἤκουσας, φοβηθῇς. καὶ γὰρ αὐτῷ τῷ νόμῳ τοῦτο δοκεῖ. τρίτον ἀπὸ τῶν θυσιῶν τῶν ἐν τῇ παλαιᾷ· διὰ γὰρ τοῦτο εἶπεν, ἐν τῷ αὐτοῦ αἵματι, ἀναμιμνήσκων αὐτοὺς τῶν προβάτων ἐκείνων καὶ τῶν μόσχων. εἰ γὰρ ἀλόγων σφαγαί, φησιν, ἁμαρτίας ἔλυον, πολλῷ μᾶλλον τὸ αἷμα τοῦτο. καὶ οὐχ ἁπλῶς εἶπε, λυτρώσεως, ἀλλ' ἀπολυτρώσεως, ὡς μηκέτι ἡμᾶς ἐπανελθεῖν πάλιν ἐπὶ τὴν αὐτὴν δουλείαν. καὶ ἱλαστήριον δι' αὐτὸ τοῦτο καλεῖ, δεικνὺς ὅτι εἰ ὁ τύπος τοσαύτην εἶχεν ἰσχύν, πολλῷ μᾶλλον ἡ ἀλήθεια τὸ αὐτὸ ἐπιδείξεται. δηλῶν δὲ πάλιν οὐ νεώτερον τοῦτο ὄν, οὐδὲ καινόν, φησι, Προέθετο. Καὶ εἰπών, προέθετο ὁ Θεός, καὶ δείξας τοῦ πατρὸς ὂν τὸ κατόρθωμα, τὸ αὐτὸ δείκνυσι καὶ τοῦ υἱοῦ ὄν. ὁ μὲν γὰρ πατὴρ προέθετο, ὁ δὲ Χριστὸς ἐν τῷ αὐτοῦ αἵματι τὸ πᾶν κατώρθωσεν.

26 Εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ. Τί ἐστιν ἔνδειξις τῆς δικαιοσύνης; ὥσπερ ἔνδειξις πλούτου, τὸ μὴ μόνον αὐτὸν εἶναι πλούσιον, ἀλλὰ καὶ ἑτέρους πλουσίους ποιεῖν· καὶ ζωῆς, τὸ μὴ μόνον αὐτὸν εἶναι ζῶντα, ἀλλὰ καὶ νεκροὺς ζωοποιεῖν· καὶ δυνάμεως, τὸ μὴ μόνον αὐτὸν εἶναι δυνατόν, ἀλλὰ καὶ τοὺς ἀσθενεῖς δυναμοῦν· οὕτω καὶ δικαιοσύνης ἔνδειξις, τὸ μὴ μόνον αὐτὸν εἶναι δίκαιον, ἀλλὰ καὶ τοὺς ἑτέρους ἐν ἁμαρτίαις κατασαπέντας ἐξαίφνης δικαίους ποιεῖν. τοῦτο οὖν καὶ αὐτὸς ἑρμηνεύων ἐπήγαγε τίς ἐστιν ἔνδειξις· * Τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. Μὴ τοίνυν ἀμφίβαλλε. οὐ γὰρ ἐξ ἔργων, ἀλλ' ἀπὸ πίστεως. μηδὲ φεῦγε τὴν τοῦ Θεοῦ δικαιοσύνην. διπλοῦν γὰρ αὐτῆς τὸ ἀγαθόν· ὅτι καὶ κοῦφόν ἐστι, καὶ πᾶσι προκείμενον. μηδὲ αἰσχύνου καὶ ἐρυθρία. εἰ γὰρ αὐτὸς ἐνδείκνυται τοῦτο ποιῶν, ὡς ἂν εἴποι τις, καὶ ἐναβρύνεται, καὶ ἐγκαλλωπίζεται, πῶς σὺ καταδύῃ καὶ ἐγκαλύπτῃ ἐφ' ᾧ ὁ δεσπότης σου δοξάζεται; ἐπάρας τοίνυν τὸν ἀκροατὴν διὰ τὸ εἰπεῖν, ὅτι ἔνδειξις τῆς τοῦ Θεοῦ δικαιοσύνης ἐστὶ τὰ γινόμενα, πάλιν τῷ φόβῳ ὠθεῖ τὸν ὀκνοῦντα καὶ ἀναδυόμενον προσελθεῖν, οὕτω λέγων·

Διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων. Ὁρᾷς πῶς συνεχῶς ἀναμιμνήσκει τῶν πλημμελημάτων αὐτούς; ἀνωτέρω μὲν λέγων, διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας, μετὰ ταῦτα δέ, ὅτι πάντες ἥμαρτον, ἐνταῦθα δὲ σφοδρότερον. οὐδὲ γὰρ εἶπε, διὰ τὰ ἁμαρτήματα, ἀλλὰ διὰ τὴν πάρεσιν, τουτέστι, τὴν νέκρωσιν. οὐκέτι γὰρ ὑγείας ἐλπὶς ἦν, ἀλλ' ὥσπερ σῶμα παραλυθὲν τῆς ἄνωθεν ἐδεῖτο χειρός, οὕτω καὶ ἡ ψυχὴ νεκρωθεῖσα.

καὶ τὸ δὴ χαλεπώτερον, ὅπερ ἐν τάξει θεὶς αἰτίας, δείκνυσι μεῖζον ὂν κατηγόρημα. τί δὲ τοῦτό ἐστι; τὸ ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ τὴν πάρεσιν γεγενῆσθαι. οὐδὲ γὰρ ἂν ἔχοιτε εἰπεῖν, φησιν, ὅτι οὐκ ἀπελαύσατε πολλῆς ἀνοχῆς, καὶ χρηστότητος· τὸ δὲ, ἐν τῷ νῦν καιρῷ, τὴν πολλὴν δεικνύντος ἐστὶν ἀνοχὴν καὶ φιλανθρωπίαν. ὅτε γὰρ ἀπεγνώσθημεν, φησὶ, καὶ καιρὸς ἀποφάσεως ἦν, καὶ ηὐξήθη τὰ κακὰ, καὶ ἐπληρώθησαν αἱ ἁμαρτίαι, τότε τὴν ἑαυτοῦ δύναμιν ἐπεδείξατο, ἵνα μάθῃς πόση παρ' αὐτῷ τῆς δικαιοσύνης ἡ περιουσία. οὐδὲ γὰρ ἐν ἀρχῇ γινόμενον τοῦτο οὕτω θαυμαστὸν ἂν ἐφάνη καὶ παράδοξον, ὡς νῦν, ὅτε πάσης ἰατρείας ἐξηλέγχθη τρόπος.

γρ. δύναμιν

27 Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη, φησί· διὰ ποίου νόμου; τῶν ἔργων; οὐχὶ, ἀλλὰ διὰ νόμου πίστεως. Πολὺς ἀγὼν τῷ Παύλῳ δεῖξαι ὅτι τοσοῦτον ἡ πίστις ἴσχυσεν, ὅσον οὐδὲ ἐφαντάσθη ποτὲ ὁ νόμος. ἐπειδὴ γὰρ εἶπεν ὅτι δικαιοῖ ὁ Θεὸς τοὺς ἀνθρώπους ἀπὸ τῆς πίστεως, ἐπιλαμβάνεται τοῦ νόμου πάλιν. καὶ οὐ λέγει, ποῦ οὖν τὰ κατορθώματα τῶν Ἰουδαίων; ποῦ ἡ δικαιοπραγία; ἀλλὰ ποῦ ἡ καύχησις; πανταχοῦ δεικνὺς μεγαληγοροῦντας μόνον ὡς πλέον τι τῶν ἄλλων ἔχοντας, καὶ μηδὲν ἐπιδεικνυμένους ἔργον. καὶ εἰπὼν, ποῦ ἡ καύχησις, οὐκ εἶπεν ἠφανίσθη, καὶ ἀπώλετο, ἀλλ', ἐξεκλείσθη, ὅπερ ἀκαιρίας μᾶλλόν ἐστιν. οὐκέτι γὰρ ἔχει καιρόν. ὥσπερ τῆς κρίσεως ἐπιστάσης, οὐκέτι καιρὸν ἔχουσιν οἱ μετανοῆσαι βουλόμενοι· οὕτω καὶ τῆς ἀποφάσεως ἐνεχθείσης λοιπὸν, καὶ πάντων μελλόντων ἀπόλλυσθαι, καὶ παραγινομένου τοῦ ταῦτα χάριτι λύοντος τὰ δεινὰ, οὐκέτι καιρὸν εἶχον ἐκεῖνοι προβάλλεσθαι τὴν ἀπὸ τοῦ νόμου διόρθωσιν. εἰ γὰρ ἐχρῆν ἰσχυρίζεσθαι τούτοις, πρὸ τῆς παρουσίας ἐχρῆν· ἐλθόντος δὲ τοῦ διὰ τῆς πίστεως σώζοντος, ἀνῄρητο λοιπὸν ὁ τῶν ἀγώνων καιρός. ὡς γὰρ ἐληλεγμένων ἁπάντων, οὕτω τῇ χάριτι σώζει. διὸ καὶ νῦν ἦλθεν, ἵνα μὴ λέγωσιν, ἐν ἀρχῇ παραγενομένου, ὅτι δυνατὸν ἦν διὰ νόμου σωθῆναι, καὶ πόνοις οἰκείοις καὶ κατορθώμασι. ταύτην οὖν ἐπιστομίζων αὐτῶν τὴν ἀναισχυντίαν, ἔμεινε χρόνον πολύν· ὥστε μετὰ τὸ διὰ πάντων ἐλεγχθῆναι σαφῶς οὐκ ἀρκοῦντας ἑαυτοῖς, τότε σῶσαι διὰ τῆς αὐτοῦ χάριτος. διὸ καὶ ἀνωτέρω λέγων, εἰς ἔνδειξιν τῆς δικαιοσύνης, ἐπήγαγεν, ἐν τῷ νῦν καιρῷ. εἰ δὲ ἀντιλέγοιέν τινες, ταὐτὸν ποιοῦσιν, ὥσπερ ἂν εἴ τις μεγάλα ἡμαρτηκὼς, καὶ μὴ δυνηθεὶς ἀπολογήσασθαι ἐν δικαστηρίῳ, ἀλλὰ καταχριθεὶς καὶ κολάζεσθαι μέλλων, εἶτα ἀπὸ δωρεᾶς βασιλικῆς ἀφεθεὶς ἀναισχυντοίη μετὰ τὴν ἄφεσιν καυχώμενος, καὶ λέγων μηδὲν ἡμαρτηκέναι. πρὶν ἢ γὰρ ἐλθεῖν τὴν δωρεὰν, ἀποδεῖξαι ἔδει· ἐλθούσης δὲ, οὐκ ἂν ἔχοι καιρὸν καυχᾶσθαι λοιπόν. ὃ δὴ καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονεν. ἐπειδὴ γὰρ οἴκοθεν ἦσαν προδεδομένοι, διὰ τοῦτο παραγέγονεν, αὐτῷ τῷ παραγενέσθαι τὴν καύχησιν ἀναιρῶν. ὁ γὰρ λέγων διδάσκαλος εἶναι νηπίων, καὶ ἐν τῷ νόμῳ καυχώμενος, καὶ παιδευτὴν ἀφρόνων ἑαυτὸν ὀνομάζων, ὁμοίως ἐκείνοις δεηθεὶς τοῦ διδάξαντος καὶ σώσαντος, οὐκ ἂν ἔχοι τοῦ καυχᾶσθαι πρόφασιν. εἰ γὰρ καὶ πρὸ τούτου ἡ περιτομὴ ἀκροβυστία ἐγένετο, πολλῷ μᾶλλον νῦν. καὶ γὰρ ἐξ ἑκατέρων βέβληται τῶν καιρῶν. εἰπὼν δὲ ὅτι ἐξεκλείσθη, δείκνυσι καὶ πῶς. πῶς οὖν ἐξεκλείσθη, φησί; διὰ ποίου νόμου; τῶν ἔργων; οὐχὶ, ἀλλὰ διὰ νόμου πίστεως. ἰδοὺ καὶ τὴν πίστιν νόμον ἐκάλεσεν ἐμφιλοχωρῶν τοῖς ὀνόμασιν, ὥστε παραμυθήσασθαι τὴν δοκοῦσαν εἶναι καινοτομίαν. τίς δὲ ὁ τῆς πίστεως νόμος; διὰ χάριτος σώζεσθαι. ἐνταῦθα τὸ δυνατὸν δείκνυσι τοῦ Θεοῦ, ὅτι οὐ μόνον ἔσωσεν, ἀλλὰ καὶ ἐδικαίωσε καὶ εἰς καύχησιν ἤγαγε, καὶ οὐδὲ ἔργων δεηθεὶς, ἀλλὰ πίστιν ζητήσας μόνον. ταῦτα δὲ λέγει, καὶ τὸν πιστεύσαντα Ἰουδαῖον μετριάζειν παρασκευάζων, καὶ τὸν μὴ πιστεύσαντα καταστέλλων, ὡς αὐτὸν ἐφελκύσασθαι. ὁ μὲν γὰρ σωθεὶς, ἂν μέγα φρονῇ τῷ νόμῳ προσέχων, ἀκούσεται ὅτι αὐτὸς αὐτοῦ τὸ στόμα ἐνέφραξεν, αὐτὸς αὐτοῦ κατηγόρησεν, αὐτὸς αὐτοῦ τὴν σωτηρίαν ἀπηγόρευσε, καὶ τὸ καύχημα ἐξέκλεισεν· ὁ δὲ μὴ πιστεύσας πάλιν διὰ τῶν αὐτῶν τούτων ταπεινωθεὶς,

γρ. μεγαλορρημονοῦντας

πιστωθεὶς, προσαχθῆναι τῇ πίστει δυνήσεται. Εἶδες πόση τῆς πίστεως ἡ περιουσία; πῶς ἀπέστησε τῶν προτέρων, μηδὲ καυχᾶσθαι ἐπ' αὐτοῖς ἀφεῖσα;

28 Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου.

Ὅτι ἔδειξεν ἀνωτέρους ὄντας ἀπὸ τῆς πίστεως τῶν Ἰουδαίων, τότε λοιπὸν μετὰ πολλῆς τῆς παῤῥησίας καὶ περὶ αὐτῆς διαλέγεται, καὶ τὸ δοκοῦν ἐνταῦθα θορυβεῖν, πάλιν ἰᾶται. καὶ γὰρ δύο ταῦτα τὰ ταράττοντα ἦν Ἰουδαίους· ἓν μέν, εἰ τοὺς μετ' ἔργων μὴ σωθέντας δυνατὸν χωρὶς ἔργων σωθῆναι· ἕτερον δέ, εἰ τοὺς ἀκροβύστους δίκαιον τῶν αὐτῶν ἀπολαῦσαι τοῖς ἐν τοσούτῳ χρόνῳ συντραφεῖσι τῷ νόμῳ· ὃ πολλῷ τοῦ προτέρου μᾶλλον αὐτοὺς ἐξετάραττε. διὰ τοῦτο ἐκεῖνο κατασκευάσας, ἐπὶ τοῦτο λοιπὸν ἐξεῖσιν· ὅπερ οὕτως ἐθορύβει τοὺς Ἰουδαίους, ὡς καὶ Πέτρῳ μετὰ τὴν πίστιν ταύτης ἕνεκεν ἐγκαλέσαι τῆς ὑποθέσεως, Κορνηλίου καὶ τῶν κατ' αὐτὸν ἕνεκεν πραγμάτων. τί οὖν φησι; λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου. οὐκ εἶπεν Ἰουδαῖον, ἢ τὸν ὑπὸ τὸν νόμον ὄντα, ἀλλ' ἐξαγαγὼν τὸν λόγον εἰς εὐρυχωρίαν, καὶ τῇ οἰκουμένῃ τὰς θύρας ἀνοίξας τῆς σωτηρίας, φησὶν ἄνθρωπον, τὸ κοινὸν τῆς φύσεως ὄνομα θείς· εἶτα ἀπὸ τούτου λαβὼν ἀφορμήν, μὴ τεθεῖσαν ἀντίθεσιν λύει. ἐπειδὴ γὰρ εἰκὸς ἦν Ἰουδαίους ἀκούσαντας ὅτι πάντα ἄνθρωπον ἡ πίστις δικαιοῖ, δυσχεραίνειν καὶ σκανδαλίζεσθαι, ἐπήγαγεν,

29 Ἢ Ἰουδαίων ὁ Θεὸς μόνων; Ὡς ἂν εἰ ἔλεγε, διὰ τί γάρ σοι τοῦτο ἄτοπον εἶναι δοκεῖ, τὸ πάντα ἄνθρωπον σώζεσθαι; μὴ γὰρ μερικός ἐστιν ὁ Θεός; ἐκ τούτου δεικνύς, ὅτι βουλόμενοι τοῖς ἔθνεσιν ἐπηρεάζειν, τοῦ Θεοῦ τὴν δόξαν λυμαίνονται μᾶλλον, εἴγε μὴ συγχωροῖεν αὐτὸν πάντων εἶναι Θεόν. εἰ δὲ πάντων ἐστί, καὶ προνοεῖται πάντων. εἰ δὲ προνοεῖται πάντων, πάντας ὁμοίως σώζει διὰ τῆς πίστεως. διὰ τοῦτό φησιν,

Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν. Οὐ γάρ ἐστι μερικός, οἷοι τῶν ἑλλήνων μῦθοι, ἀλλὰ κοινὸς ἁπάντων καὶ εἷς. διὸ καὶ ἐπάγει, γρ. διὸ

30 Ἐπείπερ εἷς ὁ Θεός· Τουτέστιν, ὁ αὐτὸς καὶ τούτων κἀκείνων δεσπότης. εἰ δὲ τὰ παλαιά μοι λέγεις, καὶ τότε κοινὰ τὰ τῆς προνοίας ἦν, εἰ καὶ διαφόρως. καὶ γὰρ σοὶ νόμος ἐδόθη γραπτός, κἀκείνοις νόμος φυσικός. καὶ οὐδὲν ἔλαττον εἶχον, εἴγε ἐβούλοντο, ἀλλὰ καὶ νικᾶν ἠδύναντο· διὸ καὶ ἐπήγαγε τοῦτο αὐτὸ αἰνιττόμενος, Ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Τῶν ἔμπροσθεν περὶ ἀκροβυστίας καὶ περιτομῆς εἰρημένων * ἀναμνήσας, δι' ὧν ἔδειξεν οὐδεμίαν οὖσαν διαφοράν. εἰ δὲ τότε οὐδεμία ἦν διαφορά, πολλῷ μᾶλλον νῦν. ὅπερ καὶ σαφέστερον κατασκευάζων νῦν, ἀπέδειξεν ὁμοίως ἑκάτερον τῆς πίστεως δεόμενον.

* αὐτὸς

31 Νόμον οὖν καταργοῦμεν, φησί, διὰ τῆς πίστεως; μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν. Εἶδες σύνεσιν ποικίλην καὶ ἄφατον; αὐτὸ γὰρ τὸ εἰπεῖν, ἱστῶμεν, ἔδειξεν οὐχ ἑστῶτα, ἀλλὰ καταλελυμένον. καὶ ὅρα τῆς Παύλου δυνάμεως τὴν ὑπερβολήν, καὶ μεθ' ὅσης κατασκευάζει περιουσίας ἃ βούλεται. δείκνυσι γὰρ ἐνταῦθα οὐ μόνον οὐ λυμαινομένην τῷ νόμῳ τὴν πίστιν, ἀλλὰ καὶ βοηθοῦσαν αὐτῷ, ὥσπερ οὖν καὶ αὐτὸν τῇ πίστει προοδοποιοῦντα. καθάπερ γὰρ αὐτὸς προλαβὼν αὐτῇ ἐμαρτύρησε (μαρτυρουμένη γὰρ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, φησίν) οὕτω καὶ αὕτη αὐτὸν ἀτονοῦντα ἔστησε. καὶ πῶς ἔστησε, φησί; τί ἦν τοῦ νόμου τὸ ἔργον, καὶ τίνος ἕνεκεν ἅπαντα ἔπραττεν; ὥστε δίκαιον ποιῆσαι τὸν ἄνθρωπον. ἀλλ' ἐκεῖνος μὲν τοῦτο οὐκ ἴσχυσε· πάντες γάρ, φησιν, ἥμαρτον. ἡ πίστις δὲ ἐλθοῦσα αὐτὸ κατώρθωσεν. ὁμοῦ γάρ τις ἐπίστευσε, καὶ ἐδικαιώθη. οὐκοῦν ἔστησε τοῦ νόμου τὸ θέλημα, καὶ δι' ὃ πάντα ἔπραττεν ἐκεῖνος, τοῦτο αὕτη εἰς τέλος ἤγαγεν. οὐκ ἄρα αὐτὸν κατήργησεν, ἀλλ' ἀπήρτισε. τρία τοίνυν ἐνταῦθα ἀπέδειξε, καὶ ὅτι χωρὶς νόμου δυνατὸν δικαιωθῆναι, καὶ ὅτι τοῦτο οὐκ ἴσχυσεν ὁ νόμος, καὶ ὅτι ἡ πίστις αὐτῷ οὐ μάχεται. ἐπειδὴ γὰρ τοῦτο μά-

λιστα τοὺς Ἰουδαίους ἐθορύβει, τὸ δοκεῖν ἀπειθείας αὐτοῦ τὴν πίστιν εἶναι, δείκνυσι πλέον ὧν βούλεται ὁ Ἰουδαῖος, οὐ μόνον οὐκ οὖσαν ἐναντίαν, ἀλλὰ καὶ σφόδρα σύμμαχόν τε καὶ συνεργὸν οὖσαν, ὃ μάλιστα ἐπόθουν ἀκοῦσαι.

Ἀλλ' ἐπειδὴ μετὰ τὴν χάριν ταύτην δι' ἧς ἐδικαιώθημεν, καὶ πολιτείας χρεία ἀξίας, ἐπιδειξώμεθα τῆς δωρεᾶς τὴν σπουδήν. ἐπιδειξόμεθα δὲ, ἂν τὴν μητέρα τῶν ἀγαθῶν τὴν ἀγάπην μετὰ πολλῆς φυλάττωμεν τῆς σπουδῆς. ἀγάπη δὲ ἐστιν, οὐ ψιλὰ ῥήματα, οὐδὲ προσρήσεις ἁπλῶς, ἀλλὰ προστασία καὶ δι' ἔργων ἐπίδειξις· οἷον, τὸ πενίαν λύειν, τὸ νοσοῦσι συναμύνειν, τὸ κινδύνων ἀπαλλάττειν, τὸ ἐν περιστάσεσιν ὄντι παρίστασθαι, τὸ κλαίειν μετὰ κλαιόντων καὶ χαίρειν μετὰ χαιρόντων. καὶ γὰρ καὶ τοῦτο ἀγάπης· καίτοι δοκεῖ μικρὸν εἶναι τοῦτο, τὸ χαίρειν μετὰ χαιρόντων· σφόδρα μέντοι μέγα ἐστὶ, καὶ φιλοσόφου δεόμενον γνώμης. καὶ πολλοὺς ἂν εὕροιμεν τὸ μὲν δυσκολώτερον ἀνύοντας, πρὸς τοῦτο δὲ ἀτονοῦντας. πολλοὶ γὰρ κλαίουσι μὲν μετὰ κλαιόντων, οὐκέτι δὲ καὶ μετὰ χαιρόντων χαίρουσιν, ἀλλὰ δακρύουσιν ἑτέρων χαιρόντων· ὅπερ ἐστὶ βασκανία καὶ φθόνος. οὐ τοίνυν μικρὸν κατόρθωμα, τοῦ ἀδελφοῦ χαίροντος χαίρειν, ἀλλὰ καὶ θατέρου μεῖζον· τάχα δὲ οὐ τοῦ κλαίειν μόνον μετὰ κλαιόντων, ἀλλὰ καὶ τοῦ παραστῆναι ἐν κινδύνοις μεῖζον. πολλοὶ γοῦν κινδυνεύουσι μὲν συνεκινδύνευσαν, εὐδοκιμούντων δὲ ἐδήχθησαν. τοσαύτη ἡ τῆς βασκανίας τυραννίς. καίτοι τὸ μὲν πόνων ἐστὶ καὶ ἱδρώτων, τοῦτο δὲ προαιρέσεως καὶ γνώμης μόνον. ἀλλ' ὅμως τὸ χαλεπώτερον ὑπομείναντες πολλοὶ, τὸ εὐκολώτερον οὐκ ἴσχυσαν, ἀλλὰ τήκονται καὶ ἀπόλλυνται ὅταν ἑτέρους εὐδοκιμοῦντας ἴδωσιν, ὅταν ἐκκλησίαν ὠφελουμένην ὁλόκληρον ἢ λόγῳ ἢ καὶ ἑτέρῳ τινὶ τρόπῳ· οὗ τί χεῖρον γένοιτ' ἄν; οὐδὲ γὰρ τῷ ἀδελφῷ λοιπὸν, ἀλλὰ καὶ τῷ θελήματι τοῦ Θεοῦ ὁ τοιοῦτος μάχεται. τοῦτο οὖν ἐννοήσας παῦσαι τῆς νόσου· καὶ εἰ μὴ τὸν πλησίον βούλει, σαυτὸν γοῦν ἀπάλλαξον τῶν μυρίων κακῶν. τί πολέμους ἐπεισάγεις σου τοῖς λογισμοῖς; τί θορύβου τὴν ψυχὴν πληροῖς; τί χειμῶνα ἐργάζῃ; τί ἄνω καὶ κάτω ποιεῖς; πῶς δυνήσῃ διακείμενος οὕτως, ἁμαρτιῶν ἄφεσιν αἰτῆσαι; εἰ γὰρ τοῖς τὰ εἰς αὐτοὺς μὴ συγχωροῦσιν οὐδὲ αὐτὸς ἀφίησι τὰ ἁμαρτήματα, τοῖς τοὺς οὐδὲν ἠδικηκότας ἀδικεῖν ἐπιχειροῦσι ποίαν ἄφεσιν δώσει; ἐσχάτης γὰρ τοῦτο πονηρίας ἀπόδειξις. οἱ τοιοῦτοι μετὰ τοῦ διαβόλου πολεμοῦσι τὴν ἐκκλησίαν· τάχα δὲ καὶ πολλῷ χεῖρον. τὸν μὲν γὰρ καὶ φυλάττεσθαι δυνατόν· οὗτοι δὲ προσωπεῖον φιλίας περικείμενοι, λάθρα τὴν πυρὰν ἀνάπτουσιν, ἑαυτοὺς πρώτους εἰς τὴν κάμινον ἐμβάλλοντες, καὶ νοσοῦντες νόσον οὐ μόνον ἐλεηθῆναι μὴ δυναμένην, ἀλλὰ καὶ πολὺν τὸν γέλωτα ἔχουσαν. τί γὰρ ὠχριᾷς, εἰπέ μοι, καὶ τρέμεις, καὶ περιδεὴς ἕστηκας; τί γέγονε δεινόν; ὅτι λαμπρὸς ὁ ἀδελφὸς, καὶ περιφανὴς, καὶ δόκιμος; οὐκοῦν στεφανοῦσθαι δεῖ, καὶ χαίρειν, καὶ τὸν Θεὸν δοξάζειν, ὅτι τὸ μέλος τὸ σὸν λαμπρὸν καὶ περιφανές. ἀλλὰ ἀλγεῖς ὅτι ὁ Θεὸς δοξάζεται; ὁρᾷς ποῦ τείνει ὁ πόλεμος; ἀλλ' οὐχ ὅτι ὁ Θεὸς, φησὶν, ἀλλ' ὁ ἀδελφὸς δοξάζεται. ἀλλὰ διὰ τούτου πρὸς τὸν Θεὸν ἀναβαίνει ἡ δόξα· οὐκοῦν καὶ ὁ παρὰ σοῦ πόλεμος. ἀλλ' οὐ τοῦτό με λυπεῖ, φησιν, ἀλλὰ δι' ἐμοῦ τὸν Θεὸν ἐβουλόμην δοξάζεσθαι. οὐκοῦν χαῖρε εὐδοκιμοῦντος τοῦ ἀδελφοῦ, καὶ δοξάζεται καὶ διὰ σοῦ πάλιν ὁ Θεὸς, καὶ πάντες ἐροῦσιν, εὐλογητὸς ὁ Θεὸς ὁ τοιούτους ἔχων οἰκέτας, φθόνου πάντως ἀπηλλαγμένους, τοῖς ἀλλήλων συνηδομένους καλοῖς. καὶ τί λέγω τὸν ἀδελφόν; εἰ γὰρ καὶ πολέμιος ἦν καὶ ἐχθρὸς, ὁ δὲ Θεὸς δι' αὐτοῦ ἐδοξάζετο, φίλον ἔδει ποιήσασθαι διὰ τοῦτο. σὺ δὲ τὸν φίλον ἐχθρὸν ποιεῖς, ἐπειδὴ ὁ Θεὸς δοξάζεται διὰ τῆς εὐδοκιμήσεως ἐκείνου; καὶ μὲν τὸ σῶμά τις θεραπεύσῃ τὸ σὸν κακῶς ἔχον, κἂν ἐχθρὸς ᾖ, τῶν πρώτων αὐτὸν ἡγήσῃ φίλων εἶναι λοιπόν· τὸν δὲ τοῦ Χριστοῦ τὸ σῶμα καλλωπίζοντα, τουτέστι, τὴν ἐκκλησίαν, καὶ φίλον ὄντα, ἐχθρὸν ἡγῇ; καὶ πῶς ἂν ἑτέρως τὸν πρὸς τὸν Χριστὸν ἐπεδείξω πόλεμον; διὰ τοῦτο κἂν σημεῖά τις ποιῇ, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν χαμευνίας ἐπιδείξηται, καὶ πρὸς τοὺς ἀγγέ-

ΗΘΙΚΟΝ

λυς διὰ ταύτης τῆς ἀρετῆς φθάσῃ, πάντων ἔσαι ἐναγέστερος, τοῦτο ἔχων τὸ ἐλάττωμα, καὶ μοιχοῦ, καὶ πόρνου, καὶ λῃστοῦ, καὶ τυμβωρύχου παρανομώτερος. καὶ ἵνα μή τις ὑπερβολὴν καταγνῷ τοῦ λόγου, ἐκεῖνο ἂν ἡδέως ἐροίμην ὑμᾶς, εἴ τις πῦρ καὶ δίκελλαν λαβὼν, τουτονὶ καθῄρει καὶ ἐνεπίμπρα τὸν οἶκον, καὶ τουτὶ κατέσκαπτε τὸ θυσιαστήριον, οὐκ ἂν λίθοις ἕκαστος αὐτὸν ἔβαλλε τῶν παρόντων ὡς ἐναγῆ καὶ παράνομον; τί οὖν ἂν τοῦ πυρὸς τούτου δαπανητικωτέραν τις φέρῃ φλόγα, τὴν βασκανίαν λέγω, οὐχὶ λίθων οἰκοδομὰς καθαιροῦσαν, οὐδὲ χρυσοῦν θυσιαστήριον κατασκάπτουσαν, ἀλλὰ τὸ πολὺ καὶ τῶν τοίχων, καὶ τοῦ θυσιαστηρίου τιμιώτερον, τῶν διδασκάλων τὴν οἰκοδομὴν ἀνατρέπουσαν καὶ λυμαινομένην, ποίας ἂν εἴη συγγνώμης ἄξιος; μὴ γάρ μοι λεγέτω τις, ὅτι πολλάκις ἐπιχειρήσας οὐκ ἴσχυσεν. ἀπὸ γὰρ τῆς γνώμης τὰ πράγματα κρίνεται. ἐπεὶ καὶ ὁ Σαοὺλ ἀπέκτεινε τὸν Δαβὶδ, εἰ καὶ μὴ ἐπέτυχεν. οὐκ ἐννοεῖς, εἰπέ μοι, ὅτι τοῖς προβάτοις ἐπιβουλεύεις τοῦ Χριστοῦ, τῷ ποιμένι πολεμῶν; καὶ τοῖς προβάτοις ὑπὲρ ὧν καὶ τὸ αἷμα ἐξέχεεν ὁ Χριστὸς, καὶ πάντα καὶ ποιεῖν καὶ πάσχειν ἡμᾶς ἐκέλευσεν; οὐκ ἀναμιμνήσκεις σαυτὸν ὅτι ὁ μὲν δεσπότης σου τὴν δόξαν τὴν σὴν ἐζήτησε καὶ οὐχὶ τὴν ἑαυτοῦ, σὺ δὲ οὐ τὴν τοῦ δεσπότου ζητεῖς, ἀλλὰ τὴν ἑαυτοῦ; καίτοι εἰ τὴν ἐκείνου ἐζήτεις, τότε ἂν καὶ τῆς σῆς ἐπέτυχες· τὴν δὲ σὴν ζητῶν πρὸ τῆς ἐκείνου, οὐδὲ ταύτης ἀπολαύσῃ ποτέ. τίς οὖν ἔσαι θεραπεία τούτου; κοινῇ πάντες εὐξώμεθα, καὶ μίαν ὑπὲρ αὐτῶν ἀνενέγκωμεν φωνὴν, ὡς ὑπὲρ τῶν ἐνεργουμένων. καὶ γὰρ οὗτοι ἀθλιώτερον διάκεινται ἐκείνων, ὅσῳ καὶ προαιρέσεώς ἐστιν ἡ μανία. εὐχῆς γὰρ δεῖται τὸ νόσημα τοῦτο, καὶ πολλῆς τῆς δεήσεως. εἰ γὰρ ὁ μὴ φιλῶν τὸν ἀδελφὸν, ἐὰν χρήματα κενώσῃ, κἂν ἐν μαρτυρίῳ διαλάμψῃ, οὐδὲν ὠφελεῖ πλέον· ὁ καὶ πολεμῶν τῷ μηδὲν ἠδικηκότι ἐννόησον πόσης ἂν εἴη τιμωρίας ἄξιος. οὗτος καὶ ἑλλήνων χείρων. εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας οὐδὲν πλέον ἡμᾶς ἀφίησιν ἐκείνων ἔχειν, ὁ τοῖς φιλοῦσι βασκαίνων ποῦ στήσεται, εἰπέ μοι; καὶ γὰρ τοῦ πολεμεῖν χεῖρόν ἐστι τὸ βασκαίνειν. ὁ μὲν γὰρ πολεμῶν, τῆς αἰτίας λυθείσης δι' ἣν ὁ πόλεμος, καὶ τὴν ἔχθραν κατέλυσεν· ὁ δὲ βάσκανος οὐδέποτε ἂν γένοιτο φίλος. καὶ ὁ μὲν τὴν μάχην φανερὰν ἐπιδείκνυται, ὁ δὲ συνεσκιασμένην· καὶ ὁ μὲν αἰτίαν πολλάκις ἔχει εἰπεῖν εὔλογον τοῦ πολέμου, ὁ δὲ οὐδὲν ἕτερον ἢ μανίαν καὶ γνώμην σατανικήν. τίνι οὖν ἄν τις τὴν τοιαύτην παραβάλοι ψυχήν; ποίᾳ ἐχίδνῃ; ποίᾳ ἀσπίδι; ποίῳ σκώληκι; τίνι κανθάρῳ; οὔτε γὰρ ἐναγέστερον, οὔτε πονηρότερόν τι τῆς τοιαύτης ψυχῆς. τοῦτο γὰρ, τοῦτο τὰς ἐκκλησίας ἀνέτρεψε, τοῦτο τὰς αἱρέσεις ἔτεκε, τοῦτο ἀδελφικὴν ὥπλισε χεῖρα, καὶ αἵματι δικαίου δεξιὰν βαπτισθῆναι ἐποίησε, καὶ νόμους ἀνέσπασε φύσεως, καὶ τῷ θανάτῳ τὰς θύρας ἀνέῳξε, καὶ τὴν ἀρὰν ἐκείνην εἰς ἔργον ἤγαγε, καὶ οὔτε ὠδίνων, οὔτε γονέων, οὔτε ἄλλου τινὸς ἀναμνησθῆναι τὸν ἄθλιον εἴασεν ἐκεῖνον, ἀλλ' οὕτως αὐτὸν ἐξεβάκχευσε, καὶ εἰς τοσοῦτον ἤγαγεν οἶστρον, ὡς καὶ τοῦ Θεοῦ παρακαλοῦντος καὶ λέγοντος, Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ, μηδὲ οὕτως ἐνδοῦναι. καίτοιγε καὶ τοῦ ἐγκλήματος αὐτὸν ἀφῆκε, καὶ τὸν ἀδελφὸν ὑπέταξεν. ἀλλ' ὅμως οὕτως ἀνίατον τὸ νόσημα τοῦτο, ὡς καὶ μυρίων φαρμάκων ἐπικειμένων, τὴν οἰκείαν ἀναβλύζει σηπεδόνα. τίνος γὰρ ἕνεκεν ἀλγεῖς, ὦ πάντων ἀθλιώτερε σύ; ὅτι ἐτιμήθη ὁ Θεός; ἀλλὰ τοῦτο γνώμης σατανικῆς. ἀλλ' ὅτι παρευδοκίμησεν ὁ ἀδελφός; ἀλλ' ἔξεστι καὶ σοὶ πάλιν αὐτὸν παραδραμεῖν. ὥστε εἰ βούλει νικῆσαι, μὴ σφάξῃς μηδὲ ἀνέλῃς, ἀλλ' ἄφες μένειν ἵνα τηρῆται τῶν παλαισμάτων ἡ ὑπόθεσις, καὶ νικήσῃς ζῶντα. οὕτω γάρ σοι λαμπρὸς ὁ στέφανος ἔμελλεν ἔσεσθαι· νυνὶ δὲ ἀνελὼν, μείζονα κατὰ σαυτοῦ τῆς ἥττης τὴν ψῆφον ἐκφέρεις. ἀλλ' οὐδὲν τούτων ἡ βασκανία οἶδε. τίνος δὲ ἕνεκεν καὶ δόξης ἐρᾷς ἐν ἐρημίᾳ τοσαύτῃ; οὗτοι γὰρ μόνοι τότε τὴν γῆν ᾤκουν· ἀλλ' οὐδὲ τοῦτο αὐτὸν ἐπέσχεν, ἀλλὰ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας ἵστατο μετὰ τοῦ διαβόλου καὶ παρετάττετο. καὶ γὰρ ἐκεῖνος ἦν ὁ στρατηγῶν τότε μετὰ τοῦ Κάϊν. ἐπειδὴ γὰρ οὐκ ἤρκεσεν αὐτῷ τὸ γενέσθαι θνητὸν τὸν ἄνθρωπον,

ἄνθρωπον, καὶ τοῦ τάφου τοῦ θανάτου μείζονα τὴν τραγῳδίαν ἐπεχείρει ποιῆσαι, καὶ ἀνέπειθεν ἀδελφοκτόνον γενέσθαι. ἠπείγετο γὰρ καὶ ὤδινεν ἰδεῖν τὴν ἀπόφασιν εἰς ἔργον ἐκφερομένην ὁ μηδέποτε ἐκ τῶν ἡμετέρων κορεννύμενος κακῶν. ὥσπερ ἂν εἴ τις δεσμώτην ἔχων ἐχθρὸν ἀπόφασιν δεξάμενον ἰδὼν, πρὶν ἢ τὴν πόλιν ἐξελθεῖν ἐπείγοιτο καὶ ἔνδον σφαττόμενον ἰδεῖν, καὶ μηδὲ τὸν προσήκοντα ἀναμεῖναι καιρόν· οὕτω δὴ καὶ ὁ διάβολος τότε. καίτοιγε ἀκούσας ὅτι εἰς γῆν ἀπελεύσεται ὁ ἄνθρωπος, ὤδινέ τι πλέον ἰδεῖν, υἱὸν πρὸ πατρὸς τελευτῶντα, Γεν. γ. ιθ. καὶ ἀδελφὸν ἀδελφὸν ἀναιροῦντα, καὶ ἄωρον καὶ βιαίαν σφαγήν. εἶδες πρὸς πόσα ὑπηρέτησεν ὁ φθόνος; πῶς τὴν ἀκόρεστον τοῦ διαβόλου γνώμην ἐνέπλησε, καὶ τοσαύτην αὐτῷ παρέθηκε τράπεζαν, ὅσην ἰδεῖν ἐπεθύμησεν ἐκεῖνος; φεύγωμεν τοίνυν τὸ νόσημα. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸ πῦρ ἐκεῖνο διαφυγεῖν τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, μὴ ταύτης ἀπαλλαγέντας τῆς ἀρρωστίας. ἀπαλλαγησόμεθα δὲ, ἂν ἐννοήσωμεν πῶς τε ἡμᾶς ἠγάπησε, καὶ ἀλλήλους ἐκέλευσεν ἀγαπᾶν ὁ Χριστός. πῶς οὖν ἡμᾶς ἠγάπησε; τὸ αἷμα τὸ τίμιον ἔδωκεν ὑπὲρ ἡμῶν ἐχθρῶν ὄντων καὶ τὰ μέγιστα ἠδικηκότων. τοῦτο καὶ σὺ ποίησον ἐπὶ τοῦ ἀδελφοῦ (διὰ γὰρ Ιωαν. ιγ. λδ. τοῦτό φησιν, Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα οὕτως ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς) μᾶλλον δὲ οὐδὲ οὕτω τὸ μέτρον ἴσον. αὐτὸς μὲν γὰρ ὑπὲρ τῶν ἐχθρῶν τοῦτο ἐποίησε. σὺ δὲ οὐ βούλει τὸ αἷμα δοῦναι τὸ σαυτοῦ ὑπὲρ τοῦ ἀδελφοῦ; τί οὖν καὶ τὸ ἐκείνου ἐκχέεις, ἐκ διαμέτρου παραβαίνων τῆς ἐντολῆς; καίτοι αὐτὸς μὲν ὅπερ ἐποίησεν, οὐκ ἐξ ὀφειλῆς, σὺ δὲ ἂν ποιῇς, ὀφειλὴν λοιπὸν πληροῖς. ἐπεὶ κἀκεῖνος ὁ τὰ μυρία τάλαντα λαβὼν, καὶ τὰ ἑκατὸν δηνάρια ἀπαιτῶν, οὐ διὰ τοῦτο ἐκολάζετο μόνον, ὅτι ἀπῄτει, ἀλλ' ὅτι οὐδὲ τῇ εὐεργεσίᾳ γέγονε βελτίων, οὐδὲ ἄρξαντος τοῦ δεσπότου κατηκολούθησε καὶ τὸ χρέος ἀπέδωκε. καὶ γὰρ χρέος ἦν λοιπὸν τὸ παρὰ τοῦ δούλου γινόμενον, εἴπερ ἐγένετο. καὶ γὰρ ἅπαντα ἅπερ ποιοῦμεν, ὀφειλὴν ποιοῦντες πληροῦμεν. διὸ καὶ αὐτὸς ἔλεγεν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί Λουκ. ιζ. ι. ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, ἐποιήσαμεν. κἂν ἀγάπην τοίνυν ἐπιδειξώμεθα, κἂν χρήματα δῶμεν τοῖς δεομένοις, ὀφειλὴν πληροῦμεν· οὐχ ὅτι κατῆρξεν αὐτὸς εὐεργεσιῶν μόνον, ἀλλ' ὅτι καὶ τὰ αὐτοῦ διανέμομεν ἄν ποτε δῶμεν. τί τοίνυν ἀποστερεῖς σεαυτὸν ὧν αὐτός σε βούλεται κύριον εἶναι; διὰ τοῦτο γάρ σοι ἐκέλευσεν αὐτὰ δοῦναι ἑτέρῳ, ἵνα σὺ αὐτὰ ἔχῃς. ἕως μὲν γὰρ μόνος κατέχεις, οὐδὲ αὐτὸς ἔχεις· ὅταν δὲ ἑτέρῳ δῷς, τότε καὶ αὐτὸς ἔλαβες. ἆρα τί τούτου τοῦ φίλτρου γένοιτ' ἂν ἴσον; αὐτὸς ἐξέχεε τὸ αἷμα ὑπὲρ τῶν ἐχθρῶν· ἡμεῖς δὲ οὐδὲ χρήματα ὑπὲρ τοῦ εὐεργέτου; αὐτὸς τὸ αἷμα τὸ ἑαυτοῦ· ἡμεῖς δὲ οὐδὲ χρήματα τὰ οὐχ ἡμῶν; αὐτὸς πρὸ ἡμῶν· ἡμεῖς δὲ οὐδὲ μετ' αὐτόν; αὐτὸς ὑπὲρ τῆς ἡμετέρας σωτηρίας· ἡμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας; οὐδὲ γὰρ αὐτῷ τι γίνεται πλέον ἐκ τῆς ἡμετέρας φιλανθρωπίας, ἀλλὰ τὸ πᾶν εἰς ἡμᾶς περιΐσταται κέρδος. διὰ γὰρ τοῦτο καὶ κελευόμεθα αὐτὰ δοῦναι, ἵνα μὴ αὐτῶν ἐκπέσωμεν ἡμεῖς. ὥσπερ γὰρ εἴ τις παιδίῳ ἀργύριον δῴη μικρῷ, * κελεύει κατέχειν σφοδρῶς, ἢ καὶ τῷ οἰκέτῃ δοῦναι φυλάττειν, ὥστε μὴ ἐξεῖναι ἁρπάσαι τῷ βουλομένῳ, οὕτω δὴ καὶ ὁ Θεὸς ποιεῖ. δὸς γὰρ τῷ δεομένῳ, φησὶν, ἵνα μὴ ἁρπάσῃ τις αὐτὰ ἀπὸ σοῦ, οἷον, ἢ συκοφάντης, ἢ διάβολος, ἢ κλέπτης, ἢ μετὰ πάντας ὁ θάνατος. ἕως μὲν γὰρ ἂν αὐτὸς * κατέχῃς, οὐκ ἀσφαλῶς κατέχεις· ἐὰν δὲ ἐμοὶ αὐτὰ δῷς διὰ τῶν πενήτων, ἐγώ σοι φυλάττω μετὰ ἀκριβείας ἅπαντα, καὶ ἐν καιρῷ τῷ προσήκοντι μετὰ πολλῆς αὐτὰ ἀποκαταστήσω τῆς περιουσίας. οὐ γὰρ ἵνα ἀφέλωμαι λαμβάνω, ἀλλ' ἵνα πλείονα ποιήσω, ἵνα ἀκριβέστερον φυλάξω, ἵνα κατ' ἐκεῖνόν σοι αὐτὰ τηρήσω τὸν χρόνον, καθ' ὃν οὐδεὶς ὁ δανείζων οὐδὲ ὁ ἐλεῶν ἐστι. τί οὖν γένοιτ' ἂν ἡμῶν ὠμότερον μετὰ τοιαύτας ὑποσχέσεις μὴ ἀνεχομένων αὐτῷ δανείζειν; τοιγάρτοι διὰ τοῦτο ἔρημοι καὶ γυμνοὶ καὶ πένητες πρὸς αὐτὸν ἀπερχόμεθα, τὰ πιστευθέντα οὐκ ἔχοντες, ὅτι μὴ τῷ πάντων αὐτὰ ἀκριβέστερον φυλάττοντι παρακατατιθέμεθα. διὸ καὶ τὴν ἐσχάτην δώσομεν

δίκην. τί γὰρ καὶ ἐγκαλούμενοι δυνησόμεθα εἰπεῖν ὑπὲρ τῆς ἀπωλείας ἑαυτῶν; ποίαν πρόφασιν προβαλέσθαι; τίνα ἀπολογίαν; τίνος γὰρ ἕνεκεν οὐκ ἔδωκας; ἀπιστεῖς ὅτι λήψῃ πάλιν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁ γὰρ μὴ σοι δεδωκότι δούς, πῶς οὐ πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν δώσει; ἀλλὰ τέρπει σε αὐτῶν ἡ ὄψις; οὐκοῦν πολλῷ μᾶλλον διὰ τοῦτο δός, ἵνα ἐκεῖ σε τέρψῃ μειζόνως, ὅτε οὐδεὶς αὐτὰ ἀφαιρήσεται· ὡς νῦν γε κατέχων καὶ μυρία πείσῃ δεινά. καθάπερ γὰρ κύων, οὕτως ἐνάλλεται τοῖς πλουτοῦσιν ὁ διάβολος, ὥσπερ ψωμὸν ἢ πλακοῦντα παιδίου κατέχοντος ἀποσπάσαι θέλων. δῶμεν τοίνυν αὐτὰ τῷ πατρί. κἂν ἴδῃ τοῦτο ὁ διάβολος γινόμενον, ἀναχωρήσει πάντως· ἀναχωρήσαντος δὲ ἐκείνου, τότε σοι μετὰ ἀσφαλείας αὐτὰ ὁ πατὴρ δώσει πάντα, ὅτε μὴ δυνήσεται ἐνοχλεῖν ἐχθρὸς κατὰ τὸν αἰῶνα τὸν μέλλοντα. ὡς νῦν γε τῶν μικρῶν παιδίων τῶν ὑπὸ κυνιδίων ἐνοχλουμένων οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, πάντων ὑλακτούντων περὶ αὐτούς, σπαραττόντων, ἑλκόντων, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ παθῶν ἀνελευθέρων, γαστριμαργίας, μέθης, κολακείας, ἀσελγείας ἁπάσης. κἂν μὲν δανείζειν δέῃ, τοὺς πολὺ διδόντας περιεργαζόμεθα, καὶ τοὺς εὐγνώμονας περισκοποῦμεν· ἐνταῦθα δὲ τοὐναντίον ποιοῦμεν. τὸν μὲν εὐγνωμονοῦντα Θεὸν καὶ οὐχὶ ἑκατοστὴν, ἀλλὰ ἑκατονταπλασίονα παρέχοντα ἀφίεμεν, τοὺς δὲ οὐκ ἀποδώσοντας ἡμῖν οὐδὲ τὸ κεφάλαιον, τούτους ἐπιζητοῦμεν. τί γὰρ ἡμῖν ἡ γαστὴρ ἀποδώσει τὰ πλείονα καταναλίσκουσα; κόπρον καὶ φθοράν. τί δὲ ἡ κενοδοξία; φθόνον καὶ βασκανίαν. τί δὲ ἡ φειδωλία; φροντίδα καὶ μέριμναν. τί δὲ ἡ ἀσέλγεια; γέενναν καὶ σκώληκα ἰοβόλον. οὗτοι γὰρ τῶν πλουτούντων οἱ χρεῶσται, τούτοις τοῦ κεφαλαίου τοὺς τόκους καταβάλλοντες, τὰ ἐνταῦθα κακὰ καὶ τὰ προσδοκώμενα δεινά. τούτοις οὖν, εἰπέ μοι, δανειοῦμεν ἐπὶ τοσαύτῃ κολάσει, καὶ οὐ πιστεύσομεν αὐτὰ τῷ Χριστῷ τῷ τὸν οὐρανὸν προτείνοντι, τὴν ζωὴν τὴν ἀθάνατον, τὰ ἀπόρρητα ἀγαθά; καὶ ποίαν ἕξομεν ἀπολογίαν; τίνος γὰρ ἕνεκεν οὐ δίδως τῷ καὶ δώσοντι πάντως, καὶ πλείονα δώσοντι; τάχα ὅτι

Ματθ. 5. λϛ. διὰ πολλοῦ δίδωσι χρόνου. "καίτοιγε καὶ ἐνταῦθα δίδωσιν. ἀψευδὴς γάρ ἐστιν ὁ λέγων, Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. εἶδες φιλοτιμίας ὑπερβολήν; ἐκεῖνά σοι, φησί, τετήρηνται, καὶ οὐ μειοῦνται, ταῦτα δὲ τὰ ἐνταῦθα ἐν τάξει προσθήκης καὶ περιουσίας δίδωμι. χωρὶς δὲ τούτων, καὶ τὸ διὰ μακροῦ λαβεῖν τοῦ χρόνου πλεονάζει σοι τὸν πλοῦτον. ὁ γὰρ τόκος γίνεται πλέων. καὶ γὰρ ἐπὶ τῶν δανειζομένων τοῦτο ὁρῶμεν τοὺς δανειστὰς ποιοῦντας, προθυμότερον τοῖς μετὰ πολὺ καταβάλλουσι χρόνον δανείζοντας. ὁ μὲν γὰρ εὐθέως τὸ πᾶν ἀποδοὺς ἐνέκοψε τοῦ τόκου τὸν δρόμον· ὁ δὲ ἐπὶ πλείονα κατασχὼν χρόνον, καὶ τὴν ἐργασίαν πλείω πεποίηκεν. εἶτα ἐπὶ ἀνθρώπων μὲν οὐ δυσχεραίνομεν τὴν ἀναβολήν, ἀλλὰ καὶ σοφιζόμεθα αὐτὴν πλείω γενέσθαι, ἐπὶ Θεοῦ δὲ οὕτω μικροψύχως διακεισόμεθα, ὡς διὰ τοῦτο ὀκνεῖν καὶ ἀναδύεσθαι; καίτοιγε, ὅπερ ἔφην, καὶ ἐνταῦθα δίδωσι, καὶ μετὰ τῆς εἰρημένης αἰτίας καὶ ἑτέραν τι μεῖζον οἰκονομῶν ἐκεῖ ταμιεύεται τὸ πᾶν. τὸ γὰρ μέγεθος τῶν διδομένων καὶ τὸ κάλλος τῆς δωρεᾶς ἐκείνης ὑπερβαίνει τῆς παρούσης ζωῆς τὴν εὐτέλειαν. οὐδὲ γὰρ δυνατὸν ἐν σώματι φθαρτῷ καὶ ἐπικήρῳ τοὺς ἀμαράντους ἐκείνους δέξασθαι στεφάνους, οὐδὲ ἐν τῇ παρούσῃ διαγωγῇ καὶ θορυβώδει καὶ ταραχῆς γεμούσῃ καὶ πολλὰς ἐχούσῃ τροπάς, τὴν ἀκίνητον καὶ ἀτάραχον ἐκείνην [καὶ ἀπάραχον] λῆξιν καταλαβεῖν.. σὺ δέ, εἰ μέν τίς σοι χρυσίον ὀφείλων ἐν ἀλλοτρίᾳ διατρίβοντι γῇ, καὶ οὔτε οἰκέτας ἔχοντι, οὔτε δυναμένῳ εἰς τὴν "μετοικίαν μετακομίσαι, δώσειν ἐπηγγέλλετο τὸ δάνεισμα, μυρία ἂν παρεκάλεσας, ὥστε μὴ ἐπὶ τῆς ξένης, ἀλλ' οἴκοι μᾶλλον αὐτὰ καταβαλεῖν· τὰ δὲ πνευματικὰ ἐκεῖνα καὶ ἀπόρρητα ἐνταῦθα ἀξιοῖς λαβεῖν; καὶ πόσης ταῦτα ἀνοίας; ἂν μὲν γὰρ ἐνταῦθα λάβοις, φθαρτὰ λήψῃ πάντως· ἂν δὲ ἐκεῖνον τὸν καιρὸν ἀναμείνῃς, ἄφθαρτα ἀποδώσει σοι καὶ ἀκήρατα. ἂν ἐνταῦθα λάβῃς, μόλιβδον ἔλαβες· ἂν δὲ ἐκεῖ, χρυσὸν δόκιμον. πλὴν οὐδὲ τῶν ἐνταῦθά σε ἀποστερήσει. μετὰ γὰρ ἐκείνης τῆς ὑπο-

σχέσεως

χ. καὶ γ

χ. ἀναλλ.

χ. οἰκία

χέσεως καὶ ἑτέραν τέθεικεν οὕτω λέγων, ὅτι πᾶς ὁ τῶν ἐκεῖ πραγμάτων ἐρῶν ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. εἰ δὲ οὐ λαμβάνομεν ἑκατονταπλασίονα, ἡμεῖς αἴτιοι μὴ δανείζοντες τῷ δυναμένῳ τοσοῦτον δοῦναι. ἐπεὶ οἱ τότε δόντες ἅπαντες τοσαῦτα ἔλαβον, καίτοιγε ὀλίγα δόντες. τί γὰρ μέγα ἔδωκεν ὁ Πέτρος, εἰπέ μοι; οὐχὶ δίκτυον διεῤῥωγὸς καὶ κάλαμον καὶ ἄγκιστρον μόνον; ἀλλ' ὅμως αὐτῷ τὰς οἰκίας τῆς οἰκουμένης ἀνέῳξεν ὁ Θεός, καὶ γῆν καὶ θάλατταν ἥπλωσε, καὶ πάντες αὐτὸν εἰς τὰ αὐτῶν ἐκάλουν· μᾶλλον δὲ τὰ αὐτῶν πωλοῦντες πρὸς τοὺς ἐκείνου ἔφερον πόδας, οὐδὲ εἰς χεῖρας ἐμβάλλοντες (οὐ γὰρ ἐτόλμων) τοσαύτην μετὰ τῆς δαψιλείας καὶ τὴν τιμὴν αὐτῷ ἀπονέμοντες. ἀλλ' ἐκεῖνος Πέτρος ἦν, φησί. καὶ τί τοῦτο, ἄνθρωπε; οὐδὲ γὰρ Πέτρῳ ἐπηγγείλατο ταῦτα μόνον, οὐδὲ εἶπε, σὺ δέ, ὦ Πέτρε, ἑκατονταπλασίονα λήψῃ μόνος, ἀλλὰ πᾶς ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφούς, ἑκατονταπλασίονα λήψεται. οὐδὲ γὰρ προσώπων οἶδε διαφοράν, ἀλλὰ πραγμάτων κατορθώματα. ἀλλὰ παιδίων με χορὸς περιέστηκε, φησί, καὶ ἐπιθυμῶ πλουτοῦντας αὐτοὺς καταλιπεῖν. τίνος οὖν ἕνεκεν πένητας αὐτοὺς ποιοῦμεν; ἂν μὲν γὰρ αὐτοῖς τὰ πάντα ἀφῇς, πάλιν ἐπισφαλεῖ φυλακῇ τὰ σὰ πάντα ἐπέτρεψας· ἂν δὲ τὸν Θεὸν αὐτοῖς καταλίπῃς συγκληρονόμον καὶ ἐπίτροπον, θησαυροὺς μυρίους κατέλιπες. ὥσπερ γὰρ ὅταν ἑαυτοὺς ἐκδικῶμεν, ὁ Θεὸς ἡμῖν οὐκ ἀμύνει, ὅταν δὲ αὐτῷ παραχωρῶμεν, πλέον ἢ προσδοκῶμεν γίνεται· οὕτω καὶ ἐπὶ τῶν χρημάτων, ἂν ἡμεῖς αὐτὰ μεριμνῶμεν, ἐκεῖνος ἀποστήσεται τῆς παρ' αὐτοῦ προνοίας, ἂν δὲ αὐτῷ τὸ πλέον ἐπιῤῥίψωμεν, καὶ αὐτὰ καὶ τοὺς παῖδας ἐν πάσῃ καταστήσει τῇ ἀσφαλείᾳ. καὶ τί θαυμάζεις εἰ ἐπὶ Θεοῦ τοῦτο γίνεται; καὶ γὰρ ἐπὶ ἀνθρώπων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. ἂν μὲν γὰρ μηδένα παρακαλέσῃς τῶν προσηκόντων τελευτῶν ἐπὶ τῇ τῶν παίδων προνοίᾳ, αἰσχύνεται καὶ ἐρυθριᾷ πολλάκις καὶ ὁ σφόδρα βουλόμενος αὐτομάτως ἐπιπηδῆσαι τούτῳ· ἂν δὲ ῥίψῃς ἐπ' αὐτὸν τὴν φροντίδα, ἅτε τιμηθεὶς μεγίστῃ τιμῇ μεγίστην καὶ αὐτὸς ἀποδώσει τὴν ἀμοιβήν. εἰ τοίνυν βούλει καταλιπεῖν πλοῦτον τοῖς παιδίοις σου πολύν, κατάλιπε τοῦ Θεοῦ τὴν πρόνοιαν. ὁ γὰρ μηδέν σου ποιήσαντος καὶ ψυχὴν δοὺς καὶ σῶμα διαπλάσας καὶ ζωὴν χαρισάμενος, ὅταν ἴδῃ τοσαύτην ἐπιδεικνύμενον φιλοτιμίαν καὶ τὰ ἐκείνων αὐτῷ διανέμοντα μετ' ἐκείνων, πῶς οὐ πάντα αὐτοῖς ἀνοίξει πλοῦτον; εἰ γὰρ Ἠλίας ὀλίγῳ τραφεὶς ἀλεύρῳ, ἐπειδὴ εἶδε τὴν γυναῖκα ἐκείνην τῶν παιδίων αὐτὸν προτιμήσασαν, ἅλωνας καὶ ληνοὺς ἐπὶ τοῦ δωματίου τῆς χήρας ἔδειξεν, ἐννόησον ὁ τοῦ Ἠλία δεσπότης πόσην ἐπιδείξεται φιλοφροσύνην. μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως πλουσίους καταλίπωμεν τοὺς παῖδας, ἀλλ' ὅπως ἐναρέτους. ἂν μὲν γὰρ τῷ πλούτῳ θαῤῥῶσιν, οὐδενὸς ἐπιμελήσονται ἄλλου, ὡς ἔχοντες συσκιάσαι τὴν τῶν τρόπων κακίαν ἀπὸ τῆς τῶν χρημάτων περιουσίας. ἂν δὲ ἴδωσιν ἑαυτοὺς τῆς ἐκεῖθεν παραμυθίας ὄντας ἐρήμους, πάντα ἐργάσονται ὥστε διὰ τῆς ἀρετῆς πολλὴν τῇ πενίᾳ τὴν παραμυθίαν εὑρέσθαι. μὴ τοίνυν καταλίποις πλοῦτον, ἵνα καταλίποις ἀρετήν. καὶ γὰρ ἐσχάτης ἀλογίας ζῶντας μὲν μὴ ποιεῖν κυρίους αὐτοὺς ἁπάντων τῶν ὄντων, τελευτήσαντας δὲ πολλὴν τῇ τῆς νεότητος εὐκολίᾳ παρέχειν τὴν ἄδειαν. καίτοιγε ζῶντες μὲν δυνησόμεθα καὶ εὐθύνας ἀπαιτεῖν, καὶ κακῶς τοῖς οὖσι κεχρημένους σωφρονίζειν καὶ χαλινοῦν· τελευτήσαντες δὲ ἂν μετὰ τῆς ἡμετέρας ἐρημίας καὶ τῆς νεότητος καὶ τὴν ἀπὸ τοῦ πλούτου παράσχωμεν ἐξουσίαν, εἰς μυρίους ὠθήσομεν κρημνοὺς τοὺς ἀθλίους καὶ ταλαιπώρους ἐκείνους, πῦρ ἐπεμβάλλοντες πυρί, καὶ ἔλαιον ἐπιστάζοντες καμίνῳ χαλεπῇ. ὥστε, εἰ βούλει μετὰ ἀσφαλείας καταλιπεῖν πλουσίους, κατάλιπε τὸν Θεὸν ὀφειλέτην αὐτοῖς, καὶ αὐτῷ ἐγχείρισον τὸ γραμματεῖον αὐτῶν. αὐτοὶ μὲν γὰρ τὰ χρήματα ἂν λάβωσιν, οὐδὲ ὅπῳ δώσουσιν ἴσασιν, ἀλλὰ πολλοῖς περιτεύξονται καὶ συκοφάνταις καὶ ἀγνώμοσιν· ἂν δὲ σὺ προλαβὼν αὐτὰ τῷ Θεῷ δανείσῃς, ἄσυλος μένει

Ματθ. ιθ. κθ.

λοιπὸν ὁ θησαυρὸς, καὶ μετὰ πολλῆς ἔσται τῆς εὐκολίας ἡ ἀπόδοσις. καὶ γὰρ χάριν ἔχει καὶ ὀφείλει καταβάλλων ἡμῖν ὁ Θεὸς, καὶ τοὺς δανείσαντας τοὺς αὐτοῦ καὶ τῶν οὐ δεδωκότων ἥδιον ὁρᾷ, καὶ οἷς μάλιστα ὀφείλει, τούτους μάλιστα φιλεῖ. ὥστε, εἰ βούλει φίλον αὐτὸν ἔχειν διηνεκῶς, πολλῶν αὐτὸν κατάστησον χρεώστην. οὐδὲ γὰρ οὕτω χαίρει δανειστὴς ὀφειλέτας ἔχων, ὡς ὁ Χριστὸς εὐφραίνεται δανειστὰς ἔχων· καὶ οἷς μὲν μηδὲν ὀφείλει, τούτους καὶ ἀποφεύγει, οἷς δὲ ὀφείλει, τούτοις καὶ ἐπιτρέχει. πάντα τοίνυν ποιῶμεν ὥστε αὐτὸν χρεώστην ἔχειν. ὁ γὰρ καιρὸς οὗτός ἐστιν ὁ τῶν δανεισμάτων, καὶ νῦν ἐν χρείᾳ καθέστηκεν. ἂν τοίνυν μὴ δῷς αὐτῷ νῦν, οὐ δεήσεταί σου μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. ἐνταῦθα γὰρ διψῇ, ἐνταῦθα πεινᾷ· διψῇ δὲ, ἐπειδὴ τὴν σὴν διψῇ σωτηρίας. διὰ τοῦτο γὰρ καὶ προσαιτεῖ, διὰ τοῦτο καὶ γυμνὸς περιέρχεται, πραγματευόμενός σοι ζωὴν ἀθάνατον. μὴ τοίνυν αὐτὸν περιίδῃς. οὐ γὰρ τραφῆναι βούλεται, ἀλλὰ θρέψαι, οὐκ ἐνδυθῆναι, ἀλλ' ἐνδῦσαι, καὶ τὸ ἱμάτιον ἐκεῖνό σοι κατασκευάσαι τὸ χρυσοῦν, τὴν στολὴν τὴν βασιλικήν. οὐχ ὁρᾷς καὶ τῶν ἰατρῶν τοὺς κηδεμονικωτέρους, ὅταν τοὺς κάμνοντας λούωσιν ὅτι καὶ αὐτοὶ λούονται, καίτοι μὴ δεόμενοι; οὕτω καὶ αὐτὸς διὰ σὲ τὸν κάμνοντα πάντα ποιεῖ. διὰ τοῦτό σε οὐδὲ μετὰ βίας ἀπαιτεῖ, ἵνα πολλήν σοι δῷ τὴν ἀμοιβήν· ἵνα μάθῃς ὅτι οὐ χρείαν ἔχων ἀπαιτεῖ, ἀλλὰ τὴν σὴν διορθούμενος χρείαν. διὰ τοῦτο καὶ ἐν εὐτελεῖ σχήματί σοι προσέρχεται, καὶ τὴν δεξιὰν ἐκτείνων· κἂν ὀβολὸν δῷς, οὐκ ἀποστρέφεται, κἂν ἀτιμάσῃς, οὐκ ἀφίσταται, ἀλλὰ πάλιν σοι πρόσεισιν. ἐρᾷ γὰρ σφόδρα, ἐρᾷ τῆς σωτηρίας τῆς ἡμετέρας. καταφρονήσωμεν τοίνυν τῶν χρημάτων, ἵνα μὴ καταφρονηθῶμεν ὑπὸ τοῦ Χριστοῦ· καταφρονήσωμεν τῶν χρημάτων, ἵνα καὶ αὐτῶν ἐπιτύχωμεν τῶν χρημάτων. ἂν μὲν γὰρ αὐτὰ φυλάσσωμεν ἐνταῦθα, ἀπολοῦμεν αὐτὰ πάντως καὶ ἐνταῦθα καὶ ἐκεῖ· ἂν δὲ διανείμωμεν αὐτὰ μετὰ δαψιλείας πολλῆς, ἐν ἑκατέρᾳ τῇ ζωῇ πολλῆς ἀπολαυσόμεθα τῆς εὐπορίας. ὁ τοίνυν βουλόμενος γενέσθαι πλούσιος, γενέσθω πένης, ἵνα γένηται πλούσιος· ἀναλισκέτω, ἵνα συλλέξῃ, σκορπιζέτω, ἵνα συναγάγῃ. εἰ δὲ καινὰ ταῦτα καὶ παράδοξα, τὸν σπείροντα σκόπει, καὶ λογίζου ὅτι οὐδὲ ἐκεῖνος δυνήσεται ἑτέρως πλείω συναγαγεῖν, ἂν μὴ τὰ ὄντα σκορπίσῃ καὶ τὰ ἕτοιμα προῆται. σπείρωμεν τοίνυν καὶ ἡμεῖς, καὶ γεωργήσωμεν τὸν οὐρανὸν, ἵνα μετὰ πολλῆς ἀμησώμεθα τῆς δαψιλείας, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. ὑπὸ … ε.ς. — γ. διψᾷ — γ. διψᾷ — γ. διψᾷ — γ. καὶ αὐτοὶ μηδὲν δεομένοις καὶ λουομένοις; ἢ καὶ αὐτοὶ δὲ

Λόγ. η. 1 ΤΙ ΟΥΝ ΕΡΟΥΜΕΝ ΑΒΡΑΑΜ ΤΟΝ ΠΑΤΕ-
ρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; 2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη,
ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν.

Εἰπὼν ὅτι ὑπόδικος ἐγένετο ὁ κόσμος τῷ Θεῷ, καὶ ὅτι πάντες ἥμαρτον, καὶ ὅτι ἡ καύχησις ἐξεκλείσθη, καὶ ὅτι οὐκ ἔνι σωθῆναι ἑτέρως, ἀλλὰ διὰ πίστεως, σπουδάζει δεῖξαι λοιπὸν ὅτι οὐδὲ αἰσχύνης ἡ σωτηρία αὕτη, ἀλλὰ καὶ δόξης λαμπρᾶς αἰτία, καὶ μείζονος τῆς διὰ τῶν ἔργων. ἐπειδὴ γὰρ τὸ μετ' αἰσχύνης σώζεσθαι εἶχέ τινα καὶ ἀθυμίαν, καὶ ταύτην αἴρει τὴν ὑποψίαν λοιπόν. καίτοιγε καὶ ἤδη αὐτὸ ᾐνίξατο, οὐ σωτηρίαν μόνον, ἀλλὰ καὶ δικαιοσύνην καλέσας. Δικαιοσύνη γὰρ Θεοῦ, φησὶν, ἐν αὐτῷ ἀποκαλύπτεται. ὁ γὰρ οὕτω σωζόμενος, ὡς δίκαιος μετὰ παρρησίας σώζεται. καὶ οὐ δικαιοσύνην μόνον, ἀλλὰ καὶ ἔνδειξιν * Θεοῦ. Θεὸς δὲ ἐν τοῖς ἐνδόξοις ἐνδείκνυται καὶ λαμπροῖς καὶ μεγάλοις. πλὴν ἀλλὰ καὶ ἐκ τῶν προκειμένων αὐτὸ κατασκευάζει, κατ' ἐρώτησιν προάγων τὸν λόγον. ὅπερ ἀεὶ ποιεῖν εἴωθε σαφηνείας τε ἕνεκεν καὶ τοῦ θαρρεῖν τοῖς λεγομένοις.

Ρω. α. ιζ. — γ. …χαν — * ἢ δηλώσεως

λεγομένοις. καὶ γὰρ καὶ δυνατώτερον οὕτω πεποίηκε, τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; λέγων, καὶ τί οὖν προκατεχόμεθα περισσόν; καὶ πάλιν, ποῦ ἡ καύχησις; ἐξεκλείσθη· καὶ ἐνταῦθα, τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν; ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔστρεφον Ἰουδαῖοι, ὅτι ὁ πατριάρχης καὶ τῷ Θεῷ φίλος περιτομὴν ἐδέξατο πρῶτος, βούλεται δεῖξαι ὅτι καὶ ἐκεῖνος ἐκ πίστεως ἐδικαιώθη. ὅπερ ἦν περιουσία νίκης πολλῆς. τὸ μὲν γὰρ ἔργα μὴ ἔχοντα ἐκ πίστεως δικαιωθῆναί τινα, οὐδὲν ἀπεικός· τὸ δὲ κομῶντα ἐν κατορθώμασι μὴ ἐντεῦθεν, ἀλλ' ἀπὸ πίστεως γενέσθαι δίκαιον, τοῦτο ἦν θαυμαστόν, καὶ μάλιστα τῆς πίστεως τὴν ἰσχὺν ἐμφαῖνον. διὸ δὴ τοὺς ἄλλους παραδραμὼν πάντας, ἐπὶ τοῦτον ἄγει τὸν λόγον. πατέρα δὲ αὐτὸν κατὰ σάρκα ἐκάλεσεν, ἐκβαλὼν αὐτοὺς τῆς πρὸς αὐτὸν γνησίας συγγενείας, καὶ προοδοποιῶν τοῖς ἔθνεσι τὴν πρὸς αὐτὸν ἀγχιστείαν. Εἶτά φησιν, εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. Εἰπὼν οὖν ὅτι δικαιοῖ περιτομὴν ἐκ πίστεως ὁ Θεός, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως, καὶ κατασκευάσας αὐτὸ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν, καὶ διὰ τοῦ Ἀβραὰμ μειζόνως αὐτὸ δείκνυσιν ἢ ἐπηγγείλατο, καὶ ποιεῖ τὴν μάχην τῇ πίστει πρὸς τὰ ἔργα, καὶ τὸν ἀγῶνα ὅλον περὶ τὸν δίκαιον ἵστησι· καὶ οὐχ ἁπλῶς. διὸ καὶ σφόδρα σεμνύνει τὸν προπάτορα καλῶν, καὶ ἀνάγκην αὐτοῖς ἐπιτιθεὶς τοῦ πείθεσθαι ἐν πᾶσιν αὐτῷ. μὴ γάρ μοι τὸν Ἰουδαῖον εἴπῃς, φησί, μηδὲ τὸν δεῖνα καὶ τὸν δεῖνα ἀγάγῃς εἰς μέσον. ἐγὼ γὰρ ἐπὶ τὴν κορυφὴν ἁπάντων, καὶ ὅθεν ἡ περιτομὴ τὴν ἀρχὴν ἔλαβεν, ἄνειμι. Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, φησίν, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον. δύο γάρ ἐστι καυχήματα, τὸ μὲν ἀπὸ τῶν ἔργων, τὸ δὲ ἀπὸ τῆς πίστεως. Εἰπὼν τοίνυν, εἰ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν, ἔδειξεν ὅτι καὶ ἀπὸ πίστεως δύναιτ' ἂν ἔχειν καύχημα, καὶ πολλῷ μεῖζον. ἡ γὰρ πολλὴ τοῦ Παύλου δύναμις ἐν τούτῳ μάλιστα δείκνυται, ὅτι εἰς τοὐναντίον περιέτρεψε τὸ προκείμενον, καὶ ὅπερ εἶχεν ἡ διὰ τῶν ἔργων σωτηρία, τὸ καυχᾶσθαι καὶ παρρησιάζεσθαι, τοῦτο ἔδειξε πολλῷ πλέον τῆς πίστεως ὄν. ὁ μὲν γὰρ ἐν τοῖς ἔργοις καυχώμενος, τοὺς οἰκείους ἔχει προβάλλεσθαι πόνους· ὁ δὲ ἐπὶ τῷ πιστεῦσαι τῷ Θεῷ καλλωπιζόμενος, πολλῷ μείζονα καυχήσεως ἀφορμὴν ἐπιδείκνυται, ἅτε δοξάσας καὶ μεγαλύνας τὸν Κύριον. ἃ γὰρ οὐχ ὑπηγόρευσεν ἡ φύσις τῶν ὁρωμένων, ταῦτα ἀπὸ τῆς πίστεως καταδεξάμενος τῆς εἰς αὐτόν, καὶ τὴν γνησίαν ἀγάπην τὴν περὶ αὐτὸν ἐπεδείξατο, καὶ τὴν δύναμιν αὐτοῦ λαμπρῶς ἀνεκήρυξε. τοῦτο δὲ γενναιοτάτης ψυχῆς, καὶ φιλοσόφου γνώμης, καὶ ὑψηλῆς διανοίας. τὸ μὲν γὰρ μὴ κλέψαι μηδὲ φονεῦσαι καὶ τῶν τυχόντων ἐστί, τὸ δὲ πιστεῦσαι ὅτι τὰ ἀδύνατα δύναται Θεός, μεγαλοφυοῦς τινος δεῖται ψυχῆς καὶ σφόδρα περὶ αὐτὸν διακειμένης. καὶ γὰρ ἀγάπης γνησίας τοῦτο σημεῖόν ἐστι. τιμᾷ μὲν γὰρ τὸν Θεὸν καὶ ὁ τὰς ἐντολὰς πληρῶν, πολλῷ δὲ μειζόνως οὗτος ὁ διὰ τῆς πίστεως φιλοσοφῶν. ἐκεῖνος μὲν γὰρ ὑπήκουσεν αὐτῷ, οὗτος δὲ τὴν προσήκουσαν ἔλαβε περὶ αὐτοῦ δόξαν, καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως μειζόνως ἐδόξασε καὶ ἐθαύμασεν. ἐκεῖνο μὲν γὰρ οὖν τὸ καύχημα τοῦ κατορθοῦντός ἐστι, τοῦτο δὲ τὸν Θεὸν δοξάζει, καὶ ὅλον ἐστὶν αὐτοῦ. καυχᾶται γὰρ ἐπὶ τὸ περὶ αὐτοῦ μεγάλα φαντάζεσθαι, ἅπερ εἰς τὴν ἐκείνου διαβαίνει δόξαν. διὰ τοῦτό φησι πρὸς τὸν Θεὸν ἔχειν αὐτὸν τὸ καύχημα· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ δι' ἕτερον. καυχᾶται γὰρ πάλιν ὁ πιστός, οὐχ ὅτι τὸν Θεὸν ἐφίλησε μόνον γνησίως, ἀλλ' ὅτι καὶ πολλῆς παρ' αὐτοῦ τιμῆς ἀπήλαυσε καὶ ἀγάπης. ὥσπερ γὰρ αὐτὸς αὐτὸν ἠγάπησε μεγάλα περὶ αὐτοῦ φαντασθεὶς (τοῦτο γὰρ ἀγάπης δεῖγμα) οὕτω καὶ ὁ Θεὸς αὐτὸν ἐφίλησε μυρίοις ὑπεύθυνον ὄντα, οὐχὶ κολάσεως ἀπαλλάξας μόνον, ἀλλὰ καὶ δίκαιον ἐργασάμενος. ἔχει τοίνυν καυχᾶσθαι ὡς μεγάλης καταξιωθεὶς ἀγάπης.

3 Τί γὰρ ἡ γραφὴ λέγει; ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

4 Τῷ

4 Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα.

Οὐκοῦν τοῦτο μεῖζον, φησίν; οὐδαμῶς. Καὶ γὰρ τῷ πιστεύοντι λογίζεται.

Οὐκ ἂν δὲ ἐλογίσθη, εἰ μὴ καὶ αὐτός τι εἰσήνεγκεν. ὥστε καὶ οὗτος ὀφειλέτην ἔχει τὸν Θεόν, καὶ οὐ τὴν τυχοῦσαν ὀφειλέτην, ἀλλὰ μεγάλων καὶ ὑψηλῶν πραγμάτων. δεικνὺς γὰρ αὐτοῦ τὴν μεγαλόνοιαν καὶ τὴν πνευματικὴν διάνοιαν, οὐχ ἁπλῶς εἶπε, τῷ πιστεύοντι, ἀλλὰ

5 Τῷ πιστεύοντι ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην. Ἐννόησον γὰρ ἡλίκον ἐστὶ πεισθῆναι καὶ πληροφορηθῆναι, ὅτι δύναται ὁ Θεὸς τὸν ἐν ἀσεβείᾳ βεβιωκότα τοῦτον ἐξαίφνης οὐχὶ κολάσεως ἐλευθερῶσαι μόνον, ἀλλὰ καὶ δίκαιον ποιῆσαι, καὶ τῶν ἀθανάτων ἐκείνων ἀξιῶσαι τιμῶν. μὴ τοίνυν νομίσῃς τοῦτον ἐλαττοῦσθαι, ὅτι ἐκεῖνος οὐ κατὰ χάριν λογίζεται. αὐτὸ γὰρ τοῦτο μάλιστα ποιεῖ τὸν πιστὸν εἶναι λαμπρόν, τὸ τοσαύτης ἀπολαῦσαι χάριτος, τὸ τοιαύτην πίστιν ἐπιδείξασθαι. καὶ ὅρα καὶ τὴν ἀντίδοσιν μείζονα. ἐκείνῳ μὲν γὰρ μισθὸς δίδοται, τούτῳ δὲ δικαιοσύνη. πολὺ δὲ μεῖζον μισθοῦ δικαιοσύνη. πολλῶν γὰρ ἐστὶ μισθῶν περιεκτικωτάτη ἀντίδοσις ἡ δικαιοσύνη. δείξας τοίνυν ἀπὸ τοῦ Ἀβραὰμ τοῦτο, καὶ τὸν Δαβὶδ ἐπάγει λοιπὸν ψηφιζόμενον τοῖς εἰρημένοις. τί οὖν φησὶν ὁ Δαβίδ; καὶ τίνα μακαρίζει; τὸν ἐν ἔργοις κομῶντα, ἢ τὸν χάριτος ἀπολελαυκότα, τὸν ἀφέσεως καὶ δωρεᾶς τετυχηκότα; μακαριότητα δὲ ὅταν εἴπω, τὴν κορυφὴν λέγω τῶν ἀγαθῶν ἁπάντων. ὥσπερ γὰρ μισθοῦ πλέον ἡ δικαιοσύνη, οὕτω δικαιοσύνης πλέον ὁ μακαρισμός. δείξας τοίνυν τὴν δικαιοσύνην βελτίω οὐ τῷ τὸν Ἀβραὰμ αὐτὴν εἰληφέναι μόνον, ἀλλὰ καὶ ἀπὸ λογισμῶν (ἔχει γὰρ καύχημα, φησίν, ἀλλ' οὐ πρὸς τὸν Θεόν) καὶ ἑτέρῳ τρόπῳ πάλιν αὐτὴν ἀποφαίνει σεμνοτέραν, τὸν Δαβὶδ εἰσάγων αὐτῇ ψηφιζόμενον. καὶ γὰρ οὗτος, φησί, τὸν οὕτω δικαιωθέντα μακαρίζει λέγων,

7 Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Καὶ δοκεῖ μὲν οὐ πρὸς ὑπόθεσιν παράγειν μαρτυρίαν. οὐδὲ γὰρ εἶπε, μακάριοι ὧν ἡ πίστις εἰς δικαιοσύνην ἐλογίσθη. ποιεῖ δὲ αὐτὸ ἑκών, οὐκ ἀγνοῶν, ἵνα πλείονα δείξῃ τὴν ὑπερβολήν. εἰ γὰρ μακάριος οὗτος ὁ λαβὼν ἄφεσιν ἀπὸ χάριτος, πολλῷ μᾶλλον ὁ δικαιωθείς, καὶ ὁ πίστιν ἐπιδειξάμενος. ὅπου δὲ μακαρισμός, αἰσχύνη πᾶσα ἀνῄρηται, καὶ πολλὴ ἡ δόξα. ἐπίτασις γὰρ ἐστὶ καὶ μισθῶν δόξα ὁ μακαρισμός. διὰ τοῦτο, ὁ μὲν ἐστὶν ἐκείνου πλεονέκτημα ἄγραφον τέθεικεν εἰπών, τῷ γὰρ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν· ὃ δέ ἐστι τοῦ πιστοῦ προτέρημα, τοῦτο δι' ἐγγράφου μαρτυρίας κατασκευάζει λέγων, καθὼς εἶπε Δαβίδ, Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἀπεκαλύφθησαν αἱ ἁμαρτίαι. τί γὰρ λέγεις, φησίν; ὅτι οὐ κατὰ ὀφείλημα, ἀλλὰ κατὰ χάριν λαμβάνουσι τὴν ἄφεσιν; ἀλλ' ἰδοὺ οὗτός ἐστιν ὁ μακαριζόμενος. οὐκ ἂν δὲ αὐτὸν ἐμακάρισεν, εἰ μὴ καὶ δόξης εἶδεν ἀπολαύοντα πολλῆς. καὶ οὐ λέγει, ἡ ἄφεσις οὖν αὕτη ἐπὶ τὴν περιτομήν· ἀλλὰ τί;

9 Ὁ μακαρισμὸς οὗτος (ὅπερ πλέον ἦν) ἐπὶ τὴν περιτομήν, ἢ ἐπὶ τὴν ἀκροβυστίαν; Ζητεῖται γὰρ λοιπὸν τὸ ἀγαθὸν τοῦτο, καὶ μέγα κατὰ τίνος ἔτυχεν, ἆρα κατὰ τῆς περιτομῆς, ἢ κατὰ τῆς ἀκροβυστίας. καὶ ὅρα τὴν ὑπερβολήν. δείκνυσι γὰρ αὐτὸ οὐ μόνον οὐ φεύγον τὴν ἀκροβυστίαν, ἀλλὰ καὶ ἐμφιλοχωροῦν αὐτῇ περὶ τῆς περιτομῆς. ἐπεὶ γὰρ ὁ μακαρίζων καὶ αὐτὸς ἐμπερίτομος ἦν ὁ Δαβίδ, καὶ ἐμπεριτόμοις διελέγετο, ὅρα πῶς ἐφιλονείκησεν ὁ Παῦλος εἰς τὸν ἀκρόβυστον ἀγαγεῖν τὸ εἰρημένον. Συνάψας γὰρ τῇ δικαιοσύνῃ τὸν μακαρισμόν, καὶ δείξας ἀμφότερα ἕν, ζητεῖ πῶς ἐδικαιώθη ὁ Ἀβραάμ. εἰ γὰρ ὁ μακαρισμὸς τοῦ δικαίου, ἐδικαιώθη δὲ ὁ Ἀβραάμ, ἴδωμεν πῶς ἐδικαιώθη, ἀκρόβυστος ὤν, ἢ ἐμπερίτομος. ἀκρόβυστος, φησί.

10 Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ'

ἐν

ἐν ἀκροβυστίᾳ. καὶ, Λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

Ἀνωτέρω τὴν γραφὴν εἰπὼν (τί γὰρ ἡ γραφὴ λέγει, φησίν; ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην) ἐνταῦθα καὶ τὴν τῶν λεγόντων λαμβάνει κρίσιν λοιπὸν, καὶ δείκνυσιν ἐν τῇ ἀκροβυστίᾳ τὴν δικαιοσύνην γεγενημένην. εἶτα ἀπὸ τούτων ἀντίθεσιν ἑτέραν ἀνακύπτουσαν λύει. εἰ γὰρ ἀκρόβυστος ὢν, φησιν, ἐδικαιώθη, τίνος ἕνεκεν ἐπεισῆλθεν ἡ περιτομή;

11 Σημεῖον ἔλαβε, φησι, καὶ σφραγῖδα τῆς δικαιοσύνης τῆς διὰ τῆς πίστεως τῆς, ἡνίκα ἦν ἀκρόβυστος, γενομένης αὐτῷ. Εἶδες πῶς ἔδειξεν ὡς ἐν τάξει παρασίτων ὄντας Ἰουδαίους; ἢ καὶ τούτους τοὺς ἐν ἀκροβυστίᾳ, ἐκείνοις προσερριμμένους; εἰ γὰρ ἐδικαιώθη μὲν ἀκρόβυστος ὢν καὶ ἐστεφανώθη, ὕστερον δὲ τὴν περιτομὴν ἔλαβεν, ὕστερον δὲ ἐπεισῆλθον οἱ Ἰουδαῖοι, οὐκοῦν τῶν ἀκροβύστων πρῶτόν ἐστι πατὴρ ὁ Ἀβραὰμ τῶν διὰ πίστεως αὐτῷ προσηκόντων, καὶ τότε τῶν ἐν περιτομῇ. διπλοῦς γάρ ἐστι πρόγονος. Εἶδες τὴν πίστιν λάμπουσαν; ἕως γὰρ ἦλθεν αὕτη, οὐκ ἐδικαιώθη ὁ πατριάρχης. Εἶδες τὴν ἀκροβυστίαν οὐδὲν ἐμποδίζουσαν; καὶ γὰρ ἀκρόβυστος ἦν, καὶ οὐκ ἐκωλύθη δικαιωθῆναι. ὑστέρα ἄρα τῆς πίστεως ἡ περιτομή. καὶ τί θαυμάζεις εἰ τῆς πίστεως ἡ περιτομὴ, ὅπουγε καὶ τῆς ἀκροβυστίας; οὐχ ὑστέρα δὲ μόνον τῆς πίστεως, ἀλλὰ καὶ σφόδρα αὐτῆς καταδεεστέρα, καὶ τοσοῦτον, ὅσον σημεῖον τοῦ πράγματος οὗπερ ἐστὶ σημεῖον· οἷον ὅσον ἡ σφραγὶς, τοῦ στρατιώτου. καὶ τίνος ἕνεκεν σφραγῖδος ἐδεῖτο, φησιν; οὐκ αὐτὸς ἐδεῖτο. τίνος οὖν ἕνεκεν αὐτὴν ἐδέξατο; εἰς τὸ γενέσθαι αὐτὸν πατέρα κοινὸν τῶν πιστευόντων δι᾽ ἀκροβυστίας, καὶ τῶν ἐν περιτομῇ. ἀλλ᾽ οὐχ ἁπλῶς τῶν ἐν περιτομῇ, διὸ καὶ ἐπάγει, Τοῖς οὐκ ἐκ περιτομῆς μόνον. Εἰ γὰρ τῶν ἀκροβύστων, οὐκ ἐπειδὴ ἀκρόβυστός ἐστι, διὰ τοῦτο ἐστὶ πατὴρ, καίτοιγε ἐν ἀκροβυστίᾳ δικαιωθεὶς, ἀλλ᾽ ἐπειδὴ τὴν πίστιν αὐτοῦ ἐζήλωσαν, πολλῷ μᾶλλον τῶν ἐμπεριτέμνων οὐκ ἔσται διὰ τὴν περιτομὴν πρόγονος, εἰ μὴ προσγένοιτο καὶ ἡ πίστις. περιτομὴν γὰρ ἔλαβεν ἵνα ἑκάτεροι, φησιν, αὐτὸν ἔχωμεν πρόγονον, καὶ οἱ ἀκρόβυστοι μὴ ἀπωθῶνται τοὺς ἐμπεριτόμους. ὅρα πῶς αὐτοὶ προπάτορα ἔχοι αὐτὸν πρῶτοι. εἰ δὲ σεμνὸν ἡ περιτομὴ ὅτι κηρύττει τὴν δικαιοσύνην, οὐ μικρὰν καὶ ἡ ἀκροβυστία προεδρίαν ἔχει πρὸ τῆς περιτομῆς αὐτὴν δεξαμένη. τότε αὐτὸν δυνήσῃ προπάτορα ἔχειν, ὅταν στοιχήσῃς τοῖς ἴχνεσι τῆς πίστεως, καὶ μηδὲ φιλονεικῇς μηδὲ στασιάζῃς τὸν νόμον ἐπεισάγων. ποίας, εἰπέ μοι, πίστεως;

12 Τῆς ἐν τῇ ἀκροβυστίᾳ. Πάλιν καταστέλλει τὸ φύσημα τὸ Ἰουδαϊκὸν, ἀναμιμνήσκων τοῦ χρόνου τῆς δικαιοσύνης. καὶ καλῶς εἶπε τοῖς ἴχνεσιν, ἵνα ὁμοίως ἐκείνῳ πιστεύσῃς εἰς νεκρῶν ἀνάστασιν σωμάτων. καὶ γὰρ ἐκεῖνος περὶ τοῦτο τὴν πίστιν ἐπεδείξατο· ὥστε εἰ τὴν ἀκροβυστίαν ἐκβάλλεις, μάνθανε σαφῶς ὅτι οὐδέν σοι οὐδὲ τῆς περιτομῆς ὄφελος. ἂν γὰρ μὴ τοῖς ἴχνεσιν ἀκολουθήσῃς τῆς πίστεως, κἂν μυριάκις ᾖς ἐμπερίτομος, οὐκ ἔσῃ τοῦ Ἀβραὰμ ἔκγονος. ἐπεὶ καὶ τὴν περιτομὴν διὰ τοῦτο ἔλαβεν, ἵνα σε ὁ ἐν ἀκροβυστίᾳ μὴ ἐκβάλλῃ. μὴ δὴ καὶ ἐκεῖνον τοῦτο ἀπαίτει· σοὶ γὰρ τὸ πρᾶγμα βοήθεια γέγονεν, οὐκ ἐκείνῳ. ἀλλὰ σημεῖον αὐτὸ δικαιοσύνης, φησί. καὶ τοῦτο διὰ σέ· ἐπεὶ νῦν οὐδὲ τοῦτό ἐστι. τότε γὰρ σὺ τῶν σωματικῶν ἐχρῄζες σημείων, νῦν δὲ οὐ χρεία τούτων. ἀπὸ γὰρ τῆς πίστεως, φησιν, οὐκ ἦν δυνατὸν αὐτοῦ καταμαθεῖν τῆς ψυχῆς τὴν ἀρετήν; δυνατὸν μὲν ἦν, σὺ δὲ καὶ ταύτης ἐχρῄζες τῆς προσθήκης. ἐπειδὴ γὰρ τῆς ψυχῆς τὴν ἀρετὴν οὐκ ἐζήλωσας, οὐδὲ ἰδεῖν ἠδυνήθης, ἐδόθη σοι ἡ αἰσθητὴ περιτομὴ, ἵνα ἐμμελετήσας τῷ σωματικῷ τούτῳ, κατὰ μικρὸν χειραγωγηθῇς καὶ ἐπὶ τὴν τῆς ψυχῆς φιλοσοφίαν, καὶ μετὰ πολλῆς αὐτὴν ὑποδεξάμενος τῆς σπουδῆς ὡς ἀξίωμα μέγιστον, παιδευθῇς μιμεῖσθαι καὶ αἰδεῖσθαι τὸν πρόγονον. καὶ τοῦτο οὐκ ἐν τῇ περιτομῇ μόνον ὁ Θεὸς κατεσκεύασεν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷον θυσίαις λέγω,

γρ. ἴσως, ἢ τοὺς ἐν ἀκροβυστίᾳ, ἢ τούτους ἐκείνοις. γρ. ἐκείνους

λέγω, καὶ σάββασι, καὶ ἑορταῖς. ὅτι γὰρ διὰ σὲ περιτομὴν ἔλαβεν, ἄκουσον τῆς ἑξῆς. Εἰπὼν γὰρ ὅτι σημεῖον ἔλαβε καὶ σφραγῖδα, καὶ τὴν αἰτίαν τίθησι λέγων, Εἰς τὸ γενέσθαι αὐτὸν πατέρα περιτομῆς, Τούτοις τοῖς καὶ τὴν νοητὴν προσλαμβανομένοις. ὡς ἐὰν ταύτην μόνον ἔχῃς, οὐδέν σοι γίνεται πλέον. σημεῖον γὰρ τότε τοῦτό ἐστιν, ὅταν τὸ πρᾶγμα, οὗ τοῦτο ἐστι σημεῖον, φαίνηται παρὰ σοί, τουτέστιν, ἡ πίστις. ὡς ἂν μὴ ταύτην ἔχῃς, οὐδὲ τὸ σημεῖον λοιπὸν εἶναι σημεῖον δύναται. τίνος γὰρ ἔσται σημεῖον; τίνος δὲ σφραγίς, οὐκ ὄντος τοῦ σφραγιζομένου; ὡς ἂν εἰ καὶ βαλάντιον ἐπιδεικνύεις ἡμῖν σφραγῖδα ἔχον, μηδενὸς ἔνδον ἀποκειμένου. ὥστε καταγέλαστος ἡ περιτομή, τῆς πίστεως ἔνδον οὐκ οὔσης. εἰ γὰρ δικαιοσύνης ἐστὶ σημεῖον, δικαιοσύνην δὲ οὐκ ἔχεις, οὐδὲ σημεῖον ἔχεις. διὰ γὰρ τοῦτο ἔλαβες σημεῖον, ἵνα τὸ πρᾶγμα ἐπιζητῇς, οὗ τὸ σημεῖον ἔχεις. ὡς εἴ γε ἔμελλες αὐτὸ χωρὶς τούτου ἐπιζητεῖν, οὐκ ἂν ἐδέησέ σοι τούτου. οὐ τοῦτο δὲ κηρύττει μόνον ἡ περιτομή, τὴν δικαιοσύνην, ἀλλὰ καὶ τὴν ἐν ἀκροβυστίᾳ δικαιοσύνην. οὐδὲν οὖν ἄλλο κηρύττει ἡ περιτομή, ἀλλ' ὅτι οὐ χρεία περιτομῆς.

14 Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία.

Ἔδειξεν ὅτι ἀναγκαία ἡ πίστις, ὅτι πρεσβυτέρα περιτομῆς, ὅτι νόμου ἰσχυροτέρα, ὅτι συνίστησι νόμον. εἰ γὰρ πάντες ἥμαρτον, ἀναγκαία· εἰ ἀκρόβυστος ὢν ἐδικαιώθη, πρεσβυτέρα· εἰ διὰ νόμου ἐπίγνωσις ἁμαρτίας, χωρὶς δὲ νόμου πεφανέρωται, ἰσχυροτέρα· εἰ μαρτυρεῖται ὑπὸ τοῦ νόμου καὶ τὸν νόμον ἵστησιν, οὐκ ἐναντία, ἀλλὰ φίλη καὶ σύμμαχος. δείκνυσι πάλιν καὶ ἑτέρωθεν ὅτι οὐδὲ δυνατὸν ἦν διὰ νόμου τὴν κληρονομίαν λαβεῖν· καὶ παραβαλὼν αὐτὴν τῇ περιτομῇ καὶ λαβὼν τὰ νικητήρια, ἀντεπεξάγει πάλιν αὐτὴν τῷ νόμῳ, οὕτω λέγων, Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις. ἵνα γὰρ μή τις λέγῃ, ὅτι καὶ πίστιν δυνατὸν ἔχειν καὶ νόμον τηρῆσαι, δείκνυσιν ὅτι ἀμήχανον. ὁ γὰρ ἐχόμενος τοῦ νόμου ὡς σώζοντος, ἀτιμάζει τῆς πίστεως τὴν δύναμιν. διό φησι, κεκένωται ἡ πίστις· τουτέστιν, οὐ χρεία τῆς κατὰ χάριν σωτηρίας. οὐδὲ γὰρ δύναται τὴν ἰσχὺν τὴν ἑαυτῆς ἐπιδείξασθαι. καὶ κατήργηται ἡ ἐπαγγελία. καὶ γὰρ ὁ Ἰουδαῖος ἴσως ἂν εἴποι, τί γάρ μοι χρεία πίστεως; οὐκοῦν εἰ τοῦτο ἀληθές, μετὰ τῆς πίστεως καὶ τὰ τῆς ἐπαγγελίας ἀνῄρηται. ὅρα ἐν πᾶσιν αὐτὸν ἄνωθεν ἀπὸ τοῦ πατριάρχου μαχόμενον. δείξας γὰρ ἐκεῖθεν τὴν δικαιοσύνην τῇ πίστει συγκεκληρωμένην, δείκνυσι καὶ τὴν ἐπαγγελίαν ὁμοίως. ἵνα γὰρ μὴ λέγῃ ὁ Ἰουδαῖος, τί γάρ μοι μέλει εἰ διὰ πίστεως ἐδικαιώθη Ἀβραάμ; λέγει ὁ Παῦλος, ὅτι οὐδὲ τὸ σοὶ διαφέρον, ἡ ἐπαγγελία τῆς κληρονομίας δύναται εἰς ἔργον ἐλθεῖν ἐκείνης χωρίς, ὃ μάλιστα αὐτοὺς ἐξεφόβει. ποίαν δὲ ἐπαγγελίαν φησί; τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, καὶ ἐν αὐτῷ πάντας εὐλογεῖσθαι. καὶ πῶς κατήργηται ἡ ἐπαγγελία αὕτη, φησί;

15 Ὅτι ὁ νόμος ὀργὴν κατεργάζεται. οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις.

Εἰ δὲ ὀργὴν κατεργάζεται καὶ παραβάσει ὑπευθύνους ποιεῖ, εὔδηλον ὅτι καὶ κατάραν. οἱ δὲ κατάρᾳ καὶ τιμωρίᾳ καὶ παραβάσει ὄντες ὑπεύθυνοι, οὐ τοῦ κληρονομεῖν ἄξιοι, ἀλλὰ τοῦ δίκην διδόναι καὶ ἐκβάλλεσθαι. τί οὖν γίνεται; ἔρχεται ἡ πίστις ἐφελκομένη τὴν χάριν, ὥστε τὴν ἐπαγγελίαν εἰς ἔργον ἐξελθεῖν. ὅπου γὰρ χάρις, συγχώρησις· ὅπου δὲ συγχώρησις, οὐδεμία κόλασις. κολάσεως δὲ ἀνῃρημένης, καὶ δικαιοσύνης ἐπιγινομένης ἀπὸ τῆς πίστεως, οὐδὲν τὸ κωλῦον κληρονόμους ἡμᾶς γενέσθαι τῆς ἐπαγγελίας τῆς ἀπὸ τῆς πίστεως.

16 Διὰ τοῦτο οὖν ἐκ πίστεως, φησιν, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν. Ὁρᾷς ὅτι οὐ τὸν νόμον ἵστησι μόνον ἡ πίστις, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐκ ἀφίησι διαπεσεῖν· ὁ δὲ νόμος τοὐναντίον καὶ τὴν πίστιν καταργεῖ παρὰ καιρὸν τηρούμενος, καὶ τὴν ἐπαγγελίαν κωλύει; διὰ τούτων δείκνυσιν οὐ μόνον οὐ περιτ-

τὴν

τὴν πίστιν, ἀλλὰ καὶ οὕτως ἀναγκαίαν ὡς μηδὲ εἶναι ταύτης ἄνευ σωθῆναι. ὁ μὲν γὰρ νόμος ὀργὴν ποιεῖ· πάντες γὰρ αὐτὸν παρέβησαν. αὕτη δὲ οὐδὲ συστῆναι τὴν ὀργὴν ἀφίησι τὴν ἀρχήν. οὗ γὰρ οὐκ ἔστι, φησί, νόμος, οὐδὲ παράβασις. Εἶδες πῶς οὐ μόνον γενομένην ἀφανίζει τὴν ἁμαρτίαν, ἀλλ' οὐδὲ φῦναι αὐτὴν ἀφίησι; διὰ τοῦτό φησι, κατὰ χάριν. εἰς τὸ τί; οὐκ εἰς τὸ καταισχυνθῆναι, ἀλλ' εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι. δύο τίθησιν ἐνταῦθα τὰ ἀγαθά, ὅτι καὶ βέβαια τὰ διδόμενα, καὶ παντὶ τῷ σπέρματι, τοὺς ἐξ ἐθνῶν συνάγων, καὶ δεικνὺς Ἰουδαίους ἐκτὸς ὄντας, ἂν πρὸς τὴν πίστιν φιλονεικήσωσι. τοῦτο γὰρ βέβαιον μᾶλλον ἢ ἐκεῖνο. οὐ γὰρ ζημιοῖ σε ἡ πίστις, μὴ φιλονείκει, ἀλλὰ καὶ κινδυνεύοντά σε ἐκ τοῦ νόμου, διασώζει. Εἶτα ἐπειδὴ εἶπε, παντὶ τῷ σπέρματι, διορίζει ποίῳ σπέρματι. τῷ ἐκ τῆς πίστεως, φησί, συνάπτων τὴν πρὸς τὰ ἔθνη συγγένειαν, καὶ δεικνὺς ὅτι οὐδὲ δύνανται φρονεῖν ἐπὶ τῷ Ἀβραὰμ οἱ μὴ πιστεύοντες ὁμοίως ἐκείνῳ. ἰδοὺ καὶ τρίτον ἡ πίστις ἄλλο εἰργάσατο. τὴν γὰρ συγγένειαν τὴν πρὸς τὸν δίκαιον ἀκριβεστέραν ἐποίησε, καὶ πλειόνων ἐκγόνων ἀπέφηνε πρόγονον. διὸ οὐδὲ ἁπλῶς εἶπεν Ἀβραάμ, ἀλλά, τοῦ πατρὸς ἡμῶν τῶν πιστῶν. εἶτα καὶ τῇ μαρτυρίᾳ ἐπισφραγίζων τὸ εἰρημένον,

17 Καθὼς γέγραπται, φησίν, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. Εἶδες ταῦτα ἄνωθεν οἰκονομούμενα; τί οὖν, φησίν, εἰ περὶ τῶν Ἰσμαηλιτῶν, ἢ τῶν Ἀμαληκιτῶν, ἢ τῶν Ἀγαρηνῶν ταῦτα λέγει; τοῦτο μὲν οὖν προϊὼν σαφέστερον δείκνυσιν οὐ περὶ ἐκείνων εἰρημένον· τέως δὲ ἐφ' ἕτερον ἐπείγεται, δι' οὗ καὶ αὐτὸ τοῦτο δείκνυσιν, ὁριζόμενος τῆς τοιαύτης συγγενείας τὸν τρόπον, καὶ μετὰ πολλῆς αὐτὸ τῆς μεγαλονοίας κατασκευάζων. τί γάρ φησι;

Κατέναντι οὗ ἐπίστευσε Θεοῦ.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ ὁ Θεὸς οὐκ ἔστι μερικὸς Θεός, ἀλλὰ πάντων πατήρ, οὕτω καὶ αὐτός. καὶ πάλιν, ὥσπερ ὁ Θεὸς πατήρ ἐστιν οὐ κατὰ τὴν φυσικὴν συγγένειαν, ἀλλὰ κατὰ οἰκείωσιν πίστεως, οὕτω καὶ αὐτός· ἡ γὰρ ὑπακοὴ ποιεῖ πατέρα πάντων ἡμῶν. ἐπειδὴ γὰρ οὐδὲν ἐνόμιζον εἶναι ταύτην τὴν συγγένειαν, τὴν παχυτέραν ἐκείνην κατασχόντες, δείκνυσι ταύτην κυριωτέραν, ἐπὶ τὸν Θεὸν τὸν λόγον ἀνάγων. καὶ μετὰ τούτων κἀκεῖνο ἐμφαίνει, ὅτι καὶ ἀμοιβὴν τῆς πίστεως ταύτην ἔλαβεν· ὥστε ἂν μὴ τοῦτο ᾖ, καὶ πάντων ὁ πατὴρ τῶν τὴν γῆν οἰκούντων, τὸ κατέναντι οὐκ ἔχει χώραν, ἀλλ' ἠκρωτηρίασται ἡ τοῦ Θεοῦ δωρεά· τὸ γὰρ κατέναντι, ὁμοίως ἐστί. ποῦ γὰρ θαυμαστόν, εἰπέ μοι, τῶν ἐξ αὐτοῦ πατέρα εἶναι; τοῦτο γὰρ ἕκαστος κέκτηται τῶν ἀνθρώπων. ὃ γὰρ παράδοξον ἐκεῖνό ἐστιν, οὓς οὐκ εἶχεν ἐκ φύσεως, τούτους ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς λαβεῖν. ὥστε εἰ βούλει πιστεῦσαι ὅτι ἐτιμήθη ὁ πατριάρχης, πίστευσον ὅτι πάντων ἐστὶ πατήρ. Εἰπὼν δὲ κατέναντι οὗ ἐπίστευσε Θεοῦ, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἐπήγαγε, Τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα, ἤδη τὸν περὶ τῆς ἀναστάσεως προκαταβαλλόμενος λόγον. καὶ εἰς τὸ προκείμενον δὲ αὐτῷ χρήσιμος ἦν. εἰ γὰρ δυνατὸν αὐτῷ νεκροὺς ζωοποιῆσαι, καὶ τὰ μὴ ὄντα ὡς ὄντα παραγαγεῖν, δυνατὸν αὐτῷ καὶ τοὺς μὴ τεχθέντας ἐξ αὐτοῦ ποιῆσαι παῖδας αὐτοῦ. διὰ τοῦτο οὐδὲ εἶπε, τοῦ παράγοντος τὰ οὐκ ὄντα, ἀλλὰ καλοῦντος, τὴν πλείονα εὐκολίαν δηλῶν. ὥσπερ γὰρ ἡμῖν εὔκολον τὰ ὄντα καλέσαι, οὕτως αὐτῷ ῥᾴδιον, καὶ πολλῷ ῥᾷον τὰ μὴ ὄντα ὑποστήσασθαι. Εἰπὼν δὲ τοῦ Θεοῦ τὴν δωρεὰν μεγάλην οὖσαν καὶ ἄφατον, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ διαλεχθείς, δείκνυσι καὶ τοῦ Ἀβραὰμ τὴν πίστιν ἀξίαν οὖσαν τῆς δωρεᾶς, ἵνα μὴ νομίσῃς αὐτὸν εἰκῆ τετιμῆσθαι. καὶ τὸν ἀκροατὴν ἀναστήσας, ἵνα μὴ θορυβῆται μηδὲ ἀμφιβάλλῃ ὁ Ἰουδαῖος καὶ λέγῃ, καὶ πῶς δυνατὸν τοὺς οὐκ ὄντας παῖδας γενέσθαι παῖδας; μετάγει τὸν λόγον ἐπὶ τὸν πατριάρχην, καί φησιν,

18 Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν· κατὰ τὸ εἰρημένον, οὕτως ἔσται τὸ σπέρμα σου.

Πῶς

Πῶς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε; παρ' ἐλπίδα τὴν ἀνθρωπίνην, ἐπ' ἐλπίδι τῇ τοῦ Θεοῦ. δείκνυσι γὰρ καὶ τὸ μεγαλεῖον τοῦ πράγματος, καὶ οὐκ ἀφίησιν ἀπιστηθῆναι τὸ λεγόμενον· ἅπερ ἐναντία ἀλλήλοις ἐστίν, ἀλλ' ἡ πίστις αὐτὰ συνεκέρασεν. Εἰ δὲ περὶ ἐκείνων ἔλεγε τῶν ἐκ τοῦ Ἰσμαήλ, περιττὸς ἦν ὁ λόγος. ἐκεῖνοι γὰρ οὐ κατὰ πίστιν, ἀλλὰ κατὰ φύσιν ἐτέχθησαν. ἀλλὰ καὶ τὸν Ἰσαὰκ εἰς μέσον ἄγει. οὐ γὰρ ὑπὲρ ἐκείνων ἐπίστευσε τῶν ἐθνῶν, ἀλλὰ τῶν ἀπὸ τῆς στείρας γυναικὸς ἐσομένου. Εἰ τοίνυν μισθός ἐστι τὸ πατέρα πολλῶν ἐθνῶν γενέσθαι, ἐκείνων τῶν ἐθνῶν ὑπὲρ ὧν ἐπίστευσε δῆλον ὅτι. ἵνα γὰρ μάθῃς ὅτι περὶ τούτων φησίν, ἄκουσον τῶν ἑξῆς,

19 Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας τῆς Σάῤῥας. Εἶδες πῶς τίθησι καὶ τὰ κωλύματα, καὶ τὴν ὑψηλὴν τοῦ δικαίου γνώμην πάντα ὑπερβαίνουσαν; παρ' ἐλπίδα, φησί, τὸ ἐπαγγελθέν. τοῦτο κώλυμα πρῶτον. οὐδὲ γὰρ εἶχεν αὐτὸς ἕτερον Ἀβραὰμ οὕτω λαβόντα παῖδα ἰδεῖν. οἱ μὲν γὰρ μετ' αὐτόν, εἰς αὐτὸν ἔβλεπον, ἐκεῖνος δὲ εἰς οὐδένα, ἀλλ' εἰς τὸν Θεὸν μόνον. διὸ καὶ παρ' ἐλπίδα ἔλεγεν. εἶτα τὸ σῶμα νενεκρωμένον· δεύτερον τοῦτο. καὶ ἡ νέκρωσις τῆς μήτρας Σάῤῥας· τοῦτο καὶ τρίτον, καὶ τέταρτον.

20 Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ. Οὐδὲ γὰρ ἀπόδειξιν ἔδωκεν, οὔτε σημεῖον ἐποίησεν ὁ Θεός, ἀλλὰ ῥήματα ἦν ψιλὰ μόνον ἐπαγγελλόμενα ἅπερ οὐκ ὑπισχνεῖτο ἡ φύσις. ἀλλ' ὅμως οὐ διεκρίθη, φησίν. οὐκ εἶπεν ὅτι οὐκ ἠπίστησεν, ἀλλ', οὐ διεκρίθη· τουτέστιν, οὐδὲ ἐνεδοίασεν, οὐδὲ ἀμφέβαλε, καὶ τοσούτων ὄντων τῶν κωλυμάτων. ἀπὸ τούτων μανθάνομεν, ὅτι κἂν μυρία ὁ Θεὸς ἀδύνατα ἐπαγγέλληται, μὴ καταδέξηται δὲ ὁ ἀκούων, οὐ τῆς τῶν πραγμάτων φύσεώς ἐστιν ἡ ἀσθένεια, ἀλλὰ τῆς ἀνοίας τοῦ μὴ δεχομένου. Ἀλλ' ἐνεδυναμώθη τῇ πίστει. Ὅρα Παύλου φιλοσοφίαν. ἐπειδὴ γὰρ περὶ τῶν ἐργαζομένων καὶ τῶν πιστευόντων ἦν ὁ λόγος, δείκνυσι τὸν πιστεύοντα ἐργαζόμενον μᾶλλον ἢ ἐκεῖνον, καὶ πλείονος δεόμενον δυνάμεως καὶ πολλῆς τῆς ἰσχύος, καὶ οὐ τὸν τυχόντα ὑπομένοντα πόνον. καὶ γὰρ ἐξευτέλιζον τὴν πίστιν ὡς οὐκ ἔχουσαν πόνον. πρὸς τοῦτο τοίνυν ἱστάμενος δείκνυσιν ὅτι οὐ μόνον ὁ σωφροσύνην κατορθῶν, ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλὰ καὶ ὁ πίστιν ἐπιδεικνύμενος δυνάμεως δεῖται πλείονος. ὥσπερ γὰρ ἐκεῖνος χρείαν ἔχει ἰσχύος, ἵνα τοὺς τῆς ἀκολασίας διακρούσηται λογισμούς· οὕτω καὶ οὗτος χρείαν ἔχει δυνάμεως ψυχῆς, ἵνα τὰς τῆς ἀπιστίας ἐξωθήσηται ἐννοίας. πῶς οὖν ἐγένετο ἰσχυρός; τῇ πίστει, φησίν, οὐ λογισμοῖς τὸ πρᾶγμα ἐπιτρέψας· ἐπεὶ ἂν κατέπεσε. πῶς δὲ αὐτὴν τὴν πίστιν κατώρθωσε; Δοὺς δόξαν τῷ Θεῷ, φησι,

21 Καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. Ἄρα τὸ μὴ περιεργάζεσθαι, δοξάζειν ἐστὶ τὸν Θεόν, ὥσπερ οὖν τὸ περιεργάζεσθαι, πλημμελεῖν. Εἰ δὲ τὰ κάτω περιεργαζόμενοι καὶ ζητοῦντες οὐ δοξάζομεν, πολλῷ μᾶλλον τὴν τοῦ δεσπότου γέννησιν πολυπραγμονοῦντες, ὡς ὑβρίζοντες τὰ ἔσχατα πεισόμεθα. Εἰ γὰρ τὸν τύπον τῆς ἀναστάσεως οὐ χρὴ ζητεῖν, πολλῷ μᾶλλον τὰ ἀπόῤῥητα ἐκεῖνα καὶ φρικτά. καὶ οὐκ εἶπε πιστεύσας ἁπλῶς, ἀλλά, πληροφορηθείς· τοιοῦτον γὰρ ἡ πίστις, τῆς ἀπὸ λογισμῶν ἀποδείξεως σαφεστέρα, καὶ μᾶλλον πείθει. οὐδὲ γάρ ἐστι λογισμὸν ἕτερον ἐπεισελθόντα αὐτὴν διασαλεῦσαι λοιπόν. ὁ μὲν γὰρ λόγοις πειθόμενος, καὶ μεταπεισθῆναι δύναται· ὁ δὲ τῇ πίστει βεβαιούμενος ἀπετείχισε λοιπὸν αὐτοῦ τὴν ἀκοὴν τοῖς λυμαινομένοις αὐτὴν λόγοις. Εἰπὼν τοίνυν ὅτι ἀπὸ πίστεως ἐδικαιώθη, δείκνυσιν ὅτι καὶ ἐδόξασε τὸν Θεὸν ἀπὸ τῆς πίστεως· ὃ βίου μάλιστά ἐστιν ἴδιον. (Ματθ ε. ις.) Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ἰδοὺ τοῦτο τῆς πίστεως ὂν ἐφάνη. πάλιν δὲ ὥσπερ τὰ ἔργα δεῖται δυνάμεως, οὕτω καὶ ἡ πίστις. ἐκεῖ μὲν γὰρ

πολλάκις

πολλάκις καὶ τὸ σῶμα μερίζεται τὸν ἱδρῶτα, ἐκεῖ δὲ τῆς ψυχῆς γυμνῆς ἐστι τὸ κατόρθωμα. ὥστε μείζων ὁ πόνος, ὅταν μηδὲ τὸν διαμεμερισμένον πρὸς αὐτὸν ἔχῃ τοὺς ἀγῶνας. Εἶδες πῶς πάντα ἅπερ ἦν ἔργων, ἔδειξε μετὰ πλείονος περιουσίας τῇ πίστει προσόντα; οἷον, τὸ καυχᾶσθαι πρὸς τὸν Θεόν, τὸ δυνάμεως δεῖσθαι καὶ πόνου, τὸ δοξάζειν πάλιν τὸν Θεόν; Εἰπὼν δὲ ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι, δοκεῖ μοι καὶ περὶ τῶν μελλόντων προαναφωνεῖν. οὐ γὰρ τὰ παρόντα ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα. ταῦτα γὰρ τύπος ἐκείνων ἦν. ἄρα ἀσθενοῦς διανοίας τὸ μὴ πιστεύειν, καὶ μικρᾶς καὶ ταλαιπώρου. ὥστε ὅταν ἡμῖν ἐγκαλῶσι τὴν πίστιν τινές, ἀντεγκαλῶμεν ἡμεῖς τὴν ἀπιστίαν αὐτοῖς, ὡς ταλαιπώροις, καὶ μικροψύχοις, καὶ ἀνοήτοις, καὶ ἀσθενέσι, καὶ ὄνων οὐδὲν ἄμεινον διακειμένοις. ὥσπερ γὰρ τὸ πιστεύειν, ὑψηλῆς καὶ μεγαλοφυοῦς ψυχῆς· οὕτω τὸ ἀπιστεῖν, ἀλογωτάτης καὶ εὐτελοῦς, καὶ πρὸς τὴν τῶν κτηνῶν ἄνοιαν κατενηνεγμένης. διόπερ ἐκείνους ἀφέντες, τὸν πατριάρχην ζηλώσωμεν, καὶ δοξάσωμεν τὸν Θεόν, καθάπερ ἐκεῖνος ἔδωκεν αὐτῷ δόξαν. τί δέ ἐστιν, ἔδωκεν αὐτῷ δόξαν; ἐνενόησεν αὐτοῦ τὴν δικαιοσύνην, τὴν ἄπειρον δύναμιν· καὶ τὴν προσήκουσαν περὶ αὐτοῦ ἔννοιαν λαβών, οὕτως ἐπληροφορήθη περὶ τῶν ὑποσχέσεων.

ΗΘΙΚΟΝ

Δοξάσωμεν τοίνυν αὐτὸν καὶ ἡμεῖς, καὶ διὰ πίστεως καὶ διὰ ἔργων, ἵνα καὶ μισθὸν λάβωμεν τὸ παρ' αὐτοῦ δοξασθῆναι. τοὺς δοξάζοντας γάρ με δοξάσω, φησί, καίτοι εἰ καὶ μηδεὶς ἔκειτο μισθός, αὐτὸ τοῦτο δόξα ἦν τὸ καταξιωθῆναι δοξάσαι Θεόν. εἰ γὰρ εἰς βασιλέας εὐφημίας λέγοντες ἄνθρωποι αὐτῷ τούτῳ καλλωπίζονται μόνῳ, κἂν μηδὲν ἕτερον καρπώσωνται· ἐννόησον πόσης ἂν εἴη δόξης τὸ δι' ἡμᾶς τὸν δεσπότην δοξάζεσθαι τὸν ἡμέτερον, ὥσπερ οὖν καὶ κολάσεως, τὸ ποιεῖν αὐτὸν βλασφημεῖσθαι δι' ἡμᾶς. καίτοι τοῦτο αὐτὸ τὸ δοξάζεσθαι, δι' ἡμᾶς βούλεται γίνεσθαι. αὐτὸς γὰρ οὐ δεῖται τοῦ πράγματος. πόσον γὰρ οἴει τὸ μέσον εἶναι Θεοῦ καὶ ἀνθρώπων; ἆρα ὅσον ἀνθρώπων καὶ σκωλήκων; ἀλλ' οὐδὲν οὐδέπω εἴρηκα καὶ τοσοῦτον τὸ μέσον θείς· οὐδὲ γὰρ εἰπεῖν δυνατὸν ὅσον. ἆρ' οὖν θελήσεις σὺ παρὰ σκώληξι δόξαν ἔχειν μεγάλην καὶ λαμπράν; οὐδαμῶς. εἰ τοίνυν ὁ δόξης ἐρῶν σὺ οὐκ ἂν θελήσῃς τοῦτο· ὁ τοῦ πάθους ἀπηλλαγμένος τούτου, καὶ τοσοῦτον ἀνώτερος ὤν, πῶς ἂν ἐδεήθη τῆς παρὰ σοῦ δόξης; ἀλλ' ὅμως καὶ μὴ δεόμενος, φησὶν αὐτῆς ἐφίεσθαι διὰ σέ. εἰ γὰρ γενέσθαι δοῦλος ὑπέμεινε διὰ σέ, τί θαυμάζεις, εἰ δὲ τῶν ἄλλων ἀντέχεται τῆς αὐτῆς ἕνεκεν ὑποθέσεως; οὐδὲν γὰρ ἡγεῖται ἀνάξιον ἑαυτοῦ, ὅπερ ἂν πρὸς τὴν σωτηρίαν φέρῃ τὴν ἡμετέραν. ταῦτα οὖν εἰδότες, φεύγωμεν ἁμαρτίαν πᾶσαν δι' ἧς αὐτὸς βλασφημεῖται. Ὡς γὰρ ἀπὸ προσώπου ὄφεως, φησί, φεῦγε ἀπὸ ἁμαρτίας. (Σειρ. κα. β.) ἐὰν προσέλθῃς πρὸς αὐτήν, δήξεταί σε. οὐ γὰρ αὐτὴ πρὸς ἡμᾶς ἔρχεται, ἀλλ' ἡμεῖς πρὸς αὐτὴν αὐτομολοῦμεν. ὁ γὰρ Θεὸς καὶ τοῦτο κατεσκεύασεν ὥστε μὴ τυραννίδι περιγίνεσθαι τὸν διάβολον. ἢ γὰρ ἂν οὐδεὶς ἔστη πρὸς τὴν ἰσχὺν ἐκείνου. διὰ τοῦτο αὐτὸν ἀπῴκισεν ὥσπερ λῃστήν τινα καὶ τύραννον. κἂν μή τινα λάβῃ γυμνὸν καὶ ἔρημον εἰς τὰς αὐτοῦ καταδύσεις, οὐ τολμᾷ ἐπελθεῖν· ἂν μὴ τὴν ἔρημον ὁδεύοντας ἡμᾶς ἴδῃ, οὐ θαρρεῖ προσελθεῖν. ἔρημος δὲ καὶ διαβόλου τόπος οὐδὲν ἕτερον ἢ ἡ ἁμαρτία. δεῖ τοίνυν ἡμῖν τοῦ θυρεοῦ τῆς πίστεως, τῆς περικεφαλαίας τοῦ σωτηρίου, τῆς μαχαίρας τοῦ πνεύματος· οὐχ ἵνα μὴ πάθωμεν μόνον κακῶς, ἀλλ' ἵνα, κἂν ἐπιπηδῆσαι θελήσῃ, τὴν κεφαλὴν ἀποτέμωμεν ἐκείνου. δεῖ συνεχῶν ἡμῖν εὐχῶν, ἵνα συντριβῇ ὑπὸ τοὺς πόδας ἡμῶν. ἀναίσχυντος γάρ ἐστι καὶ μιαρός, καὶ ταῦτα κάτωθεν μαχόμενος. ἀλλ' ὅμως καὶ οὕτω νικᾷ. τὸ δὲ αἴτιον, ὅτι οὐ σπουδάζομεν ἡμεῖς ὑψηλότεροι τῶν ἐκείνου γενέσθαι πληγῶν. οὐδὲ γὰρ οἷός τέ ἐστιν ἐπαρθῆναι μεγάλα, ἀλλὰ κάτω σύρεται. καὶ τούτου τύπος ὁ ὄφις. εἰ δὲ ἐξ ἀρχῆς οὕτως αὐτὸν ἔταξεν ὁ Θεός, πολλῷ μᾶλλον νῦν. εἰ δὲ ἀγνοεῖς τί ποτέ ἐστι τὸ κάτωθεν μάχεσθαι, ἐγώ σοι καὶ ἑρμηνεῦσαι τοῦ πολέμου τούτου τὸν τρόπον πειράσομαι. τί ποτ' οὖν ἐστι τὸ κάτωθεν μάχεσθαι;

τὸ ἀπὸ τῶν κάτω πυκτεύειν πραγμάτων, ἀπὸ τῆς ἡδονῆς, ἀπὸ τοῦ πλούτου, ἀπὸ τῶν βιωτικῶν ἁπάντων. διὰ τοῦτο ἂν ἴδῃ τινὰ πρὸς τὸν οὐρανὸν πετόμενον, πρῶτον μὲν οὐδὲ πηδῆσαι πρὸς αὐτὸν δυνήσεται. ἐάνπερ δὲ καὶ ἐπιχειρήσῃ, ταχέως πεσεῖται. οὐ γὰρ ἔχει πόδας· μὴ φοβηθῇς. οὐκ ἔχει πτερά· μὴ δείσῃς. ἐπὶ τῆς γῆς σύρεται, καὶ τοῖς ἐν τῇ γῇ πράγμασι· μηδὲν οὖν σοι πρὸς τὴν γῆν ἔστω κοινόν, καὶ οὐδὲ πόνου δεήσει. οὐδὲ γὰρ οἶδε τὴν ἐξ ἐναντίας μάχην, ἀλλ' ὥσπερ ὄφις ταῖς ἀκάνθαις ἐγκρύπτεται τῇ ἀπάτῃ τοῦ πλούτου συνεχῶς ἐμφωλεύων. κἂν ἐκτέμῃς τὰς ἀκάνθας, φεύξεται ῥᾳδίως· δειλὸς γινόμενος κἂν ἐπᾴδειν εἰδῇς αὐτῷ τὰς θείας ἐπῳδάς, τρωθήσεται εὐθέως. εἰσὶ γὰρ ἡμῖν, εἰσὶν ἐπῳδαὶ πνευματικαί, τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ τοῦ σταυροῦ δύναμις. αὕτη ἡ ἐπῳδὴ οὐχὶ τῶν χηραμῶν ἐξάγει μόνον, καὶ εἰς πῦρ ἐμβάλλει τὸν δράκοντα, ἀλλὰ καὶ τραύματα ἰᾶται. εἰ δὲ πολλοὶ λέγοντες οὐκ ἰάθησαν, παρὰ τὴν αὐτῶν ὀλιγοπιστίαν, οὐ παρὰ τὴν ἀσθένειαν τοῦ λεχθέντος. ἐπεὶ καὶ τὸν Ἰησοῦν οἱ μὲν ὤθουν καὶ ἔθλιβον καὶ οὐδὲν ἐκέρδαινον· ἡ δὲ αἱμορροοῦσα οὐδὲ τοῦ σώματος ἁψαμένη, ἀλλ' αὐτοῦ τοῦ κρασπέδου μόνον, χρονίους ἔστησεν αἱμάτων πηγάς. τοῦτο τὸ ὄνομα καὶ δαίμοσι φοβερὸν καὶ πάθεσι καὶ νοσήμασι. τούτῳ τοίνυν καλλωπιζώμεθα, τούτῳ τειχίζωμεν ἑαυτούς. οὕτω καὶ ὁ Παῦλος ἐγένετο μέγας, καίτοι τῆς αὐτῆς φύσεως ἡμῖν κἀκεῖνος ἦν. ἀλλ' ἡ πίστις αὐτὸν ἄλλον ἀντ' ἄλλου πεποίηκε, καὶ τοσαύτη ἦν ἡ περιουσία, ὡς καὶ τὰ ἱμάτια αὐτοῦ πολλὴν ἔχειν ἰσχύν. ποίας οὖν εἴημεν ἀπολογίας ἄξιοι, εἰ τῶν ἐκείνων μὲν καὶ αἱ σκιαὶ καὶ τὰ ἱμάτια θάνατον ἤλαυνον, ἡμῶν δὲ οὐδὲ αἱ εὐχαὶ τὰ πάθη καταστέλλουσι; τί οὖν τὸ αἴτιον; πολλὴ τῆς γνώμης ἡ διαφορά· ὡς τά γε τῆς φύσεως ἴσα καὶ κοινά. καὶ γὰρ ὁμοίως ἡμῖν καὶ ἐτέχθη καὶ ἐτράφη, καὶ τὴν γῆν ᾤκησε, καὶ ἀέρα ἀνέπνευσεν. ἀλλὰ τὰ ἄλλα πολὺ μείζων ἡμῶν ἦν καὶ βελτίων, τὸν ζῆλον, τὴν πίστιν, τὴν ἀγάπην. μιμησώμεθα τοίνυν αὐτόν, δῶμεν τοίνυν καὶ δι' ἡμῶν φθέγξασθαι τῷ Χριστῷ. ἐπιθυμεῖ μᾶλλον τοῦτο ἡμῶν αὐτός. καὶ διὰ τοῦτο τὸ ὄργανον κατεσκεύασε τοῦτο, καὶ οὐ θέλει μένειν ἄχρηστον αὐτὸ καὶ ἀργόν, ἀλλ' ἀεὶ μετὰ χεῖρας ἔχειν αὐτὸ βούλεται. τί τοίνυν οὐ παρασκευάζεις ἕτοιμον αὐτὸ τῇ τοῦ τεχνίτου χειρί· ἀλλὰ χαλᾷς τὰς νευράς, καὶ μαλακωτέρας ποιεῖς τῇ τρυφῇ, καὶ ἄχρηστον ὅλην κατασκευάζεις αὐτῷ τὴν κιθάραν, δέον ἐπισφίγγειν καὶ νευροῦν τὰ μέλη, καὶ ἐπιστύφειν τῷ ἅλατι τῷ πνευματικῷ; ἂν γὰρ οὕτως ἡρμοσμένην αὐτὴν ἴδῃ, ἠχήσει καὶ διὰ τῆς ἡμετέρας ψυχῆς ὁ Χριστός. τοιούτου δὲ γινομένου, καὶ ἀγγέλους ὄψει σκιρτῶντας, καὶ ἀρχαγγέλους, καὶ τὰ Χερουβίμ. γινώμεθα τοίνυν ἄξιοι τῶν χειρῶν τῶν ἀμώμων. παρακαλέσωμεν αὐτὸν καὶ εἰς τὴν ἡμετέραν κροῦσαι καρδίαν. μᾶλλον δὲ οὐδὲ παρακλήσεως δεῖται· μόνον ἀξίαν αὐτὴν κατασκεύασον τῆς ἁφῆς ἐκείνης, καὶ αὐτὸς ἐπιδραμεῖταί σοι πρότερος. εἰ γὰρ ὑπὸ τῶν μελλόντων ἐπιτρέχει (οὕτω γὰρ τῷ Παύλῳ τοιούτῳ γενησομένῳ τὸ ἐγκώμιον ὕφαινεν) ὅταν ἀπηρτισμένον ἴδῃ, τί οὐκ ἐργάσεται; ἂν δὲ Χριστὸς ἠχήσῃ, καὶ τὸ πνεῦμα ἐπιστήσεται πάντως, καὶ ἐσόμεθα τοῦ οὐρανοῦ βελτίους, οὐχ ἥλιον ἔχοντες ἐνεστηριγμένον τῷ στόματι καὶ σελήνην, ἀλλὰ τὸν ἡλίου καὶ σελήνης καὶ ἀγγέλων δεσπότην ἐνοικοῦντα καὶ ἐμπεριπατοῦντα ἡμῖν. ταῦτα δὲ λέγω, οὐχ ἵνα νεκροὺς ἀναστήσωμεν, οὐδὲ λεπροὺς ἵνα καθαρῶμεν, ἀλλ' ἵνα τὸ πάντων τούτων σημεῖον μεῖζον ἐπιδειξώμεθα τὴν ἀγάπην. ὅπου γὰρ ἂν εἴη τοῦτο καλόν, εὐθέως καὶ ὁ υἱὸς ἐφίσταται μετὰ τοῦ πατρός, καὶ ἡ τοῦ πνεύματος ἐπιφοιτᾷ χάρις. Οὗ γὰρ ἐὰν ὦσι, φησί, δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ὃ πολλῆς διαθέσεώς ἐστι καὶ τῶν σφόδρα φιλούντων, τοὺς φιλουμένους ἑκατέρωθεν ἔχειν. καὶ τίς οὕτως ἄθλιος, φησιν, ὡς μὴ βούλεσθαι τὸν Χριστὸν ἔχειν μέσον; ἡμεῖς οἱ πρὸς ἀλλήλους στασιάζοντες. καὶ τάχα μου καταγελάσεταί τις καὶ ἐρεῖ, τί λέγεις; ὁρᾷς πάντας ἡμᾶς ὑπὸ τοῖς αὐτοῖς τείχεσιν ὄντας, ὑπὸ τὸν αὐτὸν τῆς ἐκκλησίας σηκόν, ὑπὸ τὴν αὐτὴν μάνδραν μετὰ ὁμονοίας ἑστῶτας,

γ. ποσὶν

γ. δῆλος

γ. ὑμῖν καὶ βελτ.

γ. ἐπιπάλιν

γ. ὑφαίνει)

γ. ἐστιγμένοι

γ. Ἰησοῦ

Ματθ. ιη. κ.

στῶτας, οὐδένα μαχόμενον, ἀπὸ τῆς αὐτῆς ποίμνης, κοινῇ βοῶντας, κοινῇ τῶν λεγομένων ἀκροωμένους, κοινῇ τὰς εὐχὰς ἀναπέμποντας, καὶ μάχης μέμνησαι, καὶ στάσεως; μάχης μέμνημαι, καὶ οὐ μαίνομαι, οὐδὲ ἐξέστηκα. ὁρῶ μὲν γὰρ ἃ ὁρῶ, καὶ οἶδα ὅτι ἀπὸ τοῦ σηκοῦ τοῦ αὐτοῦ ἐσμεν, καὶ τῆς ποίμνης· διὰ τοῦτο δὲ μάλιστα θρηνῶ, ὅτι τοσούτων ἡμᾶς συναγόντων πραγμάτων, στασιάζομεν. καὶ ποίαν στάσιν, φησὶν, εἶδες ἐνταῦθα; ἐνταῦθα μὲν οὐδεμίαν· ἐπειδὰν δὲ διαλυθῶμεν, ὁ δεῖνα τὸν δεῖνα κατηγορεῖ, ἕτερος ὑβρίζει φανερῶς, ἄλλος βασκαίνει, πλεονεκτεῖ καὶ ἁρπάζει καὶ βιάζεται ἕτερος, ἄλλος ἐρᾷ κακῶς, ἄλλος μυρίους ῥάπτει δόλους. καὶ εἰ τὰς ψυχὰς ἡμῶν ἐκκαλύψαι ἐνῆν, τότε ἂν εἴδετε ταῦτα πάντα ἀκριβῶς, καὶ ἔγνωτε ὅτι οὐ μαίνομαι. οὐχ ὁρᾶτε ἐν τοῖς στρατοπέδοις, ὅτι εἰρήνης μὲν οὔσης, τὰ ὅπλα ἀποθέμενοι γυμνοὶ καὶ ἄφρακτοι εἰς τὸ τῶν πολεμίων στρατόπεδον διαβαίνουσιν; ὅταν δὲ φράττωνται ὅπλοις, καὶ φυλακαὶ, καὶ προφυλακαὶ, καὶ ἄγρυπνοι νύκτες, καὶ πυρὰ καίεται διηνεκῆ, οὐκέτι εἰρήνη τὸ τοιοῦτον, ἀλλὰ πόλεμος. τοῦτο καὶ ἐφ' ἡμῶν ἔστιν ἰδεῖν. καὶ γὰρ ἀλλήλους φυλαττόμεθα, καὶ δεδοίκαμεν, καὶ πρὸς τὸ οὖς ἕκαστος τῷ πλησίον διαλεγόμεθα. κἂν παραγινόμενον ἕτερον ἴδωμεν, σιγῶμεν, καὶ ἐκ τοῦ μέσου συστελλόμεθα ἅπαντα· ὅπερ οὐκ ἔστι θαρρούντων, ἀλλὰ σφόδρα φυλαττομένων. ἀλλὰ ταῦτα ποιοῦμεν, φησὶν, οὐχ ὥστε ἀδικῆσαι, ἀλλ' ὥστε μὴ ἀδικηθῆναι. διὰ τοῦτο πενθῶ, ὅτι μεταξὺ ζῶντες ἀδελφῶν, φυλακῆς δεόμεθα πρὸς τὸ μὴ ἀδικηθῆναι. καὶ πυρὰ καιόμενα τοσαῦτα, καὶ φυλακὰς καὶ προφυλακὰς τίθεμεν. τὸ δὲ αἴτιον, πολὺ τὸ ψεῦδος, πολὺς ὁ δόλος, πολλὴ τῆς ἀγάπης ἡ ἀναίρεσις, καὶ πόλεμος ἄσπονδος. διὰ τοῦτο πολλούς ἐστιν εὑρεῖν Ἕλλησι θαρροῦντας μᾶλλον ἢ Χριστιανοῖς. καίτοι πόσης αἰσχύνης ἄξια ταῦτα; πόσων δακρύων; πόσων οἰμωγῶν; καὶ τί πάθω, φησί; δύστροπός ἐστιν ὁ δεῖνα καὶ μοχθηρός. καὶ ποῦ τὰ τῆς φιλοσοφίας τῆς σῆς; ποῦ δὲ οἱ νόμοι οἱ ἀποστολικοὶ, οἱ κελεύοντες ἀλλήλων τὰ βάρη βαστάζειν; εἰ γὰρ ἀδελφῷ χρήσασθαι οὐκ οἶδας, πότε δυνήσῃ χρήσασθαι ἀλλοτρίῳ καλῶς; εἰ δὲ μέλος τὸ σὸν οὐκ ἐπίστασαι μεταχειρίσασθαι, πότε τὸν ἔξωθεν ἐπισπάσασθαι δυνήσῃ καὶ συνάψαι ἑαυτῷ; ἀλλὰ τί πάθω; σφόδρα δυσχερῶς ἔχω πρὸς δακρύων ἐπιρροήν, ἐπεὶ πηγὰς ἂν ἀφῆκα δαψιλεῖς ἀπὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν προφήτην ἐκεῖνον, μυρίους πολέμους ἐπὶ τοῦ πεδίου τούτου βλέπων ἐκείνων χαλεπωτέρους. ὁ μὲν γὰρ βαρβάρους ἐπιόντας ὁρῶν, ἔλεγε, Τὴν κοιλίαν μου ἀλγῶ. ἐγὼ δὲ ὑφ' ἑνὶ στρατηγῷ παρατεταγμένους βλέπων, εἶτα κατ' ἀλλήλων ἱσταμένους, καὶ δάκνοντας, καὶ ἀποσπῶντας τὰ ἀλλήλων μέλη, τοὺς μὲν διὰ χρήματα, τοὺς δὲ διὰ δόξαν, τοὺς δὲ ἁπλῶς καὶ εἰκῇ καταγελῶντας, καὶ καταχλευάζοντας, καὶ μυρία τραύματα ἀλλήλοις ἐπάγοντας, καὶ νεκροὺς τῶν ἐν πολέμῳ χαλεπωτέρους, καὶ τὸ τῶν ἀδελφῶν ὄνομα ψιλὸν μόνον λοιπὸν ὂν, οὐδὲ ἔχω ἵνα ἄξιον τῆς τραγῳδίας ταύτης ἐπινοήσαι θρῆνον. αἰδέσθητε τοίνυν, αἰδέσθητε τὴν τράπεζαν ταύτην ἧς κοινωνοῦμεν ἅπαντες, τὸν δι' ἡμᾶς σφαγέντα Χριστὸν, τὸ θῦμα τὸ ἐπ' αὐτῆς κείμενον. λῃσταὶ κοινωνοῦντες ἁλῶν, οὐκέτι εἰσὶ λῃσταὶ πρὸς οὓς ἂν κοινωνήσωσιν, ἀλλὰ μεταβάλλει τὸν τρόπον ἡ τράπεζα, καὶ τοὺς τῶν θηρίων ἀγριωτέρους, προβάτων ἡμερωτέρους ποιεῖ. ἡμεῖς δὲ τοιαύτης τραπέζης μετέχοντες, τοιαύτης κοινωνοῦντες τροφῆς, ὁπλιζόμεθα κατ' ἀλλήλων, δέον κατὰ τοῦ πᾶσιν ἡμῖν πολεμοῦντος διαβόλου τοῦτο ποιεῖν. διὰ τοι τοῦτο ἡμεῖς μὲν ἀσθενέστεροι, ἐκεῖνος δὲ ἰσχυρότερος καθ' ἑκάστην γίνεται τὴν ἡμέραν. οὐ γὰρ μετ' ἀλλήλων φραττόμεθα κατ' ἐκείνου, ἀλλὰ μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμεθα, καὶ αὐτῷ στρατηγῷ πρὸς τὰς τοιαύτας χρώμεθα παρατάξεις, δέον αὐτῷ μόνῳ πολεμεῖν. νυνὶ δὲ ἐκεῖνον ἀφέντες, κατὰ τῶν ἀδελφῶν τὰ τόξα τείνομεν. ποῖα τόξα, φησί; τὰ ἀπὸ γλώττης καὶ στόματος. οὐδὲ γὰρ ἀκόντια καὶ βέλη μόνον, ἀλλὰ καὶ ῥήματα πολὺ τῶν βελῶν πικρότερα ἐργάζεται τραύματα. καὶ πῶς δυνησόμεθα τοῦτον καταλῦσαι τὸν

γρ. καὶ προφυλακαῖς, καὶ

γρ. πυρὰς

γρ. τοσαύτας,

Ιερ. δ. ιθ.

γρ. ἀλλήλους φραττόμεθα

πόλεμον, φησί; ἂν ἐννοήσῃς ὅτι τὸν ἀδελφὸν λέγων κακῶς, βόρβορον ἀπὸ τοῦ στόματός σου προχέεις, ἂν ἐννοήσῃς ὅτι τὸ μέλος τοῦ Χριστοῦ διαβάλλεις, ὅτι τὰς σάρκας κατεσθίεις τὰς σάς, ὅτι τὸ δικαστήριόν σοι πικρότερον ποιεῖς τὸ φοβερὸν ἐκεῖνο καὶ ἀδέκαστον, ὅτι τὸ βέλος οὐ τὸν πληγέντα, ἀλλά σε τὸν τοξεύσαντα ἀναιρεῖ. ἀλλ' ἠδίκησέ τι, καὶ κακῶς ἐποίησε; στέναξον, μὴ κακῶς εἴπῃς· δάκρυσον, μὴ διὰ τὴν σὴν ἀδικίαν, ἀλλὰ διὰ τὴν ἀπώλειαν τὴν ἐκείνου, καθὼς καὶ ὁ σὸς δεσπότης τὸν Ἰούδαν ἐδάκρυσεν, οὐκ ἐπειδὴ αὐτὸς ἐσταυροῦτο, ἀλλ' ἐπειδὴ ἐκεῖνος προεδίδου. ὕβρισέ σε καὶ ἐλοιδόρησε; παρακάλεσον τὸν Θεόν, ὥστε ἵλεων αὐτῷ γενέσθαι ταχέως. ἀδελφός ἐστι σός, τὰς αὐτάς σοι ἔλυσεν ὠδῖνας, μέλος ἐστὶ σόν, ἐπὶ τὴν αὐτὴν ἐκλήθη τράπεζαν. ἀλλὰ πλέον ἐπεμβαίνει μοί, φησίν. οὐκοῦν μείζων καὶ πλείων ὁ μισθός. ταύτῃ μάλιστα τὸν θυμὸν ἀφεῖναι δίκαιον, ἐπειδὴ καιρίαν ἐδέξατο τὴν πληγήν, ἐπειδὴ ἔτρωσεν αὐτὸν ὁ διάβολος. μὴ τοίνυν ἐπιπλήξῃς καὶ σύ, μηδὲ καταβάλῃς σαυτὸν μετ' ἐκείνου. ἕως μὲν γὰρ ἂν ἑστήκῃς, δυνήσῃ κἀκεῖνον διασῶσαι· ἐὰν δὲ σαυτὸν καταρρήξῃς διὰ τοῦ ἀμύνασθαι [?], τίς ὑμᾶς ἀναστήσει λοιπόν; ἐκεῖνος ὁ τρωθείς; ἀλλ' οὐ δυνήσεται κείμενος. ἀλλὰ σὺ ὁ πεσὼν μετ' ἐκείνου; καὶ πῶς, οὐκ ἀρκέσας σεαυτῷ χεῖρα δοῦναι, ἰσχύσεις ἑτέρῳ; στῆθι τοίνυν γενναίως, καὶ τὴν ἀσπίδα προβαλλόμενος, καὶ νεκρὸν ὄντα ἕλκυσον ἀπὸ τῆς μάχης τὸν σὸν ἀδελφὸν διὰ τῆς μακροθυμίας. ἔτρωσεν αὐτὸν ὁ θυμός· μὴ τρώσῃς καὶ σύ, ἀλλὰ καὶ τὸ πρότερον ἔκβαλε βέλος. ἂν γὰρ οὕτως ἀλλήλοις ὁμιλῶμεν, ταχέως πάντες ὑγιεῖς ἐσόμεθα· ἂν δὲ κατ' ἀλλήλων ὁπλιζώμεθα, οὐδὲ τοῦ διαβόλου χρεία λοιπὸν πρὸς τὴν ἡμετέραν ἀπώλειαν. ἅπας μὲν γὰρ ὁ πόλεμος χαλεπός, μάλιστα δὲ ὁ ἐμφύλιος. οὗτος δὲ καὶ τοῦ ἐμφυλίου χαλεπώτερος, ὅσῳ μείζονα τῆς πολιτείας ἡμῖν τὰ δικαιώματα, μᾶλλον δὲ καὶ τῆς συγγενείας αὐτῆς. ἀπέκτεινέ ποτε τὸν Ἄβελ ὁ ἀδελφός, καὶ αἷμα ἐξέχεε συγγενικόν· ἀλλ' οὗτος ἐκείνου παρανομώτερος ὁ φόνος, ὅσῳ καὶ τὰ τῆς ἀγχιστείας μείζω, καὶ τὰ τοῦ θανάτου χαλεπώτερα. ἐκεῖνος μὲν γὰρ τὸ σῶμα ἔτρωσε, σὺ δὲ κατὰ τῆς ψυχῆς τὸ ξίφος ἠκόνησας. ἀλλ' ἔπαθες πρότερος κακῶς; ἀλλ' οὐ τὸ παθεῖν, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτό ἐστι τὸ παθεῖν κακῶς. σκόπει δέ. ἔσφαξεν ὁ Κάϊν, ἐσφάγη ὁ Ἄβελ. τίς οὖν ἦν ὁ νεκρός; ὁ μετὰ τὸν θάνατον βοῶν (Φωνὴ γὰρ αἵματος Ἄβελ τοῦ ἀδελφοῦ σου βοᾷ πρός με, φησίν) ἢ ὁ ἐν τῷ ζῆν τρέμων καὶ δεδοικώς; οὗτος γάρ, οὗτος νεκροῦ παντὸς ἐλεεινότερος ἦν. εἶδες πῶς βέλτιον τὸ ἀδικεῖσθαι, κἂν μέχρι φόνου τις χωρῇ; μάθε πῶς χεῖρον τὸ ἀδικεῖν, κἂν μέχρις αἵματός τις ἰσχύσῃ. ἔπληξε καὶ κατέβαλε τὸν ἀδελφὸν ἐκεῖνος, ἀλλ' ὁ μὲν ἐστεφανοῦτο, ὁ δὲ ἐκολάζετο. ἀνῃρέθη καὶ ἐσφάγη παρὰ τὸ δίκαιον ὁ Ἄβελ, ἀλλ' ὁ μὲν καὶ τελευτήσας κατηγόρει, καὶ ἀνῄρει, καὶ ἐχειροῦτο· ὁ δὲ καὶ ζῶν ἐσίγα, καὶ ᾐσχύνετο, καὶ ἡλίσκετο, καὶ τοὐναντίον ὅπερ ἤθελε κατεσκεύαζεν. ἀνῄρει γὰρ ἐπειδὴ ἀγαπώμενον εἶδε, προσδοκῶν καὶ τῆς ἀγάπης ἐκβάλλειν αὐτόν· ἐπέτεινε δὲ τὸ φίλτρον μειζόνως, καὶ ἀποθανόντα μᾶλλον ὁ Θεὸς αὐτὸν ἐπεζήτει, Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου, λέγων. οὐ γὰρ ἔσβεσας τὸν πόθον τῷ φθόνῳ, ἀλλ' ἀνῆψας μᾶλλον. οὐκ ἠλάττωσας τὴν τιμὴν τῇ σφαγῇ, ἀλλ' ἐπέτεινας πλέον. πρὸ τούτου μὲν γάρ σοι καὶ ὑπέταξεν αὐτὸν ὁ Θεός· ἐπειδὴ δὲ αὐτὸν ἀνεῖλες, καὶ τετελευτηκώς σε τιμωρήσεται. τοσοῦτον ἐμοὶ περὶ αὐτοῦ τὸ φίλτρον. τίς οὖν ἦν ὁ καταδικασθείς, ὁ κολάζων, ἢ ὁ κολαζόμενος; ὁ τοσαύτης ἀπολαύων παρὰ τῷ Θεῷ τιμῆς, ἢ ὁ καινῇ τινι καὶ παραδόξῳ διδόμενος τιμωρίᾳ; οὐκ ἐφοβήθης αὐτὸν ζῶντα, φησίν, οὐκοῦν φοβήθητι τελευτήσαντα. οὐκ ἔτρεμες μέλλων ἐπάγειν τὸ ξίφος· ληφθήσῃ τρέμων μετὰ τὸ ἐκχέαι τὸ αἷμα διηνεκῶς. ζῶν σοι δοῦλος ἦν, καὶ οὐκ ἠνείχου· διὰ τοῦτο τελευτήσας, δεσπότης σοι γέγονε φοβερός. ταῦτ' οὖν ἐννοοῦντες, ἀγαπητοί, φύγωμεν φθόνον, σβέσωμεν κακίαν, ἀγάπην ἀντιδιδόντες ἀλλήλοις, ἵνα τὰ ἐκ ταύτης καρπωσώμεθα ἀγαθά, καὶ κατὰ τὸν παρόντα βίον, καὶ κατὰ τὴν μέλλουσαν ζωήν, χάριτι καὶ φιλανθρωπίᾳ.

Γεν. δ. ι.

γρ. ἴσασι.

γρ. σιγῶν.

γρ. εἰδότες

Λογ.

Λογ. θ. 23 ΟΥΚ ΕΓΡΑΦΗ ΔΕ ΔΙ' ΑΥΤΟΝ ΜΟΝΟΝ, ὅτι ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, 24 Ἀλλὰ καὶ δι' ἡμᾶς οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν.

Πολλὰ καὶ μεγάλα περὶ τοῦ Ἀβραὰμ εἰπὼν, καὶ περὶ τῆς πίστεως αὐτοῦ καὶ τῆς δικαιοσύνης καὶ τῆς παρὰ τοῦ Θεοῦ τιμῆς, ἵνα μὴ λέγῃ ὁ ἀκροατὴς, καὶ τί πρὸς ἡμᾶς; ἐκεῖνος γάρ ἐστιν ὁ δικαιωθείς· ἵστησιν ἡμᾶς ἐγγὺς τοῦ πατριάρχου πάλιν. τοσαύτη τῶν πνευματικῶν λόγων ἡ δύναμις. τὸν γὰρ ἐξ ἐθνῶν, τὸν ἄρτι προσελθόντα, τὸν οὐδὲν ἐργασάμενον, οὐ μόνον τοῦ Ἰουδαίου τοῦ πιστοῦ οὐδὲν ἔφησεν ἔλαττον ἔχειν, ἀλλ' οὐδὲ τοῦ πατριάρχου. μᾶλλον δὲ, εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ πολλῷ πλέον. τοσαύτη γὰρ ἡμῶν ἡ εὐγένεια, ὡς τὴν ἐκείνου πίστιν τῆς ἡμετέρας τύπον εἶναι. καὶ οὐκ εἶπεν, εἰ δὲ ἐκείνῳ ἐλογίσθη, εἰκὸς ὅτι καὶ ἡμῖν, ἵνα μὴ ποιήσῃ ″ αὐτὸν συλλογισμόν. ἐξ αὐθεντίας δὲ τῶν θείων φθέγγεται νόμων, καὶ τῆς γραφῆς ἀπόφασιν αὐτὸν ὅλον ποιεῖ. διὰ τί γὰρ ἐγράφη, φησίν, ἀλλ' ἵνα μάθωμεν ὅτι καὶ ἡμεῖς οὕτω δικαιούμεθα; τῷ γὰρ αὐτῷ Θεῷ πεπιστεύκαμεν ὑπὲρ τῶν αὐτῶν πραγμάτων, εἰ καὶ μὴ ἐπὶ τῶν αὐτῶν προσώπων. εἰπὼν δὲ τὴν πίστιν ἡμῶν, λέγει καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν τὴν ἄφατον, ἣν ἀεὶ περιστρέφει, τὸν σταυρὸν εἰς μέσον φέρων. ὃ καὶ νῦν ἐδήλωσεν εἰπὼν,

χ. αὐτῷ

25 Ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

Ὅρα πῶς τὴν αἰτίαν εἰπὼν τοῦ θανάτου, τὴν αὐτὴν καὶ ἀπόδειξιν ἀναστάσεως ποιεῖται. διὰ τί γὰρ ἐσταυρώθη, φησίν; οὐ δι' οἰκείαν ἁμαρτίαν· καὶ δῆλον ἐκ τῆς ἀναστάσεως. εἰ γὰρ ἦν ἁμαρτωλὸς, πῶς ἀνέστη; εἰ δὲ ἀνέστη, εὔδηλον ὅτι ἁμαρτωλὸς οὐκ ἦν. εἰ δὲ ἁμαρτωλὸς οὐκ ἦν, πῶς ἐσταυρώθη; δι' ἑτέρους. εἰ δὲ δι' ἑτέρους, πάντως ἀνέστη. ἵνα γὰρ μὴ λέγῃς, πῶς τοσούτοις ἁμαρτήμασιν ὄντες ὑπεύθυνοι δυνάμεθα δικαιωθῆναι; ἔδειξε τὸν πάντα ἀπαλείψαντα τὰ ἁμαρτήματα, ἵνα καὶ ἐκ τῆς πίστεως τοῦ Ἀβραὰμ, δι' ἧς ἐδικαιώθη, καὶ ἐκ τῆς τοῦ πάθους τοῦ σωτηρίου, δι' οὗ τῶν ἁμαρτημάτων ἀπηλλάγημεν, βεβαιώσῃ τὸν λόγον. εἰπὼν δὲ αὐτοῦ τὸν θάνατον, λέγει καὶ τὴν ἀνάστασιν. οὐ γὰρ διὰ τοῦτο ἀπέθανεν, ἵνα ὑπευθύνους ἔχῃ κολάσει καὶ καταδίκους, ἀλλ' ἵνα εὐεργετήσῃ. ἐπὶ τούτῳ γὰρ καὶ ἀπέθανε καὶ ἀνέστη, ἵνα δικαίους ἐργάσηται.

1 Δικαιωθέντες οὖν ἐκ τῆς πίστεως, εἰρήνην ἔχωμεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. κεφ. ε.

Τί ἐστιν, εἰρήνην ἔχωμεν; τινές φασιν ὅτι, μὴ δὴ στασιάζωμεν φιλονεικοῦντες τὸν νόμον εἰσαγαγεῖν. ἐμοὶ δὲ δοκεῖ περὶ πολιτείας ἡμῖν λοιπὸν διαλέγεσθαι. ἐπειδὴ γὰρ πολλὰ περὶ πίστεως διαλεχθεὶς, καὶ τῆς διὰ τῶν ἔργων δικαιοσύνης αὐτὴν προέθηκεν, ἵνα μή τις νομίσῃ ῥαθυμίας ὑπόθεσιν εἶναι τὰ λεγόμενα, φησὶν, εἰρήνην ἔχωμεν· τουτέστι, μηκέτι ἁμαρτάνωμεν, μηδὲ πρὸς τὰ πρότερα ἐπανερχώμεθα. τοῦτο γάρ ἐστι πόλεμον ἔχειν πρὸς τὸν Θεόν. καὶ πῶς δυνατὸν, φησὶ, τὸ μηκέτι ἁμαρτάνειν; πῶς δὲ τὸ πρότερον ἐγένετο δυνατόν; εἰ γὰρ τοσούτων ὄντες ὑπεύθυνοι, πάντων ἀπηλλάγημεν διὰ τοῦ Χριστοῦ, πολλῷ μᾶλλον ἐν οἷς ἐσμὲν μένειν δι' αὐτοῦ δυνησόμεθα. οὐ γάρ ἐστιν ἴσον μὴ οὖσαν εἰρήνην λαβεῖν, καὶ δοθεῖσαν κατασχεῖν· ἐπειδήπερ ἡ κτῆσις τῆς φυλακῆς χαλεπωτέρα. ἀλλ' ὅμως γέγονε τὸ χαλεπώτερον εὔκολον, καὶ εἰς ἔργον ἐξέβη. οὐκοῦν ἔσται καὶ τὸ εὐκολώτερον ἡμῖν εὐκατόρθωτον, ἂν ἐχώμεθα τοῦ καὶ ἐκεῖνα ἡμῖν ἠνυκότος. ἐνταῦθα δὲ οὐ τὸ εὔκολον αἰνίττεσθαί μοι δοκεῖ μόνον, ἀλλὰ καὶ τὸ εὔλογον. εἰ γὰρ αὐτὸς ἡμᾶς κατήλλαξεν ἐκπο-

ἀπολεμουμένους, βούλεται μένειν ἐπὶ τῆς καταλλαγῆς, καὶ ταύτην ἀποδοῦναι αὐτῷ τὴν ἀμοιβὴν, ἵνα μὴ δόξῃ σκαιοὺς καὶ ἀγνώμονας κατηλλαχέναι τῷ πατρί.

γρ. τοῖς κατηλλαγεῖσι.

2 Δι' αὐτοῦ γὰρ, φησὶ, καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει.

Εἰ τοίνυν μακρὰν ὄντας προσήγαγε, πολλῷ μᾶλλον ἐγγὺς γενομένους καθέξει. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τὰ δύο τίθησι, καὶ τὰ παρ' αὐτοῦ, καὶ τὰ παρ' ἡμῶν. ἀλλὰ τὰ μὲν αὐτοῦ ποικίλα, καὶ πολλὰ, καὶ διάφορα. καὶ γὰρ ἀπέθανε δι' ἡμᾶς, καὶ κατήλλαξεν ἡμᾶς, καὶ προσήγαγε, καὶ χάριν ἔδωκεν ἄφατον· ἡμεῖς δὲ τὴν πίστιν εἰσηνέγκαμεν μόνον. διὸ φησιν, ἐν τῇ πίστει, Εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν. Ποίαν, εἰπέ μοι, χάριν; τὸ καταξιωθῆναι τῆς τοῦ Θεοῦ γνώσεως, τὸ τῆς πλάνης ἀπαλλαγῆναι, τὸ τὴν ἀλήθειαν ἐπιγνῶναι, τὸ πάντων ἐπιτυχεῖν τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν. εἰς τοῦτο γὰρ ἡμᾶς προσήγαγεν, ἵνα ταῦτα λάβωμεν τὰ δῶρα. οὐδὲ γὰρ ἁπλῶς ἵνα ἁμαρτημάτων ἄφεσις γένηται, καὶ ἀπαλλαγὴ μόνον, ἀλλ' ἵνα καὶ μυρίων ἀπολαύσωμεν ἀξιωμάτων. καὶ οὐδὲ ἐν τούτοις ἔστη, ἀλλὰ καὶ ἕτερα ἐπηγγείλατο, τὰ ἀπόρρητα ἐκεῖνα καὶ νοῦν καὶ λόγον ὑπερβαίνοντα ἀγαθά. διόπερ ἀμφότερα τέθεικε. τὸ μὲν γὰρ εἰπεῖν τὴν χάριν, τὰ παρόντα ἐδήλωσεν ἅπερ ἐλάβομεν· τὸ δὲ εἰπεῖν, Καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, τὰ μέλλοντα ἐξεκάλυψεν ἅπαντα. καὶ καλῶς εἶπεν, ἐν ᾗ ἑστήκαμεν. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ χάρις· οὐκ ἔχει τέλος, οὐκ οἶδε πέρας, ἀλλὰ καὶ ἐπὶ μείζονα ἀεὶ πρόεισιν, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι. οἷον τί λέγω· ἔλαβέ τις ἀρχὴν, καὶ δόξαν, καὶ δυναστείαν, ἀλλ' οὐχ ἕστηκεν ἐπὶ ταύτης διηνεκῶς, ἀλλὰ ταχέως αὐτῆς ἐκπίπτει. κἂν μὴ ἄνθρωπος ἀφέληται, θάνατος ἐπελθὼν ἀφαιρήσεται πάντως. τὰ δὲ τοῦ Θεοῦ οὐ τοιαῦτα. οὔτε γὰρ ἄνθρωπος, οὐ χρόνος, οὐ περίστασις πραγμάτων, οὐκ αὐτὸς ὁ διάβολος, οὐχ ὁ θάνατος ἐπελθὼν ἐκβαλεῖν αὐτῶν ἡμᾶς δυνήσεται· ἀλλ' ὅταν ἀποθάνωμεν, τότε ἀκριβέστερον αὐτὰ κατέχομεν, καὶ πλειόνων ἀεὶ προϊόντες ἀπολαυόμεθα. ὥστε εἰ διαπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν παρόντων καὶ ὧν ἔλαβες ἤδη, καὶ ἐκείνοις πίστευε. διὰ γὰρ τοῦτο εἶπε, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, ἵνα μάθῃς οἵαν ψυχὴν τὸν πιστὸν ἔχειν δεῖ. οὐδὲ γὰρ ὑπὲρ τῶν δεδομένων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων ὡς δεδομένων πεπληροφορῆσθαι χρή. καυχᾶται γάρ τις ἐπὶ τοῖς ἤδη παρασχεθεῖσιν. ἐπεὶ οὖν καὶ ἡ τῶν μελλόντων ἐλπὶς οὕτω βεβαία καὶ σαφὴς ὡς ἡ τῶν δεδομένων, καὶ ἐπ' ἐκείνῃ, φησὶν, ὁμοίως καυχώμεθα. διὰ τοῦτο καὶ δόξαν αὐτὰ ἐκάλεσεν. εἰ γὰρ εἰς τὴν τοῦ Θεοῦ συντελεῖ δόξαν, πάντως ἐκβήσεται, εἰ καὶ μὴ δι' ἡμᾶς, ἀλλὰ δι' αὐτόν. καὶ τί λέγω, φησὶν, ὅτι τὰ μέλλοντα ἀγαθὰ ἄξια καυχήσεως; αὐτὰ μὲν οὖν τὰ παρόντα κακὰ ἱκανὰ ἡμᾶς καλλωπίσαι, καὶ ποιῆσαι ἐν αὐτοῖς ἐναβρύνεσθαι. διὸ καὶ ἐπήγαγεν,

γρ. ἦν.

γρ. ἐκείνοις

γρ. καὶ ἐπ

3 Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν. Ἐννόησον τοίνυν ἡλίκα τὰ μέλλοντα, ὅταν καὶ ἐπὶ τοῖς δοκοῦσιν εἶναι λυπηροῖς μέγα φρονῶμεν. τοσαύτη ἡ τοῦ Θεοῦ δωρεὰ, καὶ οὕτως οὐδὲν αὐτῆς ἀηδές. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν πραγμάτων, οἱ μὲν ἀγῶνες πόνον ἔχουσι καὶ ὀδύνην καὶ ταλαιπωρίαν, οἱ δὲ στέφανοι καὶ τὰ ἔπαθλα τὴν ἡδονὴν κομίζουσιν. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τῶν ἐπάθλων τὰ παλαίσματα οὐχ ἧττον ἡμῖν ἡδίω. ἐπειδὴ γὰρ πολλοὶ μὲν οἱ πειρασμοὶ τότε ἦσαν, ἡ δὲ βασιλεία ἐν ἐλπίσι, καὶ τὰ μὲν δεινὰ ἐν χερσὶ, τὰ δὲ χρηστὰ ἐν προσδοκίᾳ, τοῦτο δὲ τοὺς ἀσθενεστέρους ἐξέλυσε, καὶ πρὸ τῶν στεφάνων ἤδη δίδωσιν αὐτοῖς τὰ βραβεῖα, λέγων ὅτι καὶ ἐν ταῖς θλίψεσι δεῖ καυχᾶσθαι. καὶ οὐκ εἶπε, δεῖ καυχᾶσθαι ὑμᾶς, ἀλλὰ, καυχώμεθα, φησὶν, ἡμεῖς, ἐν τῷ οἰκείῳ προσώπῳ παραινέσεις εἰσάγων. εἶτα ἐπειδὴ ἐδόκει ξένον εἶναι καὶ παράδοξον τὸ εἰρημένον, εἰ τὸν λιμῷ παλαίοντα, καὶ ἐν ἁλύσει καὶ ἐν βασάνοις ὄντα, καὶ ὑβριζόμενον, καὶ ὀνειδιζόμενον καυχᾶσθαι δεῖ, κατασκευάζει λοιπὸν αὐτὸ καὶ τὸ δὴ μεῖζον, ὅτι ἄξια καυχήσεως ἐστί φησιν, οὐ δι' ἐκεῖνα τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ

γρ. ἐν αὐτοῖς.

δι

δι' αὐτὰ τὰ παρόντα. καὶ γὰρ αὐταὶ καθ' ἑαυτὰς αἱ θλίψεις ἀγαθὸν πρᾶγμά εἰσι. τίνος ἕνεκεν; ὅτι εἰς ὑπομονὴν ἀλείφουσι. διόπερ εἰπών, καυχώμεθα ἐν ταῖς θλίψεσι, καὶ τὴν αἰτίαν προσέθηκε λέγων, Εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται. Ὅρα πάλιν τὴν φιλονεικίαν Παύλου, πῶς εἰς τὸ ἐναντίον περιέτρεψε τὸν λόγον. ἐπειδὴ γὰρ αἱ θλίψεις μάλιστα ἀπαγορεύειν ἐποίουν ὑπὲρ τῶν μελλόντων αὐτούς, καὶ εἰς ἀπόγνωσιν ἐνέβαλλον, λέγει ὅτι δι' αὐτὰς μὲν οὖν ταύτας χρὴ θαρρεῖν, καὶ μὴ ἀπογινώσκειν τὰ μέλλοντα. ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται, φησιν,

4 Ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα,

5 Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Οὐ γὰρ μόνον οὐκ ἀναιρετικαὶ τῆς τοιαύτης ἐλπίδος αἱ θλίψεις, ἀλλὰ καὶ κατασκευαστικαί. ἔχει μὲν γὰρ παρὰ τῶν μελλόντων μέγιστον καρπὸν τὴν ὑπομονὴν ἡ θλῖψις, καὶ τὸ δόκιμον ποιεῖν τὸν πειραζόμενον. συντελεῖ δέ τι καὶ πρὸς τὰ μέλλοντα. τὴν γὰρ ἐλπίδα ἀκμάζειν ἐν ἡμῖν ποιεῖ. οὐδὲν γὰρ οὕτω χρηστὰ ἐλπίζειν παρασκευάζει, ὡς ἀγαθὸν συνειδός. οὐδεὶς γοῦν τῶν ὀρθῶς βεβιωκότων ἀπιστεῖ περὶ τῶν μελλόντων, ὥσπερ οὖν τῶν ἠμελημένων πολλοὶ πονηρῷ πιεζόμενοι συνειδότι, οὐδὲ κρίσιν οὐδὲ ἀντίδοσιν εἶναι βούλονται. τί οὖν; ἐν ἐλπίσιν ἡμῖν τὰ ἀγαθά; ἐν ἐλπίσι μέν, ἀλλ' οὐκ ἀνθρωπίναις, αἳ διαπίπτουσι καὶ καταισχύνουσι πολλάκις τὸν ἐλπίσαντα, τοῦ προσδοκηθέντος προστήσασθαι τελευτήσαντος, ἢ ζῶντος μεταβληθέντος. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ βεβαία καὶ ἀκίνητος ἡ ἐλπίς. ὅ γὰρ ἐπαγγειλάμενος ἀεὶ ζῇ, ἡμεῖς δὲ οἱ μέλλοντες αὐτῶν ἀπολαύσεσθαι, κἂν ἀποθάνωμεν, ἀναστησόμεθα πάλιν, καὶ οὐδὲν ὅλως ἐστὶν ὃ δύναται ἡμᾶς καταισχῦναι, ὡς εἰκῆ καὶ μάτην ἐπὶ σαθραῖς ἐπαρθέντας ἐλπίσιν. ἀπαλλάξας τοίνυν αὐτοὺς ἰσχυρῶς ἀμφισβητήσεως ἁπάσης διὰ τούτων τῶν ῥημάτων, οὐχ ἵσταται μέχρι τῶν παρόντων τὸν λόγον, ἀλλὰ καὶ τὰ μέλλοντα πάλιν ἐπάγει, εἰδὼς αὐτοὺς ἀσθενεστέρους καὶ τὰ παρόντα ζητοῦντας, καὶ οὐκ ἀρκουμένους τούτοις. καὶ πιστοῦται αὐτὰ ἀπὸ τῶν ἤδη δοθέντων. ἵνα γὰρ μή τις λέγῃ, τί οὖν, εἰ μὴ βούλεται ἡμῖν χαρίσασθαι ὁ Θεός; ὅτι μὲν γὰρ δύναται, καὶ μένει, καὶ ζῇ, πάντες ἴσμεν, πόθεν δέ, ὅτι καὶ βουλήσεται; ἀπὸ τῶν ἤδη γεγενημένων. ποίων γεγενημένων; τῆς ἀγάπης ἣν περὶ ἡμᾶς ἐπεδείξατο. τί ποιήσας, φησί; πνεῦμα ἅγιον δούς. διόπερ εἰπών, ἡ ἐλπὶς οὐ καταισχύνει, ἐπήγαγε τὴν ἀπόδειξιν τούτου λέγων,

Ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν. Καὶ οὐκ εἶπε, δέδοται, ἀλλ', ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, τὸ δαψιλὲς ἐμφαίνων. ὃ γὰρ μέγιστον ἦν δῶρον, τοῦτο ἔδωκεν, οὐκ οὐρανὸν καὶ γῆν καὶ θάλατταν, ἀλλ' ὃ τούτων ἁπάντων τιμιώτερον ἦν, καὶ ἀγγέλους ἐξ ἀνθρώπων, καὶ υἱοὺς Θεοῦ καὶ ἀδελφοὺς τοῦ Χριστοῦ κατεσκεύασε. τί δέ ἐστι τοῦτο; τὸ πνεῦμα τὸ ἅγιον. εἰ δὲ οὐκ ἐβούλετο μεγάλοις ἡμᾶς μετὰ τοὺς πόνους στεφάνοις δωρήσασθαι, οὐκ ἂν πρὸ τῶν πόνων τοσαῦτα ἔδωκεν ἀγαθά. νῦν δὲ τὸ θερμὸν αὐτοῦ τῆς ἀγάπης δείκνυται ἐντεῦθεν, ὅτι οὐκ ἠρέμα καὶ κατὰ μικρὸν ἡμᾶς ἐτίμησεν, ἀλλ' ἀθρόον τὴν πηγὴν τῶν ἀγαθῶν ἐξέχεε, καὶ ταῦτα πρὸ τῶν ἀγώνων. ὥστε κἂν μὴ σφόδρα ᾖς ἄξιος, μὴ ἀπογίνωσκε, ἔχων μεγάλην συνήγορον τοῦ δικάζοντος τὴν ἀγάπην. διὰ γὰρ τοῦτο καὶ αὐτὸς εἰπών, ἡ ἐλπὶς οὐ καταισχύνει, οὐ τοῖς ἡμετέροις κατορθώμασιν, ἀλλὰ τῇ ἀγάπῃ τοῦ Θεοῦ τὸ πᾶν ἀνέθηκεν. εἰπὼν δὲ τοῦ πνεύματος τὴν δόσιν, μεταβαίνει πάλιν λοιπὸν ἐπὶ τὸν σταυρόν, λέγων οὕτως,

6 Ἔτι γὰρ ὁ Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε.

7 Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. 8 Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ γὰρ ὑπὲρ ἀνδρὸς ἐναρέτου οὐκ ἂν ἕλοιτό τις ῥᾳδίως ἀποθανεῖν, ἐννόησον τὴν δεσπότου σου τὴν ἀγάπην, ὅταν μὴ ὑπὲρ ἐναρέτων αὐτός, ἀλλ' ὑπὲρ ἁμαρτωλῶν καὶ ἐχθρῶν

φαίνηται

γ. ὅ τι

γ. τῶ παρόντος

γ. ἐβούλετο

φαίνηται σταυρωθείς. ὅπερ καὶ μετὰ ταῦτά φησιν, Ὅτι εἰ ἁμαρτωλῶν ἡμῶν ὄντων Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε,

9 Πολλῷ μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. 10 Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. Καὶ δοκεῖ μὲν ταυτολογία εἶναι τὰ εἰρημένα, οὐκ ἔστι δὲ τῷ μετὰ ἀκριβείας προσέχοντι. σκόπει δέ. βούλεται πιστώσασθαι περὶ τῶν μελλόντων αὐτούς. καὶ πρῶτον μὲν ἀπὸ τῆς τοῦ δικαίου γνώμης ἐντρέπει, εἰπών, ὅτι ἐπληροφορήθη κἀκεῖνος, ὅτι ὃ ἐπήγγελται Θεὸς δυνατός ἐστι καὶ ποιῆσαι· ἔπειτα ἀπὸ τῆς χάριτος τῆς δοθείσης· εἶτα ἀπὸ τῶν θλίψεων, αἳ ἱκαναὶ εἰς ἐλπίδα ἡμᾶς ἀγαγεῖν, καὶ ἀπὸ τοῦ πνεύματος πάλιν οὗπερ ἐλάβομεν· λοιπὸν δὲ καὶ ἀπὸ τοῦ θανάτου καὶ τῆς ἡμετέρας κακίας τῆς ἔμπροσθεν τοῦτο κατασκευάζει. καὶ δοκεῖ μέν, ὅπερ ἔφθην εἰπών, ἓν εἶναι τὸ εἰρημένον, εὑρίσκεται δὲ καὶ δύο καὶ τρία καὶ πολλῷ πλείονα ὄντα. πρῶτον μέν, ὅτι ἀπέθανε· δεύτερον δέ, ὅτι ὑπὲρ ἀσεβῶν· τρίτον δέ, ὅτι κατήλλαξεν, ὅτι ἔσωσεν, ὅτι ἐδικαίωσεν, ὅτι ἀθανάτους ἐποίησεν, ὅτι υἱοὺς εἰργάσατο καὶ κληρονόμους. οὐ τοίνυν ἀπὸ τοῦ θανάτου μόνον ἰσχυρίζεσθαι χρή, φησιν, ἀλλὰ καὶ ἀπὸ τοῦ δώρου τοῦ δοθέντος ἡμῖν διὰ τοῦ θανάτου. καίτοιγε εἰ καὶ τεθνήκει μόνον ὑπὲρ ἡμῶν τοιούτων ὄντων, μέγιστον ἦν δεῖγμα ἀγάπης τὸ γεγενημένον· ὅταν δὲ φαίνηται καὶ ἀποθνήσκων * δωρούμενος, καὶ τοιαῦτα δωρούμενος, καὶ τοιούτοις οὖσι, πᾶσαν ὑπερβολὴν ἀποκρύπτει τὰ γεγενημένα, καὶ τὸν σφόδρα ἀναίσθητον εἰς πίστιν ἄγει. οὐδὲ γὰρ ἄλλος ἐστὶν ὁ μέλλων σώζειν ἡμᾶς, ἀλλ' ἐκεῖνος ὁ οὕτω φιλήσας ἁμαρτωλοὺς ὄντας, ὡς καὶ ἑαυτὸν ἐκδοῦναι. εἶδες πόσην ἔχει τὸ χωρίον τοῦτο κατασκευὴν πρὸς τὴν τῶν μελλόντων ἐλπίδα; πρὸ μὲν γὰρ τούτου, δύο δύσκολα ἦν πρὸς σωτηρίαν ἡμῖν· τὸ καὶ ἁμαρτωλοὺς εἶναι, καὶ διὰ τοῦ θανάτου τοῦ δεσπότου δεῖν σωθῆναι. ὅπερ καὶ ἀπίθανον ἦν πρὶν ἢ γενέσθαι, καὶ πολλῆς δεόμενον τῆς ἀγάπης ἵνα γένηται. νυνὶ δὲ ἐπειδὴ ταῦτα ἐξέβη, τὰ λειπόμενα εὐκολώτερα. καὶ γὰρ φίλοι γεγόναμεν, καὶ θανάτου λοιπὸν οὐ δεῖ. ὁ τοίνυν τῶν ἐχθρῶν οὕτω φεισάμενος, ὥστε μὴ φείσασθαι τοῦ παιδός, φίλων ὄντων οὐ προστήσεται, ὅτε λοιπὸν οὐδὲ τὸν τούτου παῖδα ἐκδοῦναι χρεία; ἢ γὰρ διὰ τὸ μὴ βούλεσθαί τις, ἢ διὰ τὸ μὴ δύνασθαι, κἂν βούληται πολλάκις, οὐ σώζει· ὧν οὐδέν ἐστιν εἰπεῖν ἐπὶ τοῦ Θεοῦ, ἐξ ὧν τὸν υἱὸν ἐξέδωκεν. ὅτι δὲ δύναται, καὶ αὐτὸ ὁμοίως ἀπέδειξεν ἐξ ὧν ἁμαρτωλοὺς ὄντας ἐδικαίωσε. τί οὖν λοιπὸν τὸ κωλῦον ἐστὶ τυχεῖν τῶν μελλόντων ἡμᾶς; οὐδέν. Εἶτα πάλιν ἵνα μὴ ἁμαρτωλούς, καὶ ἐχθρούς, καὶ ἀσθενεῖς ἀκούσας, καὶ ἀσεβεῖς, μέλλῃς αἰσχύνεσθαι καὶ ἐρυθριᾶν, ἄκουσον τί φησιν·

11 Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.

Τί ἐστιν, οὐ μόνον δέ; οὐ μόνον ἐσώθημεν, φησιν, ἀλλὰ καὶ καυχώμεθα δι' αὐτὸ τοῦτο, δι' ὃ νομίζει τις ἡμᾶς ἐγκαλύπτεσθαι. τὸ γὰρ ἐν τοσαύτῃ πονηρίᾳ ζῶντας ἡμᾶς σωθῆναι, τοῦ σφόδρα ἀγαπηθῆναι παρὰ τοῦ σώζοντος μέγιστον σημεῖόν ἐστιν. οὐ γὰρ δι' ἀγγέλων ἢ ἀρχαγγέλων, ἀλλὰ δι' αὐτοῦ τοῦ μονογενοῦς ἔσωσεν. ὥστε καὶ τὸ σῶσαι, καὶ τὸ τοιούτους ὄντας σῶσαι, καὶ τὸ διὰ τοῦ μονογενοῦς τοῦτο ποιῆσαι, καὶ οὐδὲ ἁπλῶς διὰ τοῦ μονογενοῦς, ἀλλὰ διὰ τοῦ αἵματος αὐτοῦ, μυρίους ἡμῖν καυχήσεως πλέκει στεφάνους. οὐδὲν γὰρ ἴσον εἰς δόξης λόγον καὶ παρρησίας, τοῦ φιλεῖσθαι παρὰ τοῦ Θεοῦ καὶ τοῦ φιλεῖν αὐτὸν τὸν ἀγαπῶντα. τοῦτο οὖν ἀγγέλους ποιεῖ λαμπρούς, τοῦτο τὰς ἀρχὰς καὶ τὰς δυνάμεις· τοῦτο βασιλείας μεῖζον· διὰ τοῦτο καὶ Παῦλος πρὸ τῆς βασιλείας τοῦτο ἐτίθει· διὰ τοῦτο καὶ τὰς ἀσωμάτους μακαρίζω δυνάμεις, ὅτι καὶ φιλοῦσιν αὐτόν, καὶ πάντα ὑπακούουσιν. ἐντεῦθεν γοῦν αὐτοὺς καὶ ὁ προφήτης ἐθαύμαζε λέγων, Δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ. ἐντεῦθεν καὶ τὰ σεραφὶμ ὁ Ἡσαΐας ἀνεκήρυττε, τὴν μεγάλην αὐτῶν ἐνδεικνύμενος ἀρετὴν

τὴν

γ. ἐστί.

τὴν ἐν τῷ ἑστάναι πλησίον τῆς δόξης ἐκείνης, ὅπερ μεγίστης ἀγάπης σημεῖον ἦν.

ΗΘΙΚΟΝ

Ζηλώσωμεν τοίνυν καὶ ἡμεῖς τὰς δύο δυνάμεις, καὶ μὴ μόνον ἐγγὺς τοῦ θρόνου στῆναι σπουδάσωμεν, ἀλλὰ καὶ ἐνοικεῖν αὐτὸν ἔχειν τὸν ἐπὶ τοῦ θρόνου καθήμενον. ἐκεῖνος μὲν γὰρ καὶ μισοῦντας ἐφίλησε, καὶ φιλῶν διατελεῖ. καὶ γὰρ τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. σὺ δὲ φιλοῦντα γοῦν ἀγάπησον. φιλεῖ γάρ. (Ματθ. ε. μς.) καὶ πῶς, φησὶν, ὁ φιλῶν γέενναν καὶ κόλασιν καὶ τιμωρίαν ἠπείλησε; δι' αὐτὸ τοῦτο τὸ φιλεῖν. καὶ γὰρ ἐκκόπτων σου τὴν πονηρίαν, καὶ ὥσπερ τινὶ χαλινῷ τῷ φόβῳ κατέχων σου τὴν ἐπὶ τὰ χείρω ῥύμην, πάντα ποιεῖ καὶ πραγματεύεται, καὶ διὰ τῶν χρηστῶν καὶ διὰ τῶν λυπηρῶν ἀνασπῶν σε τῆς ἐπὶ τὰ κάτω φορᾶς, καὶ πρὸς ἑαυτὸν ἐπανάγων, καὶ ἀπάγων κακίας πάσης, ἣ γεέννης ἐστὶ χαλεπωτέρα. (γ. ἀπαγαγὼν) εἰ δὲ γελᾷς ἐπὶ τοῖς εἰρημένοις, καὶ μυριάκις ἐν πονηρίᾳ ζῆν ἐθέλεις, ἢ μίαν κολάζεσθαι ἡμέραν, θαυμαστὸν οὐδέν. καὶ γὰρ καὶ τοῦτό σου τῆς ἀτελοῦς γνώμης σημεῖον, καὶ τῆς μέθης, καὶ τῆς ἀνιάτου νόσου. ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ ὅταν ἴδῃ τὸν ἰατρὸν ἢ πῦρ ἢ τομὴν ἐπάγοντα, φεύγει καὶ ἀποπηδᾷ ὀλολύζοντα καὶ σπαραττόμενα, καὶ μᾶλλον αἱρεῖται διηνεκεῖ σηπεδόνι σώματος ἐναπολέσθαι, ἢ πρὸς ὀλίγον ὑπομείναντα πόνον τῆς μετὰ ταῦτα ἀπολαύειν ὑγείας. οἱ δὲ νοῦν ἔχοντες ἴσασιν ὅτι τὸ νοσεῖν τοῦ τέμνεσθαι χαλεπώτερον, (ἴσ. κακοῖς. ἄλ. κακόν) ὥσπερ οὖν τὸ κακὸν εἶναι τοῦ κολάζεσθαι χεῖρον. τὸ μὲν γὰρ θεραπεύεσθαι καὶ ὑγιαίνειν ἐστὶ, τὸ δὲ ἀπόλλυσθαι καὶ ἐν ἀῤῥωστίᾳ εἶναι διηνεκεῖ. ὅτι δὲ ἀῤῥωστίας ὑγεία βέλτιον, παντί που δῆλον. ἐπεὶ καὶ τοὺς λῃστὰς οὐχ ὅταν ξέωνται τὰς πλευρὰς δακρύειν ἄξιον, ἀλλ' ὅταν διορύττωσι τοίχους, καὶ φονεύωσιν. εἰ γὰρ βέλτιον ψυχὴ σώματος (ὥσπερ οὖν καὶ βέλτιον) ταύτης ἀπολλυμένης, μᾶλλον στένειν δίκαιον καὶ ὀδύρεσθαι. (γ. δίκαιον.) εἰ δὲ μὴ αἰσθάνοιτο, καὶ ταύτῃ μειζόνως αὐτὴν πενθεῖν δεῖ. καὶ γὰρ τοὺς ἐρῶντας ἀκολάστου ἔρωτα, τῶν πυρεττόντων χαλεπῶς μᾶλλον ἐλεεῖν ἄξιον, καὶ τοὺς μεθύοντας, τῶν βασανιζομένων. καὶ εἰ ταῦτα χαλεπώτερα, φησὶ, διατί μᾶλλον αὐτὰ αἱρούμεθα; ὅτι πολλοῖς τῶν ἀνθρώπων κατὰ τὴν προαίρεσιν ἀρέσκει τὰ χείρω, καὶ ταῦτα αἱροῦνται, τὰ ἀμείνω παρατρέχοντες. ὅπερ καὶ ἐν ἐδέσμασιν ὁρᾶν ἐστι, καὶ ἐν πολιτείαις, καὶ ἐν ζήλοις βίων, καὶ ἐν ἡδονῆς ἀπολαύσει, καὶ ἐν γυναιξὶ, καὶ ἐν οἰκίαις, καὶ ἐν ἀνδραπόδοις, καὶ ἐν ἀγροῖς, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων γινόμενον. (γ. ἀνδράσι) τί γὰρ ἥδιον, εἰπέ μοι, γυναιξὶν, ἢ ἄῤῥεσι μίγνυσθαι; γυναιξὶν, ἢ ἡμιόνοις; ἀλλ' ὅμως πολλοὺς εὑρήσομεν γυναῖκας μὲν παρατρέχοντας, ἀλόγοις δὲ μιγνυμένους, καὶ ἀῤῥένων σώμασιν ἐνυβρίζοντας. καίτοι τὰ κατὰ φύσιν τῶν παρὰ φύσιν ἡδίω. ἀλλ' ὅμως εἰσὶ πολλοὶ τὰ καταγέλαστα, καὶ ἀηδῆ, καὶ κόλασιν ἔχοντα, ὡς ἡδέα, διώκοντες. ἐκείνοις γὰρ ἡδέα ταῦτα εἶναι δοκεῖ, φησίν. ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἶεν ἄθλιοι, ὅτι καὶ ἡδέα νομίζουσιν εἶναι τὰ οὐχ ἡδέα. οὕτω καὶ τὴν κόλασιν τῆς ἁμαρτίας χείρω τίθενται, οὐκ ἔστι δὲ, ἀλλὰ τοὐναντίον ἅπαν. (ἴσ. ἦν ἡ κόλασις τοῖς) εἰ γὰρ κακὸν ἦν τοῖς ἁμαρτάνουσιν, οὐκ ἂν προσέθηκε κακοῖς κακὰ ὁ Θεὸς, οὐδὲ χείρους ἂν αὐτοὺς ποιῆσαι ἠθέλησεν. ὁ γὰρ πάντα ποιῶν ὥστε σβεσθῆναι τὴν κακίαν, οὐκ ἂν αὐτὴν ηὔξησεν. οὐκ ἄρα τὸ κολάζεσθαι κακὸν τῷ πλημμελοῦντι, ἀλλὰ τὸ οὕτως ἔχοντα μὴ κολάζεσθαι, ὥσπερ οὖν τὸ τὸν ἀῤῥωστοῦντα μὴ θεραπεύεσθαι. οὐδὲν γὰρ οὕτω κακὸν ὡς ἐπιθυμία ἄτοπος. ἄτοπον δὲ ὅταν εἴπω, καὶ τὴν τῆς τρυφῆς λέγω, καὶ τὴν τῆς δόξης τῆς ἀκαίρου, καὶ τὴν τῆς δυναστείας, καὶ τὴν ἁπάντων ἁπλῶς τῶν παρὰ τὴν χρείαν πραγμάτων. ὁ γὰρ τοιοῦτος ὁ ὑγρὸν καὶ διαλελυμένον ζῶν βίον, δοκεῖ μὲν πάντων εἶναι μακαριώτερος, πάντων δέ ἐστιν ἀθλιώτερος, δεσποίνας χαλεπὰς καὶ τυράννους ἐπεισάγων αὐτοῦ τῇ ψυχῇ. διὰ τοῦτο ἐπίπονον ὁ Θεὸς ἡμῖν τὸν παρόντα ἐποίησε βίον, ἵνα ἐκείνης ἡμᾶς ἀπαλλάξῃ τῆς δουλείας, καὶ εἰς καθαρὰν ἐλευθερίαν ἀγάγῃ. διὰ τοῦτο καὶ κόλασιν ἠπείλησε, καὶ πόνους συνεκλήρωσεν ἡμῶν τῇ ζωῇ, τὸ χαῦνον ἐπιστομίζων. οὕτω γοῦν καὶ οἱ Ἰουδαῖοι, ὅτε μὲν τῷ πηλῷ καὶ τῇ πλινθουργίᾳ προσδεδεμένοι ἦσαν, καὶ ἐπιεικεῖς ἦσαν, καὶ (γ. πλινθείᾳ)

τὸν

τὸν Θεὸν ἐκάλεσαν συνεχῶς ὅτι τῆς ἐλευθερίας ἀπήλαυσαν, καὶ ἐγήθυζον, καὶ παρώξυνον τὸν δεσπότην, καὶ μυρίοις ἑαυτοὺς περιέπειρον κακοῖς. τί οὖν, φησίν, ἂν εἴποις περὶ τῶν ὑπὸ θλίψεως περιτραπέντων πολλάκις; ὅτι οὐ τῆς θλίψεως ἔργον ἡ περιτροπὴ, ἀλλὰ τῆς ἀσθενείας τῆς ἐκείνων. οὐδὲ γὰρ εἴ τις στόμαχον ἄρρωστον ἔχων μὴ δέχοιτο πικρὸν φάρμακον δυνάμενον αὐτὸν καθᾶραι, ἀλλὰ καὶ ἐπιτρίβοιτο, οὐ τὸ φάρμακον αἰτιασόμεθα, ἀλλὰ τὴν ἀρρωστίαν τοῦ μέλους, ὥσπερ οὖν καὶ ἐνταῦθα τὴν εὐκολίαν τῆς γνώμης. καὶ γὰρ ὁ ὑπὸ θλίψεως περιτρεπόμενος, πολλῷ μᾶλλον ὑπὸ ἀνέσεως τοῦτο πείσεται. εἰ γὰρ δεδεμένος πίπτει (τοῦτο γὰρ ἡ θλίψις) πολλῷ μᾶλλον λελυμένος· εἰ σφιγγόμενος περιτρέπεται, πολλῷ μᾶλλον χαυνούμενος. καὶ πῶς δυνήσομαι, φησί, μὴ περιτραπῆναι θλιβόμενος; ἂν ἐννοήσῃς ὅτι κἂν θέλῃς, κἂν μὴ θέλῃς, οἴσεις τὸ ἐπενεχθέν· ἀλλ' ἂν μὲν εὐχαρίστως, κερδανεῖς τὰ μέγιστα, ἂν δὲ ἀποδυσπετῇς καὶ ἀλύῃς καὶ δυσφημῇς, οὔτε τὴν συμφορὰν ἐλάττω ταύτῃ ποιήσεις, καὶ μείζονα ἐργάσῃ τὸν κλύδωνα. ταῦτα οὖν ἐννοοῦντες, ὃ τῆς ἀνάγκης ἐστί, ποιῶμεν τῆς προαιρέσεως εἶναι τῆς ἡμετέρας. οἷόν τι λέγω· παῖδά τις ἀπέβαλε γνήσιον, τὴν οὐσίαν ἕτερος ἅπασαν. ἂν ἐννοήσῃς ὅτι λυθῆναι μὲν τὸ γεγενημένον οὐκ ἔνι, ἔνι δέ τι καρπώσασθαι καὶ ἐκ τῆς λύμης τῆς συμφορᾶς, τὸ γενναίως ἐνεγκεῖν τὸ συμβὰν, καὶ ἀντὶ τῶν ῥημάτων τῶν δυσφήμων εὐφημίαν ἀνενέγκῃς τῷ δεσπότῃ, οὕτω τὰ ἀβουλήτως ἐπενεχθέντα κακὰ, προαιρέσεως ἔσται σοι κατορθώματα. εἶδες υἱὸν ἁρπαγέντα ἄωρον; εἰπὲ, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. εἶδες οὐσίαν κενωθεῖσαν; εἰπὲ, Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. εἶδες πονηροὺς εὐημεροῦντας, καὶ δικαίους δυσημεροῦντας, καὶ μυρία πάσχοντας δεινὰ, οὐκ ἔγνως δὲ τῶν γινομένων εὑρεῖν τὴν αἰτίαν; εἰπὲ, Κτηνώδης ἐγενόμην παρὰ σοὶ, πλὴν ἐγὼ διὰ παντὸς μετὰ σοῦ. εἰ δὲ καὶ τὴν αἰτίαν ζητεῖς, ἐννόησον ὅτι ἔστησεν ἡμέραν καθ' ἣν μέλλει κρίνειν τὴν οἰκουμένην· καὶ πᾶσαν ἐκβάλλεις ἀπορίαν. τὴν γὰρ ἀξίαν τότε ἕκαστος ἀπολήψεται, ὥσπερ ὁ Λάζαρος καὶ ὁ πλούσιος. ἀναμνήσθητι τῶν ἀποστόλων· καὶ γὰρ ἐκεῖνοι μαστιζόμενοι, καὶ ἐλαυνόμενοι, καὶ μυρία πάσχοντες ἔχαιρον, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. καὶ σὺ τοίνυν ἂν ἀρρωστήσῃς, φέρε γενναίως, καὶ τῷ Θεῷ χάριτας ὁμολόγει, καὶ οὕτω τὸν αὐτὸν ἐκείνοις λήψῃ μισθόν. πῶς δὲ ἐν ἀρρωστίαις ὢν καὶ ὀδύναις δυνήσῃ τῷ δεσπότῃ χάριν εἰδέναι; ἂν φιλῇς αὐτὸν γνησίως. εἰ γὰρ εἰς κάμινον ἐμπεσόντες οἱ παῖδες οἱ τρεῖς, καὶ ἐν δεσμωτηρίοις ὄντες ἕτεροι καὶ ἐν μυρίοις ἄλλοις κακοῖς, οὐ διέλιπον εὐχαριστοῦντες· πολλῷ μᾶλλον οἱ ἐν νόσοις ὄντες καὶ ἐν ἀρρωστίαις χαλεπαῖς κατεχόμενοι τοῦτο δυνήσονται ποιεῖν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ὃ μὴ νικᾷ πόθος· ὅταν δὲ καὶ Θεοῦ πόθος ᾖ, πάντων ἐστὶν ὑψηλότερος. καὶ οὔτε πῦρ, οὔτε σίδηρος, οὔτε πενία, οὐκ ἀρρωστία, οὐ θάνατος, οὐκ ἄλλο τι τῶν τοιούτων φανεῖται δεινὸν τῷ τοιοῦτον κεκτημένῳ τὸν ἔρωτα, ἀλλὰ πάντων καταγελάσας, πρὸς τὸν οὐρανὸν πτήσεται, καὶ τῶν ἐκεῖ διατριβόντων οὐδὲν ἔλαττον διακείσεται, οὐδὲν ἕτερον ὁρῶν, οὐκ οὐρανὸν, οὐ γῆν, οὐ θάλατταν μόνον, ἀλλὰ καὶ πρὸς ἓν κάλλος τεταμένος τὸ τῆς δόξης ἐκείνης. καὶ οὔτε τὰ λυπηρὰ αὐτὸν τοῦ παρόντος ταπεινῶσαι δυνήσεται βίου, οὔτε ἐπᾶραι καὶ φυσῆσαι τὰ χρηστὰ καὶ ἡδονὴν ἔχοντα. ἐρασθῶμεν τοίνυν τοῦτον τὸν ἔρωτα (τούτου γὰρ ἴσον οὐδὲν) καὶ διὰ τὰ παρόντα, καὶ διὰ τὰ μέλλοντα· μᾶλλον δὲ πρὸ τούτων, δι' αὐτὴν τὴν τοῦ ἔρωτος φύσιν. ἀπαλλαγησόμεθα * γὰρ καὶ τῶν κατὰ τὸν παρόντα βίον καὶ τῶν κατὰ τὸν μέλλοντα αἰῶνα κολαστηρίων, καὶ τῆς βασιλείας ἀπολαυσόμεθα. πλὴν οὔτε γεέννης ἀπαλλαγὴ, οὔτε βασιλείας ἀπόλαυσις, μέγα τι πρὸς ὃ λεχθήσεσθαι μέλλον. τούτων γὰρ ἁπάντων μεῖζον, τὸ τὸν Χριστὸν ἐρώμενον ἔχειν ὁμοῦ καὶ ἐραστήν. εἰ γὰρ ἐπ' ἀνθρώπων τοῦτο συμβαῖνον πάσης ἡδονῆς ἐστιν ἀνώτερον, ὅταν ἐπὶ Θεοῦ τὰ ἀμφότερα ἐκβαίνῃ, ποῖος λόγος, ποία διάνοια παραστῆσαι δυνήσεται τὴν μακαριότητα ταύτης τῆς ψυχῆς; οὐκ ἔστιν οὐδεμία ἄλλη, ἀλλ' ἡ πεῖρα μόνη. ἵν' οὖν διὰ

τῆς

χ. μᾶλλον μὴ λελυπημένος

χ. βλασφήμων δυσφημίας ἀνενεγκεῖν τῷ

Ἰώβ α. κα.

Ψαλμ. οϛ. κϛ.

χ. αὐτοῦ

χ. πεπαυμένοι

* μὴ

ἴσ. παρέξει

τῆς πείρας μαθόντες τὴν πνευματικὴν ταύτην εὐφροσύνην καὶ τὸν μακάριον βίον καὶ τὸν θησαυρὸν τῶν μυρίων ἀγαθῶν, πάντα ἀφέντες ἐκείνης ἐχώμεθα τῆς ἀγάπης, καὶ εἰς εὐφροσύνην ἡμετέραν καὶ εἰς δόξαν τοῦ ποθουμένου Θεοῦ· ὅτι αὐτῷ ἡ δόξα καὶ ὁ Χριστὸς σὺν τῷ μονογενεῖ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ι. 12 ΔΙΑ ΤΟΥΤΟ, ΩΣΠΕΡ ΔΙ' ΕΝΟΣ ΑΝΘΡΩΠΟΥ, ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν ὁ θάνατος, ἐφ' ᾧ πάντες ἥμαρτον.

Καθάπερ οἱ τῶν ἰατρῶν ἄριστοι τὴν ῥίζαν ἀεὶ πολυπραγμονοῦσι τῶν νοσημάτων, καὶ ἐπ' αὐτὴν ἔρχονται τὴν πηγὴν τοῦ κακοῦ· οὕτω καὶ ὁ μακάριος Παῦλος. εἰπὼν γὰρ ὅτι ἐδικαιώθημεν, καὶ δείξας ἀπὸ τοῦ πατριάρχου, καὶ ἀπὸ τοῦ πνεύματος, καὶ ἐκ τοῦ ἀποθανεῖν τὸν Χριστόν (οὐδὲ γὰρ ἂν ἀπέθανεν, εἰ μὴ ἔμελλε δικαιοῦν) κατασκευάζει λοιπὸν καὶ ἑτέρωθεν τὰ διὰ τούτων ἀποδειχθέντα, καὶ ἀπὸ τῶν ἐναντίων συνίστησι τὸ προκείμενον, τουτέστιν, ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας. πῶς καὶ τίνι τρόπῳ ζητεῖ, καὶ πόθεν εἰσῆλθεν ὁ θάνατος, καὶ πῶς ἐκράτησε. πῶς οὖν εἰσῆλθεν ὁ θάνατος, καὶ ἐκράτησε; διὰ τῆς ἁμαρτίας τοῦ ἑνός. τί δέ ἐστιν, ἐφ' ᾧ πάντες ἥμαρτον; ἐκείνου πεσόντος, καὶ οἱ μὴ φαγόντες ἀπὸ τοῦ ξύλου γεγόνασιν ἐξ ἐκείνου πάντες θνητοί.

13 Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου. Τὸ ἄχρι νόμου, τινὲς τὸν χρόνον ἐκεῖνον νομίζουσιν αὐτὸν εἰρηκέναι τὸν πρὸ τῆς τοῦ νόμου δόσεως· οἷον τὸν ἐπὶ Ἄβελ, τὸν ἐπὶ Νῶε, τὸν ἐπὶ Ἀβραάμ, τὸν ἕως ὅτε Μωϋσῆς ἐγεννήθη. ποία οὖν τότε ἦν ἡ ἁμαρτία; τινὲς φασὶ τὴν ἐν παραδείσῳ λέγειν αὐτόν· οὐδέπω γὰρ ἦν λυθεῖσα, φησίν, ἀλλὰ καὶ ἤνθει αὐτῆς ὁ καρπός. τὸν γὰρ κοινὸν ἐκεῖνον θάνατον ἦν ἐνεγκεῖν, ὃς ἐκράτει καὶ ἐτυράννει. τίνος οὖν ἕνεκεν ἐπάγει, ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου; ἐξ ἀντιθέσεως τῶν Ἰουδαίων, φησίν, οἱ τὰ ἡμέτερα εἰρηκότες τοῦτ' αὐτὸν τεθεικέναι λέγουσιν, ὅτι εἰ μὴ ἔστιν ἁμαρτία χωρὶς νόμου, πῶς ὁ θάνατος ἀνήλισκε πάντας τοὺς πρὸ τοῦ νόμου; ἐμοὶ δὲ δοκεῖ τὸ λεχθήσεσθαι μέλλον, λόγον ἔχειν μᾶλλον, καὶ τῇ ἀποστολικῇ συμβαίνειν διανοίᾳ. τί δὲ τοῦτό ἐστιν; εἰπὼν ὅτι ἄχρι νόμου ἁμαρτία ἦν ἐν κόσμῳ, τοῦτό μοι δοκεῖ λέγειν, ὅτι τοῦ νόμου δοθέντος, ἡ ἁμαρτία ἐκράτει ἡ ἐκ τῆς παραβάσεως, καὶ ἕως τότε ἐκράτει ἕως καὶ νόμος ἦν. οὐδὲ γὰρ δύναται συστῆναι, φησίν, ἁμαρτία, μὴ ὄντος νόμου. εἰ τοίνυν αὕτη ἡ ἁμαρτία, φησίν, ἐκ τῆς τοῦ νόμου παραβάσεως τὸν θάνατον ἔτικτε, πῶς οἱ πρὸ τοῦ νόμου πάντες ἀπέθνησκον; εἰ γὰρ ἐξ ἁμαρτίας ὁ θάνατος τὴν ῥίζαν εἶχε, νόμου δὲ οὐκ ὄντος ἡ ἁμαρτία οὐκ ἐλλογεῖται, πῶς ὁ θάνατος ἐκράτει; ὅθεν δῆλον ὅτι οὐκ αὐτὴ ἡ ἁμαρτία ἡ τῆς τοῦ νόμου παραβάσεως, ἀλλ' ἐκείνη ἡ τῆς τοῦ Ἀδὰμ παρακοῆς, αὕτη ἦν ἡ πάντα λυμαινομένη. καὶ τίς ἡ τούτου ἀπόδειξις; τὸ καὶ πρὸ τοῦ νόμου πάντας ἀποθνήσκειν.

14 Ἐβασίλευσε γὰρ ὁ θάνατος, φησίν, ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. Πῶς ἐβασίλευσεν; Ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος. Διὰ τοῦτο καὶ τύπος ἐστὶν Ἰησοῦ Χριστοῦ ὁ Ἀδάμ. πῶς τύπος, φησίν; ὅτι ὥσπερ ἐκεῖνος τοῖς ἐξ αὐτοῦ, καίτοιγε μὴ φαγοῦσιν ἀπὸ τοῦ ξύλου, γέγονεν αἴτιος θανάτου τοῦ διὰ τὴν βρῶσιν εἰσαχθέντος, οὕτω καὶ ὁ Χριστὸς τοῖς ἐξ αὐτοῦ,

του, καίτοιγε οὐ δικαιοπραγήσασι, γέγονε πρόξενος δικαιοσύνης, ἣν διὰ τοῦ σταυροῦ πᾶσιν ἡμῖν ἐχαρίσατο. διὰ τοῦτο ἄνω καὶ κάτω τοῦ ἑνὸς ἔχεται, καὶ συνεχῶς τοῦτο εἰς μέσον φέρει λέγων, Ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε· καὶ, Ἐν τῷ" τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον· καὶ, Οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα· καὶ, Τὸ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα· καὶ πάλιν, Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός· καὶ, Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος· καὶ πάλιν, Ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί· καὶ οὐκ ἀφίσταται τοῦ ἑνός, ἵν' ὅταν λέγῃ σοι ὁ Ἰουδαῖος, πῶς, ἑνὸς κατορθώσαντος τοῦ Χριστοῦ, ἡ οἰκουμένη ἐσώθη; δυνηθῇς αὐτῷ λέγειν, πῶς, ἑνὸς παρακούσαντος τοῦ Ἀδάμ, ἡ οἰκουμένη κατεκρίθη; καίτοιγε οὐκ ἴσον ἁμαρτία καὶ χάρις, οὐκ ἴσον θάνατος καὶ ζωή, οὐκ ἴσον διάβολος, καὶ Θεός, ἀλλ' ἄπειρον τὸ μέσον. ὅταν οὖν καὶ ἀπὸ τῆς τοῦ πράγματος φύσεως, καὶ ἀπὸ τῆς τοῦ μετελθόντος δυνάμεως, καὶ ἀπ' αὐτοῦ τοῦ πρέποντος (πολὺ γὰρ τῷ Θεῷ τοῦτο πρεπωδέστερον, τὸ σώζειν, ἢ τὸ κολάζειν) ἐνταῦθα ἡ ὑπεροχὴ καὶ τὰ νικητήρια, ἵνα ἂν ἔχοις λόγον εἰς ἀπιστίαν, εἰπέ μοι; ὅτι μὲν οὖν κατὰ λόγον τὸ γεγενημένον, ἔδειξεν εἰπών,

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ" ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· εἰ ἡ ἁμαρτία τοσοῦτον ἴσχυσε, καὶ ἀνθρώπου ἁμαρτία ἑνός· χάρις, καὶ Θεοῦ χάρις, καὶ οὐ πατρὸς μόνον, ἀλλὰ καὶ υἱοῦ, πῶς οὐ περιέσται μειζόνως; πολλῷ γὰρ τοῦτο εὐλογώτερον. τὸ μὲν γὰρ ἕτερον δι' ἕτερον κολάζεσθαι, οὐ σφόδρα δοκεῖ λόγον ἔχειν· τὸ δὲ ἕτερον δι' ἕτερον σώζεσθαι, καὶ πρεπωδέστερον μᾶλλον καὶ εὐλογώτερον. Εἰ τοίνυν ἐκεῖνο γέγονε, πολλῷ μᾶλλον τοῦτο. ὅτι μὲν οὖν εἰκὸς καὶ εὔλογον, ἐκ τούτων ἔδειξε. καὶ γὰρ ἐκείνου κατασκευασθέντος, εὐπαράδεκτον τοῦτο λοιπὸν ἔμελλεν εἶναι. ὅτι δὲ καὶ ἀναγκαῖον, ἐκ τῶν ἑξῆς κατασκευάζει.*

16 Οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα, φησι. τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν" παραπτωμάτων εἰς δικαίωμα. Καὶ τί ποτέ ἐστι τοῦτο τὸ λεγόμενον; ὅτι τὸν μὲν θάνατον καὶ τὸ κατάκριμα ἴσχυσεν ἁμαρτία εἰσενεγκεῖν. ἡ δὲ χάρις οὐ τὴν μίαν ἐκείνην ἁμαρτίαν ἀνεῖλε μόνον, ἀλλὰ καὶ τὰς μετ' ἐκείνην ἐπεισελθούσας. ἵνα γὰρ τὸ ὡς, καὶ τὸ οὕτω τιθέμενον, μὴ ἴσον εἰσάγῃ μέτρον τῶν ἀγαθῶν πρὸς τὰ κακά, μηδὲ νομίσῃς ἀκούων τὸν Ἀδάμ, ἐκείνην ἀνῃρῆσθαι μόνην τὴν ἁμαρτίαν ἣν ἐκεῖνος εἰσήνεγκε, λέγει, ὅτι πολλῶν παραπτωμάτων ἡ ἀναίρεσις γέγονε. πόθεν δῆλον; ὅτι μετὰ τὰς ἀπείρους ἁμαρτίας τὰς" μετ' ἐκείνην τὴν ἐν παραδείσῳ, εἰς δικαίωμα τὸ πρᾶγμα ἐξέβη. ὅπου δὲ δικαιοσύνη, ἐξ ἀνάγκης καὶ ζωὴ" πάντως ἕπεται καὶ τὰ μυρία ἀγαθά, ὥσπερ οὖν ὅπου ἁμαρτία, θάνατος. πλέον γὰρ τῆς ζωῆς ἡ δικαιοσύνη, ἐπειδὴ καὶ ῥίζα ἐστὶ ζωῆς. ὅτι μὲν οὖν πλείονα εἰσῆκται τὰ ἀγαθά, καὶ οὐκ ἐκείνη ἀνῄρηται ἡ ἁμαρτία μόνον, ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαί, ἔδειξεν εἰπών, τὸ δὲ χάρισμα ἐκ πολλῶν" παραπτωμάτων εἰς δικαίωμα. ὅθεν ἀναγκαίως συναποδέδεικται καὶ τὸν θάνατον πρόρριζον ἀνεσπάσθαι. χρεία δὲ κατασκευάσαι λοιπόν, ἐπειδὴ μεῖζον εἶπε τοῦ προτέρου τὸ δεύτερον, καὶ αὐτὸ τοῦτο πάλιν. πρότερον μὲν γὰρ εἶπεν, ὅτι εἰ ἑνὸς ἁμαρτία ἀπέκτεινε πάντας, πολλῷ μᾶλλον καὶ ἑνὸς χάρις σῶσαι δυνήσεται. μετὰ ταῦτα ἔδειξεν ὅτι οὐκ ἐκείνη ἀνῃρέθη μόνον ἡ ἁμαρτία διὰ τῆς χάριτος, ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαί, καὶ οὐχ ἁμαρτίαι ἀνῃρέθησαν μόνον, ἀλλὰ καὶ δικαιοσύνη ἐδόθη· καὶ οὐ τοσοῦτον ὠφέλησε μόνον ὁ Χριστός, ὅσον ἔβλαψεν ὁ Ἀδάμ, ἀλλὰ καὶ πολλῷ πλέον καὶ μεῖζον. ἐπεὶ οὖν τοιαῦτα ἀπεφήνατο, δεῖται πάλιν καὶ ἐνταῦθα κατασκευῆς πλείονος. πῶς οὖν αὐτὸ κατασκευάζει;

χ. ἑνὶ
χ. τῇ
* πῶς οὖν τοῦτο κατασκευάζει
χ. ἁμαρτημάτων
χ. κατ'
χ. πάντως
χ. παραπτωμάτων

17 Εἰ

17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι, φησὶν, ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς* τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τί τὸν θάνατον ὥπλισε κατὰ τῆς οἰκουμένης; τὸ φαγεῖν ἀπὸ τοῦ ξύλου "μόνον τὸν ἕνα ἄνθρωπον. Εἰ τοίνυν ὁ θάνατος τοσαύτην ἔλαβεν ἰσχὺν ἐξ ἑνὸς παραπτώματος, ὅταν εὑρεθῶσί τινες πολλῷ μείζονα τῆς ἁμαρτίας ἐκείνης λαβόντες χάριν καὶ δικαιοσύνην, πῶς δυνήσονται ἔτι λοιπὸν ὑπεύθυνοι τῷ θανάτῳ; διὰ τοῦτο οὐκ εἶπεν ἐνταῦθα, χάριν, ἀλλὰ, περισσείαν χάριτος. οὐ γὰρ ὅσον ἐχρῄζομεν εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, τοσοῦτον ἐλάβομεν μόνον ἐκ τῆς χάριτος, ἀλλὰ καὶ πολλῷ πλέον. καὶ γὰρ καὶ κολάσεως ἀπηλλάγημεν, καὶ κακίαν ἀπεδυσάμεθα πᾶσαν, καὶ ἀνεγεννήθημεν ἄνωθεν, καὶ ἀνέστημεν τοῦ παλαιοῦ ταφέντος ἀνθρώπου, καὶ ἀπελυτρώθημεν, καὶ ἡγιάσθημεν, καὶ εἰς υἱοθεσίαν ἤχθημεν, καὶ ἐδικαιώθημεν, καὶ ἐγενόμεθα ἀδελφοὶ τοῦ μονογενοῦς, καὶ συγκληρονόμοι καὶ σύσσωμοι αὐτοῦ κατέστημεν, καὶ εἰς τὴν σάρκα αὐτοῦ τελοῦμεν, καὶ ὥσπερ σῶμα κεφαλῇ, οὕτως ἡνώμεθα. Ταῦτα οὖν ἅπαντα περισσείαν χάριτος ἐκάλεσεν ὁ Παῦλος, δεικνὺς ὅτι οὐ φάρμακον ἐλάβομεν ἀντίρροπον τοῦ τραύματος μόνον, ἀλλὰ καὶ ὑγίειαν, καὶ εὐμορφίαν, καὶ τιμὴν, καὶ δόξαν, καὶ ἀξιώματα πολὺ τὴν ἡμετέραν ὑπερβαίνοντα φύσιν. καὶ τούτων ἕκαστον ἱκανὸν ἦν καθ' ἑαυτὸ λῦσαι τὸν θάνατον· ὅταν δὲ ἅπαντα ὁμοῦ συντρέχοντα φαίνηται, οὐδὲ ἴχνος αὐτοῦ λοιπὸν, οὐδὲ σκιὰν φανῆναι δυνατὸν, ἄρδην ἀφανισθέντος. ὥσπερ οὖν εἴ τις ὀβολοὺς δέκα ὀφείλοντά τινα εἰς δεσμωτήριον ἐμβάλοι, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ γυναῖκα καὶ παιδία καὶ οἰκέτας δι' αὐτόν· ἐλθὼν δὲ ἕτερος, μὴ τοὺς δέκα ὀβολοὺς καταβάλοι μόνον, ἀλλὰ καὶ μυρία χρυσοῦ τάλαντα χαρίσαιτο, καὶ εἰς βασιλικὰς αὐλὰς εἰσαγάγοι τὸν δεσμώτην, καὶ εἰς θρόνον ἀρχῆς ὑψηλοτάτης, καὶ "κοινὸν τῆς ἀνωτάτης τιμῆς ποιήσειε, καὶ τῆς ἄλλης περιφανείας, οὐκ ἂν δύναιτο λοιπὸν μεμνῆσθαι τῶν δέκα ὀβολῶν ὁ δανείσας· οὕτω καὶ ἐφ' ἡμῶν γέγονε. πολλῷ γὰρ πλείονα ὧν ὀφείλομεν κατέβαλεν ὁ Χριστὸς, καὶ τοσούτῳ πλείονα, ὅσῳ πρὸς ῥανίδα μικρὰν πέλαγος ἄπειρον. μὴ τοίνυν ἀμφίβαλλε, ἄνθρωπε, τοσοῦτον πλοῦτον ὁρῶν ἀγαθῶν, μηδὲ ζήτει πῶς ὁ σπινθὴρ ἐκεῖνος τοῦ θανάτου καὶ τῆς ἁμαρτίας ἐλύθη, τοσαύτης θαλάττης χαρισμάτων ἐπενεχθείσης αὐτῷ. τοῦτο γὰρ καὶ Παῦλος ᾐνίξατο εἰπὼν, ὅτι οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δικαιοσύνης λαβόντες ἐν ζωῇ βασιλεύσουσι. καὶ ἐπειδὴ σαφῶς τοῦτο ἀπέδειξε, πάλιν τῷ προτέρῳ κέχρηται συλλογισμῷ, ἐπισφίγγων αὐτὸν τῇ ἐπαναλήψει, καὶ λέγων, ὅτι εἰ διὰ τὸ παράπτωμα ἐκείνου ἐκολάσθησαν ἅπαντες, δύναιντ' ἂν καὶ ἐντεῦθεν δικαιωθῆναι. διὸ καὶ λέγει,

* ἢ

γρ. μόνον

ἴσ. κοινωνὸν τ̃

18 Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. Καὶ ἐπαγωνίζεται πάλιν αὐτῷ οὕτω λέγων,

19 Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

Καὶ δοκεῖ μὲν ζήτημα οὐ μικρὸν ἔχειν τὸ εἰρημένον· ἂν δέ τις ἀκριβῶς προσέχῃ, καὶ τοῦτο εὐκόλως λυθήσεται. τί ποτ' οὖν ἐστι τὸ ζήτημα; τὸ λέγειν διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἁμαρτωλοὺς γενέσθαι πολλούς. τὸ μὲν γὰρ ἁμαρτόντος ἐκείνου καὶ γενομένου θνητοῦ, καὶ τοὺς ἐξ αὐτοῦ τοιούτους εἶναι, οὐδὲν ἀπεικός· τὸ δὲ ἐκ τῆς παρακοῆς ἐκείνου ἕτερον ἁμαρτωλὸν γενέσθαι, ποίαν ἀκολουθίαν σχοίη; εὑρεθήσεται γὰρ οὕτω μηδὲ δίκην ὀφείλων ὁ τοιοῦτος, εἴγε μὴ οἴκοθεν γέγονεν ἁμαρτωλός. τί οὖν ἐστιν ἐνταῦθα τὸ ἁμαρτωλοί; ἐμοὶ δοκεῖ τὸ ὑπεύθυνοι κολάσει, καὶ καταδεδικασμένοι θανάτῳ. ὅτι μὲν οὖν τοῦ Ἀδὰμ ἀποθανόντος πάντες ἐγενόμεθα θνητοὶ, σαφῶς καὶ διὰ πολλῶν ἔδειξε. τὸ δὲ ζητούμενον, τίνος ἕνεκεν τοῦτο γέγονεν.

ἀλλ' οὐκέτι τοῦτο προσέθηκεν. οὐδὲ γὰρ αὐτῷ πρὸς τὸ παρὸν συντελεῖ. πρὸς γὰρ Ἰουδαίους ἡ μάχη τοὺς ἀμφιβάλλοντας, καὶ καταγελῶντας τῆς διὰ τοῦ ἑνὸς δικαιοσύνης. διὰ τοῦτο δείξας τὴν κόλασιν ἐξ ἑνὸς ἐξενεχθεῖσαν εἰς ἅπαντας, τίνος ἕνεκεν τοῦτο γέγονεν οὐκέτι προσέθηκεν. οὐ γάρ ἐστι περιττὸς, ἀλλὰ τῶν ἀναγκαίων ἔχεται μόνων. τοῦτο γὰρ οὐκ αὐτὸν * μᾶλλον ἢ τοὺς Ἰουδαίους ἠνάγκαζε λοιπὸν ὁ τῶν ἀγώνων νόμος εἰπεῖν· διόπερ ἀφίησιν ἄλυτον. εἰ δὲ ὑμῶν τις ζητοίη μαθεῖν, ἐροῦμεν τοῦτο, ὅτι οὐ μόνον οὐδὲν παρεβλάβημεν ἀπὸ τοῦ θανάτου τούτου καὶ τῆς καταδίκης, ἐὰν νήφωμεν, ἀλλὰ καὶ ἐκερδάναμεν θνητοὶ γενόμενοι· πρῶτον, τὸ μὴ ἐν ἀθανάτῳ σώματι ἁμαρτάνειν· δεύτερον, ὥστε μυρίας ἔχειν φιλοσοφίας ὑποθέσεις. τὸ γὰρ μετριάζειν, τὸ σωφρονεῖν, καὶ κατεστάλθαι, καὶ πάσης ἀπηλλάχθαι κακίας, καὶ παρὼν καὶ προσδοκώμενος ὁ θάνατος ἀναπείθει. μετὰ δὲ τούτων, μᾶλλον δὲ καὶ πρὸ τούτων, καὶ ἕτερα πλείονα εἰσήγαγεν ἀγαθά. ἐντεῦθεν γὰρ οἱ τῶν μαρτύρων στέφανοι, καὶ τὰ τῶν ἀποστόλων βραβεῖα. οὕτως Ἄβελ ἐδικαιώθη, οὕτως Ἀβραὰμ τὸν υἱὸν κατασφάξας, οὕτως ὁ Ἰωάννης διὰ τὸν Χριστὸν ἀναιρεθεὶς, οὕτως οἱ παῖδες οἱ τρεῖς, οὕτως ὁ Δανιήλ. ἂν γὰρ θέλωμεν, οὐ μόνον ὁ θάνατος, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος ἡμᾶς βλάψαι δυνήσεται. χωρὶς δὲ τούτων κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι καὶ ἀθανασία ἡμᾶς ἐκδέξεται, καὶ πρὸς ὀλίγον νουθετηθέντες χρόνον, μετὰ ἀδείας ἀπολαυσόμεθα τῶν μελλόντων ἀγαθῶν, ὥσπερ ἐν διδασκαλείῳ τινὶ τῷ παρόντι βίῳ διὰ νόσου, καὶ θλίψεως, καὶ πειρασμῶν, καὶ πενίας, καὶ τῶν ἄλλων τῶν δοκούντων εἶναι δεινῶν παιδευόμενοι εἰς τὸ γενέσθαι ἐπιτήδειοι εἰς τὴν τῶν μελλόντων ἀγαθῶν ὑποδοχήν.

γρ. οὐδέν — γρ. συντελεῖ — * μόνον — γρ. αὐτό. — γρ. θνητῷ — γρ. λυπηρῶν

20 Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα.

Ἐπειδὴ γὰρ ἔδειξεν ἀπὸ μὲν τοῦ Ἀδὰμ καταδικασθεῖσαν τὴν οἰκουμένην, ἀπὸ δὲ τοῦ Χριστοῦ σωθεῖσαν, καὶ τῆς καταδίκης ἀπαλλαγεῖσαν, εὐκαίρως καὶ περὶ τοῦ νόμου ζητεῖ, πάλιν λοιπὸν τὴν περὶ αὐτοῦ δόξαν ὑποτεμνόμενος. οὐ γὰρ μόνον οὐδὲν ὤνησε, φησὶν, οὐδὲ μόνον οὐδὲν ἐβοήθησεν, ἀλλὰ καὶ ηὐξήθη τὸ νόσημα παρεισελθόντος αὐτοῦ. τὸ δὲ, ἵνα, ἐνταῦθα οὐκ αἰτιολογίας πάλιν, ἀλλ' ἐκβάσεώς ἐστιν. οὐ γὰρ διὰ τοῦτο ἐδόθη, ἵνα πλεονάσῃ, ἀλλ' ἐδόθη μὲν ὥστε μειῶσαι καὶ ἀνελεῖν τὸ παράπτωμα. ἐξέβη δὲ τοὐναντίον, οὐ παρὰ τὴν τοῦ νόμου φύσιν, ἀλλὰ παρὰ τὴν τῶν δεξαμένων ῥᾳθυμίαν. διὰ τί δὲ οὐκ εἶπε, νόμος ἐδόθη, ἀλλὰ, νόμος δὲ παρεισῆλθε; πρόσκαιρον αὐτοῦ δεικνὺς τὴν χρείαν οὖσαν, καὶ οὐ κυρίαν οὐδὲ προηγουμένην. ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας φησὶν, ἑτέρως τὸ αὐτὸ τοῦτο δηλῶν· Πρὸ τοῦ γὰρ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον, φησὶν, ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε οὐχ ἑαυτῷ, ἀλλ' ἑτέρῳ τὴν ποίμνην ἐφύλαττεν. ἐπειδὴ γὰρ βάναυσοί τινες ἦσαν οἱ Ἰουδαῖοι καὶ ἐκλελυμένοι καὶ πρὸς αὐτὰς τὰς δωρεὰς ἀναπεπτωκότες, τούτου χάριν ὁ νόμος ἐδόθη, ἵνα αὐτοὺς ἐλέγξῃ μειζόνως, καὶ διδάξῃ σαφῶς ἐν οἷς εἰσι, καὶ τὴν κατηγορίαν αὐξήσας ἐπισφίγξῃ μᾶλλον αὐτούς. ἀλλὰ μὴ φοβηθῇς· οὐ γὰρ ἐπὶ τῷ μείζω γενέσθαι τὴν κόλασιν τοῦτο ἐγένετο, ἀλλ' ἐπὶ τῷ μείζονα φανῆναι τὴν χάριν. διὸ ἐπήγαγεν,

Γαλατ. γ. κγ. — γρ. οὐχ ἑτέρῳ, ἀλλ' ἑαυτῷ τὴν πίστιν ἐφύλατ. — γρ. πλέονα

Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. Οὐκ εἶπεν, ἐπερίσσευσεν, ἀλλὰ καὶ ὑπερεπερίσσευσεν. οὐ γὰρ κολάσεως ἀπήλλαξε μόνον, ἀλλὰ καὶ ἁμαρτημάτων ἄφεσιν καὶ ζωὴν ἔδωκε, καὶ τὰ ἄλλα ἃ πολλάκις εἰρήκαμεν· ὥσπερ ἂν εἴ τις τὸν πυρέττοντα μὴ νόσου μόνον ἐλευθερώσειεν, ἀλλὰ καὶ ὡραῖον ἐργάσαιτο καὶ ἰσχυρὸν καὶ ἔντιμον, ἢ τὸν πεινῶντα πάλιν μὴ θρέψειε μόνον, ἀλλὰ καὶ τῶν πολλῶν ποιήσειε χρημάτων εἶναι κύριον, καὶ ἐπ' ἀρχὴν ἀγάγοι μεγίστην. καὶ πῶς ἐπλεόνασε τὸ ἁμάρτημα, φησί; μυρίας ἔδωκεν ἐντολὰς ὁ νόμος. ἐπεὶ οὖν πάσας ὑπερέβησαν, ἐπλεόνασε τὸ ἁμάρτημα. εἶδες πόσον τὸ μέσον τῆς χάριτος καὶ τοῦ νόμου; ὁ μὲν γὰρ καὶ προσθήκη καταχρίσεως ἐγένετο· ἡ δὲ, πλεονασμὸς δωρεᾶς. Εἰπὼν δὲ τὴν ἄφατον φιλοτιμίαν, ζητεῖ πάλιν τὴν ἀρχὴν καὶ τὴν ῥίζαν καὶ τοῦ θανάτου καὶ

γρ. παράπτωμα

τῆς ζωῆς. τίς οὖν τοῦ θανάτου ἡ ῥίζα; ἡ ἁμαρτία. διὸ καὶ ἐπάγει·

21 Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ταῦτα δὲ ἔφη, δεικνὺς τὴν μὲν ἐν τάξει βασιλέως, τὸν δὲ θάνατον ἐν τάξει στρατιώτου ὑπ' αὐτῇ τεταγμένον, καὶ ὑπὸ ταύτης καθοπλιζόμενον. (χ. παρ' αὐτῆς) οὐκοῦν εἰ αὐτὴ τὸν θάνατον καθώπλισεν, εὔδηλον ὅτι ἡ ἀναιρετικὴ ταύτης δικαιοσύνη ἡ διὰ τῆς χάριτος εἰσενεχθεῖσα, οὐ μόνον ἀφοπλίζει τὸν θάνατον, ἀλλὰ καὶ ἀναιρεῖ, καὶ τὴν ἐκείνης καταλύει βασιλείαν ἅπασαν, ὅσῳ καὶ μείζων ταύτης ἐκείνη, οὐ δι' ἀνθρώπου καὶ διαβόλου, ἀλλὰ διὰ Θεοῦ καὶ χάριτος εἰσαγομένη, καὶ ἐπὶ τὸ χρηστότερον ἄγουσα τὴν ζωὴν τὴν ἡμετέραν, καὶ ἀπέραντον ἀγαθόν. οὐκ ἔτι γὰρ αὐτῆς ἔσται πέρας, ἵνα καὶ ἐντεῦθεν μάθῃς τὸ πλέον. ἐκείνη μὲν γὰρ τῆς παρούσης ἐξέβαλε ζωῆς· ἡ δὲ χάρις ἐλθοῦσα, οὐ τὴν πρόσκαιρον, ἀλλὰ τὴν ἀθάνατον ἡμῖν ἐδωρήσατο καὶ αἰώνιον. τούτων δὲ πάντων πρόξενος ἡμῖν ὁ Χριστός. μὴ τοίνυν ἀμφίβαλλε περὶ ζωῆς, δικαιοσύνην ἔχων. καὶ γὰρ μείζων ἡ δικαιοσύνη τῆς ζωῆς· ἐπεὶ καὶ μήτηρ αὐτῆς ἐστι.

1 Τί οὖν; ἐπιμένωμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο. κεφ. ϛ.

Πάλιν εἰς τὸν ἠθικὸν ἐμβαίνει λόγον, οὐχὶ προηγουμένως αὐτὸν εἰσάγων, ἵνα μὴ δόξῃ φορτικὸς εἶναι πολλοῖς καὶ ἐπαχθής, ἀλλ' ἐκ τῆς τῶν δογμάτων ἀκολουθίας. εἰ γὰρ καὶ οὕτω ποικίλλων τὸν λόγον ἐφείδετο μήποτε δυσχεραίνωσιν ἐκεῖνοι πρὸς τὰ λεγόμενα, διὸ καὶ ἔλεγε, τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους, πολλῷ μᾶλλον εἰ μὴ τοῦτο ἐποίησε, τραχύτερος ἂν αὐτοῖς ὤφθη. ἐπεὶ οὖν ἔδειξε μεγάλην οὖσαν τὴν χάριν τῷ μεγάλα ἰάσασθαι ἁμαρτήματα, ἐκ δὲ τούτου ἐδόκει* τοῖς ἀνοήτοις προτροπὴ τὸ λεγόμενον εἰς ἁμαρτίαν εἶναι (* παρὰ) (εἰ γὰρ διὰ τοῦτο μείζων ἐφάνη ἡ χάρις, φησίν, ἐπειδὴ μεγάλα ἡμάρτομεν, μὴ ἀποστῶμεν ἁμαρτάνοντες, ἵνα πλέον ἡ χάρις δειχθῇ) ἵν' οὖν μὴ ταῦτα λέγωσιν, ἢ ὑπονοῶσιν, ὅρα πῶς ἀνατρέπει τὴν ἀντίθεσιν· πρῶτον μὲν τῇ ἀπαγορεύσει, λέγων μὴ γένοιτο· ὅπερ ἐπὶ τῶν σφόδρα ὁμολογουμένων ἀτόπων ποιεῖν εἴωθεν. ἔπειτα καὶ λογισμὸν τίθησιν ἀναντίρρητον. ποῖον δὴ τοῦτον;

2 Οἵτινες ἀπεθάνομεν, φησί, τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;

Τί ἐστιν, ἀπεθάνομεν; ἢ ὅτι, τὸ ἐκείνης μέρος καὶ τὸ εἰς αὐτὴν ἧκον, ἀπόφασιν ἐδεξάμεθα πάντες, ἢ ὅτι νεκροὶ γεγόναμεν αὐτῇ, πιστεύσαντες καὶ φωτισθέντες· ὃ καὶ μᾶλλόν ἐστιν εἰπεῖν. τοῦτο γὰρ καὶ τὸ ἑξῆς δείκνυσιν ἐμφανεῖ. τί δέ ἐστι νεκροὺς αὐτῇ γεγενῆσθαι; τὸ πρὸς μηδὲν ὑπακούειν αὐτῇ λοιπόν. τοῦτο γὰρ τὸ μὲν βάπτισμα ἐποίησεν ἅπαξ, ἐνέκρωσεν ἡμᾶς αὐτῇ· δεῖ δὲ λοιπὸν παρὰ τῆς ἡμετέρας σπουδῆς κατορθοῦσθαι διηνεκῶς, ὥστε, κἂν μυρία ἐπιτάττῃ, μηκέτι ὑπακούειν, ἀλλὰ μένειν ἀκίνητον ὥσπερ τὸν νεκρόν. καίτοι γε ἀλλαχοῦ φησιν ὅτι αὐτὴ ἡ ἁμαρτία ἀπέθανεν. ἀλλ' ἐκεῖ μὲν εὔκολον βουλόμενος δεῖξαι τὴν ἀρετήν, τοῦτο τίθησιν· ἐνταῦθα δέ, ἐπειδὴ διεγεῖραι σπεύδει τὸν ἀκροατήν, ἐπ' αὐτὸν μεταφέρει τὸν θάνατον. εἶτα, ἐπειδὴ ἀσαφὲς ἦν τὸ εἰρημένον, ἑρμηνεύει πάλιν αὐτὸ καὶ ἐπιπληκτικῶς τῷ λόγῳ χρώμενος.

3 Ἢ ἀγνοεῖτε γάρ, φησιν, ἀδελφοί, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον.

Τί ἐστιν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; εἰς τὸ καὶ αὐτοὺς ἀποθανεῖν ὥσπερ ἐκεῖνος. (χ. τοῦ Χριστοῦ) σταυρὸς γὰρ* ἐστι τὸ βάπτισμα. ὅπερ οὖν ὁ σταυρὸς" τῷ Χριστῷ καὶ ὁ τάφος, τοῦτο ἡμῖν τὸ βάπτισμα γέγονεν, εἰ καὶ μὴ ἐπὶ τῶν αὐτῶν. αὐτὸς μὲν γὰρ σαρκὶ καὶ ἀπέθανε καὶ ἐτάφη, ἡμεῖς δὲ ἁμαρτίᾳ ἀμφότερα. διὸ οὐκ εἶπε, σύμφυτοι τῷ θανάτῳ, ἀλλά, τῷ ὁμοιώματι τοῦ θανάτου. (χ. σαρκικὸς) θάνατος μὲν γὰρ καὶ τοῦτο, κἀκεῖνο, ἀλλ' οὐχὶ τοῦ αὐτοῦ ὑποκειμένου. ἀλλ' ὁ μὲν" σαρκός, ὁ τοῦ Χριστοῦ· ὁ δὲ ἁμαρτίας, ὁ ἡμέτερος. ὥσπερ οὖν ἐκεῖνος ἀληθής, οὕτω καὶ οὗτος. ἀλλ'

εἰ δὲ ἀληθής, δεῖ καὶ τὰ παρ' ἡμῶν συνεισενεχθῆναι πάλιν. διὸ καὶ ἐπήγαγεν,

γ. ὑμῶν

4 Ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Ἐνταῦθα μετὰ τῆς ἐπιμελείας τοῦ βίου, καὶ τὸν περὶ τῆς ἀναστάσεως αἰνίττεται λόγον. πῶς; ἐπίστευσας, φησιν, ὅτι ἀπέθανεν ὁ Χριστὸς, καὶ ὅτι ἠγέρθη; οὐκοῦν καὶ τὸ σὸν πίστευε. τοῦτο γὰρ ἔοικεν ἐκείνῳ· ἐπεὶ καὶ τὸ σὸν καὶ σταυρὸς, καὶ τάφος. εἰ γὰρ ἐν θανάτῳ ἐκοινώνησας καὶ ταφῇ, πολλῷ μᾶλλον ἐν ἀναστάσει καὶ ζωῇ. τοῦ γὰρ μείζονος λυθέντος τῆς ἁμαρτίας, οὐ δεῖ περὶ τοῦ ἐλάττονος ἀμφιβάλλειν λοιπὸν, τῆς τοῦ θανάτου ἀναιρέσεως.

ΗΘΙΚΟΝ

Ἀλλὰ ταῦτα μὲν τέως ἀφίησι λογίζεσθαι τῷ συνειδότι τῶν ἀκροωμένων, αὐτὸς δὲ προκειμένης τῆς μελλούσης, ἑτέραν ἡμᾶς ἀνάστασιν ἀπαιτεῖ, τὴν καινὴν πολιτείαν, τὴν κατὰ τὸν παρόντα βίον, ἐκ τῆς τῶν τρόπων μεταβολῆς γινομένην. ὅταν γὰρ ὁ πόρνος γένηται σώφρων, καὶ ὁ πλεονέκτης ἐλεήμων, καὶ ὁ τραχὺς ἥμερος, καὶ ἐνταῦθα ἀνάστασις γέγονεν ἐκείνης οὖσα προοίμιον. καὶ πῶς ἀνάστασις; τῆς μὲν ἁμαρτίας νεκρωθείσης, τῆς δὲ δικαιοσύνης ἀναστάσης, καὶ τῆς μὲν παλαιᾶς ζωῆς ἀφανισθείσης, τῆς δὲ καινῆς ταύτης καὶ ἀγγελικῆς πολιτευομένης. ὅταν δὲ ἀκούσῃς καινὴν ζωὴν, πολλὴν ζήτει τὴν ἐναλλαγὴν, καὶ μεγάλην τὴν μεταβολήν. ἀλλὰ γὰρ δακρῦσαί μοι λοιπὸν ἔπεισι, καὶ στενάξαι μέγα, ὅταν ἐννοήσω πόσην μὲν ἡμᾶς ἀπαιτεῖ φιλοσοφίαν ὁ Παῦλος, πόσην δὲ ἑαυτοὺς ἐξεδώκαμεν ῥαθυμίαν, μετὰ τὸ βάπτισμα ἐπὶ τὸ πρότερον ἐπανιόντες γῆρας, καὶ εἰς τὴν Αἴγυπτον ἀνακάμπτοντες, καὶ τῶν σκορόδων μεμνημένοι μετὰ τὸ μάννα. δέκα γὰρ καὶ εἴκοσιν ἡμέρας μετὰ αὐτὸ τὸ βάπτισμα μεταβαλλόμενοι τοῖς προτέροις πάλιν ἐπιχειροῦμεν. ἀλλ' οὐκ ἀριθμὸν ἡμερῶν τακτὸν, ἀλλ' ὅλον ἡμᾶς τὸν βίον ἀπαιτεῖ ταύτην τὴν πολιτείαν ὁ Παῦλος. ἡμεῖς δὲ ἐπὶ τὸν πρότερον ἐπανερχόμεθα ἔμετον, μετὰ τὴν ἀπὸ τῆς χάριτος νεότητα τὸ ἀπὸ τῶν ἁμαρτιῶν κατασκευάζοντες γῆρας. καὶ γὰρ τὸ χρημάτων ἐρᾶν, καὶ τὸ δουλεύειν ἐπιθυμίαις ἀτόποις, καὶ πᾶσα ἁπλῶς ἁμαρτία παλαιοῦν εἴωθε τὸν ἐργαζόμενον. τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτω σῶμα ὑπὸ χρόνων παραλελυμένον ἰδεῖν, ὡς ψυχὴν ὑπὸ ἁμαρτημάτων πολλῶν σαθρουμένην καὶ καταπίπτουσαν. καὶ γὰρ εἰς ἐσχάτην ληρῳδίαν ἐξάγεται λοιπὸν, ἄσημα φθεγγομένη* καθάπερ οἱ γεγηρακότες καὶ παραπαίοντες, καὶ κορύζης ἀναπεπλησμένη καὶ παραπληξίας πολλῆς καὶ λήθης, καὶ λήμας περὶ τὸν ὀφθαλμὸν ἔχουσα, καὶ ἀνθρώποις βδελυκτὴ, καὶ τῷ διαβόλῳ* εὐχείρωτος. καὶ γὰρ τοιαῦται αἱ τῶν ἁμαρτωλῶν ψυχαί, ἀλλ' οὐχ αἱ τῶν δικαίων, ἀλλὰ νεάζουσι καὶ σφριγῶσι, καὶ ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας εἰσὶ διὰ παντὸς, πρὸς ἅπασαν μάχην καὶ πάλην ἀεὶ παρεσκευασμέναι. αἱ δὲ τῶν ἁμαρτωλῶν, κἂν μικρὰν δέξωνται προσβολὴν, ἔπεσον εὐθέως, καὶ ἀπώλοντο. καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν, ὅτι ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς, οὕτως εἰσὶν εὐριπιστοι καὶ εἰς ἐπήρειαν πᾶσι προκείμενοι οἱ ἐν ἁμαρτίαις ζῶντες. οὔτε γὰρ ὁρῶσιν ὑγιῶς, οὔτε ἀκούουσιν εἰλικρινῶς, οὐ φθέγγονται ἔναρθρα, ἀλλὰ πολλῆς γέμουσι τῆς λύσσης. πολὺν ἐν τῷ στόματι περιρρέοντα τὸν σίελον περιφέρουσι. καὶ εἴθε σίελον, καὶ οὐδὲν ἦν ἄτοπον. νυνὶ δὲ πάντων βορβόρων ῥήματα δυσωδέστερα προΐενται, καὶ ὃ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἀποπλῦσαι τὸν σίελον τύπον τῶν ῥημάτων ἰσχύουσιν, ἀλλὰ τῇ χειρὶ δεξάμενοι μετὰ πολλῆς τῆς βδελυρίας, πάλιν αὐτὸν προστρίβονται παχὺν ὄντα καὶ δυσδιάτμητον. τάχα ναυτιᾶτε πρὸς τὴν διήγησιν. οὐκοῦν μᾶλλον πρὸς τὴν πρᾶξιν. εἰ γὰρ ἐν σώματι ταῦτα ἀηδῆ συμβαίνοντα, πολλῷ μᾶλλον ἐν τῇ ψυχῇ. τοιοῦτος ἦν ἐκεῖνος ὁ παῖς ὁ πάντα τὰ ἑαυτοῦ κατηναλωκὼς, καὶ εἰς ἐσχάτην κακίαν κατενεχθεὶς, πάντων ληρῳδοῦντος καὶ νενοσηκότος ἀσθενέστερον διακείμενος. ἀλλ' ἐπειδὴ ἐβουλήθη, γέγονεν ἄφνω νέος, ἀπὸ γνώμης μόνης καὶ μεταστάσεως. ἐπειδὴ γὰρ εἶπεν,

γ. φώτισμα

*καὶ

γ. -μένοι

*φανεῖται

γ. ἀλλ' αἱ ζέουσι

γ. ἅπασι

γ. βδελυρίας,

γ. κατεδηδοκώς,

πεν, ἐπιστρέψω πρὸς τὸν πατέρα μου, τὸ ῥῆμα τοῦτο αὐτῷ πάντα ἐκόμισε τἀγαθά. μᾶλλον δὲ οὐ τὸ ῥῆμα ἁπλῶς, ἀλλὰ τὸ ἔργον τῷ ῥήματι προστεθέν. οὐ γὰρ εἶπεν, ἐπανέλθω, καὶ ἔμεινεν, ἀλλ' εἶπεν, ἐπανέλθω καὶ ἐπανῆλθε, καὶ τὴν ὁδὸν πᾶσαν ἐπέστρεψεν ἐκείνην. οὕτω καὶ ἡμεῖς ποιῶμεν· κἂν εἰς τὴν ὑπερορίαν ἀπενεχθῶμεν, ἐπανέλθωμεν πρὸς τὸν πατρῷον οἶκον, καὶ μὴ κατοκνήσωμεν πρὸς τὸ τῆς ὁδοῦ μῆκος. ἂν γὰρ βουληθῶμεν, εὔκολος ἡ ἐπάνοδος γίνεται, καὶ ταχίστη· μόνον ἀφῶμεν τὴν ξένην καὶ τὴν ἀλλοτρίαν· τοῦτο γὰρ ἡ ἁμαρτία, πόρρω τῆς οἰκίας ἡμᾶς ἀπάγουσα τοῦ πατρός. ἀφῶμεν τοίνυν αὐτὴν, ἵνα ταχέως πρὸς τὸν πατρῷον ἐπανέλθωμεν οἶκον. καὶ γὰρ φιλόστοργός ἐστιν ὁ πατὴρ, καὶ τῶν εὐδοκιμούντων οὐχ ἧττον ἡμᾶς ἀγαπήσει μεταβαλλομένους, ἀλλὰ καὶ πλέον. ἐπεὶ καὶ ἐκεῖνον ὁ πατὴρ τότε μειζόνως ἐτίμησε. καὶ γὰρ μειζόνως αὐτὸς ἥσθη τὸν παῖδα ἀπολαβών. καὶ πῶς ἐπανέλθω, φησί; ἄρξαι μόνον ἐπιθέσθαι τῷ πράγματι, καὶ τὸ πᾶν γέγονε. στῆθι τῆς κακίας, καὶ μὴ προσέλθῃς περαιτέρω, καὶ ἤδη τοῦ παντὸς ἐπελάβου. καθάπερ γὰρ τοῖς κάμνουσι τὸ μὴ χεῖρον ἔχειν ἀρχὴ γένοιτ' ἂν τοῦ βέλτιον ἔχειν, οὕτω καὶ ἐπὶ τῆς κακίας συμβαίνει· μὴ περαιτέρω προβῇς, καὶ τέλος ἕξει σοι τὰ τῆς πονηρίας. κἂν δύο ποιήσῃς τούτου ἡμέρας, τῇ τρίτῃ εὐκολώτερον ἀποστήσῃ· καὶ μετὰ τὰς τρεῖς, καὶ δέκα προσθήσεις, εἶτα εἴκοσιν, εἶτα ἑκατὸν, εἶτα τὸν βίον ἅπαντα. ὅσῳ γὰρ ἂν προβαίνῃς, εὐκολώτερον ὄψει τὴν ὁδὸν, καὶ ἐπ' αὐτὴν στήσῃ τὴν κορυφὴν, καὶ πολλῶν ἀπολαύσεις τῶν ἀγαθῶν. ἐπεὶ καὶ τότε, ὅτε ὁ ἄσωτος ἐπανῆλθεν ἐκεῖνος, καὶ αὐλοὶ, καὶ κιθάραι, καὶ χοροὶ, καὶ θαλίαι, καὶ πανηγύρεις ἦσαν. καὶ ὁ ὀφείλων ὑπὲρ τῆς ἀκαίρου δαπάνης καὶ τῆς οὕτω μακρᾶς φυγῆς τὸν παῖδα ἀπαιτῆσαι δίκην, οὐδὲν τούτων ἐποίησεν, ἀλλ' ὡς εὐδοκιμηκότα εἶδε, καὶ οὐδὲ μέχρι ῥήματος ὀνειδίσαι τῷ παιδὶ, μᾶλλον δὲ οὐδὲ ἁπλῶς αὐτὸν ἀναμνῆσαι τῶν προτέρων ἠνέσχετο, ἀλλὰ καὶ περιεχύθη, καὶ κατεφίλησε, καὶ μόσχον ἔθυσε, καὶ στολὴν ἐνέδυσε, καὶ ἐν πολλῷ τῷ κόσμῳ κατέστησε. ταῦτα οὖν ἔχοντες καὶ ἡμεῖς τὰ ὑποδείγματα, θαρρῶμεν καὶ μὴ ἀπογινώσκωμεν. οὐ γὰρ οὕτω χαίρει καλούμενος δεσπότης, ὡς πατήρ· οὐδὲ δοῦλον ἔχων, ὡς υἱὸν· καὶ μᾶλλον τοῦτο βούλεται, ἢ ἐκεῖνο. διὰ τοῦτο γοῦν καὶ πάντα ἐποίησεν ἅπερ ἐποίησε, καὶ οὐδὲ τοῦ μονογενοῦς αὐτοῦ ἐφείσατο, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν, ἵνα μὴ ὡς δεσπότην μόνον, ἀλλὰ καὶ ὡς πατέρα αὐτὸν ἀγαπῶμεν· κἂν τύχῃ τούτου παρ' ἡμῶν, καθάπερ τις δοξαζόμενος ἐγκαλλωπίζεται, καὶ εἰς πάντας αὐτὸ ἐκφέρει, ὁ μηδενὸς δεόμενος τῶν ἡμετέρων. τοῦτο γοῦν ἐπὶ τοῦ Ἀβραὰμ ἐποίησε, πανταχοῦ λέγων, Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ. καίτοιγε οὖν οἰκέτας ἐχρῆν καλλωπίζεσθαι τούτῳ· νυνὶ δὲ ὁ δεσπότης φαίνεται τοῦτο ποιῶν. διὰ τοῦτο καὶ Πέτρῳ φησὶ, Φιλεῖς με πλέον τούτων; δεικνὺς ὅτι οὐδὲν παρὰ τοῦτο ζητεῖ παρ' ἡμῶν. διὰ τοῦτο καὶ τὸν Ἀβραὰμ τὸν υἱὸν θῦσαι ἐκέλευσεν, ἵνα δείξῃ πᾶσιν ὅτι σφόδρα φιλεῖται παρὰ τοῦ πατριάρχου. τοῦτο δὲ τὸ σφόδρα φιλεῖσθαι ἤθελεν, ἀπὸ τοῦ σφόδρα φιλεῖν τοῦτο. διὰ τοῦτο καὶ τοῖς ἀποστόλοις ἔλεγεν, Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. διὰ τοῦτο, ὃ πάντων ἡμῖν ἐστιν οἰκειότερον ἡ ψυχὴ, καὶ ταύτην δευτέραν κελεύει τίθεσθαι τῆς εἰς αὐτὸν ἀγάπης· ἐπειδὴ μεθ' ὑπερβολῆς ἁπάσης βούλεται φιλεῖσθαι παρ' ἡμῶν. καὶ γὰρ ἡμεῖς, ὅταν μὲν μὴ σφόδρα περί τινα ὦμεν διακείμενοι, οὐδὲ τῆς παρ' ἐκείνου σφόδρα δεόμεθα φιλίας, κἂν μέγας ᾖ καὶ περιφανής· ὅταν δὲ θερμῶς τινα καὶ γνησίως φιλῶμεν, κἂν εὐτελὴς, κἂν μικρὸς ὁ φιλούμενος, μεγίστην ἡγούμεθα δόξαν τὸ παρ' ἐκείνου φιλεῖσθαι. διὸ καὶ αὐτὸς οὐ τὸ φιλεῖσθαι παρ' ἡμῶν μόνον, ἀλλὰ καὶ τὸ ὑπὲρ ἡμῶν παθεῖν τὰ ἐπονείδιστα ἐκεῖνα, δόξαν ἐκάλει. ἀλλ' ἐκεῖνα μὲν δι' ἀγάπην μόνον δόξα ἦν· ἃ δ' ἂν ἡμεῖς ὑπὲρ αὐτοῦ πάθωμεν, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὸ μέγεθος τοῦ ποθουμένου καὶ τὴν ἀξίαν δόξα ἂν εἰκότως καὶ καλοῖτο καὶ εἴη. ὡς ἐπὶ στεφάνους τοίνυν μεγίστους τρέχωμεν οὖν ὑπὲρ αὐτοῦ κινδύνους, καὶ μήτε πενίαν, μήτε νόσον, μήτε ἐπη-

[Margin notes: Λουκ. ιε. — γρ. ὑπέστρεψεν — γρ. τιμήσει — Ρωμ. η. κγ. — Ιωαν. κα. ιζ. — Ματθ. ι. λζ.]

ρεῖν, μὴ συκοφαντεῖν, μὴ αὐτὸν τὸν θάνατον νομίζομεν εἶναι βαρὺ καὶ ἐπαχθές, ὅταν δι'
αὐτὸν ταῦτα ὑπομένωμεν. ἂν γὰρ νήφωμεν, τὰ μέγιστα διὰ τούτων ἁπάντων κερδα-
νοῦμεν· ὥσπερ οὖν ἐὰν μὴ νήφωμεν, οὐδὲ ἀπὸ τῶν ἐναντίων καρπωσόμεθά τι χρηστόν.
σκόπει δέ· ἐπηρεάζει σοί τις καὶ πολεμεῖ; οὐκοῦν ἐγρηγορέναι σε παρασκευάζει, καὶ ἀφορ-
μήν σοι παρέχει τοῦ γενέσθαι ὅμοιον τῷ Θεῷ. ἂν γὰρ ἀγαπήσῃς τὸν ἐπιβουλεύοντα, ὅ-
μοιος ἔσῃ τῷ τὸν ἥλιον ἀνατέλλοντι ἐπὶ πονηροὺς καὶ ἀγαθούς. ἕτερος ἀφαιρεῖταί σου χρήματα;
Ἑβρ. ι. λδ. ἂν γενναίως ἐνέγκῃς, τοῖς εἰς πένητας πάντα δεδαπανηκόσι τὸν αὐτὸν λήψῃ μισθόν. Καὶ γὰρ
τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν, φησί, μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες κρείττονα γρ. ὑπεδέξα-σθε.
ἔχειν ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. εἶπέ τις κακῶς καὶ ὠνείδισεν; ἄν τε ἀληθῆ ταῦτα ᾖ, ἄν τε
ψευδῆ, στέφανόν σοι μέγιστον ἔπλεξεν, ἂν πράως τὴν λοιδορίαν ἐνέγκῃς. ὅτε γὰρ συκο-
Ματθ. ε. ιγ. φαντῶν, πολὺν ἡμῖν παρέξεις τὸν μισθόν. Χαίρετε γάρ, φησί, καὶ ἀγαλλιᾶσθε ὅταν εἴ-
πωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.
ὅ τε ἀληθῆ λέγων πάλιν τὰ μέγιστα ὠφελεῖ, μόνον ἂν πράως ἐνέγκωμεν τὰ λεγόμενα. καὶ
Λουκ. ιη. ια. γὰρ ὁ Φαρισαῖος ἀληθεύων τὸν τελώνην ἔλεγε κακῶς, ἀλλ' ὅμως ἀντὶ τελώνου δίκαιον ἐ-
ποίησε. καὶ τί δεῖ καθ' ἕκαστον λέγειν; ἔξεστι γὰρ ἐπελθόντα τοὺς ἄθλους τοῦ Ἰὼβ ἅπαντα ταῦ-
Ῥωμ. η. λα. τα μετ' ἀκριβείας μαθεῖν. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν, Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ'
ἡμῶν; ὥσπερ οὖν σπουδάζοντες καὶ ἀπὸ τῶν λυπούντων κερδαίνομεν, οὕτω ῥαθυμοῦντες οὐδὲ
ἀπὸ τῶν ὠφελούντων ἀμείνους γινόμεθα. τί γὰρ τὸν Ἰούδαν ὠφέλησεν, εἰπέ μοι, ἡ τοῦ
Χριστοῦ συνουσία; τί δὲ τοὺς Ἰουδαίους ὁ νόμος; τί δὲ τὸν Ἀδὰμ ὁ παράδεισος; τί δὲ τοὺς ἐν
τῇ ἐρήμῳ Μωϋσῆς; διό τοι τοῦτο πάντα ἀφέντες, ἓν δεῖ σκοπεῖν μόνον, ὅπως τὰ καθ' ἑαυτοὺς γρ. -τες,
οἰκονομήσωμεν καλῶς. κἂν τοῦτο ποιῶμεν, οὐδὲ αὐτὸς ὁ διάβολος ἡμῶν περιέσται ποτέ,
Ἐφεσ. ϛ. ἀλλὰ μειζόνως ἡμᾶς ὠφελήσει, νήφειν παρασκευάζων. οὕτω γοῦν καὶ τοὺς Ἐφεσίους ὁ Παῦ-
λος διήγειρε, τὴν ἐκείνου διηγούμενος ἀγριότητα. ἀλλ' ἡμεῖς καθεύδομεν καὶ ῥέγχομεν,
καὶ ταῦτα πρὸς οὕτω πονηρὸν πολέμιον ἔχοντες. καὶ εἰ μὲν ὄφιν ἐμφωλεύοντα ἔγνωμεν πα- ἴσ. πόλεμον
ρὰ τὴν κλίνην τὴν ἡμετέραν, πολλὴν ἂν ἐποιησάμεθα σπουδὴν ὥστε αὐτὸν ἀνελεῖν· τοῦ
δὲ διαβόλου ἐμφωλεύοντος ἡμῶν ταῖς ψυχαῖς, οὐδὲν ἡγούμεθα πάσχειν δεινόν, ἀλλ' ἀναπε-
πτώκαμεν. τὸ δὲ αἴτιον, ἐπειδὴ τοῖς ὀφθαλμοῖς οὐχ ὁρῶμεν αὐτὸν τοῖς τοῦ σώματος. καίτοι
διὰ τοῦτο ἐχρῆν ἐγρηγορέναι μᾶλλον καὶ νήφειν. τὸν μὲν γὰρ αἰσθητὸν πολέμιον κἂν φυλά- γρ. καὶ
ξαιτό τις ῥᾳδίως· τὸν δὲ ἀόρατον, ἂν μὴ διαπαντὸς ὦμεν καθωπλισμένοι, οὐ δυνησόμεθα
εὐκόλως διαφυγεῖν. καὶ μάλιστα, ὅτι οὐδὲ ἐξ εὐθείας οἶδε πολεμεῖν (ἦ γὰρ ἂν ἑάλω ταχέ-
ως) ἀλλὰ σχήματι πολλάκις φιλίας, τὸν τῆς ὠμότητος ἰὸν ἐνίησιν. οὕτω γοῦν καὶ τὴν
γυναῖκα τοῦ Ἰὼβ παρεσκεύασε, προσωπεῖον φιλοστοργίας ὑποδῦσαν, τὴν πονηρὰν ἐκεί-
νην εἰσενεγκεῖν συμβουλήν. οὕτω καὶ τῷ Ἀδὰμ διαλεγόμενος, ὑποκρίνεται τὸ κηδεμο-
νικὸν καὶ προστατικόν, λέγων, Ὅτι ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ ᾗ ἂν ἡμέρᾳ φάγητε
ἀπὸ τοῦ ξύλου. οὕτω καὶ τὸν Ἰεφθάε ἀνέπεισε προσχήματι εὐσεβείας τὴν θυγατέρα κατα-
σφάξαι, καὶ τὴν παράνομον θυσίαν ἀνενεγκεῖν. εἶδες αὐτοῦ τὰς μεθοδείας; εἶδες τὸν ποι-
κίλον πόλεμον; φυλάττου τοίνυν, καὶ πανταχόθεν φράττου τοῖς ὅπλοις τοῖς πνευματικοῖς, καὶ
καταμάνθανε τὰς ἐκείνου μηχανὰς μετὰ ἀκριβείας, ἵνα καὶ ἀνάλωτος ᾖς καὶ ἕλῃς αὐτὸν εὐ-
κόλως. ἐπεὶ καὶ Παῦλος οὕτως αὐτοῦ περιεγένετο ταῦτα μετὰ ἀκριβείας καταμανθάνων·
β. Κορ. β. ια. διὸ καὶ ἔλεγεν, Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. καὶ ἡμεῖς τοίνυν καὶ μαθεῖν καὶ φυγεῖν τὰς
ἐπιβουλὰς αὐτοῦ σπουδάσωμεν, ἵνα τὴν κατ' αὐτοῦ νίκην ἀράμενοι, καὶ κατὰ τὸν παρόντα
βίον καὶ κατὰ τὸν μέλλοντα ἀνακηρυχθῶμεν αἰῶνα, καὶ τῶν ἀκηράτων ἐπιτύχωμεν ἀγαθῶν,
χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ.

Λογ. ια. 5 ΕΙ ΓΑΡ ΣΥΜΦΥΤΟΙ ΓΕΓΟΝΑΜΕΝ ΤΩ ΟΜΟΙΩΜΑΤΙ τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.

Ὅπερ καὶ ἔμπροσθεν ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι εἰς τὸν ἠθικὸν συνεχῶς ἐκβαίνει λόγον, οὐχ ὥσπερ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς διχῇ μερῶν αὐτὰς εἰς δύο, καὶ τὸ μὲν πρότερον τοῖς δόγμασιν ἀφορίζει, τὸ δὲ ἕτερον τῇ τῶν ἠθῶν ἐπιμελείᾳ· ἀλλ' οὐκ ἐνταῦθα οὕτως, ἀλλὰ δι' ὅλης αὐτῆς ἀναμὶξ τοῦτο ποιεῖ, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον. δύο τοίνυν ἐνταῦθα νεκρώσεις φησὶ, καὶ θανάτους δύο· καὶ τὴν μὲν ὑπὸ Χριστοῦ γεγενῆσθαι ἐν τῷ βαπτίσματι, τὴν δὲ ὑφ' ἡμῶν ὀφείλειν γίνεσθαι διὰ τῆς μετὰ ταῦτα σπουδῆς. τὸ μὲν γὰρ ταφῆναι τὰ πρότερα ἁμαρτήματα, τῆς αὐτοῦ γέγονε δωρεᾶς· τὸ δὲ μετὰ τὸ βάπτισμα μεῖναι νεκροὺς τῇ ἁμαρτίᾳ, τῆς ἡμετέρας δεῖ γενέσθαι ἔργον σπουδῆς, εἰ καὶ τὰ μάλιστα πολλὰ καὶ ἐνταῦθα τὸν Θεὸν ὁρῶμεν βοηθοῦντα ἡμῖν. οὐ γὰρ δὴ τοῦτο ἰσχύει τὸ βάπτισμα μόνον τὸ τὰ πρότερα ἀφανίσαι πλημμελήματα, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται. ὥσπερ οὖν ἐν ἐκείνοις τὴν πίστιν εἰσήνεγκας ἵνα ἀφανισθῇ· οὕτω καὶ ἐν τοῖς μετὰ ταῦτα τῆς προθυμίας ἐπίδειξαι τὴν μεταβολὴν, ἵνα μὴ πάλιν σαυτὸν καταῤῥυπάνῃς. ταῦτα γοῦν καὶ τὰ τοιαῦτα συμβουλεύων, φησίν· εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. Εἶδες πῶς ἐπῆρε τὸν ἀκροατὴν, πρὸς τὸν δεσπότην εὐθέως αὐτὸν ἀναγαγὼν τὸν αὐτοῦ, καὶ πολλὴν δεῖξαι σπουδάσας τὴν ὁμοιότητα; διὰ τοῦτο οὐδὲ εἶπε θανάτῳ, ἵνα μὴ ἀντείπῃς, ἀλλ', ὁμοιώματι θανάτου. οὐ γὰρ ἡ οὐσία αὕτη ἀπέθανεν, ἀλλ' ὁ ἐξ ἁμαρτιῶν ἄνθρωπος, τουτέστιν, ἡ κακία. καὶ οὐκ εἶπεν, εἰ γὰρ ἐκοινωνήσαμεν τῷ ὁμοιώματι τοῦ θανάτου, ἀλλὰ τί; εἰ γὰρ σύμφυτοι γεγόναμεν, τῷ τῆς φυτείας ὀνόματι τὸν ἐκ ταύτης καρπὸν ἡμῖν αἰνιξάμενος. καθάπερ γὰρ τὸ σῶμα αὐτοῦ ταφὲν ἐν τῇ γῇ, καρπὸν τῆς οἰκουμένης τὴν σωτηρίαν ἤνεγκεν· οὕτω καὶ τὸ ἡμέτερον ταφὲν ἐν τῷ βαπτίσματι, καρπὸν ἤνεγκε τὴν δικαιοσύνην, τὸν ἁγιασμὸν, τὴν υἱοθεσίαν, τὰ μυρία ἀγαθά· οἴσει δὲ καὶ τὸ τῆς ἀναστάσεως ὕστερον δῶρον. ἐπεὶ οὖν ἡμεῖς μὲν ἐν ὕδατι, αὐτὸς δὲ ἐν γῇ, καὶ ἡμεῖς μὲν κατὰ τὸν τῆς ἁμαρτίας λόγον, ἐκεῖνος δὲ κατὰ τὸν τοῦ σώματος ἐτάφη, διὰ τοῦτο οὐκ εἶπε, σύμφυτοι τῷ θανάτῳ, ἀλλὰ, τῷ ὁμοιώματι τοῦ θανάτου. θάνατος μὲν γὰρ καὶ τοῦτο, καὶ ἐκεῖνο· ἀλλ' οὐ τοῦ αὐτοῦ ὑποκειμένου. εἰ τοίνυν, φησὶν, ἐν τῷ θανάτῳ ἐγενόμεθα σύμφυτοι, καὶ τῆς ἀναστάσεως ἐσόμεθα· ἀνάστασιν ἐνταῦθα τὴν μέλλουσαν λέγων. ἐπειδὴ γὰρ ἀνωτέρω περὶ θανάτου διαλεχθεὶς, καὶ εἰπὼν, ἢ ἀγνοεῖτε, ἀδελφοὶ, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; οὐδὲν περὶ ἀναστάσεως διελέχθη σαφῶς, ἀλλὰ περὶ πολιτείας τῆς μετὰ τὸ βάπτισμα, κελεύσας ἐν καινότητι ζωῆς περιπατῆσαι· διὰ τοῦτο ἐνταῦθα τὸν αὐτὸν ἀναλαβὼν λόγον, ἐκείνην ἡμῖν λοιπὸν προαναφωνεῖ τὴν ἀνάστασιν. καὶ ἵνα μάθῃς ὅτι οὐ περὶ ταύτης φησὶ τῆς ἐκ τοῦ βαπτίσματος, ἀλλὰ περὶ ἐκείνης. εἰπὼν γὰρ, εἰ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, οὐκ εἶπεν, ὅτι τοῦ ὁμοιώματος τῆς ἀναστάσεως ἐσόμεθα, ἀλλὰ καὶ τῆς ἀναστάσεως. ἵνα γὰρ μὴ λέγῃς, καὶ πῶς, εἰ μὴ ἀπεθάνομεν ὡς ἀπέθανεν, ἀναστησόμεθα ὡς ἀνέστη; ἡνίκα μὲν τοῦ θανάτου ἐμνημόνευσεν, οὐκ εἶπε, σύμφυτοι τῷ θανάτῳ, ἀλλὰ, τῷ ὁμοιώματι τοῦ θανάτου· ἡνίκα δὲ τῆς ἀναστάσεως, οὐκέτι εἶπε τῷ ὁμοιώματι τῆς ἀναστάσεως, ἀλλ', αὐτῆς τῆς ἀναστάσεως ἐσόμεθα. καὶ οὐκ εἶπε, γεγόναμεν, ἀλλ', ἐσόμεθα, καὶ τούτῳ πάλιν δηλῶν τῷ ῥήματι ἐκείνην τὴν οὐδέπω γεγενημένην ἀνάστασιν, ἀλλὰ μέλλουσαν. εἶτα βουλόμενος ἀξι-

ὕπιστον ποιῆσαι τὸν λόγον, δείκνυσιν ἑτέραν ἀνάστασιν ἐνταῦθα γινομένην πρὸ ἐκείνης, ἵνα ἀπὸ τῆς παρούσης καὶ τὴν μέλλουσαν πιστεύσῃς. εἰπὼν γὰρ ὅτι σύμφυτοι ἐσόμεθα τῆς ἀναστάσεως, ἐπήγαγε,

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, Ὁμοῦ καὶ αἰτίαν καὶ ἀπόδειξιν τῆς μελλούσης τιθεὶς ἀναστάσεως. καὶ οὐκ εἶπεν, ἐσταύρωται, ἀλλὰ, συνεσταύρωται, ἐγγὺς ἄγων τὸ βάπτισμα τῷ σταυρῷ. διὸ καὶ ἀνωτέρω ἔλεγε, σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ γεγόναμεν, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, οὐ τὸ σῶμα τοῦτο οὕτω καλῶν, ἀλλὰ τὴν πονηρίαν ἅπασαν. ὥσπερ γὰρ παλαιὸν ἄνθρωπον λέγει τὴν ὁλόκληρον κακίαν, οὕτω καὶ [τὸ] σῶμα τοῦ ἀνθρώπου ἐκείνου τὴν ἀπὸ [τῶν] διαφόρων μερῶν πονηρίας συγκειμένην πάλιν κακίαν. χ. καὶ καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἀπὸ τοῦ Παύλου τοῦτο αὐτὸ διὰ τῶν ἑξῆς ἑρμηνεύσαντος ἄκουσον. εἰπὼν γὰρ, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, ἐπήγαγε, Τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ταύτῃ γὰρ αὐτὸ εἶναι βούλομαι νεκρὸν, οὐχ ὥστε ἀφανισθῆναι καὶ ἀποθανεῖν, ἀλλ' ὥστε μὴ ἁμαρτάνειν. καὶ προϊὼν ἔτι σαφέστερον αὐτὸ ποιεῖ.

7 Ὁ γὰρ ἀποθανὼν, φησὶ, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Περὶ παντὸς ἀνθρώπου τοῦτό φησιν, ὅτι ὥσπερ ὁ ἀποθανὼν ἀπήλλακται τὸ λοιπὸν τοῦ ἁμαρτάνειν νεκρὸς κείμενος, οὕτω καὶ ὁ ἀναβὰς ἀπὸ τοῦ βαπτίσματος. ἐπειδὴ γὰρ ἅπαξ ἀπέθανεν ἐκεῖ, νεκρὸν δεῖ μένειν διὰ παντὸς τῇ ἁμαρτίᾳ. Εἰ τοίνυν ἀπέθανες ἐν τῷ βαπτίσματι, μένε νεκρός. καὶ γὰρ ἕκαστος ἀποθανὼν, οὐκέτι ἁμαρτάνειν δύναιτ' ἄν. εἰ δὲ ἁμαρτάνεις, λυμαίνῃ τοῦ Θεοῦ τὴν δωρεάν. ἀπαιτήσας τοίνυν τοσαύτην ἡμᾶς φιλοσοφίαν, καὶ τὸν στέφανον ταχέως ἐπήγαγε λέγων,

8 Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ. Καίτοι καὶ πρὸ τοῦ στεφάνου μέγιστος στέφανος, τὸ κοινωνῆσαι τῷ δεσπότῃ. πλὴν ἀλλὰ καὶ ἕτερον δίδωμί σοι, φησὶν, ἔπαθλον. ποῖον δὴ τοῦτο; τὴν αἰώνιον ζωήν. Πιστεύομεν γὰρ, φησὶν, ὅτι καὶ συζήσομεν αὐτῷ. Καὶ πόθεν τοῦτο δῆλον;

9 Εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. Καὶ σκόπει πάλιν αὐτοῦ τὴν φιλονεικίαν, καὶ πῶς ἀπὸ τῶν ἐναντίων αὐτὸ κατασκευάζει. χ. πα ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας θορυβεῖσθαι διὰ τὸν σταυρὸν καὶ τὸν θάνατον, δείκνυσιν ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν λοιπόν. μὴ γὰρ ἐπειδὴ ἅπαξ ἀπέθανε, φησὶ, νομίσῃς αὐτὸν θνητὸν εἶναι. καὶ γὰρ διὰ τοῦτο αὐτὸ ἀθάνατος μένει. θανάτου γὰρ θάνατος ὁ θάνατος αὐτοῦ γέγονε. καὶ ἐπειδὴ ἀπέθανε, διὰ τοῦτο οὐκ ἀποθνήσκει. καὶ γὰρ ἐκεῖνος τὸν θάνατον

10 Τῇ ἁμαρτίᾳ ἀπέθανε. Τί ἐστι, τῇ ἁμαρτίᾳ; τουτέστιν, οὐδὲ ἐκείνῳ ὑπεύθυνος ἦν, ἀλλὰ διὰ τὴν ἁμαρτίαν τὴν ἡμετέραν. ἵνα γὰρ αὐτὴν ἀνέλῃ, καὶ ἐκκόψῃ τὰ νεῦρα αὐτῆς, καὶ τὴν δύναμιν ἅπασαν, διὰ τοῦτο ἀπέθανεν. εἶδες πῶς ἐφόβησεν; εἰ γὰρ οὐκ ἀποθνήσκει δεύτερον, οὐδὲ λουτρὸν ἔστι δεύτερον. εἰ δὲ λουτρὸν οὐκ ἔστι δεύτερον, μηδὲ σὺ πρὸς ἁμαρτίαν ἐπιρρεπῶς ἔχε. ταῦτα γὰρ πάντα λέγει, πρὸς ἐκεῖνο ἱστάμενος τὸ, ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθὰ, καὶ τὸ, ἐπιμένωμεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλεονάσῃ. πρόρριζον τοίνυν τὴν τοιαύτην ὑπόληψιν ἀναιρῶν, ἅπαντα ταῦτα τέθεικεν. Ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ, φησί. Τουτέστιν, ἀκαταλύτως, ὡς μηκέτι κρατεῖσθαι ὑπὸ τοῦ θανάτου. εἰ γὰρ καὶ τὸν πρότερον θάνατον οὐχ ὑπεύθυνος ὢν ἀπέθανεν, ἀλλὰ διὰ τὴν ἑτέρων ἁμαρτίαν, πολλῷ μᾶλλον νῦν οὐκ ἀποθανεῖται καταλύσας αὐτήν. ὃ καὶ ἐν τῇ πρὸς Ἑβραίους ἔλεγεν· ἅπαξ γὰρ, φησὶν, ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. Ἑβρ. θ. κζ. κη. Καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς

ἁμαρτίας

ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. δείκνυσι δὲ καὶ τῆς κατὰ Θεὸν ζωῆς τὴν ἰσχὺν, καὶ τῆς ἁμαρτίας τὴν δύναμιν. τῆς μὲν κατὰ Θεὸν ζωῆς, ὅτι οὐκέτι ἀποθανεῖται. τῆς δὲ ἁμαρτίας, ὅτι εἰ τὸν ἀναμάρτητον αὐτὴ παρεσκεύαζεν ἀποθανεῖν, τοὺς ὑπευθύνους ὄντας πῶς οὐκ ἀπολεῖ; εἶτα, ἐπειδὴ περὶ τῆς αὐτοῦ ζωῆς διελέχθη, ἵνα μὴ λέγῃ τις, τί οὖν πρὸς ἡμᾶς τὸ εἰρημένον; ἐπήγαγεν,

γρ. ἐκδεχομένοις

11 Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, φησὶ, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ. Καλῶς εἶπε, λογίζεσθε, ἐπειδὴ οὔπω παραστῆσαι τὸ λεγόμενον τέως οὐκ ἔστι. Ἐπὶ τί λογιζόμεθα, φησί; νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὁ γὰρ οὕτω ζῶν πάσης ἐπιλήψεται ἀρετῆς, αὐτὸν ἔχων σύμμαχον τὸν Ἰησοῦν. τοῦτο γάρ ἐστιν, ἐν Χριστῷ. Εἰ γὰρ νεκροὺς ὄντας ἀνέστησε, πολλῷ μᾶλλον ζῶντας κατασχεῖν δυνήσεται.

ἴσ. λογισόμεθα

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. Οὐκ εἶπε, μὴ οὖν ζήτω ἡ σὰρξ, μηδὲ ἐνεργείτω, ἀλλ', ἡ ἁμαρτία μὴ βασιλευέτω. οὐ γὰρ τὴν φύσιν ἦλθεν ἀνελεῖν, ἀλλὰ τὴν προαίρεσιν διορθῶσαι. εἶτα δεικνὺς ὅτι οὐ βίᾳ καὶ ἀνάγκῃ κατεχόμεθα ὑπὸ τῆς πονηρίας, ἀλλ' ἑκόντες, οὐκ εἶπε, μὴ τυραννείτω, ὅπερ ἀνάγκης ἦν, ἀλλὰ μὴ βασιλευέτω. καὶ γὰρ ἄτοπον εἰς βασιλείαν ἀγομένους τῶν οὐρανῶν, βασιλίδα τὴν ἁμαρτίαν ἔχειν, καὶ καλουμένους συμβασιλεῦσαι τῷ Χριστῷ, αἱρεῖσθαι γενέσθαι τῆς ἁμαρτίας αἰχμαλώτους· ὥσπερ ἂν εἴ τις τὸ διάδημα ῥίψας ἀπὸ τῆς κεφαλῆς, δαιμονώσῃ γυναικὶ καὶ προσαιτούσῃ καὶ ῥάκια περιβεβλημένῃ δουλεύειν ἐθέλοι. Εἶτα, ἐπειδὴ βαρὺ τὸ περιγενέσθαι ἁμαρτίας, ὅρα πῶς αὐτὸ κοῦφον ἔδειξε, καὶ τὸν πόνον παρεμυθήσατο εἰπὼν, ἐν τῷ θνητῷ ὑμῶν σώματι. τοῦτο γὰρ δείκνυσι προσκαίρους ὄντας τοὺς ἀγῶνας, καὶ ταχέως καταλυομένους. ὁμοῦ δὲ καὶ τῶν προτέρων ἡμᾶς ἀναμιμνήσκει κακῶν, καὶ τῆς τοῦ θανάτου ῥίζης. ἐντεῦθεν γὰρ καὶ διὰ τὴν ἀρχὴν θνητὸν γέγονεν. ἀλλ' ἔξεστι καὶ θνητὸν ἔχοντα σῶμα, μὴ ἁμαρτάνειν. Εἶδες τὴν περιουσίαν τῆς τοῦ Χριστοῦ χάριτος; ὁ μὲν γὰρ Ἀδὰμ οὐδέπω θνητὸν ἔχων, ὠλίσθε· σὺ δὲ καὶ θανάτου λαβὼν ὑπεύθυνον ὂν, στεφανωθῆναι δυνήσῃ. καὶ πῶς βασιλεύει, φησὶν, ἡ ἁμαρτία; οὐκ ἀπὸ τῆς οἰκείας δυνάμεως, ἀλλ' ἀπὸ τῆς σῆς ῥᾳθυμίας. διὰ τοῦτο εἰπὼν, μὴ βασιλευέτω, καὶ τὸν τρόπον δείκνυσι τῆς τοιαύτης βασιλείας, ἐπάγων καὶ λέγων, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. οὐ γάρ ἐστι τιμὴ τὸ μετ' ἐξουσίας ἅπαντα χαρίζεσθαι, ἀλλ' ἐσχάτη δουλεία καὶ ἀτιμίας ἐπίτασις. ὅταν γὰρ ἃ βούλεται πράττῃ, τότε ἐλευθερίας ἐστέρηται πάσης· ὅτε δὲ κωλύεται, τότε μάλιστα τὴν οἰκείαν ἀξίαν διατηρεῖ.

γρ. ἡμῶν

γρ. ἡμῶν

13 Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλ' ὅπλα δικαιοσύνης. Οὐκοῦν μέσον τὸ σῶμα κακίας καὶ ἀρετῆς, καθάπερ οὖν καὶ τὰ ὅπλα. ἑκάτερα δὲ τὰ ἔργα παρὰ τὸν χρώμενον γίνεται· ὥσπερ ἂν εἰ καὶ στρατιώτης ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος, καὶ λῃστὴς κατὰ τῶν ἐνοικούντων ὁπλιζόμενος, τοῖς αὐτοῖς φράττοιντο ὅπλοις. οὐ γὰρ τῆς πανοπλίας τὸ ἔγκλημα, ἀλλὰ τῶν εἰς τὸ κακὸν χρωμένων. ὃ δὴ καὶ ἐπὶ τῆς σαρκός ἐστιν εἰπεῖν, τοῦτο κἀκεῖνο γινομένης παρὰ τὴν τῆς ψυχῆς γνώμην, οὐ παρὰ τὴν οἰκείαν φύσιν. ἂν μὲν γὰρ περιεργάσηται κάλλος ἀλλότριον, ὅπλον ἀδικίας γέγονεν ὁ ὀφθαλμὸς, οὐ παρὰ τὴν οἰκείαν ἐνέργειαν (ὀφθαλμοῦ γὰρ τὸ ὁρᾶν, οὐ τὸ κακῶς ὁρᾶν) ἀλλὰ παρὰ τὴν τοῦ κελεύσαντος λογισμοῦ πονηρίαν. ἂν δὲ χαλινώσῃς αὐτὸν, δικαιοσύνης γέγονεν ὅπλον. οὕτω καὶ ἐπὶ γλώττης, οὕτω καὶ ἐπὶ χειρῶν, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. καλῶς δὲ τὴν ἁμαρτίαν ἀδικίαν ἐκάλεσεν. ἢ γὰρ ἑαυτόν τις, ἢ τὸν πλησίον ἁμαρτάνων ἀδικεῖ· μᾶλλον δὲ ἑαυτὸν πρὸ τοῦ πλησίον. ἀπαγαγὼν τοίνυν τῆς πονηρίας, ἄγει πρὸς τὴν ἀρετὴν λέγων,

Ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας. Ὅρα πῶς ἀπὸ τῶν

ὀνομάτων

ὀνομάτων γυμνῶν περιτρέπει, ἐκεῖ μὲν ἁμαρτίαν εἰπών, ἐνταῦθα δὲ τὸν Θεόν. δείξας γὰρ ὅσον τὸ μέσον τῶν βασιλευόντων, πάσης συγγνώμης τὸν στρατιώτην ἐξέβαλε τὸν ἀφέντα μὲν τὸν Θεόν, ἐπιθυμήσαντα δὲ ὑπὸ τὴν τῆς ἁμαρτίας τάττεσθαι βασιλείαν. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς τοῦτο κατασκευάζει λέγων, ὡς ἐκ νεκρῶν ζῶντας. διὰ γὰρ τούτων δείκνυσι κἀκείνης τὴν λύμην, καὶ τῆς τοῦ Θεοῦ δωρεᾶς τὸ μέγεθος. ἐννοήσατε γάρ, φησι, τίνες ἦτε, καὶ τί γεγόνατε. τίνες οὖν ἦτε; νεκροί, καὶ ἀπολωλότες ἀπώλειαν οὐδαμόθεν διορθωθῆναι δυναμένην. οὐδὲ γὰρ ἦν τις ὁ βοηθῆσαι δυνάμενος. καὶ τίνες ἐξ ἐκείνων γεγόνατε τῶν νεκρῶν; ζῶντες ζωὴν ἀθάνατον. καὶ διὰ τίνος; διὰ τοῦ πάντα δυναμένου Θεοῦ. οὐκοῦν καὶ ὑπὸ τοῦτον τάττεσθαι δίκαιον μετὰ προθυμίας τοσαύτης, μεθ' ὅσης εἰκὸς τοὺς ἀπὸ νεκρῶν ζῶντας γενομένους.

γ. ὀρθωθῆναι

Καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. Οὐκ ἄρα οὖν πονηρὸν τὸ σῶμα, εἴγε ὅπλον δικαιοσύνης αὐτὸ γενέσθαι δυνατόν. ὅπλον δὲ εἰπών, ἐδήλωσεν ὅτι καὶ πόλεμος ἐφέστηκε χαλεπός. διὸ καὶ πανοπλίας ἡμῖν δεῖ ἰσχυρᾶς, καὶ γνώμης γενναίας, καὶ τὰ τῶν πολέμων τούτων ἐπισταμένης καλῶς, καὶ πρὸ πάντων, στρατηγοῦ. ἀλλ' ὁ μὲν στρατηγὸς παρέστηκεν, ἀεὶ πρὸς συμμαχίαν ἕτοιμος ὤν, καὶ ἀχείρωτος μένων, καὶ τὰ ὅπλα δὲ τὰ ἰσχυρὰ κατεσκεύασεν ἡμῖν. δεῖ δὲ λοιπὸν προαιρέσεως τῆς εἰς δέον αὐτὰ μεταχειριζομένης, ὥστε καὶ τῷ στρατηγῷ πείθεσθαι, καὶ τὰ ὅπλα ὑπὲρ τῆς πατρίδος τίθεσθαι. παρακελευσάμενος τοίνυν ἡμῖν οὕτω μεγάλα, καὶ ὅπλων, καὶ μάχης, καὶ πολέμων ἀναμνήσας, ὅρα πῶς πάλιν θαρρύνει τὸν στρατιώτην, καὶ ἀλείφει τὴν προθυμίαν, λέγων,

γ. θαρρύνει καὶ ἀλείφει τὸν στρατιώτην, λέγων,

14 Ἁμαρτία γὰρ ὑμῶν οὐκέτι κυριεύσει. οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

Εἰ οὖν ἁμαρτία ἡμῶν οὐκέτι κυριεύει, τίνος ἕνεκεν τοσαῦτα παρεγγυᾷ λέγων, μὴ βασιλευέτω ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, καὶ μὴ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ; τί οὖν ἐστι τὸ λεγόμενον; σπερματικὸν ἵνα καταβάλληται λόγον ἐνταῦθα, ὃν ὕστερον ἀναπτύσσειν μέλλει, καὶ μετὰ πολλῆς ἐργάζεσθαι τῆς κατασκευῆς. τίς οὖν ἐστιν οὗτος ὁ λόγος; τὸ σῶμα ἡμῶν πρὸ μὲν τῆς τοῦ Χριστοῦ παρουσίας εὐχείρωτον ἦν τῇ ἁμαρτίᾳ. μετὰ γὰρ τὸν θάνατον, καὶ πολὺς παθῶν ἐπεισῆλθεν ἑσμός. διόπερ οὐδὲ σφόδρα κοῦφον ἦν πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς δρόμον. οὔτε γὰρ πνεῦμα παρῆν τὸ βοηθοῦν, οὔτε βάπτισμα τὸ νεκρῶσαι δυνάμενον· ἀλλ' ὥσπερ τις ἵππος δυσήνιος, ἔτρεχε μέν, διημάρτανε δὲ πολλάκις, τοῦ νόμου τὰ πρακτέα καὶ τὰ μὴ τοιαῦτα διαγορεύοντος μέν, πλέον δὲ οὐδὲν τῆς διὰ τῶν ῥημάτων παραινέσεως τοῖς ἀγωνιζομένοις εἰσφέροντος. ἐπεὶ δὲ ὁ Χριστὸς παραγέγονε, τὰ παλαίσματα λοιπὸν εὐκολώτερα γέγονε. διὸ καὶ μείζονα ἡμῖν προετέθη τὰ σκάμματα ἅτε μείζονος μετεσχηκόσι τῆς βοηθείας. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς σαφέστερον λέγει. τέως δὲ αὐτὸ αἰνίττεται διὰ βραχέων ἐνταῦθα, δεικνὺς ὅτι ἐὰν μὴ σφόδρα ἑαυτοὺς ὑποκατακλίνωμεν, οὐ περιέσται ἡμῶν ἡ ἁμαρτία. οὐ γάρ ἐστι νόμος ὁ κελεύων μόνον, ἀλλὰ καὶ χάρις ἡ καὶ τὰ πρότερα ἀφεῖσα, καὶ πρὸς τὰ μέλλοντα ἀσφαλιζομένη. ἐκεῖνος μὲν γὰρ μετὰ τοὺς πόνους, τοὺς στεφάνους ἐπηγγέλλετο· αὕτη δὲ πρότερον ἐστεφάνωσε, καὶ τότε εἰς τοὺς ἀγῶνας εἵλκυσεν. ἐμοὶ δὲ δοκεῖ οὐδὲ πάντα τὸν βίον τοῦ πιστοῦ ἐνταῦθα αἰνίττεσθαι, ἀλλὰ σύγκρισιν βαπτίσματος ποιεῖσθαι καὶ τοῦ νόμου. ὅπερ καὶ ἀλλαχοῦ φησιν, Ὅτι τὸ μὲν γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. ὁ μὲν γὰρ νόμος ἐλέγχει τὴν παράβασιν, ἡ δὲ χάρις λύει τὴν παράβασιν. ὥσπερ οὖν ἐκεῖνος ἐλέγχων συνίστησι τὴν ἁμαρτίαν, οὕτως αὕτη συγχωροῦσα οὐκ ἀφίησιν εἶναι ὑπὸ ἁμαρτίαν. ὥστε διπλῆ τῆς τυραννίδος εἶ ταύτης ἀπηλλαγμένος, τῷ τε μὴ ὑπὸ νόμον εἶναι, καὶ τῷ χάριτος ἀπολελαυκέναι. ἐπεὶ δὲ τούτοις ἀναπνεῦσαι πεποίηκε τὸν ἀκροατήν,

γ. σπερματικῶς τινα συγκαταβ.

γ. εἰσῆλθεν

Ματθ. ε. κ.

β. Κορ. γ. ς.

χρηστὴν, ἀσφαλίζεται πάλιν αὐτὸν, ἐξ ἀντιθέσεως παραίνεσιν εἰσάγων, καὶ λέγων οὕτω,

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; μὴ γένοιτο.

Πρῶτον μὲν γὰρ τῇ ἀπαγορεύσει, διὰ τὸ σφόδρα ἄτοπον εἶναι τὸ λεγόμενον, κέχρηται. ἔπειτα δὲ καὶ εἰς παραίνεσιν ἐξάγει τὸν λόγον, καὶ δείκνυσι πολλὴν οὖσαν τὴν εὐκολίαν τῶν ἀγώνων, οὕτω λέγων,

16 Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

Οὔπω λέγω τὴν γέενναν, φησὶν, οὐδὲ τὴν πολλὴν ἐκείνην κόλασιν, ἀλλὰ τὴν ἐνταῦθα αἰσχύνην, ὅταν δοῦλοι γίνησθε, καὶ ἑκόντες δοῦλοι, καὶ ἁμαρτίας δοῦλοι, καὶ ἐπὶ τοιούτῳ μισθῷ, ὥστε πάλιν ἀποθανεῖν. εἰ γὰρ πρὸ τοῦ βαπτίσματος θάνατον εἰργάσατο σωματικὸν, καὶ τοσαύτης ἐδεήθη τῆς θεραπείας τὸ ἕλκος, ὥστε τὸν δεσπότην ἁπάντων εἰς θάνατον κατελθεῖν, καὶ οὕτω λῦσαι τὸ κακὸν, μετὰ τὴν τοσαύτην δωρεὰν καὶ ἐλευθερίαν λαμβάνουσά σε ἑκόντα αὐτῇ πάλιν ὑποκατακρινόμενον, τί οὐκ ἐργάσεται; μὴ τοίνυν ἐπὶ τοσοῦτον δράμῃς βάραθρον, μηδὲ ἑκὼν σεαυτὸν προδῷς. ἐπὶ μὲν γὰρ τῶν πολέμων καὶ ἄκοντες παραδίδονται πολλάκις οἱ στρατιῶται· ἐνταῦθα δὲ ἂν μὴ αὐτὸς αὐτομολήσῃς, οὐδείς σε περιέσεται. ἐντρέψας τοίνυν ἀπὸ τοῦ πρέποντος, φοβεῖ καὶ ἀπὸ τῶν ἐπάθλων, καὶ τίθησιν ἀμφοτέρων τὰ ἐπίχειρα, δικαιοσύνην καὶ θάνατον· θάνατον δὲ οὐ τοιοῦτον, ἀλλὰ πολλῷ χαλεπώτερον. εἰ γὰρ οὐκέτι ἀποθανεῖται Χριστὸς, τίς λύσει τὸν θάνατον ἐκεῖνον; οὐδείς. οὐκοῦν ἀνάγκη δι' ὅλου κολάζεσθαι καὶ τιμωρεῖσθαι. οὐκέτι γὰρ οὐδὲ θάνατος παραγίνεται αἰσθητὸς, καθάπερ ἐνταῦθα, ἀναπαύων τὸ σῶμα, καὶ τῆς ψυχῆς διαιρῶν. Ἔσχατος γὰρ ἐχθρὸς καταργεῖται ὁ θάνατος, ὅθεν ἀθάνατος ἔσται ἡ κόλασις. ἀλλ' οὐχὶ τοῖς ὑπακούουσι Θεῷ· ἀλλὰ δικαιοσύνη, καὶ τὰ ἐκ ταύτης βλαστάνοντα ἀγαθὰ, ἔσται τὰ ἔπαθλα. α. Κορ. 15. κϛ.

17 Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. Ἐντρέψας ἀπὸ τῆς δουλείας, φοβήσας ἀπὸ τῶν ἐπάθλων, καὶ προτρέψας, ἀνορθοῖ πάλιν ἀπὸ τῆς μνήμης τῶν εὐεργεσιῶν αὐτούς. διὰ γὰρ τούτων δείκνυσιν, ὅτι μεγάλων ἀπηλλάγησαν κακῶν, καὶ ὅτι οὐκ ἐξ οἰκείων πόνων, καὶ ὅτι τὰ μέλλοντα εὐκολώτερα. καθάπερ γάρ τις ὠμοῦ τυράννου τὸν αἰχμάλωτον ἐξελόμενος, καὶ παραινῶν μὴ παλινδρομῆσαι πρὸς αὐτὸν, ἀναμιμνήσκει τῆς χαλεπῆς αὐτοῦ τυραννίδος· οὕτω καὶ ὁ Παῦλος ἐμφαντικώτατα τὰ παρελθόντα ἐνδείκνυται κακὰ διὰ τῆς εὐχαριστίας τῷ Θεῷ. οὐδὲ γὰρ ἀνθρωπίνης ἰσχύος ἦν, φησὶν, ἐκείνων ἡμᾶς ἀπαλλάξαι πάντων, ἀλλὰ τῷ Θεῷ χάρις τῷ τοσαῦτα καὶ βουληθέντι καὶ δυνηθέντι. καὶ καλῶς εἶπεν, ὑπηκούσατε ἐκ καρδίας. οὐδὲ γὰρ ἠναγκάσθητε, οὐδὲ ἐβιάσθητε, ἀλλ' ἑκόντες μετὰ προθυμίας ἀπέστητε. τοῦτο δὲ καὶ ἐγκωμιάζοντός ἐστιν ὁμοῦ, καὶ καθαπτομένου. οἱ γὰρ ἑκόντες προσελθόντες, καὶ μηδεμίαν ὑπομείναντες ἀνάγκην, ποίαν ἂν σχοίητε συγγνώμην, τίνα δὲ ἀπολογίαν, ἐπὶ τὰ πρότερα παλινδρομοῦντες; εἶτα ἵνα μάθῃς ὅτι οὐ τῆς αὐτῶν εὐγνωμοσύνης μόνον, ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν γέγονεν, εἰπὼν, ὑπηκούσατε ἐκ καρδίας, ἐπήγαγεν, εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. ἡ μὲν γὰρ ὑπακοὴ ἡ ἐκ καρδίας τὸ αὐτεξούσιον δηλοῖ· τὸ δὲ παραδοθῆναι, τὴν τοῦ Θεοῦ βοήθειαν αἰνίττεται. τίς δὲ ὁ τύπος τῆς διδαχῆς; ὀρθῶς ζῆν καὶ μετὰ πολιτείας ἀρίστης.

18 Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. Δύο ἐνταῦθα δείκνυσι τοῦ Θεοῦ δωρεάς· τό τε ἁμαρτίας ἐλευθερῶσαι, καὶ τὸ δουλῶσαι τῇ δικαιοσύνῃ, ὅπερ ἐλευθερίας ἁπάσης ἄμεινόν ἐστι. καὶ γὰρ ταὐτὸν πεποίηκεν ὁ Θεὸς, οἷον ἂν εἴ τις παῖδα ὀρφανὸν λαβὼν ὑπὸ βαρβάρων εἰς τὴν αὐτῶν ἀπενεχθέντα γῆν, μὴ μόνον τῆς αἰχμα-

λωσίας

λωσίας ἀπαλλάξει, ἀλλὰ καὶ πατέρα ἑαυτὸν αὐτοῖς κηδεμονικὸν ἐπιστήσει, καὶ εἰς μεγίστην ἀξίαν ἀνάξει. ὃ δὴ καὶ ἐφ' ἡμῶν γέγονεν. οὐ γὰρ μόνον τῆς παλαιᾶς κακίας ἠλευθέρωσεν, ἀλλὰ καὶ εἰς ἀγγελικὸν ἤγαγε βίον, καὶ ὁδὸν ἡμῖν πολιτείας ἔτεμεν ἀρίστης, τῇ τῆς δικαιοσύνης ἀσφαλείᾳ παραδοὺς, καὶ τὰ παλαιὰ ἀποκτείνας κακὰ, καὶ νεκρώσας τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐπὶ ζωὴν χειραγωγήσας ἡμᾶς τὴν ἀθάνατον.

ΗΘΙΚΟΝ Μένωμεν τοίνυν ταύτην ζῶντες. πολλοὶ γὰρ τῶν δοκούντων ἐμπνεῖν καὶ βαδίζειν νεκρῶν ἀθλιώτερον διάκεινται. καὶ γὰρ διάφοροι νεκρότητός εἰσι τρόποι, καὶ ἔστιν εἷς μὲν ὁ τοῦ σώματος, καθ' ὃν ὁ Ἀβραὰμ νεκρὸς ὢν οὐκ ἦν νεκρός. [Ματθ. κϛ. λϛ.] Ὁ γὰρ Θεός, φησιν, οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. [Ματθ. η. κϛ.] ἕτερος τῆς ψυχῆς, ὃν ὁ Χριστὸς αἰνιττόμενος ἔλεγεν, Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. ἄλλος ὁ καὶ ἐπαινετὸς, ὁ διὰ τῆς φιλοσοφίας γινόμενος, περὶ οὗ φησιν ὁ Παῦλος, [Κολ. γ. ε.] Νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ἕτερος ὁ καὶ τούτου γεγενημένος αἴτιος, ὁ ἐπὶ τοῦ βαπτίσματος. [Ρω. ϛ. ϛ.] Ὁ γὰρ παλαιὸς ἡμῶν ἄνθρωπος, φησιν, ἐσταύρωται, τουτέστι, νενέκρωται. ταῦτ' οὖν εἰδότες ἐκείνην φύγωμεν τὴν νέκρωσιν, καθ' ἣν καὶ ζῶντες ἀποθνήσκομεν· ταύτην δὲ μὴ δείσωμεν, καθ' ἣν ὁ κοινὸς ἔπεισι θάνατος. τὰς δὲ ἑτέρας δύο, ὧν ἡ μὲν ἐστὶ μακαριστὴ ἡ παρὰ τοῦ Θεοῦ δοθεῖσα, ἡ δὲ ἐπαινετὴ ἡ παρ' ἡμῶν καὶ τοῦ Θεοῦ κατορθουμένη, καὶ ἑλώμεθα καὶ ζηλώσωμεν. τούτων γὰρ τῶν δύο τὴν μὲν ὁ Δαβὶδ μακαρίζει λέγων, [Ψαλμ. λα. α.] Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι· τὴν δὲ ὁ Παῦλος θαυμάζει λέγων, καὶ Γαλάταις λέγων, [Γαλ. ε. κδ.] Οἱ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν. τῆς δὲ ἑτέρας συζυγίας τὴν μὲν εὐκαταφρόνητον εἶναί φησιν ὁ Χριστὸς λέγων, [Ματθ. ι. κη.] Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· τὴν δὲ φοβεράν, φοβήθητε γὰρ τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. διὸ ταύτην φυγόντες, ἐκείνην ἑλώμεθα τὴν νεκρότητα τὴν μακαριζομένην καὶ θαυμαζομένην, ἵνα τῶν ἑτέρων τῶν δύο τὴν μὲν φύγωμεν, τὴν δὲ φοβηθῶμεν. οὐδὲ γὰρ ὄφελος ἡμῖν οὐδὲν τὸ ἥλιον ὁρᾶν καὶ ἐσθίειν καὶ πίνειν, ἂν μὴ ἡ διὰ τῶν ἀγαθῶν ἔργων ζωὴ παρῇ. τί γὰρ ὄφελος, εἰπέ μοι, βασιλέως ἁλουργίδα μὲν περικειμένου καὶ ὅπλα ἔχοντος, οὐδένα δὲ ὑπήκοον κεκτημένου, ἀλλὰ προκειμένου πᾶσι τοῖς βουλομένοις ἐναλλεσθαι καὶ ὑβρίζειν αὐτόν; οὕτω καὶ χριστιανοῦ οὐδὲν ἔσται κέρδος πίστιν μὲν ἔχοντος καὶ τὴν ἀπὸ τοῦ βαπτίσματος δωρεάν, πᾶσι δὲ τοῖς πάθεσι προκειμένου. μείζων γὰρ οὕτως ὕβρις ἔσται, καὶ πλείων ἡ αἰσχύνη. ὥσπερ γὰρ ἐκεῖνος ὁ τὸ διάδημα περικείμενος καὶ τὴν ἁλουργίδα, οὐ μόνον οὐδὲν ἀπὸ τῆς στολῆς κερδαίνει ταύτης εἰς τὴν οἰκείαν τιμήν, ἀλλὰ καὶ ἐκείνην καθυβρίζει διὰ τῆς οἰκείας αἰσχύνης· οὕτω καὶ ὁ πιστὸς βίον διεφθαρμένον ζῶν, οὐ μόνον οὐδὲν ἐντεῦθεν αἰδέσιμος ἔσται, ἀλλὰ καὶ μειζόνως καταγέλαστος. [Ρω. β. ιβ.] Ὅσοι γὰρ, φησιν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. καὶ Ἑβραίοις δὲ ἐπιστέλλων ἔλεγεν· [Εβ. ι. κη. κθ.] Ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας; καὶ μάλα εἰκότως. καὶ γὰρ ὑπέταξά σοι πάντα τὰ πάθη, φησί, διὰ τοῦ βαπτίσματος. τί οὖν γέγονεν, ὅτι εἰς τοσαύτην ὕβρισας δωρεάν, καὶ γέγονας ἕτερος ἀνθ' ἑτέρου; ἀπέκτεινα καὶ ἔθαψά σου τὰ πρότερα πλημμελήματα, καθάπερ σκώληκας. τί τοίνυν ἕτερα ἔτεκες; καὶ γὰρ σκωλήκων χείρω τὰ ἁμαρτήματα. οὗτοι μὲν γὰρ τὸ σῶμα, ἐκεῖνα δὲ τὴν ψυχὴν λυμαίνεται, καὶ πλείονα ποιεῖ τὴν δυσωδίαν. ἀλλ' ἡμεῖς οὐκ αἰσθανόμεθα, διόπερ αὐτὴν οὐδὲ ἐκκαθᾶραι σπεύδομεν. οὐδὲ γὰρ ὁ μεθύων οἶδε πόση τοῦ σεσηπότος οἴνου ἡ βδελυγμία, ἀλλ' ὁ μὴ μεθύων ἀκριβῶς ταῦτα ἐπίσταται. οὕτω καὶ ἐπὶ τῶν ἁμαρτημάτων, ὁ μὲν σωφρόνως ζῶν μετὰ ἀκριβείας οἶδε τὸν βόρβορον ἐκεῖνον καὶ τὴν κηλῖδα· ὁ δὲ τῇ πονηρίᾳ ἑαυτὸν ἐκδοὺς, καθάπερ μέθῃ τινὶ κεκαρωμένος οὐδὲ αὐτὸ τοῦτο οἶδεν, ὅτι νοσεῖ. καὶ τοῦτο μάλιστα τῆς κακίας τὸ χαλεπώτατον, ὅτι οὐδὲ ἰδεῖν ἀφίησι τοὺς εἰς αὐτὴν ἐμπεσόντας τῆς οἰκείας λύμης τὸ μέγεθος,

ἀλλ'

ἀλλ' ἐν βορβόρῳ κείμενοι μύρων ἀπολαύειν νομίζουσι· διόπερ οὐδὲ ἀπαλλαγῆναι δύνανται, ἀλλὰ σκωλήκων γέμοντες, ὥσπερ λίθοις τιμίοις καλλωπιζόμενοι, οὕτως ἐναβρύνονται. διὰ δὲ ταῦτα αὐτοὺς οὐδὲ ἀποκτεῖναι ἐθέλουσιν, ἀλλὰ καὶ τρέφουσι, καὶ αὔξουσιν ἐν ἑαυτοῖς, ἕως ἂν αὐτοὺς πρὸς τοὺς τοῦ μέλλοντος αἰῶνος παραπέμψωσι σκώληκας. καὶ γὰρ ἐκείνων οὗτοι πρόξενοι· οὐ πρόξενοι δὲ μόνον, ἀλλὰ καὶ πατέρες εἰσὶν ἐκείνων τῶν μηδέποτε τελευτώντων. Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησίν. οὗτοι τὴν γέενναν ἀνάπτουσι τὴν μηδέποτε σβεννυμένην. ἵν' οὖν ταῦτα μὴ γένηται, τὴν πηγὴν τῶν κακῶν ἀνέλωμεν, καὶ τὴν κάμινον σβέσωμεν, καὶ τὴν ῥίζαν τῆς πονηρίας κάτωθεν ἀνασπάσωμεν. ἐπεὶ καὶ δένδρον πονηρὸν ἂν ἀποτέμῃς ἄνωθεν, οὐδὲν πλέον ἐποίησας, τῆς ῥίζης κάτω μενούσης, καὶ τὰ αὐτὰ βλαστανούσης πάλιν. τίς οὖν ἡ ῥίζα τῶν κακῶν; μάθε παρὰ τοῦ καλοῦ φυτουργοῦ τοῦ τὰ τοιαῦτα ἀκριβῶς ἐπισταμένου, καὶ τὴν ἄμπελον τὴν πνευματικὴν θεραπεύοντος, καὶ τὴν οἰκουμένην γεωργοῦντος ἅπασαν. τίνα οὖν οὗτός φησιν εἶναι τὴν αἰτίαν τῶν κακῶν ἁπάντων; τὴν τῶν χρημάτων ἐπιθυμίαν. Ῥίζα γὰρ πάντων τῶν κακῶν, φησὶν, ἡ φιλαργυρία. ἐντεῦθεν μάχαι καὶ ἔχθραι καὶ πόλεμοι, ἐντεῦθεν φιλονεικίαι καὶ λοιδορίαι καὶ ὑποψίαι καὶ ὕβρεις, ἐντεῦθεν φόνοι καὶ κλοπαὶ καὶ τυμβωρυχίαι. διὰ ταύτην οὐ πόλεις καὶ χῶραι μόνον, ἀλλὰ καὶ ὁδοὶ, καὶ οἰκουμένη, καὶ ἀοίκητος, καὶ ὄρη, καὶ νάπαι, καὶ βουνοὶ, καὶ πάντα ἁπλῶς αἱμάτων γέμει καὶ φόνων. καὶ οὐδὲ τῆς θαλάττης ἀπέσχετο τουτὶ τὸ κακὸν, ἀλλὰ καὶ ἐκεῖ μετὰ πολλῆς εἰσεκώμασε τῆς μανίας, τῶν πειρατῶν αὐτὴν πολιορκούντων πάντοθεν, καὶ καινόν τινα λῃστείας ἐπινοούντων τρόπον. διὰ ταύτην καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι, καὶ οἱ τῆς συγγενείας ἐκινήθησαν θεσμοὶ, καὶ τὰ τῆς οὐσίας αὐτῆς διέφθαρται δίκαια. ἡ γὰρ τῶν χρημάτων τυραννὶς οὐ κατὰ τῶν ζώντων μόνον, ἀλλὰ καὶ κατὰ τῶν ἀποθανόντων τὰς τοιαύτας ὥπλισε δεξιάς. καὶ οὐδὲ τῷ θανάτῳ πρὸς αὐτοὺς σπένδονται, ἀλλὰ θήκας ἀναρρηγνῦντες, καὶ κατὰ νεκρῶν σωμάτων τὰς μιαρὰς ἐκτείνουσι χεῖρας, οὐδὲ τοὺς ἀπαλλαγέντας τῆς ζωῆς τῆς αὐτῶν ἀφέντες ἀπηλλάχθαι ἐπιβουλῆς. καὶ ὅσα ἂν εὕρῃς κακὰ, κἂν ἐν οἰκίᾳ, κἂν ἐν ἀγορᾷ, κἂν ἐν δικαστηρίοις, κἂν ἐν βουλευτηρίοις, κἂν ἐν βασιλείοις, κἂν ὁπουδήποτε, ἐντεῦθεν πάντα ὄψει βλαστάνοντα. τοῦτο γάρ ἐστι, τοῦτο τὸ κακὸν ὃ πάντα αἱμάτων καὶ φόνων ἐνέπλησε, τοῦτο τὴν φλόγα τῆς γεέννης ἀνῆψε, τοῦτο τῆς ἐρημίας τὰς πόλεις οὐδὲν ἄμεινον διακεῖσθαι ἐποίησεν, ἀλλὰ καὶ πολλῷ χεῖρον. τοὺς μὲν γὰρ ταῖς ὁδοῖς ἐφεδρεύοντας καὶ φυλάξασθαι ῥᾴδιον, ἅτε οὐ διαπαντὸς ἐπιτιθεμένους· τοὺς δὲ ἐν μέσαις ταῖς πόλεσιν ἐκείνους μιμουμένους, τοσούτῳ χείρους ἐκείνων, ὅσῳ καὶ δυσφυλακτότεροι μᾶλλον αὐτῶν, καὶ μετὰ παρρησίας ταῦτα τολμῶσιν ἃ μετὰ τοῦ λανθάνειν ἐκεῖνοι. τοὺς γὰρ ἐπ' ἀναιρέσει τῆς πονηρίας αὐτῶν κειμένους νόμους, τούτους εἰς συμμαχίαν ἕλκοντες τῶν τοιούτων φόνων, μιασμάτων τὰς πόλεις ἐνέπλησαν. ἢ οὐ φόνος, εἰπέ μοι, καὶ φόνου χεῖρον, τῷ λιμῷ παραδοῦναι πένητα, καὶ εἰς δεσμωτήριον ἐμβαλεῖν, καὶ μετὰ τοῦ λιμοῦ καὶ βασάνοις ἐκδοῦναι, καὶ μυρίοις αἰκισμοῖς; κἂν γὰρ αὐτὸς ταῦτα μὴ ποιῇς, παρέχῃς δὲ τὴν αἰτίαν τοῦ γίνεσθαι, τῶν διακονουμένων μᾶλλον αὐτὰ ἐργάζῃ. ὁ μὲν γὰρ ἀνδροφόνος ὁμοῦ τὸ ξίφος ἐνέπηξε, καὶ μικρὸν λυπήσας χρόνον οὐκέτι περαιτέρω προήγαγε τὴν βάσανον· σὺ δὲ ταῖς συκοφαντίαις, ταῖς ἐπηρείαις, ταῖς ἐπιβουλαῖς τὸ φῶς ἐργαζόμενος αὐτῷ σκότος, καὶ ἐν ἐπιθυμίᾳ καθιστὰς τοῦ μυριάκις ἀποθανεῖν, ἐννόησον ὅσους ἐργάζῃ ἀνθ' ἑνὸς θανάτους. καὶ τὸ δὴ πάντων χαλεπώτερον, ὅτι ἁρπάζεις, καὶ πλεονεκτεῖς, οὐχ ὑπὸ πενίας ὠθούμενος, οὐδὲ λιμοῦ σε καταναγκάζοντος, ἀλλ' ἵνα ὁ τοῦ ἵππου χαλινὸς ἀλείφηται πολλῷ τῷ χρυσῷ, καὶ ὁ τῆς οἰκίας ὄροφος, καὶ αἱ τῶν κιόνων κεφαλαί. καὶ πόσης οὐκ ἂν εἴη ταῦτα γεέννης ἄξια, ὅταν τὸν ἀδελφὸν, καὶ τῶν ἀπορρήτων σοι κοινωνήσαντα ἀγαθῶν, καὶ οὕτω παρὰ τοῦ δεσπότου σου τιμηθέντα, ἵνα λίθους καλλωπίσῃς καὶ ἔδαφος καὶ σώματα ἀλόγων ζώων οὐδὲ αἰσθανομένων τοῦ κόσμου τούτου, εἰς μυρίας ἐμβάλλῃς συμφοράς; καὶ ὁ μὲν κύων ἐν ἐπιμε-

κ. -ξουσιν, ἵνα ἑαυτοῦ πρὸς

Μαρκ. θ. μδ.

α. Τιμ. ϛ. ι.

ἰσ. τὸ

λεία πολλή, ὁ δὲ ἄνθρωπος, μᾶλλον δὲ ὁ Χριστός, διὰ τὸν κύνα καὶ πάντα τὰ εἰρημένα εἰς ἔσχατον κατακλείεται λιμόν. τί ταύτης τῆς συγχύσεως χεῖρον; τί τῆς παρανομίας ταύτης χαλεπώτερον; πόσοι ποταμοὶ πυρὸς ἀρκέσουσι τῇ τοιαύτῃ ψυχῇ; ὁ μὲν κατ' εἰκόνα τοῦ Θεοῦ γεγενημένος ἕστηκεν ἀσχημονῶν διὰ τὴν σὴν ἀπανθρωπίαν· αἱ δὲ ὄψεις τῶν ἡμιόνων τῶν τὴν γυναῖκα φερουσῶν τὴν σὴν πολλῷ καταλάμπονται χρυσίῳ, καὶ τὰ δέρματα, καὶ τὰ ξύλα τὰ τὴν στέγην ἐκείνην ὑφαίνοντα. κἂν θρόνον κατασκευάσαι δέῃ, κἂν ὑποπόδιον, πάντα ὑπὸ χρυσοῦ καὶ ἀργύρου κατασκευάζονται· ὃ δὲ τοῦ Χριστοῦ μέλος, καὶ δι' ὃν ἐξ οὐρανοῦ παραγέγονε, καὶ οὗ τίμιον αἷμα ἐξέχεε, οὐδὲ τῆς ἀναγκαίας ἀπολαύει τροφῆς διὰ τὴν πλεονεξίαν τὴν σήν. ἀλλ' αἱ μὲν κλίναι ἀργύρῳ πάντοθέν εἰσι περιβεβλημέναι, τὰ δὲ σώματα τῶν ἁγίων καὶ τῆς ἀναγκαίας ἀπεστέρηται σκέπης· καὶ πάντων σοι γέγονεν ἀτιμότερος ὁ Χριστός, καὶ οἰκετῶν, καὶ ἡμιόνων, καὶ κλίνης, καὶ θρόνου, καὶ ὑποποδίου. τὰ γὰρ ἔτι τούτων ἀτιμότερα σκεύη παρίημι, καταλιμπάνων ὑμῖν εἰδέναι. εἰ δὲ φρίττεις ταῦτα ἀκούων, ἀπόστηθι τῶν πραγμάτων, καὶ οὐδέν σε βλάψει τὰ εἰρημένα. ἀπόστηθι, καὶ στῆθι τῆς μανίας ταύτης. καὶ γὰρ μανία σαφὴς ἡ περὶ ταῦτα σπουδή. διὸ δὴ ταῦτα ἀφέντες ἀναβλέψωμεν ὀψέ γοῦν ποτε εἰς τὸν οὐρανόν, ἀναμνησθῶμεν τῆς μελλούσης ἡμέρας, ἐννοήσωμεν τὸ φοβερὸν δικαστήριον, καὶ τὰς ἠκριβωμένας εὐθύνας, καὶ τὴν ἀδέκαστον ψῆφον. λογισώμεθα, ὅτι ταῦτα πάντα ὁρῶν ὁ Θεός, οὐ κεραυνοὺς ἄνωθεν πέμπει· καίτοιγε οὐ σκηπτῶν ἄξια τὰ γινόμενα μόνον. ἀλλ' οὔτε τοῦτο ποιεῖ, οὔτε τὴν θάλασσαν ἡμῖν ἐπαφίησιν, οὐ τὴν γῆν ῥήγνυσι μέσην, οὐ τὸν ἥλιον σβέννυσιν, οὐ τὸν οὐρανὸν ῥίπτει μετὰ τῶν ἀστέρων, οὐ πάντα ἁπλῶς ἐκποδὼν ποιεῖ, ἀλλ' ἀφίησιν ἐν τάξει εἶναι καὶ διακονεῖσθαι ἡμῖν τὴν κτίσιν ἅπασαν. ταῦτ' οὖν λογισάμενοι, τῆς φιλανθρωπίας τὸ μέγεθος φρίξωμεν, καὶ πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθωμεν· ὡς νῦν γε τῶν ἀλόγων οὐδὲν ἄμεινον διακείμεθα, ἀλλὰ πολλῷ χεῖρον. ἐκεῖνα μὲν γὰρ ἀγαπᾷ τὰ συγγενῆ, καὶ ἀρκεῖται τῇ κοινωνίᾳ τῆς φύσεως εἰς τὴν πρὸς ἄλληλα φιλοστοργίαν· σὺ δὲ μετὰ τῆς φύσεως μυρίας ἔχων ὑποθέσεις συναγούσας σε καὶ σφιγγούσας πρὸς τὰ οἰκεῖα μέλη, τὸ τετιμῆσθαι λόγῳ, τὸ μετέχειν εὐσεβείας, τὸ κοινωνῆσαι μυρίων ἀγαθῶν, ἐκείνων ἀγριώτερος γέγονας, εἰς μὲν τὰ ἀνόητα πολλὴν τὴν σπουδὴν ἐνδεικνύμενος, τοὺς δὲ ναοὺς τοῦ Θεοῦ καὶ λιμῷ καὶ γυμνότητι ″ περιορῶν ἀπολλυμένους, πολλάκις δὲ καὶ μυρίοις περιβάλλων κακοῖς. εἰ γὰρ δόξης ἐρῶν ταῦτα ποιεῖς, πολλῷ μᾶλλον τὸν ἀδελφὸν τοῦ ἵππου θεραπεύειν ″ ἔδει. ὅσῳ γὰρ βελτίων ὁ τῆς εὐεργεσίας ἀπολαύων, τοσούτῳ καὶ λαμπρότερός σοι πλέκεται τῆς τοιαύτης σπουδῆς ὁ στέφανος. ὡς νῦν γε τοῖς ἐναντίοις περιπίπτων, καὶ μυρίους ἐπισπώμενος κατὰ σαυτοῦ κατηγόρους, οὐκ αἰσθάνῃ. τίς γάρ σε οὐκ ἐρεῖ κακῶς; τίς γάρ σε οὐ γράψεται τῆς ἐσχάτης ὠμότητος καὶ μισανθρωπίας, ὁρῶν τὸ μὲν τῶν ἀνθρώπων ἀτιμάζοντα γένος, τὸ δὲ τῶν ἀλόγων πρὸ τῶν ἀνθρώπων ποιούμενον καὶ μετὰ τῶν ἀλόγων ″ τὴν οἰκίαν καὶ τὰ ἔπιπλα; οὐκ ἤκουσας τῶν ἀποστόλων λεγόντων, ὅτι οἱ πρότεροι τὸν λόγον δεξάμενοι καὶ οἰκίας καὶ χωρία ἐπώλουν, ἵνα τοὺς ἀδελφοὺς τρέφωσι; σὺ δὲ καὶ οἰκίας καὶ χωρία ἁρπάζεις ἵνα ἵππον κοσμήσῃς, καὶ ξύλα καὶ δέρματα καὶ τοίχους καὶ ἔδαφος. καὶ τὸ δὴ ″ χαλεπώτερον, ὅτι οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες ταύτην μαίνονται τὴν μανίαν, καὶ τοὺς ἄνδρας εἰς τοιαύτην ἀλείφουσι ματαιοπονίαν, πανταχοῦ μᾶλλον ἢ ἐν τοῖς ἀναγκαίοις δαπανᾶν ἀναγκάζουσαι. κἂν ἐγκαλέσῃ τις ὑπὲρ τούτων, μεμελετήκασιν ἀπολογίαν πολλῆς κατηγορίας γέμουσαν. καὶ γὰρ ταῦτα κἀκεῖνα γίνεται, φησί. τί φῄς; οὐ δέδοικας τοιαῦτα φθεγγόμενος, καὶ μετὰ τῶν ἵππων, καὶ τῶν ἡμιόνων, καὶ τῶν κλινῶν, καὶ τῶν ὑποποδίων τὸν Χριστὸν πεινῶντα ἀριθμεῖν; μᾶλλον δὲ οὐδὲ μετὰ τούτων, ἀλλὰ τὸ μὲν πλέον μέρος * τούτοις, ἐκείνῳ δὲ μόλις ὀλίγον ″ ἀπονέμων μέρος. οὐκ οἶσθα, ὅτι πάντα αὐτοῦ, καὶ σύ, καὶ τὰ σά; οὐκ οἶσθα ὅτι καὶ σῶμα αὐτὸς διέπλασε, καὶ ψυχὴν ἐχαρίσατο,

χ. πάντα

χ. περιορῶν

χ. ἔδει

χ. τὰ κατὰ τὴν οἰκίαν ...

χ. - πάντα

* ὅτι

χ. ἀπονέμομεν

ἐξαρκεῖται, καὶ τὸν κόσμον ἀπένειμεν ἅπαντα; σὺ δὲ οὐδὲ μικρὰν τούτῳ ἀποδίδως ἀμοιβήν· ἀλλ' ἂν μὲν οἰκίσκον μικρὸν ἐκμισθώσῃς, μετὰ πολλῆς τῆς ἀκριβείας τὸν μισθὸν ἀπαιτεῖς, τὸν δὲ κτίσιν αὐτοῦ πᾶσαν καρπούμενος, καὶ κόσμον τοσοῦτον οἰκῶν, οὐδὲ ὀλίγον ἀνέχῃ μισθὸν καταβαλεῖν, ἀλλὰ τῇ κενοδοξίᾳ καὶ σαυτὸν καὶ τὰ σαυτοῦ πάντα ἐκδέδωκας. καὶ γὰρ ἐκεῖθεν ἅπαντα ταῦτα ἤρτηται. οὐδὲ γὰρ ἵππος βελτίων ἂν γένοιτο πρὸς τὴν ἀρετὴν αὐτοῦ τὸν κόσμον περικείμενος τοῦτον, οὔτε ὁ καθήμενος ἐπ' αὐτοῦ ἄνθρωπος, ἀλλ' ἔστιν ὅτε καὶ ἀτιμότερος. πολλοὶ γὰρ ἀφέντες τὸν ὀχούμενον, πρὸς τὸν κόσμον τοῦ ἵππου τρέπουσι τοὺς ὀφθαλμούς, καὶ τοὺς ἑπομένους οἰκέτας, καὶ τοὺς προηγουμένους, καὶ τοὺς συνωθοῦντας· τὸν δὲ ὑπὸ τούτων δορυφορούμενον καὶ μισοῦσι, καὶ ἀποστρέφονται ὡς κοινὸν ἐχθρόν. ἀλλ' οὐχ ὅταν τὴν ψυχὴν κοσμῇς τοῦτο συμβαίνει, ἀλλὰ καὶ ἄνθρωποι, καὶ ἄγγελοι, καὶ ὁ τῶν ἀγγέλων δεσπότης, πάντες σοι τὸν στέφανον πλέκουσιν. ὥστε, εἰ δόξης ἐρᾷς, ἀπόστηθι τούτων ὧν νῦν ποιεῖς, καὶ μὴ τὴν οἰκίαν, ἀλλὰ τὴν ψυχὴν καλλώπιζε, ἵνα γένῃ λαμπρὸς καὶ περιφανής· ὡς νῦν γε οὐδενὸς γένοιτ' ἂν εὐτελέστερος ἔρημον ἔχοντος τὴν ψυχήν, καὶ τὸ τῆς οἰκίας περιβαλλομένου κάλλος. εἰ δὲ οὐκ ἀνέχῃ τῶν παρ' ἐμοῦ λεγομένων, ἄκουσον τί τῶν ἔξωθέν τις ἐποίησε, καὶ αἰσχύνθητι τὴν γοῦν ἐκείνου φιλοσοφίαν. λέγεται γάρ τις ἐκείνων εἰς οἰκίαν λαμπρὰν εἰσελθὼν πολλῷ μὲν καταλαμπομένην χρυσίῳ, πολλῷ δὲ ἀπαστράπτουσαν τῷ τῶν μαρμάρων καὶ τῶν κιόνων κάλλει, ἐπειδὴ καὶ τὸ ἔδαφος εἶδε πανταχοῦ τάπητας ἔχον ἐστορεσμένους, εἰς τὴν ὄψιν ἐμπτύσαι τοῦ τῆς οἰκίας δεσπότου· εἶτα ἐγκαλούμενος, εἰπεῖν, διὰ τὸ μηδαμοῦ τῆς οἰκίας ἑτέρωθι τοῦτο ἐξεῖναι ποιῆσαι, εἰς τὴν ὄψιν ἀναγκασθῆναι ὑβρίσαι τὴν ἐκείνου. ὁρᾷς πῶς καταγέλαστος ὁ τὰ ἔξωθεν καλλωπίζων ἐστί, καὶ παρὰ πᾶσιν εὐκαταφρόνητος τοῖς νοῦν ἔχουσι; καὶ μάλα εἰκότως. οὐδὲ γὰρ εἰ τὴν σύνοικόν τις ἀφεὶς τὴν σὴν ῥάκια περικεῖσθαι, καὶ ἠμελημένην εἶναι, τὰς θεραπαινίδας λαμπρᾷ περιέβαλε στολῇ, πράως ἂν ἤνεγκας, ἀλλὰ παρωξύνθης, καὶ ὕβριν ἂν τὸ πρᾶγμα ἔφησας εἶναι τὴν ἐσχάτην. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς λογίζου. ὅταν μὲν τοὺς μὲν τοίχους, καὶ τὸ ἔδαφος, καὶ τὰ ἔπιπλα, καὶ τὰ ἄλλα πάντα καλλωπίζῃς, ἐλεημοσύνην δὲ μὴ παρέχῃς δαψιλῆ, μηδὲ τὴν ἄλλην ἀσκῇς φιλοσοφίαν, οὐδὲν ἕτερον ἢ τοῦτο ποιεῖς, μᾶλλον δὲ τὸ πολλῷ χαλεπώτερον. τὸ μὲν γὰρ δούλης καὶ τῆς δεσποίνης οὐδὲν τὸ μέσον, τὸ δὲ ψυχῆς καὶ τῆς σαρκὸς πολὺ τὸ διάφορον. εἰ δὲ τῆς σαρκός, πολλῷ μᾶλλον τῆς ψυχῆς καὶ τῆς οἰκίας, καὶ τῆς ψυχῆς καὶ τῆς κλίνης καὶ τοῦ ὑποποδίου. ποίας οὖν ἄξιος ἀπολογίας ἂν εἴης, ταῦτα μὲν ἅπαντα ἀργυρίῳ πολλῷ περιβάλλων, ἐκείνην δὲ περιορῶν ῥακοδυτοῦσαν, αὐχμῶσαν, πεινῶσαν, τραυμάτων γέμουσαν, ὑπὸ μυρίων σπαραττομένην κυνῶν, καὶ μετὰ ταῦτα ἅπαντα καὶ δοξάζεσθαι ἀπὸ τοῦ καλλωπισμοῦ τῶν ἔξωθεν περικειμένων νομίζων; ὃ δὴ μάλιστα τῆς ἐσχάτης παραπληξίας ἐστί, τὸ γελώμενον, καὶ ὀνειδιζόμενον, καὶ ἀσχημονοῦντα, καὶ ἀτιμαζόμενον, καὶ εἰς ἐσχάτην ἐμπίπτοντα κόλασιν, ἔτι καὶ ἐγκαλλωπίζεσθαι τούτοις. διό, παρακαλῶ, ταῦτα πάντα ἐννοήσαντες ἀνανήψωμεν ὀψέ γοῦν ποτε, καὶ ἡμῶν αὐτῶν γενώμεθα, καὶ τὸν κόσμον τοῦτον ἀπὸ τῶν ἔξωθεν εἰς τὴν ψυχὴν μετενέγκωμεν. οὕτω γὰρ καὶ αὐτὸς ἄσυλος μένει, καὶ ἡμᾶς τοῖς ἀγγέλοις ἴσους ἐργάζεται, καὶ τὰ ἀκίνητα προξενήσει καλά, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιβ. 19 ΑΝΘΡΩΠΙΝΟΝ ΛΕΓΩ ΔΙΑ ΤΗΝ ΑΣΘΕΝΕΙΑΝ τῆς σαρκὸς ὑμῶν. ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη τῆς σαρκὸς ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

Ἐπειδὴ πολλὴν ἀπῄτησεν ἀκρίβειαν τοῦ βίου, νεκροὺς εἶναι κελεύων τῷ κόσμῳ, καὶ τεθνηκέναι τῇ πονηρίᾳ, καὶ ἀκινήτους μένειν πρὸς τὴν τῶν ἁμαρτημάτων ἐνέργειαν, καὶ ἐδόκει μέγα τι καὶ βαρὺ λέγειν καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον φύσιν· δεῖξαι βουλόμενος ὅτι οὐδὲν ὑπέρογκον ἀπαιτεῖ, οὐδὲ ὅσον ἐχρῆν τὸν τοσαύτης ἀπολαύσαντα δωρεᾶς, ἀλλὰ καὶ σφόδρα σύμμετρον καὶ κοῦφον, ἀπὸ τῶν ἐναντίων αὐτὸ κατασκευάζει, καί φησιν, ἀνθρώπινον λέγω, ὡς ἂν εἰ ἔλεγεν, ἀπὸ ἀνθρωπίνων λογισμῶν, ἀπὸ τῶν ἐν συνηθείᾳ γινομένων. τὸ γὰρ σύμμετρον τῇ προσηγορίᾳ τοῦ ἀνθρωπίνου δηλοῖ. καὶ γὰρ καὶ ἀλλαχοῦ φησι, πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος, τουτέστι,
α. Κορ. ι. ιγ. σύμμετρος καὶ μικρός. Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. καίτοι πολὺ τῶν δεσποτῶν τὸ μέσον, ἀλλ' ὅμως τὸ ἴσον τῆς δουλείας ἀπαιτῶ μέτρον. ἔδει μὲν γὰρ καὶ πολλῷ πλέον εἰσενεγκεῖν, καὶ τοσούτῳ πλέον, ὅσῳ καὶ αὕτη μείζων τῆς δεσποτείας ἐκείνης, καὶ ἀμείνων. πλὴν ἀλλ' οὐδὲν πλέον ἀπαιτῶ διὰ τὴν ἀσθένειαν. καὶ οὐκ εἶπε, τῆς προαιρέσεως ὑμῶν, οὐδὲ τῆς προθυμίας, ἀλλὰ τῆς σαρκὸς ὑμῶν, ἀνεπαχθέστερον ποιῶν τὸν λόγον. καίτοι τὸ μὲν, ἀκαθαρσία, τὸ δὲ, ἁγιασμός· τὸ μὲν, ἀνομία, τὸ δὲ, δικαιοσύνη. καὶ τίς οὕτως ἄθλιος * καὶ ταλαίπωρος, ὡς μηδὲ τοσαύτην εἰσενεγκεῖν * φησὶ
σπουδὴν τῇ τοῦ Χριστοῦ δουλείᾳ, ὅσην τῇ τῆς ἁμαρτίας, καὶ τοῦ διαβόλου; οὐκοῦν ἄκουσον τῶν ἑξῆς, καὶ εἴσῃ σαφῶς ὅτι οὐδὲ τὸ μικρὸν τοῦτο εἰσφερόμεθα. ἐπειδὴ γὰρ ἁπλῶς οὕτω λεγόμενον οὐκ ἐδόκει πιστὸν εἶναι, οὐδὲ εὐπαράδεκτον, οὐδὲ ἠνείχετό τις ἀκοῦσαι, ὅτι οὐ δουλεύει τοσοῦτον τῷ Χριστῷ, ὅσον ἐδούλευσε τῷ διαβόλῳ, διὰ τῶν ἑξῆς αὐτὸ κατασκευάζει καὶ ποιεῖ πιστόν, τὴν δουλείαν ἐκείνην ἄγων εἰς μέσον, καὶ λέγων πῶς ἐδούλευσαν.

20 Ὅτε γὰρ ἦτε δοῦλοι, φησι, τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτε ἐν πονηρίᾳ ἐζῆτε καὶ ἀσεβείᾳ καὶ ἐσχάτοις κακοῖς, μετὰ τοσαύτης ἐζῆτε τῆς ὑπακοῆς, ὡς μηδὲν καθόλου πράττειν καλόν. τοῦτο γάρ ἐστιν, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ· τουτέστιν, οὐκ ἦτε ὑποτεταγμένοι αὐτῇ, ἀλλ' ἠλλοτριωμένοι καθόλου. οὐδὲ γὰρ διενέμετε τῆς δουλείας τὸν τρόπον τῇ δικαιοσύνῃ, καὶ τῇ ἁμαρτίᾳ, ἀλλ' ὅλους ἑαυτοὺς ἐξεδίδοτε τῇ πονηρίᾳ. οὐκοῦν καὶ νῦν, ἐπειδὴ μετέστητε πρὸς τὴν δικαιοσύνην, ὅλους ἑαυτοὺς ἔκδοτε τῇ ἀρετῇ, μηδὲν καθόλου τῆς κακίας πράττοντες, ἵνα κἂν ἴσον ἐπιδείξητε τὸ μέτρον. καίτοιγε οὐχὶ τῆς δεσποτείας πολὺ τὸ μέσον μόνον, ἀλλὰ καὶ τῆς δουλείας αὐτῆς πολὺ τὸ διάφορον. ὅπερ καὶ αὐτὸ μετὰ πολλῆς ἀναπλοῖ τῆς σαφηνείας, καὶ δείκνυσιν ἐπὶ τίσι τότε ἐδούλευον, ἐπὶ τίσι δὲ νῦν. καὶ οὔπω λέγει τὴν βλάβην τὴν ἀπὸ τοῦ πράγματος γινομένην, ἀλλὰ τέως τὴν αἰσχύνην.

21 Τίνα γὰρ, φησι, καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;

Τοιαύτη γὰρ ἦν ἡ δουλεία, ὡς καὶ τὴν ἀνάμνησιν" αὐτὴν, νῦν αἰσχύνην φέρειν. εἰ δὲ χ. αὐτῆς
ἡ ἀνάμνησις καταισχύνει, πολλῷ μᾶλλον ἡ πρᾶξις. ὥστε διπλῆ νῦν ἐκερδαίνετε, καὶ ἀπηλλαγότες τῆς αἰσχύνης, καὶ μαθόντες ἐν οἷς ἦτε· ὥσπερ οὖν τότε διπλῆ παρεβλάπτεσθε, καὶ αἰσχύνης ἄξια πράττοντες, καὶ οὐδὲ εἰδότες αἰσχύνεσθαι· ὅπερ τοῦ προτέρου μεῖζον ἦν· ἀλλ' ὅμως ἐμένετε δουλεύοντες. δείξας τοίνυν ἐκ περιουσίας τὴν βλάβην τὴν τότε γινομένην ἀπὸ τῆς αἰσχύνης, καὶ ἐπ' αὐτὸ τὸ πρᾶγμα χωρεῖ. τί οὖν ἦν τὸ πρᾶγμα;

Τὸ γὰρ τέλος ἐκείνων, θάνατος. Ἐπειδὴ γὰρ ἡ αἰσχύνη οὐ σφόδρα δοκεῖ φορτικὸν εἶναι, ἐπὶ τὸ πάνυ φοβερὸν ἔρχεται, τὸν θάνατον λέγω. καίτοιγε ἤρκει καὶ τὸ ἔμπροσθεν εἰρημένον.

ρυθμὸν. ἐννόησον γὰρ ὅση τῆς κακίας ἡ ὑπερβολὴ, ὅπου γε καὶ τῆς τιμωρίας ἀπαλλαγέντες, τῆς αἰσχύνης ἀπαλλαγῆναι οὐκ εἴχετε. ποῖον οὖν προσδοκᾷς μισθὸν, φησὶν, ἀπὸ τῆς πράξεως, ὅταν ἀπὸ τῆς μνήμης μόνης, καὶ ταῦτα τῆς τιμωρίας ἀπηλλαγμένος, ἐγκαλύπτῃ καὶ ἐρυθριᾷς, καίτοιγε ἐν τοσαύτῃ ὢν χάριτι; ἀλλ᾽ οὐ τὰ τοῦ Θεοῦ τοιαῦτα.

22 Νυνὶ δὲ, φησὶν, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμὸν, τὸ δὲ τέλος, ζωὴν αἰώνιον.

Ἐκείνων ὁ καρπὸς, αἰσχύνη καὶ μετὰ τὴν ἀπαλλαγήν· τούτων δὲ ὁ καρπὸς, ἁγιασμός· ὅπου δὲ ἁγιασμὸς, παρρησία πολλή. ἐκείνων τὸ τέλος, θάνατος· τούτων δὲ, ζωὴ αἰώνιος. εἶδες πῶς τὰ μὲν δείκνυσι δεδομένα, τὰ δὲ ἐν ἐλπίσιν ὄντα, καὶ ἀπὸ τῶν δεδομένων κἀκεῖνα πιστοῦται, ἀπὸ τοῦ ἁγιασμοῦ τὴν ζωήν; ἵνα γὰρ μὴ λέγῃς ὅτι πάντα ἐν ἐλπίσι, δείκνυσι καὶ ἤδη σε καρπωσάμενον· πρῶτον μὲν ἀπαλλαγῆναι τῆς πονηρίας καὶ τοιούτων κακῶν, ὧν καὶ ἡ μνήμη αἰσχύνην φέρει· δεύτερον δὲ δουλωθῆναι τῇ δικαιοσύνῃ· τρίτον δὲ ἁγιασμοῦ ἀπολαῦσαι· τέταρτον δὲ καὶ ζωῆς ἐπιτυχεῖν, καὶ ζωῆς οὐ προσκαίρου, ἀλλ᾽ αἰωνίας. ἀλλ᾽ ὅμως καὶ τούτων ὄντων, κἂν ἐξίσης, φησὶ, δουλεύσατε. εἰ γὰρ καὶ ὁ δεσπότης σφόδρα ὑπερέχων, καὶ τῆς δουλείας πολὺ δὲ μέσον καὶ τῶν ἐπάθλων ὑπὲρ ὧν δουλεύετε, οὐδὲν ἀπαιτῶ πλέον τέως. εἶτα, ἐπειδὴ ὅπλων ἐμνημόνευσε, καὶ βασιλέως, ἐπιμένει τῇ μεταφορᾷ λέγων,

23 Τὰ μὲν γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Εἰπὼν ὀψώνια ἁμαρτίας, ἐπὶ τῶν χρηστῶν οὐ τὴν αὐτὴν ἐτήρησε τάξιν. οὐ γὰρ εἶπεν, ὁ μισθὸς τῶν κατορθωμάτων ὑμῶν, ἀλλὰ, τὸ δὲ χάρισμα τοῦ Θεοῦ, δεικνὺς ὅτι οὐκ οἴκοθεν ἀπηλλάγησαν, οὐδὲ ὀφειλὴν ἀπέλαβον, οὐδὲ ἀμοιβὴν καὶ ἀντίδοσιν πόνων, ἀλλὰ χάριτι ταῦτα πάντα ἐγένοντο. ὥστε καὶ ἐντεῦθεν ἡ ὑπεροχὴ, οὐχ ὅτι ἀπήλλαξε μόνον, οὐδὲ ὅτι ἐπὶ τὰ βελτίω μετέθηκεν, ἀλλ᾽ ὅτι μηδὲ κάμνοντας μηδὲ πονέσαντας· καὶ οὐχ ὅτι ἀπήλλαξε μόνον, ἀλλὰ καὶ πολλῷ μείζονα ἔδωκε, καὶ διὰ τοῦ παιδὸς ἔδωκε. ταῦτα δὲ παρενέβαλεν ἅπαντα, ἐπειδὴ καὶ περὶ χάριτος διελέχθη, καὶ τὸν νόμον μέλλει καταβάλλειν λοιπόν. ἵνα γὰρ μὴ ταῦτα ἀμφότερα ῥᾳθυμοτέρους ἐργάσηται, μέσα παρενέθηκε τὰ περὶ τῆς ἀκριβείας τοῦ βίου, πανταχοῦ διεγείρων εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν τὸν ἀκροατήν. ὅταν δὲ ὀψώνια τῆς ἁμαρτίας τὸν θάνατον καλῇ, φοβεῖ πάλιν, καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται. δι᾽ ὧν γὰρ αὐτοὺς ἀναμιμνήσκει τῶν προτέρων, διὰ τούτων καὶ εὐχαρίστους ποιεῖ, καὶ ἀσφαλεστέρους πρὸς τὰ ἐπιόντα ἅπαντα. καταλύσας τοίνυν ἐνταῦθα τὸν ἠθικὸν λόγον, ἐπὶ τὰ δόγματα ἐμβαίνει πάλιν, οὕτω λέγων,

χ. πᾶσα.

χ. ῥᾳθύμους

χ. παρέθηκε

χ. γάρ

χ. δογματικὰ ἐμβαίνει

1 Ἢ ἀγνοεῖτε, ἀδελφοὶ (γινώσκουσι γὰρ νόμον λαλῶ) Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, δείκνυσιν ἐνταῦθα ὅτι οὐ μόνον ἁμαρτία αὐτῶν οὐ κυριεύει, ἀλλ᾽ οὐδὲ νόμος. εἰ δὲ νόμος οὐ κυριεύει, πολλῷ μᾶλλον ἁμαρτία. καὶ καταγλυκαίνων τὸν λόγον, ἀπὸ παραδείγματος ἀνθρωπίνου τοῦτο ποιεῖ φανερόν. καὶ δοκεῖ μὲν ἕν τι λέγειν, δύο δὲ τίθησι τοῦ προκειμένου κατασκευάς. μίαν μὲν, ὅτι ἀποθανόντος ἀνδρὸς, οὐχ ὑπόκειται γυνὴ νόμῳ τῷ τοῦ ἀνδρὸς, οὐδέ ἐστιν ὁ κωλύων ἑτέρῳ γαμεῖσθαι· γυναῖκα ἑτέραν δὲ, ὅτι ἐνταῦθα οὐ μόνον ὁ ἀνὴρ ἐτελεύτησεν, ἀλλὰ καὶ ἡ γυνή· ὥστε διπλῆς ἀπολαύειν τῆς ἐλευθερίας. εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρὸς, ἀπήλλακται τῆς ἐξουσίας, ὅταν καὶ αὐτὴ τετελευτηκυῖα φανῇ, πολλῷ μᾶλλον ἐλευθέρωται. εἰ γὰρ ἓν γινόμενον ἀπαλλάττει τῆς ἐξουσίας αὐτήν, πολλῷ μᾶλλον ἀμφότερα συνελθόντα. μέλλων τοίνυν ἐμβαίνειν εἰς τὴν περὶ τούτων ἀπόδειξιν, μετ᾽ ἐγκωμίου τῶν ἀκροατῶν ἄρχεται λέγων, ἢ ἀγνοεῖτε, ἀδελφοὶ (γινώσκουσι γὰρ νόμον λαλῶ) τουτέστι, σφόδρα ὡμολογημένον λέγω καὶ σαφὲς, καὶ γινώσκουσι ταῦτα μετ᾽ ἀκριβείας ἅπαντα, κεφ. ζ.

χ. σεμνοῦ.

Ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ᾽ ὅσον χρόνον ζῇ. Οὐκ εἶπε, τοῦ ἀνδρὸς, οὐ-

διὰ τῆς γυναικὸς, ἀλλὰ τοῦ ἀνθρώπου, ὅπερ ἐστὶ κοινὸν ἑκατέρου τοῦ ζώου ὄνομα. ὁ γὰρ ἀποθανὼν, φησι, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. οὐκοῦν τοῖς ζῶσιν ὁ νόμος κεῖται· τοῖς δὲ τεθνηκόσιν οὐκέτι διαστάττεται. ὁρᾷς πῶς διπλῆν τὴν ἐλευθερίαν ἐδήλωσεν; ταῦτα ἐν τοῖς προοιμίοις αἰνιξάμενος, ἐπὶ τῆς γυναικὸς ἐν τῇ κατασκευῇ προάγει τὸν λόγον οὕτω λέγων,

2 Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός.

3 Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίζει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ. Συνεχῶς αὐτὸ περιστρέφει, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας ἐπειδὴ σφόδρα θαρρεῖ τῷ ὑπ' αὐτοῦ κατασκευαζομένῳ. καὶ τίθησιν ἐν τάξει μὲν τοῦ ἀνδρὸς, τὸν νόμον· ἐν τάξει δὲ τῆς γυναικὸς, τοὺς πιστεύσαντας ἅπαντας. εἶτα τὸ συμπέρασμα οὐ κατὰ τὴν πρότασιν ἐπάγει. τὸ γὰρ ἀκόλουθον ἦν εἰπεῖν, ὥστε, ἀδελφοί μου, οὐ κυριεύσει ὑμῶν ὁ νόμος, ἀπέθανε γάρ. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἐν μὲν τῇ προτάσει τοῦτο ᾐνίξατο· ἐν δὲ τῇ ἐπαγωγῇ λοιπὸν, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον, τὴν γυναῖκα εἰσάγει τετελευτηκυῖαν, λέγων,

Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ. Ὅταν γὰρ καὶ τοῦτο κἀκεῖνο γενόμενον τὴν αὐτὴν ἐλευθερίαν παρέχῃ, τί κωλύει χαρίσασθαι τῷ νόμῳ, τοῦ πράγματος μηδὲν παραβλαπτομένου; ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ. ποῦ νῦν εἰσιν οἱ τὸν νόμον διαβάλλοντες; ἀκουσάτωσαν πῶς καὶ εἰς ἀνάγκην ἐμπεσὼν οὐ καθαιρεῖ αὐτοῦ τὸ ἀξίωμα, ἀλλὰ μεγάλα περὶ τῆς ἐξουσίας αὐτοῦ διαλέγεται, εἴγε ζῶντος αὐτοῦ, δέδεται ὁ Ἰουδαῖος, καὶ μοιχοὶ χρηματίζουσιν, οἱ παραβαίνοντες καὶ ἀφιέντες αὐτὸν ζῶντα. εἰ δὲ τελευτήσαντα εἴασεν, οὐδὲν θαυμαστόν. καὶ γὰρ ἐπ' ἀνθρώπων οὐ διαβάλλεται ὁ τοῦτο ποιῶν. ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. εἶδες πῶς ἐν τῷ παραδείγματι τὸν νόμον δείκνυσι τετελευτηκότα; ἀλλ' οὐκ ἐν τῇ ἐπαγωγῇ τοῦτο ποιεῖ. ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίζει ἡ γυνή. ὅρα πῶς ἐνδιατρίβει ταῖς κατηγορίαις τῶν τὸν νόμον παραβαινόντων ζῶντα. ἐπεὶ δὲ αὐτὸν ἔπαυσε, λοιπὸν μετὰ ἀσφαλείας ἁπάσης αὐτὸν χαρίζεται τῇ πίστει, οὐδὲν παραβλάπτων ἐντεῦθεν. ζῶντος γάρ, φησι, τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίσει ἡ γυνὴ ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ. ὥστε, ἀδελφοί μου καὶ ὑμεῖς, ἀκόλουθον ἦν εἰπεῖν, τοῦ νόμου τελευτήσαντος, οὐ κρίνεσθε μοιχείας, ἀνδρὶ γενόμενοι ἑτέρῳ. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ πῶς; ἐθανατώθητε τῷ νόμῳ. εἰ νεκροὶ γεγόνατε, οὐκ ἐστὲ ὑπὸ τὸν νόμον. εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρὸς οὐκ ἔστιν ὑπεύθυνος ἡ γυνὴ, πολλῷ μᾶλλον αὐτὴ τετελευτηκυῖα ἀπήλλακται τούτου. εἶδες Παύλου σοφίαν, πῶς τὸν νόμον ἔδειξε τοῦτο βουλόμενον, τὸ ἀποστῆναι αὐτοῦ καὶ γενέσθαι ἀνδρὶ ἑτέρῳ; οὐ γὰρ κωλύει, φησὶν, ἑτέρῳ συνεῖναι ἀνδρὶ, τελευτήσαντος τοῦ προτέρου. πῶς γὰρ, ὅπουγε καὶ ζῶντος ἐπιτρέπει βιβλίον ἀποστασίου λαβοῦσαν; ἀλλὰ καὶ τοῦτο οὐ τίθησιν, ὅπερ ἔγκλημα ἦν μᾶλλον τῆς γυναικός. εἰ γὰρ καὶ συγκεχώρητο, ἀλλ' ὅμως οὐκ ἦν αἰτίας ἀπηλλαγμένον. ὅταν γὰρ ἀπὸ τῶν ἀναγκαίων καὶ δοκίμων ἔχῃ τὰ νικητήρια, οὐ ζητεῖ τὰ περιττά. οὐ γάρ ἐστι γλίσχρος. τὸ τοίνυν θαυμαστὸν τοῦτό ἐστιν, ὅτι αὐτὸς ὁ νόμος ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς ἀποστάντας αὐτοῦ. ὥστε αὐτοῦ βούλημα τὸ γενέσθαι ἡμᾶς τοῦ Χριστοῦ. καὶ γὰρ καὶ αὐτὸς τέθνηκε, καὶ ἡμεῖς τεθνήκαμεν, καὶ διπλῇ τὰ τῆς ἐξουσίας ἀνῄρηται. ὁ δὲ οὐδὲ τούτοις ἀρκεῖται μόνοις, ἀλλὰ καὶ τὸν αἴτιον προστίθησιν. οὐδὲ γὰρ ἁπλῶς τέθεικε τὸν θάνατον, ἀλλὰ πάλιν τὸν ταῦτα ἐργασάμενον τὸν σταυρὸν εἰσήγαγε, καὶ ταύτῃ ποιῶν ἡμᾶς ὑπευθύνους. οὐ γὰρ ἁπλῶς ἀπηλλάγητε, φησιν, ἀλλὰ διὰ τοῦ θανάτου τοῦ δεσποτικοῦ.

4 Ἐθανατώθητε γάρ, φησι, τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ.

Οὐκ ἐντεῦθεν δὲ προτρέπει μόνον, ἀλλὰ καὶ ἐκ τῆς ὑπεροχῆς τοῦ δευτέρου ἀνδρός. διὰ

καὶ

καὶ ἐπήγαγεν, Εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι.

Εἶτα ἵνα μὴ λέγωσι, τί οὖν ἂν μὴ βουλώμεθα δευτέρῳ ὁμιλῆσαι ἀνδρί; ὁ γὰρ νόμος τὰς χηρευσάσας οὐ ποιεῖ μὲν εἶναι μοιχαλίδα δευτέροις ὁμιλησάσας γάμοις, οὐ μὴν ἀναγκάζει ὁμιλῆσαι. ἵν' οὖν μὴ τοῦτο λέγωσι, δείκνυσιν ὅτι καὶ ἐκ τῶν προειρημένων ἤδη ἡμῖν βουληθεῖσαι δεῖ. ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον τίθησι λέγων, Οὐκ ἐστὲ ἑαυτῶν, καὶ, Τιμῆς ἠγοράσθητε, καὶ, Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, καὶ πάλιν, Εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι. τοῦτο γοῦν καὶ ἐνταῦθα ᾐνίξατο εἰπών, διὰ τοῦ σώματος. Εἶτα καὶ προτρέπει ταῖς κρείττοσιν ἐλπίσι λέγων, α. Κορ. ς. ιθ. κ. α. Κορ. ζ. κγ. β. Κορ. ε. ιε.

Ἵνα καρποφορήσωμεν τῷ Θεῷ. Τότε μὲν γὰρ ἐκαρποφορεῖτε τῷ θανάτῳ, φησί, νῦν δὲ τῷ Θεῷ.

5 Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. Εἶδες τοῦ προτέρου ἀνδρὸς τὸ κέρδος; καὶ οὐκ εἶπεν, ὅτε ἦμεν ἐν τῷ νόμῳ, πανταχοῦ φειδόμενος δοῦναι αἱρετικοῖς λαβήν· ἀλλ', ὅτε ἦμεν ἐν τῇ σαρκί, τουτέστι, ταῖς πονηραῖς πράξεσι, τῷ σαρκικῷ βίῳ. οὐ γὰρ τοῦτό φησιν, ὅτι πρὸ τούτου μὲν ἐν σαρκὶ ἦσαν, νυνὶ δὲ ἀσώματοι γενόμενοι περιίεσαν. τοῦτο δὲ εἰπών, οὔτε αἴτιον εἶναί φησιν ἁμαρτημάτων τὸν νόμον, οὔτε ἀπαλλάττει αὐτὸν ἀπεχθείας. κατηγόρου γὰρ τάξιν ἐπεῖχε πικροῦ, ἀπογυμνῶν τὰ ἁμαρτήματα. ὁ γὰρ τῷ μηδὲν πείθεσθαι βουλομένῳ πλείονα ἐπιτάττων, πλεονάζει τὸ παράπτωμα. διὰ τοῦτο οὐκ εἶπε, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ ὑπὸ τοῦ νόμου γινόμενα, ἀλλά, τὰ διὰ τοῦ νόμου, καὶ οὐ προσέθηκε, γινόμενα, ἀλλ' ἁπλῶς διὰ τοῦ νόμου, τουτέστι, τὰ διὰ τοῦ νόμου φαινόμενα, ἢ γνωριζόμενα. Εἶτα ἵνα μηδὲ τῆς σαρκὸς κατηγορήσῃ, οὐκ εἶπεν, ἃ ἐνήργει τὰ μέλη, ἀλλ' ἃ ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν· δεικνὺς ἑτέρωθεν οὖσαν τῆς πονηρίας τὴν ἀρχήν, ἀπὸ τῶν ἐνεργούντων λογισμῶν, οὐκ ἀπὸ τῶν ἐνεργουμένων μελῶν. ἡ μὲν γὰρ ψυχὴ τεχνίτου τάξιν ἐπεῖχε, κιθάρας δὲ τῆς σαρκὸς ἡ φύσις, οὕτως ἠχοῦσα, ὡς ἠνάγκαζεν ὁ τεχνίτης. οὐκοῦν οὐ ταύτῃ τὸ ἀπηχὲς μέλος, ἀλλ' ἐκείνῃ πρὸ ταύτης λογιστέον ἡμῖν.

6 Νυνὶ δέ, φησι, κατηργήθημεν ἀπὸ τοῦ νόμου. Ὁρᾷς πῶς πάλιν ἐνταῦθα τῆς σαρκὸς καὶ τοῦ νόμου φείδεται; οὐ γὰρ εἶπεν, ὅτι κατηργήθη ὁ νόμος, οὐδ' ὅτι κατηργήθη ἡ σάρξ, ἀλλ' ὅτι κατηργήθημεν ἡμεῖς. καὶ πῶς ἡμεῖς κατηργήθημεν; τοῦ κατεχομένου παρὰ τῆς ἁμαρτίας ἀνθρώπου παλαιοῦ ἀποθανόντος καὶ ταφέντος. τοῦτο γὰρ ἐδήλωσεν εἰπών,

Ἀποθανόντες ἐν ᾧ κατειχόμεθα. Ὡσανεὶ ἔλεγεν, ὁ δεσμὸς δι' οὗ κατειχόμεθα, ἐνεκρώθη καὶ διερρύη, ὥστε τὸν κατέχοντα μηδὲν κατέχειν λοιπόν, τουτέστι, τὴν ἁμαρτίαν. ἀλλὰ μὴ ἀναπέσῃς, μηδὲ ῥαθυμότερος γένῃ. κατηργήθης γὰρ ὥστε δουλεύειν πάλιν, ἀλλ' οὐχ ὁμοίως, ἀλλ' Ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. Τί δέ ἐστιν ὅ φησιν; ἀναγκαῖον γὰρ αὐτὸ ἤδη ἐκκαλύψαι, ἵν', ὅταν εἰς τὸ χωρίον ἐμπέσωμεν, μὴ θορυβώμεθα. ὅτε γάρ, φησιν, ἥμαρτεν ὁ Ἀδάμ, καὶ τὸ σῶμα αὐτοῦ γέγονε θνητὸν καὶ παθητόν, καὶ πολλὰ ἐλαττώματα ἐδέξατο φυσικά, καὶ βαρύτερος καὶ δυσήνιος ὁ ἵππος κατέστη. ἀλλ' ὁ Χριστὸς ἐλθών, διὰ τοῦ βαπτίσματος κουφότερον ἡμῖν αὐτὸ ἐποίησεν, τῷ πτερῷ διεγείρων τοῦ πνεύματος. διὰ δὴ τοῦτο, οὐδὲ τὰ αὐτὰ κεῖται τοῖς παλαιοῖς καὶ ἡμῖν σκάμματα. ἐπεὶ οὐδὲ οὕτω τότε εὔκολος ὁ δρόμος ἦν. διὸ καὶ αὐτὸς οὐχὶ φόνων ἀπαιτεῖ καθαροὺς εἶναι μόνον, ὥσπερ τοὺς ἀρχαίους, ἀλλὰ καὶ ὀργῆς, οὐδὲ μοιχείας, ἀλλὰ καὶ ἀκολάστου ὄψεως ἀπηλλάχθαι κελεύει, οὐδὲ ἐπιορκίας, ἀλλὰ καὶ εὐορκίας ἐκτὸς εἶναι· καὶ μετὰ τῶν φίλων καὶ τοὺς ἐχθροὺς ἀγαπᾷν ἐπιτάττει. καὶ ἐν τοῖς ἄλλοις ἅπασι μακροτέρους ἐποίησε τοὺς διαύλους, κἂν μὴ πειθώμεθα, καὶ γέενναν ἠπείλησε, δεικνὺς ὅτι οὐ τῆς φιλοτιμίας τῶν ἀγωνιζομένων

τὰ

τὰ ζητούμενα, ὥσπερ ἡ παρθενία καὶ ἡ ἀκτημοσύνη, ἀλλὰ πάντως αὐτὰ ἀνυσθῆναι δεῖ. καὶ γὰρ τῶν ἀναγκαίων ἐστὶ, καὶ κατεπειγόντων, καὶ ὁ μὴ ποιήσας τὴν ἐσχάτην δίδωσι δίκην. διὰ Ματθ. ε κ. τοῦτο ἔλεγεν, Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δὲ τὴν βασιλείαν οὐχ ὁρῶν, εἰς γέενναν πεσεῖται πάντως. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν, ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν. καὶ ἐνταῦθα πάλιν, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. οὐ γάρ ἐστι γράμμα καταδικάζον, τουτέστιν, ὁ νόμος ὁ παλαιὸς, ἀλλὰ πνεῦμα βοηθοῦν. διὰ τοῦτο ἐπὶ μὲν τῶν παλαιῶν εἴ που τις ἐφάνη παρθενίαν ἀσκῶν, σφόδρα ἐκπληκτικὸν ἦν· νῦν δὲ πανταχοῦ τῆς οἰκουμένης τὸ πρᾶγμα ἔσπαρται. καὶ θανάτου τότε μὲν ὀλίγοι μόλις κατεφρόνουν ἄνδρες· νυνὶ δὲ καὶ ἐν κώμαις καὶ πόλεσι δῆμοι μαρτύρων ἄπειροι, οὐκ ἐξ ἀνδρῶν μόνον, ἀλλὰ καὶ ἐκ γυναικῶν συνεστηκότες. εἶτα ἐπειδὴ ταῦτα εἶπεν, ἀντίθεσιν πάλιν ἀνακύπτουσαν λύει, ἐν τῇ λύσει κατασκευάζων ὃ βούλεται. διόπερ οὐδὲ προηγουμένως εἰσάγει τὴν λύσιν, ἀλλ' ἐξ ἀντιλογίας· ἵνα τῇ ἀνάγκῃ τῆς λύσεως ἀφορμὴν εἰς τὸ εἰπεῖν ἃ βούλεται λάβῃ, καὶ ἀνεπαχθέστερον ποιήσῃ τὴν κατηγορίαν. ἐπειδὴ γὰρ εἶπεν, ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος, ἐπήγαγε,

7 Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο. Καὶ γὰρ περὶ τούτου ἦν εἰρηκὼς, ὅτι τὰ παθήματα τῶν ἁμαρτιῶν, τὰ διὰ τοῦ νόμου, ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν. καὶ, ἁμαρτία ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν. καὶ ὅτι, οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις. καὶ, νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. καὶ, ὁ νόμος ὀργὴν κατεργάζεται. ἐπεὶ οὖν ταῦτα πάντα ἐδόκει διαβολὴν φέρειν τῷ νόμῳ, ὡς διορθούμενος τὴν ἐκ τούτων ὑπόνοιαν, τίθησι καὶ ἀντίθεσιν, καί φησι, τί οὖν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο. πρὸ τῆς κατασκευῆς ἀπηγόρευσε, τὸν ἀκροατὴν οἰκειούμενος, καὶ τὸν σκανδαλιζόμενον θεραπεύων. λοιπὸν γὰρ ἀκούσας, καὶ περὶ τῆς διαθέσεως αὐτοῦ πληροφορηθεὶς, ζητεῖ μετ' αὐτοῦ τὸ ἀποχρῶν εἶναι ἀπόκρισιν, καὶ οὐχ ὑποπτεύει τὸν λέγοντα. διὸ καὶ τὴν ἀντίθεσιν περιλαβὼν ἐκείνην τέθεικεν. οὐδὲ γὰρ εἶπε, τί οὖν εἴποιμι ἄν; ἀλλὰ, τί ἐροῦμεν; ὡς βουλῆς, καὶ γνώμης προκειμένης, καὶ ἐκκλησίας κοινῆς συγκεκροτημένης, καὶ οὐ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τῆς τῶν εἰρημένων ἀκολουθίας καὶ τῆς τῶν πραγμάτων ἀληθείας, τῆς ἀντιθέσεως φανείσης. ὅτι μὲν τὸ γράμμα ἀποκτείνει, οὐδεὶς ἀντερεῖ, φησι, καὶ ὅτι τὸ πνεῦμα ζωοποιεῖ· καὶ τοῦτο δῆλον, καὶ οὐδεὶς ἂν φιλονεικήσειεν. εἰ τοίνυν ταῦτα ὡμολογημένα, τί ἂν εἴποιμεν περὶ τοῦ νόμου; ὅτι ἁμαρτία; μὴ γένοιτο. λῦσον οὖν τὴν ἀπορίαν. εἶδες πῶς μετ' αὐτοῦ τὸν ἀντίδικον ἵστησι, καὶ τὸ τοῦ διδάσκοντος ἀξίωμα λαβὼν, ἐπὶ τὴν λύσιν ἔρχεται; τίς οὖν ἡ λύσις; Ἁμαρτία μὲν οὐκ ἔστι, φησίν. Ἁμαρτίαν δὲ οὐκ ἂν ἔγνων, εἰ μὴ διὰ νόμου. Ὅρα σοφίας ἐπίτασιν. ὅπερ οὐκ ἔστιν ὁ νόμος, ἐξ ἀντιθέσεως τέθεικεν· ἵνα ἀναιρῶν τοῦτο, καὶ ταύτῃ χαριζόμενος τῷ Ἰουδαίῳ, πείσῃ τὸ ἔλαττον αὐτὸν καταδέξασθαι. τί δέ ἐστι τὸ ἔλαττον; ὅτι τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου.

Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, φησὶν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις.

Ὁρᾷς πῶς κατὰ μικρὸν, οὐχὶ μόνον κατήγορον αὐτὸν ὄντα δείκνυσι τῆς ἁμαρτίας, ἀλλὰ καὶ ἠρέμα κατασκευαστικόν; οὐ μὴν παρὰ τὴν αἰτίαν τὴν αὐτοῦ, ἀλλὰ παρὰ τὴν τῶν ἀγνωμόνων Ἰουδαίων ἀποφαίνει τοῦτο συμβαῖνον. καὶ γὰρ καὶ Μανιχαίων ἐσπούδακεν ἐμφράξαι τὰ στόματα τῶν κατηγορούντων τοῦ νόμου. εἰπὼν γὰρ ὅτι τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου, καὶ τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις, ἐπήγαγεν,

8 Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν.

ἐπιθυμίαν. Εἶδες πῶς αὐτὸν ἀπήλλαξεν ἐγκλημάτων; ἀφορμὴν γὰρ λαβοῦσα, φησὶν, ἡ ἁμαρτία, οὐχ ὁ νόμος, ηὔξησε τὴν ἐπιθυμίαν, καὶ τὸ ἐναντίον οὗπερ ἐβούλετο ὁ νόμος, γέγονεν· ὅπερ ἀσθενείας ἦν, οὐ πονηρίας. ὅταν γὰρ τινὸς ἐπιθυμῶμεν, εἶτα κωλυώμεθα, αἴρεται μᾶλλον τῆς ἐπιθυμίας ἡ φλόξ. ἀλλ' οὐ παρὰ τὸν νόμον τοῦτο. αὐτὸς μὲν γὰρ ἐκώλυσεν ὥστε ἀπαγαγεῖν. ἡ δὲ ἁμαρτία, τουτέστιν, ἡ ῥαθυμία ἡ σὴ, καὶ ἡ γνώμη ἡ πονηρὰ ἐπὶ τῶν καλῶν πρὸς τὸ ἐναντίον ἐχρήσατο. ἀλλ' οὐ τοῦ ἰατροῦ τοῦτο ἔγκλημα, ἀλλὰ τοῦ ἀρρωστοῦντος, τῷ φαρμάκῳ κακῶς χρησαμένου. οὐ γὰρ διὰ τοῦτο ἔδωκε τὸν νόμον, ἵνα ἀνάψῃ τὴν ἐπιθυμίαν, ἀλλ' ἵνα σβέσῃ. τοὐναντίον δὲ ἐξέβη. ἀλλ' οὐκ ἐκείνου, ἀλλ' ἡμῶν ἡ κατηγορία. οὐδὲ γὰρ εἴ τις τῷ πυρέττοντι καὶ ψυχροποσίας ἀκαίρως ἐπιθυμοῦντι, μὴ παρασχὼν ἐμφορηθῆναι τῆς ὀλεθρίας ταύτης ἡδονῆς αὐξήσειε τὴν ἐπιθυμίαν, ἐγκαλοῖτο ἂν δικαίως. τοῦ γὰρ ἰατροῦ τὸ κωλῦσαι ἦν μόνον· τὸ δὲ ἀποσχέσθαι, τοῦ κάμνοντος. τί γὰρ εἰ ἡ ἁμαρτία τὴν ἀφορμὴν ἐξ αὐτοῦ ἔλαβε; πολλοὶ γὰρ καὶ τῶν πονηρῶν, ἐξ ἀγαθῶν ἐπιταγμάτων τὴν αὐτῶν πονηρίαν αὔξουσιν. ἐπεὶ καὶ ὁ διάβολος οὕτω τὸν Ἰούδαν ἀπώλεσεν, εἰς φιλοχρηματίαν ἐμβαλὼν, καὶ κλέπτειν τὰ τῶν πενήτων ποιήσας· ἀλλ' οὐ τὸ πιστευθῆναι τὸ γλωσσόκομον αὐτὸν τοῦτο εἰργάσατο, ἀλλ' ἡ τῆς γνώμης πονηρία. καὶ ἡ Εὔα δὲ τὸν Ἀδὰμ ἀπὸ τοῦ ξύλου παρασκευάσασα φαγεῖν, ἐξέβαλεν ἐκ τοῦ παραδείσου· ἀλλ' οὐδὲ ἐκεῖ τὸ δένδρον αἴτιον, εἰ καὶ δι' αὐτοῦ ἡ ἀφορμὴ γέγονεν. εἰ δὲ σφοδρότερον κέχρηται τῷ λόγῳ τῷ περὶ τοῦ νόμου, μὴ θαυμάσῃς. πρὸς γὰρ τὸ κατεπεῖγον ὁ Παῦλος ἵσταται, οὐκ ἀφεὶς μὲν οὐδὲ τοῖς ἄλλως ὑποπτεύουσι τὰ λεγόμενα λαβὴν παρασχεῖν, πολλὴν δὲ σπουδὴν ποιούμενος τὸ πρότερον διορθῶσαι. μὴ τοίνυν γυμνὰ ἐξέταζε τὰ ἐντεῦθεν λεγόμενα, ἀλλὰ καὶ τὴν ὑπόθεσιν παράστησον δι' ἣν ταῦτα εἰπεῖν προάγεται, καὶ τὴν μανίαν λογίζου τὴν Ἰουδαϊκὴν, καὶ τὴν εὔτονον αὐτῶν φιλονεικίαν, ἣν καταλῦσαι ἔσπευδε. δοκεῖ δὲ πολὺς κατὰ τοῦ νόμου πνεῖν, οὐχ ἵνα ἐκεῖνον διαβάλῃ, ἀλλ' ἵνα τούτων ἐκλύσῃ τὸν τόνον. εἰ γὰρ ἔγκλημα τοῦ νόμου, τὸ δι' αὐτοῦ τὴν ἁμαρτίαν ἀφορμὴν λαβεῖν, εὑρεθήσεται καὶ ἐν τῇ καινῇ τοῦτο συμβαῖνον. καὶ γὰρ καὶ ἐν τῇ καινῇ νόμοι μυρίοι, καὶ περὶ πολλῶν μειζόνων πραγμάτων. καὶ τὸ αὐτὸ ἴδοι τις ἂν ἐκβαῖνον κἀκεῖ, οὐκ ἐπὶ τῆς ἐπιθυμίας μόνον, ἀλλ' ἐπὶ πάσης ἁπλῶς κακίας. Εἰ γὰρ μὴ ἦλθον, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. [Ιωαν. 15. κβ.] οὐκοῦν ἐντεῦθεν ἡ ἁμαρτία τὴν ὑπόθεσιν ἔλαβε, καὶ ἡ μείζων κόλασις. καὶ πάλιν περὶ τῆς χάριτος Παῦλος διαλεγόμενός, φησι· Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας; [Εβρ. 10. κθ.] οὐκοῦν καὶ ἡ χείρων τιμωρία τὴν ἀφορμὴν ἐντεῦθεν ἔχει ἀπὸ τῆς μείζονος εὐεργεσίας. καὶ τοὺς Ἕλληνας δέ φησι διὰ τοῦτο ἀναπολογήτους εἶναι, ὅτι καὶ λόγῳ τιμηθέντες, καὶ τῆς κτίσεως τὸ κάλλος καταμαθόντες, καὶ ἀπ' αὐτῆς δυνάμενοι πρὸς τὸν δημιουργὸν χειραγωγηθῆναι, τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ εἰς δέον ἐχρήσαντο. ὁρᾷς πανταχοῦ τοῖς πονηροῖς τὰς ἀφορμὰς τοῦ μειζόνως κολάζεσθαι ἀπὸ τῶν ἀγαθῶν γινομένας πραγμάτων. ἀλλ' οὐ δήπου διὰ τοῦτο κατηγορήσομεν τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ἀλλὰ ταύτας μὲν θαυμασόμεθα μειζόνως καὶ μετὰ ταῦτα· τὴν δὲ γνώμην τῶν εἰς τοὐναντία τοῖς ἀγαθοῖς κεχρημένων διαβαλοῦμεν. τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ νόμου ποιῶμεν. ἀλλὰ τοῦτο μὲν ῥᾴδιον καὶ εὔκολον, τὸ δὲ ἄπορον ἐκεῖνό ἐστι· πῶς, φησὶ, τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν οὐκ ἐπιθυμήσεις; εἰ γὰρ οὐκ ᾔδει τὴν ἐπιθυμίαν πρὶν ἢ λάβῃ τὸν νόμον ὁ ἄνθρωπος, πόθεν ὁ κατακλυσμὸς γέγονε; πόθεν τὰ Σόδομα ἐνεπρήσθη; τί οὖν φησι; τὴν ἐπιτεταμένην. διὰ τοῦτο οὐκ εἶπε, κατειργάσατο ἐν ἐμοὶ ἐπιθυμίαν, ἀλλὰ, πᾶσαν ἐπιθυμίαν, τὸ σφοδρὸν ἐνταῦθα αἰνιττόμενος. καὶ τί τοῦ νόμου τὸ κέρδος, εἰ τὸ πάθος ηὔξησε, φησίν; οὐδὲν, ἀλλὰ καὶ πολὺ τὸ βλάβος. ἀλλ' οὐ τοῦ νόμου τὸ ἔγκλημα, ἀλλὰ τῆς ῥαθυμίας τῶν δεξαμένων. ἡ γὰρ ἁμαρτία αὐτὸ κατειργάσατο, ἀλλὰ διὰ νόμου· ἀλλ' οὐ τοῦτο τοῦ νόμου σπουδάζοντος, ἀλλὰ τὸ ἐναντίον. ἰσχυροτέρα οὖν γέγο-

τεν ἡ ἁμαρτία, καὶ σφόδρα. ἀλλ' οὐδὲ τοῦτο ἔγκλημα τοῦ νόμου πάλιν, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. Χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά.

Τουτέστιν, οὐχ οὕτω γνώριμος. ᾔδεσαν μὲν γὰρ καὶ οἱ πρὸ τοῦ νόμου ὅτι ἡμάρτανον, ἀκριβέστερον δὲ ἔμαθον μετὰ τοῦ νόμου δόσιν. διὰ τοῦτο καὶ μείζονος ἦσαν κατηγορίας ὑπεύθυνοι. οὐδὲ γὰρ ἴσον τὴν φύσιν ἔχειν κατήγορον, καὶ μετὰ τῆς φύσεως καὶ τὸν νόμον φανερῶς διαγορεύοντα ἅπαντα.

9 Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. Πότε, εἰπέ μοι; πρὸ Μωϋσέως. ὅρα πῶς δεῖξαι τὸν νόμον σπουδάζει, καὶ ἀφ' ὧν ἐποίησε, καὶ ἀφ' ὧν οὐκ ἐποίησε, βαρήσαντα τὴν ἀνθρωπίνην φύσιν. ὅτε γὰρ χωρὶς νόμου ἔζων, φησὶν, οὐχ οὕτω κατεδικαζόμην.

Ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, 10 Ἐγὼ δὲ ἀπέθανον.

Τοῦτο δοκεῖ μὲν εἶναι κατηγορία τοῦ νόμου· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἐγκώμιον αὐτοῦ φαίνεται*. οὐ γὰρ μὴ οὖσαν ὑπεστήσατο, ἀλλὰ κρυπτομένην ἔδειξεν. ὅπερ καὶ ἔπαινός ἐστι τοῦ νόμου, εἴγε πρὸ τούτου μὲν ἀνεπαισθήτως ἡμάρτανον· τούτου δὲ ἐλθόντος, εἰ καὶ μηδὲν ἕτερον ἐκαρπώσαντο, τοῦτο γοῦν αὐτὸ ἀκριβῶς ἔμαθον, ὅτι ἡμάρτανον. ὅπερ οὐκ ἂν εἴη μικρὸν εἰς κακίας ἀπαλλαγήν. εἰ δὲ μὴ ἀπηλλάγησαν τῆς κακίας, οὐδὲν τοῦτο πρὸς τὸν πάντα ὑπὲρ τούτου ποιήσαντα νόμον, ἀλλὰ πᾶσα ἡ κατηγορία τῆς ἐκείνων γνώμης ἐστὶ, παρὰ ἐλπίδα πᾶσαν διαφθαρείσης. οὐδὲ γὰρ κατὰ λόγον ἦν τὸ γινόμενον, τὸ διὰ τῶν ὠφελούντων βλάπτεσθαι. διὸ καὶ ἔλεγε, Καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον. Οὐκ εἶπε, γέγονε θάνατος, οὐδὲ, ἔτεκε θάνατον, ἀλλ', εὑρέθη, τὸ καινὸν καὶ παράδοξον τῆς ἀτοπίας οὕτως ἑρμηνεύων, καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπων κεφαλήν. ἂν μὲν γὰρ τὸν σκοπὸν αὐτῆς ἐθέλῃς ἰδεῖν, εἰς ζωὴν ἦγε, φησὶ, καὶ διὰ τοῦτο ἐδόθη. εἰ δὲ θάνατος ἐντεῦθεν ἐξέβη, τῶν λαβόντων τὴν ἐντολὴν τὸ ἔγκλημα, οὐ τῆς ἐπὶ τὴν ζωὴν ἀγούσης. σαφέστερον δὲ αὐτὸ τοῦτο καὶ διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών,

11 Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν. Εἶδες πῶς πανταχοῦ τῆς ἁμαρτίας ἔχεται, τὸν νόμον ἀπαλλάττων κατηγορίας ἁπάσης; διὸ καὶ ἐπήγαγε λέγων,

12 Ὥστε ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή. Ἀλλ', εἰ βούλεσθε, καὶ τῶν παραποιούντων τὰς ἐξηγήσεις ταύτας εἰς μέσον τὸν λόγον ἀγάγωμεν. οὕτω γὰρ σαφέστερα ἔσται τὰ παρ' ἡμῶν λεγόμενα. τινὲς γὰρ ἐν ταῦτα οὐ περὶ τοῦ νόμου Μωϋσέως αὐτόν φασι λέγειν τὰ λεγόμενα, ἀλλ' οἱ μὲν, περὶ τοῦ φυσικοῦ, οἱ δὲ, περὶ τῆς ἐντολῆς τῆς ἐν τῷ παραδείσῳ δοθείσης. καίτοι πανταχοῦ σκοπὸς τῷ Παύλῳ τοῦτον ἀναπαῦσαι τὸν νόμον, πρὸς δὲ ἐκείνους οὐδένα λόγον ἔχει· καὶ μάλα εἰκότως. τοῦτο γὰρ οἱ Ἰουδαῖοι δεδοικότες καὶ φεύγοντες, ἐφιλονείκουν τῇ χάριτι. τὴν δὲ ἐντολὴν τὴν ἐν τῷ παραδείσῳ, οὐδὲ νόμον φαίνεταί ποτε καλέσας, οὔτε αὐτὸς, οὔτε ἄλλος οὐδείς. ἵνα δὲ καὶ ἀπ' αὐτῶν τῶν εἰρημένων τοῦτο σαφέστερον γένηται, ἐπεξέλθωμεν τοῖς ῥήμασι, μικρὸν ἀνωτέρω τὸν λόγον ἀναγαγόντες. περὶ γὰρ πολιτείας ἀκριβοῦς αὐτοῖς διαλεχθεὶς, ἐπήγαγε λέγων, ἢ ἀγνοεῖτε, ἀδελφοὶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; ὥστε ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ. οὐκοῦν εἰ περὶ τοῦ φυσικοῦ ταῦτα εἴρηται, εὑρεθησόμεθα νόμον μὴ ἔχοντες φυσικόν. εἰ δὲ τοῦτο ἀληθὲς, τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. περὶ γὰρ τοῦ ἐν τῷ παραδείσῳ οὐδὲ φιλονεικεῖν ἀναγκαῖον, ἵνα μὴ περιττὸν ἀναδεξώμεθα" πόλεμον, πρὸς τὰ ὡμολογημένα ἀποδυόμενοι. πῶς οὖν φησι, τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου; οὐ τὴν καθόλου λέγων ἄγνοιαν, ἀλλὰ τὴν ἀκριβεστέραν γνῶσιν. εἰ γὰρ περὶ τοῦ φυσικοῦ τοῦτο εἴρηται, πῶς

ἂν

* ὤν.

ἴσ. ἔχει

χ. πάνυ

ἀλλ' ὃ ἐξῆς ἔχει λέγειν· ἐγὼ γάρ, φησιν, ἔζων χωρὶς νόμου ποτέ. οὔτε γὰρ ὁ Ἀδάμ, οὔτε ἄλλος ἄνθρωπος οὐδεὶς οὐδέποτε φαίνεται χωρὶς νόμου ζήσας φυσικοῦ. ὁμοῦ τε γὰρ αὐτὸν ἔπλασεν ὁ Θεός, καὶ ἐκεῖνον ἐνέθηκε τὸν νόμον αὐτῷ, συνοικὴν ἀσφαλῆ παρακαταθέμενος τῇ φύσει πάσῃ. χωρὶς δὲ τούτων οὐδαμοῦ φησὶ τὴν ἐντολὴν τὸν φυσικὸν νόμον καλέσας. τοῦτον δὲ καὶ ἐντολὴν καὶ δικαίαν καὶ ἁγίαν καλεῖ, καὶ νόμον πνευματικόν. ὁ δὲ φυσικὸς οὐκ ἀπὸ πνεύματος ἡμῖν ἐδόθη. καὶ γὰρ καὶ βάρβαροι, καὶ Ἕλληνες, καὶ πάντες ἄνθρωποι τοῦτον τὸν νόμον ἔχουσιν. ὅθεν δῆλον ὅτι περὶ τοῦ Μωϋσαϊκοῦ καὶ ἄνω καὶ κάτω καὶ πανταχοῦ διαλέγεται. διὸ καὶ ἅγιον αὐτὸν καλεῖ λέγων, ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή. εἰ γὰρ καὶ ἀκάθαρτοι γεγόνασιν οἱ Ἰουδαῖοι μετὰ τὸν νόμον, καὶ ἄδικοι, καὶ πλεονέκται, οὐ καταργεῖ τοῦτο τοῦ νόμου τὴν ἀρετήν, ὥσπερ τοῦ Θεοῦ τὴν πίστιν οὐκ ἀναιρεῖ ἡ ἀπιστία αὐτῶν. ὥστε ἐξ ἁπάντων τούτων δῆλον ὅτι περὶ τοῦ Μωϋσαϊκοῦ ταῦτα διαλέγεται νόμου.

13 Τὸ οὖν ἀγαθόν, φησιν, ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο, ἀλλ' ἡ ἁμαρτία, ἵνα φανῇ [ἡ] ἁμαρτία*.

Τουτέστιν, ἵνα δειχθῇ ὅσον κακὸν ἡ ἁμαρτία, ἡ ῥᾴθυμος προαίρεσις, καὶ ἡ ἐπὶ τὸ χεῖρον ὁρμή, καὶ αὐτὴ δὲ ἡ πρᾶξις, καὶ ἡ διεφθαρμένη γνώμη. τοῦτο γὰρ πάντων αἴτιον τῶν κακῶν. αὔξει δὲ αὐτήν, δεικνὺς τῆς τοῦ Χριστοῦ χάριτος τὴν ὑπερβολήν, καὶ διδάσκων οἵου κακοῦ τὸ τῶν ἀνθρώπων ἀπήλλαξε γένος, ὃ καὶ διὰ τῶν ἰατρικῶν φαρμάκων χεῖρον ἐγίνετο, καὶ διὰ τῶν κωλυόντων ηὔξετο. διὸ καὶ ἐπάγει λέγων, Ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. Εἶδες πανταχοῦ πῶς ταῦτα συμπλέκεται καὶ δι' ὧν αὐτῆς κατηγορεῖ, δείκνυσι πάλιν μειζόνως τοῦ νόμου τὴν ἀρετήν. οὐδὲ γὰρ μικρὸν ὠφέλησε δείξας ὅσον ἡ ἁμαρτία κακόν, καὶ πάντα τὸν ἰὸν αὐτῆς ἐκκαλύψας, καὶ εἰς μέσον παραθείς· τοῦτο γὰρ ἐδήλωσεν εἰπών, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς· τουτέστιν, ἵνα φανῇ ἡλίκον κακόν, ἡλίκος ὄλεθρος ἡ ἁμαρτία. τοῦτο δὲ διὰ τῆς ἐντολῆς ἐδείχθη. ἐκ τούτων καὶ τὴν ὑπεροχὴν δείκνυσι τῆς χάριτος πρὸς τὸν νόμον· τὴν ὑπεροχήν, οὐ τὴν μάχην. μὴ γὰρ τοῦτο ἴδῃς ὅτι χείρους ἐγένοντο οἱ δεξάμενοι, ἀλλ' ἐκεῖνο σκόπει ὅτι οὐ μόνον εἰς ἐπίτασιν τὴν κακίαν ἀγαγεῖν οὐκ ἤθελεν ὁ νόμος, ἀλλὰ καὶ τὴν προϋπάρχουσαν ἐκκόψαι ἐσπούδαζεν. εἰ δὲ οὐκ ἴσχυσε, θαύμαζε μὲν ἐκεῖνον ἀπὸ τῆς γνώμης· προσκύνει δὲ μειζόνως τοῦ Χριστοῦ τὴν δύναμιν, ὅτι ποικίλον οὕτω κακὸν καὶ δυσκαταγώνιστον ἀνεῖλέ τε καὶ πρόρριζον ἐκτεμοῦσα ἀνέσπασεν. ἁμαρτίαν δὲ ὅταν ἀκούσῃς, μὴ δύναμίν τινα ἐνυπόστατον νομίσῃς, ἀλλὰ τὴν πρᾶξιν τὴν πονηράν, ἐπιγινομένην τε καὶ ἀπογινομένην ἀεί, καὶ οὔτε πρὸ τοῦ γενέσθαι οὖσαν, καὶ μετὰ τὸ γενέσθαι πάλιν ἀφανιζομένην. διὰ γὰρ τοῦτο καὶ νόμος ἐδόθη. νόμος δὲ οὐδείς ποτε ἐπ' ἀναιρέσει τῶν φυσικῶν δίδοται, ἀλλ' ἐπὶ διορθώσει τῆς κατὰ προαίρεσιν πονηρᾶς πράξεως. καὶ τοῦτο καὶ οἱ ἔξωθεν ἴσασι νομοθέται, καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις. τὰ γὰρ ἐκ ῥᾳθυμίας γινόμενα κακὰ διορθοῦσι μόνον, οὐ τὰ τῇ φύσει συγκεκληρωμένα ἐπαγγέλλονται ἐκκόπτειν· οὐδὲ γὰρ δυνατόν. τὰ γὰρ τῆς φύσεως ἀκίνητα μένει, ὃ πολλάκις πρὸς ὑμᾶς καὶ ἐν ἑτέραις εἴρηκα διαλέξεσι.

ΗΘΙΚΟΝ

Διόπερ τοὺς ἀγῶνας τούτους ἀφέντες, ἠθικὸν πάλιν γυμνάσωμεν λόγον. μᾶλλον δὲ καὶ τοῦτο τὸ μέρος τῶν ἀγώνων ἐκείνων ἐστίν. ἂν γὰρ κακίαν ἐκβάλλωμεν, καὶ ἀρετὴν εἰσαγάγωμεν· καὶ διὰ τούτων σαφῶς διδάξωμεν, ὅτι οὐ φύσει πονηρὰ ἡ κακία, καὶ τοὺς ζητοῦντας πόθεν τὰ κακά, οὐκ ἀπὸ λόγων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν πραγμάτων δυνησόμεθα ῥᾳδίως ἐπιστομίσαι, τῆς μὲν αὐτῆς κοινωνοῦντες αὐτοῖς φύσεως, ἀπηλλαγμένοι δὲ τῆς πονηρίας αὐτῶν. μὴ γὰρ τοῦτο δὴ ἴδωμεν, ὅτι ἐπίπονος ἡ ἀρετή, ἀλλ' ὅτι κατορθωθῆναι δυνατὸν ἐὰν δὲ σπουδάζωμεν, καὶ κοῦφον ἡμῖν ἔσται καὶ εὔκολον. εἰ δὲ τὴν ἡδονήν μοι λέγεις

τῆς

[Margin notes: διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον · ἰατρικῶν · δι' αὐτῆς · ἢ · διδάξομεν · πόνον]

τῆς κακίας, λέγει καὶ τὸ τέλος αὐτῆς. εἰς γὰρ θάνατον αὕτη καταστρέφει· καθάπερ ἡ ἀρετὴ εἰς ζωὴν ἡμᾶς χειραγωγεῖ. μᾶλλον δὲ, εἰ δοκεῖ, καὶ πρὸ τοῦ τέλους ἑκατέραν αὐτῶν ἐξετάσωμεν. ὀψόμεθα γὰρ τὴν μὲν κακίαν πολλὴν ἔχουσαν τὴν ὀδύνην· τὴν δὲ ἀρετὴν τὴν ἡδονήν. τί γὰρ ἀλγεινότερον, εἰπέ μοι, συνειδότος πονηροῦ; τί δὲ ἥδιον ἐλπίδος χρηστῆς; οὐδὲν γὰρ οὕτως, οὐδὲν κόπτειν ἡμᾶς εἴωθεν καὶ πιέζειν, ὡς προσδοκία πονηρά· οὐδὲν οὕτως ἀνέχει, καὶ μακρὰ πέτεσθαι ποιεῖ, ὡς συνειδὸς ἀγαθόν. καὶ τοῦτο ἀπὸ τῶν παρ' ἡμῖν γινομένων ἔστι καταμαθεῖν. τῶν γὰρ διὰ τοῦ στενωποῦ χωρούντων ἐπαιτῶν, καὶ μηδὲν ἑαυτῶν συνειδότων πονηρόν, οἱ τὸ δεσμωτήριον οἰκοῦντες καὶ καταδίκην ἀναμένοντες, κἂν μυρίας τρυφῆς ἀπολαύσωσιν, ἀλγεινότερον ζῶσιν. ἡ γὰρ προσδοκία τῶν δεινῶν οὐκ ἀφίησι τῶν ἐν χερσὶν ἡδέων αἰσθάνεσθαι. καὶ τί λέγω τοὺς δεσμώτας; τῶν γὰρ ἔξω διατριβόντων καὶ πλουτούντων πονηρὰ συνειδότων ἑαυτοῖς, ἀμείνους εἰσὶ πολλῷ διακείμενοι οἱ κάμνοντες χειροτέχναι, καὶ δι' ὅλης ἡμέρας πόνοις συζῶντες. καὶ τοὺς μονομάχους δὲ διὰ τοῦτο ταλανίζομεν (καίτοιγε ἐν καπηλείοις ὁρῶντες μεθύοντας, τρυφῶντας, γαστριζομένους) καὶ πάντων ἀθλιωτέρους εἶναί φαμεν, ὅτι πολλῷ μείζων τῆς ἡδονῆς ἐκείνης ἡ τῆς προσδοκωμένης τελευτῆς συμφορά. εἰ δὲ ἐκείνοις ἡδύς ἐστιν ὁ βίος εἶναι δοκεῖ· ἀναμνήσθητε τοῦ λόγου, οὗ συνεχῶς λέγω πρὸς ὑμᾶς, ὅτι οὐδὲν θαυμαστὸν μὴ φυγεῖν κακίας τρυφὴν καὶ λύπην ἐν κακίᾳ ζῶντα. ἰδοὺ γὰρ πρᾶγμα οὕτως ἐπίχαρι, ἐπέραστον τοῖς μετιοῦσιν εἶναι δοκεῖ. ἀλλ' οὐ διὰ τοῦτο αὐτοὺς μακαρίζομεν, ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ταλανίζομεν· ὅτι οὐδὲ οἷοι τῶν κακῶν εἰσιν, ἴσασι. τί δὲ ἂν εἴποις περὶ τῶν μοιχῶν, οἳ διὰ μικρὰν ἡδονήν, καὶ δουλείαν ἀπρεπῆ, καὶ χρημάτων δαπάνην, καὶ φόβον διηνεκῆ, καὶ βίον ἁπλῶς τὸν τοῦ Κάϊν ὑπομένουσι, μᾶλλον δὲ καὶ ἐκείνου πολλῷ χαλεπώτερον, καὶ τὰ παρόντα δεδοικότες, καὶ τὰ μέλλοντα τρέμοντες, καὶ φίλους καὶ ἐχθροὺς ὑποπτεύοντες, καὶ τοὺς εἰδότας, καὶ τοὺς μηδὲν εἰδότας; καὶ οὐδὲ, ἡνίκα ἂν καθεύδωσι, ταύτης ἀπαλλάττονται τῆς ἀγωνίας, τοῦ πονηροῦ συνειδότος ὀνείρατα πολλῶν γέμοντα φόβων ἀναπλάττοντος αὐτοῖς, καὶ ἐκδειματοῦντος οὕτως. ἀλλ' οὐχὶ ὁ σώφρων τοιοῦτος, ἀλλ' ἐν ἀνέσει καὶ ἐλευθερίᾳ πολλῇ τὸν παρόντα διάγει βίον. ἀντίστησον τοίνυν τῇ μικρᾷ ἡδονῇ τὰ πολλὰ κύματα τῶν φόβων τούτων, καὶ τῷ βραχεῖ πόνῳ τῆς ἐγκρατείας τὴν γαλήνην τῆς διηνεκοῦς ζωῆς· καὶ ὄψει ταύτην ἐκείνης οὖσαν ἡδίω. ὁ δὲ ἁρπάζειν βουλόμενος, εἰπέ μοι, καὶ τοῖς ἀλλοτρίοις ἐπιτίθεσθαι χρήμασιν, οὐχὶ μυρίους ὑπομένει πόνους, περιτρέχων, κολακεύων δούλους, ἐλευθέρους, θυρωρούς, φοβῶν, ἀπειλῶν, ἀναισχυντῶν, ἀγρυπνῶν, τρέμων, ἀγωνιῶν, ὑφορώμενος ἅπαντα; ἀλλ' οὐχ ὁ χρημάτων καταφρονῶν τοιοῦτος, ἀλλὰ καὶ οὗτος πάλιν πολλῆς ἀπολαύει τῆς ἡδονῆς, ἐν ἀδείᾳ ζῶν καὶ μετ' ἀσφαλείας ἁπάσης. καὶ τὰ ἄλλα δὲ εἴ τις ἐπέλθοι τῆς κακίας μέρη, πολὺν τὸν θόρυβον ὄψεται, πολλοὺς τοὺς σκοπέλους. καὶ τὸ δὴ μεῖζον, ὅτι ἐπὶ μὲν τῆς ἀρετῆς, πρότερα μὲν τὰ ἐπίπονα, μετὰ δὲ ταῦτα τὰ ἡδέα· ὥστε καὶ ταύτῃ τὸν πόνον κουφίζεσθαι. ἐπὶ δὲ τῆς κακίας, ἀντιστρόφως· μετὰ τὴν ἡδονὴν αἱ ὀδύναι καὶ αἱ κολάσεις. ὥστε καὶ ἐντεῦθεν τὴν ἡδονὴν ἀφανίζεσθαι. ὥσπερ γὰρ ὁ στεφάνους ἀναμένων, οὐδενὸς αἰσθάνεται τῶν παρόντων φορτικῶν· οὕτως ὁ μετὰ τὴν ἡδονὴν κολάσεις προσδοκῶν, οὐ δύναται καρποῦσθαι καθαρὰν εὐφροσύνην, τοῦ φόβου πάντα διαταράττοντος. μᾶλλον δὲ, εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ πρὸ τῆς κολάσεως τῆς ἐπὶ τούτοις κειμένης πολλὴν καὶ ἐν αὐτῷ τῷ τολμᾶσθαι τὴν κακίαν ὀδύνην εὕροι τις ἂν γινομένην. καὶ εἰ δοκεῖ, τοῦτο ἐπὶ τῶν τὰ ἀλλότρια ἁρπαζόντων ἐξετάσωμεν, ἢ καὶ τῶν ὁπωσοῦν χρήματα περιβαλλομένων, καὶ φόβους ἀποστήσαντες, καὶ κινδύνους, καὶ τρόμον, καὶ ἀγωνίαν, καὶ φροντίδα, καὶ πάντα ταῦτα, ὑποθώμεθα εἶναί τινα ἀπραγμόνως πλουτοῦντα, καὶ περὶ τῆς φυλακῆς τῶν ὄντων θαρροῦντα (ὅπερ ἀμήχανον) πλὴν ἀλλ' ὅμως κείσθω ὃ λέγω. ποίαν οὖν οὗτος καρπώσεται ἡδο-

νήν,

γ. ἑκατέρου
γ. ποταπόν
ἴσ. ἑαυτοῖς
γ. τρυφῆς
γ. ποιεῖν
γ. οἷοι
γ. ἅπαντα
γ. τοῖς
ἴσ. πόνοι

γ. ἐπιθυμίας

νῶ, ὅτι πολλὰ περιεβάλλετε; ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο οὐκ ἀφίησιν αὐτοὺς εὐφραίνεσθαι. ἕως γὰρ ἂν τὴν ἑτέρων πλειόνων ἐπιθυμῇς, ἐπιτείνεται τὰ τῆς βασάνου. ἡ γὰρ ἐπιθυμία, ὅταν μὲν ᾖ, τότε παρέχει τὴν ἡδονήν· ἐπεὶ καὶ διψῶντας τότε ἡδίους ποιούμεθα ἑαυτούς, ὅταν ὅσον βουλόμεθα πίνωμεν· ἕως δ' ἂν διψῶμεν, κἂν πάσας ἐξαντλήσωμεν τὰς πηγάς, μείζων ἡμῖν ἡ βάσανος γίνεται, κἂν μυρίους ἐκπίωμεν ποταμούς, χαλεπώτερα τὰ τῆς κολάσεως. καὶ σὺ τοίνυν ἂν τὰ τοῦ κόσμου λάβοις, ἔτι δὲ ἐπιθυμῇς, μείζονα εἰργάσω τὴν κόλασιν, ὅσῳ πλειόνων ἀπήλαυσας. μὴ τοίνυν ἀπὸ τοῦ πολλὰ περιβάλλεσθαι νόμιζέ σοι περιγίνεσθαί τινα ἡδονήν, ἀλλ' ἀπὸ τοῦ μὴ θέλειν πλουτεῖν. ἐὰν δὲ ἐπιθυμῇς πλουτεῖν, οὐδέποτε παύσῃ βασανιζόμενος. ἔρως γάρ ἐστιν οὗτος ἀτέλεστος· καὶ ὅσῳπερ ἂν πλείονα προέλθῃς ὁδόν, τοσούτῳ μᾶλλον τοῦ τέλους ἀφέστηκας. ἆρ' οὖν οὐκ αἴνιγμα τοῦτο, καὶ παραπληξία, καὶ ἐσχάτη μανία; ἀποστῶμεν τοίνυν ἐκ πρώτης τῶν κακῶν· μᾶλλον δὲ μηδὲ ὅλως ἁψώμεθα τῆς τοιαύτης ἐπιθυμίας. κἂν ἁψώμεθα δέ, ἐκ προοιμίων ἀποπηδήσωμεν· ὅπερ ὁ παροιμιαστὴς παραινεῖ περὶ πόρνης γυναικὸς λέγων, Ἀποπήδησον, μὴ ἐγχρονίσῃς, καὶ μὴ ἔλθῃς ἐπὶ θύρας οἴκων αὐτῆς. Παροιμ. ε. η. τοῦτό σοι καὶ ἐγὼ περὶ τῆς φιλοχρηματίας λέγω. ἂν γὰρ ἐμπέσῃς κατὰ μικρὸν εἰς τὸ πέλαγος εἴσω τῆς μανίας ἐκείνης, δυσκόλως ἐπιμεληθῆναι δυνήσῃ. καὶ καθάπερ ἐν τοῖς ἴλιγξι κἂν μυριάκις φιλονεικῇς, οὐ περιέσῃ ῥᾳδίως· οὕτω καὶ πολλῷ χαλεπώτερον εἰς τὸ βάθος τῆς ἐπιθυμίας ταύτης ἐμπεσών, ἀπολεῖς σεαυτὸν μετὰ τῶν ὄντων ἁπάντων. διό, παρακαλῶ, τὴν ἀρχὴν φυλαττώμεθα, καὶ τὰ μικρὰ φύγωμεν κακά· τὰ γὰρ μεγάλα ἀπὸ τούτων τίκτεται. ὁ γὰρ καθ' ἕκαστον ἁμάρτημα μαθὼν λέγειν οὐδὲν παρὰ τοῦτο, κατὰ μικρὸν πάντα ἀπολεῖ. τοῦτο γοῦν τὴν κακίαν εἰσήγαγε, τοῦτο τὰς θύρας ἀνέῳξε τῷ λῃστῇ, τοῦτο τῆς πόλεως τὰ τείχη κατέβαλε, τὸ καθ' ἕκαστον λέγειν οὐδὲν παρὰ τοῦτο. οὕτω καὶ ἐπὶ τῶν σωμάτων τὰ μέγιστα αὔξεται νοσήματα, ὅταν τὰ μικρὰ καταφρονῆται. ὁ Ἡσαῦ εἰ μὴ προέδωκε τὰ πρωτοτόκια, οὐκ ἂν ἀνάξιος ἐγένετο τῆς εὐλογίας· εἰ μὴ τῆς εὐλογίας ἀνάξιον ἑαυτὸν κατέστησεν, οὐκ ἂν εἰς ἀδελφοκτονίαν προελθεῖν ἐπεθύμησεν. ὁ Κάϊν εἰ μὴ τῶν πρωτείων ἠράσθη, ἀλλὰ τῷ Θεῷ παρεχώρησε τούτων, οὐκ ἂν ἔσχε τὰ δευτερεῖα. τὰ δεύτερα ἔχων πάλιν εἰ τῆς παραινέσεως ἤκουσεν, οὐκ ἂν ὤδινε τὸν φόνον. πάλιν τὸν φόνον ἐργασάμενος εἰ πρὸς μετάνοιαν ἦλθε, τοῦ Θεοῦ καλοῦντος αὐτόν, καὶ μὴ ἀναισχύντως ἀπεκρίνατο, οὐκ ἂν τὰ μετὰ ταῦτα ὑπέμεινε δεινά. εἰ δὲ οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ῥᾳθυμίας ταύτης κατὰ μικρὸν εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας ἦλθον, ἐννόησον τί πεισόμεθα ἡμεῖς οἱ πρὸς μείζονα καλούμενοι σκάμματα, ἂν μὴ μετὰ ἀκριβείας ἑαυτοῖς προσέχωμεν, καὶ τοὺς σπινθῆρας τῶν κακῶν, πρὶν ἢ τὴν πυρὰν ἀναφθῆναι, προλαβόντες σβεννύωμεν. οἷον τί λέγω· ἐπιορκεῖς συνεχῶς; μὴ πρὸς τοῦτο στῇς μόνον, ἀλλὰ καὶ τὸ ὀμνύναι ἄνελε, καὶ οὐ δεήσῃ πόνου λοιπόν. πολὺ γὰρ δυσκολώτερον, ὀμνύντα μὴ ἐπιορκεῖν, ἢ μηδὲ ὀμνύναι ὅλως. ὑβριστὴς εἶ καὶ λοίδορος, καὶ πλήκτης; γράψον σεαυτῷ νόμον μὴ ὀργίζεσθαι, μηδὲ κράζειν ὅλως, καὶ συναναιρεῖται τῇ ῥίζῃ καὶ ὁ καρπός. λάγνος εἶ καὶ ἄσωτος; τίθει σεαυτῷ πάλιν ὅρον, ὥστε μὴ ὁρᾶν εἰς γυναῖκα, μήτε δὲ εἰς τὸ θέατρον ἀναβαίνειν, μηδὲ ἐν ἀγορᾷ τὰ ἀλλότρια περιεργάζεσθαι κάλλη. πολὺ γὰρ εὐκολώτερον τὴν ἀρχὴν μηδὲ ἰδεῖν εὔμορφον γυναῖκα, ἢ θεασάμενον καὶ δεξάμενον τὴν ἐπιθυμίαν, ἐκβάλλειν τὸν ἐκ ταύτης θόρυβον. κουφότεροι γὰρ ἐν προοιμίοις οἱ ἀγῶνες· μᾶλλον δὲ οὐδὲ ἀγῶνος ἡμῖν δεῖ, ἂν μὴ τὰς θύρας ἀνοίξωμεν τῷ πολεμίῳ, μηδὲ τὰ σπέρματα τῆς κακίας δεξώμεθα. διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν ἀκολάστως ὁρῶντα εἰς γυναῖκα ἐκόλασεν, ἵνα πλείονος ἡμᾶς ἀπαλλάξῃ πόνου, πρὶν ἢ γενέσθαι τὸν ἀνταγωνιστὴν ἰσχυρὸν κελεύων ἐκβάλλειν τῆς οἰκίας, ὅτε καὶ εὐκόλως ἐκβάλλεσθαι δύναται. ποία γὰρ ἀνάγκη πράγματα ἔχειν περιττά, καὶ συμπλέκεσθαι τοῖς ἀνταγωνισταῖς, παρὸν χωρὶς συμπλοκῆς στῆσαι τὸ τρόπαιον, καὶ πρὸ τῆς πάλης ἁρπάσαι

γ. γὰρ

Ματθ. ε. κη.

γ. διαβόλῳ

γ. ἀρρωστ.

γ. ἐκ προοιμίων

τὸ βραβεῖον; οὐ γὰρ τοσοῦτος πόνος μὴ ὁρᾶν γυναῖκας ὡραίας, ὅσος πόνος ὁρῶντα κατέχειν. μᾶλλον δὲ οὐδὲ πόνος τὸ πρότερον ἂν εἴη, ἀλλὰ πολὺς ἱδρὼς καὶ μόχθος μετὰ τὸ ἰδεῖν ἐγίνεται. ὅταν οὖν καὶ ὁ πόνος * ἐλάττων ᾖ, μᾶλλον δὲ μηδ' ὅλως εἴη μόχθος τις, μηδὲ πόνος, καὶ τὸ κέρδος μεῖζον, τί σπουδάζομεν εἰς τὸ πέλαγος ἐμπεσεῖν τῶν μυρίων κακῶν; οὐδὲ γὰρ εὐκολώτερον μόνον "τὸ μὴ ὁρᾶν γυναῖκα, ἀλλὰ καὶ καθαρώτερον περιέσαι τῆς τοιαύτης ἐπιθυμίας, ὥσπερ οὖν ὁ ὁρῶν καὶ μετὰ πόνου πλείονος καὶ μετὰ κηλῖδός τινος ἀπαλλάττεται, ἐὰν ἄρα ποτὲ ἀπαλλαγῇ. ὁ μὲν γὰρ μὴ "ἰδὼν τὴν εὔμορφον ὄψιν, τῆς ἐπιθυμίας τῆς ἐντεῦθεν ἐστὶ καθαρός· ὁ δὲ ἐπιθυμήσας ἰδεῖν, πρότερον καταβαλὼν τὸν λογισμὸν, καὶ μολύνας αὐτὸν μυριάκις, τότε ἐκβάλλει τὴν ἀπὸ τῆς ἐπιθυμίας κηλῖδα, ἐὰν ἄρα ἐκβάλῃ. διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς, ἵνα μὴ ταῦτα πάσχωμεν, οὐ φόνον κωλύει μόνον, ἀλλὰ καὶ "ὀργήν· οὐ μοιχείαν, ἀλλὰ καὶ ὄψιν ἀκόλαστον· οὐκ ἐπιορκίαν, ἀλλὰ καὶ τὸ ὀμνύναι καθόλου. καὶ οὐδὲ ἐν τούτοις ἵσταται τοῦ μέτρου τῆς ἀρετῆς, ἀλλ' ἐπειδὴ ταῦτα ἐνομοθέτησε, καὶ ἐπὶ τὸ μεῖζον πρόεισιν. ἀποστήσας γὰρ τὸν φόνον, καὶ κελεύσας καθαρὸν εἶναι ὀργῆς, κελεύει καὶ πρὸς τὸ πάσχειν κακῶς ἕτοιμον εἶναι, καὶ μὴ τοσοῦτον παρεσκευάσθαι παθεῖν, ὅσον ὁ ἐπιβουλεύων βούλεται, ἀλλ' ὑπερβαίνειν περαιτέρω, καὶ νικᾶν αὐτοῦ τῆς μανίας τὴν

Ματθ. ε. λθ.

ὑπερβολὴν τῇ τῆς οἰκείας φιλοσοφίας περιουσίᾳ. οὐδὲ γὰρ εἶπεν, ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, φέρε γενναίως, καὶ ἡσύχασον, ἀλλὰ προσέθηκε "τούτῳ καὶ τὸ τὴν ἑτέραν αὐτῷ παρασχεῖν. στρέψον γὰρ αὐτῷ, φησὶ, καὶ τὴν ἄλλην. τοῦτο γὰρ ἡ λαμπρὰ νίκη, τὸ πλέον αὐτῷ παρασχεῖν ὧν βούλεται, καὶ τοὺς ὅρους τῆς πονηρᾶς ἐπιθυμίας αὐτοῦ τῇ δαψιλείᾳ τῆς οἰκείας ὑπερβῆναι μακροθυμίας. οὕτω "γὰρ καὶ τὴν ἐκείνου καταλύσεις μανίαν, καὶ τοῦ προτέρου λήψῃ μισθὸν ἐκ τοῦ δευτέρου, καὶ τὴν ἐπ' ἐκεῖνον καταλύσεις ὀργήν. ὁρᾷς ὅτι πανταχοῦ τοῦ μὴ κακῶς πάσχειν ἡμεῖς ἐσμεν κύριοι, οὐχ οἱ ποιοῦντες ἡμᾶς; μᾶλλον δὲ οὐ τοῦ μὴ πάσχειν κακῶς μόνον, ἀλλὰ καὶ τοῦ "μὴ παθεῖν αὐτοὶ τὴν ἐξουσίαν ἔχομεν. ὃ δὴ μάλιστά ἐστι θαυμαστὸν, ὅτι οὐ μόνον οὐκ ἀδικούμεθα, ἐὰν νήφωμεν, ἀλλὰ καὶ εὐεργετούμεθα καὶ δι' αὐτῶν ὧν ἀδικούμεθα [ὑ] παρ' ἑτέρων. σκόπει δέ· ὕβρισεν ὁ δεῖνα; σὺ κύριος εἶ ποιῆσαι τὴν ὕβριν ταύτην ἐγκώμιον σόν. ἂν μὲν γὰρ ἀνθυβρίσῃς, ἐπέτεινες τὴν αἰσχύνην· ἐὰν δὲ εὐλογήσῃς τὸν ὑβρικότα, πάντας ὄψει τοὺς παρόντας στεφανοῦντάς σε καὶ ἀνακηρύττοντας. εἶδες πῶς δι' ὧν ἀδικούμεθα, εὐεργετούμεθα ἂν θέλωμεν; τοῦτο καὶ ἐπὶ χρημάτων, τοῦτο καὶ ἐπὶ πληγῶν, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ἐστὶν ἰδεῖν συμβαῖνον. ἂν γὰρ τοῖς ἐναντίοις αὐτοὺς ἀμειβώμεθα, καὶ ὑπὲρ ὧν κακῶς ἐπάθομεν, καὶ ὑπὲρ ὧν εὐεργετοῦμεν, διπλοῦν ἑαυτοῖς ὑφαίνομεν στέφανον. ὅταν τοίνυν ἐλθών τις εἴποι, ὅτι ὁ δεῖνά σε ὕβρισε, καὶ κακῶς σε πρὸς ἅπαντας λέγων διατελεῖ, ἐπαίνεσον πρὸς τοὺς λέγοντας τὸν "ὑβρικότα. οὕτω γὰρ, κἂν ἀμύνασθαι βουληθῇς, δυνήσῃ δίκην λαβεῖν. οἱ γὰρ ἀκούοντες κἂν σφόδρα ἀνόητοι ὦσι, σὲ μὲν ἐπαινέσονται, μισήσουσι δὲ ἐκεῖνον ὡς θηρίου παντὸς "χαλεπώτερον· ὅτι ὁ μὲν οὐδὲν ἠδικημένος ἐλύπησε· σὺ δὲ καὶ κακῶς παθὼν, τοῖς ἐναντίοις ἠμείψω. καὶ τὰ εἰρημένα δὲ πάντα οὕτω δεῖξαι δυνήσῃ ἕωλα ὄντα. ὁ μὲν γὰρ δακνόμενος τῷ (συνειδέναι τοῖς εἰρημένοις ἀπόδειξιν παρέχει) τὸ ἀλγεῖν· ὁ δὲ "καταγελάσας, αὐτῷ τούτῳ παρὰ τοῖς παροῦσι πάσης ἑαυτὸν ἀπήλλαξεν ὑποψίας. σκόπει τοίνυν πόσα ἐκ τούτου συλλέγεις καλά. πρότερον ἀπαλλάττεις σεαυτὸν θορύβου καὶ ταραχῆς. εἶτα δὲ (μᾶλλον τοῦτο κείσθω πρῶτον) κἂν ἁμαρτήματα ἔχῃς, καὶ ταῦτα ἀποδύσῃ, καθάπερ ὁ τελώνης τὴν τοῦ Φαρισαίου κατηγορίαν πράως ἐνεγκών. πρὸς τούτοις, φιλόσοφον κατασκευάζεις σου τὴν ψυχὴν τῇ τοιαύτῃ μελέτῃ, καὶ μυρίων παρὰ πάντων ἀπολαύσεις ἐπαίνων, καὶ τὴν ἐπὶ τοῖς εἰρημένοις ὑποψίαν ἀποδύσῃ πᾶσαν. εἰ δὲ καὶ ἐκεῖνον ἀμύνασθαι ἐπιθυμεῖς, καὶ τοῦτο ἐκ περιουσίας ἕψεται, καὶ τοῦ Θεοῦ κολάζοντος αὐτὸν ἀνθ' ὧν εἴρηκε, καὶ

πρὸ

* τοῖς ἀπα[illegible]σοις
ἴσ. ὁ μὴ ὁρῶν
χ. ὁρῶν
χ. ὀμνύναι
χ. τοῦτο
χ. γὰρ
ἴσ. παθεῖν [illegible]
χ. εἰρηκότα
χ. πονηρότερον
χ. -σας αὐτῷ τούτῳ

περὶ τῆς κολάσεως ἐκείνης, τῆς ἀπὸ φιλοσοφίας ἀντὶ χρείας αὐτοῦ γενομένης πληγῆς. οὐδὲν γὰρ οὕτω τοὺς ὑβρίζοντας ἡμᾶς δάκνειν εἴωθεν, ὡς τὸ τοὺς ὑβριζομένους ἡμᾶς τῆς ὕβρεως καταγελᾶν. ὥσπερ οὖν ἐκ τοῦ φιλοσοφεῖν τοσαῦτα ἔσται καλά, οὕτως ἐκ τοῦ μικροψύχους εἶναι τὰ ἐναντία συμβήσεται ἅπαντα. καὶ γὰρ ἑαυτοὺς καταισχύνομεν, καὶ ὑπεύθυνοι παρὰ τοῖς προσοῦσι δοκοῦμεν εἶναι τοῖς λεγομένοις, καὶ τὴν ψυχὴν θορύβου πληροῦμεν· καὶ τὸν ἐχθρὸν εὐφραίνομεν, καὶ τὸν Θεὸν παροξύνομεν, καὶ τοῖς ἁμαρτήμασι προστίθεμεν τοῖς ἡμετέροις. ταῦτα οὖν ἅπαντα ἐννοήσαντες, φύγωμεν τῆς μικροψυχίας τὸ βάραθρον, καὶ πρὸς τὸν λιμένα τῆς μακροθυμίας καταδράμωμεν, ἵνα καὶ ἐνταῦθα εὕρωμεν ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν, καθὼς καὶ ὁ Χριστὸς ἀπεφήνατο, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. προστίθεμεν τοῖς ἡμετέροις.

Λογ. ιγ. 14 ΟΙΔΑΜΕΝ ΓΑΡ ΟΤΙ Ο ΝΟΜΟΣ ΠΝΕΥΜΑΤΙΚΟΣ ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

Ἐπειδὴ εἶπεν, ὅτι μεγάλα γέγονε κακά, καὶ ἡ ἁμαρτία δυναμωτέρα κατέστη τῆς ἐντολῆς ἐπιλαβομένη, καὶ τοὐναντίον ὅπερ ἐσπούδαζεν ὁ νόμος ἐξέβη, καὶ εἰς πολλὴν τὸν ἀκροατὴν ἐνέβαλεν ἀπορίαν, λέγει καὶ τὸν λογισμὸν λοιπὸν καθ' ὃν ταῦτα γέγονε, πρότερον ἀπαλλάξας τὸν νόμον τῆς πονηρᾶς ὑποψίας. ἵνα γὰρ μὴ ἀκούων ὅτι διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀφορμὴν ἔλαβε, καὶ ὅτι ἐλθούσης αὐτῆς ἡ ἁμαρτία ἀνέζησε, καὶ ὅτι δι' αὐτῆς ἐξηπάτησε καὶ ἀπέκτεινεν, ἵν' οὖν μὴ τὸν νόμον τῶν κακῶν τούτων αἴτιον νομίσῃ τις εἶναι, πρότερον τὴν ὑπὲρ αὐτοῦ τίθησιν ἀπολογίαν μετὰ πολλῆς τῆς περιουσίας, οὐ μόνον κατηγορίας αὐτὸν ἀπαλλάττων, ἀλλὰ καὶ ἐγκώμιον αὐτοῦ πλέκων μέγιστον. καὶ τοῦτο οὐχ ὡς αὐτὸς χαριζόμενος τίθησιν, ἀλλ' ὡς κοινὴν ἐκφέρων ψῆφον. οἴδαμεν γάρ, φησιν, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ὡσανεὶ ἔλεγεν, ὡμολογημένον τοῦτο καὶ δῆλόν ἐστιν, ὅτι πνευματικός ἐστι, τοσοῦτον ἀπέχει ἁμαρτίας αἴτιος εἶναι, καὶ τῶν γεγενημένων κακῶν ὑπεύθυνος. καὶ ὅρα πῶς οὐ κατηγορίας αὐτὸν ἀπαλλάττει μόνον, ἀλλὰ καὶ ἐπαινεῖ μεθ' ὑπερβολῆς ἁπάσης. πνευματικὸν γὰρ εἰπών, διδάσκαλον αὐτὸν ἀρετῆς δείκνυσιν ὄντα, καὶ κακίας πολέμιον. τοῦτο γάρ ἐστιν εἶναι πνευματικόν, τὸ πάντων ἁμαρτημάτων ἀπάγειν· ὅπερ οὖν καὶ ὁ νόμος ἐποίει, φοβῶν, νουθετῶν, κολάζων, διορθούμενος, τὰ περὶ ἀρετῆς συμβουλεύων ἅπαντα. πόθεν οὖν, φησιν, ἡ ἁμαρτία ἐγεγόνει, εἰ οὕτω θαυμαστὸς ὁ διδάσκαλος; παρὰ τὴν τῶν μαθητῶν ῥᾳθυμίαν. διὸ ἐπήγαγε λέγων, ἐγὼ δὲ σαρκικός εἰμι, τὸν ἐν τῷ νόμῳ καὶ πρὸ τοῦ νόμου πολιτευόμενον ἄνθρωπον ὑπογράφων. πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. μετὰ γὰρ τοῦ θανάτου, φησί, καὶ ὁ τῶν παθῶν ἐπεισῆλθεν ὄχλος. ὅτε γὰρ θνητὸν ἐγένετο τὸ σῶμα, ἐδέξατο καὶ ἐπιθυμίαν ἀναγκαίως λοιπόν, καὶ ὀργήν, καὶ λύπην, καὶ τὰ ἄλλα πάντα, ἃ πολλῆς ἐδεῖτο φιλοσοφίας, ἵνα μὴ πλημμυροῦντα ἐν ἡμῖν καταποντίσῃ λογισμὸν εἰς τὸν τῆς ἁμαρτίας βυθόν. αὐτὰ μὲν γὰρ οὐκ ἦν ἁμαρτία· ἡ δὲ ἀμετρία αὐτῶν μὴ χαλινουμένη τοῦτο εἰργάζετο. οἷον (ἵν' ὡς ἐπὶ ὑποδείγματος ἓν αὐτῶν μεταχειρισάμενος εἴπω) ἡ ἐπιθυμία ἁμαρτία μὲν οὐκ ἔστιν· ὅταν δὲ εἰς ἀμετρίαν ἐκπέσῃ, εἴσω τῶν τοῦ νόμου γάμων οὐκ ἐθέλουσα μένειν, ἀλλὰ καὶ ἀλλοτρίαις ἐπιπηδῶσα γυναιξί, τότε λοιπὸν μοιχεία τὸ πρᾶγμα γίνεται, ἀλλ' οὐ παρὰ τὴν ἐπιθυμίαν, ἀλλὰ παρὰ τὴν ταύτης πλεονεξίαν. καὶ σκόπει σοφίαν Παύλου. ἐγκωμιάσας γὰρ τὸν νόμον, ἐπὶ τὸν ἀρχαιότερον χρόνον ἔδραμεν εὐθέως, ἵνα δείξας πῶς καὶ τότε τὸ γένος διέκειτο τὸ ἡμέτερον καὶ ὁποῖον τὸν νόμον ἔλαβεν, ἀπο-

φωνὴ τῆς χάριτος ἀναγκαίαν οὖσαν τὴν παρουσίαν, ὅπερ πανταχοῦ κατασκευάσαι ἐσπούδακε. ὃ γάρ, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν, ὅταν λέγῃ, οὐ περὶ τῶν ἐν τῷ νόμῳ λέγει μόνον, ἀλλὰ καὶ περὶ τῶν πρὸ τοῦ νόμου βεβιωκότων, καὶ τῶν ἐξ ἀρχῆς ἀνομούντων ἀνθρώπων. εἶτα καὶ τὸν τρόπον λέγει τῆς πράσεως, καὶ τῆς ἐκδόσεως. γρ. βεβιωκότων

15 Ὃ γὰρ κατεργάζομαι, φησὶν, οὐ γινώσκω. Τί ἐστιν, οὐ γινώσκω; ἀγνοῶ. καὶ πότε τοῦτο γένοιτο; οὐδεὶς γὰρ οὐδέποτε ἐν ἀγνοίᾳ ἥμαρτεν. ὁρᾷς ὅτι ἂν μὴ μετὰ τῆς προσηκούσης εὐλαβείας τὰς λέξεις ἐκλεξώμεθα, καὶ πρὸς τὸν ἀποστολικὸν ἴδωμεν σκοπὸν, μυρία ἕψεται ἄτοπα; εἰ γὰρ ἀγνοοῦντες ἡμάρτανον, οὐδὲ δίκην οὖσαν ἄξιοι δοῦναι. ὥσπερ οὖν ἀνωτέρω ἔλεγε, χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά, οὐ τοῦτο δηλῶν, ὅτι οὐκ ᾔδεσαν ἁμαρτάνοντες, ἀλλ' ὅτι ᾔδεσαν μὲν, οὐχ οὕτω δὲ ἀκριβῶς, διόπερ ἐκολάζοντο μὲν, οὐχ οὕτω δὲ σφοδρῶς· καὶ πάλιν, τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, οὐ τὴν καθόλου ἄγνοιαν δηλῶν, ἀλλὰ τὴν σαφεστάτην γνῶσιν ἐμφαίνων (ἔλεγε δὲ ὅτι κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν, οὐ τοῦτο λέγων ὅτι ἡ ἐντολὴ τὴν ἐπιθυμίαν ἐποίησεν, ἀλλ' ὅτι τὴν ἐπίτασιν τῆς ἐπιθυμίας ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐπεισήγαγεν) οὕτω καὶ ἐνταῦθα οὐ τὴν καθόλου ἄγνοιαν δηλοῖ, λέγων, ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω. ἐπεὶ πῶς συνήδετο τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον; τί οὖν ἐστιν, οὐ γινώσκω; σκοτοῦμαι, φησὶ, συναρπάζομαι, ἐπήρειαν ὑπομένω, οὐκ οἶδα πῶς ὑποσκελίζομαι. ὅπερ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, οὐκ οἶδα πῶς ὁ δεῖνα ἐλθὼν συνήρπασεν, οὐκ ἄγνοιαν προβαλλόμενοι, ἀλλὰ ἀπάτην τινὰ καὶ περίστασιν καὶ ἐπιβουλὴν ἐμφαίνοντες. Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Πῶς οὖν οὐ γινώσκεις ὃ κατεργάζῃ; εἰ γὰρ θέλεις τὸ καλὸν, καὶ μισεῖς τὸ πονηρὸν, γνώσεως τοῦτο ἀπηρτισμένης ἐστίν. ὅθεν δῆλον ὅτι οὐδὲ τὸ, οὐ θέλω, εἴρηκεν, οὐχὶ τὸ αὐτεξούσιον ἀναιρῶν, οὐδὲ ἀνάγκην τινὰ εἰσάγων βεβιασμένην. εἰ γὰρ οὐχ ἑκόντες, ἀλλ' ἀναγκαζόμενοι ἁμαρτάνομεν, πάλιν τὰ τῆς κολάσεως τῆς ἔμπροσθεν γεγενημένης οὐκ ἂν ἔχοι λόγον. ἀλλ' ὥσπερ, οὐ γινώσκω, λέγων, οὐκ ἄγνοιαν ἐνέφηνεν, ἀλλ' ἅπερ εἰρήκαμεν· οὕτω καὶ τὸ, οὐ θέλω, προσθεὶς, οὐκ ἀνάγκην ἐδήλωσεν, ἀλλὰ τὸ μὴ ἐπαινεῖν τὰ γινόμενα. ἐπεὶ εἰ μὴ τοῦτο ἦν δηλῶσαι καὶ εἰπεῖν, ὃ οὐ θέλω τοῦτο πράσσω, πῶς οὐκ ἐπήγαγεν, ἀλλ' ὃ ἀναγκάζομαι καὶ βιάζομαι, τοῦτο ποιῶ; τοῦτο γὰρ τῷ θέλειν καὶ τῇ ἐξουσίᾳ ἀντίκειται. νυνὶ δὲ οὐ τοῦτο εἴρηκεν, ἀλλ' ἀντὶ τούτου τὸ, μισῶ, τέθεικεν, ἵνα μάθῃς ὡς καὶ ἐν τῷ εἰπεῖν, οὐ θέλω, οὐ τὴν ἐξουσίαν ἀνεῖλε. τί οὖν ἐστι τὸ, οὐ θέλω; τὸ μὴ ἐπαινῶ, τὸ μὴ ἀποδέχομαι, τὸ μὴ φιλῶ. οὐ πρὸς ἀντιδιαστολὴν καὶ τὰ ἑξῆς ἐπήγαγεν εἰπὼν, Ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ.

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

Ὁρᾷς πῶς τὴν διάνοιαν οὐ διεφθαρμένην, ἀλλὰ ἐν τῇ πράξει τὴν οἰκείαν διατετηροῦσαν εὐγένειαν; εἰ γὰρ καὶ μετέρχεται τὴν κακίαν, ἀλλὰ μισοῦσα μετέρχεται, ὃ καὶ τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ μέγιστον ἐγκώμιον ἂν εἴη. ὅτι γὰρ καλὸς ὁ νόμος, φησὶ, δῆλον ἐξ ὧν ἐμαυτοῦ κατηγορῶ, παρακούων τοῦ νόμου καὶ μισῶν τὸ γεγενημένον. καίτοι εἰ ἁμαρτίας αἴτιος ἦν ὁ νόμος, πῶς αὐτῷ συνηδόμενος τὸ ὑπ' αὐτοῦ κελευόμενον γενέσθαι, ἐμίσει; σύμφημι γὰρ τῷ νόμῳ, φησὶν, ὅτι καλός.

17 Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

18 Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν.

Ἐνταῦθα ἐπιπηδῶσιν οἱ τὴν σάρκα διαβάλλοντες, καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἀλλοτριοῦντες. τί οὖν ἂν εἴποιμεν; ἃ καὶ περὶ τοῦ νόμου πρώην διαλεγόμενοι εἰρήκαμεν. ὅτι. ὥσπερ ἐκεῖ τὸ πᾶν τῆς ἁμαρτίας εἶναι φησιν, οὕτω καὶ ἐνταῦθα. οὐ γὰρ εἶπεν, ὅτι ἡ σὰρξ αὐτὸ κατεργάζεται, ἀλλὰ καὶ τοὐναντίον, ὅτι οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα

ἐν

ἐν ἐμοὶ ἁμαρτία. Εἰ δὲ λέγει, ὅτι οὐκ οἰκεῖ ἐν αὐτῇ ἀγαθὸν, οὔπω τοῦτο ἔγκλημα τῆς σαρκός. οὐ γὰρ τὸ μὴ οἰκεῖν ἀγαθὸν ἐν αὐτῇ, πονηρὰν αὐτὴν δείκνυσιν οὖσαν. ἡμεῖς δὲ ἐλάττονα μὲν ὁμολογοῦμεν εἶναι τῆς ψυχῆς τὴν σάρκα, καὶ καταδεεστέραν, οὐ μὴν ἐναντίαν, οὐδὲ μαχομένην, οὐδὲ πονηρὰν, ἀλλ' ὡς κιθάραν κιθαριστῇ, καὶ ὡς ναῦν κυβερνήτῃ, οὕτως αὐτὴν ὑποκεῖσθαι τῇ ψυχῇ· ἅπερ οὐκ ἐναντία τοῖς ἄγουσι καὶ χρωμένοις ἐστὶν, ἀλλὰ καὶ σφόδρα συμβαίνοντα, οὐ μὴν ὁμότιμα τῷ τεχνίτῃ. ὥσπερ οὖν ὁ λέγων, οὐκ ἐν τῇ κιθάρᾳ, οὐδὲ ἐν τῇ νηῒ ἡ τέχνη, ἀλλ' ἐν τῷ κυβερνήτῃ καὶ τῷ κιθαρῳδῷ, οὐ τὰ ἔργα διέβαλεν, ἀλλὰ τὸ μέσον ὅσον πρὸς τὸν τεχνίτην τῆς τέχνης ἔδειξεν· οὕτω καὶ ὁ Παῦλος εἰπὼν, ὅτι οὐκ οἰκεῖ ἐν τῇ σαρκί μου ἀγαθὸν, οὐ τὸ σῶμα διέβαλεν, ἀλλὰ τὸ ὑπερέχον τῆς ψυχῆς ἔδειξεν. αὕτη γάρ ἐστιν ἡ τὸ πλέον ἐγκεχειρισμένη τῆς κυβερνήσεως, καὶ τῆς κιθαρῳδίας· ὅπερ καὶ Παῦλος ἐνταῦθα δείκνυσι, τὸ κῦρος τῆς ψυχῆς τιθέμενος. καὶ εἰς δύο ταῦτα τὸν ἄνθρωπον διελὼν, ψυχὴν καὶ σῶμα, λέγει, ὅτι ἀλογωτέρα μὲν ἡ σὰρξ, καὶ συνέσεως ἔρημος, καὶ τῶν ἀγομένων ἀλλ' οὐ τῶν ἀγόντων· σοφωτέρα δὲ ἡ ψυχὴ, καὶ τὸ πρακτέον καὶ τὸ μὴ πρακτέον συνιδεῖν δυναμένη, οὐ μὴν ἀρκοῦσα πρὸς τὸν ἵππον ἄγχειν ὡς βούλεται. ὅπερ οὐ τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς γένοιτ' ἂν ἔγκλημα, εἰδυίας μὲν ἅπερ δεῖ πράττειν, οὐκέτι δὲ εἰς ἔργον ἐκφερούσης τὰ δόξαντα. Τὸ γὰρ θέλειν παράκειταί μοι, φησι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω. Ἐνταῦθα πάλιν εἰπὼν, οὐχ εὑρίσκω, οὐκ ἄγνοιαν φησιν, οὐδὲ ἀπορίαν, ἀλλ' ἐπήρειάν τινα, καὶ ἐπιβουλὴν τῆς ἁμαρτίας. ὅπερ οὖν καὶ σαφέστερον δεικνὺς, ἐπήγαγεν, 19 Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω. 20 Εἰ δὲ ὃ ἐγὼ οὐ θέλω, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Εἶδες πῶς καὶ τὴν οὐσίαν τῆς ψυχῆς, καὶ τὴν οὐσίαν τῆς σαρκὸς ἀπαλλάξας ἐγκλήματος, τὸ πᾶν ἐπὶ τὴν πονηρὰν πρᾶξιν μετέστησεν; εἰ γὰρ οὐ θέλει τὸ κακὸν, ἀπήλλακται ἡ ψυχὴ, καὶ εἰ αὐτὸς αὐτὸ μὴ κατεργάζεται, ἠλευθέρωται καὶ τὸ σῶμα, καὶ μόνης τῆς πονηρᾶς προαιρέσεώς ἐστι τὸ πᾶν. οὐ γὰρ ταὐτὸν ψυχῆς οὐσία, καὶ σώματος, καὶ προαιρέσεως, ἀλλὰ τὰ μέν ἐστιν ἔργα Θεοῦ, τὸ δὲ ἐξ ἡμῶν αὐτῶν γινομένη κίνησις πρὸς ὅπερ ἂν αὐτὴν βουληθῶμεν ἀγαγεῖν. ἡ μὲν γὰρ βούλησις, ἔμφυτον, καὶ παρὰ Θεοῦ· ἡ δὲ τοιάδε βούλησις, ἡμετέρα, καὶ τῆς γνώμης ἡμῶν.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. Ἀσαφὲς τὸ εἰρημένον. τί οὖν ἐστι τὸ λεγόμενον; ἐπαινῶ τὸν νόμον, φησὶ, κατὰ τὸ συνειδὸς, καὶ αὐτὸν δὲ εὑρίσκω ἐμοὶ τῷ βουλομένῳ τὸ καλὸν ποιεῖν, συνήγορον, καὶ ἐπιτείνοντά μοι τὸ βούλημα. ὥσπερ γὰρ ἐγὼ αὐτῷ συνήδομαι, οὕτω καὶ αὐτὸς ἐπαινεῖ τὴν γνώμην τὴν ἐμήν. ὁρᾷς πῶς δείκνυσι τὴν μὲν τῶν καλῶν καὶ τῶν μὴ τοιούτων γνῶσιν ἐξ ἀρχῆς ἡμῖν καταβεβλημένην, τὸν δὲ νόμον Μωϋσέως ἐπαινοῦντα αὐτὴν, καὶ ἐπαινούμενον παρ' αὐτῆς; οὐδὲ γὰρ ἀνωτέρω εἶπεν, ὅτι διδάσκομαι παρὰ τοῦ νόμου, ἀλλὰ, σύμφημι τῷ νόμῳ· οὔτε εἴρηκεν, ὅτι παιδεύομαι παρ' αὐτοῦ, ἀλλ' ὅτι συνήδομαι αὐτῷ. τί δέ ἐστι, συνήδομαι; ὁμολογῶ ὡς καλῶς ἔχοντι, ὥσπερ οὖν καὶ αὐτὸς ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν. ὥστε τὸ θέλειν τὸ καλὸν, καὶ τὸ μὴ θέλειν τὸ πονηρὸν, ἄνωθεν ἦν προκαταβεβλημένον. ὁ δὲ νόμος ἐλθὼν, καὶ ἐν τοῖς κακοῖς κατήγορος ἐγένετο πλειόνων, καὶ ἐν τοῖς ἀγαθοῖς ἐπαινέτης μειζόνων. ὁρᾷς πανταχοῦ ἐπίτασίν τινα καὶ προσθήκην αὐτῷ μαρτυροῦντα μόνον, πλέον δὲ οὐδέν; καὶ γὰρ ἐπαινοῦντος αὐτοῦ, καὶ ἐμοῦ συνηδομένου, καὶ θέλοντος τὸ καλὸν, τὸ κακὸν ἔτι παράκειται, καὶ ἡ πρᾶξις αὐτοῦ οὐκ ἀνήρηται. ὥστε ὁ νόμος τῷ προῃρημένῳ καλόν τι ποιῆσαι κατὰ τοῦτο σύμμαχος γίνεται μόνον, καθὸ καὶ αὐτὸς τὰ αὐτὰ αὐτῷ βούλεται. Εἶτα ἐπειδὴ ἀσαφῶς αὐτὸ τέθεικε, προϊὼν ἑρμηνεύει αὐτὸ καὶ σαφέστερον ποιεῖ, δεικνὺς πῶς τὸ κακὸν παράκειται, καὶ πῶς τῷ θέλοντι ποιεῖν τὸ καλὸν ὁμοῦ ὁ νόμος ἐστί.

γ. γινόμενον

γ. τῇ ψυχῇ

γ. ἄγειν

γ. προϊὼν

γ. -λὸν μόνῳ νόμος ἐστὶν ὁ νόμος.

22 Συνήδομαι γὰρ, φησὶ, τῷ νόμῳ τοῦ Θεοῦ, κατὰ τὸν ἔσω ἄνθρωπον. Ἤδειν μὲν γὰρ καὶ πρὸ τούτου, φησὶ, τὸ καλὸν, εὑρὼν δὲ αὐτὸ καὶ ἐν γράμμασι κείμενον, ἐπαινῶ. χ. γράμμασι

23 Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου.

Νόμον ἐνταῦθα πάλιν ἀντιστρατευόμενον τὴν ἁμαρτίαν ἐκάλεσεν, οὐ διὰ τὴν ἀξίαν, χ. ἀταξίαν ἀλλὰ διὰ τὴν σφοδρὰν ὑπακοὴν τῶν πειθομένων αὐτῇ. ὥσπερ οὖν κύριον τὸν μαμμωνᾶν καλεῖ, καὶ Θεὸν τὴν κοιλίαν, οὐ διὰ τὴν οἰκείαν ἀξίαν, ἀλλὰ διὰ τὴν πολλὴν τῶν ὑποτεταγμένων δουλείαν· οὕτω καὶ ἐνταῦθα νόμον ἐκάλεσεν ἁμαρτίαν, διὰ τοὺς οὕτως αὐτῇ δουλεύοντας, καὶ φοβουμένους ἀφεῖναι αὐτὴν, ὥσπερ δεδοίκασιν οἱ νόμον λαβόντες ἀφεῖναι τὸν νόμον. αὕτη οὖν, φησὶν, ἀντίκειται τῷ νόμῳ τῷ φυσικῷ· τοῦτο γάρ ἐστι, τῷ νόμῳ τοῦ νοός μου. καὶ εἰσάγει λοιπὸν παράταξιν, καὶ μάχην, καὶ τὸν ἀγῶνα ὅλον ἀνατίθησι τῷ φυσικῷ νόμῳ. χ. ἐπιτίθησι ἴσ. ἀνατίθησι ὁ γὰρ Μωϋσέως, ἐκ περιουσίας ὕστερον προσετέθη· ἀλλ' ὅμως καὶ οὗτος κἀκεῖνος, ὁ μὲν διδάξας, ὁ δὲ ἐπαινέσας τὰ δέοντα, οὐδὲν ἐν τῇ μάχῃ ταύτῃ μέγα ἤνυσαν· τοσαύτη τῆς ἁμαρτίας ἡ τυραννὶς, νικῶσα καὶ περιγινομένη. ὅπερ οὖν ὁ Παῦλος ἐμφαίνων, καὶ τὴν κατὰ κράτος ἧτταν δηλῶν, ἔλεγε, βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου,

Καὶ αἰχμαλωτίζοντά με. Οὐ γὰρ εἶπε, νικῶντα ἁπλῶς, ἀλλ', αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας. οὐκ εἶπε, τῇ ὁρμῇ τῆς σαρκὸς, οὐδὲ, τῇ φύσει τῆς σαρκὸς, ἀλλὰ, τῷ νόμῳ τῆς ἁμαρτίας, τουτέστι, τῇ τυραννίδι, τῇ δυνάμει. πῶς οὖν φησι,

Τῷ ὄντι ἐν τοῖς μέλεσί μου; Καὶ τί τοῦτο; οὐ γὰρ ὅτι ἁμαρτίαν τὰ μέλη ποιεῖ, ἀλλὰ χωρίζει μάλιστα τῆς ἁμαρτίας. ἕτερον γὰρ τὸ, ἔν τινι ὂν, καὶ τὸ, ἐν ᾧ ἐστιν ἐκεῖνο. ὥσπερ οὖν ἡ ἐντολὴ οὐκ ἔστι πονηρὰ, ἐπειδὴ δι' αὐτῆς ἀφορμὴν ἔλαβεν ἡ ἁμαρτία· οὕτως οὐδὲ τῆς σαρκὸς ἡ φύσις, εἰ καὶ δι' αὐτῆς ἡμᾶς καταγωνίζεται. ἐπεὶ οὕτως ἔσται καὶ ἡ ψυχὴ πονηρὰ, καὶ πολλῷ μᾶλλον ἐκείνη, ὅσῳ καὶ τὸ κῦρος τῶν πράξεων ἔχει. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὐδὲ γὰρ εἰ θαυμαστὸν οἶκον καὶ βασιλικὰς αὐλὰς τύραννος λάβοι καὶ λῃστὴς, διαβολὴ τῆς οἰκίας τὸ γινόμενον, ἀλλ' ἡ κατηγορία πᾶσα τῶν τὰ τοιαῦτα ἐπιβουλευσαμένων ἐστίν. ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ μετὰ τῆς ἀσεβείας καὶ ἀνοίᾳ πολλῇ περιπίπτοντες, οὐκ αἰσθάνονται. οὐδὲ γὰρ τῆς σαρκὸς μόνον κατηγοροῦσιν, ἀλλὰ καὶ τὸν νόμον διαβάλλουσι. καίτοιγε εἰ πονηρὰ ἡ σὰρξ, καλὸν ὁ νόμος. ἀντιστρατεύεται γὰρ καὶ ἐναντιοῦται. εἰ δὲ οὐ καλὸν ὁ νόμος, καλὸν ἡ σάρξ. μάχεται γὰρ αὐτῷ κατ' ἐκείνους, καὶ πολεμεῖ. πῶς οὖν ἀμφότερα τοῦ διαβόλου φασὶν εἶναι, ἐναντία ἀλλήλοις εἰσάγοντες; ὁρᾷς ὅση μετὰ τῆς ἀσεβείας καὶ ἡ ἄνοια; ἀλλ' οὐ τῆς ἐκκλησίας τὰ δόγματα τοιαῦτα, ἀλλὰ τὴν ἁμαρτίαν κατακρίνει μόνον, καὶ τὸν νόμον ἑκάτερον παρὰ Θεοῦ δεδομένον, καὶ τὸν τῆς φύσεως, καὶ τὸν τοῦ Μωϋσέως, ταύτῃ πολέμιον εἶναί φησιν, οὐ τῇ σαρκί. οὐδὲ γὰρ τὴν σάρκα ἁμαρτίαν εἶναι, ἀλλ' ἔργον Θεοῦ σφόδρα καὶ πρὸς ἀρετὴν ἡμῖν ἐπιτήδειον, ἐὰν νήφωμεν.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;

Εἶδες πόση τῆς κακίας ἡ τυραννὶς, ὅπου καὶ συνηδόμενον τῷ νόμῳ τὸν νοῦν νικᾷ; οὐδὲ γὰρ ἔχει τις εἰπεῖν, φησὶν, ὅτι μισοῦντά με τὸν νόμον καὶ ἀποστρεφόμενον ἡ ἁμαρτία χειροῦται. συνήδομαι γὰρ αὐτῷ καὶ σύμφημι, καὶ καταφεύγω πρὸς αὐτὸν, ἀλλ' ὅμως ἐκεῖνος μὲν οὐδὲ φεύγοντα πρὸς αὐτὸν ἴσχυσε σῶσαι· ὁ δὲ Χριστὸς καὶ φεύγοντα ἀπ' αὐτοῦ ἔσωσεν. εἶδες πόση τῆς χάριτος ἡ ὑπερβολή; ἀλλ' οὕτω μὲν οὐκ εἴρηκεν αὐτὸ ὁ ἀπόστολος· ἀνοιμώξας δὲ μόνον καὶ θρηνήσας μέγα, ὡς ἐν ἐρημίᾳ τῶν βοηθησάντων, διὰ τῆς ἀπορίας δείκνυσι τοῦ Χριστοῦ ἴσ. ἐν ἐρημίᾳ τῶν βοηθούντων τὴν δύναμιν, καί φησι, ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; νόμος οὐκ ἴσχυσε, τὸ συνειδὸς οὐκ ἤρκεσε· καίτοιγε ἐπῄνουν τὰ καλὰ, καὶ οὐκ ἐπῄνουν μόνον, ἀλλὰ καὶ ἐπεμαχόμην πρὸς τὰ ἐναντία. τὸ γὰρ εἰπεῖν, ἀντιστρατευόμενον, ἔδειξε καὶ αὐτὸν ἀντιπαταττόμενον. πόθεν οὖν ἔσται σωτηρίας ἐλπίς;

25 Εὐχαριστῶ τῷ Θεῷ, φησι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Εἶδες πῶς ἔδειξεν ἀναγκαίαν τῆς χάριτος τὴν παρουσίαν, καὶ κοινὰ πατρὸς καὶ υἱοῦ τὰ κατορθώματα; εἰ γὰρ καὶ τῷ πατρὶ εὐχαριστεῖ, ἀλλὰ τῆς εὐχαριστίας ταύτης καὶ ὁ υἱὸς αἴτιος. ὅταν δὲ ἀκούσῃς λέγοντος αὐτοῦ, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; μὴ νόμιζε τῆς σαρκὸς αὐτὸν κατηγορεῖν. οὐδὲ γὰρ εἶπε σῶμα ἁμαρτίας, ἀλλὰ σῶμα θανάτου· τουτέστι, τὸ θνητὸν σῶμα, τὸ χειρωθὲν ὑπὸ τοῦ θανάτου, οὐ τὸ γεννῆσαν τὸν θάνατον. ὅπερ οὐ τῆς πονηρίας τῆς σαρκός, ἀλλὰ τῆς ἐπηρείας ἧς ὑπέμεινε, δεῖγμά ἐστιν. ὥσπερ ἂν εἴ τις αἰχμαλωτισθεὶς παρὰ βαρβάρων, λέγοιτο εἶναι τῶν βαρβάρων, οὐκ ἐπειδὴ βάρβαρός ἐστιν, ἀλλ' ἐπειδὴ ὑπ' ἐκείνων κατέχεται· οὕτω καὶ τὸ σῶμα θανάτου λέγεται, ἐπειδὴ κατεσχέθη παρ' αὐτοῦ, οὐκ ἐπειδὴ παρεξένησεν αὐτόν. διόπερ οὐδὲ αὐτὸς τοῦ σώματος ῥυσθῆναι βούλεται, ἀλλὰ τοῦ θνητοῦ σώματος, αἰνιττόμενος ὃ πολλάκις ἔφην, ὅτι ἐκ τοῦ παθητὸν αὐτὸ γενέσθαι, καὶ εὐεπιχείρητον γέγονε τῇ ἁμαρτίᾳ. Καὶ τίνος ἕνεκεν, φησιν, εἰ τοσαύτη τῆς ἁμαρτίας ἡ τυραννὶς πρὸ τῆς χάριτος ἦν, ἐκολάσθησαν οἱ ἁμαρτάνοντες; ὅτι τοιαῦτα ἐπετάγησαν, οἷα δυνατὸν ἦν καὶ τῆς ἁμαρτίας κρατούσης κατορθοῦν. οὐδὲ γὰρ εἰς ἄκραν αὐτοὺς εἷλκε πολιτείαν, ἀλλὰ καὶ χρημάτων ἀπολαύειν ἐπέτρεπε, καὶ γυναιξὶ κεχρῆσθαι πλείοσιν οὐκ ἐκώλυε, καὶ θυμῷ χρήσασθαι μετὰ τοῦ δικαίου, καὶ τρυφῇ κεχρῆσθαι συμμέτρως. καὶ τοσαύτη ἦν ἡ συγκατάβασις, ὡς καὶ ἐλάττονα ὧν ὁ φυσικὸς διηγόρευσε νόμος, τὸν γραπτὸν ἀπαιτεῖν. ὁ μὲν γὰρ τῆς φύσεως νόμος ἕνα ἄνδρα μιᾷ γυναικὶ διηνεκῶς ὁμιλεῖν ἐκέλευεν. ὅπερ οὖν καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν, Ὅτι ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ὁ δὲ Μωϋσέως νόμος, οὔτε τὴν μὲν ἐκβαλεῖν, τὴν δὲ ἀντεισάγειν ἐκώλυεν, οὔτε δύο κατ' αὐτὸν ἔχειν ἀπηγόρευε. χωρὶς δὲ τούτου, καὶ ἕτερα πλείονα τῶν ἐν τῷ νόμῳ ὄντων, περὶ τούτου κατορθωκότας ἴδοι τις ἂν ἀπὸ τῆς φύσεως παιδευομένους νόμου. οὐ τοίνυν ἐπηρεάσθησαν οἱ ἐν τῇ παλαιᾷ πολιτευσάμενοι, συμμέτρου νομοθεσίας οὕτως εἰσενεχθείσης αὐτοῖς. εἰ δὲ μὴ οὕτως ἤρκεσαν περιγενέσθαι, τῆς αὐτῶν ῥᾳθυμίας τὸ ἔγκλημα. διὰ τοῦτο καὶ ὁ Παῦλος εὐχαριστεῖ, ὅτι οὐδὲν τούτων ἀκριβολογησάμενος ὁ Χριστός, οὐ μόνον τῶν ἡμετέρων οὐκ ἀπήτησεν εὐθύνας, ἀλλὰ καὶ ἐπιτηδείους ἐποίησε πρὸς μείζονα δρόμον. διό φησιν, εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ. καὶ τὴν σωτηρίαν ἀφεὶς ὡμολογημένην, ἐκ τῶν ἤδη κατασκευασθέντων ἐπ' ἄλλο μεταβαίνει πλέον, λέγων, ὅτι οὐ τῶν προτέρων ἀπηλλάγημεν μόνον, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀχείρωτοι γεγόναμεν. οὐδὲν γάρ, φησι, κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν. ἀλλ' οὐ πρότερον αὐτὸ εἴρηκεν, ἕως ἀνέμνησε πάλιν τῆς προτέρας καταστάσεως. πρότερον γὰρ εἰπών, Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω Θεῷ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας, τότε ἐπήγαγεν,

1 Οὐδὲν ἄρα κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ. Εἶτα ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνειν, διὰ τοῦτο πρὸς αὐτὸ ἐπείγεται. καὶ οὐχ ἁπλῶς φησι, τοῖς ἐν Χριστῷ Ἰησοῦ, ἀλλὰ Τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι· Δεικνὺς ὅτι ἐκ ῥᾳθυμίας τὸ πᾶν λοιπὸν τῆς ἡμετέρας. δυνατὸν γὰρ νῦν μὴ κατὰ σάρκα περιπατεῖν, τότε δὲ δύσκολον ἦν. Εἶτα καὶ ἑτέρως αὐτὸ κατασκευάζει διὰ τῶν ἑξῆς λέγων,

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με. Νόμον πνεύματος ἐνταῦθα τὸ πνεῦμα καλῶν. ὥσπερ γὰρ νόμον ἁμαρτίας τὴν ἁμαρτίαν, οὕτω νόμον πνεύματος τὸ πνεῦμά φησι. καίτοι καὶ τὸν Μωϋσέως οὕτως ἐκάλει λέγων, οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι. τί οὖν τὸ μέσον; πολὺ καὶ ἄπειρον. ἐκεῖνος μὲν γὰρ πνευματικός, οὗτος δὲ νόμος πνεύματος. καὶ τί τοῦτο ἐκείνου διέστηκεν; ὅτι ὁ μὲν ὑπὸ τοῦ πνεύματος ἐδόθη μόνον, οὗτος δὲ καὶ πνεῦμα ἐχορήγει τοῖς δεχομένοις αὐτὸν δαψιλές. διὸ καὶ ζωῆς αὐτὸν νόμον ἐκάλεσε, πρὸς ἀντιδιαστολὴν ἐκείνου οὐ τοῦ τῆς ἁμαρτίας, οὐ τοῦ Μωϋσαϊκοῦ. ὅταν γὰρ λέγῃ, ἠλευθέρωσέ σε ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, οὐ τὸν Μωϋσέως νόμον λέγει ἐνταῦθα. οὐδαμοῦ γὰρ

αὐτὸν

Margin: χ. ταῦτα — ἴσ. κατ' αὐτὸν χρόνον ἔχ. — χ. ὡς ὡμολογημένην θείς, ἐκ — χ. χωρητοῦ — χ. σε — Ματθ. ιθ. α. — κεφ. η.

αὐτὸν νόμον ἁμαρτίας καλεῖ. πῶς γάρ, ὃν δίκαιον καὶ ἅγιον πολλάκις ὠνόμασε, καὶ ἁμαρτίας ἀναιρετικόν; ἀλλ' ἐκεῖνον τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός. τοῦτον γὰρ τὸν χαλεπὸν κατέλυσε πόλεμον θανατώσασα τὴν ἁμαρτίαν ἡ τοῦ πνεύματος χάρις, καὶ ποιήσασα τὸν ἀγῶνα κοῦφον ἡμῖν, καὶ πρότερον στεφανώσασα, καὶ τότε μετὰ πολλῆς τῆς συμμαχίας ἐπὶ τὰ παλαίσματα ἑλκύσασα. καὶ ὅπερ ἀεὶ ποιεῖ ἀπὸ τοῦ υἱοῦ εἰς τὸ πνεῦμα μεταβαίνων, ἀπὸ τοῦ πνεύματος εἰς τὸν υἱὸν καὶ τὸν πατέρα, καὶ τῇ τριάδι πάντα τὰ παρ' ἡμῖν λογιζόμενος, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. καὶ γὰρ εἰπών, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; ἔδειξε πατέρα διὰ υἱοῦ τοῦτο ποιοῦντα. εἶτα πάλιν τὸ πνεῦμα τὸ ἅγιον μετὰ τοῦ υἱοῦ· ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ σε, φησίν. εἶτα πάλιν τὸν πατέρα καὶ τὸν υἱόν·

χ. ἐπὶ — χ. διὰ — χ. μὴ

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησίν, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. Πάλιν δοκεῖ μὲν διαβάλλειν τὸν νόμον· εἰ δέ τις ἀκριβῶς προσέχοι, καὶ σφόδρα αὐτὸν ἐπαινεῖ, σύμφωνον τῷ Χριστῷ δεικνύς, καὶ τὰ αὐτὰ προηρημένον. οὐδὲ γὰρ εἶπε, τὸ πονηρὸν τοῦ νόμου, ἀλλά, τὸ ἀδύνατον. καὶ πάλιν, ἐν ᾧ ἠσθένει, οὐκ, ἐν ᾧ ἐκακούργει, ἢ ἐπεβούλευε. καὶ οὐδὲ τὴν ἀσθένειαν αὐτῷ λογίζεται, ἀλλὰ τῇ σαρκί, λέγων, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, σάρκα πάλιν ἐνταῦθα οὐχὶ τὴν οὐσίαν αὐτὴν καὶ τὸ ὑποκείμενον, ἀλλὰ τὸ σαρκικώτερον φρόνημα καλῶν. δι' ὧν καὶ τὸ σῶμα, καὶ τὸν νόμον ἀπαλλάττει κατηγορίας. οὐ διὰ τούτων δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς. εἰ γὰρ ἐναντίος ἦν ὁ νόμος, πῶς ὁ Χριστὸς εἰς βοήθειαν αὐτοῦ παραγέγονε, καὶ τὸ δικαίωμα αὐτοῦ πληροῖ, καὶ χεῖρα ὤρεξε καταχρίνας τὴν ἁμαρτίαν ἐν τῇ σαρκί; τοῦτο γὰρ ἐπιλέλειπτο, ἐπειδήπερ ἐν τῇ ψυχῇ πάλαι ὁ νόμος αὐτὴν κατακρίνας ἦν. τί οὖν; τὸ μεῖζον ὁ νόμος ἐποίησε, τὸ δὲ ἔλαττον ὁ τοῦ Θεοῦ μονογενής; οὐδαμῶς. μάλιστα μὲν κἀκεῖνο ὁ Θεὸς εἰργάσατο, ὁ τὸν φυσικὸν δεδωκὼς νόμον, καὶ τὸν γραπτὸν προσθείς. ἄλλως δὲ οὐδὲν ὄφελος τοῦ μείζονος ἦν, τοῦ ἐλάττονος μὴ προσκειμένου. τί γὰρ ὄφελος εἰδέναι τὰ πρακτέα μηκέτι ὄντα αὐτά; οὐδέν, ἀλλὰ καὶ μείζων κατάκρισις. ὥστε ὁ καὶ τὴν ψυχὴν σώσας, οὗτός ἐστιν ὁ καὶ τὴν σάρκα εὐήνιον καταστήσας. τὸ μὲν γὰρ διδάξαι, εὔκολον· τὸ δὲ καὶ ὁδόν τινα δεῖξαι, δι' ἧς μετ' εὐκολίας ταῦτα ἐγένετο, τοῦτό ἐστι τὸ θαυμαστόν. διὰ δὲ τοῦτο ἦλθεν ὁ μονογενής, καὶ οὐ πρότερον ἀπέστη, ἕως ἂν ἀπήλλαξεν ἡμᾶς τῆς δυσκολίας ἐκείνης. καὶ τὸ δὲ μεῖζον, ὁ τρόπος τῆς νίκης. οὐδὲ γὰρ ἑτέραν ἔλαβε σάρκα, ἀλλ' αὐτὴν ταύτην τὴν καταπονουμένην. ὥσπερ γὰρ εἴ τις ἐν ἀγορᾷ γυναῖκα εὐτελῆ καὶ ἀγοραίαν τυπτομένην ἰδών, εἴποι αὐτῆς εἶναι υἱός, βασιλέως ὢν υἱός, καὶ οὕτως αὐτὴν ἀπαλλάξειε τῶν ἐπηρεαζόντων. ὅπερ αὐτὸς ἐποίησε, καὶ υἱὸς ἀνθρώπου εἶναι ὁμολογήσας, καὶ παραστὰς αὐτῇ, καὶ κατακρίνας τὴν ἁμαρτίαν. οὐ τοίνυν ἐτόλμησε τυπτῆσαι αὐτὴν λοιπόν, μᾶλλον δὲ ἐτύπτησε μὲν τῇ τοῦ θανάτου πληγῇ. τοῦτο δὲ αὐτὸ κατεκρίθη καὶ ἀπώλετο, οὐχ ἡ τυπτηθεῖσα σάρξ, ἀλλ' ἡ τυπτήσασα ἁμαρτία. ὅπερ ἁπάντων ἐστὶ θαυμαστότερον. εἰ μὲν γὰρ ἐν τῇ σαρκὶ νίκη γέγονεν, οὐχ οὕτω θαυμαστὸν ἦν, ἐπεὶ καὶ ὁ νόμος τοῦτο εἰργάζετο. τοῦτο δὲ θαυμαστόν, ὅτι μετὰ σαρκὸς τὸ τρόπαιον ἔστη, καὶ ἡ μυριάκις ὑπὸ τῆς ἁμαρτίας καταβληθεῖσα, αὕτη λαμπρὰν κατ' αὐτῆς τὴν νίκην ἤρατο. ὅρα γὰρ πόσα τὰ παράδοξα γέγονεν· ἓν μέν, ὅτι οὐκ ἐνίκησεν ἡ ἁμαρτία τὴν σάρκα· ἕτερον, ὅτι ἐνικήθη, καὶ παρ' αὐτῆς ἐνικήθη. οὐ γάρ ἐστιν ἴσον μὴ νικηθῆναι, καὶ νικῆσαι τὴν ἀεὶ καταβάλλουσαν. τρίτον, ὅτι οὐ μόνον ἐνίκησεν, ἀλλὰ καὶ ἐκόλασε. τῷ μὲν γὰρ μὴ ἁμαρτεῖν, οὐκ ἐνικήθη· τῷ δὲ ἀποθανεῖν, ἐνίκησε καὶ κατέκρινεν αὐτήν, φοβερὰν αὐτῇ τὴν σάρκα ἀποφήνας τὴν πρότερον οὖσαν εὐκαταφρόνητον. οὕτω γοῦν καὶ τὴν δύναμιν αὐτῆς ἐξέλυσε, καὶ τὸν δι' αὐτῆς εἰσενεχθέντα θάνατον ἀνεῖλεν. ἕως μὲν γὰρ ἁμαρτωλοὺς ἐλάμβανε, κατὰ τὸν

χ. ὑπάλληλον — χ. ποιήσας — χ. οὐχ ἡ νικηθεῖσα σάρξ

τοῦ δικαίου λόγῳ ἐπήγαγε τὴν τελευτήν. ἐπεὶ δὲ ἀναμάρτητον εὗρε δοῦσα σῶμα τῷ θανάτῳ παρέδωκεν, ὡς ἀδικήσασα κατεκρίθη. ὁρᾷς ὅσα τὰ νικητήρια γέγονε; τὸ μὴ ἡττηθῆναι τὴν σάρκα ἀπὸ τῆς ἁμαρτίας, τὸ καὶ νικῆσαι αὐτὴν καὶ καταδικάσαι, τὸ μὴ ἁπλῶς καταδικάσαι, ἀλλὰ καὶ ὡς ἁμαρτοῦσαν καταδικάσαι. πρότερον γὰρ ἐλέγξας ἠδικηκυῖαν, οὕτως αὐτὴν κατεδίκασεν, οὐχ ἁπλῶς ἰσχύϊ καὶ ἐξουσίᾳ, ἀλλὰ καὶ τῷ τοῦ δικαίου λόγῳ. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ὡσανεὶ ἔλεγεν, ὅτι μέγα ἡμαρτηκυῖαν ἤλεγξε, καὶ τότε αὐτὴν κατεδίκασεν. ὁρᾷς πανταχοῦ τὴν ἁμαρτίαν καταδικαζομένην οὐχὶ τὴν σάρκα, ἀλλὰ ταύτην καὶ στεφανουμένην, καὶ τὴν ἀπόφασιν κατ' αὐτῆς ἐκφέρουσαν; εἰ δὲ ἐν ὁμοιώματι σαρκός φησι πέμψαι τὸν υἱόν, μὴ διὰ τοῦτο ἄλλην ἐκείνην σάρκα εἶναι νόμιζε. ἐπειδὴ γὰρ εἶπεν ἁμαρτίας, διὰ τοῦτο καὶ τὸ ὁμοίωμα τέθηκεν. οὐδὲ γὰρ ἁμαρτωλὸν σάρκα εἶχεν ὁ Χριστός, ἀλλ' ὁμοίαν μὲν τῇ ἡμετέρᾳ τῇ ἁμαρτωλῷ, ἀναμάρτητον δὲ, καὶ τῇ φύσει τὴν αὐτὴν ἡμῖν. ὥστε καὶ ἐντεῦθεν δῆλον ὅτι οὐκ ἦν πονηρὰ τῆς σαρκὸς ἡ φύσις. οὔτε γὰρ ἑτέραν ἀντὶ τῆς προτέρας λαβὼν ὁ Χριστός, οὔτε αὐτὴν ταύτην μεταβαλὼν κατ' οὐσίαν, οὕτως αὐτὴν ἀναμαχήσασθαι παρεσκεύασεν· ἀλλ' ἀφεὶς μένειν ἐπὶ τῆς αὐτῆς φύσεως, τὸν στέφανον ἀναδήσασθαι ἐποίησε κατὰ τῆς ἁμαρτίας, καὶ τότε αὐτὴν μετὰ τὴν νίκην ἀνέστησε, καὶ ἀθάνατον εἰργάσατο. τί οὖν, φησι, πρὸς ἐμὲ τοῦτο, εἰ ταῦτα ἐν ἐκείνῃ τῇ σαρκὶ γέγονε; πρὸς σὲ μὲν οὖν μάλιστα. διὸ καὶ ἐπήγαγεν,

4 Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι.

Τί ἐστι, τὸ δικαίωμα; τὸ τέλος, ὁ σκοπός, τὸ κατόρθωμα. τί γὰρ ἐκεῖνος ἐβούλετο, καὶ τί ποτε ἐπέταττεν; ἀναμάρτητον εἶναι. τοῦτο τοίνυν κατώρθωται νῦν ἡμῖν διὰ Χριστοῦ. καὶ τὸ μὲν ἀναστῆναι καὶ περιγενέσθαι, γέγονεν ἐκείνου· τὸ δὲ ἀπολαῦσαι τῆς νίκης, ἡμέτερον. οὐκοῦν οὐχ ἁμαρτησόμεθα λοιπόν, οὐχ ἁμαρτησόμεθα ἂν μὴ σφόδρα ὦμεν ἐκλελυμένοι καὶ ἀναπεπτωκότες. διὸ καὶ προσέθηκε, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν. ἵνα γὰρ μὴ ἀκούσας ὅτι σε ἐρρύσατο ὁ Χριστὸς τοῦ πολέμου τῆς ἁμαρτίας, καὶ ὅτι τὸ δικαίωμα τοῦ νόμου πεπλήρωται ἐν σοί, τῆς ἁμαρτίας κατακριθείσης ἐν τῇ σαρκί, καταλύσῃς τὴν παρασκευὴν ἅπασαν· διὰ τοῦτο καὶ ἐκεῖ εἰπών, οὐδὲν ἄρα κατάκριμα, προσέθηκε, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι, καὶ ἐνταῦθα ἵνα πληρωθῇ τὸ δικαίωμα τοῦ νόμου ἐν ἡμῖν λέγων, τὸ αὐτὸ τοῦτο ἐπήγαγε. μᾶλλον δὲ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ πλέον. εἰπὼν γάρ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἐπήγαγεν, Ἀλλὰ κατὰ πνεῦμα,

Δεικνὺς ὅτι οὐ κακῶν ἀπέχεσθαι δεῖ μόνον, ἀλλὰ καὶ ἐν ἀγαθοῖς κομᾷν. τὸ μὲν γὰρ δοῦναί σοι τὸν στέφανον, ἐκείνου· τὸ δὲ κατασχεῖν τὰ δοθέντα, σόν. καὶ γὰρ ὅπερ ἦν δικαίωμα τοῦ νόμου τὸ μὴ γενέσθαι ὑπεύθυνον τῇ ἀρᾷ, τοῦτο ἤνυσέ σοι ὁ Χριστός. μὴ τοίνυν προδῷς τὴν τοσαύτην δωρεάν, ἀλλὰ μένε φυλάττων τὸν καλὸν τοῦτον θησαυρόν. δείκνυσι γὰρ ἐνταῦθά σοι, ὅτι οὐκ ἀρκεῖ τὸ λουτρὸν ἡμῖν εἰς σωτηρίαν, ἂν μὴ μετὰ τὸ λουτρὸν ἄξιον ἐπιδειξώμεθα βίον τῆς δωρεᾶς. ὥστε πάλιν τῷ νόμῳ συνηγορεῖ ταῦτα λέγων. καὶ γὰρ μετὰ τὸ πιστεῦσαι τῷ Χριστῷ, πάντα δεῖ ποιεῖν καὶ πραγματεύεσθαι, ὥστε τὸ ἐκείνου δικαίωμα μένειν ἐν ἡμῖν ὅπερ ἐπλήρωσεν ὁ Χριστός, καὶ μὴ διαφθαρῆναι.

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, φησί, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος.

6 Τὸ γὰρ φρόνημα τῆς σαρκός, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη.

7 Διότι τὸ φρόνημα τῆς σαρκός, ἔχθρα εἰς Θεόν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται. Ἀλλ' οὐδὲ τοῦτο διαβολὴ τῆς σαρκός. ἕως μὲν γὰρ ἂν τὴν οἰκείαν φυλάττῃ τάξιν, οὐδὲν ἄτοπον γίνεται· ὅταν δὲ αὐτῇ πάντα ἐπιτρέπωμεν,

καὶ

καὶ τοὺς οἰκείους ὑπερβᾶσα ὄρεξις κατεξανίσταται τῆς ψυχῆς, τότε πάντα ἀπόλλυσι καὶ δια-
φθείρει, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀμετρίαν καὶ τὴν ἐκ ταύτης ἀ-
ταξίαν. Οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος. τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνα-
τος. Οὐκ εἶπεν, ἡ γὰρ τῆς σαρκὸς φύσις, οὐδὲ, ἡ οὐσία τοῦ σώματος, ἀλλὰ, τὸ φρό-
νημα· ὃ διορθωθῆναι δύναιτ᾽ ἂν καὶ ἀναιρεθῆναι. τοῦτο δὲ λέγει οὐ τῇ σαρκὶ λογισμὸν δι-
δοὺς ἴδιον· ἄπαγε, ἀλλὰ τὴν παχυτέραν τῆς διανοίας ὁρμὴν ἐνδεικνύμενος, καὶ ἀπὸ τοῦ
χείρονος αὐτὴν καλῶν, ὥσπερ οὖν καὶ σάρκα πολλάκις ὁλόκληρον ἄνθρωπον καὶ ψυχὴν
ἔχοντα εἴωθε καλεῖν. Τὸ δὲ φρόνημα τοῦ πνεύματος. Πάλιν καὶ ταῦτα τὴν
Ρω. η. κζ. πνευματικὴν διάνοιαν λέγει, ὥσπερ οὖν καὶ προϊὼν φησιν, Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε
τί τὸ φρόνημα τοῦ πνεύματος· καὶ δείκνυσι πολλὰ τὰ ἐκ ταύτης ἀγαθὰ καὶ ἐν τῷ παρόντι,
καὶ ἐν τῷ μέλλοντι. τῶν γὰρ κακῶν, ὧν τὸ φρόνημα εἰσάγει τὸ σαρκικὸν, πολλῷ πλείονα
ἀγαθὰ παρέχει τὸ πνευματικόν· ἅπερ ἐδήλωσεν εἰπὼν, ζωὴ καὶ εἰρήνη. τὸ μὲν* πρὸς
ἀντιδιαστολὴν τοῦ προτέρου, ὃ γὰρ φρόνημά, φησι, τῆς σαρκὸς, θάνατος· ὃ δὲ πρὸς ἀν-
τιδιαστολὴν τοῦ ἑξῆς. εἰπὼν γὰρ, εἰρήνη, ἐπήγαγε, διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα
εἰς Θεόν· ὃ τοῦ θανάτου χεῖρόν ἐστιν. εἶτα δεικνὺς, πῶς καὶ θάνατος καὶ ἔχθρα, τῷ γὰρ νό-
μῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, φησιν· οὐδὲ γὰρ δύναται. ἀλλὰ μὴ θορυβηθῇς ἀκούων,
οὐδὲ γὰρ δύναται. καὶ γὰρ εὔκολον ἡ ἀπορία αὕτη τὴν λύσιν ἔχει. Φρόνημα γὰρ σαρκὸς
ἐνταῦθά φησι τὸν γεώδη λογισμὸν, τὸν παχὺν, τὸν πρὸς τὰ βιωτικὰ καὶ τὰς πονηρὰς πρά-
ξεις ἐπτοημένον. τοῦτόν φησιν ἀδύνατον εἶναι ὑποταγῆναι Θεῷ. καὶ ποία λοιπὸν ἐλπὶς
σωτηρίας, εἰ ἀδύνατον κακὸν ὄντα, γενέσθαι καλόν; οὐ τοῦτό φησιν. ἐπεὶ πῶς ὁ Παῦ-
λος ἐγένετο τοιοῦτος; πῶς ὁ λῃστής; πῶς ὁ Μανασσῆς; πῶς οἱ Νινευῖται; πῶς ὁ Δα-
βὶδ πεσὼν, ἑαυτὸν ἀνεκτήσατο; πῶς ὁ Πέτρος ἀρνησάμενος, ἑαυτὸν ἀνέλαβε; πῶς ὁ πε-
πορνευκὼς εἰς τὴν ἀγέλην κατελέγη τοῦ Χριστοῦ; πῶς οἱ Γαλάται τῆς χάριτος ἐκ-
πεσόντες, πρὸς τὴν προτέραν ἐπανῆλθον εὐγένειαν; οὐ τοίνυν τοῦτό φησιν, ὅτι ἀδύνα-
τον τὸν πονηρὸν γενέσθαι καλὸν, ἀλλ᾽ ὅτι ἀδύνατον πονηρὸν μένοντα ὑποταγῆναι τῷ Θεῷ·
μεταβαλλόμενον μέντοι, καλὸν γενέσθαι καὶ ὑποταγῆναι ῥᾴδιον. οὐ γὰρ εἶπεν, ὅτι ὁ ἄν-
θρωπος οὐ δύναται ὑποταγῆναι τῷ Θεῷ, ἀλλ᾽ ὅτι ἡ πονηρὰ πρᾶξις οὐ δύναται εἶναι καλή·
ὡσανεὶ ἔλεγεν, ἡ πορνεία οὐ δύναται εἶναι σωφροσύνη, οὐδὲ ἡ κακία ἀρετή. ὅπερ οὖν καὶ
Ματθ. ζ. ιη. ἐν τῷ εὐαγγελίῳ φησὶν, Οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν, οὐ τὴν ἀπὸ κα-
κίας εἰς ἀρετὴν μεταβολὴν κωλύων, ἀλλὰ τὴν ἐν τῇ κακίᾳ διατριβὴν λέγων μὴ
δύνασθαι φέρειν καρποὺς καλούς. οὐ γὰρ εἶπεν, οὐ δύναται δένδρον πονηρὸν καλὸν γενέσθαι,
ἀλλ᾽ ὅτι φέρειν καρποὺς καλοὺς οὐ δύναται μένον πονηρόν. ἐπεὶ ὅτι γε δυνατὸν με-
ταβληθῆναι, καὶ ἐντεῦθεν καὶ ἐξ ἄλλης ἔδειξε τοῦτο παραβολῆς, ὅταν εἰσάγῃ τὰ
Ματθ. ιγ. κθ. ζιζάνια σῖτον γινόμενα. διὸ καὶ ἐκριζῶσαι αὐτὰ κωλύει. Μήποτε γὰρ, φησι, σὺν
αὐτοῖς ἀνασπάσητε καὶ τὸν σῖτον· τουτέστι, τὸν μέλλοντα γίνεσθαι ἐξ αὐτῶν. Φρόνημα
τοίνυν σαρκὸς, τὴν κακίαν φησί· καὶ φρόνημα πνεύματος, τὴν χάριν τὴν δεδομέ-
νην καὶ τὴν ἐνέργειαν τὴν τῇ προαιρέσει κρινομένην τῇ χρηστῇ, οὐδαμοῦ περὶ ὑποστά-
σεως καὶ οὐσίας διαλεγόμενος ἐνταῦθα, ἀλλὰ περὶ ἀρετῆς καὶ κακίας. ὅπερ γὰρ οὐκ ἴσχυ-
σας ἐν τῷ νόμῳ, φησὶ, τοῦτο δυνήσῃ νῦν, ὀρθὰ βαδίζειν καὶ ἀδιάπτωτα, εἰ τῆς τοῦ πνεύματος
ἐπιλάβοις βοηθείας. οὐ γὰρ ἀρκεῖ τὸ μὴ κατὰ σάρκα περιπατεῖν, ἀλλὰ δεῖ καὶ κατὰ πνεῦμα
βαδίζειν. ἐπειδήπερ οὐκ ἀπόχρη πρὸς σωτηρίαν ἡμῖν τὸ ἐκκλῖναι ἀπὸ κακοῦ, ἀλλὰ δεῖ καὶ
τὰ ἀγαθὰ ποιεῖν. τοῦτο δὲ ἔσται, ἂν τῷ πνεύματι τὴν ψυχὴν ἐκδῶμεν, καὶ τὴν σάρκα πεί-
θωμεν τὴν οἰκείαν τάξιν ἐπιγινώσκειν. οὕτω γὰρ καὶ αὐτὴν ἐργασόμεθα πνευματικήν· ὥ-
σπερ οὖν ἐὰν ῥᾳθυμῶμεν, καὶ τὴν ψυχὴν ποιήσομεν σαρκικήν. ἐπειδὴ γὰρ οὐκ ἀνάγκη φύ-

σεως

σεως τὸ δύνασθαι ἐνέθηκεν, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως ἐνεχείρισεν. ἐν σοὶ λοιπόν ἐστι καὶ τοῦτο γενέσθαι κἀκεῖνο. τὰ γὰρ παρ' αὐτοῦ πάντα ἀπήρτισται. οὐδὲ γὰρ ἀντιστρατεύεται τῷ νόμῳ τοῦ νοὸς ἡμῶν ἡ ἁμαρτία, οὐδὲ αἰχμαλωτίζει καθάπερ ἔμπροσθεν, ἀλλὰ πάντα ἐκεῖνα πέπαυται καὶ καταλέλυται, καὶ κατέπτηκε τὰ πάθη δεδοικότα καὶ τρέμοντα τὴν τοῦ πνεύματος χάριν. εἰ δὲ σὺ τὸ φῶς σβεννύεις, καὶ τὸν ἡνίοχον ἐκβάλλεις, καὶ τὸν κυβερνήτην ἐλαύνεις, σαυτῷ λογίζου λοιπὸν τὸν κλυδώνιον. ὅτι γὰρ νῦν εὐκολωτέρα ἡ ἀρετὴ γέγονε, διὸ καὶ πολλὴ ἡ ἐπίτασις τῆς φιλοσοφίας, κατάμαθε πῶς μὲν, ἡνίκα ὁ νόμος ἐκράτει, τὰ τῶν ἀνθρώπων διέκειτο πράγματα, πῶς δὲ νῦν, ἐπειδὴ ἡ χάρις ἔλαμψεν. ἃ γὰρ μηδενὶ πρότερον ἐδόκει εἶναι δυνατὰ, παρθενία καὶ θανάτου ὑπεροψία, καὶ τῶν ἄλλων τῶν πλειόνων παθῶν, ταῦτα πανταχοῦ τῆς οἰκουμένης κατώρθωται νῦν. καὶ οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ Σκύθαις, καὶ Θρᾳξὶ, καὶ Ἰνδοῖς, καὶ Πέρσαις, καὶ ἑτέροις δὲ βαρβάροις πλείοσι, καὶ παρθένων χοροὶ, καὶ μαρτύρων δῆμοι, καὶ μοναχῶν συμμορίαι, καὶ πλείους οὗτοι λοιπὸν τῶν γεγαμηκότων εἰσὶ, καὶ νηστείας ἐπίτασις, καὶ ἀκτημοσύνης ὑπερβολή. ἅπερ, πλὴν ἑνὸς, ἢ δυσὶ, οὐδὲ φαντασθῆναι ὄναρ οἱ κατὰ τὸν νόμον ἠδυνήθησαν πολιτευόμενοι. ὁρῶν τοίνυν σάλπιγγος λαμπροτέραν βοῶσαν τὴν τῶν πραγμάτων ἀλήθειαν, μὴ καταμαλακίζου, μηδὲ προδίδου τὴν τοσαύτην χάριν. οὐδὲ γὰρ δυνατὸν οὐδὲ μετὰ τὴν πίστιν ῥαθυμοῦντα σωθῆναι. εὔκολα γὰρ τὰ παλαίσματα, ἵνα νικήσῃς ἀγωνιζόμενος, οὐχ ἵνα καθεύδῃς, οὐδ' ἵνα τῷ μεγέθει τῆς χάριτος πρὸς ῥαθυμίας ὑπόθεσιν ἀποχρήσῃ, τῷ βορβόρῳ πάλιν ἐγκαλινδούμενος τῷ προτέρῳ. διὸ καὶ ἐπάγει λέγων,

8 Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. Τί οὖν; κατακόψωμεν τὸ σῶμα, φησὶν, ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ ἐξέλθωμεν ἀπὸ τῆς σαρκός; καὶ ἀνδροφόνους ἡμᾶς εἶναι κελεύεις, ἐντεῦθεν ἀρετὴν ἄγων; ὁρᾷς πόσα ἄτοπα τίκτεται, ἐὰν ἁπλῶς τὰ λεγόμενα ἐκδεχώμεθα; σάρκα γὰρ ἐνταῦθα οὐ τὸ σῶμά φησιν, οὐδὲ τὴν οὐσίαν τοῦ σώματος, ἀλλὰ τὸν σαρκικὸν βίον, καὶ κοσμικὸν, καὶ τρυφῆς καὶ ἀσωτίας γέμοντα, τὸν ὅλον σάρκα ποιοῦντα τὸν ἄνθρωπον. ὥσπερ γὰρ οἱ τῷ πνεύματι πτερούμενοι καὶ τὸ σῶμα πνευματικὸν ἐργάζονται· οὕτως οἱ τούτου μὲν ἀποπηδῶντες, γαστρὶ δὲ καὶ ἡδονῇ δουλεύοντες, καὶ τὴν ψυχὴν σάρκα ποιοῦσιν, οὐ τὴν οὐσίαν αὐτῆς μεταβάλλοντες, ἀλλὰ τὴν εὐγένειαν αὐτῆς ἀπολλύντες. καὶ ἔστι τῆς λέξεως ὁ τρόπος καὶ ἐν τῇ παλαιᾷ πανταχοῦ κεῖται, σάρκα σημαίνων τὸν παχὺν καὶ πηλώδη βίον, καὶ ἡδοναῖς ἐμπεπλεγμένον ἀτόποις. καὶ γὰρ τῷ Νῶε φησιν, Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. καίτοι καὶ αὐτὸς ὁ Νῶε σάρκα περιέκειτο· ἀλλ' οὐκ ἦν τοῦτο ἔγκλημα τὸ περικεῖσθαι σάρκα (τοῦτο γὰρ τῆς φύσεως) ἀλλὰ τὸ σαρκικὸν αἱρεῖσθαι βίον. διὸ τοῦτο καὶ ὁ Παῦλός φησιν, οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται· καὶ ἐπάγων, Gen. 5. γ.

9 Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. Οὐχ ἁπλῶς σάρκα λέγων πάλιν, ἀλλὰ τὴν τοιαύτην σάρκα, τὴν συνεχομένην ὑπὸ τῶν παθῶν, τῶν τυραννουμένην. καὶ τίνος ἕνεκεν, φησιν, οὐχ οὕτως εἶπεν, οὐδὲ τὴν διαφορὰν τέθεικε; ἐπαίρων τὸν ἀκροατὴν, καὶ δεικνὺς ὅτι οὐδὲ ἐν σώματι ἔσται ὁ ὀρθῶς βιῶν. ἐπειδὴ γὰρ τὸ ἐν ἁμαρτίᾳ μὴ εἶναι τὸν πνευματικὸν, πάντι που δῆλόν ἐστι, τὸ μεῖζον τέθεικεν, ὅτι οὐ μόνον ἐν ἁμαρτίᾳ, ἀλλ' ὅτι οὐδὲ ἐν σαρκὶ λοιπόν ἐστιν ὁ πνευματικὸς ἄνθρωπος, ἄγγελος ἐντεῦθεν ἤδη γινόμενος, καὶ πρὸς τὸν οὐρανὸν ἀναβὰς, καὶ λοιπὸν τὸ σῶμα ἁπλῶς περιφέρων. εἰ δὲ διὰ τοῦτο τὴν σάρκα διαβάλλεις, ἐπειδὴ τῷ ὀνόματι αὐτῆς τὸν σαρκικὸν καλεῖ βίον· καὶ τὸν κόσμον οὕτω διαβαλεῖς, ἐπειδὴ καὶ ἐντεῦθεν ἡ πονηρία καλεῖται πολλάκις, καθάπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστὸς, Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου· καὶ τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ ἔλεγε πάλιν, Οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ. καὶ τὴν ψυχὴν ἀλλοτρίαν εἶναι φήσεις τοῦ Θεοῦ, ἐπειδὴ οὐκ Ioan. 15. 18. Ioan. 7. 7.

ἐν

ἐν πλάνῃ ζῶντας, ψυχικοὺς ἐκάλεσεν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὐ γὰρ ἁπλῶς ταῖς λέξεσιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος ἀναγκαῖον πανταχοῦ προσέχειν, καὶ τὴν ἀκριβῆ τῶν εἰρημένων εἰδέναι διαίρεσιν. τὰ μὲν γάρ ἐστιν ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ μέσα. οἷον ψυχή, καὶ σάρξ, τῶν μέσων ἐστί, καὶ τοῦτο κἀκεῖνο γενέσθαι δυνάμενον. τὸ δὲ πνεῦμα, τῶν ἀγαθῶν ἀεί, καὶ οὐδέποτε ἕτερόν τι γινόμενον. πάλιν τὸ φρόνημα τῆς σαρκός, τουτέστιν, ἡ πονηρὰ πρᾶξις, τῶν ἀεὶ κακῶν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. δεῖ τοίνυν τῷ βελτίονι δοῦναι τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐλευθέρους τῆς ἐκείνου μερίδος· ἂν παραχείρῃ πάλιν, τῆς ἐνταῦθα ἀπωλείας κατέστης κοινωνός, οὐ παρὰ τὴν φύσιν τῆς ψυχῆς καὶ τῆς σαρκός, ἀλλὰ παρὰ τὴν γνώμην τὴν κυρίαν ἀμφότερα ταῦτα ἑλέσθαι. καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ οὐ σαρκὸς διαβολὴ τὰ εἰρημένα, πάλιν αὐτὴν μεταχειρίσαντες τὴν λέξιν, ἐξετάσωμεν ἀκριβέστερον. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, φησί. Τί οὖν; οὐκ ἦσαν ἐν σαρκί, ἀλλ' ἀσώματοι περιῄεσαν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁρᾷς ὅτι τὸν σαρκικὸν βίον ᾐνίξατο; καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν ἁμαρτίᾳ; ἵνα μάθῃς ὅτι οὐ τὴν τυραννίδα τῆς ἁμαρτίας ἔσβεσε μόνον ὁ Χριστός, ἀλλὰ καὶ τὴν σάρκα κουφοτέραν καὶ πνευματικωτέραν ἐποίησεν, οὐ τῷ τὴν φύσιν μεταβαλεῖν, ἀλλὰ τῷ πτερῶσαι μᾶλλον αὐτήν. καθάπερ γὰρ πυρὸς ὁμιλοῦντος σιδήρῳ, καὶ ὁ σίδηρος γίνεται πῦρ ἐν τῇ οἰκείᾳ μένων φύσει· οὕτω καὶ τῶν πιστῶν καὶ πνεῦμα ἐχόντων ἡ σὰρξ λοιπὸν πρὸς ἐκείνην μεθίσταται τὴν ἐνέργειαν, ὅλη πνευματικὴ γινομένη, σταυρουμένη πάντοθεν, καὶ τῇ ψυχῇ συνδιαπτερουμένη. οἷον ἦν καὶ τὸ σῶμα τοῦ ταῦτα λέγοντος. διὸ τρυφῆς μὲν ἁπάσης καὶ ἡδονῆς κατεγέλα, ἐνετρύφα δὲ λιμῷ καὶ μάστιξι καὶ δεσμωτηρίοις, καὶ οὐδὲ ἤλγει ταῦτα πάσχων. καὶ τοῦτο δηλῶν ἔλεγε, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν· οὕτως ἦν καλός, καὶ τὴν σάρκα παιδεύσας συντρέχειν τῷ πνεύματι. Εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Τὸ εἴπερ τοῦτο πολλαχοῦ οὐκ ἀμφιβάλλων τίθησιν, ἀλλὰ καὶ σφόδρα πιστεύων, καὶ ἀντὶ τοῦ ἐπείπερ, ὡς ὅταν λέγῃ, Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν· πάλιν, Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει. Οὐκ εἶπεν, εἰ δὲ ὑμεῖς οὐκ ἔχετε, ἀλλ' ἐπ' ἄλλων περιήγαγε τὸ λυπηρόν.

ἰσ. δυνάμ[...]

β Κορ. δ. ιζ.

α. Θεσ. γ. ε.
Γαλ. γ. δ.

Οὗτος οὐκ ἔστιν αὐτοῦ, φησί. 10 Εἰ δὲ Χριστὸς ἐν ὑμῖν. Πάλιν τὸν Χριστὸν ἐπ' αὐτῶν. καὶ τὸ μὲν λυπηρὸν, βραχὺ καὶ μέσον· τὸ δὲ ποθεινόν, ἑκατέρωθεν, καὶ διὰ πολλῶν, ὥστε ἐκεῖνο συσκιάσαι. τοῦτο δὲ ἔλεγεν, οὐ τὸ πνεῦμα Χριστὸν λέγων, ἄπαγε, ἀλλὰ δεικνὺς ὅτι ὁ τὸ πνεῦμα ἔχων, οὐ μόνον τοῦ Χριστοῦ χρηματίζει, ἀλλὰ καὶ αὐτὸν ἔχει τὸν Χριστόν. οὐ γάρ ἐστι, πνεύματος παρόντος, μὴ καὶ Χριστὸν παρεῖναι. ὅπου γὰρ μία τῆς Τριάδος ὑπόστασις πάρῃ, πᾶσα πάρεστιν ἡ Τριάς. ἀδιασπάστως γὰρ ἔχει πρὸς ἑαυτήν, καὶ ἥνωται μετ' ἀκριβείας ἁπάσης. καὶ τί ἔσται, φησίν, ἐὰν ᾖ Χριστὸς ἐν ὑμῖν; Τὸ μὲν σῶμα, νεκρὸν δι' ἁμαρτίαν· τὸ δὲ πνεῦμα, ζωὴ διὰ δικαιοσύνην. Εἶδες ὅσα κακὰ ἐκ τοῦ μὴ ἔχειν πνεῦμα ἅγιον; θάνατος, ἔχθρα εἰς Θεόν, τὸ μὴ δύνασθαι ἀρέσαι τοῖς ἐκείνου νόμοις, τὸ μὴ εἶναι ὡς χρὴ τοῦ Χριστοῦ, τὸ μὴ ἔχειν αὐτὸν ἐνοικοῦν. σκόπει τοίνυν καὶ ὅσα ἀγαθὰ ἐκ τοῦ πνεῦμα ἔχειν· τὸ Χριστοῦ εἶναι, τὸ αὐτὸν ἔχειν τὸν Χριστόν, τὸ τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι. τοῦτο γάρ ἐστι νεκρῶσαι τὴν σάρκα, τὸ ζωὴν ἀθάνατον ζῆν, τὸ ἐντεῦθεν ἤδη τῆς ἀναστάσεως ἔχειν τὰ ἐνέχυρα, τὸ μετ' εὐκολίας τὸν τῆς ἀρετῆς τρέχειν δρόμον. οὐδὲ γὰρ εἶπεν, ἀργεῖ τὸ σῶμα λοιπὸν τὴν ἁμαρτίαν, ἀλλὰ καὶ νεκρὸν εἶναι, ἐπιτείνων τὴν εὐκολίαν τῶν δρόμων. χωρὶς δὲ πραγμάτων καὶ πόνων ὁ τοιοῦτος στεφανοῦται. λοιπὸν διὰ τοῦτο καὶ τῇ ἁμαρτίᾳ προσέθηκεν· ἵνα μάθῃς, ὅτι τὴν πονηρίαν, ἀλλ' οὐ τὴν φύσιν τοῦ σώματος καθάπαξ ἀνεῖλεν. εἰ γὰρ τοῦτο γένοιτο, πολλὰ καὶ τῶν τὴν ψυχὴν ὠφελῆσαι δυναμένων ἀνῄρηται. οὐ τοίνυν τοῦτό φησιν, ἀλλὰ ζῶν καὶ μένον, νεκρὸν εἶναι βούλεται. τοῦτο γὰρ

χ. ἐκ τοῦ Χριστοῦ

χ. τῇ[...] τὸν δρόμ[...]

γ. Χριστὸν
γ. τῆς ἁμαρτίας

τοῦ τὸν υἱὸν ἔχειν, τοῦ τὸ πνεῦμα ἐν ἡμῖν εἶναι σημεῖόν ἐστι, τὸ μηδὲν τῶν ἐν τῇ σορῷ κειμένων σωμάτων διαφέρειν ἡμῶν τὰ σώματα πρὸς τὴν τοῦ σώματος ἐργασίαν. ἀλλὰ μὴ φοβηθῇς, νέκρωσιν ἀκούσας. ἔχεις γὰρ τὴν ὄντως ζωὴν, ἣν οὐδεὶς διαδέξεται θάνατος. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος· οὐκ ἔχει θανάτῳ λοιπὸν, ἀλλ' ἀναλίσκει θάνατον καὶ δαπανᾷ, καὶ ὅπερ ἔλαβεν, ἀθάνατον διατηρεῖ. διόπερ εἰπὼν, τὸ σῶμα νεκρὸν, οὐκ εἶπε, τὸ πνεῦμα ζῶν, ἀλλὰ ζωὴν, ἵνα δείξῃ τὸ ἑτέροις τοῦτο δυνάμενον παρασχεῖν. εἶτα πάλιν ἐπισφίγγων τὸν ἀκροατὴν, λέγει καὶ τὴν αἰτίαν τῆς ζωῆς καὶ τὴν ἀπόδειξιν. αὕτη δέ ἐστιν ἡ δικαιοσύνη. ἁμαρτίας γὰρ οὐκ οὔσης, οὐδὲ θάνατος φαίνεται· θανάτου δὲ μὴ φαινομένου, ἀκατάλυτος ζωή.

γ. ὑμῶν. γ. ἡμῶν, γ. ἡμῖν.

11 Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Κύριον, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν.

Πάλιν τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, ἐπειδὴ αὕτη μάλιστα τὸν ἀκροατὴν εἴληφεν ἡ ἐλπὶς, καὶ βεβαιοῖ αὐτὴν ἀπὸ τῶν ἐπὶ τοῦ Χριστοῦ συμβαινόντων. μὴ γὰρ δὴ φοβηθῇς, φησὶν, ὅτι νεκρὸν περίκεισαι σῶμα. ἔχε τὸ πνεῦμα, καὶ ἀναστήσεται πάντως. τί οὖν; τὰ μὴ ἔχοντα πνεῦμα σώματα οὐκ ἀνίσταται; καὶ πῶς ἅπαντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ; πῶς δὲ ὁ τῆς γεέννης ἀξιόπιστος ἔσται λόγος; εἰ γὰρ οἱ μὴ ἔχοντες πνεῦμα, οὐκ ἀνίστανται, οὐδὲ γέεννα ἔσται. τί οὖν ἐστι τὸ λεγόμενον; πάντες μὲν ἀναστήσονται, οὐ πάντες δὲ εἰς ζωὴν, ἀλλ' οἱ μὲν εἰς κόλασιν, οἱ δὲ εἰς ζωήν. διὰ τοῦτο οὐκ εἶπεν, ἀναστήσει, ἀλλὰ ζωοποιήσει· ὃ πλέον τῆς ἀναστάσεως ἦν, καὶ τοῖς δικαίοις μόνοις δεδωρημένον. καὶ τὴν αἰτίαν τῆς τοσαύτης τιμῆς τιθεὶς, προσέθηκε λέγων, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν. ὥστε ἂν ἀπελάσῃς ἐνταῦθα ὢν τοῦ πνεύματος τὴν χάριν, καὶ μὴ σώαν αὐτὴν ἔχων ἀπέλθῃς, ἀπολῇ πάντως, κἂν ἀναστῇς. ὥσπερ γὰρ οὐκ ἀνέχεται, τὸ πνεῦμα αὐτοῦ λάμπον ὁρῶν ἐν σοὶ τότε, κολάσει σε παραδοῦναι, οὕτως οὐ καταδέξεται, ἐσβεσμένον ἰδὼν, εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν, καθάπερ οὐδὲ τὰς παρθένους ἐκείνας. Ῥωμ. ιδ. ι. α. Κορ. ιε.

γ. ἔχοντα

Μὴ τοίνυν ἀφῇς ζῆσαι τὸ σῶμα νῦν, ἵνα τότε ζήσῃ. ποίησον αὐτὸ ἀποθανεῖν, ἵνα μὴ ἀποθάνῃ. ἐὰν γὰρ μένῃ ζῶν, οὐ ζήσεται· ἐὰν δὲ ἀποθάνῃ, τότε ζήσεται. τοῦτο καὶ ἐπὶ τῆς ἀναστάσεως γίνεται τῆς καθόλου. πρότερον γὰρ ἀποθανεῖν αὐτὸ δεῖ καὶ ταφῆναι, καὶ τότε γενέσθαι ἀθάνατον. τοῦτο καὶ ἐν τῷ λουτρῷ γέγονεν· ἐσταυρώθη γοῦν τὸ πρότερον καὶ ἐτάφη, καὶ τότε ἠγέρθη. τοῦτο καὶ ἐπὶ τοῦ σώματος τοῦ κυριακοῦ. καὶ γὰρ καὶ ἐκεῖνο ἐσταυρώθη, καὶ ἐτάφη, καὶ τότε ἀνέστη. τοῦτο τοίνυν καὶ ἡμεῖς ποιῶμεν ἐπὶ τῶν ἔργων αὐτῶν διηνεκῶς αὐτὸ νεκρώσωμεν. οὐχὶ τὴν οὐσίαν λέγω, μὴ γένοιτο, ἀλλὰ τὰς ὁρμὰς τὰς ἐπὶ τὰς πονηρὰς πράξεις. καὶ γὰρ καὶ τοῦτο ζωὴ, μᾶλλον δὲ τοῦτο μόνον ζωὴ, τὸ μηδὲν ἀνθρώπινον ὑπομένειν, μηδὲ ἡδοναῖς δουλεύειν. ὁ γὰρ ταύταις ἑαυτὸν ὑποτάξας, οὐδὲ ζῆν δύναται λοιπὸν διὰ τὰς ἐξ αὐτῶν ἀθυμίας, καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ τῶν μυρίων παθῶν ἑσμόν. ἄν τε γὰρ θάνατος προσδοκηθῇ, τέθνηκε πρὸ τοῦ θανάτου τῷ δέει· ἄν τε νόσον ὑποπτεύσῃ, ἂν ὕβριν, ἂν πενίαν, ἂν ἄλλο τι τῶν ἀδοκήτων, ἀπώλετο καὶ διέφθαρται. τί τοίνυν τῆς ζωῆς ταύτης γένοιτ' ἂν ἀθλιώτερον; ἀλλ' οὐχ ὁ τῷ πνεύματι ζῶν τοιοῦτος, ἀλλὰ καὶ φόβων, καὶ λύπης, καὶ κινδύνων, καὶ μεταβολῆς ἁπάσης ἕστηκεν ἀνώτερος· οὐ τῷ μηδὲν ὑπομένειν, ἀλλ', ὃ πολλῷ μεῖζόν ἐστι, τῷ καὶ ἐπιόντων αὐτῶν καταφρονεῖν. πῶς δὲ τοῦτο ἔσται; ἐὰν τὸ πνεῦμα διόλου κατοικῇ ἐν ἡμῖν. οὐδὲ γὰρ ἁπλῶς αὐτὸ εἶπεν οἰκεῖν πρὸς βραχὺ, ἀλλ' ἐνοικεῖν διηνεκῶς. διὰ τοῦτο οὐκ εἶπε, τὸ ἐνοικῆσαν πνεῦμα, ἀλλὰ, τὸ ἐνοικοῦν, τὴν διόλου μονὴν ἐνδεικνύμενος. ἐνοικοῦν ζωὴν οὗτος μάλιστά ἐστιν ὁ νεκρωθεὶς τῷ βίῳ. διὸ καὶ ἔλεγε, τὸ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. καὶ ἵνα σαφέστερον τὸ λεγόμενον γένηται, δύο παράγωμεν ἀνθρώπους, τὸν μὲν ἐκδεδομένον ἀσωτίαις, καὶ ἡδοναῖς, καὶ τῇ ἀπάτῃ τοῦ βίου· τὸν δὲ

ΗΘΙΚΟΝ

γ. ἐκεῖνο
γ. ἀτιμίας,

νενεκρωμένον τούτοις· καὶ ἴδωμεν τίς ἐστι μᾶλλον ὁ ζῶν. ἔστω γὰρ τοῖν δυοῖν τούτοιν ὁ μὲν σφόδρα πλούσιος καὶ ἐπίσημος, παρασίτους τρέφων καὶ κόλακας, καὶ πᾶσαν εἰς τοῦτο ἀναλισκέτω τὴν ἡμέραν, κωμάζων καὶ κραιπαλῶν· ὁ δὲ ἕτερος, πενίᾳ συζῶν, καὶ νηστείᾳ, καὶ τῇ λοιπῇ σκληραγωγίᾳ τε καὶ φιλοσοφίᾳ, ἐν ἑσπέρᾳ τῆς ἀναγκαίας μεταλαμβανέτω τροφῆς μόνον, ἢ εἰ βούλει, καὶ δύο, τρεῖς ἄσιτος ἡμέρας μενέτω. τίς οὖν ἡμῖν ἔσται ἐκ τῶν δύο τούτοιν ὁ μάλιστα ζῶν; οἱ μὲν πολλοὶ εὖ οἶδ' ὅτι ἐκεῖνον ἡγήσονται, τὸν σκιρτῶντα, καὶ σκορπίζοντα τὰ αὐτοῦ· ἡμεῖς δὲ ἐκεῖνον τὸν συμμετρίας ἀπολαύοντα. (χ. τρυφῶν) ἐκεῖ οὖν ἐπὶ τούτων μάχη καὶ φιλονεικία τέως ἐστὶ, εἰς τὰς ἑκατέρων εἰσέλθωμεν οἰκίας, καὶ τότε μάλιστα, ὅτε σοι μάλιστα δοκεῖ ζῆν ὁ πλούσιος, ἐν αὐτῷ τῷ καιρῷ τῆς τρυφῆς, καὶ εἰσελθόντες κατίδωμεν ἐν τίσιν ἐστὶν ἑκάτερος τούτων. ἀπὸ γὰρ τῶν πράξεων, καὶ ὁ ζῶν, καὶ ὁ τεθνηκὼς φαίνεται. ἐκεῖ οὖν τὸν μὲν ἐν βιβλίοις εὑρήσομεν ὄντα, ἢ ἐν εὐχῇ καὶ νηστείᾳ, ἢ ἐν ἄλλῳ τινὶ τῶν ἀναγκαίων ἐγρηγορότα, καὶ νήφοντα, καὶ θεῷ διαλεγόμενον· τὸν δὲ ὑπὸ τῆς μέθης βαπτισθέντα, καὶ νεκροῦ οὐδὲν ἄμεινον διακείμενον ὀψόμεθα. κἂν μέχρι τῆς ἑσπέρας μείνωμεν, πλείονα τὸν θάνατον τοῦτον ἐπιόντα αὐτῷ θεασόμεθα, κἀκεῖθεν πάλιν ὕπνον διαδεχόμενον· τὸν δὲ καὶ ἐν νυκτὶ νήφοντα καὶ ἐγρηγορότα. τίνα οὖν εἴποιμεν μᾶλλον ζῆν, τὸν ἀναισθήτως κείμενον, καὶ προκείμενον ἅπασι γέλωτα· ἢ τὸν ἐνεργοῦντα, καὶ θεῷ διαλεγόμενον; ἐκείνῳ μὲν γὰρ ἂν προσέλθῃς καὶ εἴπῃς τι τῶν ἀναγκαίων, οὐδὲν ἀκούσῃ φθεγγομένου, ὥσπερ οὐδὲ τοῦ νεκροῦ· τούτῳ δὲ κἂν ἐν νυκτὶ, κἂν ἐν ἡμέρᾳ συγγενέσθαι ἐπιθυμήσῃς, ἄγγελον μᾶλλον ὄψει ἢ ἄνθρωπον, καὶ φιλοσοφοῦντα ἀκούσῃ περὶ τῶν ἐν οὐρανῷ πραγμάτων. ὁρᾷς ὅτι ὁ μὲν ὑπὲρ τοὺς ζῶντας ἅπαντας ζῇ, ὁ δὲ καὶ τεθνηκότων ἐλεεινότερον κεῖται; κἂν ἐνεργεῖν δόξῃ, ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ, καὶ τοῖς μαινομένοις ἔοικε, μᾶλλον δὲ ἐκείνων ἐστὶν ἀθλιώτερος. εἰς ἐκείνους μὲν γὰρ ἄν τις ὑβρίσῃ, καὶ ἐλεοῦμεν πάντες τοὺς ὑβριζομένους, καὶ ἐπιτιμῶμεν τῷ ὑβρίζοντι. τοῦτον δὲ κἂν ἀσχημονοῦντά τινα ἴδωμεν, οὐ μόνον οὐκ ἐπικαμπτόμεθα εἰς ἔλεον, ἀλλὰ καὶ καταψηφιζόμεθα αὐτοῦ κειμένου. τοῦτο οὖν, εἰπέ μοι, ζωή; ἀλλ' οὐ μυρίων θανάτων χαλεπώτερον; ὁρᾷς ὅτι οὐ μόνον νεκρὸς ὁ τρυφῶν, ἀλλὰ καὶ νεκροῦ χείρων, καὶ δαιμονῶντος ἀθλιώτερος; ὁ μὲν γὰρ ἐλεεῖται, ὁ δὲ μισεῖται· καὶ ὁ μὲν συγγνώμης ἀπολαύει, ὁ δὲ κόλασιν δίδωσιν ὑπὲρ ὧν νοσεῖ. εἰ δὲ ἔξωθεν οὕτως ἐστὶ καταγέλαστος, σεσηπότα σίελον ἔχων, καὶ οἴνου πνέων ὀδωδότος, ἐννόησον τὴν ἀθλίαν ψυχὴν τὴν ὥσπερ ἐν τάφῳ τοιούτῳ σώματι κατορυγμένην πῶς εἰκὸς διακεῖσθαι. ταύτην γὰρ ἐστιν ἰδεῖν, οἷον ἂν εἰ κόρη κοσμία καὶ σώφρονι καὶ ἐλευθέρᾳ καὶ εὐγενεῖ καὶ καλῇ θεραπαινίδα βάρβαρόν τινα καὶ αἰσχρὸν καὶ ἀκάθαρτον ἐναλλέσθαι καὶ ἐνυβρίζειν μετὰ πολλῆς παρασκευάσειε τῆς ἐξουσίας. τοιοῦτον γὰρ ἡ μέθη. τίς οὖν οὐκ ἂν ἕλοιτο τῶν νοῦν ἐχόντων μυριάκις ἀποθανεῖν, ἢ μίαν οὕτω ζῆσαι ἡμέραν; καὶ γὰρ ἡμέρας γινομένης ἐκ τῆς κωμῳδίας ἐκείνης ἀναστὰς δόξῃ νήφειν, οὐδὲ τότε καθαρᾶς ἀπολαύει σωφροσύνης, ἔτι τῆς νεφέλης ἐκείνης τῆς ἀπὸ τοῦ χειμῶνος τῆς μέθης περὶ τῶν ὀφθαλμῶν ἱσταμένης. εἰ δὲ καὶ δοίη αὐτὸν καθαρῶς νήφειν, τί τὸ ὄφελος; εἰς οὐδὲν γὰρ αὐτῷ χρήσιμος * ἡ νῆψις αὕτη, ἀλλ' ἢ εἰς τὸ τοὺς κατηγόρους ἰδεῖν. (* ὦ) ὅταν μὲν γὰρ ἀσχημονῇ, τοσοῦτον κερδαίνει, ὅσον οὐκ αἰσθάνεται τῶν γελώντων· ἡμέρας δὲ γινομένης, καὶ ταύτην ἀπόλλυσι τὴν παραμυθίαν, καὶ οἰκετῶν χλευαζόντων, καὶ γυναικὸς αἰσχυνομένης, καὶ φίλων διαβαλλόντων, καὶ ἐχθρῶν καταγελώντων αἰσθανόμενος. τί ταύτης ἐλεεινότερον γένοιτ' ἂν τῆς ζωῆς, πλύνεσθαι μὲν ἡμέραν ὑπὸ πάντων, καὶ δείλης καὶ πάλιν τὰ αὐτὰ ἀσχημονεῖν; ἀλλὰ τί; βούλει τοὺς πλεονέκτας εἰς μέσον ἀγάγωμεν; καὶ γὰρ αὕτη πάλιν ἑτέρα μέθη χαλεπωτέρα. εἰ δὲ μέθη, καὶ θάνατος πάντως πολλῷ χείρων ἐκείνου, ἐπειδὴ καὶ ἡ μέθη χαλεπωτέρα. οὐ γὰρ οὕτως ὁ ἐν οἴνῳ μεθύει, ὡς ἐπιθυμίᾳ χρημάτων. ἐκεῖ μὲν γὰρ ἡ ζημία μέχρι τοῦ πάθους ἵσταται, καὶ εἰς ἀναισθησίαν τελευτᾷ, καὶ

τὴν αὐτὴν τοῦ μεθύοντος ἀπώλειαν· ἐνταῦθα δὲ εἰς μυρίας ἡ βλάβη διαφθείρει ψυχάς, ποικίλους πάντοθεν ἀναπλάττουσα πολέμους. φέρε οὖν, καὶ τοῦτον ἐκείνῳ παραβάλωμεν, καὶ ἴδωμεν ἐν τίσι μὲν αὐτοῖς κοινωνεῖ, ἐν τίσι δὲ αὐτοῦ πλεονεκτεῖ πάλιν, καὶ μεθυόντων ποιήσωμεν σήμερον σύγκρισιν. πρὸς γὰρ ἐκεῖνον τὸν μακάριον, τὸν πνεύματι ζῶντα, μηδὲ παραβαλέσθωσαν οὗτοι λοιπόν, ἀλλὰ πρὸς ἀλλήλους ἐξεταζέσθωσαν. καὶ πάλιν τὴν τράπεζαν εἰς μέσον ἀγάγωμεν, τὴν μυρίων γέμουσαν φόνων. ἐν τίσιν οὖν κοινωνοῦσι, καὶ ἀλλήλοις ἐοίκασιν; ἐν αὐτῇ τῇ τοῦ νοσήματος φύσει. τὸ μὲν γὰρ εἶδος τῆς μέθης, διάφορον ἐστί· τὸ μὲν ἐξ οἴνου, τὸ δὲ ἀπὸ χρημάτων γίνεται. τὸ δὲ πάθος, ὅμοιον· καὶ γὰρ ὁμοίως ἀμφότεροι ἐπιθυμίᾳ ἀτόπῳ κατέχονται. ὅ τε γὰρ οἴνῳ μεθύων, ὅσῳ ἂν πλείους ἐκπίῃ κύλικας, τοσούτων πλειόνων ἐφίεται· ὅ τε χρημάτων ἐρῶν, ὅσῳπερ ἂν περιβάληται πλείω, τοσούτῳ μᾶλλον ἀνάπτει τῆς ἐπιθυμίας τὴν φλόγα, καὶ χαλεπώτερον αὐτῷ κατασκευάζει τὸ δίψος. τούτῳ μὲν οὖν ἐοίκασιν· ἑτέρῳ δὲ αὖ πάλιν ὁ φιλάργυρος πλεονεκτεῖ. ποίῳ δὴ τούτῳ; ὅτι ἐκεῖνος μὲν πρᾶγμα πάσχει κατὰ φύσιν. ὁ γὰρ οἶνος θερμὸς ὤν, καὶ τὴν ἔμφυτον ἐπιτείνων ξηρότητα, οὕτω τοὺς μεθύοντας ποιεῖ διψῆν. ἐκεῖνος δὲ πόθεν ἀεὶ πλειόνων ἐφίεται; πόθεν, ἐπειδὰν μειζόνως πλουτήσῃ, τότε μάλιστά ἐστιν ἐν πενίᾳ; ἄπορον γὰρ τοῦτο τὸ πάθος, καὶ αἰνίγματι μᾶλλόν ἐστιν ἐοικός. ἀλλ' ἴδωμεν αὐτούς, εἰ δοκεῖ, καὶ μετὰ τὴν μέθην. μᾶλλον δὲ τὸν φιλάργυρον οὐδέποτέ ἐστιν ἰδεῖν μετὰ τὴν μέθην· οὕτως ἐν τῷ μεθύειν ἐστὶν ἀεί. οὐκοῦν ἐν αὐτῷ τῷ μεθύειν ὄντας ἀμφοτέρους ἴδωμεν, καὶ διασκεψώμεθα τίς μᾶλλόν ἐστι καταγέλαστος, καὶ σχηματίσωμεν αὐτοὺς ἀκριβῶς πάλιν ὑπογράφοντες. ὀψόμεθα τοίνυν τὸν ἐξ οἴνου παραπαίοντα, γινομένης ἑσπέρας, τῶν ὀφθαλμῶν ἀνεῳγμένων, οὐδένα βλέποντα, ἀλλὰ ἁπλῶς καὶ εἰκῇ περιφερόμενον, καὶ τοῖς ἀπαντῶσιν ἐγκρούοντα, καὶ ἐμοῦντα, καὶ παρατιλλόμενον, καὶ γυμνούμενον ἀσχημόνως. κἂν γυνὴ παρῇ, κἂν θυγάτηρ, κἂν θεραπαινίς, κἂν ὁστισοῦν, ἐγγελάσεται δαψιλές. οὐκοῦν καὶ τὸν πλεονέκτην φέρε εἰς μέσον ἀγάγωμεν. ἐνταῦθα γὰρ οὐ γέλωτος τὰ γινόμενα μόνον, ἀλλὰ καὶ ἀρᾶς, καὶ πολλοῦ τοῦ θυμοῦ, καὶ μυρίων σκηπτῶν. τέως μέντοι τὸν γέλωτα ἴδωμεν. καὶ γὰρ καὶ οὗτος ὁμοίως ἐκείνῳ πάντας ἀγνοεῖ, καὶ φίλους, καὶ ἐχθρούς· καὶ ὁμοίως τῶν ὀφθαλμῶν ἀνεῳγμένων, πεπήρωται· καὶ ὥσπερ ἐκεῖνος πάντα οἶνον, οὕτω καὶ οὗτος πάντα χρήματα βλέπει. καὶ ὁ ἔμετος δὲ πολὺ χαλεπώτερος. οὐ γὰρ τροφὰς προΐεται, ἀλλὰ ῥήματα λοιδορίας, ὕβρεων, πολέμων, θανάτων, μυρίους ἄνωθεν κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἕλκοντα κεραυνούς. καὶ οἷόν ἐστι τὸ σῶμα τοῦ μεθύοντος πελιδνόν, καὶ διαρρέον, τοιαύτη καὶ ἡ ἐκείνου ψυχή. μᾶλλον δὲ οὐδὲ τὸ σῶμα αὐτοῦ τῆς νόσου ταύτης ἀπήλλακται, ἀλλὰ καὶ μᾶλλον ἁλίσκεται, οἴνου χαλεπώτερον τῆς φροντίδος, καὶ τοῦ θυμοῦ, καὶ τῆς ἀγρυπνίας κατεσθιούσης αὐτό, καὶ κατὰ μικρὸν δαπανώσης ἅπαν. καὶ ὁ μὲν οἰνοφλυγίᾳ κατεχόμενος, κἂν μετὰ τὴν νύκτα δύναται νήφειν· ὁ δὲ, διαπαντὸς μεθύει, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτί, καὶ ἐγρηγορώς, καὶ καθεύδων, δεσμώτου παντός, καὶ τῶν τὰ μέταλλα ἐργαζομένων, καὶ εἴ τις ἑτέρα ταύτης ἐστὶ χαλεπωτέρα τιμωρία, μείζονα διδοὺς δίκην. τοῦτο οὖν, εἰπέ μοι, ζωή, ἀλλ' οὐ θάνατος, μᾶλλον δὲ καὶ θανάτου παντὸς ἐλεεινότερον; ὁ μὲν γὰρ θάνατος ἀναπαύει τὸ σῶμα, καὶ γέλωτος, καὶ ἀσχημοσύνης, καὶ ἁμαρτημάτων ἀπαλλάττει· αὗται δὲ αἱ μέθαι, εἰς πάντα ταῦτα ἐμβάλλουσι, τὰς ἀκοὰς ἐμφράττουσαι, τοὺς ὀφθαλμοὺς πηροῦσαι, τὴν διάνοιαν ἐν πολλῷ τῷ σκότῳ κατέχουσαι. οὔτε γὰρ ἀκοῦσαι, οὔτε εἰπεῖν ἕτερόν τι ἀνέχεται, ἀλλ' ἢ τόκους, καὶ τόκους τόκων, καὶ ἀναίσχυντα κέρδη, καὶ καπηλείας μεμισημένας, καὶ πραγματείας ἀνελευθέρους καὶ δουλοπρεπεῖς, καθάπερ κύων πρὸς ἅπαντας ὑλακτῶν, πάντας μισῶν, πάντας ἀποστρεφόμενος, πολεμῶν ἅπασιν οὐδεμιᾶς ὑποκειμένης αἰτίας, πένησιν ἐπεξανιστάμενος, τοῖς πλουτοῦσι βασκαίνων, πρὸς οὐδένα ἡδέως ἔχων. κἂν γυναῖκα ἔχῃ, κἂν παιδία, κἂν φίλους, ἂν μὴ πάντοθεν ἐξῇ κερδαίνειν αὐτῷ, τῶν φύσει πολεμίων αὐτῷ

γρ. νόσου

γρ. ὅσον ἂν ... ἐκπίῃ

γρ. βάληται

γρ. φιλῶ

γρ. δίδωσι

οὕτω πολεμιώτερον. τί ταύτης τοίνυν τῆς μανίας γένοιτ᾽ ἂν χεῖρον; τί δὲ ἀθλιώτερον, ὅταν
αὐτὸς ἑαυτῷ πανταχοῦ σκοπέλους κατασκευάζῃ, καὶ ὑφάλους, καὶ κρημνοὺς, καὶ φά- ἴσ. ἑαυτῷ
ραγγας, καὶ μυρία βάραθρα, σῶμα ἔχων ἓν, καὶ γαστρὶ δουλεύων μιᾷ; κἂν μὲν εἰς
πολιτικάς τις ἐμβάλῃ σε λειτουργίας, δραπετεύεις, τὸ δαπανηρὸν δεδοικώς· σεαυτῷ
δὲ μυρία κατασκευάζεις πασῶν ἐκείνων ἔργα χαλεπώτερα, καὶ οὐχὶ δαπανηροτέρας
μόνον, ἀλλὰ καὶ σφαλερωτέρας λειτουργίας τῷ μαμμωνᾷ πληρούμενος, καὶ οὐ χρήμα-
τα μόνον τῷ πονηρῷ τούτῳ τυράννῳ, οὐδὲ πόνον σώματος, καὶ βάσανον ψυχῆς, καὶ
ἀλγηδόνας, ἀλλὰ καὶ αὐτὸ εἰσφέρων τὸ σῶμα, ἵνα τί σοι γένηται πλέον, ἄθλιε καὶ
ταλαίπωρε, ἐκ τῆς βαρβαρικῆς ταύτης δουλείας. οὐχ ὁρᾷς τοὺς καθ᾽ ἑκάστην ἡμέ-
ραν ἐπὶ τὰ μνήματα φερομένους, πῶς γυμνοὶ καὶ πάντων ἔρημοι πρὸς τοὺς τάφους ἐκεί-
νους ἀπάγονται, οὐδὲν τῶν οἴκοθεν λαβεῖν δυνάμενοι, ἀλλὰ καὶ αὐτὰ ἃ περιβάλλονται τῷ
σκώληκι φέροντες; τούτους καθ᾽ ἑκάστην σκόπει τὴν ἡμέραν, καὶ τάχα λωφήσει τὸ πάθος, χ. φέροντες
εἰ μὴ κἀκεῖθεν μέλλεις ἀπὸ τῆς πολυτελείας τῶν ἐνταφίων μαίνεσθαι μειζόνως. καὶ γὰρ
χαλεπὸν τὸ πάθος, καὶ δεινὸν τὸ νόσημα. διὰ δὴ τοῦτο καὶ ἡμεῖς καθ᾽ ἑκάστην ὑμῖν ἐκκλησί-
αν περὶ τούτου διαλεγόμεθα, καὶ συνεχῶς ἐπαντλοῦμεν ὑμῶν ταῖς ἀκοαῖς, ἵνα κἂν τῇ συνηθείᾳ
δυνηθείη γενέσθαι τι πλέον. ἀλλὰ μὴ φιλονεικήσατε· οὐδὲ γὰρ κατὰ τὴν μέλλουσαν ἡμέ-
ραν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνης πολλὰς τοῦτο τὸ ποικίλον πάθος ἐπάγει τὰς τιμωρίας.
κἂν γὰρ τοὺς διηνεκῶς δεδεμένους εἴπω, κἂν τὸν νόσῳ μακρᾷ προσηλωμένον, κἂν τὸν λι-
μῷ παλαίοντα, κἂν ὁντιναοῦν ἕτερον, οὐδένα δυνήσομαι δεῖξαι πάσχοντα τοιαῦτα, οἷα τοὺς
χρημάτων ἐρῶντας. τί γὰρ γένοιτο χαλεπώτερον τοῦ παρὰ πάντων μισεῖσθαι; τοῦ πάντας μι-
σεῖν; τοῦ πρὸς μηδένα ἡδέως ἔχειν; τοῦ μηδέποτε κορέννυσθαι; τοῦ διόλου διψῆν; τοῦ λιμῷ πα-
λαίειν διηνεκεῖ, καὶ χαλεπωτέρῳ τοῦ παρὰ πᾶσι νενομισμένου; τοῦ λύπας ἔχειν καθημερινάς;
τοῦ μηδέποτε νήφειν; τοῦ διὰ παντὸς ἐν θορύβοις εἶναι καὶ ταραχαῖς; ταῦτα γὰρ ἅπαντα καὶ
τούτων πλείονα οἱ πλεονέκται ὑφίστανται, ἐν μὲν τῷ κερδαίνειν, κἂν τὰ πάντων περιβά- χ. οἱ
λωνται, οὐδεμιᾶς αἰσθανόμενοι ἡδονῆς, τῷ πλειόνων ἐφίεσθαι· ἐν δὲ τῷ ζημιοῦ-
σθαι, κἂν ὀβολὸν ἀπολέσωσι, πάντων ἡγούμενοι χαλεπώτερα πεπονθέναι, καὶ αὐ-
τῆς ἐκπεπτωκέναι τῆς ζωῆς. ποῖος οὖν ταῦτα παραστῆσαι δυνήσεται λόγος τὰ κακά;
εἰ δὲ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον τὰ μετὰ ταῦτα, τὴν ἔκπτωσιν τῆς βασιλείας, τὴν ὀ-
δύνην τὴν ἀπὸ τῆς γεέννης, τὰ διηνεκῆ δεσμά, τὸ σκότος τὸ ἐξώτερον, τὸν σκώληκα τὸν ἰο-
βόλον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὴν θλίψιν, τὴν στενοχωρίαν, τοὺς τοῦ πυρὸς ποταμοὺς, τὰς
καμίνους τὰς μηδέποτε σβεννυμένας· καὶ ταῦτα ἅπαντα συναγαγὼν, καὶ τῇ τῶν χρημάτων
ἀντιστήσας ἡδονῇ, πρόρριζον ἀνάσπασον τοῦτο τὸ νόσημα, ἵνα τὸν ἀληθῆ πλοῦτον λαβὼν, καὶ
τῆς χαλεπῆς ταύτης πενίας ἀπαλλαγεὶς, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύ-
χῃς, χάριτι καὶ φιλανθρωπίᾳ.

ΛΟΓ. ιδ'. 12 ΑΡΑ ΟΥΝ, ΑΔΕΛΦΟΙ, ΟΦΕΙΛΕΤΑΙ ΕΣΜΕΝ
οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν. 13 Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀπο-
θνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

ΔΕίξας ὅσον τὸ ἔπαθλον τοῦ πνευματικοῦ βίου, καὶ ὅτι Χριστὸν ἔνοικον ποι-
εῖ, καὶ ὅτι ζωοποιεῖ τὰ θνητὰ σώματα, καὶ πρὸς τὸν οὐρανὸν πτεροῖ, καὶ
τὴν ὁδὸν τῆς ἀρετῆς εὐκολωτέραν ἐργάζεται, ἀναγκαίως λοιπὸν
ἐπάγει τὴν παραίνεσιν λέγων, οὐκοῦν οὐκ ὀφειλόμεθα ζῆν κατὰ σάρ-
κα. ἀλλ᾽ οὕτω μὲν οὐκ εἶπεν, ἐπιπληκτικώτερον δὲ πολλῷ καὶ δυ-
νατώτερον, εἰπὼν, ὀφειλέται ἐσμὲν τῷ πνεύματι. τὸ γὰρ εἰπεῖν,

ὅτι

ὅτι οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκί, τοῦτο ἐδήλωσε. καὶ πανταχοῦ τοῦτο κατασκευάζει, δεικνὺς ὅτι τὰ μὲν παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς γεγενημένα, οὐκ ὀφειλῆς ἦν, ἀλλὰ γυμνῆς χάριτος· τὰ δὲ παρ' ἡμῶν μετὰ ταῦτα γινόμενα, οὐκέτι φιλοτιμίας, ἀλλ' ὀφειλῆς. καὶ γὰρ ὅταν λέγῃ, Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, τοῦτο αἰνίττεται. καὶ ὅταν γράφῃ, Οὐκ ἐστὲ ἑαυτῶν, ὁ αὐτὸ τοῦτο δηλοῖ. καὶ ἑτέρωθι δὲ πάλιν τὴν αὐτὴν ἀναμιμνήσκει τούτων, οὕτω λέγων, ὅτι Εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσι. τοῦτο δὴ καὶ ἐνταῦθα κατασκευάζων φησίν, ὀφειλέται ἐσμέν. Εἶτα, ἐπειδὴ εἶπεν, οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκί, ἵνα μὴ τὰ λεγόμενα πάλιν εἰς τὴν τῆς σαρκὸς λάβοις φύσιν, οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγε, τοῦ κατὰ σάρκα ζῆν. καὶ γὰρ πολλὰ αὐτῇ ὀφείλομεν, τὸ τρέφειν αὐτήν, τὸ θάλπειν, τὸ ἀναπαύειν, τὸ θεραπεύειν νοσοῦσαν, τὸ περιβάλλειν, καὶ μυρία ἕτερα λειτουργεῖν. ἵν' οὖν μὴ νομίσῃς ὅτι ταύτην ἀναιρεῖ τὴν διακονίαν, εἰπών, οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκί, ἑρμηνεύει αὐτὸ λέγων, τοῦ κατὰ σάρκα ζῆν. ἐκείνην γὰρ ἀναιρῶ τὴν σπουδήν, φησί, τὴν ἐπὶ ἁμαρτίαν ἄγουσαν, ὡς τό γε θεραπεύοντα αὐτὴν βούλομαι γίνεσθαι· ὅπερ καὶ προϊὼν ἐδήλωσεν. Εἰπὼν γὰρ τῆς σαρκὸς μὴ ποιεῖσθαι πρόνοιαν, οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, εἰς ἐπιθυμίας. ὃ δὴ καὶ ἐνταῦθα παιδεύει λέγων, ὅτι θεραπευέσθω μέν (ὀφείλομεν γὰρ αὐτῇ τοῦτο) μὴ μέντοι κατὰ σάρκα ζῶμεν· τουτέστι, μὴ ποιῶμεν αὐτὴν κυρίαν τῆς ζωῆς τῆς ἡμετέρας. ἕπεσθαι γὰρ αὐτὴν ἀναγκαῖον, οὐχ ἡγεῖσθαι, οὐδὲ αὐτὴν ῥυθμίζειν τὸν βίον τὸν ἡμέτερον, ἀλλὰ τοὺς τοῦ πνεύματος δέχεσθαι νόμους. τοῦτο τοίνυν διελεσάμενος, καὶ κατασκευάσας ὅτι ὀφειλέται ἐσμὲν τῷ πνεύματι, εἶτα δεικνὺς τίνων ὀφειλέται, οὐ τὰ παρελθόντα λέγει (ἐφ' ᾧ μάλιστα αὐτὸν ἔδει ἐκπλαγῆναι τῆς γνώσεως) ἀλλὰ τὰ μέλλοντα. καίτοιγε ἱκανὰ ἦν κἀκεῖνα· ἀλλ' ὅμως οὐ τίθησιν αὐτὰ νῦν, οὐδὲ λέγει τὰς εὐεργεσίας τὰς ἀφάτους ἐκείνας, ἀλλὰ τὰ μέλλοντα. οὐδὲ γὰρ οὕτως ἅπαξ ἕλκει δοθεῖσα εὐεργεσία, ὡς ἡ προσδοκωμένη καὶ μέλλουσα. ἐπάγεσθαι οὖν τοὺς πολλοὺς εἰωθὼς καὶ τοῦτο προσθέμενος, πρότερον ἀπὸ τῶν λυπηρῶν φοβεῖ καὶ τῶν κακῶν τῶν γινομένων ἐκ τοῦ κατὰ σάρκα ζῆν, οὕτω λέγων, Εἰ δὲ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· τὸν θάνατον ἡμῖν αἰνιττόμενος ἐκεῖνον τὸν ἀθάνατον, τὴν ἐν τῇ γεέννῃ κόλασιν καὶ τιμωρίαν. μᾶλλον δέ, εἴ τις ἀκριβῶς ἐξετάσειε τοῦτο, καὶ ἐν τῇ ζωῇ ταύτῃ τέθνηκεν ὁ τοιοῦτος· ὅπερ οὖν καὶ ἐν τῇ πρὸ ταύτης διαλέξει σαφὲς ὑμῖν πεποιήκαμεν. εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. ὁρᾷς ὅτι οὐ περὶ φύσεως διαλέγεται σωμάτων, ἀλλὰ περὶ πράξεων σαρκικῶν; οὐ γὰρ εἶπεν, εἰ δὲ πνεύματι τὴν φύσιν τοῦ σώματος θανατοῦτε, ζήσεσθε, ἀλλὰ τὰς πράξεις, καὶ οὐδὲ ταύτας πάσας, ἀλλὰ τὰς πονηράς. καὶ τοῦτο δηλοῖ ἐν τοῖς ἑξῆς· Εἰ γὰρ τοῦτο ποιήσετε, ζήσεσθε, φησί. καίτοι πῶς ἔνι τοῦτο γενέσθαι, εἰ περὶ πασῶν ὁ λόγος ἦν αὐτῷ; καὶ γὰρ καὶ τὸ ὁρᾶν, καὶ τὸ ἀκούειν, καὶ τὸ φθέγγεσθαι, καὶ τὸ βαδίζειν, τοῦ σώματος πράξεις εἰσί. καὶ εἰ μέλλοιμεν αὐτὰς θανατοῦν, τοσοῦτοι ἀφεξόμεθα τοῦ ζῆν, ὅτι καὶ ἀνδροφονίας δώσομεν δίκην. ποίας οὖν πράξεις φησὶ θανατοῦν; τὰς ἐπὶ πονηρίαν κινουμένας, τὰς ἐπὶ κακίαν χωρούσας, ἃς οὐδὲ ἄλλως ἔστι θανατῶσαι, ἢ διὰ πνεύματος. τὰς μὲν γὰρ ἄλλας ἀποκλείσαντα, σεαυτὸν ἀνελεῖν ἐστιν· ὅπερ οὐ θέμις· ταύτας δὲ διὰ πνεύματος μόνου. ἂν γὰρ τοῦτο παρῇ, πάντα τὰ κύματα καταστέλλεται, καὶ τὰ πάθη κατέπληξε, καὶ οὐδὲν ἡμῖν κατεξανίσταται. Εἶδες πῶς ἀπὸ τῶν μελλόντων ἡμᾶς, ὅπερ ἔμπροσθεν εἶπον, προτρέπει, καὶ δείκνυσιν ὀφειλέτας οὐκ ἀπὸ τῶν ἤδη γεγενημένων μόνον; οὐ γὰρ τοῦτο μόνον ἐστί, φησί, τὸ κατόρθωμα τοῦ πνεύματος, ὅτι τῶν παρελθόντων ἀφῆκεν ἡμᾶς ἁμαρτημάτων, ἀλλ' ὅτι καὶ πρὸς τὰ μέλλοντα ἀχράντους κατασκευάζει, καὶ ζωῆς ἀξιοῖ τῆς ἀθανάτου. εἶτα καὶ ἕτερον τιθεὶς μισθόν, ἐπήγαγε,

α. Κορ. ζ. κγ.
ϐ. Κορ. ε. ιε.
Ρω. ιγ. ιδ.
κ. θεραπευόμενον.
κ. τῆς σαρκὸς
κ. ἐν σοὶ

14 Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

Οὗτος γὰρ πάλιν πολλῷ τοῦ προτέρου μείζων ὁ στέφανος. διὸ οὐδὲ ἁπλῶς εἶπεν, ὅσοι γὰρ πνεύματι Θεοῦ ζῶσιν, ἀλλ', ὅσοι πνεύματι Θεοῦ ἄγονται, δεικνὺς ὅτι οὕτω βούλεται αὐτὸ κύριον εἶναι τῆς ἡμετέρας ζωῆς, ὡς τὸν κυβερνήτην τοῦ πλοίου, καὶ τὸν ἡνίοχον τοῦ ζεύγους τῶν ἵππων. καὶ οὐχὶ τὸ σῶμα μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ὑποβάλλει ταῖς τοιαύταις ἡνίαις. οὐδὲ γὰρ ἐκείνην βούλεται αὐθεντεῖν, ἀλλὰ καὶ ἐκείνης τὴν ἐξουσίαν ὑπὸ τῇ τοῦ πνεύματος ἔθηκε δυνάμει. ἵνα γὰρ μὴ τῇ δωρεᾷ τοῦ λουτροῦ θαῤῥήσαντες, τῆς μετὰ ταῦτα ἀμελήσωσι πολιτείας, φησὶν, ὅτι κἂν βάπτισμα λάβῃς, μὴ μέλλῃς δὲ πνεύματι μετὰ ταῦτα ἄγεσθαι, ἀπώλεσας τὴν δεδομένην ἀξίαν, καὶ τῆς υἱοθεσίας τὴν προεδρίαν. διὰ τοῦτο οὐκ εἶπεν, ὅσοι πνεῦμα ἔλαβον, ἀλλ', ὅσοι πνεύματι Θεοῦ ἄγονται. τουτέστιν, ὅσοι παρὰ πάντα τὸν βίον οὕτω πολιτεύονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Εἶτα ἐπειδὴ

Ψαλμ. πα. ϛ. τοῦτο τὸ ἀξίωμα καὶ τοῖς Ἰουδαίοις ἦν δεδομένον (Ἐγὼ γὰρ εἶπον, φησὶ, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου
Ησ. α. γ. πάντες· καὶ πάλιν, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· καὶ, Πρωτότοκός μου Ἰσραήλ· καὶ ὁ Παῦλος δέ φη-
Εξοδ. δ. κϐ. Ρωμ. θ. δ. σιν, Ὧν ἡ υἱοθεσία) κατασκευάζει λοιπὸν ὅσον τὸ μέσον ἐκείνης καὶ ταύτης τῆς τιμῆς. εἰ γὰρ καὶ τὰ ὀνόματα τὰ αὐτὰ, φησὶν, ἀλλ' οὐ τὰ πράγματα τὰ αὐτά. καὶ σαφῆ παρέχει τούτων ἀπόδειξιν, καὶ ἀπὸ τῶν κατορθούντων, καὶ ἀπὸ τῶν δεδομένων, καὶ ἀπὸ τῶν μελλόντων * τὴν σύγκρισιν εἰσαγαγών. καὶ πρότερον δείκνυσι τίνα ἦν τὰ ἐκείνοις δεδομένα. τίνα οὖν ἦν ταῦτα; πνεῦμα δουλείας. διὸ καὶ ἐπήγαγε λέγων,

* ἰσω[illegible]

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον. Εἶτα ἀφεὶς εἰπεῖν τὸ ἀντιδιαστελλόμενον τῇ δουλείᾳ, τουτέστι, πνεῦμα ἐλευθερίας, τὸ πολλῷ μεῖζον τέθεικε, τὸ τῆς υἱοθεσίας, δι' οὗ κἀκεῖνο συνήγαγεν, εἰπών, Ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας.

Ἀλλὰ τοῦτο μὲν δῆλον· τὸ δὲ πνεῦμα τῆς δουλείας τί ποτέ ἐστιν, ἄδηλον. οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον. οὐδὲ γὰρ ἀσαφὲς μόνον, ἀλλὰ καὶ σφόδρα ἄπορον τὸ εἰρημένον. πνεῦμα γὰρ οὐκ ἔλαβεν ὁ τῶν Ἰουδαίων δῆμος. τί οὖν ἐνταῦθά φησι; τὰ γράμματα οὕτως ἐκάλεσεν, ἐπειδὴ πνευματικὰ ἦν, ὥσπερ οὖν καὶ τὸν νόμον πνευματικὸν, καὶ τὸ
α. Κορ. ι. γ. ὕδωρ τὸ ἀπὸ τῆς πέτρας, καὶ τὸ μάννα. Πάντες γὰρ, φησὶ, τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. καὶ τὴν πέτραν δὲ οὕτως ὀνομάζει λέγων, Ἔπινον δὲ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ἐπειδὴ γὰρ ὑπὲρ φύσιν ἦν πάντα τὰ τελούμενα, πνευματικὰ αὐτὰ ἐκάλεσεν, οὐκ ἐπειδὴ πνεῦμα ἔλαβον οἱ μετέχοντες αὐτῶν τότε. καὶ πῶς τὰ γράμματα ἐκεῖνα δουλείας ἦν γράμματα; περιάγαγε πᾶσαν τὴν πολιτείαν, καὶ τότε εἴσῃ καὶ τοῦτο σαφῶς. καὶ γὰρ αἱ τιμωρίαι παρὰ πόδας αὐτοῖς, καὶ ὁ μισθὸς εὐθέως εἵπετο σύμμετρός τε ὢν καὶ ὥσπερ σιτηρέσιόν τι καθημερινὸν διδόμενον οἰκέταις, καὶ πολὺς πανταχόθεν ὁ φόβος περὶ τῆς ὄψεως ἀκμάζων, καὶ περὶ τὰ σώματα οἱ καθαρμοὶ, καὶ μέχρι τῶν πράξεων ἡ ἐγκράτεια. παρὰ δὲ ἡμῖν οὐχ οὕτως, ἀλλὰ καὶ λογισμὸς, καὶ συνειδὸς ἐκκαθαίρεται. οὐ γὰρ λέγει, μὴ φονεύσῃς μόνον, ἀλλὰ, μηδὲ ὀργισθῇς· οὐδὲ, μὴ μοιχεύσῃς, ἀλλὰ, μηδὲ ἴδῃς ἀκολάστως· ἵνα μηκέτι τῷ φόβῳ τῆς κολάσεως τῆς παρούσης, ἀλλὰ τῷ πόθῳ τῷ πρὸς αὐτὸν, τότε ἐν ἕξει τῆς ἀρετῆς εἶναι, καὶ τὰ ἄλλα τὰ κατορθούμενα ᾖ. οὐδὲ ἐπαγγέλλεται γῆν ῥέουσαν μέλι καὶ γάλα, ἀλλὰ τῷ μονογενεῖ συγκληρονόμους ποιεῖ, τῶν παρόντων ἡμᾶς διὰ πάντων ἀφιστὰς, καὶ ἐκεῖνα μάλιστα ἐπαγγελλόμενος διδόναι, ἃ τοῖς γενομένοις υἱοῖς Θεοῦ πρέπει λαμβάνειν· αἰσθητὸν μὲν οὐδὲν, οὐδὲ σωματικὸν, πνευματικὰ δὲ ἅπαντα. ὥστε ἐκεῖνοι μὲν εἰ καὶ υἱοὶ ἐκαλοῦντο, ἀλλ' ὡς δοῦλοι· ἡμεῖς δὲ ὡς ἐλεύθεροι γενόμενοι, τὴν υἱοθεσίαν ἐλάβομεν, καὶ τὸν οὐρανὸν ἀναμένομεν. κἀκείνοις μὲν δι' ἑτέρων διελέγετο, ἡμῖν δὲ δι' ἑαυτοῦ. κἀκεῖνοι δὲ φόβῳ τιμωρίας πάντα ἔπραττον ἀγόμενοι, οἱ δὲ πνευματικοὶ ἐπιθυμίᾳ καὶ πόθῳ· καὶ τοῦτο δηλοῦσι τῷ καὶ ὑπερβαίνειν τὰ ἐπιτάγματα. ἐκεῖνοι ὡς μισθωτοὶ καὶ ἀγνώμονες, οὐδέποτε γοῦν διέλειπον γογγύζοντες· οὗτοι δὲ

χ. [illegible]

Εἰς

εἰς ἀρέσκειαν τοῦ πατρός. καὶ οἱ μὲν εὐεργετούμενοι ἐβλασφήμουν· ἡμεῖς δὲ κινδυνεύοντες εὐχαριστοῦμεν. κἂν κολασθῆναι δὲ ἁμαρτάνοντας δέῃ, καὶ ἐνταῦθα πολλὴ ἡ διαφορά. οὐ γὰρ ὡς ἐκεῖνοι καταλευόμενοι, καὶ καιόμενοι, καὶ ἀκρωτηριαζόμενοι παρὰ τῶν ἱερέων, οὕτω καὶ ἡμεῖς ἐπιστρεφόμεθα, ἀλλὰ ἀρκεῖ τραπέζης ἐκβληθῆναι πατρικῆς, καὶ ἀπὸ ὄψεως ῥητὰς γενέσθαι ἡμέρας. καὶ ἐπὶ μὲν τῶν Ἰουδαίων, ῥήματος ἦν τιμὴ ἡ υἱοθεσία μόνον· ἐνταῦθα δὲ καὶ πρᾶγμα ἠκολούθησεν, ὁ διὰ βαπτίσματος καθαρμὸς, ἡ τοῦ πνεύματος δόσις, ἡ τῶν ἄλλων ἀγαθῶν χορηγία. καὶ τούτων δὲ ἕτερα πλείονά ἐστιν εἰπεῖν τὴν περὶ ἡμῖν ἐνδεικνύμενα εὐγένειαν, καὶ τὴν ἐκείνων εὐτέλειαν. ἅπερ ἅπαντα διὰ τοῦ πνεύματος, καὶ τοῦ φόβου, καὶ τῆς υἱοθεσίας αἰνιξάμενος, καὶ ἑτέραν ποιεῖται ἀπόδειξιν τοῦ πνεῦμα υἱοθεσίας ἔχειν. ποίαν δὴ ταύτην; Ἐν ᾧ κράζομεν ἀββᾶ ὁ πατήρ. Τοῦτο δὲ ἡλίκον ἐστὶν, ἴσασιν οἱ μύσται, καλῶς ἐπὶ τῆς εὐχῆς τῆς μυστικῆς τοῦτο πρῶτον κελευόμενοι τὸ ῥῆμα λέγειν. τί οὖν; οὐκ ἐκάλουν καὶ ἐκεῖνοι πατέρα, φησὶ, τὸν Θεόν; οὐκ ἀκούεις Μωϋσέως λέγοντος, Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες; οὐκ ἀκούεις τοῦ Μαλαχίου ὀνειδίζοντος καὶ λέγοντος, Ὅτι Θεὸς εἷς ἔκτισεν ἡμᾶς, καὶ εἷς πατήρ ἐστι πάντων ἡμῶν; ἀλλ' εἰ καὶ ταῦτα, καὶ πλείονα τούτων εἴρηται, οὐδαμοῦ τοῦτον εὑρίσκομεν αὐτοὺς καλοῦντας τὸ ῥῆμα τὸν Θεόν, οὐδὲ εὐχομένους οὕτως. ἡμεῖς δὲ ἅπαντες, καὶ ἱερεῖς, καὶ ἰδιῶται, ἄρχοντες, καὶ ἀρχόμενοι, οὕτως εὔχεσθαι ἐκελεύσθημεν. καὶ ταύτην πρώτην ἀφίεμεν φωνὴν, μετὰ τὰς θαυμαστὰς ὠδῖνας ἐκείνας, καὶ τὸν ξένον καὶ παράδοξον τῶν λοχευμάτων νόμον. ἄλλως δὲ, εἰ καὶ ἐκάλεσάν ποτε ἐκεῖνοι, ἀλλ' ἐξ οἰκείας διανοίας· οἱ δὲ ἐν τῇ χάριτι, ἀπὸ πνευματικῆς ἐνεργείας κινούμενοι. ὥσπερ γὰρ πνεῦμα σοφίας ἐστὶ καθ' ὃ σοφοὶ οἱ ἄσοφοι ἐγένοντο, καὶ δηλοῦται τοῦτο ἀπὸ τῆς διδασκαλίας· καὶ πνεῦμα δυνάμεώς ἐστι καθ' ὃ οἱ ἀσθενεῖς νεκροὺς ἤγειραν, καὶ δαίμονας ἤλαυνον, καὶ πνεῦμα χαρίσματος ἰαμάτων, καὶ πνεῦμα προφητείας, καὶ πνεῦμα γλωσσῶν· οὕτω καὶ πνεῦμα υἱοθεσίας. καὶ ὥσπερ ἴσμεν τὸ πνεῦμα τῆς προφητείας, ἀφ' οὗ ὁ ἔχων αὐτὸ προλέγει τὰ μέλλοντα, οὐκ οἰκείᾳ φθεγγόμενος διανοίᾳ, ἀλλ' ὑπὸ τῆς χάριτος κινούμενος· οὕτω δὴ καὶ πνεῦμα υἱοθεσίας, ἀφ' οὗ ὁ λαβὼν πατέρα καλεῖ τὸν Θεόν, ὑπὸ τοῦ πνεύματος κινούμενος. ὁ δὲ βουλόμενος δεῖξαι τὴν γνησιότητα, καὶ τῇ τῶν Ἑβραίων ἐχρήσατο γλώσσῃ. οὐ γὰρ εἶπε μόνον, ὁ πατήρ, ἀλλ', ἀββᾶ ὁ πατήρ, ὅπερ τῶν παίδων μάλιστά ἐστι τῶν γνησίων πρὸς τὸν πατέρα ῥῆμα. εἰπὼν τοίνυν τὴν ἀπὸ τῆς πολιτείας διαφορὰν, τὴν ἀπὸ τῆς χάριτος τῆς δεδομένης, τὴν ἀπὸ τῆς ἐλευθερίας, ἐπάγει καὶ ἑτέραν ἀπόδειξιν τῆς ὑπεροχῆς τῆς κατὰ τὴν υἱοθεσίαν ταύτην. ποίαν δὴ ταύτην;

16 Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, φησὶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ.

Οὐ γὰρ ἀπὸ τῆς φωνῆς ἰσχυρίζομαι μόνον, φησὶν, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας ἀφ' ἧς ἡ φωνὴ τίκτεται. τοῦ γὰρ πνεύματος ὑπαγορεύοντος, ταῦτα λέγομεν. ὅπερ ἀλλαχοῦ σαφέστερον δηλῶν ἔλεγεν, Ὅτι ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κρᾶζον ἀββᾶ ὁ πατήρ. τί δέ ἐστι, τὸ πνεῦμα τῷ πνεύματι συμμαρτυρεῖ; ὁ παράκλητος, φησὶ, τῷ χαρίσματι τῷ δεδομένῳ ἡμῖν. οὐ γὰρ τοῦ χαρίσματός ἐστιν ἡ φωνὴ μόνον, ἀλλὰ καὶ τοῦ δόντος τὴν δωρεὰν παρακλήτου. αὐτὸς γὰρ ἡμᾶς ἐδίδαξε διὰ τοῦ χαρίσματος οὕτω φθέγγεσθαι. ὅταν δὲ τὸ πνεῦμα μαρτυρῇ, ποία λοιπὸν ἀμφιβολία; εἰ μὲν γὰρ ἄνθρωπος, ἢ ἄγγελος, ἢ ἀρχάγγελος, ἢ ἄλλη τις τοιαύτη δύναμις τοῦτο ὑπισχνεῖτο, κἂν ἀμφιβάλλειν ἦν εἰκός τινας· τῆς δὲ ἀνωτάτω οὐσίας τῆς καὶ δωρησαμένης τοῦτο, καὶ δι' ὧν ἐκέλευσεν εὔχεσθαι, μαρτυρούσης ἡμῖν, τίς ἂν ἀμφισβητήσειε λοιπὸν περὶ τῆς ἀξίας; οὐδὲ γὰρ βασιλέως χειροτονήσαντός τινα, καὶ ἀνακηρύττοντος τὴν τιμὴν παρὰ πᾶσι, τολμήσειεν ἄν τις τῶν ὑπηκόων ἀντειπεῖν.

17 Εἰ δὲ τέκνα, φησὶ, καὶ κληρονόμοι. Ὁρᾷς πῶς κατὰ μικρὸν αὔξει τὴν δωρεάν; ἐπειδὴ γὰρ ἔνι καὶ τέκνα εἶναι, καὶ μὴ κληρονόμους γενέσθαι (οὐδὲ γὰρ πάντες κληρονόμοι

Γεν. λς. ιη.
Μαλαχ. β. ι.
Γαλ. δ. ς.

γρ. πνεύματος ... τα
γρ. εἷς ἐστι, καὶ πατὴρ πάντων
γρ. γνησιώτατον ὄν, γρ. πατέρας
γρ. πάντως ἅπαντες

κληρονόμοι καὶ παῖδες) ἐπάγει καὶ τοῦτο, ὅτι καὶ κληρονόμοι. καὶ οἱ Ἰουδαῖοι μετὰ τὸ μὴ τοιαύτην ἔχειν υἱοθεσίαν, καὶ τῆς κληρονομίας ἐξεβλήθησαν. Κακοὺς γὰρ κακῶς ἀπολέσει, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται γεωργοῖς ἑτέροις. καὶ περὶ τούτου δὲ ἔλεγεν, Ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραάμ· καὶ οἱ υἱοὶ τῆς βασιλείας ἔξω βληθήσονται. ἀλλ᾽ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τούτου μεῖζον τίθησι. ποῖον δὴ τοῦτο; ὅτι Θεοῦ κληρονόμοι· διὸ καὶ ἐπήγαγε, Κληρονόμοι μὲν Θεοῦ. Καὶ τὸ ἔτι πλέον, ὅτι οὐχ ἁπλῶς κληρονόμοι, ἀλλὰ καὶ Συγκληρονόμοι Χριστοῦ. Ὁρᾷς πῶς φιλονεικεῖ ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ δεσπότου; ἐπειδὴ γὰρ οὐ πάντα τὰ τέκνα κληρονόμοι, δείκνυσι ὅτι ἡμεῖς καὶ τέκνα, καὶ κληρονόμοι. ἐπεὶ δὲ οὐ πάντες κληρονόμοι, μεγάλων εἰσὶ κληρονόμοι πραγμάτων, δείκνυσι ὅτι καὶ τοῦτο ἔχομεν, κληρονόμοι ὄντες Θεοῦ. πάλιν ἐπειδὴ κληρονόμον μὲν εἶναι συμβαίνει Θεοῦ, οὐ πάντως δὲ τοῦ μονογενοῦς συγκληρονόμον, δείκνυσιν ἡμᾶς καὶ τοῦτο ἔχοντας. καὶ σκόπει σοφίαν. τὰ γὰρ λυπηρὰ συστείλας, ἅπερ ἔλεγεν, ὅτι πείσονται οἱ κατὰ σάρκα ζῶντες, οἷον, ὅτι μέλλουσιν ἀποθνήσκειν, ἐπειδὴ τῶν χρηστοτέρων ἥψατο, εἰς εὐρυχωρίαν πολλὴν ἐξάγει τὸν λόγον, ἐμπλατύνων αὐτοῦ τῇ τῶν μισθῶν ἀνταποδόσει, καὶ ποικίλας καὶ μεγάλας δεικνὺς τὰς δωρεάς. εἰ γὰρ καὶ τὸ τέκνον εἶναι ἄφατος ἦν ἡ χάρις, ἐννόησον ἡλίκον τὸ, καὶ κληρονόμον. εἰ δὲ τοῦτο μέγα, πολλῷ μᾶλλον καὶ τὸ συγκληρονόμον. εἶτα δεικνὺς ὅτι οὐ χάριτος μόνον ἐστὶν ἡ δωρεά, καὶ ποιῶν ὁμοῦ καὶ ἀξιόπιστα τὰ εἰρημένα, ἐπήγαγεν, Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Εἰ γὰρ ἐν τοῖς λυπηροῖς, φησιν, ἐκοινωνήσαμεν αὐτῷ, πολλῷ μᾶλλον ἐν τοῖς χρηστοῖς τοῦτο ἔσται. ὁ γὰρ τοῖς οὐδὲν κατορθωκόσι τοσούτοις δωρησάμενος ἀγαθοῖς, ὅταν ἴδῃ καὶ πονήσαντας, καὶ τοσαῦτα παθόντας, πῶς οὐχὶ μᾶλλον ἀμείψεται; δείξας τοίνυν ἀντίδοσιν οὖσαν τὸ πρᾶγμα, ἵνα ἀξιόπιστον ᾖ τὸ λεγόμενον, καὶ μηδεὶς ἀμφιβάλλῃ, δείκνυσι πάλιν καὶ χάριτος δύναμιν ἔχον τὸ μὲν, ἵνα καὶ παρὰ τοῖς ἀμφιβάλλουσι πιστεύηται τὰ λεγόμενα, καὶ οἱ λαμβάνοντες μὴ αἰσχύνωνται ὡς ἀεὶ δωρεὰ συζώμενοι· τὸ δὲ, ἵνα μάθῃς ὅτι νικᾷ πάσῃ ἀντιδόσει τοὺς πόνους ὁ Θεός. καίτοι τὸ μὲν ἐδήλωσεν εἰπὼν, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· τοῦτο δὲ, ἐπαγαγὼν καὶ προσθείς,

Ματθ. κα. μα.

Ματθ. η. ια.

χ. ἐκβληθ.

χ. ἀντιδόσει

χ. δικνύ

18 Ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἐν μὲν γὰρ τοῖς προτέροις τὴν τῶν ἠθῶν διόρθωσιν ἀπαιτεῖ τὸν πνευματικόν, ἐν οἷς ἔλεγεν, οὐκ ὀφείλετε κατὰ σάρκα ζῆν, οἷον, ἵνα ἐπιθυμίας, ἵνα ὀργῆς, ἵνα χρημάτων, ἵνα κενοδοξίας, ἵνα βασκανίας περιγίνηται ὁ τοιοῦτος· ἐνταῦθα δὲ, ἐπειδὴ τῆς δωρεᾶς αὐτοὺς ἀνέμνησεν ἁπάσης, τῆς δοθείσης, τῆς μελλούσης, καὶ ἐπῆρε καὶ ὕψωσε ταῖς ἐλπίσι, καὶ ἐγγὺς ἔστησε τοῦ Χριστοῦ, καὶ συγκληρονόμους ἀπέφηνε τοῦ μονογενοῦς, θαρρῶν αὐτοὺς ἐξάγει λοιπὸν καὶ ἐπὶ τοὺς κινδύνους. οὐδὲ γὰρ ἐστὶν ἴσον τῶν ἐν ἡμῖν παθῶν περιγενέσθαι, καὶ τοὺς πειρασμοὺς ἐκείνους ὑπενεγκεῖν, τὰς μάστιγας, τὸν λιμόν, τὰς λεηλασίας, τὰ δεσμά, τὰς ἀλύσεις, τὰς ἀπαγωγάς. πολὺ γὰρ ταῦτα δεῖται γενναιοτέρας ψυχῆς, καὶ νεανικωτέρας. καὶ ὅρα πῶς ὁμοῦ καταστέλλει, καὶ ἐπαίρει τὸ φρόνημα τῶν ἀγωνιζομένων. ὅταν γὰρ δείξῃ μείζονα τὰ ἔπαθλα τῶν πόνων, καὶ προτρέπει μειζόνως, καὶ οὐκ ἀφίησι μέγα φρονεῖν, ἅτε νικωμένους τῇ τῶν στεφάνων ἀντιδόσει. καὶ ἀλλαχοῦ μὲν φησι, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται. πρὸς γὰρ φιλοσοφωτέρους ἦν ὁ λόγος αὐτῷ· ἐνταῦθα δὲ κοῦφα μὲν αὐτὰ οὐκ ἀφίησιν εἶναι, παραμυθεῖται δὲ αὐτὰ τῇ τῶν μελλόντων ἀντιδόσει, λέγων, Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ. καὶ οὐκ εἶπε, πρὸς τὴν μέλλουσαν ἄνεσιν, ἀλλ᾽ ὃ πολλῷ μεῖζον ἦν, πρὸς τὴν μέλλουσαν δόξαν. ὅπου μὲν γὰρ ἄνεσις, οὐ πάντως καὶ δόξα· ὅπου δὲ δόξα, πάντως καὶ ἄνεσις. εἶτα, ἐπειδὴ μέλλουσαν αὐτὴν εἶπε, δείκνυσιν αὐτὴν ἤδη οὖσαν. οὐ γὰρ

χ. παθῶν

χ. ἐνεγκεῖν

χ. ἐπαγωγάς

β. Κορ. δ. ιζ.

εἶπε,

εἶπε, πρὸς τὴν μέλλουσαν ἔσεσθαι, ἀλλὰ, πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι, ὡς καὶ νῦν οὖσαν μὲν, κεκρυμμένην δέ. ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγεν, Ὅτι ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Κολ. γ. γ. θάῤῥει τοίνυν ὑπὲρ αὐτῆς. προεσκεύασται γὰρ ἤδη τοῖς σοῖς ἀναμένουσα πόνοις. εἰ δὲ τὸ μέλλειν σε λυπεῖ, αὐτὸ μὲν οὖν εὐφραινέτω σε τοῦτο. τῷ γὰρ μεγάλη τις εἶναι, καὶ ἄφραστος, καὶ τὴν παροῦσαν ὑπερβαίνειν κατάστασιν, ἐκεῖ ταμιεύεται. οὐδὲ γὰρ ἁπλῶς τέθεικε, τὰ παθήματα τοῦ νῦν καιροῦ, ἀλλ' ἵνα δείξῃ οὐχὶ ποιότητι μόνον, ἀλλὰ καὶ ποσότητι νικῶσαν ἐκείνην. ταῦτα μὲν γὰρ οἷα ἂν εἴη τὰ παθήματα, τῷ παρόντι συγκεκλήρωται βίῳ· τὰ δὲ μέλλοντα ἀγαθὰ πρὸς τοὺς ἀτελευτήτους παρεκτείνεται αἰῶνας. ἅπερ ἐπὶ μέρους ἡμῖν εἰπεῖν οὐκ ἔχων, οὐδὲ παραστῆσαι λόγῳ, ἀπὸ τοῦ μάλιστα δοκοῦντος εἶναι παρ' ἡμῖν ἐπεράστου, τῆς δόξης, αὐτὰ ὠνόμασεν. ἡ γὰρ κορυφὴ τῶν ἀγαθῶν, καὶ τὸ κεφάλαιον, τοῦτο εἶναι δοκεῖ. ἐπαίρων δὲ καὶ ἑτέρως τὸν ἀκροατὴν, καὶ ἀπὸ τῆς κτίσεως ἐξογκοῖ τὸν λόγον, δύο κατασκευάζων διὰ τῶν λεχθήσεσθαι μελλόντων, καὶ ὑπεροψίαν τῶν παρόντων, καὶ ἐπιθυμίαν τῶν μελλόντων· καὶ τρίτον μετὰ τούτων, μᾶλλον δὲ πρῶτον, τὸ δεῖξαι πῶς περισπούδαστον τῷ Θεῷ τὸ τῶν ἀνθρώπων γένος ἐστὶ, καὶ ἐν ὅσῃ τὴν φύσιν τὴν ἡμετέραν ἄγει τιμῇ. μετὰ δὲ τούτων, καὶ τὰ τῶν φιλοσόφων ἅπαντα δόγματα περὶ τοῦ κόσμου τούτου συντιθέντα αὐτοῖς, ὥσπερ ἀράχνην τινὰ καὶ παίδων ἀθύρματα, ἐνὶ τούτῳ καταβάλλει τῷ δόγματι. ἀλλ' ἵνα σαφέστερα ταῦτα γένηται, αὐτῆς τῆς ἀποστολικῆς ἐπακούσωμεν ῥήσεως.

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως, φησὶ, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. Ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· ἡ κτίσις αὐτὴ σφόδρα ὠδίνει, ταῦτα ἀναμένουσα καὶ προσδοκῶσα τὰ ἀγαθὰ, ἅπερ εἰρήκαμεν νῦν. ἀποκαραδοκία γὰρ ἡ σφοδρὰ προσδοκία ἐστίν. ὥστε δὲ ἐμφαντικώτερον γενέσθαι τὸν λόγον, καὶ προσωποποιεῖ τὸν κόσμον ἅπαντα τοῦτον. ἅπερ καὶ οἱ προφῆται ποιοῦσι, ποταμοὺς κροτοῦντας χερσὶν εἰσάγοντες, καὶ βουνοὺς ἀλλομένους, καὶ τὰ ὄρη σκιρτῶντα· οὐχ ἵνα ταῦτα ἔμψυχα εἶναι νομίσωμεν, οὐδ' ἵνα λογισμόν τινα δῶμεν αὐτοῖς, ἀλλ' ἵνα τὴν ὑπερβολὴν μάθωμεν τῶν ἀγαθῶν, ὡς καὶ τῶν ἀναισθήτων αὐτῶν καθικνουμένην. τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ τῶν λυπηρῶν ποιοῦσι πολλάκις, εἰσάγοντες καὶ ἄμπελον θρηνοῦσαν, καὶ οἶνον, καὶ ὄρη, καὶ τὰ φατνώματα ὀλολύζοντα τοῦ ναοῦ, ἵνα καὶ ἐντεῦθεν πάλιν τὴν ὑπερβολὴν τῶν κακῶν ἐννοήσωμεν. τούτους δὲ καὶ ὁ ἀπόστολος μιμούμενος, προσωποποιεῖ τὴν κτίσιν ἐνταῦθα, καί φησι στενάζειν αὐτὴν καὶ ὠδίνειν· οὐκ ἐπειδὴ στεναγμοῦ τινος ἤκουσεν ἀπὸ γῆς καὶ οὐρανοῦ φερομένου, ἀλλ' ἵνα τῶν μελλόντων ἀγαθῶν ἐνδείξηται τὴν ὑπερβολὴν, καὶ τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν κατεχόντων κακῶν. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα. τί ἐστι, τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη; φθαρτὴ γέγονε. τίνος ἕνεκεν καὶ διὰ τί; διὰ σὲ τὸν ἄνθρωπον. ἐπειδὴ γὰρ σῶμα ἔλαβες θνητὸν καὶ παθητὸν, καὶ ἡ γῆ κατάρας ἐδέξατο καὶ ἀκάνθας ἤνεγκε καὶ τριβόλους. Γεν. γ. ιη. ὅτι δὲ καὶ οὐρανὸς μετὰ τῆς γῆς παλαιούμενος πρὸς τὴν ἀμείνω λῆξιν ὕστερον μεταστήσεται, ἄκουσον τοῦ προφήτου λέγοντος, Κατ' ἀρχὰς σὺ Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου Ψαλμ. ρα. κϛ. εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. καὶ ὁ Ἡσαΐας δὲ ταῦτα ἐμφαίνων (γρ. ταῦτα) ἔλεγεν, Ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, Ησ. να. ϛ. ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες αὐτὴν, ὥσπερ ταῦτα, ἀπολοῦνται. (γρ. -ρωθήσεται) εἶδες πῶς ἐδούλευσε τῇ ματαιότητι ἡ κτίσις, καὶ πῶς ἐλευθεροῦται ἀπὸ τῆς φθορᾶς; ὁ μὲν γάρ φησιν, ὡς ἱμάτιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· ὁ δὲ Ἡσαΐας, οἱ δὲ κατοικοῦντες αὐτὴν, ὥσπερ ταῦτα, ἀπολοῦνται, οὐ παντελῆ λέγων ἀπώλειαν φησίν. οὐδὲ γὰρ

οἱ

οἱ κατοικοῦντες αὐτὴν, τουτέστιν, οἱ ἄνθρωποι, τοιαύτην ἀποστήσονται, ἀλλὰ τὴν πρόσκαιρον, καὶ δι' αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται), ὥσπερ οὖν καὶ ἡ κτίσις. ἅπερ ἅπαντα διὰ τοῦ εἰπεῖν, ὡς ταῦτα, προεδήλωσεν· ὅπερ οὖν καὶ ὁ Παῦλος ποιῶν φησι. πῶς μέντοι περὶ τῆς δουλείας αὐτῆς διαλέγεται, καὶ δείκνυσι τίνος ἕνεκεν τοιαύτη γέγονε, καὶ τὴν αἰτίαν ἡμᾶς τίθησι. τί οὖν; ἐπηρεάσθαι δι' ἕτερον ταῦτα παθοῦσα; οὐδαμῶς· καὶ γὰρ δι' ἐμὲ γέγονεν. ἡ τοίνυν δι' ἐμὲ γινομένη, πῶς ἂν ἀδικοῖτο εἰς ἐμὴν διόρθωσιν ταῦτα πάσχουσα; ἄλλως δὲ, τὸν τοῦ δικαίου καὶ ἀδίκου λόγον οὐδὲ κινεῖν ἐπὶ τῶν ἀψύχων καὶ ἀναισθήτων δεῖ. ἀλλ' ὁ Παῦλος ἐπειδὴ αὐτὴν ἐπροσωποποίησεν, οὐδενὶ κέχρηται τούτων ὧν εἶπον, ἀλλ' ἑτέρῳ τινὶ λόγῳ, τὸν ἀκροατὴν ἐκ περιουσίας παραμυθήσασθαι σπεύδων. ποίῳ δὴ τούτῳ; τί λέγεις, φησί; κακῶς ἔπαθε διὰ σὲ καὶ φθαρτὴ γέγονεν; ἀλλ' οὐδὲν ἠδίκηται. καὶ γὰρ ἄφθαρτος ἔσται διὰ σὲ πάλιν. τοῦτο γάρ ἐστι τὸ, ἐπ' ἐλπίδι. ὅταν δὲ λέγῃ, οὐχ ἑκοῦσα ὑπετάγη, οὐχ ἵνα κυρίαν γνώμης οὖσαν δείξῃ, τοῦτο λέγει, ἀλλ' ἵνα μάθῃς, ὅτι τῆς τοῦ Χριστοῦ κηδεμονίας τὸ πᾶν ἐγένετο, οὐκ ἐκείνης κατόρθωμα. τοῦτο εἰπὲ δὴ, καὶ ποίᾳ ἐλπίδι.

Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται. Τί ἐστι καὶ αὐτή; οὐχὶ σὺ μόνος, ἀλλὰ καὶ ὃ σοῦ ἐστι καταδεέστερον, καὶ ὃ οὐ μετέχει λογισμοῦ οὐδὲ αἰσθήσεως, καὶ τοῦτό σοι κοινωνήσει τῶν ἀγαθῶν. Ἐλευθερωθήσεται γάρ, φησιν, ἀπὸ τῆς δουλείας τῆς φθορᾶς· Τουτέστιν, οὐκ ἔτι ἔσται φθαρτὴ, ἀλλ' ἀκολουθήσει τῇ τοῦ σώματος εὐμορφίᾳ τοῦ σοῦ. ὥσπερ γὰρ γενομένου φθαρτοῦ, γέγονε φθαρτὴ καὶ αὐτή· οὕτως ἀφθάρτου καταστάντος, καὶ αὐτὴ ἀκολουθήσει, καὶ ἕψεται πάλιν. ὅπερ οὖν καὶ δεικνὺς ἐπήγαγεν, Εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· Τουτέστι, διὰ τὴν ἐλευθερίαν. καθάπερ γὰρ τιθηνὸς παιδίον τρέφουσα βασιλικὸν, ἐπὶ τῆς ἀρχῆς ἐκείνου γενομένου τῆς πατρικῆς, καὶ αὐτὴ συναπολαύει τῶν ἀγαθῶν· οὕτω καὶ ἡ κτίσις, φησίν. ὁρᾷς τὸν ἄνθρωπον πανταχοῦ προηγούμενον, καὶ δι' αὐτὸν ἅπαντα γινόμενα; εἶδες πῶς παραμυθεῖται τὸν ἀγωνιζόμενον, καὶ δείκνυσι τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν; τί γὰρ ἀλγεῖς, φησιν, ἐπὶ τοῖς πειρασμοῖς; σὺ διὰ σεαυτὸν πάσχεις, ἡ κτίσις διὰ σέ. οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἀξιόπιστα δείκνυσι τὰ λεγόμενα. εἰ γὰρ ἡ κτίσις ἐλπίζει διὰ σὲ πάντα γινομένη, πολλῷ μᾶλλον σὺ, δι' ὃν ἡ κτίσις ἀπολαύειν μέλλει τῶν ἀγαθῶν πάντων ἐκείνων. οὕτω καὶ οἱ ἄνθρωποι, τοῦ υἱοῦ μέλλοντος ἐπ' ἀξιώματος φαίνεσθαι, καὶ τοὺς δούλους λαμπροτέραν ἐνδύουσι στολὴν εἰς τὴν τοῦ παιδὸς δόξαν. ὥσπερ οὖν καὶ ὁ Θεὸς τὴν κτίσιν ἀφθαρσίαν περιβάλλει εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων.

22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει, καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

Εἶδες πῶς ἐντρέπει τὸν ἀκροατὴν, μονονουχὶ λέγων, μὴ γένῃ τῆς κτίσεως χείρων, καὶ τοῖς παροῦσιν ἐμφιλοχωρήσῃς; οὐ γὰρ μόνον αὐτῶν ἀντέχεσθαι οὐ δεῖ, ἀλλὰ καὶ στενάζειν ἐπὶ τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας. εἰ γὰρ ἡ κτίσις τοῦτο ποιεῖ, πολλῷ μᾶλλον σε δίκαιον τοῦτο ἐπιδείκνυσθαι τὸν λόγῳ τετιμημένον. ἀλλ' οὔπω τοῦτο μέγα εἰς ἐντροπήν· διόπερ ἐπήγαγεν,

23 Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν. Τουτέστι, τῶν μελλόντων ἤδη γευσάμενοι. καὶ γὰρ σφόδρα λίθινός τις ᾖ, ἱκανὰ τὰ δοθέντα ἤδη διαναστῆσαί τε αὐτὸν, καὶ τῶν παρόντων ἀπαγαγεῖν, καὶ πρὸς τὰ μέλλοντα πτερῶσαι διπλῇ· καὶ τῷ μεγάλα εἶναι τὰ δεδομένα, καὶ τῷ τὰ τοσαῦτα καὶ τηλικαῦτα ἀπαρχὴν εἶναι. εἰ γὰρ ἡ ἀπαρχὴ τοσαύτη, ὡς δι' αὐτῆς καὶ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ δικαιοσύνης ἐπιτυχεῖν καὶ ἁγιασμοῦ, τοὺς δὲ τότε, καὶ δαίμονας ἐλαύνειν, καὶ νεκροὺς ἐγείρειν διὰ σκιᾶς καὶ ἱματίων· ἐννόησον τὸ ὅλον ἡλίκον. καὶ εἰ ἡ κτίσις, ἡ νοῦ καὶ λόγου ἐστερημένη, οὐδὲν τούτων εἰδυῖα στενάζει, πολλῷ μᾶλλον ἡμεῖς. εἶτα ἵνα μὴ δῷ τοῖς αἱρετικοῖς λαβὴν, καὶ

δόξῃ τὰ παρόντα διαβάλλειν, στενάζομεν, φησὶν, οὐ τὰ παρόντα κατηγοροῦντες, ἀλλὰ τῶν μειζόνων ἐφιέμενοι. τοῦτο γὰρ ἐδήλωσεν εἰπών, Υἱοθεσίαν ἀπεκδεχόμενοι. Τί λέγεις, εἰπέ μοι; ἄνω καὶ κάτω συνεχῶς ἔστρεφες, καὶ ἐβόας λέγων, ὅτι ἤδη γεγενήμεθα υἱοί, καὶ νῦν ἐν ἐλπίσι τίθης τοῦτο τὸ ἀγαθὸν, γράφων ὅτι ἐκδέχεσθαι αὐτὴν δεῖ; τοῦτο τοίνυν διορθούμενος τῇ ἐπαγωγῇ, λέγει· Τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. Τουτέστι, τὴν ἀπηρτισμένην δόξαν. νῦν μὲν γὰρ ἐν ἀδήλῳ τὰ ἡμέτερα ἕστηκεν ἕως ἐσχάτης ἀναπνοῆς. πολλοὶ γὰρ ὄντες υἱοὶ, γεγόνασι κύνες καὶ αἰχμάλωτοι. ἂν δὲ μετὰ χρηστῆς καταλύσωμεν ἐλπίδος, τότε ἀκίνητος ἡ δωρεὰ, καὶ σαφεστέρα, καὶ μείζων, οὐκέτι τὴν ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας δεδοικυῖα μεταβολήν. τότε οὖν βεβαία ἔσται ἡ χάρις, ὅταν καὶ τὸ σῶμα ἡμῶν ἀπαλλαγῇ θανάτου, καὶ τῶν μυρίων παθῶν. τοῦτο γάρ ἐστιν ἀπολύτρωσις, οὐχ ἁπλῶς λύτρωσις, ἀλλ' ὥστε μηκέτι πάλιν ἐπιστρέψαι ἐπὶ τὴν προτέραν αἰχμαλωσίαν. ἵνα γὰρ μὴ ἀπορῇς δόξαν ἀκούων συνεχῶς, καὶ μηδὲν σαφὲς ἐπιστάμενος, ἐκ μέρους σοι ἀνοίγει τὰ μέλλοντα, τὸ σῶμά σου μεταβάλλων, καὶ τὴν κτίσιν αὐτῷ συμμεταβάλλων ἅπασαν. ὃ καὶ ἀλλαχοῦ σαφέστερον ἐδήλωσεν εἰπών, Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν [Φιλιπ. γ. κα.] εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. καὶ ἑτέρωθι πάλιν γράφων ἔλεγεν, Ὅταν δὲ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, [α. Κορ. ιε. νδ.] κατεπόθη ὁ θάνατος εἰς νῖκος. δηλῶν δὲ ὅτι μετὰ τῆς φθορᾶς τοῦ σώματος καὶ ἡ τῶν βιωτικῶν πραγμάτων κατάστασις οἰχήσεται, ἔγραφε πάλιν ἀλλαχοῦ, Παράγει γὰρ τὸ [α. Κορ. ζ. λα.] σχῆμα τοῦ κόσμου τούτου. 24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν, φησίν.

Ἐπειδὴ γὰρ ἐν τῇ τῶν μελλόντων ἐνδιέτριψεν ὑποσχέσει, ἐδόκει δὲ τοῦτο λυπεῖν τὸν ἀσθενέστερον ἀκροατὴν, εἴγε ἐν ἐλπίσι τὰ ἀγαθὰ, πρότερον κατασκευάσας, ὅτι τῶν παρόντων καὶ ὁρωμένων ἐστὶ σαφέστερα, καὶ πολλὰ περὶ τῶν ἤδη δεδομένων δωρεῶν διαλεχθεὶς, καὶ δείξας ὅτι καὶ ἀπαρχὴν ἐκείνων ἐλάβομεν τῶν ἀγαθῶν, ἵνα μὴ πάντα ἐνταῦθα ζητῶμεν, καὶ τὴν εὐγένειαν ἡμῶν προδῶμεν τὴν ἀπὸ τῆς πίστεως, φησὶ· Τῇ γὰρ ἐλπίδι ἐσώθημεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ δεῖ πάντα ἐνταῦθα ζητεῖν, ἀλλὰ καὶ ἐλπίζειν. τοῦτο γὰρ μόνον εἰσηνέγκαμεν τῷ Θεῷ τὸ δῶρον, τὸ πιστεῦσαι αὐτῷ τὰ μέλλοντα ἐπαγγειλαμένῳ, καὶ διὰ ταύτης μόνης ἐσώθημεν τῆς ὁδοῦ. ἂν τοίνυν αὐτὴν ἀπολέσωμεν, τὸ πᾶν τῆς ἡμετέρας εἰσφορᾶς ἀπωλέσαμεν. ἐρωτῶ γάρ σε, φησίν, οὐχὶ μυρίων ὑπεύθυνος ἦς κακῶν; οὐχὶ ἀπεγνωσμένος; οὐχὶ ἀποφάσει ὑποκείμενος; οὐχὶ πάντες ἠπόρουν περὶ τῆς σωτηρίας τῆς σῆς; τί οὖν σε ἔσωσε; τὸ εἰς τὸν Θεὸν ἐλπίσαι μόνον, καὶ πιστεῦσαι αὐτῷ περὶ ὧν ἐπηγγείλατο καὶ ἔδωκε, καὶ πλέον οὐδὲν εἶχες εἰσενεγκεῖν. εἰ τοίνυν αὕτη σε ἔσωσε, ταύτην κάτεχε καὶ νῦν. ἡ γὰρ τοσαῦτά σοι παρασχοῦσα ἀγαθὰ, εὔδηλον ὅτι οὐδὲ περὶ τῶν μελλόντων σε ψεύσεται. ὅπου γὰρ νεκρὸν λαβοῦσα, καὶ ἀπολωλότα, καὶ αἰχμάλωτον, καὶ ἐχθρὸν, φίλον ἐποίησε, καὶ υἱὸν, καὶ ἐλεύθερον, καὶ δίκαιον, καὶ συγκληρονόμον, καὶ τοσαῦτα παρέσχεν, ὅσα μηδὲ προσεδόκησέ τις ποτὲ· πῶς μετὰ τὴν τοσαύτην φιλοτιμίαν τε καὶ οἰκείωσιν οὐ προδώσει σε ἐν τοῖς ἑξῆς; μὴ τοίνυν μοι λέγε, πάλιν ἐλπίδες, πάλιν προσδοκία, πάλιν πίστις. οὕτω γὰρ ἐξ ἀρχῆς ἐσώθης, καὶ ταύτην τὴν προῖκα εἰσήνεγκας τῷ νυμφίῳ μόνην. κάτεχε τοίνυν αὐτὴν καὶ διατήρει. ἂν γὰρ ἐνταῦθα πάντα ἀπαιτῇς, ἀπώλεσας σὺ τὸ κατόρθωμα, δι' οὗ λαμπρὸς ἐγένου. διὸ ἐπάγει λέγων, Ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;

25 Εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

Τουτέστιν, εἰ πάντα ἐνταῦθα μέλλεις ζητεῖν, τίς χρεία ἐλπίδος; τί οὖν ἐστιν ἡ ἐλπίς; τὸ τοῖς μέλλουσι θαρρεῖν. τί γὰρ μέγα αἰτεῖ παρὰ σοῦ ὁ Θεὸς, αὐτὸς ὅλα πληροῖ; οὐχ ὁ διδοὺς τὰ ἀγαθά; ἓν αἰτεῖ παρὰ σοῦ μόνον, ἐλπίδα, ἵνα ἔχῃς τι καὶ αὐτὸς συνεισενεγκεῖν εἰς τὴν

σω-

τὴν σωτηρίαν. ὅπερ οὖν καὶ ἀνωτέρω ἐπήγαγεν, εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. ὥσπερ γὰρ τοὺς πονοῦντας καὶ ταλαιπωροῦντας καὶ μυρία κάμνοντας, οὕτω καὶ τοὺς ἐλπίζοντας ὁ Θεὸς στεφανοῖ. τὸ γὰρ τῆς ὑπομονῆς ὄνομα, ἱδρώτων ἐστὶν ὄνομα, καὶ καρτερίας πολλῆς. ἀλλ' ὅμως ἐχαρίσατο καὶ τοῦτο τῷ ἐλπίζοντι, ἵνα παραμυθήσηται τὴν ἀποκάμνουσαν ψυχήν. εἶτα δεικνὺς ὅτι πρὸς τὸ κοῦφον τοῦτο πολλῆς ἀπολαύομεν βοηθείας, ἐπάγει,

26 Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν.

Τὸ μὲν γὰρ ἔργον σόν, τὸ τῆς ὑπομονῆς· τὸ δὲ τῆς τοῦ πνεύματος χορηγίας, εἴς τε τὴν ἐλπίδα σε ἀλείφοντος, καὶ δι' αὐτῆς πάλιν τοὺς πόνους σοι κουφίζοντος. εἶτα, ἵνα μάθῃς, ὅτι οὐκ ἐν τοῖς πόνοις σοι μόνον καὶ τοῖς κινδύνοις παρέστηκεν αὕτη ἡ χάρις, ἀλλὰ καὶ ἐν τοῖς εὐκολωτάτοις δοκοῦσιν εἶναι συμπαρίσταται, καὶ πανταχοῦ τὴν παρ' ἑαυτῆς εἰσφέρει συμμαχίαν, ἐπήγαγε λέγων, Τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν. χ. πι

Ταῦτα δὲ ἔλεγε, τήν τε πολλὴν τοῦ πνεύματος πρόνοιαν ἐμφαίνων τὴν περὶ ἡμᾶς, καὶ παιδεύων αὐτούς, μὴ πάντως ἐκεῖνα νομίζειν εἶναι συμφέροντα, ἃ τοῖς λογισμοῖς φαίνεται τοῖς ἀνθρωπίνοις. ἐπειδὴ γὰρ ἦν εἰκὸς αὐτοὺς μαστιζομένους, ἐλαυνομένους, μυρία πάσχοντας δεινά, ἄνεσιν ζητεῖν, καὶ νομίζειν αὐτοῖς λυσιτελεῖν καὶ ταύτην αἰτεῖν παρὰ τοῦ Θεοῦ τὴν χάριν, λέγει, μὴ πάντως τὰ δοκοῦντα ὑμῖν εἶναι συμφέροντα, ταῦτα καὶ εἶναι νομίζετε. καὶ γὰρ εἰς τοῦτο τῆς τοῦ Θεοῦ δεόμεθα βοηθείας. οὕτως ἐστὶν ἀσθενὴς ἄνθρωπος, καὶ καθ' ἑαυτὸν οὐδέν. χ. πλημ διὸ καὶ ἔλεγε, τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν. ἵνα γὰρ μηκέτι ὁ μαθητὴς αἰσχύνηται τὴν ἄγνοιαν, ἔδειξε καὶ τοὺς διδασκάλους ἐν τοῖς αὐτοῖς ὄντας. οὐ γὰρ εἶπεν, οὐκ οἴδατε, ἀλλ', οὐκ οἴδαμεν. καὶ ὅτι οὐ μετριάζων ταῦτα ἔλεγεν, ἐδήλωσε δι' ἑτέρων. καὶ γὰρ ἀδιαλείπτως ἐπὶ τῶν προσευχῶν αὐτοῦ, τὴν Ῥώμην ἰδεῖν ἐδεῖτο· καὶ οὐχ ὅτε ἐδεῖτο, τότε ἐπέτυχε. (Ρωμ. α. κ.; β. Κορ. ιϛ. η.) καὶ ὑπὲρ τοῦ σκόλοπος τοῦ δεδομένου αὐτῷ ἐν τῇ σαρκί, τουτέστι, τῶν κινδύνων, πολλάκις παρεκάλεσε, καὶ ὁλοσχερῶς ἀπέτυχε· καὶ ὁ Μωϋσῆς δὲ ἐν τῇ παλαιᾷ ὑπὲρ τοῦ τὴν Παλαιστίνην ἰδεῖν δεόμενος, καὶ ὁ Ἱερεμίας ὑπὲρ Ἰουδαίων ἱκετεύων, καὶ ὁ Ἀβραὰμ ὑπὲρ Σοδομιτῶν ἐντυγχάνων. Ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. Ἀσαφὲς δὲ εἰρημένον διὰ τὸ πολλὰ τῶν τότε γινομένων θαυμάτων πεπαῦσθαι νῦν. διόπερ ἀναγκαῖον διδάξαι ὑμᾶς τὴν τότε κατάστασιν, καὶ οὕτω σαφέστερος λοιπὸν ἔσται ὁ λόγος. τίς οὖν ἡ τότε κατάστασις ἦν; διάφορα πᾶσι τοῖς τότε βαπτιζομένοις ἐδίδου χαρίσματα ὁ Θεός, ἃ δὴ καὶ πνεύματα ἐκαλεῖτο. (α. Κορ. ιδ.) πνεύματα γὰρ προφητῶν προφήταις ὑποτάσσεται, φησί. χ. πνμ καὶ ὁ μέν, εἶχε προφητείας χάρισμα, καὶ προέλεγε τὰ μέλλοντα. ὁ δὲ σοφίας, καὶ ἐδίδασκε τοὺς πολλούς. ὁ δὲ ἰαμάτων, καὶ ἐθεράπευε τοὺς νοσοῦντας. ὁ δὲ δυνάμεων, καὶ ἤγειρε τοὺς νεκρούς. ὁ δὲ γλωσσῶν, καὶ διαφόροις ἐλάλει φωναῖς. μετὰ δὲ τούτων ἁπάντων ἦν καὶ εὐχῆς χάρισμα, ὃ καὶ αὐτό, πνεῦμα ἐλέγετο. καὶ ὁ τοῦτο ἔχων, ὑπὲρ τοῦ πλήθους παντὸς ηὔχετο. ἐπειδὴ γὰρ πολλὰ τῶν συμφερόντων ἡμῖν ἀγνοοῦντες, τὰ μὴ συμφέροντα αἰτοῦμεν, ἤρχετο χάρισμα εὐχῆς εἴς τινα τῶν τότε, καὶ τὸ κοινῇ συμφέρον τῆς ἐκκλησίας ἁπάσης αὐτός τε ὑπὲρ ἁπάντων ᾐτεῖτο, καὶ τοὺς ἄλλους ἐπαίδευε. πνεῦμα τοίνυν ἐνταῦθα καλεῖ τό τε χάρισμα τὸ τοιοῦτον, καὶ τὴν ψυχὴν τὴν δεχομένην τὸ χάρισμα, καὶ ἐντυγχάνουσαν τῷ Θεῷ, καὶ στενάζουσαν. ὁ γὰρ τοιαύτης καταξιωθεὶς χάριτος, ἑστὼς μετὰ πολλῆς τῆς κατανύξεως, μετὰ πολλῶν τῶν στεναγμῶν τῶν κατὰ διάνοιαν τῷ Θεῷ προσπίπτων, τὰ συμφέροντα πᾶσιν αἰτεῖ. οὗ καὶ νῦν σύμβολόν ἐστιν ὁ διάκονος, τὰς ὑπὲρ τοῦ δήμου ἀναφέρων εὐχάς. τοῦτο τοίνυν δηλῶν ὁ Παῦλος ἔλεγεν, αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας. Ὁρᾷς ὅτι οὐ περὶ τοῦ παρακλήτου ὁ λόγος, ἀλ-

λὰ

λέγει περὶ τῆς καρδίας τῆς πνευματικῆς; ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἔδει εἰπεῖν, ὁ δὲ ἐρευνῶν τὸ πνεῦμα· ἀλλ' ἵνα μάθῃς ὅτι περὶ ἀνθρώπου ὁ λόγος πνευματικοῦ, καὶ χάρισμα ἔχοντος εὐχῆς, ἐπήγαγεν, Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, τουτέστι, τοῦ ἀνθρώπου τοῦ πνευματικοῦ. Ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

Οὐ γὰρ ἀγνοοῦντα, φησί, διδάσκει τὸν Θεόν, ἀλλὰ τοῦτο γίνεται, ἵνα ἡμεῖς μάθωμεν εὔχεσθαι ταῦτα ἃ χρή, καὶ αἰτεῖν παρὰ τοῦ Θεοῦ τὰ δοκοῦντα αὐτῷ. τοῦτο γάρ ἐστι τὸ κατὰ Θεόν. ὥστε καὶ παρακλήσεως ἕνεκεν ἐγίνετο τοῦτο τῶν προσιόντων, καὶ διδασκαλίας ἀρίστης. καὶ γὰρ ὁ παρέχων καὶ τὰ χαρίσματα, καὶ τὰ μυρία διδοὺς ἀγαθά, ὁ παράκλητος ἦν. ταῦτα γὰρ πάντα, φησίν, ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. καὶ τῆς ἡμετέρας παιδεύσεως ἕνεκεν τοῦτο γέγονε, καὶ τοῦ δειχθῆναι τοῦ πνεύματος τὴν ἀγάπην, ὅτι μέχρι τοσούτου συγκαταβαίνει. ὅθεν καὶ τὸ ἀκούεσθαι ἐγίνετο τῷ εὐχομένῳ, διὰ τὸ κατὰ Θεὸν γίνεσθαι τὴν εὐχήν.

Ὁρᾷς δι' ὅσων αὐτοὺς παιδεύει τὴν ὑπὲρ αὐτῶν ἀγάπην καὶ τὴν τιμὴν τὴν γινομένην εἰς αὐτούς; τί γὰρ οὐκ ἐποίησε δι' ἡμᾶς ὁ Θεός; φθαρτὸν τὸν κόσμον δι' ἡμᾶς, καὶ ἄφθαρτον ἐποίησε δι' ἡμᾶς. κακωθῆναι τοὺς προφήτας συνεχώρησε δι' ἡμᾶς, εἰς αἰχμαλωσίαν ἔπεμψε δι' ἡμᾶς, εἰς κάμινον ἀφῆκεν ἐμπεσεῖν δι' ἡμᾶς, τὰ μυρία ὑπομεῖναι κακά. καὶ προφήτας δὲ δι' ἡμᾶς αὐτοὺς ἐποίησε, καὶ ἀποστόλους δι' ἡμᾶς. τὸν μονογενῆ δι' ἡμᾶς ἐξέδωκε, τὸν διάβολον δι' ἡμᾶς κολάζει, ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ. ὠνειδίσθη δι' ἡμᾶς· Οἱ ὀνειδισμοὶ γάρ, φησι, τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. ἀλλ' ὅμως μετὰ τοσαῦτα ἀφισταμένους ἡμᾶς οὐκ ἀφίησιν, ἀλλὰ καὶ παρακαλεῖ πάλιν, καὶ ἑτέρους παρασκευάζει παρακαλεῖν ὑπὲρ ἡμῶν, ἵνα ἡμῖν χαρίσηται. ὅπερ ἐπὶ τοῦ Μωϋσέως γέγονε. καὶ γὰρ ἐκείνῳ φησίν, Ἄφες με, καὶ ἐξαλείψω αὐτούς, ἵνα αὐτὸν ἐμβάλῃ εἰς τὴν ὑπὲρ ἐκείνων ἱκετηρίαν. καὶ νῦν τὸ αὐτὸ ποιεῖ. διὰ τοῦτο καὶ χάρισμα εὐχῆς ἐδίδου. ἐποίει δὲ τοῦτο, οὐκ αὐτὸς παρακλήσεως δεόμενος, ἀλλ' ἵνα ἡμεῖς μὴ ἁπλῶς σωζόμενοι, ῥᾳθυμότεροι καταστῶμεν. διά τοι τοῦτο πολλάκις διὰ τὸν Δαβίδ, καὶ τὸν δεῖνα, καὶ τὸν δεῖνα φησὶν αὐτοῖς καταλλάττεσθαι, τοῦτο αὐτὸ κατασκευάζων πάλιν, ἵνα τὸ σχῆμα ἐπιτεθῇ τῇ καταλλαγῇ. καίτοι μειζόνως ἂν αὐτὸς ἐφάνη φιλάνθρωπος, εἰ μὴ διὰ τὸν δεῖνα, καὶ τὸν δεῖνα, ἀλλὰ δι' ἑαυτὸν ἔλεγεν αὐτοῖς ἀφεῖναι τὴν ὀργήν. ἀλλ' οὐχ οὕτω τοῦτο ἐσπούδακεν, ὡς τὸ τοῖς σωζομένοις μὴ γενέσθαι ῥᾳθυμίας ἀφορμὴν τὴν τῆς καταλλαγῆς ὑπόθεσιν. διὰ τοῦτο καὶ τῷ Ἱερεμίᾳ ἔλεγε, Μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου, οὐχὶ παῦσαι αὐτὸν θέλων ἀξιοῦντα (πολὺ γὰρ ἐπιθυμεῖ τῆς σωτηρίας τῆς ἡμετέρας) ἀλλ' ἐκείνους φοβῆσαι. ὅπερ οὖν καὶ ὁ προφήτης συνιδών, οὐκ ἐπαύσατο ἀξιῶν. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀποστῆσαι αὐτὸν θέλων, ἀλλ' ἐντρέψαι, ταῦτα ἔλεγεν, ἄκουσον τί φησιν· ἢ οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσι; καὶ πρὸς τὴν πόλιν δὲ ὅταν λέγῃ, Ἐὰν ἀποπλύνῃ νίτρῳ, καὶ πληθύνῃς σεαυτῇ πόαν, κεκηλίδωσαι ἐναντίον μου, οὐχ ἵνα εἰς ἀπόγνωσιν ἐμβάλῃ, λέγει, ἀλλ' ἵνα εἰς μετάνοιαν διαναστήσῃ. ὥσπερ γὰρ ἐπὶ τῶν Νινευιτῶν ἀδιορίστως εἰπὼν τὴν ἀπόφασιν, καὶ μὴ ὑποτείνας χρηστὰς ἐλπίδας, μᾶλλον ἐφόβησε, καὶ εἰς μετάνοιαν ἤγαγεν· οὕτω καὶ ἐνταῦθα ποιεῖ, ἐκείνους τε διεγείρων, καὶ τὸν προφήτην αἰδεσιμώτερον κατασκευάζων, ἵνα κἂν οὕτως αὐτοῦ ἀκούσωσιν. εἶτα ἐπειδὴ ἔμενον ἀνίατα νοσοῦντες, καὶ οὐδὲ τῶν ἄλλων ἀπενεχθέντων ἐσωφρονίσθησαν, τὸ μὲν πρότερον, παραινεῖ μένειν αὐτόθι. ὡς δὲ οὐκ ἠνείχοντο, ἀλλ' ηὐτομόλουν εἰς Αἴγυπτον, τότε μὲν συνεχώρησεν, αἰτεῖ δὲ παρ' αὐτῶν τὸ μὴ μετ' Αἰγύπτου καὶ πρὸς τὴν ἀσέβειαν αὐτομολῆσαι. ὡς δὲ οὐδὲ τοῦτο ἐπείσθησαν, συμπέμπει τὸν προφήτην αὐτοῖς, ὥστε μὴ τέλεον ἐξοκεῖλαι λοιπόν. ἐπειδὴ γὰρ αὐτοὶ οὐκ ἠκολούθησαν αὐτῷ καλοῦντι, αὐτὸς αὐτοῖς ἕπεται λοιπὸν διορθούμενος, καὶ κωλύων προσωτέρω φέρεσθαι τῆς κακίας, καθάπερ πατὴρ φιλό-

ΗΘΙΚΟΝ

Ψαλμ. ξη. ι.

Ἐξόδ. λβ. ι.

Ἱερ. ια. ιδ.

Ἱερ. β. ι. καὶ κβ.

στοργος παιδίῳ δυστυχῶς ἔχοντι πρὸς ἅπαντα, πάντα παρ' αὐτοῦ συμπαθείᾳ ἄγων καὶ συμπαθείᾳ ἀκολουθῶν. διὰ δὴ τοῦτο οὐκ εἰς Αἴγυπτον μόνον τὸν Ἱερεμίαν, ἀλλὰ καὶ εἰς Βαβυλῶνα τὸν Ἰεζεκιὴλ ἔπεμπεν, καὶ οὐκ ἀντέλεγον. ἐπειδὴ γὰρ τὸν ἑαυτῶν δεσπότην εἶδον σφόδρα αὐτοὺς φιλοῦντα, καὶ αὐτοὶ τοῦτο ποιοῦντες διετέλουν· ὥσπερ ἂν εἴ τις υἱὸν ἄχρηστον δοῦλος εὐγνώμων ἐλεήσειεν, ὁρῶν τὸν πατέρα ἀλγοῦντα ὑπὲρ αὐτοῦ καὶ κοπτόμενον. τί γὰρ οὐκ ἔπαθον δι' αὐτούς; ὑβρίζοντο, ἠλαύνοντο, ὠνειδίζοντο, ἐλιθάζοντο, μυρία ἔπαθον δεινά· καὶ μετὰ ταῦτα ἅπαντα, πρὸς αὐτοὺς ἔτρεχον πάλιν. καὶ γὰρ ὁ Σαμουὴλ οὐ διέλειπε πενθῶν τὸν Σαούλ, καίτοιγε χαλεπῶς ὑβρισθεὶς παρ' αὐτοῦ, καὶ τὰ ἀνήκεστα παθών. ἀλλ' ὅμως οὐδενὸς ἐκείνων ἐμέμνητο. τῷ δὲ Ἰουδαίων δήμῳ καὶ θρήνους γραπτοὺς ὁ Ἱερεμίας συνέθηκε. καὶ τοῦ στρατηγοῦ τῶν Περσῶν διδόντος αὐτῷ μετὰ ἀδείας οἰκεῖν, καὶ ἐλευθερίας ἁπάσης ὅπου βούλοιτο, προετίμησε τῆς οἴκοι διατριβῆς τὴν τοῦ λαοῦ κακουχίαν καὶ τὴν ἐν ἀλλοτρίᾳ ταλαιπωρίαν. οὕτω καὶ Μωϋσῆς τὰ βασίλεια καὶ τὴν ἐκεῖ διατριβὴν ἀφείς, πρὸς τὰς ἐκείνων ἔδραμε συμφοράς· καὶ Δανιὴλ δὲ ἐν εἰκοσιέξ ἡμέραις ἄσιτος ἔμεινεν, ἄγχων ἑαυτὸν τῇ βαρυτάτῃ νηστείᾳ, ἵνα τὸν Θεὸν αὐτοῖς καταλλάξῃ· καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ἐν καμίνῳ ὄντες, καὶ τοσούτῳ πυρί, τὴν ὑπὲρ αὐτῶν ἱκετηρίαν ἀνέφερον. οὐ γὰρ δὴ ὑπὲρ ἑαυτῶν ἤλγουν τῶν σεσωσμένων· ἀλλ' ἐπειδὴ τότε μάλιστα ᾤοντο παρρησίαν ἔχειν, διὰ τοῦτο ὑπὲρ αὐτῶν ἐδέοντο. διὸ καὶ ἔλεγον, Ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. διὰ τοῦτο καὶ Ἰησοῦς τὰ ἱμάτια διέρρηξε· διὰ τοῦτο καὶ Ἰεζεκιὴλ ἐθρήνει καὶ ὠλοφύρετο κατακοπτομένους ὁρῶν· καὶ Ἱερεμίας ἔλεγεν, ἄφετέ με, πικρῶς κλαύσομαι. καὶ πρὸ τούτου δέ, ἐπειδὴ ἀξιῶσαι ὑπὲρ συγχωρήσεως τῶν δεινῶν παντελῶς οὐκ ἐτόλμα, προθεσμίαν ἐζήτει λέγων, ἕως πότε Κύριε; φιλόστοργον γὰρ ἅπαν τὸ τῶν ἁγίων γένος. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ Θεοῦ ἅγιοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην. ὁρᾷς τὴν ἀκρίβειαν τοῦ ῥήματος, καὶ πῶς διηνεκῶς ἐλεήμονας ἡμᾶς βούλεται εἶναι; οὐ γὰρ εἶπεν, ἐλεήσατε ἁπλῶς, ἀλλ', ἐνδύσασθε· ἵνα ὥσπερ τὸ ἱμάτιον ἀεὶ μεθ' ἡμῶν ἐστιν, οὕτω καὶ ἡ ἐλεημοσύνη. καὶ οὐκ εἶπεν ἁπλῶς ἐλεημοσύνην, ἀλλὰ σπλάγχνα οἰκτιρμῶν, ἵνα φυσικὴν μιμησώμεθα φιλοστοργίαν. ἀλλ' ἡμεῖς τἀναντία ποιοῦμεν· κἂν προσέλθῃ τις αἰτῶν ὀβολὸν ἕνα, ὑβρίζομεν, λοιδοροῦμεν, ἐπιθέτην καλοῦμεν. οὐ φρίττεις ἄνθρωπε, καὶ ἐρυθριᾷς ἐπιθέτην ὑπὲρ ἄρτου καλῶν; εἰ δὲ καὶ ἐπίθεσιν οὗτος ποιεῖ, διὰ τοῦτο καὶ ἐλεεῖσθαι δίκαιος, ὅτι οὕτως ὑπὸ λιμοῦ πιέζεται ὡς τοιοῦτον ὑποδῦναι προσωπεῖον. καὶ τοῦτο τῆς ἡμετέρας ὠμότητος ἔγκλημα. ἐπειδὴ γὰρ εὐκόλως παρέχειν οὐκ ἀνεχόμεθα, μυρίας ἀναγκάζονται ἐπινοεῖν μηχανάς, ὥστε ἡμῶν σοφίσασθαι τὴν ἀπανθρωπίαν, καὶ τὴν τραχύτητα καταμαλάξαι. ἄλλως δέ, εἰ μὲν ἀργύριον ᾔτει καὶ χρυσίον, εἶχεν ἄν σοι τὰ τῆς ὑποψίας λόγον· εἰ δὲ ὑπὲρ ἀναγκαίας σοι τροφῆς προσέρχεται, τί φιλοσοφεῖς ἀκαίρως, καὶ ἀκριβολογεῖς περιττά, ἀργίαν ἐγκαλῶν καὶ ὄκνον; εἰ γὰρ δεῖ ταῦτα λέγειν, οὐχ ἑτέροις, ἀλλ' ἡμῖν αὐτοῖς ἐπιλέγειν δεῖ. ὅταν γοῦν παρὰ Θεῷ προσίῃς ἁμαρτημάτων αἰτῶν συγχώρησιν, τούτων ἀναμνήσθητι τῶν ῥημάτων, καὶ γνώσῃ ὅτι δικαιότερον ταῦτα αὐτὸς ἀκούσῃ παρὰ τοῦ Θεοῦ, ἢ ὁ πένης παρὰ σοῦ. ἀλλ' ὅμως οὐδέποτε πρὸς σὲ ταῦτα εἶπε τὰ ῥήματα ὁ Θεός, οἷον, ἀπόστηθι, καὶ γὰρ ἐπιθέτης εἶ, εἰς μὲν ἐκκλησίαν εἰσιὼν συνεχῶς, καὶ νόμων ἀκούων τῶν ἐμῶν, ἐν δὲ τῇ ἀγορᾷ καὶ χρυσίον, καὶ ἐπιθυμίαν, καὶ φιλίαν, καὶ πάντα ἁπλῶς προτιμῶν τῶν ἐμῶν ἐπιταγμάτων. καὶ νῦν μὲν ταπεινὸς γίνῃ, μετὰ δὲ τὴν εὐχὴν καὶ θρασὺς καὶ ὠμός, καὶ ἀπάνθρωπος. ἄπιθι τοίνυν ἐντεῦθεν, καὶ μηκέτι μοι πρόσιθι. ταῦτα γάρ, καὶ τούτων πλείονα ἀκούειν ἦμεν ἄξιοι, ἀλλ' ὅμως οὐδέποτε τοιοῦτον οὐδὲν ὠνείδισεν, ἀλλὰ καὶ μακροθυμεῖ, καὶ τὰ παρ' ἑαυτοῦ πάντα πληροῖ, καὶ πλείονα ὧν αἰτοῦμεν δίδωσι. ταῦτ' οὖν ἐννοοῦντες, λύσωμεν τὴν πενίαν τοῖς δεομένοις, κἂν ἐπίθεσιν ποιῶσι, μὴ ἀκριβολογώμεθα.

Δαν. γ. λθ.

Κολ. γ. ιβ.

χ. δυσπαθείᾳ

χ. ἑξ ἡμέρας ἐφεξῆς ἡμέραις ἄσιτος

χ. φανερῶς

χ. καὶ

χ. ἀπάνθρωπος

τοιαύτης

τοιαύτης γὰρ καὶ ἡμεῖς χρῄζομεν σωτηρίας τῆς μετὰ συγγνώμης, τῆς μετὰ φιλανθρωπίας, τῆς μετὰ ἐλέους πολλοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστι, τῶν καθ' ἡμᾶς ἐξεταζομένων ἀκριβῶς, σωθῆναί ποτε, ἀλλ' ἀνάγκη κολασθῆναι καὶ ἀπολέσθαι πάντας. μὴ τοίνυν γινώμεθα ἑτέρων" πικροὶ δικασταί, ἵνα μὴ καὶ ἡμεῖς ἀκριβείας ἀπαιτηθῶμεν εὐθύνας. καὶ γὰρ ἔχομεν ἁμαρτήματα συγγνώμης πάσης μείζονα. ὥστε ἐκείνους" μᾶλλον ἐλεῶμεν τοὺς τὰ ἀσύγγνωστα ἁμαρτάνοντας, ἵνα καὶ αὐτοὶ τοιοῦτον ἑαυτοῖς προαποθώμεθα ἔλεον. καίτοι ὅσα ἂν φιλοτιμησώμεθα, οὐδέποτε δυνησόμεθα τοιαύτην εἰσενεγκεῖν φιλανθρωπίαν, οἵας χρῄζομεν ἡμεῖς παρὰ τοῦ φιλανθρώπου Θεοῦ. πῶς οὖν οὐκ ἄτοπον τοσούτων ὄντας ἐν χρείᾳ αὐτούς, ἀκριβολογεῖσθαι περὶ τοὺς ἡμετέρους συνδούλους, καὶ καθ' ἑαυτῶν ἅπαντα πράττειν; οὐ γὰρ οὕτως ἐκεῖνον ἀνάξιον ἀποφαίνεις τῆς εὐεργεσίας τῆς σῆς, ὡς ἑαυτὸν τῆς τοῦ Θεοῦ φιλανθρωπίας. ὁ γὰρ περὶ τὸν σύνδουλον ἀκριβολογούμενος, πολλῷ μᾶλλον τὸν Θεὸν ἕξει τοῦτο ποιοῦντα. μὴ τοίνυν καθ' ἡμῶν φθεγγώμεθα, ἀλλὰ κἂν διὰ ῥαθυμίαν, κἂν δι' ὀργὴν προσαίωσιν, ἡμεῖς προέχωμεν. καὶ γὰρ καὶ ἡμεῖς πολλὰ διὰ ῥαθυμίαν ἁμαρτάνομεν, μᾶλλον δὲ ἅπαντα διὰ ῥαθυμίαν, καὶ οὐκ ἀπαιτεῖ δίκην ἡμᾶς εὐθέως ὁ Θεός, ἀλλὰ δίδωσι προθεσμίαν μετανοίας ἡμῖν, τρέφων καθ' ἑκάστην ἡμέραν, παιδεύων, διδάσκων, τὰ ἄλλα πάντα χορηγῶν, ἵνα καὶ ἡμεῖς ζηλώσωμεν αὐτοῦ τὸν ἔλεον τοῦτον. καταλύσωμεν τοίνυν τὴν ὠμότητα ταύτην, ἐκβάλωμεν τὴν θηριωδίαν, ἅτε ἑαυτοὺς μᾶλλον ἢ ἑτέρους εὐεργετοῦντες. τούτοις μὲν γὰρ ἀργύριον δίδομεν, καὶ ἄρτον, καὶ ἱμάτιον, ἡμῖν δὲ αὐτοῖς μεγίστην προαποτιθέμεθα δόξαν, καὶ ἣν οὐκ ἔνι παραστῆσαι λόγῳ. τὰ γὰρ σώματα ἄφθαρτα ἀπολαβόντες, "συνδοξαζόμεθα καὶ συμβασιλεύσομεν τῷ Χριστῷ. τοῦτο ἡλίκον ἐστίν, ἐντεῦθεν εἰσόμεθα, μᾶλλον δὲ σαφῶς μὲν οὐδαμόθεν εἰσόμεθα νῦν· ὥστε δὲ ἀπὸ τῶν παρ' ἡμῖν ἀγαθῶν ἀναχθέντας μικράν γοῦν τινα αὐτοῦ λαβεῖν ἔννοιαν, ὡς ἂν οἷός τε ὦ, παραστῆσαι πειράσομαι τὸ εἰρημένον. εἰπὲ γάρ μοι εἴ τίς σε γεγηρακότα, καὶ ἐν πενίᾳ ζῶντα ἐπηγγέλλετο ἐξαίφνης ποιήσειν νέον, καὶ εἰς αὐτὴν ἄξειν τῆς ἡλικίας ἀκμήν, καὶ σφόδρα ἰσχυρὸν καὶ ὡραῖον ὑπὲρ ἅπαντας κατασκευάζειν, καὶ βασιλείαν δώσειν τῆς γῆς ἁπάσης ἐπὶ ἔτεσι χιλίοις, βασιλείαν εἰρήνην ἔχουσαν βαθυτάτην, τί οὐκ ἂν ὑπὲρ ταύτης τῆς" ὑποσχέσεως εἵλου ποιῆσαι καὶ παθεῖν; ἰδοὺ τοίνυν ὁ Χριστὸς οὐχὶ ταῦτα, ἀλλὰ πολλῷ μείζω τούτων ἐπαγγέλλεται. οὐδὲ γὰρ ὅσον γήρως καὶ νεότητος τὸ μέσον, τοσοῦτον φθορᾶς καὶ ἀφθαρσίας τὸ διάφορον, οὐδὲ ὅσον βασιλείας καὶ πενίας, τοσοῦτον τῆς δόξης τῆς μελλούσης καὶ τῆς παρούσης, ἀλλ' ὅσον ὀνειράτων, καὶ ἀληθείας. μᾶλλον δὲ οὐδὲν οὐδέπω εἴρηκα. οὐδὲ γάρ ἐστι λόγος ἱκανὸς παραστῆσαι τὸ μέγεθος τῆς διαφορᾶς τῶν ἐσομένων πρὸς τὰ παρόντα. χρόνου δὲ ἕνεκεν οὐδὲ ὅλως ἐστὶν ἐννοῆσαι διαφοράν. πῶς γὰρ ἄν τις παραβάλοι τοῖς παροῦσι ζωὴν" τέλος οὐκ ἔχουσαν; τῆς δὲ εἰρήνης τοσοῦτον τὸ μέσον πρὸς τὴν παροῦσαν, ὅσον εἰρήνης καὶ πολέμου τὸ διάφορον· καὶ τῆς ἀφθαρσίας, ὅσον βώλου πηλίνης ὁ καθαρὸς μαργαρίτης ἀμείνων. μᾶλλον δὲ ὅσον ἂν εἴποι τις, οὐδὲν παραστῆσαι δυνήσεται. κἂν γὰρ τῷ τῆς ἀκτῖνος παραβάλω φωτὶ τὸ κάλλος τῶν τότε σωμάτων, κἂν ἀστραπῇ τῇ φαιδροτάτῃ, οὐδὲν οὐδέπω τῆς λαμπρότητος ἄξιον ἐκείνης ἐρῶ. ὑπὲρ δὴ τούτων πόσα οὐκ ἄξιον προέσθαι καὶ χρήματα, καὶ σώματα, μᾶλλον δὲ πόσας οὐκ ἄξιον προέσθαι ψυχάς; νῦν μὲν εἰ μέν τίς σε εἰς "βασίλεια εἰσήγε, καὶ πάντων παρόντων διαλεχθῆναί σοι παρεσκεύασε τὸν βασιλέα, καὶ ὁμοτράπεζον, καὶ ὁμοδίαιτον ἐποίει αὐτῷ, πάντων ἂν ἔφης σαυτὸν εἶναι μακαριώτερον· εἰς δὲ τὸν οὐρανὸν μέλλων ἀναβαίνειν, καὶ παρ' αὐτὸν ἑστάναι τὸν τῶν ὅλων βασιλέα, καὶ ἀντιλάμπειν τοῖς ἀγγέλοις, καὶ τῆς ἀπορρήτου δόξης ἀπολαύειν ἐκείνης ἀμφιβάλλεις; εἰ δὲ προέσθαι χρήματα δέον, ἢ καὶ αὐτὴν τὴν ζωὴν ἀποδύσασθαι, ἔδει σκιρτᾷν, καὶ ἀγάλλεσθαι, καὶ πτερουσθαι τῇ ἡδονῇ. σὺ δὲ ἵνα μὲν ἀρχὴν λάβῃς τὴν παρέχουσάν σοι κλοπῶν ἀφορμάς (οὐ γὰρ ἂν εἴποιμι κέρδος τὸ τοιοῦτον ἐγώ)

πικρότατοι

μάλιστα

πέρας

βασιλέα

ἔγω) ἢ τὰ ὄντα ἐκβάλλεις, ἢ τὰ ἑτέρων δημευσάμενος, εἰ δέοι, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα ὑποτίθεσθαι οὐ κατοκνεῖς· τῆς δὲ βασιλείας τῶν οὐρανῶν προκειμένης, τῆς οὐδεμίαν διάδοχον ἐχούσης ἀρχῆς, καὶ τοῦ Θεοῦ κελεύοντος οὐ μέρος γωνίας γῆς, ἀλλ' ὁλόκληρον λαβεῖν τὸν οὐρανὸν, ὀκνεῖς καὶ ἀναδύῃ, καὶ πρὸς χρήματα κέχηνας, καὶ οὐκ ἐννοεῖς, ὅτι εἰ τὰ πρὸς ἡμᾶς τοῦ οὐρανοῦ ἐκείνου μέρη οὕτω καλὰ καὶ τερπνὰ, ἡλίκα τὰ ἄνω, καὶ ὁ τοῦ οὐρανοῦ οὐρανός; ἀλλ' ἐπειδὴ τέως σώματος ὀφθαλμοῖς ταῦτα ἰδεῖν οὐκ ἔνι, ἀνάβηθι τῷ λογισμῷ, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦτον στὰς, ἀνάβλεψον εἰς ἐκεῖνον τὸν ἀνωτέρω τούτου οὐρανὸν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ φρίκης γέμον, εἰς τοὺς τῶν ἀγγέλων δήμους, εἰς τὰ στίφη τῶν ἀρχαγγέλων τὰ ἄπειρα, εἰς τὰς ἄλλας τὰς ἀσωμάτους δυνάμεις. καὶ πάλιν ἐπιλαβοῦ τῆς παρ' ἡμῖν εἰκόνος καταβὰς ἄνωθεν, καὶ ὑπόγραψον τὰ περὶ τὸν βασιλέα τὸν παρ' ἡμῖν, οἷον ἄνδρας χρυσοφοροῦντας, καὶ ζεύγη λευκῶν ἡμιόνων χρυσῷ καλλωπιζομένων, καὶ ὀχήματα λιθοκόλλητα, καὶ στρωμνὴν χιονώδη, καὶ πέταλα τοῖς ὀχήμασι περισειόμενα, καὶ δράκοντας ἐν ἱματίοις σχηματιζομένους σηρικοῖς, καὶ ἀσπίδας χρυσοῦς ἐχούσας ὀμφαλοὺς, καὶ τελαμῶνας ἐκ τούτων πρὸς τὰς ἄντυγας ἄνω διὰ πολλῶν ἐκτεινομένους λίθων, καὶ ἵππους χρυσοφοροῦντας, καὶ χαλινοὺς χρυσοῦς. ἀλλ' ὅταν τὸν βασιλέα ἴδωμεν, οὐδὲν τούτων λοιπὸν ὁρῶμεν. ἐκεῖνος γὰρ ἡμᾶς ἐπιστρέφει μόνος, ἢ τὰ πορφυρᾶ ἱμάτια, καὶ τὸ διάδημα, καὶ ἡ καθέδρα, ἢ ἡ περόνη, καὶ τὰ ὑποδήματα, ἡ πολλὴ τῆς ὄψεως λαμπηδών. ταῦτ' οὖν ἅπαντα συναγαγὼν ἀκριβῶς, ἀπὸ τούτων πάλιν μετάθες ἐπὶ τὰ ἄνω τὸν λογισμὸν, καὶ τὴν ἡμέραν τὴν φοβερὰν ἐκείνην καθ' ἣν ὁ Χριστὸς παραγίνεται. οὐ γὰρ ζεύγη ἡμιόνων ὄψει τότε, οὐδὲ ὀχήματα χρυσᾶ, οὐδὲ δράκοντας, καὶ ἀσπίδας, ἀλλ' ἃ πολλῆς γέμει φρίκης, καὶ τοσαύτην ἐμποιεῖ τὴν ἔκπληξιν, ὡς καὶ αὐτὰς καταπλαγῆναι τὰς ἀσωμάτους δυνάμεις. (Ματθ. κδ. κθ.) Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν, φησί, σαλευθήσονται. τότε γὰρ ἀνοίγεται πᾶς οὐρανὸς, καὶ τῶν ἀψίδων ἐκείνων ἀναπεταννυμένων αἱ πύλαι, κάτεισι μὲν ὁ τοῦ Θεοῦ μονογενὴς παῖς, οὐκ εἴκοσιν, οὐδὲ ἑκατὸν ἀνθρώπων δορυφορούντων αὐτὸν, ἀλλὰ χιλιάδων καὶ μυριάδων ἀγγέλων, ἀρχαγγέλων, τῶν Χερουβὶμ, τῶν Σεραφὶμ, τῶν ἄλλων δυνάμεων, καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστὰ, τῆς γῆς ἀναρρηγνυμένης, τῶν πώποτε γενομένων ἀνθρώπων ἐξ οὗ γέγονεν ὁ Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, ἀπὸ γῆς ἀναβαινόντων τε, καὶ ἁρπαζομένων ἁπάντων, αὐτοῦ μετὰ τῆς τοσαύτης φαινομένου δόξης, ὡς καὶ τὴν σελήνην καὶ τὸν ἥλιον καὶ ἅπαν κρύπτεσθαι φῶς ὑπὸ τῆς αὐγῆς ἐκείνης καταλαμπόμενον. τίς παραστήσει λόγος τὴν μακαριότητα ἐκείνην; τὴν λαμπρότητα; τὴν δόξαν; οἴμοι ψυχή. καὶ γὰρ δακρῦσαί μοι νῦν ἔπεισι, καὶ στενάξαι μέγα, ἐννοοῦντι ποίων ἐξεπέσομεν ἀγαθῶν, οἵας ἀλλοτριούμεθα μακαριότητος. καὶ γὰρ ἀλλοτριούμεθα (τότε ἐμαυτοῦ λέγω τέως) ἐὰν μή τι μέγα καὶ θαυμαστὸν ἐργασώμεθα. μὴ τοίνυν μοι λεγέτω τις γέενναν ἐνταῦθα. ἢ γὰρ ἁπάσης γεέννης χαλεπώτερον τὸ τοσαύτης ἐκπεσεῖν τῆς δόξης, μυρίων κολάσεων χεῖρον τὸ τῆς λήξεως ἀλλοτριωθῆναι ἐκείνης. ἀλλ' ὅμως ἔτι πρὸς τὰ παρόντα κεχήναμεν, καὶ οὐκ ἐννοοῦμεν τοῦ διαβόλου τὴν κακουργίαν, ὃς διὰ τῶν μικρῶν τὰ μεγάλα ἡμᾶς ἀφαιρεῖται, καὶ δίδωσι πηλὸν ἵνα ἁρπάσῃ χρυσὸν, μᾶλλον δὲ ἵνα ἁρπάσῃ τὸν οὐρανὸν, καὶ δείκνυσι σκιὰν ἵνα ἐκβάλῃ τῆς ἀληθείας, καὶ ἐν ὀνείρασι φαντάζει (τοῦτο γὰρ ὁ παρὼν πλοῦτος) ἵνα ἡμέρας γενομένης πάντων ἀποδείξῃ πενεστέρους. ταῦτ' οὖν ἐννοήσαντες, ὀψὲ γοῦν ποτε φύγωμεν τὸν δόλον, καὶ πρὸς τὰ μέλλοντα μεταστῶμεν. οὐ γάρ ἐστιν εἰπεῖν, ὅτι ἠγνοήσαμεν τοῦ παρόντος βίου τὸ ἐπίκηρον, τῶν πραγμάτων καθ' ἑκάστην ἡμέραν βοώντων σάλπιγγος λαμπρότερον τὴν παροῦσαν εὐτέλειαν, τὸν γέλωτα, τὴν αἰσχύνην, τοὺς κινδύνους, τὰ βάραθρα. ποίαν οὖν ἕξομεν ἀπολογίαν, τὰ μὲν ἐπικίνδυνα καὶ αἰσχύνης γέμοντα μετὰ πολλῆς διώκοντες τῆς σπουδῆς, τὰ δὲ ἀσφαλῆ, καὶ ἐνδόξους ἡμᾶς ποιοῦντα, καὶ λαμπροὺς, φεύγοντες, ἢ ὅλους ἑαυτοὺς τῇ τῶν χρημάτων ἐκδιδόντες τυραννίδι; καὶ

γὰρ

γ. ὑποτίθ…
γ. ἴδοι
γ. χρυσοκόλλητα,
γ. πτύλα … ὀχήματα περισειόμενα,
γ. χρυσᾶ
γ. ἄλλα,
γ. ἀνοίγ…
γ. ἀπαλλοτριούμ…
γ. ἀγαθ…
γ. ποίων

γὰρ τυραννίδος ἁπάσης χαλεπωτέρα ἡ τούτων δουλεία· καὶ ἴσασιν ὅσοι αὐτῆς ἀπαλλαγῆναι κατηξιώθησαν. ἵν' οὖν καὶ ὑμεῖς μάθητε τὴν καλὴν ταύτην ἐλευθερίαν, διαρρήξατε τὰ δεσμὰ, ἀποπηδήσατε τῆς παγίδος· καὶ μὴ κείσθω χρυσίον ὑμῖν ἐπὶ τῆς οἰκίας, ἀλλ' ὃ μυρίων χρημάτων ἐστὶ τιμιώτερον, ἐλεημοσύνη καὶ φιλανθρωπία ἀντὶ χρυσίου. αὕτη μὲν γὰρ παρρησίαν πρὸς τὸν Θεὸν ἡμῖν δίδωσιν, ἐκεῖνο δὲ πολλὴν ἡμῶν καταχέει τὴν αἰσχύνην, καὶ σφοδρὸν ποιεῖ πνεῖν τὸν διάβολον καθ' ἡμῶν. τί τοίνυν καθοπλίζεις σου τὸν ἐχθρὸν, καὶ ἰσχυρότερον ποιεῖς; ὅπλισον τὴν σαυτοῦ δεξιὰν κατ' ἐκείνου, καὶ τὸ κάλλος τῆς οἰκίας ἅπαν εἰς τὴν ψυχὴν εἰσάγαγε, καὶ τὸν πλοῦτον ἐν τῇ διανοίᾳ ἀπόθου ἅπαντα, καὶ τὸ χρυσίον ἀντὶ κιβωτίου καὶ οἰκίας ὁ οὐρανὸς φυλαττέτω. καὶ πάντα ἡμεῖς περιβαλώμεθα τὰ ἡμέτερα. πολὺ γὰρ τῶν τοίχων βελτίους ἡμεῖς, καὶ τοῦ ἐδάφους σεμνότεροι. τί τοίνυν ἡμᾶς αὐτοὺς ἀφέντες, εἰς ἐκεῖνα τὴν σπουδὴν ἅπασαν κινοῦμεν, ἅπερ ἀπιόντας οὐκ ἔνι λαβεῖν, πολλάκις δὲ οὐδὲ ἐνταῦθα μένοντας κατασχεῖν, παρὸν οὕτω πλουτεῖν, ὡς μὴ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐκεῖ φαίνεσθαι εὐπορωτάτους; ὁ γὰρ καὶ τὰ χωρία, καὶ τὰς οἰκίας, καὶ τὸ χρυσίον ἐπὶ τῆς ψυχῆς περιφέρων, ὅπου περ ἂν φανῇ, μετὰ τοῦ πλούτου φαίνεται τούτου. καὶ πῶς ἔνι τοῦτο γενέσθαι, φησίν; ἔνι, καὶ μετὰ πλείονος εὐκολίας. ἂν γὰρ εἰς τὸν οὐρανὸν αὐτὰ μεταθῇς διὰ τῆς τῶν πενήτων χειρὸς, ἅπαντα εἰς τὴν σαυτοῦ ψυχὴν μεταθήσεις. κἂν θάνατος ἐπέλθῃ λοιπὸν, οὐδείς σου αὐτὰ ἀφαιρήσεται, ἀλλ' ἀπελεύσῃ κἀκεῖ πλουτῶν. τοιοῦτον εἶχεν ἡ Ταβιθὰ θησαυρόν. διὰ τοῦτο οὐχ ἡ οἰκία αὐτὴν ἀνεκήρυττεν, οὐδὲ οἱ τοῖχοι, οὐδὲ οἱ λίθοι, οὐδὲ οἱ κίονες, ἀλλὰ σώματα χηρῶν ἐνδιδυμένα, καὶ δάκρυα ἐκχεόμενα, καὶ θάνατος δραπετεύων, καὶ ζωὴ ἐπανιοῦσα. τοιαύτας καὶ ἡμεῖς ἑαυτοῖς κατασκευάσωμεν ἀποθήκας, τοιαύτας οἰκοδομήσωμεν ἑαυτοῖς οἰκίας. οὕτω καὶ τὸν Θεὸν συνεργὸν ἕξομεν, καὶ αὐτοὶ αὐτοῦ συνεργοὶ ἐσόμεθα. αὐτὸς μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε τοὺς πεινωμένους, σὺ δὲ παραχθέντας καὶ γενομένους οὐκ εἴασας διαφθαρῆναι τῷ λιμῷ καὶ τῇ λοιπῇ ταλαιπωρίᾳ, θεραπεύων καὶ διορθούμενος, καὶ πανταχόθεν ἀνέχων τοῦ Θεοῦ τὸν ναόν. οὗ τί γένοιτ' ἂν ἴσον εἰς ὠφελείας καὶ εὐδοξίας λόγον; εἰ δὲ οὐδέπω σαφῶς κατέμαθες πηλίκῳ σε ἐκόσμησε κόσμῳ κελεύσας διορθοῦν πενίαν, ἐκεῖνο λογίζου πρὸς ἑαυτόν. εἴ σοι τοσαύτην ἔδωκεν ἐξουσίαν, ὥστε τὸν οὐρανὸν δύνασθαι καταπίπτοντα διορθοῦν, οὐκ ἂν τιμὴν σφόδρα σε ὑπερβαίνουσαν τὸ πρᾶγμα ἐνόμισας; ἰδοὺ τοίνυν μείζονός σε κατηξίωσε νῦν τιμῆς. ὃ γὰρ τῶν οὐρανῶν ἐστιν αὐτῷ τιμιώτερον, τοῦτό σοι διορθοῦν ἐπέτρεψεν. ἀνθρώπου γὰρ οὐδὲν ἴσον τῶν ὁρωμένων τῷ Θεῷ. καὶ γὰρ καὶ οὐρανὸν, καὶ γῆν, καὶ θάλατταν δι' ἐκεῖνον ἐποίησε· καὶ αὐτῷ μᾶλλον ἐνοικῶν εὐφραίνεται, ἢ τῷ οὐρανῷ. ἀλλ' ὅμως ἡμεῖς καὶ ταῦτα εἰδότες, οὐδεμίαν τῶν τοῦ Θεοῦ ναῶν ἐπιμέλειαν ποιούμεθα, ἢ πρόνοιαν, ἀλλ' ἀφέντες αὐτοὺς ἠμελῆσθαι, ἑαυτοῖς λαμπρὰς καὶ μεγάλας κατασκευάζομεν οἰκίας. διὰ τοῦτο ἔρημοι πάντων ἐσμὲν τῶν ἀγαθῶν, καὶ τῶν σφόδρα πενήτων πτωχότεροι, ὅτι ταύτας καλλωπίζομεν τὰς οἰκίας, ἃς οὐ δυνάμεθα λαβόντες ἐντεῦθεν ἀπελθεῖν, ἀφέντες ἐκείνας ἃς μεθ' ἡμῶν αὐτῶν συμμεταθεῖναι ἔνι. καὶ γὰρ διαλυθέντα τὰ σώματα τῶν πενήτων ἀναστήσεται πάντως. καὶ γὰρ παραγαγὼν αὐτοὺς τότε ὁ ταῦτα ἐπιτάξας Θεὸς, ἐπαινέσεται τοὺς ἐπιμεληθέντας αὐτῶν, καὶ θαυμάσεται, ὅτι μέλλοντας αὐτοὺς καταπίπτειν νῦν μὲν ὑπὸ λιμοῦ, νῦν δὲ ὑπὸ γυμνότητος καὶ κρυμοῦ, πάντῃ διωρθώσαντο τρόπῳ. ἀλλ' ὅμως καὶ τοσούτων ἡμῖν προκειμένων ἐπαίνων, μέλλομεν ἔτι, καὶ ἀναδυόμεθα πρὸς τὴν καλὴν ταύτην ἐπιμέλειαν. καὶ ὁ μὲν Χριστὸς ποῦ καταλῦσαι οὐκ ἔχει, ἀλλὰ περιέρχεται ξένος, καὶ γυμνὸς, καὶ πεινῶν· σὺ δὲ προάστεια, καὶ λουτρὰ, καὶ περιπάτους, καὶ μυρίους κατασκευάζεις θαλάμους εἰκῇ καὶ μάτην, καὶ τῷ μὲν Χριστῷ οὐδὲ μικροῦ μεταδίδως ὀρόφου, κόρακας δὲ, καὶ γῦπας ὑπὲρ ὧν καλλωπίζεις. τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς παραπληξίας; τί χαλεπώτερον τῆς μανίας;

γ. κιβωτοῦ
γ. ἐπανιοῦσα.
γ. ἐᾶς
γ. παραμυθῇ
γ. ἐγείρων
γ. εὐταξίας
γ. ἀνορθοῦν,
γ. σοι
γ. αὐταῖς

ίας; καὶ γὰρ μυρίας ταύτας ἐσχάτης, μᾶλλον δὲ ὅπερ ἂν εἴποι τις, οὐδὲν ἄξιον ἐρεῖ. ἀλλ' ὅμως, ἂν ἐθέλωμεν, δυνατὸν καίτοι χαλεπὴν οὖσαν τὴν νόσον ἀποκρούσασθαι, καὶ οὐ δυνατὸν μόνον, ἀλλὰ καὶ ῥᾴδιον, καὶ οὐδὲ ῥᾴδιον ἁπλῶς, ἀλλὰ καὶ πολλῷ ῥᾷον ταύτης τῆς ἀπαλλαγῆναι τῆς λύπης, ἢ τῶν σωματικῶν παθῶν, ὅσῳ καὶ μείζων ὁ ἰατρός. ἐπισπασώμεθα τοίνυν αὐτὸν, καὶ παρακαλέσωμεν συνεφάψασθαι, καὶ τὰ παρ' ἡμῶν συνεισενέγκωμεν, προαίρεσιν λέγω, καὶ προθυμίαν. οὐδενὸς γὰρ ἑτέρου δεήσεται, ἀλλ' ἂν τούτων ἐπιλάβηται μόνων, τὰ παρ' ἑαυτοῦ πάντα εἰσοίσει. εἰσενέγκωμεν τοίνυν τὰ παρ' ἑαυτῶν, ἵνα καὶ ἐνταῦθα καθαρᾶς ἀπολαύσωμεν ὑγείας, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιε. 28 ΟΙΔΑΜΕΝ ΔΕ ΟΤΙ ΤΟΙΣ ΑΓΑΠΩΣΙ ΤΟΝ Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.

ΕΝταῦθά μοι δοκεῖ πρὸς τοὺς ἐν κινδύνοις ὄντας ἅπαντα τοῦτο κεκινηκέναι τὸ χωρίον. μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ μικρῷ πρὸ τούτου εἰρημένα. καὶ γὰρ τὸ, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι, καὶ τὸ, τὴν κτίσιν ἅπασαν στενάζειν, καὶ τὸ λέγειν, ὅτι τῇ ἐλπίδι ἐσώθημεν, καὶ τὸ, δι' ὑπομονῆς ἀπεκδεχόμεθα, καὶ τὸ, τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἅπαντα ταῦτα πρὸς ἐκείνους εἴρηται. παιδεύει γὰρ αὐτοὺς μὴ ἅπερ ἂν αὐτοὶ νομίσωσιν εἶναι συμφέροντα, ταῦτα αἱρεῖσθαι πάντως, ἀλλ' ἅπερ ἂν τὸ πνεῦμα ὑποβάλῃ. καὶ γὰρ πολλὰ αὐτοῖς δοκοῦντα λυσιτελεῖν, ἔστιν ὅτε καὶ βλάβην ἤνεγκε πολλήν. ἄνεσις γοῦν, καὶ κινδύνων ἀπαλλαγὴ, καὶ τὸ ἐν ἀδείᾳ ζῆν, ἐδόκει συμφέρειν εἶναι ἐκείνοις. καὶ τί θαυμαστὸν, εἰ ἐκείνοις, ὅπου γε καὶ αὐτῷ τῷ μακαρίῳ Παύλῳ τοῦτο οὕτως ἔδοξεν ἔχειν; ἀλλ' ὅμως ἔμαθεν ὕστερον, ὅτι τὰ ἐναντία τούτοις ταῦτά ἐστι τὰ συμφέροντα, καὶ μαθὼν ἔστερξεν. ὁ γοῦν τρὶς τὸν Κύριον παρακαλέσας ὥστε ἀπαλλαγῆναι κινδύνων, ἐπειδὴ ἤκουσεν αὐτοῦ λέγοντος,

β. Κορ. ιβ. θ. Ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, ἐσκίρτα λοιπὸν διωκόμενος, ὑβριζόμενος, τὰ ἀνήκεστα πάσχων. εὐδοκῶ γάρ, φησιν, ἐν διωγμοῖς, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις. διὸ καὶ ἔλεγε, τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν· καὶ πᾶσι παρῄνει τῷ πνεύματι τούτων παραχωρεῖν. καὶ γὰρ καὶ τὸ πνεῦμα τὸ ἅγιον σφόδρα ἡμῶν κήδεται, καὶ τῷ Θεῷ τοῦτο ἐστι τὸ δοκοῦν. διὰ πάντων τοίνυν ἀλείψας αὐτοὺς, ἐπάγει καὶ τὰ σήμερον εἰρημένα, λογισμὸν κινῶν ἱκανὸν αὐτοὺς ἀνακλήσασθαι. οἴδαμεν γάρ, φησιν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. ὅταν δὲ εἴπῃ, πάντα, καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ λέγει. κἂν γὰρ θλίψις, κἂν πενία, κἂν δεσμωτήρια, κἂν λιμοὶ, κἂν θάνατοι, κἂν ὁτιοῦν ἕτερον ἐπίῃ, δυνατὸς ὁ Θεὸς εἰς τοὐναντίον ταῦτα πάντα μεταβαλεῖν· ἐπεὶ καὶ τοῦτο τῆς ἀφάτου δυνάμεως αὐτοῦ, τὸ τὰ δοκοῦντα εἶναι μοχθηρὰ, κοῦφα τε ἡμῖν ποιεῖν, καὶ εἰς τὴν ὑπὲρ ἡμῶν τρέπειν βοήθειαν. διόπερ οὐκ εἶπεν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν οὐκ ἐπέρχεται δεινὸν, ἀλλ' ὅτι καὶ συνεργεῖ εἰς ἀγαθόν· τουτέστιν, ὅτι αὐτοῖς τοῖς δεινοῖς κέχρηται εἰς τὴν τῶν ἐπιβουλευομένων εὐδοκίμησιν. ὅπερ πολὺ μεῖζόν ἐστι τοῦ κωλῦσαι ἐπελθεῖν τὰ δεινὰ, ἢ καταλῦσαι ἐπελθόντα. τοῦτο γοῦν καὶ ἐπὶ τῆς Βαβυλωνίας καμίνου πεποίηκεν. οὔτε γὰρ ἐκώλυσεν ἐπελθεῖν αὐτὴν, οὔτε ἐμπεσόντων τῶν ἁγίων ἐκείνων, τὴν φλόγα ἔσβεσεν, ἀλλὰ καὶ ἀφεὶς καίεσθαι, δι' αὐτῆς ταύτης θαυμαστοτέρους εἰργάσατο. καὶ ἐπὶ τῶν ἀποστόλων δὲ τοιαῦτα ἕτερα ἐθαυματούργησε διὰ πάντων. εἰ γὰρ ἄνθρωποι, φιλοσοφεῖν εἰδότες, δύνανται φύσει πραγμάτων εἰς τὸ ἐναντίον ἀποχρήσασθαι, καὶ ἐν πενίᾳ

ζῶντες

χαρίζοντες τὴν πλουσιωτέραν εὐπορώτεροι φαίνωνται, καὶ δι' ἀτιμίας λάμψαι· πολλῷ μᾶλλον ὁ Θεὸς ἐπὶ τῶν ἀγαπώντων αὐτὸν, καὶ ταῦτα καὶ τὰ πολλῷ μείζονα ἐργάσεται. ἑνὸς γὰρ δεῖ μόνου, τοῦ γνησίως αὐτὸν ἀγαπᾶν, καὶ τὰ ἄλλα πάντα ἕπεται. ὥσπερ οὖν καὶ τούτους, καὶ τὰ δοκοῦντα εἶναι βλαβερὰ ὠφελεῖ· οὕτω τοὺς οὐκ ἀγαπῶντας αὐτὸν, καὶ τὰ ὠφελοῦντα βλάπτει. τοῖς γοῦν Ἰουδαίοις καὶ σημείων ἐπίδειξις, καὶ δογμάτων ὀρθότης ἐλυμαίνετο, καὶ διδασκαλίας φιλοσοφία. καὶ διὰ ἐκεῖνα μὲν, δαιμονῶντα ἐκάλουν, διὰ δὲ ταῦτα, ἀντίθεον· ὑπὲρ δὲ τῶν σημείων, καὶ ἀναιρεῖν ἐπεχείρουν. ὁ μέντοι λῃστὴς σταυρούμενος, προσηλούμενος, λοιδορούμενος, μυρία πάσχων δεινὰ, οὐ μόνον οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ τὰ μέγιστα ἐντεῦθεν ἐκέρδανεν. Εἶδες πῶς τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν; Εἰπὼν τοίνυν τὸ μέγα τοῦτο ἀγαθὸν, καὶ σφόδρα τὴν ἀνθρωπίνην φύσιν ὑπερβαῖνον, ἐπειδὴ πολλοῖς καὶ ἄπιστον τοῦτο εἶναι ἐδόκει, ἀπὸ τῶν προηκόντων αὐτὸ πιστοῦται, οὕτω λέγων, Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι. Σκόπει γὰρ εὐθέως ἀπὸ τῆς κλήσεως τὸ εἰρημένον. Διατί γὰρ μὴ ἐξ ἀρχῆς πάντας ἐκάλεσε, μηδὲ αὐτὸν Παῦλον μετὰ τῶν ἄλλων εὐθέως; οὐκ ἐδόκει ἡ ἀναβολὴ ἐπιζήμιος εἶναι; ἀλλ' ὅμως ἐδείχθη διὰ τῶν πραγμάτων, ὅτι χρησίμως γέγονε. πρόθεσιν δὲ ἐνταῦθά φησιν, ἵνα μὴ τὸ πᾶν τῇ κλήσει δῷ· ἐπεὶ οὕτως ἔμελλον καὶ Ἕλληνες ἀντιλέγειν, καὶ Ἰουδαῖοι. Εἰ γὰρ ἡ κλῆσις ἤρκει μόνον, τίνος ἕνεκεν οὐ πάντες ἐσώθησαν; διὰ τοῦτό φησιν, ὅτι οὐχ ἡ κλῆσις μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις τῶν καλουμένων τὴν σωτηρίαν εἰργάσατο. οὐ γὰρ ἠναγκασμένη γέγονεν ἡ κλῆσις, οὐδὲ βεβιασμένη. πάντες γοῦν ἐκλήθησαν, ἀλλ' οὐ πάντες ὑπήκουσαν.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ.

Εἶδες τιμῆς ὄγκον; ὅπερ γὰρ ὁ μονογενὴς ἦν φύσει, τοῦτο καὶ αὐτοὶ γεγόνασι κατὰ χάριν. ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτῳ τῷ εἰπεῖν συμμόρφους, ἀλλὰ καὶ ἕτερον προσέθηκεν,

Εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ μετὰ τοῦτο πάλιν ἕτερον ἐπάγει λέγων, Ἐν πολλοῖς ἀδελφοῖς. Διὰ πάντων σαφῆ τὴν συγγένειαν ἐπιδεῖξαι βουλόμενος. Ταῦτα δὲ πάντα περὶ τῆς οἰκονομίας εἰρῆσθαι νόμιζε. κατὰ γὰρ τὴν θεότητα, μονογενής. Εἶδες πόσα ἡμῖν ἐχαρίσατο; μὴ τοίνυν ἀμφίβαλλε περὶ τῶν μελλόντων. καὶ γὰρ καὶ ἑτέρωθεν δείκνυσιν αὐτοῦ τὴν κηδεμονίαν, τῷ λέγειν ἄνωθεν αὐτὰ προτετυπῶσθαι οὕτως. ἄνθρωποι γὰρ ἀπὸ τῶν πραγμάτων τὰς ὑπὲρ αὐτῶν γνώμας λαμβάνουσι, τῷ δὲ Θεῷ πάλαι ταῦτα ἔδοξε, καὶ ἄνωθεν πρὸς ἡμᾶς διέκειτο. Φησὶν οὖν,

30 Οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν. Ἐδικαίωσε διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας. Οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν. Ἐδόξασε διὰ τῆς χάριτος, διὰ τῆς υἱοθεσίας.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Ὡς ἂν εἴποι, μὴ τοίνυν λέγε μοι λοιπὸν περὶ τῶν κινδύνων, καὶ τῆς παρὰ πάντων ἐπιβουλῆς. Εἰ γὰρ καὶ τοῖς μέλλουσί τινες διαπιστοῦσιν, ἀλλὰ πρὸς τὰ ἤδη γεγενημένα ἀγαθὰ οὐδὲν ἂν ἔχοιεν εἰπεῖν· οἷον, τὴν ἄνωθεν τοῦ Θεοῦ πρός σε φιλίαν, τὴν δικαίωσιν, τὴν δόξαν. καὶ γὰρ ταῦτά σοι διὰ τῶν δοκούντων εἶναι λυπηρῶν ἐχαρίσατο. καὶ ὅπερ ἐνόμιζες αἰσχύνην εἶναι, τὸν σταυρὸν, τὰς μάστιγας, τὰ δεσμὰ, ταῦτά ἐστιν ἃ τὴν οἰκουμένην κατώρθωσεν ἅπασαν. ὥσπερ οὖν οἷς αὐτὸς ἔπαθε, καίτοιγε σκυθρωποῖς εἶναι δοκοῦσι, τούτοις εἰς ἐλευθερίαν καὶ σωτηρίαν τῆς φύσεως ἀπεχρήσατο πάσης· οὕτω καὶ ἐν οἷς αὐτὸς ὑπομένεις ποιεῖν εἴωθεν, εἰς δόξαν σου καὶ εὐδοκίμησιν τοῖς σοῖς ἀποχρώμενος πάθεσιν. Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

Τίς γὰρ οὐ καθ' ἡμῶν, φησί; καὶ γὰρ ἡ οἰκουμένη καθ' ἡμῶν, καὶ τύραννοι, καὶ δῆμοι, καὶ συγγενεῖς, καὶ πολῖται. ἀλλ' ὅμως οὗτοι οἱ καθ' ἡμῶν, τοσοῦτον ἀπέχουσιν ἐπηρεάζειν ἡμῖν,

ὅτι

ὅτι καὶ ἄκοντες στέφανοι ἡμῖν αἴτιοι γίνονται, καὶ μυρίων ἀγαθῶν πρόξενοι, τῆς τοῦ Θεοῦ σοφίας τὰς ἐπιβουλὰς εἰς τὴν ἡμετέραν σωτηρίαν καὶ δόξαν τρεπούσης. ὁρᾷς πῶς οὐδεὶς καθ' ἡμῶν; καὶ γὰρ τὸν Ἰὼβ τοῦτο λαμπρότερον ἐποίησε, τὸ ὁπλισθῆναι κατ' αὐτοῦ τὸν διάβολον. καὶ γὰρ καὶ φίλους κατ' αὐτοῦ, καὶ γυναῖκα κατ' αὐτοῦ, καὶ τραύματα, καὶ οἰκέτας, καὶ μυρία ἕτερα ὁ διάβολος ἐκίνησε μηχανήματα· καὶ οὐδὲν ὅμως κατ' αὐτοῦ γέγονε. καὶ οὔπω τοῦτο αὐτῷ μέγα, καίτοι μέγα ὄν, ἀλλ' ὃ πολλῷ μεῖζόν ἐστιν, ὅτι καὶ ὑπὲρ αὐτοῦ πάντα ἐξέβη. ἐπειδὴ γὰρ ὁ Θεὸς ἦν ὑπὲρ αὐτοῦ, καὶ τὰ κατ' αὐτοῦ δοκοῦντα εἶναι, ὑπὲρ αὐτοῦ πάντα ἐγίνετο. τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων συνέβη. καὶ γὰρ καὶ Ἰουδαῖοι, καὶ οἱ ἐξ ἐθνῶν, καὶ οἱ ψευδάδελφοι, καὶ οἱ ἄρχοντες, καὶ οἱ δῆμοι, καὶ λιμοί, καὶ πενίαι, καὶ μυρία κατ' αὐτῶν ἦν, καὶ οὐδὲν κατ' αὐτῶν. τὰ γὰρ μάλιστα ποιήσαντα αὐτοὺς λαμπροὺς καὶ περιφανεῖς, καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις ἐπαινετούς, ταῦτά ἐστιν. ἐννόησον οὖν ἡλίκον ἐφθέγξατο ῥῆμα ὁ Παῦλος περὶ τῶν πιστῶν καὶ ἀκριβῶς ἐσταυρωμένων, ὃ μηδὲ ὁ τὸ διάδημα περικείμενος δύναιτ' ἂν ἔχειν. κατὰ γὰρ ἐκείνου πολλοὶ καὶ βάρβαροι καθοπλιζόμενοι, καὶ πολέμιοι ἐπιόντες, καὶ σωματοφύλακες ἐπιβουλεύοντες, καὶ τῶν ἀρχομένων πολλοὶ πολλάκις ἐπανιστάμενοι συνεχῶς, καὶ ἕτερα μυρία· κατὰ δὲ τοῦ πιστοῦ καὶ προσέχοντος ἀκριβῶς τοῖς τοῦ Θεοῦ νόμοις, οὐκ ἄνθρωπος, οὐ δαίμων, οὐκ ἄλλο οὐδὲν λυπῆσαι δυνήσεται. ἄν τε γὰρ χρήματα ἀφέλῃς, μισθὸν αὐτῷ προεξένησας· ἄν τε κακῶς εἴπῃς, διὰ τῆς δυσφημίας λαμπρότερον ἐποίησας παρὰ τῷ Θεῷ· ἄν τε εἰς λιμὸν ἐμβάλῃς, πλείων ἡ δόξα καὶ ἡ ἀντίδοσις· ἄν τε (ὃ πάντων χαλεπώτερον εἶναι δοκεῖ) θανάτῳ παραδῷς, μαρτυρίου στέφανον ἔπλεξας. τί τοίνυν ἴσον τοῦ βίου τούτου γένοιτ' ἄν, ὅταν μηδὲν κατ' αὐτοῦ γενέσθαι δύνηται, ἀλλὰ καὶ αὐτοὶ οἱ δοκοῦντες ἐπιβουλεύειν, τῶν εὐεργετούντων [αὐτὸν] οὐκ ἔλαττον αὐτὸν ὠφελῶσι; διὰ τοῦτό φησιν, εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; εἶτα, οὐκ ἀρκεσθεὶς τοῖς εἰρημένοις, ὃ μέγιστον σημεῖον τῆς περὶ ἡμᾶς ἀγάπης, καὶ ὃ συνεχῶς ἀεὶ περιστρέφει, τοῦτο καὶ ἐνταῦθα τίθησι, τὴν σφαγὴν τοῦ παιδός. οὐ γὰρ ἐδικαίωσε, φησί, μόνον, καὶ ἐδόξασε, καὶ συμμόρφους ἐποίησε τῆς εἰκόνος ἐκείνης, ἀλλ' οὐδὲ τοῦ παιδὸς ἐφείσατο διὰ σέ. διὸ καὶ ἐπάγει λέγων,

32 Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Καὶ μετ' ὑπερβολῆς καὶ πολλῆς τῆς θερμότητος ταῖς λέξεσι κέχρηται, ἵνα αὐτοῦ ἐνδείξηται τὴν ἀγάπην. πῶς οὖν ἡμᾶς προήσεται, ὑπὲρ ὧν τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν παρέδωκεν αὐτὸν πάντων; ἐννόησον γὰρ πόσης ἀγαθότητος, τὸ καὶ τοῦ ἰδίου υἱοῦ μὴ φείσασθαι, ἀλλὰ καὶ ἐκδοῦναι, καὶ ὑπὲρ πάντων ἐκδοῦναι, καὶ εὐτελῶν, καὶ ἀγνωμόνων, καὶ ἐχθρῶν, καὶ βλασφήμων. πῶς οὖν οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ τὸν υἱὸν αὐτοῦ ἐχαρίσατο, καὶ οὐχ ἁπλῶς ἐχαρίσατο, ἀλλὰ καὶ σφαγῇ παρέδωκε, τί λοιπὸν περὶ τῶν ἄλλων ἀμφιβάλλεις, τὸν δεσπότην λαβών; τί διστάζεις περὶ τῶν κτημάτων, τὸν Κύριον ἔχων; ὁ γὰρ τὸ μεῖζον τοῖς ἐχθροῖς δεδωκώς, πῶς τὰ ἐλάττονα οὐ δώσει τοῖς φίλοις;

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Ἐνταῦθα πρὸς τοὺς λέγοντας ὅτι οὐδὲν ἡ πίστις ὠφελεῖ, καὶ ἀπιστοῦντας τῇ ἀθρόᾳ μεταβολῇ. καὶ ὅρα πῶς ταχέως αὐτοὺς ἐπεστόμισεν ἀπὸ τοῦ ἀξιώματος τοῦ ἐκλεξαμένου. καὶ οὐκ εἶπε, τίς ἐγκαλέσει κατὰ τῶν δούλων τοῦ Θεοῦ, οὐδέ, κατὰ τῶν πιστῶν τοῦ Θεοῦ, ἀλλά, κατὰ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ. ἡ γὰρ ἐκλογή, ἀρετῆς σημεῖόν ἐστιν. εἰ γὰρ ἐπειδὰν πωλοδάμνης πώλους ἐκλέξηται ἐπιτηδείους πρὸς τὸν δρόμον, οὐδεὶς ἐπισκῆψαι δυνήσεται, ἀλλὰ καταγέλαστος ἔσται, κἂν ἐγκαλέσῃ τις· πολλῷ μᾶλλον ὅταν ὁ Θεὸς ἐκλέγηται ψυχάς, καταγέλαστοι οἱ ἐγκαλοῦντες.

Θεὸς ὁ δικαιῶν, 34 Τίς ὁ κατακρίνων; Οὐκ εἶπε, Θεὸς ὁ ἀφεὶς ἁμαρτήματα, ἀλλ',

ὃ πολλῷ

ὃ πολλῷ μεῖζον ἦν, Θεὸς ὁ δικαιῶν. ὅταν γὰρ ἡ τοῦ δικαστοῦ ψῆφος δίκαιον ἀποφαίνῃ, καὶ δικαστοῦ τοιούτου, τίνος ἄξιος ὁ κατηγορῶν; οὐκοῦν οὔτε τοὺς πειρασμοὺς φοβεῖσθαι δίκαιον· ὑπὲρ γὰρ ἡμῶν ἐστὶν ὁ Θεός, καὶ ἐδήλωσεν ἐξ ὧν ἐποίησεν. οὔτε τὰς φλυαρίας τὰς Ἰουδαϊκάς· καὶ γὰρ καὶ ἐξελέξατο ἡμᾶς, καὶ ἐδικαίωσε, καὶ τὸ δὴ θαυμαστόν, ὅτι διὰ τῆς σφαγῆς τοῦ παιδὸς ἐδικαίωσε. τίς οὖν ἡμᾶς καταδικάσει, τοῦ Θεοῦ στεφανοῦντος, τοῦ Χριστοῦ δι᾽ ἡμᾶς σφαγέντος, καὶ οὐ σφαγέντος μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα ἐντυγχάνοντος ὑπὲρ ἡμῶν;

Χριστός, φησιν, ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθεὶς ἐκ νεκρῶν, ὃς ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Καὶ γὰρ ἐπὶ τῆς οἰκείας ἀξίας φανείς, οὐ κατέλυσε τὴν ὑπὲρ ἡμῶν πρόνοιαν, ἀλλὰ καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, καὶ ἔτι τὴν αὐτὴν ἀγάπην μένει διατηρῶν. οὐ γὰρ ἠρκέσθη τῇ σφαγῇ μόνον· ὅπερ μεγίστου μάλιστά ἐστι φίλτρου, τὸ μὴ μόνον τὰ εἰς αὐτὸν ἥκοντα ποιεῖν, ἀλλὰ καὶ ἕτερον ὑπὲρ τούτου παρακαλεῖν. τοῦτο γὰρ μόνον διὰ τοῦ ἐντυγχάνειν δηλῶσαι ἐβουλήθη, ἀνθρωπινώτερον διαλεχθείς, καὶ συγκαταβατικώτερον, ἵνα τὴν ἀγάπην ἐνδείξηται. ἐπεὶ καὶ τό, οὐκ ἐφείσατο, ἐὰν μὴ μετὰ ταύτης ἐκλάβωμεν τῆς ἐννοίας, πολλὰ τὰ ἄτοπα ἕψεται. καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐστὶν ὃ κατασκευάσαι βούλεται, πρότερον εἰπών, ὅτι ἐστὶν ἐν δεξιᾷ, τότε ἐπήγαγεν, ὅτι ἐντυγχάνει ὑπὲρ ἡμῶν, ὅτι τὴν ὁμοτιμίαν ἔδειξε καὶ τὴν ἰσότητα, ἵνα λοιπὸν τὸ ἐντυγχάνειν οὐκ ἐλαττώσεως, ἀλλ᾽ ἀγάπης φαίνηται μόνης ὄν. ὁ γὰρ αὐτὸς ζωὴ ὤν, καὶ πηγὴ τῶν ἀγαθῶν ἁπάντων, καὶ μετ᾽ ἐξουσίας τῆς αὐτῆς τῷ πατρί, καὶ νεκροὺς ἐγείρων, καὶ ζωοποιῶν, καὶ τὰ ἄλλα πάντα ποιῶν, πῶς ἂν ἐντεύξεως ἐδεήθη εἰς τὸ ὠφελῆσαι ἡμᾶς; ὁ ἀπεγνωσμένους, καὶ καταδεδικασμένους ἐξ οἰκείας ἐξουσίας, καὶ τῆς καταδίκης ἐκείνης ἀπαλλάξας, καὶ δικαίους, καὶ υἱοὺς ποιήσας, καὶ πρὸς τὰς ἀνωτάτω τιμὰς ἀγαγών, καὶ τὰ μηδέποτε ἐλπισθέντα εἰς ἔργον ἀγαγών, πῶς ἂν μετὰ τὸ κατορθῶσαι πάντα, καὶ τὴν φύσιν τὴν ἡμετέραν ἄξαι ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ, πρὸς τὰ εὐκολώτερα ἐντυχίας ἐδεῖτο; ὁρᾷς πῶς πανταχόθεν δείκνυται, ὅτι τὸ ἐντυγχάνειν δι᾽ οὐδὲν ἕτερον εἴρηκεν, ἀλλ᾽ ἵνα τὸ θερμόν, καὶ ἀκμάζον τῆς περὶ ἡμᾶς ἀγάπης ἐνδείξηται; ἐπεὶ καὶ ὁ πατὴρ φαίνεται παρακαλῶν ἀνθρώπους καταλλαγῆναι αὐτῷ. Ὑπὲρ γὰρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. (ε. Κορ. ε. κ.) ἀλλ᾽ ὅμως καὶ Θεοῦ παρακαλοῦντος, καὶ ἀνθρώπων ὑπὸ Χριστοῦ πρεσβευομένων πρὸς ἀνθρώπους, οὐδὲν ἀνάξιον ἐννοοῦμεν ἐντεῦθεν τῆς ἀξίας ἐκείνης, ἀλλ᾽ ἓν μόνον ἐκ τῶν εἰρημένων ἁπάντων συλλέγομεν, τὴν τῆς ἀγάπης ἐπίτασιν. τοῦτο δὲ καὶ ἐνταῦθα ποιῶμεν. εἰ τοίνυν καὶ τὸ πνεῦμα ὑπερεντυγχάνει στεναγμοῖς ἀλαλήτοις, καὶ ὁ Χριστὸς ἀπέθανε, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, καὶ ὁ πατὴρ τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο διὰ σέ, καὶ ἐξελέξατό σε, καὶ ἐδικαίωσε, τί λοιπὸν δέδοικας; τί δὲ τρέμεις, τοσαύτης ἀπολαύων ἀγάπης, καὶ τοσαύτης κηδεμονίας; διὰ δὴ τοῦτο, δείξας πολλὴν τὴν ἄνωθεν πρόνοιαν, μετὰ παρρησίας λοιπὸν ἐπάγει τὰ ἑξῆς, καὶ οὐ λέγει, ὅτι ὀφείλετε καὶ ὑμεῖς οὕτως αὐτὸν ἀγαπᾶν, ἀλλ᾽, ὥσπερ ἔνθους γενόμενος ὑπὸ τῆς ἀφάτου ταύτης προνοίας, φησί,

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Καὶ οὐκ εἶπε, τοῦ Θεοῦ· οὕτως ἀδιάφορον αὐτῷ, καὶ Χριστόν, καὶ Θεὸν ὀνομάζειν. Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; Ὅρα τὴν τοῦ μακαρίου Παύλου σύνεσιν. οὐ γὰρ εἶπε ταῦτα οἷς καθημέραν ἁλισκόμεθα, χρημάτων ἔρωτα, καὶ δόξης ἐπιθυμίαν, καὶ ὀργῆς τυραννίδα, ἀλλὰ ἃ πολλῷ τούτων ἐστὶ τυραννικώτερα, καὶ τὴν φύσιν αὐτὴν ἰσχυρὰ βιάσασθαι, καὶ διανοίας στερρότητα ἀναμοχλεῦσαι πολλάκις καὶ ἀκόντων ἡμῶν, ταῦτα τίθησι, θλίψεις καὶ στενοχωρίας. εἰ γὰρ καὶ εὐαρίθμητα τὰ εἰρημένα, ἀλλὰ μυρίους ἔχει πειρασμῶν ὁρμαθοὺς ἑκάστη λέξις. ὅταν γὰρ εἴπῃ θλῖψιν, καὶ δεσμωτήρια λέγει, καὶ δεσμά, καὶ συκοφαντίας;

φωτίας, καὶ ἐξορίας, καὶ τὰς ἄλλας ταλαιπωρίας ἁπάσας, ἑνὶ ῥήματι πέλαγος κινδύνων διαπτύξαι ἀπείρων, καὶ πάντα ἁπλῶς τὰ ἐν ἀνθρώποις δεινὰ διὰ μιᾶς ἡμῖν ἐμφαίνων λέξεως. ἀλλ' ὅμως πάντων αὐτῶν καταπολμᾷ. διὸ καὶ κατ' ἐρώτησιν αὐτὸ προάγει ὡς ἀναντίρρητον ὄν, ὅτι τὸν οὕτως ἀγαπηθέντα, καὶ τοσαύτης ἀπολαύσαντα προνοίας, οὐδέν ἐστιν ὃ διαστῆσαι δυνήσεται. Εἶτα ἵνα μὴ δόξῃ ταῦτα ἐγκαταλείψεως εἶναι, καὶ τὸν προφήτην ἐπάγει προαναφωνοῦντα ταῦτα πρὸ πολλοῦ τοῦ χρόνου, καὶ λέγοντα,

Ψαλμ. μδ. κβ. 36 Ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Τουτέστι, πᾶσιν ἐσμὲν προκείμενοι εἰς τὸ πάσχειν κακῶς. ἀλλ' ὅμως πρὸς τοὺς τοσούτους καὶ τηλικούτους κινδύνους, καὶ τὰς καινὰς ταύτας τραγῳδίας ἀρκοῦσα παράκλησις ἡ τῶν ἀγώνων ἡμῖν ὑπόθεσις δέδοται. μᾶλλον δὲ οὐκ ἀρκοῦσα μόνον, ἀλλὰ καὶ πολλῷ πλείων. οὐ γὰρ δι' ἀνθρώπους, οὐδὲ δι' ἄλλο τι βιωτικὸν ταῦτα πάσχομεν, ἀλλὰ διὰ τὸν τῶν ὅλων, φησὶ, βασιλέα. οὐ τούτῳ δὲ μόνον αὐτοὺς, ἀλλὰ καὶ ἑτέρῳ πάλιν ἀνέδησε στεφάνῳ ποικίλῳ καὶ πολυειδεῖ. ἐπειδὴ γὰρ ἀνθρώποις ὄντας οὐκ ἐνῆν μυρίους ὑπομεῖναι θανάτους, δείκνυσιν ὅτι οὐδὲν ταύτῃ τὰ βραβεῖα ἠλάττωται. κἂν γὰρ τῇ φύσει κεκληρωμένον ᾖ τὸ μόνον ἅπαξ ἀποθανεῖν, τῇ προαιρέσει τὸ καθ' ἡμέραν τοῦτο πάσχειν, εἰ βουληθείημεν, δέδωκεν ὁ Θεός. ὅθεν δῆλον, ὅτι τοσούτους ἀπελευσόμεθα ἔχοντες στεφάνους, ὅσας ἂν βιώσωμεν ἡμέρας· μᾶλλον δὲ καὶ πολλῷ πλείους. ἔστι γὰρ ἐν ἡμέρᾳ μιᾷ καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις ἀποθανεῖν. ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος, ἀεὶ τὸν μισθὸν ἀπηρτισμένον λαμβάνει. τοῦτο γοῦν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, ὅλην τὴν ἡμέραν. διὸ καὶ ὁ ἀπόστολος αὐτὸν ἐπεισήγαγε, μειζόνως αὐτοὺς διεγείρων. εἰ γὰρ οἱ ἐν τῇ παλαιᾷ, φησὶ, καὶ γῆν τὸ ἔπαθλον τῶν πόνων ἔχοντες, καὶ τὰ ἄλλα τὰ παρέπει συγκαταλυόμενα βίῳ, οὕτω τῆς παρούσης ὑπερεώρων ζωῆς, καὶ τῶν πειρασμῶν, καὶ τῶν κινδύνων, τίνα ἂν ἔχωμεν συγγνώμην ἡμεῖς, μετὰ τὸν οὐρανὸν, καὶ τὴν βασιλείαν τὴν ἄνω, καὶ τὰ ἀπόρρητα ἀγαθὰ, καταμαλακιζόμενοι, καὶ μηδὲ πρὸς τὸ αὐτὸ μέτρον φθάνοντες ἐκείνων; ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τῷ δὲ συνειδότι αὐτῶν καταλιπὼν τῶν ἀκροατῶν, τῇ μαρτυρίᾳ ἀρκεῖται μόνῃ. καὶ δείκνυσιν ὅτι καὶ θυσία αὐτῶν τὰ σώματα γέγονε, καὶ οὐ δεῖ θορυβεῖσθαι, οὐδὲ ταράττεσθαι, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος. καὶ ἑτέρως δὲ αὐτοὺς προτρέπει. ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ἁπλῶς ταῦτα φιλοσοφεῖ περὶ τῆς πείρας τῶν πραγμάτων, ἐπήγαγεν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, τοὺς καθημερινοὺς τῶν ἀποστόλων θανάτους λέγων. εἶδες ἀνδρείαν καὶ ἐπιείκειαν; ὥσπερ γὰρ ἐκεῖνα, φησὶν, οὐκ ἀνθίσταται σφαττόμενα, οὕτως οὐδὲ ἡμεῖς. ἀλλ' ἐπειδὴ τῆς ἀνθρωπίνης διανοίας ἡ ἀσθένεια καὶ μετὰ τοσαῦτα τὸ πλῆθος τῶν πειρασμῶν ἐδεδοίκει, ὅρα πῶς πάλιν ἀνίστησι τὸν ἀκροατὴν, καὶ ὑψηλὸν ποιεῖ καὶ γαῦρον, εἰπὼν,

γ. πολλοῖς
γ. ἀγαθῶν
γ. πλείων
γ. χεῖρον
γ. ἐκείνης
ἴσ. ἐκείνοις

37 Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, οὐχ ὅτι νικῶμεν μόνον, ἀλλ' ὅτι καὶ δι' ὧν ἐπιβουλευόμεθα νικῶμεν. καὶ οὐχ ἁπλῶς νικῶμεν, ἀλλ' ὑπερνικῶμεν, τουτέστι, μετ' εὐκολίας ἁπάσης, χωρὶς ἱδρώτων καὶ πόνων. οὐ γὰρ πράγματα ὑπομένοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες μόνον, οὕτω πανταχοῦ τὰ τρόπαια ἱστῶμεν κατὰ τῶν ἐχθρῶν. καὶ μάλα εἰκότως. Θεὸς γάρ ἐστιν ἡμῖν ὁ συναγωνιζόμενος. μὴ τοίνυν ἀπιστήσῃς εἰ μαστιζόμενοι τῶν μαστιζόντων περιγινόμεθα, εἰ ἐλαυνόμενοι τῶν διωκόντων κρατοῦμεν, εἰ ἀποθνήσκοντες τοὺς ζῶντας τρεπόμεθα. ὅταν γὰρ καὶ τὴν δύναμιν τοῦ Θεοῦ καὶ τὴν ἀγάπην θῇς, οὐδὲν τὸ κωλῦον τὰ θαυμαστὰ ταῦτα ἐκβῆναι, καὶ παράδοξα, καὶ τὴν ἐκ περιουσίας λάμψαι νίκην. οὐδὲ γὰρ ἁπλῶς ἐνίκων, ἀλλὰ μετὰ πολλοῦ τοῦ θαύματος, καὶ ὥστε μαθεῖν ὅτι οὐ πρὸς ἀνθρώπους ὁ πόλεμος τοῖς ἐπιβουλεύουσιν ἦν, ἀλλὰ πρὸς τὴν ἄμαχον δύναμιν ἐκείνην. ὅρα γοῦν τοὺς Ἰουδαίους ἐν μέσῳ αὐτοὺς ἔχοντας,

Πραξ. δ. ις. καὶ διαποροῦντας, καὶ λέγοντας, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι κατέχοντες αὐτοὺς, καὶ ὑπευθύνους ἔχοντες, καὶ δεσμοῦντες καὶ κόπτοντες, ἠπόρουν, καὶ

ἐν

ἐν ἀμηχανίᾳ ἦσαν, δι' αὐτὴν τοῦτον ἡττώμενοι δι' ὧν προσεδόκων νικᾶν. καὶ οὔτε τύραννος, οὔτε δήμιοι, οὔτε δαιμόνων φάλαγγες, οὔτε αὐτὸς ὁ διάβολος περιγενέσθαι αὐτῶν ἴσχυσεν, ἀλλ' ἐκ πολλῆς ἅπαντες ἡττῶντο τῆς περιουσίας, ἅπερ κατ' αὐτῶν ἐμηχανῶντο, πάντα ὑπὲρ αὐτῶν ὁρῶντες γινόμενα. διὸ καὶ ἔλεγεν, ὑπερνικῶμεν. καινὸς γάρ ἐστιν ὁ νόμος τῆς νίκης οὗτος, τὸ διὰ τῶν ἐναντίων κρατεῖν, καὶ μηδέποτε ἡττᾶσθαι, ἀλλ' ὡς αὐτοὺς ὄντας κυρίους τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ἐξιέναι τούτους.

38 Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα,

39 Οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Μεγάλα τὰ εἰρημένα· ἀλλ' οὐκ ἴσμεν αὐτά, ἐπειδὴ τοσαύτην ἀγάπην οὐκ ἔχομεν. ἀλλ' ὅμως εἰ καὶ μεγάλα, δεῖξαι βουλόμενος οὐδὲν ὄντα πρὸς τὴν ἀγάπην ἣν ἠγαπήθη παρὰ τοῦ Θεοῦ, μετ' ἐκείνην τότε τὴν αὐτοῦ τίθησιν, ἵνα μὴ δόξῃ μεγάλα λέγειν περὶ ἑαυτοῦ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τί δεῖ, φησί, τὰ παρόντα λέγειν, καὶ τὰ τῷ βίῳ τούτῳ συγκεκληρωμένα δεινά; κἂν γὰρ τὰ μέλλοντα εἴποι τις πράγματα, κἂν δυνάμεις, πράγματα μὲν ὡς θάνατον καὶ ζωήν, δυνάμεις δὲ ὡς ἀγγέλους καὶ ἀρχαγγέλους, καὶ πᾶσαν τὴν ἄνω κτίσιν, καὶ ταῦτα ἐμοὶ μικρὰ πρὸς τὴν ἀγάπην τοῦ Χριστοῦ. οὔτε γὰρ εἰ θάνατόν τις ἠπείλει τὸν μέλλοντα τὸν ἀθάνατον, ὥστε ἀπὸ τοῦ Χριστοῦ χωρίσαι, οὔτε εἰ ζωὴν ἐπηγγείλατο τὴν ἄπειρον, κατεδεξάμην ἄν. τί δεῖ λέγειν βασιλέας τοὺς κάτω, καὶ ὑπάτους; τὸν δεῖνα καὶ τὸν δεῖνα; κἂν γὰρ ἀγγέλους μοι εἴπῃς, κἂν πάσας τὰς ἄνω δυνάμεις, κἂν πάντα τὰ ὄντα, κἂν πάντα τὰ μέλλοντα, πάντα ἐμοὶ μικρά, καὶ τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ὑπὸ γῆν, καὶ τὰ ὑπὲρ οὐρανούς, πρὸς τὸ φίλτρον ἐκεῖνο. εἶτα ὡς οὐκ ἀρκούντων τούτων παραστῆσαι τὸν πόθον ὃν εἶχεν, ἕτερα πάλιν τοσαῦτα ὑποστησάμενός φησιν, οὔτε τις κτίσις ἑτέρα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ καὶ ἄλλη τοσαύτη κτίσις ἦν, ὅση ἡ ὁρωμένη, ὅση ἡ νοητή, οὐδέν με τῆς ἀγάπης ἐκείνης ἀπέστησε. ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς τῶν ἀγγέλων τοῦτο ἐπιχειρούντων, ἢ τῶν ἄλλων δυνάμεων, μὴ γένοιτο, ἀλλὰ μεθ' ὑπερβολῆς ἁπάσης τὸ φίλτρον, ὃ πρὸς τὸν Χριστὸν εἶχεν, ἐπιδεῖξαι βουλόμενος. οὐ γὰρ τὸν Χριστὸν ἐφίλει διὰ τὰ τοῦ Χριστοῦ, ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου, καὶ πρὸς αὐτὸν ἑώρα μόνον, καὶ ἓν ἐδεδοίκει, τὸ μὴ τῆς ἀγάπης ἐκείνης ἐκπεσεῖν. τοῦτο γὰρ αὐτῷ καὶ γεέννης φοβερώτερον ἦν, ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ, βασιλείας ποθεινότερον.

ΗΘΙΚΟΝ

Τίνος οὖν ἂν εἴημεν ἄξιοι λοιπὸν ἡμεῖς, ὅταν ἐκεῖνος μὲν μηδὲ τὰ ἐν τοῖς οὐρανοῖς θαυμάζῃ πρὸς τὸν τοῦ Χριστοῦ πόθον, ἡμεῖς δὲ τὰ ἐν τῷ βορβόρῳ καὶ τῷ πηλῷ τοῦ Χριστοῦ προτιμῶμεν; κἀκεῖνος μὲν διὰ τὸν πόθον αὐτοῦ καὶ εἰς γέενναν ἐμπεσεῖν καταδέχεται, καὶ βασιλείας ἐκπεσεῖν, εἴπερ ἀμφότερα ταῦτα προὔκειτο· ἡμεῖς δὲ οὐδὲ τοῦ παρόντος καταφρονοῦμεν βίου. ἆρα ἄξιοι τῶν γοῦν ὑποδημάτων ἐσμὲν λοιπὸν τῶν ἐκείνου, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῆς μεγαλονοίας; ἐκεῖνος μὲν γὰρ οὐδὲ βασιλείαν ἡγεῖταί τι διὰ τὸν Χριστὸν εἶναι· ἡμεῖς δὲ αὐτοῦ καταφρονοῦμεν, τῶν δὲ αὐτοῦ πολὺν ποιούμεθα λόγον. καὶ εἴθε κἂν τῶν αὐτοῦ· νῦν δὲ οὐδὲ τοῦτο, ἀλλὰ καὶ βασιλείας ἡμῖν προκειμένης, ἐκείνην ἀφέντες, τὰς σκιὰς καὶ τὰ ὀνείρατα καθ' ἑκάστην διώκομεν τὴν ἡμέραν. καίτοιγε ὁ Θεὸς φιλάνθρωπος ὢν καὶ σφόδρα ἥμερος, ταὐτὸν ἐποίησεν, ὅπερ ἂν εἰ πατὴρ φιλόπαις τοῦ παιδὸς δυσχεραίνοντος τὴν πρὸς αὐτὸν διηνεκῆ ὁμιλίαν, ἑτέρως ταύτην σοφίσαιτο. ἐπειδὴ γὰρ αὐτοῦ πόθον οὐκ ἔχομεν τὸν προσήκοντα, πολλὰ ἕτερα ἡμῖν περιβάλλεται ὥστε ἡμᾶς κατασχεῖν πρὸς ἑαυτόν. καὶ οὐδὲ οὕτω παραμένομεν, ἀλλ' ἀποπηδῶμεν πρὸς τὰ παιδικὰ ἀθύρματα. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ὥσπερ τις εὐγενὴς παῖς, καὶ ἐλεύθερος, καὶ φιλοπάτωρ, τὴν συνουσίαν τοῦ

πατρὸς

παιδὸς ἐπιζητεῖ μόνον, τῶν δὲ ἄλλων οὐ τοσοῦτον ποιεῖται λόγον· μᾶλλον δὲ, πολλῷ πλέον ἢ παῖς. οὐ γὰρ ὁμοῦ καὶ τὸν πατέρα καὶ τὰ αὐτοῦ τιμᾷ. ἀλλ' ὅταν ἴδῃ πρὸς τὸν πατέρα, οὐδὲν ἐκεῖνα ἡγεῖται, ἀλλ' ἕλοιτο ἂν καὶ κολαζόμενος καὶ μαστιζόμενος εἶναι μετ' αὐτοῦ, ἢ χωριζόμενος αὐτοῦ τρυφᾶν. φρίξωμεν τοίνυν ὅσοι μηδὲ χρημάτων διὰ τὸν Θεὸν καταφρονοῦμεν· μᾶλλον δὲ, ὅσοι μηδὲ χρημάτων δι' ἡμᾶς αὐτοὺς καταφρονοῦμεν. Παῦλος γὰρ μόνος ἦν ὁ διὰ τὸν Χριστὸν γνησίως ἅπαντα πάσχων, οὐ διὰ βασιλείαν, οὐδὲ διὰ τὴν αὐτοῦ τιμὴν, ἀλλὰ διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν. ἡμᾶς δὲ οὔτε ὁ Χριστὸς, οὔτε τὰ τοῦ Χριστοῦ, τῶν βιωτικῶν ἀφέλκει πραγμάτων, ἀλλ' ὥσπερ ὄφεις, ἢ ἔχεις, ἢ χοῖροι, ἢ καὶ ταῦτα πάντα ὁμοῦ, οὕτως ἐν τῇ ἰλύϊ συρόμεθα. τί γὰρ τῶν θηρίων ἐκείνων ἡμεῖς ἀμείνους, οἳ τοσαῦτα καὶ τηλικαῦτα ἔχοντες παραδείγματα, καὶ ἔτι κάτω βλέποντες, καὶ μηδὲ μικρὸν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν ἀνεχόμενοι; ἀλλ' ὁ μὲν Θεὸς καὶ τὸν υἱὸν ἐξέδωκε· σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως αὐτῷ τῷ διὰ σὲ ἐκδοθέντι, τῷ διὰ σὲ σφαγέντι. ὁ πατὴρ διὰ σὲ αὐτοῦ οὐκ ἐφείσατο, καὶ ταῦτα γνησίου ὄντος παιδός· σὺ δὲ αὐτὸν καὶ λιμῷ τηκόμενον περιορᾷς, καὶ ταῦτα ἀπὸ τῶν αὐτοῦ μέλλων ἀναλίσκειν, καὶ διὰ σαυτὸν ἀναλίσκειν. τί ταύτης τῆς παρανομίας χεῖρον γένοιτ' ἄν; ἐξεδόθη διὰ σὲ, ἐσφάγη διὰ σὲ, περιέρχεται πεινῶν διὰ σὲ, ἐκ τῶν αὐτοῦ δίδως ἵνα αὐτὸς ὠφεληθῇς, καὶ οὐδὲ οὕτω δίδως. ποίων οὐκ ἂν εἶεν ἀναισθητότεροι λίθων, οἱ τοσούτων αὐτοὺς ἑλκόντων πραγμάτων, ἐπὶ τῆς διαβολικῆς ταύτης μένοντες ὠμότητος; οὐδὲ γὰρ ἠρκέσθη τῷ θανάτῳ καὶ τῷ σταυρῷ μόνον, ἀλλὰ καὶ πένης γενέσθαι κατεδέξατο, καὶ ξένος, καὶ ἀλήτης, καὶ γυμνὸς, καὶ εἰς δεσμωτήριον ἐμπεσεῖν, καὶ ἀρρωστίαν ὑπομεῖναι, ἵνα κἂν οὕτω σε ἐκκαλέσηται. εἰ γὰρ μὴ ἀμείβῃ με, φησὶν, ὡς ὑπὲρ σοῦ τι παθόντα, διὰ τὴν πενίαν ἐλέησον. εἰ δὲ μὴ βούλει διὰ τὴν πενίαν ἐλεῆσαι, διὰ τὴν νόσον ἐπικάμφθητι, διὰ δὲ τὸ δεσμωτήριον ἐπικλάσθητι. εἰ δὲ μηδὲ ταῦτά σε ποιεῖ φιλάνθρωπον, διὰ τὸ κοῦφον τῆς αἰτήσεως ἐπίνευσον. οὐδὲν γὰρ αἰτῶ πολυτελὲς, ἀλλὰ ἄρτον, καὶ στέγην, καὶ ῥημάτων παράκλησιν. εἰ δὲ καὶ μετὰ ταῦτα ἔτι μένεις ἄγριος ὢν, κἂν διὰ τὴν βασιλείαν γενοῦ βελτίων, κἂν διὰ τὰ ἔπαθλα ἃ ὑπεσχόμην. ἀλλ' οὐδὲ ἐκείνων ἐστί τις σοι λόγος; κἂν πρὸς τὴν φύσιν αὐτὴν ἐπικλάσθητι, γυμνὸν ὁρῶν, καὶ τῆς γυμνότητος ἀναμνήσθητι ἐκείνης, ἣν ἐγυμνώθην ἐπὶ τοῦ σταυροῦ διὰ σέ. εἰ δὲ ἐκείνης οὐ βούλει, κἂν ταύτης, ἣν διὰ τῶν πενήτων γυμνοῦμαι. ἐδεήθην τότε διὰ σὲ, ἀλλὰ καὶ νῦν διὰ σὲ, ἵνα εἴτε ἐντεῦθεν, εἴτε ἐκεῖθεν παραχθεὶς, βουληθῇς ποιῆσαί τινα ἔλεον. ἐνήστευσα διὰ σὲ, πάλιν πεινῶ διὰ σέ. ἐδίψησα κρεμάμενος ἐπὶ τοῦ σταυροῦ, διψῶ καὶ διὰ τῶν πενήτων, ἵνα καὶ ἐξ ἐκείνων, καὶ ἐκ τούτων ἐπισπάσωμαί σε πρὸς ἐμαυτὸν, καὶ ποιήσω φιλάνθρωπον ἐπὶ σωτηρίᾳ τῇ σῇ. διὰ τοῦτο καὶ μυρίων ὀφείλοντά σε εὐεργετημάτων ἀμοιβὴν ἐμοὶ, οὐχ ὡς ὀφείλοντα ἀπαιτῶ, ἀλλ' ὡς χαριζόμενον στεφανῶ, καὶ βασιλείαν δωροῦμαι ἀντὶ τῶν μικρῶν τούτων. οὐδὲ γὰρ λέγω, λῦσόν μοι τὴν πενίαν, οὐδὲ, χάρισαί μοι πλοῦτον, καίτοιγε ἐπτώχευσα διὰ σέ· ἀλλ' ὅμως ἄρτον αἰτῶ, καὶ ἱμάτιον, καὶ λιμοῦ παραμυθίαν μικράν. κἂν εἰς δεσμωτήριον ἐμπέσω, οὐκ ἀναγκάζω τὰ δεσμὰ λῦσαι καὶ ἐκβαλεῖν, ἀλλ' ἓν ἐπιζητῶ μόνον, ἵνα ἴδῃς δεδεμένον διὰ σὲ, καὶ ἀρκοῦσαν ἔλαβον χάριν, καὶ ὑπὲρ τούτου μόνου τὸν οὐρανόν σοι χαρίζομαι. καίτοιγε ἐγὼ χαλεπωτάτων σε ἔλυσα δεσμῶν, ἀλλ' ἐμοὶ μόνον ἀρκεῖ, ἂν βουληθῇς ἰδεῖν με δεδεμένον. δύναμαι μὲν γὰρ καὶ χωρὶς τούτων σε στεφανοῦν. βούλομαι δέ σοι καὶ ὀφειλέτης εἶναι, ἵνα φέρῃ σοί τινα καὶ παρρησίαν ὁ στέφανος. καὶ διὰ τοῦτο καὶ δυνάμενος ἐμαυτὸν θρέψαι, περιέρχομαι προσαιτῶν, καὶ ταῖς θύραις σου παρεστάμενος προτείνω χεῖρα. παρὰ σοῦ γὰρ τραφῆναι ἐπιθυμῶ. φιλῶ γάρ σε σφόδρα, διὸ καὶ τῆς τραπέζης ἐρῶ τῆς σῆς, ὃ τοῖς φιλοῦσιν ἔθος ἐστί. καὶ ἐγκαλλωπίζομαι τούτῳ· καὶ τοῦ θεάτρου παρόντος τῆς οἰκουμένης, ἀνακηρύττω σε τότε, καὶ πάντων ἀκουόντων, ἐνδείκνυμαι τὸν τροφέα τὸν ἐμόν. καίτοιγε ἡμεῖς ὅταν παρά τινος τραφῶμεν,

φαλῶν, αἰσχυνόμεθα τοῦτο καὶ συσκιάζομεν. αὐτὸς δὲ ἐπειδὴ σφόδρα ἡμᾶς φιλεῖ, καὶ ἡμεῖς σιγῶμεν, "ἀναγορεύει τότε τὸ γεγενημένον μετὰ πολλῶν τῶν ἐγκωμίων, καὶ οὐκ αἰσχύνεται εἰπεῖν, ὅτι καὶ γυμνὸν ὄντα αὐτὸν περιεβάλομεν, καὶ πεινῶντα ἐθρέψαμεν. ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, μὴ μέχρι τῶν ἐπαίνων στῶμεν μόνον, ἀλλὰ καὶ ἐπιτελέσωμεν τὰ εἰρημένα. τί γὰρ ὄφελος τῶν κρότων, καὶ τῶν θορύβων τούτων; ἓν ζητῶ παρ' ὑμῶν μόνον, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν, τὴν διὰ τῶν πραγμάτων ὑπακοήν. οὗτος ἔπαινος ἐμός, οὗτος κέρδος ὑμέτερον, οὗτος διαδήματος μοι λαμπρότερον. τοῦτον τοίνυν ἀπελθόντες καὶ ὑμῖν καὶ ἐμοὶ κατασκευάσατε τὸν στέφανον διὰ τῆς τῶν πενήτων χειρός· ἵνα καὶ κατὰ τὸν παρόντα βίον χρηστῇ συντρεφώμεθα ἐλπίδι, καὶ πρὸς τὴν μέλλουσαν ἀπελθόντες ζωήν, τῶν μυρίων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιϛ. 1 ΑΛΗΘΕΙΑΝ ΛΕΓΩ ΕΝ "ΧΡΙΣΤΩ, ΟΥ ΨΕΥδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ. κεφ. θ.

Ἆρα οὐ μεγάλα τινὰ καὶ ὑπερφυῆ τῇ προτεραίᾳ περὶ τῆς τοῦ Παύλου "περὶ τὸν Χριστὸν ἀγάπης ἔδοξεν ὑμῖν εἰρηκέναι; καὶ γὰρ ἦν φύσει μεγάλα, καὶ πάντα ὑπερβαίνοντα λόγον· ἀλλ' ὅμως τὰ σήμερον λεχθέντα τοσαύτην ἔχει τὴν ὑπερβολὴν πρὸς ἐκεῖνα, ὅσην ἐκεῖνα πρὸς τὰ ἡμέτερα. καίτοιγε οὐκ ὀλίγην αὐτὰ ἔχει ὑπερβολήν, ἀλλ' ὅμως ἐπελθόντα τὰ σήμερον ἡμῖν ἀναγνωσθέντα, πολὺ πάντων ἐκείνων ἐφάνη λαμπρότερα. ὅπερ οὖν καὶ αὐτὸς συνειδὼς, ἀπὸ τῶν προοιμίων *ἐνέφηνεν, ἅτε εἰς μείζονα ἐμβαίνειν μέλλων καὶ ἀπιστεῖσθαι παρὰ τῶν πολλῶν. πρότερον δὲ διαβεβαιοῦται περὶ ὧν μέλλει λέγειν· ὅπερ πολλοῖς ἔθος ποιεῖν, ὅταν μέλλωσί τι λέγειν παρὰ τοῖς πολλοῖς ἀπιστούμενον, καὶ ὑπὲρ οὗ σφόδρα "ἑαυτοὺς εἰσὶ πεπεικότες. καὶ γὰρ ἀλήθειαν λέγω, φησί, καὶ οὐ ψεύδομαι, καὶ ἡ συνείδησίς μοι μαρτυρεῖ·

2 Ὅτι λύπη μοι ἐστὶ μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου.

3 Ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ Χριστοῦ. Τί λέγεις, ὦ Παῦλε; ἀπὸ τοῦ Χριστοῦ, τοῦ ποθουμένου, οὗ μήτε βασιλεία σε, μήτε γέεννα ἐχώριζε, μήτε τὰ ὁρώμενα, μήτε τὰ νοούμενα, μήτε ἄλλα τοσαῦτα, ἀπὸ τούτου νῦν εὔχῃ ἀνάθεμα εἶναι; τί γέγονε; μὴ "μεταβέβληκας, καὶ κατέλυσας τὸν πόθον ἐκεῖνον; οὐχί, φησι, μὴ δείσῃς. καὶ γὰρ καὶ ἐπέτεινα αὐτὸν μᾶλλον. πῶς οὖν εὔχῃ ἀνάθεμα εἶναι, καὶ ἀλλοτρίωσιν ζητεῖς, καὶ χωρισμὸν τοιοῦτον, μεθ' ὃν ἕτερον οὐκ ἔστιν εὑρεῖν; ἐπειδὴ σφόδρα αὐτὸν φιλῶ, φησί. πῶς, εἰπέ μοι, καὶ "ποίῳ τρόπῳ; καὶ γὰρ αἴνιγμα τὸ πρᾶγμα ἔοικε. μᾶλλον δέ, εἰ δοκεῖ, πρότερον μάθωμεν τί ποτέ ἐστι τὸ ἀνάθεμα, καὶ τότε αὐτὸν ἐρωτήσωμεν περὶ τούτων, καὶ τὴν ἀπόρρητον ταύτην καὶ παράδοξον εἰσόμεθα ἀγάπην. τί οὖν ἐστι τὸ ἀνάθεμα; ἄκουσον αὐτοῦ λέγοντος, Εἴ τις οὐ φιλεῖ τὸν Κύριον *Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα· τουτέστι, κεχωρίσθω πάντων, ἀλλότριος ἔστω πάντων. καθάπερ γὰρ τοῦ ἀναθήματος τοῦ ἀνακειμένου τῷ Θεῷ οὐδεὶς ἂν τολμήσειεν ἁπλῶς ταῖς χερσὶν ἅψασθαι, οὐδὲ ἐγγὺς ἐλθεῖν· οὕτω καὶ τὸν χωριζόμενον τῆς ἐκκλησίας, πάντων "ἀποτέμνων, καὶ ὡς πορρωτάτω ἀπάγων, τούτῳ τῷ ὀνόματι ἀπὸ τοῦ ἐναντίου καλεῖ, μετὰ πολλοῦ τοῦ φόβου πᾶσιν ἀπαγορεύων αὐτοῦ "ἀποχωρίζεσθαι καὶ ἀποπηδᾶν. τῷ μὲν γὰρ ἀναθήματι, τιμῆς ἕνεκα οὐδεὶς ἐτόλμα ἐγγίσαι· τοῦ δὲ ἀποτμηθέντος, ἐξ ἐναντίας ἐχώριζον γνώμης ἅπαντες. ὥστε ὁ μὲν "χωρισμὸς εἷς, καὶ ὁμοίως καὶ τοῦτο κἀκεῖνο τῶν πολλῶν ἀλλοτριοῦται· ὁ δὲ τρόπος τοῦ χωρισμοῦ οὐχ εἷς, ἀλλὰ καὶ ἐναντίος οὗτος ἐκεί-

[Margin notes: γ. Κυρίῳ. — γ. εἰς — αὐτό — γ. εἰσὶν ἑαυτοῖς πεπεισμένοι. — γ. καταβέβληκας; καὶ καταλέλυσας τὸν — γ. τίνι — ἡμῶν — ἀποτεμών. — γ. χωρίζεσθαι — γ. χωρισμὸς ὁμοίως καὶ ... — α. Κορ. ιϛ. κβ.]

ρου. τοῦ μὲν γὰρ ἀπείργοντο ὡς ἀνακειμένου Θεῷ, τοῦ δὲ ὡς ἠλλοτριωμένου Θεοῦ, καὶ ἀπορ- χ. Θεῷ,
ραγέντος τῆς ἐκκλησίας. τοῦτο οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν, ηὐχόμην ἀνάθεμα εἶναι
ἀπὸ τοῦ Χριστοῦ. καὶ οὐδὲ ἁπλῶς εἶπεν, ὅτι ἐβουλόμην, ἀλλὰ ἐπιτείνων αὐτό, φησι
καὶ ηὐχόμην. εἰ δὲ θορυβεῖ σε ἅπερ ἀσθενέστερα ὄντα τὰ λεγόμενα, τὸ πρᾶγμα λογίζου, χ. ἀσθενέστερον ὄντα τὰ λεγόμενα, μὴ τὸ ῥῆμα λογίζου μόνον,
μὴ μόνον ὅτι χωρισθῆναι ἐβούλετο, ἀλλὰ καὶ τὴν αἰτίαν δι' ἣν ἐβούλετο, καὶ τότε ὄψει αὐτοῦ
Πράξ. ιϛ. γ. τὴν ὑπερβολὴν τῆς ἀγάπης. ἐπεὶ καὶ περιέτεμε, καὶ οὐ τῷ γινομένῳ προσέχομεν, ἀλ-
λὰ τῇ γνώμῃ, καὶ τῇ αἰτίᾳ τοῦ γινομένου, καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν θαυμάζομεν. οὐ πε- χ. τὸ παῦ
ριέτεμε δὲ μόνον, ἀλλὰ καὶ ἐξυρᾶτο, καὶ ἔθυσε· καὶ οὐ δήπου διὰ τοῦτο αὐτὸν Ἰουδαῖον φαμὲν
εἶναι, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἀπηλλάχθαι Ἰουδαϊσμοῦ, καὶ καθαρεύειν, καὶ
γνήσιον εἶναι τοῦ Χριστοῦ θεραπευτήν. ὥσπερ οὖν αὐτὸν περιτέμνοντα βλέπων, καὶ θύοντα,
οὐ διὰ τοῦτο αὐτὸν καταδικάζεις ὡς Ἰουδαΐζοντα, ἀλλὰ δι' αὐτὸ μὲν [οὖν] τοῦτο μάλιστα
στεφανοῖς, ὡς ἀλλότριον ὄντα Ἰουδαϊσμοῦ· οὕτω καὶ ὁρῶν ἐπιθυμοῦντα ἀνάθεμα γενέσθαι,
μὴ διὰ τοῦτο θορυβηθῇς, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτὸν ἀνακήρυξον, τὴν αἰ-
Βασ. γ. τίαν καταμαθὼν δι' ἣν τοῦτο βούλεται. ἂν γὰρ μὴ τὰς αἰτίας ἐξετάσωμεν, καὶ τὸν Ἠλί-
Γεν. κϛ. αν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Ἀβραὰμ οὐκ ἀνδροφόνον μόνον, ἀλλὰ καὶ παιδοκτόνον, καὶ
Ἀριθ. κε. τὸν Φινεὲς δὲ καὶ τὸν Πέτρον φόνου γραψόμεθα πάλιν. καὶ οὐ περὶ τῶν ἁγίων δὲ μόνον, ἀλλὰ
Πράξ. ε. ε. καὶ ι. καὶ περὶ τοῦ τῶν ὅλων Θεοῦ, ὁ μὴ τηρῶν τοῦτον τὸν νόμον, τὸν κανόνα, πολλὰ ἄτοπα ὑπο- χ. -πτεύ-
πτεύσει. ἵν' οὖν μὴ τοῦτο γένηται, ἐπὶ πάντων τῶν τοιούτων, καὶ αἰτίαν, καὶ γνώμην, καὶ
καιρόν, καὶ πάντα * ὑπὲρ τῶν γινομένων ἀπολογούμενα συναγαγόντες, οὕτω τὰ πρά- * τὰ χ. ἀπολογήμενοι συνάξαντες,
γματα ἐξετάζωμεν· ὃ καὶ νῦν ἐπὶ τῆς μακαρίας ταύτης ψυχῆς ποιητέον ἡμῖν. τίς οὖν ἡ αἰτία;
[πάλιν] αὐτὸς ὁ ποθούμενος Ἰησοῦς. καὶ μὴν οὐ δι' αὐτόν φησιν· ηὐχόμην γὰρ ἀπ' αὐτοῦ,
φησιν, ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου. καὶ τοῦτο τῆς αὐτοῦ ταπεινοφροσύνης. οὐ
γὰρ βούλεται ὡς μέγα τι λέγων, καὶ τῷ Χριστῷ τοῦτο χαριζόμενος φανῆναι. διὸ εἶπε, συγ-
γενῶν, ἵνα κρύψῃ τὸ πλεονέκτημα. ἐπεὶ ὅτι τὸ πᾶν διὰ τὸν Χριστὸν ἤθελεν, ἄκουσον τῶν ἑ-
ξῆς. εἰπὼν γάρ, τῶν συγγενῶν, ἐπήγαγεν,

4 Ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ
αἱ ἐπαγγελίαι·

5 Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς
εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ τί τοῦτό, φησιν; εἰ γὰρ ὑπὲρ τοῦ πιστεῦσαι ἐκεί-
νους, ἐβούλετο γενέσθαι ἀνάθεμα, ἔδει καὶ ὑπὲρ τῶν ἐθνῶν τοῦτο εὔξασθαι· εἰ δὲ
[καὶ] ὑπὲρ Ἰουδαίων εὔχεται μόνων, δείκνυσιν οὐ διὰ τὸν Χριστὸν αὐτὸ βουλόμενος, ἀλλὰ χ. -δεῖ
διὰ τὴν πρὸς ἐκείνους οἰκείωσιν. καὶ μὴν εἰ ὑπὲρ τῶν ἐθνῶν ηὔξατο μόνων, οὐκ ἂν
ὁμοίως τοῦτο ἔφαιν· ἐπειδὴ δὲ ὑπὲρ Ἰουδαίων μόνων, δείκνυται καθαρῶς διὰ τὴν τοῦ Χριστοῦ
δόξαν τοῦτο σπουδάζων. καὶ οἶδα μὲν ὅτι παράδοξον ὑμῖν εἶναι δοκεῖ τὸ λεγόμενον· πλὴν
ἐὰν μὴ θορυβῆσθε, ταχέως αὐτὸ πειράσομαι ποιῆσαι σαφές. οὐδὲ γὰρ ἁπλῶς ταῦτα
εἴρηκεν ἅπερ εἴρηκεν, ἀλλ' ἐπεὶ πάντες ἔλεγον, καὶ τοῦ Θεοῦ κατηγόρουν, ὅτι υἱοὶ Θεοῦ κα-
ταξιωθέντες κληθῆναι, καὶ νόμον δεξάμενοι, καὶ παρὰ πάντων αὐτὸν εἰδότες, καὶ τοσαύτης
ἀπολαύσαντες δόξης, καὶ θεραπεύσαντες αὐτὸν παρὰ τῆς οἰκουμένης, καὶ ἐπαγγελίας δεξά-
μενοι, καὶ πατέρες ὄντες τῶν αὐτῶν φυλῶν, καὶ τὸ δὴ μεῖζον πάντων, καὶ προπάτορες αὐτοῦ γε- χ. καὶ προπάτορες
νόμενοι τοῦ Χριστοῦ (τοῦτο γάρ ἐστιν, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα) ἐκβέβληνται καὶ ἠτίμων-
ται, ἀντεισήχθησαν δὲ ἀντ' ἐκείνων οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες ἄνθρωποι οἱ ἐξ ἐθ-
νῶν. ἐπεὶ οὖν ταῦτα λέγοντες τὸν Θεὸν ἐβλασφήμουν, ἀκούων ταῦτα καὶ δακνόμενος ὁ
Παῦλος, καὶ ὑπὲρ τῆς δόξης ἀλγῶν τοῦ Θεοῦ, ηὔξατο ἀνάθεμα εἶναι (εἴγε δυνατὸν ἦν)
ὥστε ἐκείνους σωθῆναι, καὶ τὴν βλασφημίαν ταύτην καταλυθῆναι, καὶ μὴ δόξαι τὸν Θεὸν

ἠπατηκέναι

ἠπατηκέναι τοὺς ἐκγόνους τοὺς ἐκείνων, οἷς τὰς δωρεὰς ἐπηγγείλατο. καὶ ἵνα μάθῃς ὅτι ὑπὲρ τούτου κοπτόμενος, τοῦ μὴ δόξαι τὴν ὑπόσχεσιν τοῦ Θεοῦ διαπίπτειν τὴν λέγουσαν πρὸς Ἀβραάμ, Σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, ταῦτα ηὔχετο, μετὰ τὸ ταῦτα εἰπεῖν, ἐπήγαγεν, Γεν. ιε. ζ.

6 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ, Δείκνυς ὅτι πάντα ταῦτα διὰ τὸ τὸν λόγον τοῦ Θεοῦ ὑπομεῖναι ηὔχετο, τουτέστι, τὴν ἐπαγγελίαν τὴν πρὸς Ἀβραὰμ γεγενημένην. καθάπερ γὰρ Μωϋσῆς ἐδόκει μὲν ὑπὲρ Ἰουδαίων πρεσβεύειν, τὸ δὲ πᾶν ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ ἔπραττεν (Ἵνα γὰρ μὴ εἴπωσι, φησὶν, ὅτι παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς σῶσαι, ἐξήγαγεν αὐτοὺς ἀπολέσαι ἐν τῇ ἐρήμῳ, κατάλυσον τὴν ὀργήν) Δευτ. θ. κη. οὕτω δὴ καὶ Παῦλος, ἵνα μὴ εἴπωσι, φησὶν, ὅτι ἐξέπεσεν ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ ἐψεύσατο ἃ ὑπέσχετο, καὶ εἰς ἔργον οὐκ ἐξῆλθεν ὁ λόγος, ἐβουλόμην ἀνάθεμα γενέσθαι. διὰ δὴ τοῦτο, οὐχ ὑπὲρ τῶν ἐθνῶν φησιν (οὐδὲ γὰρ ἦν πρὸς ἐκείνους ἐπηγγελμένον αὐτὸ, οὐδὲ ἦσαν αὐτοὶ τεθεραπευκότες· διὸ οὐδὲ ἐβλασφήμουν αὐτὸν δι' ἐκείνους) ἀλλ' ὑπὲρ τῶν Ἰουδαίων τῶν καὶ τὴν ἐπαγγελίαν δεξαμένων, καὶ παρὰ τῶν ἄλλων οἰκειωθέντων αὐτῷ, ταῦτα ηὔχετο. εἶδες ὅτι εἰ μὲν ὑπὲρ τῶν ἐθνῶν ηὔξατο, οὐκ ἂν οὕτως ἐφάνη καθαρῶς διὰ τὴν τοῦ Χριστοῦ δόξαν τοῦτο ποιῶν· ἐπεὶ δὲ ὑπὲρ Ἰουδαίων ἐβουλήθη γενέσθαι ἀνάθεμα, τότε μάλιστα ἐδείχθη ὅτι διὰ τὸν Χριστὸν * ταῦτα ἐπιθυμεῖ. διὸ τοῦτο ἔλεγεν,

7 Ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ ἡ λατρεία, καὶ ἡ ἐπαγγελία. Καὶ γὰρ ὁ νόμος ἐκεῖθεν ὁ περὶ τοῦ Χριστοῦ λέγων, φησὶ, καὶ αἱ συνθῆκαι αἱ πρὸς αὐτοὺς πᾶσαι, καὶ αὐτὸς ἐξ αὐτῶν, καὶ οἱ πατέρες οἱ δεξάμενοι τὰς ἐπαγγελίας [ἐξ] ἐκείνων πάντες· ἀλλ' ὅμως τοὐναντίον γέγονε, καὶ πάντων ἐξέπεσον τῶν ἀγαθῶν. διὰ τοῦτο * κόπτομαι, φησὶ, καὶ εἴγε ἦν χωρισθῆναι τοῦ περὶ τὸν Χριστὸν χοροῦ, καὶ ἀλλοτριωθῆναι, οὐχὶ τῆς ἀγάπης αὐτοῦ (μὴ γένοιτο, ἐπεὶ καὶ ταῦτα δι' ἀγάπην ἐποίει) ἀλλὰ καὶ τῆς ἀπολαύσεως ἐκείνης, καὶ τῆς δόξης, κατεδεξάμην ἂν, ὥστε μὴ τὸν δεσπότην βλασφημηθῆναι τὸν ἐμὸν, διὰ τὸ μὴ ἀκοῦσαι λεγόντων τινῶν, ὅτι σκηνὴ τὰ πράγματα γέγονεν. ἄλλοις ὑπέσχετο, καὶ ἄλλοις ἔδωκεν. ἐξ ἄλλων ἐγεννήθη, καὶ τοὺς ἄλλους ἔσωσε. τοῖς τῶν Ἰουδαίων προγόνοις ἐπήγγελτο· καὶ τοὺς ἐκγόνους αὐτῶν ἀφεὶς, τοὺς οὐδέποτε αὐτὸν ἐγνωκότας εἰς τὰ ἐκείνων εἰσήγαγεν ἀγαθά. ἐκεῖνοι τὸν νόμον ἔκαμον μελετῶντες, καὶ τὰς προφητείας ἀναγινώσκοντες, καὶ οἱ ἀπὸ τῶν βωμῶν καὶ τῶν εἰδώλων χθὲς ἐπανελθόντες, ἀνώτεροι γεγόνασιν ἐκείνων. ποῦ ταῦτα προνοίας; ἵν' οὖν ταῦτα μὴ λέγηται περὶ τοῦ δεσπότου τοῦ ἐμοῦ, φησὶν, εἰ καὶ ἀδίκως λέγεται, καὶ βασιλείας ἡδέως ἂν ἐξέπιπτον, καὶ τῆς δόξης ἐκείνης τῆς ἀπορρήτου, καὶ πάντα ὑπέμεινα ἂν τὰ δεινὰ, μεγίστην ἁπάντων ἡγούμενος παραμυθίαν εἶναι τοῦ πόνου, τὸ τὸν [οὕτω] ποθούμενον μηκέτι βλασφημούμενον ἀκούειν. εἰ δὲ οὐδέπω καταδέχῃ τὸ εἰρημένον, ἐννόησον ὅτι καὶ πατέρες πολλοὶ πολλάκις ταῦτα ὑπὲρ παίδων κατεδέξαντο, καὶ εἵλοντο αὐτῶν χωρισθῆναι, καὶ μόνον αὐτοὺς εὐδοκιμοῦντας ὁρᾶν, τῆς συνουσίας αὐτῶν ἡδίω νομίζοντες εἶναι τὴν εὐδοκίμησιν τὴν ἐκείνων. ἀλλ' ἐπειδὴ πόρρω τῆς ἀγάπης ἐσμὲν ταύτης, οὐδὲ νοῆσαι τὰ λεγόμενα δυνάμεθα. οὕτω γάρ τινες καὶ τὴν Παύλου προσηγορίαν οὐδὲ ἀκοῦσαί εἰσιν ἄξιοι, καὶ τῆς σφοδρότητος τῆς ἐκείνου πόρρω καὶ μακρὰν ἑστήκασιν, ὡς καὶ περὶ θανάτου τοῦ προσκαίρου ταῦτα λέγειν αὐτὸν νομίζειν. οὓς τοσοῦτον εἴποιμι ἂν ἀγνοεῖν τὸν Παῦλον, ὅσον τοὺς πηροὺς τὴν ἀκτῖνα τὴν ἡλιακήν· μᾶλλον δὲ καὶ πολλῷ πλέον. ὁ γὰρ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων, καὶ νιφάδας κινδύνων θεὶς, καὶ εἰπὼν, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμός; Ρωμ. η. λε. καὶ οὐκ ἀρκεσθεὶς τοῖς λεχθεῖσιν, ἀλλ' ὑπερβὰς τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ ἀγγέλους, καὶ ἀρχαγγέλους, καὶ πάντα τὰ ἄνω περιδραμὼν, καὶ συλλαβὼν ὁμοῦ τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ

γρ. ηὔχετο. — γρ. καταλύσων — γρ. μὴ — γρ. ἐχθρῶν — μόνον — ἰῶ — γρ. ἀκοῖον — γρ. ἐπεγνωκότας — γρ. λέγωσι — γρ. μᾶλλον — γρ. ἐνδεὶς, — γρ. παρόντων,

νοούμενα, τὰ λυπηρὰ, τὰ χρηστὰ, τὰ ἐν ἐκστάσει, καὶ οὐδὲν ὅλως ἀφεὶς, καὶ οὐδὲ οὕτω κορεσθεὶς, ἀλλὰ καὶ ἑτέραν τοσαύτην κτίσιν τὴν οὐκ οὖσαν ὑποστησάμενος, πῶς ὡς μέγα τι λέγων μετ' ἐκεῖνα πάντα, θανάτου τοῦ προσκαίρου ἐμνημόνευσεν ἄν; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλὰ σκωλήκων ἐν κοπρίᾳ φωλευόντων ἡ τοιαύτη ὑπόνοια. εἰ γὰρ τοῦτο ἔλεγε, πῶς ἀνάθεμα ἑαυτὸν ηὔχετο εἶναι ἀπὸ τοῦ Χριστοῦ; ὁ γὰρ τοιοῦτος θάνατος, μᾶλλον αὐτὸν τῷ Χριστοῦ συνῆπτε χορῷ, καὶ τῆς δόξης ἀπολαύειν ἐκείνης ἐποίει. ἀλλὰ γάρ εἰσί τινες, οἳ καὶ τούτων ἕτερα καταγελαστότερα τολμῶσι λέγειν. οὐ γὰρ θάνατον, φησὶν, ἀλλὰ κειμήλιον καὶ ἀνάθεμα εἶναι ηὔχετο τοῦ Χριστοῦ. καὶ τίς τοῦτο καὶ τῶν σφόδρα εὐτελῶν καὶ ἀναπεπτωκότων οὐκ ἂν εὔξαιτο; πῶς δὲ ὑπὲρ τὴν συγγένειαν τοῦτο ἔμελλε τὴν αὐτοῦ γενέσθαι; ἀφέντες τοίνυν τοὺς μύθους, καὶ τὰς φλυαρίας (οὐδὲ γὰρ ἀντιλέγειν πρὸς ταῦτα ἄξιον, ὥσπερ οὐδὲ πρὸς τὰ παιδία τὰ ψελλίζοντα) εἰς αὐτὴν πάλιν τὴν ῥῆσιν ἐπανέλθωμεν, ἐντρυφῶντες αὐτοῦ τῷ πελάγει τῆς ἀγάπης, καὶ μετ' ἀδείας πανταχοῦ νηχόμενοι, καὶ τὴν φλόγα ἐννοοῦντες τὴν ἄφατον, μᾶλλον δὲ, ὅπερ ἄν εἴποι τις, οὐδὲν ἄξιον ἐρεῖ. καὶ γὰρ πελάγους παντὸς εὐρυτέρα, καὶ φλογὸς ἁπάσης σφοδροτέρα ἦν αὕτη. καὶ οὐδεὶς αὐτὴν κατ' ἀξίαν ἀναγορεῦσαι δυνήσεται λόγος, ἀλλ' ἐκεῖνος μόνος οἶδεν αὐτὴν ὁ μετ' ἀκριβείας αὐτὴν κτησάμενος. φέρε οὖν πάλιν αὐτὰ τὰ ῥήματα εἰς μέσον ἀγάγωμεν.

Ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγώ. Τί ἐστιν, αὐτὸς ἐγώ; ὁ διδάσκαλος ἁπάντων γενόμενος, ὁ μυρία κατορθώματα συναγαγὼν, ὁ μυρίους ἀναδησάμενος στεφάνους, ὁ ποθήσας αὐτὸν οὕτως ὡς πάντων προτιμῆσαι αὐτοῦ τὴν ἀγάπην, ὁ καθ' ἑκάστην ἡμέραν δι' αὐτὸν καιόμενος, καὶ πάντα δεύτερα εἶναι νομίζων τοῦ φίλτρου τοῦ πρὸς αὐτόν. οὐδὲ γὰρ τὸ φιλεῖσθαι ἔμελλεν αὐτῷ παρὰ τοῦ Χριστοῦ μόνον, ἀλλὰ καὶ τὸ σφόδρα φιλεῖν αὐτόν. καὶ τοῦτο μάλιστα ἦν. διὰ γὰρ οὐ πρὸς τοῦτο ἔβλεπε μόνον, καὶ πάντα εὐκόλως ἔφερεν. εἰ γὰρ ἐσκόπει διὰ πάντων, ὅπως τὸν καλὸν τοῦτον ἐμπλῆσαι ἔρωτα. καὶ εὔχεται μὲν ταῦτα· ἐπεὶ δὲ οὐκ ἔμελλε γίνεσθαι οὕτως, οὐδὲ ἔμελλεν ἀνάθεμα εἶναι, πειρᾶται λοιπὸν καὶ εἰς ἀπολογίαν ἐμβῆναι τῶν ἐγκλημάτων, καὶ τὰ θρυλλούμενα παρὰ πάντων εἰς μέσον ἄγων, ἀνατρέψαι. καὶ πρὶν εἰς τὴν σαφῆ τούτων ἀπολογίαν ἐμβῆναι, τὰ σπέρματα αὐτῆς ἤδη προκαταβάλλεται. ὅταν γὰρ λέγῃ, ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι, οὐδὲν ἄλλο φησὶν, ἢ ὅτι ὁ Θεὸς μὲν αὐτοὺς ἐβούλετο σωθῆναι, καὶ τοῦτο ἐδήλωσε δι' ὧν ἔμπροσθεν ἐποίησε, καὶ δι' ὧν ὁ Χριστὸς ἐξ ἐκείνων ἐγένετο, καὶ δι' ὧν τοῖς πατράσιν ἐπηγγείλατο· αὐτοὶ δὲ ἐξ οἰκείας ἀγνωμοσύνης ἀπεκρούσαντο τὴν εὐεργεσίαν. διὸ καὶ ἐκεῖνα τίθησιν, ἅπερ τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστιν ἐνδεικτικὰ μόνον, οὐκ ἐκείνων ἐγκώμια. καὶ γὰρ ἡ υἱοθεσία τῆς αὐτοῦ γέγονε χάριτος, καὶ ἡ δόξα, καὶ αἱ ἐπαγγελίαι, καὶ ὁ νόμος. ἅπερ ἅπαντα ἐννοήσας, καὶ λογισάμενος πόσην ὁ Θεὸς μετὰ τοῦ παιδὸς ἐποιήσατο τὴν σπουδὴν σῶσαι αὐτοὺς, ἀνεβόησε μέγα, καὶ εἶπεν, Ὃς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας, Ἀμήν.

Τὴν ὑπὲρ πάντων εὐχαριστίαν ἀναφέρων αὐτὸς τῷ μονογενεῖ τοῦ Θεοῦ. τί γὰρ εἰ καὶ ἕτεροι βλασφημοῦσι, φησίν; ἀλλ' ἡμεῖς οἱ τὰ ἀπόρρητα εἰδότες αὐτοῦ, καὶ τὴν σοφίαν τὴν ἄφατον, καὶ τὴν πρόνοιαν τὴν πολλὴν, ἴσμεν σαφῶς, ὅτι οὐ τοῦ βλασφημεῖσθαι, ἀλλὰ τοῦ δοξάζεσθαι ἄξιος. οὐκ ἀρκεσθεὶς δὲ αὐτοῦ τῷ συνειδότι, πειρᾶται καὶ λογισμὸν θεῖναι λοιπὸν, καὶ σφοδρότερον κεχρῆσθαι κατ' αὐτῶν τῷ λόγῳ. καὶ οὐ πρότερον ἀποτείνεται πρὸς αὐτοὺς, ἕως τὴν ὑπόνοιαν τὴν αὐτῶν προεῖλεν. ἵνα γὰρ μὴ δόξῃ ὡς ἐχθροῖς διαλέγεσθαι, προϊών φησιν, Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν. καὶ ἐνταῦθα δὲ μετὰ τῶν ἄλλων ὧν εἴρηκε, κατεσκεύαζε τὸ μὴ δόξαι δι' ἔχθραν λέγειν ἅπερ ἔμελλε κατ' αὐτῶν ἐρεῖν. διόπερ οὐδὲ συγγενεῖς αὐτοὺς καὶ ἀδελφοὺς παραιτεῖται ὀνομάζειν. εἰ γὰρ καὶ διὰ τὸν

[γ. πρὸς ἐκείνους] Χριστὸν ἔλεγον ἅπερ ἔλεγον, ἀλλ᾽ ὅμως καὶ τὴν ˝ἐκείνων ἐπιστασίαν˝ διέκοψεν, [γ. εὔνοιαν] καὶ προοδοποιεῖ τῷ λόγῳ, καὶ πάσης ἑαυτὸν ὑποψίας ἀπαλλάττει διὰ τὰ μέλλοντα κατ᾽ αὐτῶν λεχθήσεσθαι, καὶ τότε [γ. λοιπὸν] λοιπὸν ἐμβαίνει εἰς τὴν παρὰ τῶν πολλῶν ζητούμενον λόγον. καὶ γὰρ ἐζήτουν ˝πολλοὶ (καθάπερ ἔφθην εἰπὼν) τίνος ἕνεκεν οἱ μὴ δεξάμενοι τὴν ἐπαγγελίαν ἐξέπεσον, οἱ δὲ μὴ ἀκούσαντες αὐτῆς πώποτε, πρὸ ἐκείνων ἐσώθησαν. ταύτην τοίνυν λύων τὴν ἀπορίαν, πρὸ τῆς ἀντιθέσεως τὴν λύσιν ἐπάγει. ἵνα γὰρ μὴ λέγῃ τις, τί οὖν; σὺ μᾶλλον φροντίζεις τῆς δόξης τοῦ Θεοῦ, ἢ ὁ Θεὸς τῆς ἑαυτοῦ; καὶ τῆς παρὰ σοῦ δεῖται βοηθείας, ὥστε μὴ ἐκπεσεῖν αὐτοῦ τὸν λόγον; πρὸς ταῦτα * [πάντα] ἰσάμενός φησι, ταῦτα δὲ εἶπον, οὐχ ὅτι ὅτι ὁ λόγος τοῦ Θεοῦ ἐκπέπτωκεν, ἀλλ᾽ ἵνα δείξω τὸ περὶ τὸν Χριστὸν φίλτρον. καὶ γὰρ καὶ οὕτω τῶν προειρημένων ἐκβάντων, οὐκ ἀπορούμενος τὸν ὑπὲρ τοῦ Θεοῦ λόγον, φησί, καὶ τὸ δεῖξαι, ὅτι ἕστηκεν ἡ ἐπαγγελία. Εἶπεν ὁ Θεὸς τῷ Ἀβραάμ, Σοὶ καὶ Γεν. ιϛ. ζ. τῷ σπέρματί σου δώσω τὴν γῆν, καί, Ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη. ἴδωμεν οὖν ποῖόν ἐστι τὸ σπέρμα, φησίν. οὐ γὰρ πάντες οἱ ἐξ αὐτοῦ, σπέρματα αὐτοῦ εἰσι. διὸ καὶ ἔλεγεν, Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ·

7 Οὐδ᾽ ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα. Ἂν τοίνυν μάθῃς ποῖόν ἐστι τὸ σπέρμα τοῦ Ἀβραάμ, ὄψει ἀποδοθεῖσαν τὴν ὑπόσχεσιν τῷ σπέρματι αὐτοῦ, καὶ γνώσῃ, ὅτι οὐκ ἐξέπεσεν ὁ λόγος. ποῖον οὖν ἐστιν, εἰπέ μοι, τὸ σπέρμα; οὐκ ἐγὼ λέγω, φησίν, ἀλλ᾽ αὐτὴ ἡ παλαιὰ ἑαυτὴν ἑρμηνεύει, οὕτω λέγουσα· Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. τί ἐστιν, ἐν Ἰσαάκ, ἑρμηνεύσον· Γεν. κα. ιϛ. 8 Τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας * [ταῦτα] λογίζεται εἰς σπέρμα. Καὶ ὅρα Παύλου σύνεσιν καὶ μεγαλόνοιαν. ἑρμηνεύων γάρ, οὐκ εἶπεν ὅτι οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Ἀβραάμ, ἀλλὰ τὰ τέκνα τοῦ Θεοῦ· τῷ παρόντι τὰ παλαιὰ συνάπτων, καὶ δεικνύς, ὅτι οὐδὲ Ἰσαὰκ ἁπλῶς τοῦ Ἀβραὰμ τέκνον ἦν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν ὅσοι κατὰ τὸν Ἰσαὰκ ἐγεννήθησαν, οὗτοι τέκνα τοῦ Θεοῦ εἰσι, καὶ σπέρμα τοῦ Ἀβραάμ. διὰ γὰρ τοῦτο εἶπεν, ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, ἵνα μάθῃς, ὅτι οἱ τῷ τρόπῳ τούτῳ γεννώμενοι τῷ κατὰ τὸν Ἰσαάκ, οὗτοι μάλιστά εἰσι τὸ σπέρμα τοῦ Ἀβραάμ. πῶς οὖν ὁ Ἰσαὰκ ἐγεννήθη; οὐ κατὰ νόμον φύσεως, οὐδὲ κατὰ δύναμιν σαρκός, ἀλλὰ κατὰ δύναμιν ἐπαγγελίας. τί ἐστι, κατὰ δύναμιν ἐπαγγελίας; 9 Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι πρὸς σέ, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. Αὕτη ἡ ἐπαγγελία τοίνυν, καὶ ˝τὸ ῥῆμα τοῦ Θεοῦ [γ. τὰ ῥήματα] τὸν Ἰσαὰκ διέπλασέ τε καὶ ἐγέννησε. τί γὰρ εἰ καὶ μήτρα ὑπέκειτο, καὶ νηδὺς γυναικός; οὐ γὰρ ἡ δύναμις τῆς νηδύος, ἀλλ᾽ ἡ τῆς ἐπαγγελίας ἰσχὺς ἔτεκε τὸ παιδίον. οὕτω καὶ ἡμεῖς γεννώμεθα διὰ τῶν ῥημάτων τοῦ Θεοῦ. ἐν γὰρ τῇ κολυμβήθρᾳ τῶν ὑδάτων ῥήματά ἐστι τοῦ Θεοῦ τὰ γεννῶντα ἡμᾶς καὶ διαπλάττοντα. εἰς γὰρ ὄνομα πατρός, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος βαπτιζόμενοι γεννώμεθα. αὕτη δὲ οὐχὶ φύσεως, ἀλλ᾽ ἐπαγγελίας τοῦ Θεοῦ ἡ γέννησις. ὥσπερ γὰρ τὴν τοῦ Ἰσαὰκ προαγορεύσας γέννησιν, τότε αὐτὴν ἐπλήρωσεν· οὕτω καὶ τὴν ἡμετέραν πρὸ πολλῶν ˝[γ. αἴρ.] προανεφώνησε χρόνων διὰ τῶν προφητῶν [ἁπάντων] καὶ μετὰ ταῦτα εἰς ἔργον ἐξήγαγεν. εἶδες ἡλίκην ἀπέδειξε, καὶ πῶς μέγα ἐπαγγελλόμενος κατασκευάσαι αὐτὸ μετ᾽ εὐκολίας ἁπάσης; εἰ δὲ λέγοιεν Ἰουδαῖοι, ὅτι τό, ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τοῦτο ἐστι, τοὺς ἐκ τοῦ [γ. Ἰουδαίοις] Ἰσαὰκ γεννωμένους αὐτῷ λογίζεσθαι εἰς σπέρμα, ἔδει καὶ τοὺς ˝Ἰδουμαίους, καὶ πάντας [γ. ἐκείνοις] ˝τοὺς ἀπ᾽ ἐκείνου, υἱοὺς χρηματίζειν αὐτοῦ. ὁ γὰρ πρόγονος αὐτῶν Ἡσαῦ υἱὸς ἦν τοῦ Ἰσαάκ. νῦν δὲ οὐ μόνον οὐ χρηματίζουσι παῖδες, ἀλλὰ καὶ σφόδρα εἰσὶν ἀπηλλοτριωμένοι. ὁρᾷς ὅτι οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ φύσει ἡ διὰ τοῦ βαπτίσματος ἄνωθεν προϋπογράφεται γέννησις; εἰ δὲ τὴν μήτραν μοι λέγεις, ἔχω κἀγὼ τὸ ὕδωρ εἰπεῖν. ἀλλ᾽ ὥσπερ ἐνταῦθα τὸ πᾶν τοῦ πνεύματος, οὕτω κἀκεῖ τὸ πᾶν τῆς ἐπαγγελίας. τοῦ γὰρ ὕδατος ψυχροτέρα ἦν ἡ μήτρα, διὰ

τὴν στείρωσιν καὶ τὸ γῆρας. καταμάθωμεν τοίνυν ἡμεῖς τὴν εὐγένειαν μετ᾽ ἀκριβείας ἁπάσης, καὶ ἀξίαν αὐτῆς ἐπιδειξώμεθα πολιτείαν. οὐδὲ γὰρ ἔχει τι σαρκικὸν, οὐδὲ γεῶδες. μὴ τοίνυν μηδὲ ἡμεῖς. οὐδὲ γὰρ ὕπνος, οὐδὲ θέλημα σαρκὸς, καὶ συμπλοκαὶ, οὐδὲ οἶστρος ἐπιθυμίας, ἀλλὰ Θεοῦ φιλανθρωπία τὸ πᾶν ἐποίησε. καὶ καθάπερ ἐκεῖ τῆς ἡλικίας ἀπογνωσθείσης, οὕτω καὶ ἐνταῦθα τοῦ γήρως τῶν ἁμαρτημάτων ἐπελθόντος, ἐξαίφνης νέος ἀνῆλθεν ὁ ἄνθρωπος, καὶ πάντες τοῦ Θεοῦ γεγέναμεν παῖδες, καὶ σπέρμα τοῦ Ἀβραάμ.

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

Μέγα τὸ ζητούμενον ἐστί. διὸ καὶ πολλοὺς κινεῖ λογισμοὺς, καὶ πανταχόθεν ἐπιχειρεῖ λῦσαι τὴν ἀπορίαν. εἰ γὰρ [ἦν] παράδοξον, καὶ καινὸν τὸ μετὰ τοσαύτας ἐπαγγελίας ἐκπεσεῖν ἐκείνους, πολλῷ παραδοξότερον, τὸ καὶ ἡμᾶς εἰς τὰ ἐκείνων εἰσελθεῖν ἀγαθὰ, τοὺς μηδὲν προσδοκήσαντας τοιοῦτον. καὶ ταὐτὸν ἐγίνετο, οἷον ἂν εἰ βασιλέως υἱὸς ἐπαγγελίας ἔχων τὴν ἀρχὴν διαδέξασθαι τὴν ἐκείνου εἰς τὴν τῶν ἀτίμων ἐκβληθείη τάξιν, καὶ ἀντ᾽ ἐκείνου, κατάδικος ἄνθρωπος, καὶ μυρίων γέμων κακῶν, ἐκβληθεὶς τοῦ δεσμωτηρίου, τὴν ἀρχὴν λάβοι τὴν ἐκείνῳ προσήκουσαν. τί γὰρ ἂν ἔχοις εἰπεῖν, φησιν; ὅτι ἀνάξιος ὁ υἱός; ἀλλὰ καὶ οὗτος ἀνάξιος, καὶ πολλῷ μᾶλλον. οὐκοῦν ἔδει ἢ ὁμοῦ κολάζεσθαι, ἢ ὁμοῦ τιμᾶσθαι. τοιοῦτον δή τι καὶ ἐπὶ τῶν ἐθνῶν γέγονε, καὶ ἐπὶ τῶν Ἰουδαίων, καὶ πολλῷ τούτου παραδοξότερον. [Ρωμ. γ. κγ.] ὅτι μὲν γὰρ ἅπαντες ἀνάξιοι, ἐδήλωσεν ἐν τοῖς εἰρημένοις εἰπὼν, Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. τὸ δὲ καινὸν, ὅτι πάντων ἀναξίων ὄντων, τὰ ἔθνη διεσώθη μόνα. μετὰ δὲ τούτων, καὶ ἑτέραν ἄν τις διαπορήσειε πάλιν, φησίν. εἰ γὰρ μὴ ἔμελλε πληροῦν αὖθις τὰς ὑποσχέσεις ὁ Θεὸς, τίνος ἕνεκεν καὶ ὑπισχνεῖτο; ἄνθρωποι μὲν γὰρ οἱ τὸ μέλλον μὴ εἰδότες, πολλάκις ἀπατώμενοι, καὶ τοῖς οὐκ ἀξίοις τὰς αὐτῶν λαβεῖν δωρεὰς ἐπαγγέλλονται. ὁ δὲ καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα προειδὼς, καὶ σαφῶς ἐπιστάμενος ὅτι ἀναξίους ἑαυτοὺς καταστήσουσι τῶν ὑποσχέσεων, καὶ διὰ τοῦτο οὐδὲν λήψονται τῶν εἰρημένων, τίνος ἕνεκεν καὶ ἐπαγγέλλεται; πῶς οὖν αὐτὰ ἔλυσεν ὁ Παῦλος; ἀπὸ τοῦ δεῖξαι τίς ἐστιν ὁ Ἰσραὴλ, ᾧ ὑπέσχετο. τούτου γὰρ δειχθέντος, καὶ ἐκεῖνο συναποδέδεικται, τὸ πεπληρῶσθαι τὰς ἐπαγγελίας ἁπάσας. ὅπερ οὖν δηλῶν ἔλεγεν, οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ. διὰ τοῦτο οὐδὲ τὸ τοῦ Ἰακὼβ ὄνομα τέθεικεν, ἀλλὰ τὸ τοῦ Ἰσραήλ· ὅπερ ἀρετῆς ἦν τοῦ δικαίου, καὶ τῆς ἄνωθεν δωρεᾶς, καὶ τοῦ Θεὸν ἑωρακέναι σύμβολον. καίτοι φησὶν ὅτι πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. εἰ οὖν πάντες ἥμαρτον, πῶς οἱ μὲν ἐσώθησαν, οἱ δὲ ἀπώλοντο; ὅτι μὴ πάντες προσελθεῖν ἠβουλήθησαν. ὡς τό γε αὐτοῦ μέρος, διεσώθησαν ἅπαντες· καὶ γὰρ ἐκλήθησαν ἅπαντες. ἀλλὰ τέως τοῦτο οὐ τίθησιν, ἀλλ᾽ ἐκ περιουσίας αὐτὸ λύει, καὶ ἐκ παραδειγμάτων ἑτέρων, ἄλλο ζήτημα εἰς μέσον ἄγων, καὶ καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔλυσεν ἀπορίαν μεγίστην δι᾽ ἀπορίας ἑτέρας. ἐπειδὴ γὰρ ἐζητεῖτο* πῶς, τοῦ Χριστοῦ δικαιωθέντος, πάντες ἀπήλαυσαν οἱ λοιποὶ τῆς δικαιοσύνης ἐκείνης, [Ρω. ε. ι.] τὸ τοῦ Ἀδὰμ παρεισήγαγε λέγων, Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος λαβόντες, ἐν ζωῇ βασιλεύσουσι. καὶ τὸ μὲν τοῦ Ἀδὰμ οὐ λύει, τὸ δὲ αὐτοῦ λύει ἐκ τούτου, καὶ δείκνυσιν, ὅτι λόγον ἔχει πλείονα τὸ τὸν ὑπὲρ αὐτῶν ἀποθανόντα ἐξουσίαν ἔχειν αὐτῶν, ὡς ἂν θέλῃ. τὸ μὲν γὰρ ἑνὸς ἁμαρτήσαντος πάντας κολάζεσθαι, οὐ σφόδρα δοκεῖ κατὰ λόγον γίνεσθαι τοῖς πολλοῖς· τὸ δὲ ἑνὸς κατορθώσαντος πάντας δικαιοῦσθαι, καὶ λόγον ἔχοι ἂν μᾶλλον, καὶ τῷ Θεῷ πρεπωδέστερον. ἀλλ᾽ ὅμως οὐκ ἔλυσεν ἐκεῖνο τὸ ἀπορούμενον. ὅσῳ γὰρ ἀσαφέστερον ἔμεινε, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἐπεστομίζετο. καὶ ἡ τούτου διαπόρησις ἐπ᾽ ἐκεῖνο μετέβαινε, καὶ σαφέστερον τοῦτο ἐκεῖθεν γίνεται. οὕτω δὴ καὶ ἐνταῦθα, ἐκ διαπορουμένων ἑτέρων λύει τὰ ζητούμενα.

πρὸς γὰρ Ἰουδαίους ὁ ἀγὼν ἦν αὐτῷ. Διά τοι τοῦτο τὰ μὲν παραδείγματα, ἅπερ ἤγαγεν εἰς μέσον, οὐ σφόδρα λύει. οὐ γὰρ ἦν ὑπεύθυνος τοιούτοις, ὡς ἐν τῇ πρὸς Ἰουδαίους μάχῃ. τὰ δὲ αὐτοῦ πάντα ἐξ ἐκείνων ποιεῖ σαφέστερα. τί γὰρ θαυμάζεις, φησὶν, ὅτι Ἰουδαίων οἱ μὲν ἐσώθησαν, οἱ δὲ οὐκ ἐσώθησαν νῦν; καὶ γὰρ ἄνωθεν τοῦτο ἐπὶ τῶν πατριαρχῶν γινόμενον ἴδοι τις ἄν. διὰ τί γὰρ ὁ Ἰσαὰκ σπέρμα καλεῖται μόνος, καίτοιγε καὶ τοῦ Ἰσμαὴλ οὗτος ἦν πατὴρ, καὶ ἑτέρων πλειόνων; ἀλλ' ἀπὸ δούλης ἦν μητρός; καὶ τί τοῦτο πρὸς τὸν γεγεννηκότα; πλὴν οὐδὲν φιλονεικῶ. ἐκβαλέσθω διὰ τὴν μητέρα οὗτος. τί ἂν εἴποιμεν περὶ τῶν ἀπὸ τῆς Χετούρας, οὐχὶ ἐλεύθεροι, καὶ ἐξ ἐλευθέρας; διὰ τί μὴ τοῖς αὐτοῖς ἐτιμήθησαν προεδρίοις τῷ Ἰσαάκ; καὶ τί λέγω τούτους; ἡ γὰρ Ῥεβέκκα καὶ μόνη τῷ Ἰσαὰκ γέγονε γυνὴ, καὶ δύο τεκοῦσα παῖδας, ἐκ τοῦ Ἰσαὰκ ἔτεκεν ἀμφοτέρους. ἀλλ' ὅμως οἱ τεχθέντες τοῦ αὐτοῦ πατρὸς ὄντες, τῆς αὐτῆς μητρὸς, τὰς αὐτὰς λύσαντες ὠδῖνας, καὶ ὁμοπάτριοι ὄντες, καὶ ὁμομήτριοι, καὶ πρὸς τούτοις καὶ δίδυμοι, οὐ τῶν αὐτῶν ἀπήλαυσαν. καίτοιγε ἐνταῦθα οὐ δουλείαν ἔχεις " αἰτιᾶσθαι μητρὸς, ὡς ἐπὶ τοῦ Ἰσμαὴλ, οὐδὲ τὸν μὲν ἐκ ταύτης, τὸν δὲ ἐξ ἑτέρας γεγεννῆσθαι νηδύος, καθάπερ ἐπὶ τῆς Χετούρας καὶ τῆς Σάρρας, ὅπουγε καὶ τῆς ὥρας αὐτῆς ἐκοινώνησαν τῶν ὠδίνων. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ὡς ἐπὶ σαφέστερον ἐξελθὼν παράδειγμα, οὐ μόνον δὲ ἐπὶ τοῦ Ἰσαὰκ τοῦτο συνέβη, φησὶν, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

αὐτὸς / ὁ αὐτὸς — αἱ πάντως

11 Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος,

12 Ἐῤῥήθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

13 Καθὼς γέγραπται, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα.

Τίνος οὖν ἕνεκεν ὁ μὲν ἐφιλεῖτο, ὁ δὲ ἐμισεῖτο; διὰ τί ὁ μὲν ἐδούλευεν, ὁ δὲ ἐδουλεύετο; ἐπειδὴ ὁ μὲν, πονηρὸς· ὁ δὲ, ἀγαθὸς ἦν; καίτοι μηδέπω γεννηθέντων, ὁ μὲν ἐτιμᾶτο, ὁ δὲ κατεδικάζετο. οὔπω γὰρ γεννηθέντων, ὁ Θεὸς ἔλεγεν, Ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. Γεν. κε. κγ. τίνος οὖν ἕνεκεν τοῦτο εἶπεν ὁ Θεός; ὅτι οὐκ ἀναμένει, καθάπερ ἄνθρωπος, ἀπὸ τοῦ τέλους τῶν " πραγμάτων ἰδεῖν τὸν ἀγαθὸν, καὶ τὸν οὐ τοιοῦτον, ἀλλὰ καὶ πρὸ τούτων οἶδε τίς μὲν ὁ πονηρὸς, τίς δὲ ὁ μὴ τοιοῦτος. καὶ τοῦτο καὶ ἐπὶ τῶν Ἰσραηλιτῶν γέγονε μετὰ πλείονος τοῦ θαύματος. τί γὰρ λέγω, φησὶ, περὶ τοῦ Ἡσαῦ, καὶ τοῦ Ἰακὼβ, ὧν ὁ μὲν πονηρὸς ἦν, ὁ δὲ ἀγαθός; ἐπὶ γὰρ τῶν Ἰσραηλιτῶν κοινὸν τὸ ἁμάρτημα ἦν· πάντες γὰρ τὸν μόσχον προσεκύνησαν. ἀλλ' ὅμως οἱ μὲν ἠλεήθησαν, οἱ δὲ οὐκ ἠλεήθησαν.

. πράξεων

15 Ἐλεήσω γὰρ, φησιν, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω.

Τοῦτο καὶ ἐπὶ τῶν κολαζομένων ἴδοι τις ἄν. τί γὰρ ἂν εἴποις περὶ τοῦ Φαραὼ, ὅτι ἐκολάσθη, καὶ τοσαύτην ἔδωκε δίκην; ὅτι σκληρὸς ἦν, καὶ ἀπειθής. ἆρ' οὖν αὐτὸς μόνος, ἄλλος δὲ οὐδὲ εἷς; πῶς οὖν οὗτος οὕτω σφοδρῶς ἐκολάζετο; τί δήποτε δὲ καὶ ἐπὶ τῶν Ἰουδαίων τὸν οὐ λαὸν ἐκάλεσε λαὸν, καὶ πάλιν, οὐ πάντας τῆς αὐτῆς ἠξίωσε τιμῆς; Ἐὰν γὰρ ᾖ, φησιν, ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. Ησ. ι. κϛ. καὶ τίνος ἕνεκεν τὸ κατάλειμμα μόνον; ὁρᾷς ὅσης ἀπορίας ἐνέπλησε τὰ προκείμενα; καὶ μάλα εἰκότως. ὅταν γὰρ ἔξῃ τὸν ἀντίδικον εἰς ἀπορίαν ἐμβαλεῖν, μὴ εὐθέως τὴν λύσιν ἐπάγε. εἰ γὰρ καὶ αὐτὸς φεύγειν τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος ὢν, τί κινδύνους αὐτὸς " ἀνέχῃ περιττούς; τί θρασύτερον ποιεῖς ἐκεῖνον, τὸ πᾶν ἐπὶ σαυτὸν ἕλκων; εἰπὲ γάρ μοι, ὦ Ἰουδαῖε, τοσαῦτα ἀπορῶν, καὶ λύειν οὐδὲν τούτων δυνάμενος, πῶς ὑπὲρ τῆς τῶν ἐθνῶν κλήσεως ἡμῖν πράγματα παρέχεις; καίτοιγε ἐγὼ ἔχω αἰτίαν εἰπεῖν δικαίαν, δι' ἣν τὰ ἔθνη ἐδικαιώθη, ὑμεῖς δὲ ἐξεπέσετε. τίς οὖν ἡ αἰτία; ὅτι οἱ μὲν ἐκ πίστεως· ὑμεῖς δὲ ὡς ἐξ ἔργων νόμου. καὶ ταῦτα φιλονεικήσαντες προεδόθητε " πανταχόθεν. Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, Ρω. ι. γ.

. ἀναδέχῃ — . πάντες

σύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. ἡ μὲν οὖν λύσις τοῦ χωρίου παντὸς, ὡς ἐν κεφαλαίῳ δὲ πάλιν εἰπεῖν, οὕτω προάγεται παρὰ τῆς μακαρίας ἐκείνης ψυχῆς. ἵνα δὲ καὶ σαφέστερα ταῦτα γένηται, *καθ' ἕκαστον τῶν εἰρημένων ποιησώμεθα τὴν ἐξέτασιν, ἐκεῖνο εἰδότες, ὅτι δὲ σπουδαζόμενον τῷ μακαρίῳ Παύλῳ τοῦτό ἐστιν, διδάξαι διὰ πάντων τῶν εἰρημένων, ὅτι τοὺς ἀξίους ὁ Θεὸς οἶδε μόνος, ἀνθρώπων δὲ οὐδεὶς, κἂν σφόδρα εἰδέναι δοκῇ, ἀλλὰ πολλαχοῦ διαπίπτει τῆς ψήφου ταύτης. ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος, αὐτὸς οἶδε σαφῶς, τίνες μὲν στεφάνων ἄξιοι, τίνες δὲ κολάσεως καὶ τιμωρίας. διὰ δὴ τοῦτο καὶ πολλοὺς παρὰ τοῖς ἀνθρώποις νομιζομένους ἀγαθοὺς εἶναι ἐκόλασε διελέγξας, καὶ πονηροὺς ὑποπτευομένους ἐστεφάνωσε, δείξας οὐκ ὄντας τοιούτους· οὐκ ἀπὸ τῆς τῶν δούλων γνώμης, ἀλλ' ἀπὸ τῆς οἰκείας κρίσεως τὴν ἀκριβοῦς καὶ ἀδεκάστου τὴν ψῆφον φέρων, καὶ οὐκ ἀναμένων ἀπὸ τῶν πράξεων ἑκάστου ἰδεῖν τὸν φαῦλον, καὶ τὸν οὐ τοιοῦτον. πλὴν ἀλλ' ἵνα μὴ πάλιν ἀσαφέστερον τὸν λόγον ποιήσωμεν, ἐπ' αὐτὰ τὰ ῥήματα ἴωμεν τὰ ἀποστολικά.

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα. Ἠδυνάμην μὲν γάρ, φησιν, εἰπεῖν καὶ τοὺς ἀπὸ τῆς Χετούρας, ἀλλ' οὐ λέγω· ἀλλ' ὥστε ἐκ περιουσίας τὴν νίκην ἀράσθαι, τοὺς ἐξ ἑνὸς πατρὸς καὶ μιᾶς τεχθέντας μητρὸς, τούτους εἰς μέσον ἄγω. καὶ γὰρ ἀπὸ τῆς Ῥεβέκκας ἦσαν ἀμφότεροι, καὶ ἀπὸ τοῦ Ἰσαὰκ τοῦ γνησίου παιδὸς, τοῦ δοκίμου, τοῦ πάντων προτιμηθέντος, περὶ οὗ ἔφησεν, ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τοῦ πατρὸς ἡμῶν πάντων γενομένου. εἰ δὲ πατὴρ ἡμῶν ἐκεῖνος, καὶ τοὺς ἐξ ἐκείνου πατέρας ἔδει εἶναι. ἀλλ' οὐκ ἐγένοντο. εἶδες πῶς οὐκ ἐπὶ τοῦ Ἀβραὰμ τοῦτο μόνον συμβαίνει, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ παιδὸς; καὶ πανταχοῦ πίστις, καὶ ἀρετή ἐστιν ἡ διαλάμπουσα, καὶ τὴν ἀκριβῆ συγγένειαν χαρακτηρίζουσα; ἐντεῦθεν γὰρ μανθάνομεν, ὅτι οὐ μόνον διὰ τὸν τρόπον τῆς γεννήσεως, ἀλλὰ καὶ διὰ τὸ ἀξίους εἶναι τῆς ἀρετῆς τοῦ γεγεννηκότος, οἱ παῖδες καλοῦνται παῖδες ἐκείνου. εἰ γὰρ ἀπὸ τοῦ τρόπου τῆς γεννήσεως μόνον, ἔδει καὶ τὸν Ἡσαῦ τῶν αὐτῶν ἀπολαῦσαι τῷ Ἰακώβ. καὶ γὰρ καὶ οὗτος ἀπὸ νενεκρωμένης μήτρας ἦν, καὶ στεῖρα ἦν ἡ μήτηρ αὐτοῦ. ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ ὁ τρόπος, ὅπερ οὐ τὸ τυχὸν καὶ εἰς βίου συμβάλλεται διδασκαλίαν ἡμῖν. καὶ οὐ λέγει, ὅτι ἐπειδὴ ὁ μὲν ἀγαθὸς, ὁ δὲ πονηρὸς, διὰ τοῦτο προετιμήθη, ἵνα μὴ εὐθέως ἀντιπέσῃ αὐτῷ τοῦτο· τί οὖν; ἀγαθοὶ οἱ ἐξ ἐθνῶν μᾶλλον ἢ οἱ ἐκ περιτομῆς; εἰ γὰρ καὶ οὕτως εἶχεν ἡ τοῦ πράγματος ἀλήθεια, ἀλλ' οὔπω αὐτὸ τίθησι. καὶ γὰρ ἐδόκει φορτικώτερον εἶναι. ἀλλ' ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν τὸ πᾶν ἔρριψεν, ᾗ τινι μάχεσθαι οὐδεὶς ἂν ἐτόλμησεν, οὐδὲ εἰ σφόδρα μαινόμενος ἦν. μήπω γὰρ γεννηθέντων, φησί, μηδὲ πραξάντων τι ἀγαθὸν, ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάττονι· καὶ δείκνυσιν, ὅτι ἡ κατὰ σάρκα εὐγένεια οὐδὲν ὠφελεῖ, ἀλλὰ ψυχῆς ἀρετὴν δεῖ ζητεῖν, ἣν καὶ πρὸ τῶν ἔργων ὁ Θεὸς οἶδε. μήπω γὰρ γεννηθέντων, φησί, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάττονι. τοῦτο γὰρ προγνώσεως, τὸ καὶ ἐξ ὠδίνων αὐτοὺς ἐκλέγεσθαι· ἵνα φανῇ, φησι, τοῦ Θεοῦ ἡ ἐκλογὴ ἡ κατὰ πρόθεσιν καὶ πρόγνωσιν γενομένη. ἐκ προοιμίων γὰρ ἡμέρας καὶ τὸν ἀγαθὸν, καὶ τὸν οὐ τοιοῦτον, καὶ εἶδε, καὶ ἐκήρυξε. μὴ τοίνυν μοι λέγε ὅτι νόμον, φησὶν, ἀνέγνως, καὶ προφήτας, καὶ τοσοῦτον ἐδούλευσας χρόνον. ὁ γὰρ εἰδὼς ψυχὴν, καὶ δοκιμάζειν τοῦτο οἶδε, καὶ τίς ἄξιός ἐστι σωθῆναι. παραχώρει τοίνυν τῷ ἀκαταλήπτῳ τῆς ἐκλογῆς. καὶ γὰρ μόνος αὐτὸς οἶδεν ἀκριβῶς στεφανοῦν. πόσοι γοῦν τοῦ Ματθαίου βελτίους εἶναι ἐδόκουν κατὰ τὴν τῶν ἔργων ἐπίδειξιν τὴν φαινομένην; ἀλλ' ὁ τὰ ἀπόρρητα εἰδὼς, καὶ διανοίας ἐπιτηδειότητα δοκιμάσαι δυνάμενος, [καὶ] ἐν τῷ βορβόρῳ τὸν μαργαρίτην κείμενον ἔγνω, καὶ τοὺς ἄλλους παραδραμὼν, καὶ τούτου τὴν εὐμορφίαν θαυμάσας, αὐτὸν ἐξελέξατο, καὶ τῇ τῆς προαιρέσεως εὐγενείᾳ τὴν παρ' ἑαυτοῦ προσθεὶς χάριν, δοκίμον

αὐτὸν

αὐτὸν ἀπέφηνεν. Εἰ γὰρ ἐπὶ τῶν τεχνῶν τούτων τῶν ἐπικήρων, καὶ τῶν ἄλλων [ἁπάντων] πραγμάτων, οἱ δεινοὶ κρίνειν, οὐκ ἀφ' ὧν οἱ ἰδιῶται ψηφίζονται, ἀπὸ τούτων ἐκλέγονται τὰ προκείμενα, ἀλλ' ἀφ' ὧν ἴσασιν αὐτοὶ σαφῶς, καὶ τὸ μὲν παρὰ τοῖς ἰδιώταις δοκιμασθὲν πολλάκις ἠτίμασαν, τὸ δὲ ἀποδοκιμασθὲν ἐνέκριναν· καὶ πωλοδάμναι * πολλάκις ἐπὶ τῶν ἵππων τοῦτο ἐποίησαν, καὶ οἱ τῶν τιμίων λίθων κριταί, καὶ οἱ τῶν ἄλλων δὲ τεχνῶν δημιουργοί· πολλῷ μᾶλλον ὁ φιλάνθρωπος Θεός, ἡ ἄπειρος σοφία, ὁ μόνος πάντα εἰδὼς σαφῶς, οὐκ ἀνέξεται τῆς τῶν ἀνθρώπων ὑπονοίας, ἀλλ' ἀπὸ τῆς οἰκείας σοφίας τῆς ἀκριβοῦς καὶ ἀδιαπτώτου τὴν περὶ πάντων οἴσει ψῆφον. Διά τοι τοῦτο καὶ τελώνην ἐξελέξατο, καὶ λῃστήν, καὶ πόρνην· ἱερέας δέ, καὶ πρεσβυτέρους, καὶ ἄρχοντας ἠτίμησε καὶ ἐξέβαλε. Τοῦτο καὶ ἐπὶ τῶν μαρτύρων συμβαῖνον ἴδοι τις ἄν. Πολλοὶ γοῦν τῶν σφόδρα ἀπερριμμένων, ἐν καιρῷ τῶν ἀγώνων ἐστεφανώθησαν· καὶ τοὐναντίον, μεγάλοι παρὰ πολλοῖς νομισθέντες εἶναί τινες, ὑπεσκελίσθησαν καὶ κατέπεσον. Μὴ τοίνυν εὐθύνας ἀπαίτει τὸν δημιουργόν, μηδὲ λέγε, διὰ τί ὁ μὲν ἐστεφανώθη, ὁ δὲ ἐκολάσθη; οἶδε γὰρ μετ' ἀκριβείας ταῦτα ποιεῖν. Διὸ καὶ ἔλεγε, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. ὅτι γὰρ δικαίως, σὺ μὲν ἀπὸ τοῦ τέλους ἔγνως· αὐτὸς δὲ καὶ πρὸ τοῦ τέλους ᾔδει σαφῶς. Οὐδὲ γὰρ ἔργων ἐπίδειξιν ζητεῖ μόνον ὁ Θεός, ἀλλὰ καὶ προαιρέσεως εὐγένειαν καὶ γνώμην εὐγνώμονα. ὁ γὰρ τοιοῦτος, κἂν ὑπὸ περιστάσεώς τινός ποτε ἁμάρτῃ, ταχέως ἑαυτὸν ἀνακτήσεται· κἂν ἐν κακίᾳ διατρίβων τύχῃ, οὐ περιοφθήσεται, ἀλλὰ ταχέως αὐτὸν ἀναμνήσεται ὁ πάντα εἰδὼς Θεός. ὥσπερ ὁ ταῦτα διεφθαρμένος, κἂν ἀγαθόν τι δόξῃ ποιεῖν, ἀπολεῖται μετὰ πονηρᾶς τοῦτο ἐργαζόμενος γνώμης. Ἐπεὶ καὶ ὁ Δαβίδ, καὶ φονεύσας, καὶ μοιχεύσας, ἐπειδὴ ἀπὸ περιστάσεώς τινος συναρπαγείς, οὐκ ἀπὸ μελέτης τῆς κατὰ τὴν πονηρίαν ταῦτα εἰργάσατο, ταχέως αὐτὰ ἀπενίψατο. Ὁ μέντοι Φαρισαῖος, οὐδὲν τούτων τολμήσας, ἀλλὰ καὶ ἐν ἄλλοις κομῶν ἀγαθοῖς, τῇ πονηρᾷ προαιρέσει πάντα ἀπώλεσε.

14 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο.

Οὐκοῦν οὐδὲ ἐφ' ἡμῶν, καὶ τῶν Ἰουδαίων. Εἶτα ἐπάγει ἕτερον τούτου ἀσαφέστερον. καὶ ποῖον;

15 Τῷ γὰρ Μωϋσῇ λέγει, ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω.

Καὶ πάλιν αὔξει τὴν ἀντίθεσιν διὰ μέσου διακόπτων αὐτήν, καὶ λύων, καὶ ἑτέραν πάλιν ἀπορίαν ποιῶν. ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ἑρμηνεῦσαι αὐτὸ ἀναγκαῖον. Εἶπε, φησίν, ὁ Θεός, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι πρὸ τῆς ὠδῖνος. τί οὖν; μὴ ἄδικος ὁ Θεός; οὐδαμῶς. Οὐκοῦν ἄκουε καὶ τῶν ἑξῆς. Ἐκεῖ μὲν γὰρ κἂν ἡ ἀρετή, κἂν ἡ κακία διέκρινεν· ἐνταῦθα δὲ ἓν τὸ ἁμάρτημα ἦν ἁπάντων Ἰουδαίων, τὸ τῆς μοσχοποιίας, καὶ ὅμως οἱ μὲν ἐκολάσθησαν, οἱ δὲ οὐκ ἐκολάσθησαν. Διὸ ἔλεγεν, ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. Οὐ γάρ σοί ἐστιν εἰδέναι, ὦ Μωϋσῆ, τίνες ἄξιοι φιλανθρωπίας, ἀλλ' ἐμοὶ παραχώρει τοῦτο. Εἰ δὲ Μωϋσέως οὐκ ἦν εἰδέναι, πολλῷ μᾶλλον ἡμῶν. Διὰ γὰρ τοῦτο οὐδὲ ἁπλῶς τέθεικε τὸ εἰρημένον, ἀλλὰ καὶ πρὸς ὃν εἶπεν, ἐμνημόνευσε. Τῷ γὰρ Μωϋσῇ, φησί, λέγει· ἵνα καὶ τῷ ἀξιώματι τοῦ προσώπου τὸν ἀντιλέγοντα ἐντρέψῃ. Εἰπὼν τοίνυν τὴν λύσιν τῶν ἀπορουμένων, διὰ μέσου διακόπτει, πάλιν ἑτέραν ἀντίθεσιν εἰσάγων, καὶ λέγων,

16 Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

17 Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ, ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. Ὥσπερ γὰρ ἐκεῖ φησιν, οἱ μὲν ἐσώθησαν, οἱ δὲ ἐκολάσθησαν· οὕτω καὶ ἐνταῦθα, οὗτος εἰς αὐτὸ τοῦτο ἐτηρεῖτο. Εἶτα πάλιν ἀντίθεσιν ἐπάγει.

18 Ἄρα

18 Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει.

19 Ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;

Ὁρᾷς πῶς ἐσπούδασεν αὐτὸ ποιῆσαι διὰ πάντων ἄπορον; καὶ οὐδὲ τὴν λύσιν εὐθέως ἐπάγει, συμφερόντως [καὶ] τοῦτο ποιῶν, ἀλλ' ἐπιστομίζει πρότερον τὸν ζητοῦντα, λέγων οὕτω,

20 Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Ποιεῖ δὲ τοῦτο, τὴν ἄκαιρον αὐτοῦ περιεργίαν ἀνασπῶν, καὶ τὴν πολλὴν πολυπραγμοσύνην, καὶ χαλινὸν περιτιθεὶς, καὶ παιδεύων εἰδέναι τί μὲν Θεὸς, τί δὲ ἄνθρωπος, καὶ πῶς ἀκατάληπτος αὐτοῦ ἡ πρόνοια, καὶ πῶς ὑπερβαίνουσα τὸν ἡμέτερον λογισμὸν, καὶ πῶς ἅπαντα αὐτῷ πείθεσθαι δεῖ· ἵν' ὅταν τοῦτο κατασκευάσῃ παρὰ τῷ ἀκροατῇ, καὶ καταστείλῃ, καὶ λεάνῃ τὴν γνώμην, τότε μετὰ πολλῆς τῆς εὐκολίας ἐπάγων τὴν λύσιν, εὐπαράδεκτον [αὐτῷ] ποιήσῃ τὸ λεγόμενον. καὶ οὐ λέγει, ὅτι ἀδύνατον τὸ τοιαῦτα λύειν, ἀλλὰ τί; παραιτοῦμαι τὸ τοιαῦτα ζητεῖν. δεῖ γὰρ πείθεσθαι τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις, οὐ περιεργάζεσθαι, κἂν τὸν λόγον αὐτῶν ἀγνοῶμεν. διό φησι, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; εἶδες πῶς ἐξουτέλισε, πῶς καθεῖλε τὸ φύσημα; σὺ τίς εἶ; κοινωνὸς εἶ τῆς ἀρχῆς; ἀλλὰ δικαστὴς ἐκάθισας τῷ Θεῷ; πρὸς γὰρ τὴν ἐκείνου σύγκρισιν οὐδὲ εἶναί τι δύνασαι· οὐ τόδε, ἢ τόδε, ἀλλ' οὐδὲ εἶναί τι. τοῦ γὰρ εἰπεῖν, οὐδὲν εἶ, πολὺ τὸ εἰπεῖν, *τίς εἶ, οὐδαμινώτερον. καὶ ἄλλως πλείονα τὴν ἀγανάκτησιν ἐνδείκνυται τῇ ἐρωτήσει. καὶ οὐκ εἶπε, σὺ τίς εἶ ὁ ἀποκρινόμενος τῷ Θεῷ, ἀλλ', ὁ ἀνταποκρινόμενος, τουτέστιν, ὁ ἀντιλέγων, ὁ ἐναντιούμενος. τὸ γὰρ εἰπεῖν, ὅτι οὕτως ἔδει, καὶ οὐχ οὕτως ἔδει, ἀνταποκρινομένου ἐστίν. εἶδες πῶς ἐφόβησε, πῶς κατέπληξε, πῶς τρέμειν μᾶλλον ἐποίησεν, ἢ ζητεῖν καὶ περιεργάζεσθαι; τοῦτο ἀρίστου διδασκάλου, τὸ μὴ τῇ τῶν μαθητῶν ἐπιθυμίᾳ ἕπεσθαι πανταχοῦ, ἀλλ' αὐτοὺς πρὸς τὸ οἰκεῖον ἄγειν θέλημα, καὶ τὰς ἀκάνθας ἀποσπᾶν, καὶ τότε καταβάλλειν τὰ σπέρματα, καὶ μὴ εὐθέως πρὸς τὰ ἐρωτώμενα ἀποκρίνεσθαι πανταχοῦ.

Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;

21 Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; Ἐνταῦθα οὐ τὸ αὐτεξούσιον ἀναιρῶν τοῦτο λέγει, ἀλλὰ δεικνὺς μέχρι πόσου δεῖ πείθεσθαι τῷ Θεῷ. εἰς γὰρ τὸ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας, οὐδὲν μᾶλλον τοῦ πηλοῦ διακεῖσθαι δεῖ. οὐ δὴ γὰρ μόνον ἀντιλέγειν οὐ χρὴ, οὐδὲ ζητεῖν, ἀλλ' οὐδὲ φθέγγεσθαι ὅλως, οὐδὲ ἐννοεῖν, ἀλλ' ἐοικέναι ἐκείνῳ τῷ ἀψύχῳ, καὶ ταῖς χερσὶν ἑπομένῳ τοῦ κεραμέως, καὶ περιαγομένῳ ὅπουπερ ἂν ἐκεῖνος ἐθέλῃ. εἰς τοῦτο γὰρ μόνον τὸ ὑπόδειγμα ἔλαβεν, οὐκ εἰς τὴν τῆς πολιτείας ἐπίδειξιν, ἀλλ' εἰς τὴν ἐπιτεταμένην ὑπακοὴν καὶ σιγήν. καὶ τοῦτο πανταχοῦ δεῖ παρατηρεῖν, ὅτι τὰ ὑποδείγματα οὐ πάντα καθόλου δεῖ λαμβάνειν, ἀλλὰ τὸ χρήσιμον αὐτῶν ἐκλεξαμένους, καὶ εἰς ὅπερ παρείληπται, τὸ λοιπὸν ἅπαν ἐᾶν. ὥσπερ οὖν ὅταν λέγῃ, Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, τὸ ἄμαχον καὶ φοβερὸν ἐκλαμβανόμενον, οὐ τὸ θηριῶδες, οὐδὲ ἄλλο τι τῶν τῷ λέοντι προσόντων· καὶ πάλιν ὅταν λέγῃ, Ἀπαντήσομαι αὐτοῖς, ὡς ἄρκτος ἀπορουμένη, τὸ τιμωρητικόν· καὶ ὅταν λέγῃ, Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον, τὸ δαπανητικὸν τὸ ἐκ τῆς κολάσεως· οὕτως [οὖν] καὶ ἐνταῦθα τὸν πηλὸν, καὶ τὸν κεραμέα, καὶ τὰ σκεύη ἐκλαμβάνειν ἀνάγκη. καὶ ὅταν [δὲ] ἐπάγῃ, καὶ λέγῃ, ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; μὴ εἰς δημιουργίας λόγον νόμιζε ταῦτα εἰρῆσθαι τῷ Παύλῳ, μὴ εἰς γνώμης ἀνάγκην, ἀλλ' εἰς οἰκονομιῶν ἐξουσίαν καὶ διαφοράν. εἰ γὰρ μὴ οὕτως ἐκλάβοιμεν, πολλὰ τὰ ἄτοπα ἕψεται. καὶ γὰρ εἰ περὶ γνώμης ἐνταῦθα ὁ λόγος, καὶ τῶν ἀγαθῶν καὶ τῶν οὐ τοιούτων ἔσται αὐτὸς δημιουργός. τούτων καὶ ὁ ἄνθρωπος πάσης αἰτίας ἐκτός. Φαίνεται δὲ καὶ ὁ Παῦλος οὕτως αὐτὸς ἑαυτῷ μαχόμενος, ὁ

πανταχοῦ

Ἀριθ. κδ. θ.

Ὠσ. ιγ. η.

Δευτ. δ. κδ.

πάντα γὰρ τὴν προαίρεσιν ἐστεφάνωσεν. οὐδὲν τοίνυν ἕτερον ἐνταῦθα κατασκευάσαι βούλεται, ἢ τὸ πεῖσαι τὸν ἀκροατὴν μετὰ ὑπερβολῆς ἁπάσης εἴκειν τῷ Θεῷ, καὶ μηδενὸς μηδέποτε ἀπαιτεῖν εὐθύνας αὐτόν. καθάπερ γὰρ ὁ κεραμεύς, φησιν, ἐκ τοῦ αὐτοῦ φυράματος ἃ βούλεται ποιεῖ, καὶ οὐδεὶς ὁ ἀντιλέγων· οὕτω καὶ ὅταν ὁ Θεὸς ἐκ τοῦ αὐτοῦ γένους τῶν ἀνθρώπων τοὺς μὲν κολάζοντα, τοὺς δὲ τιμῶντα μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει, ἀλλὰ προσκύνει μόνον, καὶ μιμοῦ τὸν πηλόν· καὶ καθάπερ ἐκεῖνος ἕπεται ταῖς χερσὶ τοῦ κεραμέως, οὕτω καὶ σὺ τῇ γνώμῃ τοῦ ταῦτα οἰκονομοῦντος. οὐδὲν γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἐργάζεται, κἂν αὐτὸς ἀγνοῇς τὸ τῆς σοφίας ἀπόρρητον. σὺ δὲ ἐκείνῳ μὲν συγχωρεῖς ἐκ τοῦ αὐτοῦ φυράματος διάφορα ποιεῖν, καὶ οὐκ ἐγκαλεῖς· τοῦτον δὲ εὐθύνας ἀπαιτεῖς τῶν κολάσεων, καὶ τῶν τιμῶν, καὶ οὐ παραχωρεῖς αὐτῷ εἰδέναι, τίς μὲν ἄξιος, τίς δὲ οὐ τοιοῦτος, ἀλλ' ἐπειδήπερ τὸ αὐτὸ φύραμα τῆς αὐτῆς οὐσίας ἐστὶ, καὶ τὰς αὐτὰς προαιρέσεις ἀξιοῖς εἶναι. καὶ πόσης ταῦτα παραπληξίας; καίτοιγε οὐδὲ ἐπὶ τοῦ κεραμέως ἐκ τοῦ φυράματος τὸ ἄτιμον καὶ τὸ ἔντιμον, ἀλλ' ἀπὸ τῆς χρήσεως τῶν μεταχειριζομένων, ὥσπερ οὖν καὶ ἐνταῦθα ἀπὸ τῆς προαιρέσεως. πλὴν ὅπερ ἔφθην εἰπὼν, εἰς ἓν τοῦτο λαμβάνειν δεῖ μόνον τὸ ὑπόδειγμα, τὸ μὴ δεῖν ἀντιλέγειν τῷ Θεῷ, ἀλλὰ παραχωρεῖν αὐτῷ τῆς ἀκαταλήπτου τῆς σοφίας. καὶ γὰρ τὰ παραδείγματα μείζονα εἶναι δεῖ τῶν προκειμένων, καὶ ὑπὲρ ὧν εἰς μέσον ἄγεται, ὥστε μᾶλλον ἐνεργεῖν τὸν ἀκροατήν. ἐπεὶ εἰ μὴ μεῖζον εἴη, καὶ πλείονα ἔχοι τὴν ὑπερβολὴν, οὐκ ἂν ὡς χρὴ καθικέσθαι δυνηθείη, καὶ ἐντρέψαι τὸν ἀντιλέγοντα. τὴν μὲν οὖν ἄγριαν αὐτῶν φιλονεικίαν οὕτως ἐπεστόμισε μετὰ τῆς προσηκούσης ὑπερβολῆς. ἐπάγει δὲ λοιπὸν καὶ τὴν λύσιν. τίς οὖν ἡ λύσις;

22 Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· 23 Καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν;

24 Οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· σκεῦος ὀργῆς ἦν ὁ Φαραώ· τουτέστιν, ὁ ἄνθρωπος τοῦ Θεοῦ τὴν ὀργὴν ἀνάπτων διὰ τῆς οἰκείας σκληρότητος. πολλῆς γὰρ ἀπολαύσας μακροθυμίας, οὐκ ἐγένετο βελτίων, ἀλλ' ἀδιόρθωτος ἔμεινε. διὸ οὐδὲ σκεῦος ὀργῆς αὐτὸν ἐκάλεσε μόνον, ἀλλὰ καὶ κατηρτισμένον εἰς ἀπώλειαν· τουτέστι, τὸν ἀπηρτισμένον, οἴκοθεν μέντοι καὶ παρ' ἑαυτοῦ. οὔτε γὰρ ὁ Θεὸς ἐνέλιπέ τι τῶν εἰς τὴν διόρθωσιν ἡκόντων τὴν ἐκείνου, οὔτε αὐτὸς ἐνέλιπέ τι τῶν ἀπολλύντων αὐτὸν, καὶ πάσης ἀποστερούντων συγγνώμης. ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς ὁ Θεὸς, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ, βουλόμενος αὐτὸν εἰς μετάνοιαν ἀγαγεῖν. εἰ γὰρ μὴ τοῦτο ἤθελεν, οὐδ' ἂν ἐμακροθύμησεν. ἐπειδὴ δὲ οὐκ ἠθέλησεν εἰς μετάνοιαν τῇ μακροθυμίᾳ χρήσασθαι, ἀλλ' ἀπήρτισεν ἑαυτὸν εἰς ὀργὴν, ἐχρήσατο αὐτῷ εἰς τὴν ἑτέρων διόρθωσιν, διὰ τῆς εἰς ἐκεῖνον κολάσεως ἑτέρους σπουδαιοτέρους ποιῶν, καὶ τὴν δύναμιν αὐτοῦ ταύτῃ δεικνύς. ὅτι γὰρ οὐ βούλεται ὁ Θεὸς οὕτως αὐτοῦ γνωρίζεσθαι τὸ δυνατὸν, ἀλλ' ἑτέρως δι' ὧν εὐεργετεῖ, δι' ὧν εὖ ποιεῖ, καὶ τοῦτο διὰ πάντων ἐδήλωσεν ἄνωθεν. εἰ γὰρ Παῦλος οὐχ οὕτω βούλεται φαίνεσθαι δυνατὸς (Οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, φησὶν, ἀλλ' β. Κορ. ιγ. ζ. ἵνα ὑμεῖς * τὸ καλὸν ποιῆτε) πολλῷ μᾶλλον ὁ Θεός. ἀλλ' ἐπειδὴ ἐμακροθύμησε μὲν ἵνα εἰς μετάνοιαν ἀγάγῃ, οὐ μετενόησε δὲ ἐκεῖνος, ἤνεγκεν αὐτὸν ἐπὶ πολὺν χρόνον, ὁμοῦ μὲν τὴν αὐτοῦ χρηστότητα ἐπιδεικνύμενος, ὁμοῦ δὲ καὶ τὴν δύναμιν, εἰ μὴ βουληθείη τι κερδᾶναι ἐκεῖνος ἀπὸ τῆς πολλῆς ταύτης μακροθυμίας. ὥσπερ οὖν τοῦτον ἀδιόρθωτον μείναντα κολάσας ἔδειξεν αὐτοῦ τὴν δύναμιν· οὕτω τοὺς πολλὰ ἁμαρτήσαντας καὶ μετανοήσαντας ἐλεήσας, ἐδήλωσεν αὐτοῦ τὴν φιλανθρωπίαν. ἀλλ' οὐκ εἶπε τὴν φιλανθρωπίαν, ἀλλὰ τὴν δόξαν, δεικνὺς ὅτι τοῦτο μάλιστα δόξα Θεοῦ, καὶ τοῦτο πρὸ τῶν ἄλλων ἁπάντων ἐσπούδακεν.

ἐσπούδακεν. ὅταν δὲ λέγῃ, ἃ προητοίμασεν εἰς δόξαν, οὐ τοῦ Θεοῦ τὸ πᾶν εἶναί φησιν. ἐπεὶ εἰ τοῦτο ἦν, οὐδὲν ἐκώλυσεν ἅπαντας σώζεσθαι· ἀλλὰ πάλιν αὐτοῦ τὴν πρόγνωσιν δείκνυσι, καὶ τὸ μέσον Ἰουδαίων καὶ ἐθνῶν ἀναιρεῖ. καὶ οὐ μικρὰν [δὲ καὶ] ἐντεῦθεν τῷ λόγῳ κατασκευάζει πάλιν ἀπολογίαν. οὐδὲ γὰρ μόνον ἐπὶ τῶν Ἰουδαίων οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐσώθησαν, ἀλλὰ καὶ ἐπὶ τῶν ἐθνῶν τοῦτο γέγονε. διόπερ οὐδὲ λέγει τὰ ἔθνη πάντα, ἀλλ', ἐξ ἐθνῶν, οὐδὲ, Ἰουδαίους πάντας, ἀλλὰ, τοὺς ἐξ Ἰουδαίων. ὥσπερ οὖν ὁ Φαραὼ σκεῦος ὀργῆς γέγονεν ἀπὸ τῆς οἰκείας παρανομίας· οὕτω καὶ οὗτοι σκεύη ἐλέους ἀπὸ τῆς οἰκείας εὐγνωμοσύνης. εἰ γὰρ καὶ τὸ πλέον ἐστὶ τοῦ Θεοῦ, ἀλλ' ὅμως καὶ αὐτοί τι μικρὸν ″ εἰσενεγκάμενοι. διὸ οὐδὲ εἶπε, σκεύη κατορθωμάτων, οὐδὲ, σκεύη παρρησίας, ἀλλὰ, σκεύη ἐλέους, δεικνὺς ὅτι τὸ πᾶν ἐστι τοῦ Θεοῦ. καὶ γὰρ τὸ, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, εἰ καὶ ἐν τάξει ἀντιθέσεως εἴρηται, ἀλλ' ὅμως καὶ ″ παρὰ τοῦ Παύλου λεγόμενον, οὐδεμίαν ἀπορίαν φέρει. ὅταν γὰρ εἴπῃ, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, οὐ τὴν ἐξουσίαν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ δεῖται τῆς ἄνωθεν χάριτος. ″ δεῖ μὲν γὰρ καὶ θέλειν καὶ τρέχειν· θαρρεῖν δὲ μὴ τοῖς οἰκείοις πόνοις, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. ὅπερ καὶ ἀλλαχοῦ ἔλεγεν, Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. καὶ καλῶς εἶπεν, ἃ προητοίμασεν εἰς δόξαν. ἐπειδὴ γὰρ τοῦτο ὠνείδιζον, ὅτι χάριτι ἐσώθησαν, καὶ καταισχύνειν ″ αὐτοὺς ἐνόμιζον, ἐκ πολλῆς τῆς περιουσίας ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. εἰ γὰρ τῷ Θεῷ τὸ πρᾶγμα δόξαν ἤνεγκε, πολλῷ μᾶλλον ἐκείνοις δι' ὧν ὁ Θεὸς ἐδοξάσθη. σκόπει δὲ αὐτοῦ εὐγνωμοσύνην καὶ σοφίαν ἄφατον. δυνάμενος γὰρ μὴ τὸν Φαραὼ παρενεγκεῖν εἰς τὸν περὶ τῶν κολαζομένων λόγον, ἀλλὰ τοὺς ἐξ Ἰουδαίων τοὺς ἡμαρτηκότας, καὶ σαφέστερον μᾶλλον ποιῆσαι τὸν λόγον, καὶ δεῖξαι, ὅτι ἔνθα οἱ αὐτοὶ πατέρες, ἔνθα τὰ αὐτὰ ἁμαρτήματα, οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἠλεήθησαν, καὶ πεῖσαι μηκέτι διαπορεῖν, εἰ καὶ ἐξ ἐθνῶν τινες ἐσώθησαν, Ἰουδαίων ἀπολλυμένων, ἵνα μὴ ποιήσῃ τὸν λόγον φορτικὸν, τὴν μὲν τῆς κολάσεως ἀπόδειξιν ἀπὸ τοῦ βαρβάρου παράγει, ὥστε μὴ ἀναγκασθῆναι σκεύη ὀργῆς αὐτοὺς καλέσαι· τοὺς δὲ ἐλεουμένους ἀπὸ τοῦ δήμου τῶν Ἰουδαίων παράγει. καίτοιγε ἱκανῶς καὶ ὑπὲρ τοῦ Θεοῦ ἀπολογεῖται, ὅτι καὶ σφόδρα αὐτὸν εἰδὼς ἀπαρτίζοντα ἑαυτὸν σκεῦος ἀπωλείας, ὅμως τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, τὴν ἀνοχὴν, τὴν μακροθυμίαν, καὶ οὐχ ἁπλῶς μακροθυμίαν, ἀλλὰ πολλὴν μακροθυμίαν, ἀλλ' ὅμως οὐκ ἠθέλησεν ἐπὶ τῶν Ἰουδαίων αὐτὸ γυμνάσαι. πόθεν οὖν οἱ μὲν, σκεύη ὀργῆς, οἱ δὲ ἐλέους; ἀπὸ προαιρέσεως οἰκείας. ὁ δὲ Θεὸς σφόδρα ἀγαθὸς ὢν, ἐπ' ἀμφοτέρων τὴν αὐτὴν ἐπιδείκνυται χρηστότητα. καὶ γὰρ οὐχὶ τοὺς σωζομένους ἠλέησε μόνον, ἀλλὰ καὶ τὸν Φαραὼ, τόγε αὐτοῦ μέρος. τῆς γὰρ ″ αὐτῆς μακροθυμίας κἀκεῖνοι καὶ οὗτος ἀπήλαυσαν. εἰ δὲ μὴ * ἐσώθη, παρὰ τὴν αὐτοῦ γνώμην τὸ πᾶν· ὡς τόγε εἰς τὸν Θεὸν ἧκον, οὐδὲν ἔλαττον τῶν διασωθέντων ἔσχεν. ἀποδοὺς τοίνυν τὴν λύσιν τῷ ζητήματι τὴν διὰ τῶν πραγμάτων, ὥστε καὶ ἑτέρωθεν ἀξιόπιστον ποιῆσαι τὸν λόγον, τοὺς προφήτας ″ εἰσάγει τὰ αὐτὰ προαναφωνοῦντας. ″ καὶ γὰρ Ὠσηὲ, φησιν, ἄνωθεν ″ δὲ ταῦτα ἔγραφεν, οὕτω λέγων,

25 Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.

Ὠσηὲ β. κγ. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι παραλογίζῃ ἡμᾶς ταῦτα λέγων, τὸν Ὠσηὲ ἐκάλεσε μάρτυρα, βοῶντα καὶ λέγοντα, Καλέσω τὸν οὐ λαόν μου, λαόν μου. τίς γὰρ ἦν ὁ οὐ λαός; τὰ ἔθνη δηλονότι. καὶ τίς οὐκ ἠγαπημένη; τὰ αὐτὰ πάλιν. ἀλλ' ὅμως ἔφησεν αὐτοὺς, καὶ λαὸν, καὶ ἠγαπημένην, καὶ υἱοὺς Θεοῦ ἔσεσθαι.

26 Ἐκεῖ γὰρ κληθήσονται [, φησιν,] υἱοὶ Θεοῦ ζῶντος. Εἰ δὲ λέγοιεν περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων τοῦτο εἰρῆσθαι, καὶ οὕτως ὁ λόγος ἵσταται. εἰ γὰρ ἐπὶ τῶν ἀγνωμονησάντων μετὰ πολλὰς εὐεργεσίας, καὶ ἀλλοτριωθέντων, καὶ τὸ λαὸς εἶναι ἀπολωλεκότων ″ τοσαύτη

γέγονεν

γέγονεν ἡ μεταβολή, τί ἐκώλυσε καὶ τοὺς οὐ μετὰ τὴν οἰκείωσιν ἀλλοτριωθέντας, ἀλλ' ἐξ ἀρχῆς ἀλλοτρίους ὄντας, κληθῆναι, καὶ ὑπακούσαντας τῆς αὐτῆς ἀξιωθῆναι; παραγαγὼν τοίνυν τὸν Ὡσηὲ, οὐκ ἀρκεῖται τούτῳ μόνον, ἀλλὰ καὶ τὸν Ἡσαΐαν μετ' ἐκεῖνον εἰσάγει συνῳδὰ τούτῳ φθεγγόμενον.

27 Ἡσαΐας γὰρ κράζει, φησὶν, ὑπὲρ τοῦ Ἰσραήλ· Τουτέστι, μετὰ παῤῥησίας ἀναφωνεῖ, καὶ οὐχ ὑποστέλλεται. τί τοίνυν ἡμῖν ἐγκαλεῖται, ὅταν ἐκεῖνοι σάλπιγγος λαμπρότερον ταῦτα περιαναφωνῶσι; τί δὲ κράζει ὁ Ἡσαΐας; Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ ἐγκατάλειμμα σωθήσεται. Ησ. ι. κβ.

Ὁρᾷς ὅτι καὶ ἐκεῖνος οὐχὶ πάντας λέγει σώζεσθαι, ἀλλὰ τοὺς ἀξίους σωθῆναι; οὐ γὰρ αἰδοῦμαι τὸ πλῆθος, φησὶν, οὐδὲ δυσωπεῖ με τὸ γένος οὕτως ἐκκεχυμένον, ἀλλ' ἐκείνους σώζω μόνον τοὺς ἀξίους ἑαυτοὺς παρέχοντας. καὶ οὐχ ἁπλῶς ἄμμου θαλάσσης ἐμνημόνευσεν, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἐπαγγελίας, ἧς ἀναξίους ἑαυτοὺς κατέστησαν. τί τοίνυν θορυβεῖσθε, ὡς τῆς ὑποσχέσεως διαπεσούσης, τῶν προφητῶν ἁπάντων δηλούντων, οὐ πάντας εἶναι τοὺς σωζομένους; εἶτα καὶ τὸν τρόπον τῆς σωτηρίας λέγει. Εἶδες ἀκρίβειαν προφητικὴν, καὶ σύνεσιν ἀποστολικὴν, οἵαν μαρτυρίαν ἐπήγαγε, πῶς σφόδρα ἐπιτηδείαν; οὐ γὰρ μόνον ὅτι τινές εἰσιν οἱ σωζόμενοι καὶ οὐχὶ πάντες, δείκνυσιν ἡμῖν αὕτη, ἀλλὰ καὶ πῶς σωθήσονται προστίθησι. πῶς οὖν σωθήσονται; καὶ πῶς αὐτοὺς ὁ Θεὸς ἀξιώσει τῆς εὐεργεσίας; 28 Λόγον συντελῶν καὶ συντέμνων, φησὶν, ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.

Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ περιόδου χρεία, καὶ πόνων, καὶ ταλαιπωρίας τῆς ἀπὸ τῶν ἔργων τῶν νομίμων, ἀλλὰ μετὰ πολλῆς τῆς συντομίας ἔσται ἡ σωτηρία. τοιοῦτον γὰρ ἡ πίστις· ἐν βραχέσι ῥήμασιν ἔχει τὴν σωτηρίαν. Ἐὰν γὰρ ὁμολογήσῃς, φησὶν, ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Ρω. ι. θ. Εἶδες τί ἐστι, λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς; καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ὁ βραχὺς οὗτος λόγος οὐ σωτηρίαν μόνον, ἀλλὰ καὶ δικαιοσύνην ἐκόμισε.

29 Καὶ καθὼς προείρηκεν Ἡσαΐας, Εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν. Πάλιν ἐνταῦθα ἄλλο τι δείκνυσιν, ὅτι οὐδὲ αὐτοὶ οἱ ὀλίγοι οἴκοθεν διεσώθησαν. καὶ γὰρ καὶ οὗτοι ἀπώλοντο [ἂν] καὶ τὰ Σοδόμων ἔπαθον, τουτέστι, πανωλεθρίαν ὑπέμειναν ἂν (καὶ γὰρ καὶ ἐκεῖνοι πρόῤῥιζοι πάντες ἀπώλοντο, καὶ οὐδὲ τὸ τυχὸν σπέρμα αὐτῶν κατέλιπον) καὶ οὗτοι γοῦν, φησιν, ὡς ἐκεῖνοι ἂν ἐγένοντο, εἰ μὴ πολλῇ ὁ Θεὸς ἐχρήσατο τῇ ἀγαθότητι, καὶ διετήρησε διὰ τῆς πίστεως αὐτούς. τοῦτο δὲ καὶ ἐπὶ τῆς αἰσθητῆς γέγονεν αἰχμαλωσίας. οἱ μὲν γὰρ πλείους ἀπήχθησαν καὶ ἀπώλοντο· ὀλίγοι δὲ διεσώθησαν μόνοι.

30 Τί οὖν ἐροῦμεν, φησι; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· 31 Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν. Ἡ σαφεστάτη λύσις ἐνταῦθα λοιπόν. ἐπειδὴ γὰρ καὶ ἀπὸ τῶν πραγμάτων ἔδειξεν (οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ) καὶ ἀπὸ τῶν προγόνων τοῦ Ἰακὼβ καὶ τοῦ Ἡσαῦ, καὶ ἀπὸ τῶν προφητῶν, καὶ τὴν κυριωτάτην ἐπάγει λύσιν ἐκ τοῦ Ὡσηὲ, καὶ τοῦ Ἡσαΐου, προτρέπει τὴν ἀπορίαν αὐξῆσαι. καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα, ὅτι καὶ τὰ ἔθνη ἐπέτυχε, καὶ μὴ διώκοντα ἐπέτυχε, τουτέστι, μὴ σπουδάσαντα. καὶ πάλιν ἐπὶ τῶν Ἰουδαίων ὁμοίως τὰ δύο ἄπορα· ὅτι καὶ Ἰσραὴλ οὐκ ἐπέτυχε, καὶ σπουδάζων οὐκ ἐπέτυχε. διὸ καὶ ταῖς λέξεσιν ἐμφαντικώτερον κέχρηται. οὐδὲ γὰρ εἶπεν, ὅτι ἔσχε δικαιοσύνην, ἀλλὰ κατέλαβε. τὸ γὰρ καινὸν μάλιστα καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ὁ διώκων οὐ κατέλαβεν, ὁ δὲ μὴ διώκων κατέλαβε. καὶ δοκεῖ μὲν αὐτοῖς

ἐσπούδακεν. ὅταν δὲ λέγῃ, ἃ προητοίμασεν εἰς δόξαν, οὐ τοῦ Θεοῦ τὸ πᾶν εἶναί φησιν. ἐπεὶ εἰ τοῦτο ἦν, οὐδὲν ἐκώλυσεν ἅπαντας σώζεσθαι· ἀλλὰ πάλιν αὐτοῦ τὴν πρόγνωσιν δείκνυσι, καὶ τὸ μέσον Ἰουδαίων καὶ ἐθνῶν ἀναιρεῖ. καὶ οὐ μικρὰν [δὲ καὶ] ἐντεῦθεν τῷ λόγῳ κατασκευάζει πάλιν ἀπολογίαν. οὐδὲ γὰρ μόνοι ἐπὶ τῶν Ἰουδαίων οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐσώθησαν, ἀλλὰ καὶ ἐπὶ τῶν ἐθνῶν τοῦτο γέγονε. διόπερ οὐδὲ λέγει τὰ ἔθνη πάντα, ἀλλ' ἐξ ἐθνῶν, οὐδὲ Ἰουδαίους πάντας, ἀλλ' ἐξ Ἰουδαίων. ὥσπερ οὖν ὁ Φαραὼ σκεῦος ὀργῆς γέγονεν ἀπὸ τῆς οἰκείας παρανομίας· οὕτω καὶ οὗτοι σκεύη ἐλέους ἀπὸ τῆς οἰκείας εὐγνωμοσύνης. εἰ γὰρ καὶ τὸ πλέον ἐστὶ τοῦ Θεοῦ, ἀλλ' ὅμως καὶ αὐτοί τι μικρὸν εἰσενηνέγκαμεν. διὸ οὐδὲ εἶπε, σκεύη κατορθωμάτων, οὐδὲ, σκεύη παρρησίας, ἀλλὰ, σκεύη ἐλέους, δεικνὺς ὅτι τὸ πᾶν ἐστι τοῦ Θεοῦ. καὶ γὰρ τὸ, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, εἰ καὶ ἐν τάξει ἀντιθέσεως εἴρηται, ἀλλ' ὅμως καὶ οὕτω παρὰ τοῦ Παύλου λεγόμενον, οὐδεμίαν ἀπορίαν φέρει. ὅταν γὰρ εἴπῃ, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, οὐ τὴν ἐξουσίαν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ δεῖται τῆς ἄνωθεν χάριτος. δεῖ μὲν γὰρ καὶ θέλειν καὶ τρέχειν· θαρρεῖν δὲ μὴ τοῖς οἰκείοις πόνοις, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. ὅπερ καὶ ἀλλαχοῦ ἔλεγεν, Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. (α. Κορ. ιε. ι.) καὶ καλῶς εἶπεν, ἃ προητοίμασεν εἰς δόξαν. ἐπειδὴ γὰρ τοῦτο ὠνείδιζον, ὅτι χάριτι ἐσώθησαν, καὶ καταισχύνειν αὐτοὺς ἐνόμιζον, ἐκ πολλῆς τῆς περιουσίας ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. εἰ γὰρ τῷ Θεῷ τὸ πρᾶγμα δόξαν ἤνεγκε, πολλῷ μᾶλλον ἐκείνοις δι' ὧν ὁ Θεὸς ἐδοξάσθη. σκόπει δὲ αὐτοῦ εὐγνωμοσύνην καὶ σοφίαν ἄφατον. δυνάμενος γὰρ μὴ τὸν Φαραὼ παρενεγκεῖν εἰς τὸ περὶ τῶν κολαζομένων λέγειν, ἀλλ' ἐξ Ἰουδαίων τοὺς ἡμαρτηκότας, καὶ σαφέστερον μᾶλλον ποιῆσαι τὸν λόγον, καὶ δεῖξαι, ὅτι ἔνθα οἱ αὐτοὶ πατέρες, ἔνθα τὰ αὐτὰ ἁμαρτήματα, οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἠλεήθησαν, καὶ πεῖσαι μηκέτι διαπορεῖν, εἰ καὶ ἐξ ἐθνῶν τινες ἐσώθησαν, Ἰουδαίων ἀπολλυμένων, ἵνα μὴ ποιήσῃ τὸν λόγον φορτικὸν, τὴν μὲν τῆς κολάσεως ἀπόδειξιν ἀπὸ τοῦ βαρβάρου παράγει, ὥστε μὴ ἀναγκασθῆναι σκεύη ὀργῆς αὐτοὺς καλέσαι· τοὺς δὲ ἐλεουμένους ἀπὸ τοῦ δήμου τῶν Ἰουδαίων παράγει. κἀν ποιεῖ ἰσχυρῶς καὶ ὑπὲρ τοῦ Θεοῦ ἀπολογεῖται, ὅτι καὶ σφόδρα αὐτὸν εἰδὼς ἀπαρτίζοντα ἑαυτὸν σκεῦος ἀπωλείας, ὅμως τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, τὴν ἀνοχὴν, τὴν μακροθυμίαν, καὶ οὐχ ἁπλῶς μακροθυμίαν, ἀλλὰ πολλὴν μακροθυμίαν, ἀλλ' ὅμως οὐκ ἠθέλησεν ἐπὶ τῶν Ἰουδαίων αὐτὸ γυμνάσαι. πόθεν οὖν οἱ μὲν, σκεύη ὀργῆς, οἱ δὲ ἐλέους; ἀπὸ προαιρέσεως οἰκείας. ὁ δὲ Θεὸς σφόδρα ἀγαθὸς ὢν, ἐπ' ἀμφοτέρων τὴν αὐτὴν ἐπιδείκνυται χρηστότητα. καὶ γὰρ οὐχὶ τοὺς σωζομένους ἠλέησε μόνον, ἀλλὰ καὶ τὸν Φαραὼ, τό γε αὐτοῦ μέρος. τῆς γὰρ αὐτῆς μακροθυμίας κἀκεῖνοι καὶ οὗτοι ἀπήλαυσαν. εἰ δὲ μὴ * ἐσώθη, παρὰ τὴν αὐτοῦ γνώμην τὸ πᾶν ὡς τό γε εἰς τὸν Θεὸν ἧκον, οὐδὲν ἔλαττον τῶν διασωθέντων ἔχει. ἀποδοὺς τοίνυν τὴν λύσιν τῷ ζητήματι τὴν διὰ τῶν πραγμάτων, ὥστε καὶ ἑτέρωθεν ἀξιόπιστον ποιῆσαι τὸν λόγον, τοὺς προφήτας εἰσάγει τὰ αὐτὰ προαναφωνοῦντας. καὶ γὰρ Ὠσηὲ, φησιν, ἄνωθεν ταῦτα ἔγραφε, οὕτω λέγων,

25 Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.

Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι παραλογίζῃ ἡμᾶς ταῦτα λέγων, τὸν Ὠσηὲ ἐκάλεσε μάρτυρα, (Ὠσηὲ β. κγ.) βοῶντα καὶ λέγοντα, Καλέσω τὸν οὐ λαόν μου, λαόν μου. τίς γάρ ἦν ὁ οὐ λαός; τὰ ἔθνη δῆλον. καὶ τίς οὐκ ἠγαπημένη; τὰ αὐτὰ πάλιν. ἀλλ' ὅμως ἔφησεν αὐτοὺς, καὶ λαὸν, καὶ ἠγαπημένην, καὶ υἱοὺς Θεοῦ ἔσεσθαι.

26 Ἐκεῖ γὰρ κληθήσονται[, φησιν,] υἱοὶ Θεοῦ ζῶντος. Εἰ δὲ λέγοιεν περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων τοῦτ' εἰρῆσθαι, καὶ οὕτως ὁ λόγος ἵσταται. εἰ γὰρ ἐπὶ τῶν ἀγνωμονησάντων μετὰ πολλὰς εὐεργεσίας, καὶ ἀλλοτριωθέντων, καὶ τὸ λαὸς εἶναι ἀπολωλεκότων τοσαύτη

γέγονεν

γένηται ἡ μεταβολὴ, τί ἐκώλυσε καὶ τοὺς οὐ μετὰ τὴν οἰκείωσιν ἀλλοτριωθέντας, ἀλλ' ἐξ ἀρχῆς ἀλλοτρίους ὄντας, κληθῆναι, καὶ ὑπαχθέντας τῆς αὐτῆς ἀξιωθῆναι; παράγει τοίνυν τὸν Ὡσηὲ, οὐκ ἀρκεῖται τούτῳ μόνον, ἀλλὰ καὶ τὸν Ἡσαΐαν μετ' ἐκεῖνον εἰσάγει συνῳδὰ τούτῳ φθεγγόμενον.

27 Ἡσαΐας γὰρ κράζει, φησὶν, ὑπὲρ τοῦ Ἰσραήλ· Τουτέστι, μετὰ παρρησίας ἀναφωνεῖ, καὶ οὐχ ὑποστέλλεται. τί τοίνυν ἡμῖν ἐγκαλεῖται, ὅταν ἐκεῖνοι σάλπιγγος λαμπρότερον ταῦτα προαναφωνῶσι; τί οὖν κράζει ὁ Ἡσαΐας; Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ Ησ. ι. κβ.
ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ ἐγκατάλειμμα σωθήσεται.

Ὁρᾷς ὅτι καὶ ἐκεῖνος οὐχὶ πάντας λέγει σώζεσθαι, ἀλλὰ τοὺς ἀξίους σωθῆναι; οὐ γὰρ αἰδοῦμαι τὸ πλῆθος, φησὶν, οὐδὲ δυσωπεῖ με τὸ γένος οὕτως ἐκκεχυμένον, ἀλλ' ἐκείνους σώζω μόνον τοὺς ἀξίους ἑαυτοὺς παρέχοντας. καὶ οὐχ ἁπλῶς ἄμμου θαλάσσης ἐμνημόνευσεν, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἐπαγγελίας, ἧς ἀναξίους ἑαυτοὺς κατέστησαν. τί τοίνυν θορυβεῖσθε, ὡς τῆς ὑποσχέσεως διαπεσούσης, τῶν προφητῶν ἁπάντων δηλούντων, οὐ πάντας εἶναι τοὺς σωζομένους; εἶτα καὶ τὸν τρόπον τῆς σωτηρίας λέγει. Εἶδες ἀκρίβειαν προφητικὴν, καὶ σύνεσιν ἀποστολικὴν, οἵαν μαρτυρίαν ἐπήγαγε, πῶς σφόδρα ἐπιτηδείαν; οὐ γὰρ μόνον ὅτι τινὲς εἰσὶν οἱ σωζόμενοι καὶ οὐχὶ πάντες, δείκνυσιν ἡμῖν αὕτη, ἀλλὰ καὶ πῶς σωθήσονται προσέθηκε. πῶς οὖν σωθήσονται; καὶ πῶς αὐτοὺς ὁ Θεὸς ἀξιώσει τῆς εὐεργεσίας; 28 Λόγον συντελῶν καὶ συντέμνων, φησὶν, ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.

Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ περιόδου χρεία, καὶ πόνων, καὶ ταλαιπωρίας τῆς ἀπὸ τῶν ἔργων τῶν νομίμων, ἀλλὰ μετὰ πολλῆς τῆς συντομίας ἔσται ἡ σωτηρία. τοιοῦτον γὰρ ἡ πίστις ἐν βραχέσι ῥήμασιν ἔχει τὴν σωτηρίαν. Ἐὰν γὰρ ὁμολογήσῃς, φησὶν, ἐν τῷ στόματί σου Κύριον Ρω. ι. θ.
Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Εἶδες πῶς ἐστι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς; καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ὁ βραχὺς οὗτος λόγος οὐ σωτηρίαν μόνον, ἀλλὰ καὶ δικαιοσύνην ἐκόμισε.

29 Καὶ καθὼς προείρηκεν Ἡσαΐας, Εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Πάλιν ἐνταῦθα ἄλλο τι δείκνυσιν, ὅτι οὐδὲ αὐτοὶ οἱ ὀλίγοι οἴκοθεν διεσώθησαν. καὶ γὰρ καὶ οὗτοι ἀπώλοντο [ἂν] καὶ τὰ Σοδόμων ἔπαθον, τουτέστι, πανωλεθρίαν ὑπέμειναν ἂν (καὶ γὰρ καὶ ἐκεῖνοι πρόρριζοι πάντες ἀπώλοντο, καὶ οὐδὲ τὸ τυχὸν σπέρμα αὐτῶν κατέλιπον) καὶ οὗτοι γοῦν, φησιν, ὡς ἐκεῖνοι ἂν ἐγένοντο, εἰ μὴ πολλῇ ὁ Θεὸς ἐχρήσατο τῇ ἀγαθότητι, καὶ διετήρησε διὰ τῆς πίστεως αὐτούς. τοῦτο δὲ καὶ ἐπὶ τῆς αἰσθητῆς γέγονεν αἰχμαλωσίας. οἱ μὲν γὰρ πλείους ἀπήχθησαν καὶ ἀπώλοντο· ὀλίγοι δὲ διεσώθησαν μόνοι.

30 Τί οὖν ἐροῦμεν, φησιν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· 31 Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν. Ἡ σαφεστάτη λύσις ἐνταῦθα λοιπόν. ἐπειδὴ γὰρ καὶ ἀπὸ τῶν πραγμάτων ἔδειξεν (οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ) καὶ ἀπὸ τῶν προγόνων τοῦ Ἰακὼβ καὶ τοῦ Ἡσαῦ, καὶ ἀπὸ τῶν προφητῶν, καὶ τὴν κυριωτάτην ἐπάγει λύσιν ἐκ τοῦ Ὡσηὲ, καὶ τοῦ Ἡσαΐου, προέτρεπε τὴν ἀπειλὴν αὐξῆσαι. καὶ γὰρ δύο ἐστὶ ταῦτα ζητήματα, ὅτι καὶ τὰ ἔθνη ἐπέτυχε, καὶ μὴ διώκοντα ἐπέτυχε, τουτέστι, μὴ σπουδάσαντα. καὶ πάλιν ἐπὶ τῶν Ἰουδαίων ὁμοίως τὰ δύο ἄπορα· ὅτι καὶ Ἰσραὴλ οὐκ ἐπέτυχε, καὶ σπουδάζων οὐκ ἐπέτυχε. διὸ καὶ ταῖς λέξεσιν ἐμφατικώτερον κέχρηται. οὐδὲ γὰρ εἶπεν, ὅτι ἔσχε δικαιοσύνην, ἀλλὰ κατέλαβε. τὸ γὰρ καινὸν μάλιστα καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ὁ διώκων οὐ κατέλαβεν, ὁ δὲ μὴ διώκων κατέλαβε. καὶ δοκεῖ μὲν αὐτοῖς

-γρίζεσθαι τῷ λέγειν, διώκων· ὕστερον δὲ καιρίαν ἐπάγει τὴν πληγήν. ἐπειδὴ γὰρ ἔχει ἰσχυρὰν λύσιν ἐπαγαγεῖν, οὐδὲν δέδοικε χαλεπωτέραν ποιῶν τὴν ἀντίθεσιν. διὰ τοῦτο οὐδὲ περὶ πίστεως διαλέγεται, καὶ τῆς ἐντεῦθεν δικαιοσύνης, ἀλλὰ δείκνυσι περὶ τῆς πίστεως, καὶ ἐν τοῖς οἰκείοις ἡττηθέντας αὐτοὺς, καὶ καταδεδικασμένους. σὺ μὲν γὰρ, ὦ Ἰουδαῖε, φησὶν, οὐδὲ τὴν ἐκ τοῦ νόμου δικαιοσύνην εὗρες. παρέβης γὰρ αὐτὸν, καὶ ὑπεύθυνος γέγονας τῇ ἀρᾷ. οὗτοι δὲ οἱ μὴ διὰ τοῦ νόμου ἐλθόντες, ἀλλ' ἑτέραν ὁδὸν, μείζονα ταύτης εὗρον δικαιοσύνην, (γρ. κατακριθέντας.) (γρ. ἐπέσειδεν,)

Ρω. δ. ϐ. τὴν ἀπὸ τῆς πίστεως. ὅπερ οὖν καὶ ἀνωτέρω ἔλεγεν, Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν· δεικνὺς ὅτι αὕτη ἡ δικαιοσύνη μείζων ἐκείνης ἐστίν. ἔμπροσθεν μὲν οὖν ἔλεγεν ὅτι δύο ἐστὶ τὰ ἀπορούμενα, νυνὶ δὲ καὶ τρία τὰ ζητήματα γέγονεν· ὅτι τὰ ἔθνη [καὶ] εὗρε δικαιοσύνην, καὶ μὴ διώκοντα εὗρε, καὶ μείζονα εὗρε τῆς ἐκ τοῦ νόμου. τὰ αὐτὰ δὴ ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων διαπορεῖται πάλιν ἐξ ἐναντίας· ὅτι Ἰσραὴλ οὐχ εὗρε, καὶ σπουδάζων οὐχ εὗρε, καὶ τὴν ἥττονα οὐχ εὗρεν. ἐμβαλὼν τοίνυν εἰς ἀπορίαν τὸν ἀκροατὴν, ἐπάγει λοιπὸν σύντομον τὴν λύσιν, καὶ τὴν αἰτίαν φησὶ τῶν εἰρημένων ἁπάντων. τίς οὖν ἐστιν ἡ αἰτία; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου. αὕτη ἡ σαφεστάτη τοῦ χωρίου παντὸς λύσις, ἣν εὐθέως εἰ ἐκ προοιμίων εἶπεν, οὐκ ἂν οὕτως εὐπαράδεκτος ἐγεγόνει· ἐπειδὴ δὲ μετὰ πολλὰς ἀπορίας, καὶ κατασκευὰς, καὶ ἀποδείξεις αὐτὴν τέθεικε, καὶ προδιορθώσεσι μυρίαις ἐχρήσατο, εὐμαθεστέραν τε αὐτὴν λοιπὸν καὶ εὐπαράδεκτον μᾶλλον ἐποίησε. τοῦτο γὰρ αἴτιον τῆς ἀπωλείας αὐτῶν φησιν, (γρ. ἐν προοιμίοις)

32 Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου ἠθέλησαν δικαιωθῆναι. Καὶ οὐκ εἶπεν ἐξ ἔργων, ἀλλ' ὡς ἐξ ἔργων νόμου, δεικνὺς ὅτι οὐδὲ ταύτην εἶχον τὴν δικαιοσύνην.

Προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος,

33 Καθὼς γέγραπται, ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν, οὐ καταισχυνθήσεται. Εἶδες πάλιν πῶς ἀπὸ τῆς πίστεως ἡ παρρησία, καὶ καθολικὴ ἡ δωρεά; οὐ γὰρ περὶ Ἰουδαίων εἴρηται μόνον, ἀλλὰ περὶ παντὸς τοῦ τῶν ἀνθρώπων γένους. πᾶς γὰρ, φησὶ, κἂν Ἰουδαῖος, κἂν Ἕλλην, κἂν Σκύθης, κἂν Θρᾷξ, κἂν ὁστισοῦν ἕτερος ᾖ πιστεύσας, πολλῆς ἀπολαύσεται τῆς παρρησίας. τὸ δὲ θαυμαστὸν τοῦ προφήτου, ὅτι οὐχ ὅτι πιστεύσουσι μόνον εἶπεν, ἀλλ' ὅτι καὶ ἀπιστήσουσι. τὸ γὰρ προσκόψαι, τὸ ἀπιστῆσαί ἐστιν. ὥσπερ οὖν ἀνωτέρω τούς τε ἀπολλυμένους, τούς τε σωζομένους ἐδήλωσεν εἰπὼν, Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάττης, τὸ ἐγκατάλειμμα σωθήσεται· καὶ, Εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν· καὶ, Ἐκάλεσεν οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν· οὕτω δὴ * καὶ ἐνταῦθα λέγει, ὅτι οἱ μὲν πιστεύσουσιν, οἱ δὲ προσκόψουσι· τὸ δὲ προσκόπτειν ἐκ τοῦ μὴ προσέχειν γίνεται, ἐκ τοῦ πρὸς ἕτερα κεχηνέναι. ἐπεὶ οὖν καὶ οὗτοι τῷ νόμῳ προσεῖχον, προσέκοψαν τῷ λίθῳ. προσκόμματος δὲ λίθον, καὶ πέτραν σκανδάλου φησὶν ἀπὸ τῆς γνώμης καὶ τοῦ τέλους τῶν μὴ πιστευσάντων. (γρ. πιστεύουσι) (γρ. ἀπιστοῦσι) (* ἐν)

ΗΘΙΚΟΝ Ἆρα ὑμῖν δῆλα γέγονε τὰ εἰρημένα, ἢ πολλῆς ἔτι δεῖται τῆς σαφηνείας; ἐγὼ μὲν οἶμαι τοῖς προσεσχηκόσιν εὐσύνοπτα εἶναι. εἰ δέ τινας διέλαθεν, ἔξεστι καὶ ἰδίᾳ συντυχόντας ἐρωτῆσαι, καὶ μαθεῖν. διὰ γὰρ τοῦτο καὶ εἰς μακρότερον ἐξέτεινα τοῦ λόγου τὴν ἐξήγησιν, ἵνα μὴ ἀναγκασθῶ, διατεμὼν τὸ συνεχὲς τῆς ἀκολουθίας, λυμήνασθαι τὴν σαφήνειαν τῶν λεγομένων. διὸ δὴ καὶ ἐνταῦθα καταλύσω τὸν λόγον, οὐδὲν περὶ τῶν ἠθικωτέρων ὑμῖν διαλεχθεὶς (ὅπερ ἔθος ἡμῖν ποιεῖν) ὥστε μὴ πάλιν ἐπισκοτίσαι τῇ μνήμῃ τὰ πλήθη τῶν λεγομένων. ὥρα δὴ λοιπὸν καταλῦσαι εἰς τὸ προσῆκον τέλος, κατακλείσαντας τὸν λόγον τῇ δοξολογίᾳ τοῦ τῶν ὅλων Θεοῦ. κοινῇ τοίνυν ἀναπαυσάμενοι ἡμεῖς τε οἱ λέγοντες, ὑμεῖς τε οἱ ἀκούοντες, ἀναπέμψωμεν αὐτῷ δόξαν· ὅτι αὐτοῦ ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν. (γρ. τὸ μῆκος τῶν λόγων)

Λογ. ιζ. 1 ΑΔΕΛΦΟΙ, Η ΜΕΝ ΕΥΔΟΚΙΑ ΤΗΣ ΕΜΗΣ καρδίας, καὶ ἡ δέησις μου ἡ πρὸς Θεὸν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν.

Μέλλει πάλιν αὐτῶν καθάπτεσθαι σφοδρότερον, ἢ πρότερον· διὸ πάλιν ἀναιρεῖ πάσης ἀπεχθείας ὑπόνοιαν, καὶ πολλῇ κέχρηται τῇ προδιορθώσει. μὴ γὰρ προσέχητε τοῖς λόγοις, φησὶ, μηδὲ ταῖς κατηγορίαις, ἀλλ᾽ ὅτι οὐκ ἀπὸ διανοίας ἐχθρᾶς ταῦτα φθέγγομαι. οὐ γὰρ ἔστι τὸν αὐτὸν σωθῆναί τε αὐτοὺς ἐπιθυμεῖν, καὶ μὴ μόνον ἐπιθυμεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ πάλιν μισεῖν καὶ ἀποστρέφεσθαι. καὶ γὰρ εὐδοκίαν ἐνταῦθα τὴν σφοδρὰν ἐπιθυμίαν φησί. καὶ ὅρα καὶ τὴν δέησιν πῶς ποιεῖται ἀπὸ διανοίας. οὐ γὰρ ὥστε ἀπαλλαγῆναι κολάσεως μόνον, ἀλλ᾽ ὥστε καὶ σωθῆναι αὐτοὺς, πολλὴν καὶ τὴν σπουδὴν ποιεῖται, καὶ τὴν εὐχήν. καὶ οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς δείκνυσι τὴν εὔνοιαν ἣν ἔχει πρὸς αὐτούς. ἀπὸ γὰρ τῶν ἐγχωρούντων, ὡς οἷόστε ἦν, βιάζεται καὶ φιλονεικεῖ, ζητῶν σκιὰν γοῦν ἀπολογίας αὐτοῖς εὑρεῖν· καὶ οὐκ ἰσχύει, ὑπὸ τῆς τῶν πραγμάτων νικώμενος φύσεως.

2 Μαρτυρῶ γὰρ αὐτοῖς, φησιν, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν.

Οὐκοῦν συγγνώμης ταῦτα, οὐ κατηγορίας ἄξια. εἰ μὴ γὰρ δι᾽ ἀνθρώπινα εἰσὶν ἀπεσχισμένοι, ἀλλὰ διὰ ζῆλον, ἐλεεῖσθαι μᾶλλον αὐτοὺς, ἢ κολάζεσθαι δίκαιον. ἀλλ᾽ ὅρα πῶς σοφῶς καὶ ἐνηρείσατο τῷ ῥήματι, καὶ ἔδειξεν αὐτῶν τὴν ἄκαιρον φιλονεικίαν.

3 Αγνοοῦντες γὰρ, φησι, τὴν τοῦ Θεοῦ δικαιοσύνην. Πάλιν τὸ ῥῆμα συγγνώμης· ἀλλὰ τὸ ἑξῆς κατηγορίας ἐπιτεταμένης, καὶ πᾶσαν ἀναιρούσης ἀπολογίαν.

Καὶ τὴν ἰδίαν γὰρ, φησι, δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι ἀπὸ φιλονεικίας καὶ φιλαρχίας μᾶλλον, ἢ ἐξ ἀγνοίας ἐπλημμέλησαν, καὶ ὅτι οὐδὲ αὐτὴν ταύτην τὴν δικαιοσύνην τὴν ἀπὸ τοῦ νόμου ἔστησαν. τὸ γὰρ εἰπεῖν, ζητοῦντες στῆσαι, τοῦτό ἐστιν ἐμφαίνοντος. καὶ σαφῶς μὲν αὐτὸ οὐ τέθεικεν (οὐδὲ γὰρ εἶπεν, ὅτι ἑκατέρας τῆς δικαιοσύνης ἐξέπεσον) ᾐνίξατο δὲ αὐτὸ συνετῶς σφόδρα, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας. [οἱ ζητοῦντες] εἰ γὰρ ἐκείνην ἔτι ζητοῦσι στῆσαι, εὔδηλον ὅτι οὐκ ἔστησαν· εἰ ταύτῃ οὐχ ὑπετάγησαν, καὶ ταύτης ἐξέπεσον. ἰδίαν δὲ δικαιοσύνην αὐτὴν καλεῖ, ἢ διὰ τὸ μηκέτι τὸν νόμον ἰσχύειν, ἢ διὰ τὸ πόνων εἶναι καὶ ἱδρώτων. ταύτην δὲ τοῦ Θεοῦ δικαιοσύνην τὴν ἐκ πίστεως, διὰ τὸ ὁλόκληρον αὐτὴν ἐκ τῆς ἄνωθεν εἶναι χάριτος, καὶ οὐχὶ πόνοις, ἀλλὰ Θεοῦ δικαιοῦσθαι δωρεᾷ. ἀλλ᾽ οἱ ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες, φιλονεικοῦντες διὰ τοῦ νόμου δικαιωθῆναι, οὐ προσῆλθον τῇ πίστει· μὴ προσελθόντες δὲ τῇ πίστει, μηδὲ λαβόντες τὴν ἐξ αὐτῆς δικαιοσύνην, καὶ ἀπὸ τοῦ νόμου μὴ δυνηθέντες δικαιωθῆναι, πάντοθεν ἐξέπεσον.

4 Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. Ορα Παύλου σύνεσιν. ἐπεὶ γὰρ εἶπε δικαιοσύνην καὶ δικαιοσύνην, ἵνα μὴ δόξωσιν οἱ πιστεύσαντες ἐξ Ιουδαίων, τὴν μὲν ἔχειν, τῆς δὲ ἀπεστερῆσθαι, καὶ παρανομίας κρίνεσθαι (καὶ γὰρ καὶ τούτους οὐχ ἧττον δεδοικέναι ἐχρῆν ἔτι νεήλυδας ὄντας) μηδὲ Ιουδαῖοι πάλιν προσδοκήσωσιν αὐτὸν κατορθοῦν, [νομίσωσιν] καὶ εἴπωσιν, ὅτι εἰ καὶ μὴ νῦν ἐπληρώσαμεν, ἀλλὰ πάντως πληρώσομεν, ὅρα τί κατασκευάζει. δείκνυσιν ὅτι μία ἐστὶν ἡ δικαιοσύνη, καὶ ἐκείνη εἰς ταύτην ἀνακεφαλαιοῦται, καὶ ὅτι ὁ μὲν ταύτην ἑλόμενος τὴν διὰ πίστεως, κἀκείνην ἐπλήρωσεν· ὁ δὲ ταύτην ἀτιμάσας, κἀκείνης μετὰ ταύτης ἐξέπεσεν. εἰ γὰρ τοῦ νόμου τέλος ὁ Χριστὸς· ὁ τὸν Χριστὸν οὐκ ἔχων, κἂν ἐκείνην δοκῇ ἔχειν, οὐκ ἔχει· ὁ δὲ τὸν Χριστὸν ἔχων, κἂν μὴ ᾖ κατωρθωκὼς τὸν νόμον,

τὸ πᾶν εἴληφε. καὶ γὰρ τέλος ἰατρικῆς, ὑγεία. ὥσπερ οὖν ὁ δυνάμενος ὑγιῆ ποιῆσαι, κἂν μὴ τὴν ἰατρικὴν ἔχῃ, τὸ πᾶν ἔχει· ὁ δὲ μὴ εἰδὼς θεραπεύειν, κἂν μετιέναι δοκῇ τὴν τέχνην, τοῦ παντὸς ἐξέπεσεν· οὕτω καὶ ἐπὶ τοῦ νόμου καὶ τῆς πίστεως· ὁ μὲν ταύτην ἔχων, καὶ τὸ ἐκείνου τέλος ἔχει· ὁ δὲ ταύτης ἔξω ὤν, ἀμφοτέρων ἐστὶν ἀλλότριος. τί γὰρ ἐβούλετο ὁ νόμος; δικαίους ποιῆσαι τὸν ἄνθρωπον. ἀλλ᾽ οὐκ ἴσχυσεν· οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. τοῦτο οὖν τέλος ἦν τοῦ νόμου, καὶ εἰς τοῦτο πάντα ἔβλεπε, καὶ διὰ τοῦτο πάντα ἐγένετο, καὶ αἱ ἑορταὶ, καὶ αἱ ἐντολαὶ, καὶ αἱ θυσίαι, καὶ τὰ λοιπὰ πάντα, ἵνα δικαιωθῇ ὁ ἄνθρωπος. ἀλλὰ τοῦτο τὸ τέλος ἐπλήρωσεν ὁ Χριστὸς μειζόνως διὰ τῆς πίστεως. μὴ τοίνυν φοβηθῇς, φησὶν, ὡς τὸν νόμον παραβαίνων, ἐπειδὴ τῇ πίστει προσῆλθες. τότε γὰρ αὐτὸν παραβαίνεις, ὅταν δι᾽ αὐτὸν τῷ Χριστῷ μὴ πιστεύσῃς. ὡς ἂν πιστεύσῃς αὐτῷ, κἀκεῖνον ἐπλήρωσας, καὶ πολλῷ πλέον ἢ ἐκέλευσε. πολλῷ γὰρ μείζονα δικαιοσύνην ἔλαβες. εἶτα ἐπειδὴ ταῦτα ἀπόφασις ἦν, ἀπὸ τῶν γραφῶν πάλιν αὐτὰ πιστοῦται.

γ. ἰατρεῖον

5 Μωϋσῆς γράφει, φησὶ, τὴν ἐκ τοῦ νόμου δικαιοσύνην. Ὃ δὲ λέγει τοῦτό ἐστι, Μωϋσῆς δείκνυσιν ἡμῖν τὴν ἐκ τοῦ νόμου δικαιοσύνην, ὁποία τίς ἐστι καὶ ποταπή. ποία τοίνυν, καὶ πόθεν συνίσταται; ἀπὸ τοῦ πληρωθῆναι τὰς ἐντολάς. Ὁ ποιήσας αὐτὰ, φησὶ, ζήσεται ἐν αὐτοῖς. Καὶ ἄλλως οὐκ ἔνι δίκαιον γενέσθαι ἐν νόμῳ, ἀλλ᾽ ἢ πάντα πληρώσαντα. τοῦτο δὲ οὐδενὶ γέγονε δυνατόν. οὐκοῦν διαπέπτωκεν ἡ δικαιοσύνη αὕτη. ἀλλ᾽ εἰπὲ καὶ τὴν ἑτέραν ἡμῖν, ὦ Παῦλε, δικαιοσύνην τὴν ἐκ τῆς χάριτος. τίς οὖν ἐστιν αὕτη, καὶ πόθεν συνίσταται; ἄκουσον αὐτοῦ σαφῶς αὐτὴν ὑπογράφοντος. ἐπειδὴ γὰρ ἐκείνην ἤλεγξε, μεταβαίνει λοιπὸν ἐπὶ ταύτην, καί φησιν,

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν.

7 Ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.

8 Ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι, τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν.

9 Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Ἵνα γὰρ μὴ λέγωσιν Ἰουδαῖοι, πῶς οὖν εὗρον μείζονα δικαιοσύνην οἱ τὴν ἐλάττω μὴ εὑρόντες, λέγει λογισμὸν ἀναντίρρητον, ὅτι κουφοτέρα αὕτη ἡ ὁδὸς ἐκείνης. αὕτη μὲν γὰρ πλήρωσιν ἀπαιτεῖ πάντων (ὅταν γὰρ ποιήσῃς πάντα, τότε ζήσεις) ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὐ τοῦτο λέγει, ἀλλὰ τί; ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Εἶτα ἵνα μὴ δόξῃ πάλιν αὐτὴν εὐκαταφρόνητον ποιεῖν τῷ εὔκολον καὶ εὐτελῆ δεικνύναι, ὅρα πῶς πλατύνει τὸν λόγον τὸν περὶ αὐτῆς. οὐ γὰρ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ὅπερ εἰρήκαμεν, ἀλλὰ τί φησιν; ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν. ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ὥσπερ γὰρ τῇ ἀρετῇ τῇ διὰ τῶν ἔργων ἀνθίσταται ῥαθυμία, καὶ ἔκλυσις, τοὺς πόνους ἐκλύουσα, καὶ δεῖ σφόδρα ἀγρυπνούσης ψυχῆς, ὥστε μὴ εἴκειν· οὕτω καὶ ὅταν πιστεῦσαι δέοι, εἰσὶ λογισμοὶ θορυβοῦντες καὶ λυμαινόμενοι τὴν τῶν πολλῶν διάνοιαν, καὶ δεῖ νεανικωτέρας ψυχῆς, ὥστε αὐτοὺς διακρούσασθαι. διὰ δὴ τοῦτο, καὶ αὐτοὺς τούτους εἰς μέσον ἄγει· καὶ ὅπερ ἐπὶ τοῦ Ἀβραὰμ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. καὶ γὰρ ἐκεῖ δείξας αὐτὸν ἀπὸ πίστεως δικαιωθέντα, ἵνα μὴ δόξῃ μάτην καὶ εἰκῇ τοσοῦτον εἰληφέναι στέφανον, ὡς οὐδενὸς τοῦ πράγματος ὄντος, ἐπαίρων τὴν τῆς πίστεως φύσιν, φησίν· Ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν· καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε μὲν τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, καὶ τὴν νέκρωσιν τῆς

γ. τῷ εὔκολον καὶ εὐτελῆ αὐτ. ποι...

Ῥωμ. δ. 18.

μήτρας

μήτρας Σάῤῥας, εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. καὶ ἔδειξεν ὅτι καὶ δυνάμεως χρεία, καὶ ψυχῆς ὑψηλῆς τὰ ὑπὲρ ἐλπίδα δεχομένης, καὶ μὴ προσταλαιπωρούσης τοῖς ὁρωμένοις. τοῦτο τοίνυν καὶ ἐνταῦθα ποιεῖ, καὶ δείκνυσιν ὅτι φιλοσόφου διανοίας χρεία, καὶ γνώμης ὑψηλῆς τινος καὶ μεγάλης. καὶ οὐκ εἶπε, μὴ εἴπῃς ἁπλῶς, ἀλλὰ, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· τουτέστι, μηδὲ ἐννοήσῃς ἀμφιβάλλειν καὶ εἰπεῖν κατὰ σεαυτὸν, καὶ πῶς τοῦτο δυνατόν; ὁρᾷς ὅτι τοῦτο μάλιστα πίστεως ἴδιον, τὸ τὴν κάτω πᾶσαν ἀκολουθίαν ἀφέντας τὸ ὑπὲρ φύσιν ἐπιζητεῖν, καὶ λογισμῶν ἀσθένειαν ἐκβάλλοντας, ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως [καὶ] ἅπαντα παραδέχεσθαι; καίτοιγε οὐ ταῦτα ἔλεγεν Ἰουδαῖοι μόνον, ἀλλ' ὅτι οὐ δυνατὸν ἐκ πίστεως δικαιωθῆναι. ἀλλ' αὐτὸς ἐφ' ἕτερον αὐτὸ ἄγει τὸ γεγενημένον, ἵν' ὅταν δείξῃ μέγα οὕτως ὄν, ὡς καὶ μετὰ τὸ γεγενῆσθαι πίστεως αὐτὸ δεῖσθαι, δικαίως δόξῃ τούτοις τὸν στέφανον πλέκειν. καὶ κέχρηται ῥήμασι τοῖς ἐν τῇ παλαιᾷ κειμένοις, σπουδάζων ἀεὶ τὰ τῆς κενοποιΐας καὶ * τῆς πρὸς ἐκείνην μάχης ἐγκλήματα διαφεύγειν. τοῦτο γὰρ ὃ περὶ πίστεως ἐνταῦθά φησι, περὶ τῆς ἐντολῆς αὐτοῖς λέγει Μωϋσῆς, δεικνὺς ὅτι πολλῆς ἀπήλαυσαν περὶ τοῦ Θεοῦ τῆς εὐεργεσίας. οὐ γάρ ἐστιν εἰπεῖν, φησὶν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβῆναι δεῖ, καὶ πέλαγος διαβῆναι μέγα, καὶ τότε λαβεῖν τὰς ἐντολὰς, ἀλλὰ τὰ οὕτω μεγάλα καὶ ὑπερφυῆ, εὔκολα ἡμῖν ἐποίησεν * ὁ Θεός. τί δέ ἐστιν, ἐγγύς σου τὸ ῥῆμά ἐστι; τουτέστιν, εὔκολόν ἐστιν. ἐν γὰρ τῇ διανοίᾳ σου καὶ τῇ γλώσσῃ ἡ σωτηρία. οὐ μακρὰν ὁδὸν βαδίσαντας, οὐδὲ πέλαγος πλεύσαντας, οὐδὲ ὄρη ὑπερελθόντας, οὕτω δεῖ σωθῆναι· ἀλλ' εἰ μηδὲ αὐτὸν βουληθῇς ὑπερβῆναι τὸν οὐδὸν, ἔξεστί σοι καὶ οἴκοι καθημένῳ σωθῆναι. ἐν γὰρ τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ ἐστὶ τῆς σωτηρίας ἡ ἀφορμή. εἶτα καὶ ἑτέρωθεν εὔκολον ποιῶν τὸν τῆς πίστεως λόγον, φησὶν ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν. ἐννόησον γὰρ τὸ ἀξίωμα τοῦ ποιήσαντος, καὶ οὐκέτι ὄψει δυσκολίαν οὐδεμίαν ἐν τῷ πράγματι. οὐκοῦν ὅτι μὲν οὖν Κύριος, ἐκ τῆς ἀναστάσεως δῆλον· ὃ καὶ ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγε, Τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐξ ἀναστάσεως νεκρῶν. ὅτι δὲ καὶ ἡ ἀνάστασις εὔκολος, ἐκ τῆς τοῦ ποιήσαντος ἰσχύος ἀποδέδεικται καὶ τοῖς σφόδρα διαπιστοῦσιν. ὅταν οὖν καὶ μείζων ἡ δικαιοσύνη, καὶ κούφη, καὶ εὐπαράδεκτος, καὶ ἄλλως δικαιωθῆναι μὴ ᾖ, οὐκ ἐσχάτης φιλονεικίας τὸ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, τὰ εὔκολα ἀφέντας καὶ ῥᾴδια; οὐ γὰρ ἔχοιεν ἂν εἰπεῖν, ὅτι ὡς φορτικὸν τὸ πρᾶγμα παρῃτήσαντο. εἶδες πῶς πάσης αὐτοὺς ἀποστερεῖ συγγνώμης; ποίας γὰρ ἂν εἶεν ἀπολογίας ἄξιοι, τὸ μὲν φορτικώτερον ἑλόμενοι καὶ ἄπρακτον, παραδραμόντες δὲ τὸ κοῦφον, καὶ δυνάμενον αὐτοὺς σῶσαι, κἀκεῖνα παρέχειν ἅπερ ὁ νόμος οὐκ ἴσχυσε; ταῦτα γὰρ οὐδὲν ἕτερον, ἀλλ' ἢ φιλονεικούσης γνώμης ἐστὶ μόνον, καὶ πρὸς τὸν Θεὸν στασιαζούσης. ὁ μὲν γὰρ νόμος ἐπαχθὴς, ἡ δὲ χάρις ῥᾳδία. ὁ νόμος, κἂν μυρία φιλονεικήσωσιν, οὐ σώζει· ἡ χάρις καὶ τὴν ἐξ ἑαυτῆς καὶ τὴν ἐκ τοῦ νόμου παρέχει δικαιοσύνην. τίς οὖν αὐτοῖς ἐξαιρήσεται λόγος πρὸς μὲν ταύτην φιλονείκως διακειμένοις, ἐκείνου δὲ ἀντεχομένοις εἰκῇ καὶ μάτην; εἶτα, ἐπειδὴ μέγα εἴρηκε, πάλιν ἀπὸ τῆς γραφῆς αὐτὸ πιστοῦται.

11 Λέγει γὰρ ἡ γραφή, φησι, πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος. ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

13 Πᾶς γὰρ, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. Εἶδες πῶς καὶ τῆς πίστεως, καὶ τῆς ὁμολογίας παράγει μαρτυρίας; τὸ μὲν γὰρ εἰπεῖν, ὅτι πᾶς ὁ πιστεύων, τὴν πίστιν ἐδήλωσε· τὸ δὲ εἰπεῖν, ὃς ἂν ἐπικαλέσηται, τὴν ὁμολογίαν ἐνέφηνεν. εἶτα πάλιν τὸ κοινὸν τῆς χάριτος ἀνακηρύττων, καὶ τὸ ἐκείνων φύσημα καταστέλλων, ἃ διὰ πολλῶν ἔμπροσθεν ἀπέδειξε, ταῦτα ἐν βραχέσιν ἀναμιμνήσκει, πάλιν δεικνὺς ὅτι οὐδὲν τὸ μέσον τοῦ

Margin notes: [illegible]. -τὰ ὑπ. — τὰ — [illegible]. περὶ — αὐτὰ — [illegible]. δέδεικται — [illegible]. φορτικὸν — [illegible]. μάρτυρας — Ρω. α. δ.

Ἰουδαίου καὶ τοῦ ἀκροβύστου. Οὐ γάρ ἐστι διαστολή, φησιν, Ἰουδαίου τε καὶ Ἕλληνος. καὶ ὅπερ περὶ τοῦ
πατρὸς εἴρηκεν ἐν τῇ περὶ τούτου ἀποδείξει, τοῦτο καὶ ἐνταῦθα περὶ τοῦ Χριστοῦ λέγει. γρ. τοῦτον γρ. υἱοῦ
Ῥωμ. γ. κθ. ὥσπερ γὰρ ἔμπροσθεν αὐτὸ κατασκευάζων ἔλεγεν, Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ καὶ ἐθνῶν;
ναὶ καὶ ἐθνῶν, ἐπείπερ εἷς ὁ Θεός· οὕτω καὶ ἐνταῦθά φησιν, ὁ γὰρ αὐτὸς Κύριος πάντων,
πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. ὁρᾷς πῶς δείκνυσιν αὐ- γρ. πάντα
τὸν σφόδρα ἐφιέμενον ἡμῶν τῆς σωτηρίας, εἴγε καὶ πλοῦτον οἰκεῖον ἡγεῖται ταύτην; ὥστε μη-
δένα νῦν αὐτῶν ἀπογνῶναι, μηδὲ νομίσαι, εἴγε βουληθεῖεν μετανοῆσαι, ἀσυγγνώστους εἶναι.
ὁ γὰρ πλοῦτον οἰκεῖον ἡγούμενος τὸ σώζειν ἡμᾶς, οὐ παύσεται πλουτῶν· ἐπεὶ καὶ τοῦτο πλού- γρ. πλούτου
τος τὸ εἰς πάντας ἐκχεῖσθαι τὴν δωρεάν. ἐπειδήπερ καὶ τοῦτο μάλιστα αὐτοὺς ἐθορύβει, τὸ γρ. ἐξ[illegible]-
προεδρίας ἀπολαύοντας ὑπὲρ τὴν οἰκουμένην ἅπασαν, νῦν ἐκ τῆς πίστεως ἀπὸ τῶν ἐθ- [illegible],
νῶν καταβιβάζεσθαι ἐκείνων, καὶ μηδὲν πλέον τῶν λοιπῶν ἔχειν· συνεχῶς δὲ τοὺς προφή- ἴσ. δὲ
τας εἰσάγει ταύτην ἐπᾴδοντας αὐτοῖς τὴν ἰσοτιμίαν. πᾶς γὰρ ὁ πιστεύων, φησίν, ἐπ'
αὐτῷ, οὐ καταισχυνθήσεται. καὶ, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. καὶ γρ. οὐκ αἰσχυνθήσεται.
πανταχοῦ τὸ πᾶς τίθησιν, ἵνα μὴ ἀντιλέγωσιν.

ΗΘΙΚΟΝ

Ἀλλ' οὐδὲν κενοδοξίας χεῖρον. αὕτη γάρ, αὕτη μάλιστα πάντων αὐτοὺς ἀπώλεσε. διὸ
Ἰωάν. ε. μδ. καὶ ὁ Χριστὸς αὐτοῖς ἔλεγε· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; αὕτη μετὰ τῆς ἀπωλείας πολὺν καὶ τὸν γέλωτα ἐπάγει· καὶ πρὸ τῆς κολάσεως τῆς ἐκεῖ, μυρίοις ἐνταῦθα περιβάλλει δεινοῖς. καὶ εἰ δοκεῖ, ἵνα τοῦτο μάθῃς, τοὺς οὐρανοὺς ἀφέντες τέως, ὧν ἡμᾶς ἐξάγει, καὶ τὴν γέενναν, εἰς ἣν ἐμβάλλει, τὸ πρᾶγμα ἐντεῦθεν ἐξετάσωμεν ἁπλῶς. τί τοίνυν ταύτης δαπανηρότερον; τί δὲ αἰσχρότερον γένοιτ' ἄν, καὶ δυσκολώτερον; ὅτι μὲν γὰρ δαπανηρὸν τὸ νόσημα τοῦτο, δῆλον ἐκ τῶν ἀναλισκόντων εἰκῇ καὶ μάτην ἐν θεάτροις, καὶ ἱπποδρομίαις, καὶ ἄλλαις τοιαύταις ἀκαίροις φιλοτιμίαις· ἐκ τῶν τὰς οἰκίας οἰκοδομούντων τὰς λαμπρὰς καὶ πολυτελεῖς, καὶ τὰ ἄλλα πάντα τὰ εἰς περιουσίαν κατασκευαζόντων ἀνόητοι, ἅπερ οὐκ ἔστιν ἐπελθεῖν τῷ λόγῳ νῦν. ὅτι δὲ δαπανηρὸν ὄντα καὶ πολυτελῆ τὸν οὕτω νοσοῦντα, καὶ ἅρπαγα καὶ πλεονέκτην εἶναι ἀνάγκη, παντί που δῆλον. ἵνα γὰρ ἔχῃ τῷ θηρίῳ παρέχειν τὴν τροφήν, εἰς τὴν τῶν ἄλλων οὐσίαν τὰς ἑαυτοῦ ῥίπτει χεῖρας. καὶ τί λέγω τὰς οὐσίας; οὐδὲ γὰρ χρήματα μόνον, ἀλλὰ καὶ ψυχὰς κατεσθίει τοῦτο τὸ πῦρ, καὶ οὐ τὸν παρόντα μόνον, ἀλλὰ καὶ τὸν μέλλοντα ἐργάζεται θάνατον. μήτηρ γὰρ γεέννης, κενοδοξία, καὶ τὸ πῦρ ἀνάπτει σφοδρῶς ἐκεῖνο, καὶ τὸν σκώληκα τὸν ἰοβόλον. ἴδοι δ' ἄν τις αὐτὴν καὶ ἐν νεκροῖς κρατοῦσαν· οὗ τί χεῖρον γένοιτ' ἄν;
τὰ μὲν γὰρ ἄλλα πάντα πάθη καταλύεται τῷ θανάτῳ· αὕτη δὲ καὶ μετὰ τελευτὴν βιάζε- γρ. παθήματα
ται, καὶ φιλονεικεῖ τὴν αὐτῆς ἐπιδείκνυσθαι φύσιν ἐν τῷ τεθνηκότι σώματι. ὅταν γὰρ σή- γρ. σώματα
ματα λαμπρὰ καὶ πᾶσαν αὐτῶν ἀναλίσκοντα τὴν οὐσίαν ἐπισκήπτωσι τελευτῶντες αὐ-
τοῖς ἀνιστᾶν, καὶ ἐν ταφῇ ἀσωτίαν πολλὴν σπουδάζωσι προαποτίθεσθαι, καὶ ζῶντες μὲν γρ. ἐντυπίῳ
ὑπὲρ ὀβολοῦ καὶ ἄρτου ἑνὸς ὑβρίζωσι τοὺς προσιόντας πένητας, τελευτῶντες δὲ δαψιλῆ τῷ σκώληκι παρέχωσι τράπεζαν, ποίαν ἑτέραν ζητεῖς ὑπερβολὴν τῆς τοῦ νοσήματος τυραννίδος; ἀπὸ τούτου καὶ ἔρωτες ἄτοποι τίκτονται τοῦ δεινοῦ. πολλοὺς γὰρ οὐχ ἡ τῆς ὄψεως ὥρα, οὐδὲ ἡ τῆς μίξεως ἐπιθυμία, ἀλλὰ τὸ βούλεσθαι καυχᾶσθαι, ὅτι τὴν δεῖνα ὑπεσκέλισα, καὶ εἰς μοιχείαν ἐνέβαλον. καὶ τί δεῖ τὰ ἄλλα λέγειν ὅσα ἐντεῦθεν βλαστάνει κακά; μυρίων γὰρ ἂν ἑλοίμην γενέσθαι βαρβάρων δοῦλος, ἢ κενοδοξίας ἅπαξ. οὐδὲ γὰρ ἐπιτάττουσιν ἐκεῖνοι τοιαῦτα τοῖς αἰχμαλώτοις, οἷα αὕτη κελεύει τοῖς ὑπηκόοις. πάντων γὰρ ἔσο δοῦλος, φησί, κἂν λαμπρότεροί σου, κἂν εὐτελέστεροι τύχωσιν ὄντες· καταφρόνει ψυχῆς, ἀμέλησον ἀρετῆς, καταγέλασον ἐλευθερίας, κατάθυσόν σου τὴν σωτηρίαν. κἂν ἀγαθόν τι ποιήσῃς, μὴ πρὸς ἀρέσκειαν τοῦ Θεοῦ, ἀλλὰ πρὸς ἐπίδειξιν τῶν πολλῶν, ἵνα ἀπολέσῃς τοὺς ἐπὶ τούτοις στεφάνους. κἂν ἐλεῇς,

καὶ νηστεύῃς, τὸν μὲν πόνον ὑποστῆναι, τὸ δὲ κέρδος ἀπολέσαι σπουδάζουσι. τί τούτων τῶν ἐπιταγμάτων ὠμότερον γένοιτ' ἄν; ἐντεῦθεν καὶ βασκανία τὴν ἀρχὴν ἔχει, ἐντεῦθεν καὶ ἀπόνοια, ἐντεῦθεν καὶ ἡ μήτηρ τῶν κακῶν ἡ φιλαργυρία. ὁ γὰρ ἑσμὸς τῶν οἰκετῶν, καὶ οἱ χρυσοφοροῦντες βάρβαροι, καὶ οἱ παράσιτοι, καὶ οἱ κόλακες, καὶ τὰ ἀργυρένδετα ὀχήματα, καὶ τὰ ἄλλα τὰ τούτων καταγελαστότερα, οὐχ ἡδονῆς ἕνεκεν οὐδὲ χρείας τινὸς γίνεται, ἀλλ' ἢ κενοδοξίας μόνης. ναί φησιν· ἀλλ' ὅτι μὲν κακὸν τοῦτο τὸ πάθος, πάντη που δῆλόν ἐστι· πῶς δ' ἂν αὐτὸ διαφύγοιμεν, τοῦτο εἰπεῖν χρή. μάλιστα μὲν, ἂν πείσῃς σαυτὸν καλῶς, ὅτι χαλεπὸν τοῦτο τὸ νόσημα, ἀρχὴν λήψῃ διορθώσεως ἀρίστην. ἐπεὶ καὶ ὁ νοσῶν ταχέως ἐπιζητήσει τὸν ἰατρὸν, ἂν τοῦτο μάθῃ παρὰ τῶν ἄλλων, ὅτι νοσεῖ. εἰ δὲ καὶ ἑτέραν ἐπιζητεῖς ὁδὸν τῆς ἐντεῦθεν φυγῆς, ὅρα πρὸς τὸν Θεὸν διηνεκῶς, καὶ ἀρκοῦ τῇ παρ' αὐτοῦ δόξῃ. κἂν ἴδῃς τὸ πάθος γαργαλίζον σε, καὶ διεγεῖρον εἰπεῖν τοῖς συνδούλοις τὰ κατορθώματά σοι, λογισάμενος πάλιν ὅτι μετὰ τὸ εἰπεῖν οὐδὲν γίνεται κέρδος, σβέσον τὴν ἄτοπον ἐπιθυμίαν, καὶ πρὸς τὴν ψυχὴν σου εἰπέ· ἰδοὺ τοσοῦτον ὤδινες χρόνον εἰπεῖν σου τὰ κατορθώματα, καὶ οὐκ ἐκαρτέρησας σιγῇ κατασχεῖν, ἀλλ' εἰς πάντας ἐξήνεγκας. τί οὖν σοι πλέον γέγονεν ἐντεῦθεν; πλέον μὲν οὐδὲν, ζημία δὲ ἐσχάτη, καὶ τὸ κενῶσαι ἅπαντα μετὰ πολλοῦ συλλεγέντα πόνου. μετὰ δὲ τούτων κἀκεῖνο ἐννόησον, ὅτι διεφθαρμένη τῶν πολλῶν ἡ ψῆφος καὶ ἡ κρίσις ἐστὶ, καὶ οὐ διεφθαρμένη μόνον, ἀλλ' ὅτι καὶ ταχέως μεθαίρεται. καὶ γὰρ πρὸς ὥραν θαυμάσωσι, τοῦ καιροῦ παρελθόντος, πάντων εἰσὶν ἐπιλελησμένοι, καὶ τὸν παρὰ τοῦ Θεοῦ σοι διδόμενον στέφανον ἥρπασαν, καὶ τὸν παρ' ἑαυτῶν οὐκ ἴσχυσάν σοι διατηρῆσαι. καίτοι καὶ εἰ οὗτος ἔμενε, πολλῆς ἀθλιότητος ἦν ἐκείνου τοῦτον ἀλλάξασθαι· ὅταν δὲ καὶ οὗτος διαρρέῃ, ποίαν ἕξομεν ἀπολογίαν, ὑπὲρ τοῦ μὴ μένοντος τὸν μένοντα προδιδόντες, ὑπὲρ τῆς τῶν ὀλίγων εὐφημίας τοσαῦτα ἀπολλύντες ἀγαθά; καίτοι εἰ καὶ πολλοὶ οἱ ἐπαινοῦντες εἶεν, καὶ οὕτω τοῦ ταλανίζεσθαι ἄξιοι, καὶ τότε μᾶλλον, ὅταν πλείους οἱ τοῦτο ποιοῦντες ὦσιν. εἰ δὲ θαυμάζεις τὸ εἰρημένον, ἄκουσον τοῦ Χριστοῦ ταῦτα ψηφιζομένου· Οὐαὶ γὰρ ὑμῖν, φησιν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. Λουκ. ϛ. κϛ. καὶ μάλα εἰκότως. εἰ γὰρ ἑκάστης τέχνης τοὺς δημιουργοὺς δεῖ ζητεῖν κριτὰς, πῶς τῆς ἀρετῆς τὴν δοκιμασίαν τοῖς πολλοῖς ἐπιτρέπεις, ἀλλ' οὐχὶ παρὰ πάντων ἐκείνῳ τῷ μάλιστα πάντων εἰδότι, καὶ συγκροτῆσαι καὶ στεφανῶσαι δυναμένῳ; τοῦτο τοίνυν τὸ ῥῆμα ἐγγράψωμεν καὶ τοίχοις καὶ θύραις καὶ διανοίᾳ, καὶ συνεχῶς λέγωμεν πρὸς ἑαυτούς, οὐαὶ ἡμῖν ὅταν καλῶς εἴπωσιν ἡμᾶς πάντες οἱ ἄνθρωποι. καὶ γὰρ καὶ αὐτοὶ οἱ λέγοντες, ὕστερον διαβάλλουσιν ὡς κενοδόξους, καὶ φιλοτίμους, καὶ ἐρῶντας τῆς παρ' αὐτῶν εὐφημίας. ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλ' ὅταν ἴδῃ σε ἐρῶντα τῆς παρ' αὐτοῦ δόξης, τότε σε μάλιστα ἐπαινέσεται, καὶ θαυμάσεται, καὶ ἀνακηρύξει. ὁ δὲ ἄνθρωπος οὐχ οὕτως, ἀλλὰ λαβών σε δοῦλον ἀντ' ἐλευθέρου, καὶ διὰ ψιλοῦ ῥήματος πολλάκις σοι χαρισάμενος ἔπαινον ψιλὸν, ἥρπασεν ἀπὸ σοῦ μισθὸν ἀληθῆ, καὶ ἀργυρωνήτου μᾶλλον ὑπέταξεν. ἐκεῖνοι μὲν γὰρ μετὰ τὰ ἐπιτάγματα ἔχουσιν ὑπακούοντας οἱ δεσπόται, σὺ δὲ καὶ χωρὶς ἐπιταγμάτων δουλεύεις. οὐδὲ γὰρ ἀναμένεις ἀκοῦσαί τι παρ' αὐτῶν, ἀλλ' ἂν γνῷς μόνον δι' ὧν αὐτοὺς χαριῇ, οὐδὲ ἐπιταττόντων αὐτῶν πάντα ποιεῖς. πόσης οὖν οὐκ ἂν εἴημεν ἄξιοι γεέννης, τοὺς μὲν πονηροὺς τέρποντες, καὶ πρὶν ἐπιτάξωσι θεραπεύοντες, τοῦ δὲ Θεοῦ καθ' ἑκάστην ἡμέραν ἐγκελευομένου καὶ παραινοῦντος, μηδὲ οὕτως ἀκούοντες; καίτοιγε εἰ δόξης καὶ ἐπαίνων ἐρᾷς, φεῦγε τὸν παρ' ἀνθρώπων ἔπαινον, καὶ τότε ἐπιτεύξῃ δόξης· ἀποστράφηθι τὰς εὐφημίας, καὶ τότε μυρίων ἀπολαύσεις τῶν ἐπαίνων καὶ παρὰ Θεῷ, καὶ παρ' ἀνθρώποις. οὐδένα γὰρ οὕτω δοξάζειν εἰώθαμεν, ὡς τὸν ὑπερορῶντα δόξης, οὐδὲ ἐπαινεῖν καὶ θαυμάζειν, ὡς τὸν καταφρονοῦντα τοῦ θαυμάζεσθαι καὶ ἐπαινεῖσθαι. εἰ δὲ ἡμεῖς, πολλῷ μᾶλλον ὁ τῶν ὅλων Θεός. ὅταν δὲ ἐκεῖνός σε δοξάζῃ καὶ ἐπαινῇ, τίς σου μακαριώτερος γένοιτ' ἄν; καὶ γὰρ

ὅσον δόξης καὶ ἀτιμίας τὸ μέσον, τοσοῦτον τῆς ἄνωθεν δόξης πρὸς τὴν ἀνθρωπίνην τὸ διάφορον· μᾶλλον δὲ πολλῷ πλέον καὶ ἄπειρον. εἰ γὰρ καὶ μηδενὶ παραβαλλομένη αὕτη αἰσχρά τίς ἐστι καὶ δυσειδής, ὅταν καὶ πρὸς ἑτέραν αὐτὴν ἀντεξετάζωμεν, ἐννόησον ὅσον φαίνεται τὸ αἶσχος. καθάπερ γὰρ ἑταιριζομένη γυνὴ καὶ ἐπὶ τοῦ τέγους ἑστῶσα πᾶσιν ἑαυτὴν ἐκδίδωσιν, οὕτω καὶ οἱ κενοδοξίας δοῦλοι· μᾶλλον δὲ καὶ ἐκείνης αἰσχίους οὗτοι. ἐκείνης μὲν γὰρ πολλαχοῦ κατεφρόνησάν τινες ἐρασθέντων αὐτῆς· σὺ δὲ ἅπασι σαυτὸν προὔθηκας, καὶ δραπέταις, καὶ λῃσταῖς, καὶ βαλαντιοτόμοις (ἀπὸ γὰρ τούτων καὶ τῶν τοιούτων τὰ ἐπαινοῦντα ὑμᾶς συνέστηκε θέατρα) καὶ οὓς καθ' ἑαυτοὺς ὄντας οὐδενὸς ἀξίους εἶναι νομίζεις, τούτους συλλεγῆναι τῆς σαυτοῦ προτιμᾷς σωτηρίας, καὶ πάντων ἐκείνων ἀτιμότερον σαυτὸν ἀποφαίνεις. πῶς γὰρ οὐκ ἀτιμότερος ὁ τῆς παρὰ τῶν ἐκείνων δεόμενος εὐφημίας, καὶ μὴ νομίζων ἀρκεῖν σεαυτῷ, εἰ μὴ τὴν παρὰ τῶν ἑτέρων δόξαν λάβοις; οὐκ ἐννοεῖς, εἰπέ μοι, μετὰ τῶν εἰρημένων, ὅτι περίβλεπτος μὲν ὢν καὶ πᾶσι κατάδηλος, ἂν ἁμαρτῇς, μυρίους ἔχεις κατηγόρους· ἄγνωστος δέ, κἂν ἐν ἀσφαλείᾳ μένεις; ναί φησιν· ἀλλὰ καὶ κατορθῶν μυρίους ἔχω τοὺς θαυμάζοντας. τοῦτο γάρ ἐστι τὸ δεινόν, ὅτι οὐ μόνον ἁμαρτάνοντά σε, ἀλλὰ καὶ κατορθοῦντα βλάπτει τῆς κενοδοξίας ἡ νόσος, τότε μὲν μυρίους ὑποσκελίζουσα, νῦν δὲ πάντα σου κενοῦσα τὸν μισθόν. δεινὸν μὲν οὖν, καὶ πάσης ἀτιμίας ἀνάμεστον, τὸ καὶ ἐν πολιτικοῖς πράγμασι δόξης ἐρᾶν. ὅταν δὲ καὶ ἐν τοῖς πνευματικοῖς τὸ αὐτὸ τοῦτο πάσχῃς, τίς λείπεταί σοι συγγνώμη λοιπόν, μηδὲ τοσαύτην βουλομένῳ παρασχεῖν τῷ Θεῷ τιμήν, ὅσην αὐτὸς παρὰ τῶν οἰκετῶν ἔχεις; καὶ γὰρ ὁ δοῦλος πρὸς τοὺς ὀφθαλμοὺς ὁρᾷ τοῦ δεσπότου, καὶ ὁ μισθωτὸς πρὸς τὸν τοῦ ἔργου κύριον τὸν μέλλοντα ἀποδιδόναι μισθούς, καὶ ὁ μαθητὴς πρὸς τὸν διδάσκαλον. σὺ δὲ τοὐναντίον ἅπαν· τὸν μισθωσάμενόν σε Θεὸν ἀφείς, καὶ τὸν δεσπότην, πρὸς τοὺς ὁμοδούλους βλέπεις, καὶ ταῦτα εἰδώς, ὅτι ὁ μὲν Θεὸς μέμνηται, καὶ εἰς τὰ μετὰ ταῦτα, τῶν σῶν κατορθωμάτων· ἄνθρωπος δὲ εἰς τὸ παρόν· καὶ ἐν οὐρανῷ τὸ θέατρον ἔχων καθήμενον, τοὺς ἐπὶ γῆς θεατὰς συνάγεις. καὶ ὁ μὲν ἀθλητὴς ἔνθα ἀγωνίζεται, ἐκεῖ βούλεται εὐδοκιμεῖν· σὺ δὲ ἀγωνιζόμενος ἄνω, κάτω στεφανοῦσθαι σπουδάζεις. καὶ τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς ἀνοίας; ἴδωμεν δέ, εἰ δοκεῖ, καὶ τοὺς στεφάνους· ὁ μὲν γὰρ ἐξ ἀπονοίας σύγκειται, ὁ δὲ ἐκ τῆς πρὸς ἑτέρους βασκανίας, ὁ δὲ ἐξ εἰρωνείας καὶ κολακείας, ὁ δὲ ἀπὸ χρημάτων, ὁ δὲ ἀπὸ δουλοπρεποῦς διακονίας. καὶ καθάπερ τὰ παιδία τὰ παίζοντα χόρτου στέφανον ἐπιτιθέασιν ἀλλήλοις, καὶ τοῦ στεφανωθέντος οὐκ εἰδότος καταγελῶσιν ὄπισθεν πολλάκις· οὕτω δὴ καὶ νῦν οἱ ἐγκωμιάζοντές σε, καθ' ἑαυτοὺς πολλάκις ἐχλεύασαν, τὸν χόρτον ἡμῖν ἐπιτιθέντες. καὶ εἴθε χόρτον μόνον· νυνὶ δὲ καὶ πολλῆς γέμει βλάβης ὁ στέφανος, καὶ πάντα ἡμῶν ἀπόλλυσι τὰ κατορθώματα. ἐννοήσας τοίνυν αὐτοῦ τὸ εὐτελές, φεῦγε τὴν ζημίαν. πόσους γὰρ εἶναι βούλει σου τοὺς ἐπαινέτας; ἑκατόν, ἢ δὶς τοσούτους, καὶ τρίς, καὶ τετράκις; μᾶλλον δέ, εἰ βούλει, τίθει δεκάκις τοσούτους, καὶ εἰκοσάκις, καὶ ἔστωσαν δισχίλιοι καὶ τετρακισχίλιοι, εἰ δὲ βούλει, καὶ μυρίοι οἱ κροτοῦντες· ἀλλ' οὐδὲν οὗτοι κολοιῶν ἄνωθεν κραζόντων διαφέρουσι. μᾶλλον δέ, ἂν ἐννοήσῃς τὸ τῶν ἀγγέλων θέατρον, καὶ σκωλήκων οὗτοι φανοῦνται εὐτελέστεροι, καὶ ἀράχνης ἀσθενεστέρα αὐτῶν ἡ εὐφημία, καὶ καπνοῦ, καὶ ὀνειράτων. ἄκουσον γοῦν πῶς ὁ Παῦλος ὁ ταῦτα διεσκεμμένος ἀ-
Γαλ. ς. ιδ. κριβῶς, οὐ μόνον αὐτὰ οὐκ ἐπιζητεῖ, ἀλλὰ καὶ ἀπεύχεται λέγων· Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. ταύτην τοίνυν καὶ σὺ ζήλωσον τὴν καύχησιν, ἵνα μὴ παροξύνῃς τὸν δεσπότην. καὶ γὰρ εἰς τὸν Θεὸν ὑβρίζεις τοῦτο ποιῶν, οὐχὶ σεαυτὸν μόνον. οὐδὲ γὰρ εἰ ζωγράφος ὢν μαθητήν τινα εἶχες, εἶτα ἐκεῖνος ἀφεὶς ἐπιδείξασθαί σοι τὰ τῆς τέχνης, τὸν πίνακα ἔξω προθεὶς τοῖς παρατρέχουσιν ἁπλῶς, πράως ἂν ἤνεγκας. εἰ δὲ ἐπὶ τῶν ὁμοδούλων τοῦτο ὕβρις, πολλῷ μᾶλλον ἐπὶ τοῦ δεσπότου. εἰ δὲ καὶ ἑτέ-

ρωθεν βούλει μαθεῖν τοῦ πράγματος καταφρονεῖν, ὑψηλὸς γενοῦ τῇ διανοίᾳ, καταγέλασον τῶν ὁρωμένων, αὔξησον τῆς ἀληθοῦς δόξης τὸν ἔρωτα, ἐμπλήσθητι φρονήματος πνευματικοῦ, εἰπὲ πρὸς τὴν ψυχὴν ὡς Παῦλος εἶπεν, Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; [α. Κορ. ϛ. γ.] καὶ ἀναστήσας αὐτὴν ἐντεῦθεν, ἐπιτίμησον λοιπὸν, καὶ εἰπὲ, ἡ ἀγγέλους κρίνουσα, ὑπὸ καθαρμάτων κρίνεσθαι βούλει, καὶ μετὰ τῶν ὀρχηστῶν ἐπαινεῖσθαι, καὶ μίμων, καὶ θηριομάχων, καὶ ἡνιόχων; ταύτας γὰρ οὗτοι τὰς εὐφημίας διώκουσιν. ἀλλὰ σὺ ὑψηλότερον τῆς τούτων κραυγῆς τὸ πτερὸν κατασκεύασον, καὶ ζήλωσον τὸν τῆς ἐρημίας πολίτην Ἰωάννην, καὶ μάθε πῶς ὑπερεώρα πλήθους ἐκεῖνος, καὶ κολακεύοντας ὁρῶν οὐκ ἐπεστρέφετο, ἀλλ' ὁρῶν ἅπαντας τοὺς τὴν Παλαιστίνην οἰκοῦντας περὶ αὐτὸν ἐκκεχυμένους, καὶ θαυμάζοντας, καὶ ἐκπληττομένους, οὐκ ἐχαυνοῦτο τῇ τοσαύτῃ τιμῇ, ἀλλὰ καὶ κατεξανίστατο αὐτῶν, καὶ ὡς ἐν μειρακίοις, δήμῳ τοσούτῳ διαλεγόμενος, οὕτως ἐπέπληττε λέγων, Ὄφεις, γεννήματα ἐχιδνῶν. [Ματθ. γ. ζ.] καίτοιγε δι' αὐτὸν συνέδραμον, καὶ τὰς πόλεις ἀφῆκαν, ὥστε τὴν ἱερὰν κεφαλὴν ἐκείνην ἰδεῖν, ἀλλ' ὅμως οὐδὲν αὐτὸν τοῦτο ἐξέλυσε. πόρρω γὰρ ἦν δόξης, καὶ τύφου παντὸς ἐλεύθερος. οὕτω καὶ ὁ Στέφανος ὁρῶν τὸν αὐτὸν δῆμον πάλιν οὐχὶ τιμῶντα, ἀλλὰ μαινόμενον καὶ τρίζοντα τοὺς ὀδόντας, ὑψηλότερος αὐτῶν γενόμενος τῆς ὀργῆς, ἔλεγε, Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι ταῖς καρδίαις. [Πραξ. ζ. να.] οὕτω καὶ ὁ Ἠλίας, τῶν στρατοπέδων παρόντων ἐκείνων, καὶ τοῦ βασιλέως, καὶ τοῦ δήμου παντὸς, ἔλεγεν, Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; [γ. Βασ. ιη.] ἀλλ' ἡμεῖς ἅπαντας κολακεύομεν, θεραπεύομεν, τῇ δουλοπρεπεῖ διακονίᾳ ταύτῃ τὴν ἐκείνων τιμὴν ὠνούμενοι. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, καὶ τῆς χάριτος ταύτης προδέδοται τὰ τοῦ χριστιανισμοῦ πράγματα, καὶ πάντα ἠμέληται διὰ τὴν τῶν πολλῶν δόξαν. ἐξορίσωμεν τοίνυν τὸ πάθος, καὶ τότε εἰσόμεθα καλῶς τὴν ἐλευθερίαν, καὶ τὸν λιμένα, καὶ τὴν γαλήνην. ὁ μὲν γὰρ κενόδοξος τοῖς χειμαζομένοις ἔοικεν ἀεὶ, τρέμων καὶ δεδοικὼς καὶ μυρίους θεραπεύων δεσπότας· ὁ δὲ ταύτης τῆς τυραννίδος ἔξω ὢν, τοῖς ἐν λιμέσι καθημένοις καὶ ἐλευθερίας ἀπολαύουσι καθαρᾶς. ἀλλ' οὐκ ἐκεῖνος, ἀλλ' ὅσοις ἐστὶ γνώριμος, τοσούτους ἔχει δεσπότας, πᾶσι δουλεύειν ἀναγκαζόμενος. πῶς οὖν ἀπαλλαγησόμεθα τῆς χαλεπῆς ταύτης δουλείας; ἂν ἑτέρας ἐρασθῶμεν δόξης, τῆς ὄντως δόξης. καθάπερ γὰρ τοὺς τῶν σωμάτων ἐρῶντας λαμπροτέρα ἑτέρα φανεῖσα ὄψις τῆς προτέρας ἀπέστησεν· οὕτω δὴ καὶ τοὺς δόξης ἐπιθυμοῦντας τῆς παρ' ἡμῖν, ἡ ἐκ τῶν οὐρανῶν λάμψασα δόξα ἀπαγαγεῖν ταύτης δυνήσεται. ἴδωμεν τοίνυν ἐκείνην, καὶ καταμάθωμεν αὐτὴν ἀκριβῶς, ἵνα τὸ κάλλος αὐτῆς θαυμάσαντες, φύγωμεν ταύτης τὴν αἰσχρότητα, καὶ πολλῆς ἀπολαύσωμεν ἡδονῆς, ἐντρυφῶντες ἐκείνῃ διηνεκῶς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιη: 14. ΠΩΣ ΟΥΝ ΕΠΙΚΑΛΕΣΟΝΤΑΙ ΕΙΣ ΟΝ ΟΥΚ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; 15 Πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι, καθὼς γέγραπται;

ΠΑλιν ἀναιρεῖ τὴν συγγνώμην αὐτῶν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι μαρτυρῶ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· καὶ, ὅτι ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, οὐχ ὑπετάγησαν, δείκνυσι λοιπὸν ὅτι καὶ αὐτῆς τῆς ἀγνοίας δίκην ὀφείλουσι τῷ Θεῷ. καὶ οὐ λέγει μὲν οὕτω, κατασκευάζει δὲ τοῦτο κατ' ἐρώτησιν προάγων τὸν λόγον, καὶ σαφέστερον ποιῶν τὸν ἔλεγχον τῷ κατ' ἀντίθεσιν καὶ λύσιν

λύσιν ἄπορον ὑφαίνῃ τοῦτο τὸ χωρίον. σκόπει δέ· ἄνωθεν, φησιν, εἶπεν ὁ προφήτης, ὅτι πᾶς ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. ἀλλ' ἴσως ἔχοι τις ἂν εἰπεῖν, καὶ πῶς ἐδύναντο ἐπικαλέσασθαι τοῦτον, ᾧ οὐκ ἐπίστευσαν; εἶτα ἐρώτησις μετὰ ταύτην τὴν ἀντίθεσιν, καὶ διὰ τί οὐκ ἐπίστευσαν; καὶ πάλιν ἀντίθεσις· πάντως ἔχει τις εἰπεῖν, καὶ πῶς εἶχον πιστεῦσαι μὴ ἀκούσαντες; καὶ μὴν ἤκουσαν, φησιν. εἶτα ἑτέρα πάλιν ἀντίθεσις· καὶ πῶς ἠδύναντο ἀκοῦσαι χωρὶς κηρύσσοντος; εἶτα πάλιν λύσις· καὶ μὴν ἐκήρυξαν, καὶ ἀπεστάλησαν εἰς αὐτὸ τοῦτο πολλοί. καὶ πόθεν δῆλον ὅτι οὗτοί εἰσιν ἐκεῖνοι οἱ ἀποσταλέντες; τότε λοιπὸν εἰσάγει τὸν προφήτην λέγοντα, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ὁρᾷς πῶς ἀπὸ τοῦ τρόπου τοῦ κηρύγματος δείκνυσι τοὺς κήρυκας; οὐδὲν γὰρ ἄλλο περιῄεσαν οὗτοι πανταχόθεν λέγοντες, ἀλλ' ἢ τὰ ἀγαθὰ ἐκεῖνα τὰ ἀπόρρητα, καὶ τὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους γεγενημένην εἰρήνην. ὥστε ἀπιστοῦντες, οὐχ ἡμῖν ἀπιστεῖτε, φησιν, ἀλλὰ τῷ Ἡσαΐᾳ τῷ πρὸ πολλῶν ἐτῶν εἰπόντι, ὅτι καὶ ἀποσταλησόμεθα, καὶ κηρύξομεν, καὶ ἐροῦμεν ὅπερ εἰρήκαμεν. εἰ τοίνυν τὸ μὲν σωθῆναι ἐκ τοῦ ἐπικαλέσασθαι ἦν, τὸ δὲ ἐπικαλέσασθαι ἐκ τοῦ πιστεῦσαι, τὸ δὲ πιστεῦσαι ἐκ τοῦ ἀκοῦσαι, τὸ δὲ ἀκοῦσαι ἐκ τοῦ κηρύξαι, τὸ δὲ κηρύξαι ἐκ τοῦ ἀποσταλῆναι, ἀπεστάλησαν δὲ, καὶ ἐκήρυξαν, καὶ μετ' αὐτῶν ὁ προφήτης περιῄει δεικνὺς αὐτοὺς, καὶ ἀνακηρύττων, καὶ λέγων ὅτι οὗτοί εἰσιν, οὓς πρὸ πολλῶν ἄνωθεν ἐδήλου χρόνων, ὧν καὶ τοὺς πόδας ἐνεκωμίαζε διὰ τὸν τοῦ κηρύγματος τρόπον· εὔδηλον ὅτι τὸ μὴ πιστεῦσαι, ἐκείνων ἔγκλημα γέγονε μόνον. καὶ γὰρ τὰ παρὰ Θεοῦ πάντα ἀπήρτισται.

16 Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;

17 Ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Ἐπειδὴ πάλιν ἑτέραν ἐπήγαγον ἀντίθεσιν λέγοντες, ὅτι καὶ μὴν εἰ ἦσαν οὗτοι οἱ ἀπεσταλμένοι καὶ παρὰ τοῦ Θεοῦ πεμφθέντες, ἔδει πάντας ὑπακοῦσαι· σκόπει τοῦ Παύλου τὴν σύνεσιν, πῶς αὐτὸ τοῦτο, ὃ τὸν θόρυβον ἐποίει, τοῦ θορύβου καὶ τῆς ταραχῆς δείκνυσιν ὂν ἀναιρετικόν. τί γάρ σε σκανδαλίζει, φησίν, ὦ Ἰουδαῖε, μετὰ τοσαύτην καὶ τηλικαύτην μαρτυρίαν καὶ πραγμάτων ἀπόδειξιν; ὅτι οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; τοῦτο μὲν οὖν αὐτὸ μετὰ τῶν ἄλλων ἱκανόν σε πιστώσασθαι ὑπὲρ τῶν εἰρημένων, τὸ μὴ πάντας ὑπακούειν. καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προεῖπεν ὁ προφήτης. καὶ σκόπει τὴν ἄφατον σοφίαν, πῶς πλέον δείκνυσιν, ἢ προσεδόκων ἐκεῖνοι καὶ ἤλπιζον ἀντερεῖν. τί γὰρ φατέ, φησιν; ὅτι οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; ἀλλὰ καὶ τοῦτο ἄνωθεν προεῖπεν Ἡσαΐας. μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ τούτου πλέον. ὑμεῖς μὲν γὰρ ἐγκαλεῖτε, διὰ τί μὴ πάντες ὑπήκουσαν· ὁ δὲ Ἡσαΐας πλέον τούτου λέγει. τί γάρ φησι; Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; εἶτα, ἐπειδὴ τὸν θόρυβον τοῦτον ἐξεῖλε περιεμβαλὼν τὸν προφήτην, πάλιν ἔχεται τῆς προτέρας ἀκολουθίας. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐπικαλέσασθαι ἔδει, τοὺς δὲ ἐπικαλουμένους πιστεῦσαι, τοὺς πιστεύοντας ἀκοῦσαι πρότερον, τοὺς δὲ μέλλοντας ἀκούσεσθαι τοὺς κηρύσσοντας ἔχειν, τοὺς δὲ κηρύσσοντας ἀποσταλῆναι, καὶ ἔδειξεν ὅτι ἀπεστάλησαν, καὶ ὅτι ἐκήρυξαν· ἑτέραν πάλιν εἰσάγειν μέλλων ἀντίθεσιν, ἀφορμὴν λαβὼν πρότερον ἀπὸ ἑτέρας μαρτυρίας τοῦ προφήτου, καθ' ἣν ἔλυσε τὴν μικρῷ πρὸ ταύτης ἀντίθεσιν, οὕτως αὐτὴν πλέκει καὶ συνείρει τοῖς προτέροις. ἐπειδὴ γὰρ παρήγαγε τὸν προφήτην λέγοντα, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; εὐκαίρως τῆς μαρτυρίας ἐπιλαβόμενός φησιν, ἄρα ἡ πίστις ἐξ ἀκοῆς. τοῦτο δὲ οὐχ ἁπλῶς τέθεικεν· ἀλλ' ἐπειδὴ καθ' ἕκαστον καιρὸν σημεῖα ἐζήτουν Ἰουδαῖοι, καὶ τὴν ὄψιν τῆς ἀναστάσεως, καὶ πολλοὶ πρὸς ταῦτα κεχηνότες ἦσαν, φησὶν ὅτι καὶ μὴν ὁ προφήτης *ἐπηγγείλατο, ὅτι ἐξ ἀκοῆς ἡμᾶς δεῖ πιστεῦσαι.

πιστεῦσαι. διὸ πρότερον αὐτὸ κατασκευάζει, καί φησιν, ἄρα ἡ πίστις ἐξ ἀκοῆς. Εἶτα, ἐπειδὴ ἐδόκει τοῦτο εὐτελὲς εἶναι, ὅρα πῶς αὐτὸ ἀνάγει. οὐ γὰρ ἁπλῶς ἀκούειν εἶπον, φησίν, οὐδ' ὅτι ἀνθρωπίνων δεῖ ῥημάτων ἀκοῦσαι, καὶ πιστεῦσαι, ἀλλ' ἀκοὴν μεγάλην λέγω. ἡ γὰρ ἀκοὴ διὰ ῥήματος τοῦ Θεοῦ. οὐ γὰρ τὰ αὐτῶν ἔλεγον, ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ μανθάνοντες ἀπήγγελλον· ὃ σημείων ἐστὶν ὑψηλότερον. τῷ γὰρ Θεῷ καὶ λέγοντι καὶ θαυματουργοῦντι ὁμοίως πιστεύειν καὶ πείθεσθαι δεῖ. ἐπεὶ καὶ τὰ ἔργα καὶ τὰ θαύματα ἀπὸ τῶν λόγων ἐστὶ τῶν ἐκείνου. καὶ γὰρ καὶ ὁ οὐρανός, καὶ τὰ ἄλλα πάντα οὕτως ἔστη. δείξας τοίνυν ὅτι δεῖ πιστεῦσαι τοῖς προφήταις ἀεὶ τὰ τοῦ Θεοῦ λέγουσι, καὶ ἀκροάσεως μηδὲν πλέον ἐπιζητῆσαι, ἐπάγει λοιπὸν τὴν ἀντίθεσιν, ἣν εἶπον, καί φησιν,

18 Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Τί γάρ, φησιν, εἰ ἀπεστάλησαν οἱ κηρύσσοντες, καὶ ἐκήρυξαν ἅπερ ἐκελεύσθησαν, οὗτοι δὲ οὐκ ἤκουσαν; Εἶτα μετ' ὑπερβολῆς πάσης ἡ λύσις τῆς ἀντιθέσεως· Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Τί λέγεις, φησίν; οὐκ ἤκουσαν; ἡ οἰκουμένη καὶ τὰ πέρατα τῆς γῆς ἤκουσαν· καὶ ὑμεῖς, παρ' οἷς τοσοῦτον οἱ κήρυκες διέτριψαν χρόνον, καὶ ὅθεν ἦσαν, οὐκ ἠκούσατε; καὶ πῶς ἂν ἔχοι λόγον; εἰ γὰρ τὰ πέρατα τῆς οἰκουμένης ἤκουσε, πολλῷ μᾶλλον ὑμεῖς. Εἶτα πάλιν ἑτέρα ἀντίθεσις·

19 Ἀλλὰ λέγω, μὴ Ἰσραὴλ οὐκ ἔγνω; Τί γὰρ εἰ ἤκουσαν μέν, οὐκ ἐνόησαν δὲ τὰ εἰρημένα, οὐδὲ συνῆκαν ὅτι ἐκεῖνοι οὗτοι ἦσαν οἱ ἀποσταλέντες; οὐκ ἄξιοι συγγνώμης τῆς ἀγνοίας ταύτης ἕνεκεν; οὐδαμῶς. καὶ γὰρ ὁ Ἡσαΐας ἐχαρακτήρισεν αὐτοὺς εἰπών, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην· καὶ πρὸ τούτου πάλιν ὁ νομοθέτης αὐτός. διὸ καὶ ἐπήγαγε, Πρῶτος Μωϋσῆς λέγει, ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ὥστε καὶ ἐντεῦθεν ἔχρην γνωρίσαι τοὺς κήρυκας, οὐκ ἀφ' ὧν ἠπίστησαν οὗτοι μόνον, οὐκ ἀφ' ὧν εἰρήνην ἐκήρυττον ἐκεῖνοι, οὐκ ἀφ' ὧν τὰ ἀγαθὰ ἐκεῖνα εὐηγγελίζοντο, οὐκ ἀφ' ὧν πανταχοῦ τῆς οἰκουμένης ὁ λόγος ἐσπείρετο, ἀλλὰ καὶ ἀφ' ὧν τοὺς καταδεεστέρους αὐτῶν τοὺς ἐξ ἐθνῶν εἶδον ἐν πλείονι ὄντας τιμῇ. ἃ γὰρ μηδέποτε ἤκουσαν οὗτοι, μηδὲ τούτων οἱ πρόγονοι, ταῦτα ἐξαίφνης ἐφιλοσόφουν ἐκεῖνοι. ὅπερ ἐπιτεταμένης ἦν τιμῆς, παρακνιζούσης αὐτούς, καὶ εἰς ζῆλον ἀγούσης, καὶ εἰς μνήμην τῆς προφητείας Μωϋσέως τῆς λεγούσης, παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει. οὐ γὰρ δὴ μόνον τὸ μέγεθος τῆς τιμῆς ἱκανὸν ἦν αὐτοὺς εἰς ζῆλον ἐμβαλεῖν, ἀλλὰ καὶ τὸ οὕτως εὐτελὲς εἶναι τὸ ἔθνος τὸ τούτων ἀπολαῦσαν, ὡς μηδὲ ἔθνος ἄξιον εἶναι λογίζεσθαι. ἐγὼ γὰρ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, φησίν, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. τί γὰρ Ἑλλήνων ἀσυνετώτεροι ἦσαν; τί δὲ εὐτελέστερον; ὅρα πῶς διὰ πάντων γνωρίσματα καὶ σημεῖα σαφῆ τῶν καιρῶν τούτων ἄνωθεν ἔδωκεν ὁ Θεὸς αὐτοῖς, ὥστε διανοῖξαι αὐτῶν τὴν πώρωσιν. οὐδὲ γὰρ ἐν γωνίᾳ μικρᾷ τὰ γινόμενα ἦν, ἀλλ' ἐν γῇ καὶ θαλάττῃ καὶ πανταχοῦ τῆς οἰκουμένης· καὶ ἑώρων μυρίων ἀπολαύοντας ἀγαθῶν τοὺς πρότερον παρ' αὐτῶν καταφρονουμένους. ἔδει τοίνυν ἐννοῆσαι, ὅτι τοῦτ' ἐκεῖνό ἐστι τὸ ἔθνος, περὶ οὗ φησιν ὁ Μωϋσῆς, παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. ἆρα δὲ Μωϋσῆς μόνος τοῦτο εἶπεν; οὐδαμῶς, ἀλλὰ καὶ ὁ Ἡσαΐας μετ' ἐκεῖνον. διὸ καὶ ὁ Παῦλος ἔλεγε, πρῶτος Μωϋσῆς, δεικνὺς ὅτι καὶ δεύτερος ἥξει τὰ αὐτὰ λέγων καὶ τρανότερον καὶ σαφέστερον. ὥσπερ δὲ ἀνωτέρω εἶπε, κράζει Ἡσαΐας· οὕτω καὶ ἐνταῦθα,

20 Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐβιάσατο καὶ ἐφιλονείκησε μηδὲν συνεσκιασμένον εἰπεῖν, ἀλλὰ καὶ γυμνὰ πρὸ τῶν ὀφθαλμῶν ὑμῶν θεῖναι τὰ πράγματα, μᾶλλον δὲ ἑλόμενος κινδυνεῦσαι ἐκ τοῦ φανερῶς εἰπεῖν, ἢ τὴν οἰ-

κείαν

χείρω ὑφορώμενος σωτηρίας, σκιὰν γοῦν ὑμῖν καταλιπεῖν ἀγνωμοσύνης. καίτοι προφητείας οὐκ ἦν τοῦτο οὕτως εἰπεῖν σαφῶς· ἀλλ' ὅμως ὥστε ἐκ περιουσίας ὑμῶν ἐμφράξαι τὰ στόματα, σαφῶς " πάνυ καὶ διαῤῥήδην πάντα προλέγει. πάντα, ποῖα; καὶ τὴν ὑμῶν ἔκπτωσιν, καὶ τὴν ἐκείνων εἰσαγωγήν, οὕτω λέγων, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Τίνες οὖν οἱ μὴ ζητοῦντες; τίνες οἱ μὴ ἐπερωτῶντες; εὔδηλον ὅτι οὐκ Ἰουδαῖοι, ἀλλ' οἱ ἐξ ἐθνῶν, οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες. ὥσπερ οὖν Μωϋσῆς ἐχαρακτήρισεν αὐτοὺς εἰπών, οὐκ ἔθνει, καὶ ἔθνει ἀσυνέτῳ· οὕτω καὶ ἐνταῦθα ἀπὸ τῆς αὐτῆς ὑποθέσεως αὐτοὺς δηλοῖ, τῆς ἀγνοίας τῆς ἐπιτεταμένης. ὃ " μεγίστη " κατηγορία Ἰουδαίων ἦν, ὅτι οἱ μὴ ζητοῦντες εὗρον, καὶ οἱ ζητοῦντες ἀπώλεσαν.

χ. πάνυ

χ. τε

χ. τὰ

21 Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. Εἶδες πῶς τὸ ἄπορον ἐκεῖνο καὶ παρὰ πολλῶν ζητούμενον εὑρίσκεται ἄνωθεν καὶ ἐν τοῖς προφητικοῖς ῥήμασι κείμενον, καὶ σαφῶς λυόμενον; τί δὲ τοῦτό ἐστιν; ἤκουσας Παύλου ἔμπροσθεν λέγοντος, τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. τοῦτο καὶ ὁ Ἡσαΐας ἐνταῦθά φησι. τὸ γάρ, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι, ταυτόν ἐστι τῷ εἰπεῖν, ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην. Εἶτα δεικνὺς ὅτι οὐ τῆς τοῦ Θεοῦ μόνον χάριτος ἦν τὸ γινόμενον, ἀλλὰ καὶ τῆς γνώμης τῶν προσελθόντων, " ὥσπερ οὖν καὶ ἡ ἐκείνων ἔκπτωσις τῆς φιλονεικίας τῶν ἀπειθησάντων, ἄκουσον τί ἐπήγαγε· πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. ἡμέραν ἐνταῦθα τὸν πάντα χρόνον λέγων τὸν ἔμπροσθεν. τὸ δὲ ἐκπετάσαι τὰς χεῖρας, τὸ καλέσαι, καὶ ἐπισπάσασθαι, καὶ παρακαλέσαι δηλοῖ. Εἶτα δεικνὺς τὸ ἔγκλημα ἅπαν ἐκείνων ὄν, φησι, πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. Εἶδες πόση ἡ κατηγορία; οὗτοι μὲν γὰρ οὐδὲ παρακαλοῦντι ἐπείθησαν, ἀλλὰ καὶ ἀντεῖπον, καὶ ταῦτα οὐχ ἅπαξ, οὐ δίς, οὐ τρίς, ἀλλὰ καὶ διὰ παντὸς τοῦ χρόνου ταῦτα ποιοῦντα ὁρῶντες· ἕτεροι δὲ οἱ μηδέποτε αὐτὸν ἐγνωκότες ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι. ἀλλ' οὐ λέγει ὅτι αὐτοὶ ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι, ἀλλὰ καθαιρῶν καὶ τῶν ἐξ ἐθνῶν τὰ φρονήματα, καὶ δεικνὺς τὴν αὐτοῦ χάριν τὸ πᾶν ἐργασαμένην, φησίν, ὅτι ἐγὼ ἐμφανὴς ἐγενόμην, καὶ ἐγὼ εὑρέθην. οὐκοῦν κενοὶ πάντων ἐκεῖνοί, φησιν; οὐδαμῶς, ἀλλὰ " τὰ εὑρεθέντα λαβεῖν καὶ τὰ φανέντα ἐπιγνῶναι, τοῦτο παρ' ἑαυτῶν εἰσήνεγκαν. Εἶτα ἵνα μὴ λέγωσιν οὗτοι, διὰ τί οὖν καὶ ἡμῖν ἐμφανὴς οὐκ ἐγένου; τὸ πλέον τούτου τίθησιν, ὅτι οὐ μόνον ἐμφανὴς ἐγενόμην, ἀλλὰ καὶ παρέμεινα τὰς χεῖρας διαπετάσας, καὶ παρακαλῶν, πατρὸς φιλοστόργου καὶ μητρὸς φιλοπαίδου κηδεμονίαν ἐπιδεικνύμενος. ὅρα πῶς σαφεστάτην τῶν ἔμπροσθεν διαπορηθέντων ἁπάντων τὴν λύσιν ἐπήγαγε, δείξας τῆς γνώμης αὐτῶν τὴν ἀπώλειαν γενομένην, καὶ ὡς πάντοθεν ἀνάξιοι συγγνώμης εἰσί. καὶ γὰρ καὶ ἀκούσαντες, καὶ νοήσαντες τὰ λεγόμενα, οὐδὲ οὕτως ἐβουλήθησαν προσελθεῖν. καὶ τὸ πολὺ πλέον, ὅτι οὐ μόνον ἀκοῦσαι αὐτοὺς ταῦτα ἐποίησεν, οὐδὲ μόνον νοῆσαι, ἀλλὰ καὶ ὃ μείζονα ἰσχὺν ἔχει πρὸς τὸ διεγεῖραι, καὶ φιλονεικοῦντας καὶ ἀντιλέγοντας ἐπισπάσασθαι, καὶ τοῦτο προσέθηκε. ποῖον δὴ τοῦτο; τὸ παροξῦναι αὐτοὺς καὶ " παραζηλῶσαι. ἴστε γὰρ τοῦ πάθους τὴν τυραννίδα, καὶ ὅσην ἔχει τὴν ἰσχὺν τῆς ζηλοτυπίας ἡ φύσις πρὸς τὸ λῦσαι φιλονεικίαν ἅπασαν, καὶ τοὺς ἀναπεπτωκότας διαναστῆσαι. καὶ τί δεῖ λέγειν ἐπ' ἀνθρώπων τοῦτο, ὅπου γε καὶ ἐπὶ ἀλόγων, καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἀώρου τῶν παίδων, πολλὴν τὴν δύναμιν ἐπιδείκνυται; καὶ γὰρ παιδίον πολλάκις παρακαλούμενον μὲν οὐκ εἶξε τῷ πατρί, ἀλλ' ἔμεινε φιλονεικοῦν· ἑτέρου δὲ θεραπευθέντος παιδίου, καὶ μὴ καλούμενον ἐπανῆλθε.

χ. καὶ μὴ καλοῦντι ἐκεῖ.

χ. τί

ἰσ. τί

χ. ζηλῶσαι

ἦλθε πρὸς τοὺς κόλπους τοὺς πατρικούς, καὶ ὅπερ οὐκ ἴσχυσεν ἡ παράκλησις, τοῦτο ἐποίησεν ἡ παραζήλωσις. τοῦτο τοίνυν καὶ ὁ Θεὸς ἐποίησεν. οὐ γὰρ παρεκάλεσε μόνον, καὶ τὰς χεῖρας ἐξεπέτασεν, ἀλλὰ καὶ τὸ τῆς ζηλοτυπίας ἐν αὐτοῖς διήγειρε πάθος, τοὺς πολλῷ καταδεεστέρους αὐτῶν (ὃ μάλιστα ποιεῖ παραζήλωσιν) εἰσάγων, οὐκ εἰς τὰ ἐκείνων ἀγαθά, ἀλλ' (ὃ πολλῷ μεῖζον ἦν, καὶ τυραννικώτερον ποιεῖ τὸ πάθος) εἰς τὰ πολλῷ μείζονα ἐκείνων, καὶ ἀναγκαιότερα, καὶ ἃ μηδὲ ὄναρ αὐτοί ποτε ἐφαντάσθησαν. ἀλλ' οὐδὲ οὕτως εἶξαν. τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι, μετὰ τοσαύτης ὑπερβολῆς τὴν φιλονεικίαν ἐπιδειξάμενοι; οὐδεμιᾶς. ἀλλὰ τοῦτο μὲν αὐτὸς οὐ λέγει, καταλιμπάνει δὲ ἐκ τοῦ συμπεράσματος τῶν εἰρημένων, τῷ συνειδότι τῶν ἀκουόντων αὐτὸ συλλογίσασθαι, καὶ πάλιν αὐτὸ καὶ διὰ τῶν ἑξῆς κατασκευάζει μετὰ τῆς εἰωθυίας αὐτῷ σοφίας. ὅπερ γὰρ ἐν τοῖς ἔμπροσθεν ἐποίησεν, ἀντιθέσεις εἰσάγων καὶ ἐπὶ τοῦ νόμου, καὶ ἐπὶ τοῦ λαοῦ, μείζονα κατηγορίαν ἐχούσας τῆς οὔσης, εἶτα ἐν τῇ λύσει τῇ ἀνατρεπούσῃ ταύτην τοσαῦτα συγχωρῶν, ὅσα ἐβούλετο, καὶ τὰ πράγματα ἐδίδου, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον· τοῦτο καὶ ἐνταῦθα ποιεῖ οὕτω γράφων·

1 Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω; μὴ γένοιτο. κεφ. ια.

Καὶ σχῆμα διαποροῦντος εἰσάγει, ὡς ἐκ τῶν εἰρημένων λαβὼν τὴν ἀρχήν, καὶ τὸ φοβερὸν τοῦτο θείς, τῇ ἀναιρέσει αὐτοῦ τὸ μετ' ἐκεῖνο λοιπὸν εὐπαράδεκτον ποιεῖ, ὃ διὰ τῶν ἔμπροσθεν ἁπάντων ἐσπούδασε δεῖξαι, τοῦτο καὶ ἐνταῦθα κατασκευάζων. ποῖον δὴ τοῦτο; ὅτι κἂν ὀλίγοι ὦσιν οἱ διασεσωσμένοι, τὰ τῆς ἐπαγγελίας ἕστηκε. διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπε, τὸν λαόν, ἀλλὰ προσέθηκεν, ὃν προέγνω. εἶτα ἐπάγων ἀπόδειξιν τοῦ μὴ ἀπῶσθαι τὸν λαόν, φησί, Καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν·

Ἐγώ, φησίν, ὁ διδάσκαλος, ὁ κῆρυξ. ἐπεὶ οὖν ἐδόκει τοῦτο ἐναντίον εἶναι τοῖς ἔμπροσθεν εἰρημένοις τοῖς λέγουσι, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καί, ὅλην τὴν ἡμέραν ἐξεπέτασα πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, καί, παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει· οὐκ ἠρκέσθη τῇ ἀπαγορεύσει, οὐδὲ τῷ εἰπεῖν μὴ γένοιτο, ἀλλὰ κατασκευάζει αὐτὸ πάλιν ἀναλαμβάνων, καὶ λέγων, οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. ἀλλὰ τοῦτο οὐκ ἔστι κατασκευή, φησίν, ἀλλ' ἀπόφασις. ὅρα οὖν τὴν κατασκευὴν τήν τε προτέραν, καὶ τὴν μετ' ἐκείνην. προτέρα μὲν γάρ ἐστι τὸ δεῖξαι ὅτι αὐτὸς ἐκεῖθεν ἦν. οὐκ ἂν δέ, εἰ ἀπωθεῖσθαι αὐτοὺς ἔμελλεν, ᾧ τὸ κήρυγμα πᾶν, καὶ τὰ πράγματα τῆς οἰκουμένης ἐνεπίστευσε, καὶ τὰ μυστήρια πάντα, καὶ τὴν οἰκονομίαν ὅλην, τοῦτον ἂν ἐκεῖθεν ἐξελέξατο. αὕτη μὲν οὖν μία κατασκευή· δευτέρα δὲ μετ' ἐκείνην, τὸ εἰπεῖν, τὸν λαὸν ὃν προέγνω· τουτέστιν, ὃν ᾔδει σαφῶς ἐπιτήδειον ὄντα καὶ τὴν πίστιν δεξόμενον. καὶ γὰρ τρισχίλιοι, καὶ πεντακισχίλιοι, καὶ μυρίοι ἐξ ἐκείνων ἦσαν πιστεύσαντες. ἵνα γὰρ μὴ λέγῃ τις, σὺ οὖν ὁ λαὸς εἶ; καὶ ἐπειδὴ σὺ ἐκλήθης, τὸ ἔθνος ἐκλήθη; ἐπήγαγεν,

2 Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. Ὡσανεὶ ἔλεγεν, ἔχω μετ' ἐμοῦ τρισχιλίους, ἔχω πεντακισχιλίους, ἔχω μυρίους. τί οὖν; ὁ λαὸς * εἰς τρισχιλίους, καὶ πεντακισχιλίους, καὶ μυρίους περιέστη; τὸ σπέρμα ἐκεῖνο τὸ μιμούμενον τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ τὴν ἄμμον τὴν θαλαττίαν; καὶ οὕτως ἡμᾶς ἀπατᾷς καὶ παραλογίζῃ, τὸν λαὸν ἅπαντα σαυτὸν τιθείς, καὶ τοὺς ὀλίγους τοὺς μετὰ σοῦ; καὶ κεναῖς ἡμᾶς φυσᾷς ἐλπίσι, τὴν ἐπαγγελίαν πεπληρῶσθαι λέγων, πάντων ἀπολλυμένων, καὶ εἰς ὀλίγους τῆς σωτηρίας περιστάσης; κόμπος ταῦτα καὶ τῦφος, καὶ οὐκ ἀνεχόμεθα τῶν σοφισμάτων τούτων. ἵν' οὖν μὴ ταῦτα λέγωσιν, ὅρα πῶς διὰ τῶν ἑξῆς τὴν λύσιν ἐπάγει, τὴν μὲν ἀντίθεσιν οὐ θείς, πρὸ δὲ τῆς ἀντιθέσεως, τὴν λύσιν αὐτῆς ἀπὸ παλαιᾶς ἱστορίας κατασκευάζων. τίς οὖν ἡ λύσις;

Οὐκ οἴδατε ἐν Ἠλίᾳ, φησὶ, τί λέγει ἡ γραφή, ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ;

3 Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου.

4 Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.

5 Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαόν. εἰ γὰρ ἀπώσατο, οὐδένα ἂν ἐδέξατο· εἰ δὲ ἐδέξατό τινας, οὐκ ἀπώσατο. καὶ μὴν φησὶν, εἰ μὴ ἀπώσατο, πάντας ἂν ἐδέξατο; οὐδαμῶς. καὶ γὰρ ἐπὶ Ἠλίᾳ ἐν ἑπτακισχιλίοις περιέστη τὰ τῆς σωτηρίας. καὶ νῦν δὲ εἰκὸς πολλοὺς εἶναι τοὺς πεπιστευκότας. εἰ δὲ ἀγνοεῖτε ὑμεῖς, θαυμαστὸν οὐδὲν, ἐπεὶ καὶ ὁ προφήτης ἐκεῖνος, ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ἠγνόει. ἀλλ' ὁ Θεὸς ᾠκονόμει τὰ ἑαυτοῦ, καὶ τοῦ προφήτου ἀγνοοῦντος. σκόπει δὲ αὐτοῦ σύνεσιν, πῶς ἐν τῷ κατασκευάζειν τὸ προκείμενον, λανθανόντως τὴν κατηγορίαν αὐτῶν αὔξει. διὰ γὰρ τοῦτο καὶ πάσης ἐμνήσθη τῆς μαρτυρίας, ἵνα αὐτῶν ἐκπομπεύσῃ τὴν ἀγνωμοσύνην, καὶ δείξῃ τοιούτους ἄνωθεν ὄντας. εἰ γὰρ μὴ τοῦτο ἤθελεν, ἀλλ' ἓν μόνον δεῖξαι ἐσπούδαζεν, ὅτι ἐν τοῖς ὀλίγοις ὁ λαὸς, εἶπεν ἂν ὅτι καὶ ἐπὶ Ἠλίᾳ ἑπτακισχίλιοι ὑπελείφθησαν. νυνὶ δὲ ἄνωθεν ἀναγινώσκει τὴν μαρτυρίαν ἅπασαν. πανταχοῦ γὰρ ἐσπούδακε δεῖξαι οὐδὲν ξένον ποιήσαντας ἐπὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων, ἀλλὰ τὰ συνήθη καὶ μεμελετημένα. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι ὡς πλάνον ἀνείλομεν τὸν Χριστὸν, καὶ ὡς ἀπατεῶνας διώκομεν τοὺς ἀποστόλους, παράγει τὴν μαρτυρίαν τὴν λέγουσαν, Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν. εἶτα, ὥστε μὴ ποιῆσαι τὸν λόγον ἐπαχθῆ, ἑτέραν τῇ τῆς μαρτυρίας παραγωγῇ περιτίθησιν αἰτίαν. οὐ γὰρ ὡς προηγουμένως αὐτῶν κατηγορῆσαι βουλόμενος παράγει, ἀλλ' ὡς ἕτερόν τινα ἀποδεῖξαι σπουδάζων· καὶ ἀποστερεῖ πάσης αὐτοὺς συγγνώμης καὶ ἀπὸ τῶν ἔμπροσθεν γεγενημένων. ὅρα γὰρ πῶς ἐπιτεταμένη ἡ κατηγορία καὶ ἀπὸ τοῦ προσώπου γέγονεν. οὐδὲ γὰρ Παῦλός ἐστιν ὁ κατηγορῶν, οὐδὲ Πέτρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, ἀλλ' ὁ μάλιστα πάντων παρ' αὐτοῖς θαυμασθεὶς, τῶν προφητῶν τὸ κεφάλαιον, ὁ τοῦ Θεοῦ φίλος, ὁ ὑπὲρ αὐτῶν οὕτω ζηλώσας, ὡς καὶ λιμῷ παραδοθῆναι, ὁ μέχρι σήμερον μηδέπω τετελευτηκώς. τί οὖν οὗτος φησί; Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ ὑπελείφθην ἐγὼ μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. τί τῆς θηριωδίας ταύτης ὠμότερον γένοιτ' ἄν; δέον γὰρ παρακαλέσαι ὑπὲρ τῶν ἤδη πλημμεληθέντων, τὸν δὲ καὶ αὐτὸν ἐβούλοντο ἀνελεῖν· ἅπερ ἅπαντα πάσης ἀποστερεῖ συγγνώμης αὐτούς. οὐδὲ γὰρ, τοῦ λιμοῦ κρατοῦντος, ἀλλὰ τῆς εὐετηρίας γενομένης, καὶ τῆς αἰσχύνης λυθείσης, καὶ τῶν δαιμόνων καταισχυνθέντων, καὶ τῆς τοῦ Θεοῦ δειχθείσης δυνάμεως, καὶ τοῦ βασιλέως ὑποκύψαντος, ἐτόλμων ταῦτα ἐκεῖνοι, ἀπὸ φόνων εἰς φόνους μεταβαίνοντες, καὶ τοὺς διδασκάλους καὶ διορθοῦντας αὐτῶν τὴν γνώμην ἀναιροῦντες. τί γὰρ ἂν ἔχοιεν εἰπεῖν; μὴ καὶ ἐκεῖνοι πλάνοι; μὴ καὶ ἐκείνους οὐκ ᾔδεισαν πόθεν ἦσαν; ἀλλ' ἐλύπουν ὑμᾶς· ἀλλὰ καὶ χρηστὰ ἔλεγον. τί δὲ καὶ τὰ θυσιαστήρια; μὴ καὶ τὰ θυσιαστήρια ἐλύπει; μὴ καὶ αὐτὰ προσώχθιζεν; ὅρα πόσης φιλονεικίας, πόσης ὕβρεως ἐξενέγκωσιν ἀεὶ δείγματα. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησὶν ὁ Παῦλος Θεσσαλονικεῦσι γράφων,

α. Θεσ. β. ιδ. Τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ τῷ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· ὅπερ οὖν καὶ ἐνταῦθά φησιν, ὅτι καὶ τὰ θυσιαστήρια κατέσκαψαν, καὶ τοὺς προφήτας ἀνεῖλον. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός;

γ. Βασ. ιθ. ιη. Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. τί οὖν

ἐκεῖνα

γρ. χεῖρον

γρ. ἀπεστέρει

γρ. ἀπαιτήσεις

ἐκεῖνα πρὸς τὰ παρόντα, φησί· καὶ σφόδρα μὲν οὐκ ἴσα πρὸς τὰ παρόντα. δείκνυσι γὰρ ἐντεῦθεν, ὅτι τοὺς ἀξίους ἀεὶ σώζειν ὁ Θεὸς εἴωθε, κἂν πρὸς ἅπαν τὸ ἔθνος ἡ ἐπαγγελία κειμένη. καὶ τοῦτο ἄνωθεν ἔδειξε δι' ὧν ἔλεγεν, Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ ἐγκατάλειμμα σωθήσεται. (Ρωμ. θ. κζ.) καὶ, Εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν. δείκνυσι δὲ καὶ ἐντεῦθεν· διὸ καὶ ἐπάγει λέγων, οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. ὅρα ἑκάστην λέξιν τὴν οἰκείαν εὐγένειαν διασώζουσαν, καὶ τὴν τοῦ Θεοῦ χάριν, καὶ τὴν τῶν σωζομένων εὐγνωμοσύνην ἐμφαίνουσαν. τῷ μὲν γὰρ εἰπεῖν, ἐκλογὴν, ἔδειξεν ἐκείνων τὴν δοκιμήν· τῷ δὲ εἰπεῖν, χάριτος, ἔδειξε τοῦ Θεοῦ τὴν δωρεάν.

6 Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι ἐστὶ χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον. Πάλιν ἐπιπηδᾷ τῇ φιλονεικίᾳ τῶν Ἰουδαίων μετὰ τῶν εἰρημένων, καὶ ἐνταῦθα ἐναποδύεται, καὶ ἐντεῦθεν αὐτοὺς ἀποστερεῖ συγγνώμης. οὐδὲ γὰρ ἔχετε, φησιν, εἰπεῖν ὅτι προφῆται μὲν ἐκάλουν, καὶ ὁ Θεὸς παρεκάλει, καὶ τὰ πράγματα ἐβόα, καὶ ἡ παραζήλωσις ἱκανὴ ἡμᾶς ἐπισπάσασθαι ἦν· φορτικὰ δὲ τὰ ἐπιταττόμενα, καὶ διὰ τοῦτο οὐκ ἠδυνήθημεν προσελθεῖν, ἐπειδὴ ἔργων ἐπίδειξιν ἀπῃτούμεθα, καὶ κατορθώματα ἐπίπονα. οὐδὲ γὰρ τοῦτο ἔστιν εἰπεῖν. πῶς γὰρ ἂν ταῦτα ἀπῄτησεν ὁ Θεὸς παρ' ὑμῶν, ὁπότε καὶ τὴν χάριν αὐτὴ τοῦτο ἐπισκιάζειν ἔμελλε; ταῦτα δὲ εἶπε, βουλόμενος ἐνδείξασθαι ὅτι σφόδρα ἐβούλετο αὐτοὺς σωθῆναι. οὐδὲ γὰρ ἡ σωτηρία αὐτοῖς προεχώρει μόνον εὐκόλως, ἀλλὰ καὶ τῷ Θεῷ δόξα μεγίστη ἦν, τὸ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι τὴν ἑαυτοῦ. τί τοίνυν ἐφοβήθης προσελθεῖν, οὐκ ἀπαιτούμενος ἔργα; τί δὲ στασιάζεις καὶ φιλονεικεῖς, χάριτος προκειμένης, καὶ νόμον μοι προβάλλῃ εἰκῆ καὶ μάτην; οὔτε γὰρ ἐκεῖθεν σωθήσῃ, καὶ ταύτην λυμαίνῃ τὴν δωρεάν. εἰ γὰρ φιλονεικεῖς ἐκεῖθεν σώζεσθαι, ἀναιρεῖς τοῦ Θεοῦ τὴν χάριν ταύτην. εἶτα ἵνα μὴ νομίσωσι τοῦτο ξένον εἶναι, προλαβὼν καὶ τοὺς ἑπτακισχιλίους ἐκείνους ἀπὸ χάριτος ἔφη σεσῶσθαι. ὅταν γὰρ εἴπῃ, ὅτι οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονε, δείκνυσιν ὅτι καὶ ἐκεῖνοι χάριτι ἐσώθησαν. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ εἰπεῖν, κατέλιπον ἐμαυτῷ. τοῦτο γὰρ ἐμφαίνοντός ἐστιν ὅτι τὸ πλέον αὐτὸς εἰσήνεγκε. καὶ εἰ χάριτι, φησι, διὰ τί μὴ πάντες σωζόμεθα; ὅτι μὴ βούλεσθε. ἡ γὰρ χάρις, κἂν χάρις ᾖ, τοὺς ἐθέλοντας σώζει, οὐ τοὺς μὴ βουλομένους αὐτὴν, καὶ πολεμοῦντας αὐτῇ διηνεκῶς, καὶ ἀποστρεφομένους, καὶ ἐναντιουμένους. εἶδες πῶς διὰ ὅλου ἐκεῖνο κατασκευάζει, τὸ, οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ, δεικνὺς ὅτι εἰς τοὺς ἀξίους ἦλθεν ἡ ἐπαγγελία, καὶ ὅτι οὗτοι, εἰ καὶ ὀλίγοι εἰσὶ, δύνανται εἶναι λαὸς τοῦ Θεοῦ. καίτοιγε ἐν προοιμίοις τῆς ἐπιστολῆς, μετὰ πλείονος αὐτὸ τῆς ὑπερβολῆς τέθεικεν εἰπὼν, Τί γὰρ εἰ ἠπίστησάν τινες; (Ρω. γ. γ.) καὶ μηδὲ μέχρι τούτου στάς, ἀλλὰ ἐπαγαγὼν, Γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης. καὶ νῦν δὲ πάλιν ἑτέρως αὐτὸ κατασκευάζει, καὶ τῆς χάριτος δείκνυσι τὴν ἰσχὺν, καὶ ἀεὶ τοὺς μὲν σωζομένους, τοὺς δὲ ἀπολλυμένους. ΗΘΙΚΟΝ Εὐχαριστῶμεν τοίνυν ὅτι τῶν σωζομένων γεγόναμεν, καὶ μὴ δυνηθέντες ἀπὸ τῶν ἔργων σωθῆναι, ἐσώθημεν ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς. εὐχαριστοῦντες δὲ, μὴ ῥήμασι τοῦτο ποιῶμεν μόνον, ἀλλὰ καὶ ἔργοις καὶ εὐχαριστίαις καὶ πράξεσιν. αὕτη γὰρ ἡ εὐχαριστία ἡ ἀκριβὴς, ὅταν ταῦτα πράττωμεν, δι' ὧν ὁ Θεὸς δοξάζεσθαι μέλλει, ὅταν ἐκεῖνα φύγωμεν ὧν ἀπηλλάγημεν. καὶ γὰρ εἰς βασιλέα ὑβρίσαντες, ἀντὶ τοῦ δοῦναι δίκην ἐτιμήθημεν, εἶτα πάλιν ὑβρίσαμεν, ἀπὸ ἐσχάτης ἀχαριστίας ἁλόντες, τὴν ἐσχάτην δικαίως ἂν ἐδώκαμεν δίκην, καὶ πολλῷ μείζονα τῆς προτέρας. οὐδὲ γὰρ οὕτως ἡμᾶς ἀχαρίστους ἡ προτέρα ὕβρις ἐδείκνυ, ὡς ἡ μετὰ τὴν τιμὴν καὶ τὴν πολλὴν θεραπείαν. φύγωμεν τοίνυν ἐκεῖνα ὧν ἀπηλλάγημεν, καὶ μὴ τῷ στόματι μόνον εὐχαριστῶμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία πόῤῥω ἀπέχει ἀπ' (Ησ. κθ. ιγ.)

ἔμου. πῶς γὰρ οὐκ ἄτοπον, ὅταν οἱ μὲν οὐρανοὶ διηγῶνται δόξαν Θεοῦ, σὺ δὲ, δι' ὃν οἱ οὐρανοὶ δοξάζοντες ἐγένοντο, τοιαῦτα πράττεις ὡς βλασφημεῖσθαι διά σε τὸν ποιήσαντά σε Θεόν; διά τοι τοῦτο οὐκ ἐκεῖνος μόνον ὁ βλασφημῶν, ἀλλὰ καὶ σὺ λοιπὸν ὑπεύθυνος ἔσῃ τῆς κολάσεως. οὐδὲ γὰρ οἱ οὐρανοὶ φωνὴν ἀφιέντες δοξάζουσι τὸν Θεὸν, ἀλλ' ἑτέρους διὰ τῆς ὄψεως εἰς τοῦτο παρασκευάζοντες, καὶ ὅμως αὐτοὶ λέγονται διηγεῖσθαι δόξαν Θεοῦ. οὕτω καὶ οἱ περιεχόμενοι βίον θαυμαστὸν, κἂν σιγῶσι, τὸν Θεὸν δοξάζουσιν, ἑτέρων δι' αὐτοὺς αὐτὸν δοξαζόντων. οὐ γὰρ οὕτως ἀπὸ τοῦ οὐρανοῦ θαυμάζεται, ὡς ἀπὸ βίου καθαροῦ. ὅταν γὰρ δὴ πρὸς Ἕλληνας διαλεγώμεθα, οὐ τὸν οὐρανὸν εἰς μέσον παράγομεν, ἀλλὰ τοὺς ἀνθρώπους, οὓς θηρίων χεῖρον διακειμένους ἔπεισε γενέσθαι ἐφαμίλλους ἀγγέλοις. καὶ ταύτην λέγοντες τὴν μεταβολὴν, ἐμφράττομεν αὐτῶν τὰ στόματα. καὶ γὰρ πολὺ βελτίων τοῦ οὐρανοῦ ἄνθρωπος, καὶ δύναται λαμπροτέραν τοῦ κάλλους αὐτοῦ κεκτῆσθαι ψυχήν. οὗτος μὲν γὰρ ὁρώμενος ἐπὶ τοσοῦτον χρόνον, οὐ σφόδρα ἔπεισε· Παῦλος δὲ ὀλίγον κηρύξας χρόνον, τὴν οἰκουμένην ἐφειλκύσατο πᾶσαν. καὶ γὰρ ἐκέκτητο ψυχὴν τοῦ οὐρανοῦ οὐχ ἥττονα, πάντας ἐπισπάσασθαι δυναμένην. ἡ μὲν γὰρ ἡμετέρα οὐδὲ τῆς γῆς ἐστιν ἀξία· ἡ δὲ ἐκείνου, καὶ τῶν οὐρανῶν ἀνταξία. οὗτος μὲν γὰρ ἕστηκε τὸν οἰκεῖον φυλάττων ὅρον, καὶ τὴν χώραν· τῆς δὲ ἐκείνου ψυχῆς τὸ ὕψος ἅπαντας ὑπερέβη τοὺς οὐρανοὺς, καὶ αὐτῷ ὡμίλει τῷ Χριστῷ· καὶ τὸ κάλλος δὲ αὐτῆς τοιοῦτον ἦν, ὡς καὶ τὸν Θεὸν ἀνακηρύττειν αὐτό. τὰ μὲν γὰρ ἄστρα οἱ ἄγγελοι ἐθαύμασαν ὅτε ἐγένετο· τοῦτον (Πραξ. θ. ιε.) δὲ αὐτὸς ἐθαύμασεν εἰπὼν, Σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος. καὶ τοῦτον μὲν τὸν οὐρανὸν νεφέλη πολλάκις ἐκάλυψε· τὴν δὲ Παύλου ψυχὴν οὐδεὶς ἐκάλυψε πειρασμὸς, ἀλλ' ἐν τοῖς χειμῶσι λαμπρότερος ἐφαίνετο σταθερᾶς μεσημβρίας, καὶ ὁμοίως ἔλαμπεν, ὥσπερ οὖν καὶ πρὸ τῶν νεφῶν. ὁ γὰρ ἐν αὐτῷ φαίνων ἥλιος οὐ τοιαύτας ἠφίει τὰς ἀκτῖνας, ὡς συσκιά- (β. Κορ. ιβ. θ.) ζεσθαι τῇ τῶν πειρασμῶν συνδρομῇ, ἀλλὰ καὶ τότε μᾶλλον ἐξέλαμπεν. διὸ καὶ ἔλεγεν, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ζηλώσωμεν τοίνυν αὐτὸν, καὶ οὐδὲν ἔσται οὐδὲ πρὸς ἡμᾶς οὗτος ὁ οὐρανὸς, ἐὰν θέλωμεν, οὔτε ὁ ἥλιος, οὔτε ὁ κόσμος ἅπας. ταῦτα γὰρ δι' ἡμᾶς, οὐχ ἡμεῖς διὰ ταῦτα. δείξωμεν ὅτι ἄξιοί ἐσμεν τοῦ γεγενῆσθαι ταῦτα δι' ἡμᾶς. εἰ γὰρ τούτων ἀνάξιοι φαινοίμεθα, πῶς βασιλείας ἐσόμεθα ἄξιοι; καὶ εἰ ἀνάξιοι πάντες τὸν ἥλιον ὁρᾶν, ὅσοι εἰς βλασφημίαν ζῶσι τοῦ Θεοῦ· ἀνάξιοι τῆς κτίσεως ἀπολαύειν τῆς δοξαζούσης αὐτὸν, οἱ βλασφημοῦντες αὐτόν. ἐπεὶ καὶ υἱὸς πατέρα ὑβρίζων, ἀνάξιος οἰκετῶν εὐδοκιμούντων ἀπολαύειν διακονίας. διά τοι τοῦτο ταῦτα μὲν καὶ πολλῆς ἀπολαύσεται δόξης· ἡμεῖς δὲ κόλασιν ὑποστησόμεθα καὶ τιμωρίαν. πόσης οὖν ἀθλιότητος ἂν εἴη, τὴν μὲν κτίσιν τὴν διά σε γενομένην εἰς ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ σχηματίζεσθαι, ἡμᾶς δὲ τοὺς τέκνα τοῦ Θεοῦ γενομένους, διὰ τὴν πολλὴν ῥαθυμίαν εἰς ἀπώλειαν πέμπεσθαι καὶ γέενναν, δι' οὓς ἡ κτίσις τῆς μεγάλης ἀπολαύσεται εὐημερίας ἐκείνης; ἵν' οὖν μὴ τοῦτο γένηται, οἱ μὲν καθαρὰν κεκτημένοι ψυχὴν φυλάξωμεν αὐτὴν τοιαύτην· μᾶλλον δὲ καὶ ἐπιτείνωμεν αὐτῆς τὴν (Ησα. α. ιη.) λαμπηδόνα· οἱ δὲ ῥυπῶσαν ἔχοντες, μὴ ἀπογνῶμεν. Ἐὰν γὰρ ὦσι, φησὶν, αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ ἐὰν ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. ὅταν δὲ ὁ Θεὸς ἐπαγγέλληται, μὴ ἀμφίβαλλε, ἀλλ' ἐκεῖνα ποίει δι' ὧν ἐπισπάσασθαι τὰς ἐπαγγελίας ταύτας δυνήσῃ. μυρία σοι εἴργασται δεινὰ καὶ πεπλημμέληται; καὶ τί τοῦτο; οὐδέπω γὰρ εἰς τὸν ᾅδην ἀπῆλθες, ἔνθα οὐδεὶς ἐξομολογήσεται. οὐδέπω σοι τὸ θέατρον λέλυται, ἀλλ' εἴσω τοῦ σκάμματος ἕστηκας, καὶ δύνασαι καὶ δι' ἐσχάτης πάλης πάσας ἀναπαλαῖσαι τὰς (Λουκ. ις. κς.) ἥττας. οὔπω γέγονας ἔνθα που ὁ πλούσιος, ἵνα ἀκούσῃς, Ὅτι χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν· οὔπω γὰρ παρεγένετο ὁ νυμφίος, ἵνα φοβηθῇ τις μεταδοῦναι ἐλαίου. ἔτι δύνασαι ἀγορά- (Ματθ. κε. θ.) σαι καὶ ἀποθέσθαι· καὶ οὐκ ἔστιν οὐδέπω ὁ λέγων, Μήποτε οὐ μὴ ἀρκέσῃ καὶ ἡμῖν καὶ ὑμῖν, ἀλλ' εἰσὶν οἱ πωλοῦντες πολλοὶ, οἱ γυμνοὶ, οἱ πεινῶντες, οἱ ἀρρωστοῦντες, οἱ δεσμωτήριον οἰκοῦντες.

οἰκοδομοῦντες. θρέψον τούτους, ἔνδυσον ἐκείνους, ἐπίσκεψαι τοὺς κειμένους, καὶ παρὰ τὰς πηγὰς ἥξει τὸ ἔλαιον. οὔπω τῆς λαμπαδηφορίας ἐφέστηκεν ἡ ἡμέρα. χρῆσαι καὶ εἰς δέον τῷ καιρῷ, καὶ χρεῶν ἀποκοπὰς ποίησον, καὶ τῷ ὀφείλοντι τοὺς ἑκατὸν βάτους τοῦ ἐλαίου, εἰπὲ, Δέξαι σου τὸ γραμματεῖον, καὶ ποίησον πεντήκοντα. καὶ ἐπὶ χρημάτων καὶ ἐπὶ ῥημάτων καὶ ἐπὶ Luc.16.5. τῶν ἄλλων ἁπάντων ὁμοίως ποίει, τὸν οἰκονόμον ἐκεῖνον μιμούμενος· καὶ ταῦτα καὶ σεαυτῷ καὶ τοῖς συγγενέσι παραίνει. ἔτι γὰρ εἶ κύριος τοῦ ταῦτα λέγειν, οὐδέπω κατέστης εἰς ἀνάγκην τοῦ παρακαλεῖν ἕτερον ὑπὲρ τούτων, ἀλλ' ἐξουσίαν ἔχεις καὶ σεαυτῷ καὶ ἑτέροις συμβουλεύειν. ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, οὐδέτερον τούτων δυνήσῃ ποιεῖν εἰς δέον. εἰκότως. ὁ γὰρ τοσαύτην λαβὼν προθεσμίαν, καὶ μήτε σαυτὸν, μήτε ἕτερον ὠφελήσας, πῶς λοιπὸν ὑπὸ ταῖς χερσὶ τοῦ δικαστοῦ γενόμενος, δυνήσῃ ταύτης ἐπιτυχεῖν τῆς χάριτος; ταῦτ' οὖν ἅπαντα συλλέγοντες, ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μὴ προδῶμεν τὴν εὐκαιρίαν τοῦ παρόντος βίου. ἔστι γὰρ, ἔστι καὶ εἰς ἐσχάτας ἀναπνοὰς εὐαρεστῆσαι τῷ θεῷ. ἔστι καὶ ἀπὸ διαθήκης εὐδοκιμῆσαι, οὐχ οὕτω μὲν ὡς ζῶντα, ἔστι δὲ ὅμως. πῶς καὶ τίνι τρόπῳ; ἂν ἐγγράψῃς αὐτὸν μετὰ τῶν σῶν κληρονόμων, καὶ μοῖραν καὶ αὐτῷ τοῦ παντὸς ἀπονείμῃς κλήρου. οὐκ ἔθρεψας αὐτὸν ζῶν; κἂν ἀπελθὼν, ὅτε οὐκέτι κύριος εἶ, μετάδος αὐτῷ τῶν σῶν. φιλάνθρωπός ἐστιν, οὐκ ἀκριβολογεῖται πρὸς σέ. μείζονος μὲν γὰρ* πόθου καὶ πλείονος μισθοῦ, τὸ ζῶντα σε τρέφειν αὐτόν· εἰ δὲ τοῦτο αὐτὸ μὴ πεποίηκας, κἂν ἐπὶ τὸ δεύτερον ἐλθὲ· συγκληρονόμον αὐτὸν ἄφες τοῖς παισὶ τοῖς σοῖς. εἰ δὲ καὶ τοῦτο ὀκνεῖς, ἐννόησον ὅτι ὁ πατὴρ αὐτοῦ συγκληρονόμον αὐτοῦ σε ἐποίησε, καὶ κατάλυσον τὴν ἀπανθρωπίαν. ἵνα γὰρ ἕξεις ἀπολογίαν, μηδὲ τῶν παίδων τῶν σῶν κοινωνὸν αὐτὸν ποιῶν, τὸν κοινωνόν σε ποιήσαντα τῶν οὐρανῶν, καὶ σφαγέντα διὰ σέ; καίτοιγε αὐτὸς πάντα ὅσα ἐποίησεν, οὐκ ὀφειλὴν ἀποδιδοὺς ἐποίησεν, ἀλλὰ χάριν ἐπιδεικνύμενος· σὺ δὲ μετὰ τοσαύτας εὐεργεσίας καὶ ὀφειλέτης καθέστηκας. ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, ὡς χάριν λαμβάνων, οὐχ ὡς ὀφειλὴν ἀπαιτῶν, οὕτω σε στεφανοῖ καὶ ταῦτα τὰ αὐτοῦ μέλλων λαμβάνειν. δὸς τοίνυν αὐτῷ χρήματα τὰ σοι λοιπὸν ἄχρηστα, καὶ ὧν οὐκ εἶ κύριος, καὶ δώσει σοι βασιλείαν τὴν σοι χρησίμην διηνεκῶς, καὶ μετ' ἐκείνης καὶ τὰ ἐνταῦθα παραφυλάξεται. ἂν γὰρ γένηται συγκληρονόμος τῶν παίδων, ἐπικουφίζει τὴν ὀρφανίαν αὐτοῖς, λύει τὰς ἐπηρείας, ἀποκρούεται τὰς ἐπιβουλὰς, ἐμφράττεται τὰ στόματα τῶν συκοφαντῶν. κἂν αὐτοὶ μὴ δύνωνται προστῆναι τῶν διαθηκῶν, αὐτὸς προστήσεται, καὶ οὐκ ἀφήσει διαρραγῆναι. εἰ δὲ καὶ τοῦτο συγχωρήσει, ἀναπληρώσει παρ' ἑαυτοῦ τὰ ἐγγεγραμμένα ἅπαντα μετὰ πλείονος τῆς φιλοτιμίας, ἐπειδὴ ἐπιμήθη τῷ ἐγγραφῆναι ἅπαξ. ἄφες τοίνυν αὐτὸν κληρονόμον· πρὸς γὰρ αὐτὸν ἀπιέναι μέλλεις. αὐτός σοι δικάζει τὴν δίκην τῶν ἐνταῦθα γεγενημένων ἁπάντων. ἀλλὰ γὰρ εἰσί τινες οὕτως ἄθλιοι καὶ ταλαίπωροι, οἱ μηδὲ παῖδας ἔχοντες οὐκ αἱροῦνται τοῦτο ποιεῖν, ἀλλὰ παρασίτοις καὶ κόλαξι, καὶ τῷ δεῖνι, καὶ τῷ δεῖνι μᾶλλον καταδέχονται τὰ αὐτῶν διανέμειν, ἢ τῷ τοσαῦτα αὐτοὺς εὐεργετήσαντι Χριστῷ. ὧν τί γένοιτ' ἂν ἀλογώτερον; τοὺς γὰρ τοιούτους, καὶ οἵοις, κἂν λίθοις τις παραβάλοι, οὐδὲν οὐδέπω τῆς ἀνοίας αὐτῶν καὶ τῆς ἀμαθίας ἄξιον ἐρεῖ· οὐδ' ἂν εὕροι τις εἰκόνα τὴν μανίαν αὐτῶν παραστῆσαι δυναμένην, καὶ τὴν παραφροσύνην. ποίας γὰρ τεύξονται συγγνώμης οὗτοι ὑπὲρ τοῦ μὴ θρέψαι αὐτὸν ζῶντες, ὅταν καὶ ἀπιέναι μέλλοντες πρὸς αὐτὸν, μηδὲ ἀπὸ τῶν χρημάτων τούτων, ὧν οὐκ εἰσὶ κύριοι λοιπὸν, βουληθῶσιν αὐτῷ μικρόν τι χαρίσασθαι, ἀλλ' οὕτως ἐχθρῶς διάκεινται καὶ πολεμίως, ὡς μηδὲ τῶν ἀχρήστων αὐτοῖς γενομένων αὐτῷ μεταδοῦναι; οὐχ ὁρᾷς ὅσοι τῶν ἀνθρώπων οὐδὲ τούτου κατηξιώθησαν τοῦ τέλους, ἀλλ' ἁρπαγέντες ἀπῆλθον; σὲ δὲ ὁ θεὸς καὶ ἐπισκῆψαι τοῖς προσήκουσι, καὶ εἰπεῖν περὶ τῶν ὄντων, καὶ τὰ κατὰ τὴν οἰκίαν ἅ-

πάντα διαφθεῖραι ἐποίησε κύριον. ποίαν οὖν ἀπολογίαν ἕξεις, ὅταν καὶ ταύτην λαβὼν παρ' αὐτοῦ τὴν χάριν, προδῷς τὴν εὐεργεσίαν, καὶ ὥσπερ ἐκ διαμέτρου ἀπεναντίας στῇς τοῖς τῆς πίστεώς σου προσήκουσιν; ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες ἐπώλουν ἅπαντα, καὶ ἔφερον παρὰ τοὺς πόδας τῶν ἀποστόλων· σὺ δὲ οὐδὲ τελευτῶν μοίρας τινὸς μεταδίδως τοῖς δεομένοις. τὸ μὲν οὖν ἄμεινον καὶ πολλὴν παρρησίαν παρέχον, ζῶντα διορθοῦν πενίαν. εἰ δὲ ἐκεῖνο μὴ βουληθῇς, κἂν τελευτῶν ποίησόν τι γενναῖον. οὐ πολλῆς μὲν γὰρ ἐστὶν ἀγάπης τοῦτο τῆς περὶ τὸν Χριστὸν· ἀγάπης δὲ οὖν ὅμως. εἰ γὰρ καὶ μὴ τὴν προεδρίαν ἕξεις τὴν μετὰ τῶν προβάτων, ἀλλ' οὐ μακρὸν τὸ κἂν μετ' ἐκείνους γενέσθαι, καὶ μὴ εἶναι μετὰ τῶν ἐρίφων, μηδὲ τῶν εὐωνύμων. ἂν δὲ μηδὲ τοῦτο ποιῇς, τίς σε ἐξαιρήσεται λόγος, ὅταν μήτε ὁ τοῦ Θεοῦ φόβος, μήτε τὸ ἄχρηστά σοι λοιπὸν γεγενῆσθαι τὰ χρήματα, μήτε τὸ ἀσφάλειαν καταλιμπάνειν τοῖς τέκνοις, μήτε τὸ πολλὴν σαυτῷ προαποτίθεσθαι ἐκεῖ συγγνώμην, ποιῇ σε φιλάνθρωπον; διὸ παρακαλῶ μάλιστα μὲν ζῶντας προΐεσθαι τοῖς δεομένοις ἐκ τῶν ὄντων τὴν πλείονα μοῖραν. εἰ δέ τινες εἶεν οὕτω μικρόψυχοι, ὡς μὴ ἀνέχεσθαι τούτου, κἂν ἀπὸ τῆς ἀνάγκης γινέσθωσαν οὗτοι φιλάνθρωποι. ὅταν μὲν γὰρ ζῇς ὡς ἀθάνατος, οὕτως ἀντείχου τῶν ὄντων· νυνὶ δὲ, ἐπειδὴ ἔμαθες ὅτι θνητὸς γέγονας, κἂν νῦν τὸ δόγμα κατάλυσον, καὶ ὡς θνητὸς περὶ τῶν σαυτοῦ βούλευσαι· μᾶλλον δὲ, ὡς ὀφείλων ἀθανάτου ζωῆς διηνεκῶς ἀπολαύειν. εἰ γὰρ καὶ φορτικὸν τὸ μέλλον ῥηθήσεσθαι, καὶ φρίκης γέμον, ἀλλ' ὅμως ἀναγκαῖον εἰπεῖν. ἀρίθμησον μετὰ τῶν δούλων σου καὶ δεσπότην. ἐλευθεροῖς τοὺς δούλους; ἐλευθέρωσον καὶ Χριστὸν λιμοῦ, καὶ ἀνάγκης, καὶ δεσμωτηρίων, καὶ γυμνότητος. ἔφριξας ἀκούσας; οὐκοῦν φρικωδέστερον, ὅταν μηδὲ αὐτὸ τοῦτο ποιῇς. καὶ ἐνταῦθα μὲν τὸ ῥῆμά σε ναρκᾶν ἐποίησεν· ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, καὶ τὰ πολλῷ χαλεπώτερα τούτων ἀκούσῃς, καὶ τὰ ἀνήκεστα βλέπῃς βασανιστήρια, τί ἐρεῖς; πρὸς τίνα καταφεύξῃ; τίνα καλέσεις σύμμαχον καὶ βοηθόν; τὸν Ἀβραάμ; ἀλλ' οὐκ ἀκούσεται. ἀλλὰ τὰς παρθένους ἐκείνας; ἀλλ' οὐδὲ αὗταί σοι μεταδώσουσιν *ἐλαίου. ἀλλὰ τὸν πατέρα; ἀλλὰ τὸν πάππον; ἀλλ' οὐδὲ τούτων οὐδεὶς ἔσται κύριος, κἂν σφόδρα ἅγιος ᾖ, λῦσαι τὴν ψῆφον ἐκείνην. ταῦτ' οὖν ἅπαντα λογισάμενος, τὸν μόνον κύριον ὄντα τὸ χειρόγραφον ἐξαλεῖψαι τὸ σὸν, καὶ τὴν φλόγα ἐκείνην σβέσαι, τοῦτον ἱκέτευε καὶ παρακάλει, καὶ ποίησον ἵλεων, ἤδη τρέφων καὶ ἐνδύων διηνεκῶς· ἵνα καὶ ἐντεῦθεν μετὰ χρηστῆς ἀπέλθῃς ἐλπίδος, καὶ ἐκεῖ γενόμενος τῶν αἰωνίων ἀπολαύσῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιθ. 7 ΤΙ ΟΥΝ; Ο ΕΠΙΖΗΤΕΙ ΙΣΡΑΗΛ, ΤΟΥΤΟΥ οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν.

ΕΙπεν ὅτι οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ· καὶ δεικνὺς πῶς οὐκ ἀπώσατο, πάλιν ἐπὶ τοὺς προφήτας καταφεύγει. καὶ δι' αὐτῶν δηλώσας ὅτι τὸ πλέον μέρος τῶν Ἰουδαίων ἀπώλετο, ἵνα μὴ δόξῃ πάλιν οἴκοθεν ἐκφέρειν τὴν κατηγορίαν, καὶ ἐπαχθῆ τὸν λόγον ποιῇ, καὶ ὡς ἐχθρὸς αὐτῶν καθάπτεσθαι, ἐπὶ τὸν Δαβὶδ καὶ τὸν Ἡσαΐαν καταφεύγει λέγων, 8 Καθὼς γέγραπται, ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως. Μᾶλλον δὲ ἄνωθεν ἡμῖν ἀρκτέον τοῦ λόγου. καὶ γὰρ εἰπὼν τὰ κατὰ τὸν Ἡλίαν, καὶ δείξας τί ποτέ ἐστι χάρις, ἐπήγαγε, τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχε. τοῦτο δὲ οὐκ ἐρωτῶντος μᾶλλόν ἐστιν, ἢ ἐγκαλοῦντος. ἑαυτῷ γὰρ μάχεται, φησὶν, ὁ Ἰουδαῖος, ζητῶν δικαιοσύνην ἣν οὐ βούλεται λαβεῖν. εἶτα ἀποστερῶν αὐτοὺς πάλιν συγγνώμης,

μης, ἀπὸ τῶν εἰληφότων δείκνυσιν αὐτῶν τὴν ἀγνωμοσύνην, οὕτω λέγων· ἡ γὰρ ἐκλογὴ ἐπέτυχε, κἀκεῖνοι τούτους καταικρινοῦσιν. ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν, Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ κριταὶ ἔσονται ὑμῶν. ἵνα γὰρ μηδεὶς τῇ τοῦ πράγματος φύσει ἐγκαλῇ, ἀλλὰ τῇ ἐκείνων γνώμῃ, δείκνυσι καὶ τοὺς ἐπιτυχόντας. διὸ καὶ σφόδρα ἐμφαντικῶς τῇ λέξει κέχρηται, καὶ τὴν ἄνωθεν χάριν καὶ τὴν αὐτῶν σπουδὴν ἐνδεικνύμενος. οὐδὲ γὰρ ἵνα ἀνέλῃ τὸ αὐτεξούσιόν φησιν ὅτι ἐπέτυχεν, ἀλλ' ἵνα δηλώσῃ τῶν ἀγαθῶν τὸ μέγεθος, καὶ ὅτι τὸ πλέον τῆς χάριτος ἦν, οὐ τὸ πᾶν. ἐπεὶ καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα ἐπέτυχεν, ὁ δεῖνα εὗρεν, ὅταν πολὺ* κέρδος ᾖ τὸ γινόμενον. οὐδὲ γὰρ ἦν ἀνθρωπίνοις πόνοις, ἀλλὰ θείᾳ δωρεᾷ τὸ πλέον γέγονεν. Λουκ. ια. ιθ.

Οἱ δὲ λοιποὶ ἐπωρώθησαν. Ὅρα πότε ἐθάρρησεν εἰπεῖν οἰκείᾳ φωνῇ τὴν τῶν λοιπῶν ἐκβολήν. εἶπε μὲν γὰρ αὐτὴν καὶ ἤδη, ἀλλὰ τοὺς προφήτας εἰσάγων κατηγοροῦντας. ἐνταῦθα δὲ καὶ αὐτὸς λοιπὸν ἀποφαίνεται. ἀλλ' ὅμως οὐδὲ ἐνταῦθα ἀρκεῖται τῇ οἰκείᾳ ἀποφάσει, ἀλλὰ πάλιν τὸν Ἡσαΐαν εἰσάγει τὸν προφήτην. εἰπὼν γάρ, ἐπωρώθησαν, ἐπήγαγε, καθὼς γέγραπται, Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως. καὶ πόθεν μὲν ἡ πώρωσις αὕτη; εἶπε μὲν καὶ ἔμπροσθεν τὰς αἰτίας, καὶ τὸ πᾶν εἰς τὴν αὐτῶν περιέτρεψε κεφαλήν, δεικνὺς ὅτι διὰ ἀκαίρου φιλονεικίας τοῦτο ὑπέμειναν. λέγει δὲ καὶ νῦν. ὅταν γὰρ εἴπῃ, Ησ. κθ. ι. Ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν,

Οὐδὲν ἕτερον, ἢ τὴν γνώμην αὐτῶν τὴν φιλόνεικον διαβάλλει. καὶ γὰρ ὀφθαλμοὺς ἔχοντες ὥστε ἰδεῖν τὰ θαύματα, καὶ ὦτα κεκτημένοι ὥστε ἀκοῦσαι τῆς θαυμαστῆς διδασκαλίας ἐκείνης, οὐδενὶ τούτων ἐχρήσαντο εἰς δέον. τὸ δὲ, ἔδωκεν, ἐνταῦθα μὴ ἐνέργειαν νόμιζε εἶναι, ἀλλὰ συγχώρησιν. κατάνυξιν δὲ ἐνταῦθα τὴν περὶ τὸ χεῖρον ἕξιν τῆς ψυχῆς φησι, τὴν ἀνιάτως ἔχουσαν καὶ ἀμεταθέτως. ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ Δαβίδ, Ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ· τουτέστιν, οὐ μὴ μεταστῶ, οὐ μὴ μεταβληθῶ. Ψαλμ. κθ. ιγ. ὥσπερ γὰρ ὁ ἐν εὐλαβείᾳ κατανενυγμένος οὐκ ἂν εὐκόλως μετασταίη, οὕτω καὶ ὁ ἐν πονηρίᾳ κατανυγεὶς, πάλιν οὐκ ἂν ῥᾳδίως μεταβάλλοιτο. κατανυγῆναι γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ ἐμπαγῆναί που καὶ προσηλῶσθαι. τὸ τοίνυν ἀνίατον τῆς γνώμης αὐτῶν καὶ δυσμετάθετον δηλῶν, πνεῦμα κατανύξεως εἶπεν. εἶτα δεικνὺς ὅτι τῆς ἀπιστίας ταύτης τὴν ἐσχάτην δώσουσι δίκην, πάλιν ἐπάγει τὸν προφήτην τὰ αὐτὰ ἀπειλοῦντα, ἅπερ διέβη καὶ τέλος ἔλαβε.

9 Γενηθήτω γάρ, φησιν, ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον· Τουτέστιν, ἡ τρυφή, τὰ ἀγαθὰ πάντα μεταβαλλέσθω καὶ ἀπολλύσθω, καὶ γενέσθωσαν εὐχείρωτοι πᾶσι. καὶ δηλῶν ὅτι ἁμαρτημάτων τίνουσι δίκην ταῦτα πάσχοντες, ἐπήγαγε, Καὶ εἰς ἀνταπόδομα αὐτοῖς.

10 Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. Ταῦτ' οὖν ἑρμηνείας δεῖταί τινος; οὐχὶ καὶ τοῖς σφόδρα ἀνοήτοις δῆλά ἐστι; καὶ πρὸ τῶν ἡμετέρων ῥημάτων αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις προλαβοῦσα μαρτυρεῖ τοῖς εἰρημένοις. πότε γὰρ οὕτως εὐχείρωτοι γεγόνασι; πότε εὐάλωτοι; πότε οὕτω τὸν νῶτον αὐτῶν συνέκαμψε; πότε τοιαύτην δουλείαν ὑπέστησαν; καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ λύσις ἔσται τῶν δεινῶν τούτων· ὃ καὶ αὐτὸ ὁ προφήτης ᾐνίξατο. οὐδὲ γὰρ ἁπλῶς εἶπε, τὸν νῶτον αὐτῶν σύγκαμψον, ἀλλὰ καὶ διαπαντός. εἰ δὲ φιλονεικεῖς, ὦ Ἰουδαῖε, περὶ τοῦ τέλους, ἀπὸ τῶν φθασάντων μάνθανε καὶ τὰ μέλλοντα. κατέβης εἰς Αἴγυπτον· ἀλλ' ἐγένετο διακόσια ἔτη, καὶ ταχέως τῆς δουλείας ἐκείνης σε ἀπήλλαξεν ὁ Θεός, καὶ ταῦτα ἀσεβοῦντα, καὶ πορνεύοντα τὴν χαλεπωτάτην πορνείαν· ἀπηλλάγης Αἰγύπτου, καὶ προσεκύνησας τὸν μόσχον, ἔθυσας τοὺς υἱούς σου τῷ Βεελφεγώρ, τὸν ναὸν ἐμόλυνας, πᾶν εἶδος ἐπῆλθες κακίας, τὴν φύσιν αὐτὴν ἠγνόησας, τὰ ὄρη, τὰς νάπας, τοὺς βουνούς,

τὰς πηγάς, οὐ ποταμούς, οὐ κήπους τῶν θυσιῶν ἐνέπλησας τῶν σφαγῶν, προφήτας ἔσκαψας, θυσιαστήρια κατέστρεψας, πᾶσαν ὑπερβολὴν ἐνεδείξω πονηρίας καὶ ἀσεβείας. ἀλλ' ὅμως ἑβδομήκοντα ἔτη παραδοὺς Βαβυλωνίοις, πάλιν ἐπὶ τὴν προτέραν ἐπανήγαγεν ἐλευθερίαν, καὶ τὸν ναόν, καὶ τὴν πατρίδα ἀπέδωκε, καὶ τὸ παλαιὸν τῆς προφητείας σχῆμα, καὶ προφῆται πάλιν, καὶ πνεύματος χάρις. μᾶλλον δὲ οὐδὲ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας ἐγκατελείφθης, ἀλλὰ καὶ ἐκεῖ Δανιὴλ καὶ Ἰεζεκιήλ, καὶ ἐν Αἰγύπτῳ Ἱερεμίας, καὶ ἐν ἐρήμῳ Μωϋσῆς. μετ' ἐκεῖνα πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες κακίαν, καὶ ἐξεβακχεύθης, καὶ πρὸς τὴν ἑλληνικὴν μετετάξω πολιτείαν ἐπὶ Ἀντιόχου τοῦ ἀσεβοῦς. ἀλλὰ καὶ τότε, ἔτη τρία μόνον καὶ μικρόν τι πρός, Ἀντιόχῳ παραδοθέντες, διὰ τῶν Μακκαβαίων τὰ λαμπρὰ πάλιν ἐστήσατε τρόπαια. ἀλλὰ νῦν τοιοῦτον οὐδέν, ἀλλὰ τοὐναντίον ἅπαν γέγονεν. ὃ καὶ μάλιστά ἐστι θαυμάσαι, ὅτι τὰ μὲν τῆς κακίας ἔληξε, τὰ δὲ τῆς τιμωρίας ἐπιτέταται, καὶ οὐδὲ ἐλπίδα τινὰ ἔχει μεταβολῆς. οὐδὲ γὰρ ἑβδομήκοντα ἔτη παρῆλθε μόνον, οὐδὲ ἑκατόν, οὐδὲ δὶς τοσαῦτα, ἀλλὰ * τριακόσια καὶ * καὶ
πολλῷ πλείονα, καὶ οὔτε σκιὰν ἐλπίδος τοιαύτης ἔστιν εὑρεῖν· καίτοι οὔτε εἰδωλολατρευόντων χ. πλεί.
ὑμῶν, οὔτε τὰ ἄλλα ποιούντων ἅπερ ἔμπροσθεν ἐτολμᾶτε. τί ποτ' οὖν ἐστι τὸ αἴτιον; διεδέξατο τὸν τύπον ἡ ἀλήθεια, καὶ τὸν νόμον ἐξέκλεισεν ἡ χάρις· ἅπερ οὖν ἄνωθεν προαναφωνῶν ὁ προφήτης ἔλεγε, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. εἶδες προφητείας ἀκρίβειαν, πῶς καὶ τὴν ἀπιστίαν προανεφώνησε, καὶ τὴν φιλονεικίαν ἔδειξε, καὶ τὴν ἐπομένην δίκην ἐδήλωσε, καὶ τὸ ἀπέραντον τῆς κολάσεως ἐνεδείξατο; ἐπειδὴ γὰρ πολλοὶ τῶν παχυτέρων τοῖς μέλλουσι διαπιστοῦντες, ἀπὸ τῶν παρόντων τὰ
μέλλοντα ἐβούλοντο ἰδεῖν, ἐντεῦθεν ἤδη ἐφ' ἑκάτερα τῆς ἑαυτοῦ δυνάμεως τὴν ἀπόδει- χ. ἐπίστη
ξιν παρέσχετο ὁ Χριστός, τοὺς μὲν ἐξ ἐθνῶν πιστεύσαντας ἐπάρας ὑπὲρ τὸν οὐρανόν, τοὺς δὲ ἐξ Ἰουδαίων ἀπιστήσαντας εἰς ἔσχατον ἐρημίας κατενεγκών, καὶ ἀλύτοις κακοῖς παραδούς. καθαψάμενος τοίνυν αὐτῶν σφοδρῶς, καὶ ἀφ' ὧν ἠπίστησαν, καὶ ἀφ' ὧν ἔπαθόν τε καὶ ἔμελλον πείσεσθαι, πάλιν παραμυθεῖται τὰ εἰρημένα, γράφων οὕτω,

11 Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο. Ὅτε ἔδειξε μυρίων ὄντας κακῶν ὑπευθύνους, τότε παραμυθίαν ἐπινοεῖ. καὶ σκόπει τὴν σύνεσιν Παύλου· τὴν μὲν κατηγορίαν ἀπὸ τῶν προφητῶν εἰσήγαγε, τὴν δὲ παραμυθίαν παρ' αὐτοῦ τίθησιν. ὅτι μὲν γὰρ αὐτοῖς ἡμάρτηται μεγάλα, φησίν, οὐδεὶς ἀντερεῖ· ἴδωμεν δέ, εἰ τοιοῦτον
τὸ πταῖσμα, ὡς καὶ ἀνίατον εἶναι, καὶ μηδεμίαν ἔχειν διόρθωσιν. ἀλλ' οὐκ ἔστι τοιοῦτον. εἶδες χ. ἔχει
πῶς αὐτῶν πάλιν καθάπτεται, καὶ ἐν προσδοκίᾳ παραμυθίας ὑπευθύνους ποιεῖ ἁμαρτημάτων ὁμολογουμένων; ἴδωμεν δὲ τίνα αὖθις καὶ παραμυθίαν ἐπινοεῖ. τίς οὖν ἡ παραμυθία; Ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, φησί, τότε πᾶς Ἰσραὴλ σωθήσεται, κατὰ τὸν καιρὸν τῆς παρουσίας τῆς δευτέρας, καὶ τῆς συντελείας. ἀλλ' εὐθέως μὲν τοῦτο οὐ λέγει. ἐπειδὴ δὲ σφοδρῶς αὐτῶν κατέδραμε, καὶ κατηγορίας συνῆψε κατηγορίας, προφήτας ἐπὶ προφήταις εἰσάγων καταβοῶντας αὐτῶν, τὸν Ἠσαΐαν, τὸν Ἠλίαν, τὸν Δαβίδ, τὸν Μωϋσέα, τὸν Ὠσηέ, καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις· ἵνα μὴ ταύτῃ καὶ τούτους εἰς ἀπόγνωσιν ἐμβαλών, ἀποτειχίσῃ τὴν πρὸς τὴν πίστιν ἐπάνοδον, καὶ τοὺς ἐξ ἐθνῶν πάλιν πιστεύσαντας εἰς ἀπόνοιαν ἐπάρῃ, καὶ φυσηθέντες καὶ αὐτοὶ βλαβῶσιν εἰς τὸν τῆς πίστεως λόγον, παραμυθεῖται πάλιν αὐτοὺς λέγων, Ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσι. Δεῖ δὲ ἡμᾶς οὐχ ἁπλῶς ἀκούειν τῶν λεγομένων, ἀλλὰ τὴν γνώμην εἰδέναι καὶ τὸν σκοπὸν τοῦ λέγοντος, καὶ τί κατορθῶσαι ἐσπούδαζεν· ὅπερ ἀεὶ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην. ἂν γὰρ μετὰ τῆς διανοίας ταύτης δεξώμεθα τὰ εἰρημένα, ἐν οὐδενὶ

τούτων ἑπόμεθα δυσκολίας οὔσης. τὸ γὰρ σπουδαζόμενον αὐτῷ νῦν, τοῦτό ἐστι τὴν εἰρημένην ἐγγινομένην ἀπόνοιαν τοῖς ἐξ ἐθνῶν καταλῦσαι. οὕτω γὰρ καὶ οὗτοι ἀσφαλέστεροι μένειν ἔμελλον ἐν τῇ πίστει, μετριάζειν μαθόντες· καὶ οἱ ἐξ Ἰουδαίων τῆς ἀπογνώσεως ἀπαλλαγέντες, τῇ χάριτι προθυμότερον προσιέναι. πρὸς τοῦτον τοίνυν τὸν σκοπὸν ὁρῶντες, πάντων ἀκούωμεν τῶν ἐν τῷ χωρίῳ τούτῳ λεγομένων. τί οὖν φησι; καὶ πόθεν δείκνυσιν ὅτι οὐχ ἁμαρτίαν ἔπεσον, οὐδὲ εἰς τέλος ἐξεβλήθησαν; ἀπὸ τῶν ἐθνῶν, οὕτω λέγων.

Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία ἐν τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς.

Οὗτος δὲ οὐκ αὐτοῦ μόνον ὁ λόγος, ἀλλὰ καὶ ἐν τοῖς εὐαγγελίοις τοῦτο βούλονται αἱ παραβολαί. καὶ γὰρ ὁ τοὺς γάμους ποιήσας τῷ υἱῷ, ἐπειδὴ οἱ κεκλημένοι οὐκ ἠθέλησαν ἐλθεῖν, τότε τοὺς ἐν ταῖς τριόδοις ἐκάλεσε. καὶ ὁ τὸν ἀμπελῶνα δὲ καταφυτεύσας, ἐπειδὴ ἔσφαξαν οἱ γεωργοὶ τὸν κληρονόμον, τότε ἐξέδωκεν ἑτέροις τὸν ἀμπελῶνα. καὶ χωρὶς δὲ παραβολῆς αὐτὸς ἔλεγεν, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. καὶ τῇ Συροφοινικίσσῃ δὲ ἐπιμενούσῃ πλέον τι πάλιν ἔλεγεν· Οὐ γὰρ ἐστὶ καλόν, φησι, λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. καὶ ὁ Παῦλος δὲ πρὸς τοὺς στασιάζοντας τῶν Ἰουδαίων, Ὑμῖν ἦν πρῶτον, φησίν, ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀναξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. καὶ διὰ πάντων δηλοῦται, ὅτι ἡ μὲν ἀκολουθία τῶν πραγμάτων αὕτη ἦν, ἐκείνους προσελθεῖν πρώτους, καὶ τότε τοὺς ἐξ ἐθνῶν. ἐπειδὴ δὲ ἠπίστησαν, ἀντεστράφη ἡ τάξις· καὶ ἡ ἀπιστία αὐτῶν καὶ τὸ παράπτωμα τούτους ἐποίησεν εἰσενεχθῆναι προτέρους. διό φησι, τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. εἰ δὲ τὸ ἐξ ἀκολουθίας ἐκβὰν ὡς προηγουμένως γεγενημένον λέγει, μὴ θαυμάσῃς· βούλεται γὰρ αὐτῶν παραμυθήσασθαι πεπληγυίας τὰς ψυχάς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἦλθε πρὸς αὐτοὺς Ἰησοῦς· οὐκ ἐδέξαντο αὐτὸν μυρία θαυματουργοῦντα, ἀλλ' ἐσταύρωσαν. ἐπεσπάσαντο λοιπὸν τὰ ἔθνη, ἵνα ἡ ἐκείνων τιμὴ δάκνουσα αὐτῶν τὴν ἀμαθωσύνην, κἂν ἐκ τῆς πρὸς ἑτέρους φιλονεικίας αὐτοὺς πείσῃ προσελθεῖν. ἔδει μὲν γὰρ δεχθῆναι ἐκείνους πρώτους, καὶ τότε ἡμᾶς. διὸ καὶ ἔλεγε, Δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι. ἐπειδὴ δὲ ἀπεσκίρτησαν, οἱ δεύτεροι πρῶτοι γεγόναμεν. εἶδες τοίνυν πόσην αὐτοῖς συνάγει πανταχόθεν τιμήν. μίαν μὲν, ὅτι τότε φησὶν ἡμᾶς κληθῆναι, ὅτε αὐτοὶ οὐκ ἠθέλησαν· δευτέραν δὲ, ὅτι διὰ τοῦτό φησι κληθῆναι, οὐχ ἵνα ἡμεῖς σωθῶμεν μόνον, ἀλλ' ἵνα καὶ ἐκεῖνοι διὰ τῆς ἡμετέρας σωτηρίας ζηλώσαντες, βελτίους γένωνται. τί οὖν φησιν; εἰ μὴ διὰ τοὺς Ἰουδαίους, οὐκ ἂν ἐκλήθημεν καὶ ἐσώθημεν; οὐκ ἂν πρὸ ἐκείνων, ἀλλ' ἐν τῇ προσηκούσῃ τάξει. διὸ καὶ ὅτε τοῖς μαθηταῖς ἔλεγεν, οὐκ εἶπεν ἁπλῶς, Πορεύεσθε πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, ἀλλά, πορεύεσθε μᾶλλον*, δεικνὺς ὅτι καὶ πρὸς ἐκεῖνα δεῖ μετὰ ταῦτα ἀπελθεῖν. καὶ Παῦλος πάλιν οὐκ εἶπεν, Ἀναγκαῖον ὑμῖν λαληθῆναι τὸν λόγον, ἀλλ', ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι*, δεικνὺς ὅτι καὶ ἐκ δευτέρου καὶ ἡμῖν. ταῦτα δὲ καὶ ἐγένετο καὶ ἐλέγετο, ἵνα μηδὲ ἀναίσχυντον ἔχωσιν ἐκεῖνοι πρόφασιν ὡς παροφθέντες, καὶ διὰ τοῦτο μὴ πιστεύσαντες. διὰ δὴ τοῦτο καὶ πάντα προειδὼς ὁ Χριστὸς, ὅμως πρὸς αὐτοὺς παρεγένετο πρώτους.

12 Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν; Ἐνταῦθα πρὸς χάριν αὐτοῖς διαλέγεται. καὶ γὰρ εἰ μυριάκις παρέπεσον οὗτοι, οὐκ ἂν ἐσώθη τὰ ἔθνη, εἰ μὴ πίστιν ἐπεδείξατο· ὥσπερ οὖν οἱ Ἰουδαῖοι οὐκ ἂν ἀπώλοντο, εἰ μὴ ἠπίστησαν καὶ ἐφιλονείκησαν. ἀλλ', ὅπερ ἔφην, παραμυθεῖται αὐτοὺς κειμένους, ἐκ περιουσίας παρασκευάζων θαρρεῖν ὑπὲρ τῆς σωτηρίας αὐτῶν, εἰ μεταθοῖντο. εἰ γὰρ ὅτε, φησί, προσέκρουσαν, τοσοῦτοι σωτηρίας ἀπήλαυσαν,

Ματθ. κϐ. θ.
Ματθ. κα. λη. καὶ λθ.
Ματθ. ιε. κϛ.
Πραξ. ιγ. μϛ.
Ρωμ. α. ιϛ.
Ματθ. ι. ϛ.
Πραξ. ιγ. μϛ.

ρὸς τὰ … όβατα, … τὸν λόγον,

πέπλευσαν, καὶ ἐν τῷ ἐκβληθῆναι ἐκείνους τοσοῦτοι ἐκλήθησαν, ἐννόησον τί ἔσται, ὅταν ἐπιστρέψωσιν. οὐ γὰρ εἶπε πόσῳ μᾶλλον ἡ ἐπιστροφὴ αὐτῶν, οὐδὲ ἡ μεταβολὴ αὐτῶν, οὐδὲ τὸ κατόρθωμα αὐτῶν, ἀλλὰ πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν, τουτέστιν, ὅτε πάντες εἰσιέναι μέλλουσι. τοῦτο δὲ εἶπε δεικνὺς καὶ τότε τὸ πλέον τῆς χάριτος ἐσόμενον, καὶ τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ σχεδὸν τὸ πᾶν.

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μὲν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω·

14 Εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν.

Πάλιν ὑποψίας πονηρᾶς ἑαυτὸν ἀπαλλάξαι ἐσπούδακε. καὶ δοκεῖ μὲν ἐπιπλήττειν τοῖς ἐξ ἐθνῶν, καὶ ταπεινοῦν αὐτῶν τὰ φρονήματα, ἠρέμα δὲ παρακνίζει τοὺς Ἰουδαίους· καὶ περιέρχεται μὲν ζητῶν περιστεῖλαι καὶ παραμυθήσασθαι τὴν τοσαύτην αὐτῶν ἀπώλειαν· οὐδὲν δὲ εὑρίσκει διὰ τὴν τῶν πραγμάτων φύσιν. καὶ γὰρ ἐξ ὧν εἴρηκε, μείζονος ἦσαν κατηγορίας ἄξιοι, ὅταν τὰ αὐτοῖς ἐμπεπιστευμένα ἕτεροι σφόδρα αὐτῶν ἀποδέοντες εἰληφότες ὦσι. διὰ δὴ τοῦτο, ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τοὺς ἐξ ἐθνῶν μεταβαίνει, καὶ μέσον παρεντίθησι τὸν περὶ τούτων λόγον, ἐνδείξασθαι βουλόμενος ὅτι ταῦτα πάντα λέγει, ἵνα αὐτοὺς μετριάζειν παιδεύσῃ. ἐπαινῶ γὰρ ὑμᾶς, φησι, διὰ δύο ταῦτα. δι' ἓν μέν, ὅτι ἀνάγκην ἔχω τὴν διακονίαν ὑμῶν ἐγκεχειρισμένος· δι' ἕτερον δέ, ἵνα δι' ὑμῶν ἑτέρους σώσω. καὶ οὐ λέγει, τοὺς ἀδελφούς μου, τοὺς συγγενεῖς μου, ἀλλὰ τὴν σάρκα. εἶτα τὴν φιλονεικίαν αὐτῶν ἐνδεικνύμενος, οὐ λέγει, Εἴ πως πείσω, ἀλλά, παραζηλώσω καὶ σώσω, καὶ οὐδὲ ἐνταῦθα πάντας, ἀλλά τινας ἐξ αὐτῶν· οὕτως ἦσαν σκληροί. καὶ ἐν αὐτῇ τῇ ἐπιτιμήσει δὲ λαμπρὰ δείκνυσι πάλιν τὰ τῶν ἐθνῶν, εἴγε καὶ αἴτιοι γίνονται σωτηρίας αὐτοῖς, καὶ οὐ διὰ τῶν αὐτῶν. ἐκεῖνοι μὲν γὰρ τούτοις ἐξ ἀπιστίας, οὗτοι δὲ ἐκείνοις ἀπὸ πίστεως πρόξενοι γίνονται τῶν ἀγαθῶν. ὅθεν δοκεῖ καὶ ἰσάζειν, καὶ πλεονεκτεῖν τὰ τῶν ἐθνῶν. τί γὰρ ἂν εἴποις, ὦ Ἰουδαῖε; εἰ μὴ ἐξεβλήθημεν ἡμεῖς, οὐκ ἂν ἐκλήθητε εὐθέως ὑμεῖς; τοῦτο δὲ λέγει καὶ ὁ ἐξ ἐθνῶν, εἰ μὴ ἐσώθην ἐγώ, οὐκ ἂν ἐζήλωσας σύ. εἰ δὲ καὶ ὃ πλεονεκτοῦμεν βούλει μαθεῖν, ἐγὼ μὲν ἐκ τοῦ πιστεῦσαι, σὲ σώζω· σὺ δὲ προσκεκρουκώς, πρόοδον ἡμῖν δέδωκάς σου προτέραν. εἶτα πάλιν αἰσθόμενος ὅτι καθήψατο αὐτῶν, ὃ πρότερον ἀναλαμβάνει, καί φησιν,

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

Ἀλλὰ καὶ τοῦτο αὐτοὺς καταδικάζει πάλιν· εἴγε ἄλλοι μὲν ἐκ τῶν ἁμαρτημάτων αὐτῶν ἐκέρδανον, οὗτοι δὲ ἐκ τῶν ἑτέρων κατορθωμάτων οὐκ ὠφελήθησαν. εἰ δὲ ὃ ἐξ ἀνάγκης συμβαίνει, τοῦτο ἐκείνων εἶναί φησι, μὴ θαυμάσῃς. ἵνα γὰρ καὶ τούτους (ὃ πολλάκις εἶπον) καταστείλῃ, κἀκείνους προτρέψῃ, οὕτω σχηματίζει τὸν λόγον. ὅπερ γὰρ ἔφθην εἰπών, κἂν μυριάκις ἀπεβλήθησαν Ἰουδαῖοι, πίστιν δὲ μὴ ἐπεδείξαντο τὰ ἔθνη, οὐκ ἂν ἐσώθησάν ποτε. ἀλλὰ τῷ ἠθετηκότι παρίσταται μέρει, καὶ βοηθεῖ τῷ πεπονηκότι. ὅρα δὲ καὶ ἐν οἷς χαρίζεται διὰ ῥημάτων αὐτοὺς παραμυθούμενος μόνον. εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, φησι, καταλλαγὴ κόσμου. καὶ τί τοῦτο πρὸς Ἰουδαίους, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν; ἀλλ' οὐδὲ τοῦτό τι πρὸς ἐκείνους, εἰ μὴ προσελήφθησαν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ὀργιζόμενος αὐτοῖς τοσαῦτα ἐχαρίσατο ἑτέροις· ὅταν αὐτοῖς καταλλαγῇ, τί οὐ χαριεῖται; ἀλλ' ὥσπερ ἡ ἀνάστασις τῶν νεκρῶν οὐ διὰ τὴν πρόσληψιν αὐτῶν, οὕτως οὐδὲ νῦν ἡ σωτηρία ἡ ἡμετέρα δι' αὐτούς. ἀλλ' ἐξεβλήθησαν μὲν ἐκ τῆς ἀνοίας αὐτῶν, ἐσώθημεν δὲ ἀπὸ τῆς πίστεως ἡμεῖς, καὶ τῆς ἄνωθεν χάριτος. τούτων δὲ οὐδὲν ἐκείνους ὠφελῆσαι δύναται, εἰ μὴ τὴν προσήκουσαν ἐπιδείξαιντο πίστιν. πλὴν ἀλλὰ τὰ αὐτοῦ συνήθη ποιῶν, προάγει τὸν λόγον εἰς ἕτερον ἐγκώμιον, οὐκ ὂν ἐγκώμιον, ἀλλὰ δοκοῦν εἶναι μόνον, τοὺς ἀρί-

στους

τοὺς τὴν ἰατρῶν μιμούμενος, οἳ τοσαῦτα παραμυθοῦνται τοὺς κάμνοντας, ὅσα ἡ τῆς ἀῤῥωστίας ἐπιδίδωσι φύσις. Τί γάρ φησιν;

16 Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

Ἀπαρχὴν ἐνταῦθα καὶ ῥίζαν καλῶν, τοὺς περὶ τὸν Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, τοὺς προφήτας, τοὺς πατριάρχας, τοὺς ἐπὶ τῆς παλαιᾶς εὐδοκιμηκότας ἅπαντας· κλάδους δὲ τοὺς ἐξ αὐτῶν πιστεύσαντας. Εἶτα ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς ἀπιστηκέναι, ὅρα πῶς αὐτὸ πάλιν ὑποτέμνεται, καί φησι,

17 Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν. Καὶ μὴν ἄνω ἔλεγες, ὅτι οἱ πλείους ἀπώλοντο, καὶ ὀλίγοι διεσώθησαν. Πῶς οὖν ἐνταῦθα ἐπὶ τῶν ἀπολλυμένων τὸ, τινὲς, τέθεικας, ὅπερ ὀλιγότητός ἐστιν ἐμφαντικόν; Οὐκ ἐμαυτῷ, φησὶ, περιπίπτων, ἀλλὰ θεραπεῦσαι σπεύδων, καὶ ἀνακτήσασθαι τοὺς πεπτωκότας. Εἶδες πῶς διὰ πάντων τοῦ χωρίου δείκνυται τοῦτο κατασκευάζων, τὸ βούλεσθαι παραμυθήσασθαι αὐτούς; κἂν ἀνέλῃς αὐτὸ, πολλὰ ἕψεται τὰ ἐναντιώματα. Σὺ δέ μοι σκόπει αὐτοῦ τὴν σοφίαν, πῶς δοκῶν ὑπὲρ αὐτῶν λέγειν, καὶ παραμυθίαν αὐτοῖς ἐπινοεῖν, * πλήττει λανθανόντως, καὶ πάσης ἀπολογίας δείκνυσιν ἐστερημένους, ἀπὸ τῆς ῥίζης, ἀπὸ τῆς ἀπαρχῆς. Ἐννόησον γὰρ πονηρίαν τῶν κλάδων, ὅτι μηδὲ ῥίζαν ἔχοντες γλυκεῖαν, μιμοῦνται αὐτήν· καὶ τὴν κακίαν τοῦ φυράματος, ὅταν μηδὲ ἀπὸ τῆς ἀπαρχῆς μεταβάλλῃ. Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν. Καὶ μὴν τὸ πλέον ἐξεκλάσθη· ἀλλ', ὅπερ ἔφην, βούλεται αὐτοὺς παραμυθεῖσθαι. Διὰ τοῦτο οὐδὲ περὶ ἑαυτῶν, ἀλλὰ περὶ ἐκείνων εἰσάγει τὸν λόγον, καὶ ἐν τούτῳ λανθανόντως αὐτῶν καθαπτόμενος, καὶ δεικνὺς τῆς τοῦ Ἀβραὰμ συγγενείας ἐκπεπτωκότας. Τοῦτο γὰρ ἦν ὃ ἐσπούδαζεν εἰπεῖν, ὅτι οὐδὲν κοινὸν πρὸς ἐκείνους ἔχουσιν. Εἰ γὰρ ἁγία ἡ ῥίζα, οὗτοι δὲ οὐχ ἅγιοι, ἄρα πόῤῥω τῆς ῥίζης οὗτοι. Εἶτα δοκῶν παραμυθήσασθαι τοὺς Ἰουδαίους, πάλιν πλήττει διὰ τῆς κατηγορίας τοὺς ἐξ ἐθνῶν. Εἰπὼν γὰρ, Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, ἐπήγαγε, Σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης.

Ὅσῳ γὰρ ἂν εὐτελὴς ᾖ ὁ ἐξ ἐθνῶν, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἀλγεῖ, τοῖς αὐτοῦ τοῦτον ἐντρυφῶντα ὁρῶν. Κἀκείνῳ δὲ οὐ τοσαύτη ἀπὸ τῆς εὐτελείας ἡ αἰσχύνη, ὅση ἀπὸ τῆς μεταβολῆς ἡ τιμή. Καὶ σκόπει σοφίαν· οὐκ εἶπεν, ἐνεφυτεύθης, ἀλλ', ἐνεκεντρίσθης, ἐν τούτῳ πάλιν δάκνων τὸν Ἰουδαῖον, καὶ δεικνὺς ἐν τῷ δένδρῳ τῷ αὐτοῦ τὸν ἐξ ἐθνῶν ἑστηκότα, καὶ τοῦτον κείμενον χαμαί. Διόπερ οὐδὲ μέχρι τούτου ἔστη, οὐδὲ εἰπὼν, ἐνεκεντρίσθης, ἀπηλλάγη (καίτοι τὸ πᾶν ἐδήλωσε τοῦτο) ἀλλ' ὅμως ἐνδιατρίβει τῇ εὐημερίᾳ τούτου, καὶ εὐρύνει τὴν εὐδοκίμησιν, λέγων, Καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου.

Καὶ δοκεῖ μὲν αὐτὸν ἐν τάξει προσθήκης τιθέναι· δείκνυσι δὲ οὐδὲν αὐτὸν ταύτῃ παραβλαπτόμενον, ἀλλὰ τὸ πᾶν ἔχοντα ὅσον εἶχεν ὁ κλάδος ὁ ἐκ τῆς ῥίζης ἀναβάς. Ἵνα γὰρ μὴ ἀκούσας, σὺ δὲ ἐνεκεντρίσθης, ἠλαττῶσθαι αὐτὸν νομίσῃς πρὸς τὸν ἔμφυτον κλάδον συγκρίνων, ὅρα πῶς αὐτὸν ἐξισοῖ, λέγων, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου· τουτέστιν, εἰς τὴν αὐτὴν κατέστης εὐγένειαν, εἰς τὴν αὐτὴν φύσιν. Εἶτα ἐπιπλήξας, καὶ εἰπὼν,

18 Μὴ κατακαυχῶ τῶν κλάδων, Δοκεῖ μὲν παραμυθεῖσθαι τὸν Ἰουδαῖον, δείκνυσι δὲ αὐτοῦ τὸ εὐτελὲς καὶ τὴν πολλὴν ἀτιμίαν. Διὰ τοῦτο οὐδὲ εἶπε, μὴ καυχῶ, ἀλλὰ, μὴ κατακαυχῶ, μὴ κατ' ἐκείνων καυχῶ ὥστε αὐτοὺς ἀποῤῥῆξαι· καὶ γὰρ εἰς τὰ ἐκείνων ἕστηκας, τῶν ἐκείνων ἀπολαύεις. Ὁρᾷς πῶς δοκεῖ μὲν ἐπιπλήττειν τούτοις, δάκνει δὲ ἐκείνους;

Εἰ δὲ κατακαυχᾶσαι, φησὶν, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. Τί οὖν πρὸς τοὺς κλάδους τοὺς ἐκκοπέντας; οὐδέν. Ὅπερ γὰρ ἔφθην εἰπὼν, σκιὰν ἵνα παραμυθίας ἀσθενῆ δοκῇ ἐπινοεῖν, καὶ ἐν αὐτῷ τῷ πρὸς τὸν ἐξ ἐθνῶν ἀποτείνεσθαι, χαλεί-

δω

ἂν αὐτοῖς δίδωσι πληγήν. Εἰπὼν γάρ, μὴ κατακαυχῶ, καὶ ὅτι εἰ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἔδειξε τῷ Ἰουδαίῳ ὅτι καυχήσεως ἄξια τὰ γεγενημένα, εἰ καὶ μὴ κατακαυχᾶσθαι δεῖ, καὶ διεγείρων αὐτόν, καὶ παροξύνων εἰς πίστιν, καὶ ἐν τάξει συμβούλου βάλλων, καὶ δεικνὺς αὐτῷ τὴν ζημίαν ἣν ὑπέμεινε, καὶ ὅτι τὰ ἐκείνων κατέχουσιν ἕτεροι.

19 Ἐρεῖς οὖν, ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. Πάλιν ἐν τάξει ἀντιθέσεως τὸ ἐναντίον τῷ προτέρῳ κατασκευάζει, δεικνὺς ὅτι καὶ τὰ μικρῷ ἔμπροσθεν εἰρημένα οὐχὶ προηγουμένως ἔλεγεν, ἀλλ' ἐφελκόμενος αὐτούς. Οὐκέτι γὰρ τὸ αὐτῶν παράπτωμα ἡ σωτηρία τοῖς ἔθνεσιν, οὐδὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου· οὐδὲ διὰ τοῦτο ἐσώθημεν ἐπειδὴ ἔπεσον, ἀλλὰ τοὐναντίον. Καὶ δείκνυσι προηγουμένην τὴν εἰς τὰ ἔθνη πρόνοιαν, εἰ καὶ δοκεῖ ἑτέρως σχηματίζειν τὰ εἰρημένα· καὶ ὅλον τὸ χωρίον δι' ἀντιθέσεως ὑφαίνει, ἑαυτὸν ἀπαλλάττων τῆς κατὰ τὴν ἀπέχθειαν ὑπονοίας, καὶ εὐπαράδεκτον ποιῶν τὸν λόγον.

20 Καλῶς. Ἐπῄνεσε τὸ εἰρημένον· εἶτα καὶ φοβεῖ πάλιν λέγων, Τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἐνεκεντρίσθης. Ἰδοὺ πάλιν ἕτερον ἐγκώμιον, καὶ ἐκείνων κατηγορία. Ἀλλὰ πάλιν αὐτῶν καταστέλλει τὸ φύσημα, ἐπάγων καὶ λέγων, Μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. Οὐ γὰρ φύσεως τὸ πρᾶγμά ἐστιν, ἀλλὰ πίστεως, καὶ ἀπιστίας. Καὶ δοκεῖ μὲν πάλιν ἐπιστομίζειν τὸν ἐξ ἐθνῶν, διδάσκει δὲ τὸν Ἰουδαῖον ὅτι οὐ δεῖ τῇ τῆς φύσεως εὐγενείᾳ προσέχειν· διὸ καὶ ἐπάγει, μὴ ὑψηλοφρόνει. Καὶ οὐκ εἶπε, ταπεινοῦ, ἀλλά, φοβοῦ. Ἡ γὰρ ἀπόνοια καταφρόνησιν ἐμποιεῖ καὶ ῥᾳθυμίαν. Εἶτα μέλλων ἐκτραγῳδεῖν αὐτῶν τὴν συμφοράν, ὥστε ἀνεπαχθέστερον ποιῆσαι τὸν λόγον, ἐν τάξει τῆς πρὸς ἐκεῖνον ἐπιτιμήσεως αὐτὸ τίθησιν οὕτω λέγων,

21 Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο. Καὶ οὐκ εἶπεν, οὐδὲ σοῦ φείσεται, ἀλλά, Μήπως οὐδὲ σοῦ φείσεται· Ὑποτεμνόμενος τοῦ λόγου τὸ φορτικόν, καὶ ποιῶν ἐναγώνιον τὸν πιστὸν ἔτι, κἀκείνους ἐφελκόμενος, καὶ τούτους καταστέλλων.

22 Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ. Ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δὲ σέ, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι. Ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. Καὶ οὐκ εἶπεν, ἴδε οὖν κατόρθωμα σόν, ἴδε οὖν πόνους σούς, ἀλλὰ Θεοῦ φιλανθρωπίαν, δεικνὺς ὅτι τὸ πᾶν τῆς χάριτος τῆς ἄνωθεν γέγονε, καὶ παρασκευάζων τρέμειν. Ἡ γὰρ ὑπόθεσις τῆς καυχήσεως αὕτη σε ποιεῖ δεδοικέναι. Ἐπεὶ γὰρ χρηστὸς περὶ σὲ γέγονεν ὁ δεσπότης, διὰ τοῦτο φοβοῦ. Οὐ γὰρ ἀκίνητά σοι μένει τὰ ἀγαθά, ἐὰν ῥᾳθυμῇς· ὥσπερ οὖν οὐδὲ ἐκείνοις τὰ κακά, ἐὰν μεταβάλλωνται. Καὶ γὰρ σύ, φησίν, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει, ἐκκοπήσῃ.

23 Καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. Οὐ γὰρ ὁ Θεὸς αὐτοὺς ἐξέκοψεν, ἀλλ' αὐτοὶ ἐξεκλάσθησαν, καὶ ἔπεσον. Καὶ καλῶς εἶπεν, ἐξεκλάσθησαν. Οὐδέποτε γὰρ οὕτως αὐτοὺς ἐξέβαλε, καίτοι πολλὰ πολλάκις ἡμαρτηκότας. Εἶδες ὅσον τῆς προαιρέσεως τὸ κῦρος, πόση τῆς γνώμης ἡ ἐξουσία; Οὐδὲν γὰρ τούτων ἀκίνητον, οὔτε τὸ σὸν καλόν, οὔτε τὸ ἐκείνου κακόν. Εἶδες πῶς καὶ ἐκεῖνον ἀπογινώσκοντα ἀνέστησε, καὶ τοῦτον θαρροῦντα κατέστειλε; Μήτε γὰρ σὺ ἀποτομίαν ἀκούων, ἀπαγορεύσῃς· μήτε τὴν χρηστότητα, θαρρήσῃς. Διὰ τοῦτό σε * ἀποτόμως ἐξέκοψεν, ἵνα ποθήσῃς ἐπανελθεῖν· διὰ τοῦτο περὶ σὲ χρηστότητα ἐνεδείξατο, ἵνα ἐπιμείνῃς. Καὶ οὐκ εἶπε, τῇ πίστει, ἀλλά, τῇ χρηστότητι, τουτέστιν, ἂν ἄξια τῆς τοῦ Θεοῦ φιλανθρωπίας πράττῃς. Οὐ γὰρ πίστεως δεῖ μόνον. Ὁρᾷς πῶς οὔτε ἐκείνους ἀφῆκε κεῖσθαι, οὔτε τούτους μέγα φρονεῖν, ἀλλὰ καὶ παρεζήλωσε τούτους, πάλιν δι' ἐκείνων δείξας τὸν Ἰουδαῖον εἶναι εἰς τὸν τούτου τόπον, καθάπερ ἐκεῖνος κατέλαβε τὸ τούτου χωρίον; Καὶ τὸν μὲν

ἐξ ἐθνῶν ἀπὸ τῶν Ἰουδαίων φόβῳ, καὶ τῶν ἐκείνοις συμβεβηκότων, ἵνα μὴ ἐπαίρωνται κατ' αὐτῶν· τὸν δὲ Ἰουδαῖον, ἀπὸ τῶν τοῦ Ἕλληνι παραχθέντων θαῤῥεῖν παρασκευάζει. καὶ γὰρ * σὺ ἐκκοπήσῃ, φησὶν, ἐὰν ῥαθυμῇς (καὶ γὰρ ὁ Ἰουδαῖος ἐξεκόπη) καὶ ἐκεῖνος ἐγκεντρισθήσεται, ἐὰν σπουδάζῃ· καὶ γὰρ * σὺ ἐνεκεντρίσθης. πάνυ δὲ συνετῶς ὅλον τὸν λόγον πρὸς τὸν ἐξ ἐθνῶν τρέπει, ἅπερ ἀεὶ ποιεῖν εἴωθεν, ἐν τῇ τῶν ἰσχυροτέρων ἐπιπλήξει τὸν ἀσθενῆ διορθούμενος. τοῦτο καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς ἐργάζεται, περὶ τῆς τῶν σιτίων διαλεγόμενος παρατηρήσεως. εἶτα καὶ ἐκ τῶν παρελθόντων αὐτὸν καταπασκευάζει, καὶ οὐκ ἀπὸ τῶν μελλόντων μόνον· ὅπερ μᾶλλον ἔπειθε τὸν ἀκροατήν. καὶ μέλλων λογισμῶν ἀκολουθίαν προσάγειν πόῤῥωτον, πρότερον ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἀπόδειξιν τίθησιν. εἰ γὰρ καὶ ἀπεκόπησαν, καὶ ἀπεῤῥίφθησαν, καὶ ἄλλοι τὰ αὐτῶν προκατέλαβον, μηδὲ οὕτως ἀπογνῷς.

Δυνατὸς γάρ ἐστι, φησι, πάλιν ὁ Θεὸς ἐγκεντρίσαι αὐτούς. Οὐκοῦν τὰ παρ' ἐλπίδα ποιῶν. εἰ δὲ καὶ πραγμάτων τάξιν ζητεῖς, καὶ λογισμῶν ἀκολουθίαν, ἔχεις οἴκοθεν τὸ ὑπόδειγμα μετὰ πλείονος τῆς περιουσίας.

24 Εἰ γὰρ σὺ, φησιν, ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι, ἐὰν κατὰ φύσιν ἐγκεντρισθῶσι τῇ ἰδίᾳ ἐλαίᾳ; Εἰ γὰρ τὸ παρὰ φύσιν ἴσχυσεν ἡ πίστις, πολλῷ μᾶλλον τὸ κατὰ φύσιν. εἰ γὰρ σὺ τῶν κατὰ φύσιν αὐτοῦ πατέρων ἐκκοπεὶς, ἦλθες παρὰ φύσιν πρὸς Ἀβραὰμ, πολλῷ μᾶλλον σὺ τοὺς οἰκείους ἀπολαβεῖν δυνήσῃ. τοῦ γὰρ ἐθνικοῦ τὸ μὲν κακὸν κατὰ φύσιν (ἀγριέλαιος γὰρ κατὰ φύσιν ἦν) τὸ δὲ καλὸν, παρὰ φύσιν (παρὰ φύσιν γὰρ ἐνεκεντρίσθη τῷ Ἀβραὰμ) σοῦ δὲ τοὐναντίον τὸ καλὸν κατὰ φύσιν. οὐ γὰρ ἐν ἀλλοτρίᾳ ῥίζῃ, ὥσπερ ὁ ἐθνικὸς, ἀλλ' ἐν οἰκείᾳ παγήσῃ, ἐὰν βουληθῇς ἐπανελθεῖν. πῶς οὖν ἂν εἴης ἄξιος συγγνώμης, ὅταν τοῦ ἐθνικοῦ τὸ παρὰ φύσιν δυνηθέντος, σὺ τὸ κατὰ φύσιν μὴ ἰσχύσῃς, ἀλλὰ καὶ τοῦτο προδῷς; εἶτα ἐπειδὴ εἶπε, παρὰ φύσιν, καὶ ἐνεκεντρίσθης, ἵνα μὴ πλέον τι τῶν Ἰουδαίων ἔχειν νομίζῃς, πάλιν αὖ τὸ διορθοῦται λέγων καὶ αὐτὸν ἐγκεντρίζεσθαι. πόσῳ μᾶλλον οὗτοί, φησιν, οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; καὶ πάλιν, δυνατὸς ὁ Θεὸς ἐγκεντρίσαι αὐτούς. καὶ περὶ τούτου δὲ φησιν, ὅτι ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. παρὰ φύσιν δὲ καὶ κατὰ φύσιν ὅταν ἀκούσῃς αὐτοῦ συνεχῶς λέγοντος, μὴ τὴν ἀκίνητον ταύτην φύσιν νόμιζε λέγειν αὐτὸν, ἀλλὰ καὶ τὸ εἰκὸς καὶ τὸ ἀκόλουθον, καὶ τὸ ἀπεικὸς πάλιν τούτοις δηλοῦν τοῖς ὀνόμασιν. οὐ γὰρ φύσει τὰ καλὰ καὶ τὰ μὴ τοιαῦτα, ἀλλὰ γνώμης καὶ προαιρέσεως μόνης. σκόπει δὲ αὐτοῦ καὶ τὸ ἀνεπαχθές. εἰπὼν γὰρ, ὅτι καὶ σὺ ἐκκοπήσῃ, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει, καὶ οὗτοι ἐγκεντρισθήσονται, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, τὸ σκυθρωπότερον ἀφεὶς, τὸ χρηστότερον κατασκευάζει, καὶ εἰς αὐτὸ τελευτᾷ, μεγάλας τοῖς Ἰουδαίοις ὑφαίνων ἐλπίδας, εἰ βουληθεῖεν. διὸ καὶ ἐπάγει λέγων,

25 Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι· Μυστήριον ἐνταῦθα, τὸ ἀγνοούμενον καὶ ἀπόῤῥητον λέγων, καὶ πολὺ μὲν τὸ θαῦμα, πολὺ δὲ τὸ παράδοξον ἔχον· ὥσπερ καὶ ἀλλαχοῦ φησιν, Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα. τί οὖν ἐστι τὸ μυστήριον; α. Κορ. ιε να.

Ὅτι πώρωσις τῷ Ἰσραὴλ ἀπὸ μέρους γέγονεν. Ἐνταῦθα πάλιν πλήττει τῶν Ἰουδαίων, δοκῶν καταστέλλειν τῶν ἐξ ἐθνῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, ὅτι οὐκ ἐξ ὁλοκλήρου ἡ ἀπιστία, ἀλλὰ ἐκ μέρους. ὥσπερ ὅταν λέγῃ, Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους (ἵνα μὴ ἐπιβαρῶ) πάντας ὑμᾶς. καὶ, Ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. οὕτω δὴ καὶ ἐνταῦθά φησι τοῦτο ὅπερ ἀνωτέρω ἔλεγον, Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω· καὶ πάλιν, τί οὖν; ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο. τοῦτο δὴ καὶ ἐνταῦθα λέγει· ὅτι οὐχ ὁλόκληρον ἀπώλεσται τὸ ἔθνος, ἀλλὰ καὶ ἤδη πολλοὶ ἐπίστευ- β. Κορ. β. ε. / Ρωμ. ια. ια.

σαι, καὶ μέλλουσι πάλιν πιστεύειν. Εἶτα ἐπειδὴ μέγα ἐπηγγείλατο, φέρει μάρτυρα τὸν προφήτην οὕτω λέγοντα. ὅτι μὲν γὰρ πώρωσις γέγονεν, οὐ παράγει μαρτυρίαν (καὶ γὰρ δῆλον ἅπασιν ἦν) ὅτι δὲ πιστεύσουσι, καὶ σωθήσονται, τὸν Ἡσαΐαν πάλιν εἰσάγει βοῶντα, καὶ λέγοντα,

26 Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ.

Εἶτα τὸ παράσημον τῆς σωτηρίας τιθεὶς, ἵνα μή τις εἰς τὸν ἔμπροσθεν αὐτὸ χρόνον ἑλκύσῃ καὶ συζεύξῃ, φησί,

27 Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν.

Οὐχ ὅταν περιτμηθῶσιν, οὐχ ὅταν θύσωσιν, οὐχ ὅταν τὰ ἄλλα νόμιμα ποιῶσιν, ἀλλ' ὅταν ἁμαρτημάτων ἀφέσεως τύχωσιν. Εἰ τοίνυν τοῦτο ἐπήγγελται, γέγονε δὲ ἐπ' αὐτῶν οὐδέπω, οὐδὲ ἀπήλαυσαν τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως, πάντως ἔσται· διὸ καὶ ἐπήγαγεν,

29 Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ. Καὶ οὐδὲ τούτῳ μόνον αὐτοὺς παραμυθεῖται, ἀλλὰ καὶ τῷ ἤδη συμβεβηκότι. καὶ ὅπερ ἐξ ἀκολουθίας συνέβη, τοῦτο ὡς προηγούμενον τίθησιν, οὕτω λέγων,

28 Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας. Ἵνα γὰρ μὴ φυσᾶται ὁ ἐξ ἐθνῶν, λέγων, ἐγὼ ἔστηκα, μή μοι λέγε, τί ἀπεγένετο, ἀλλὰ τί γέγονε, καὶ ἐντεῦθεν αὐτὸν καταστέλλει λέγων, κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς. ἐπειδὴ γὰρ ὑμεῖς ἐκλήθητε, φιλονεικότεροι γεγόνασιν ἐκεῖνοι. ἀλλ' ὅμως ὁ Θεὸς οὐδὲ οὕτως ἀνέκοψεν ὑμῶν τὴν κλῆσιν, ἀλλ' ἀνέμενε πάντας τοὺς ἐξ ἐθνῶν μέλλοντας πιστεύειν εἰσελθεῖν, καὶ τότε κἀκεῖνοι ἥξουσιν. Εἶτα χαρίζεται καὶ ἑτέραν τινὰ χάριν αὐτοῖς λέγων, κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας. καὶ τί τοῦτο; ἔνθα μὲν γὰρ ἐχθροὶ, ἡ κόλασις αὐτῶν· ἔνθα δὲ ἀγαπητοὶ, οὐδὲν πρὸς αὐτοὺς ἡ τῶν προγόνων ἀρετὴ, ἐὰν μὴ πιστεύσωσιν. ἀλλ' ὅμως, ὅπερ ἔφθην εἰπὼν, οὐ παύεται ῥήμασιν αὐτοὺς παραμυθούμενος, ἵνα ἐφελκύσηται. διὸ καὶ ἑτέρωθεν κατασκευάζων τὸ ἔμπροσθεν εἰρημένον, φησίν,

30 Ὥσπερ γὰρ ὑμεῖς ποτε ἠπειθήσατε τῷ Θεῷ, νυνὶ δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ·

31 Οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν, τῷ ὑμετέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι.

32 Συνέκλεισε γὰρ τοὺς πάντας ὁ Θεὸς εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ.

Δείκνυσιν ἐνταῦθα τοὺς ἐξ ἐθνῶν προτέρους κεκλημένους· εἶτα ἐπειδὴ οὐκ ἠθέλησαν, τοὺς Ἰουδαίους ἐκλεγομένους, καὶ τὸ αὐτὸ πάλιν συμβαῖνον μετὰ ταῦτα. ἐπειδὴ γὰρ οὐκ ἠθέλησαν Ἰουδαῖοι πιστεῦσαι, πάλιν προσήχθη τὰ ἔθνη. ἀλλ' οὐ μέχρι τούτου ἵσταται, οὐδὲ εἰς τὴν ἐκβολὴν αὐτῶν καταστρέφει τὸ πᾶν, ἀλλ' εἰς τὸ καὶ αὐτοὺς ἐλεηθῆναι πάλιν. ὅρα πόσον δίδωσι τοῖς ἐξ ἐθνῶν· ὅσον ἔμπροσθεν τοῖς Ἰουδαίοις. ἐπειδὴ γὰρ ὑμεῖς ἠπειθήσατέ, φησιν, οἱ ἐξ ἐθνῶν ποτε, προσῆλθον οἱ Ἰουδαῖοι. πάλιν ἐπειδὴ οὗτοι ἠπείθησαν, προσήλθετε ὑμεῖς. οὐ μὴν εἰς τέλος ἀπολοῦνται. Συνέκλεισε γὰρ τοὺς πάντας εἰς ἀπείθειαν ὁ Θεὸς, τουτέστιν, ἤλεγξεν, ἀπέδειξεν ἀπειθοῦντας· οὐχ ἵνα μείνωσιν ἀπειθοῦντες, ἀλλ' ἵνα τοὺς ἑτέρους διὰ τῆς ἑτέρων σώσῃ φιλονεικίας, τούτους δι' ἐκείνων, κἀκείνους διὰ τούτων. σκόπει δέ· ἠπειθήσατε ὑμεῖς, καὶ οὗτοι ἐσώθησαν· πάλιν οὗτοι ἠπείθησαν, καὶ ὑμεῖς ἐσώθητε. οὐ μὴν οὕτως ἐσώθητε, ὡς πάλιν ἐξελθεῖν, καθάπερ οἱ Ἰουδαῖοι· ἀλλ' ὥστε αὐτοὺς ἐπισπάσασθαι τῷ ζήλῳ μένοντες.

33 Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ. Ἐνταῦθα ἐπὶ τοὺς προτέρους χρόνους ἐπανελθὼν, καὶ τὴν ἄνωθεν τοῦ Θεοῦ

ταμαθὼν

κατλμονήσας οἰκονομίαν τὴν ἐξ οὗπερ ὁ κόσμος ἐγένετο μέχρι τοῦ παρόντος, καὶ λογισάμενος πῶς ποικίλως πάντα ᾠκονόμησε, ἐξεπλάγη καὶ ἀνεβόησε, πειθούμενος τοῖς ἀκούουσιν ὅτι ἔσται πάντως ἅπερ εἶπεν. οὐ γὰρ ἂν ἀνεβόησε καὶ ἐξεπλάγη, εἰ μὴ πάντως ἔμελλεν ἔσεσθαι τοῦτο. καὶ ὅτι μὲν βάθος ἐστὶν, οἶδε· πόσον δὲ, οὐκ οἶδε. θαυμάζοντος γάρ ἐστιν ἡ ῥῆσις, οὐκ εἰδότος τὸ πᾶν. θαυμάσας δὲ καὶ ἐκπλαγεὶς τὴν χρηστότητα, καὶ κατὰ τὸ ἐγχωροῦν αὐτὴν διὰ δύο τῶν ἐπιτατικῶν ὀνομάτων αὐτὴν ἀνεκήρυξε, τοῦ πλούτου, καὶ τοῦ βάθους· καὶ ἐξεπλάγη, ὅτι καὶ ἠθέλησε καὶ ἴσχυσε ταῦτα, καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία κατασκευάσαι. Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ. Οὐ γὰρ μόνον καταληφθῆναι αὐτὰ ἀδύνατοι, ἀλλ' οὐδὲ ἐρευνηθῆναι. Καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

εἶδε· εἶδε·

Τουτέστιν, αἱ οἰκονομίαι. οὐ γὰρ αὗται οὐ μόνον γνωσθῆναι, ἀλλ' οὐδὲ ζητηθῆναι δύνανται. οὐδὲ γὰρ ἐγὼ, φησὶν, εὗρον ἅπαντα, ἀλλὰ μέρος μικρὸν, οὐ τὸ πᾶν. μόνος γὰρ αὐτὸς οἶδε τὰ αὐτοῦ σαφῶς. διὸ καὶ ἐπήγαγε,

ἐστι

34 Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;

35 Ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι οὕτω σοφὸς ὤν, οὐδὲ παρ' ἑτέρου σοφός ἐστιν, ἀλλ' αὐτός ἐστιν ἡ πηγὴ τῶν ἀγαθῶν· καὶ τοσαῦτα ἐργασάμενος, καὶ χαρισάμενος ἡμῖν, οὐ παρ' ἑτέρου δανεισάμενος ταῦτα ἔδωκεν, ἀλλ' οἴκοθεν ἀναβλύσας, οὐδὲ ἀμοιβὴν ὀφείλων τινὶ, ὡς παρ' αὐτοῦ εἰληφὼς ᾖ, ἀλλ' αὐτὸς κατάρχων ἀεὶ τῶν εὐεργεσιῶν. τοῦτο γὰρ μάλιστά ἐστι πλούτου, τὸ καὶ ὑπερχεῖσθαι, καὶ μὴ δεῖσθαι ἑτέρου. διὸ καὶ ἐπήγαγεν, Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. Αὐτὸς εὗρεν, αὐτὸς ἐποίησεν, αὐτὸς συγκροτεῖ. καὶ γὰρ καὶ πλούσιός ἐστι, καὶ οὐ δεῖται παρ' ἑτέρου λαβεῖν· καὶ σοφός ἐστι, καὶ οὐ δεῖται συμβούλου. τί λέγω συμβούλου; οὐδὲ εἰδέναι τις δύναται τὰ αὐτοῦ, ἀλλ' ἢ μόνος αὐτὸς ὁ πλούσιος καὶ σοφός. καὶ γὰρ πολλοῦ πλούτου, τὸ τοὺς ἐξ ἐθνῶν εὐπόρους οὕτω ποιῆσαι· καὶ πολλῆς σοφίας, τὸ τοὺς Ἰουδαίων καταδεεστέρους, Ἰουδαίων διδασκάλους κατασκευάσαι. εἶτα, ἐπειδὴ ἐξεπλάγη, καὶ εὐχαριστίαν ἀναφέρει λέγων, Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὅταν γὰρ ᾖ τοιοῦτον λέγῃ μέγα καὶ ἀπόρρητον, θαυμάζων εἰς δόξαν καταλήγει. τοῦτο καὶ ἐπὶ τοῦ υἱοῦ ποιεῖ. καὶ γὰρ καὶ ἐκεῖ θαυμάσας αὐτὸ διὰ τοῦτο ὅπερ καὶ ἐνταῦθα, ἐπήγαγεν, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΗΘΙΚΟΝ

Τοῦτον δὴ καὶ ἡμεῖς μιμώμεθα, καὶ πανταχοῦ τὸν Θεὸν δοξάζωμεν διὰ τῆς κατὰ τὸν βίον ἐπιμελείας, μηδὲ προγόνων ἀρεταῖς θαρρῶμεν, τὸ κατὰ τοὺς Ἰουδαίους εἰδότες παράδειγμα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν αὕτη παρὰ χριστιανοῖς ἡ συγγένεια, ἀλλ' ἡ κατὰ πνεῦμα ἀγχιστεία. οὕτω γοῦν ὁ Σκύθης τοῦ Ἀβραὰμ γέγονε παῖς· καὶ ὁ ἐκείνου παῖς, τοῦ Σκύθου πάλιν ἀλλοτριώτερος καθίσταται. μὴ τοίνυν κατορθώμασι πατέρων θαρρῶμεν, ἀλλὰ, κἂν θαυμαστὸν ἔχῃς τὸν γεγεννηκότα, μὴ νομίσῃς ἀρκεῖν σοι τοῦτο εἰς σωτηρίαν, ἢ εἰς τιμὴν καὶ δόξαν, ἐὰν μὴ συγγενὴς αὐτῷ ᾖς κατὰ τοὺς τρόπους. ὥσπερ οὖν κἂν φαῦλον ἔχῃς, μὴ νόμιζε καταδικάζεσθαι ἐντεῦθεν, καὶ αἰσχύνεσθαι, εἴ γε τὰ κατὰ σαυτὸν διαθῇς καλῶς. τί γὰρ τῶν ἐθνῶν ἀτιμότερον; ἀλλ' ὅμως τῇ πίστει ταχέως γεγόνασι συγγενεῖς. τί δὲ Ἰουδαίων οἰκειότερον; ἀλλ' ὅμως διὰ τὴν ἀπιστίαν ἠλλοτριώθησαν. ἐκείνη μὲν γὰρ ἡ συγγένεια, φύσεώς ἐστι καὶ ἀνάγκης, καθ' ἣν πάντες ἐσμὲν συγγενεῖς. ἀπὸ τοῦ Ἀδὰμ γὰρ πάντες γεγόναμεν, καὶ οὐκ ἂν εἴη μᾶλλον ἕτερος ἑτέρου συγγενὴς, καὶ κατὰ τὸν τοῦ Ἀδὰμ, καὶ κατὰ τὸν τοῦ Νῶε λόγον, καὶ κατὰ τὴν τῆς γῆς τῆς κοινῆς ἁπάντων μητέρος. ἡ δὲ τῶν σπουδαίων ἀξία συγγένεια διαιροῦσα ἡμᾶς ἀπὸ τῶν φαύλων ἐστίν. οὐ γάρ ἐστι πάντας εἶναι συγγενεῖς ἐνταῦθα, ἀλλὰ τοὺς ὁμοτρόπους· οὐδὲ ἀδελφοὺς καλοῦμεν τοὺς τὰς αὐτὰς λύ-

τοῖς παρ' ἑτέρων κατορθώμασι θαρρ.
καὶ τοῖς τρόποις.
τῶν ἀγώνων

σαντας ὠδῖνας ἡμῖν, ἀλλὰ τοῖς τὸν αὐτοῦ ζῆλον ἐπιδεικνυμένοις. οὕτω καὶ τέκνα Θεοῦ
καλεῖ ὁ Χριστός, οὕτω καὶ υἱοὺς διαβόλου πάλιν ἐξ ἐναντίας· οὕτω καὶ ἀπειθείας, οὕ-
τω καὶ γεέννης, οὕτω καὶ ἀπωλείας. οὕτω καὶ Παύλου Τιμόθεος παῖς ἦν ἐξ ἀρε- γρ. ἀρχῆς
τῆς, καὶ γνήσιον τέκνον ἐκαλεῖτο· τοῦ δὲ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ οὐδὲ ὄνομα ἴσμεν.
καίτοιγε ὁ μὲν κατὰ φύσιν ἦν αὐτῷ προσήκων· ἀλλ' οὐδὲν ὄφελος· ὁ δὲ καὶ φύσει καὶ τό-
Πραξ. ις. α. πῳ διεστηκώς (καὶ γὰρ Λύστρων πολίτης ἦν) ἀλλ' ὅμως πάντων ἐγγύτερος γέγονε. γενώμεθα
τοίνυν καὶ ἡμεῖς τῶν ἁγίων παῖδες, μᾶλλον δὲ γενώμεθα καὶ Θεοῦ παῖδες. ὅτι γάρ ἐστι καὶ Θεοῦ
γενέσθαι παῖδας, ἄκουσον τί φησι· Γίνεσθε οὖν τέλειοι, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. διὰ
Ματθ. ε. μη. τοῦτο καὶ πατέρα καλοῦμεν εὐχόμενοι, καὶ οὐχὶ τῆς χάριτος μόνον ἀναμιμνήσκοντες αὐτόν, ἀλλὰ
καὶ τῆς ἀρετῆς, ἵνα μηδὲν ἀνάξιον τῆς τοιαύτης συγγενείας ποιῶμεν. καὶ πῶς ἐστί, φησιν, υἱὸν
εἶναι Θεοῦ; πάντων ἀπηλλαγμένον τῶν παθῶν, ἐπιείκειαν ἐπιδεικνύμενον περὶ τοὺς ὑβρί-
ζοντας καὶ ἀδικοῦντας. καὶ γὰρ ὁ πατὴρ ὁ σός, τοιοῦτος περὶ τοὺς βλασφημοῦντάς ἐστι. διὰ
τοῦτο πολλὰ πολλάκις εἰπών, οὐδαμοῦ φησιν, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν· ἀλλ' ὅτε
εἶπεν, Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, τότε
Ματθ. ε. μς. τοῦτο τὸ ἔπαθλον ἐπήγαγεν. οὐδὲν γὰρ οὕτως ἡμᾶς προσάγει Θεῷ, καὶ ὁμοίους ποιεῖ, ὡς τοῦ-
Εφεσ. ε. α. το τὸ κατόρθωμα. διὰ τοῦτο καὶ Παῦλος ὅταν λέγῃ, Γίνεσθε μιμηταὶ τοῦ Θεοῦ, κατὰ τοῦτο γί-
νεσθαι λέγει. πάντων μὲν γὰρ χρείαν ἔχομεν τῶν κατορθωμάτων, μάλιστα δὲ φιλανθρωπίας καὶ
ἡμερότητος, ἐπεὶ καὶ αὐτοὶ πολλῆς δεόμεθα φιλανθρωπίας. καὶ γὰρ πολλὰ καθ' ἑκάστην
πλημμελοῦμεν τὴν ἡμέραν· διὸ καὶ πολλοῦ ἡμῖν δεῖ τοῦ ἐλέους. τὸ δὲ πολὺ καὶ ἔλαττον οὐ τῷ
μέτρῳ τῶν διδομένων κρίνεται, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τῶν παρεχόντων. μὴ τοίνυν μήτε
ὁ πλουτῶν μέγα φρονείτω, μήτε ὁ πένης καταπιπτέτω ὡς ὀλίγα παρέχων. πολλάκις γὰρ
οὗτος ἐκείνου πλείονα δέδωκεν. οὐ τοίνυν ταλανίζειν ἑαυτοὺς χρὴ διὰ τὴν πενίαν· καὶ γὰρ
εὐκολωτέραν ἡμῖν ποιεῖ τὴν ἐλεημοσύνην. ὁ μὲν γὰρ πολλὰ κεκτημένος, καὶ ἀπονοίᾳ καὶ
ἐπιθυμίᾳ πλείονι κατέχεται τῶν ὄντων· ὁ δὲ ὀλίγα ἔχων, ἑκατέρας ταύτης ἀπήλλακται τῆς
τυραννίδος· διὸ καὶ πλείονας ἀφορμὰς εὑρίσκει τοῦ εὖ ποιεῖν. καὶ γὰρ καὶ εἰς δεσμωτήριον
οὗτος βαδιεῖται εὐκόλως, καὶ ἀρρωστοῦντας ἐπισκέψεται, καὶ ποτήριον ψυχροῦ δώσει· ἐκεῖνος δὲ
οὐδὲν τούτων καταδέξεται, ἅτε ὑπὸ τοῦ πλούτου φλεγμαίνων. μὴ οὖν ἀθύμει διὰ τὴν
πενίαν. καὶ γὰρ * τὴν ἐμπορίαν τῶν οὐρανῶν εὐκολωτέραν σοι ποιεῖ ἡ πενία. κἂν μηδὲν δὲ ἔ- * καὶ
χῃς, συναλγοῦσαν δὲ ἔχῃς ψυχήν, καὶ τοῦτό σοι μισθὸς ἀποκείσεται. διὰ τοῦτο καὶ Παῦλος γρ. [illegible]
Ρωμ. ιβ. ιε. ἐπέταξε κλαίειν μετὰ κλαιόντων, καὶ τοῖς δεσμίοις ὡς συνδεδεμένους εἶναι ἐκέλευσεν. οὐ γὰρ
τοῖς κλαίουσι μόνον φέρει τινὰ παραμυθίαν τὸ πολλοὺς εἶναι τοὺς συναλγοῦντας, ἀλλὰ καὶ τοῖς
ἐν ἄλλαις περιστάσεσιν οὖσι. καὶ γάρ ἐστιν ὅπου χρημάτων οὐκ ἔλαττον λόγος ἀνακτήσασθαι
δύναται τὸν πεπτωκότα. διὰ γὰρ τοῦτο καὶ χρήματα διδόναι ἐκέλευσεν ὁ Θεὸς τοῖς δεομέ- γρ. [illegible]
νοις, οὐχ ἵνα τὴν ἐκείνων πενίαν διορθώσῃ μόνον, ἀλλ' ἵνα καὶ ἡμᾶς διδάξῃ συναλγεῖν τοῖς τοῦ
πλησίον κακοῖς. διὰ τοῦτο καὶ ὁ φιλάργυρος μισητός, οὐχ ὅτι περιορᾷ τοὺς ἐν πτωχείᾳ
μόνον, ἀλλ' ὅτι καὶ αὐτὸς εἰς ὠμότητα ἀλείφεται καὶ ἀπανθρωπίαν πολλήν· ὥσπερ οὖν καὶ ὁ
χρημάτων ὑπερορῶν δι' ἐκείνους, καὶ διὰ τοῦτο ποθεινός, ὅτι ἐλεήμων γίνεται καὶ φιλάνθρωπος. καὶ
ὁ Χριστὸς δὲ ὅταν μακαρίζῃ τοὺς ἐλεήμονας, οὐ τοὺς διὰ χρημάτων ἐλεοῦντας μόνον, ἀλλὰ
καὶ τοὺς διὰ προαιρέσεως τοῦτο ποιοῦντας μακαρίζει καὶ ἐπαινεῖ. ταύτην τοίνυν παρέχω-
μεν ἐπιτηδείαν πρὸς ἔλεον, καὶ πάντα ἕψεται τὰ ἀγαθά. ὁ γὰρ φιλάνθρωπον γνώμην
ἔχων καὶ ἐλεήμονα, κἂν χρήματα ἔχῃ, προήσεται, κἂν ἐν συμφοραῖς ἴδῃ τινά, κλαύσεται καὶ
θρηνήσει, κἂν ἀδικουμένῳ περιτύχῃ, προστήσεται, κἂν ἐπηρεαζόμενον θεάσηται, χεῖρα ὀ-
ρέξει. τὸν γὰρ θησαυρὸν ἔχων τῶν ἀγαθῶν, τὴν φιλάνθρωπον καὶ ἐλεήμονα ψυχήν,
πάντα ἐκεῖθεν διαβλύσει τὰ ὑπὲρ τῶν ἀδελφῶν, καὶ πάντων ἀπολαύσεται τῶν παρὰ τοῦ

Θεοῦ

Θεοῦ κειμένων μισθῶν. ἵν' οὕτω καὶ ἡμεῖς τούτων ἐπιτύχωμεν, περὶ πλείστου τὴν ψυχὴν ἡμετέραν κατασκευάσωμεν. οὕτω γὰρ καὶ ἐνταῦθα ὄντες μυρία ἐργασόμεθα ἀγαθὰ, καὶ τῶν μελλόντων ἀπολαυσόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κ. 1 ΠΑΡΑΚΑΛΩ ΟΥΝ ΥΜΑΣ, ΑΔΕΛΦΟΙ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. κεφ. ιβ.

Πολλὰ περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλεχθεὶς, καὶ δείξας αὐτοῦ τὴν ἄφατον κηδεμονίαν, καὶ τὴν ἀπόρρητον ἀγαθότητα, καὶ οὐδ' ἐρευνηθῆναι δυναμένην, αὐτὴν λοιπὸν ταύτην παραβάλλεται, εἰς τὸ πεῖσαι τοὺς εὐεργετηθέντας ἀξίαν τῆς δωρεᾶς ἐπιδείξασθαι τὴν πολιτείαν. καὶ τοσοῦτος ὢν καὶ τηλικοῦτος, οὐ παραιτεῖται παρακαλεῖν, καὶ ταῦτα οὐχ ὑπὲρ ὧν αὐτὸς ἔμελλεν ἀπολαύειν, ἀλλ' ὑπὲρ ὧν ἐκεῖνοι κερδαίνειν εἶχον. καὶ τί θαυμάζεις εἰ αὐτὸς οὐ παραιτεῖται παρακαλεῖν, ὅπουγε καὶ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ παραβάλλεται; ἐπεὶ γὰρ τὰ μυρία ὑμῖν ἐντεῦθεν, φησὶν, ἀγαθὰ ἀπὸ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, αὐτοὺς αἰδέσθητε, αὐτοὺς δυσωπήθητε. καὶ γὰρ αὐτοὶ τὴν ἱκετηρίαν τιθέασιν, ἵνα μηδὲν ἀνάξιον αὐτῶν ἐπιδείξησθε. δι' αὐτῶν οὖν τούτων, φησὶ, παρακαλῶ, δι' ὧν ἐσώθητε. ὥσπερ ἂν εἴ τις τινὰ μεγάλα εὐεργετηθέντα ἐντρέψαι βουλόμενος, αὐτὸν τὸν εὐεργετήσαντα ἱκετηρίαν ἀγάγοι. καὶ τί παρακαλεῖς, εἰπέ μοι; παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. ἐπειδὴ γὰρ εἶπε, θυσίαν, ἵνα μή τις νομίσῃ ὅτι κατασφάξαι κελεύει τὰ σώματα, ταχέως ἐπήγαγε, ζῶσαν. εἶτα διαιρῶν αὐτὴν ἀπὸ τῆς Ἰουδαϊκῆς, φησὶν ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. ἐκείνη γὰρ σωματικὴ, καὶ οὐ σφόδρα εὐάρεστος. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν, φησί; (Ησ. α. ιβ.) καὶ πολλαχοῦ ἀλλαχοῦ φαίνεται διακρουόμενος αὐτάς. ἀλλ' οὐχὶ ταύτην, ἀλλὰ καὶ ἐκείνης διδομένης ταύτην ἐζήτει. διὸ καὶ ἔλεγε, Θυσία αἰνέσεως δοξάσει με. (Ψαλμ. μθ. κγ.) καὶ πάλιν, Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. (Ψαλμ. ξθ. λα.) καὶ ἀλλαχοῦ ἐκβάλλων αὐτὴν, καὶ λέγων, Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; ἐπήγαγε, θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. (Ψαλμ. μθ. ιγ.) οὕτω καὶ Παῦλος ἐνταῦθα κελεύει παραστῆσαι τὰ σώματα θυσίαν ζῶσαν. καὶ πῶς ἂν γένοιτο τὸ σῶμα, φησὶ, θυσία; μηδὲν ὀφθαλμὸς πονηρὸν βλεπέτω, καὶ γέγονε θυσία. μηδὲν ἡ γλῶττα λαλείτω αἰσχρὸν, καὶ γέγονε προσφορά. μηδὲν ἡ χεὶρ πραττέτω παράνομον, καὶ γέγονεν ὁλοκαύτωμα. μᾶλλον δὲ οὐκ ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ τὴν τῶν ἀγαθῶν ἡμῖν ἐργασίαν δεῖ, ἵνα ἡ μὲν χεὶρ ἐλεημοσύνην ποιῇ, τὸ δὲ στόμα εὐλογῇ τοὺς ἐπηρεάζοντας, ἡ δὲ ἀκοὴ θείαις σχολάζῃ διηνεκῶς ἀκροάσεσιν. ἡ γὰρ θυσία οὐδὲν ἔχει ἀκάθαρτον, ἡ θυσία ἀπαρχὴ τῶν ἄλλων ἐστί. καὶ ἡμεῖς τοίνυν καὶ χειρῶν, καὶ ποδῶν, καὶ στόματος, καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχώμεθα τῷ Θεῷ. ἡ τοιαύτη θυσία εὐάρεστος, ὡς ἥ γε τῶν Ἰουδαίων καὶ ἀκάθαρτος ἦν. Αἱ θυσίαι γὰρ αὐτῶν, φησὶν, ἄρτος πένθους αὐτοῖς. (Ωσ. θ. δ.) ἀλλ' οὐχ ἡ ἡμετέρα. ἐκείνη τὸ τεθυμένον νεκρὸν ἐναπέφηνεν· αὕτη τὸ τεθυμένον ζῶν ἀπεργάζεται. ὅταν γὰρ νεκρώσωμεν ἡμῶν τὰ μέλη, τότε δυνησόμεθα ζῆν. καινὸς γὰρ οὗτος τῆς θυσίας ὁ νόμος. διὸ καὶ παράδοξος τοῦ πυρὸς ὁ τρόπος. οὐδὲ γὰρ ξύλων δεῖται καὶ ὕλης ὑποκειμένης, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ ζῇ τὸ πῦρ τὸ ἡμέτερον, καὶ οὐδὲ κατακαίει τὸ ἱερεῖον, ἀλλὰ μᾶλλον αὐτὸ ζωοποιεῖ. ταύτην ἄνωθεν ὁ Θεὸς τὴν θυσίαν ἐζήτει· διὸ καὶ ἔλεγεν ὁ προφήτης, Θυσία τῷ (Ψαλ. ν. ιθ.)

[Margin: ἐρευνῶσαι; ζωογονεῖ]

Δαν. γ. λθ. Θεῷ, πνεῦμα συντετριμμένον. καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ταύτην προσῆγον λέγοντες, Οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης, οὐδὲ τόπος τοῦ καρπῶσαι καὶ εὑρεῖν ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. σκόπει δὲ πῶς ἑκάστη ἡ λέξις μετὰ πολλῆς κέχρηται τῆς ἀκριβείας. οὐ γὰρ εἶπε, ποιήσατε τὰ σώματα ὑμῶν θυσίαν, ἀλλὰ, παραστήσατε, ὡς ἂν εἰ ἔλεγε, μηδὲν λοιπὸν κοινὸν ἔχετε πρὸς αὐτὰ, ἑτέρῳ αὐτὰ δεδώκατε. καὶ γὰρ οἱ τοὺς ἵππους τοὺς πολεμιστηρίους παριστῶντες, οὐδὲν λοιπὸν κοινὸν πρὸς αὐτοὺς ἔχουσι. καὶ σὺ τοίνυν παρέστησας τῷ πολέμῳ τῷ κατὰ τοῦ διαβόλου τὰ μέλη, καὶ τῇ παρατάξει τῇ φοβερᾷ· μὴ καθέλκε πρὸς ἰδιωτικὰς αὐτὰ διακονίας. καὶ ἕτερον δὲ ἐκ τούτου δείκνυσιν, ὅτι καὶ δόκιμα αὐτὰ δεῖ ποιεῖν, εἴ γε παριστᾶν μέλλομεν. οὐ γάρ τινι τῶν ἐπιτυχίων ἀνθρώπων, ἀλλ' αὐτῷ παριστῶμεν αὐτὰ τῷ βασιλεῖ τῶν ὅλων Θεῷ, οὐχ ἵνα πολεμῇ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸν ἐπικαθήμενον ἔχῃ τὸν βασιλέα. οὐδὲ γὰρ παραιτεῖται ἐπικαθῆσθαι τοῖς μέλεσιν ἡμῶν, ἀλλὰ καὶ σφόδρα τοῦτο βούλεται. καὶ ὅπερ βασιλεῖς οὐκ ἂν ἕλοιντο ὁμοδούλοις ἡμῖν, τοῦτο ὁ τῶν ἀγγέλων δεσπότης αἱρεῖται. ἐπεὶ οὖν καὶ παρίστασθαι μέλλει, καὶ θυσία ἐστὶ, πάντα μῶμον περίελε· ὡς ἐὰν ἔχῃ μῶμον, οὐκέτ' ἂν εἴη θυσία. οὐδὲ γὰρ ὀφθαλμὸς δύναται τυθῆναι πορνικὰ βλέπων, οὐ χεὶρ παράνομα(?) ἰδεῖν(?) ἁρπάζουσα καὶ πλεονεκτοῦσα, οὐ πόδες χωλὰ βαδίζοντες καὶ ἐπὶ θέατρα ἀναβαίνοντες, οὐ γαστὴρ τρυφῇ δουλεύουσα καὶ τῶν ἡδονῶν ἀνάπτουσα τὰς ἐπιθυμίας, οὐ καρδία θυμὸν ἔχουσα καὶ ἔρωτα πορνικὸν, οὐ γλῶττα αἰσχρὰ φθεγγομένη. διὸ χρὴ πάντοθεν μωμοσκοπεῖσθαι τὸ σῶμα τὸ ἡμέτερον. εἰ γὰρ οἱ τὰς παλαιὰς ἀναφέροντες θυσίας ἐκελεύοντο πάντα περισκοπεῖν, καὶ οὔτε ὠτότμητον, οὔτε κολοβόκερκον, οὔτε ψωραγιῶντα, οὔτε λειχῆνα ἔχοντα, ἐπετρέποντο ἀναφέρειν· πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐ πρόβατα ἄλογα, ἀλλ' ἑαυτοὺς ἀναφέροντας, πλείονα ἀκρίβειαν ἐπιδείκνυσθαι χρὴ, καὶ πάντοθεν εἶναι καθαρούς, ἵνα δυνηθῶμεν καὶ ἡμεῖς κατὰ Παῦλον λέγειν, Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς

β. Τιμ. δ. ς. ἀναλύσεως ἐφέστηκε. καὶ γὰρ θυσίας ἁπάσης καθαρώτερος ἦν, διὸ καὶ σπονδὴν ἑαυτὸν ἐκάλει. ἔσται δὲ τοῦτο, ἐὰν ἀνέλωμεν τὸν παλαιὸν ἄνθρωπον, ἐὰν νεκρώσωμεν τὰ μέλη τὰ ἐπὶ γῆς, ἐὰν σταυρώσωμεν τὸν κόσμον ἑαυτοῖς. οὕτως οὐδὲ μαχαίρας δεησόμεθα λοιπὸν, οὐδὲ θυσιαστηρίου, οὐδὲ πυρός. μᾶλλον δὲ τούτων ἁπάντων δεησόμεθα, πλὴν οὐ χειροποιήτων, ἀλλ' ἄνωθεν ἡμῖν ἅπαντα ἥξει, καὶ τὸ πῦρ ἄνωθεν, καὶ ἡ μάχαιρα, καὶ θυσιαστήριον ἡμῖν ἔσται τὸ τοῦ οὐρανοῦ τὸ πλάτος. εἰ γὰρ, τοῦ Ἠλίου θυσίαν ἀναφέροντος αἰσθητὴν, λαμπὰς ἄνωθεν κατενεχθεῖσα πάντα ἀνάλωσε, καὶ τὸ ὕδωρ, καὶ τὰ ξύλα, καὶ τοὺς λίθους· πολλῷ μᾶλλον ἐπὶ σοῦ τοῦτο ἔσται. κἂν ἔχῃς τι διαρρέον, καὶ βιωτικὸν, προσαγάγῃς δὲ θυσίαν μετὰ γνώμης ὀρθῆς, κατελθὸν τὸ τοῦ πνεύματος τὸ πῦρ, καὶ τὸ βιωτικὸν ἐκεῖνο δαπανήσει, καὶ τὴν προσφορὰν ἀνύσει πᾶσαν. τί δέ ἐστι λογικὴ λατρεία; ἡ πνευματικὴ διακονία, ἡ πολιτεία ἡ κατὰ Χριστόν. καθάπερ οὖν ὁ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διακονούμενος, ἱερωμένος, οἷος ἂν ᾖ, συστέλλεται τότε, καὶ σεμνότερος γίνεται· οὕτω καὶ ἡμᾶς τὸν ἅπαντα βίον διακεῖσθαι χρὴ, ὡς λατρεύοντας καὶ ἱερωμένους. ἔσται δὲ τοῦτο, ἐὰν καθ' ἑκάστην ἡμέραν προσφέρῃς αὐτῷ θύματα, καὶ ἱερεὺς τοῦ οἰκείου σώματος γίνῃ, καὶ τῆς κατὰ ψυχὴν ἀρετῆς· οἷον, ὅταν σωφροσύνην προσενέγκῃς, ὅταν ἐλεημοσύνην, ὅταν ἐπιείκειαν καὶ ἀνεξικακίαν. ταῦτα γὰρ ποιῶν, ἀναφέρεις λογικὴν λατρείαν· τουτέστιν, οὐδὲν ἔχουσαν σωματικὸν, οὐδὲν παχὺ, οὐδὲν αἰσθητόν. ἐπάρας τοίνυν διὰ τῶν ὀνομάτων τὸν ἀκροατὴν, καὶ ἕκαστον ἱερέα διὰ τῆς ἑαυτοῦ σαρκὸς, διὰ τῆς πολιτείας ἀποφήνας, λέγει καὶ τὸν τρόπον δι' οὗ δυνατὸν ταῦτα κατορθοῦν. τίς οὖν ὁ τρόπος;

χ. ἐπιτυχόντων. χ. ἀπαιτοῦσα. χ. αἰώνιον. χ. αὐτὸς ἐπιτελεῖται, καὶ. χ. χρήματα. χ. τῷ ὀνόματι. χ. τρόπον.

2 Μὴ συσχηματίζεσθε, φησὶ, τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν. Καὶ γὰρ χαμαίζηλον τὸ σχῆμα τοῦ αἰῶνος τούτου, καὶ εὐτελὲς, καὶ

πρόσκαιρον,

πρόσκαιρον, καὶ οὐδὲν ἔχον ὑψηλὸν οὐδὲ διηνεκὲς, οὐδὲν εὐθὲς, ἀλλὰ πάντα διεστραμμένα. Εἰ τοίνυν ὀρθὰ βούλει βαδίζειν, μὴ τυπώσῃς ἑαυτὸν κατὰ τὸ σχῆμα τοῦ παρόντος βίου. οὐδὲν γὰρ ἐν αὐτῷ μένον καὶ βέβαιόν ἐστι. διὸ καὶ σχῆμα ἐκάλεσεν αὐτό· καὶ ἀλλαχοῦ πάλιν, Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. [α. Κορ ζ. λα.] οὐδὲν γὰρ διαρκὲς καὶ πεπηγὸς ἔχει, ἀλλὰ πάντα πρόσκαιρα. διὸ καὶ, τῷ αἰῶνι τούτῳ, εἶπε· διὰ τούτου μὲν τὸ ἐπίκηρον δηλῶν, διὰ δὲ τοῦ σχήματος, τὸ ἀνυπόστατον. κἂν γὰρ πλοῦτον εἴπῃς, κἂν δόξαν, κἂν σώματος ὥραν, κἂν τρυφὴν, καὶ ἄλλ' ὁτιοῦν τῶν δοκούντων εἶναι μεγάλων, σχῆμα μόνον ἐστὶν, οὐ πράγματος ἀλήθεια, ἐπίδειξις καὶ προσωπεῖον, οὐχ ὑπόστασίς τις μένουσα. [γ. ἀληθείας ἐπίδειξις καὶ πρ.] ἀλλὰ σὺ μὴ συσχηματίζου τούτῳ, ἀλλὰ μεταμορφοῦ, φησὶν, ἐν τῇ ἀνακαινώσει τοῦ νοός. οὐκ εἶπε, μετασχηματίζου, [γ. συσχηματίζου] ἀλλὰ, μεταμορφοῦ, δεικνὺς ὅτι τὸ μὲν τοῦ κόσμου, σχῆμα· τὸ δὲ τῆς ἀρετῆς, οὐ σχῆμα, ἀλλὰ μορφή τις ἀληθὴς φυσικὸν ἔχουσα κάλλος, οὐ δεόμενον τῶν ἔξωθεν ἐπιτεχνημάτων τε καὶ σχημάτων, τῶν ὁμοῦ τε φαινομένων καὶ ἀπολλυμένων. καὶ γὰρ ἅπαντα ταῦτα, πρὶν ἢ φανῆναι, λύεται. ἂν τοίνυν τὸ σχῆμα ῥίψῃς, ταχέως ἐπὶ τὴν μορφὴν ἥξεις. οὐδὲν γὰρ τῆς κακίας ἀσθενέστερον, οὐδὲν οὕτω παλαιοῦται ῥᾳδίως. Εἶτα ἐπειδὴ ἀνθρώπους ὄντας εἰκὸς καθ' ἑκάστην ἁμαρτάνειν τὴν ἡμέραν, παραμυθεῖται τὸν ἀκροατὴν λέγων, ὅτι καθ' ἑκάστην ἀνακαίνου σαυτόν. ὅπερ ἐπὶ τῶν οἰκιῶν ποιοῦμεν, παλαιουμένας αὐτὰς ἀεὶ διορθοῦντες, τοῦτο καὶ ἐπὶ σαυτοῦ ποίει. ἥμαρτες σήμερον; ἐπαλαίωσάς σου τὴν ψυχήν; μὴ ἀπογνῷς, μηδὲ ἀναπέσῃς, ἀλλ' ἀνακαίνισον αὐτὴν μετανοίᾳ, καὶ δάκρυσι, καὶ ἐξομολογήσει, καὶ τῇ τῶν ἀγαθῶν ἐργασίᾳ· καὶ μηδέποτε τοῦτο διαλίπῃς ποιῶν. καὶ πῶς δυνησόμεθα τοῦτο ποιεῖν; Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, [γ. δοκιμάζεσθαι καὶ γινώσκειν] τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον. Ἢ τοῦτό φησιν, ἀνανεώθητε ἵνα μάθητε τὰ συμφέροντα καὶ τὸ θέλημα τοῦ Θεοῦ· ἢ ὅτι οὕτω δύνασθε ἀνανεωθῆναι, ἐὰν μάθητε τὰ συμφέροντα, καὶ τί ποτε βούλεται ὁ Θεός. ἂν γὰρ ἴδῃς τοῦτο, καὶ τῶν πραγμάτων μάθῃς διαγινώσκειν τὰς φύσεις, ἐπελάβου τῆς ὁδοῦ τῆς κατ' ἀρετὴν ἁπάσης. καὶ τίς ἀγνοεῖ τὰ συμφέροντα, φησὶ, καὶ τί τὸ θέλημα τοῦ Θεοῦ; οἱ πρὸς τὰ παρόντα ἐπτοημένοι πράγματα, οἱ πλοῦτον ζηλωτὸν εἶναι νομίζοντες, καὶ πενίαν ἐξουθενίζοντες, οἱ δυναστείας διώκοντες, [γ. δυναστείαν] οἱ πρὸς τὴν δόξαν τὴν ἔξωθεν κεχηνότες, οἱ μεγάλους ἑαυτοὺς εἶναι νομίζοντες, ὅταν οἰκίας λαμπρὰς ἐγείρωσι, καὶ τάφους πολυτελεῖς ὠνῶνται, καὶ ἀνδραπόδων ἀγέλας ἔχωσι, καὶ πολὺν εὐνούχων περιφέρωσιν ἐσμόν. οὗτοι καὶ τὰ συμφέροντα αὐτοῖς καὶ τὸ θέλημα τοῦ Θεοῦ ἀγνοοῦσι. καὶ γὰρ ἀμφότερα ταῦτα ἕν τι ἐστί. τά τε γὰρ συμφέροντα ἡμῖν ὁ Θεὸς βούλεται· καὶ ἃ βούλεται ὁ Θεὸς, ταῦτα καὶ συμφέροντα ἡμῖν. [γ. τὰ συμφέροντα ἡμῖν ἐστι] τίνα οὖν ἐστιν, ἅπερ ὁ Θεὸς βούλεται; ἐν πενίᾳ ζῆν, ἐν ταπεινοφροσύνῃ, ἐν ὑπεροψίᾳ δόξης, ἐν ἐγκρατείᾳ, οὐκ ἐν τρυφῇ, ἐν θλίψει, οὐκ ἐν ἀνέσει, ἐν τῷ πενθεῖν, [γ. πενθεῖν] οὐκ ἐν τῷ διαχεῖσθαι καὶ γελᾶν, ἐν τοῖς ἄλλοις οἷς ἐνομοθέτησεν ἅπασιν. ἀλλ' οἱ πολλοὶ ταῦτα καὶ οἰωνίζονται· τοσοῦτον ἀπέχουσι νομίζειν εἶναι τὰ συμφέροντα, καὶ Θεοῦ θελήματα. [γ. θέλημα] διά τοι τοῦτο οὐδὲ ἐγγύς ποτε τῶν ὑπὲρ τῆς ἀρετῆς ἐλθεῖν δυνήσονται πόνων. οἱ γὰρ μηδὲ αὐτὸ τοῦτο, ὅ,τι ποτέ ἐστιν ἀρετὴ εἰδότες, ἀλλὰ τὴν κακίαν ἀντὶ ταύτης θαυμάζοντες, καὶ τὴν πόρνην ἀντὶ τῆς σώφρονος γυναικὸς ἑαυτοῖς συγκατακλείοντες, πότε δυνήσονται ἀποστῆναι τοῦ παρόντος αἰῶνος; διὸ χρὴ πρὸ τῶν ἄλλων ἁπάντων τὴν κρίσιν ἡμῖν εἶναι τῶν πραγμάτων διηκριβωμένην· [γ. διηρθρωμένην] καὶ μὴ μετιόντας ἀρετὴν, ἐπαινεῖν ἀρετήν· καὶ μὴ φεύγοντας κακίαν, κακίζειν πονηρίαν, ἵνα πρῶτον τὰς ψήφους ἀδεκάστους ἔχωμεν. οὕτω γὰρ ὁδῷ προβαίνοντες, καὶ τῶν ἔργων ἐπιλαβέσθαι δυνησόμεθα. διά τοι τοῦτο καὶ αὐτὸς κελεύει ἀνανεοῦσθαι, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ. ἐνταῦθα δέ μοι καὶ Ἰουδαίων καθάπτεσθαι δοκεῖ, τῶν ἐχομένων τοῦ νόμου. θέλημα μὲν γὰρ ἦν τοῦ Θεοῦ καὶ ἡ παλαιά

παλαιά

λατρεία πολιτεία· ἀλλ' οὐ παρεγγυώμενον, ἀλλὰ διὰ τὴν ἐκείνων ἀσθένειαν συγχωρηθέν· τὸ δὲ τέλειον καὶ εὐάρεστον, ἡ καινὴ πολιτεία. καὶ γὰρ λογικὴν ὅτε ἐκάλεσε λατρείαν, πρὸς ἐκείνην ἀντιδιαστέλλων αὐτὴν οὕτως ὠνόμασε. 3 Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως. Ἀνωτέρω εἰπών, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παρακαλῶ ὑμᾶς, ἐνταῦθα πάλιν λέγει, διὰ τῆς χάριτος. ὅρα διδασκάλου ταπεινοφροσύνην, ὅρα γνώμην κατεσταλμένην. οὐδαμοῦ ἑαυτὸν ἀξιόπιστον εἶναί φησι πρὸς τὴν τοιαύτην παραίνεσιν καὶ συμβουλήν· ἀλλὰ ποτὲ μὲν τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ παραλαμβάνει μεθ' ἑαυτοῦ, ποτὲ δὲ τὴν χάριν. οὐ γὰρ ἐμὸν λόγον λέγω, φησίν, ἀλλὰ τὸν ἀπὸ τοῦ Θεοῦ. καὶ οὐκ εἶπε, λέγω γὰρ ὑμῖν διὰ τῆς σοφίας τοῦ Θεοῦ, λέγω γὰρ ὑμῖν διὰ τῆς νομοθεσίας τοῦ Θεοῦ, ἀλλά, διὰ τῆς χάριτος· συνεχῶς τῶν εὐεργεσιῶν ἀναμιμνήσκων, ὥστε εὐγνωμονεστέρους ποιῆσαι, καὶ δεῖξαι καὶ ταύτῃ ὑπευθύνους ὄντας τῇ τῶν λεγομένων ὑπακοῇ. παντὶ τῷ ὄντι ἐν ὑμῖν· οὐχὶ τῷ δεῖνι καὶ τῷ δεῖνι μόνον, ἀλλὰ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, καὶ δούλῳ καὶ ἐλευθέρῳ, καὶ ἰδιώτῃ καὶ σοφῷ, καὶ γυναικὶ καὶ ἀνδρί, καὶ νέῳ καὶ γέροντι. κοινὸς γὰρ οὗτος ὁ νόμος, ἐπειδὴ καὶ δεσποτικός. οὕτω καὶ ἀνεπαχθῆ ποιεῖται τὸν λόγον, πᾶσι προστιθεὶς τὰ διδάγματα, καὶ τοῖς οὐκ οὖσιν ὑπευθύνοις, ἵνα οἱ ὑπεύθυνοι τὴν τοιαύτην ἐπιτίμησιν καὶ διόρθωσιν εὐκολώτερον δέξωνται. καὶ τί λέγεις, εἰπέ μοι; μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν. τὴν μητέρα ἐνταῦθα εἰσάγει τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην, τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος. καθάπερ γὰρ ἐκεῖνος εἰς τὸ ὄρος ἀναβάς, καὶ τὸν ἠθικὸν μέλλων ὑφαίνειν λόγον, ἐντεῦθεν ἤρξατο πρῶτον, καὶ ταῦτα κατέβαλε τὰ θεμέλια, οὕτω λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· (Ματθ. ε. γ.) οὕτω καὶ αὐτὸς ἀπὸ τῶν δογματικῶν ἐπὶ τὰ ἠθικώτερα νῦν ἐκβάς, ἐδίδαξε μὲν καθόλου τὴν ἀρετήν, τὴν θαυμαστὴν θυσίαν παρ' ἡμῶν ἀπαιτήσας· μέλλων δὲ αὐτὴν * κατὰ μέρος ὑπογράφειν, ὥσπερ ἀπὸ κεφαλῆς, τῆς ταπεινοφροσύνης ἄρχεται, καί φησι, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν [τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ Θεοῦ.] ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐλάβομεν φρόνησιν, οὐχ ἵνα εἰς ἀπόνοιαν αὐτῇ χρησώμεθα, ἀλλ' ἵνα εἰς σωφροσύνην. καὶ οὐκ εἶπεν, εἰς τὸ ταπεινοφρονεῖν, ἀλλ', εἰς τὸ σωφρονεῖν· σωφροσύνην ἐνταῦθα λέγων, οὐ τὴν ἀντιδιαστελλομένην τῇ ἀσελγείᾳ ἀρετήν, οὐδὲ τὸ ἀπηλλάχθαι ἀκολασίας, ἀλλὰ τὸ νήφειν καὶ ὑγιαίνειν κατὰ διάνοιαν. καὶ γὰρ καὶ τοῦτο σωφροσύνη λέγεται ἀπὸ τοῦ σώας ἔχειν τὰς φρένας. δεικνὺς τοίνυν, ὅτι τὸν μὴ μετριάζοντα οὐδὲ σωφρονεῖν ἔνι, τουτέστι, καθεστηκέναι καὶ ὑγιαίνειν, ἀλλὰ παραπαίει καὶ ἐξέστηκεν ὁ τοιοῦτος, καὶ παραπλῆγος παντός ἐστι μανικώτερος, σωφροσύνην ἐκάλεσε τὴν ταπεινοφροσύνην.

Ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως. Ἐπειδὴ γὰρ τῶν χαρισμάτων ἡ δόσις πολλοὺς εἰς ἀπόνοιαν ἐπῆρε καὶ παρὰ τούτοις καὶ παρὰ Κορινθίοις, ὅρα πῶς τὴν αἰτίαν τοῦ νοσήματος δήλην ποιεῖ, καὶ κατὰ μικρὸν ὑποσύρει. εἰπὼν γὰρ ὅτι δεῖ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἐπήγαγεν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως, πίστιν ἐνταῦθα τὸ χάρισμα καλῶν. εἰπὼν δὲ ὅτι ἐμέρισε, καὶ τὸν ἔλαττον εἰληφότα παρεμυθήσατο, καὶ τὸν μείζονος ἀπολαύσαντα κατέστειλεν. εἰ γὰρ ὁ Θεὸς ἐμέρισε, καὶ μὴ σὸν τὸ κατόρθωμα, τί μέγα φρονεῖς; εἰ δέ τις τὴν πίστιν ἐνταῦθα μὴ τὸ χάρισμα λέγει καλεῖσθαι, καὶ τοῦτο πάλιν μειζόνως δείκνυσιν αὐτὸν ταπεινοῦντα τοὺς ἀλαζόνας. εἰ γὰρ * τοῦ χαρίσματος αἴτιον * ἡ πίστις, καθ' ἣν τὰ θαύματα ποιεῖς, καὶ τοῦτο παρὰ τοῦ Θεοῦ, πόθεν μέγα φρονεῖς; καὶ γὰρ εἰ μὴ παρεγένετο, μηδὲ ἐσαρκώθη, οὐδ' ἂν τὰ τῆς πίστεως προεχώρησεν. ὥστε πάντα ἐκεῖθεν τὴν ἀρχὴν ἔχει τὰ ἀγαθά. εἰ δὲ αὐτὸς δίδωσιν, οἶδε πῶς μερίζει. πάντας γὰρ αὐτὸς ἐποίησε, καὶ πάντων ὁμοίως κήδεται. καὶ ὥσπερ τὸ δοῦναι ἀπὸ φιλανθρωπίας γέγονεν, οὕτω καὶ τὸ πόσον δοῦναι. οὐ γὰρ δὴ περὶ τὸ

κεφάλαιον

χ. εὐδοκιμωτέρους

χ. τὰ ἀνώτερα

χ. θαυμαστὴν

* καὶ

χ. ἀπηλλάχθαι

χ. -ιε

* ὃ

* ἐστι

χ. παρεχώρησεν

συ.

χ. ὃ

κεφάλαιον ἐπιδειξάμενος τὴν ἀγαθότητα, ὅπερ ἐστὶ τὸ δοῦναι τὰ χαρίσματα, ἐν τῷ μέτρῳ σοι παραδιδόναι ἔμελλεν; Εἰ μὲν γὰρ ἀτιμάσαι ἐβούλετο, οὐδ᾽ ἂν ἔδωκε τὴν ἀρχήν· εἰ δὲ σῶσαι καὶ τιμῆσαι ἐσπούδακε (διὰ γὰρ τοῦτο καὶ παρήγαγεν, καὶ τοσαῦτα διένειμεν ἀγαθὰ) τίνος ἕνεκεν θορυβῇ, καὶ ταράττῃ, καὶ εἰς μανίαν ἀποκέχρησαι τῇ φρονήσει, μειζόνως τοῦ φύσει τοιούτου καταισχύνων σαυτόν; τὸ μὲν γὰρ ἀπὸ φύσεως γενέσθαι μωρὸν, οὐκ ἔγκλημα· τὸ δὲ διὰ φρονήσεως γενέσθαι μωρὸν, καὶ συγγνώμης ἐστέρηται, καὶ μείζονα φέρει τὴν κόλασιν.

Τοιοῦτοι οἱ ἐπὶ σοφίᾳ μέγα φρονοῦντές εἰσι, καὶ εἰς ἀπόνοιαν ἐμπίπτοντες τὴν ἐσχάτην. οὐδὲν γὰρ οὕτω μωρὸν ὡς ἀπόνοια ποιεῖ. διὸ καὶ ὁ προφήτης οὕτως ἐκάλει τὸν βάρβαρον λέγων, Ὁ δὲ μωρὸς μωρὰ λαλήσει. ἵνα δὲ καὶ ἀπὸ τῶν ῥημάτων αὐτῶν μάθῃς αὐτοῦ τὴν μωρίαν, ἄκουσον τί φησιν· Ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· Καταλήψομαι τῇ χειρί μου τὴν οἰκουμένην, ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ. τούτων οὖν τῶν ῥημάτων τί μωρότερον γένοιτ᾽ ἄν; καὶ ἑκάστῃ δὲ μεγαληγορίᾳ τοῦτο εὐθέως ἐπισπᾶται τὸ ὄνειδος. κἂν ἕκαστον ῥῆμα τῶν ἀπονενοημένων εἰς μέσον ἀγάγω, οὐ δυνήσῃ διαγνῶναι πότερον ἀπονενοημένου ἢ μωροῦ τὰ ῥήματα· οὕτως ἕν ἐστι τοῦτο τὸ ἐλάττωμα. καὶ γὰρ ἕτερος βάρβαρος πάλιν φησὶν, Ἐγώ εἰμι Θεὸς, καὶ οὐκ ἄνθρωπος. καὶ ἄλλος πάλιν, Μὴ δυνήσεται ὁ Θεὸς σῶσαι ὑμᾶς, ἢ ἐξελέσθαι ἐκ τῶν χειρῶν μου; καὶ ὁ Αἰγύπτιος δὲ, Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ. καὶ ὁ παρὰ τῷ προφήτῃ ἄφρων τοιοῦτός ἐστι, λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός. καὶ ὁ Κάϊν δὲ, Μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου; ἆρα μὴ δύνασαι διαγνῶναι πότερον ἀπονενοημένων, ἢ μωρῶν τὰ ῥήματα. ἡ γὰρ ἀπόνοια τῆς συμμετρίας ἐκπίπτουσα, καὶ ἀπὸ τοῦ νοῦ γινομένη (διὸ καὶ ἀπόνοια λέγεται) καὶ μωροὺς καὶ ἀλαζόνας ἐργάζεται. καὶ εἰ ἀρχὴ σοφίας, φόβος Κυρίου, οὐκοῦν ἀρχὴ μωρίας, τὸ μὴ εἰδέναι τὸν Κύριον. εἰ τοίνυν τὸ εἰδέναι, σοφία, τὸ μὴ εἰδέναι, μωρία, τὸ δὲ μὴ εἰδέναι ἐξ ὑπερηφανίας γίνεται (ἀρχὴ γὰρ ὑπερηφανίας τὸ μὴ εἰδέναι τὸν Κύριον) ἄρα ἡ ὑπερηφανία, μωρία ἐσχάτη. τοιοῦτος ἦν καὶ ὁ Νάβαλ, εἰ καὶ μὴ πρὸς Θεὸν, ἀλλὰ πρὸς ἄνθρωπον, ἐξ ἀπονοίας ἀνόητος γεγονώς· ἀλλ᾽ ὕστερον ἀπέθανε τῷ δέει. ὅταν γὰρ τις ἐκπέσῃ τοῦ μέτρου τῆς φρονήσεως, καὶ δειλὸς ὁμοῦ καὶ θρασὺς γίνεται, τῆς ψυχῆς ἀσθενοῦς γενομένης. καθάπερ γὰρ τὸ σῶμα, ὅταν τὴν σύμμετρον ἀπολέσῃ κρᾶσιν, γενόμενον δύσκρατον, πᾶσιν ἁλίσκεται τοῖς πάθεσιν· οὕτω καὶ ἡ ψυχὴ, ἐπειδὰν τὸ μεγαλοφυὲς ἀπολέσῃ καὶ τὸ ταπεινοφρονεῖν, ἕξιν δεξαμένη τινὰ, ἀσθενὴς καὶ δειλὴ καὶ θρασεῖα καὶ ἀνόητος γίνεται, καὶ ἑαυτὴν ἀγνοήσει λοιπόν· ὁ δὲ ἑαυτὸν ἀγνοῶν, πῶς τὰ ὑπὲρ ἑαυτὸν εἴσεται; καθάπερ γὰρ ὁ φρενίτιδι κατεχόμενος, ὅταν ἑαυτὸν ἀγνοήσῃ, οὐδὲ τὰ πρὸ τῶν ποδῶν οἶδε· καὶ ὀφθαλμὸς, ὅταν αὐτὸς πηρωθῇ, πάντα σκοτοῖ τὰ λοιπὰ μέλη· οὕτω καὶ ἐπὶ τῆς ἀπονοίας συμβαίνει. διὸ καὶ τῶν μαινομένων εἰσὶν ἀθλιώτεροι οὗτοι, καὶ τῶν φύσει μωρῶν. καὶ γὰρ ὁμοίως τούτοις γέλωτα κινοῦσι, καὶ ὁμοίως ἐκείνοις εἰσὶν ἀηδεῖς. καὶ ἐξεστήκασι μὲν ὥσπερ ἐκεῖνοι, ἀλλ᾽ οὐκ ἐλεοῦνται ὥσπερ ἐκεῖνοι· παραφρονοῦσι δὲ ὥσπερ οὗτοι, ἀλλ᾽ οὐ συγγινώσκονται ὥσπερ οὗτοι, ἀλλὰ μισοῦνται μόνον· καὶ τὰ ἐλαττώματα ἑκατέρων ἔχοντες, τῆς συγγνώμης ἑκατέρων ἐστέρηνται, οὐκ ἀπὸ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν σχημάτων ὄντες καταγέλαστοι. τί γὰρ, εἰπέ μοι, τὸν αὐχένα ἀνατείνεις; τί δὲ βαδίζεις ἐπ᾽ ἄκρων ὀνύχων; τί τὰς ὀφρῦς ἀνασπᾷς; τί τὸ στῆθος φυσᾷς; Τρίχα οὐ δύνασαι ποιῆσαι λευκὴν ἢ μέλαιναν, καὶ ὡς πάντων κρατῶν, οὕτως ἀεροβατεῖς. τάχα ἐβούλου σοι καὶ πτερὰ φῦναι, ἵνα μὴ βαδίζῃς ἐπὶ τῆς γῆς· τάχα καὶ τέρας εἶναι ἐπιθυμεῖς. νῦν γὰρ οὐχὶ τέρας σαυτὸν πεποίηκας, ἄνθρωπος μὲν ὢν, πέτασθαι δὲ ἐπιχειρῶν; μᾶλλον δὲ καὶ πετόμενος ἔνδοθεν, καὶ φλεγμαίνων πάντοθεν; τί σε καλέσω, καὶ καθελῶ σου τὴν ἀπόνοιαν; ἂν εἴπω σε τέφραν,

καὶ

Marginal notes (left): γρ. ἐφίσταται; γρ. -σέλλω; γρ. -σία τοῦ μὴ; γρ. ἀγνοεῖ

Marginal notes (right): ΗΘΙΚΟΝ; Ἡσ. λβ. ϛ.; Ἡσ. ιδ. ιδ.; Ἡσ. ι. ιδ.; Δαν. γ. ιε.; Ἐξοδ. ε. β.; Ψαλμ. ιδ. α.; Γεν. δ. θ.; Παροιμ. θ. ι.

καὶ κόνιν, καὶ καπνόν, καὶ κονιορτόν, εἴποι μὲν τὴν εὐτέλειαν, οὐδέπω δὲ ἀκριβῶς τῆς εἰκόνος ἐπελαβόμεθα ἧς ἐβουλόμεθα. καὶ γὰρ καὶ τὸ φλεγμονῶδες, καὶ τὸ διάκενον αὐτῆς ἅπαν παραστῆσαι βούλομαι. ποίαν οὖν ἂν εὕροιμεν τούτοις εἰκόνα ἁρμόζουσαν; ἐμοὶ δοκοῦσι στυπείῳ καταφλεχθέντι προσεοικέναι. καὶ γὰρ ἐκεῖνο δοκεῖ μὲν τὸν ἐμπρησμὸν οἰδεῖν, καὶ ὑπερανεστηκέναι· μικρὸν δὲ χρόνος ἀφεὶς ὑπομεῖναι, κατηνέχθη τε ἅπαν, καὶ τέφρας ἁπάσης εὐτελέστερον ἐφάνη. τοιαῦται καὶ τούτων αἱ ψυχαί. τὸ γὰρ φύσημα αὐτῶν τὸ διάκενον καὶ ἡ τυχοῦσα προσβολὴ δυνήσεται ταπεινῶσαι καὶ καθελεῖν. τῶν γὰρ ἀπονενοημένων ἀνάγκη πάντως καὶ ἀσθενεῖς εἶναι. οὐ γάρ ἐστι τὸ ὕψος ὑγιές, ἀλλ' ὥσπερ αἱ πομφόλυγες εὐκόλως ῥήγνυνται, οὕτω καὶ οὗτοι ῥᾳδίως ἀπόλλυνται. εἰ δὲ ἀπιστεῖς, δός μοι θρασὺν καὶ ἀπονενοημένον, καὶ πεπτωκότος δειλότερον ὄψει γινόμενον καὶ ἀπὸ τῆς τυχούσης περιστάσεως. ὥσπερ γὰρ ἡ μὲν ἀπὸ φρυγάνων αἰρομένη φλὸξ ὁμοῦ τε ἀνήφθη, καὶ κόνις ἐγένετο, ἡ δὲ τῶν στερεῶν ξύλων φύσις οὔτε ἐξάπτεται ῥᾳδίως, καὶ ἐπὶ πολὺ διατηρεῖ καιομένην τὴν φλόγα· οὕτω καὶ αἱ ψυχαὶ αἱ μὲν στεῤῥαὶ καὶ βεβηκυῖαι, οὐκ εὐκόλως οὔτε ἐκκαίονται, οὔτε σβέννυνται· οὗτοι δὲ ἀμφότερα ταῦτα ἐν μιᾷ καιροῦ ῥοπῇ πάσχουσι. ταῦτ' οὖν εἰδότες, τὴν ταπεινοφροσύνην ἀσκῶμεν. οὐδὲν γὰρ αὐτῆς δυνατώτερον, ἀλλὰ καὶ πέτρας ἰσχυροτέρα, καὶ ἀδάμαντος στεῤῥοτέρα, καὶ πύργων, καὶ πόλεων, καὶ τειχῶν ἐν μείζονι καθίστησιν ἡμᾶς ἀσφαλείᾳ, πάντων ὑψηλοτέρα γινομένη τῶν τοῦ διαβόλου μηχανημάτων· ὥσπερ οὖν ἡ ἀπόνοια καὶ τοῖς τυχοῦσιν εὐχειρώτους ποιεῖ, πομφόλυγος (ὥσπερ ἔφην) εὐκολώτερον ῥηγνυμένη, καὶ ἀράχνης ταχύτερον σχιζομένη, καὶ καπνοῦ θᾶττον διαλυομένη. ἵν' οὖν ἐπὶ τῆς στερεᾶς πέτρας ὦμεν βεβηκότες, ἐκείνην ἀφέντες, ταύτην ἑλώμεθα. οὕτω γὰρ καὶ ἐν τῷ παρόντι βίῳ ἀνάπαυσιν εὑρήσομεν, καὶ κατὰ τὸν μέλλοντα αἰῶνα πάντων ἀπολαύσομεν τῶν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κα. 4 ΚΑΘΑΠΕΡ ΓΑΡ ΕΝ ΕΝΙ ΣΩΜΑΤΙ ΜΕΛΗ πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· 5 Οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη.

α Κορ. ιβ ιβ. Πάλιν τῷ αὐτῷ ὑποδείγματι κέχρηται, ᾧ καὶ πρὸς Κορινθίους ἐχρήσατο, τὸ αὐτὸ τοῦτο καταστέλλων πάθος. καὶ γὰρ μεγάλη τοῦ φαρμάκου ἡ δύναμις, καὶ τοῦ παραδείγματος ἡ ἰσχὺς τούτου, εἰς τὸ διορθῶσαι τὸ τῆς ἀπονοίας νόσημα. τίνος γὰρ ἕνεκεν σὺ μεγαλοφρονεῖς, φησίν; ἢ διὰ τί πάλιν ἕτερος ἑαυτὸν ἐξευτελίζει; οὐχὶ σῶμά ἐσμεν ἅπαντες ἕν, καὶ μεγάλοι καὶ μικροί; ὅταν οὖν κατὰ τὸ κεφάλαιον ἓν ὦμεν, καὶ ἀλλήλων μέλη, τί τῇ ἀπονοίᾳ διαζεῖς σαυτόν; τί ἐπαισχύνῃ τὸν ἀδελφόν; ὥσπερ γὰρ ἐκεῖνός σου μέλος, οὕτω κἀκείνου σύ· καὶ πολλὴ καὶ κατὰ τοῦτο ἡ ὁμοτιμία. δύο γὰρ ἰσχυρὰ καθελεῖν αὐτῶν τὴν ἀπόνοιαν τέθεικε· καὶ ὅτι ἀλλήλων ἐσμὲν μέλη, οὐχ ὁ μικρὸς τοῦ μεγάλου μόνον, ἀλλὰ καὶ ὁ μέγας τοῦ ἐλάττονος, καὶ ὅτι ἓν ἐσμὲν ἅπαντες σῶμα. μᾶλλον δὲ καὶ τρία· καὶ γὰρ καὶ χάρισμα ἔδειξεν ἓν ὂν τὸ δοθέν. μὴ τοίνυν μέγα φρόνει. ἐδόθη γάρ σοι παρὰ τοῦ Θεοῦ, οὐ σὺ ἔλαβες, οὐδὲ εὗρες. διὰ τοῦτο καὶ τῶν χαρισμάτων ἀπτόμενος, οὐκ εἶπεν, ὅτι ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον ἔλαβεν, ἀλλὰ τί; διάφορα. ἔχοντες γάρ, φησι, χαρίσματα, οὐ μείζονα καὶ ἐλάττονα, ἀλλὰ διάφορα. τί γὰρ εἰ μὴ καὶ τὰ αὐτὰ ἐπετάγης, ἀλλὰ τὸ σῶμα τὸ αὐτό ἐστι; καὶ ἀρξάμενος ἀπὸ χαρίσματος, εἰς κατόρθωμα λήγει. εἰπὼν γὰρ προφητείαν, καὶ διακονίαν, καὶ ὅσα τοιαῦτα, κατέληξεν εἰς ἐλεημοσύνην, καὶ σπουδὴν, καὶ ἀντίληψιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας ἐναρέτους μὲν εἶναι, μὴ ἔχειν δὲ προφητείαν, δείκνυσιν ὅτι καὶ τοῦτο χάρισμα,

σμα, καὶ πολλῷ μεῖζον ἐκείνου (ὥσπερ ἔδειξεν ἐν τῇ πρὸς Κορινθίους) καὶ τοσούτῳ μεῖζον, ὅσῳ τὸ μὲν ἔχει μισθὸν, τὸ δὲ ἐστέρηται ἀμοιβῆς. ὅλον γὰρ δωρεὰ καὶ χάρις ἐστί. διὰ τοῦτό φησιν,

τοῦ Θεοῦ 6 Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν * τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως. Ἐπειδὴ γὰρ ἱκανῶς αὐτοὺς παρεμυθήσατο, βούλεται καὶ ἐναγωνίους ποιῆσαι, καὶ σπουδαιοτέρους ἐργάσασθαι, δεικνὺς ὅτι αὐτοὶ τὰς ἀφορμὰς παρέχουσι τοῦ μείζονα, ἢ ἐλάττονα λαβεῖν. (μεῖζον. ἔλαττον.) λέγει μὲν γὰρ αὐτὸ καὶ παρὰ τοῦ Θεοῦ δεδόσθαι (ὡς ὅταν λέγῃ, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως, καὶ πάλιν, κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν) ἵνα καταστείλῃ τοὺς ὑπερηφάνους· λέγει δὲ καὶ παρ' αὐτῶν τὰς ἀρχὰς γεγενῆσθαι, ἵνα διεγείρῃ τοὺς ῥαθύμους· ὃ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ, ἀμφότερα ταῦτα κινῶν. ὅταν μὲν γὰρ λέγῃ, Ζηλοῦτε τὰ χαρίσματα, δείκνυσι καὶ αὐτοὺς ὄντας αἰτίους τῆς διαφορᾶς τῶν διδομένων. α Κορ ιβ. λα. ὅταν δὲ λέγῃ, πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἑκάστῳ καθὼς βούλεται, ἐκεῖνο κατασκευάζει, τὸ μὴ δεῖν ἐπαίρεσθαι τοὺς εἰληφότας, πανταχόθεν παραμυθούμενος αὐτῶν τὸ πάθος· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. καὶ πάλιν τοὺς ἀναπεπτωκότας διεγείρων φησὶν, Εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως. Εἰ γὰρ καὶ χάρις ἐστὶν, ἀλλ' οὐχ ἁπλῶς ἐκχεῖται· ἀλλὰ τὰ μέτρα παρὰ τῶν δεχομένων λαμβάνουσα, τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ προσενεχθέν.

7 Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ. Καθολικὸν πρᾶγμα ἐνταῦθα τίθησι. καὶ γὰρ ἡ ἀποστολὴ, διακονία λέγεται· καὶ πᾶν ἀγαθὸν πνευματικὸν ἔργον, διακονία. ἔστι μὲν γὰρ καὶ ἰδικῆς οἰκονομίας ὄνομα τοῦτο, ἐνταῦθα μέντοι καθολικῶς εἴρηται. Εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ. Ὅρα πῶς ἀδιαφόρως αὐτὰ τίθησι, τὸ μικρὸν πρότερον, καὶ τὸ μέγα ὕστερον· πάλιν τὸ αὐτὸ τοῦτο παιδεύων, τὸ μὴ φυσᾶσθαι, μηδὲ ἐπαίρεσθαι.

8 Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει. Καὶ τοῦτο διδασκαλίας εἶδος. Εἰ γάρ ἐστιν ἐν ὑμῖν λόγος παρακλήσεως, φησὶ, πρὸς τὸν λαὸν λέγετε. Πραξ. ιγ. ιε. Εἶτα δεικνὺς ὡς οὐ μέγα ὄφελος ἀρετὴν μετιέναι, εἰ μὴ μετὰ τοῦ προσήκοντος τοῦτο γίνοιτο νόμου, ἐπάγει,

Ὁ μεταδιδοὺς, ἐν ἁπλότητι. Οὐ γὰρ ἀρκεῖ τὸ δοῦναι, ἀλλὰ δεῖ καὶ μετὰ δαψιλείας τοῦτο ποιεῖν. ἁπλότητα γὰρ τοῦτο οἶδε πανταχοῦ. ἐπεὶ καὶ αἱ παρθένοι ἔλαιον εἶχον· ἀλλ' ἐπειδὴ ἀρκοῦν οὐκ εἶχον, οὐ πάντως ἐξέπεσον. Ὁ προϊστάμενος, ἐν σπουδῇ. Οὐ γὰρ ἀρκεῖ τὸ προστῆναι. Ὁ ἐλεῶν, ἐν ἱλαρότητι. Οὐ γὰρ ἀρκεῖ τὸ ἐλεῆσαι, ἀλλὰ καὶ μετὰ δαψιλείας καὶ γνώμης ἀλύπου τοῦτο δεῖ ποιεῖν· μᾶλλον δὲ οὐ μετὰ ἀλύπου δὲ μόνον, ἀλλὰ καὶ μετὰ φαιδρᾶς καὶ χαιρούσης. οὐ γάρ ἐστιν ἴσον μὴ λυπεῖσθαι, καὶ χαίρειν. τοῦτο δὲ αὐτὸ καὶ πρὸς Κορινθίους ἐπιστέλλων, μετὰ πολλῆς κατεσκεύαζε σπουδῆς. εἰς μὲν γὰρ δαψίλειαν διεγείρων, ἔλεγεν, Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. τὴν δὲ γνώμην διορθούμενος, προσετίθει, μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. β. Κορ. θ. ς. ἀμφότερα γὰρ δεῖ προσεῖναι τῷ ἐλεοῦντι, καὶ ἀφθονίαν, καὶ ἡδονήν. τίνος γὰρ ἕνεκεν κλαίεις διδοὺς ἐλεημοσύνην; τί δὲ ἀλγεῖς ἐλεῶν, καὶ τῶν καρπῶν προδιδοὺς τοῦ κατορθώματος; Εἰ γὰρ ἀλγεῖς, οὐκ ἐλεεῖς, ἀλλ' ὠμὸς εἶ καὶ ἀπάνθρωπος. Εἰ γὰρ σὺ ἀλγεῖς, πῶς ἐκεῖνον ἐν λύπῃ ὄντα διαναστῆσαι δυνήσῃ; ἀγαπητὸν γὰρ, μηδὲν ὑποπτεῦσαι ἐκεῖνον πονηρὸν, καὶ ὅταν μετὰ τοῦ χαίρειν παρέχῃς. ἐπειδὴ γὰρ οὐδὲν οὕτως αἰσχρὸν ἀνθρώποις εἶναι δοκεῖ, ὡς τὸ παρὰ ἑτέρων λαμβάνειν, ἂν μὴ τῇ ὑπερβαλλούσῃ φαιδρότητι τὴν ὑποψίαν ἀνέλῃς, καὶ δείξῃς ὅτι λαμβάνεις μᾶλλον, ἢ δίδως, κατέβαλες μᾶλλον, ἢ ἀνέστησας τὸν λαμβάνοντα. διὰ τοῦτό φησιν, ὁ ἐλεῶν, ἐν ἱλαρότητι. τίς γὰρ βασιλείαν λαμβάνων, σκυθρωπός ἐστι; τίς ἁμαρτημάτων δεχόμενος συγχώρησιν, ἐν κατηφείᾳ μένει; μὴ τοίνυν τῇ δαπάνῃ τῶν χρημάτων πρόσεχε, ἀλλὰ τῇ διὰ τῆς δαπάνης προσόδῳ. Εἰ γὰρ ὁ σπείρων χαίρει, καίτοι ἐπ' ἀδήλοις σπείρων·

Left margin: -ρισεῖναι, -λων

ἀπείρων· πολλῷ μᾶλλον ὁ τὸν οὐρανὸν γεωργῶν. οὕτω γὰρ κἂν ὀλίγα δῷς, πολλὰ δώσεις· ὥσπερ
Μαρ. ιβ. οὖν μετὰ σκυθρωπότητος κἂν πολλὰ δῷς, ὀλίγα πεποίηκας τὰ πολλά. οὕτω δὲ ἡ χήρα πολλὰ τάλαντα ὑπερηκόντισε διὰ δύο λεπτῶν. διὰ φιλὴς γὰρ ἡ γνώμη. καὶ πῶς ἔνι, φησὶ, πενίᾳ συζῶντα ἐσχάτῃ, καὶ πάντα κενοῦντα, μετὰ προθυμίας τοῦτο ποιεῖν; ἐρώτησον τὴν χήραν, καὶ ἀκούσῃ τὸν τρόπον, καὶ εἴσῃ ὅτι οὐχ ἡ πενία ποιεῖ τὴν στενοχωρίαν, ἀλλ' ἡ προαίρεσις καὶ τοῦτο καὶ τὸ ἐναντίον ἅπαν ἐργάζεται. ἔστι γὰρ καὶ ἐν πενίᾳ μεγαλόψυχον εἶναι, καὶ ἐν πλούτῳ μικρολόγον. διὰ τοῦτο καὶ ἐν τῇ μεταδόσει τὴν ἁπλότητα ζητεῖ, καὶ ἐν τῷ ἐλεεῖν τὴν ἱλαρότητα, καὶ ἐν τῇ προστασίᾳ τὴν σπουδήν. οὐδὲ γὰρ χρήμασι μόνον βούλεται τοῖς δεομένοις ἡμᾶς βοηθεῖν, ἀλλὰ καὶ ῥήμασι, καὶ πράγμασι, καὶ σώματι, καὶ τοῖς ἄλλοις ἅπασι. καὶ εἰπὼν τὴν προηγουμένην προστασίαν, τὴν διὰ τῆς διδασκαλίας, τὴν διὰ τῆς παρακλήσεως (αὕτη γὰρ ἀναγκαιοτέρα, ὅσῳ καὶ ψυχῆς ἐστι τροφή) ἦλθεν ἐπὶ τὴν διὰ τῶν χρημάτων καὶ τῶν ἄλλων ἁπάντων. εἶτα δεικνὺς πῶς ἂν ταῦτα κατορθωθείη, τὴν μητέρα αὐτῶν εἰσάγει, τὴν ἀγάπην.

9 Η ἀγάπη γὰρ, φησὶν, ἀνυπόκριτος. Ἂν ταύτην ἔχῃς, οὐ δαπάνης αἰσθήσῃ χρημάτων, οὐ πόνου σωμάτων, οὐ μόχθου λόγων, οὐχ ἱδρῶτος καὶ διακονίας, ἀλλὰ πάντα οἴσεις γενναίως, καὶ σώματι, καὶ χρήμασι, καὶ λόγῳ, κἂν ἑτέρῳ ὁτῳοῦν βοηθῆσαι δέῃ τῷ πλησίον. ὥσπερ οὖν οὐ μετάδοσιν ἀπαιτεῖ μόνον, ἀλλὰ τὴν ἐν ἁπλότητι, οὐδὲ προστασίαν, ἀλλὰ τὴν μετὰ σπουδῆς, οὐδὲ τὴν ἐλεημοσύνην, ἀλλὰ τὴν μετὰ ἱλαρότητος· οὕτω καὶ ἀγάπην οὐχ ἁπλῶς, ἀλλὰ τὴν ἀνυπόκριτον. ἐπεὶ καὶ τοῦτο ἀγάπη κἂν τοῦτο γένηται, πάντα τὰ ἄλλα ἕπεται. καὶ γὰρ ὁ ἐλεῶν, ἱλαρῶς ἐλεεῖ (ἑαυτῷ γὰρ δίδωσι) καὶ ὁ προϊστάμενος, σπουδαίως προΐσταται (ἑαυτοῦ γὰρ προΐσταται) καὶ ὁ μεταδιδοὺς, μετὰ δαψιλείας τοῦτο ποιεῖ· ἑαυτῷ γὰρ παρέχει. εἶτα ἐπειδή ἐστι καὶ ἀγάπη ἐπὶ πονηροῖς πράγμασιν, οἵα ἡ τῶν ἀκολάστων ἐστὶν, ἡ τῶν ἐπὶ χρήμασι καὶ ἁρπαγαῖς ὁμονοούντων, ἡ τῶν ἐπὶ μέθαις καὶ συμποσίοις, ἐκκαθαίρων αὐτὴν ἀπὸ τούτων, φησὶν,

Ἀποστυγοῦντες τὸ πονηρόν. Καὶ οὐκ εἶπεν, ἀπεχόμενοι, ἀλλὰ, μισοῦντες, καὶ οὐχ ἁπλῶς μισοῦντες, ἀλλὰ καὶ σφόδρα μισοῦντες. τὸ γὰρ ἀπὸ τοῦτο, πολλαχοῦ ἐπιτάσεώς ἐστι παρ' αὐτῷ· ὡς ὅταν λέγῃ ἀποκαραδοκίαν, καὶ ἀπεκδεχόμενοι, καὶ ἀπολύτρωσιν. ἐπειδὴ γὰρ πολλοὶ καὶ μὴ πράττοντες τὰ κακὰ, ὅμως τὴν ἐπιθυμίαν αὐτῶν ἔχουσι, διὰ τοῦτο εἶπεν, ἀποστυγοῦντες. αὐτὸς δὲ τὴν διάνοιαν καθαρεύειν βούλεται, καὶ πολλὴν ἡμᾶς ἔχθραν ἔχειν πρὸς τὴν κακίαν, καὶ μῖσος, καὶ πόλεμον. μὴ γὰρ, ἐπειδὴ εἶπον, φησὶν, ἀγαπήσατε ἀλλήλους, νομίσητε μέχρι τούτου λέγειν, ὡς καὶ ἐν τοῖς πονηροῖς συμπράττειν ἀλλήλοις. τοὐναντίον γὰρ ἅπαν νομοθετῶ· οὐ μόνον τῆς πράξεως, ἀλλὰ καὶ τῆς διαθέσεως τῆς περὶ τὴν κακίαν ἀλλοτρίους εἶναι, καὶ οὐ μόνον τῆς διαθέσεως αὐτῆς ἀλλότριον εἶναι, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς αὐτὴν ἀποστρέφεσθαι καὶ μισεῖν. καὶ οὐκ ἀρκεῖται μόνῳ τούτῳ, ἀλλὰ καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ἐπάγει λέγων, Κολλώμενοι τῷ ἀγαθῷ.

Οὐκ εἶπε, ποιοῦντες μόνον, ἀλλὰ καὶ διακείμενοι. τοῦτο γὰρ τὸ κελεῦσαι κολλᾶσθαι ἐδήλωσεν. οὕτω καὶ ὁ Θεὸς συνάπτων τὸν ἄνδρα τῇ γυναικὶ, ἔλεγε, Προσκολληθή-
Γεν. β. κδ. σεται γὰρ πρὸς τὴν γυναῖκα αὐτοῦ. εἶτα καὶ αἰτίας λέγει, δι' ἃς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

10 Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι. Ἀδελφοί, φησὶν, ἐστὲ, καὶ τὰς ὠδῖνας ἐλύσατε τὰς αὐτάς· οὐκοῦν καὶ διὰ τοῦτο δίκαιοι ἂν εἴητε φιλεῖν ἀλλήλους. τοῦτο δὲ
Εξ. β. ιγ. Μωϋσῆς ἔλεγε τοῖς ἐν Αἰγύπτῳ μαχομένοις· Ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους; ὅταν μὲν οὖν περὶ τῶν ἔξω λέγῃ, Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε, φησίν. ὅταν δὲ περὶ τῶν οἰκείων διαλέγηται, τῇ φιλαδελφίᾳ φησὶν εἰς ἀλλήλους φιλόστοργοι.

φιλόστοργοι. ἐκεῖ μὲν γὰρ τὸ μὴ μάχεσθαι ζητεῖ, μηδὲ μισεῖν καὶ ἀποστρέφεσθαι· ἐνταῦθα δὲ καὶ τὸ φιλεῖν, καὶ οὐχ ἁπλῶς φιλεῖν, ἀλλὰ καὶ στέργειν. οὐ γὰρ δὴ μόνον φησὶν, ἀνυπόκριτον εἶναι χρὴ τὴν ἀγάπην, ἀλλὰ καὶ ἐπιτεταμένην, καὶ θερμὴν, καὶ διάπυρον. τί γὰρ ὄφελος, ἂν ἀγαπᾷς μὲν ἀδόλως, μὴ θερμῶς δὲ ἀγαπᾷς; διὸ καὶ εἶπεν, εἰς ἀλλήλους φιλόστοργοι, τουτέστι, καὶ θερμῶς φίλει. μὴ μένε φιλεῖσθαι παρὰ τοῦ ἑτέρου, ἀλλ' αὐτὸς ἐπιπήδα τούτῳ καὶ κατάρχου· οὕτω γὰρ καὶ τῆς ἐκείνου φιλίας τὸν μισθὸν καρπώσῃ. εἰπὼν τοίνυν τὴν αἰτίαν δι' ἣν ὀφείλομεν ἀλλήλους φιλεῖν, λέγει καὶ πῶς ἂν γένοιτο τὰ τῆς φιλίας ἀκίνητα. διὸ καὶ ἐπάγει, Τῇ τιμῇ ἀλλήλους προηγούμενοι.

Οὕτω γὰρ φιλία καὶ γίνεται, καὶ γενομένη μένει. οὐδὲν γὰρ οὕτω φίλους ποιεῖ, ὡς τὸ σπουδάζειν τῇ τιμῇ νικᾷν τὸν πλησίον. οὐ φιλία δὲ μόνον, ἀλλὰ καὶ τιμὴ μείζων ἐντεῦθεν γίνεται. τὰ μὲν γὰρ εἰρημένα προέρχεται ἀπὸ τῆς ἀγάπης, ἡ δὲ ἀγάπη ἀπὸ τῆς τιμῆς, ὥσπερ οὖν καὶ τιμὴ ἀπὸ τῆς ἀγάπης. εἶτα ἵνα μὴ τιμῶμεν μόνον, καὶ ἐπέκεινα πλέον ἐπιζητεῖ λέγων,

11 Τῇ σπουδῇ μὴ ὀκνηροί. Καὶ γὰρ καὶ τοῦτο ἀγάπην τίκτει, ὅταν μετὰ τῆς τιμῆς καὶ προστασίας ἐπιδεικνώμεθα. οὐδὲν γὰρ οὕτως, ὡς καὶ τιμὴ καὶ προστασία τὸ φιλεῖσθαι ποιεῖ. οὐ γὰρ ἀρκεῖ τὸ φιλεῖν, ἀλλὰ δεῖ καὶ τούτου· μᾶλλον δὲ καὶ τοῦτο ἐκ τοῦ φιλεῖν γίνεται, ὥσπερ οὖν καὶ τὸ φιλεῖν ἀπὸ τούτου θερμαίνεται, καὶ ἀλλήλων ἐστὶ κατασκευαστικά. καὶ γάρ εἰσι πολλοὶ μετὰ διανοίας μὲν φιλοῦντες, οὐκ ὀρέγοντες χεῖρα. διὰ τοῦτο πανταχόθεν οἰκοδομεῖ τὴν ἀγάπην. καὶ πῶς ἂν γενοίμεθα τῇ σπουδῇ μὴ ὀκνηροί;

Τῷ πνεύματι ζέοντες. Ὁρᾷς πῶς πανταχοῦ τὰς ἐπιτάσεις ζητεῖ; οὐ γὰρ εἶπε, μεταδίδοτε μόνον, ἀλλὰ μετὰ δαψιλείας, οὐδὲ προΐστασθε, ἀλλὰ μετὰ σπουδῆς, οὐδὲ ἐλεεῖτε, ἀλλ' ἱλαρῶς, οὐδὲ τιμᾶτε, ἀλλὰ προηγεῖσθε, οὐδὲ ἀγαπᾶτε, ἀλλ' ἀνυποκρίτως, οὐδὲ ἀπέχεσθε τῶν κακῶν, ἀλλὰ μισεῖτε, οὐδὲ ἔχεσθε τῶν ἀγαθῶν, ἀλλὰ κολλᾶσθε, οὐδὲ φιλεῖτε, ἀλλὰ φιλοστόργως, οὐδὲ σπουδάζετε, ἀλλὰ μὴ ὀκνηρῶς, οὐδὲ τὸ πνεῦμα ἔχετε, ἀλλὰ ζέον τὸ πνεῦμα, τουτέστιν, ἵνα ἦτε θερμοὶ καὶ διεγηγερμένοι. ἐὰν γὰρ ἐκεῖνα ἔχῃς τὰ προειρημένα, ἐπισπάσῃ τὸ πνεῦμα. ἐὰν δὲ μένῃ τοῦτο παρὰ σοὶ, καὶ πρὸς ἐκεῖνά σε σπουδαῖον ἐργάσεται, καὶ πάντα εὔκολα ἀπὸ τοῦ πνεύματος καὶ τῆς ἀγάπης ἔσται, ἑκατέρωθέν σου πεπυρωμένου. οὐχ ὁρᾷς τοὺς ταύρους τοὺς φλόγα ἐπὶ τῶν νώτων φέροντας, πῶς πᾶσιν εἰσὶν ἀφόρητοι; οὕτω καὶ σὺ τῷ διαβόλῳ ἀφόρητος ἔσῃ, ἂν ἑκατέρωθεν λάβῃς τὴν φλόγα. Τῷ Κυρίῳ δουλεύοντες. Διὰ γὰρ τούτων ἁπάντων ἔστι δουλεῦσαι τῷ Θεῷ. ὅσα γὰρ ἂν ποιήσῃς εἰς τὸν ἀδελφὸν, εἰς τὸν δεσπότην σου διαβαίνει· καὶ ὡς αὐτὸς εὖ πεποιηκὼς, οὕτω σοι τὸν μισθὸν λογιεῖται. εἶδες ποῦ τὸ φρόνημα ἀνώρθωσε τοῦ ταῦτα ἐργαζομένου; εἶτα δεικνὺς πῶς ἂν ἀναφθείη τοῦ πνεύματος ἡ φλὸξ, φησί·

12 Τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες. Ταῦτα γὰρ ἅπαντα, ὑπεκκαύματά ἐστι τοῦ πυρὸς ἐκείνου. ἐπειδὴ γὰρ καὶ χρημάτων δαπάνην ἀπῄτησε, καὶ σωμάτων πόνον, καὶ προστασίαν, καὶ σπουδὴν, καὶ διδασκαλίαν, καὶ τὰ ἄλλα τὰ ἐπίπονα, ἀλείφει πάλιν τὸν ἀθλητὴν μετὰ τῆς ἀγάπης, μετὰ τοῦ πνεύματος, διὰ τῆς ἐλπίδος. οὐδὲν γὰρ οὕτως ἀνδρείαν καὶ παράβολον πρὸς ἅπαντα ποιεῖ τὴν ψυχὴν, ὡς ἐλπὶς χρηστή. εἶτα καὶ πρὸ τῶν ἐλπιζομένων χρηστῶν ἕτερον πάλιν ἔπαθλον δίδωσιν. ἐπειδὴ γὰρ ἡ ἐλπὶς τῶν μελλόντων ἦν, φησὶ, τῇ θλίψει ὑπομένοντες. καὶ γὰρ πρὸ τῶν μελλόντων, ἐν τῷ παρόντι μέγα καρπώσῃ καλὸν ἀπὸ τῆς θλίψεως, τὸ καρτερικὸς καὶ δόκιμος γίνεσθαι. μετὰ δὲ τούτου καὶ ἑτέραν παρέχει βοήθειαν, λέγων, τῇ προσευχῇ προσκαρτεροῦντες. ὅταν οὖν καὶ ἀγάπη εὔκολον ποιῇ, καὶ πνεῦμα βοηθῇ, καὶ ἐλπὶς κουφίζῃ, καὶ θλῖψις δόκιμον ἐργάζηται καὶ ἐπιτήδειον πρὸς τὸ φέρειν πάντα γενναίως, καὶ ἔχῃς μετὰ τού-

χ. σπουδῆς

χ. οἰκονομεῖ

χ. μὴ δ

ἀγαθῶν

τῶν καὶ ἕτεροι ὅπλοι μέγιστον τὴν προσευχὴν καὶ τὴν ἀπὸ τῆς δεήσεως βοήθειαν. τί λοιπὸν ἔσται ἐπίπονον τῶν ἐπιταττομένων; οὐδέν. Εἶδες πῶς καὶ πανταχόθεν ἔστησε τὸν ἀθλητήν, καὶ πολὺ κοῦφα ἔδειξε τὰ ἐπιτάγματα; σκόπει πάλιν πῶς τῆς ἐλεημοσύνης ἐπιλαμβάνεται· μᾶλλον δὲ οὐχ ἁπλῶς ἐλεημοσύνης, ἀλλὰ τῆς εἰς τοὺς ἁγίους. ἄνω μὲν γὰρ εἰπών, ὁ ἐλεῶν, ἐν ἱλαρότητι, πᾶσι τὴν χεῖρα ἀνέῳξεν· ἐνταῦθα μέντοι ὑπὲρ τῶν πιστῶν φησί. διὸ καὶ ἐπάγει λέγων,

13 Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες. Οὐκ εἶπε, παρέχετε αὐτῶν ταῖς χρείαις, ἀλλά, κοινωνεῖτε αὐτῶν ταῖς χρείαις, δεικνὺς ὅτι μείζονα λαμβάνουσιν ἢ διδόασιν, ὅτι ἐμπορεία τὸ πρᾶγμά ἐστι· κοινωνία γάρ ἐστιν. Εἰσφέρεις σὺ χρήματα; εἰσφέρουσί σοι παρρησίαν ἐκεῖνοι τὴν πρὸς τὸν Θεόν. Τὴν φιλοξενίαν διώκοντες. Οὐκ εἶπεν, ἐργαζόμενοι, ἀλλὰ διώκοντες, παιδεύων ἡμᾶς μὴ ἀναμένειν τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν.

ΗΘΙΚΟΝ

Οὕτως ὁ Λώτ, οὕτως ὁ Ἀβραὰμ ἐποίησε. καὶ γὰρ τὴν ἡμέραν εἰς τοῦτο ἀνάλωσεν ἀναμένων τὴν καλὴν ταύτην θήραν, καὶ ἰδὼν ἀνεπήδησε, καὶ εἰς ἀπάντησιν ἔδραμε, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε, Κύριε, εἰ ἄρα εὗρον χάριν ἐνώπιόν σου, μὴ παρέλθῃς τὸν παῖδά σου. (Γεν ιη.) οὐ καθάπερ ἡμεῖς, ἐπειδὰν ἴδωμεν ξένον ἢ πένητα, τὰς ὀφρῦς ἀνασπῶμεν, καὶ οὐδὲ προσρήσεως ἀξίους αὐτοὺς νομίζομεν εἶναι· κἂν μετὰ μυρίας ἱκετηρίας μαλαχθέντες κελεύσωμεν τοῖς οἰκέταις δοῦναι μικρὸν ἀργύριον, τὸ πᾶν κατωρθωκέναι νομίζομεν. ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλ' ἱκέτου σχῆμα ἀνέλαβε καὶ οἰκέτου, καίτοιγε οὐκ εἰδὼς τίνας ἔμελλεν ὑποδέχεσθαι. ἡμεῖς δὲ σαφῶς εἰδότες ὅτι τὸν Χριστὸν ὑποδεχόμεθα, οὐδὲ ταύτῃ γινόμεθα ἡμερώτεροι. ἀλλ' ἐκεῖνος μὲν καὶ παρακαλεῖ, καὶ ἱκετεύει, καὶ προσκυνεῖ· ἡμεῖς δὲ ὑβρίζομεν τοὺς προσιόντας ἡμῖν. καὶ ὁ μὲν δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς πάντα ἀνύει· ἡμεῖς δὲ οὐδὲ διὰ τῶν οἰκετῶν. εἰ δὲ καὶ τὴν τράπεζαν βουληθείης ἰδεῖν ἣν παρέθηκε, πολλὴν καὶ ἐνταῦθα ὄψει τὴν φιλοτιμίαν, οὐχ ἣν ὁ τῆς περιουσίας ἐποίει τρόπος, ἀλλ' ὁ τῆς προαιρέσεως πλοῦτος. πόσοι γοῦν τότε εὔποροι ἦσαν; ἀλλ' οὐδεὶς τοιοῦτον οὐδὲν ἐποίησε. πόσαι χῆραι ἦσαν ἐν τῷ Ἰσραήλ; ἀλλ' οὐδεμία ἐξένισε τὸν Ἠλίαν. πόσοι εὔποροι πάλιν ἦσαν ἐπὶ τοῦ Ἐλισσαίου; ἀλλ' ἡ Σωμανῖτις τὸν καρπὸν τῆς φιλοξενίας ἐτρύγα μόνη· ὥσπερ οὖν καὶ ὁ Ἀβραάμ, τότε ὢν μετὰ τῆς δαψιλείας καὶ τῆς προθυμίας. καὶ διὰ τοῦτο μάλιστα ἄξιον θαυμάζειν, ὅτι μηδὲ εἰδὼς τίνες ἦσαν οἱ παραγενόμενοι, ταῦτα ἐποίει. μὴ τοίνυν μηδὲ σὺ πολυπραγμόνει· διὰ γὰρ τὸν Χριστὸν δέχῃ. κἂν μέλλῃς ἀεὶ περιεργάζεσθαι, πολλάκις καὶ δόκιμον ἄνδρα παραδράμῃς, καὶ τὸν ἐκ τούτου μισθὸν ἀπολέσῃς. (Ματθ ι. μα.) καίτοι ὁ μηδὲ μὴ δόκιμον δεξάμενος οὐκ ἐγκαλεῖται, ἀλλὰ καὶ μισθὸν ἔχει. Ὁ δεξάμενος γὰρ προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· ὁ δὲ ἐκ τῆς ἀκαίρου ταύτης πολυπραγμοσύνης τὸν θαυμαστὸν παρατρέχων, καὶ δίκην δίδωσι. μὴ τοίνυν βίους καὶ πράξεις πολυπραγμόνει· καὶ γὰρ ἐσχάτης τοῦτο ἀπειροκαλίας ἐστίν, ὑπὲρ ἑνὸς ἄρτου ζωὴν ὁλόκληρον περιεργάζεσθαι. εἰ γὰρ ἀνδροφόνος ἐστίν, εἰ γὰρ λῃστής, εἰ γὰρ ὁτιοῦν, ἄρτου καὶ ὀλίγων ἀργυρίων οὐ δοκεῖ σοι ἄξιος εἶναι; ἀλλ' ὁ μὲν δεσπότης σου καὶ ἥλιον αὐτῷ ἀνατέλλει· σὺ δὲ καὶ τῆς ἐφημέρου τροφῆς ἀνάξιον αὐτὸν κρίνεις; ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν τίθημι. κἂν γὰρ ἐπιστάμενος ᾖς σαφῶς, ὅτι μυρίων ἐστὶ γέμων κακῶν, οὐδὲ οὕτως ἀπολογίαν ἕξεις τῆς ἐφημέρου τροφῆς αὐτὸν ἀποστερῶν. (Λουκ. θ. νε.) ἐκείνου γὰρ δοῦλος εἶ τοῦ λέγοντος, Οὐκ οἴδατε ποίου πνεύματός ἐστε· ἐκείνου εἶ οἰκέτης τοῦ θεραπεύσαντος τοὺς λιθάσαντας αὐτόν· μᾶλλον δὲ τοῦ σταυρωθέντος ὑπὲρ αὐτῶν. καὶ μή μοι λέγε ὅτι ἕτερον ἀνεῖλε. καὶ γὰρ εἰ καὶ σεαυτὸν ἀναιρεῖν μέλλει, μηδὲ οὕτω λιμώττοντα παρίδῃς. καὶ γὰρ ἐκείνου μαθητὴς εἶ (Λουκ. κγ. λδ.) τοῦ τῶν σταυρωσάντων τὴν σωτηρίαν ποθοῦντος, τοῦ λέγοντος ἐν αὐτῷ τῷ σταυρῷ, Πάτερ,

ἄφες

ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ἐκείνου δοῦλος εἶ τοῦ τὸν ῥαπίσαντα αὐτὸν θεραπεύσαντος, τοῦ τὸν ὑβρίσαντα ἐν αὐτῷ τῷ σταυρῷ στεφανώσαντος· οὗ τί γένοιτ' ἂν ἴσον; καὶ γὰρ ἀμφότεροι παρὰ τὴν ἀρχὴν λῃσταὶ ὕβριζον αὐτόν· ἀλλ' ὅμως θατέρῳ τούτων τὸν παράδεισον ἀνέῳξε. καὶ δακρύει τοὺς μέλλοντας αὐτὸν ἀναιρεῖν, καὶ ταράττεται, καὶ συγχεῖται ὁρῶν τὸν προδότην, οὐχ ὅτι σταυροῦσθαι ἔμελλεν, ἀλλ' ὅτι ἐκεῖνος ἀπώλλυτο. ἐταράττετο τοίνυν προειδὼς τὴν ἀγχόνην, τὴν μετὰ τὴν ἀγχόνην κόλασιν. καὶ εἰδὼς αὐτοῦ τὴν πονηρίαν, μέχρις ἐσχάτης ὥρας αὐτὸν ἔφερε, καὶ οὐ διεκρούετο, ἀλλὰ καὶ ἐφίλησε τὸν προδότην. ὁ δεσπότης σου φιλεῖ, καὶ δέχεται χείλεσι τὸν μέλλοντα αὐτοῦ τὸ αἷμα τὸ τίμιον ἐκχεῖν· σὺ δὲ τὸν πένητα οὐδὲ ἄρτου ἀξιοῖς; καὶ οὐκ αἰσχύνῃ τὸν νόμον ὃν ἔθηκεν ὁ Χριστός; διὰ γὰρ τούτων ἔδειξεν, ὅτι οὐ μόνον τοὺς πένητας, ἀλλ' οὐδὲ τοὺς ἐπὶ θάνατον ἡμᾶς ἄγοντας ἀποστρέφεσθαι δεῖ. μὴ τοίνυν μοι τοῦτο εἴπῃς, ὅτι ὁ δεῖνά μοι εἰργάσατο δεινά, ἀλλ' ἐννόησον τί ἐποίησεν ὁ Χριστὸς πρὸς αὐτῷ τῷ σταυρῷ, διὰ τοῦ φιλήματος, ᾧ προδίδοσθαι ἔμελλε, τὸν προδότην διορθούμενος. καὶ ὅρα πῶς ἐντρεπτικῶς. Ἰούδα, γάρ φησι, φιλήματι τὸν υἱὸν παραδίδως τοῦ ἀνθρώπου; τίνα οὐκ ἂν ἐμάλαξε; τίνα οὐκ ἂν ἐπέκαμψεν αὕτη ἡ φωνή; ποῖον θηρίον; ποῖον ἀδάμαντα; ἀλλ' οὐ τὸν δείλαιον ἐκεῖνον. Λουκ. κβ. μη. μὴ τοίνυν λέγε, ὅτι τὸν δεῖνα ἐφόνευσεν ὁ δεῖνα, καὶ διὰ τοῦτο αὐτὸν ἀποστρέφομαι. καὶ γὰρ κἂν σοὶ μέλλῃ τὸ ξίφος ὠθεῖν, καὶ τὴν δεξιὰν βαπτίζειν εἰς αὐτὸν τὸν λαιμόν, αὐτὴν φίλησον τὴν δεξιάν· ἐπεὶ καὶ ὁ Χριστὸς στόμα ἐφίλησεν ἐκεῖνο τὸ τὴν σφαγὴν ἐργασάμενον. καὶ σὺ τοίνυν μὴ μίσει, ἀλλὰ δάκρυε, καὶ ἐλέει τὸν ἐπιβουλεύοντα. ἐλεεῖσθαι γὰρ παρ' ἡμῶν ἄξιος ὁ τοιοῦτος, καὶ δακρύεσθαι. ἐκείνου γὰρ ἐσμὲν οἰκέται τοῦ καὶ φιλήσαντος τὸν προδότην (οὐ γὰρ παύσομαι συνεχῶς αὐτὸ περιστρέφων) καὶ τοῦ φιλήματος ἁπαλώτερα φθεγξαμένου ῥήματα. οὐδὲ γὰρ εἶπεν, ὦ μιαρέ, καὶ παμπόνηρε, καὶ προδότα, τοιαύτας ἡμῖν ἀποδίδως τὰς ἀμοιβὰς τῆς τοσαύτης εὐεργεσίας; ἀλλὰ πῶς; Ἰούδα, τὸ κύριον ὄνομα θείς, ὃ μᾶλλον ταλανίζοντος ἦν καὶ ἀνακαλοῦντος, ἢ ὀργιζομένου. καὶ οὐκ εἶπε, τὸν διδάσκαλόν σου, τὸν δεσπότην καὶ εὐεργέτην, ἀλλὰ τὸν υἱὸν τοῦ ἀνθρώπου. εἰ γὰρ μὴ διδάσκαλος ἦν, μηδὲ δεσπότης, τὸν οὕτως ἥμερον, τὸν οὕτως ἀπλάστως πρὸς σὲ διακείμενον, ὡς καὶ ἐν καιρῷ τῆς προδοσίας σε φιλεῖν, καὶ ταῦτα τοῦ φιλήματος συμβόλου τῆς προδοσίας ὄντος, τοῦτον παραδίδως; εὐλογητὸς εἶ, Κύριε· πόσης ταπεινοφροσύνης, πόσης ἀνεξικακίας ὑπόδειγμα ἡμῖν ἔδωκας; ἀλλὰ πρὸς μὲν ἐκεῖνον οὕτω· πρὸς δὲ τοὺς ἐπελθόντας μετὰ ξύλων καὶ μαχαιρῶν οὐχ οὕτω; καὶ τί γένοιτ' ἂν ἡμερώτερον τῶν ῥημάτων τῶν πρὸς ἐκείνους εἰρημένων; δυνάμενος γὰρ αὐτοὺς ἀθρόον ἀφανίσαι πάντας, τούτων μὲν ἐποίησεν οὐδέν, ἐντρεπτικῶς δὲ αὐτοῖς διαλέγεται λέγων, Τί ἐξήλθετε, ὡς ἐπὶ λῃστήν, μετὰ μαχαιρῶν καὶ ξύλων; Ματθ. κς. νε. καὶ ῥίψας αὐτοὺς ὑπτίους, ἐπειδὴ ἔμενον ἀναισθητοῦντες, ἑκὼν πάλιν ἑαυτὸν ἐξέδωκε, καὶ ἠνείχετο δεσμὰ περιβάλλοντας ὁρῶν ταῖς ἁγίαις χερσί, δυνάμενος ὁμοῦ πάντας κλονῆσαι καὶ ῥῖψαι κάτω. ἀλλὰ σὺ καὶ μετὰ ταῦτα ἀγριαίνεις πρὸς τὸν πένητα. καίτοιγε εἰ καὶ μυρίων ἐστὶν ἔνοχος κακῶν, ἡ ἔνδεια καὶ ὁ λιμὸς ἱκανὰ τὴν μὴ σφόδρα πεπωρωμένην καταμαλάξαι ψυχήν. σὺ δὲ ἕστηκας ἐκτεθηριωμένος, καὶ λεόντων μιμούμενος θυμούς· καίτοιγε ἐκεῖνοι οὐκ ἄν ποτε νεκρῶν ἀπογεύσαιντο σωμάτων. σὺ δὲ τοσούτοις ὁρῶν τεταλαιπωρημένον κακοῖς, ἐπεμβαίνεις κειμένῳ, καὶ σπαράττεις τὸ σῶμα διὰ τῶν ὕβρεων, καὶ χειμῶνα ἐπὶ χειμῶνι συνάγεις, καὶ τὸν εἰς λιμένα καταφυγόντα σκοπέλῳ προσαράξαι ποιεῖς, καὶ ναυάγιον ἐργάζῃ τῶν ἐν τῇ θαλάσσῃ χαλεπώτερον. καὶ πῶς ἐρεῖς τῷ Θεῷ, ἐλέησόν με, καὶ ἁμαρτημάτων αἰτεῖς συγχώρησιν, τὸν οὐδὲν ἁμαρτόντα ὑβρίζων, καὶ δίκην παρὰ λιμοῦ καὶ ἀνάγκης τοσαύτης ἀπαιτῶν, καὶ τὰ θηρία ἅπαντα ἀποκρύπτων τῇ ὠμότητι; ἐκεῖνα μὲν γάρ, τῆς γαστρὸς καταναγκαζούσης, ἅπτεται τῆς αὐτοῖς νενομισμένης τροφῆς· σὺ δέ, οὐδενὸς ὠθοῦντος οὐδὲ καταναγκάζοντος, καταπίνεις τὸν ἀδελ-

φον, δάκνων, σπαράττων, εἰ καὶ μὴ τοῖς ὀδοῦσιν, ἀλλὰ ῥήμασι δηγμάτων χαλεπωτέροις. πῶς οὖν δέξῃ τὴν ἱερὰν προσφορὰν, αἵμασιν ἀνθρωπίνοις φοινίξας τὴν γλῶτταν; πῶς "δίδως εἰρήνην, πολέμου" γέμοντι στόματι; (γρ. δέχῃ. γρ. γέμων τῷ) πῶς δὲ γνοὺν αἰσθητῆς ἀπολαύσεις τροφῆς, ἰὸν τοσοῦτον συνάγων; οὐ διορθοῦσαι τὴν πενίαν; τί καὶ ἐπιτρίβεις; οὐκ αἴρεις κείμενον; τί καὶ καταβάλλεις; οὐκ ἀναιρεῖς τὴν ἀθυμίαν; τί καὶ ἐπιτείνεις; οὐ δίδως χρήματα; τί καὶ ὑβρίζεις ῥήμασιν; οὐκ ἤκουσας ὅσην διδόασι δίκην οἱ μὴ τρέφοντες τοὺς πένητας; (Ματθ. κε. μα.) ποίαις τιμωρίαις καταδικάζονται; Πορεύεσθε γὰρ, φησὶν, εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. εἰ οὖν οἱ μὴ τρέφοντες οὕτω καταδικάζονται, τίνα διδοῦσι δίκην οἱ μετὰ τοῦ μὴ τρέφειν καὶ ὑβρίζοντες; πόσην ὑποστήσονται κόλασιν; πόσην γέενναν; ἵν' οὖν μὴ τοσαῦτα ἐπισπασώμεθα καθ' ἑαυτῶν κακὰ, ἕως ἐσμὲν κύριοι, καὶ τὸ πονηρὸν τοῦτο νόσημα διορθώσωμεν, καὶ τῇ γλώττῃ χαλινὸν ἐπιθῶμεν· καὶ μὴ μόνον μὴ ὑβρίζωμεν, ἀλλὰ καὶ παρακαλῶμεν, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων, ἵνα πολὺν ἑαυτοῖς προαποθέμενοι τὸν ἔλεον, τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς "ἐπιτυχεῖν, (γρ. μετασχεῖν) χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κβ. 14 ΕΥΛΟΓΕΙΤΕ ΤΟΥΣ ΔΙΩΚΟΝΤΑΣ ΥΜΑΣ· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

Διδάξας αὐτοὺς πῶς πρὸς ἀλλήλους διακεῖσθαι χρὴ, καὶ συγκολλήσας τὰ μέλη μετὰ ἀκριβείας, οὕτως ἐξάγει λοιπὸν πρὸς τὴν ἔξω παράταξιν, εὐκολωτέραν αὐτὴν ἐντεῦθεν ποιῶν. ὥσπερ γὰρ ὁ τὰ πρὸς τοὺς οἰκείους οὐ κατωρθωκὼς, δυσκολώτερον "τὰ πρὸς τοὺς ἀλλοτρίους οἰκονομήσει· (γρ. αὐτὸ) οὕτως ὁ καλῶς ἀσκήσας ἑαυτὸν ἐν τούτοις, ῥᾷον καὶ τῶν ἔξωθεν περιέσται. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ὁδῷ προβαίνων, μετ' "ἐκεῖνο ταῦτα τίθησι, καί φησιν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς. οὐκ εἶπε, μὴ μνησικακεῖτε, μηδὲ ἀμύνεσθε, ἀλλὰ τὸ πολλῷ πλέον τούτων ἐζήτησεν. ἐκεῖνο μὲν γὰρ ἀνδρὸς φιλοσόφου· τοῦτο δὲ ἀγγέλου λοιπόν. καὶ εἰπὼν εὐλογεῖτε, ἐπήγαγε, καὶ μὴ καταρᾶσθε· ἵνα μὴ καὶ τοῦτο κἀκεῖνο ποιῶμεν, ἀλλ' ἐκεῖνο μόνον. καὶ γὰρ μισθῶν εἰσιν ἡμῖν* πρόξενοι οἱ διώκοντες. (* ἐκεῖνοι) ἂν δὲ νήφῃς, καὶ ἕτερον σὺ σαυτῷ μετ' ἐκεῖνον κατασκευάσεις μισθόν. ἐκεῖνος μὲν γάρ σοι τὸν ἀπὸ τοῦ διωγμοῦ παρέξει· σὺ δὲ σεαυτῷ τὸν ἀπὸ τῆς εὐλογίας τῆς εἰς ἐκεῖνον, σημεῖον μέγιστον ἐκφέρων τῆς εἰς τὸν Χριστὸν ἀγάπης. ὥσπερ γὰρ ὁ καταρώμενος τῷ διώκοντι, δείκνυσιν ὅτι οὐ σφόδρα χαίρει ὑπὲρ τοῦ Χριστοῦ ταῦτα πάσχων· οὕτως ὁ εὐλογῶν, πολὺν ἐμφαίνει τὸν ἔρωτα. μὴ τοίνυν αὐτὸν λοιδορήσῃς, ἵνα καὶ αὐτὸς μείζονα καρπώσῃ μισθὸν, κἀκεῖνον διδάξῃς, ὅτι τὸ πρᾶγμα προθυμίας ἐστὶν, οὐκ ἀνάγκης, πανηγύρεως καὶ ἑορτῆς, οὐ συμφορᾶς, οὐδὲ ἀθυμίας. (Ματθ. ε. ια.) διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, Χαίρετε ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ὑπέστρεφον χαίροντες, οὐχ ὅτι κακῶς ἤκουσαν μόνον, ἀλλ' ὅτι καὶ ἐμαστιγώθησαν. μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον οὐ μικρὸν κερδανεῖς, τὸ καταπλῆξαι καὶ ταύτῃ τοὺς ἀντιδίκους, καὶ παιδεῦσαι διὰ τῶν ἔργων αὐτοὺς ὅτι πρὸς ἑτέραν ὁδεύεις ζωήν. ἂν γὰρ ἴδῃ σε χαίροντα καὶ πτερούμενον ἐπὶ "τῷ (γρ. τὸ) πάσχειν κακῶς, εἴσεται σαφῶς διὰ τῶν πραγμάτων, ὅτι μείζους τῶν παρόντων ἑτέρας ἔχεις ἐλπίδας. ὡς ἂν τοῦτο μὴ ποιῇς, ἀλλὰ κλαίῃς καὶ ὀδύρῃ, πόθεν δυνήσεται μαθεῖν ἐκεῖνος ὅτι ἑτέραν ζωὴν ἀναμένεις; καὶ μετὰ τούτου δὲ πάλιν καὶ ἕτερον κατορθώσεις. ἂν γὰρ ἴδῃ σε οὐκ ἀλγοῦντα ταῖς ὕβρεσιν, ἀλλὰ καὶ εὐλογοῦντα, παύσεται ἐλαύνων. ὅρα τοίνυν ὅσα ἐντεῦθεν γίνεται τὰ καλά· καὶ σοὶ μισθὸς μείζων, καὶ ὁ πειρασμὸς ἐλάττων,

κἀκεῖνος

κἀκεῖνος ἀποστήσεται διώκων, καὶ ὁ Θεὸς δοξασθήσεται, καὶ διδασκαλία τῶν πεπλημμελημένων γενήσεται πρὸς εὐσέβειαν ἡ σὴ φιλοσοφία. διὰ τοῦτο οὐχὶ τοὺς ὑβρίζοντας μόνον, ἀλλὰ καὶ τοὺς διώκοντας, καὶ διὰ τῶν πραγμάτων ἐπηρεάζοντας, τοῖς ἐναντίοις ἀμείβεσθαι ἐκέλευσε. καὶ νῦν μὲν αὐτοὺς εὐλογεῖν ἐπέταξε· προϊὼν δὲ καὶ ἔργοις εὐεργετεῖν παραινεῖ.

15 Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. Ἐπειδὴ γάρ ἐστιν εὐλογῆσαι μὲν, καὶ μὴ καταρᾶσθαι, * μὴ μὴν ἐξ ἀγάπης τοῦτο ποιῆσαι, βούλεται καὶ διαθερμαίνεσθαι ἡμᾶς τῇ φιλίᾳ. διὸ καὶ τοῦτο ἐπήγαγεν, ὥστε μὴ μόνον εὐλογεῖν, ἀλλὰ καὶ συναλγεῖν καὶ συμπάσχειν, εἴ ποτε ἴδωμεν αὐτοὺς συμφορᾷ περιπεσόντας. ναί, φησιν· ἀλλὰ τὸ μὲν συναλγεῖν τοῖς θρηνοῦσιν εἰκότως ἐπέταξε· τὸ δὲ ἕτερον τί δήποτε ἐκέλευσεν, οὐδὲν μέγα ὄν; καίτοιγε ἐκεῖνο φιλοσοφωτέρας δεῖται ψυχῆς, τὸ χαίρειν μετὰ χαιρόντων, μᾶλλον ἢ τὸ κλαίειν μετὰ κλαιόντων. τοῦτο μὲν γὰρ καὶ ἡ φύσις αὐτὴ κατορθοῖ, καὶ οὐδεὶς οὕτω λίθινος, ὃς οὐ κλαίει τὸν ἐν συμφοραῖς ὄντα. ἐκεῖνο δὲ γενναίας σφόδρα δεῖται ψυχῆς, ὥστε τῷ εὐδοκιμοῦντι μὴ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ συνήδεσθαι. διὰ τοῦτο καὶ πρότερον αὐτὸ τέθεικεν. οὐδὲν γὰρ οὕτως ἀγάπην συνάγει, ὡς ὅταν καὶ χαρᾶς καὶ λύπης κοινωνῶμεν ἀλλήλοις. μὴ τοίνυν, ἐπειδὴ πόρρω τῶν δεινῶν αὐτὸς ἕστηκας, τῆς συμπαθείας μένε ἐκτός. καὶ γὰρ καὶ τοῦ πλησίον παθόντος κακῶς, κοινὴν ὀφείλεις ποιεῖσθαι τὴν συμφοράν. κοινώνει τοίνυν τῶν δακρύων, ἵνα κουφίσῃς τὴν ἀθυμίαν· κοινώνει χαρᾶς, ἵνα ῥιζώσῃς τὴν εὐφροσύνην, καὶ πήξῃς τὴν ἀγάπην, καὶ πρὸ ἐκείνου σαυτὸν ὠφελήσῃς, διὰ μὲν τοῦ δακρύειν, ἐλεήμονα κατασκευάζων, διὰ δὲ τοῦ συνήδεσθαι, φθόνου καὶ βασκανίας ἑαυτὸν ἐκκαθαίρων. σκόπει δέ μοι καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. οὐ γὰρ εἶπε, λῦσον τὴν συμφοράν, ἵνα μὴ λέγῃς πολλάκις ὅτι ἀδύνατον· ἀλλὰ τὸ κουφότερον ἐπέταξε, καὶ οὗ κύριος εἶ. κἂν γὰρ ἀνελεῖν μὴ δυνηθῇς τὸ δεινόν, εἴσαγε δάκρυα, καὶ τὸ πλεῖον ἀνεῖλες· κἂν μὴ δυνηθῇς αὐξῆσαι τὴν εὐημερίαν, εἴσαγε τὴν χαράν, καὶ πολλὴν τὴν προσθήκην ἐποίησας. διὰ τοῦτο οὐ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ ὃ πολλῷ πλέον ἐστὶ παραινεῖ, τὸ καὶ συνήδεσθαι. τοῦ γὰρ μὴ φθονεῖν, τοῦτο πολὺ πλέον.

16 Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. Πολλὴν πάλιν περὶ τῆς ταπεινοφροσύνης ποιεῖται τὴν σπουδήν, ὅθεν καὶ ἤρξατο τοῦ λόγου. καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς φρονήματος μεστοὺς εἶναι, καὶ ἀπὸ τῆς πόλεως, καὶ ἑτέρωθεν πολλαχόθεν. διὸ καὶ συνεχῶς ὑποσύρει τὸ νόσημα, καὶ καταστέλλει τὴν φλεγμονήν. οὐδὲν γὰρ οὕτως ἀποσχίζει σῶμα ἐκκλησίας, ὡς ἀλαζονεία. τί δέ ἐστι, τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες; παρεγένετό σοι ὁ πένης εἰς τὴν οἰκίαν; γενοῦ κατ᾽ ἐκεῖνον τῷ φρονήματι, μὴ μείζονα λάβῃς ὄγκον διὰ τὸν πλοῦτον. οὐκ ἔστι πλούσιος, καὶ πένης ἐν Χριστῷ. μὴ τοίνυν ἐπαισχυνθῇς διὰ τὴν ἔξωθεν περιβολήν, ἀλλ᾽ ἀπόδεξαι διὰ τὴν ἔνδον πίστιν· μηδέ, ἂν ἴδῃς πενθοῦντα, ἀνάξιον αὐτὸν νομίσῃς παρακαλέσαι· μηδέ, ἂν ἴδῃς εὐημεροῦντα, ἐρυθριάσῃς κοινωνῆσαι τῆς ἡδονῆς καὶ συνησθῆναι, ἀλλ᾽ ὅσα περὶ σεαυτοῦ φρονεῖς, καὶ περὶ ἐκείνου. τὸ γὰρ αὐτὸ φρονοῦντες, φησιν, εἰς ἀλλήλους· οἷον, μέγαν σαυτὸν εἶναι νομίζεις; οὐκοῦν καὶ ἐκεῖνον νόμιζε. ταπεινὸν καὶ μικρὸν εἶναι ὑποπτεύεις ἐκεῖνον; οὐκοῦν καὶ περὶ σαυτοῦ τοῦτο ψηφίζου, καὶ πᾶσαν ἀνωμαλίαν ἔκβαλε. πῶς δ᾽ ἂν γένοιτο τοῦτο; ἂν τὴν ἀπόνοιαν ἐκβάλῃς. διὸ καὶ ἐπήγαγε, μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι· τουτέστιν, εἰς τὴν ἐκείνων εὐτέλειαν κατάβηθι, συμπεριφέρου, συμπεριέρχου, μὴ ἁπλῶς τῷ φρονήματι συνταπεινοῦ, ἀλλὰ καὶ βοήθει, καὶ χεῖρα ὄρεγε, μὴ δι᾽ ἑτέρου, ἀλλὰ διὰ σαυτοῦ, ὡς πατὴρ παιδὸς προνοῶν, ὡς κεφαλὴ σώματος. ὅπερ καὶ ἀλλαχοῦ φησι, Τοῖς δεσμίοις συνδεδεμένοι. Ἑβρ. ιγ. γ. ταπεινοὺς δὲ ἐνταῦθα, οὐχ ἁπλῶς τοὺς ταπεινόφρονάς φησιν, ἀλλὰ τοὺς ταπεινοὺς καὶ εὐκαταφρονήτους.

χ. παλαιν-
* χ.
χ. ταπεινοῦ,
χ. -ρου,

Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς· Τουτέστι, μὴ νομίζετε ἀρκεῖν ἑαυτοῖς. καὶ γὰρ Ἡσ. ε. κα. ἀλλαχοῦ φησιν ἡ γραφή, Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. καὶ διὰ τούτων δὲ πάλιν τὴν ἀπόνοιαν ὑπορύττει, καὶ τὸ φύσημα καὶ τὴν φλεγμονὴν καταστέλλει. οὐδὲν γὰρ οὕτως ἀπαίρει, καὶ ἀποσχίζει τῶν λοιπῶν, ὡς τὸ νομίζειν τινὰ ἀρκεῖν ἑαυτῷ. διὰ τοῦτο καὶ ἐν χρείᾳ ἀλλήλων κατέστησεν ἡμᾶς ὁ Θεός. χ. οἱ παῖ... κἂν γὰρ φρόνιμος ἦς, ἑτέρου δέῃ· ἂν δὲ μὴ νομίσῃς δεῖσθαι, ἀνοητότερος πάντων ἔσῃ καὶ ἀσθενέστερος. ὁ γὰρ τοιοῦτος καὶ ἔρημον ἑαυτὸν καθίστησι βοηθείας, καὶ ἐν οἷς ἂν ἁμάρτῃ, οὐδεμιᾶς ἀπολαύσεται οὔτε διορθώσεως, οὔτε συγγνώμης, καὶ τὸν Θεὸν παροξυνεῖ διὰ τῆς ἀπονοίας, καὶ πολλὰ ἁμαρτήσεται. ἔστι γάρ, ἔστι πολλάκις καὶ τὸν φρόνιμον μὴ συνιδεῖν τὸ δέον, καὶ τὸν ἀνοητότερον εὑρεῖν τι τῶν προσηκόντων· ὅπερ ἐπὶ τοῦ Μωϋσέως καὶ τοῦ πενθεροῦ γέγονεν, ὅπερ ἐπὶ τοῦ Σαοὺλ καὶ τοῦ παιδός, ὅπερ ἐπὶ τοῦ Ἰσαὰκ καὶ τῆς Ῥεβέκκας. μὴ τοίνυν νομίσῃς καταιρεῖσθαι δεόμενος ἑτέρου. τοῦτο γάρ σε μᾶλλον ὑψοῖ, τοῦτό σε ἰσχυρότερον ποιεῖ, τοῦτό σε λαμπρότερόν τε καὶ ἀσφαλέστερον.

17 Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. Εἰ γὰρ ἕτερον ψέγεις ἐπιβουλεύοντα, τί σαυτὸν ὑπεύθυνον ποιεῖς τῇ κατηγορίᾳ; εἰ κακῶς ἐκεῖνος ἐποίησε, τί μὴ φεύγεις τὸν ζῆλον; καὶ ὅρα πῶς ἐνταῦθα οὐ διέστειλεν, ἀλλὰ κοινὸν τὸν νόμον ἔθηκεν. οὐ γὰρ εἶπε, τῷ πιστῷ μὴ ἀποδῷς κακόν, ἀλλὰ μηδενί, κἂν Ἕλλην ᾖ, κἂν μιαρός, κἂν ὁστισοῦν.

Προνοούμενοι καλὰ ἐνώπιον ἀνθρώπων πάντων·

18 Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες·

Ματθ. ε. ιε. Τοῦτό ἐστι, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· οὐχ ἵνα πρὸς κενοδοξίαν ζῶμεν, ἀλλ' ἵνα μὴ παρέχωμεν λαβὴν καθ' ἑαυτῶν τοῖς βουλομένοις. διὸ καὶ α. Κορ. ι. λϐ. ἀλλαχοῦ φησιν, Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. καλῶς δὲ τὸ ἑξῆς ἐδήλωσεν εἰπών, Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν. ἔστι γὰρ ὅπου οὐ δυνατόν· οἷον ὅταν περὶ εὐσεβείας ὁ λόγος ᾖ, ὅταν περὶ ἀδικουμένων ὁ ἀγών. καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνθρώπων τῶν ἄλλων τοῦτο οὐ πανταχοῦ δυνατόν, ὅπου γε καὶ ἐπὶ ἀνδρὸς καὶ γυναικὸς ταύτην α. Κορ. ζ. ιε. ἔλυσε τὴν ἀνάγκην εἰπών, Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸ παρὰ σεαυτοῦ πάρεχε, καὶ μηδενὶ δίδου πολέμου καὶ μάχης ἀφορμήν, μὴ Ἰουδαίῳ, μὴ Ἕλληνι. εἰ δέ που τὴν εὐσέβειαν παραβλαπτομένην ἴδοις, μὴ προτίμα τὴν ὁμόνοιαν τῆς ἀληθείας, ἀλλ' ἵστασο γενναίως ἕως θανάτου· καὶ μηδὲ οὕτω ψυχῇ πολέμει, μηδὲ ἀποστρέφου γνώμῃ, ἀλλὰ τοῖς πράγμασι μάχου μόνοις. τοῦτο γάρ ἐστι, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. κἂν ἐκεῖνος μὴ εἰρηνεύῃ, σὺ μὴ πληρώσῃς χειμῶνος τὴν ψυχήν, ἀλλ' ἔσο φίλος κατὰ γνώμην (ὅπερ ἔφθην εἰπών) τὴν ἀλήθειαν μηδαμοῦ χ. φιλικ... προδιδούς.

19 Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος.

Ποίᾳ ὀργῇ; τῇ τοῦ Θεοῦ. ἐπειδὴ γὰρ τοῦτο μάλιστα ἐπιθυμεῖ ἰδεῖν ὁ ἀδικηθείς, ἐκδικίας ἑαυτὸν ἀπολαύοντα, τοῦτο αὐτὸ μετὰ πολλῆς δίδωσι τῆς περιουσίας. ἂν γὰρ αὐτὸς μὴ ἀμύνῃ, ὁ Θεὸς ἔσται τιμωρός. συγχώρησον οὖν αὐτῷ, φησίν, ἐπεξελθεῖν. τοῦτο γάρ ἐστι, δότε τόπον τῇ ὀργῇ. εἶτα παραμυθούμενος ἐπιπλέον, καὶ τὴν μαρτυρίαν ἐπήγαγε, καὶ ταύτην μειζόνως αὐτὸν ἀνακτησάμενος, πλείονα αὐτὸν τὴν φιλοσοφίαν ἀπαιτεῖ, ἴσ. παρὰ π... λέγων,

20 Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

21 Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Τί

Τί γὰρ λέγω, φησίν, ὅτι εἰρηνεύειν δεῖ; καὶ γὰρ εὐεργετεῖν ἐπιτάττω. ψώμιζε γὰρ αὐτόν, καὶ πότιζέ, φησιν. εἶτα ἐπειδὴ σφόδρα ἐπίπονον ἐπέταξε καὶ μέγα, ἐπήγαγε, τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ταῦτα δὲ ἔλεγε, κἀκεῖνον καταστέλλων τῷ φόβῳ, καὶ τοῦτον προθυμότερον ποιῶν τῇ ἐλπίδι τῆς ἀνταποδόσεως. ὁ γὰρ ἠδικημένος, ὅταν ἀσθενήσῃ, οὐχ οὕτω κατέχεται τοῖς οἰκείοις ἀγαθοῖς, ὡς τῇ τιμωρίᾳ τοῦ λελυπηκότος αὐτόν. οὐδὲν γὰρ οὕτως ἡδύ, ὡς ἐχθρὸν κολαζόμενον ἰδεῖν. ὅπερ οὖν ἐπιθυμεῖ, τοῦτο δίδωσιν αὐτῷ πρότερον· καὶ ὅταν ἀφῇ τὸν ἰόν, τότε λοιπὸν παραινεῖ τὰ ὑψηλότερα, λέγων, μὴ νικῶ ὑπὸ τοῦ κακοῦ. ᾔδει γὰρ ὅτι κἂν θηρίον ᾖ ὁ ἐχθρός, οὐ μένει ψωμιζόμενος ἐχθρός· κἂν μυριάκις μικρόψυχος ᾖ ὁ ἠδικημένος, ψωμίζων αὐτὸν καὶ ποτίζων, οὐδὲ αὐτὸς λοιπὸν ἐπιθυμήσει τῆς τιμωρίας τῆς ἐκείνου. διὸ τῷ τέλει θαρρῶν τοῦ πράγματος, οὐδὲ ἁπλῶς ἠπείλησεν, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ τιμωρίᾳ. οὐ γὰρ τιμωρήσῃ, ἀλλ᾽ ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. εἶτα καὶ ἀνεκήρυξεν αὐτὸν εἰπών, μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. καὶ ἠρέμα πῶς ᾐνίξατο, τὸ μὴ δεῖν τοιαύτῃ προαιρέσει ποιεῖν. τὸ γὰρ ἔτι μνησικακεῖν, ἡττᾶσθαί ἐστιν ὑπὸ τοῦ κακοῦ. ἀλλὰ πρότερον μὲν αὐτὸ οὐκ εἶπεν. οὐδὲ γὰρ εἶχε καιρόν. ὅτε δὲ ἐκένωσεν αὐτοῦ τὸν θυμόν, τότε ἐπήγαγε λέγων, νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. ἐπεὶ καὶ τοῦτο νίκη. καὶ γὰρ ὁ πυκτεύων τότε μᾶλλον νικᾷ, οὐχ ὅταν ὑποθῇ ἑαυτὸν ὥστε δέξασθαι τὰς πληγάς, ἀλλ᾽ ὅταν ἐξαίρων ἑαυτὸν παρασκευάζῃ τὸν ἀνταγωνιστὴν εἰς τὸν ἀέρα κενοῦν τὴν δύναμιν. οὕτω γὰρ οὔτε αὐτὸς πληγήσεται, κἀκείνου λύσει τὴν ἰσχὺν ἅπασαν. ὃ δὴ καὶ ἐπὶ τῶν ὕβρεων γίνεται. ὅταν μὲν γὰρ ἀνθυβρίσῃς, ἡττήθης οὐχ ὑπὸ ἀνθρώπου, ἀλλ᾽, ὅπερ ἐστὶν αἴσχιον, ὑπὸ πάθους ἀνελευθέρου τοῦ θυμοῦ κινηθείς. ἂν δὲ σιγήσῃς, καὶ ἐνίκησας, καὶ ἀπὸ νίκης τὸ τρόπαιον ἔστησας, καὶ μυρίους ἕξεις τοὺς στεφανοῦντας, καὶ τῆς λοιδορίας τὸ ψεῦδος καταγινώσκοντας. ὁ μὲν γὰρ ἀντιλέγων, ὡς δακνόμενος ἀντερεῖν δοκεῖ· ὁ δὲ δακνόμενος, ὑπόνοιαν παρέχει τοῦ συνειδέναι τοῖς λεγομένοις. ἂν δὲ καταγελάσῃς, τῷ γέλωτι τὴν κατὰ σαυτοῦ ψῆφον ἐξέλυσας. καὶ εἰ βούλει σαφῆ τῶν εἰρημένων ἀπόδειξιν λαβεῖν, αὐτὸν ἐρώτησον τὸν ἐχθρόν, πότε μᾶλλον ἀλγεῖ, ὅταν θερμανθεὶς ἀνθυβρίσῃς, ἢ ὅταν ὑβρίζοντος καταγελάσῃς, καὶ τοῦτο ἀκούσῃ μᾶλλον. οὐδὲ γὰρ οὕτως ἥδεται τῷ μὴ ὑβρίζεσθαι, ὡς δάκνεται τῷ μὴ δύνασθαί σου καθάπτεσθαι. οὐχ ὁρᾷς τοὺς θυμουμένους, ὅτι τῶν ἰδίων πληγῶν οὐ πολὺν ποιούμενοι λόγον, ἐπέρχονται ῥύμῃ πολλῇ, καὶ συῶν ἀγρίων χεῖρον τὰ τοῦ πλησίον ζητοῦντες τραύματα, καὶ πρὸς ἓν τοῦτο ὁρῶντες, καὶ τούτου μᾶλλον ὄντες, ἢ τοῦ φυλάξασθαί τι παθεῖν; ὅταν οὖν οὗ μάλιστα ἐπιθυμεῖ, τούτου μάλιστα ἀποστερήσῃς αὐτὸν τοῦ πτώματος, ἐξευτέλισας, ἀπεστέρησας, καὶ ἔδειξας εὐκαταφρόνητον, καὶ παιδίον μᾶλλον ἢ ἄνδρα, καὶ σὺ μὲν φιλοσόφου ψῆφον λαβών, ἐκεῖνον δὲ θηρίου πονηροῦ δόξῃ περιβάλλων. τοῦτο καὶ ἐν τῷ τύπτεσθαι ποιῶμεν, καὶ ὅταν βουλώμεθα τύπτειν, μὴ ἀντιτύπτωμεν. ἀλλὰ βούλει καιρίαν δοῦναι πληγήν; στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα, καὶ μυρίοις αὐτὸν πλήξεις τραύμασιν. οἱ γὰρ κροτοῦντες, καὶ θαυμάζοντες, τῶν καταλευόντων εἰσὶν αὐτῷ χαλεπώτεροι, καὶ πρὸ ἐκείνων, τὸ συνειδὸς αὐτοῦ καταγνώσεται, καὶ μεγίστας αὐτὸν ἀπαιτήσει δίκας, καὶ ὡς τὰ ἔσχατα παθών, οὕτως ἐρυθριάσας ἀναχωρήσει. εἰ δὲ καὶ τὴν παρὰ τῶν πολλῶν ζητεῖς δόξαν, καὶ ταύτης ἀπολαύσῃ μείζονος. καὶ ἄλλως μὲν γὰρ πρὸς τοὺς κακῶς πάσχοντας ἔχομέν τινα συμπάθειαν. ὅταν δὲ μηδὲ ἀντιτύπτοντας ἴδωμεν, ἀλλὰ καὶ ἑαυτοὺς ἐκδιδόντας, οὐκ ἐλεοῦμεν μόνον, ἀλλὰ καὶ θαυμάζομεν.

γρ. ἀνταποδόσεως
γρ. λοιπὸν
γρ. νικᾷν
γρ. ἀπονητὶ
γρ. οἰκείων
γρ. καὶ εἰ

ΗΘΙΚΟΝ

Διὰ ταῦτά μοι νῦν ἀνοιμῶξαι ἔπεισιν, ὅτι οἱ δυνάμενοι καὶ τὰ παρόντα ἔχειν, εἰ τῶν Χριστοῦ νόμων ἠκούομεν ὡς ἐχρῆν, καὶ τῶν μελλόντων ἐπιτυγχάνειν, ἀμφοτέρων ἐκπίπτομεν,

παραχύοντες

παρακούοντες τῶν εἰρημένων, καὶ περιττὰ φιλοσοφοῦντες. καὶ γὰρ ἐκεῖνος συμφερόντως πάντα ἐνομοθέτησε, καὶ ἔδειξε τί μὲν ποιεῖ ἐνδόξους, τί δὲ αἰσχρούς. καὶ οὐκ ἂν εἰ ἐμάνθανεν ἀποφαίνειν καταγελάστους τοὺς ἑαυτοῦ μαθητὰς, τοῦτο ἂν ἐπέταξεν· ἀλλ' ἐπειδὴ τοῦτο ποιεῖ λαμπροτέρους ἁπάντων, ὁ μὴ κακῶς λέγειν ἀκούοντας κακῶς, ὁ μὴ κακῶς ποιεῖν πάσχοντας κακῶς, διὰ τοῦτο ταῦτα ἐπέταξεν. εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον ὁ λέγειν καλῶς ἀκούοντας κακῶς, ὁ ἐγκωμιάζειν ὑβριζομένους, τὸ εὐεργετεῖν ἐπιβουλευομένους. διά τοι τοῦτο καὶ ταῦτα ἐνομοθέτησε. καὶ γὰρ φείδεται τῶν αὐτοῦ μαθητῶν, καὶ οἶδε σαφῶς τί ποτέ ἐστι τὸ ποιοῦν σμικρὸν καὶ μέγαν. εἰ τοίνυν καὶ φείδεται καὶ οἶδε, τί αὐτῷ φιλονεικεῖς ἑτέρων οὐδὲν θέλων ἐλθεῖν; καὶ γὰρ τὸ νικᾶν ἀπὸ τοῦ κακῶς ποιεῖν, διαβολικῶν ἐστι νόμων. διά τοι τοῦτο ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι τοῖς ἐκείνῳ τελουμένοις, οὕτω κρατοῦσιν οἱ ἀγωνιζόμενοι πάντες. ἀλλ' οὐκ ἐν τῷ σταδίῳ τοῦ Χριστοῦ οὗτος τῶν στεφάνων ὁ νόμος, ἀλλὰ τοὐναντίον ἅπαν, τῷ πληττομένῳ, οὐ τῷ πλήττοντι στεφανοῦσθαι νενομοθέτηται. τοιοῦτον γὰρ αὐτοῦ τὸ στάδιον, ἀπεναντίας ἅπαντα ἔχει διατεταγμένα· ὥστε μὴ τῇ νίκῃ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς νίκης τὸ θαῦμα γίνεσθαι μεῖζον. ὅταν γὰρ τὰ ἑτέρωθι ὄντα ἥττης, ταῦτα νίκης ποιητικὰ ἀποφαίνῃ τοῦτο Θεοῦ δύναμις, τοῦτο οὐρανοῦ τὸ στάδιον, τοῦτο ἀγγέλων τὸ θέατρον. οἶδα ὅτι διεθερμάνθητε νῦν, καὶ κηροῦ γεγόνατε παντὸς ἁπαλώτεροι· ἀλλ' ἀναχωρήσαντες ἅπαντα ἀποβάλλετε. διὰ τοῦτο ἀλγῶ, ὅτι τὰ λεγόμενα ἐπὶ τῶν ἔργων οὐ δεικνύομεν, καὶ ταῦτα μέλλοντες τὰ μέγιστα ἐντεῦθεν κερδαίνειν. ἂν γὰρ ἐπιείκειαν ἐπιδειξώμεθα, ἀχείρωτοι πᾶσιν ἐσόμεθα· καὶ οὐδεὶς ἂν θεράπων, οὐ μικρὸς, οὐ μέγας ἡμᾶς ἄν τι βλάψαι δυνήσεται. ἄν τε γὰρ κακῶς τις εἴπῃ, σὲ μὲν οὐδὲν, ἑαυτὸν δὲ τὰ μέγιστα ἔβλαψεν· ἄν τε ἀδικήσῃ πάλιν, ἢ βλάψῃ, περὶ τὸν ἠδικηκότα ἵσταται. οὐχ ὁρᾷς καὶ ἐν τοῖς δικαστηρίοις, ὅτι οἱ μὲν ἠδικημένοι, λαμπροὶ, καὶ μετὰ πολλῆς ἑστήκασι τῆς παρρησίας ἐλευθεροστομοῦντες, οἱ δὲ ἠδικηκότες, κάτω κύπτοντες μετ' αἰσχύνης καὶ φόβου; καὶ τί λέγω κατηγορίαν καὶ ἀδικίαν; κἂν γὰρ τὸ ξίφος ἀκονήσῃ κατὰ σοῦ, κἂν εἰς τὸν λαιμὸν αὐτὸν τὴν δεξιὰν βαπτίσῃ, σὲ μὲν οὐδὲν παρέβλαψεν, ἑαυτὸν δὲ κατέσφαξε. καὶ μαρτυρήσειεν ἂν τῷ λόγῳ ὁ πρῶτος οὕτως ἀναιρεθεὶς ὑπὸ δεξιᾶς ἀδελφικῆς. ὁ μὲν γὰρ ἀπῄει πρὸς τὸν ἀκύμαντον λιμένα, ἀθάνατον δόξαν κτησάμενος· ὁ δὲ παντὸς θανάτου βίον ἀθλιώτερον ἔζη, στένων καὶ τρέμων, καὶ ἐν τῷ σώματι τὴν κατηγορίαν τοῦ γενομένου περιφέρων. μὴ δὴ τοῦτο διώκωμεν, ἀλλ' ἐκεῖνο. ὁ μὲν γὰρ κακῶς πάσχων, οὐκ ἔχει μόνιμον οἴκοι τὸ κακόν. οὐ γὰρ αὐτὸς αὐτὸ ἔτεκεν· ἀλλ' ἑτέρωθεν αὐτὸ δεξάμενος, ἐποίησεν ἀγαθὸν διὰ τῆς ὑπομονῆς. ὁ δὲ ποιήσας κακῶς, οἴκοι τὴν πηγὴν ἔχει τῆς κακίας. οὐχ ὁ Ἰωσὴφ ἐν δεσμωτηρίῳ ἦν, ἡ δὲ ἐπιβουλεύσασα αὐτῷ πόρνη ἐν οἰκίᾳ καὶ λαμπρᾷ καὶ περιφανεῖ; τίς ἂν οὖν ἠθέλησας γενέσθαι; καὶ μήπω μοι τὴν ἀντίδοσιν εἴπῃς, ἀλλ' αὐτὰ καθ' ἑαυτὰ ἐξέτασον τὰ γεγενημένα. καὶ γὰρ οὕτω μυριάκις προτιμήσεις τὸ δεσμωτήριον μετὰ τοῦ Ἰωσὴφ τῆς οἰκίας τῆς τὴν πόρνην ἐχούσης. καὶ γὰρ εἰ τὴν ἀμφοτέρων ψυχὴν ἴδοις, τὴν μὲν ἐν εὐρυχωρίᾳ καὶ παρρησίᾳ ὄψει πολλῇ· τὴν δὲ τῆς Αἰγυπτίας ἐν στενοχωρίᾳ, καὶ αἰσχύνῃ, καὶ κατηφείᾳ, καὶ θορύβῳ, καὶ ἀθυμίᾳ πολλῇ· καίτοιγε αὕτη ἐδόκει νικᾶν, ἀλλ' οὐκ ἦν αὕτη νίκη. ταῦτ' οὖν εἰδότες, πρὸς τὸ κακῶς παθεῖν ἑαυτοὺς παρασκευάσωμεν, ἵνα καὶ τοῦ παθεῖν κακῶς ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

κεφ. ιγ. Λογ. κγ. 1 ΠΑΣΑ ΨΥΧΗ ΕΞΟΥΣΙΑΙΣ ΥΠΕΡΕΧΟΥσαις ὑποτασσέσθω.

Πολλὴν

Πολλὴν τοῦ πράγματος τούτου ποιεῖται λόγον καὶ ἐν ἑτέραις ἐπιστολαῖς, καθάπερ τοὺς οἰκέτας τοῖς δεσπόταις, οὕτω καὶ τοὺς ἀρχομένους τοῖς ἄρχουσιν ὑποτάσσων. ποιεῖ δὲ τοῦτο, δεικνὺς ὡς οὐκ ἐπ' ἀνατροπῇ τῆς κοινῆς πολιτείας ὁ Χριστὸς τοὺς παρ' αὐτοῦ νόμους εἰσήγαγεν, ἀλλ' ἐπὶ διορθώσει βελτίονι, καὶ παιδεύων μὴ περιττοὺς ἀναδέχεσθαι πολέμους καὶ ἀνονήτους. ἀρκοῦσι γὰρ αἱ διὰ τὴν ἀλήθειαν ἡμῖν ἐπαγόμεναι ἐπιβουλαί, καὶ περιττοῖς οὐ δεῖ περιστῆναι πειρασμοῖς καὶ ἀνονήτους. σκόπει δὲ πῶς καὶ εὐκαίρως εἰς τὸν περὶ τούτων ἐνέβαλε λόγον. ἐπειδὴ γὰρ τὴν πολλὴν ἐκείνην ἀπῄτησε φιλοσοφίαν, καὶ τοῖς φίλοις, καὶ τοῖς ἐχθροῖς κατεσκεύασεν ἐπιτηδείους, καὶ τοῖς ἐν εὐημερίᾳ, καὶ τοῖς δυσπραγοῦσι, καὶ τοῖς δεομένοις, καὶ πᾶσιν ἁπλῶς χρησίμους εἰργάσατο, καὶ τὴν ἀγγέλοις πρέπουσαν κατεφύτευσε πολιτείαν, καὶ θυμὸν ἔσβεσε, καὶ ἀπόνοιαν κατέστειλε, καὶ διὰ πάντων κατελέανεν αὐτῶν τὴν διάνοιαν, τότε καὶ τὴν περὶ τούτων εἰσάγει παραίνεσιν. εἰ γὰρ τοὺς ἀδικοῦντας τοῖς ἐναντίοις ἀμείβεσθαι χρή, πολλῷ μᾶλλον τοῖς εὐεργετοῦσι πείθεσθαι προσήκει. ἀλλὰ τοῦτο μὲν πρὸς τῷ τέλει τῆς παραινέσεως τίθησι. τέως δὲ τούτοις οὐ κινεῖ τοὺς λογισμοὺς οὓς εἶπον, ἀλλὰ τοὺς κατὰ τὸ ὀφειλὴν κελεύοντας τοῦτο ποιεῖν. καὶ δεικνὺς ὅτι πᾶσι ταῦτα διατάττεται, καὶ ἱερεῦσι, καὶ μοναχοῖς, οὐχὶ τοῖς βιωτικοῖς μόνον, ἐκ προοιμίων αὐτὸ δῆλον ἐποίησεν, οὕτω λέγων· πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. κἂν ἀπόστολος ᾖς, κἂν εὐαγγελιστής, κἂν προφήτης, κἂν ὁστισοῦν. οὐδὲ γὰρ ἀνατρέπει τὴν εὐσέβειαν αὕτη ἡ ὑποταγή. καὶ οὐχ ἁπλῶς εἶπε, πειθέσθω, ἀλλ', ὑποτασσέσθω. καὶ πρῶτον δικαίωμα τῆς τοιαύτης νομοθεσίας, καὶ λογισμοῖς πρέπον πιστοῖς, ὅτι παρὰ τοῦ Θεοῦ ταῦτα διατέτακται.

Οὐ γάρ ἐστιν ἐξουσία, φησίν, εἰ μὴ ὑπὸ τοῦ Θεοῦ. Τί λέγεις; πᾶς οὖν ἄρχων ἀπὸ τοῦ Θεοῦ κεχειροτόνηται; οὐ τοῦτο λέγω, φησίν· οὐδὲ περὶ τῶν καθ' ἕκαστον ἀρχόντων ὁ λόγος μοι νῦν, ἀλλὰ περὶ αὐτοῦ τοῦ πράγματος. τὸ γὰρ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, καὶ μηδὲ ἁπλῶς καὶ εἰκῇ ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων τῇδε κἀκεῖσε τῶν δήμων περιαγομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον εἶναι φημί. διὰ τοῦτο οὐκ εἶπεν, οὐ γάρ ἐστιν ἄρχων, εἰ μὴ ὑπὸ Θεοῦ, ἀλλὰ περὶ τοῦ πράγματος διαλέγεται λέγων, οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ Θεοῦ. Αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ Θεοῦ τεταγμέναι εἰσίν. Οὕτω καὶ ὅταν λέγῃ τις σοφός, ὅτι παρὰ Κυρίου ἁρμόζεται ἀνδρὶ γυνή, τοῦτο λέγει, ὅτι τὸν γάμον ὁ Θεὸς ἐποίησεν, οὐχ ὅτι ἕκαστον συνιόντα γυναικὶ αὐτὸς συνάπτει. καὶ γὰρ ὁρῶμεν πολλοὺς ἐπὶ κακῷ, καὶ οὐ νόμῳ γάμου συνιόντας ἀλλήλοις, καὶ οὐκ ἂν τῷ Θεῷ τοῦτο λογισαίμεθα. ἀλλ' ὅπερ αὐτὸς ἔλεγεν, Ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εἶπεν, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, τοῦτο καὶ ὁ σοφὸς ἐκεῖνος ἑρμηνεύων ἔλεγεν. ἐπειδὴ γὰρ τὸ ὁμότιμον μάχην πολλάκις εἰσάγει, πολλὰς ἐποίησε τὰς ἀρχὰς καὶ τὰς ὑποταγάς, οἷον ὡς ἀνδρὸς καὶ γυναικός, ὡς παιδὸς καὶ πατρός, ὡς πρεσβύτου καὶ νέου, καὶ δούλου καὶ ἐλευθέρου, ὡς ἄρχοντος καὶ ἀρχομένου, ὡς διδασκάλου καὶ μαθητοῦ. καὶ τί θαυμάζεις ἐπὶ τῶν ἀνθρώπων, ὅπου γε καὶ ἐπὶ τοῦ σώματος τοῦτο αὐτὸ πεποίηκεν; οὐδὲ γὰρ ἐνταῦθα ὁμότιμα πάντα εἰργάσατο, ἀλλὰ τὸ μὲν ἔλαττον, τὸ δὲ κρεῖττον κατεσκεύασε, καὶ τὰ μὲν ἄρχειν τῶν μελῶν, τὰ δὲ ἄρχεσθαι ἐποίησε. καὶ ἐν τοῖς ἀλόγοις δὲ τὸ αὐτὸ τοῦτο ἴδοι τις ἄν, ὡς ἐν ταῖς μελίσσαις, ὡς ἐν ταῖς γεράνοις, ὡς ἐν ταῖς ἀγέλαις τῶν ἀγρίων προβάτων. καὶ οὐδὲ ἡ θάλασσα ταύτης ἐστέρηται τῆς εὐταξίας, ἀλλὰ καὶ ἐκεῖ πολλὰ τῶν γενῶν ὑφ' ἑνὶ τάττεται τῶν ἰχθύων, καὶ στρατηγεῖται, καὶ οὕτω μακρὰς ἀποδημίας

Παροιμ. ιθ.

Ματθ. ιθ.

μίας ἀποδημεῖ. καὶ γὰρ ἡ ἀναρχία πανταχοῦ κακὸν, καὶ συγχύσεως αἴτιον. Εἰπὼν τοίνυν πόθεν εἰσὶν αἱ ἀρχαὶ, ἐπήγαγεν, 2 Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν. Ἴδε ποῦ τὸ πρᾶγμα ἀνήγαγε, καὶ πόθεν ἐφόβησε, καὶ πῶς ἔδειξε τοῦτο κατ' ὀφειλὴν γινόμενον. ἵνα γὰρ μὴ λέγωσιν οἱ πιστοὶ, ὅτι ἐξευτελίζεις ἡμᾶς, καὶ εὐκαταφρονήτους ποιεῖς, τοὺς τῆς τῶν οὐρανῶν βασιλείας ἀπολαύειν μέλλοντας ἄρχουσιν ὑποτάττων, δείκνυσιν ὅτι οὐκ ἄρχουσιν, ἀλλὰ τῷ Θεῷ πάλιν ὑποτάττει τοῦτο ποιῶν. ἐκείνῳ γὰρ ὁ ταῖς ἀρχαῖς ὑποτασσόμενος πείθεται. ἀλλ' οὐ λέγει οὕτως, ὅτι τῷ Θεῷ πείθεται ὁ τοῖς ἄρχουσιν ὑπακούων, ἀλλ' ἀπὸ τοῦ ἐναντίου φοβεῖ, καὶ ἀκριβέστερον αὐτὸ κατασκευάζει λέγων, ὅτι ὁ μὴ ὑπακούων ἐκείνῳ, τῷ Θεῷ πολεμεῖ τῷ ταῦτα νομοθετήσαντι. καὶ τοῦτο σπουδάζει δεῖξαι πανταχοῦ, ὅτι οὐ χαριζόμεθα αὐτοῖς τὴν ὑπακοὴν, ἀλλ' ὀφείλομεν. οὕτω γὰρ [ὢν] καὶ τοὺς ἄρχοντας τοὺς ἀπίστους μᾶλλον ἐπεσπάσατο πρὸς εὐσέβειαν, καὶ τοὺς πιστοὺς πρὸς ὑπακοήν. καὶ γὰρ πολὺς περιεφέρετο λόγος τότε, ἐπὶ στάσει καὶ καινοτομίᾳ διαβάλλων τοὺς ἀποστόλους, καὶ ὡς ἐπ' ἀνατροπῇ τῶν κοινῶν νόμων, ἅπαντα καὶ ποιοῦντας καὶ λέγοντας. ὅταν οὖν δείξῃς τὸν κοινὸν ἡμῶν δεσπότην τοῦτο περιεγνωκότα(?) τοῖς αὐτοῦ πᾶσι, καὶ τῶν διαβαλλόντων ὡς νεωτεροποιῶν ἀποῤῥάψεις τὰ στόματα, καὶ μετὰ πλείονος τῆς παῤῥησίας, μετὰ τῆς ἀληθείας διαλέξῃ δογμάτων. μὴ τοίνυν αἰσχύνου, φησὶ, τῇ τοιαύτῃ ὑποταγῇ. καὶ γὰρ ὁ Θεὸς τοῦτο ἐνομοθέτησε, καὶ σφοδρός ἐστι τιμωρὸς καταφρονουμένων τούτων. οὐ γὰρ τὴν τυχοῦσαν σε ἀπαιτήσει δίκην παρακούσαντα, ἀλλὰ καὶ σφόδρα μεγίστην, καὶ οὐδέν σε ἐξαιρήσεται ἀντιλέγοντα, ἀλλὰ καὶ παρ' ἀνθρώπων ὑποστήσῃ τιμωρίαν χαλεπωτάτην, καὶ οὐδείς σε προστήσεται, καὶ τὸν Θεὸν παροξυνεῖς μειζόνως. ἅπερ ἅπαντα αἰνιττόμενος ἔλεγεν,

Οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται. Εἶτα δείκνυσι καὶ τὸ κέρδος τοῦ πράγματος μετὰ τὸν φόβον, καὶ ἀπὸ τῶν λογισμῶν πείθει λέγων οὕτως·

3 Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν.

Ἐπειδὴ γὰρ βαθεῖαν ἔδωκε τὴν πληγὴν, καὶ κατέπληξεν αὐτοὺς, πάλιν ἀνίησιν, ὥσπερ σοφὸς ἰατρὸς φάρμακα προσηνῆ τιθεὶς, * παραμυθούμενος καὶ λέγων, τί δέδοικας; τί φρίττεις; μὴ γὰρ ἐπιτιμᾷ καλῶς πράττοντι; μὴ γάρ ἐστι φοβερὸς ἀρετῆς ἐπιμελουμένῳ; διὸ καὶ ἐπάγει· Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Εἶδες πῶς ᾠκείωσεν αὐτὸν τῷ ἄρχοντι, δείξας αὐτὸν καὶ ἐπαινέτην αὐτοῦ καθήμενον; Εἶδες πῶς ἐκένωσε τὸν θυμόν; *καὶ* γρ. φοβεῖ γρ. αὐτῷ

4 Θεοῦ γὰρ διάκονός σοι εἰς τὸ ἀγαθόν. Τοσοῦτον ἀπέχει τοῦ φοβῆσαί σε, ὅτι καὶ ἐπαινεῖ· τοσοῦτον ἀπέχει τοῦ κωλύειν, ὅτι καὶ συμπράττει. ὅταν οὖν καὶ ἐπαινέτην ἔχῃς, καὶ βοηθὸν, διὰ τί οὐχ ὑποτάσσῃ; καὶ γὰρ καὶ ἄλλως εὐκολωτέραν σοι ποιεῖ τὴν ἀρετὴν, τοὺς μὲν πονηροὺς κολάζων, τοὺς δὲ ἀγαθοὺς εὐεργετῶν καὶ τιμῶν, καὶ τῷ βουλήματι τοῦ Θεοῦ συμπράττων· διὸ καὶ διάκονον αὐτὸν ἐκάλεσε. σκόπει δέ· συμβουλεύω περὶ σωφροσύνης ἐγὼ, καὶ ἐκεῖνος τὰ αὐτὰ λέγει διὰ τῶν νόμων· παραινῶ περὶ τοῦ μὴ δεῖν πλεονεκτεῖν μηδὲ ἁρπάζειν, κἀκεῖνος ὑπὲρ τούτων κάθηται δικάζων. ὥστε συνεργός ἐστιν ἡμῖν, καὶ βοηθὸς, καὶ παρὰ τοῦ Θεοῦ εἰς τοῦτο ἀπεστάλη. ἀμφοτέρωθεν τοίνυν ἐστὶν αἰδέσιμος, καὶ ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη, καὶ ὅτι ἐπὶ τοιούτῳ πράγματι. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. Οὐκ ἄρα ὁ ἄρχων ποιεῖ τὸν φόβον, ἀλλ' ἡ ἡμετέρα πονηρία. γρ. αὐτὸς γρ. ὁ δὲ

Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Εἶδες πῶς αὐτὸν παρέστησεν, ὁπλίσας καθάπερ τινὰ στρατιώτην, φοβερὸν τοῖς ἁμαρτάνουσιν ἐπιστήσας; Θεοῦ γὰρ διάκονός ἐστιν εἰς ὀργὴν, ἔκδικος τῷ τὸ κακὸν πράσσοντι. Ἵνα γὰρ μὴ πάλιν ἀκούσας κόλασιν, καὶ τιμωρίαν, καὶ μάχαιραν, ἀποπηδήσῃς, πάλιν φησὶν ὅτι Θεοῦ νόμον πληροῖ. τί γὰρ εἰ καὶ ἄγνος αὐτός; ἀλλ' ὁ Θεὸς οὕτως ἐτύπωσεν. εἰ τοίνυν καὶ κολάζων καὶ τιμῶν διάκονος

Θεοῦ

Marginal notes: γρ. ὑποτ… ὁ … ἴσ. ἦν γρ. δείξῃ ἴσ. -ποιῶν γρ. πολλῆς γρ. ἐπίσειον …

Θεοῦ ἐστιν, ἐκδικῶν ἀρετήν, ἀπελαύνων κακίαν, ὅπερ ὁ Θεὸς βούλεται. Τίνος ἕνεκεν αὐτῷ φιλονεικεῖς τοσαῦτα εἰσάγοντι ἀγαθά, καὶ προοδοποιοῦντι τοῖς σοῖς; καὶ γὰρ πολλοὶ πρότερον διὰ τοὺς ἄρχοντας ἀρετὴν ἀσκήσαντες, ὕστερον καὶ διὰ τὸν φόβον τοῦ Θεοῦ ταύτης ἐπελάβοντο. τοὺς γὰρ παχυτέρους οὐχ οὕτω τὰ μέλλοντα, ὡς τὰ παρόντα καθάπτεται. ὁ τοίνυν τὴν ψυχὴν τῶν πολλῶν προευτρεπίζων τῷ φόβῳ, καὶ ταῖς τιμαῖς, ὥστε γενέσθαι ἐπιτηδειοτέραν τῷ τῆς διδασκαλίας λόγῳ, εἰκότως διάκονος κέκληται τοῦ Θεοῦ.

5 Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.

Τί ἐστιν, οὐ μόνον διὰ τὴν ὀργήν; οὐ μόνον, φησίν, ὅτι ἀντιτάσσῃ Θεῷ μὴ ὑποτασσόμενος, οὐδ' ὅτι κακὰ σεαυτῷ προξενεῖς μεγάλα καὶ παρὰ τοῦ Θεοῦ, καὶ παρὰ τῶν ἀνθρώπων, ἀλλ' ὅτι καὶ ἐν τοῖς μεγίστοις εὐεργέτης σου ἐστίν, εἰρήνης ὢν πρόξενος, καὶ οἰκονομίας πολιτικῆς. καὶ γὰρ μυρία ἀγαθὰ διὰ τῶν ἀρχῶν τούτων ταῖς πόλεσιν ἐστί. κἂν ἀνέλῃς αὐτάς, πάντα οἰχήσεται, καὶ οὐ πόλεις, οὐ χώρα, οὐκ οἰκία, οὐκ ἀγορά, οὐκ ἄλλο οὐδὲν στήσεται, ἀλλὰ πάντα ἀναστραφήσεται, τῶν δυνατωτέρων τοὺς ἀσθενεστέρους καταπινόντων. ὥστε κἂν εἰ μὴ ὀργή τις εἵπετο τῷ παρακούοντι, καὶ οὕτως ὑποτάσσεσθαί σε ἐχρῆν, ἵνα μὴ δόξῃς ἀσυνείδητος εἶναι, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην.

6 Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε, φησί. Θεοῦ γὰρ εἰσι λειτουργοί, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀφεὶς εἰπεῖν κατὰ μέρος τὰς εὐεργεσίας τὰς ἀπὸ τῶν ἀρχόντων ταῖς πόλεσι γινομένας, οἷον τὴν εὐταξίαν, τὴν εἰρήνην, τὰς ἄλλας διακονίας, τὰς ἐπὶ στρατιωτῶν, τὰς ἐπὶ τῶν τὰ κοινὰ πραττόντων, ἀπὸ ἑνὸς τούτου τὸ πᾶν δείκνυσιν. ὅτι γὰρ εὐεργέτης σου αὐτός, φησι, σὺ μαρτυρεῖς, μισθὸν αὐτῷ τελῶν. ὅρα σοφίαν καὶ σύνεσιν τοῦ μακαρίου Παύλου. ὃ γὰρ ἐδόκει φορτικὸν εἶναι καὶ ἐπαχθὲς τὸ τῶν ἀπαιτήσεων, τοῦτο δεῖγμα ποιεῖται τῆς αὐτῶν προνοίας. διὰ τί γάρ, φησι, φόρους δίδομεν βασιλεῖ; οὐχ ὡς προνοοῦντι, οὐχ ὡς προεστῶτι μισθὸν τελοῦντες κηδεμονίας; καίτοι οὐκ ἂν ἐτελέσαμεν, εἰ μὴ ἐξ ἀρχῆς ἔγνωμεν ὅτι κερδαίνομεν ἐκ τῆς τοιαύτης ἐπιστασίας. ἀλλὰ διὰ τοῦτο ἄνωθεν κοινῇ γνώμῃ πάντων ἔδοξε τοὺς ἄρχοντας τρέφεσθαι παρ' ἡμῶν, ὅτι τῶν οἰκείων ἀμελοῦντες, τῶν κοινῶν κήδονται πραγμάτων, καὶ εἰς ταῦτα τὴν σχολὴν ἀναλίσκουσιν ἅπασαν, δι' ὧν καὶ τὰ ἡμέτερα σώζονται. Εἰπὼν τοίνυν τὰ ἀπὸ τῶν ἔξωθεν, πάλιν ἐπὶ τὰ πρότερα τὸν λόγον ἐπάγει (τὸν γὰρ πιστὸν οὕτω μᾶλλον ἱκανὸς ἦν ἐπισπάσασθαι) καὶ δείκνυσι πάλιν, ὅτι Θεῷ τοῦτο δοκεῖ, καὶ εἰς αὐτὸ κατακλείει τὴν συμβουλήν, οὕτω λέγων, Θεοῦ γὰρ εἰσι λειτουργοί. Εἶτα καὶ τὸν πόνον αὐτῶν δεικνύς, καὶ τὴν ταλαιπωρίαν αὐτῶν, ἐπήγαγεν, εἰς τοῦτο αὐτὸ προσκαρτεροῦντες. οὗτος γὰρ αὐτοῖς ὁ βίος, αὕτη ἡ σπουδή, ὅπως ἀπολαύσῃς εἰρήνης. διὰ τοῦτο καὶ ἐν τῇ ἑτέρᾳ ἐπιστολῇ οὐ μόνον ὑποτάσσεσθαι, ἀλλὰ καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν κελεύει. καὶ δεικνὺς κἀκεῖ τὸ κέρδος κοινόν, ἐπήγαγεν, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν*. οὐδὲ γὰρ μικρόν τι συντελοῦσιν ἡμῖν εἰς τὴν τοῦ παρόντος βίου κατάστασιν, ὅπλα αἰρόμενοι, τοὺς πολεμίους ἀποκρουόμενοι, τοὺς ἐν ταῖς πόλεσι στασιάζοντας κωλύοντες, τὰς ἐν πᾶσι διαφορὰς διαλύοντες. μὴ γάρ μοι τοῦτο εἴπῃς, εἴ τις κακῶς τῷ πράγματι κέχρηται, ἀλλ' αὐτῆς βλέπε τῆς διατάξεως τὴν εὐκοσμίαν, καὶ τὴν πολλὴν ὄψει τοῦ ταῦτα ἐξ ἀρχῆς νομοθετήσαντος σοφίαν. α. Τιμ. β. α. β.

7 Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον, τῷ τὸ τέλος, τὸ τέλος, τῷ τὸν φόβον, τὸν φόβον, τῷ τὴν τιμήν, τὴν τιμήν.

8 Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν. Ἔτι τῶν αὐτῶν ἔχεται, οὐ χρήματα μόνον κελεύων αὐτοῖς τελεῖν, ἀλλὰ τιμὴν καὶ φόβον. καὶ πῶς ἀνωτέρω λέγων,

τέρω λέγων, θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, ἐνταῦθα λέγει, ἀπόδοτε τὸν
φόβον; τὴν ἐπιτεταμένην λέγων τιμήν, οὐ τὸν ἐκ τοῦ πονηροῦ συνειδότος φόβον, ὃν ἀνω-
τέρω ᾐνίξατο. καὶ οὐδὲ εἶπε, δότε, ἀλλ', ἀπόδοτε, καὶ τὰς ὀφειλὰς προσέθηκεν. οὐδὲ
γὰρ χαρίζῃ τοῦτο ποιῶν· ὀφειλὴ γάρ ἐστι τὸ πρᾶγμα. κἂν μὴ πράττῃς αὐτό, ὡς ἀγνώ-
μονος ὑποστήσῃ δίκην. μὴ δὴ νομίσῃς ἐξευτελίζεσθαι, καὶ παραβλάπτεσθαι πρὸς τὸ τῆς
οἰκείας φιλοσοφίας ἀξίωμα, ἂν ἄρχοντος προσιόντος ὑπαναστῇς, ἂν τὴν κεφαλὴν ἀποκαλύ-
ψῃς. εἰ γὰρ Ἕλλησιν οὖσι τότε τοῖς ἄρχουσι ταῦτα ἐνομοθέτησε, πολλῷ μᾶλλον νῦν ἐπὶ τῶν
πιστῶν τοῦτο γίνεσθαι χρή. εἰ δὲ λέγεις, ὅτι σὺ μείζονα ἐμπεπίστευσαι, μάθε ὅτι οὐκ ἔστι σοῦ
νῦν ὁ καιρός. ξένος γὰρ εἶ καὶ παρεπίδημος. ἔσται καιρός, ὅτε λαμπρότερος πάντων
φανήσῃ. νῦν ἡ ζωή σου κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. ὅταν ὁ Χριστὸς φανε-
ρωθῇ, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. μὴ ζήτει τοίνυν ἐν τῷ ἐπικήρῳ
τούτῳ βίῳ τὴν ἀμοιβήν, ἀλλά, κἂν μετὰ φόβου παρεστάναι δέῃ τῷ ἄρχοντι, μὴ νομίσῃς ἀνά-
ξιον εἶναι τοῦτο τῆς σῆς ″εὐγενείας. ὁ Θεὸς γὰρ οὕτω βούλεται, ἵνα ὁ ἄρχων ὁ παρ' αὐτοῦ τυ- γρ. τιμῆς
πωθεὶς, τὴν οἰκείαν ἰσχὺν ἔχῃ. καὶ γὰρ ὅταν ὁ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, μετὰ φόβου
παραστήκῃ τῷ δικάζοντι, πολλῷ μᾶλλον ὁ τὰ πονηρὰ πράττων φοβηθήσεται, καὶ σὺ δὲ ταύ-
τῃ λαμπρότερος ἔσῃ. οὐδὲ γὰρ ἐκ τοῦ τιμᾶν τὸ ἐξευτελίζεσθαι γίνεται, ἀλλ' ἐκ τοῦ ἀτιμά-
ζειν. καὶ ὁ ἄρχων δέ σε θαυμάσεται μειζόνως, καὶ δοξάσει σου τὸν δεσπότην ἐντεῦθεν, κἂν ἄπι-
στος ᾖ. μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν. πάλιν ἐπὶ τὴν μητέρα
τῶν ἀγαθῶν καταφεύγει, καὶ τὴν διδάσκαλον τῶν εἰρημένων, καὶ ποιητικὴν ἀρετῆς ἁπά-
σης, καί φησι καὶ αὐτὴν ὀφείλημα εἶναι, οὐ μὴν τοιοῦτον, οἷον τὸν φόρον, οἷον τὸ τέλος, ἀλλὰ διη-
νεκές. οὐδέποτε γὰρ αὐτὴν ἀποδίδοσθαι βούλεται· μᾶλλον δὲ ἀποδίδοσθαι μὲν ἀεὶ βού-
λεται, οὐ μὴν πληροῦσθαι, ἀλλ' ἀεὶ ὀφείλεσθαι. τοιοῦτον γάρ ἐστι τὸ χρέος, ὡς καὶ διδόναι,
καὶ ὀφείλειν ἀεί. εἰπὼν τοίνυν πῶς ἀγαπᾶν δεῖ, καὶ τὸ κέρδος αὐτοῦ δηλοῖ, λέγων·

Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε. Μὴ γάρ μοι μηδὲ τοῦτο χάριν
νόμιζε· καὶ γὰρ καὶ ″τοῦτο ὀφειλή. ὀφείλεις γὰρ τῷ ἀδελφῷ ἀγάπην διὰ τὴν συγγένειαν γρ. αὐτὴ
τὴν πνευματικήν· οὐ ταύτην δὲ μόνον, ἀλλ' ὅτι καὶ μέλη ἐσμὲν ἀλλήλων. κἂν αὕτη ἡμᾶς ἐπι-
λίπῃ, τὸ πᾶν διεσπάσθη· φίλει τοίνυν τὸν ἀδελφόν. εἰ γὰρ ἐκ τῆς φιλίας αὐτοῦ το-
σαῦτα κερδαίνεις, ὡς τὸν νόμον ἅπαντα πληροῦν, ὀφείλεις αὐτῷ τὴν ἀγάπην, εὐεργετού-
μενος παρ' αὐτοῦ.

9 Τὸ γάρ, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, καὶ εἴ τις ἑ-
τέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς
ἑαυτόν. Οὐκ εἶπε, πληροῦται ἁπλῶς, ἀλλ' ἀνακεφαλαιοῦται· τουτέστι, συντό-
μως, καὶ ἐν βραχεῖ τὸ πᾶν ἀπαρτίζεται τῶν ἐντολῶν τὸ ἔργον. καὶ γὰρ ἀρχὴ καὶ τέλος τῆς
ἀρετῆς, ἡ ἀγάπη. ταύτην ἔχει ῥίζαν, ταύτην ὑπόθεσιν, ταύτην κορυφήν. εἰ τοί-
νυν καὶ ἀρχὴ καὶ πλήρωμα, τί ταύτης ἴσον; ἀλλ' οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἀλλὰ τὴν
ἐπιτεταμένην. οὐ γὰρ ἁπλῶς εἶπεν, ἀγαπήσεις τὸν πλησίον σου, ἀλλ', ὡς ἑαυτόν. διὰ γὰρ
τοῦτο καὶ ὁ Χριστὸς τὸν νόμον καὶ τοὺς προφήτας ἐν αὐτῇ κρεμάσθαι ἔλεγε. καὶ δύο θεὶς
Ματθ. κβ. λθ. ἀγάπης εἴδη, ὅρα πῶς ταύτην ἀνήγαγεν. εἰπὼν γάρ, ὅτι ἡ πρώτη ἐστὶν ἐντολή, Ἀγα-
πήσεις Κύριον τὸν Θεόν σου, ἐπήγαγε, δευτέρα ὁ″ δὲ, καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, ὁ- γρ. γὰρ
μοία αὐτῆς, ″ καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς φιλανθρωπίας; γρ. ἀγαπήσεις
τί τῆς ἡμερότητος, ὅταν ἀπείρως ἡμῶν αὐτοῦ διεστηκότων, τὴν εἰς ἡμᾶς ἀγάπην ἐγγὺς ἄ-
γῃ τῆς εἰς αὐτόν, καὶ ὁμοίαν ταύτης ἐκείνην εἶναι λέγῃ; διὰ δὴ τοῦτο, καὶ μέτρα σχεδὸν ἴσα
τίθησιν ἑκατέρᾳ, περὶ μὲν ἐκείνης λέγων, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ″ψυχῆς γρ. ἰσχύος
σου· περὶ δὲ ταύτης τῆς τοῦ πλησίον, ὡς ἑαυτόν. ὁ δὲ Παῦλος, ταύτης οὐκ οὔσης, οὐδὲ ὠ-
φελεῖσθαι

φιλεῖσθαι σφόδρα παρ' ἐκείνης ἔλεγεν. ὥσπερ οὖν ἡμεῖς ἐπειδὰν ἵνα φιλῶμεν, λέγομεν ὅτι ἂν ἐκεῖνον ἀγαπήσῃς, ἐμὲ ἠγάπησας· οὕτω καὶ αὐτὸς τοῦτο δηλῶν ἔλεγεν, ὁμοία αὐτῆς ἐστί· καὶ Πέτρῳ, Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου.

10 Η ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Εἶδες πῶς ἑκατέρας ἔχει τὰς ἀρετάς, τήν τε τῶν κακῶν ἀποχὴν (κακὸν γάρ, φησιν, οὐκ ἐργάζεται) καὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν; πλήρωμα γὰρ νόμου, φησίν, ἐστίν, οὐ τὴν διδασκαλίαν ἡμῖν τῶν παρακλήσεων συντόμως εἰσάγουσα μόνον, ἀλλὰ καὶ τὴν κατόρθωσιν αὐτῶν εὔκολον ποιοῦσα. οὐ γὰρ ὅπως ἂν μάθοιμεν τὰ ὠφελοῦντα μόνον ἐσπούδακεν (ὅπερ ἐστὶ τοῦ νόμου) ἀλλὰ καὶ εἰς τὴν ἐργασίαν αὐτῶν πολλὴν εἰσάγει συμμαχίαν ἡμῖν, οὐ μέρος τι τῶν ἐντολῶν, ἀλλ' ὁλόκληρον ἐν ἡμῖν κατορθοῦσα τὴν ἀρετήν.

Φιλῶμεν οὖν ἀλλήλους, ὡς καὶ ταύτῃ τὸν φιλοῦντα ἡμᾶς ἀγαπήσοντες Θεόν. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων, ἂν τὸν ἐρώμενον φιλῇς, μάχεται ὁ φιλῶν· ἐν τούτῳ δὲ ἀξιοῖ σε κοινωνῆσαι τοῦ ἔρωτος, καὶ μὴ κοινωνοῦντα μισεῖ. ὁ μὲν γὰρ ἀνθρώπινος φθόνου καὶ βασκανίας γέμει· ὁ δὲ θεῖος πάντων ἀπήλλακται παθῶν. διὸ καὶ κοινωνοὺς ἐπιζητεῖ τῆς φιλίας. φίλει γάρ, φησι, μετ' ἐμοῦ, καὶ τότε σε καὶ ἐγὼ φιλήσω μειζόνως. ὁρᾷς ἐραστοῦ σφοδροῦ ῥήματα; ἐὰν φιλῇς οὓς ἐμοὺς ἐρωμένους, τότε ἡγοῦμαι καὶ αὐτὸς σπουδαίως φιλεῖσθαι παρὰ σοῦ. καὶ γὰρ σφόδρα ἐφίεται τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ τοῦτο ἔδειξεν ἄνωθεν. ὅτε γοῦν τὸν ἄνθρωπον ἔπλαττεν, ἄκουσον τί φησι. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν· καὶ πάλιν, Ποιήσωμεν αὐτῷ βοηθόν· οὐ καλὸν εἶναι αὐτὸν μόνον. καὶ παραβάντα πάλιν ἐπετίμησεν, ὅρα πῶς ἡμέρως. οὐ γὰρ εἶπεν αὐτῷ, μιαρὲ καὶ παμμίαρε, τοσαῦτα εὐεργετηθεὶς, τῷ διαβόλῳ μετὰ ταῦτα ἅπαντα ἐπίστευσας, καὶ τὸν εὐεργέτην ἀφεὶς, τῷ πονηρῷ προσέσχες δαίμονι; ἀλλὰ τί φησι; Τίς σοι εἶπεν, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; ὡς ἂν εἰ πατὴρ πρὸς παιδίον κελευσθὲν μὴ καθάπτεσθαι μαχαίρας, εἶτα παρακοῦσαν καὶ πληγέν, λέγοι*, πόθεν ἐπλήγης; ἐκεῖθεν ἐπλήγης, ὅτι οὐκ ἤκουσάς μου. ὁρᾷς φίλου τὰ ῥήματα μᾶλλον, ἢ δεσπότου; φίλου καταφρονουμένου, καὶ οὐδὲ οὕτως ἀφισταμένου; μιμησώμεθα τοίνυν αὐτόν· καὶ ὅταν ἐπιτιμῶμεν, ταύτην τηρῶμεν τὴν ἐπιείκειαν. καὶ γὰρ καὶ τῇ γυναικὶ μετὰ τῆς αὐτῆς πάλιν ἡμερότητος ἐπιπλήττει. μᾶλλον δὲ οὐδὲ ἐπίπληξις, ἀλλὰ νουθεσία καὶ διόρθωσις τὰ λεγόμενα ἦν, καὶ πρὸς τὸ μέλλον ἀσφάλεια. διὰ δὴ τοῦτο πρὸς τὸν ὄφιν οὐδέν φησιν. αὐτὸς γὰρ ἦν τῶν κακῶν ἀρχιτέκτων, καὶ οὐκ εἶχεν εἰς ἕτερον μεταθεῖναι τὴν αἰτίαν· διὸ καὶ σφοδρῶς αὐτὸν ἐκόλαζε. καὶ οὐδὲ ἐν τούτῳ ἵσταται, ἀλλὰ καὶ τὴν γῆν κοινωνῆσαι ποιεῖ τῆς ἀρᾶς. εἰ δὲ καὶ ἐξέβαλε παραδείσου, καὶ κατεδίκασε πόνῳ, καὶ διὰ τοῦτο μάλιστα προσκυνεῖν αὐτὸν καὶ θαυμάζειν χρή. ἐπεὶ γὰρ εἰς ῥᾳθυμίαν ἐξήγαγεν ἡ τρυφή, ἐξέκοψε τὴν εὐφροσύνην, λύπην ἐπιτειχίζων τῇ ῥᾳθυμίᾳ, ἵνα πρὸς τὴν ἀγάπην ἐπανέλθωμεν τὴν αὐτοῦ. τί δὲ ἐπὶ τοῦ Κάϊν; οὐ τὸν αὐτὸν χαρακτῆρα τῆς ἡμερότητος τηρεῖ; καὶ γὰρ καὶ παρ' ἐκείνου πάλιν ὑβρισθεὶς, οὐκ ἀνθυβρίζει, ἀλλὰ παρακαλεῖ, καί φησιν, Ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; καίτοιγε τὸ γινόμενον συγγνώμης ἐστέρηται πάσης· καὶ ἠδίκησεν ὁ νεώτερος ἀδελφός. ἀλλ' οὐδὲ οὕτως ἐπιπλήττει, ἀλλὰ τί φησιν; Ἥμαρτες, ἡσύχασον, μὴ προσθῇς ἔτι. πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις, τοῦ ἀδελφοῦ λέγων. εἰ γὰρ δέδοικας, φησί, μήποτε διὰ τὴν θυσίαν ταύτην τὴν τοῦ πρωτοτόκου σε προεδρίαν ἀφέλωμαι, θάρρει. καὶ γὰρ τὴν ἀρχὴν αὐτοῦ πᾶσαν εἰς τὰς σὰς τίθημι χεῖρας· μόνον γίνου βελτίων, καὶ φίλει τὸν οὐδὲν ἠδικηκότα. καὶ γὰρ ἀμφοτέρων κήδομαι· καὶ τοῦτο μάλιστα εὐφραίνει με, τὸ μὴ στασιάζειν ὑμᾶς πρὸς ἀλλήλους. καθάπερ γὰρ μήτηρ φιλόστοργος, οὕτως ὁ Θεὸς πάντα ποιεῖ καὶ μηχανᾶται, ὥστε μηδένα ἀπορραγῆναι θατέρου. ἵνα δὲ καὶ σαφέστερον ἐπὶ παραδείγματος

ΗΘΙΚΟΝ

Γεν. α. κς.

Γεν. c. 18.

Γεν. γ. ια.

χ. τόπου ὁ αὐτοῦ

χ. γινόμενα

Γεν. δ. ς.

χ. τῶν πρωτοτοκίων σε χ. ἀφαιρεῖναι

ὃ λέγω μάθῃς, ἐπειδὴ εἶδον μὲν τὴν Ῥεβέκκαν θορυβουμένην, καὶ πανταχοῦ περιτρέχουσαν, ὅτι ὁ πρεσβύτερος ἐπολέμει τῷ νεωτέρῳ παιδί. Εἰ γὰρ καὶ ἐφίλει τὸν Ἰακώβ, ἀλλ' οὐδὲ τὸν
Γεν. κζ. μα. Ἡσαῦ ἀπεστρέφετο. διὸ καὶ ἔλεγε, Μή πως ἀτεκνωθῶ ἐκ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.
Γεν. δ. ζ. διὰ τοῦτο καὶ ὁ Θεὸς τότε ἔλεγεν, Ἥμαρτες, ἡσύχασον, πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, τὴν σφαγὴν προαναστέλλων, καὶ τὴν εἰρήνην ἀμφοτέρων αὐτῶν ἐπιζητῶν. ἐπεὶ δὲ αὐτὸν κατέσφαξεν, οὐδὲ οὕτω κατέλυσε τὴν περὶ αὐτὸν πρόνοιαν, ἀλλὰ πάλιν ἡμέρως ἀποκρίνεται
Γεν. δ. θ. τῷ ἀδελφοκτόνῳ, λέγων, Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; ἵνα κἂν οὕτως ἐξομολογήσηται. ὁ δὲ ἐπαγανίζεται τοῖς προτέροις, μείζονα καὶ χαλεπώτερα ἁμαρτάνων. ἀλλ' οὐδὲ οὕτως ὁ Θεὸς ἀφίσταται, ἀλλὰ καὶ πάλιν ἐραστοῦ φθέγγεται ῥήματα ὑβρισμένου, καὶ καταφρονου-
Γεν. δ. ι. μένου, καί φησι, Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. καὶ πάλιν τῆς γῆς καθάπτεται μετὰ τοῦ πεφονευκότος, εἰς αὐτὴν τὸν θυμὸν ἀφιείς, καὶ λέγων, Ἐπικατάρατος ἡ γῆ, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου, καὶ τοὺς δυσαλγοῦντας μιμούμενος. ὃ καὶ ὁ Δαβὶδ ἐποίει, τοῦ Σαοὺλ πεσόντος. καὶ γὰρ ἐκεῖνος τοῖς δεξαμένοις τὴν σφαγὴν ὄρεσιν ἐπη-
β. Βασ. α. κα. ρᾶτο λέγων, Ὄρη τὰ Γελβουέ, μὴ πέσοι ἐφ' ὑμᾶς δρόσος, μηδὲ ὑετός, ὅτι ἐκεῖ ἐξηρήθη
Γεν. δ. ι. σκέπη δυνατῶν. οὕτω καὶ ὁ Θεὸς ὥσπερ τινὰ μονῳδίαν ᾄδων φησί, Φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με, καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου. ταῦτα δὲ ἔλεγε καταστέλλων αὐτοῦ τὸν θυμὸν ζέοντα, καὶ πείθων κἂν ἀπελθόντα φιλῆσαι. ἔσβεσας αὐτοῦ τὴν ζωήν, φησί, τί τὴν ἔχθραν λοιπὸν οὐ κατασβεννύεις; ἀλλὰ τί ποιῶ; κἀκεῖνον φιλῶ, καὶ τοῦτον· ἀμφοτέρους γὰρ αὐτὸς ἔπλασα. τί οὖν; ἀτιμώρητον ἀφῶ τὸν πεφονευκότα; ἀλλὰ χείρων ἂν ἐγένετο. ἀλλὰ κολάσω; ἀλλὰ πατρός ἐστι φιλοστοργότερος. ὅρα τοίνυν πῶς καὶ κολάζει, καὶ τὴν ἀγάπην ἐνδείκνυται καὶ ἐν αὐτῷ τούτῳ· μᾶλλον δὲ οὐδὲ κολάζει, ἀλλὰ διορθοῦται μόνον. οὐδὲ γὰρ ἀπέκτεινεν αὐτόν, ἀλλ' ἐπέδησε τῷ τρόμῳ, ἵνα ἀποδύσηται τὸ ἔγκλημα, ἵνα κἂν οὕτως ἐπανέλθοι πρὸς τὴν ἐκείνου φιλοστοργίαν, ἵνα κἂν πρὸς ἀπελθόντα συνίσταται. οὐδὲ γὰρ ἐβούλετο ἐχθρὸν αὐτὸν ἀπελθεῖν ἐντεῦθεν τῷ τετελευτηκότι. τοιοῦτοι γὰρ οἱ φιλοῦντες, ὅταν εὐεργετοῦντες μὴ φιλῶνται, προάγονται σφοδροὶ γίνεσθαι, καὶ ἀπειλοῦσιν, οὐκ ἐθέλοντες μέν, ἀπὸ δὲ τοῦ φιλεῖν εἰς τοῦτο ἀγόμενοι, ἵνα κἂν οὕτως ἐφελκύσωνται τοὺς καταφρονοῦντας αὐτῶν. καίτοιγε ἀνάγκης ἡ τοιαύτη φιλία, ἀλλ' ὅμως αὐτοῖς καὶ τοῦτο παραμυθεῖται διὰ τὸ σφόδρα φιλεῖν· ὥστε καὶ ἡ κόλασις ἀπὸ φιλίας. οἱ γὰρ μὴ ἀλγοῦντες ἐπὶ τῷ μισεῖσθαι, οὐδὲ
β. Κορ. β. β. κολάσαι αἱροῦνται. ὅρα τοίνυν καὶ Παῦλον ταῦτα λέγοντα Κορινθίοις. Τίς γάρ ἐστι, φησίν, ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; ὥστε ὅταν σφόδρα ἐπιτείνῃ τὴν κόλασιν, τότε δείκνυσι τὸν ἔρωτα. οὕτω καὶ ἡ Αἰγυπτία ἐκ τοῦ σφόδρα φιλεῖν σφοδρῶς ἐκόλασε τὸν Ἰωσήφ. ἀλλ' ἐκείνη μὲν ἐπὶ κακῷ (καὶ γὰρ ἀκόλαστος ἦν ὁ ἔρως) ὁ Θεὸς δὲ ἐπὶ ἀγαθῷ· καὶ γὰρ ἀξία ἦν τοῦ φιλοῦντος ἡ ἀγάπη. διὰ τοῦτο οὐδὲ παραιτεῖται εἰς παχύτερα κατιέναι
Ἐξοδ. κ. ε. ῥήματα, καὶ φθέγγεσθαι παθῶν ὀνόματα ἀνθρωπίνων, καὶ ζηλωτὴν ἑαυτὸν καλεῖν. Θεὸς γάρ εἰμι ζηλωτής, φησίν, ἵνα μάθῃς τῆς ἀγάπης τὴν ἐπίτασιν. φιλήσωμεν τοίνυν αὐτόν, ὡς αὐτὸς βούλεται. μέγα γὰρ τὸ πρᾶγμα ἡγεῖται. κἂν ἀποστραφῶμεν, μένει παρακαλῶν, κἂν μὴ θέλωμεν ἐπιστραφῆναι, κολάζει διὰ τὸ φιλεῖν, οὐχ ἵνα τιμωρίαν ἀπαιτήσῃ. ὅρα γοῦν τί φησιν ἐν τῷ Ἰεζε-
Ἰεζεκ. κγ. κε. κιὴλ πρὸς τὴν φιληθεῖσαν καὶ καταφρονήσασαν αὐτοῦ πόλιν. Ἄξω ἐπὶ σὲ τοὺς ἐραστάς σου, καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν, καὶ λιθοβολήσουσί σε, καὶ κατασφάξουσι, καὶ ἐξαρθήσεται ὁ ζῆλός μου ἐκ σοῦ, καὶ ἀναπαύσομαι, καὶ οὐ μὴ μεριμνήσω ἔτι. τί τούτου πλέον ἂν εἶπε σφοδρὸς ἐραστὴς ὑπὸ τῆς ἐρωμένης καταφρονούμενος, καὶ μετὰ ταῦτα πάλιν περιεχόμενος αὐτῆς; πάντα γὰρ ὁ Θεὸς πράττει, ἵνα φιληθῇ παρ' ἡμῶν· διὰ τοῦτο οὐδὲ τοῦ υἱοῦ ἐφείσατο. ἀλλ' ἡμεῖς ἀπηνεῖς, καὶ ὠμοί· ἀλλὰ γενώμεθά ποτε ἥμεροι, καὶ φιλήσωμεν τὸν Θεόν, ὡς φι-

λεῖν

λει δεῖ, ἵνα μετὰ ἡδονῆς τῆς ἀρετῆς ἀπολαύωμεν. Εἰ γὰρ γυναῖκά τις ἐρωμένην ἔχων, "οὐδενὸς αἰσθάνεται τῶν καθ' ἑκάστην ἡμέραν λυπηρῶν· ὁ τὸν θεῖον τοῦτον καὶ καθαρὸν ἐρῶν ἔρωτα, ἐννόησον ὅσης ἀπολαύσεται τῆς ἡδονῆς. Τοῦτο γάρ, τοῦτο καὶ οὐρανῶν βασιλεία, τοῦτο ἀπόλαυσις ἀγαθῶν, τοῦτο ἡδονή, τοῦτο εὐφροσύνη, τοῦτο χαρά, τοῦτο μακαριότης. Μᾶλλον δὲ ὅσα ἂν εἴπω, οὐδὲν οὐδέπω δυνήσομαι παραστῆσαι πρὸς ἀξίαν, ἀλλ' ἡ πεῖρα μόνη τοῦτο διδάσκειν οἶδε τὸ καλόν. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγε, Κατατρυφήσατε τοῦ Κυρίου· καὶ, Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Πειθώμεθα τοίνυν, καὶ ἐντρυφῶμεν αὐτοῦ τῇ ἀγάπῃ. Οὕτω γὰρ ἐντεῦθεν ἤδη τὴν βασιλείαν ὀψόμεθα, καὶ ἀγγελικὸν ζησόμεθα βίον, καὶ ἐν γῇ διατρίβοντες, τῶν ἐν οὐρανῷ οἰκούντων οὐδὲν ἔλαττον ἕξομεν· καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, πάντων λαμπρότεροι τῷ βήματι τοῦ Χριστοῦ παραστησόμεθα, καὶ τῆς ἀπορρήτου δόξης ἀπολαυσόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς "μεταλαβεῖν, χάριτι καὶ φιλανθρωπίᾳ. Ψαλμ. λγ. θ.

γρ. ἐπιτυχεῖν.

Λογ. κδ. 11 ΚΑΙ ΤΟΥΤΟ, ΕΙΔΟΤΕΣ ΤΟΝ ΚΑΙΡΟΝ, ΟΤΙ ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι.

Ἐπειδὴ πάντα ἅπερ ἐχρῆν ἐπέταξεν, ὠθεῖ πάλιν αὐτοὺς εἰς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἀπὸ τοῦ κατεπείγοντος. Ἐπὶ θύραις γάρ, φησιν, ὁ τῆς κρίσεως ἕστηκε καιρός· καθάπερ καὶ Κορινθίοις ἔγραφεν, Ὅτι ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστι· καὶ Ἑβραίοις δὲ πάλιν, Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. α. Κορ. ζ. κθ. Εβ. ι. λζ. Ἀλλ' ἐκεῖ μὲν τοὺς πονουμένους ἀνιστάς, καὶ τοὺς ἱδρῶτας τῶν ἐπαλλήλων πειρασμῶν παραμυθούμενος ταῦτα ἔλεγεν· *ἐνταῦθα δὲ τοὺς καθεύδοντας διεγείρων. Καὶ γὰρ πρὸς ἀμφότερα χρήσιμος ἡμῖν ἐστιν ὁ λόγος. Τί δέ ἐστιν ὅ φησιν, Ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι; τουτέστιν, ἐγγὺς ἡ ἀνάστασις, ἐγγὺς ἡ κρίσις ἡ φοβερά, ἐγγὺς ἡ ἡμέρα ἡ ὡς κλίβανος καιομένη· καὶ δεῖ λοιπὸν ἡμᾶς ἀπαλλαγῆναι τῆς ῥᾳθυμίας. Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. Ὁρᾷς πῶς ἐφίστησιν αὐτοῖς ἤδη τὴν ἀνάστασιν; τοῦ χρόνου γὰρ προϊόντος, φησίν, ὁ μὲν τοῦ παρόντος βίου δαπανᾶται καιρός, ὁ δὲ τοῦ μέλλοντος αἰῶνος ἐγγύτερος γίνεται. Ἂν μὲν οὖν ᾖς παρεσκευασμένος, καὶ πάντα πεποιηκὼς ὅσα ἐπέταξε, σωτηρίας γίνεται ἡ ἡμέρα· ἂν δὲ τοὐναντίον, οὐκέτι. Ἀλλ' οὐκ ἀπὸ τῶν λυπηρῶν, ἀλλ' ἀπὸ τῶν χρηστῶν προτρέπει τέως, καὶ ταύτῃ τῆς τῶν προσόντων αὐτοὺς ἀπολύων συμπαθείας. Εἶτα, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἐν μὲν ἀρχῇ "καὶ προοιμίοις σπουδαιοτέρους εἶναι, ἅτε ἀκμάζοντος αὐτοῖς τοῦ πόθου, τοῦ χρόνου δὲ προελθόντος, καταμαρανθῆναι τὴν πᾶσαν σπουδήν, φησὶν ὅτι τοὐναντίον μὲν οὖν δεῖ ποιεῖν, οὐχὶ ἐκλύεσθαι προϊόντος τοῦ χρόνου, ἀλλὰ μᾶλλον ἀκμάζειν. Ὅσῳ γὰρ ἂν ὁ βασιλεὺς ἐγγίζῃ, τοσούτῳ μᾶλλον δεῖ παρεσκευάσθαι· ὅσῳ μᾶλλον ἐγγὺς τὸ βραβεῖον, τοσούτῳ μᾶλλον διεγείρεσθαι χρὴ πρὸς τοὺς ἀγῶνας. Ἐπεὶ καὶ οἱ δρομεῖς τοῦτο ποιοῦσιν· ὅταν πρὸς τῷ τέλει τοῦ δρόμου γίνωνται, καὶ τῇ τοῦ βραβείου λήψει, τότε διανίστανται μειζόνως. Διὰ τοῦτο ἔλεγε, Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν.

12 Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Οὐκοῦν αὕτη μὲν τελευτᾷ, ἐκείνη δὲ "πλησιάζει. Τὰ ἐκείνης τοίνυν πράττωμεν λοιπόν, μὴ τὰ ταύτης. Καὶ γὰρ ἐν τοῖς βιωτικοῖς τοῦτο γίνεται. Καὶ ὅταν ἴδωμεν πρὸς ὄρθρον τὴν νύκτα ἐπειγομένην, καὶ χελιδόνος ᾀδούσης ἀκούσωμεν, τὸν πλησίον ἕκαστος διεγείρομεν, καίτοι γε ἔτι τῆς νυκτὸς οὔσης. Ἀλλ' ἐπειδὴ λοιπὸν ἄπεισιν, ἐπειγόμεθα λοιπὸν λέγοντες ἀλλήλοις, ὅτι ἡμέρα γέγονε, καὶ τὰ τῆς ἡμέρας ἅπαντα πράττομεν, ἐνδυόμενοι, καὶ ὀνείρων ἀπαλλαττόμενοι, καὶ ὕπνον διακρουόμενοι, ἵνα παρε-

σκευασμένους ἡ ἡμέρα εὕρῃ, καὶ μὴ ἀνισχούσης ἀκτῖνος τότε ἀρξώμεθα διανίστασθαι καὶ διατεί-
νεσθαι.” ὅπερ οὖν ἐκεῖ ποιοῦμεν,” τοῦτο καὶ ἐνταῦθα πράξωμεν· ἀποδυσώμεθα τὰς φαν- γρ. ἐπὶ
τασίας, ἀπαλλαγῶμεν τῶν ὀνειράτων τοῦ παρόντος βίου, ἀποθώμεθα τὸν βαθὺν ὕπνον, καὶ ἐν- γρ. τῶν
δυσώμεθα ἀντὶ ἱματίων τὴν ἀρετήν. ταῦτα γὰρ ἅπαντα δηλῶν ἔλεγεν,

Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

Καὶ γὰρ πρὸς παράταξιν καὶ μάχην ἡ ἡμέρα ἡμᾶς καλεῖ. ἀλλὰ μὴ δείσῃς παρά-
ταξιν καὶ ὅπλα ἀκούσας. ἐπὶ μὲν γὰρ τῆς αἰσθητικῆς πανοπλίας, βαρὺ καὶ ἀπευκταῖον τὸ
ὁπλίζεσθαι· ἐνταῦθα δὲ ποθεινὸν καὶ εὐχῆς ἄξιον. φωτὸς γάρ ἐστι τὰ ὅπλα· διὸ καὶ τῆς ἀκτῖ-
νος λαμπρότερόν σε ἀποφαίνει πολλὴν ἀφιέντα τὴν ἀστραπήν. καὶ ἐν ἀσφαλείᾳ σε
καθίστησιν· ὅπλα γάρ ἐστι. καὶ καταλάμπεσθαι ποιεῖ· φωτὸς γάρ ἐστιν ὅπλα. τί οὖν; οὐκ
ἀνάγκη μὲν πολεμεῖν; ἀνάγκη μὲν πολεμεῖν, οὐ μὴν ταλαιπωρεῖσθαι καὶ πονεῖν. οὐδὲ γὰρ
πόλεμος τοῦτό ἐστιν, ἀλλὰ χορεία καὶ πανήγυρις. τοιαύτη τῶν ὅπλων ἡ φύσις, τοιαύτη ἡ τοῦ
στρατηγοῦ δύναμις. καὶ καθάπερ νυμφίος καλλωπιζόμενος ἀπὸ τῆς παστάδος πρόεισιν,
οὕτω καὶ ὁ τούτοις φραττόμενος τοῖς ὅπλοις. καὶ γὰρ στρατιώτης ὁμοῦ, καὶ νυμφίος ἐστίν.
εἰπὼν δὲ, ὅτι ἡ ἡμέρα ἤγγικεν, οὐδὲ ἐγγὺς εἶναι αὐτὴν ἀφίησιν, ἀλλ' ἤδη αὐτὴν ἐφίστησι. φη-
σὶ γάρ,

13 Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν. Ἤδη γὰρ πάρεστιν ἡ ἡμέρα. καὶ ἀφ'
ὧν μάλιστα τῶν πολλοὶ προτρέπονται, ἀπὸ τούτων καὶ αὐτοὺς ἐφέλκεται, τῆς εὐσχημοσύνης. πολὺς
γὰρ αὐτοῖς τῆς παρὰ τῶν πολλῶν δόξης ὁ λόγος. καὶ οὐκ εἶπε, περιπατεῖτε, ἀλλὰ, περιπατήσω-
μεν, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὴν παραίνεσιν, καὶ κούφην τὴν ἐπίπληξιν.

Μὴ κώμοις καὶ μέθαις· Οὐ τὸ πίνειν κωλύων, ἀλλὰ τὸ ἀμέτρως· οὐ τὸ ἀπολαύειν
οἴνου, ἀλλὰ τὸ μετὰ παροινίας· ὥσπερ οὖν καὶ τὸ ἑξῆς μετὰ τοῦ αὐτοῦ μέτρου τίθησι λέγων,

Μὴ κοίταις καὶ ἀσελγείαις. Οὐδὲ γὰρ ἐνταῦθα τὸ μίγνυσθαι γυναιξὶν ἀναιρεῖ,
ἀλλὰ τὸ πορνεύειν. Μὴ ἔρισι καὶ ζήλῳ. Τὰ γὰρ κύρια τῶν παθῶν σβέννυσι, γρ. ἔρισι
τὴν ἐπιθυμίαν, καὶ τὸν θυμόν. διόπερ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τὰς πηγὰς αὐτῶν ἀναιρεῖ. γρ. ζήλοις
οὐδὲν γὰρ οὕτω καὶ ἐπιθυμίαν ἀνάπτει, καὶ ὀργὴν ἐκκάει, ὡς μέθη καὶ παροινία. διὰ τοῦτο
πρότερον εἰπὼν, μὴ κώμοις καὶ μέθαις, τότε ἐπήγαγε, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔρισι γρ. ἔρισι καὶ ζή-
καὶ ζήλῳ. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἀποδύσας ἡμᾶς τῶν πονηρῶν ἱματίων, ἄκουσον πῶς λοις.
καλλωπίζει λοιπὸν λέγων,

14 Ἀλλ' ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Οὐκέτι εἶπεν ἔργα, ἀλ-
λὰ μειζόνως αὐτοὺς ἀνέστησεν. ὅτε μὲν γὰρ περὶ τῆς κακίας ἔφησεν, ἔργα ἔλεγεν· ὅτε δὲ περὶ
τῆς ἀρετῆς, οὐκέτι ἔργα, ἀλλ' ὅπλα, δεικνὺς ὅτι ἐν πάσῃ ἀσφαλείᾳ καθίστησιν ἡ ἀρετὴ
τὸν ἔχοντα αὐτήν, καὶ ἐν πάσῃ λαμπρότητι. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἐπὶ τὸ μεῖζον ἄ-
γων τὸν λόγον, ὃ πολλῷ φρικωδέστερον ἦν, αὐτὸν τὸν δεσπότην δίδωσιν ἡμῖν ἱμάτιον, αὐτὸν
τὸν βασιλέα. ὁ γὰρ τοῦτον περιβεβλημένος, ἅπασαν ἔχει καθόλου τὴν ἀρετήν. ὅταν δὲ
Ρω. η. εἴπῃ, ἐνδύσασθε, πάντοθεν ἡμᾶς αὐτὸν περιβαλέσθαι κελεύει. ὥσπερ ἀλλαχοῦ φησιν, Εἰ
Εφεσ. γ. ιζ. δὲ Χριστὸς ἐν ἡμῖν. καὶ πάλιν, Εἰς τὸν ἔσω ἡμῶν ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν. καὶ γὰρ
οἰκίαν αὐτῷ βούλεται εἶναι τὴν ψυχὴν τὴν ἡμετέραν, καὶ ὡς ἱμάτιον ἡμῖν αὐτὸν περικεῖσθαι, ἵνα
πάντα αὐτὸς ἡμῖν ᾖ ἔσωθεν καὶ ἔξωθεν. καὶ γὰρ πλήρωμα ἡμῶν αὐτός· “Καὶ γὰρ πλήρωμα τοῦ γρ. τοῦ
Εφεσ. α. κγ. τὰ πάντα ἐν πᾶσι πληρουμένου. καὶ ὁδὸς, καὶ ἀνὴρ, καὶ νυμφίος· Ἡρμοσάμην γὰρ ὑμᾶς ἑ-
Β. Κορ. ια. Β. νὶ ἀνδρὶ παρθένον ἁγνήν. καὶ ῥίζα, καὶ ποτὸν, καὶ τροφὴ, καὶ ζωή· Ζῶ γάρ, φησιν, οὐκέτι ἐγώ,
ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ ἀπόστολος, καὶ ἀρχιερεὺς, καὶ διδάσκαλος, καὶ πατὴρ, καὶ ἀδελφὸς,
Γαλ. Β. κ. καὶ συγκληρονόμος, καὶ τάφου κοινωνὸς καὶ σταυροῦ· Συνετάφημεν γὰρ αὐτῷ, φησι, καὶ σύμφυτοι
Ρω. ς. ε. γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. καὶ ἱκέτης· Ὑπὲρ γὰρ Χριστοῦ πρεσβεύο-
μεν.

μεν. καὶ πρὸς τὸν πατέρα συνήθεως· Καὶ γὰρ ἐντυγχάνει, φησὶν, ὑπὲρ ἡμῶν. καὶ οἶκος, καὶ ἔνοικος· Ὁ γὰρ ἐν ἐμοὶ μένων, κἀγὼ ἐν αὐτῷ. καὶ φίλος· Ὑμεῖς γὰρ φίλοι μού ἐστε. καὶ θεμέλιος, καὶ λίθος ἀκρογωνιαῖος· καὶ ἡμεῖς αὐτοῦ τὰ μέλη, καὶ γεώργιον, τὸ οἰκοδομὴ, καὶ κλήματα, καὶ συνεργοί. τί γὰρ οὐ βούλεται ἡμῶν εἶναι, πάντα τρόπον συγκολλῶν καὶ συνάπτων ἡμᾶς; ὅπερ τοῦ σφόδρα φιλοῦντός ἐστι. πείθου τοίνυν, καὶ ἀναστὰς ἐξ ὕπνου ἔνδυσαι αὐτὸν, καὶ ἐνδυσάμενος, διηνεκῶς αὐτῷ περίεχε τὴν σάρκα. τοῦτο γὰρ ᾐνίξατο εἰπὼν, α. Κορ. ε. κ. / Ρω. η. λδ. / Ιωαν. ς. νς. / Ιωαν. ιε. ιδ.

Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Ὥσπερ γὰρ οὐ τὸ πίνειν ἐκώλυσεν, ἀλλὰ τὸ μεθύειν, οὐδὲ τὸ γαμεῖν, ἀλλὰ τὸ ἀσελγεῖν, οὕτως οὐδὲ τὸ προνοεῖν τῆς σαρκὸς, ἀλλὰ τὸ εἰς ἐπιθυμίας, οἷον τὸ τὴν χρείαν ὑπερβαίνειν. ἐπεὶ ὅτι γε προνοεῖν αὐτῆς κελεύει, ἄκουσον τί φησι Τιμοθέῳ· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. οὕτω δὲ καὶ ἐνταῦθα προνοεῖ μὲν, ἀλλὰ πρὸς ὑγίειαν, μὴ πρὸς ἀσέλγειαν. οὐδὲ γὰρ ἂν εἴη τοῦτο πρόνοια λοιπὸν, ὅταν τὴν φλόγα ἀνάπτῃς, ὅταν χαλεπὴν τὴν κάμινον ποιῇς. ἵνα δὲ καὶ σαφέστερον μάθητε, τί ποτέ ἐστι τὸ προνοεῖν αὐτῆς εἰς ἐπιθυμίαν, καὶ φύγητε τὴν τοιαύτην πρόνοιαν, τοὺς μεθύοντας, τοὺς γαστριζομένους, τοὺς ἐν ἱματίοις καλλωπιζομένους, τοὺς θρυπτομένους, τοὺς τὸν ὑγρὸν καὶ διαρρέοντα ζῶντας βίον ἐννοήσατε, καὶ εἴσεσθε τὸ εἰρημένον. ἐκεῖνοι γὰρ πάντα ποιοῦσιν, οὐχ ἵνα ὑγιαίνωσιν, ἀλλ᾽ ἵνα σκιρτῶσιν, ἵνα τὴν ἐπιθυμίαν ἀνάπτωσιν. ἀλλ᾽ ὁ τὸν Χριστὸν ἐνδεδυμένος σὺ, πάντα ἐκεῖνα περικόψας, ἓν ζήτει μόνον, ὅπως ὑγιαίνουσαν ἔχῃς τὴν σάρκα. καὶ μέχρι τοσούτου προνόει ταύτης, περαιτέρω δὲ μηκέτι, ἀλλὰ πᾶσαν τὴν σπουδὴν εἰς τὴν τῶν πνευματικῶν ἀνάλισκε ἐπιμέλειαν. οὕτω γὰρ καὶ ἀναστῆναι ἐκ τοῦ ὕπνου τούτου δυνήσῃ, μὴ βαρούμενος ταῖς ποικίλαις ταύταις ἐπιθυμίαις. καὶ γὰρ ὕπνος ὁ παρὼν βίος, καὶ ὀνειράτων οὐδὲν τὰ ἐν αὐτῷ διενήνοχε. καὶ καθάπερ οἱ καθεύδοντες καὶ παραφθέγγονται, καὶ ὁρῶσι πολλάκις οὐδὲν ὑγιὲς, οὕτω καὶ ἡμεῖς· μᾶλλον δὲ καὶ πολλῷ χεῖρον. ὁ μὲν γὰρ αἰσχρά τινα πράξας, ἢ εἰπὼν ὄναρ, ἀπαλλαγεὶς τοῦ ὕπνου, καὶ τῆς αἰσχύνης ἀπήλλακται, καὶ δίκην οὐ δίδωσιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἡ αἰσχύνη καὶ ἡ τιμωρία ἀθάνατος. πάλιν, οἱ πλουτοῦντες ὄναρ, ἡμέρας γενομένης ἐλέγχονται εἰκῆ πλουτήσαντες· ἐνταῦθα δὲ καὶ πρὸ τῆς ἡμέρας ὁ ἔλεγχος ἔπεισι πολλάκις, καὶ πρὶν ἀπελθεῖν ἐκεῖ, τὰ ὀνείρατα ταῦτα ἀπέπτη. α. Τιμ. ε. κγ.

Ἀποτιναξώμεθα τοίνυν τὸν πονηρὸν τοῦτον ὕπνον. ἂν γὰρ καθεύδοντας ἡμᾶς ἡ ἡμέρα καταλάβῃ, θάνατος διαδέξεται ἀθάνατος. καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης, πᾶσιν εὐεπιχείρητοι τοῖς ἐχθροῖς τοῖς ἐντεῦθεν ἐσόμεθα, καὶ ἀνθρώποις, καὶ δαίμοσι. κἂν ἀνελεῖν βουληθῶσιν, ὁ κωλύσων οὐδείς. εἰ μὲν γὰρ πολλοὶ οἱ ἐγρηγορότες ἦσαν, οὐκ ἦν τοσοῦτος ὁ κίνδυνος. ἐπεὶ δὲ εἷς που, καὶ δεύτερος λύχνον ἅψας, καθάπερ ἐν βαθυτάτῃ νυκτὶ τῶν ἄλλων καθευδόντων ἐγρήγορε, διὰ τοῦτο πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, πολλῆς τῆς ἀσφαλείας, ὥστε μὴ τὰ ἀνήκεστα παθεῖν. οὐχὶ δοκεῖ λαμπρὰ ἡμέρα εἶναι νῦν; οὐχὶ πάντες ἐγρηγορέναι νομίζομεν, καὶ νήφειν; ἀλλ᾽ ὅμως (καὶ τάχα γελάσεσθε τὸ εἰρημένον, ἐγὼ μέντοι αὐτὸ ἐρῶ) τοῖς ἐν βαθείᾳ νυκτὶ καθεύδουσί τε καὶ ῥέγχουσιν ἐοίκαμεν ἅπαντες. καὶ εἴ γε ὁρατὴν ἀσώματον ἦν ἰδεῖν, ἔδειξα ἂν ὑμῖν πῶς οἱ μὲν πλείους ῥέγχουσιν, ὁ δὲ διάβολος διορύττει τοίχους, καὶ κατασφάττει κειμένους, καὶ ὑφαιρεῖται τὰ ἔνδον, καθάπερ ἐν σκότῳ βαθεῖ μετ᾽ ἀδείας ἅπαντα περιέπων. μᾶλλον δὲ, εἰ καὶ ὀφθαλμοῖς τοῦτο ἰδεῖν ἀδύνατον, ὑπογράψωμεν αὐτὸ τῷ λόγῳ, καὶ ἐννοήσωμεν πόσοι ὑπὸ ἐπιθυμιῶν εἰσι πονηρῶν βεβαρημένοι, πόσοι τῷ χαλεπῷ τῆς ἀσελγείας κάρῳ κατεχόμενοι, καὶ τὸ φῶς τοῦ πνεύματος κατασβεννῦντες. διὰ τοι τοῦτο ἕτερα μὲν ἕτεροι βλέπουσιν, ἕτερα δὲ ἕτεροι ἀκούουσι, καὶ οὐδενὶ τῶν ἐνταῦθα λεγομένων προσέχουσιν. εἰ δὲ ἐγὼ ψεύδομαι ταῦτα λέγων, ὁ ἐγρηγορὼς ἑστηκὼς, εἰπέ μοι, τί γέγο-

νει ἐνταῦθα σήμερον, εἰ μὴ ὡς ὀνειράτων ἤκουσας; καὶ οἶδα μὲν ὅτι ἐροῦσί τινες (οὐδὲ γὰρ κατὰ πάντων ταῦτα λέγω) ἀλλὰ σὺ ὁ τοῖς εἰρημένοις ἔνοχος ὢν, ὁ μάτην ἐνταῦθα εἰσελθὼν, εἰπὲ τίς προφήτης, τίς ἀπόστολος σήμερον διελέχθη ἡμῖν, καὶ περὶ τίνων. ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. καὶ γὰρ πολλὰ ὡς ἐν ὀνείρῳ διελέχθης ἐνταῦθα, τῶν ἀληθινῶν οὐκ ἀκούσας πραγμάτων. ταῦτα δέ μοι καὶ πρὸς γυναῖκας εἰρήσθω. καὶ γὰρ ἐν ἐκείναις πολὺς ὁ ὕπνος καὶ εἴθε ὕπνος. ὁ μὲν γὰρ καθεύδων οὔτε πονηρόν τι φθέγγεται, οὔτε χρηστόν. ὁ δὲ οὕτως ἐγρηγορὼς ὡς ὑμεῖς, πολλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς ἐκβάλλει ῥήματα, τόκους ἀριθμῶν, λογισμοὺς δανεισμάτων συντιθεὶς, καπηλείας ἀναισχύντου μεμνημένος, τὰς ἀκάνθας πυκνὰς καταφυτεύων ἐν τῇ ἑαυτοῦ ψυχῇ, καὶ τὸν σπόρον οὐκ ἀφεὶς, οὐδὲ μικρὸν προκύψαι ποτέ. ἀλλὰ διαναστῆθι, καὶ τὰς ἀκάνθας ταύτας προρρίζους ἀνάσπασον, καὶ τὴν μέθην ἀποτίναξαι. αὕτη γὰρ ἐντεῦθεν ὁ ὕπνος. μέθην δὲ οὐκ οἴνου λέγω μόνου, ἀλλὰ καὶ τῶν βιωτικῶν φροντίδων, καὶ μετὰ τούτων καὶ τὴν ἀπὸ τοῦ οἴνου. ταῦτα δὲ οὐχὶ πλουσίοις μόνον, ἀλλὰ καὶ πένησι παραινῶ, καὶ μάλιστα τοῖς τὰ φιλικὰ συγκροτοῦσι συμπόσια. οὐ γάρ ἐστι τοῦτο τρυφὴ, οὐδὲ ἄνεσις, ἀλλὰ κόλασις καὶ τιμωρία. τρυφὴ γὰρ οὐκ αἰσχρὰ εἰπεῖν, ἀλλὰ σεμνὰ φθέγξασθαι, ἐμπλησθῆναι, οὐ διαρραγῆναι. εἰ δὲ ἡδονὴν αὐτὸ νομίζεις, δεῖξόν μοι ἐν ἑσπέρᾳ τὴν ἡδονήν. ἀλλ' οὐκ ἂν ἔχοις. καὶ οὔπω λέγω τὰς ἐντεῦθεν βλάβας, ἀλλὰ τέως περὶ τῆς ἡδονῆς σοι διαλέγομαι τῆς εὐθέως μαραινομένης. ὁμοῦ τε γὰρ διελύθη τὸ συμπόσιον, καὶ ἀπέπτη τὰ τῆς εὐφροσύνης. ὅταν δὲ καὶ τὸν ἔμετον εἴπω, καὶ τὰς καρηβαρίας, καὶ τὰ μυρία νοσήματα, καὶ τὴν τῆς ψυχῆς αἰχμαλωσίαν, τί πρὸς ταῦτα ἐρεῖς; μὴ γὰρ, ἐπειδὴ πένητές ἐσμεν, καὶ ἀσχημονεῖν ὀφείλομεν; ταῦτα δὲ λέγω μὲν οὐ κωλύων συνιέναι, οὐδὲ κοινῇ συνδειπνεῖν, ἀλλὰ κωλύων ἀσχημονεῖν, καὶ βουλόμενος τὴν τρυφὴν εἶναι τρυφὴν, ἀλλὰ μὴ κόλασιν, μηδὲ τιμωρίαν, καὶ μέθην, καὶ κῶμον. μαθέτωσαν Ἕλληνες,

Ψαλμ. β. ια. ὅτι μάλιστα χριστιανοὶ τρυφᾶν ἴσασι, καὶ τρυφᾶν μετὰ κόσμου. Αγαλλιᾶσθε γάρ, φησι, τῷ Κυρίῳ ἐν τρόμῳ. πῶς δὲ ἔστιν ἀγαλλιᾶσθαι; ὕμνους λέγοντας, εὐχὰς ποιουμένους, ψαλμοὺς ἐπεισάγοντας ἀντὶ τῶν ἀνελευθέρων ἐκείνων ᾀσμάτων. οὕτω καὶ ὁ Χριστὸς τῇ τραπέζῃ παρέσται, καὶ εὐλογίας ἐμπλήσει τὴν εὐωχίαν ἅπασαν, ὅταν εὔχῃ, ὅταν ᾄδῃς πνευματικὰ, ὅταν πένητας ἐπὶ τὴν τῶν προκειμένων κοινωνίαν καλῇς, ὅταν εὐταξίαν πολλὴν καὶ σωφροσύνην ἐπιστήσῃς τῷ συμποσίῳ. οὕτω καὶ ἐκκλησίαν ἐργάσῃ τὸν τόπον, ἀντὶ τῶν ἀκαίρων κραυγῶν καὶ εὐφημιῶν τὸν τῶν ἁπάντων δεσπότην ὑμνῶν. καὶ μή μοι λέγε, ὅτι ἕτε-

α. Κορ. ι. λα. ρος ἐκράτησε νόμος, ἀλλὰ διόρθου τὰ κακῶς ἔχοντα. Εἴτε γὰρ ἐσθίετε, φησιν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. καὶ γὰρ ἀπὸ τῶν τοιούτων τραπεζῶν ὑμῖν αἱ πονηραὶ ἐπιθυμίαι, ἐντεῦθεν αἱ ἀσέλγειαι, ἐντεῦθεν αἱ γυναῖκες μὲν ἐν καταφρονήσει, αἱ δὲ πόρναι ἐν τιμῇ παρ' ὑμῖν· ἐντεῦθεν αἱ τῶν οἰκιῶν ἀνατροπαὶ, καὶ τὰ μυρία κακὰ, καὶ ἄνω καὶ κάτω πάντα γέγονε, καὶ τὴν πηγὴν ἀφέντες τὴν καθαρὰν, ἐπὶ τὸν βορβόρου τὸν ὀχετὸν τρέχετε. ὅτι γὰρ βόρβορός ἐστι τῆς πόρνης σῶμα, οὐδένα ἕτερον ἐρωτῶ, ἀλλ' αὐτόν σε τὸν ἐγκαλινδούμενον τῷ βορβόρῳ, εἰ μὴ σαυτὸν ἐρυθριᾷς, εἰ μὴ ἀκάθαρτον εἶναι νομίζεις μετὰ τὴν ἁμαρτίαν. διὸ, παρακαλῶ, φεύγετε τὴν πορνείαν καὶ τὴν ταύτης μητέρα, τὴν μέθην. τί σπείρεις ὅπου θερίσαι οὐκ ἔνι; μᾶλλον δὲ, κἂν θερίσῃς, πολλήν σοι φέρει τὴν αἰσχύνην ὁ καρπός. κἂν γὰρ τεχθῇ παιδίον, καὶ σὲ ᾔσχυνε, καὶ αὐτὸ ἠδίκηται διὰ σὲ νόθον καὶ δυσγενὲς γενόμενον. κἂν μυρία αὐτῷ καταλίπῃς χρήματα, ἄτιμος ἐν οἰκίᾳ, ἄτιμος ἐν πόλει, ἄτιμος ἐν δικαστηρίῳ καὶ ὁ ἐκ πόρνης, καὶ ὁ ἐκ δούλης· ἄτιμος δὲ καὶ σὺ πάλιν, καὶ ζῶν, καὶ τετελευτηκώς. κἂν γὰρ ἀπέλθῃς, μένει τὰ ὑπομνήματα τῆς ἀσχημοσύνης. τί τοίνυν ἅπαντα καταισχύνεις; τί σπείρεις ἔνθα ἡ ἄρουρα σπουδάζει διαφθεῖραι τὸν καρπόν; ἔνθα πολλὰ τὰ ἀτόκια; ἔνθα πρὸ τῆς γενέσεως φόνος; καὶ γὰρ καὶ

τὴν

τὴν πόρνην οὐκ ἀφεὶς μεῖναι πόρνην μόνον, ἀλλὰ καὶ ἀνδροφόνον ποιεῖς. εἶδες ἀπὸ μέθης πορνείαν, ἀπὸ πορνείας μοιχείαν, ἀπὸ μοιχείας φόνον; μᾶλλον δὲ καὶ φόνου τι χεῖρον· οὐδὲ γὰρ ἔχω πῶς αὐτὸ καλέσω. οὐ γὰρ τεχθέντα ἀναιρεῖ, ἀλλὰ καὶ τεχθῆναι κωλύει. τί τοίνυν καὶ τοῦ Θεοῦ τὴν δωρεὰν ὑβρίζεις, καὶ τοῖς αὐτοῦ μάχῃ νόμοις, καὶ ὅπερ ἐστὶ κατάρα, τοῦτο * ὡς εὐλογίαν μεταδιώκεις, καὶ τὸ ταμιεῖον τῆς γενέσεως, ταμιεῖον ποιεῖς σφαγῆς, καὶ τὴν πρὸς παιδοποιΐαν δοθεῖσαν γυναῖκα, πρὸς φόνον παρασκευάζεις; ἵνα γὰρ ἀεὶ τοῖς ἐρασταῖς "εὔχρηστος ᾖ καὶ ποθεινὴ, καὶ πλέον ἀργύριον ἕλκῃ, οὐδὲ τοῦτο παραιτεῖται ποιῆσαι, μέγα ἐπὶ τὴν σὴν κεφαλὴν τὸ πῦρ ἐντεῦθεν σωρεύουσα. εἰ γὰρ καὶ ἐκείνης τὸ τόλμημα, ἀλλὰ σὺ ἡ αἰτία γίνῃ. ἐντεῦθεν καὶ εἰδωλολατρεῖαι. πολλαὶ γὰρ ὥστε "ἐπίχαρεις γενέσθαι, καὶ ἐπῳδὰς, καὶ σπονδὰς, καὶ φίλτρα, καὶ μυρία ἕτερα μηχανῶνται. ἀλλ' ὅμως μετὰ τοσαύτην ἀσχημοσύνην, μετὰ φόνους, μετὰ εἰδωλολατρείας, πολλοῖς ἀδιάφορον τὸ πρᾶγμα εἶναι δοκεῖ, πολλοῖς καὶ γυναῖκας ἔχουσιν· ἔνθα καὶ πλείων ὁ φορυτὸς τῶν κακῶν. καὶ γὰρ φαρμακεῖαι λοιπὸν κινοῦνται, οὐκ ἐπὶ τὴν μήτραν τὴν πορνευομένην, ἀλλ' ἐπὶ τὴν ἠδικημένην γυναῖκα, καὶ ἐπιβουλαὶ μυρίαι, καὶ δαιμόνων κλήσεις, καὶ νεκυομαντεῖαι, καὶ πόλεμοι καθημερινοὶ, καὶ ἄσπονδοι μάχαι, καὶ συνεχεῖς φιλονεικίαι. διὸ καὶ ὁ Παῦλος εἰπὼν, μὴ κοίταις καὶ ἀσελγείαις, ἐπήγαγε, μὴ ἔριδι καὶ ζήλῳ, εἰδὼς τοὺς ἐντεῦθεν πολέμους, τὰς οἰκιῶν τὰς ἀνατροπὰς, τὰς εὐγενῶν παίδων τὰς ἀδικίας, τὰ μυρία κακά. ἵν' οὖν ταῦτα διαφύγωμεν ἅπαντα, τὸν Χριστὸν ἐνδυσώμεθα, καὶ μετ' αὐτοῦ διηνεκῶς ὦμεν· ἐπεὶ καὶ τοῦτό ἐστιν ἐνδύσασθαι, τὸ μηδέποτε αὐτοῦ ἀπολειφθῆναι, τὸ πάντοθεν αὐτὸν φαίνεσθαι ἐν ἡμῖν διὰ τῆς ἁγιωσύνης ἡμῶν, διὰ τῆς ἐπιεικείας. οὕτω καὶ ἐπὶ φίλων λέγομεν, ὁ δεῖνα τὸν δεῖνα ἐνεδύσατο, τὴν πολλὴν ἀγάπην λέγοντες, καὶ τὴν ἀδιάλειπτον συνουσίαν. ὁ γὰρ ἐνδυσάμενος, ἐκεῖνο φαίνεται ὅπερ ἐνδέδυται. φαινέσθω τοίνυν πάντοθεν ἐν ἡμῖν ὁ Χριστός. καὶ πῶς φανεῖται; ἂν τὰ ἐκείνου ποιῇς. τί δὲ ἐκεῖνος ἐποίησεν; Ὁ υἱὸς τοῦ ἀνθρώπου, φησὶν, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι. τοῦτο καὶ σὺ ζήλωσον. τροφῆς ἀπολαῦσαι ἔδει, καὶ κριθίνοις ἄρτοις ἐκέχρητο. ἀποδημῆσαι ἐχρῆν, καὶ οὐδαμοῦ ἵπποι καὶ ὑποζύγια, ἀλλὰ τοσαῦτα ἐβάδιζεν, ὥστε καὶ κοπιάσαι. καθευδῆσαι ἔδει, καὶ ἐπὶ προσκεφαλαίου ἔκειτο ἐπὶ τῆς πρώρας. κατακλιθῆναι ἐχρῆν, καὶ ἐπὶ χόρτου καταπεσεῖν ἐκέλευσε. καὶ τὰ ἱμάτια δὲ εὐτελῆ· καὶ πολλαχοῦ μόνος διετέλει, οὐδένα ἐπισυρόμενος. καὶ τὰ ἐν τῷ σταυρῷ δὲ, καὶ τὰ ἐν ταῖς ὕβρεσι, καὶ πάντα ἁπλῶς καταμαθὼν, ζήλωσον. καὶ οὕτως ἐνεδύσω τὸν Χριστὸν, ἂν "τῆς σαρκὸς πρόνοιαν μὴ ποιῇς εἰς ἐπιθυμίας. οὐδὲ γὰρ ἡδονὴν τὸ πρᾶγμα ἔχει. καὶ γὰρ αἱ ἐπιθυμίαι αὗται τίκτουσι πάλιν ἑτέρας δριμυτέρας, καὶ οὐδέποτε λήψῃ κόρον, ἀλλὰ βάσανον ἐργάσῃ σαυτῷ μεγάλην. ὥσπερ ὁ διηνεκῶς ὢν ἐν τῷ δίψει, κἂν μυρίας ἔχῃ παρακειμένας πηγὰς, οὐδὲν ἐντεῦθεν κερδαίνει, μὴ δυνάμενος τὸ νόσημα σβέσαι· οὕτω καὶ ὁ διηνεκῶς ἐν ἐπιθυμίαις ζῶν. ἂν δὲ τῆς χρείας ᾖς ἐντὸς, οὐδέποτε τοῦτον δέξῃ τὸν πυρετὸν, ἀλλὰ πάντα ἐκεῖνα οἰχήσεται, καὶ μέθαι, καὶ ἀσέλγειαι. τοσοῦτον τοίνυν ἔσθιε ὅσον λῦσαι λιμόν, "τοιαῦτα ἐνδύου "οἷς σκέπεσθαι μόνον· μηδὲ καλλώπιζε ἱματίοις τὴν σάρκα, ἵνα μὴ αὐτὴν ἀπολέσῃς. καὶ γὰρ μαλακωτέραν αὐτὴν ποιεῖς, καὶ τὴν εὐεξίαν αὐτῆς λυμαίνῃ, τῇ πολλῇ βλακείᾳ διαλύων αὐτήν. ἵν' οὖν ἔχῃς αὐτὴν ὄχημα καλὸν τῆς ψυχῆς, ἵνα ὁ κυβερνήτης ἀσφαλῶς ἐπὶ τῶν οἰάκων κάθηται, καὶ ὁ στρατιώτης εὐκόλως μεταχειρίζῃ τὰ ὅπλα, εὐάρμοστα πάντα ποίει. οὐ γὰρ τὸ πολλὰ ἔχειν, ἀλλὰ τὸ ὀλίγων δεῖσθαι, ἀναλώτους ποιεῖ. ἐκεῖνος μὲν γὰρ, κἂν μὴ ἀδικηθῇ, δέδοικεν· οὗτος δὲ, κἂν ἀδικηθῇ, τῶν οὐκ ἠδικημένων ἄμεινον διάκειται, καὶ ἐν πλείονι καὶ διὰ τοῦτο ἔσται εὐθυμίᾳ. μὴ τοίνυν τοῦτο ζητῶμεν ὅπως μηδεὶς ἐπηρεάσῃ, ἀλλ' ὅπως, κἂν ἐπηρεάζειν βούληται, μὴ δύνηται. τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν ἔσται, ἀλλ' ἢ ἐκ τοῦ τῆς χρείας

ἔχεσθαι

γρ. τεχθὲν

* οὐ

γρ. εὐχάριστος οὖσα καὶ ποθεινὴ, πλέον

γρ. καὶ ἐπιχαρεῖς γενέσθαι

Λουκ. θ. νη.

γρ. ἐπεὶ τῆς σαρκὸς προνοίας ἐπιθυμίας.

γρ. τοιαῦτα

γρ. ὅσον

ἔχεσθαι, καὶ μὴ πλειόνων ἐπιθυμεῖν. οὕτω γὰρ καὶ ἐνταῦθα τρυφῆσαι δυνησόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κε. 1 ΤΟΝ ΔΕ ΑΣΘΕΝΟΥΝΤΑ ΤΗ ΠΙΣΤΕΙ προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. 2 Ὃς μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει.

Οἶδα ὅτι πολλοῖς ἄπορον τὸ εἰρημένον. διὸ πρότερον ἀναγκαῖον εἰπεῖν τοῦ χωρίου τούτου παντὸς τὴν ὑπόθεσιν, καὶ τί βουλόμενος διορθῶσαι, ταῦτα γράφει. τί τοίνυν βούλεται διορθοῦν; ἦσαν πολλοὶ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, οἳ τῇ τοῦ νόμου κατεχόμενοι συνειδήσει καὶ μετὰ τὴν πίστιν, τὴν τῶν βρωμάτων ἐφύλαττον ἔτι τὴν παρατήρησιν, οὔπω θαρροῦντες τέλεον ἀποστῆναι τοῦ νόμου. εἶτα, ὥστε μὴ γενέσθαι καταφανεῖς τῶν χοιρείων ἀπεχόμενοι μόνων, πάντων ἑξῆς ἀπείχοντο τῶν κρεῶν, καὶ λάχανα ἤσθιον μόνον, ἵνα νηστεία μᾶλλον εἶναι δοκῇ τὸ γινόμενον, ἀλλὰ μὴ νόμου παρατήρησις. ἕτεροι πάλιν ἦσαν τελειότεροι, οὐδὲν ἐν τοιοῦτον παρατηροῦντες, οἳ τούτοις τοῖς παρατηροῦσι φορτικοὶ καὶ ἐπαχθεῖς ἐγίνοντο, ὀνειδίζοντες, ἐγκαλοῦντες, εἰς ἀθυμίαν ἐμβάλλοντες. δεδοικὼς τοίνυν ὁ μακάριος Παῦλος μὴ μικρὸν κατορθῶσαι βουλόμενοι, τὸ πᾶν ἀνατρέψωσι, καὶ θέλοντες εἰς τὴν τῶν βρωμάτων αὐτοὺς ἀδιαφορίαν ἀγαγεῖν καὶ τῆς πίστεως αὐτοὺς ἐκπεσεῖν παρασκευάσωσι, καὶ πρὸ τοῦ καιροῦ τοῦ προσήκοντος τὸ πᾶν ἐπανορθῶσαι σπεύδοντες, περὶ τὰ καίρια ζημίαν ἐργάσωνται, ἀπὸ τῆς εἰς Χριστὸν ὁμολογίας αὐτοὺς παρασαλεύοντες τῷ συνεχῶς ἐπιτιμᾶν, καὶ ἐν ἑκατέροις μείνωσιν ἀδιόρθωτοι· ὅρα πόσῃ κέχρηται συνέσει, καὶ πῶς ἑκατέρων ἐπιμελεῖται τῶν μερῶν μετὰ τῆς συνήθους αὐτῷ σοφίας. οὔτε γὰρ οὐ καλῶς ποιεῖτε, τολμᾷ τοῖς ἐπιτιμῶσιν εἰπεῖν, ἵνα μὴ ἐκείνους βεβαιώσῃ ἐν τῇ παρατηρήσει· οὔτε πάλιν ὅτι καλῶς, ἵνα μὴ σφοδροτέρους κατηγόρους ἐργάσηται, ἀλλὰ συμμεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. καὶ δοκεῖ μὲν τοῖς ἰσχυροτέροις ἐπιτιμᾶν, τὸ δὲ πᾶν εἰς ἐκείνους κινεῖ ἐν τῷ πρὸς τούτους λόγῳ. αὕτη γὰρ μάλιστα ἡ διόρθωσις ἀνεπαχθεστέρα, ὅταν πρὸς ἄλλον τις τρέψας τὸν λόγον, ἕτερον πλήττῃ. οὔτε γὰρ εἰς θυμὸν ἀφίησιν ἐξενεχθῆναι τὸν ἐπιτιμώμενον, καὶ λανθανόντως τὸ τῆς διορθώσεως ἐνίησι φάρμακον. ὅρα τοίνυν πῶς αὐτὸ ποιεῖ συνετῶς, καὶ πῶς εὐχερῶς. εἰπὼν γάρ, τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας, τότε εἰς τὸν περὶ τούτων ἐκβαίνει λόγον, ἵνα μὴ δόξῃ ὑπὲρ ἐκείνων λέγειν τῶν ἐπιτιμώντων καὶ κελευόντων ἐσθίειν ἅπαντα. τὸ γὰρ ἀσθενικὸν μέρος ἀεὶ πλείονος δεῖται τῆς προνοίας. διὸ καὶ πρὸς τὸν ἰσχυρὸν εὐθέως ἀποτείνεται, λέγων οὕτω· τὸν δὲ ἀσθενοῦντα τῇ πίστει. εἶδες πληγὴν εὐθέως μίαν ἐκείνῳ δοθεῖσαν; εἰπὼν γὰρ τὸν ἀσθενοῦντα, ἔδειξεν αὐτὸν ἄρρωστον. εἶτα δευτέραν προστίθησι λέγων, προσλαμβάνεσθε. δείκνυσι γὰρ πάλιν πολλῆς δεόμενον ἐπιμελείας· ὅπερ σημεῖον ἐσχάτης ἀρρωστίας ἐστί. μὴ εἰς διακρίσεις διαλογισμῶν. ἰδοὺ καὶ τρίτην ἐπέθηκε πληγήν. ἐντεῦθεν γὰρ δηλοῖ τοιοῦτον αὐτοῦ τὸ ἁμάρτημα ὄν, ὡς καὶ τοὺς τὰ αὐτὰ αὐτῷ οὐ πλημμελοῦντας, κοινωνοῦντας δὲ ὅμως αὐτῷ τῆς φιλίας, καὶ ἀντεχομένους αὐτοῦ τῆς θεραπείας, διακρίνεσθαι. εἶδες πῶς δοκεῖ μὲν τούτοις διαλέγεσθαι, ἐκείνοις δὲ ἐπιτιμᾷ λανθανόντως καὶ ἀνεπαχθῶς; εἶτα τιθεὶς ἀμφοτέρους παράλληλα, τὸν μὲν μετ᾽ ἐγκωμίων, τὸν δὲ μετ᾽ ἐγκλημάτων τίθησιν. ἐπάγει γὰρ λέγων, ὃς μὲν πιστεύει φαγεῖν πάντα, ἀνακηρύττων αὐτὸν ἀπὸ τῆς πίστεως· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει, καὶ τοῦτον πάλιν κακίζων ἀπὸ τῆς ἀσθενείας. εἶτα, ἐπειδὴ καιρίαν ἔδωκε τὴν πληγήν, παραμυθεῖται πάλιν αὐτόν, οὕτω λέγων,

3 Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω. Οὐκ εἶπεν, ἐάτω, οὐκ εἶπε, μὴ ἐγκαλείτω, οὐκ εἶπε, μὴ διορθούσθω, ἀλλά, μὴ ἐξουδενιζέτω, μὴ διαχλευέτω, δεικνὺς ὅτι πρᾶγμα πολλοῦ γέλωτος ἄξιον ἐποίουν. ἐπὶ δὲ τούτου οὐχ οὕτως, ἀλλὰ πῶς;

Ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω. Ὥσπερ γὰρ οἱ τελειότεροι τούτους ἐξεφαύλιζον ὡς [γρ. ἀλλοπίστους] ὀλιγοπίστους καὶ ὑπόπτους καὶ νόθους καὶ ἰουδαΐζοντας ἔτι, οὕτως ἐκεῖνοι τούτους ἔκρινον ὡς παρανομοῦντας, ἢ ὅλως λαιμαργίᾳ προσέχοντας· ὧν πολλοὺς καὶ ἐξ ἐθνῶν εἰκὸς εἶναι. διὸ καὶ ἐπήγαγεν, Ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο.

Ἐπ' ἐκείνῳ δὲ οὐκ εἶπε τοῦτο· καίτοι τὸ μὲν ἐξουθενεῖσθαι, τοῦ ἐσθίοντος ἦν ὡς λαιμάργου, τὸ δὲ κρίνεσθαι, τοῦ μὴ ἐσθίοντος ὡς ὀλιγοπίστου. ἀλλ' ἀντιλλάξει αὐτά, δεικνὺς ὅτι οὐ μόνον τοῦ ἐξουθενεῖσθαι οὐκ ἔστιν ἄξιος, ἀλλὰ καὶ ἐξουθενεῖν δύναται. ἀλλὰ καὶ ἐγὼ καταγνώσκω, φησίν; οὐδαμῶς. διὰ γὰρ τοῦτο ἐπήγαγεν, ὅτι ὁ Θεὸς αὐτὸν προσελάβετο. τί τοίνυν περὶ νόμου αὐτοῦ διαλέγῃ ὡς παραβαίνοντι; ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο, τουτέστι, τὴν ἄφατον αὐτοῦ περὶ αὐτὸν ἐπεδείξατο χάριν, καὶ πάντων ἀπήλλαξεν ἐγκλημάτων. Εἶτα πάλιν πρὸς τὸν ἰσχυρόν,

4 Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; [γρ. ἀλλότριον] Ὅθεν δῆλον ὅτι καὶ ἐκεῖνοι ἔκρινον, οὐ μόνον ἐξουθένουν. Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. Ἰδοὺ πάλιν ἄλλη πληγή. καὶ δοκεῖ μὲν ἡ ἀγανάκτησις εἶναι πρὸς τὸν ἰσχυρόν, καθάπτεται δὲ ἐκείνου. ὅταν εἴπῃ,

Σταθήσεται δέ, Δείκνυσιν ἔτι σαλευόμενον, καὶ πολλῆς δεόμενον τῆς προσοχῆς, καὶ τοσαύτης τῆς ἐπιμελείας, ὡς καὶ τὸν Θεὸν καλεῖν εἰς ταῦτα ἰατρόν. Δυνατὸς γάρ, φησιν, ὁ Θεὸς στῆσαι αὐτόν. Ὅπερ ἐπὶ τῶν σφόδρα ἀπεγνωσμένων λέγομεν. Εἶτα ἵνα μὴ ἀπογνῷ, καὶ ἀσθενοῦντα αὐτὸν οἰκέτην καλεῖ λέγων, σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; καὶ ἐνταῦθα δὲ πάλιν λανθανόντως αὐτοῦ καθάπτεται. οὐ γὰρ ἐπειδὴ ἄξια τοῦ μὴ κρίνεσθαι ποιεῖ, διὰ τοῦτο κελεύω μὴ κρῖναι, ἀλλ' ἐπειδὴ ἀλλότριός ἐστιν οἰκέτης, τουτέστιν, οὐ σός, ἀλλὰ τοῦ Θεοῦ. Εἶτα παραμυθούμενος αὐτὸν πάλιν, οὐκ εἶπεν, ὅτι πίπτει, ἀλλὰ τί; στήκει ἢ πίπτει. ἄν τε δὲ τοῦτο, ἄν τε ἐκεῖνο ᾖ, ὁ δεσπότης διαφέρει ταῦτα ἀμφότερα. καὶ γὰρ ἡ ζημία ἐκεῖ τείνει, πεσόντος· ὥσπερ οὖν καὶ ὁ πλοῦτος, ἑστῶτος. ταῦτα δέ, εἰ μὲν τὸν σκοπὸν πάλιν κατίδωμεν τοῦ Παύλου βουλομένου μὴ πρὸ καιροῦ τοὺς προσήκοντας ἐπιτιμᾶσθαι αὐτοῖς, σφόδρα ἀνάξια τῆς χριστιανοῖς πρεπούσης κηδεμονίας ἐστίν. ἀλλ' (ὅπερ ἀεὶ λέγω) τὴν γνώμην ἐξετάζειν δεῖ μεθ' ἧς λέγεται, καὶ τὴν ὑπόθεσιν περὶ ἧς λέγεται, καὶ τί σπουδάζων κατορθῶσαι λέγει. οὐχ ὡς ἔτυχε δὲ ἐνέτρεψε, τοῦτο εἰπών. εἰ γὰρ ὁ Θεός, φησιν, ὁ τὴν ζημίαν ὑπομένων οὐδὲν ποιεῖ τέως, πῶς οὐκ ἂν εἴης ἄχαιρος σὺ καὶ παρὰ τὸ μέτρον περίεργος, ἄγχων αὐτὸν καὶ ἐνοχλῶν;

5 Ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν.

Ἐνταῦθα δέ μοι δοκεῖ ἠρέμα καὶ περὶ νηστείας αἰνίττεσθαι. καὶ γὰρ εἰκὸς τῶν νηστευόντων τινὰς τοὺς μὴ νηστεύοντας κρίνειν διηνεκῶς, ἢ καὶ ἐν ταῖς παρατηρήσεσιν εἰκὸς εἶναι τινὰς τοὺς ῥητὰς ἡμέρας ἀπεχομένους, καὶ ῥητὰς ἐχομένους. διὸ καὶ ἔλεγεν,

Ἕκαστος τῷ ἰδίῳ νοῒ πληροφορείσθω. Οὕτω γὰρ καὶ τῶν παρατηρουμένων τὸν φόβον ἐξέλυεν, ἀδιάφορον τὸ πρᾶγμα εἶναι λέγων, καὶ τῶν ἐπιτιθεμένων αὐτοῖς σφοδρῶς τὴν φιλονεικίαν ἀνῄρει, δεικνὺς ὅτι καὶ οὐ σφόδρα περισπούδαστον περὶ τούτων ἐνοχλεῖν συνεχῶς. οὐ σφόδρα δὲ περισπούδαστον, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὸν καιρόν, καὶ διὰ τὸ νεήλυδας εἶναι ἐν τῇ πίστει. ἐπεὶ Κολοσσαεῦσι γράφων, μετὰ πολλῆς ἀπαγορεύει τοῦτο τῆς σπουδῆς λέγων, Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας, [Κολοσσ. β. η.] καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν. καὶ πάλιν, Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, καὶ μηδεὶς ὑμᾶς καταβραβευέτω.

βεβαιούτω. καὶ Γαλάταις δὲ ἐπιστέλλων, μετὰ πολλῆς ἀκριβείας ἀπαιτεῖ παρ' αὐτῶν τὴν ἐν τοῖς τοιούτοις φιλοσοφίαν καὶ τελειότητα. ἐνταῦθα δὲ οὐ κέχρηται τούτῳ τῷ τόνῳ, διὰ τὸ νεόφυτοι εἶναι περὶ αὐτοῖς τὴν πίστιν. μὴ τοίνυν εἰς πάντα ἕλκωμεν τὸ, ἕκαστος τῷ

Γαλ. α. ἰδίῳ νοῒ πληροφορείσθω. ὅταν γὰρ περὶ δογμάτων ὁ λόγος ᾖ, ἄκουσον τί φησιν· Εἴ τις ὑμᾶς

β. Κορ. ια. εὐαγγελίζεται παρ' ὃ παρελάβετε, κἂν ἄγγελος ᾖ, ἀνάθεμα ἔστω. καὶ πάλιν, Φοβοῦμαι δὲ μή πως ὡς ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. καὶ Φιλιππησίοις δὲ ἐπιστέλλων

Φιλιπ. γ. β. ἔλεγε, Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. πρὸς δὲ Ῥωμαίους ἐπειδὴ οὐκ ἦν πως καιρὸς τὰ τοιαῦτα διορθοῦν, ἕκαστος, φησιν, ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. καὶ γὰρ καὶ περὶ νηστείας ὁ λόγος ἦν. καὶ τὴν ἐκείνων τοίνυν ἀλαζονείαν καθαιρῶν, καὶ τούτων ἐκλύων τὸν φόβον, ταῦτα ἔλεγεν.

6 Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει (εὐχαριστεῖ γὰρ τῷ Θεῷ) καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. Ἔτι τῶν αὐτῶν ἔχεται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ περὶ τὰ καίρια τὸ πρᾶγμά ἐστι. τὸ γὰρ ζητούμενον, εἰ διὰ τὸν Θεὸν καὶ οὗτος κἀκεῖνος ἐργάζεται, εἰ ἀμφότεροι εἰς εὐχαριστίαν τελευτῶσι. καὶ γὰρ καὶ ἐκεῖνος καὶ οὗτος εὐχαριστοῦσι τῷ Θεῷ. εἰ τοίνυν ἀμφότεροι εὐχαριστοῦσιν, οὐ πολὺ τὸ μέσον. σὺ δέ μοι σκόπει πῶς καὶ ἐνταῦθα πλήττει λανθανόντως τὸν Ἰουδαΐζοντα. εἰ γὰρ τὸ ζητούμενον τοῦτο ἐστὶ τὸ εὐχαριστεῖν, εὔδηλον ὅτι ὁ ἐσθίων οὗτός ἐστιν ὁ εὐχαριστῶν, οὐχ ὁ μὴ ἐσθίων. πῶς γὰρ, ἔτι τοῦ νόμου ἐχόμενος; ὅπερ οὖν καὶ πρὸς Γαλάτας

Γαλ. ε. δ. ἔλεγεν· Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. ἀλλ' ἐνταῦθα αἰνίττεται μὲν αὐτὸ, οὐκ ἀνακαλύπτει δὲ αὐτὸ οὕτως· οὔπω γὰρ ἦν καιρός· ἀλλὰ τέως συγκαταβαίνει, καὶ διὰ τῶν ἑξῆς αὐτὸ φανεροῖ μᾶλλον. εἰπὼν γὰρ,

7 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει·

8 Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν, Σαφέστερον καὶ διὰ τούτων αὐτὸ παρεδήλωσεν. ὁ γὰρ τῷ νόμῳ ζῶν, πῶς δύναται τῷ Χριστῷ ζῆν; οὐ τοῦτο δὲ μόνον διὰ τούτων κατασκευάζει, ἀλλὰ καὶ τὸν ἐπειγόμενον εἰς τὴν ἐκείνων διόρθωσιν κατέχει, καὶ πείθει μακροθυμεῖν, δεικνὺς ὅτι ἀμήχανον τὸν Θεὸν καταφρονῆσαι αὐτῶν, ἀλλὰ τῷ προσήκοντι καιρῷ διορθώσεται. τί οὖν ἐστιν, οὐδεὶς ἡμῶν ἑαυτῷ ζῇ; οὐκ ἐσμὲν ἐλεύθεροι, δεσπότην ἔχομεν τὸν καὶ ζῆν ἡμᾶς βουλόμενον, καὶ ἀποθανεῖν οὐ θέλοντα, καὶ ᾧ ταῦτα ἀμφότερα μᾶλλον ἡμῶν διαφέρει. διὰ γὰρ τούτων δείκνυσιν ὅτι πλέον ἡμῶν αὐτὸς ἡμῶν κήδεται, καὶ μᾶλλον ἡμῶν καὶ πλοῦτον τὴν ἡμετέραν ζωὴν ἡγεῖται, καὶ ζημίαν τὸν θάνατον. οὐ γὰρ ἑαυτοῖς ἀποθνήσκομεν μόνον, ἀλλὰ καὶ τῷ δεσπότῃ, ἂν ἄρα ἀποθάνωμεν. θάνατον δὲ ἐνταῦθα τὸν ἐκ τῆς πίστεως λέγει. ἱκανὸν μὲν οὖν καὶ τοῦτο πεῖσαι, ὅτι φροντίζει ἡμῶν, ὅτι αὐτῷ ζῶμεν, καὶ αὐτῷ ἀποθνήσκομεν. πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ἕτερον ἐπάγει. εἰπὼν γὰρ, Ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν, Καὶ ἀπ' ἐκείνου τοῦ θανάτου ἐπὶ τὸν φυσικὸν μεταβὰς, ἵνα μὴ δόξῃ τραχύνειν τὸν λόγον, ἕτερον σημεῖον ποιεῖται τῆς αὐτοῦ προνοίας μέγιστον. ποῖον δὴ τοῦτο;

9 Εἰς τοῦτο γὰρ, φησι, Χριστὸς καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Ὥστε καὶ τοῦτό σε πειθέτω, ὅτι ἀεὶ φροντίζει τῆς σωτηρίας ἡμῶν καὶ διορθώσεως. εἰ γὰρ μὴ τοσαύτην ἡμῶν ἐποιεῖτο πρόνοιαν, τίς χρεία τῆς οἰκονομίας ἦν; ὁ τοίνυν τοσαύτην σπουδὴν θέμενος ὑπὲρ τοῦ, αὐτοῦ γενέσθαι ἡμᾶς, ὡς καὶ δούλου μορφὴν λαβεῖν καὶ ἀποθανεῖν, οὗτος μετὰ τὸ γενέσθαι καταφρονήσει; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐδ' ἂν ἕλοιτο τοσαύτην προέσθαι πραγματείαν. εἰς τοῦτο γὰρ, φησι, καὶ ἀπέθανεν· ὡς ἂν εἴποι τις, ὁ δεῖνα οὐκ ἀνάσχοιτο καταφρονῆσαι τοῦ δούλου· τοῦ γὰρ οἰκείου κήδεται βαλαντίου. καὶ γὰρ οὐχ οὕτως ἡμεῖς χρημάτων ἐρῶμεν, ὡς αὐτὸς τῆς σωτηρίας τῆς ἡμετέρας. οὐκοῦν οὐ

χρήματα,

χρήματα, ἀλλὰ τὸ αἷμα τὸ ἑαυτοῦ ὑπὲρ ἡμῶν κατέβαλε· καὶ διὰ τοῦτο οὐκ ἂν ἀνάσχοιτο περιιδεῖν τοῦτον, ὑπὲρ οὗ τοσαύτην τιμὴν κατέθηκεν. Ὅρα δὲ καὶ τὴν δύναμιν αὐτοῦ, πῶς δείκνυσιν ἄφατον οὖσαν. Εἰς τοῦτο γάρ, φησιν, ἀπέθανε, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Τὸ πρότερον, ἐάν τε γὰρ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. Εἶδες δεσποτείας ἐπιτεταμένην; Εἶδες ἰσχὺν ἄμαχον; Εἶδες τὸ τέλος προσιὸν ἐπιδεικνυμένην; μὴ γάρ μοι τοὺς ζῶντας εἴπῃς, φησὶ· καὶ τοὺς ἀπελθόντας προσήκει. Εἰ δὲ τῶν ἀπελθόντων, εὔδηλον ὅτι καὶ τῶν ζώντων. οὐδὲν γὰρ ὑπὲρ τῆς δεσποτείας ταύτης παρέλιπε, πλείονα ἢ ἄνθρωπος καὶ πράγματα ἑαυτῷ κατασκευάζων, καὶ χωρὶς τῶν ἄλλων ἁπάντων εἰς τὸ προνοεῖν ἡμῶν. ὁ ἄνθρωπος μὲν γὰρ ἀργύριον καταβάλλει, καὶ διὰ τοῦτο σφόδρα ἀντέχεται τοῦ ἰδίου δούλου. αὐτὸς δὲ θάνατον κατέβαλε, καὶ οὐκ ἂν τὸν τοσαύτης τιμῆς ἀγορασθέντα, καὶ τὴν δεσποτείαν μετὰ τοσαύτης ἐκτήσατο σπουδῆς καὶ πραγματείας, τούτου τὴν σωτηρίαν ἐν οὐδενὶ λογίσαιτο. Ταῦτα δὲ λέγει, ἐντρέπων τὸν Ἰουδαΐζοντα, καὶ πείθων ἀναμιμνήσκεσθαι τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ ὅτι νεκρὸς ὢν ἔζησεν, καὶ ὅτι οὐδὲν ἐκέρδανε παρὰ τοῦ νόμου, καὶ ὅτι ἐσχάτης ἀγνωμοσύνης ἂν εἴη, τὸν τοσαῦτα ἐπιδειξάμενον ὑπὲρ αὐτοῦ καταλιπόντα, ἐπὶ τὸν νόμον παλινδρομεῖν. Ἐπιβὰς τοίνυν αὐτοῦ καταφανῶς, πάλιν αὐτοῖς λέγει,

10 Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;

Καὶ δοκεῖ μὲν ὡς ὁμοτίμοις ἀμφοτέροις ταῦτα εἰπεῖν, πολλῷ δὲ ἐκ τῶν εἰρημένων δείκνυσι τὴν διαφορὰν οὖσαν. καὶ πρῶτον μὲν τῇ προσηγορίᾳ τοῦ ἀδελφοῦ καταλύει τὴν φιλονεικίαν, ἔπειτα δὲ καὶ τῷ τῆς ἡμέρας ἐκείνης ἀναμνῆσαι τῆς φοβερᾶς. Εἰπὼν γάρ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; ἐπήγαγε, Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ.

Καὶ δοκεῖ μὲν πάλιν ἐπιτιμῶν τῷ τελειοτέρῳ ταῦτα λέγειν, κατασείει δὲ τοῦ Ἰουδαΐζοντος τὴν διάνοιαν, οὐκ ἀπὸ τῆς εὐεργεσίας τῆς προτέρας ἐντρέπων αὐτὸν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς μελλούσης κολάσεως φοβῶν. πάντες γάρ, φησι, παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ.

11 Γέγραπται γάρ, ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ.

12 Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον ἀποδώσει τῷ Θεῷ.

Εἶδες πῶς πάλιν κατασείει αὐτοῦ τὴν διάνοιαν δοκῶν ἐκείνῳ ἐπιτιμᾷν; ποῖον γὰρ ἀπαιτεῖται, φησίν, ἂν εἴ ἔλεγε, τί σοι μέλει; μὴ γὰρ σὺ μᾶλλον ὑπὲρ αὐτοῦ κολάζεσθαι; ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τοῦτο δὲ ᾐνίξατο, πρᾳότερον αὐτὸ θείς, καὶ εἰπών, πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. ἄρα οὖν ἕκαστος ἡμῶν ὑπὲρ ἑαυτοῦ λόγον ἀποδώσει τῷ Θεῷ. καὶ τὸν προφήτην εἰσάγει τὴν ἁπάντων αὐτῷ μαρτυροῦντα ὑποταγήν, καὶ ὑποταγὴν ἐπιτεταμένην καὶ τῶν ἐν τῇ παλαιᾷ διατρίψαντων, καὶ πάντων ἁπλῶς. οὐ γὰρ ἁπλῶς εἶπε, προσκυνήσει ἕκαστος, ἀλλ' ἐξομολογήσεται, τουτέστι, εὐθύνας δώσει τῶν πεπραγμένων. ἔσο τοίνυν ἐναγώνιος, τὸν κύριον δεσπότην ὁρῶν ἐπὶ τοῦ βήματος καθήμενον, καὶ μὴ σχίζε καὶ μέριζε τὴν ἐκκλησίαν, τὸν χάριτος ἀπορρηγνύμενος, καὶ τὸν νόμον παρεισάγων. καὶ γὰρ καὶ ὁ νόμος αὐτοῦ. καὶ τί λέγω, ὁ νόμος, καὶ οἱ ἐν τῷ νόμῳ, καὶ τοὺς πρὸ τοῦ νόμου. καὶ οὐχ ὁ νόμος σε ἀπαιτήσει εὐθύνας, ἀλλ' ὁ Χριστὸς καὶ σοὶ καὶ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει. Εἶδες πῶς ἐξέλυσε τοῦ νόμου τὸν φόβον; Εἶτα, ἵνα μὴ δόξῃ ὡς ἐπίτηδες φοβῶν αὐτοὺς λέγειν ταῦτα, ἀλλ' ὡς ἐκ τῆς παραινέσεως ἀκολουθίας ἐπὶ τοῦτο ἐληλυθώς, πάλιν ἔχεται τῆς αὐτῆς ὑποθέσεως λέγων,

13 Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον. Ταῦτα δὲ οὐκ ἐκείνου μᾶλλον ἐστίν, ἢ τούτου. εἰς ἀμφοτέρους ἁρμόζειν δύναται, καὶ τῷ τελείῳ σκανδαλιζομένῳ ἐπὶ τῇ τῶν βρωμάτων

παρατηρήσει,

παρατηρήσει, καὶ τῷ ἁπλῶς προσσκόπτοντι ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει.

ΗΘΙΚΟΝ

Σὺ δέ μοι σκόπει πόσην δώσομεν τιμωρίαν οἱ σκανδαλίζοντες ἁπλῶς. Εἰ γὰρ ἔνθα παραιρούμενοι ἦν ὃ γινόμενοι, διὰ τὸ ἀκαίρως ἐπιτιμᾷν, ἐκώλυσε τοῦτο γίνεσθαι, ὥστε μὴ σκανδαλισθῆναι καὶ προσκόψαι τὸν ἀδελφόν· ὅταν μηδὲ διορθοῦντές τι σκανδαλίζωμεν, τίνος ἐσόμεθα ἄξιοι; Εἰ γὰρ τὸ μὴ σῶσαι, ἔγκλημα (καὶ δηλοῖ ὁ τὸ τάλαντον κατορύξας) τὸ καὶ σκανδαλίσαι, τί οὐκ ἂν ἐργάσηται; τί οὖν, εἰ οἴκοθεν σκανδαλίζεται, φησίν, ἀσθενὴς ὤν; δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἴης δίκαιος πάντα ὑπομένειν. εἰ γὰρ ἰσχυρὸς ἦν, οὐκ ἐδεῖτο τοσαύτης ἐπιμελείας αὐτός. νυνὶ δὲ ἐπειδὴ ἀσθενέστερός ἐστι, διὰ τοῦτο καὶ πολλῆς χρήζει τῆς σπουδῆς. Περιέχωμεν τοίνυν αὐτὸν ταύτην, καὶ πανταχόθεν αὐτὸν διαβαστάζωμεν. οὐδὲ γὰρ τὴν οἰκείαν κακίαν ὑφέξομεν λόγον μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν ἑτέρους σκανδαλίζομεν. Εἰ δὲ ἐκεῖναι καὶ καθ' ἑαυτὰς χαλεπαὶ αἱ εὔθυναι, ὅταν καὶ αὗται προστεθῶσι, πότε σωθησόμεθα; μὴ γὰρ δὴ νομίσωμεν, εἰ κοινωνοὺς εὕροιμεν τῶν ἁμαρτημάτων, ἀπολογίαν ἕξειν. τοῦτο γὰρ ἡμῖν καὶ προσθήκη τῆς τιμωρίας. ἐπεὶ καὶ ὁ ὄφις μᾶλλον ἐκολάσθη τῆς γυναικός, ὥσπερ οὖν καὶ ἡ γυνὴ τοῦ ἀνδρός, καὶ τοῦ Ἀχαὰβ δὲ τὸν ἀμπελῶνα ἁρπάσαντος ἡ Ἰεζάβελ χαλεπωτέραν ἔδωκε δίκην. αὕτη γὰρ ἦν ἡ τὸ πρᾶγμα ὑφάνασα ἅπαν ὅλον, καὶ σκανδαλίσασα τὸν βασιλέα. Καὶ σὺ τοίνυν ὅταν ἑτέροις ἀπωλείας αἴτιος γένῃ, χαλεπώτερα πείσῃ τῶν ὑποσκελισθέντων διὰ σοῦ. οὐδὲ γὰρ οὕτω τὸ ἁμαρτεῖν, ὡς τὸ καὶ ἑτέρους εἰς τοῦτο ἐναγαγεῖν ἀπόλλυσι. διό φησιν, Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν. ὥστε ὅταν ἴδωμέν τινας ἁμαρτάνοντας, μὴ μόνον μὴ ὠθῶμεν, ἀλλὰ καὶ ἀνέλκωμεν ἐκ τοῦ βαράθρου τῆς πονηρίας, ἵνα μὴ τῆς ἑτέρων ἀπωλείας αὐτοὶ τὴν δίκην ὑπόσχωμεν. καὶ μνημονεύωμεν διηνεκῶς τοῦ βήματος τοῦ φοβεροῦ, τοῦ ποταμοῦ τοῦ πυρός, τῶν δεσμῶν τῶν ἀλύτων, τοῦ σκότους τοῦ ἀφεγγοῦς, τοῦ βρυγμοῦ τῶν ὀδόντων, τοῦ σκώληκος τοῦ ἰοβόλου. ἀλλὰ φιλάνθρωπός ἐστιν ὁ Θεός. οὐκοῦν ῥήματα ταῦτά ἐστι, καὶ οὔτε ὁ πλούσιος ἐκεῖνος κολάζεται ὁ τὸν Λάζαρον ὑπεριδών; οὐχ αἱ μωραὶ παρθένοι τοῦ νυμφῶνος ἐκβάλλονται; οὐχ οἱ μὴ θρέψαντες αὐτὸν εἰς τὸ πῦρ ἀπέρχονται τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; οὐχ ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, χεῖρας καὶ πόδας δεθεὶς ἀπόλλυται; οὐχ ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτήσας παραδίδοται τοῖς βασανισταῖς; οὐδὲ τὸ περὶ τῶν μοιχῶν εἰρημένον ἀληθές, ὅτι Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται; ἀλλ' ἀπειλαὶ ταῦτα μόνον; ναί, φησί. καὶ πόθεν, εἰπέ μοι, πρᾶγμα τοσοῦτον τολμᾷς ἀποφαίνεσθαι, καὶ ταῦτα οἴκοθεν φέρειν τὴν * ψῆφον; ἐγὼ γὰρ καὶ ἀφ' ὧν εἴρηκεν ὁ Χριστός, καὶ ἀφ' ὧν πεποίηκε, τοὐναντίον ἀποδεῖξαι δυνήσομαι. εἰ γὰρ ἀπὸ τῶν μελλόντων κολάσεων οὐ πιστεύεις, κἂν ἀπὸ τῶν ἤδη γεγενημένων πίστευε. οὐ γὰρ δὴ τὰ γεγενημένα, καὶ εἰς ἔργον ἐξελθόντα, ἀπειλαὶ καὶ ῥήματα *. τίς οὖν τὴν οἰκουμένην ἐπέκλυσεν ἅπασαν ἐπὶ τοῦ Νῶε, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον εἰργάσατο, καὶ τὴν τοῦ γένους ἡμῶν πανωλεθρίαν ἁπάντος; τίς μετὰ ταῦτα τοὺς κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; τίς τὴν Αἴγυπτον ἅπασαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατανάλωσε; τίς τὴν συναγωγὴν Ἀβειρὼν κατέφλεξε; τίς τοὺς περὶ Κορὲ καὶ Δαθὰν διοῖξαι τὴν γῆν τὸ στόμα, καὶ καταπιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκεν ἐπὶ τοῦ Δαβίδ; εἴπω καὶ τοὺς κατ' ἰδίαν κολασθέντας; οἷον διηνεκεῖ παραδοθέντα τιμωρίᾳ Κάϊν; οἷον καταλευσθέντα μετὰ τοῦ γένους παντὸς Χαρμί; οἷον ὑπὲρ συλλογῆς ξύλων τὸ αὐτὸ τοῦτο παθόντα ἐν σαββάτῳ; τοὺς τεσσαράκοντα παῖδας καὶ δύο ἐπὶ Ἐλισσαίου, τοὺς ὑπὸ τῶν θηρίων ἐκείνων δαπανηθέντας, καὶ μηδὲ ἀπὸ τῆς ἡλικίας τυχόντας συγγνώμης; εἰ δὲ καὶ μετὰ τὴν χάριν τὰ αὐτὰ ταῦτα ἰδεῖν ἐθέλεις, ἐννόησον πόσα ἔπαθον οἱ Ἰουδαῖοι, πῶς τὰ ἴδια τέκνα κατέφαγον

Ρω. α. λβ.

Μαρκ. θ. μδ.

αἱ γυναῖκες, αἱ μὲν ὀπτῶσαι, αἱ δὲ ἄλλως δαπανῶσαι τοὺς λιμῷ παραδοθέντας αὐτῶν παῖδας, καὶ πολέμοις ποικίλοις καὶ χαλεποῖς, πάσας τὰς ἔμπροσθεν τραγῳδίας ἀπέκρυψαν τῇ τῶν οἰκείων ὑπερβολῇ συμφορῶν. ὅτι γὰρ ὁ Χριστὸς αὐτοὺς ταῦτα εἰργάσατο, ἄκουσον αὐτοῦ τοῦτο προλέγοντος καὶ διὰ παραβολῶν, καὶ σαφῶς καὶ διαρρήδην. διὰ παραβολῶν, ὡς ὅταν λέγῃ, Τοὺς Λουκ. ιθ. κζ.
δὲ μὴ θελήσαντάς με βασιλεῦσαι ἀγάγετε ὧδε, καὶ κατασφάξατε· καὶ διὰ τοῦ ἀμπελῶνος, καὶ διὰ τοῦ γάμου. σαφῶς δὲ καὶ διαρρήδην, ὡς ὅταν ἀπειλῇ, Ὅτι πεσοῦνται ἐν στόματι μαχαίρας Λουκ. κα. κδ. κε.
καὶ αἰχμαλωτισθήσονται εἰς τὰ ἔθνη, καὶ ἔσται συνοχὴ ἐπὶ γῆς ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου· Καὶ ἔσται θλίψις τοιαύτη οἵα Ματθ. κδ. κα.
οὐδέποτε γέγονεν ἀπ' ἀρχῆς, οὐδὲ μὴ ἔσται. καὶ ὁ Ἀνανίας δὲ καὶ ἡ Σάπφειρα ὑπὲρ κλοπῆς ὀλίγων ἀργυρίων ὅσην ἔδωκαν δίκην, ἅπαντες ἴστε. τὰς δὲ καθημερινὰς συμφορὰς οὐχ ὁρᾷς; ἢ οὐδὲ ταῦτα γέγονε; οὐχ ὁρᾷς καὶ νῦν τοὺς λιμῷ τηκομένους; τοὺς ἐλέφαντι καὶ λώβῃ σώματος κατεχομένους; τοὺς πενίᾳ διηνεκεῖ συζῶντας; τοὺς μυρία ἀνήκεστα πάσχοντας; πῶς οὖν ἂν ἔχοι λόγον τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; εἰ γὰρ μὴ ἄδικος ὁ Θεός, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ δώσεις δίκην ἁμαρτάνων. εἰ δέ, ἐπειδὴ φιλάνθρωπός ἐστιν, οὐ κολάζει, οὐδὲ τούτους ἔδει κολασθῆναι. νυνὶ δὲ διὰ ταῦτα ἡμῖν τὰ ῥήματα, πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ Θεός, ἵν' ὅταν τοῖς ῥήμασι μὴ πιστεύσητε τῆς ἀπειλῆς, κἂν τοῖς πράγμασι πιστεύσητε τῆς τιμωρίας. καὶ ἐπειδὴ τὰ παλαιὰ οὐχ οὕτως ἡμᾶς φοβεῖ, τοῖς ἐφ' ἑκάστης ἡμέρας συμβαίνουσι τοὺς κατὰ καιρὸν διορθοῦται ῥᾳθυμοῦντας. καὶ τίνος ἕνεκεν οὐ πάντας ἐνταῦθα κολάζει, φησίν; ἵνα δῷ τοῖς ἄλλοις προθεσμίαν μετανοίας. τίνος οὖν ἕνεκεν οὐ πάντας ἐκεῖ τιμωρεῖται; ἵνα μὴ πολλοὶ διαπιστήσωσιν αὐτοῦ τῇ προνοίᾳ. πόσοι λῃσταὶ οἱ μὲν ἑάλωσαν, οἱ δὲ ἀπῆλθον μὴ δόντες δίκην; ποῦ τοίνυν ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ ἡ δικαιοκρισία; ἐμὸν γὰρ λοιπόν ἐστιν ἐρέσθαι σε. εἰ μὲν γὰρ μηδεὶς ὅλως ἐτιμωρεῖτο, εἶχες ἐπὶ τοῦτο καταφυγεῖν· ὅταν δὲ οἱ μὲν δῶσι δίκην, οἱ δὲ μὴ δῶσι, καὶ ταῦτα χείρονα ἁμαρτόντες, πῶς ἂν ἔχοι λόγον τῶν αὐτῶν πλημμελημάτων μὴ τὰς αὐτὰς εἰσπράττεσθαι δίκας; πῶς δὲ οὐκ ἂν δόξειαν ἀδικεῖσθαι οἱ κολασθέντες; τίνος οὖν ἕνεκεν οὐ πάντες ἐνταῦθα κολάζονται; ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ σοι περὶ τούτων ἀπολογουμένου. ἐπειδὴ γάρ τινες πύργου κατενεχθέντος ἀπέθανον, ἔλεγε τοῖς ὑπὲρ τούτων διαπορουμένοις, Δοκεῖτε ὅτι οὗτοι ἁ- Λουκ. ιγ. δ. ε.
μαρτωλοὶ παρὰ πάντας ἦσαν; οὐχί, λέγω ὑμῖν· ἀλλ', ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς πάντες ὡσαύτως ἀπολεῖσθε· παραινῶν ἡμῖν μὴ θαρρεῖν ὅταν, ἑτέρων δόντων δίκην, ἡμεῖς πολλὰ πλημμελήσαντες μὴ δῶμεν. ἂν γὰρ μὴ μεταβαλώμεθα, δώσομεν πάντως. καὶ πῶς, φησίν, ἀθάνατα κολαζόμεθα, ἐνταῦθα βραχὺν χρόνον ἁμαρτόντες; πῶς ἐνταῦθα ἄνθρωπος ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἕνα φόνον πεποιηκώς, διηνεκῶς τῇ τῶν μετάλλων καταδικάζεται τιμωρίᾳ; ἀλλ' ὁ Θεὸς οὐ ποιεῖ ταῦτα, φησί. πῶς οὖν τριάκοντα καὶ ὀκτὼ ἔτη ἐν τοσαύτῃ κολάσει τὸν παράλυτον κατεῖχεν; ὅτι γὰρ δι' ἁμαρτήματα αὐτὸν ἐκόλαζεν, ἄκουσον τί φησιν· Ἴδε, ὑγιὴς Ἰωάν. ε. ιδ.
γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ἀλλ' ὅμως ἔλαβε λύσιν, φησίν. ἀλλ' οὐ τὰ ἐκεῖ τοιαῦτα· οὐ γὰρ ἐκεῖνα λῆξιν οὐχ ἕξει ποτέ, ἄκουσον αὐτοῦ λέγοντος, Ὁ σκώληξ Μαρκ. θ. μδ.
αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται· καί, Πορεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗ- Ματθ. κε. μς.
τοι εἰς κόλασιν αἰώνιον. εἰ τοίνυν ἡ ζωὴ αἰώνιος, καὶ ἡ κόλασις αἰώνιος. οὐχ ὁρᾷς πόσα ἠπείλησεν Ἰουδαίοις; ἆρα οὖν ἐξέβη τὰ ἀπειληθέντα, ἢ λόγος ἦν τὰ εἰρημένα; Οὐ μὴ Λουκ. κα. ς.
μείνῃ λίθος ἐπὶ λίθῳ. ἆρα οὖν ἔμεινε; τί δέ, ὅταν εἴπῃ, Ἔσται θλίψις οἵα οὐ γέγονεν, ἆρα οὐκ Ματθ. κδ. κα.
ἐγένετο; ἀνάγνωθι τὴν ἱστορίαν τοῦ Ἰωσήπου, καὶ οὐδὲ ἀναπνεῦσαι δυνήσῃ, μόνον ἀκούων ἅπερ ἔπαθον ἐπὶ τῶν πραγμάτων ἐκεῖνοι. ταῦτα λέγω, οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα ἀσφαλίσωμαι, καὶ μὴ ψυχαγωγήσας ὑμᾶς περιττά, παρασκευάσω χαλεπώτερα ὑπομεῖναι. διὰ τί γάρ, εἰπέ μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτάνων; οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠ-

χ. δίδωσι
χ. ἀπιστήσωσι
χ. μὴ
χ. ἐάν;
χ. πάντως
χ. κολάζεται ταλαιπωρίᾳ;
χ. λύσιν

πίλησεν; οὐχὶ ἐφόβησεν; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ τῆς σωτηρίας τῆς σῆς; οὐχὶ λουτρὸν παλιγγενεσίας ἐδωρήσατο, καὶ τὰ πρότερα ἀφῆκε πάντα; οὐχὶ μετὰ τὴν ἄφεσιν ταύτην καὶ τὸ λουτρὸν, καὶ τὴν ἐκ τῆς μετανοίας πάλιν βοήθειαν ἁμαρτάνοντί σοι δέδωκεν; οὐχὶ εὔκολον ἐποίησέ σοι τὴν ὁδὸν καὶ μετὰ ταῦτα τῆς τῶν ἁμαρτημάτων ἀφέσεως; ἄκουε γοῦν οἷα ἐπέταξεν·

Ματθ. ϛ. ιδ.

Ἂν ἀφῆς τῷ πλησίον, ἀφίημί σοι κἀγώ, φησί. ποίαν τοῦτο δυσκολίαν ἔχει;

Ησ. α. ιη.

Κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, φησί, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ποῖον τοῦτο ἔχει μόχθον;

Δαν. δ. κδ.

Λέγε σὺ τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. τίνα τοῦτο δυσκολίαν ἔχει; Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι.

Λουκ. ιη. ιδ.

ποῖος τοῦτο ἱδρώς; Εἶπεν ὁ τελώνης, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ κατῆλθε δεδικαιωμένος. ποῖος πόνος μιμήσασθαι τὸν τελώνην; ἀλλ' οὐ βούλει πεισθῆναι ὅτι καὶ μετὰ τοσαῦτα, ὅτι κόλασίς ἐστι καὶ τιμωρία; οὐκοῦν οὐδὲ τὸν διάβολον εἴποις ἂν κολάζεσθαι.

Ματθ. κε. μα.

Πορεύεσθε, γάρ, φησιν, εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Εἰ γὰρ μὴ γέεννά ἐστιν, οὐδὲ ἐκεῖνος κολάζεται· εἰ δὲ ἐκεῖνος κολάζεται, δῆλον ὅτι καὶ ἡμεῖς [οἱ τὰ τούτου ἔργα ἐπιτελοῦντες κολασθησόμεθα]. καὶ γὰρ καὶ ἡμεῖς παρηκούσαμεν, εἰ καὶ μὴ ἐπὶ τοῖς αὐτοῖς. πῶς δὲ οὐ δέδοικας καὶ τολμηρῶς φθεγγόμενος; ὅταν γὰρ λέγῃς, ὅτι φιλάνθρωπός ἐστι Θεός, καὶ οὐ κολάζει, ἐὰν κολάσῃ, εὑρεθήσεται κατὰ σὲ οὐκέτι φιλάνθρωπος ὤν. ὁρᾷς εἰς οἷα ῥήματα ὑμᾶς ὁ διάβολος ἄγει; τί δέ; οἱ τὰ ὄρη κατειληφότες μοναχοὶ καὶ μυρίαν ἄσκησιν ἐπιδειξάμενοι, ἀστεφάνωτοι ἀπελεύσονται; εἰ γὰρ οἱ πονηροὶ οὐ κολάζονται, οὐδὲ ἐστιν οὐδενὸς ἀντίδοσις, ἐρεῖ δὲ ἕτερος ἴσως, ὅτι οὐδὲ οἱ ἀγαθοὶ στεφανοῦνται. οὐχί, φησί· τοῦτο γὰρ Θεῷ πρέπον, βασιλείαν εἶναι μόνον, καὶ μὴ γέενναν. οὐκοῦν ὁ πόρνος, καὶ ὁ μοιχός, καὶ ὁ μυρία κακὰ ἐργασάμενος, τῶν αὐτῶν ἀπολαύσεται τῷ σωφροσύνην καὶ ἁγιωσύνην ἐπιδειξαμένῳ, καὶ Παῦλος μετὰ Νέρωνος στήσεται· μᾶλλον δὲ καὶ ὁ διάβολος μετὰ Παύλου. Εἰ γὰρ μή ἐστι γέεννα, ἀνάστασις δὲ πάντως ἐστί, καὶ οἱ πονηροὶ τῶν αὐτῶν ἀγαθῶν τεύξονται τοῖς δικαίοις. καὶ τίς ἂν τοῦτο εἴποι καὶ τῶν σφόδρα ἐξεστηκότων ἀνθρώπων; μᾶλλον δὲ τίς ἂν τοῦτο εἴποι δαιμόνων; καὶ γὰρ καὶ ἐκεῖνοι

Ματθ. η. κθ.

γέενναν ὁμολογοῦσιν εἶναι· διὸ καὶ ἐβόων λέγοντες, Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; πῶς οὖν οὐ δέδοικας καὶ φρίττεις, καὶ τῶν δαιμόνων ὁμολογούντων, αὐτὸς ἀρνούμενος; πῶς δὲ οὐ συνορᾷς τὸν διδάσκαλον τῶν πονηρῶν τούτων δογμάτων; ὁ γὰρ τὸν ἐξ ἀρχῆς ἀπατήσας ἄνθρωπον, καὶ προφάσει μειζόνων ἐλπίδων καὶ τῶν ἐν χερσὶν ἐκβαλὼν ἀγαθῶν, οὗτός ἐστιν ὁ καὶ νῦν ταῦτα ὑποβάλλων λέγειν τε καὶ νοεῖν. καὶ διὰ τοῦτο πείθει τινὰς ὑποπτεύειν μὴ εἶναι γέενναν, ἵνα ἐμβάλῃ εἰς γέενναν· ὥσπερ οὖν ὁ Θεὸς ἀπεναντίας ἀπειλεῖ γέενναν, καὶ ἡτοίμασε γέενναν, ἵνα μαθὼν οὕτω βιώσῃς ὡς μὴ ἐμπεσεῖν εἰς γέενναν. καίτοι εἰ γεέννης οὔσης ὁ διάβολός σε ταῦτα ἀναπείθει, πῶς ἂν μὴ οὔσης ὡμολόγησαν οἱ δαίμονες, οἷς περισπούδαστόν ἐστι μηδὲν τοιοῦτον ὑποπτεύειν ἡμᾶς, ἵνα τῇ ἀδείᾳ γενόμενοι ῥαθυμότεροι, μετ' αὐτοῦ εἰς τὸ πῦρ ἐκεῖνο ἐμπέσωμεν; πῶς οὖν, φησί, τότε ὡμολόγουν; τὴν ἀνάγκην οὐ φέροντες τὴν ἐπικειμένην αὐτοῖς. ἅπερ οὖν ἐννοοῦντες ἅπαντα, παυέσθωσαν καὶ ἑαυτοὺς καὶ ἑτέρους ἀπατῶντες οἱ ταῦτα λέγοντες· ἐπεὶ καὶ τῶν ῥημάτων τούτων δώσουσι δίκην, τὰ φοβερὰ διασύροντες ἐκεῖνα, καὶ πολλοὺς τῶν ὄντως σπουδάζειν βουλομένων ἐκλύοντες, καὶ οὐδὲ τοὺς βαρβάρους [Νινευΐτας] μιμούμενοι. ἐκεῖνοι μὲν γὰρ καίτοι πάντων ὄντες ἄπειροι, ἀκούσαντες ὅτι ἡ πόλις καταστραφήσεται, οὐ μόνον οὐκ ἠπίστησαν, ἀλλὰ καὶ ἐστέναξαν, καὶ σάκκον περιεβάλοντο, καὶ συνεχύθησαν, καὶ οὐ πρότερον ἀπέστησαν πάντα ποιοῦντες, ἕως ἂν ἔλυσαν τὴν ὀργήν· σὺ δὲ ὁ τοσαύτην λαβὼν πεῖραν πραγμάτων, διὰ ῥημάτων ἐξουθενεῖς τὰ εἰρημένα; οὐκοῦν ἔσται τὰ ἐναντία. ὥσπερ γὰρ ἐκεῖνοι φοβηθέντες τὰ ῥήματα, οὐχ ὑπέμειναν τὴν ἀπὸ τῶν πραγμάτων τιμωρίαν· οὕτω καὶ σὺ τῆς ἀπὸ τῶν ῥημάτων καταφρονῶν ἀπειλῆς, τὴν ἀπὸ πραγμάτων ὑποστήσῃ κόλασιν. καὶ εἰ νῦν μῦθός σοι δοκεῖ εἶναι τὰ ῥήματα, ἀλλ' οὐχ ὅταν σε τὰ πράγματα πείθῃ τότε. οὐχ ὁρᾷς καὶ ἐν-

ταῦθα

ταῦτα τί πεποίηκε; πῶς δύο λῃστὰς λαβὼν, οὐ τῆς αὐτῆς ἠξίωσεν, ἀλλὰ τὸν μὲν εἰς βασιλείαν εἰσήγαγε, τὸν δὲ εἰς γέενναν ἀπέπεμψε; καὶ τί λέγω λῃστὰς καὶ ἀνδροφόνους; οὐδὲ γὰρ τοῦ ἀποστόλου ἐφείσατο, ἐπειδὴ προδότης ἐγένετο, ἀλλὰ καὶ ἐπὶ βρόχον ὁρῶν ὁρμήσαντα αὐτὸν, καὶ ἀγχόμενον, καὶ μέσον ῥηγνύμενον (Καὶ γὰρ ἐλάκησε μέσος, καὶ τὰ σπλάγχνα αὐτοῦ ἐξεχύθη πάντα) Πραξ. α. 18. ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς, εἴασε πάντα αὐτὸν ταῦτα παθεῖν, ἀπὸ τῶν παρόντων σε καὶ περὶ τῶν ἐκεῖ πιστούμενος πάντων. μὴ τοίνυν φενακίζετε ἑαυτοὺς τῷ διαβόλῳ πειθόμενοι· ἐκείνου γὰρ ταῦτα τὰ νοήματα. εἰ γὰρ καὶ δικασταὶ, καὶ δεσπόται, καὶ διδάσκαλοι, καὶ βάρβαροι τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονηροὺς κολάζουσι· πῶς ἂν ἔχοι λόγον παρὰ τῷ Θεῷ τἀναντία γίνεσθαι, καὶ τῶν αὐτῶν ἀξιοῦσθαι τόν τε ἀγαθὸν, καὶ τὸν οὐ τοιοῦτον; πότε δὲ καὶ ἀπαλλαγήσονται τῆς κακίας; οἵ τε γὰρ νῦν προσδοκῶντες κόλασιν, καὶ μεταξὺ τοσούτων ὄντες φόβων, τῶν ἀπὸ τῶν δικαστῶν, τῶν ἀπὸ τῶν νόμων, καὶ οὐκ ἀφιστάμενοι τῆς πονηρίας· ὅταν ἀπελθόντες ἐκεῖ καὶ τὸν φόβον τοῦτον ἀπόθωνται, καὶ μὴ μόνον εἰς γέενναν οὐκ ἐμπέσωσιν, ἀλλὰ καὶ βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι στήσονται; τοῦτο οὖν φιλανθρωπίας, εἰπέ μοι, τὸ τὴν πονηρίαν ἐπιτείνειν, τὸ τῇ κακίᾳ ἆθλα προτιθέναι; τὸ τῶν αὐτῶν ἀξιοῦν τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὸν πιστὸν καὶ τὸν ἀσεβῆ, τὸν Παῦλον καὶ τὸν διάβολον; ἀλλὰ μέχρι τίνος καὶ ἡμεῖς ληροῦμεν; διὸ παρακαλῶ, τῆς μανίας ἀπαλλαγέντες ταύτης, καὶ ὑμῶν αὐτῶν γενόμενοι, πείσατε τὴν ψυχὴν δεδοικέναι καὶ τρέμειν, ἵνα καὶ τῆς μελλούσης ἀπαλλαγῇ γεέννης, καὶ σωφρόνως τὸν ἐνταῦθα ζήσασα βίον καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχῃ, * χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κϛ. 14 ΟΙΔΑ, ΚΑΙ ΠΕΠΕΙΣΜΑΙ ΕΝ ΚΥΡΙΩ ΙΗΣΟΥ, ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ· εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν.

Πρότερον ἐπιτιμήσας τῷ κρίνοντι τὸν ἀδελφὸν, καὶ ταύτῃ τῆς ἐπιπλήξεως αὐτὸν ἀποστήσας, τότε λοιπὸν καὶ περὶ τοῦ δόγματος ἀποφαίνεται, καὶ μετὰ ἡσυχίας παιδεύει τὸν ἀσθενέστερον, πολλὴν καὶ ἐνταῦθα τὴν πραότητα ἐπιδεικνύμενος. οὐ γὰρ λέγει, ὅτι δίκην δώσει, οὐδὲ ἄλλο τι τῶν τοιούτων οὐδὲν, ἀλλὰ τὸν φόβον μόνον ἐκλύει τοῦ πράγματος, ὥστε αὐτὸν εὐκολώτερον πειθῆναι τοῖς παρ' αὐτοῦ λεγομένοις, καί φησιν, οἶδα, καὶ πέπεισμαι. Εἶτα ἵνα μὴ λέγῃ τις τῶν οὐ πιστῶν, καὶ τί πρὸς ἡμᾶς, εἰ σὺ πέπεισαι; οὐδὲ γὰρ ἀξιόπιστος εἶ ἀντικαταστῆσαι νόμῳ τοσούτῳ, καὶ χρησμοῖς ἄνωθεν κατενεχθεῖσιν, ἐπάγει, ἐν Κυρίῳ· τουτέστιν, ἐκεῖθεν μαθὼν, παρ' αὐτοῦ πληροφορηθείς. οὐκ ἄρα ἂν ἀνθρωπίνης διανοίας ἡ ψῆφος. τί τοίνυν πέπεισαι, καὶ οἶδας; εἰπέ. ὅτι οὐδὲν κοινὸν δι' αὐτοῦ. τῇ φύσει, φησὶν, οὐδὲν ἀκάθαρτον, ἀλλ' ἀπὸ τῆς προαιρέσεως γίνεται τοῦ μεταλαμβάνοντος. ἐκείνῳ γοῦν γίνεται μόνῳ, καὶ οὐχὶ πᾶσι. τῷ γὰρ λογιζομένῳ, φησὶ, κοινὸν, ἐκείνῳ κοινόν. τί οὖν; οὐ διορθοῦσαι τὸν ἀδελφὸν, ἵνα μὴ νομίζῃ ἀκάθαρτον; τί δὲ οὐκ ἀπάγεις τῆς τοιαύτης συνηθείας καὶ ὑπολήψεως μετ' ἐξουσίας ἁπάσης, ἵνα μὴ ποιῇ αὐτὸ κοινόν; φοβοῦμαι, φησὶ, μὴ λυπήσω αὐτόν. διὸ ἐπήγαγεν, 15 Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Εἶδες πῶς τέως αὐτὸν ᾠκειώσατο, δείξας ὅτι τοσοῦτον αὐτοῦ ποιεῖται τὸν λόγον, ὡς ὑπὲρ τοῦ μὴ λυπῆσαι αὐτὸν, μηδὲ ἐπιτάξαι τέως τολμᾷν τὰ σφόδρα ἀναγκαῖα, ἀλλὰ τῇ συγχωρήσει μᾶλλον αὐτὸν ἐφέλκεσθαι, καὶ τῇ ἀγάπῃ; οὐδὲ γὰρ μετὰ τὸ λῦσαι τὸν φόβον ἕλκει καὶ βιάζεται, ἀλλ' ἀφίησιν αὐτὸν ἑαυτοῦ κύριον. οὐ γάρ ἐστιν ἴσον βρώματος ἀπαγαγεῖν, καὶ λύπῃ περιβαλεῖν. ὁρᾷς πόσην σπουδὴν ποιεῖται τῆς ἀγάπης; οἶδε γὰρ ὅτι πάντα αὕτη κατορθῶσαι δύναται. διὸ καὶ μεῖζόν ἐνταῦθά τι παρ' αὐτῶν ἀπαιτεῖ. οὐ γὰρ μόνον, φησὶν, αὐτοὺς οὐ χρὴ πρὸς ἀνάγκην ὑμᾶς ἀγαγεῖν, ἀλλ' εἰ δέοι καὶ συγκαταβαίνειν, μηδὲ τοῦτο ὀκνεῖν. διὸ καὶ ἐπάγει λέγων, Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. Η οὐδὲ τοσούτου ἄξιον εἶναι ἡγῇ τὸν ἀδελφὸν, ὡς μηδὲ ἀπο-

χρὴ βρωμάτων ὠνήσασθαι αὐτοῦ τὴν σωτηρίαν; καὶ ὁ μὲν Χριστὸς οὐδὲ δοῦλος γενέσθαι, οὐδὲ ἀποθανεῖν παρῃτήσατο δι' αὐτόν· σὺ δὲ οὐδὲ βρωμάτων καταφρονεῖς, ἵνα αὐτὸν διασώσῃς; καίτοιγε οὐ πάντας ἔμελλε κερδαίνειν ὁ Χριστός, ἀλλ' ὅμως ὑπὲρ ἁπάντων ἀπέθανε, τὸ αὐτοῦ πληρῶν. σὺ δὲ οἶδας ὅτι διὰ βρῶμα ἀνατρέπεις αὐτὸν ἐν τοῖς μείζοσι, καὶ ἔτι φιλονεικεῖς; καὶ τὸν οὕτω περισπούδαστον τῷ Χριστῷ, οὕτως εὐκαταφρόνητον εἶναι νομίζεις, καὶ ὃν ἐκεῖνος ἐφίλησεν, ἀτιμάζεις; κἀκεῖνος οὐχ ὑπὲρ ἀσθενοῦντος μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐχθροῦ ἀπέθανε· σὺ δὲ οὐδὲ ὑπὲρ ἀσθενοῦντος ἀπέχῃ βρωμάτων; καὶ ὁ μὲν Χριστὸς καὶ τὸ μέγιστον ἐπεδείξατο, σὺ δὲ οὐδὲ τὸ ἔλαττον; καὶ ὁ μὲν, δεσπότης, σὺ δὲ ἀδελφός. ταῦτα δὲ καὶ ἐκεῖνοι ἱκανὰ ἐπιστομίσαι τὰ ῥήματα· δείκνυσι γὰρ αὐτὸν μικρόψυχον ὄντα, καὶ μεγάλων ἀπολελαυκότα παρὰ τοῦ Θεοῦ, καὶ οὐδὲ μικρὰ ἀντιδιδόντα. 16 Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν·

17 Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις. Τὸ ἀγαθὸν ἐνταῦθα, ἢ τὴν πίστιν φησίν, ἢ τὴν μελλούσης ἐλπίδα τῶν ἐπάθλων, ἢ τὴν ἀπηρτισμένην εὐσέβειαν. οὐ γὰρ μόνον, φησί, τὸν ἀδελφὸν οὐκ ὠφελεῖς, ἀλλὰ καὶ αὐτὸ τὸ δόγμα, καὶ τὴν χάριν τοῦ Θεοῦ, καὶ τὴν δωρεὰν βλασφημεῖσθαι ποιεῖς. ὅταν γὰρ μάχῃ, ὅταν φιλονεικῇς, ὅταν λυπῇς, ὅταν σχίζῃς τὴν ἐκκλησίαν, καὶ λοιδορῇς τὸν ἀδελφόν, καὶ ἀπεχθῶς ἔχῃς πρὸς αὐτόν, βλασφημοῦσιν οἱ ἔξωθεν· ὥστε οὐ μόνον οὐδὲν ἐντεῦθεν κατορθοῦται, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. τὸ γὰρ ἀγαθὸν ὑμῶν ἡ ἀγάπη, ἡ φιλαδελφία, τὸ ἡνῶσθαι, τὸ συνδεδέσθαι, τὸ μετ' εἰρήνης, τὸ μετ' ἐπιεικείας ζῆν. εἶτα πάλιν ἐκλύων αὐτοῦ τὸν φόβον καὶ τὴν ἐκείνου φιλονεικίαν, φησίν· οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις. μὴ γὰρ ἀπὸ τούτων εὐδοκιμῆσαι ἔχομεν; ὅπερ καὶ ἀλλαχοῦ φησιν, Οὔτε, ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε, ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. καὶ οὐδὲ κατασκευῆς δεῖται, ἀλλ' ἀρκεῖται τῇ ἀποφάσει. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μὴ γάρ, ἐὰν φάγῃς, τοῦτό σε εἰς βασιλείαν εἰσάγει; διὸ καὶ διασύρων αὐτούς, ὡς μέγα ἐπὶ τούτῳ φρονοῦντας, οὐχὶ βρῶσιν εἶπε μόνον, ἀλλὰ καὶ πόσιν. τίνα οὖν ἐστι τὰ εἰσάγοντα; δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρά, ὁ ἐνάρετος βίος, ἡ πρὸς τὸν ἀδελφὸν εἰρήνη (ᾗ ἐναντιοῦται αὕτη ἡ φιλονεικία) ἡ ἐκ τῆς ὁμονοίας χαρά, ἣν ἀναιρεῖ αὕτη ἡ ἐπίπληξις. ταῦτα δὲ οὐχὶ θατέρῳ μόνον, ἀλλ' ἑκατέροις ἔλεγε· καὶ γὰρ πρὸς ἑκατέρους εἰρῆσθαι καιρὸς εἶχεν. εἶτα, ἐπειδὴ εἶπεν εἰρήνην καὶ χαράν (ἔστι δὲ εἰρήνη καὶ χαρὰ καὶ ἐπὶ πονηρῶν πραγμάτων) ἐπήγαγεν, Ἐν πνεύματι ἁγίῳ. Ὡς ὅτι ἀπολλεῖς τὸν ἀδελφόν, καὶ εἰρήνην ἀνέτρεψας καὶ τὴν χαράν, καὶ ἠδίκησας πλέον, ἢ ὁ τὰ χρήματα ἁρπάζων· καὶ τὸ δὴ χεῖρον, ὅτι ἄλλος ἔσωσε, καὶ σὺ ἀδικεῖς καὶ ἀπολλύεις. ὅταν οὖν ταῦτα μὲν μὴ εἰσάγῃ ἡ βρῶσις, καὶ ἡ δοκοῦσα τελειότης, τὰ δὲ ἀνατρέποντα αὐτὰ εἰσάγει, πῶς οὐ χρὴ καταφρονεῖν τῶν μικρῶν ὥστε τὰ μεγάλα πῆξαι; εἶτα, ἐπειδὴ καὶ ἀπὸ κενοδοξίας ἠρέμα τοῦτο ἐγίνετο τὸ ἐπιτιμᾶν, ἐπάγει λέγων,

α. Κορ. η. η.

χ. πάντων ἁπάντων

χ. αὐτῆς

18 Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ Θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις.

Οὐ γὰρ οὕτω σε θαυμάσονται τῆς τελειότητος, ὡς τῆς εἰρήνης καὶ τῆς ὁμονοίας ἅπαντες. τούτου μὲν γὰρ τοῦ καλοῦ πάντες ἀπολαύσονται, ἐκείνου δὲ οὐδὲ εἷς. 19 Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Τοῦτο πρὸς ἐκεῖνον, ἵνα εἰρηνεύῃ· τοῦτο πρὸς τοῦτον, ἵνα μὴ καταλύῃ τὸν ἀδελφόν. ἀλλ' ὅμως κοινὰ πάλιν ἀμφότερα ταῦτα πεποίηκεν εἰπὼν, τῆς εἰς ἀλλήλους, καὶ δείξας ὅτι χωρὶς εἰρήνης οὐκ εὔκολον οἰκοδομεῖν. 20 Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. Τὴν σωτηρίαν τοῦ ἀδελφοῦ οὕτω καλῶν, καὶ * ἐπιτείνων τὸν φόβον, καὶ δεικνὺς ὅτι τοὐναντίον οὗ σπουδάζει ποιεῖ. οὐ γὰρ μόνον οὐκ οἰκοδομεῖς, φησίν, ὃ νομίζεις, ἀλλὰ καὶ καταλύεις, καὶ οἰκοδομὴν οὐκ ἀνθρωπίνην, ἀλλὰ Θεοῦ, καὶ οὐδὲ μεγάλου τινὸς ἕνεκεν, ἀλλὰ πράγματος εὐτελοῦς. ἕνεκεν γὰρ βρώματος, φησιν. εἶτα ἵνα μὴ αἱ τοσαῦται συγχωρήσεις βεβαιώσωσι τὸν ἀσθενέστερον ἐν τῇ πονηρᾷ ὑπολήψει, δογματίζει πάλιν οὕτω λέγων,

* πολὺ

χ. διώκων

Πάντα μὲν καθαρὰ ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι.

Τῷ μετὰ συνειδότος πονηροῦ. ὥστε κἂν ἀναγκάσῃς, καὶ φάγῃ, τὸ ὄφελος οὐδέν. οὐ γὰρ τὸ

φαγεῖν ποιεῖ ἀκάθαρτον, ἀλλ' ἡ γνώμη μεθ' ἧς ἐσθίει. ἂν τοίνυν ἐκείνην μὴ διορθώσῃ, πάντα εἰκῆ πεποίηκας, καὶ μᾶλλον ἔβλαψας. οὐ γάρ ἐστιν ἴσον νομίζειν ἀκάθαρτόν τι, καὶ νομίζοντα ἀκάθαρτον εἶναι, ἀπογεύεσθαι. δύο τοίνυν ἐνταῦθα ἁμαρτάνεις, καὶ τὴν πρόληψιν ἐπιτείνων τῇ φιλονεικίᾳ, καὶ ἀκαθάρτου ποιῶν ἀπογεύεσθαι. ὥστε ἕως ἂν μὴ πείσῃς, μὴ ἀναγκάσῃς.

21 Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου σκανδαλίζεται, ἢ προσκόπτει, ἢ ἀσθενεῖ. Πάλιν τὸ πλέον ἀπαιτεῖ, ὥστε μὴ μόνον μὴ ἀναγκάζειν, ἀλλὰ καὶ συγκαταβαίνειν αὐτῷ. καὶ γὰρ καὶ αὐτὸς αὐτὸ "πολλαχοῦ ἐποίησεν· ὡς ὅτε περιέτεμεν, ὡς ὅτε ἐξυρᾶτο, ὡς ὅτε ἔθυσε τὴν Ἰουδαϊκὴν θυσίαν ἐκείνην. καὶ οὐ λέγει αὐτῷ, ὅτι ποίησον, ἀλλ' ἐν τάξει γνώμης αὐτὸ τίθησιν, ἵνα μὴ ἐκεῖνον πάλιν ῥαθυμότερον ποιήσῃ τὸν ἀσθενέστερον. καὶ τί φησι; καλὸν τὸ μὴ φαγεῖν κρέα· καὶ τί λέγω κρέα; κἂν οἶνος ᾖ, κἂν ἄλλο ὁτιοῦν τοιοῦτον σκανδαλίζον, ἀπέχου. οὐδὲν γὰρ ἴσον τῆς σωτηρίας τοῦ ἀδελφοῦ. καὶ τοῦτο δηλοῖ ὁ Χριστὸς, ἐξ οὐρανῶν παραγενόμενος, καὶ πάντα παθὼν δι' ἡμᾶς ἅπερ ἔπαθε. σκόπει δέ μοι πῶς καὶ ἐκείνου καθικνεῖται λέγων, προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. μὴ γάρ μοι λέγε, φησὶν, ὅτι ἀλόγως, ἀλλ' ὅτι δυνάσαι κατορθῶσαι. καὶ γὰρ ἀρκοῦν ἔχει δικαίωμα εἰς τὸ βοηθεῖσθαι τὴν ἀσθένειαν ἐκεῖνος, καὶ σοὶ βλάβη οὐδεμία. οὐδὲ γὰρ ὑπόκρισις τὸ πρᾶγμά ἐστιν, ἀλλ' οἰκοδομὴ καὶ οἰκονομία. ἂν μὲν γὰρ ἀναγκάσῃς, καὶ καταλύεται, καὶ σοῦ καταγνώσεται, καὶ μᾶλλον οἰκοδομηθήσεται εἰς τὸ μὴ ἐσθίειν. ἐὰν δὲ συγκαταβῇς, πῶς σε ἀγαπήσει, καὶ οὐχ ἕξει σε ἐν ὑποψίᾳ διδάσκοντα, καὶ λήψῃ λοιπὸν ἐξουσίαν ἀνεπαισθήτως σπείρειν ἐν αὐτῷ τὰ ὀρθὰ δόγματα. ἂν δὲ καθάπαξ σε μισήσῃ, καὶ τὴν εἴσοδον ἀπέφραξας τῷ λόγῳ. μὴ τοίνυν ἀνάγκαζε ἐκεῖνον, ἀλλὰ καὶ αὐτὸς ἀπέχου δι' ἐκεῖνον, οὐχ ὡς ἀκαθάρτου ἀπεχόμενος, ἀλλ' ἐπειδὴ σκανδαλίζεται ἐκεῖνος, καὶ μᾶλλόν σε ἀγαπήσει. οὕτω καὶ ὁ Παῦλος ἐκέλευσεν εἰπὼν, καλὸν τὸ μὴ φαγεῖν κρέα· οὐκ ἐπειδὴ ἀκάθαρτον, ἀλλ' ἐπειδὴ σκανδαλίζεται καὶ ἀσθενεῖ ὁ ἀδελφός.

ἀλλαχοῦ

22 Σὺ πίστιν ἔχεις; κατὰ σαυτὸν ἔχε. Ἐνταῦθά μοι δοκεῖ ἠρέμα καὶ εἰς κενοδοξίαν αἰνίττεσθαι "τὸν τελειότερον. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· θέλεις μοι δεῖξαι ὅτι τέλειος εἶ καὶ ἀπηρτισμένος; μὴ ἐμοὶ δείκνυε, ἀλλ' ἀρκείτω "σοι τὸ συνειδός. πίστιν δὲ ἐνταῦθα, οὐ τὴν περὶ δογμάτων, ἀλλὰ τὴν περὶ τῆς προκειμένης ὑποθέσεως λέγει. περὶ γὰρ ἐκείνης φησί, Στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· καὶ, Ὃς δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ. ἐκείνη μὲν γὰρ μὴ ὁμολογουμένη "καταστρέφει· αὕτη δὲ ὁμολογουμένη "ἀκαίρως. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει.

Ρω. ι. ι.
Λουκ. θ. κϛ.

.τὸ τελειό-
-ρον.
σου
καταστρέφῃ
ἀκαίρως.
δίδωσι

Πάλιν τὸν ἀσθενέστερον πλήττει, καὶ "δείκνυσι τούτῳ ἀρκοῦντα στέφανον, τὸ τοῦ συνειδότος. κἂν γὰρ ἄνθρωπος μὴ ἴδῃ, ἀρκεῖ σοι σαυτὸν εἰς τὸ γενέσθαι μακάριος. ἐπειδὴ γὰρ εἶπε, καθ' ἑαυτὸν ἐχέτω, ἵνα μὴ νομίσῃ μικρὸν τὸ δικαστήριον τοῦτο, λέγει τῆς οἰκουμένης σοι τοῦτο βέλτιον. κἂν πάντες σου κατηγορῶσι, σὺ δὲ σαυτὸν μὴ κατακρίνῃς, μηδὲ τὸ συνειδὸς ἐπιλάβηται, μακάριος εἶ. οὐχ ἁπλῶς δὲ περὶ πάντων λέγων τοῦτο τέθεικεν. εἰσὶ γὰρ πολλοὶ μὴ κατακρίνοντες ἑαυτοὺς, καὶ σφόδρα πλημμελοῦντες· οἳ πάντων εἰσὶν ἀθλιώτεροι. ἀλλὰ τέως τῆς προκειμένης ὑποθέσεως ἔχεται.

23 Ὁ γὰρ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται. Πάλιν παρακαλῶν αὐτὸν φείσασθαι τοῦ ἀσθενεστέρου, τοῦτό φησι. τί γὰρ ὄφελος, ἐὰν φάγῃ διακρινόμενος, καὶ "κατακρίνει ἑαυτόν; ἐγὼ γὰρ ἐκεῖνον ἀποδέχομαι, τὸν καὶ ἐσθίοντα, καὶ μὴ μετ' ἀμφιβολίας. ὅρα πῶς αὐτὸν ἐνάγει οὐκ εἰς τὸ φαγεῖν μόνον, ἀλλὰ καὶ εἰς τὸ καθαρῷ συνειδότι φαγεῖν. εἶτά φησι καὶ τὴν αἰτίαν δι' ἣν κατακέκριται, ἐπάγων καὶ λέγων,

κατακρίνῃ
τὸν;

Ὅτι οὐκ ἐκ πίστεως. Οὐκ ἐπειδὴ ἀκάθαρτον, ἀλλ' ὅτι οὐκ ἐκ πίστεως. οὐ γὰρ

ἐπίστευσαν ὅτι καθαρόν ἐστιν, ἀλλ' ὡς ἀκάθαρτα ἤσθιον. διὰ δὲ τούτων δείκνυσιν αὐτοῖς καὶ τὴν βλάβην ἣν εἰργάζοντο, ἀναγκάζοντες καὶ μὴ πείθοντες ἅπτεσθαι τῶν τέως δοκούντων αὐτοῖς ἀκαθάρτων εἶναι, ἵνα καὶ διὰ τοῦτο ἀπόσχωνται τῆς ἐπιπλήξεως.

Πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία. Ὅταν γὰρ μὴ θαῤῥῇ, φησὶ, μηδὲ πιστεύῃ ὅτι καθαρὸν, πῶς οὐχ ἥμαρτε; ταῦτα δὲ πάντα περὶ τῆς προκειμένης ὑποθέσεως εἴρηται τῷ Παύλῳ, οὐ περὶ πάντων. καὶ σκόπει πόσην ποιεῖται τοῦ μὴ σκανδαλίζειν πρόνοιαν. καὶ γὰρ ἀνωτέρω ἔλεγεν, Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Εἰ δὲ λυπεῖν οὐ δεῖ, πολλῷ μᾶλλον σκανδαλίζειν οὐ δεῖ. καὶ πάλιν, μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. Εἰ γὰρ ἐκκλησίαν κατασκάψαι χαλεπὸν καὶ ἀνόσιον, πολλῷ μᾶλλον ναὸν πνευματικόν. καὶ γὰρ ἄνθρωπος ἐκκλησίας σεμνότερον. οὐ γὰρ διὰ τοὺς τοίχους ὁ Χριστὸς ἀπέθανεν, ἀλλὰ διὰ τοὺς ναοὺς τούτους.

ΗΘΙΚΟΝ Πανταχόθεν τοίνυν τὰ καθ' ἑαυτοὺς περισκοπῶμεν, καὶ μηδὲ μικρὰν μηδενὶ παρέχωμεν λαβήν. καὶ γὰρ στάδιον ὁ παρὼν βίος, καὶ μυρίους πάντοθεν ὀφθαλμοὺς ἔχειν δεῖ, καὶ μηδὲ νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν τὴν ἄγνοιαν. ἔστι γὰρ, ἔστι καὶ ἀγνοίας δοῦναι δίκην, ὅταν ἡ ἄγνοια ἀσύγγνωστος ᾖ. ἐπεὶ καὶ Ἰουδαῖοι ἠγνόησαν, ἀλλ' οὐ συγγνώμης ἄξια ἠγνόησαν· καὶ Ἕλληνες ἠγνόησαν, ἀλλ' ἀπολογίαν οὐκ ἔχουσιν. ὅταν μὲν γὰρ ταῦτα ἀγνοῇς ἃ μὴ δυνατὸν εἰδέναι, οὐδὲν ἔγκλημα ὑποστήσῃ· ὅταν δὲ τὰ ῥᾴδια καὶ δυνατὰ γνωσθῆναι, τὴν ἐσχάτην δώσεις δίκην. ἄλλως δὲ, ἂν μὴ σφόδρα ὦμεν ἀναπεπτωκότες, ἀλλὰ τὰ παρ' ἑαυτῶν συνεισενέγκωμεν ἅπαντα, καὶ ἐν τοῖς ἀγνοουμένοις χεῖρα ἡμῖν ὁ Θεὸς ὀρέξει. ὃ καὶ Φιλιππησίοις ἔλεγε Παῦλος· **Φιλιπ. γ. ιε.** Καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. ὅταν δὲ μηδὲ ὧν ἐσμεν κύριοι, βουλώμεθα ἀνύειν, οὐδὲ ἐκείνης ἀπολαύσομεν τῆς συμμαχίας· **Ματθ. ιγ.** ὃ καὶ ἐπὶ Ἰουδαίων γέγονε. Διὰ γὰρ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, φησὶν, ὅτι **Ματθ. ιϛ.** βλέποντες οὐ βλέπουσι. πῶς βλέποντες οὐκ ἔβλεπον; ἑώρων δαίμονας ἐλαυνομένους, καὶ ἔλεγον, δαιμόνιον ἔχει. ἑώρων νεκροὺς ἐγειρομένους, καὶ οὐ προσεκύνουν, ἀλλ' ἀνελεῖν αὐτὸν ἐπεχείρουν. ἀλλ' οὐχ ὁ Κορνήλιος τοιοῦτος. διά τοι τοῦτο, ἐπειδὴ πάντα τὰ παρ' ἑαυτοῦ μετὰ σπουδῆς ἐποίησε, καὶ τὸ λεῖπον αὐτῷ προσέθηκεν ὁ Θεός. μὴ τοίνυν λέγε, πῶς τὸν δεῖνα ἄπλαστον ὄντα καὶ χρηστὸν παρεῖδεν ὁ Θεὸς Ἕλληνα ὄντα; πρῶτον μὲν γὰρ εἴ τις ἄπλαστος, οὐκ ἀνθρώποις δυνατὸν εἰδέναι, ἀλλὰ τῷ πλάσαντι κατὰ μόνας τὰς καρδίας. ἔπειτα κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι οὐκ ἐφρόντισε πολλάκις, οὐδὲ ἐσπούδασε. καὶ πῶς, φησὶν, ἠδύνατο, σφόδρα ἄπλαστος ὤν; οὐκοῦν τὸν ἁπλοῦν ἐπὶ καὶ ἀφελῆ σκόπει μοι, καὶ καταμάνθανε ἐπὶ τῶν βιωτικῶν, καὶ ὄψει πολλὴν ἀκρίβειαν ἐπιδεικνύμενον, ἣν εἴγε ἐβούλετο καὶ ἐπὶ τῶν πνευματικῶν ἐπιδείκνυσθαι, οὐκ ἂν παρώφθη. καὶ γὰρ ἡλίου φανερώτερα τὰ τῆς ἀληθείας. καὶ ὅπουπερ ἂν ἀφίκηταί τις, ῥᾳδίως ἐπιλήψεται τῆς ἑαυτοῦ σωτηρίας, εἴγε βουληθείη προσέχειν καὶ μὴ πάρεργον τοῦτο ἡγεῖσθαι. μὴ γὰρ ἐν Παλαιστίνῃ τὰ πράγματα συνεκλείσθη; μὴ γὰρ ἐν γωνίᾳ μιᾷ τῆς οἰκουμένης; οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, Ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου; οὐχ ὁρᾷς τὰ πράγματα ἀληθεύοντα; πῶς οὖν ἂν ἔχοιεν οὗτοι συγγνώμην, ὁρῶντες τὸ δόγμα τῆς ἀληθείας ἐκτεταμένον, καὶ μὴ περιεργαζόμενοι, μηδὲ φροντίζοντες μαθεῖν; καὶ ταῦτα παρὰ ἀγροίκου καὶ βαρβάρου, φησὶν, ἀπαιτεῖσθαι; οὐ παρὰ ἀγροίκου καὶ βαρβάρου μόνον, ἀλλὰ καὶ εἴ τις τῶν νῦν ὄντων βαρβαρικώτερος. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τῶν βιωτικῶν καὶ ἀντειπεῖν οἶδεν ἀδικούμενος, καὶ αὐτὸς ἴσως βιαζόμενος, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε μηδὲ μικρὸν ἐπηρεασθῆναί ποτε· ἐπὶ δὲ τῶν πνευματικῶν οὐ κέχρηται τῇ αὐτῇ ταύτῃ συνέσει; καὶ ὅταν μὲν λίθον προσκυνῇ, καὶ θεὸν ἡγεῖται, καὶ ἑορτὰς ἐπιτελεῖ, καὶ χρήματα δαπανᾷ, καὶ πολὺν ἐπιδείκνυται φόβον, καὶ οὐδαμοῦ ῥᾴθυμος ἀπὸ τῆς ἀφελείας γίνεται· ὅταν δὲ τὸν ὄντως ὄντα Θεὸν ἐπιζητῆ-

σαι

σαι δεῖ, τότε μοι ὠφελείας καὶ ἁπλότητος μέμνησαι; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· ῥαθυμίας γὰρ μόνης τὰ ἐγκλήματα. τίνας γὰρ ἁπλουστέρους καὶ ἀγροικοτέρους εἶναι νομίζεις, τοὺς ἐπὶ τοῦ Ἀβραάμ, ἢ τοὺς νῦν; εὔδηλον ὅτι ἐκείνους. πότε δὲ δυσκολώτερον εἶναι τὴν εὐσέβειαν εὑρεῖν; νῦν, ἢ τότε; εὔδηλον ὅτι νῦν. νῦν μὲν γὰρ παρὰ πᾶσι καὶ τὸ τοῦ Θεοῦ ὄνομα βεβόηται, καὶ προφῆται ἀνεκήρυξαν, καὶ τὰ πράγματα ἐξέβη, καὶ τὰ ἑλλήνων ἐλήλεγκται· τότε δὲ ἔτι ἀδιδάκτως εἶχον οἱ πλείους, καὶ ἡ ἁμαρτία ἐκράτει. καὶ οὔτε νόμος ἦν παιδεύων, οὔτε προφήτης, οὔτε θαύματα, οὔτε διδασκαλία, οὔτε τὸ πλῆθος τῶν γινωσκόντων, οὐκ ἄλλο τοιοῦτον οὐδέν, ἀλλ' ὡς ἐν σκότῳ βαθεῖ καὶ ἀσελήνῳ καὶ χειμερίῳ νυκτὶ τὰ πράγματα διέκειντο ἅπαντα. ἀλλ' ὅμως ὁ θαυμαστὸς ἐκεῖνος καὶ γενναῖος ἀνήρ, καὶ τοσούτων ὄντων κωλυμάτων, καὶ τὸν Θεὸν ἐπέγνω, καὶ τὴν ἀρετὴν ἤσκησε, καὶ πολλοὺς εἰς τὸν ἴσον ἤγαγε ζῆλον, καὶ ταῦτα οὐδὲ τῆς ἔξωθεν σοφίας ἔμπειρος ὤν. πῶς γάρ, ὅπουγε οὐδὲ γράμματα ἦν εὑρεθέντα πώποτε; ἀλλ' ὅμως ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, καὶ ὁ Θεὸς τὰ ἑαυτοῦ λοιπὸν συνεισήνεγκεν. οὐδὲ γὰρ ἂν ἐκείνῳ ἂν ἔχοις εἰπεῖν, ὅτι παρὰ πατέρων ἐδέξατο τὴν εὐσέβειαν ὁ Ἀβραάμ. καὶ γὰρ εἰδωλολάτρης ἦν ἐκεῖνος· ἀλλ' ὅμως καὶ προγόνων γενόμενος τοιούτων, καὶ βάρβαρος ὤν, καὶ ἐν μέσῳ βαρβάρων τραφείς, καὶ διδάσκαλον οὐδένα ἔχων εὐσεβείας, καὶ τὸν Θεὸν ἐπέγνω, καὶ τῶν ἐκγόνων τῶν ἑαυτοῦ πάντων τῶν καὶ νόμον καὶ προφήτας ἀπολελαυκότων τοσοῦτον εὐδοκίμησε μᾶλλον, ὅσον οὐδὲ ἔστιν εἰπεῖν. τί δήποτε; ὅτι ἐν μὲν τοῖς βιωτικοῖς οὐ σφόδρα ἦν μεμεριμνημένος, ἐν δὲ τοῖς πνευματικοῖς ὅλον ἑαυτὸν συνέτεινε. τί δὲ ὁ Μελχισεδέκ, οὐχὶ καὶ αὐτὸς κατ' ἐκείνους τοὺς χρόνους ἐγένετο, καὶ τοσοῦτον ἔλαμψεν, ὡς καὶ ἱερεὺς τοῦ Θεοῦ χρηματίσαι; καὶ γὰρ ἀμήχανον, καὶ σφόδρα ἀμήχανον, τὸν νήφοντα περιοφθῆναί ποτε. μηδὲ ταῦτα ὑμᾶς θορυβείτω· ἀλλ' εἰδότες ὅτι πανταχοῦ τῆς γνώμης ἐστὶ τὸ κῦρος, τὰ ἡμέτερα αὐτῶν περισκοπῶμεν, ὅπως γενοίμεθα βελτίους. μὴ τὸν Θεὸν ἀπαιτῶμεν εὐθύνας, μηδὲ ἐξετάζωμεν, διατί τὸν δεῖνα εἴασε, καὶ τὸν δεῖνα ἐκάλεσε. καὶ γὰρ ταὐτὸν ποιοῦμεν, οἷον ἂν εἴ τις οἰκέτης προσκεκρουκὼς περιεργάζοιτο τὴν οἰκονομίαν τοῦ δεσπότου. ἄθλιε καὶ ταλαίπωρε, δέον φροντίζειν ὑπὲρ τῶν σῶν εὐθυνῶν, καὶ πῶς καταλλάξεις τὸν δεσπότην, εὐθύνας ἀπαιτεῖς ὧν σὺ μέλλεις παρέξειν εὐθύνας, ἐκεῖνα παρατρέχεις, ὧν μέλλεις δοῦναι δίκην; τί οὖν πρὸς τὸν ἕλληνα εἴπω, φησί; ταῦτα τὰ εἰρημένα· καὶ σκόπει μὴ τί εἴπῃς πρὸς τὸν ἕλληνα μόνον, ἀλλὰ καὶ πῶς αὐτὸν διορθώσῃ. ὅταν σου τὸν βίον ἐξετάζων σκανδαλίζηται ἐκεῖθεν, ἐν ταύτῃ φρόντισον τί εἴπῃς. ὑπὲρ μὲν γὰρ ἐκείνου, κἂν σκανδαλίζηται, σὺ λόγον οὐ δώσεις· ἀπὸ δὲ τοῦ βίου τοῦ σοῦ, ἐὰν βλαβῇ, κίνδυνον ὑποστήσῃ τὸν ἔσχατον. ὅταν ἴδῃ σε περὶ βασιλείας φιλοσοφοῦντα, καὶ πρὸς τὰ παρόντα ἐπτοημένον, καὶ περὶ γεέννης δεδοικότα, καὶ τὰ ἐν ταῦθα τρέμοντα δεινά, τότε φρόντισον. ὅταν ταῦτα ὁρῶν ἐγκαλῇ, καὶ λέγῃ, εἰ βασιλείας ἐρᾷς, τί τῶν παρόντων οὐχ ὑπερορᾷς; εἰ δικαστήριον προσδοκᾷς φοβερόν, τί τῶν ἐνταῦθα δεινῶν οὐ καταφρονεῖς; εἰ ἀθανασίαν ἐλπίζεις, τί τοῦ θανάτου οὐ καταγελᾷς; ὅταν ταῦτα λέγῃ, μερίμνησον τί ἀπολογήσῃ. ὅταν ἴδῃ σε τρέμοντα ζημίαν χρημάτων τὸν ἐν οὐρανοῖς προσδοκῶντα, καὶ περιχαρῆ γενόμενον ὑπὲρ ἑνὸς ὀβολοῦ, καὶ τὴν ψυχὴν πάλιν προϊέμενον ὑπὲρ ἀργυρίου ὀλίγου, τότε φρόντισον. ταῦτα γάρ ἐστι, ταῦτα τὰ τὸν ἕλληνα σκανδαλίζοντα. ὥστε εἰ φροντίζεις σεαυτοῦ τῆς σωτηρίας, ὑπὲρ τούτων ἀπολογοῦ, μὴ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων. διὰ ἐκεῖνο μὲν γὰρ τὸ ζήτημα οὐδεὶς πώποτε ἐβλασφήμησε τὸν Θεόν· διὰ δὲ τὸν πονηρὸν βίον μυρίαι πανταχοῦ βλασφημίαι. τοῦτον τοίνυν διόρθου. ἐπεὶ πάλιν ἐρεῖ σοι ὁ ἕλλην, πόθεν μάθω ὅτι δυνατὰ ἐπέταξεν ὁ Θεός; ἰδοὺ γὰρ σὺ χριστιανὸς ὢν ἐκ προγόνων, καὶ ἐντρεφόμενος τῇ καλῇ ταύτῃ θρησκείᾳ, οὐδὲν τοιοῦτον ποιεῖς· τί οὖν ἐρεῖς; πάντως ἐρεῖς ὅτι δείξω σοι ἑτέρους ποιοῦντας, μοναχοὺς ἐν ἐρημίαις καθημένους. εἶτα οὐκ αἰσχύνῃ χριστιανὸς μὲν εἶναι ὁμολογῶν, πρὸς δὲ ἑτέρους

πέμπων

πέμπων, ὡς οὐ δυνάμενος δεῖξαι ὅτι τὰ χείλη μου ἐπιδείκνυσαι; Ἢ γὰρ ἐκεῖνος εὐθέως ἐρεῖ, Οὐκοῦν ποία μοι ἀνάγκη βαδίζειν ἐπὶ τὰ ὄρη, καὶ τὰς ἐρημίας διώκειν; Εἰ γὰρ μὴ δυνατὸν ἐν μέσαις στρεφόμενον πόλεσι φιλοσοφεῖν, πολλὴ τῆς πολιτείας ταύτης ἡ κατηγορία γένοιτ' ἄν, εἰ μέλλοιμεν τὰς πόλεις ἐκλείποντες, ἐπὶ τὰς ἐρήμους τρέχειν. Ἀλλὰ δεῖξόν μοι ἄνθρωπον γυναῖκα ἔχοντα καὶ παιδία καὶ οἰκίαν, καὶ φιλοσοφοῦντα. τί οὖν πρὸς ταῦτα ἐροῦμεν; οὐκ ἀνάγκη κάτω κύπτειν καὶ αἰσχύνεσθαι; οὐδὲ γὰρ ὁ Χριστὸς οὕτως ἐκέλευσεν· ἀλλὰ πῶς; Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, οὐχὶ τῶν ὀρῶν, οὐδὲ τῆς ἐρημίας καὶ τῆς ἀβάτου. καὶ ταῦτα λέγω οὐ κακίζων τοὺς κατειληφότας τὰ ὄρη, ἀλλὰ θρηνῶν τοὺς κατοικοῦντας τὰς πόλεις, ὅτι τὴν ἀρετὴν ἐντεῦθεν ἐξήλασαν. διὸ, παρακαλῶ, τὴν φιλοσοφίαν τὴν ἐκεῖθεν καὶ ἐνταῦθα εἰσαγάγωμεν, ἵνα αἱ πόλεις γένωνται πόλεις. ταῦτα τὸν ἕλληνα ὀρθῶσαι δυνήσεται, ταῦτα ἀπαλλάξαι μυρίων σκανδάλων. ὥστε εἰ βούλει κἀκεῖνον ἐλευθερῶσαι σκανδάλου, καὶ αὐτὸς μυρίων ἀπολαῦσαι μισθῶν, τὸν βίον διόρθου τὸν σαυτοῦ, καὶ πανταχόθεν ἀπολάμπειν ποίει, ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα*, καὶ δοξάζωσι τὸν πατέρα* τὸν ἐν τοῖς οὐρανοῖς. οὕτω γὰρ καὶ ἡμεῖς τῆς ἀπορρήτου ἐκείνης καὶ μεγάλης ἀπολαυσόμεθα δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπία.

Ματθ. ε. ιε.

γρ. κατακύπτειν

* ὑμῶν, * ὑμῶν

γρ. δόξης τοῦ, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κζ. 25. ΤΩ ΔΕ ΔΥΝΑΜΕΝΩ ΥΜΑΣ ΣΤΗΡΙΞΑΙ ΚΑ-
τὰ τὸ εὐαγγέλιόν μου καὶ κατὰ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν
μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου,
26 Φανερωθέντος δὲ νῦν διά τε
γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν
πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος,
27 Μόνῳ σοφῷ Θεῷ, διὰ
Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

γρ. αὐτῷ

Ἔθος ἀεὶ τῷ Παύλῳ εἰς εὐχὰς καὶ δοξολογίας κατακλείειν τὴν παραίνεσιν. οἶδε γὰρ οὐ μικρὰν τὸ πρᾶγμα ἔχον ῥοπήν. τοῦτο δὲ ἀπὸ φιλοστοργίας καὶ εὐλαβείας ποιεῖν εἴωθε. ὁ γὰρ φιλόπαιδος καὶ φιλοθέου διδασκάλου, τὸ μὴ μόνον λόγῳ παιδεύειν, ἀλλὰ καὶ δι' εὐχῶν τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν τοῖς διδασκομένοις εἰσάγειν· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. ἡ δὲ ἀκολουθία αὕτη ἐστί· τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. πάλιν γὰρ ἐκείνων ἔχεται τῶν ἀσθενῶν, καὶ πρὸς αὐτοὺς τρέπει τὸν λόγον. ὅτε μὲν γὰρ ἐπετίμα, κοινὴν ἐποιεῖτο τὴν ἐπιτίμησιν· νυνὶ δὲ εὐχόμενος, ὑπὲρ τούτων τίθησι τὴν ἱκετηρίαν. εἰπὼν δὲ, στηρίξαι, ἐπάγει καὶ τὸν τρόπον, κατὰ τὸ εὐαγγέλιόν μου. τοῦτο δὲ δηλοῦντός ἐστιν, ὅτι οὔπω ἦσαν βεβαιωθέντες, ἀλλ' ἑστήκεσαν μὲν, ἐσαλεύοντο δέ. εἶτα ποιῶν τὸν λόγον ἀξιόπιστον, ἐπήγαγε, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ· τουτέστιν, ὃ αὐτὸς ἐκήρυξεν. εἰ δὲ αὐτὸς ἐκήρυξεν, οὐχ ἡμέτερα τὰ δόγματα, ἀλλ' ἐκείνου οἱ νόμοι. φιλοσοφῶν δὲ λοιπὸν καὶ περὶ τοῦ κηρύγματος, δείκνυσιν ὅτι πολλῆς εὐεργεσίας ἐστὶ τὸ δῶρον, καὶ πολλῆς τῆς τιμῆς. καὶ πρῶτον μὲν ἀπὸ τοῦ καταγγείλαντος αὐτὸ κατασκευάζει, ἔπειτα καὶ ἀπ' αὐτῶν τῶν καταγγελθέντων· εὐαγγέλια γάρ ἐστι· πρὸς τούτοις, ἀπὸ τοῦ μηδενὶ γνωρίσαι πρὸ ἡμῶν. τοῦτο γοῦν ᾐνίξατο εἰπὼν, κατὰ ἀποκάλυψιν μυστηρίου· ὅπερ μεγίστης φιλίας σημεῖόν ἐστι, τὸ μυστηρίων ποιεῖν κοινωνοὺς, καὶ μηδένα πρὸ ἡμῶν. χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν. πάλαι μὲν γὰρ προώριστο, ἐφάνη δὲ νῦν. πῶς ἐφάνη; διὰ γραφῶν προφητικῶν. ἐνταῦθα πάλιν ἐκλύει τὸν φόβον τοῦ ἀσθενοῦς. τί γὰρ δέδοικας; μὴ ἀποστῇς τοῦ νόμου; τοῦτο βούλεται ὁ νόμος, τοῦτο ἄνωθεν προὔλεγεν. εἰ δὲ καὶ ἐξετάζεις διὰ τί νῦν ἐφανερώθη,

γρ. μηδὲν

γρ. φανερώσεως

οὐκ ἀσφαλὲς περιέργους ποιεῖ, μυστήρια Θεοῦ περιεργαζομένους, καὶ εὐθύνας ἀπαιτεῖν. οὐδὲ γὰρ πολυπραγμονεῖν τὰ τοιαῦτα δεῖ, ἀλλ' ἀγαπᾷν καὶ στέργειν. διὸ καὶ αὐτὸς ἐπιστομίζων τὴν τοιαύτην γνώμην, ἐπήγαγε, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως. ὑπακοῆς γὰρ ἡ πίστις δεῖται, οὐ πολυπραγμοσύνης· καὶ ὅταν Θεὸς ἐπιτάττῃ, πείθεσθαι, οὐ περιεργάζεσθαι χρή. εἶτα καὶ ἑτέρωθεν αὐτοὺς παραθαρρύνει λέγων, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος. οὐ γὰρ σὺ μόνος, ἀλλ' ἡ οἰκουμένη πᾶσα αὐτῷ πιστεύει, οὐκ ἀνθρώπῳ, ἀλλὰ Θεὸν λαβοῦσα διδάσκαλον. διὸ καὶ ἐπήγαγε, διὰ Ἰησοῦ Χριστοῦ. οὐκ ἐγνωρίσθη δὲ μόνον, ἀλλὰ καὶ ἐβεβαιώθη. ἀμφότερα δὲ αὐτοῦ ἔργα. διὸ καὶ οὕτως ἀναγνωστέον, τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι διὰ Ἰησοῦ Χριστοῦ. καὶ γὰρ ὅπερ εἶπον, ἀμφότερα αὐτῷ ἀνατίθησι· μᾶλλον δὲ οὐκ ἀμφότερα μόνον, ἀλλὰ καὶ τὴν δόξαν τὴν εἰς τὸν πατέρα. διὸ καὶ ἔλεγεν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. δοξάζει δὲ πάλιν τὸ ἀκατάληπτον τῶν μυστηρίων τούτων ἐκπληττόμενος. οὐδὲ γὰρ νῦν ὅτε ἐφάνη, λογισμοῖς αὐτὰ καταλαβεῖν δυνατόν, ἀλλὰ διὰ πίστεως εἰδέναι χρή, ἄλλως δὲ οὐκ ἔνι. καλῶς εἶπε, μόνῳ σοφῷ Θεῷ. ὅταν γὰρ ἐννοήσῃς πῶς τὰ ἔθνη εἰσήγαγε, καὶ ἀνεκέρασε τοῖς πάλαι κατωρθωκόσι, πῶς ἀπεγνωσμένους ἔσωσε, πῶς τῆς γῆς ἀναξίους ὄντας εἰς οὐρανοὺς ἀνήγαγε, καὶ τῆς παρούσης ζωῆς ἐκπεπτωκότας εἰς τὴν ἀθάνατον ἐκείνην καὶ ἀπόρρητον εἰσήγαγε, καὶ ὑπὸ δαιμόνων πατουμένους ἀγγέλοις ἐφαμίλλους ἐποίησε, καὶ παράδεισον ἀνέῳξε, καὶ τὰ παλαιὰ ἅπαντα κακὰ ἔλυσε, καὶ ταῦτα ἐν χρόνῳ βραχεῖ, καὶ δι' ὁδοῦ ῥᾳδίας καὶ συντομωτάτης, τότε γνώσῃ τὴν σοφίαν, ὅταν ἴδῃς, ὃ μήτε ἄγγελοι, μήτε ἀρχάγγελοι ἤδεσαν, τοῦτο ἐξαίφνης τοὺς ἐξ ἐθνῶν μεμαθηκότας διὰ τοῦ Ἰησοῦ. δέον οὖν θαυμάζειν αὐτοῦ τὴν σοφίαν, καὶ δοξάζειν αὐτόν· σὺ δὲ ἔτι μικρὰ στρέφῃ, τῇ σκιᾷ προσεδρεύων ἔτι· ὅπερ οὐ σφόδρα ἐστὶ δοξάζοντος. ὁ γὰρ μὴ θαρρῶν αὐτῷ, μηδὲ τῇ πίστει πεποιθώς, οὐ μαρτυρεῖ τῷ μεγέθει τῶν γινομένων· ἀλλ' αὐτὸς τὴν ὑπὲρ ἐκείνων δόξαν ἀνήνεγκε, κἀκείνους εἰς τὸν αὐτὸν ζῆλον ἐνάγων. ὅταν δὲ ἀκούσῃς αὐτοῦ λέγοντος, μόνῳ σοφῷ Θεῷ, μὴ πρὸς ἀθέτησιν τοῦ υἱοῦ νόμιζε τοῦτο λέγεσθαι. εἰ γὰρ ἅπαντα ταῦτα, ἀφ' ὧν ἡ σοφία αὐτοῦ δείκνυται, διὰ Χριστοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ οὐδὲ ἓν γέγονεν, εὔδηλον ὅτι καὶ τὰ τῆς σοφίας ἴσα. τίνος οὖν ἕνεκεν μόνῳ εἴρηκε; πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως ἁπάσης. ἀποδοὺς τοίνυν τὴν δοξολογίαν, πάλιν ἀπὸ τῆς εὐχῆς ἐπὶ παραίνεσιν χωρεῖ, πρὸς τοὺς ἰσχυροτέρους τρέπων τὸν λόγον, καὶ λέγων οὕτως·

1 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοί. Ὀφείλομεν, οὐ χαριζόμεθα. Τί ὀφείλομεν; κεφ. ιε. Τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν. Εἶδες πῶς ἐπῆρεν αὐτοὺς τοῖς ἐγκωμίοις, οὐχὶ τῷ δυνατοὺς μόνον εἰπεῖν, ἀλλὰ καὶ τῷ μεθ' ἑαυτοῦ τάξαι ἐκείνους; οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ χρησίμῳ πάλιν αὐτοὺς ἐπισπᾶται, καὶ ἀνεπαχθῶς. σὺ μὲν γὰρ δυνατὸς εἶ, φησί, καὶ καταβαρῶν οὐδὲν βλαβήσῃ· ἐκείνῳ δὲ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος, ἂν μὴ διαβαστάζηται. καὶ οὐκ εἶπε, τοὺς ἀσθενεῖς, ἀλλὰ, τὰ ἀσθενήματα τῶν ἀδυνάτων, εἰς ἔλεον αὐτῶν ἐπισπώμενος καὶ ἐπικλῶν· ὡς καὶ ἀλλαχοῦ φησιν, Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον. Γαλ. ς. α. δυνατὸς γέγονας; ἀπόδος τῷ Θεῷ τὴν ἀμοιβὴν τῷ ποιήσαντί σε τοιοῦτον. ἀποδώσεις δὲ, τὴν ἀσθένειαν τοῦ ἀρρώστου διορθούμενος. καὶ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς ἦμεν, ἀλλ' ὑπὸ τῆς χάριτος ἐγενόμεθα δυνατοί. τοῦτο δὲ οὐκ ἐνταῦθα δεῖ μόνον ποιεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλως ἀσθενούντων. οἷον ἂν ἀκρόχολός τις ᾖ, ἂν ὑβριστής, ἂν ἄλλο τι ἔχων τοιοῦτον ἐλάττωμα, διαβάσταζε. πῶς δὲ τοῦτο γένοιτ' ἄν; ἄκουσον τῶν ἑξῆς. εἰπὼν γὰρ, ὀφείλομεν βαστάζειν, ἐπήγαγε, — Καὶ μὴ ἑαυτοῖς ἀρέσκειν.

2 Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν.

Ὃ δὲ λέγει τοῦτό ἐστι· δυνατὸς εἶ; λαμβανέτω σου πεῖραν τῆς δυνάμεως ὁ ἀσθενής, ἐκεῖνος μανθανέτω σου τὴν ἰσχύν, ἐκείνῳ ἄρεσον. καὶ οὐχ ἁπλῶς εἶπεν, ἄρεσον, ἀλλ' εἰς τὸ ἀγαθόν,

ἀγαθόν, καὶ οὐδὲ ἁπλῶς εἰς τὸ ἀγαθόν, ἵνα μὴ λέγῃ ὁ τέλειος, ἰδοὺ γὰρ εἰς τὸ ἀγαθὸν ἕλκω, ἀλλὰ προσέθηκε, πρὸς οἰκοδομήν. ὥστε κἂν πλουτῇς, κἂν ἐν δυναστείᾳ ᾖς, μὴ σαυτῷ, ἀλλὰ τῷ πένητι καὶ τῷ δεομένῳ ἄρεσκε· οὕτω γὰρ καὶ δόξης ἀπολαύσῃ τῆς ἀληθοῦς, καὶ ὠφέλειαν ἐργάσῃ πολλήν. ἡ μὲν γὰρ τῶν βιωτικῶν δόξα εὐθέως ἀφίσταται· ἡ δὲ τὴν πνευματικὴν ἔχει, ἂν πρὸς οἰκοδομὴν τοῦτο ποιῇς. διὸ παρὰ πάντων τοῦτο ἀπαιτεῖ. οὐ γὰρ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' ἕκαστος ὑμῶν. εἶτα ἐπειδὴ μέγα ἐπέταξε, καὶ τῆς οἰκείας ἐκέλευσε καθυφεῖναι τελειότητος εἰς τὸ διορθῶσαι τὴν ἑτέρου ἀσθένειαν, πάλιν τὸν Χριστὸν εἰσάγει μέσον λέγων, *(χ. ἀφίσταται)* *(χ. ἡμῶν)*

3 Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν· Ὅπερ καὶ ἀεὶ ποιεῖ. καὶ γὰρ ὅτε περὶ ἐλεημοσύνης ἔλεγεν, αὐτὸν παρήγαγε λέγων, Γινώσκετε τὴν χάριν τοῦ Κυρίου, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν· *(β. Κορ. η. θ.)* καὶ ὅτε εἰς ἀγάπην προετρέπετο, ἐκεῖθεν προτρέπων εἶπε, Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς· *(Ἐφεσ. ε. κε.)* καὶ ὅτε περὶ τοῦ φέρειν αἰσχύνην καὶ κινδύνους συνεβούλευεν, ἐπ' αὐτὸν κατέφυγε λέγων, Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας. *(Ἑβ. ιβ. β.)* οὕτω καὶ ἐνταῦθα δείκνυσι καὶ αὐτὸν τοῦτο ποιήσαντα, καὶ τὸν προφήτην ἄνωθεν προαναφωνήσαντα· διὸ καὶ ἐπήγαγε,

Καθὼς γέγραπται, Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

Τί δέ ἐστιν, οὐχ ἑαυτῷ ἤρεσεν; ἐξῆν αὐτῷ μὴ ὀνειδισθῆναι, ἐξῆν μὴ παθεῖν ἅπερ ἔπαθεν, εἴγε ἤθελε τὸ ἑαυτοῦ σκοπεῖν. ἀλλ' ὅμως οὐκ ἠθέλησεν· ἀλλὰ τὸ ἡμέτερον σκοπήσας, τὸ ἑαυτοῦ παρεῖδε. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἑαυτὸν ἐκένωσεν; ὅτι οὐ τοῦτο ἠβούλετο δεῖξαι μόνον, ὅτι ἄνθρωπος γέγονεν, ἀλλ' ὅτι καὶ ὑβρίσθη, καὶ πονηρὰν παρὰ πολλοῖς ἔλαβε δόξαν, ἀσθενὴς εἶναι νομισθείς. Εἰ γὰρ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, φησί. καὶ, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι; *(Ματθ. κζ. μ. καὶ μϛ.)* διὸ καὶ πράγματος ἐμνημόνευσε χρησιμεύοντος αὐτῷ εἰς τὴν παροῦσαν ὑπόθεσιν, καὶ δείκνυσι πολλῷ πλέον οὗ ἐπηγγείλατο. οὐ γὰρ τὸν Χριστὸν δείκνυσιν ὀνειδισθέντα μόνον, ἀλλὰ καὶ τὸν πατέρα. Οἱ ὀνειδισμοὶ γὰρ τῶν ὀνειδιζόντων σε ἐπέπεσον, φησιν, ἐπ' ἐμέ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν συνέβη καινόν, οὐδὲν ξένον. οἱ γὰρ ἐπὶ τῆς παλαιᾶς ὀνειδίζειν αὐτὸν μελετήσαντες, οὗτοι καὶ κατὰ τοῦ παιδὸς ἐμάνησαν. ταῦτα δὲ ἐγράφη, ἵνα μιμώμεθα. ἐνταῦθα αὐτοὺς καὶ εἰς πειρασμοὺς ὑπομονὴν ἀλείφει λοιπόν. *(χ. αὐτῷ)* *(χ. ἵνα μιμώμεθα ἐνταῦθα αὐτοὺς καὶ)*

4 Ὅσα γὰρ προεγράφη, φησίν, εἰς διδασκαλίαν ἡμῶν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν.

Τουτέστιν, ἵνα μὴ ἐκπέσωμεν (ποικίλοι γὰρ οἱ ἀγῶνες ἔσωθεν, ἔξωθεν) ἵνα νευρούμενοι καὶ παρακαλούμενοι παρὰ τῶν γραφῶν, ὑπομονὴν ἐπιδειξώμεθα, ἵνα ἐν ὑπομονῇ ζῶντες, μένωμεν ἐπὶ τῆς ἐλπίδος. ταῦτα γὰρ ἀλλήλων ἐστὶ κατασκευαστικά, ἡ ὑπομονὴ τῆς ἐλπίδος, ἡ ἐλπὶς τῆς ὑπομονῆς· ἅπερ ἀμφότερα ἀπὸ τῶν γραφῶν γίνεται. εἶτα πάλιν εἰς εὐχὴν προτρέπει τὸν λόγον, λέγων,

5 Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν. Ἐπειδὴ γὰρ εἶπε τὰ παρ' ἑαυτοῦ, καὶ τὰ ὑποδείγματα ἐπήγαγε τοῦ Χριστοῦ, καὶ τὴν ἀπὸ τῶν γραφῶν προσέθηκε μαρτυρίαν, δεικνὺς ὅτι μετὰ τῶν γραφῶν καὶ αὐτὸς πάλιν δίδωσι τὴν ὑπομονήν· διὰ τοῦτο ἔλεγεν, ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν. τοῦτο γάρ ἐστιν ἀγάπης, ὃ περὶ ἑαυτοῦ τις φρονεῖ, τοῦτο καὶ περὶ τοῦ ἄλλου. εἶτα πάλιν δεικνὺς ὅτι οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἐπήγαγε, κατὰ Χριστὸν Ἰησοῦν· ὃ πανταχοῦ ποιεῖ, ἐπειδή ἐστι καὶ ἑτέρα ἀγάπη. καὶ τί τὸ κέρδος τῆς συμφωνίας; Ἵνα ὁμοθυμαδόν, φησιν, ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεόν, καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐκ εἶπεν ἁπλῶς ἐν ἑνὶ στόματι, ἀλλὰ καὶ μιᾷ ψυχῇ τοῦτο ποιεῖν ἐκέλευσεν. εἶδες πῶς τὸ σῶμα ἥνωσεν ἅπαν, καὶ πῶς τὸν λό- *(χ. πῶς)* *(χ. πῶς)*

γον

γον κατέκλεισε πάλιν εἰς δοξολογίαν, ὅθεν καὶ ἐνάγει μάλιστα εἰς ὁμόνοιαν καὶ συμφωνίαν· εἶτα πάλιν ἐντεῦθεν τῆς αὐτῆς παραινέσεως ἔχεται, λέγων,

7 Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς εἰς δόξαν Θεοῦ. Πάλιν τὸ ὑπόδειγμα ἄνωθεν, καὶ τὸ κέρδος ἄφατον. μάλιστα γὰρ τὸν Θεὸν τοῦτο δοξάζει τὸ συμπεφράσθαι. ὥστε κἂν ἄλλως ὑπὸ αὐτοῦ διαστασιάζῃς πρὸς τὸν ἀδελφὸν, ἐννόησον ὅτι καταλύσας τὴν ὀργὴν τὸν δεσπότην σου δοξάζεις, κἂν μὴ διὰ τὸν ἀδελφὸν, δι' αὐτὸν γοῦν τοῦτον καταλλάγηθι· μᾶλλον δὲ διὰ τοῦτον πρότερον. καὶ γὰρ ὁ Χριστὸς τοῦτο ἄνω καὶ κάτω στρέφει, καὶ τῷ πατρὶ διαλεγόμενος ἔλεγεν, Ἐν τούτῳ γνώσονται πάντες ὅτι σύ με ἀπέστειλας, ἐὰν ὦσιν ἕν. Ἰωαν. ζ. ε.

Πειθώμεθα τοίνυν, καὶ συνάπτωμεν ἑαυτοὺς ἀλλήλοις. ἐνταῦθα γὰρ οὐκέτι τοὺς ἀσθενεῖς, ἀλλὰ πάντας διεγείρει. ΗΘΙΚΟΝ κἂν βούληταί τις ἀπορραγῆναί σου, μὴ καὶ σὺ ἀπορραγῇς· μηδὲ τὸ ψυχρὸν ἐκεῖνο φθέγξῃ ῥῆμα, ἐὰν φιλῇ με, φιλῶ· ἐὰν μὴ φιλῇ με ὁ δεξιὸς ὀφθαλμὸς, ἐξορύττω αὐτόν. Σατανικὰ γὰρ ταῦτα ῥήματα, καὶ τελωνῶν ἄξια, καὶ τῆς ἐθνικῶν μικροψυχίας. σὺ δὲ ὁ πρὸς μείζονα κληθεὶς πολιτείαν, καὶ εἰς τοὺς οὐρανοὺς ἐγγραφεὶς, μειζόνων ὑπεύθυνος εἶ νόμων. μὴ δὴ λέγε ταῦτα, ἀλλ' ὅταν σε μὴ βούληται φιλεῖν, τότε πλείονα ἐπιδείκνυσο τὴν ἀγάπην, ἵνα αὐτὸν ἐπισπάσῃ. καὶ γὰρ μέλος ἐστί· τὸ δὲ μέλος ὅταν ὑπό τινος ἀνάγκης ἀποσχίζηται τοῦ λοιποῦ σώματος, πάντα ποιοῦμεν ὥστε εἰσάξαι πάλιν αὐτὸ, καὶ πλείονα πρόνοιαν ἐπιδεικνύμεθα τότε. καὶ γὰρ πλείων ὁ μισθὸς, ὅταν μὴ βουλόμενον φιλεῖν ἐφελκύσῃ. εἰ γὰρ ἐπὶ ἀρίστου κελεύει καλεῖν τοὺς μὴ δυναμένους ἡμῖν ἀντιδοῦναι, ἵνα αὐξηθῇ τὰ τῆς ἀντιδόσεως· πολλῷ μᾶλλον ἐπὶ φιλίας τοῦτο δεῖ ποιεῖν. ὁ μὲν γὰρ φιλούμενος καὶ φιλῶν, ἀπέδωκέ σοι τὴν ἀμοιβήν· ὁ δὲ φιλούμενος καὶ μὴ φιλῶν, αὐθέντην σοι τὸν Θεὸν χρεώστην κατέστησε, καὶ χωρὶς τούτων ὅταν μὲν φιλῇ σε, οὐ πολλῆς δεῖται τῆς σπουδῆς· ὅταν δὲ μὴ φιλῇ, τότε σου χρείαν ἔχει τῆς βοηθείας. μὴ τοίνυν τὴν αἰτίαν τῆς σπουδῆς, αἰτίαν ποιοῦ ῥαθυμίας, μηδὲ λέγε, ἐπειδὴ νοσεῖ, διὰ τοῦτο αὐτοῦ ἀμελῶ (καὶ γὰρ νόσος ἐστὶν ἡ κατάψυξις τῆς ἀγάπης) ἀλλὰ σὺ θέρμανον τὸ καταψυχθέν. τί οὖν ἐὰν μὴ θερμαίνηται, φησι; μένε σὺ σαυτοῦ ποιῶν. τί οὖν, ἂν μειζόνως διαστρέφηται; πάλιν μείζονά σοι τὴν ἀντίδοσιν προξενεῖ, καὶ τοσοῦτον μᾶλλον δείκνυσι τοῦ Χριστοῦ μιμητήν. εἰ γὰρ τὸ ἀγαπᾶν ἀλλήλους, γνώρισμα μαθητῶν (Ἐν τούτῳ γὰρ γνώσονται πάντες, φησὶν, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους) Ἰωαν. ιγ. λε. τὸ τοὺς μισοῦντας φιλεῖν, ἐννόησον ἡλίκον. καὶ γὰρ ὁ δεσπότης σου μισοῦντας ἐφίλει καὶ προσεκάλει· καὶ ὅσῳ ἀσθενεῖς ἦσαν, τοσούτῳ μᾶλλον αὐτῶν ἐπεμελεῖτο, καὶ ἐβόα λέγων, Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Ματθ. θ. ιβ. καὶ τραπέζης ἠξίου τῆς αὐτῆς τελώνας καὶ ἁμαρτωλούς· καὶ ὅσῳ αὐτὸν ἠτίμασεν ἀτιμίᾳ ὁ τῶν Ἰουδαίων δῆμος, τοσαύτην περὶ αὐτοὺς ἐπεδείξατο τιμὴν καὶ κηδεμονίαν, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. τοῦτον καὶ σὺ ζήλωσον. οὐδὲ γὰρ μικρόν ἐστι τὸ κατόρθωμα, ἀλλ' οὗ χωρὶς οὐδὲ ὁ μαρτυρῶν σφόδρα δυνατὸν ἀρέσαι Θεῷ, καθὼς ὁ Παῦλός φησι. α. Κορ. ιγ. γ. μὴ τοίνυν λέγε, ὅτι μισεῖ με, καὶ διὰ τοῦτο οὐ φιλῶ. διὰ γὰρ τοῦτο μάλιστα φιλεῖν ὀφείλεις. ἄλλως δὲ, οὐδ' ἔνι φιλοῦντα μισεῖσθαι ταχέως, ἀλλὰ κἂν θηρίον ᾖ τις, τοὺς φιλοῦντας φιλεῖ. Τοῦτο γὰρ καὶ οἱ ἐθνικοί, φησι, καὶ οἱ τελῶναι ποιοῦσιν. Ματθ. ε. εἰ δὲ τοὺς φιλοῦντας ἕκαστος φιλεῖ, τοὺς μετὰ τοῦ μισεῖσθαι φιλοῦντας τίς οὐκ ἂν ἀγαπήσειε; τοῦτο τοίνυν ἐπίδειξαι, καὶ μὴ παύσῃ λέγων τοῦτο τὸ ῥῆμα, ὅτι ὅσῳ ἂν με μισήσῃς, οὐ παύσομαί σε φιλῶν, καὶ πᾶσαν φιλονεικίαν ἐχάλασας, καὶ πᾶσαν ψυχὴν ἐμάλαξας. ἢ γὰρ ἀπὸ φλεγμονῆς γὰρ τὸ νόσημα τοῦτο, ἢ ἀπὸ ψυχρότητος. ἀλλ' ἀμφότερα ἡ τῆς ἀγάπης δύναμις διορθοῦν εἴωθε τῇ θερμότητι. οὐχ ὁρᾷς τοὺς αἰσχρῶς ἐρῶντας ῥαπιζομένους, ἐμπτυομένους, ὀνειδιζομένους, μυρία πάσχοντας δεινὰ ὑπὸ τῶν πορνευομένων γυναικῶν ἐκείνων; τί οὖν ἐξέλυσε

λυσε

λῦσε τοῦτον τὸν ἔρωτα; πάντων τῶν ὕβρεων; οὐδαμῶς, ἀλλὰ καὶ μᾶλλον ἀνῆψε. καίτοιγε αἱ μὲν ταῦτα ποιοῦσαι μετὰ τὸ πορνεύεσθαι καὶ ἀσήμου γένους εἰσὶ καὶ εὐτελεῖς· οἱ δὲ πάσχοντες πολλάκις λαμπροὺς ἔχουσι προγόνους ἀριθμεῖν, καὶ πολλὴν ἄλλην περιφάνειαν λέγειν· ἀλλ' ὅμως οὐδὲ τοῦτο αὐτοὺς ἐκλύει, οὐδὲ ἀφίστησι τῆς ἐρωμένης. εἶτα οὐκ αἰσχυνόμεθα, ὅσην ὁ τοῦ διαβόλου καὶ τῶν δαιμόνων ἔρως ἰσχὺν ἔχει, ταύτην οὐ δυνάμενοι περὶ τὴν κατὰ Θεὸν ἐπιδεῖξαι φιλίαν; οὐκ ἐννοεῖς ὅτι τοῦτο μέγιστόν ἐστιν ὅπλον κατὰ τοῦ διαβόλου; οὐ συνορᾷς ὅτι παρέστηκεν ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἕλκων πρὸς ἑαυτὸν τὸν μισούμενον, καὶ βουλόμενος πλεονεκτῆσαι τὸ μέλος; σὺ δὲ παρατρέχεις, καὶ τὸ ἔπαθλον προδίδως τῆς μάχης; καὶ γὰρ ἔπαθλον ὁ ἀδελφὸς ἐν τῷ μέσῳ κεῖται. κἂν γὰρ περιγένῃ, σὺ τὸν στέφανον ἔλαβες· ἂν δὲ ῥαθυμήσῃς, ἀστεφάνωτος ἀνεχώρησας. παῦσαι τοίνυν τὸ σατανικὸν ἐκεῖνο φθεγγόμενος ῥῆμα, ὅτι ἐμὲ ὁ ἀδελφός μου μισεῖ με, οὐδὲ ἰδεῖν αὐτὸν βούλομαι. οὐδὲν γὰρ αἴσχιόν ἐστι τοῦ ῥήματος τούτου, καίτοιγε εὐγενοῦς αὐτὸ ψυχῆς δεῖγμα εἶναι τίθενται οἱ πολλοί· ἀλλ' οὐδὲν τούτων δυσγενέστερον, οὐδὲ ἀνοητότερον, οὐδὲ ὠμότερον. διὸ δὴ μάλιστα καὶ πενθῶ, ὅτι τὰ τῆς κακίας, ἀρετῆς εἶναι νομίζουσιν οἱ πολλοί, καὶ τὸ ὑπερορᾶν καὶ καταφρονεῖν, λαμπρὸν ἔδοξεν εἶναι καὶ σεμνόν· ὅπερ μεγίστη παγίς ἐστι τοῦ διαβόλου, τὸ καὶ ἀγαθὴν περιθεῖναι δόξαν τῇ πονηρίᾳ. διὸ καὶ δυσεξάλειπτος γίνεται. καὶ γὰρ πολλῶν ἔγωγε ἤκουσα σεμνυνομένων ἐπὶ τῷ μὴ προσίεσθαι τοὺς ἀποστρεφομένους αὐτούς· καίτοιγε ὁ δεσπότης σου καὶ ἐγκαλλωπίζεται τούτῳ. ποσάκις γοῦν αὐτὸν διέπτυσαν ἄνθρωποι; ποσάκις ἀπεστράφησαν; αὐτὸς δὲ οὐ παύεται ἐπιτρέχων. μὴ τοίνυν λέγε, ὅτι οὐ δύναμαι προσίεσθαι τοὺς μισοῦντας, ἀλλ' εἰπὲ, ὅτι οὐ δύναμαι διαπτύσαι τοὺς ἐκπτύοντας. τοῦτο * μαθητοῦ Χριστοῦ τὸ ῥῆμα, ὡς τό γε ἕτερον τοῦ διαβόλου· τοῦτο λαμπροὺς ἐποίει καὶ ἐνδόξους, ὡς τό γε ἕτερον αἰσχροὺς καὶ καταγελάστους. Ἐξοδ. λβ. λς. διὰ τοῦτο θαυμάζομεν Μωϋσέα, ὅτι καὶ τοῦ Θεοῦ λέγοντος, Ἔασόν με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτοὺς, οὐκ ἠδυνήθη διαπτύσαι τοὺς πολλάκις αὐτὸν ἀποστραφέντας, ἀλλ' ἔλεγεν, Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον. Θεοῦ γὰρ φίλος ἦν καὶ μιμητής. μηδὲ σεμνυνώμεθα ἐν οἷς ἐγκαλύπτεσθαι δεῖ, μηδὲ λέγωμεν τὰ τῶν ἀχρείων τούτων καὶ σεσυρμένων ἀνθρώπων, οἶδα καταπτύσαι μυρίων· ἀλλὰ κἂν ἕτερος οὕτω λέγῃ, καταστέλλωμεν καὶ ἐπιστομίζωμεν, ὅτι καλλωπίζεται ἐφ' οἷς αἰσχύνεσθαι ἔδει. τί λέγεις, εἰπέ μοι, καταπτύεις ἀνθρώπου πιστοῦ, οὗ ἄπιστος οὕτως ὢν κατέπτυσεν ὁ Χριστός; τί λέγω, οὐ κατέπτυσεν; οὕτω μὲν οὖν αὐτὸν ἐχθρὸν ὄντα καὶ δυσειδῆ ἐφίλησεν, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ. εἶτα αὐτὸς μὲν οὕτως ἐφίλησε καὶ τοιοῦτον ὄντα, σὺ δὲ νῦν, ὅτε ὡραῖος ἐγένετο καὶ θαυμαστὸς, διαπτύεις, εἰπέ μοι, μέλος ὄντα τοῦ Χριστοῦ, καὶ σῶμα γενόμενον δεσποτικόν; οὐκ ἐννοεῖς τί φθέγγῃ; οὐκ αἰσθάνῃ οἷα τολμᾷς; κεφαλὴν ἔχει τὸν Χριστὸν, καὶ τράπεζαν, καὶ ἱμάτιον, καὶ ζωὴν, καὶ φῶς, καὶ νυμφίον, καὶ πάντα ἐστὶν ἐκεῖνος αὐτῷ, καὶ τολμᾷς εἰπεῖν, ὅτι διαπτύω τοῦτον; καὶ οὐ τοῦτον μόνον, ἀλλὰ καὶ μυρίους ἑτέρους μετ' αὐτοῦ; ἐπίσχες, ἄνθρωπε, καὶ ἀνάπαυσαι τῆς μανίας, ἐπίγνωθι τὸν ἀδελφόν· μάθε ὅτι ἀνοίας ταῦτα τὰ ῥήματα καὶ παραπληξίας, καὶ λέγε τοὐναντίον, ὅτι κἂν μυριάκις με διαπτύσῃ, ἐγὼ οὐκ ἀποστήσομαι· οὕτω καὶ τὸν ἀδελφὸν κερδανεῖς, καὶ εἰς δόξαν τοῦ Θεοῦ βιώσῃ, καὶ τῶν μελλόντων ἀγαθῶν μεθέξεις· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κη. 8 ΛΕΓΩ ΔΕ ΧΡΙΣΤΟΝ ΙΗΣΟΥΝ ΔΙΑΚΟνον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων.

Παλιν

Πάλιν περὶ τῆς τοῦ Χριστοῦ κηδεμονίας * διαλέγεται, ἔτι τοῦ αὐτοῦ κεφαλαίου ἐχόμενος, καὶ δεικνὺς ὅσα ἐποίησεν ὑπὲρ ἡμῶν, καὶ πῶς οὐχ ἑαυτῷ ἤρεσε. καὶ μετὰ τούτου καὶ ἕτερον κατασκευάζει, ὅτι μειζόνων εἰσὶν οἱ ἐξ ἐθνῶν ὀφειλέται τῷ Θεῷ. εἰ δὲ μειζόνων εἰσὶ, δίκαιοι ἂν εἶεν φέρειν τοὺς ἐξ Ἰουδαίων ἀσθενεῖς. ἐπειδὴ γὰρ σφόδρα ἐκείνων καθήψατο, ἵνα μὴ τούτους ἐπάρῃ τοῦτο, καταστέλλει πάλιν αὐτῶν τὴν ἀπόνοιαν, ἐκείνοις μὲν ἐξ ἐπαγγελίας πατέρων δεικνὺς δεδομένα τὰ ἀγαθά· τοῖς δὲ ἐξ ἐθνῶν, ἐξ ἐλέους καὶ φιλανθρωπίας μόνης. διὸ καὶ ἔλεγε, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, αὐτῆς πάλιν ἄκουσον τῆς ῥήσεως, ἵνα μάθῃς τί ἐστι τὸ ὑπὲρ ἀληθείας Θεοῦ γεγενῆσθαι τὸν Χριστὸν διάκονον περιτομῆς, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων. ποία ποτ' οὖν ἐστι τὸ εἰρημένον; ἐπαγγελία πρὸς τὸν Ἀβραὰμ ἦν γεγενημένη λέγουσα, Σοὶ δώσω τὴν γῆν καὶ τῷ σπέρματί σου, καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη. ἀλλ' ἔμελλον κολάσεως ὑπεύθυνοι μετὰ ταῦτα οἱ τοῦ σπέρματος Ἀβραὰμ ἅπαντες. ὁ γὰρ νόμος ὀργὴν αὐτοῖς κατειργάζετο παραβαινόμενος, καὶ τῆς ἐπαγγελίας ἀπεστέρει λοιπὸν ἐκείνης τῆς τῶν πατέρων. παραγενόμενος τοίνυν ὁ υἱὸς συνέπραξε τῷ πατρὶ, εἰς τὸ τὰς ἐπαγγελίας ἐκείνας ἀληθεῦσαι καὶ εἰς τέλος ἐξελθεῖν. πάντα γὰρ τὸν νόμον πληρώσας ἐν ᾧ καὶ περιτομὴν, καὶ ταύτῃ καὶ διὰ τοῦ σταυροῦ τῆς κατάρας ἀπαλλάξας τῆς ἐπὶ τῇ παραβάσει, οὐκ ἀφῆκε διαπεσεῖν τὴν ἐπαγγελίαν. ὅταν οὖν λέγῃ διάκονον περιτομῆς, τοῦτο λέγει, ὅτι ἐλθὼν, καὶ πάντα τὸν νόμον πληρώσας, καὶ περιτμηθεὶς, καὶ γενόμενος σπέρμα τοῦ Ἀβραὰμ, ἔλυσε τὴν κατάραν, ἔπαυσε τοῦ Θεοῦ τὴν ὀργὴν, ἐπιτηδείους λοιπὸν ἐποίησε τοὺς μέλλοντας δέχεσθαι τὴν ἐπαγγελίαν, ἅπαξ ἀπαλλαγέντας τοῦ προσκεκρουκέναι. ἵν' οὖν μὴ λέγωσιν οὗτοι οἱ ἐγκαλούμενοι, πῶς οὖν ὁ Χριστὸς περιετέμνετο, καὶ πάντα τὸν νόμον ἐφύλαττεν; εἰς τοὐναντίον αὐτὸ περιέτρεψε. οὐ γὰρ ἵνα μείνῃ ὁ νόμος τοῦτο ἐποίησέ, φησιν, ἀλλ' ἵνα αὐτὸν λύσῃ, καί σε ἀπαλλάξῃ τῆς ἐπικειμένης κατάρας, καὶ ἐλευθερώσῃ καθόλου τῆς ἀρχῆς τῆς ἐξ ἐκείνου. ἐπειδὴ γὰρ σὺ παρέβης τὸν νόμον, διὰ τοῦτο ἐκεῖνος ἐπλήρωσεν. οὐχ ἵνα σὺ πληρώσῃς, ἀλλ' ἵνα σοὶ τὰς ἐπαγγελίας βεβαιώσῃ τὰς πρὸς τοὺς πατέρας· ἃς ὁ νόμος διαπεσεῖν ἐποίει, δεικνύς σε προσκεκρουκότα, καὶ τῆς κληρονομίας ὄντα ἀνάξιον· ὥστε καὶ σὺ κατὰ χάριν ἐσώθης. καὶ γὰρ ἀποβεβλημένος ἦς. μὴ τοίνυν στασίαζε, μηδὲ φιλονείκει αὐτῷ χρώμενος ἀκαίρως τοῦ νόμου, ὅς σε τῆς ἐπαγγελίας ἐξέβαλεν ἂν, εἰ μὴ τοσαῦτα ἔπαθεν ὑπὲρ σοῦ ὁ Χριστός. ἔπαθε δὲ ταῦτα, οὐκ ἐπειδὴ σὺ ἄξιος ἦς σωτηρίας, ἀλλ' ὥστε ἀληθεῦσαι τὸν Θεόν. εἶτα, ἵνα μὴ τοῦτο φυσήσῃ τὸν ἐξ ἐθνῶν, φησί·

9 Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ μὲν Ἰουδαῖοι καὶ ἐπαγγελίας εἶχον, εἰ καὶ ἀνάξιοι ἦσαν· σὺ δὲ οὐδὲ τοῦτο, ἀλλ' ἀπὸ φιλανθρωπίας ἐσώθης μόνης. εἰ καὶ τὰ μάλιστα οὐδὲ ἐκείνοις τι πλέον ἐγένετο ἀπὸ τῆς ἐπαγγελίας, εἰ μὴ παρεγένετο ὁ Χριστός· ἀλλ' ὅμως ἵνα αὐτοὺς κεράσῃ, καὶ μὴ συγχωρήσῃ κατεξανίστασθαι τῶν ἀσθενῶν, μέμνηται τῶν ἐπαγγελιῶν. περὶ δὲ τούτων φησὶν, ὅτι ἐλέει ἐσώθησαν μόνῳ. διὸ καὶ δίκαιοι ἂν εἶεν μάλιστα δοξάζειν τὸν Θεόν. δόξα δὲ Θεῷ, τὸ συνῆφθαι, τὸ ἡνῶσθαι, τὸ ὁμοθυμαδὸν εὐφημεῖν, τὸ βαστάζειν τὸν ἀσθενέστερον, τὸ μὴ περιορᾶν ἀπερρηγνύμενον τὸ μέλος. εἶτα καὶ μαρτυρίας ἐπάγει, ἐν αἷς δείκνυσιν ὅτι δεῖ συνῆφθαι τοὺς ἐξ Ἰουδαίων τοῖς ἐξ ἐθνῶν, οὕτω λέγων, Καθὼς γέγραπται, διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ.

10 Καὶ, εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ.

Γεν. κβ.

11 Καὶ, αἰνεῖτε πάντα τὰ ἔθνη τὸν Κύριον, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.
12 Καὶ, ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.
Ταῦτα δὲ πάντα ἐπήγαγε, δεικνὺς ὅτι δεῖ συνάπτεσθαι καὶ δοξάζειν τὸν Θεὸν, καὶ ὁμοῦ καὶ τὸν ἐξ Ἰουδαίων καταστέλλων, ἵνα μὴ ἐπαίρηται κατὰ τούτου, τῶν προφητῶν πάντων τούτους καλούντων, καὶ τὸν δὲ ἐξ ἐθνῶν πείθων μετριάζειν, τῷ δεῖξαι πλείονος ὑπεύθυνον ὄντα χάριτος. Εἶτα πάλιν ἐπὶ εὐχὴν κατακλείει τὸν λόγον, λέγων·
13 Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου· Τουτέστιν, ἀπαλλαγείητε τῆς πρὸς ἀλλήλους ἀθυμίας, καὶ μὴ καταβληθείητέ ποτε ὑπὸ τῶν πειρασμῶν. τοῦτο δὲ ἔσται, ἐν τῷ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι. ὃ δὴ πάντων αἴτιον τῶν ἀγαθῶν τούτων. τοῦτο δὲ ἀπὸ πνεύματος ἔσται ἁγίου. ἀλλ' οὐχ ἁπλῶς ἀπὸ πνεύματος, ἀλλ' ἐὰν καὶ τὰ παρ' ἡμῶν εἰσενέγκωμεν. διὰ τοῦτό φησιν, ἐν τῷ πιστεύειν. οὕτω γὰρ δύνασθε πληρωθῆναι χαρᾶς, ἐὰν πιστεύητε, ἐὰν ἐλπίζητε. ἀλλ' οὐκ εἶπεν, ἐὰν ἐλπίζητε, ἀλλ', ἐὰν περισσεύητε ἐν τῇ ἐλπίδι, ὥστε μὴ μόνον παραμυθίαν εὑρεῖν τῶν δεινῶν, ἀλλὰ καὶ χαρὰν ἔχειν διὰ τὴν περιουσίαν τῆς πίστεως καὶ τῆς ἐλπίδος. οὕτω καὶ τὸ πνεῦμα ἐπισπάσεσθε· οὕτω καὶ ἐκείνου παραγινομένου, τὰ ἀγαθὰ διατηρήσετε πάντα.

ΗΘΙΚΟΝ

Καθάπερ γὰρ τὴν ζωὴν ἡμῶν ἡ τροφὴ διακρατεῖ, καὶ ταύτην ἡ ζωὴ οἰκονομεῖ· οὕτως ἐὰν ἔχωμεν ἔργα ἀγαθὰ, τὸ πνεῦμα ἕξομεν· κἂν τὸ πνεῦμα ἔχωμεν, καὶ ἔργα ἕξομεν ἀγαθά. ὥσπερ οὖν καὶ τοὐναντίον, ἐὰν μὴ ἔργα ἔχωμεν, τὸ πνεῦμα ἀφίπταται· ἐὰν δὲ τοῦ πνεύματος ἐρημωθῶμεν, καὶ περὶ τὰ ἔργα χωλεύσομεν. ὅταν γὰρ τοῦτο ἀπέλθῃ, τὸ ἀκάθαρτον ἔρχεται· καὶ δῆλον ἀπὸ τοῦ Σαούλ. τί γὰρ εἰ μὴ πνίγει ἡμᾶς ὥσπερ ἐκεῖνον; ἀλλ' ἑτέρως ἀπαγχονίζει διὰ πράξεων πονηρῶν. δεῖ τοίνυν ἡμῖν τῆς κιθάρας τοῦ Δαβὶδ, ἵνα ἐπᾴδωμεν τῇ ψυχῇ τὰς θείας ἐπῳδὰς, καὶ τὰς ἐντεῦθεν, καὶ τὰς [ἀπὸ] τῶν ἀγαθῶν πράξεων. ὡς ἂν θάτερον μόνον ποιῶμεν, καὶ τῆς ᾠδῆς ἀκούοντες, τῷ ταῦτα ἐπᾴδοντι πολεμῶμεν διὰ τῶν ἔργων, καθάπερ ἐκεῖνος τότε· καὶ εἰς κρίμα ἡμῖν ἔσται τὸ φάρμακον, καὶ χαλεπωτέρα ἡ μανία γενήσεται. πρὸ μὲν γὰρ τοῦ ἀκοῦσαι, δέδοικεν ὁ πονηρὸς δαίμων, μήποτε ἀκούσαντες κατορθώσωμεν· ὅταν δὲ καὶ ἀκούσαντες οἱ αὐτοὶ μένωμεν, καὶ τοῦτο ἐξαιρεῖται τὸ δέος αὐτοῦ. ψάλλωμεν τοίνυν τὴν ἀπὸ τῶν πράξεων ᾠδὴν, ἵνα τὴν δαίμονος χαλεπωτέραν ἐκβάλωμεν ἁμαρτίαν. δαίμων γὰρ οὐ πάντως ἀποστερεῖ τῶν οὐρανῶν, ἀλλ' ἔστιν ὅπου καὶ συμπεραίνει τῷ νήφοντι· ἁμαρτία δὲ πάντως ἐκβάλλει. δαίμων γάρ ἐστιν ἑκούσιος αὕτη, καὶ μανία αὐθαίρετος. διόπερ οὐδὲ τοὺς ἐλεοῦντας ἔχει καὶ συγγινώσκοντας. ἐπᾴδωμεν τοίνυν τῇ οὕτω διακειμένῃ ψυχῇ, καὶ ἀπὸ τῶν ἄλλων γραφῶν, καὶ ἀπὸ τοῦ μακαρίου Δαβίδ· καὶ ψαλλέτω τὸ στόμα, καὶ παιδευέσθω ὁ νοῦς. οὐκ ἔστιν οὐδὲ τοῦτο αὐτοῦ μικρόν. ἂν γὰρ παιδεύσωμεν τὴν γλῶτταν ψάλλειν, αἰσχυνθήσεται ἡ ψυχὴ ταύτης ψαλλούσης τἀναντία βουλομένη. οὐ τοῦτο δὲ μόνον καρπωσόμεθα τὸ καλὸν, ἀλλ' ὅτι καὶ πολλὰ ἡμεῖς εἰσόμεθα τῶν ἡμῖν διαφερόντων. καὶ γὰρ καὶ περὶ τῶν παρόντων καὶ τῶν μελλόντων σοι διαλέγεται, καὶ περὶ τῶν ὁρωμένων, καὶ περὶ τῆς ἀοράτου κτίσεως. κἂν περὶ οὐρανοῦ θέλῃς μαθεῖν, πότερον μένει τοιοῦτος ἢ μεταβάλλεται, σαφῶς ἀποκρίνεταί σοι

Ψαλμ. ρα. κζ. καὶ ἐρεῖ, Ὅτι οἱ οὐρανοὶ ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς ὁ Θεὸς, καὶ ἀλλαγήσονται. καὶ περὶ τοῦ σχήματος ἂν θέλῃς ἀκοῦσαι, ἀκούσῃ πάλιν· Ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. κἂν περὶ τῶν νώτων αὐτοῦ βουληθῇ τις πλέον εἰδέναι, ἐρεῖ σοι πάλιν,

Ψαλμ. ργ. ϛ. καὶ γ. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ περὶ τοῦ πλάτους καὶ τοῦ ὕψους σοι διαλέγεται, δεικνὺς ταῦτα ἰσόμετρα ὄντα. Καθ' ὅσον γάρ, φησιν, ἀπέ-

χουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. κἂν τῆς γῆς τὰ θεμέλια περιεργάσῃ, οὐδὲ ταῦτά σε ἀποκρύψεται, ἀλλ' ἀκούσῃ ψάλλοντος αὐτοῦ καὶ λέγοντος, Ὅτι ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν. κἂν περὶ τῶν σεισμῶν ἐπιθυμήσῃς μαθεῖν πόθεν γίνονται, ἀπαλλάξει σε πάσης ἀπορίας οὕτω λέγων, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. κἂν τῆς νυκτὸς ζητήσῃς τὴν χρείαν, καὶ ταύτην εἴσῃ παρ' αὐτοῦ μαθών, Ὅτι ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. καὶ τὰ ὄρη ποῦ χρήσιμα, ἀποκρίνεταί σοι· Ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις. καὶ διὰ τί αἱ πέτραι λέγει σοι· Πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις, καὶ τοῖς λαγωοῖς. Διὰ τί τὰ ἄκαρπα δένδρα μάθε· Ἐκεῖ στρουθία ἐννοσσεύσουσι. Διὰ τί ἐν ἐρήμοις πηγαί; Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, καὶ τὰ θηρία τοῦ ἀγροῦ. διὰ τί οἶνος; οὐχ ἵνα πίνῃς μόνον (ἐπεὶ ἤρκει καὶ ἡ τοῦ ὕδατος φύσις) ἀλλ' ἵνα καὶ εὐφρανθῇς καὶ ἡσθῇς. Οἶνος γὰρ εὐφραίνει καρδίαν ἀνθρώπου. τοῦτο μαθὼν, εἴσῃ καὶ μέχρι ποῦ τῷ οἴνῳ χρῆσθαι δεῖ. πόθεν τρέφεται τὰ πετεινά, καὶ τὰ ἄγρια θηρία; ἀκούσῃ λέγοντος, Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον. ἂν εἴπῃς, διὰ τί τὰ κτήνη; ἀποκρίνεταί σοι, ὅτι καὶ ταῦτα διὰ σέ. Ὁ ἐξανατέλλων γάρ, φησι, χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. τί τῆς σελήνης σοι χρεία; ἄκουσον αὐτοῦ λέγοντος, Ἐποίησε σελήνην εἰς καιρούς. καὶ ὅτι κτιστὰ πάντα τὰ ὁρώμενα καὶ τὰ μὴ ὁρώμενα, καὶ τοῦτο σαφῶς ἐδίδαξεν εἰπών, Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. καὶ ὅτι θανάτου λύσις ἐστί, καὶ τοῦτό σε διδάσκει λέγων, Ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. πόθεν δὲ σῶμα ἡμῖν γέγονε; καὶ τοῦτο λέγει· Ἐμνήσθη ὅτι χοῦς ἐσμέν. ποῦ πάλιν ἀπέρχεται; Ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ. διὰ τί ταῦτα πάντα; διὰ σέ. Δόξῃ γὰρ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. [εἰ] ἔχομέν τι κοινὸν πρὸς τοὺς ἀγγέλους οἱ ἄνθρωποι; καὶ τοῦτο λέγει ψάλλων οὕτως, Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. περὶ τῆς ἀγάπης τοῦ Θεοῦ· Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. περὶ τῶν μετὰ ταῦτα διαδεξομένων ἡμᾶς, καὶ τῆς ἀταράχου λήξεως ἐκείνης· Ἐπίστρεψον, φησί, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου. διὰ τί πάντα μέγας ὁ οὐρανός; καὶ τοῦτο ἐρεῖ· Ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. διὰ τί νὺξ καὶ ἡμέρα ἐγένετο; οὐχ ἵνα φαίνωσι καὶ ἀναπαύωσι μόνον, ἀλλ' ἵνα καὶ παιδεύωσιν. Οὐ γάρ εἰσι λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. πῶς ἡ θάλασσα περιέχεται τῇ γῇ; Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῆς· οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἔχει. ἀπὸ τῶν εἰρημένων ἀρχὴν λαβόντες, καὶ τὰ ἄλλα πάντα εἴσεσθε, τὰ περὶ Χριστοῦ, τὰ περὶ ἀναστάσεως, τὰ περὶ τῆς μελλούσης ζωῆς, τὰ περὶ ἀναπαύσεως, τὰ περὶ κολάσεως, τὰ περὶ τῶν ἠθικῶν λόγων, τὰ περὶ τῶν δογμάτων ἅπαντα, καὶ μυρίων ἀγαθῶν ἐμπεπλησμένον τὸ βιβλίον εὑρήσετε. κἂν εἰς πειρασμοὺς ἐμπέσῃς, πολλὴν ἐντεῦθεν λήψῃ παραμυθίαν. κἂν εἰς ἁμαρτήματα, μυρία φάρμακα κείμενα ἐνταῦθα εὑρήσεις, κἂν εἰς πενίαν, κἂν εἰς θλῖψιν, πολλοὺς τοὺς λιμένας ὄψει. κἂν δίκαιος ᾖς, πολλὴν ἀσφάλειαν ἐκεῖθεν καρπώσῃ· κἂν ἁμαρτωλὸς ᾖς, πολλὴν παραμυθίαν. ἄν τε γὰρ δίκαιος ᾖς, καὶ πάσχῃς δεινά, ἀκούσῃ λέγοντος, Ὅτι ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου. κἂν ἐπαρθῇ σε τὰ κατορθώματα, ἀκούσῃ λέγοντος, Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, καὶ εὐθέως ταπεινωθήσῃ. κἂν ἁμαρτωλὸς ᾖς, καὶ ἀπεγνωκὼς ἑαυτόν, ἀκούσῃ συνεχῶς ἐπᾴδοντος, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ· καὶ ἀναστήσῃ ταχέως. κἂν διάδημα ἔχῃς ἐπὶ τῆς κεφαλῆς, καὶ μέγα φρονῇς,

Ψαλμ. κγ. β. Ψαλμ. ργ. λβ. Ψαλμ. ργ. κ. Ψαλμ. ργ. ιη. Ψαλμ. ργ. ιζ. Ψαλμ. ργ. ιβ. Ψαλμ. ργ. ιε. Ψαλμ. ργ. κζ. Ψαλμ. ργ. ιδ. Ψαλμ. ρμη. ε. Ψαλμ. μη. ιε. Ψαλμ. ρβ. ιδ. Ψαλμ. ργ. κθ. Ψαλμ. η. ε. Ψαλμ. η. ε. Ψαλμ. ρβ. ιγ. Ψαλμ. ριδ. ζ. Ψαλμ. ιη. α. καὶ β. Ψαλμ. ργ. ε. Ψαλμ. μγ. κβ. Ψαλμ. μγ. ιη. Ψαλμ. ρμβ. β. Ψαλμ. ϟδ. η.

Ψαλμ. λβ. ιϛ. μαθήσῃ, Ὅτι οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύ-
ος αὐτοῦ· καὶ δυνήσῃ μετριάζειν. ἐὰν πλούσιος ᾖς καὶ ἐπίδοξος, πάλιν ἀκούσῃ ψάλλοντος, Οὐαὶ
Ψαλμ. μη. οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν ″ καυχώμενοι· γρ. [illegible]
Ψαλμ. ρβ. ιε. καὶ, Ὅτι ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· καὶ, Οὐ
Ψαλμ. μη ιη. συγκαταβήσεται ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ· καὶ οὐδὲν ἡγήσῃ μέγα εἶναι τῶν ἐπὶ τῆς γῆς. εἰ
γὰρ πάντων λαμπρότεροι, ἡ δόξα καὶ ἡ δυναστεία ὅταν οὕτως εὐτελὴς ᾖ, τί ἕτερον ἄξιον
Ψαλμ. μα. ιϛ. ἂν εἴη λόγου τῶν ἐπὶ τῆς γῆς; ἀλλ' ἐν ἀθυμίᾳ κατέστης; ἄκουσον αὐτοῦ λέγοντος, Ἵνα τί περί-
λυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ ″ τὸν Θεὸν, ὅτι ἐξομολογήσο- γρ. τῷ Θεῷ
μαι αὐτῷ. ἀλλ' ὁρᾷς εὐδοκιμοῦντας παρ' ἀξίαν; εἰπὲ, Μὴ παραζήλου ἐν πονηρευομένοις, ὅτι
Ψαλμ. λϛ. α. καὶ β. ὡσεὶ χόρτος ξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. ὁρᾷς καὶ δικαίους καὶ
ἁμαρτωλοὺς κολαζομένους; ἄκουσον ὅτι οὐχ ἡ αὐτὴ αἰτία. Πολλαὶ γὰρ, φησὶν, αἱ μάστιγες
Ψαλμ. λα. ι. τοῦ ἁμαρτωλοῦ· ἐπὶ δὲ τῶν δικαίων οὐκ εἶπεν, αἱ μάστιγες, ἀλλὰ, Πολλαὶ αἱ θλίψεις τῶν
Ψαλμ. λγ. κ. δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. καὶ πάλιν, Θάνατος ἁμαρτωλῶν πο-
Ψαλμ. λδ. κβ. νηρός· καὶ, Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ταῦτα λέγε συνεχῶς, ἐντεῦ-
Ψαλμ. ριε. ιε. θεν παιδεύου. τούτων γὰρ ἕκαστον τῶν ῥημάτων πέλαγος ἀχανὲς ἔχει νοημάτων. ἡμεῖς μὲν γὰρ
ἁπλῶς αὐτὰ παρεδράμομεν· εἰ δὲ βουληθείητε μετὰ ″ ἀκριβείας διερευνήσασθαι τὰ εἰ- γρ. [illegible]
ρημένα, πολὺν ὄψεσθε τὸν πλοῦτον. ἀλλὰ πῶς καὶ ἐκ τῶν εἰρημένων δυνατὸν καθαί-
ρεσθαι τῶν ἐπικειμένων παθῶν· ὅταν γὰρ μήτε φθονεῖν ἐᾷ, μήτε λυπεῖσθαι καὶ ἀθυμεῖν
ἀκαίρως, μήτε πτοεῖσθαι ἢ πλοῦτον, μήτε θλῖψιν, μήτε πενίαν, μηδὲ αὐτὴν τὴν ζωὴν νο-
μίζειν τι εἶναι, πάντων σε ἀπαλλάττει τῶν παθῶν. ὑπὲρ δὴ τούτων εὐχαριστήσωμεν τῷ Θεῷ,
καὶ τὸν θησαυρὸν μεταχειριζώμεθα, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν
τὴν ἐλπίδα ἔχωμεν, καὶ τῶν μελλόντων ἀπολαύσωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐ-
πιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Λογ. κθ. 14 ΠΕΠΕΙΣΜΑΙ ΔΕ, ΑΔΕΛΦΟΙ ΜΟΥ, ΚΑΙ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν.

Ρωμ. ια ιγ. καὶ κα. Εἶπεν, Ὅτι ἐφ' ὅσον εἰμὶ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω·
εἶπεν, Ὅτι μήπως οὐδέ σου φείσηται· εἶπε, Μὴ γίνεσθε φρόνιμοι
Ρωμ. ιβ. ιϛ. παρ' ἑαυτοῖς· καὶ πάλιν, Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; καί, Σὺ τίς εἶ ὁ
Ρωμ. ιδ. κβ. Ρωμ. ιδ. δ. κρίνων ἀλλότριον οἰκέτην; καὶ ἕτερα πολλῷ πλείονα ″ τοιαῦτα. ἐπεὶ γρ. [illegible]
οὖν πολλαχοῦ τὸν λόγον τραχύτερον ἐποίησε, θεραπεύει λοιπόν· καὶ
ὅπερ ἀρχόμενος ἔλεγε, τοῦτο καὶ τελευτῶν. ἀρχόμενος μὲν ἔλεγεν,
εὐχαριστῶ τῷ Θεῷ μου ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσ-
μῳ· ἐνταῦθα δὲ, πέπεισμαι, φησὶν, ὅτι μεστοί ἐστε ἀγαθωσύνης, δυνάμενοι καὶ ἄλλους νου-
θετεῖν· ὅπερ πλέον ἐστὶν ἐκείνου. καὶ οὐκ εἶπεν, ἤκουσα, ἀλλὰ, πέπεισμαι, καὶ οὐ, δέομαι παρ'
ἑτέρου μαθεῖν, ἀλλ' αὐτὸς ἐγὼ, τουτέστιν, ὁ ἐπιτιμῶν, ὁ ἐγκαλῶν. καὶ ὅτι μεστοί ἐστε ἀγαθωσύ-
νης. τοῦτο πρὸς τὴν ἔναγχος γενομένην παραίνεσιν· ὡς ἂν εἰ ἔλεγεν, ὅτι οὐχ ὡς ὠμοῖς οὐδὲ
μισαδέλφοις ταῦτα παρῄνεσα, προσλαμβάνεσθαι, καὶ * ἐᾶν, μηδὲ καταλύειν τὸ ἔργον τοῦ * μὴ
Θεοῦ. οἶδα γὰρ ὅτι μεστοί ἐστε ἀγαθωσύνης. δοκεῖ δέ μοι ἐνταῦθα καὶ ὁλόκληρον τὴν ἀρετὴν
οὕτω καλεῖν. καὶ οὐκ εἶπεν, ἔχετε, ἀλλὰ, μεστοί ἐστε ἀγαθωσύνης. καὶ τὸ ἑξῆς μετὰ τῆς αὐ-
τῆς ἐπιτάσεως· πεπληρωμένοι πάσης γνώσεως. τί γὰρ εἰ φιλόστοργοι μὲν ἦσαν, οὐκ ᾔδε-
σαν δὲ πῶς δεῖ τοῖς φιλουμένοις χρῆσθαι; διὰ τοῦτο προσέθηκε, πάσης γνώσεως, δυνά-

μενοι καὶ ἄλλους νουθετεῖν· οὐχὶ μόνον μανθάνειν, ἀλλὰ καὶ διδάσκειν. 15 Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους. Ὅρα Παύλου ταπεινοφροσύνην, ὅρα σοφίαν, πῶς τὸ βαθεῖαν ἔδωκε τὴν τομὴν ἐν τοῖς ἔμπροσθεν· καὶ ἐπεὶ κατόρθωσεν ὅπερ ἤθελε, πολλῇ κέχρηται τῇ θεραπείᾳ πάλιν. ἱκανὸν γὰρ καὶ χωρὶς τῶν εἰρημένων, αὐτὸ τοῦτο τὸ ὁμολογῆσαι τετολμηκέναι, χαλάσαι αὐτῶν τὸν τόνον. τοῦτο καὶ Ἑβραίοις ἐπιστέλλων ποιεῖ, λέγων οὕτω, Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. καὶ Κορινθίοις πάλιν ὁμοίως, Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα τὰς παραδόσεις, οὕτω κατέχετε. Γαλάταις δὲ ἐπιστέλλων ἔλεγε, Πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε. καὶ πανταχοῦ δὲ τῶν ἐπιστολῶν τοῦτο εὕροι τις ἂν τὸ θεώρημα δαψιλές· ἐνταῦθα δὲ καὶ μειζόνως. καὶ γὰρ ἐν ἀξιώματι ἦσαν πλείονι, καὶ ἔδει φλεγμαίνουσαν τὴν διάνοιαν αὐτῶν καταστέλλειν, μὴ τῷ τύφειν μόνον, ἀλλὰ καὶ τῷ χαλᾷν. καὶ γὰρ διαφόρως αὐτὸ ποιεῖ· διὸ καὶ ἐνταῦθά φησι, Τολμηρότερον ὑμῖν ἔγραψα. καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ προσέθηκεν, ἀπὸ μέρους, τουτέστιν, ἠρέμα. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ τί φησιν; Ὡς ἐπαναμιμνήσκων ὑμᾶς. Καὶ οὐκ εἶπε, διδάσκων, οὐδὲ, ἀναμιμνήσκων, ἀλλ', ἐπαναμιμνήσκων, τουτέστι, μικρόν τι ἀναμιμνήσκων. ὁρᾷς τὸ τέλος τῷ προοιμίῳ συμβαῖνον; ὥσπερ γὰρ ἐκεῖ ἔλεγεν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ, οὕτω καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς, ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. καὶ ὥσπερ ἀρχόμενος ἔλεγεν, ἐπιποθῶ γὰρ ὑμᾶς ἰδεῖν, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς, τοῦτο δέ ἐστι, συμπαρακληθῆναι· οὕτω καὶ ἐνταῦθα, ὡς ἐπαναμιμνήσκων ἔλεγε. καὶ ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ διδασκαλικοῦ, καὶ ἐκεῖ καὶ ἐνταῦθα ὡς ἀδελφοῖς διαλέγεται, καὶ φίλοις, καὶ ὁμοτίμοις· ὃ δὴ μάλιστά ἐστι διδασκάλου, τὸ διαποικίλλειν τὸν λόγον πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν. ὅρα γοῦν πῶς εἰπὼν, ὅτι τολμηρότερον ἔγραψα, καὶ ὅτι ἀπὸ μέρους, καὶ ὅτι ὡς ἐπαναμιμνήσκων, οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ ταπεινότερον ἔτι ποιῶν τὸν λόγον, ἐπήγαγε,

Διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ. Ὃ καὶ ἀρχόμενος ἔλεγεν, ὀφειλέτης εἰμί. ὡσανεὶ ἔλεγεν, οὐκ ἐμαυτῷ ἥρπασα τὴν τιμὴν, οὐδὲ ἐπεπήδησα τούτῳ πρῶτος, ἀλλ' ὁ Θεὸς τοῦτο ἐπέταξε, καὶ τοῦτο κατὰ χάριν, οὐχ ὡς ἄξιον εἰς τοῦτο ἀφορίσας. μὴ τοίνυν τραχύνεσθε. οὐ γὰρ ἐγὼ κατεξανίσταμαι, ὁ Θεός ἐστιν ὁ ἐπιτάττων. καὶ ὥσπερ ἐκεῖ φησιν, ᾧ λατρεύω ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, οὕτω καὶ ἐνταῦθα εἰπὼν, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, ἐπήγαγεν,

16 Εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ. Μετὰ γὰρ τὴν πολλὴν τῶν εἰρημένων ἀπόδειξιν, ἐπὶ τὸ σεμνότερον ἄγει τὸν λόγον, οὐχ ἁπλῶς λατρείαν λέγων, καθάπερ ἐν ἀρχῇ, ἀλλὰ λειτουργίαν, καὶ ἱερουργίαν. αὕτη γάρ μοι ἱερωσύνη, τὸ κηρύττειν καὶ καταγγέλλειν· ταύτην προσφέρω τὴν θυσίαν. ἱερέα δὲ οὐδεὶς ἂν ἐγκαλέσειε, τὸ θῦμα σπουδάζοντι ἄμωμον προσενεγκεῖν. ταῦτα δὲ ἔλεγεν, ἅμα καὶ τούτων ὑψηλότερα τὰ φρονήματα, καὶ δεικνὺς θυσίαν ὄντας, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος, ὅτι τοῦτο ἐπιτέτακται. ἡ γὰρ μάχαιρα μὲν τὸ εὐαγγέλιον, φησι, ὁ τοῦ κηρύγματος λόγος. καὶ ἡ αἰτία, οὐχ ἵνα ἐγὼ δοξασθῶ, οὐχ ἵνα λαμπρὸς φανῶ, ἀλλ' Ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.

Τουτέστιν, αἱ ψυχαὶ τῶν διδασκομένων ἵνα δεχθῶσιν. οὐ γὰρ ἐμὲ τοσοῦτον τιμῶν ὁ Θεὸς, εἰς τοῦτο ἤγαγεν, ὅσον ὑμῶν κηδόμενος. καὶ πῶς ἂν γένοιτο εὐπρόσδεκτος; ἐν πνεύματι ἁγίῳ. οὐ γὰρ πίστεως δεῖ μόνης, ἀλλὰ καὶ πολιτείας πνευματικῆς, ἵνα κατέχωμεν τὸ πνεῦμα τὸ δοθὲν ἅπαξ. οὐ γὰρ ξύλα καὶ πῦρ, οὐδὲ βωμὸς καὶ μάχαιρα, ἀλλὰ πνεῦμα τὰ πάντα παρ' ἡμῖν. διὰ τοῦτο

Ἑβρ. ς. θ.
α. Κορ. ια. β.
Γαλ. ε. ι.

πάντα ποιῶ, ἵνα μὴ σβεσθῇ ἐκεῖνο τὸ πῦρ. τοῦτο γάρ καὶ ἐπιτέταγμαι. τί οὖν τοῖς μὴ δεομένοις λέγεις; διὰ τοῦτο δὴ τοῦτο οὐ διδάσκω, ἀλλ' ἀναμιμνήσκω, φησί. καθάπερ ὁ ἱερεὺς παρέστηκε τὸ πῦρ ἀνακαίων, οὕτω καὶ ἐγὼ τὴν προθυμίαν ὑμῶν διεγείρων. καὶ ὅρα. οὐκ εἶπεν, ἵνα γένηται ἡ προσφορὰ ὑμῶν, ἀλλὰ τῶν ἐθνῶν. ὅταν δὲ εἴπῃ τῶν ἐθνῶν, τὴν οἰκουμένην λέγει, γῆν καὶ θάλασσαν ἅπασαν, καταστέλλων ἐκείνων τὰ φρονήματα, ὥστε μὴ ἀπαξιῶσαι καὶ διδάσκαλον ἔχειν τὸν πρὸς τὰ πέρατα τῆς οἰκουμένης γενόμενον. ὁ καὶ ἀρχόμενος ἔλεγε, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν· Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί.

17 Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν. Ἐπειδὴ γὰρ σφόδρα ἑαυτὸν ἐταπείνωσε, πάλιν ἐπαίρει τὸν λόγον, καὶ τοῦτο ὑπὲρ ἐκείνων ποιῶν, ὥστε μὴ δόξαι εὐκαταφρόνητος εἶναι. καὶ ἐν τῷ ἐπαίρειν δὲ αὐτὸν, τοῦ οἰκείου μέμνηται ἤθους, οὕτω λέγων, ἔχω οὖν καύχησιν. καυχῶμαι, φησιν, οὐκ ἐν ἐμαυτῷ, οὐδὲ ἐν τῇ ἡμετέρᾳ σπουδῇ, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι.

γρ. δόξῃ εὐκαταφρόνητος ὁ Θεός. καὶ ἐν

18 Οὐ γὰρ τολμήσω τι λαλῆσαι ὧν οὐ κατειργάσατο ὁ Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν τῶν ἐθνῶν, λόγῳ καὶ ἔργῳ,

19 Ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος Θεοῦ.

Οὐδὲ γὰρ ἂν ἔχοι τις εἰπεῖν, φησιν, ὅτι κόμπος μου τὰ ῥήματα. τῆς γὰρ ἱερουργίας μου ταύτης τὰ σύμβολα, καὶ τῆς χειροτονίας ἔχω πολλὰ δεῖξαι τὰ τεκμήρια· οὐ ποδήρη, καὶ κώδωνας, καθάπερ οἱ παλαιοί, οὐδὲ μίτρας καὶ κίδαριν, ἀλλὰ πολλῷ φρικωδέστερα τούτων σημεῖα καὶ θαύματα. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι ἐνεχειρίσθην μὲν, οὐκ ἐποίησα δὲ τὸ ἐπιταχθέν. μᾶλλον δὲ οὐδὲ ἐγὼ ἐποίησα, ἀλλ' ὁ Χριστός. διὸ καὶ ἐν αὐτῷ καυχῶμαι, οὐχ ὑπὲρ τῶν τυχόντων πραγμάτων, ἀλλ' ὑπὲρ τῶν πνευματικῶν. τοῦτο γάρ ἐστι, τὰ πρὸς τὸν Θεόν. ὅτι γὰρ ἤνυσα ἐφ' ὃ ἐπέμφθην, καὶ οὐ κόμπος τὰ ῥήματα, δηλοῖ τὰ θαύματα καὶ ἡ τῶν ἐθνῶν ὑπακοή. οὐ γὰρ τολμήσω τι λαλῆσαι ὧν οὐ κατειργάσατο ὁ Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ· ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος Θεοῦ. ὅρα πῶς βιάζεται τὸ πᾶν δεῖξαι τοῦ Θεοῦ, καὶ οὐδὲν ἑαυτοῦ. εἴτε γὰρ φθέγγομαί τι, εἴτε ποιῶ, εἴτε θαυματουργῶ, πάντα αὐτὸς, πάντα τὸ πνεῦμα τὸ ἅγιον. ταῦτα δὲ λέγει, δεικνὺς καὶ τοῦ πνεύματος τὸ ἀξίωμα. εἶδες πῶς ταῦτα τῶν παλαιῶν θαυμαστότερα καὶ φρικωδέστερα, ἡ θυσία, ἡ προσφορά, τὰ σύμβολα; ὅταν γὰρ εἴπῃ, ἐν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, τοῦτο λέγει, τὴν διδασκαλίαν, τὴν περὶ βασιλείας φιλοσοφίαν, τὴν τῶν ἔργων καὶ τῆς πολιτείας ἐπίδειξιν, τοὺς νεκροὺς τοὺς ἐγειρομένους, τοὺς δαίμονας τοὺς ἐλαυνομένους, τοὺς θεραπευομένους τυφλοὺς, τοὺς πηδῶντας χωλοὺς, τὰ ἄλλα τεράστια, ἅπερ ἅπαντα εἰργάζετο καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν. εἶτα ἡ τούτων ἀπόδειξις, ἐπειδὴ ταῦτα ἴσως ἀπόφασις ἦν, τῶν μαθητῶν τὸ πλῆθος. διὸ καὶ ἐπήγαγεν· Ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ, μέχρι τοῦ Ἰλλυρικοῦ, πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Ἀρίθμει τοίνυν καὶ πόλεις, καὶ χώρας, καὶ ἔθνη, καὶ δήμους, μὴ τοῖς ὑπὸ Ῥωμαίοις μόνοις, ἀλλὰ καὶ τοῖς ὑπὸ βαρβάροις. μὴ γάρ μοι τὴν διὰ τῆς Φοινίκης, καὶ Συρίας, καὶ τῆς Κιλίκων, καὶ Καππαδοκῶν ἔλθῃς ὁδὸν, ἀλλὰ καὶ τὰ ὄπισθεν ἅπαντα λόγιζε, τὴν Σαρακηνῶν, καὶ Περσῶν, καὶ Ἀρμενίων, καὶ τὴν τῶν ἄλλων βαρβάρων. διὰ γὰρ τοῦτο εἶπε, καὶ κύκλῳ, ἵνα μὴ τὴν κατ' εὐθὺ λεωφόρον ἔλθῃς μόνον, ἀλλὰ καὶ πᾶσαν, καὶ τὴν κατὰ τὸν νότον Ἀσίαν περιδράμῃς τῇ διανοίᾳ. καὶ ὥσπερ νιφάδας θαυμάτων ἑνὶ λόγῳ παρέδραμεν, εἰπὼν ἐν δυνάμει σημείων καὶ τεράτων· οὕτω καὶ πόλεις ἀπείρους, καὶ ἔθνη, καὶ δήμους, καὶ χώρας ἑνὶ τούτῳ πάλιν συνέλαβε ῥήματι, τῷ, κύκλῳ. πόῤῥω γὰρ ἦν τύφου παντός· καὶ ταῦτα διὰ τούτους ἐτίθετο, ὥστε μὴ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς.

γρ. ὑπὸ

γρ. καὶ

τοῖς. Καὶ ἀρχόμενος μὲν φησιν, Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. ἐνταῦθα δὲ ἀνάγκην ἱερωσύνης εἴρηκεν. ἐπειδὴ γὰρ παχύτερον ἐφθέγξατο, καὶ σαφέστερον αὐτὴν δείκνυσι τὴν ἐξουσίαν. διὰ τοῦτο ἐκεῖ μὲν ἁπλῶς φησι, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν· ἐνταῦθα δὲ καὶ τὸν τόπον λέγει πάντα, ὥστε πάντοθεν αὐτὴν ἀποτέμνεσθαι τὸ φρόνημα. καὶ οὐχ ἁπλῶς εἶπε κηρύξαι τὸ εὐαγγέλιον, ἀλλὰ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Ρωμ. α. ιγ.

γ. πα..

20 Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, ὅπου οὐκ ὠνομάσθη ὁ Χριστός.

Ἰδοὺ πάλιν ἑτέρα ὑπερβολή, ὅτι οὐ μόνον τοσούτους εὐηγγελίσατο καὶ ἔπεισεν, ἀλλ' ὅτι οὐδὲ πρὸς μεμαθηκότας ἀπῆλθε. τοσοῦτον ἀπεῖχε τοῦ ἐπιρρίπτειν ἑαυτὸν ἀλλοτρίοις μαθηταῖς, καὶ δόξης ἕνεκεν τοῦτο ποιεῖν, ὅτι καὶ ἐσπούδαζε τὸ μὴ ἀκηκοόσι διδάσκειν. οὐδὲ γὰρ εἶπεν, ὅπου οὐκ ἐπείσθησαν, ἀλλ', ὅπου οὐδὲ ὠνομάσθη ὁ Χριστός, ὃ πλέον ἐστί. καὶ τίνος ἕνεκεν τοιαῦτα ἐφιλοτιμεῖτο; Ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομήσω, φησί.

Ταῦτα δὲ λέγει, δεικνὺς ἑαυτὸν ἀλλότριον ὄντα κενοδοξίας, καὶ παιδεύων αὐτοὺς ὅτι οὐκ ἀπὸ τοῦ δόξης ἐρᾶν καὶ τῆς παρ' αὐτῶν τιμῆς ἐπὶ τὸ γράψαι ἦλθεν, ἀλλ' ὡς διακονίαν πληρῶν, ὡς ἱερουργίαν ἀπαρτίζων, ὡς τῆς σωτηρίας αὐτῶν ἐρῶν. ἀλλότριον δὲ τὸ τῶν ἀποστόλων φησίν, οὐ κατὰ τὴν τοῦ προσώπου ποιότητα, οὐδὲ κατὰ τὴν τοῦ κηρύγματος φύσιν, ἀλλὰ κατὰ τὸν τοῦ μισθοῦ λόγον· ἐπεὶ τὰ κηρύγματα οὐκ ἀλλότρια ἦν, ἀλλ' ὅσοι εἰς μισθόν, ἀλλότρια. ὁ γὰρ τὴν ἑτέροις πεπονημένων μισθός, τούτου ἀλλότριος ἦν. Εἶτα δείκνυσι καὶ προφητείαν πληρουμένην, λέγων,

21 Καθὼς γέγραπται, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν. Ὁρᾷς ἐπιτρέχοντα ὅπου πλείων ὁ πόνος, ὅπου μείζων ὁ ἱδρώς;

22 Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς.

Σκόπει πάλιν πῶς τῷ προοιμίῳ ὁμοίως τὸ τέλος ὑφαίνει. καὶ γὰρ καὶ ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγεν, Ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο· ἐνταῦθα δὲ καὶ τὴν αἰτίαν τίθησι δι' ἣν ἐκωλύθη, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. ὥσπερ γὰρ ἐκεῖ φησι, πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, οὕτω καὶ ἐνταῦθα, ἐνεκοπτόμην τὰ πολλὰ ἐλθεῖν πρὸς ὑμᾶς. ὅπερ μάλιστα τὴν ἐπιθυμίαν αὐτοῦ δείκνυσι, τὸ πολλάκις ἐπιχειρεῖν. Ρωμ. α. ιγ.

γ. Οὐχ ἐλη-λεν

23 Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις. Ὁρᾷς πῶς ἔδειξεν, ὅτι οὐ τῆς παρ' αὐτῶν ἐφιέμενος δόξης ἔγραφέ τε καὶ παρεγένετο; Ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν.

24 Ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.

Ἵνα γὰρ μὴ δόξῃ ἐξευτελίζειν αὐτοὺς τῷ λέγειν, ὅτι ἐπειδὴ οὐδὲν ἔχω ποιῆσαι, διὰ τοῦτο ἔρχομαι πρὸς ὑμᾶς, πάλιν τὸν τῆς ἀγάπης κινεῖ λόγον εἰπών, ἐπιποθίαν ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν. οὐ διὰ τοῦτο ἐπεθύμησα ἐλθεῖν, ἐπειδὴ σχολὴν ἄγω, ἀλλ' ἵνα τὴν ἐπιθυμίαν, ἣν πάλαι ὤδινον, ταύτην ἀποτίσω. εἶτα, ἵνα μὴ τοῦτο πάλιν *φυσιώσῃ, σκόπει πῶς αὐτοὺς καταστέλλει, εἰπών, ὡς ἐὰν πορεύωμαι εἰς Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς. διὰ γὰρ τοῦτο τέθεικε τοῦτο, ἵνα μὴ μέγα φρονῶσιν. ὁμοῦ γὰρ καὶ τὴν ἀγάπην δεῖξαι βούλεται, καὶ κωλῦσαι θρύπτεσθαι ἐκείνους. διὸ συνεχῶς αὐτὸ τίθησι, καὶ ἐφεξῆς ἐνδιατίθων τὰ ἑκατέρων τούτων κατασκευαστικά. διὰ τοι τοῦτο πάλιν, ἵνα μὴ λέγωσιν, ὅτι οὐ παρέργως ἡμᾶς ποιεῖ, ἐπήγαγε, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι· τουτέστιν, ἵνα ὑμεῖς μοι μάρτυρες ἦτε, ὅτι οὐ καταφρονῶ ὑμῶν, ἀλλ' ἑλκόμενος ὑπὸ τῆς χρείας παρατρέχω. ἐπεὶ δὲ καὶ τοῦτο ἔτι λυπεῖ, λιπαρώτερον αὐτοὺς θεραπεύει λέγων, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.

* αὐτοῦ

γ. διαπλάττων

θῶ. τῷ μὲν γὰρ εἰπεῖν, διαπορευόμενος, δείκνυσιν οὐκ ἐφιέμενος αὐτῆς τῆς δόξης· τῷ δὲ (χ. ἐφιέμενον)
εἰπεῖν, ἐμπλησθῶ, δείκνυσιν ἐρῶν αὐτῶν τῆς ἀγάπης, καὶ οὐχ ἁπλῶς ἐρῶν, ἀλλὰ καὶ σφο-
δρῶς, διὸ οὐδὲ εἶπεν, ἐμπλησθῶ, ἀλλ', ἀπὸ μέρους. οὐδεὶς μὲν γὰρ χρόνος ἐμπλῆσαι (χ. γὰρ μὴ / ἴσ. γάρ μοι)
δύναται, οὐδὲ ἐμποιῆσαί μοι κόρον τῆς συνουσίας ὑμῶν. εἶδες πῶς τὴν ἀγάπην δείκ-
νυσιν, ὅταν καὶ ἐπειγόμενος μὴ πρότερον λῦσαι δύναται, ἕως ἂν ἐμπλησθῇ; καὶ τοῦτο δὲ τῆς πολ- (ἴσ. ἀρίσαι)
λῆς αὐτοῦ φιλοστοργίας σημεῖον, ὃ τοῖς ῥήμασιν οὕτω θερμῶς κέχρηται. οὐδὲ γὰρ εἶπε,
θεάσωμαι, ἀλλ' ἐμπλησθῶ, τὰ τῶν γονέων μιμούμενος ῥήματα. καὶ ἀρχόμενος μὲν ἔλε-
γεν, ἵνα τινὰ καρπὸν σχῶ· ἐνταῦθα δὲ, ἵνα ἐμπλησθῶ ἅπερ ἀμφότερα ἐφελκομένου ἦν. τὸ
μὲν γὰρ ἐγκώμιον αὐτῶν ἦν μέγιστον, εἴγε καρπὸν αὐτῷ παρέχειν ἔμελλον ἐκ τῆς ὑπακοῆς·
α. Κορ. ις. ς. τὸ δὲ, τῆς αὐτοῦ φιλίας δεῖγμα γνήσιον. καὶ Κορινθίοις δὲ ἐπιστέλλων οὕτως ἔλεγεν, Ἵνα ὑμεῖς
με προπέμψητε οὗ ἐὰν πορεύωμαι, διὰ πάντων τὴν πρὸς τοὺς μαθητὰς ἀγάπην ἐν-
δεικνύμενος, ἧς ἴσον οὐδέν. διὸ καὶ ἀρχόμενος ἀεὶ τῶν ἐπιστολῶν, ἐντεῦθεν προοιμιάζεται
καὶ τελευτῶν, εἰς τοῦτο καταλύει πάλιν. καθάπερ γὰρ πατὴρ φιλόπαις μονογενὲς παιδίον (χ. τὸ αὐτὸ)
β. Κορ. ια. κθ. καὶ γνήσιον, ἐφίλει τοὺς πιστοὺς ἅπαντας· διὸ καὶ ἔλεγε, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκαν-
δαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

ΗΘΙΚΟΝ

Καὶ γὰρ περὶ τῶν ἄλλων ἁπάντων τοῦτο χρὴ τὸν διδάσκαλον ἔχειν. διὸ καὶ Πέτρῳ ἔλεγεν ὁ
Ιωαν. κα. ις. Χριστὸς, Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. ὁ γὰρ τὸν Χριστὸν φιλῶν, καὶ τὴν ποί-
μνην αὐτοῦ φιλεῖ. καὶ τὸν Μωϋσέα δέ ποτε ἐπέστησε τῷ δήμῳ τῶν Ἰουδαίων, ὅτε τὴν πρὸς
αὐτοὺς εὔνοιαν ἐπεδείξατο· καὶ ὁ Δαβὶδ δὲ οὕτως ἐπὶ τὴν βασιλείαν ἦλθε, πρότερον φι-
λόστοργος περὶ αὐτοὺς φανείς. οὕτω γοῦν ἐπὶ νέος ὢν ἤλγησε περὶ τοῦ λαοῦ, ὡς καὶ τὴν αὐτοῦ (χ. [illegible])
α Βασ. ιζ. ψυχὴν ἐπιδοῦναι, ἡνίκα τὸν βάρβαρον καθεῖλεν ἐκεῖνον. εἰ δὲ ἔλεγε, Τί ἔσται τῷ αἵρ- (χ. λέγει)
οντι τὸν ἀλλόφυλον τοῦτον; οὐ μισθὸν ἀπαιτῶν ἔλεγεν, ἀλλὰ πιστευθῆναι βουλόμενος, καὶ
ἐγχειρισθῆναι τὴν πρὸς αὐτὸν μάχην. ὅτε γοῦν εἰσῆλθε πρὸς τὸν βασιλέα μετὰ τὴν
α. Βασ. ιβ. κ. νίκην, οὐδὲν ὑπὲρ τούτων διελέχθη. καὶ ὁ Σαμουὴλ δὲ φιλόστοργος ἦν, διὸ καὶ ἔλεγεν, Ἐμοὶ
δὲ μὴ γένοιτο ἁμαρτεῖν τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν τῷ Κυρίῳ. οὕτω καὶ
Παῦλος, μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον ἁπάντων περιεκαίετο τῶν ἀρχο-
Γαλ. δ. ιε. μένων. διὸ καὶ τοὺς μαθητὰς οὕτω πρὸς αὐτὸν διέθηκεν, ὡς εἰπεῖν, Ὅτι, εἰ δυνατὸν, τοὺς
ὀφθαλμοὺς ἐξορύξαντες ἂν ἐδώκατέ μοι. διὰ τοῦτο καὶ τοῖς Ἰουδαίων διδασκάλοις τοῦτο
Ιεζεχ. λδ. β γ. πρὸ τῶν ἄλλων ὁ Θεὸς ἐγκαλεῖ λέγων, Ὦ οἱ ποιμένες Ἰσραὴλ μὴ βόσκουσιν οἱ ποι-
μένες ἑαυτούς; οὐχὶ τὰ πρόβατα βόσκουσιν; ἐκεῖνοι δὲ τοὐναντίον ἐποίουν. τὸ γάλα
γάρ, φησι, κατεσθίετε, καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ ἐσφάζετε, καὶ τὰ πρόβατα (χ. πιαίν.)
Ιωαν. ι. ια. οὐκ ἐβόσκετε. καὶ ὁ Χριστὸς δὲ ποιμένος ἀρίστου κανόνα ἐκφέρων ἔλεγεν, Ὁ ποιμὴν ὁ κα-
λὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. τοῦτο ὁ Δαβὶδ ἐποίησε πολλα-
χοῦ τε ἀλλαχοῦ, καὶ ἡνίκα ὤλετο κατὰ τοῦ δήμου πάντος ἡ φοβερὰ ἐκείνη ὀργὴ κατεφέρε-
β. Βασ. κδ. ιζ. το. πάντων γὰρ σφαττομένων, ἔλεγεν, Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, ἐγὼ ὁ ποιμὴν ἐκακοποίη-
σα· καὶ οὗτοι, τὸ ποίμνιον, τί ἐποίησαν; διὰ τοῦτο καὶ ἐν τῇ αἱρέσει τῶν τιμωριῶν ἐκείνων, οὐ
λιμὸν εἵλετο, οὐ δίωξιν ἐχθρῶν, ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ πεμπόμενον θάνατον, δι' οὗ
προσεδόκα τοὺς μὲν ἄλλους ἐν ἀσφαλείᾳ καταστήσειν, αὐτὸν δὲ πρὸ τῶν ἄλλων ἁπάντων
κατενεχθήσεσθαι. ἐπειδὴ δὲ τοῦτο οὐκ ἐγένετο, θρηνεῖ καὶ λέγει, Ἐν ἐμοὶ ἡ χείρ σου· εἰ δὲ
οὐκ ἀρκεῖ, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. ἐγὼ γάρ, φησιν, ὁ ποιμὴν ἥμαρτον· ὡσανεὶ ἔλεγεν,
ὅτι εἰ καὶ οὗτοι ἥμαρτον, ἐγὼ ὑπεύθυνος ἤμην τῇ τιμωρίᾳ ὁ μὴ διορθούμενος· ὅταν δὲ
καὶ ἐμὸν τὸ ἁμάρτημα ᾖ, ἐγὼ δίκαιος ἂν εἴην δοῦναι τὴν τιμωρίαν. καὶ γὰρ αὐξῆσαι τὸ ἔγ- (χ. [illegible] ὑπεύθυνος)
κλημα θέλων, τὸ τοῦ ποιμένος ἔθηκεν ὄνομα. οὕτω γοῦν τὴν ὀργὴν ἔσβεσεν, οὕτω τὴν (χ. [illegible])
Παροιμ. ιη. ιζ. ἀπόφασιν ἀνεκαλέσατο. τοσοῦτόν ἐστιν ἐξομολόγησις*. Δίκαιος γὰρ ἑαυτοῦ κατήγορος ἐν (* μέγα)
πρωτολογίᾳ.

προσηγορίᾳ. τοσαύτη κηδεμονία, καὶ συμπάθεια ποιμένος ἀρίστου. καὶ γὰρ ἐσπαράττετο αὐτοῦ τὰ σπλάγχνα πιπτόντων ἐκείνων, καθάπερ παίδων γνησίων ἀναιρουμένων. διὸ καὶ ἐπ' αὐτὸν τὴν ὀργὴν ἐλθεῖν ἠξίου. καὶ ἐν ἀρχῇ δὲ σφαγῆς τοῦτο ἐποίησεν ἂν, εἰ μὴ καὶ βαδίζουσαν αὐτὴν ὁδῷ καὶ πρὸς αὐτὸν ἥξειν ἤλπιζεν. ὅτι γοῦν εἶδε τοῦτο μὲν μὴ γινόμενον, ἐκείνους δὲ ἐπινεμομένην τὴν συμφορὰν, οὐκέτι ἤνεγκεν, ἀλλ' ἀνήφθη μᾶλλον, ἢ ἐπὶ τοῦ Ἀμνὼν τοῦ πρωτοτόκου. τότε γὰρ θάνατον οὐκ ᾔτησε, νῦν δὲ ἀξιοῖ πρὸ τῶν ἄλλων πεσεῖν. τοιοῦτον εἶναι χρὴ τὸν ἄρχοντα, καὶ μᾶλλον ταῖς ἑτέρων, ἢ ταῖς οἰκείαις ἀλγεῖν συμφοραῖς. τοιοῦτον γοῦν τι καὶ ἐπὶ τοῦ παιδὸς ἔπαθεν, ἵνα μάθῃς ὅτι οὐδὲν πλέον τῶν ἀρχομένων τὸν παῖδα ἐφίλει. καίτοιγε ἀκόλαστος ἦν ὁ νεανίσκος, καὶ πατραλοίας, ἀλλ' ὅμως ἔλεγε, Τίς δώσει μοι θάνατον ἀντὶ σοῦ; τί λέγεις, ὦ μακάριε, καὶ πάντων ἀνθρώπων πρᾳότατε; ἀνελεῖν σε ἐσπούδαζεν ὁ παῖς, καὶ μυρίοις σε περιέβαλε κακοῖς· καὶ ὅτι ἐκ μέσου γέγονε, καὶ τὸ τρόπαιον ἕστη, τότε εὔχῃ σφαγῆναι; ναί, φησιν. οὐ γὰρ ἐμοὶ νενίκηκε τὸ στρατόπεδον, ἀλλ' ἔτι πολεμοῦμαι σφοδρότερον ἢ πρότερον, καὶ τὰ σπλάγχνα μοι διακόπτεται νῦν μειζόνως. οὗτοι μὲν οὖν* τῶν ἐγκεχειρισμένων ἐφρόντιζον· ὁ δὲ μακάριος Ἀβραὰμ καὶ τῶν οὐκ ἐμπεπιστευμένων αὐτῷ πολλὴν ἐποιεῖτο τὴν πρόνοιαν, καὶ τοσαύτην, ὡς καὶ κινδύνοις ἑαυτὸν περιβαλεῖν χαλεποῖς. ὅτι γὰρ οὐχ ὑπὲρ ἀδελφιδοῦ μόνου ἐπεστράτευσεν ἅπερ ἐπεστράτευσεν, ἀλλὰ καὶ ὑπὲρ τῶν Σοδομιτῶν, οὐ πρότερον ἀπέστη τοὺς Πέρσας ἐλαύνων ἐκείνους, ἕως πάντας αὐτοὺς ἠλευθέρωσε. καίτοιγε ἐξῆν λαβόντι τοῦτον ἀναχωρεῖν, ἀλλ' οὐκ ἠθέλησε. καὶ γὰρ πάντων ὁμοίως ἐκήδετο, καὶ τοῦτο καὶ διὰ τῶν μετὰ ταῦτα δῆλον ἐποίησεν. ὅτε γοῦν οὐ βαρβάρων στρατόπεδον ἔμελλεν αὐτοὺς πολιορκεῖν, ἀλλὰ ἡ θεήλατος ὀργὴ τὰς πόλεις αὐτῶν ἐκ βάθρων ἀνασπᾷν, καὶ οὐκέτι ὅπλων ἦν ὁ καιρὸς, οὐδὲ μάχης καὶ παρατάξεως, ἀλλ' ἱκετηρίας, τοσαύτην ἐποιήσατο ὑπὲρ αὐτῶν σπουδὴν, ὅσην ἂν εἰ αὐτὸς ἀπόλλυσθαι ἔμελλε. διὰ δὴ τοῦτο, καὶ ἅπαξ, καὶ δὶς, καὶ τρὶς, καὶ πολλάκις προσέρχεται τῷ Θεῷ, καὶ ἐπὶ τὴν φύσιν καταφεύγει λέγων, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. καὶ ἐπειδὴ οἴκοθεν εἶδεν αὐτοὺς προδεδομένους, δι' ἑτέρους αὐτοὺς ἀξιοῖ σώζεσθαι. διὰ τοῦτο καὶ ὁ Θεὸς ἔλεγεν· οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραὰμ ἃ μέλλω ποιεῖν, ἵνα ἡμεῖς μάθωμεν πῶς ἐστι φιλάνθρωπος ὁ δίκαιος. καὶ οὐδ' ἂν ἀπέστη παρακαλῶν, εἰ μὴ ὁ Θεὸς ἀπέστη πρότερος. καὶ δοκεῖ μὲν ὑπὲρ τῶν δικαίων δεῖσθαι, τὸ δὲ πᾶν ὑπὲρ ἐκείνων ἐποίει. καὶ γὰρ σφόδρα εἰσὶν αἱ τῶν ἁγίων ψυχαὶ ἥμεροι καὶ φιλάνθρωποι, καὶ περὶ τοὺς οἰκείους, καὶ περὶ τοὺς ἀλλοτρίους· καὶ μέχρι τῶν ἀλόγων αὐτῶν ταύτην ἐκτείνουσι τὴν ἡμερότητα. διὸ τοῦτο καὶ σοφός τις ἔλεγε, Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ. εἰ δὲ καὶ κτηνῶν, πόσῳ μᾶλλον ἀνθρώπων; ἀλλ' ἐπειδὴ κτηνῶν ἐμνήσθην, λογισώμεθα καὶ τοὺς τῶν προβάτων ποιμένας τοὺς ἐν τῇ Καππαδοκῶν χώρᾳ, οἷα καὶ ἡλίκα πάσχουσιν ὑπὲρ τῆς τῶν ἀλόγων προστασίας. πολλάκις γοῦν χιόνι καταχωσθέντες, τρεῖς ἐφεξῆς ἔμειναν ἡμέρας. λέγονται δὲ καὶ οἱ ἐν Λιβύῃ οὐκ ἐλάττονα τούτων ὑπομένειν δεινὰ, μῆνας ὁλοκλήρους τὴν χαλεπὴν ἔρημον ἐκείνην, καὶ τῶν παροπαίτων γέμουσαν θηρίων περιπολοῦντες. εἰ δὲ περὶ ἄλογα τοσαύτη σπουδὴ, ἵνα ἂν ἔχοιμεν ἀπολογίαν οἱ ψυχὰς λογικὰς ἐμπιστευθέντες, καὶ τὸν βαθὺν τοῦτον καθεύδοντες ὕπνον; ἀναπνεῖν γὰρ ὅλως ἐχρῆν, ἡσυχάζειν δὲ ὅλως; ἀλλ' οὐ πανταχοῦ περιτρέχειν, καὶ μυρίοις ἑαυτοὺς ἐκδιδόναι θανάτοις ὑπὲρ τῶν προβάτων τούτων; ἢ οὐκ οἶσθα τῆς ἀγέλης ταύτης τὸ ἀξίωμα; οὐχ ὑπὲρ ταύτης ὁ δεσπότης ὁ σὸς μυρία ἐπραγματεύσατο, καὶ τὸ αἷμα ὕστερον ἐξέχεε τὸ αὐτοῦ; σὺ δὲ ἀνάπαυσιν ζητεῖς; καὶ τί χεῖρον γένοιτ' ἂν τῶν ποιμένων τούτων; οὐκ ἐννοεῖς τοῦτο, ὅτι περιεστήκασι τὰ πρόβατα ταῦτα λύκοι τούτων πολλῷ πικρότεροι καὶ ἀγριώτεροι; οὐ λογίζῃ πρὸς σαυτὸν οἵας δεῖ ψυχῆς τῷ μέλλοντι ταύτην μεταχειρίζειν τὴν ἀρχήν; ἀλλ' ἄνθρωποι μὲν δημαγωγοὶ ὑπὲρ τῶν τυχόντων βουλευόμενοι πραγμάτων, τὰς νύκτας ταῖς ἡμέραις προστιθέασιν

ἀγρυπνοῦντες·

Margin notes (left): γρ. ὁρῶν, — * ἅπαντες — γρ. ἀδελφοῦ — γρ. ἀνέσπασε, — γρ. ἠξίου — γρ. ὅτι οὐκ ἐλάττονα τούτων ὑπομένουσι δεινά. — γρ. δ'

Margin notes (right): β. Βασ. ιη. λγ — Γεν. ιη. κζ. καὶ ιζ. — Παροιμ. ιβ. ι.

ἀγρυπνοῦντες· ἡμεῖς δὲ ὑπὲρ οὐρανοῦ τὸν ἀγῶνα ἔχοντες, καὶ ἐν ἡμέρᾳ καθεύδομεν; καὶ τίς ἡμᾶς λοιπὸν ἐξαιρήσεται τῆς ἐπὶ τούτοις κολάσεως; εἰ γὰρ τὸ σῶμα κατακόπτεσθαι ἔδει, εἰ γὰρ μυρίους ὑπομεῖναι θανάτους, οὐχ ὡς ἐπὶ πανήγυριν τρέχειν ἐχρῆν; ταῦτα δὲ μὴ μόνον ποιμένες, ἀλλὰ καὶ πρόβατα ἀκουέτω, ἵνα τοὺς ποιμένας προθυμοτέρους ποιῶσιν, ἵνα μᾶλλον αὐτῶν τὴν προαίρεσιν ἀλείφωσιν, ἕτερον μὲν οὐδέν, πειθὼ δὲ καὶ ὑπακοὴν πᾶσαν περιέχοντες. οὕτω καὶ ὁ Παῦλος ἐκέλευσε λέγων, Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ὅταν δὲ εἴπῃ, ἀγρυπνοῦσι, μυρίους λέγει πόνους καὶ φροντίδας καὶ κινδύνους. ὁ γὰρ καλὸς ποιμὴν καὶ τοιοῦτος οἷος ὁ Χριστὸς βούλεται, μυρίοις ἁμιλλᾶται μάρτυσιν. ὁ μὲν γὰρ ἅπαξ δι' αὐτὸν ἀπέθανεν· οὗτος δὲ μυριάκις διὰ τὴν ποίμνην, εἴγε ποιμὴν εἴη τοιοῦτος οἷος εἶναι χρή. ὁ γὰρ τοιοῦτος καθ' ἑκάστην ἡμέραν ἀποθνήσκειν δύναται. διὸ καὶ ὑμεῖς εἰδότες τὸν πόνον, συμπράττετε ταῖς εὐχαῖς, τῇ σπουδῇ, τῇ προθυμίᾳ, τῇ φιλίᾳ· ἵνα καὶ ἡμεῖς ὑμῶν, καὶ ἡμῶν ὑμεῖς καύχημα γένησθε. διὰ τοῦτο γὰρ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων, καὶ ὑπὲρ τοὺς ἄλλους φιλοῦντι αὐτὸν τοῦτο ἐνεχείρισε, πρότερον ἐρωτήσας αὐτὸν, εἰ φιλοῖτο παρ' αὐτοῦ, ἵνα μάθῃς ὅτι τοῦτο πρὸ τῶν ἄλλων τῆς ἀγάπης τῆς εἰς αὐτὸν τεκμήριον τίθεται. καὶ γὰρ νεανικῆς τοῦτο δεῖται ψυχῆς. Ταῦτα δέ μοι περὶ ἀρίστων εἴρηται ποιμένων· οὐ περὶ ἐμαυτοῦ, καὶ τῶν καθ' ἡμᾶς, ἀλλ' εἴ τις τοιοῦτος, οἷος ὁ Παῦλος ἦν, οἷος ὁ Πέτρος, οἷος ὁ Μωϋσῆς. τούτους οὖν μιμησώμεθα καὶ ἄρχοντες καὶ ἀρχόμενοι. ἔξεστι γὰρ καὶ ἀρχομένῳ ἐν μέρει εἶναι ποιμένα, τῆς οἰκίας, τῶν φίλων, τῶν οἰκετῶν, τῆς γυναικὸς, τῶν παίδων. κἂν οὕτω τὰ καθ' αὑτοὺς οἰκονομῶμεν, πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ. γ. μετασχεῖν

[Margin: Εβρ. ιγ. ιζ. — Ιωαν. κα. ιε.]

Λογ. λ. 25 ΝΥΝΙ ΔΕ ΠΟΡΕΥΟΜΑΙ ΕΙΣ ΙΕΡΟΥΣΑΛΗΜ,
διακονῶν τοῖς ἁγίοις. 26 Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν γ. -τι
τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ.
27 Εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν.

ΕΠΕΙΔΗ εἶπεν, ὅτι τόπον οὐκ ἔτι ἔχω ἐν τοῖς κλίμασι τούτοις, καὶ ἐπιποθίαν ἔχω ἐκ πολλῶν ἐτῶν ἐλθεῖν πρὸς ὑμᾶς, ἔμελλε δὲ ἔτι βραδύνειν, ἵνα μὴ νομίζηται διαχλευάζειν αὐτοὺς, λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἀναβάλλεται τέως, καί φησιν, ὅτι πορεύομαι εἰς Ἱεροσόλυμα. καὶ δοκεῖ μὲν τὴν πρόφασιν λέγειν τῆς μελλήσεως· διὰ δὲ τούτων καὶ ἕτερόν τι κατασκευάζει, τὸ προτρέψαι ἐκείνους εἰς ἐλεημοσύνην, καὶ σπουδαιοτέρους ποιῆσαι. ἐπεὶ εἰ μὴ τοῦτο ἐσπούδαζε κατορθῶσαι, ἤρκει εἰπεῖν, ὅτι πορεύομαι εἰς Ἱερουσαλήμ· νυνὶ δὲ καὶ τὴν αἰτίαν προστίθησι τῆς ἀποδημίας· πορεύομαι γὰρ, φησὶ, διακονῶν τοῖς ἁγίοις. καὶ ἐνδιατρίβει τῷ λόγῳ, καὶ λογισμοὺς κινεῖ, λέγων ὅτι ὀφειλέται εἰσὶ, καὶ ὅτι, Εἰ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι· Ἵνα μάθωσιν ἐκεῖνοι τούτους ζηλοῦν. διὸ καὶ μάλιστα αὐτοῦ τὴν σοφίαν θαυμάσαι χρὴ, ὅτι τοῦτον τῆς συμβουλῆς τὸν τρόπον ἐπενόησεν. οὕτω γὰρ μᾶλλον ἠνείχοντο ἢ ἐν τάξει παραινέσεως εἰπεῖν. καὶ γὰρ ἔδοξεν ἂν ὑβρίζεσθαι, εἰ εἰς προτροπὴν αὐτῶν Κορινθίους παρήγαγεν εἰς μέσον καὶ Μακεδόνας. διὰ δὴ τοῦτο ἐκεῖ ἐκείνους μὲν οὕτω προτρέπει λέγων· Γνωρίζω δὲ ὑμῖν τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. καὶ Μακεδόνας δὲ διὰ τούτων πάλιν· Ὁ γὰρ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. καὶ διὰ Γαλατῶν δὲ ὁμοίως τοῦτο ποιεῖ, ὡς ὅταν λέγῃ, Ὥσπερ

[Margin: Ρω. α. ια. — β.Κορ. η. α. — β.Κορ. θ. β. — α.Κορ. ις. α. — γ. ἐβούλετο — γ. προστίθησι — γ. ἄξιον — γ. εἰπεῖν]

διέταξα

διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. ἐπὶ δὲ Ῥωμαίων οὐχ οὕτως, ἀλλ' ἐπιεικέστερα λαθόντως μᾶλλον. ποιεῖ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ κηρύγματος, ὡς ὅταν λέγῃ· Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; οὐδὲν γὰρ οὕτως, ὡς [α. Κορ. ιδ. λϛ.] ζῆλος, ἰσχύει· διὸ πολλαχοῦ αὐτὸ τίθησι. καὶ γὰρ καὶ ἀλλαχοῦ φησι, Καθὼς ἐν πάσαις [α. Κορ. ζ. ιζ.] ταῖς ἐκκλησίαις διατάσσομαι. καὶ πάλιν, Καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. [α. Κορ. δ. ιζ.] καὶ Κολασσαεῦσι δὲ ἔλεγεν, Ὅτι ἐστὶ καρποφορούμενον καὶ αὐξανόμενον τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν [Κολασ. α. ϛ.] παντὶ τῷ κόσμῳ. τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ ἐπὶ τῆς ἐλεημοσύνης. καὶ σκόπει πῶς μεγαλοπρεπῶς τῇ λέξει κέχρηται. οὐ γὰρ εἶπε, προθυμοῦμαι ἐλεημοσύνην ἀποφέρειν, ἀλλὰ, διακονῶν. εἰ δὲ Παῦλος διακονεῖ, ἐννόησον ἡλίκον τὸ γινόμενον, ὅταν ὁ τῆς οἰκουμένης διδάσκαλος καταδέχηται ἀποκομίζειν, καὶ μέλλων εἰς Ῥώμην ἀποδημεῖν, καὶ οὕτως αὐτοὺς ἐπιποθῶν, τοῦτο ἐκείνου προτιμᾷ. ηὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα· τουτέστιν, ἐδοκίμασαν, ἐπεθύμησαν. κοινωνίαν τινά. πάλιν οὐκ εἶπεν ἐλεημοσύνην, ἀλλὰ κοινωνίαν. τὸ δὲ, τινα, οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἵνα μὴ δόξῃ τούτους ὀνειδίζειν. καὶ οὐκ εἶπεν ἁπλῶς, εἰς τοὺς πτωχοὺς, ἀλλ', εἰς τοὺς πτωχοὺς τῶν ἁγίων· διπλῆν ποιῶν τὴν σύστασιν, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς, καὶ τὴν ἀπὸ τῆς πενίας. καὶ οὐδὲ τούτῳ μόνον ἠρκέσθη, ἀλλ' ἐπήγαγεν, ὅτι ὀφειλέται εἰσίν. εἶτα δείκνυσι πῶς ὀφειλέται. εἰ γὰρ τοῖς πνευματικοῖς ἐκοινώνησαν αὐτῶν, φησι, τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. ὃ δὲ λέγει τοῦτό ἐστι· δι' αὐτοὺς ἦλθεν ὁ Χριστός, αὐτοῖς ἦν ἅπαντα ἐπηγγελμένα τοῖς ἐξ Ἰουδαίων, ἐξ αὐτῶν ὁ Χριστός, διὸ καὶ ἔλεγεν, Ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία. ἐκεῖθεν οἱ ἀπόστολοι, ἐκεῖθεν οἱ προφῆται, [Ιωαν. δ. κβ.] ἐκεῖθεν τὰ ἀγαθὰ πάντα. τούτων οὖν ἁπάντων ἐκοινώνησεν ἡ οἰκουμένη. εἰ τοίνυν ἐν τοῖς μείζοσιν ἐκοινωνήσατε, φησι, καὶ τοῦ δείπνου τοῦ ἐκείνοις προεσκευασμένου ὑμεῖς εἰσελθόντες ἀπηλαύσατε τῶν προκειμένων κατὰ τὴν τοῦ εὐαγγελίου παραβολὴν, ὀφείλετε καὶ τῶν σαρκικῶν κοινωνῆσαι καὶ μεταδοῦναι αὐτοῖς. καὶ οὐκ εἶπε, κοινωνῆσαι, ἀλλὰ λειτουργῆσαι· ἐν τάξει διακόνων αὐτοὺς καθιστὰς, καὶ τῶν βασιλεῦσι τελούντων φόρους. καὶ οὐκ εἶπεν, ἐν τοῖς σαρκικοῖς ὑμῶν, ὥσπερ ἐν τοῖς πνευματικοῖς αὐτῶν. τὰ μὲν γὰρ πνευματικὰ, ἐκείνων· τὰ δὲ σαρκικὰ, οὐ τούτων μόνων, ἀλλὰ κοινὰ πάντων. τὰ γὰρ χρήματα πάντων ἐκέλευσεν [β. Κορ. θ. ι.] εἶναι, οὐχὶ τῶν κεκτημένων μόνον.

28 Τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον· Τουτέστιν, ὡς εἰς βασιλικὰ ταμεῖα ἐναποθέμενος, ὡς ἐν ἀσύλῳ καὶ ἀσφαλεῖ χωρίῳ. καὶ οὐκ εἶπεν, ἐλεημοσύνην, ἀλλὰ πάλιν τὸν καρπόν· δεικνὺς κερδαίνοντας τοὺς παρέχοντας. Ἀπελεύσομαι δι' ὑμῶν εἰς Σπανίαν. Πάλιν μέμνηται τῆς Σπανίας, δεικνὺς τὸ ἄοκνον καὶ τὸ περὶ ἐκείνους θερμόν. 29 Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι. Τί ἐστιν, ἐν πληρώματι εὐλογίας; ἤτοι περὶ χρημάτων φησὶν, ἢ περὶ πάντων ἁπλῶς τῶν κατορθωμάτων. εὐλογίαν γὰρ, ὡς τὰ πολλὰ, τὴν ἐλεημοσύνην εἴωθεν λέγειν· ὡς ὅταν λέγῃ, Ὡς εὐλογίαν, μὴ ὡς πλεονεξίαν. καὶ ἔθος δὲ παλαιὸν οὕτως ἦν καλεῖν τὸ πρᾶγμα. [β. Κορ. θ. ε.] ἐπειδὴ δὲ ἐνταῦθα προσέθηκε τοῦ εὐαγγελίου, διὰ τοῦτό φαμεν οὐ περὶ χρημάτων εἰρηκέναι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων. ὡς ἂν εἶπεν, οἶδα δὲ ὅτι ἐρχόμενος ὄψομαι ὑμᾶς ἐν ἅπασιν εὐδοκιμοῦντας, καὶ κομῶντας τοῖς ἀγαθοῖς, καὶ μυρίων ἀγαθῶν ἀξίους ἐπαίνων κατὰ τὸ εὐαγγέλιον. καὶ τοῦτο δὲ εἶδος συμβουλῆς θαυμαστὸν, τὸ προκαταλαμβάνειν αὐτοὺς τοῖς ἐγκωμίοις. ὅταν γὰρ προλαμβάνηται ἐν τάξει παραινέσεως τοῦτο ποιεῖ, ἐπὶ τοῦτο ἔρχεται τῆς διορθώσεως τὸν τρόπον.

30 Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος. Πάλιν ἐνταῦθα τὸν Χριστὸν καὶ τὸ πνεῦμα προβάλλεται, καὶ οὐδαμοῦ μέμνηται τοῦ πατρός. ταῦτα δὲ εἶπον, ἵν' ὅταν ἴδῃς αὐτὸν πατρὸς καὶ υἱοῦ μεμνημένον, ἢ πατρὸς

πατρὸς μόνου, μήτε υἱοῦ, μήτε πνεῦμα ἀφῆκεν. καὶ οὐκ εἶπε, πνεύματος, ἀλλ', ἀγάπης πνεύματος. καθάπερ γὰρ ὁ Χριστὸς ἠγάπησε τὸν κόσμον, καὶ ὁ πατὴρ, οὕτω καὶ τὸ πνεῦμα. τί δὲ ἐστὶν ὃ παρακαλεῖς, εἰπέ μοι; Συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν,

31 Ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ. Μέγας ἄρα ἀγὼν αὐτῷ προσέκειτο, διὸ καὶ τὰς εὐχὰς αὐτῶν καλεῖ. καὶ οὐκ εἶπεν, ἵνα συμπλακῶ, ἀλλ' ἵνα ῥυσθῶ· ὡς ὁ Χριστὸς ἐκέλευσεν, Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. (Ματθ. κς.) ταῦτα δὲ λέγων, ἐδείκνυ προφητεύων τινὰς λύκους ἐπιθησομένους αὐτῷ, καὶ θηρία μᾶλλον, ἢ ἄνδρας. ἀπὸ δὲ τούτου καὶ ἕτερον κατεσκεύαζε, τὸ δεῖξαι ὅτι δικαίως ἀνεδέξατο τὸ διακονῆσαι τοῖς ἁγίοις, εἴγε τοσοῦτοι ἦσαν οἱ ἀπειθοῦντες, ὡς καὶ αὐτὸν εὔχεσθαι ῥυσθῆναι. οἱ γὰρ μεταξὺ τοσούτων ὄντες πολεμίων, καὶ λιμῷ ἀπόλλυσθαι ἔμελλον· διὸ ἀναγκαίως ἑτέρωθεν αὐτοῖς ἐκομίζετο.

Καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις·

Τουτέστιν, ἵνα δεκτή μου γένηται ἡ θυσία, ἵνα μετὰ προθυμίας ὑποδέξωνται τὰ διδόμενα. ὁρᾷς πῶς πάλιν ἐπῆρε τὸ ἀξίωμα τῶν λαμβανόντων, εἴγε εὐχῶν δεῖται (γρ. ποιοῦν) παρὰ τοσούτων, εἰς τὸ δεχθῆναι τὰ πεμπόμενα; ἀπὸ δὲ τούτου δείκνυσι καὶ ἕτερόν τι, ὅτι οὐκ ἀρκεῖ τὸ δοῦναι ἐλεημοσύνην εἰς τὸ δεχθῆναι. ὅταν γὰρ μετὰ ἀνάγκης τις παρέχῃ, ὅταν ἐξ ἀδικίας, ὅταν μετὰ κενοδοξίας, οἴχεται ὁ καρπός.

32 Ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ.

(Ρω. α.) Πάλιν ἐρχόμενος ἔλεγεν, Εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς· οὕτω καὶ ἐνταῦθα ἐπὶ τὸ αὐτὸ καταφεύγει θέλημα, καί φησιν, ὅτι διὰ τοῦτο ἐπείγομαι, καὶ ῥυσθῆναι ἐκεῖθεν εὔχομαι, ἵνα ταχέως ὑμᾶς ἴδω, καὶ ἴδω μετὰ ἡδονῆς, μηδεμίαν ἐκεῖθεν ἐπισυρόμενος ἀθυμίαν. Καὶ συναναπαύσωμαι ὑμῖν.

Ὅρα πῶς πάλιν τὸ ἄτυφον δείκνυσιν. οὐ γὰρ εἶπε, διδάξω ὑμᾶς καὶ κατηχήσω, ἀλλ' ἵνα συναναπαύσωμαι ὑμῖν. καὶ τοιοῦτος ὢν ὁ ἀγωνιζόμενος, καὶ πυκτεύων. πῶς οὖν, φησι, συναναπαύσωμαι; χαριζόμενος αὐτοῖς καὶ τοῦτο, καὶ προθυμοτέρους ποιῶν τῷ κοινωνοὺς ποιεῖν τῶν στεφάνων, καὶ δεικνύναι καὶ αὐτοὺς ἀγωνιζομένους καὶ πονοῦντας. εἶτα, ὅπερ ἀεὶ ποιεῖν εἴωθε, τὴν εὐχὴν μετὰ τὴν παραίνεσιν προστίθησι λέγων,

33 Ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν.

κεφ. ις.

1 Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς. Ὅρα διὰ πόσων αὐτὴν σεμνύνει. καὶ γὰρ πρὸ τῶν ἄλλων αὐτῆς ἐμνήσθη πάντων, καὶ ἀδελφὴν ἐκάλεσεν. οὐ μικρὸν δὲ Παύλου κληθῆναι ἀδελφήν. καὶ τὸ ἀξίωμα προσέθηκε, διάκονον εἰπών.

2 Ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων. Τουτέστι, διὰ τὸν Κύριον, ἵνα τιμῆς ἀπολαύσηται παρὰ ὑμῖν. ὁ γὰρ διὰ τὸν Κύριον δεχόμενος, κἂν μὴ μέγαν τινὰ δέξηται, μετὰ σπουδῆς δέχεται. ὅταν δὲ καὶ ἁγία ᾖ, ἐννόησον ἡλίκης αὐτὴν ἀπολαῦσαι δίκαιον θεραπείας. διὰ τοῦτο προσέθηκεν, ἀξίως τῶν ἁγίων, ὡς δεῖ τοὺς τοιούτους ὑποδέχεσθαι. διπλῆν γὰρ ἔχει ἀφορμὴν τοῦ θεραπευθῆναι παρ' ὑμῶν (γρ. ὑμῖν), καὶ τὸ διὰ τὸν Κύριον δεχθῆναι, καὶ τὸ αὐτὴν ἁγίαν εἶναι. Καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι.

Εἶδες τὸ ἀνεπαχθές; οὐδὲ γὰρ εἶπεν, ἵνα ἀπαλλάξητε, ἀλλ', ἵνα τὰ παρ' ὑμῶν εἰσενέγκητε, καὶ χεῖρα ὀρέξητε, ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ. οὐκ ἐν οἷς ἂν ᾖ πάντως, ἀλλ' ἐν οἷς ἂν ὑμῶν δέηται. δέεται δὲ ἐν ἐκείνοις, ἐν οἷς ἂν ὑμεῖς ἦτε κύριοι. εἶτα πάλιν ὁ ἔπαινος ἄφατος. Καὶ γὰρ αὐτὴ προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ.

Εἶδες τὴν σύνεσιν; πρότερον μὲν τὰ ἐγκώμια, εἶτα μέσον τὴν παράκλησιν, εἶτα πάλιν τὰ ἐγκώμια τίθησιν, ἑκατέρωθεν περιστέλλων τὴν χρείαν τοῖς ἐπαίνοις τῆς γυναικὸς τῆς

μακαρίας ἐκείνης. πῶς γὰρ οὐ μακαρία ἡ τοσαύτης ἀπολαύσασα παρὰ Παύλου μαρτυρίας, ἡ καὶ αὐτὸν βοηθῆσαι δυνηθεῖσα τὸν τὴν οἰκουμένην διορθώσαντι; τοῦτο γὰρ ὁ κολοφὼν αὐτῆς τῶν ἀγαθῶν· διὸ καὶ ὕστερον αὐτὸ τέθεικε λέγων, καὶ αὐτοῦ ἐμοῦ. τί δέ ἐστι, καὶ αὐτοῦ ἐμοῦ; τοῦ κήρυκος τῆς οἰκουμένης, τοῦ τοσαῦτα παθόντος, τοῦ μυρίοις ἀρκοῦντος. μιμησώμεθα τοίνυν καὶ ἄνδρες καὶ γυναῖκες τὴν ἁγίαν ἐκείνην, καὶ τὴν μετ' αὐτὴν δὲ σὺν τῷ ἀνδρί. τίνες δὲ οὗτοί εἰσιν; (γ. μακαρίαν)

3 Ἀσπάσασθε, φησί, Πρίσκιλλαν καὶ Ἀκύλαν, τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ.

(γ. ἐμαρτύρει) Τούτων τῇ ἀρετῇ καὶ ὁ Λουκᾶς μαρτυρεῖ τῇ μὲν, ὅταν λέγῃ, ὅτι ἔμενε παρ' αὐτοῖς ὁ Παῦλος. ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. τοῦτο δὲ, ὅταν δεικνύῃ τὴν γυναῖκα τὸν Ἀπολλὼ προσλαμβανομένην, καὶ κατηχήσασαν τὴν ὁδὸν τοῦ Κυρίου. μεγάλα μὲν γὰρ κἀκεῖνα· πολλῷ δὲ μείζονα ἅ φησι Παῦλος. τί γάρ φησι; πρῶτον συνεργοὺς αὐτοὺς καλεῖ, τὴν ἄφατον πόνων καὶ τῶν κινδύνων δεικνὺς αὐτοῖς κοινωνίαν. ἔπειτά φησιν,

4 Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν.

Εἶδες μάρτυρας ἀπηρτισμένους; καὶ γὰρ εἰκὸς ἐπὶ Νέρωνος μυρίους εἶναι τοὺς κινδύνους, ὅτε καὶ διετάξατο πάντας χωρίζεσθαι ἀπὸ τῆς Ῥώμης τοὺς Ἰουδαίους.

Οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν.

Ἐνταῦθα τὴν φιλοξενίαν καὶ τὴν ἀπὸ τῶν χρημάτων λειτουργίαν αἰνίττεται, θαυμάζων αὐτοὺς ὅτι καὶ τὸ αἷμα αὐτῶν ἐξέχεαν, καὶ τὴν οὐσίαν κοινὴν προὔθηκαν ἅπασαν. εἶδες γυναῖκας γενναίας, οὐδὲν ἀπὸ τῆς φύσεως ἐμποδισθείσας εἰς τὸν τῆς ἀρετῆς δρόμον; καὶ μάλα εἰκότως. Ἐν Χριστῷ γὰρ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ. καὶ ὅπερ ἐπὶ τῆς προτέρας εἶπε, τοῦτο καὶ ἐπὶ ταύτης (Γαλ. γ. κη.) φησί. καὶ γὰρ καὶ περὶ ἐκείνης ἔλεγεν, ὅτι πολλῶν προστάτις ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ. καὶ ἐπὶ ταύτης πάλιν, ὅτι οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν. (γ. κοινὴν) ἵνα γὰρ μὴ δόξῃ κολακεύων ταῦτα, καὶ ἄλλους μάρτυρας ἄγει τῶν γυναικῶν πολλῷ πλείους.

(γ. τὴν δὲ δοκίμους) 5 Καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. Οὕτω γὰρ ἦσαν εὐδόκιμοι, ὡς καὶ τὴν οἰκίαν ἐκκλησίαν ποιῆσαι, διά τε τοῦ πάντας ποιῆσαι πιστούς, καὶ διὰ τοῦ τοῖς ξένοις αὐτὴν ἀνοῖξαι πᾶσιν. οὐδὲ γὰρ ἁπλῶς εἴωθεν οἰκίας ἐκκλησίας καλεῖν, εἰ μὴ πολλὴ ἡ εὐλάβεια, καὶ πολὺς ὁ τοῦ Θεοῦ φόβος ἐρριζωμένος ἐν αὐτοῖς εἴη. διὸ τοῦτο καὶ Κορινθίοις ἔλεγεν, Ἀσπάσασθε Ἀκύλαν καὶ Πρίσκιλλαν, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. (α. Κορ. ιϛ. ιθ.) καὶ περὶ Ὀνησίμου δὲ γράφων φησί, Παῦλος Φιλήμονι, καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. (Φιλημ. α. α. β.) ἔνι γὰρ καὶ ἐν γάμῳ ὄντα θαυμαστὸν εἶναι καὶ γενναῖον. ἰδοὺ γοῦν καὶ οὗτοι ἐν γάμῳ ἦσαν, καὶ σφόδρα ἐξέλαμψαν, καίτοιγε οὐδὲ τὸ ἐπιτήδευμα αὐτῶν λαμπρὸν ἦν. σκηνοποιοὶ γὰρ ἦσαν. ἀλλ' ὅμως πάντα ἀπέκρυψεν ἡ ἀρετή, καὶ ὑπὲρ τὸν ἥλιον αὐτοὺς ἔδειξε. καὶ οὔτε ἡ τέχνη, οὔτε ἡ συζυγία αὐτοὺς παρέβλαψεν, ἀλλὰ τὴν ἀγάπην ἣν ὁ Χριστὸς ἀπῄτησε, ταύτην ἐπεδείξαντο. Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, φησίν, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. (Ιωαν. ιε. ιγ.) καὶ ὃ γνώρισμα ἐστὶ μαθητοῦ, τοῦτο κατώρθωσαν. ἔλαβον γὰρ τὸν σταυρόν, καὶ ἠκολούθησαν. οἱ γὰρ ὑπὲρ τοῦ Παύλου τοῦτο ποιοῦντες, πολλῷ μᾶλλον ὑπὲρ τοῦ Χριστοῦ ταύτην * ἐπεδείξαντο τὴν ἀνδρείαν. (* αὐ)

ΗΘΙΚΟΝ

Ταῦτα καὶ πλούσιοι καὶ πένητες ἀκουέτωσαν. εἰ γὰρ οἱ ἀπὸ τῶν χειρῶν ζῶντες, καὶ ἐργαστηρίου προεστηκότες τοσαύτην ἐπεδείξαντο δαψίλειαν, ὡς ἐκκλησίαις πολλαῖς γενέσθαι χρήσιμοι· τίνα ἂν ἔχοιεν συγγνώμην οἱ πλουτοῦντες καὶ τοὺς πένητας παρορῶντες; ἐκεῖνοι μὲν γὰρ οὐδὲ τοῦ αἵματος ἐφείσαντο διὰ τὸ τῷ Θεῷ δοκοῦν, σὺ δὲ καὶ χρημάτων ὀλίγων φείδῃ, πολλάκις ὑπεριδὼν τῆς σαυτοῦ ψυχῆς; ἀλλὰ περὶ μὲν τὸν διδάσκαλον τοιοῦτοι ἐκεῖνοι, περὶ δὲ τοὺς μαθητὰς οὐ τοιοῦτοι; ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. καὶ γὰρ αἱ ἐκκλησίαι τῶν ἐθνῶν, φησίν, αὐτοῖς εὐχαριστοῦσι. καίτοι γε Ἰουδαῖοι ἦσαν, ἀλλ' ὅμως οὕτως ἐπίστευσαν εἰλικρινῶς, ὡς καὶ ἐκείνοις μετὰ προθυμίας διακονεῖσθαι πάσης. τοιαύτας εἶναι χρὴ τὰς γυναῖκας· Μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, (α. Τιμ. β. θ.)

ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλὰ τούτοις καλλωπιζομένας τοῖς κατορθώμασι. ποία γάρ, εἰπέ μοι, βασίλισσα οὕτως ἔλαμψε, ποία οὕτως ᾄδεται, ὡς αὕτη ἡ τοῦ σκηνοποιοῦ; καὶ ἐν τοῖς ἁπάντων ἐστὶ στόμασιν, οὐ δέκα, οὐδὲ καὶ εἴκοσιν ἔτη, ἀλλὰ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας. καὶ πάντες αὐτὴν ἐπὶ τοιούτοις ἀνακηρύττουσιν, ἃ τοῦ διαδήματος αὐτὴν μᾶλλον κοσμεῖ τοῦ βασιλικοῦ. τί γὰρ μεῖζον, τί δὲ ἴσον τοῦ προστάτιν γενέσθαι Παύλου; τοῦ κινδύνοις ἰδίοις διασῶσαι τὸν τῆς οἰκουμένης διδάσκαλον; σκόπει γοῦν καὶ ὅσαι μὲν βασιλίδες σεσίγηνται, ἡ δὲ τοῦ σκηνοποιοῦ πανταχοῦ περιφέρεται μετὰ τοῦ σκηνοποιοῦ, καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ἐπιτρέχει καὶ ἡ δόξα τῆς γυναικός [οἰκουμένην]. καὶ Πέρσαι, καὶ Σκύθαι, καὶ Θρᾷκες, καὶ οἱ τὰς ἐσχατιὰς οἰκοῦντες ᾄδουσι τῆς γυναικὸς τὴν φιλοσοφίαν, καὶ μακαρίζουσι. πόσον πλοῦτον, πόσα διαδήματα καὶ ἁλουργίδας οὐκ ἂν ἡδέως ἔρριψας ὑπὲρ τοῦ τοιαύτην μαρτυρίαν λαβεῖν; οὐδὲ γὰρ ἔχοι τις ἂν εἰπεῖν, ὅτι ἐν κινδύνοις μὲν ἦσαν τοιοῦτοι, καὶ ἐν χρήμασι δαψιλεῖς, τοῦ κηρύγματος δὲ ἠμέλουν. καὶ γὰρ συνεργοὺς αὐτούς, καὶ συλλειτουργοὺς διὰ τοῦτο καλεῖ. καὶ οὐκ αἰσχύνεται γυναῖκα συλλειτουργὸν καλῶν, τὸ σκεῦος τῆς ἐκλογῆς, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τούτῳ. οὐ γὰρ τῇ φύσει προσέχει, ἀλλὰ τὴν προαίρεσιν στεφανοῖ. τί τοῦ κόσμου τούτου ἴσον; ποῦ νῦν ὑμῖν ὁ πλοῦτος ὁ πανταχοῦ περιρρέων; ποῦ δὲ ὁ τῶν ὄψεων καλλωπισμός; ποῦ δὲ ἡ δόξα ἡ κενή; κατάμαθε τῆς γυναικὸς τὸν κόσμον, τὸν οὐ σώματι περικείμενον, ἀλλὰ ψυχὴν καλλωπίζοντα, τὸν οὐδέποτε ἀποτιθέμενον, τὸν οὐκ ἐν κιβωτίῳ κείμενον, ἀλλὰ τοῖς οὐρανοῖς ἐναποκείμενον. βλέπε αὐτῶν τὸν περὶ τὸ κήρυγμα πόνον, τὸν ἐν τῷ μαρτυρίῳ στέφανον, τὴν ἐν τοῖς χρήμασι φιλοτιμίαν, τὴν περὶ Παῦλον ἀγάπην, τὸ περὶ τὸν Χριστὸν φίλτρον. παράβαλε τούτοις τὰ σά, τὴν περὶ τὰ χρήματα σπουδήν, τὴν πρὸς τὰς πορνευομένας ἅμιλλαν, τὴν πρὸς τὸν χόρτον φιλονεικίαν, καὶ τότε ὄψει τίνες μὲν ἐκεῖνοι, τίς δὲ σύ. μᾶλλον δὲ μὴ παράβαλε μόνον, ἀλλὰ καὶ ζήλου τὴν γυναῖκα, καὶ τὰ φορτία τῆς χλόης ἀποθεμένη (τοῦτο γὰρ ἡ τῶν ἱματίων πολυτέλεια) λάμβανε τὸν ἐκ τοῦ οὐρανοῦ κόσμον, καὶ μάνθανε πόθεν ἐγίνοντο τοιοῦτοι οἱ περὶ Πρίσκιλλαν. πόθεν οὖν ἐγίνοντο; δύο ἔτη τὸν Παῦλον ἐξενοδόχησαν· ἔτη δὲ δύο τί οὐκ ἂν αὐτῶν εἰργάσατο τὴν ψυχήν; τί οὖν ἐγὼ πάθω, φησίν, ὅτι Παῦλον οὐκ ἔχω; ἐὰν ἐθέλῃς, ἀκριβέστερον ἕξεις ἢ ἐκεῖνοι. οὐδὲ γὰρ ἐκείνους ἡ ὄψις ἡ Παύλου τοιούτους ἐποίησεν, ἀλλὰ τὰ ῥήματα Παύλου. ὥστε, εἰ βουληθείης, καὶ Παῦλον, καὶ Πέτρον, καὶ Ἰωάννην, καὶ τῶν προφητῶν ἅπαντα τὸν χορὸν μετὰ τῶν ἀποστόλων ἕξεις ὁμιλοῦντά σοι διηνεκῶς. λαβὲ γὰρ τῶν μακαρίων τούτων τὰς βίβλους, καὶ ἐντύγχανε διηνεκῶς ταῖς ἐκείνων γραφαῖς, καὶ δυνήσονταί σε ποιῆσαι κατὰ τὴν τοῦ σκηνοποιοῦ γυναῖκα. καὶ τί λέγω Παῦλον; ἂν γὰρ ἐθέλῃς, καὶ αὐτὸν ἕξεις τὸν Παύλου δεσπότην. διὰ γὰρ τῆς Παύλου γλώττης καὶ ἐκεῖνός σοι διαλέξεται. καὶ ἑτέρως δὲ πάλιν δυνήσῃ δέξασθαι τοῦτον, ὅταν τοὺς ἁγίους δέξῃ, ὅταν τοὺς εἰς ἐκεῖνον πιστεύοντας θεραπεύσῃς. οὕτω καὶ ἀπελθόντων ἐκείνων, πολλὰ ὑπομνήματα εὐλαβείας ἕξεις. οἶδε γὰρ καὶ τράπεζα ἐφ' ἧς ἅγιος ἔφαγε, καὶ καθέδρα ἐφ' ἧς ἐκάθισε, καὶ κλίνη ἐφ' ἧς κατεκλίθη, κατανύξαι τὸν ὑποδεξάμενον, καὶ ἀπελθόντος ἐκείνου. πῶς γοῦν οἴει τὴν Σωμανῖτιν ἐκείνην κατανύττεσθαι, εἰσελθοῦσαν εἰς τὸ ὑπερῷον ἔνθα κατέμενεν ὁ Ἐλισσαῖος, ὁρῶσαν τὴν τράπεζαν, τὴν κλίνην ἐφ' ἧς ὁ ἅγιος ἐκεῖνος ἐκάθευδε; πόσην ἐντεῦθεν δέχεσθαι τὴν εὐλάβειαν; οὐδὲ γὰρ ἂν εἰ μὴ τοῦτο ἦν, ἔρριψεν ἐκεῖ τὸ παιδίον νεκρόν, εἰ μὴ πολλὴν ἐκεῖθεν ἐκαρποῦτο τὴν ὠφέλειαν. εἰ γὰρ μετὰ τοσοῦτον χρόνον εἰσιόντες ἔνθα ἔμενε Παῦλος, ἔνθα ἐδέθη, ἔνθα συνεκάθισε καὶ διελέχθη, πτερούμεθα, καὶ πρὸς τὴν μνήμην τῆς ἡμέρας ἀπὸ τῶν τόπων παραπεμπόμεθα· ἐπὶ νεωτέρων τῶν πραγμάτων ὄντων, τί πάσχειν εἰκὸς τοὺς μετ' εὐλαβείας ξενοδοχοῦντας; ταῦτ' οὖν εἰδότες ὑποδεχώμεθα τοὺς ἁγίους, ἵνα λάμπῃ ἡ οἰκία, ἵνα ἀπαλλάττηται τῶν ἀκανθῶν, ἵνα λιμὴν γένηται τὸ δωμάτιον· καὶ ὑποδεχώμεθα, καὶ τοὺς πόδας νίπτωμεν.

γ. ἦν
γ. ὁ περιρρέων;
γ. χρήμασι
γ. ἅπαντα
γ. ἐκείνων

νύπτωμεν. οὐκ εἶ σὺ τῆς Σάῤῥας βελτίων, οὐδὲ εὐγενεστέρα, οὐδὲ εὐπορωτέρα, κἂν βασίλισσα ᾖς. τριακοσίους γὰρ καὶ δεκαοκτὼ οἰκογενεῖς εἶχεν ἐκείνη, ὅτε καὶ τὸ δύο παῖδας ἔχειν πλοῦτος ἦν. καὶ τί λέγω τριακοσίους καὶ δεκαοκτὼ οἰκέτας; τὴν οἰκουμένην ἅπασαν ἐν τῷ σπέρματι καὶ ταῖς ἐπαγγελίαις ἐκέκτητο, τὸν τοῦ Θεοῦ φίλον εἶχεν ἄνδρα, αὐτὸν τὸν Θεὸν προστάτην, ὃ πάσης βασιλείας μεῖζον ἦν. ἀλλ' ὅμως ἐν τοσαύτῃ οὖσα περιφανείᾳ καὶ δόξῃ, αὐτὴ ἔφυρε τὰ ἄλευρα, καὶ τὰ ἄλλα πάντα διηκονεῖτο, καὶ ἑστιωμένοις παρειστήκει πάλιν ἐν τάξει θεραπαινίδος. οὐκ εἶ σὺ τοῦ Ἀβραὰμ εὐγενέστερος· ὃς τὰ οἰκετῶν ἔπραττε, μετὰ τὰ τρόπαια ἐκεῖνα, μετὰ τὰς νίκας, μετὰ τὴν τιμὴν τοῦ βασιλέως Αἰγύπτου, μετὰ τὸ τοὺς Περσῶν ἐλάσαι βασιλεῖς, καὶ τὰ λαμπρὰ στῆσαι τρόπαια. μηδὲ τοῦτο ἴδῃς, ὅτι εὐτελεῖς τινὲς φαινόμενοι εἰσὶν ἅγιοι οἱ πρὸς σὲ καταγόμενοι, καὶ πτωχοί, καὶ ῥακοδυτοῦντες πολλάκις, ἀλλ' ἐκείνης μέμνησο τῆς φωνῆς τῆς λεγούσης, Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· καί, Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. καὶ δέχου μετὰ προθυμίας αὐτοὺς τὰ μυρία σοι κομίζοντας ἀγαθὰ διὰ τῶν ἀσπασμῶν τῆς εἰρήνης. καὶ μετὰ τῆς Σάῤῥας λογίζου καὶ τὴν Ῥεβέκκαν, ἣ καὶ ὑδρεύετο, καὶ ἐπότιζε, καὶ ἐκάλει τὸν ξένον ἔνδον, πάντα καταπατήσασα τῦφον· διά τοι τοῦτο καὶ μεγάλους τῆς φιλοξενίας ἐλάμβανε τοὺς μισθούς. σὺ δέ, εἰ βουληθείης, καὶ μείζους ἐκείνων λήψῃ. οὐ γὰρ παιδίον μόνον δώσει σοι ὁ Θεὸς τὸν καρπόν, ἀλλὰ καὶ τὸν οὐρανόν, καὶ τὰ ἐκεῖ ἀγαθά, καὶ γεέννης ἀπαλλαγήν, καὶ ἁμαρτημάτων συγχώρησιν. καὶ γὰρ μέγας, καὶ σφόδρα μέγας ὁ τῆς φιλοξενίας καρπός. οὕτω καὶ ὁ Ἰοθόρ, καὶ ταῦτα βάρβαρος ὤν, κηδεστὴν ἔλαβε τὸν τῇ θαλάττῃ μετὰ τοσαύτης ἐπιτάξαντα τῆς ἐξουσίας. καὶ γὰρ αἱ θυγατέρες αὐτοῦ τὸ καλὸν τοῦτο θήραμα ἐσαγήνευσαν. ταῦτ' οὖν ἐννοοῦσα, καὶ τὴν ἀνδρείαν τῶν γυναικῶν ἐκείνων λογιζομένη, καὶ τὴν φιλοσοφίαν, καταπάτησον τὸν παρόντα τῦφον, τὸν τῶν ἱματίων καλλωπισμόν, τὴν τῶν χρυσίων πολυτέλειαν, * τῶν μύρων τὴν ἀλοιφήν· καὶ τὸ κατακλᾶσθαι καὶ θρύπτεσθαι καὶ ῥυθμῷ βαδίζειν ἀφεῖσα, πᾶσαν ταύτην τὴν ἐπιμέλειαν εἰς τὴν ψυχὴν εἴσαγε, καὶ τὸν τῶν οὐρανῶν πόθον ἄναψον ἐπὶ τῆς διανοίας. ἂν γὰρ ἐκεῖνός σε ὁ ἔρως ἕλῃ, ὄψει τὸν βόρβορον καὶ τὸν πηλόν, καὶ καταγελάσῃ τῶν νῦν θαυμαζομένων. οὐδὲ γὰρ ἔστι γυναῖκα πνευματικοῖς κοσμουμένην κατορθώμασιν, ἐπιζητῆσαι τὸν γέλωτα τοῦτον. ῥίψασα τοίνυν ταῦτα πάντα, ἃ καὶ ἀγοραίων γυναῖκες, ἃ καὶ ὀρχηστρίδες καὶ αὐλητρίδες μετὰ πολλῆς ἔχουσι τῆς φιλοτιμίας, περίθου φιλοσοφίαν, φιλοξενίαν, προστασίαν τῶν ἁγίων, κατάνυξιν, εὐχὰς συνεχεῖς. ταῦτα χρυσῶν ἱματίων βελτίω, ταῦτα λίθων σεμνότερα καὶ περιδεραίων, ταῦτα καὶ παρὰ ἀνθρώποις εὐδόκιμον ποιεῖ, καὶ παρὰ τοῦ Θεοῦ μέγαν φέρει σοι τὸν μισθόν. οὗτος τῆς ἐκκλησίας ὁ κόσμος, ἐκεῖνος τῶν θεάτρων· οὗτος τῶν οὐρανῶν ἄξιος, ἐκεῖνος ἵππων καὶ ἡμιόνων· ἐκεῖνος καὶ νεκροῖς σώμασι περιτίθεται, οὗτος ἐν ψυχῇ μόνον ἀγαθῇ λάμπει, ἐν ᾗ Χριστὸς κατοικεῖ. τοῦτον τοίνυν κτησώμεθα τὸν κόσμον, ἵνα αἰδώμεθα πανταχοῦ καὶ ἡμεῖς, καὶ εὐαρεστήσωμεν τῷ Χριστῷ * εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λα. ΑΣΠΑΣΑΣΘΕ ΕΠΑΙΝΕΤΟΝ ΤΟΝ ἈΓΑΠΗΤΌΝ μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν.

ΠΟλλοὺς καὶ τῶν σφόδρα δοκούντων εἶναι σπουδαίων τοῦτο τῆς ἐπιστολῆς τὸ μέρος παρατρέχειν ἡγοῦμαι, ὡς περιττὸν καὶ οὐδὲν μέγα ἔχον. καὶ τοῦτο αὐτὸ καὶ ἐν τῇ γενεαλογίᾳ τῇ ἐν τῷ εὐαγγελίῳ κειμένῃ πάσχειν αὐτοὺς νομίζω. ἐπειδὴ γὰρ ὀνομάτων ἐστὶ κατάλογος, οὐδὲν μέγα οἴονται ἐντεῦθεν κερδαίνειν. καὶ εἰσὶ μὲν τῶν χρυσοχόων παῖδες καὶ τὰ μικρὰ ψήγματα περιεργάζονται, οὗτοι δὲ καὶ μάζας χρυ-

σιν τοσαύταις περιέχωσιν. ἵν' οὖν μὴ τοῦτο πάθωσιν, ἱκανὰ μὲν καὶ τὰ εἰρημένα ταύτης ἀπαγαγεῖν τῆς ῥαθυμίας αὐτούς. ὅτι γὰρ οὐ μικρὸν καὶ ἐντεῦθεν κέρδος, ἐδείξαμεν καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων, τὴν ψυχὴν ὑμῶν ἀναστήσαντες διὰ τῆς προσρήσεως τούτων. πειρασώμεθα δὲ καὶ σήμερον τὸ αὐτὸ πάλιν τοῦτο μεταλλεῦσαι τὸ χωρίον. ἔστι γὰρ καὶ ἀπὸ ὀνομάτων ψιλῶν μέγαν εὑρεῖν θησαυρόν. εἰ γοῦν μάθοις διὰ τί Ἀβραὰμ ἐκλήθη, διὰ τί Σάρρα, διὰ τί Ἰσραὴλ, διὰ τί Σαμουὴλ, πολλῶν πραγμάτων καὶ ἐντεῦθεν ἱστορίας εὑρήσεις. καὶ ἀπὸ καιρῶν δὲ, καὶ ἀπὸ τόπων τὸ αὐτὸ τοῦτο δυνήσῃ συναγαγεῖν. ὁ μὲν γὰρ σπουδαῖος καὶ ἐντεῦθεν πλουτεῖ· ὁ δὲ ἀναπεπτωκὼς οὐδὲ ἀπὸ τῶν σφόδρα καταδήλων κερδαίνει. καὶ γὰρ τοῦ Ἀδὰμ τὸ ὄνομα οὐ μικρὰν ἡμᾶς παιδεύει φιλοσοφίαν, καὶ τὸ τοῦ παιδὸς ἐκείνου, καὶ τῆς γυναικὸς αὐτῆς, καὶ τῶν ἄλλων τὰ πλείω. πολλῶν γὰρ ἐστι πραγμάτων ὑπομνήματα τὰ ὀνόματα· καὶ θεοῦ εὐεργεσίας, καὶ γυναικῶν δείκνυσιν εὐχαριστίαν. συλλαμβάνουσαι γὰρ ἀπὸ τῆς τοῦ θεοῦ δωρεᾶς τὰ παιδία ὠνόμαζον αὐταί. ἀλλὰ τί νῦν περὶ ὀνομάτων φιλοσοφοῦμεν, νοημάτων τοσούτων ἀμελουμένων, καὶ πολλῶν οὐδὲ τὰ ὀνόματα αὐτὰ τῶν βιβλίων εἰδότων; πλὴν ἀλλ' οὐδ' οὕτως ἀναχωρητέον ἡμῖν τῆς περὶ τὰ τοιαῦτα σπουδῆς. Ἔδει γάρ σε, φησὶ, καταβαλεῖν τὸ ἀργύριον ἐπὶ τοὺς τραπεζίτας. εἴπερ κἂν μηδεὶς ὁ ὑποδεχόμενος ᾖ, τὸ αὐτὸ ποιῶμεν, καὶ δεικνύωμεν οὐδὲν περιττὸν, οὐδὲ εἰκῆ προσφερόμενον ταῖς γραφαῖς. εἰ γὰρ μηδὲν εἶχε ταῦτα κέρδος, οὐκ ἂν προσετέθη τῇ ἐπιστολῇ, οὐδ' ἂν Παῦλος ἔγραψεν ἅπερ ἔγραψεν. ἀλλὰ γὰρ οὕτω τινές εἰσι βάναυσοι, καὶ χαῦνοι, καὶ τῶν οὐρανῶν ἀνάξιοι, ὡς μὴ μόνον ὀνόματα, ἀλλὰ καὶ ὁλόκληρα βιβλία περιττὰ εἶναι νομίζειν, ὡς τὸ Λευϊτικὸν, ὡς τὸν Ἰησοῦν, καὶ ἕτερα πλείονα. οὕτω καὶ τὴν παλαιὰν πολλοὶ τῶν ἀνοήτων ἐξέβαλον· καὶ ὁδῷ προβαίνοντες τῇ ἀπὸ πονηρᾶς ταύτης συνηθείας, πολλὰ καὶ τῆς καινῆς περιέκοψαν. ἀλλὰ τούτων μὲν ἅτε μεθυόντων, καὶ τῇ σαρκὶ ζώντων, οὐ πολὺς ἡμῖν ὁ λόγος. Εἰ δέ τις φιλοσοφίας ἐραστὴς, καὶ πνευματικῆς ἀκροάσεως φίλος· ἀκουέτω ὅτι οὐδὲ τὰ μικρὰ δοκοῦντα εἶναι ἐν τῇ γραφῇ, εἰκῆ κεῖται καὶ μάτην, καὶ ὅτι καὶ τὰ παλαιὰ πολὺ φέρει τὸ κέρδος. Ταῦτα γὰρ πάντα τύποι, καὶ πρὸς νουθεσίαν ἡμῶν ἐγράφη, φησί. διὸ καὶ Τιμοθέῳ ἔλεγε, Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, εἰς τὴν τῶν παλαιῶν αὐτὸν ἀνάγνωσιν ἐμβάλλων βιβλίων, ἄνθρωπον τοσοῦτον πνεῦμα ἔχοντα, ὡς καὶ δαιμόνια ἐλαύνειν, καὶ νεκροὺς ἐγείρειν. ἐχώμεθα τοίνυν τῶν προκειμένων. Ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου. ἄξιον ἐντεῦθεν ἰδεῖν, πῶς ἑκάστῳ τοὺς ἐπαίνους ἀπονέμει διαφόρως. οὐδὲ γὰρ μικρὸς οὗτος ὁ ἔπαινος, ἀλλὰ καὶ σφόδρα μέγας, καὶ πολλῆς ἀρετῆς ἐνδεικτικὸς, τὸ Παῦλον ἔχειν ἀγαπητὸν, τὸν οὐκ εἰδότα χάριτι, ἀλλὰ κρίσει φιλεῖν. Εἶτα καὶ ἄλλο ἐγκώμιον· ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας. ἢ γὰρ τοῦτό φησιν, ὅτι τῶν ἄλλων ἁπάντων προεπήδησε καὶ ἐπίστευσεν (ὅπερ οὐ μικρὸς ἔπαινος) ἢ ὅτι πάντων τῶν ἄλλων πλείονα ἐπιδείκνυται τὴν εὐλάβειαν. διὰ τοῦτο εἰπὼν, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας, οὐκ ἐσίγησεν, ἵνα μὴ τὴν κοσμικὴν ὑποπτεύσῃς δόξαν, ἀλλὰ προσέθηκεν, Εἰς Χριστόν. Εἰ γὰρ ἐν τοῖς πολιτικοῖς πράγμασιν ὁ προτεύων μέγας εἶναι δοκεῖ καὶ λαμπρὸς, πολλῷ μᾶλλον ἐν τούτοις. ἐπεὶ γὰρ εἰκὸς ἦν αὐτοὺς ταπεινοτέρους εἶναι, λέγει τὴν ἀληθῆ εὐγένειαν καὶ τὴν προεδρίαν, ἐντεῦθεν αὐτὸν κοσμῶν. καὶ οὐχὶ Κορίνθου μόνον, ἀλλὰ καὶ ὁλοκλήρου ἔθνους φησὶν αὐτὸν ἀπαρχὴν εἶναι, ὡσανεὶ θύρα καὶ εἴσοδος τοῖς ἄλλοις γεγενημένος. οὐ μικρὸς δὲ τοῖς τοιούτοις ὁ μισθός. καὶ γὰρ καὶ τῶν ἑτέροις κατορθωμένων πολλὴν καρπώσεται τὴν ἀμοιβὴν ὁ τοιοῦτος, ἅτε καὶ ἐκείνοις πολὺ διὰ τῆς ἀρχῆς εἰσενεγκών.

Ματθ. κε κζ. — α Κορ. ι. ια. — α. Τιμ. δ. ιγ.

6 Ἀσπάσασθε Μαριὰμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ὑμᾶς.

Τί τοῦτο; πάλιν γυνὴ στεφανοῦται καὶ ἀνακηρύττεται, πάλιν ἡμεῖς αἰσχυνόμεθα οἱ ἄνδρες· μᾶλλον δὲ οὐκ αἰσχυνόμεθα μόνον, ἀλλὰ καὶ σεμνυνόμεθα. σεμνυνόμεθα μὲν γὰρ, ὅτι τοιαῦται

αὗται τῶν ἡμῶν γυναῖκες, αἰσχυνόμεθα δὲ, ὅτι σφόδρα αὐτῶν ἀπολιμπανόμεθα οἱ ἄνδρες. ἀλλ' ἐὰν μάθωμεν πόθεν ἐκεῖναι καλλωπίζονται, ταχέως καὶ ἡμεῖς αὐτὰς καταληψόμεθα. πόθεν οὖν καλλωπίζονται; ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες· οὐκ ἀπὸ τῶν ψελλίων, οὐδὲ ἀπὸ τῶν ὁρμίσκων, οὐδὲ ἀπὸ τῶν εὐνούχων, καὶ τῶν θεραπαινίδων, καὶ τῶν χρυσοπάστων ἱματίων, ἀλλ' ἀπὸ τῶν ὑπὲρ τῆς ἀληθείας ἱδρώτων. ἥτις γὰρ, φησι, πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς· οὐκ εἰς ἑαυτὴν μόνον, οὐδὲ εἰς τὴν οἰκείαν ἀρετὴν, ὃ πολλαὶ καὶ νῦν ποιοῦσι γυναῖκες νηστεύουσαι, χαμευνοῦσαι, ἀλλὰ καὶ εἰς ἑτέρους, ἀποστόλων καὶ εὐαγγελιστῶν ἀναδεξαμένη δρόμους. πῶς οὖν φησι, Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω; α. Τιμ. ϐ ιϐ. τῆς ἐν τῷ μέσῳ προεδρίας αὐτὴν κωλύων, καὶ τοῦ θρόνου τοῦ ἐν τῷ βήματι, οὐ τοῦ λόγου τῆς διδασκαλίας. ἐπεὶ εἰ τοῦτο ἦν, πῶς ἔλεγε τῇ τὸν ἄπιστον ἄνδρα ἐχούσῃ, Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; α. Κορ. ζ. ιϛ. πῶς ἐπέτρεπε παῖδας νουθετεῖν λέγων, Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης; α. Τιμ. ϐ ιε. πῶς ἡ Πρίσκιλλα τὸν Ἀπολλὼ κατήχει; οὐ τοίνυν τὴν ἰδίᾳ διάλεξιν γινομένην ἐπ' ὠφελείᾳ διακόπτων Πραξ. ιη. τοῦτο ἔλεγεν, ἀλλὰ τὴν ἐν τῷ μέσῳ καὶ ἐν τῷ κοινῷ θεάτρῳ διδασκάλοις πρέπουσαν, καὶ ὅταν πάλιν πιστὸς ὁ ἀνὴρ ᾖ, καὶ σφόδρα ἀπηρτισμένος, καὶ διδάσκειν αὐτὴν δυνάμενος. ὡς ἂν αὐτὴ σοφωτέρα ᾖ, οὐ κωλύει διδάσκειν καὶ διορθοῦν. καὶ οὐκ εἶπεν, ἥτις πολλὰ ἐδίδαξεν, ἀλλ' ἥτις πολλὰ ἐκοπίασε, δεικνὺς ὅτι μετὰ τοῦ λόγου καὶ ἕτερα ἄλλα διηκονεῖτο, τὰ ἀπὸ τῶν κινδύνων, τὰ ἀπὸ τῶν χρημάτων, τὰ ἀπὸ τῶν ἀποδημιῶν. λεόντων γὰρ θερμότεραι αἱ τότε γυναῖκες ἦσαν, διανεμόμεναι πρὸς τοὺς ἀποστόλους τοὺς ὑπὲρ τοῦ κηρύγματος πόνους. διὰ τοῦτο καὶ συναπεδήμουν αὐτοῖς, καὶ τὰ ἄλλα πάντα διηκονοῦντο. καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ ἠκολούθουν γυναῖκες ἐκ τῶν ὑπαρχόντων αὐταῖς διακονοῦμεναι, καὶ θεραπεύουσαι τὸν διδάσκαλον.

7 Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου. Δοκεῖ μὲν καὶ τοῦτο ἐγκώμιον εἶναι· τὸ δὲ ἐφεξῆς πολλῷ μεῖζον. ποῖον δὲ τοῦτο; Καὶ συναιχμαλώτους μου.

Τοῦτο γὰρ ὁ μέγιστος στέφανος, ἡ μεγάλη ἀνακήρυξις. καὶ ποῦ γέγονεν αἰχμάλωτος Παῦλος, ἵνα εἴπῃ συναιχμαλώτους μου; αἰχμάλωτος μὲν οὐκ ἐγένετο, αἰχμαλώτων δὲ πολλῷ χαλεπώτερα ἔπασχεν, οὐ πατρίδος ἀλλοτριούμενος μόνον καὶ οἰκίας, ἀλλὰ λιμῷ παλαίων, καὶ θανάτῳ διηνεκεῖ, καὶ μυρίοις ἑτέροις. τῷ μὲν γὰρ αἰχμαλώτῳ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι τῶν οἰκείων ἀλλοτριούμενος, δοῦλος γίνεται πολλάκις ἀντ' ἐλευθέρου. ἐνταῦθα δὲ μυριάδας ἐστὶν εἰπεῖν πειρασμῶν, οὓς ὑπέμεινεν ὁ μακάριος οὗτος, ἀγόμενος καὶ περιαγόμενος, μαστιζόμενος καὶ δεσμούμενος, λιθαζόμενος, καταποντιζόμενος, μυρίους ἔχων ἐπιβούλους. καὶ οἱ μὲν αἰχμάλωτοι οὐδένα λοιπὸν ἔχουσι πολέμιοι μετὰ τὴν ἀπαγωγὴν, ἀλλὰ καὶ πολλῆς ἀπολαύουσι προνοίας παρὰ τῶν εἰληφότων αὐτούς. οὗτος δὲ ἐν μέσοις περιεστρέφετο τοῖς πολεμίοις διηνεκῶς, καὶ πανταχοῦ δόρατα ἔβλεπε, καὶ τὰ ξίφη ἠκονημένα, καὶ παρατάξεις, καὶ μάχας. ἐπεὶ οὖν καὶ τούτους εἰκὸς ἦν πολλῶν αὐτῷ κεκοινωνηκέναι κινδύνων, συναιχμαλώτους αὐτοὺς καλεῖ· ὥσπερ καὶ ἀλλαχοῦ φησιν, Ἀρίσταρχος ὁ συναιχμάλωτός μου. Κολασ. δ. ι. εἶτα καὶ ἕτερος ἔπαινος· Οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις. Καίτοι καὶ τὸ ἀποστόλους εἶναι, μέγα· τὸ δὲ καὶ ἐν τούτοις ἐπισήμους εἶναι, ἐννόησον ἡλίκον ἐγκώμιον. ἐπίσημοι δὲ ἦσαν ἀπὸ τῶν ἔργων, ἀπὸ τῶν κατορθωμάτων. βαβαὶ, πόση τῆς γυναικὸς ταύτης ἡ φιλοσοφία, ὡς καὶ τῆς τῶν ἀποστόλων ἀξιωθῆναι προσηγορίας. καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλ' ἕτερον πάλιν ἐγκώμιον προστίθησι λέγων, Οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ.

Καὶ γὰρ καὶ οὗτος ἔπαινος μέγιστος, τὸ προπηδῆσαι καὶ πρὸ τῶν ἄλλων ἐλθεῖν. σκόπει δέ μοι τὴν ἁγίαν ψυχὴν πῶς κενοδοξίας ἦν καθαρά. μετὰ γὰρ τὴν τοσαύτην καὶ τηλικαύτην δόξαν ἑτέρους ἑαυτοῦ προτίθησι, καὶ οὐκ ἀποκρύπτεται τὸ ὕστερος αὐτῶν ἐλθεῖν, οὐδὲ αἰσχύ-

γ. πόλεμον

νεται τοῦτο ὁμολογῶν. καὶ τί θαυμάζεις, εἰ τοῦτο οὐκ αἰσχύνεται, ὅπου γε καὶ τὸν πρότερον αὐτοῦ βίον ἐκπομπεύει οὐ παραιτεῖται, βλάσφημον ἑαυτὸν καὶ διώκτην καλῶν; ἐπεὶ δὲ οὐκ εἶχε τῶν ἄλλων ἐντεῦθεν αὐτοὺς προελθεῖν, ἐζήτησε τὸν μετὰ τοὺς ἄλλους ἐλθόντα ἑαυτὸν, καὶ εὗρε καὶ ἐντεῦθεν αὐτοὺς σεμνῦναι ἔπαινον, εἰπὼν, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ.

8 Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου. Πάλιν τοῦτον ἀπὸ τῆς ἀγάπης ἐγκωμιάζει. ἡ γὰρ ἀγάπη Παύλου ἡ κατὰ Θεὸν οὖσα, μυρία ἔχουσα ἀγαθά. εἰ γὰρ τὸ παρὰ βασιλέως ἀγαπᾶσθαι, μέγα, τὸ παρὰ Παύλου φιλεῖσθαι, ἡλίκον ἐγκώμιον; οὐδὲ γὰρ ἂν εἰ μὴ πολλὴν ἀρετὴν ἐκέκτητο, εἰς ἔρωτα αὐτὸν ἐπεσπάσατο. οἶδε γὰρ τοὺς ἐν κακίᾳ ζῶντας καὶ παρανομίαις οὐ μόνον οὐ φιλεῖν, ἀλλὰ καὶ ἀναθεματίζειν· ὡς ὅταν λέγῃ, Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἔστω ἀνάθεμα. καὶ, Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

α. Κορ. ιϛ. κβ.
Γαλατ. α. η.

9 Καὶ Οὐρβανὸν τὸν συνεργόν μου ἐν Χριστῷ. Τοῦτο ἐκείνου μεῖζον τὸ ἐγκώμιον. καὶ γὰρ καὶ ἐκεῖνο περιέχει τοῦτο. Καὶ Στάχυν τὸν ἀγαπητόν μου.

Πάλιν ἀπὸ τῆς αὐτῆς " στεφανοῖ καὶ τοῦτον.

χ. στεφανοῖ τοῦτον.

10 Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. Οὐδὲν τούτου τοῦ ἐπαίνου ἴσον, τὸ ἄληπτον εἶναι καὶ μηδεμίαν παρέχειν λαβὴν ἐν τοῖς κατὰ Θεὸν πράγμασιν. ὅταν γὰρ εἴπῃ, τὸν δόκιμον ἐν Χριστῷ, πᾶσαν ἀρετὴν καταλέγει. καὶ τίνος ἕνεκεν οὐδαμοῦ φησι τὸν Κύριόν μου τὸν δεῖνα, καὶ τὸν δεσπότην μου; ὅτι ταῦτα ἐκείνων μείζω τὰ ἐγκώμια. ἐκεῖνα μὲν γὰρ τιμῆς ἐστιν ἁπλῶς, ταῦτα δὲ ἀρετῆς. καὶ τοῦτο δὲ αὐτὸ τετίμηκεν αὐτοὺς, οὐχ ὡς ἔτυχε, τὸ πολλοὺς τῶν καταδεεστέρων μετὰ τῶν ὑψηλῶν καὶ μεγάλων προσαγορεύειν. τὸ μὲν γὰρ προσειπεῖν, καὶ μετ' ἀλλήλων προσειπεῖν, καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ, πάντας ὁμοίως ἐτίμησε. τὸ δὲ τὰ ἰδιάζοντα ἑκάστου θεῖναι ἐγκώμια, τὴν ἰδιάζουσαν ἑκάστου παρέστησεν ἡμῖν ἀρετήν· ὡς μήτε φθόνον τεκεῖν τῷ τοὺς μὲν τιμῆσαι, τοὺς δὲ ἀτιμάσαι, μήτε ῥαθυμίαν καὶ σύγχυσιν ἐργάσασθαι ἐκ τοῦ πάντας τῆς αὐτῆς ἀξιῶσαι οὐ τῆς αὐτῆς ὄντας ἀξίους. ὅρα δὲ πῶς πάλιν ἐπὶ τὰς θαυμαστὰς ἔρχεται γυναῖκας. εἰπὼν γὰρ, Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου,

11 Καὶ Ἡρωδίωνα τὸν συγγενῆ μου, καὶ τοὺς ἐκ τῶν Ναρκίσσου,

Οὓς εἰκὸς ἴσως μὴ τοιούτους εἶναι, οἵους τοὺς ἔμπροσθεν, διὰ τὸ οὐδὲ ὀνόμασι τῶν πάντων μέμνηται, καὶ τὸ προσῆκον αὐτοῖς ἐγκώμιον ἀποδοὺς, τὸ πιστοὺς εἶναι, τοῦτο γάρ ἐστι,

Τοὺς ὄντας ἐν Κυρίῳ, Ἐπὶ γυναῖκας πάλιν ἄγει τὴν πρόσρησιν λέγων,

12 Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν Κυρίῳ.

Καὶ περὶ μὲν ἐκείνης φησὶν, ὅτι ἐκοπίασεν εἰς " ἡμᾶς· περὶ δὲ τούτων, ὅτι ἔτι κοπιῶσιν. οὐ μικρὸν δὲ τοῦτο ἐγκώμιον, τὸ " ἐν ἔργοις εἶναι δι' ὅλου, καὶ μὴ μόνον " ἐνεργεῖν, ἀλλὰ καὶ κοπιᾷν. τὴν δὲ Περσίδα καὶ ἀγαπητὴν καλεῖ, δεικνὺς μείζονα τούτων οὖσαν.

χ. ὑμᾶς
χ. ἔργοις
χ. ἐνεργεῖν

Ἀσπάσασθε γὰρ, φησὶ, Περσίδα τὴν ἀγαπητήν*. Καὶ πολλὴν αὐτῇ μαρτυρεῖ κάματον λέγων, Ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ.

* μου.

Οὕτως οἶδεν ἕκαστον κατὰ τὴν ἀξίαν ὀνομάζειν, τούτους τε προθυμοτέρους ποιεῖ τῷ μηδενὸς τῶν προσόντων αὐτοῖς ἀποστερεῖν, ἀλλὰ καὶ τὴν μικροτάτην ὑπεροχὴν ἀνακηρύττειν· τούς τε ἑτέρους σπουδαιοτέρους κατασκευάζων, καὶ εἰς τὸν αὐτὸν ἐνάγων ζῆλον τοῖς περὶ τούτων ἐγκωμίοις.

13 Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ.

Ὁλόκληρα πάλιν ἐνταῦθα τὰ ἀγαθὰ, ὅταν καὶ ὁ παῖς τοιοῦτος ᾖ, καὶ ἡ μήτηρ τοιαύτη, καὶ πλήρης ἡ οἰκία εὐλογίας, καὶ ἡ ῥίζα τῷ καρπῷ συμβαίνῃ. οὐδὲ γὰρ ἁπλῶς " εἶπε μητέρα

ισ. εἶπεν ἡ

αὐτοῦ

αὐτοῦ καὶ ἐμοῦ, εἰ μὴ πολλὴν ἐμαρτύρει τῇ γυναικὶ τὴν ἀρετήν.

14 Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. Ἐνταῦθα μὴ τοῦτο ἴδῃς, ὅτι χωρὶς ἐγκωμίων αὐτοὺς τίθησιν, ἀλλ' ὅτι σφόδρα καὶ τοὺς καταδεεστέρους ὄντας ἁπάντων οὐκ ἀπηξίωσε τῆς παρ' αὐτοῦ προσρήσεως. μᾶλλον δὲ οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον, τὸ καὶ ἀδελφοὺς αὐτοὺς καλεῖν, ὥσπερ οὖν καὶ τοὺς μετ' αὐτοὺς ἁγίους.

15 Ἀσπάσασθε γάρ, φησι, Φιλόλογον, καὶ Ἰουλίαν, καὶ Νηρέα, καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. Ὅπερ μέγιστον ἦν ἀξίωμα, καὶ τιμῆς μέγεθος ἄφατον. Εἶτα ἵνα μηδεμία φιλονεικία γένηται, τῷ τοὺς μὲν οὕτω, τοὺς δὲ οὕτω προσειρῆσθαι, καὶ τοὺς μὲν ὀνομαστί, τοὺς δὲ ἀδιορίστως, καὶ τοὺς μὲν μετὰ πλειόνων ἐγκωμίων, τοὺς δὲ μετὰ ἐλαττόνων, συγκιρνᾷ πάλιν αὐτοὺς τῇ τῆς ἀγάπης ἰσοτιμίᾳ καὶ τῷ ἁγίῳ φιλήματι, λέγων,

16 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ· Διὰ τῆς εἰρήνης ταύτης πάντα ἐκβάλλων θορυβοῦντα αὐτοὺς λογισμὸν καὶ μικροψυχίας ἀφορμήν, ἵνα μήτε ὁ μέγας καταφρονῇ τοῦ ἐλάττονος, μήτε ὁ μικρὸς βασκαίνῃ τῷ μείζονι· ἀλλὰ καὶ ὑπεροψία καὶ φθόνος ἀπελαύνηται, τοῦ φιλήματος τούτου πάντα καταπραΰνοντός τε καὶ ἐξισοῦντος. διὸ οὐ μόνον αὐτοὺς ἀσπάσασθαι κελεύει οὕτως, ἀλλὰ καὶ τὸν πασῶν ἐκκλησιῶν ἀσπασμὸν οὕτως αὐτοῖς διαπέμπεται. Ἀσπάζονται γάρ, φησιν, ὑμᾶς,

Οὐκέτι τὸν δεῖνα καὶ τὸν δεῖνα κατ' ἰδίαν, ἀλλὰ κοινῇ πάντας,

Αἱ ἐκκλησίαι τοῦ Χριστοῦ. Εἶδες πῶς οὐ μικρὰ καὶ ἀπὸ τῶν προσρήσεων τούτων ἐκερδάναμεν; ὅσους θησαυροὺς ἐμέλλομεν παρατρέχειν, εἰ μὴ καὶ τουτὶ τὸ μέρος τῆς ἐπιστολῆς μετὰ ἀκριβείας ἐξητάσαμεν, τῆς ἡμῖν ἐγχωρούσης λέγω; ὡς εἴ τις εὑρεθείη σοφὸς ἀνὴρ καὶ πνευματικός, καὶ βαθύτερον "καταβήσεται, καὶ πλείους ὄψεται τοὺς μαργαρίτας. ἀλλ' ἐπειδή τινες ἐζήτησαν πολλάκις, τί δήποτε ἐν τῇ ἐπιστολῇ ταύτῃ "τοσούτοις προσεῖπεν, ὅπερ ἐν ἑτέρᾳ οὐκ ἐποίησεν ἐπιστολῇ· τοῦτο ἂν εἴποιμεν, ὅτι διὰ τὸ μηδέποτε ἑωρακέναι Ῥωμαίους τοῦτο ποιεῖ. καίτοιγε, φησιν, οὔτε Κολασσαέας "εἶδε, καὶ οὐδὲν τοιοῦτον ἐποίησεν. ἀλλ' οὗτοι δοκιμώτεροι τῶν ἄλλων ἦσαν, καὶ ἐξ ἑτέρων πόλεων ἐκεῖ μεταστάντες, ὡς εἰς ἀσφαλεστέραν τινὰ καὶ βασιλικωτέραν πόλιν. ἐπεὶ οὖν ἐν ξένῃ διῆγον, καὶ πολλῆς ἀσφαλείας ἔδει ἀπολαύειν αὐτούς, καὶ τῷ αὐτῷ γνώριμοι ἦσαν τινὲς ἐξ αὐτῶν, τινὲς δέ, καὶ διακονησάμενοι πολλὰ καὶ μεγάλα ὑπὲρ αὐτοῦ παρόντες· εἰκότως αὐτοὺς συνίστησι διὰ τῶν γραμμάτων. καὶ γὰρ οὐ μικρὰ ἦν ἡ δόξα Παύλου τότε, ἀλλὰ τοσαύτη, ὡς καὶ ἀπὸ γραμμάτων μόνων πολλὴν ἔχειν προστασίαν τοὺς τὰς ἐπιστολὰς ἀπολαύοντας. οὐδὲ γὰρ ᾐδοῦντο μόνον αὐτόν, ἀλλὰ καὶ ἐδεδοίκεσαν. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν εἶπεν, ἥτις προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ. καὶ πάλιν, Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγώ. καὶ Φιλήμονι γράφων ἔλεγεν, Ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ. καὶ Γαλάταις, Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν. καί, Ὡς Χριστὸν Ἰησοῦν ἐδέξασθέ με. καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν, Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. καὶ πάλιν, Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν. δι' ὧν ἁπάντων δῆλον, ὅτι μεγάλην περὶ αὐτοῦ εἶχον δόξαν ἅπαντες. βουλόμενος τοίνυν αὐτοὺς εἶναι ἐν ἀδείᾳ καὶ τιμῇ, προσεῖπεν ἕκαστον, κατὰ τὸ ἐγχωροῦν καλλωπίζων αὐτούς. τὸν μὲν γὰρ ἀγαπητὸν ἐκάλεσε, τὸν δὲ συγγενῆ, τὸν δὲ ἀμφότερα, τὸν δὲ συναιχμάλωτον, τὸν δὲ συνεργόν, τὸν δὲ δόκιμον, τὸν δὲ ἐκλεκτόν. καὶ τὴν μέν, ἀπὸ ἀξιώματος. οὐδὲ γὰρ ἁπλῶς τὴν διακονουμένην φησὶν (ἐπεὶ εἰ τοῦτο ἦν, καὶ τὰς περὶ Τρύφαιναν καὶ Περσίδα οὕτως ἂν ὠνόμασε) ἀλλὰ τὴν μέν, χειροτονίαν ἔχουσαν διακόνου, τὴν δέ, συν-

ἐργοὺ

γ. ὄψεται, γ. πολλοῖς

γ. εἶδε,

Φιλημ. α. θ.
Γαλ. ε. β.
Γαλ. δ. ιδ.
α. Κορ. δ. ιη.
καὶ ε.

ἐργάτην καὶ λειτουργόν, τὴν δὲ μητέρα, τὴν δὲ ἀπὸ τῶν κόπων ὧν ἐκοπίασε. καὶ τοὺς μὲν ἀπὸ τῆς οἰκίας, τοὺς δὲ ἀπὸ τοῦ τῶν ἀδελφῶν ὀνόματος, τοὺς δὲ ἀπὸ τῆς τῶν ἁγίων προσηγορίας. καὶ τοὺς μὲν αὐτῷ τῷ προσαγορεῦσαι τιμᾷ· τοὺς δὲ καὶ τῷ ὀνόματι προσαγορεῦσαι· καὶ τοὺς μὲν, τῷ προσειπεῖν ἀπὸ τῆς ἀρχῆς· τοὺς δέ, τοῖς τῶν χρόνων πρεσβείοις· πλέον δὲ ἁπάντων τοὺς περὶ Πρίσκιλλαν καὶ Ἀκύλαν. εἰ γὰρ καὶ πάντες ἦσαν πιστοί, ἀλλ᾽ οὐ πάντες ὅμοιοι, ἀλλὰ διεστήκασι τοῖς ἄθλοις. διὸ δὴ καὶ εἰς μείζονα ἅπαντας ἄγων, οὐδενὸς ἔκρυψε τὰ ἐγκώμια. ὅταν γὰρ οἱ πλείονα ποιοῦντες, οὐ πλείονα τὸν μισθὸν λαμβάνωσι, πολλοὶ γίνονται ῥαθυμότεροι. διὰ τοῦτο οὐδὲ ἐν τῇ βασιλείᾳ ἴση ἡ τιμή, οὐδὲ ἐν τοῖς μαθηταῖς πάντες ἴσοι, ἀλλ᾽ οἱ τρεῖς τῶν ἄλλων προεῖχον. καὶ ἐν τούτοις αὐτοῖς τοῖς τρισὶ πολλὴ πάλιν διαφορά. α. Κορ. ιε. μα. πολλὴ γὰρ ἀκρίβεια παρὰ τῷ Θεῷ καὶ μέχρι τῶν ἐλαχίστων. Καὶ γὰρ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, φησί. καίτοιγε πάντες ἦσαν ἀπόστολοι, καὶ πάντες ἐπὶ δώδεκα θρόνους μέλλουσι καθῆσθαι, καὶ πάντες ἀφῆκαν τὰ ἑαυτῶν, καὶ πάντες αὐτῷ συνῆσαν· ἀλλ᾽ ὅμως Μαρκ. ι. μ. τοὺς τρεῖς ἔλαβε μόνους. καὶ πάλιν καὶ τούτων αὐτῶν ἔφησέ τινας ἐγχωρεῖν, καὶ ὑπερέχειν. Τὸ γὰρ καθίσαι, φησίν, ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται. Ιωαν. κα. ιζ. καὶ τὸν Πέτρον δὲ αὐτῶν προτίθησι λέγων, Φιλεῖς με πλέον τούτων; καὶ ὁ Ἰωάννης δὲ ὑπὲρ τοὺς ἄλλους ἠγαπᾶτο. καὶ γὰρ πάντων ἐξέτασις ἔσται ἀκριβής· κἂν μικρὸν ὑπερέχῃς τοῦ πλησίον, κἂν ἀκαριαῖον, κἂν ὁτιοῦν, οὐδὲ τοῦτο παρόψεται ὁ Θεός. καὶ τοῦτο καὶ ἄνωθεν ἴδοι τις ἂν διαλάμπον. καὶ γὰρ ὁ Λὼτ δίκαιος ἦν, ἀλλ᾽ οὐχ οὕτως ὡς ὁ Ἀβραάμ· καὶ ὁ Ἰεζεκίας πάλιν, ἀλλ᾽ οὐχ οὕτως ὡς ὁ Δαβίδ· καὶ οἱ προφῆται πάντες, ἀλλ᾽ οὐχ οὕτως ὡς ὁ Ἰωάννης.

ΗΘΙΚΟΝ

Ποῦ τοίνυν εἰσὶν οἱ μετὰ τὴν τοσαύτην ἀκρίβειαν οὐ βουλόμενοι εἶναι γέενναν; εἰ γὰρ οἱ α. Κορ. ιε. μα. δίκαιοι πάντες οὐ τῶν αὐτῶν ἀπολαύσονται, κἂν μικρὸν ὦσι τῶν ἑτέρων ὑπερέχοντες (Ἀστὴρ γὰρ ἀστέρος διαφέρει, φησίν, ἐν δόξῃ) πῶς οἱ ἁμαρτωλοὶ ἐν τοῖς αὐτοῖς ἔσονται τοῖς δικαίοις; ταύτην γὰρ οὐδ᾽ ἂν ἄνθρωπος ἐργάσαιτο τὴν σύγχυσιν, μήτιγε ὁ Θεός. εἰ δὲ βούλεσθε, καὶ ἐπὶ τῶν ἡμαρτηκότων, καὶ ἐπὶ τῶν ἤδη γεγενημένων ταύτην ὑμῖν δείξω τὴν διαφοράν, καὶ τὴν ἀκριβῆ δικαιοκρισίαν. σκόπει δέ· ἥμαρτεν ὁ Ἀδάμ, ἥμαρτε καὶ ἡ Εὔα· καὶ ἀμφότεροι μὲν παρέβησαν, οὐκ ἐξ ἴσης δὲ ἥμαρτον· διόπερ οὐδὲ ἐξ ἴσης ἐκολάσθησαν. τοσοῦτον γὰρ τὸ α. Τιμ. β. ιδ. μέσον ἦν, ὡς Παῦλον εἰπεῖν, Ὅτι Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. καίτοι ἡ ἀπάτη μία ἦν. ἀλλ᾽ ὅμως ἡ τοῦ Θεοῦ μετὰ ἀκριβείας ἐξέτασις τοσοῦτον ἔδειξε τὸ μέσον, ὡς Παῦλον εἰπεῖν τοῦτο. πάλιν ὁ μὲν Κάϊν ἐκολάζετο· ὁ δὲ Λάμεχ μετ᾽ ἐκεῖνον φονεύσας, οὐδὲν τοιοῦτον ἔπαθε. καίτοι καὶ τοῦτο φόνος, κἀκεῖνο φόνος, καὶ πολλῷ χαλεπώτερος, ὅτι μηδὲ τῷ παραδείγματι γέγονε βελτίων οὗτος. ἀλλ᾽ ὅμως ἐπειδὴ ὁ μὲν οὔτε ἀδελφὸν ἔσφαξε μετὰ παραίνεσιν, οὔτε ἐδεήθη τοῦ κατηγορήσοντος, οὔτε Θεοῦ ἐρωτῶντος ἐναισχύντησεν, ἀλλὰ καὶ μηδενὸς ἐλέγχοντος καὶ κατεῖπεν ἑαυτοῦ, καὶ κατεδίκασε*, συγγνώμης ἔτυχεν· ὁ δέ, ἐπειδὴ τοὐναντίον ἐποίησεν, ἐτιμωρεῖτο. ἴδε μεθ᾽ ὅσης ἀκριβείας ἐξετάζει τὰ γινόμενα ὁ Θεός. διὰ τοῦτο καὶ τοὺς ἐν τῷ κατακλυσμῷ ἑτέρως, καὶ τοὺς ἐν Σοδόμοις ἄλλως ἐτιμωρήσατο. καὶ τοὺς Ἰσραηλίτας δὲ πάλιν διαφόρως, καὶ τοὺς ἐν Βαβυλῶνι, καὶ τοὺς ἐπ᾽ Ἀντιόχου· δεικνὺς ὅτι πολὺν ἔχει τῶν ἡμετέρων λόγον. καὶ οἱ μὲν ἑβδομήκοντα ἐδούλευσαν ἔτη, οἱ δὲ τετρακόσια, οἱ δὲ τέκνα ἔφαγον, καὶ μυρίας ἑτέρας χαλεπωτέρας ὑπέμειναν συμφοράς, καὶ οὐδὲ Ματθ. ι. ιε. ταύτῃ ἀπηλλάγησαν, οὔτε οὗτοι, οὔτε οἱ ζῶντες καέντες ἐν Σοδόμοις. Ἀνεκτότερον γάρ, φησιν, ἔσται γῇ Σοδόμων καὶ Γομόρρων, ἢ τῇ πόλει ἐκείνῃ. εἰ μὲν γὰρ μηδὲν αὐτῷ μήτε ἁμαρτανόντων ἡμῶν μέλει, μήτε κατορθούντων, ἴσως ἕξει τινὰ λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν. εἰ δὲ τοσαύτην ποιεῖται σπουδήν, ὥστε μὴ ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται, ὥστε κατορθοῦν, εὔδηλον ὅτι καὶ ἁμαρτάνοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ. σὺ δέ μοι σκόπει τῶν πολ-

λῶν

λαὺν τὴν ἀνωμαλίαν. ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι τῷ Θεῷ, ὅτι μακροθυμεῖ πολλάκις, καὶ
περιορᾷ πολλοὺς μιαρούς, ἀσελγεῖς, βιαίους, μὴ διδόντας δίκην. ἐκεῖ πάλιν δὲ ἀπειλήσει
κολάζειν αὐτούς, σφοδροὶ καὶ βαρεῖς εἶναι αἰτιώμενοι. καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέ-
χεσθαι ἔδει καὶ θαυμάζειν. ἀλλ' ὢ τῆς ἀνοίας, ὢ τῆς ἀλογίας καὶ ἀνωμάλου γνώμης, ὢ φιλαμαρτήμονος γρ. δεῖ
καὶ φιληδόνου καὶ πρὸς κακίαν βλεπούσης ψυχῆς. καὶ γὰρ ἀπὸ τῆς φιληδονίας τὰ δόγματα γρ. αἰσχύνης
ἅπαντα ταῦτα τίκτεται. ὡς εἰ βουληθεῖεν οἱ ταῦτα λέγοντες ἀρετῆς ἐπιλαβέσθαι, ταχέ- γρ. ἐκεῖθεν
ως καὶ περὶ τῆς γεέννης πιστωθήσονται, καὶ οὐκ ἀμφιβαλοῦσι. καὶ ποῦ, φησί, καὶ ἐν ποίῳ
χωρίῳ αὕτη ἔσται ἡ γέεννα; τί σοι τούτου μέλει; τὸ γὰρ ζητούμενον, δεῖξαι ὅτι ἐστίν, οὐ ποῦ τε-
ταμίευται, καὶ ἐν ποίῳ χωρίῳ. τινὲς μὲν γὰρ μυθολογοῦντές φασιν, ὅτι ἐν τῇ κοιλάδι τοῦ Ἰω-
σαφάτ, ὃ περὶ πολέμου τινὸς εἴρηται παρελθόντος, καὶ νῦν τοῦτο εἰς τὴν γέενναν ἕλκοντες.
ἡ δὲ γραφὴ οὐ τοῦτό φησιν. ἀλλ' ἐν ποίῳ τόπῳ, φησίν, ἔσται; ἔξω που, ὡς ἔγωγε οἶμαι, τοῦ κόσ-
μου τούτου παντός. καθάπερ γὰρ τῶν βασιλέων τὰ δεσμωτήρια καὶ τὰ μέταλλα πόῤῥω διέστη-
κεν, οὕτω δὴ καὶ τῆς οἰκουμένης ταύτης ἔξω που ἔσται ἡ γέεννα. μὴ τοίνυν ζητῶμεν ποῦ ἐστιν,
ἀλλὰ πῶς ἂν αὐτὴν φύγοιμεν· μηδὲ ἐπειδὴ πάντας ἐνταῦθα οὐ κολάζει ὁ Θεός, διὰ τοῦ-
το ἀπίστει τοῖς μέλλουσι. φιλάνθρωπος γάρ ἐστι καὶ μακρόθυμος. διὰ τοῦτο ἀπειλεῖ, καὶ
οὐκ εὐθέως ἐμβάλλει. Οὐ γὰρ θέλω, φησί, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ. εἰ δὲ μὴ ἔστι θά- Ιεζεκ. ιη. λϐ.
νατος ἁμαρτωλοῦ, περιττὸν τὸ εἰρημένον. καὶ οἶδα μὲν ὅτι οὐδὲν ἀηδέστερον τούτων ὑμῖν τῶν λό-
γων· ἀλλ' ἐμοὶ τούτων οὐδὲν ἥδιον. καὶ εἴθε ἦν ἀριστοποιουμένους, καὶ δειπνοῦντας, καὶ λουο- γρ. χαλεπώτερον
μένους, καὶ πανταχοῦ περὶ γεέννης διαλέγεσθαι. οὐδὲ γὰρ ἂν ἠλγήσαμεν τοῖς ἐνταῦθα δει-
νοῖς, οὐκ ἂν ἥσθημεν τοῖς χρηστοῖς. τί γάρ μοι καὶ εἰπεῖν ἔχεις δεινόν; πενίαν; νόσον; αἰχμα-
λωσίαν; πήρωσιν σώματος; ἀλλὰ ταῦτα πάντα γέλως πρὸς τὴν ἐκεῖ κόλασιν, κἂν τοὺς
δι' ὅλου βασανιζομένους λιμῷ λέγῃς, κἂν τοὺς ἐκ πρώτης ἡλικίας πηρουμένους, καὶ προσαι-
τοῦντας εἴπῃς, καὶ ταῦτα πρὸς ἐκεῖνα τὰ κακά. συνεχῶς τοίνυν στρέφωμεν τοὺς περὶ τούτων
λόγους. οὐ γὰρ ἀφίησιν ἐμπεσεῖν εἰς γέενναν τὸ μεμνῆσθαι γεέννης. οὐκ ἀκούεις τοῦ Παύλου λέ- ϐ. Θεσσ. α. θ.
γοντος, Οἵτινες δίκην τίσουσιν αἰώνιον ἀπὸ προσώπου Κυρίου; οὐκ ἀκούεις οἷος ὁ Νέρων ἐγένετο, ϐ. Θεσσ. ϐ. ζ.
ὃν καὶ μυστήριον καλεῖ τοῦ ἀντιχρίστου ὁ Παῦλος; Τὸ γὰρ μυστήριον ἤδη, φησίν, ἐνεργεῖται τῆς ἀνο-
μίας. τί οὖν; οὐδὲν πείσεται ὁ Νέρων *; οὐδὲν πείσεται ὁ ἀντίχριστος; οὐδὲν ὁ διάβολος; οὐκοῦν * ὁ Πέτρον καὶ Παῦλον τιμωρήσας;
ἀεὶ ὁ ἀντίχριστος ἔσται, καὶ ὁ διάβολος. οὐδὲ γὰρ ἀποστήσονται τῆς κακίας μὴ κολαζόμενοι. ναί,
φησιν. ἀλλ' ὅτι μέν ἐστι κόλασις καὶ γέεννα, παντί που δῆλον· οἱ δὲ ἄπιστοι ἐμπεσοῦνται μόνοι.
τίνος ἕνεκεν, εἰπέ μοι; ὅτι οἱ πιστοί, φησί, τὸν δεσπότην ἐπέγνωσαν τὸν ἑαυτῶν. καὶ τί τοῦτο;
ὅταν γὰρ ὁ βίος ἀκάθαρτος ᾖ, καὶ μείζονα κατὰ τοῦτο δώσουσι δίκην τῶν ἀπίστων. Ὅσοι γὰρ Ρωμ. ϐ. ιϐ.
ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται.
καί, Ὁ οἰκέτης ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. εἰ Λουκ. ιϐ. μζ.
δὲ οὐκ ἔστι βίου δοῦναι λόγον, ἀλλ' ἁπλῶς ταῦτα εἴρηται, οὐδὲ ὁ διάβολος τιμωρηθήσεται.
καὶ γὰρ τὸν Θεὸν οἶδε, καὶ ἀνθρώπων μᾶλλον πολλῶν, καὶ οἱ δαίμονες δὲ πάντες ἴσασιν αὐ-
τόν, καὶ φρίττουσι, καὶ κριτὴν ὁμολογοῦσιν. εἰ τοίνυν βίου οὐκ ἔστι δοῦναι λόγον, οὐδὲ πονηρῶν
πράξεων, διαφεύξονται καὶ οὗτοι. οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· μὴ ἑαυτοὺς ἀπατᾶτε, ἀγαπητοί.
εἰ γὰρ μὴ ἔστι γέεννα, πῶς κρινοῦσι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ οἱ ἀπόστολοι; πῶς
φησὶ Παῦλος, Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; πῶς ὁ Χριστὸς ἔλε- γρ. πῶς; α. Κορ. ϛ. γ.
γεν, Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· καί, Ματθ. ιϐ. μα.
Ἀνεκτότερον ἔσται γῇ Σοδόμων ἐν ἡμέρᾳ κρίσεως; τί τοίνυν παίζεις ἐν οὐ παικτοῖς *; τί ἀ- * πράγμασι, Ματθ. ια. κδ.
πατᾷς σαυτόν, καὶ παραλογίζῃ τὴν ψυχὴν σου, ἄνθρωπε; τί τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ μάχῃ;
διὰ γὰρ τοῦτο καὶ ἡτοίμασεν αὐτήν, καὶ ἠπείλησεν, ἵνα μὴ ἐμπέσωμεν, τῷ φόβῳ γινόμενοι
βελτίους. ὥστε ὁ τὸν περὶ τούτων ἀναιρῶν λόγον, οὐδὲν ἕτερον λανθάνει ποιῶν, ἢ εἰς αὐ- γρ. τοῦτο
τὴν

τὴν ὠθεῖ καὶ ἐμβάλλει διὰ τῆς ἀπάτης ταύτης. μὴ τοίνυν ἐκλύσῃς τὰς χεῖρας τῶν ὑπὲρ ἀρετῆς πονούντων, μηδὲ ἐπιτείνῃς τὴν ῥαθυμίαν τῶν καθευδόντων. εἰ γὰρ πεισθεῖεν οἱ πολλοὶ ὅτι γέεννα οὐκ ἔστι, πότε ἀποστήσονται τῆς κακίας; ποῦ δὲ καὶ τὸ δίκαιον φανεῖται; οὐ λέγω ἐπὶ ἁμαρτωλῶν καὶ δικαίων, ἀλλ' ἐπὶ ἁμαρτωλῶν καὶ ἁμαρτωλῶν. διὰ τί ὁ μὲν ἐκολάσθη ἐνταῦθα, ὁ δὲ οὐκ ἐκολάσθη τὰ αὐτὰ ἁμαρτών, ἢ καὶ πολλῷ χαλεπώτερα; εἰ γὰρ οὐκ ἔστι γέεννα, οὐδεὶς ὑπὲρ τούτων δυνήσῃ ἀπολογήσασθαι τοῖς ἐγκαλοῦσι. διὸ παρακαλῶ παυσαμένους τοῦ γέλωτος τούτου, ἐπιστομίζειν τοὺς ὑπὲρ τούτων ἡμῖν ἀντιλέγοντας. καὶ γὰρ καὶ τῶν μικροτάτων καὶ ἐν τοῖς ἁμαρτήμασι, καὶ ἐν τοῖς κατορθώμασιν ἀκριβὴς ἔσται ἡ ἐξέτασις· καὶ γὰρ καὶ ὀφθαλμῶν ἀκολάστων δώσομεν δίκην, καὶ ῥήματος ἀργοῦ καὶ γέλωτος, καὶ λοιδορίας ἁπλῶς, καὶ ἐνθυμήσεως, καὶ μέθης βαθείας ὑφέξομεν, ὥσπερ πάλιν καὶ ἐν τοῖς ἀγαθοῖς καὶ ποτηρίου ψυχροῦ ληψόμεθα μισθόν, καὶ λόγου ἀγαθοῦ, καὶ στεναγμοῦ μόνου. Δὸς γάρ, φησι, τὸ σημεῖον ἐπὶ τὸ πρόσωπον τῶν στεναζόντων καὶ κατοδυνωμένων. (Ιεζεκ. θ.) πῶς οὖν τολμᾷς εἰπεῖν, ὅτι ὁ μετὰ τοσαύτης ἀκριβείας ἐξετάζων τὰ ἡμέτερα, ἁπλῶς καὶ εἰκῆ τὴν γέενναν ἠπείλησε; μὴ παρακαλῶ, μὴ ταῖς κεναῖς ταύταις ἐλπίσι σεαυτὸν ἀπόλλυε καὶ τοὺς πειθομένους. εἰ γὰρ τοῖς ἡμετέροις ἀπιστεῖς λόγοις, ἐξέτασον Ἰουδαίους, Ἕλληνας, αἱρετικοὺς ἅπαντας· καὶ πάντες ὡς ἐξ ἑνὸς στόματος ἀποκρινοῦνται, ὅτι κρίσις ἔσται καὶ ἀνταπόδοσις. ἀλλ' οὐκ ἀρκοῦσιν ἄνθρωποι; ἐρώτησον καὶ τοὺς δαίμονας αὐτούς, καὶ ἀκούσῃ βοώντων, Τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; (Ματθ. η. κθ.) καὶ ταῦτα πάντα συναγαγών, πεῖσον τὴν ψυχὴν μὴ μάτην ληρεῖν, ἵνα μὴ διὰ τῆς πείρας μάθῃ τὴν γέενναν, ἀλλ' ἐντεῦθεν σωφρονισθεῖσα, καὶ τὰς βασάνους ἐκείνας δυνήσῃ διαφυγεῖν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν, * χάριτι καὶ φιλανθρωπίᾳ.

[Marginal notes: γ. χαλεπώτερον; — γ. ἀπειρηθῶμεν, * ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν]

Λογ. λβ. 17 ΠΑΡΑΚΑΛΩ ΔΕ ΥΜΑΣ, ΑΔΕΛΦΟΙ, ΣΚΟΠΕΙΝ τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. 18 Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων.

ΠΑλιν παραίνεσις, καὶ εὐχὴ μετὰ τὴν παραίνεσιν. εἰπὼν γὰρ σκοπεῖν τοὺς τὰς διχοστασίας ποιοῦντας, καὶ μὴ ὑπακούειν αὐτοῖς, ἐπήγαγεν, ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, καί, ἡ χάρις τοῦ Κυρίου μεθ' ὑμῶν. σκόπει δὲ πῶς καὶ προσηνῶς παραινεῖ, οὐκ ἐν τάξει συμβούλου, ἀλλ' ἐν τάξει ἱκέτου τοῦτο ποιῶν, καὶ μετὰ πολλῆς τῆς τιμῆς. καὶ γὰρ ἀδελφοὺς ἐκάλεσε, καὶ ἱκετεύει. παρακαλῶ γὰρ ὑμᾶς, φησιν, ἀδελφοί. εἶτα καὶ ἐναγωνίους ποιεῖ, δεικνὺς τὸ δολερὸν τῶν ἐπηρεαζόντων. ὡς γὰρ οὐκ αὐτόθεν δήλων ὄντων φησί, παρακαλῶ δὲ ὑμᾶς σκοπεῖν· τουτέστι, περιεργάζεσθαι μετὰ ἀκριβείας, καὶ καταμανθάνειν, καὶ διερευνᾶσθαι. τίνας, εἰπέ μοι; τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας. αὕτη γὰρ μάλιστα ἐκκλησίας ἀνατροπή, τὸ διῃρῆσθαι· τοῦτο ὅπλον τοῦ διαβόλου, τοῦτο πάντα ἄνω καὶ κάτω ποιεῖ. ἕως γὰρ ἂν εἴη τὸ σῶμα ἡνωμένον, οὐκ ἰσχύει εἴσοδον ἔχειν, ἀλλ' ἀπὸ τῆς διχοστασίας τὸ σκάνδαλον. ἡ δὲ διχοστασία πόθεν; ἀπὸ τῶν δογμάτων τῶν παρὰ τὴν διδαχὴν τῶν ἀποστόλων. τὰ δὲ δόγματα τὰ τοιαῦτα πόθεν; ἀπὸ τοῦ γαστρὶ δουλεύειν καὶ τοῖς ἄλλοις πάθεσιν. οἱ γὰρ τοιοῦτοι, φησι, τῷ Κυρίῳ οὐ δουλεύουσιν, ἀλλὰ τῇ αὐτῶν κοιλίᾳ. ὥστε οὐκ ἂν γένοιτο σκάνδαλα, οὐκ ἂν γένοιτο διχοστασία, εἰ μή τι παρὰ τὴν ἀποστολικὴν διδαχὴν ἐπινοηθῇ δόγμα· ὃ καὶ ἐνταῦθα δηλῶν ἔλεγε, παρὰ τὴν διδαχήν. καὶ

[Marginal notes: γ. ἱκέτου — ις. δέ]

οὐκ

οὐκ εἶπεν, ἣν ἐδιδάξαμεν, ἀλλ', ἣν ὑμεῖς ἐμάθετε, προκαταλαμβάνων αὐτοὺς, καὶ δεικνὺς πεπεισμένους ἤδη, καὶ ἀκούσαντας, καὶ καταδεξαμένους. καὶ τί ποιήσομεν τοῖς τὰ τοιαῦτα κακουργοῦσιν; οὐκ εἶπεν, ὁμόσε χωρεῖτε καὶ πυκτεύετε, ἀλλ', ἐκκλίνατε ἀπ' αὐτῶν. εἰ μὲν γὰρ ἐξ ἀγνοίας ἢ πλάνης τοῦτο ἐποίουν, ἔδει διορθοῦν· ἐπεὶ δὲ εἰδότες ἁμαρτάνουσιν, ἀποπηδᾶτε. καὶ ἀλλαχοῦ δὲ τοῦτο λέγει. Στέλλεσθε γάρ, φησιν, ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος. [β. Θεσ. γ. ς.] καὶ Τιμοθέῳ περὶ τοῦ χαλκέως διαλεγόμενος, τοιαῦτα παραινεῖ λέγων, Ὃν καὶ σὺ φυλάσσου. [α. Τιμ. δ. ιε.] Εἶτα καὶ κωμῳδῶν τοὺς τὰ τοιαῦτα τολμῶντας, λέγει καὶ τὴν αἰτίαν ἀφ' ἧς ταύτην ἐπενόησαν τὴν διχοστασίαν. Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Χριστῷ, φησιν, οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ. τοῦτο καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγεν, Ὧν ὁ Θεὸς ἡ κοιλία. [Φιλιπ. γ. ιθ.] ἐνταῦθα δέ μοι τοὺς ἐξ Ἰουδαίων αἰνίττεσθαι δοκεῖ, οὓς μάλιστα ἀεὶ διαβάλλειν εἴωθεν ὡς γαστριμάργους. καὶ γὰρ Τίτῳ ἐπιστέλλων ἔλεγε περὶ αὐτῶν, Κακὰ θηρία, γαστέρες ἀργαί. [Τιτ. α. ιβ.] καὶ ὁ Χριστὸς δὲ αὐτοὺς ἐπὶ τούτῳ διαβάλλων, Κατεσθίετε, φησι, τὰς οἰκίας τῶν χηρῶν. [Ματθ. κγ. ιδ.] καὶ οἱ προφῆται τοιαῦτα αὐτῶν κατηγοροῦσιν. Ἐλιπάνθη γάρ, φησι, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. [Δευτ. λβ. ιε.] διὸ καὶ Μωϋσῆς παραινεῖ λέγων, Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. [Δευτ. ς. ια.] καὶ ἐν τοῖς εὐαγγελίοις δὲ τῷ Χριστῷ λέγοντες, Τί σημεῖον δεικνύεις ἡμῖν; [Ἰωαν. ς. λ.] καὶ τὰ ἄλλα πάντα παραδραμόντες, τοῦ μάννα μέμνηνται· οὕτω πανταχοῦ τῷ πάθει τούτῳ κρατούμενοι φαίνονται. πῶς οὖν οὐκ αἰσχύνῃ δούλους κοιλίας διδασκάλους ἔχων ὁ τοῦ Χριστοῦ ἀδελφός; καὶ ἡ μὲν ὑπόθεσις τῆς πλάνης, αὕτη· ὁ δὲ τρόπος τῆς ἐπιβουλῆς, ἕτερον πάλιν νόσημα, ἡ κολακεία. Διὰ γὰρ τῆς χρηστολογίας, φησὶν, ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. καὶ καλῶς εἶπε, χρηστολογίας. μέχρι γὰρ τῶν ῥημάτων ἡ θεραπεία· ἡ δὲ διάνοια οὐ τοιαύτη, ἀλλὰ δόλου γέμουσα. καὶ οὐκ εἶπεν, ὑμᾶς ἐξαπατῶσιν, ἀλλὰ, τὰς καρδίας τῶν ἀκάκων. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ὥστε ποιῆσαι μὴ ἐπαχθέστερον τὸ εἰρημένον, φησὶν,

19 Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. Τοῦτο δὲ ποιεῖ, οὐκ ἀφιεὶς αὐτοὺς ἀναισχυντῆσαι, ἀλλὰ τοῖς ἐγκωμίοις προκαταλαμβάνων, καὶ τῷ πλήθει τῶν μαρτύρων προκατέχων αὐτούς. οὐδὲ γὰρ ἐγὼ μαρτυρῶ μόνος, ἀλλ' ἡ οἰκουμένη πᾶσα. καὶ οὐκ εἶπεν, ἡ γὰρ ὑμῶν σύνεσις, ἀλλ' ἡ ὑμῶν ὑπακοή· τουτέστιν, ἡ πειθώ· ὅπερ πολλὴν αὐτοῖς ἣν μαρτυροῦντος πραότητα. Χαίρω οὖν τὸ ἐφ' ὑμῖν. Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον. Εἶτα μετὰ τὸν ἔπαινον νουθεσία. ἵνα γὰρ μὴ τῶν ἐγκλημάτων ἀπαλλάξας αὐτοὺς, ὡς λανθάνοντας ῥαθυμοτέρους ἐργάσηται, αἰνίττεται πάλιν αὐτοὺς λέγων,

Θέλω δὲ ὑμᾶς σοφοὺς εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν.

Ὁρᾷς πῶς πάλιν αὐτῶν καθάπτεται καὶ ἀνυπόπτως; τοῦτο γὰρ αἰνιττομένου ἐστὶν, ὅτι τινὲς ἐξ αὐτῶν καὶ παρήγοντο.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἐπειδὴ γὰρ εἶπε τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα ποιοῦντας, εἶπεν εἰρήνης Θεὸν, ἵνα θαρσήσωσι περὶ τῆς τούτων ἀπαλλαγῆς. ὁ γὰρ ταύτῃ χαίρων, τὰ λυμαινόμενα αὐτῇ καταλύσει. καὶ οὐκ εἶπεν, ὑποτάξει, ἀλλ', ὃ μεῖζόν ἐστι, συντρίψει· καὶ οὐκ ἐκείνους μόνον, ἀλλὰ καὶ τὸν στρατηγοῦντα αὐτοῖς τὰ τοιαῦτα τὸν Σατανᾶν. καὶ οὐχ ἁπλῶς συντρίψει, ἀλλ' ὑπὸ τοὺς πόδας ὑμῶν· ὥστε αὐτοὺς τὴν νίκην ἀρέσθαι, καὶ τῷ τροπαίῳ γενέσθαι λαμπρούς. καὶ ἀπὸ τοῦ χρόνου δὲ ἡ παραμυθία πάλιν. ἐπήγαγε γὰρ, ἐν τάχει. τοῦτο δὲ ὁμοῦ καὶ εὐχὴ καὶ προφητεία ἦν. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

Τὸ μέγιστον ὅπλον, τὸ τεῖχος τὸ ἀρρήκτον, ὁ πύργος ὁ ἄσειστος. ἀνέμνησε γὰρ αὐτοὺς τῆς χάριτος, ἵνα προθυμοτέρους ἐργάσηται. εἰ γὰρ τῶν πολὺ χαλεπωτέρων ἀπηλλάγητε, καὶ ἀπηλλάγητε χάριτι μόνον· πολλῷ μᾶλλον τῶν ἐλαττόνων ἀπαλλαγήσεσθε, ὅτι καὶ φί-

λοι γεγόνασι, καὶ τὰ πρὸς ἑαυτὰς συνεισάγετε. ὅρα πῶς οὔτε πίστιν χωρὶς ἔργων, οὔτε ἔργα χωρὶς πίστεως τίθησι. μαρτυρήσας γὰρ αὐτοῖς τὴν ὑπακοὴν, τότε ἐπηύξατο, δεικνὺς ὅτι ἀμφοτέρων δεόμεθα, καὶ τῶν παρ' ἡμῶν, καὶ τῶν παρὰ τοῦ Θεοῦ, εἰ μέλλοιμεν μετὰ ἀκριβείας σώζεσθαι. καὶ γὰρ οὐκ ἔμπροσθεν μόνον, ἀλλὰ καὶ νῦν, κἂν μεγάλοι ὦμεν καὶ εὐδόκιμοι, τῆς παρ' αὐτοῦ δεόμεθα χάριτος.

21 Ἀσπάζεται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου. Εἶδες πάλιν τὰ συνήθη ἐγκώμια; Καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου.

Τούτου τοῦ Ἰάσονος καὶ Λουκᾶς μέμνηται, καὶ τὴν ἀνδρείαν αὐτοῦ παρίστησιν ἡμῖν λέγων, ὅτι ἦγον αὐτὸν ἐπὶ τοὺς πολιτάρχας βοῶντες. καὶ τοὺς ἄλλους δὲ εἰκὸς εἶναι τῶν ἐπισήμων. οὐ γὰρ ἁπλῶς συγγενῶν μέμνηται, εἰ μὴ κατὰ τὴν εὐσέβειαν εἶεν ἐοικότες αὐτῷ.

22 Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν. Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον, ὑπογραφέα εἶναι Παύλου· πλὴν οὐχ ἵνα ἑαυτὸν ἐγκωμιάσῃ τοῦτο λέγει, ἀλλ' ἵνα θερμὴν ἐπισπάσηται παρ' αὐτῶν τὴν ἀγάπην ἀπὸ τῆς διακονίας.

23 Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης.

Εἶδες οἷον αὐτῷ στέφανον ἔπλεξε, τοσαύτην φιλοξενίαν μαρτυρήσας, καὶ ὁλόκληρον τὴν ἐκκλησίαν εἰς τὴν οἰκίαν συναγαγὼν τὴν ἐκείνου; τὸν γὰρ ξένον ἐνταῦθα τὸν ξενοδόχον φησίν. ὅταν δὲ ἀκούσῃς, ὅτι Παύλου ξενοδόχος ἦν, μὴ τῆς φιλοτιμίας αὐτὸν θαύμαζε μόνον, ἀλλὰ καὶ τῆς κατὰ τὸν βίον ἀκριβείας. εἰ μὴ γὰρ ἦν ἄξιος τῆς ἀρετῆς τῆς ἐκείνου, οὐδ' ἂν ἐκεῖνος ἐκεῖ κατήχθη. ὁ γὰρ πολλὰ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ σπουδάζων ὑπερβαίνειν, οὐκ ἂν τοῦτον παρέβη τὸν νόμον τὸν κελεύοντα περιεργάζεσθαι τοὺς ὑποδεχομένους, καὶ παρὰ ἀξίοις κατάγεσθαι. Ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός. Οὐχ ἁπλῶς προσέθηκεν, οἰκονόμος τῆς πόλεως· ἀλλ' ὥσπερ Φιλιππησίοις ἔγραφεν, Ἀσπάζονται ὑμᾶς οἱ ἐκ τῆς Καίσαρος οἰκίας, ἵνα δείξῃ ὅτι καὶ (Φιλιπ. δ. κβ.) τῶν μεγάλων τὸ κήρυγμα ἥψατο· οὕτω καὶ ἐνταῦθα τοῦ ἀξιώματος μέμνηται, τὸ αὐτὸ τοῦτο κατασκευάζων, καὶ δεικνὺς ὅτι τῷ προσέχοντι οὔτε πλοῦτος κώλυμα γίνεται, οὔτε ἀρχῆς φροντίδες, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. 24 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ ὑμῶν. Ἀμήν.

Εἶδες πόθεν ἄρχεσθαι δεῖ, καὶ ποῦ τελευτᾶν ἅπαντα; καὶ γὰρ τὸν θεμέλιον ἐντεῦθεν κατέβαλε τῆς ἐπιστολῆς, καὶ τὸν ὄροφον ἐντεῦθεν ἐπέθηκεν, ὁμοῦ καὶ ἐπευχόμενος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς, καὶ πάσης ἀναμιμνήσκων τῆς εὐεργεσίας. τοῦτο γὰρ μάλιστα διδασκάλου γνησίου, τὸ μὴ λόγῳ μόνον, ἀλλὰ καὶ εὐχῇ ὠφελεῖν τοὺς μαθητευομένους. διὸ καὶ ἔλεγεν, Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. (Πραξ. ϛ. δ.)

ΗΘΙΚΟΝ

Τίς οὖν ἄρα καὶ ἡμῖν ἐπεύξεται, ἐπειδὴ Παῦλος ἀπῆλθεν; οἱ Παύλου ζηλωταί. οὗτοι μόνον ἀξίους παρέχωμεν ἑαυτοὺς τῆς τοιαύτης συνηθείας, ἵνα μὴ ἐνταῦθα μόνον ἀκούσωμεν τῆς Παύλου φωνῆς, ἀλλὰ καὶ ἐκεῖ ἀπελθόντες ἰδεῖν καταξιωθῶμεν τὸν ἀθλητὴν τοῦ Χριστοῦ. μᾶλλον δὲ ἂν ἐνταῦθα ἀκούσωμεν, κἀκεῖ πάντως αὐτὸν ὀψόμεθα, εἰ καὶ μὴ πλησίον ἑστῶτες, ἀλλ' ὀψόμεθα πάντως ἐγγὺς τοῦ θρόνου τοῦ βασιλικοῦ λάμποντα. ἔνθα τὰ χερουβὶμ δοξάζει, ἔνθα τὰ σεραφὶμ πέταται, ἐκεῖ Παῦλον ὀψόμεθα μετὰ Πέτρου, καὶ τοῦ τῶν ἁγίων χοροῦ κορυφαῖον ὄντα καὶ προστάτην, καὶ τῆς ἀγάπης ἀπολαύσομεν τῆς γνησίας. εἰ γὰρ ἐνταῦθα ὢν οὕτως ἠγάπα τοὺς ἀνθρώπους, ὡς αἱρέσεως οὔσης ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, ἑλέσθαι ἐνταῦθα εἶναι· πολλῷ μᾶλλον ἐκεῖ θερμότερον ἐπιδείξεται τὸ φίλτρον. ἐγὼ καὶ τὴν Ῥώμην διὰ τοῦτο φιλῶ, καίτοιγε αὐτὴν καὶ ἑτέρωθεν ἔχων ἐπαινεῖν, καὶ ἀπὸ τοῦ μεγέθους, καὶ ἀπὸ τῆς ἀρχαιότητος, καὶ ἀπὸ τοῦ κάλλους, καὶ ἀπὸ τοῦ πλήθους, καὶ ἀπὸ τῆς δυναστείας, καὶ ἀπὸ τοῦ πλούτου, καὶ ἀπὸ τῶν κατορθωμάτων τῶν ἐν πολέμῳ· ἀλλὰ πάντα ταῦτα ἀφεὶς, διὰ τοῦτο αὐτὴν μακαρίζω, ὅτι καὶ ζῶν αὐτοῖς ἔγραφε, καὶ οὕτως αὐτοὺς ἐφίλει, καὶ παρὼν αὐτοῖς διελέχθη, καὶ τὸν βίον ἐκεῖ κατέλυσε*. διὸ καὶ ἐπίσημος ἡ πόλις ἐντεῦθεν

θεν

θεν μᾶλλον, ἢ ἀπὸ τῶν ἄλλων ἁπάντων· καὶ καθάπερ σῶμα μέγα καὶ ἰσχυρὸν, ὀφθαλμοὺς ἔχει δύο λάμποντας, τῶν ἁγίων τούτων τὰ σώματα. οὐχ οὕτως ἐστὶν ὁ οὐρανὸς λαμπρὸς, ὅταν ἀφῇ τὰς ἀκτῖνας ὁ ἥλιος, ὡς ἡ Ῥωμαίων πόλις τὰς δύο ταύτας λαμπάδας πανταχοῦ τῆς οἰκουμένης ἀφιεῖσα. ἐκεῖθεν ἁρπαγήσεται Παῦλος, ἐκεῖθεν Πέτρος. ἐννοήσατε, καὶ φρίξατε, οἷον ὄψεται θέαμα Ῥώμη, τὸν Παῦλον ἐξαίφνης ἀνιστάμενον ἀπὸ τῆς θήκης ἐκείνης μετὰ Πέτρου, καὶ αἰρόμενον εἰς ἀπάντησιν τοῦ Κυρίου· οἷον ἀποστέλλει τῷ Χριστῷ ῥόδον ἡ Ῥώμη, οἵοις στεφάνοις ἡ πόλις περίκειται δύο, οἵας χρυσᾶς ἁλύσεις διέζωσται, οἵας ἔχει πηγάς. διὰ ταῦτα θαυμάζω τὴν πόλιν, οὐ διὰ τὸν χρυσὸν τὸν πολὺν, οὐ διὰ τοὺς κίονας, οὐ διὰ τὴν ἄλλην φαντασίαν, ἀλλὰ διὰ τοὺς στύλους τῆς ἐκκλησίας τούτους. τίς μοι νῦν ἔδωκε περιχυθῆναι τῷ σώματι Παύλου, καὶ προσηλωθῆναι τῷ τάφῳ, καὶ τὴν κόνιν ἰδεῖν τοῦ σώματος ἐκείνου τοῦ τὰ ὑστερήματα ἀναπληρώσαντος τοῦ Χριστοῦ, τοῦ τὰ στίγματα βαστάσαντος, τοῦ πανταχοῦ τὸ κήρυγμα κατασπείραντος; τὴν κόνιν ἐκείνου τοῦ σώματος, δι' οὗ πανταχοῦ διέδραμε; τὴν κόνιν τοῦ σώματος, δι' οὗ Χριστὸς ἐφθέγγετο, καὶ τὸ φῶς ἐξέλαμψε τὸ πάσης ἀστραπῆς λαμπρότερον, καὶ φωνὴ ἐξεπήδησε πάσης βροντῆς φοβερωτέρα τοῖς δαίμοσι; δι' οὗ τὸ μακάριον ἐκεῖνο ἐφθέγξατο ῥῆμα λέγων, Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου; [Ρωμ. θ. γ.] δι' οὗ ἐλάλει ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχύνετο; δι' οὗ Παῦλον ἐμάθομεν; δι' οὗ τὸν Παύλου δεσπότην; οὐχ οὕτως ἡμῖν ἡ βροντὴ φοβερὸν, ὡς ἐκείνη τοῖς δαίμοσιν ἡ φωνή. εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ ἔφριττον, πολλῷ μᾶλλον τὴν φωνήν. αὕτη δεδεμένους αὐτοὺς ἤγαγεν, αὕτη τὴν οἰκουμένην ἐξεκάθηρεν, αὕτη τὰ νοσήματα ἔλυσε, κακίαν ἐξέβαλεν, ἀλήθειαν ἐπανήγαγε, τὸν Χριστὸν εἶχεν ἐγκαθήμενον, καὶ μετ' αὐτοῦ πανταχοῦ περιῄει· καὶ ὅπερ ἦν τὰ χερουβίμ, τοῦτο ἡ Παύλου φωνή. καθάπερ γὰρ ἐπὶ τῶν δυνάμεων ἐκείνων ἐκάθητο, οὕτω καὶ ἐπὶ τῆς τοῦ Παύλου γλώττης. καὶ γὰρ ἀξία τοῦ δέξασθαι τὸν Χριστὸν ἐγένετο, ἐκεῖνα φθεγγομένη μόνον ἃ τῷ Χριστῷ φίλα ἦν, καὶ πρὸς ὕψος ἄφατον ἱπταμένη καθάπερ τὰ σεραφίμ. τί γὰρ ὑψηλότερον τῆς φωνῆς ἐκείνης τῆς λεγούσης, Ὅτι πέπεισμαι ὅτι οὔτε ἄγγελοι, [Ρωμ. η. λη. λθ.] οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ; πόσας δοκεῖ σοι πτέρυγας ἔχειν αὕτη ἡ φωνή; πόσους ὀφθαλμούς; διὰ τοῦτο ἔλεγεν, Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. [β. Κορ. β. ια.] διὰ τοῦτο ἔφευγον δαίμονες, οὐχὶ φθεγγομένου μόνον ἀκούοντες, ἀλλὰ καὶ πόῤῥωθεν ὄντος ἱμάτιον ὁρῶντες. τούτου τοῦ στόματος ἐβουλόμην τὴν κόνιν ἰδεῖν, δι' οὗ τὰ μεγάλα καὶ ἀπόῤῥητα ὁ Χριστὸς ἐλάλησε, καὶ μείζονα ἢ δι' ἑαυτοῦ (ὥσπερ γὰρ εἰργάσατο μείζονα διὰ τῶν μαθητῶν, οὕτω καὶ ἐφθέγξατο) δι' οὗ τὸ πνεῦμα τῇ οἰκουμένῃ τοὺς θαυμαστοὺς ἐκείνους χρησμοὺς ἔδωκε. τί γὰρ οὐκ εἰργάσατο ἐκεῖνο τὸ στόμα ἀγαθόν; δαίμονας ἤλασεν, ἁμαρτήματα ἔλυσε, τυράννους ἐπεστόμισε, φιλοσόφων γλώττας ἐνέφραξε, τὴν οἰκουμένην τῷ Θεῷ προσήγαγε, βαρβάρους φιλοσοφεῖν ἔπεισε, πάντα μετεῤῥύθμισε τὰ ἐν τῇ γῇ· καὶ τὰ ἐν οὐρανοῖς δὲ, ὃν ἐβούλετο, διετίθει τρόπον, δεσμῶν οὓς ἐβούλετο, καὶ λύων ἐκεῖ κατὰ τὴν δεδομένην ἐξουσίαν αὐτῷ. οὐ τοῦ στόματος δὲ μόνον, ἀλλὰ καὶ τῆς καρδίας ἐκείνης ἐβουλόμην τὴν κόνιν ἰδεῖν, ἣν οὐκ ἄν τις ἁμάρτοι καρδίαν τῆς οἰκουμένης εἰπὼν, καὶ τῶν μυρίων ἀγαθῶν πηγὴν, καὶ ἀρχὴν καὶ στοιχεῖον τῆς ἡμετέρας ζωῆς. τὸ γὰρ πνεῦμα τῆς ζωῆς ἐκεῖθεν εἰς ἅπαντα ἐχορηγεῖτο, καὶ τοῖς μέλεσι τοῦ Χριστοῦ διεδίδοτο, οὐ δι' ἀρτηρίας ἐκπεμπόμενον, ἀλλὰ διὰ προαιρέσεως ἀγαθῶν. αὕτη οὕτω πλατεῖα ἡ καρδία ἦν, ὡς καὶ πόλεις ὁλοκλήρους δέχεσθαι, καὶ δήμους, καὶ ἔθνη. Ἡ καρδία μου γὰρ, φησὶ, πεπλάτυνται. [β. Κορ. ϛ. ια.] ἀλλ' ὅμως τὴν οὕτω πλατεῖαν συνέχει πολλάκις καὶ ἔθλιψεν ἡ θρύπτουσα αὐτὴν ἀγάπη. Ἐκ γὰρ πολλῆς θλίψεως, φησὶ, καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν [β. Κορ. β. δ.] ταύτην. καὶ διαλελυμένην ἐπεθύμουν ἰδεῖν τὴν πυρουμένην καθ' ἕκαστον τῶν ἀπολλυμέ-

Ματθ. ε. η. νων, τὴν ὠδίνουσαν ἐκ δευτέρου τὰ ἐξαμβλούμενα τῶν παίδων, τὴν τὸν Θεὸν ὁρῶσαν (Οἱ
Ψαλμ. ν. ιθ. γὰρ καθαροὶ τῇ καρδίᾳ, φησί, τὸν Θεὸν ὄψονται) τὴν θυσίαν γενομένην (Θυσία γὰρ τῷ
Θεῷ, πνεῦμα συντετριμμένον) τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, τὴν εὐρυτέραν τῆς οἰκου-
μένης, τὴν τῆς ἀκτῖνος φαιδροτέραν, τὴν τοῦ πυρὸς θερμοτέραν, τὴν τοῦ ἀδάμαντος στεῤ-
Ἰωαν. ζ. λη. ῥοτέραν, τὴν τοὺς ποταμοὺς ἀφιεῖσαν (Ποταμοὶ γάρ, φησιν, ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕ-
δατος ζῶντος) ἔνθα ἦν ἡ πηγὴ ἡ ἁλλομένη, καὶ ποτίζουσα οὐ τὸ πρόσωπον τῆς γῆς, ἀλλὰ τὰς
ψυχὰς τῶν ἀνθρώπων, ὅθεν οὐ ποταμοὶ μόνον, ἀλλὰ καὶ πηγαὶ δακρύων ἐξῄεσαν καὶ νύκτωρ
Γαλ. β. κ. καὶ μεθ' ἡμέραν, τὴν καινὴν ζήσασαν ζωήν, οὐ ταύτην τὴν ἡμετέραν (Ζῶ γάρ, οὐκέτι ἐγώ, ζῇ γρ. ζωὴν τὴν
δὲ ἐν ἐμοί, φησιν, ὁ Χριστός. ἄρα ἐκείνου καρδία ἦν ἡ Παύλου καρδία, καὶ τοῦ πνεύματος τοῦ ἁγίου
Γαλ. δ. ια. πλάξ, καὶ βιβλίον τῆς χάριτος) τὴν τρέμουσαν ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων (Φοβοῦμαι γάρ, γρ. μὴ
β. Κορ. ια. γ. φησι, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς, μήπως ὡς ὁ ὄφις Εὔαν ἠπάτησε, μήπως ἐλθὼν οὐχ
β. Κορ. ιβ. κ. οἵους θέλω εὕρω ὑμᾶς) ὑπὲρ δὲ ἑαυτῆς καὶ δεδοικυῖαν καὶ θαῤῥοῦσαν (Φοβοῦμαι γάρ, φησι,
α. Κορ. θ. κζ. μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. καί, Πέπεισμαι γὰρ ὅτι οὔτε ἄγγελοι, οὔτε
Ρωμ. η. λη. ἀρχαὶ δυνήσονται ἡμᾶς χωρίσαι) τὴν καταξιωθεῖσαν φιλῆσαι Χριστὸν ὡς οὐδεὶς γρ. ἀρχάγγελοι
ἄλλος ἐφίλησε, τὴν θανάτου καὶ γεέννης καταφρονήσασαν, καὶ ὑπὸ δακρύων ἀδελφικῶν
Πραξ. κα. ιγ. συντριβομένην (Τί γὰρ ποιεῖτε, φησι, κλαίοντες καὶ συντρίβοντές μου τὴν καρδίαν;) τὴν
καρτερικωτάτην, καὶ οὐ στέγουσαν καιρὸν ὥρας ἀποστῆναι Θεσσαλονικέων. ἐβουλόμην τὴν
κόνιν ἰδεῖν τῶν χειρῶν τῶν ἐν ἁλύσει, δι' ὧν τῆς ἐπιθέσεως τὸ πνεῦμα ἐχορηγεῖτο, δι' ὧν ταῦτα γρ. τὰ θεῖα
Γαλ. ϛ. ια. τὰ γράμματα ἔγραφεν (Ἴδε γὰρ πηλίκοις γράμμασιν ὑμῖν ἔγραψα τῇ ἐμῇ χειρί· καὶ πά-
β. Κορ. ιϛ. κα. λιν, Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου) τῶν χειρῶν ἐκείνων, ἃς ἰδοῦσα ἡ ἔχις ἐξέπεσεν εἰς
τὴν πυράν. ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν ὀφθαλμῶν τῶν πηρωθέντων καλῶς, τῶν ἀνα-
βλεψάντων ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, τῶν καὶ ἐν σώματι Χριστὸν ἰδεῖν καταξιωθέντων, τῶν
ὁρώντων τὰ γήϊνα καὶ οὐχ ὁρώντων, τῶν βλεπόντων τὰ μὴ βλεπόμενα, τῶν μὴ εἰδότων
ὕπνον, τῶν ἐν μέσαις ταῖς νυξὶν ἀγρυπνούντων, τῶν οὐ πασχόντων τὰ τῶν ὀφθαλμιώντων. γρ. ὀφθαλμῶν
ἐβουλόμην καὶ τῶν ποδῶν ἰδεῖν ἐκείνων τὴν κόνιν τῶν περιδραμόντων τὴν οἰκουμένην καὶ μὴ
καμνόντων, τῶν ἐν ξύλῳ δεδεμένων, ἡνίκα τὸ δεσμωτήριον ἔσεισε, τῶν τὴν οἰκουμένην καὶ ἀοί-
κητον περιελθόντων, τῶν ὁδοιπορησάντων πολλάκις. καὶ τί δεῖ κατὰ μέρος λέγειν; ἐβουλόμην
τὸν τάφον ἰδεῖν, ἔνθα τὰ ὅπλα τῆς δικαιοσύνης ἀπόκειται, τὰ ὅπλα τοῦ φωτός, τὰ μέλη τὰ
νῦν ζῶντα, νενεκρωμένα δὲ ὅτε ἔζη, ἐν οἷς πᾶσιν ὁ Χριστὸς ἔζη, τὰ ἐσταυρωμένα τῷ κόσμῳ,
τὰ τοῦ Χριστοῦ μέλη, τὰ ἐνδεδυμένα τὸν Χριστόν, τὸν ναὸν τοῦ πνεύματος, τὴν οἰκοδομὴν
τὴν ἁγίαν, τὰ δεδεμένα τῷ πνεύματι, τὰ καθηλωμένα τῷ φόβῳ τοῦ Θεοῦ, τὰ ἔχοντα τὰ
στίγματα τοῦ Χριστοῦ. τοῦτο δὲ σῶμα τειχίζει τὴν πόλιν ἐκείνην, ὃ παντὸς πύργου καὶ μυρί-
Γαλ. α. ιη. ων ἐστὶ περιβόλων ἀσφαλέστερον· καὶ μετὰ τούτου δὲ Πέτρου. καὶ γὰρ ζῶντα ἐτίμα· Ἀνέβην γὰρ γρ. αὐτὸν
ἱστορῆσαι Πέτρον. διὰ τοῦτο καὶ ἀπελθόντα κατηξίωσεν ὁμόσκηνον αὐτῷ ποιῆσαι ἡ χάρις αὐ-
τόν. ἐβουλόμην ἰδεῖν τὸν λέοντα τὸν πνευματικόν. ὥσπερ γὰρ λέων πῦρ ἀφιεὶς εἰς ἀλω-
πέκων ἀγέλας, οὕτως εἰς τὴν τῶν δαιμόνων καὶ φιλοσόφων ἐνέπεσε φατρίαν, καὶ κα-
θάπερ σκηπτοῦ τις ἐμβολὴ εἰς τὰς τοῦ διαβόλου κατηνέχθη φάλαγγας. οὐδὲ γὰρ εἰς
παράταξιν ἵστατο πρὸς αὐτόν, ἀλλ' οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν, ὡς εἰ σκιὰν ἴδοι, καὶ φωνῆς
β. Κορ. ϛ. ἀκούσειε, πόῤῥωθεν δραπετεύειν. οὕτω γοῦν καὶ τὸν πεπορνευκότα παρέδωκεν αὐτῷ πόῤῥωθεν
ὤν, καὶ πάλιν ἐξήρπασε τῶν ἐκείνου χειρῶν. οὕτω καὶ ἑτέρους, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.
α. Τιμ. α. κ. σκόπει δὲ πῶς καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους διεξάγει, διεγείρων, ἀλείφων. καὶ νῦν μὲν γρ. αὐτῷ
Ἐφεσ. ϛ. ιβ. Ἐφεσίοις φησίν, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς
ἐξουσίας. εἶτα καὶ ἔπαθλον τίθησιν ἐν τοῖς ἐπουρανίοις λέγων· Οὐ γὰρ περὶ γηΐνων πραγ-
μάτων ἡμῖν ὁ ἀγών, φησιν, ἀλλὰ περὶ τῶν οὐρανῶν καὶ τῶν ἐν τοῖς οὐρανοῖς. νῦν δὲ ἑτέροις

φησίν,

φησὶν, Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; ταῦτ᾽ οὖν ἅπαντα ἐννοοῦντες, α. Κορ. ϛ. γ. στῶμεν γενναίως. καὶ γὰρ καὶ Παῦλος ἄνθρωπος ἦν, τῆς αὐτῆς φύσεως ἡμῖν μετέχων, καὶ τὰ ἄλλα πάντα ἔχων κοινά. ἀλλ᾽ ἐπειδὴ πολλὴν τὴν περὶ τὸν Χριστὸν ἀγάπην ἐπεδείξατο, τοὺς οὐρανοὺς ὑπερέβη, καὶ μετὰ τῶν ἀγγέλων ἔστη. ὥστε ἐὰν βουληθῶμεν καὶ ἡμεῖς διαναστῆναι μικρὸν, καὶ τὸ πῦρ ἐκεῖνο ἀνάψαι ἐν ἡμῖν, δυνησόμεθα ζηλῶσαι τὸν ἅγιον ἐκεῖνον. οὐδὲ γὰρ ἂν, εἴπερ ἀδύνατον ἦν τοῦτο, ἐβόα λέγων, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. α. Κορ. δ. ιϛ. μὴ τοίνυν θαυμάζωμεν αὐτὸν μόνον, μηδὲ ἐκπληττώμεθα μόνον, ἀλλὰ καὶ μιμώμεθα, ἵνα καταξιωθῶμεν καὶ ἐντεῦθεν ἀπελθόντες αὐτὸν ἰδεῖν, καὶ τῆς ἀπορρήτου δόξης μετασχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ἀξιωθῆναι.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόθεσις τῆς πρὸς Κορινθίους προτέρας ἐπιστολῆς.

Ἡ Κόρινθός ἐστι μὲν νῦν πόλις τῆς Ἑλλάδος ἡ πρώτη, πολλοῖς δὲ τὸ παλαιὸν πλεονεκτήμασι βιωτικοῖς ἐκόμα, καὶ περὶ τῶν ἄλλων πάντων τῇ τῶν χρημάτων περιουσίᾳ. διὸ καί τις τῶν ἔξωθεν συγγραφέων ἀφνειὸν ἐκάλει τὸ χωρίον. Ὁμηρ. Ἰλ. β. ἐν γὰρ τῷ Ἰσθμῷ κεῖται τῆς Πελοποννήσου, καὶ πολλὴν εἶχεν ἐμπορείας ὑπόθεσιν. ἦν δὲ καὶ ῥητόρων πολλῶν ἔμπλεως ἡ πόλις, καὶ φιλοσόφων· καί τις τῶν ἑπτὰ καλουμένων σοφῶν ἀπὸ τῆς πόλεως ταύτης ἦν. ταῦτα δὲ ἡμῖν οὐ φιλοτιμίας ἕνεκεν εἴρηται, οὐδὲ πρὸς ἐπίδειξιν πολυμαθείας (τί γὰρ δὴ καὶ ἐστὶ τὸ ταῦτα εἰδέναι;) ἀλλὰ πρὸς τὴν ὑπόθεσιν ἡμῖν συντελεῖ τῆς ἐπιστολῆς. πολλὰ δὲ καὶ αὐτὸς ἔπαθεν ὁ Παῦλος ἐν ταύτῃ τῇ πόλει, καὶ ὁ Χριστὸς δὲ ἐν ταύτῃ αὐτῷ φανεὶς φησί· Μὴ σιγήσῃς, ἀλλὰ λάλει· διότι Πραξ. ιη. θ. λαός μοι πολύς ἐστιν ἐν τῇ πόλει ταύτῃ· καὶ ἔμεινεν ἐκεῖ δύο ἔτη. ἐν ταύτῃ καὶ ὁ δαίμων ἐξῆλθεν, ὃν οἱ Ἰουδαῖοι ἐπορκίζοντες, τὰ αἴσχιστα ἔπαθον παρ᾽ αὐτοῦ. ἐν ταύτῃ τὰς βίβλους συναγαγόντες τῶν γοήτων οἱ μετανοήσαντες κατέκαυσαν, καὶ ὤφθησαν μυριάδες πέντε. ἐν ταύτῃ καὶ ἐπὶ Γαλλίωνος τοῦ ἀνθυπάτου ἐπὶ τοῦ βήματος ὁ Παῦλος ἐτύπτετο. ὁρῶν τοίνυν ὁ διάβολος πόλιν μεγάλην καὶ πολυάνθρωπον τῆς ἀληθείας ἐπειλημμένην, καὶ πλούτου καὶ σοφίας ἕνεκεν θαυμαστὴν οὖσαν, καὶ τῆς Ἑλλάδος τὸ κεφάλαιον (τὰ γὰρ Ἀθηναίων καὶ Λακεδαιμονίων ἀθλίως διέκειτο λοιπὸν, τῆς ἀρχῆς πάλαι μεταπεσούσης) καὶ θεασάμενος ὅτι μετὰ πολλῆς τῆς προθυμίας ἐδέξαντο τὸν τοῦ Θεοῦ λόγον, τί ποιεῖ; διαιρεῖ τοὺς ἀνθρώ-

ποις. ᾔδει γὰρ ὅτι καὶ βασιλεία ἡ πασῶν ἰσχυροτέρα ἐφ᾽ ἑαυτὴν μερισθεῖσα οὐ σταθήσεται. εἶχε δὲ ἀφορμὴν πρὸς τὴν ἐπιβουλὴν ταύτην τὸν πλοῦτον, τὴν σοφίαν τῶν οἰκούντων. ἐντεῦθεν συμμορίας ποιησάμενοι καθ᾽ ἑαυτοὺς καὶ αὐτοχειροτόνητοι γινόμενοί τινες, προεστήκεσαν τοῦ πλήθους, καὶ οἱ μὲν τούτοις, οἱ δὲ ἐκείνοις ἑαυτοὺς προσένεμον, τοῖς μὲν, ὡς πλουσίοις, τοῖς δὲ, ὡς σοφοῖς καὶ πλέον τι δυναμένοις διδάσκειν· οἱ δὴ καὶ παραλαβόντες αὐτοὺς, ἐφιλοτιμοῦντο

α.Κορ.γ.α. πλέον τι τοῦ ἀποστόλου δῆθεν λέγειν· ὅπερ οὖν καὶ αἰνιττόμενος ἔλεγεν· Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. δηλονότι οὐ παρὰ τὴν οἰκείαν ἀπορίαν, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀσθένειαν

α.Κορ.δ.η. τι μὴ πολλὰ ἀκοῦσαι γέγονε καὶ τὸ, Χωρὶς ἡμῶν ἐπλουτήσατε, τοῦτό ἐστιν ἐνδεικνυμένου. καὶ ἦν τοῦτο οὐ μικρὸν, ἀλλὰ πάντων ὀλεθριώτερον, τὸ διεσπάσθαι τὴν ἐκκλησίαν. καὶ ἕτερον δὲ μετὰ τοῦτον ἁμάρτημα ἐτολμᾶτο αὐτόθι, τὸ, μητρυιὰν τινὰ συγγενόμενοι μὴ μόνον μὴ ἐπι-

α.Κορ.ε.β. πλῆσθαι, ἀλλὰ καὶ ὀχλαγωγεῖν, καὶ τοῖς μετ᾽ αὐτὸν παρέχειν μεγαφρονεῖν. διό φησι, Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. καὶ μετὰ τοῦτο πάλιν τινὲς τῶν δῆθεν τελειοτέρων, καὶ ὑπὸ γαστριμαργίας τῶν εἰδωλοθύτων ἀπογευόμενοι, καὶ ἐν τοῖς ἱεροῖς κατακλινόμενοι, τὰ πάντα ἐλυμαίνοντο. ἄλλοι πάλιν μάχας ἔχοντες καὶ φιλονεικίας ὑπὲρ χρημάτων, τοῖς ἔξωθεν δικαστηρίοις τὰ καθ᾽ ἑαυτοὺς ἅπαντα [ταῦτα] ἐπέτρεπον· καὶ κομῶντας δὲ πολλοὶ παρ᾽ αὐτοῖς περιῄεσαν, οὓς καὶ ἀποκείρασθαι κελεύει. ἦν τι καὶ ἕτερον πλημμέλημα οὐ μικρὸν, τὸ καθ᾽ ἑαυτοὺς ἐσθίειν ἐν ταῖς ἐκκλησίαις, καὶ μὴ μεταδιδόναι τοῖς δεομένοις. μετὰ δὲ τοῦτο καὶ ἕτερον ἐπλημμέλουν, ἐπὶ τοῖς χαρίσμασι μέγα φρονοῦντες, καὶ πρὸς ἀλλήλους ἐντεῦθεν ζηλοτύπως ἔχοντες, ὅπερ καὶ αὐτὸ μάλιστα διέσπα τὴν ἐκκλησίαν. καὶ ὁ περὶ τῆς ἀναστάσεως δὲ λόγος ἐχώλευε παρ᾽ αὐτοῖς. ἔνιοι γὰρ αὐτῶν οὐ σφόδρα ἐπίστευον ἀνάστασιν εἶναι σωμάτων, τὰ τῆς ἑλληνικῆς μωρίας ἔτι νοσοῦντες. καὶ γὰρ ἅπαντα ταῦτα ἀπὸ τῆς κατὰ τὴν φιλοσοφίαν τὴν ἔξωθεν ἀνοίας ἐτίκτετο, καὶ αὕτη ἦν τῶν κακῶν ἡ μήτηρ. ἐντεῦθεν καὶ διῄρηντο, καὶ αὐτὸ τοῦτο ἀπὸ τῶν φιλοσόφων μαθόντες. καὶ γὰρ ἐκεῖνοι κατ᾽ ἀλλήλων ἔστησαν, ἀεὶ ὑπὸ φιλαρχίας καὶ κενοδοξίας τοῖς ἀλλήλων ἐνδυπούμενοι δόγμασι, καὶ σπουδάζοντες ἐφευρεῖν τι τοῖς προτέροις. ταῦτα δὲ ἔπασχον, ἐπειδὴ λογισμοῖς ἐπέτρεπον τὰ καθ᾽ ἑαυτούς. ἔγραψαν μὲν οὖν αὐτῷ διὰ Φορτουνάτου καὶ Στεφανᾶ καὶ Ἀχαϊκοῦ, δι᾽ ὧν καὶ αὐτὸς γράφει, καὶ τοῦτο ἐδήλωσεν ἐν τῷ τέλει τῆς ἐπιστολῆς, οὐ μὴν περὶ

α.Κορ.ζ.α. πάντων, ἀλλὰ περὶ γάμου, καὶ παρθενίας. διὸ καὶ ἔλεγε, Περὶ δὲ ὧν ἐγράψατέ μοι. αὐτὸς μέντοι, καὶ ὑπὲρ ὧν ἔγραψαν, καὶ ὑπὲρ ὧν οὐκ ἔγραψαν, ἐπιστέλλει, πάντα μετὰ ἀκριβείας μαθὼν αὐτῶν τὰ ἐλαττώματα, καὶ τὸν Τιμόθεον δὲ ἀποστέλλει μετὰ τῶν γραμμάτων, εἰδὼς ὅτι πολλὴν μὲν ἰσχὺν ἔχει καὶ τὰ γράμματα, οὐ μικρὰν δὲ αὐτοῖς οἴσει προσθήκην καὶ ἡ παρουσία τοῦ μαθητοῦ. ἐπειδὴ δὲ αἰσχυνόμενοι οἱ διασπαίροντες τὴν ἐκκλησίαν, μὴ δόξωσι φιλοτιμίας ἕνεκεν τοῦτο πεποιηκέναι, προκαλύμματα τοῦ πάθους ἐπενόησαν, τὸ τὰ τελειότερα δῆθεν διδάσκειν, καὶ σοφώτεροι τῶν ἄλλων εἶναι· καὶ αὐτοὺς πρῶτον ὁ Παῦλος ἵσταται τοῦ νοσήματος, τὴν ῥίζαν τῶν κακῶν ἀνασπῶν, καὶ τὴν ἐντεῦθεν φῦσαν διχόνοιαν. καὶ πολλῇ κέχρηται τῇ παρρησίᾳ. ἦσαν γὰρ αὐτοῦ καὶ μαθηταὶ οὗτοι μάλιστα πάντων. διό φησιν,

α.Κορ.θ.β. Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστέ.* καὶ ἀσθενέστεροί γε τῶν ἄλλων διέκειντο. διό φησιν, Οὐ γὰρ ὡς πνευματικοῖς ἐλάλησα. οὔπω γὰρ ἐδύνασθε, ἀλλ᾽ οὐδὲ ἔτι νῦν δύνασθε. τοῦτο δὲ λέγει, ἵνα μὴ νομίσωσιν ὅτι ὑπὲρ τοῦ παρελθόντος χρόνου τοῦτο λέγει. πλὴν ἀλλ᾽ οὐδὲ πάντας εἰκὸς ἦν διεφθάρθαι, ἀλλ᾽ εἶναί τινας ἐν αὐτοῖς καὶ σφόδρα ἁγίους. καὶ τοῦτο ἐν μέσῳ τῆς ἐπιστολῆς

α.Κορ.δ.γ. καὶ ς. ἐδήλωσεν εἰπὼν, Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ᾽ ὑμῶν ἀνακριθῶ· καὶ ἐπαγαγὼν, Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ. ἐπεὶ οὖν δὲ ἀπονοίας πάντα ἐτίκτετο τὰ κακὰ, καὶ τὸ νομίζειν εἰδέναι τι πλέον, ταύτην πρὸ τῶν ἄλλων καθαιρεῖ, καὶ ἀρχόμενός φησι·

ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΠΡΩΤΗΝ ΕΠΙΣΤΟΛΗΝ,

Λογ. α. 1 ΠΑΥΛΟΣ ΚΛΗΤΟΣ ΑΠΟΣΤΟΛΟΣ ΧΡΙΣ- κεφ. α.
τοῦ Ἰησοῦ διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, 2 Τῇ ἐκκλη-
σίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁ-
γίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν 3 Χάρις ὑμῖν, καὶ εἰρήνη
ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ὅρα πῶς εὐθέως ἐκ προοιμίων τὸν τῦφον κατέβαλε, καὶ χαμαὶ ἔρριψε πᾶσαν αὐτῶν τὴν οἴησιν, κλητὸν ἑαυτὸν εἰπών. οὐ γὰρ αὐτὸς εὗρον, φησίν, ὅπερ ἔμαθον, οὐδὲ οἰκείᾳ κατέλαβον σοφίᾳ, ἀλλὰ διώκων καὶ πορθῶν τὴν ἐκκλησίαν, ἐκλήθην. ἐνταῦθα δὲ τοῦ μὲν καλοῦντος τὸ πᾶν· τοῦ δὲ κληθέντος οὐδέν, ὡς εἰπεῖν, πλὴν ἢ τὸ ὑπακοῦσαι μόνον. Χριστοῦ Ἰησοῦ. Ὁ διδάσκαλος ὑμῶν, Χριστός· καὶ ὑμεῖς ἀνθρώπους ἐπιγράφεσθε τῆς διδασκαλίας προστάτας; Διὰ θελήματος Θεοῦ. Ὁ γὰρ Θεὸς τοῦτο ἠθέλησε τὸ οὕτως ὑμᾶς σωθῆναι. οὐδὲν γὰρ ἡμεῖς κατωρθώσαμεν, ἀλλὰ διὰ τοῦ θελήματος τοῦ Θεοῦ τὴν σωτηρίαν εὑράμεθα· καὶ ἐπειδὴ αὐτῷ ἔδοξεν, ἐκλήθημεν, οὐκ ἐπειδὴ ἄξιοι ἦμεν. Καὶ Σωσθένης ὁ ἀδελφός.

Πάλιν μετριάζει, συντάττων ἑαυτῷ τὸν ἐλάττονα Ἀπολλῶ. καὶ γὰρ πολὺ τὸ μέσον ἦν Παύλου, καὶ Σωσθένους. εἰ δὲ, ἔνθα τοσοῦτον ἦν τὸ μέσον, συντάττει ἑαυτῷ τὸν καταδεέστερον, τί ἂν ἔχοιεν εἰπεῖν ἐκεῖνοι οἱ τῶν ὁμοτίμων ὑπερορῶντες; Τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Οὐ τοῦδε, καὶ τοῦδε, ἀλλὰ τοῦ Θεοῦ. Τῇ οὔσῃ ἐν Κορίνθῳ. Ὁρᾷς πῶς καθ' ἑκάστην λέξιν καταβάλλει αὐτῶν τὸ φύσημα, τὴν διάνοιαν ἐπάγων διὰ πάντων πρὸς τὸν οὐρανόν; ἐκκλησίαν δὲ Θεοῦ καλεῖ, δεικνὺς ὅτι ἡνῶσθαι αὐτὴν χρή. εἰ γὰρ Θεοῦ ἐστιν, ἥνωται, καὶ μία ἐστίν, οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ. τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα, οὐ χωρισμοῦ, ἀλλὰ ἑνώσεως καὶ συμφωνίας ἐστὶν ὄνομα. Ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ. Πάλιν τοῦ Ἰησοῦ τὸ ὄνομα, οὐδαμοῦ ἀνθρώπων τίθησι. τί δέ ἐστιν ὁ ἁγιασμός; τὸ λουτρόν, ὁ καθαρισμός. ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς οἰκείας ἀκαθαρσίας, ἧς ἀπήλλαξε, καὶ πείθει μικρὰ φρονεῖν. οὐ γὰρ ἐν τοῖς οἰκείοις κατορθώμασιν, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἡγιάσθησαν. Κλητοῖς ἁγίοις. Καὶ γὰρ τοῦτο αὐτὸ τὸ πιστεῦσαι, σω-

θεῖναι, φησιν, οὐκ ἐξ ὑμῶν. οὐ γὰρ προσήλθετε πρῶτοι, ἀλλ' ἐκλήθητε. ὥστε οὐδὲ τὸ μικρὸν τοῦτο, ὑμέτερον ὅλον. καίτοι εἰ καὶ προσήλθετε, μυρίων ὄντες ὑπεύθυνοι κακῶν, οὐδ' οὕτως ὑμῶν χάρις, ἀλλὰ τοῦ Θεοῦ. διὰ τοῦτο καὶ Ἐφεσίοις γράφων ἔλεγε· Χάριτί ἐστε σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν. οὐδὲ ἡ πίστις ὑμῶν ὁλόκληρος. οὐ γὰρ ὑμεῖς ἐπιστεύσατε προλαβόντες, ἀλλὰ κληθέντες ὑπηκούσατε. Σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐ τοῦ δεῖνος καὶ τοῦ δεῖνος, ἀλλὰ τὸ ὄνομα τοῦ Κυρίου. Ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. Εἰ γὰρ καὶ πρὸς Κορινθίους τὰ γράμματά ἐστι γεγραμμένα μόνον, ἀλλὰ καὶ πάντων τῶν ἐν πάσῃ τῇ γῇ μέμνηται πιστῶν, δεικνὺς ὅτι τὴν ἐπὶ τῆς οἰκουμένης μίαν δεῖ εἶναι ἐκκλησίαν, καίτοι τόποις πολλοῖς κεχωρισμένην, καὶ πολλῷ μᾶλλον τὴν ἐν Κορίνθῳ. εἰ δὲ ὁ τόπος χωρίζει, ἀλλ' ὁ Κύριος αὐτοὺς συνάπτει κοινὸς ὤν (διὸ καὶ ἑνῶν αὐτοὺς ἐπήγαγεν, ἡμῶν τε καὶ αὐτῶν) πολὺ δὲ τοῦτο ἐκείνου κυριώτερον. ὥσπερ γὰρ οἱ ἐν ἑνὶ τόπῳ ὄντες, ὅταν πολλοὺς ἔχωσιν ἐναντίους δεσπότας, διεσπασμένοι εἰσὶ, καὶ οὐδὲν ἀπὸ τοῦ τόπου εἰς ὁμόνοιαν ὠφελοῦνται, διαφορὰ τῶν δεσποτῶν

Ματθ. ς. κδ. ἐπιταττόντων, καὶ πρὸς ἑαυτοὺς ἑλκόντων (Οὐ δύνασθε γάρ, φησι, Θεῷ δουλεύειν, καὶ μαμμωνᾷ) οὕτως οἱ ἐν διαφόροις τόποις ὄντες, ἐὰν μὴ διαφόρους ἔχωσι κυρίους, ἀλλ' ἕνα μόνον, οὐδὲν ἀπὸ τῶν τόπων εἰς ὁμόνοιαν παραβλάπτονται, τοῦ Κυρίου τοῦ ἑνὸς συνάπτοντος αὐτούς. οὐ λέγω τοίνυν, φησὶν, ὅτι πρὸς Κορινθίους Κορίνθιοι ὄντες ὁμονοεῖν ὀφείλετε μόνον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἐν τῇ οἰκουμένῃ πάσῃ, κοινὸν ἔχοντες δεσπότην. διὰ τοῦτο καὶ ἐκ δευτέρου προσέθηκε τὸ, ἡμῶν. ἐπειδὴ γὰρ εἶπε, τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μὴ δόξῃ χωρίζειν παρὰ τοῖς ἀνοήτοις, ἐπάγει πάλιν, Κυρίου ἡμῶν τε καὶ αὐτῶν. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ἀναγνώσομαι κατὰ τὸ νόημα οὕτω. Παῦλος καὶ Σωσθένης τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, καὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν τε καὶ αὐτῶν ἐν παντὶ τόπῳ, κἂν ἐν Ῥώμῃ, κἂν ὁπουδήποτε ἂν ὦσι·

Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ἢ οὕτω πάλιν, ὃ καὶ μᾶλλον ἡγοῦμαι ἀληθέστερον εἶναι· Παῦλος καὶ Σωσθένης τοῖς ἐν Κορίνθῳ ἡγιασμένοις κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. τουτέστι, χάρις ὑμῖν, καὶ εἰρήνη ὑμῖν τοῖς ἐν Κορίνθῳ ἡγιασμένοις, καὶ κλητοῖς γενομένοις· οὐ μόνοις, ἀλλὰ μετὰ πάντων τῶν ἐν παντὶ τόπῳ ἐπικαλουμένων τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτῶν. εἰ δὲ ἀπὸ χάριτος ἡ εἰρήνη, τί μέγα φρονεῖς; τί μέγα φυσᾷς, χάριτι σωθείς; εἰ δὲ εἰρήνην ἔχεις πρὸς τὸν Θεὸν, τί ἑτέροις σεαυτὸν προσνέμεις; τοῦτο γὰρ διαστασιάζειν ἐστί. τί γὰρ εἰ πρὸς τόνδε εἰρηνεύετε, καὶ πρὸς τόνδε, καὶ χάριν ἔχετε; ἐγὼ δὲ ἀπὸ τοῦ Θεοῦ αἰτῶ ταῦτα ὑμῖν ἀμφότερα γενέσθαι, καὶ ἀπ' αὐτοῦ, καὶ πρὸς αὐτόν. οὔτε γὰρ βεβαία μένη, ἂν μὴ τῆς ἄνωθεν ἀπολαύσῃ ῥοπῆς· οὔτε ἐὰν [γρ. μένη. ἴσ. μένει,] μὴ πρὸς αὐτὸν ᾖ, ἔσται τι πλέον ὑμῖν. οὐδὲν γὰρ ὄφελος ἡμῖν, ἂν πρὸς πάντας ὦμεν εἰ- [γρ. κἂν] ρηνικοὶ, πρὸς δὲ τὸν Θεὸν ἐκπεπολεμωμένοι· ὥσπερ οὐδὲν βλάβος ἡμῖν, ἂν παρὰ πάν- [γρ. κἂν] των πολεμώμεθα, τῷ δὲ Θεῷ εἰρηνεύωμεν. καὶ πάλιν οὐδὲν ὄφελος, ἂν παρὰ πᾶσιν εὐ- [γρ. κἂν] δοκιμῶμεν, τῷ δὲ Κυρίῳ προσκεκρούκωμεν· ὥσπερ οὐδεὶς κίνδυνος, ἂν πάντες ἡμᾶς ἀ- [γρ. κἂν] ποστρέφωνται καὶ μισῶσιν, ὁ δὲ Θεὸς ἀποδέχηται καὶ φιλῇ. ἡ γὰρ ὄντως χάρις, ἡ ὄντως εἰρήνη, ἀπὸ Θεοῦ. ὁ μὲν γὰρ τὴν παρὰ τῷ Θεῷ χάριν ἔχων, οὐδένα δέδοικε, κἂν μυρία πάσχῃ [γρ. τοῦ Θεοῦ] δεινά· οὐ λέγω ἀνθρώπων, ἀλλ' οὐδὲ αὐτὸν τὸν διάβολον. ὁ δὲ τούτῳ προσκεκρουκὼς, πάντας ὑποπτεύει, κἂν ἐν ἀσφαλείᾳ εἶναι δοκῇ. ἄστατον γὰρ τὸ τῶν ἀνθρώπων γένος, καὶ οὐ φίλοι μόνον καὶ ἀδελφοὶ, ἀλλ' ἤδη καὶ πατέρες μεταβαλλόμενοι, πολλάκις ἀπὸ μικρᾶς αἰτίας τοῦτον, ὃν ἐγέννησαν, ὃν ἐφύτευσαν, πάντων πολεμίων μᾶλλον ἤλασαν· καὶ παῖδες πατέρας ἐξέβαλον. σκόπει δέ· εἶχε χάριν ὁ Δαβὶδ παρὰ τῷ Θεῷ· εἶχε χάριν ὁ Ἀβεσαλὼμ

λῶμεν παρὰ τοῖς ἀνθρώποις. οἷον οὖν τέλος ἑκάτερος ἔσχε, καὶ τίς ηὐδοκίμησε μᾶλλον, ἴστε. Εἶχε χάριν ὁ Ἀβραὰμ παρὰ τῷ Θεῷ, ὁ δὲ Φαραὼ παρὰ τοῖς ἀνθρώποις. χαριζόμενοι γὰρ αὐτῷ, τὴν γυναῖκα τοῦ δικαίου παρήγαγον. τίς οὖν λαμπρότερος γέγονε καὶ μακάριος, πάντι που δῆλον. καὶ τί λέγω περὶ δικαίων; εἶχον χάριν οἱ Ἰσραηλῖται παρὰ τῷ Θεῷ, ἐμισοῦντο δὲ παρὰ ἀνθρώπων τῶν Αἰγυπτίων. ἀλλ' ὅμως τῶν μισούντων περιεγένοντο, καὶ ἐκράτησαν μεθ' ὅσης ἅπαντες ἴστε περιφανείας.

Τοῦτο τοίνυν σπουδάζωμεν ἅπαντες. κἂν δοῦλος ᾖ τις, τοῦτο εὐχέσθω, πρὸ τοῦ δε- ΗΘΙΚΟΝ σπότου παρὰ τῷ Θεῷ χάριν εὑρεῖν. κἂν γυνή τις ᾖ, πρὸ τοῦ ἀνδρὸς παρὰ τοῦ σωτῆρος Θεοῦ ζητείτω χάριν. κἂν στρατιώτης ᾖ, πρὸ τοῦ βασιλέως καὶ τοῦ ἄρχοντος τὴν ἄνωθεν εὔνοιαν ζητείτω· οὕτω γὰρ καὶ παρὰ ἀνθρώποις ἐπέραστος ἔσῃ. πῶς δ' ἄν τις εὕροι χάριν παρὰ τῷ Θεῷ; πῶς δὲ ἑτέρως, εἰ μὴ ἀπὸ ταπεινοφροσύνης. Ὁ Θεὸς γάρ, φησιν, ὑ- Παρ. γ. λδ. περηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· καί, Θυσία τῷ Θεῷ, πνεῦμα συντε- Ψαλμ. ν. ιθ. τριμμένον, καὶ τεταπεινωμένην καρδίαν ὁ Θεὸς οὐκ ἐξουδενώσει. εἰ γὰρ παρὰ ἀνθρώποις οὕτω ποθεινὸν τὸ ταπεινόν, πολλῷ μᾶλλον παρὰ Θεῷ. οὕτω καὶ οἱ ἐξ ἐθνῶν χάριν εὗρον, οὕτω καὶ οἱ Ἰουδαῖοι τῆς χάριτος ἐξέπεσον. Τῇ γὰρ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. ὁ ταπεινὸς οὗ- Ρωμ. ι. γ. τος καὶ ἐπίχαρίς ἐστι καὶ πᾶσιν ἡδύς, καὶ εἰρήνῃ συντρέφεται διηνεκεῖ, καὶ οὐδεμίαν ἔχων πολέμου ὑπόθεσιν. κἂν γὰρ ὑβρίσῃς, κἂν λοιδορήσῃς, κἂν ὁτιοῦν εἴπῃς, σιγήσεται καὶ πράως οἴσει, καὶ τοσαύτην ἕξει τὴν εἰρήνην πρὸς πάντας, ὅσην οὐδὲ ἔστιν εἰπεῖν, καὶ πρὸς τὸν Θεὸν δέ. τὰ γὰρ τοῦ Θεοῦ προστάγματα, μετ' ἀνθρώπων εἰρηνεύειν ἐστί, καὶ ὁ βίος ἅπας ἡμῖν οὕτω κατορθοῦται ἐν τῇ πρὸς ἀλλήλους εἰρήνῃ. οὐ γὰρ δὴ Θεόν τις ἀδικῆσαι δυνήσεται. ἀνώλεθρος γὰρ ἡ φύσις ἐκείνη, καὶ παντὸς ἀνωτέρα πάθους. οὐδὲν οὕτω θαυμαστὸν ποιεῖ τὸν χριστιανόν, ὡς ταπεινοφροσύνη. ἄκουσον γοῦν τοῦ Ἀβραὰμ λέγοντος· Ἐγὼ δέ Γεν. ιη. κζ. εἰμι γῆ καὶ σποδός· καὶ τοῦ Θεοῦ περὶ Μωϋσέως πάλιν, Ὅτι πρᾳότατος ἦν πάντων ἀνθρώπων. οὐδὲν γὰρ ἐκείνου ταπεινότερον γέγονεν, ὃς δῆμον τοσοῦτον ἄγων, καὶ τὸν βασιλέα καὶ τὸ στρατόπεδον τῶν Αἰγυπτίων ἁπάντων, καθάπερ μυίας, καταποντίσας, καὶ τοσαῦτα μὲν ἐν Αἰγύπτῳ, τοσαῦτα δὲ ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης ἐργασάμενος, καὶ ἐπὶ τῆς ἐρήμου, καὶ τοσαύτης ἀπολαύσας μαρτυρίας, ὡς εἷς τῶν πολλῶν ὤν, οὕτω διέκειτο· καὶ τοῦ κηδεστοῦ γ. γαμβροῦ "γαμβρὸς ταπεινότερος ἦν, καὶ ἐδέχετο τὴν παρ' ἐκείνου γνώμην. καὶ οὐδὲ ἐδυσχέρανεν, οὐδὲ εἶπε, τί τοῦτο; μετὰ τοιαῦτα καὶ τοσαῦτα κατορθώματα ἦλθες ἡμῖν συμβουλεύσων; ὅπερ πάσχουσιν οἱ πολλοί, κἂν ἀρίστην τις εἰσηγήσηται γνώμην, διὰ τὸ τοῦ προσώπου ταπεινὸν καταφρονοῦντες. ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ διὰ ταπεινοφροσύνης πάντα κατώρθου. ἐντεῦθεν καὶ τὴν βασιλικὴν κατεφρόνησεν αὐλήν, ἐπειδὴ ταπεινὸς ἦν ὄντως. τὸ γὰρ ὑγιὲς φρόνημα καὶ τὸ ὑψηλὸν ἡ ταπεινοφροσύνη ποιεῖ. ὅσης γὰρ οἴει μεγαλοφροσύνης εἶναι καὶ μεγαλοψυχίας, τὸ καὶ οἰκίας καὶ τραπέζης ὑπεριδεῖν βασιλικῆς; καὶ γὰρ ὡς θεοὶ τιμῶνται οἱ βασιλεῖς παρὰ Αἰγυπτίοις, καὶ πλούτου καὶ θησαυρῶν ἀπολαύουσι μυρίων. ἀλλ' ὅμως πάντα ἀφεὶς ἐκεῖνα, καὶ αὐτὰ τῆς Αἰγύπτου ῥίψας τὰ σκῆπτρα, τοῖς αἰχμαλώτοις καὶ καταπονουμένοις, τοῖς ἐν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ δαπανωμένοις, οὓς οἱ δοῦλοι αὐτοῦ ἐβδελύττοντο (ἐβδελύττοντο γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, φησι) τούτοις προσ- Γεν. ιγ. ι. έδραμε, καὶ τῶν δεσποτῶν αὐτοὺς προετίθει. ὅθεν δῆλον ὅτι ὁ ταπεινὸς οὗτός ἐστιν ὁ ὑψηλὸς καὶ μεγαλόφρων. καὶ γὰρ ἡ ἀπόνοια ἀπὸ εὐτελοῦς τινὸς διανοίας καὶ ἀγεννοῦς ψυχῆς· καὶ ἡ ἐπιείκεια ἀπὸ μεγαλόφρονος, ἀπὸ μεγαλοψύχου γνώμης. καὶ εἰ βούλεσθε, ἐπὶ τῶν ὑποδειγμάτων ἑκάτερα ἐξετάζωμεν. εἰπὲ γάρ μοι, τί τοῦ Ἀβραὰμ γέγονεν ὑψηλότερον; καίτοιγε ἐκεῖνος ἦν ὁ λέγων, Ἐγώ εἰμι γῆ καὶ σποδός· ἐκεῖνος ἦν ὁ λέγων, Μὴ ἔστω Εξοδ. α. ιγ. μάχη ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ. ἀλλ' οὗτος ὁ οὕτω ταπεινὸς λαφύρων κατεφρόνησε Περσι- Γεν. ιη. κζ. κῶν,

κλῆν, καὶ τρόπαιον ὑπερβάλλε βαρβαρικῶν. τοῦτο δὲ ἀπὸ πολλῆς ὑψηλοφροσύνης καὶ μεγαλοφυοῦς διανοίας ἐποίει. ἐκεῖνος γάρ ἐστιν ὑψηλὸς, ὁ γνησίως ταπεινὸς, οὐχ ὁ κόλαξ, οὐδὲ ὁ εἴρων. ἕτερον γὰρ μεγαλοφροσύνη, καὶ ἑτέρα ἀπόνοια. καὶ τοῦτο δῆλον ἐκεῖθεν. εἴ τις γὰρ τὸν πηλὸν, πηλὸν ἡγοῖτο, καὶ καταφρονοῖ· ἕτερος δέ τις τὸν πηλὸν, ὡς χρυσὸν θαυμάζοι καὶ μέγα ἄγοι, τίς ἄρα ἐστὶν ὁ ὑψηλός; οὐχ ὁ τὸν πηλὸν μὴ θαυμάζων; τίς δὲ ὁ ταπεινὸς καὶ εὐτελής; οὐχ ὁ θαυμάζων αὐτὸν, καὶ μέγα τιθέμενος; οὕτω δὴ καὶ ἐνταῦθα λογίζου· ὅτι ὁ μὲν γῆν καὶ σποδὸν ἑαυτὸν λέγων, ὑψηλὸς ἂν εἴη, καίτοιγε ἀπὸ ταπεινοφροσύνης λέγει· ὁ δὲ μὴ γῆν καὶ σποδὸν ἑαυτὸν νομίζων, ἀλλὰ περιέπων ἑαυτὸν, καὶ μεγαλοφρονῶν, οὐδὲν μὲν οὕτως ἂν εἴη εὐτελὴς, τὰ μικρὰ μεγάλα τιθέμενος. ὅθεν δῆλον, ὅτι ἀπὸ πολλοῦ διανοίας ὕψους ἐφθέγγετο τὸ ῥῆμα ἐκεῖνο ὁ πατριάρχης, ἐγὼ δέ εἰμι γῆ καὶ σποδὸς· ἀπὸ ὕψους, οὐκ ἀπὸ ἀπονοίας. καθάπερ γὰρ ἐπὶ σωμάτων, ἄλλο μέν ἐστιν εὐεκτοῦντα καὶ σφριγῶντα εἶναι, ἄλλο δὲ φλεγμαίνοντα (καίτοιγε ἀμφότερα ὑψηλῆς ἐστι σαρκὸς· ἀλλὰ τὸ μὲν, διεφθαρμένης· τὸ δὲ, ὑγιοῦς) οὕτω καὶ ἐνταῦθα ἕτερόν ἐστιν εἶναι ἀπονενοημένον, ὅπερ ἐστὶ φλεγμαίνοντα εἶναι· καὶ ἕτερόν ἐστιν ὑψηλὸν, ὅπερ ἐστὶν εὐεκτοῦντα εἶναι. καὶ πάλιν ἐστί τις ὑψηλὸς τῷ μέτρῳ τοῦ σώματος· ἄλλος δὲ βραχὺς ὢν, προσλαβὼν ἐμβάδας ὑψηλότερος γίνεται. τίνα οὖν καλέσομεν ὑψηλὸν καὶ μέγαν, εἰπέ μοι; οὐκ εὔδηλον ὅτι τὸν οἴκοθεν τὸ ὕψος ἔχοντα; ἐκεῖνος γὰρ ἀλλότριον ἔχει τοῦτο, καὶ τὴν ταπεινὴν ἐπιβὰς, οὕτω γέγονεν ὑψηλός· ὃ πολλοὶ πάσχουσι τῶν ἀνθρώπων, ἐπὶ χρημάτων καὶ δόξης ἑαυτοὺς ἀναβιβάζοντες, ὅπερ οὐκ ἔστιν ὕψος. ὑψηλὸς γάρ ἐστιν, ὁ μηδενὸς δεόμενος τούτων, ἀλλὰ καταφρονῶν ἁπάντων, καὶ οἴκοθεν ἔχων τὸ μέγεθος. γινώμεθα τοίνυν ταπεινοὶ, ἵνα γινώμεθα ὑψηλοί. ὁ γὰρ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. ἀλλ' οὐχ ὁ ἀπονενοημένος τοιοῦτος, ἀλλὰ πάντων ἐστὶν εὐτελέστερος. καὶ γὰρ ἡ πομφόλυξ πεφύσηται, ἀλλ' οὐκ ἔστιν ὑγιὲς τὸ φύσημα. διὰ τοῦτο καὶ τούτους πεφυσιωμένους καλοῦμεν. ὁ μὲν γὰρ μετριοφρονῶν, οὐδὲ ἐπὶ τοῖς μεγάλοις μέγα φρονεῖ, τὸ ταπεινὸν εἰδὼς τὸ ἑαυτοῦ· ὁ δὲ εὐτελὴς καὶ ἐπὶ τοῖς μικροῖς μέγα φαντάζεται. κτησώμεθα τοίνυν τὸ διὰ ταπεινοφροσύνης ὕψος· ἐπισκεψώμεθα τὴν ἀνθρωπίνων τὴν φύσιν, ἵνα ἐκκαώμεθα τῷ πόθῳ τῶν μελλόντων. ἑτέρως γὰρ οὐκ ἔστι γενέσθαι ταπεινὸν, ἀλλ' ἢ διὰ τοῦ τῶν θείων ἔρωτος καὶ τῆς τῶν παρόντων ὑπεροψίας. ὥσπερ γὰρ εἴ τις βασιλείας ἐπιτυγχάνειν μέλλοι, εἶτα ἀντὶ τῆς ἁλουργίδος ἐκείνης ἰδιωτικήν τινά τις αὐτῷ προσάγοι τιμὴν, οὐδὲν αὐτὴν εἶναι ἡγήσεται· οὕτω καὶ ἡμεῖς πάντων καταγελασόμεθα τῶν παρόντων, εἰ τῆς τιμῆς ἐπιθυμήσαιμεν ἐκείνης. οὐχ ὁρᾶτε τοὺς παῖδας, ὅταν παίζοντες τάξιν ποιῶσι, καὶ στρατιῶται, καὶ προηγοῦνται αὐτῶν κήρυκες καὶ ῥαβδοῦχοι, καὶ μέσος ὁ παῖς ἐν χώρᾳ ἄρχοντος βαδίζῃ, ὡς παιδικὰ τὰ γινόμενα; τοιαῦτά ἐστι τὰ ἀνθρώπινα, καὶ τούτων εὐτελέστερα, σήμερον ὄντα, καὶ αὔριον οὐκ ὄντα. ὑψηλότεροι τοίνυν γινώμεθα τούτων, καὶ μὴ μόνον αὐτῶν μὴ ἐπιθυμῶμεν, ἀλλὰ καὶ αἰσχυνώμεθα εἴ τις ἡμῖν ταῦτα προτείνοι. οὕτω γὰρ τὸν τούτων ἐκβαλόντες ἔρωτα, τὸν θεῖον ἐκεῖνον ἕξομεν, καὶ τῆς ἀθανάτου δόξης ἀπολαύσομεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ϛ. 4 ΕΥΧΑΡΙΣΤΩ ΤΩ ΘΕΩ ΜΟΥ ΠΑΝΤΟΤΕ ΠΕΡΙ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ·
5 Ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ.

Ὅ Τοῖς ἄλλοις παραινεῖ ποιεῖν, λέγων· Ἐν εὐχαριστίᾳ τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν, τοῦτο καὶ αὐτὸς ἐποίει, διδάσκων ἡμᾶς ἀπὸ τούτων ἄρχεσθαι τῶν λόγων ἀεί, καὶ πρὸ πάντων εὐχαριστεῖν τῷ Θεῷ. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ φίλον, ὡς τὸ εὐχαρίστους εἶναι, καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ ἄλλων. διὸ καὶ πάσης σχεδὸν ἐπιστολῆς τοῦτο προτίθησιν· ἐνταῦθα δὲ καὶ ἀναγκαιότερον, ἢ ἐν ταῖς ἄλλαις αὐτὸ ποιεῖ. ὁ γὰρ εὐχαριστῶν, καὶ ὡς εὖ παθὼν εὐχαριστεῖ, καὶ ἐπὶ χάριτι εὐχαριστεῖ· ἡ δὲ χάρις οὐκ ὀφειλή, οὐδὲ ἀμοιβή, οὐδὲ ἀντίδοσις. ὃ πανταχοῦ μὲν ἀναγκαῖον λέγειν, πολλῷ δὲ πλέον ἐπὶ Κορινθίων τῶν κεχηνότων πρὸς τοὺς διασπῶντας τὴν ἐκκλησίαν. Τῷ Θεῷ μου. Ἀπὸ πολλῆς τῆς διαθέσεως τὸ κοινὸν ἁρπάζει καὶ ἰδιοποιεῖται, ὃ καὶ προφήταις ἔθος ἀεὶ λέγειν, Ὁ Θεός, ὁ Θεός μου. καὶ εἰς παρρησίαν αὐτοὺς ἐνάγει τοῦ καὶ αὐτοὺς τοῦτο λέγειν. ὁ γὰρ οὕτω λέγων, ἀπὸ πάντων τῶν ἀνθρωπίνων ἀναχωρεῖ, καὶ χωρεῖ πρὸς ἐκεῖνον, ὃν μετὰ πολλῆς καλεῖ τῆς διαθέσεως. τοῦτο γὰρ δύναται λέγειν γνησίως ὁ ἀπὸ τῶν βιωτικῶν ἀναβαίνων ἀεὶ πρὸς τὸν Θεόν, καὶ ἀπάντων αὐτὸν προτιθεὶς πάντοτε, καὶ εὐχαριστῶν διηνεκῶς, οὐχ ὑπὲρ τῆς ἤδη δοθείσης χάριτος, ἀλλ' εἴ ποτέ τι καὶ μετὰ ταῦτα ἀγαθὸν γένηται, καὶ ὑπὲρ τούτου τὴν αὐτοῦ εὐφημίαν ἀναφέρει αὐτῷ. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, εὐχαριστῶ, ἀλλά, πάντοτε ὑπὲρ ὑμῶν, παιδεύων αὐτοὺς καὶ αὐτοὺς εἰδέναι χάριν, καὶ μηδενὶ ἑτέρῳ, ἀλλ' ἢ τῷ Θεῷ μόνον.

Φιλιπ. δ. 5.

γ. αὐτῷ

γ. αὐτ.

Ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ. Ὁρᾷς πῶς πανταχόθεν αὐτοὺς διορθοῦται; ἔνθα γὰρ χάρις ἐστίν, ἔργα οὐκ ἔστιν· ἔνθα ἔργα, οὐκ ἔτι χάρις ἐστίν. εἰ τοίνυν χάρις, τί μέγα φρονεῖτε; πόθεν πεφυσιωμένοι ἐστὲ τῇ δοθείσῃ ὑμῖν; καὶ διὰ τίνος ἐδόθη; ἄρα δι' ἐμοῦ, ἢ δι' ἑτέρου ἀποστόλου; οὐδαμῶς· ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ. τὸ γάρ, Ἐν Χριστῷ Ἰησοῦ, τοῦτό ἐστιν. ὅρα πῶς πολλαχοῦ τὸ, ἐν, ἀντὶ τοῦ, δι' οὗ ἐστιν. οὐκ ἄρα ἐλάττοι τοῦτο τοῦ, διά. Ὅτι ἐν παντὶ ἐπλουτίσθητε. Πάλιν διὰ τίνος; ἐν αὐτῷ, φησί. καὶ οὐχ ἁπλῶς ἐπλουτίσθητε, ἀλλὰ καὶ ἐν παντί. ὅταν οὖν καὶ πλοῦτος ᾖ, καὶ Θεοῦ πλοῦτος, καὶ ἐν παντί, καὶ διὰ τοῦ μονογενοῦς, ἐννόησον τὸν ἄφατον θησαυρόν.

Ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. Λόγῳ οὐ τῷ ἔξωθεν, ἀλλὰ τῷ τοῦ Θεοῦ. ἔστι γὰρ γνῶσις λόγου χωρίς, καὶ ἔστι γνῶσις μετὰ λόγου. καὶ γὰρ εἰσὶ πολλοὶ γνῶσιν μὲν ἔχοντες, λόγον δὲ οὐκ ἔχοντες· οἷοι οἱ ἰδιῶται, καὶ μὴ δυνάμενοι διασαφῆσαι σαφῶς ἅπερ ἔχουσιν ἐν διανοίᾳ. ἀλλ' οὐχ ὑμεῖς τοιοῦτοι, φησίν· ἀλλὰ καὶ νοῆσαι, καὶ εἰπεῖν ἱκανοί.

γ. παρὰ

6 Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν. Ἐν τάξει ἐπαίνων καὶ εὐχαριστίας σφόδρα αὐτῶν καθάπτεται. οὐ γὰρ διὰ τῆς ἔξωθεν φιλοσοφίας, φησίν, οὐδὲ διὰ τῆς ἔξωθεν παιδεύσεως, ἀλλὰ διὰ τῆς χάριτος τοῦ Θεοῦ, καὶ τοῦ πλούτου, καὶ τῆς γνώσεως, καὶ τοῦ λόγου τοῦ παρ' αὐτοῦ δοθέντος ἠδυνήθητε μαθεῖν τὰ τῆς ἀληθείας δόγματα, καὶ βεβαιωθῆναι εἰς τὸ μαρτύριον τοῦ Κυρίου, τουτέστιν, εἰς τὸ κήρυγμα. πολλῶν γὰρ ἀπηλαύσατε σημείων, πολλῶν θαυμάτων, ἀφάτου χάριτος, ὥστε δέξασθαι τὸ κήρυγμα. εἰ τοίνυν ἐβεβαιώθητε διὰ σημείων καὶ χάριτος, τίνος ἕνεκεν διασαλεύεσθε; ταῦτα δὲ ὁμοῦ καὶ καθαπτομένου, καὶ προκαταλαμβάνοντος αὐτούς ἐστι τὰ ῥήματα.

7 Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι. Μέγα ἐνταῦθα ζητεῖται· εἰ τὸ πλουτισθέντες ἐν παντὶ λόγῳ, ὡς μηδὲν ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, [πῶς] οὗτοι σαρκικοί εἰσιν; εἰ γὰρ κατὰ τὴν ἀρχὴν τοιοῦτοι ἦσαν, πολλῷ μᾶλλον νῦν. πῶς οὖν αὐτοὺς σαρκικοὺς καλεῖ; Οὐ γὰρ ἠδυνήθην ὑμῖν λαλῆσαι, φησίν, ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. ἀ. Κορ. γον. τί οὖν ἐστιν εἰπεῖν; ὅτι κατὰ τὴν ἀρχὴν πιστεύσαντες, καὶ πάντων ἐπιτυχόντες χαρισμάτων (καὶ γὰρ ἐζηλοῦντο) ὕστερον ῥαθυμότεροι γεγόνασιν· ἢ εἰ μὴ τοῦτο, ὅτι οὐ πρὸς ἅπαντας

ται οὔτε ταῦτα, οὔτε ἐκεῖνα λέγεται· ἀλλὰ τὰ μὲν πρὸς τοὺς ὑποβαθμοὺς ταῖς κατηγορίαις· τὰ δὲ πρὸς τοὺς κομῶντας τοῖς ἐπαίνοις. ὅτι γὰρ εἶχον ἔτι χαρίσματα, Ψαλμόν τις ἔχει, φησὶν, ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω· καὶ, Προφῆται δὲ δύο, ἢ τρεῖς λαλείτωσαν. ἔστι δὲ καὶ ἕτερόν τι εἰπεῖν· ὅτι ὥσπερ ἔθος ἡμῖν λέγειν τὸ πλέον ἀπὸ τοῦ, οὕτω καὶ ἐνταῦθα εἴρηκε. μετὰ δὲ τούτων οἶμαι καὶ τὸ ἑαυτοῦ αὐτὸν αἰνίττεσθαι, ὅτι καὶ αὐτὸς τὰ σημεῖα ἐπεδείξατο, καθάπερ καὶ ἐν τῇ δευτέρᾳ πρὸς αὐτοὺς ἐπιστολῇ λέγει· Τὰ μέντοι σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ. καὶ πάλιν, Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; ἢ, ὅπερ ἔφην, καὶ τὴν ἑαυτοῦ ἀναμιμνήσκει, ἢ καὶ πρὸς τοὺς ἔτι ὄντας δοκίμους ταῦτα λέγει. ἦσαν γὰρ πολλοὶ ἅγιοι ἐκεῖσε, οἵτινες ἔταξαν ἑαυτοὺς εἰς διακονίαν τῶν ἁγίων, καὶ ἀπαρχὴ γεγόνασι τῆς Ἀχαΐας, καθάπερ πρὸς τῷ τέλει δηλοῖ. ἄλλως δὲ, κἂν μὴ σφόδρα τῆς ἀληθείας ἔχωνται οἱ ἔπαινοι, ἀλλ᾽ ὅμως οἰκονομικῶς ἔγκεινται προοδοποιοῦντες τῷ λόγῳ. ὁ μὲν γὰρ ἐκ προοιμίων εὐθέως φορτικὰ φθεγγόμενος, ἀπέκλεισε τοῖς λόγοις τὴν ἀκοὴν παρὰ τοῖς ἀσθενεστέροις. ἄν τε γὰρ ὁμότιμοι ὦσιν οἱ ἀκούοντες, ὀργίζονται· ἄν τε σφόδρα ἐλάττους, λυπηθήσονται. ἵν᾽ οὖν μὴ τοῦτο γένηται, ἀπὸ ἐγκωμίων δοκούντων εἶναι ποιεῖται τὴν ἀρχήν. οὐδὲ γὰρ αὐτῶν ἐγκώμιον τοῦτο ἦν, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος. τὸ γὰρ ἁμαρτημάτων ἀφεθῆναι καὶ δικαιωθῆναι, τοῦτο τῆς ἄνωθεν ἦν δωρεᾶς. διά τοι τοῦτο καὶ ἐνδιατρίβει τούτοις, ἵνα τοῦ Θεοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ἵνα ἐπιπλέον αὐτῶν ἐκκαθάρῃ τὸ νόσημα.

Ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τί θορυβεῖσθε, * φησι, τί ταράττεσθε, ὅτι οὐ πάρεστι Χριστός; πάρεστι μὲν οὖν, καὶ ἡ ἡμέρα λοιπὸν ἐπὶ θύραις. καὶ σκόπει τὴν σοφίαν, πῶς αὐτοὺς ἀπαγαγὼν τῶν ἀνθρωπίνων, ἐφόβησεν ἀναμνήσας τοῦ βήματος τοῦ φοβεροῦ, καὶ δείξας ὅτι οὐ προοιμίων δεῖ μόνον χρηστῶν, ἀλλὰ καὶ τέλους. δεῖ γὰρ μετὰ τῶν χαρισμάτων τούτων, καὶ τῆς ἄλλης ἀρετῆς, τὴν ἡμέραν ἀναμνῆσαι ἐκείνην· καὶ πολλῶν χρεία πόνων, ὥστε δυνηθῆναι πρὸς τὸ τέλος ἐλθεῖν. ἀποκάλυψιν δὲ λέγει, δεικνὺς ὅτι εἰ καὶ μὴ ὁρᾶται, ἀλλ᾽ ἔστι, καὶ πάρεστι καὶ νῦν, καὶ τότε φανήσεται. ὑπομονῆς οὖν χρεία· διὰ τοῦτο γὰρ ἐλάβετε τὰ θαύματα, ἵνα μείνητε βέβαιοι.

8 Ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους. Ἐνταῦθα δοκεῖ μὲν αὐτοὺς θεραπεύειν, πάσης δὲ κολακείας ἀπήλλακται τὸ λεγόμενον. καὶ γὰρ οἶδεν αὐτῶν καθάπτεσθαι, ὡς ὅταν λέγῃ· Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες· καὶ πάλιν, Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πρᾳότητος; καὶ, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. λανθανόντως δὲ αὐτῶν καὶ κατηγορεῖ· τὸ γὰρ εἰπεῖν, βεβαιώσει, καὶ τὸ, ἀνεγκλήτους, δείκνυσι καὶ σαλευομένους ἔτι, καὶ ἐγκλήματος ὑποβαθμοὺς ὄντας. σὺ δὲ σκόπει πῶς αὐτοὺς τῷ ὀνόματι ἀεὶ τοῦ Χριστοῦ προσηλοῖ. καὶ ἀνθρώπου μὲν οὐδενός, οὔτε ἀποστόλου, οὔτε διδασκάλου, (συνεχῶς δὲ αὐτοῦ τοῦ ποθουμένου μέμνηται), καθάπερ ἀπὸ μέθης τινὸς τοὺς καρηβαροῦντας ἀνενεγκεῖν παρασκευάζων. οὐδαμοῦ γὰρ ἐν ἑτέρᾳ ἐπιστολῇ οὕτω συνεχῶς κεῖται τὸ ὄνομα τοῦ Χριστοῦ. ἐνταῦθα μέντοι ἐν ὀλίγοις στίχοις πολλάκις, καὶ διὰ τούτου σχεδὸν τὸ πᾶν ὑφαίνει προοίμιον. σκόπει δὲ ἄνωθεν. Παῦλος κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ· τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ τῇ χάριτι τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν· Ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· Πιστὸς ὁ Θεὸς δι᾽ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁρᾷς τὴν συνέχειαν

τοῦ

α. Κορ. ιδ. κϛ.

β. Κορ. ιβ. ιβ. καὶ ιγ.

α. Κορ. δ. ιη. καὶ κα.

β. Κορ. ιγ. γ.

τοῦ ὀνόματος τοῦ Χριστοῦ; ὅθεν δηλοῖ καὶ τοῖς σφόδρα ἀλγοῦσιν, ὅτι οὐκ εἰκῇ οὐδὲ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ τῇ πικρότητι τῆς χολῆς ταύτης περὶ τὴν σηπεδόνα τὴν φλεγμονὴν αὐτῶν ἀποπλύνων, καὶ τὴν σηπεδόνα τοῦ νοσήματος ἐκκαθαίρων.

9 Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. Βαβαὶ, πόσον εἶπεν ἐνταῦθα; πόσον μέγεθος δωρεᾶς ἐνέφηνεν; εἰς κοινωνίαν τοῦ μονογενοῦς ἐκλήθητε, καὶ ἀνθρώποις ἑαυτοὺς προσνέμετε; τί ταύτης τῆς ἀθλιότητος χεῖρον; καὶ πῶς ἐκλήθητε; διὰ τοῦ πατρός. ἐπειδὴ γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνεχῶς ἔλεγε περὶ τοῦ υἱοῦ, ἵνα μὴ νομίσωσιν ὅτι ὡς ἐλάττονος αὐτοῦ ὑπομέμνηται, προσένειμεν αὐτὸ τῷ πατρί. οὐ γὰρ διὰ τοῦδε καὶ τοῦδε, φησὶν, ἀλλὰ διὰ τοῦ πατρὸς ἐκλήθητε, δι' αὐτοῦ καὶ ἐπλουτίσθητε. πάλιν ἐκλήθητε, οὐκ αὐτοὶ προσήλθετε. τί δέ ἐστιν, εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ; ἄκουσον αὐτοῦ τοῦτο αὐτὸ σαφέστερον ἑτέρωθι λέγοντος· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ συναπεθάνομεν, καὶ συζήσομεν. εἶτα, ἐπειδὴ μέγα εἴρηκε, προσέθηκε καὶ λογισμὸν πληροφορίαν ἔχοντα ἀναντίρρητον. πιστὸς γὰρ, φησὶν, ὁ Θεός· τουτέστιν, ἀληθής. εἰ δὲ ἀληθὴς, ἃ ἐπηγγείλατο καὶ ποιήσει· ἐπηγγείλατο δὲ κοινωνοὺς ἡμᾶς ποιήσειν τοῦ μονογενοῦς υἱοῦ. ἐπὶ τοῦτο γὰρ καὶ ἐκάλεσεν. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα αὐτοῦ, καὶ ἡ κλῆσις τοῦ Θεοῦ. ταῦτα δὲ προοικονομεῖ νῦν ἐν τῷ λόγῳ, ὥστε μὴ μετὰ τὸ σφοδρὸν τῶν ἐγκλημάτων εἰς ἀπόγνωσιν αὐτοὺς ἐμπεσεῖν. πάντως γὰρ τὰ παρὰ τοῦ Θεοῦ ἔσται, ἂν μὴ σφόδρα ἡμεῖς ἀφηνιάσωμεν· καθάπερ οἱ Ἰουδαῖοι καλούμενοι οὐκ ἤθελον δέξασθαι τὰ ἀγαθά. τοῦτο δὲ οὐκέτι τοῦ καλοῦντος ἦν, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. αὐτὸς μὲν γὰρ ἐβούλετο δοῦναι, ἐκεῖνοι δὲ μὴ θελήσαντες λαβεῖν, ἑαυτοὺς ἐξέβαλον. εἰ μὲν γὰρ εἰς ἐπίπονον καὶ ἐπίμοχθον ἐκάλει πρᾶγμα, οὐκ ἦσαν μὲν οὐδὲ οὕτω συγγνώμης ἄξιοι παραιτούμενοι, πλὴν ἀλλ' εἶχον αὐτὸ τοῦτο λέγειν· εἰ δὲ ἐπὶ καθαρμὸν, καὶ δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν, καὶ χάριν, καὶ δωρεάν,* καὶ τὰ ἀπρόσκοπα, ἀρεσκευασμένα ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὓς οὐκ ἤκουσε, καὶ Θεὸς ὁ καλῶν, καὶ δι' ἑαυτοῦ καλῶν, ποίας ἂν εἶεν συγγνώμης ἄξιοι οἱ μὴ * προστρέχοντες;

[margin: καὶ ὑπόσχεσιν, ... ἀκούσαντες ... προσέλαμψεν?]

Μὴ τοίνυν τὸν Θεὸν αἰτιάσθω τις. οὐ γὰρ παρὰ τὸν καλοῦντα γίνεται τὸ μὴ πιστεῦσαι, ἀλλὰ παρὰ τοὺς ἀποπηδῶντας. ἀλλ' ἔδει, φησὶ, καὶ ἄκοντας εἰσαγαγεῖν. ἄπαγε· οὐ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει. τίς γὰρ ἐπὶ τιμὰς καὶ στεφάνους καὶ εὐωχίας καὶ πανηγύρεις καλῶν, ἄκοντας καὶ δεδεμένους ἕλκει; οὐκ ἔστιν οὐδείς. τοῦτο γὰρ ὑβρίζοντός ἐστιν. εἰς γέενναν ἄκοντας πέμπει· εἰς δὲ βασιλείαν ἑκόντας καλεῖ. εἰς τὸ πῦρ δεδεμένους ἄγει, καὶ οἰμώζοντας· εἰς δὲ τὰ μυρία ἀγαθὰ οὐχ οὕτως. ἐπεὶ τοῦτο καὶ αὐτὰ διαβάλλει τὰ ἀγαθὰ, εἰ μὴ τοιαύτη αὐτῶν ἐστιν ἡ φύσις, ὡς καὶ ἑκόντας προσδραμεῖν, καὶ χάριν εἰδότας πολλήν. καὶ πόθεν οὐ πάντες αὐτὰ αἱροῦνται, φησί; διὰ τὴν οἰκείαν ἀσθένειαν. καὶ τίνος ἕνεκεν αὐτῶν οὐκ ἐκκόπτει τὴν ἀσθένειαν; καὶ πῶς, εἰπέ μοι, καὶ τίνι τρόπῳ ἐκκόψαι ἐχρῆν; οὐχὶ κτίσιν εἰργάσατο διδάσκουσαν αὐτοὺς τὴν φιλανθρωπίαν καὶ τὴν δύναμιν; Οἱ οὐρανοὶ γὰρ, φησὶ, διηγοῦνται δόξαν Θεοῦ. οὐχὶ καὶ προφήτας ἔπεμψεν; οὐχὶ καὶ ἐκάλεσε, καὶ ἐτίμησεν; οὐχὶ θαυματούργησεν; οὐ νόμον ἔδωκε καὶ γραπτὸν καὶ φυσικόν; οὐ τὸν υἱὸν ἀπέστειλεν; οὐκ ἀποστόλους ἔπεμψεν; οὐ σημεῖα εἰργάσατο; οὐ γέενναν ἠπείλησεν; οὐ βασιλείαν ἐπηγγείλατο; οὐ καθ' ἑκάστην ἡμέραν ἀνατέλλει τὸν ἥλιον αὐτοῦ; οὐχὶ ἅπερ ἐπιτάττει, οὕτως εὔκολα καὶ ῥᾴδια, ὡς πολλοὺς ὑπερβαίνειν αὐτοῦ τὰ προστάγματα τῇ περιουσίᾳ τῆς φιλοσοφίας; Τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνι, καὶ οὐκ ἐποίησα; καὶ διὰ τί μὴ ἐποίησεν ἡμῖν φυσικὴν τὴν γνῶσιν, φησὶ, καὶ τὴν ἀρετήν; τίς ταῦτά φησιν; ὁ Ἕλλην, ἢ ὁ Χριστιανός; ἀμφότεροι μὲν, ἀλλ' οὐχ ὑπὲρ τῶν αὐτῶν· ἀλλ' ὁ μὲν ὑπὲρ τῆς γνώσεως, ὁ δὲ ὑπὲρ τοῦ βίου φιλονεικεῖ. οὐκοῦν πρότερον πρὸς τὸν ἡμέτερον ἐροῦμεν. οὐ τοσοῦτον γάρ μοι ἐστὶ τῶν ἔξω λό-

[margin notes: β. Τιμ. β. ιβ. — ΗΘΙΚΟΝ — Ψαλμ. ιη. α.]

γῆς, ὅσοι τῶν οἰκείων μελῶν. τί οὖν φησιν ὁ Χριστιανός; αὐτὴν ἔδει τὴν γνῶσιν ἡμῖν ἐνθεῖναι τῆς ἀρετῆς. ἐνέθηκε μὲν οὖν. εἰ γὰρ μὴ ἐνέθηκε, πόθεν ᾔδειμεν τὰ παρακλέα, καὶ τὰ μὴ παρακλέα; πόθεν οἱ νόμοι, καὶ τὰ δικαστήρια; ἀλλ' οὐ τὴν γνῶσιν, ἀλλὰ τὴν πρᾶξιν αὐτήν. καὶ τίνος ἔμελλες λαμβάνειν τὸν μισθὸν, εἰ τὸ πᾶν ἔμελλεν ἔσεσθαι τοῦ Θεοῦ; εἰπὲ γάρ μοι, σὲ καὶ τὸν Ἕλληνα ἁμαρτάνοντας ὁμοίως ὁ Θεὸς κολάζει; οὐδαμῶς. ἔχεις γὰρ τέως τὴν ἀπὸ τῆς γνώσεως παρρησίαν. τί οὖν, εἴ τις ἄρα εἴποι νῦν, ὅτι διὰ τῆς γνώσεως καὶ σὺ καὶ ὁ Ἕλλην τῶν αὐτῶν ἀξιωθήσεσθε, ἆρα οὐκ ἂν ἐδυσχέρανας; ἔγωγε οἶμαι. εἴποις γὰρ ἂν, ὅτι ἐγὼ εὗρον οἴκοθεν, ὁ Ἕλλην τὴν γνῶσιν, οὐκ ἠθέλησεν. ἂν οὖν καὶ ἐκεῖνος λέγῃ, ὅτι ἔδει τὸν Θεὸν ἐνθεῖναι τὴν γνῶσιν ἡμῖν φυσικῶς, οὐχὶ καταγελάσῃ, καὶ πρὸς αὐτὸν ἐρεῖς, διατί γὰρ μὴ ἐζήτησας; διατί μὴ ἐσπούδασας, καθάπερ ἐγώ; καὶ μετὰ πολλῆς εἴσῃ τῆς παρρησίας, καὶ ἐρεῖς, ὅτι ἀνοίας ἐσχάτης ἦν τὸ ἐγκαλεῖν τῷ Θεῷ, ὅτι μὴ τῇ φύσει τὴν γνῶσιν ἐνέθηκε; ταῦτα δὲ ἐρεῖς, ἐπειδή σοι κατώρθωται τὰ τῆς γνώσεως, οὕτω καὶ τὰ τοῦ βίου εἰ κατώρθωτο, οὐκ ἂν ταῦτα ἐζήτησας, ἀλλ' ἐπειδὴ ἀποκάμνεις πρὸς τὴν ἀρετὴν, διὰ τοῦτο τοὺς ἀνοήτους τούτους προβάλλῃ λόγους. πῶς δὲ καὶ ἐχρῆν ποιῆσαι ἀνάγκῃ γενέσθαι καλόν; οὐκοῦν ἔμελλεν ἡμῖν τὰ ἄλογα φιλονεικεῖν τῆς ἀρετῆς, ἅτε ἡμῶν σωφρονέστερα ἔνια ὄντα. ἀλλ' ἐβουλόμην, φησὶν, εἶναι ἀνάγκῃ καλὸς, καὶ πάντων ἀποστερεῖσθαι τῶν μισθῶν, ἢ προαιρέσει φαῦλος, καὶ κολάζεσθαι καὶ τιμωρεῖσθαι. ἀλλ' οὐκ ἔστιν ἀνάγκῃ ποτὲ καλὸν εἶναι. εἰ μὲν οὖν ἀγνοεῖς τὸ παρακλέον, δεῖξον, καὶ τότε ἐροῦμεν ὅπερ εἰπεῖν δεῖ· εἰ δὲ οἶδας πονηρὰν τὴν ἀσέλγειαν οὖσαν, τίνος ἕνεκεν οὐ φεύγεις τὸ πονηρόν; οὐ δύναμαι, φησίν. ἀλλ' ἕτεροι οἱ τὰ μείζω κατορθώσαντες κατηγορήσουσί σου, καὶ ἐπιστομιοῦσί σε ἐκ περιουσίας πολλῆς. σὺ μὲν γὰρ ἴσως καὶ μετὰ γυναικὸς ὢν οὐ σωφρονεῖς, ἄλλος δὲ καὶ χωρὶς γυναικὸς, ἀκέραιον διατηρεῖ τὴν ἁγνείαν. τίνα οὖν ἔχεις ἀπολογίαν, τὸ μέτρον οὐ φυλάττων, ἑτέρου ὑπὲρ τὰ σκάμματα πηδῶντος; ἀλλ' οὐκ εἰμὶ τοιοῦτος, φησὶ, τοῦ σώματος τὴν φύσιν, ἢ τὴν προαίρεσιν. ἐπειδὴ μὴ θέλεις, οὐκ ἐπειδὴ μὴ δύνασαι. καὶ γὰρ δείκνυμι πάντας ἐπιτηδείως πρὸς ἀρετὴν ἔχοντας. ὃ γὰρ μὴ δύναταί τις ποιῆσαι, οὐδὲ, ἀνάγκης ἐπικειμένης, δυνηθήσεται ποιῆσαι. εἰ δὲ ἀνάγκης ἐπικειμένης δύναται, ὁ μὴ ποιῶν, παρὰ προαίρεσιν οὐ ποιεῖ. οἷον τί λέγω· ἀναπτῆναι καὶ πρὸς τὸν οὐρανὸν ἀρθῆναι σῶμα ἔχοντα βαρὺ, πάντως καὶ ἀδύνατον. τί οὖν, εἰ βασιλεὺς ἐπιτάξειε τοῦτο ποιῆσαι, καὶ θάνατον ἠπείλησε λέγων, ὅτι τοὺς μὴ πετομένους ἀνθρώπους ἀποτέμνεσθαι κελεύω καὶ καίεσθαι, ἢ ἄλλο τι πάσχειν τοιοῦτον, ἆρα ἄν τις ὑπήκουσεν; οὐδαμῶς· οὐ δέχεται γὰρ ἡ φύσις. ἂν δὲ ἐπὶ σωφροσύνης τὸ αὐτὸ τοῦτο γένηται, καὶ θῇ διατάγματα, τοὺς ἀσελγαίνοντας κολάζεσθαι, καίεσθαι, μαστίζεσθαι, μυρία πάσχειν δεινὰ, ἆρα οὐκ ἂν ἐπείσθησαν πολλοὶ τῷ προστάγματι; οὐχί, φησι. καὶ γὰρ κεῖται καὶ νῦν νόμος ὁ κελεύων μὴ μοιχεύειν, καὶ οὐ πάντες πείθονται· οὐκ ἐπειδὴ ὁ φόβος ἠσθένησεν, ἀλλ' ἐπειδὴ λήσεσθαι προσδοκῶσιν οἱ πολλοί. ὡς εἰ παρῆν αὐτοῖς ἀσελγαίνειν μέλλουσιν ὁ νομοθέτης καὶ ὁ δικάζων, ἴσχυσεν ἂν ὁ φόβος ἐκβαλεῖν τὴν ἐπιθυμίαν. ἐπεὶ κἂν ἐλάττονα ταύτης ἑτέραν ἀνάγκην ἐπαγάγω, καὶ λαβὼν αὐτὸν ἀπὸ τῆς ἐρωμένης γυναικὸς ἀπαγάγω καὶ δήσας καθείρξω, δυνήσεται ἐνεγκεῖν, καὶ μηδὲν παθεῖν ἀηδές. μὴ τοίνυν λέγωμεν ὅτι ὁ δεῖνα φύσει καλὸς, καὶ ὁ δεῖνα φύσει κακός. εἰ γὰρ φύσει ἀγαθὸς, οὐδέποτε δυνήσεται γενέσθαι κακός· καὶ εἰ φύσει κακὸς, οὐκ ἄν ποτε γένοιτο ἀγαθός. νῦν δὲ ὁρῶμεν ὀξυῤῥόπους τὰς μεταβολὰς, καὶ ἀπὸ τούτων εἰς θάτερα μεταβάλλοντας, καὶ ἀπ' ἐκείνων εἰς ταῦτα μεταπίπτοντας. καὶ ταῦτα οὐκ ἐν ταῖς γραφαῖς ἔστιν ἰδεῖν μόνον, οἷον ὅτι τελῶναι γεγόνασιν ἀπόστολοι, καὶ μαθηταὶ προδόται, καὶ πόρναι γυναῖκες σώφρονες, καὶ λῃσταὶ εὐδοκίμησαν, καὶ μάγοι προσεκύνησαν, καὶ ἀσεβεῖς εἰς εὐσέβειαν μετέβαλον, ἐπί τε τῆς καινῆς, ἐπί τε τῆς παλαιᾶς· ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πολλὰ τοιαῦτα συμβαί-

νοντα

γονται ἴδιοι εἶναι ἄν. εἰ δὲ φυσικὰ ἦν, οὐκ ἂν μετέπεσον. καὶ γὰρ φύσει παθητοὶ ὄντες, οὐκ ἄν ποτε ἀπὸ σπουδῆς γενοίμεθα ἀπαθεῖς. τὸ γὰρ φύσει τι ὄν, οὐκ ἂν ἐκπέσοι τῆς κατὰ φύσιν. οὐδεὶς γοῦν ἀπὸ τοῦ καθεύδειν μετέπεσεν, οὐδεὶς ἀπὸ τοῦ φθείρεσθαι ἐπὶ τὸ μὴ φθείρεσθαι, οὐδεὶς ἀπὸ τοῦ πεινῆν ἐπὶ τὸ μηδέποτε τοῦτο παθεῖν. διὰ τοῦτο οὐδὲ ἐγκλήματα ταῦτά ἐστιν, οὐδὲ ὀνειδίζομεν ἑαυτοὺς ἐπὶ τούτοις. οὐδὲ μέλλων τις τινὰ ἐγκαλεῖν εἶπεν, ὦ φθαρτὲ καὶ παθητέ, ἀλλ' ἢ μοιχείαν, ἢ πορνείαν, ἤ τι τῶν τοιούτων ἀεὶ προφέρομεν τοῖς ῥᾳθύμοις, καὶ δικασταῖς προσάγομεν τοῖς ἐγκαλοῦσι καὶ κολάζουσι, καὶ ἐπὶ τοῖς ἐναντίοις τιμῶσιν. ὅταν οὖν καὶ ἐξ ὧν πρὸς ἀλλήλους ποιοῦμεν, καὶ ἐξ ὧν δικαζόμενοι πάσχομεν, καὶ ἐξ ὧν νόμους ἐγράψαμεν, καὶ ἐξ ὧν ἑαυτῶν καταγινώσκομεν, κἂν μηδεὶς ὁ κατηγορῶν ᾖ, καὶ ἐξ ὧν ῥαθυμοῦντες μὲν χείρους, φοβούμενοι δὲ βελτίους γινόμεθα, καὶ ἐξ ὧν ἄλλους ὁρῶμεν κατορθοῦντας καὶ πρὸς ἄκρον φιλοσοφίας ἀφικομένους, εὔδηλον ὅτι καὶ ἐφ' ἡμῖν κεῖται τὸ κατορθοῦν· τί μάτην ψυχραῖς ἀπατῶμεν ἑαυτοὺς ταῖς πολλοῖς προφάσεσι καὶ ἀπολογίαις μὴ μόνον συγγνώμην οὐ φερούσαις, ἀλλὰ καὶ κόλασιν ἀφόρητον, δέον τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν πρὸ τῶν ὀφθαλμῶν ἔχοντας, ἀρετῆς ἐπιμελεῖσθαι, καὶ μικρὰ πονέσαντας, τοὺς ἀκηράτους λαβεῖν στεφάνους; οὐδὲν γὰρ ἡμᾶς ταῦτα προστήσεται τὰ ῥήματα· ἀλλ' οἱ σύνδουλοι καὶ τὰ ἐναντία κατωρθωκότες κατακρινοῦσι τοὺς διαμαρτάνοντας πάντας, τὸν ὠμὸν ὁ ἐλεήμων, τὸν πονηρὸν ὁ χρηστός, τὸν θρασὺν ὁ ἐπιεικής, τὸν βάσκανον ὁ φιλόφρων, τὸν κενόδοξον ὁ φιλόσοφος, τὸν ῥᾴθυμον ὁ σπουδαῖος, τὸν ἀκόλαστον ὁ σώφρων. οὕτως οἴσει τὴν κρίσιν ἡμῖν ὁ Θεός, ἑκάτερά τε στήσει τὰ τάγματα, τοὺς μὲν ἐπαινῶν, τοὺς δὲ κολάζων. ἀλλὰ μὴ γένοιτό τινα τῶν παρόντων γενέσθαι τῶν κολαζομένων καὶ ἠτιμωμένων, ἀλλὰ τῶν στεφανουμένων καὶ τῶν τῆς θείας βασιλείας ἐπιτυγχανόντων· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. γ. 10 ΠΑΡΑΚΑΛΩ ΔΕ ΥΜΑΣ, ΑΔΕΛΦΟΙ, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα· ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.

ΟΠερ ἀεὶ ἔλεγον, ὅτι ἠρέμα καὶ κατὰ μικρὸν δεῖ τὰς ἐπιπλήξεις ποιεῖσθαι, τοῦτο καὶ ὁ Παῦλος ἐνταῦθα ποιεῖ. μέλλων γὰρ εἰς πρᾶγμα ἐμβαίνειν πολλῶν κινδύνων γέμον, καὶ τὴν ἐκκλησίαν ἐκ βάθρων ἱκανὸν ὂν διασπάσαι, προσηνεστέρῳ τῷ λόγῳ κέχρηται. φησὶ γὰρ παρακαλῶ ὑμᾶς, παρακαλῶ δὲ διὰ τοῦ Χριστοῦ, ὡς οὐδὲ αὐτὸς ἀρκῶν μόνος ταύτην θέσθαι τὴν ἱκετηρίαν, καὶ πεῖσαι. τί δέ ἐστι, παρακαλῶ διὰ τοῦ Χριστοῦ; τὸν Χριστὸν λαμβάνων σύμμαχον, καὶ βοηθὸν αὐτοῦ τὸ ὄνομα τὸ ἠδικημένον καὶ ὑβρισμένον· σφόδρα ἐντρεπτικῶς, ὥστε μὴ ἀπαναισχυντῆσαι αὐτούς. ἰταμοὺς γὰρ ἡ ἁμαρτία ποιεῖ. διὰ τοῦτο ἂν μὲν εὐθέως σφοδρᾶς ἐπιπλήξῃς, ἀπιὼν καὶ ἀναίσχυντον εἰργάσω· ἂν δὲ ἐντρέψῃς, κατέκαμψας τὸν αὐχένα, κατέσπασας τὴν παρρησίαν, κάτω νεύειν ἐποίησας. ὅπερ καὶ ὁ Παῦλος κατασκευάζων, παρακαλεῖ τέως διὰ τοῦ ὀνόματος τοῦ Χριστοῦ. καὶ τί ποτέ ἐστιν ὃ παρακαλεῖ; — Ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα. Τοῦ σχίσματος ἡ ἔμφασις, καὶ αὐτὸ τῆς κατηγορίας τὸ ὄνομα, ἱκανὰ σφόδρα αὐτῶν καθάψασθαι. οὐ γὰρ πολλὰ γέγονεν ὁλόκληρα μέρη, ἀλλὰ καὶ τὸ ἓν ἀπώλετο. εἰ μὲν γὰρ ἐκκλησίαι ἦσαν ὁλόκληροι, ἦν πολλὰ τὰ συστήματα· εἰ δὲ σχίσματα, καὶ τὸ ἓν διεφθάρη.

φθαρῇ. τὸ γὰρ ὁλόκληρον, ὅταν εἰς πολλὰ διαιρεθῇ, οὐ μόνον πολλὰ οὐ γίνεται, ἀλλὰ καὶ τὸ ἓν ἀπόλλυται. τοιαύτη τῶν σχισμάτων ἡ φύσις. εἶτα, ἐπειδὴ σφόδρα καθήψατο τῇ προσηγορίᾳ τοῦ σχίσματος, πάλιν λεαίνει καὶ προσαγεύει λέγων· Ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Ἐπειδὴ γὰρ εἶπεν, ἵνα τὸ αὐτὸ λέγητε, μὴ νομίσητέ, φησιν, ὅτι μέχρι ῥημάτων εἶπον εἶναι τὴν ὁμόνοιαν (τὴν γὰρ ἀπὸ διανοίας συμφωνίαν ἐπιζητῶ) ἀλλ᾽ ἐπειδὴ ἔστι καὶ λέγειν ἀπὸ διανοίας τὸ αὐτό, οὐ μὴν ἐν πᾶσι τοῖς πράγμασι, διὰ τοῦτο καὶ τοῦτο προσέθηκα, τὸ, ἦτε δὲ κατηρτισμένοι. ὁ γὰρ ἡνωμένος ἔν τινι, ἔν τινι δὲ διαφωνῶν, οὐκέτι κατήρτισται, οὐδὲ ἀπήρτισαι εἰς ὁμοφροσύνην. ἔστι δὲ καὶ τοῖς νοήμασι συμφωνοῦντα, μηδέπω καὶ τῇ γνώμῃ συμφωνεῖν· οἷον, ὅταν τὴν αὐτὴν πίστιν ἔχοντες, μὴ ὦμεν συνημμένοι κατὰ τὴν ἀγάπην. οὕτω γὰρ κατὰ μὲν τὰ νοήματα ἓν ὤμεθα (τὰ γὰρ αὐτὰ νοοῦμεν) κατὰ δὲ τὴν γνώμην οὐκέτι· ὅπερ οὖν καὶ τότε ἐγένετο, τοῦ μὲν τὸν δεῖνα, τοῦ δὲ τὸν δεῖνα αἱρουμένου. διὰ τοῦτό φησιν ὅτι καὶ τῷ νοῒ καὶ τῇ γνώμῃ δεῖ συμφωνεῖν. οὐδὲ γὰρ ἀπὸ τοῦ διεστάναι κατὰ τὴν πίστιν τὰ σχίσματα ἐγένετο, ἀλλὰ ἀπὸ τοῦ τὴν γνώμην διῃρῆσθαι κατὰ ἀνθρωπίνην φιλονεικίαν. ἀλλ᾽ ἐπειδὴ ὁ ἐγκαλούμενος, ἕως ἂν μὴ ἔχῃ τοὺς μάρτυρας, ἀπαναισχυντεῖ, ὅρα πῶς μὴ συγχωρῶν εἰς ἄρνησιν ἐξελθεῖν, μάρτυρας παρήγαγεν.

11 Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης. Καὶ οὔτε εὐθέως τοῦτο εἶπεν, ἀλλὰ πρότερον τὸ ἔγκλημα τέθεικεν, ὅπερ πεπιστευκότος ἦν τοῖς δηλώσασιν. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐδ᾽ ἂν ἐνεκάλεσεν· οὐ γὰρ ἂν ἁπλῶς ὁ Παῦλος ἐπιστεύσεν. οὔτε οὖν εὐθέως εἶπεν ὅτι ἐδηλώθη, ἵνα μὴ δόξῃ ὡς ἐξ ἐκείνων ἐγκαλεῖν, οὔτε ἀπεσιώπησεν, ἵνα μὴ δόξῃ ἐξ ἑαυτοῦ μόνον λέγειν. καὶ πάλιν ἀδελφοὺς αὐτοὺς ὀνομάζει. κἂν γὰρ ἦ δῆλον τὸ ἁμάρτημα, οὐδὲν κωλύει ἀδελφοὺς καλεῖν ἔτι. σκόπει δὲ τὴν σύνεσιν, πῶς οὐ κεχωρισμένον ἔθηκε τὸ πρόσωπον, ἀλλ᾽ ὁλόκληρον οἰκίαν, ὥστε μὴ ἐκπολεμῶσαι αὐτοὺς πρὸς τὸν εἰρηκότα. οὕτω γὰρ καὶ περιέστειλεν ἐκεῖνον, καὶ τὴν κατηγορίαν ἀδεῶς ἐξεκάλυψεν. οὐ γὰρ τὸ ἐκείνων εἶδε μόνον, ἀλλὰ καὶ τὸ τούτων συμφέρον. διὰ τοῦτο οὐκ εἶπεν, ἐδηλώθη μοι παρά τινων, ἀλλὰ καὶ τὴν οἰκίαν δήλην ἐποίησεν, ὥστε μὴ νομίζεσθαι πλάττειν. τί ἐδηλώθη; Ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν. Ὅτε μὲν οὖν αὐτοῖς ἐπιτιμᾷ, λέγει, ἵνα μὴ ἐν ὑμῖν σχίσματα ᾖ· ὅτε δὲ τὰ ἑτέρων ἀπαγγέλλει, πρᾳότερον ἀπαγγέλλει λέγων, ἐδηλώθη γάρ μοι, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν, ὥστε μὴ συγκροῦσαι τοὺς εἰρηκότας. εἶτα λέγει καὶ τῆς ἔριδος τὸ εἶδος.

12 Ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ.

Ἔριδας γὰρ οὐ φημί, φησι, τὰς περὶ ἰδιωτικῶν πραγμάτων, ἀλλὰ τὰς χαλεπωτέρας. ὅτι ἕκαστος ὑμῶν λέγει. οὐ γὰρ μέρος, ἀλλὰ τὸ πᾶν ἐπενέμετο τῆς ἐκκλησίας ἡ φθορά. καίτοιγε οὐδὲ περὶ ἑαυτοῦ, οὐδὲ περὶ Πέτρου, οὐδὲ περὶ Ἀπολλὼ ἔλεγον, ἀλλὰ δείκνυσιν, ὅτι εἰ τούτοις ἐπερείδεσθαι οὐ χρή, πολλῷ μᾶλλον ἑτέροις. ὅτι γὰρ οὔτε περὶ αὐτῶν ἔλεγον,

α. Κορ. δ. ε. προϊών φησι· Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται, φρονεῖν. εἰ γὰρ Παύλου καὶ Ἀπολλὼ καὶ Κηφᾶ οὐκ ἐχρῆν ἐπιφημίζειν ἑαυτοῖς τὰ ὀνόματα, πολλῷ μᾶλλον ἑτέρων. εἰ τὸν διδάσκαλον, καὶ πρῶτον τῶν ἀποστόλων, καὶ τοσοῦτον κατηχήσαντα δῆμον οὐκ ἐχρῆν ἐπιγράφεσθαι, πολλῷ μᾶλλον τοὺς οὐδὲν ὄντας. μεθ᾽ ὑπερβολῆς τοίνυν ἀπαγαγὼν αὐτοὺς τοῦ νοσήματος, ἀντιθεὶς ταῦτα τίθησι τὰ ὀνόματα· ἄλλως δὲ, καὶ ἀνεπαχθέστερον ποιεῖ τὸν λόγον, οὐκ ὀνόμασι μεμνημένος τῶν διατεμνόντων τὴν ἐκκλησίαν, ἀλλ᾽ ὥσπερ τισὶ προσωπείοις ταῖς τῶν ἀποστόλων προσηγορίαις κρύπτων αὐτούς. ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ. οὐ προτιμῶν ἑαυτὸν τοῦ Πέτρου τέθεικεν ἔσχατον ἐκεῖνον, ἀλλὰ καὶ σφόδρα τὸν Πέτρον ἑαυτοῦ προτιθείς. κατὰ γὰρ αὔξησιν προήγαγε τὸν λόγον, ἵνα μὴ νομισθῇ φθόνῳ τοῦτο ποιεῖν καὶ ἀφαιρεῖσθαι ἐκείνου τὴν

τιμὴν

τιμὴν διὰ βασκανίαν. διὰ τοῦτο καὶ ἑαυτὸν τέθεικε πρῶτον. ὁ γὰρ πρῶτον ἑαυτὸν ἀποδοκιμάζων, οὐκ ἀπὸ τοῦ τιμῆς ἐρᾶν τοῦτο ποιεῖ, ἀλλ' ἀπὸ τοῦ σφόδρα καταφρονεῖν τῆς τοιαύτης δόξης. τὴν τοίνυν ἅπασαν προσβολὴν αὐτὸς δέχεται, καὶ ποτὲ μὲν τίθησι τὸν Ἀπολλῶ, καὶ ποτὲ τὸν Κηφᾶν. οὐ τοίνυν ἐπαίρων ἑαυτὸν τοῦτο ἐποίησεν, ἀλλ' ἐν οἷς οὐκ ἐχρῆν γίνεσθαι, διὰ τοῦ οἰκείου προσώπου πρῶτον ποιεῖται τὴν διόρθωσιν. ἀλλ' ὅτι μὲν οἱ τῷ δεῖνι καὶ τῷ δεῖνι προσνέμοντες ἑαυτοὺς ἡμάρτανον, δῆλον· καὶ καλῶς ἐνεκάλεσεν εἰπὼν, ὅτι οὐ καλῶς ποιεῖτε λέγοντες, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ. τίνος δὲ ἕνεκεν προσέθηκεν, Ἐγὼ δὲ Χριστοῦ; Εἰ γὰρ οἱ μὲν ἀνθρώποις προσνέμοντες ἑαυτοὺς ἡμάρτανον, οὐ δήπου καὶ οἱ τῷ Χριστῷ ἑαυτοὺς ἀναθέντες. ἀλλ' οὐ τοῦτο ἐνεκάλει ὅτι τὸν Χριστὸν ἑαυτοῖς ἐπεφήμιζον, ἀλλ' ὅτι μὴ πάντες μόνον. οἶμαι δὲ αὐτὸν καὶ οἴκοθεν αὐτὸ προστεθεικέναι βουλόμενον βαρύτερον τὸ ἔγκλημα ποιῆσαι, καὶ δεῖξαι οὕτω καὶ τὸν Χριστὸν εἰς μέρος δοθέντα ἕν, εἰ καὶ μὴ οὕτως ἐποίουν ἐκεῖνοι. ὅτι γὰρ τοῦτο ᾐνίξατο, διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών·

13 Μεμέρισται ὁ Χριστός; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κατετέμετε τὸν Χριστὸν καὶ διείλετε αὐτοῦ τὸ σῶμα. ὁρᾷς θυμόν, ὁρᾷς ἐπίπληξιν, ὁρᾷς λόγον γέμοντα ἀγανακτήσεως; ὅταν γὰρ μὴ κατασκευάζῃ, ἀλλ' ἐρωτᾷ μόνον, ὡς ὡμολογημένου τοῦ ἀτόπου τοῦτο ποιεῖ. τινὲς δὲ καὶ ἕτερον αὐτόν φασιν αἰνίττεσθαι διὰ τοῦ λέγειν, μεμέρισται ὁ Χριστός· τουτέστι, διενείματο πρὸς ἀνθρώπους καὶ ἐμερίσατο τὴν ἐκκλησίαν, καὶ μοῖραν τὴν μὲν αὐτὸς ἔλαβε, τὴν δὲ ἐκείνοις ἔδωκεν. Εἶτα ἐργάζεται λοιπὸν τὴν ἀναίρεσιν τοῦ ἀτόπου λέγων· Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Ὅρα φιλόχριστον γνώμην, πῶς ἐπὶ τοῦ οἰκείου λοιπὸν ὀνόματος προσάγει τὸ πᾶν, ἐκ περιουσίας δεικνὺς ὅτι οὐ προσήκει οὐδενὶ αὕτη ἡ τιμή. καὶ ἵνα μὴ δόξῃ φθόνῳ κινούμενος ταῦτα λέγειν, διὰ τοῦτο συνεχῶς ἑαυτὸν περιστρέφει. καὶ σκόπει τὴν σύνεσιν. οὐ γὰρ εἶπε, μὴ Παῦλος τὸν κόσμον ἐποίησε; μὴ Παῦλος ὑμᾶς ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν; ἀλλ' ἃ τῶν πιστῶν ἐξαίρετα μόνον καὶ πολλῆς κηδεμονίας, ταῦτα τίθησι, τὸν σταυρὸν καὶ τὸ βάπτισμα καὶ τὰ ἐκ τούτων ἀγαθά. δείκνυσι μὲν γὰρ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ ἡ τοῦ κόσμου δημιουργία, μάλιστα δὲ ἡ διὰ τοῦ σταυροῦ συγκατάβασις. καὶ οὐκ εἶπε, μὴ Παῦλος ἀπέθανεν ὑπὲρ ὑμῶν; ἀλλὰ, μὴ Παῦλος ἐσταυρώθη; καὶ τὸ εἶδος τοῦ θανάτου τιθείς. ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; καὶ οὐκ εἶπε, μὴ Παῦλος ἐβάπτισεν ὑμᾶς; (ἐβάπτισε γὰρ πολλούς) ἀλλ' οὐ τὸ ζητούμενον τοῦτο ἦν, ὑπὸ τίνος ἐβαπτίσθησαν, ἀλλ', εἰς τὸ τίνος ὄνομα ἐβαπτίσθησαν. ἐπειδὴ γὰρ καὶ τοῦτο αἴτιον ἐγένετο σχισμάτων, τὸ ἀπὸ τῶν βαπτισάντων καλεῖσθαι, καὶ τοῦτο διορθοῦται λέγων, μὴ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; καὶ μὴ γὰρ εἴπῃς, φησὶ, τίς ἐβάπτισεν, ἀλλ', εἰς τὸ τίνος ὄνομα. οὐ γὰρ ὁ βαπτίσας, ἀλλ' ὁ καλούμενος εἰς τὸ βάπτισμα ζητεῖται. οὗτος γὰρ ἀφίησι τὰ ἁμαρτήματα. καὶ ἄχρι τούτου στήσας τὸν λόγον, οὐκέτι τοῖς ἑξῆς ἐπεξέρχεται. οὐ γὰρ λέγει, μὴ Παῦλος ὑμῖν ἐπηγγείλατο τὰ μέλλοντα ἀγαθά; μὴ Παῦλος ὑμῖν ὑπέσχετο βασιλείαν οὐρανῶν; τί δήποτε οὖν οὐχὶ καὶ ταῦτα προστίθησιν; ὅτι οὐκ ἔστιν ἴσον βασιλείαν ἐπαγγείλασθαι, καὶ σταυρωθῆναι. ἐκεῖνο μὲν γὰρ οὔτε κίνδυνον εἶχεν, οὔτε αἰσχύνην ἔφερε· τοῦτο δὲ ἀμφότερα ταῦτα. ἄλλως δὲ, καὶ ἐκεῖνα ἀπὸ τούτων κατασκευάζει. εἰπὼν γὰρ, Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἐπήγαγε, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Ρω. η. λβ. καὶ πάλιν, Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, Ρω. ε. ι. πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα. τούτου ἕνεκεν οὐκ ἐπήγαγεν ἐκεῖνα· καὶ ὅτι τὰ μὲν οὐδέπω εἶχον, τὰ δὲ ἤδη πείρᾳ εἰλήφεσαν, καὶ τὰ μὲν ἐν ἐπαγγελίαις, τὰ δὲ ἤδη γεγένητο.

14 Εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάιον.

Τί μέγα φρονεῖτε ἐπὶ τῷ βαπτίσαι, ὅπουγε ἐγὼ καὶ εὐχαριστῶ ὅτι οὐκ ἐποίησα τοῦτο;

Ταῦτα δὲ λέγων καθαιρεῖ τὸ ἐπὶ τούτῳ φύσημα οἰκονομικῶς, οὐχὶ τὴν δύναμιν τοῦ βαπτίσματος (μὴ γένοιτο) ἀλλὰ τὴν ἀπόνοιαν τῶν μέγα ἐπὶ τῷ βαπτίσαι φρονούντων, πρῶτον μὲν τῷ δεικνύναι ὅτι οὐκ αὐτῶν ἐστι τὸ δῶρον, δεύτερον δὲ τῷ εὐχαριστεῖν τῷ Θεῷ διὰ τοῦτο. μέγα μὲν γὰρ τὸ βάπτισμα, ἀλλὰ μέγα αὐτὸ οὐχ ὁ βαπτίζων ποιεῖ, ἀλλ' ὁ καλούμενος εἰς τὸ βάπτισμα. ἐπεὶ τὸ βαπτίσαι οὐδέν ἐστιν ὅσον εἰς ἀνθρώπινον πόνον, ἀλλὰ πολλῷ ἔλαττον τοῦ εὐαγγελίσασθαι. μέγα μὲν γάρ ἐστι πάλιν φημὶ τὸ βάπτισμα, καὶ ἄνευ βαπτίσματος ἀμήχανον βασιλείας ἐπιτυχεῖν, ἀλλὰ δύναται αὐτὸ καὶ ἀνὴρ οὐ σφόδρα γενναῖος ποιῆσαι· τὸ δὲ εὐαγγελίσασθαι πολλοῦ δεῖται πόνου. λέγει δὲ καὶ τὴν αἰτίαν δι' ἣν εὐχαριστεῖ, ὅτι οὐδένα ἐβάπτισε. τίς δέ ἐστιν αὕτη;

15 Ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβαπτίσθητε. Περὶ γὰρ ἐκείνων τοῦτο ἔλεγεν; οὐδαμῶς· ἀλλὰ δέδοικα, φησί, μὴ καὶ εἰς τοῦτο προβῇ τὸ νόσημα. εἰ γὰρ εὐτελῶν ἀνθρώπων καὶ οὐδενὸς ἀξίων λόγου βαπτιζόντων αἵρεσις γέγονεν, εἰ ἐγὼ ὁ καταγγείλας τὸ βάπτισμα πολλοὺς ἐβάπτισα, εἰκὸς ἦν συστάντας μὴ μόνον ἐπὶ τῷ ὀνόματί μου καλεῖσθαι, ἀλλὰ καὶ τὸ βάπτισμα ἐμοὶ ἐπιφημίζειν. εἰ γὰρ ἀπὸ τῶν ἐλαττόνων τοσοῦτον ἐγένετο κακόν, ἴσως ἂν καὶ ἐπὶ πολλῷ χαλεπώτερον ἀπὸ τῶν μειζόνων προέβη. ἐντρέψας τοίνυν τοὺς διεφθαρμένους ταύτῃ, καὶ προσειπών·

16 Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον, Πάλιν αὐτῶν ὑποσύρει τὸν τῦφον λέγων, Λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. Ἐντεῦθεν γὰρ δείκνυσιν, ὅτι οὐδὲ περισπούδαστον ἦν αὐτῷ τῆς ἀπὸ τούτου τιμῆς ἀπολαύειν παρὰ τῶν πολλῶν, οὐδὲ δόξης ἕνεκεν ἐπὶ τοῦτο ἤρχετο. οὐ τούτοις δὲ μόνον, ἀλλὰ καὶ τοῖς ἑξῆς σφόδρα αὐτῶν καταστέλλει τὴν φλεγμονήν, λέγων,

17 Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι.

Τὸ γὰρ ἐπιπονώτερον καὶ πολλοῦ δεόμενον μόχθου καὶ ψυχῆς σιδηρᾶς, καὶ ὃ πάντα συνεῖχε, τοῦτο ἦν. διὸ καὶ Παῦλος αὐτὸ ἐνεχειρίζετο. καὶ τίνος ἕνεκεν μὴ ἀποσταλεὶς βαπτίζειν, ἐβάπτιζεν; οὐ μαχόμενος τῷ ἀποστείλαντι, ἀλλ' ἐκ περιουσίας τοῦτο ποιῶν. οὐ γὰρ εἶπεν, ὅτι ἐκωλύθην, ἀλλ', ὅτι οὐκ ἀπεστάλην ἐπὶ τούτῳ, ἀλλ' ἐπὶ τῷ ἀναγκαιοτάτῳ. τὸ μὲν γὰρ εὐαγγελίζεσθαι, ἑνός που καὶ δευτέρου, τὸ δὲ βαπτίζειν, παντὸς ἂν εἴη τοῦ τὴν ἱερωσύνην ἔχοντος. ἄνθρωπον μὲν γὰρ κατηχούμενον λαβόντα καὶ πεπεισμένον, βαπτίσαι παντὸς ὁτινοσοῦν ἐστιν. ἡ γὰρ προαίρεσις τοῦ προσιόντος λοιπὸν ἐργάζεται τὸ πᾶν, καὶ ἡ τοῦ Θεοῦ χάρις. ὅταν δὲ ἀπίστους δέῃ κατηχῆσαι, πολλοῦ δεῖ πόνου, πολλῆς τῆς σοφίας· τότε δὲ καὶ τὸ κινδυνεύειν πρόσεστιν. ἐκεῖ μὲν γὰρ τὸ πᾶν γέγονε, καὶ πέπεισται ὁ μυσταγωγεῖσθαι μέλλων· καὶ οὐδὲν μέγα, πεισθέντα βαπτίσαι. ἐνταῦθα δὲ πολὺς ὁ πόνος ὥστε μεταπεῖσαι προαίρεσιν, καὶ μεταθεῖναι γνώμην, καὶ ἀναμοχλεῦσαι πλάνην, καὶ καταφυτεῦσαι τὴν ἀλήθειαν. ἀλλ' οὐ λέγει ταῦτα οὕτως, οὐδὲ κατασκευάζει καί φησιν, ὅτι οὐδένα πόνον ἔχει τὸ βαπτίσαι, ἀλλὰ τὸ εὐαγγελίσασθαι. οἶδε γὰρ ἀεὶ μετριάζειν, ἀλλ' ἐν τῇ συγκρίσει τῆς ἔξωθεν σοφίας σφόδρα ἀποτείνεται, ἔνθα καταφορικωτέρῳ ἠδύνατο χρήσασθαι λόγῳ. οὐ τοίνυν ἐναντιούμενος τῷ πέμποντι ἐβάπτιζεν, ἀλλ' ὥσπερ ἐπὶ τῶν χηρῶν, εἰπόντων τῶν ἀποστόλων, Οὐκ ἔστιν ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις, διηκονήσατο, οὐκ ἐναντιούμενος ἐκείνοις, ἀλλ' ἐκ περιουσίας ποιῶν· οὕτω καὶ ἐνταῦθα. ἐπεὶ καὶ νῦν τοῖς μὲν ἀφελεστέροις τῶν πρεσβυτέρων τοῦτο ἐγχειρίζομεν, τὸν δὲ διδασκαλικὸν λόγον τοῖς σοφωτέροις. ἐκεῖ γάρ ἐστιν ὁ πόνος καὶ ὁ ἱδρώς. διὸ καὶ αὐτός φησιν· Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. ὥσπερ γὰρ τὸ μὲν διδάξαι τοὺς παλαίοντας, γενναίου καὶ παιδοτρίβου σοφοῦ, τὸ δὲ ἐπιθεῖναι τὸν στέφανον τῷ νικήσαντι, καὶ τοῦ μὴ δυναμένου παλαίειν ἐστί, καίτοιγε ὁ στέφανος λαμπρότερον

ποιεῖ

Πράξ. ς. β.

α. Τιμ. ε. ιζ.

ποιεῖ τὸν νικήσαντα, οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος. ἀδύνατον μὲν χωρὶς αὐτοῦ σωθῆναι, οὐδὲν δὲ μέγα ὁ βαπτίζων ποιεῖ, προαίρεσιν προεσκευασμένην λαβών.

Οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. Καθελὼν τὸ φύσημα τῶν διὰ τὸ βαπτίζειν μέγα φρονούντων, μεθίσταται λοιπὸν πρὸς τοὺς ἐπὶ σοφίᾳ τῇ ἔξωθεν κομπάζοντας, καὶ κατ' αὐτῶν ὁπλίζεται σφοδρότερον. πρὸς μὲν γὰρ τοὺς ἐπὶ τῷ βαπτίζειν πεφυσιωμένους ἔλεγεν, εὐχαριστῶ ὅτι οὐδένα ἐβάπτισα, καὶ ὅτι οὐκ ἀπέστειλέ με ὁ Χριστὸς βαπτίζειν· καὶ οὔτε σφοδρῶς οὔτε κατασκευαστικῶς κέχρηται τῷ λόγῳ, ἀλλ' αἰνιξάμενος δι' ὀλίγων ἅπερ ἐβούλετο, παρέδραμεν· ἐνταῦθα δὲ ἐκ προοιμίων χαλεπὴν δίδωσι τὴν πληγὴν λέγων, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. τί τοίνυν μέγα φρονεῖς, ἐφ' ᾧ καλύπτεσθαι ἔδει; εἰ γὰρ πολεμεῖ τῷ σταυρῷ καὶ μάχεται τοῖς εὐαγγελίοις ἡ σοφία αὕτη, οὐκ αὐχεῖν ἐπ' αὐτῇ, ἀλλὰ καταδύεσθαι δεῖ. τοῦτο γὰρ αἴτιον τοῦ μὴ γενέσθαι τοὺς ἀποστόλους σοφούς, οὐκ ἀσθένεια τοῦ χαρίσματος, ἀλλ' ἵνα μὴ βλαβῇ τὸ κήρυγμα. οὐκ ἄρα ἐκεῖνοι ἦσαν οἱ συνιστῶντες τὸν λόγον, ἀλλὰ καὶ λυμαινόμενοι· οἱ δὲ ἰδιῶται οἱ βεβαιοῦντες. τοῦτο διέκλασε τῦφον, τοῦτο κατέστειλε φλεγμονήν, τοῦτο ἔπεισε μετριάζειν. καὶ εἰ οὐκ ἐν σοφίᾳ λόγου, τίνος ἕνεκεν τὸν Ἀπολλῶ λόγιον ὄντα ἔπεμψαν; οὐ τῇ τῶν λόγων δυνάμει θαρροῦντες, φησίν, ἀλλ' ὅτι δυνατὸς ἦν ἐν ταῖς γραφαῖς, καὶ ἤλεγχε τοὺς Ἰουδαίους· ἄλλως δέ, τὸ ζητούμενον ἦν, τὸ τοὺς προστάτας καὶ ἀρξαμένους σπείρειν τὸν λόγον, μὴ εἶναι λογίους. οὗτοι γὰρ ἦσαν οἱ πολλῆς δεόμενοι δυνάμεως, ὥστε ἀπώσασθαι τὴν πλάνην ἐκ προοιμίων, καὶ τότε πολλῆς ἔδει τῆς ἰσχύος εἰς αὐτὴν τὴν εἴσοδον. ὁ τοίνυν μὴ δεηθεὶς εὐπαιδεύτων ἐκ προοιμίων, εἰ μετὰ ταῦτα λογίους ἐδέξατο, οὐχ ὡς δεόμενος τοῦτο ἐποίησεν, ἀλλ' ὡς οὐ διακρινόμενος. ὥσπερ γὰρ οὐκ ἐδεῖτο "σοφῶν εἰς τὸ κατορθῶσαι ἅπερ ἐβούλετο, οὕτως οὐδὲ μετὰ ταῦτα εὑρεθέντας διὰ τοῦτο ἐξέβαλε. γ. σοφιστῶν

Σὺ δὲ ἐκεῖνό μοι δεῖξον, εἰ Πέτρος λόγιος ἦν καὶ Παῦλος. ἀλλ' οὐκ ἂν ἔχοις. ἰδιῶται γὰρ ἦσαν, καὶ ἀγράμματοι. ὥσπερ οὖν ὁ Χριστός, ὅτε τοὺς μαθητὰς ἔπεμπεν εἰς τὴν οἰκουμένην, δείξας αὐτοῖς τὴν δύναμιν αὐτοῦ ἐν Παλαιστίνῃ πρότερον, καὶ εἰπών, Ὅτε ἀπέστειλα ὑμᾶς χωρὶς βαλαντίου καὶ πήρας καὶ ὑποδήματος, μή τινος ὑστερήσατε; τότε ἐπέτρεψε λοιπὸν καὶ πήραν καὶ βαλάντιον ἔχειν· οὕτω καὶ ἐνταῦθα ἐποίησε. τὸ γὰρ ζητούμενον ἦν δειχθῆναι τοῦ Χριστοῦ τὴν δύναμιν, οὐ διὰ τὴν ἔξωθεν σοφίαν ἐκβάλλεσθαι τῆς πίστεως τοὺς προσιόντας. ὅταν οὖν Ἕλληνες κατηγορήσωσι τῶν μαθητῶν ὡς ἰδιωτῶν, πλέον ἡμεῖς ἐκείνων "κατηγορῶμεν αὐτῶν. μηδὲ λεγέτω τις ὅτι σοφὸς ἦν ὁ Παῦλος, ἀλλ' ἐπαίροντες ἐπὶ σοφίᾳ τοὺς μεγάλους παρ' ἐκείνοις καὶ ἐπὶ εὐγλωττίᾳ θαυμασθέντας, τοὺς παρ' ἡμῖν ἅπαντας λέγωμεν ἰδιώτας γεγονέναι. οὐ μικρῶς γὰρ αὐτοὺς καὶ κατὰ τοῦτο καταβαλοῦμεν τὸ μέρος. οὕτω γὰρ ἔσται λαμπρὰ τὰ νικητήρια. Ταῦτα δὲ εἶπον, ἐπειδή τινος ἤκουσά ποτε Χριστιανοῦ πρὸς Ἕλληνα καταγελάστως διαλεγομένου, καὶ ἀμφοτέρων ἐν τῇ πρὸς ἀλλήλους μάχῃ τὰ ἑαυτῶν καταλυόντων. ἃ γὰρ ἔδει τὸν Χριστιανὸν εἰπεῖν, ταῦτα ὁ Ἕλλην ἔλεγε· καὶ ἃ τὸν Ἕλληνα εἰκὸς ἦν εἰπεῖν, ταῦτα ὁ Χριστιανὸς προεβάλλετο. περὶ Παύλου γὰρ καὶ Πλάτωνος ζητήσεως οὔσης, ὁ μὲν Ἕλλην ἐπεχείρει δεικνύναι ὅτι ὁ Παῦλος ἦν ἀμαθὴς καὶ ἰδιώτης· ὁ δὲ Χριστιανὸς ὑπὸ ἀφελείας ἐσπούδαζε κατασκευάζειν, ὅτι Πλάτωνος λογιώτερος ἦν ὁ Παῦλος. οὕτω δὲ τοῦ Ἕλληνος ἐγίνετο τὰ νικητήρια, τούτου κρατοῦντος τοῦ λόγου. εἰ γὰρ Πλάτωνος ἐλλογιμώτερος ἦν ὁ Παῦλος, πολλοὺς εἰκὸς ἀντιλέγειν ὅτι οὐ τῇ χάριτι, ἀλλὰ τῇ εὐγλωττίᾳ περιεγένετο. ὥστε ὑπὲρ τοῦ Ἕλληνος ἦν τὸ λεγόμενον ὑπὸ τοῦ Χριστιανοῦ· ὃ δὲ ἔλεγεν ὁ Ἕλλην, ὑπὲρ τοῦ Χριστιανοῦ ἦν. εἰ γὰρ Παῦλος ἀπαίδευτος ἦν, ἐκράτησε δὲ Πλάτωνος, ὅπερ ἔλεγον, λαμπρὰ γέγονεν ἡ νίκη. τοὺς γὰρ ἐκείνου μαθητὰς ἅπαντας λαβὼν ὁ ἀμαθὴς ἔπεισε, καὶ πρὸς ἑαυτὸν ἤ-

ΗΘΙΚΟΝ

Λουκ. κβ. λε.

ἴσ. κατηγοροῦμεν

γαγόν. ὅθεν δῆλον ὅτι οὐκ ἐν σοφίᾳ ἀνθρωπίνῃ τὸ κήρυγμα γέγονεν, ἀλλὰ Θεοῦ χάριτι. ἵν' οὖν μὴ ταῦτα πάσχωμεν, μηδὲ καταγελώμεθα οὕτω διαλεγόμενοι πρὸς ἕλληνας, ἐπειδὴ ἡμῖν πρὸς αὐτοὺς ἀγών ἐστι, κατηγορῶμεν τῶν ἀποστόλων ὡς ἀμαθῶν. ἡ γὰρ κατηγορία αὕτη, ἐγκώμιον. καὶ ὅταν εἴπωσιν ἐκεῖνοι, ὅτι ἀγροῖκοι ἦσαν οἱ ἀπόστολοι, προστιθῶμεν καὶ ἡμεῖς, καὶ εἴπωμεν, ὅτι καὶ ἀμαθεῖς, καὶ ἀγράμματοι, καὶ πένητες, καὶ ἄσημοι, καὶ ἀσύνετοι, καὶ ἀφανεῖς. οὐκ ἔστι βλασφημία τῶν ἀποστόλων ταῦτα, ἀλλὰ καὶ δόξα, τὸ τοὺς τοιούτους τῆς οἰκουμένης πάσης λαμπροτέρους φανῆναι. οὗτοι γὰρ οἱ ἰδιῶται, καὶ ἀγροῖκοι, καὶ ἀμαθεῖς τοὺς σοφοὺς, καὶ δυνατοὺς, καὶ τοὺς τυράννους, καὶ τοὺς ἐπὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς ἔξωθεν πᾶσι κομπάζοντας, ὡς οὐδὲ ἄνδρας, οὕτω κατηγωνίσαντο. ὅθεν δῆλον ὅτι μεγάλη ἡ τοῦ σταυροῦ δύναμις, καὶ οὐκ ἀνθρωπίνῃ ἰσχύϊ ταῦτα ἐγένετο. οὐ γὰρ ἔχει φύσιν τὰ γινόμενα, ἀλλ' ὑπὲρ φύσιν ἦν τὰ κατορθούμενα. ὅταν δὲ ὑπὲρ φύσιν τι γίνηται, καὶ ὑπὲρ φύσιν παρὰ πολὺ μετὰ τοῦ προσήκοντος καὶ τοῦ χρησίμου, εὔδηλον ὅτι θεία τινὶ ταῦτα δυνάμει καὶ συνεργίᾳ γίνεται. σκόπει δὲ ὁ ἁλιεὺς, ὁ σκηνοποιὸς, ὁ τελώνης, ὁ ἰδιώτης, ὁ ἀγράμματος, ἐκ Παλαιστίνης [τῆς] χώρας μακρὰν κειμένης ἐλθόντες, τοὺς φιλοσόφους, τοὺς ῥήτορας, τοὺς δεινοὺς εἰπεῖν ἐκ τῆς οἰκείας ἀπωσάμενοι πάντας, αὐτοὶ τούτων ἐκράτησαν χρόνῳ βραχεῖ, μετὰ κινδύνων πολλῶν, δήμων, βασιλέων ἀντιπιπτόντων, τῆς φύσεως αὐτῆς μαχομένης, τοῦ χρόνου τῆς παλαιότητος, πολλῆς συνηθείας ἀντιπιπτούσης σφοδρῶς, δαιμόνων ὁπλιζομένων, διαβόλου παραταττομένου καὶ πάντα κινοῦντος, βασιλέας, ἄρχοντας, δήμους, ἔθνη, πόλεις, βαρβάρους, ἕλληνας, φιλοσόφους, ῥήτορας, σοφιστὰς, λογογράφους, νόμους, δικαστήρια, κολάσεις ποικίλας, θανάτους μυρίους καὶ παντοδαπούς. ἀλλ' ὅμως ἅπαντα ταῦτα οὕτως ἠλέγχετο καὶ παρεχώρει, τῶν ἁλιέων φθεγγομένων, ὡς κόνις λεπτὴ σφοδρῶν ἀνέμων ἐμβολὴν ἐνεγκεῖν μὴ δυναμένη. μάθωμεν τοίνυν οὕτω πρὸς ἕλληνας διαλέγεσθαι, ἵνα μὴ ὦμεν ὡς θρέμματα καὶ βοσκήματα, ἀλλ' ὦμεν παρεσκευασμένοι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. καὶ πῶς τοῦτο τὸ κεφάλαιον μεταχειρισώμεθα οὐκ ὂν μικρὸν, καὶ λέγωμεν πρὸς αὐτούς· πόθεν οἱ ἀσθενεῖς τῶν ἰσχυρῶν περιεγένοντο, οἱ δώδεκα τῆς οἰκουμένης, οὐχὶ τοῖς αὐτοῖς ὅπλοις κεχρημένοι, ἀλλὰ γυμνοὶ πρὸς ἐνόπλους μαχόμενοι; εἰπὲ γάρ, εἰ δώδεκα ἄνδρες πολεμικῶν ἄπειροι πραγμάτων εἰς μέσην τάξιν στρατιωτῶν ἄπειρον καὶ ὡπλισμένων εἰσπηδήσαντες, οὐκ ἄοπλοι μόνον, ἀλλὰ καὶ ἀσθενεῖς τὸ σῶμα, ὑπὸ μὲν ἐκείνων οὐδὲν ἔπαθον, μηδὲ μυρίοις βαλλόμενοι ἐτρώθησαν, ἔχοντες δὲ ἐμπεπερονημένα τὰ βέλη γυμνῷ τῷ σώματι πάντας κατέβαλον, οὐχ ὅπλοις κεχρημένοι, ἀλλὰ τῇ χειρὶ παίοντες, εἶτα τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους λαβόντες ἀπήγαγον, μηδὲ τραύματα αὐτοὶ δεξάμενοι, ἆρα ἄν τις τὸ γινόμενον ἀνθρώπινον εἶναι ἔφησε; καίτοι τὸ τῶν ἀποστόλων τρόπαιον πολλῷ ἐκείνου θαυμαστότερον. τοῦ γὰρ γυμνὸν μὴ τρωθῆναι, πολλῷ παραδοξότερον τὸ τὸν ἰδιώτην καὶ ἀγράμματον καὶ ἁλιέα τοσαύτης δεινότητος περιγενέσθαι, καὶ μήτε ὑπὸ τῆς ὀλιγότητος, μήτε ὑπὸ τῆς πενίας, μήτε ὑπὸ τῶν κινδύνων, μήτε ὑπὸ τῆς συνηθείας τῆς προκατειληφυίας, μηδὲ ὑπὸ τῆς τοσαύτης αὐστηρότητος τῶν πραγμάτων ὧν ἐπέταττον, μήτε ὑπὸ τῶν καθημερινῶν θανάτων, μήτε ὑπὸ τοῦ πλήθους τῶν ἀπατηθέντων, μήτε ὑπὸ τοῦ ἀξιώματος τῶν ἀπατησάντων διακωλυθῆναι. οὕτω τοίνυν αὐτοὺς καταβάλωμεν, καὶ μαχώμεθα πρὸς ἐκείνους, καὶ πρὸ τῶν λόγων διὰ τοῦ βίου καταπληξώμεθα. αὕτη γὰρ ἐστὶν ἡ μεγάλη μάχη, οὗτος ὁ συλλογισμὸς ὁ ἀναντίρρητος ὁ διὰ τῶν ἔργων. ἐπεὶ, κἂν μυρία φιλοσοφήσωμεν διὰ τῶν λόγων, βίον δὲ μὴ παρεχώμεθα ἐκείνων βελτίονα, τὸ κέρδος οὐδέν. οὐ γὰρ τοῖς λεγομένοις προσέχουσιν, ἀλλ' ἃ πράττομεν ἐξετάζουσι, καί φασι· σὺ πρότερος τοῖς σοῖς ῥήμασι πείθου, καὶ τότε ἑτέροις παραίνει. εἰ δὲ λέγεις μὲν μυρία εἶναι ἀγαθὰ ἐν τῷ μέλλοντι, ὡς οὐκ ὄντων δὲ οὕτω φαίνοιο τοῖς παροῦσι προσηλωμένος, τὰ ἔργα σου τῶν ῥημάτων ἐμοὶ πιστότερα. ὅταν γὰρ ἴδω σε ἁρπάζοντα

χ. πάντ

χ. ἐκεῖνοι εἶπεν;

παίζοντα τὰ ἑτέρων, θρηνοῦντα ἀμέτρως ἐπὶ τοῖς ἀπελθοῦσι, πολλὰ ἕτερα πλημμελοῦντα, πῶς σοι πιστεύσω ὅτι ἐστὶν ἀνάστασις; κἂν γὰρ μὴ λέγωσι ταῦτα, ἐννοοῦσι ταῦτα, καὶ περιστρέφουσιν ἐπὶ τῆς διανοίας. καὶ τοῦτο ἐστὶ τὸ κωλῦον τοὺς ἀπίστους γενέσθαι χριστιανούς. Ἐπαγάγωμεν τοίνυν αὐτοὺς διὰ τῆς ζωῆς τῆς ἡμετέρας. (γρ. ἀναγάγω-) πολλοὶ καὶ ἰδιῶται ἄνδρες φιλοσόφων οὕτω κατέπληξαν τὴν διάνοιαν, ὡς καὶ τὴν διὰ τῶν ἔργων ἐπιδειξάμενοι φιλοσοφίαν, καὶ φωνὴν σάλπιγγος λαμπροτέραν διὰ τῆς πολιτείας καὶ φιλοσοφίας ἀφέντες. αὕτη γὰρ τῆς γλώττης ἰσχυροτέρα. ὅταν δὲ εἴπω, ὅτι οὐ χρὴ μνησικακεῖν, εἶτα τὸν Ἕλληνα μυρία ἐργάσωμαι κακά, πῶς δυνήσομαι τοῖς λόγοις αὐτὸν ἐπαγαγεῖν, διὰ τῶν ἔργων αὐτὸν ἀποσοβῶν; Θηρεύσωμεν τοίνυν αὐτοὺς διὰ τῆς πολιτείας, καὶ διὰ τῶν ψυχῶν τούτων οἰκοδομῶμεν τὴν ἐκκλησίαν, καὶ τοῦτον συναγάγωμεν τὸν πλοῦτον. οὐκ ἔστι ψυχῆς οὐδὲν ἀντάξιον, οὐδὲ ὁ κόσμος ἅπας. ὥστε κἂν μυρία δῷς χρήματα πένησιν, οὐδὲν τοιοῦτον ἐργάσῃ, οἷον ὁ μίαν ψυχὴν ἐπιστρέφων. Ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται, φησί. (Ιερ. ιε. ιθ.) μέγα μὲν γὰρ ἀγαθὸν καὶ τὸ ἐλεεῖν τοὺς πενομένους· ἀλλ' οὐδὲν τοιοῦτον, οἷον τὸ πλάνης ἀπαλλάττειν. ὁ γὰρ τοῦτο ποιῶν, κατὰ Παῦλον γίνεται καὶ Πέτρον. ἔξεστι γὰρ ἀναδέξασθαι τὸ ἐκείνων κήρυγμα, οὐχ ἵνα κινδυνεύωμεν καθάπερ ἐκεῖνοι, καὶ λιμοὺς καὶ λοιμοὺς καὶ τὰ ἄλλα ὑποφέρωμεν (εἰρήνης γὰρ ὁ παρὼν καιρός) ἀλλ' ἵνα τὴν ἀπὸ προθυμίας σπουδὴν ἐπιδειξώμεθα. καὶ γὰρ ἔξεστιν οἴκοι καθημένους ταύτην τὴν ἁλιείαν ἐργάζεσθαι. Εἴ τις ἔχει φίλον, καὶ συγγενῆ, καὶ οἰκεῖον, ταῦτα ποιείτω, ταῦτα λεγέτω· καὶ ἔσται κατὰ Πέτρον καὶ Παῦλον· καὶ τί λέγω Πέτρον καὶ Παῦλον; στόμα ἔσται τοῦ Χριστοῦ. ὁ γὰρ ἐξαγαγὼν τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται, φησί. κἂν μὴ σήμερον πείσῃς, αὔριον πείσεις. κἂν μηδέποτε πείσῃς, σὺ τὸν μισθὸν ἕξεις ἀπηρτισμένον. κἂν μὴ πάντας πείσῃς, ὀλίγους ἀπὸ πολλῶν δυνήσῃ. ἐπεὶ καὶ οἱ ἀπόστολοι οὐχὶ πάντας τοὺς ὄντας ἀνθρώπους ἔπεισαν, ἀλλ' ὅμως πᾶσι διελέχθησαν, καὶ τὸν ἐπὶ πᾶσι μισθὸν ἔχουσιν. οὐ γὰρ πρὸς τὸ τέλος τῶν κατορθουμένων, ἀλλὰ πρὸς τὴν γνώμην τῶν κατορθούντων ὁ Θεὸς τοὺς στεφάνους ὁρίζειν εἴωθε. κἂν δύο καταβάλῃς ὀβολούς, δέχεται· καὶ ὅπερ ἐπὶ τῆς χήρας ἐποίησε, τοῦτο καὶ ἐπὶ τῶν διδασκόντων ἐργάσεται. μὴ τοίνυν ἐπειδὴ τὴν οἰκουμένην οὐ δύνασαι σῶσαι, καὶ τῶν ὀλίγων καταφρόνει, μηδὲ τῇ τῶν μεγάλων ἐπιθυμίᾳ τῶν μικρῶν ἀφελκύσῃς σεαυτόν. κἂν ἑκατὸν μὴ δυνηθῇς, τῶν δέκα ἐπιμελήθητι. κἂν δέκα μὴ δυνηθῇς, μηδὲ τῶν πέντε καταφρονήσῃς. κἂν πέντε μὴ δυνηθῇς, τοῦ ἑνὸς μὴ ὑπερίδῃς. κἂν τὸν ἕνα μὴ δυνηθῇς, μηδὲ οὕτως ἀθύμει, μηδὲ τὰ παρὰ σαυτοῦ κωλύσῃς. οὐχ ὁρᾷς ὅτι καὶ ἐν τοῖς συναλλάγμασιν οὐ μόνον ἀπὸ χρυσίου, ἀλλὰ καὶ ἐξ ἀργυρείου τὰς ἐμπορείας ποιοῦνται οἱ περὶ ταῦτα σχολάζοντες; (γρ. σπουδάζοντες;) ἂν μὲν γὰρ μηδέπω τῶν μικρῶν καταφρονῶμεν, καὶ τῶν μεγάλων ἀνθεξόμεθα· ἂν δὲ τῶν μικρῶν ὑπερίδωμεν, οὐδὲ ἐκείνων ἐπιληψόμεθα εὐκόλως. οὕτως ἕκαστος πλούσιος γίνεται, καὶ μικρὰ καὶ μεγάλα συλλέγων· οὕτω καὶ ἡμεῖς ποιῶμεν, ἵνα ἐν πᾶσι πλουτήσαντες, ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. δ. 18 Ο ΛΟΓΟΣ ΓΑΡ Ο ΤΟΥ ΣΤΑΥΡΟΥ, ΤΟΙΣ μὲν ἀπολλυμένοις μωρία ἐστί· τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστι. 19 Γέγραπται γάρ, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. 20 Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;

Τοῖς

Τοῖς κάμνουσι καὶ ψυχορραγοῦσι καὶ αἱ τροφαὶ αἱ ὑγιεῖς ἀηδεῖς, καὶ οἱ φίλοι, καὶ οἱ προσήκοντες ἐπαχθεῖς, καὶ οὐδὲ γνωρίζονται πολλάκις, ἀλλὰ καὶ ἐνοχλεῖν δοκοῦσιν· οὕτω δὴ καὶ τοῖς τὰς ψυχὰς ἀπολλυμένοις συμβαίνειν εἴωθε. τὰ γὰρ πρὸς σωτηρίαν φέροντα ἀγνοοῦσι, καὶ τοὺς κηδομένους αὐτῶν ἐνοχλεῖν νομίζουσι. γίνεται δὲ τοῦτο οὐ παρὰ τὴν τοῦ πράγματος φύσιν, ἀλλὰ παρὰ τὴν ἐκείνων νόσον. καὶ ὅπερ οἱ παραπαίοντες ποιοῦσιν, ἀπεχθανόμενοι πρὸς τοὺς ἐπιμελουμένους αὐτῶν, καὶ λοιπὸν λοιδορούμενοι, τοῦτο καὶ οἱ ἄπιστοι πάσχουσιν. ἀλλ' ὥσπερ ἐπ' ἐκείνων οἱ ὑβριζόμενοι τότε μάλιστα αὐτοὺς ἐλεοῦσι καὶ δακρύουσι, δεῖγμα ἔσχατον τῆς ἐπιτεταμένης ἀῤῥωστίας τοῦτο ποιούμενοι, ὅταν τοὺς φιλτάτους ἀγνοῶσιν· οὕτω καὶ ἡμεῖς ἐπὶ τῶν ἑλλήνων ποιήσωμεν, καὶ μᾶλλον τῶν γυναικῶν ὀλολύζωμεν ἐπ' αὐτοῖς, ὅτι τὴν κοινὴν ἀγνοοῦσι σωτηρίαν. οὐ γὰρ οὕτω γυναῖκα ἄνδρα δεῖ φιλεῖν, ὡς ἡμᾶς πάντας ἀνθρώπους, καὶ πρὸς σωτηρίαν ἐφέλκεσθαι, κἂν ἕλλην ᾖ, κἂν ὁστισοῦν. θρηνῶμεν τοίνυν αὐτοὺς, ὅτι ὁ λόγος τοῦ σταυροῦ μωρία αὐτοῖς ἐστιν, ὁ αὐτὸς σοφία καὶ δύναμις ὤν. ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, φησὶ, μωρία ἐστίν. ἐπειδὴ γὰρ εἰκὸς ἦν ἐκείνους, τοῦ σταυροῦ παρὰ τῶν ἑλλήνων χλευαζομένου, τῇ σοφίᾳ τῇ ἔξωθεν πρὸς ἑαυτὴν ἀντιστῆσαι καὶ πολεμεῖν θορυβουμένους τοῖς παρὰ τῶν ἑλλήνων λεγομένοις, παραμυθούμενος ὁ Παῦλός φησι, μὴ νομίσητε ξένον γίνεσθαι καὶ παράδοξον. ταύτην ἔχει τὴν φύσιν τὸ πρᾶγμα, ὥστε ὑπὸ τῶν ἀπολλυμένων μὴ γνωρίζεσθαι αὐτοῦ τὴν δύναμιν. ἐξεστήκασι γὰρ καὶ παραπαίουσι. διὰ τοῦτο καὶ λοιδοροῦνται καὶ ἐπαχθῶς ἔχουσι πρὸς τὰ σωτήρια φάρμακα. τί δὲ λέγεις, ἄνθρωπε; δοῦλος ὁ Χριστὸς ἐγένετο διὰ σὲ μορφὴν δούλου λαβὼν, καὶ ἐσταυρώθη, καὶ ἀνέστη· καὶ δέον ἀναστάντα προσκυνῆσαι διὰ τοῦτο, καὶ θαυμάσαι τὴν φιλανθρωπίαν, ὅτι ὅπερ οὔτε πατὴρ, οὔτε φίλος, οὔτε υἱὸς ὑπὲρ σοῦ ἐποίησε, ταῦτα ὁ δεσπότης πάντα εἰργάσατο ὑπὲρ σοῦ τοῦ ἐχθροῦ καὶ προσκεκρουκότος. δέον τοίνυν θαυμάζειν ὑπὲρ τούτων αὐτὸν, σὺ δὲ μωρίαν καλεῖς πρᾶγμα τοσαύτης σοφίας γέμον; ἀλλ' οὐδὲν θαυμαστόν. τῶν γὰρ ἀπολλυμένων ἐστὶ μὴ ἐπιγινώσκειν τὰ πρὸς σωτηρίαν φέροντα. μὴ θορυβεῖσθε οὖν. οὐ γὰρ ξένον οὐδὲ παρὰ προσδοκίαν τὸ γινόμενον, τὸ χλευάζεσθαι τὰ μεγάλα παρὰ τῶν ἐξεστηκότων. τοὺς δὲ οὕτω διακειμένους διὰ σοφίας ἀνθρωπίνης πείθειν οὐκ ἔνι· ἀλλὰ, κἂν βουληθῇς οὕτω πεῖσαι, τὸ ἐναντίον ποιεῖς. τὰ γὰρ ὑπερβαίνοντα λογισμὸν πίστεως δεῖται μόνης. καὶ γὰρ, ἂν θέλωμεν πείθειν διὰ λογισμῶν, πῶς ἄνθρωπος ἐγένετο ὁ Θεὸς, καὶ εἰς μήτραν εἰσῆλθε παρθενικὴν, καὶ μὴ τῇ πίστει τὸ πρᾶγμα ἐπιτρέψωμεν, μᾶλλον ἐκεῖνοι καταγελάσονται. ἄρα οἱ λογισμοῖς ζητοῦντες, οὗτοί εἰσιν οἱ ἀπολλύμενοι. καὶ τί λέγω περὶ Θεοῦ; ἐπὶ γὰρ τῶν κτισμάτων ἂν τοῦτο ποιήσωμεν, πολὺς ἕψεται γέλως. ἔστω γὰρ ἄνθρωπος πάντα βουλόμενος λογισμοῖς μανθάνειν, καὶ πειράσθω τῷ παρὰ σοῦ λόγῳ πείθεσθαι, πῶς βλέπομεν τὸ φῶς· σὺ δὲ αὐτὸν λογισμῷ πείθειν πειρῶ. ἀλλ' οὐκ ἂν ἔχοις. ἂν γὰρ εἴποις, ὅτι ἀρκεῖ τοὺς ὀφθαλμοὺς ἀνοίξαντα βλέπειν, οὐ τὸν τρόπον εἴρηκας, ἀλλὰ τὸ γινόμενον. διὰ τί γὰρ μὴ τῇ ἀκοῇ βλέπομεν, φησὶ, καὶ τοῖς ὀφθαλμοῖς ἀκούομεν; διὰ τί γὰρ μὴ τῇ ῥινὶ ἀκούομεν, καὶ τῇ ἀκοῇ ὀσφραινόμεθα; ἂν τοίνυν, ἀποροῦντος αὐτοῦ περὶ τούτων, μὴ δυνώμεθα τὸν λόγον ἀποδοῦναι τούτων, ἐκεῖνος μέλλει γελᾶν, οὐ μειζόνως ἡμεῖς καταγελασόμεθα; εἰ γὰρ ἀμφότερα ἐξ ἑνὸς ἐγκεφάλου τὴν ἀρχὴν ἔχει, ἀμφότερα ἀλλήλοις γειτνιάζει τὰ μέλη, πῶς οὐ τὰ αὐτὰ δύναται ποιεῖν; ἀλλ' οὐ δυνησόμεθα εἰπεῖν τὴν αἰτίαν, οὐδὲ τὸν τρόπον τῆς ἀφάτου καὶ ποικίλης ἐνεργείας, ἀλλὰ κἂν ἐπιχειρήσωμεν, καταγελώμεθα. διό τοι τοῦτο τῇ τοῦ Θεοῦ δυνάμει καὶ τῇ ἀπείρῳ σοφίᾳ παραχωροῦντες, σιγήσωμεν. οὕτω τοίνυν καὶ τὰ

τοῦ

τοῦ Θεοῦ ἐὰν τῇ ἔξωθεν σοφίᾳ βουληθῶμεν παραστῆσαι, πολὺς ἕψεται γέλως, οὐ παρὰ τὴν τῶν πραγμάτων ἀσθένειαν, ἀλλὰ παρὰ τὴν τῶν ἀνθρώπων ἄνοιαν. τὰ γὰρ μεγάλα λόγος οὐδεὶς παραστῆσαι δύναται. σκόπει δέ· ὅταν εἴπω, ἐσταυρώθη, ὁ Ἕλλην λέγει, καὶ πῶς ἂν ἔχοι λόγον τοῦτο; ἑαυτῷ οὐκ ἤμυνε σταυρούμενος καὶ πειραζόμενος κατὰ τὸν καιρὸν τοῦ σταυροῦ, καὶ πῶς μετὰ ταῦτα ἀνέστη, καὶ ἑτέροις ἤμυνεν; εἰ γὰρ ἐδύνατο, πρὸ τοῦ θανάτου ἔδει. τοῦτο γὰρ καὶ Ἰουδαῖοι ἔλεγον. ὁ δὲ ἑαυτῷ μὴ ἀμύνας, πῶς ἄλλοις ἤμυνεν; οὐκ ἂν ἔχοι λόγον, φησί. καὶ γὰρ ὑπὲρ λόγον ἐστὶν, ἄνθρωπε, καὶ ἀφάτου δυνάμεως ὁ σταυρός. τὸ γὰρ ἐν τοῖς δεινοῖς γενόμενον ἀνώτερον φανῆναι τῶν δεινῶν, καὶ συμπλακέντα νικῆσαι, δυνάμεώς ἐστιν ἀπείρου. ὥσπερ γὰρ ἐπὶ τῶν τριῶν παίδων, τοῦ μὴ ἐμβῆναι εἰς τὴν κάμινον τὸ ἐμβάντας καταπατῆσαι τὴν φλόγα θαυμαστότερον ἦν· καὶ ἐπὶ τοῦ Ἰωνᾶ, τοῦ μὴ ἐμπεσεῖν εἰς τὸ κῆτος τὸ ἐμπεσόντα μηδὲν ἀπὸ τοῦ θηρίου παθεῖν ἀηδὲς, πολλῷ μεῖζον ἦν· οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, τοῦ μὴ ἀποθανεῖν τὸ ἀποθανόντα διαλῦσαι τὸν θάνατον, παραδοξότερον ἦν. μὴ τοίνυν λέγε, διατί οὐκ ἤμυνεν ἑαυτῷ ἐν τῷ σταυρῷ; αὐτῷ γὰρ συμπλακῆναι ἠπείγετο τῷ θανάτῳ. οὐ κατέβη ἀπὸ τοῦ σταυροῦ, οὐκ ἐπειδὴ οὐκ ἠδύνατο, ἀλλ' ἐπειδὴ οὐκ ἠβούλετο. ὃν γὰρ ἡ τυραννὶς οὐ κατέσχε τοῦ θανάτου, πῶς ἧλοι σταυροῦ κατασχεῖν ἠδύναντο; ἀλλὰ ταῦτα ἡμῖν γνώριμα, τοῖς δὲ ἀπίστοις οὐκέτι. διὰ τοῦτο ἔλεγεν, ὅτι ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. γέγραπται γὰρ, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. οὐδὲν παρ' ἑαυτοῦ φορτικὸν τέως τίθησιν, ἀλλὰ πρότερον ἐπὶ τὴν μαρτυρίαν ἔρχεται τῆς γραφῆς, καὶ τότε τὴν ἐκεῖθεν παῤῥησίαν λαβὼν καταφορικώτερον κέχρηται τοῖς λόγοις, καί φησιν, οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

21 Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

Εἰπὼν ὅτι γέγραπται, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν ἐπάγει λέγων· ποῦ σοφός; ποῦ γραμματεύς; ὁμοῦ καὶ Ἑλλήνων καὶ Ἰουδαίων καθαπτόμενος. ποῖος γὰρ φιλόσοφος, τίς τῶν περὶ τοὺς συλλογισμοὺς ἠσχοληκότων, τίς τῶν τὰ Ἰουδαίων εἰδότων ἔσωσε, καὶ τὴν ἀλήθειαν ἐγνώρισεν; οὐκ ἔστιν οὐδείς, ἀλλὰ τῶν ἁλιέων τὸ πᾶν γέγονε. συμπεράνας τοίνυν τὸ προκείμενον, καὶ κατενεγκὼν αὐτῶν τὸν τῦφον, καὶ εἰπὼν, οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; λέγει καὶ τὴν αἰτίαν δι' ἣν ταῦτα γέγονεν οὕτως. ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ, φησιν, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, ὁ σταυρὸς ἐφάνη. τί δέ ἐστιν, ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ; τῇ διὰ τῶν ἔργων φαινομένῃ, δι' ὧν ἠθέλησε γνωρισθῆναι. διὰ τοῦτο γὰρ αὐτὰ καὶ τοιαῦτα κατεσκεύασεν, ἵνα ἀναλόγως ἐκ τῶν ὁρωμένων ὁ ποιητὴς θαυμάζηται. μέγας οὐρανὸς, καὶ ἀπειροπληθὴς ἡ γῆ; θαύμασον τοίνυν τὸν πεποιηκότα. καὶ γὰρ ὁ μέγας οὗτος οὐ μόνον ἐγένετο ὑπ' αὐτοῦ, ἀλλὰ καὶ μετ' εὐκολίας, καὶ ἡ ἄπειρος ἐκείνη γῆ καὶ αὐτὴ, ὡς οὐδὲν, παρήγετο. διὰ τοῦτο περὶ μὲν ἐκείνου φησὶν, Ὅτι ἔργα τῶν δακτύλων σου εἰσὶν οἱ οὐρανοί· περὶ δὲ τῆς γῆς, ὁ ποιήσας τὴν γῆν ὡς οὐδέν. Ψαλμ. ρε. κε. ἐπειδὴ οὖν διὰ τῆς σοφίας ταύτης οὐκ ἠθέλησαν γνωρίσαι τὸν Θεὸν, διὰ τῆς δοκούσης μωρίας εἶναι τοῦ κηρύγματος ἔπεισεν, οὐ διὰ λογισμῶν, ἀλλὰ διὰ τῆς πίστεως. λοιπὸν ὅπου σοφία Θεοῦ, οὐκέτι χρεία ἀνθρωπίνης. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι τὸν κτίσαντα τὸν κόσμον τὸν τοσοῦτον καὶ οὕτω μέγαν, Θεὸν εἶναι εἰκὸς δύναμιν ἀμήχανόν τινα ἔχοντα καὶ ἀπόῤῥητον, σοφίας ἀνθρωπίνης λογίζεσθαι ἦν, καὶ διὰ τούτων αὐτὸν καταλαμβάνειν· νῦν δὲ οὐκέτι λογισμῶν, ἀλλὰ πίστεως δεῖ μόνης. τὸ γὰρ εἰς τὸν σταυρωθέντα καὶ ταφέντα πιστεύειν, καὶ πεπληροφορῆσθαι, ὅτι οὗτος αὐτὸς καὶ ἀνέστη, καὶ ἄνω κάθηται, τοῦτο σοφίας οὐ δεῖται οὐδὲ λογισμῶν, ἀλλὰ πίστεως.

καὶ

καὶ γὰρ οἱ ἀπόστολοι οὐ σοφίᾳ περιῆλθον, ἀλλὰ πίστει, καὶ γεγόνασι τῶν ἔξω σοφῶν σοφώτεροι καὶ ὑψηλότεροι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῦ λογισμοὺς κινεῖν, τὸ πίστει τὰ τοῦ Θεοῦ δέχεσθαι μεῖζον. τοῦτο γὰρ ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν. πῶς δὲ ἀπώλεσε τὴν σοφίαν; διὰ Παύλου καὶ τῶν τοιούτων γνωρισθεὶς ἡμῖν, ἔδειξεν αὐτὴν ἀσύνετον οὖσαν. πρὸς γὰρ τὸ δέξασθαι τὸ κήρυγμα τὸ εὐαγγελικὸν οὔτε ὁ σοφὸς ὠφέλησέ τι παρὰ τῆς σοφίας, οὔτε ὁ ἰδιώτης ἐβλάβη τι παρὰ τῆς ἀμαθίας· ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, μᾶλλον ἰδιωτεία, ἢ σοφία πρὸς τὴν ὑποδοχήν ἐστιν ἐπιτήδειον καὶ εὐκολωτέρα. ὁ γὰρ ποιμὴν καὶ ἄγροικος ταχύτερον θᾶττον ὑποδέξεται, καθάπαξ τοὺς λογισμοὺς καταστέλλων, καὶ τῷ δεσπότῃ ἑαυτὸν παραδούς. οὕτω τοίνυν τὴν σοφίαν ἀπώλεσεν. ἐπειδὴ γὰρ πρότερα ἑαυτὴν κατέβαλε, πρὸς οὐδὲν χρησίμη λοιπόν ἐστιν. ὅτε γὰρ ἔδει τὰ ἑαυτῆς αὐτὴν ἐνδείξασθαι καὶ διὰ τῶν ἔργων ἰδεῖν τὸν δεσπότην, οὐκ ἠθέλησε. διὰ τοῦτο, κἂν θέλῃ νῦν ἐπεισαγαγεῖν ἑαυτὴν, οὐ δύναται. οὐ γὰρ τοιαῦτα τὰ πράγματα. ἡ γὰρ ὁδὸς ἡ τῆς θεογνωσίας πολλῷ μείζων ἐκείνης αὕτη. διά τοι τοῦτο πίστεως καὶ ἀφελείας χρεία, καὶ ταύτην πανταχοῦ ζητεῖν, καὶ τῆς ἔξωθεν προτιμᾶν σοφίας. ἐμώρανε γὰρ ὁ Θεός, φησι, τὴν σοφίαν. τί δέ ἐστιν, ἐμώρανε; μωρὰν ἔδειξεν οὖσαν πρὸς τὴν τῆς πίστεως κατάληψιν. ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ἐπ' αὐτῇ, ἤλεγξεν αὐτὴν ταχέως. ποία γὰρ σοφία, ὅταν τὸ κεφάλαιον τῶν ἀγαθῶν μὴ εὑρίσκῃ; ἐποίησε τοίνυν φανῆναι μωρὰν, ἐπειδὴ ἑαυτὴν ἐκείνη πρότερον ἤλεγξεν. εἰ γὰρ ὅτε λογισμοῖς ἦν εὑρεῖν, οὐδὲν ἔδειξε, νῦν ὅτε μείζονα φέρεται τὰ πράγματα, πῶς ἀνύσαι τι δυνήσεται, ὅτε πίστεως χρεία μόνης, καὶ οὐχὶ δεινότητος; μωρὰν τοίνυν αὐτὴν ἔδειξεν ὁ Θεός· ηὐδόκησε δὲ διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι, μωρίας δὲ οὐχὶ τῆς οὔσης, ἀλλὰ τῆς εἶναι δοκούσης. τὸ γὰρ μεῖζον τοῦτό ἐστιν, ὅτι οὐχ ἑτέραν σοφίαν τοιαύτην ἐκείνης πλείονα εἰσαγαγὼν, ἀλλὰ τὴν δοκοῦσαν εἶναι μωρίαν, οὕτω περιεγένετο. καὶ γὰρ Πλάτωνα ἐξέβαλεν, οὐχὶ δι' ἑτέρου φιλοσόφου σοφωτέρου, ἀλλὰ δι' ἁλιέως ἀμαθοῦς. οὕτω γὰρ γέγονεν ἡ ἧττα μείζων, καὶ λαμπροτέρα ἡ νίκη. εἶτα δεικνὺς τοῦ σταυροῦ τὴν δύναμιν, φησίν·

22 Ἐπειδὴ καὶ οἱ Ἰουδαῖοι σημεῖα αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν·

23 Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν·

24 Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

Πολλὴ τῶν εἰρημένων ἡ σύνεσις. θέλει γὰρ εἰπεῖν, πῶς διὰ τῶν ἐναντίων ἐκράτησεν ὁ Θεός, καὶ πῶς οὐκ ἔστιν ἀνθρώπινον τὸ κήρυγμα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅταν εἴπωμεν, φησιν, Ἰουδαίοις, πιστεύσατε, λέγουσιν, ἀναστήσατε νεκροὺς, ἰάσασθε δαιμονῶντας, δείξατε ἡμῖν σημεῖα· ἡμεῖς δὲ ἀντὶ τούτων τί λέγομεν; ὅτι ἐσταυρώθη καὶ ἀπέθανεν ὁ κηρυττόμενος. τοῦτο δὲ ἱκανὸν οὐ μόνον τοὺς μὴ βουλομένους μὴ ἐφέλκεσθαι, ἀλλὰ καὶ τοὺς βουλομένους διακρούσασθαι. ἀλλ' ὅμως οὐ διακρούεται, ἀλλὰ ἐφέλκεται καὶ κρατεῖ καὶ περιγίνεται. πάλιν Ἕλληνες ἀπαιτοῦσιν ἡμᾶς ῥητορείαν λόγων καὶ δεινότητα σοφισμάτων· ἡμεῖς δὲ καὶ τούτοις σταυρὸν κηρύττομεν. καὶ ὅπερ ἐπὶ Ἰουδαίων δοκεῖ ἀσθενείας εἶναι, τοῦτο ἐπὶ Ἑλλήνων, μωρία. ὅταν οὖν μὴ μόνον ἃ αἰτοῦσι μὴ παρέχωμεν, ἀλλὰ καὶ ἐναντία ὧν αἰτοῦσιν (ὁ γὰρ σταυρὸς οὐ μόνον οὐ δοκεῖ σημεῖον εἶναι κατὰ λογισμὸν ἐξεταζόμενον, ἀλλὰ καὶ σημείου ἀναίρεσις· οὐ μόνον οὐ δοκεῖ δυνάμεως ἀπόδειξις, ἀλλὰ καὶ ἀσθενείας ἔλεγχος· οὐ μόνον οὐ δοκεῖ σοφίας ἐπίδειξις εἶναι, ἀλλὰ καὶ μωρίας ὑπόληψις) ὅταν οὖν οἱ σημεῖα καὶ σοφίαν ζητοῦντες μὴ μόνον μὴ λαμβάνωσιν ἅπερ αἰτοῦσιν, ἀλλὰ καὶ τὰ ἐναντία ὧν ἐπιθυμοῦσιν ἀκούωσιν, εἶτα διὰ τῶν ἐναντίων πείθωνται, πῶς οὐκ ἄφατός ἐστιν ἡ τοῦ κηρυττομένου δύναμις; ὥσπερ ἂν εἴ τινι τῶν κλυδωνιζομένων καὶ λιμένος ἐπιθυμούντων μὴ λιμένα δείξας, ἀλλ' ἕτερον μέρος τοῦ πελάγους ἀγριώτερον, δυνηθῇς ποιῆσαι μετὰ χάριτος ἕπεσθαι· ἢ ἰατρὸς τὸν τετρωμένον καὶ

φαρμάκων

φαρμάκων ἐπιθυμοῦντα, μὴ διὰ φαρμάκων, ἀλλὰ διὰ τοῦ χαίρειν πάλιν ἐπαγγελλόμενος ὑγιῆ ποιεῖν, ἐφέλκοιτο πρὸς ἑαυτόν. μεγάλης γὰρ τοῦτο δυνάμεως. οὕτω καὶ οἱ ἀπόστολοι οὐ μόνον διὰ σημείου, ἀλλὰ καὶ διὰ πράγματος δοκοῦντος ἐναντίου εἶναι τοῖς σημείοις περιεγίνοντο· ὅπερ καὶ ἐπὶ τοῦ τυφλοῦ πεποίηκεν ὁ Χριστός. βουλόμενος γὰρ αὐτὸν θεραπεῦσαι, διὰ πράγματος ἐπιτείνοντος τὴν πήρωσιν ἀνεῖλε. πηλὸν γὰρ ἐπέθηκεν. ὥσπερ οὖν διὰ πηλοῦ τὸν τυφλὸν ἐθεράπευσεν, οὕτω τὴν οἰκουμένην διὰ σταυροῦ προσηγάγετο· ὅπερ προσθήκη ἦν σκανδάλου, οὐκ ἀναίρεσις σκανδάλου. οὕτω καὶ ἐπὶ τῆς κτίσεως ἐποίησε, τὰ ἐναντία διὰ τῶν ἐναντίων κατασκευάζων. ψάμμῳ γοῦν θάλατταν ἐτείχισε, τῷ ἀσθενεῖ τὸ ἰσχυρὸν χαλινώσας· ὕδατι γῆν ἐπέθηκε, τῷ κούφῳ καὶ διαρρέοντι τὸ βαρὺ καὶ πυκνὸν ἐποχεῖσθαι παρασκευάσας. διὰ τῶν προφητῶν πάλιν ξύλῳ μικρῷ σίδηρον ἐμετεώρισεν· οὕτω δὴ καὶ σταυρῷ τὴν οἰκουμένην ἐπεσπάσατο. ὥσπερ γὰρ τὸ ὕδωρ βαστάζει τὴν γῆν, οὕτω καὶ ὁ σταυρὸς βαστάζει τὴν οἰκουμένην. μεγάλης τοίνυν δυνάμεως καὶ σοφίας ἀπόδειξις τὸ διὰ τῶν ἐναντίων πείθειν. καὶ γὰρ σκανδάλου πρᾶγμα ὁ σταυρὸς εἶναι δοκεῖ, ἀλλ' ὅμως οὐ μόνον οὐ σκανδαλίζει, ἀλλὰ καὶ ἐφέλκεται. ταῦτ' οὖν ἅπαντα ἐννοήσας ὁ Παῦλος καὶ ἐκπλαγεὶς, ἔλεγεν·

25 Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Περὶ τοῦ σταυροῦ λέγων τὸ μωρὸν καὶ τὸ ἀσθενές, οὐ τὸ ὂν, ἀλλὰ τὸ δοκοῦν. πρὸς γὰρ τὴν ἐκείνων ὑπόληψιν ἀποκρίνεται. ὃ γὰρ οὐκ ἴσχυσαν φιλόσοφοι διὰ τῶν συλλογισμῶν ποιῆσαι, τοῦτο ἡ δοκοῦσα εἶναι μωρία κατώρθωσε. τίς οὖν σοφώτερος; ὁ τοὺς πολλοὺς πείθων, ἢ ὁ ὀλίγους, μᾶλλον δὲ οὐδένα; ὁ περὶ μεγίστων πείθων, ἢ ὁ περὶ τῶν μὴ δεόντων; πόσα ἔκαμε Πλάτων καὶ οἱ κατ' αὐτὸν περὶ γραμμῆς, καὶ γωνίας, καὶ στιγμῆς, καὶ ἀριθμῶν ἀρτίων καὶ περιττῶν, καὶ ἴσων ἀλλήλοις καὶ ἀνίσων, καὶ τῶν τοιούτων διαλεγόμενος ἡμῖν ἀραχνίων (καὶ γὰρ τῶν ὑφασμάτων ἐκείνων ἀχρηστότερα ταῦτα τῷ βίῳ) καὶ οὐ μέγαν, οὐ μικρὸν ἐντεῦθεν ὠφελήσας οὕτω τὸν βίον κατέλυσε; πόσα ἔκαμε δεῖξαι ἐπιχειρῶν ὡς ἀθάνατος ἡ ψυχὴ, καὶ οὐδὲν σαφὲς εἰπὼν, οὐδὲ πείσας τινὰ τῶν ἀκουόντων οὕτως ἀπῆλθεν; ὁ δὲ σταυρὸς διὰ ἰδιωτῶν ἔπεισε, καὶ τὴν οἰκουμένην ἅπασαν ἔπεισε, καὶ οὐχ ὑπὲρ τῶν τυχόντων πραγμάτων, ἀλλὰ περὶ Θεοῦ διαλεχθεὶς καὶ τῆς κατὰ ἀλήθειαν εὐσεβείας καὶ τῆς εὐαγγελικῆς πολιτείας καὶ τῆς τῶν μελλόντων κρίσεως· καὶ πάντας ἐποίησε φιλοσόφους, τοὺς ἀγροίκους, τοὺς ἰδιώτας.

Ὁρᾷ πῶς τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς ἰσχυρότερον. ΗΘΙΚΟΝ πῶς ἰσχυρότερον; ὅτι τὴν οἰκουμένην ἐπέδραμεν ἅπασαν, καὶ πάντας κατὰ κράτος εἷλε, καὶ μυρίων ἐπιχειρούντων σβέσαι τοῦ σταυρωθέντος τὸ ὄνομα, τοὐναντίον ἐγένετο. τοῦτο μὲν ἤνθησε καὶ ἐπέδωκεν ἐπὶ μεῖζον· ἐκεῖνοι δὲ ἀπώλοντο καὶ διεφθάρησαν, καὶ οἱ ζῶντες τῷ νεκρωθέντι πολεμοῦντες οὐδὲν ἴσχυσαν. ὥστε ἐπειδὰν εἴπῃ με μωρὸν ὁ Ἕλλην, τότε δείκνυσιν ἑαυτὸν μεθ' ὑπερβολῆς μωρόν· ὅταν ἐγὼ νομιζόμενος εἶναι παρ' αὐτῷ μωρὸς, τοῦ σοφοῦ φαίνωμαι σοφώτερος· ὅταν ἐμὲ καλέσῃ ἀσθενῆ, τότε ἑαυτὸν ἀσθενέστερον δείκνυσιν. ἃ γὰρ ἴσχυσαν κατορθῶσαι τῇ τοῦ Θεοῦ χάριτι τελῶναι καὶ ἁλιεῖς, ταῦτα φιλόσοφοι καὶ ῥήτορες καὶ τύραννοι, καὶ πᾶσα ἁπλῶς ἡ οἰκουμένη μυρία περιδραμοῦσα οὐδὲ φαντασθῆναι ἴσχυσαν. τί γὰρ οὐκ εἰσήγαγεν ὁ σταυρός; τὸν περὶ ἀθανασίας ψυχῆς λόγον, τὸν περὶ τῆς ἀναστάσεως τῶν σωμάτων, τὸν περὶ τῆς ὑπεροψίας τῶν παρόντων, τὸν περὶ τῆς ἐπιθυμίας τῶν μελλόντων. καὶ ἀγγέλους τοὺς ἀνθρώπους ἐποίησε, καὶ πάντες πανταχοῦ φιλοσοφοῦσι, καὶ πᾶσαν ἀνδρείαν ἐπιδείκνυνται. ἀλλὰ καὶ παρ' αὐτοῖς, φησὶ, πολλοὶ θανάτου καταφρονοῦντες γεγόνασι. τίνες, εἰπέ μοι; ἆρα ὁ τὸ κώνειον πιών; ἀλλ', εἰ βούλει, τοιούτους μυρίους ἀπὸ τῆς ἐκκλησίας παράγωμεν. εἰ γὰρ ἐξῆν, διωγμοῦ καταλαβόντος,

βόντος, κώνειον πιόντας ἀπελθεῖν, πάντες ἂν ἐκείνου λαμπρότεροι γεγόνασιν. ἄλλως δέ, ἐκεῖνος οὐχὶ κύριος ὢν τοῦ μὴ πιεῖν ἢ πιεῖν, ἔπιεν· ἀλλὰ καὶ ἄκοντα καὶ ἑκόντα ἔδει τοῦτο παθεῖν, ὅπερ οὐκ ἦν ἀνδρείας, ἀλλὰ ἀνάγκης λοιπόν. καὶ γὰρ καὶ λῃσταὶ, καὶ ἀνδροφόνοι ὑπὸ τῇ ψήφῳ γενόμενοι τῶν δικαζόντων χαλεπώτερα ἔπαθον. παρὰ ἡμῖν δὲ τοὐναντίον ἅπαν. οὐ γὰρ ἄκοντες οἱ μάρτυρες ὑπέμειναν, ἀλλ' ἑκόντες καὶ κύριοι τοῦ μὴ παθεῖν ὄντες, ἀδάμαντος παντὸς στερροτέραν ἐπιδεικνύντες τὴν ἀνδρείαν. οὐ τοίνυν τοῦτο θαυμαστὸν εἰ κώνειον ἔπιεν ἐκεῖνος, καὶ μηκέτι κύριος ὢν τοῦ μὴ πιεῖν, καὶ πρὸς ἔσχατον γῆρας ἐληλακώς. καὶ γὰρ ἔλεγεν ἐτῶν ἑβδομήκοντα εἶναι, ὅτε κατεφρόνησε ζωῆς, εἴγε καὶ τοῦτο καταφρονῆσαί ἐστιν. οὐ γὰρ ἔγωγε ἂν εἴποιμι, μᾶλλον δὲ οὐδὲ ἄλλος οὐδείς. ἀλλὰ δειξάτω μοί τινα ὑπὲρ εὐσεβείας βασάνοις ἐγκαρτερήσαντα, καθάπερ ἐγὼ μυρίους πανταχοῦ τῆς οἰκουμένης. τίς τῶν ὀνύχων ἀνορυττομένων, γενναίως ἤνεγκε; τίς τῶν ἄρθρων ἀνασκαπτομένων; τίς τοῦ σώματος αὐτοῦ κατὰ μέρος πορθουμένου [τῆς κεφαλῆς]; τίς τῶν ὀστέων ἀναμοχλευομένων; τίς ἐπὶ τήγανα συνεχῶς τιθέμενος; τίς εἰς λέβητα ἐμβαλλόμενος; ταῦτά μοι δεῖξον. τὸ γὰρ κωνείῳ τελευτῆσαι, ἴσον ἐστὶ τῷ καθευδήσαντα ἐναπομεῖναι. καὶ γὰρ ὕπνου ἡδίων οὗτος ὁ θάνατος λέγεται εἶναι. εἰ δέ τινες καὶ βασάνους ὑπέμειναν, ἀλλὰ καὶ τούτων τὸ ἐγκώμιον ἀπόλωλεν. ὑπὲρ γὰρ αἰσχρᾶς αἰτίας ἀπώλοντο, οἱ μὲν ὡς ἀπόρρητα ἐξειπόντες, οἱ δὲ ὡς τυραννίδι ἐπιθέμενοι, οἱ δὲ ἐπὶ τοῖς αἰσχίστοις ἁλόντες, οἱ δὲ εἰκῇ καὶ μάτην καὶ ἁπλῶς, αἰτίας μὴ οὔσης, ἑαυτοὺς ἀπήγχοντο. ἀλλ' οὐχὶ παρ' ἡμῖν οὕτω. διὰ τοῦτο τὰ μὲν ἐκείνων σεσίγηται, ταῦτα δὲ ἀνθεῖ, καὶ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. ὅπερ ἐννοῶν ὁ Παῦλος ἔλεγε, τὸ ἀσθενὲς τοῦ Θεοῦ πάντων ἰσχυρότερόν ἐστι τῶν ἀνθρώπων. ὅτι γὰρ θεῖον τὸ κήρυγμα, καὶ ἐντεῦθεν δῆλον. πόθεν γὰρ ἐπῆλθεν ἀνθρώποις δώδεκα καὶ ἰδιώταις, πράγμασιν ἐπιχειρῆσαι τοσούτοις, ἐν λίμναις, ἐν ποταμοῖς, ἐν ἐρημίαις διατρίβουσιν, οὐδέποτε εἰς πόλιν ταχέως, οὐδὲ εἰς ἀγορὰν ἐμβεβηκόσι; πόθεν ἐπῆλθε πρὸς τὴν οἰκουμένην πᾶσαν παρατάξασθαι; ὅτι γὰρ δειλοὶ ἦσαν καὶ ἄνανδροι, δείκνυσιν ὁ περὶ αὐτῶν γράψας, καὶ μὴ παραιτησάμενος, μηδὲ ὑπομείνας συσκιάσαι αὐτῶν τὰ ἐλαττώματα, ὅπερ μέγιστον καὶ τοῦτο τῆς ἀληθείας ἐστὶ τεκμήριον. τί οὖν οὗτός φησι περὶ αὐτῶν; ὅτι τοῦ Χριστοῦ συλληφθέντος, μετὰ μυρία θαύματα οἱ μὲν ἔφυγον, ὁ δὲ μείνας κορυφαῖος ὢν τῶν ἄλλων ἠρνήσατο. πόθεν οὖν οἱ ζῶντος τοῦ Χριστοῦ τὴν Ἰουδαϊκὴν ὁρμὴν οὐκ ἐνεγκόντες, τελευτήσαντος καὶ ταφέντος καὶ μὴ ἀναστάντος, ὥς φατε, μηδὲ διαλεχθέντος αὐτοῖς, μηδὲ θάρσος ἐνθέντος, πρὸς τοσαύτην παρετάττοντο οἰκουμένην; οὐκ ἂν εἶπον πρὸς ἑαυτούς, τί δὴ τοῦτό ἐστιν; ἑαυτὸν οὐκ ἴσχυσε σῶσαι, καὶ ἡμῶν προστήσεται; ἑαυτῷ οὐκ ἤμυνε ζῶν, καὶ ἡμῖν χεῖρα ὀρέξει τετελευτηκώς; αὐτὸς ζῶν οὐδὲ ἓν ἔθνος ὑπέταξε, καὶ ἡμεῖς τὴν οἰκουμένην ὅλην πείσομεν τὸ ἐκείνου λέγοντες ὄνομα; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον οὐχὶ ποιῆσαι μόνον, ἀλλ' ἐννοῆσαι γοῦν; ὅθεν δῆλον ὅτι εἰ μὴ εἶδον ἀναστάντα καὶ τῆς δυνάμεως αὐτοῦ μεγίστην ἔλαβον ἀπόδειξιν, οὐκ ἂν τοσοῦτον ἀνέρριψαν κύβον. εἰ γὰρ καὶ φίλους εἶχον μυρίους, οὐκ ἂν εὐθέως ἐχθροὺς ἐκτήσαντο πάντας, παλαιὰ ἔθη κινοῦντες καὶ πάτρια ἔθη μεταίροντες; νυνὶ δὲ καὶ πάντας πολεμίους ἐκέκτηντο, καὶ τοὺς ἰδίους καὶ τοὺς ἀλλοτρίους. εἰ γὰρ καὶ αἰδέσιμοι πάντων ἕνεκεν ἦσαν τῶν ἔξωθεν, οὐκ ἂν πάντες αὐτοὺς ἐβδελύξαντο καινὴν πολιτείαν εἰσάγοντας; νυνὶ δὲ καὶ ἔρημοι πάντων ἐτύγχανον, καὶ εἰκὸς ἦν κἀντεῦθεν μισητοὺς γενέσθαι παρὰ πᾶσι καὶ εὐκαταφρονήτους. τίνας γὰρ βούλει εἰπεῖν; Ἰουδαίους; ἀλλ' ἄφατον εἶχον πρὸς αὐτοὺς μῖσος ἐκ τῶν πρὸς τὸν διδάσκαλον γεγενημένων. ἀλλ' Ἕλληνας; ἀλλὰ καὶ οὗτοι οὐκ ἐλάττονα ἐκείνων ἀπεστράφησαν, καὶ ἴσασι ταῦτα μάλιστα Ἕλληνες. Πλάτων γὰρ ὁ πολιτείαν τινὰ καινοτομῆσαι βουληθείς, μᾶλλον δὲ μέρος πολιτείας, καὶ οὐ τὰ τῶν θεῶν μεταθεὶς νόμιμα, ἀλλ' ἁπλῶς πράξεις εἰσαγαγὼν ἑτέρας ἀνθ' ἑτέρων, ἐκιν-

δύνευσε

διώθησε Σικελίας ἐκπεσὼν ἀπῆλθεν. ἐπειδὴ δὲ τοῦτο οὐ γέγονε, τῆς ἐλευθερίας ἐξέπεσεν αὐτῆς. καὶ εἰ μὴ βάρβαρός τις τοῦ Σικελίας τυράννου γέγονεν ἡμερώτερος, οὐδὲν ἐκώλυε διὰ παντὸς δουλεύειν τὸν φιλόσοφον ἐν ἀλλοτρίᾳ. καίτοιγε οὐκ ἴσον ἐστὶ τὰ περὶ βασιλείας καινοτομεῖν, καὶ τὰ περὶ θρησκείας. τοῦτο γὰρ μάλιστα θορυβεῖ καὶ ταράττει τοὺς ἀνθρώπους. τὸ γὰρ εἰπεῖν, ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα τὴν δεῖνα γαμείτωσαν, καὶ οἱ φύλακες τουτονὶ τὸν τρόπον ἔστωσαν φύλακες, οὐ σφόδρα ἱκανὸν θορυβῆσαι· καὶ μάλιστα, ὅταν ἐν βιβλίῳ ᾖ ταῦτα κείμενα, καὶ μὴ πολλὴ σπουδὴ τοῦ νομοθετοῦντος γίνηται εἰς ἔργον ἀγαγεῖν τὰ λεγόμενα. τὸ μέντοιγε λέγειν, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ θεραπευόμενοι, ἀλλ' ὅτι δαίμονές εἰσιν, ὅτι ὁ ἐσταυρωμένος Θεός, ἴστε πόσην ἀνῆψεν ὀργήν, πόσην ἂν ἐποίησε δοῦναι δίκην, πόσον ἀνερρίπισε πόλεμον. καὶ γὰρ Πρωταγόρας παρ' αὐτοῖς, ἐπειδὴ ἐτόλμησεν εἰπεῖν, ὅτι οὐκ οἶδα θεούς, οὐ τὴν οἰκουμένην περιϊὼν καὶ κηρύττων, ἀλλ' ἐν μιᾷ πόλει, περὶ τῶν ἐσχάτων ἐκινδύνευσε. καὶ Διαγόρας ὁ Μιλήσιος, καὶ Διόδωρος ὁ λεγόμενος ἄθεος, καίτοι φίλους εἶχον καὶ δύναμιν τὴν ἀπὸ τῶν λόγων, καὶ ἐπὶ φιλοσοφίᾳ ἐθαυμάζοντο, ἀλλ' ὅμως οὐδὲν τούτων αὐτοὺς ὤνησε. καὶ ὁ μέγας δὲ Σωκράτης ὁ πάντων τῶν παρ' αὐτοῖς φιλοσοφίᾳ κρατῶν διὰ τοῦτο κώνειον ἔπιεν, ἐπειδὴ ἐν τοῖς περὶ θεῶν λόγοις μικρόν τι παρακινεῖν ὑπωπτεύετο. εἰ δὲ ὑπόληψις μόνη καινοτομίας τοσοῦτον κίνδυνον ἤνεγκε φιλοσόφοις ἀνδράσι καὶ σοφοῖς καὶ μυρίας ἀπολελαυκόσι θεραπείας, καὶ οὐ μόνον οὐκ ἴσχυσαν ἅπερ ἤθελον, ἀλλὰ καὶ αὐτοὶ καὶ ζωῆς καὶ πατρίδος ἐξέπεσον, πῶς οὐ θαυμάζεις καὶ ἐκπλήττῃ, τὸν ἁλιέα ὁρῶν ἐπὶ τῆς οἰκουμένης τοσαῦτα ἐργασάμενον, καὶ κατορθώσαντα ἅπερ ἐσπούδασε, καὶ περιγενόμενον καὶ βαρβάρων καὶ Ἑλλήνων ἁπάντων; ἀλλ' οὗτοί, φησιν, οὐχὶ θεοὺς εἰσῆγον ξένους, ὥσπερ ἐκεῖνοι. αὐτὸ μὲν οὖν μάλιστα τὸ θαυμαστόν μοι λέγεις, ὅτι διπλῆ ἡ καινοτομία, καὶ τὸ τοὺς ὄντας καθαιρεῖν, καὶ τὸν ἐσταυρωμένον ἀναγγέλλειν. πόθεν γὰρ αὐτοῖς ἐπῆλθε τοιαῦτα κηρύττειν; πόθεν ὑπὲρ τοῦ τέλους αὐτῶν θαρρεῖν; τίνας τῶν πρὸ αὐτῶν τοιοῦτόν τι κατωρθωκότας εἶχον ἰδεῖν; οὐ πάντες δαίμονας προσεκύνουν; οὐ πάντες τὰ στοιχεῖα ἐθεοποίουν; οὐ διάφορος ἦν τῆς ἀσεβείας ὁ τρόπος; ἀλλ' ὅμως τὰ πάντα ἐπῆλθον, καὶ κατέλυσαν ταῦτα, καὶ ἐπέδραμον ἐν βραχεῖ καιρῷ τὴν οἰκουμένην ἅπασαν, καθάπερ ὑπόπτεροί τινες, οὐ κινδύνους λογιζόμενοι, οὐ θανάτους, οὐ τὴν τοῦ πράγματος δυσκολίαν, οὐ τὴν ὀλιγότητα τὴν ἑαυτῶν, οὐ τὸ πλῆθος τῶν ἐναντιουμένων, οὐ τὴν ἐξουσίαν, οὐ τὴν δυναστείαν, οὐ τὴν σοφίαν τῶν πολεμούντων. εἶχον γὰρ τούτων ἁπάντων μείζονα συμμαχίαν, τὴν τοῦ σταυρωθέντος καὶ ἀναστάντος δύναμιν. οὐκ ἦν οὕτω θαυμαστόν, εἰ πολεμῆσαι εἵλοντο τῇ οἰκουμένῃ πόλεμον αἰσθητόν, ὡς τοῦτο τὸ γεγενημένον νῦν. ἐπὶ μὲν γὰρ τοῦ νόμου τῆς μάχης ἐξῆν ἀπεναντίας ἵστασθαι τῶν πολεμίων, καὶ χώραν ἀπολαμβάνοντας ἐναντίαν οὕτω παρατάττεσθαι πρὸς τοὺς ἐναντιουμένους, καὶ καιρὸν ἔχειν ἐπιθέσεως καὶ συμβολῆς· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ στρατόπεδον ἴδιον εἶχον, ἀλλὰ αὐτοῖς ἀνεμίγνυντο τοῖς πολεμίοις, καὶ οὕτως αὐτῶν ἐκράτουν· καὶ ἐν μέσοις τοῖς ἐχθροῖς ἀναστρεφόμενοι διωλίσθαινον αὐτῶν τὰς λαβάς, καὶ περιεγίνοντο καὶ ἐνίκων νίκην λαμπράν, πληροῦσαν προφητείαν λέγουσαν· Καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν ἐχθρῶν σου. τοῦτο γὰρ ἦν τὸ πολλῆς ἐκπλήξεως γέμον, ὅτι κατέχοντες αὐτοὺς οἱ ἐχθροί, καὶ (Ψαλ. ρθ.) εἰς δεσμωτήριον ἐμβάλλοντες καὶ δεσμοῦντες, οὐ μόνον αὐτῶν οὐ περιεγίνοντο, ἀλλὰ καὶ αὐτοὶ μετὰ ταῦτα αὐτοῖς ὑπέκυπτον, οἱ μαστίζοντες τοῖς μαστιζομένοις, οἱ δεσμοῦντες τοῖς δεδεμένοις, οἱ διώκοντες τοῖς ἐλαυνομένοις. ταῦτα δὴ πάντα πρὸς Ἕλληνας λέγομεν, μᾶλλον δὲ καὶ τούτων πλείονα. πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. κἂν γὰρ παρακολουθῆτε τῇ ὑποθέσει, πᾶσαν ὑμᾶς τὴν πρὸς αὐτοὺς διδάξομεν μάχην· τέως δὲ ταυτὶ δύο διατηρῶμεν κεφάλαια, πῶς οἱ ἀσθενεῖς τοὺς ἰσχυροὺς ἐνίκησαν, καὶ πόθεν αὐτοῖς ἐπῆλθε τοιούτοις οὖσι τοιαῦτα βουλεύσασθαι, εἰ μὴ θείας ἀπήλαυον συμμαχίας· εἶτα περὶ ἡμῶν ὧδε

"προεχόμεθα δὲ τῶν ἔργων τὰ τοῦ βίου κατορθώματα, καὶ δαψιλὲς τὸ πῦρ" ἀνάπτομεν τῆς ἀρετῆς. Φωστῆρες γάρ ἐστε, φησίν, ἐν μέσῳ τοῦ κόσμου λάμποντες· καὶ μείζονα ἡμῖν ἑκάστῳ χρείαν ἐνεχείρισεν ὁ Θεός, ἢ τῷ ἡλίῳ, μείζονα οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, καὶ τοσούτῳ μείζονα, ὅσῳ τὰ πνευματικὰ τῶν αἰσθητῶν διενήνοχεν. ὅταν οὖν πρὸς τὸν ἡλιακὸν ἴδωμεν κύκλον, καὶ θαυμάσωμεν τὸ κάλλος καὶ τὸ σῶμα καὶ τὴν φαιδρότητα τοῦ ἄστρου, λογιζώμεθα πάλιν ὅτι μεῖζον καὶ ἄμεινον τὸ ἐν ἡμῖν φῶς, καθάπερ καὶ τὸ σκότος χαλεπώτερον, ἂν μὴ προσέχωμεν. καὶ γὰρ νὺξ βαθεῖα κατέχει τὴν οἰκουμένην ἅπασαν. ταύτην τοίνυν ἀναπέμψωμεν καὶ λύσωμεν. νὺξ οὐκ ἐν αἱρετικοῖς, οὐδὲ ἐν Ἕλλησι μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς τοῖς παρ' ἡμῖν δογμάτων ἕνεκεν καὶ βίου. πολλοὶ γὰρ τῇ ἀναστάσει διαπιστοῦσι, πολλοὶ καὶ γενέσιν ἑαυτοὺς ἐπιτειχίζουσι· πολλοὶ καὶ παρατηρήσεις φυλάττουσι, καὶ κληδονισμοῖς καὶ οἰωνισμοῖς καὶ συμβόλοις, οἱ δὲ καὶ περιάπτοις καὶ ἐπῳδαῖς κέχρηνται. ἀλλὰ καὶ πρὸς τούτους μὲν ὕστερον ἐροῦμεν, ὅταν τὰ πρὸς Ἕλληνας διανύσωμεν· τέως δὲ τὰ εἰρημένα κατέχετε, καὶ συλλάβεσθέ μοι τῆς μάχης διὰ τοῦ βίου πρὸς ἡμᾶς ἕλκοντες αὐτοὺς καὶ μεθιστῶντες. ὅπερ γὰρ ἀεὶ λέγω, τὸν περὶ φιλοσοφίας διδάσκοντα" πρότερον ἐν ἑαυτῷ τοῦτο διδάσκειν χρὴ καὶ ποθεινὸν εἶναι τοῖς ἀκούουσι. γενώμεθα τοίνυν ποθεινοί, καὶ οἰκείως διατεθῶμεν πρὸς ἡμᾶς τοὺς Ἕλληνας. τοῦτο δὲ ἔσται, ἐὰν μὴ κακῶς ποιεῖν, ἀλλὰ καὶ κακῶς πάσχειν ὦμεν παρεσκευασμένοι. οὐχ ὁρῶμεν τὰ παιδία, ὅταν ὑπὸ τῶν πατέρων βασταζόμενα ἐντείνῃ πληγὰς εἰς τὰς γνάθους τοῦ φέροντος, πῶς ὁ πατὴρ ἡδέως παρέχει τῷ παιδὶ τῆς ὀργῆς ἐμφορηθῆναι, καὶ ὅταν ἴδῃ κενώσαντα τὸν θυμὸν φαιδρύνεται; οὕτω καὶ ἡμεῖς ποιῶμεν. καὶ καθάπερ πατέρες πρὸς παιδία," τοὺς Ἕλληνας διαλεγώμεθα. παιδία γάρ εἰσιν ἅπαντες Ἕλληνες· καὶ ταῦτά τινες τῶν παρ' αὐτοῖς εἰρήκασιν, ὅτι ἀεὶ παῖδες ἐκεῖνοι, καὶ γέρων Ἕλλην οὐδείς. τὰ δὲ παιδία ὑπὸ οὐδενὸς ἀνέχεται φροντίζειν χρησίμου· οὕτω καὶ οἱ Ἕλληνες παίζειν ἀεὶ βούλονται, καὶ χαμαὶ κεῖνται, χαμαιπετεῖς ὄντες καὶ χαμαίζηλοι. τὰ δὲ παιδία πολλάκις περὶ ἀναγκαίων ἡμῶν διαλεγομένων οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων, ἀλλ' ἀεὶ καὶ γελᾷ· τοιοῦτοι καὶ οἱ Ἕλληνες· ὅταν περὶ βασιλείας διαλεγώμεθα, γελῶσι. καὶ καθάπερ ἐκ παιδικοῦ στόματος πολὺς ἀποβλύζων σίελος πολλάκις καὶ σιτίον καὶ ποτὸν ἐμόλυνεν· οὕτω καὶ τὰ ἀπὸ τοῦ στόματος τῶν Ἑλλήνων ἀπορρέοντα ῥήματα μάταια καὶ ἀκάθαρτα· κἂν ἀναγκαίαν δῷς τροφήν, λυποῦσι τοὺς παρέχοντας διὰ βλασφημίας ἀεί, καὶ δέονται διαβαστάζεσθαι. τὰ παιδία πάλιν ὅταν ἴδωσι λῃστὴν εἰσιόντα καὶ τὰ ἔνδον ἀφαιρούμενον, οὐ μόνον οὐκ ἀμύνει, ἀλλὰ καὶ προσγελᾷ τῷ ἐπιβούλῳ· ἂν δὲ τὸν καλαθίσκον ἢ τὰ σεῖστρα ἀφέλῃς, ἢ ἄλλο τι τῶν ἀθυρμάτων, δεινοπαθεῖ καὶ δυσχεραίνει, σπαράττεται καὶ λακτίζει τὸ ἔδαφος. οὕτω δὴ καὶ οἱ Ἕλληνες, τὸν μὲν διάβολον ὁρῶντες πάντα ὑφαιρούμενον αὐτῶν τὰ πατρῷα καὶ τὰ συνέχοντα αὐτῶν τὴν ζωήν, γελῶσιν, ὥσπερ φίλῳ προστρέχοντες· ἂν δὲ κτῆμά τις ἢ πλοῦτον ἢ ὁτιοῦν τοιοῦτον τῶν παιδικῶν ἀφέληται, ὀδύρονται, σπαράττονται. καὶ καθάπερ τὰ παιδία ἀναισθήτως γυμνοῦται καὶ οὐκ ἐρυθριᾷ, οὕτω καὶ οἱ Ἕλληνες πόρνοις καὶ μοιχοῖς συγκαλινδούμενοι, καὶ τοὺς τῆς φύσεως γυμνοῦντες νόμους, καὶ παρανόμους εἰσάγοντες μίξεις, οὐκ ἐπιστρέφονται. ἐκροτήσατε σφόδρα καὶ ἐπῃνέσατε· ἀλλὰ μετὰ τοῦ κρότου σπουδάσατε, ὅπως μὴ καὶ περὶ ὑμῶν ταῦτα λέγηται. διὸ παρακαλῶ πάντας γενέσθαι ἄνδρας. ἐπεί, ὅταν αὐτοὶ παῖδες ὦμεν, πῶς ἐκείνους διδάξομεν ἄνδρας εἶναι; πῶς εἴρξομεν αὐτοὺς τῆς παιδικῆς ἀνοίας; γενώμεθα τοίνυν ἄνδρες, ἵνα φθάσωμεν εἰς τὸ μέτρον τῆς ἡλικίας τῆς ὡρισμένης παρὰ τοῦ Χριστοῦ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Φιλιπ. β. ιε.

ἴσ. περιεχώμεθα δὲ διὰ τῶν ἔργων [illegible]
ἴσ. ἀνάπτωμεν [illegible]

γρ. μεθιστάντες.
γρ. πρότερον.

γρ. τοὺς ἕλληνας.

Λόγ. ε. 26 ΒΛΕΠΕΤΕ ΓΑΡ ΤΗΝ ΚΛΗΣΙΝ ΥΜΩΝ, ΑΔΕΛ-φοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς.
27 Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς.

Ἐπειδὴ εἶπεν ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶν· ἔδειξεν ὅτι ἐξεβλήθη ἡ σοφία ἡ ἀνθρωπίνη ἀπό τε τῆς μαρτυρίας τῶν γραφῶν, ἀπό τε τῆς τῶν πραγμάτων ἐκβάσεως· ἀπὸ μὲν τῆς μαρτυρίας, εἰπών, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν· ἀπὸ δὲ τῆς ἐκβάσεως, κατ' ἐρώτησιν προαγαγὼν τὸν λόγον καὶ εἰπών, ποῦ σοφός; ποῦ γραμματεύς; πάλιν συναπέδειξεν ὅτι καὶ οὐ νεώτερον τὸ πρᾶγμα, ἀλλὰ καὶ παλαιόν, ὡς ἄνωθεν αὐτὸ προδιατυποῦσθαι καὶ προλέγεσθαι. Γέγραπται γάρ, φησίν, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν. Μετὰ τοῦτο ἀπέδειξεν, ὅτι καὶ χρησίμως καὶ εὐλόγως ταῦτα οὕτω γέγονεν (ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ, φησίν, οὐκ ἔγνω ὁ κόσμος* τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας) καὶ ὅτι ὁ σταυρός, ἀφάτου δυνάμεως καὶ σοφίας ἀπόδειξις, καὶ ὅτι πολλῷ μεῖζόν ἐστι τὸ μωρὸν τοῦ Θεοῦ τῆς ἀνθρωπίνης σοφίας. Καὶ τοῦτο πάλιν οὐχὶ διὰ τῶν διδασκάλων, ἀλλὰ δι' αὐτῶν ἀποδείκνυσι τῶν μαθητῶν. Βλέπετε γάρ, φησί, τὴν κλῆσιν ὑμῶν. Οὐ γὰρ μόνον διδασκάλους ἰδιώτας, ἀλλὰ καὶ μαθητὰς ἐπελέξατο τοιούτους. Οὐ γὰρ πολλοὶ σοφοί, φησί, κατὰ σάρκα. Οὕτω δείκνυται τοῦτο καὶ ἰσχυρότερον καὶ σοφώτερον, ὅταν καὶ πολλοὺς πείσῃ, καὶ ἀσόφους πείσῃ. Καὶ γὰρ δυσκολώτατον ἰδιώτην πεῖσαι, μάλιστα ὅταν περὶ πραγμάτων ἀναγκαίων καὶ μεγάλων ὁ λόγος ᾖ. Ἀλλ' ὅμως ἔπεισαν. Καὶ τούτου μάρτυρας αὐτοὺς καλεῖ. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, φησίν, ἐπισκέψασθε, διερευνήσασθε. Τὸ γὰρ δόγματα οὕτω σοφά, καὶ πάντων σοφώτερα καταδέξασθαι τοὺς ἰδιώτας, μεγίστην τοῦ διδασκάλου μαρτυρεῖ σοφίαν. Τί δέ ἐστι, κατὰ σάρκα; κατὰ τὸ φαινόμενον, κατὰ τὸν παρόντα βίον, κατὰ τὴν ἔξωθεν παίδευσιν. Εἶτα, ἵνα μὴ δόξῃ ἑαυτῷ περιπίπτειν (καὶ γὰρ τὸν ἀνθύπατον ἔπεισε, καὶ τὸν Ἀρεοπαγίτην, καὶ τὸν Ἀπολλώ, καὶ ἑτέρους δὲ οἴδαμεν σοφοὺς τῷ κηρύγματι προσελθόντας) οὐκ εἶπεν, ὅτι οὐδεὶς σοφός, ἀλλ' οὐ πολλοὶ σοφοί. Οὐ γὰρ ἀποκεκληρωμένως τοὺς ἰδιώτας ἐκάλει καὶ τοὺς σοφοὺς ἠφίει, ἀλλὰ καὶ τούτους ἐδέχετο, πολλῷ δὲ πλείους ἐκείνους. Τί δήποτε; ὅτι ὁ κατὰ σάρκα σοφὸς πολλῆς γέμει τῆς ἀνοίας, καὶ οὗτος μάλιστά ἐστιν ὁ μωρός, ὅταν τὴν διεφθαρμένην διδασκαλίαν ἐκβαλεῖν μὴ βούληται. Καὶ καθάπερ ἂν ἰατρὸς εἰ βουληθείη διδάξαι τινὰς τὰ ἀπὸ τῆς τέχνης, οἱ μὲν ὀλίγα εἰδότες, κακῶς δὲ αὐτοῖς χρώμενοι τῇ τέχνῃ καὶ κατέχειν φιλονεικοῦντες, οὐκ ἂν ἀνάσχοιντο μαθεῖν ῥᾳδίως, οἱ δὲ μηδὲν ἐπιστάμενοι μάλιστα ἂν καταδέξαιντο τὰ λεγόμενα· οὕτω δὴ καὶ ἐνταῦθα γέγονεν. Οἱ ἰδιῶται μᾶλλον ἐπείσθησαν. Τὴν γὰρ ἐσχάτην ἀπόνοιαν οὐκ εἶχον, τὸ νομίζειν ἑαυτοὺς εἶναι σοφούς. Καὶ γὰρ οἱ σφόδρα μωροὶ οὗτοι μάλιστά εἰσιν, οἱ λογισμοῖς ἐπιτρέποντες ἅπερ οὐκ ἔστιν εὑρεῖν, ἀλλ' ἢ διὰ πίστεως. Καὶ γὰρ εἰ, ὥσπερ τοῦ χαλκευτικοῦ διὰ τῆς πυράγρας τὸν πεπυρακτωμένον ἐξέλκοντος σίδηρον, οὗτος διὰ τῆς χειρὸς φιλονεικοίη τοῦτο ποιεῖν, τὴν ἐσχάτην αὐτοῦ καταψηφιούμεθα ἄνοιαν· οὕτω καὶ οἱ φιλόσοφοι δι' ἑαυτῶν ταῦτα εὑρεῖν φιλονεικήσαντες, τὴν πίστιν ἠτίμασαν. Διὰ τοι τοῦτο οὐχ εὗρον τῶν ζητουμένων οὐδέν. Οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς. Καὶ γὰρ καὶ οὗτοι τύφου πεπληρωμένοι εἰσίν. Οὐδὲν δὲ οὕτω πρὸς ἀκριβῆ θεογνωσίαν ἄχρηστον, ὡς ἀπόνοια καὶ τὸ προσηλῶσθαι πλούτῳ. Καὶ γὰρ παρασκευάζει τὰ παρόντα θαυμάζειν καὶ μηδένα τῶν μελλόντων ποιεῖσθαι λόγον, καὶ ἐμφράττει τὰ ὦτα τῷ πλήθει τῶν φροντίδων. Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου

*διὰ τῆς σοφίας

ὁ παῖς ... ἀπονοίας,

ἤ τις τῶν χαλκευτικῶν διὰ τῆς πυράγρας τὸν πεπυρακτωμένον ἐξέλκοι σίδηρον, ἀλλὰ διὰ τῆς χειρός

1. Κορ. α. 19.

ἐξελέξατο ὁ Θεός. ὅπερ ἐστὶ μέγιστον τῆς νίκης δεῖγμα, ὅταν διὰ τῶν ἰδιωτῶν νικᾷ. οὐ γὰρ οὕτω καταισχύνονται Ἕλληνες, ὅταν διὰ τῶν σοφῶν ἡττηθῶσιν· ἀλλὰ τότε ἐγκαλύπτονται, ὅταν ἴδωσι τὸν χειροτέχνην καὶ τὸν ἐπὶ τῆς ἀγορᾶς, ὑπὲρ αὐτοὺς φιλοσοφοῦντα. διὸ καὶ αὐτὸς ἔλεγεν, ἵνα καταισχύνῃ τοὺς σοφούς. καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ἐποίησεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πλεονεκτημάτων τοῦ βίου. Καὶ γὰρ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. Οὐ γὰρ ἰδιώτας μόνον, ἀλλὰ καὶ πένητας καὶ εὐκαταφρονήτους καὶ ἀσήμους ἐκάλεσεν, ἵνα τοὺς ἐν δυναστείαις ὄντας ταπεινώσῃ.

28 Καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ.

Καὶ τίνα τὰ μὴ ὄντα καλεῖ; τοὺς μηδὲν εἶναι λογιζομένους διὰ τὴν πολλὴν οὐδένειαν. οὕτω τὴν πολλὴν δύναμιν ἐπεδείξατο, διὰ τῶν μηδὲν εἶναι δοκούντων τοὺς μεγάλους καταπιέζων, ὅπερ καὶ ἀλλαχοῦ λέγει, Ὅτι ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. (β. Κορ. ιβ. θ.) μεγάλη γὰρ δύναμις τὸ τοὺς ἀπερριμμένους καὶ μηδενὸς μηδέποτε μαθήματος ἁψαμένους, τούτους ἀθρόον τὰ ὑπὲρ τὸν οὐρανὸν παιδεῦσαι φιλοσοφεῖν. ἐπεὶ καὶ ἰατροὺς, καὶ ῥήτορας, καὶ τοὺς ἄλλους ἅπαντας τότε μάλιστα θαυμάζομεν, ὅταν τοὺς σφόδρα ἰδιώτας πείθωσι καὶ παιδεύωσιν. εἰ δὲ τοὺς περὶ τέχνης λόγους θαῦμα μέγα ἐνθεῖναι ἰδιώτῃ, πολλῷ μᾶλλον τοὺς ὑπὲρ τοσαύτης φιλοσοφίας. οὐ θαύματος δὲ ἕνεκεν μόνον, οὐδὲ τοῦ δεῖξαι τὴν ἑαυτοῦ δύναμιν τοῦτο πεποίηκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ καταστεῖλαι τοὺς ἀλαζόνας. διὸ καὶ ἔμπροσθεν ἔλεγεν, ἵνα καταισχύνῃ τοὺς σοφούς *, ἵνα καταργήσῃ τὰ ὄντα. καὶ ἐνταῦθα πάλιν·

29 Ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ. Πάντα γὰρ ὁ Θεὸς διὰ τοῦτο ποιεῖ, ἵνα * μηδὲν '' ἑαυτοῖς λογιζώμεθα, ἵνα πάντα τῷ Θεῷ ἐπιγράφωμεν. καὶ ὑμεῖς ἐπὶ τῷ δεῖνι καὶ τῷ δεῖνι ἑαυτοὺς παρασημειοῦτε; καὶ ποίας τεύξεσθε συγγνώμης; καὶ γὰρ ἔδειξεν ὁ Θεὸς, ὅτι οὐ δυνατὸν δι' ἑαυτῶν σωθῆναι μόνον, καὶ τοῦτο παρὰ τὴν ἀρχὴν ἐποίησεν. οὐ γὰρ τότε δι' ἑαυτῶν σωθῆναι ἐνῆν, ἀλλ' ἔδει κάλλος οὐρανοῦ καὶ γῆς μέγεθος καὶ τῆς ἄλλης κτίσεως τὸ σῶμα παραλαβόντας, οὕτω χειραγωγεῖσθαι πρὸς τὸν τῶν ἔργων δημιουργόν. ἐποίησε δὲ τοῦτο, προαναστέλλων τὴν μέλλουσαν '' οἴησιν καὶ σοφίαν. ὥσπερ ἂν εἴ τις διδάσκαλος κελεύσας ἕπεσθαι τῷ μαθητῇ '' ᾗπερ ἂν ἡγῆται, ἐπειδὰν ἴδῃ προλαβόντα καὶ βουλόμενον ἀφ' ἑαυτοῦ πάντα μαθεῖν, ἀφεὶς διαμαρτεῖν, καὶ δείξας ὡς οὐκ ἀρκεῖ πρὸς τὴν μάθησιν, οὕτως αὐτῷ τότε ἐπεισάγει τὰ παρ' ἑαυτοῦ· οὕτω καὶ ὁ Θεὸς ἐκέλευσε παρὰ τὴν ἀρχὴν ἕπεσθαι διὰ τῆς κατὰ τὴν κτίσιν '' καταλήψεως. ἐπειδὴ δὲ οὐκ ἠθέλησαν, δείξας διὰ τῆς πείρας ὅτι οὐκ ἀρκοῦσιν ἑαυτοῖς, τότε αὐτοὺς πρὸς ἑαυτὸν ἑτέρως πάλιν ἄγει. ἔδωκεν ἀντὶ βίβλου τὸν κόσμον, οὐδὲ ἐν τούτοις ἐμαθήτευσαν οἱ φιλόσοφοι, οὐδὲ αὐτῷ πεισθῆναι ἠθέλησαν, οὐδὲ ταύτην ἐλθεῖν τὴν ὁδὸν πρὸς αὐτὸν, ἣν αὐτὸς ἐκέλευσεν. Εἰσήγαγεν ἑτέραν ὁδὸν τῆς προτέρας σαφεστέραν πείθουσαν, ὅτι οὐκ αὐτάρκης ἄνθρωπος αὐτὸς ἑαυτῷ μόνος. τότε μὲν γὰρ καὶ λογισμοὺς ἦν ἀνακινεῖν, καὶ τῇ ἔξωθεν κεχρῆσθαι σοφίᾳ διὰ τῆς κτίσεως χειραγωγουμένους· νῦν δὲ ἂν μή τις γένηται μωρὸς, τουτέστιν, ἂν μὴ πάντα λογισμὸν καὶ πᾶσαν κενώσῃ σοφίαν, καὶ τῇ πίστει ἑαυτὸν παραδῷ, ἀμήχανον σωθῆναι. οὐ μικρὸν τοίνυν μετὰ τοῦ ποιῆσαι ῥᾳδίαν τὴν ὁδὸν καὶ νόσημα ἀνέσπασεν ἐντεῦθεν, τὸ μὴ καυχᾶσθαι, μηδὲ μέγα φρονεῖν. ὅπως μὴ καυχήσηται πᾶσα σάρξ. ἀπὸ γὰρ τούτου ἡ ἁμαρτία, ὅτι σοφώτεροι τῶν τοῦ Θεοῦ νόμων εἶναι ἐφιλονείκησαν, οὐ θέλοντες οὕτω μαθεῖν ὡς αὐτὸς ἐνομοθέτησε. διὰ τοῦτο οὐδὲ ὅλως ἔμαθον. οὕτω καὶ ἐξ ἀρχῆς ἐγένετο. Εἶπε τῷ Ἀδάμ· τόδε τι πρᾶξον, καὶ τόδε μὴ πράξῃς. ἐκεῖνος ὡς πλέον τι νομίζων εὑρίσκειν, παρήκουσε, καὶ ὅπερ εἶχεν, ἀπώλεσεν. Εἶπε τοῖς ἑξῆς, μὴ ἐναπομένετε τῇ κτίσει, ἀλλὰ διὰ ταύτης τὸν δημιουργὸν θεωρεῖτε. ἐκεῖνοι δῆθεν, ὡς σοφώτερόν τι τῶν εἰρημένων εὑρίσκοντες, μυρίους ἐκίνησαν λαβυρίνθους. διὰ τοῦτο καὶ ἑαυτοῖς καὶ ἀλλήλοις συνερράγησαν, καὶ οὔτε

τ

* καὶ τὰ ἰσχυρά.

* τὸ πᾶν τὸ φρόνημα καταστείλῃ, ἵνα τὸ καύχη- ... καὶ ὑμεῖς διὰ τοῦτο ... ἵνα μαθ.

γρ. ἑαυτὴν

γρ. ἐν οἰόμ

γρ. σοφ

γρ. ...

τοῦ Θεοῦ εὕρωσιν, ὅτι περὶ τῆς κτίσεως τι σαφὲς ἔγνωσαν, οὐδὲ προσήκουσαν καὶ ἀληθῆ περὶ αὐτῆς δόξαν ἔσχον. διὰ τοῦτο πάλιν ἐκ πολλοῦ τοῦ περιόντος τὴν οἴησιν αὐτῶν καθαιρῶν, τοὺς ἰδιώτας προφήτας εἰσήγαγε, δείξας ὡς πάντες τῆς ἄνωθεν δέονται σοφίας. οὐ μόνον δὲ ἐν τῷ περὶ γνώσεως λόγῳ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι καὶ ἀνθρώπους καὶ τὰ ἄλλα πάντα κτίσματα ἐν πολλῇ χρείᾳ αὐτοῦ κατέστησεν, ἵνα μεγίστην ἀφορμὴν ἔχῃ καὶ ταύτην ὑποταγῆς καὶ οἰκειώσεως*· διὰ τοῦτο οὐκ ἀφῆκεν αὐτάρκεις αὐτοὺς ἑαυτοῖς εἶναι. εἰ γὰρ καὶ νῦν ἐν χρείᾳ ὄντες πολλοὶ καταφρονοῦσιν, εἰ μὴ τοῦτο ἦν, ποῦ οὐκ ἂν ἐξῆλθον ὑπεροψίας; ὥστε τὸ οὕτω καυχᾶσθαι οὐ φθονῶν αὐτοῖς ἀνεῖλεν, ἀλλ' ἀφέλκων αὐτοὺς τῆς ἀπωλείας τῆς ἐντεῦθεν γινομένης.

* ἵνα μὴ ἀποπεσόντες ἀπόλωνται.

30 Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. Τό, ἐξ αὐτοῦ, ἐνταῦθα οὐ περὶ τῆς εἰς τὸ εἶναι παραγωγῆς οἶμαι λέγειν αὐτόν, ἀλλὰ περὶ τῆς πίστεως· τουτέστι, τέκνα Θεοῦ γενέσθαι οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός. μὴ νομίσητε τοίνυν ὅτι ἀφελόμενος ἡμᾶς τοῦ καυχήματος, εἴασεν οὕτω. μεῖζον γὰρ ἕτερον ἔδωκε καύχημα. ἐκείνου γὰρ ἐνώπιον οὐ δεῖ καυχᾶσθαι. παῖδες αὐτοῦ ἐστε, διὰ τοῦ Χριστοῦ τοῦτο γενόμενοι. καὶ ἐπειδὴ εἶπε, τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο καὶ τὰ ἀγενῆ, δείκνυσιν ὅτι πάντων εἰσὶν εὐγενέστεροι, τὸν Θεὸν ἔχοντες πατέρα· τῆς δὲ εὐγενείας ταύτης οὐχ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' ὁ Χριστὸς ὑμῖν ἐστιν αἴτιος, σοφοὺς ὑμᾶς ποιήσας καὶ δικαίους καὶ ἁγίους. τοῦτο γάρ ἐστιν, ἐγενήθη ἡμῖν σοφία. τίς οὖν ἡμῶν σοφώτερος τῶν οὐ τὴν Πλάτωνος ἐχόντων σοφίαν, ἀλλ' αὐτὸν τὸν Χριστόν, τοῦτο τοῦ Θεοῦ βουληθέντος; τί δέ ἐστιν, ἀπὸ Θεοῦ; ὅταν μεγάλα εἴπῃ περὶ τοῦ μονογενοῦς, τότε προσάπτει τὸν πατέρα, ἵνα μὴ νομίσῃ τις ἀγέννητον εἶναι τὸν υἱόν. ἐπειδὴ οὖν εἶπεν, ὅτι τοσαῦτα ἴσχυσε, τὸ πᾶν ἀνέθηκε τῷ υἱῷ, σοφίαν αὐτὸν λέγων ἡμῖν γεγενῆσθαι καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν. διὰ τοῦ υἱοῦ πάλιν τὸ πᾶν ἀνατιθεὶς τῷ πατρὶ εἶπεν, ἀπὸ Θεοῦ. διατί δὲ μὴ εἶπεν, ἐσόφισεν ἡμᾶς, ἀλλ', ἐγενήθη ἡμῖν σοφία; τὸ δαψιλὲς ἐνδεικνύμενος τῆς δωρεᾶς· ὡς ἂν εἰ ἔλεγεν, ἑαυτὸν ἡμῖν ἔδωκε. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. πρότερον γὰρ ἡμᾶς σοφοὺς ἐποίησεν ἀπαλλάξας τῆς πλάνης, καὶ τότε δικαίους καὶ ἁγίους, τὸ πνεῦμα χαρισάμενος, καὶ οὕτως ἀπήλλαξεν ἡμᾶς ἁπάντων τῶν κακῶν, ὥστε αὐτοῦ εἶναι, καὶ τῆς οἰκειώσεως τούτου καὶ τῆς πίστεως. ἀλλαχοῦ μὲν οὖν φησιν, ὅτι ἡμεῖς ἐγενόμεθα δικαιοσύνη ἐν αὐτῷ, οὕτω λέγων· Τὸν μὴ γνόντα ἁμαρτίαν, ἁμαρτίαν ὑπὲρ ἡμῶν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ· νῦν δὲ αὐτόν φησι δικαιοσύνην ἡμῖν γεγενῆσθαι, ὥστε ἔξεστι τῷ βουλομένῳ μετέχειν δαψιλῶς. οὐ γὰρ ὁ δεῖνα σοφοὺς ἐποίησε, καὶ ὁ δεῖνα, ἀλλ' ὁ Χριστός. ὁ τοίνυν καυχώμενος, ἐν αὐτῷ καυχάσθω, μὴ ἐν τῷ δεῖνι. παρὰ τοῦ Χριστοῦ γέγονεν ἅπαντα. διὸ εἰπών, ὃς ἐγενήθη ἡμῖν σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἐπήγαγεν·

γρ. ὑμᾶς

β.Κορ.ε.κα.

31 Ἵνα, καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Ἱερ.θ.κγ.

Διὰ τοῦτο καὶ σφοδρῶς κατηνέχθη κατὰ τῆς τῶν Ἑλλήνων σοφίας, ἵνα τοῦτο αὐτὸ πείσῃ τοὺς ἀνθρώπους, ὥσπερ οὖν καὶ ἔστι δίκαιον, ἐν Θεῷ καυχᾶσθαι. ὅταν γὰρ παρ' ἑαυτῶν τὰ ὑπὲρ ἑαυτοὺς ζητῶμεν, οὐδὲν μωρότερον, οὐδὲν ἀσθενέστερον ἡμῶν γίνεται. γλῶτταν μὲν γὰρ ἔχειν ἠκονημένην δυνατόν, δόγματα δὲ ἰσχυρὰ ἀμήχανον· ἀλλὰ τοῖς τῶν ἀραχνίων ὑφάσμασιν ἐοίκασιν οἱ λογισμοὶ καθ' ἑαυτοὺς ὄντες. εἰς τοῦτο γάρ τινες παρήλασαν μανίας, ὡς μηδὲν ἀληθὲς εἶναι λέγειν τῶν ὄντων, ἀλλὰ πάντα ἐναντία διϊσχυρίζεσθαι τῶν φαινομένων. μηδὲν τοίνυν εἴπῃς σαυτοῦ, ἀλλ' ἐν πᾶσιν ἐν Θεῷ καυχῶ· μηδενὶ ἀνθρώπῳ τί ποτε λογίσῃ. εἰ γὰρ Παύλῳ οὐδὲν χρὴ λογίζεσθαι, πολλῷ μᾶλλον ἑτέροις. Ἐγὼ γάρ, φησιν, ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν. ὁ μαθὼν ἐν Κυρίῳ καυχᾶσθαι, οὐδέποτε ἐ-

γρ. Κυρίῳ

α.Κορ.γ.ς.

παρθήσεται, ἀλλ' ἀεὶ καὶ μετριάσει, καὶ ἐν πᾶσιν ἔσται εὐχάριστος. ἀλλ' οὐ τὰ τῶν Ἑλλήνων τοιαῦτα, ἀλλὰ πάντα ἑαυτοῖς ἀνατιθέασι. διὸ καὶ ἀπὸ ἀνθρώπων ποιοῦσι θεούς· οὕτως αὐτῶν ἡ ἀπόνοια ἐξετραχήλισεν.

ΗΘΙΚΟΝ

Ὥρα δὴ λοιπὸν ἐστὶ πρὸς τὴν τούτων ἐξελθεῖν μάχην. πόθεν τοίνυν κατελίπομεν τὸν λόγον τῇ προτέρᾳ; ἐλέγομεν, ὅτι οὐκ ἦν δυνατὸν κατὰ ἀνθρωπίνην ἀκολουθίαν περιγενέσθαι τῶν φιλοσόφων τοὺς ἁλιέας· ἀλλ' ὅμως γέγονε δυνατόν. ὅθεν δῆλον, ὅτι χάριτι γέγονεν. ἐλέγομεν, ὅτι οὐκ ἦν δυνατὸν οὐδὲ ἐννοῆσαι αὐτοὺς τοσαῦτα κατορθώματα· καὶ ἐδείξαμεν ὅτι οὐ μόνον ἐνενόησαν, ἀλλὰ καὶ εἰς τέλος ἤγαγον μετὰ πολλῆς τῆς εὐκολίας. τὸ αὐτὸ δὴ καὶ σήμερον γυμνάσωμεν τοῦ λόγου τὸ κεφάλαιον, πόθεν αὐτοῖς ἐπῆλθε προσδοκῆσαι τῆς οἰκουμένης περιγενέσθαι, εἰ μὴ εἶδον τὸν Χριστὸν ἀναστάντα. μὴ γὰρ ἐξεστήκεσαν, ὥστε τοιοῦτόν τι λογίσασθαι ἁπλῶς καὶ εἰκῇ; καὶ γὰρ ὑπερβάλλει πᾶσαν μανίαν τὸ προσδοκῆσαι ἄνευ θείας χάριτος τοσούτου περιγενέσθαι πράγματος. πῶς αὐτὸ κατώρθωσαν μαινόμενοι καὶ ἐξεστηκότες; εἰ δὲ ἐσωφρόνουν, ὥσπερ οὖν καὶ τὰ πράγματα ἔδειξε, πῶς ἄνευ τοῦ λαβεῖν ἐνέχυρα ἀξιόπιστα ἐκ τῶν οὐρανῶν καὶ τῆς ἄνωθεν ἀπολαῦσαι ῥοπῆς, ὑπέμενον πρὸς τοσούτους ἐξελθεῖν πολέμους, καὶ γῆς καὶ θαλάττης κατατολμῆσαι, καὶ πρὸς μεταβολὴν τῶν τῆς οἰκουμένης ἁπάσης ἐθῶν τῶν ἐν χρόνῳ τοσούτῳ παγέντων ἄνθρωποι δώδεκα ἀποδύσασθαι, καὶ στῆναι γενναίως οὕτω; καὶ τὸ δὴ μεῖζον, πρὸς οὐρανὸν καλοῦντες καὶ τὰς ἄνω διατριβάς, πόθεν προσεδόκων πείθειν τοὺς ἀκούοντας; καὶ εἰ μὲν ἦσαν ἐν δόξῃ καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ παιδεύσει τραφέντες, μάλιστα μὲν οὐδὲ οὕτω πρὸς τοσοῦτον ὄγκον πραγμάτων εἰκὸς ἦν αὐτοὺς ἐπαρθῆναι· πλὴν ἀλλὰ μᾶλλον τινὰ λόγον εἶχεν ἡ προσδοκία. νῦν δὲ οἱ μὲν περὶ λίμνας, οἱ δὲ περὶ δέρματα ἠσχολοῦντο, οἱ δὲ περὶ τελωνίαν. οὐδὲν τούτων τῶν ἐπιτηδευμάτων ἀχρηστότερον πρὸς φιλοσοφίαν καὶ πρὸς τὸ πεῖσαι μεγάλα φαντάζεσθαι, καὶ μάλιστα ὅταν μὴ παράδειγμά τις ἔχῃ. μᾶλλον δὲ οὐ μόνον παραδείγματα οὐκ εἶχον ὅτι περιέσονται, ἀλλ' ὅτι καὶ οὐ περιέσονται· καὶ ταῦτα ἔναυλα. πολλοὶ γὰρ ἐπιχειρήσαντες καινοτομίαις ἐσβέσθησαν, οὐχὶ τοῖς παρ' Ἕλλησι λέγω (ἐκεῖνα γὰρ οὐδὲν ἦν) ἀλλὰ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις ἐν αὐτῷ τῷ καιρῷ, οὐχὶ μετὰ δώδεκα ἀνθρώπων, ἀλλὰ μετὰ πλήθους πολλοῦ τοῖς πράγμασιν ἐπιτιθέμενοι. καὶ γὰρ Θευδᾶς καὶ Ἰούδας συστήματα ἔχοντες μεγάλα ἀνθρώπων μετὰ τῶν μαθητῶν ἀπώλοντο, καὶ ὁ παρ' ἐκείνων φόβος ἱκανὸς ἦν τούτους παιδεῦσαι, εἰ μὴ σφόδρα ἦσαν πεπεισμένοι ὅτι ἄνευ θείας δυνάμεως ἀμήχανον περιγενέσθαι. εἰ δὲ καὶ προσεδόκων κρατῆσαι, ποίαις ἐλπίσι τοσούτους ἀνεδέχοντο κινδύνους, εἰ μὴ πρὸς τὰ μέλλοντα ἑώρων; θῶμεν δὲ ὅτι καὶ ἤλπιζον κρατῆσαι· τί προσεδόκων κερδαίνειν ἐκ τοῦ προσάγειν ἅπαντας τῷ μὴ ἀναστάντι, καθώς φατε; εἰ γὰρ νῦν πιστεύσαντες ἄνθρωποι περὶ βασιλείας οὐρανῶν καὶ μυρίων ἀγαθῶν, δυσκόλως καταδέχονται κινδύνους, πῶς ἂν ἐκεῖνοι μάτην τοσαῦτα ὑπέμενον, μᾶλλον δὲ καὶ ἐπὶ κακῷ; εἰ γὰρ μὴ ἐγένετο τὰ γεγενημένα, μηδὲ εἰς τὸν οὐρανὸν ὁ Χριστὸς ἀνέβη, πάντως ταῦτα πλάττειν φιλονεικοῦντες καὶ τοὺς ἄλλους πείθειν, τῷ Θεῷ προσκρούειν ἔμελλον καὶ μυρίους ἄνωθεν προσδοκᾶν κεραυνούς· ἄλλως δέ, εἰ καὶ ζῶντος τοῦ Χριστοῦ τοσαύτην εἶχον προθυμίαν, ἀποθανόντος ἂν ἔσβεσαν αὐτήν. ἔδοξε γὰρ ἂν αὐτοῖς, εἰ μὴ ἀνέστη, ἀπατεὼν εἶναί τις καὶ εἴρων. οὐκ ἴστε, ὅτι τὰ στρατόπεδα, τοῦ μὲν στρατηγοῦ καὶ βασιλέως ζῶντος, κἂν ἀσθενῆ ᾖ, συγκροτεῖται· ἀπελθόντων δὲ ἐκείνων, κἂν ἰσχυρὰ ᾖ, διαλύεται; ποίοις οὖν, εἰπέ μοι, λόγοις ἐκέχρηντο πιθανοῖς, μέλλοντες ἅπτεσθαι τοῦ κηρύγματος καὶ πρὸς τὴν οἰκουμένην ἐξιέναι ἅπασαν; ποίοις δὲ κωλύμασιν οὐκ ἂν κατεσχέθησαν; εἰ γὰρ μαινόμενοι ἦσαν (τὸ γὰρ αὐτὸ λέγων οὐ παύσομαι) οὐδὲν ὅλως κατορθῶσαι ἔδει (οὐδεὶς γὰρ μαινομένοις πείθεται) εἰ δὲ κατώρθωσαν, ὥσπερ οὖν καὶ κατώρθωσαν, καὶ δείκνυσι τὸ τέλος, πάντων ἦσαν σοφώτεροι. εἰ δὲ πάντων ἦ-

σαν

σαν σοφώτεροι, εὔδηλον ὅτι οὐκ ἂν ἁπλῶς ἦλθον ἐπὶ τὸ κήρυγμα. εἰ γὰρ μὴ εἶδον αὐτὸν ἀναστάντα, τί ἦν ἱκανὸν αὐτοὺς ἐξαγαγεῖν ἐπὶ τὸν πόλεμον τοῦτον; τί δ᾽ οὐκ ἂν αὐτοὺς ἀπέτρεψεν; εἶπεν αὐτοῖς ὅτι μετὰ τρεῖς ἡμέρας ἀναστήσομαι, καὶ περὶ βασιλείας οὐρανῶν ἐπηγγείλατο· εἶπεν, ὅτι κρατήσουσι τῆς οἰκουμένης πνεῦμα λαβόντες ἅγιον, καὶ μυρία πρὸς τούτοις ἕτερα πᾶσαν ὑπερβαίνοντα φύσιν. ὥστε εἰ μηδὲν τούτων γέγονεν, εἰ καὶ ζῶντι ἐπείθοντο, τελευτήσαντος οὐκ ἂν ἐπείσθησαν, εἰ μὴ εἶδον ἀναστάντα. εἶπον γὰρ ἄν· μετὰ τρεῖς ἡμέρας ἔλεγεν ἀναστήσομαι, καὶ οὐκ ἀνέστη· πνεῦμα ὑπέσχετο δώσειν, καὶ οὐκ ἔπεμψε. πῶς οὖν ὑπὲρ τῶν μελλόντων αὐτῷ πιστεύσομεν, τῶν παρόντων ἐληλεγμένων; τίνος δὲ ἕνεκεν μὴ ἀναστάντος, ἐκήρυττον ὅτι ἀνέστη; ἐπειδὴ ἐφίλουν αὐτόν, φησί. καὶ μὴν μισεῖν λοιπὸν εἰκὸς ἦν ἀπατήσαντα καὶ προδεδωκότα, καὶ ὅτι μυρίαις αὐτοὺς ἐλπίσιν ἐπάρας, καὶ οἰκίας, καὶ γονέων, καὶ πάντων ἀποστήσας, καὶ ὁλόκληρον ἔθνος ἐκπολεμώσας αὐτοῖς τὸ Ἰουδαίων, προδέδωκεν ὕστερον. καὶ εἰ μὲν ἀσθενείας ἦν τὸ γινόμενον, συνέγνωσαν ἄν· νυνὶ δὲ κακουργίας πολλῆς εἶναι ἐνομίζετο. ἔδει γὰρ τἀληθὲς εἰπεῖν, καὶ μὴ τὸν οὐρανὸν ἐπαγγέλλεσθαι ἄνθρωπον ὄντα θνητόν, ὥς φατε. ὥστε τοὐναντίον εἰκὸς ἦν αὐτοὺς ποιεῖν, κηρύττειν τὴν ἀπάτην, καὶ λέγειν αὐτὸν εἴρωνα καὶ γόητα· οὕτω γὰρ ἂν καὶ τῶν κινδύνων ἀπηλλάγησαν, οὕτω καὶ τὸν πόλεμον ἔλυσαν. εἰ γὰρ τοῖς στρατιώταις ἀργύριον ἔδωκαν οἱ Ἰουδαῖοι ἵνα εἴπωσιν, ὅτι ἔκλεψαν τὸ σῶμα, εἰ προελθόντες εἶπον οἱ μαθηταὶ ὅτι ἐκλέψαμεν, καὶ οὐκ ἀνέστη, ποίας ἂν οὐκ ἀπήλαυσαν τιμῆς; ὥστε ἐξῆν αὐτοῖς καὶ τιμᾶσθαι καὶ στεφανοῦσθαι. τίνος οὖν ἕνεκεν τὸ ὑβρίζεσθαι καὶ κινδυνεύειν ἀντικατηλλάξαντο τούτων, εἰ μὴ θεία τις ἦν ἡ πείθουσα αὐτοὺς δύναμις, ἡ τούτων ἁπάντων δυνατωτέρα; εἰ δὲ μηδέπω πειθόμεθα, λογίζου κἀκεῖνο ὅτι εἰ μὴ τοῦτο ἦν, κἂν εἰ σφόδρα προεσκευάζοντο, οὐκ ἂν ἐπ᾽ αὐτῷ τὸ κήρυγμα ἐκήρυξαν, ἀλλ᾽ ἀπεστράφησαν αὐτόν. ἴστε γὰρ ὅτι οὐδὲ τὰ ὀνόματα βουλόμεθα τῶν τὰ τοιαῦτα ἀπατώντων ἡμᾶς ἀκούειν. τίνος δὲ ἕνεκεν καὶ ἐκήρυττον αὐτοῦ τὸ ὄνομα; προσδοκῶντες ὅτι κρατήσουσι δι᾽ αὐτοῦ; καὶ μὴν τοὐναντίον ἐχρῆν προσδοκᾶν, ὅτι εἰ καὶ ἔμελλον κρατήσειν, ἀπώλλυντο ἀπατεῶνος ὄνομα φέροντες εἰς μέσον. εἰ δὲ συσκιάσαι τὰ πρότερα ἐβούλοντο, ἔδει σιγῆσαι· ὡς τό γε ἐπαγωνίζεσθαι, μειζόνως ἀνῆπτε καὶ τὸν πόλεμον καὶ τὸν γέλωτα. πόθεν οὖν ἐπῆλθεν αὐτοῖς ἀναπλάσαι τοιαῦτα; καὶ γὰρ ἅπερ ἤκουσαν, ἀπώλεσαν. εἰ δὲ οὐκ ὄντος φόβου πολλὰ ἐπελανθάνοντο, καὶ τινὰ οὐδὲ ἐνόουν (καθὼς καὶ ὁ εὐαγγελιστής φησι) τοσούτου κινδύνου καταλαβόντος, πῶς οὐκ ἂν ἅπαντα αὐτῶν ἀπέπτη; καὶ τί λέγω τὰ ῥήματα; ὅπου γε καὶ ὁ πρὸς αὐτὸν τοῦ διδασκάλου πόθος ἠρέμα κατεμαραίνετο τῷ φόβῳ τῶν ἐσομένων, ὅπερ αὐτοῖς καὶ ὠνείδισεν. ἐπειδὴ γὰρ πρὸ τούτου μὲν ἐκκρεμάμενοι αὐτοῦ, συνεχῶς ἠρώτων, ποῦ ὑπάγεις, ὕστερον δὲ ὅτε τοὺς μακροὺς ἀπέτεινε λόγους τὰ δεινὰ διηγούμενος τὰ παρὰ αὐτὸν τὸν σταυρὸν καταληψόμενα αὐτούς, εἶτα τῷ δέει παγέντες ἐναπέμειναν ἀχανεῖς, ἄκουσον πῶς τοῦτο αὐτὸ προσφέρει αὐτοῖς λέγων· Οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις· ἀλλ᾽ ὅτι λελάληκα ὑμῖν ταῦτα, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ιωάν. ις. ε. εἰ τοίνυν προσδοκῶντες αὐτὸν ἀποθανεῖσθαι καὶ ἀναστήσεσθαι οὕτως ἤλγουν, ἀναστάντα αὐτὸν μὴ ἰδόντες, πῶς οὐκ ἂν ἀπώλοντο, καὶ εἰς αὐτὴν ἂν ἐσπούδασαν καταδῦναι τὴν γῆν, καὶ ἀθυμίᾳ τῇ τῆς ἀπάτης καὶ δέει τῶν ἐσομένων πολιορκούμενοι; πόθεν δὲ καὶ τὰ ὑψηλὰ αὐτοῖς δόγματα; τὰ γὰρ ὑψηλότερα ὕστερον εἶπεν αὐτοὺς ἀκούσεσθαι. Πολλὰ γὰρ ἔχω λέγειν ὑμῖν, φησίν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι. Ιωάν. ις. ιβ. ὥστε τὰ μὴ λεγόμενα ὑψηλότερα ἦν. εἷς δὲ τῶν μαθητῶν οὐδὲ εἰς τὴν Ἰουδαίαν ἤθελεν ἀπελθεῖν μετ᾽ αὐτοῦ, ἐπειδὴ κινδύνων ἤκουσεν, ἀλλ᾽ ἔλεγεν, Ἀπέλθωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ᾽ αὐτοῦ, Ιωάν. ια. ις. βαρυνόμενος ἐπειδὴ προσεδόκησεν ἀποθανεῖσθαι. εἰ δὲ μετ᾽ αὐτοῦ ὢν προσεδόκησεν ἀποθανεῖσθαι, καὶ ἀνεδύετο διὰ τοῦτο, καὶ χωρὶς αὐτοῦ καὶ τῶν λοιπῶν μαθητῶν τί οὐκ ἂν ἤλπισε τότε; καὶ πολὺς ὁ ἔλεγχος ἦν τῆς ἀναισχυντίας. τί δὲ καὶ

γρ. ἀπέτρεψεν

εἶχον

εἶχον εἰπεῖν ἐξιόντες; τὸ μὲν γὰρ πάθος ἡ οἰκουμένη πᾶσα ᾔδει. καὶ γὰρ ἐφ' ὑψηλοῦ ἐκρέματο τοῦ ἰκρίου, καὶ ἐν ἡμέρᾳ μέσῃ, καὶ ἐν μητροπόλει, καὶ ἐν ἑορτῇ μεγίστῃ, καὶ ἐν ᾗ μάλιστα οὐκ ἐνῆν τινα ἀπολειφθῆναι. τὴν δὲ ἀνάστασιν οὐδεὶς εἶδε τῶν ἔξωθεν, ὅπερ οὐ μικρὸν αὐτοῖς πρὸς τὸ πείθειν ἐμπόδιον ἦν. καὶ ὅτι μὲν ἐτάφη, πάντες διεθρύλλουν· καὶ ὅτι ἔκλεψαν τὸ σῶμα αὐτοῦ οἱ μαθηταὶ, οἱ στρατιῶται μετὰ τῶν Ἰουδαίων ἁπάντων ἔλεγον· ὅτι δὲ ἀνέστη, τῶν ἔξωθεν οὐδεὶς εἶδε. πόθεν οὖν προσεδόκησαν πείθειν τὴν οἰκουμένην; εἰ γὰρ θαυμάτων γινομένων στρατιῶται ἐπείσθησαν τὰ ἐναντία μαρτυρῆσαι, πόθεν προσεδόκων οὗτοι χωρὶς θαυμάτων κηρύττειν, καὶ μηδὲ ὀβολὸν κεκτημένοι πείθειν γῆν καὶ θάλατταν περὶ τῆς ἀναστάσεως; εἰ δὲ δόξης ἐρῶντες τοῦτο ἐποίουν, πολλῷ μᾶλλον ἂν ἕκαστος ἑαυτῷ δόγματα ἐπεφήμισεν, οὐχὶ τῷ ἀπελθόντι. ἀλλ' οὐκ ἂν ἐπείσθησαν αὐτοῖς οἱ ἄνθρωποι; καὶ περὶ τίνος μᾶλλον ἀκούοντες ἐπίστευον; περὶ ἐκείνου τοῦ συλληφθέντος καὶ σταυρωθέντος, ἢ περὶ αὐτῶν τῶν τὰς χεῖρας ἐκφυγόντων τὰς Ἰουδαϊκάς; τίνος δὲ ἕνεκεν, εἰπέ μοι, ἔμελλον τοῦτο ποιεῖν; οὐκ εὐθέως τὴν Ἰουδαίαν ἀφέντες, εἰς τὰς ἔξω πόλεις ἐπῆλθον, ἀλλ' ἔνδον ἐστρέφοντο. πῶς δὲ, εἰ μὴ σημεῖα ἐποίουν, ἔπειθον; εἰ μὲν γὰρ ἐποίουν (ἐποίουν γὰρ) Θεοῦ δύναμις ἦν τὸ γινόμενον· εἰ δὲ μὴ ἐποίουν καὶ ἐκράτουν, πολὺ θαυμαστότερον ἦν τὸ συμβάν. οὐκ ᾔδεσαν Ἰουδαίους, εἰπέ μοι, καὶ τὴν πονηρὰν αὐτῶν μελέτην, καὶ τὴν φθόνου γέμουσαν ψυχήν; καὶ γὰρ Μωϋσέα ἐλίθασαν μετὰ τὸ πέλαγος ὅπερ ἐπέζευσαν, μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον ἐκεῖνο τὸ θαυμαστὸν, ὅπερ ἔστησαν ἀναιμωτὶ διὰ τῶν ἐκείνου χειρῶν, καταδουλωσαμένων αὐτοὺς Αἰγυπτίων, μετὰ τὸ μάννα, μετὰ τὰς πέτρας καὶ τὰς πηγὰς τῶν ποταμῶν τὰς ἐκεῖθεν ῥαγείσας, μετὰ μυρία θαύματα ἐπὶ τῆς Αἰγύπτου καὶ τῆς ἐρυθρᾶς καὶ τῆς ἐρήμου. Ἱερεμίαν εἰς λάκκον ἐνέβαλον, καὶ πολλοὺς τῶν προφητῶν κατέσφαξαν. χ. ἔβαλον ἄκουσον γοῦν τί φησιν Ἠλίας μετὰ τὸν φοβερὸν λιμὸν ἐκεῖνον καὶ τὸν θαυμαστὸν ὑετὸν καὶ τὴν λαμπάδα, ἣν ἐκ τῶν οὐρανῶν κατήνεγκε, καὶ τὸ παράδοξον ὁλοκαύτωμα, ὡς πορρωτάτω τῆς χώρας αὐτῶν ἐλαυνόμενος· γ. Βασ. ιθ. ι. Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. καίτοιγε οὐδὲν τῶν νομίμων ἐκίνουν. τούτοις οὖν πόθεν εἶχον προσέχειν, εἰπέ μοι; καὶ γὰρ ἁπάντων ἦσαν ἐκείνων ἀτελέστεροι. καὶ τοιαῦτα ἐκαινοτόμουν, δι' ἃ καὶ τὸν διδάσκαλον ἐσταύρωσαν· καὶ ἄλλως δὲ, οὐχ οὕτως ἐδόκει δεινὸν εἶναι τὸ τὸν Χριστὸν ταῦτα λέγειν, καὶ τούτους. τὸν μὲν γὰρ ἴσως ἐνόμιζον ἑαυτοῦ δόξαν κτώμενον ταῦτα ποιεῖν, τούτους δὲ καὶ μειζόνως ἂν ἐμίσησαν, ἅτε ὑπὲρ ἑτέρου πολεμοῦντας αὐτοῖς. ἀλλ' οἱ νόμοι αὐτοῖς ἐβοήθουν οἱ Ῥωμαίων; ἀλλ' ἀπὸ τούτων ἐνεποδίζοντο μᾶλλον. καὶ γὰρ ἔλεγον, Ἰωαν. ιθ. ιβ. Πᾶς ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι φίλος τοῦ Καίσαρος. ὥστε τοῦτο μόνον ἱκανὸν ἦν ἐμποδίσαι, ὅτι τοῦ νομισθέντος τυράννου καὶ μαθηταὶ ἦσαν, καὶ τὰ ἐκείνου κρατύνειν ἐβούλοντο. τί δὲ ὅλως αὐτοὺς ἐπῆρεν εἰς τοσούτους κινδύνους ἐμπεσεῖν; τί δὲ περὶ αὐτοῦ λέγοντες ἐδόκουν ἂν εἶναι πιθανοί; ὅτι ἐσταυρώθη; ὅτι ἀπὸ γυναικὸς ἐτέχθη Ἰουδαίας πτωχῆς Ἰουδαίῳ τέκτονι μεμνηστευμένης; ὅτι ἐξ ἔθνους ἦν τῇ οἰκουμένῃ ἀπεχθανομένου; ἀλλὰ ταῦτα πάντα οὐχὶ πείθειν μόνον καὶ ἐφέλκεσθαι τοὺς ἀκούοντας, ἀλλὰ καὶ προσίστασθαι πᾶσιν ἦν ἱκανά, καὶ μάλιστα τὰ παρὰ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως λεγόμενα. οὐκ ἂν οὖν ταῦτα πάντα ἐνενόησαν οἱ μαθηταί; καὶ γὰρ αἱ δειλαὶ φύσεις πλείονα τῶν ὄντων ἀναπλάττειν δύνανται. τοιαῦται δὲ ἦσαν αἱ ἐκείνων. πόθεν οὖν ἤλπιζον κατορθώσειν; μᾶλλον δὲ οὐκ ἤλπισαν, μυρίων ὄντων τῶν ἀπαγόντων αὐτοὺς, εἴγε μὴ ἀνέστη ὁ Χριστός. χ. ἀπαγαγόντων οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι εἰ μὴ δαψιλοῦς καὶ μεγάλης ἀπήλαυσαν χάριτος, καὶ ἐνέχυρα τῆς ἀναστάσεως ἔλαβον, οὐ μόνον πρᾶξαι καὶ ἐπιχειρῆσαι, ἀλλ' οὐδὲ ἐννοῆσαι ταῦτα ἠδύναντο; εἰ γὰρ τοσούτων ὄντων κωλυμάτων πρὸς τὸ βουλεύσασθαι, οὐ λέγω πρὸς τὸ κατορθῶσαι, καὶ ἐβουλεύσαντο καὶ εἰς ἔργον ἐξήγαγον καὶ μείζονα πάσης ἐλπίδος ἐποίησαν, παντί που δῆλον ὅτι

οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλὰ θείᾳ χάριτι πάντα εἰργάζοντο. τούτους τοίνυν τοὺς λόγους γυμνάζωμεν, μὴ καθ' ἑαυτοὺς μόνοι, ἀλλὰ καὶ μετ' ἀλλήλων. οὕτω δ' ἂν εὐκολωτέρα γένοιτο ἡμῖν καὶ ἡ τῶν λοιπῶν εὕρεσις. μηδέ, ὅτι χειροτέχνης εἶ, ἀλλοτρίαν τὴν μελέτην ταύτην εἶναι νόμιζε. καὶ γὰρ Παῦλος σκηνοποιὸς ἦν, ἀλλὰ καὶ πολλῆς ἐνεπλήσθη τότε χάριτος, φησί, κἀκεῖθεν ἅπαντα ἐφθέγγετο. ἀλλὰ καὶ πρὸ τῆς χάριτος παρὰ τοὺς πόδας Γαμαλιήλου ἦν, καὶ τὴν χάριν δὲ διὰ τοῦτο ἔλαβεν, ἐπειδὴ γνώμην ἀξίαν τῆς χάριτος ἐπεδείξατο, καὶ μετὰ ταῦτα πάλιν τὴν τέχνην μετεχείριζε. μηδεὶς τοίνυν αἰσχυνέσθω τῶν τὴν τέχνην ἐχόντων, ἀλλ' οἱ εἰκῇ τρεφόμενοι καὶ ἀργοῦντες, οἱ διακόνοις κεχρημένοι πολλοῖς, καὶ ἀφάτου θεραπείας ἀπολαύοντες. τὸ γὰρ διαπαντὸς ἐργαζομένους τρέφεσθαι, φιλοσοφίας εἶδός ἐστι. τούτων αἱ ψυχαὶ καθαρώτεραι, τούτων αἱ διάνοιαι εὐτονώτεραι. ὁ γὰρ ἀργῶν πολλὰ εἰκῇ μᾶλλον φθέγγεται, καὶ πολλὰ εἰκῇ πράττει, καὶ ἐργάζεται δι' ὅλης ἡμέρας οὐδέν, πολλῆς ναρκῆς ἐμπεπλησμένος· ὁ δὲ ἐν ἐργασίᾳ ὢν οὐδὲν ταχέως περιττὸν παραδέξεται οὔτε ἐν ἔργοις, οὔτε ἐν λόγοις, οὔτε ἐν ἐννοίαις. ὅλη γὰρ δι' ὅλου συντέτακται πρὸς τὸν ἐπίπονον βίον ἡ ψυχή. μὴ τοίνυν καταφρονῶμεν τῶν ἀπὸ τῶν χειρῶν τρεφομένων, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς μακαρίζωμεν διὰ τοῦτο. ποία γάρ σοι χάρις, εἰπέ μοι, ὅταν τὸν κλῆρον παρὰ τοῦ πατρὸς δεξάμενος, οὐδὲν πράττων διατελῇς, ἀλλὰ ἀναλίσκῃς πάντα ἐκεῖνα εἰκῇ; οὐκ οἶδας ὅτι οὐ πάντες τὸν αὐτὸν ἀποδώσομεν λόγον, ἀλλ' οἱ μὲν πλείονος ἐνταῦθα ἀπολαύσαντες ἀδείας, χαλεπώτερον, οἱ δὲ κακωθέντες ἢ πόνοις ἢ πενίᾳ ἢ ἑτέρῳ τινὶ τοιούτῳ, ἡμερώτερον; καὶ ταῦτα ἀπὸ τοῦ Λαζάρου, καὶ τοῦ πλουσίου δῆλα. σὺ μὲν γὰρ εἰς οὐδὲν δέον τῇ σχολῇ χρησάμενος εἰκότως ἐγκαλῇ, ὁ δὲ πένης καὶ μετὰ ἀσχολίας τὸ ὑπόλοιπον τοῦ χρόνου εἰς τὰ δέοντα ἀναλώσας, μεγάλων ἀπολαύσεται τῶν στεφάνων. ἀλλὰ καὶ στρατείαν μοι προβάλλῃ πάντως, καὶ τῆς ἀσχολίας αὐτὴν αἰτιάσῃ; ἀλλ' οὐκ ἂν ἔχοι λόγον ἡ σκῆψις. καὶ γὰρ ὁ Κορνήλιος ἑκατοντάρχης ἦν, καὶ οὐδὲν ἡ ζώνη τὴν ἀκριβῆ πολιτείαν παρέβλαψε. σὺ δὲ ὅταν ὀρχησταῖς καὶ μίμοις σχολάζῃς, καὶ διαπαντὸς ἐπὶ τῆς σκηνῆς ἀναλίσκῃς τὸν βίον, οὐδαμοῦ οὐ στρατείας ἀνάγκην, οὐκ ἀρχόντων προβάλλῃ φόβον· ὅταν δὲ ἐπὶ τὴν ἐκκλησίαν καλῶμεν, τότε τὰ μυρία κωλύματα. καὶ τί κατὰ τὴν ἡμέραν ἐκείνην ἐρεῖς, ὅταν ἴδῃς τὴν φλόγα καὶ τοὺς τοῦ πυρὸς ποταμοὺς καὶ τὰ δεσμὰ τὰ ἄλυτα, καὶ βρυχομένων ἀκούσῃς ὀδόντων; τίς σου προστήσεται κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἴδῃς τὸν μὲν χειροτέχνην καὶ ὀρθῶς βεβιωκότα, πάσης ἀπολαύοντα δόξης· σαυτὸν δὲ τὸν νῦν ἐν σηρικοῖς ἱματίοις ὄντα, καὶ μύρων πνέοντα, ἀνήκεστα πάσχοντα; τί σοι τοῦ πλούτου καὶ τῆς περιουσίας ἔσται ὄφελος; τί δὲ τῷ χειροτέχνῃ τῆς πενίας βλάβος; ἵν' οὖν μὴ ποτε πάθωμεν, φοβηθῶμεν τὰ λεγόμενα νῦν, καὶ τὴν ἀσχολίαν ἅπασαν εἰς τὴν τῶν ἀναγκαίων πραγμάτων ἀναλώσωμεν διατριβήν. οὕτω γὰρ ἐξιλεωσάμενοι τὸν Θεὸν ὑπὲρ τῶν παρελθόντων ἁμαρτημάτων, καὶ τὰ μέλλοντα προσθέντες κατορθώματα, δυνησόμεθα τῆς βασιλείας ἐπιτυχεῖν τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

ἀσχολίαν

Λογ. ϛ. 1 ΚΑ'ΓΩ, ΑΔΕΛΦΟΙ, ΕΛΘΩΝ ΠΡΟΣ Υ- χξζʹ β.
ΜΑΣ, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρ-
τύριον τοῦ Θεοῦ. 2 Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν
Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

Οὐδὲν

ΟΥδὲν τῆς ψυχῆς ἀγωνιστικώτερον Παύλου, μᾶλλον δὲ οὐ τῆς ἐκείνου ψυχῆς (οὐ γὰρ αὐτὸς ταῦτα ηὕρισκεν) ἀλλ' οὐδὲν τῆς ἐνεργούσης ἐν αὐτῷ χάριτος ἴσον πάντα νικώσης. ἱκανὰ μὲν γὰρ καὶ τὰ ἔμπροσθεν εἰρημένα καταβαλεῖν τὸν τῦφον τῶν ἐπὶ σοφίᾳ κομπαζόντων, μᾶλλον δὲ καὶ μέρος τῶν εἰρημένων. ὥστε δὲ λαμπρὰ γενέσθαι τὰ νικητήρια, καὶ ἐπαγωνίζεται τοῖς λεχθεῖσι, κειμένοις τοῖς ἐναντίοις ἐπεμβαίνων. σκόπει δέ· προήγαγε τὴν προφητείαν τὴν λέγουσαν, ὅτι ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, ἔδειξε τοῦ Θεοῦ τὴν σοφίαν ὅτι διὰ τῆς δοκούσης εἶναι μωρίας κατήργησε τὴν ἔξωθεν φιλοσοφίαν, ἔδειξεν ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων, ἔδειξεν ὅτι οὐ μόνον διὰ ἰδιωτῶν ἐδίδαξεν, ἀλλὰ καὶ ἰδιώτας ἐκάλεσε· νῦν δείκνυσιν ὅτι καὶ αὐτὸ τὸ κηρυττόμενον, καὶ ὁ τρόπος τῆς κηρύξεως ἱκανὰ θορυβῆσαι ἦν, καὶ οὐκ ἐθορύβησεν. οὐ γὰρ δὴ μόνον οἱ μαθηταί, φησιν, ἰδιῶται, ἀλλὰ καὶ ἐγὼ ὁ κηρύττων. διὰ τοῦτό φησι, καὶ ἐγώ, ἀδελφοί (πάλιν τὸ τῶν ἀδελφῶν τέθεικεν ὄνομα, καταλεαίνων τοῦ λόγου τὴν τραχύτητα) ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. τί γάρ, εἰπέ μοι, εἰ καὶ ἐβούλου καθ' ὑπεροχὴν ἐλθεῖν, ἐδύνασο; ἐγὼ μὲν εἰ ἐβουλόμην, οὐκ ἂν ἐδυνήθην· ὁ δὲ Χριστὸς εἰ ἐβουλήθη, ἠδύνατο. ἀλλ' οὐκ ἐβουλήθη, ἵνα λαμπρότερον ποιήσῃ τὸ τρόπαιον. διὸ καὶ ἀνωτέρω δεικνὺς ὅτι αὐτοῦ γέγονεν ἔργον, καὶ αὐτοῦ βούλημα ἦν τὸ οὕτως ἰδιωτικῶς κηρυχθῆναι τὸν λόγον, ἔλεγεν· οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου. πολὺ δὲ μεῖζον καὶ ἀπείρως μεῖζον τοῦ Παῦλον θελῆσαι τοῦτο, τὸ τὸν Χριστὸν θελῆσαι. οὐ τοίνυν εὐγλωττίαν ἐπιδεικνύμενος, φησιν, οὐδὲ τοῖς ἔξωθεν λόγοις ὡπλισμένος καταγγέλλω τὸ μαρτύριον τοῦ Θεοῦ. καὶ οὐκ εἶπε, τὸ κήρυγμα, ἀλλά, τὸ μαρτύριον τοῦ Θεοῦ, ὃ καὶ αὐτὸ ἱκανὸν ἦν ἀποτρέψαι. θάνατον γὰρ περιῄει κηρύττων. διὰ τοῦτο καὶ ἐπήγαγεν, οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. τοῦτο δὲ ἔλεγεν, ὅτι καθόλου τῆς ἔξωθεν σοφίας ἐστὶν ἄμοιρος, ὥσπερ οὖν καὶ ἀνωτέρω ἔλεγεν, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου. ὅτι γὰρ ἦν δυνατὸν καὶ τοῦτο αὐτὸν ἔχειν, δῆλον. οὗ γὰρ τὰ ἱμάτια νεκροὺς ἀνίστη, καὶ αἱ σκιαὶ νοσήματα ἤλαυνον, πολλῷ μᾶλλον εὐγλωττίαν ἠδύνατο ἂν ὑποδέξασθαι ἡ ψυχή. τὸ μὲν γάρ ἐστι μαθητῶν, τὸ δὲ πᾶσαν ὑπερβαίνει τέχνην. ὁ τοίνυν τὰ μείζονα τῆς τέχνης εἰδώς, πολλῷ πλέον τὰ ἐλάσσονα ἴσχυσεν ἄν. ἀλλ' οὐκ ἀφῆκεν ὁ Χριστός. οὐ γὰρ συνέφερεν. εἰκότως οὖν λέγει, οὐ γὰρ ἔκρινά τι εἰδέναι. καὶ γὰρ καὶ ἐγὼ τοῦτο βούλομαι ὅπερ καὶ ὁ Χριστός. ἐμοὶ δὲ δοκεῖ καὶ ταπεινότερον αὐτοῖς διειλέχθαι μᾶλλον ἢ τοῖς ἄλλοις, τὸν τῦφον αὐτῶν καταστέλλων. τὸ τοίνυν, οὐδὲν ἔκρινα εἰδέναι, πρὸς ἀντιδιαστολὴν τῆς ἔξωθεν εἴρηται σοφίας. οὐ γὰρ ἦλθον συλλογισμοὺς πλέκων, οὐδὲ σοφίσματα, οὐδ' ἄλλο τι λέγων ὑμῖν, ἢ ὅτι ὁ Χριστὸς ἐσταυρώθη. ἐκεῖνοι μὲν γὰρ μυρία φασί, καὶ περὶ μυρίων λέγουσι μακροὺς ἑλίττοντες διαύλους λόγων, κατασκευάζοντες λογισμοὺς καὶ συλλογισμούς, μυρία συντιθέντες σοφίσματα· ἐγὼ δὲ ἦλθον πρὸς ὑμᾶς μηδὲν ἄλλο λέγων, ἢ ὅτι ὁ Χριστὸς ἐσταυρώθη, καὶ πάντας ἐκείνους παρήλασα, ὃ τῆς τοῦ κηρυττομένου δυνάμεως σημεῖόν ἐστιν ἄφατον.

3 Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς.

Τοῦτο πάλιν ἄλλο κεφάλαιον. οὐ γὰρ μόνον οἱ πιστεύοντες ἰδιῶται, οὐδὲ μόνον ὁ λέγων ἰδιώτης, οὐδὲ μόνον ὁ τρόπος τῆς διδασκαλίας ἰδιωτείας γέμων, οὐδὲ μόνον αὐτὸ τὸ κήρυγμα ἱκανὸν θορυβῆσαι (σταυρὸς γὰρ καὶ θάνατος ἦν τὸ καταγγελλόμενον) ἀλλὰ μετ' αὐτῶν καὶ ἕτερα κωλύματα ἦν, οἱ κίνδυνοι καὶ αἱ ἐπιβουλαὶ καὶ ὁ καθημερινὸς φόβος καὶ τὸ ἐλαύνεσθαι. ἀσθένειαν γὰρ καὶ τοὺς διωγμοὺς πολλαχοῦ φησι, καθάπερ καὶ ἀλλαχοῦ, Τὴν

ἀσθένειαν τὴν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε. καὶ πάλιν, Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. ποίας; Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. καὶ πάλιν, Διὸ εὐδοκῶ ἐν ἀσθενείαις. εἶτα λέγων ποίαις, ἐπήγαγεν, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις καὶ ἐν στενοχωρίαις. καὶ πάλιν ἐπήγαγε, καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. τί λέγεις; καὶ Παῦλος ἐφοβεῖτο κινδύνους; ἐφοβεῖτο, καὶ σφόδρα ἐδεδοίκει. εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλ' ἄνθρωπος ἦν. τοῦτο δὲ οὐκ ἔγκλημα τοῦ Παύλου, ἀλλ' ἀσθένεια μὲν τῆς φύσεως, ἐγκώμιον δὲ τῆς προαιρέσεως, ὅτι καὶ δεδοικὼς θάνατον καὶ πληγάς, οὐδὲν ἀνάξιον διὰ τὸν φόβον τοῦτον ἐποίησεν. ὡς οἱ λέγοντες ὅτι οὐκ ἐφοβεῖτο πληγάς, οὐ μόνον αὐτὸν οὐ σεμνύνουσιν, ἀλλὰ καὶ ὑποτέμνονται πολὺ τῶν ἐπαίνων. εἰ γὰρ οὐκ ἐφοβεῖτο, ποία καρτερία, ἢ ποία φιλοσοφία τὸ τοὺς κινδύνους φέρειν; ἐγὼ γὰρ διὰ τοῦτο αὐτὸν θαυμάζω ὅτι φοβούμενος, καὶ οὐχ ἁπλῶς φοβούμενος, ἀλλὰ καὶ τρέμων τοὺς κινδύνους, διαπαντὸς ἔδραμε στεφανούμενος, καὶ ἐν οὐδενὶ τῶν κινδύνων ἐνέδωκεν ἐκκαθαίρων τὴν οἰκουμένην, καὶ πανταχοῦ γῆς καὶ θαλάττης τὸ κήρυγμα σπείρων.

[margin: β. Κορ. ια. λ. καὶ λβ. — β. Κορ. ιβ. ι.]

4 Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις·

Τουτέστιν, οὐκ ἔχων τὴν ἔξωθεν σοφίαν. εἰ τοίνυν καὶ τὸ κήρυγμα οὐδὲν εἶχε σεσοφισμένον, καὶ οἱ καλούμενοι ἰδιῶται, καὶ ὁ κηρύττων τοιοῦτος, καὶ διωγμὸς προσῆν καὶ τρόμος καὶ φόβος, πῶς ἐκράτησαν, εἰπέ μοι; διὰ θείας δυνάμεως. διόπερ εἰπών, ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἐπήγαγεν, Ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. Εἶδες πῶς τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς ἰσχυρότερον; οἱ μὲν ἰδιῶται τοιαῦτα κηρύττοντες, δεδεμένοι καὶ ἐλαυνόμενοι περιεγένοντο τῶν ἐλαυνόντων. πόθεν; οὐκ ἀπὸ τοῦ τὴν διὰ πνεύματος παρέχειν πίστιν; τὸ γὰρ τοῦτο ἀπόδειξις ὡμολογημένη. τίς γάρ, εἰπέ μοι, ὁρῶν νεκροὺς ἀνισταμένους καὶ δαίμονας ἐλαυνομένους, οὐκ ἂν κατεδέξατο; ἀλλ' ἐπειδή εἰσι καὶ δυνάμεις ἀπατηλαί, οἷαι τῶν γοήτων, καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν. οὐ γὰρ ἁπλῶς δυνάμεως εἶπεν, ἀλλὰ πρότερον πνεύματος, καὶ τότε δυνάμεως· δεικνὺς ὅτι πνευματικὰ ἦν τὰ γινόμενα. οὐ τοίνυν ἐλάττωσίς ἐστι, τὸ μὴ διὰ σοφίας κατηγγελμένον εἶναι τὸ κήρυγμα, ἀλλὰ καὶ μέγιστος κόσμος. τοῦτο γοῦν μάλιστα δείκνυσιν αὐτὸ θεῖον ὂν καὶ τὰς ῥίζας ἄνωθεν ἔχον ἐκ τῶν οὐρανῶν. διὸ καὶ ἐπήγαγεν·

5 Ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

Εἶδες πῶς σαφῶς διὰ πάντων ἀπέδειξε πολὺ τῆς ἰδιωτείας τὸ κέρδος, καὶ μέγα τῆς σοφίας τὸ βλάβος; αὕτη μὲν γὰρ ἐκένου τὸν σταυρόν, ἐκείνη δὲ ἀνεκήρυττε τοῦ Θεοῦ τὴν δύναμιν· αὕτη πρὸς τῷ μηδὲν εὑρίσκειν τῶν δεόντων καὶ ἐφ' ἑαυτοῖς καυχᾶσθαι παρεσκεύασεν, ἐκείνη πρὸς τῷ τὴν ἀλήθειαν δέξασθαι καὶ ἐπὶ τῷ Θεῷ καλλωπίζεσθαι ἐποίει. πάλιν ἡ σοφία ἀνθρώπινον ὑποπτεύειν τὸ δόγμα πολλοὺς ἀνέπειθεν, αὕτη σαφῶς ἀπεδείκνυε θεῖον ὂν καὶ ἐκ τοῦ οὐρανοῦ καταβάν. ὅταν μὲν οὖν ἐν σοφίᾳ λόγων γίνηται ἀπόδειξις, πολλάκις καὶ οἱ φαυλότεροι κρατοῦσι τῶν ἐπιεικεστέρων, δεινότεροι λέγειν ὄντες, καὶ τὸ ψεῦδος παρελαύνει τὴν ἀλήθειαν· ἐνταῦθα δὲ οὐχ οὕτως. οὔτε γὰρ ἔπεισι τὸ πνεῦμα ἀκαθάρτῳ ψυχῇ, οὔτε ἐπελθὸν δύναται ἡττηθῆναί ποτε, κἂν ἅπασα ἡ τῶν λόγων ἐπίῃ δεινότης. ἡ γὰρ διὰ τῶν ἔργων καὶ τῶν σημείων ἀπόδειξις, τῆς διὰ τῶν λόγων πολλῷ σαφεστέρα.

ΗΘΙΚΟΝ

Ἀλλ' ἐκεῖνο ἴσως εἴποι τις ἄν, ὅτι εἰ χρὴ τὸ κήρυγμα κρατεῖν, καὶ λόγων οὐ δεῖται ἵνα μὴ κενωθῇ ὁ σταυρός, τίνος ἕνεκεν τὰ σημεῖα κεκώλυται νῦν; τίνος ἕνεκεν; ἀπιστῶν λέγεις, καὶ οὐδὲ ἐπὶ τῶν ἀποστόλων αὐτὰ γεγενῆσθαι καταδεχόμενος, ἢ ὄντως ζητῶν μαθεῖν; εἰ γὰρ

ἀπιστῶν,

ἀπιστῶν, πρὸς τοῦτο στήσομαι προσέχοντι. Εἰ γὰρ οὐκ ἐγένετο σημεῖα τότε, πῶς ἐλαυνόμενοι, καὶ διωκόμενοι, καὶ τρέμοντες, καὶ δεδεμένοι, καὶ κοινοὶ γινόμενοι τῆς οἰκουμένης ἐχθροί, καὶ πᾶσι πρὸς τὸ κακῶς παθεῖν προκείμενοι, καὶ οὐδὲν οἴκοθεν ἔχοντες ἐπαγωγόν, οὐ λόγον, οὐ περιφάνειαν, οὐ πλοῦτον, οὐ πόλιν, οὐκ ἔθνος, οὐ γένος, οὐκ ἐπιτήδευμα, οὐ δόξαν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ πάντα τὰ ἐναντία, ἰδιωτείαν, εὐτέλειαν, πενίαν, μῖσος, ἀπέχθειαν, καὶ πρὸς δήμους ὁλοκλήρους ἱστάμενοι, καὶ τοιαῦτα καταγγέλλοντες, ἔπειθον; καὶ γὰρ τὰ ἐπιτάγματα πολὺν εἶχε τὸν μόχθον, καὶ τὰ δόγματα τοὺς κινδύνους· καὶ οἱ ἀκούοντες καὶ πείθεσθαι μέλλοντες, καὶ τρυφῇ καὶ μέθῃ καὶ πολλῇ συντεθραμμένοι(?) ἦσαν κακίᾳ. πόθεν οὖν ἔπεισαν, εἰπέ μοι; πόθεν τὸ ἀξιόπιστον ἔσχον; ὅπερ γὰρ ἔφθην εἰπών, εἰ σημείων χωρὶς ἔπεισε, πολλῷ μεῖζον τὸ θαῦμα φαίνεται. μὴ τοίνυν τὸ μὴ γίνεσθαι νῦν σημεῖα, τεκμήριον ποιοῦ τοῦ μὴ γεγενῆσθαι τότε. καὶ γὰρ καὶ τότε χρησίμως ἐγίνετο, καὶ νῦν χρησίμως οὐ γίνεται. οὐκ ἀναγκάζει δὲ τὸ λόγῳ πείθεσθαι μόνῳ, νῦν ἐν σοφίᾳ εἶναι τὸ κήρυγμα. οἵ τε γὰρ ἐξ ἀρχῆς τῶν λόγων σπείραντες ἰδιῶται ἦσαν καὶ ἀμαθεῖς, καὶ οὐδὲν οἴκοθεν ἔλεγον, ἀλλ᾽ ἅπερ ἐδέξαντο παρὰ τοῦ Θεοῦ, ταῦτα τῇ οἰκουμένῃ διέδωκαν· ἡμεῖς τε αὐτοὶ νῦν, οὐ τὰ παρ᾽ ἑαυτῶν ἐπεισφέρομεν, ἀλλ᾽ ἃ παρ᾽ ἐκείνων ἐλάβομεν, ταῦτα εἰς ἅπαντας λέγομεν. καὶ οὐδὲ νῦν ἀπὸ συλλογισμῶν πείθομεν, ἀλλ᾽ ἀπὸ τῶν θείων γραφῶν καὶ ἀπὸ τῶν τότε σημείων τὴν πίστιν ὧν λέγομεν παρεχόμεθα. καὶ οὗτοι δὲ τότε οὐχὶ σημείοις ἔπειθον μόνοις, ἀλλὰ καὶ διαλεγόμενοι· αὐτοὺς δὲ λόγους ἰσχυροτέρους ἐποίει φαίνεσθαι τὰ σημεῖα καὶ αἱ ἐκ τῆς παλαιᾶς γραφῆς μαρτυρίαι, οὐχ ἡ δεινότης τῶν λεγομένων. πῶς οὖν, φησί, χρήσιμον τότε τὰ σημεῖα, καὶ νῦν οὐ χρήσιμον; ὑποθώμεθα τῷ λόγῳ (πρὸς γὰρ τὸν Ἕλληνά μοι τέως ὁ ἀγὼν διὰ τοῦτο καθ᾽ ὑπόθεσιν λέγω τὸ πάντως ἐσόμενον) ὑποθώμεθα τοίνυν τῷ λόγῳ, καὶ ἀναγκάσθω πιστεῦσαι ὁ ἄπιστος κἂν κατὰ συνδρομὴν τοῖς λεγομένοις, εἰδὼς ὅτι ὁ Χριστὸς ἥξει· ὅταν οὖν ὁ Χριστὸς ἔλθῃ καὶ πάντες οἱ ἄγγελοι μετ᾽ αὐτοῦ, καὶ δειχθῇ Θεός, καὶ πάντα αὐτῷ ὑποτεταγμένα, οὐ πιστεύσει καὶ ὁ Ἕλλην; εὔδηλον ὅτι καὶ προσκυνήσει, καὶ Θεὸν ἐρεῖ, κἂν μυριάκις ἀνένδοτος ᾖ. τίς γὰρ ὁρῶν τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ αὐτὸν ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ πάντα τὸν δῆμον τῶν ἄνω δυνάμεων αὐτῷ περικεχυμένον, καὶ ποταμοὺς πυρὸς ἐρχομένους, καὶ πάντας παρεστῶτας καὶ τρέμοντας, οὐχὶ προσκυνήσει, καὶ Θεὸν ἡγήσεται; ἆρ᾽ οὖν, εἰπέ μοι, λογισθήσεται τῷ Ἕλληνι εἰς πίστιν ἡ προσκύνησις ἐκείνη καὶ ἡ γνῶσις; οὐδαμῶς. τί δήποτε; ὅτι τοῦτο πίστις οὐκ ἔστιν. ἡ γὰρ ἀνάγκη τοῦτο ἐποίησε καὶ ἡ περιφάνεια τῶν ὁρωμένων, καὶ οὐκ ἔστι τὸ πρᾶγμα προαιρέσεως, ἀλλ᾽ ἀπὸ τοῦ μεγέθους τῶν ὀφθέντων τὰ τῆς διανοίας εἱλκύσθη. οὐκοῦν ὅσῳ ἂν φανερώτερα καὶ ἀναγκαστικώτερα ᾖ τὰ γινόμενα, τοσούτῳ τὰ τῆς πίστεως ἐλαττοῦνται. διὰ τοῦτο σημεῖα νῦν οὐ γίνεται. καὶ ὅτι τοῦτό

Ἰωαν. κ. κθ. ἐστιν, ἄκουσον τί φησι πρὸς τὸν Θωμᾶν· Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. οὐκοῦν ὅσῳ ἂν φανερώτερον ἀποδειχθῇ τὸ σημεῖον, τοσούτῳ τῆς πίστεως ὁ μισθὸς ἐλαττοῦται. ὥστε εἰ καὶ νῦν σημεῖα ἐγίνετο, τὸ αὐτὸ ἂν ἐγένετο. ὅτι γὰρ τότε διὰ πίστεως οὐκέτι αὐτὸν εἰ-

Β. Κορ. ε. ζ. σόμεθα, ἐδήλωσεν εἰπὼν ὁ Παῦλος· Νῦν γὰρ διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους. ὡς τότε πιστεύοντί σοι τὸ πρᾶγμα οὐ λογισθήσεται διὰ τὸ περιφανές, οὕτω καὶ νῦν, εἰ σημεῖα ἐγίνετο τοιαῦτα, οἷα καὶ ἔμπροσθεν. ὅταν γὰρ ἃ μηδαμῇ μηδαμῶς ἐστι λογισμοῖς εὑρεῖν καταδεξώμεθα, τότε ἡ πίστις ἐστί. διὰ τοῦτο καὶ ἡ γέεννα ἠπείληται μέν, οὐ φαίνεται δέ. ἐπεὶ εἰ καὶ ἐφαίνετο, ταὐτὸ συνέβαινε πάλιν· ἄλλως δέ, εἰ σημεῖα ζητεῖς, καὶ νῦν ὄψει σημεῖα, εἰ καὶ μὴ τοιαῦτα, τὰς προρρήσεις τὰς μυρίας καὶ περὶ μυρίων πραγμάτων, τῆς οἰκουμένης τὴν ἐπιστροφήν, τῶν βαρβάρων τὴν φιλοσοφίαν, τῶν ἀγρίων ἠθῶν τὴν μετάστασιν, τῆς εὐλαβείας τὴν ἐπίτασιν. καὶ ποίας προρρήσεις, φησί; μετὰ γὰρ ταῦτα ἐγράφη τὰ προειρημένα ἅπαντα. πότε, καὶ ποῦ, καὶ ὑπὸ τίνος, εἰπέ μοι; καὶ πρὸ

πόσων

πόσων ἐτῶν; βούλει περὶ πεντήκοντα, ἢ ἑκατόν; οὐκοῦν περὶ τῶν ἑκατὸν οὐδὲν εἶχον ἐγγεγραμμένον ὅλως. πῶς οὖν κατεῖχε τὰ δόγματα ἡ οἰκουμένη καὶ τὰ ἄλλα πάντα, τῆς μνήμης οὐκ ἀρκούσης; πόθεν δὲ ᾔδεσαν ὅτι Πέτρος ἀνεσκολοπίσθη; πόθεν ἐπῆλθε τοῖς μετὰ ταῦτα προειπεῖν, οἷον ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται πανταχοῦ τῆς οἰκουμένης, ὅτι τὰ Ἰουδαϊκὰ παύσεται καὶ οὐκ ἐπανήξει πάλιν; οἱ δὲ τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ κηρύγματος προϊέμενοι, πῶς ἂν ἠνέγκαν τὸ κήρυγμα παραποιούμενον ὁρῶντες; πῶς δ' ἂν ἐπιστεύθησαν οἱ γράφοντες, τῶν σημείων παυσαμένων; πῶς δ' ἂν τὰ γραφέντα, καὶ εἰς τὴν βαρβάρων, καὶ εἰς τὴν Ἰνδῶν, καὶ πρὸς αὐτὰ τοῦ ὠκεανοῦ τὰ πέρατα ἀφίκετο, οὐκ ὄντων τῶν λεγόντων ἀξιοπίστων; τίνες δὲ οἱ γράφοντες; καὶ πότε, καὶ ποῦ; τίνος δὲ ἕνεκεν καὶ ἔγραφον; ἆρα δόξαν ἑαυτοῖς περιποιούμενοι; πῶς οὖν ἑτέροις τὰ βιβλία ἐπέγραψαν; ἀλλὰ τὸ δόγμα συστῆσαι βουλόμενοι; πότερον ὡς ἀληθές, ἢ ὡς ψευδές; εἰ μὲν γὰρ ὡς ψευδὲς προσεῖχον, οὐδὲ προσελθεῖν ἦν εἰκός· εἰ δὲ ὡς ἀληθεῖ, πλασμάτων οὐκ ἔδει, καθὼς σὺ φῄς· ἄλλως δὲ, καὶ αἱ προρρήσεις τοιαῦταί εἰσιν, ὡς καὶ μέχρι τοῦ παρόντος μὴ δύνασθαι βιάζεσθαι χρόνῳ τὰ εἰρημένα. τὸ μὲν γὰρ καθαιρεθῆναι τὰ Ἱεροσόλυμα γέγονε πρὸ πολλῶν ἐτῶν. εἰσὶ δὲ καὶ ἕτεραι προρρήσεις αἱ ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς παρουσίας αὐτοῦ παρατείνουσαι, ἃς ὡς βούλει δοκίμασον, οἷον τὸ, Ἀεὶ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος· [Ματθ. κδ´. γ.] τὸ, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· [Ματθ. ις´. ιη.] τὸ, Κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο εἰς πάντα τὰ ἔθνη, [Ματθ. κδ´. ιδ´.] καὶ ὃ ἐποίησεν ἡ γυνὴ ἡ πόρνη, καὶ ἕτεραι πολλαὶ τούτων πλείους. πόθεν οὖν ἡ ἀλήθεια τῆς προρρήσεως ταύτης, εἴγε πλάσμα ἦν; πῶς οὐ κατίσχυσαν πύλαι ᾅδου τῆς ἐκκλησίας; πῶς ἀεὶ μεθ' ἡμῶν ἐστιν ὁ Χριστός; οὐ γὰρ ἂν εἰ μὴ μεθ' ἡμῶν ἦν, ἐκράτησεν ἂν ἡ ἐκκλησία. πῶς τὸ εὐαγγέλιον ἐξετάθη πανταχοῦ τῆς οἰκουμένης; ἱκανοὶ δὲ καὶ οἱ καθ' ἡμῶν εἰρηκότες τὴν ἀρχαιότητα μαρτυρῆσαι τοῖς βιβλίοις, οἱ περὶ Κέλσον καὶ τὸν Βατανεώτην [Βατανεώ-] τὸν μετ' ἐκεῖνον (οὐ γὰρ δὴ τοῖς μετ' αὐτοὺς συντεθεῖσιν ἀντέλεγον) ἄλλως δὲ, καὶ ἡ οἰκουμένη πᾶσα ὁμοφώνως αὐτὰ δεξαμένη. οὐκ ἂν δὲ, εἰ μὴ πνεύματος χάρις ἦν, τοσαύτη γέγονε συμφωνία ἀπὸ περάτων εἰς πέρατα τῆς γῆς, ἀλλ' ἑάλωσαν ἂν ταχέως οἱ πλάττοντες, καὶ οὐκ ἂν τοσαῦτα κατορθώματα ἀπὸ πλασμάτων καὶ ψευδῶν συνέστη. ἢ οὐχ ὁρᾷς τὴν οἰκουμένην πᾶσαν προσελθοῦσαν; τὴν πλάνην σβεσθεῖσαν; τὴν τῶν μοναχῶν φιλοσοφίαν ὑπὲρ τὸν ἥλιον λάμπουσαν; τοὺς τῶν παρθένων χορούς; τὴν ἐν βαρβάροις εὐσέβειαν; πάντας ὑπὸ ζυγὸν δουλεύοντας ἕνα; οὐδὲ γὰρ παρ' ἡμῶν ταῦτα προείρηται μόνον, ἀλλὰ καὶ ἄνωθεν διὰ τῶν προφητῶν. οὐ γὰρ δήπου καὶ ἐκείνων ἐπιλήψῃ τῶν προρρήσεων. παρὰ γὰρ τοῖς ἐχθροῖς τὰ βιβλία, καὶ παρ' Ἕλλησι σπουδασάντων τινῶν εἰς τὴν Ἑλλάδα μετηνέχθη γλῶτταν. πολλὰ δὲ καὶ οὗτοι περὶ τούτων προλέγουσι δεικνύντες, ὅτι Θεὸς ἦν ὁ παρέσεσθαι μέλλων. πῶς οὖν οὐ πάντες πιστεύουσι νῦν; ὅτι ἐπὶ τὸ χεῖρον τὰ πράγματα προῆλθε, καὶ τούτων ἡμεῖς αἴτιοι. λοιπὸν γὰρ καὶ πρὸς ἡμᾶς ὁ λόγος. οὐ γὰρ δήπου σημείοις καὶ τότε ἐπίστευον μόνοις, ἀλλὰ καὶ ἀπὸ τοῦ βίου πολλοὶ τῶν προσιόντων ἐνήγοντο. Λαμψάτω γὰρ ὑμῶν [Ματθ. ε´. ιϛ´.] τὸ φῶς, φησιν, ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ, Πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ [Πραξ. δ´. λβ´.] εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' εἶχον ἅπαντα κοινά, καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε, καὶ βίον ἔζων ἀγγελικόν. καὶ νῦν ἂν γένηται τοῦτο, τὴν οἰκουμένην ἐπιστρέψομεν ἅπασαν καὶ σημείων χωρίς. τέως δὲ οἱ βουλόμενοι σωθῆναι, προσεχέτωσαν ταῖς γραφαῖς. εὑρήσουσι γὰρ ἐκεῖ καὶ ταῦτα, καὶ τὰ τούτων πλείονα κατορθώματα. καὶ γὰρ οἱ διδάσκαλοι αὐτοὶ ὑπερέβαινον τὰ ἐκείνων, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διάγοντες. ἡμεῖς δὲ βουλόμεθα πολλῆς ἀπολαῦσαι τρυφῆς καὶ ἀναπαύσεως καὶ ἀδείας, ἀλλ'

ἀπιστῶν, πρὸς τοῦτο στήσομαι προϊόντι. Εἰ γὰρ οὐκ ἐγένετο σημεῖα τότε, πῶς ἐλαυνόμενοι, καὶ διωκόμενοι, καὶ τρέμοντες, καὶ δεδεμένοι, καὶ κοινοὶ γινόμενοι τῆς οἰκουμένης ἐχθροί, καὶ πᾶσι πρὸς τὸ κακῶς παθεῖν προκείμενοι, καὶ οὐδὲν οἴκοθεν ἔχοντες ἐπαγωγόν, οὐ λόγον, οὐ περιφάνειαν, οὐ πλοῦτον, οὐ πόλιν, οὐκ ἔθνος, οὐ γένος, οὐκ ἐπιτήδευμα, οὐ δόξαν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ πάντα τὰ ἐναντία, ἰδιωτείαν, εὐτέλειαν, πενίαν, μῖσος, ἀπέχθειαν, καὶ πρὸς δήμους ὁλοκλήρους ἱστάμενοι, καὶ τοιαῦτα καταγγέλλοντες, ἔπειθον; καὶ γὰρ τὰ ἐπιτάγματα πολὺν εἶχε τὸν μόχθον, καὶ τὰ δόγματα τοὺς κινδύνους· καὶ οἱ ἀκούοντες καὶ πείθεσθαι μέλλοντες, καὶ τρυφῇ καὶ μέθῃ καὶ πολλῇ συντραφέντες ἦσαν κακίᾳ. πόθεν οὖν ἔπεισαν, εἰπέ μοι; πόθεν τὸ ἀξιόπιστον ἔσχον; ὅπερ γὰρ ἔφθην εἰπών, εἰ σημείων χωρὶς ἔπεισαν, πολλῷ μεῖζον τὸ θαῦμα φαίνεται. μὴ τοίνυν τὸ μὴ γίνεσθαι νῦν σημεῖα, τεκμήριον ποιοῦ τοῦ μὴ γεγενῆσθαι τότε. καὶ γὰρ καὶ τότε χρησίμως ἐγίνετο, καὶ νῦν χρησίμως οὐ γίνεται. οὐκ ἀναγκάζει δὲ τὸ λόγῳ πείθεσθαι μόνῳ, νῦν ἐν σοφίᾳ εἶναι τὸ κήρυγμα. οἵ τε γὰρ ἐξ ἀρχῆς τῶν λόγων σπείραντες ἰδιῶται ἦσαν καὶ ἀμαθεῖς, καὶ οὐδὲν οἴκοθεν ἔλεγον, ἀλλ' ἅπερ ἐδέξαντο παρὰ τοῦ Θεοῦ, ταῦτα τῇ οἰκουμένῃ διέδωκαν· ἡμεῖς τε αὐτοὶ νῦν, οὐ τὰ παρ' ἑαυτῶν ἐπεισφέρομεν, ἀλλ' ἃ παρ' ἐκείνων ἐλάβομεν, ταῦτα εἰς ἅπαντας λέγομεν. καὶ οὐδὲ νῦν ἀπὸ συλλογισμῶν πείθομεν, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν καὶ ἀπὸ τῶν τότε σημείων τὴν πίστιν ὧν λέγομεν παρεχόμεθα. καὶ οὗτοι δὲ τότε οὐχὶ σημείοις ἔπειθον μόνοις, ἀλλὰ καὶ διαλεγόμενοι· τοὺς δὲ λόγους ἰσχυροτέρους ἐποίει φαίνεσθαι τὰ σημεῖα καὶ αἱ ἐκ τῆς παλαιᾶς γραφῆς μαρτυρίαι, οὐχ ἡ δεινότης τῶν λεγομένων. πῶς οὖν, φησί, χρήσιμον τότε τὰ σημεῖα, καὶ νῦν οὐ χρήσιμον; ὑποθώμεθα τῷ λόγῳ (πρὸς γὰρ τὸν Ἕλληνά μοι τέως ὁ ἀγὼν· διὰ τοῦτο καθ' ὑπόθεσιν λέγω τὸ πάντως ἐσόμενον) ὑποθώμεθα τοίνυν τῷ λόγῳ, καὶ ἀναγκάσθω πιστεῦσαι ὁ ἄπιστος κἂν κατὰ συνδρομὴν τοῖς λεγομένοις, οἷον ὅτι ὁ Χριστὸς ἥξει· ὅταν οὖν ὁ Χριστὸς ἔλθῃ καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, καὶ δειχθῇ Θεός, καὶ πάντα αὐτῷ ὑποτεταγμένα, οὐ πιστεύσει καὶ ὁ Ἕλλην; εὔδηλον ὅτι καὶ προσκυνήσει, καὶ Θεὸν ἐρεῖ, κἂν μυριάκις ἀνένδοτος ᾖ. τίς γὰρ ὁρῶν τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ αὐτὸν ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ πάντα τὸν δῆμον τῶν ἄνω δυνάμεων αὐτῷ περικεχυμένον, καὶ ποταμοὺς πυρὸς ἐρχομένους, καὶ πάντας παρεστῶτας καὶ τρέμοντας, οὐχὶ προσκυνήσει, καὶ Θεὸν ἡγήσεται; ἆρ' οὖν, εἰπέ μοι, λογισθήσεται τῷ Ἕλληνι εἰς πίστιν ἡ προσκύνησις ἐκείνη καὶ ἡ γνῶσις; οὐδαμῶς. τί δήποτε; ὅτι τοῦτο πίστις οὐκ ἔστιν. ἡ γὰρ ἀνάγκη τοῦτο ἐποίησε καὶ ἡ περιφάνεια τῶν ὁρωμένων, καὶ οὐκ ἔστι τὸ πρᾶγμα προαιρέσεως, ἀλλ' ἀπὸ τοῦ μεγέθους τῶν ὀφθέντων τὰ τῆς διανοίας εἵλκυσθη. οὐκοῦν ὅσῳ ἂν φανερώτερα καὶ ἀναγκαστικώτερα ᾖ τὰ γινόμενα, τοσούτῳ τὰ τῆς πίστεως ἐλαττοῦται. διὰ τοῦτο σημεῖα νῦν οὐ γίνεται. καὶ ὅτι τοῦτο Ιωαν. κ. κθ. ἐστιν, ἄκουσον τί φησι πρὸς τὸν Θωμᾶν· Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. οὐκοῦν ὅσῳ ἂν φανερώτερον ἀποδειχθῇ τὸ σημεῖον, τοσούτῳ τῆς πίστεως ὁ μισθὸς ἐλαττοῦται. ὥστε εἰ καὶ νῦν σημεῖα ἐγίνετο, τὸ αὐτὸ ἂν ἐγένετο. ὅτι γὰρ τότε διὰ πίστεως οὐκέτι αὐτὸν εἰ- Β.Κορ. ε. ζ. σόμεθα, ἐδήλωσεν εἰπὼν ὁ Παῦλος· Νῦν γὰρ διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους. ὡς τότε πιστεύοντί σοι τὸ πρᾶγμα οὐ λογισθήσεται διὰ τὸ περιφανές, οὕτω καὶ νῦν, εἰ σημεῖα ἐγίνετο τοιαῦτα, οἷα καὶ ἔμπροσθεν. ὅταν γὰρ ἃ μηδαμῆ μηδαμῶς ἐστι λογισμοῖς εὑρεῖν καταδεξώμεθα, τότε ἡ πίστις ἐστί. διὰ τοῦτο καὶ ἡ γέεννα ἠπείληται μέν, οὐ φαίνεται δέ. ἐπεὶ εἰ καὶ ἐφαίνετο, ταὐτὸ συνέβαινε πάλιν· ἄλλως δέ, εἰ σημεῖα ζητεῖς, καὶ νῦν ὄψει σημεῖα, εἰ καὶ μὴ τοιαῦτα, τὰς προρρήσεις τὰς μυρίας καὶ περὶ μυρίων πραγμάτων, τῆς οἰκουμένης τὴν ἐπιστροφήν, τῶν βαρβάρων τὴν φιλοσοφίαν, τῶν ἀγρίων ἠθῶν τὴν μετάστασιν, τῆς εὐλαβείας τὴν ἐπίτασιν. καὶ ποίας προρρήσεις, φησί; μετὰ γὰρ ταῦτα ἐγράφη τὰ προειρημένα ἅπαντα. πότε, καὶ ποῦ, καὶ ὑπὸ τίνος, εἰπέ μοι; καὶ πρὸ

πόσων

πόσων ἐτῶν; βούλει περὶ πεντήκοντα, ἢ ἑκατόν; οὐκοῦν περὶ τῶν ἑκατὸν οὐδὲν εἶχον ἔγγραφον ὅλως. πῶς οὖν κατεῖχε τὰ δόγματα ἡ οἰκουμένη καὶ τὰ ἄλλα πάντα, τῆς μνήμης οὐκ ἀρκούσης; πόθεν δὲ ᾔδεισαν ὅτι Πέτρος ἀνεσκολοπίσθη; πόθεν ἐπῆλθε τοῖς μετὰ ταῦτα προειπεῖν, ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται πανταχοῦ τῆς οἰκουμένης, ὅτι τὰ Ἰουδαϊκὰ παύσεται καὶ οὐκ ἐπανήξει πάλιν; οἱ δὲ τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ κηρύγματος προϊέμενοι, πῶς ἂν ἠνέγκαν τὸ κήρυγμα παραποιούμενον ὁρῶντες; πῶς δ' ἂν ἐπίστευσαν οἱ γράφοντες, τῶν σημείων παυσαμένων; πῶς δ' ἂν τὰ γραφέντα, καὶ εἰς τὴν βαρβάρων, καὶ εἰς τὴν Ἰνδῶν, καὶ πρὸς αὐτὰ τοῦ Ὠκεανοῦ τὰ πέρατα ἀφίκετο, οὐκ ὄντων τῶν λεγόντων ἀξιοπίστων; τίνες δὲ οἱ γράφοντες; καὶ πότε, καὶ ποῦ; τίνος δὲ ἕνεκεν καὶ ἔγραφον; ἆρα δόξαν ἑαυτοῖς περιποιούμενοι; πῶς οὖν ἑτέροις τὰ βιβλία ἐπέγραψαν; ἀλλὰ τὸ δόγμα συστῆσαι βουλόμενοι; πότερον ὡς ἀληθές, ἢ ὡς ψευδές; εἰ μὲν γὰρ ὡς ψευδές προσεῖχον, οὐδὲ προσελθεῖν ἦν εἰκός· εἰ δὲ ὡς ἀληθεῖ, πλασμάτων οὐκ ἔδει, καθὼς σὺ φῄς. ἄλλως δὲ, καὶ αἱ προρρήσεις τοιαῦταί εἰσιν, ὡς καὶ μέχρι τοῦ παρόντος μὴ δύνασθαι βιάζεσθαι χρόνῳ τὰ εἰρημένα. τὸ μὲν γὰρ καθαιρεθῆναι τὰ Ἱεροσόλυμα γέγονε πρὸ πολλῶν ἐτῶν. εἰσὶ δὲ καὶ ἕτεραι προρρήσεις αἱ ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς παρουσίας αὐτοῦ διατείνουσαι, ἃς ὡς βούλει δοκίμασον, οἷον τὸ, Ἀεὶ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος· τὸ, Ἐπὶ ταύτην τὴν πέτραν οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· τὸ, Κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο εἰς πάντα τὰ ἔθνη, καὶ ὃ ἐποίησεν ἡ γυνὴ ἡ πόρνη, καὶ ἕτερα πολλὰ τούτων πλείους. πόθεν οὖν ἡ ἀλήθεια τῆς προρρήσεως ταύτης, εἴγε πλάσμα ἦν; πῶς οὐ κατίσχυσαν πύλαι ᾅδου τῆς ἐκκλησίας; πῶς ἀεὶ μεθ' ἡμῶν ἐστιν ὁ Χριστός; οὐ γὰρ ἂν, εἰ μὴ μεθ' ἡμῶν ἦν, ἐκράτησεν ἂν ἡ ἐκκλησία. πῶς τὸ εὐαγγέλιον ἐξετάθη πανταχοῦ τῆς οἰκουμένης; ἱκανοὶ δὲ καὶ οἱ καθ' ἡμῶν εἰρηκότες τὴν ἀρχαιότητα μαρτυρῆσαι τοῖς βιβλίοις, οἱ περὶ Κέλσον καὶ τὸν Βατανεώτην τὸν μετ' ἐκεῖνον (οὐ γὰρ δὴ τοῖς μετ' αὐτοὺς συντεθεῖσιν ἀντέλεγον) ἄλλως δὲ, καὶ ἡ οἰκουμένη πᾶσα ὁμοφώνως αὐτὰ ἐδέξατο. οὐκ ἂν δὲ, εἰ μὴ πνεύματος χάρις ἦν, τοσαύτη γέγονε συμφωνία ἀπὸ περάτων εἰς πέρατα τῆς γῆς, ἀλλ' ἑάλωσαν ἂν ταχέως οἱ πλάττοντες, καὶ οὐκ ἂν τοσαῦτα κατορθώματα ἀπὸ πλασμάτων καὶ ψεύδους συνέστη. ἢ οὐχ ὁρᾷς τὴν οἰκουμένην πᾶσαν προσελθοῦσαν; τὴν πλάνην σβεσθεῖσαν; τὴν τῶν μοναχῶν φιλοσοφίαν ὑπὲρ τὸν ἥλιον λάμπουσαν; τοὺς τῶν παρθένων χορούς; τὴν ἐν βαρβάροις εὐλάβειαν; πάντας ἑνὶ ζυγῷ δουλεύοντας ἕνα; οὐδὲ γὰρ παρ' ἡμῶν ταῦτα προείρηται μόνον, ἀλλὰ καὶ ἄνωθεν διὰ τῶν προφητῶν. οὐ γὰρ δήπου καὶ ἐκείνων ἐπιλήψῃ τῶν προρρήσεων. παρὰ γὰρ τοῖς ἐχθροῖς τὰ βιβλία, καὶ παρ' Ἕλλησι σπουδασάντων τινῶν εἰς τὴν Ἑλλάδα μετηνέχθη γλῶτταν. πολλὰ δὲ καὶ οὕτω περὶ τούτων προλέγουσι δεικνύντες, ὅτι Θεὸς ἦν ὁ παρεσόμενος μέλλων. πῶς οὖν οὐ πάντες πιστεύουσι νῦν; ὅτι ἐπὶ τὸ χεῖρον τὰ πράγματα προῆλθε, καὶ τούτων ἡμεῖς αἴτιοι. λοιπὸν γὰρ καὶ πρὸς ἡμᾶς ὁ λόγος. οὐ γὰρ δήπου σημείοις καὶ τότε ἐπίστευον μόνοις, ἀλλὰ καὶ ἀπὸ τοῦ βίου πολλοὶ τῶν προσιόντων ἐπήγοντο. Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς, φησιν, ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ, Πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτοῦ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' εἶχον ἅπαντα κοινά, καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε, καὶ βίον ἔζων ἀγγελικόν. καὶ νῦν ἂν γένηται τοῦτο, τὴν οἰκουμένην ἐπιστρέψομεν ἅπασαν καὶ σημείων χωρίς. τέως δὲ οἱ βουλόμενοι σωθῆναι, προσεχέτωσαν ταῖς γραφαῖς. εὑρήσουσι γὰρ ἐκεῖ καὶ ταῦτα, καὶ τὰ τούτων πλείονα κατορθώματα. καὶ γὰρ οἱ διδάσκαλοι αὐτοὶ ὑπερέβαινον τὰ ἐκείνων, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διάγοντες. ἡμεῖς δὲ βουλόμεθα πολλῆς ἀπολαῦσαι τρυφῆς καὶ ἀναπαύσεως καὶ ἀδείας, ἀλλ'

Ματθ. κη. γ.
Ματθ. ις. ιη.
Ματθ. κδ. ιδ.
γ. Βατανεώτην
Ματθ. ε. ις.
Πραξ. δ. λβ.

α. Κορ. δ. ια.

οὐκ ἐκεῖνοι ἀλλ᾽ ἐβόων, Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν. καὶ ὁ μὲν ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ ἔτρεχεν, ὁ δὲ εἰς τὴν Ἰνδῶν, ὁ δὲ εἰς τὴν Μαύρων, ἄλλος δὲ πρὸς ἄλλα μέρη τῆς οἰκουμένης· ἡμεῖς δὲ οὐδὲ τῆς πατρίδος ἐξελθεῖν τολμῶμεν, ἀλλὰ τρυφὴν ζητοῦμεν καὶ οἰκίας λαμπρὰς καὶ πᾶσαν τὴν ἄλλην ἀφθονίαν. τίς γὰρ ἐλίμωξεν ἡμῶν ποτε διὰ τὸν τοῦ Θεοῦ λόγον; τίς ἐν ἐρήμῳ γέγονε; τίς ἀποδημίαν ἐστείλατο μακράν; τίς τῶν διδασκάλων ἐκ τῶν χειρῶν ζῶν ἑτέροις ἐπεκούρησε; τίς θάνατον ὑπέμεινε καθημερινόν; ἐντεῦθεν καὶ οἱ μεθ᾽ ἡμῶν ὄντες, ῥᾳθυμότεροι γίνονται. καὶ γὰρ εἰ στρατιώτας τις εἶδε καὶ στρατηγούς, λιμῷ καὶ δίψῃ καὶ θανάτῳ καὶ πᾶσι τοῖς δεινοῖς παλαίοντας, καὶ κρυμὸν καὶ κινδύνους καὶ πάντα φέροντας, καθάπερ λέοντας, κατορθοῦντας· εἶτα μετὰ ταῦτα ἐκλύσαντας τὴν φιλοσοφίαν ἐκείνην καὶ μαλακωτέρους γενομένους, καὶ χρημάτων ἐρῶντας, καὶ πραγματείαις καὶ καπηλείαις προσέχοντας, καὶ ἡττωμένους ὑπὸ τῶν πολεμίων, ἐσχάτης ἂν ἀνοίας τὴν αἰτίαν τούτων ζητεῖν. τοῦτο δὴ καὶ ἐφ᾽ ἡμῶν, καὶ τῶν προγόνων λογισώμεθα. καὶ γὰρ πάντων ἐγενόμεθα ἀσθενέστεροι, καὶ τῷ παρόντι προσηλώμεθα βίῳ. κἂν εὑρεθῇ τις ἴχνος ἔχων τῆς παλαιᾶς σοφίας, τὰς πόλεις ἀφεὶς καὶ τὰς ἀγορὰς καὶ τὸ ἐν μέσῳ στρέφεσθαι καὶ τοὺς ἄλλους ῥυθμίζειν, τὰ ὄρη καταλαμβάνει. κἂν ἔρηταί τις τῆς ἀναχωρήσεως τὴν αἰτίαν, εὑρίσκει πρόφασιν συγγνώμην οὐκ ἔχουσαν. ἵνα γὰρ μὴ παραπόλωμαι, φησι, μηδὲ ἀμβλύτερος γένωμαι τὴν ἀρετὴν, ἀποπηδῶ. καὶ πόσῳ βέλτιον ἀμβλύτερόν σε γενέσθαι καὶ τοὺς ἄλλους κερδᾶναι, ἢ μένοντα ἐν ὕψει περιιδεῖν ἀπολλυμένους τοὺς ἀδελφούς; ὅταν μὲν οὖν οἱ μὲν ἀρετῆς ἀμελῶσιν, οἱ δὲ ἐπιμελούμενοι πόῤῥω τῆς παρατάξεως γίνωνται, πόθεν αἱρήσομεν τοὺς ἐχθρούς; εἰ γὰρ καὶ σημεῖα ἦν νῦν, τίς ἂν ἐπείσθη; ἢ τίς ἂν προσέσχεν ἡμῖν τῶν ἔξωθεν, τῆς κακίας οὕτως ἐπιπολαζούσης; καὶ γὰρ ὁ ὀρθὸς βίος ἡμῶν ἀξιοπιστότερος τοῖς πολλοῖς εἶναι δοκεῖ. σημεῖα μὲν γάρ, παρὰ τῶν ἀναισχύντων καὶ πονηρῶν ἀνθρώπων καὶ ὑπόνοιαν δέξεται πονηράν· βίος δὲ καθαρὸς καὶ αὐτοῦ τοῦ διαβόλου τὸ στόμα μετὰ πολλῆς τῆς παῤῥησίας ἐμφράξαι δυνήσεται. ταῦτα καὶ ἄρχουσι λέγω, καὶ ἀρχομένοις, καὶ πρὸ τῶν ἄλλων ἐμαυτῷ, ἵνα βίον ἐπιδειξώμεθα θαυμαστόν, καὶ συντάξαντες ἑαυτοὺς, πάντων τῶν παρόντων ὑπερίδωμεν. καταφρονήσωμεν χρημάτων, καὶ μὴ καταφρονήσωμεν γεέννης· ὑπερίδωμεν δόξης, καὶ μὴ ὑπερίδωμεν σωτηρίας· ὑπομείνωμεν ἐνταῦθα κάματον καὶ πόνον, ἵνα μὴ ἐμπέσωμεν ἐκεῖ εἰς κόλασιν. οὕτω τοῖς Ἕλλησι πολεμήσωμεν, οὕτως αὐτοὺς αἰχμαλωτίσωμεν αἰχμαλωσίαν ἐλευθερίας ἀμείνω. ἀλλὰ ταῦτα μὲν λέγεται παρ᾽ ἡμῶν συνεχῶς καὶ πολλάκις, γίνεται δὲ ὀλιγάκις. πλὴν ἀλλ᾽ ἐάν τε γίνηται ταῦτα, ἄν τε μὴ γίνηται, δίκαιον διὰ τῶν τοιούτων συνεχῶς ὑπομιμνήσκειν. εἰ γὰρ διὰ τῆς χρηστολογίας ἐξαπατῶσί τινες, πολλῷ μᾶλλον τοὺς πρὸς τὴν ἀλήθειαν ἐπάγοντας δίκαιον μὴ ἀποκάμνειν τὰ συμφέροντα λέγοντας. εἰ γὰρ οἱ ἀπατῶντες τοσούτοις κέχρηνται μηχανήμασι (καὶ γὰρ χρήματα ἀναλίσκουσι, καὶ λόγους προσάγουσι, καὶ κινδύνους ὑπομένουσι, καὶ προστασίας ἐπιδείκνυνται) πολλῷ μᾶλλον ἡμᾶς τοὺς ἀπάτης ἀπάγοντας, καὶ κινδύνους καὶ θανάτους καὶ πάντα ὑπομένειν χρή, ἵνα καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους κερδάναντες, καὶ τοῖς ἐναντίοις ἀκαταγώνιστοι γενόμενοι, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ζ. 6 ΣΟΦΙΑΝ ΔΕ ΛΑΛΟΥΜΕΝ ΕΝ ΤΟΙΣ ΤΕΛΕΙΟΙΣ· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· 7 Ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν.

Τὸ

Τὸ σκότος τοῦ φωτὸς ἐπιτηδειότερον εἶναι δοκεῖ τοῖς τὰς ὄψεις νοσοῦσι· διὸ καὶ μᾶλλον εἰς συνεσκιασμένον δωμάτιον καταφεύγουσι. τοῦτο καὶ ἐπὶ τῆς σοφίας γέγονε τῆς πνευματικῆς. ἡ μὲν τοῦ Θεοῦ σοφία, μωρία ἐδόκει εἶναι τοῖς ἔξωθεν· ἡ δὲ αὐτῶν, ἀληθῶς οὖσα μωρία, σοφία αὐτοῖς νενόμισται. καὶ ταὐτὸν συνέβαινεν, ὥσπερ ἂν εἴ τις σοφίᾳ κυβερνητικῇ κεχρημένος, ἐπηγγέλλετο πλοίου χωρὶς καὶ ἱστίων πέλαγος ἄπειρον διαπερᾶν, εἶτα ἐπειρᾶτο λογισμοῖς κατασκευάζειν ὅτι τοῦτο δυνατόν· ἄλλος δέ τις πάντων ἄπειρος, πλοίῳ καὶ κυβερνήτῃ καὶ ναύταις ἐγχειρίσας ἑαυτόν, οὕτω μετὰ ἀσφαλείας ἔπλει. ἡ γὰρ δοκοῦσα εἶναι ἀμαθία τούτου, τῆς ἐκείνου σοφίας σοφωτέρα. καλὴ μὲν γὰρ ἡ κυβερνητική· ἀλλ' ὅταν μείζονα ἐπαγγέλληται, μωρία τίς ἐστι, καὶ πᾶσα τέχνη ἡ μὴ ἀρκουμένη τοῖς ὅροις τοῖς ἑαυτῆς τοῦτο ἂν εἴη. οὕτω καὶ ἡ ἔξωθεν σοφία, εἰ πνεύματι ἐκέχρητο. ἐπειδὴ δὲ ἑαυτῇ τὸ πᾶν ἐπέτρεψε, καὶ οὐδὲν ἐνόμισε δεῖσθαι τῆς βοηθείας ἐκείνης, μωρία γέγονεν, εἰ καὶ ἐδόκει σοφία εἶναι. διὸ πρότερον ἐλέγξας αὐτὴν διὰ τῶν πραγμάτων, τότε αὐτὴν ἐκάλεσε μωρίαν· καὶ πρότερον καλέσας μωρίαν τὴν τοῦ Θεοῦ σοφίαν κατὰ τὴν ἐκείνων ψῆφον, τότε δείκνυσιν αὐτὴν σοφίαν οὖσαν (μετὰ γὰρ τὰς ἀποδείξεις, δυνατὸν μάλιστα τοὺς ἀντιλέγοντας ἐντρέπειν) καί φησι· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. ὅταν γὰρ ἐγώ, νομιζόμενος μωρὸς εἶναι καὶ μωρὰ κηρύττειν, τοῦ σοφοῦ περιγένωμαι, οὐ διὰ μωρίας σοφίας περιεγενόμην, ἀλλὰ διὰ σοφίας τελειοτέρας, καὶ τοσαύτης καὶ οὕτω μείζονος, ὡς ἐκείνην μωρίαν φαίνεσθαι. διὰ τοῦτο πρότερον αὐτὴν οὕτω καλέσας, ὡς ἐκεῖνοι ὠνόμαζον τότε, καὶ ἀπὸ τῶν πραγμάτων τὴν νίκην δείξας, καὶ ἐκείνους ἀποφήνας σφόδρα μωρούς, τὸ προσῆκον αὐτῇ λοιπὸν ἀπέδωκεν ὄνομα λέγων· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. σοφίαν δὲ λέγει τὸ κήρυγμα καὶ τὸν τρόπον τῆς σωτηρίας, τὸ διὰ σταυροῦ σωθῆναι· τελείους δὲ, τοὺς πεπιστευκότας. καὶ γὰρ ἐκεῖνοι τέλειοι οἱ τὰ ἀνθρώπινα εἰδότες ὅτι σφόδρα ἀσθενῆ, καὶ ὑπεριδόντες αὐτῶν, ὅτι μηδὲν αὐτοῖς συμβάλλεται, πεπεισμένοι, οἷοι γεγόνασιν οἱ πιστοί. σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου. ποῦ γὰρ χρήσιμος ἡ ἔξωθεν σοφία, ἐνταῦθα καταστρέφουσα καὶ περαιτέρω μὴ προϊοῦσα, καὶ οὐδὲ ἐνταῦθα δυναμένη τι τοὺς ἔχοντας ὠφελεῖν; ἄρχοντας δὲ αἰῶνος ἐνταῦθα οὐ δαίμονάς τινας λέγει (καθώς τινες ὑποπτεύουσιν) ἀλλὰ τοὺς ἐν ἀξιώμασι, τοὺς ἐν δυναστείαις, τοὺς τὸ πρᾶγμα περιμάχητον εἶναι νομίζοντας, φιλοσόφους, καὶ ῥήτορας, καὶ λογογράφους. καὶ γὰρ αὐτοὶ ἐκράτουν, καὶ δημαγωγοὶ πολλάκις ἐγίνοντο. τοῦ δὲ αἰῶνος τούτου ἐκάλεσεν ἄρχοντας, ἐπειδὴ περαιτέρω τοῦ παρόντος αἰῶνος οὐ πρόεισιν αὐτῶν ἡ ἀρχή. διὸ καὶ ἐπήγαγε, τῶν καταργουμένων, οἴκοθέν τε αὐτὴν διαβάλλων, καὶ ἀπὸ τῶν χρωμένων. δείξας γὰρ ὅτι ψευδής ἐστιν, ὅτι μωρά, ὅτι οὐδὲν δύναται εὑρεῖν, ὅτι ἀσθενής, δείκνυσιν, ὅτι καὶ ὀλιγοχρόνιος. ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ. ποίῳ μυστηρίῳ; καίτοι φησὶν ὁ Χριστός, Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων. πῶς οὖν μυστήριον αὐτὴν καλεῖ; ἐπειδὴ οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος, οὔτε ἄλλη τις αὐτὸ κτιστὴ δύναμις ᾔδει, πρὶν ἢ γενέσθαι. διό φησιν, Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. τοῦτο δὲ ἐποίησεν, ἡμᾶς τιμῶν ὁ Θεός, ὥστε μεθ' ἡμᾶς ἀκοῦσαι τῶν μυστηρίων. καὶ γὰρ καὶ ἡμεῖς, οὓς ἂν ποιησώμεθα φίλους, τοῦτο τεκμήριον πρὸς αὐτοὺς εἶναί φαμεν τῆς φιλίας, τὸ μηδενὶ παρ' αὐτοῦ εἰπεῖν τὰ ἀπόρρητα. ἀκουέτωσαν οἱ τὸ κήρυγμα ἐκπομπεύοντες, καὶ πᾶσιν ἁπλῶς ἐκφαίνοντες τοὺς μαργαρίτας καὶ τὸ δόγμα, καὶ τὰ ἅγια κυσὶ καὶ χοίροις ῥιπτοῦντες καὶ λογισμοῖς περιττοῖς. τὸ γὰρ μυστήριον κατασκευῆς οὐ δεῖται· ἀλλ' ὅπερ ἐστί, τοῦτο μόνον καταγγέλλεται. ἐπεὶ οὐκ ἔσται μυστήριον θεῖον καὶ ὁλόκληρον, ὅταν καὶ παρὰ σαυτοῦ

Ματθ. ι. κζ.

Ἐφεσ. γ. ι.

τι παραδόξης· καὶ ἄλλως δὲ μυστήριον καλεῖται, ὅτι οὐχ ἅπερ ὁρῶμεν πιστεύομεν, ἀλλ᾽ ἕτερα ὁρῶμεν, καὶ ἕτερα πιστεύομεν. τοιαύτη γὰρ ἡ τῶν μυστηρίων ἡμῶν φύσις. ἑτέρως γοῦν ἐγώ, καὶ ἑτέρως ὁ ἄπιστος περὶ τούτων διακείμεθα. ἀκούω ἐγὼ ὅτι ἐσταυρώθη ὁ Χριστός, καὶ τὴν φιλανθρωπίαν εὐθέως θαυμάζω· ἀκούει ἐκεῖνος, καὶ ἀσθένειαν νομίζει. ἀκούω ὅτι δοῦλος γέγονε, καὶ τὴν κηδεμονίαν θαυμάζω· ἀκούει ἐκεῖνος, καὶ ἀτιμίαν λογίζεται. ἀκούω ὅτι ἀπέθανε, καὶ τὴν δύναμιν ἐκπλήττομαι, ὅτι ἐν θανάτῳ γενόμενος οὐκ ἐκρατήθη, ἀλλὰ καὶ ἐξέλυσε θάνατον· ἀκούει ἐκεῖνος, καὶ ἀδυναμίαν ὑποπτεύει. ἀκούων ἀνάστασιν ἐκεῖνος, μῦθον τὸ πρᾶγμά φησιν· ἐγὼ δὲ ταῖς διὰ τῶν πραγμάτων δεξάμενος ἀποδείξεις, προσκυνῶ τοῦ Θεοῦ τὴν οἰκονομίαν. ἀκούων λουτρὸν ἐκεῖνος, ἁπλῶς ὕδωρ νομίζει· ἐγὼ δὲ οὐ τὸ ὁρώμενον ἁπλῶς βλέπω, ἀλλὰ τὸν τῆς ψυχῆς καθαρμὸν τὸν διὰ τοῦ πνεύματος. ἐκεῖνος λελοῦσθαί μοι τὸ σῶμα νομίζει μόνον· ἐγὼ δὲ πεπίστευκα ὅτι καὶ ἡ ψυχὴ γέγονε καθαρά τε καὶ ἁγία, καὶ λογίζομαι τὸν τάφον, τὴν ἀνάστασιν, τὸν ἁγιασμόν, τὴν δικαιοσύνην, τὴν ἀπολύτρωσιν, τὴν υἱοθεσίαν, τὴν κληρονομίαν, τὴν βασιλείαν τῶν οὐρανῶν, τοῦ πνεύματος τὴν χορηγίαν. οὐ γὰρ τῇ ὄψει κρίνω τὰ φαινόμενα, ἀλλὰ τοῖς ὀφθαλμοῖς τῆς διανοίας. ἀκούω σῶμα Χριστοῦ· ἑτέρως ἐγὼ νοῶ τὸ εἰρημένον, ἑτέρως ὁ ἄπιστος. καὶ καθάπερ τὰ παιδία τὰ βιβλία ὁρῶντα οὐκ οἶδε τῶν γραμμάτων τὴν δύναμιν, οὐδὲ οἶδεν ἅπερ ὁρᾷ, μᾶλλον δὲ κἂν ἀνὴρ ἄπειρος ᾖ γραμμάτων, ταὐτὰ πείσεται· ὁ δὲ ἔμπειρος πολλὴν εὑρήσει τοῖς γράμμασιν ἐναποκειμένην τὴν δύναμιν, καὶ βίους ὁλοκλήρους, καὶ ἱστορίας· καὶ ἐπιστολὴν ὁ μὲν ἄπειρος λαβών, χάρτην ἡγήσεται καὶ μέλαν εἶναι· ὁ δὲ ἔμπειρος καὶ φωνῆς ἀκούσεται, καὶ διαλέξεται τῷ ἀπόντι, καὶ ὅπερ ἂν βούληται διὰ τῶν γραμμάτων πάλιν ἐρεῖ· οὕτω καὶ ἐπὶ τοῦ μυστηρίου γίνεται. οἱ μὲν ἄπιστοι, καίτοιγε ἀκούοντες, οὐ δοκοῦσιν ἀκούειν· οἱ δὲ πιστοὶ τὴν διὰ τοῦ πνεύματος ἔχοντες ἐμπειρίαν, ὁρῶσι τῶν ἐναποκειμένων τὴν δύναμιν. τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ Παῦλος
β. Κορ. δ. γ. ἔλεγεν, ὅτι καὶ νῦν τὸ κηρυττόμενον ἀποκέκρυπται. Τοῖς γὰρ ἀπολλυμένοις, φησίν, ἐστὶ κεκαλυμμένον· ἄλλως δὲ καὶ τὸ παράδοξον ἐμφαίνει τοῦ κηρύγματος. οὕτω δὴ εἴωθε καλεῖν ἡ γραφὴ τὰ παρ᾽ ἐλπίδας καὶ ὑπὲρ διάνοιαν ἀνθρωπίνην γινόμενα. διὸ καὶ ἀλλαχοῦ, Τὸ
α. Κορ. ιε. να. μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. καὶ πάλιν ὁ Παῦλος, Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα. εἰ δὲ πανταχοῦ κηρύττεται, καὶ οὕτω μυστήριόν ἐστι. καὶ γὰρ ὥσπερ ἐκελεύσθημεν ἅπερ ἠκούσαμεν εἰς τὸ οὖς εἰπεῖν ἐπὶ τῶν δωμάτων, οὕτω προσετάγημεν μὴ δοῦναι τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥῖψαι τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. οἱ μὲν γάρ εἰσι ψυχικοί, καὶ οὐ νοοῦσιν· οἱ δὲ κάλυμμα ἔχουσιν ἐπὶ τῆς καρδίας αὐτῶν, καὶ οὐ βλέπουσιν. ἄρα μυστήριον τοῦτο μάλιστά ἐστιν ὃ πανταχοῦ μὲν κηρύττεται, οὐ γνωρίζεται δὲ παρὰ τῶν οὐκ ὀρθὴν ἐχόντων γνώμην· ἐκκαλύπτεται δὲ οὐκ ἀπὸ σοφίας, ἀλλ᾽ ἀπὸ πνεύματος ἁγίου, καθόσον ἡμῖν δέξασθαι δυνατόν. διόπερ οὐκ ἄν τις ἁμάρτοι καὶ κατὰ τοῦτο αὐτὸ μυστήριον αὐτὸ προσειπὼν ἀπόρρητον. οὐδὲ γὰρ ἡμῖν τοῖς πι-
α. Κορ. ιγ. θ. στοῖς πᾶσα ἐνεχειρίσθη σαφήνεια καὶ ἀκρίβεια. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ὡς ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. διὰ τοῦτο λέγει, Λαλοῦμεν σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν. Ἀποκεκρυμμένην, τουτέστιν, ὅτι οὐδεὶς πρὸ ἡμῶν ἔμαθε τῶν ἄνω δυνάμεων, οὐδὲ οἱ πολλοὶ νῦν ἴσασιν. Ἣν προώρισεν εἰς δόξαν ἡμῶν· καίτοιγε ἀλλαχοῦ φησιν, εἰς δόξαν ἑαυτοῦ. ἑαυτοῦ γὰρ ἡγεῖται δόξαν, τὴν ἡμετέραν σωτηρίαν· ὥσπερ οὖν καὶ πλοῦτον ἑαυτοῦ καλεῖ, καίτοιγε αὐτὸς πλοῦτος ὢν ἀγαθῶν, καὶ οὐδενὸς δεόμενος εἰς τὸ εἶναι πλούσιος. Προώρισε, φησί, τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐνδεικνύμενος. καὶ γὰρ ἐκεῖνοι μάλιστα καὶ τιμᾶν καὶ φιλεῖν ἡμᾶς νομίζονται, ὅσοιπερ ἄνωθεν ὦσιν ἡμᾶς παρεσκευασμένοι εὖ ποιεῖν· ὅπερ καὶ πατέρες ἐπὶ παίδων ποιοῦσι. καὶ γὰρ εἰ ὕστερον

διδόασι

διδάσκει τὰ πράγματα, ἀλλ' ἄνωθεν καὶ ἐξ ἀρχῆς εἰς τοῦτο προωρισμένοι. τοῦτο καὶ ὁ Παῦλος σπουδάζει δεῖξαι νῦν, ὅτι ἀεὶ ἡμᾶς ἐφίλει καὶ ἄνωθεν ὁ Θεὸς καὶ μηδέπω γενομένους. οὐ γὰρ ἄν, εἰ μὴ ἐφίλει, τὸν πλοῦτον ἡμῖν προώρισε. μὴ τοίνυν ἐννοήσῃς τὴν ἐν μέσῳ γενομένην ἔχθραν. πρεσβυτέρα γὰρ ἐκείνης αὕτη ἡ φιλία. τὸ δὲ πρὸ τῶν αἰώνων, τὸ ἀΐδιόν φησι. καὶ γὰρ ἀλλαχοῦ οὕτω φησίν, Ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. εὑρεθήσεται τοίνυν καὶ ὁ υἱὸς οὕτως ἀΐδιος ὤν. καὶ γὰρ περὶ αὐτοῦ φησιν, Ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν, ὅπερ ἐστὶ πρὸ τῶν αἰώνων ὑπάρχειν. ὁ γὰρ ποιητὴς πρὸ τῶν ποιημάτων εὔδηλον ὅτι. Ἑβρ. α.

γρ. αὐτῆς

γρ. ἐκεῖνο δηλονότι.

8 Ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. *Καὶ εἰ μὴ ᾔδεσαν, πῶς ἔλεγεν αὐτοῖς, Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί; περὶ γὰρ τοῦ Πιλάτου φησὶν ἡ γραφή, ὅτι οὐκ ᾔδει· εἰκὸς δὲ μηδὲ τὸν Ἡρώδην εἰδέναι. τούτους ἂν εἴποι τις καλεῖσθαι ἄρχοντας τοῦ αἰῶνος τούτου. εἰ δὲ καὶ περὶ τῶν Ἰουδαίων καὶ τῶν ἱερέων εἴποι τις ἂν τοῦτο λέγεσθαι, οὐκ ἂν ἁμάρτοι. καὶ γὰρ ἐκείνοις φησίν, Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. πῶς οὖν ἀνωτέρω φησί, καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί; ἀλλὰ τίς ὁ τρόπος τῆς ἀναγνώσεως ταύτης, καὶ τίς ἐκείνης, ἐν τοῖς εὐαγγελίοις ἤδη εἴρηται· καί, ὥστε μὴ συνεχῶς τὸ αὐτὸ στρέφειν, ἐκεῖ παραπέμπομεν τοὺς ἐντυγχάνοντας. τί οὖν; ἀφείθη, φησίν, αὐτοῖς τὸ ἐπὶ τῷ σταυρῷ ἁμάρτημα; καὶ γὰρ εἶπεν, Ἄφες αὐτοῖς. εἰ μετενόησαν, ἀφείθη. καὶ γὰρ ὁ μυρίας βαλὼν χερσὶ τὸν Στέφανον καὶ διώξας τὴν ἐκκλησίαν ὁ Παῦλος, τῆς ἐκκλησίας προστάτης ἐγένετο. οὕτως οὖν κἀκείνοις ἀφείθη τοῖς βουληθεῖσι μεταγνῶναι, ὃ δὴ καὶ ὁ Παῦλος βοῶν ἔλεγε· Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο. λέγω οὖν, Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω; μὴ γένοιτο. εἶτα δεικνὺς ὅτι οὐκ ἀπεκλείσθη αὐτῶν ἡ μετάνοια, τεκμήριον τὴν ἐπιστροφὴν τὴν ἑαυτοῦ παρήγαγε λέγων, Καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί. τὸ δέ, οὐκ ἔγνωσαν, ἐμοὶ δοκεῖ οὐ περὶ Χριστοῦ ἐνταῦθα εἰρῆσθαι, ἀλλὰ περὶ αὐτῆς τοῦ πράγματος τῆς οἰκονομίας· οἷον, τί ἐβούλετο ὁ θάνατος καὶ ὁ σταυρός, οὐκ ᾔδεσαν. καὶ γὰρ καὶ ἐκεῖ οὐκ εἶπεν, ὅτι ἐμὲ οὐκ οἴδασιν, ἀλλ' οὐκ οἴδασι τί ποιοῦσι, τουτέστι, τὴν οἰκονομίαν τὴν τελουμένην καὶ τὸ μυστήριον ἀγνοοῦσιν. οὐ γὰρ ᾔδεσαν ὅτι οὕτω λάμψαι ἔχει ὁ σταυρός, ὅτι τῆς οἰκουμένης γίνεται σωτηρία καὶ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους καταλλαγή, καὶ ἡ πόλις αὐτῶν ἁλώσεται, καὶ δεινὰ ὑποστήσονται τὰ ἔσχατα. σοφίαν δέ, καὶ τὸν Χριστὸν καλεῖ καὶ τὸν σταυρὸν καὶ τὸ κήρυγμα· εὐκαίρως δὲ κύριον δόξης ἐκάλεσεν. ἐπειδὴ γὰρ ὁ σταυρὸς ἀδοξίας εἶναι δοκεῖ, δείκνυσιν ὅτι μεγάλη ἦν δόξα ὁ σταυρός. ἀλλὰ μεγάλης ἔδει σοφίας, οὐ μόνον τὸ τὸν Θεὸν εἰδέναι, ἀλλὰ καὶ μαθεῖν τοῦ Θεοῦ ταύτην τὴν οἰκονομίαν· ἡ δὲ ἔξωθεν σοφία, οὐχὶ τοῦ προτέρου μόνον, ἀλλὰ καὶ τούτου γέγονε κώλυμα.

* ἐκ τοῦ δὲ ἐγκλημάτων ὄντων ἄξιοι, εἰ γὰρ μὴ ἔγνωσαν, καὶ ἐσταύρωσαν.

Ἰωαν ζ. κη.

Ἰωαν. η. ιθ.

Ρωμ. ια. ια. καὶ α.

9 Ἀλλὰ καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Καὶ ποῦ γέγραπται ταῦτα; λέγεται γὰρ γεγράφθαι, καὶ ὅταν μὴ διὰ τῶν ῥημάτων, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων κείμενα ᾖ ἐπὶ τῶν ἱστοριῶν, ἢ ὅταν τὸ αὐτὸ μὲν νόημα κείμενον ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων, ὡς ἐνταῦθα. τὸ γάρ, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι, τοῦτο ταὐτόν ἐστι τῷ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν. ἢ τοῦτο τοίνυν φησίν, ἢ εἰκὸς καὶ γεγράφθαι ἐν βίβλοις, καὶ ἠφανίσθαι τὰ βιβλία. καὶ γὰρ πολλὰ διεφθάρη βιβλία, καὶ ὀλίγα διεσώθη καὶ ἐπὶ τῆς προτέρας αἰχμαλωσίας. καὶ τοῦτο δῆλον ἐν ταῖς παραλειπομέναις. καὶ γὰρ φησὶν ὁ ἀπόστολος, Ὅτι ἀπὸ Σαμουὴλ καὶ τῶν ἑξῆς προφητῶν πάντες εἰρήκασι περὶ αὐτοῦ. καὶ οὐ πάντως φέρεται ταῦτα· τὸν δὲ Παῦλον ἅτε νομομαθῆ ὄντα, καὶ πνεύματι φθεγγόμενον, εἰκὸς εἰδέναι πάντα μετὰ ἀκριβείας. καὶ τί λέγω περὶ τῆς αἰχμαλωσίας; καὶ γὰρ πρὸ τῆς αἰχμαλωσίας πολλὰ ἠφανίσθη βιβλία, τῶν Ἰουδαίων εἰς ἐσχάτην ἀσέβειαν ἐξοκειλάντων. καὶ δῆλον ἐκ τοῦ τέ-

Ἡσ. ιδ.

Πραξ. γ. κ.

λους τῆς τετάρτης τῶν βασιλειῶν. ὃ γὰρ ἐπιτετριμμένον μόλις που εὕρηται ἐν χωρίῳ κατακεχωσμένον· ἄλλως δέ εἰσι καὶ διπλαῖ πολλαχοῦ προφητεῖαι τοῖς συνετωτέροις εὐκατάληπτοι, ἐξ ὧν πολλὰ τῶν ἀσαφῶν ἔστιν εὑρεῖν. τί οὖν; οὐκ εἶδεν ὀφθαλμὸς, ἃ ἡτοίμασεν ὁ Θεός; οὐχί· τίς γὰρ τῶν ἀνθρώπων εἶδε τὰ οἰκονομεῖσθαι μέλλοντα; ἆρα οὖν οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; καὶ πῶς; εἰ γὰρ ὁ προφήτης εἶπεν, πῶς φησιν, οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; οὐκ ἀνέβη. οὐ γὰρ περὶ αὐτῶν μόνων φησὶν, ἀλλὰ περὶ πάσης τῆς ἀνθρωπίνης φύσεως. τί οὖν; ὁ προφήτης οὐκ ἤκουσαν; ἤκουσαν μὲν, ἀλλ᾽ οὐκ ἦν ἀνθρώπου οὖς τὸ οὖς τὸ προφητικόν. οὐ γὰρ ὡς ἄνθρωποι ἤκουσαν, ἀλλ᾽ ὡς προφῆται. διό φησι, Προσέθηκέ μοι ὠτίον ἀκούειν, τὴν προσθήκην τὴν ἀπὸ τοῦ πνεύματος λέγων. ὅθεν δῆλον ὅτι πρὶν ἢ ἀκοῦσαι, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. μετὰ γὰρ τὴν τοῦ πνεύματος δόσιν οὐκ ἦν καρδία ἀνθρώπου, ἀλλὰ καρδία πνευματικὴ, ἡ τῶν προφητῶν, καθάπερ καὶ αὐτός φησι· Νοῦν Χριστοῦ ἔχομεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πρὶν ἢ πνεύματος ἀπολαῦσαι καὶ μαθεῖν τὰ ἀπόρρητα, οὐδὲ ἡμῶν τις, οὐδὲ τῶν προφητῶν αὐτὰ ἐνενόησε. πῶς γὰρ, ὅπου οὐδὲ ἄγγελοι αὐτὰ ᾔδεσαν; τί γὰρ χρὴ λέγειν, φησὶ, περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ὅπουγε οὐδεὶς ἀνθρώπων ταῦτα ἠπίσατο, οὐδὲ αἱ ἄνω δυνάμεις; ποῖα δὴ ταῦτα; ὅτι διὰ τῆς δοκούσης εἶναι μωρίας τοῦ κηρύγματος κρατήσει τῆς οἰκουμένης, καὶ τὰ ἔθνη εἰσενεχθήσεται, καὶ καταλλαγὴ τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἔσται, καὶ τοσαῦτα ἡμῖν ἥξει τὰ ἀγαθά. πῶς οὖν ἔγνωμεν;

10 Ημῖν δέ, φησιν, ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. Οὐ διὰ τῆς ἔξωθεν σοφίας. αὕτη γὰρ, καθάπερ τις θεραπαινὶς ἠτιμωμένη, οὐκ ἀφείθη ἔνδον εἰσελθεῖν καὶ παρακύψαι εἰς τὰ δεσποτικὰ μυστήρια. ὁρᾷς ὅσον τὸ μέσον τῆς σοφίας ταύτης κἀκείνης; ἅπερ ἄγγελοι οὐκ ἔγνωσαν, ταῦτα ἡμᾶς ἐπαίδευσεν αὕτη. ἡ δὲ ἔξωθεν τὐναντίον ἐποίησεν· οὐ μόνον οὐκ ἐπαίδευσεν, ἀλλὰ καὶ ἐκώλυσε καὶ διετείχισε, καὶ μετὰ τὸ γενέσθαι ἐπεσκίαζε τοῖς γεγενημένοις, τὸν σταυρὸν κενοῦσα. οὐ τοίνυν τὸ μαθεῖν δείκνυσι τὴν εἰς ἡμᾶς τιμὴν, καὶ τὸ μετὰ ἀγγέλων μαθεῖν, ἀλλὰ καὶ τὸ διὰ τοῦ πνεύματος αὐτοῦ μαθεῖν. εἶτα δεικνὺς τὸ μέγεθος, φησιν· ὅτι εἰ μὴ τὸ πνεῦμα τὸ ἐπιστάμενον τὰ ἀπόρρητα τοῦ Θεοῦ ἀπεκάλυψεν, οὐκ ἂν ἐμάθομεν. οὕτω περισπούδαστον τῷ Θεῷ τὸ πρᾶγμα ἦν, ὥστε ἐν τοῖς ἀπορρήτοις εἶναι. διὸ καὶ ἐκείνου ἐδεήθημεν διδασκάλου τοῦ ταῦτα σαφῶς εἰδότος. Τὸ γὰρ πνεῦμα πάντα, φησὶν, ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

11 Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ.

12 Ημεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν. Οὐ γὰρ ἀγνοίας, ἀλλ᾽ ἀκριβοῦς γνώσεως ἐνταῦθα τὸ ἐρευνᾷν ἐνδεικτικόν. ταύτῃ γοῦν τῇ λέξει καὶ ἐπὶ τοῦ Θεοῦ κέχρηται λέγων, Ο δὲ ἐρευνῶν τὰς καρδίας οἶδε, τί τὸ φρόνημα τοῦ πνεύματος. εἶτα περὶ τῆς τοῦ πνεύματος γνώσεως μετὰ ἀκριβείας εἰπὼν, καὶ δείξας ὅτι οὕτως ἐξισάζει πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν, ὡς ἡ ἀνθρώπου γνῶσις αὐτὴ πρὸς ἑαυτὴν, καὶ δείξας ὅτι πάντα ἐκεῖθεν ἐμάθομεν, καὶ ἀναγκαίως ἐκεῖθεν, ἐπήγαγεν·

13 Α καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. Ορᾷς πού ἡμᾶς ἀνήγαγεν ἀπὸ τῆς ἀξίας τοῦ διδασκάλου; τοσοῦτον γὰρ ἡμεῖς ἐκείνων σοφώτεροι, ὅσον τὸ μέσον Πλάτωνός τε καὶ πνεύματος ἁγίου. οἱ μὲν γὰρ τοὺς ἔξωθεν ῥήτορας ἔχουσι διδασκάλους, ἡμεῖς δὲ τὸ πνεῦμα τὸ ἅγιον. τί δέ ἐστι, πνευματικοῖς πνευματικὰ συγκρίνοντες; ὅταν πνευματικὸν

ᾖ

Ησ. ν. δ.

α. Κορ. β. ιϛ.

Ρωμ. η. κζ.

γρ. ἀπόῤῥητον

ἢ ἀπορεῖν ἢ, ἀπὸ τῆς πνευματικῆς ταύτης μαρτυρίας ἄγομεν. οἷον λέγω, ἀνέστη ὁ Χριστὸς· ὅτι ἀπὸ παρθένου ἐγεννήθη. παράγω μαρτυρίας, καὶ τύπους, καὶ ἀποδείξεις, τοῦ Ἰωνᾶ τὴν ἐν τῷ κήτει διατριβὴν, καὶ τὴν μετὰ ταῦτα ἀπαλλαγὴν, τὴν στειρῶν τοὺς τοκετοὺς, τῆς Σάῤῥας, τῆς Ῥεβέκκας καὶ τῶν λοιπῶν, τὴν ἐν τῷ παραδείσῳ τῶν δένδρων βλάστην γεγενημένην, οὐ σπερμάτων καταβληθέντων, οὐχ ὑετῶν κατενεχθέντων, οὐκ αὔλακος ἀνατμηθείσης. τὰ γὰρ μέλλοντα διεπλάττετο καὶ διεγράφετο, ὡς ἐν σκιᾷ, τοῖς παλαιοτέροις, ἵνα πιστευθῇ ταῦτα παραγινόμενα. καὶ δείκνυμεν πάλιν, πῶς ἀπὸ γῆς ἄνθρωπος, καὶ πῶς ἀπὸ ἀνθρώπου μόνου ἡ γυνὴ, καὶ οὐδαμοῦ συνουσία, πῶς αὐτὴ ἡ γῆ ἀπ' οὐδενὸς, τῆς δυνάμεως τοῦ δημιουργοῦ πανταχοῦ πρὸς πάντα ἀρκούσης. οὕτω πνευματικοῖς πνευματικὰ συγκρίνω, καὶ οὐδαμοῦ χρείαν ἔχω τῆς ἔξωθεν σοφίας, οὐδὲ λογισμῶν, οὐδὲ κατασκευῶν. ἐκεῖνοι γὰρ καὶ παρασαλεύουσι τὴν ἀσθενῆ διάνοιαν καὶ θορυβοῦσι, καὶ ἀποδεῖξαι σαφῶς οὐδὲν ὧν λέγουσιν ἔχουσιν, ἀλλὰ καὶ τοὐναντίον ποιοῦσι. ταράττουσι μᾶλλον, καὶ ζόφου πληροῦσι καὶ ἀπορίας πολλῆς. διό φησι, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ὁρᾷς, ὡς περιττὴν αὐτὴν δείκνυσιν; οὐ μόνον δὲ περιττὴν, ἀλλὰ καὶ ἐναντίαν καὶ βλαβεράν. καὶ γὰρ τὸ εἰπεῖν, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, καὶ ἵνα μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἡ πίστις ἡμῶν, τοῦτ' ἐδήλωσεν. ἐνταῦθα δὲ δείκνυσιν ὅτι ἀδύνατον θαῤῥοῦντας καὶ τὸ πᾶν ἐπιτρέποντας αὐτῇ, μαθεῖν τι τῶν χρησίμων.

14 Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. Δεῖ τοίνυν αὐτὴν ἀποθέσθαι πρότερον. τί οὖν, διαβέβληται, φησὶν, ἡ σοφία ἡ ἔξωθεν; καίτοιγε ἔργον ἐστὶ τοῦ Θεοῦ. πόθεν δῆλον; οὐ γὰρ αὐτὸς αὐτὴν ἐποίησεν, ἀλλὰ σὺ ἐπεξεῦρες. καὶ γὰρ σοφίαν ἐνταῦθα τὸ περίεργον τῆς ζητήσεως λέγει, καὶ τὴν περιττὴν εὐγλωττίαν. εἰ δὲ τὴν σύνεσιν τὴν ἀνθρωπίνην φαίη τις αὐτὸν λέγειν, καὶ οὕτω τὸ ἔγκλημα σόν. σὺ γὰρ αὐτὴν διαβάλλεις ὁ κακῶς κεχρημένος, ὁ πρὸς βλάβην καὶ ἐναντίωσιν Θεοῦ ἀπαιτῶν αὐτὴν ἅπερ οὐκ εἶχεν. ἐπεὶ οὖν ἐν αὐτῇ καυχᾶσαι, καὶ Θεῷ πολεμεῖς, ἤλεγξεν αὐτῆς τὴν ἀσθένειαν. ἐπεὶ καὶ ἰσχὺς σώματος καλόν· ἀλλ' ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσατο αὐτῇ ὁ Κάϊν, παρέλυσεν αὐτὸν ὁ Θεὸς, καὶ τρέμειν ἐποίησε. καὶ ὁ οἶνος καλόν· ἀλλ' ἐπειδὴ ἀμέτρως ἀπήλαυσαν οἱ Ἰουδαῖοι, καθόλου τοῖς ἱερεῦσιν ἀπηγόρευσεν ὁ Θεὸς τοῦ καρποῦ τὴν χρῆσιν. ἐπεὶ οὖν καὶ σὺ τῇ σοφίᾳ εἰς ἀθέτησιν ἀπεχρήσω τοῦ Θεοῦ, καὶ μείζονα ἀπῄτησας αὐτὴν τῆς οἰκείας ἰσχύος, ἀπάγων σε τῆς ἀνθρωπίνης ἐλπίδος, ἔδειξεν αὐτῆς τὴν ἀσθένειαν. καὶ γὰρ ψυχικός ἐστιν ὁ τὸ πᾶν τοῖς λογισμοῖς τῆς ψυχῆς διδοὺς, καὶ μὴ νομίζων ἄνωθέν τινος δεῖσθαι βοηθείας, ὅπερ ἐστὶν ἀνοίας. καὶ γὰρ ἔδωκεν αὐτὴν ὁ Θεὸς, ἵνα μανθάνῃ καὶ δέχηται τὸ παρ' αὐτοῦ, οὐχ ἵνα ἑαυτῇ αὐτὴν ἀρκεῖν νομίζῃ. καὶ γὰρ οἱ ὀφθαλμοὶ καλοὶ καὶ χρήσιμοι, ἀλλ' ἐὰν βούληται χωρὶς φωτὸς ὁρᾶν, οὐδὲν αὐτοῦ τὸ κάλλος ὀνίνησιν, οὐδὲ ἡ οἰκεία ἰσχὺς, ἀλλὰ καὶ παραβλάπτει. οὕτω τοίνυν καὶ ψυχὴ, ἐὰν βουληθῇ χωρὶς πνεύματος βλέπειν, καὶ ἐμπόδιον ἑαυτῇ γίνεται. πῶς οὖν πρὸ τούτου, φησὶν, ἀφ' ἑαυτῆς πάντα ἑώρα; οὐδέποτε ἀφ' ἑαυτῆς, ἀλλ' εἶχε τὴν κτίσιν ἀντὶ βιβλίου προκειμένην ἐν μέσῳ. ἐπεὶ δὲ, ἀφέντες βαδίσαι τὴν ὁδὸν ἣν αὐτοῖς ὁ Θεὸς ἐκέλευσε, καὶ διὰ τοῦ κάλλους τῶν ὁρωμένων γνῶναι τὸν δημιουργὸν, λογισμοῖς τὰ σκῆπτρα τῆς γνώσεως ἐνεχείρισαν, εἰς πέλαγος ἀσεβείας ἀσθενήσαντες κατέδυσαν, εὐθέως τὴν ἄβυσσον τῶν κακῶν εἰσάγοντες, καὶ εἰπόντες οὐδὲν ἐξ οὐκ ὄντων γίνεσθαι, ἀλλ' ἐξ ὕλης ἀγεννήτου, ὅθεν καὶ μυρίας ἔτεκον αἱρέσεις. καὶ ἐν μὲν τοῖς σφόδρα ἀτόποις συνηνέχθησαν· ἐν δὲ οἷς ἐδόκουν ὑγιές τι κἂν ὡς ἐν σκιαῖς ὀνειρώττειν, ἀλλήλοις συνεῤῥάγησαν, ἵν' ἑκατέρωθεν καταγελασθῶσιν. ὅτι μὲν γὰρ ἐξ οὐκ ὄντων οὐδὲν γίνεται, πάντες ὁμοῦ σχεδὸν εἶπον καὶ ἔγραψαν, καὶ οὕτω μετὰ πολλῆς τῆς σπουδῆς. ἐν

γρ. τοῖς ψυχοῖς

γρ. ἐπίβουλος

τοῖς ἀτόποις οὕτως ἤλασεν αὐτοὺς ὁ διάβολος· ἐν δὲ τοῖς χρησίμοις ἐν οἷς ἔδοξαν κἂν ἐν αἰνίγματι τι τῶν ζητουμένων εὑρίσκειν, ἐν τούτοις ἑαυτοῖς ἐπολέμησαν· οἷον, ὅτι ἀθάνατος ἡ ψυχή, καὶ ὅτι ἡ ἀρετὴ οὐδενὸς δεῖται τῶν ἔξωθεν, καὶ ὅτι οὐκ ἀνάγκης οὐδὲ εἱμαρμένης τὸ καλοὺς γενέσθαι, ἢ μὴ τοιούτους. εἶδες τοῦ διαβόλου κακουργίαν. εἴπου τι διεφθαρμένοι εἶδεν εἰπόντας, ὁμονοῆσαι πάντας ἐποίησεν· εἴπου δέ τι ὑγιὲς φθεγξαμένους, ἑτέρους κατ' αὐτῶν διήγειρεν· ὥστε μήτε τὰ ἄτοπα ἐκπεσεῖν τῇ συμφωνίᾳ βεβαιούμενα, καὶ τὰ χρήσιμα διαρρυῆναι ποικίλως νοούμενα. ὁρᾷς πῶς πανταχοῦ ἄτονος ἡ ψυχή, καὶ οὐκ ἀρκεῖ ἑαυτῇ. καὶ τοῦτο εἰκότως γεγένηται. εἰ γὰρ τοιαύτη γεγενημένη φιλονεικεῖ μηδενὸς χρείαν ἔχειν, καὶ ἀπάγει ἑαυτὴν τοῦ Θεοῦ, εἰ μὴ τοιαύτη ἐγεγένητο, ποῦ οὐκ ἂν ἐξώλισθε μανίας; εἰ λαβοῦσα σῶμα θνητόν, ἀπὸ ψευδοῦς ὑποσχέσεως τοῦ διαβόλου προσεδόκησε* μείζονα (Ἔσεσθε γάρ, φησιν, ὡς θεοί) εἰ καὶ τοῦτο ἐξ ἀρχῆς ἔλαβεν ἀθάνατον, ποῦ οὐκ ἂν ἐξέπεσε; καὶ γὰρ καὶ μετ' ἐκεῖνο ἀγέννητον ἑαυτὴν ἔφησεν εἶναι, καὶ τῆς οὐσίας τοῦ Θεοῦ, διὰ τοῦ στόματος τῶν Μανιχαίων· καὶ τοὺς θεοὺς τοὺς παρ' Ἕλλησιν ἀπὸ τούτου τοῦ νοσήματος τῆς ὑποθέσεως ἀνέπλασε. διὰ τοῦτό μοι δοκεῖ καὶ τὴν ἀρετὴν ἐπίμοχθον ὁ Θεὸς ποιῆσαι, κάμπτων αὐτὴν καὶ εἰς τὸ μετριάζειν ἄγων. ἵνα δὲ μάθῃς ὅτι τοῦτο ἐστὶν ἀληθές, ὡς ἄν εἴ τις ἀπὸ μικρῶν μέγα στοχάσαιτο, ἀπὸ τῶν Ἰσραηλιτῶν αὐτὸ μάθωμεν. οὗτοι γὰρ ἡνίκα οὐκ ἔζων ἐπίμοχθον βίον, ἀλλ' ἀνέσεως ἀπήλαυον, οὐκ ἐνεγκόντες τὴν εὐημερίαν, ἐξώλισθον εἰς ἀσέβειαν. τί οὖν ὁ Θεὸς μετὰ τοῦτο; πλῆθος νομίμων ἐπέθηκε, κωλύων αὐτῶν τὴν ἄδειαν. καὶ ἵνα μάθῃς, ὅτι οὐ πρὸς ἀρετήν τινα συντελεῖ τὰ νόμιμα ταῦτα, ἀλλ' ἀντὶ χαλινοῦ τινος ἦν αὐτοῖς διδόμενα, ἀφορμὴν ἀσχολίας παρέχοντα, ἄκουσον τί περὶ αὐτῶν ὁ προφήτης φησίν· Ἔδωκα αὐτοῖς προστάγματα οὐ καλά. τί δέ ἐστιν, οὐ καλά; οὐδὲν μέγα πρὸς ἀρετὴν συντελοῦντα. διὸ καὶ ἐπάγει, Δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ τοῖς ὀφθαλμοῖς τούτοις οὐδεὶς ἂν τὰ ἐν τοῖς οὐρανοῖς καταμάθοι· οὕτως οὐδὲ ψυχὴ μόνη τὰ τοῦ πνεύματος. καὶ τί λέγω τὰ ἐν τοῖς οὐρανοῖς; οὐδὲ τὰ ἐν τῇ γῇ ἅπαντα. καὶ γὰρ ὁρῶντες πύργον πόρρωθεν τετράγωνον, στρογγύλον εἶναι νομίζομεν· ἔστι δὲ ὀφθαλμῶν ἀπάτη τὰ τῆς τοιαύτης ὑπολήψεως· οὕτω τοίνυν καὶ ὅταν τὰ πόρρωθεν ἡμῶν πράγματα διὰ τῆς διανοίας μόνης δοκιμάζῃ τις, γέλως πολὺς ἕψεται. οὐ γὰρ μόνον, οἷάπερ ἐστὶν αὐτά, οὐκ ὄψεται, ἀλλὰ καὶ τὰ ἐναντία ὧν ἐστιν ἡγήσεται. διὸ καὶ ἐπήγαγε, Μωρία γὰρ αὐτῷ ἐστι.

Ἐζεκ. κ. κε.

*πωρ.

Τοῦτο δὲ οὐ τῆς φύσεως τοῦ πράγματος, ἀλλὰ τῆς ἀσθενείας τοῦ μὴ δυνηθέντος τοῦ μεγέθους αὐτῶν ἐφικέσθαι διὰ τῶν τῆς ψυχῆς ὄψεων. εἶτα καὶ τὴν αἰτίαν ἀντιτίθησι λέγων,

Ὅτι οὐκ οἶδεν, ὅτι πνευματικῶς ἀνακρίνεται· Τουτέστιν, ὅτι πίστεως δεῖται τὰ λεγόμενα, καὶ λογισμοῖς αὐτὰ καταλαβεῖν οὐκ ἔνι. ὑπερβαίνει γὰρ αὐτῶν τὸ μέγεθος ἐκ πολλοῦ τοῦ περιόντος τῆς ἡμετέρας διανοίας τὴν εὐτέλειαν. διό φησιν·

15 Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν τὰ πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

Καὶ γὰρ ὁ βλέπων, πάντα μὲν αὐτὸς καθορᾷ καὶ τὰ τοῦ μὴ βλέποντος, τὰ δὲ ἐκείνου τῶν μὴ βλεπόντων οὐδείς· οὕτω καὶ νῦν, τὰ μὲν ἡμέτερα καὶ τὰ τῶν ἀπίστων πάντα ἴσμεν ἡμεῖς, τὰ δὲ ἡμῶν ἐκεῖνοι λοιπὸν οὐκέτι. καὶ γὰρ ἴσμεν τίς μὲν ἡ τῶν παρόντων πραγμάτων φύσις, τίς δὲ ἡ τῶν μελλόντων ἀξία, καὶ τί ποτε ὁ κόσμος μετὰ ταῦτα γενήσεται· καὶ τί μὲν οἱ ἁμαρτωλοὶ πείσονται, τίνος δὲ ἀπολαύσονται οἱ δίκαιοι, καὶ ὅτι οὐδενὸς ἄξια τὰ παρόντα πράγματα καὶ ἴσμεν, καὶ ἐλέγχομεν αὐτῶν τὴν εὐτέλειαν (τὸ γὰρ ἀνακρίνειν, καὶ ἐλέγχειν ἐστὶ) καὶ ὅτι τὰ μέλλοντα ἐστὶν ἀθάνατα καὶ ἀκίνητα. ταῦτα ἅπαντα οἶδεν ὁ πνευματικός, καὶ τί πείσεται ὁ ψυχικὸς ἀπελθὼν ἐκεῖ, καὶ τίνος ἀπολαύσεται ὁ πιστὸς ἐντεῦθεν ἀποδημήσας, ὧν οὐδὲν οἶδεν ὁ ψυχικός. διὸ καὶ σαφῆ τῶν εἰρημένων ἀπόδειξιν ἐπαγαγών, λέγει·

16 Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν; ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν. Τουτέστι, τὰ ἐν τῷ νῷ τοῦ Χριστοῦ ταῦτα ἡμεῖς ἴσμεν, καὶ ἅπερ αὐτὸς βούλεται καὶ ἀπεκάλυψεν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι τὸ πνεῦμα ἀπεκάλυψεν, ἵνα μή τις τὸν υἱὸν παρώσηται, ἐπάγει, ὅτι καὶ ὁ Χριστὸς ταῦτα ἡμῖν ἔδειξεν· οὐ τοῦτο λέγων, ὅτι πάντα ἃ οἶδεν ἴσμεν, ἀλλ' ὅτι πάντα ἃ οἴδαμεν, οὐκ ἀνθρώπινα, ὥστε ὑποπτευθῆναι, ἀλλὰ τοῦ νοῦ ἐκείνου, καὶ πνευματικά. Τὸν γὰρ νοῦν, ὃν ἔχομεν περὶ τούτων πάντα, τοῦ Χριστοῦ ἔχομεν· τουτέστι, τὴν γνῶσιν ἣν ἔχομεν περὶ τῶν κατὰ τὴν πίστιν πραγμάτων, πνευματικὴν ἔχομεν, ὥστε εἰκότως ὑπ' οὐδενὸς ἀνακρινόμεθα. Οὐδὲ γὰρ οἶδέ τι τὰ θεῖα εἰδέναι ἄνθρωπος ψυχικός. Διὸ καὶ ἔλεγε, τίς γὰρ ἔγνω νοῦν Κυρίου; τὸν ἡμέτερον νοῦν τὸν περὶ τούτων, ἐκείνου λέγων εἶναι νοῦν. Καὶ τὸ, ὃς συμβιβάσει αὐτόν, οὐχ ἁπλῶς προσέθηκεν, ἀλλὰ πρὸς ὃ εἶπεν ἤδη, ὅτι τὸν πνευματικὸν οὐδεὶς ἀνακρίνει. Εἰ γὰρ εἰδέναι οὐδεὶς δύναται τοῦ Θεοῦ τὸν νοῦν, πολλῷ μᾶλλον διδάσκειν καὶ διορθοῦσθαι. Τοῦτο γάρ ἐστιν, ὃς συμβιβάσει αὐτόν. Ὁρᾷς ὡς πανταχόθεν ἐξωθεῖ τὴν σοφίαν τὴν ἔξωθεν, καὶ πλείονα εἰδότα καὶ μείζονα δείκνυσι τὸν πνευματικόν; ἐπειδὴ γὰρ ἐκεῖναι αἱ αἰτίαι (ἵνα μὴ καυχήσηται πᾶσα σάρξ· καὶ ὅτι διὰ τοῦτο ἐξελέξατο τὰ μωρὰ, ἵνα καταισχύνῃ τοὺς σοφούς· καὶ ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ) οὐ σφόδρα τοῖς ἀπίστοις ἀξιόπιστοι εἶναι ἐδόκουν, οὐδὲ ἐπαγωγοὶ καὶ ἀναγκαῖαι καὶ χρήσιμοι, λοιπὸν τίθησι τὴν κυριωτάτην αἰτίαν, ὅτι τούτῳ μάλιστα τῷ τρόπῳ δυνάμεθα ἰδεῖν, ἐξ οὗ καὶ τὰ ὑψηλὰ καὶ τὰ ἀπόρρητα καὶ τὰ ὑπὲρ ἡμᾶς μαθεῖν ἔχομεν. Καὶ γὰρ ἐκεῖνος ὁ λόγος τῷ μὴ δύνασθαι ἡμᾶς καταλαβεῖν διὰ τῆς ἔξωθεν σοφίας τὰ ὑπὲρ ἡμᾶς. Ὁρᾷς ὅτι καὶ συνέφερεν οὕτω μᾶλλον μαθεῖν παρὰ τοῦ πνεύματος; καὶ γὰρ καὶ εὐκολωτάτη καὶ σαφεστάτη ἡ διδασκαλία. Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· τουτέστι, πνευματικὸν, θεῖον, οὐδὲν ἀνθρώπινον ἔχοντα. Οὐ γὰρ Πλάτωνος, οὐδὲ Πυθαγόρου, ἀλλ' ὁ Χριστὸς τὰ ἑαυτοῦ τῇ ἡμετέρᾳ ἐνέθηκε διανοίᾳ.

ΗΘΙΚΟΝ

Τοῦτον οὖν αἰδεσθῶμεν, ἀγαπητοὶ, καὶ βίον ἐπιδειξώμεθα ἄριστον· ἐπεὶ καὶ αὐτὸς τοῦτο ποιεῖται πολλῆς φιλίας τεκμήριον, τὸ τὰ ἀπόρρητα ἡμῖν ἀνακαλύπτειν, λέγων, οὐκέτι ὑμᾶς λέγω δούλους. πάντες γὰρ ὑμεῖς φίλοι μού ἐστε· ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρὸς ἀπήγγειλα ὑμῖν, τουτέστιν, ἐθάρρησα ὑμῖν. Εἰ δὲ τοῦτο μόνον φιλίας τεκμήριον, τὸ θαρρῆσαι, ὅταν φανῇ μὴ θαρρήσας μόνον τὰ διὰ ῥημάτων μυστήρια, ἀλλὰ καὶ αὐτὰ ταῦτα διὰ τῶν ἔργων ἡμῖν χαρισάμενος, ἐννόησον πόσης ἀγάπης ἐστὶ τὸ γινόμενον; Τοῦτον οὖν αἰδεσθῶμεν· καὶ εἰ μηδεὶς γεέννης τοσοῦτος λόγος ἔσται ἡμῖν, ἀλλ' ἔστω γεέννης φοβερώτερον, τὸ περὶ τὸν οὕτω φίλον καὶ εὐεργέτην ἀγνώμονας γενέσθαι καὶ ἀχαρίστους· μηδὲ ὡς μισθωτοὶ οἰκέται, ἀλλ' ὡς υἱοὶ καὶ ἐλεύθεροι πάντα πράττωμεν διὰ τὴν τοῦ πατρὸς φιλίαν· καὶ παυσώμεθά ποτε τῷ κόσμῳ προσηλωμένοι, ἵνα καὶ Ἕλληνας καταισχύνωμεν. Ἐπεὶ καὶ νῦν βουλόμενος πρὸς αὐτοὺς διατείνασθαι, ἀναδύομαι, μήποτε τοῖς λόγοις αὐτοὺς νικῶντες καὶ τῇ τῶν δογμάτων ἀληθείᾳ, πολὺν τὸν καταγέλωτα ἀπὸ τῆς τοῦ βίου συγκρίσεως ἡμῖν ἐνέγκωμεν· ὅταν ἐκεῖνοι μὲν τῇ πλάνῃ προσέχοντες καὶ μηδὲν τοιοῦτο πεπεισμένοι, φιλοσοφίας ἔχωνται, ἡμεῖς δὲ τοὐναντίον ἅπαν. Πλὴν ὅμως ἐρῶ. Ἴσως γὰρ, ἴσως μελετῶντες πρὸς αὐτοὺς μάχεσθαι, φιλονεικήσομεν βελτίους αὐτῶν γενέσθαι καὶ κατὰ τὸν βίον αὐτόν. Πρῴην μὲν ἔλεγον, ὅτι οὐκ ἂν ἐπῆλθε κηρύξαι τοῖς ἀποστόλοις ἅπερ ἐκήρυξαν, εἰ μὴ θείας ἀπήλαυσαν χάριτος· καὶ ὅτι οὐ μόνον οὐ κατώρθωσαν, ἀλλ' οὐδ' ἂν ἐβουλεύσαντό τι τοιοῦτον. Φέρε δὴ καὶ σήμερον αὐτὸ τοῦτο ἐπεξέλθωμεν τῷ λόγῳ, καὶ δείξωμεν, ὡς ἀδύνατον ἦν τοῦτο κἂν ἑλέσθαι καὶ ἐννοῆσαι, εἰ μὴ τὸν Χριστὸν εἶχον μεθ' ἑαυτῶν· οὐκ ἐπειδὴ ἀσθενεῖς πρὸς ἰσχυροὺς, οὐκ ἐπειδὴ ὀλίγοι πρὸς πολλοὺς, οὐκ ἐπειδὴ πένητες πρὸς πλουσίους, οὐδὲ ἐπειδὴ ἀμαθεῖς πρὸς σοφοὺς παρετάττοντο, ἀλλ' ἐπειδὴ καὶ τῆς προλήψεως πολλὴ ἦν ἡ ἰσχύς. Ἴστε γὰρ

χ. ἀπιμλ.

γ. κἂν

γὰρ ὡς οὐδὲν οὕτως ἰσχυρὸν παρὰ ἀνθρώποις, ὡς συνηθείας παλαιᾶς τυραννίς. ὥστε εἰ καὶ μὴ δώδεκα ἦσαν μόνοι, μηδὲ οὕτως εὐτελεῖς, καὶ τοιοῦτοι, ἀλλ' ἑτέρα οἰκουμένη τοσαύτη, καὶ πλῆθος ἀντίρροπον εἶχον μεθ' ἑαυτῶν τεταγμένον, ἢ καὶ πολλῷ πλείους, καὶ οὕτω δύσκολον ἦν τὸ γινόμενον. ἐκείνοις μὲν γὰρ ἡ συνήθεια συνέπραττε, τούτοις δὲ ἡ καινοτομία ἦν ἐμποδὼν τοῦτο. οὐδὲν γὰρ οὕτω θορυβεῖ ψυχήν, κἂν ἐπὶ χρησίμῳ τινὶ γίνηται, ὡς καινοτομεῖν τι καὶ ξενίζειν, καὶ μάλιστα ὅταν περὶ λατρείας καὶ περὶ τῆς τοῦ Θεοῦ δόξης τοῦτο γίνηται. καὶ ὅση τούτου τοῦ πράγματος ἡ ἰσχύς, ἤδη ποιήσω φανερόν, πρότερον ἐκεῖνο εἰπών, ὅτι καὶ ἑτέρα δυσκολία προσῆν πρὸς Ἰουδαίους. ἐπὶ μὲν γὰρ τῶν ἑλλήνων καὶ τοὺς θεοὺς καὶ τὰ δόγματα αὐτῶν κατέλυον ἅπαντα, Ἰουδαίοις δὲ οὐχ οὕτω διελέγοντο· ἀλλὰ τῶν μὲν δογμάτων πολλὰ ἐπῄνουν, τὸν δὲ Θεὸν τὸν νομοθετήσαντα προσκυνεῖν ἐκέλευον. καὶ λέγοντες, ὅτι δεῖ θεραπεύειν τὸν νομοθέτην, ἔλεγον, μὴ πάντα πείθου τῷ νόμῳ τῷ παρ' ἐκείνου τεθέντι, οἷον ἐν τῷ φυλάττειν τὸ σάββατον, ἢ περιτομὴν τηρεῖν, ἢ θυσίας προσάγειν, ἢ ἄλλο τι τῶν τοιούτων ποιεῖν. ὥστε οὐ μόνον ἡ θεσία ἐμπόδιον ἦν, ἀλλὰ καὶ τὸ τὸν Θεὸν προσκυνεῖν κελεύοντας, πολλοὺς τῶν ἐκείνου λύειν κελεύειν νόμους. ἐπὶ δὲ τῶν ἑλλήνων μεγάλη τῆς συνηθείας ἦν ἡ τυραννίς. καὶ γὰρ εἰ καὶ δέκα ἐτῶν μόνον, οὐ λέγω χρόνου τοσούτου, καὶ εἰ ἀνθρώπων ὀλίγων, οὐ λέγω τῆς οἰκουμένης ἁπάσης, ὑπὸ συνηθείας προκατειλημμένων ἐπῆλθον οὗτοι, καὶ οὕτω δύσκολος ἦν ἡ μετάστασις· νυνὶ δὲ καὶ σοφισταὶ καὶ ῥήτορες, καὶ πατέρες καὶ πάπποι καὶ ἐπίπαπποι καὶ πολλοὶ τῶν τοιούτων ἀνωτέρω, τῇ πλάνῃ ἦσαν προκατειλημμένοι, καὶ γῆ καὶ θάλαττα, καὶ ὄρη, καὶ νάπαι, καὶ βαρβάρων πάντα τὰ γένη, καὶ ἑλλήνων δῆμοι πάντες, καὶ σοφοὶ καὶ ἰδιῶται, ἄρχοντες καὶ ἀρχόμενοι, καὶ γυναῖκες καὶ ἄνδρες, καὶ νέοι καὶ γέροντες, καὶ δεσπόται καὶ οἰκέται, καὶ γηπόνοι καὶ δημιουργοί, καὶ οἱ τὰς πόλεις καὶ οἱ τὰς χώρας οἰκοῦντες ἅπαντες. καὶ εἰκὸς ἦν τοὺς κατηχουμένους λέγειν· τί ποτε τοῦτό ἐστι; πάντες οἱ τὴν οἰκουμένην οἰκοῦντες ἠπάτηνται, καὶ σοφισταὶ καὶ ῥήτορες, καὶ φιλόσοφοι καὶ συγγραφεῖς, οἵ τε παρόντες, οἵ τε πρὸ τούτου γενόμενοι, οἱ περὶ Πυθαγόραν καὶ Πλάτωνα, καὶ στρατηγοί, καὶ ὕπατοι, καὶ βασιλεῖς, καὶ οἱ τῶν πόλεων ἐξ ἀρχῆς πολῖται καὶ οἰκισταί, καὶ βάρβαροι καὶ ἕλληνες; καὶ οἱ δώδεκα ἁλιεῖς, καὶ σκηνοποιοί, καὶ τελῶναι πάντων ἐκείνων εἰσὶ σοφώτεροι; καὶ τίς ἂν ταῦτα ἀνάσχοιτο; ἀλλ' ὅμως οὐκ εἶπον ταῦτα, οὐκ ἐνενόησαν, ἀλλ' ἠνέσχοντο, καὶ ἔγνωσαν ὅτι πάντων ἦσαν σοφώτεροι· διὸ καὶ πάντων ἐκράτησαν. καὶ ἵνα μάθῃς πόση τῆς συνηθείας ἐστὶν ἡ ἰσχύς, τῶν τοῦ Θεοῦ προσταγμάτων πολλάκις ἐκράτησε. καὶ τί λέγω, προσταγμάτων; αὐτῶν μὲν τῶν εὐεργεσιῶν. καὶ γὰρ οἱ Ἰουδαῖοι μάννα ἔχοντες, σκόροδα ἐζήτουν· καὶ ἐλευθερίας ἀπολαύοντες, τῆς δουλείας ἐμέμνηντο, καὶ Αἴγυπτον συνεχῶς ἐπεζήτουν διὰ τὴν συνήθειαν. οὕτως ἡ συνήθεια τυραννικόν. εἰ δὲ βούλει καὶ ἐκ τῶν ἔξωθεν αὐτὴν μαθεῖν, λέγεται Πλάτων, καίτοιγε ἀκριβῶς εἰδὼς ὅτι πλάνη τις ἦν τὰ περὶ θεῶν, καὶ ταῖς ἑορταῖς καὶ τοῖς ἄλλοις ἅπασι συγκαταβῆναι, ἅτε οὐ κατισχύων συνηθείᾳ πολεμῆσαι, καὶ ἔργῳ παρὰ τοῦ διδασκάλου τοῦτο μαθών. καὶ γὰρ ἐκεῖνος ὑποπτευθεὶς ἐπὶ καινοτομίᾳ τινὶ τοιαύτῃ, τοσοῦτον ἀπέσχε τοῦ κατορθῶσαι ὅπερ ἐβούλετο, ὅτι καὶ τοῦ ζῆν ἐξέπεσε, καὶ ταῦτα ἀπολογησάμενος. πόσους δὲ καὶ νῦν ὁρῶμεν ἀνθρώπους ἀπὸ παραλήψεως κατεχομένους ἐν ἀσεβείᾳ, καὶ εὔλογον μὲν οὐδὲν ἔχοντας εἰπεῖν, ἐπειδὰν ἐγκαλῶνται ἕλληνες ὄντες, πατέρας δὲ καὶ πάππους καὶ ἐπιπάππους προβαλλομένους; διὰ δὴ τοῦτο καί τινες τῶν ἔξωθεν, δευτέραν φύσιν τὴν συνήθειαν ἐκάλεσαν. ὅταν δὲ καὶ ἐν δόγμασιν ἡ συνήθεια ᾖ, βεβαιοτέρα γίνεται. πάντα γὰρ τις εὐκολώτερον ἀμείψειεν, ἢ τὰ περὶ θρησκείας. καὶ τὸ αἰσχύνεσθαι δὲ μετὰ τῆς συνηθείας ἱκανὸν ἦν ἐμποδίσαι, καὶ τὸ δοκεῖν ἐν ἐσχάτῳ γήρᾳ μεταμαθεῖν, καὶ παρὰ τῶν ἀσυνετωτέρων. καὶ τί θαυμάζεις, εἰ ἐπὶ ψυχῆς ταῦτα συμβαίνει, ὅπουγε καὶ ἐπὶ σώματος μεγάλην ἔχει τὴν ἰσχὺν ἡ συνήθεια; ἐπὶ δὲ τῶν ἀποστόλων καὶ ἕτερον ἦν

δυνατώτερον

δυνατώτερον τούτων ἐμπόδισμα, ὃ μὴ μόνον συνήθειαν ἀμείβειν οὕτω παλαιὰν καὶ ἀρχαίαν, ἀλλὰ καὶ μετὰ κινδύνων τὴν μετάστασιν ποιεῖσθαι. οὐ γὰρ ἁπλῶς ἀπὸ συνηθείας εἰς συνήθειαν εἷλκεν, ἀλλ' ἀπὸ συνηθείας ἄδειαν ἐχούσης εἰς πρᾶγμα κινδύνους ἀπειλοῦν. τὸν γὰρ πιστεύοντα ἔδει εὐθέως δημεύεσθαι, ἐλαύνεσθαι, πατρίδος ἐκπίπτειν, τὰ ἔσχατα πάσχειν δεινά, παρὰ πάντων μισεῖσθαι, κοινὸν εἶναι πολέμιον καὶ ἰδίοις καὶ ἀλλοτρίοις. ὥστε εἰ καὶ ἐπὶ συνήθειαν ἐκάλουν ἀπὸ καινοτομίας, καὶ οὕτω δύσκολον τὸ πρᾶγμα ἦν· ὅπου δὲ ἀπὸ συνηθείας εἰς καινοτομίαν, καὶ ταῦτα πρὸς τοσαῦτα δεινά, ἐννόησον πόσον ἦν τὸ ἐμπόδισμα. [γ. ὅτι] καὶ τῶν εἰρημένων δὲ πάλιν ἕτερον οὐκ ἔλαττον προσέκειτο τούτοις τὸ ποιοῦν [γ. προσέκειτο] δύσκολον τὴν μετάστασιν. μετὰ γὰρ τῆς συνηθείας καὶ τῶν κινδύνων, καὶ ταῦτα τὰ ἐπιτάγματα φορτικώτερα ἦν, καὶ ὧν ἀπῆγον ῥᾴδιά τε καὶ εὔκολα. ἀπὸ γὰρ πορνείας ἐπὶ σωφροσύνην ἐκάλουν, ἀπὸ φιλοζωίας ἐπὶ θανάτους, ἀπὸ μέθης ἐπὶ νηστείαν, ἀπὸ γέλωτος ἐπὶ δάκρυα καὶ κατάνυξιν, ἀπὸ πλεονεξίας ἐπὶ ἀκτημοσύνην, ἀπὸ ἀδείας ἐπὶ κινδύνους· καὶ τὴν ἐσχάτην διὰ πάντων ἀπῄτουν ἀκρίβειαν. Αἰσχρότης γάρ, φησί, καὶ μωρολογία, καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. [Ephes. 5. d.] καὶ ταῦτα ἔλεγον τοῖς οὐδὲν ἄλλο εἰδόσιν, ἢ μεθύειν καὶ γαστρίζεσθαι, τοῖς ἑορτὰς ἐπιτελοῦσιν οὐδαμόθεν ἄλλοθεν συνεστώσας, ἢ ἀπὸ αἰσχρότητος καὶ γέλωτος καὶ κωμῳδίας ἁπάσης. ὥστε οὐ τῷ φιλοσοφίᾳ εἶναι τὰ πράγματα, φορτικὰ ἦν τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ τῷ ἀνθρώποις λέγεσθαι ἐν ἀδείᾳ τραφεῖσι καὶ αἰσχρότητι καὶ μωρολογίᾳ καὶ γέλωτι καὶ κώμοις. τίς γὰρ τῶν ἐν ἐκείνοις βεβιωκότων ἀκούων, Ὅτι ἐὰν μή τις ἄρῃ ἑαυτοῦ τὸν σταυρόν, καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος· [Matth. 16. c.] καί, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν, καὶ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, [Matth. 10. d.] οὐκ ἂν ἐνάρκησε; τίς δὲ ἀκούων, Ὅτι ἐὰν μή τις ἀποτάξηται [Luc. 14. g.] καὶ οἰκίᾳ καὶ πατρίδι καὶ χρήμασιν, οὐκ ἔστι μου ἄξιος, οὐκ ἂν ὤκνησεν, οὐκ ἂν ἀπηγόρευσεν; ἀλλ' ὅμως οὐ μόνον οὐκ ἐνάρκων, οὐδὲ ἀνεδύοντο ταῦτα ἀκούοντες, ἀλλὰ προσέτρεχον καὶ ἐπεπήδων τοῖς δεινοῖς, καὶ ἥρπαζον τὰ ἐπιταττόμενα. τίς δὲ ἀκούων, Ὅτι παντὸς ῥήματος ἀργοῦ [Matth. 12. d.] δώσομεν δίκας· [γ. ἰουδαίας] καί, Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν· [Matth. 5. e.] καί, Ὁ ὀργισθεὶς εἰκῆ, εἰς γέενναν πεσεῖται, τίνα οὐκ ἂν τῶν τότε ἀπεσόβησεν; ἀλλ' ὅμως πάντες ἐπέδραμον, καὶ πολλοὶ καὶ ὑπὲρ τὰ σκάμματα ἥλλοντο. τί οὖν αὐτοὺς ἐπήγετο; οὐκ εὔδηλον ὅτι ἡ δύναμις τοῦ κηρυττομένου; εἰ γὰρ μὴ τοῦτο ἦν, τοὐναντίον δὲ ἦν, ἐκεῖνοι μὲν οὗτοι, οὗτοι δὲ ἦσαν ἐκεῖνοι, ἆρ' ἂν εὔκολον ἦν ἔχειν καὶ ἑλκῦσαι τοὺς ἐναγομένους; οὐκ ἔστιν εἰπεῖν. ὥστε διὰ πάντων δείκνυται θεία δύναμις οὖσα ἡ κατορθώσασα. ἐπεὶ πόθεν ἔπεισαν, εἰπέ μοι, τοὺς χαύνους καὶ τοὺς διαρρέοντας, ἐπὶ τὸν σκληρὸν καὶ τραχὺν φέροντες βίον; ἀλλὰ τὰ μὲν παραγγέλματα, τοιαῦτα· ἴδωμεν δὲ μήποτε τὸ δόγμα ἐπαγωγὸν ἦν. καὶ μὴν καὶ τοῦτο ἱκανὸν ἦν τοὺς ἀπίστους ἀποσοβῆσαι. τί γὰρ ἔλεγον οἱ κηρύσσοντες; ὅτι τὸν ἐσταυρωμένον δεῖ προσκυνεῖν, καὶ τοῦτον Θεὸν νομίζειν, τὸν ἐκ γυναικὸς γεννηθέντα Ἰουδαίας. καὶ τίς ἂν τούτοις ἐπείσθη, μὴ θείας δυνάμεως προηγουμένης; ὅτι μὲν γὰρ ἐσταυρώθη καὶ ἐτάφη, πάντες εἶδον· ὅτι δὲ ἀνέστη καὶ ἀνῆλθε, πλὴν τῶν ἀποστόλων, οὐδεὶς ἑώρακεν. ἀλλ' ἐπαγγελίαις αὐτοὺς ἐπῆρεν, φησί, καὶ ψόφῳ ῥημάτων ἠπάτησεν. τοῦτο μὲν οὖν αὐτὸ μάλιστα δείκνυσι, καὶ χωρὶς τῶν εἰρημένων ἁπάντων, ὅτι οὐκ ἔστιν ἀπάτη τὰ ἡμέτερα. τὰ μὲν γὰρ δυσχερῆ πάντα, ἐνταῦθα συνέβαινε· τὰ δὲ χρηστά, μετὰ τὴν ἀνάστασιν ἐπαγγέλλεσθαι ἔδει. [γ. ἐνταῦθα] αὐτὸ μὲν οὖν τοῦτο, πάλιν γὰρ ἐρῶ, δείκνυσι θεῖον τὸ ἡμέτερον κήρυγμα. διὰ τί γὰρ μηδεὶς τῶν πιστευόντων εἶπεν, οὐ προσίεμαι, οὐδὲ ἀνέχομαι· τὰ δυσχερῆ μοι ἐνταῦθα ἀπειλεῖς, καὶ τὰ χρηστὰ μετὰ τὴν ἀνάστασιν ἐπαγγέλλῃ; πόθεν γὰρ δῆλον ὅτι ἀνάστασις ἔσται; τίς τῶν ἀπελθόντων ἦλθε; τίς τῶν κειμένων ἀνέστη; τίς τούτων εἶπε, τί ἔσται μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; [γ. ἐπιδη.] ἀλλ' οὐδὲν τούτων οὐκ ἐνενόησαν, ἀλλὰ καὶ τὰς ψυχὰς ἀπεδίδοσαν ὑπὲρ τοῦ σταυρωθέντος.

ὥστε

ὥστε αὐτὸ τοῦτο μάλιστα μεγάλης δυνάμεως ἦν, καὶ μηδέποτε μηδὲν τοιοῦτον ἀκούσαντας ἀθρόοι πεῖσαι περὶ μεγάλων οὕτω πραγμάτων, καὶ παρασκευάσαι τὰ μὲν δυσχερῆ καταδέξασθαι ἐπὶ τῆς πείρας, τὰ δὲ χρηστὰ ἐν ἐλπίσιν ἔχειν. Εἰ δὲ ἠπάτων, τοὐναντίον ἂν ἐποίησαν. τὰ μὲν χρηστὰ ἐντεῦθεν ἐπηγγείλαντο· τὰ δὲ φοβερὰ ἐσίγησαν ἄν, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα. οὕτω γὰρ οἱ ἀπατῶντες καὶ οἱ κολακεύοντες ποιοῦσιν. οὐδὲν τραχύ, οὐδὲ ἐπαχθές, οὐδὲ φορτικὸν προτείνουσιν, ἀλλὰ τοὐναντίον ἅπαν· τοῦτο γάρ ἐστιν ἀπάτη. ἀλλ' ἡ ἄνοια, φησί, τῶν πολλῶν πιστευθῆναι ἐποίησε τοῖς λεγομένοις. τί φής; ὅτε ὑπὸ Ἕλλησιν ἦσαν, οὐκ ἦσαν ἀνόητοι· ἀλλ' ὅτε πρὸς ἡμᾶς μετέστησαν, τότε ἀνόητοι γεγόνασι; καίτοιγε οὐκ ἄλλους ἀνθρώπους, οὐδὲ ἐξ ἄλλης οἰκουμένης λαβόντες ἔπεισαν οἱ ἀπόστολοι· καίτοι τὰ μὲν Ἑλλήνων ἁπλῶς κατεῖχον· τὰ δὲ ἡμέτερα μετὰ κινδύνων κατεδέξαντο. ὥστε εἰ μετὰ λόγου κρείττονος αὐτὰ κατεῖχον, τοσοῦτον αὐτοῖς ἐντραφέντες χρόνον οὐκ ἂν αὐτῶν ἀπέστησαν, καὶ μάλιστα ὅτι οὐδὲ ἀκινδύνως ἀποστῆναι ἐνῆν. ἐπεὶ δὲ ἔγνωσαν ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως, ὅτι γέλως ἐκεῖνα καὶ πλάνη, διὰ τοῦτο καὶ θανάτων ἀπειλουμένων, τῶν μὲν συνήθων ἀπεπήδησαν, εἰς δὲ τὰ καινὰ ηὐτομόλησαν· ἅτε τούτου μὲν τοῦ δόγματος κατὰ φύσιν ὄντος, ἐκείνου δὲ παρὰ φύσιν. ἀλλ' οἰκέται, φησίν, ἦσαν οἱ πειθέντες, καὶ γυναῖκες, καὶ τίτθαι, καὶ μαῖαι, καὶ εὐνοῦχοι. μάλιστα μὲν οὐκ ἀπὸ τούτων ἡμῖν ἡ ἐκκλησία συνέστηκε μόνον, καὶ τοῦτο δῆλον ἅπασιν· εἰ δὲ ἀπὸ τούτων, τοῦτο μάλιστά ἐστι τὸ ποιοῦν τὸ κήρυγμα θαυμαστόν, ὅτι τοιαῦτα δόγματα, οἷα Πλάτων καὶ οἱ κατ' ἐκεῖνον οὐκ ἴσχυσαν ἐννοῆσαι, ἐξαίφνης ἴσχυσαν οἱ ἁλιεῖς τὸ πάντων ἀμαθέστατον γένος πεῖσαι καταδέξασθαι. οὐδὲ γάρ, εἰ φρονίμους ἔπεισαν μόνον, οὕτω θαυμαστὸν ἦν τὸ γεγονός. ἐπεὶ δὲ οἰκέτας καὶ τίτθας καὶ εὐνούχους εἰς τοσοῦτον ἤγαγον φιλοσοφίας, ὡς ἀγγέλοις ἐφαμίλλους ποιῆσαι, μεγίστην τῆς θείας ἐμπνοίας παρέχουσιν ἀπόδειξιν. καὶ γὰρ εἰ μὲν εὐτελῆ τινα ἐπέταττον, εἶχε λόγον ἴσως τὴν τούτων πειθὼ εἰς ἀπόδειξιν τῆς εὐτελείας τῶν λεγομένων προβάλλεσθαι· εἰ δὲ μεγάλα καὶ ὑψηλά, καὶ ἀνθρωπίνην σχεδὸν ὑπερβαίνοντα φύσιν, καὶ ὑψηλῆς δεόμενα διανοίας ἐφιλοσόφουν, ὅσῳ ἂν δείξῃς ἀνοήτους τοὺς πειθέντας, τοσούτῳ μᾶλλον ἀποδεικνύεις σοφοὺς καὶ θείας χάριτος πεπληρωμένους τοὺς πείσαντας. ἀλλὰ τῇ ὑπερβολῇ τῶν ἐπαγγελιῶν, φησίν, ἔπεισαν. αὐτὸ δὲ τοῦτο οὐ θαυμάζεις, εἰπέ μοι, πῶς ἔπεισαν μετὰ θάνατον προσδοκᾶν ἔπαθλα καὶ ἀμοιβάς; ἐγὼ γὰρ αὐτὸ τοῦτο ἐκπλήττομαι. ἀλλὰ καὶ τοῦτο ὑπὸ ἀνοίας, φησί. ποίας ἀνοίας, εἰπέ μοι, ταῦτα; ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ δικαστήριον ἀδέκαστον μετὰ τὸν ἐνταῦθα ἡμᾶς λήψεται βίον, καὶ εὐθύνας καὶ ῥημάτων καὶ πραγμάτων καὶ ἐννοιῶν δώσομεν τῷ τὰ ἀπόρρητα εἰδότι Θεῷ, καὶ τοὺς μὲν κακοὺς ὀψόμεθα κολαζομένους, τοὺς δὲ ἀγαθοὺς στεφανουμένους. ταῦτα γὰρ οὐχὶ ἀνοίας, ἀλλὰ τῆς μεγίστης ἐστὶ φιλοσοφίας.* αὐτὸ δὲ οὖν τοῦτο, εἰπέ μοι, τὸ καταφρονεῖν τῶν παρόντων, τὸ μέγα νομίζειν ἀρετήν, τὸ μὴ τὰ ἆθλα ἐνταῦθα ζητεῖν, ἀλλὰ περαιτέρω προϊέναι ταῖς ἐλπίσι, καὶ ψυχὴν οὕτως εὔτονον ἔχειν καὶ πιστήν, ὡς μηδενὶ τῶν παρόντων δεινῶν πρὸς τὰς μελλούσας παρεμποδίζεσθαι ἐλπίδας, πόσης ἂν εἴη φιλοσοφίας; ἀλλὰ βούλει καὶ αὐτῶν τῶν ἐπαγγελιῶν καὶ τῶν προρρήσεων μαθεῖν τὴν δύναμιν, καὶ τὴν ἀλήθειαν τῶν περὶ τούτων, τῶν μετὰ ταῦτα; θέα μοι σειρὰν χρυσῆν πλεκομένην ποικίλως ἐξ ἀρχῆς. εἶπε τινὰ αὐτοῖς περὶ ἑαυτοῦ, καὶ περὶ τῶν ἐκκλησιῶν, καὶ περὶ τῶν μελλόντων πραγμάτων, καὶ λέγων ἐθαυματούργει. οὐκοῦν ἀπὸ τῆς ἐκβάσεως τῶν εἰρημένων, δηλονότι καὶ τὰ θαύματα ἀληθῆ, καὶ τὰ μέλλοντα καὶ ἐπηγγελμένα. ἵνα δὲ καὶ σαφέστερον γένηται τὸ λεγόμενον, ἐπ' αὐτῶν αὐτὸ ποιήσω τῶν πραγμάτων φανερόν. ἀνέστησε τὸν Λάζαρον ῥήματι μόνῳ ψι-
Matth. 16. 18. λῷ, καὶ ζῶντα ἔδειξεν· εἶπε πάλιν, Πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς ἐκκλησίας·
Matth. 19. 29. καί, Ὅτι ὁ καταλιπὼν πατέρα ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. οὐκοῦν τὸ μὲν θαῦμα ἕν, τὸ τοῦ Λαζάρου· αἱ δὲ προρρήσεις δύο,

δύο, ἡ μὲν ἐνταῦθα δεικνυμένη, ἡ δὲ ἐν τῷ μέλλοντι. σκόπει τοίνυν πῶς ἅπαντα δι᾽ ἀλλήλων κατασκευάζεται. εἰ μὲν γάρ τις ἀπιστοίη ὅτι Λάζαρος ἀνέστη, ἀπὸ τῆς προῤῥήσεως τῆς περὶ τῆς ἐκκλησίας εἰρημένης πιστευέτω τῷ θαύματι. τὸ γὰρ περὶ τοσούτων λεχθὲν χρόνων τότε ἐξέβη, καὶ τέλος ἔλαβε. πύλαι γὰρ ᾅδου τῆς ἐκκλησίας οὐ κατίσχυσαν. ὁ τοίνυν ἀληθεύσας ἐν τῇ προῤῥήσει, εὔδηλον ὅτι καὶ τὸ θαῦμα εἰργάσατο. ὁ δὲ καὶ τὸ θαῦμα ἐργασάμενος, καὶ ἅπερ εἶπεν εἰς τέλος ἀγαγὼν, εὔδηλον ὅτι καὶ ἐν τῇ προῤῥήσει τῶν μελλόντων ἀληθεύει, λέγων, ὅτι ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει ὁ τῶν παρόντων ὑπεριδών. τὰ γὰρ ἤδη γεγενημένα καὶ εἰρημένα, ἐνέχυρα μέγιστα τῶν μελλόντων ἐκβήσεσθαι δέδωκε. ταῦτα τοίνυν ἅπαντα καὶ τὰ τούτοις ἐοικότα ἀπὸ τῶν εὐαγγελίων συναγαγόντες, λέγωμεν πρὸς αὐτοὺς, καὶ ἐπιστομίζωμεν αὐτούς. εἰ δὲ λέγει τις, πῶς οὖν οὐκ ἐσβέσθη τέλεον ἡ πλάνη; ἐκεῖνο ἂν εἴποιμεν· ὅτι ὑμεῖς αἴτιοι οἱ πρὸς τὴν ἑαυτῶν στασιάζοντες σωτηρίαν· ἐπεὶ ὁ Θεὸς τὰ πράγματα οὕτως ᾠκονόμησεν, ὡς μηδὲ λείψανον ὑπολειφθῆναι τῆς ἀσεβείας. ἀναλογισώμεθα τοίνυν τὰ εἰρημένα διὰ βραχέων. ποίαν ἔχει φύσιν τὰ πράγματα; τοὺς ἀσθενεῖς ὑπὸ τῶν δυνατῶν ἡττᾶσθαι, ἢ τοὐναντίον; τοὺς τὰ εὔκολα λέγοντας, ἢ τοὺς χαλεπώτερα; τοὺς μετὰ κινδύνων ἕλκοντας, ἢ τοὺς μετὰ ἀδείας; τοὺς καινοτομοῦντας, ἢ τοὺς τὴν συνήθειαν κρατύνοντας; τοὺς ἐπὶ τραχεῖαν, ἢ τοὺς ἐπὶ τὴν ῥᾳδίαν ἄγοντας ὁδόν; τοὺς τῶν πατρῴων ἀφιστῶντας, ἢ τοὺς οὐ ξένα νομοθετοῦντας; τοὺς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν πάντα ὑπισχνουμένους τὰ χρηστὰ, ἢ τοὺς ἐν τῷ παρόντι κολακεύοντας βίῳ; τοὺς πολλοὺς ὑπὸ τῶν ὀλίγων, ἢ τοὺς ὀλίγους ὑπὸ τῶν πολλῶν; ἀλλὰ καὶ ὑμεῖς ἐνταῦθα, φησὶν, ὑπέχεσθε. τί δὲ ἐνταῦθα ὑπεχόμεθα; ἁμαρτημάτων ἄφεσιν καὶ λουτρὸν παλιγγενεσίας. μάλιστα μὲν καὶ τὸ βάπτισμα ἐν τοῖς μέλλουσιν ἔχει τὸ πλέον. καὶ τοῦτο σαφῶς Παῦλος λέγων· Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. ὅταν ἡ ζωὴ ὑμῶν φανερωθῇ, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Κολασ. γ. γ. εἰ δὲ καὶ ἐνταῦθα ἔχει ἀγαθὰ, ὥσπερ οὖν καὶ ἔχει, καὶ τοῦτο μάλιστα πολλοῦ θαύματος, ὅτι ἴσχυσαν πεῖσαι τοὺς τὰ μυρία ἐργασαμένους δεινὰ, καὶ ὅσα μηδεὶς ἕτερος, ὅτι πάντα ἀπολούσονται, καὶ οὐδενὸς δώσουσι λόγον τῶν πεπλημμελημένων. ὥστε καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαυμάζειν ἐχρῆν, ὅτι ἀνθρώπους βαρβάρους τοιαύτην ἔπεισαν καταδέξασθαι πίστιν, καὶ χρηστὰς περὶ τῶν μελλόντων ἔχειν ἐλπίδας, καὶ τὸ πρότερον τῶν ἁμαρτημάτων φορτίον ἀποσκευασαμένους μετὰ πολλῆς τῆς προθυμίας εἰς τὸ ἐπιὸν τῶν ὑπὲρ τῆς ἀρετῆς ἅπτεσθαι πόνων, καὶ πρὸς αἰσθητὸν μὲν μηδὲν κεχηνέναι, πάντων δὲ ἀνωτέρους τῶν σωματικῶν γενομένους νοερὰς δέξασθαι δωρεὰς, καὶ τὸν Πέρσην καὶ τὸν Σαυρομάτην καὶ τὸν Μαῦρον καὶ τὸν Ἰνδὸν εἰδέναι ψυχῆς καθαρμὸν, καὶ Θεοῦ δύναμιν, καὶ φιλανθρωπίαν ἄφατον, καὶ πίστεως φιλοσοφίαν, καὶ πνεύματος ἁγίου ἐπιφοίτησιν, καὶ σωμάτων ἀνάστασιν, καὶ ζωῆς ἀθανάτου δόγματα. ταῦτα γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα γένη βαρβάρων οἱ ἁλιεῖς μυσταγωγοῦντες ἐν τῷ βαπτίσματι, φιλοσοφεῖν ἔπεισαν. ταῦτα τοίνυν ἅπαντα μετὰ ἀκριβείας φυλάξαντες, πρὸς αὐτοὺς λέγωμεν, καὶ τὴν ἀπὸ τοῦ βίου πάλιν αὐτοῖς ἀπόδειξιν παρεχώμεθα, ἵνα ἑκατέρωθεν ἡμεῖς τε σωθῶμεν, ἐκείνους τε ἐπισπασώμεθα πρὸς τὴν τοῦ Θεοῦ δόξαν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. η. 1 ΚΑΓΩ ΔΕ, ΑΔΕΛΦΟΙ, ΟΥΚ ΗΔΥΝΗΘΗΝ ὙΜΙΝ λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. κεφ. γ.

2 Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα. οὔπω γὰρ ἠδύνασθε· ἀλλ᾽ οὐδὲ ἔτι νῦν δύνασθε. 3 Ἔτι γὰρ σαρκικοί ἐστε.

Καθελὼν τὴν φιλοσοφίαν τὴν ἔξωθεν, καὶ τὸν τῦφον αὐτῆς καταβαλὼν ἅπαντα, ἐφ' ἑτέραν ὑπόθεσιν ἔρχεται. καὶ γὰρ εἰκὸς ἦν ἐκείνους λέγειν, ὅτι εἰ μὲν τὰ Πλάτωνος ἢ Πυθαγόρου ἢ τινος ἑτέρου τῶν φιλοσόφων ἀπηγγέλλομεν, εἰκότως ὑπὸ μακρὸν καθ' ἡμῶν ἀπέτεινες λόγον· εἰ δὲ τὰ τοῦ πνεύματος καταγγέλλομεν, τίνος ἕνεκεν τὴν ἔξωθεν σοφίαν ἄνω καὶ κάτω στρέφεις; πῶς οὖν πρὸς τοῦτο ἵσταται, ἄκουσον. κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. μάλιστα μὲν γὰρ εἰ καὶ τέλειοι, φησίν, ἦτε καὶ ἐν τοῖς πνευματικοῖς, οὐδὲ οὕτως ἐχρῆν ἐπαίρεσθαι (οὐδὲ γὰρ τὰ ὑμέτερα καταγγέλλετε, οὐδὲ ἅπερ αὐτοὶ οἴκοθεν εὑρήκατε) νυνὶ δὲ οὐδὲ ταῦτα ἴστε ὡς εἰδέναι χρή, ἀλλὰ μαθηταί ἐστε, καὶ πάντων ἔσχατοι. ὥστε εἰ μὲν ἐπὶ τῆς ἔξωθεν σοφίας φρονεῖτε μεγάλα, ἐλήλεγκται οὐδὲν οὖσα αὕτη, ἀλλὰ καὶ ἐπὶ τοῖς πνευματικοῖς ἐναντία ἡμῖν· εἰ δὲ καὶ ἐπὶ τοῖς πνευματικοῖς, καὶ ἐν τούτοις τὸ ἔλαττον κατέχετε καὶ ἐν τοῖς ἐσχάτοις ἑστήκατε. διό φησιν, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. οὐκ εἶπεν, οὐκ ἐλάλησα, ἵνα μὴ δόξῃ φθόνου τὸ πρᾶγμα εἶναι· ἀλλὰ διπλῶς αὐτῶν καθαιρεῖ τὸ φρόνημα, ἑνὶ μὲν τρόπῳ*, ὅτι οὐκ ἴσασι τὰ τέλεια, δευτέρῳ δέ, ὅτι αὐτοὶ τοῦ μὴ εἰδέναι γεγόνασιν αἴτιοι, καὶ τρίτῳ δὲ πρὸς τούτοις, τῷ δεικνύναι ὅτι οὐδὲ ἔτι νῦν δύνανται. τὸ μὲν γὰρ τὴν ἀρχὴν μὴ δυνηθῆναι, ἴσως τῆς τοῦ πράγματος φύσεως ἦν· καίτοιγε οὐδὲ ταύτην αὐτοῖς ἀφίησι τὴν ἀπολογίαν. οὐ γὰρ διὰ τὸ μὴ δύνασθαι δέξασθαι τὰ ὑψηλά φησιν αὐτοὺς μὴ δεδέχθαι, ἀλλὰ διὰ τὸ σαρκικοὺς εἶναι. πλὴν ἀλλ' ἐν ἀρχῇ μὲν οὕτως οὐκ ἦν κατηγορίας ἄξιον· τὸ δέ, καὶ χρόνου προελθόντος τοσούτου, μηδέπω πρὸς τὰ τελειότερα φθάσαι, τοῦτο τῆς ἐσχάτης νωθείας ἦν. τοῦτο γοῦν ἐγκαλεῖ καὶ Ἑβραίοις, ἀλλ' οὐ μετὰ τοσαύτης σφοδρότητος. ἐκείνους μὲν γὰρ καὶ διὰ τὴν θλῖψιν τοιούτους εἶναί φησι, τούτους δὲ διὰ ἐπιθυμίαν τῆς πονηρίας. οὐκ ἔστι δὲ ἴσον τοῦτο, κἀκεῖνο. καὶ δείκνυσιν ὅτι ἐκείνοις μὲν ἐπιτιμῆσαι βουλόμενος, τούτους δὲ διεγείρων μᾶλλον, ἔλεγε ταῦτα ἀληθεύων. Εβ. ς. α. κ.θ. τούτοις μὲν γάρ φησιν, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἐκείνοις δέ, Διόπερ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα. καὶ πάλιν, Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. καὶ πῶς οὖν πνεύματος ἐπιτυχόντας τοσούτου, σαρκικοὺς καλεῖ, καὶ ὧν ἀρχόμενος τοσαῦτα διῆλθεν ἐγκώμια; ἐπεὶ κἀκεῖ- Ματθ. ζ. κγ. νοι σαρκικοὶ ἦσαν, πρὸς οὓς φησιν ὁ Κύριος, Ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, καίτοι καὶ δαίμονας ἐξέβαλον, καὶ νεκροὺς ἀνέστησαν, καὶ προφητείας ἐπεδείξαντο. ὥστε ἔστι καὶ σημεῖα ποιήσαντα εἶναι σαρκικόν. καὶ γὰρ διὰ Βαλαὰμ ἐνήργησεν ὁ Θεός, καὶ τῷ Φαραὼ τὰ μέλλοντα ἀπεκάλυψε, καὶ τῷ Ναβουχοδονόσορ, καὶ Καϊάφας προεφήτευσεν, οὐκ εἰδὼς ἃ ἔλεγε, καὶ ἕτεροι δέ τινες δαιμόνια ἐξέβαλον τῷ αὐτοῦ ὀνόματι, οὐκ ὄντες μετ' αὐτοῦ· ἐπεὶ οὐ δι' ἐκείνους τοὺς ποιοῦντας ταῦτα γίνεται, ἀλλὰ δι' ἑτέρους. πολλάκις δὲ καὶ δι' ἀναξίων ταῦτα ἐγένετο. καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνθρώπων ἀναξίων δι' ἑτέρους ταῦτα γίνεται, ὅπου γε καὶ δι' ἁ- α. Κορ. γ. κβ. γίων; καὶ γὰρ Παῦλός φησι· Πάντα ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς, εἴτε Κηφᾶς, Εφ. δ. ια. εἴτε ζωή, εἴτε θάνατος· καὶ πάλιν, Οὗτος αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἂν ἐκώλυσε πάντας διαφθαρῆναι. συμβαίνει γὰρ ἄρχοντας μὲν εἶναι φαύλους καὶ μιαρούς, τοὺς δὲ ἀρχομένους ἐπιεικεῖς καὶ μετρίους, καὶ λαϊκοὺς μὲν ἐν εὐλαβείᾳ ζῆν, ἱερέας δὲ ἐν πονηρίᾳ· καὶ οὐκ ἔμελλεν οὐδὲ βάπτισμα εἶναι, οὔτε σῶμα Χριστοῦ, οὔτε προσφορὰ δι' ἐκείνων, εἰ πανταχοῦ τὴν ἀξίαν ἡ χάρις ἐζήτει. νυνὶ δὲ καὶ δι' ἀναξίων ἐνεργεῖν ὁ Θεὸς εἴωθε, καὶ οὐδὲν τοῦ βαπτίσματος ἡ χάρις παρὰ τοῦ βίου τοῦ ἱερέως παραβλάπτεται.

* λέγει

προσέχεται· ἐπεὶ ἔμελλεν ὁ λαμβάνων ἐλαττοῦσθαι. ὥστε εἰ καὶ μυριάκις γίνεται ταῦτα, γίνεται ὅμως. ταῦτα δὲ λέγω, ἵνα μή τις τῶν παρεστώτων τὸν βίον περιεργαζόμενος τοῦ ἱερέως, σκανδαλίζηται περὶ τὰ τελούμενα. οὐδὲν γὰρ ἄνθρωπος εἰς τὰ προκείμενα εἰσάγει, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστὶ, κἀκεῖνός ἐστιν ὑμᾶς ὁ μυσταγωγῶν. κἀγὼ, ἀδελφοὶ, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκικοῖς. γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. οὔπω γὰρ ἐδύνασθε. ἵνα γὰρ μὴ δόξῃ φιλοτιμίας ἕνεκεν εἰρηκέναι ταῦτα ἅπερ εἴρηκεν, ὅτι ὁ πνευματικὸς ἀνακρίνει τὰ πάντα, καὶ ὅτι ὑπ᾽ οὐδενὸς ἀνακρίνεται, καὶ ὅτι νοῦν Χριστοῦ ἔχομεν, καὶ τὸν τῦφον αὐτῶν καταστέλλων ὅρα τί φησιν. οὐ διὰ τοῦτο, φησὶν, ἐσίγησα, ὡς οὐδὲν πλέον δυνάμενος ὑμῖν εἰπεῖν, ἀλλ᾽ ὅτι σαρκικοί ἐστε. ἀλλ᾽ οὐδὲ ἔτι νῦν δύνασθε. διατί μὴ εἶπεν, οὐ θέλετε, ἀλλ᾽, οὐ δύνασθε; ὅτι καὶ τοῦτο ἀντ᾽ ἐκείνου τέθεικε. τὸ γὰρ μὴ δύνασθαι, τοῦτο ἀπὸ τοῦ μὴ θέλειν ἐστίν· ὅπερ αὐτοῖς μᾶλλον φέρει κατηγορίαν, τῷ δὲ διδασκάλῳ συγγνώμην. εἰ μὲν γὰρ ἀπὸ φύσεως οὐκ ἠδύναντο, ἴσως ἄν τις συνέγνω· ἐπεὶ δὲ ἀπὸ προαιρέσεως, ἀπεστέρηνται τῆς ἀπολογίας. εἶτα λέγει καὶ τὸ εἶδος τὸ ποιοῦν αὐτοὺς σαρκικούς· Ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασία, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; Καίτοι καὶ πορνείας καὶ ἀσελγείας εἶχον αὐτῶν εἰπεῖν, ἀλλ᾽ ἐκεῖνο μᾶλλον τίθησι τὸ ἁμάρτημα, ὅπερ ἐσπούδασε διορθώσασθαι πρῶτον. εἰ δὲ ζῆλος σαρκικοὺς ποιεῖ, ὥρα λοιπὸν ἅπαντας ὀλολύξαι μέγα, καὶ σάκκον περιβαλέσθαι καὶ σποδὸν ὑποστρώσασθαι. τίς γὰρ τοῦ πάθους τούτου καθαρός; πλὴν εἰ μὴ ἀπ᾽ ἐμαυτοῦ καὶ τὰ τῶν ἄλλων στοχάζομαι. εἰ ζῆλος σαρκικοὺς ποιεῖ, καὶ οὐκ ἀφίησιν εἶναι πνευματικοὺς, καίτοι γε προφητεύοντας καὶ ἕτερα θαυμαστὰ ἐπιδεικνυμένους, ὅταν μηδὲ χάρις τοσαύτη παρῇ, ποῦ θήσομεν τὰ ἡμέτερα, ὅταν μὴ ἐπὶ τούτῳ μόνῳ, ἀλλὰ καὶ ἐφ᾽ ἑτέροις μείζοσιν ὦμεν ἁλισκόμενοι; ἐντεῦθεν μανθάνομεν ὅτι εἰκότως ἔλεγεν ὁ Χριστὸς, Ὅτι ὁ ποιῶν τὰ φαῦλα, οὐκ ἔρχεται πρὸς τὸ φῶς, καὶ ὅτι βίος ἀκάθαρτος ἐμποδίζει δόγμασιν ὑψηλοῖς, οὐκ ἀφεὶς τὸ διορατικὸν φαίνεσθαι τῆς διανοίας. ὥσπερ οὖν οὐκ ἔστιν ἐν πλάνῃ ὄντα καὶ ὀρθῶς βιοῦντα μεῖναι ἐν πλάνῃ ποτὲ, οὕτως οὐ ῥᾴδιον πονηρίᾳ συντρεφόμενον ἀναβλέψαι ταχέως πρὸς τὸ τῶν παρ᾽ ἡμῖν δογμάτων ὕψος, ἀλλὰ χρὴ πάντων καθαρεύειν τῶν παθῶν τὸν μέλλοντα θηρᾶν τὴν ἀλήθειαν. ὁ γὰρ τούτων ἀπηλλαγμένος, καὶ τῆς πλάνης ἀπαλλαγήσεται, καὶ ἐπιτεύξεται τῆς ἀληθείας. μὴ γάρ μοι τὸ μὴ πλεονεκτεῖν μόνον, μηδὲ τὸ μὴ πορνεύειν ἀρκεῖν εἰς τοῦτό σοι νόμιζε, ἀλλὰ χρὴ πάντα συνδραμεῖν τῷ ζητοῦντι τἀληθές. διό φησι Πέτρος· Ἐπ᾽ ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι· τουτέστι, καλεῖ καὶ ἐπισπᾶται αὐτὸν πρὸς τὴν ἀλήθειαν. οὐχ ὁρᾷς Παῦλον, ὅτι πάντων σφοδρότερος ἦν ἐν τῷ πολεμεῖν καὶ διώκειν; ἀλλ᾽ ὅμως ἐπειδὴ βίον ἄληπτον εἶχε, καὶ οὐ πάθει ταῦτα ἔπραττεν ἀνθρωπίνῳ, καὶ ἐδέχθη καὶ πάντας ὑπερηκόντισεν. εἰ δὲ λέγοι τις, πῶς ὁ δεῖνα ὁ Ἕλλην, χρηστὸς ὢν καὶ ἀγαθὸς καὶ φιλάνθρωπος, μένει πλανώμενος, ἐκεῖνο ἂν εἴποιμι· ὅτι ἕτερον ἔχει πάθος, κενοδοξίαν, ἢ νωθείαν ψυχῆς, ἢ τὸ μὴ μεριμνᾶν περὶ τῆς οἰκείας σωτηρίας, ἀλλ᾽ ἁπλῶς καὶ εἰκῇ τὰ κατ᾽ αὐτὸν φέρεσθαι νομίζειν. ὁ δὲ Παῦλος τὸν ἐργαζόμενον δικαιοσύνην, τὸν ἐν πᾶσιν ἄληπτόν φησι κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενον. καὶ, Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει. πῶς οὖν, φησὶν, ἀκάθαρτοι κατηξιώθησαν τοῦ κηρύγματος; ἐπειδὴ ἠθέλησαν, καὶ ἐπεθύμησαν. τοὺς μὲν γὰρ καὶ πεπλανημένους ἕλκει, ἐπειδὰν παθῶν καθαρεύσωσι· τοὺς δὲ ἀφ᾽ ἑαυτῶν προσιόντας οὐ διωθεῖται. πολλοὶ δὲ καὶ ἀπὸ προγόνων ἐδέξαντο τὴν εὐσέβειαν. ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις. λοιπὸν πρὸς τοὺς ἀρχομένους ἀποδύεται. ἐν μὲν γὰρ τοῖς ἔμπροσθεν τοὺς ἄρχοντας κατέβαλεν, εἰπὼν, ὅτι οὐδενὸς ἀξία ἡ σοφία τοῦ λόγου. ἐν ταῦτα δὲ τοὺς ἀρχομένους πλήττει λέγων·

Ἰωαν. γ. κ.

Πραξ. ι. λδ.

Φιλιπ. γ. ς.

β. Τιμ. α. γ.

γρ. ἠξιώθησαν

4 Ὅταν γὰρ λέγῃ τις, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, οὐχὶ σαρκικοί ἐστε;

Καὶ δεικνύουσιν ὅτι τοῦτο οὐ μόνον οὐδὲν αὐτοὺς ὤνησεν, οὐδὲ προσλαβεῖν τι πεποίηκεν, ἀλλὰ πρὸς τὴν τῶν μειζόνων ὠφέλειαν ἐνεπόδισε. τοῦτο γὰρ ζῆλον ἔτεκεν· ὁ δὲ ζῆλος σαρκικοὺς ἐποίησε· τὸ δὲ γενέσθαι σαρκικοὺς, οὐκ ἀφῆκεν ἀκοῦσαι τῶν ὑψηλοτέρων.

5 Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς; Μετὰ γὰρ τὴν τῶν πραγμάτων κατασκευὴν καὶ ἀπόδειξιν, γυμνότερον λοιπὸν κέχρηται τῇ κατηγορίᾳ, καὶ τὸ αὐτοῦ ὄνομα τίθησι, περιαιρῶν πᾶσαν τραχύτητα, καὶ οὐκ ἀφεὶς ὀργισθῆναι πρὸς τὰ λεγόμενα. εἰ γὰρ Παῦλος οὐδέν ἐστι, καὶ οὐκ ἀγανακτεῖ, πολλῷ μᾶλλον ἐκείνους δυσχεραίνειν οὐκ ἐχρῆν. διπλῇ τοίνυν αὐτοὺς παραμυθεῖται, τῷ τε ἑαυτὸν ὑποθεῖναι, καὶ τῷ μὴ πάντα αὐτοὺς ἀποστερῆσαι, ὡς οὐδὲν συντελοῦντας· ἀλλὰ δίδωσι μὲν αὐτοῖς τι μικρὸν, δίδωσι δὲ ὅμως. εἰπὼν γὰρ, τίς ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς, ἐπήγαγεν,

Ἀλλ' ἢ διάκονοι δι' ὧν ἐπιστεύσατε. Τοῦτο δὲ αὐτὸ μὲν καθ' ἑαυτὸ μέγα καὶ πολλῶν ἄξιον μισθῶν· πρὸς δὲ τὸ ἀρχέτυπον καὶ τὴν ῥίζαν τῶν ἀγαθῶν οὐδέν. οὐ γὰρ ὁ διακονούμενος τοῖς ἀγαθοῖς, ἀλλ' ὁ παρέχων αὐτὰ καὶ διδοὺς, οὗτός ἐστιν ὁ εὐεργέτης. καὶ οὐκ εἶπεν, εὐαγγελισταί, ἀλλ', ἢ διάκονοι· ὅπερ πλέον ἐστίν. οὐ γὰρ ἁπλῶς εὐηγγελίσαντο, ἀλλὰ καὶ διηκόνησαν ἡμῖν. τὸ μὲν γὰρ λόγου μόνον ἐστὶ, τὸ δὲ καὶ ἔργον ἔχει. ὥστε εἰ καὶ ὁ Χριστὸς διάκονος μόνον ἐστὶν ἀγαθῶν, καὶ οὐχ ἡ ῥίζα αὐτὸς καὶ πηγή, ὡς υἱὸς μέντοι, ὅρα ποῦ τοῦτο τὸ πρᾶγμα κατάγεται. πῶς οὖν, φησί, λέγει αὐτὸν διάκονον γεγενῆσθαι περιτομῆς; (Ρωμ. ιε. η.) περὶ τῆς κατὰ σάρκα οἰκονομίας ἐκεῖ λέγει, καὶ οὐδὲ τοῦτο τῷ τρόπῳ, ᾧ νῦν εἰρήκαμεν. ἐκεῖ μὲν γὰρ διάκονον τὸν πληρωτὴν φησιν, οὐχὶ τὸν οἴκοθεν παρεχόμενον τὰ ἀγαθά. καὶ οὐκ εἶπεν, οἱ προσαγόμενοι ὑμᾶς εἰς τὴν πίστιν, ἀλλὰ, δι' ὧν ἐπιστεύσατε, πάλιν ἐκείνοις τὸ πλέον διδοὺς, καὶ τοῖς διακόνοις κἀντεῦθεν δηλῶν. εἰ τοίνυν ἑτέρῳ διηκονοῦντο, πῶς οὗτοι τὴν ἀξίαν ἁρπάζουσι; σὺ δέ μοι σκόπει, πῶς οὐδαμοῦ αὐτοὺς ἐγκαλεῖ, ὡς ἁρπάζουσιν, ἀλλὰ τοῖς παρέχουσιν. ἡ γὰρ ὑπόθεσις τοῦ σφάλματος, ἐν τῷ πλήθει ἦν. καὶ γὰρ ἐκεῖνοι εἰ ἀπέστησαν, οὗτοι διελύοντο. δύο τοίνυν κατεσκεύασε σοφῶς, ὅθεν τε ἔδει καθελεῖν τὸ ἁμάρτημα, ἐκεῖθεν ὑπορύξας, καὶ πρὸς ἐκείνους ἀπέχθειαν μὴ κινησάμενος, μηδὲ φιλονεικοτέρους ποιήσας.

Καὶ ἑκάστῳ ὡς ὁ Χριστὸς ἔδωκεν. Οὐδὲ γὰρ αὐτὸ τοῦτο τὸ μικρὸν παρ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Θεοῦ τοῦ ἐγχειρίζοντος. ἵνα γὰρ μὴ λέγωσι, τί οὖν τοῖς διακονουμένοις ἡμῖν οὐ στέρξομεν; ναὶ, φησίν· ἀλλ' εἰδέναι χρὴ μέχρι τινός. οὐδὲ γὰρ τοῦτο αὐτὸ παρ' αὐτῶν, ἀλλὰ παρὰ τοῦ δόντος Θεοῦ.

6 Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν· ἀλλ' ὁ Θεὸς ηὔξανεν· Τουτέστι, πρῶτος κατέβαλον τὸν λόγον· ὥστε δὲ μὴ ξηρανθῆναι τοῖς πειρασμοῖς τὰ σπέρματα, Ἀπολλὼς τὰ παρ' ἑαυτοῦ προσέθηκε· τὸ δὲ πᾶν τοῦ Θεοῦ γέγονεν.

7 Ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός.

Ὁρᾷς πῶς αὐτοὺς παραμυθεῖται, ὥστε μὴ τραχυτέρους γενέσθαι τῷ ἀκοῦσαι, τίς ἐστιν ὁ δεῖνα, καὶ τίς ὁ δεῖνα; ἀμφότερα γὰρ φορτικὰ, καὶ τὸ εἰπεῖν, τίς ἐστιν ὁ δεῖνα, καὶ τίς ἐστιν ὁ δεῖνα· καὶ τὸ εἰπεῖν, οὔτε ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι. πῶς οὖν αὐτὰ παρεμυθήσατο; τῷ τε ἐπὶ τοῦ οἰκείου προσώπου προσάγειν τὴν ἐξουδένωσιν (τίς γὰρ ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς;) καὶ τῷ τὸ πᾶν ἀναθεῖναι τῷ πάντα δεδωκότι Θεῷ. εἰπὼν γὰρ ὅτι οὗτος ἐφύτευσε, καὶ προσθεὶς, ὅτι οὐδέν ἐστιν ὁ φυτεύων, ἐπήγαγεν, ἀλλ' ὁ αὐξάνων Θεός. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλ' ἑτέρᾳ ἐπαγωγῇ πάλιν αὐτὸ θεραπεύει λέγων·

8 Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων, ἕν εἰσι. Διὰ γὰρ τοῦτο καὶ ἕτερον κατασκευάζει, τὸ μὴ ἐπαίρεσθαι κατ' ἀλλήλων. ἓν δὲ εἶναι αὐτοὺς φησι πρὸς τὸ μηδὲν δύνασθαι ἄνευ τοῦ αὐξάνοντος Θεοῦ. τοῦτο δὲ εἰπὼν, οὐδὲ τοὺς πολλὰ κάμνοντας ἀφῆκε καταξανίστασθαι

τῶν

τὴν ἐλάττονα εἰσενεγκόντων, οὔτε τοὺς ἑτέρους τούτοις φθονεῖν. εἶτα, ἐπειδὴ τοῦτο ῥαθυμοτέρους ἐποίει, τὸ πάντας ἓν εἶναι νομίζεσθαι, καὶ τοὺς πολλὰ καμόντας καὶ τοὺς ἐλάττω, ὅρα πῶς αὐτὸ διωρθώσατο, εἰπών· Ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.

Ὡς ἂν εἰ ἔλεγε, μὴ φοβοῦ, ὅτι εἶπον, ὅτι ἕν εἰσι. πρὸς γὰρ τὸ τοῦ Θεοῦ ἔργον παραβαλλόμενοι, ἕν εἰσιν· ἐπεὶ πόνων ἕνεκεν οὐκ εἰσίν, ἀλλὰ ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται. εἶτα καὶ λιπαίνει πλέον αὐτό, κατορθώσας ὅπερ ἐβούλετο, καὶ χαρίζεται ἐν οἷς ἔξεστι μετὰ φιλοτιμίας.

9 Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιόν ἐστε, Θεοῦ οἰκοδομή ἐστε.

Ὁρᾷς πῶς τὸ αὐτοῖς ἔργον ἔδωκεν οὐ μικρόν, κατασκευάσας πρότερον, ὅτι τὸ πᾶν ἐστι τοῦ Θεοῦ; ἐπειδὴ γὰρ ἀεὶ παραινεῖ πείθεσθαι τοῖς ἡγουμένοις, διὰ τοῦτο οὐ σφόδρα ἐξευτελίζει τοὺς διδασκάλους. Θεοῦ γεώργιόν ἐστε. ἐπειδὴ γὰρ εἶπεν, ἐφύτευσα, τῇ τροπῇ ἐπέμεινεν. εἰ δὲ Θεοῦ γεώργιον, οὐκ ἀπὸ τῶν γεωργούντων ὑμᾶς, ἀλλ᾽ ἀπὸ τοῦ Θεοῦ καλεῖσθαι δίκαιον. οὐ γὰρ ἀγρὸς γεωργοῦ καλεῖται, ἀλλὰ τοῦ οἰκοδεσπότου. Θεοῦ οἰκοδομή ἐστε. πάλιν ἡ οἰκοδομὴ οὐ τοῦ τεχνίτου, ἀλλὰ τοῦ δεσπότου ἐστίν. εἰ δὲ οἰκοδομή ἐστε, οὐ χρὴ διεσπάσθαι· ἐπεὶ οὐκ ἂν εἴη τοῦτο οἰκοδομή. εἰ γεώργιόν ἐστε, διαιρεῖσθαι οὐ χρή, ἀλλ᾽ ἑνὶ φραγμῷ τῷ τῆς ὁμονοίας τειχίζεσθαι.

γ. τέθεικα.

10 Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον ἔθηκα. Σοφὸν ἑαυτὸν ἐκάλεσεν ἐνταῦθα, οὐκ ἐπαίρων ἑαυτόν, ἀλλὰ τύπον αὐτοῖς διδούς, καὶ δεικνὺς ὅτι τοῦτό ἐστι σοφοῦ, τὸ ἕνα θεῖναι θεμέλιον. ὅρα γοῦν πῶς μετριάζει. εἰπὼν γὰρ σοφὸν ἑαυτόν, οὐκ ἀφῆκεν αὐτὸ τοῦτο εἶναι, ἀλλ᾽ ὅλον ἑαυτὸν πρότερον ἀναθεὶς τῷ Θεῷ, τότε ἑαυτὸν οὕτως ἐκάλεσε. κατὰ γὰρ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, φησίν. ὁμοῦ γὰρ δείκνυσιν ὅτι καὶ τὸ πᾶν ἐστι τοῦ Θεοῦ, καὶ ὅτι τοῦτο μάλιστά ἐστι χάρις, τὸ μὴ διῃρῆσθαι, ἀλλ᾽ ἐφ᾽ ἑνὶ κεῖσθαι θεμελίῳ.

Ἄλλος ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω, πῶς ἐποικοδομεῖ.

Ἐνταῦθά μοι δοκεῖ εἰς τὸν περὶ πολιτείας λοιπὸν αὐτοὺς ἐμβάλλειν ἀγῶνα, ἐπειδὴ συνῆψεν ἅπαξ καὶ ἓν ἐποίησεν.

11 Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Οὐ δύναται δέ, ἕως ἂν ᾖ ἀρχιτέκτων· ἂν δὲ τεθῇ, οὐκέτι ἐστὶν ἀρχιτέκτων. ἴδε πῶς καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν κατασκευάζει τὸ προκείμενον ἅπαν. ὃ δὲ λέγει τοῦτό ἐστι· κατήγγειλα τὸν Χριστόν, παρέδωκα ὑμῖν τὸν θεμέλιον· σκοπεῖτε πῶς ἐποικοδομεῖτε, εἰ κενοδόξως, εἰ πρὸς ἀνθρώπους ἀποσπῶντες τοὺς μαθητάς. μὴ τοίνυν προσέχωμεν ταῖς αἱρέσεσι. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον.

Ἐπὶ τοῦτον οὖν οἰκοδομῶμεν, καὶ ὡς θεμελίου ἐχώμεθα, ὡς κλῆμα ἀμπέλου, καὶ μηδὲν ἔστω μέσον ἡμῶν καὶ Χριστοῦ. ἂν γὰρ γένηταί τι μέσον, εὐθέως ἀπολλύμεθα. καὶ γὰρ τὸ κλῆμα κατὰ τὸ συνεχὲς ἕλκει τὴν πιότητα, καὶ ἡ οἰκοδομὴ κατὰ τὸ κεκολλῆσθαι ἕστηκεν· ὡς ἂν διαστῇ, ἀπόλλυται οὐκ ἔχουσα ποῦ ἐρείσῃ ἑαυτήν. μὴ τοίνυν ἁπλῶς ἐχώμεθα τοῦ Χριστοῦ, ἀλλὰ κολληθῶμεν αὐτῷ. ἂν γὰρ διαστῶμεν, ἀπολλύμεθα. Οἱ γὰρ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνταί, φησι. κολλώμεθα τοίνυν αὐτῷ, καὶ κολλώμεθα διὰ τῶν ἔργων. Ὁ γὰρ τηρῶν τὰς ἐντολάς μου, αὐτὸς ἐν ἐμοὶ μένει. καὶ γὰρ διὰ πολλῶν ἡμᾶς ὑποδειγμάτων ἑνοῖ. σκόπει δέ· αὐτὸς ἡ κεφαλή, ἡμεῖς τὸ σῶμα. μὴ δύναται μέσον τι εἶναι κεφαλῆς καὶ σώματος διάστημα*; αὐτὸς θεμέλιος, ἡμεῖς οἰκοδομή· αὐτὸς ἄμπελος, ἡμεῖς κλήματα· αὐτὸς ὁ νυμφίος, ἡμεῖς ἡ νύμφη· αὐτὸς ὁ ποιμήν, ἡμεῖς τὰ πρόβατα· ὁδὸς ἐκεῖνος, ἡμεῖς οἱ βαδίζοντες· ναὸς πάλιν ἡμεῖς, αὐτὸς ἔνοικος· αὐτὸς ὁ πρωτότοκος, ἡμεῖς οἱ ἀδελφοί· αὐτὸς ὁ κληρονόμος, ἡμεῖς οἱ συγκληρονόμοι· αὐτὸς ἡ ζωή, ἡμεῖς οἱ ζῶντες· αὐτὸς ἡ ἀνάστασις,

Margin notes: γ. τέθεικα. — ἴσ. δή, — γ. ἔχω — * κοινόν; — ΗΘΙΚΟΝ — Ψαλμ. οβ. κζ. — Ἰωαν. ιδ. κα.

νάστασις, ἡμεῖς οἱ ἀνιστάμενοι· αὐτὸς τὸ φῶς, ἡμεῖς οἱ φωτιζόμενοι. ταῦτα πάντα ἕνωσιν ἐμφαίνει, καὶ οὐδὲν μέσον κενὸν ἀφίησιν εἶναι, οὐδὲ τὸ μικρότατον. ὁ γὰρ μικρὸν ἀποστὰς, καὶ πολὺ προϊὼν ἀποστήσεται. καὶ γὰρ τὸ σῶμα, ἂν μικρὰν ἀπὸ ξίφους διαίρεσιν δέξηται, διαφθείρεται· καὶ ἡ οἰκοδομὴ, κἂν μικρὸν διασχισθῇ, καταλύεται· καὶ τῆς ῥίζης τὸ κλῆμα, κἂν μικρὸν ἀποκοπῇ, γέγονεν ἄχρηστον. ὥστε τὸ μικρὸν τοῦτο, οὐκ ἔστι μικρὸν, ἀλλὰ καὶ σχεδὸν τὸ ὅλον ἐστίν. ὅταν οὖν μικρόν τι πλημμελήσωμεν, ἢ καὶ ῥαθυμήσωμεν, μὴ παρίδωμεν τὸ μικρόν· ἐπεὶ ταχέως παροφθὲν τοῦτο μέγα γίνεται. οὕτω καὶ ἱμάτιον ἀρχὴν λαβὸν ῥήγνυσθαι καὶ ἀμεληθὲν, διόλου τὸ σχίσμα περιήγαγε· καὶ ὄροφος ὀλίγων κεράμων καταπεσόντων παροφθεὶς, ὁλόκληρον τὸν οἶκον κατήνεγκε. ταῦτ' οὖν ἡμεῖς λογιζόμενοι, μηδέποτε τῶν μικρῶν καταφρονῶμεν, ἵνα μὴ εἰς τὰ μεγάλα ἐμπέσωμεν. ἂν δὲ ἄρα καταφρονήσωμεν, καὶ εἰς τὸ βάθος ἔλθωμεν τῶν κακῶν, μηδὲ ἐκεῖ γινόμενοι ἀπογνῶμεν, ἵνα μὴ ἐμπέσωμεν εἰς καρηβαρίαν. δύσκολον γὰρ λοιπὸν ἀνελθεῖν ἐκεῖθεν τὸν μὴ σφόδρα νήφοντα, οὐ διὰ τὸ μῆκος μόνον, ἀλλὰ καὶ διὰ τὴν θέσιν αὐτήν. βάθος γάρ ἐστι καὶ ἡ ἁμαρτία, καὶ κάτω φέρουσα θλίβει. καὶ καθάπερ οἱ εἰς φρέαρ ἐμπεσόντες οὐκ ἂν ῥᾳδίως ἀνέλθοιεν, ἀλλ' ἑτέρων δεήσονται τῶν ἀναγαγόντων αὐτούς· οὕτω καὶ ὁ εἰς βάθος ἐλθὼν τῶν ἁμαρτημάτων. χαλάσωμεν οὖν σχοινία πρὸς τοὺς τοιούτους, καὶ ἀνιμησώμεθα· μᾶλλον δὲ οὐχ ἑτέρων δεῖ μόνον, ἀλλὰ καὶ ἡμῶν αὐτῶν, ἵνα καὶ ἑαυτοὺς ἐπιδῶμεν, καὶ ἀναβησώμεθα οὐ τοσοῦτον, ὅ- Εζε. ιη. λβ. σον κατέβημεν, ἀλλὰ πολλῷ πλέον, ἐὰν βουλώμεθα. καὶ γὰρ ὁ Θεὸς βοηθεῖ. Οὐ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτόν. μηδεὶς τοίνυν ἀπογινωσκέτω, μηδεὶς τὸ τῶν ἀσεβῶν πασχέτω πάθος. ἐκείνων γάρ ἐστι τὸ τοιοῦτον ἁμάρτημα. ἀσεβὴς γὰρ ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. ὥστε οὐ τὸ πλῆθος τῶν ἁμαρτημάτων ποιεῖ τὴν ἀπόγνωσιν, ἀλλ' ἡ τοῦ ἀσεβοῦς γνώμη. κἂν πᾶσαν τοίνυν ἐπέλθῃς κακίαν, εἰπὲ πρὸς ἑαυ- Ησ. α. ιη. τόν· φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ τῆς σωτηρίας ἐπιθυμεῖ τῆς ἡμετέρας. Ἐὰν γὰρ ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, φησὶ, καὶ πρὸς τὴν ἐναντίαν ἕξιν μεταστήσω. μὴ τοίνυν ἀπαγορεύσωμεν. οὐ γὰρ τὸ πεσεῖν οὕτω χαλεπὸν, ὡς τὸ πεσόντα κεῖσθαι· Παροιμ. κθ. οὔτε τὸ τρωθῆναι δεινὸν, ὡς τὸ τρωθέντα μὴ βούλεσθαι θεραπεύεσθαι. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; ταῦτα λέγω, οὐχ ἵνα ῥαθυμοτέρους ὑμᾶς ποιήσω, ἀλλ' ἵνα κωλύσω εἰς ἀπόγνωσιν ἐμπεσεῖν. Βούλει μαθεῖν πῶς ἐστιν ἡμῶν ἀγαθὸς ὁ δεσπότης; ἀνῆλθεν ὁ τελώνης μυρίων γέμων κακῶν, καὶ εἰπὼν Ησ. νζ. ιζ. ἱλάσθητί μοι μόνον, κατῆλθε δεδικαιωμένος. καὶ διὰ τοῦ προφήτου δέ φησιν ὁ Θεός· Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ εἶδον ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. τί τῆς φιλανθρωπίας ταύτης ἴσον; ἵνα στυγνάσῃ μόνον, φησὶν, ἀφῆκα τὰ ἁμαρτήματα. ἡμεῖς δὲ οὐδὲ αὐτὸ τοῦτο ποιοῦμεν· διὸ μάλιστα τὸν Θεὸν παροργίζομεν. ὁ γὰρ καὶ διὰ μικρῶν ἵλεως γινόμενος, ὅταν μὴ τούτων τύχῃ, εἰκότως ἀγανακτεῖ καὶ τὴν ἐσχάτην ἀπαιτεῖ τιμωρίαν ἡμᾶς. ὑπερβαλλούσης γάρ ἐστι τοῦτο καταφρονήσεως. τίς γοῦν ἐλυπήθη ποτὲ δι' ἁμαρτίας; τίς ἐστέναξε; τίς τὸ στῆθος ἔπληξε; τίς ἐμερίμνησεν; οὐδένα ἔγωγε οἶμαι. ἀλλὰ μυρίας μὲν ἡμέρας θρηνοῦσιν ἄνθρωποι ὑπὲρ οἰκετῶν ἀποθανόντων, ὑπὲρ ζημίας χρημάτων· τὴν δὲ ψυχὴν ἀπολλύντες καθ' ἑκάστην ἡμέραν, οὐδὲ εἰς νοῦν βαλλόμεθα. πῶς οὖν δυνήσῃ τὸν Θεὸν ἐξιλεώσασθαι, ὅταν μηδὲ ὅτι ἥμαρτες, εἰδῇς; ναὶ, φησὶν, ἥμαρτον. ναί μοι λέγεις τῇ γλώττῃ· εἰπέ μοι τῇ διανοίᾳ, καὶ μετὰ τοῦ ῥήματος στέναξον, ἵνα διηνεκῶς εὐθυμῇς. καὶ γὰρ εἰ ἐλυπούμεθα ἐπὶ τοῖς ἁμαρτήμασιν, εἰ ἐστενάζομεν ἐπὶ τοῖς πλημμελήμασιν, οὐδὲν ἂν ἄλλο ἡμᾶς ἐλύπησε, τῆς ὀδύνης ταύτης πᾶσαν ἀθυμίαν παρωθουμένης. ὥστε καὶ ἕτερον ἂν ἐκερδαίνομεν μετὰ τῆς ἐξομολογήσεως, τὸ μὴ βαπτίζεσθαι τοῖς λυπηροῖς τοῦ παρόντος βίου, μηδὲ φυσᾶσθαι τοῖς λαμπροῖς· καὶ ταύτῃ πάλιν μειζόνως ἂν ἐξιλεωσάμεθα τὸν Θεὸν,

ὥσπερ

ὥσπερ οὖν, οἷς νῦν ποιοῦμεν, παροξύνομεν. Εἰπὲ γάρ μοι, εἴ τινα ἔχεις οἰκέτην, καὶ πολλὰ παθὼν ἐκεῖνος κακὰ παρὰ τῶν ὁμοδούλων, τῶν μὲν ἄλλων μηδενὸς λόγον ποιοῖτο, ὑπὲρ δὲ τοῦ μὴ παροργίζεσθαι τὸν δεσπότην φροντίζοι μόνον, ἆρα οὐχ ἱκανὸς ἀπὸ τούτου μόνου λῦσαί σου τὴν ὀργήν; τί δὲ ἂν τῶν μὲν εἰς σὲ πλημμελημάτων μηδεμίαν ποιοῖτο φροντίδα, ὑπὲρ δὲ τῶν πρὸς τοὺς ὁμοδούλους φροντίζοι, οὐχὶ μείζονα ἐπάξεις τὴν τιμωρίαν; οὕτω καὶ ὁ Θεὸς ποιεῖ. ὅταν μὲν ἀμελῶμεν αὐτοῦ τῆς ὀργῆς, σφοδροτέραν ἐπάγει αὐτήν· ὅταν δὲ φροντίζωμεν, ἡμερωτέραν· μᾶλλον δὲ οὐδὲ ἐπάγει λοιπόν. βούλεται ἡμᾶς ἑαυτοὺς ἀπαιτεῖν τὴν τιμωρίαν τῶν ἡμαρτημένων, καὶ οὐκέτι λοιπὸν αὐτὸς ἀπαιτεῖ. διὰ τοῦτο γὰρ καὶ ἀπειλεῖ τὴν τιμωρίαν, ἵνα τῷ φόβῳ τὴν καταφρόνησιν ἀνέλῃ. ὅταν δὲ διὰ ἀπειλῆς φοβηθῶμεν μόνης, οὐκ ἀφίησιν ὑπομεῖναι τὴν πεῖραν. ὅρα γοῦν πρὸς τὸν Ἱερεμίαν τί φησιν. Οὐχ Ιερ. ζ. ιη. ὁρᾷς τί αὐτοὶ ποιοῦσιν; οἱ πατέρες αὐτῶν καίουσι πῦρ, οἱ υἱοὶ αὐτῶν συνάγουσι ξύλα, αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς. δέος μὴ καὶ περὶ ἡμῶν λεχθῇ τι τοιοῦτον. οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν; οὐδεὶς τὰ τοῦ Χριστοῦ ζητεῖ, ἀλλὰ πάντες τὰ ἑαυτῶν· οἱ υἱοὶ αὐτῶν εἰς ἀσελγείας τρέχουσιν, οἱ πατέρες αὐτῶν εἰς πλεονεξίαν καὶ ἁρπαγήν· αἱ γυναῖκες αὐτῶν ἐπὶ τὰς φαντασίας τὰς βιωτικάς, οὐ μόνον οὐκ ἐγκόπτουσαι τοὺς ἄνδρας, ἀλλὰ καὶ παροξύνουσαι. στῆθι γοῦν ἐπὶ τῆς ἀγορᾶς· ἐρώτησον τοὺς ἀπιόντας, καὶ ἐπανιόντας, καὶ οὐδένα ὄψει ὑπὲρ πνευματικοῦ πράγματος σπεύδοντα, ἀλλὰ πάντας ὑπὲρ σαρκικῶν τρέχοντας. μέχρι τίνος οὐκ ἀνανήφομεν; μέχρι τίνος εἰς ὕπνον καταφερόμεθα βαθύν; οὐκ ἐλάβομεν κόρον τῶν κακῶν; καίτοιγε καὶ χωρὶς τῶν ῥημάτων ἀρκεῖ καὶ αὐτὴ τῶν πραγμάτων ὑμᾶς ἡ πεῖρα διδάξαι τῶν παρόντων τὴν οὐδένειαν, καὶ τὸ μοχθηρὸν ἅπαν. ἄνθρωποι γοῦν τὴν ἔξωθεν σοφίαν ἀσκοῦντες, καὶ μηδὲν τῶν μελλόντων εἰδότες, ἐπειδὴ κατέγνωσαν πολλὴν τῶν πραγμάτων εὐτέλειαν τῶν παρόντων, διὰ τοῦτο ἀπέστησαν μόνον. ποίας οὖν σὺ τεύξῃ συγγνώμης, χαμαὶ συρόμενος, καὶ μὴ καταφρονῶν τῶν μικρῶν καὶ παρερχομένων ὑπὲρ τῶν μεγάλων καὶ διαιωνιζόντων, ὁ καὶ αὐτοῦ τοῦ Θεοῦ ἀκούων ταῦτά σοι δεικνύντος καὶ ἐκκαλύπτοντος, καὶ ἐπαγγελίας τοιαύτας παρ' αὐτοῦ ἔχων; ὅτι γὰρ οὐχ ἱκανὰ ταῦτα κατασχεῖν, ἔδειξαν οἱ καὶ χωρὶς ἐπαγγελίας τῶν μειζόνων ἀπεχόμενοι τούτων. ποῖον γὰρ πλοῦτον προσδοκήσαντες ἐπὶ πενίαν ἦλθον; οὐδένα· ἀλλ' ἀπὸ τοῦ σφόδρα εἰδέναι, ὅτι ἡ τοιαύτη πενία πλούτου κρείττων ἐστί. ποίαν ζωὴν ἐλπίσαντες ἀφῆκαν τρυφήν, καὶ σκληραγωγίᾳ ἔδωκαν ἑαυτούς; οὐδεμίαν· ἀλλ' αὐτὴν τῶν πραγμάτων τὴν φύσιν μαθόντες, καὶ συνιδόντες, ὅτι τοῦτο μᾶλλον ἐπιτηδειότερον καὶ πρὸς ψυχῆς φιλοσοφίαν, καὶ πρὸς σώματος ὑγείαν. ταῦτ' οὖν ἡμεῖς ἀναλογιζόμενοι, καὶ τὰ μέλλοντα ἀγαθὰ συνεχῶς ἐν ἑαυτοῖς στρέφοντες, ἀποστῶμεν τῶν παρόντων· ἵνα τύχωμεν ἐκείνων τῶν μελλόντων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Λογ. θ. 12 ΕΙ ΤΙΣ ΕΠΟΙΚΟΔΟΜΕΙ ΕΠΙ ΤΟΝ ΘΕμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην·

13 Ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται (ἡ γὰρ ἡμέρα δηλώσει) ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ δοκιμάσει.

14 Εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται·

15 Εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός.

Οὐ

Οὐ μικρὸν ἡμῖν οὗτο τὸ προκείμενον ζήτημα, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων, καὶ ὃ πάντες ζητοῦσιν ἄνθρωποι, εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ. ὅτι μὲν γὰρ οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο λέγων· Τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει. καὶ

Μαρκ. θ. μδ. οἶδα μέν, ὅτι ναρκᾶτε ταῦτα ἀκούοντες· ἀλλὰ τί πάθω; καὶ γὰρ ὁ Θεὸς κελεύει ταῦτα συνεχῶς ἐνηχεῖν, λέγων, διαμάρτυραι τῷ λαῷ τούτῳ. καὶ ἡμεῖς εἰς διακονίαν λόγου τετάγμεθα· καὶ ἀνάγκη φορτικὸν εἶναι τοῖς ἀκροαταῖς, οὐχ ἑκόντα, ἀλλ' ἀναγκαζόμενον. μᾶλλον δέ, εἰ βούλεσθε, οὐκ ἐσόμεθα φορτικοί. Ἂν γάρ, φησι, ποιῇς τὸ ἀγαθόν, μὴ φοβοῦ. ὥστε ἔξεστιν ὑμῖν μὴ μόνον μὴ μετ' ἀπεχθείας, ἀλλὰ καὶ μεθ' ἡδονῆς ἡμῶν ἀκούειν. ὅτι μὲν οὖν οὐκ ἔχει τέλος, καὶ ὁ Χριστὸς ἀπεφήνατο, καὶ ὁ Παῦλος δέ φησι, δεικνὺς ἀθάνατον τὴν κόλασιν, Ὅτι οἱ ἁμαρτάνοντες δίκην τίσουσιν ὀλέθριον καὶ αἰώνιον· καὶ πάλιν, Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοὶ βασιλείαν Θεοῦ κληρονομήσουσι. καὶ Ἑβραίοις δὲ ἔλεγεν, Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. καὶ ὁ Χριστὸς δὲ τοῖς εἰρηκόσιν, Ἐν τῷ ὀνόματί σου δυνάμεις πολλὰς ἐποιήσαμεν, φησι, πορεύεσθε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ αἱ παρθένοι δὲ ἀποκλεισθεῖσαι, οὐκ ἔτι εἰσῆλθον. καὶ περὶ τῶν μὴ θρεψάντων δὲ αὐτόν φησιν, Ὅτι ἀπελεύσονται εἰς κόλασιν αἰώνιον. καὶ μή μοι λέγε, ποῦ ὁ τοῦ δικαίου διαφυλάττεται λόγος, εἰ μὴ ἔχει τέλος ἡ κόλασις; ὅταν γὰρ ὁ Θεὸς ἐργάζηταί τι, πείθου ταῖς ἀποφάσεσι, καὶ μὴ ὑπόβαλλε λογισμοῖς ἀνθρωπίνοις τὰ λεγόμενα· ἄλλως δέ, πῶς οὐκ ἂν εἴη δίκαιον τὸν μυρία παθόντα ἐξ ἀρχῆς ἀγαθά, εἶτα κολάσεως ἄξια πράξαντα, καὶ μήτε ἀπειλῇ, μήτε εὐεργεσίᾳ βελτίω γενόμενον, κολάζεσθαι; εἰ γὰρ τὸ δίκαιον ἐξετάζεις, ἐξ ἀρχῆς ἡμᾶς εὐθέως ἐχρῆν ἀπολέσθαι κατὰ τὸν τοῦ δικαίου λόγον· μᾶλλον δὲ οὐδέποτε κατὰ τὸν τοῦ δικαίου λόγον μόνον. καὶ γὰρ καὶ φιλανθρωπίαν εἶχεν, εἰ καὶ τοῦτο ἐπάθομεν, τὸ γινόμενον. ὅταν μὲν γάρ τις τὸν μηδὲν ἠδικηκότα ὑβρίζῃ, κατὰ τὸν τοῦ δικαίου λόγον δίδωσι δίκην· ὅταν δέ τις τὸν εὐεργέτην, τὸν οὐδὲν προπαθόντα μέν, εὖ ποιήσαντα δὲ μυρία, καὶ μόνον τοῦ εἶναι γενόμενον αἴτιον, καὶ Θεὸν ὄντα, καὶ ψυχὴν ἐμπνεύσαντα, καὶ μυρία χαρισάμενον, καὶ εἰς οὐρανὸν βουληθέντα ἀναγαγεῖν, εἰ τοῦτον μετὰ τοσαύτας εὐεργεσίας μὴ μόνον ὑβρίζει, ἀλλὰ καὶ καθ' ἡμέραν ὑβρίζει δι' ὧν ποιεῖ, ποίας ἄξιος ἔσται συγγνώμης; οὐχ ὁρᾷς πῶς τὸν Ἀδὰμ ἐκόλασε διὰ μίαν ἁμαρτίαν; ναί, φησι, παράδεισον παρέδωκεν ἐκείνῳ, καὶ πολλῆς εὐνοίας ἀπολαῦσαι ἐποίησε. καίτοιγε οὐκ ἔστιν ἴσον ἀδείας ἀπολαύοντα ἁμαρτάνειν, καὶ ἐν θλίψει καθεστῶτα πολλῇ. καὶ γὰρ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι οὐδὲ ἐν παραδείσῳ ὢν ἁμαρτάνεις, ἀλλ' ἐν τοῖς μυρίοις τοῦ παρόντος βίου κακοῖς, καὶ οὐδὲ τῇ ταλαιπωρίᾳ σωφρονέστερος γίνῃ· ὥσπερ ἂν εἴ τις δεδεμένος χαίροι τῇ πονηρίᾳ. σοὶ δὲ καὶ παραδείσου μείζονα ἐπηγγείλατο· καὶ οὔτε ἔδωκεν ἤδη, ἵνα μή σε διαχέῃ ἐν τῷ καιρῷ τῶν ἀγώνων· οὔτε ἐσίγησεν, ἵνα μή σε καταβάλλῃ τοῖς πόνοις. κἀκεῖνος μὲν μίαν ἁμαρτίαν ἁμαρτών, θάνατον ὁλόκληρον ἐπεσπάσατο, ἡμεῖς δὲ μυρία καθ' ἑκάστην ἡμέραν πλημμελοῦμεν. εἰ δὲ μίαν ἐργασάμενος ἐκεῖνος τοσοῦτον ἐπεσπάσατο κακόν, καὶ θάνατον εἰσήνεγκεν, οἱ διηνεκῶς ἐν ἁμαρτήμασι ζῶντες, τί οὐ πεισόμεθα, ἀντὶ παραδείσου τὸν οὐρανὸν προσδοκῶντες; φορτικὸς ὁ λόγος, καὶ λυπεῖ τὸν ἀκροατήν· καὶ ἐξ ὧν αὐτὸς πάσχω, τοῦτο οἶδα. καὶ γὰρ ἡ καρδία μου ταράττεται καὶ πάλλει. καὶ ὅσῳ ἂν ἴδω κατασκευαζόμενον τὸν τῆς γεέννης λόγον, τοσούτῳ μᾶλλον τρέμω καὶ ἀναδύομαι τῷ δέει. ἀλλ' ἀνάγκη ταῦτα λέγειν, ἵνα μὴ περιπέσωμεν τῇ γεέννῃ. οὐκ ἔλαβες σὺ παράδεισον, οὐδὲ ξύλα καὶ φυτά, ἀλλ' οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά. εἰ δὲ ὁ ἐλάττω λαβὼν κατεδικάσθη, καὶ οὐδεὶς αὐτὸν ἐξείλετο λόγος, πολλῷ μᾶλλον ἡμεῖς οἱ πλείονα ἁμαρτάνοντες,

Ρω. ιγ. γ.

α. Κορ. ς. θ.

Εβρ. ιβ. ιδ.

Ματθ. ζ. κβ.

ἁμαρτάνοντες, καὶ ἐπὶ μείζοσι κεκλημένοι, τὰ ἀνήκεστα ὑπομένομεν. ἐννόησον γοῦν, πόσον χρόνον ἐν τῷ θανάτῳ μένει διὰ μίαν ἁμαρτίαν τὸ γένος τὸ ἡμέτερον. πεντακισχίλια ἔτη, καὶ πλείω παρῆλθε, καὶ ὁ θάνατος οὐδέπω λέλυται διὰ μίαν ἁμαρτίαν. καὶ οὐδὲ ἔχομεν εἰπεῖν, ὅτι προφητῶν ἤκουσεν ὁ Ἀδάμ, ὅτι ἐπὶ ἁμαρτήμασιν ἑτέρους κολαζομένους εἶδε, καὶ φοβηθῆναι ἐντεῦθεν αὐτὸν εἰκὸς ἦν, καὶ αὐτῷ τῷ παραδείγματι σωφρονισθῆναι. πρῶτος γὰρ ἦν τότε, καὶ μόνος, ἀλλ' ὅμως ἐτιμωρήθη. σὺ δὲ οὐδὲν ἂν ἔχοις τούτων προβαλέσθαι, ὁ μετὰ τοσαῦτα παραδείγματα γενόμενος χείρων, ὁ τοσούτου καταξιωθεὶς πνεύματος, καὶ οὐ μίαν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλὰ μυρίας ἐφελκόμενος ἁμαρτίας. μὴ γὰρ, ὅτι ἐν ῥοπῇ βραχείᾳ τὸ ἁμάρτημα γέγονε, τοῦτο σκόπει, καὶ διὰ τοῦτο καὶ τὴν κόλασιν ῥοπῆς εἶναι νόμιζε. οὐχ ὁρᾷς τοὺς ἀνθρώπους, οἳ πολλάκις ὑπὲρ μιᾶς κλοπῆς καὶ μιᾶς μοιχείας ἐν μιᾷ ῥοπῇ γινομένης ἐν δεσμωτηρίοις καὶ μετάλλοις ὁλόκληρον αὐτῶν τὸν βίον ἀνήλωσαν, λιμῷ διηνεκεῖ καὶ μυρίοις παλαίοντες θανάτοις; καὶ οὐδεὶς αὐτοὺς ἐξείλετο, οὐδὲ εἶπεν, ὅτι ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ ἁμάρτημα γέγονε, δεῖ καὶ τὴν κόλασιν ἀντίῤῥοπον τῇ ἁμαρτίᾳ καὶ τὸν χρόνον ἔχειν. ἀλλ' ἄνθρωποί, φησίν, εἰσὶν οἱ ταῦτα ποιοῦντες, Θεὸς δὲ φιλάνθρωπός ἐστι. πρῶτον μὲν οὖν οὐδὲ ἄνθρωποι ὠμότητι ταῦτα πράττουσιν, ἀλλὰ φιλανθρωπίᾳ· καὶ ὁ Θεὸς δὲ, ὥσπερ ἐστὶ φιλάνθρωπος, οὕτω καὶ ἐπεξέρχεται. κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ, πολὺς καὶ ὁ ἔλεγχος αὐτοῦ. ὅταν οὖν εἴπῃς φιλάνθρωπον τὸν Θεὸν, τότε μείζονά μοι λέγεις τῆς κολάσεως τὴν ἀφορμὴν, ὅτι εἰς τοιοῦτον ἁμαρτάνομεν. διὸ καὶ ὁ Παῦλος ἔλεγε, Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. ἀνάσχεσθε, παρακαλῶ, τῆς πυρᾶς τῶν Ἑβρ. ι. λα. ῥημάτων. ἴσως γὰρ, ἴσως ἔσται τις ὑμῖν ἐντεῦθεν παραμυθία. τίς ἀνθρώπων δύναται κολάσαι οὕτως, ὡς ἐκόλασεν ὁ Θεὸς, κατακλυσμὸν ποιήσας καὶ πανωλεθρίαν τοσούτου γένους, καὶ μετὰ μικρὸν πάλιν πῦρ ἄνωθεν βρέξας, καὶ πάντας ἄρδην ἀφανίσας; ποία ἀνθρώπων τιμωρία δύναται εἶναι τοιαύτη; οὐχ ὁρᾷς ἀθάνατον σχεδὸν, καὶ τὴν ἐντεῦθεν κόλασιν οὖσαν; τετρακισχίλια ἔτη παρῆλθε, καὶ ἡ τιμωρία μένει τῶν Σοδομιτῶν ἀκμάζουσα. ὥσπερ γὰρ ἡ φιλανθρωπία αὐτοῦ μεγάλη, οὕτω καὶ ἡ κόλασις. καὶ γὰρ εἰ μὲν φορτικά τινα ἐπέταξε καὶ ἀδύνατα, ἴσως ἄν τις εἶχε προβαλέσθαι τὴν δυσκολίαν τῶν νόμων· εἰ δὲ σφόδρα ῥᾷστα, τί ἂν ἔχοιμεν εἰπεῖν μηδὲ τύπον ποιούμενοι λόγου; νηστεῦσαι οὐ δύνασαι, οὐδὲ παρθενίαν ἀσκῆσαι; καίτοιγε δύνασαι, ἂν θέλῃς, καὶ κατηγοροῦσιν ἡμῶν οἱ δυνηθέντες. ἀλλ' ὅμως οὐκ ἐχρήσατο ταύτῃ πρὸς ἡμᾶς ὁ Θεὸς τῇ ἀκριβείᾳ, οὐδὲ ἐπέταξε ταῦτα, οὐδὲ ἐνομοθέτησεν, ἀλλ' ἀφῆκεν εἶναι τὴν αἵρεσιν ἐν τῇ γνώμῃ τῶν ἀκουόντων. σωφρονεῖν δὲ ἐν γάμῳ δύνασαι, καὶ μὴ μεθύειν δύνασαι. χρήματα κενῶσαι οὐ δύνασαι πάντα; καίτοιγε δύνασαι, καὶ δηλοῦσιν οἱ ἐργασάμενοι. ἀλλ' ὅμως οὐδὲ τοῦτο ἐπέταξεν, ἀλλὰ μὴ ἁρπάζειν ἐκέλευσε, καὶ ἐκ τῶν ὄντων τοῖς δεομένοις ἐπικουρεῖν. εἰ δὲ λέγοι τις, ὅτι οὐδὲ τῇ γυναικὶ μόνον ἀρκεσθῆναι δύναμαι, ἀπατᾷ ἑαυτὸν καὶ παραλογίζεται· καὶ κατηγοροῦσιν οἱ χωρὶς γυναικὸς σωφρονοῦντες. τί δὲ, εἰπέ μοι, μὴ λοιδορεῖσθαι οὐ δύνασαι; μὴ καταρᾶσθαι οὐ δύνασαι; καὶ μὴν τὸ ταῦτα ποιεῖν φορτικὸν, οὐ τὸ μὴ ποιεῖν. ποίαν οὖν ἔχομεν ἀπολογίαν, τὰ οὕτω κοῦφα καὶ εὔκολα μὴ φυλάττοντες; οὐκ ἔστιν εἰπεῖν οὐδεμίαν. ὅτι μὲν οὖν ἀθάνατος ἡ κόλασις, ἐκ τῶν εἰρημένων ἁπάντων δῆλον. ἐπεὶ δὲ δοκεῖ τισι τὸ τοῦ Παύλου ῥῆμα ἀντιπίπτειν, φέρε καὶ αὐτὸ καταμάθωμεν ἀγαγόντες εἰς μέσον. εἰπὼν γὰρ, εἴ τινος τὸ ἔργον μένει ὃ ἐποικοδόμησε, μισθὸν λήψεται· καὶ εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, ἐπήγαγεν· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός. τί οὖν ἂν εἴποιμεν πρὸς τοῦτο; σκοπήσωμεν πρότερον τίς ἐστιν ὁ θεμέλιος, καὶ τίς ὁ χρυσὸς, καὶ τίνες οἱ λίθοι οἱ τίμιοι, καὶ τίς ὁ χόρτος, καὶ τίς ἡ καλάμη. τὸν μὲν οὖν θεμέλιον φανερῶς αὐτὸς ἐδήλωσε τὸν Χριστὸν εἰπών· θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, φησιν, ὅς ἐστι Χριστὸς Ἰησοῦς. ἡ δὲ οἰκοδομή,

δομή, πράξεις ἐμοὶ δοκοῦσιν εἶναι. καίτοιγε τινές φασιν, ὅτι καὶ αὐτὸ τοῦτο περὶ διδασκάλων εἴρηται καὶ μαθητῶν, καὶ περὶ αἱρέσεων διεφθαρμένων. ἀλλ' ὁ λόγος οὐ παραδέχεται. εἰ γὰρ τοῦτό ἐστι, πῶς τῶν μὲν ἔργων ἀπόλλυται, ὁ δὲ οἰκοδομῶν σωθήσεται κἂν διὰ πυρός; τὸν γὰρ αἴτιον μᾶλλον ἀπόλλυσθαι ἐχρῆν. νυνὶ δὲ εὑρεθήσεται πλείονα δίκην διδοὺς ὁ οἰκοδομηθείς. εἰ μὲν γὰρ ὁ διδάσκαλος αἴτιος γέγονε τῆς κακίας, πλείονα ἄξιος δοῦναι δίκην. πῶς οὖν σωθήσεται; εἰ δ' οὐκ αἴτιος, ἀλλὰ παρὰ τὴν οἰκείαν δυστροπίαν οἱ μαθηταὶ τοιοῦτοι γεγόνασιν, οὐδ' ὅλως ἄξιος δοῦναι δίκην, ἀλλ' οὐδὲ ζημίαν ὑποστῆναι ὁ καλῶς οἰκοδομήσας. πῶς οὖν φησι, ζημιωθήσεται; ὅθεν δῆλον, ὅτι περὶ πράξεων ὁ λόγος. ἐπειδὴ γὰρ μέλλει λοιπὸν πρὸς τὸν πεπορνευκότα ἀποτείνεσθαι, ἄνωθεν καὶ πρὸ πολλοῦ καταβάλλεται τὰ προοίμια. οἶδε γὰρ περὶ ἑτέρου διαλεγόμενος, ἐν αὐτῇ τῇ περὶ ἑτέρου διαλέξει προκατασκευάζειν ἕτερα, ἐφ' ὃ μέλλει ἰέναι. καὶ γὰρ ἐπιτιμῶν περὶ τοῦ μὴ ἀναμιγνύειν ἑαυτοὺς τοῖς ἀπίστοις, τὸν περὶ τῶν μυστηρίων κατεσκεύασε λόγον. ὅτι δὲ καὶ νῦν πρὸς τὸν πεπορνευκότα ἐπείγεται, περὶ τοῦ θεμελίου εἰπών, ἐπήγαγεν, Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. ταῦτα δὲ ἔλεγεν ἤδη διασαλεύων τῷ φόβῳ τὴν ψυχὴν τοῦ πεπορνευκότος. εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. μετὰ γὰρ τὴν πίστιν, οἰκοδομῆς χρεία. διὸ καὶ ἀλλαχοῦ φησιν, Οἰκοδομεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. καὶ γὰρ καὶ ὁ τεχνίτης, καὶ ὁ μαθητὴς συνεισφέρουσιν ἐν τῇ οἰκοδομῇ. διὸ λέγει, ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ. εἰ δὲ περὶ πίστεως ταῦτα εἴρητο, λόγον οὐκ ἔχει τὸ λεγόμενον. ἐν γὰρ τῇ πίστει ἴσους πάντας εἶναι χρή, ἐπειδὴ μία πίστις· ἐν δὲ ἀρετῇ βίου οὐκ ἔνι πάντας εἶναι τοὺς αὐτούς. πίστις μὲν γὰρ οὐκ ἔστιν ἡ μὲν ἐλάττων, ἡ δὲ βελτίων, ἀλλ' ἡ αὐτὴ πάντων τῶν ἀληθῶς πιστευόντων· ἐπὶ δὲ βίου ἔστι τοὺς μὲν σπουδαιοτέρους εἶναι, τοὺς δὲ ῥαθυμοτέρους· καὶ τοὺς μὲν ἀκριβεστέρους, τοὺς δὲ καταδεεστέρους· καὶ τοὺς μὲν τὰ μείζω, τοὺς δὲ τὰ ἐλάττω κατωρθωκέναι· καὶ τοὺς μὲν χαλεπώτερα, τοὺς δὲ καταδεέστερα πεπλημμεληκέναι. διὰ τοῦτο εἶπε χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· τὴν πρᾶξιν ἐνταῦθά φησιν. εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται. καίτοιγε εἰ περὶ μαθητῶν καὶ διδασκάλων τὸ λεγόμενον ἦν, οὔτε ζημιοῦσθαι ἐχρῆν, εἰ μὴ ἤκουσαν οἱ μαθηταί. διὰ γὰρ τοῦτό φησιν, ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· οὐ κατὰ τὸ τέλος, ἀλλὰ κατὰ τὸν κόπον. τί γάρ, εἰ μὴ προσεῖχον οἱ ἀκούοντες; ὅθεν δῆλον καὶ ἐντεῦθεν, ὅτι περὶ ἔργων τὸ λεγόμενον. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἴ τις κακὸν βίον ἔχει μετὰ πίστεως ὀρθῆς, οὐ προστήσεται αὐτοῦ ἡ πίστις εἰς τὸ μὴ κολάζεσθαι, τοῦ ἔργου κατακαιομένου. τὸ δέ, κατακαήσεται, τουτέστιν, οὐκ οἴσει τοῦ πυρὸς τὴν ῥύμην. ἀλλ' ὥσπερ εἴ τις χρυσᾶ ὅπλα ἔχων διέλθοι ποταμὸν πυρός, φαιδρότερος διαβαίνει· εἰ δὲ χόρτον ἔχων διέλθοι, οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ἑαυτὸν ἀπόλλυσιν· οὕτω καὶ ἐπὶ τῶν ἔργων ἐστίν. οὐ γὰρ ὡς περὶ ἐνυποστάτων διαλεγόμενος καὶ διακαιομένων, τοῦτο λέγει, ἀλλὰ τὸν φόβον μᾶλλον ἐπιτεῖναι θέλων καὶ δεῖξαι γυμνὸν ἀσφαλείας τὸν ἐν κακίᾳ ὄντα. διὸ καὶ ἔλεγε, ζημιωθήσεται. ἰδοὺ μία κόλασις. αὐτὸς δὲ σωθήσεται, οὕτως ὡς διὰ πυρός. ἰδοὺ καὶ δευτέρα. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐχὶ καὶ αὐτὸς οὕτως ἀπόλλυται, ὡς τὰ ἔργα, εἰς τὸ μηδὲν χωρῶν· ἀλλὰ μένει ἐν τῷ πυρί. σωτηρίαν γοῦν τὸ πρᾶγμα καλεῖ, φησί; διὰ γὰρ τοῦτο προσέθηκεν, ὡς διὰ πυρός. καὶ γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ἐν τῷ πυρὶ σώζεται, περὶ τῶν μὴ κατακαιομένων καὶ τεφρουμένων εὐθέως ὑλῶν. μὴ γάρ, ἐπειδὴ πῦρ ἤκουσας, νομίσῃς εἰς ἀνυπαρξίαν χωρεῖν τοὺς καιομένους. εἰ δὲ σωτηρίαν καὶ τὴν τοιαύτην τιμωρίαν καλεῖ, μὴ θαυμάσῃς. ἔθος γὰρ αὐτῷ καὶ ἐπὶ τῶν κακεμφάτων καλοῖς ὀνόμασι κεχρῆσθαι, καὶ ἐπὶ τῶν χρηστῶν τοῖς ἐναντίοις.

οἶδ,

οὐδὲ τὸ τῆς αἰχμαλωσίας ὄνομα, πονηροῦ πράγματος δοκεῖ εἶναι ὄνομα· ἀλλ' ἐπὶ καλῷ Παῦλος αὐτῷ κέχρηται λέγων, Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. καὶ ἐπὶ κακῷ πάλιν εὐφήμῳ κέχρηται ὀνόματι, λέγων, Ἐβασίλευσεν ἡ ἁμαρτία, καίτοιγε τὸ τῆς βασιλείας ὄνομα εὔφημόν ἐστι μᾶλλον. οὕτω καὶ ἐνταῦθα εἰπών, σωθήσεται, οὐδὲν ἕτερον ἢ τὴν ἐπίτασιν τῆς τιμωρίας ἠνίξατο, ὡσανεὶ ἔλεγεν· αὐτὸς δὲ μένει διηνεκῶς κολαζόμενος. Εἶτα καὶ ἐπιφέρει λέγων·

Κορ. β. ι.
Ρω. ς. κα.

16 Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε; Ἐπειδὴ γὰρ περὶ τῶν διατεμνόντων τὴν ἐκκλησίαν ἐν τῇ ἔμπροσθεν διελέχθη, καθάπτεται λοιπὸν καὶ τοῦ πεπορνευκότος, σαφῶς μὲν οὐδέπω, ἀορίστως δέ, αἰνιττόμενος τὸν διεφθαρμένον αὐτοῦ βίον, καὶ ἐπαίρων τὸ ἁμάρτημα ἀπὸ τῆς ἤδη δοθείσης αὐτῷ δωρεᾶς. Εἶτα καὶ τοὺς ἄλλους ἐντρέπει ἀπὸ τῶν αὐτῶν τύπων τῶν ἤδη ὑπαρξάντων. ἢ γὰρ ἀπὸ τῶν μελλόντων, ἢ ἀπὸ τῶν ἤδη γεγενημένων, ἢ λυπηρῶν, ἢ χρηστῶν, ἀεὶ τοῦτο ποιεῖ· ἀπὸ μὲν τῶν μελλόντων, ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· ἀπὸ δὲ τῶν ἤδη γεγενημένων, Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;

17 Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. Ὁρᾷς τὴν καταφορὰν τοῦ λόγου; ἀλλ' ἕως τὸ πρόσωπον ἄδηλόν ἐστιν, οὐχ οὕτως ἐπαχθὲς τὸ λεγόμενον, πάντων διανεμομένων τὸν τῆς ἐπιτιμήσεως φόβον. Φθερεῖ αὐτὸν ὁ Θεός, τουτέστιν, ἀπολεῖ. τοῦτο δὲ οὐχὶ καταρωμένου ἐστίν, ἀλλὰ προφητεύοντος. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν· Ὁ δὲ πεπορνευμένος βέβηλος. Εἶτα ἵνα μὴ δόξῃ πρὸς ἐκεῖνον ἀποτείνεσθαι, εἰπών, ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, ἐπήγαγεν, Οἵτινές ὑμεῖς ἐστε.

18 Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Καὶ τοῦτο πρὸς ἐκεῖνον, ὡς νομίζοντά τι εἶναι, καὶ ἀπὸ τῆς σοφίας αὐχοῦντα. ἵνα δὲ μὴ δόξῃ περιέργως μέχρι πολλοῦ πρὸς αὐτὸν ἀποτείνεσθαι, ἐμβαλὼν αὐτὸν εἰς ἀγωνίαν καὶ τῷ φόβῳ παραδοὺς αὐτόν, πάλιν ἐπὶ τὸ κοινὸν ἔγκλημα τὸν λόγον ἄγει, λέγων·

Εἴ τις δοκεῖ φρόνιμος εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός.

Ποιεῖ δὲ τοῦτο λοιπὸν μετὰ πολλῆς τῆς παρρησίας, ἅτε καταγωνισάμενος αὐτοὺς ἱκανῶς. * κἂν γὰρ πλούσιος ᾖ τις, κἂν εὐγενής, τῶν εὐτελῶν ἐστιν εὐτελέστερος, ὅταν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ. ὥσπερ γὰρ κἂν βασιλεύσῃ τις, δοῦλος δὲ γένηται βαρβάρων, πάντων ἐστὶν ἀθλιώτερος· οὕτω καὶ ἐπὶ τῆς ἁμαρτίας. βάρβαρος γάρ ἐστιν ἡ ἁμαρτία, καὶ ψυχῆς οὐκ εἰδυῖα φείδεσθαι τῆς ἅπαξ ἁλούσης, ἀλλ' ἐπὶ λύμῃ τῶν ἐπιδεχομένων αὐτὴν τυραννοῦσα. οὐδὲν γὰρ οὕτως ἄλογον, ὡς ἁμαρτία, οὐδὲν οὕτως ἀνόητον καὶ μωρὸν καὶ ῥαγδαῖον. πάντα ἀνατρέπει, καὶ συγχεῖ, καὶ ἀπόλλυσιν ἔνθα ἂν εἰσπηδήσῃ· ἀηδὴς ἰδεῖν, φορτικὴ καὶ ἐπαχθής. καὶ εἴ τις αὐτὴν ἀνέπλαττε ζωγράφος, οὐκ ἄν μοι δοκῇ ἁμαρτεῖν οὕτως αὐτὴν ἀναπλάττων, γυναῖκά τινα θηριόμορφον, βάρβαρον, πῦρ πνέουσαν, ἀτερπῆ, μέλαιναν, οἵας τῶν ἔξωθεν ποιηταὶ τὰς Σκύλλας ὑπογράφουσι. μυρίαις γὰρ χερσὶν ἐπιλαμβάνεται τῶν ἡμετέρων λογισμῶν, καὶ ἀδοκήτως ἐπεισέρχεται, καὶ πάντα διασπαράττει, καθάπερ οἱ κύνες οἱ λάθρα δάκνοντες. μᾶλλον δὲ τί δεῖ ζωγραφίας ἡμῖν, δέον τοὺς κατ' αὐτὴν πεποιωμένους εἰς μέσον ἀγαγεῖν. τίνα οὖν βούλεσθε πρότερον ὑπογράφωμεν; τὸν πλεονέκτην καὶ ἅρπαγα; καὶ τί τῶν ὀφθαλμῶν ἐκείνων ἀναισχυντότερον; τί ἀναιδέστερον, καὶ κυνικώτερον; οὐ γὰρ οὕτω κύων ἕστηκεν ἀναισχυντούμενος, ὡς οὗτος, ὅταν τὰ πάντων ἁρπάζῃ. τί τῶν χειρῶν μιαρώτερον ἐκείνων; τί τοῦ στόματος ἰταμώτερον τοῦ πάντα καταπίνοντος, καὶ οὐ κορεννυμένου; μὴ γὰρ εἰς τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ἴδῃς, ὅτι ἀνθρώπου. οὐ γὰρ τὰ τοιαῦτα βλέπουσιν οἱ ἀνθρώπινοι ὀφθαλμοί. οὐ βλέπει τοὺς ἀνθρώπους, ἀνθρώπους· οὐ βλέπει τὸν οὐρανόν, οὐρανόν· οὐδὲ αἰδεῖται πρὸς τὸν δεσπότην, ἀλλὰ πάντα χρήματα εἶναι νομίζει.

[margin note, cut off:] ... αὐτὸ καὶ κατασεί... τῷ ξίφει, οὐκ ἐκεί... τοῦ πεπορ... διά... ἀλλὰ καὶ ... ἀκου... ... φερόμενος ...

οἱ

Οἱ τῶν ἀνθρώπων ὀφθαλμοὶ πένητας εἰώθασιν ὁρᾶν καταπεπονημένους, καὶ ἐπικλᾶσθαι· οὗτοι δὲ τοῦ ἅρπαγος, ὁρῶσι πένητας, καὶ ἐκθηριοῦνται. οἱ τῶν ἀνθρώπων ὀφθαλμοὶ οὐχ ὡς ἴδια τὰ ἀλλότρια βλέπουσιν, ἀλλὰ καὶ τὰ ἴδια ὡς ἀλλότρια, καὶ οὐκ ἐφίενται τῶν ἑτέροις δεδομένων, ἀλλὰ καὶ εἰς ἑτέρους κενοῦσι τὰ ἑαυτῶν· οὗτοι δὲ οὐκ ἀνέχονται, εἰ μὴ τὰ πάντων λάβοιεν. οὐ γὰρ ἀνθρώπινον, ἀλλὰ θηριῶδες ἔχουσιν ὄμμα. οἱ τῶν ἀνθρώπων ὀφθαλμοὶ γυμνὸν ἰδεῖν τὸ σῶμα τὸ ἑαυτῶν οὐκ ἀνέχονται (αὐτῶν γάρ ἐστι, κἂν ἑτέρων ᾖ κατὰ πρόσωπον) οὗτοι δὲ εἰ μὴ πάντα γυμνώσαιεν, καὶ τὰ πάντων οἴκοι καταθῶνται, οὐδέποτε κόρον λαμβάνουσι, μᾶλλον δὲ οὐδέποτε ἐμπιπλῶνται. διόπερ οὐδὲ θηρίων τὰς χεῖρας τὰς τούτων ἄν τις εἶναι φαίη μόνον, ἀλλὰ καὶ τούτων ἀγριωτέρας πολλῷ καὶ χαλεπωτέρας. ἄρκτοι μὲν γὰρ καὶ λύκοι, ἐπειδὰν λάβωσι κόρον, τῆς τοιαύτης τροφῆς ἀφίστανται· οὗτοι δὲ κόρον οὐκ ἔχουσι. καίτοι διὰ τοῦτο χεῖρας ἡμῖν ἐποίησεν ὁ Θεός, ἵνα ἑτέροις βοηθῶμεν, οὐχ ἵνα ἐπιβουλεύωμεν. εἰ δὲ μέλλοιμεν αὐταῖς εἰς τοῦτο κεχρῆσθαι, βέλτιον αὐτὰς ἀποκοπῆναι, καὶ χωρὶς τούτων εἶναι. σὺ δὲ ἂν μὲν πρόβατον σπαράττῃ θηρίον, ἀλγεῖς· εἰς αὐτὸν δὲ τὸν ὁμόφυλον τοῦτο ἐργαζόμενος, οὐ νομίζεις τι ποιεῖν δεινόν; καὶ πῶς ἂν εἴης ἄνθρωπος; οὐχ ὁρᾷς ὅτι ἀνθρώπινον πρᾶγμα καλοῦμεν, τὸ ἐλέου γέμον καὶ φιλανθρωπίας; ὅταν δὲ ὠμόν τι καὶ ἀπηνὲς ἐργάσηται, ἀπάνθρωπον τὸν τοιοῦτον ὀνομάζομεν; οὐκοῦν τὸν χαρακτῆρα τοῦ ἀνθρώπου ἀπὸ τοῦ ἐλεεῖν, τοῦ δὲ θηρίου ἀπὸ τοῦ ἐναντίου ὑπογράφομεν, λέγοντες ἀεί, μὴ γὰρ ἄνθρωπος, θηρίον ἢ κύων; οἱ γὰρ ἄνθρωποι πενίαν διορθοῦσιν, οὐκ αὔξουσι. τούτων καὶ τὰ στόματα θηρίων ἐστὶ στόματα, μᾶλλον δὲ καὶ ταῦτα ἐκείνων ἀγριώτερα. καὶ γὰρ ῥήματα φθέγγονται μᾶλλον ἐκείνων τῶν ὀδόντων ἰὸν ἀφιέντα, φόνον ἐργαζόμενα. καὶ εἰ πάντα τις ἐπέλθοι, τότε ὄψεται καλῶς, πῶς θηρία ἀπὸ ἀνθρώπων αὐτοὺς χρωμένους ἡ ἀπανθρωπία ποιεῖ. εἰ δὲ καὶ τὴν διάνοιάν τις ἐξετάσειε τῶν τοιούτων, οὐκέτι θηρία μόνον, ἀλλὰ καὶ δαίμονας αὐτοὺς προσερεῖ. καὶ γὰρ πολλῆς γέμουσι τῆς ἀπηνείας, καὶ τῆς πρὸς τὸν ὁμόδουλον ἔχθρας. καὶ οὔτε βασιλείας ἔρως ἐκεῖ, οὔτε γεέννης φόβος· οὐκ αἰδὼς ἀνθρώπων, οὐκ ἔλεος, οὐ συμπάθεια, ἀλλ᾽ ἀναισχυντία, καὶ ἰταμότης, καὶ ὑπεροψία τῶν μελλόντων ἁπάντων. καὶ μῦθος αὐτοῖς εἶναι δοκεῖ τὰ τοῦ Θεοῦ ῥήματα τὰ περὶ κολάσεως, καὶ γέλως ἡ ἀπειλή. τοιαύτη γὰρ ἡ τοῦ πλεονέκτου διάνοια. ὅταν οὖν ἔνδοθεν μὲν δαίμονες ὦσιν, ἔξωθεν δὲ θηρία, καὶ θηρίων χείρους, ποῦ θήσομεν τοὺς τοιούτους, εἰπέ μοι; ὅτι γὰρ καὶ θηρίων χείρους, δῆλον ἐκεῖθεν. τὰ θηρία, τῇ φύσει τοιαῦτά ἐστιν· οὗτοι δὲ κατὰ φύσιν τὸ ἥμερον ἔχοντες, παρὰ φύσιν εἰς τὸ θηριῶδες ἑαυτοὺς ἐξάγειν βιάζονται. καὶ οἱ δαίμονες δὲ τοὺς ἐπιβουλεύοντας ἀνθρώποις συμπράττοντας ἑαυτοῖς ἔχουσιν· ὡς εἰ μὴ συνέπραττον, τὸ πλέον τῶν ἐπιβουλῶν τῶν καθ᾽ ἡμῶν ἐκείνοις ἀνῄρητο. οὗτοι δὲ καὶ φιλονεικούντων αὐτοῖς τῶν ἐπηρεαζομένων κρατεῖν ἐπιχειροῦσι. πάλιν ὁ δαίμων ἀνθρώπῳ πολεμεῖ, οὐ δαίμοσι τοῖς ὁμοφύλοις· οὗτος δὲ τὸ συγγενὲς καὶ οἰκεῖον παντὶ τρόπῳ κακῶσαι ἐπείγεται, καὶ οὐδὲ τὴν φύσιν αἰδεῖται. οἶδα ὅτι πολλοὶ πρὸς ἡμᾶς ὑπὲρ τούτων ἀπεχθάνονται τῶν ῥημάτων· ἐγὼ δὲ οὐκ ἀπεχθάνομαι πρὸς αὐτούς, ἀλλ᾽ ἐλεῶ καὶ δακρύω τοὺς οὕτω διακειμένους. κἂν πλῆξαι θέλωσιν, ἡδέως ἀνασχοίμην, εἰ ἀπέχοιντο τῆς θηριωδίας ταύτης. οὐδὲ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ ὁ προφήτης μεθ᾽ ἡμῶν τοὺς τοιούτους ἐκβάλλει τῆς τῶν ἀνθρώπων συγγενείας, λέγων, ὅτι Ψαλ. μη. κα. Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκεν, ἀλλὰ παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις. γενώμεθα τοίνυν ἄνθρωποί ποτε, καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψωμεν, καὶ τὸ κατ᾽ εἰκόνα ἀπολάβωμεν καὶ ἀνακτησώμεθα, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ι. 18 ΜΗΔΕΙΣ ΕΑΥΤΟΝ ΕΞΑΠΑΤΑΤΩ. ΕΙ ΤΙΣ δοκεῖ σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός.
19 Η γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ ἐστιν.

Ὅπερ ἔφθην εἰπὼν, ὅτι περὶ τοῦ προσήκοντος καιροῦ εἰς τὴν κατὰ τοῦ πεπορνευκότος κατηγορίαν ἐξενεχθεὶς, καὶ αἰνιγματωδῶς αὐτὴν παρανοίξας διὰ βραχέων, καὶ κατασείσας αὐτοῦ τὸ συνειδὸς, ἐπείγεται πάλιν ἐπὶ τὴν μάχην τῆς σοφίας τῆς ἔξωθεν, καὶ τὰ ἐγκλήματα τῶν ἐλευθέρων πεφυσιωμένων καὶ διατεμνόντων τὴν ἐκκλησίαν· ἵνα τὸ λοιπὸν προσθεὶς καὶ τὸ κεφάλαιον ἅπαν ἀπαρτίσας μετὰ ἀκριβείας, οὕτω λοιπὸν σφοδρᾷ τῇ ῥύμῃ κατὰ τοῦ πεπορνευκότος φέρεσθαι τὴν γλῶτταν ἀφῇ, πρότερον ἀκροβολισάμενος πρὸς αὐτὸν δι' ὧν ἔμπροσθεν εἴρηκε. καὶ γὰρ τὸ, μηδεὶς ἑαυτὸν ἐξαπατάτω, πρὸς ἐκεῖνον μάλιστά ἐστιν ἀποτεινόμενον, καὶ προκαταλεαίνοντος αὐτὸν τῷ φόβῳ· καὶ ὁ περὶ τῆς καλάμης λόγος, αὐτὸν μάλιστά ἐστιν αἰνιττόμενος· καὶ τὸ λέγειν, οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ κατοικεῖ ἐν ὑμῖν. δύο γὰρ ταῦτα μάλιστα ἀπάγειν ἡμᾶς ἁμαρτίας εἴωθεν, ὅταν τὴν κειμένην τῇ ἁμαρτίᾳ κόλασιν ἐννοήσωμεν, καὶ ὅταν τὴν ἡμετέραν ἀξίαν ἀναλογισώμεθα. τῷ μὲν οὖν τὸν χόρτον παραγαγεῖν εἰς μέσον καὶ τὴν καλάμην, ἐφόβησε· τῷ δὲ τὸ ἀξίωμα τῆς οἰκείας εὐγενείας εἰπεῖν, ἐνέτρεψεν, ἐκεῖνο μὲν τοὺς ἀναισθητοτέρους, τοῦτο δὲ τοὺς ἐπιεικεστέρους βελτίους ποιῶν. μηδεὶς ἑαυτὸν ἐξαπατάτω. εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω. ὥσπερ νεκρὸν τῷ κόσμῳ κελεύει γενέσθαι, καὶ ἡ νεκρότης αὕτη οὐδὲν παραβλάπτει, ἀλλὰ καὶ ὠφελεῖ, ζωῆς αἰτία γινομένη· οὕτω καὶ μωρὸν τῷ κόσμῳ τούτῳ κελεύει γενέσθαι, σοφίαν ἐντεῦθεν ἡμῖν τὴν ἀληθῆ προξενῶν. μωρὸς δὲ τῷ κόσμῳ γίνεται, ὁ τὴν ἔξωθεν ἀτιμάζων σοφίαν καὶ πεπεισμένος μηδὲν αὐτὴν συντελεῖν πρὸς τὴν τῆς πίστεως κατάληψιν. ὥσπερ οὖν ἡ πενία ἡ κατὰ Θεὸν, πλούτου αἰτία, καὶ ἡ ταπείνωσις, ὕψους, καὶ τὸ δόξης ὑπερορᾶν, δόξης αἴτιον γίνεται· οὕτω καὶ τὸ μωρὸν γενέσθαι, σοφώτερον πάντων ποιεῖ.* καὶ διὰ τί μὴ εἶπεν, ἀποθέσθω τὴν σοφίαν, ἀλλὰ, γενέσθω μωρός; ἵνα μεθ' ὑπερβολῆς ἀτιμάσῃ τὴν ἔξωθεν παίδευσιν. οὐδὲ γὰρ τὸ ἴσον εἰπεῖν, ἀπόθου σου τὴν σοφίαν, καὶ γενοῦ μωρός· ἄλλως δὲ, καὶ παιδεύει μὴ ἐπαισχύνεσθαι τῇ παρ' ἡμῖν ἰδιωτείᾳ. πολὺ γὰρ καταγελᾷ τῶν ἔξωθεν. διόπερ οὐδὲ τὰ ὀνόματα δέδοικεν, ἐπειδὴ θαρρεῖ τῇ τῶν πραγμάτων δυνάμει. ὥσπερ οὖν ὁ σταυρὸς, δοκῶν ἐπονείδιστος εἶναι, μυρίων γέγονεν αἴτιος ἀγαθῶν καὶ δόξης ὑπόθεσις ἀφάτου καὶ ῥίζα· οὕτω καὶ ἡ δοκοῦσα μωρία εἶναι, σοφίας ἡμῖν αἰτία κατέστη. καθάπερ γὰρ ὁ κακῶς τι μεμαθηκὼς, ἂν μὴ τὸ πᾶν ἀποθῆται καὶ λεάνῃ τὴν ψυχὴν καὶ καθαρὰν παράσχῃ τῷ μέλλοντι γράφειν, οὐδὲν εἴσεται σαφὲς τῶν ὑγιῶν· οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν σοφίας. ἂν μὴ τὸ πᾶν ἐξέλῃς, καὶ κενώσῃς σου τὴν διάνοιαν, καὶ ἐξίσης τῷ ἰδιώτῃ παράσχῃς σαυτὸν τῇ πίστει, οὐδὲν εἴσῃ γενναῖον ἀκριβῶς. καὶ γὰρ οἱ παραβλέποντες, ἂν μὴ μύσαντες ἑαυτοὺς ἑτέροις παραδῶσιν, ἀλλὰ τῇ διεφθαρμένῃ τῶν ὀφθαλμῶν ὄψει τὰ καθ' ἑαυτοὺς ἐπιτρέψωσι, τῶν οὐχ ὁρώντων πολλῷ πλείονα ἁμαρτήσονται. καὶ πῶς ἂν εἴη τὴν σοφίαν ταύτην ἀποθέσθαι, φησί; μὴ κεχρημένον αὐτῆς τοῖς δόγμασιν. εἶτα ἐπειδὴ οὕτως αὐτῆς σφοδρῶς ἀποστῆναι ἐκέλευσε, καὶ τὴν αἰτίαν τίθησι λέγων· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ ἐστιν. οὐ γὰρ μόνον οὐδὲν συντελεῖ, ἀλλὰ καὶ ἐμποδίζει. δεῖ τοίνυν αὐτῆς ἀποστῆναι, ἅτε βλαπτούσης. ὁρᾷς πῶς ἐκ περιουσίας ἤνεγκε τὰ νικητήρια, ἀποδείξας ὡς οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ ἐμποδίζει; καὶ οὐδὲ ταῖς οἰκείαις ἀρκεῖται κατασκευαῖς, ἀλλὰ καὶ μαρτυρίαν ἐπάγει πάλιν,

λέγων, Γέγραπται γάρ, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν·

Τῇ πανουργίᾳ, τουτέστι, τοῖς οἰκείοις ὅπλοις αὐτοὺς χειρούμενος. ἐπειδὴ γὰρ τῇ σοφίᾳ ἐχρήσαντο εἰς τὸ μὴ δεηθῆναι τοῦ Θεοῦ, δι᾽ αὐτῆς ταύτης ἤλεγξεν αὐτούς, ὅτι μάλιστα δέονται τοῦ Θεοῦ. πῶς, καὶ τίνι τρόπῳ; ὅτι μωροὶ γενόμενοι δι᾽ αὐτῆς, εἰκότως δι᾽ αὐτῆς ἑάλωσαν. οἱ γὰρ μὴ δεῖσθαι Θεοῦ νομίζοντες, εἰς τοσαύτην κατέστησαν χρείαν, ὡς ἁλιέων καὶ ἀγραμμάτων ἐλάττους φανῆναι, καὶ αὐτῶν τούτων δεηθῆναι λοιπόν. διὰ τοῦτό φησιν, ἐν τῇ πανουργίᾳ αὐτῶν εἷλεν αὐτούς. τὸ μὲν γὰρ εἰπεῖν, ἀπολῶ τὴν σοφίαν, πρὸς τὸ μηδὲν χρήσιμον εἰσαγαγεῖν εἴρηται· τὸ δέ, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, πρὸς τὸ δεῖξαι τοῦ Θεοῦ τὴν δύναμιν. εἶτα καὶ ὃν τρόπον λέγει καθ᾽ ὃν εἷλεν, ἑτέραν παραθεὶς μαρτυρίαν.

20 Κύριος γάρ, φησι, γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι.

Ὅταν δὲ ἡ σοφία ἡ ἄπειρος ταῦτα περὶ αὐτῶν ψηφίζηται, καὶ ἀποφαίνηται τοιούτους, ποίαν ἑτέραν ζητεῖς ἀπόδειξιν τῆς ἐσχάτης ἀνοίας αὐτῶν; αἱ μὲν γὰρ τῶν ἀνθρώπων κρίσεις πολλαχοῦ διαπίπτουσιν, ἡ δὲ τοῦ Θεοῦ ψῆφος ἄληπτος καὶ ἀδέκαστος πανταχοῦ. στήσας τοίνυν τὸ τρόπαιον οὕτω λαμπρὸν ἐκ τῆς ἄνωθεν κρίσεως, καταφορικῷ λοιπὸν κέχρηται τῷ λόγῳ, πρὸς τοὺς ἀρχομένους ἀποστρέψας αὐτόν, καὶ λέγων οὕτως·

21 Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις. πάντα γὰρ ὑμῶν ἐστι.

Πάλιν ἐπὶ τὸ πρότερον ἔρχεται, δεικνὺς ὅτι οὐδὲ ἐπὶ τοῖς πνευματικοῖς ὀφείλουσι μέγα φρονεῖν, ἅτε οὐδὲν παρ᾽ ἑαυτῶν ἔχοντες. ὅταν οὖν ἡ μὲν ἔξωθεν σοφία βλαβερὰ ᾖ, τὰ δὲ πνευματικὰ μὴ παρ᾽ ὑμῶν ᾖ δεδομένα, πόθεν ἔχεις καυχᾶσθαι; καὶ ἐπὶ μὲν τῆς ἔξωθεν σοφίας μηδεὶς ἑαυτὸν ἐξαπατάτω, φησίν, ἐπειδὴ ἐπὶ πράγματι ἐφρόνουν βλαβερῷ· ἐνταῦθα δέ, ἐπειδὴ τὸ πρᾶγμα ὠφέλειαν ἔχει, μηδεὶς καυχάσθω. καὶ ἡμερωτέρῳ κέχρηται τῷ λόγῳ. Πάντα γὰρ ὑμῶν ἐστιν.

22 Εἴτε Παῦλος, εἴτε Ἀπολλώς, εἴτε Κηφᾶς, εἴτε κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα,

23 Πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ. Ἐπειδὴ γὰρ σφόδρα αὐτῶν καθήψατο, πάλιν αὐτοὺς ἀνακτᾶται. καὶ ἀνωτέρω μὲν ἔλεγε, Συνεργοί ἐσμεν τοῦ Θεοῦ, καὶ δι᾽ ἑτέρων δὲ πλειόνων αὐτοὺς παρεμυθήσατο· καὶ ἐνταῦθα δέ φησι, πάντα ὑμῶν ἐστι, καθαιρῶν τὸν τῦφον τῶν διδασκάλων, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐδὲν αὐτοῖς χαρίζονται, ἀλλ᾽ ὅτι καὶ οὗτοι ἐκείνοις χάριν ἔχειν ὀφείλουσι. διὰ γὰρ αὐτοὺς τοιοῦτοι γεγόνασιν, ἀλλὰ τὸ χάριν ἔλαβον. ἀλλ᾽ ἐπειδὴ ἔμελλον καὶ αὐτοὶ καυχᾶσθαι, διὰ τοῦτο προεξέκοψε καὶ τοῦτο τὸ νόσημα, εἰπών, ἑκάστῳ ὡς ὁ Θεὸς ἔδωκε, καὶ ὅτι ὁ Θεὸς ηὔξανεν· ἵνα μήτε ἐκεῖνοι ὡς παρέχοντες μέγα φρονῶσι, μήτε οὗτοι διὰ τὸ ἀκοῦσαι πάλιν, πάντα ὑμῶν ἐστι, πάλιν ἐπαίρωνται. καὶ γὰρ εἰ καὶ δι᾽ ὑμᾶς, ἀλλ᾽ ὑπὸ τοῦ Θεοῦ τὸ πᾶν γεγένηται. σὺ δέ μοι σκόπει, πῶς μέχρι τέλους παρέπεμψε τὸ ἑαυτοῦ ὄνομα καὶ τὸ Πέτρου ὑποτιθείς. τί δέ ἐστιν, εἴτε θάνατος; ὅτι κἂν ἀποθνήσκωσι, δι᾽ ὑμᾶς ἀποθνήσκουσι, κινδυνεύοντες ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. ὁρᾷς πῶς πάλιν τῶν μὲν μαθητῶν καθεῖλε τὸ φρόνημα, τῶν δὲ διδασκάλων ἐπῆρεν; ὡς γὰρ παισὶν εὐγενέσι παιδαγωγοὺς ἔχουσι καὶ μέλλουσι πάντα κληρονομεῖν, οὕτω διαλέγεται. ἔστι καὶ ἑτέρως εἰπεῖν, ὅτι καὶ ὁ τοῦ Ἀδὰμ θάνατος δι᾽ ἡμᾶς, ἵνα σωφρονισθῶμεν, καὶ ὁ τοῦ Χριστοῦ, ἵνα σωθῶμεν. ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ. ἑτέρως ἡμεῖς τοῦ Χριστοῦ, καὶ ἑτέρως ὁ Χριστὸς τοῦ Θεοῦ, καὶ ἑτέρως ἡμῶν ὁ κόσμος. ἡμεῖς μὲν γὰρ τοῦ Χριστοῦ, ὡς ἔργον· ὁ δὲ Χριστὸς τοῦ Θεοῦ, ὡς γέννημα γνήσιον, οὐχ ὡς ἔργον· ὥσπερ οὐδὲ ὁ κόσμος ἡμῶν. ὥστε εἰ καὶ μία ἡ λέξις, ἀλλὰ διάφορος ἡ ἔννοια. ἡμῶν μὲν γὰρ ὁ κόσμος, ὡς δι᾽ ἡμᾶς γεγενημένος· ὁ δὲ Χριστὸς τοῦ Θεοῦ, ὡς αὐτὸν αἴτιον ἔχων κατὰ τὸ πατέρα εἶναι· ἡμεῖς δὲ τοῦ Χριστοῦ, ὡς ὑπ᾽ αὐτοῦ κατασκευασθέντες.

σκευασθέντες. εἰ δὲ ἐκεῖνοι ὑμῶν, φησὶ, τοὐναντίον ἐποιήσατε, αὐτοῖς ἐπονομαζόμενοι, ἀλλ' οὐχὶ τῷ Χριστῷ καὶ τῷ Θεῷ;

1 Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας τοῦ Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ. [κεφ. δ.] Ἐπειδὴ κατέβαλεν αὐτῶν τὸ φρόνημα, ὅρα πῶς πάλιν αὐτὸ ἀνακτᾶται λέγων· ὡς ὑπηρέτας τοῦ Χριστοῦ. μὴ τοίνυν τὸν δεσπότην ἀφεὶς, ἀπὸ τῶν ὑπηρετῶν καλοῦ καὶ τῶν διακονουμένων. οἰκονόμους δὲ εἶπε, δεικνὺς ὡς οὐχ ἅπασιν αὐτὰ χρὴ διδόναι, ἀλλ' οἷς δεῖ, καὶ οἷς ἄξιον οἰκονομεῖν.

2 Ὃ δὲ λοιπὸν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. Τουτέστιν, ἵνα μὴ τὰ δεσποτικὰ σφετερίσηται, ἵνα μὴ ὡς δεσπότης ἑαυτῷ ἐκδικῇ, ἀλλ' ὡς οἰκονόμος διοικῇ. οἰκονόμου γὰρ τὸ διοικεῖν τὰ ἐγχειρισθέντα καλῶς· οὐκ αὐτοῦ λέγειν εἶναι τὰ δεσποτικὰ, ἀλλὰ τοὐναντίον τοῦ δεσπότου τὰ ἑαυτοῦ.

Ἕκαστος ταῦτα ἐννοείτω, καὶ ὁ λόγον ἔχων καὶ ὁ χρήματα κεκτημένος, οἶδεν ὅτι ἐστὶ δεσποτικὰ, [ΗΘΙΚΟΝ] καὶ οὐκ ἔστιν αὐτοῦ, μὴ κατεχέτω αὐτὰ παρ' ἑαυτῷ· μήτε ἑαυτῷ ἐπιψηφιζέτω, ἀλλὰ τῷ Θεῷ λογιζέσθω τῷ πάντα δεδωκότι. θέλεις ἰδεῖν οἰκονόμους πιστούς; ἄκουσον τί φησιν ὁ Πέτρος. Τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; [Πράξ. γ. ιβ.] καὶ τῷ Κορνηλίῳ δὲ ἔλεγε, Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι· καὶ πρὸς τὸν Χριστὸν δὲ, [Πράξ. ιδ. ιε.] Ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. καὶ ὁ Παῦλος δὲ εἰπὼν, Περισσότερον [Ματθ. ιθ. κζ.] αὐτῶν πάντων ἐκοπίασα, ἐπήγαγεν· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. [α. Κορ. ιε. ι.] καὶ ἀλλαχοῦ δὲ πρὸς τοὺς αὐτοὺς ἀποτεινόμενος ἔλεγε, Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; [α. Κορ. δ. ζ.] οὐδὲν γὰρ ἔχεις σὸν, οὐ χρήματα, οὐ λόγον, οὐ ψυχὴν αὐτήν. καὶ γὰρ καὶ αὕτη τοῦ δεσπότου. ὅταν οὖν χρεία καλῇ, καὶ ταύτην κατάθου. Εἰ δὲ φιλοψυχεῖς καὶ κελευόμενος καταθεῖναι ἀντιλέγεις, οὐκέτι πιστὸς οἰκονόμος εἶ. καὶ πῶς ἔνι Θεοῦ καλοῦντος ἀντιστῆναι; τοῦτο γὰρ κἀγώ φημι. καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαυμάζω τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι ἃ δύναται καὶ ἄκοντός σου παρὰ σοῦ λαβεῖν, ταῦτα οὐ βούλεται ἄκοντος εἰσενεχθῆναι, ἵνα καὶ μισθὸν ἔχῃς. οἷον δύναται τὴν ψυχὴν λαβεῖν ἄκοντος, ἀλλ' ἑκόντος βούλεται, ἵνα λέγῃς κατὰ Παῦλον, Καθ' ἡμέραν ἀποθνήσκω. [α. Κορ. ιε. λα.] δύναταί σου τὴν δόξαν λαβεῖν ἄκοντος καὶ ποιῆσαι ταπεινὸν, ἀλλὰ παρὰ ἑκόντος θέλει, ἵνα ἀμοιβὴν ἔχῃς. δύναταί σε ποιῆσαι πένητα, καὶ μὴ βουλόμενον· ἀλλ' ἑκόντα σε βούλεται γενέσθαι τοιοῦτον, ἵνα σοι πλέξῃ στεφάνους. εἶδες Θεοῦ φιλανθρωπίαν; εἶδες νωθείαν ἡμετέραν; ἐπ' ἀξιώματος ἐγένου μεγάλου, καὶ ἀρχῆς ἐπελάβου ποτὲ ἐκκλησιαστικῆς; μὴ μέγα φρόνει. οὐ σὺ τὴν δόξαν ἐκτήσω, ἀλλ' ὁ Θεός σε ἐνέδυσεν. ὡς ἀλλοτρίας τοίνυν φείδου, μὴ καταχρώμενος [αὐτῇ, μηδὲ ἀποχρώμενος] εἰς τὰ μὴ προσήκοντα, μηδὲ φυσώμενος, μηδὲ σφετεριζόμενος, ἀλλὰ πένητα σαυτὸν νόμιζε εἶναι καὶ ἄδοξον. [γρ. νομίζων] οὐ γὰρ, εἰ πορφύραν βασιλικὴν ἐνεχειρίσθης φυλάττειν, ἔδει καταχρήσασθαι τῇ στολῇ καὶ λυμήνασθαι, [γρ. καὶ καταχρῆσθαι] [γρ. λυμαίνεσθαι] ἀλλὰ μετὰ πλείονος αὐτὴν τῆς ἀκριβείας τηρεῖν τῷ δεδωκότι. λόγον ἔλαβες; μὴ φυσῶ, μηδὲ ἀλαζονεύου. οὐ γάρ ἐστι σὸν τὸ χάρισμα. μὴ ἀγνώμων ἔσο περὶ τὰ δεσποτικὰ, ἀλλὰ διάνεμε τοῖς συνδούλοις, καὶ μήτε ὡς ἐπὶ ἰδίοις ἐπαίρου τούτοις, μήτε φείδου ὥστε διανέμειν. κἂν παῖδας ἔχῃς, τοῦ Θεοῦ ἔχεις. ἂν οὕτω νομίζῃς, καὶ ἔχων εὐχαριστήσεις, καὶ ἀφαιρεθεὶς οὐκ ἀλγήσεις· οἷος ἦν ὁ Ἰὼβ λέγων, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. [Ἰώβ. α.] πάντα γὰρ τὰ τοῦ Χριστοῦ ἔχομεν· καὶ αὐτὸ τὸ εἶναι δι' αὐτοῦ ἔχομεν, καὶ τὸ ζῆν, καὶ τὸ ἀναπνεῖν, καὶ τὸ φῶς, καὶ τὸν ἀέρα, καὶ τὴν γῆν. κἂν ἀποκλείσῃ τι τούτων, ἀπολλύμεθα καὶ διεφθάρημεν. πάροικοι γάρ ἐσμεν καὶ παρεπίδημοι. τὸ δὲ ἐμὸν καὶ τὸ σὸν τοῦτο, ῥήματά ἐστι ψιλὰ μόνον· ἐπὶ δὲ πραγμάτων οὐχ ἕστηκε. καὶ γὰρ εἰ τὴν οἰκίαν σὴν εἶναι φῂς, ῥῆμά ἐστι πράγματος ἔρημον. καὶ γὰρ ὁ ἀὴρ καὶ γῆ καὶ ὕλη, τοῦ δημιουργοῦ, καὶ σὺ δὲ αὐτὸς ὁ κατασκευάσας αὐτὴν, καὶ τὰ ἄλλα δὲ πάντα. Εἰ δὲ ἡ χρῆσις σὴ,

ἀλλὰ καὶ αὐτὴ ἄδηλος, οὐ διὰ τὸν θάνατον μόνον, ἀλλὰ καὶ πρὸ τοῦ θανάτου διὰ τὸ τῶν πραγμάτων εὐρίπιστον. Ταῦτ' οὖν συνεχῶς πρὸς ἑαυτοὺς γράφοντες, φιλοσοφήσωμεν, καὶ δύο τὰ μέγιστα κερδανοῦμεν· εὐχάριστοί τε ἐσόμεθα καὶ ἔχοντες καὶ ἀφαιρούμενοι, καὶ μὴ δουλεύσομεν τοῖς παρατρέχουσι καὶ τοῖς οὐχ ἡμετέροις. κἂν γὰρ χρήματα λάβῃ, τὰ αὐτοῦ ἔλαβε, κἂν τιμὴν, κἂν δόξαν, κἂν τὸ σῶμα, κἂν αὐτὴν τὴν ψυχήν· κἂν τὸν υἱὸν τὸν σὸν λάβῃ, οὐ τὸν σὸν ἔλαβεν υἱὸν, ἀλλὰ τὸν δοῦλον τὸν ἑαυτοῦ. οὐ γὰρ σὺ αὐτὸν ἔπλασας, ἀλλ' ἐκεῖνος ἐποίησε· σὺ δὲ ὑπηρέτησας μόνον τῇ προόδῳ, τὸ δὲ πᾶν αὐτὸς εἰργάσατο. εὐχαριστήσωμεν τοίνυν ὅτι κατηξιώθημεν ὑπηρετῆσαι τῷ πράγματι. ἀλλὰ τί, ἐβούλου διαπαντὸς ἔχειν; τοῦτο ἀγνώμονος πάλιν, καὶ οὐκ εἰδότος, ὅτι ἀλλότριον εἶχες καὶ οὐκ ἴδιον. ὥσπερ οὖν οἱ ἑτοίμως ἀφιστάμενοι ἴσασιν ὅτι οὐ τὰ αὐτῶν ἔχουσιν, οὕτως οἱ ἀλγοῦντες τὰ βασιλικὰ σφετερίζονται. εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ἑαυτῶν, πῶς ἐκεῖνοι ἡμέτεροι; διπλῆ γάρ ἐσμεν αὐτοῦ, καὶ τῷ τῆς κτίσεως, καὶ τῷ τῆς πίστεως λόγῳ. διὰ τοῦτό φησιν ὁ Δαβὶδ, Ἡ ὑπόστασίς μου παρὰ σοί ἐστι· καὶ ὁ Παῦλος δὲ, Ὅτι ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν. καὶ τὸν περὶ τῆς πίστεως γυμνάζων λόγον φησὶν, Οὐκ ἐστὲ ἑαυτῶν, καὶ τιμῆς ἠγοράσθητε. τὰ πάντα γάρ ἐστι Θεοῦ. ὅταν οὖν καλῇ, καὶ βούληται λαβεῖν, μὴ κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν φύγωμεν τὸν λόγον, μηδὲ νοσφιζώμεθα τὰ δεσποτικά. ἡ ψυχή σου οὐκ ἔστι σή· καὶ πῶς τὰ χρήματά ἐστι σά; πῶς οὖν ἀναλίσκεις εἰς οὐδὲν δέον τὰ μὴ σά; οὐκ οἶδας ὅτι διὰ τοῦτο μέλλομεν ἐγκαλεῖσθαι, κακῶς αὐτοῖς χρησάμενοι; ἐπειδὴ δὲ οὐκ ἔστιν ἡμέτερα, ἀλλὰ τοῦ δεσπότου, εἰς τοὺς ὁμοδούλους ἐχρῆν δαπανᾷν. τοῦτο γοῦν καὶ ὁ πλούσιος ἐκεῖνος ἐνεκαλεῖτο, ὅτι μὴ ἐποίησε, καὶ οἱ μὴ θρέψαντες τὸν Κύριον. μὴ τοίνυν λέγε, ὅτι τὰ ἐμαυτοῦ ἀναλίσκω, καὶ ἐκ τῶν ἐμαυτοῦ τρυφῶ. οὐκ ἀπὸ τῶν σεαυτοῦ, ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων. ἀλλοτρίων δὲ λέγω, ἐπειδὴ σὺ βούλει· ἐπεὶ σὰ βούλεται εἶναι ὁ Θεὸς τὰ ὑπὲρ τῶν ἀδελφῶν ἐγχειρισθέντα σοι. γίνεται δὲ σὰ τὰ ἀλλότρια, ἂν εἰς ἑτέρους ἀναλώσῃς· ἂν δὲ εἰς σαυτὸν ἀναλώσῃς ἀφειδῶς, ἀλλότρια γέγονε τὰ σά. ἐπειδὴ γὰρ ὠμῶς αὐτοῖς κέχρησαι, καὶ λέγεις ὅτι τὰ ἐμὰ εἰς ἐμὴν ἀπόλαυσιν μόνον ἀναλωθῆναι δίκαιον, διὰ τοῦτο ἀλλότρια αὐτὰ λέγω. κοινὰ γάρ ἐστι σὰ καὶ τοῦ συνδούλου, ὥσπερ ἥλιος κοινὸς, καὶ ἀὴρ, καὶ γῆ, καὶ τὰ ἄλλα πάντα. καθάπερ ἐπὶ τοῦ σώματος, καὶ παντός ἐστι τοῦ σώματος, καὶ ἑνὸς ἑκάστου μέλους ἡ διακονία· ὅταν δὲ ἑνὸς μόνου μέλους γίνηται, καὶ τὴν ἰδίαν ἀπόλλυσιν ἐνέργειαν· οὕτω καὶ ἐπὶ τῶν χρημάτων συμβαίνει. καὶ ἵνα σαφέστερον ὃ λέγω γίνηται, ἡ τροφὴ τοῦ σώματος ἡ κοινὴ δεδομένη τοῖς μέλεσιν, ἐὰν εἰς ἓν ἔλθοι μέλος, κἀκείνου λοιπὸν ἀλλοτρία γίνεται. ὅταν γὰρ μὴ δυνηθῇ πεφθῆναι μηδὲ θρέψαι, ἀλλοτρία κἀκείνου γέγονεν. ἂν δὲ κοινὴ γίνηται, κἀκείνου καὶ πάντων ἐστὶν ἰδία. οὕτω καὶ ἐπὶ τῶν χρημάτων· ἂν σὺ μόνος ἀπολαύσῃς, καὶ σὺ ἀπώλεσας (οὐ γὰρ αὐτῶν καρπώσῃ τὸν μισθόν) ἂν δὲ μετὰ τῶν ἄλλων κτήσῃ, τότε μᾶλλον ἔσται σὰ, καὶ τότε καρπώσῃ τὴν ὠφέλειαν. οὐχ ὁρᾷς ὅτι χεῖρες διακονοῦνται, καὶ στόμα λεαίνει, καὶ γαστὴρ δέχεται; μὴ λέγει ἡ γαστὴρ, ἐπειδὴ ἐδεξάμην, ὀφείλω τὸ πᾶν κατέχειν; μὴ τοίνυν, μηδὲ ἐπὶ τῶν χρημάτων σὺ τοῦτο λέγε. τοῦ γὰρ δεχομένου, τὸ μεταδιδόναι. ὥσπερ οὖν κακία γαστρὸς, τὸ κατέχειν τὰ βρώματα καὶ μὴ διανέμειν (παντὶ γὰρ τῷ σώματι λυμαίνεται) οὕτω κακία τῶν πλουτούντων, τὸ κατέχειν ὅπερ ἔχουσι παρ' ἑαυτοῖς. τοῦτο γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους ἀπόλλυσιν. ὁ ὀφθαλμὸς πάλιν τὸ πᾶν δέχεται φῶς· ἀλλ' οὐ διὰ τοῦτο αὐτὸς κατέχει μόνος, ἀλλ' ὁλόκληρον φωτίζει τὸ σῶμα. οὐδὲ γὰρ ἔχει φύσιν πρὸς ἑαυτῷ κατέχειν, ἕως ἂν ὀφθαλμὸς ᾖ. αἱ ῥῖνες πάλιν αἰσθάνονται εὐωδίας· ἀλλ' οὐ κατέχουσιν αὐτὴν μόναι, ἀλλ' ἐγκεφάλῳ παραπέμπουσι, καὶ στόμαχον ἐν εὐωδίᾳ τιθέασι, καὶ ὁλόκληρον δι' αὐτῶν ἀνακτῶνται τὸν ἄνθρωπον. οἱ πόδες μόνοι βαδίζουσιν· ἀλλ' οὐχ ἑαυτοὺς μεταφέρουσι μόνον, ἀλλὰ καὶ ὅλον μετατιθέασι τὸ σῶμα. οὕτω καὶ σὺ, ὅπερ ἂν ἐγχειρισθῇς, μὴ κάτεχε μόνος, ἐπεὶ τῷ παντὶ λυμαίνῃ, καὶ σαυτῷ πρὸ τῶν ἄλλων. οὐκ ἐπὶ τῶν μελῶν δὲ μόνον ἴδοι τις ἂν τοῦτο γινόμενον. καὶ γὰρ ὁ σιδηρεοκόπος,

Ψαλ. λη. ζ.
Πραξ. ιζ. κη.
α. Κορ. ϛ. κ.

γ. οὐ
γ. φύγωμεν

σιδηρουργὸς, εἰ βουληθείη μηδενὶ μεταδοῦναι τῆς τέχνης, καὶ ἑαυτὸν καὶ τὰς λοιπὰς ἀνατρέπει τέχνας. ὁ σκυτοτόμος ὁμοίως, ὁ γεωργὸς, ὁ σιτοποιὸς, καὶ ἕκαστος τῶν ἀναγκαίων ἐπιτήδευμα μετιόντων, εἰ βουληθείη μὴ μεταδοῦναι ἑτέρῳ τῶν ἀπὸ τῆς τέχνης, οὐχὶ τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ ἑαυτὸν τοῖς ἄλλοις συναπολεῖ. καὶ τί λέγω τοὺς πλουτοῦντας; καὶ γὰρ οἱ πένητες, εἰ τὴν ὑμετέραν τῶν πλεονεκτούντων [καὶ πλουτούντων] κακίαν μετῆλθον, μάλιστα ἂν ὑμᾶς ἔβλαψαν, καὶ ταχέως ἂν ὑμᾶς ἐποίησαν πένητας, μᾶλλον δὲ καὶ ἀπώλεσαν, εἰ μὴ δεομένοις τῶν ἑαυτῶν μεταδοῦναι ἠβουλήθησαν· οἷον, ὁ γηπόνος, τῆς ἀπὸ τῶν χειρῶν ἐργασίας· ὁ ναύτης, τῆς ἀπὸ πλοῦ ἐμπορείας· ὁ στρατιώτης, τῆς ἀριστείας τῆς ἀπὸ τῶν πολέμων. ὥστε εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν αἰδέσθητε, καὶ τὴν ἐκείνων φιλοσοφοσύνην μιμήσασθε. οὐ μεταδίδως τοῦ πλούτου οὐδενί; οὐκοῦν μὴ μεταλάβῃς παρ᾽ ἑτέρου μηδενός. εἰ δὲ τοῦτο ἔσται, τὰ πάντα ἀνατραπήσεται. πανταχοῦ γὰρ τὸ διδόναι καὶ μεταλαμβάνειν, ἀρχὴ πολλῶν ἐστιν ἀγαθῶν, ἐπὶ σπερμάτων, ἐπὶ μαθητῶν, ἐπὶ τεχνῶν. ἂν γὰρ βουληθῇ τις παρ᾽ ἑαυτῷ κατέχειν τὴν τέχνην, καὶ ἑαυτὸν καὶ τὸν βίον ἀνέτρεψεν ἅπαντα. καὶ ὁ γεωργὸς, τὰ σπέρματα ἂν οἴκοι κατορύξας φυλάττοι, λιμὸν ἐργάσεται χαλεπόν· οὕτω καὶ ὁ πλούσιος, ἐὰν ἐπὶ τῶν χρημάτων τοῦτο ποιῇ, πρὸ τῶν πενήτων ἑαυτὸν ἀναιρήσει, τὴν φλόγα τῆς γεέννης χαλεπωτέραν κατὰ τῆς ἑαυτοῦ σωρεύων κεφαλῆς. ὥσπερ οὖν οἱ διδάσκαλοι, κἂν πολλοὺς ἔχωσι τοὺς μαθητὰς, ἑκάστῳ μεταδιδόασι τῆς τέχνης· οὕτω καὶ σὺ πολλοὺς κτῆσαι τοὺς εὐεργετουμένους. καὶ λεγέτωσαν ἅπαντες, ὅτι τὸν δεῖνα ἀπήλλαξε πενίας, καὶ τὸν δεῖνα κινδύνων· καὶ ὁ δεῖνα ἂν ἀπώλετο, εἰ μὴ μετὰ τὴν χάριν τοῦ Θεοῦ τῆς σῆς ἀπήλαυσε προστασίας· καὶ ὅτι τῷ δεῖνι τὴν νόσον ἔλυσας, ἕτερον συκοφαντίας ἀπήλλαξας, ἄλλον ξένον ὄντα συνήγαγες, ἄλλον γυμνὸν ὄντα περιέβαλες. μυρίου πλούτου καὶ πολλῶν θησαυρῶν βελτίω τὰ ῥήματα· ἐπιστρέφει πάντας μᾶλλον τῶν ἱματίων τῶν χρυσῶν, καὶ τῶν ἵππων, καὶ τῶν ἀνδραπόδων. ἐκεῖνα μὲν γὰρ καὶ φορτικὸν ποιεῖ φαίνεσθαι, καὶ ὡς κοινὸν ἐχθρὸν μισεῖσθαι· ταῦτα δὲ ὡς πατέρα κοινὸν καὶ εὐεργέτην ἀνακηρύττει· καὶ ὃ πάντων μέγιστόν ἐστιν, ἡ παρὰ τοῦ Θεοῦ εὔνοια ἁπανταχοῦ σοι τῶν πράξεων ἕπεται. λεγέτω τοίνυν ὁ δεῖνα, ὅτι ἐμοῦ τὴν θυγατέρα συνεξέδωκεν· ἕτερος, ἐμοὶ δὲ τὸν υἱὸν εἰς ἄνδρας ἐμφανῆναι παρεσκεύασε· καὶ ἄλλος, ὅτι τὴν συμφορὰν ἔλυσε· καὶ ἕτερος, ὅτι τῶν κινδύνων ἀπήλλαξε. ταῦτα στεφάνων χρυσῶν βελτίω τὰ ῥήματα, μυρίους κήρυκας ἐν τῇ πόλει τῆς οἰκείας φιλανθρωπίας ἔχειν. αὗται αἱ φωναὶ τῆς φωνῆς τῶν κηρύκων τῶν πρὸ τῶν ἀρχόντων βαδιζόντων ἡδίους πολλῷ καὶ γλυκύτεραι, τὸν σωτῆρα, τὸν εὐεργέτην, τὸν προστάτην, τὰ τοῦ Θεοῦ καλεῖσθαι ὀνόματα, ἀλλὰ μὴ πλεονέκτην καὶ ἀλαζόνα καὶ ἀκόρεστον καὶ σμικρολόγον. μὴ, παρακαλῶ, μηδενὸς τούτων ἐπιθυμήσωμεν τῶν ῥημάτων, ἀλλὰ τῶν ἐναντίων. εἰ γὰρ ἐπὶ γῆς ταῦτα λεγόμενα λαμπρὸν οὕτω ποιεῖ καὶ περιφανῆ, ὅταν ἐν οὐρανῷ ταῦτα γράφηται, καὶ ὁ Θεὸς ταῦτα κατὰ τὴν ἡμέραν ἀνακηρύττῃ τὴν μέλλουσαν, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς περιφανείας, ὅσης τῆς λαμπρότητος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

ἄλ. φορτικὸν

ἄλ. ἄνδρα ἐμφαίνουσι

Λογ. ια. 3 ΕΜΟΙ ΔΕ ΕΙΣ ΕΛΑΧΙΣΤΟΝ ΕΣΤΙΝ, ΙΝΑ ΥΦ᾽ ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ᾽ οὐδὲ ἐμαυτὸν ἀνακρίνω.
4 Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστι.

Μετὰ τῶν ἄλλων κακῶν οὐκ οἶδα πῶς ἐπεισῆλθε τῇ τῶν ἀνθρώπων
φύσει τὸ τῆς περιεργίας, καὶ τὸ τῆς πολυπραγμοσύνης τῆς ἀκαίρου
νόσημα· ὃ καὶ ὁ Χριστὸς ἐκόλασεν εἰπών, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε·
Ματθ. ζ. α. ὅπερ ἡδονὴν μὲν οὐδεμίαν ἔχει, καθάπερ καὶ τὰ λοιπὰ τῶν ἁμαρτη-
μάτων, κόλασιν δὲ μόνον καὶ τιμωρίαν. καὶ γὰρ μυρίων αὐτοὶ γέμοντες κα-
κῶν * καὶ τὰς δοκοὺς ἐπὶ τῶν ὀμμάτων φέροντες, τῶν " ἁμαρτημάτων τοῦ * τῶν ἁμαρτημάτων χ. ἐλαττωμάτων
πλησίον καρφοὺς οὐδὲν διαφερόντων ἀκριβεῖς γινόμεθα ἐξεταστάς· ὥσπερ καὶ ἐν τῇ Κο-
ρίνθῳ τοῦτο συνέβαινεν. ἄνδρας γὰρ εὐλαβεῖς καὶ θεοφίλους διὰ τὴν ἀμαθίαν ἐκωμῴδουν
καὶ ἐξέβαλον, τοὺς δὲ μυρίων γέμοντας κακῶν ἐνέκρινον διὰ τὴν εὐγλωττίαν. εἶτα, κα-
θάπερ δικασταὶ προκαθήμενοι, τοιαῦτα μετὰ προπετείας ἐψηφίζοντο, ὁ δεῖνα ἄξιος, ὁ
δεῖνα τοῦ δεῖνος ἀμείνων· καὶ οὗτος ἐκείνου καταδεέστερος, κἀκεῖνος τούτου βελτίων· καὶ ἀφέν- χ. αὐτ
τες τὰ ἑαυτῶν πενθεῖν κακά, ἑτέροις ἐγίνοντο δικασταί, καὶ ταύτῃ πολέμους ἀνῆπτον πάνυ χα-
λεπούς. ὁ Παῦλος οὖν ἀναιρῶν τοῦτο τὸ νόσημα, ὅρα πῶς αὐτοὺς διορθοῦται συνετῶς. ἐπειδὴ
γὰρ εἶπεν, ὃ δὲ λοιπόν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ, καὶ ἐδόκει πάροδον αὐ-
τοῖς διδόναι τοῦ κρίνειν καὶ ἐξετάζειν τὸν ἑκάστου βίον, τοῦτο δὲ τὴν στάσιν ἐπέτεινεν· ἵνα μὴ τοῦ-
το πάθωσιν, ἀπήγαγεν αὐτοὺς τῆς τοιαύτης ἐργασίας, λέγων· ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα
ὑφ' ὑμῶν ἀνακριθῶ, πάλιν ἐπὶ τοῦ οἰκείου προσώπου τὸν λόγον " προάγων. τί δέ ἐστιν, ἐ- χ. ἄγων
μοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας; ἀνάξιον ἐ-
μαυτὸν κρίνω, φησί, τοῦ παρ' ὑμῶν κρίνεσθαι. καὶ τί λέγω παρ' ὑμῶν; καὶ τὸ παρ' οὑτινοσοῦν
ἑτέρου. ἀλλὰ μηδεὶς ἀπόνοιαν καταγινωσκέτω τοῦ Παύλου, εἰ μηδένα τῶν ἀνθρώπων
ἄξιον εἶναι λέγει τοῦ φέρειν τὴν περὶ αὐτοῦ ψῆφον. πρῶτον μὲν γὰρ οὐ δι' ἑαυτὸν ταῦτά φησιν,
ἀλλ' ἑτέρους ἐξαρπάσαι βουλόμενος τῆς παρ' ἐκείνων ἀπεχθείας. ἔπειτα δὲ οὐδὲ μέχρι
Κορινθίων τὸ πρᾶγμα ἔστησεν, ἀλλὰ καὶ ἑαυτὸν τῆς κρίσεως ταύτης ἐξέβαλε, μείζονα εἶναι τῆς
αὐτοῦ γνώμης λέγων τὰ τοιαῦτα ψηφίζεσθαι. ἐπήγαγε γοῦν, οὐδὲ ἐμαυτὸν ἀνακρίνω.
πρὸς δὲ τοῖς εἰρημένοις καὶ τὴν ὑπόθεσιν ἐξετάσαι χρή, δι' ἣν ταῦτα ἐλέγετο. οἶδε γὰρ
πολλαχοῦ καὶ μεγαλοφρόνως φθέγγεσθαι. τοῦτο δὲ οὐκ ἔστι τύφου, οὐδὲ ἀπονοίας, ἀλλ' οἰ-
κονομίας ἀρίστης· ἐπεὶ καὶ νῦν οὐκ αὐτὸς ἐπαιρόμενος, ἀλλ' ἑτέρους καταστέλλων, ταῦτα " φη- χ. λέγει
σι, καὶ ἀξίωμα σπεύδων περιθεῖναι τοῖς ἁγίοις. ὅτι γὰρ τῶν σφόδρα ταπεινῶν ἦν, ἄκουσον τί
β. Κορ. ι. ι. φησι, τὴν τῶν ἐχθρῶν μαρτυρίαν εἰς μέσον περὶ τούτου φέρων. ὅτι ἡ μὲν παρουσία τοῦ σώ-
α. Κορ. ιε. η. ματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος. καὶ πάλιν, ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκ-
τρώματι ὤφθη κἀμοί. ἀλλ' ὅμως ὁ ταπεινὸς οὗτος, καιροῦ καλοῦντος, σκόπει πῶς τὰ φρο-
νήματα τῶν μαθητῶν ἐπῆρεν, οὐχὶ τῦφον διδάσκων, ἀλλὰ φρόνημα ὑγιὲς ἐμποιῶν. αὐτοῖς
α. Κορ. ϛ. β. γὰρ τούτοις διαλεγόμενος ἔλεγε· Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρί-
ων ἐλαχίστων. ὥσπερ γὰρ ἀλαζονείας εἶναι πόρρω χρὴ τὸν χριστιανόν, οὕτω καὶ κολακείας
καὶ ἀγεννοῦς φρονήματος. οὐδὲ γὰρ εἰ " λέγει τις, ὅτι τὰ χρήματα οὐδὲν ἡγοῦμαι εἶναι, ἀλ- χ. λέγη
λὰ τὰ παρόντα ἅπαντα σκιά μοι καὶ ὄναρ καὶ παίδων ἀθύρματα, ἀλαζονείας αὐτὸν γραψό-
μεθα· ἐπεὶ καὶ τὸν Σολομῶντα οὕτως εἰς ἀλαζονείαν διαβαλοῦμεν περὶ τούτων φιλοσο-
Εκκλησ. α. β. φοῦντα καὶ λέγοντα, Ματαιότης ματαιοτήτων, καὶ τὰ πάντα ματαιότης. ἀλλὰ μὴ γένοιτο τῷ
τῆς ἀλαζονείας ὀνόματι τὴν φιλοσοφίαν καλεῖν. ἄρα οὐκ ἀπόνοια τὸ καταφρονεῖν τούτων,
ἀλλὰ μεγαλοψυχία, καίτοιγε βασιλεῖς, καὶ ἄρχοντας, καὶ δυνάστας ὁρῶμεν αὐτῶν ἀντεχο-
μένους· ἀλλ' ὁ πτωχὸς φιλοσοφῶν πολλάκις αὐτῶν ὑπερορᾷ. καὶ οὐ διὰ τοῦτο ἀλαζόνα, ἀλ-
λὰ μεγαλόφρονα αὐτὸν εἶναι φήσομεν· ὥσπερ οὖν οὐδὲ τὸν σφόδρα ἀντεχόμενον αὐτῶν, τα-
πεινόφρονα καὶ μέτριον, ἀλλ' ἀσθενῆ καὶ μικρόψυχον καὶ ἀνελεύθερον. καὶ γὰρ εἴ τις υἱὸς
τῶν

τὴν μὲν τῷ πατρὶ προσηκόντων καταφρόνει, τὰ δὲ δουλικὰ ἐθαύμαζεν, οὐχ ὡς ταπεινόφρονα αὐτὸν ἐπῃνέσαμεν ἄν, ἀλλ' ὡς ἀγεννῆ καὶ δουλικὸν ἐκακίζομεν· ἐθαυμάσαμεν δ' ἂν καταφρονοῦντα ἐκείνων, καὶ τὴν πατρικὴν πολλὴν ποιούμενον λόγον. ἀπονοίας γάρ ἐστι, τὸ τῶν ὁμοδούλων ἑαυτὸν νομίζειν εἶναι βελτίω· τὸ μέντοι τὴν οὐσαν περὶ τῶν πραγμάτων φέρειν ψῆφον, οὐχὶ ἀλαζονείας, ἀλλὰ φιλοσοφίας ἐστί. διὰ τοῦτο καὶ ὁ Παῦλος οὐχ ἑαυτὸν ἐπαίρων, ἀλλ' ἑτέρους ταπεινῶν, καὶ ἐξωγκωμένους καταστέλλων καὶ πείθων μετριάζειν, ἔλεγεν· ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας. ὁρᾷς πῶς κἀκείνους ἐθεράπευσεν; ὁ γὰρ ἀκούσας, ὅτι πάντων ὁμοίως καταφρονεῖ, καὶ ὑπ' οὐδενὸς ἀξιοῖ κρίνεσθαι, οὐκέτι λοιπὸν ἀλγήσει, ὡς μόνος αὐτὸς ἐκβεβλημένος. εἰ γὰρ εἶπεν, ὑφ' ὑμῶν μόνον, καὶ ἐσίγησεν, ἱκανῶς αὐτοὺς τοῦτο δάκνειν ὡς καταφρονηθέντας ἦν· νυνὶ δὲ τῷ ἐπαγαγεῖν, οὐδὲ ἀνθρωπίνης ἡμέρας, παραμυθίαν ἐκόμισε τῇ πληγῇ, κοινωνοὺς αὐτοῖς δοὺς τῆς καταφρονήσεως. ἀλλὰ καὶ αὐτὸς τοῦτο θεραπεύει πάλιν εἰπών, ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. ὅρα πῶς οὐκ ἔστιν ἀπονοίας τὸ εἰρημένον. οὐδὲ γὰρ ἑαυτὸν ἀρκεῖν φησι πρὸς τὴν τοιαύτην ἀκρίβειαν. εἶτα, ἐπειδὴ καὶ τοῦτο σφόδρα ἐπαιρομένου ἐδόκει εἶναι τὸ ῥῆμα, καὶ αὐτὸ διορθώσατο, εἰπών, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. τί οὖν, οὐ χρὴ δικάζειν ἑαυτοῖς, καὶ τοῖς ἁμαρτήμασι; καὶ σφόδρα μὲν οὖν χρὴ τοῦτο ποιεῖν, ὅταν ἁμαρτάνωμεν. ἀλλὰ Παῦλος τοῦτο οὐκ εἶχεν. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, φησί. ποῖον οὖν ἐμέλλε κρίνειν ἁμάρτημα, μηδὲν ἑαυτῷ συνειδώς; ὁ δὲ οὔ φησι δεδικαιῶσθαι. ἡμεῖς οὖν μυρίων τραυμάτων τὸ συνειδὸς ἐμπεπλησμένον ἔχοντες, καὶ μηδὲν συνειδότες ἑαυτοῖς ἀγαθόν, ἀλλὰ πᾶν τοὐναντίον, τί ἂν εἴποιμεν; καὶ τί δήποτε, εἰ μηδὲν ἑαυτῷ σύνοιδεν, οὐ δεδικαίωται; ὅτι συνέβαινεν ἡμαρτῆσθαι μέν αὐτῷ τινα ἁμαρτήματα, μὴ μὴν αὐτὸν εἰδέναι ταῦτα ἁμαρτήματα. ἐντεῦθεν λογίζου πόση τῆς μελλούσης κρίσεως ἡ ἀκρίβεια. οὐ τοίνυν ὡς ἄληπτον ἑαυτὸν νομίζων, οὕτως ἀνάξιον ἑαυτὸν εἶναι τὸ κρίνεσθαι παρ' ἐκείνων φησίν, ἀλλ' ἐπιστομίζων τοὺς ἀλόγως ταῦτα ποιοῦντας. ἑτέρωθι γοῦν οὐδὲ φανερῶν ὄντων τῶν ἁμαρτημάτων, ἐπιτρέπει κρίνειν ἑτέροις, ἐπειδὴ ὁ καιρὸς τοῦτο ἀπῄτει. τί γὰρ κρίνεις τὸν ἀδελφόν σου, φησίν; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; οὐ γὰρ τοῦτο ἐπετάγης, ἄνθρωπε, κρίνειν ἑτέρους, ἀλλὰ τὰ σαυτοῦ δοκιμάζειν. τί τοίνυν τοῦ δεσπότου τὴν τάξιν ἁρπάζεις; ἐκείνου τὸ κρίνειν ἐστίν, οὐχὶ σόν. διὸ καὶ ἐπήγαγεν·

5 Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

Τί οὖν, οὐ χρὴ τοὺς διδασκάλους τοῦτο ποιεῖν; χρὴ μὲν ἐπὶ τῶν φανερῶν ἁμαρτημάτων καὶ ὡμολογημένων, καὶ τοῦτο μετὰ τοῦ προσήκοντος καιροῦ, καὶ τότε δὲ ἀλγοῦντας καὶ δακρυομένους· οὐχ ὡς οὗτοι τότε ἐποίουν, ἀπὸ κενοδοξίας καὶ ἀπονοίας. καὶ γὰρ καὶ ἐνταῦθα οὐ περὶ τῶν ὡμολογημένων ἁμαρτημάτων φησίν, ἀλλὰ περὶ τοῦ τὸν δεῖνα τοῦ δεῖνος προτιθέναι, καὶ συγκρίσεις ποιεῖσθαι βίων. ταῦτα γὰρ αὐτὸς μόνος οἶδε κρίνειν μετὰ ἀκριβείας ὁ μέλλων ἡμῶν τὰ ἀπόρρητα κρίνειν, ποῖα μὲν μείζονος, ποῖα δὲ ἐλάττονος κολάσεώς ἐστιν ἄξια καὶ τιμῆς. ἡμεῖς δὲ κατὰ τὸ πρόσωπον ταῦτα ψηφιζόμεθα. εἰ γὰρ ἐν οἷς αὐτὸς ἥμαρτον, φησίν, οὐδὲν οἶδα σαφῶς, πῶς ἄξιος ἂν εἴην ὑπὲρ ἑτέρων φέρειν ψῆφον; πῶς δέ, ὁ τὰ ἐμαυτοῦ μετὰ ἀκριβείας μὴ ἐπιστάμενος, τὰ ἄλλων δυνήσομαι κρίνειν; εἰ δὲ Παῦλος τοῦτο ἔπασχε, πολλῷ μᾶλλον ἡμεῖς. καὶ γὰρ ταῦτα ἔλεγεν, οὐχ ἵνα δείξῃ ἑαυτὸν ἄληπτον, ἀλλ' ἵνα δείξῃ, ὅτι εἰ καὶ τοιοῦτος εἴη τις παρ' αὐτοῖς μηδὲν ἡμαρτηκώς, οὐδὲ οὕτως ἄξιος ἂν εἴη τοὺς ἑτέρων κρίνειν βίους· καὶ ὅτι εἰ οὗτος ὁ μηδὲν ἑαυτῷ συνειδὼς ὑπεύθυνος εἶναί φησι, πολλῷ μᾶλλον ἐκεῖνοι τὰ μυρία ἑαυτοῖς συνειδότες. οὕτω τοίνυν ἐπιστομίσας τοὺς τὰς τοιαύτας ποιουμένους κρίσεις, ὠδίνει λοιπὸν ἀπορρῆξαι τὸν θυμὸν ἐπὶ τὸν πεπορνευκότα ἐλθεῖν. καὶ καθάπερ χειμερίου ἐπιόντος νέφη τινὰ ζοφώδη περιτρέχει,

προτρέχει, εἶτα ἐπειδὰν ὁ τῶν βροντῶν πάταγος γένηται καὶ τὸν οὐρανὸν ἐργάσηται νέφος ἕν, τότε ἀθρόον ἐπὶ τὴν γῆν καταρρήγνυται ὑετός· οὕτω καὶ τότε συνέβαινε. καὶ γὰρ ἔχων μετὰ πολλῆς ἀγανακτήσεως χρήσασθαι τῷ πεπορνευκότι, φοβεροῖς ῥήμασι καταστέλλει πρότερον τὸ φύσημα τοῦ ἀνδρός. ἐπειδὴ καὶ διπλοῦν ἁμάρτημα ἦν τὸ συμβάν, πορνεία, καὶ πορνείας χεῖρον, τὸ μὴ πενθεῖν ὑπὲρ τοῦ πλημμεληθέντος. οὐ γὰρ οὕτω τὸν ἡμαρτηκότα πενθεῖ, ὡς τὸν ἡμαρτηκότα καὶ μὴ μετανοοῦντα. Πενθήσω γὰρ πολλούς, φησιν, οὐχὶ τῶν

2 Κορ. ιβ. κα. προημαρτηκότων ἁπλῶς, ἀλλὰ τῶν μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. ὁ γὰρ μετὰ τὸ ἁμαρτεῖν μετανοίᾳ κεχρημένος, οὐ πένθους, ἀλλὰ μακαρισμῶν ἐστιν ἄξιος, ἐπὶ τὸν τῶν δικαίων χορὸν μεταστάς. λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρότερος, ἵνα δικαιωθῇς. εἰ δὲ μετὰ τὸ ἁμαρτεῖν ἀναισχυντεῖ, οὐχ οὕτως ἐπὶ τῷ πεσεῖν ἐστιν ἐλεεινός, ὡς ἐπὶ τῷ κεῖσθαι πεσών. εἰ δὲ τὸ μὴ μετανοεῖν ἐπὶ ἁμαρτήμασι, χαλεπόν, τὸ καὶ πεφυσιῶσθαι ἐπὶ τοῖς ἁμαρτήμασι, ποίας κολάσεώς ἐστιν ἄξιον; εἰ γὰρ ὁ ἐπὶ τοῖς κατορθώμασιν ἐπαιρόμενος, ἀκάθαρτός ἐστιν, ὁ ἐπὶ ἁμαρτήμασι τοῦτο πάσχων, ποίας τεύξεται συγγνώμης; ἐπεὶ οὖν τοιοῦτος ἦν ὁ πεπορνευκώς, καὶ τὴν ψυχὴν οὕτως ἰταμὴν καὶ δυσένδοτον εἰργάσατο διὰ τῆς ἁμαρτίας, ἀναγκαίως αὐτοῦ προκαταβάλλει τὸν τῦφον. καὶ οὔτε πρότερον τίθησι τὸ ἔγκλημα, ὥστε μὴ ἀπαναισχυντῆσαι αὐτόν, ὡς περὶ τῶν ἄλλων ἐγκαλούμενον· οὔτε δὲ ὕστερον, ὥστε αὐτὸν μὴ νομίσαι πάρεργον εἶναι τὸ κατ' αὐτόν· ἀλλὰ πρότερον πολὺν αὐτῷ φόβον ἐνθεὶς ἐκ τῆς πρὸς ἑτέρους παρρησίας, τότε ἐπ' αὐτὸν χωρεῖ, ἐν τῇ πρὸς ἑτέρους ἐπιτιμήσει προκατασείων αὐτοῦ τὴν ἀπόνοιαν. αὐτὰ γὰρ ταῦτα τὰ ῥήματα τό, οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· καὶ τό, ὁ κρίνων με, Κύριός ἐστιν, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, οὐχ ὡς ἔτυχε κἀκείνου, καὶ τῶν ἐκείνῳ μὲν συγκροτούντων, τοὺς δὲ ἁγίους ἐξουθενούντων, καθάπτεται. τί γάρ φησιν; εἰ ἔξωθεν ἐνάρετοι φαίνονταί τινες καὶ θαυμαστοί, οὐ τῶν ἔξωθεν κριτής ἐστιν ἐκεῖνος ὁ δικαστής, ἀλλὰ καὶ τὰ ἀπόρρητα εἰς μέσον ἄγει.

ΗΘΙΚΟΝ Δύο τοίνυν ἕνεκεν, μᾶλλον δὲ καὶ τριῶν, οὐκ ἔστιν ἡμῶν ἡ κρίσις ἀκριβής· ἑνὸς μέν, ὅτι κἂν μηδὲν ὦμεν ἑαυτοῖς συνειδότες, ὅμως δεόμεθα τοῦ τὰ ἁμαρτήματα ἡμῶν ἐλέγχοντος μετὰ ἀκριβείας· ἑτέρου δέ, ὅτι τὰ πλείονα τῶν γινομένων ἡμᾶς λανθάνει καὶ κρύπτεται· καὶ τρίτου πρὸς τούτοις, ὅτι πολλὰ τῶν γινομένων παρ' ἑτέρων δοκεῖ μὲν ἡμῖν καλά, οὐκ ἀπὸ ὀρθῆς δὲ γίνεται γνώμης. τί τοίνυν φατέ, ὅτι οὐδὲν ἡμάρτηται τῷ δεῖνι, καὶ τῷ δεῖνι; καὶ ὁ δεῖνα τοῦ δεῖνος βελτίων; τοῦτο γὰρ οὐκ ἔστιν ἀποφήνασθαι, οὐδὲ περὶ τοῦ μηδὲν ἑαυτῷ συνειδότος. ὁ γὰρ τὰ ἀπόρρητα κρίνων, ἐκεῖνός ἐστιν ὁ μετὰ ἀκριβείας δικάζων. ἰδοὺ γοῦν, οὐδὲν ἐγώ τι ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐδὲ οὕτω δεδικαίωμαι, τουτέστιν, οὐκ ἀπήλλαγμαι τῶν εὐθυνῶν, οὐδὲ τῶν ἐγκλημάτων. οὐ γὰρ τοῦτό φησιν, ὅτι οὐκ ἐν τοῖς δικαίοις τέταγμαι, ἀλλ' ὅτι οὐκ εἰμὶ καθαρὸς ἀπὸ ἁμαρτίας. καὶ γὰρ ἀλλαχοῦ φησιν· ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, τουτέστιν, ἀπήλλακται. πολλὰ δὲ καὶ πράττομεν ἀγαθὰ μέν, οὐκ ἀπὸ ὀρθῆς δὲ γνώμης. καὶ γὰρ ἐπαινοῦμεν πολλούς, οὐκ ἐκείνους ποιῆσαι λαμπροὺς βουλόμενοι, ἀλλ' ἑτέρους δι' ἐκείνων δάκνειν. καὶ τὸ μὲν γινόμενον, καλὸν (ἐπαινεῖται γὰρ ὁ κατορθῶν) ἡ δὲ διάνοια διεφθαρμένη. ἀπὸ σατανικῆς γὰρ γίνεται γνώμης. οὐ γὰρ τῷ ἀδελφῷ συγχαίρων, ἀλλὰ τὸν ἕτερον βαλεῖν ἐπιθυμῶν, τοῦτο πολλάκις πεποίηκέ τις. πάλιν, ἥμαρτέ τις ἁμαρτίαν μεγάλην· ἕτερός τις αὐτὸν ὑποσκελίσαι βουλόμενος, οὐδέν φησιν εἰργάσθαι, καὶ παραμυθεῖται δῆθεν αὐτὸν ἁμαρτάνοντα ἐπὶ τὸ κοινὸν τῆς φύσεως καταφεύγων. ἀλλ' οὐ συγγνῶναι πολλάκις, ἀλλὰ ῥαθυμότερον ἐργάσασθαι βουλόμενος, τοῦτο ποιεῖ. πάλιν ἐπιπλήττει πολλάκις, οὐχ ὥστε ἐλέγξαι καὶ νουθετῆσαι, ἀλλ' ὥστε ἐκπομπεῦσαι καὶ ἐκτραγῳδῆσαι

γνωρίσαι τῷ πλησίον τὴν ἁμαρτίαν. τὰς δὲ βουλὰς αὐτὰς ἄνθρωποι μὲν οὐκ ἴσασιν, ὁ δὲ τὰς καρδίας ἐρευνῶν, ἀκριβῶς ἐπίσταται, καὶ εἰς μέσον ἄξει πάντα τότε ἐκεῖνα. διὸ καὶ ἔλεγεν· ὃς φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. ὅταν οὖν καὶ ἐν τῷ μηδὲν ἑαυτοῖς συνειδέναι μὴ δυνώμεθα ἐγκλημάτων εἶναι καθαροὶ, καὶ ἐν οἷς ἀγαθόν τι πράττομεν, οὐκ ἀπὸ ὀρθῆς γνώμης πράττοντες τιμωρείας ὦμεν ὑπεύθυνοι, ἐννόησον πόση παρὰ ἀνθρώποις ἀπάτη περὶ τὰς κρίσεις. πάντα γὰρ ταῦτα ἀνθρώποις μὲν οὐκ ἔστιν ἐφικτὰ, τῷ δὲ ἀκοιμήτῳ μόνῳ ὀφθαλμῷ. κἂν ἀνθρώπους ἀπατήσωμεν, ἐκεῖνον οὐδέποτε παραλογισόμεθα. μὴ τοίνυν λέγε, σκότος κύκλῳ μου καὶ τοῖχοι· τίς με ὁρᾷ; ὁ γὰρ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, αὐτὸς πάντα ἐπίσταται· ὅτι σκότος οὐ σκοτισθήσεται παρ' αὐτῷ. καλῶς δὲ φησὶν ὁ ἁμαρτάνων, ὅτι σκότος κύκλῳ μου καὶ τοῖχοι. εἰ μὴ γὰρ σκότος ἦν τῇ διανοίᾳ, οὐκ ἂν τὸν φόβον τοῦ Θεοῦ ἐκβαλὼν, μετὰ ἀδείας ἔπραττεν. ἂν γὰρ μὴ πρότερον σκοτισθῇ τὸ ἡγεμονικὸν, ἐπεισελθεῖν ἡ ἁμαρτία μετ' ἀδείας οὐ δύναται. μὴ τοίνυν λέγε, τίς με ὁρᾷ; ἔστι γὰρ ὁ διϊκνούμενος μέχρι ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν. ἀλλὰ σὺ "αὐτὸν οὐχ ὁρᾷς, οὐδὲ διατέμνειν δύνασαι τὸ νέφος· ἀλλ' ὥσπερ τειχίον πάντοθεν ἔχων περικείμενον, οὕτως ἀναβλέψαι πρὸς τὸν οὐρανὸν οὐκ ἔχεις. ποίαν γὰρ βούλει πρότερον ἁμαρτίαν ἐξετάσωμεν, καὶ ὄψει οὕτω γινομένην αὐτήν. καθάπερ γὰρ λῃσταὶ καὶ τοιχωρύχοι, ἐπειδὰν τι τῶν τιμίων λαβεῖν θελήσωσι, τὸν λύχνον κατασβέσαντες τοῦτο πράττουσιν· οὕτω καὶ ἐπὶ τῶν ἁμαρτανόντων ὁ διεφθαρμένος ποιεῖ λογισμός. καὶ γὰρ καὶ ἐν ἡμῖν ἐστι φῶς τὸ λογικὸν δι' ὅλου καιόμενον. "ἂν δὲ τὸ πνεῦμα τῆς "πορνείας σφοδρῶς ἐπελθὸν μετὰ πολλῆς τῆς ῥύμης κατασβέσῃ τὴν φλόγα ἐκείνην, ἐσκότισεν εὐθέως τὴν ψυχὴν καὶ κατηγωνίσατο, καὶ πάντα ἐσύλησεν εὐθέως τὰ ἐναποκείμενα. ὅταν γὰρ ὑπὸ ἀσελγοῦς ἐπιθυμίας ἁλῷ ἡ ψυχὴ, καθάπερ νέφος καὶ ἀχλὺς τοὺς τοῦ σώματος ὀφθαλμοὺς, οὕτω τὸ τῆς διανοίας προορατικὸν προκαταλαβοῦσα ἐκείνη, οὐδένα ἀφίησιν "ἰδεῖν περαιτέρω, οὐ κρημνὸν, οὐ γέενναν, οὐ φόβον, ἀλλ' ὑπὸ τῆς ἐπιβουλῆς ἐκείνης τυραννηθεῖσα λοιπὸν, εὐκαταγώνιστος ὑπὸ τῆς ἁμαρτίας γίνεται· καὶ, καθάπερ τοῖχος ἀθυρίδωτος πρὸ τῶν ὀφθαλμῶν ἐγερθεὶς, οὐκ ἀφίησι τὴν ἀκτῖνα τῆς δικαιοσύνης ἐλλάμψαι τῇ διανοίᾳ, τῶν λογισμῶν τῶν ἀτόπων τῆς ἐπιθυμίας πάντοθεν αὐτὴν ἐπιτειχισάντων· καὶ ἁπανταχοῦ αὐτῷ τότε λοιπὸν ἡ πορνευομένη γυνὴ, πρὸ τῶν ὀφθαλμῶν, πρὸ τῆς διανοίας, πρὸ τῶν λογισμῶν ἑστῶσα ἐστὶ φαινομένη. καὶ ὥσπερ οἱ πεπηρωμένοι, κἂν ἐν σταθηρᾷ μεσημβρίᾳ ὑπ' αὐτὸ τοῦ οὐρανοῦ τὸ μέσον ἑστηκότες ὦσιν, οὐ παραδέχονται τὸ φῶς, ἐγκεκλεισμένων αὐτοῖς τῶν ὀμμάτων· οὕτω δὴ καὶ οὗτοι, κἂν μυρία πάντοθεν "αὐτοῖς ἐνηχῇ σωτήρια δόγματα, τῷ πάθει τούτῳ προκατειλημμένοι τὴν ψυχὴν, πᾶσι τοῖς τοιούτοις λόγοις ἀποφράττουσι τὴν ἀκοήν. καὶ ἴσασιν οἱ τὴν πεῖραν εἰληφότες καλῶς. ἀλλ' ὑμᾶς μὴ γένοιτο ἀπὸ τῆς πείρας αὐτῆς εἰδέναι. οὐχ αὕτη δὲ μόνον ἡ ἁμαρτία ταῦτα ποιεῖ, ἀλλὰ καὶ πᾶς ἔρως ἄτοπος. μεταθῶμεν γὰρ, εἰ δοκεῖ, τὸν λόγον ἀπὸ τῆς πορνευομένης γυναικὸς ἐπὶ τὰ χρήματα, καὶ θεασόμεθα καὶ ἐνταῦθα πυκνὸν σκότος ὂν συνεχές. ἐκεῖ μὲν γὰρ, ἅτε μιᾶς οὔσης τῆς ἐρωμένης καὶ εἰς ἕνα τόπον ἀποκεκλεισμένης, οὐχ οὕτω σφοδρὸν τὸ πάθος· ἐπὶ δὲ τῶν χρημάτων ἁπανταχοῦ φαινομένων ἐν ἀργυροκοπείοις, ἐν πανδοχείοις, ἐν χρυσοχοείοις, ἐν ταῖς τῶν πλουτούντων οἰκίαις, σφοδρὸς ὁ ἔρως γίνεται. ὅταν γὰρ παῖδας σοβοῦντας ἐπὶ τῆς ἀγορᾶς, ἵππους χρυσοφοροῦντας, ἀνθρώπους καλλωπιζομένους πολυτελέσιν ἐσθήμασιν ἴδῃ * ὁ νοσῶν, πολὺς ὁ σκότος καταχεῖται. καὶ τί δεῖ λέγειν οἰκίας, καὶ ἀργυροκοπεῖα; ἐγὼ γὰρ οἶμαι τοὺς τοιούτους, κἂν ἐπὶ τῆς γραφῆς ἴδωσι καὶ τῆς εἰκόνος τὸν πλοῦτον, ἀναπίμπλασθαι καὶ ἀγριαίνειν καὶ λυττᾶν· ὥστε πάντοθεν αὐτοῖς τὸ σκότος συνάγεται. κἂν γὰρ εἰς εἰκόνα βλέψωσι βασιλικὴν, οὐ θαυμάζουσι τῶν λίθων τὸ κάλλος, οὐδὲ τὸν χρυσὸν, οὐδὲ τὸ ἁλουργὲς ἱμάτιον,

γρ. αὐτὸν

γρ. φῶς

γρ. πορνείας

γρ. ἰδεῖν

γρ. αὐτοῖς πως

* μετ' ἐπιθυμίας

μάτιον, ἀλλὰ τήκεται. καὶ καθάπερ ὁ δύσερως ἐκεῖνος, κἂν εἰκόνα θεάσηται τῆς ἐρωμένης γυναικὸς, προσήλωται τῷ ἀψύχῳ, οὕτω καὶ οὗτος ἀψύχων ὁρῶν εἰκόνα τοῦ πλούτου, τὸ αὐτὸ πάσχει μειζόνως, ἅτε τυραννικωτέρῳ κατεχόμενος πάθει. καὶ χρὴ λοιπὸν ἢ μένειν ἐπὶ τῆς οἰκίας, ἢ ἐμβαλόντα ἐπὶ τῆς ἀγορᾶς, μυρίας λαβόντα πληγὰς ἀναχωρεῖν οἴκαδε. πολλὰ γὰρ τὰ λυποῦντα αὐτοῦ τοὺς ὀφθαλμούς. καὶ καθάπερ ἐκεῖνος οὐδὲν ἕτερον ἢ τὴν γυναῖκα ὁρᾷ, οὕτω καὶ οὗτος πένητας μὲν καὶ τὰ ἄλλα πάντα παρατρέχει, ἵνα μηδὲ παραμυθίαν λάβῃ· πρὸς δὲ τοὺς εὐπόρους ἐνατενίζει τοὺς ὀφθαλμούς, πολλὴν καὶ σφοδρὰν ἀπὸ τῆς ἐκείνων ὄψεως εἰς τὴν ἑαυτοῦ ψυχὴν εἰσάγων τὸ πῦρ. πῦρ γάρ ἐστι χαλεπῶς κατεσθίον τὸν ἐμπεσόντα. καὶ εἰ μὴ γέεννα ἠπείλητο μηδὲ κόλασις, αὐτὰ τὰ παρόντα κόλασις ἦν, τὸ διηνεκῶς βασανίζεσθαι καὶ μηδέποτε πέρας εὑρίσκειν τοῦ νοσήματος. καὶ ἤρκει καὶ ταῦτα μόνα πεῖσαι φυγεῖν τὴν ἀρρωστίαν· ἀλλ' οὐδὲν αἰσίας χεῖρον, ἢ καὶ τοῖς ἀθυμίαν φέρουσι πράγμασι καὶ κέρδος οὐδὲν προσηλῶσθαι παρασκευάζει. διὸ παρακαλῶ ἀρχόμενον ἐκκόπτειν τὸ πάθος. καθάπερ γὰρ πυρετὸς παρὰ μὲν τὴν ἀρχὴν προσβαλὼν οὐ σφόδρα φλέγει τῇ δίψῃ τοὺς κάμνοντας, ἐπιδοὺς δὲ, καὶ τὴν φλόγα ἐπάρας, ἀΐατα δίψαν παρασκευάζει λοιπόν· κἂν παράσχῃ τις αὐτοῖς ἐμφορηθῆναι τοῦ πόματος, οὐ σβέννυσιν, ἀλλ' ἐκκαίει τὴν κάμινον· οὕτω καὶ ἐπὶ τούτου συμβαίνει τοῦ πάθους. ἂν παρὰ τὴν ἀρχὴν εἰσελθὸν εἰς τὴν ψυχὴν τὴν ἡμετέραν μὴ κωλύσωμεν μηδὲ ἀποκλείσωμεν τὰς θύρας, εἰσελθὸν λοιπὸν ἀνίατον ἐργάζεται τοῖς δεξαμένοις τὸ νόσημα. καὶ γὰρ καὶ τὰ καλὰ, καὶ τὰ κακὰ, ὅταν ἐπιπλεῖον ἡμῖν ἐνδιατρίψῃ, δυνατώτερα γίνεται. καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. καὶ γὰρ φυτὸν ἄρτι μὲν ἐντεθὲν ἐπὶ τῆς γῆς, εὐκόλως ἀνασπᾶται· χρόνῳ δὲ πολλῷ ῥιζωθὲν, οὐκέτι, ἀλλὰ πολλῆς δεῖται τῆς μοχλείας· καὶ οἰκοδομὴ νεοπαγὴς μὲν οὖσα, περιτρέπεται εὐκόλως ὑπὸ τῶν ἐνοχλούντων· παγεῖσα δὲ καλῶς, πολλὰ παρέχει τοῖς καθαιρεῖν ἐπιχειροῦσι τὰ πράγματα· καὶ θηρία τόποις ἐμφιλοχωρῆσαν πολλῷ χρόνῳ δυσκόλως ἐλαύνεται. τοῖς μὲν οὖν οὐδέπω κατασχεθεῖσιν ὑπὸ τοῦ πάθους παρακαλῶ μὴ ἁλῶναι. εὐκολώτερον γὰρ φυλάξασθαι μὴ ἐμπεσεῖν, ἢ ἐμπεσόντας ἀποστῆναι. τοῖς δὲ κατασχεθεῖσι καὶ κατερραγμένοις, ἐὰν θελήσωσιν ἐπιδοῦναι ἑαυτοὺς ἰατρῷ τῷ λόγῳ, πολλὴν ἐπαγγέλλομαι σωτηρίας ἐλπίδα τῇ τοῦ Θεοῦ χάριτι. ἂν γὰρ οὗτοι παθόντες καὶ περιπεσόντες τῷ νοσήματι, καὶ ἀνενεγκόντες ἐννοήσωσι, χρηστὰς ἕξουσιν ἐλπίδας ὑπὲρ τῆς τοῦ νοσήματος ἀπαλλαγῆς. τίς οὖν περιέπεσε τῷ νοσήματι τούτῳ, καὶ ἀπηλλάγη ῥαδίως; ὁ Ζακχαῖος ἐκεῖνος. τί γὰρ τελώνου μᾶλλον φιλοχρηματώτερον γένοιτ' ἄν; ἀλλ' ἀθρόον ἐγένετο φιλόσοφος, καὶ πᾶσαν ἔσβεσε τὴν πυράν. ὁ Ματθαῖος ὁμοίως. καὶ γὰρ καὶ οὗτος τελώνης ἦν, ἐν ἁρπαγῇ διηνεκεῖ ζῶν. ἀλλὰ καὶ οὗτος ἀθρόον ἀπεδύσατο τὴν βλάβην, καὶ τὸ δίψος ἔσβεσε, καὶ πραγματείαν μετῆλθε πνευματικήν. τούτους τοίνυν καὶ σὺ καὶ αὐτὸς ἐννοῶν, μηδὲ σὺ ἀπογνῷς. ἂν γὰρ θέλῃς, ταχέως δυνήσῃ ἀνενεγκεῖν. καὶ εἰ βούλει, κατὰ τὸν ἰατρῶν νόμον καὶ τὰ πρακτέα σοι μετὰ ἀκριβείας ὑπαγορεύσομεν. δεῖ τοίνυν πρὸ τῶν ἄλλων ἁπάντων ἐκεῖνο κατορθοῦν, τὸ μὴ ἀπογινώσκειν μηδὲ ἀπελπίζειν ἑαυτῶν τὴν σωτηρίαν· μετὰ τοῦτο μὴ τὰ τῶν κατωρθωκότων παραδείγματα μόνον, ἀλλὰ καὶ τὰ τῶν ἐναπομεινάντων παθήματα ἐνορᾶν. ὥσπερ γὰρ ἐνενοήσαμεν τὸν Ζακχαῖον, καὶ τὸν Ματθαῖον, οὕτω δὴ καὶ τὸν Ἰούδαν λογίσασθαι χρὴ, καὶ τὸν Γιεζῆ, καὶ τὸν Ἄχαρ, καὶ τὸν Ἀχαάβ, καὶ τὸν Ἀνανίαν, καὶ τὴν Σάπφειραν· ἵνα δι' ἐκείνων μὲν τὴν ἀπόγνωσιν ἐκβάλλωμεν, διὰ δὲ τούτων τὴν ῥαθυμίαν ἐκκόψωμεν. μηδὲ ὑπτία γινέσθω ἡ ψυχὴ πρὸς τὴν τῶν ὑπαγορευομένων παραίνεσιν· καὶ παιδεύσωμεν ἑαυτοὺς λέγειν, ἅ ποτε τῷ

Πράξ. β. λζ. Πέτρῳ προσελθόντες ἔλεγον οἱ Ἰουδαῖοι, Τί δεῖ ποιεῖν ἵνα σωθῶμεν; καὶ ἀκουέτωσαν ἃ χρὴ ποιεῖν. τί οὖν χρὴ ποιεῖν; εἰδέναι τὴν εὐτέλειαν τῶν πραγμάτων, καὶ πῶς δραπέτης οἰκέτης καὶ ἀγνώμων ἐστὶν ὁ πλοῦτος, καὶ μυρίοις περιβάλλει κακοῖς τοὺς ἔχοντας. καὶ τὰ τοιαῦτα αὐτοῖς

συνεχῶς

χ. ἐμβάλλοντα

χ. αἴτια δίψαν

χ. πάν

συνεχῶς ἐπᾴδωμεν ῥήματα. καὶ καθάπερ ἰατροὶ τοὺς κάμνοντας ψυχρὸν αἰτοῦντας παραμυθοῦνται, περιέχειν λέγοντες, καὶ πηγὴν περιφραζόμενοι, καὶ ἄγγος, καὶ κεραμεῖον, καὶ πολλὰ τοιαῦτα (ἂν γὰρ ἀθρόον ἀνανεύσωσιν, ὑπὸ τῆς μανίας αὐτοὺς ἀγριοῦσθαι παρασκευάζουσιν) οὕτω δὴ καὶ ἡμεῖς πρὸς τοὺς φιλοχρηματοῦντας ποιῶμεν· ὅταν λέγωσιν, ὅτι πλουτῆσαι βουλόμεθα, μὴ λέγωμεν εὐθέως ὅτι κακὸν ὁ πλοῦτος, ἀλλὰ συνθώμεθα, καὶ εἴπωμεν ὅτι καὶ ἡμεῖς τοῦτο βουλόμεθα, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι, ἀλλὰ πλοῦτον ἀληθῆ, ἀλλὰ τὸν ἡδονὴν ἔχοντα ἀθάνατον, ἀλλὰ τὸν συλλεγόμενον καὶ μὴ ἑτέροις, πολλάκις δὲ καὶ ἐχθροῖς· καὶ τοὺς περὶ φιλοσοφίας λόγους εἰς μέσον ἄγωμεν, καὶ λέγωμεν, ὅτι οὐ κελεύομεν μὴ πλουτεῖν, ἀλλὰ κακῶς μὴ πλουτεῖν. ἔξεστι γὰρ πλουτεῖν, ἀλλὰ χωρὶς πλεονεξίας, χωρὶς ἁρπαγῆς καὶ βίας καὶ τοῦ παρὰ πάντων ἀκούειν κακῶς. καὶ τούτοις αὐτοὺς προλεάναντες τοῖς λόγοις, μηδέπω περὶ γεέννης διαλεγώμεθα. οὐ γὰρ ἀνέχεται ὁ κάμνων εὐθέως τῶν τοιούτων ῥημάτων. ὥσπερ ἀπὸ τῶν παρόντων ἅπαντας τοὺς περὶ τούτων ποιώμεθα λόγους, καὶ λέγωμεν· τί βούλει ἀπὸ πλεονεξίας πλουτεῖν; ἵνα ἑτέροις μὲν τὸ χρυσίον ἀπόκειται καὶ τὸ ἀργύριον, σοὶ δὲ ἀραὶ καὶ κατηγορίαι μυρίαι· καὶ ὁ ἀποστερηθεὶς ὑπὸ τῆς τῶν ἀναγκαίων δάκνηται χρείας, καὶ ὀλοφύρηται, καὶ μυρίους ἐφέλκηταί σοι κατηγόρους, καὶ τῆς ἑσπέρας καταλαβούσης περιίῃ τὴν ἀγορὰν ἐν τοῖς στενωποῖς ἐντυγχάνων πᾶσι, καὶ διαπορούμενος, καὶ οὐδὲ ὑπὲρ τῆς νυκτὸς θαρρεῖν ἔχων. πῶς γὰρ ἂν καθευδήσειε λοιπὸν, ὑπὸ τῆς γαστρὸς δακνόμενος, ἀγρυπνῶν, λιμῷ πολιορκούμενος, πάγου πολλάκις ὄντος, καὶ ὑετοῦ καταφερομένου; καὶ σὺ μὲν ἐκ βαλανείου λελουμένος ἐπανέρχῃ, μαλακοῖς θαλπόμενος ἱματίοις, γεγηθὼς καὶ χαίρων, καὶ ἐπὶ δεῖπνον ἕτοιμον τρέχων πολυτελές· ἐκεῖνος δὲ πανταχοῦ κατὰ τὴν ἀγορὰν ὑπὸ τοῦ κρυμοῦ, καὶ τοῦ λιμοῦ συνεχῶς ἐλαυνόμενος, περιέρχεται συγκεκυφὼς, καὶ χεῖρας προτείνων· καὶ οὐδὲ θαρρῶν ἀδεῶς τῷ ἐμπεπλησμένῳ καὶ ἀναπεπαυμένῳ ῥήματα προσενεγκεῖν ὑπὲρ τῆς ἀναγκαίας τροφῆς, πολλάκις δὲ καὶ ὑβρισθεὶς, ἀνεχώρησεν. ὅταν οὖν ἀνέλθῃς οἴκαδε, ὅταν ἐπὶ τῆς εὐνῆς ἀνακλιθῇς, ὅταν φῶς ᾖ περὶ τὸν οἶκον λαμπρὸν, ὅταν ἑτοίμη καὶ δαψιλὴς ἡ τράπεζα, τότε ἀναμνήσθητι τοῦ ταλαιπώρου καὶ ἀθλίου ἐκείνου, τοῦ περιιόντος κατὰ τοὺς κύνας ἐν τοῖς στενωποῖς καὶ τῷ σκότῳ καὶ τῷ πηλῷ, καίτοι πολλάκις ἐκεῖθεν ἀπιόντος οὐκ εἰς οἰκίαν, οὐδὲ πρὸς γυναῖκα, οὐδ' εἰς εὐνὴν, ἀλλ' εἰς στιβάδα χόρτου, καθάπερ τοὺς κύνας ὁρῶμεν δι' ὅλης λυττῶντας νυκτός. καὶ σὺ μὲν κἂν μικράν τινα σταγόνα κατενεχθεῖσαν ἀπὸ τῆς στέγης ἴδῃς, πάντα ἀνατρέπεις τὸν οἶκον, οἰκέτας καλῶν, πάντα κινῶν· ἐκεῖνος δὲ ἐν ῥακίοις καὶ χόρτῳ καὶ πηλῷ κείμενος, ἀπολαύει ὑπομένει τὸν κρυμόν. ποῖον οὖν θηρίον τούτοις οὐκ ἂν κατακλασθείη τοῖς πράγμασι; τίς οὕτως ὠμὸς καὶ ἀπάνθρωπος, ὡς μὴ γενέσθαι τούτοις ἡμερώτερος; ἀλλὰ γάρ εἰσί τινες, οἳ πρὸς τοσοῦτον ἀπονοίας ἥκουσιν, ὡς καὶ λέγειν ἄξια πάσχειν αὐτούς. δέον γὰρ ἐλεεῖν καὶ δακρύειν καὶ συνδιαλύειν τὰς συμφορὰς, οἱ δὲ καὶ κατηγοροῦσιν ὠμῶς καὶ ἀπανθρώπως αὐτῶν. οὓς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ἄξια πάσχουσιν, εἰπέ μοι; ὅτι τρέφεσθαι βούλονται, καὶ μὴ λιμώττειν; οὐχί, φησιν, ἀλλ' ὅτι ἀργοῦντες. σὺ δὲ οὐκ ἀργῶν ἀναπαλαίεις; τί δὲ, οὐκ ἐργασίαν πολλάκις πάσης ἀργίας χαλεπωτέραν ἐργάζῃ, ἁρπάζων, καὶ βιαζόμενος, καὶ πλεονεκτῶν; βέλτιον ἦν, εἰ καὶ σὺ ἤργεις τοιαύτην ἀργίαν. τοῦ γὰρ πλεονεκτεῖν τὸ οὕτως ἀργεῖν βέλτιον. νῦν δὲ καὶ ἀλλοτρίαις ἐπεμβαίνεις συμφοραῖς, οὐ μόνον ἀργῶν, οὐδὲ μόνον ἀργίας χαλεπωτέραν ἐργασίαν μετιὼν, ἀλλὰ καὶ κατηγορῶν τῶν δυσημερούντων. διηγώμεθα δὲ αὐτοῖς καὶ τὰς ἀλλοτρίας συμφορὰς, τὰς ὀρφανίας τὰς ἀώρους, τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, τοὺς ἐν δικαστηρίοις ἀπαγχομένους, τοὺς περὶ τὸ ζῆν δεδοικότας, τὰς χηρείας τὰς ἀδοκήτους τῶν γυναικῶν, τὰς ἀθρόας μεταβολὰς τῶν πλουτούντων, καὶ τῷ φόβῳ τούτῳ καταμαλάττωμεν αὐτῶν τὴν διάνοιαν. ἐν γὰρ τοῖς περὶ ἑτέρων διηγήμασι πείσομεν αὐτοὺς ταῦτα δεδοικέναι πάντως καὶ περὶ ἑαυτῶν. ὅταν γὰρ ἀκούσωσιν

[margin: ἴσ. -μῶον σοι αὐτῷ καὶ μή] [margin: γ. οὐδέπω] [margin: γ. κατακλιθεὶς,]

σωσιν ὅτι ὁ τοῦ δεῖνος υἱὸς, πλεονέκτου καὶ ἅρπαγος ὤν, ποῦ δεῖνος ἡ γυνὴ, τοῦ πολλὰ τυραννικὰ πεποιηκότος, μετὰ τὴν τελευτὴν τοῦ συνοικοῦντος μυρία ὑπέμεινε δεινὰ, τῶν ἀδικηθέντων καὶ τῇ γυναικὶ καὶ τοῖς παιδίοις ἐπιόντων, καὶ κοινοῦ πολέμου πάντοθεν ἠρμένου κατὰ τῆς οἰκίας τῆς ἐκείνου, κἂν πάντων ἀναισθητότερος ᾖ, καὶ αὐτὸς προσδοκήσει τὰ αὐτὰ πείσεσθαι, καὶ ὑπὲρ τῶν ἑαυτοῦ δεδοικὼς, μήποτε τὰ αὐτὰ ὑπομείνωσι, σωφρονέστερος ἔσται. πολλῶν δὲ ἡμῖν τοιούτων διηγημάτων ὁ βίος ἐμπέπλησται, καὶ οὐκ ἀπορήσομεν τῆς τοιαύτης διορθώσεως. ὅταν δὲ ταῦτα λέγωμεν, μὴ ὡς παραινοῦντες, μηδὲ ὡς συμβουλεύοντες αὐτὰ λέγωμεν, ἵνα μὴ φορτικώτερος γένηται ὁ λόγος· ἀλλ᾽ ὡς ἐν τάξει διηγήματος. καὶ ἐξ ἑτέρας ἀκολουθίας ἐπὶ τὴν τοιαύτην ἀεὶ βαδίζωμεν τὴν διάλεξιν, καὶ συνεχῶς αὐτοὺς εἰς ταῦτα ἐμβάλλωμεν τὰ διηγήματα, μηδὲν ἕτερον συγχωροῦντες λαλεῖν, ἢ ταῦτα· πῶς ἡ τοῦ δεῖνος οἰκία λαμπρὰ καὶ περιφανὴς οὖσα κατέπεσε· πῶς ἔρημός ἐστιν, ὡς εἰς ἑτέρων ἐλθεῖν χεῖρας τὰ ἐν αὐτῇ πάντα· πόσα δικαστήρια καθ᾽ ἑκάστην ἡμέραν ὑπὲρ ταύτης συνίσταται τῆς οὐσίας, πόσα πράγματα· πόσοι τῶν οἰκετῶν ἐκείνου, οἱ μὲν ἐπαιτοῦντες, οἱ δὲ τὸ δεσμωτήριον οἰκοῦντες ἀπέθανον· καὶ ταῦτα πάντα ὡς ἐλεοῦντες τοὺς ἀπελθόντα λέγωμεν, καὶ ὡς τὰ παρόντα ἐξευτελίζοντες, ἵνα καὶ τῷ φόβῳ καὶ τῷ ἐλέῳ καταμαλάξωμεν τὴν ἀπηνῆ διάνοιαν· καὶ ὅταν συσταλέντας ἴδωμεν τοῖς διηγήμασι τούτοις, τότε λοιπὸν αὐτοῖς καὶ τὸν περὶ τῆς γεέννης ἐπεισάγωμεν λόγον, μὴ ὡς τούτους φοβοῦντες, ἀλλ᾽ ὡς ἑτέρους ἐλεοῦντες· καὶ λέγωμεν, καὶ τί χρὴ λέγειν τὰ παρόντα; οὐδὲ γὰρ μέχρι τούτων ἔστηκε τὰ ἡμέτερα, ἀλλὰ χαλεπωτέρα δέξεται κόλασις τοὺς τοιούτους, καὶ ποταμοὶ πυρὸς, καὶ σκώληξ ἰοβόλος, καὶ σκότος ἀτελεύτητον, καὶ ἀθάνατοι κολάσεις. ἂν τούτοις αὐτοὺς κατεπᾴδωμεν τοῖς διηγήμασι, καὶ ἡμᾶς αὐτοὺς κἀκείνους διορθώσομεν, καὶ τῆς ἀρρωστίας ταχέως ἀπαλλαξόμεθα, καθάπερ καὶ ὁ Παῦλός φησι· Καὶ τότε ὁ ἔπαινος ἑκάστου γενήσεται ἀπὸ τοῦ Θεοῦ. ὁ μὲν γὰρ παρὰ ἀνθρώποις καὶ διαφθείρεται, καί ἐστιν ὅτε οὐκ ἀπὸ ἀγαθῆς πολλάκις γίνεται διανοίας· ὁ δὲ παρὰ τοῦ Θεοῦ, καὶ μένει διηνεκῶς, καὶ διαλάμπει σαφῶς. ὅταν γὰρ ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως, καὶ πάθους ἐκτὸς ὢν ἐπαινῇ, τότε καὶ ἀναμφισβήτητός ἐστι τῆς ἀρετῆς ἡ ἀπόδειξις. ταῦτα οὖν εἰδότες, τοιαῦτα πράττωμεν ὡς παρὰ τοῦ Θεοῦ ἐπαινεῖσθαι, καὶ τῶν μεγίστων τυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιβ. 6 ΤΑΥΤΑ ΔΕ, ΑΔΕΛΦΟΙ, ΜΕΤΕΣΧΗΜΑΤΙΣΑ εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε, τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν.

Ἕως μὲν αὐτὴν τῶν φορτικῶν ἔδει ῥημάτων, οὐκ ἀπεκάλυψε τὴν σκηνὴν, ἀλλ᾽ ὡς αὐτὸς ὢν ὁ ταῦτα ἀκούων, οὕτω διελέγετο· ἵνα τὸ ἀξίωμα τῶν ἐγκαλουμένων προσώπων τοῖς ἐγκαλοῦσιν ἀντιπίπτον, ἀπὸ τῶν ἐγκλημάτων εἰς ὀργὴν ἐξενεχθῆναι μὴ συγχωρήσῃ. ἐπειδὴ δὲ ἀνῆναι λοιπὸν ἔδει, τότε ἀπαμφιάσας αὐτὸ, καὶ τὸ προσωπεῖον ἀπάρας, ἔδειξε τὰ κρυπτόμενα πρόσωπα ἐν τῇ τοῦ Παύλου καὶ Ἀπολλῶ προσηγορίᾳ. διὸ καὶ ἔλεγε, ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ. καὶ καθάπερ ἐπὶ τῶν καμνόντων, ὅταν λακτίζῃ τὸ παιδίον τὸ ἀρρωστοῦν καὶ ἀποστρέφηται τὰ προσφερόμενα σιτία παρὰ τῶν ἰατρῶν, τὸν πατέρα ἢ τὸν παιδαγωγὸν καλέσαντες τοὺς προσεδρεύοντες, παρὰ τῶν τοῦ ἰατροῦ χειρῶν λαβόντας τὰ σιτία προσάγειν κελεύουσιν, ὥστε ἐκ τοῦ φόβου τοῦ πρὸς ἐκείνους δέξασθαι καὶ ἡσυχάσαι· οὕτω καὶ

Παῦλος

Παῦλος μέλλων ὑπὲρ ἑτέρων ἐγκαλεῖν, τῶν μὲν ὡς ἀδικουμένων, τῶν δὲ ὡς παρὰ τοῦ μέτρου τιμωμένων, αὐτὰ μὲν οὐκ ἔθηκε τὰ πρόσωπα· ἐπὶ δὲ τῆς ἑαυτοῦ προσηγορίας καὶ τῆς Ἀπολλὼ τὸν λόγον προσήγαγεν, ἵνα αἰδούμενοι τούτους δέξωνται τὴν θεραπείαν. ἐπειδὴ δὲ ἐδέξαντο, τότε λοιπὸν ἀπεκάλυψεν ὑπὲρ ὧν ταῦτα ἔλεγεν. ἦν δὲ ταῦτα οὐχ ὑπόκρισις, ἀλλὰ συγκατάβασις καὶ οἰκονομία. εἰ γὰρ εἶπε φανερῶς, ὅτι ὑμεῖς δὲ τοὺς ἄνδρας κρίνετε τοὺς ἁγίους καὶ θαυμαστούς, κἂν ἐδυσχέραναν, κἂν ἀπεπήδησαν· νῦν δὲ εἰπών, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, καὶ πάλιν, τίς δέ ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; εὐπαράδεκτον τὸν λόγον ἐποίησε. (γ. διὰ τοῦτο) διά τοι τοῦτο ἔφησεν, ὅτι ταῦτα εἰς ἐμαυτὸν μετεσχημάτισα, ἵνα ἐν ἡμῖν μάθητε, τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, δεικνὺς ὅτι εἰ ἐπ' ἐκείνων τὸν λόγον προσήγαγεν, (γ. προσήγαγεν) οὐκ ἂν ἔμαθον ὅσα μαθεῖν ἔδει, οὐδ' ἂν ἐδέξαντο τὴν διόρθωσιν, δυσχεραίνοντες πρὸς τὰ λεγόμενα. νυνὶ δὲ αἰδούμενοι τοὺς περὶ Παῦλον, ἤνεγκαν ῥᾳδίως τὴν ἐπιτίμησιν. τί δέ ἐστι τό, μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν; γέγραπται, Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ κατανοεῖς; (Ματθ. ζ. γ.) καί, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. (Ματθ. ζ. α.) εἰ γὰρ ἐσμὲν ἕν, καὶ συνδεδέμεθα ἀλλήλοις, ἐπανίστασθαι ἀλλήλοις οὐ χρή. Ὁ ταπεινῶν γὰρ ἑαυτόν, ὑψωθήσεται, φησί· καί, Ὁ θέλων εἶναι πρῶτος πάντων, γινέσθω πάντων διάκονος. (Ματθ. ιη. κδ. Μαρκ. ι. μγ.) ταῦτά ἐστιν ἃ γέγραπται.

Ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. Πάλιν τοὺς διδασκάλους ἀφεὶς, τοῖς μαθηταῖς ἐπιτιμᾷ. ἐκεῖνοι γὰρ ἦσαν οἱ τούτους ἐπαίροντες· καὶ ἄλλως δέ, οἱ ἄρχοντες οὐκ ἂν εὐκόλως ἐδέξαντο τὸν τοιοῦτον λόγον διὰ τὸ τῆς δόξης ἐπιθυμεῖν τῆς ἔξωθεν (καὶ γὰρ ἦσαν πεπηρωμένοι τὰ πάθη) οἱ δὲ αὐτοὶ μὴ καρπούμενοι τὴν δόξαν, ἀλλ' ἑτέροις αὐτὴν παρέχοντες, καὶ εὐκολώτεροι ἂν ἤνεγκαν τὴν νουθεσίαν, καὶ κυριώτεροι τῶν ἀρχόντων ἦσαν πρὸς τὸ λῦσαι τὸ νόσημα. ἀρὰ καὶ τοῦτο φυσιώσεως, τὸ ὑπὲρ ἑτέρου ἐπαίρεσθαι, κἂν μὴ ἐπὶ τοῖς αὐτοῦ τις τοῦτο πάσχῃ. ὥσπερ γὰρ ὁ ἐπὶ πλούτῳ μέγα φρονῶν ἀλλοτρίῳ, ἐξ ἀπονοίας αὐτὸ ποιεῖ· οὕτω καὶ ὁ ἐπὶ τῇ δόξῃ τοῦ ἑτέρου. καὶ καλῶς φυσίωσιν ἐκάλεσεν. ὅταν γὰρ ἐπανιστᾷ τὸ μέλος τὸ ἕν, οὐδὲν ἕτερόν ἐστιν, ἢ φλεγμονὴ καὶ νόσημα (ἄλλως γὰρ οὐ δύναται ὑψηλότερον ἕτερον ἑτέρου μέλος, ἀλλ' ἢ ὅταν οἴδημα γένηται) οὕτω τοίνυν καὶ ἐν τῷ σώματι τῆς ἐκκλησίας ὁ φλεγμαίνων καὶ φυσιούμενος, αὐτὸς ἂν εἴη ὁ νοσῶν. οἰδεῖ γὰρ ὑπὲρ τὴν κοινὴν συμμετρίαν. τοῦτο γάρ ἐστιν οἴδημα. οὕτω καὶ ἐν τῷ σώματι γίνεται, ὅταν νόθος τις καὶ πονηρὸς ἐπιρρεύσῃ χυμός, ἀλλὰ μὴ ἡ εἰωθυῖα τροφή. οὕτω καὶ ἀλαζονεία τίκτεται, ἀλλοτρίων ἡμῖν ἐπεισερχομένων λογισμῶν. καὶ ὅρα πῶς κυρίως εἶπε, φυσιοῦσθε. τὸ γὰρ πεφυσημένον, ὄγκον ἔχει πνεύματος ἐμπεπλησμένον χυμοῦ διεφθορότος. ταῦτα δὲ λέγει, οὐ τὴν θεραπείαν ἐκκόπτων, ἀλλὰ τὴν ἐπὶ κακῷ θεραπείαν. βούλει θεραπεύειν τὸν δεῖνα; οὐ κωλύω· ἀλλὰ μὴ εἰς ἑτέρου λύπην. οὐ γὰρ ἵνα κατ' ἀλλήλων συνιστώμεθα, διδάσκαλοι ἡμῖν ἐδόθησαν, ἀλλ' ἵνα πάντες ἀλλήλοις συναπτώμεθα. καὶ γὰρ ὁ στρατηγὸς διὰ τοῦτο ἐπίκειται τῷ στρατοπέδῳ, ἵνα τοὺς κεχωρισμένους, ἓν σῶμα ἐργάσηται. εἰ δὲ μέλλοι διασπᾶν τὸ στρατόπεδον, πολεμίου μᾶλλον, ἢ στρατηγοῦ χώραν ἐπλήρωσε.

7 Τίς γάρ σε διακρίνει; τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; Λοιπὸν ἀφεὶς τοὺς ἀρχομένους, πρὸς τοὺς ἄρχοντας τρέπεται. ὃ δὲ λέγει, τοῦτό ἐστι· πόθεν δῆλον, ὅτι ἄξιος εἶ τοῦ ἐπαινεῖσθαι; κρίσις γὰρ γέγονεν; ἐξέτασις προεχώρησε; δοκιμασία; βάσανος ἀκριβής; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. εἰ δὲ καὶ ἄνθρωποι ψηφίζονται, ἀλλ' οὐκ ὀρθὴ τούτων ἡ κρίσις. θῶμεν δὲ ὅτι καὶ ἄξιος ἐπαίνων εἶ, καὶ ἔχεις ὄντως τὸ χάρισμα, καὶ οὐ διέφθαρται τῶν ἀνθρώπων ἡ κρίσις. οὐδὲ γε οὕτως ἐχρῆν μέγα φρονεῖν. οὐδὲν γὰρ οἴκοθεν ἔχεις, ἀλλὰ παρὰ τοῦ Θεοῦ λαβών. τί τοίνυν ἔχειν προσποιῇ, ὅπερ οὐκ ἔχεις; ἀλλ' ἔχεις τοῦτο σύ, καὶ ἕτεροι

μετὰ σοῦ. οὐκ οἴκοθεν λαβὼν ἔχεις, οὐχὶ τόδε, καὶ τόδε, ἀλλὰ πάντα ὅσα ἔχεις. οὐ γὰρ σὰ κατορθώματα ταῦτα, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος. κἂν τὴν πίστιν εἴπῃς, ἀπὸ τῆς κλήσεως γέγονε· κἂν τὴν ἄφεσιν εἴπῃς τῶν ἁμαρτημάτων, κἂν τὰ χαρίσματα, κἂν τὸν διδασκαλικὸν λόγον, πάντα ἐκεῖθεν ἔλαβες. τί τοίνυν ἔχεις, εἰπέ, ὅπερ οὐχὶ λαβὼν ἔχεις, ἀλλ᾽ αὐτὸς ἀπὸ σαυτοῦ κατώρθωσας; οὐκ ἂν ἔχοις εἰπεῖν. ἀλλ᾽ ἔλαβες, καὶ διὰ τοῦτο μέγα φρονεῖς; διὰ τοῦτο μὲν οὖν ἔδει συστέλλεσθαι. οὐ γὰρ σόν ἐστι τὸ δοθέν, ἀλλὰ τοῦ δεδωκότος. εἰ γὰρ ἔλαβες, ἀλλὰ παρ᾽ ἐκείνου ἔλαβες. εἰ δὲ παρ᾽ ἐκείνου ἔλαβες, οὐ σὸν ἔλαβες. εἰ δὲ οὐ σὸν ἔλαβες, τί μέγα φρονεῖς, ὡς σὸν ἔχων; διὸ καὶ ἐπήγαγεν·

Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών; Κατασκευάσας τοίνυν διὰ τῆς συνδρομῆς τὸν λόγον, δείκνυσιν ὅτι καὶ πολλῶν αὐτοῖς δεῖ, καί φησιν ὅτι μάλιστα μέν, εἰ καὶ πάντα ἐλάβετε, οὐκ ἔδει καυχᾶσθαι (οὐδὲν γὰρ ὑμέτερον) νυνὶ δὲ καὶ πολλῶν ἐστὲ ἔρημοι. καὶ ἐν ἀρχῇ μὲν τοῦτο ἤρξατο εἰπών, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, καὶ οὐδὲν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. ἐνταῦθα δὲ ἐντρεπτικῶς ποιεῖ λέγων·

8 Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε. Τουτέστιν, οὐδενὸς δεῖσθε λοιπόν, τέλειοι γεγόνατε, τὴν κορυφὴν αὐτὴν κατέχετε, οὐδενὸς ἐν χρείᾳ καθεστηκέναι νομίζετε οὔτε ἀποστόλων, οὔτε διδασκάλων. ἤδη κεκορεσμένοι ἐστέ. καὶ καλῶς τὸ ἤδη, ἀπὸ τοῦ χρόνου δείκνυς τὸ ἀπίθανον αὐτῶν, καὶ τὴν ἄλογον αὐτῶν οἴησιν. διὸ καὶ κωμῳδῶν αὐτούς, ἔλεγεν· οὕτω ταχέως πρὸς τὸ τέλος ἐφθάσατε, ὅπερ ἀδύνατον ἦν γενέσθαι διὰ τὸν καιρόν. τὰ γὰρ πλειότερα ἐν τῷ μέλλοντι μένει. τὸ δὲ ἀπὸ ὀλίγων κορεσθῆναι, ψυχῆς ἐστιν ἀσθενοῦς· τὸ ἀπὸ ὀλίγων νομίζειν πλουτεῖν, ναυτιώσης καὶ ταλαιπώρου. ἀκόρεστον γὰρ ἡ εὐλάβεια· καὶ παιδικῆς διανοίας ἐστὶν ἀπὸ τῶν πρώτων νομίζειν τὸ πᾶν εἰληφέναι, καὶ οὐδέπω οὐδὲ ἐν προοιμίοις ὄντας, ὡς τοῦ τέλους ἐπειλημμένους μέγα φρονεῖν. εἶτα καὶ διὰ τῶν ἑξῆς ἐντρέπει μᾶλλον. εἰπὼν γάρ, ἤδη κεκορεσμένοι ἐστέ, ἐπήγαγεν· Ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. Πολλῆς γέμει τῆς βαρύτητος ὁ λόγος. διὸ καὶ ἔσχατον αὐτὸν ἐπήγαγε μετὰ πολλὴν ἐπίπληξιν. οὕτω γὰρ σεμνὴ γίνεται ἡ παραίνεσις καὶ εὐπαράδεκτος, ὅταν μετὰ τὰς κατηγορίας ἐπιφέρηται τὰ ἐντρεπτικὰ ῥήματα. καὶ γὰρ τὴν ἀναίσχυντον ἱκανὰ τοῦτο ψυχὴν κατασχεῖν, καὶ πλῆξαι μειζόνως ἢ εἰς φανερὰς κατηγορίας, καὶ διορθῶσαι τὴν ἀπὸ τῆς κατηγορίας μέλλουσαν γίνεσθαι ἀλγηδόνα τε καὶ ἀναισχυντίαν. τὸ γὰρ δὴ θαυμαστὸν τῶν ἐντρεπτικῶν λόγων τοῦτο μάλιστά ἐστιν, ὅτι δύο κέκτηται τἀναντία· καὶ τομὴν βαθυτέραν δίδωσι τῆς προφανοῦς διαβολῆς, καὶ τὸν ἐλεγχόμενον παρασκευάζει χαλεπώτερον τεμνόμενον καρτερῆσαι μειζόνως. χωρὶς ἡμῶν ἐβασιλεύσατε. πολλὴ ἔμφασις ἐνταῦθα καὶ πρὸς τοὺς διδασκάλους, καὶ πρὸς τοὺς μαθητάς. καὶ τὸ ἀσυνείδητον δὲ αὐτῶν δείκνυται, καὶ τὸ σφόδρα ἀνόητον. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἐν μὲν τοῖς πόνοις φησὶν εἶναι πάντα κοινὰ καὶ ἡμῖν καὶ ὑμῖν, ἐν δὲ τοῖς ἐπάθλοις καὶ τοῖς στεφάνοις ὑμεῖς πρῶτοι. ἀλλ᾽ οὐκ ἐγκαλῶν ταῦτα λέγω. διὸ καὶ ἐπάγει, καὶ ὄφελόν γε ἐβασιλεύσατε. εἶτα ἵνα μὴ δόξῃ εἰρωνεία τις εἶναι, ἐπήγαγεν, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. καὶ γὰρ ἄν, φησι, καὶ ἡμεῖς τούτων ἐπιτύχωμεν τῶν ἀγαθῶν. εἶδες πῶς ὁμοῦ καὶ τὴν βαρύτητα, καὶ τὴν κηδεμονίαν ἐνδείκνυται, καὶ τὴν φιλόσοφον γνώμην; εἶδες πῶς καθαιρεῖ τὸν τῦφον;

9 Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους, ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους.

Πολλὴν τὴν ἔμφασιν καὶ τὴν βαρύτητα ἐνδείκνυται πάλιν τῷ εἰπεῖν ἡμᾶς. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τὸ ἀξίωμα ἐπήγαγε, σφόδρα αὐτῶν καθικνούμενος· ἡμᾶς τοὺς ἀποστόλους, τοὺς τὰ μυρία πασχόντας κακά, τοὺς σπείροντας τὸ κήρυγμα τῆς εὐσεβείας,

τοῦ ἐπὶ τὴν φιλοσοφίαν ταύτην ὑμᾶς ἀλγοῦντας. τούτους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, τουτέστιν, ὡς καταδίκους. ἐπειδὴ γὰρ εἶπεν, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν, καὶ ἐχάλασε τῷ λόγῳ τὸ σφοδρὸν, ἵνα μὴ αὖθις ἐκλύσῃ, ἀναλαμβάνει πάλιν αὐτὸ μετὰ πλείονος βαρυθυμίας, καί φησι· δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους, ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους. ὡς γὰρ ὁρῶ, φησὶ, καὶ ἐξ ὧν ὑμεῖς φατε, καὶ πάντων ἀτιμότεροι καὶ καταδικοι ἡμεῖς ἐσμεν, οἳ εἰς τὸ παθεῖν ἀεὶ κακῶς προβεβλήμεθα· ὑμεῖς δὲ ἤδη βασιλείαν, καὶ τιμὰς, καὶ τὰ ἔπαθλα φαντάζεσθε. βουλόμενος δὲ εἰς πλείονα ἀτοπίαν ἀπαγαγεῖν τὸν λόγον, καὶ δεῖξαι αὐτὸν ἀπίθανον μεθ' ὑπερβολῆς, οὐκ εἶπεν, ὅτι ἁπλῶς ἡμεῖς ἐσμεν ἔσχατοι, ἀλλ' ὁ Θεὸς ἡμᾶς ἐσχάτους ἐποίησε. καὶ οὐκ ἠρκέσθη τῷ εἰπεῖν ἐσχάτους, ἀλλὰ προσέθηκε, καὶ ἐπιθανατίους· ἵνα καὶ ὁ σφόδρα ἀνόητος συνειδῇ τῶν εἰρημένων τὸ ἀπίθανον, καὶ ὅτι ἀληθῶς οὕτως ἦν τὰ λεγόμενα, καὶ σφόδρα αὐτοὺς ἐντρέποντος. καὶ ὅρα Παύλου σύνεσιν. ἀφ' ὧν ἑαυτὸν, ἡνίκα δεῖ ἦν καιρὸς, ἐπαίρει καὶ σεμνὸν δείκνυσι καὶ μέγαν ποιεῖ, ἀπὸ τούτων ἐκείνους ἐντρέπει νῦν, καταδίκον ἑαυτὸν καλῶν. τοσοῦτόν ἐστι μετὰ τοῦ προσήκοντος καιροῦ πάντα ποιεῖν. ἐπιθανατίους δὲ ἐνταῦθα, τοὺς καταδίκους λέγει, καὶ μυρίων θανάτων ἀξίους. Ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις. Τί ἐστι, θέατρον ἐγενήθημεν τῷ κόσμῳ; οὐκ ἐν γωνίᾳ μιᾷ, οὐδὲ ἐν μικρῷ τῆς οἰκουμένης μέρει ταῦτα πάσχομεν, φησὶν, ἀλλὰ πανταχοῦ, καὶ ἐπὶ πάντων. τί δέ ἐστι, καὶ ἀγγέλοις; ἔστι μὲν ἀνθρώποις εἶναι θέατρον, μηκέτι δὲ ἀγγέλοις, ὅταν εὐτελῆ τὰ γινόμενα ᾖ. τὰ δὲ ἡμέτερα παλαίσματα τοιαῦτα, ὡς καὶ τῆς ἀγγελικῆς θεωρίας ἄξια εἶναι. ὅρα ἀφ' ὧν ἑαυτὸν ἐξευτελίζει, πῶς πάλιν μέγαν δείκνυσιν· ἀφ' ὧν δὲ ἐκεῖνοι μέγα φρονοῦσι, πῶς αὐτοὺς εὐτελεῖς ἀποφαίνει. ἐπειδὴ γὰρ τὸ μωροὺς εἶναι τοῦ φρονίμους φαίνεσθαι, καὶ τὸ ἀσθενεῖς εἶναι τοῦ ἰσχυροὺς γίνεσθαι, καὶ τὸ ἀτίμους εἶναι τοῦ ἐνδόξους καὶ περιφανεῖς εὐτελέστερον εἶναι ἐδόκει, καὶ τὰ μὲν ἐκείνοις μέλλει προσείπειν, τὰ δὲ αὐτὸς κατεδέξατο· δείκνυσιν ὅτι ταῦτα ἐκείνων ἀμείνω, εἴγε διὰ ταῦτα μὴ μόνον ἀνθρώπων, ἀλλὰ καὶ αὐτῶν τῶν ἀγγέλων τὸν δῆμον πρὸς τὴν θεωρίαν ἐπέστρεψε τὴν ἑαυτοῦ. οὐ γὰρ πρὸς ἀνθρώπους ἡμῖν ἡ πάλη μόνον, ἀλλὰ καὶ πρὸς τὰς ἀσωμάτους δυνάμεις. διὰ τοῦτο μέγα θέατρον κάθηται.

γρ. ἐπαγαγεῖν

γρ. γὰρ

10 Ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ. Πάλιν καὶ τοῦτο ἐντρεπτικῶς εἴρηκε, δεικνὺς ὅτι πρᾶγμά ἐστιν ἀδύνατον ταῦτα συμβῆναι τὰ ἐναντία, καὶ οὐκ ἔστιν ἐν τοῖς αὐτοῖς τὰ τοσοῦτον ἀλλήλων ἀπέχοντα συνελθεῖν. πῶς γὰρ ἔνι, φησὶν, ὑμᾶς μὲν φρονίμους εἶναι, ἡμᾶς δὲ μωροὺς ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν; ἐπειδὴ γὰρ ἐτύπτοντο καὶ κατεφρονοῦντο καὶ ἠτιμάζοντο καὶ οὐδὲν εἶναι ἐνομίζοντο, ἐκεῖνοι δὲ τιμῆς ἀπήλαυον, καὶ σοφοί τινες καὶ συνετοὶ παρὰ πολλοῖς ὑπωπτεύοντο, διὰ τοῦτο ταῦτά φησιν· ὅτι πῶς ἔνι τοὺς τὰ τοιαῦτα κηρύττοντας, ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύεσθαι εἶναι;

Ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί. Τουτέστιν, ἡμεῖς ἐλαυνόμεθα, διωκόμεθα· ὑμεῖς δὲ ἀδείας ἀπολαύετε, καὶ θεραπείας πολλῆς. ἀλλ' οὐκ ἀνέχεται τοῦ κηρύγματος ἡ φύσις. Ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ ἔνδοξοι. Ἐνταῦθα πρὸς τοὺς ἀνυμνοῦντας ἀποτείνεται καὶ μέγα φρονοῦντας ἐπὶ τοῖς ἔξωθεν.

11 Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, 12 Καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί·

Τουτέστιν, οὐ παλαιὰ διηγοῦμαι πράγματα, ἀλλ' ἅπερ καὶ ὁ παρὼν μοι καιρὸς μαρτυρεῖ. τῶν γὰρ ἀνθρωπείων ἡμῖν λόγος οὐδεὶς, οὐδὲ τῆς ἔξωθεν περιφανείας, ἀλλὰ πρὸς τὸν Θεὸν ἀφορῶμεν μόνον· ὃ δὴ καὶ ἡμᾶς πράττειν πανταχοῦ ἀναγκαῖον. οὐ γὰρ ἄγγελοι θεωροῦσι μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων ὁ ἀγωνοθέτης.

ἀνθρωπίνων

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἑτέρων δεώμεθα ἐπαινετῶν. τοῦτο γὰρ ἐκεῖνόν ἐστιν ὑβρίσαι, ὅταν ὡς οὐκ ἀρκοῦντα πρὸς τὸ θαυμάσαι παρατρέχοντες, ἐπὶ τοὺς συνδούλους σπεύδωμεν. καθάπερ γὰρ οἱ ἐν μικρῷ θεάτρῳ ἀγωνιζόμενοι μέγα ζητοῦσιν, ὡς οὐκ ἀρκοῦντος πρὸς ἐπίδειξιν ἐκείνου· οὕτω καὶ οἱ ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ ἀγωνιζόμενοι, εἶτα τὴν παρὰ ἀνθρώποις ζητοῦντες εὐφημίαν, τὴν μείζονα ἀφέντες, καὶ τῆς ἐλάττονος ἐφιέμενοι, μεγάλην ἑαυτοῖς ἐπισπῶνται κόλασιν. τοῦτο γοῦν ἄνω καὶ κάτω πάντα πεποίηκε, τοῦτο συνετάραξε τὴν οἰκουμένην ἅπασαν, ὅτι πρὸς ἀνθρώπους βλέποντες ἅπαντα πράττομεν, καὶ τοῖς ἀγαθοῖς οὐδὲν ἡγούμεθα τὸν Θεὸν ἔχειν θαυμαστὴν, ἀλλ' ἐπιζητοῦμεν τὴν παρὰ τοῖς ὁμοδούλοις εὐδοκίμησιν, κἂν τοῖς ἐναντίοις πάλιν αὐτοῦ καταφρονήσαντες, ἀνθρώπους δεδοίκαμεν. καίτοιγε αὐτοὶ μεθ' ἡμῶν στήσονται ἐπὶ τοῦ βήματος ἐκείνου, οὐδὲν ἡμᾶς ὠφελοῦντες· ὁ δὲ Θεός, οὗ καταφρονοῦμεν νῦν, αὐτὸς οἴσει τὴν ψῆφον ἡμῖν. ἀλλ' ὅμως, καὶ ταῦτα εἰδότες, πρὸς ἀνθρώπους ἔτι κεχήναμεν, ὅπερ ἐστὶν ἁμάρτημα πρῶτον. καὶ ἀνθρώπου μὲν ὁρῶντος, οὐκ ἄν τις ἕλοιτο πορνεύειν, ἀλλὰ κἂν μυριάκις φλέγηται τῷ κακῷ, νικᾶται τὸ πάθος ἡ τυραννὶς ὑπὸ τῆς τῶν ἀνθρώπων αἰδοῦς· τοῦ Θεοῦ δὲ ὁρῶντος, οὐχὶ μοιχεύουσιν, οὐδὲ πορνεύουσι μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ χαλεπώτερα πολλοὶ τετολμήκασι, καὶ τολμῶσι. τοῦτο οὖν μόνον οὐχ ἱκανὸν μυρίους ἄνωθεν σκηπτοὺς κατενεγκεῖν; καὶ τί λέγω μοιχείας καὶ πορνείας; τὰ γὰρ πολλῷ καὶ τούτων ἐλάττω, ἐπὶ μὲν ἀνθρώπων δεδοίκαμεν πράττοντες· Θεοῦ δὲ ὁρῶντος, οὐκέτι. διὰ δὴ τοῦτο πάντα ἐτέχθη τὰ κακά, ὅτι ἐν τοῖς οὕτω καλοῖς οὐ τὸν Θεόν, ἀλλὰ τοὺς ἀνθρώπους αἰδούμεθα. διά τοι τοῦτο καὶ τὰ ὄντως ἀγαθά, οὐ δοκοῦντα εἶναι τοιαῦτα τοῖς πολλοῖς, φεύγομεν, οὐ τὴν τῶν πραγμάτων ἐξετάζοντες φύσιν, ἀλλὰ πρὸς τὴν δόξαν τῶν πολλῶν ἀποβλέποντες. καὶ ἐπὶ τῶν κακῶν τὸ αὐτὸ τοῦτο πάσχοντες πάλιν, οὐκ ὄντα οὖν τινα ἀγαθά, καὶ καλὰ εἶναι δοκοῦντα τοῖς πολλοῖς, ὡς ἀγαθὰ ἀπὸ τῆς αὐτῆς συνηθείας διώκομεν· ὥστε ἑκατέρωθεν διαφθείρεσθαι. τάχα πολλοῖς ἀσαφέστερον εἶναι δοκεῖ τὸ λεχθέν· οὐκοῦν ἀνάγκη αὐτὸ σαφέστερον εἰπεῖν. ὅταν πορνεύωμεν (δεῖ γὰρ ἀπὸ τῶν εἰρημένων ἄρξασθαι) ἀνθρώπους φοβούμεθα μᾶλλον, ἢ τὸν Θεόν. ἐπεὶ οὖν οὕτως ἑαυτοὺς ὑπεθήκαμεν ἐκείνοις, καὶ δεσπότας ἡμῶν αὐτοὺς ἐποιησάμεθα, πολλὰ τοῖς δεσπόταις τούτοις καὶ ἄλλα δοκεῖ εἶναι κακὰ οὐκ ὄντα κακά, κἀκεῖνα φεύγομεν πάλιν ὁμοίως. οἷον τὸ ἐν πενίᾳ ζῆν πολλοῖς δοκεῖ εἶναι αἰσχρόν· καὶ φεύγομεν τὴν πενίαν, οὐκ ἐπειδὴ ἐστὶν αἰσχρόν, οὐδὲ ἐπειδὴ τοῦτο πεπείσμεθα, ἀλλ' ἐπειδὴ τοῖς δεσπόταις ἡμῶν εἶναι δοκεῖ τοῦτο αἰσχρόν, κἀκείνους δεδοίκαμεν. πάλιν, τὸ ἀτιμάζεσθαι καὶ εὐκαταφρόνητον εἶναι καὶ πάσης ἐκτὸς δυναστείας, δοκεῖ τοῖς πολλοῖς ὁμοίως εἶναι αἰσχύνης καὶ εὐτελείας πολλῆς. τοῦτο πάλιν φεύγομεν, οὐκ αὐτοῦ καταγινώσκοντες, ἀλλὰ διὰ τὴν τῶν δεσποτῶν ἡμῶν ψῆφον. πάλιν καὶ ἐκ τοῦ ἐναντίου τὴν αὐτὴν ὑπομένομεν λύμην. τὸ γὰρ πλουτεῖν, ἀγαθὸν εἶναι δοκεῖ, καὶ ὁ τῦφος, καὶ αἱ δόξαι, καὶ τὸ περίβλεπτον εἶναι. καὶ τοῦτο πάλιν διώκομεν, οὐδὲ ἐνταῦθα τὴν τῶν πραγμάτων ἐπισκεψάμενοι φύσιν, ὅτι καλή, ἀλλ' ἀπὸ τῆς δόξης τῶν δεσποτῶν ἡμῶν πεπεισμένοι. δεσπότης γὰρ ἡμῶν ὁ δῆμός ἐστι· καὶ ὁ πολὺς ὄχλος δεσπότης ὠμὸς καὶ τύραννος χαλεπός. οὐδὲ γὰρ ἐπιταγῆς αὐτῷ δεῖ πρὸς τὸ ἀκολουθῆσαι παρ' ἡμῶν, ἀλλ' ἀρκεῖ μόνον ἡμᾶς εἰδέναι τί βούλεται, καὶ χωρὶς ἐπιτάγματος εἴκομεν· τοσαύτῃ εὐνοίᾳ περὶ αὐτὸν κεχρήμεθα. καὶ ὁ μὲν Θεὸς καθ' ἑκάστην ἀπειλῶν καὶ νουθετῶν τὴν ἡμέραν, οὐκ ἀκούεται· ὁ δὲ πολὺς ὄχλος, καὶ ἄτακτος, καὶ συρφετώδης, οὐδὲ ἐπιταγῆς χρείαν ἔχει, ἀλλ' ἀρκεῖ μόνον δόξαι τισὶν ἀρέσκεται, καὶ πάντα ὑπακούομεν εὐθέως. καὶ πῶς ἄν τις τούτους, φησίν, ἀποφύγῃ τοὺς δεσπότας; εἰ μεῖζον αὐτῶν φρόνημα λάβοι, εἰ τὴν τῶν πραγμάτων ἐπισκέψαιτο φύσιν, εἰ καταγνοίη τῆς τῶν πολλῶν ψήφου, εἰ πρὸ τῶν ἄλλων ἁπάντων ἐν τοῖς ὄντως αἰσχροῖς παιδεύσει ἑαυτὸν μὴ ἀνθρώπους, ἀλλὰ τὸν ἀκοίμητον

ὀφθαλμὸν

ὀφθαλμὸν δεδοικέναι, καὶ ἐν τοῖς ἀγαθοῖς πάλιν οὐδὲ παρ' ἐκείνου στεφάνους ζητεῖν. οὕτω γὰρ οὐδὲ ἐν τοῖς ἄλλοις αὐτῶν ἀνεξόμεθα. ὁ γὰρ, ἡνίκα ἂν κατορθοῖ, μὴ ἀξίους κρίνας ἐκείνους εἰδέναι αὐτοῦ τὰ κατορθώματα, ἀλλ' ἀρκούμενος τῇ τοῦ Θεοῦ ψήφῳ, οὐδὲ ἐν τοῖς ἐναντίοις λόγον αὐτῶν ἕξει τινά. καὶ πῶς αὐτὸ τοῦτο ἔσται, φησίν; ἐννόησον τί μὲν ἄνθρωπος, τί δὲ Θεός, καὶ τίνα ἀφεὶς τίνι προσφεύγεις· καὶ ταχέως διορθώσῃ τὸ πάθος. ἄνθρωπος ὑπὸ τὴν αὐτὴν ἁμαρτίαν σοι κεῖται, καὶ τὴν κρίσιν, καὶ τὴν κόλασιν· ἄνθρωπος ματαιότητι ὡμοιώθη, καὶ κρίσιν ὀρθὴν οὐκ ἔχει, καὶ δεῖται τῆς ἄνωθεν διορθώσεως· ἄνθρωπος γῆ καὶ σποδὸς· κἂν ἐπαινέσῃ, πολλάκις ἁπλῶς ἐπαινέσεται, ἢ πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν. κἂν διαβάλῃ καὶ κατηγορήσῃ, πάλιν ἀπὸ τῆς αὐτῆς τοῦτο ἐργάσεται γνώμης. ἀλλ' οὐχ ὁ Θεὸς οὕτως· ἀλλ' ἄληπτος ἡ ψῆφος αὐτοῦ, καὶ καθαρὰ ἡ κρίσις αὐτοῦ. καὶ χρὴ διὰ ταῦτα ἀεὶ πρὸς αὐτὸν καταφεύγειν· οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλ' ὅτι καὶ αὐτὸς ἐποίησε, καὶ φείδεταί σου μάλιστα πάντων, καὶ αὐτός σου μᾶλλόν σε ἀγαπᾷ. τί τοίνυν ἀφέντες ἔχειν θαυμαστὸν ἐπαινέτην, πρὸς ἄνθρωπον καταφευγόμεθα, τὸν οὐδὲν, τὸν εἰκῆ, τὸν ἁπλῶς; πονηρόν σε λέγει καὶ μιαρὸν οὐκ ὄντα τοιοῦτον; ταύτῃ μᾶλλον αὐτὸν ἐλέησον, καὶ δάκρυσον ὅτι διέφθαρται· καὶ καταφρόνησον αὐτοῦ τῆς δόξης, ὅτι πεπήρωται αὐτοῦ τὰ τῆς διανοίας ὄμματα. ἐπεὶ καὶ οἱ ἀπόστολοι ταῦτα ἤκουσαν, καὶ κατεγέλων τῶν διαβαλλόντων. ἀλλ' ἀγαθόν σε λέγει, καὶ χρηστόν; ἂν μὲν τοιοῦτος ᾖς, μηδόλως χαυνωθῇς ὑπὸ τῆς δόξης· ἂν δὲ μὴ ᾖς τοιοῦτος, πλέον καταφρόνησον, καὶ χλευασίαν τὸ πρᾶγμα εἶναι νόμιζε. βούλει μαθεῖν τῶν πολλῶν τὰς κρίσεις, πῶς εἰσι διεφθαρμέναι, καὶ ἄχρηστοι, καὶ γέλωτος ἄξιαι, καὶ αἱ μὲν, μεμηνότων καὶ ἐξεστηκότων, αἱ δὲ, παίδων ὑποτιτθίων; ἄκουσον ἄνωθεν. ἐρῶ δέ σοι κρίσεις οὐχὶ τὰς τοῦ δήμου μόνον, ἀλλὰ καὶ τὰς τῶν δοκούντων εἶναι σοφωτάτων, τῶν ἐξ ἀρχῆς νομοθετῶν. τίς γὰρ ἂν δόξειε παρὰ τοῖς πολλοῖς σοφώτερος εἶναι τοῦ νομισθέντος ἀξίου πόλεσι καὶ δήμοις νομοθετεῖν; ἀλλ' ὅμως τοῖς σοφοῖς τούτοις τὸ πορνεύειν οὐδὲν εἶναι δοκεῖ πονηρόν, οὐδὲ κολάσεως ἄξιον. οὐδεὶς γοῦν τῶν νόμων τῶν ἔξωθεν αὐτὸ ἐκόλασεν, οὐδὲ εἰς δικαστήριον εἵλκυσεν ἐντεῦθεν· ἀλλὰ κἂν ἑλκύσῃ τις ὑπὲρ τούτων, καταγελῶσιν οἱ πολλοί, καὶ οὐκ ἀνέξεται ὁ δικάζων. τὸ κυβεύειν πάλιν τῆς παρ' αὐτῶν τιμωρίας ἐστὶν ἐλεύθερον, καὶ οὐδεὶς ὑπὲρ τούτων δίκην ἔδωκέ ποτε παρ' ἐκείνοις. τὸ μεθύειν, καὶ τὸ γαστρίζεσθαι, οὐ μόνον οὐκ ἔστιν ἔγκλημα, ἀλλὰ καὶ κατόρθωμα παρὰ πολλοῖς εἶναι νενόμισται. καὶ ἐν τοῖς στρατιωτικοῖς δείπνοις πολλὴ ἡ τοῦ πράγματος ἅμιλλα, καὶ οἱ μάλιστα σωφρονούσης διανοίας καὶ σώματος ἐρρωμένου δεόμενοι, οὗτοι μάλιστα τῇ τυραννίδι παραδέδονται τῆς μέθης, καὶ τὸ σῶμα παραλύοντες, καὶ τὴν ψυχὴν σκοτοῦντες. καὶ τῶν νομοθετῶν οὐδεὶς τοῦτο ἐκόλασε τὸ ἁμάρτημα. τί ταύτης τῆς μανίας χεῖρον; τῆς οὖν εὐφημίας τῶν οὕτω διακειμένων ἀνθρώπων ἐπιθυμεῖς, καὶ οὐ κατορύττεις σαυτόν; εἰ γὰρ καὶ πάντες σε ἐθαύμαζον οἱ τοιοῦτοι, οὐκ ἐχρῆν αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι, παρ' ἀνθρώπων οὕτω διεφθαρμένων τὰς κρίσεις κροτούμενον; πάλιν βλασφημία τοῖς νομοθέταις οὐδὲν εἶναι φοβερόν. οὐδεὶς γοῦν τὸν Θεὸν βλασφημήσας, εἰς δικαστήριον εἱλκύσθη καὶ δίκην δέδωκεν. ἀλλ' ἐὰν μὲν τὸ ἱμάτιόν τις κλέψῃ, ἢ βαλάντιον διατέμῃ, καὶ τὰς πλευρὰς διορύττεται καὶ θανάτῳ παραδίδοται πολλάκις· ὁ δὲ τὸν Θεὸν βλασφημῶν, οὐκ ἐγκαλεῖται παρὰ τῶν ἔξω νομοθετῶν. κἂν δούλην προσφθείρῃ τις γυναῖκα ἔχων, οὐδὲν εἶναι δοκεῖ τοῖς νόμοις τοῖς ἔξωθεν, οὐδὲ τοῖς πολλοῖς. βούλει καὶ ἕτερα πάλιν ἀκοῦσαι δεικνύντα αὐτῶν τὴν ἄνοιαν; ταῦτα μὲν γὰρ οὐ κολάζουσιν, ἕτερα δὲ καὶ νομοθετοῦσιν αὐτοί. τίνα οὖν εἰσιν ἐκεῖνα; θέατρα συνάγουσι, καὶ πορνῶν ἐκεῖ γυναικῶν χοροὺς εἰσάγοντες καὶ παῖδας πεπορνευμένους καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνυβρίζοντας, καθίζουσι τὸν δῆμον ἄνω πάντα, οὕτω τὴν πόλιν ψυχαγωγοῦντες, οὕτω τοὺς μεγάλους ἐκείνους βασιλέας, οὓς ἀεὶ θαυμάζουσιν ἐπὶ τροπαίοις καὶ νίκαις, στεφανοῦντες. καίτοιγε τί τῆς τιμῆς

ἐργάζεται

ταύτης ψυχρότερον; τί τῆς ἡδονῆς ἐκείνης ἀηδέστερον; ἐκ τούτων οὖν ἐπαινέτας ζητεῖς τῶν ἔργων τῶν σῶν; καὶ μετ᾽ ὀρχηστῶν, καὶ μαλακῶν, καὶ μίμων, καὶ πορνικῶν γυναικῶν εὐφημίας ἀπολαύειν θέλεις, εἰπέ μοι; καὶ πῶς οὐκ ἂν εἴη ταῦτα παρανοίας ἐσχάτης; ἡδέως γὰρ ἂν αὐτοὺς ἐροίμην· δεινὸν τὸ τῆς φύσεως ἀνατρέπεσθαι νόμους, καὶ παρανόμους εἰσάγεσθαι μίξεις; πάντως ἐροῦσιν, ὅτι δεινόν. δοκοῦσι γοῦν καὶ κολάζειν τὸ ἁμάρτημα τοῦτο. τί οὖν τοὺς ἡταιρηκότας ἐκείνους εἰσάγεις; καὶ οὐκ εἰσάγεις μόνον, ἀλλὰ καὶ τιμᾷς μυρίαις καὶ ἀφάτοις δωρεαῖς; ἀλλαχοῦ τοὺς τὰ τοιαῦτα τολμῶντας κολάζων, ἐνταῦθα δὲ καὶ ὡς εὐεργέτας κοινοὺς τῆς πόλεως καὶ χρήματα ἀναλίσκεις, καὶ ἐκ τῶν δημοσίων αὐτοὺς τρέφεις δαπανημάτων. ἀλλ᾽ ἄτιμοι, φησίν, εἰσί. τί οὖν αὐτοὺς παιδοτριβεῖς; τί οὖν διὰ τῶν ἀτίμων τοὺς βασιλέας τιμᾷς; τί δὲ τὰς πόλεις ἐκτραχηλίζεις; τί δὲ εἰς αὐτοὺς τοσαῦτα δαπανᾷς; εἰ γὰρ ἄτιμοί εἰσιν, ἀπελαύνεσθαι ἐχρῆν αὐτοὺς ὡς ἀτίμους. τίνος γὰρ ἕνεκεν ἀτίμους εἴργασαι; ὡς ἐπαινῶν, ἢ ὡς κατεγνωκώς; δηλονότι ὡς κατεγνωκώς. εἶτα ὡς μὲν κατεγνωκώς, ἀτίμους ποιεῖς· ὡς δὲ ἐντίμους τρέχεις ἀθρόον, καὶ θαυμάζεις, καὶ ἐπαινεῖς, καὶ κροτεῖς; τί δεῖ λέγειν τὰς μαγγανείας τὰς ἐν ταῖς ἱπποδρομίαις; τὰς ἐν ταῖς τῶν θηρίων ἁμίλλαις; πάσης γὰρ καὶ ἐκεῖνα παραπληξίας μεστά. παιδεύει γὰρ τὸν δῆμον συνεχῶς ἀνηλεῆ τινα ἔχειν καὶ ὠμὸν καὶ ἀπάνθρωπον· καὶ γυμνάζει ὁρᾶν ἀνθρώπους σπαραττομένους, καὶ αἷμα καταρρέον, καὶ θηρίων ὠμότητα πάντα συγχέουσαν. καὶ ταῦτα πάντα οἱ σοφοὶ νομοθέται ἐξ ἀρχῆς ἐπεισήγαγον τὰ νοσήματα, καὶ κροτοῦσιν αἱ πόλεις καὶ θαυμάζουσιν. ἀλλ᾽, εἰ βούλει, ταῦτα ἀφέντες, ἃ φανερῶς μὲν καὶ ὁμολογουμένως εἰσὶν ἄτοπα, τοῖς δὲ ἔξωθεν νομοθέταις οὐκ ἔδοξεν, ἐπὶ τὰ σεμνὰ πράγματα ἔλθωμεν, καὶ ὄψει καὶ ταῦτα ἀπὸ τῆς τῶν πολλῶν δόξης διεφθαρμένα. ὁ γὰρ γάμος πρᾶγμα τίμιον εἶναι δοκεῖ καὶ ἡμῖν καὶ τοῖς ἔξωθεν. καὶ ἔστι τίμιον· ἀλλὰ γάμων τελουμένων, τοσαῦτα καταγέλαστα γίνεται πράγματα, ὅσα αὐτίκα ἀκούσεσθε. ὑπὸ γὰρ τῆς συνηθείας οἱ πολλοὶ κατεχόμενοι καὶ παραλογιζόμενοι, οὐδὲ διαγινώσκουσιν αὐτῶν τὸ ἄτοπον, ἀλλ᾽ ἑτέρων δέονται τῶν διδασκόντων. καὶ γὰρ χορεῖαι, καὶ κύμβαλα, καὶ αὐλοί, καὶ ῥήματα καὶ ᾄσματα αἰσχρά, καὶ μέθαι, καὶ κῶμοι, καὶ πολὺς ὁ τοῦ διαβόλου τότε ἐπεισάγεται φορυτός. καὶ οἶδα μὲν ὅτι δόξω καταγέλαστος εἶναι τούτων ἐπιλαμβανόμενος, καὶ πολλὴν ὀφλήσω παρὰ τοῖς πολλοῖς ἄνοιαν, τοὺς παλαιοὺς νόμους μετακινῶν· ὅπερ γὰρ ἔφθην εἰπών, πολὺς τῆς συνηθείας ὁ παραλογισμός· ἀλλ᾽ ὅμως οὐ παύσομαι ταῦτα λέγων. ἴσως γάρ, ἴσως, κἂν μὴ πάντες, ἀλλ᾽ ὀλίγοι τινὲς ἡμᾶς ἀποδέξονται, καὶ αἱρήσονται καταγελᾶσθαι μεθ᾽ ἡμῶν, ἢ γελᾶν ἡμᾶς μετ᾽ ἐκείνων γέλωτα δακρύων ἄξιον καὶ πολλῆς κολάσεως καὶ τιμωρίας. πῶς γὰρ οὐκ ἂν εἴη τῆς ἐσχάτης καταγνώσεως ἄξιον, παρθένον θαλαμευθεῖσαν δι᾽ ὅλου, καὶ μαθοῦσαν αἰδεῖσθαι ἀπὸ τῆς πρώτης ἡλικίας, ἀθρόον ἀναγκάζειν ἅπασαν ἐκχέειν τὴν αἰδῶ, καὶ ἐκ προοιμίων τοῦ γάμου τὴν ἀναισχυντίαν παιδεύειν, καὶ ἀσελγέσι καὶ ἀσέμνοις ἀνδράσι καὶ πόρνοις καὶ μαλακοῖς εἰς μέσον αὐτὴν προτεθῆναι; ποῖον γὰρ οὐ φυλαχθήσεται τῇ νύμφῃ κακὸν ἀπὸ τῆς ἡμέρας ἐκείνης; ἀναισχυντία, ἰταμότης, ἀναίδεια, δόξης ἔρως ἀτόπου. καὶ γὰρ ἐθελήσουσι τὰς ἡμέρας δὴ πάσας τοιαύτας ἔχειν. ἐντεῦθεν πολυτελεῖς αἱ γυναῖκες καὶ δαπανηραί, ἐντεῦθεν ἀναιδεῖς, ἐντεῦθεν αὐταῖς τὰ μυρία κακά. καὶ μή μοι λέγε τὴν συνήθειαν. εἰ μὲν γὰρ πονηρόν, μηδὲ ἅπαξ γινέσθω· εἰ δὲ ἀγαθόν, ἀεὶ γινέσθω. εἰπὲ γάρ μοι, τὸ πορνεύειν οὐ πονηρόν; ἆρα οὖν συγχωρήσομεν καθάπαξ τοῦτο γίνεσθαι; οὐδαμῶς. διατί; ὅτι κἂν ἅπαξ γένηται, πονηρόν ἐστιν ὁμοίως. ὥστε καὶ τὸ φαιδρύνεσθαι τὴν νύμφην οὕτως, εἰ μὲν ἔστι πονηρόν, μηδὲ ἅπαξ γινέσθω· εἰ δὲ οὐ πονηρόν, καὶ ἀεὶ γινέσθω. τί οὖν, φησί, διαβάλλεις τὸν γάμον; εἰπέ μοι; μὴ γένοιτο. οὐχ οὕτω μαινόμεθα, ἀλλὰ τὰ κακῶς ἐπισυρόμενα τῷ γάμῳ, τὰ ἐπιτρίμματα, τὰς ὑπογραφάς, τὴν ἄλλην περιεργίαν ἅπασαν. καὶ γὰρ πολλοὺς ἀπὸ τῆς ἡμέρας ἐκείνης

λήψεται

χ. καὶ

χ. τῶν

λήψεται τὸν ἐραστὴν καὶ πρὸ τοῦ μέλλοντος αὐτῇ συνοικεῖν. ἀλλὰ πολλοὶ θαυμάσονται τὴν γυναῖκα τῆς ὥρας. καὶ τί τοῦτο; ἂν μὲν γὰρ σώφρων ᾖ, μόλις διαφεύξεται τὴν πονηρὰν ὑποψίαν· εἰ δὲ ἠμελημένη, ταχέως καὶ ἁλώσεται, ἀφορμὴν ἀσελγείας λαβοῦσα τὴν ἡμέραν ἐκείνην. ἀλλ' ὅμως τοσούτων ὄντων κακῶν, ὅταν μὴ ταῦτα γένηται, ὕβριν τὸ πρᾶγμα καλοῦσιν οἱ βοσκημάτων οὐδὲν ἀμείνους, καὶ δεινὸν ποιοῦνται τὸ μὴ πολλοῖς φαίνεσθαι τὴν γυναῖκα, μηδὲ περιάγεσθαι θέατρον κοινὸν τοῖς ὁρῶσι. καίτοι ὕβριν ἐχρῆν νομίζειν τὰ γινόμενα, καὶ γέλωτα, καὶ κωμῳδίαν· ἐπεὶ καὶ νῦν οἶδα ὅτι πολλὴν ἄνοιαν καὶ γέλωτα ἡμῶν καταγνώσονται. ἀλλ' οἴσω τὸν γέλωτα, ὅταν τι γένηται κέρδος. καὶ γὰρ ἂν εἴην καταγέλαστος, εἰ παραινῶν τῆς τῶν πολλῶν δόξης καταφρονεῖν, αὐτὸς περὶ τῶν ἄλλων χειρωθείην τῷ πάθει. ἴδε τὰ ἐντεῦθεν λοιπόν· οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλὰ καὶ ἐν ἑσπέρᾳ μεθύοντας ἄνδρας καὶ κεκαρωμένους καὶ πεπυρωμένους ὑπὸ τῆς τρυφῆς, οἱ κάλλος ὄψεως ὁρᾶν παρασκευάζουσι παρθενικῆς. καὶ οὐδὲ ἐπὶ τῆς οἰκίας, ἀλλὰ διὰ τῆς ἀγορᾶς εἰς ἐπίδειξιν ἐκπομπεύουσι, μετὰ λαμπάδων αὐτὴν διαπέμποντες ἐν ἑσπέρᾳ βαθείᾳ, ὡς πᾶσιν αὐτὴν ἐπιδείκνυσθαι, δι' ὧν ποιοῦσιν οὐδὲν ἕτερον παραινοῦντες, ἢ ὅτι πᾶσαν ἀποδύσασθαι χρὴ λοιπὸν τὴν αἰδῶ. καὶ οὐδὲ μέχρι τούτων ἵστανται, ἀλλὰ μετὰ αἰσχρῶν ῥημάτων αὐτὴν ἄγουσι, καὶ τοῦτο νόμος ἐστὶ παρὰ τοῖς πολλοῖς. καὶ δραπέται καὶ μαστιγίαι μυρίοι τινὲς καὶ ὀλέθριοι, μετὰ ἀδείας λοιπὸν ἅπαντα φθέγγονται ἅπερ ἂν βούλωνται, εἴς τε ἐκείνην, εἴς τε τὸν ἐκείνῃ συνοικεῖν μέλλοντα· καὶ σεμνὸν μὲν οὐδέν, πάντα δὲ αἰσχρὰ καὶ ἀσχημοσύνης γέμοντα. καλὴν δὲ οὐχ ἕξει διδασκαλίαν σωφροσύνης ἡ νύμφη, τοιαῦτα μὲν ὁρῶσα, τοιαῦτα δὲ ἀκούουσα; καὶ ἅμιλλά τις ἐστὶ διαβολικὴ τῶν τὰ τοιαῦτα παραινούντων ὑπερβάλλεσθαι θατέρους τῇ τῶν ὀνειδῶν καὶ τῇ τῶν αἰσχρῶν ῥημάτων φιλοτιμίᾳ, δι' ὧν καταισχύνουσι τοὺς συνιόντας, κἀκεῖνοι νικήσαντες ἀπῆλθον, ὅσοι πλείονα τὰ ὀνείδη καὶ μείζονα τὰ αἰσχρὰ προσέρριψαν. καὶ οἶδα μὲν ὅτι φορτικός τις εἶμι καὶ ἐπαχθὴς καὶ δύσκολος, ὡς ἡδονήν τινα περικόπτων τοῦ βίου. διὰ γὰρ τοῦτο πενθῶ, ὅτι τὰ ἀηδῆ, ἡδονή τις εἶναι νενόμισται. πῶς γὰρ οὐκ ἀηδές, εἰπέ μοι, τὸ ὑβρίζεσθαι καὶ λοιδορεῖσθαι; τὸ παρὰ πάντων ἀτιμάζεσθαι μετὰ τῆς νύμφης; κἂν μὲν εἴς τις τῆς ἀγορᾶς τὴν συνοικοῦσαν εἴπῃ κακῶς, μυρία κινεῖς πράγματα, καὶ ἀβίωτον εἶναι τὸν βίον νομίζεις· τῆς δὲ πόλεως παρούσης ἁπάσης ἀσχημονοῦν μετὰ τῆς συνοικεῖν μελλούσης, χαίρεις καὶ καλλωπίζῃ; καὶ πόσης ταῦτα μανίας; ἀλλὰ συνήθεια τὸ πρᾶγμά ἐστι, φησί. διὰ γὰρ τοῦτο θρηνεῖν μάλιστα ἄξιον, ὅτι ἐν συνηθείᾳ τὸ πρᾶγμα κατέκλεισεν ὁ διάβολος. ἐπειδὴ γὰρ ὁ γάμος πρᾶγμά ἐστι σεμνόν, καὶ τὸ γένος ἡμῶν συγκροτοῦν, καὶ πολλῶν αἴτιον ἀγαθῶν, δακνόμενος ὁ πονηρὸς ἐκεῖνος, καὶ εἰδὼς ὅτι κατὰ τῆς πορνείας ἐπιτετείχισται, ἑτέρως πορνείαν ἐπεισάγει πᾶσαν. πολλαὶ γοῦν ἐν ταῖς τοιαύταις συνόδοις καὶ κατῃσχύνθησαν παρθένοι· εἰ δὲ μὴ πανταχοῦ, ἀλλ' ἀρκεῖ τῷ δαίμονι τέως ἐκεῖνα τὰ ῥήματα καὶ τὰ ᾄσματα ἐκεῖνα τὰ πονηρά, καὶ παραδειγματίσαι τὴν νύμφην, καὶ ἐκπομπεῦσαι τὸν νυμφίον διὰ τῆς ἀγορᾶς. εἶτ' ἐπειδήπερ ἐν ἑσπέρᾳ ταῦτα γίνεται, ἵνα μηδὲ τὸ σκότος παραπέτασμα ᾖ τῶν κακῶν τούτων, ἐπεισάγονται λαμπάδες πολλαὶ οὐκ ἐῶσαι λανθάνειν τὴν ἀσχημοσύνην. τί γὰρ ὁ πολὺς ὄχλος βούλεται; τί δὲ ἡ μέθη; τί δὲ αἱ σύριγγες; οὐκ εὔδηλον ὅτι ἵνα μηδὲ οἱ ἐν ταῖς οἰκίαις ὄντες, καὶ βαπτιζόμενοι ὕπνῳ βαθεῖ ταῦτα ἀγνοῶσιν, ἀλλ' ὑπὸ τῆς σύριγγος διεγειρόμενοι, καὶ ἄνωθεν ἀπὸ τῶν δρυφάκτων κατακύπτοντες, μάρτυρες γίνωνται τῆς κωμῳδίας ἐκείνης; τί ἂν τις εἴποι τὰς ᾠδὰς αὐτάς, αἳ πάσης γέμουσιν ἀκολασίας, ἔρωτας ἀτόπους καὶ μίξεις παρανόμους καὶ οἰκιῶν ἀνατροπὰς καὶ μυρίας ἐπεισάγουσαι τραγῳδίας, καὶ πολὺ τὸ τοῦ φίλου καὶ ἐρῶντος ὄνομα ἔχουσαι, καὶ τὸ τῆς φίλης καὶ ἐρωμένης; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ παρθένοι παραγίνονται τούτοις, πᾶσαι ἀποδυσάμεναι τὴν αἰδῶ, εἰς τὴν τῆς νυμφευομένης τιμήν, μᾶλλον δὲ ὕβριν, καὶ τῆς ἑαυτῶν προτείνουσαι σωτηρίας,

γ. ἴδε

γ. πορνικά

πομπείας, καὶ μεταξὺ νέων ἀκολάστων ἀσχημονοῦσαι τοῖς ἀτάκτοις ᾄσμασι, τοῖς αἰσχροῖς ῥήμασι, τῇ σατανικῇ συμφωνίᾳ. ἔτι οὖν ἐρωτᾷς, εἰπέ μοι, πόθεν μοιχεῖαι; πόθεν πορνεῖαι; πόθεν διαφθοραὶ γάμων; ἀλλ' οὐκ εὐγενεῖς οὐδὲ εὐσχήμονες ταῦτα πράττουσι, φησί. πῶς οὖν ἐμοῦ καταγελᾷς, αὐτὸς παρ' ἐμοῦ τὸν νόμον τοῦτον εἰδώς; εἰ γὰρ καλὰ τὰ γινόμενα, ἔασον κἀκείνας ταῦτα ποιεῖν. μὴ γάρ, ἐπειδὴ πενίᾳ συζῶσιν αὗται, οὐχὶ καὶ αὗται παρθένοι εἰσί; καὶ σωφροσύνης ἐπιμελεῖσθαι καὶ αὐτὰς χρή; νῦν δὲ ὀρχεῖται παρθένος ἐν κοινῷ θεάτρῳ νέων ἀκολάστων, εἰπέ μοι, καὶ οὐ δοκεῖ σοι τῆς πόρνης εἶναι ἀτιμοτέρα; εἰ δὲ λέγεις ὅτι θεραπαινίδες ταῦτα ἐργάζονται, οὐδὲ οὕτως ἀφίημί σε τῆς κατηγορίας. οὐδὲ γὰρ ταύταις ἐπιτετράφθαι ἐχρῆν. ἀπὸ γὰρ τούτων πάντα τίκτεται τὰ κακά, ὅτι τῆς οἰκετείας οὐδένα ποιούμεθα λόγον· ἀλλ' ἀρκεῖ εἰς καταφρόνησιν τὸ εἰπεῖν, ὅτι δοῦλός ἐστι καὶ θεραπαινίδες· Γαλατ. γ. κη. καίτοιγε καθ' ἑκάστην ἡμέραν ἀκούοντες, ὅτι Ἐν Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος. σὺ δὲ ἵππου μὲν οὐ καταφρονεῖς οὐδὲ ὄνου, ἀλλὰ πάντα ποιεῖς ὥστε μὴ γενέσθαι φαύλους, δούλων δὲ τῶν ὁμοψύχων ὑπερορᾷς; καὶ τί λέγω δούλων, ὅπουγε καὶ παίδων, καὶ θυγατέρων. τί δὴ μετὰ ταῦτα; ἀνάγκη λύπην εὐθέως ἐπεισιέναι, πάντων ἐκείνων καθαιρουμένων· πολλάκις δὲ καὶ ζημίαν τίκτεσθαι μεγίστην, ἐν τῷ πλήθει καὶ τῷ θορύβῳ πολυτίμων τινῶν ἀπολλυμένων χρυσίων. εἶτα μετὰ τὸν γάμον εἴ ποτε γένοιτο παιδίον, καὶ ἐνταῦθα πάλιν τὴν αὐτὴν ἄνοιαν ὀψόμεθα, καὶ πολλὰ σύμβολα γέλωτος γέμοντα. καὶ γὰρ ἡνίκα ἂν καλεῖσθαι τὸ παιδίον δέῃ, ἀφέντες ἀπὸ τῶν ἁγίων αὐτὸ καλεῖν, ὡς οἱ παλαιοὶ τὸ πρότερον ἐποίουν, λύχνους ἅψαντες καὶ ὀνόματα αὐτοῖς ἐπιτιθέντες, τῷ διαρκέσαντι μέχρι πολλοῦ τὸ παιδίον ποιοῦσιν ὁμώνυμον, ἐντεῦθεν πολὺν αὐτὸ στοχαζόμενοι βιώσεσθαι χρόνον. εἶτα ἐπειδὰν συμβῇ πολλάκις αὐτὸ ἄωρον ὑποστῆναι θάνατον (συμβαίνει δὲ πολλάκις) πολὺς ἕψεται παρὰ τοῦ διαβόλου γέλως, ὅτι ὡσεὶ παῖδας ἀνοήτους διέπαιξε. τί ἂν τις εἴποι τὰ περίαπτα, καὶ τοὺς κώδωνας τοὺς τῆς χειρὸς ἐξηρτημένους, καὶ τὸν κόκκινον στήμονα, καὶ τὰ ἄλλα τὰ πολλῆς ἀνοίας γέμοντα, δέον μηδὲν ἕτερον τῷ παιδὶ περιτιθέναι, ἀλλ' ἢ τὴν ἀπὸ τοῦ σταυροῦ φυλακήν; νῦν δὲ οὗτος μὲν καταπεφρόνηται ὁ τὴν οἰκουμένην ἐπιστρέψας ἅπασαν, καὶ χαλεπὴν δοὺς τῷ διαβόλῳ πληγήν, καὶ πᾶσαν αὐτοῦ καταστρέψας τὴν δύναμιν· κρόκη δὲ καὶ στήμων καὶ τὰ ἄλλα περιάμματα τὰ τοιαῦτα τοῦ παιδίου ἐμπιστεύονται τὴν ἀσφάλειαν. εἴπω τι τούτου καταγελαστότερον ἕτερον; ἀλλὰ μηδεὶς ἀκαιρίαν ἡμῶν καταγινωσκέτω, εἰ καὶ μέχρι τούτων περίεισιν ὁ λόγος. ὁ γὰρ τὴν σηπεδόνα καθᾶραι βουλόμενος, οὐ παραιτήσεται προτέρας τὰς ἑαυτοῦ μολῦναι χεῖρας. τί δήποτ' οὖν τοῦτ' ἔστι τὸ καταγέλαστον; ὃ μηδὲν μὲν εἶναι δοκεῖ (διὰ γὰρ τοῦτο στένω) ἀρχὴ δέ ἐστι παραφροσύνης καὶ παρανοίας ἐσχάτης. βόρβορον αἱ γυναῖκες ἐν τῷ βαλανείῳ λαμβάνουσαι τροφοὶ καὶ θεραπαινίδες, καὶ τῷ δακτύλῳ χρίσασαι, κατὰ τοῦ μετώπου τυποῦσι τοῦ παιδίου. κἂν ἔρηταί τις, τί βούλεται ὁ βόρβορος, τί δὲ ὁ πηλός; ὀφθαλμὸν πονηρὸν ἀποστρέφει, φησί, καὶ βασκανίαν καὶ φθόνον. βαβαὶ τῆς ἰσχύος τοῦ βορβόρου, καὶ τῆς τοῦ πηλοῦ δυνάμεως, ἡλίκην ἔχει τὴν ἰσχύν; ὁλόκληρον τοῦ διαβόλου παράταξιν ἀποστρέφει. οὐκ ἐγκαλύψεσθε, εἰπέ μοι; οὐ συνήσετε ὀψέ ποτε τὰς παγίδας τὰς διαβολικάς, πῶς ἐκ πρώτης ἡλικίας κατὰ μικρὸν ἐπεισάγει τὰ παρ' ἑαυτοῦ μηχανάς ὁ διάβολος; εἰ γὰρ ὁ βόρβορος τοῦτο ποιεῖ, διατί μὴ καὶ σὺ τοῦτο ποιεῖς ἐπὶ τοῦ σαυτοῦ μετώπου, ἀνὴρ ὤν, καὶ ἐν ἕξει γεγονώς, καὶ μᾶλλον τοῦ παιδίου τοὺς φθονοῦντας ἔχων; διατί μὴ καὶ ὅλον βορβοροῖς τὸ σῶμα; εἰ γὰρ ἐπὶ τοῦ μετώπου τοσαύτην ἔχει τὴν ἰσχύν, τίνος ἕνεκεν οὐχ ὅλον σεαυτὸν βορβόρῳ καταχρίεις; γέλως ταῦτα καὶ κωμῳδία σατανική, οὐκ εἰς χλευασίαν μόνον, ἀλλὰ καὶ εἰς γέενναν καταστρέφουσα τοὺς ἀπατωμένους. καὶ τὸ μὲν παρ' Ἕλλησι ταῦτα γίνεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ παρὰ τοῖς τὸν σταυρὸν προσκυνοῦσι, καὶ μυστηρίων

ἀπορρήτων

ἀπορρήτων κεκοινωνηκόσι, καὶ τοσαῦτα φιλοσοφοῦσι ταύτην κρατεῖν τὴν ἀσχημοσύνην, τοῦτ' ἔστι τὸ πολλῶν θρήνων ἄξιον. ὁ Θεός σε μύρῳ ἐτίμησε πνευματικῷ, καὶ σὺ βορβόρῳ μολύνεις τὸ παιδίον; ὁ Θεός σε ἐτίμησε, σὺ δὲ σαυτὸν ἀτιμάζεις; καὶ δέον τὸν σταυρὸν ἐπιγράφειν τῷ μετώπῳ, τὴν ἀσφάλειαν ἄμαχον παρέχοντα· σὺ δὲ ταῦτα ἀφεὶς, ἐπὶ τὴν σατανικὴν ἄνοιαν καταπίπτεις; Εἰ δέ τισι ταῦτα μικρὰ εἶναι δοκεῖ, μανθανέτωσαν ὅτι μεγάλων ἐστὶν αἴτια κακῶν· καὶ ὅτι οὐδὲ τῷ Παύλῳ τὰ μικρὰ παρορᾶν ἔδοξε. τί γὰρ, εἰπέ μοι, τοῦ καλύπτεσθαι ἄνθρωπον τὴν κεφαλὴν μικρότερον; ἀλλ' ὅρα πόσην ὑπὲρ τούτου ποιεῖται σπουδὴν, καὶ μεθ' ὅσης ἀπαγορεύει σφοδρότητος, ἄλλα τε πολλὰ λέγων, καὶ ὅτι καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. Εἰ δὲ ὁ κατακαλυπτόμενος καταισχύνει τὴν κεφαλὴν αὐτοῦ, ὁ βορβόρῳ χρίων, πῶς οὐχὶ καὶ βδελυκτὸν ποιεῖ τὸ παιδίον; πῶς γὰρ αὐτὸ προσάγεις ταῖς χερσὶ τοῦ ἱερέως, εἰπέ μοι, πῶς ἀξιοῖς ἐπὶ τοῦ μετώπου σφραγῖδα ἐπιτεθῆναι παρὰ τῆς τοῦ πρεσβυτέρου χειρὸς, ἔνθα τὸν βόρβορον ἐπέχρισας; μὴ ταῦτα, μὴ, ἀδελφοί, ἀλλ' ἐκ πρώτης ἡλικίας πνευματικοῖς αὐτὰ περιφράττετε ὅπλοις, καὶ τῇ χειρὶ παιδεύετε σφραγίζειν τὸ μέτωπον· καὶ πρὶν ἢ δυνηθῆναι τῇ χειρὶ τοῦτο ποιεῖν, αὐτοὶ ἐντυποῦτε αὐτοῖς τὸν σταυρόν. Τί ἄν τις εἴποι τὰς ἑτέρας παρατηρήσεις τὰς σατανικὰς ἐπὶ τῶν ὠδίνων καὶ τῶν τοκετῶν, ἃς αἱ μαῖαι ἐπὶ κακῷ τῆς ἑαυτῶν ἐπεισάγουσι κεφαλῆς; τὰς ἐπὶ τοῦ θανάτου καὶ τῆς καθ' ἕκαστον ἐκφορᾶς, τὰς οἰμωγὰς, τοὺς κωκυτοὺς τοὺς ἀλόγους, τὴν ἐν τοῖς τάφοις ἄνοιαν, τὴν περὶ τὰ μνήματα σπουδὴν, τὸν ἀγοραῖον καὶ καταγέλαστον τῶν θρηνωδῶν γυναικῶν ἑσμὸν, τὰς τῶν ἡμερῶν παρατηρήσεις, τῶν εἰσόδων καὶ τῶν ἐξόδων; τούτων οὖν, εἰπέ μοι, τὴν δόξαν θηρᾷς; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα ἀνοίας, ἀνθρώπων οὕτω διεφθαρμένων τὰς γνώμας, καὶ πάντα ὡς ἔτυχε ποιούντων τὴν δόξαν ἐπιζητεῖν· δέον ἐπὶ τὸν ἀκοίμητον ἀεὶ καταφεύγειν ὀφθαλμὸν, καὶ πρὸς τὴν ἐκείνου ψῆφον βλέποντας, πάντα ποιεῖν, καὶ λέγειν; οὗτοι μὲν γὰρ καὶ ἐπαινέσαντες, οὐδὲν ἡμᾶς ὠφελῆσαι δυνήσονται· ἐκεῖνος δὲ, ἂν ἀποδέξηται τὰ γινόμενα, καὶ ἐνταῦθα ποιήσει λαμπροὺς, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν μεταδώσει τῶν ἀπορρήτων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

α. Κορ. ια. δ.

Λογ. ιγ. 10 ΗΜΕΙΣ ΜΩΡΟΙ ΔΙΑ ΧΡΙΣΤΟΝ (ἀναγκαῖον γὰρ ἐντεῦθεν πάλιν τὸν λόγον ἀναλαβεῖν) ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.

Πολλῆς βαρύτητος τὸν λόγον ἐμπλήσας, ὃ πάσης κατηγορίας μείζονα ἔχει πληγὴν, καὶ εἰπὼν, ὅτι χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὅτι ἡμᾶς ὁ Θεὸς ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, δείκνυσι τὴν ἑξῆς, πῶς ἐπιθανάτιοι, λέγων· ἡμεῖς μωροὶ, καὶ ἀσθενεῖς, καὶ ἄτιμοι, καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν, ἅπερ ἦν δείγματα διδασκάλων καὶ ἀποστόλων γνησίων. ἀλλ' ἐκεῖνοι ἐπὶ τοῖς ἐναντίοις μέγα ἐφρόνουν, ἐπὶ σοφίᾳ, ἐπὶ δόξῃ, ἐπὶ πλούτῳ, ἐπὶ τὸ τιμᾶσθαι. βουλόμενος οὖν αὐτῶν καθελεῖν τὸν τῦφον, καὶ δεῖξαι ὅτι ἐπὶ τούτοις οὐ μόνον οὐ καλλωπίζεσθαι, ἀλλὰ καὶ αἰσχύνεσθαι δεῖ, πρῶτον μὲν αὐτοῖς κωμῳδεῖ λέγων, χωρὶς ἡμῶν ἐβασιλεύσατε. ἐγὼ μὲν γὰρ λέγω, φησὶν, ὅτι ὁ παρὼν καιρὸς, οὐ τιμῆς οὐδὲ δόξης ἐστὶν, ὧν ὑμεῖς ἀπολαύετε, ἀλλὰ τοῦ διώκεσθαι καὶ ὑβρίζεσθαι, ἅπερ ἡμεῖς πάσχομεν. Εἰ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τῶν ἀμοιβῶν ὁ καιρὸς ἐστὶν, ὡς ὁρῶ (τοῦτο δὲ εἰρωνευόμενος λέγει) ὑμεῖς μὲν οἱ μαθηταὶ καὶ ἐβασιλεύσατε λοιπόν· ἡμεῖς δὲ οἱ διδάσκαλοι, καὶ ἀπόστολοι, καὶ πρὸ πάντων ὀφείλοντες λαβεῖν

λαβεῖν τὸν μισθόν, οὐ μόνον ὑμῶν ἔσχατοι γεγόναμεν, ἀλλὰ καὶ ὡς ἐπιθανάτιοι, τουτέστι, κατάδικοι, διὰ τοῦ ἐν ἀτιμίαις καὶ κινδύνοις καὶ λιμῷ διάγειν, ὑβριζόμενοί τε ὡς μωροὶ, καὶ ἐλαυνόμενοι, καὶ τὰ αἴσχιστα ὑπομένοντες. Ταῦτα δὲ ἔλεγεν, ἵνα καὶ αὐτοὺς ἐκ τούτων ποιήσῃ συνιδεῖν, ὅτι τὰ τῶν ἀποστόλων ὀφείλουσι ζηλοῦν, τοὺς κινδύνους καὶ τὰς ὕβρεις, οὐ τὰς τιμὰς καὶ τὰς δόξας. οὐ γὰρ ἐκεῖνα, ἀλλὰ ταῦτα ἀπαιτεῖ τὸ κήρυγμα. ἀλλ' οὕτω μὲν ἐξ εὐθείας οὐ λέγει, ὥστε μὴ φορτικὸς αὐτοῖς φανῆναι· ὡς δὲ αὐτῷ πρέπον ἦν, οὕτω μεταχειρίζει τὴν ἐπίπληξιν ταύτην. Εἰ γὰρ ἐξ εὐθείας εἰσήγαγε τὸν λόγον, οὕτως ἂν εἶπε· πλανᾶσθε καὶ ἀπατᾶσθε, καὶ πολὺ τῆς ἀποστολικῆς νουθεσίας ἀφεστήκατε. τὸν γὰρ ἀπόστολον καὶ διάκονον τοῦ Χριστοῦ, μωρὸν εἶναι δοκεῖν χρὴ, καὶ ἐν θλίψει καὶ ἐν ἀδοξίᾳ διάγειν, ὅπερ ἐσμὲν ἡμεῖς· ὑμεῖς δὲ ἐν τοῖς ἐναντίοις. ἀλλ' οὕτως ἂν μᾶλλον καὶ προσέστη τὰ λεγόμενα αὐτοῖς, ὡς ἐγκώμια τῶν ἀποστόλων ἔχοντα· καὶ ἐκείνους ἂν θρασυτέρους εἰργάσατο, ὡς διαβαλλομένους ἐπὶ ῥαθυμίᾳ καὶ κενοδοξίᾳ καὶ τρυφῇ. διὰ τοῦτο τοῦτον μὲν τὸν τρόπον οὐ μεθοδεύει τὰ εἰρημένα, ἑτέρως δὲ, πληκτικώτερον μὲν, ἀνεπαχθέστερον δέ. διὸ καὶ οὕτω προάγει τὸν λόγον κατ' εἰρωνείαν λέγων, ὑμεῖς δὲ ἰσχυροὶ καὶ ἔνδοξοι. ὡς εἰ μὴ τῇ εἰρωνείᾳ ἐκέχρητο, οὕτως ἂν εἶπεν· οὐ δυνατὸν τὸν μὲν μωρὸν νομίζεσθαι, τὸν δὲ φρόνιμον, καὶ τὸν μὲν ἰσχυρὸν, τὸν δὲ ἀσθενῆ, τοῦ κηρύγματος μὴ ἀπαιτοῦντος θάτερα. εἰ μὲν γὰρ ἐξῆν τοὺς μὲν τοῦτο εἶναι, τοὺς δὲ ἐκεῖνο, ἴσως εἶχέ τινα λόγον τὰ παρ' ὑμῶν λεγόμενα· νυνὶ δὲ οὐκ ἔνι, οὐ φρόνιμον εἶναι δοκεῖν, οὐκ ἔνδοξον, οὐκ ἀπηλλάχθαι κινδύνων. εἰ δὲ μὴ, ἀνάγκη ὑμᾶς ἡμῶν προτετιμῆσθαι παρὰ τῷ Θεῷ, ὑμᾶς τοὺς μαθητὰς τῶν διδασκάλων καὶ μυρία παθόντων. εἰ δὲ οὐδὲ τοῦτό τις ἂν εἴποι, λείπεται τὰ ἡμέτερα ὑμᾶς διώκειν. καὶ μή μέ τις, φησιν, οἰέσθω τὰ παρελθόντα λέγειν μόνον· μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν. ὁρᾷς ὅτι πάντα τὸν βίον τοιοῦτον εἶναι δεῖ τῶν χριστιανῶν; οὐ μίαν ἡμέραν, καὶ δευτέραν; οὐδὲ γὰρ ἂν ἀθλητής τις, τὴν μίαν μόνην νικήσας πάλην, στεφανοῦται καταπεσών. καὶ πεινῶμεν, πρὸς τοὺς τρυφῶντας· καὶ κολαφιζόμεθα, πρὸς τοὺς πεφυσιωμένους· καὶ ἀστατοῦμεν ἐλαυνόμενοι, φησι πρὸς τοὺς πλουτοῦντας· καὶ κοπιῶμεν, ἤδη πρὸς τοὺς ψευδαποστόλους τοὺς οὔτε ἐργάζεσθαι, οὔτε κινδυνεύειν ἀνεχομένους, ἀλλὰ καρπουμένους αὐτούς. ἀλλ' οὐχ ἡμεῖς οὕτω, φησίν· ἀλλὰ μετὰ τῶν ἔξωθεν κινδύνων, καὶ ἑαυτοὺς κατατείνομεν τῇ διηνεκεῖ ἐργασίᾳ. καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ ἔχοι τις ἂν εἰπεῖν, ὅτι δυσχεραίνομεν ἐπὶ τούτοις. τοῖς γὰρ ἐναντίοις τοὺς ποιοῦντας ἀμειβόμεθα. τὸ γὰρ μέγα τοῦτο ἐστιν, οὐ τὸ κακῶς παθεῖν (τοῦτο γὰρ πάντων κοινόν) ἀλλὰ τὸ πάσχοντας μὴ ἀλύειν μηδὲ δυσχεραίνειν. ἡμεῖς δὲ οὐ μόνον οὐ δυσχεραίνομεν, ἀλλὰ καὶ ἀγαλλόμεθα. καὶ τούτου τεκμήριον, τὸ τοὺς ποιοῦντας κακῶς τοῖς ἐναντίοις ἀμείβεσθαι. ὅτι δὲ τοῦτο ἐποίουν, ἄκουσον τῶν ἑξῆς. Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα·

13 Βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν.

Τουτέστι, μωροὶ διὰ Χριστόν. ὁ γὰρ κακῶς παθὼν, καὶ μήτε ἀμυνόμενος, μήτε ἀλγῶν, μωρὸς εἶναι δοκεῖ παρὰ τοῖς ἔξωθεν, καὶ ἄτιμος καὶ ἀσθενής. καὶ ἵνα μὴ φορτικώτερον τὸν λόγον ἐργάσηται, εἰς τὴν ἐκείνων πόλιν τὰ πάθη περιστήσας, τί φησι; περικαθάρματα, οὐ τῆς πόλεως ὑμῶν, ἀλλὰ τοῦ κόσμου ἐγενήθημεν. καὶ πάλιν, Πάντων περίψημα,

Οὐχ ὑμῶν μόνων, ἀλλὰ πάντων. ὥσπερ οὖν ὅταν περὶ τῆς τοῦ Χριστοῦ διαλέγηται κηδεμονίας, τὴν γῆν, τὸν οὐρανὸν, τὴν πᾶσαν κτίσιν ἀφεὶς, τὸν σταυρὸν ἐν μέσῳ τίθησιν· οὕτω καὶ ὅταν πρὸς ἑαυτὸν ἐπισπάσασθαι βουληθῇ, τὰ σημεῖα παραδραμὼν, τὰ πάθη λέγει τὰ δι' αὐτούς. οὕτω καὶ ἡμῖν ἔθος, ὅταν ἀδικώμεθα παρά τινων καὶ καταφρονώμεθα, ἅπερ ὑπὲρ αὐτῶν ἐπάθομεν, ταῦτα φέρειν εἰς μέσον. Πάντων περίψημα ἕως ἄρτι.

Εὔτονον τὴν πληγὴν ἔδωκε πρὸς τῷ τέλει. πάντων δὲ, οὐ τῶν διωκόντων, φησὶν,

ἀλλὰ

γρ. ἀπορίᾳ

γρ. [illegible]

γρ. μετὰ [illegible] δεῖ.

ἀλλὰ τὴν διὰ ταῦτα παρῳνουμένην. Χάριν ἔχω πολλὴν αὐτοῖς. Βαρυθυμοῦντος τὸ ῥῆμα, οὐκ ἀλγοῦντος αὐτοῦ, ἀλλ' ἐκείνους πλῆξαι βουλομένου. Ὁ γὰρ μυρία ἔχων ἐγκαλεῖν, καὶ ἀσπάζεται. Διὰ τοῦτο καὶ ὁ Χριστὸς κελεύει πράως ἡμᾶς φέρειν τὰς ὕβρεις, ἵνα καὶ αὐτοὶ φιλοσοφῶμεν, κἀκείνους μᾶλλον ἐντρέπωμεν. Οὐ γὰρ οὕτως ὑβρίζων, ὡς σιγῶν τις, τοῦτο ἐργάζεται. Εἶτ' ἐπειδὴ εἶδεν ἀφόρητον τὴν πληγὴν, ταχέως αὐτὴν ἐθεράπευσεν, εἰπών·

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτ', ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ.

Οὐχ ὡς καταισχύνων γὰρ ὑμᾶς, ταῦτα λέγω, φησίν. Ὅπερ ἐποίησε διὰ τῶν ῥημάτων, τοῦτό φησιν οὐ πεποιηκέναι· μᾶλλον δὲ πεποιηκέναι μέν φησιν, οὐ μὴν διανοίᾳ πονηρᾷ καὶ μισούσῃ. Ἐπεὶ καὶ ἀρίστη αὕτη ἡ θεραπεία, εἰπόντα ἃ λέγει, παραθεῖναι τὴν ἀπὸ τῆς διανοίας ἀπολογίαν. Μὴ εἰπεῖν μὲν γὰρ οὐκ ἐχρῆν, ἐπεὶ ἔμελλον ἀδιόρθωτοι· εἰπόντα δὲ ἀφεῖναι πάλιν τὴν πληγὴν ἀνίατον, χαλεπόν. Διόπερ μετὰ βαρύτητος ἀπολογεῖται. Τοῦτο γὰρ οὐ μόνον οὐκ ἐξαιρεῖ τὴν τομὴν, ἀλλὰ καὶ ἐνδοτέρω ποιεῖ καταδύεσθαι, τῆς πληγῆς τὴν ἀλγηδόνα παραμυθούμενον ἅπασαν. Ὁ γὰρ ἀκούσας, ὅτι οὐκ ὀνειδίζων, ἀλλ' ἀγαπῶν ταῦτα λέγει, μᾶλλον καταδέχεται τὴν διόρθωσιν. Πολλὴ δὲ καὶ ἐνταῦθα ἡ βαρύτης καὶ ἡ ἐντροπή. Οὐ γὰρ εἶπεν, ὡς διδάσκαλος, οὐδὲ ὡς ἀπόστολος, οὐδὲ ὡς μαθητὰς ἔχων, ὅπερ τῆς ἀξίας ἦν, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ· καὶ οὐχ ἁπλῶς τέκνα, ἀλλὰ ποθούμενα. Συγγνώτε μοί, φησι, κἂν εἴ τι φορτικὸν εἴρηται, ἐξ ἀγάπης ταῦτα γέγονε. Καὶ οὐκ εἶπεν, ἐπιτιμῶ, ἀλλὰ, νουθετῶ. Τίς δὲ οὐκ ἂν ἀγάγοιτο πατρὸς ἀλγοῦντος, καὶ τὰ δέοντα συμβουλεύοντος; Διὰ τοῦτο οὐ πρότερον εἶπε τοῦτο, ἀλλ' ὅτε τὴν πληγὴν ἔδωκε. Τί οὖν, ἀφειδοῦσιν ἡμῶν οἱ ἄλλοι διδάσκαλοι, φησίν; Οὐ τοῦτο λέγω, ἀλλ' οὐχ οὕτω φείδονται. Ἀλλὰ τοῦτο μὲν συντόμως οὐκ εἶπε, διὰ δὲ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὀνομάτων αὐτὸ ἐνέφηνε, ὡς παιδαγωγοὶ καὶ ὡς πατέρες εἰσίν.

15 Ἐὰν γὰρ, φησι, πολλοὺς παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. Οὐ τὸ ἀξίωμα ἐμφαίνει ἐνταῦθα, ἀλλὰ τῆς ἀγάπης τὴν ὑπερβολήν. Καὶ οὐδὲ ἐκείνους ἔπληξε, τὸ, ἐν Χριστῷ, προσθεὶς, ἀλλὰ καὶ παρεμυθήσατο αὐτούς, οὐχὶ κόλακας, ἀλλὰ παιδαγωγοὺς εἰπὼν αὐτοὺς σπουδάζοντας καὶ ἀνεχομένους τῶν πόνων· καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἐπεδείξατο. Καὶ οὐκ εἶπεν, ἀλλ' οὐ πολλοὺς διδασκάλους, ἀλλ' οὐ πατέρας. Οὕτως οὐκ ἀξίωμα θεῖναι ἐβούλετο, οὐδὲ, ὅτι πλεῖστα παρ' αὐτοῦ ὠφελοῦντο, διδάξαι· ἀλλὰ συγχωρήσας ἐκείνοις τὰ πολλὰ περὶ αὐτοὺς πεποιηκέναι (τοιοῦτοι γὰρ οἱ παιδαγωγοί) τὴν τῆς ἀγάπης ὑπερβολὴν ἑαυτῷ ταμιεύεται· τοιοῦτον γὰρ ὁ πατήρ. Καὶ οὐ λέγει μόνον, ὅτι οὐδεὶς ὑμᾶς οὕτω φιλεῖ, ὅπερ [illegible] ἦν, ἀλλὰ καὶ πρᾶγμα γενόμενον εἰς μέσον ἄγει. Ποῖον δὴ τοῦτο; Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Ἐν Χριστῷ Ἰησοῦ· οὐκ ἐμαυτῷ τοῦτο λογίζομαι. Πάλιν αὐτοὺς ἑαυτοῖς ἐπιφημίζοντας τὴν διδασκαλίαν πλήττει. Ὑμεῖς γὰρ ἐστέ, φησιν, ἡ σφραγὶς τῆς ἐμῆς a. Κορ. θ. β.
ἀποστολῆς· καὶ πάλιν, Ἐγὼ ἐφύτευσα· καὶ ἐνταῦθα, ἐγὼ ἐγέννησα. Οὐκ εἶπε, κατήγγειλα τὸν a. Κορ. γ. ς.
λόγον, ἀλλ' ἐγὼ ἐγέννησα, τοῖς τῆς φύσεως ὀνόμασι κεχρημένος. Ἓν γὰρ ἐσπούδαζε, τὴν ἀγάπην ἐπιδείξασθαι ἣν περὶ αὐτοὺς εἶχεν. Ἐκεῖνοι μὲν γὰρ παρ' ἐμοῦ δεξάμενοι ἐνήγαγον ὑμᾶς· τὸ δὲ εἶναι πιστοὺς, δι' ἐμοῦ γέγονεν. Ἐπειδὴ γὰρ εἶπεν, ὡς τέκνα, ἵνα μὴ κολακείας εἶναι νομίσῃς τὸ ῥῆμα, παρίστησι καὶ τὸ πρᾶγμα.

16 Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε, καθὼς ἐγὼ Χριστοῦ.

Βαβαὶ, πόση τοῦ διδασκάλου ἡ παρρησία; πῶς ἀπηκριβωμένη ἡ εἰκών, ὅτε μὲν καὶ ἑτέρους ἐπὶ τοῦτο παρακαλῇ; οὐκ ἐπαίρων δὲ ἑαυτὸν τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς εὔκολον οὖσαν τὴν ἀρετήν. Μὴ γάρ μοι εἴπῃς, ὅτι οὐ δύναμαί σε μιμήσασθαι.

σὺ

σὺ διδάσκαλος εἶ, καὶ μέγας. οὐ γάρ ἐστι τοσοῦτον τὸ μέσον ἐμοῦ πρὸς ὑμᾶς, ὅσον τοῦ Χριστοῦ πρὸς ἐμέ· ἀλλ' ὅμως ἐμιμησάμην ἐκεῖνον ἐγώ. ὅταν μὲν οὖν Ἐφεσίοις γράφῃ, οὐ τίθησι μέσον ἑαυτόν, ἀλλ' εὐθὺς αὐτοὺς ἐκεῖ πάντας ἀπάγει, Γίνεσθε μιμηταὶ τοῦ Θεοῦ, λέγων. (Ep. 5. a.) ἐνταῦθα δέ, ἐπειδὴ πρὸς ἀσθενεῖς ἦν ὁ λόγος αὐτῷ, ἑαυτὸν παρενέβαλε. καὶ ἄλλως δέ, δεικνύσιν ὅτι ἔνι καὶ οὕτω τὸν Χριστὸν μιμήσασθαι. ὁ γὰρ τὴν σφραγῖδα μιμησάμενος τὴν ἀπηκριβωμένην, τὸ ἀρχέτυπον ἐμιμήσατο.

ΗΘΙΚΟΝ

Ἴδωμεν οὖν πῶς αὐτὸς ἐμιμήσατο τὸν Χριστόν. ἡ γὰρ μίμησις αὕτη οὐ χρόνων δεῖται καὶ τέχνης, ἀλλὰ προαιρέσεως μόνης. εἰς ζωγράφου μὲν γὰρ εἰσελθόντες οὐ δυνησόμεθα μιμήσασθαι τὴν εἰκόνα, κἂν μυριάκις ἴδωμεν· τοῦτον δὲ καὶ ἐξ ἀκροάσεως μόνης ἔνι μιμήσασθαι. οὐκοῦν βούλεσθε τὸν πίνακα εἰς μέσον ἀγαγόντες, ὑπογράψωμεν ἐφ' ὑμῖν τὴν πολιτείαν Παύλου; προκείσθω τοίνυν ὁ πίναξ πολὺ λαμπρότερος ὢν τῶν βασιλικῶν εἰκόνων. τὸ γὰρ ὑποκείμενον, οὐ σανίδες κεκολλημέναι, οὐδὲ σινδόνες ἐπικείμεναι, ἀλλ' ἔργον Θεοῦ τὸ ὑποκείμενον. ψυχὴ γάρ ἐστι καὶ σῶμα. ψυχὴ Θεοῦ ἔργον, οὐκ ἀνθρώπων, καὶ σῶμα πάλιν ὁμοίως. ἐκροτήσατε ἐνταῦθα; ἀλλ' οὐκ ἐνταῦθα τῶν κρότων ὁ καιρός, ἀλλ' ἐπὶ τῶν ἑξῆς καὶ τοῦ κροτῆσαι, καὶ τοῦ ζηλῶσαι. τέως γὰρ ἡ ὕλη ὑπόκειται κοινὴ πρὸς ἅπαντας οὖσα. ψυχὴ γὰρ ψυχῆς οὐδὲν διαφέρει, καθὸ ψυχή, ἀλλ' ἡ προαίρεσις δείκνυσι τὴν διαφοράν. ὥσπερ γὰρ σῶμα σώματος, καθὸ ἐστι σῶμα, οὐδὲν πλεονεκτεῖ, ἀλλ' ὅμοιόν ἐστι καὶ τὸ τοῦ Παύλου καὶ τὸ τῶν πολλῶν, οἱ δὲ κίνδυνοι φαιδρότερον ἐργάζονται τοῦτο ἐκείνου· οὕτω δὴ καὶ ἐπὶ ψυχῆς. ὑποκείσθω τοίνυν πίναξ ἡμῖν ἡ ψυχὴ Παύλου. οὗτος ὁ πίναξ ἔκειτο πρώην ἠσβολωμένος, ἀραχνίων γέμων. οὐδὲν γὰρ βλασφημίας χεῖρον. ἐπειδὴ δὲ ἦλθεν ὁ πάντα μετασκευάζων, καὶ εἶδεν οὐ παρὰ ῥαθυμίαν καὶ βλακείαν οὕτω διαγραφέντα, ἀλλὰ παρὰ ἀπειρίαν, καὶ τὸ μὴ ἔχειν τὰ ἄνθη τῆς εὐσεβείας (ζῆλον μὲν γὰρ εἶχε, τὰ δὲ χρώματα οὐ παρῆν. οὐ γὰρ κατ' ἐπίγνωσιν τὸν ζῆλον εἶχε) δίδωσιν αὐτῷ τῆς ἀληθείας τὸ ἄνθος, τουτέστι, τὴν χάριν· καὶ ἀθρόον βασιλικὴν ἀπέδειξε τὴν εἰκόνα. λαβὼν γὰρ τὰ χρώματα, καὶ μαθὼν ἅπερ ἠγνόει, οὐκ ἀνέμεινε χρόνον, ἀλλ' εὐθέως ἐφάνη τεχνίτης ἄριστος. καὶ πρῶτον δείκνυσι τὴν κεφαλὴν βασιλικήν, τὸν Χριστὸν κηρύττων· εἶτα καὶ τὸ λοιπὸν σῶμα, τὸ τῆς πολιτείας τῆς ἀκριβοῦς. οἱ μὲν οὖν ζωγράφοι κατακλείσαντες ἑαυτούς, μετὰ πολλῆς τῆς ἀκριβείας καὶ ἡσυχίας ἅπαντα πράττουσιν, οὐδὲ τὰς θύρας παρανοίγοντες· οὗτος δὲ ἐν μέσῳ τῆς οἰκουμένης τὸν πίνακα προθείς, πάντων ἐνοχλουμένων, θορυβούντων, παρεμπιπτόντων, οὕτως εἰργάζετο τὴν βασιλικὴν ταύτην εἰκόνα, καὶ οὐκ ἐκωλύετο. διὰ καὶ ἔλεγε· Θέατρον ἐγενήθημεν τῷ κόσμῳ, ἐν μέσῳ γῆς καὶ θαλάσσης καὶ τοῦ οὐρανοῦ καὶ τῆς οἰκουμένης ἁπάσης, καὶ τοῦ κόσμου τοῦ τε αἰσθητοῦ, τοῦ τε νοητοῦ, τὴν εἰκόνα ζωγραφῶν. βούλεσθε καὶ τὰ λοιπὰ μέρη ταύτης ἰδεῖν, τὰ ἀπὸ τῆς κεφαλῆς κάτω; ἢ βούλεσθε κάτωθεν τὸν λόγον ἀναγάγωμεν; θέα τοίνυν ἀνδριάντα χρυσοῦν, μᾶλλον δὲ καὶ τούτου τιμιώτερον, καὶ οἷον ἐν οὐρανῷ ἑστάναι εἰκός, οὐ μολίβδῳ προσδεδεμένον, οὐδὲ ἐνὶ ἱδρυμένον χωρίῳ, ἀλλ' ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ τρέχοντα, καὶ εἰς Σπανίαν ἀπιόντα, καὶ πανταχοῦ τῆς οἰκουμένης καθάπερ ὑπόπτερον φερόμενον. τί γὰρ τῶν ποδῶν τούτων ὡραιότερον γένοιτ' ἄν, τῶν ἅπασαν ἐπελθόντων τὴν ὑφ' ἡλίῳ κειμένην γῆν; ταύτην τὴν ὡραιότητα καὶ ὁ προφήτης ἄνωθεν κηρύττει λέγων, (Ησ. νβ. ζ.) Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην; εἶδες πῶς καλοὶ οἱ πόδες; θέλεις καὶ τὸ στῆθος ἰδεῖν; δεῦρο, σοὶ δείξω καὶ τοῦτο, καὶ πολλῷ λαμπρότερον ὄψει τῶν ποδῶν τούτων τῶν ὡραίων, καὶ αὐτῶν τῶν τοῦ παλαιοῦ νομοθέτου στέρνων. Μωϋσῆς μὲν πλάκας ἐβάσταζε λιθίνας· οὗτος δὲ αὐτὸν ἔνδοθεν εἶχε τὸν Χριστόν, αὐτὴν τὴν βασιλικὴν ἔφερεν εἰκόνα· καὶ τοῦ ἱλαστηρίου διὰ τοῦτο τῶν χερουβὶμ σεμνότερος ἦν. οὐ γὰρ τοιαύτη ἐφέρετο ἐκεῖθεν φωνή, οἵα ἐντεῦθεν· ἀλλ' ἐκεῖθεν μὲν τὰ πλείονα

πρὸ

περὶ αἰσθητῶν διελέγετο, ἀπὸ δὲ τῆς Παύλου γλώττης περὶ τῶν ὑπὲρ τοὺς οὐρανοὺς πραγμάτων. καὶ ἀπὸ μὲν τοῦ ἱλαστηρίου Ἰουδαίοις ἐχρημάτιζε μόνοις, ἐντεῦθεν δὲ τῇ οἰκουμένῃ πάσῃ· κἀκεῖ μὲν διὰ ἀψύχων, ἐνταῦθα δὲ διὰ ψυχῆς ἐναρέτου. τοῦτο καὶ οὐρανοῦ λαμπρότερον ἦν τὸ ἱλαστήριον, οὐ ποικιλίᾳ ἄστρων καταλαμπόμενον, οὐδὲ ἀκτῖσιν ἡλιακαῖς, ἀλλ᾽ αὐτὸν τὸν ἥλιον τῆς δικαιοσύνης ἔχον ἐκεῖθεν ἀφιέντα τὰς ἀκτῖνας. καὶ τοῦτον μὲν τὸν οὐρανὸν νέφος ὑποδραμὸν ποτὲ σκυθρωπότερον ἐργάζεται, τὸ δὲ στῆθος ἐκεῖνο οὐδεὶς ὑπέδραμε ποτὲ χειμὼν τοιοῦτος· μᾶλλον δὲ ὑπέδραμον μὲν πολλοὶ πολλάκις χειμῶνες, τὸ δὲ φῶς οὐκ ἐπεσκότισεν, ἀλλ᾽ ἐν μέσῳ τῶν πειρασμῶν καὶ τοῖς κινδύνοις τὸ φῶς ἀπέλαμπε τοῦτο. διὸ καὶ αὐτὸς ἅλυσιν περικείμενος ἐβόα, Ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. οὕτως ἀεὶ διὰ τῆς γλώττης ἐκείνης ἠφίει τὰς ἀκτῖνας· καὶ οὐ φόβος, οὐ κίνδυνος τὸ στῆθος ἐκεῖνο σκυθρωπὸν ἐποίει. τάχα παρελαύνειν δοκεῖ τὸ στῆθος τοὺς πόδας· ἀλλὰ κἀκεῖνοι ὡς πόδες, καλοί· καὶ τοῦτο, ὡς στῆθος. βούλει καὶ γαστέρα ἰδεῖν ὡραίαν; ἄκουσον τί φησι περὶ αὐτῆς. Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασι. τί ταύτης τῆς γαστρὸς γένοιτ᾽ ἂν ὡραιότερον τῆς οὕτω πεπαιδευμένης ἠρεμεῖν, καὶ σωφροσύνην πᾶσαν δεδιδαγμένης, καὶ εἰδυίας καὶ πεινῆν καὶ λιμώττειν καὶ διψῆν; καθάπερ γὰρ ἵππος εὔτακτος χρυσοῦν χαλινὸν λαβών, οὕτω καὶ αὕτη εὔρυθμα ἐβάδιζε τῆς φύσεως τὴν ἀνάγκην νικήσασα. ὁ γὰρ Χριστὸς ἐβάδιζεν ἐν αὐτῇ. ταύτης δὲ οὕτω σωφρονούσης, εὔδηλον ὅτι καὶ ἡ ἄλλη πᾶσα κακία ἐλύετο. βούλει καὶ χεῖρας ἰδεῖν τὰς νῦν; ἢ βούλει τὴν προτέραν αὐτῶν περιττοτέραν κακίαν θεάσασθαι; Εἰσπορευόμενος ἐστὶν εἰς τὰς οἰκίας, ἔσυρε πρότερον ἄνδρας καὶ γυναῖκας, οὐχὶ ἀνδρὸς χεῖρας, ἀλλὰ θηρίου τινὸς χαλεποῦ ἔχων. ἐπειδὴ δὲ τὰ χρώματα τῆς ἀληθείας ἔλαβε καὶ τὴν πνευματικὴν ἐμπειρίαν, οὐκέτι ἀνδρὸς ἐγένοντο αἱ χεῖρες αὗται, ἀλλὰ πνευματικαί, καθ᾽ ἑκάστην ἡμέραν δεσμούμεναι ἁλύσεσι· καὶ ἔπληξαν μὲν οὐδένα ποτέ, ἐπλήγησαν δὲ μυριάκις. ἠδέσθη ποτὲ καὶ ἔχις ταύτας τὰς χεῖρας. οὐ γὰρ ἦσαν ἀνθρώπου χεῖρες λοιπόν· διὰ τοῦτο οὐδὲ καθῆψατο αὐτῶν. βούλει καὶ τὰ νῶτα ἰδεῖν τοῖς λοιποῖς ἐοικότα μέλεσιν; ἄκουσον τί φησι καὶ περὶ αὐτῶν· Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ Ἰουδαίων, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. ἀλλ᾽ ἵνα μὴ καὶ ἡμεῖς εἰς βυθὸν ἄπειρον ἐμπεσόντες, πολλὰ περιενεχθῶμεν καθ᾽ ἕκαστον αὐτοῦ τῶν μελῶν ἐπιόντες, δεῦρο ἀποστάντες τοῦ σώματος, ἕτερον κάλλος ἴδωμεν τὸ ἀπὸ τῶν ἱματίων, ὃ καὶ δαίμονες ᾐδέσθησαν (διὸ καὶ αὐτοὺς ἔφριξαν) καὶ νοσήματα ἐθεράπευε. καὶ ὅπουπερ ἂν ἔφθη Παῦλος, πάντα ὑπεχώρει καὶ ὑπεξίστατο, καθάπερ τοῦ τῆς οἰκουμένης ἀριστέως παραγινομένου. καὶ ὥσπερ οἱ πολλὰς λαβόντες ἐν πολέμῳ πληγάς, κἂν ὅπλον ἴδωσι τοῦ πλήξαντος αὐτούς, πεφρίκασιν· οὕτω δὴ καὶ οἱ δαίμονες, σιμικίνθια μόνον ὁρῶντες, ἐξίσταντο. ποῦ νῦν εἰσιν οἱ πλουτοῦντες, καὶ μέγα φρονοῦντες ἐπὶ χρήμασι; ποῦ οἱ τὰ ἀξιώματα ἑαυτῶν ἀριθμοῦντες, καὶ τὰ ἱμάτια τὰ πολυτελῆ; πρὸς ταῦτα παραβάλλοντες ἑαυτούς, πηλὸν ὄψονται καὶ βόρβορον τὰ ἑαυτῶν ἅπαντα. καὶ τί λέγω ἱμάτια, καὶ χρυσία; εἰ γάρ μοι τῆς οἰκουμένης ἔδωκέ τις κρατῆσαι πάσης, τὸν ὄνυχα μόνον Παύλου πάσης ἂν τῆς βασιλείας ἐκείνης ἰσχυρότερον εἶναι ἐνόμισα· πάσης τρυφῆς, τὴν πενίαν· πάσης δόξης, τὴν ἀδοξίαν· παντὸς πλούτου, τὴν γύμνωσιν· πάσης ἀδείας, τὸν κολαφισμὸν τῆς ἱερᾶς ἐκείνης κεφαλῆς· παντὸς διαδήματος, τοὺς λίθους οὓς ἐδέξατο. τοῦτον ποθήσωμεν τὸν στέφανον, ἀγαπητοί· καὶ εἰ μὴ διωγμός ἐστι, τέως παρασκευάσωμεν ἑαυτούς· οὐδὲ γάρ ἐστιν ἀπὸ διωγμῶν μόνον λαμπρὸς ὁ ἀνήρ. καὶ γὰρ ἔλεγεν, Ὑποπιέζω μου τὸ σῶμα· τοῦτο δὲ καὶ χωρὶς διωγμοῦ δυνατὸν κατορθοῦν. Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι, φησὶν, εἰς ἐπιθυμίας. καὶ πάλιν, Ἔχον-

γρ. ἀπέλαμπεν

β. Τιμ. β. θ.

α. Κορ. η. ιγ.

β. Κορ. ια. κε.

γρ. ἐλθόντες

α. Κορ. θ. κζ.

Ρωμ. ιγ. ιδ.

α. Τιμ. ς. η.

τες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. εἰς ταῦτα γὰρ διωγμῶν οὐ χρεία. καὶ τοὺς εὐπόρους δὲ ἐσωφρόνιζε, λέγων· Οἱ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν. [α. Τιμ. ς. θ.] ἐὰν οὖν καὶ ἡμεῖς οὕτως ἑαυτοὺς ἀσκήσωμεν, εἰς τὸν ἀγῶνα εἰσελθόντες στεφανωθησόμεθα, καὶ διωγμοῦ μὴ παρόντος, πολλὰ ὑπὲρ αὐτῶν ληψόμεθα τὰ βραβεῖα. ἐὰν δὲ λιπαίνωμεν τὸ σῶμα καὶ χοίρων βίον ζῶμεν, καὶ ἐν εἰρήνῃ πολλὰ ἁμαρτησόμεθα καὶ αἰσχύνην οἰσόμεθα. οὐχ ὁρᾷς πρὸς τίνας ἡμῖν ἡ πάλη; πρὸς τὰς ἀσωμάτους δυνάμεις. πῶς οὖν, σάρκες ὄντες, τούτων περιεσόμεθα; εἰ γὰρ πρὸς ἀνθρώπους τις παλαίων, δεῖται σωφρόνως ἑστιᾶσθαι, πολλῷ μᾶλλον πρὸς δαίμονας. ὅταν δὲ μετὰ τῆς πολυτροφίας καὶ τῷ πλούτῳ ὦμεν προσδεδεμένοι, πόθεν κρατήσομεν τῶν ἀντιπάλων; δεσμὸς γάρ ἐστιν ὁ πλοῦτος, δεσμὸς χαλεπὸς τοῖς οὐκ εἰδόσιν αὐτῷ χρῆσθαι, τύραννος ὠμὸς καὶ ἀπάνθρωπος, ἐπὶ λύμῃ τῶν δουλευόντων πάντα ἐπιτάττων. ἀλλ᾽, ἐὰν θέλωμεν, τὴν πικρὰν ταύτην τυραννίδα ἀπὸ τοῦ θρόνου καταστρέψομεν, καὶ ἡμῖν εἴκειν ποιήσομεν, ἀλλ᾽ οὐκ ἐπιτάττειν. πῶς οὖν τοῦτο ἔσται; ὅταν εἰς πάντας τὸν πλοῦτον διανέμωμεν. ἕως μὲν γὰρ ἂν μόνος ᾖ πρὸς μόνους, καθάπερ λῃστής τις ἐν ἐρημίᾳ, πάντα ἐργάζεται τὰ κακά· ὅταν δὲ εἰς μέσον αὐτὸν ἀγάγωμεν, οὐκέτι ἡμῶν κρατήσει, πάντοθεν αὐτὸν πάντων δεσμούντων. καὶ ταῦτα λέγω, οὐκ ἐπειδὴ ἁμαρτία τὰ χρήματα· τοῖς πτωχοῖς μὴ διανέμειν αὐτά, ἁμαρτία, καὶ κακῶς αὐτοῖς χρῆσθαι. οὐδὲν γὰρ ὁ Θεὸς κακὸν ἐποίησεν, ἀλλὰ πάντα καλὰ λίαν· ὥστε καὶ τὰ χρήματα καλά· ἀλλ᾽ ἐὰν μὴ κρατῇ τῶν κεκτημένων, ἐὰν τὰς πενίας τῶν πλησίον λύῃ. οὐδὲ γὰρ φῶς ἐκεῖνο καλόν, τὸ μὴ ἀφανίζον σκότος, ἀλλὰ καὶ ἐπιτεῖνον· οὐδὲ πλοῦτον ἂν εἴποιμι τοῦτον, τὸν οὐ λύοντα πενίαν, ἀλλ᾽ αὔξοντα πενίαν. ὁ γὰρ πλουτῶν οὐ ζητεῖ παρ᾽ ἑτέρων λαμβάνειν, ἀλλ᾽ ἑτέροις ἐπικουρεῖν· ὁ δὲ παρ᾽ ἑτέρων ζητῶν λαβεῖν, οὐκέτι πλουτεῖ, ἀλλ᾽ αὐτός ἐστιν ὁ πένης. ὥστε οὐ τὰ χρήματα, κακόν, ἀλλ᾽ ἡ πονηρὰ διάνοια, ἡ τὸν πλοῦτον εἰς πενίαν ἄγουσα. οὗτοι τῶν διὰ τῶν στενωπῶν ἐπαιτούντων ἀθλιώτεροι τῶν ″πήρωσιν ἐχόντων καὶ λελωβημένων τὰ σώματα· [γρ. πήρω] τῶν ῥάκια περιβεβλημένων οἱ ἐν τοῖς σηρικοῖς καὶ λαμπροῖς ἱματίοις· οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς τῶν κατὰ τὰ ἄμφοδα βαδιζόντων καὶ εἰς τὰς αὐλὰς εἰσιόντων καὶ κάτωθεν βοώντων καὶ ἐπαιτούντων ἐλεεινότεροι. οὗτοι μὲν γὰρ τὸν Θεὸν ἀνυμνοῦσι, καὶ ἐλέους φθέγγονται ῥήματα, καὶ φιλοσοφίας πολλῆς. διὸ καὶ ἐλεοῦμεν αὐτούς, καὶ χεῖρα ὀρέγομεν, καὶ οὐδέποτε ἐγκαλοῦμεν. οἱ δὲ πλουτοῦντες κακῶς, ὠμότητος καὶ ἀπανθρωπίας, ἁρπαγῆς καὶ σατανικῆς ἐπιθυμίας ἐρεύγονται λόγους· διὸ καὶ παρὰ πᾶσίν εἰσι μισητοὶ καὶ καταγέλαστοι. σκόπει δέ, τί παρὰ πᾶσιν ἀνθρώποις αἰσχρὸν εἶναι δοκεῖ; τὸ παρὰ τῶν πλουτούντων αἰτεῖν, ἢ τὸ παρὰ τῶν ἀπόρων; παντί που δῆλον, ὅτι παρὰ τῶν ἀπόρων. τοῦτο τοίνυν οἱ πλουτοῦντες ποιοῦσι (οὐ γὰρ ἂν τολμήσαιεν τοῖς πλουσιωτέροις προσελθεῖν) οἱ δὲ ἐπαιτοῦντες, παρὰ τῶν εὐπόρων. οὐ γὰρ τὸν ἐπαίτην ὁ ἐπαίτης αἰτήσει, ἀλλὰ τὸν εὔπορον· ὁ δὲ πλούσιος τὸν πένητα προσαιτεῖ. πάλιν τί σεμνότερον, εἰπέ μοι, παρὰ ἑκόντων λαβεῖν καὶ χάριν εἰδότων, ἢ τοὺς οὐ θέλοντας ἀναγκάζειν καὶ ἐνοχλεῖν; εὔδηλον ὅτι τοὺς μὴ βουλομένους μὴ ἐνοχλεῖν. ἀλλὰ καὶ τοῦτο οἱ πλουτοῦντες ποιοῦσιν. οἱ μὲν γὰρ πένητες, παρὰ ἑκόντων λαμβάνουσι καὶ χάριν εἰδότων· οἱ δὲ πλουτοῦντες, παρὰ ἀκόντων καὶ μὴ βουλομένων, ὃ μείζονός ἐστι πενίας ἀπόδειξις. εἰ γὰρ οὐδὲ ἐπ᾽ ἄριστον ἕλοιτό τις ἀπελθεῖν, εἰ μὴ χάριν ὁ καλῶν εἰδείη τῷ καλουμένῳ, πῶς χρήματα ″μεταλαβεῖν μετ᾽ ἀνάγκης καλόν; [γρ. λαβεῖν] τοὺς κύνας οὐ διὰ τοῦτο ἀποστρεφόμεθα, καὶ φεύγομεν τοὺς ὑλακτοῦντας, ὅτι τῇ πολλῇ προσεδρίᾳ ἡμᾶς ἐκβιάζονται; τοῦτο καὶ οἱ πλούσιοι ποιοῦσιν. ἀλλὰ τὸν φόβον προστεῖναι τῇ δόσει σεμνότερον; τοῦτο μὲν οὖν πάντων αἰσχρότερον. ὁ γὰρ πάντα κινῶν ὑπὲρ τοῦ λαβεῖν, τίνος οὐκ ἂν εἴη καταγελαστότερος; καὶ γὰρ τοὺς κύνας πολλάκις φοβηθέντες, προηκάμεθα ἅπερ κατείχομεν. τί πάλιν αἰσχρότερον, εἰπέ μοι, ῥάκια περιβεβλημένον αἰτεῖν, ἢ σηρικὰ φοροῦντα; ὅταν μὲν γὰρ πλουτῶν τις γέροντας θεραπεύῃ

πένητας ὥστε τὰ ἐκείνων λαβεῖν, καὶ ταῦτα παίδων ὄντων, τίνος ἔσται συγγνώμης ἄξιος; Εἰ δὲ βούλεσθε, καὶ τὰ ῥήματα αὐτὰ ἐξετάσωμεν, ἵνα μὲν οἱ πλουτοῦντες ἐπαιτοῦντες λέγωσιν, ἵνα δὲ οἱ πένητες. Τί οὖν ὁ πένης φησίν; ὅτι ὁ διδοὺς ἐλεημοσύνην οὐ μετεωρίσει ποτέ, ὅτι ἀπὸ τῶν τοῦ Θεοῦ δίδωσιν, ὅτι ὁ Θεὸς φιλάνθρωπος καὶ μείζονα ἀντιδίδωσιν, ἅπερ ἅπαντα φιλοσοφίας ἐστὶ ῥήματα, καὶ παραινέσεως, καὶ συμβουλῆς. ἀξιοῖ σε γὰρ πρὸς τὸν δεσπότην ἰδεῖν, καὶ τὸν φόβον ἐξαίρει σου τῆς μελλούσης πενίας· καὶ πολλὴν ἄν τις ἴδοι διδασκαλίαν ἐν τοῖς τῶν ἐπαιτούντων ῥήμασι. τὰ δὲ τῶν πλουτούντων, ὁποῖα; χοίρων καὶ κυνῶν καὶ λύκων καὶ τῶν ἄλλων θηρίων. οἱ μὲν γὰρ αὐτῶν περὶ τραπεζῶν, καὶ ὄψων, καὶ καρυκευμάτων, καὶ οἴνου παντοδαποῦ, καὶ μύρων, καὶ ἱματίων, καὶ τῆς ἄλλης παντοδαπῆς διαλέγονται ἀσωτίας· οἱ δὲ περὶ τόκων, καὶ δανεισμάτων, καὶ γραμματεῖα πλάττοντες, καὶ χρεῶν ὄγκον ἀφόρητον ἐπαιωροῦντες, ὡς ἐκ πατέρων ἢ πάππων ἀρχὴν εἰληφότα, τῶν μὲν τὴν οἰκίαν, τῶν δὲ τὸν ἀγρόν, τῶν δὲ ἀνδράποδον ἀφαιροῦνται, καὶ τὰ ὄντα ἅπαντα. Τί δ' ἄν τις εἴποι τὰς διαθήκας, τὰς ἀντὶ μέλανος αἵματι γεγραμμένας; ἢ γὰρ κινδύνοις ἀφόρητον περιστήσαντες, ἢ μακραῖς τισι καταγοητεύσαντες ὑποσχέσεσιν, οὓς ἂν ἴδωσιν ὀλίγα τινὰ κεκτημένους, ἔπεισαν αὐτοὺς μὲν προσήκοντας ἅπαντας καὶ πενίᾳ πολλάκις ἀπολλυμένους παραδραμεῖν· αὐτοὺς δὲ ἀντ' ἐκείνων ἐγγράψαι. Ταῦτ' οὖν ποίων θηρίων οὐκ ἀποκρύπτει μανίαν καὶ ἀγριότητα; διό, παρακαλῶ, πάντα τὸν τοιοῦτον πλοῦτον φύγωμεν, τὸν αἰσχρὸν καὶ φόνων γέμοντα· καὶ κτησώμεθα τὸν πνευματικόν, καὶ τοὺς ἐν τοῖς οὐρανοῖς θησαυροὺς ἐπιζητήσωμεν. οἱ γὰρ τούτους ἔχοντες, ἐκεῖνοι οἱ πλούσιοι, ἐκεῖνοι οἱ εὔποροι, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ πάντων ἀπολαύοντες. ὁ γὰρ βουλόμενος πένεσθαι κατὰ τὸν τοῦ Θεοῦ λόγον, τὰς πάντων οἰκίας ἀνεῳγμένας ἔχει (παρὰ γὰρ οὐδὲν κεκτημένου διὰ τὸν Θεόν, ἕκαστος ἂν εἰσενέγκοι τὰ ἑαυτοῦ)· ὁ δὲ μικρὰ μετ' ἀδικίας βουλόμενος ἔχειν, τὰς ἁπάντων ἀπέκλεισε θύρας. ἵνα τοίνυν καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἀγαθῶν ἐπιτύχωμεν, ἑλώμεθα τὸν πλοῦτον τὸν ἀκίνητον, τὴν ἀθάνατον εὐπορίαν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. ιδ. 17 ΔΙΑ ΤΟΥΤΟ ΕΠΕΜΨΑ ΥΜΙΝ ΤΙΜΟΘΕΟΝ, ὅς ἐστι μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ Ἰησοῦ.

Σκόπει μοι καὶ ταύτην τὴν γενναίαν ψυχήν, τὴν πυρὸς θερμοτέραν καὶ χρηστοτέραν. ἐβούλετο μὲν γὰρ αὐτὸς παραγενέσθαι μάλιστα νοσοῦσιν οὕτω καὶ στασιάζουσι Κορινθίοις. καὶ γὰρ ᾔδει σαφῶς ἡλίκα τὸ ὠφέλει τοὺς μαθητὰς ἡ παρουσία αὐτοῦ, καὶ ἡλίκα ἔβλαπτεν ἡ ἀπουσία. καὶ τοῦτο μὲν ἐδήλωσεν ἐν τῇ πρὸς Φιλιππησίους, εἰπών· Μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ καὶ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. Φιλιπ. Β. ιβ. τοῦτο δὲ δείκνυσιν ἐν τῇ ἐπιστολῇ ταύτῃ λέγων· Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες· ἐλεύσομαι δέ. ἠπείγετο μὲν οὖν καὶ ἐπεθύμει παραγενέσθαι αὐτός· ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἐνῆν, τῇ ἐπαγγελίᾳ τῆς παρουσίας αὐτοὺς διορθοῦται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῇ τοῦ μαθητοῦ ἀποστολῇ. Διὰ τοῦτο γάρ φησιν, ἔπεμψα ὑμῖν Τιμόθεον. Διὰ τοῦτο, ποῖον; ἐπειδὴ ὡς παίδων κήδομαι, καὶ ὡς γεγεννηκώς. Καὶ μετὰ τῆς συστάσεως τοῦ προσώπου, ἡ ἐπιστολή· ὅς ἐστί μου τέκνον ἀγαπητόν, καὶ πιστὸν ἐν Κυρίῳ. τοῦτο δὲ εἶπε, τήν τε αὐτοῦ ἀγάπην ἐμφαίνων, κἀκείνους παρασκευάζων αἰδεσίμως αὐτὸν ἰδεῖν· καὶ οὐχ ἁπλῶς πιστόν, ἀλλ' ἐν Κυρίῳ, τουτέστιν, ἐν τοῖς κατὰ Κύριον πράγμασιν. Εἰ δὲ τὸ ἐν τοῖς βιωτικοῖς εἶναί τινα πιστόν, ἐγκώμιον, πολλῷ μᾶλλον ἐν τοῖς

πνευματικοῖς. Εἰ τοίνυν ἀγαπητὸν αὐτοῦ τέκνον, ἐννόησον πόση τοῦ Παύλου ἡ ἀγάπη, ὅτι εἵλετο αὐτοῦ χωρισθῆναι διὰ Κορινθίους. Εἰ δὲ καὶ πιστὸν, ἀλύπως διακονήσει τοῖς πράγμασιν. Ὃς ὑμᾶς ἀναμνήσει. Οὐκ εἶπε, διδάξει, ἵνα μὴ δυσαναχετῶσιν, ὡς παρ' αὐτοῦ μανθάνοντες. διὰ τοῦτο καὶ πρὸς τῷ τέλει φησί· (α. Κορ. 15. κ.) Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, καθὼς καὶ ἐγώ· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. οὐδεὶς γὰρ ἦν ἐν ἀποστόλοις φθόνος, ἀλλὰ πρὸς ἓν ἑώρων, τῆς ἐκκλησίας τὴν οἰκοδομήν. καὶ εἰ ἐλάττων ἦν ὁ ἐργαζόμενος, συνεκρότουν αὐτὸν μετὰ σπουδῆς ἁπάσης. διὰ τοῦτο οὐδὲ ἠρκέσθη τῷ εἰπεῖν, ἀναμνήσει, ἀλλ' ἐπιπλέον ὑποτέμνεσθαι βουλόμενος αὐτῶν τὸν φθόνον (καὶ γὰρ ἦν νέος ὁ Τιμόθεος) διὸ ἐπήγαγε, Τὰς ὁδούς μου, Οὐ τὰς αὐτοῦ, ἀλλὰ τὰς ἐμάς, τουτέστι, τὰς οἰκονομίας, τοὺς κινδύνους, τὰ ἔθη, τοὺς νόμους, τοὺς θεσμούς, τοὺς κανόνας τοὺς ἀποστολικούς, τὰ ἄλλα πάντα. ἐπειδὴ γὰρ εἶπε, γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ ταῦτα, φησι, πάντα ὑμᾶς ἀναμνήσει, καὶ τοὺς νόμους τοὺς τοῦ Χριστοῦ, ὥστε τὰς αἱρέσεις ἀνελεῖν. Εἶτα ἀνωτέρω τὸν λόγον ἀναγαγὼν ἐπήγαγε, Τὰς ἐν Χριστῷ, Πάντα ὡς εἴωθεν ἀνατιθεὶς τῷ δεσπότῃ, καὶ τὸ ἀξιόπιστον τὸ ἐξῆς ἐντεῦθεν κατασκευάζων. διὸ καὶ ἐπάγει·

Καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. Οὐδὲν πρὸς ὑμᾶς καινὸν εἶπον. ταῦτά μοι συνίσασι καὶ αἱ λοιπαὶ ἐκκλησίαι πᾶσαι. ὁδοὺς δὲ αὐτὰς ἐν Χριστῷ φησι, δεικνὺς ὅτι οὐδὲν ἔχουσιν ἀνθρώπινον, καὶ ὅτι μετὰ τῆς ἐκεῖθεν βοηθείας τὰ πάντα κατορθοῖ. Εἰπὼν δὲ ταῦτα, καὶ θεραπεύσας ἐκείνους, καὶ μέλλων ἐμβάλλειν εἰς τὴν κατηγορίαν τοῦ πεπορνευκότος, πάλιν θυμοῦ γέμοντας λόγους ἀφίησιν, οὐκ αὐτὸς ταῦτα πάσχων, ἀλλ' ἐκείνους διορθούμενος, καὶ τὸν πεπορνευκότα ἀφεὶς τοῖς ἄλλοις διαλέγεται, οὐκ ἀξιῶν ἐκεῖνον οὔτε τοῦ πρὸς αὐτὸν λόγου, ὅπερ ἐπὶ τῶν οἰκετῶν τῶν σφόδρα προσκεκρουκότων ποιοῦμεν. καὶ ἐπειδὴ εἶπεν ὅτι Τιμόθεον πέμπω, ἵνα μὴ τούτῳ ῥαθυμότεροι γένωνται, ὅρα τί φησιν.

18 Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. Ἐνταῦθα γὰρ καὶ ἐκείνων καθάπτεται, καὶ ἑτέρων τινῶν, καταστέλλων αὐτῶν τὸ φρόνημα. φιλαρχίας γὰρ τὸ ἔγκλημα, τῇ ἐρημίᾳ τοῦ διδασκάλου εἰς ἀπόνοιαν κεχρῆσθαι. ὅταν μὲν γὰρ πρὸς τοὺς πολλοὺς διαλέγηται, σκόπει πῶς ἐντρεπτικῶς αὐτὸ ποιεῖ· ὅταν δὲ πρὸς τοὺς αἰτίους, καταφορικώτερον. ἐκείνοις μὲν γὰρ λέγει, πάντων περίψημα, καὶ θεραπεύων αὐτούς φησιν, οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα· τούτοις δέ, ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες, δεικνὺς ὅτι παιδικῆς διανοίας ἡ ἀπόνοια. καὶ γὰρ οἱ παῖδες τῇ ἀπουσίᾳ τοῦ διδασκάλου ῥαθυμότεροι γίνονται. τοῦτο δὲ οὖν ἐνδείκνυται, καὶ ὅτι ἀρκεῖ πρὸς διόρθωσιν ἡ παρουσία. καθάπερ γὰρ λέοντος παρουσία ἅπαντα ποιεῖ κατεπτηχέναι τὰ ζῶα· οὕτω καὶ ἡ Παύλου, τοὺς διαφθείραντας τὴν ἐκκλησίαν. διὸ καὶ ἐπάγει·

19 Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ. Ἀλλὰ τὸ μὲν τοῦτο εἰπεῖν μόνον ἐδόκει ἀπειλῆς εἶναι· τὸ δὲ καὶ τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν καὶ αὐτὸν ἐπαγγέλλεσθαι, κἀκείνους ἀπαιτεῖν, τοῦτο ἦν μεγαλόφρονος διανοίας. διόπερ καὶ προσέθηκε τοῦτο, εἰπών· Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν.

Οὐδὲ γὰρ ἀπὸ κατορθωμάτων οἰκείων, ἀλλ' ἀπὸ τῆς τοῦ διδασκάλου ἀπουσίας ἡ ἀπόνοια ἦν· ὅπερ καὶ αὐτὸ γνώμης ἦν καταφρονητικῆς. διὰ τοῦτο εἰπών, ἔπεμψα Τιμόθεον, οὐκ εὐθέως εἶπεν, ἐλεύσομαι· ἀλλὰ πρότερον αὐτῶν κατηγορήσας, ὅτι ἐφυσιώθησαν, τότε φησίν, ἐλεύσομαι. εἰ μὲν γὰρ πρὸ τῆς κατηγορίας αὐτὸ τέθεικεν, ἀπολογία μᾶλλον ἐγένετο αὐτοῦ ὡς οὐκ ἀπολειφθέντος, καὶ οὐκ ἀπειλή, καὶ οὐδὲ οὕτως πιστὸς ὁ λόγος ἦν· νυνὶ δὲ μετὰ τὴν κατηγορίαν θείς, καὶ ἀξιόπιστον αὐτὸν καὶ φοβερὸν ἐποίησε. καὶ ὅρα αὐτοῦ τὸ βέβαιον καὶ ἀσφαλές. οὐ γὰρ ἁπλῶς εἶπεν, ἐλεύσομαι, ἀλλ', ἐὰν ὁ Κύριος θελήσῃ. καὶ οὐ τίθησι χρόνον ὡρισμένον.

ὠφελημένον. ἐπειδὴ γὰρ συνέβαινεν αὐτὸν βραδέως παραγίνεσθαι, τῇ ἀδηλίᾳ βούλεται αὐτοὺς ἐναγωνίους ποιῆσαι. καὶ ἵνα μὴ διὰ τοῦτο πάλιν ἀναπέσωσι, προσέθηκε, ταχέως. καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. οὐκ εἶπεν ὅτι γνώσομαι τὴν σοφίαν, οὐδὲ τὰ σημεῖα, ἀλλὰ τί; οὐ τὸν λόγον· κἀκεῖνο τῷ ὀνόματι καταφέρων, καὶ τοῦτο ἐπαίρων. καὶ τέως πρὸς τοὺς ἄλλους ἀποτείνεται τοὺς συγκροτοῦντας τὸν πεπορνευκότα. εἰ γὰρ πρὸς ἐκεῖνον ἔλεγεν, οὐκ ἂν εἶπε τὴν δύναμιν, ἀλλὰ τὰ ἔργα, ἅπερ ἦν αὐτῷ διεφθαρμένα. καὶ διὰ τί οὐ ζητεῖς τὸν λόγον; οὐκ ἐπειδὴ ἀπορῶ λόγου, ἀλλ' ἐπειδὴ ἐν δυνάμει τὰ ἡμέτερα. καθάπερ οὖν ἐν πολέμῳ οὐ τῶν πολλὰ φθεγγομένων τὸ κατορθοῦν, ἀλλὰ τῶν πολλὰ ἐργαζομένων· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τῶν λαλούντων, ἀλλὰ τῶν ποιούντων ἡ νίκη. μέγα φρονεῖς ἐπὶ εὐγλωττίᾳ, φησίν. ἀλλ' εἰ μὲν ῥητόρων ὁ ἀγὼν καὶ ὁ καιρὸς, καλῶς ἐντεῦθεν ἐφρόνεις· εἰ δὲ ἀποστόλων ἀλήθειαν καταγγελλόντων, καὶ σημείοις ταύτην βεβαιούντων, τί πεφύσησαι ἐπὶ πράγματι περιττῷ καὶ οὐδὲν ὄντι, οὐδὲ εἰς τὰ παρόντα τι συντελέσαι δυναμένῳ; τί γὰρ λόγων ἐπίδειξις δύναιτ' ἂν πρὸς τὸ νεκρὸν ἀναστῆσαι, ἢ δαίμονας ἐλάσαι, ἢ ἄλλην τινὰ τοιαύτην ἐργάσασθαι θαυματουργίαν; τούτων δὲ χρεία νῦν, καὶ διὰ τούτων τὰ ἡμέτερα συνίσταται. διὸ καὶ ἐπήγαγεν·

20 Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει.

Διὰ σημείων, φησὶν, οὐ διὰ εὐγλωττίας ἐκρατήσαμεν, καὶ τοῦ θείαν εἶναι τὴν διδασκαλίαν ἡμῶν, καὶ βασιλείαν καταγγέλλειν οὐρανῶν, μεγίστην ἀπόδειξιν παρεχόμενοι τὰ σημεῖα, ἅπερ ποιοῦμεν τῇ δυνάμει τοῦ πνεύματος. εἰ τοίνυν μεγάλοι τινὲς εἶναι βούλονται τῶν πεφυσιωμένων νῦν, ἐπειδὰν παραγένωμαι, δειξάτωσαν, εἴ τινα δύναμιν τοιαύτην ἔχουσι· καὶ μή μοι ῥημάτων προβαλλέσθωσαν κόμπους. οὐδὲν γὰρ ἐκείνη πρὸς ἡμᾶς ἡ τέχνη.

21 Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πρᾳότητος;

Πολὺ καὶ τὸ φοβερὸν ἔχει καὶ τὸ προσηνὲς ὁ λόγος οὗτος. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι γνώσομαι, ἐπιτεταμένου ἦν· τὸ δὲ εἰπεῖν, τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; ἐπὶ τὸν διδασκαλικὸν λοιπὸν ἀναβαίνοντος θρόνον, κἀκεῖθεν αὐτοῖς διαλεγομένου, καὶ τὴν ἐξουσίαν ἀναλαβόντος πᾶσαν. τί ἐστιν, ἐν ῥάβδῳ; ἐν κολάσει, ἐν τιμωρίᾳ, τουτέστιν, ἀνελῶ, πηρώσω· ὅπερ ἐπὶ τῆς Σαπφείρας ὁ Πέτρος ἐποίησεν· ὅπερ αὐτὸς ἐπὶ Ἐλύμα τοῦ μάγου. οὐκέτι γὰρ λοιπὸν ὡς παρεξετάζων ἐκείνοις ἑαυτὸν λέγει, ἀλλ' αὐθεντικῶς. καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐπιστολῇ τὸ αὐτὸ τοῦτο φαίνεται λέγων, ὅταν λέγῃ· Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. β. Κορ. ιγ. γ. ἐν ῥάβδῳ ἔλθω, ἢ ἐν ἀγάπῃ; τὸ γὰρ ἐν ῥάβδῳ ἐλθεῖν, οὐκ ἦν ἀγάπης; ἀγάπης μὲν ἦν· ἀλλ' ἐπειδὴ σφόδρα ἀγαπῶν ἀναδύεται πρὸς τιμωρίαν, διὰ τοῦτο οὕτω φησίν. ὅτε μὲν οὖν περὶ τιμωρίας ἔλεγεν, οὐκ εἶπε, πνεύματί τε πρᾳότητος, ἀλλὰ ῥάβδῳ· καίτοι κἀκεῖνο πνεύματι ἐγίνετο. ἔστι γὰρ πνεῦμα πρᾳότητος, καὶ πνεῦμα αὐστηρότητος. ἀλλ' οὐ βούλεται οὕτως αὐτὸ καλεῖν, ἀλλ' ἀπὸ τῶν χρηστοτέρων. διὰ τοῦτο καὶ ὁ Θεὸς καίτοιγε τιμωρούμενος, ὅτι μὲν ἐλεήμων ἐστὶ καὶ μακρόθυμος καὶ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, πολλαχοῦ λέγεται· ὅτι δὲ κολαστικὸς, ἅπαξ που καὶ δεύτερον καὶ σπανιάκις, καὶ ταῦτα τῆς αἰτίας κατεπειγούσης. καὶ σκόπει σοφίαν Παύλου. τὴν ἐξουσίαν αὐτὸς ἔχων, καὶ τούτου κἀκείνου ἑτέρους ποιεῖ κυρίους, λέγων, τί θέλετε; ἐν ὑμῖν τὸ πρᾶγμα κεῖται. καὶ γὰρ ἡμεῖς ἐσμεν καὶ τούτου κἀκείνου κύριοι, καὶ τοῦ εἰς γέενναν ἐμπεσεῖν, καὶ τοῦ βασιλείας ἐπιτυχεῖν· ἐπειδὴ ὁ Θεὸς οὕτως ἠθέλησεν. Ἰδοὺ γάρ, φησι, πῦρ καὶ ὕδωρ· οὗ ἐὰν θέλῃς, ἔκτεινον τὴν χεῖρά σου. καὶ, Ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, Ἠσ. α. ιθ. τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε.*

ΗΘΙΚΟΝ

Ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι θέλω. καὶ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ θέλειν. ἀλλ' οὐκ ἀρκεῖ μοι τὸ θέλειν. καὶ μὴν ἀρκεῖ, ἐὰν ὡς χρὴ θέλῃς, καὶ τὰ τοῦ θέλοντος ποιῇς· νυνὶ δὲ οὐ σφόδρα

ὅρα θέλεις. καὶ τοῦτο ἐπὶ τῶν ἄλλων γυμνάσωμεν, εἰ δοκεῖ. εἰπὲ γάρ μοι, ὁ βουλόμενος γυναῖκα ἀγαγέσθαι, ἀρκεῖται τῷ θέλειν; οὐδαμῶς, ἀλλὰ καὶ προμνηστρίας ἐπιζητεῖ, καὶ φίλους ἀξιοῖ συναγρυπνῆσαι, καὶ χρήματα συνάγει. πάλιν ὁ ἔμπορος οὐκ οἴκοι καθήμενος ἀρκεῖται τῷ θελῆσαι, ἀλλὰ καὶ πλοῖον μισθοῦται, καὶ ναύτας καὶ κωπηλάτας καταλέγει, καὶ ἀργύριον δανείζεται, καὶ χώραν περιεργάζεται, καὶ ὠνίων τιμάς. πῶς οὖν οὐκ ἄτοποι εἰσὶν οἱ μὲν τὰ τῆς γῆς τοσαύτην σπουδὴν ἐπιδείκνυσθαι, εἰς δὲ τὸν οὐρανὸν ἐμπορεύεσθαι μέλλοντας τῷ θέλειν ἀρκεῖσθαι μόνον; μᾶλλον δὲ μηδὲ τοῦτο μετὰ τῆς προσηκούσης ἐπιδείκνυσθαι σπουδῆς; ὁ γὰρ θέλων ὡς δεῖ, καὶ τῶν πραγμάτων ἅπτεται τῶν ἐπὶ τοῦτο ἀγόντων ὃ θέλει. καὶ γὰρ ἐπειδὰν τὸ πεινῆσαι καταναγκάζῃ τραφῆναι, οὐ περιμένεις αὐτόματα τὰ σιτία πρὸς σὲ ἐλθεῖν, ἀλλὰ πάντα ποιεῖς ὑπὲρ τοῦ τὴν τροφὴν συναγαγεῖν. καὶ ἐπὶ τοῦ δίψην, καὶ ἐπὶ τοῦ ῥιγοῦν, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁμοίως ἐνεργὸς εἶ, καὶ παρατεταγμένος πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς βασιλείας ποίει, καὶ πάντως αὐτῆς ἐπιτεύξῃ. διὰ τοῦτο γάρ σε αὐτεξούσιον ἐποίησεν ὁ Θεός, ἵνα μὴ ὕστερον ἐγκαλῇς τῷ Θεῷ ὡς ἀνάγκῃ δεθείς. σὺ δὲ ὑπὲρ ὧν τιμῆς ἀπήλαυσας, ὑπὲρ τούτων ἀγανακτεῖς; καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων, διὰ τί γάρ με κύριον ἐποίησεν ἀρετῆς; ἀλλὰ πῶς ἔδει, κοιμώμενον καὶ νυστάζοντα καὶ τῆς κακίας ἐφιέμενον καὶ τρυφῶντα καὶ γαστριζόμενον ἐπὶ τὸν οὐρανὸν ἀναγαγεῖν; ἀλλ' οὐκ ἂν ἀπέστης κακίας. εἰ γὰρ νῦν, ἀπειλῆς κειμένης, οὐδὲ οὕτως ἀφίστασαι τῆς πονηρίας, εἰ καὶ τὸν οὐρανόν σοι προσέθηκεν ἔπαθλον, πότε ἂν ἐπαύσω γενόμενος ῥαθυμότερος καὶ χείρων πολλῶν; οὐδὲ γὰρ ἐκεῖνο ἕξεις εἰπεῖν, ὅτι ἔδειξε μὲν τὰ ἀγαθά, οὐκ ἐβοήθησε δέ. καὶ γὰρ πολλὴν ὑπισχνεῖταί σοι τὴν συμμαχίαν. ἀλλ' ἡ μὲν ἀρετή, φησιν, ἐπαχθὴς καὶ φορτική, τῇ δὲ κακίᾳ ἡδονὴ συγκέκραται πολλή. καὶ ἡ μέν ἐστι πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ στενὴ καὶ τεθλιμμένη. ἆρα δῆλον, εἰπέ μοι, ἢ ἀπὸ τῆς ἀρχῆς ἀμφότεραι τοιαῦται; καὶ γὰρ καὶ ἄκων ὑπὲρ τῆς ἀρετῆς λέγεις ταῦτα ἃ λέγεις. οὕτως ἰσχυρὸν ἡ ἀλήθεια. καὶ γὰρ εἰ δύο ἦσαν ὁδοί, ἡ μὲν ἐπὶ κάμινον, ἡ δὲ ἐπὶ παράδεισον φέρουσα, καὶ ἡ μὲν ἦν πλατεῖα ἡ ἐπὶ τὴν κάμινον, ἡ δὲ στενὴ ἡ ἐπὶ τὸν παράδεισον, ποίαν ἂν εἵλου μᾶλλον ὁδόν; κἂν γὰρ νῦν φιλονεικῶν ἀντείπῃς, ἀλλὰ τοῖς σφόδρα ὡμολογημένοις, κἂν σφόδρα ἀναίσχυντος ᾖς, ἀντειπεῖν οὐ δυνήσῃ. ὅτι μὲν γὰρ αὕτη μᾶλλόν ἐστιν αἱρετὴ ἡ τὴν ἀρχὴν ἔχουσα χαλεπήν, ἀλλὰ μὴ τὸ τέλος, ἀπὸ τῶν ἐν χερσὶν ὑμᾶς διδάξαι πειράσομαι. καί, εἰ βούλεσθε, τὰς τέχνας μεταχειρισώμεθα πρῶτον. αὗται γὰρ τὴν μὲν ἀρχὴν πόνου γέμουσαν ἔχουσι, τὸ δὲ τέλος ἐπικερδές. ἀλλ' οὐδείς, φησιν, ἢ ψαχ τέχνης μὴ τὸν ἀναγκάζοντα ἔχων. ἐπειδὰν γὰρ ᾖ κύριος ἑαυτοῦ, φησιν, ὁ νέος, μᾶλλον αἱρήσεται τρυφᾶν ἐν ἀρχῇ, καὶ πρὸς τῷ τέλει μυρία παθεῖν τὰ κακά, ἢ ταλαιπωρεῖσθαι ἐν προοιμίοις, καὶ καρποῦσθαι μετὰ ταῦτα ἐκ τῶν πόνων ἐκείνων. οὐκοῦν τὸ τὰ τοιαῦτα αἱρεῖσθαι, ὀρφανικῆς ἐστι διανοίας καὶ παιδικῆς ῥαθυμίας· τὸ δὲ τὰ ἐναντία, συνέσεως καὶ ἀνδρείας. οὕτω τοίνυν καὶ ἡμεῖς, εἰ μὴ ἦμεν παῖδες τὸν νοῦν, οὐκ ἂν ἐκείνῳ τῷ ὀρφανῷ καὶ ἀνοήτῳ, ἀλλὰ τῷ πατέρα ἔχοντι ἐξωμοιώθημεν ἄν. δεῖ τοίνυν τὴν παιδικὴν ἐκβαλεῖν διάνοιαν, ἀλλὰ μὴ τὰ πράγματα αἰτιᾶσθαι· καὶ τὸν ἡνίοχον ἐπιστῆσαι τῇ συνειδήσει, ὃς οὐκ ἐάσει γαστρίζεσθαι, ἀλλὰ τρέχειν καὶ ἀγωνίζεσθαι. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παῖδας μετὰ ταλαιπωρίας ἄγειν τὴν ἀρχὴν ἐπὶ πράγματα μὲν προοίμια ἔχοντα ἐπίμοχθα, τὸ δὲ τέλος χρηστόν, ἡμᾶς δὲ αὐτοὺς ἀπεναντίας ἐπὶ τῶν πνευματικῶν διακεῖσθαι πραγμάτων; καίτοιγε οὐδὲ ἐπὶ τῶν βιωτικῶν πάντως δῆλον ὅτι χρηστὸν ἔσται τὸ τέλος. καὶ γὰρ ἄωρος θάνατος, καὶ πενία, καὶ συκοφαντία, καὶ μεταβολὴ πραγμάτων, καὶ πολλὰ ἕτερα τοιαῦτα, μετὰ τοὺς πολλοὺς πόνους τῶν καρπῶν ἀποστερηθῆναι ἐποίησε. κἂν ἐπιτύχωσι δὲ τῶν μελλόντων, οὐδὲν μέγα καρπώσονται· τῷ γὰρ παρόντι βίῳ πάντα συγκαταλύεται ἐκεῖνα· ἐνταῦθα δὲ οὐδὲ ὑπὲρ τούτων τρέχομεν ψυχρῶν καὶ ἐπικήρων,

κήρων, οὔτε δεδοίκαμεν ὑπὲρ τοῦ τέλους, ἀλλὰ καὶ μείζων καὶ ἀσφαλεστέρα ἡ ἐλπὶς μετὰ τὴν ἐνθένδε ἀποδημίαν. τίς οὖν ἔσται συγγνώμη; τίς δὲ ἀπολογία μὴ βουλομένοις ἀποδύεσθαι πρὸς τοὺς ὑπὲρ ἀρετῆς πόνους; ἀλλ' ἐρωτῶσιν ἔτι, διὰ τί στενὴ ἡ ὁδός; καὶ εἰς μὲν τὰ βασίλεια τὰ ἐπίγεια τῶν πόρνων * καὶ τῶν λάγνων οὐκ ἀξιοῖς εἰσιέναι τινά· εἰς δὲ τὸν οὐρανὸν αὐτὸν μετὰ ἀδείας, καὶ τρυφῆς, καὶ μέθης, καὶ πλεονεξίας, καὶ κακίας ἁπάσης τοὺς ἀνθρώπους εἰσάγεσθαι ἀξιοῖς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; ἀλλ' οὐ τοῦτό, φησι, λέγω, ἀλλὰ διὰ τί μὴ εὐρύχωρος ἦν ἡ ἀρετή. καὶ μὴν ἐὰν θέλωμεν, καὶ σφόδρα ἐστὶν εὔκολος. τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τὸ διορύξαι τοῖχον, καὶ λαβόντα τὰ ἑτέρων ὕστερον εἰς δεσμωτήριον ἐμπεσεῖν, ἢ τοῖς οὖσιν ἀρκουμένους παντὸς ἀπηλλάχθαι φόβου; καίτοιγε οὐδέπω πᾶν εἶπον. τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τὰ πάντων ὑφελόμενον, καὶ ὀλίγοις ἐντρυφήσαντα χρόνοις βραχύν, στρεβλοῦσθαι καὶ μαστίζεσθαι ἀθάνατα, ἢ ἐν πενίᾳ ζήσαντα δικαίᾳ βραχὺν καιρόν, διηνεκῶς τρυφᾶν ὕστερον; μήπω γὰρ τί λυσιτελέστερον ἐξετάσωμεν, ἀλλὰ τέως τί εὐκολώτερον. τί δὲ ἥδιον, ὄναρ ἰδεῖν χρηστὸν καὶ ἐν ἀληθείᾳ κολάζεσθαι, ἢ χαλεπὸν ὄναρ ἰδόντα ἐν ἀληθείᾳ τρυφᾶν; οὐκ εὔδηλον ὅτι τοῦτο; πῶς οὖν, εἰπέ μοι, τραχεῖαν καλεῖς τὴν ἀρετήν; τραχεῖα γάρ ἐστι πρὸς τὴν ὀλιγωρίαν ἐξεταζομένη τὴν ἡμετέραν· ἐπεὶ ὅτι γε ῥᾳδία καὶ εὔκολος, ἄκουσον τί φησιν ὁ Χριστός· Ὁ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν. εἰ δὲ οὐκ αἰσθάνῃ τῆς κουφότητος, δῆλον ὅτι προθυμίαν ἐρρωμένην οὐκ ἔχεις. ὥσπερ γὰρ ταύτης οὔσης, καὶ τὰ βαρέα κοῦφα, οὕτως οὐκ οὔσης, καὶ τὰ κοῦφα βαρέα. τί γάρ, εἰπέ μοι, τῆς τοῦ μάννα τραπέζης ἥδιον, καὶ ἀπονώτερον; ἀλλ' ἐδυσχέραινον οἱ Ἰουδαῖοι τοιαύτης ἀπολαύοντες τρυφῆς. τί λιμοῦ πικρότερον, καὶ τῶν ἄλλων τῶν ἐπιμόχθων ὧν ὑπέμεινε Παῦλος; ἀλλ' ἐσκίρτα καὶ ἔχαιρε καὶ ἔλεγε, Νῦν χαίρω ἐπὶ τοῖς παθήμασί μου. τί οὖν τὸ αἴτιον; ἡ τῆς γνώμης διαφορά. ἂν τοίνυν ταύτην, οἵαν εἶναι χρή, κατασκευάσῃς, ὄψει τὴν εὐκολίαν τῆς ἀρετῆς. τί οὖν, ἀπὸ τῆς γνώμης τῶν μελλόντων τοιαύτη γίνεται, φησιν; οὐκ ἀπὸ τῆς γνώμης μόνον, ἀλλὰ καὶ φύσει τοιαύτη τίς ἐστι. καὶ γὰρ εἰ διόλου ἐπίπονος ἦν ἐκείνη, καὶ αὕτη διόλου τὸ ἐναντίον, εἰκότως ἄν τις τῶν διαπεπτωκότων εἶπε ταύτην εὐκολωτέραν ἐκείνης· εἰ δὲ ἀρχὴν ἔχουσιν ἡ μὲν χαλεπήν, ἡ δὲ ἡδεῖαν, τὰ δὲ τέλη πάλιν ἀπεναντίας αὐταῖς, ἄπειρα δὲ τὰ τέλη, τῆς μὲν τὸ ἡδύ, τῆς δὲ τὸ βαρύ, ποίαν, εἰπέ μοι, εὐκολώτερον ἑλέσθαι; τί οὖν οὐχ αἱροῦνται πολλοὶ τὸ εὔκολον; ὅτι οἱ μὲν ἀπιστοῦσιν, οἱ δὲ καὶ πιστεύοντες, διεφθαρμένην τὴν γνώμην ἔχουσι, καὶ ἕλοιντ' ἂν τὴν πρόσκαιρον ἡδονὴν ἀντὶ τῆς αἰωνίας. οὐκοῦν τοῦτο εὔκολον. οὐκ εὔκολον, ἀλλ' ἀσθενοῦς ψυχῆς τοῦτο. καὶ καθάπερ οἱ πυρέττοντες, οὐκ ἐπειδὴ ἥδιον τὸ πρὸς βραχὺ τρυφᾶν τοῦ διόλου καίεσθαι, διὰ τοῦτο ψυχροποσίας ἐρῶσιν, ἀλλ' ἐπειδὴ κατάρχειν οὐκ ἀνέχονται τῆς ἐπιθυμίας τῆς ἀτόπου· οὕτω καὶ οὗτοι. ὡς εἴγε ἐπὶ τὴν κόλασίν τις αὐτοὺς ἔφερεν ὁμοῦ μετὰ τῆς ἡδονῆς, οὐκ ἄν ποτε ταύτην εἵλοντο. εἶδες πῶς οὐκ εὔκολον ἡ κακία; εἰ δὲ βούλει, καὶ ἐπ' αὐτῶν τῶν πραγμάτων ἐξετάσωμεν τὸ αὐτὸ τοῦτο πάλιν. τί γὰρ ἥδιον, εἰπέ μοι, καὶ εὐκολώτερον (ἀλλὰ μὴ πάλιν ἀπὸ τῆς ἐπιθυμίας τῶν πολλῶν τὰ πράγματα κρίνωμεν. οὐδὲ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων ψηφίζεσθαι χρή. οὐδὲ γάρ, ἂν μυρίους μοι δείξῃς πυρέττοντας καὶ τὰ ἐναντία τῇ ὑγείᾳ ζητοῦντας, καὶ αἱρουμένους μετὰ ταῦτα κολάζεσθαι, ἀποδέξομαι τὴν αἵρεσιν ταύτην) τί τοίνυν εὐκολώτερον, εἰπέ μοι, ἐφίεσθαι πολλῶν χρημάτων, ἢ μείζονα εἶναι τῆς ἐπιθυμίας ταύτης; ἐμοὶ μὲν γὰρ τοῦτο δοκεῖ. εἰ δὲ αὐτὸς ἀπιστεῖς, ἐπ' αὐτὰ τὰ πράγματα τὸν λόγον ἀγάγωμεν· καὶ ἔστω ὁ μὲν πολλῶν ἐφιέμενος, ὁ δὲ μηδενός. τί τοίνυν κρεῖττον, εἰπέ μοι, καὶ τί σεμνότερον; ἀλλὰ τοῦτο μὲν παρείσθω. τοῦτο γὰρ ὡμολόγηται, ὅτι οὗτος ἐκείνου σεμνότερος· καὶ οὐδὲν περὶ τούτου ζητοῦμεν νῦν, ἀλλὰ τίς εὐκολώτερον ζῇ βίον καὶ ἥδιον. ὁ μὲν γὰρ φιλάργυρος οὐδὲ τῶν ὄντων ἀπολαύσεται. ὃ γὰρ φιλεῖ, οὐκ ἂν ἕλοιτο δαπανῆσαι,

* καὶ τῶν μισθούντων

Ματθ. ια. λ.

Κολασ. α. κδ.

πτωχεῦσαι, ἀλλ' ἥδιον ἑαυτὸν ἂν κατακόψειε καὶ τὰς σάρκας περιέλοιτο, ἢ τὸ χρυσίον. ὁ δὲ καταφρονῶν χρημάτων, τοῦτο τέως ἐκέρδανε, τὸ τῶν ὄντων ἀπολαύειν ἁπλῶς καὶ μετ' ἀδείας πολλῆς, καὶ ἑαυτὸν προτιθέναι ἐκείνων. τί οὖν ἥδιον, μετ' ἀδείας ἀπολαύειν τῶν ὄντων, ἢ ὑπὸ δεσπότῃ ζῶντα τῷ πλούτῳ, μηδενὸς τολμᾶν ἅπτεσθαι τῶν ἑαυτοῦ; ὅμοιοι γάρ εἶναί μοι δοκεῖ, ὥσπερ ἂν εἴ τινες ἄνδρες δύο γυναῖκας ἔχοντες, καὶ σφόδρα αὐτῶν ἐρῶντες, μὴ ὁμοίως αὐταῖς χρῷντο· ἀλλὰ τῷ μὲν ἐξῇ καὶ ἅπτεσθαι καὶ ὁμιλεῖν τῇ γυναικί, ἐκείνῳ δὲ μηδὲ ἐγγὺς γενέσθαι. εἴπω καὶ ἕτερον, τοῦ μὲν τὴν ἡδονήν, τοῦ δὲ τὴν ἀθυμίαν ἐνδεικνύμενος. ὁ φιλάργυρος οὐδέποτε στήσεται τῆς ἐπιθυμίας ταύτης, οὐ τῷ μὴ δύνασθαι τὰ πάντων λαβεῖν μόνον, ἀλλὰ καὶ τῷ, ὅσα ἂν περιβάληται, μηδὲν ἡγεῖσθαι ἔχειν· ὁ δὲ χρημάτων καταφρονῶν, περιττὰ πάντα ἡγήσεται, καὶ οὐ κολάσει τὴν ψυχὴν ἀπεράντοις ἐπιθυμίαις. οὐδὲν γὰρ οὕτως εἰς κολάσεως λόγον ἐστίν, ὡς ἐπιθυμία ἀπολαύσεως ἐστερημένη, ὃ μάλιστα καὶ τὴν διεστραμμένην δείκνυσι γνώμην. σκόπει δέ. ὁ ἐπιθυμῶν χρημάτων καὶ κτησάμενος πλείονα, ὡς οὐδὲν ἔχων διάκειται ὁ τοιοῦτος. ἆρα τῆς νόσου ταύτης πολυπλοκώτερον τί γένοιτ' ἄν; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ ἔχων, οὐκ ἔχειν δοκεῖ αὐτὰ ἃ κατέχει, καὶ ὡς οὐκ ἔχων κόπτεται· κἂν τὰ πάντων λάβῃ, μᾶλλον ἀνιᾶται· κἂν κτήσηται ἑκατὸν τάλαντα, ὅτι μὴ χίλια ἔλαβεν, ἀλγεῖ· κἂν χίλια λάβῃ, ὅτι μὴ μύρια, δάκνεται· κἂν μύρια λάβῃ, ὅτι μὴ δεκάκις τοσαῦτα, κατακόπτεται· καὶ ἡ πλείων κτῆσις, αὐτῷ προσθήκη γίνεται πενίας. ὅσῳ γὰρ ἂν λάβῃ πλείονα, τοσούτῳ πλειόνων ἐπιθυμεῖ. οὐκοῦν ὅσῳ ἂν πλείονα λάβῃ, τοσούτῳ μᾶλλον γίνεται πένης. ὁ γὰρ πλειόνων ἐπιθυμῶν, μᾶλλον πένης ἐστίν. ὅταν μὲν οὖν ἑκατὸν ἔχῃ τάλαντα, οὐ σφόδρα πτωχεύει; χιλίων γὰρ ἐπιθυμεῖ. ὅταν χίλια λάβῃ, τότε μᾶλλον γίνεται πένης. οὐκέτι γὰρ χιλίων ὡς πρότερον, ἀλλὰ μυρίων ἑαυτὸν ἐν χρείᾳ φησὶν εἶναι. εἰ δὲ τὸ ἐπιθυμεῖν καὶ μὴ ἐπιτυγχάνειν ἡδονὴν εἶναι λέγεις, ἀγνοεῖν μοι σφόδρα δοκεῖς τῆς ἡδονῆς τὴν φύσιν. ὅτι γὰρ οὐχ ἡδονή, ἀλλὰ κόλασις τὸ τοιοῦτον, ἐφ' ἑτέρου αὐτὸ πάλιν ἀγαγόντες, ἐξετάσωμεν. ὅταν διψῶμεν, οὐ διὰ τοῦτο ἡδόμεθα πίνοντες, ὅτι τὸ δίψος παυόμεν· καὶ διὰ τοῦτο ἡδονὴ τὸ πίνειν, ὅτι μεγάλης ἡμᾶς ἀπαλλάττει βασάνου, τῆς ἐπιθυμίας λέγω τοῦ πίνειν; παντί που δῆλον. εἰ δὲ μέλλοιμεν ἐν ἐπιθυμίᾳ ἀεὶ διατελεῖν τοιαύτῃ, οὐδὲν ἔλαττον ἕξομεν τοῦ πλουσίου τοῦ ἐπὶ τοῦ Λαζάρου εἰς κολάσεως λόγον. ἐπεὶ καὶ ἐκείνῳ κόλασις τοῦτο ἦν, τὸ ἐπιθυμοῦντα σφοδρῶς σταγόνος μικρᾶς, μὴ ἐπιτυγχάνειν· ὅπερ καὶ οἱ φιλάργυροι πάσχειν μοι δοκοῦσι διηνεκῶς, καὶ κατ' ἐκεῖνον εἶναι τὸν ἀξιοῦντα ταύτης ἀπολαῦσαι, καὶ μὴ ἐπιτυγχάνοντα. μᾶλλον γὰρ αὐτῶν ἡ ψυχὴ τῆς ἐκείνου καίεται. καὶ καλῶς τις εἶπεν ὑδερικοῖς τινας εἶναι τοὺς φιλαργύρους. καθάπερ γὰρ ἐκεῖνοι πολὺ φέροντες ὕδωρ ἐν τῷ σώματι μᾶλλον ἐκκαίονται· οὕτω καὶ οἱ φιλάργυροι πολλὰ περιφέροντες χρήματα πλειόνων ἐπιθυμοῦσι. τὸ δὲ αἴτιον· οὔτε ἐκεῖνοι ἐν τοῖς προσήκουσι τόποις τὸ ὕδωρ ἔχουσιν, οὐδὲ οὗτοι ἐν τοῖς προσήκουσι λογισμοῖς τὴν ἐπιθυμίαν. φύγωμεν οὖν τὴν ξένην ταύτην καὶ κενὴν νόσον, φύγωμεν τὴν ῥίζαν τῶν κακῶν, φύγωμεν τὴν πυροῦσαν γέενναν (γέεννα γὰρ ἡ τούτων ἐπιθυμία) ἀνάπτυξον γοῦν τὴν ψυχὴν ἑκάστου, καὶ τοῦ καταφρονοῦντος χρημάτων, καὶ τοῦ μὴ καταφρονοῦντος· καὶ ὄψει ὅτι ὁ μὲν τοῖς μαινομένοις ἔοικεν, οὐδὲν οὔτε ἰδεῖν, οὔτε ἀκοῦσαι βουλόμενος· ὁ δὲ, λιμένι προσέοικε κυμάτων ἀπηλλαγμένῳ· καὶ πάντων ἐστὶ φίλος, ὥσπερ ἐκεῖνος ἐχθρός. ἄν τε γὰρ λάβῃ τις, οὐκ ἐλύπησεν· ἄν τε δῷ πάλιν τις αὐτῷ, οὐκ ἐφύσησεν, ἀλλά τις ἐστὶν ἐλευθερία παρ' αὐτῷ πᾶσαν ἄδειαν ἔχουσα. καὶ ὁ μὲν πάντας καὶ κολακεύειν καὶ ὑποκρίνεσθαι ἀναγκάζεται, οὗτος δὲ οὐδένα. εἰ τοίνυν καὶ πένης ἐστὶν ὁ φιλάργυρος, καὶ δειλός, καὶ εἴρων, καὶ ὑποκριτής, καὶ φόβων γέμει, καὶ τιμωρίας πολλῆς, καὶ κολάσεως, ὁ δὲ καταφρονῶν χρημάτων, τῶν ἐναντίων ἀπολαύει πάντων,

γρ. [illegible]

 χρς ε.

πάντων, οὐκ εὔδηλον ὅτι ἡδίων ἡ ἀρετή; καὶ τοῖς λοιποῖς δὲ ἂν ἐπεξήλθομεν κακοῖς, δι' ὧν δείκνυται ὅτι οὐδὲν ἐστὶ κακὸν ἡδονὴν ἔχον, εἰ μὴ πολλὰ ἡμῖν ἔμπροσθεν εἴρητο. Ταῦτ' οὖν εἰδότες, ἑλώμεθα τὴν ἀρετήν· ἵνα καὶ τῆς ἐνταῦθα ἡδονῆς ἀπολαύσωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιε. 1 ΟΛΩΣ ΑΚΟΥΕΤΑΙ ΕΝ ΥΜΙΝ ΠΟΡΝΕΙΑ, ΚΑΙ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐπὶ τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. 2 Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. χρς ε.

γρ. οὐ

Ὅτε μὲν περὶ τοῦ διεσπάσθαι αὐτοὺς διελέγετο, οὐκ εὐθέως καταφορικῶς ἐχρήσατο τῷ λόγῳ, ἀλλὰ προσηνέστερον πρότερον, καὶ ὕστερον εἰς κατηγορίαν ἐτελεύτησεν, οὕτως εἰπών· Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν. (α Κορ. α. ια.) ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' εὐθέως πληκτικῶς, καὶ κοινοῖ ὡς οἷόν τε τὸ ὄνειδος τοῦ ἐγκλήματος. οὐ γὰρ εἶπε, διατί ὁ δεῖνα ἐπόρνευσεν, ἀλλὰ τί; ἀκούεται ἐν ὑμῖν πορνεία· ἵνα μὴ ὡς ἀλλότριοι πάντη τῆς κατηγορίας ὄντες ῥᾳθυμήσωσιν, ἀλλ' ὡς τοῦ κοινοῦ πληγέντος, καὶ τῆς ἐκκλησίας διαβληθείσης, οὕτω γένωνται ἐναγώνιοι. οὐδεὶς γὰρ ἐρεῖ, φησίν, ὅτι ὁ δεῖνα ἐπόρνευσεν, ἀλλ' ὅτι ἐν τῇ Κορινθίων ἐκκλησίᾳ γέγονε τὸ ἁμάρτημα. καὶ οὐκ εἶπε, τολμᾶται πορνεία, ἀλλὰ ἀκούεται, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. καὶ γὰρ ἀεὶ ἀπὸ τῶν ἐθνικῶν ὀνειδίζει τοῖς πιστοῖς. καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγεν· Ἕκαστος τὸ ἑαυτοῦ σκεῦος κτάσθω ἐν ἁγιασμῷ, μὴ ἐν πάθει ἐπιθυμίας, καθὼς καὶ τὰ λοιπὰ ἔθνη· (α Θεσ. δ. δ.) καὶ Κολοσσαεῦσι καὶ Ἐφεσίοις, Μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ. (Εφεσ. δ. ιζ.) εἰ δὲ τὸ τὰ αὐτὰ αὐτοῖς ἁμαρτάνειν ἀσύγγνωστον, τὸ καὶ ὑπερβαίνειν τοὺς ἐθνικούς, ποῦ θήσομεν, εἰπέ μοι; παρὰ γὰρ ἐκείνοις, φησίν, οὐ μόνον οὐ τολμᾶται τὸ τοιοῦτον, ἀλλ' οὐδὲ ὀνομάζεται. εἶδες ποῦ τὸ ἔγκλημα ἐπῆρε; ὅταν γὰρ τοιοῦτοι φαίνωνται εὑρίσκοντες ἀσελγείας τρόπους, οὓς οὐ μόνον οὐ τολμῶσιν, ἀλλ' οὐδὲ ἴσασιν οἱ ἄπιστοι, ἄφατος τῆς ἁμαρτίας ἡ ὑπερβολή. καὶ τὸ ἐν ὑμῖν δέ, ἐμφαντικῶς εἴρηται, τουτέστιν, ἐν ὑμῖν τοῖς πιστοῖς, τοῖς τοσούτων ἀπολελαυκόσι μυστηρίων, τοῖς ἀπορρήτων κεκοινωνηκόσι, τοῖς ἐπὶ τὸν οὐρανὸν κληθεῖσιν. ὁρᾷς πόσης βαρυθυμίας ὁ λόγος γέμει; πόσου θυμοῦ κατὰ πάντων; εἰ γὰρ μὴ πολλῆς ὀργῆς ἐπέπληστο, μηδὲ πρὸς πάντας ἀπετείνετο, οὕτως ἂν εἶπεν· ἐπειδὴ ἤκουσα ὅτι ὁ δεῖνα ἐπόρνευσε, κολάσατε αὐτόν· νῦν δὲ οὐχ οὕτως, ἀλλὰ πρὸς πάντας ἀποδύεται. καὶ γὰρ εἰ μὲν προλαβόντες ἔγραψαν, ἐκεῖνα ἂν εἶπεν· ἐπειδὴ δὲ οὐ μόνον οὐκ ἔγραψαν, ἀλλὰ καὶ συνεσκίασαν τὸ σφάλμα, τούτου χάριν σφοδροτέρῳ κέχρηται τῷ λόγῳ. ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. διατί μὴ εἶπεν, ὥστε πορνεύειν εἰς γυναῖκα; τὸ σφόδρα αἰσχρὸν παρῃτήσατο. διὸ σεμνοτέρως αὐτὸ παρέδραμεν, ὡς ἐν τοῖς ἔμπροσθεν δεδηλωμένον, κἀν τούτῳ αὔξων τὸ ἔγκλημα πάλιν, καὶ δεικνὺς ὅτι τοιαῦτα τολμᾶται παρ' αὐτοῖς, ἃ οὐδὲ εἰπεῖν σαφῶς ἀνεκτὸν τῷ Παύλῳ. διὰ τοῦτο καὶ περιϊὼν τῷ αὐτῷ κέχρηται τρόπῳ λέγων, τὸν οὕτω τοῦτο κατεργασάμενον· καὶ πάλιν αἰσχύνεται καὶ ἐρυθριᾷ σαφῶς εἰπεῖν, ὅπερ καὶ ἡμῖν ἔθος ἐπὶ τῶν σφόδρα αἰσχρῶν ποιεῖν. καὶ οὐκ εἶπε, μητρυιάν, ἀλλά, γυναῖκα πατρός, ὥστε πολλῷ χαλεπώτερον πλῆξαι. καὶ γὰρ ὅταν τὰ ὀνόματα ἀρκῇ πρὸς κατηγορίαν, δι' αὐτῶν πρόεισιν, οὐδὲν προστιθείς. καὶ μή μοι εἴπῃς, φησίν, ὅτι εἷς ἐστὶν ὁ πεπορνευκώς· κοινὸν πάντων τὸ ἔγκλημα γέγονε. διὸ καὶ ἐπήγαγε, καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ· οὐκ εἶπε, τῷ ἁμαρτήματι (τοῦτο γὰρ ἀλογίας ἐστίν) ἀλλ' ἐπὶ τῇ διδασκαλίᾳ

γρ. διότι — γρ. βληθεῖσης — γρ. ἐμφαντικῶς — γρ. σεμνοτέρῳ

διδασκαλίᾳ τῇ παρ' ἐκείνου. αὐτὸς δὲ οὐ τοῦτο τέθεικεν, ἀλλ' ἀφῆκεν αὐτὸ μέσον, ἵνα πλήξῃ μειζόνως. καὶ σκόπει τὴν σύνεσιν Παύλου. πρότερον καθελὼν τὴν σοφίαν τὴν ἔξωθεν, καὶ δείξας οὐδὲν οὖσαν καθ' ἑαυτήν, κἂν μὴ ἁμάρτημα ᾖ προσκείμενον, τότε λοιπὸν καὶ περὶ τοῦ ἁμαρτήματος διαλέγεται. εἰ μὲν γὰρ πρὸς σύγκρισιν τοῦ πεπορνευκότος, σοφοῦ τινος ἴσως ὄντος, μέγα εἶναι τὸ χάρισμα τὸ πνευματικὸν ἔφησεν, οὐδὲν ἂν μέγα ἐποίει· τὸ δὲ καὶ χωρὶς ἁμαρτίας καθελεῖν, καὶ μηδὲν οὖσαν ἀποφῆναι τὴν σοφίαν τὴν ἔξωθεν, τοῦτο ἦν δεῖξαι σφόδρα εὐτελῆ αὐτὴν οὖσαν. διὸ πρότερον οὕτω τὴν σύγκρισιν ποιησάμενος, τότε καὶ τοῦ σφάλματος αὐτοῦ μέμνηται. κἀκείνῳ μὲν οὐκ ἀξιοῖ διαλέγεσθαι, καὶ τούτῳ δεικνὺς τὴν ὑπερβολὴν τῆς ἀτιμίας· τούτοις δέ φησιν, ὅτι ἔδει πενθεῖν ὑμᾶς καὶ θρηνεῖν καὶ ἐγκαλύπτεσθαι. νῦν δὲ τοὐναντίον ποιεῖτε. διὸ καὶ ἐπήγαγε· καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. καὶ τί γέγονεν ἵνα πενθήσωμεν, φησίν; ὅτι εἰς τὸ κοινὸν ἡ διαβολὴ τῆς ἐκκλησίας προεχώρησε. καὶ ἵνα τί κατορθώσωμεν πενθήσαντες; ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τοιοῦτος. καὶ οὐδὲ ἐνταῦθα τίθησιν αὐτοῦ τὸ ὄνομα, μᾶλλον δὲ οὐδαμοῦ, ὅπερ ἐπὶ τῶν σφόδρα ἀτόπων ποιεῖν εἰώθαμεν. καὶ οὐκ εἶπεν, οὐχὶ μᾶλλον ἐξεβάλετε, ἀλλ', ὡς ἐπὶ νόσου τινὸς καὶ λοιμοῦ, πένθους χρεία καὶ ἱκετηρίας ἐπιτεταμένης, ἵνα ἐξαρθῇ, φησί· καὶ εὐχῇ χρήσασθαι δεῖ εἰς τοῦτο, καὶ πάντα ἐργάσασθαι ὥστε αὐτὸν ἀποτμηθῆναι. καὶ οὐκ ἐγκαλεῖ ὅτι οὐκ ἐδήλωσαν αὐτῷ, ἀλλ' ὅτι οὐκ ἐπένθησαν ὥστε ἐξαρθῆναι, δεικνὺς ὅτι καὶ χωρὶς τοῦ διδασκάλου τοῦτο γενέσθαι ἔδει διὰ τὴν περιφάνειαν τοῦ πλημμελήματος.

3 Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι. Ὅρα θυμόν· οὐδὲ ἀναμεῖναι αὐτοῦ τὴν παρουσίαν ἀφίησιν, οὐδὲ ἐκδέξασθαι αὐτόν, καὶ τότε δῆσαι, ἀλλ' ὥσπερ ἵνα λοιμὸν μέλλων ἀπελαύνειν, πρὶν ἢ διαδοθῆναι εἰς τὸ λοιπὸν σῶμα, ἐπείγεται κατασχεῖν. διὸ καὶ ἐπάγει λέγων· Ἤδη κέκρικα ὡς παρών. Ταῦτα δὲ ἔλεγεν, οὐ μόνον κατεπείγων αὐτοὺς εἰς τὴν ἀπόφασιν, καὶ οὐκ ἀφεὶς ἄλλο τι βουλεύσασθαι, ἀλλὰ καὶ φοβῶν, ὡς εἰδὼς τὰ ἐκεῖ ψηφισόμενα*. τοῦτο γάρ ἐστι παρεῖναι τῷ πνεύματι, ὥσπερ ὁ Ἐλισσαῖος παρὼν τῷ Γιεζῇ, καὶ ἔλεγεν, Οὐχὶ ἡ καρδία μου ἦν μετὰ σοῦ; βαβαί, πόση τοῦ χαρίσματος ἡ δύναμις, ὅταν πάντας ὁμοῦ καὶ κατ' αὐτὸ εἶναι ποιῇ, καὶ τὰ πόρρωθεν εἰδέναι παρασκευάζῃ; ἤδη κέκρικα ὡς παρών. οὐκ ἀφίησιν αὐτοὺς ἕτερόν τι ἐννοῆσαι. καὶ γὰρ ἐξήνεγκα τὴν ἀπόφασιν ὡς παρών. μή μοι ἀναβολὰς καὶ μελλήσεις λέγε. οὐδὲν γὰρ ἕτερον δεῖ γενέσθαι. εἶτα ἵνα μὴ δόξῃ πολλὴ εἶναι ἡ αὐθεντία, μηδὲ αὐθαδέστερος φανῆναι ὁ λόγος, ὅρα πῶς καὶ αὐτοὺς κοινωνοὺς ποιεῖ τοῦ κρίματος. εἰπὼν γὰρ κέκρικα, ἐπήγαγε· Τὸν οὕτω τοῦτο κατεργασάμενον,

4. Βασ. ε. κϛ.

* ἢ κριθησόμενα.

4 Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

5 Παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ. Καὶ τί ἐστιν, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; κατὰ Θεόν, μὴ ἀνθρωπίνῃ κατεχομένους προλήψει. τινὲς δὲ οὕτως ἀναγινώσκουσι· τὸν οὕτω τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὑποστίξαντες ἐνταῦθα, ἢ μέσον θέντες, οὕτως ἐπάγουσι τὸ ἑξῆς λέγοντες, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ. καί φασι τὴν ἔννοιαν ταύτην εἶναι τῆς τοιαύτης ἀναγνώσεως· τὸν τοῦτο κατεργασάμενον, φησίν, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ παράδοτε τῷ Σατανᾷ, τουτέστι, τὸν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐνυβρίσαντα, τὸν μετὰ τὸ γενέσθαι πιστὸν καὶ ἐπώνυμον ἐκείνης τῆς προσηγορίας τοιαῦτα τολμήσαντα, παράδοτε τῷ Σατανᾷ. ἐμοὶ δὲ ἡ προτέρα ἀληθεστέρα ἔκδοσις εἶναι δοκεῖ. ποία δὴ αὕτη; ἐν τῷ ὀνόματι τοῦ Κυρίου συναχθέντων ὑμῶν, τουτέστιν, αὐτοῦ τοῦ ὀνόματος ὑμᾶς συνάγοντος, ὑπὲρ οὗ συνέρχεσθε. καὶ τοῦ ἐμοῦ πνεύματος πάλιν ἐπέστησεν αὐτοῖς ἑαυτόν, ἵν' ὅ-

ταν

τὴν δικάζωσιν, ὡς αὐτοῦ παρόντος, οὕτως αὐτὸν ἀποτέμωσι, καὶ μηδεὶς τολμήσῃ συγγνώμης αὐτὸν ἀξιῶσαι, εἰδὼς ὅτι Παῦλος εἴσεται τὰ γινόμενα. Εἶτα "φοβερώτερον αὐτὸ ποιῶν, [χ. φανερώτερον] φησί· (σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν, ἢ ὅτι ὁ Χριστὸς δύναται) τοιαύτην "ὑμῖν [χ. ἡμῖν] χάριν δοῦναι, ὡς δύνασθαι τῷ διαβόλῳ παραδιδόναι, ἢ ὅτι καὶ αὐτὸς μεθ' "ὑμῶν [χ. ἡμῶν] κατ' αὐτοῦ φέρει τὴν ψῆφον. καὶ οὐκ εἶπεν, ἐκδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ, ἀλλά, παραδοῦναι, ἀνοίγων αὐτῷ τῆς μετανοίας τὰς θύρας, καὶ ὥσπερ παιδαγωγῷ τὸν τοιοῦτον παραδιδούς. καὶ πάλιν, τὸν τοιοῦτον, καὶ οὐδαμοῦ ἀνέχεται τῆς προσηγορίας αὐτοῦ μνημονεῦσαι. Εἰς ὄλεθρον τῆς σαρκός. Ὥσπερ ἐπὶ τοῦ μακαρίου Ἰὼβ γέγονεν, ἀλλ' οὐχ ὑπὲρ τῆς αὐτῆς ὑποθέσεως. ἐκεῖ μὲν γὰρ ὑπὲρ στεφάνων λαμπροτέρων, ἐνταῦθα δὲ ὑπὲρ ἁμαρτημάτων λύσεως, ἵνα μαστίξῃ αὐτὸν ἕλκει πονηρῷ, ἢ νόσῳ ἑτέρᾳ. καίτοι μὴν ἀλλαχοῦ φησιν, ὅτι ὑπὸ τοῦ Κυρίου κρινόμεθα ταῦτα πάσχοντες· ἀλλ' ἐνταῦθα μᾶλλον καθάψασθαι θέλων, τῷ Σατανᾷ παραδίδωσι. καὶ τοῦτο δὲ τῷ Θεῷ δοκοῦν ἐγίνετο, ὥστε κολάζεσθαι αὐτοῦ τὴν σάρκα. ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀδηφαγίας καὶ τῆς τρυφῆς αἱ κατὰ τὴν σάρκα ἐπιθυμίαι τίκτονται, ταύτην κολάζει. Ἵνα δὲ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. Τουτέστιν, ἡ ψυχή· οὐχ ὡς ταύτης σωζομένης μόνης, ἀλλ' ὡς ὁμολογουμένου τούτου, ὅτι σωζομένης ἐκείνης, ἀναντιρρήτως καὶ τὸ σῶμα κοινωνήσει τῆς σωτηρίας. καὶ γὰρ θνητὸν δι' αὐτὴν ἐγένετο ἁμαρτοῦσαν· κἂν αὐτὴ δικαιοπραγήσῃ, πάλιν πολλῆς καὶ αὐτὸ ἀπολαύσεται δόξης. τινὲς δὲ τὸ πνεῦμα, τὸ χάρισμά φασιν, ὅπερ σβέννυται ἁμαρτανόντων ἡμῶν. ἵν' οὖν τοῦτο μὴ γένηται, φησί, τιμωρείσθω, ἵνα ταύτῃ βελτίων γενόμενος, ἐπισπάσηται τὴν χάριν, καὶ εὑρεθῇ σῴζων αὐτὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ περιεχόμενος. ὥστε κηδομένου μᾶλλόν ἐστι καὶ ἰατρεύοντος, οὐχὶ κόπτοντος ἁπλῶς, οὐδὲ κολάζοντος εἰκῆ καὶ μάτην. μεῖζον γὰρ τὸ κέρδος τῆς τιμωρίας. ἡ μὲν γὰρ πρόσκαιρος, τὸ δὲ διηνεκές. καὶ οὐχ ἁπλῶς εἶπεν, ἵνα τὸ πνεῦμα σωθῇ, ἀλλ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καλῶς αὐτοὺς καὶ εὐκαίρως τῆς ἡμέρας ἐκείνης ἀναμιμνήσκει, ἵνα καὶ αὐτοὶ προθυμότεροι ἔλθωσιν ἐπὶ τὴν ἰατρείαν, κἀκεῖνος καταδέξηται μᾶλλον, οὐχ ὡς ὀργῆς ῥήματα ὄντα, ἀλλ' ὡς πατρὸς κηδεμονικοῦ πρόνοιαν. διὰ γὰρ τοῦτο, καὶ εἰς ὄλεθρον τῆς σαρκὸς εἶπεν· ἤδη τῷ διαβόλῳ νόμους τιθείς, καὶ οὐκ ἀφεὶς αὐτὸν περαιτέρω προβῆναι. ὥσπερ ἐπὶ τοῦ Ἰὼβ ἔλεγεν ὁ Θεός, Πλὴν τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ. [Ἰωβ. β. ς.] Εἶτα ἀπαρτίσας τὴν ἀπόφασιν, καὶ ἐν βραχεῖ αὐτὴν εἰπών, καὶ οὐκ ἐνδιατρίψας, ἐπάγει πάλιν ἐπιτίμησιν, πρὸς ἐκείνους ἀποτεινόμενος·

6 Οὐ καλὸν τὸ καύχημα ὑμῶν; Δεικνὺς ὅτι ἐκεῖνοι μέχρι τοῦ παρόντος οὐκ εἴασαν αὐτὸν μετανοῆσαι, καυχώμενοι ἐπ' αὐτῷ. Εἶτα δηλοῖ ὅτι οὐκ ἐκείνου φειδόμενος μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ αὐτῶν τούτων. διὸ καὶ ἐπάγει· Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; Εἰ γὰρ καὶ ἐκείνου τὸ ἁμάρτημα, φησίν, ἀλλ' ἀμελούμενον δύναται καὶ τὸ λοιπὸν τῆς ἐκκλησίας σῶμα λυμήνασθαι. ὅταν γὰρ ὁ πρῶτος ἁμαρτὼν μὴ δῷ δίκην, ταχέως καὶ ἕτεροι "ταῦτα [χ. ταὐτὰ] πλημμελήσουσι. ταῦτα δὲ λέγει, δεικνὺς ὅτι ὑπὲρ ὅλης τῆς ἐκκλησίας, οὐχ ὑπὲρ ἑνὸς αὐτοῖς ἐστιν ὁ ἀγὼν καὶ ὁ κίνδυνος. διὸ καὶ τῆς εἰκόνος ἐδεήθη τῆς ζύμης. ὥσπερ γὰρ ἐκείνη, φησί, καὶ βραχεῖα οὖσα, ὅλον πρὸς ἑαυτὴν μεταβάλλει τὸ φύραμα· οὕτω καὶ οὗτος, ἂν ἀφεθῇ ἀτιμώρητος, καὶ ἀνεκδίκητος ἡ ἁμαρτία αὕτη γένηται, καὶ τοῖς λοιποῖς λυμανεῖται.

7 Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, Τουτέστι, τὸν πονηρὸν τοῦτον. μᾶλλον δὲ οὐ περὶ τούτου μόνον φησίν, ἀλλὰ καὶ ἄλλους αἰνίττεται. οὐ γὰρ πορνεία μόνον παλαιὰ ζύμη, ἀλλὰ καὶ πᾶσα κακία. καὶ οὐκ εἶπε, καθάρατε, ἀλλ', ἐκκαθάρατε, μετὰ ἀκριβείας καθάρατε, ὥστε μηδὲ λείψανον μηδὲ σκιὰν εἶναι τοιαύτην. τῷ μὲν οὖν εἰπεῖν, ἐκκαθάρατε, δείκνυσιν ἔτι πονηρίαν παρ' αὐτοῖς οὖσαν· τῷ δὲ εἰπεῖν, Ἵνα ἦτε νέον φύραμα,

καθὼς

καθώς ἐστε ἄζυμοι, Δηλοῖ καὶ ἐμφαίνει οὐ σφόδρα πολλῶν κρατῆσαι τὴν κακίαν.
Εἰ δὲ λέγει, καθώς ἐστε ἄζυμοι, οὐ τοῦτο λέγει ὅτι πάντες ἦσαν καθαροί, ἀλλὰ καθὼς πρέπει
εἶναι ὑμᾶς. Καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός.

8 · Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ'
ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. Οὕτω καὶ ὁ Χριστὸς ζύμην τὴν διδασκαλίαν
ἐκάλεσε. καὶ αὐτὸς δὲ ἐπιμένει τῇ μεταφορᾷ, ἀναμιμνήσκων παλαιᾶς αὐτοὺς ἱστορίας, καὶ
πάσχα, καὶ ἀζύμων, καὶ τῶν εὐεργεσιῶν τῶν τότε καὶ τῶν νῦν, καὶ τῶν κολάσεων, καὶ τῶν τιμωριῶν.
ἑορτῆς ἄρα ὁ παρὼν καιρός. καὶ γὰρ εἰπών, ἑορτάζωμεν, οὐκ ἐπειδὴ πάσχα παρῆν, οὐδὲ
ἐπειδὴ ἡ πεντηκοστὴ ἔλεγεν, ἀλλὰ δεικνὺς ὅτι πᾶς ὁ χρόνος, ἑορτῆς ἐστι καιρὸς τοῖς χριστιανοῖς,
διὰ τὴν ὑπερβολὴν τῶν δοθέντων ἀγαθῶν. τί γὰρ οὐ γέγονεν ἀγαθόν; ὁ υἱὸς τοῦ Θεοῦ ἄν-
θρωπος γέγονε διὰ σέ· θανάτου σε ἀπήλλαξεν· εἰς βασιλείαν ἐκάλεσεν. ὁ τοιούτων τοί-
νυν ἐπιτυχὼν σύ, καὶ ἐπιτυγχάνων, πῶς οὐκ ὀφείλεις ἑορτάζειν πάντα τὸν βίον; μηδεὶς
τοίνυν ἔστω κατηφὴς ἐπὶ πενίᾳ, καὶ νόσῳ, καὶ ἐπιβουλῇ. ἑορτῆς γὰρ ἡμῶν ὁ καιρὸς ἅπας. γρ. ἡμῖν
Φιλιπ. δ. δ. διό φησιν ὁ Παῦλος· Χαίρετε ἐν Κυρίῳ, χαίρετε, πάλιν ἐρῶ, χαίρετε. ἐν ταῖς ἑορταῖς οὐδεὶς γρ. πάντη
ῥυπαρὰ ἐνδέδυται ἱμάτια. μὴ τοίνυν μηδὲ ἡμεῖς. γάμοι γὰρ γεγόνασι, γάμοι πνευματικοί.
Ματθ. κβ. β. Ὡμοιώθη γάρ, φησιν, ἡ βασιλεία τοῦ Θεοῦ ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε ποιῆσαι γά- γρ. τῶν οὐρανῶν
μους τῷ υἱῷ αὐτοῦ. ἔνθα δὲ βασιλεὺς γάμους ποιεῖ, καὶ γάμους υἱῷ, τί μεῖζον ἂν γένοιτο τῆς ἑ-
ορτῆς ταύτης; μηδεὶς τοίνυν ῥάκια περιβεβλημένος εἰσίτω. οὐ περὶ ἱματίων ἡμῖν ὁ λόγος,
ἀλλὰ περὶ πράξεων ἀκαθάρτων. εἰ γάρ, πάντων λαμπρὰ ἐνδεδυμένων, εἷς
μόνος εὑρεθεὶς εἰς τὸν γάμον ῥυπαρὰ ἔχων, ἀπερρίφη μετ' ἀτιμίας, ἐννόησον ὅσην ἀπαιτεῖ
τὴν ἀκρίβειαν καὶ τὴν καθαρότητα ἡ εἰς τὸν γάμον ἐκεῖνον εἴσοδος. οὐ διὰ ταῦτα δὲ αὐ-
τοὺς μόνον ὑπομιμνήσκει τῶν ἀζύμων, ἀλλὰ καὶ δεικνὺς τὴν συγγένειαν τῆς παλαιᾶς πρὸς
τὴν καινήν, δεικνὺς δὲ καὶ ὅτι οὐκ ἔνι μετὰ τὰ ἄζυμα πάλιν εἰς Αἴγυπτον εἰσελθεῖν, ἀλλ'
ἂν ὑποστρέψαι βουληθῇ τις, τὰ αὐτὰ πείσεται ἐκείνοις. σκιὰ γὰρ ἐκεῖνα τούτων, κἂν ἀναι-
σχυντῇ ὁ Ἰουδαῖος. διόπερ κἂν ἐρωτήσῃς αὐτόν, οὐδὲν μέγα ἐρεῖ· μᾶλλον δὲ μέγα μὲν ἐρεῖ,
ἀλλ' οὐδὲν τοιοῦτον οἷον ἡμεῖς, ἐπειδὴ τὴν ἀλήθειαν οὐκ οἶδεν. ἐκεῖνος μὲν γὰρ ἐρεῖ ὅτι τοὺς κα-
τέχοντας Αἰγυπτίους οὕτω μετέβαλεν ὁ Θεός, ὥστε αὐτοὺς ἡμᾶς προσεξωθεῖν, τοὺς πρὸ
τούτου κατέχοντας ἡμᾶς πρὸς βίαν, καὶ μὴ συγχωρήσαντας ζυμῶσαι τὸ φύραμα. ἂν δὲ
ἐμέ τις ἔρηται, οὐκ Αἴγυπτον ἀκούσεται, οὐδὲ τὸν Φαραώ, ἀλλὰ τὴν ἐλευθερίαν τῆς πλάνης τῶν
δαιμόνων, καὶ τοῦ σκότους τοῦ διαβόλου· οὐχὶ Μωϋσέα, ἀλλὰ τὸν τοῦ Θεοῦ υἱόν· οὐχὶ ἐρυθρὰν
θάλασσαν, ἀλλὰ βάπτισμα μυρίων γέμον ἀγαθῶν, ἔνθα ὁ παλαιὸς ἄνθρωπος ἀπεπνί-
γη. πάλιν τὸν Ἰουδαῖον ἂν ἐρωτήσῃς, τίνος ἕνεκεν ἐξελαύνει πάντων τῶν ὁρίων τὴν ζύμην,
ἐνταῦθα καὶ σιγήσεται, καὶ οὐδὲ αἰτίαν ἐρεῖ. ἐπειδὴ γὰρ τὰ μὲν τύποι τῶν μελλόντων ἦσαν, καὶ
αἰτίας εἶχε τῶν γινομένων, τὰ δὲ οὐκέτι, ἵνα μὴ ἐξῇ κακουργεῖν Ἰουδαίοις, ἵνα μὴ ἐπιμένωσι
Ἐξοδ. ιβ. τῇ σκιᾷ. τί γάρ, εἰπέ μοι, βούλεται τὸ ἄρσεν, καὶ τὸ ἄμωμον, καὶ τὸ ἐνιαύσιον, καὶ τό, ὀστοῦν οὐ
συντριβήσεται; τί δὲ βούλεται τό, καὶ τοὺς γείτονας καλεῖν; ἢ τό, ἑστῶτας; ἢ τὸ ἐν ἑσπέρᾳ ἐσθίειν; ἢ
τό, τῷ αἵματι τειχίζεσθαι τὴν οἰκίαν; οὐδὲν ἕτερον ἐκεῖνος ἐρεῖ, ἀλλ' ἄνω καὶ κάτω τὴν Αἴγυπτον.
ἐγὼ δὲ ἐρῶ καὶ τὸ αἷμα τί βούλεται, καὶ ἡ ἑσπέρα, καὶ τὸ πάντας ἐσθίειν ὁμοῦ, καὶ τὸ ἑστῶτας
πάντας. περὶ ἑτέρου δὲ εἴπωμεν, διὰ τί ἐκ τῶν ὁρίων πάντων ἐλαύνεται ἡ ζύμη. τί οὖν
ἐστι τὸ αἴνιγμα; πάσης πονηρίας ἀπηλλάχθαι δεῖ τὸν πιστόν. ὥσπερ γὰρ ἐκεῖνος ἀπόλλυται
ἔνθα ἂν εὑρεθῇ παλαιὰ ζύμη, οὕτω καὶ παρ' ἡμῖν ἔνθα ἂν εὑρεθῇ πονηρία. οὐ γὰρ δήπου
ἐπὶ μὲν τῆς σκιᾶς τοσαύτη ἡ κόλασις, ἐπὶ δὲ ἡμῶν οὐ πολλῷ μείζων. εἰ γὰρ τὰς οἰκίας οὕτως
ἐκκαθαίρουσι τῆς ζύμης, καὶ μυῶν ὀπὰς περιεργάζονται, πολλῷ μᾶλλον ἡμᾶς τὴν ψυχὴν
διερευνᾶσθαι δεῖ, ὥστε πάντα λογισμὸν ἀκάθαρτον ἐκβάλλειν. ἀλλὰ τοῦτο παρ' αὐτοῖς περὶ ὧν

μὲν

μένη ἐγένετο, νῦν δὲ οὐκέτι. πανταχοῦ γὰρ ζύμη ὅπου Ἰουδαῖος. ἐν μέσαις γὰρ ταῖς πόλεσι
τὸ ἄζυμον γίνεται, ὅπερ ἐστὶ παίγνια μᾶλλον, ἢ νόμος λοιπόν. ἐπειδὴ γὰρ ἦλθεν ἡ ἀλήθεια, οὐκ-
έτι χώραν ἔχουσιν οἱ τύποι. ὥστε καὶ διὰ τοῦ παραδείγματος τούτου σφόδρα ἐξελαύνει τῆς
ἐκκλησίας τὸν πεπορνευκότα. οὐ γὰρ δὴ μόνον φησὶν, οὐδὲν ὠφελεῖ μένων, ἀλλὰ καὶ βλάπτει,
τῷ κοινῷ πάλιν τοῦ σώματος λυμαινόμενος. οὐ γὰρ οἶδέ τις πόθεν ἡ δυσωδία, κρυπτομένου
τοῦ σεσηπότος, ἀλλὰ τῷ κοινῷ ταύτην λογίζεται. διὸ καὶ ἐπείγει σφόδρα αὐτοὺς ἐκκαθᾶ-
ραι τὴν ζύμην. Ἵνα ἦτε, φησὶ, νέον φύραμα, καθὼς ἐστὲ ἄζυμοι. καὶ γὰρ τὸ πάσχα ἡμῶν
ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός. οὐκ εἶπεν, ἀπέθανεν, ἀλλ' οἰκειότερον τῷ προκειμένῳ, ἐτύ-
θη. μὴ ζήτει τοίνυν ἄζυμα τοιαῦτα, ἐπειδὴ μηδὲ ἀμνὸν ἔχεις τοιοῦτον. μὴ ζήτει ζύμην
τοιαύτην, ἐπειδὴ μηδὲ τὰ ἄζυμά σοι τοιαῦτα. ἐπὶ μὲν οὖν τῆς ζύμης τῆς αἰσθητῆς τὸ μὲν ἄ-
ζυμον γένοιτ' ἂν ζυμωτὸν, τὸ δὲ ζυμωτὸν οὐκέτ' ἂν γένοιτο ἄζυμον· ἐνταῦθα δὲ ἔνι τοὐναν-
τίον τοῦτο γενέσθαι πάλιν· ἀλλ' ὅμως αὐτὸ οὐκ ἐδήλωσε. ἐθέα τὴν σύνεσιν· ἐν τῇ
προτέρᾳ ἐπιστολῇ οὐ δίδωσιν ἐλπίδας ἐπανόδου τῷ πεπορνευκότι, ἀλλὰ πάντα αὐτοῦ τὸν
βίον ἐν μετανοίᾳ κελεύει γενέσθαι, ἵνα μὴ ῥαθυμότερον αὐτὸν ἐργάσηται τῇ ὑποσχέσει. οὐ
γὰρ εἶπε, παράδοτε αὐτὸν τῷ Σατανᾷ, ἵνα μετανοήσας πάλιν τῇ ἐκκλησίᾳ παραδοθῇ,
ἀλλὰ τί; ἵνα σωθῇ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. παραπέμπει γὰρ αὐτὸν εἰς ἐκεῖνον τὸν καιρὸν, ἵνα
αὐτὸν ἐναγώνιον ἐργάσηται. καὶ ὅταν ἔμελλεν αὐτὸν ἀφίζεσθαι μετὰ τὴν μετάνοιαν, οὐκ ἐκ-
καλύπτει, τὸν ἑαυτοῦ δεσπότην μιμούμενος. ὥσπερ γὰρ ὁ Θεός φησιν, Ἔτι τρεῖς ἡμέραι, καὶ Νι- Ἰων. γ. δ.
νευὶ καταστραφήσεται, καὶ οὐ προσέθηκεν, ἐὰν δὲ μετανοήσῃ, σωθήσεται· οὕτω καὶ Παῦλος οὐκ εἶ-
πεν, ἐὰν δὲ μετανοήσῃ ἀξίως, κυρώσομεν εἰς αὐτὸν ἀγάπην· ἀλλ' ἀναμένει ποιῆσαι αὐτὸν
τὸ ἔργον, καὶ τότε λαβεῖν αὐτὸν τὴν χάριν. εἰ γὰρ ἐξ ἀρχῆς τοῦτο εἶπεν, ἐξέλυσεν ἂν αὐτοῦ
τὸν φόβον. διόπερ οὐ μόνον οὐ ποιεῖ τοῦτο, ἀλλὰ διὰ τοῦ παραδείγματος τῆς ζύμης, οὐδὲ ἀ-
φίησιν αὐτὸν ἐλπίσαι ἐπάνοδον, ἀλλ' ἐκείνῃ τηρεῖ τῇ ἡμέρᾳ αὐτὸν, ἐκκαθάρατε λέγων
τὴν παλαιὰν ζύμην, καὶ μὴ ἑορτάζωμεν ἐν ζύμῃ παλαιᾷ. ἐπειδὴ δὲ μετενόησε, μετὰ
πάσης αὐτὸν εἰσήγαγε τῆς σπουδῆς. διὰ τί δὲ παλαιὰν καλεῖ; ἢ διὰ τὸ τὸν πρότερον
ἡμῶν βίον τοιοῦτον εἶναι, ἢ διὰ τὸ, τὸ παλαιὸν ἐγγὺς εἶναι ἀφανισμοῦ καὶ δυσῶδες καὶ αἰσχρὸν, οἷόν ἐστιν
ἡ ἁμαρτία. οὔτε γὰρ ἁπλῶς διαβέβληται τὸ παλαιὸν, οὔτε ἁπλῶς ἐπαινεῖται τὸ καινὸν,
ἀλλὰ πρὸς τὰ ὑποκείμενα. καὶ γὰρ ἀλλαχοῦ φησιν· Οἶνος νέος, φίλος νέος· ἐὰν δὲ παλαιω- Σειρ. θ. ιε.
θῇ, τότε μετ' εὐφροσύνης πίεσαι αὐτὸν, ἐγκωμιάζων ἐπὶ φιλίας μᾶλλον τὸ παλαιὸν, ἢ τὸ νέον.
καὶ πάλιν, Ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο, καὶ ἐνταῦθα πάλιν ἐπὶ ἐγκωμίων δόξης μεγίστης τὸ πα- Δαν. ζ. θ.
λαιὸν ἐκλαμβάνομεν· ἀλλαχοῦ δὲ ἐπὶ ψόγου λαμβάνει τὸ παλαιὸν ἡ γραφή. ἐπειδὴ γὰρ τὰ
πράγματα ποικίλα ἐστὶν ἐκ πολλῶν συγκείμενα, καὶ ἐπὶ ἀγαθοῖς καὶ ἐπὶ κακοῖς κέχρηται
τοῖς αὐτοῖς, οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον. ὅθεν καὶ ἀλλαχοῦ ψεγόμενον τὸ παλαιόν· Ἐπα- Ψαλ. ιζ. μς.
λαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. καὶ πάλιν, Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐ- Ψαλ. ς. ζ.
χθροῖς μου. καὶ πάλιν, Πεπαλαιωμένε ἡμερῶν κακῶν. οὕτω καὶ ἡ ζύμη πολλάκις εἰς τὴν Δαν. ιγ. νβ.
βασιλείαν τῶν οὐρανῶν λαμβάνεται, καίτοιγε ἐνταῦθα διαβληθεῖσα· ἀλλ' ἐκεῖ πρὸς ἕ-
τερον, καὶ ἐνταῦθα πρὸς ἕτερον.

Ἐμοὶ δὲ δοκεῖ μάλιστα ὁ περὶ τῆς ζύμης λόγος καὶ πρὸς τοὺς ἱερέας ἀποτείνεσθαι, οἳ ἀνέ- ΗΘΙΚΟΝ
χονται πολλὴν ἔνδοθεν εἶναι ζύμην παλαιὰν, οὐκ ἐκκαθαίροντες ἐκ τῶν ὁρίων, τουτέστιν, ἐκ
τῆς ἐκκλησίας τοὺς πλεονέκτας, τοὺς ἅρπαγας, καὶ πᾶν ὅπερ ἂν ἐκβάλλῃ τῆς βασιλείας τῶν
οὐρανῶν. καὶ γὰρ πλεονεξία, ζύμη παλαιά· καὶ ὅπουπερ ἂν πέσῃ, καὶ εἰς οἵαν οἰκίαν εἰσέλ-
θοι, ἀκάθαρτον αὐτὴν ἐργάζεται. κἂν μικρὰ ἐξ ἀδικίας κερδάνῃς, ὁλόκληρόν σου τὴν οὐσί-
αν ἐζύμωσε. διὰ τοῦτο πολλάκις τὰ εἰσενεχθέντα κακῶς ὀλίγα, τὰ καλῶς κείμενα ἐξέ-
βαλε πολλὰ ὄντα. οὐδὲν γὰρ σαθρότερον πλεονεξίας. κἂν τὴν κλεῖν ἐπιθῇς τῷ τοιούτῳ

ταμιείῳ,

ταμιείῳ, κἂν θύραν, κἂν μοχλόν, εἰκῆ πάντα ποιεῖς, πλεονεξίαν ἔνδον τὸν χαλεπώτατον ληστὴν ἀποκλείσας καὶ πάντα δυνάμενον ἐξενεγκεῖν. τί οὖν, φησιν, ὅταν πολλοὶ πλεονεκτοῦντες μὴ ταῦτα πάσχωσι; μάλιστα μὲν πείσονται, κἂν μὴ παρ' αὐτὰ πάθωσιν. ἂν δὲ νῦν ἐκφύγωσι, τότε φοβήθητι μᾶλλον. ἐπὶ μείζονι γὰρ κολάσει τηροῦνται. μᾶλλον δέ, κἂν αὐτοὶ διαφύγωσιν, ἀλλ' οἱ κληρονομήσαντες τὰ αὐτῶν, τὰ αὐτὰ πείσονται. καὶ ποῦ τοῦτο δίκαιον, φησί; καὶ σφόδρα δίκαιον. ὁ γὰρ διαδεξάμενος κλῆρον ἀδικίας γέμοντα, εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅμως τὰ ἑτέρων ἔχει· καὶ τοῦτο πέπεισαι ἀκριβῶς, καὶ διὰ τοῦτο δίκαιος ἂν παθεῖν. εἰ γὰρ τοῦ δεῖνος ἁρπάσαντος ἔλαβες σύ, εἶτα ἐλθὼν ὁ ἁρπαγεὶς ἀπῄτει, ἆρα ἂν ἤρκεσέ σοι εἰς ἀπολογίαν τὸ μὴ αὐτὸν ἡρπακέναι σε; οὐδαμῶς. τί γὰρ ἂν εἶπες ἐγκαλούμενος, εἰπέ μοι; ὅτι ἕτερος ἀπέδυσεν; ἀλλὰ σὺ κατέχεις. ἐκεῖνος ἥρπασεν; ἀλλὰ σὺ ἀπολαύεις. ταῦτα δὲ καὶ οἱ τῶν ἔξωθεν ἴσασι νόμοι, οἱ τοὺς ἁρπάσαντας καὶ ὑφελομένους ἀφέντες, ἐκείνους κελεύουσιν ἀπαιτεῖν, παρ' οἷς ἂν εὕροι τις τὰ αὐτοῦ κείμενα ἅπαντα. εἰ μὲν οὖν οἶδας τοὺς ἠδικημένους, ἀπόδος, καὶ ποίησον ὅπερ ἐποίησεν ὁ Ζακχαῖος μετὰ πολλῆς τῆς προσθήκης· εἰ δὲ ἀγνοεῖς, καὶ ἑτέραν σοι δίδωμι ὁδόν, καὶ οὐκ ἀποκλείω σε τῆς θεραπείας. εἰς τοὺς δεομένους διανέμησαι ταῦτα ἅπαντα, καὶ παραμυθήσῃ καὶ οὕτω τὸ δεινόν. εἰ δέ τινες καὶ εἰς παῖδας καὶ ἐκγόνους ταῦτα παρέπεμψαν, ἀλλ' ἕτερα ἀντὶ τούτων ἔπαθον δεινά. καὶ τί λέγω τὰ ἐνταῦθα; οὐ γὰρ δήπου καὶ κατ' ἐκείνην τὴν ἡμέραν ταῦτα ἔρχεται, ὅταν ἀμφότεροι γυμνοὶ φαίνωνται, οἵ τε ἁρπαγέντες, οἵ τε ἁρπάσαντες· μᾶλλον δὲ οὐχ ὁμοίως γυμνοί. τῶν μὲν γὰρ χρημάτων ὁμοίως ἑκάτερος γυμνός ἐστι, θάτερος δὲ καὶ τῶν ἐκ τούτων ἐγκλημάτων ἐμπεπλησμένος. τί τοίνυν ποιήσομεν κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν παρὰ τοῦ βήματος τοῦ φοβεροῦ ὁ κακῶς παθὼν καὶ τὰ αὐτοῦ πάντα ἀπολωλεκὼς παραχθῇ εἰς μέσον, σοῦ μηδένα ἔχοντος συνήγορον; τί πρὸς τὸν δικάζοντα ἐρεῖς; νῦν μὲν γὰρ καὶ διαφθεῖραι τὸ δικαστήριον δυνήσῃ τὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ τότε οὐκέτι· μᾶλλον δὲ οὐδὲ νῦν. καὶ γὰρ καὶ νῦν πάρεστιν ἐκεῖνο τὸ δικαστήριον. καὶ γὰρ ὁ Θεὸς ὁρᾷ τὰ γινόμενα, καὶ ἐντεῦθεν ἐπὶ τοῖς ἀδικουμένοις καὶ μὴ καλούμενος. ὁ γὰρ κακῶς παθών, κἂν αὐτὸς ἀνάξιος ᾖ τοῦ τυχεῖν τινος ἐκδικίας, ἀλλ' ὅμως, ἐπειδὴ τῷ Θεῷ τὰ γινόμενα οὐκ ἀρέσκει, ἔχει τὸν ἀμυνοῦντα πάντως. πῶς οὖν, φησιν, ὁ δεῖνα εὖ πράττει πονηρὸς ὤν; ἀλλ' οὐκ εἰς τέλος. ἄκουσον τί φησιν ὁ προφήτης·

Ψαλμ. λϛ. α. Μὴ παραζήλου ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται. ποῦ γάρ, εἰπέ μοι, μετὰ τὴν ἐνθένδε ἀπαγωγὴν ὁ ἁρπάσας; ποῦ αἱ λαμπραὶ ἐλπίδες; ποῦ τὸ σεμνὸν ὄνομα; οὐχὶ πάντα παρῆλθεν; οὐχὶ ὄναρ καὶ σκιὰ πάντα τὰ ἐκείνου; τοῦτο καὶ περὶ ἑκάστου τῶν τοιούτων προσδόκα, καὶ τοῦ ζῶντος καὶ τοῦ μετ' ἐκεῖνον. ἀλλ' οὐ τὰ τῶν ἁγίων ἀνδρῶν τοιαῦτα, οὐδὲ δυνήσῃ ταῦτα καὶ ἐπ' ἐκείνων εἰπεῖν, ὅτι σκιὰ καὶ ὄναρ καὶ διηγήματα τὰ τούτων. καὶ εἰ βούλει αὐτὸν τὸν ταῦτα εἰρηκότα, τὸν σκηνοποιόν, τὸν Κίλικα, τὸν οὐδὲ τίνος ἦν πατρὸς δῆλον, παραγάγωμεν εἰς μέσον. καὶ πῶς δυνατόν, φησι, γενέσθαι τοιοῦτον; ὅλως γὰρ ἐπιθυμεῖς; ὅλως ἐφίεσαι γενέσθαι τοιοῦτος; ναί, φησιν· οὐκοῦν ἐλθὲ τὴν ὁδόν, ἣν ἐκεῖνος ἦλθε, καὶ οἱ μετ' αὐτοῦ. καὶ ποίαν ἦλθεν ὁδόν; ὁ μὲν φησιν,

β. Κορ. ια. κζ. Πραξ. γ. ϛ. Ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι· ὁ δέ, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. οὕτως οὐδὲν εἶχον, καὶ ὅμως πάντα κατεῖχον. τί ταύτης σεμνότερον τῆς φωνῆς, τί μακαριώτερόν τε καὶ εὐπορώτερον; ἕτεροι μὲν γὰρ ἐπὶ τοῖς ἐναντίοις ἠβρύνοντο λέγοντες, ἔχω τόσα καὶ τόσα χρυσίου τάλαντα, καὶ πλέθρα γῆς ἄπειρα, καὶ οἰκίας, καὶ ἀνδράποδα· οὗτος δὲ ἐπὶ τῷ, πάντων εἶναι γυμνός. οὐ καταδύεται τῇ πενίᾳ, ὅπερ πάσχουσιν οἱ ἀνόητοι, οὐδὲ ἐγκαλύπτεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται. ποῦ νῦν οἱ πλουτοῦντες, οἱ τόκους ἀριθμοῦντες, καὶ τόκους τόκων, οἱ τὰ πάντων λαμβάνοντες, καὶ οὐδέποτε κορεννύμενοι; ἠκούσατε τῆς Πέτρου φωνῆς τῆς ἐπιδεικνυμένης πενίαν πλούτου μητέρα; τῆς μηδὲν ἐχούσης, καὶ τῶν τὰ διαδήματα περικειμένων εὐπορωτέρας; αὕτη γάρ,

ἡ μηδὲν

ἡ μηδὲν ἔχουσα καὶ νεκροὺς ἀνίστα, καὶ χωλοὺς διώρθου, καὶ δαίμονας ἤλαυνε, καὶ τοιαῦτα ἐχαρίζετο, ἅπερ οἱ τὴν ἁλουργίδα περιβεβλημένοι, καὶ τὰ μεγάλα καὶ φοβερὰ στρατόπεδα ἄγοντες, οὐδέποτε ἴσχυσαν. αὕτη ἡ φωνὴ τῶν εἰς οὐρανὸν ἤδη μεταστάντων, τῶν ἐκείνης ἐπειλημμένων τῆς κορυφῆς. οὕτως ἔστι μηδὲν ἔχοντα, τὰ πάντων κατέχειν· οὕτως ἔστι τὰ πάντων κεκτῆσθαι. ἂν δὲ κτησώμεθα τὰ πάντων, τῶν πάντων ἀπεστερήμεθα. τάχα αἴνιγμα τὸ εἰρημένον εἶναι δοκεῖ, ἀλλ' οὐκ ἔστιν. ἀλλὰ πῶς, φησιν, ὁ μηδὲν ἔχων, τὰ πάντων κατέχει; οὐ πολλῷ μᾶλλον ὁ τὰ πάντων ἔχων; οὐδαμῶς, ἀλλὰ τοὐναντίον*, ὡς κἀκεῖνοι ἐποίουν· καὶ αἱ κατὰ τὴν οἰκουμένην αὐτοῖς οἰκίαι ἦσαν ἀνεῳγμέναι πᾶσαι, καὶ χάριν εἶχον οἱ παρέχοντες, καὶ ὡς πρὸς φίλους καὶ συγγενεῖς ἤρχοντο. καὶ γὰρ πρὸς τὴν πορφυρόπωλιδα ἦλθον, καὶ ἐκείνη, καθάπερ θεραπαινὶς, τὰ ἑαυτῆς προὔθηκε· καὶ πρὸς τὸν δεσμοφύλακα, κἀκεῖνος τὴν οἰκίαν αὐτοῖς ἀνέῳξεν ἅπασαν· καὶ πρὸς ἑτέρους μυρίους. οὕτω πάντα εἶχον, καὶ οὐδὲν εἶχον. οὐδὲν γὰρ τῶν ὑπαρχόντων ἔλεγον ἴδιον εἶναι· διὰ τοῦτο πάντα ἦν αὐτῶν. ὁ γὰρ κοινὰ τὰ ὄντα ἡγούμενος, οὐ τοῖς αὐτοῦ μόνον, ἀλλὰ καὶ τοῖς ἑτέρων χρήσεται, ὡς ἰδίοις· ὁ δὲ ἀποσχίζων, καὶ ποιῶν ἑαυτὸν κύριον τῶν αὐτοῦ μόνων, οὐδὲ τούτων ἔσται κύριος. καὶ τοῦτο ἀπὸ ὑποδείγματος δῆλον. ὁ μηδὲν ὅλως κεκτημένος, μήτε οἰκίαν, μήτε τράπεζαν, μήτε περιττὸν ἱμάτιον, ἀλλὰ διὰ τὸν Θεὸν πάντων ἀπεστερημένος, ὡς ἰδίοις κέχρηται τοῖς κοινοῖς, καὶ παρὰ πάντων ἅπερ ἂν θέλῃ, λήψεται. οὕτω τὰ πάντων ὁ μηδὲν ἔχων, κατέχει· ὁ δὲ ἔχων τινὰ, οὐδὲ τούτων ἔσται κύριος. οὔτε γὰρ δώσει τις τῷ κεκτημένῳ, καὶ λῃστῶν καὶ κλεπτῶν καὶ συκοφαντῶν καὶ μεταβολῆς πραγμάτων καὶ πάντων μᾶλλον ἔσται, ἢ ἐκείνου, τὰ ἐκείνου. πᾶσαν γοῦν τὴν οἰκουμένην διέδραμεν ὁ Παῦλος, οὐδὲν ἐπιφερόμενος, οὐ πρὸς φίλους ἀπιὼν, οὐ πρὸς συνήθεις (καὶ γὰρ κοινὸς ἐν ἀρχῇ πολέμιος πᾶσιν ἦν) ἀλλ' ὅμως τὰ πάντων εἶχε μετὰ τὸ εἰσελθεῖν. ὁ δὲ Ἀνανίας καὶ ἡ Σάπφειρα, ἵνα μικρόν τι τῶν ἰδίων κλέψωνται [σπεύσαντες], πάντων ἐξέπεσον μετὰ καὶ αὐτῆς τῆς ζωῆς. ἀπόστηθι τοίνυν τῶν σῶν, ἵνα ὡς ἰδίοις χρήσῃ τοῖς ἀλλοτρίοις. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τοσαύτην ἐξηνέχθην ὑπερβολὴν, ἀνθρώποις τοιαῦτα φθεγγόμενος, οἷς ἀγαπητὸν καὶ τῶν ὄντων μεταδοῦναί τι μικρόν. διόπερ ταῦτα μὲν ἡμῖν πρὸς τοὺς τελειοὺς εἰρήσθω· πρὸς δὲ τοὺς ἀτελεστέρους ἐκεῖνα λεγόμενα· δότε τῶν ὄντων τοῖς δεομένοις, αὐξήσατε τὴν οὐσίαν. Ὁ γὰρ διδοὺς πτωχῷ, φησι, δανείζει Θεῷ. εἰ δὲ ἐπείγῃ, καὶ οὐκ ἀναμένεις τὸν καιρὸν τῆς ἀντιδόσεως, ἐννόει ὅτι τὰ χρήματα ἂν ἀνθρώποις δανείζονται. οὐδὲ γὰρ οὗτοι παραχρῆμα βούλονται τοὺς τόκους ἀπολαβεῖν, ἀλλὰ πλείονα ἐπιθυμοῦσι χρόνον μεῖναι παρὰ ταῖς τῶν δανεισαμένων χερσὶ τὸ κεφάλαιον, μόνον ἐὰν ἀσφαλὴς ἡ ἀπόδοσις ᾖ, καὶ μὴ ὑποπτεύωσι τὸν εἰληφότα. τοῦτο τοίνυν καὶ ἐνταῦθα γινέσθω. ἄφες αὐτὰ παρὰ τῷ Θεῷ, ἵνα ἀποδῷ σοι τὸν μισθὸν πολλαπλασίω. μὴ ἐνταῦθα τὸ πᾶν ζήτει. ἂν γὰρ ἐνταῦθα αὐτὸ ἀπολάβῃς ὅλον, πῶς ἀπολήψῃ ἐκεῖ; διὰ τοῦτο καὶ ὁ Θεὸς ἐκεῖ ταμιεύεται, ἅτε ἐπίκηρον τοῦ παρόντος βίου τυγχάνοντος. δίδωσι δὲ καὶ ἐνταῦθα. Ζητεῖτε γὰρ, φησι, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἀλλ' ἡμεῖς πρὸς ἐκείνην βλέπωμεν, καὶ μὴ ἐπειγώμεθα πρὸς τὴν ἁπάντων ἀντίδοσιν, ἵνα μὴ ἐλαττώσωμεν τὴν ἀμοιβήν· ἀλλ' ἀναμένωμεν τὸν καιρόν. οὐ γὰρ τοιοῦτοι οὗτοι οἱ τόκοι, ἀλλ' οἵους εἰκὸς παρὰ τοῦ Θεοῦ δίδοσθαι. τούτους τοίνυν συναγαγόντες μετὰ δαψιλείας πολλῆς, οὕτως ἐντεῦθεν ἀπέλθωμεν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

*ἄπαν. ὁ γὰρ μηδὲν ἔχων

ἔχει

Παροιμ. ιθ. ιζ.

Ματθ. ϛ. λγ.

Λογ. ιϛ. 9 ΕΓΡΑΨΑ ΥΜΙΝ ΕΝ ΤΗ ΕΠΙΣΤΟΛΗ ΜΗ ΣΥΝαναμίγνυσθαι πόρνοις· 10 Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν· 11 Νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ μέθυσος, ἢ λοίδορος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Ἐπειδὴ γὰρ εἶπεν, οὐχὶ μᾶλλον ἐπενθήσατε ἵνα ἐξαρθῇ ὁ τοιοῦτος, καὶ ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, καὶ εἰκὸς ἦν αὐτοὺς ὑποπτεῦσαι ὅτι πάντας τοὺς πόρνους δεῖ φεύγειν (εἰ γὰρ μεταδίδωσι τῆς οἰκείας λύμης ὁ ἡμαρτηκὼς τοῖς οὐχ ἡμαρτηκόσι, πολλῷ μᾶλλον τοὺς ἔξωθεν ἀποστρέφεσθαι χρή. εἰ γὰρ τοῦ οἰκείου οὐ δεῖ φείδεσθαι διὰ τὸ τοιαύτην ἐξ αὐτοῦ βλάβην γίνεσθαι, πολλῷ μᾶλλον τῶν ἄλλων) τούτου δὲ ὑπονοουμένου, εἰκὸς ἦν χωρίζεσθαι καὶ τῶν παρ' Ἕλλησι πόρνων, καὶ οὕτως εἰς ἀδύνατον τοῦ πράγματος περιϊσταμένου μειζόνως ἂν ἐδυσχέραινον, τῇ ἐπιδιορθώσει ταύτῃ κέχρηται λέγων· ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, τὸ, πάντως, ὡς ἐπὶ ὡμολογημένου τιθείς. ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι ὡς ἀτελεστέροις αὐτοῖς τοῦτο οὐκ ἐπέταξε, καὶ ὡς τέλειοι δῆθεν αὐτὸ πρᾶξαι ἐπιχειρήσουσι, δείκνυσιν ὅτι οὐδὲ δυνατὸν τοῦτο γενέσθαι, οὐδ' εἰ σφόδρα βούλοιντο· ἐπεὶ ἑτέραν οἰκουμένην ἔδει ζητῆσαι. διὸ καὶ ἐπήγαγεν, ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. Εἶδες πῶς ἐστιν ἀνεπαχθὴς, καὶ πανταχοῦ οὐ τὸ δυνατὸν μόνον, ἀλλὰ καὶ τὸ εὔκολον τῆς νομοθεσίας σκοπεῖ; πῶς γὰρ ἔνι ἄνθρωπον ὄντα, φησὶ, καὶ οἰκίας καὶ παίδων προϊστάμενον, καὶ τὰ τῆς πόλεως πράττοντα, ἢ χειροτέχνην ὄντα, ἢ στρατευόμενον, τῶν πλειόνων ὄντων Ἑλλήνων, τοὺς πανταχοῦ πόρνους φεύγειν; πόρνους γὰρ κόσμου, τοὺς παρὰ τοῖς Ἕλλησι λέγει. νυνὶ δὲ ἔγραψα ὑμῖν, ἐάν τις ἀδελφὸς ᾖ τοιοῦτος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἐνταῦθα καὶ ἑτέρους αἰνίττεται ἐν πονηρίᾳ ζῶντας. καὶ πῶς ἀδελφὸς ὢν, εἰδωλολάτρης εἶναι δύναται; ὡς ἐπὶ τῶν Σαμαρειτῶν συνέβη ποτὲ, οἳ ἐξ ἡμισείας τὴν εὐσέβειαν ᾑροῦντο· ἄλλως δὲ, προκαταβάλλεται τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ὃν μετὰ ταῦτα μέλλει γυμνάζειν. ἢ πλεονέκτης. καὶ γὰρ καὶ πρὸς τούτους ἀποδύεται. διὸ καὶ ἔλεγε, Διὰ τί οὐκ ἀδικεῖσθε μᾶλλον; διὰ τί οὐκ ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε. ἢ μέθυσος. καὶ γὰρ καὶ τοῦτο ἐγκαλεῖ πρότερον, ὡς ὅταν λέγῃ· Ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει· καὶ, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. ἢ λοίδορος, ἢ ἅρπαξ. καὶ γὰρ καὶ τούτοις ἐπετίμησεν ἔμπροσθεν. Εἶτα καὶ τὴν αἰτίαν προστίθησι, δι' ἣν οὐ κωλύει τοῖς ἔξωθεν τοιούτοις οὖσιν ἀναμίγνυσθαι, δεικνὺς ὅτι οὐ μόνον οὐ δυνατὸν, ἀλλὰ καὶ περιττόν.

Ἴσ. ἐπιχειροῦσι.

α. Κορ. ϛ. ζ.
α. Κορ. ια. κα.
α. Κορ. ϛ. ιγ.

12 Τί γάρ μοι καὶ τοὺς ἔξωθεν κρίνειν; Τοὺς ἔσω καὶ τοὺς ἔξω, τοὺς χριστιανοὺς καὶ τοὺς Ἕλληνας καλῶν, καθὼς καὶ ἀλλαχοῦ φησι· Δεῖ δὲ καὶ μαρτυρίαν ἔχειν αὐτὸν καλὴν ἀπὸ τῶν ἔξωθεν. καὶ ἐν τῇ πρὸς Θεσσαλονικέας ἐπιστολῇ τὸ αὐτό φησι, λέγων, Μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· καὶ, Μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ἐνταῦθα μέντοι τὴν αἰτίαν οὐ τίθησι. τί δήποτε; ὅτι ἐκεῖ μὲν παραμυθήσασθαι ἐβούλετο, ἐνταῦθα δὲ οὐκέτι. οὐ γὰρ τὸ ἁμάρτημα ἐνταῦθα κἀκεῖ τὸ αὐτὸ, ἀλλ' ἐκεῖ ἔλαττον. ἀργίαν γὰρ ἐγκαλεῖ, ἐνταῦθα δὲ πορνείαν καὶ ἕτερα χαλεπώτατα ἁμαρτήματα. καὶ πρὸς Ἕλληνας μὲν εἰ βούλοιτό τις ἀπιέναι, οὐ κωλύει συνεσθίειν, διὰ τὴν αὐτὴν πάλιν αἰτίαν. οὕτω δὲ καὶ ἡμεῖς ποιοῦμεν, ὑπὲρ μὲν τῶν υἱῶν καὶ τῶν ἀδελφῶν πάντα πράττοντες, τῶν δὲ ἀλ-

α. Τιμ. γ. ζ.
β. Θεσ. γ. ιδ. καὶ ιε.

λοτρίων

λωτείων οὐ πολλῷ ποιούμεθα λέγειν. Τί οὖν; οὐκ ἐκρίνεν καὶ τῶν ἔξωθεν Παῦλος; ἐκρίνε μὲν, ἀλλὰ μετὰ τὸ δέξασθαι τὸ κήρυγμα καὶ ὑπευθύνους ποιῆσαι τῇ διδασκαλίᾳ τοῦ Χριστοῦ, τότε αὐτοῖς ἐνομοθέτει· ἕως δὲ ὅτι κατεφρόνουν, περιττὸν ἦν τὰ προστάγματα τοῦ Χριστοῦ λέγειν τοῖς αὐτὸν οὐκ εἰδόσι τὸν Χριστόν. Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;

13 Τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ; Ἐπειδὴ γὰρ εἶπε, τί μοι τοὺς ἔξω κρίνειν, ἵνα μή τις νομίσῃ ἀτιμωρήτους τούτους ἀφίεσθαι, ἕτερον δικαστήριον ἐφίστησιν αὐτοῖς φοβερόν. τοῦτο δὲ εἶπεν, ὁμοῦ μὲν ἐκείνους φοβῶν, ὁμοῦ δὲ τούτους παραμυθούμενος, καὶ δεικνὺς ὅτι ἡ κόλασις αὕτη ἡ πρόσκαιρος τῆς ἀθανάτου καὶ διηνεκοῦς ἐξαρπάζει, ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγε· Νυνὶ δὲ κρινόμενοι, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. α. Κορ. ια. λβ.

Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. Ἐμνημόνευσε ῥήσεως ἐν τῇ παλαιᾷ κειμένης, ὁμοῦ μὲν δεικνὺς ὅτι καὶ αὐτοὶ τὰ μέγιστα κερδαίνουσιν, ὥσπερ λοιμοῦ τινος ἀπαλλαγέντες χαλεποῦ, ὁμοῦ δὲ δηλῶν ὅτι οὐ καινοτομία τὸ τοιοῦτον, ἀλλὰ καὶ ἄνωθεν ἐδόκει τοῦτο τῷ νομοθέτῃ τοὺς τοιούτους ἐκτέμνεσθαι· ἀλλ' ἐκεῖ μὲν σφοδρότερον, ἐνταῦθα δὲ ἡμερώτερον. διόπερ καὶ εἰκότως ἄν τις διαπορήσειε, τί δήποτε ἐκεῖ μὲν συνεχώρει κολάζεσθαι τὸν ἡμαρτηκότα καὶ καταλύεσθαι, ἐνταῦθα δὲ οὐκέτι, ἀλλ' ἐπὶ μετάνοιαν αὐτὸν ἄγει; τί δήποτ' οὖν ἑτέρως μὲν ἐκεῖνα, ἑτέρως δὲ ταῦτα διετυποῦτο; διὰ δύο ταύτας αἰτίας· μίαν μὲν, ὅτι ἐπὶ μείζονα ἀγῶνα οὗτοι ἤγοντο, καὶ πλείονος ἐδέοντο τῆς μακροθυμίας· ἑτέραν δὲ τὴν ἀληθεστέραν, ὅτι οὗτοι μὲν ἀπὸ τῆς ἀτιμωρησίας εὐκολώτερον διωρθοῦντο ἐπὶ μετάνοιαν ἐρχόμενοι, ἐκεῖνοι δὲ ἐπὶ κακίαν μείζονα ἔμελλον ἕρπειν. Εἰ γὰρ τοὺς προτέρους κολαζομένους ὁρῶντες τοῖς αὐτοῖς ἐνέμενον, εἰ μηδὲ ἐκολάζοντό τινες, πολλῷ μᾶλλον τοῦτο ἂν ἔπαθον. διὰ τοῦτο ἐκεῖ μὲν τῷ μοιχῷ καὶ τῷ ἀνδροφόνῳ θάνατος εὐθέως ἐπάγεται, ἐνταῦθα δὲ, ἐὰν διὰ μετανοίας ἀπολύσωνται, διέφυγον τὴν κόλασιν. πλὴν καὶ ἐνταῦθα σφοδροτέρας, καὶ ἐν τῇ παλαιᾷ ἡμερωτέρας ἴδοι τις ἂν τιμωρίας, ἵνα δειχθῇ διὰ πάντων ὅτι συγγενεῖς αἱ διαθῆκαι, καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ νομοθέτου· καὶ παρὰ πόδας καὶ ἐκεῖ καὶ ἐνταῦθα τὰς τιμωρίας, καὶ μετὰ πολὺν χρόνον πολλάκις ἐν ἑκατέρᾳ· καὶ οὐδὲ μετὰ πολὺν χρόνον πολλάκις, ἀλλὰ μετανοίᾳ μόνῃ ἀρκούμενον τὸν Θεόν. καὶ γὰρ ἐν τῇ παλαιᾷ μοιχεύσας καὶ φονεύσας ὁ Δαβὶδ, διὰ μετανοίας ἐσώθη, καὶ ἐν τῇ καινῇ μικρὰ ἀπὸ χωρίου τιμῆς ὑφελόμενος ὁ Ἀνανίας μετὰ τῆς γυναικὸς ἀπώλετο. Εἰ δὲ πλεονάζει ταῦτα ἐν τῇ παλαιᾷ, τὰ δὲ ἐναντία ἐν τῇ καινῇ, ἡ διαφορὰ τῶν προσώπων τὴν διαφορὰν τῆς τοιαύτης οἰκονομίας ἐργάζεται. Δευτ. ιζ. ζ. καὶ ιθ.

1 Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; κεφ. ς. Καὶ ἐνταῦθα πάλιν ἐπὶ ὡμολογημένων ποιεῖται τὴν κατηγορίαν. καὶ γὰρ ἐκεῖ φησιν, ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία· καὶ ἐνταῦθα, τολμᾷ τις ὑμῶν; ἐκ προοιμίων εὐθέως τὸν θυμὸν ἐνδεικνύμενος, καὶ δεικνὺς ὅτι τόλμης ἐστὶ τὸ πρᾶγμα καὶ παρανομίας. καὶ τί δήποτε τὸν περὶ πλεονεξίας καὶ τοῦ μὴ δεῖν ἔξω κρίνεσθαι παρενέβαλε λόγον; οἰκεῖον νόμον πληρῶν. καὶ γὰρ ἔθος αὐτῷ τὰ παρεμπίπτοντα διορθοῦν, ὥσπερ ἡνίκα περὶ τῶν κοινῶν τραπεζῶν διαλεγόμενος, εἰς τὸν περὶ τῶν μυστηρίων ἐξέβη λόγον. καὶ ἐνταῦθα τοίνυν, ἐπειδὴ πλεονεκτῶν ἀδελφῶν ἐμνημόνευσε, ζέων τῇ φροντίδι τῆς διορθώσεως τῶν ἁμαρτανόντων οὐκ ἀνέχεται διατηρῆσαι τάξιν· ἀλλὰ τὸ ἐκ τῆς ἀκολουθίας ἀχθὲν εἰς μέσον ἁμάρτημα διορθοῦται πάλιν, καὶ οὕτως ἐπὶ τὸ πρότερον ἐπανέρχεται. ἀκούσωμεν οὖν τί φησι καὶ περὶ τούτου. τολμᾷ τις ὑμῶν πρὸς τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; πῶς ἐκ τῶν ὀνομάτων γυμνοῖ, καὶ ἀποτρέπει, καὶ ἐγκαλεῖ. καὶ ἐκ προοιμίων μὲν οὐκ ἀνατρέπει τὴν κρίσιν τὴν ἐπὶ τῶν πιστῶν· ὅτε δὲ αὐτοὺς κατέπληξε διὰ πολλῶν, τότε καὶ τὸ ὅλως κρίνεσθαι ἀνεῖλε. μάλιστα μὲν γὰρ

Εἰ δεῖ κρίνεσθαι, φησὶν, ἐπὶ τῶν ἀδίκων· οὐκ ἔδει ὅλως δὲ οὐδὲ κρίνεσθαι δεῖ. ἀλλὰ τοῦτο μὲν ὕστερον τίθησι, τέως δὲ τὸ πρότερον διακαθαίρει τὸ μὴ ἔξω δικάζεσθαι. πῶς γὰρ οὐκ ἄτοπον πρὸς τὸν φίλον μικροψυχοῦντα, τὸν ἐχθρὸν καταλλακτὴν λαμβάνειν, φησί; πῶς δὲ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς, ὅταν Ἕλλην τῷ χριστιανῷ καθέζηται δικάζων; εἰ δὲ ὑπὲρ ἰδιωτικῶν οὐ χρὴ παρ' Ἕλλησι δικάζεσθαι, πῶς αὐτοῖς ἐπιτρέψομεν ὑπὲρ ἑτέρων μειζόνων; καὶ ὅρα πῶς εἶπεν. οὐκ εἶπεν, ἐπὶ τῶν ἀπίστων, ἀλλ', ἐπὶ τῶν ἀδίκων, λέξιν θεὶς, ἧς μάλιστα χρείαν εἶχεν εἰς τὴν προκειμένην ὑπόθεσιν, ὥστε ἀποτρέψαι καὶ ἀπαγαγεῖν. ἐπειδὴ γὰρ περὶ δίκης αὐτῷ ὁ λόγος ἦν, οἱ δικαζόμενοι δὲ οὐδὲν οὕτως ἐπιζητοῦσιν, ὡς τὸ πολλὴν εἶναι πρόνοιαν τοῦ δικαίου παρὰ τοῖς δικάζουσιν, ἐντεῦθεν αὐτοὺς ἀποτρέπει, μονονουχὶ λέγων· ποῖ φέρῃ, καὶ τί ποιεῖς, ἄνθρωπε, τοὐναντίον πάσχων, ὧν ἐπιθυμεῖς, καὶ ὑπὲρ τοῦ τῶν δικαίων τυχεῖν ἀδίκοις ἐπιτρέπων ἀνθρώποις; καὶ ἐπειδὴ εὐθέως φορτικὸν ἦν ἀκοῦσαι τὸ μὴ δικάζεσθαι, οὐκ εὐθέως τοῦτο ἐπήγαγεν, ἀλλὰ τοὺς δικάζοντας ἠμείψατο μόνον, ἔξωθεν εἰς τὴν ἐκκλησίαν εἰσάγων τοὺς δικαζομένους. εἶτα, ἐπειδὴ εὐκαταφρόνητον εἶναι ἐδόκει, τὸ παρὰ τοῖς ἔνδον δικάζεσθαι, καὶ μάλιστα τότε (οὐ γὰρ ἦσαν ἴσως ἱκανοὶ πρᾶγμα συνιδεῖν, οὔτε τοιοῦτοι οἷοι οἱ ἔξωθεν δικασταὶ νόμων ἔμπειροι καὶ ῥητορείας, ἅτε δὴ ἰδιωτῶν οἱ πλείους ὄντες) ὅρα πῶς αὐτοὺς ἀξιοπίστους ποιεῖ, πρότερον ἁγίους καλέσας. ἀλλ' ἐπειδὴ τοῦ βίου καθαρότητα, οὐκέτι δὲ ἀκρίβειαν τὴν περὶ τὴν ἀκρόασιν αὐτοῖς ἐμαρτύρει, ὅρα πῶς καὶ τοῦτο μεθοδεύει τὸ μέρος, λέγων οὕτως·

2 Ἢ οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; Σὺ τοίνυν ὁ μέλλων κρίνειν ἐκείνους τότε, πῶς ὑπ' ἐκείνων ἀνέχῃ κρίνεσθαι νῦν; κρινοῦσι δὲ οὐχὶ αὐτοὶ καθήμενοι καὶ λόγον ἀπαιτοῦντες, ἀλλὰ κατακρινοῦσι. τοῦτο γοῦν δηλῶν, ἔλεγε· καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; οὐ γὰρ εἶπεν, ὑφ' ὑμῶν, ἀλλ', ἐν ὑμῖν. ὥσπερ
Ματθ. ιβ. μβ. ὅταν λέγῃ· Βασίλισσα νότου ἀναστήσεται, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην· καὶ, Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. ὅταν γὰρ τὸν αὐτὸν ἥλιον ὁρῶντες, καὶ τῶν αὐτῶν μετέχοντες πάντων, ἡμεῖς μὲν εὑρεθῶμεν πιστεύσαντες, ἐκεῖνοι δὲ ἠπιστηκότες, οὐ δυνήσονται εἰς ἄγνοιαν καταφυγεῖν. κατηγορήσομεν γὰρ αὐτῶν ἡμεῖς δι' αὐτῶν, ὧν ἐπράξαμεν. καὶ πολλὰ τοιαῦτα εὑρήσει τις ἐκεῖ κριτήρια. εἶτα, ἵνα μὴ δόξῃ τις περὶ ἄλλων λέγειν, ὅρα πῶς κοινοποιεῖ τὸν λόγον.

Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; Αἰσχύνην ὑμῖν φέρει τὸ πρᾶγμά, φησι, καὶ ὄνειδος ἄφατον. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὑπὸ τῶν ἔσω κρινομένους αἰσχύνεσθαι, τοὐναντίον μὲν οὖν ἐστιν αἰσχύνη, φησὶν, ὅταν ὑπὸ τῶν ἔξω κρίνησθε. ἐκεῖνα γάρ ἐστιν ἐλάχιστα τὰ κριτήρια, οὐ ταῦτα.

3 Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; Τινὲς ἐνταῦθά φασι τοὺς ἱερέας αἰνίττεσθαι· ἀλλ' ἄπαγε. περὶ γὰρ δαιμόνων ὁ λόγος αὐτῷ. εἰ γὰρ περὶ ἱερέων ἔλεγε διεφθαρμένων, ἠνίξατο ἂν αὐτοὺς ἄνω, εἰπὼν, ὅτι ἐν ὑμῖν κρίνεται ὁ κόσμος (οἶδε γὰρ κόσμον καὶ τοὺς πονηροὺς ἀνθρώπους καλεῖν ἡ γραφή) καὶ οὐκ ἂν ἐκ δευτέρου τὸ αὐτὸ εἶπεν, οὐδ' ἂν ὡς μεῖζόν τι λέγων ὕστερον αὐτὸ τέθεικεν· ἀλλὰ περὶ ἐκείνων λέγει τῶν ἀγγέλων, περὶ
Ματθ. κε. μα. ὧν φησιν ὁ Χριστὸς, Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις
β. Κορ. ια. ιε. αὐτοῦ· καὶ ὁ Παῦλος, ὅτι Οἱ ἄγγελοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης. ὅταν γὰρ αἱ ἀσώματοι δυνάμεις αὗται ἔλαττον ἡμῶν εὑρεθῶσιν ἔχουσαι τῶν σάρκα περιβεβλημένων, χαλεπωτέραν δώσουσι δίκην. εἰ δὲ ἔτι φιλονεικοῖέν τινες ἱερέας λέγειν αὐτὸν, ἐρώμεθα ποίους ἱερέας; τοὺς βιωτικῶς περιπατήσαντας πάντως. πῶς οὖν φησιν, ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; πρὸς ἀντιδιαστολὴν τῶν βιωτικῶν τιθεὶς τοὺς ἀγγέλους, εἰκότως· ἅτε τῆς τούτων χρείας ἐκτὸς γινομένους διὰ τὴν τῆς φύσεως ὑπεροχήν.

4 Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ τούτους καθίζετε. Μεθ' ὑπερβολῆς ἡμᾶς διδάξαι βουλόμενος, ὅτι οὐδ' ἂν ὁποιονοῦν ᾖ, τοῖς ἔξωθεν ἑαυτοὺς διδόναι χρή, τὴν δοκοῦσαν εἶναι ἀντίθεσιν κινήσας, προηγουμένως ταύτην ἔλυσεν. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· ἴσως ἐρεῖ τις, ὅτι οὐδεὶς ἐν ὑμῖν σοφός, οὐδὲ ἱκανὸς διακρῖναι, ἀλλὰ καταφρόνητοι πάντες. καὶ τί τοῦτο; κἂν γὰρ μηδεὶς ᾖ σοφός, φησι, τοῖς ἐλαχίστοις ἐπιτρέπετε.

5 Τοῦτο δὲ πρὸς ἐντροπὴν ὑμῖν λέγω. Ἐλέγχοντός ἐστι τὴν τούτων ἀντίθεσιν, ὡς σκῆψιν οὖσαν περιττήν. διὸ καὶ ἐπήγαγεν· Οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς; Τοσαύτη, φησίν, ἀπορία; τοσαύτη ἀνδρῶν σπάνις συνετῶν παρ' ὑμῖν; καὶ ἡ ἐπαγωγὴ δὲ μείζονα τὴν πληγὴν ἔχει. εἰπὼν γάρ, οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς; ἐπήγαγεν, Ὃς δυνήσεται διακρῖναι μεταξὺ τοῦ ἀδελφοῦ αὐτοῦ; Ὅταν γὰρ ἀδελφὸς δικάζηται μετὰ τοῦ ἀδελφοῦ, οὐδέποτε δεῖται τῆς συνέσεως καὶ τῆς δεινότητος τῷ μεσιτεύοντι τὴν δίκην, τῆς διαθέσεως καὶ τῆς συγγενείας πολλὰ συμπεραινούσης πρὸς τὴν λύσιν τῆς τοιαύτης φιλονεικίας.

6 Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων. Εἶδες πῶς ἐν ἀρχῇ μὲν χρησίμως διέβαλε τοὺς δικάζοντας, ἀδίκους καλέσας, ἐνταῦθα δὲ ἐντρεπτικῶς, ἀπίστους εἰπών; καὶ γὰρ σφόδρα αἰσχρόν, εἰ μηδὲ ἀδελφοῖς δυνατὸν γενέσθαι καταλλαγῆς αἴτιον τὸν ἱερέα, ἀλλ' ἀνάγκη πρὸς τοὺς ἔξω τρέχειν. ὥστε εἰπὼν τοὺς ἐξουθενημένους, οὐ τοῦτο εἶπε προηγουμένως ὅτι τοὺς ἀπερριμμένους δεῖ καθίζειν, ἀλλὰ καθαπτόμενος αὐτῶν. ὅτι γὰρ τοῖς δυναμένοις διακρίνειν ἐπιτρέπειν χρή, ἐδήλωσεν εἰπών, οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς; καὶ ἐκ περιουσίας ἐπιστομίζων, καὶ λέγων, ὅτι εἰ καὶ μηδεὶς ἦν σοφός, ὑμῖν τοῖς ἀσυνέτοις ἐπιτρέπειν ἐχρῆν μᾶλλον τὴν ἀκρόασιν, ἢ τοὺς ἔξωθεν δικάζειν. πῶς γὰρ οὐκ ἄτοπον, ἐν οἰκίᾳ μὲν γινομένης μάχης, μηδένα τῶν ἔξωθεν καλεῖν, ἀλλ' αἰσχύνεσθαι εἰ διαδοθείη πρὸς τοὺς ἔξω τὰ ἔνδον γινόμενα· ἔνθα δὲ ἐκκλησία, τῶν ἀπορρήτων μυστηρίων ὁ θησαυρός, πάντα ἐκφέρεσθαι ἔξω; ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων. διπλοῦν τὸ ἔγκλημα, ὅτι κρίνεται, καὶ ἐπὶ ἀπίστων. εἰ γὰρ καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἁμάρτημα τὸ πρὸς ἀδελφὸν κρίνεσθαι, τὸ καὶ ἐπὶ ἐξωτικῶν ποίαν ἔχει συγγνώμην;

7 Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. Εἶδες πῶς αὐτὸ ἐτήρησε; καὶ πῶς εὐκαίρως αὐτὸ ἀνέβαλεν; οὔπω γὰρ λέγω, φησί, τίς ἀδικεῖ, ἢ τίς ἀδικεῖται. τέως αὐτὸ τὸ κρίνεσθαι ἑκάτερος διαβέβληται, καὶ οὐδὲν ἕτερος ἑτέρου βελτίων κατὰ τοῦτο. [Εἰ δὲ δικαίως, ἢ ἀδίκως κρίνεται, ἑτέρου λόγου τοῦτο.] μὴ τοίνυν λέγε, τίς ἠδίκησεν; ἐντεῦθεν γὰρ ἤδη σε κατακρίνω ἀπὸ τοῦ δικάζεσθαι. εἰ δὲ τὸ μὴ δύνασθαι φέρειν ἀδικοῦντα, ἔγκλημα, τὸ καὶ ἀδικεῖν, πόσης κατηγορίας ἄξιον; Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;

8 Ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. Πάλιν διπλοῦν τὸ ἔγκλημα, τάχα δὲ καὶ τριπλοῦν καὶ τετραπλάσιον. ἓν μέν, τὸ μὴ εἰδέναι ἀδικούμενον φέρειν· δεύτερον δέ, τὸ καὶ ἀδικεῖν· τρίτον, τὸ καὶ τοῖς ἀδίκοις ἐπιτρέπειν περὶ τούτων· τέταρτον, τὸ καὶ ἀδελφόν. οὐδὲ γὰρ ὁμοίως τὰ ἁμαρτήματα κρίνεται, ὅταν εἰς τὸν τυχόντα, καὶ εἰς τὸ οἰκεῖον γίνηται μέλος. ἀπὸ γὰρ πλείονος ἰταμότητος τολμᾶται τοῦτο. κἀκεῖ μὲν ἡ φύσις τοῦ πράγματος καταπεπάτηται μόνη, ἐνταῦθα δὲ καὶ ἡ τοῦ προσώπου ποιότης. ἐντρέψας τοίνυν ἀπὸ τῶν κοινῶν λογισμῶν, καὶ περὶ τούτων ἀπὸ τῶν κειμένων ἐπάθλων, εἰς ἀπειλὴν καταλείει τὴν παραίνεσιν, ἰσχυρότερον ποιῶν τὸν λόγον, καὶ οὕτω λέγων·

9 Οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται,

s. δεῖ
γ. τοῖς
χ. πεπάτηται

10 Οὔτε πλεονέκται, οὐ κλέπται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. Τί λέγεις; περὶ πλεονεκτῶν διαλεγόμενος, τοσοῦτον ὄχλον ἐπήγαγες ἡμῖν παρανόμων ἀνθρώπων; ναί, φησιν· ἀλλ' οὐ συγχέων τὸν λόγον τοῦτο ποιῶ, ἀλλὰ καὶ τάξει προβαίνων. ὥσπερ γὰρ περὶ τῶν πόρνων διαλεγόμενος μέμνηται πάντων ὁμοῦ, οὕτω πάλιν τοῦ πλεονέκτου μνησθείς, πάντας εἰς μέσον ἄγει, πρὸς τοὺς ἐλέγχους συνεθίζων τοὺς τὰ τοιαῦτα συνειδότας ἑαυτοῖς. τὸ γὰρ ἐν ταῖς τῶν ἑτέρων μνήμαις συνεχῶς ἀκούειν τὴν χειμάρρουν κόλασιν αὐτοῖς, εὐπαράδεκτον ποιεῖ τὸν ἔλεγχον, ἐπειδὰν τοῖς οἰκείοις αὐτῶν ἁμαρτήμασιν ἐπαποδύηται. οὐδὲ γὰρ ὡς συνειδὼς ἐν ταὐτῷ αὐτοῖς ταῦτα, οὐδὲ ὡς ἐλέγχων ποιεῖται τὴν ἀπειλήν· ὃ μάλιστα καὶ ἱκανόν ἐστι κατασχεῖν τὸν ἀκροατήν, καὶ μὴ ἀφεῖναι ἀποπηδῆσαι, ὅταν μὴ πρὸς αὐτὸν ὁ λόγος ἀποτείνηται, ἀλλ' ἀδιορίστως λεγόμενος, λανθανόντως αὐτοῦ πλήττῃ τὸ συνειδός. μὴ πλανᾶσθε. ἐνταῦθα αἰνίττεταί τινας λέγοντας, ὅπερ καὶ νῦν λέγουσιν οἱ πολλοί, ὅτι φιλάνθρωπος ὢν ὁ Θεὸς καὶ ἀγαθός, οὐκ ἐπεξέρχεται τοῖς πλημμελήμασι. μὴ δὴ φοβηθῶμεν. οὐδένα γὰρ ἐπ' οὐδενὶ δίκην ἀπαιτήσει ποτέ. καὶ τούτων ἕνεκέν φησι, μὴ πλανᾶσθε. πλάνης γάρ ἐστιν ἐσχάτης καὶ ἀπάτης, ἐλπίσαντα χρηστὰ τῶν ἐναντίων ἐπιτυχεῖν, καὶ ταῦτα περὶ Θεοῦ ὑποπτεύειν, ἃ μηδὲ περὶ ἀνθρώπου τις ἐννοήσειε. διό φησιν ὁ προφήτης ἐκ προσώπου αὐτοῦ· Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου. καὶ ὁ Παῦλος ἐνταῦθα, μὴ πλανᾶσθε· οὔτε πόρνοι (τὸν ἤδη καταδικασθέντα πρότερον τίθησιν) οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε μέθυσοι, οὔτε λοίδοροι βασιλείαν Θεοῦ κληρονομήσουσι. πολλοὶ τούτου ἐπελάβοντο τοῦ χωρίου, ὡς σφόδρα τραχέος, εἴγε τὸν μέθυσον καὶ λοίδορον μετὰ τοῦ μοιχοῦ καὶ τοῦ ἡταιρηκότος καὶ τοῦ ἀρσενοκοίτου τίθησι· καίτοιγε οὐκ ἴσα τὰ ἐγκλήματα. πῶς οὖν τὰ τῆς κολάσεως ἴσα; τί οὖν ἐροῦμεν; ὅτι μάλιστα μὲν οὖν οὐ μικρὸν τὸ τῆς μέθης, καὶ τὸ τῆς λοιδορίας. ἐπεὶ καὶ ὁ Χριστὸς τὸν μωρὸν καλέσαντα τὸν ἀδελφόν, τῇ γεέννῃ παρέδωκε (πολλάκις γὰρ ἐντεῦθεν ἐτέχθη θάνατος) καὶ ὁ τῶν Ἰουδαίων δὲ δῆμος τὰ χαλεπώτατα ἐκ τῆς μέθης ἐξήμαρτεν ἁμαρτήματα. ἔπειτα ὅτι οὐ περὶ κολάσεως ὁ λόγος αὐτῷ τέως, ἀλλὰ περὶ ἐκπτώσεως βασιλείας. τῆς μὲν οὖν βασιλείας ὁμοίως καὶ οὗτος καὶ ἐκεῖνος ἐκπίπτουσιν· εἰ δέ τινα ἐν τῇ γεέννῃ διαφορὰν ἕξουσιν, οὐ τοῦ παρόντος καιροῦ ζητεῖν. οὐ γὰρ περὶ τούτου πρόκειται νῦν ἡμῖν.

Ψαλ. μθ. κα.

11 Καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε.

Σφόδρα * ἐντρεπτικῶς ἐπήγαγε λέγων, ἐννοήσατε ἡλίκων ὑμᾶς ἐξείλετο κακῶν ὁ Θεός, ὅσην ὑμῖν φιλανθρωπίας παρέσχετο πεῖραν καὶ ἀπόδειξιν. καὶ οὐδὲ μέχρι τῆς ἀπαλλαγῆς τὴν ἀντίδοσιν ἔδωκεν, ἀλλ' ἐπὶ πολὺ τὴν εὐεργεσίαν προήγαγε. καὶ γὰρ καθαροὺς ἐποίησεν. ἆρ' οὖν τοῦτο μόνον; οὐδαμῶς, ἀλλὰ καὶ ἡγίασεν. ἀλλ' οὐδὲ τοῦτο μόνον·

Ἀλλὰ καὶ ἐδικαιώθητε. Καίτοιγε καὶ τὸ τῶν ἁμαρτημάτων ἀπαλλαγῆναι, δωρεὰ μεγάλη· νυνὶ δέ σε καὶ μυρίων ἐνέπλησεν ἀγαθῶν. καὶ τοῦτο γέγονεν, Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· Οὐκ ἐν τῷδε, καὶ τῷδε, ἀλλὰ καὶ Ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν.

ΗΘΙΚΟΝ

Ταῦτα οὖν εἰδότες, ἀγαπητοί, καὶ τὸ μέγεθος τῆς γεγενημένης εὐεργεσίας ἐννοοῦντες, μένωμεν σωφρόνως βιοῦντες, τῶν τε ἀπειρημένων καθαρεύοντες ἁπάντων, καὶ τὰ δικαστήρια φεύγωμεν τὰ ἐν ἀγοραῖς ταῖς ἔξω, καὶ τὴν εὐγένειαν, ἣν ὁ Θεὸς ἡμῖν ἐχαρίσατο, ταύτην διαφυλάξωμεν. ἐννόησον γὰρ ἡλίκης ἐστὶν αἰσχύνης καθέζεσθαι Ἕλληνά σοι τὰ δίκαια νέμοντα. τί οὖν, φησιν, ἐὰν παρανόμως ὁ ἔνδον κρίνῃ; διὰ τί, εἰπέ μοι; κατὰ ποίους γὰρ νόμους δικάζει ὁ Ἕλλην; καὶ κατὰ ποίους ὁ Χριστιανός; οὐκ εὔδηλον ὅτι κατὰ μὲν τοὺς τῶν ἀνθρώπων ὁ Ἕλλην, κατὰ δὲ τοὺς τοῦ Θεοῦ ὁ Χριστιανός; οὐκοῦν ἐνταῦθα μᾶλλον τὰ δίκαια, ἐπειδὴ καὶ ἐξ οὐρανῶν εἰσιν οἱ νόμοι πεμφθέντες. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν μετὰ τῶν εἰρημένων

μένων καὶ ἕτερα ἔστιν ὑποπλεῦσαι πολλά, καὶ ῥητόρων δεινότητα, καὶ διαφθορὰν ἀρχόν-
γ. λυμαίνεται. των· καὶ πολλὰ ἄλλα τὸ δίκαιον λυμαινόμενα. ἐνταῦθα δὲ τοιοῦτον οὐδέν. τί οὖν ἂν ὁ
γ. τοιοῦτον ἀντίδικος δυνάστης ᾖ, φησί; καὶ διὰ τοῦτο μὲν οὖν μάλιστα δικάζεσθαι ἐνταῦθα χρή.
ἐν γὰρ τοῖς ἔξω δικαστηρίοις περιέσται σου πάντως. εἰ δὲ οὐκ ἀνέχεται, ἀλλὰ καὶ τὴν εἴσοδον
γ. ἑκόντα καταφρονεῖ, καὶ ἔξω πρὸς βίαν ἕλκει, βέλτιον, ὅπερ ἐξ ἀνάγκης μέλλεις παθεῖν, ἑ-
κὼν ὑποστῆναι, καὶ μὴ δικάσασθαι, ἵνα καὶ μισθὸν ἔχῃς. ἂν γάρ τίς σοι θέλῃ κριθῆ-
γ. ἄφες ναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἀφήσεις αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ, ἴσθι εὐνοῶν τῷ ἀντι- Ματθ. ε. μ.
δίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ. καὶ τί χρὴ λέγειν τὰ ἡμέτερα; καὶ γὰρ αὐτοὶ οἱ καὶ κε.
τῶν ἔξωθεν δικαστηρίων συνήγοροι μυριάκις ταῦτα λέγουσιν, ὅτι βέλτιον ἔξωθεν διαλύε-
σθαι. ἀλλ' ὦ τῶν χρημάτων, μᾶλλον δέ, ἀλλ' ὦ τοῦ ἀτόπου ἔρωτος τῶν χρημάτων· ὅτι πάντα
ἀνέτρεψε καὶ κατέβαλε, καὶ πάντα λῆρος τοῖς πολλοῖς καὶ μῦθοι διὰ τὰ χρήματα. καὶ τὸ
μὲν βιωτικοὺς εἶναι τοὺς τοῖς δικαστηρίοις ἐνοχλοῦντας, οὐδὲν θαυμαστόν· τὸ δὲ πολλοὺς τῶν
ἀποταξαμένων τὰ αὐτὰ δὴ ταῦτα ποιεῖν, τοῦτο ἐστὶν ὃ συγγνώμης πάσης ἐστέρηται. εἰ γὰρ ἐ-
θέλεις ἰδεῖν πόσον ταύτης ἀπέχειν σε τῆς χρείας, τῆς τῶν δικαστηρίων λέγω, προσέταξεν ἡ
γραφή, καὶ τίσιν οἱ νόμοι κεῖνται μαθεῖν, ἄκουσον τί φησιν ὁ Παῦλος· Δικαίῳ νόμος οὐ κεῖται, α. Τιμ. α. θ.
ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις. εἰ δὲ περὶ τοῦ Μωσαϊκοῦ ταῦτά φησι, πολλῷ μᾶλλον περὶ τῶν ἔ-
ξωθεν. ἂν μὲν οὖν ἀδικῇς, δῆλον ὡς οὐκ ἂν εἴης δίκαιος. ἐὰν δὲ ἀδικῇ, καὶ φέρῃς (δικαίου γὰρ
μάλιστα τοῦτό ἐστιν) οὐδὲν χρείαν ἔχεις τῶν ἔξωθεν νόμων. καὶ πῶς δυνησόμεθα φέρειν ἀδικού-
γ. ἐπέταξε. μενοι, φησί; καίτοιγε ὁ Χριστὸς καὶ τούτου τι πλέον προσέταξεν. οὐ γὰρ μόνον ἀδικουμένους
φέρειν ἐκέλευσεν, ἀλλὰ καὶ προσεπιδαψιλεύεσθαι τῷ ἀδικοῦντι, καὶ τῇ προθυμίᾳ τοῦ παθεῖν
ὑπερβαίνειν τὴν ἐπιθυμίαν τοῦ ποιοῦντος κακῶς. οὐ γὰρ εἶπε, τῷ θέλοντί σοι κριθῆναι, Ματθ. ε. μ.
καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες τὸν χιτῶνα· ἀλλὰ μετ' ἐκείνου καὶ τὸ ἱμάτιον δός. νίκησον γὰρ
αὐτόν, φησί, τῷ κακῶς παθεῖν, μὴ τῷ κακῶς ποιεῖν. αὕτη γὰρ ἡ σαφὴς νίκη καὶ λαμπρά.
διὸ καὶ προϊὼν ἐλέγχει ὁ Παῦλος, Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε
μεθ' ἑαυτῶν. καὶ διατί οὐ μᾶλλον ἀδικεῖσθε; ὅτι γὰρ ὁ ἀδικούμενος νικᾷ μᾶλλον τοῦ μὴ φέρον-
τος ἀδικεῖσθαι, τοῦτο ὑμῖν ποιήσω φανερόν. ὁ μὴ φέρων ἀδικεῖσθαι, κἂν εἰς δικαστήριον ἑλ-
κύσῃ, κἂν περιγένηται, τότε μάλιστα ἡττήθη. ὃ γὰρ οὐκ ἤθελεν, ἔπαθεν. ἠνάγκασε γὰρ αὐ-
τὸν ὁ ἀντίδικος καὶ ἀλγῆσαι καὶ δικάσασθαι. τί γὰρ ὅτι νενίκηκας; τί δὲ ὅτι τὰ χρήματα ἀπέλα-
βες ἅπαντα; ὅπερ οὐκ ἐβούλου τέως ὑπέμεινας, ἀναγκασθεὶς δικάσασθαι. ἂν δὲ ἐ-
νέγκῃς τὴν ἀδικίαν, νικᾷς χρημάτων μὲν ἀποστερούμενος, τῆς δὲ νίκης οὐκέτι τῆς ἐπὶ τῇ
φιλοσοφίᾳ ταύτῃ. οὐ γὰρ ἴσχυσέ σε ἀναγκάσαι ἐκεῖνος, ὅπερ οὐκ ἐβούλου, ποιῆσαι. καὶ
ὅτι τοῦτό ἐστιν ἀληθές, εἰπέ μοι, τίς ἐνίκησεν; ὁ βάσκανος, ἢ ὁ ἐπὶ τῆς κοπρίας; τίς ἡττήθη;
ὁ πάντα ἀφαιρεθεὶς Ἰώβ, ἢ ὁ πάντα ἀφελόμενος διάβολος; δῆλον ὅτι ὁ πάντα ἀφελόμενος
διάβολος. τίνα θαυμάζομεν τῆς νίκης, τὸν διάβολον τὸν πλήξαντα, ἢ τὸν Ἰὼβ τὸν πληγέντα;
δῆλον ὅτι τὸν Ἰώβ. καίτοιγε οὐκ ἴσχυσε χρήματα ἀπολλύμενα κατασχεῖν, οὐ σῶσαι τοὺς παῖ-
δας τοὺς αὐτοῦ. καὶ τί λέγω χρήματα, καὶ παῖδας; τὴν τοῦ σώματος οὐκ ἴσχυσε περι-
ποιήσασθαι σωτηρίαν· ἀλλ' ὅμως οὗτός ἐστιν ὁ νικήσας, ὁ πάντα τὰ ὄντα ἀποβαλών. χρή-
ματα μὲν γὰρ οὐκ ἴσχυσε κατασχεῖν, τὴν δὲ εὐσέβειαν κατέσχε μετὰ ἀκριβείας ἁπάσης.
ἀλλὰ παισὶν οὐκ ἐπήμυνεν ἀπολλυμένοις. καὶ τί τοῦτο; καὶ γὰρ ἐκείνους λαμπροτέ-
ρους ἐποίησε τὸ συμβάν, καὶ ἑαυτῷ δὲ οὕτως ἤμυνεν ἐπηρεαζομένῳ. εἰ δὲ μὴ κακῶς
ἔπαθε καὶ ἠδικήθη παρὰ τοῦ διαβόλου, οὐκ ἂν ἐνίκησε τὴν λαμπρὰν νίκην ἐκεί-
νην. εἰ πονηρὸν ἦν τὸ ἀδικεῖσθαι, οὐκ ἂν ἡμῖν αὐτὸ ἐπέταξεν ὁ Θεός. πονηρὰ γὰρ ὁ Θεὸς
οὐκ ἐπιτάττει. ἢ οὐκ ἴστε, ὅτι αὐτός ἐστιν ὁ Θεὸς τῆς δόξης; καὶ οὐκ ἂν αἰσχύνῃ καὶ γέλω-
τι καὶ ζημίᾳ περιβαλεῖν ἡμᾶς ἠθέλησεν, ἀλλὰ τἀναντία προξενῆσαι; διὰ τοῦτο κελεύει

ἡμᾶς ἀδικεῖσθαι, καὶ πάντα περιάγει, ὥστε ἀποστῆσαι ἡμᾶς τῶν βιωτικῶν, καὶ πεῖσαι τί δόξα, καὶ τί αἰσχύνη, τί ζημία, καὶ τί κέρδος. ἀλλὰ δεινὸν τὸ ἀδικεῖσθαι καὶ ἐπηρεάζεσθαι. οὐκ ἔστι δεινόν, οὐκ ἔστιν, ἄνθρωπε. μέχρι τίνος πρὸς τὰ παρόντα ἐπτόησαι; οὐδὲ γὰρ ἂν ἐπέταξεν αὐτὸ ὁ Θεός, εἰ δεινὸν ἦν. σκόπει δέ· ὁ ἠδικηκὼς ἀπῆλθε χρήματα ἔχων, ἀλλὰ καὶ συνειδὸς πονηρόν· ὁ δὲ ἠδικημένος, χρημάτων μὲν ἀπεστερημένος, παρρησίαν δὲ κεκτημένος πρὸς τὸν Θεόν, κτῆμα μυρίων θησαυρῶν τιμιώτερον. ταῦτ' οὖν εἰδότες, φιλοσοφῶμεν ἐκ προαιρέσεως, καὶ μὴ πάσχωμεν τὰ τῶν ἀνοήτων, οἳ τότε νομίζουσι μὴ ἀδικεῖσθαι, ὅταν ἀπὸ δικαστηρίου τοῦτο πάθωσι. τοὐναντίον δὲ ἅπαν ἐστὶν ἡ μεγίστη ζημία, καὶ ὅλως ὅταν μὴ ἑκόντες ταῦτα φιλοσοφῶμεν, ἀλλ' ἡττηθέντες ἐκεῖθεν. οὐδὲν γὰρ κέρδος ἀπὸ δικαστηρίου ἡττηθέντα ἐνεγκεῖν. καὶ γὰρ τῆς ἀνάγκης * γέγονε λοιπόν. τίς οὖν ἡ λαμπρὰ νίκη; ὅταν σὺ καταφρονήσῃς, ὅταν μὴ δικάσῃ. τί φῄς; ἀφῃρέθην ἅπαντα τὰ ὄντα, φησί, καὶ σιγᾷν κελεύεις; ἐπηρεάσθην, καὶ φέρειν πράως παραινεῖς; καὶ πῶς δυνήσομαι; ῥᾷστα μὲν οὖν, ἂν εἰς τὸν οὐρανὸν ἀναβλέψῃς, ἂν ἴδῃς τὸ κάλλος τοῦτο, καὶ ποῦ σε ἐπηγγείλατο δέξασθαι ὁ Θεὸς φέροντα ἀδικίαν γενναίως. τοῦτο τοίνυν ποίει, καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, ἐννόησον ὅτι τῷ ἐκεῖ καθημένῳ ἐπὶ τῶν χερουβὶμ γέγονας ὅμοιος. καὶ γὰρ καὶ ἐκεῖνος ὑβρίσθη, καὶ ἤνεγκε, καὶ ὠνειδίσθη, καὶ οὐκ ἠμύνατο, καὶ ἐτυπτήθη, καὶ οὐκ ἐπεξῆλθεν· ἀλλὰ καὶ τοῖς ἐναντίοις ἠμείψατο, εὐεργεσίαις μυρίαις τοὺς τὰ τοιαῦτα πεποιηκότας, καὶ ἡμᾶς μιμητὰς αὐτοῦ γενέσθαι ἐκέλευσεν. ἐννόησον ὅτι γυμνὸς ἐξῆλθες ἐκ κοιλίας μητρός σου· γυμνὸς καὶ ἀπελεύσῃ καὶ σύ, κἀκεῖνος ὁ ἠδικηκώς· μᾶλλον δὲ ἐκεῖνος μὲν μετὰ μυρίων τραυμάτων σκώληκα τικτόντων. ἐννόησον ὅτι πρόσκαιρα τὰ παρόντα, λόγισαι τοὺς τάφους τῶν προγόνων, καταμάθε τὰ γεγενημένα σαφῶς, καὶ ὄψει ὅτι ἰσχυρότερόν σε ἐποίησεν ὁ ἀδικήσας. τὸ μὲν γὰρ αὐτοῦ πάθος χαλεπώτερον ἐποίησε, τὴν φιλαργυρίαν λέγω· τὸ δὲ σὸν ἀσθενέστερον, λαβὼν τὴν τροφὴν τοῦ θηρίου. καὶ ἔτι πρὸς τούτοις ἀπήλλαξέ σε φροντίδων, ἀγωνίας, βασκανίας συκοφαντῶν, θορύβου, ταραχῆς, φόβου διηνεκοῦς· καὶ τὸν φορυτὸν τῶν κακῶν ἐπεσώρευσεν ἐπὶ τὴν ἑαυτοῦ κεφαλήν. τί οὖν, ἐὰν λιμῷ παλαίσω, φησί; μετὰ Παύλου τοῦτο πάσχεις τοῦ λέγοντος,

α. Κορ. δ. 11. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν. ἀλλ' ἐκεῖνος διὰ τὸν Θεόν, φησί. καὶ σὺ διὰ τὸν Θεόν. ὅταν γὰρ μὴ ἐπεξέλθῃς, διὰ τὸν Θεὸν τοῦτο ποιεῖς. ἀλλ' ὁ ἠδικηκὼς μετὰ τῶν πλουτούντων τρυφᾷ, μᾶλλον δὲ μετὰ τοῦ διαβόλου. ἀλλὰ σὺ

Παροιμ. ι. γ. μετὰ Παύλου στεφανοῦσθαι. μὴ τοίνυν δέδιθι λιμόν. Οὐ γὰρ λιμοκτονήσει Κύριος ψυ-

Ψαλ. νδ. κγ. χὰς δικαίων. καὶ ἑτέρως φησὶ πάλιν, Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. εἰ γὰρ τὰ στρουθία τοῦ ἀγροῦ διατρέφει, πῶς σε οὐ διαθρέψει; μὴ γινώμεθα τοίνυν ὀλιγόπιστοι, μηδὲ ὀλιγόψυχοι, ἀγαπητοί. ὁ γὰρ βασιλείαν οὐρανῶν ἐπαγγειλάμενος καὶ τοσαῦτα ἀγαθά, τὰ παρόντα πῶς οὐ δώσει; μὴ περιττῶν ἐπιθυμῶμεν, ἀλλ' αὐταρκείας ἐχώμεθα, καὶ ἀεὶ πλουτήσομεν. σκεπάσματα ζητῶμεν καὶ τροφάς, καὶ πάντων ἐπιληψόμεθα, καὶ τούτων, καὶ τῶν πολλῷ μειζόνων. εἰ δὲ ἀλγεῖς ἔτι, καὶ κάτω κύπτεις, ἠβουλόμην σοι τοῦ ἠδικηκότος μετὰ τὴν νίκην δεῖξαι τὴν ψυχήν, πῶς τέφρα γέγονε. καὶ γὰρ ἡ ἁμαρτία τοιοῦτον. ἕως μὲν ἂν ἐργασθῇ, παρέχει τινὰ ἡδονήν· ὅταν δὲ τελεσθῇ, τότε ἡ μικρὰ ἡδονὴ ὑπεξίσταται, ἐπεισέρχεται δὲ ἀθυμία. ταῦτα, καὶ ὅταν ὑβρίζωμέν τινας, πάσχομεν· ὕστερον γοῦν ἑαυτῶν κατηγοροῦμεν. οὕτω καὶ ὅταν πλεονεκτήσωμεν, χαίρομεν· μετὰ δὲ ταῦτα κεντούμεθα ὑπὸ τοῦ συνειδότος. ὁρᾷς παρά τῳ δεῖνι τὴν οἰκίαν τοῦ πένητος; δάκρυσον, μὴ τὸν ἀπεστερημένον, ἀλλὰ τὸν εἰληφότα. οὐ γὰρ ἔδωκεν, ἀλλ' ἔλαβε κακόν. ἐκεῖνον μὲν γὰρ τῶν παρόντων ἀπεστέρησεν, ἑαυτὸν δὲ τῶν ἀφάτων ἀγαθῶν ἐξέβαλεν. εἰ γὰρ ὁ μὴ δοὺς τοῖς δεομένοις, εἰς γέενναν ἄπεισιν, ὁ λαμβάνων τὰ τῶν δεομένων, τί πείσεται; καὶ τί τὸ κέρδος, φησίν, ὅταν ἐγὼ πάθω κακῶς; μέγα μὲν οὖν τὸ κέρδος. οὐ γὰρ τῇ τιμωρίᾳ

τοῦ

τοῦ κακῶς πεποιηκότος ἵστησί σοι τὴν ἀντίδοσιν ὁ Θεός· ἐπεὶ οὐδὲν ἂν ἦν μέγα. τί γὰρ ὄφελος, εἰ ἐγὼ πάθω κακῶς, κἀκεῖνος πάθῃ κακῶς; καίτοιγε πολλοὺς οἶδα μόγις ἦν παραμυθίαν ταύτην ἡγουμένους, καὶ τὸ πᾶν ἀπειληφέναι νομίζοντας, ὅταν τοὺς ἐπηρεάσαντας ἴδωσι κολαζομένους. ἀλλ' ὅμως ὁ Θεὸς οὐκ ἐν τούτοις ἵστησι τὴν ἀμοιβήν. ἀλλὰ βούλει μαθεῖν ὅσα τὰ ἀγαθά σε διαδέξεται; ὁ οὐρανός σοι πάντα ἀνοίγει, τῶν ἁγίων ποιεῖ συμπολίτην, εἰς τὸν αὐτῶν χορὸν τελεῖν σε παρασκευάζει, ἁμαρτημάτων ἀπολύει, δικαιοσύνης στεφανοῖ. εἰ γὰρ οἱ τοῖς ἡμαρτηκόσιν ἀφιέντες τυγχάνουσιν ἀφέσεως, οἱ μὴ μόνον ἀφιέντες, ἀλλὰ καὶ ἐπιδαψιλευόμενοι, τίνος οὐ τεύξονται εὐλογίας; μὴ τοίνυν ἀμύνῃ ὡς ἐλέγξῃς, ἀλλὰ καὶ εὔξαι ὑπὲρ τοῦ ἠδικηκότος. ὑπὲρ γὰρ σαυτοῦ τοῦτο ποιεῖς. ἔλαβέ σου τὰ χρήματα; ἀλλὰ καὶ ἁμαρτίας, ὅπερ καὶ ἐπὶ τοῦ Νεεμὰν καὶ τοῦ Γιεζὴ γέγονε. πόσον οὐκ ἂν ἠθέλησας δοῦναι πλοῦτον ὥστε ἀφεθῆναί σοι τὰ ἁμαρτήματα; τοῦτο τοίνυν ὑπὲρ σοῦ νῦν. ἂν γὰρ ἐλέγξῃς γενναίως, καὶ μὴ καταράσῃ, λαμπροτέρους ἀναδήσῃ τοὺς στεφάνους. οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ Χριστοῦ λέγοντος ἤκουσας· Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. καὶ τὸ ἔπαθλον ἐννόησον ἡλίκον· ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὥστε οὐδὲν ἀπεστέρησαν, ἀλλὰ καὶ προσέλαβες· οὐκ ἠδίκησαν, ἀλλὰ καὶ ἐστεφανώθης, φιλοσοφώτερος γενόμενος τὴν ψυχήν, ὅμοιος τῷ Θεῷ καταστάς, τῆς φροντίδος τῆς χρημάτων ἀπαλλαγείς, τὴν βασιλείαν τῶν οὐρανῶν κληρωσάμενος. ταῦτα οὖν ἅπαντα ἀναλογισάμενοι φιλοσοφῶμεν ἐν ταῖς ἀδικίαις, ἀγαπητοί, ἵνα καὶ τῆς τοῦ παρόντος βίου ταραχῆς ἀπαλλαγῶμεν, καὶ τὴν ἀνόητον ἐκβάλωμεν ἀθυμίαν, καὶ τῆς μελλούσης χάριτος ἐπιτύχωμεν, χάριτι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

χ. ὅπως — χ. αὐτὸν — χ. ἀπολογίαις — χ. σου — χ. ἀλγῶς — χ. αἰῶνος — Matth. 5. 44.

Λογ. ιζ. 12 ΠΑΝΤΑ ΜΟΙ ΕΞΕΣΤΙΝ, ΑΛΛ' ΟΥ ΠΑΝΤΑ συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.

Τοῖς λαιμάργοις ἐνταῦθα ἀνίσταται. ἐπειδὴ γὰρ μέλλει πάλιν ἐπὶ τὸν πεπορνευκότα φέρεσθαι, ἡ δὲ πορνεία ἀπὸ τρυφῆς καὶ ἀμετρίας, σφοδρῶς τὸ πάθος κολάζει. οὐδὲ γὰρ περὶ τῶν ἀπηγορευμένων λέγει τοῦτο (ἐκεῖνα γὰρ οὐκ ἔξεστιν) ἀλλὰ περὶ τῶν ἀδιαφόρων εἶναι δοκούντων. οἷον τί λέγω· ἔξεστι, φησί, φαγεῖν, καὶ πιεῖν· ἀλλ' οὐ συμφέρει μετὰ ἀσωτίας. καὶ τὸ δὴ θαυμαστὸν αὐτοῦ καὶ παράδοξον, ὃ δὴ πολλαχοῦ ποιεῖν εἴωθεν, εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον, τοῦτο καὶ ἐνταῦθα κατασκευάζει, καὶ δείκνυσιν ὅτι τὸ ἐν ἐξουσίᾳ ποιεῖν, οὐ μόνον οὐ συμφέρει, ἀλλ' οὐδὲ ἐξουσίας ἐστίν, ἀλλὰ δουλείας. καὶ πρῶτον μὲν ἀπὸ τοῦ ἀσυμφόρου ἀποτρέπει λέγων, οὐ συμφέρει· δεύτερον δὲ καὶ ἀπὸ τοῦ ἐναντίου λέγων, ὅτι οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. ὃ δὲ λέγει τοῦτό ἐστι· κύριος εἶ τοῦ φαγεῖν, φησίν; οὐκοῦν μένε κύριος ὤν, καὶ σκόπει μὴ γένῃ δοῦλος τούτου τοῦ πάθους. ὁ μὲν γὰρ εἰς δέον αὐτῷ κεχρημένος, αὐτὸς αὐτοῦ κύριός ἐστιν· ὁ δὲ εἰς ἀμετρίαν ἐξιών, οὐκέτι κύριος, ἀλλὰ δοῦλος αὐτοῦ ἐστι, τῆς ἀδηφαγίας ἐν αὐτῷ τυραννούσης. εἶδες πῶς τὸν νομίζοντα ἐξουσίαν ἔχειν, ἔδειξεν ὑπὸ ἐξουσίαν ὄντα; τοῦτο γὰρ ἔθος τῷ Παύλῳ ποιεῖν, ὅπερ ἔφθην εἰπών, εἰς τὸ ἐναντίον περιτρέπειν τὰς ὑποθέσεις, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε. σκόπει δέ· ἐκείνων ἕκαστος ἔλεγεν, ἔξεστί μοι τρυφᾶν. αὐτός φησιν, ὅτι οὐχ οὕτως αὐτὸ ποιεῖς, ὡς ἐξουσίαν ἔχων αὐτοῦ, ἀλλ' ὡς αὐτὸς ὑποκείμενος τῇ ἐξουσίᾳ ταύτῃ. οὐδὲ γὰρ ἔχεις ἐξουσίαν τῆς γαστρός, ἕως ἂν ἄσωτος ᾖς, ἀλλ' αὐτή σου τὴν ἐξουσίαν ἔχει. τοῦτο καὶ ἐπὶ χρημάτων, καὶ ἐπὶ τῶν ἄλλων * ἐστὶν εἰπεῖν.

χ. αὐτῷ — * ἁπάντων

13 Τά

13 Τὰ βρώματα τῇ κοιλίᾳ. Κοιλίαν ἐνταῦθα, οὐ τὴν γαστέρα, ἀλλὰ τὴν γαστριμαργίαν λέγει· ὡς ὅταν λέγῃ, Ὧν ὁ Θεὸς ἡ κοιλία, οὐ περὶ τῶν μελῶν λέγων, ἀλλὰ περὶ τῆς ἀδδηφαγίας. ὅτι γὰρ τοῦτό ἐστιν, ἄκουσον τὰ ἑξῆς.

Φιλιπ. γ. ιθ.

Καὶ ἡ κοιλία τοῖς βρώμασι. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ.

Καίτοι γε καὶ ἡ κοιλία, σῶμα. ἀλλὰ δύο συζυγίας ἔθηκε, τὰ βρώματα καὶ τὴν γαστριμαργίαν, ὅπερ κοιλίαν ἐκάλεσε, τὸν Χριστὸν καὶ τὸ σῶμα. τί δέ ἐστι, τὰ βρώματα τῇ κοιλίᾳ; τὰ βρώματα, φησι, πρὸς τὴν γαστριμαργίαν ἔχει φιλίαν, καὶ αὕτη πρὸς ταῦτα. οὐ δύναται οὖν πρὸς τὸν Χριστὸν ἡμᾶς ἄγειν, ἀλλὰ πρὸς ταῦτα ἕλκει. πάθος γὰρ χαλεπὸν καὶ θηριῶδές ἐστι, καὶ δούλους ποιεῖ, καὶ ταύτῃ διακονεῖσθαι παρασκευάζει. τί τοίνυν περὶ τροφὴν ἐσπούδασας καὶ κέχηνας, ἀγαπητέ; τὸ γὰρ τέλος ἐκείνης τῆς διακονίας, τοῦτο, καὶ πλέον οὐδὲν ἐπιδείξεται· ἀλλ' ὥσπερ δεσποίνῃ τινὶ διακονουμένη μένει διατελοῦσα τὴν δουλείαν ταύτην, καὶ οὐ πρόεισι περαιτέρω, καὶ οὐδὲν ἔργον ἕτερον ἔχει, ἀλλ' αὐτὸ τοῦτο τὸ μάταιον. καὶ ἀμφότερα ἀλλήλοις συμπέπλεκται, καὶ συγκαταλύεται, ἡ κοιλία τοῖς βρώμασι, καὶ τὰ βρώματα τῇ κοιλίᾳ, δρόμον τινὰ αἰνίττον ἀνελίττουσα· ὡσανεὶ ἀπὸ σώματος διεφθαρμένου σκώληκες τίκτοιντο, καὶ πάλιν ὑπὸ τῶν σκωλήκων ἀναλίσκοιτο τὸ σῶμα· ἢ ὥσπερ ἂν εἰ κῦμα κορυφούμενον, καὶ διαλυόμενον, μηδὲν περαίνοι πλέον. ταῦτα δὲ οὐ περὶ τροφῆς καὶ σώματος λέγει, ἀλλὰ τὸ πάθος τῆς γαστριμαργίας καὶ τὴν ἀμετρίαν τῶν ἐδεσμάτων διαβάλλει. καὶ δηλοῖ τὰ ἑξῆς ἐπαγαγών·

Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· Οὐ τὴν γαστέρα λέγων, ἀλλὰ τὴν ἄμετρον ἐπιθυμίαν· οὐδὲ τὴν τροφήν, ἀλλὰ τὴν τρυφήν. πρὸς γὰρ ἐκεῖνα οὐ δυσχεραίνει, ἀλλὰ καὶ νομοθετεῖ περὶ αὐτῶν οὕτω λέγων, Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. ἀλλὰ ταύτῃ διαβάλλει τὸ πρᾶγμα, καὶ τὴν διόρθωσιν αὐτοῦ μετὰ συμβουλὴν ἐπιτρέψας εὐχῇ. τινὲς δέ φασιν ὅτι προφητεία τὸ εἰρημένον ἐστί, τὴν ἐν τῷ μέλλοντι αἰῶνι κατάστασιν δηλοῦσα, καὶ ὅτι οὐκ ἔστιν ἐκεῖ φαγεῖν, οὐδὲ πιεῖν. εἰ δὲ τὸ σύμμετρον ἕξει τέλος, πολλῷ μᾶλλον τῆς ἀμετρίας ἀπέχεσθαι δεῖ. εἶτα ἵνα μὴ νομίσῃ τις, ὅτι τοῦ σώματός ἐστιν ἡ διαβολή, μηδὲ ὑποπτεύσῃ, ὅτι ἀπὸ τοῦ μέρους τὸ ὅλον διέβαλε, μηδὲ λέγῃ, ὅτι ἡ φύσις τοῦ σώματος αἰτία ἦν τῆς πορνείας, ἄκουσον τῶν ἑξῆς. οὐ γὰρ τὴν φύσιν αἰτιῶμαι, φησι, τοῦ σώματος, ἀλλὰ τὴν ἄμετρον τῆς ψυχῆς ἀσωτίαν. διὸ καὶ ἐπάγει·

α. Τιμ. ϛ. η.

χ. φύσις τῆς γαστριμαργίας αἰτία, ἀλλὰ ἡ πορνεία ἡ γαστριμαργία, ἄκουσον

Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ. Οὐ γὰρ διὰ τοῦτο κατεσκευάσθη, ἵνα ἀσώτως ζῇ καὶ πορνεύῃ, ὥσπερ οὐδὲ κοιλία, ἵνα γαστριμαργῇ, ἀλλ' ἵνα τῷ Χριστῷ ἕπηται ὡς κεφαλῇ, καὶ ὁ Κύριος τῷ σώματι ἐπικέηται. αἰδεσθῶμεν, φρίξωμεν, ὅτι τοσαύτης ἀξιωθέντες τιμῆς, ὡς ἐκείνου τοῦ ἄνω καθημένου μέλη εἶναι, τοσούτοις κακοῖς καταισχύνομεν ἑαυτούς. κατηγορήσας τοίνυν ἱκανῶς τῆς γαστριμαργίας, καὶ τῇ τῶν μελλόντων ἐλπίδι τῆς κακίας ἀπάγει ταύτης, λέγων·

14 Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.

Εἶδες πάλιν σοφίαν ἀποστολικήν. τὸ γὰρ ἀξιόπιστον ἀεὶ τῆς ἀναστάσεως ἀπὸ τοῦ Χριστοῦ κατασκευάζει, καὶ μάλιστα νῦν. εἰ γὰρ τὸ σῶμα ἡμῶν μέλος τοῦ Χριστοῦ, ἀνέστη δὲ ὁ Χριστός, καὶ τὸ σῶμα πάντως ἕψεται τῇ κεφαλῇ. διὰ τῆς δυνάμεως αὐτοῦ. ἐπειδὴ γὰρ εἶπε πρᾶγμα ἀπιστούμενον καὶ λογισμοῖς οὐ δυνάμενον ὑπονοηθῆναι, τὸ ἀκατάληπτον τῆς δυνάμεως αὐτοῦ παρεχώρησε τὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, οὐ μικρὰν κατ' αὐτῶν ἀπόδειξιν καὶ ταύτην παρεχόμενος. καὶ ἐπὶ μὲν τῆς ἀναστάσεως τοῦ Χριστοῦ οὐ τέθεικεν αὐτό. οὐδὲ γὰρ εἶπεν, ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἐξεγερεῖ (ἐξέβη γὰρ τὸ πρᾶγμα) ἀλλὰ πῶς; ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε· καὶ οὐκ ἐδεῖτο κατασκευῆς. ἐπὶ δὲ τῆς ἡμετέρας ἀναστάσεως, ἐπειδὴ οὐδέπω γέγονεν, οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς; καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ,

χ. ἰσοδυνάμως δεῖξαι, χ. αὐτὸ

αὐτοῦ, τῇ ἀξιοπιστίᾳ τῆς τοῦ ποιοῦντος ἰσχύος τοὺς ἀντιλέγοντας ἐπιστομίζων. Εἰ δὲ τῷ πατρὶ τὴν ἀνάστασιν λογίζεται τοῦ Χριστοῦ, μηδέν σε θορυβείτω τοῦτο. οὐ γὰρ ὡς ἀτονοῦντος τοῦ Χριστοῦ, τοῦτο τέθεικεν. αὐτὸς γάρ ἐστιν ὁ λέγων, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. (Ioan. β. ιθ.) καὶ πάλιν, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. (Ioan. ι. ιη.) καὶ ὁ Λουκᾶς δὲ ἐν ταῖς πράξεσί φησιν, Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. (Πραξ. α. γ.) τίνος οὖν ἕνεκεν ὁ Παῦλος οὕτω φησίν; ὅτι καὶ τὰ τοῦ υἱοῦ τῷ πατρὶ λογίζεται, καὶ τὰ τοῦ πατρὸς τῷ υἱῷ. Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, φησί, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. (Ioan. ε. ιθ.) σφόδρα δὲ εὐκαίρως ἐνταῦθα τῆς ἀναστάσεως ἀνέμνησε, ταῖς ἐλπίσιν ἐκείναις καταστέλλων τῆς ἀδηφαγίας τὴν τυραννίδα, καὶ μονονουχὶ λέγων· ἔφαγες, ἔπιες ἀσώτως, καὶ τί τὸ πέρας; οὐδέν, εἰ μὴ φθορὰ μόνον. Συνηγέρθης τῷ Χριστῷ, καὶ τί τὸ πέρας; μέγα καὶ θαυμαστόν, ἡ μέλλουσα ἀνάστασις, ἡ ἔνδοξος ἐκείνη καὶ πάντα ὑπερβαίνουσα λόγον.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν διαπιστείτω τῇ ἀναστάσει. Εἰ δέ τις ἀπιστεῖ, ἐννοείτω πόσα ἐξ οὐκ ὄντων ἐποίησε, καὶ δεχέσθω καὶ περὶ ἐκείνης ἀπόδειξιν. τὰ γὰρ ἤδη γινόμενα παραδοξότερα πολλῷ, καὶ θαῦμα ἀμήχανον ἔχοντα. σκόπει δέ· γῆν λαβὼν ἔφυρε, καὶ ἐποίησεν ἄνθρωπον, γῆν οὐκ οὖσαν πρὸ τούτου. πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὐτὴ οὐκ οὖσα παρήγετο; πῶς δὲ τὰ ἐξ αὐτῆς ἅπαντα, τὰ τῶν ἀλόγων ἄπειρα γένη, τὰ τῶν σπερμάτων, τὰ τῶν φυτῶν, οὐκ ὠδίνων ἐπ' ἐκείνων ἡγησαμένων, οὐχ ὑετῶν κατενεχθέντων ἐπὶ τούτων, οὐχὶ γεωργίας φανείσης, οὐ βοῶν, οὐκ ἀρότρου, οὐκ ἄλλου οὐδενὸς συντελοῦντος εἰς τὴν γένεσιν τούτων; διὰ τοῦτο γὰρ ἐκ τῆς ἀψύχου καὶ ἀναισθήτου τοσαῦτα ἐν ἀρχῇ γένη καὶ φυτῶν, καὶ ἀλόγων ζώων ἀνῆκεν, ἵνα ἄνωθέν σε παιδεύσῃ τὸν τῆς ἀναστάσεως λόγον. τοῦτο γὰρ τῆς ἀναστάσεως ἀπορώτερον. οὐ γάρ ἐστιν ἴσον σβεσθέντα ἀνάψαι λύχνον, καὶ μηδαμῶς φαινόμενον δεῖξαι πῦρ. οὐκ ἔστιν ἴσον κατενεχθεῖσαν οἰκίαν ἀναστῆσαι, καὶ μηδὲ ὅλως ὑφεστῶσαν παραγαγεῖν. ἐνταῦθα μὲν γάρ, εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' ἡ ὕλη ὑπέκειτο· ἐκεῖ δὲ οὐδὲ ἡ οὐσία ἐφαίνετο. διὰ τοῦτο τὸ δυσκολώτερον εἶναι δοκοῦν ἐποίησε πρότερον, ἵνα ἐκ τούτου τὸ εὐκολώτερον παραδέξῃ. δυσκολώτερον δὲ εἶπον, οὐχὶ τῷ Θεῷ, ἀλλὰ κατὰ τὴν τῶν ἡμετέρων λογισμῶν ἀκολουθίαν. Θεῷ γὰρ δύσκολον οὐδέν· ἀλλ' ὥσπερ ζωγράφος ὁ μίαν ποιῶν εἰκόνα, μυρίας εὐκόλως ποιήσει, οὕτω καὶ Θεῷ ῥᾴδιον μυρίους ποιῆσαι κόσμους καὶ ἀπείρους· μᾶλλον δὲ ὥσπερ εὔκολον ἐννοῆσαί σε πόλιν καὶ κόσμους ἀπείρους, οὕτω ποιῆσαι Θεῷ εὔκολον, μᾶλλον δὲ καὶ τούτου πολλῷ πάλιν εὐκολώτερον. σὺ μὲν γὰρ κἂν βραχὺν χρόνον ἀναλίσκεις ἐν τῇ ἐννοίᾳ· ὁ δὲ Θεὸς οὐδὲ τοῦτο, ἀλλ' ὅσῳ τῶν κουφοτάτων τινός, μᾶλλον δὲ καὶ τοῦ νοῦ τοῦ ἡμετέρου, οἱ λίθοι βαρύτεροι, τοσούτῳ ὁ νοῦς ἡμῶν τῆς ταχύτητος τῆς ἐν τῷ ποιεῖν ἀπολιμπάνεται τοῦ Θεοῦ. ἐθαύμασας αὐτοῦ τὴν δύναμιν ἐπὶ τῆς γῆς; ἐννόησον πάλιν πῶς ὁ οὐρανὸς γέγονεν οὐκ ὤν, πῶς τὰ ἄπειρα ἄστρα, πῶς ὁ ἥλιος, πῶς ἡ σελήνη· καὶ ταῦτα πάντα οὐκ ὄντα. πάλιν, εἰπέ μοι, πῶς μετὰ τὸ γενέσθαι ἕστηκε, καὶ ἐπὶ τίνος; ποίαν ὑποβάθραν ἔχει; ἡ γῆ δὲ ποίαν; καὶ τί μετὰ τὴν γῆν; καὶ μετ' ἐκεῖνο πάλιν τὸ μετὰ τὴν γῆν, τί; ὁρᾷς εἰς ὅσον ἴλιγγον ἐκπίπτει σου τὸ τῆς διανοίας ὄμμα, ἂν μὴ ταχέως ἐπὶ τὴν πίστιν καταδράμῃς καὶ τὴν ἀκατάληπτον δύναμιν τοῦ ποιήσαντος; Εἰ δὲ βούλει καὶ ἀπὸ τῶν ἀνθρωπίνων στοχάζεσθαι, δυνήσῃ κατὰ μικρὸν πτερῶσαί σου τὴν διάνοιαν. ποίων ἀνθρωπίνων, φησίν; οὐχ ὁρᾷς τοὺς κεραμέας, πῶς τὸ διακλασθὲν καὶ γινόμενον ἄμορφον διαπλάττουσι σκεῦος; τοὺς τὴν μεταλλικὴν χωνεύοντας γῆν, πῶς τὴν γῆν χρυσίον ἀποφαίνουσι, καὶ σίδηρον καὶ χαλκὸν πάλιν ἑτέραν; τοὺς τὴν ὕελον ἐργαζομένους, πῶς τὴν ἄμμον εἰς ἓν σῶμα συνεχὲς καὶ διαυγὲς μετασκευάζουσιν; εἰπὲ τοὺς σκυτοδέψας, τοὺς τὰ ἁλουργὰ ἐσθήματα βάπτοντας, πῶς ἕτερον ἀνθ' ἑτέρου τὸ δεξάμενον τὴν βαφὴν ἀποφαίνουσιν; εἰπὲ τὴν γέννησιν τὴν ἡμετέραν; οὐ σπέρμα βραχὺ πρότερον ἄμορφον καὶ ἀτύπωτον ἐνίεται εἰς τὴν ὑποδεχομένην μήτραν αὐτό; πόθεν οὖν ἡ

τοσαύτη τοῦ ζῴου διπλασίασις; τί δὲ ὁ σῖτος; οὐ κόκκος γυμνὸς εἰς τὴν γῆν καταβάλλεται; οὐ μετὰ τὸ καταβληθῆναι σήπεται; πόθεν ἄσταχυς, καὶ ἀνθέρικες, καὶ καλάμη, καὶ τὰ ἄλλα πάντα; οὐ κεγχρὶς σύκου μικρὰ πολλάκις ἐμπεσοῦσα εἰς γῆν, καὶ ῥίζας καὶ κλάδους καὶ καρπὸν ἤνεγκεν; εἶτα τούτων μὲν ἕκαστον δέχῃ, καὶ οὐ περιεργάζῃ, τὸν δὲ Θεὸν μόνον ἀπαιτεῖς εὐθύνας μετασκευάζοντα ἡμῶν τὸ σῶμα; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης; ταῦτα πρὸς Ἕλληνας λέγομεν, καὶ τὰ τοιαῦτα· πρὸς γὰρ τοὺς ταῖς γραφαῖς πειθομένους, οὐδὲ λόγων μοι δεῖ. εἰ γὰρ μέλλοις περιεργάζεσθαι πάντα τὰ ἐκείνου, τί πλέον ἕξει τῶν ἀνθρώπων ὁ Θεός; καίτοι γε καὶ ἀνθρώποις πολλοῖς οὐ περιεργαζόμεθα. πολλῷ οὖν μᾶλλον τὴν τοῦ Θεοῦ σοφίαν πολυπραγμονεῖν οὐ χρή, οὐδὲ λογισμοὺς ἀπαιτεῖν· πρῶτον μὲν, ὅτι ἀξιόπιστος ὁ ἀποφαινόμενος, δεύτερον δὲ, ὅτι οὐ δέχεται λογισμῶν ἔρευναν τὰ πράγματα. οὐ γὰρ οὕτω πτωχὸς ὁ Θεὸς, ὡς τοιαῦτα ἐργάζεσθαι μόνα, ἃ τῇ τῶν λογισμῶν ἀσθενείᾳ περιληφθῆναι δύναται τῇ σῇ. εἰ γὰρ τέκτονος ἔργα οὐ καταλαμβάνεις, πολλῷ μᾶλλον τοῦ ἀριστοτέχνου Θεοῦ. μὴ ἀπιστεῖτε τοίνυν τῇ ἀναστάσει· ἐπεὶ πολλῷ μακρὰν τῆς ἐλπίδος ἔσεσθε τῆς μελλούσης. ἀλλὰ τί τὸ σοφὸν τῶν ἀντιλεγόντων, μᾶλλον δὲ τὸ σφόδρα ἀνόητον; καὶ πῶς, ὅταν ἀναμιχθῇ τὸ σῶμα τῇ γῇ καὶ γένηται γῆ, καὶ αὕτη πάλιν ἑτέρωθι μετενεχθῇ, ἀναστήσεται, φησί; σοὶ τοῦτο ἄπορον εἶναι δοκεῖ, ἀλλ' οὐ τῷ ἀκοιμήτῳ ὀφθαλμῷ. ἐκείνῳ γὰρ ἅπαντα δῆλα. καὶ σὺ μὲν οὐχ ὁρᾷς τὴν ἐν τῇ συγχύσει διαίρεσιν, ἐκεῖνος δὲ πάντα οἶδεν· ἐπεὶ καὶ τὰ ἐν τῇ καρδίᾳ σὺ μὲν ἀγνοεῖς τοῦ πλησίον, ἐκεῖνος δὲ πάντα ἐπίσταται. εἰ τοίνυν ἐπειδὴ ἀγνοεῖς πῶς ἀνίστησιν ὁ Θεὸς, ἀπιστεῖς ὅτι ἀνίστησιν, ἀπιστήσεις ὅτι καὶ τὰ ἐν τῇ διανοίᾳ οἶδεν; οὐ φαίνεται γὰρ οὐδὲ ταῦτα. καίτοι ἐπὶ τοῦ σώματος μὲν ὕλη ἐστὶν ὁρατὴ, κἂν διαλυθῇ· ἐκεῖναι δὲ αἱ ἔννοιαι, ἀόρατοι. ὁ τὰ ἀόρατα τοίνυν εἰδὼς μετὰ ἀκριβείας ἁπάσης, τὰ ὁρατὰ οὐκ οἴσεται, καὶ διαιρήσει ῥᾳδίως τὸ σῶμα; πάντως που δῆλον. μὴ τοίνυν ἀπιστεῖτε τῇ ἀναστάσει. διαβολικὸν γὰρ τὸ δόγμα· καὶ σπουδάζει τοῦτο ὁ διάβολος, οὐχ ἵνα ἀνάστασις ἀπιστηθῇ μόνον, ἀλλ' ἵνα καὶ τὰ τῆς ἀρετῆς ἔργα καταλυθῇ*. ἄνθρωπος γὰρ μὴ προσδοκῶν ἀναστήσεσθαι καὶ δώσειν λόγον τῶν πεπραγμένων, οὐχ ἅψεται ταχέως ἀρετῆς· οὐχ ἁπτόμενος δὲ ἀρετῆς, διαπιστήσει τῇ ἀναστάσει πάλιν. ἀμφότερα γὰρ ὑπ' ἀλλήλων κατασκευάζεται, ἡ κακία ὑπὸ τῆς ἀπιστίας, καὶ ἡ ἀπιστία ὑπὸ τῆς κακίας. πολλῶν γὰρ πεπληρωμένον τὸ συνειδὸς πονηρῶν, δεδοικὸς καὶ τρέμον τὴν μέλλουσαν ἀντίδοσιν, ἐπειδὴ μὴ βούλεται ἀπὸ τῆς μεταβολῆς τῆς ἐπὶ τὰ κάλλιστα τὴν παραμυθίαν πορίζεσθαι, ἀπὸ τῆς ἀπιστίας ἀναπαύεσθαι βούλεται. οὐ λέγοντος γάρ σου ἀνάστασιν οὐδὲ κρίσιν, κἀκεῖνο ἐρεῖ, οὐκοῦν οὐδὲ ἐγὼ δώσω λόγον τῶν τετολμημένων. ἀλλὰ τί φησιν ὁ Χριστός; (Ματθ. κβ. κθ.) Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. οὐδὲ γὰρ ἂν τοσαῦτα ἐπραγματεύσατο ὁ Θεὸς, εἴγε μὴ ἔμελλεν ἀναστήσειν ἡμᾶς, ἀλλὰ διαλύειν καὶ ἀφανίζειν εἰς τὸ μηδέν. οὐκ ἂν τὸν οὐρανὸν ἐξέτεινε τοῦτον, οὐκ ἂν τὴν γῆν ὑπεστόρεσεν, οὐκ ἂν τὰ ἄλλα πάντα ὑπὲρ τῆς βραχείας ζωῆς μόνον ταύτης ἐποίησεν. εἰ δὲ ὑπὲρ τῆς παρούσης ταῦτα, τί οὐ ποιήσει ὑπὲρ τῆς μελλούσης; εἰ δὲ μὴ ἔσται μέλλουσα, πολὺ ἡμεῖς τῶν δι' ἡμᾶς γενομένων ἀτιμότεροι κατὰ τοῦτο. καὶ γὰρ οὐρανὸς, καὶ γῆ, καὶ θάλασσα, καὶ ποταμοὶ, μονιμώτερα ἡμῶν, καὶ τῶν ἀλόγων δὲ ἔνια. καὶ γὰρ κορώνη, καὶ τὸ τῶν ἐλεφάντων γένος, καὶ πολλὰ ἕτερα πλείονα χρόνον ἀπολαύει τῆς παρούσης ζωῆς. ἡμῖν δὲ καὶ βραχὺς καὶ ἐπίπονος ὁ βίος, ἀλλ' οὐκ ἐκείνοις ἀλλὰ καὶ μακρὸς, καὶ μᾶλλον καὶ ἀθυμίας καὶ φροντίδων ἀπηλλαγμένος. τί οὖν, εἰπέ μοι; τοὺς δούλους βελτίους ἐποίησε τῶν δεσποτῶν; μὴ, παρακαλῶ, μὴ ταῦτα λογίζου, μηδὲ πτώχευε τὴν διάνοιαν, ἄνθρωπε, μηδὲ ἀγνόει τὸν πλοῦτον τοῦ Θεοῦ, τοιοῦτον ἔχων δεσπότην. καὶ γὰρ ἐξ ἀρχῆς σε ἐβούλετο ἀθάνατον ὁ Θεὸς ποιῆσαι, ἀλλ' οὐκ ἠθέλησας σύ. καὶ γὰρ ἀθανασίας αἰνίγματα ἐκεῖνα ἦν, ἡ πρὸς τὸν Θεὸν ὁμιλία, τὸ ἀταλαίπωρον τῆς ζωῆς, τὸ λύπης καὶ φροντίδων ἀπηλλάχθαι καὶ πόνων, καὶ τῶν ἄλλων τῶν ἐπικήρων. οὔτε γὰρ ἱματίων ἐ-

δεῖτο ὁ Ἀδάμ, οὐκ ὀρόφου, οὐκ ἄλλης τινὸς τοιαύτης κατασκευῆς, ἀλλ' ἀγγέλοις μᾶλλον ἐῴκει, καὶ πολλὰ τῶν μελλόντων προῄδει, καὶ σοφίας ἐπεπλήρωτο πολλῆς. καὶ ὃ λάθρα ἐποίησεν ὁ Θεός, τοῦτο ἐκεῖνος ἔγνω, τὸ περὶ τῆς γυναικός. διὸ καὶ ἔλεγε, Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Γεν. β. ὁ δὲ πόνος ὕστερον γέγονεν, ὕστερον ἱδρώς, ὕστερον αἰχμή, καὶ ἡ δειλία, καὶ τὸ ἀπαρρησίαστον· τότε δὲ οὐ λύπη, οὐκ ὀδύνη, οὐ στεναγμός. ἀλλ' οὐκ ἔμεινεν ἐπὶ τῆς ἀξίας ἐκείνης. τί οὖν ἐγὼ πάθω, φησί, δι' ἐκεῖνον ἀπόλλυμαι; μάλιστα μὲν οὐ δι' ἐκεῖνον. οὐδὲ γὰρ σὺ ἀναμάρτητος ἔμεινας, ἀλλ' εἰ μὴ τὴν αὐτὴν ἁμαρτίαν, ἑτέραν γοῦν ἥμαρτες, ἄλλως δέ, οὐδὲ ἀπὸ τῆς τιμωρίας ἐβλάβης, ἀλλὰ καὶ ἐκέρδανας. εἰ μὲν γὰρ ἔμελλες διηνεκῶς μένειν θνητός, ἴσως εἶχέ τινα λόγον τὸ εἰρημένον. νῦν δὲ καὶ ἀθάνατος εἶ, κἂν ἐθέλῃς ὑπὲρ τὸν ἥλιον αὐτὸν λάμψαι, δυνήσῃ. ἀλλ' εἰ μὴ θνητὸν ἐλάβομεν σῶμα, φησίν, οὐκ ἂν ἡμάρτομεν. τί οὖν, εἰπέ μοι; ἐκεῖνος, θνητὸν ἔχων σῶμα, ἥμαρτεν; οὐδαμῶς. οὐ γὰρ ἄν, εἴγε θνητὸν ἦν, ὕστερον ἐν κολάσεως τάξει τὸν θάνατον ὑπέμεινεν. ὅτι δὲ οὐ τὸ θνητὸν σῶμα ἐμποδίζει πρὸς ἀρετήν, ἀλλὰ καὶ σωφρονίζει καὶ τὰ μέγιστα συντελεῖ, δηλοῖ ἐκεῖθεν. εἰ γὰρ προσδοκία ἀθανασίας μόνον οὕτως ἐπῆρε τὸν Ἀδάμ, εἰ καὶ τῷ ὄντι ἀθάνατος ἐγεγόνει, ποῦ οὐκ ἂν ἀπονοίας ἐξέβη; καὶ νῦν μὲν ἁμαρτών, δύνασαι λῦσαι τὰ ἁμαρτήματα, τοῦ σώματος ταπεινοῦ ὄντος καὶ καταπίπτοντος καὶ διαλυομένου (καὶ γὰρ αὗται αἱ ἔννοιαι, ἱκαναὶ σωφρονίσαι) εἰ δὲ ἐν ἀθανάτῳ ἐπλημμέλησας, μονιμώτερα * ἔμελλεν εἶναι τὰ ἁμαρτήματα. οὐ τοίνυν ἡ θνητότης αἰτία τῆς ἁμαρτίας (μὴ κατηγόρει) ἀλλ' ἡ πονηρὰ προαίρεσίς ἐστιν ἡ ῥίζα τῶν κακῶν. διὰ τί γὰρ μηδὲν τὸν Ἄβελ τὸ σῶμα ἠδίκησε; διὰ τί μηδὲν τοὺς δαίμονας τὸ ἀσώματον ὤνησε; βούλει μαθεῖν; ὅτι οὐ μόνον οὐκ ἔβλαψε τὸ σῶμα θνητὸν γενόμενον, ἀλλὰ καὶ ὠφέλησεν. ἄκουσον ὅσα κερδαίνεις, ἐὰν νήφῃς, ἐκ τούτου. ἀνθέλκει σε καὶ περισπᾷ ἀπὸ τῆς κακίας ὀδύναις καὶ λύπαις καὶ πόνοις καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. ἀλλὰ * εἰς πορνείαν ἐξάγει, φησίν. οὐ τὸ σῶμα, ἀλλ' ἡ ἀκολασία. ταῦτα μὲν γάρ, ἅπερ εἶπον, πάντως τοῦ σώματός ἐστι. διόπερ οὐκ ἔστιν ἄνθρωπον εἰς τὸν βίον ἐλθόντα τοῦτον, μὴ καὶ νοσεῖν καὶ ἀλγεῖν καὶ ἀθυμεῖν, μὴ πορνεύειν δὲ ἔνι. ὥστε εἰ τῆς τοῦ σώματος ἦν φύσεως καὶ τὰ τῆς κακίας, καθολικὰ ἂν ἦν. τὰ γὰρ φυσικά, τοιαῦτα. τὸ δὲ πορνεύειν, οὐ τοιοῦτον. ἀλλὰ τὸ μὲν ἀλγεῖν, ἐντεῦθεν· τὸ δὲ πορνεύειν, ἀπὸ τῆς προαιρέσεως. μὴ τοίνυν κατηγόρει τοῦ σώματος, μηδὲ τὴν τιμὴν ἀφαιρείσθω ὁ διάβολος, ἥν σοι ἔδωκεν ὁ Θεός. ἂν γὰρ θέλωμεν, χαλινός ἐστιν ἄριστος τὸ σῶμα, τὰ σκιρτήματα τῆς ψυχῆς κατέχον, ἀπόνοιαν κατασπῶν, ἀλαζονείαν κωλῦον, ἐν τοῖς μεγίστοις κατορθώμασιν ἡμῖν διακονούμενον. μὴ γάρ μοι τοὺς μαινομένους εἴπῃς. ἐπεὶ καὶ τῶν ἵππων πολλοὺς ὁρῶμεν τὸν ἡνίοχον ῥίψαντας μετὰ τοῦ χαλινοῦ κατὰ κρημνῶν φερομένους· ἀλλ' οὐ μεμφόμεθα τὸν χαλινόν. οὐ γὰρ ἐκεῖνος διασπασθεὶς τοῦτο εἰργάσατο, ἀλλ' ὁ ἡνίοχος ὁ μὴ κατασχών, πάντα ἀπώλεσεν. οὕτω δὴ καὶ ἐνταῦθα λογίζου. ἂν ἴδῃς νέον ἐν ὀρφανίᾳ ζῶντα καὶ μυρία ἐργαζόμενον κακά, μὴ τὸ σῶμα αἰτιῶ, ἀλλὰ τὸν ἡνίοχον τὸν συρόμενον, τὸν λογισμὸν λέγω. ὥσπερ γὰρ αἱ ἡνίαι οὐ παρέχουσι πράγματα τῷ ἡνιόχῳ, ἀλλ' ὁ ἡνίοχος πάντων αἴτιος οὐ καλῶς αὐτὰς κατέχων (διὸ καὶ δίκην αὐτὸν ἀπαιτοῦσι, συμπλεκόμεναι αὐτῷ, καὶ περισύρουσαι πολλάκις καὶ ἀναγκάζουσαι τῆς οἰκείας δυσπραγίας κοινωνεῖν) οὕτω δὴ καὶ ἐνταῦθα. ἐγὼ μὲν γάρ, φησίν, ἵμασσον τὸ στόμα τοῦ ἵππου, ἕως κατεῖχες· ἐπειδὴ δὲ ἔρριψας, ἀπαιτῶ σε τῆς καταφρονήσεως δίκην, καὶ περιπλέκομαι, καὶ περισύρω, ὥστε μηκέτι τὸ αὐτὸ παθεῖν. μηδεὶς τοίνυν αἰτιάσθω τὰς ἡνίας, ἀλλ' ἑαυτόν, καὶ τὴν διεφθαρμένην γνώμην. καὶ γὰρ ἐφ' ἡμῶν ἡνίοχός ἐστιν ὁ λογισμός· ἡνίαι δέ, τὸ σῶμα, συνάπτουσαι τοὺς ἵππους πρὸς τὸν ἡνίοχον. ἂν μὲν οὖν καλῶς αὗται διακέωνται, οὐδὲν πείσῃ δεινόν· ἂν δὲ ἀφῇς αὐτάς, ἠφάνισας καὶ ἀπώλεσας ἅπαντα. σωφρονῶμεν τοίνυν, καὶ μὴ κατηγορῶμεν τοῦ σώματος, ἀλλὰ τῆς πονηρᾶς διανοίας. καὶ γὰρ τοῦ διαβόλου ἔργον τοῦτο πάντων μᾶλλον, ποιεῖν τοὺς ἀνοήτους κατηγορεῖν καὶ σώματος, καὶ τοῦ

Θεοῦ, καὶ τοῦ πλησίον, ἢ τῆς διεφθαρμένης γνώμης· ἵνα μὴ τὴν αἰτίαν εὑρόντες ἀπαλλαγῶσι τῆς ῥίζης τῶν κακῶν. ἀλλ' ὑμεῖς τὴν ἐπιβουλὴν συνειδότες, τὸν θυμὸν κατ' αὐτοῦ τρέψατε· καὶ τὸν ἡνίοχον ἐπιστήσαντες τῷ ζεύγει, πρὸς τὸν Θεὸν τὸ ὄμμα τῆς διανοίας τείνατε. ἐν μὲν γὰρ τοῖς ἄλλοις οὐδὲν ὁ τὸν ἀγῶνα θεὶς εἰσφέρει, ἀλλ' ἀναμένει τὸ τέλος· ἐνταῦθα δὲ τὸ πολὺ ὁ ἀγωνοθέτης ἐστὶ Θεός. τοῦτον τοίνυν ἔχωμεν ἵλεων, καὶ πάντως ἐπιτευξόμεθα τῶν μελλόντων ἀγαθῶν.

Λογ. π. 15 ΟΥΚ ΟΙΔΑΤΕ ΟΤΙ ΤΑ ΣΩΜΑΤΑ ΥΜΩΝ μέλη τοῦ Χριστοῦ εἰσιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο.

Ἀπὸ τοῦ πεπορνευκότος ἐπὶ τὸν πλεονέκτην μεταβάς, πάλιν ἀπὸ τούτου πρὸς ἐκεῖνον ἔρχεται, οὐκέτι λοιπὸν πρὸς αὐτὸν διαλεγόμενος, ἀλλὰ τοῖς ἄλλοις τοῖς μὴ πεπορνευκόσι· καὶ τούτους ἀσφαλιζόμενος μήποτε περιπέσωσι τοῖς αὐτοῖς, ἐκείνου καθάπτεται πάλιν. ὁ γὰρ ἡμαρτηκώς, κἂν πρὸς ἕτερον ἀποτείνῃς τὸν λόγον, κεντεῖται καὶ οὕτω, τοῦ συνειδότος διεγειρομένου καὶ μαστίζοντος αὐτόν. ἱκανὸς μὲν οὖν καὶ ὁ ἀπὸ τῆς τιμωρίας φόβος ἦν αὐτοὺς κατασχεῖν ἐπὶ τῆς σωφροσύνης· ἐπειδὴ δὲ οὐ βούλεται φόβῳ μόνῳ τὰ τοιαῦτα κατορθοῦν, καὶ ἀπειλὰς καὶ λογισμοὺς τίθησιν. ἐκεῖ μὲν οὖν τὸ ἁμάρτημα εἰπών, καὶ τὴν τιμωρίαν ὁρίσας, καὶ τὴν βλάβην δείξας τὴν ἐκ τῆς συνουσίας τοῦ πεπορνευκότος ἐγγενομένην ἅπασιν, ἀπηλλάγη, καὶ πρὸς τὴν πλεονεξίαν μετέστη, καὶ τὴν ἔκπτωσιν τῆς βασιλείας ἀπειλήσας τούτῳ καὶ τοῖς λοιποῖς ἅπασιν, οἷς κατέλεξεν, οὕτω τὸν λόγον ἀπήρτισεν· ἐνταῦθα δὲ καὶ φρικωδέστερον μεταχειρίζει τὴν παραίνεσιν. ὅτι γὰρ τὸ ἁμάρτημα κολάζων μόνον, καὶ μὴ δεικνὺς σφόδρα παρανομώτατον ὄν, οὐδὲν τοσοῦτον ἀπὸ τῆς τιμωρίας εἰργάσατο· ὅ τε πάλιν ἐντρέπων μόνον, καὶ μὴ φοβῶν διὰ τῆς κολάσεως, οὐ σφόδρα καθάπτεται τῶν ἀναισθήτως διακειμένων. διόπερ ἀμφότερα ποιεῖ Παῦλος· καὶ ἐντρέπει λέγων, Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; καὶ φοβεῖ λέγων, Οὐκ οἴδατε ὅτι πλεονέκται βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; καὶ ἐπὶ τοῦ πεπορνευκότος πάλιν οὕτω κέχρηται τῷ λόγῳ. καὶ γὰρ φοβήσας δι' ὧν ἔμπροσθεν εἶπεν, ἐκτεμεῖν τε αὐτόν, καὶ τῷ Σατανᾷ παραδούς, καὶ τῆς μελλούσης ἀναμνήσας ἡμέρας, ἐντρέπει πάλιν λέγων, οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ Χριστοῦ ἐστιν; ὡς πρὸς παῖδας λοιπὸν εὐγενεῖς διαλεγόμενος. ἐπειδὴ γὰρ εἶπε, τὸ δὲ σῶμα τῷ Κυρίῳ, σαφέστερον αὐτὸ δείκνυσι νῦν· καὶ ἀλλα-
α. Κορ. ιβ. κζ. χοῦ δὲ τὸ αὐτὸ τοῦτο ποιεῖ, λέγων, Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. καὶ τὸ αὐτὸ ὑπόδειγμα πολλαχοῦ τίθησιν, οὐκ ἐπὶ τῶν αὐτῶν, ἀλλὰ ποτὲ μὲν ὥστε τὴν ἀγάπην δεῖξαι, ποτὲ δὲ ὥστε τὸν φόβον αὐξῆσαι· ἐνταῦθα δὲ δεδιττόμενος αὐτὸ τέθεικε, καὶ φοβῶν. ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο. οὐδὲν φρικωδέστερον τῆς λέξεως ταύτης. καὶ οὐκ εἶπεν, ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, συνάψω τῇ πόρνῃ; ἀλλὰ τί; ποιήσω μέλη πόρνης; ὅπερ ἦν πληκτικώτερον. εἶτα κατασκευάζει πῶς τοῦτο γίνεται ὁ πορνεύων, οὕτω λέγων·

16 Ἢ οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστι; Πόθεν δῆλον; Ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν.

17 Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστιν. Οὐκέτι γὰρ ἀφίησιν ἡ συνουσία τοὺς δύο εἶναι δύο, ἀλλ' ἓν ἀμφοτέρους ἐργάζεται. καὶ ὅρα πάλιν πῶς διὰ τῶν ὀνομάτων γυμνῶν πρόεισι, διὰ τῆς πόρνης καὶ διὰ τοῦ Χριστοῦ προάγων τὴν κατηγορίαν.

18 Φεύγετε

18 Φεύγετε τὴν πορνείαν. Οὐκ εἶπεν, ἀπέχεσθε τῆς πορνείας, ἀλλὰ, φεύγετε, τουτέστι, μετὰ σπουδῆς ποιεῖσθε τὴν ἀπαλλαγὴν τοῦ κακοῦ.

Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Τοῦτο τοῦ προτέρου ἔλαττον· πλὴν ἀλλ' ἐπειδὴ περὶ πόρνων ἦν ὁ λόγος αὐτῷ, πάντοθεν αὐτὸ ἐπαίρει, καὶ ἀπὸ τῶν μειζόνων, καὶ ἀπὸ τῶν ἐλαττόνων αὔξων τὸ ἔγκλημα. ἐκεῖνο μὲν οὖν τοῖς εὐλαβεστέροις εἴρηται τὸ πρότερον, τοῦτο δὲ τοῖς ἀσθενεστέροις. καὶ γὰρ καὶ τοῦτο τῆς Παύλου σοφίας, μὴ ἀπὸ τῶν μεγάλων ἐντρέπειν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μικροτέρων, καὶ ἀπὸ τοῦ αἰσχροῦ καὶ ἀπρεποῦς. τί οὖν, ὁ ἀνδροφόνος, φησὶν, οὐχὶ τὴν χεῖρα μολύνει; τί δὲ ὁ πλεονέκτης, καὶ ὁ ἅρπαξ; παντί που δῆλον. ἀλλ' ἐπειδὴ εἰπεῖν οὐκ ἐνῆν τοῦ πόρνου οὐδὲν χεῖρον, ἑτέρως αὐτὸ ηὔξησε λέγων, ὅτι ἐπὶ τῆς πορνείας ὁλόκληρον τὸ σῶμα γίνεται μιαρόν. ὥσπερ γὰρ εἰς λέβητα ἀκαθαρσίας ἐμπεσὸν καὶ τῷ μολυσμῷ βαπτόμενον, οὕτω φύρεται. τοῦτο δὲ καὶ ἡμῖν ἔθος. ἀπὸ μὲν γὰρ τῆς πλεονεξίας καὶ ἁρπαγῆς οὐκ ἄν τις σπουδάσειεν ἐπὶ βαλανεῖον ἐλθεῖν, ἀλλ' ἀδιαφόρως ἐπὶ τὴν οἰκίαν ἄνεισιν· ἀπὸ δὲ μίξεως πόρνης, καθάπερ ὅλος γενόμενος ἀκάθαρτος, ἐπὶ τὸ λούσασθαι ἔρχεται· οὕτως ἔχει τινὰ τὸ συνειδὸς ἀπὸ τῆς ἁμαρτίας ταύτης ὑπόληψιν αἰσχροτέραν. ἀμφότερα μὲν οὖν χαλεπὰ, καὶ πλεονεξία καὶ πορνεία, καὶ εἰς γέενναν ἐμβάλλει· ἀλλ' ἐπειδὴ οἰκονομικῶς ὁ Παῦλος πάντα ποιεῖ, οἷς εἶχε, τούτοις ηὔξησε τὸ τῆς πορνείας ἔγκλημα.

19 Ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν;

Οὐχ ἁπλῶς εἶπε, τοῦ πνεύματος, ἀλλὰ, τοῦ ἐν ὑμῖν, ὅπερ ἦν καὶ παραμυθουμένου· καὶ πάλιν ἐπεξηγούμενος ἐπήγαγεν, Οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ.

Καὶ τὸν δεδωκότα τέθεικεν, ὑψηλόν τε ὁμοῦ ποιῶν τὸν ἀκροατὴν, καὶ φοβῶν καὶ τῷ μεγέθει τῆς παρακαταθήκης καὶ τῇ φιλοτιμίᾳ τοῦ παρακαταθεμένου.

Καὶ οὐκ ἐστὲ ἑαυτῶν. Τοῦτο οὐκ ἐντρέποντος μόνον ἐστὶν, ἀλλὰ καὶ βιαζομένου πρὸς ἀρετήν. τί γὰρ πράττεις ἃ θέλεις, φησίν; οὐκ εἶ ἑαυτοῦ κύριος. ταῦτα δὲ λέγω, οὐχὶ τὸ αὐτεξούσιον ἀναιρῶν. καὶ γὰρ εἰπὼν, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, οὐχὶ τὴν ἐλευθερίαν ἡμῶν ἀνεῖλε· καὶ ἐνταῦθα πάλιν γράφων, ὅτι οὐκ ἐστὲ ἑαυτῶν, οὐ τῇ προαιρέσει λυμαίνεται, ἀλλὰ τῆς κακίας ἀπάγει, καὶ τοῦ δεσπότου τὴν κηδεμονίαν ἐνδείκνυται. διὸ καὶ ἐπήγαγεν·

20 Ἠγοράσθητε γὰρ τιμῆς. Εἰ δὲ οὐκ εἰμὶ ἐμαυτοῦ, πῶς με ἀπαιτεῖς τὰ πρακτέα; πῶς δὲ προσιὼν λέγεις πάλιν, δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ; τί οὖν ἐστι τό, οὐκ ἐστὲ ἑαυτῶν; καὶ τί δι' αὐτοῦ κατασκευάσαι βούλεται; ἐν ἀσφαλείᾳ καταστῆσαι τοῦ μὴ ἁμαρτάνειν, μηδὲ ταῖς ἐπιθυμίαις τῆς ψυχῆς ἀκολουθεῖν ταῖς ἀτόποις. καὶ γὰρ πολλὰ βουλόμεθα ἄτοπα· ἀλλὰ κατέχειν δεῖ· δυνάμεθα γάρ. εἰ δὲ μὴ δυνάμεθα, περιττὴ ἡ παραίνεσις. ὅρα γοῦν πῶς ἠσφαλίσατο. εἰπὼν γὰρ οὐκ ἐστὲ ἑαυτῶν, οὐκ ἐπήγαγεν, ἀλλ' ὑπὸ ἀνάγκην ἐστέ, ἀλλ', ἠγοράσθητε τιμῆς. διὰ τί τοῦτο λέγεις; καὶ μὴν ἑτέρωθεν, εἴποι τις ἂν ἴσως, ἔδει προτρέψαι, δεικνύντα ὅτι δεσπότην ἔχομεν. ἀλλὰ τοῦτο μὲν καὶ πρὸς Ἕλληνας ἡμῖν κοινόν· τὸ δὲ, ἠγοράσθητε τιμῆς, ἡμῶν ἐξαίρετον. ἀναμιμνήσκει γὰρ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τοῦ τρόπου τῆς σωτηρίας, δεικνὺς ὅτι ἀλλοτριωθέντες ἠγοράσθημεν· καὶ οὐχ ἁπλῶς, ἀλλὰ τιμῆς. Δοξάσατε δὴ ἄρα γε τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι.

Ταῦτα δὲ λέγει, ὥστε μὴ τῷ σώματι μόνον φεύγειν τὴν πορνείαν, ἀλλὰ καὶ ἐν τῷ πνεύματι τῆς ψυχῆς μηδὲν πονηρὸν λογίζεσθαι, καὶ ἐλαύνειν τὴν χάριν.

Ἅτινά ἐστι τοῦ Θεοῦ. Ἐπειδὴ γὰρ εἶπεν, ὑμῶν, διὰ τοῦτο ἐπήγαγεν, ἅτινά

ἐστι τοῦ Θεοῦ, καὶ συνεχῶς ἀναμιμνήσκων ἡμᾶς, ὅτι πάντα δεσποτικά, καὶ σῶμα, καὶ ψυχὴ, καὶ πνεῦμα. καὶ γάρ τινές φασι, τῷ πνεύματι, τῷ χαρίσματι λέγειν. δῆλον γὰρ ἐκεῖνο ἦν περὶ ἡμῶν, δοξάζεται ὁ Θεός· ἔσται δὲ, ἂν καθαρὰν καρδίαν ἔχωμεν. τοῦ Θεοῦ δὲ αὐτὰ ἔφησεν, οὐκ ἐπειδὴ παρήγαγεν αὐτὰ μόνον, ἀλλ' ἐπειδὴ καὶ ἀλλοτριωθέντα, ἐκ δευτέρου πάλιν ἐκτήσατο, τιμὴν τὸ αἷμα τοῦ παιδὸς καταθείς. ὅρα πῶς εἰς τὸν Χριστὸν τὸ πᾶν ἀπήρτισε· πῶς ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγε. μέλη ἐστὲ τοῦ Χριστοῦ, φησι, ναός ἐστε τοῦ πνεύματος. μὴ τοίνυν γίνεσθε πόρνης μέλη. οὐ γὰρ τὸ σῶμα τὸ ὑμῶν ὑβρίζεται. οὐ γὰρ τὸ σῶμα ὑμῶν ἐστιν, ἀλλὰ τοῦ Χριστοῦ. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ τὴν φιλανθρωπίαν ἐνδεικνύμενος, ὅτι αὐτοῦ τὸ σῶμα τὸ ἡμέτερον, καὶ τῆς ἐξουσίας τῆς πονηρᾶς ἡμᾶς ἀφαιρούμενος. εἰ γὰρ ἀλλότριόν ἐστι τὸ σῶμα, οὐκ ἔχετε ἐξουσίαν ἀλλότριον σῶμα ὑβρίζειν, φησὶ, καὶ μάλιστα ὅταν ᾖ δεσποτικὸν, οὐδὲ ναὸν μολύνειν τοῦ πνεύματος. εἰ γὰρ ἰδιωτικήν τις ἐπελθὼν οἰκίαν, καὶ κωμάσας εἰς ἐκείνην, τὴν ἐσχάτην δώσει δίκην, ὁ βασιλέως ναὸν λῃστοῦ ποιῶν καταγώγιον, ἐννόησον πόσα πείσεται κακά.

ΗΘΙΚΟΝ

Ταῦτα οὖν ἐννοήσας, αἰδέσθητι τὸν ἐνοικοῦντα. ὁ γὰρ παράκλητός ἐστιν οὗτος. φρῖξον τὸν συμπεπλεγμένον σοι καὶ κεκολλημένον. ὁ γὰρ Χριστός ἐστι. μὴ γὰρ σὺ μέλη Χριστοῦ ἑαυτὸν ἐποίησας; ἐννόησον οὕτω, καὶ μηδὲ παραφρόνει, τίνος ἦν μέλη, καὶ τίνος γέγονε. πόρνης ἦν μέλη πρὸ τούτου, καὶ ὁ Χριστὸς ἐποίησεν αὐτὰ μέλη τοῦ ἰδίου σώματος. οὐκ ἄρα αὐτῶν ἐξουσίαν ἔχεις λοιπόν· ἐκείνῳ δούλευε τῷ ἐλευθερώσαντι. οὐδὲ γὰρ εἰ θυγατέρα ἔχων, ἐκ πολλῆς τῆς ἀνοίας ἐξεμίσθωσας αὐτὴν πορνοβοσκῷ, καὶ πορνεύεσθαι ἐποίησας, εἶτα βασιλέως υἱὸς παρὼν ἠλευθέρωσέ τε αὐτὴν τῆς δουλείας ἐκείνης, καὶ συνῴκισεν ἑαυτῷ, κύριος εἶ λοιπὸν ἄγειν αὐτὴν ἐπὶ τὸ πορνεῖον· ἅπαξ γὰρ ἔδωκας καὶ ἐπώλησας. τοιοῦτόν ἐστι καὶ τὸ ἡμέτερον. ἐξεμισθώσαμεν τὴν σάρκα τὴν ἑαυτῶν τῷ διαβόλῳ, τῷ χαλεπῷ πορνοβοσκῷ. ἰδὼν ὁ Χριστὸς, ἐρρύσατο αὐτὴν, καὶ ἀπήλλαξε τῆς πονηρᾶς τυραννίδος ἐκείνης. οὐ τοίνυν ἐστὶν ἡμετέρα λοιπὸν, ἀλλὰ τοῦ ῥυσαμένου. ἐὰν ἐθέλῃς ὡς νύμφῃ βασιλέως χρῆσθαι, οὐδεὶς ὁ κωλύων· ἐὰν δὲ ἐπὶ τὰ πρότερα ἀγάγῃς, πείσῃ τὰ αὐτὰ, ἃ τοὺς τοιαῦτα ὑβρίζοντας εἰκός. διὸ μᾶλλον αὐτὴν κατακοσμεῖν χρὴ, οὐχὶ καταισχύνειν. οὐ γὰρ ἔχεις ἐξουσίαν τῆς σαρκὸς ἐν ταῖς πονηραῖς ἐπιθυμίαις, ἀλλ' ἐν οἷς ἂν ὁ Θεὸς ἐπιτάξῃ μόνοις. ἐννόησον γοῦν ἡλίκης αὐτὴν ὕβρεως ἀπήλλαξεν ὁ Θεός. καὶ γὰρ πάσης πόρνης αἰσχρότερον παρειστήκει ἡ φύσις ἡ ἡμετέρα πρὸ τούτου. καὶ γὰρ λῃστείαι, καὶ ἀνδροφονίαι, καὶ ἕκαστος παράνομος λογισμὸς πρὸς αὐτὴν εἰσιὼν, συγκατεκλίνετο τῇ ψυχῇ, καὶ μισθώματος ὀλίγου καὶ τοῦ τυχόντος, τῆς παρούσης ἡδονῆς. ἡ γὰρ ψυχὴ φυρομένη μετὰ τῶν πονηρῶν ἐννοιῶν καὶ πράξεων, τοῦτον ἐκαρποῦτο μόνον τὸν μισθόν. ἀλλὰ τὸ μὲν πρὸ τούτου ταῦτα γίνεσθαι δεινὸν ὄν, οὐχ οὕτω δεινὸν ἦν· τὸ δὲ μετὰ τὸν οὐρανὸν, μετὰ τὰ βασίλεια, μετὰ τὸ τῶν μυστηρίων ἀπολαῦσαι τῶν φρικτῶν πάλιν μολύνεσθαι, ποίαν ἕξει συγγνώμην; ἢ οὐκ οἴει καὶ τοῖς πλεονέκταις, καὶ πᾶσιν, οἷς ἔμπροσθεν ἀπηρίθμησεν, αὐτὸν τὸν διάβολον συγκατακλίνεσθαι; τὰς δὲ καλλωπιζομένας πρὸς ἀσέλγειαν γυναῖκας οὐχ ἡγῇ μετ' ἐκείνου μίγνυσθαι; καὶ τίς ἀντερεῖ τούτῳ τῷ λόγῳ; εἰ δέ ἐστί τις φιλονεικῶν, ἀποδυέτω τὴν ψυχὴν τῶν τὰ τοιαῦτα ἀσχημονουσῶν γυναικῶν, καὶ ὄψεται πάντως τὸν πονηρὸν δαίμονα ἐκεῖνον σφοδρῶς συμπεπλεγμένον αὐταῖς. δύσκολον γὰρ, ἀγαπητοί, δύσκολον, τάχα δὲ καὶ ἀμήχανον, τοῦ σώματος καλλωπιζομένου οὕτω, καὶ τὴν ψυχὴν ὁμοῦ καλλωπίζεσθαι· ἀλλ' ἀνάγκη θάτερον ἀμελεῖσθαι, ἐπιμελουμένου θατέρου. οὐ γὰρ ἔχει φύσιν ὁμοῦ ταῦτα γίνεσθαι. διό φησιν, ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι. πνεῦμα γὰρ γίνεται λοιπὸν ὁ τοιοῦτος, κἂν σῶμα περίκειται. ὅταν γὰρ μηδὲν σωματικὸν, μηδὲ παχὺ, μηδὲ γήϊνον περὶ αὐτὸν ᾖ, ἁπλῶς τὸ σῶμα περίκειται· ὅταν ἡ πᾶσα ἀρχὴ τῆς ψυ-

χάρις ἡ ἐκ τοῦ πνεύματος, οὕτω δοξάζεται ὁ Θεός. διὸ καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν, Ἁγιασθήτω τὸ ὄνομά σου. καὶ ὁ Χριστός φησι, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ματθ. ε. ιε. οὕτω δοξάζουσιν αὐτὸν καὶ οἱ οὐρανοί, οὐ φωνὴν ἀφιέντες, ἀλλὰ διὰ τῆς ὄψεως θαυμαζόμενοι, καὶ τὴν δόξαν εἰς τὸν δημιουργὸν ἀναφέροντες. οὕτω δοξάσωμεν αὐτὸν καὶ ἡμεῖς, μᾶλλον δὲ καὶ πλέον ἐκείνων. δυνάμεθα γάρ, ἂν ἐθέλωμεν. οὐ γὰρ οὕτως οὐρανός, καὶ ἡμέρα, καὶ νύξ, ὡς ἁγία ψυχὴ δοξάζει Θεόν. ὥσπερ γὰρ εἰς τὸ κάλλος τοῦ οὐρανοῦ τις ἀφορῶν, λέγει, δόξα σοι ὁ Θεός, οἷον ἔργον ἔκτισας; οὕτω δὴ καὶ εἰς ἀνδρὸς ἀρετὴν βλέπων, καὶ πολλῷ πλέον ἐνταῦθα. ἀπ' ἐκείνων μὲν γὰρ τῶν κτισμάτων οὐ πάντες δοξάζουσιν, ἀλλὰ πολλοὶ καὶ αὐτόματα εἶναι λέγουσι τὰ ὄντα, ἄλλοι δὲ καὶ δαίμοσιν ἀνατιθέασι τοῦ κόσμου τὴν δημιουργίαν καὶ τὴν πρόνοιαν, οἳ καὶ σφόδρα ἀσύγγνωστα ἁμαρτάνουσιν· ἐπὶ δὲ ἀνθρώπου ἀρετῆς οὐδεὶς τοιαῦτα ἀναισχυντῆσαι δυνήσεται. ἀλλὰ πάντως δοξάσει τὸν Θεόν, τὸν δουλεύοντα αὐτῷ μετὰ ἀρετῆς ζῶντα ὁρῶν. τίς γὰρ οὐκ ἐκπλαγήσεται, ὅταν ἄνθρωπός τις ὤν, καὶ τῆς κοινῆς μετέχων φύσεως, καὶ ἐν μέσοις στρεφόμενος ἀνθρώποις, καθάπερ ἀδάμας, μὴ ἐπικάμπτηται πρὸς τὸν τῶν παθῶν ἑσμόν; ὅταν μεταξὺ πυρὸς καὶ σιδήρου καὶ θηρίων ὤν, ἀδάμαντος ἰσχυρότερος ᾖ, καὶ περιγίνηται πάντων διὰ τὸν τῆς εὐσεβείας λόγον; ὅταν ὑβρίζηται, καὶ εὐλογῇ; ὅταν κακῶς ἀκούῃ, καὶ ἐγκωμιάζῃ; ὅταν ἐπηρεάζηται, καὶ εὔχηται ὑπὲρ τῶν ἀδικούντων; ὅταν ἐπιβουλεύηται, καὶ εὐεργετῇ τοὺς πολεμοῦντας αὐτῷ καὶ ἐπιβουλεύοντας; ταῦτα γάρ, καὶ τὰ τοιαῦτα, τῶν οὐρανῶν πολλῷ μᾶλλον δοξάσει τὸν Θεόν. τὸν μὲν γὰρ οὐρανὸν ὁρῶντες Ἕλληνες, οὐκ αἰσχύνονται· ἅγιον δὲ ἄνδρα ἰδόντες μετὰ ἀκριβείας φιλοσοφίαν ἐπιδεικνύμενον, καταδύονται καὶ ἑαυτῶν καταγινώσκουσιν. ὅταν γὰρ ὁ τῆς αὐτῆς αὐτοῖς φύσεως μετέχων τοσοῦτον ἀνώτερος ᾖ, πολλῷ μᾶλλον, ἢ ὅσον ὁ οὐρανὸς τῆς γῆς, καὶ ἄκοντες ἐννοοῦσιν, ὅτι θεία δύναμις ταῦτα ἐργάζεται. διό φησι, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. βούλει μαθεῖν καὶ ἑτέρωθεν, πῶς μὲν ἀπὸ τοῦ βίου τῶν δούλων αὐτοῦ δοξάζεται ὁ Θεός; πῶς δὲ ἀπὸ τῶν θαυμάτων; ἐνέβαλέ ποτε ὁ Ναβουχοδονόσορ τοὺς τρεῖς παῖδας εἰς τὴν κάμινον. εἶτα ἐπειδὴ εἶδε τὸ πῦρ οὐ περιγινόμενον αὐτῶν, φησιν· Εὐλογητὸς ὁ Θεός, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ ἐκ τῆς καμίνου, ὅτι ἐπεποίθεισαν ἐπ' αὐτόν, καὶ ἠλλοίωσαν τὸ ῥῆμα τοῦ βασιλέως. Δαν. γ. 41. τί λέγεις; κατεφρονήθης, καὶ θαυμάζεις τοὺς διαπτύσαντας; ναί, φησι, καὶ δι' αὐτὸ τοῦτο, ὅτι κατεφρονήθην, καὶ τοῦ θαύματος ταύτην τὴν αἰτίαν τίθημι. ὥστε οὐ διὰ τὸ σημεῖον ἡ δόξα τῷ Θεῷ τότε γέγονε μόνον, ἀλλὰ καὶ διὰ τὴν προαίρεσιν τῶν ἐμβληθέντων. εἰ δὲ καὶ καθ' ἑαυτὸ ἐξετάσειέ τις τοῦτο, κἀκεῖνο, οὐκ ἔλαττον τοῦτο ἐκείνου. τοῦ γὰρ ῥύσασθαι καμίνου, τὸ πεῖσαι ψυχὰς καταπολμῆσαι καμίνου οὐκ ἔλαττον εἰς θαύματος λόγον. πῶς γὰρ οὐκ ἐκπλήξεως ἄξιον, ὅταν ὁ τῆς οἰκουμένης βασιλεύς, καὶ τοσαῦτα περὶ ἑαυτὸν ὅπλα ἔχων καὶ στρατόπεδα καὶ στρατηγοὺς καὶ τοπάρχας καὶ ὑπάτους, καὶ γῆν καὶ θάλατταν ὑποκειμένην, ὑπὸ παίδων αἰχμαλώτων καταφρονῆται, καὶ οἱ δεδεμένοι τοῦ δήσαντος περιγίνωνται, καὶ πᾶσαν νικῶσι τὴν στρατιὰν ἐκείνην; οὐ γὰρ ἴσχυσαν, ὅπερ ἤθελον, οἱ περὶ τὸν βασιλέα, καίτοι ταῦτα καὶ τὴν ἀπὸ τῆς καμίνου συμμαχίαν ἔχοντες· ἀλλ' οἱ γυμνοί, καὶ δοῦλοι, καὶ ξένοι, καὶ ὀλίγοι (τί γὰρ τριῶν ὀλιγώτερον;) ἀπείρου στρατιᾶς δεδεμένοι κατηγωνίσαντο. ἤδη γὰρ θάνατος κατεφρονεῖτο, ἐπειδὴ λοιπὸν ὁ Χριστὸς ἔμελλεν ἐπιδημεῖν. καὶ καθάπερ ἀνατέλλειν μέλλοντος τοῦ ἡλίου, καὶ πρὶν ἢ τὰς ἀκτῖνας φανῆναι, λαμπρὸν γίνεται τὸ φῶς τῆς ἡμέρας· οὕτω καὶ τοῦ τῆς δικαιοσύνης ἡλίου μέλλοντος ἔρχεσθαι, ὁ θάνατος λοιπὸν ὑπεξίστατο. τί τοῦ θεάτρου γένοιτ' ἂν λαμπρότερον ἐκείνου; τί τῆς νίκης περιφανέστερον; τί τῶν ἐκεῖ τροπαίων ἐπισημότερον; τοῦτο καὶ ἐφ' ἡμῶν γέγονε. καὶ νῦν ἐστιν ὁ τῆς Βαβυλωνίας καμίνου βασιλεύς, καὶ νῦν φλόγα

ἀνάπτει

ἀνάπλῃ χαλεπωτέραν ἐκείνης. ἔστι καὶ νῦν ὁ τοιαύτην εἰκόνα κελεύων θαυμάζειν. πείθουσιν αὐτοῦ
καὶ σατράπαι, καὶ στρατιῶται, καὶ γοητεύουσα μουσική· καὶ πολλοὶ θαυμάζουσι ταύτην τὴν εἰκό-
να, τὴν ποικίλην, τὴν μεγάλην. τοιοῦτον γάρ τι ἐστὶν ἡ πλεονεξία, οἵα ἡ εἰκὼν ἐκείνη, οὐδὲ σι-
δήρου καταφρονοῦσα, ἀλλ' ἐξ ἀνομοίων μὲν συγκειμένη πραγμάτων, πάντα δὲ κελεύουσα
θαυμάζειν, καὶ χαλκὸν, καὶ σίδηρον, καὶ ἃ πολλῷ τούτων ἐστὶν εὐτελέστερα. ἀλλ' ὥσπερ ταῦτα
Δαν. γ. ιη. εἰσιν, οὕτω καὶ οἱ τῶν παίδων ἐκείνων ζηλωταί εἰσι καὶ νῦν, οἱ λέγοντες· Τοῖς θεοῖς σου οὐ
λατρεύομεν, καὶ τῇ εἰκόνι σου οὐ προσκυνοῦμεν, ἀλλὰ καὶ τὴν κάμινον τῆς πενίας ὑπομένο-
μεν, καὶ τὴν ἄλλην ταλαιπωρίαν ἅπασαν ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων. καὶ οἱ μὲν πολλὰ ἔχον-
τες, καθάπερ κἀκεῖνοι τότε, καὶ ταύτην προσκυνοῦσι πολλάκις καὶ κατακαίονται· οἱ δὲ μηδὲν
κεκτημένοι, καὶ ταύτης καταφρονοῦσι, καὶ ἐν πενίᾳ ὄντες, ἐν δρόσῳ μᾶλλόν εἰσι τῶν ἐν εὐπο-
ρίᾳ ζώντων. καθάπερ καὶ τότε, οἱ μὲν ἐμβαλόντες κατεκαύθησαν· οἱ δὲ ἐν μέσῳ ὄντες, ὥσπερ
ἐν ὕδατι ἦσαν καὶ δρόσῳ. καὶ ὁ τύραννος δὲ τότε ἐκεῖνος μᾶλλον ἐκαίετο τῇ φλογὶ, τοῦ θυμοῦ
σφοδρότερον αὐτὸν ἀνάπλοντος, ἢ οἱ παῖδες ἐκεῖνοι. ἐκείνων μὲν γὰρ οὐκ ἴσχυσε τὸ πῦρ οὐδὲ
ἄκρων ἅψασθαι τῶν τριχῶν· τούτου δὲ πυρὸς σφοδρότερον κατέκαυσε τὴν διάνοιαν ἡ ὀργή.
ἐννόησον γὰρ ὅσον ἦν ἐστὶν ὄψεσι τοσαύταις ὑπὸ παίδων αἰχμαλώτων αὐτὸν διαπτύεσθαι.
ἔδειξε γὰρ λοιπὸν ὅτι καὶ τὴν πόλιν αὐτὴν ἔλαβεν, οὐ παρὰ τὴν οἰκείαν ἰσχὺν, ἀλλὰ παρὰ
τὴν τῶν πολλῶν ἁμαρτίαν. εἰ γὰρ τῶν δεδεμένων οὐκ ἴσχυσε περιγενέσθαι, καὶ ταῦτα ἐν
καμίνῳ βεβλημένων, πῶς ἂν τούτων περιεγένετο πολέμου νόμῳ, πάντων τοιούτων ὄντων; ὅθεν
δῆλον ὅτι αἱ τῶν πολλῶν ἁμαρτίαι τὴν πόλιν προὔδωκαν. ὅρα δὲ καὶ τὸ ἀκενόδοξον τῶν παί-
δων. οὐ γὰρ ἐπεπήδησαν τῇ καμίνῳ, ἀλλὰ τοῦ Χριστοῦ τὴν παραγγελίαν ἄνωθεν ἐφύλατ-
Ματθ. κς. μα. τον λέγοντος, Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν· οὔτε ἔφυγον ἐπειδὴ ἠνέχθησαν, ἀλλ' ἔστη-
σαν ἐν τῷ μέσῳ γενναίως, οὔτε μὴ καλοῦντος ἀγωνιζόμενοι, οὔτε καλοῦντος μαλακιζόμε-
νοι, ἀλλὰ πρὸς πάντα ἕτοιμοι, καὶ γενναῖοι, καὶ πάσης γέμοντες παρρησίας. ἀκούσωμεν δὲ καὶ τί
Δαν. γ. ιζ. λέγουσιν, ἵνα κἀντεῦθεν μάθωμεν αὐτῶν τὸ φιλόσοφον φρόνημα. Ἔστι Θεὸς ἐν οὐρανοῖς
δυνατὸς ἐξελέσθαι ἡμᾶς. οὐ γὰρ ὑπὲρ ἑαυτῶν φροντίζουσιν, ἀλλὰ καὶ καίεσθαι μέλλον-
τες, ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης μεριμνῶσιν. ἵνα γὰρ μή ποτε, φησὶ, κατακαυθέντων ἡμῶν ἀ-
σθένειαν τοῦ Θεοῦ καταγνῷς, ἤδη σοι τὸ δόγμα ἅπαν ἀπαγγέλλομεν ἀκριβῶς τὸ ἡμέτερον. ἔστι
Θεὸς ἐν οὐρανοῖς οὐ τοιοῦτος, οἵα αὕτη εἰκὼν ἡ ἐπὶ γῆς, ἡ ἄψυχος καὶ ἄφωνος, ἀλλ' ἱκανὸς καὶ ἐκ
μέσης καμίνου τῆς καιομένης ἐξαρπάσαι. μὴ τοίνυν αὐτοῦ καταγνῷς ἀσθένειαν, ὅτι ἀφίησιν
ἐμπεσεῖν. οὕτως ἐστὶ δυνατὸς, ὥστε μετὰ τὸ ἐμπεσεῖν πάλιν ἡμᾶς ἐξαρπάσαι τῆς φλογός.
καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, ὦ βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυ-
σῇ ἣ ἔστησας, οὐ προσκυνοῦμεν. ὅρα αὐτοὺς οἰκονομικῶς ἀγνοοῦντας τὸ μέλλον. εἰ γὰρ
προῄδεσαν, οὐδὲ ἦσαν θαυμαστοὶ, πεποιηκότες ὅπερ ἐποίησαν. τί γὰρ θαυμαστὸν, εἰ ἐνέ-
χυρα ἔχοντες σωτηρίας, κατετόλμησαν τῶν δεινῶν; ἀλλ' ὁ μὲν Θεὸς ἐδοξάζετο, δυνηθεὶς
ἐκβαλεῖν τῆς καμίνου· ἐκεῖνοι δὲ οὐκ ἂν ἐθαυμάσθησαν, ἅτε μὴ εἰς κινδύνους ἑαυτοὺς ῥί-
ψαντες. διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ἀγνοῆσαι τὸ μέλλον, ἵνα αὐτοὺς δοξάσῃ πλέον. καὶ καθά-
περ αὐτοὶ ἠσφαλίζοντο τὸν βασιλέα μὴ ἀσθένειαν καταγνῶναι Θεοῦ, εἰ κατακαυθείησαν, οὕ-
τως ὁ Θεὸς ἀμφότερα ἐποίησε, καὶ τὴν ἑαυτοῦ δύναμιν ἔδειξε, καὶ τὴν τῶν παίδων προθυ-
μίαν λαμπροτέραν διαφαίνεσθαι παρεσκεύασε. πόθεν οὖν αὐτοῖς ἡ ἀμφιβολία, καὶ τὸ
μὴ θαρρεῖν ὅτι πάντως σωθήσονται; διὰ τὸ πάντων ἑαυτοὺς εὐτελεστέρους εἶναι νομίζειν, καὶ
ἀναξίους τοιαύτης εὐεργεσίας. καὶ ὅτι οὐ στοχαζόμενος τοῦτο λέγω, εἰς τὴν κάμινον ἐμπε-
Δαν. γ. κθ. σόντες, τοιαῦτα ἀπωδύροντο λέγοντες, Ἡμάρτομεν, ἠνομήσαμεν, οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ
Δαν. γ. ιη. στόμα. διὰ ταῦτα ἔλεγον, Καὶ ἐὰν μή. εἰ δὲ μὴ φανερῶς εἶπον τοῦτο, δῆλον, ὅτι δυνατὸς
μὲν ἐστὶν ὁ Θεὸς ἐξελέσθαι ἡμᾶς· ἐὰν δὲ μὴ ἐξέληται, διὰ τὰς ἁμαρτίας οὐκ ἐξελεῖται,

μὴ θαυμάσῃς. καὶ γὰρ ἔδοξαν ἂν παρὰ τοῖς βαρβάροις τοῦ Θεοῦ τὴν ἀσθένειαν τῇ τῶν οἰκείων ἁμαρτημάτων συσκιάζειν προφάσει. διὰ τοῦτο περὶ τοῦ δυνατοῦ μόνου διαλεχθέντες, τὴν αἰτίαν οὐ τιθέασι· καὶ ἄλλως δὲ, πεπαιδευμένοι καλῶς ἦσαν μὴ πολυπραγμονεῖν τοῦ Θεοῦ τὰς κρίσεις. Ταῦτα τοίνυν εἰπόντες ἐνέβησαν εἰς τὸ πῦρ, καὶ οὔτε ἐνύβρισαν εἰς τὸν βασιλέα, οὔτε κατέστρεψαν τὴν εἰκόνα. τὸν γὰρ ἀνδρεῖον, τοιοῦτον εἶναι χρὴ, σώφρονα, ἐπιεικῆ, καὶ μάλιστα ἐν τοῖς κινδύνοις· ἵνα μὴ δόξῃ θυμῷ καὶ κενοδοξίᾳ πρὸς τοιούτους ἀγῶνας ἰέναι, ἀλλὰ ἀνδρείᾳ καὶ σωφροσύνῃ. ὁ μὲν γὰρ ὑβρίζων, ἐκείνων τῶν ἐγκλημάτων ὑπομένει τὴν ὑπόνοιαν· ὁ δὲ ὑπομένων, καὶ ἑλκόμενος, καὶ μετ' ἐπιεικείας ἀγωνιζόμενος, οὐχ ὡς ἀνδρεῖος θαυμάζεται μόνον, ἀλλὰ καὶ ἐπὶ τῇ σωφροσύνῃ καὶ τῇ ἐπιεικείᾳ οὐχ ἧττον ἀνακηρύττεται· ὅπερ καὶ αὐτοὶ τότε ἐποίησαν, τήν τε ἀνδρείαν ἐπιδεικνύμενοι καὶ τὴν ἐπιείκειαν ἅπασαν, καὶ οὐδὲ ἐπὶ μισθῷ προσέχοντες, οὐδὲ ἀντίδοσιν καὶ ἀνταμοιβήν. καὶ ἐὰν μὴ θελήσῃ, φησὶν, ἡμᾶς ἐξελέσθαι, τοῖς θεοῖς σου οὐ λατρεύομεν. ἔχομεν γὰρ ἤδη τὰς ἀμοιβὰς, καταξιωθέντες ἀπαλλαγῆναι τῆς ἀσεβείας, καὶ διὰ τοῦτο καταπαραδοῦναι τὰ σώματα. καὶ ἡμεῖς τοίνυν ἔχοντες ἤδη τὴν ἀντίδοσιν (καὶ γὰρ ἔχομεν, καταξιωθέντες αὐτὸν ἐπιγνῶναι, καταξιωθέντες γενέσθαι μέλη Χριστοῦ) μὴ ποιήσωμεν αὐτὰ μέλη πόρνης. ἐν γὰρ τῷ φρικωδεστάτῳ τούτῳ χρὴ καταλῦσαι τὸν λόγον, ἵνα ἀκμάζοντα ἔχοντες τῆς ἀπειλῆς τὸν φόβον, μένωμεν χριστοῦ καθαρώτεροι τῷ φόβῳ τούτῳ γινόμενοι. οὕτω γὰρ δυνησόμεθα πορνείας ἀπαλλαγέντες τὸν Χριστὸν ἰδεῖν, ὃν γένοιτο πάντας ἡμᾶς μετὰ παρρησίας θεάσασθαι κατὰ τὴν ἡμέραν ἐκείνην, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ὑφ' αὐτ.

Λογ. ιθ. 1 ΠΕΡΙ ΔΕ ΩΝ ΕΓΡΑΨΑΤΕ ΜΟΙ· ΚΑΛΟΝ ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, 2 Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα. κεφ. ζ.

Διορθώσας τὰ χαλεπώτατα ἐγκλήματα, ἓν μὲν τὸ διεσπάσθαι τὴν ἐκκλησίαν, δεύτερον δὲ τοῦ πεπορνευκότος, τρίτον τὸ τοῦ πλεονέκτου, κέχρηται λοιπὸν ἡμερωτέρῳ λόγῳ· καὶ μεταξὺ τίθησι παραίνεσιν καὶ συμβουλὴν τὴν περὶ τοῦ γάμου καὶ τῆς παρθενίας, ἀπὸ τῶν φορτικωτέρων ἀναπαύων τὸν ἀκροατήν. ἐπὶ δὲ τῆς δευτέρας ἐπιστολῆς τὸ ἐναντίον ποιεῖ. ἄρχεται μὲν ἀπὸ τῶν ἡμερωτέρων, τελευτᾷ δὲ εἰς τὰ σκυθρωπότερα. καὶ ἐνταῦθα δὲ τὸν περὶ τῆς παρθενίας ἀπαρτίσας λόγον, πάλιν ἔξεισιν ἐπὶ τὰ πληκτικώτερα, οὐ πάντα ἐφεξῆς τιθεὶς, ἀλλὰ ποικίλλων τὸν λόγον ἐν ἑκατέρῳ, ὡς ὁ καιρὸς ἀπῄτει, καὶ τῶν ὑποκειμένων πραγμάτων ἡ χρεία. διό φησι, περὶ δὲ ὧν ἐγράψατέ μοι. ἔγραψαν γὰρ αὐτῷ, εἰ δεῖ ἀπέχεσθαι γυναικὸς, ἢ μή· καὶ πρὸς ταῦτα ἀντιγράφων, καὶ περὶ τοῦ γάμου νομοθετῶν, εἰσάγει καὶ τὸν περὶ τῆς παρθενίας λόγον. καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. εἰ μὲν γὰρ τὸ καλὸν καὶ σφόδρα ὑπερέχον ζητεῖς, φησὶ, βέλτιον μηδὲ ὅλως ὁμιλεῖν γυναικί· εἰ δὲ τὸ ἀσφαλὲς καὶ βοηθοῦν σου τῇ ἀσθενείᾳ, ὁμίλει γάμῳ. ἐπειδὴ δὲ εἰκὸς ἦν, ὃ καὶ νῦν γίνεται, τὸν μὲν ἄνδρα βούλεσθαι, τὴν δὲ γυναῖκα μηκέτι, ἢ καὶ τὸ ἐναντίον, ὅρα πῶς περὶ ἑκατέρων διαλέγεται. καί τινες μέν φασιν, ὅτι πρὸς ἱερέας ὁ λόγος ἐστὶν αὐτῷ εἴρηται· ἐγὼ δὲ ἀπὸ τῶν ἑξῆς σκοπῶν, οὐκ ἂν φαίην τοῦτο οὕτως ἔχειν. οὐδὲ γὰρ ἂν καθολικῶς ἔθηκε τὴν παραίνεσιν. εἰ δὲ ἱερεῦσι μόνον ταῦτα ἔγραφεν, εἶπεν ἂν, καλὸν τῷ διδασκάλῳ γυναικὸς μὴ ἅπτεσθαι. νυνὶ δὲ καθόλου αὐτὸ τέθεικε, καλὸν ἀνθρώπῳ λέγων, οὐχ ἱερεῖ μόνον· καὶ πάλιν, λέλυσαι ἀπὸ γυναι-

κός;

κός; μὴ ζήτει γυναῖκα. οὐκ εἶπε, σὺ ὁ ἱερεὺς καὶ διδάσκαλος, ἀλλ' ἀδιορίστως· καὶ ὅλος διόλου τοιοῦτος περίεισιν ὁ λόγος. εἰπὼν δέ, διὰ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, αὐτῇ τῇ αἰτίᾳ τῆς συγχωρήσεως εἰς ἐγκράτειαν ἤγαγε.

3 Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην τιμὴν ἀποδιδότω· ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. Τί δέ ἐστιν ἡ ὀφειλομένη τιμή; ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλὰ καὶ δούλη καὶ δέσποινά ἐστι τοῦ ἀνδρός. κἂν ἀποστῇς τῆς δουλείας τῆς προσηκούσης, προσέκρουσας τῷ Θεῷ· εἰ δὲ ἀποστῆναι βούλει, ὅταν ὁ ἀνὴρ ἐπιτρέπῃ, κἂν πρὸς βραχὺ τοῦτο γίνηται. διὰ γὰρ τοῦτο καὶ ὀφειλὴν τὸ πρᾶγμα ἐκάλεσεν, ἵνα δείξῃ μηδένα κύριον ὄντα ἑαυτοῦ, ἀλλ' ἀλλήλων δούλους. ὅταν οὖν ἴδῃς πόρνην πειρῶσάν σου, εἰπέ· οὐκ ἔστι τὸ σῶμα ἐμόν, ἀλλὰ τῆς γυναικός. ταῦτα καὶ ἡ γυνὴ λεγέτω πρὸς τοὺς βουλομένους αὐτῆς διορύξαι τὴν σωφροσύνην· οὐκ ἔστιν ἐμὸν τὸ σῶμα τὸ ἐμόν, ἀλλὰ τοῦ ἀνδρός. εἰ δὲ σώματος οὐκ ἐξουσιάζει ὁ ἀνήρ, ἢ ἡ γυνή, πολλῷ μᾶλλον χρημάτων. ἀκούσατε ὅσαι ἄνδρας ἔχετε, καὶ ὅσοι γυναῖκας. εἰ γὰρ σῶμα ἔχειν ἴδιον οὐ χρή, πολλῷ μᾶλλον χρήματα. ἀλλαχοῦ μὲν οὖν πολλὴν δίδωσι τῷ ἀνδρὶ τὴν προεδρίαν καὶ ἐν τῇ καινῇ, καὶ ἐν τῇ παλαιᾷ, λέγων, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ὁ δὲ Παῦλος διαιρῶν οὕτω καὶ γράφων, Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. ἐνταῦθα δὲ οὐκέτι τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλὰ μία ἡ ἐξουσία. τί δήποτε; ἐπειδὴ περὶ σωφροσύνης ὁ λόγος ἦν αὐτῷ. ἐν μὲν γὰρ τοῖς ἄλλοις πλεονεκτείτω, φησίν, ὁ ἀνήρ· ἔνθα δὲ σωφροσύνης λόγος, οὐκέτι· ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, οὐδὲ ἡ γυνή. πολλὴ ἡ ἰσοτιμία, καὶ οὐδεμία πλεονεξία.

Γεν. γ. ιϛ.
Ἐφεσ. ε. κβ.

5 Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. Τί δὴ τοῦτό ἐστι; μὴ ἐγκρατευέσθω, φησίν, ἡ γυνή, τοῦ ἀνδρὸς ἄκοντος, μήτε ὁ ἀνήρ, τῆς γυναικὸς μὴ βουλομένης. τί δήποτε; ὅτι μεγάλα ἐκ τῆς ἐγκρατείας ταύτης τίκτεται κακά. καὶ γὰρ καὶ μοιχεῖαι, καὶ πορνεῖαι, καὶ οἰκιῶν ἀνατροπαὶ πολλάκις ἐντεῦθεν ἐγένοντο. εἰ γὰρ ἔχοντες τὰς ἑαυτῶν γυναῖκας, πορνεύουσι, πολλῷ μᾶλλον, ἂν αὐτοὺς τῆς παραμυθίας ταύτης ἀποστερήσῃς. καὶ καλῶς εἶπε, μὴ ἀποστερεῖτε, ἀποστέρησιν ἐνταῦθα, καὶ ὀφειλὴν ἀνωτέρω, ἵνα δείξῃ τῆς δεσποτείας τὴν ἐπίτασιν. τὸ γὰρ ἄκοντος θατέρου ἐγκρατεύεσθαι θάτερον, ἀποστερεῖν ἐστι· τὸ δὲ ἑκόντος, οὐκέτι. οὐδὲ γὰρ εἰ πείσας με λάβοις τι τῶν ἐμῶν, ἀποστερεῖσθαί φημι. ὁ γὰρ ἄκοντος καὶ βιαζομένου λαβών, ἀποστερεῖ· ὅπερ ποιοῦσι πολλαὶ γυναῖκες, μείζονα τῆς δικαιοσύνης ἁμαρτίαν ἐργαζόμεναι, καὶ τῆς ἀσελγείας τοῦ ἀνδρὸς ὑπεύθυνοι γινόμεναι ταύτῃ, καὶ διασπῶσαι πάντα. δεῖ δὲ πάντων προτιμᾶν τὴν ὁμόνοιαν, ἐπειδὴ καὶ πάντων τοῦτο κυριώτερον. καὶ εἰ βούλει, καὶ ἐπὶ τῶν πραγμάτων αὐτὸ ἐξετάσωμεν. ἔστω γὰρ γυνὴ καὶ ἀνήρ, καὶ ἐγκρατευέσθω ἡ γυνὴ μὴ βουλομένου τοῦ ἀνδρός. τί οὖν, ἂν ἐκεῖνος ἐντεῦθεν πορνεύῃ, ἢ μὴ πορνεύῃ μέν, ἀλγῇ δὲ καὶ θορυβῆται καὶ πυρῶται καὶ μάχηται, καὶ μυρία τῇ γυναικὶ πράγματα παρέχῃ; τί τὸ κέρδος τῆς νηστείας καὶ τῆς ἐγκρατείας; ἀγάπης διερρηγμένης οὐδέν. πόσας γὰρ λοιδορίας, πόσα πράγματα, πόσον ἀνάγκη γίνεσθαι πόλεμον; ὅταν γὰρ ἐν οἰκίᾳ ἀνὴρ καὶ γυνὴ διεστηκότες ὦσιν, οὐδὲν νηὸς χειμαζομένης ἄμεινον ἡ οἰκία διακείσεται, τοῦ κυβερνήτου πρὸς τὸν πρωρέα διαστασιάζοντος. διὰ τοῦτό φησι, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· Τὴν μετὰ πλείονος σπουδῆς προσευχὴν ἐνταῦθα λέγων. εἰ γὰρ κωλύει τοὺς συνιόντας ἀλλήλοις εὔχεσθαι, τὸ ἀδιαλείπτως εὔχεσθαι πῶς ἂν ἔχοι χώραν; ἔστι τοίνυν καὶ ὁμιλεῖν γυναικί, καὶ εὐχῇ προσέχειν· ἀλλ' ἐγκράτεια ἀκριβεστέρα γίνεται αὕτη. οὐ γὰρ εἶπεν ἁπλῶς, ἵνα προσεύχησθε, ἀλλ' ἵνα σχολάζητε, ὡς ἀσχολίαν ἐμποιοῦντος τοῦ πράγματος, ἀλλ' οὐκ ἀκαθαρσίαν. Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. Ἵνα γὰρ μὴ δόξῃ νομοθεσίας εἶναι τὸ πρᾶγμα, προστίθησι τὴν αἰτίαν. ποία δέ ἐστιν αὕτη; ἵνα μὴ πειράζῃ

ὑμᾶς

ὑμᾶς ὁ Σατανᾶς. καὶ ἵνα μάθῃς ὅτι οὐχ ὁ διάβολος αὐτὸ μόνον ἐργάζεται τὸ τῆς μοιχείας,
ἐπήγαγε, Διὰ τὴν ἀκρασίαν ὑμῶν.
6 Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. 7 Θέλω γὰρ πάντας
ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν, Ἐν ἐγκρατείᾳ. Τοῦτο πολλαχοῦ ποιεῖ, ὅταν περὶ
δυσκόλων διαλέγηται πραγμάτων· ἑαυτὸν ἐν μέσῳ τίθησι, καί φησι, μιμηταί μου γίνεσθε.
Ἀλλ' ἕκαστος τὸ ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. Ἐπειδὴ γὰρ
σφόδρα αὐτῶν κατηγόρησεν εἰπών, διὰ τὴν ἀκρασίαν ὑμῶν, πάλιν αὖθις παρεμυθήσατο
εἰπών, ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ, οὐ τοῦτο δηλῶν ὅτι τῆς ἡμετέρας σπουδῆς οὐ δεῖ-
ται τὸ κατόρθωμα, ἀλλ', ὅπερ ἔφθην εἰπών, παραμυθούμενος αὐτούς. Εἰ γὰρ χάρισμά
ἐστι, καὶ οὐδὲν ἄνθρωπος εἰς τοῦτο εἰσφέρει, πῶς λέγεις;
8 Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐταῖς ἐὰν μείνωσιν ὡς κἀγώ.
[χ. γαμησάτωσαν.] 9 Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν. Εἶδες τὴν σύνεσιν τοῦ Παύλου, πῶς
καὶ βελτίονα δείκνυσι τὴν ἐγκράτειαν, καὶ οὐκ ἀναγκάζει τὸν μὴ φθάνοντα, δεδοικὼς μή τι πα-
ράπτωμα γένηται; Κρεῖττον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. Ἐνέφηνεν ὅση τῆς
ἐπιθυμίας ἡ τυραννίς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ πολλὴν ὑπομένεις βίαν καὶ πύρωσιν, ἀ-
παλλάγηθι πόνων καὶ ἱδρώτων, μήποτε καὶ περιτραπῇς.
10 Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος. Ἐπειδὴ νόμον ῥη-
τὸν ὑπὸ τοῦ Χριστοῦ τεθέντα μέλλει ἀναγινώσκειν περὶ τοῦ χωρὶς πορνείας μὴ ἀφιέναι γυ-
ναῖκα, διὰ τοῦτό φησιν, οὐκ ἐγώ. τὰ μὲν γὰρ εἰρημένα ἔμπροσθεν, εἰ καὶ μὴ ῥητῶς εἴρητο,
ἀλλὰ καὶ αὐτῷ δοκεῖ ταῦτα· τοῦτο μέντοι καὶ ῥητῶς παρέδωκεν. ὥστε τὸ, ἐγώ, καὶ, οὐκ ἐγώ, ταύ-
την ἔχει τὴν διαφοράν. ἵνα γὰρ μηδὲ τὰ αὐτοῦ ἀνθρώπινα εἶναι νομίσῃς, διὰ τοῦτο ἐπήγα-
γε, δοκῶ γὰρ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. τί οὖν ἐστιν, ὃ τοῖς γεγαμηκόσι παραγγέλλει ὁ Κύριος;
Γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι.
11 Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα
μὴ ἀφιέναι. Ἐπειδὴ γὰρ καὶ δι' ἐγκράτειαν, καὶ δι' ἄλλας προφάσεις καὶ μικροψυχίας
γίνεσθαι διαιρέσεις συνέβαινε, βέλτιον μὲν μηδὲ γίνεσθαι τὴν ἀρχήν, φησίν· εἰ δ' ἄρα καὶ
γένοιτο, μενέτω ἡ γυνὴ μετὰ τοῦ ἀνδρός, εἰ καὶ μὴ τῇ μίξει, ἀλλὰ τῷ μηδένα ἕτερον παρεισ-
αγαγεῖν ἄνδρα.
12 Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ
αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν.
13 Καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφι-
έτω αὐτόν. Ὥσπερ γὰρ περὶ τοῦ χωρίζεσθαι πόρνων διαλεγόμενος, τῇ ἐπιδιορθώσει
τὸ πρᾶγμα πεποίηκεν εὔκολον, εἰπών, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου· οὕτω δὴ
καὶ ἐνταῦθα πολλῆς προενόησεν εὐκολίας, εἰπών· ἐάν τις ἢ γυνὴ ἄνδρα, ἢ ἀνὴρ γυναῖκα ἔχῃ
ἄπιστον, μὴ ἀφιέτω αὐτήν. τί λέγεις; ἂν μὲν ἄπιστος, μενέτω μετὰ τῆς γυναικός· ἂν δὲ πόρ-
νος, μηκέτι; καίτοιγε ἔλαττον ἡ πορνεία τῆς ἀπιστίας. ἔλαττον μὲν ἡ πορνεία, ἀλλ' ὁ Θεὸς τῶν
σῶν φείδεται σφόδρα. τοῦτο καὶ ἐν τῇ θυσίᾳ ποιεῖ λέγων, Ἄφες τὴν θυσίαν, καὶ καταλ- [Ματθ. ε. κδ.]
λάγηθι τῷ ἀδελφῷ σου· τοῦτο καὶ ἐπὶ τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος. καὶ γὰρ ἐκεῖνον
μυρία μὲν τάλαντα χρεωστοῦντα αὐτῷ οὐκ ἐκόλασεν, ἑκατὸν δὲ δηνάρια ἀπαιτοῦντα
τὸν σύνδουλον ἐτιμωρήσατο. εἶτα ἵνα μὴ φοβῆται ἡ γυνή, ὡς ἀκάθαρτος γινομένη
διὰ τὴν μίξιν, φησίν·
14 Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί.
Καίτοι εἰ ὁ τῇ πόρνῃ κολλώμενος, ἓν σῶμά ἐστιν, εὔδηλον ὅτι καὶ ἡ τῷ εἰδωλολάτρῃ κολ-
λωμένη, ἓν σῶμά ἐστιν. ἓν μὲν σῶμά ἐστιν, ἀλλ' οὐ γίνεται ἀκάθαρτος, ἀλλὰ νικᾷ ἡ καθαρότης

τῆς

τῆς γυναικὸς τὴν ἀκαθαρσίαν τοῦ ἀνδρός, καὶ νικᾷ ἡ καθαρότης τοῦ πιστοῦ ἀνδρός· πάλιν τὸ ἀκάθαρτον τῆς ἀπίστου γυναικός. πῶς οὖν ἐνταῦθα μὲν νενίκηται τὸ ἀκάθαρτον, διὸ καὶ ἐπιτέτραπται ἡ συνοικία· ἐπὶ δὲ τῆς πορνευομένης γυναικὸς οὐ κατηγόρηται ἐκβάλλων αὐτὴν ὁ ἀνήρ; ὅτι ἐνταῦθα μὲν ἐλπὶς σώζεσθαι τὸ ἀπολωλὸς μέρος διὰ τοῦ γάμου· ἐκεῖ δὲ ὁ γάμος ἤδη διαλέλυται· κἀκεῖ μὲν ἀμφότεροι διεφθείρονται, ἐνταῦθα δὲ θατέρου τὸ ἔγκλημα. οἷον τί λέγω· ἔστιν ἡ πορνευθεῖσα καθάπαξ μιαρά. εἰ τοίνυν ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι, καὶ αὐτὸς γίνεται μιαρὸς πορνευούσῃ μιγνύμενος. διὰ τοῦτο ἀφίπταται ἡ καθαρότης ἅπασα. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ πῶς; ἔστιν ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἀλλ' ἡ γυνὴ οὐκ ἔστιν ἀκάθαρτος. εἰ μὲν γὰρ ἐκοινώνει αὐτῷ κατὰ τοῦτο, καθὸ ἀκάθαρτός ἐστι, λέγω δὲ κατὰ τὴν ἀσέβειαν, ἔμελλε καὶ αὐτὴ ἀκάθαρτος γίνεσθαι· νυνὶ δὲ ἑτέρως μέν ἐστιν ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἐν ἑτέρῳ δὲ αὐτῷ πράγματι κοινωνεῖ ἡ γυνή, ἐν ᾧ οὐκ ἔστιν ἀκάθαρτος. γάμος γάρ ἐστι, καὶ μίξις σωμάτων, καθὸ ἡ κοινωνία. πάλιν τοῦτον μὲν ἐλπὶς ἀνακληθῆναι ὑπὸ τῆς γυναικός (ᾠκείωται γὰρ αὐτῇ) ἐκεῖνον δὲ οὐ σφόδρα εὔκολον. πῶς γάρ, ἡ τὸν ἔμπροσθεν ἀτιμάσασα χρόνον, καὶ γενομένη ἑτέρου, καὶ τοῦ γάμου τὰ δίκαια ἀφανίσασα, ἀνακαλέσασθαι δυνήσεται τὸν ἠδικημένον, πρὸς τούτοις καὶ τὸν μένοντα ὡς ξένον; πάλιν ἐκεῖ μὲν μετὰ τὴν πορνείαν ὁ ἀνὴρ οὐκ ἔστιν ἀνήρ· ἐνταῦθα δέ, κἂν εἰδωλολατρεῖ ἡ γυνή, τοῦ ἀνδρὸς τὸ δίκαιον οὐκ ἀπόλλυται. οὐχ ἁπλῶς δὲ συνοικίζει τῷ ἀπίστῳ, ἀλλὰ βουλομένῳ. διὸ εἶπε, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς. ποῖον γάρ, εἰπέ μοι, βλάβος, ὅταν καὶ τὰ τῆς εὐσεβείας ἀκέραια διαμένῃ, καὶ ἐλπίδες ὦσι χρησταὶ περὶ τοῦ ἀπίστου, μένειν τοὺς ἤδη ζευχθέντας, καὶ μὴ περιττῶν πολέμων ὑποθέσεις εἰσάγειν; οὐ γὰρ περὶ τῶν μηδέπω συνελθόντων διαλέγεται νῦν, ἀλλὰ περὶ τῶν ἤδη συνελθόντων. οὐ γὰρ εἶπεν, εἴ τις βούλεται λαβεῖν ἄπιστον, ἀλλ', εἴ τις ἔχει ἄπιστον. οἷον εἴ τις μετὰ τὸ γαμῆσαι ἢ γαμηθῆναι ἐδέξατο τὸν λόγον τῆς εὐσεβείας, εἶτα θάτερον μέρος ἐναπέμεινε τῇ ἀπιστίᾳ, καὶ στέργει τὸ συνοικεῖν, μὴ διαρρηγνύσθω. ἡγίασται γάρ, φησιν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί. τοσαύτη ἡ περιουσία τῆς σῆς καθαρότητος. τί οὖν, ἅγιός ἐστιν ὁ Ἕλλην; οὐδαμῶς. οὐ γὰρ εἶπεν, ἅγιός ἐστιν, ἀλλ' ἡγίασται ἐν τῇ γυναικί. τοῦτο δὲ εἶπεν, οὐχ ἵνα δείξῃ ἐκεῖνον ἅγιον, ἀλλ' ἵνα ἐκ περιουσίας τὸν φόβον ἐξέλῃ τῆς γυναικός, κἀκεῖνον εἰς ἐπιθυμίαν ἀγάγῃ τῆς ἀληθείας. οὐ γὰρ τῶν σωμάτων τὸ ἀκάθαρτον, ὧν ἐστιν ἡ κοινωνία, ἀλλὰ τῆς προαιρέσεως καὶ τῶν λογισμῶν. εἶτα καὶ ἀπόδειξις. εἰ γὰρ ἀκάθαρτος μένουσα γεννᾷς, τὸ δὲ παιδίον οὐκ ἀπὸ σοῦ μόνης, ἀκάθαρτον ἄρα τὸ παιδίον, ἢ ἐξ ἡμισείας καθαρόν· νυνὶ δὲ οὐκ ἔστιν ἀκάθαρτον. διὸ καὶ ἐπήγαγεν, Ἐπεὶ τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι· νυνὶ δὲ ἅγιά ἐστι, Τουτέστιν, οὐκ ἀκάθαρτα. αὐτὸς δὲ ἅγια ἐκάλεσε, τῇ περιουσίᾳ τῆς λέξεως πάλιν ἐκβάλλων τῆς τοιαύτης ὑποψίας τὸ δέος.

γ. ἐπὶ

ἴσ. ἐμμένοντα

15 Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. Ἐνταῦθα γὰρ οὐκέτι πορνεία τὸ πρᾶγμά ἐστι. τί δέ ἐστιν, εἰ δὲ ὁ ἄπιστος χωρίζεται; οἷον εἰ κελεύει σοι θύειν καὶ κοινωνεῖν αὐτῷ τῆς ἀσεβείας διὰ τὸν γάμον, ἢ ἀναχωρεῖν, βέλτιον διασπασθῆναι τὸν γάμον, καὶ μὴ τὴν εὐσέβειαν. διὸ ἐπήγαγεν· Οὐ δεδούλωται ὁ ἀδελφός, ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις. Εἰ καθ' ἑκάστην ἡμέραν πυκτεύοι καὶ πολέμους παρέχοι, διὰ τοῦτο βέλτιον ἀπαλλαγῆναι. τοῦτο γὰρ αἰνίττεται λέγων, Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός. Ἐκεῖνος γὰρ λοιπὸν τὴν αἰτίαν παρέχει, ὥσπερ καὶ ὁ πορνεύσας.

16 Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Πρὸς τό, μὴ ἀφιέτω αὐτόν, τοῦτο πάλιν. εἰ γὰρ μὴ στασιάζει, μένε φησίν (ἔχει γὰρ καὶ κέρδος) μένε, καὶ παραίνει, καὶ συμβούλευε, καὶ πεῖθε. οὐδεὶς γὰρ οὕτω διδάσκαλος ἰσχῦσαι δυνήσεται, ὡς γυνή. καὶ οὔτε ἀνάγκην ἐπιτίθησιν αὐτῇ, καὶ πάντως ἀπαιτεῖ παρ' αὐτῆς τὸ πρᾶγμα, ἵνα μὴ πάλιν φορτικώτερον ἐργάσηται,

οὔτε

οὔτε ἀπογινώσκειν κελεύει, ἀλλ' ἀφίησιν αὐτὸ τῇ τοῦ μέλλοντος ἀδηλίᾳ μετέωρον, λέγων,
Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; Καὶ πάλιν.
17 Εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός, ἕκαστον ὡς κέκληκεν ὁ Κύριος, οὕτω περι-
πατείτω. 18 Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω. ἐν ἀκροβυστίᾳ τις ἐ-
κλήθη; μὴ περιτεμνέσθω. 19 Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν,
ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ.
20 Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω.
21 Δοῦλος ἐκλήθης; μή σοι μελέτω. Ταῦτα εἰς τὴν πίστιν οὐδὲν συντελεῖ,
φησί· μὴ τοίνυν φιλονείκει, μηδὲ θορυβοῦ. ἡ γὰρ πίστις πάντα ἐξέβαλε ταῦτα. ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. γυναῖκα ἔχων ἄπιστον ἐκλήθης; μένε ἔχων· μὴ διὰ τὴν πίστιν ἐκβάλλῃς τὴν γυναῖκα. δοῦλος ὢν ἐκλήθης; μή σοι μελέτω· μένε δουλεύων. ἀκρόβυστος ὢν ἐκλήθης; μένε ἀκρόβυστος. ἐμπερίτομος ὢν ἐπίστευσας; μένε ἐμπερίτομος. τοῦτο γάρ ἐστιν, ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός. ταῦτα γὰρ οὐκ ἔστι κωλύματα εἰς εὐσέβειαν. σὺ δοῦλος ὢν ἐκλήθης, ἄλλος γυναῖκα ἔχων ἄπιστον, ἄλλος περιτετμημένος. βαβαί, ποῦ τὴν δουλείαν ἔθηκεν; ὥσπερ οὐδὲν ὠφελεῖ ἡ περιτομή, οὐδὲ βλάπτει ἡ ἀκροβυστία, οὕτως οὐδὲ ἡ δουλεία, οὐδὲ ἡ ἐλευθερία. καὶ ἵνα δείξῃ τοῦτο σαφέστερον ἐκ περιουσίας, φησίν, Ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι·

Τουτέστι, μᾶλλον δούλευε. καὶ τί δήποτε τὸν δυνάμενον ἐλευθερωθῆναι κελεύει μένειν δοῦλον; θέλων δεῖξαι, ὅτι οὐδὲν βλάπτει ἡ δουλεία, ἀλλὰ καὶ ὠφελεῖ. καὶ οὐκ ἀγνοοῦμεν ὅτι τινές, τὸ μᾶλλον χρῆσαι, περὶ ἐλευθερίας φασὶν εἰρῆσθαι, λέγοντες, ὅτι εἰ δύνασαι ἐλευθερωθῆναι, ἐλευθερώθητι. πολὺ δὲ ἀπεναντίας τῷ τρόπῳ τοῦ Παύλου τὸ ῥῆμα, εἰ τοῦτο αἰνίττοιτο. οὐ γὰρ ἂν παραμυθούμενος τὸν δοῦλον, καὶ δεικνὺς οὐδὲν ἠδικημένον, ἐκέλευσε γενέσθαι ἐλεύθερον. εἶπε γὰρ ἄν τις ἴσως· τί οὖν ἂν μὴ δύνωμαι, ἠδίκημαι καὶ ἠλάττωμαι; οὐ τοίνυν τοῦτό φησιν, ἀλλ', ὅπερ ἔφην, θέλων δεῖξαι ὅτι οὐδὲν πλέον γέγονε τῷ ἐλευθέρῳ γενομένῳ φησί, κἂν κύριος ᾖς τοῦ ἐλευθερωθῆναι, μένε δουλεύων μᾶλλον. εἶτα καὶ τὴν αἰτίαν ἐπάγει,

22 Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως καὶ ὁ ἐλεύθερος κληθείς, δοῦλός ἐστι τοῦ Χριστοῦ. Ἐν γὰρ τοῖς κατὰ Χριστόν, φησιν, ἀμφότεροι ἴσοι. ὁμοίως γὰρ καὶ σὺ τοῦ Χριστοῦ δοῦλος, ὁμοίως καὶ ὁ δεσπότης ὁ σός. πῶς οὖν ὁ δοῦλος, ἀπελεύθερος; ὅτι ἠλευθέρωσέ σε οὐ τῆς ἁμαρτίας μόνον, ἀλλὰ καὶ τῆς ἔξωθεν δουλείας μένοντα δοῦλον. οὐ γὰρ ἀφίησιν εἶναι δοῦλον τὸν δοῦλον, οὐδὲ ἄνθρωπον μένοντα ἐν δουλείᾳ. τοῦτο γάρ ἐστι τὸ θαυμαστόν. καὶ πῶς ἐλεύθερός ἐστιν ὁ δοῦλος, μένων δοῦλος; ὅταν παθῶν ἀπηλλαγμένος ᾖ καὶ τῶν τῆς ψυχῆς νοσημάτων, ὅταν χρημάτων καταφρονῇ καὶ ὀργῆς καὶ τῶν ἄλλων τῶν τοιούτων παθῶν.

23 Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. Οὗτος ὁ λόγος οὐ πρὸς οἰκέτας μόνον, ἀλλὰ καὶ πρὸς ἐλευθέρους εἴρηται. ἔστι γὰρ καὶ δοῦλον ὄντα μὴ εἶναι δοῦλον, καὶ ἐλεύθερον ὄντα δοῦλον εἶναι. καὶ πῶς ὁ δοῦλος ὤν, οὐκ ἔστι δοῦλος; ὅταν διὰ τὸν Θεὸν πάντα ποιῇ, ὅταν μὴ ὑποκρίνηται, μηδὲ κατ' ὀφθαλμοδουλείαν ἀνθρώποις τι πράττῃ· τουτέστι, δουλεύοντα ἀνθρώποις ἐλεύθερον εἶναι. ἢ πῶς πάλιν ἐλεύθερός τις ὤν, γίνεται δοῦλος; ὅταν διακονῆται ἀνθρώποις πονηρὰν τινὰ διακονίαν, ἢ διὰ γαστριμαργίαν, ἢ διὰ χρημάτων ἐπιθυμίαν, ἢ διὰ δυναστείαν. ὁ γὰρ τοιοῦτος πάντων ἐστὶ δουλικώτερος, κἂν ἐλεύθερος ᾖ. σκόπει δὲ ταῦτα ἀμφότερα. δοῦλος ἦν ὁ Ἰωσήφ, ἀλλ' οὐκ ἀνθρώπων δοῦλος. διὸ καὶ ἐν τῇ δουλείᾳ πάντων ἐλευθέρων ἐλευθερώτερος ἦν. τῇ δεσποίνῃ γοῦν οὐκ εἶξεν, εἰς ἅπερ ἠθέλησεν ἡ κεκτημένη. πάλιν ἐλευθέρα ἦν ἐκείνη, καὶ πάντων ἦν δουλικωτέρα, τὸν

θεράποντα κολακεύουσα καὶ παρακαλοῦσα. ἀλλ' οὐκ ἔπεισε τὸν ἐλεύθερον, ὃ μὴ ἠθέλησε, ποιῆσαι. οὐκ ἄρα δουλεία τὸ πρᾶγμα ἦν, ἀλλ' ἐλευθερία ἡ ἀνωτάτω. τί γὰρ ἐνεποδίσθη πρὸς ἀρετὴν ἐκεῖνος ἀπὸ τῆς δουλείας; ἀκουέτωσαν δοῦλοι καὶ ἐλεύθεροι. τίς ἐδούλευσεν; ὁ ἀξιούμενος, ἢ ἡ ἀξιοῦσα; ἡ παρακαλοῦσα, ἢ ὁ καταφρονῶν ἱκετευούσης; καὶ γάρ εἰσιν ὅροι δούλων παρὰ τοῦ Θεοῦ κείμενοι· καὶ μέχρι ποῦ δεῖ φυλάττειν αὐτούς, καὶ τοῦτο νενομοθέτηται, καὶ ὑπερβαίνειν αὐτοὺς οὐ χρή. ὅταν γὰρ μηδὲν ὁ δεσπότης ἐπιτάττῃ τῶν μὴ δοκούντων τῷ Θεῷ, ἕπεσθαι δεῖ καὶ πείθεσθαι· περαιτέρω δὲ μηκέτι. οὕτω γὰρ ὁ δοῦλος, ἐλεύθερος γίνεται. ἂν δὲ περαιτέρω προέλθῃς, κἂν ἐλεύθερος ἦς, ἐγένου δοῦλος. τοῦτο γοῦν αἰνίττεται λέγων, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐκέλευσε καταλιμπάνειν δεσπότας καὶ ἐλευθέρους φιλονεικεῖν γίνεσθαι, πῶς παρῄνει λέγων, ἕκαστος ἐν τούτῳ με-
[α. Τιμ. ς α.] νέτω, ἐν ᾧ ἐκλήθη; καὶ ἀλλαχοῦ, Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, καὶ μὴ καταφρονείτωσαν οἱ πιστοὺς ἔχοντες δεσπότας, ὅτι ἀδελφοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ Ἐφεσίοις δὲ καὶ Κολοσσαεῦσιν ἐπιστέλλων, τὰ αὐτὰ διατάττεται καὶ νομοθετεῖ. ὅθεν δῆλον ὅτι οὐ ταύτην ἀναιρεῖ τὴν δουλείαν, ἀλλὰ τὴν ἀπὸ τῆς κακίας καὶ ἐλευθέροις γινομένην, ἥπερ ἐστὶ χαλεπωτάτη, κἂν ἐλεύθερός τις ὢν αὐτῇ δουλεύῃ. τί γὰρ ἀπώναντο οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἐλεύθεροι ὄντες; οὐχὶ πάντων ἦσαν τῶν δούλων δουλικώτεροι, καὶ πρὸς τὸν πατέρα ψευδόμενοι, καὶ πρὸς τοὺς ἐμπόρους τὰ μὴ ὄντα λέγοντες, καὶ πρὸς τὸν ἀδελφόν; ἀλλ' οὐχ ὁ ἐλεύθερος τοιοῦτος, ἀλλὰ πανταχοῦ καὶ ἐν πᾶσιν ἀληθής. καὶ οὐδὲν αὐτὸν δουλώσασθαι ἠδυνήθη, οὐ δεσμός, οὐ δουλεία, οὐ δεσποίνης ἔρως, οὐ τὸ ἐν ἀλλοτρίᾳ εἶναι· ἀλλ' ἔμενεν ἐλεύθερος πανταχοῦ. τοῦτο γὰρ μάλιστά ἐστιν ἐλευθερία, ὅταν καὶ ἐν δουλείᾳ διαλάμπῃ. τοιοῦτον ὁ Χριστιανισμός, ἐν δουλείᾳ ἐλευθερίαν χαρίζεσθαι. καὶ καθάπερ τὸ φύσει ἄτρωτον σῶμα, τότε δείκνυται ἄτρωτον, ὅταν δεξάμενον βέλος μηδὲν πάθῃ δεινόν· οὕτω καὶ ὁ ἀκριβῶς ἐλεύθερος τότε φαίνεται, ὅταν καὶ δεσπότας ἔχων μὴ δουλωθῇ. διὰ τοῦτο κελεύει δοῦλον μένειν. εἰ δὲ οὐ δυνατὸν δοῦλον ὄντα εἶναι Χριστιανόν, οἷον χρή, πολλὴν τῆς εὐσεβείας ἀσθένειαν κατηγορήσουσιν Ἕλληνες· ἂν δὲ μάθωσιν ὅτι τὴν εὐσέβειαν οὐδὲν βλάπτει δουλεία, θαυμάσονται τὸ κήρυγμα. εἰ γὰρ θάνατος ἡμᾶς οὐ βλάπτει, οὐδὲ μάστιγες, οὐδὲ δεσμά, πολλῷ μᾶλλον δουλεία. πῦρ, καὶ σίδηρος, καὶ τυραννίδες μυρίαι, καὶ νόσοι, καὶ πενίαι, καὶ θηρία καὶ μυρία τούτων χαλεπώτερα οὐκ ἔβλαψαν τοὺς πιστούς, ἀλλὰ καὶ δυνατωτέρους ἐποίησαν, καὶ πῶς δουλεία βλάψαι δυνήσεται; οὐχ αὕτη βλάπτει ἡ δουλεία, ἀγαπητέ, ἀλλ' ἡ φύσει δουλεία ἡ τῆς ἁμαρτίας. κἂν ταύτην μὴ ἦς τὴν δουλείαν δοῦλος, θάρρει καὶ εὐφραίνου. οὐδείς σε οὐδὲν ἀδικῆσαι δυνήσεται ἀδούλωτον ἔχοντα τὸ ἦθος. ἂν δὲ ταύτης ἦς δοῦλος, κἂν μυριάκις ἐλεύθερος ἦς, οὐδέν σοι ὄφελος τῆς ἐλευθερίας. τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν ἀνθρώπῳ μὲν μὴ δουλεύῃς, τοῖς δὲ πάθεσι σεαυτὸν ὑποκατακλίνῃς; οἱ μὲν γὰρ ἄνθρωποι καὶ φείσασθαι ἐπίστανται πολλάκις, ἐκεῖνοι δὲ οἱ δεσπόται οὐδέποτε κορέννυνταί σου τῆς ἀπωλείας. δουλεύεις ἀνθρώπῳ; ἀλλὰ καὶ ὁ δεσπότης σοι δουλεύει, διοικούμενός σοι τὰ τῆς τροφῆς, ἐπιμελούμενός σου τῆς ὑγείας, καὶ ἐνδυμάτων, καὶ ὑποδημάτων, καὶ τῶν ἄλλων ἁπάντων φροντίζων. καὶ οὐχ οὕτω σὺ δέδοικας, μὴ προσκρούσῃς τῷ δεσπότῃ, ὡς ἐκεῖνος δέδοικε μή τι τῶν ἀναγκαίων ἐπιλίπῃ σοι. ἀλλ' ἐκεῖνος κατάκειται, σὺ δὲ ἕστηκας. καὶ τί τοῦτο; οὐδὲ γὰρ τοῦτο παρ' αὐτῷ μόνον, ἀλλὰ καὶ παρὰ σοί. πολλάκις γοῦν σου κατακειμένου καὶ ὑπνοῦντος ἡδέως, ἐκεῖνος οὐχ ἕστηκε μόνον, ἀλλὰ καὶ μυρίας ὑπομένει βίας ἐπὶ τῆς ἀγορᾶς, καὶ ἀγρυπνεῖ σου χαλεπώτερον. τί γοῦν τοιοῦτον ἔπαθε παρὰ τῆς δεσποίνης ὁ Ἰωσήφ, οἷον παρὰ τῆς ἐπιθυμίας ἐκείνη; οὐ τὰ μὲν γάρ, ἃ ἐπιτάξαι ἠθέλησεν ἐκείνη, οὐκ ἐποίησεν· ἐκείνη δὲ ἃ ἐπέταξεν ἡ δέσποινα αὐτῆς, ἡ ἀσέλγεια λέγω, πάντα ἔπραξε· καὶ οὐ πρό-

περιῇ ἀπέστη, ἕως ἂν αὐτὴν κατήσχυνε. ποῖος τοιαῦτα ἐπιτάττει δεσπότης; ποῖος τύραννος ὠμός; δεήθητί σου τοῦ δούλου, φησί, κολάκευσον τὸν ἀργυρώνητον, ἱκέτευσον τὸν αἰχμάλωτον· κἂν διαπτύσῃ, πάλιν ἐπιμένον· κἂν πολλάκις εἴπῃς, καὶ μὴ ἀνάσχηται, ἐπιτήρησον ἐρημίαν, καὶ βίασαι, καὶ γενοῦ καταγέλαστος. τί ἀτιμότερον, τί δὲ τούτων αἰσχρότερον τῶν ῥημάτων; ἂν δὲ μηδὲν μηδὲ οὕτως ἀνύσῃς, καὶ συκοφάντησον, καὶ ἀπάτησον τὸν συνοικοῦντα. ὅρα πῶς ἀνελεύθερα, πῶς αἰσχρὰ τὰ ἐπιτάγματα, πῶς ἀπηνῆ, καὶ ὠμά, καὶ μανικά. τί τοιοῦτον ἐπιτάττει ὁ δεσπότης, οἷα ἐπέταξεν ἡ ἀσέλγεια τῇ βασιλίσσῃ γυναικὶ τότε ἐκείνῃ; ἀλλ' ὅμως οὐκ ἐτόλμησε παρακοῦσαι. ὁ δὲ Ἰωσὴφ οὐδὲν τοιοῦτον ὑπέμεινεν, ἀλλὰ τὰ ἐναντία πάντα, ἃ δόξαν ἔφερε καὶ τιμήν. βούλει καὶ ἑτέραν ἄνδρα ἰδεῖν ὑπὸ δεσποίνης χαλεπῆς πολλὰ ἐπιταττόμενα, καὶ οὐδὲν τολμήσαντα παρακοῦσαι; ἐννόησον τὸν Κάϊν, ὅσα ὑπὸ τῆς βασκανίας ἐπετάγη. ἐπέταξεν ἐκείνη σφάξαι τὸν ἀδελφόν, ψεύσασθαι τὸν Θεόν, λυπῆσαι τὸν πατέρα, ἀναισχυντῆσαι, καὶ πάντα ἐποίησε, καὶ οὐδὲν παρήκουσε. καὶ τί θαυμάζεις, εἰ ἐφ' ἑνὸς τοσαύτην ἔχει ἰσχὺν αὕτη ἡ δέσποινα; ὁλοκλήρους πολλάκις δήμους ἀπώλεσε. οὕτω γοῦν Ἰουδαίους αἱ γυναῖκες τῶν Μαδιηναίων δεδελεασμένους σχεδὸν αἰχμαλώτους ἔλαβον, τῇ τῆς οἰκείας εὐμορφίας ἐπιθυμίᾳ τούτους χειρωσάμεναι πάντας. ταύτην τοίνυν τὴν δουλείαν ἐκβάλλων ὁ Παῦλος, ἔλεγε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, τουτέστι, μὴ πείθεσθε ἀνθρώποις ἄτοπα ἐπιτάττουσιν, ἀλλὰ μηδὲ ἑαυτοῖς. εἶτα ἀνενεγκὼν τὴν διάνοιαν, καὶ ποιήσας ὑψηλήν, φησι·

γ. ἀγαγὼν

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Ὁδῷ καὶ τάξει προβαίνων καὶ τῆς παρθενίας μνημονεύει λοιπόν. ἐπειδὴ γὰρ τοῖς περὶ ἐγκρατείας αὐτοὺς ἐνεγύμνασέ τε καὶ ἐρρύθμισε λόγοις, ἐκβαίνει πρὸς τὸ μεῖζον, ἐπιταγὴν οὐκ ἔχω, λέγων, ἀλλὰ νομίζω καλὸν εἶναι. διὰ τί; διὰ τὴν αὐτὴν αἰτίαν, ἣν περὶ ἐγκρατείας τέθεικε.

27 Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.

Ταῦτα οὐκ ἐναντιούμενά ἐστι τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. καὶ γὰρ κἀκεῖ φησιν, εἰ μή τι ἂν ἐκ συμφώνου· καὶ ἐνταῦθά φησι, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. τοῦτο δὲ οὐκ ἔστιν ἐναντίον. τὸ γὰρ παρὰ γνώμην, λύσις ἐστίν· εἰ δὲ κατὰ γνώμην ἀμφότεροι ἐγκρατεύοιντο, οὐκ ἔστι λύσις. εἶτα ἵνα μὴ δόξῃ νομοθεσία εἶναι τοῦτο, ἐπήγαγεν·

28 Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. Εἶτα τὰ παρόντα αἰτιᾶται, τὴν ἐνεστῶσαν ἀνάγκην, καὶ τὸν συνεσταλμένον καιρόν, καὶ τὴν θλῖψιν. πολλὰ γὰρ ὁ γάμος ἐπισύρεται, ἅπερ ἠνίξατο καὶ ἐνταῦθα, καὶ ἐν τῷ περὶ ἐγκρατείας λόγῳ, ἐκεῖ μὲν εἰπών, ὅτι οὐκ ἔχει ἐξουσίαν ἑαυτῆς ἡ γυνή, ἐνταῦθα δὲ εἰπών, δέδεσαι. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. οὐ περὶ τῆς παρθενίαν ἑλομένης· ἤδη γὰρ αὕτη ἥμαρτεν. εἰ γὰρ αἱ χῆραι κρίμα ἔχουσι δευτέροις ὁμιλοῦσαι γάμοις, ἐὰν ἅπαξ ἕλωνται χηρείαν, πολλῷ μᾶλλον αἱ παρθένοι. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. Ἀλλὰ καὶ ἡδονήν, φησιν. ἀλλὰ καὶ ταύτην ὅρα πῶς ἀνέστειλε τῇ βραχύτητι τοῦ καιροῦ, εἰπών,

29 Ὁ καιρὸς συνεσταλμένος ἐστί· Τουτέστιν, ἀποδημεῖν κελευόμεθα καὶ ἐξιέναι λοιπόν, σὺ δὲ ἐνδοτέρω τρέχεις. καίτοι εἰ καὶ μηδὲν εἶχεν ἐπαχθὲς ὁ γάμος, καὶ οὕτως ἐπείγεσθαι πρὸς τὰ μέλλοντα ἔδει· ὅταν δὲ καὶ θλῖψιν ἔχῃ, τί δεῖ φορτίον ἐπισύρεσθαι; τί χρὴ λαβεῖν τοσοῦτον ὄγκον, ὅταν καὶ μετὰ τὸ λαβεῖν οὕτω δέοι χρῆσθαι, ὡς μὴ ἔχοντα; Καὶ γὰρ οἱ ἔχοντες γυναῖκας, φησιν, ἵνα ὡς μὴ ἔχοντες ὦσιν. Εἶτα ἐνθεὶς τι καὶ τῶν μελλόντων, πάλιν πρὸς τὸ παρὸν ἤγαγε τὸν λόγον. τὰ μὲν γὰρ πνευματικά ἐστιν· ὅτι ἡ μὲν τὰ τοῦ ἀνδρός, ἡ δὲ τὰ τοῦ Θεοῦ μεριμνᾷ· τὰ δὲ τοῦ παρόντος βίου, τό, θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ἀλλ' ὅμως καὶ οὕτως ἀφίησι κυρίους. ὁ γὰρ μετὰ τὸ ἀποδεῖξαι τὸ αἱρετὸν πάλιν ἀναγκάζων, δοκεῖ μὴ θαρ-

ἴσ. ἐνδοτέρω τρέχειν.

θεράποντα κολακεύουσα καὶ παρακαλοῦσα. ἀλλ' οὐκ ἔπεισε τὸν ἐλεύθερον, ὃ μὴ ἠθέλησε, ποιῆσαι. οὐκ ἄρα δουλεία τὸ πρᾶγμά ἐστιν, ἀλλ' ἐλευθερία ἡ ἀνωτάτω. τί γὰρ ἐνεποδίσθη πρὸς ἀρετὴν ἐκεῖνος ἀπὸ τῆς δουλείας; ἀκουέτωσαν δοῦλοι καὶ ἐλεύθεροι. τίς ἐδούλευσεν; ὁ ἀξιούμενος, ἢ ἡ ἀξιοῦσα; ἡ παρακαλοῦσα, ἢ ὁ καταφρονῶν ἱκετευούσης; καὶ γάρ εἰσιν ὅροι δούλων παρὰ τοῦ Θεοῦ κείμενοι· καὶ μέχρι ποῦ δεῖ φυλάττειν αὐτούς, καὶ τοῦτο νενομοθέτηται, καὶ ὑπερβαίνειν αὐτοὺς οὐ χρή. ὅταν γὰρ μηδὲν ὁ δεσπότης ἐπιτάττῃ τῶν μὴ δοκούντων τῷ Θεῷ, ἕπεσθαι δεῖ καὶ πείθεσθαι· περαιτέρω δὲ μηκέτι. οὕτω γὰρ ὁ δοῦλος, ἐλεύθερος γίνεται. ἂν δὲ περαιτέρω προβῇς, κἂν ἐλεύθερος ᾖς, ἐγένου δοῦλος. τοῦτο γοῦν αἰνίττεται λέγων, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐκέλευσε καταλιμπάνειν δεσπότας καὶ ἐλευθέρους φιλονεικεῖν γίνεσθαι, πῶς παρῄνει λέγων, ἕκαστος ἐν τούτῳ μενέτω, ἐν ᾧ ἐκλήθη; καὶ ἀλλαχοῦ,

α. Τιμ. ϛ. α. Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, καὶ μὴ καταφρονείτωσαν οἱ πιστοὺς ἔχοντες δεσπότας, ὅτι ἀδελφοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ Ἐφεσίοις δὲ καὶ Κολασσαεῦσιν ἐπιστέλλων, τὰ αὐτὰ διατάττεται καὶ νομοθετεῖ. ὅθεν δῆλον ὅτι οὐ ταύτην ἀναιρεῖ τὴν δουλείαν, ἀλλὰ τὴν ἀπὸ τῆς κακίας καὶ ἐλευθέροις γινομένην, ἥπερ ἐστὶ χαλεπωτάτη, κἂν ἐλεύθερός τις ὢν αὐτῇ δουλεύῃ. τί γὰρ ἀπώναντο οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἐλεύθεροι ὄντες; οὐχὶ πάντων ἦσαν τῶν δούλων δουλικώτεροι, καὶ πρὸς τὸν πατέρα ψευδόμενοι, καὶ πρὸς τοὺς ἐμπόρους τὰ μὴ ὄντα λέγοντες, καὶ πρὸς τὸν ἀδελφόν; ἀλλ' οὐχ ὁ ἐλεύθερος τοιοῦτος, ἀλλὰ πανταχοῦ καὶ ἐν πᾶσιν ἀληθής. καὶ οὐδὲν αὐτὸν δουλώσασθαι ἠδυνήθη, οὐ δεσμός, οὐ δουλεία, οὐ δεσποίνης ἔρως, οὐ τὸ ἐν ἀλλοτρίᾳ εἶναι· ἀλλ' ἔμενεν ἐλεύθερος πανταχοῦ. τοῦτο γὰρ μάλιστά ἐστιν ἐλευθερία, ὅταν καὶ ἐν δουλείᾳ διαλάμπῃ. τοιοῦτον ὁ Χριστιανισμός, ἐν δουλείᾳ ἐλευθερίαν χαρίζεται. καὶ καθάπερ τὸ φύσει ἄτρωτον σῶμα, τότε δείκνυται ἄτρωτον, ὅταν δεξάμενον βέλος μηδὲν πάθῃ δεινόν· οὕτω καὶ ὁ ἀκριβῶς ἐλεύθερος τότε φαίνεται, ὅταν καὶ δεσπότας ἔχων μὴ δουλωθῇ. διὰ τοῦτο κελεύει δοῦλον μένειν. εἰ δὲ οὐ δυνατὸν δοῦλον ὄντα εἶναι Χριστιανόν, οἷον χρή, πολλὴν τῆς εὐσεβείας ἀσθένειαν κατηγοροῦσιν Ἕλληνες· ἂν δὲ μάθωσιν ὅτι τὴν εὐσέβειαν οὐδὲν βλάπτει δουλεία, θαυμάσονται τὸ κήρυγμα. εἰ γὰρ θάνατος ἡμᾶς οὐ βλάπτει, οὐδὲ μάστιγες, οὐδὲ δεσμά, πολλῷ μᾶλλον δουλεία, πῦρ, καὶ σίδηρος, καὶ τυραννίδες μυρίαι, καὶ νόσοι, καὶ πενίαι, καὶ θηρία καὶ μυρία τούτων χαλεπώτερα οὐκ ἔβλαψαν τοὺς πιστούς, ἀλλὰ καὶ δυνατωτέρους ἐποίησαν, καὶ πῶς δουλεία βλάψαι δυνήσεται; οὐχ αὕτη βλάπτει ἡ δουλεία, ἀγαπητέ, ἀλλ' ἡ φύσει δουλεία ἡ τῆς ἁμαρτίας. κἂν ταύτην μὴ ᾖς τὴν δουλείαν δοῦλος, θάρρει καὶ εὐφραίνου. οὐδείς σε οὐδὲν ἀδικῆσαι δυνήσεται ἀδούλωτον ἔχοντα τὸ ἦθος. ἂν δὲ ταύτης ᾖς δοῦλος, κἂν μυριάκις ἐλεύθερος ᾖς, οὐδὲν ὄφελός σοι τῆς ἐλευθερίας. τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν ἀνθρώπῳ μὲν μὴ δουλεύῃς, τοῖς δὲ πάθεσι σεαυτὸν ὑποκατακλίνῃς; οἱ μὲν γὰρ ἄνθρωποι καὶ φείσασθαι ἐπίστανται πολλάκις, ἐκεῖνοι δὲ οἱ δεσπόται οὐδέποτε κορέννυνταί σου τῆς ἀπωλείας. δουλεύεις ἀνθρώπῳ; ἀλλὰ καὶ ὁ δεσπότης σοι δουλεύει, διοικούμενός σοι τὰ τῆς τροφῆς, ἐπιμελούμενός σου τῆς ὑγείας, καὶ ἐνδυμάτων, καὶ ὑποδημάτων, καὶ τῶν ἄλλων ἁπάντων φροντίζων. καὶ οὐχ οὕτω σὺ δέδοικας, μὴ προσκρούσῃς τῷ δεσπότῃ, ὡς ἐκεῖνος δέδοικε μή τι τῶν ἀναγκαίων ἐπιλίπῃ σοι. ἀλλ' ἐκεῖνος κατάκειται, σὺ δὲ ἕστηκας. καὶ τί τοῦτο; οὐδὲ γὰρ τοῦτο παρ' αὐτῷ μόνον, ἀλλὰ καὶ παρὰ σοί. πολλάκις γοῦν σου κατακειμένου καὶ ὑπνοῦντος ἡδέως, ἐκεῖνος οὐχ ἕστηκε μόνον, ἀλλὰ καὶ μυρίας ὑπομένει βίας ἐπὶ τῆς ἀγορᾶς, καὶ ἀγρυπνεῖ σου χαλεπώτερον. τί γοῦν τοιοῦτον ἔπαθε παρὰ τῆς δεσποίνης ὁ Ἰωσήφ, οἷον παρὰ τῆς ἐπιθυμίας ἐκείνη; τοῦ μὲν γάρ, ἃ ἐπιτάξαι ἠθέλησεν ἐκείνη, οὐκ ἐποίησεν· ἐκείνη δέ, ἃ ἐπέταξεν ἡ δέσποινα αὐτῆς, ἡ ἀσέλγεια λέγω, πάντα ἔπραξε· καὶ οὐ πρό-

τερον

περὶ ἀπέστη, ἕως ἂν αὐτὴν κατήγαγε. ποῖος ταῦτα ἐπιτάττει δεσπότης; ποῖος τύραννος ὠμός; δεήθητί σου τοῦ δούλου, φησί, κολάκευσον τὸν ἀργυρώνητον, ἱκέτευσον τὸν αἰχμάλωτον· κἂν διαπτύσῃ, πάλιν ἐπίμενον· κἂν πολλάκις εἴπῃς, καὶ μὴ ἀνάσχηται, ἐπιτήρησον ἐρημίαν, καὶ βίασαι, καὶ γενοῦ καταγέλαστος. τί ἀτιμότερον, τί δὲ τούτων αἰσχρότερον τῶν ῥημάτων; ἂν δὲ μηδὲν μηδὲ οὕτως ἀνύσῃς, καὶ συκοφάντησον, καὶ ἀπάτησον τὸν συνοικοῦντα. ὅρα πῶς ἀνελεύθερα, πῶς αἰσχρὰ τὰ ἐπιτάγματα, πῶς ἄτιμα, καὶ ὠμά, καὶ μανικά. τί τοιοῦτον ἐπιτάττει ὁ δεσπότης, οἷα ἐπέταξεν ἡ ἀσέλγεια τῇ βασιλίσσῃ γυναικὶ τότε ἐκείνῃ; ἀλλ' ὅμως οὐκ ἐτόλμησε παρακοῦσαι. ὁ δὲ Ἰωσὴφ οὐδὲν τοιοῦτον ὑπέμεινεν, ἀλλὰ τὰ ἐναντία πάντα, ἃ δόξαν ἔφερε καὶ τιμήν. βούλει καὶ ἕτερον ἄνδρα ἰδεῖν ὑπὸ δεσποίνης χαλεπῆς πολλὰ ἐπιταγέντα, καὶ οὐδὲν τολμήσαντα παρακοῦσαι; ἐννόησον τὸν Κάϊν, ὅσα ὑπὸ τῆς βασκανίας ἐπετάγη. ἐπέταξεν ἐκείνη σφάξαι τὸν ἀδελφόν, ψεύσασθαι τὸν Θεόν, λυπῆσαι τὸν πατέρα, ἀναισχυντῆσαι, καὶ πάντα ἐποίησε, καὶ οὐδὲν παρήκουσε. καὶ τί θαυμάζεις, εἰ ἐφ' ἑνὸς τοσαύτην ἔχει ἰσχὺν αὕτη ἡ δέσποινα; ὁλοκλήρους πολλάκις δήμους ἀπώλεσε. οὕτω γοῦν Ἰουδαίους αἱ γυναῖκες τῶν Μαδιηναίων δεδεμένους σχεδὸν αἰχμαλώτους ἔλαβον, τῇ τῆς οἰκείας εὐμορφίας ἐπιθυμίᾳ τούτους χειρωσάμεναι πάντας. ταύτην τοίνυν τὴν δουλείαν ἐκβάλλων ὁ Παῦλος, ἔλεγε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, τουτέστι, μὴ πείθεσθε ἀνθρώποις ἄτοπα ἐπιτάττουσιν, ἀλλὰ μηδὲ ἑαυτοῖς. εἶτα ἀνενεγκὼν τὴν διάνοιαν, καὶ ποιήσας ὑψηλήν, φησι·

γ. ἀναγαγών

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Ὁδῷ καὶ τάξει προβαίνων καὶ τῆς παρθενίας μνημονεύει λοιπόν. ἐπειδὴ γὰρ τοῖς περὶ ἐγκρατείας αὐτοὺς ἐνεγύμνασέ τε καὶ ἐρρύθμισε λόγοις, ἐκβαίνει πρὸς τὸ μεῖζον, ἐπιταγὴν οὐκ ἔχω, λέγων, ἀλλὰ νομίζω καλὸν εἶναι. διὰ τί; διὰ τὴν αὐτὴν αἰτίαν, ἣν περὶ ἐγκρατείας τέθεικε.

27 Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.

Ταῦτα οὐκ ἐναντιούμενά ἐστι τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. καὶ γὰρ καὶ ἐκεῖ φησιν, εἰ μή τι ἂν ἐκ συμφώνου· καὶ ἐνταῦθά φησι, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. τοῦτο δὲ οὐκ ἔστιν ἐναντίον. τὸ γὰρ παρὰ γνώμην, λύσις ἐστίν· εἰ δὲ κατὰ γνώμην ἀμφότεροι ἐγκρατεύοιντο, οὐκ ἔστι λύσις. εἶτα ἵνα μὴ δόξῃ νομοθεσία εἶναι τοῦτο, ἐπήγαγεν·

28 Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. Εἶτα τὰ παρόντα αἰτιᾶται, τὴν ἐνεστῶσαν ἀνάγκην, καὶ τὸν συνεσταλμένον καιρόν, καὶ τὴν θλῖψιν. πολλὰ γὰρ ὁ γάμος ἐπισύρεται, ἅπερ ᾐνίξατο καὶ ἐνταῦθα, καὶ ἐν τῷ περὶ ἐγκρατείας λόγῳ, ἐκεῖ μὲν εἰπών, ὅτι οὐκ ἔχει ἐξουσίαν ἑαυτῆς ἡ γυνή, ἐνταῦθα δὲ εἰπών, δέδεσαι. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. οὐ περὶ τῆς παρθενίαν ἑλομένης· ἤδη γὰρ αὕτη ἥμαρτεν. εἰ γὰρ αἱ χῆραι κρίμα ἔχουσι δευτέροις ὁμιλοῦσαι γάμοις, ἐὰν ἅπαξ ἕλωνται χηρείαν, πολλῷ μᾶλλον αἱ παρθένοι. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. Ἀλλὰ καὶ ἡδονήν, φησιν. ἀλλὰ καὶ ταύτην ὅρα πῶς ἀνέστειλε τῇ βραχύτητι τοῦ καιροῦ, εἰπών,

29 Ὁ καιρὸς συνεσταλμένος ἐστί· Τουτέστιν, ἀποδημεῖν κελευόμεθα καὶ ἐξιέναι λοιπόν, σὺ δὲ ἐνδοτέρω τρέχεις. καίτοι εἰ καὶ μηδὲν εἶχεν ἐπαχθὲς ὁ γάμος, καὶ οὕτως ἐπείγεσθαι πρὸς τὰ μέλλοντα ἔδει· ὅταν δὲ καὶ θλῖψιν ἔχῃ, τί δεῖ φορτίον ἐπισύρεσθαι; τί χρὴ λαβεῖν τοσοῦτον ὄγκον, ὅταν καὶ μετὰ τὸ λαβεῖν οὕτω δέοι χρῆσθαι, ὡς μὴ ἔχοντα; Καὶ γὰρ οἱ ἔχοντες γυναῖκας, φησιν, ἵνα ὡς μὴ ἔχοντες ὦσιν. Εἶτα ἐνθεὶς τι καὶ τῶν μελλόντων, πάλιν πρὸς τὸ παρὸν ἤγαγε τὸν λόγον. τὰ μὲν γὰρ πνευματικά ἐστιν· ὅπῃ ἡ μὲν τὰ τοῦ ἀνδρός, ἡ δὲ τὰ τοῦ Θεοῦ μεριμνᾷ· τὰ δὲ τοῦ παρόντος βίου, τό, θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ἀλλ' ὅμως καὶ οὕτως ἀφίησι κυρίους. ὁ γὰρ μετὰ τὸ ἀποδεῖξαι τὸ αἱρετὸν πάλιν ἀναγκάζων, δοκεῖ μὲν θαρ-

ἴσ. ἐνδοτέρω τρέχειν.

θεράποντα κολακεύουσα καὶ παρακαλοῦσα. ἀλλ' οὐκ ἔπεισε τὸν ἐλεύθερον, ὃ μὴ ἠθέλησε, ποιῆσαι. οὐκ ἄρα δουλεία τὸ πρᾶγμα ἦν, ἀλλ' ἐλευθερία ἡ λαμπροτάτη. τί γὰρ ἐνεποδίσθη πρὸς ἀρετὴν ἐκεῖνος ἀπὸ τῆς δουλείας; ἀκουέτωσαν δοῦλοι καὶ ἐλεύθεροι. τίς ἐδούλευσεν; ὁ ἀξιούμενος, ἢ ἡ ἀξιοῦσα; ἡ παρακαλοῦσα, ἢ ὁ καταφρονῶν ἱκετευούσης; καὶ γάρ εἰσιν ὅροι δούλων παρὰ τοῦ Θεοῦ κείμενοι· καὶ μέχρι ποῦ δεῖ φυλάττειν αὐτούς, καὶ τοῦτο νενομοθέτηται, καὶ ὑπερβαίνειν αὐτοὺς οὐ χρή. ὅταν γὰρ μηδὲν ὁ δεσπότης ἐπιτάττῃ τῶν μὴ δοκούντων τῷ Θεῷ, ἕπεσθαι δεῖ καὶ πείθεσθαι· περαιτέρω δὲ μηκέτι. οὕτω γὰρ ὁ δοῦλος, ἐλεύθερος γίνεται. ἂν δὲ περαιτέρω προβῇς, κἂν ἐλεύθερος ᾖς, ἐγένου δοῦλος. τοῦτο γοῦν αἰνίττεται λέγων, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐκέλευσε καταλιμπάνειν δεσπότας καὶ ἐλευθέρους φιλονεικεῖν γίνεσθαι, πῶς παρῄνει λέγων, ἕκαστος ἐν τούτῳ μενέτω, ἐν ᾧ ἐκλήθη; καὶ ἀλλαχοῦ, Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, καὶ μὴ καταφρονείτωσαν οἱ πιστοὺς ἔχοντες δεσπότας, ὅτι ἀδελφοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ Ἐφεσίοις δὲ καὶ Κολασσαεῦσιν ἐπιστέλλων, τὰ αὐτὰ διατάττεται καὶ νομοθετεῖ. ὅθεν δῆλον ὅτι οὐ ταύτην ἀναιρεῖ τὴν δουλείαν, ἀλλὰ τὴν ἀπὸ τῆς κακίας καὶ ἐλευθέροις γινομένην, ἥπερ ἐστὶ χαλεπωτάτη, κἂν ἐλεύθερός τις ὢν αὐτῇ δουλεύῃ. τί γὰρ ἀπώναντο οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἐλεύθεροι ὄντες; οὐχὶ πάντων ἦσαν τῶν δούλων δουλικώτεροι, καὶ πρὸς τὸν πατέρα ψευδόμενοι, καὶ πρὸς τοὺς ἐμπόρους τὰ μὴ ὄντα λέγοντες, καὶ πρὸς τὸν ἀδελφόν; ἀλλ' οὐχ ὁ ἐλεύθερος τοιοῦτος, ἀλλὰ πανταχοῦ καὶ ἐν πᾶσιν ἀληθής. καὶ οὐδὲν αὐτὸν δουλώσασθαι ἠδυνήθη, οὐ δεσμός, οὐ δουλεία, οὐ δεσποίνης ἔρως, οὐ τὸ ἐν ἀλλοτρίᾳ εἶναι· ἀλλ' ἔμενεν ἐλεύθερος πανταχοῦ. τοῦτο γὰρ μάλιστά ἐστιν ἐλευθερία, ὅταν καὶ ἐν δουλείᾳ διαλάμπῃ. τοιοῦτον ὁ χριστιανισμός, ἐν δουλείᾳ ἐλευθερίαν χαρίζεσθαι. καὶ καθάπερ τὸ φύσει ἄτρωτον σῶμα, τότε δείκνυται ἄτρωτον, ὅταν δεξάμενον βέλος μηδὲν πάθῃ δεινόν· οὕτω καὶ ὁ ἀκριβῶς ἐλεύθερος τότε φαίνεται, ὅταν καὶ δεσπότας ἔχων μὴ δουλωθῇ. διὰ τοῦτο κελεύει δοῦλον μένειν. εἰ δὲ οὐ δυνατὸν δοῦλον ὄντα εἶναι χριστιανὸν οἷον χρή, πολλὴν τῆς εὐσεβείας ἀσθένειαν κατηγοροῦσιν Ἕλληνες· ἂν δὲ μάθωσιν ὅτι τὴν εὐσέβειαν οὐδὲν βλάπτει δουλεία, θαυμάσονται τὸ κήρυγμα. εἰ γὰρ θάνατος ἡμᾶς οὐ βλάπτει, οὐδὲ μάστιγες, οὐδὲ δεσμά, πολλῷ μᾶλλον δουλεία. πῦρ, καὶ σίδηρος, καὶ τυραννίδες μυρίαι, καὶ νόσοι, καὶ πενίαι, καὶ θηρία καὶ μυρία τούτων χαλεπώτερα οὐκ ἔβλαψαν τοὺς πιστούς, ἀλλὰ καὶ δυνατωτέρους ἐποίησαν, καὶ πῶς δουλεία βλάψαι δυνήσεται; οὐχ αὕτη βλάπτει ἡ δουλεία, ἀγαπητέ, ἀλλ' ἡ φύσει δουλεία ἡ τῆς ἁμαρτίας. κἂν ταύτην μὴ ᾖς τὴν δουλείαν δοῦλος, θάρρει καὶ εὐφραίνου. οὐδείς σε οὐδὲν ἀδικῆσαι δυνήσεται ἀδούλωτον ἔχοντα τὸ ἦθος. ἂν δὲ ταύτης ᾖς δοῦλος, κἂν μυριάκις ἐλεύθερος ᾖς, οὐδὲν ὄφελός σοι τῆς ἐλευθερίας. τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν ἀνθρώπῳ μὲν μὴ δουλεύῃς, τοῖς δὲ πάθεσι σεαυτὸν ὑποκατακλίνῃς; οἱ μὲν γὰρ ἄνθρωποι καὶ φείσασθαι ἐπίστανται πολλάκις, ἐκεῖνοι δὲ οἱ δεσπόται οὐδέποτε κορέννυνταί σου τῆς ἀπωλείας. δουλεύεις ἀνθρώπῳ; ἀλλὰ καὶ ὁ δεσπότης σοι δουλεύει, διοικούμενός σοι τὰ τῆς τροφῆς, ἐπιμελούμενός σου τῆς ὑγείας, καὶ ἐνδυμάτων, καὶ ὑποδημάτων, καὶ τῶν ἄλλων ἁπάντων φροντίζων. καὶ οὐχ οὕτω σὺ δέδοικας, μὴ προσκρούσῃς τῷ δεσπότῃ, ὡς ἐκεῖνος δέδοικε μή τι τῶν ἀναγκαίων ἐπιλίπῃ σοι. ἀλλ' ἐκεῖνος κατάκειται, σὺ δὲ ἕστηκας. καὶ τί τοῦτο; οὐδὲ γὰρ τοῦτο παρ' αὐτῷ μόνον, ἀλλὰ καὶ παρὰ σοί. πολλάκις γοῦν σου κατακειμένου καὶ ὑπνοῦντος ἡδέως, ἐκεῖνος οὐχ ἕστηκε μόνον, ἀλλὰ καὶ μυρίας ὑπομένει βίας ἐπὶ τῆς ἀγορᾶς, καὶ ἀγρυπνεῖ σου χαλεπώτερον. τί γοῦν τοιοῦτον ἔπαθε παρὰ τῆς δεσποίνης ὁ Ἰωσήφ, οἷον παρὰ τῆς ἐπιθυμίας ἐκείνη; ὅσα μὲν γὰρ, ἃ ἐπιτάξαι ἠθέλησεν ἐκείνη, οὐκ ἐποίησεν· ἐκείνη δέ, ἃ ἐπέταξεν ἡ δέσποινα αὐτῆς, ἡ ἀσέλγεια λέγω, πάντα ἔπραξε· καὶ οὐ πρότερον

α. Τιμ. ς α.

πρότερον

περὶ ἀπέστη, ἕως ἂν αὐτὴν κατήσχυνε. ποῖος ταῦτα ἐπιτάττει δεσπότης; ποῖος τύραννος ὠμός; δεήθητί σου τοῦ δούλου, φησὶ, κολάκευσον τὸν ἀργυρώνητον, ἱκέτευσον τὸν αἰχμάλωτον· κἂν διαπτύσῃ, πάλιν ἐπίμενον· κἂν πολλάκις εἴπῃς, καὶ μὴ ἀνάσχηται, ἐπιτήρησον ἐρημίαν, καὶ βίασαι, καὶ γενοῦ καταγέλαστος. τί ἀτιμότερον, τί δὲ τούτων αἰσχρότερον τῶν ῥημάτων; ἂν δὲ μηδὲν μηδὲ οὕτως ἀνύσῃς, καὶ συκοφάντησον, καὶ ἀπάτησον τὸν σωφρονοῦντα. ὅρα πῶς ἀνελεύθερα, πῶς αἰσχρὰ τὰ ἐπιτάγματα, πῶς ἀπηνῆ, καὶ ὠμὰ, καὶ μανικά. τί τοιοῦτον ἐπιτάττει ὁ δεσπότης, οἷα ἐπέταξεν ἡ ἀσέλγεια τῇ βασιλίσσῃ γυναικὶ τότε ἐκείνῃ; ἀλλ' ὅμως οὐκ ἐτόλμησε παρακοῦσαι. ὁ δὲ Ἰωσὴφ οὐδὲν τοιοῦτον ὑπέμεινεν, ἀλλὰ τὰ ἐναντία πάντα, ἀλλὰ δόξαν ἔφερε καὶ τιμήν. βούλει καὶ ἕτερον ἄνδρα ἰδεῖν ὑπὸ δεσποίνης χαλεπῆς πολλὰ ἐπιταττόμενον, καὶ οὐδὲν τολμήσαντα παρακοῦσαι; ἐννόησον τὸν Κάϊν, ὅσα ὑπὸ τῆς βασκανίας ἐπετάγη. ἐπέταξεν ἐκείνη σφάξαι τὸν ἀδελφὸν, ψεύσασθαι τὸν Θεὸν, λυπῆσαι τὸν πατέρα, ἀναισχυντῆσαι, καὶ πάντα ἐποίησε, καὶ οὐδὲν παρήκουσε. καὶ τί θαυμάζεις, εἰ ἐφ' ἑνὸς τοσαύτην ἔχει ἰσχὺν αὕτη ἡ δέσποινα; ὁλοκλήρους πολλάκις δήμους ἀπώλεσε. ὅτε γοῦν Ἰουδαίους αἱ γυναῖκες τῶν Μαδιανιτῶν δεδεμένους σχεδὸν αἰχμαλώτους ἔλαβον, τῇ τῆς οἰκείας εὐμορφίας ἐπιθυμίᾳ τούτους χειρωσάμεναι πάντας. ταύτην τοίνυν τὴν δουλείαν ἐκβάλλων ὁ Παῦλος, ἔλεγε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, τουτέστι, μὴ πείθεσθε ἀνθρώποις ἄτοπα ἐπιτάττουσιν, ἀλλὰ μηδὲ ἑαυτοῖς. Εἶτα ἀνενεγκὼν τὴν διάνοιαν, καὶ ποιήσας ὑψηλὴν, φησί·

κ. ἀγαγὼν

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Ὁδῷ καὶ τάξει προβαίνων καὶ τῆς παρθενίας μνημονεύει λοιπόν. ἐπειδὴ γὰρ τοῖς περὶ ἐγκρατείας αὐτοὺς ἐνεγύμνασέ τε καὶ ἐρρύθμισε λόγοις, ἐκβαίνει πρὸς τὸ μεῖζον, ἐπιταγὴν οὐκ ἔχω, λέγων, ἀλλὰ νομίζω καλὸν εἶναι. διὰ τί; διὰ τὴν αὐτὴν αἰτίαν, ἣν περὶ ἐγκρατείας τέθεικε.

27 Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. Ταῦτα οὐκ ἐναντιούμενά ἐστι τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. καὶ γὰρ καὶ ἐκεῖ φησιν, εἰ μή τι ἂν ἐκ συμφώνου· καὶ ἐνταῦθά φησι, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. τοῦτο δὲ οὐκ ἔστιν ἐναντίον. τὸ γὰρ παρὰ γνώμην, λύσις ἐστίν· εἰ δὲ κατὰ γνώμην ἀμφότεροι ἐγκρατεύοιντο, οὐκ ἔστι λύσις. Εἶτα ἵνα μὴ δόξῃ νομοθεσία εἶναι τοῦτο, ἐπήγαγε·

28 Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. Εἶτα τὰ παρόντα αἰτιᾶται, τὴν ἐνεστῶσαν ἀνάγκην, καὶ τὸν συνεσταλμένον καιρὸν, καὶ τὴν θλῖψιν. πολλὰ γὰρ ὁ γάμος ἐπισύρεται, ἅπερ ἠνίξατο καὶ ἐνταῦθα, καὶ ἐν τῷ περὶ ἐγκρατείας λόγῳ, ἐκεῖ μὲν εἰπὼν, ὅτι οὐκ ἔχει ἐξουσίαν ἑαυτῆς ἡ γυνή, ἐνταῦθα δὲ εἰπὼν, δέδεσαι. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. οὐ περὶ τῆς παρθενίαν ἑλομένης· ἤδη γὰρ αὕτη ἥμαρτεν. εἰ γὰρ αἱ χῆραι κρίμα ἔχουσι δευτέροις ὁμιλήσασαι γάμοις, ἐὰν ἅπαξ ἕλωνται χηρείαν, πολλῷ μᾶλλον αἱ παρθένοι. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. Ἀλλὰ καὶ ἡδονὴν, φησίν. ἀλλὰ καὶ ταύτην ὅρα πῶς ἀνέστειλε τῇ βραχύτητι τοῦ καιροῦ, εἰπὼν,

29 Ὁ καιρὸς συνεσταλμένος ἐστί· Τουτέστιν, ἀποδημεῖν κελευόμεθα καὶ ἐξιέναι λοιπόν, σὺ δὲ ἐνδοτέρω τρέχεις. καίτοι εἰ καὶ μηδὲν εἶχεν ἐπαχθὲς ὁ γάμος, καὶ οὕτως ἐπείγεσθαι πρὸς τὰ μέλλοντα ἔδει· ὅταν δὲ καὶ θλῖψιν ἔχῃ, τί δεῖ φορτίον ἐπισύρεσθαι; τί χρὴ λαβεῖν τοσοῦτον ὄγκον, ὅταν καὶ μετὰ τὸ λαβεῖν οὕτω δέοι χρῆσθαι, ὡς μὴ ἔχοντα; Καὶ γὰρ οἱ ἔχοντες γυναῖκας, φησὶν, ἵνα ὡς μὴ ἔχοντες ὦσιν. Εἶτα ἐνθείς τι καὶ τῶν μελλόντων, πάλιν πρὸς τὸ πρότερον ἤγαγε τὸν λόγον. τὰ μὲν γὰρ πνευματικά ἐστιν· ὅτι ἡ μὲν τὰ τοῦ ἀνδρὸς, ἡ δὲ τὰ τοῦ Θεοῦ μεριμνᾷ· τὰ δὲ τοῦ παρόντος βίου, τὸ, θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ἀλλ' ὅμως καὶ οὕτως ἀφίησι κυρίους. ὁ γὰρ μετὰ τὸ ἀποδεῖξαι τὸ αἱρετὸν πάλιν ἀναγκάζων, δοκεῖ μὴ θαρ-

κ. ἐπὶ ἐνδότερω τρέχειν.

ρεῖν τοῖς ἑαυτοῦ λόγοις. ὥστε τῇ συγχωρήσει μᾶλλον ἐπηγάγετο καὶ κατεῖχεν, εἰπών,

35 Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον. Ἀκουέτωσαν αἱ παρθένοι, ὅτι οὐκ ἐν τούτῳ ὥρισται ἡ παρθενία. ἡ γὰρ μεριμνῶσα τὰ τοῦ κόσμου, οὐδ' ἂν εἴη παρθένος, οὐδὲ εὐσχήμων. εἰπὼν γάρ, μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος, τοῦτο τέθεικε τὸ διαφορεῖν, καὶ ᾧ διεστήκασιν ἀλλήλων. καὶ ὅρον διδοὺς τῆς παρθένου καὶ τῆς οὐ παρθένου, οὐ γάμον εἶπεν, οὐδὲ ἐγκράτειαν, ἀλλὰ ἀπραγμοσύνην, καὶ πολυπραγμοσύνην. οὐ γὰρ ἡ μίξις πονηρόν, ἀλλὰ τὸ ἐμποδίζεσθαι πρὸς φιλοσοφίαν.

36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει. Ἐνταῦθα δοκεῖ μὲν ὑπὲρ γάμου διαλέγεσθαι· τὸ δὲ πᾶν περὶ παρθενίας φησίν. ἐπεὶ καὶ δευτέρους συγχωρεῖ γάμους, μόνον ἐν Κυρίῳ λέγων. τί δέ ἐστιν, ἐν Κυρίῳ; μετὰ σωφροσύνης, μετὰ κοσμιότητος. ταύτης γὰρ πανταχοῦ χρεία, καὶ δεῖ ταύτην διώκειν. ἄλλως γὰρ οὐκ ἔστιν ἰδεῖν τὸν Θεόν. Εἰ δὲ παρεδράμομεν τὰ περὶ τῆς παρθενίας, μηδεὶς ἡμῶν ὄκνον καταγινωσκέτω. καὶ γὰρ ὁλόκληρον ἡμῖν βιβλίον εἰς τοῦτο σύγκειται τὸ χωρίον, καὶ μετὰ ἀκριβείας τῆς ἡμῖν ἐγχωρούσης ἐκεῖ πᾶσιν ἐπεξελθόντες, περιττολογίαν εἶναι ἐνομίσαμεν καὶ ἐνταῦθα πάλιν αὐτὰ ἐνθεῖναι. διόπερ ἐκεῖ παραπέμψαντες ὑπὲρ τούτων τὸν ἀκροατήν, ἐνταῦθα ἐκεῖνο ἐροῦμεν, ὅτι τὴν ἐγκράτειαν δεῖ διώκειν. Εἰρήνην γάρ, φησι, διώκετε, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἵν' οὖν ἰδεῖν αὐτὸν καταξιωθῶμεν, κἂν ἐν παρθενίᾳ ὦμεν, κἂν ἐν πρώτῳ γάμῳ, κἂν ἐν δευτέρῳ, ταύτην μεταδιώκωμεν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

κεφ. η.

Λογ. κ. 1 ΠΕΡΙ ΔΕ ΤΩΝ ΕΙΔΩΛΟΘΥΤΩΝ, ΟΙΔΑΜΕΝ ὅτι πάντες γνῶσιν ἔχομεν. ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

ΑΝαγκαῖον πρότερον εἰπεῖν τί βούλεται αὐτῷ τουτὶ τὸ χωρίον. οὕτω γὰρ εὐληπτότερος ἔσται ὁ λόγος ἡμῖν. ὁ γὰρ ἐγκαλούμενόν τινα ὁρῶν, ἂν μὴ πρότερον ἴδῃ τοῦ ἁμαρτήματος τὴν φύσιν, οὐκ εἴσεται τίνα ἐστὶ τὰ λεγόμενα. τί ποτ' οὖν ἐστιν ὅπερ ἐνεκάλει τότε Κορινθίοις; ἔγκλημα μέγα καὶ πολλῶν αἴτιον κακῶν. ποῖον δὴ τοῦτο; πολλοὶ παρ' αὐτοῖς μαθόντες, ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα, καὶ ὅτι τὰ εἴδωλα, ξύλα καὶ λίθοι καὶ δαίμονες, οὔτε βλάψαι, οὔτε ὠφελῆσαι δυνάμενα, ἀμέτρως τῇ τελειότητι τῆς γνώσεως ταύτης ἐκέχρηντο, καὶ εἰς τὴν ἑτέρων, καὶ εἰς τὴν ἑαυτῶν βλάβην. καὶ γὰρ εἰς εἴδωλα εἰσῄεσαν, καὶ τῶν αὐτόθι μετεῖχον τραπεζῶν, καὶ μέγαν ἐντεῦθεν τὸν ὄλεθρον ἔτικτον. (ἴσ. εἰδωλεῖα) οἵ τε γὰρ ἔτι τὸν τῶν εἰδώλων ἔχοντες φόβον, καὶ οὐκ εἰδότες αὐτῶν καταφρονεῖν, μετεῖχον τῶν δείπνων ἐκείνων, ἐπειδὴ τοὺς τελειοτέρους ἑώρων τοῦτο ποιοῦντας, καὶ τὰ μέγιστα ἐντεῦθεν ἐβλάπτοντο (οὐδὲ γὰρ μετὰ τῆς αὐτῆς ἐκείνοις γνώμης τῶν προκειμένων ἥπτοντο, ἀλλ' ὡς εἰδωλοθύτων, καὶ ὁδὸς ἐπὶ εἰδωλολατρείαν τὸ πρᾶγμα ἐγίνετο) αὐτοί τε οὗτοι οἱ δῆθεν τελειότεροι, οὐχ ὡς ἔτυχεν ἠδικοῦντο, δαιμονικῶν ἀπολαύοντες τραπεζῶν. τὸ μὲν οὖν ἔγκλημα τοῦτο ἦν· ὁ δὲ μακάριος οὗτος μέλλων αὐτὸ διορθοῦν, οὐκ εὐθέως καταφορικῷ κέχρηται τῷ λόγῳ. καὶ γὰρ ἀνοίας μᾶλλον ἢ κακίας ἦν τὸ γινόμενον. (γρ. κατηγορικῶς) διὸ καὶ παραινέσεως ἐν ἀρχῇ μᾶλλον ἐδεῖτο, ἢ ἐπιπλήξεως σφοδρᾶς καὶ ὀργῆς. σκόπει τοίνυν αὐτοῦ τὴν σύνεσιν, πῶς εὐθέως ἄρχεται τῆς νουθεσίας. περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. τοὺς ἀσθενεῖς ἀφείς, ὅπερ ἀεὶ ποιεῖ, τοῖς ἰσχύουσι διαλέγεται πρότερον. τοῦτο γὰρ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐποίησεν εἰπών, Σὺ (Ῥωμ. ιδ. ι)

δὲ τί κρίνεις τὸν ἀδελφόν σου; οὐδὲ γάρ ἐστιν ὁ καὶ ἐπιτίμησιν εὐκόλως δέξασθαι δυνάμενος· ὁ δὲ καὶ ἐνταῦθα ποιεῖ· καὶ κενοῖ τὸν τῦφον αὐτῶν πρότερον, ὅπερ ἐνόμιζον αὐτῶν εἶναι ἐξαίρετον τὸ γνῶσιν ἔχειν τελείαν, τοῦτο κοινὸν ἀποφαίνων. οἴδαμεν γάρ, φησιν, ὅτι πάντες γνῶσιν ἔχομεν. καὶ γὰρ εἰ ἀφεὶς αὐτοὺς μέγα φρονεῖν, πρότερον ἔδειξεν ὅτι ἐπιβλαβὲς τὸ πρᾶγμα ἑτέροις, οὐδὲν ἂν τοσοῦτον ὠφέλησεν, ὅσον ἔβλαψεν. ἡ γὰρ φιλότιμος ψυχὴ, ὅταν ἐπί τινι καλλωπίζηται, κἂν ἑτέρους βλάπτῃ τοῦτο, σφόδρα αὐτοῦ ἔχεται διὰ τὴν τῆς κενοδοξίας τυραννίδα. διὰ τοῦτο Παῦλος πρότερον αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάζει, ὅπερ καὶ ἐπὶ τῆς σοφίας τῆς ἔξωθεν ἐν τοῖς ἔμπροσθεν ἐποίησε, καθαιρῶν αὐτὴν μετὰ ὑπερβολῆς. ἀλλ' ἐκεῖ μὲν τοῦτο εἰκότως ἐποίει (ὅλον γὰρ δι' ὅλου κατηγορίας ἄξιον ἦν, καὶ πολλὴ ἡ εὐκολία. διόπερ οὐδὲ πρότερον αὐτὸ δείκνυσι μόνον, ἀλλὰ καὶ ἐναντίον τῷ κηρύγματι) ἐνταῦθα δὲ οὐκ ἐνῆν τοῦτο ποιῆσαι. γνῶσις γὰρ ἦν τὸ τελούμενον, καὶ γνῶσις τελεία. οὔτε οὖν αὐτὴν καταβαλεῖν ἀσφαλὲς ἦν, καὶ τὸν τῦφον ἄλλως οὐκ ἐνῆν ἐκβαλεῖν τὸν ἐπὶ ταύτῃ. τί οὖν ποιεῖ; πρότερον τῷ δεῖξαι κοινὴν αὐτὴν οὖσαν, καταστέλλει τὸ φύσημα τὸ ἐκείνων. οἱ γὰρ ἔχοντές τι μέγα καὶ καλὸν, ὅταν μόνοι ἔχωσι, μᾶλλον ἐπαίρονται· ἂν δὲ μετ' ἄλλων φανῶσιν αὐτὸ κεκτημένοι, οὐκέτι ὁμοίως τοῦτο πάσχουσι. πρότερον μὲν οὖν αὐτὸ κοινοποιεῖ, ἐπειδὴ ἐκεῖνοι αὐτῶν αὐτὸ εἶναι ἐνόμιζον μόνων. ἔπειτα ποιήσας κοινὸν, οὐ τίθησιν ἑαυτὸν ἐν τῇ κοινωνίᾳ μόνον, ἐπεὶ καὶ οὕτως ἂν μᾶλλον αὐτοὺς ἐπῆρεν. ὥσπερ γὰρ τὸ μόνον ἔχειν ἐπαίρει, οὕτω κοινωνὸν εἶναί που καὶ δεύτερον ἔχειν τῶν ὑπερεχόντων, οὐκ ἔλαττον τοῦτο ποιεῖ. διὰ τοῦτο οὐχ ἑαυτὸν τίθησιν, ἀλλὰ πάντας. οὐ γὰρ εἶπεν, ὅτι καὶ ἐγὼ ἔχω γνῶσιν, ἀλλ', οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. εἶτα μὲν οὖν τούτῳ πρώτῳ κατέβαλεν αὐτῶν τὸ φρόνημα, δευτέρῳ δὲ σφοδροτέρως. ποίῳ δὴ τούτῳ; τῷ δεῖξαι ὅτι οὐδὲ αὐτὸ τὸ πρᾶγμα ἀπηρτισμένον ἐστὶν, ἀλλὰ καὶ σφόδρα ἀτελές· καὶ οὐ μόνον ἀτελὲς, ἀλλὰ καὶ βλαβερὸν, ἐὰν μὴ ᾖ συνεζευγμένον ἑτέρῳ αὐτῷ. εἰπὼν γὰρ ὅτι γνῶσιν ἔχομεν, ἐπήγαγεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. ὥστε ὅταν χωρὶς ἀγάπης ᾖ, καὶ εἰς ἀπόνοιαν αἴρει. ἀλλ' οὐδὲ ἡ ἀγάπη, φησὶ, χωρὶς γνώσεως κέρδος ἔχει τι. ἀλλ' οὐκ εἶπε τοῦτο· ἀλλ' ὡς ὡμολογημένον ἀφεὶς, δείκνυσιν ὅτι σφόδρα δεῖται τοῦτο ἐκείνου. ὁ μὲν γὰρ ἀγαπῶν, ἅτε ἐντολὴν πληρῶν τὴν πασῶν κυριωτέραν, κἂν ἐλλείποντά τινα ἔχῃ, ταχέως ἀπολαύσεται τῆς γνώσεως διὰ τὴν ἀγάπην, ὥσπερ ὁ Κορνήλιος, καὶ ἕτεροι πολλοί· ὁ δὲ γνῶσιν ἔχων, ἀγάπην δὲ μὴ ἔχων, οὐ μόνον οὐδὲν προσλήψεται, ἀλλὰ καὶ αὐτῆς ἐκπεσεῖται ἧς ἔχει, πολλάκις εἰς ἀπόνοιαν ἐμπεσών. ὥστε ἡ μὲν γνῶσις, ἀγάπης οὐκ ἔστι ποιητικὴ, ἀλλὰ καὶ τοὐναντίον ἀποκλείει τὸν μὴ προσέχοντα, φυσῶσα καὶ ἐπαίρουσα. καὶ γὰρ διαιρεῖν εἴωθεν ἡ ἀλαζονεία· ἡ δὲ ἀγάπη, καὶ συνάγει καὶ πρὸς γνῶσιν ἄγει. ὅπερ οὖν καὶ δηλῶν, ἔλεγεν· Εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. ὥστε οὐ τοῦτο κωλύω, φησὶ, τὸ τελείαν γνῶσιν ἔχειν, ἀλλὰ τὸ μετὰ ἀγάπης ταύτην ἔχειν, τοῦτο κελεύω· ἐπεὶ κέρδος οὐδὲν, ἀλλὰ καὶ βλάβος. ὁρᾷς ὅπως ἤδη προανακρούεται τὸν περὶ ἀγάπης λόγον; ἐπειδὴ γὰρ ταῦτα πάντα ἀπὸ τούτου συνέβαινε τὰ κακὰ, καὶ οὐκ ἀπὸ τελείας γνώσεως, ἀλλ' ἀπὸ τοῦ μὴ σφόδρα φιλεῖν, μηδὲ φείδεσθαι τῶν πλησίον (ὅθεν καὶ τὸ διασπασθῆναι αὐτοὺς γέγονε, καὶ τὸ ἐπαίρεσθαι, καὶ τὰ ἄλλα πάντα, ἅπερ αὐτοῖς ἐνεκάλεσε, καὶ πρὸ τούτου καὶ μετὰ ταῦτα) συνεχῶς αὐτῆς ἐπιμέμνηται, τὴν πηγὴν τῶν ἀγαθῶν διορθούμενος. τί τοίνυν πεφύσησθε, φησὶν, ἐπὶ τῇ γνώσει; ἂν γὰρ τὴν ἀγάπην μὴ ἔχητε, καὶ βλαβήσεσθε ἐντεῦθεν. τί γὰρ ἀλαζονείας χεῖρον; ἂν δὲ ἐκεῖνο προσῇ, καὶ τοῦτο ἔσται ἐν ἀσφαλείᾳ. κἂν γὰρ τι πλέον εἰδῇς τοῦ πλησίον, φιλῶν αὐτὸν οὐκ ἐπαίρῃ, ἀλλὰ ἄγεις καὶ αὐτὸν ἐπὶ τοῦτο. διὸ καὶ εἰπὼν, ἡ γνῶσις φυσιοῖ, ἐπήγαγεν, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. οὐκ εἶπε, μετριάζει, ἀλλὰ τὸ πολλῷ πλέον καὶ κερδαλεώτερον. οὐδὲ γὰρ ἔφυσα μόνον ἡ γνῶσις, ἀλλὰ καὶ

γρ. περαιούμενον

γρ. σφοδροτέρῳ

α. Κορ. η. γ.

διέφθειρε. διὰ τοῦτο ἐκείνῳ τοῦτο ἀντέθηκεν. εἶτα καὶ τούτοις τίθησι δυνάμενον αὐτοὺς καθελεῖν. ποῖον δὴ τοῦτο; ὅτι κἂν συνεζευγμένη ᾖ ἡ ἀγάπη, οὐδὲ οὕτως ἀπηρτισμένη ἐστὶν αὕτη ἡ γνῶσις. διὸ καὶ ἐπήγαγεν·

2 Εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε, καθὼς δεῖ γνῶναι.

Αὕτη καιρία ἡ πληγή. οὐ λέγω γάρ, φησιν, ὅτι κοινὴ ἡ γνῶσις πάντων· οὐ λέγω ὅτι μισῶν τὸν πλησίον καὶ ἀπονοούμενος, τὰ μέγιστα σεαυτὸν καταβλάπτεις. κἂν γὰρ μόνος ἔχῃς, κἂν μετριάζῃς, κἂν φιλῇς τὸν ἀδελφόν, καὶ οὕτως ἀτελὴς εἶ κατὰ τὴν γνῶσιν. οὐδέπω γὰρ οὐδὲν οἶδας, ὡς δεῖ εἰδέναι. εἰ δὲ οὐδεὶς οὐδέπω ἀκριβῆ τὴν γνῶσιν ἔχομεν, πῶς τινες εἰς τοσοῦτον μανίας ἤλασαν, ὡς λέγειν τὸν Θεὸν εἰδέναι μετὰ ἀκριβείας ἁπάσης; ὅπουγε εἰ καὶ πάντων εἴχομεν ἀκριβῆ γνῶσιν τὴν τῶν ἄλλων, οὐδὲ οὕτω δυνατὸν ἦν ἔχειν ταύτην οὕτως; ὅσον γὰρ αὐτὴ πρὸς ἅπαντα τὸ μέσον, οὐδὲ εἰπεῖν ἔνι. καὶ ὅρα πῶς αὐτῶν κατέσπασε τὸ φύσημα. οὐ γὰρ εἶπεν, ὅτι περὶ τῶν προκειμένων οὐκ ἔχετε τὴν προσήκουσαν γνῶσιν, ἀλλὰ περὶ παντὸς πράγματος. καὶ οὐκ εἶπεν, ὅτι ὑμεῖς· ἀλλ' ὅτι οὐδεὶς ὁστισοῦν, κἂν Πέτρος ᾖ, κἂν Παῦλος, κἂν ὁστισοῦν. τούτῳ γὰρ καὶ παρεμυθήσατο, καὶ συνέστελλεν αὐτοὺς μετὰ ἀκριβείας.

3 Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος, Οὐκ εἶπεν, ἔγνω αὐτόν, ἀλλ', Ἔγνωσται ὑπ' αὐτοῦ. Οὐ γὰρ ἡμεῖς αὐτὸν ἔγνωμεν, ἀλλ' ἡμᾶς αὐτὸς ἔγνω. διὸ καὶ ἔλεγεν· Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην· καὶ πάλιν, Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. σκόπει τοίνυν δι' ὅσων κατήνεγκεν αὐτῶν τὸ φρόνημα. πρῶτον ἔδειξεν, ὅτι οὐ μόνοι ἐπίστανται, ἅπερ ἴσασι (πάντες γάρ, φησι, γνῶσιν ἔχομεν) ἔπειτα, ὅτι βλαβερὸν τὸ πρᾶγμα, χωρὶς ἀγάπης ὄν (ἡ γὰρ γνῶσις, φησι, φυσιοῖ) εἶτα, ὅτι καὶ μετὰ ἀγάπης ὄν, οὐκ ἀπηρτισμένον ἐστίν, οὐδὲ τέλειον (εἰ γάρ τις δοκεῖ εἰδέναι τι, οὐδὲν οὐδέπω ἔγνωκε, φησι, καθὼς δεῖ γνῶναι) πρὸς τούτοις, ὅτι οὐδὲ αὐτὸ τοῦτο οἴκοθεν ἔχουσιν, ἀλλὰ τοῦ Θεοῦ δωρησαμένου (οὐ γὰρ εἶπεν, ἔγνω τὸν Θεόν, ἀλλ' ἔγνωσται ὑπ' αὐτοῦ) εἶτα, ὅτι ἀπὸ ἀγάπης γέγονε τοῦτο αὐτό, ἣν οὐκ ἔχουσιν ὡς χρή· εἰ γάρ τις, φησιν, ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. διὰ τοσούτων τοίνυν καταλύσας τὴν αὐτῶν φλεγμονήν, ἄρχεται δογματίζειν, οὕτω λέγων·

Ιωαν. ιε. ιϛ.
α. Κορ. ιγ. ιβ.

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς. Θέα εἰς ὅσην στενοχωρίαν ἐνέπεσε. καὶ γὰρ ἀμφότερα βούλεται κατασκευάσαι, ὅτι τε ἀπέχεσθαι δεῖ τῆς τοιαύτης τραπέζης, καὶ ὅτι ἰσχὺν οὐκ ἔχει πρὸς τὸ βλάψαι τοὺς μετέχοντας· ἅπερ οὐ σφόδρα ἀλλήλοις συμβαίνοντα ἦν. μαθόντες γὰρ ὅτι οὐκ ἔχει βλάβην, ὡς ἀδιαφόροις ἔμελλον ἐπιτρέχειν· κωλυθέντες δὲ αὐτῶν ἅπτεσθαι, πάλιν ὑπώπτευον ὅτι ὡς ἰσχὺν ἐχόντων εἰς τὸ βλάπτειν ἐκωλύθησαν. διὰ δὴ τοῦτο καθελὼν τὴν τῶν εἰδώλων ὑπόνοιαν, αἰτίαν προστίθησι τοῦ ἀπέχεσθαι, τὰ σκάνδαλα τῶν ἀδελφῶν, οὕτω λέγων· περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ. πάλιν κοινὸν αὐτὸ ποιεῖ, καὶ οὐ συγχωρεῖ μόνων ἐκείνων γενέσθαι τοῦτο, ἀλλ' ἐκτείνει τὴν γνῶσιν πανταχοῦ τῆς οἰκουμένης. οὐ γὰρ παρ' ὑμῖν μόνοις, φησίν, ἀλλὰ πανταχοῦ τῆς γῆς τοῦτο κρατεῖ τὸ δόγμα. ποῖον δὴ τοῦτο; ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς. οὐκ ἔστιν οὖν εἴδωλα; οὐκ ἔστι ξόανα; ἔστι μέν, ἀλλ' οὐκ ἔχει τινὰ ἰσχύν· οὐδὲ θεοί εἰσιν, ἀλλὰ λίθοι καὶ δαίμονες. πρὸς γὰρ ἀμφοτέρους ἀποτείνεται νῦν, καὶ τοὺς παχυτέρους αὐτῶν, καὶ τοὺς δοκοῦντας φιλοσοφεῖν. ἐπειδὴ γὰρ οἱ μὲν οὐδὲν πλέον τῶν λίθων ἴσασιν, οἱ δὲ λέγουσι καὶ δυνάμεις τινὰς οἰκεῖν ἐν αὐτοῖς, ἃς καὶ θεοὺς καλοῦσι, πρὸς μὲν οὖν ἐκείνους φησίν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ· πρὸς δὲ τούτους, ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς. ὁρᾷς πῶς οὐχ ἁπλῶς δογματίζων γράφει ταῦτα, ἀλλὰ

πρὸς αὐτὴν διαστολὴν τῶν ἔξωθεν· καὶ γὰρ καὶ τοῦτο πανταχοῦ χρὴ παρατηρεῖν, εἴτε ἀπολελυμένως λέγει τι, εἴτε πρός τινας ἱστάμενος. οὐδὲ γὰρ τὸ τυχὸν εἰς τὴν τῶν δογμάτων ἡμῖν ἀκρίβειαν τοῦτο συντελεῖ, καὶ εἰς αὐτὴν τὴν τῶν λεγομένων τὴν κατανόησιν.

5 Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς (ὥσπερ οὖν εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί)

6 Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.

Ἐπειδὴ εἶπεν, ὅτι οὐδὲν εἴδωλον, καὶ οὐδεὶς Θεὸς ἕτερος, ἦσαν δὲ καὶ εἴδωλα, ἦσαν δὲ καὶ θεοὶ λεγόμενοι· ἵνα μὴ δόξῃ τοῖς φανεροῖς μάχεσθαι, ἐπάγει λέγων· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, ὥσπερ οὖν καὶ εἰσίν, οὐχ ἁπλῶς, εἰσίν, ἀλλά, λεγόμενοι, οὐκ ἐν πράγματι, ἀλλ' ἐν ῥήματι τοῦτο ἔχοντες· εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· ἐν οὐρανῷ τὸν ἥλιον λέγων, καὶ τὴν σελήνην, καὶ τὸν λοιπὸν τῶν ἄστρων χορόν (καὶ γὰρ καὶ ταῦτα προσεκύνουν Ἕλληνες)· ἐπὶ γῆς δὲ δαίμονας, καὶ τοὺς ἐξ ἀνθρώπων θεοποιηθέντας ἅπαντας. Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατήρ. πρότερον θεὶς χωρὶς τοῦ πρός τι, καὶ εἰπών, οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς, νῦν καὶ τοῦτο προστίθησιν, [γ. παθ.] ὅτι παντελῶς ἐκείνους ἐξέβαλεν. Εἶτα καὶ ὅπερ ἐστὶ δεῖγμα μέγιστον θεότητος, καὶ τοῦτο ἐπάγει· ἐξ οὗ τὰ πάντα. τοῦτο γὰρ δείκνυσι κἀκείνους οὐκ ὄντας θεούς. Θεοὶ γάρ, φησίν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. Εἶτα καὶ τὸ τούτου οὐκ ἔλαττον προστίθησι, καὶ ἡμεῖς εἰς αὐτόν. ὅταν μὲν γὰρ εἴπῃ, ἐξ οὗ τὰ πάντα, τὴν δημιουργίαν λέγει, καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγήν· ὅταν δὲ εἴπῃ, καὶ ἡμεῖς εἰς αὐτόν, τὸν τῆς πίστεως καὶ τῆς οἰκειώσεως λόγον λέγει, ὃ καὶ ἔμπροσθεν ἔλεγεν, Ἐξ αὐτοῦ δὲ καὶ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ. [α. Κορ. α. λ.] διπλῆ γάρ ἐσμεν ἐξ αὐτοῦ, καὶ τῷ μὴ ὄντες γενέσθαι, καὶ τῷ πιστοὶ γενέσθαι. καὶ γὰρ καὶ τοῦτο κτίσις· ὃ καὶ ἀλλαχοῦ φησιν, Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον. [Εφ. β. ιε.] καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ. καὶ ἐπὶ τοῦ Χριστοῦ πάλιν ὁμοίως τοῦτο νοητέον. δι' αὐτοῦ γὰρ καὶ ἐκ τοῦ μὴ ὄντος παρήχθη τὸ τῶν ἀνθρώπων γένος εἰς τὸ εἶναι, καὶ ἀπὸ πλάνης εἰς ἀλήθειαν ἐπανῆλθεν. ὥστε τό, ἐξ οὗ, τοῦτο οὐκ ἔστι χωρὶς τοῦ Χριστοῦ. ἐξ αὐτοῦ γὰρ διὰ τοῦ Χριστοῦ ἐδημιουργήθημεν. οὐ τοίνυν οὐδὲ τὰ ὀνόματα ὡς ἀποκεκληρωμένα διεῖλε, τῷ μὲν υἱῷ τό, Κύριος, τῷ δὲ πατρὶ τό, Θεός, προσνέμων. οἶδε γὰρ αὐτὰ καὶ ἐναλλάττειν ἡ γραφὴ πολλάκις, ὡς ὅταν λέγῃ· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. [Ψαλμ. ρθ. α.] καὶ πάλιν, Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου. [Ψαλμ. μδ. η.] καί, Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός. [Ρωμ. θ. ε.] καὶ πολλαχοῦ ἂν ἴδοις ταῦτα μεταβαίνοντα τὰ ὀνόματα. εἰ δὲ ἀποκεκληρωμένα ἦν ἑκάστῃ φύσει, καὶ οὐ Θεὸς ἦν [γ. οὐχὶ] ὁ υἱός, καὶ Θεός, ὡς ὁ πατήρ, μένων υἱός, εἰπών, ἀλλ' ἡμῖν εἷς Θεός, προστίθησι τό, πατήρ, βουλόμενος γνωρίσαι τὸν ἀγέννητον. ἤρκει γὰρ τὸ Θεός, εἴγε αὐτοῦ μόνου ἦν γνωριστικόν, τοῦτο δηλῶσαι. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερόν ἐστιν εἰπεῖν. εἰ γὰρ λέγεις, ὅτι ἐπειδὴ εἷς Θεὸς εἴρηται, οὐχ ἁρμόζει τῷ υἱῷ τὸ Θεός, [γ. ἁρμόσει] ὅρα καὶ ἐπὶ τοῦ υἱοῦ τὸ αὐτὸ κείμενον. καὶ γὰρ ὁ υἱός, εἷς Κύριος εἴρηται, καὶ οὐ διὰ τοῦτο αὐτῷ μόνῳ τό, Κύριος, ἁρμόττειν φαμέν. ὥστε ἣν ἔχει ἰσχὺν τό, εἷς, ἐπὶ τοῦ υἱοῦ, ταύτην καὶ ἐπὶ τοῦ πατρός. καὶ καθάπερ οὐκ ἐξωθεῖ τὸν πατέρα τοῦ Κύριον εἶναι, οἷος ὁ υἱός ἐστι Κύριος, διὰ τὸ ἕνα αὐτὸν λέγεσθαι Κύριον τὸν υἱόν· οὕτως οὐδὲ τὸν υἱὸν ἐκβάλλει τοῦ Θεὸν εἶναι, οἷος ἐστι Θεὸς ὁ πατήρ, διὰ τὸ ἕνα Θεὸν λέγεσθαι τὸν πατέρα. εἰ δέ τινες λέγοιεν, τίνος ἕνεκεν πνεύματος οὐκ ἐμνημόνευσεν; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι πρὸς εἰδωλολάτρας ἦν ὁ λόγος αὐτῷ, καὶ περὶ θεῶν πολλῶν ὁ ἀγών, καὶ περὶ κυρίων πολλῶν. διὸ καὶ Θεὸν τὸν πατέρα εἰπών, τὸν υἱὸν ἐκάλεσε Κύριον. εἰ τοίνυν τὸν πατέρα οὐκ ἐτόλμησε καλέσαι Κύριον νῦν μετὰ τοῦ υἱοῦ, ἵνα μὴ δύο παρ' ἐκείνοις ὑποπτευθείη λέγειν Κυρίους, οὐδὲ τὸν υἱὸν Θεὸν μετὰ τοῦ πατρός, ἵνα μὴ δύο νομίζηται λέγειν θεούς· τί θαυμάζεις, εἰ τοῦ πνεύματος οὐκ ἐμνημόνευσε; πρὸς γὰρ ἐκείνους αὐτῷ τέως ἦν ὁ ἀγών, καὶ τὸ δεῖξαι, ὅτι οὐκ ἔστι πολυθεΐα παρ' ἡμῖν.

διὸ

διὸ καὶ εἰς τοῦτο συνεχῶς κατέχει λέγων, οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς· καὶ ἡμῖν εἷς Θεὸς, καὶ εἷς Κύριος. ὅθεν δῆλον ὅτι συνειδόμενος τῆς ἀσθενείας τῶν ἀκουόντων, ταύτῃ ἐχρήσατο τῇ διασκευῇ, καὶ διὰ τοῦτο οὐδὲ τοῦ πνεύματος ἐμνημόνευσεν. ἐπεὶ εἰ μὴ τοῦτο ἐστι, οὐδὲ ἀλλαχοῦ μνησθῆναι ἔδει τοῦ πνεύματος, οὐδὲ συντάττεσθαι αὐτὸ πατρὶ καὶ υἱῷ. κ. ιω. Εἰ γὰρ ἀπέρριπται πατρὸς καὶ υἱοῦ, πολλῷ μᾶλλον ἐπὶ τοῦ βαπτίσματος αὐτὸ συντάττεσθαι οὐκ ἔδει, ἔνθα μάλιστα φαίνεται τὸ ἀξίωμα τῆς θεότητος, καὶ δωρεαὶ δίδονται Θεῷ προσήκουσαι μόνῳ παρέχειν. ἐγὼ μὲν οὖν τὴν αἰτίαν εἶπον δι' ἣν ἐνταῦθα σεσίγηται· σὺ δὲ, εἰ μὴ τοῦτό ἐστιν, εἰπὲ διὰ τί ἐν τῷ βαπτίσματι συντάττεται. ἀλλ' οὐκ ἂν ἔχοις ἑτέραν αἰτίαν εἰπεῖν, ἢ τὸ, ὁμότιμον αὐτὸ εἶναι. ὅταν γοῦν μηδεμίαν ἔχῃ τοιαύτην ἀνάγκην, ὅρα πῶς αὐτὸ συντάττει οὕτω λέγων· Η χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ

β. Κορ. ιγ. δ. Θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν. καὶ πάλιν, Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσι, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεός. ἀλλ' ἐπειδὴ νῦν πρὸς ἕλληνας ὁ λόγος ἦν αὐτῷ καὶ τοὺς ἐξ ἑλλήνων ἀσθενεστέρους, διὰ τοῦτο ταμιεύεται τέως· ὅπερ οὖν καὶ οἱ προφῆται ποιοῦσιν ἐπὶ τοῦ υἱοῦ, οὐδαμοῦ σαφῶς αὐτοῦ μεμνημένοι διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων.

7 Αλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις, φησι. Ποία αὕτη; ἡ περὶ τοῦ Θεοῦ, ἢ ἡ περὶ τῶν εἰδωλοθύτων; ἢ γὰρ τοὺς ἕλληνας αἰνίττεται ἐνταῦθα, τοὺς πολλοὺς λέγοντας θεοὺς καὶ κυρίους, καὶ οὐκ εἰδότας τὸν ὄντα Θεόν· ἢ τοὺς ἐξ ἑλλήνων ἀσθενεστέρους ἔτι, τοὺς οὐδέπω σαφῶς εἰδότας, ὅτι οὐ χρὴ δεδοικέναι τὰ εἴδωλα, καὶ ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ. τοῦτο δὲ εἰπὼν, ἠρέμα παρεμυθήσατο καὶ ἐπῆρε τούτους. οὐδὲ γὰρ πάντα καθάπτεσθαι ἔδει, καὶ μάλιστα μέλλοντα πάλιν καθικνεῖσθαι αὐτῶν σφοδρότερον. Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται.

Ετι τρέμουσί, φησι, τὰ εἴδωλα. μὴ γάρ μοι τὴν παροῦσαν εἴπῃς κατάστασιν, καὶ ὅτι ἐκ προγόνων τὴν εὐσέβειαν ἐδέξω· ἀλλὰ παραπεμψον τὴν διάνοιαν εἰς ἐκείνους τοὺς χρόνους, καὶ ἐννόησον, ἄρτι τοῦ κηρύγματος καθισταμένου, καὶ τῆς ἀσεβείας ἔτι κρατούσης, καὶ βωμῶν καιομένων, καὶ θυσιῶν καὶ σπονδῶν τελουμένων, καὶ τῶν πλειόνων ἑλλήνων ὄντων, τοὺς ἐκ προγόνων διαδεξαμένους τὴν ἀσέβειαν, καὶ πατέρων καὶ πάππων καὶ ἐπιπάππων τοιούτων ὄντας ἐκγόνους, καὶ πολλὰ παρὰ τῶν δαιμόνων παθόντας κακὰ, ἀθρόον μεταστάντας, πῶς εἰκὸς ἦν διακεῖσθαι· πῶς δεδοικέναι καὶ τρέμοντας τῶν δαιμόνων ἐπιβουλάς· διὸ οὗτος καὶ αἰνιττόμενος ἔλεγε, τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδωλοθύτου. οὔτε γὰρ ἐκκαλύπτει αὐτοὺς σαφῶς ἵνα μὴ πλήξῃ, οὔτε παρατρέχει καθόλου, ἀλλ' ἀορίστως αὐτῶν μέμνηται, λέγων, τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδωλοθύτου ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, τουτέστι, μετὰ τῆς αὐτῆς διανοίας, μεθ' ἧς πρότερον. καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται, οὐδέπω δυναμένη καταφρονῆσαι, οὐδὲ καθάπαξ αὐτῶν καταγελάσαι, ἀλλ' ἔτι διακρινομένη. ὥσπερ ἂν εἴ τις τοῦ νεκροῦ ἅπτεσθαι νομίζοι μολύνειν ἑαυτὸν κατὰ Ἰουδαϊκὴν συνήθειαν, εἶτα ἑτέρους ὁρῶν ἁπτομένους μετὰ καθαροῦ συνειδότος, μὴ ἁπτόμενος μετὰ τῆς αὐτῆς γνώμης μολύνοιτο· οὕτω κἀκεῖνοι τότε ἔπασχον. τινὲς γάρ, φησι, τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι. οὐχ ἁπλῶς δὲ ἕως ἄρτι τέθεικεν, ἀλλ' ἵνα δείξῃ ὅτι οὐδὲν ἤνυσαν μὴ συγκαταβαίνοντες. οὐδὲ γὰρ οὕτως αὐτοὺς ἐνάγειν ἐχρῆν, ἀλλ' ἑτέρως πως λόγῳ πείθοντας καὶ διδασκαλίᾳ. καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. οὐδαμοῦ πως περὶ τὴν φύσιν τοῦ πράγματος τὸν λόγον ἵστησιν, ἀλλ' ἄνω καὶ κάτω περὶ τὸ συνειδὸς τοῦ μεταλαμβάνοντος στρέφεται. δέδοικε γὰρ μὴ θέλων διορθῶσαι τὸν ἀσθενῆ, πλήξῃ τὸν ἰσχυρὸν, καὶ ἀσθενῆ καὶ τοῦτον ἐργάσηται. διόπερ οὐχ ἧττον τούτου φείδεται, ἢ ἐκείνου. καὶ οὐκ ἀφίησιν

αὐτὸ

αὐτὸ νομισθῆναί τι, ἀλλὰ πολλὴν κατασκευάζει τὸν λόγον, ὥστε μὴ τοῦτο ὑποπτευθῆναι.

8 Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. Ὁρᾷς πῶς πάλιν αὐτῶν καθεῖλε τὸ φρόνημα; Εἰπὼν γὰρ ὅτι οὐ μόνον ἐκεῖνοι, ἀλλὰ πάντες γνῶσιν ἔχομεν, καί, ὅτι οὐδεὶς οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι, καί, ὅτι ἡ γνῶσις φυσιοῖ, εἶτα παραμυθησάμενος αὐτούς, καὶ εἰπών, ὅτι οὐκ ἐν πᾶσιν ἡ γνῶσις, καί, ὅτι δι᾽ ἀσθένειαν οὗτοι μολύνονται· ἵνα μὴ λέγωσιν ἐκεῖνοι, καὶ τί πρὸς ἡμᾶς, εἰ μὴ ἐν πᾶσιν ἡ γνῶσις; διὰ τί γὰρ μὴ ἔχει γνῶσιν ὁ δεῖνα; διὰ τί ἀσθενής; ἵνα μὴ ταῦτα ἀντιπροφέρωσιν, οὐκ εὐθέως ἦλθεν ἐπὶ τὸ δεῖξαι σαφῶς, ὅτι διὰ τὴν ἐκείνου βλάβην ἀπέχεσθαι δεῖ· ἀλλὰ προακροβολισάμενος, αὐτὸν (γρ. αὐτὸ) μόνον πρῶτον, ὃ τούτου πλέον δείκνυσι. ποῖον δὴ τοῦτο; ὅτι εἰ καὶ μηδεὶς ἐβλάπτετο, μηδὲ ἡ τοῦ πλησίον παρ[illegible] διαστροφή, οὐδὲ οὕτω δεῖ τοῦτο ποιεῖν. ματαιοπονεῖν γὰρ τοῦτό ἐστιν. ὁ γὰρ ἀκούσας ὅτι βλάπτεται μὲν ἕτερος, αὐτὸς δὲ ἔχει τὸ κέρδος, οὐ σφόδρα ἀφίσταται, ἀλλὰ τότε μᾶλλον, ὅταν μάθῃ ὅτι οὐδὲν αὐτὸς ὠφελεῖται ἀπὸ τοῦ πράγματος. διὰ τοῦτο πρῶτον τοῦτο τίθησι λέγων, Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Εἶδες πῶς αὐτοὺς ἐξευτελίζει, ὃ ἐδόκει ἀπὸ τελείας γνώσεως γίνεσθαι; οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, τουτέστιν, εὐδοκιμοῦμεν παρὰ τῷ Θεῷ, ὡς ἀγαθόν τι ποιήσαντες, καὶ μέγα· οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα, τουτέστιν, ἔλαττόν τι ἔχομεν. τέως μὲν οὖν αὐτοὺς ἔδειξε περιττὸν καὶ οὐδέν. ὃ γὰρ μήτε γινόμενον ὠφελεῖ, μήτε μὴ γινόμενον βλάπτει, περιττὸν ἂν εἴη. περιϊὼν δὲ καὶ τὴν βλάβην ἐκκαλύπτει πᾶσαν τοῦ πράγματος· νῦν μέντοι τὴν εἰς τοὺς ἀδελφοὺς γινομένην λέγει.

9 Βλέπετε γάρ, φησι, μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν. Οὐκ εἶπεν, ὅτι ἡ ἐξουσία ὑμῶν πρόσκομμά ἐστιν, οὐδὲ ἀπεφήνατο, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ, ἀλλὰ πῶς; βλέπετε, φοβῶν αὐτούς, καὶ ἐντρέπων, καὶ ἐπὶ ἄρνησιν ἄγων τοῦ μὴ ποιεῖν. καὶ οὐκ εἶπεν, ἡ γνῶσις ὑμῶν αὕτη, ὅπερ ἦν ἐγκωμίου μᾶλλον, οὐδέ, ἡ τελειότης ὑμῶν αὕτη, ἀλλ᾽ ἡ ἐξουσία· ὅπερ προπετείας μᾶλλον καὶ αὐθαδείας καὶ ἀλαζονείας εἶναι ἐδόκει. καὶ οὐκ εἶπε, τοῖς ἀδελφοῖς, ἀλλά, τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν, αὔξων τὴν κατηγορίαν, ὅτι οὐδὲ ἀσθενούντων φείδονται, καὶ ταῦτα ἀδελφῶν. ἔστω γάρ· οὐ διορθοῖς, οὐδὲ ἐγείρεις. τί καὶ ὑποσκελίζεις καὶ προσπταίειν ποιεῖς, δέον χεῖρα ὀρέγειν; ἀλλ᾽ οὐ βούλει τοῦτο. οὐκοῦν μηδὲ καταβάλῃς. εἰ μὲν γὰρ πονηρὸς ἦν, κολάσεως ἐδεῖτο· εἰ δὲ ἀσθενής, ἰατρείας. νῦν δὲ οὐκ ἀσθενὴς μόνον, ἀλλὰ καὶ ἀδελφός.

10 Ὅταν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;

Εἰπών, βλέπετε μὴ πρόσκομμα γένηται ἡ ἐξουσία ὑμῶν αὕτη, λέγει πῶς καὶ τίνι τρόπῳ γίνεται. καὶ πανταχοῦ τὴν ἀσθένειαν τίθησιν, ἵνα μὴ δόξῃ τῆς τοῦ πράγματος φύσεως εἶναι ἡ βλάβη, καὶ φοβεροὶ φανῶσιν οἱ δαίμονες. νῦν μὲν γὰρ ἐχρῆν ἀποστῆναι τέλεον τῶν εἰδώλων, φησί· σὲ δὲ ὁρῶν ἐμφιλοχωροῦντα ἐκείνοις, ἀντὶ παραινέσεως τὸ πρᾶγμα δέχεται, καὶ ἐναπομένει καὶ αὐτός. ὥστε οὐ τῆς ἀσθενείας μόνον ἐστὶ τῆς ἐκείνου, ἀλλὰ καὶ τῆς σῆς ἀχρειείας ἡ ἐπιβουλή. σὺ γὰρ αὐτὸν ἀσθενέστερον ποιεῖς.

11 Καὶ ἀπόλλυται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ βρώσει (γρ. γνώσει), δι᾽ ὃν Χριστὸς ἀπέθανε.

Δύο γὰρ ἔχεις τὰ συγγνώμης σε ἀποστεροῦντα ἐπὶ τῇ βλάβῃ ταύτῃ, καὶ ὅτι ἀσθενής, καὶ ὅτι ἀδελφός· μᾶλλον δὲ καὶ τρίτον, τὸ πάντων φοβερώτερον. ποῖον δὴ τοῦτο; ὅτι Χριστὸς μὲν οὐδὲ ἀποθανεῖν παρῃτήσατο ὑπὲρ αὐτοῦ, σὺ δὲ αὐτῷ οὐδὲ συγκαταβαίνειν ἀνέχῃ. ἀλλὰ διὰ τούτων καὶ ἀναμιμνήσκει τὸν τέλειον, τίς ἦν καὶ αὐτὸς ἔμπροσθεν, καὶ ὅτι ὑπὲρ αὐτοῦ ἀπέθανε. καὶ οὐκ εἶπεν, ὑπὲρ οὗ καὶ ἀποθανεῖν σε ἔδει, ἀλλ᾽ ὃ πολλῷ μεῖζον ἦν, ὅτι καὶ Χριστὸς δι᾽ αὐτὸν ἀπέθανεν. Εἶτα ὁ μὲν δεσπότης ὁ σὸς ἀποθανεῖν ὑπὲρ αὐτοῦ οὐ παρῃτήσατο, σὺ δὲ οὕτως

οὐδένα

οὐδένα αὐτοῦ ποιῇ λόγον, ὡς μηδὲ τραπέζης ἐναγοῦς ἀπέχεσθαι δι' αὐτόν; ἀλλ' ἐᾷς αὐτὸν ἀπόλλυσθαι μετὰ τὴν σωτηρίαν τὴν οὕτω γενομένην, καὶ τὸ δὴ χαλεπώτατον, διὰ βρῶμα; οὐδὲ γὰρ εἶπεν, ἐπὶ τῇ σῇ τελειότητι, οὐδὲ, ἐπὶ τῇ σῇ γνώσει, ἀλλ', ἐπὶ τῇ σῇ βρώσει. ὥστε τέσσαρα τὰ ἐγκλήματα καὶ σφόδρα μέγιστα, ὅτι καὶ ἀδελφὸς, καὶ ἀσθενὴς, καὶ οὗ τοσοῦτον ὁ Χριστὸς ἐποιήσατο λόγον ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, καὶ ὅτι μετὰ ταῦτα πάντα διὰ βρῶμα ἀπόλλυται.

12 Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. Ὁρᾷς πῶς ἠρέμα καὶ κατὰ μικρὸν εἰς αὐτὴν τῆς παρανομίας τὴν κορυφὴν ἀνήγαγε τὸ ἁμάρτημα; καὶ πάλιν τῆς ἀσθενείας μέμνηται τῆς ἐκείνων. ὅπερ γὰρ ἐνόμιζον ὑπὲρ αὐτῶν εἶναι οὗτοι, τοῦτο πανταχοῦ εἰς τὴν αὐτῶν περιτρέπει κεφαλήν. καὶ οὐκ εἶπε, σκανδαλίζοντες, ἀλλὰ, τύπτοντες, ὥστε τῇ ἐμφάσει τῆς λέξεως τὴν ὠμότητα ἐνδείξασθαι. τί γὰρ ἀπηνέστερον ἀνθρώπου γένοιτ' ἂν τοῦ τὸν νοσοῦντα τύπτοντος; καὶ γὰρ πληγῆς ἁπάσης χαλεπώτερον, τὸ σκανδαλίζειν. πολλάκις γοῦν καὶ θάνατον τοῦτο εἰργάσατο. καὶ πῶς εἰς Χριστὸν ἁμαρτάνουσιν; ἑνὶ μὲν τρόπῳ, ὅτι τὰ τῶν οἰκετῶν αὐτὸς οἰκειοῦται· δευτέρῳ δὲ, ὅτι εἰς τὸ σῶμα αὐτοῦ καὶ εἰς τὸ μέλος τελοῦσιν οἱ τυπτόμενοι· τρίτον, ὅτι τὸ ἔργον αὐτοῦ, ὃ διὰ τῆς οἰκείας ᾠκοδόμησε σφαγῆς, τοῦτο οὗτοι καθαιροῦσι διὰ τὴν οἰκείαν φιλοτιμίαν.

13 Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα.

Τοῦτο, ὡς διδάσκαλος ἄριστος, τὸ δι' ἑαυτοῦ παιδεύειν, ἃ λέγει. καὶ οὐκ εἶπεν, εἴτε δικαίως, εἴτε ἀδίκως· ἀλλ' ὁπωσοῦν. καὶ οὐ λέγω, φησὶν, εἰδωλόθυτον, ὃ καὶ δι' ἑτέραν αἰτίαν κεκώλυται, ἀλλ' εἴ τι καὶ τῶν ἐν ἐξουσίᾳ καὶ συγκεχωρημένων σκανδαλίζει, καὶ ἐκείνων ἀφέξομαι· καὶ οὐ μίαν, οὐδὲ δευτέραν ἡμέραν, ἀλλὰ τὸν πάντα χρόνον τῆς ζωῆς μου. οὐ μὴ γὰρ φάγω, φησὶ, κρέα εἰς τὸν αἰῶνα. καὶ οὐκ εἶπεν, ἵνα μὴ ἀπολέσω τὸν ἀδελφόν· ἀλλ' ἵνα μηδὲ ἁπλῶς σκανδαλίσω. καὶ γὰρ ἐσχάτης ἀνοίας, τὰ περισπούδαστα τῷ Χριστῷ, καὶ τοιαῦτα ὡς καὶ θάνατον ἑλέσθαι δι' αὐτὰ, ταῦτα οὕτως ἡμᾶς εὐκαταφρόνητα νομίζειν, ὡς μηδὲ βρωμάτων ἀπέχεσθαι δι' αὐτά.

ΗΘΙΚΟΝ Ταῦτα δὲ οὐ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς ἂν ἔχοι καιρὸν λέγεσθαι, τοὺς καταφρονοῦντας τῆς τοῦ πλησίον σωτηρίας, καὶ τὰ σατανικὰ ἐκεῖνα φθεγγομένους ῥήματα. τὸ γὰρ λέγειν, τί δέ μοι μέλει, ἂν ὁ δεῖνα σκανδαλίζηται, καὶ ὁ δεῖνα ἀπόλλυται; τῆς ὠμότητος τῆς ἐκείνου, καὶ τῆς ἀπανθρωπίας ἐστί. καίτοιγε τότε μὲν καὶ τῆς τῶν σκανδαλιζομένων ἦν ἀσθενείας τὸ συμβαῖνον· ἐφ' ἡμῶν δὲ οὐκέτι. τοιαῦτα γὰρ ἁμαρτάνομεν, ἃ καὶ τοὺς ἰσχυροὺς σκανδαλίζει. ὅταν γὰρ τύπτωμεν καὶ ἁρπάζωμεν καὶ πλεονεκτῶμεν, καὶ ὡς ἀνδραπόδοις τοῖς ἐλευθέροις ἀποχρώμεθα, τίνα οὐχ ἱκανὰ ταῦτα σκανδαλίσαι; μὴ γὰρ εἴπῃς, ὅτι ὁ δεῖνα ὑποδηματοῤῥάφος, μηδ' ὅτι βυρσοποιὸς ἕτερος, μηδ' ὅτι χαλκοτύπος ἄλλος· ἀλλ' ἐννόησον ὅτι πιστὸς καὶ ἀδελφός. ἐκείνων γὰρ ἐσμὲν μαθηταὶ τῶν ἁλιέων, τῶν τελωνῶν, τῶν σκηνοῤῥάφων, ἐκείνου τοῦ τραφέντος ἐν οἰκίᾳ τέκτονος, καὶ τὴν μνηστὴν τούτου μητέρα καταξιώσαντος ἔχειν, καὶ ἐν σπαργάνοις ἐπὶ φάτνης κειμένου, καὶ οὐκ ἔχοντος ὅπου κλίνῃ τὴν κεφαλὴν, τοῦ τοσαῦτα ὁδοιποροῦντος, ὡς καὶ κοπιᾶν ἀπὸ τῆς ὁδοιπορίας, τοῦ παρ' ἑτέρων τρεφομένου. ταῦτα λογίζου, καὶ μηδὲν εἶναι νόμιζε τὸν τῦφον τὸν ἀνθρώπινον· ἀλλὰ καὶ τὸν σκηνοποιὸν, καὶ τὸν ἐπ' ὀχήματος φερόμενον καὶ μυρίους παῖδας ἔχοντα καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς, ἀδελφὸν εἶναι νόμιζε· μᾶλλον δὲ τοῦτον πλέον, ἢ ἐκεῖνον. καὶ γὰρ ἀδελφὸς ἐκεῖνος εἰκότως ἂν λέγοιτο μᾶλλον ὁ μᾶλλον ἐοικώς. τίς οὖν ἔοικε τοῖς ἁλιεῦσιν, ὁ ἐκ τῆς καθ' ἡμέραν ἐργασίας τρεφόμενος, καὶ μηδὲ οἰκέτην ἔχων, μὴ καταγώγιον, ἀλλὰ πάντοθεν ἐστερημένος, ἢ ἐκεῖνος ὁ τοσοῦτον περιβεβλημένος

τῦφον,

τῦφον, καὶ τὰ ἐναντία ποιῶν τοῖς τοῦ Θεοῦ νόμοις; μὴ δὴ καταφρόνει τοῦ μᾶλλον ἀδελφοῦ· τῆς γὰρ εἰκόνος ταύτης μᾶλλον ἕστηκεν ἐγγὺς τῆς ἀποστολικῆς. ἀλλ᾽ οὐχ ἑκὼν, ἀλλ᾽ ἀναγκαζόμενος, φησίν. οὐ γὰρ κατὰ γνώμην τοῦτο ποιεῖ. πόθεν τοῦτο; οὐκ ἤκουσας, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε; Ματθ. ζ. α. ἵνα δὲ μάθῃς ὅτι οὐκ ἄκων, πρόσελθε, καὶ δὸς μυρία χρυσίου τάλαντα, καὶ ὄψει διακρουόμενον. γ. διαφερό-μενον. ὥστε εἰ καὶ μὴ ἐκ προγόνων διεδέξατο πλοῦτον, ἀλλ᾽ ὅταν, ἐξὸν λαβεῖν, μὴ προσίηται, μηδὲ προστιθῇ τοῖς οὖσι, μέγιστον δεῖγμα ἐκφέρει τῆς χρημάτων ὑπεροψίας. ἐπεὶ καὶ ὁ Ἰωάννης Ζεβεδαίου τοῦ σφόδρα πένητος υἱὸς ἦν· ἀλλ᾽ οὐ δήπου διὰ τοῦτο κατηναγκασμένην αὐτοῦ τὴν πενίαν εἶναι φήσομεν. ὅταν οὖν ἴδῃς ὑλοκοποῦντα, σφυροκοποῦντα, ἠσβολωμένον, μὴ διὰ τοῦτο καταφρόνει, ἀλλὰ διὰ τοῦτο θαύμαζε· ἐπεὶ καὶ Πέτρος καὶ διεζώσατο, καὶ σαγήνην μετεχείριζε, καὶ ἡλίευε μετὰ τὴν ἀνάστασιν τοῦ δεσπότου. καὶ τί λέγω Πέτρον; Παῦλος γὰρ αὐτὸς μετὰ τοὺς μυρίους διαύλους, καὶ τὰ τοσαῦτα θαύματα, ἐπὶ σκηνορραφείου ἑστὼς, δέρματα ἔρραπτε, καὶ ᾐδοῦντο αὐτὸν ἄγγελοι, καὶ δαίμονες ἔτρεμον· καὶ οὐκ ᾐσχύνετο λέγων, Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Πραξ. κ. λδ. καὶ τί λέγω, οὐκ ᾐσχύνετο; καὶ ἐνεκαλλωπίζετο μὲν οὖν τούτῳ. καὶ τίς ἐστι κατὰ τὴν ἀρετὴν τοῦ Παύλου, φησὶ, νῦν; γ. τὴν. οἶδα κἀγὼ ὅτι οὐδεὶς, ἀλλ᾽ οὐ διὰ τοῦτο τοῦ καταφρονεῖσθαι ἄξιοι οἱ νῦν ὄντες. εἰ γὰρ διὰ τὸν Χριστὸν τιμᾷς, κἂν ἔσχατος ᾖ, πιστὸς δὲ, δίκαιος ἂν εἴη τιμᾶσθαι. καὶ γὰρ εἰ στρατηγοῦ καὶ στρατιώτου φίλου παραγινομένων ἀμφοτέρων, βασιλέως φίλων ὄντων, σὺ τὴν οἰκίαν ἀμφοτέροις ἀνέῳξας, γ. ἑκατέροις. διὰ τίνος μᾶλλον ἔδοξας ἂν τὸν βασιλέα τιμᾶν; εὔδηλον ὅτι διὰ τοῦ στρατιώτου. ὁ μὲν γὰρ στρατηγὸς εἶχε καὶ τῆς τοῦ βασιλέως φιλίας χωρὶς πολλὰ ἱκανὰ πεῖσαι ταύτην παρασχεῖν αὐτῷ τὴν τιμήν· ὁ δὲ στρατιώτης, οὐδὲν ἕτερον, ἢ τὴν τοῦ βασιλέως φιλίαν. διὰ τοῦτο καὶ χωλοὺς, καὶ ἀναπήρους, καὶ τοὺς οὐκ ἔχοντας ἀντιδοῦναι, καλεῖσθαι ἐπὶ τὰ δεῖπνα καὶ τὰ συμπόσια ἡμῖν ἐκέλευσεν ὁ Θεὸς, ὅτι αὗται μάλιστα κυρίως εἰσὶν αἱ διὰ τὸν Θεὸν γινόμεναι εὐποιΐαι. ἂν δὲ μέγαν τινὰ καὶ περίβλεπτον ξενίσῃς, οὐχ οὕτω καθαρὰ ἐλεημοσύνη τὸ γινόμενον· ἀλλὰ μερίζεταί τι πρός σε καὶ κενοδοξία πολλάκις, καὶ τὸ παθεῖν εὖ, καὶ ἐπισημότερον πολλοῖς δι᾽ ἐκεῖνον γίνεσθαι. πολλοὺς γοῦν ἔχοιμι ἂν ἐπιδεῖξαι καὶ διὰ τοῦτο τοὺς ἐπισημοτέρους τῶν ἁγίων θεραπεύοντας, ἵνα παρὰ ἄρχουσι πλείονος δι᾽ ἐκείνων ἀπολαύσωσι παρρησίας, καὶ τοῖς αὐτῶν πράγμασι καὶ ταῖς οἰκίαις ἐντεῦθεν χρησιμώτεροι γίνωνται. καὶ πολλὰς τοιαύτας τοὺς ἁγίους ἐκείνους ἀπαιτοῦσι χάριτας, ὅπερ αὐτοῖς λυμαίνεται τῆς φιλοξενίας τὴν ἀντίδοσιν, ὅταν αὐτὴν γνώμῃ τοιαύτῃ μετίωσι. καὶ τί χρὴ λέγειν περὶ τῶν ἁγίων τοῦτο; ὁ γὰρ παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβὰς τῶν πόνων ἐνταῦθα ζητῶν, καὶ διὰ τὰ παρόντα μετιὼν ἀρετὴν, ἠλάττωσεν αὐτοῦ τὸν μισθόν· ὁ δὲ ὁλοκλήρους ἀπαιτῶν ἐκεῖ τοὺς στεφάνους, πολὺ θαυμαστότερος φαίνεται, κατὰ τὸν Λάζαρον ἐκεῖνον τὸν πάντα ἐκεῖ ἀπολαμβάνοντα τὰ ἀγαθὰ, κατὰ τοὺς παῖδας τοὺς τρεῖς, οἳ μέλλοντες εἰς τὴν κάμινον ἐμπίπτειν, ἔλεγον· Ὅτι ἐστὶ Θεὸς ἐν οὐρανοῖς ἱκανὸς ἐξελέσθαι ἡμᾶς, καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν· κατὰ τὸν Ἀβραὰμ, ὃς καὶ ἀνήγαγε τὸν υἱὸν καὶ ἔσφαξε, καὶ ταῦτα οὐκ ἐπὶ μισθῷ τινι ἔπραττεν, ἀλλὰ μίαν ἡγούμενος μεγίστην ἀμοιβὴν, τὸ ὑπακούειν τῷ δεσπότῃ. τούτους καὶ ἡμεῖς μιμώμεθα. οὕτω γὰρ καὶ δαψιλὴς ἡ ἀντίδοσις ἡμῖν ἥξει τῶν ἀγαθῶν, ὅτι μετὰ τοιαύτης ἅπαντα πραττόμενα γνώμης, καὶ λαμπροτέρων ἐπιτευξόμεθα στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κα. α. ΟΥΚ ΕΙΜΙ ΑΠΟΣΤΟΛΟΣ; ΟΥΚ ΕΙΜΙ ΕΛΕΥΘΕΡΟΣ; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; κεφ. θ.

Ἐπειδὴ

Ἐπειδὴ εἶπεν, ὅτι ἐὰν βρῶμα σκανδαλίζῃ τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, οὐκ ἦν δὲ τοῦτο πεποιηκώς, ὑπέσχετο δὲ ποιήσειν, εἰ χρεία ἀπαιτοίη· ἵνα μή τις λέγῃ, ὅτι κομπάζεις εἰκῇ, καὶ φιλοσοφεῖς ἐν λόγοις, καὶ ὑπισχνῇ διὰ ῥημάτων, ὃ καὶ ἐμοὶ καὶ τῷ δεῖνι εὔκολον (εἰ γὰρ ἀπὸ ψυχῆς ταῦτα λέγεις, δεῖξον διὰ τῶν ἔργων τίνος καταπεφρόνηκας ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τὸν ἀδελφόν) διὰ τοῦτο ἀναγκάζεται λοιπὸν εἰς τὴν ἀπόδειξιν τούτων καθεῖναι, καὶ δεῖξαι πῶς καὶ τῶν συγκεχωρημένων ἀπείχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαι, καίτοιγε οὐδενὸς αὐτὸν καταναγκάζοντος νόμου. καὶ οὐ τοῦτό πω θαυμαστὸν, καίπερ ὂν θαυμαστὸν, ὅτι τῶν συγκεχωρημένων ἀπείχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαι, ἀλλ' ὅτι καὶ μετὰ πολλοῦ τοῦ πόνου καὶ τοῦ κινδύνου. τί γὰρ χρὴ λέγειν περὶ τῶν εἰδωλοθύτων, φησί; τοῦ γὰρ Χριστοῦ ἐπιτάξαντος τοὺς τὸ εὐαγγέλιον κηρύττοντας ἐκ τῶν μαθητευομένων ζῆν, ἐγὼ τοῦτο οὐκ ἐποίησα· ἀλλ' εἱλόμην, εἰ δέοι, καὶ λιμῷ καταλῦσαι τὸν βίον, καὶ τὸν χαλεπώτατον θάνατον ἀποθανεῖν, ὥστε μὴ λαβεῖν παρὰ τῶν κατηχουμένων· οὐκ ἐπειδὴ σκανδαλίζεσθαι ἔμελλον, εἰ μὴ λάβοι, ἀλλ' ἐπειδὴ οἰκοδομεῖσθαι, ὃ πολλῷ πλέον ἦν. καὶ τούτου μάρτυρας αὐτοὺς εἰς μέσον παράγει, πρὸς οὓς καὶ ἐργαζόμενος, καὶ λιμώττων ἔζη, καὶ παρ' ἑτέρων τρεφόμενος, καὶ στενοχωρούμενος, ὥστε μὴ σκανδαλίσαι αὐτούς· καίτοιγε εἰκῇ ἐσκανδαλίζοντο. νόμον γὰρ οὐκ ἐπλήρου· ἀλλ' ὅμως ἐκ περιουσίας αὐτῶν ἐφείδετο. εἰ δὲ ὑπὲρ τὸν νόμον ἐποίησεν αὐτὸς, ἵνα μὴ σκανδαλισθῶσι, καὶ τῶν ἐπιτετραμμένων ἀπείχετο εἰς οἰκοδομὴν ἑτέρων, τίνος ἂν εἶεν ἄξιοι οὗτοι οἱ τῶν εἰδωλοθύτων μὴ ἀπεχόμενοι, καὶ ταῦτα πολλῶν ἐντεῦθεν ἀπολλυμένων, ὃ καὶ χωρὶς τοῦ σκανδάλου φυγεῖν ἔδει διὰ τὸ τῶν δαιμόνων εἶναι τὴν τράπεζαν; τὸ μὲν οὖν κεφάλαιον ἅπαν, τοῦτό ἐστιν, ὃ διὰ πολλῶν ἐργάζεται στίχων. δεῖ δὲ ἄνωθεν ἐπεξηγεῖν τοῖς προκειμένοις. οὐδὲ γὰρ σαφῶς αὐτὸ οὕτως, ὥσπερ εἶπον, τέθεικεν, οὐδὲ εὐθέως αὐτῷ ἐπιπηδᾷ, ἀλλ' ἑτέρωθεν ἔρχεται, οὕτω λέγων· οὐκ εἰμὶ ἀπόστολος; μετὰ γὰρ τῶν εἰρημένων, καὶ αὕτη οὐ μικρὰ διαφορὰ, τὸ καὶ Παῦλον εἶναι τὸν ταῦτα ποιοῦντα. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι ἔξεστιν ἀπογεύεσθαι σφραγίζοντι, πῶς μὲν οὐχ ἵσταται πρὸς τοῦτο, ἀλλὰ λέγει, ὅτι εἰ καὶ ἐξῆν, οὐκ ἔδει διὰ τὴν βλάβην τῶν ἀδελφῶν τοῦτο ποιεῖν, ὕστερον δὲ δείκνυσιν ὅτι οὐδὲ ἔξεστι. νῦν μέντοι τὸ πρότερον κατασκευάζει ἀπὸ τῶν καθ' ἑαυτόν· καὶ μέλλων λέγειν, ὅτι οὐδὲν παρ' αὐτῶν ἔλαβεν, οὐκ εὐθέως αὐτὸ τίθησιν, ἀλλὰ τὸ ἀξίωμα αὐτοῦ πρότερον λέγει· οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; ἵνα γὰρ μὴ λέγωσιν, ὅτι εἰ καὶ μὴ ἔλαβες, ἐπειδὴ ἐξὸν μὴ ἦν, οὐκ ἔλαβες, διὰ τοῦτο πρότερον τίθησι τὰς αἰτίας, δι' ἃς εὐλόγως ἂν ἔλαβεν, εἴπερ ἐβούλετο λαβεῖν. εἶτα ἵνα μὴ δόξῃ τοὺς περὶ Πέτρον διαβάλλων ταῦτα λέγειν (καὶ γὰρ ἐλάμβανον ἐκεῖνοι) πρότερον δείκνυσιν, ὅτι ἐξῆν ἐκείνοις λαμβάνειν. εἶτα ἵνα μή τις εἴπῃ, ὅτι Πέτρῳ μὲν ἐξῆν λαμβάνειν, σοὶ δὲ οὐκ ἐξῆν, προκαταλαμβάνει τὸν ἀκροατὴν τοῖς ἐγκωμίοις τοῖς περὶ ἑαυτοῦ. καὶ ὁρῶν ἀναγκαίαν οὖσαν ἑαυτὸν ἐγκωμιάσαι (οὕτω γὰρ Κορίνθιοι διωρθοῦντο) καὶ μηδὲν βουλόμενος μέγα περὶ ἑαυτοῦ εἰπεῖν, ὅρα πῶς ἀμφοτέροις εἰς δέον κέχρηται, τοσοῦτον ἑαυτὸν ἐπαινῶν, οὐχ ὅσον ἑαυτῷ συνῄδει, ἀλλ' ὅσον ἀπῄτει τῆς προκειμένης ὑποθέσεως ἡ χρεία. δυνάμενος γὰρ εἰπεῖν, ὅτι ἐμὲ μάλιστα πάντων ἐχρῆν λαμβάνειν, καὶ μᾶλλον ἢ ἐκείνους, ὅτι περισσότερον αὐτῶν ἐκοπίασα, τοῦτο μὲν οὐ λέγει, ὅπερ εἶχεν ὑπεροχήν· ἀφ' ὧν δὲ ἦσαν ἐκεῖνοι μεγάλοι, καὶ ἀφ' ὧν δικαίως ἐλάμβανον, ταῦτα τίθησι μόνα, λέγων οὕτως· οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; τουτέστιν, οὐκ ἐξουσίαν ἔχω ἐμαυτοῦ; μὴ ὑπό τινά εἰμι τὸν ἀναγκάζοντά με καὶ κωλύοντα λαβεῖν; ἀλλ' ἔχουσί τι πλέον ἐκεῖνοι, τὸ μετὰ Χριστοῦ γενέσθαι. ἀλλ' οὐδὲ τούτου ἐστέρημαι. διὰ τοῦτο λέγει, οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; Ἔσχατον γὰρ πάντων,

γρ. εἶπεν,
* οὐκ
γρ. ἀπηχίσθαι
α. Κορ. ιε. η.
γρ. ὑστέρημαι

πάντων, φησὶν, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. οὐ μικρὸν δὲ καὶ τοῦτο ἀξίωμα ἦν. Πολλοὶ γὰρ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, φησὶ, καὶ οὐκ εἶδον· καὶ, Ἐλεύσονται ἡμέραι, ὅτε θελήσετε μίαν τούτων ἰδεῖν τῶν ἡμερῶν. τί οὖν, εἰ καὶ ἀπόστολος εἶ, καὶ ἐλεύθερος, καὶ τὸν Χριστὸν ἑώρακας, οὐδὲν δὲ ἐπιδείξω ἀποστόλου ἔργον, πῶς ὀφείλεις λαμβάνειν; διὰ τοῦτο μετὰ ταῦτα ἐπήγαγεν, οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; τὸ γὰρ μέγα τοῦτό ἐστιν. ἐκεῖνα γὰρ οὐδὲν ὠφελεῖ τούτου χωρίς. ἐπεὶ καὶ Ἰούδας ἀπόστολος ἦν καὶ ἐλεύθερος, καὶ τὸν Χριστὸν εἶδεν· ἀλλ' ἐπειδὴ ἀποστόλου ἔργον οὐκ εἶχεν, οὐδὲν αὐτὸν ἐκεῖνα ὤνησε. διὰ δὴ τοῦτο καὶ τοῦτο προστίθησι, καὶ αὐτοὺς μάρτυρας καλεῖ. καὶ ἐπειδὴ μέγα ἐφθέγξατο, ὅρα πῶς αὐτὸ κολάζει λέγων, ἐν Κυρίῳ· τουτέστι, τοῦ Θεοῦ τὸ ἔργον ἐστὶν, οὐκ ἐμόν. | Ματθ. ιγ. ιζ. Λυκ. ιζ. κϛ.

2 Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι. Ὁρᾷς πῶς οὐκ ἔστι περιττός; καίτοιγε εἶχε τὴν οἰκουμένην εἰπεῖν, καὶ ἔθνη βάρβαρα, καὶ γῆν καὶ θάλατταν· ἀλλ' ὅμως οὐδὲν ἐκείνων λέγει, ἀλλὰ μετὰ συντομίας καὶ ἐκ περιουσίας νικᾷ. τί γάρ μοι τῶν περιττῶν χρεία, φησὶν, ὅταν καὶ ταῦτα ἀρκῇ πρὸς τὴν προκειμένην μοι ὑπόθεσιν; οὐ λέγω τοίνυν τὰ παρὰ ἄλλοις κατορθώματά μοι γεγενημένα, ἀλλ' ὧν ὑμεῖς ἐστε μάρτυρες. ὥστε εἰ καὶ μηδαμόθεν ἄλλοθεν, παρὰ ὑμῶν μάλιστά με ἐχρῆν λαβεῖν. ἀλλ' ὅμως παρὰ ὧν μάλιστά με ἔδει λαβεῖν (διδάσκαλος γὰρ ὑμῶν ἐγενόμην) παρὰ τούτων οὐκ ἔλαβον. Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι. πάλιν μετὰ συντομίας τὸν λόγον τίθησι. καὶ γὰρ τῆς οἰκουμένης ἀπόστολος ἦν, ἀλλ' ὅμως οὐ λέγω τοῦτο, φησὶν, οὐδὲ μάχομαι καὶ φιλονεικῶ, ἀλλὰ τὸ ὑμέτερον τίθημι. Ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε· Τουτέστιν, ἡ ἀπόδειξις. κἂν βούληταί τις μαθεῖν πόθεν ἀπόστολός εἰμι, ὑμᾶς προβάλλομαι. πάντα γὰρ τὰ τοῦ ἀποστόλου ἐν ὑμῖν ἐπεδειξάμην, καὶ οὐδὲν ἐνέλιπον, ὅπερ καὶ ἐν τῇ δευτέρᾳ φησὶν ἐπιστολῇ, Εἰ καὶ οὐδέν εἰμι, λέγων, τὰ μέντοι σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι. τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; διὰ τοῦτό φησιν, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε. καὶ γὰρ καὶ σημεῖα ἐπεδειξάμην, καὶ λόγῳ ἐδίδαξα, καὶ κινδύνους ὑπέμεινα, καὶ βίον παρεσχόμην ἄληπτον. καὶ ταῦτα ὅλα διὰ τῶν ἐπιστολῶν τῶν δύο τούτων ἐστὶν ἰδεῖν, πῶς ἑκάστου τούτων παρέχεται αὐτοῖς ἀπόδειξιν μετὰ ἀκριβείας ἁπάσης. | β. Κορ. ιβ. ιβ.

3 Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν ἐστὶν αὕτη. Τί ἐστιν, ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν ἐστὶν αὕτη; τοῖς ζητοῦσι μαθεῖν πόθεν [ὅτι] ἀπόστολός εἰμι, ἢ τοῖς ἐγκαλοῦσί μοι ὡς χρήματα λαμβάνοντι, ἢ ἐρωτῶσι τὴν αἰτίαν δι' ἣν οὐ λαμβάνω, ἢ τοῖς βουλομένοις με δεῖξαι οὐκ ὄντα ἀπόστολον, ἡ ὑμετέρα κατήχησις καὶ ταῦτα ἃ μέλλω λέγειν, ἀπόδειξις καὶ ἀπολογία ἐστί. ποῖα δὴ ταῦτα;

4 Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;

5 Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν; Καὶ πῶς ταῦτα ἀπολογία; ὅτι ὅταν φαινώμεθα καὶ τῶν συγκεχωρημένων ἀπεχόμενοι, οὐκ ἂν εἴημεν δίκαιοι ὑποπτεύεσθαι, ὡς ἀπατεῶν, ἢ ἐπὶ χρήμασί τι ποιῶν. τά τε οὖν ἔμπροσθεν εἰρημένα, καὶ ἡ ὑμετέρα διδασκαλία, καὶ ταῦτα, ἅπερ εἶπον, ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν, καὶ πρὸς ἅπαντας τοὺς ἀνακρίνοντάς με ἐπιτεθεῖ ἵσταμαι, ἐκεῖνά τε λέγων, καὶ ταῦτα· μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν; ἀλλ' ὅμως καὶ ἔχων, ἀπέχομαι. τί οὖν, οὐκ ἔτρωγεν, οὐδὲ ἔπινε; μάλιστα μὲν πολλαχοῦ οὔτε ἔτρωγεν, οὔτε ἔπινε. καὶ γὰρ ἐν λιμῷ, φησὶ, καὶ δίψει καὶ γυμνότητι διετελοῦμεν. ἐνταῦθα μέντοι οὐ τοῦτο λέγει, ἀλλὰ τί; οὐ τρώγομεν, οὐδὲ πίνομεν παρὰ τῶν μαθητευομένων λαμβάνοντες, καίτοιγε ἐξουσίαν ἔχοντες τοῦ λαβεῖν. Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; Ὅρα σοφίαν·

φέρων· τὸν κορυφαῖον ὕστερον τέθεικε. τὸ γὰρ ἰσχυρότερον τῶν κεφαλαίων τότε τίθεται. οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν δεῖξαι τοὺς ἄλλους τοῦτο ποιοῦντας, ὡς τὸν πρωτοστάτην, καὶ τὰς κλεῖς ἐμπιστευθέντα τῶν οὐρανῶν. πλὴν οὐ μόνον τίθησιν, ἀλλὰ πάντας, μονονουχὶ λέγων· ἄν τι καταδεεστέρους ζητῇς, ἄν τι ὑπερέχοντας, ἅπαντα κεῖται τὰ ὑποδείγματα. καὶ γὰρ οἱ ἀδελφοὶ τοῦ Κυρίου τῆς προτέρας ἀπιστίας ἀπαλλαγέντες, τῶν δοκίμων ἦσαν γεγενημένοι, εἰ καὶ μὴ πρὸς τοὺς ἀποστόλους ἔφθανον. διὸ δὴ καὶ μέσους αὐτοὺς τέθεικεν, ἑκατέρωθεν τοὺς ἄκρους θείς.

6 Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; Ὅρα τὴν ταπεινοφροσύνην καὶ τὴν πάντας φθόνου καθαρεύουσαν ψυχήν, πῶς ὃν ᾔδει κοινωνοῦντα αὐτῷ τῆς ἀκριβείας, οὐκ ἀπέκρυψεν. εἰ γὰρ τὰ ἄλλα κοινά, πῶς τοῦτο οὐ κοινόν; ἀπόστολοι κἀκεῖνοι, καὶ ἡμεῖς, καὶ ἐλεύθεροι, καὶ τὰ τῶν ἀποστόλων ἐπεδειξάμεθα, καὶ τὸν Χριστὸν ἑωράκαμεν. οὐκοῦν καὶ ἡμεῖς ἐξουσίαν ἔχομεν καὶ τοῦ ἀργοῦντες ζῆν, καὶ τοῦ τρέφεσθαι παρὰ τῶν μαθητευομένων.

7 Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Ἐπειδὴ γάρ, ὅπερ ἰσχυρότατον ἦν, ἐκ τῶν ἀποστόλων ἀπέδειξεν, ὅτι ἔξεστι τοῦτο ποιεῖν, ἐπὶ παραδείγματα λοιπὸν ἔρχεται καὶ τὴν κοινὴν συνήθειαν, ὅπερ ἔθος αὐτῷ ποιεῖν, τίς στρατεύεται ἰδίοις ὀψωνίοις, λέγων. σὺ δέ μοι σκόπει πῶς τὰ ὑποδείγματα σφόδρα ἁρμόδια τῇ προκειμένῃ ἤγαγεν ὑποθέσει, καὶ πῶς πρὸ τοῦ μέμνηται τοῦ ἐπικινδύνου, στρατείας, καὶ ὅπλων, καὶ πολέμων. τοιοῦτον γὰρ ἡ ἀποστολή, μᾶλλον δὲ καὶ τούτων πολλῷ μεῖζον. οὐδὲ γὰρ πρὸς ἀνθρώπους μόνον ὁ πόλεμος ἦν αὐτοῖς, ἀλλὰ καὶ πρὸς δαίμονας, καὶ πρὸς τὸν ἐκείνων ἀρχηγὸν ἡ παράταξις. ὃ τοίνυν φησί, τοῦτό ἐστιν· ὅτι οὐδὲ οἱ ἔξωθεν ἄρχοντες ἀπαιτοῦσιν, οἱ ὠμοὶ καὶ ἄδικοι, στρατεύεσθαι καὶ κινδυνεύειν, καὶ οἴκοθεν τρέφεσθαι τοὺς στρατευομένους. πῶς οὖν ὁ Χριστὸς ποτὲ τοῦτο ἀπῄτησεν ἄν; οὐδὲ ἑνὶ ἀρκεῖται παραδείγματι. τὸν γὰρ ἀφελέστερον καὶ παχύτερον, καὶ τοῦτο μάλιστα ἀναπαύειν εἴωθε, τὸ καὶ τὴν κοινὴν συνήθειαν ὁρᾶν τοῖς τοῦ Θεοῦ νόμοις συμβαίνουσαν. διὸ καὶ ἐφ' ἕτερον πρόεισι, καί φησι·

Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Δι' ἐκείνου μὲν γὰρ τοὺς κινδύνους, διὰ δὲ τούτου τὸν πόνον καὶ τὴν πολλὴν ταλαιπωρίαν καὶ ἐπιμέλειαν ἐνέφηνε. καὶ τρίτον πάλιν ὑπόδειγμα προστίθησι, λέγων· Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; Τὴν κηδεμονίαν τὴν πολλὴν τὴν διδασκάλῳ πρέπουσαν διὰ τούτων ἐπιδείκνυται. καὶ γὰρ καὶ στρατιῶται, καὶ γεωργοί, καὶ ποιμένες οἱ ἀπόστολοι ἦσαν, οὐ γῆς, οὐδὲ πολέμων ἀλόγων, οὐδὲ ποιμνίων αἰσθητῶν, ἀλλὰ ψυχῶν λογικῶν, καὶ τῆς πρὸς τοὺς δαίμονας παρατάξεως. παρατηρητέον δὲ κἀκεῖνο, ὅπως πανταχοῦ τὴν συμμετρίαν ἐφύλαξε, τὸ χρειῶδες ζητῶν μόνον, οὐχὶ τὸ περιττόν. οὐ γὰρ εἶπε, τίς στρατεύεται, καὶ οὐ πλουτεῖ; ἀλλά, τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; οὐδὲ εἶπε, τίς φυτεύει ἀμπελῶνα, καὶ οὐ συνάγει χρυσίον, ἢ τὸν καρπὸν ὁλόκληρον οὐ τρυγᾷ; ἀλλ', ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; οὐδὲ εἶπε, τίς ποιμαίνει ποίμνην, καὶ οὐκ ἐμπορεύεται τοὺς ἄρνας; ἀλλὰ πῶς; καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; οὐκ ἐκ τῶν ἀρνῶν, ἀλλ' ἐκ τοῦ γάλακτος· δεικνὺς ὅτι μικρᾶς παραμυθίας τὸν διδάσκαλον ἀρκεῖσθαι δεῖ, καὶ τῇ ἀναγκαίᾳ μόνῃ τροφῇ. ταῦτα πρὸς τοὺς βουλομένους πάντα κατεσθίειν καὶ τὸν καρπὸν ὁλόκληρον τρυγᾶν. οὕτω καὶ ὁ Κύριος ἐνομοθέτησε, λέγων, Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οὐ τοῦτο δὲ μόνον διὰ τῶν ὑποδειγμάτων κατασκευάζει, ἀλλὰ καὶ δείκνυσιν ὁποῖον εἶναι χρὴ τὸν ἱερέα. καὶ γὰρ στρατιώτου ἀνδρείαν κεκτῆσθαι δεῖ, καὶ γεωργοῦ ἐπιμέλειαν, καὶ ποιμένος κηδεμονίαν, καὶ μετὰ ταῦτα πάντα, μηδὲν πλέον τῶν ἀναγκαίων ζητεῖν. δείξας τοίνυν καὶ ἀπὸ τῶν ἀποστόλων, ὅτι οὐ κεκώλυται λαμβάνειν τὸν διδάσκαλον, καὶ ἀπὸ τῶν κατὰ τὸν βίον παραδειγμάτων,

Matt. 1.1.

δειγμάτων,

λημάτων, καὶ ἐπὶ τέλειον κεφάλαιον ἔρχεται, οὕτω λέγων·

8 Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;

Ἐπειδὴ γὰρ τέως ἀπὸ γραφῶν οὐδὲν εἶπεν, ἀλλὰ τὴν κοινὴν συνήθειαν προεβάλετο, μὴ νομίσητέ με, φησὶ, τούτοις ἰσχυρίζεσθαι μόνοις, μηδὲ ἀφ' ὧν τοῖς ἀνθρώποις δοκεῖ, ταῦτα νομοθετεῖν. ἔχω γὰρ δεῖξαι, ὅτι καὶ τῷ Θεῷ ταῦτα δοκεῖ, καὶ παλαιὸν ἀναγινώσκω νόμον ταῦτα κελεύοντα. διὸ καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον, ὅπερ ἐπὶ τῶν σφόδρα ὡμολογημένων ποιεῖ, οὕτω λέγων· μὴ κατὰ ἄνθρωπον ταῦτα λέγω; τουτέστι, μὴ ἐξ ἀνθρωπίνων μόνων παραδειγμάτων * ἰσχυρίζομαι; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;

* ταῦτα

9 Ἐν γὰρ τῷ νόμῳ Μωϋσέως γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα.

Καὶ τίνος ἕνεκεν ἐμνήσθη τούτου, τὸ τῶν ἱερέων ὑπόδειγμα ἔχων; ἐκ πολλῆς τῆς περιουσίας αὐτὸ κατασκευάσαι βουλόμενος. Εἶτα, ἵνα μή τις λέγῃ, καὶ τί πρὸς ἡμᾶς τὸ περὶ τῶν βοῶν εἰρημένον; ἐπεξεργάζεται αὐτὸ μετὰ ἀκριβείας, λέγων· Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; Οὐ μέλει οὖν περὶ τῶν βοῶν, εἰπέ μοι, τῷ Θεῷ; μέλει μὲν οὖν, οὐχ οὕτω δὲ, ὡς καὶ νόμον θεῖναι ὑπὲρ τούτου. ὥστε εἰ μὴ μέγα τι ἠνίττετο, ἐγύμναζεν τοῖς ἀλόγοις τοὺς Ἰουδαίους εἰς τὸ εἶναι φιλανθρώπους, καὶ ἀπὸ τούτων καὶ περὶ τῶν διδασκάλων αὐτοῖς διαλεγόμενος, οὐκ ἂν τοσαύτην ἐποιήσατο σπουδὴν, ὡς καὶ νόμον γράψαι ὑπὲρ τοῦ μὴ κημοῦσθαι τοὺς βοῦς. ἐντεῦθεν καὶ ἕτερόν τι δείκνυσι, πολὺν τὸν πόνον τῶν διδασκάλων καὶ ὄντα, καὶ εἶναι ὀφείλοντα· καὶ ἕτερον πάλιν. ποῖον δὴ τοῦτο; ὅτι ὅσαπερ ἂν ὑπὲρ τῆς τῶν ἀλόγων ἐπιμελείας παρὰ τῆς παλαιᾶς λέγηται, προηγουμένως εἰς τὴν τῶν ἀνθρώπων συντελεῖ διδασκαλίαν· ὥσπερ οὖν καὶ τὰ ἄλλα ἅπαντα τὰ περὶ ἱματίων ποικίλων, καὶ τὰ περὶ ἀμπελώνων, καὶ σπερμάτων, καὶ τοῦ μὴ διάφορα ποιεῖν τὴν γῆν, τὰ περὶ λέπρας, καὶ τὰ ἄλλα, ὡς εἰπεῖν, ἅπαντα. παχυτέροις γὰρ οὖσιν ἐντεῦθεν διελέγετο, κατὰ μικρὸν ἀναβιβάζων αὐτούς. καὶ ὅρα πῶς αὐτὸ οὐδὲ κατασκευάζει λοιπὸν, ἅτε φανερὸν ὂν καὶ αὐτόθεν δῆλον. Εἰπὼν γὰρ, μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἐπήγαγεν,

10 Ἢ δι' ἡμᾶς πάντως λέγει; Οὐδὲ τὸ πάντως, ἁπλῶς προσέθηκεν, ἀλλ' ἵνα μὴ συγχωρήσῃ μηδ' ὁπωσοῦν ἀντειπεῖν τῷ ἀκροατῇ. καὶ ἐπιμένει τῇ μεταφορᾷ λέγων καὶ ἀποφαινόμενος, Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν, ἀροτριᾶν· Τουτέστιν, ὁ διδάσκαλος ὀφείλει τῶν πόνων τὰς ἀμοιβὰς ἔχειν.

Καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι. Καὶ θέα σύνεσιν. ἀπὸ γὰρ τοῦ σπόρου ἐπὶ τὴν ἅλω τὸ πρᾶγμα μετήνεγκε, πάλιν καὶ ταύτῃ τοὺς πολλοὺς ἱδρῶτας τῶν διδασκάλων ἐμφαίνων, ὅτι αὐτοὶ καὶ ἀροτριῶσι καὶ τὴν ἅλω πατοῦσι. καὶ ἐπὶ μὲν τῆς ἀροτρίας, ἐπειδὴ οὐδὲν ἦν καρπώσασθαι, ἀλλὰ πόνοι μόνον, τὴν ἐλπίδα τέθεικεν· ἐπειδὴ δὲ τοῦ τρίβειν τὴν ἅλω, ἤδη τὴν ἀπόλαυσιν εἰργάσατο, λέγων· καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν. Εἶτα, ἵνα μὴ λέγῃ τις, αὕτη οὖν ἡ τῶν τοσούτων ἱδρώτων ἀμοιβή; προσέθηκεν, ἐπ' ἐλπίδι, τουτέστι, τῇ μελλούσῃ. οὐδὲν οὖν ἕτερον τὸ στόμα ἀκημώτου ὂν τοῦ ζώου τούτου βοᾷ, ἢ ὅτι τοὺς διδασκάλους τοὺς πονοῦντας δεῖ καὶ ἀμοιβῆς ἀπολαύειν.

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; Ἰδοὺ καὶ τέταρτον προστίθησι λογισμὸν ὑπὲρ τοῦ δεῖν παρέχειν. ἐπειδὴ γὰρ εἶπε, τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; καὶ τίς φυτεύει ἀμπελῶνα; καὶ τίς ποιμαίνει ποίμνην; καὶ παρήγαγε τὸν βοῦν τὸν ἀλοῶντα, δείκνυσι καὶ ἄλλην αἰτίαν εὐλογωτάτην, δι' ἣν ἦσαν δίκαιοι λαβεῖν, ὡς πολλῷ μείζονα παρεσχηκότες, οὐκέτι ὡς κάμνοντες μόνον. τί οὖν ἐστιν, εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; Εἶδες δικαιοτάτην αἰτίαν καὶ τῶν προτέρων εὐλογωτέραν; ἐκεῖ μὲν γάρ, φησι, σαρκικὸς ὁ σπόρος, σαρκικὸς καὶ ὁ καρπός· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὁ μὲν σπόρος πνευματικὸς, ἡ δὲ ἀντίδοσις

σαρκική. ἵνα γὰρ μὴ μέγα φρονῶσιν οἱ παρέχοντες τοῖς διδασκάλοις, ἔδειξεν ὅτι μείζονα λαμβάνουσιν, ἢ διδόασιν. οἱ μὲν γὰρ γεωργοὶ, ἅπερ ἂν καταβάλωσι, ταῦτα καὶ λαμβάνουσιν· ἡμεῖς δὲ σπείροντες εἰς τὰς ὑμετέρας ψυχὰς πνευματικὰ, θερίζομεν σαρκικά. τοιοῦτον γὰρ ἡ παρ' αὐτῶν διδομένη τροφή. εἶτα καὶ ἐντρεπτικώτερον·

12 Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς;

Ἰδοὺ καὶ ἕτερος πάλιν λογισμὸς, καὶ αὐτὸς ἐκ παραδειγμάτων, ἀλλ' οὐχ ὁμοίων. οὐδὲ γὰρ Πέτρου μέμνηται ἐνταῦθα, οὔτε τῶν ἀποστόλων, ἀλλ' ἑτέρων τινῶν νόθων, πρὸς οὓς ὕστερον ἀποδύεται, καὶ περὶ ὧν φησιν, Εἴ τις ὑμᾶς κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται,
β. Κορ. ια. κ. εἴ τις εἰς πρόσωπον ὑμᾶς δαίρει, καὶ τὸν πρὸς ἐκείνους ἤδη προανακρούεται πόλεμον. διὸ οὐδὲ εἶπεν, εἰ ἄλλοι λαμβάνουσι παρ' ὑμῶν, ἀλλὰ δεικνὺς αὐτῶν τὴν αὐθάδειαν καὶ τὴν τυραννίδα καὶ τὴν ἐμπορείαν, φησὶν, εἰ ἄλλοι τῆς ὑμῶν ἐξουσίας μετέχουσι, τουτέστι, κρατοῦσιν ὑμῶν, ἐξουσιάζουσιν, ὡς οἰκέταις ἀποκέχρηνται, οὐ λαμβάνοντες μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς αὐθεντίας. διὸ προσέθηκεν, οὐ πολλῷ μᾶλλον ἡμεῖς; ὅπερ οὐκ, ἂν εἰ περὶ τῶν ἀποστόλων ὁ λόγος ἦν, εἶπεν ἄν· ἀλλ' εὔδηλον ὅτι τινὰς αἰνίττεται λυμεῶνας, καὶ ἀπατῶντας αὐτούς. ὥστε μετὰ τοῦ νόμου τοῦ Μωϋσέως, καὶ ὑμεῖς αὐτοὶ νόμον τεθείκατε τοῦ παρὰ τοῦ δεῖν παρέχειν. εἰπὼν δὲ, οὐ πολλῷ μᾶλλον ἡμεῖς; οὐ κατασκευάζει διατί οὐ πολλῷ μᾶλλον, ἀλλ' ἀφίησιν αὐτῶν τῷ συνειδότι τὸν ἔλεγχον, ὁμοῦ καὶ φοβῆσαι βουλόμενος καὶ ἐντρέψαι μειζόνως. Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, Τουτέστιν, οὐκ ἐλάβομεν. ὁρᾷς διατί πόσων κατασκευάσας πρότερον, ὅτι οὐ παράνομον τὸ λαμβάνειν, τότε εἶπεν, ὅτι οὐ λαμβάνομεν, ἵνα μὴ δόξῃ ὡς κεκωλυμένος ἀπέχεσθαι; οὐ γὰρ, ἐπειδὴ μὴ ἔξεστί, φησιν, οὐ λαμβάνω (ἔξεστι γὰρ, καὶ τοῦτο ἀπὸ πολλῶν ἀπεδείξαμεν, ἀπὸ τῶν ἀποστόλων, ἀπὸ τῶν ἐν βίῳ πραγμάτων, τοῦ στρατιώτου, τοῦ γεωργοῦ, καὶ τοῦ ποιμένος, ἀπὸ τοῦ νόμου Μωϋσέως, ἀπ' αὐτοῦ τοῦ πράγματος τῆς φύσεως, ὅτι ἐσπείραμεν ὑμῖν πνευματικὰ, ἀφ' ὧν ὑμεῖς περὶ τοὺς ἄλλους πεποιήκατε) ἀλλ' ὥσπερ, ἵνα μὴ δόξῃ καταισχύνειν τοὺς ἀποστόλους τοὺς λαμβάνοντας, ταῦτα τέθεικεν, ἐντρέπων αὐτοὺς καὶ δεικνὺς, ὅτι οὐ κεκωλυμένος πράγματος ἀπέχεται· οὕτω πάλιν, ἵνα μὴ διὰ τῆς πολλῆς κατασκευῆς, καὶ τῶν παραδειγμάτων τῶν πολλῶν, δι' ὧν ἔδειξεν ὅτι δεῖ λαμβάνειν, δόξῃ ἐπιζητεῖν τὸ λαμβάνειν, καὶ διὰ τοῦτο ταῦτα λέγειν, ἤδη διορθοῦται αὐτό. καὶ σαφέστερον μὲν ὕστερον αὐτὸ τέθεικεν, ὅταν λέγῃ, οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί· ἐνταῦθα δέ φησιν, ὅτι οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ ἐκεῖνο ἔχοι τις ἂν εἰπεῖν, ὅτι ἐν εὐρυχωρίᾳ ὄντες οὐκ ἐχρησάμεθα, ἀλλὰ καὶ ἀνάγκης κα-
β. Κορ. ια. η. θ. ταπειγούσης οὐκ εἴξαμεν τῇ ἀνάγκῃ· ὃ καὶ ἐν τῇ δευτέρᾳ φησὶν, Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν διακονίαν, καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατε-
α. Κορ. δ. ια. νάρκησα οὐδενός. καὶ ἐν ταύτῃ πάλιν, Καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα. καὶ ἐνταῦθα πάλιν τὸ αὐτὸ αἰνίττεται λέγων, Ἀλλὰ πάντα στέγομεν.

Εἰπὼν γὰρ, ὅτι πάντα στέγομεν, καὶ λιμὸν αἰνίττεται καὶ στενοχωρίαν πολλὴν καὶ τὰ ἄλλα πάντα. ἀλλ' οὐδὲ οὕτως ἠναγκάσθημεν, φησὶ, λῦσαι τὸν νόμον, ὃν ἑαυτοῖς τεθείκαμεν. διατί;

Ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ἀσθενέστερον Κορίνθιοι διέκειντο, ἵνα μὴ πλήξωμεν ὑμᾶς, φησὶ, λαμβάνοντες, εἱλόμεθα καὶ ὑπὲρ τὰ ἐπιτεταγμένα ποιῆσαι, ἢ ἐγκοπήν τινα δοῦναι τῷ εὐαγγελίῳ, τουτέστι, τῇ κατηχήσει ὑμῶν. εἰ δὲ ἡμεῖς καὶ ἐπιτεταγμένον ἡμῖν, καὶ πολλὴν πάσχοντες βίαν, καὶ ἀποστόλους ἔχοντες ὑπόδειγμα οὐκ ἐποιήσαμεν, ἵνα μὴ ἐγκοπὴν δῶμεν· καὶ οὐκ εἶπεν, ἀνατροπὴν, ἀλλ', ἐγκοπὴν, καὶ οὐχ ἁπλῶς ἐγκοπὴν, ἀλλ', ἐγκοπήν τινα· ἵνα μηδὲ τὴν τυχοῦσαν, ὡς ἂν εἴποι τις, μέλλησιν καὶ ἀναβολὴν ἐμποιήσωμεν τῷ δρόμῳ τοῦ λόγου· εἰ τοίνυν ἡμεῖς τοσαύτῃ ἐχρησάμεθα τῇ σπουδῇ, φησὶ, πόσῳ μᾶλλον ὑμᾶς τοὺς καὶ πολὺ τῶν ἀποστόλων ἀποδέοντας, καὶ οὐδὲ νόμον

μου ἔχοντας εἰπεῖν τὸν ἐπιτρέποντα, ἀλλὰ καὶ τοιοῦτόν τι τῶν κεκωλυμένων ἀπολαύσεις, καὶ τὴν ἐπὶ βλάβῃ μεγάλῃ τοῦ εὐαγγελίου, οὐκ ἐπὶ ἐγκοπῇ μόνον, καὶ οὐδὲ ἀνάγκην ὁρῶντας ἐπικειμένην, ἀπέχεσθαι δεῖ. τοῦτον γὰρ ἅπαντα τὸν λόγον διʼ ἐκείνους ἐκίνησε τοὺς διὰ τῆς βρώσεως τῶν εἰδωλοθύτων σκανδαλίζοντας τοὺς ἀσθενεστέρους ἀδελφούς.

Ταῦτα δὲ καὶ ἡμεῖς ἀκούωμεν, ἀγαπητοί· ἵνα μὴ καταφρονῶμεν τῶν σκανδαλιζομένων, μηδὲ ἐγκοπήν τινα ποιῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ· ἵνα μὴ προδιδῶμεν τὴν ἡμετέραν σωτηρίαν. μὴ γάρ μοι λέγε, ὅταν σκανδαλίζηται ὁ ἀδελφός, ὅτι οὐ κεκώλυται τόδε, καὶ τόδε, ἐφʼ ᾧ σκανδαλίζεται, καὶ ὅτι ἔξεστιν. ἐγὼ γάρ σοι μείζονα λέγω, ὅτι κἂν αὐτὸς ὁ Χριστὸς ἐπιτετραφὼς ᾖ, ἴδῃς δὲ ἕνα βλαπτόμενον, ἐπίσχες, καὶ μὴ χρήσῃ τῇ ἐπιτροπῇ. τοῦτο γὰρ καὶ Παῦλος ἐποίησεν, ἐξὸν λαβεῖν Χριστοῦ συγχωρήσαντος, μὴ λαβών. καὶ γὰρ φιλάνθρωπος ὢν ὁ δεσπότης, πολλὴν τοῖς ἐπιτάγμασιν ἐκέρασεν ἡμερότητα τοῖς αὐτοῦ, ἵνα μὴ μόνον ἐξ ἐπιταγῆς, ἀλλὰ καὶ ἐξ οἰκείας πολλὰ ποιῶμεν γνώμης. καὶ γὰρ ἠδύνατο, εἰ μὴ τοῦτο ἐβούλετο, μᾶλλον ἐπιτεῖναι τὰ ἐπιτάγματα, καὶ εἰπεῖν· ὁ μὴ διὰ παντὸς νηστεύων, κολαζέσθω· ὁ μὴ παρθενεύων, τιμωρείσθω· ὁ μὴ πάντα ἀποδυόμενος τὰ ὄντα, δίκην διδότω τὴν ἐσχάτην. ἀλλʼ οὐκ ἐποίησε τοῦτο, σοὶ παρέχων, εἰ βουληθείης, φιλοτιμεῖσθαι. διὰ τοῦτο καὶ ὅτε περὶ παρθενίας διελέγετο, ἔλεγεν· ὁ δυνάμενος χωρεῖν, χωρείτω. καὶ ἐπὶ τοῦ πλούτου, τὰ μὲν ἐπέταξε, τὰ δὲ ἐπέτρεψε τῇ ἐξουσίᾳ τῆς διανοίας. οὐ γὰρ εἶπε, πώλησον τὰ ὑπάρχοντα, ἀλλʼ, εἰ θέλεις τέλειος εἶναι, πώλησον. ἀλλʼ ἡμεῖς οὐ μόνον οὐ φιλοτιμούμεθα, οὐδὲ ὑπερβαίνομεν τὰ προστάγματα, ἀλλὰ καὶ τοῦ μέτρου τῶν κελευσθέντων σφόδρα ἀπολιμπανόμεθα. καὶ Παῦλος μὲν ἐλιμώττεν, ἵνα μὴ ἐγκοπὴν τῷ εὐαγγελίῳ δῷ· ἡμεῖς δὲ οὐδὲ τῶν ἀποκειμένων ἡμῖν ἅψασθαι τολμῶμεν, μυρίας ὁρῶντες ἀναπεπτωκυίας ψυχάς. τρωγέτω γάρ, φησιν, ὁ σής, καὶ μὴ τρωγέτω ὁ πένης· κατεσθιέτω ὁ σκώληξ, καὶ μὴ περιβαλλέσθω ὁ γυμνός· ἀναλισκέσθω πάντα τῷ χρόνῳ, καὶ μὴ τρεφέσθω ὁ Χριστός, καὶ ταῦτα πεινῶν. καὶ τίς τοῦτο εἶπε, φησί; τοῦτο γάρ ἐστι σφόδρα τὸ δεινόν, ὅτι οὐκ ἐν τοῖς ῥήμασιν, ἀλλʼ ἐν τοῖς πράγμασι ταῦτα λέγεται. καὶ γὰρ ἧττον ἂν ἦν δεινὸν ἐπὶ τῶν ῥημάτων λεγόμενον, ἢ ἐπὶ τῶν ἔργων γινόμενον. ἢ γὰρ οὐ ταῦτα βοᾷ καθʼ ἑκάστην ἡμέραν ἡ ἀπάνθρωπος καὶ ὠμὴ τυραννὶς ἡ φιλαργυρία τοῖς αὐτῆς αἰχμαλώτοις; προσκείσθω καὶ συκοφάνταις καὶ λῃσταῖς καὶ ἐπιβούλοις πρὸς τρυφὴν τὰ ὑμέτερα, καὶ μὴ τοῖς πένησι, μηδὲ τοῖς δεομένοις διὰ τροφήν. οὐ γὰρ ὑμεῖς ποιεῖτε τοὺς λῃστάς; οὐ γὰρ ὑμεῖς τῷ πυρὶ τῶν βασκάνων παρέχετε τροφήν; οὐ γὰρ ὑμεῖς ποιεῖτε τοὺς δραπέτας καὶ τοὺς ἐπιβούλους, καθάπερ δέλεαρ αὐτοῖς τὸν ὑμέτερον προτιθέντες πλοῦτον; τίς ἡ μανία αὕτη; μανία γὰρ καὶ παραπληξία σαφής, τὰ μὲν κιβώτια μεστὰ ἱματίων ποιεῖν, τὸν δὲ κατʼ εἰκόνα Θεοῦ γενόμενον καὶ καθʼ ὁμοίωσιν, γυμνὸν καὶ τρέμοντα ὑπὸ τοῦ κρυμοῦ περιορᾶν, καὶ μόλις ὀρθούμενον. ἀλλὰ προφασίζεται, φησί, τὸν τρόμον καὶ τὴν ἀσθένειαν. εἶτα οὐ δέδοικας μὴ σκηπτὸς ἄνωθεν ἀπὸ τοῦ ῥήματος ἀναφθεὶς τούτου κατενεχθῇ; διαρρήγνυμαι γὰρ ὑπὸ τοῦ θυμοῦ· σύγγνωτε. σὺ μὲν γὰρ γαστριζόμενος καὶ πιαινόμενος, καὶ εἰς ἑσπέραν βαθεῖαν τὸν πότον παρατείνων, καὶ μαλακοῖς ἐνθαλπόμενος στρώμασιν, οὐκ ἀξιοῖς δοῦναι δίκην, οὕτω παρανόμως τοῖς τοῦ Θεοῦ χρώμενος δώροις (οὐδὲ γὰρ ἵνα μεθύωμεν, ὁ οἶνος· οὐδʼ ἵνα γαστριζώμεθα, ἡ τροφὴ γέγονεν· οὐδʼ ἵνα διασπῶμεν τὴν γαστέρα, τὰ σιτία) τὸν δὲ πένητα, τὸν ἄθλιον, τὸν οὐδὲν ἄμεινον νεκροῦ διακείμενον, τούτου εὐθύνας ἀπαιτεῖς ἀκριβεῖς, καὶ οὐ δέδοικας τοῦ Χριστοῦ τὸ δικαστήριον τὸ φρικτὸν ἐκεῖνο καὶ φοβερόν; καὶ γὰρ εἰ ὑποκρίνεται, ἐξ ἀνάγκης ὑποκρίνεται καὶ ἐνδείας, διὰ τὴν ὠμότητα τὴν σὴν καὶ ἀπανθρωπίαν τὴν τοιούτων δεομένην προσωπείων, τὴν μὴ ἐπικαμπτομένην πρὸς ἔλεον. τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς μηδεμιᾶς ἀνάγκης ἐπικειμένης ὑπὲρ εἰδὸς ἄρτου τοιαῦτα ἀσχημονεῖν, καὶ κόπτεσθαι, καὶ τοσαύτην ὑπομένειν δίκην; ὥστε ἡ ὑπόκρισις ἡ ἐκείνου τῆς σῆς ἀπανθρωπίας περιέρ-

ΗΘΙΚΟΝ

Ματθ. ιθ. κα.

κ. ἡ ὠμή, ἡ τύραννος φιλαργυρία κ. αὐτῆς ἐν. διαφ.

χεῖται γινομένη κῆρυξ. ἐπειδὴ γὰρ ἱκετεύων καὶ λιπαρῶν καὶ ἐλεεινὰ προϊέμενος ῥήματα καὶ ὀδυρόμενος καὶ δακρύων καὶ δι' ὅλης περιιὼν τῆς ἡμέρας, οὐδὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, ἐπενόησεν ἴσως καὶ ταύτην τὴν μηχανὴν, οὐκ ἐκείνῳ τοσαύτην, ὅσην σοὶ, φέρουσαν τὴν αἰσχύνην καὶ τὴν κατηγορίαν. ἐκεῖνος μὲν γὰρ ἐλεεῖσθαι δίκαιος, ὅτι εἰς τοσαύτην κατῆλθεν ἀνάγκην· ἡμεῖς δὲ μυρίων ἄξιοι τιμωριῶν, ὅτι τοὺς πένητας τοιαῦτα βιαζόμεθα πάσχειν. εἰ γὰρ ἐξ εὐκολίας ἐπεκλώμεθα, οὐκ ἄν ποτε εἵλετο ἐκεῖνος τοιαῦτα ὑπομένειν. καὶ τί λέγω γύμνωσιν, καὶ τόμον; ὃ γὰρ τούτου φρικωδέστερόν ἐστιν ἐρῶ, ὅτι καὶ παῖδας ἠνάγκασαν πηρῶσαί τινες ἄωρον ἄγοντας ἡλικίαν, ἵνα τῆς ἡμετέρας ἀναισθησίας καθίκωνται. ἐπειδὴ γὰρ βλέποντες καὶ γυμνοὶ περιιόντες, οὔτε ἀπὸ τῆς ἡλικίας, οὔτε ἀπὸ τῆς συμφορᾶς ἐπεσπάσαντο τοὺς ἀνηλεεῖς, προσέθηκαν τοῖς τοσούτοις κακοῖς ἑτέραν χαλεπωτέραν τραγῳδίαν, ἵνα λύσωσι τὸν λιμὸν, κουφότερον εἶναι νομίζοντες ἀπεστερῆσθαι τοῦ κοινοῦ τούτου φωτὸς καὶ τῆς πᾶσι δεδομένης ἀκτῖνος, ἢ λιμῷ παλαίειν διηνεκεῖ καὶ τὸν οἴκτιστον ὑπομένειν θάνατον. ἐπειδὴ γὰρ οὐ πενίαν ἐμάθετε ἐλεεῖν, ἀλλ' ἃ τέρπεσθε συμφοραῖς, πληροῦσιν ὑμῶν τὴν ἀκόρεστον ἐπιθυμίαν, καὶ ἑαυτοῖς καὶ ὑμῖν χαλεπωτέραν τῆς γεέννης ἀνάπτοντες τὴν φλόγα. καὶ ἵνα μάθητε, ὅτι διὰ τοῦτο ταῦτα γίνεται καὶ τὰ τοιαῦτα, τεκμήριον ὑμῖν ὡμολογημένον ἐρῶ, πρὸς ὃ μηδεὶς ἀντερεῖ. εἰσὶν ἕτεροι πένητες κοῦφοι, καὶ μετέωροι τὰς ψυχὰς, καὶ οὐκ εἰδότες φέρειν λιμὸν, ἀλλὰ πάντα μᾶλλον, ἢ τοῦτο ὑπομένοντες. οὗτοι πολλάκις ὑμῖν ἐλεεινοῖς καὶ σχήμασι καὶ ῥήμασιν ἐντυγχάνοντες, ἐπειδὴ οὐδὲν ὤνησαν, τὰς ἱκετηρίας ἀφέντες ἐκείνας, τοὺς θαυματοποιοὺς ὑμῖν λοιπὸν παρήλασαν, οἱ μὲν δέρματα ὑποδημάτων μασώμενοι πεπονηκότων, οἱ δὲ κατὰ τῆς κεφαλῆς ἥλους ὀξεῖς διαπείροντες, ἕτεροι πεπηγόσιν ὕδασιν ὑπὸ τοῦ κρυμοῦ γυμνῇ τῇ γαστρὶ προσομιλοῦντες, ἄλλοι δὲ ἕτερα ἀτοπώτερα τούτων ὑπομένοντες, ἵνα τὸ πονηρὸν περιστήσωσι θέατρον. σὺ δὲ τούτων γινομένων ἕστηκας γελῶν καὶ θαυμάζων καὶ ἐμπομπεύων τοῖς ἑτέρων κακοῖς, τῆς κοινῆς φύσεως ἀσχημονούσης. καὶ τί πλέον ἂν ἐργάσαιτο τούτων δαίμων ἄγριος; εἶτα ἵνα προθυμότερον ποιήσῃ ταῦτα, δαψιλέστερον δίδως ἀργύριον. καὶ τοῖς μὲν εὐχομένοις, καὶ τὸν Θεὸν καλοῦσι, καὶ μετ' ἐπιεικείας προσιοῦσιν οὐδὲ ἀποκρίνεσθαι ἀξιοῖς, οὐδὲ ἐμβλέψαι, ἀλλὰ καὶ τὰ φορτικὰ ἐκεῖνα πρὸς αὐτὸν φθέγγῃ ῥήματα, ὅταν συνεχῶς ἐνοχλήσῃ· οὗτοι δὲ δεῖ ζῆν; ἀναπνεῖν δὲ ὅλως, ἢ τὸν ἥλιον τοῦτον ὁρᾶν; πρὸς δὲ ἐκείνους καὶ φαιδρὸς καὶ φιλότιμος, ἅτε ἀγωνοθέτης τις ὢν τῆς καταγελάστου καὶ σατανικῆς ἀσχημοσύνης ἐκείνης. διὸ καὶ εὐλογώτερον πρὸς τοὺς τιθέντας τοὺς ἀγῶνας τούτους, καὶ μὴ προϊεμένους μηδὲν ἕως ἂν ἴδωσι κολαζομένους ἑτέρους, ταῦτα ἂν λεχθείη τὰ ῥήματα· ζῆν δὲ τούτους; ἀναπνεῖν δὲ ὅλως, τὸν δὲ ἥλιον τοῦτον ὁρᾶν τοὺς εἰς τὴν κοινὴν παρανομοῦντας φύσιν, τοὺς εἰς τὸν Θεὸν ὑβρίζοντας; τοῦ μὲν γὰρ Θεοῦ λέγοντος, δὸς ἐλεημοσύνην, καὶ δίδωμί σοι βασιλείαν οὐρανῶν, οὐκ ἤκουσας· τοῦ διαβόλου δὲ κεφαλὴν καθηλωμένην δεικνύντος, ἐξαίφνης φιλότιμος γέγονας. καὶ μᾶλλον ἐπέκαμψεν ἡ τοῦ πονηροῦ δαίμονος μηχανὴ τοσαύτην ἔχουσα βλάβην, ἢ ἡ τοῦ Θεοῦ ὑπόσχεσις μυρία κομίζουσα τὰ ἀγαθά. δέον, εἰ καὶ χρυσίον καταβαλεῖν ἐχρῆν ὑπὲρ τοῦ ταῦτα μὴ γίνεσθαι, μηδὲ γινόμενα ὁρᾶν, πάντα ποιεῖν καὶ ὑπομένειν, ὥστε ἀνελεῖν τὴν πολλὴν ταύτην μανίαν· ὑμεῖς δὲ ὑπὲρ τοῦ καὶ γίνεσθαι καὶ γινόμενα ὁρᾶν, πάντα ποιεῖτε καὶ πραγματεύεσθε. ἔτι οὖν ἐρωτᾷς, εἰπέ μοι, διὰ τί γέεννα; ἀλλὰ μηκέτι τοῦτο ἐρώτα, ἀλλὰ πῶς μία γέεννα μόνη; πόσων γὰρ οὐκ ἄξιοι κολάσεων οὗτοι οἱ τὸ ὠμὸν τοῦτο καὶ ἀπηνὲς συγκροτοῦντες θέατρον, καὶ γελῶντες ἐφ' οἷς δακρύειν ἔδει κἀκείνους καὶ ὑμᾶς αὐτούς· μᾶλλον δὲ ὑμᾶς τοὺς τὰ τοιαῦτα ἀναγκάζοντας ἀσχημονεῖν; ἀλλ' οὐκ ἀναγκάζω, φησί. πῶς οὐκ ἀναγκάζεις, εἰπέ μοι, τοῖς μὲν ἐπιεικεστέροις καὶ δακρύουσι, καὶ τὸν Θεὸν παρακαλοῦσιν οὐδὲ προσέχειν ἀνεχόμενος· τούτοις δὲ καὶ ἀργύριον παρέχων δαψιλὲς, καὶ πολλοὺς περιιστῶν τοὺς θαυμάζοντας; καὶ ἀποστῶμεν, φησιν, ἐλεοῦντες αὐτούς. καὶ σὺ τοῦτο κελεύεις;

οὐκ

χ. πένησι

χ. πεπηρώτας?

οὐκ ἔστι τοῦτο ἐλεεῖν, ἀλλ' ὠμότης, τὸ τοσαύτην ἀπαιτεῖν δίκην ὑπὲρ ὀλίγων ὀβολῶν, τὸ κελεύειν ὑπὸ ἀνάγκης κατακόπτεσθαι τὰς ὄψεις, καὶ εἰς πολλὰ διατέμνειν τῆς κεφαλῆς τὴν δορὰν οὕτω πικρῶς καὶ ἐλεεινῶς. εὐφήμει, φησίν. οὐ γὰρ ἡμεῖς ἐσμεν οἱ τὰς κεφαλὰς καταθλῶντες ἐκείνας. εἴθε σύ· καὶ οὐκ ἂν οὕτω δεινὸν τὸ δεινόν. ὁ γὰρ σφάττων τινὰ, τοῦ κελεύοντος ἑαυτὸν σφάττειν πολλῷ χαλεπώτερον ποιεῖ, ὃ δὴ καὶ ἐπὶ τούτων συμβαίνει. καὶ γὰρ δριμυτέρας ὑπομένουσι τὰς ὀδύνας, ὅταν καὶ αὐτουργοὶ κελεύωνται γίνεσθαι τῆς πονηρᾶς ταύτης ἐπιταγῆς, καὶ ταῦτα ἐν Ἀντιοχείᾳ, ἐν ᾗ πρῶτον ἐχρημάτισαν χριστιανοὶ, ἐν ᾗ πάντων ἀνθρώπων ἡμερώτεροι γεγόνασιν, ἐν ᾗ πάλαι ὁ τῆς ἐλεημοσύνης τὸ παλαιὸν ἐκόμα καρπός. οὐδὲ γὰρ τοῖς παροῦσι μόνοι, ἀλλὰ καὶ τοῖς πόρρωθεν ἔπεμπον ἐν πολλῷ τοῦ διαστήματος, καὶ ταῦτα λιμοῦ προσδοκωμένου. τί οὖν δεῖ ποιεῖν, φησί; τῆς μὲν θηριωδίας ταύτης καθυφεῖναι· πεῖσαι δὲ τοὺς δεομένους ἀπολύεσθαι, ὅτι ταῦτα μὲν ποιοῦντες οὐδὲν λήψονται, ἐπιεικῶς δὲ προσιόντες, πολλῆς ἀπολαύσονται τῆς φιλοτιμίας. κἂν ταῦτα μάθωσι, κἂν πάντων ὦσιν ἀθλιώτεροι, οὐχ αἱρήσονται οὐδέποτε τοιαῦτα κολάζεσθαι, ἐγὼ ἐγγυῶμαι· ἀλλὰ καὶ χάριν ὑμῖν εἴσονται, ὅτι καὶ τοῦ γέλωτος καὶ τῆς ὀδύνης αὐτοὺς ἀπηλλάξατε ἐκείνης. νῦν δὲ ὑπὲρ μὲν ἡνιόχων καὶ παῖδας ἂν ἐκδοίητε τοὺς ὑμετέρους, καὶ ὑπὲρ ὀρχηστῶν καὶ αὐτὰς ἂν προοῖσθε τὰς ψυχάς· ὑπὲρ δὲ τοῦ Χριστοῦ πεινῶντος οὐδὲ τὸ πολλοστὸν τῆς οὐσίας προΐεσθε μέρος, ἀλλὰ ἂν ὀλίγον δῶτε ἀργύριον, ὡς τὸ πᾶν ἐκπεπτωκότες, οὕτω διάκεισθε, οὐκ εἰδότες ὅτι οὐ τὸ δοῦναι, ἀλλὰ τὸ μετὰ δαψιλείας δοῦναι, τοῦτο μάλιστά ἐστιν ἐλεημοσύνη. διὰ τοῦτο καὶ ὁ προφήτης οὐ τοὺς διδόντας ἁπλῶς ἀνακηρύττει καὶ μακαρίζει, ἀλλὰ τοὺς ἀφθόνως παρέχοντας. οὐ γὰρ ἁπλῶς εἶπεν, ἔδωκεν, ἀλλὰ πῶς; Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι. τί γὰρ ὄφελος ὅταν πλουτῶν τοσοῦτον δῷς, ὅσον εἰ μίαν τις ἀπὸ πελάγους κύαθον δοίη, καὶ μηδὲ χήρας γυναικὸς μεγαλοψυχίαν ζηλώσῃς; πῶς δὲ ἐρεῖς, Κύριε, ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, οὐ κατὰ τὸ μέγα ἔλεος αὐτὸς ἐλεῶν, τάχα δὲ οὐδὲ κατὰ τὸ μικρόν; καὶ γὰρ σφόδρα αἰσχύνομαι, ὅταν ἴδω πολλοὺς τῶν πλουτούντων ἐφ' ἵππων χρυσοχαλίνων φερομένους, καὶ οἰκέτας χρυσοφοροῦντας ἐπισυρομένους, καὶ κλίνας ἀργυρᾶς ἔχοντας, καὶ ἑτέραν πλείονα φαντασίαν, καὶ ἡνίκα ἂν πένητι δέῃ παρασχεῖν, τῶν σφόδρα πενήτων πτωχοτέρους γινομένους. ἀλλὰ τίς ὁ πολὺς αὐτῶν λόγος; ἔχει τὸ κοινὸν τῆς ἐκκλησίας, φησί. καὶ τί τοῦτο πρὸς σέ; οὐδὲ γὰρ, ἐὰν ἐγὼ δῶ, σὺ διεσώθης· οὐδ' ἂν ἡ ἐκκλησία παράσχῃ, σὺ τὰ ἁμαρτήματα ἐξήλειψας τὰ σά. διὰ τοῦτο οὐ δίδως, ἐπειδὴ ἡ ἐκκλησία ὀφείλει δοῦναι τοῖς δεομένοις; ἐπειδὴ εὔχονται οἱ ἱερεῖς, σὺ οὐκ εὔξῃ ποτέ; καὶ ἐπειδή τινες νηστεύουσιν ἕτεροι, μεθυσθήσῃ διηνεκῶς; οὐκ οἶσθα ὅτι οὐχ οὕτω διὰ τοὺς πένητας τὸ περὶ ἐλεημοσύνης ἐνομοθέτησεν ὁ Θεὸς, ὡς δι' αὐτοὺς τοὺς παρέχοντας; ἀλλ' ὑποπτεύεις τὸν ἱερέα; μάλιστα μὲν χαλεπὴ καὶ αὕτη ἁμαρτία· πλὴν οὐδὲν ἀκριβολογοῦμαι. διὰ σαυτοῦ πάντα ποίει, καὶ διπλοῦν οὕτω καρπώσῃ τὸν μισθόν. καὶ γὰρ ἅπερ ἡμεῖς ὑπὲρ ἐλεημοσύνης λέγομεν, οὐχ ἵνα ἡμῖν προσαγάγῃς λέγομεν, ἀλλ' ἵνα αὐτὸς διὰ σαυτοῦ διακονῇς. ἐμοὶ μὲν γὰρ προσφέρων, ἴσως καὶ κενοδοξίᾳ ἁλώσῃ, πολλάκις δὲ καὶ σκανδαλισθεὶς ἀπελεύσῃ τὴν πονηρὰν ὑποπτεύσας· ἂν δὲ δι' ἑαυτοῦ πάντα ποιῇς, καὶ σκανδάλων ἀπαλλαγήσεσθε, καὶ ὑποψίας ἀτόπου, καὶ πλείων ὑμῖν ὁ μισθός. οὐ τοίνυν ἐκβιαζόμενος ὑμᾶς ἐνταῦθα κομίζειν τὰ χρήματα, ταῦτα λέγω· οὐδὲ ἀγανακτῶν ὑπὲρ τῶν κακῶς ἀκουόντων ἱερέων. εἰ γὰρ ἀγανακτεῖν χρὴ καὶ ἀλγεῖν, ὑπὲρ ὑμῶν ἀλγεῖν δεῖ τῶν λεγόντων κακῶς. τοῖς μὲν γὰρ ἀκούουσιν εἰκῇ καὶ μάτην κακῶς, ὁ μισθὸς μείζων, τοῖς δὲ λέγουσι, τὸ κρίμα καὶ ἡ τιμωρία βαρυτέρα. οὐ τοίνυν ὑπὲρ αὐτῶν ταῦτα λέγω, ἀλλ' ὑμῶν κηδόμενος καὶ φροντίζων. τί γὰρ θαυμαστὸν, εἰ ἐπὶ τῆς γενεᾶς ταύτης ὑποπτεύονται τῆς ἡμετέρας, ὅπουγε ἐπὶ τῶν ἁγίων ἐκείνων τῶν περὶ ἀγγέλους μι-

μησαμένων

γρ. ἵνα λη-φθῶσι μὴ διδ.

γρ. εἶδ.

Ψαλμ. ριαʹ.

Ψαλμ. νʹ. α.

μησαμένων, τῶν οὐδὲν ἴδιον κεκτημένων, τῶν ἀποστόλων λέγω, γογγυσμὸς ἦν ἐν τῇ διακονίᾳ τῶν χηρῶν, ὅτι παρεθεωροῦντο αἱ πένητες, ὅτε οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ᾽ ἦν αὐτοῖς ἅπαντα κοινά; μὴ δὴ ταύτας προβαλλώμεθα τὰς προφάσεις, μηδὲ ἀπολογίαν εἶναι νομίζωμεν, τὸ τὴν ἐκκλησίαν πολλὰ κεκτῆσθαι. ὅταν γὰρ τῆς οὐσίας αὐτῆς τὸ μέγεθος ἴδῃς, ἐννόησον καὶ τῶν ἐγγεγραμμένων πενήτων τὰς ἀγέλας, τῶν ἀρρωστούντων τὰ πλήθη, τῶν μυρίων χορηγιῶν τὰς ὑποθέσεις· περιέργασαι, πολυπραγμόνησον, οὐδεὶς ὁ κωλύσων, ἀλλὰ καὶ ἕτοιμοι λόγον ὑμῖν παρασχεῖν. πλέον ὑπερβολὴν ποιήσασθαι βουλόμεθα. ὅταν γὰρ παράσχωμεν τὰς εὐθύνας, καὶ δείξωμεν οὐκ ἐλάττονα τῆς προσόδου τὴν δαπάνην οὖσαν, ἀλλ᾽ ἔστιν ὅπου καὶ πλείω, ἡδέως ἂν ὑμᾶς ἐκεῖνο ἐροίμην· ἡνίκα ἂν ἀπέλθωμεν ἐκεῖ, καὶ ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, Πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε, γυμνόν, καὶ οὐ περιεβάλετε, τί ἐροῦμεν; τί δὲ ἀπολογησόμεθα; τὸν δεῖνα ἢ τὸν δεῖνα εἰς μέσον οἴσομεν τὸν παρακούσαντα τούτων; καὶ τινὰς τῶν ἱερέων τῶν ὑποστόλων; καὶ τί τοῦτο πρὸς σέ; ἐγὼ γάρ σοι ἐγκαλῶ, φησίν, ἅπερ αὐτὸς ἥμαρτες. ἀπολογία δὲ τούτων, τὸ τὰ οἰκεῖα ἀπολύσασθαι ἁμαρτήματα, οὐ τὸ δεῖξαι ἑτέρους τὰ αὐ- γρ. ἀπολύε. τά σοι πεπλημμεληκότας. καὶ γὰρ ἡ ἐκκλησία διὰ τὴν ὑμετέραν μικρολογίαν ἔχειν ἀναγκάζεται ἅπερ ἔχει νῦν. ὡς εἴγε κατὰ τοὺς ἀποστολικοὺς πάντα ἐπράττετο νόμους, πρόσοδον αὐτῆς εἶναι ἐχρῆν τὴν ὑμετέραν γνώμην, ὃ καὶ ταμιεῖον ἀσφαλές ἐστι καὶ ἀνάλωτος θησαυρός· νῦν δὲ ὅταν ὑμεῖς μὲν θησαυρίζητε ἐπὶ τῆς γῆς, καὶ πάντα ἐν τοῖς ταμιείοις ἀποκλείητε τοῖς ὑμετέροις, αὕτη δὲ ἀναγκάζηται δαπανᾶν χηρῶν συλλόγοις, παρθένων χοροῖς, ξένων ἐπιδημίαις, ἀποδημούντων ταλαιπωρίαις, δεσμωτῶν συμφοραῖς, ἀρρωστούντων καὶ λελωβημένων ἀνάγκαις, ἑτέραις τοιαύταις προφάσεσι, τί δεῖ ποιεῖν; ἀποστρέφεσθαι τούτους ἅπαντας, καὶ τοσούτους προσχῶσαι λιμένας; καὶ τίς ἂν τοῖς γινομένοις ναυαγίοις ἀρκέσειε; τοῖς ὀδυρμοῖς, τοῖς θρήνοις, ταῖς οἰμωγαῖς ταῖς πανταχόθεν φερομέναις; μὴ τοίνυν ἁπλῶς τὸ ἐπιὸν φθεγγώμεθα. νῦν μὲν γάρ, ὅπερ ἔφθην εἰπών, καὶ τὰς εὐθύνας παρασχεῖν ὑμῖν ἕτοιμοι. εἰ δὲ καὶ τοὐναντίον ἦν, καὶ διεφθαρμένους εἴχετε διδασκάλους καὶ πάντα ἁρπάζοντας καὶ πλεονεκτοῦντας, οὐδὲ οὕτως ὑμῖν ἀπολογία ἡ ἐκείνων πονηρία ἦν. ὁ γὰρ φιλάνθρωπος καὶ πάνσοφος, ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ καὶ πάντα ὁρῶν, καὶ εἰδὼς ὅτι συμβαίνει πολλοὺς ἐν τῷ μακρῷ χρόνῳ καὶ τῇ τοσαύτῃ οἰκουμένῃ ἱερέας γενέσθαι διεφθαρμένους, ἵνα μὴ ἡ τῶν ἀρχομένων ῥᾳθυμία ἐπιτείνηται διὰ τῆς ἐκείνων ὀλιγωρίας, πᾶσαν ἀναιρῶν ἀπολογίαν

Ματθ. κγ. β. ῥᾳθυμίας, Ἐπὶ τῆς καθέδρας Μωϋσέως, φησίν, ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε, δεικνὺς ὅτι κἂν διδάσκαλον ἔχῃς φαῦλον, οὐδέν σε τοῦτο ὀνῆσαι δυνήσεται, ἂν μὴ προσέχῃς τοῖς λεγομένοις. οὐ γὰρ ἀφ᾽ ὧν ὁ διδάσκαλος ἔπραξεν, ἀλλ᾽ ἀφ᾽ ὧν ἀκούσας παρήκουσας, ἀπὸ τούτων σοι φέρει τὰς ψήφους ὁ Θεός. ὥστε ἐὰν μὲν ποιῇς τὰ ἐπιτεταγμένα, μετὰ πολλῆς τότε στήσῃ τῆς παρρησίας· ἂν δὲ παρακούσῃς τῶν λεγομένων, κἂν μυρίους ἱερέας διεφθαρμένους δείξῃς, οὐδέν σοι τοῦτο προστήσεται. ἐπεὶ καὶ Ἰούδας ἀπόστολος ἦν, ἀλλ᾽ ὅμως οὐδὲν τοῦτο ὑπὲρ τῶν ἱεροσύλων καὶ φιλαργύρων ἀπολογήσεταί ποτε. οὐδὲ δυνήσεταί τις ἐγκαλούμενος λέγειν, ὅτι, καὶ γὰρ ὁ ἀπόστολος κλέπτης ἦν καὶ ἱερόσυλος καὶ προδότης· αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἡμᾶς τιμωρήσεται καὶ κατακρινεῖ, ὅτι μηδὲ τοῖς ἑτέρων κακοῖς ἐσωφρονίσθημεν. διὰ γὰρ τοῦτο καὶ ἀναγέγραπται ἐκεῖνα, ἵνα φύγωμεν ἐκείνων τὸν γρ. αὐτῶν ζῆλον. διὸ τὸν δεῖνα καὶ τὸν δεῖνα ἀφέντες, ἡμεῖς ἑαυτοῖς προσέχωμεν. ἕκαστος γὰρ ἡμῶν ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ. ἵν᾽ οὖν τὸν λόγον τοῦτον μετὰ καλῆς παράσχωμεν ἀπολογίας, τὸν ἑαυτῶν ῥυθμίσωμεν βίον, καὶ δαψιλῆ τὴν χεῖρα ἐκτείνωμεν τοῖς δεομένοις, εἰδότες ὅτι αὕτη μόνη ἡμῖν ἐστιν ἀπολογία, τὸ δεῖξαι ἡμᾶς αὐτοὺς κατωρθωκότας τὰ ἐπι- γρ. ἡμῶν

τεταγμένα, ἕτερα δὲ οὐδαμία. κἂν ταύτην δυνηθῶμεν παραγαγεῖν, τὰς ἀφορήτους ἐκείνας ὀδύνας τῆς γεέννης διαφευξόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κγ. 13 ΟΥΚ ΟΙΔΑΤΕ ΟΤΙ ΟΙ ΤΑ ΙΕΡΑ ΕΡΓΑΖΟΜΕΝΟΙ, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται; 14 Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν.

Πολλὴν ποιεῖται τὴν σπουδὴν, ὥστε δεῖξαι μὴ κεκωλυμένον τὸ λαμβάνειν. διόπερ τοσαῦτα εἰπὼν ἔμπροσθεν, οὐκ ἠρκέσθη, ἀλλὰ καὶ ἐπὶ τὸν νόμον χωρεῖ, οἰκειότερον τοῦ προτέρου παρέχων ὑπόδειγμα. οὐδὲ γὰρ ἦν ἴσον τὰς βοῦς παραγαγεῖν εἰς μέσον, καὶ ῥητῶς περὶ ἱερέων νόμον κείμενον εἰς μέσον ἀγαγεῖν. σκόπει δέ μοι κἀν τούτῳ τὴν σύνεσιν Παύλου, πῶς μέμνηται τοῦ πράγματος μεγαλοπρεπῶς. οὐδὲ γὰρ εἶπεν, οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τῶν προσφερόντων λαμβάνουσιν, ἀλλὰ τί; ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν· ἵνα μήτε οἱ λαμβάνοντες ὀνειδίζωνται, μήτε οἱ παρέχοντες ἐπαίρωνται. διὸ καὶ τὸ ἑξῆς οὕτω τέθεικεν. οὐδὲ γὰρ εἶπεν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες ἀπὸ τῶν θυόντων λαμβάνουσιν, ἀλλὰ τῷ θυσιαστηρίῳ συμμερίζονται. τὰ γὰρ προσενεχθέντα οὐκέτι λοιπὸν τῶν προσενεγκόντων ἦν, ἀλλὰ τοῦ ἱεροῦ καὶ τοῦ θυσιαστηρίου. καὶ οὐκ εἶπεν, ὅτι τὰ ἱερὰ λαμβάνουσιν, ἀλλ᾽, ἐκ τοῦ ἱεροῦ ἐσθίουσι, δεικνὺς πάλιν τὴν συμμετρίαν, καὶ ὅτι οὐ χρηματίζεσθαι δεῖ, οὐδὲ πλουτεῖν. εἰ δὲ λέγει, ὅτι τῷ θυσιαστηρίῳ συμμερίζονται, οὐ τὴν ἐξ ἴσης διανομὴν λέγει, ἀλλὰ τὴν ἐξ ὀφειλῆς διδομένην αὐτοῖς παραμυθίαν. καίτοι τὰ τῶν ἀποστόλων μείζονα πολλῷ ἦν. ἐκεῖ μὲν γὰρ τιμὴ ἦν ἡ ἱερωσύνη· ἐνταῦθα δὲ κίνδυνοι, καὶ σφαγαὶ, καὶ φόνοι. διόπερ τῶν ἄλλων παραδειγμάτων ἁπάντων πολὺ μεῖζον ἦν τὸ λέγειν, εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν. ὅταν γὰρ εἴπῃ, ἐσπείραμεν, τοὺς χειμῶνας, καὶ τοὺς κινδύνους, καὶ τὰς ἐπιβουλὰς, καὶ τὰ ἄφατα κακὰ ἐνδείκνυται, ἅπερ ὑπέμενον κηρύττοντες. ἀλλ᾽ ὅμως καὶ τοσαύτης οὔσης τῆς ὑπεροχῆς, οὐκ ἠθέλησεν οὔτε τὰ τῆς παλαιᾶς ταπεινῶσαι, οὔτε τὰ ἑαυτοῦ ἐπᾶραι· ἀλλὰ καὶ τὰ ἑαυτοῦ συστέλλει, οὐκ ἀπὸ τῶν κινδύνων, ἀλλ᾽ ἀπὸ τοῦ μεγέθους τῆς δωρεᾶς διδοὺς τὴν ὑπεροχήν. οὐ γὰρ εἶπεν, εἰ ἐκινδυνεύσαμεν, ἢ ἐπεβουλεύθημεν, ἀλλ᾽, εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν. καὶ τὰ τῶν ἱερέων, ὡς οἷόν τε ἐστὶν, ἐπαίρει λέγων, οἱ τὰ ἱερὰ ἐργαζόμενοι, καὶ οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τὴν διηνεκῆ δουλείαν αὐτῶν καὶ τὴν καρτερίαν διὰ τούτων ἐνδείξασθαι βουλόμενος. καὶ εἰπὼν τοὺς ἱερέας τοὺς παρὰ Ἰουδαίοις, τούς τε Λευΐτας, τούς τε ἀρχιερέας, ἑκάτερα τὰ τάγματα ἐδήλωσε, καὶ τὰ καταδεέστερα, καὶ τὰ ὑπερέχοντα· τὰ μὲν διὰ τοῦ λέγειν, οἱ τὰ ἱερὰ ἐργαζόμενοι, τὰ δὲ διὰ τοῦ εἰπεῖν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες. οὐδὲ γὰρ πᾶσιν ἓν ἐπιτεταγμένον ἔργον ἦν· ἀλλ᾽ οἱ μὲν τὰ παχύτερα, οἱ δὲ τὰ ὑψηλότερα ἦσαν ἐγκεχειρισμένοι. πάντας τοίνυν τούτους περιλαβὼν, ἵνα μή τις λέγῃ, τί τῆς παλαιᾶς ἡμῖν μέμνησαι; οὐκ οἶσθα ὅτι προσταγμάτων τελειοτέρων ἡμῖν ὁ καιρός; μετ᾽ ἐκεῖνα πάντα τὸ πάντων ἰσχυρότερον ἔθηκεν, εἰπών· οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν. καὶ οὐδὲ ἐνταῦθα ἐκ τῶν ἀνθρώπων λέγει τρέφεσθαι, ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν ἱερέων ἐκ τοῦ ἱεροῦ καὶ ἐκ τοῦ θυσιαστηρίου, οὕτω καὶ ἐνταῦθα ἐκ τοῦ εὐαγγελίου, φησί· καὶ ὥσπερ ἐκεῖ ἐσθίειν, οὕτως ἐνταῦθα ζῆν, οὐκ ἐμπορεύεσθαι, οὐδὲ θησαυρίζειν. Ἄξιος γάρ, φησιν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Ματθ. ι.

[Margin: χ. γρ. νόμον ἐπὶ τούτῳ κείμενον ἀναγνῶναι]
[Margin: χ. ἀναδείκνυνται,]
[Margin: χ. ἀπαίρει,]
[Margin: χ. τέθεικεν,]

15 Ἐγὼ

15 Ἐγὼ δὲ οὐδενὶ τούτων ἐχρησάμην. Τί οὖν, εἰ μὴ ἐχρήσω, φησί, νῦν, πρὸς δὲ τὸ μέλλον χρήσασθαι βούλει, καὶ διὰ τοῦτο ταῦτα λέγεις; ἄπαγε· καὶ γὰρ * παχέως τῇ ἐπιδιορθώσει ἐχρήσατο, οὕτως εἰπών· * διὰ τῶν

Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί. Καὶ ὅρα μεθ' ὅσης σφοδρότητος ἀρνεῖται καὶ διακρούεται τὸ πρᾶγμα. Καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. Καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις κέχρηται τῇ ῥήσει ταύτῃ. καὶ γὰρ ἀνωτέρω εἶπεν, Οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· καὶ μετὰ ταῦτα πάλιν, Εἰς τὸ μὴ καταχρήσασθαί με τῇ ἐξουσίᾳ μου· καὶ ἐν τούτῳ, Ἐγὼ δὲ οὐδενὶ τούτων ἐχρησάμην. τούτων, ποίων; τῶν πολλῶν παραδειγμάτων. πολλῶν γάρ μοι παρεχόντων ἐξουσίαν, τοῦ στρατιώτου, τοῦ γεωργοῦ, τοῦ ποιμένος, τῶν ἀποστόλων, τοῦ νόμου, τῶν παρ' ἡμῶν εἰς ὑμᾶς γινομένων, τῶν παρ' ὑμῶν εἰς τοὺς ἄλλους, τῶν ἱερέων, τοῦ προστάγματος τοῦ Χριστοῦ, οὐδενὶ τούτων ἐπείσθην εἰς τὸ καταλῦσαι τὸν ἐμαυτοῦ νόμον, καὶ λαβεῖν. καὶ μή μοι τὰ παρελθόντα λέγε. καίτοιγε ἔχω εἰπεῖν, ὅτι πολλὰ καὶ ἐν τοῖς παρελθοῦσιν ὑπέμεινα διὰ τοῦτο· ἀλλ' ὅμως οὐκ ἐκείνοις ἰσχυρίζομαι μόνοις, ἀλλὰ καὶ περὶ τῶν μελλόντων ἀπισχυρίζομαι, ὅτι αἱροῦμαι μᾶλλον ἀποθανεῖν λιμῷ, ἢ τούτων ἀποστερηθῆναι τῶν στεφάνων. καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, φησίν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. οὐκ εἶπε, τὸν νόμον μου ἵνα τις καταλύσῃ, ἀλλά, τὸ καύχημα. ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ποιεῖ μὲν αὐτό, οὐ χαίρων δέ, ἀλλὰ στένων καὶ ὀδυνώμενος, τὴν ὑπερβολὴν τῆς χαρᾶς δεῖξαι θέλων καὶ τὴν περιουσίαν τῆς προθυμίας, καὶ καύχημα τὸ πρᾶγμα καλεῖ. τοσοῦτον ἀπέχει ὀδυνᾶσθαι, ὅτι καὶ καυχᾶται, καὶ ἀποθανεῖν αἱρεῖται μᾶλλον, ἢ ἐκπεσεῖν τοῦ καυχήματος τούτου. οὕτω καὶ ζωῆς αὐτῷ γλυκύτερον ἦν τὸ γινόμενον. Εἶτα καὶ ἑτέρωθεν ἐπαίρει αὐτό, καὶ δείκνυσι μέγα ὄν, οὐχ ἵνα ἑαυτὸν λαμπρὸν ἀποφήνῃ (πόῤῥω γὰρ ἦν ἐκείνου τοῦ πάθους) ἀλλ' ἵνα δείξῃ ὅτι χαίρει, καὶ τὴν ὑποψίαν ἐκ περιουσίας ἀνέλῃ. διὰ γὰρ τοῦτο, ὡς ἔφθην εἰπών, καὶ καύχημα αὐτὸ ἐκάλεσε, καὶ τί φησιν;

α. Κορ θ. ιβ.
α. Κορ θ. ιη.

16 Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα. ἀνάγκη γάρ μοι ἐπίκειται. οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι.

17 Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.

18 Τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.

Τί λέγεις, εἰπέ μοι; ἐὰν εὐαγγελίζῃ, οὐκ ἔστι σοι καύχημα, ἀλλ' ἐὰν ἀδάπανον θῇς τὸ εὐαγγέλιον; οὐκοῦν τοῦτο μεῖζον ἐκείνου; οὐδαμῶς· ἀλλ' ἑτέρωθεν ἔχει τι πλέον· ὅτι τὸ μὲν ἐστὶν ἐπίταγμα, τὸ δὲ τῆς ἐμῆς προαιρέσεως κατόρθωμα. ἃ μὲν γὰρ ὑπὲρ τὴν ἐντολὴν γίνεται, πολλὴν ἔχει τὸν μισθὸν κατὰ τοῦτο· ἃ δὲ ἐν ἐντολῆς τάξει, οὐ τοσοῦτον. ὥστε κατὰ τοῦτό φησι τοῦτ' ἐκείνου πλέον εἶναι, οὐ κατ' αὐτὴν τοῦ πράγματος τὴν φύσιν. τί γὰρ τοῦ κηρύξαι ἴσον; τοῦτο γὰρ καὶ πρὸς τοὺς ἀγγέλους αὐτοὺς ἁμιλλᾶσθαι ποιεῖ. ἀλλ' ὅμως ἐπειδὴ τὸ μὲν ἐπίταγμά ἐστι καὶ ὀφειλή, τὸ δὲ προαιρέσεως φιλοτιμία, κατὰ τοῦτο τοῦτ' ἐκείνου πλέον. διὸ φησι, τὸ αὐτὸ ἑρμηνεύων, ὅπερ εἶπον νῦν· Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι, τὸ ἑκὼν καὶ ἄκων, ἐπὶ τοῦ ἐγκεχειρίσθαι καὶ μὴ ἐγκεχειρίσθαι λαμβάνων. οὕτω καὶ τό, ἀνάγκη γάρ μοι ἐπίκειται, νοητέον, οὐχ ὡς ἄκοντός τι τούτων ποιοῦντος (μὴ γένοιτο) ἀλλ' ὡς ὑπευθύνου ὄντος τοῖς ἐπιταχθεῖσι, καὶ πρὸς ἀντιδιαστολὴν τῆς ἐλευθερίας τῆς ἐν τῷ λαμβάνειν εἰρημένης. διὸ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστός· Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον. τί οὖν, εἰπέ μοι, Πέτρος οὐκ εἶχε μισθόν; καὶ τίς ἂν αὐτοῦ σχοίη ποτὲ τοσοῦτον ὅσον ἐκεῖνος; τί δὲ οἱ λοιποὶ ἀπόστολοι; πῶς οὖν εἶπεν,

Λουκ. ιζ. ι.

εἶπεν, Εἰ μὲν ἑκὼν τοῦτο πράττω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι; ὁρᾷς καὶ ταῦτα τὴν σύνεσιν; οὐδὲ γὰρ εἶπεν, Εἰ δὲ ἄκων, οὐκ ἔχω μισθὸν, ἀλλ', οἰκονομίαν πεπίστευμαι, δεικνὺς ὅτι καὶ οὕτως ἔχει μισθὸν, ἀλλὰ ποιῶν, ὅσῳ ὁ τὸ ἐπιταχθὲν ἐκλύσας, οὐχ ὅσῳ ἐκεῖνος ὁ ἐκ τῶν ἑαυτοῦ φιλοτιμησάμενος καὶ ὑπερβὰς τὸ ἐπίταγμα. Τίς οὖν ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδάπανον, φησὶ, θήσω τὸ εὐαγγέλιον εἰς τὸ μὴ καταχρήσασθαί με τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. Ὅρα πῶς δι' ὅλου τῷ ὀνόματι τῆς ἐξουσίας κέχρηται, δεικνὺς τοῦτο, ὃ συνεχῶς εἶπον, ὅτι οὐδὲ οἱ λαμβάνοντες ἐγκλημάτων ἄξιοι. Προσέθηκε δὲ, τῷ εὐαγγελίῳ, ὁμοῦ μὲν τὸ εὐαγγέλιον δηλῶν, ὁμοῦ δὲ κωλύων πανταχοῦ τὸ πρᾶγμα ἐξάγειν. Τοὺς γὰρ διδάσκοντας χρὴ λαμβάνειν, οὐχὶ δὲ τοὺς ἀργοῦντας ἁπλῶς.

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. Πάλιν ἐνταῦθα ἄλλην τίθησιν ὑπερβολήν. μέγα μὲν γὰρ καὶ τὸ μὴ λαβεῖν· τοῦτο δὲ ὃ μέλλει λέγειν, πολλῷ πλέον ἐκείνου. τί δέ ἐστιν ὅ φησιν; οὐ μόνον οὐκ ἔλαβον, φησὶν, οὐδὲ μόνον οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ καὶ ἐδούλωσα ἐμαυτὸν, καὶ δουλείαν ποικίλην καὶ παντοδαπήν. οὐδὲ γὰρ ἐν χρήμασι μόνον, ἀλλ', ὃ πολλῷ χρημάτων μεῖζον ἦν, ἐν πράγμασι πολλοῖς καὶ ποικίλοις τὸ αὐτὸ τοῦτο ἐπεδειξάμην· καὶ ἐδούλωσα, οὐδενὶ ὑποκείμενος καὶ οὐδὲν, οὐδὲ ἀνάγκην ἔχων (τοῦτο γάρ ἐστιν, ἐλεύθερος ὢν ἐκ πάντων) καὶ οὐδὲ ἑνὶ ἐδούλωσα, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ. διὸ καὶ ἐπήγαγε, πᾶσιν ἐμαυτὸν ἐδούλωσα. καὶ γὰρ κηρύξαι ἐπεταλτόμην, καὶ ἀπαγγέλλειν τὰ ἐμπιστευθέντα· τὸ δὲ μυρία μηχανᾶσθαι καὶ ἐπινοεῖν, λοιπὸν τῆς ἐμῆς σπουδῆς ἦν. τοῦ γὰρ καταβαλεῖν τὸ ἀργύριον ὑπεύθυνος ἤμην μόνον· ἐγὼ δὲ καὶ ὑπὲρ τοῦ ἀπαιτῆσαι πάντα ἐποίουν πάλιν, πλέον τῶν ἐπιτεταγμένων ἐπιχειρῶν. ἐπεὶ γὰρ προαιρέσει καὶ προθυμίᾳ καὶ ἀγάπῃ τῇ εἰς Χριστὸν πάντα ἔπραττεν, ἀκόρεστον εἶχεν ἐπιθυμίαν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν. διὸ καὶ ἐκ πολλῆς τῆς περιουσίας ὑπερέβαινε τὰ σκάμματα, διὰ πάντων ὑπὲρ αὐτὸν πηδῶν τὸν οὐρανόν. καὶ εἰπὼν τὴν δουλείαν, λέγει λοιπὸν τοὺς τρόπους αὐτῆς τοὺς ποικίλους. τίνες δὲ εἰσὶν οὗτοι;

γρ. μᾶλλον

20 Καὶ ἐγενόμην, φησὶ, τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω.

Καὶ πῶς ἐγένετο τοῦτο; ὅτε περιέτεμεν, ἵνα καθέλῃ περιτομήν. διὰ τοῦτο οὐκ εἶπεν, Ἰουδαῖος, ἀλλ', ὡς Ἰουδαῖος, ὅπερ οἰκονομία ἦν. τί λέγεις; ὁ τῆς οἰκουμένης κήρυξ, καὶ τῶν οὐρανῶν αὐτῶν ἁψάμενος, καὶ τοσοῦτον ἐν τῇ χάριτι λάμψας, ἐξαίφνης κατέβαινε τοσοῦτον; ναί. τοῦτο γάρ ἐστιν ἀναβῆναι. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι κατέβαινε μόνον, ἀλλ' ὅτι καὶ τὸν κάτω κείμενον ἀνίστησι, καὶ ἀνάγει πρὸς ἑαυτόν. Τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω.

Ἡ ἐπεξήγησις τοῦ προτέρου ἐστὶν, ἢ ἕτερόν τι αἰνίττεται παρὰ τὸ πρότερον· Ἰουδαίους μὲν λέγων, τοὺς αὐτόθεν καὶ ἐξ ἀρχῆς τοιούτους ὄντας· ὑπὸ νόμον δὲ, τοὺς προσηλύτους, ἢ τοὺς πιστοὺς γενομένους καὶ ἔτι ἀντεχομένους τοῦ νόμου. οὐκέτι γὰρ ἦσαν, ὡς Ἰουδαῖοι, ἀλλ' ὑπὸ νόμον. καὶ πῶς ἐγένετο ὑπὸ νόμον; ὅτε ἐξυρήσατο, ὅτε ἔθυεν. ἐγένετο δὲ ταῦτα, οὐ τῆς γνώμης αὐτοῦ μεταβαλλομένης (ἐπεὶ κακία τὸ πρᾶγμα ἦν) ἀλλὰ τῆς ἀγάπης συγκαταβαινούσης. ἵνα γὰρ τοὺς ὄντας ἀληθῶς εἰς ταῦτα μεταστήσῃ, ἐγίνετο αὐτὸς οὐκ ἀληθῶς, ἐπιδεικνύμενος μόνον, οὐκ ὢν δὲ, οὐδὲ ἐκ διανοίας ταῦτα πράττων οὕτως ἐχούσης. πῶς γὰρ, ὁ καὶ ἑτέρους μεταστῆσαι σπουδάζων, καὶ διὰ τοῦτο ταῦτα ποιῶν, ἵνα ἄλλους ποιοῦντας ἐλευθερώσῃ τῆς ταπεινότητος ἐκείνης;

21 Τοῖς ἀνόμοις, ὡς ἄνομος. — Οὗτοι οὔτε Ἰουδαῖοι ἦσαν, οὔτε χριστιανοί, οὔτε ἕλληνες, ἀλλ' ἐκτὸς νόμου ὄντες, οἷος ἦν ὁ Κορνήλιος, καὶ εἴ τινες κατ' ἐκεῖνον. καὶ γὰρ πρὸς ἐκείνους εἰσιὼν, πολλὰ ὑπεκρίνετο τῶν ἐκείνων. τινὲς δέ φασι καὶ τὴν ἀπὸ τοῦ

ἐπιγράμματος

ἐπιγράμματος τοῦ ἐν τῷ βωμῷ διάλεξιν αὐτῷ γενομένην πρὸς Ἀθηναίους αἰνίττεσθαι, καὶ λέγειν, τοῖς ἀνόμοις ὡς ἄνομος. Εἶτα ἵνα μὴ νομίσῃ τις μεταβολὴν γνώμης εἶναι τὸ πρᾶγμα, ἐπήγαγε· Μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ. Τουτέστιν, οὐ μόνον ἄνομος οὐκ ὤν, ἀλλ' οὐδὲ ἁπλῶς ἔννομος, ἀλλὰ τὸν πολλῷ τοῦ παλαιοτέρου νόμου ὑψηλότερον ἔχων, τουτέστι, τὸν τοῦ πνεύματος καὶ τῆς χάριτος. διὸ καὶ ἐπήγαγε, Χριστοῦ. Εἶτα ποιήσας περὶ τῆς γνώμης θαρρῆσαι, καὶ τὸ κέρδος τίθησι πάλιν τῆς τοιαύτης συγκαταβάσεως, λέγων· Ἵνα κερδήσω ἀνόμους. Καὶ πανταχοῦ τὴν αἰτίαν προβάλλεται τῆς συγκαταβάσεως, καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλά·

22 Καὶ τοῖς ἀσθενέσι, φησὶν, ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· Τοῦτο λοιπὸν τὸ τούτων λέγων, δι' ὃ καὶ πάντα ταῦτα εἴρηται· καίτοι ἐκεῖνα πολλῷ μείζονα ἦν, ἀλλὰ τοῦτο οἰκειότερον· ὅθεν καὶ ὕστερον αὐτὸ τέθεικεν. ἐποίησε δὲ αὐτὸ καὶ παρὰ Ῥωμαίοις, ὅτε περὶ βρωμάτων ἐνεκάλει, καὶ ἀλλαχοῦ πολλαχοῦ. εἶτα, ἵνα μὴ καθ' ἕκαστον ἅπαντα λέγων, διατρίβῃ, φησί· Τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. Ὁρᾷς τὴν ὑπερβολήν; πᾶσι μὲν γέγονα πάντα, οὐ πάντας δὲ προσδοκᾷ σώζειν, ἀλλ' ἵνα κἂν ὀλίγους σώσω. καὶ τὴν μὲν σπουδὴν καὶ τὴν διακονίαν τοσαύτην ὑπέμεινα, ὅσην εἰκὸς τὸν ἅπαντας σώζοντα, οὐ μὴν ἐλπίζων ἅπαντας περιέσεσθαι· ὃ πολὺ μέγα ἦν, καὶ προθυμίας ζεούσης. ἐπεὶ καὶ ὁ σπείρων πανταχοῦ ἔσπειρε, καὶ οὐ τὸν πάντα σπόρον ἔσωσεν, ἀλλ' ὅμως τὸ ἑαυτοῦ πεποίηκε. καὶ εἰπὼν τὴν ὀλιγότητα τῶν σωζομένων, πάλιν τῷ, πάντως, προσθεῖναι, παρεμυθήσατο τοὺς ὑπὲρ τούτων ἀλγοῦντας. εἰ γὰρ καὶ μὴ πάντα δυνατὸν σωθῆναι τὸν σπόρον, ἀλλ' ὅμως καὶ πάντα ἀμήχανον ἀπολέσθαι. διὰ τοῦτο εἶπε, πάντως, ὅτι ἀνάγκη πᾶσα τὸν οὕτω θερμῶς σπουδάζοντα καὶ ἐπιτυχεῖν.

23 Πάντα δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. Τουτέστιν, ἵνα δόξω τι καὶ αὐτὸς συνεισενηνοχέναι οἴκοθεν, καὶ κοινωνήσω τῶν ἀποκειμένων στεφάνων τοῖς πιστοῖς. ὥσπερ γὰρ ἔλεγεν ἐκ τοῦ εὐαγγελίου ζῆν, τουτέστιν, ἐκ τῶν πιστευόντων, οὕτω καὶ ἐνταῦθα, συγκοινωνὸς γένωμαι τοῦ εὐαγγελίου, ἵνα δυνηθῶ κοινωνῆσαι τοῖς ἐν τῷ εὐαγγελίῳ πεπιστευκόσιν. Εἶδες ταπεινοφροσύνην, πῶς ἐν τῇ τῶν μισθῶν ἀντιδόσει ἕνα τῶν πολλῶν ἑαυτὸν τίθησι, πάντων πλεονεκτήσας τοῖς πόνοις; ὅθεν δῆλον, ὅτι καὶ τοῖς ἐπάθλοις. ἀλλ' ὅμως οὐκ ἀξιοῖ τῶν πρωτείων ἀπολαύειν, ἀλλ' ἀγαπᾷ, ἂν μετὰ τῶν ἄλλων κοινωνήσῃ τῶν ἀποκειμένων στεφάνων. Ταῦτα δὲ ἔλεγεν, οὐκ ἐπὶ μισθῷ τινι ταῦτα ἔπραττεν, ἀλλ' ἵνα ἐκείνους κἀντεῦθεν ἐπισπάσηται, καὶ ταῖς ἐλπίσι ταύταις πείσῃ πάντα ποιεῖν ὑπὲρ τῶν ἀδελφῶν. Εἶδες σύνεσιν; εἶδες ἀκριβείας ὑπεροχήν; πῶς ὑπὲρ τὰ ἐπιτεταγμένα ἐποίησε, μὴ λαμβάνων, λαμβάνειν ἐξόν; εἶδες συγκαταβάσεως ὑπερβολήν; πῶς ὁ ἔννομος Χριστοῦ καὶ τὸν ἀνωτάτω τηρῶν νόμον, τοῖς ἀνόμοις, ὡς ἄνομος ἦν; τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἐν ἑκατέροις ἄκρος φανεὶς, καὶ πάντας νικήσας; τοῦτο καὶ σὺ ποίει, καὶ μὴ νόμιζε καταπίπτειν ἄκρος ὤν, ἐάν τι διὰ τὸν ἀδελφὸν ὑπομείνῃς τῶν ταπεινῶν. οὐδὲ γὰρ καταπεσεῖν ἐστι τοῦτο, ἀλλὰ καταβῆναι. ὁ μὲν γὰρ πεσὼν, κεῖται μόλις ἀνιστάμενος· ὁ δὲ καταβὰς, καὶ ἀναβήσεται μετὰ πολλοῦ τοῦ κέρδους. καθάπερ καὶ Παῦλος κατῄει μὲν μόνος, ἀνῄει δὲ μετὰ τῆς οἰκουμένης, οὐχ ὑποκρινόμενος. οὐδὲ γὰρ ἂν τὸ κέρδος ἐζήτησε τῶν σωζομένων, εἴγε ὑπεκρίνετο. τὴν γὰρ ἀπώλειαν ὁ ὑποκριτὴς ζητεῖ· καὶ ὥστε λαβεῖν, ὑποκρίνεται, οὐχ ὥστε δοῦναι. ἀλλ' οὐχ οὗτος· ἀλλ' ὥσπερ ἰατρὸς, ὥσπερ διδάσκαλος, ὥσπερ πατὴρ, ὁ μὲν τῷ κάμνοντι, ὁ δὲ τῷ μαθητῇ, ὁ δὲ τῷ παιδὶ συγκαταβαίνει εἰς διόρθωσιν, οὐκ εἰς βλάβην, οὕτω καὶ οὗτος. ὅτι γὰρ οὐχ ὑπόκρισις ἦν τὰ εἰρημένα, ὅταν μηδὲν τοιοῦτον ἀναγκάζηται ποιεῖν ἢ λέγειν, ἀλλὰ τὴν διάθεσιν αὐτοῦ καὶ τὴν προαίρεσιν δεῖξαι βούληται, ἄκουσον αὐτοῦ λέγοντος· (Ῥωμ. η. λθ.) Οὔτε ζωὴ, οὔτε θάνατος, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα,

οὔτε

οὔτε βάθος, οὔτε τις ἑτέρα κτίσις δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης * τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Εἶδες ἀγάπην πυρὸς θερμοτέραν; οὕτω καὶ ἡμεῖς ἀγαπήσωμεν τὸν Χριστόν. καὶ γὰρ εὔκολον, ἂν βουλώμεθα. οὐδὲ γὰρ ἐκεῖνος φύσει τοιοῦτος ἦν. διά τοι τοῦτο καὶ τὰ πρότερα αὐτοῦ ἀνεγράφη τὰ ἐναντία τούτοις, ἵνα μάθωμεν, ὅτι προαιρέσεως τὸ ἔργον, καὶ βουλομένοις ἅπαντα εὔκολα.

* ἀθῶ

Μὴ τοίνυν ἀπογνῶμεν, ἀλλά, κἂν λοίδορος ᾖς, κἂν πλεονέκτης, κἂν ὁποιοῦν, ἐννόησον ὅτι Παῦλος βλάσφημος ἦν, καὶ διώκτης, καὶ ὑβριστής, καὶ τῶν ἁμαρτωλῶν πρῶτος, καὶ ἐξαίφνης πρὸς αὐτὴν ἀνέβη τὴν κορυφὴν τῆς ἀρετῆς, καὶ οὐδὲν αὐτῷ κώλυμα τὰ πρότερα γέγονε. ΗΘΙΚΟΝ καίτοιγε οὐδεὶς οὕτω μετὰ τοσαύτης μανίας ἔχεται κακίας, μεθ' ὅσης ἐκεῖνος τοῦ πολέμου τοῦ κατὰ τῆς ἐκκλησίας. καὶ γὰρ τὴν ψυχὴν ἐπέδωκε τὴν ἑαυτοῦ τότε, καὶ ὅτι μὴ μυρίας εἶχε χεῖρας, ἵνα πάσαις βάλλῃ τὸν Στέφανον, ἤλγει. ὅμως δὲ καὶ οὕτως εὗρεν, ὅπως πλείοσιν αὐτὸν βάλῃ χερσί, ταῖς τῶν ψευδομαρτύρων, ὧν τὰ ἱμάτια ἐτήρει· καὶ ἡνίκα δὲ εἰς τὰς οἰκίας εἰσῄει, καθάπερ θηρίον, οὕτως εἰσεπήδα, σύρων, παρασύρων ἄνδρας, γυναῖκας, θορύβου καὶ ταραχῆς καὶ μυρίων πολέμων πάντα πληρῶν. οὕτω γοῦν καὶ φοβερὸς ἦν, ὡς τοὺς ἀποστόλους καὶ μετὰ τὴν ἀρίστην μεταβολὴν μηδέπω τολμᾶν κολλᾶσθαι αὐτῷ. ἀλλ' ὅμως καὶ μετὰ πάντα ἐκεῖνα γέγονε τοιοῦτος, οἷος γέγονεν. οὐδὲ γὰρ δεῖ πλέον εἰπεῖν. ποῦ τοίνυν εἰσὶν οἱ τὴν τῆς εἱμαρμένης ἀνάγκην ἐπιτειχίζοντες τῇ τῆς προαιρέσεως ἐλευθερίᾳ; ἀκουέτωσαν ταῦτα, καὶ ἐπιστομιζέσθωσαν. τὸν γὰρ βουλόμενον γενέσθαι ἀγαθόν, οὐδέν ἐστι τὸ κωλῦον, κἂν τῶν πονηροτάτων ἔμπροσθεν ᾖ. καὶ γὰρ πρὸς τοῦτο ἐπιτηδείως μᾶλλον ἔχομεν, ὅσῳ καὶ κατὰ φύσιν ἡμῖν ἐστιν ἡ ἀρετή, καὶ παρὰ φύσιν ἡ πονηρία, ὥσπερ δὴ τὸ νοσεῖν καὶ ὑγιαίνειν. καὶ γὰρ ὀφθαλμοὺς ἡμῖν ἔδωκεν ὁ Θεός, οὐχ ἵνα ἀκολάστως βλέπωμεν, ἀλλ' ἵνα τὰ δημιουργήματα αὐτοῦ θαυμάζοντες, προσκυνῶμεν τὸν ποιήσαντα. καὶ ὅτι αὕτη ἡ χρεία τῶν ὀφθαλμῶν, δῆλον ἐκ τῶν ὁρωμένων. κάλλος μὲν γὰρ ἡλίου καὶ οὐρανοῦ ἐξ ἀπείρου βλέπομεν τοῦ διαστήματος· γυναικὸς δὲ εὐμορφίαν οὐκ ἄν τις ἐκ τοσούτου καταμάθοι. ὁρᾷς, ὅτι πρὸς τοῦτο ἡμῖν μᾶλλον γεγένηται ὁ ὀφθαλμός; πάλιν ἀκοὴν ἐποίησεν, οὐχ ἵνα βλάσφημα δεχώμεθα ῥήματα, ἀλλ' ἵνα σωτήρια δόγματα. διά τοι τοῦτο, ὅταν μὲν ἀπηχές τι δέξηται, καὶ ναρκᾷ ἡ ψυχὴ καὶ τὸ σῶμα αὐτοῦ. Λαλιὰ γὰρ πολυόρκου ὀρθώσει τρίχας, φησί. Σειρ. κζ. ιδ. κἂν ὠμόν, κἂν ἀπηνές τι ἀκούσωμεν, πάλιν φρίττομεν· ἂν δὲ ἐμμελές τι καὶ φιλάνθρωπον, καὶ γαννύμεθα καὶ χαίρομεν. καὶ τὸ στόμα δὲ ἡμῶν αἰσχρὰ φθεγγόμενον, αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι ποιεῖ· ἂν δὲ σεμνά, μετὰ ἀδείας προΐεται ταῦτα καὶ ἐλευθερίας ἁπάσης. τοῖς δὲ κατὰ φύσιν οὐδεὶς ἂν αἰσχυνθείη, ἀλλὰ τοῖς παρὰ φύσιν. καὶ χεῖρες μέν, ὅταν ἁρπάζωσι, κρύπτονται καὶ ἀπολογίας ἐπιζητοῦσιν· εἰ δὲ ἐλεημοσύνην διδοῖεν, καὶ ἐγκαλλωπίζονται. ὥστε ἂν ἐθέλωμεν, πολλὴν ἔχομεν πανταχόθεν πρὸς ἀρετὴν τὴν ῥοπήν. εἰ δὲ τὴν ἡδονήν μοι λέγεις τὴν ἀπὸ τῆς κακίας, ἐννόησον, ὅτι καὶ τοῦτο πλέον παρὰ τῆς ἀρετῆς καρπούμεθα. καὶ γὰρ τό, συνειδὸς ἔχειν ἀγαθόν, καὶ τὸ παρὰ πάντων θαυμάζεσθαι, καὶ τὸ χρηστὰς ἀναμένειν ἐλπίδας, πάντων ἥδιον τῷ φύσιν ἡδονῆς ἐπεσκεμμένῳ· ὥσπερ δὴ τοὐναντίον πάντων ὀδυνηρότερα τῷ λύπης εἰδότι φύσιν, οἷον τὸ παρὰ πάντων ὀνειδίζεσθαι, τὸ κατηγορεῖσθαι οἴκοθεν, τὸ τρέμειν καὶ δεδοικέναι καὶ τὰ μέλλοντα καὶ τὰ παρόντα. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ὑποθώμεθα τῷ λόγῳ ἐρῶντά τινα γυναικός, τοῦ πλησίον διορύττειν γάμον, καὶ ἥδεσθαι τῇ πονηρᾷ ταύτῃ κλοπῇ τῆς ἐρωμένης ἀπολαύοντα. εἶτα ἀντιθῶμεν τούτῳ πάλιν ἕτερον τὸν τὴν αὐτοῦ στέργοντα. καὶ ἵνα πλείων καὶ σαφεστέρα ἡ νίκη γένηται, ἔστω ὁ τῆς αὐτοῦ μόνης ἀπολαύων, ἐράτω μὲν καὶ ἐκείνης τῆς μοιχευομένης, κατεχέτω δὲ τοῦ ἔρωτος, καὶ μηδὲν πραττέτω πονηρόν· καίτοιγε οὐδὲ καθαρὰ τοῦτο σωφροσύνη ἐστί. πλὴν ἀλλ' ἐκ περιουσίας, ἵνα μάθῃς πόση τῆς ἀρετῆς ἡ ἡδονή, διὰ τοῦτο οὕτω

τὸ δρᾶμα ἐπλασάμεθα. συνθέντες τοίνυν αὐτοὺς, οὕτως ἐρώμεθα ἀμφοτέρους, τίνος ἡδίων ὁ βίος· καὶ ἀκούσῃ τοῦ μὲν καὶ ἐγκαλλωπιζομένου, καὶ σκιρτῶντος ἐπὶ τῇ νίκῃ τῇ κατὰ τῆς ἐπιθυμίας· τοῦ δὲ μᾶλλον δὲ οὐδὲ ἀναμεῖναι διὰ τὸ παρ' αὐτοῦ τι μαθεῖν. ὄψει γὰρ αὐτὸν, κἂν μυριάκις ἀρνῆται, δεσμωτῶν ἀθλιώτερον διακείμενον. καὶ γὰρ ἅπαντας δέδοικε καὶ ὑποπτεύει, καὶ τὴν αὐτοῦ γυναῖκα, καὶ τὸν τῆς μοιχευομένης ἄνδρα, καὶ τὴν μοιχευομένην αὐτὴν, καὶ οἰκέτας, καὶ φίλους, καὶ συγγενεῖς, καὶ τοίχους, καὶ σκιὰς, καὶ ἑαυτὸν, καὶ τὸ πάντων χαλεπώτερον, τὸ συνειδὸς ἔχει καταβοῶν, ὑλακτοῦν καθ' ἑκάστην ἡμέραν. ἂν δὲ καὶ τὸ τοῦ Θεοῦ δικαστήριον ἐννοήσῃ, οὐδὲ στῆναι δυνήσεται. καὶ ἡ μὲν ἡδονὴ, βραχεῖα· ἡ δὲ ἀπὸ ταύτης ὀδύνη, διηνεκής. καὶ γὰρ καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν νυκτὶ, καὶ ἐν ἐρημίᾳ, καὶ ἐν πόλει, καὶ πανταχοῦ ἕπεται ὁ κατήγορος, ξίφος δεικνὺς ἠκονημένον, καὶ τὰς ἀφορήτους κολάσεις, καὶ τῷ φόβῳ καταναλίσκων αὐτὸν καὶ δαπανῶν. ὁ δὲ σώφρων ἐκεῖνος πάντων τούτων ἀπήλλακται, καὶ ἔστιν ἐν ἐλευθερίᾳ, καὶ μετ' ἀδείας ὁρᾷ τὴν γυναῖκα τὴν ἑαυτοῦ, τὰ παιδία, τοὺς φίλους, καὶ ἐλευθέροις ἅπασιν ὀφθαλμοῖς ἅπαντα. εἰ δὲ ὁ ἐρῶν μὲν, κρατῶν δὲ, τοσαύτης ἀπολαύσεται ἡδονῆς, ὁ μηδὲ ἐρῶν, ἀλλὰ καθαρῶς σωφρονῶν, τίνος λιμένος, ποίας γαλήνης οὐχ ἡδίω καὶ ἡμερωτέραν κλήσεται ψυχήν; διά τοι τοῦτο, τοὺς μοιχεύοντας μὲν ὀλίγους ἂν ἴδοις, σωφρονοῦντας δὲ πλείους. εἰ δὲ τοῦτο ἥδιον, τοῦτ' ἂν εἵλοντο οἱ πολλοί. καὶ μή μοι λέγε τὸν ἀπὸ τῶν νόμων φόβον. οὐδὲ γὰρ οὗτός ἐστιν αὐτοὺς ὁ κατέχων, ἀλλ' ἡ τῆς ἀτοπίας ὑπερβολὴ, καὶ τὸ πλείονα εἶναι τὰ λυπηρὰ τῶν ἡδέων, καὶ ἡ τοῦ συνειδότος ψῆφος. καὶ ὁ μὲν μοιχὸς, τοιοῦτος. εἰ δὲ βούλεσθε, καὶ τὸν πλεονέκτην εἰς μέσον ἀγάγωμεν, ἕτερον ἔρωτα πάλιν παραφαίνομεν ἀπογυμνοῦντες. καὶ γὰρ καὶ τοῦτον ὀψόμεθα τὰ αὐτὰ δεδοικότα, καὶ οὐ δυνάμενον καθαρᾶς ἀπολαύειν ἡδονῆς. καὶ γὰρ καὶ τοὺς ἀδικουμένους ἐννοῶν, καὶ τοὺς συναλγοῦντας αὐτοῖς, καὶ τὴν κοινὴν ἁπάντων περὶ αὐτοῦ ψῆφον, μυρία κύματα ἔχει. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπὸν, ἀλλ' οὐδὲ τῆς ἐρωμένης ἀπολαῦσαι δύναται. τοιοῦτος γὰρ ὁ τῶν φιλαργύρων τρόπος· οὐχ ἵνα ἀπολαύωσιν ἔχουσιν, ἀλλ' ἵνα μὴ ἀπολαύωσιν. εἰ δὲ αἴνιγμά σοι τοῦτο εἶναι δοκεῖ, καὶ τὸ ἐπὶ τούτου χεῖρον καὶ ἀπορώτερον ἄκουε· ὅτι οὐ ταύτῃ μόνον ἐστέρηνται τῆς τῶν ὄντων ἡδονῆς, τῷ μὴ τολμᾶν αὐτοῖς χρῆσθαι, ὡς βούλονται, ἀλλὰ καὶ τῷ μηδέποτε αὐτῶν ἐμπίπλασθαι, ἀλλ' ἐν τῷ διψῆν εἶναι διηνεκῶς, οὗ τί γένοιτ' ἂν χαλεπώτερον; ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος, ἀλλὰ καὶ τρόμου καὶ μίσους καὶ φόβου καὶ τοῦ ἀνιάτου τούτου δίψους ἀπήλλακται· καὶ ὥσπερ ἐκείνῳ πάντες ἐπαρῶνται, οὕτω τούτῳ πάντες συνεύχονται· καὶ καθάπερ ἐκεῖνος οὐδένα κέκτηται φίλον, οὕτως οὗτος οὐδένα ἐχθρόν. τί τοίνυν, τούτων οὕτως ὡμολογημένων, ἢ κακίας ἀηδέστερον, ἢ ἀρετῆς ἥδιον γένοιτ' ἄν; μᾶλλον δὲ, κἂν μυρία εἴπωμεν, οὐδεὶς οὔτε ἐκείνης τὴν λύπην, οὔτε ταύτης τὴν ἡδονὴν παραστῆσαι δυνήσεται λόγῳ, ἕως ἂν αὐτῆς ἀπολαύσωμεν. τότε γὰρ καὶ πικρότερον χολῆς εὑρήσομεν τὴν κακίαν, ὅταν τοῦ τῆς ἀρετῆς ἀπογευσώμεθα μέλιτος. ἔστι μὲν γὰρ καὶ νῦν ἀηδὴς καὶ φορτικὴ καὶ ἐπαχθὴς, καὶ τοῦτο οὐδὲ αὐτοὶ οἱ θεραπεύοντες αὐτὴν ἀντερεῦσιν· ὅταν δὲ αὐτῆς ἀποστῶμεν, τότε αὐτῆς ἀκριβέστερον αἰσθανόμεθα τῶν πικρῶν ἐπιταγμάτων. εἰ δὲ οἱ πολλοὶ πρὸς αὐτὴν τρέχουσι, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ παῖδες πολλάκις τὰ ἧττον ἡδέα ἑλόμενοι, τῶν μειζόνως εὐφραινόντων καταφρονοῦσι· καὶ οἱ νοσοῦντες ὑπὲρ προσκαίρου χάριτος τὴν διηνεκῆ καὶ ἀσφαλεστέραν εὐφροσύνην ἀπώλεσαν. τοῦτο δὲ τῆς τῶν ἐρώντων ἀσθενείας τε καὶ ἀνοίας ἐστὶν, οὐ τῆς τῶν πραγμάτων φύσεως. ὁ γὰρ μεθ' ἡδονῆς ζῶν, ὁ ἐνάρετός ἐστιν, ὁ πλουτῶν ὄντως, καὶ ὄντως ἐλεύθερος ὤν. εἰ δέ τις τὰ μὲν ἄλλα συγχωροίη τῇ ἀρετῇ, ἐλευθερίαν, ἄδειαν, τὸ φροντίδων ἀπηλλάχθαι, τὸ μηδένα δεδοικέναι, τὸ μηδένα ὑποπτεύειν, τὴν δὲ ἡδονὴν μὴ συγχωροίη, καὶ γελάσαι μοι λοιπὸν δαψιλὲς ἐνταῦθα ἐπέρχεται. τί γὰρ ἕτερόν ἐστιν ἡδονὴ, ἢ τὸ φροντίδος ἀπηλλάχθαι καὶ φό-

γ. δυνατόν

βου

βου καὶ ἀθυμίας, καὶ πᾶσιν ἀχείρων ἐστί; τίς γὰρ ἐν ἡδονῇ, εἰπέ μοι, ὁ μαινόμενος καὶ σφαδάζων καὶ κεντούμενος ὑπὸ ἐπιθυμιῶν πολλῶν καὶ οὐδὲ ἐν ἑαυτῷ ὤν, ἢ ὁ τούτων πάντων ἀπηλλαγμένος τῶν κυμάτων, καὶ ὥσπερ ἐν λιμένι τῇ φιλοσοφίᾳ καθήμενος; οὐκ εὔδηλον ὅτι οὗτος; ἀλλὰ τῆς ἀρετῆς ἴδιον τοῦτο ἂν ἐφάνη. ὥστε ἡ κακία ὄνομα μόνον ἡδονῆς ἔχει, τοῦ δὲ πράγματός ἐστιν ἔρημος. καὶ πρὸ μὲν τῆς ἀπολαύσεως, μανία ἐστὶν, οὐχ ἡδονή· μετὰ δὲ τὴν ἀπόλαυσιν, εὐθέως καὶ αὐτὴ σβέννυται. Εἰ τοίνυν οὔτε ἐν ἀρχῇ, οὔτε μετὰ ταῦτά ἐστιν ἰδεῖν αὐτῆς τὴν ἡδονὴν, ποῦ φαίνεται, καὶ πότε; ἵνα δὲ σαφέστερον, ὃ λέγω, μάθῃς, ἐπὶ ὑποδείγματος τὸν λόγον γυμνάσωμεν. σκόπει δέ· ἠράσθη τις γυναικὸς ὡραίας καὶ εὐμόρφου· οὗτος ἕως μὲν ἂν μὴ ἐπιτύχῃ τοῦ ἔρωτος, τοῖς ἐξεστηκόσιν ἔοικε καὶ παραπαίουσιν· ἐπειδὰν δὲ ἐπιτύχῃ, ἔσβεσε τὴν ἐπιθυμίαν. Εἰ τοίνυν μήτε ἐν ἀρχῇ ἥδεται (μανία γὰρ τὸ πρᾶγμά ἐστι) μήτε ἐν τῷ τέλει (καταλύει γὰρ τῇ μίξει τὸν οἶστρον) ποῦ λοιπὸν αὐτὴν εὑρήσομεν; ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ καὶ ἐν ἀρχῇ ταραχῆς ἀπήλλακται πάσης, καὶ μέχρι τέλους ἀκμάζουσα μένει ἡ ἡδονή· μᾶλλον δὲ οὐδέ ἐστι τέλος τῆς ἡμῖν ἡδονῆς, οὐδὲ ἔχει πέρας ἡμῶν τὰ ἀγαθὰ, οὐδὲ καταλύεταί ποτε αὕτη ἡ ἡδονή. Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, εἴγε ἡδονῆς ἐρῶμεν, ἐπιλαβώμεθα ἀρετῆς, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κγ. 24 ΟΥΚ ΟΙΔΑΤΕ ΟΤΙ ΟΙ ΕΝ ΣΤΑΔΙΩ ΤΡΕΧΟΝΤΕΣ, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον;

Δείξας ὅτι πολὺ χρήσιμον τὸ συγκαταβαίνειν, καὶ τοῦτο ἡ ἄκρα τελειότης, καὶ ὅτι αὐτὸς πάντων πλέον πρὸς τὸ τέλειον ἀναβὰς, μᾶλλον δὲ καὶ ὑπερβὰς αὐτὸ τῷ μὴ λαμβάνειν, πάντων πλέον κατέβη πάλιν, καὶ ἑκατέρων τούτων τοὺς καιροὺς γνωρίμους ποιήσας ἡμῖν καὶ τῆς τελειότητος καὶ τῆς συγκαταβάσεως, πληκτικώτερον αὐτῶν καθάπτεται λοιπὸν, αἰνιττόμενος ὅτι τοῦτο τὸ παρ' αὐτῶν γινόμενον, καὶ δοκοῦν εἶναι τελειότητος, ματαιοπονία τίς ἐστι περιττή. καὶ οὐ λέγει μὲν αὐτὸ οὕτω σαφῶς, ἵνα μὴ ἀπαναισχυντήσωσι· δι' ὧν δὲ κατασκευάζει, τοῦτο δηλοῖ· καὶ εἰπὼν ὅτι εἰς τὸν Χριστὸν ἁμαρτάνουσι, καὶ τοὺς ἀδελφοὺς ἀπολλύουσι, καὶ οὐδὲν αὐτοῖς ὄφελος γίνεται ἀπὸ τῆς γνώσεως τῆς τελείας, ἐὰν μὴ ἀγάπη προσῇ, πάλιν ἐπὶ κοινὸν ἔρχεται παράδειγμα, καί φησιν· οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; τοῦτο δὲ λέγει, οὐχ ὡς καὶ ἐνταῦθα ἑνὸς ἐκ πάντων μέλλοντος σώζεσθαι, ἄπαγε, ἀλλ' ὡς πολλὴν ὀφειλόντων ἡμῶν εἰσενεγκεῖν τὴν σπουδήν. ὥσπερ γὰρ ἐκεῖ καμνόντων πολλῶν εἰς τὸ στάδιον, οὐ στεφανοῦνται πολλοὶ, ἀλλ' εἰς ἕνα τοῦτο περιίσταται, καὶ οὐκ ἀρκεῖ τὸ καθεῖναι εἰς τὸν ἀγῶνα, οὔτε τὸ ἀλείψασθαι καὶ παλαῖσαι· οὕτω καὶ ἐνταῦθα, οὐκ ἀρκεῖ τὸ πιστεῦσαι, καὶ ὡς ἔτυχεν ἀγωνίσασθαι, ἀλλὰ ἂν μὴ οὕτω δράμωμεν, ὡς μέχρι τέλους ἀλήπτους ἑαυτοὺς παρασχεῖν, καὶ ἐγγὺς γενέσθαι τοῦ βραβείου, οὐδὲν ἡμῖν ἔσται πλέον. Εἰ γὰρ καὶ τέλειον νομίζεις εἶναι σεαυτὸν κατὰ τὴν γνῶσιν, ἀλλ' οὐδέπω τοῦ παντὸς ἐπιλήψῃ, ὅπερ αἰνιττόμενος ἔλεγεν·

Οὕτω τρέχετε, ἵνα καταλάβητε. Οὐκ ἄρα που κατειληφότες ἦσαν. καὶ εἰπὼν, οὕτω, καὶ τὸν τρόπον διδάσκει·

25 Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. Τί ἐστι, πάντα; οὐχὶ τοῦδε μὲν ἀπέχεται, ἐν ἑτέρῳ δὲ διαμαρτάνει, ἀλλὰ καὶ γαστριμαργίας, καὶ λαγνείας, καὶ μέθης, καὶ πάντων ἁπλῶς κρατεῖ τῶν παθῶν. τοῦτο γάρ, φησι, καὶ ἐπὶ τῶν ἔξωθεν ἀγώνων γίνεται. οὐδὲ γὰρ

μεθύειν ἔξεστι τοῖς ἀγωνιζομένοις κατὰ τὸν καιρὸν τῆς ἀγωνίας, οὐδὲ πορνεύειν, ἵνα μὴ τὴν δύναμιν ἐκλύσωσιν, ἀλλ' οὐδὲ περὶ ἄλλο τι οὐδὲν ἠσχολῆσθαι, ἀλλὰ πάντων ἑαυτοὺς ἅπαξ ἀποστήσαντες, τοῖς γυμνασίοις μόνον προσέχουσιν. εἰ δὲ ἐκεῖ ταῦτα, ὅπου καὶ εἷς ἕνα ὁ στέφανος, πολλῷ μᾶλλον ἐνταῦθα, ὅπου καὶ πλείων ἡ φιλοτιμία. οὐδὲ γὰρ εἷς ὁ στεφανούμενος μόνος, καὶ τὰ ἔπαθλα δὲ πολὺ τῶν πόνων νικᾷ. διὸ καὶ ἐντρεπτικῶς αὐτὸ τίθησι, λέγων· Ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν· ἡμεῖς δὲ ἄφθαρτον. *(margin: χ. ἀγωνίας,)*

26 Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως. Ἐντρέψας γὰρ αὐτοὺς ἀπὸ τῶν ἔξωθεν, καὶ ἑαυτὸν εἰς μέσον ἄγει λοιπὸν, ὅπερ ἄριστος τρόπος διδασκαλίας ἐστί. διὸ καὶ πανταχοῦ φαίνεται τοῦτο ποιῶν. τί δέ ἐστιν, οὐκ ἀδήλως; πρός σκοπόν τινα βλέπων, φησίν, οὐκ εἰκῆ καὶ μάτην, καθάπερ ὑμεῖς. τί γὰρ ὑμῖν πλέον ἀπὸ τοῦ εἰς εἰδωλεῖα εἰσιέναι, καὶ τὴν τελειότητα δῆθεν ἐκείνην ἐπιδείκνυσθαι; οὐδέν. ἀλλ' οὐκ ἐγὼ τοιοῦτος, ἀλλὰ πάντα, ἅπερ ποιῶ, ὑπὲρ τῆς τῶν πλησίον σωτηρίας ποιῶ. κἂν τελειότητα ἐπιδείξωμαι, δι' αὐτούς· κἂν συγκατάβασιν, δι' αὐτούς· κἂν ὑπερβῶ Πέτρον ἐν τῷ μὴ λαμβάνειν, ἵνα μὴ σκανδαλισθῶσι· κἂν καταβῶ πλέον πάντων, περιτεμνόμενος καὶ ξυρώμενος, ἵνα μὴ ὑποσκελισθῶσι. τοῦτό ἐστιν, οὐκ ἀδήλως. σὺ δὲ διὰ τί ἐσθίεις ἐν εἰδωλείοις, εἰπέ μοι; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν αἰτίαν εὔλογον οὐδεμίαν. Βρῶμα γάρ σε οὐ παρίστησι τῷ Θεῷ· οὔτε ἐὰν φάγῃς, περισσεύεις, οὔτε ἐὰν μὴ φάγῃς, ὑστερῇ. οὐκοῦν ἁπλῶς καὶ ὡς ἔτυχε τρέχεις. τοῦτο γάρ ἐστιν, ἀδήλως. Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. *(margin: α. Κορ. η. η.)*

Πάλιν δὲ οὐκ εἰκῆ καὶ μάτην ἀντιθέμενος, τοῦτό φησιν. ἔχω γὰρ ὃν πλήξω, τουτέστι, τὸν διάβολον· σὺ δὲ αὐτὸν οὐ πλήττεις, ἀλλ' ἁπλῶς ἐκχεῖς σαυτοῦ τὴν ἰσχύν. τέως μὲν οὖν αὐτοὺς διαβαστάζων, οὕτω φησίν. ἐπειδὴ γὰρ σφοδροτέρως αὐτοῖς ἐχρήσατο ἐν τοῖς ἔμπροσθεν, πάλιν κατέχει τὴν ἐπιτίμησιν, τῷ τέλει τοῦ λόγου τηρῶν τὴν βαθεῖαν τομήν. ἐνταῦθα μὲν γάρ φησιν, ὅτι εἰκῆ καὶ μάτην ποιοῦσιν· ὕστερον δὲ δείκνυσιν, ὅτι καὶ ἐπ' ὀλέθρῳ πολλῷ τῆς ἑαυτῶν κεφαλῆς, καὶ ὅλως καὶ χωρὶς τῆς βλάβης τῶν ἀδελφῶν, οὐδὲ αὐτοὶ λυσιτελοῦσι ταῦτα τολμῶντες. *(margin: ἴσ. ἐκχεῖς; χ. λέγει.)*

27 Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Ἐνταῦθα δείκνυσι καὶ ὑπὸ ἐπιθυμίας γαστρὸς κατεχομένους, καὶ ἀνιέντας αὐτῇ τὰς ἡνίας, καὶ προσχήματι τελειότητος τὴν γαστριμαργίαν τὴν ἑαυτῶν πληροῦντας· ὃ καὶ ἄνωθεν ὤδινεν εἰπεῖν, ὅτε ἔλεγε, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. ἐπειδὴ γὰρ καὶ πορνείαν πεφυκὴ ποιεῖ, καὶ εἰδωλολατρείαν τοῦτ' ἔτεκεν, εἰκότως πολλαχοῦ καθικνεῖται τοῦ νοσήματος· καὶ δεικνὺς ὅσα ἔπαθε διὰ τὸ εὐαγγέλιον, καὶ τοῦτο μετ' ἐκείνων τίθησιν. ὥσπερ γάρ φησιν, ὑπερέβην τὰ προστάγματα, καὶ ταῦτα οὐ κρυφθέ μοι τοῦ προστάγματος ὄντος (καὶ γὰρ πάντα γέγονα, φησιν) οὕτω καὶ ἐνταῦθα πολὺν ὑπομένω πόνον ὥστε σωφρόνως ζῆν. εἰ γὰρ καὶ δυσένδοτος ἡ ἐπιθυμία καὶ ἡ τῆς γαστρὸς τυραννίς, ἀλλ' ὅμως αὐτὴν χαλινῶ, καὶ οὐκ ἐκδίδωμι ἐμαυτὸν τῷ πάθει, ἀλλὰ πάντα ὑπομένω πόνον, ὥστε μὴ παρασυρῆναι. μὴ γὰρ δὴ νομίσητε ἀπραγμόνως με ταῦτα κατορθοῦν. καὶ γὰρ δρόμος ἐστὶ, καὶ παγκράτιον, καὶ φύσεως τυραννὶς κατεξανισταμένη συνεχῶς καὶ ἐλευθεριάζειν βουλομένη. ἀλλ' οὐκ ἀνέχομαι, ἀλλὰ καταστέλλω, καὶ ὑποτάττω μετὰ πολλῶν τῶν ἱδρώτων αὐτήν. ταῦτα δὲ λέγει, ἵνα μηδεὶς ἀπογινώσκῃ τῶν ὑπὲρ ἀρετῆς ἀγώνων, ἐπειδὴ τὸ πρᾶγμα ἐπίπονον. διό φησιν, ὑπωπιάζω καὶ δουλαγωγῶ. οὐκ εἶπεν, ἀναιρῶ* (οὐδὲ γὰρ ἐχθρὰ ἡ σάρξ) ἀλλ' ὑπωπιάζω καὶ δουλαγωγῶ, ὃ δεσπότου ἐστὶν, οὐ πολεμίου· διδασκάλου, οὐκ ἐχθροῦ· παιδοτρίβου, οὐκ ἐπιβούλου. μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. εἰ δὲ Παῦλος τοῦτο δέδοικεν ὁ τοσούτους διδάξας, καὶ δέδοικε μετὰ τὸ κηρύξαι καὶ γενέσθαι ἄγγελος καὶ τῆς οἰκουμένης τὴν προστασίαν ἐπιδείξασθαι, τί ἂν εἴποιμεν ἡμεῖς; *(margin: χ. δυσένωτος; χ. πόνον.; * ὑπωπιάζω; ἴσ. ἐπιδείξασθαι,)*

μὴ

μὴ γὰρ δὴ νομίσητε, φησὶν, ἐπειδὴ ἐπιστεύσατε, ὅτι ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ὑμῖν. εἰ γὰρ ἐμοὶ τὸ κηρῦξαι, τὸ διδάξαι, τὸ μυρίους προσαγαγεῖν οὐκ ἀρκεῖ εἰς σωτηρίαν, εἰ μὴ καὶ τὰ κατ' ἐμαυτὸν παράσχοιμι ἄληπτα, πολλῷ μᾶλλον ὑμῖν. εἶτα ἐφ' ἕτερα ὑποδείγματα ἔρχεται πάλιν· καὶ ὥσπερ ἀνωτέρω τὰ τῶν ἀποστόλων, καὶ τὰ τῆς κοινῆς συνηθείας, καὶ τὰ τῶν ἱερέων, καὶ τὰ ἑαυτοῦ τέθεικεν, οὕτω καὶ ἐνταῦθα τὰ τῶν Ὀλυμπιακῶν ἀγώνων καὶ τὰ περὶ ἑαυτοῦ θεὶς, πάλιν ἐπὶ τὰς τῆς παλαιᾶς παρέλθῃ ἱστορίας. καὶ ἐπειδὴ μέλλει φορτικώτερον ποιεῖν τὸν λόγον, κοινὴν ποιεῖται τὴν παραίνεσιν, καὶ οὐ περὶ τῶν προκειμένων μόνον, ἀλλὰ καὶ περὶ πάντων ἁπλῶς τῶν παρὰ Κορινθίοις νοσημάτων διαλέγεται. καὶ ἐπὶ μὲν τῶν ἔξωθεν ἀγώνων, οὐκ οἴδατέ, φησιν; ἐνταῦθα δὲ,

1 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί. Τοῦτο δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ σφόδρα ἦσαν ταῦτα πεπαιδευμένοι. καὶ τί τοῦτο ἐστὶν, ὅπερ οὐ θέλεις ἡμᾶς ἀγνοεῖν; κεφ. ι.

Ὅτι οἱ πατέρες ἡμῶν πάντες, φησὶν, ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ διὰ τῆς θαλάσσης διῆλθον,

2 Καὶ εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ,

3 Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, 4 Καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. 5 Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ Θεός. Καὶ τίνος ἕνεκεν ταῦτα λέγει; ἵνα δείξῃ, ὅτι ὥσπερ ἐκείνους οὐκ ὤνησε τὸ τοσαύτης ἀπολαῦσαι δωρεᾶς, οὕτως οὐδὲ τούτους τὸ βαπτίσματος τυχεῖν καὶ μυστηρίων πνευματικῶν ἀπολαῦσαι, εἰ μὴ μέλλοιεν ἄξιον τῆς χάριτος ἐπιδείκνυσθαι βίον. διὸ καὶ τοὺς τοῦ βαπτίσματος, καὶ τοὺς τῶν μυστηρίων παράγει τύπους. τί δέ ἐστιν, εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο; καθάπερ ὑμεῖς τῷ Χριστῷ πιστεύσαντες καὶ τῇ ἀναστάσει αὐτοῦ, βαπτιζόμεθα, ὡς καὶ αὐτοὶ τῶν αὐτῶν μυστηρίων κοινωνήσοντες (βαπτιζόμεθα γάρ, φησιν, ὑπὲρ τῶν νεκρῶν, τουτέστι, τῶν σωμάτων τῶν ἡμετέρων) οὕτω κἀκεῖνοι θαρρήσαντες τῷ Μωϋσεῖ, τουτέστιν, ἰδόντες αὐτὸν διαβάντα πρότερον, κατετόλμησαν καὶ αὐτοὶ τῶν ὑδάτων. ἀλλ' ἐπειδὴ βούλεται τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἀγαγεῖν, οὐ λέγει οὕτως, ἀλλὰ τοῖς τῆς ἀληθείας ὀνόμασι κέχρηται καὶ ἐπὶ τοῦ τύπου. καὶ τοῦτο μὲν τοῦ λουτροῦ σύμβολον· τὰ δὲ μετὰ ταῦτα, τῆς ἱερᾶς τραπέζης. καθάπερ γὰρ σὺ τὸ σῶμα ἐσθίεις τὸ δεσποτικὸν, οὕτως ἐκεῖνοι τὸ μάννα· καὶ ὥσπερ σὺ τὸ αἷμα πίνεις, οὕτως ἐκεῖνοι ὕδωρ ἐκ πέτρας. εἰ γὰρ καὶ αἰσθητὰ ἦν τὰ γινόμενα, ἀλλὰ πνευματικῶς παρείχετο, οὐ κατὰ φύσεως ἀκολουθίαν, ἀλλὰ κατὰ δωρεᾶς χάριν, καὶ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν ἔτρεφεν εἰς πίστιν ἐνάγοντα. διά τοι τοῦτο, περὶ μὲν τῆς τροφῆς οὐδὲν εἶπεν (ἐξηλλαγμένη γὰρ ἦν, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῇ φύσει. μάννα γὰρ ἦν) ἐπὶ δὲ τοῦ ποτοῦ ἐπειδὴ ὁ τρόπος τῆς χορηγίας μόνος ἦν ὁ παράδοξος καὶ κατασκευῆς ἐδεήθη, διόπερ εἰπὼν, ὅτι τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ἐπήγαγεν· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, καὶ προσέθηκεν, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. οὐ γὰρ ἡ τῆς πέτρας φύσις τὸ ὕδωρ ἠφίει, φησὶν (ἢ γὰρ ἂν καὶ πρὸ τούτου ἀνέβλυζεν) ἀλλ' ἑτέρα τις πέτρα πνευματικὴ τὸ πᾶν εἰργάζετο, τουτέστιν, ὁ Χριστὸς ὁ πανταχοῦ αὐτοῖς παρὼν, καὶ πάντα θαυματουργῶν. διὰ γὰρ τοῦτο εἶπεν, ἀκολουθούσης. εἶδες Παύλου σοφίαν, πῶς ἑκατέρων αὐτὸν ὄντα χορηγὸν δείκνυσι, καὶ ταύτῃ τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἄγων; ὁ γὰρ ἐκεῖνα παρασχὼν ἐκείνοις, φησὶν, οὗτος καὶ ταύτην κατεσκεύασε τὴν τράπεζαν· καὶ ὁ αὐτὸς κἀκείνους διὰ τῆς θαλάττης, καὶ σὲ διὰ τοῦ βαπτίσματος ἤγαγε· κἀκείνοις μάννα καὶ ὕδωρ, καὶ σοὶ σῶμα καὶ αἷμα παρέσχε. καὶ τὰ μὲν τῆς δωρεᾶς αὐτοῦ, τοιαῦτα· ἴδωμεν δὲ καὶ τὰ ἑξῆς, καὶ σκοπήσωμεν, εἰ τῆς δωρεᾶς ἀναξίων φανέντων τούτων, ἐφείσατο. ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο εἰπεῖν. διὸ καὶ ἐπήγαγεν, ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ Θεός, καίτοιγε τιμήσας αὐτοὺς τοσαύτῃ τιμῇ. ἀλλ' οὐδὲν αὐτοὺς

α. Κορ. ιε. κθ.

γ. πῶμα

τοῦτο ὤνησεν, ἀλλ' οἱ πλείους ἀπώλοντο. καὶ μὴν πάντες ἀπώλοντο· ἀλλ' ἵνα μὴ δόξῃ καὶ τούτοις πανωλεθρίαν προφητεύειν, διὰ τοῦτο εἶπεν, οἱ πλείους. καίτοιγε ἄπειροι ἦσαν, ἀλλ' οὐδὲν τὸ πλῆθος ὠφέλησε· καὶ πάντα ἐκεῖνα ἀγάπης τεκμήρια ἦν, ἀλλ' οὐδὲ τοῦτο αὐτοὺς ὤνησεν, ἐπειδὴ μηδὲ αὐτοὶ τὰ τῆς ἀγάπης ἐπεδείκνυντο. ἐπειδὴ γὰρ τοῖς περὶ γεέννης λόγοις οἱ πολλοὶ διαπιστοῦσιν, ἅτε μὴ προσοῦσι μηδὲ φαινομένοις, ἀπὸ τῶν ἤδη γεγενημένων δείκνυσιν, ὅτι κολάζει τοὺς ἁμαρτάνοντας ὁ Θεός, κἂν μυριάκις εὐεργετηκὼς ᾖ. εἰ γὰρ καὶ τοῖς μέλλουσιν ἀπιστεῖτε, φησιν, ἀλλ' οὐ δήπου καὶ τοῖς γεγενημένοις ἀπιστήσετε. σκοπεῖτε γοῦν ἡλίκα εὐεργέτησε τούτους· Αἰγύπτου καὶ τῆς ἐκεῖ δουλείας ἀπήλλαξε, τὴν θάλασσαν ὑπεστόρεσεν, ἐξ οὐρανοῦ μάννα κατήνεγκε, κάτωθεν ὑδάτων πηγὰς ξένας καὶ παραδόξους ἀνῆκε, περιὼν αὐτοῖς πανταχοῦ θαυματουργῶν, καὶ πάντοθεν αὐτοὺς τειχίζων· ἀλλ' ὅμως, ἐπειδὴ τῆς δωρεᾶς ταύτης οὐδὲν ἄξιον ἐπεδείξαντο, οὐκ ἐφείσατο αὐτῶν, ἀλλ' ἀπώλεσεν ἅπαντας. Κατεστρώθησαν γάρ, φησιν, ἐν τῇ ἐρήμῳ,

Τήν τε ἀθρόαν αὐτῶν ἀπώλειαν, καὶ τὰς κολάσεις, καὶ τὰς τιμωρίας τὰς θεηλάτους ἐμφαίνων διὰ τῆς λέξεως ταύτης, καὶ ὅτι οὐδὲ τῶν προκειμένων ἐπάθλων ἐπέτυχον. οὐδὲ γὰρ ἐν τῇ γῇ τῆς ἐπαγγελίας ταῦτα αὐτοὺς εἰργάσατο, ἀλλ' ἔξω καὶ πόρρω που καὶ μακρὰν τῆς χώρας ἐκείνης, διπλῇ τιμωρίᾳ κολάσας, καὶ τῷ μὴ συγχωρῆσαι τὴν γῆν ἰδεῖν, καὶ ταῦτα ἐπηγγελμένην αὐτοῖς, καὶ τῷ κολάσαι χαλεπῶς. καὶ τί πρὸς ἡμᾶς ταῦτα, φησί; πρὸς σὲ μὲν οὖν. διὸ καὶ ἐπήγαγε,

6 Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν. Ὥσπερ γὰρ αἱ δωρεαί, τύποι, οὕτω καὶ αἱ κολάσεις, τύποι· καὶ ὥσπερ τὸ βάπτισμα καὶ ἡ τράπεζα προδιεγράφετο, οὕτω διὰ τῶν μετὰ ταῦτα, ὅτι καὶ κολασθήσονται οἱ ταύτης ἀνάξιοι τῆς δωρεᾶς, προανεφώνησε δι' ἡμᾶς, ὥστε σωφρονεστέρους γενέσθαι τοῖς παραδείγμασιν ἐκείνοις. διὸ καὶ ἐπήγαγεν,

Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.

Ὥσπερ γὰρ ἐν ταῖς εὐεργεσίαις οἱ τύποι προέλαβον, καὶ ἠκολούθησεν ἡ ἀλήθεια, οὕτω καὶ ἐν ταῖς τιμωρίαις ἔσται. ὁρᾷς πῶς δείκνυσιν, οὐχ ὅτι κολασθήσονται μόνον, ἀλλ' ὅτι καὶ μειζόνως, ἢ ἐκεῖνοι; εἰ γὰρ τὸ μὲν τύπος, τὸ δὲ ἀλήθεια, ἀνάγκη καὶ ἐν ταῖς τιμωρίαις πολλὴν εἶναι τὴν ὑπεροχήν, ὥσπερ καὶ ἐν ταῖς δωρεαῖς. καὶ σκόπει τίνων καθάπτεται πρῶτον· τῶν ἐν τοῖς εἰδωλείοις ἐσθιόντων. εἰπὼν γάρ, μὴ εἶναι ἐπιθυμητὰς κακῶν, ὅπερ ἦν καθολικόν, ἐπάγει τὸ κατ' εἶδος, δεικνὺς ὅτι ἕκαστον τῶν ἁμαρτημάτων ἐκ πονηρᾶς γίνεται ἐπιθυμίας. καὶ πρῶτον τοῦτο ἔφη,

7 Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· ὥσπερ γέγραπται, ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. Ἤκουσας πῶς λοιπὸν τὸ εἰδωλολάτρας καλεῖ; ἀλλ' ἐνταῦθα μὲν ἀποφαινόμενος, ὕστερον δὲ καὶ κατασκευάζων. καὶ τὴν αἰτίαν δὲ τίθησι, δι' ἣν εἰς τὰς τραπέζας ἐκείνας ἔτρεχον· αὕτη δὲ ἦν ἡ γαστριμαργία. διόπερ εἰπών, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καὶ ἐπαγαγών, μηδὲ εἰδωλολάτρας γίνεσθαι, τὴν αἰτίαν τῆς τοιαύτης παρανομίας τίθησιν. αὕτη δὲ ἦν ἡ γαστριμαργία. ἐκάθισε γάρ, φησιν, ὁ λαὸς φαγεῖν καὶ πιεῖν. καὶ τὸ ἐξ αὐτῆς τέλος προστίθησιν, ὅτι ἀνέστησαν παίζειν. ὥσπερ γὰρ ἐκεῖνοι, φησιν, ἀπὸ τρυφῆς εἰς εἰδωλολατρείαν ἐξέπεσαν, οὕτω δέος μὴ καὶ ὑμεῖς ἐντεῦθεν ἐκεῖ πέσητε. εἶδες πῶς ἔδειξε τοὺς δῆθεν τελείους τούτους ἐκείνων ἀτελεστέρους; οὓς ἐπέπληττεν οὐ τούτῳ μόνον τῷ μὴ διαβαστάζειν, ἀλλὰ καὶ τῷ τοὺς μὲν ἀπὸ ἀγνοίας, τοὺς δὲ ἀπὸ γαστριμαργίας ἁμαρτάνειν. καὶ τῆς μὲν ἐκείνων ἀπωλείας τὴν κόλασιν τούτοις λογίζεται, τούτους δὲ οὐκ ἀφίησιν εἰς ἕτερον ἀνενεγκεῖν τῆς οἰκείας ἁμαρτίας τὴν πρόφασιν, ἀλλὰ καὶ τῆς ἐκείνων βλάβης, καὶ τῆς ἑαυτῶν αὐτοὺς ὑπευθύνους ἀποφαίνεται.

8 Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν. Τίνος ἕνεκεν τῆς πορνείας

ἐνταῦθα

ἐνταῦθα μέμνηται πάλιν, τοσαῦτα περὶ αὐτῆς ἔμπροσθεν διαλεχθείς; ἔθος ἀεὶ τῷ Παύλῳ, ὅταν ὑπὲρ πολλῶν ἁμαρτημάτων ἐγκαλῇ, καὶ τάξει αὐτὰ διαιρεθῆναι καὶ καθ᾽ ἕκαστον ἐπιέναι τοῖς προκειμένοις, καὶ πάλιν ἐν τοῖς περὶ ἑτέρων λόγοις καὶ τῶν προτέρων μεμνῆσθαι· ὃ δὴ καὶ ὁ Θεὸς ἐποίει ἐπὶ τῆς παλαιᾶς, καθ᾽ ἕκαστον τῶν πεπλημμελημένων ἀναμιμνήσκων τοῦ μόσχου τοὺς Ἰουδαίους, καὶ τὴν ἁμαρτίαν ἐκείνην εἰς μέσον ἄγων. τοῦτο τοίνυν καὶ ὁ Παῦλος ἐνταῦθα ποιεῖ, ὁμοῦ τε ἐκείνης αὐτοὺς ἀναμιμνήσκων τῆς ἁμαρτίας, καὶ διδάσκων, ὅτι καὶ τοῦτο ἐτέχθη τὸ κακὸν ἀπὸ τρυφῆς καὶ γαστριμαργίας. διὸ καὶ ἐπήγαγε, μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, Καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες.

Καὶ διατί μὴ εἴρηκε καὶ τὴν ἐπὶ τῆς εἰδωλολατρείας κόλασιν; ἢ ἐπειδὴ δήλη ἦν καὶ σαφεστέρα; ἢ ἐπειδὴ πληγὴ τοσαύτη οὐ γέγονε τότε, ὅση ἐπὶ τοῦ Βαλαάμ, ἡνίκα ἐτελέσθησαν τῷ Βεελφεγώρ, τῶν Μαδιανιτίδων γυναικῶν ἐπὶ τῆς παρατάξεως φανεισῶν καὶ ἐφελκυσαμένων αὐτοὺς εἰς ἀσέλγειαν κατὰ τὴν συμβουλὴν Βαλαάμ; ὅτι γὰρ τοῦ Βαλαὰμ ἦν ἡ πονηρὰ αὕτη συμβουλή, δηλοῖ Μωϋσῆς μετὰ ταῦτα λέγων οὕτω πρὸς τῷ τέλει τοῦ βιβλίου τῶν Ἀριθμῶν· Καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν τῷ πολέμῳ Μαδιὰμ μετὰ τῶν γυναικῶν, καὶ ἦγαγον τὰ σκῦλα· καὶ ὠργίσθη Μωϋσῆς, καὶ εἶπεν· ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ; αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ εἰς σκάνδαλον, κατὰ τὸ ῥῆμα Βαλαάμ, τοῦ ἀποστῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Φεγώρ. — Ἀριθ. λά. ή.

γρ. παιμαπῶν,

9 Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθὼς καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. Διὰ τοῦτο πάλιν ἕτερον αἰνίττεται ἔγκλημα, ὃ καὶ πρὸς τῷ τέλει τίθησιν, ἐγκαλῶν αὐτοῖς, ὅτι περὶ σημείων ἐμάχοντο, καὶ τῶν πειρασμῶν δὲ ἕνεκεν ἐγόγγυζον λέγοντες, πότε ἥξει τὰ ἀγαθά, πότε τὰ ἔπαθλα; διὸ καὶ ἐπάγει τούτων ἕνεκεν διορθούμενος αὐτούς, καὶ φοβῶν·

γρ. ἐξελύοντο

10 Μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. Οὐδὲ γάρ ἐστι τὸ ζητούμενον μόνον, τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὸ γενναίως τὰ ἐπιόντα φέρειν, καὶ μετὰ ἡδονῆς ἁπάσης. τοῦτο γάρ ἐστι, στέφανος ἅπας. ὡς ἂν μὴ τοῦτο ᾖ, καὶ κόλασις ἕψεται τοῖς δυσαναχετοῦσι. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι μαστιζόμενοι ἔχαιρον, καὶ Παῦλος ἐν τοῖς παθήμασιν ἐκαυχᾶτο.

11 Πάντα δὲ ταῦτα τυπικῶς συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. Πάλιν φοβεῖ, τὰ τέλη λέγων, καὶ μείζονα τῶν γεγενημένων προσδοκᾷν παρασκευάζει. ὅτι μὲν γὰρ δώσομεν δίκην, ἀπὸ τῶν εἰρημένων, φησί, δῆλον καὶ τοῖς ἀπιστοῦσι τοῖς περὶ γεέννης λόγοις· ὅτι δὲ καὶ χαλεπωτέραν, ἀφ᾽ ὧν πλειόνων ἀπηλαύσαμεν εὐεργεσιῶν, καὶ ἀφ᾽ ὧν ἐκεῖνα τύποι. εἰ γὰρ ἐν ταῖς δωρεαῖς ὑπεροχή, εὔδηλον ὅτι καὶ ἐν τῇ τιμωρίᾳ. διὰ τοῦτο καὶ τύπους ἐκάλεσε, καὶ δι᾽ ἡμᾶς γεγράφθαι ἔφη, καὶ τέλους ἐμνημόνευσεν, ἵνα ἀναμνήσῃ τῆς συντελείας. οὐ γὰρ τοιαῦται τότε αἱ τιμωρίαι, ὡς καὶ πέρας λαμβάνειν καὶ καταλύεσθαι, ἀλλ᾽ αἰώνιος ἡ κόλασις. ὥσπερ γὰρ αἱ ἐνταῦθα κολάσεις τῷ παρόντι συγκαταλύονται βίῳ, οὕτως αἱ ἐκεῖ διηνεκῶς μένουσιν. ὅταν δὲ εἴπῃ τὰ τέλη τῶν αἰώνων, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἐφέστηκε λοιπὸν τὸ δικαστήριον τὸ φοβερόν.

γρ. τέλη

12 Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. Πάλιν αὐτῶν τὸν τῦφον καθαιρεῖ τῶν ἐπὶ τῇ γνώσει μέγα φρονούντων. εἰ γὰρ οἱ τοσούτων ἀπολαύσαντες τοιαῦτα ἔπαθον, καὶ οἱ μὲν ὑπὲρ γογγυσμοῦ μόνου τοιαύτην ἔδοσαν δίκην, οἱ δὲ ὑπὲρ τοῦ πειράσαι, καὶ οὔτε τὸ πλῆθος ἐδυσώπησε τὸν Θεόν, οὔτε τὸ τοιούτων ἐπιτυχεῖν, πολλῷ μᾶλλον ἐφ᾽ ἡμῶν, ἂν μὴ νήφωμεν, τοῦτο ἔσται. καὶ καλῶς εἶπεν, ὁ δοκῶν ἑστάναι. τοῦτο γὰρ οὐδὲ ἑστάναι ἐστίν, ὡς ἑστάναι χρή, τὸ θαρρεῖν ἑαυτῷ. ταχέως γὰρ ὁ τοιοῦτος πεσεῖται· ἐπεὶ καὶ ἐκεῖνοι, εἰ μὴ μέγα ἐφρόνησαν καὶ ἐθάῤῥησαν, ἀλλ᾽ ἦσαν κατεσταλμένοι, οὐκ ἂν ταῦτα ἔπαθον. ὅθεν δῆλον,

ὅτι

ὅτι ἀλαζονεία μάλιστα καὶ ῥαθυμία ἑξῆς καὶ ἡ γαστριμαργία, τούτων εἰσὶν αἱ πηγαὶ τῶν κακῶν. ὥστε εἰ καὶ ἕστηκας, φυλάττου τὸ μὴ πεσεῖν. τὸ γὰρ ἐνταῦθα στῆναι, οὐκ ἔστιν ἑστάναι βεβαίως, ἕως ἂν ἀπαλλαγῶμεν τῶν κυμάτων τοῦ παρόντος βίου, καὶ πρὸς τὸν εὔδιον καταπλεύσωμεν λιμένα. χ. εὔδιον

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἐπὶ τῇ στάσει φρόνει μέγα, ἀλλὰ φυλάττου τὴν πτῶσιν. εἰ γὰρ Παῦλος δέδοικεν ὁ πάντων στερρότερος, πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρή. ὁ μὲν οὖν ἀπόστολος ἔλεγεν, ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· ἡμεῖς δὲ οὐδὲ τοῦτο δυνάμεθα εἰπεῖν, πάντων, ὡς εἰπεῖν, πεπτωκότων καὶ κατεστρωμένων καὶ χαμαὶ κειμένων. τίνι γὰρ εἴπω τοῦτο; τῷ ἁρπάζοντι καθ᾽ ἑκάστην ἡμέραν; ἀλλὰ κεῖται μέγα πτῶμα πεσών. ἀλλὰ τῷ πόρνῳ; ἀλλὰ ἔρριπται χαμαί. ἀλλὰ τῷ μεθύοντι; ἀλλὰ καὶ αὐτὸς κεῖται· καὶ οὐδὲ, ὅτι κεῖται, οἶδεν. ὥστε οὐ τούτου καιρὸς τοῦ ῥήματος, ἀλλ᾽ ἐκείνου τοῦ προφητικοῦ, ὃ καὶ (χ. εἶδεν) (Ψαλ. μ. θ.) πρὸς Ἰουδαίους ἔλεγε· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ γὰρ ἅπαντες κεῖνται, καὶ ἀναστῆναι οὐ βούλονται. ὥστε ἡ προτροπὴ ἡμῖν, οὐχ ὑπὲρ τοῦ μὴ πεσεῖν, ἀλλ᾽ ὑπὲρ τοῦ τοὺς κειμένους δυνηθῆναι ἀναστῆναι. ἀναστῶμεν τοίνυν ὀψὲ γοῦν ποτε, ἀγαπητοί, ἀναστῶμεν, καὶ στῶμεν γενναίως. μέχρι τίνος κείμεθα; μέχρι τίνος μεθύομεν, τῇ πολλῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ κεκαρωμένοι; εὔκαιρον καὶ νῦν εἰπεῖν, πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι; οὕτω πάντες καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν διδασκαλίαν εἰσὶ κεκωφωμένοι, καὶ πολλῶν ἐντεῦθεν ἐμπεπλησμένοι κακῶν. καὶ εἰ τὰς ψυχὰς γυμνὰς ἦν ἰδεῖν, καθάπερ ἐπὶ τῶν στρατοπέδων τῆς συμβολῆς παρελθούσης τοὺς μὲν νεκροὺς ἔστι θεάσασθαι, τοὺς δὲ τετραυματισμένους, οὕτω καὶ ἐπὶ τῆς ἐκκλησίας εἴδομεν ἄν. διὸ δέομαι καὶ παρακαλῶ, χεῖρα ἀλλήλοις ὀρέξωμεν, καὶ διαναστῶμεν. καὶ γὰρ καὶ ἐγὼ τῶν πεπληγότων εἰμὶ, καὶ δεομένων τοῦ φάρμακα ἐπιθήσοντος. ἀλλὰ μὴ ἀπογνῶτε διὰ τοῦτο. εἰ γὰρ καὶ χαλεπαὶ αἱ πληγαὶ, ἀλλ᾽ οὐκ ἀνίατοι. τοιοῦτος ἡμῶν ὁ ἰατρός· μόνον αἰσθώμεθα τῶν τραυμάτων. κἂν εἰς αὐτὸ τὸ ἔσχατον ἔλθωμεν τῆς κακίας, πολλὰς ὁδοὺς τέμνει σωτηρίας ἡμῖν. κἂν γὰρ τῷ πλησίον ἀφῇς ὀργήν, (Ματθ. ϛ. ιδ.) ἀφεθήσεταί σοι πλημμελήματα. Ἐὰν γὰρ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις, ἀφήσει καὶ (Δαν. δ. κδ.) ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. κἂν ἐλεημοσύνην δῷς, συγχωρήσει σοι τὰ ἁμαρτήματα. Τὰς γὰρ ἀνομίας σου, φησὶν, ἐν ἐλεημοσύναις λύτρωσαι. κἂν εὔξῃ σπουδαίως, ἀπολαύσεις ἀφέσεως. καὶ τοῦτο δείκνυσιν ἡ χήρα ἡ τὸν ὠμὸν ἐκεῖνον δικαστὴν ἐπικάμψασα τῇ συνεχείᾳ (Ησ. μγ. κϛ.) τῆς ἐντεύξεως. κἂν κατηγορήσῃς τῶν ἁμαρτημάτων, ἔχεις παραμυθίαν. Λέγε γὰρ σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. κἂν σκυθρωπάσῃς ὑπὲρ τούτων, καὶ τοῦτό σοι (Ησ. νζ. ιζ.) φάρμακον ἔσται μέγιστον. Εἶδον γὰρ, φησὶν, ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. κἂν κακόν τι παθὼν, γενναίως ἐνέγκῃς, τὸ πᾶν ἀπεδύσω. τοῦτο γὰρ καὶ (χ. ἐνέγκοις) πρὸς τὸν πλούσιον ὁ Ἀβραὰμ ἔλεγεν, ὅτι ἀπέλαβε Λάζαρος τὰ κακὰ αὐτοῦ, καὶ ἐνταῦθα (Ησ. α. ιζ.) παρακαλεῖται. κἂν χήραν ἐλεήσῃς, πλύνεταί σου τὰ ἁμαρτήματα. Κρίνατε γὰρ, (χ. σοι) φησὶν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος. καὶ, Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. οὐδὲ γὰρ οὐλὴν τῶν τραυμάτων ἀφίησι φανῆναι. ἀλλὰ κἂν εἰς ἐκεῖνο ἔλθωμεν τὸ βάθος τῶν κακῶν, εἰς ὃ κατέπεσεν ὁ τὰ πατρῷα κατεδηδοκὼς καὶ κεράτια ἐσθίων, καὶ μετανοήσωμεν, σωζόμεθα πάντως. κἂν μυρία τάλαντα ὀφείλωμεν, καὶ προσπέσωμεν, καὶ μὴ μνησικακήσωμεν, πάντα ἡμῖν ἀφίεται. κἂν ἐκεῖσε ἀποπλανηθῶμεν, οὗ τὸ πρόβατον ἀπεβουκολήθη, κἀκεῖθεν ἡμᾶς ἀνακαλεῖται· μόνον βουληθῶμεν, ἀγαπητοί. φιλάνθρωπος γὰρ ὁ Θεός. διὰ τοῦτο καὶ ἐπὶ τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος τῇ προσπτώσει ἠρκέσθη, καὶ ἐπὶ τοῦ τὰ πατρῷα κατεδηδοκότος τῇ ἐπανόδῳ μόνῃ, καὶ ἐπὶ τοῦ προβάτου τῷ βουληθῆναι βαστασθῆναι. ἐννοήσαντες τοίνυν τὸ μέγεθος αὐτοῦ τῆς φιλανθρωπίας,

θεραπείας, ἐνταῦθα αὐτὸν ποιήσωμεν ἵλεων ἡμῖν, καὶ προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἵνα μὴ ἀπελθόντες ἐκεῖθεν ἀναπολόγητοι, τὴν ἐσχάτην ὑπομείνωμεν τιμωρίαν. ἂν μὲν γὰρ κατὰ τὸν παρόντα βίον ἐπιδειξώμεθα σπουδὴν κἂν τὴν τυχοῦσαν, τὰ μέγιστα κερδανοῦμεν· ἂν δὲ μηδὲν ἐνταῦθα γενόμενοι βελτίους ἀπέλθωμεν, κἂν σφοδρότερον ἐκεῖ μετανοήσωμεν, οὐδὲν ἡμῖν ἔσται πλέον. καὶ γὰρ ἔδει τῶν σκαμμάτων εἴσω μένοντα ἀγωνίσασθαι, οὐ μετὰ τὸ λυθῆναι τὸ θέατρον ἀποδύρεσθαι καὶ δακρύειν ἀνόητα, ὅπερ ὁ πλούσιος ἐκεῖνος ἐποίει, θρηνῶν μὲν καὶ ὀλοφυρόμενος, εἰκῆ δὲ λοιπὸν καὶ μάτην, ἐπειδὴ τὸν καιρόν, καθ' ὃν ταῦτα ἐχρῆν ποιεῖν, ὑπεξέδυ. οὐκ ἐκεῖνος δὲ μόνος, ἀλλὰ καὶ πολλοὶ ἕτεροι κατ' ἐκεῖνον νῦν εἰσι πλούσιοι, χρημάτων μὲν οὐ βουλόμενοι καταφρονεῖν, ψυχῆς δὲ ἀντὶ χρημάτων καταφρονοῦντες· οὓς ἔμοιγε θαυμάζειν ἔπεισιν, ὅταν ἴδω τὸν μὲν Θεὸν περὶ ἐλέους συνεχῶς ἐντυγχάνοντας, αὐτοὺς δὲ τὰ ἀνήκεστα ἑαυτοὺς διατιθέντας, καὶ ὥσπερ πολεμίας, οὕτω τῆς ἑαυτῶν ἀφειδοῦντας ψυχῆς. μὴ δὴ παίζωμεν, ἀγαπητοί, μὴ παίζωμεν, μηδὲ παραλογιζώμεθα ἑαυτούς, τὸν μὲν Θεὸν ἀξιοῦντες ἡμᾶς ἐλεῆσαι, αὐτοὶ δὲ τοῦ ἐλέους τούτου καὶ χρήματα, καὶ τρυφήν, καὶ πάντα ἁπλῶς προτιθέντες. οὐδὲ γάρ, εἴ τις σοι δίκην προσῆγε, καὶ κατηγορῶν τοῦ δεῖνος ἔλεγεν, ὅτι μυρίους μέλλων ὑπομένειν θανάτους, καὶ κύριος ὢν λῦσαι τὰς ψήφους χρήμασιν ὀλίγοις, εἵλετο μᾶλλον ἀποθανεῖν, ἤ τι τῶν αὐτοῦ προέσθαι, ἐλέου τινὸς ἢ συγγνώμης ἔφης αὐτὸν ἄξιον εἶναι. τοῦτο τοίνυν καὶ ἐπὶ σαυτοῦ λογίζου. καὶ γὰρ καὶ ἡμεῖς τοῦτο ποιοῦμεν, καὶ τῆς σωτηρίας ἡμῶν καταφρονοῦντες, τῶν χρημάτων φειδόμεθα. πῶς οὖν τὸν Θεὸν ἀξιοῖς σου φείδεσθαι, αὐτὸς σαυτοῦ οὕτως ἀφειδῶν, καὶ χρήματα προτιμῶν ψυχῆς; διὸ καὶ σφόδρα ἐκπέπληγμαι, πόση τοῖς χρήμασιν ἐγκέκρυπται γοητεία, μᾶλλον δὲ οὐ τοῖς χρήμασιν, ἀλλὰ ταῖς τῶν ἀπατωμένων ψυχαῖς. εἰσὶ γάρ, εἰσὶν οἳ καὶ σφόδρα τῆς μαγγανείας ταύτης καταγελῶντες. τί γὰρ καὶ ἱκανὸν ἡμᾶς τῶν ἐν αὐτοῖς γοητεῦσαι; οὐχὶ ἄψυχός ἐστιν ἡ ὕλη; οὐχὶ ἐπίκηρος; οὐχὶ ἄπιστος αὐτῶν ἡ κτῆσις; οὐ φόβων γέμει καὶ κινδύνων; οὐ φόνων καὶ ἐπιβουλῆς; οὐκ ἔχθρας καὶ μίσους; οὐ ῥαθυμίας καὶ κακίας πολλῆς; οὐ γῆ ἐστιν καὶ σποδός; τίς ἡ μανία; τίς ἡ νόσος; ἀλλ' οὐ κατηγορεῖν δεῖ μόνον τῶν νοσούντων τὰ τοιαῦτα, φησίν, ἀλλὰ καὶ καταλύειν τὸν ἔρωτα. καὶ πῶς ἑτέρως καταλύσομεν, ἀλλ' ἢ δεικνύντες φαῦλον ὄντα, καὶ μυρίων κακῶν ἀνάμεστον; ἀλλὰ τοῦτο οὐκ εὔκολον τὸν ἐρῶντα πεῖσαι περὶ τῶν παιδικῶν. οὐκοῦν ἕτερον αὐτῷ κάλλος ἀντιστῆσαι δεῖ. ἀλλ' ἀσώματον οὐχ ὁρᾷ κάλλος, ἔτι νοσῶν. οὐκοῦν σωματικὸν ἐπιδείξωμεν, καὶ εἴπωμεν πρὸς αὐτόν· ἐννόησον τοὺς λειμῶνας, καὶ τὰ ἐν αὐτοῖς ἄνθη, τὰ χρυσίου παντὸς φαιδρότερα, καὶ τῶν παντοδαπῶν χαριέστερα καὶ διαυγέστερα λίθων. ἐννόησον τὰ διειδῆ τῶν πηγῶν ῥεῖθρα, τοὺς ποταμοὺς τοὺς ἐλαίου δίκην ἀψοφητὶ ῥέοντας ἀπὸ τῆς γῆς. ἀνάβηθι πρὸς τὸν οὐρανόν, καὶ ἴδε τοῦ ἡλίου τὸ κάλλος, τῆς σελήνης τὴν εὐπρέπειαν, τῶν ἄστρων τὰ ἄνθη. καὶ τί τοῦτο, φησίν; οὐ γὰρ δὴ κεχρήμεθα αὐτοῖς ὡς τοῖς χρήμασι. καὶ μὴν πλέον, ἢ τοῖς χρήμασιν, ὅσῳ καὶ ἀναγκαιοτέρα αὐτῶν ἡ χρεία, καὶ ἀσφαλεστέρα ἡ ἀπόλαυσις. οὐδὲ γὰρ δέδοικας, μή τις, ὥσπερ τὰ χρήματα, αὐτὰ λαβών, ἀπέλθῃ· ἀλλ' ἔξεστί σοι θαρρεῖν ὑπὲρ αὐτῶν διηνεκῶς, καὶ ταῦτα μὴ μεριμνῶντι, μηδὲ φροντίζοντι. εἰ δ', ὅτι μετὰ τῶν ἄλλων ἀπολαύεις αὐτῶν, ἀλγεῖς, καὶ μὴ μόνος αὐτὰ κατέχεις, ὥσπερ τὰ χρήματα, οὐ χρημάτων, ἀλλὰ πλεονεξίας μοι δοκεῖς ἐρᾶν μόνης. καὶ οὐδὲ τὰ χρήματα ἐφίλησας ἄν, εἰ κοινὰ προὔκειτο πᾶσιν. οὐκοῦν ἐπειδὴ τὴν ἐρωμένην εὑρήκαμεν, τὴν πλεονεξίαν λέγω, φέρε σοι δείξω, πῶς σε μισεῖ αὕτη καὶ ἀποστρέφεται, πόσα θήγει κατὰ σοῦ ξίφη, πόσα ὀρύττει βάραθρα, πόσους ἀναπλέκει βρόχους, πόσους παρασκευάζει κρημνούς· ἵνα κἂν οὕτω σβέσῃς τὸ φίλτρον. πόθεν οὖν ἔστι ταῦτα εἰδέναι; ἀπὸ τῶν ὁδῶν, ἀπὸ τῶν πολέμων, ἀπὸ τῆς θαλάττης, ἀπὸ τῶν δικαστηρίων. καὶ γὰρ καὶ τὸ πέλαγος αἱμάτων ἐνέπλησε,

σε,

γ. μικρόν

ἴσ. διαπιστοῦντες,

γ. αἰτῆσαι

γ. ὅτι

γ. αὐτή

σι, καὶ τὰ τῶν δικαστῶν φονῶσι ξίφη παρανόμως πολλάκις, καὶ τοὺς ταῖς ὁδοῖς ἐφεδρεύοντας νύκτωρ καὶ μεθημέραν ὁπλίζει αὕτη, καὶ φύσιν ἀγνοῆσαι ἔπεισε, καὶ πατραλοίας ἐποίησε, καὶ μητραλοίας, καὶ πάντα ἐπεισήγαγε τῷ βίῳ τὰ κακά. διὸ καὶ ῥίζαν αὐτὴν ὁ Παῦλος ταύτην καλεῖ. αὕτη οὐδὲ αὐτῆς ἐραστὰς τῶν τὰ μέταλλα ἐργαζομένων οὐδὲν ἄμεινον ἀφίησι διακεῖσθαι. καθάπερ γὰρ ἐκεῖνοι διηνεκῶς ἐν σκότῳ κατακεκλεισμένοι, καὶ δεδεμένοι πονοῦσιν ἀνόνητα· οὕτω καὶ οὗτοι ἐν τοῖς σπηλαίοις τῆς φιλαργυρίας κατορωρυγμένοι, οὐδενὸς αὐτοῖς ἀνάγκην ἐπιτιθέντος, αὐτόματοι τὴν κόλασιν ἐπισπῶνται, ἑαυτοῖς δεσμοὺς περιθέντες ἀλύτους. καὶ οἱ μὲν καταδίκοι, κἂν ἑσπέρας καταλαβούσης ἀνίενται τῶν μόχθων· οὗτοι δὲ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ διορύττουσι τὰ πονηρὰ ταῦτα μέταλλα· καὶ τοῖς μὲν μέτρον ἐστὶν ὡρισμένον τῆς μοχθηρᾶς ἐργασίας ἐκείνης, οὗτοι δὲ μέτρον οὐδὲν ἴσασιν, ἀλλ᾽ ὅσον ἂν ὀρύξωσι, τοσούτῳ μείζονος ἐφίενται ταλαιπωρίας. εἰ δὲ ἐκεῖνοι μὲν ἄκοντες, οὗτοι δὲ ἑκόντες, τοῦτο χαλεπόν μοι λέγεις τοῦ νοσήματος, ὅτι οὐδὲ ἀπαλλαγῆναι δύνανται, εἴγε μηδὲ μισοῦσι τὴν κακοπάθειαν. ἀλλ᾽ ὥσπερ ὗς ἐν βορβόρῳ, οὕτω καὶ οὗτοι ταῖς τῆς φιλαργυρίας δυσωδίαις ἐγκαλινδούμενοι ἥδονται, χαλεπώτερα πάσχοντες τῶν καταδίκων ἐκείνων. χ. ἐγκυλινδούμενοι ὅτι γὰρ ἐν χείροσιν εἰσί, ἄκουσον τὰ ἐκείνων, καὶ τότε εἴσῃ τὰ τούτων. λέγεται τοίνυν ἡ χρυσῖτις ἐκείνη γῆ κρημνοὺς καὶ καταδύσεις ἔχειν ἐν τοῖς ζοφεροῖς σπηλαίοις ἐκείνοις. τὸν οὖν κακοῦργον τὸν τοῖς ἐκεῖ καταδικασθέντα μόχθοις, διὰ τοῦτο λύχνον λαμβάνοντα καὶ δίκελλαν, οὕτως εἰσιέναι ἔνδον, καὶ ληκύθιον ἐπιφέρεσθαι, ὥστε ἐπιστάζειν ἐντεῦθεν τῷ λύχνῳ τὸ ἔλαιον, διὰ τὸ σκότος εἶναι καὶ ἐν ἡμέρᾳ ἀφεγγές, ὥσπερ ἔφθην εἰπών. εἶτα ἐπειδὰν ὁ καιρὸς ἐπὶ τὴν ταλαιπωρίαν αὐτὸν καλῇ τὴν ἐφθήν, αὐτὸν μὲν ἀγνοεῖν τὸν καιρόν, τὸν δὲ δεσμοφύλακα τὸν ἐκείνου ἄνωθεν πατάξαντα σφοδρῶς τὸ σπήλαιον, διὰ τοῦ πατάγου καὶ τῆς φωνῆς ἐκείνης δηλοῦν τοῖς κάτω ἐργαζομένοις τῆς ἡμέρας τὸ τέλος. ἆρ᾽ οὐκ ἐφρίξατε ταῦτα ἀκούσαντες; ἴδωμεν τοίνυν, εἰ μὴ χαλεπώτερα τούτων πάσχουσιν οἱ φιλάργυροι. καὶ γὰρ καὶ οὗτοι βαρύτερον ἔχουσι δεσμοφύλακα, τὴν φιλαργυρίαν, καὶ τοσούτῳ βαρύτερον, ὅσῳ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν αὐτοῖς συνδεῖν. καὶ τὸ σκότος δὲ τοῦτο, ἐκείνου φρικωδέστερον. οὐ γάρ ἐστιν αἰσθητόν, ἀλλ᾽ ἔνδοθεν αὐτὸ τίκτοντες, ὅπουπερ ἂν ἀπίωσι, πανταχοῦ μεθ᾽ ἑαυτῶν περιφέρουσιν. ἔσβεσται γὰρ αὐτοῖς ὁ τῆς ψυχῆς ὀφθαλμός. διὸ καὶ μάλιστα πάντων αὐτοὺς ὁ Χριστὸς ταλανίζει, λέγων·

Ματθ. ς. κγ. Εἰ δὲ τὸ φῶς τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον; κἀκεῖνοι μὲν καὶ λύχνον ἔχουσι φαίνοντα, οὗτοι δὲ καὶ ταύτης ἀπεστέρηνται τῆς αὐγῆς. διὸ καὶ καθ᾽ ἑκάστην ἡμέραν εἰς μυρία ἐμπίπτουσι βάραθρα. καὶ οἱ μὲν καταδίκοι, νυκτὸς καταλαβούσης, ἀναπνέουσιν, εἰς τὴν κοινὴν τῶν δυσημερούντων καταπλεύσαντες γαλήνην, τὴν νύκτα λέγω· τοῖς δὲ φιλαργύροις καὶ τοῦτον ἡ πλεονεξία περιστέγωσι τὸν λιμένα. τοσαῦτα καὶ ἐν νυκτὶ φροντίζουσι χαλεπῶς, ἅτε μηδενὸς ἐνοχλοῦντος μετὰ σχολῆς ἁπάσης κατακόπτοντες ἑαυτούς. καὶ τὰ μὲν ἐνταῦθα, τοιαῦτα· τὰ δὲ ἐκεῖ, ποῖος παραστήσει λόγος; τὰς καμίνους τὰς ἀφορήτους, τοὺς πυριφλεγέθοντας ποταμούς, τοὺς βρυχομένους ὀδόντας, τὰ δεσμὰ τὰ ἄλυτα, τὸν σκώληκα τὸν ἰοβόλον, τὸ σκότος τὸ ἀφεγγές, τὰ μηδέποτε πέρας λαμβάνοντα κακά. φοβηθῶμεν τοίνυν, ἀγαπητοί, φοβηθῶμεν τὴν πηγὴν τῶν τοσούτων *τιμωριῶν, τὴν ἀκόρεστον μανίαν, τὴν λύμην τῆς ἡμετέρας σωτηρίας. * κακῶν πη οὐ γάρ ἐστιν ὁμοῦ καὶ ἀργύριον φιλεῖν, καὶ ψυχήν. μάθωμεν ὅτι γῆ καὶ σποδὸς τὰ χρήματα, ὅτι ἀπολιμπάνει ἡμᾶς ἀποδημοῦντας ἐντεῦθεν, μᾶλλον δὲ ὅτι καὶ πρὸ τῆς ἀποδημίας πολλάκις ἡμῶν ἀποπηδᾷ, καὶ πρὸς τὰ μέλλοντα παραβλάπτει, καὶ πρὸς τὴν παροῦσαν ζωήν. καὶ γὰρ πρὸ τῆς γεέννης, καὶ πρὸ τῆς κολάσεως ἐκείνης, μυρίοις κἀνταῦθα ἡμᾶς περιβάλλει πολέμοις, καὶ στάσεις ἐγείρει καὶ μάχας. οὐδὲν γὰρ οὕτω πολεμοποιόν, ὡς φιλαργυρία· οὐδὲν οὕτω πτωχοποιόν, κἂν ἐν πλούτῳ, κἂν ἐν πενίᾳ φανῇ. φύεται γὰρ καὶ ἐν πενήτων ψυχαῖς τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πλέον αὐτὴν ἐπιτείνει τὴν πενίαν. καὶ

ἀρετῆ

εὑρεθῇ πένης φιλάργυρος, οὐκ ἐν χρήμασιν ὁ τοιοῦτος, ἀλλ' ἐν λιμῷ δίδωσι δίκην. οὐ γὰρ ἀνέχεται τῶν μετρίων αὐτῶν ἀπολαῦσαι μετ' ἀδείας, ἀλλὰ καὶ τὴν γαστέρα λιμῷ κατατείνει, καὶ τὸ σῶμα ἀπὸ τῆς γυμνότητι καὶ κρυμῷ τιμωρεῖται, καὶ τῶν δεσμωτῶν μᾶλλον αὐχμηρὸς καὶ ῥυπῶν πανταχοῦ φαίνεται· καὶ ἀεὶ θρηνεῖ καὶ ὀδύρεται, ὥσπερ πάντων ὢν ἀθλιώτερος, κἂν μυρίους πενεστέρους ἔχῃ. οὗτος, κἂν εἰς ἀγορὰν ἐμβάλλῃ, πολλοὺς λαβὼν ἄπεισι μώλωπας· κἂν εἰς βαλανεῖον, κἂν εἰς θέατρον, πλείονα λήψεται τραύματα, οὐκ ἀπὸ τῶν θεωρουμένων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐπὶ τῆς σκηνῆς, ὅταν ἴδῃ πολλὰς τῶν πορνευομένων γυναικῶν χρυσίῳ καταλαμπομένας. οὗτος κἂν τὴν θάλατταν πλέῃ, οὗτος ἐμπόρους πάλιν καὶ τὰς μυριαγώγους ναῦς ἐννοῶν καὶ τὰ ἄπειρα κέρδη, οὐδὲ ζῆν ἑαυτὸν ἡγήσεται· κἂν διὰ γῆς ὁδεύῃ, τοὺς ἀγρούς, τὰ προάστεια, τὰ καταλύματα, τὰ βαλανεῖα, τὰς ἐκ τούτων προσόδους ἀναλογιζόμενος, ἀβίωτον ἑαυτῷ τὸν βίον ἡγήσεται. εἰ δὲ λοιπὸν κἂν οἴκοι δὲ κατακλείσῃς αὐτόν, τὰ ἀπὸ τῆς ἀγορᾶς τραύματα ἀναξαίνων καθ' ἑαυτόν, μειζόνως λυμαίνεται τὴν ψυχήν· καὶ μίαν οἶδε παραμυθίαν μόνον τῶν κατεχόντων αὐτὸν κακῶν, τὸν θάνατον καὶ τὴν ἐντεῦθεν ἀπαλλαγήν. ταῦτα δὲ οὐχ ὁ πένης μόνον, ἀλλὰ καὶ ὁ πλούσιος ὁ τούτῳ περιπεσὼν τῷ νοσήματι πείσεται, καὶ τοσούτῳ μᾶλλον τοῦ πένητος, ὅσῳ καὶ σφοδροτέρα ἐπίκειται τούτῳ ἡ τυραννίς, καὶ πλείων ἡ μέθη. διὸ καὶ πάντων πενέστερον ἑαυτὸν οὗτος ἡγήσεται, μᾶλλον δὲ καὶ ἔστι πενέστερος. οὐ γὰρ τῷ μέτρῳ τῆς οὐσίας, ἀλλὰ τῇ διαθέσει τῆς γνώμης ὁ πλοῦτος καὶ ἡ πενία κρίνονται· καὶ ἐκεῖνος μᾶλλόν ἐστιν ὁ πάντων πτωχότατος, ὁ ἀεὶ τοῦ πλείονος ἐπιθυμῶν, καὶ μηδέποτε στῆσαι δυνάμενος τὴν πονηρὰν ταύτην ἐπιθυμίαν. διὰ δὴ ταῦτα πάντα φεύγωμεν τὴν φιλαργυρίαν, τὴν πτωχοποιόν, τὴν ψυχοφθόρον, τὴν γεέννης φίλην, τὴν ἐχθρὰν τῆς βασιλείας τῶν οὐρανῶν, τὴν μητέρα πάντων ὁμοῦ τῶν κακῶν· καὶ καταφρονῶμεν χρημάτων, ἵνα ἀπολαύσωμεν χρημάτων, καὶ μετὰ χρημάτων ἀπολαυσώμεθα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

γρ. ἀπολαυόμενοι

Λογ. κδ. 13 ΠΕΙΡΑΣΜΟΣ ΥΜΑΣ ΟΥΚ ΕΙΛΗΦΕΝ, ΕΙ ΜΗ ἀνθρώπινος. πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν.

Ἐπειδὴ γὰρ ἐφόβησεν αὐτοὺς ἱκανῶς, τὰ παλαιὰ διηγησάμενος παραδείγματα, καὶ εἰς ἀγωνίαν ἐνέβαλεν, εἰπών, ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ, ἦσαν δὲ καὶ πειρασμοὺς ἐνηνοχότες πολλούς, καὶ γυμνασάμενοι πολλάκις ἐν τούτοις (Καὶ γὰρ ἐν ἀσθενείᾳ, φησί, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς) ἵνα μὴ λέγωσι, τί φοβεῖς ἡμᾶς καὶ δεδίττῃ; οὐκ ἐσμὲν τούτων ἀμελέτητοι τῶν κακῶν (καὶ γὰρ ἠλάθημεν, καὶ ἐδιώχθημεν, καὶ πολλοὺς καὶ συνεχεῖς ὑπεμείναμεν κινδύνους) καταστέλλων αὐτῶν πάλιν τὸ φύσημα, φησί, πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος, τουτέστι, μικρός, βραχύς, σύμμετρος. τὸ γὰρ ἀνθρώπινον ἐπὶ τοῦ μικροῦ λέγει· ὡς ὅταν λέγῃ, ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. μὴ τοίνυν μέγα φρονεῖτε, φησίν, ὡς περιγενόμενοι τοῦ κλυδωνίου. οὐδέποτε γὰρ εἴδετε κίνδυνον θάνατον ἀπειλοῦντα, οὐδὲ πειρασμὸν σφαγὴν ἐπανατεινόμενον· ὃ καὶ Ἑβραίοις ἔλεγεν, Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. Ἑβρ. ιβ. δ. εἶτα ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς πάλιν αὐτοὺς ἀνίστησι μετὰ τοῦ πεῖσαι μετριάζειν, λέγων· πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε. ἄρα εἰσὶ πειρασμοί, οὓς οὐ δυνατὸν ὑπενεγκεῖν. καὶ τίνες οὗτοι; πάντες, ὡς εἰπεῖν.

πειν. τὸ γὰρ δυνατὸν ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ κεῖται, ἣν διὰ τῆς ἡμετέρας ἐπισπώμεθα γνώμης. διόπερ ἵνα μάθῃς καὶ ἴδῃς, ὅτι οὐ μόνον ἐκείνους τοὺς ὑπερβαίνοντας ἤδη τὴν δύναμιν, ἀλλ' οὐδὲ τούτους τοὺς συμμέτρους ἔνι χωρὶς τῆς ἐκεῖθεν βοηθείας ῥᾳδίως ἐνεγκεῖν, ἐπήγαγεν, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. οὐδὲ γὰρ ἐκείνους τοὺς συμμέτρους, ὅπερ ἔφην, φησὶ, τῇ ἰδίᾳ δυνάμει διοισόμεθα· ἀλλὰ κἀνταῦθα τῆς παρ' αὐτοῦ δεόμεθα συμμαχίας, ὥστε αὐτοὺς διεξελθεῖν, καὶ πρὶν ἢ διεξελθεῖν, ἐνεγκεῖν. αὐτὸς γὰρ καὶ τὴν ὑπομονὴν δίδωσι, καὶ τὴν ταχεῖαν ἀπαλλαγὴν ἐπάγει, ὥστε καὶ ταύτῃ φορητὸν γενέσθαι τὸν πειρασμόν. τοῦτο γὰρ ἠνίξατο εἰπὼν, ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν· καὶ πάντα αὐτῷ ἀνατίθησι.

14 Διόπερ, ἀδελφοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας.

Πάλιν αὐτοὺς θεραπεύει τῷ τῆς συγγενείας ὀνόματι. καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπείγει τῆς ἁμαρτίας ἀπαλλαγῆναι ταύτης. οὐδὲ γὰρ εἶπεν, ἀπόστητε ἁπλῶς, ἀλλὰ, φεύγετε. καὶ τὸ πρᾶγμα εἰδωλολατρείαν καλεῖ, καὶ οὐκέτι διὰ τὴν τοῦ πλησίον βλάβην ἀφίστασθαι μόνον κελεύει, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ δίκην ποιοῦν ἱκανὴν μεγάλην ἐνεγκεῖν λύμην.

15 Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι. Ἐπειδὴ γὰρ μέγα ἐφθέγξατο, καὶ τὴν κατηγορίαν ηὔξησεν, εἰδωλολατρείαν καλέσας, ἵνα μὴ δόξῃ τραχύνειν αὐτοὺς καὶ φορτικὸν ποιεῖν τὸν λόγον, αὐτοῖς λοιπὸν ἐπιτρέπει τὴν κρίσιν, καὶ μετ' ἐγκωμίου καθίζει τοὺς δικάζοντας. ὡς φρονίμοις γὰρ λέγω, φησίν· ὅπερ σφόδρα θαρροῦντός ἐστι τοῖς οἰκείοις δικαιώμασι, τὸ τὸν ἐγκαλούμενον αὐτὸν καθίσαι τῶν λεγομένων κριτήν. τοῦτο καὶ τὸν ἀκροατὴν αἴρει μειζόνως, ὅταν μὴ ὡς ἐπιτάττων, μηδὲ ὡς νομοθετῶν, ἀλλ' ὡς συμβουλεύων καὶ παρ' αὐτοῖς ἐκείνοις δικαζόμενος, οὕτω διαλέγηται. Ἰουδαίοις μὲν γὰρ, ἅτε ἀνοητοτέροις διακειμένοις καὶ παιδικώτερον, οὐχ οὕτως ὁ Θεὸς διελέγετο, οὐδὲ πανταχοῦ τὰς αἰτίας αὐτοῖς ἔλεγε τῶν ἐπιταγμάτων, ἀλλ' ἐκέλευε μόνον· ἐνταῦθα δὲ, ἐπειδὴ πολλῆς ἐλευθερίας ἀπολαύομεν, καὶ συμβουλῆς ἀπολαύομεν, καὶ ὡς φίλοις διαλέγεται, καί φησιν, οὐ δέομαι ἑτέρων δικαστῶν· αὐτοί μοι τὴν ψῆφον ὑμεῖς φέρετε ταύτην, ὑμᾶς λαμβάνω κριτάς.

16 Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι;

Τί λέγεις, ὦ μακάριε Παῦλε; θέλων ἐντρέψαι τὸν ἀκροατὴν, καὶ μυστηρίων μεμνημένος φρικτῶν, εὐλογίας ποτήριον καλεῖς τὸ ποτήριον τὸ φοβερὸν καὶ φρικωδέστατον ἐκεῖνο; ναί, φησιν. οὐ γὰρ μικρὸν τὸ εἰρημένον. εὐλογίαν γὰρ ὅταν εἴπω, πάντα ἀναπτύσσω τὸν τῆς εὐεργεσίας τοῦ Θεοῦ θησαυρὸν, καὶ τῶν μεγάλων ἐκείνων ἀναμιμνήσκω δωρεῶν. καὶ γὰρ καὶ ἡμεῖς ἐπιλέγοντες τῷ ποτηρίῳ τὰς ἀφάτους εὐεργεσίας τοῦ Θεοῦ, καὶ ὅσων ἀπολελαύκαμεν, οὕτως αὐτὸ προσάγομεν καὶ κοινωνοῦμεν, εὐχαριστοῦντες ὅτι τῆς πλάνης ἀπήλλαξε τὸ τῶν ἀνθρώπων γένος· ὅτι μακρὰν ὄντας, ἐγγὺς ἐποίησεν· ὅτι ἐλπίδα μὴ ἔχοντας καὶ ἀθέους ἐν τῷ κόσμῳ, ἀδελφοὺς ἑαυτοῦ κατεσκεύασε καὶ συγκληρονόμους. ὑπὲρ τούτων, καὶ τῶν τοιούτων ἁπάντων εὐχαριστοῦντες, οὕτω πρόσιμεν. πῶς οὖν οὐκ ἐναντία ποιεῖτε, φησιν, ὦ Κορίνθιοι, εὐλογοῦντες μὲν τὸν Θεὸν, ὅτι τῶν εἰδώλων ὑμᾶς ἀπήλλαξε, πάλιν δὲ ἐπὶ τὰς ἐκείνων τρέχοντες τραπέζας; τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι; σφόδρα πιστῶς καὶ φοβερῶς εἴρηκεν. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ὅτι τοῦτο τὸ ἐν * ποτηρίῳ ὂν, ἐκεῖνό ἐστι τὸ ἀπὸ τῆς πλευρᾶς ῥεῦσαν, καὶ ἐκείνου μετέχομεν. ποτήριον δὲ εὐλογίας ἐκάλεσεν, ἐπειδὴ αὐτὸ μετὰ χεῖρας ἔχοντες, οὕτως αὐτὸν ἀνυμνοῦμεν, θαυμάζοντες, ἐκπληττόμενοι τῆς ἀφάτου δωρεᾶς, εὐλογοῦντες ὅτι καὶ αὐτὸ τοῦτο ἐξέχεεν, ἵνα μὴ μείνωμεν ἐν τῇ πλάνῃ· καὶ οὐ μόνον ἐξέχεεν, ἀλλὰ καὶ πᾶσιν ἡμῖν αὐτοῦ μετέδωκεν. ὥστε εἰ αἵματος ἐπιθυμεῖς, φησὶ, μὴ

τῶν εἰδώλων βωμὸν παρὰ τῶν ἀλόγων φόνῳ, ἀλλὰ τὸ θυσιαστήριον τὸ ἐμὸν παρὰ ἐμοῦ φοινίσσει αἵματι. τί τούτου φρικωδέστερον; τί δὲ φιλοστοργότερον, εἰπέ μοι; τοῦτο καὶ οἱ ἐρῶντες ποιοῦσιν· ὅταν ἴδωσι τοὺς ἐρωμένους τῶν ἀλλοτρίων ἐπιθυμοῦντας, καὶ τῶν οἰκείων καταφρονοῦντας, τὰ αὐτῶν διδόντες πείθουσιν ἀποστῆναι τῶν ἐκείνων. ἀλλ᾽ οἱ ἐρῶντες μὲν ἐν κτήμασι, καὶ χρήμασι, καὶ ἱματίοις ταύτην ἐπιδείκνυνται τὴν φιλοτιμίαν, ἐν αἵματι δὲ οὐδεὶς οὐδέποτε· ὁ δὲ Χριστὸς καὶ ἐν τούτῳ τὴν κηδεμονίαν ἐπεδείξατο καὶ τὴν θερμὴν περὶ ἡμᾶς ἀγάπην. καὶ ἐν μὲν τῇ παλαιᾷ ἐπειδὴ ἀτελέστερον διέκειντο, ὃ τοῖς εἰδώλοις προσέφερον αἷμα, τοῦτο αὐτὸς ὑπέμεινε καταδέξασθαι, ἵνα ἀποστήσῃ ἐκείνων, ὃ καὶ αὐτὸ πάλιν ἀφάτου φιλοστοργίας ἦν. ἐνταῦθα δὲ ἐπὶ τὸ πολλῷ φρικωδέστερον καὶ μεγαλοπρεπέστερον τὴν ἱερουργίαν μετεσκεύασε, καὶ τὴν θυσίαν αὐτὴν ἀμείψας, καὶ ἀντὶ τῆς* ἀλόγων σφαγῆς ἑαυτὸν προσφέρειν κελεύσας. Ὁ ἄρτος, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστι; Διατί μὴ εἶπε, μετοχή; ὅτι πλέον τι δηλῶσαι ἠβουλήθη, καὶ πολλὴν ἐνδείξασθαι τὴν συνάφειαν. οὐ γὰρ τῷ μετέχειν μόνον καὶ μεταλαμβάνειν, ἀλλὰ καὶ τῷ ἑνοῦσθαι κοινωνοῦμεν. καθάπερ γὰρ τὸ σῶμα ἐκεῖνο ἥνωται τῷ Χριστῷ, οὕτω καὶ ἡμεῖς αὐτῷ διὰ τοῦ ἄρτου τούτου ἑνούμεθα. διατί δὲ προσέθηκεν, ὃν κλῶμεν; τοῦτο γὰρ ἐπὶ μὲν τῆς εὐχαριστίας ἐστὶν ἰδεῖν γινόμενον· ἐπὶ δὲ τοῦ σταυροῦ οὐκέτι, ἀλλὰ καὶ τοὐναντίον τούτῳ. Ὀστοῦν γὰρ αὐτοῦ, φησιν, οὐ συντριβήσεται. ἀλλ᾽ ὅπερ οὐκ ἔπαθεν ἐπὶ τοῦ σταυροῦ, τοῦτο πάσχει ἐπὶ τῆς προσφορᾶς διὰ σέ, καὶ ἀνέχεται διακλώμενος, ἵνα πάντας ἐμπλήσῃ. εἶτα ἐπειδὴ εἶπε, κοινωνία τοῦ σώματος, τὸ δὲ κοινωνοῦν ἕτερόν ἐστιν ἐκείνου, οὗ κοινωνεῖ, καὶ ταύτην τὴν δοκοῦσαν εἶναι μικρὰν διαφορὰν ἀνεῖλεν. εἰπὼν γὰρ, κοινωνία τοῦ σώματος, ἐζήτησε πάλιν ἐγγύτερόν τι εἰπεῖν. διὸ καὶ ἐπήγαγεν, Ὅτι εἷς ἄρτος, ἓν σῶμά ἐσμεν οἱ πολλοί.

Τί γὰρ λέγω κοινωνίαν, φησίν; αὐτὸ ἐσμεν ἐκεῖνο τὸ σῶμα. τί γάρ ἐστιν ὁ ἄρτος; σῶμα Χριστοῦ. τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; σῶμα Χριστοῦ· οὐχὶ σώματα πολλά, ἀλλὰ σῶμα ἕν. καθάπερ γὰρ ὁ ἄρτος ἐκ πολλῶν συγκείμενος κόκκων ἥνωται, ὡς μηδαμοῦ φαίνεσθαι τοὺς κόκκους, ἀλλ᾽ εἶναι μὲν αὐτοὺς, ἄδηλον δὲ αὐτῶν εἶναι τὴν διαφορὰν τῇ συναφείᾳ, οὕτω καὶ ἀλλήλοις καὶ τῷ Χριστῷ συναπτόμεθα. οὐ γὰρ ἐξ ἑτέρου μὲν σώματος σὺ, ἐξ ἑτέρου δὲ ἐκεῖνος τρέφεται, ἀλλ᾽ ἐκ τοῦ αὐτοῦ πάντες. διὸ καὶ ἐπήγαγεν, Οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. Εἰ δὲ ἐκ τοῦ αὐτοῦ, καὶ τὸ αὐτὸ γινόμεθα πάντες, διατί μὴ καὶ τὴν αὐτὴν ἀγάπην ἐπιδεικνύμεθα, καὶ γινόμεθα καὶ κατὰ τοῦτο ἕν; καὶ γὰρ καὶ τὸ παλαιὸν ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων τοῦτο ἦν. Τοῦ γὰρ πλήθους τῶν πιστευσάντων, φησίν, ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ἀλλὰ οὐχὶ νῦν, ἀλλὰ τοὐναντίον ἅπαν. πολλοὶ καὶ ποικίλοι μεταξὺ πάντων οἱ πόλεμοι, καὶ θηρίων χαλεπώτερον πρὸς τὰ ἀλλήλων διακείμεθα μέλη. καὶ ὁ μὲν Χριστὸς τοσοῦτόν σε διεστηκότα ἑαυτῷ ἥνωσε· σὺ δὲ οὐδὲ τῷ ἀδελφῷ ἀξιοῖς ἑνοῦσθαι μετὰ ἀκριβείας τῆς προσηκούσης, ἀλλὰ ἀποσχίζεις σεαυτὸν, τοσαύτης καὶ ἀγάπης καὶ ζωῆς ἀπολαύσας παρὰ τοῦ δεσπότου. οὐδὲ γὰρ ἁπλῶς τὸ σῶμα αὐτοῦ ἔδωκεν· ἀλλ᾽ ἐπειδὴ ἡ προτέρα τῆς σαρκὸς φύσις ἡ ἀπὸ γῆς διαπλασθεῖσα ἀπὸ τῆς ἁμαρτίας ἔφθασε νεκρωθῆναι καὶ ζωῆς γενέσθαι ἔρημος, ἑτέραν, ὡς ἂν εἴποι τις, μᾶζαν καὶ ζύμην ἐπεισήγαγε, τὴν ἑαυτοῦ σάρκα, φύσει μὲν οὖσαν τὴν αὐτὴν, ἁμαρτίας δὲ ἀπηλλαγμένην καὶ ζωῆς γέμουσαν· καὶ πᾶσιν ἔδωκεν αὐτῆς μεταλαμβάνειν, ἵνα ταύτῃ τρεφόμενοι, καὶ τὴν προτέραν ἀποθέμενοι τὴν νεκρὰν, εἰς τὴν ζωὴν τὴν ἀθάνατον διὰ τῆς τραπέζης ἀνακερασθῶμεν ταύτης.

18 Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί; Πάλιν ἀπὸ τῆς παλαιᾶς καὶ εἰς τοῦτο ἐνάγει. ἐπειδὴ γὰρ πολὺ τοῦ μεγέθους τῶν λεχθέντων ἦσαν ταπεινότεροι, καὶ ἀπὸ τῶν προτέρων αὐτοὺς καὶ συνηθῶν πείθει· καὶ καλῶς, κατὰ σάρκα, φησίν, ὡς αὐτῶν κατὰ πνεῦμα ὄντων. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· κἂν ἀπὸ

τῶν παχυτέρων παιδευθῆτε, ὅτι οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν. ὁρᾷς πῶς δείκνυσιν οὐκ ἔχοντας γνῶσιν τελείαν τοὺς δοκοῦντας εἶναι τελείους, εἴγε μηδὲ τοῦτο ἴσασιν, ὅτι κοινωνία τις ἀπὸ τούτων καὶ φιλία πολλοῖς πολλάκις πρὸς δαίμονας γίνεται, κατὰ μικρὸν τῆς συνηθείας αὐτοὺς ἐφελκομένης; εἰ γὰρ ἐπ' ἀνθρώπων τὸ κοινωνεῖν ἁλῶν καὶ τραπέζης, φιλίας ἀφορμὴ καὶ σύμβολον γίνεται, ἐγχωρεῖ καὶ ἐπὶ δαιμόνων τοῦτο συμβῆναι. σὺ δέ μοι σκόπει, πῶς ἐπὶ μὲν τῶν Ἰουδαίων οὐκ εἶπεν, ὅτι τῷ Θεῷ κοινωνοῦσιν, ἀλλά, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί (καὶ γὰρ κατεκαίετο τὸ τεθυμένον) ἐπὶ δὲ τοῦ σώματος τοῦ Χριστοῦ οὐχ οὕτως. ἀλλὰ πῶς; κοινωνία τοῦ σώματος τοῦ Κυρίου ἐστίν. οὐ γὰρ τοῦ θυσιαστηρίου, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ κοινωνοὶ γινόμεθα. εἰπὼν δέ, ὅτι κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν, εἶτα δείσας μὴ δόξῃ ὡσπερεὶ ἰσχὺν ἐχόντων τῶν εἰδώλων διαλέγεσθαι καὶ δυναμένων τι βλάψαι, ὅρα πῶς αὐτὰ καθαιρεῖ πάλιν λέγων·

19 Τί οὖν φημι; ὅτι εἴδωλόν τί ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν τί ἐστι; Ταῦτα δὲ λέγω, φησί, καὶ ἀπάγω, οὐχ ὡς δυναμένων βλάψαι τι τῶν εἰδώλων ἢ ἰσχὺν ἐχόντων (οὐδὲν γάρ ἐστιν) ἀλλὰ βούλομαι καταφρονεῖν αὐτῶν ὑμᾶς. Καὶ εἰ βούλει καταφρονεῖν, φησι, τίνος ἕνεκεν μετὰ σπουδῆς αὐτῶν ἡμᾶς ἀπάγεις; ὅτι οὐ προσάγεται τῷ δεσπότῃ τῷ σῷ.

20 Ὁ γὰρ θύει, φησί, τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ Θεῷ. Μὴ τοίνυν τρέχετε ἐπὶ τὰ ἐναντία. οὐδὲ γάρ, εἰ βασιλέως υἱὸς ἦς, εἶτα τῆς πατρικῆς ἀπολαύων τραπέζης, ἀφεὶς ἐκείνην, τῆς τῶν * δεσμωτῶν ἠθέλησας κοινωνῆσαι ἐν τῷ δεσμωτηρίῳ, ἐπέτρεψεν ἂν ὁ πατήρ, ἀλλὰ καὶ μετὰ πολλῆς ἂν ἀπήγαγε τῆς σφοδρότητος, οὐχ ὡς δυναμένης τῆς τραπέζης βλάψαι, ἀλλ' ὡς καταισχυνούσης σου τὴν εὐγένειαν καὶ τὴν τράπεζαν τὴν βασιλικήν. καὶ γὰρ καὶ οὗτοι οἰκέται εἰσὶ προσκεκρουκότες, ἠτιμωμένοι, καταδίκοι, δεσμῶται ἀφορήτῳ κολάσει τηρούμενοι, μυρίοις ὑπεύθυνοι κακοῖς. πῶς οὖν οὐκ αἰσχύνῃ κατὰ τοὺς λαιμάργους καὶ ἀνελευθέρους, ὅταν θῶσι τράπεζαν οἱ καταδίκοι οὗτοι, τρέχων ἐκεῖ καὶ μετέχων τῶν προκειμένων; διὰ δὴ τοῦτο ἀπάγω. ὁ γὰρ σκοπὸς τῶν θυόντων καὶ τὸ πρόσωπον τῶν δεχομένων ἀκάθαρτα ποιεῖ τὰ προκείμενα. Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. Εἶδες φιλίαν πατρὸς κηδεμονικοῦ; εἶδες καὶ αὐτὸ τὸ ῥῆμα πολλὴν ἔχον τὴν ἔμφασιν τῆς διαθέσεως; οὐδὲν γὰρ βούλομαι κοινὸν ἔχειν ὑμᾶς πρὸς ἐκείνους, φησίν. εἶτα ἐπειδὴ ἐν τάξει παραινέσεως τὸν λόγον εἰσήγαγεν, ἵνα μή τις τῶν παχυτέρων καταφρονήσῃ, ὡς ἐξουσίαν ἔχων, ἐπειδὴ εἶπεν, οὐ θέλω, καὶ ὑμεῖς κρίνατε, ἀποφαίνεται λοιπὸν καὶ νομοθετεῖ λέγων·

21 Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. Καὶ ἀρκεῖται τοῖς ὀνόμασι μόνοις εἰς τὴν ἀπαγωγήν. εἶτα καὶ ἐντρεπτικῶς·

22 Ἢ παραζηλοῦμεν τὸν Κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; Τουτέστι, πειράζομεν αὐτόν, εἰ δύναται κολάσαι ἡμᾶς, καὶ παροξύνομεν αὐτὸν πρὸς τοὺς ἐναντίους ἀποχωροῦντες, καὶ μετὰ τῶν αὐτοῦ πολεμίων ταττόμενοι; τοῦτο δὲ εἶπε, ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἱστορίας καὶ πατρικῆς παρανομίας. διὸ καὶ τῇ λέξει ταύτῃ κέχρηται, ᾗ καὶ πρὸς Ἰουδαίους ὁ Μωϋσῆς ἐχρήσατό ποτε, ἐγκαλῶν ὑπὲρ εἰδωλολατρείας ἐκ προσώπου τοῦ Θεοῦ. Δευτ. λβ. κα. Αὐτοὶ γάρ, φησι, παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; Εἶδες πῶς φοβερῶς, πῶς φρικτῶς ἐπέπληξεν, αὐτὰ διασείσας αὐτῶν τὰ νεῦρα, καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ σφόδρα αὐτῶν καθαψάμενος καὶ κατενεγκὼν αὐτῶν τὸ φύσημα; καὶ διὰ τί μὴ ἐξ ἀρχῆς ταῦτα τέθεικεν, φησιν, ἃ μάλιστα ἂν αὐτοὺς ἀπήγαγεν; ὅτι ἔθος αὐτῷ διὰ πλειόνων ἃ βούλεται κατασκευάζειν, καὶ τὰ ἰσχυρότερα ὕστερον τιθέναι, καὶ ἐκ περιουσίας νικᾶν. διὰ δὴ τοῦτο ἀπὸ τῶν καταδεεστέρων ἀρξάμενος,

μένος, ἐπὶ τὸ κεφάλαιον ἦλθε τῶν κακῶν. οὕτω γὰρ καὶ τοῦτο αὐτοῖς παραδείκνυσι μᾶλλον ἐγίνετο, τοῖς προτέροις τῆς διανοίας αὐτῶν καταλελυθείσης.

23 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ.

24 Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Ὁρᾷς σύνεσιν ἠκριβωμένην; ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι τέλειός εἰμι, καὶ κύριος ἐμαυτοῦ, καὶ οὐδὲν βλαπτόμενος ἀπογεύομαι τῶν προκειμένων· ναί, φησι· τέλειος μὲν εἶ, καὶ σαυτοῦ κύριος· ἀλλὰ μὴ τοῦτο σκόπει, ἀλλ' εἰ μὴ βλάβην ἔχει τὸ γινόμενον, ἀλλ' εἰ μὴ καταστροφήν. καὶ γὰρ ἀμφότερα εἴρηκεν, οὐ πάντα συμφέρει, οὐ πάντα οἰκοδομεῖ, λέγων, καὶ τὸ μὲν ὑπὲρ ἑαυτοῦ, τὸ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ τιθείς. τὸ μὲν γὰρ εἰπεῖν, οὐ συμφέρει, τὴν ἐκείνου ἀπώλειαν αἰνιττομένου ἐστί· τὸ δὲ εἰπεῖν, οὐκ οἰκοδομεῖ, τὸ τοῦ ἀδελφοῦ σκάνδαλον. διὸ καὶ ἐπήγαγε, μηδεὶς τὸ ἑαυτοῦ ζητείτω· ὃ πανταχοῦ καὶ διὰ πάσης κατασκευάζει ἐπιστολῆς, καὶ ἐν τῇ πρὸς Ῥωμαίους, ὡς ὅταν λέγῃ· Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσε· καὶ πάλιν, Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον· καὶ ἐνταῦθα πάλιν· οὐ μὴν ἐπεξεργάζεται αὐτὸ ἐνταῦθα. ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν διὰ πολλῶν αὐτὸ κατεσκεύασε, καὶ ἀπέδειξεν, ὅτι οὐδαμοῦ τὸ ἑαυτοῦ ζητεῖ, ἀλλὰ καὶ Ἰουδαίοις ὡς Ἰουδαῖος ἐγένετο, καὶ ἀνόμοις ὡς ἄνομος, καὶ τῇ ἐλευθερίᾳ τῇ ἑαυτοῦ καὶ τῇ ἐξουσίᾳ οὐχ ἁπλῶς ἐχρήσατο, ἀλλ' εἰς τὸ πᾶσι συμφέρον, δουλεύων ἅπασιν, ὀλίγοις ἀρκεσθεὶς ῥήμασιν ἐνταῦθα ἀπηλλάγη, εἰς μνήμην διὰ τῶν ὀλίγων τούτων παραπέμπων τῶν εἰρημένων αὐτοὺς ἁπάντων.

Κολοσ. β. ιϛ.
Ῥωμ. ιε. γ.
α. Κορ. ι. λγ.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, ἀγαπητοί, προνοῶμεν τῶν ἀδελφῶν, καὶ τὴν ἑνότητα τὴν πρὸς αὐτοὺς διατηρῶμεν. Εἰς τοῦτο γὰρ ἡμᾶς ἡ θυσία ἐκείνη ἐνάγει ἡ φοβερὰ καὶ φρικώδης, κελεύουσα ἡμῖν μεθ' ὁμονοίας αὐτῇ μάλιστα προσιέναι καὶ θερμῆς ἀγάπης, καὶ ἀετοὺς γινομένους ἐντεῦθεν, οὕτω πρὸς αὐτὸν ἵπτασθαι τὸν οὐρανόν*. Ὅπου γὰρ τὸ πτῶμα, φησίν, ἐκεῖ καὶ οἱ ἀετοί, πτῶμα καλῶν τὸ σῶμα διὰ τὸν θάνατον. Εἰ μὴ γὰρ ἐκεῖνος ἔπεσεν, ἡμεῖς οὐκ ἂν ἀνέστημεν. ἀετοὺς δὲ καλεῖ, δεικνὺς ὅτι καὶ ὑψηλὸν εἶναι δεῖ τὸν προσιόντα τῷ σώματι τούτῳ, καὶ μηδὲν πρὸς τὴν γῆν κοινὸν ἔχειν, μηδὲ κάτω σύρεσθαι καὶ ἕρπειν, ἀλλ' ἄνω πέτεσθαι διηνεκῶς, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἐνορᾷν, καὶ ὀξυδερκὲς τὸ ὄμμα τῆς διανοίας ἔχειν. ἀετῶν γάρ, οὐ κολοιῶν αὕτη ἡ τράπεζα. οὗτοι καὶ τότε ἀπαντήσονται ἐκ τῶν οὐρανῶν καταβαίνοντι τῷ νῦν ἀξίως ἀπολαύοντες, ὥσπερ οὖν οἱ ἀναξίως, τὰ ἔσχατα πείσονται. Εἰ γὰρ βασιλέα τις οὐκ ἂν ἁπλῶς δέξοιτο, τί λέγω βασιλέα; ἱμάτιον μὲν οὖν βασιλικὸν οὐκ ἄν τις ἁπλῶς ἅψαιτο χερσὶν ἀκαθάρτοις, κἂν ἐπ' ἐρημίας ᾖ, κἂν μόνος ᾖ, κἂν μηδεὶς ὁ ὁρῶν· καίτοιγε οὐδὲν ἕτερόν ἐστι τὸ ἱμάτιον, ἢ σκωλήκων νήματα*. εἰ δὲ τὴν βαφὴν θαυμάζεις, καὶ αὕτη νεκρωθέντος ἰχθύος ἐστὶν αἷμα· ἀλλ' ὅμως οὐκ ἄν τις ἕλοιτο ῥυπαραῖς αὐτὸ κατατολμῆσαι χερσίν. Εἰ δὲ ἀνθρωπίνου ἱματίου οὐκ ἄν τις τολμήσειεν ἁπλῶς θιγεῖν, πῶς τὸ σῶμα τοῦ ἐπὶ πάντων Θεοῦ τὸ ἄμωμον, τὸ καθαρόν, τὸ τῇ θείᾳ ἐκείνῃ φύσει ὁμιλῆσαν, δι' ὃ ἐσμὲν καὶ ζῶμεν, δι' ὃ πύλαι θανάτου κατεκλάσθησαν, καὶ οὐρανοῦ ἀψῖδες ἀνεῴχθησαν, τοῦτο μετὰ τοσαύτης ὕβρεως ληψόμεθα; μή, παρακαλῶ, μὴ κατασφάξωμεν ἑαυτοὺς διὰ τῆς ἀναισχυντίας, ἀλλὰ μετὰ φρίκης καὶ καθαρότητος ἁπάσης αὐτῷ προσίωμεν· καὶ ὅταν αὐτὸ προκείμενον ἴδῃς, λέγε πρὸς σεαυτόν· διὰ τοῦτο τὸ σῶμα οὐκέτι γῆ καὶ σποδός εἰμι, οὐκέτι αἰχμάλωτος, ἀλλ' ἐλεύθερος· διὰ τοῦτο τοὺς οὐρανοὺς ἐλπίζω, καὶ τὰ ἐν αὐτοῖς ἀπολήψεσθαι ἀγαθά, τὴν ἀθάνατον ζωήν, τὴν τῶν ἀγγέλων λῆξιν, τὴν μετὰ Χριστοῦ ὁμιλίαν· τοῦτο τὸ σῶμα προσηλούμενον, μαστιζόμενον οὐκ ἤνεγκεν ὁ θάνατος, τοῦτο τὸ σῶμα καὶ ἥλιος σταυρούμενον ἰδών, τὰς ἀκτῖνας ἀπέστρεψε· διὰ τοῦτο καὶ καταπέτασμα ἐσχίζετο τότε, καὶ πέτραι ἐρρήγνυντο, καὶ γῆ πᾶσα ἐτινάσσετο. τοῦτο ἐκεῖνο τὸ σῶμά ἐστι,

* μᾶλλον δὲ καὶ ὑπὲρ τὸν οὐρανόν.

Ματθ. κδ. κη.

Ἰωάν. ιϛ. κε.

* καὶ σητῶν.

τὸ ᾑμαγμένον, τὸ λόγχῃ πληγέν, καὶ τὰς σωτηρίους πηγὰς ἀναβλύσαν, τὴν τοῦ αἵματος, τὴν τοῦ ὕδατος τῇ οἰκουμένῃ πάσῃ. βούλει καὶ ἑτέρωθεν τὴν ἰσχὺν αὐτοῦ μαθεῖν; ἐρώτησον τὴν αἱμοῤῥοοῦσαν, οὐκ αὐτοῦ, ἀλλὰ τοῦ περικειμένου αὐτῷ ἱματίου, μᾶλλον δὲ οὐδὲ τούτου ὁλοκλήρου, ἀλλὰ τοῦ κρασπέδου ἁψαμένην· ἐρώτησον τὴν θάλασσαν, τὴν ὑπὲρ τῶν νώτων αὐτὸ βαστάσασαν· ἐρώτησον καὶ αὐτὸν τὸν διάβολον, καὶ εἰπέ· πόθεν ἔχεις τὴν πληγὴν τὴν ἀνίατον; πόθεν οὐκέτι ἰσχύεις οὐδέν; πόθεν ἑάλως; τίνι κατεσχέθης φεύγων; καὶ οὐδὲν ἕτερον, ἢ τὸ σῶμα ἐρεῖ τὸ σταυρωθέν. διὰ τούτου τὰ κέντρα αὐτοῦ κατεκλάσθη· διὰ τούτου ἡ κεφαλὴ αὐτοῦ συνετρίβη· διὰ τούτου αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι ἐδειγματίσθησαν. Κολασ. β. 15. Ἀπεκδυσάμενος γάρ, φησι, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν, ἐν παῤῥησίᾳ θριαμβεύσας αὐτὰς ἐν αὐτῷ. ἐρώτησον καὶ τὸν θάνατον, καὶ εἰπέ· πόθεν ἀνῃρέθη σου τὸ κέντρον; πόθεν κατελύθη σου τὸ νῖκος; πόθεν ἐξεκόπη σου τὰ νεῦρα; καὶ κόραις καὶ παιδίοις γέγονας καταγέλαστος, ὁ καὶ τυράννοις καὶ δικαίοις ἅπασιν ὢν πρὸ τούτου φοβερός; καὶ τὸ σῶμα αἰτιάσεται τοῦτο. ὅτε γὰρ τοῦτο ἐσταυροῦτο, τότε νεκροὶ ἀνέστησαν, τότε τὸ δεσμωτήριον ἐκεῖνο ἐῤῥάγη, καὶ αἱ χαλκαῖ ἐκλάσθησαν πύλαι, καὶ οἱ νεκροὶ ἀνέστησαν, καὶ πυλωροὶ ᾅδου πάντες ἔπτηξαν. καίτοιγε εἰ τῶν πολλῶν εἷς ἦν, τοὐναντίον γενέσθαι ἔδει, τὸν θάνατον δυνατώτερον, ἀλλ' οὐκ ἐγένετο. οὐδὲ γὰρ τῶν πολλῶν εἷς ἦν. διὰ τοῦτο ἐξελύετο ἐκεῖνος· καὶ ὥσπερ οἱ τροφὴν λαβόντες, ἣν οὐκ εἰσὶ δυνατοὶ κατασχεῖν, καὶ τὰ προαποκείμενα δι' ἐκείνην ἐμοῦσιν, οὕτω καὶ ἐπὶ τοῦ θανάτου γέγονε. τὸ σῶμα, ὅπερ οὐκ ἦν ἰσχυρὸς κατεργάζεσθαι, λαβών, κἀκεῖνα ἐξέβαλεν ἅπερ ἔνδον εἶχε. καὶ γὰρ ὤδινεν ἔχων αὐτόν, καὶ ἐθλίβετο, ἕως αὐτὸν ἤμεσε. Πραξ. β. κδ. διό φησιν ὁ ἀπόστολος, Λύσας τὰς ὠδῖνας τοῦ θανάτου. οὐδεμία γὰρ γυνὴ παιδίον κύουσα οὕτως ὠδίνει, ὡς ἐκεῖνος, τὸ σῶμα ἔχων τὸ δεσποτικόν, διεκόπτετο διασπώμενος. καὶ ὅπερ ἐπὶ τοῦ δράκοντος γέγονε τοῦ Βαβυλωνίου, ὅτι λαβὼν τὴν τροφὴν διεῤῥάγη μέσος, τοῦτο καὶ ἐπὶ τούτου. οὐ γὰρ διὰ τοῦ στόματος πάλιν ἐξῆλθεν ὁ Χριστὸς τοῦ θανάτου, ἀλλ' αὐτὴν μέσην διαῤῥήξας τὴν γαστέρα τοῦ δράκοντος καὶ ἀνατεμών, οὕτως ἀπὸ τῶν ἀδύτων προῄει μετὰ πολλῆς τῆς λαμπρότητος, καὶ τὰς ἀκτῖνας ἀφιείς, οὐ μέχρι τούτου τοῦ οὐρανοῦ, ἀλλ' εἰς αὐτὸν τὸν ἄνω θρόνον. ἐκεῖ γὰρ αὐτὸ καὶ ἀνήγαγε. τοῦτο τὸ σῶμα ἔδωκεν ἡμῖν καὶ κατέχειν καὶ ἐσθίειν, ὅπερ ἀγάπης ἐπιτεταμένης ἦν. οὓς γὰρ ἂν φιλῶμεν σφοδρῶς, καὶ ἐνδάκνομεν πολλάκις. διὸ καὶ ὁ Ἰὼβ τὸν ἔρωτα τῶν οἰκετῶν Ἰωβ. λα. λα. τὸν περὶ αὐτὸν ἐνδεικνύμενος, ἔλεγεν ὅτι πολλάκις ἐκεῖνοι σφόδρα αὐτὸν φιλοῦντες ἔλεγον, Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; οὕτω καὶ ὁ Χριστὸς τῶν σαρκῶν αὐτοῦ ἔδωκεν ἡμῖν πλησθῆναι, εἰς φιλίαν πλείονα ἡμᾶς ἐπισπώμενος. προσίωμεν τοίνυν μετὰ θερμότητος αὐτῷ καὶ πεπυρωμένης ἀγάπης, καὶ μὴ ὑπομείνωμεν τιμωρίαν. ὅσῳ γὰρ ἂν ὦμεν εὐηργετημένοι μεγάλα, τοσούτῳ μᾶλλον κολαζόμεθα μειζόνως, ὅταν ἀνάξιοι τῆς εὐεργεσίας φανῶμεν. τοῦτο τὸ σῶμα καὶ ἐπὶ φάτνης κείμενον ᾐδέσθησαν μάγοι· καὶ ἄνδρες ἀσεβεῖς καὶ βάρβαροι τὴν πατρίδα καὶ τὴν οἰκίαν ἀφέντες, καὶ ὁδὸν ἐστείλαντο μακράν, καὶ ἐλθόντες μετὰ φόβου καὶ τρόμου πολλοῦ προσεκύνησαν. μιμησώμεθα τοίνυν κἂν τοὺς βαρβάρους ἡμεῖς οἱ τῶν οὐρανῶν πολῖται. ἐκεῖνοι μὲν γὰρ καὶ ἐπὶ φάτνης ἰδόντες, καὶ ἐν καλύβῃ, καὶ οὐδὲν τοιοῦτον ἰδόντες, οἷον σὺ νῦν, μετὰ πολλῆς τῆς φρίκης προσῄεσαν· σὺ δὲ οὐκ ἐν φάτνῃ ὁρᾷς, ἀλλ' ἐν θυσιαστηρίῳ, οὐ γυναῖκα κατέχουσαν, ἀλλ' ἱερέα παρεστῶτα, καὶ πνεῦμα μετὰ πολλῆς τῆς δαψιλείας τοῖς προκειμένοις ἐφιπτάμενον. οὐχ ἁπλῶς αὐτὸ τοῦτο τὸ σῶμα ὁρᾷς, ὥσπερ ἐκεῖνοι, ἀλλ' οἶσθα αὐτοῦ καὶ τὴν δύναμιν, καὶ τὴν οἰκονομίαν ἅπασαν, καὶ οὐδὲν ἀγνοεῖς τῶν δι' αὐτοῦ τελεσθέντων, μετὰ ἀκριβείας μυσταγωγηθεὶς ἅπαντα. διαναστήσωμεν τοίνυν ἑαυτοὺς καὶ φρίξωμεν, καὶ πολλῷ τῶν βαρβάρων ἐκείνων πλείονα ἐπιδειξώμεθα τὴν εὐλάβειαν, ἵνα μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε προσελθόντες, πῦρ ἐπὶ τὴν ἑαυτῶν σωρεύσωμεν κεφαλήν.

γρ. ἀφείθησαν

γρ. πεπηγμένον σῶμα

Ταῦτα

Ταῦτα δὲ λέγω, οὐχ ἵνα μὴ προσιῶμεν, ἀλλ' ἵνα μὴ ἁπλῶς προσιῶμεν. ὥσπερ γὰρ τὸ ὡς ἔτυχε προσιέναι, κίνδυνος, οὕτω τὸ μὴ κοινωνεῖν τῶν μυστικῶν δείπνων ἐκείνων, λιμὸς καὶ θάνατος. αὕτη γὰρ ἡ τράπεζα τῆς ψυχῆς ἡμῶν τὰ νεῦρα, τῆς διανοίας ὁ σύνδεσμος, τῆς παρρησίας ἡ ὑπόθεσις, ἡ ἐλπὶς, ἡ σωτηρία, τὸ φῶς, ἡ ζωή. μετὰ ταύτης ἀπελθόντες ἐκεῖ τῆς θυσίας, ἐν παρρησίᾳ πολλῇ τῶν ἱερῶν ἐπιβησόμεθα προθύρων, ὥσπερ τισὶν ὅπλοις χρυσοῖς περιπεφραγμένοι πάντοθεν. καὶ τί λέγω τὰ μέλλοντα; ἐνταῦθα γάρ σοι τὴν γῆν οὐρανὸν ποιεῖ τοῦτο τὸ μυστήριον. ἀναπέτασον γοῦν τοῦ οὐρανοῦ τὰς πύλας, καὶ διάκυψον· μᾶλλον δὲ οὐχὶ τοῦ οὐρανοῦ, ἀλλὰ τοῦ οὐρανοῦ τῶν οὐρανῶν, καὶ τότε ὄψει τὸ εἰρημένον. τὸ γὰρ πάντων ἐκεῖ τιμιώτερον, τοῦτό σοι ἐπὶ τῆς γῆς δείξω κείμενον. ὥσπερ γὰρ ἐν τοῖς βασιλείοις τὸ πάντων σεμνότερον, οὐ τοῖχοι, οὐκ ὄροφος χρυσοῦς, ἀλλὰ τὸ βασιλικὸν σῶμα τὸ καθήμενον ἐπὶ τοῦ θρόνου· οὕτω καὶ ἐν τοῖς οὐρανοῖς τὸ τοῦ βασιλέως σῶμα. ἀλλὰ τοῦτό σοι νῦν ἔξεστιν ἐπὶ γῆς ἰδεῖν. οὐ γὰρ ἀγγέλους, οὐδὲ ἀρχαγγέλους, οὐδὲ οὐρανοὺς καὶ οὐρανοὺς οὐρανῶν, ἀλλ' αὐτὸν τὸν τούτων σοι δείκνυμι δεσπότην. εἶδες πῶς τὸ πάντων τιμιώτερον ὁρᾷς ἐπὶ γῆς; καὶ οὐχ ὁρᾷς μόνον, ἀλλὰ καὶ ἅπτῃ; καὶ οὐχ ἅπτῃ μόνον, ἀλλὰ καὶ ἐσθίεις; καὶ λαβὼν οἴκαδε ἀναχωρεῖς; ἀπόσμηχε τοίνυν τὴν ψυχὴν, παρασκεύαζε τὴν διάνοιαν πρὸς τὴν τῶν μυστηρίων ὑποδοχήν. καὶ γὰρ εἰ παιδίον βασιλικὸν μετὰ τοῦ κόσμου καὶ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐνεχειρίσθης φέρειν, πάντα ἂν ἔρριψας τὰ ἐν τῇ γῇ· νυνὶ δὲ οὐ παιδίον ἀνθρώπου βασιλικὸν, ἀλλ' αὐτὸν τὸν μονογενῆ λαμβάνων τοῦ Θεοῦ παῖδα, οὐ φρίττεις, εἰπέ μοι, καὶ πάντα τὸν τῶν βιωτικῶν ἐκβάλλεις ἔρωτα, καὶ τῷ κόσμῳ καλλωπίζῃ μόνον ἐκείνῳ, ἀλλ' ἔτι πρὸς τὴν γῆν ὁρᾷς, καὶ χρημάτων ἐρᾷς, καὶ πρὸς χρυσὸν ἐπτόησαι; καὶ τίνα ἂν σχοίης συγγνώμην; ποίαν ἀπολογίαν; οὐκ οἶσθα πῶς ἅπασαν τὴν βιωτικὴν πολυτέλειαν ἀποστρέφεταί σου ὁ δεσπότης; οὐ διὰ τοῦτο ἐν φάτνῃ ἐτέθη τεχθεὶς, καὶ μητέρα ἔλαβεν εὐτελῆ; οὐ διὰ τοῦτο ἐκείνῳ τῷ πρὸς καπηλείαν βλέποντι ἔλεγεν, Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ; (Matth. 8. c.) τί δὲ οἱ μαθηταί; οὐ τὸν αὐτὸν διετήρουν νόμον, εἰς τὰς τῶν πενήτων οἰκίας καταγόμενοι, καὶ ὁ μὲν πρὸς βυρσέα, ὁ δὲ πρὸς σκηνορράφον κατέλυον καὶ πρὸς τὴν πορφυρόπωλιδα; οὐ γὰρ οἰκίας περιφάνειαν, ἀλλὰ ψυχῶν ἀρετὰς ἐπεζήτουν. τούτους τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν. τὰ μὲν κάλλη τῶν κιόνων καὶ τῶν μαρμάρων παρατρέχοντες, ζητοῦντες δὲ τὰς ἄνω μονὰς, καὶ πάντα τῦφον τὸν ἐνταῦθα πατήσωμεν μετὰ τῆς τῶν χρημάτων ἐπιθυμίας, καὶ ὑψηλὸν λάβωμεν φρόνημα. ἂν γὰρ νήφωμεν, οὐδὲ ὁ κόσμος ἡμῶν ἐστιν ἄξιος, μήτι γε στοαὶ καὶ περίπατοι. διὸ, παρακαλῶ, τὴν ψυχὴν τὴν ἑαυτῶν καλλωπίζωμεν, τὴν οἰκίαν ταύτην κατασκευάζωμεν, ἣν καὶ λαβόντες ἀπελευσόμεθα, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κε. 25 ΠΑΝ ΤΟ ΕΝ ΜΑΚΕΛΛΩ ΠΩΛΟΥΜΕΝΟΝ ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν.

Εἰπὼν ὅτι ἀδύνατον ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων, καὶ καθάπαξ ἀπαγαγὼν τῶν τραπεζῶν ἐκείνων ἀπὸ παραδειγμάτων Ἰουδαϊκῶν, ἀπὸ λογισμῶν ἀνθρωπίνων, ἀπὸ τῶν μυστηρίων τῶν φρικτῶν, ἀπὸ τῶν ἐν τοῖς εἰδώλοις τελουμένων, (ἐν εἰδωλείοις) καὶ πολὺν φόβον ἐνθεὶς αὐτοῖς, ἵνα μὴ τῷ φόβῳ τούτῳ πάλιν εἰς ἑτέραν ἀμετρίαν αὐτοὺς ἐξωθήσῃ, καὶ ἀναγκασθῶσι πλείονι περιεργίᾳ κεχρημένοι τοῦ δέοντος δεδοικέναι, μήποτε καὶ ἀγνοούντων αὐτῶν ἐπεισέλθῃ τι τοιοῦτον, ἢ ἐξ ἀγορᾶς, ἢ ἄλλοθέν ποθεν, ἀφιεὶς αὐτοὺς ταύτης τῆς ἀνάγκης, φησί· πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες. ἐὰν γὰρ

ἀγνοῶν, φησὶ, φάγῃς, καὶ μὴ εἰδὼς, οὐχ ὑπόκεισαι τῇ τιμωρίᾳ. τῆς γὰρ ἀγνοίας λοιπὸν τὸ πρᾶγμα, οὐχὶ τῆς λαιμαργίας. καὶ οὐ ταύτης μόνον αὐτὸν ἀπαλλάττει τῆς ἀγωνίας, ἀλλὰ καὶ ἑτέρας, πολλὴν ἄδειαν καὶ ἐλευθερίαν αὐτοῖς κατασκευάζων. οὐδὲ γὰρ διακρίνειν ἀφίησι, τουτέστιν, ἐξετάζειν καὶ πυνθάνεσθαι, εἴτε εἰδωλόθυτον, εἴτε μὴ τοιοῦτον· ἀλλ' ἁπλῶς ἐσθίειν ἅπαν τὸ ἐξ ἀγορᾶς, μηδὲ τοῦτο μανθάνειν, ὅ, τι ποτέ ἐστι τὸ προκείμενον*. ὥστε ἐστὶ καὶ φαγόντα ἀγνοοῦντα, ἀπηλλάχθαι. τοιαῦτα γὰρ τὰ μὴ τῇ φύσει πονηρά, ἀλλ' ἀπὸ τῆς διανοίας ποιοῦντα τὸ ἀκάθαρτον. διὰ τοῦτό φησι, μηδὲν διακρίνοντες.

* καὶ αὐτὴ παρέχειν τὰς ἀφορμάς.

26 Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Οὐχὶ τῶν δαιμόνων. εἰ δὲ ἡ γῆ, καὶ οἱ καρποὶ, καὶ τὰ ἄλογα αὐτῆς πάντα, οὐδὲν ἀκάθαρτον· ἀλλ' ἑτέρως ἀκάθαρτον γίνεται, ἀπὸ τῆς διανοίας καὶ ἀπὸ τῆς παρακοῆς. διὰ τοῦτο οὐ μόνον ἐπέτρεψεν, ἀλλὰ καὶ,

27 Ἐὰν τις ὑμᾶς, φησι, καλῇ τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν διακρίνοντες διὰ τὴν συνείδησιν. Ὅρα πάλιν τὴν συμμετρίαν. οὐ γὰρ ἐπέταξε, καὶ ἐνομοθέτησεν ἀπιέναι, ἀλλ' οὐδὲ ἐκώλυσεν. ἀπελθόντας δὲ πάλιν ἀπαλλάττει πάσης ὑποψίας. τί δήποτε; ἵνα μὴ δόξῃ φόβου τινὸς εἶναι ἡ τοσαύτη πολυπραγμοσύνη καὶ δειλίας. ὁ μὲν γὰρ περιεργαζόμενος, ὡς δεδοικὼς τοῦτο ποιεῖ· ὁ δὲ μετὰ τὸ ἀκοῦσαι ἀπεχόμενος, ὡς καταφρονῶν καὶ μισῶν καὶ ἀποστρεφόμενος, ἀπέχεται. διόπερ ὁ Παῦλος ἀμφότερα βουλόμενος κατασκευάσαι φησὶ, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε.

28 Ἂν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε διὰ τὸν μηνύσαντα. Οὐδὲ γὰρ ὡς ἐχόντων ἰσχὺν, ἀλλ' ὡς βδελυρῶν ἀπέχεσθαι κελεύει. μήτε τοίνυν, ὡς δυνάμενα καταβλάψαι, φεύγετε (οὐδεμίαν γὰρ ἔχει ἰσχὺν) μήτε, ἐπειδὴ μηδεμίαν ἔχει ἰσχὺν, ἀδιαφόρως μετέχετε. ἐχθρῶν γάρ ἐστι καὶ ἠτιμωμένων ἡ τράπεζα. διὸ ἔλεγε, μὴ ἐσθίετε διὰ τὸν μηνύσαντα. Καὶ τὴν συνείδησιν. τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

Ματθ. ε. κ.

Ὁρᾷς πῶς καὶ ὅτε ἐσθίειν κελεύει, καὶ ὅτε ἀπέχεσθαι [δεῖ], τὴν αὐτὴν μαρτυρίαν εἰς μέσον ἄγει; οὐδὲ γὰρ διὰ τοῦτο κωλύω, φησὶν, ὡς ἀλλοτρίων ὄντων (τοῦ γὰρ Κυρίου ἡ γῆ) ἀλλὰ δι' ὅπερ εἶπον, διὰ τὴν συνείδησιν, τουτέστιν, ἵνα μὴ βλαβῇ. οὐκοῦν δεῖ περιεργάζεσθαι; οὔ, φησιν. οὐδὲ γὰρ τὴν σὴν εἶπον συνείδησιν, ἀλλὰ τὴν ἐκείνου. προλαβὼν γὰρ εἶπον, διὰ τὸν μηνύσαντα· καὶ πάλιν,

χ. ὁρᾷς πῶς καὶ τὸ ἐσθίειν κελεύει, καὶ τὸ δεῖ ἀπέχεσθαι τὸ αὐτ.

29 Συνείδησιν λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. Ἀλλ' ἴσως εἴποι τις ἄν· ὅτι τῶν μὲν ἀδελφῶν εἰκότως φείδῃ, καὶ οὐκ ἐᾷς ἡμᾶς ἀπογεύεσθαι δι' ἐκείνους, ἵνα μὴ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα οἰκοδομηθῇ εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν· εἰ δὲ

α. Κορ ε. ιβ.

Ἕλλην τις εἴη, τί σοι τούτου μέλει; οὐ σὺ ἔλεγες, Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; τίνος οὖν ἕνεκεν αὐτῶν πάλιν φροντίζεις; οὐκ ἐκείνου φροντίζω, φησὶν, ἀλλὰ καὶ ἐνταῦθά σου. διὸ καὶ ἐπήγαγεν, Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; Ἐλευθερίαν, τὸ ἀπαρατήρητον καὶ ἀκώλυτον λέγων. τοῦτο γὰρ ἐλευθερία, Ἰουδαϊκῆς ἀπηλλαγμένη δουλείας. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐλεύθερόν με ἐποίησεν ὁ Θεὸς καὶ πάσης βλάβης ἀνώτερον, ἀλλ' οὐκ οἶδεν ὁ Ἕλλην δικάζειν τῇ ἐμῇ φιλοσοφίᾳ, οὐδὲ τὴν τοῦ δεσπότου μου φιλοτιμίαν συνορᾶν, ἀλλὰ καταγνώσεται καὶ ἐρεῖ πρὸς ἑαυτόν· μῦθος τὰ χριστιανῶν. ἀπέχονται τῶν εἰδώλων, φεύγουσι δαίμονας, καὶ τῶν ἐκείνοις προσαγομένων ἔχονται· πολλὴ παρ' αὐτοῖς ἡ γαστριμαργία. καὶ τί τοῦτο, φησι; ποῖον δὲ ἡμῖν βλάβος, ἂν κακῶς ἐκεῖνος κρίνῃ; πόσῳ δὲ βέλτιον ἐστὶ μηδὲ ὅλως κρίνειν αὐτῷ διδόναι; ἂν γὰρ ἀπέχῃ, οὐδὲ ταῦτα ἐρεῖ. πῶς, φησιν, οὐκ ἐρεῖ; ὅταν γὰρ ἴδῃ μὴ ἐξετάζοντα ταῦτα, μὴ ἐν μακέλλῳ, μὴ ἐν συμποσίῳ, πῶς οὐκ ἐρεῖ καὶ καταγνώσεται, ὡς ἀδιαφόρως μου μετέχοντος; οὐδαμῶς. οὐ γὰρ ὡς εἰδωλοθύτων μετέχεις, ἀλλ' ὡς καθαρῶν. εἰ δὲ οὐ περιεργάζῃ, ἵνα δείξῃς, ὅτι οὐ δέδοικας τὰ προκείμενα.

χ. ἰδ

περιείληφα. διὰ γὰρ τοῦτο κἂν εἰς Ἑλλήνων οἰκίαν εἰσέλθῃς, κἂν εἰς ἀγορὰν ἐμβάλῃς, οὐκ ἀφίημί σε ἐρωτᾶν, ἵνα μὴ ψοφοδεὴς ᾖς, μηδὲ λυποπληξ, μηδὲ περιττὰ ἑαυτῷ πράγματα παρέχῃς. γρ. λιποπληξ.

30 Εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; Τίνος μετέχεις χάριτι, εἰπέ μοι; τῶν τοῦ Θεοῦ δώρων. ἡ γὰρ χάρις αὐτοῦ τοσαύτη, ὡς κατασκευάσαι μοι τὴν ψυχὴν ἀμόλυντον καὶ ἀνωτέραν πάσης κηλῖδος. καθάπερ γὰρ ἥλιος ἐπαφιεὶς τὰς ἀκτῖνας πολλαχοῦ κηλῖσι, πάλιν αὐτὰς συστέλλει καθαράς· οὕτω καὶ ἡμεῖς, καὶ πολλῷ πλέον, ἐν μέσῳ τῷ κόσμῳ στρεφόμενοι, καθαροὶ διαμένομεν, ἂν ἐθέλωμεν, ὅσῳ καὶ μείζονα δύναμιν ἔχομεν. Τί οὖν ἀπέχῃ, φησίν; οὐχ ὡς μέλλων ἀκάθαρτος γίνεσθαι (μὴ γένοιτο) ἀλλὰ διὰ τὸν ἀδελφόν, καὶ ἵνα μὴ κοινωνὸς γένωμαι δαιμονίων, καὶ ἵνα μὴ κρίνωμαι παρὰ τοῦ ἀπίστου. ἐν ταῦτα γὰρ οὐκέτι λοιπὸν ἡ φύσις, ἀλλ' ἡ παρακοὴ καὶ ἡ πρὸς δαίμονας φιλία ποιεῖ με ἀκάθαρτον, καὶ ἡ προαίρεσις τὸν μολυσμὸν ἐργάζεται. Τί δέ ἐστι, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; ἐγὼ μὲν γάρ, φησιν, εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὕτω με ὑψηλὸν ἐποίησε καὶ Ἰουδαϊκῆς ταπεινότητος ἀνώτερον, ὡς μηδαμόθεν βλάπτεσθαι· ὁ δὲ Ἕλληνες οὐκ εἰδότες μου τὴν φιλοσοφίαν, τἀναντία ὑποπτεύσουσι, καὶ ἐροῦσιν, ὅτι χριστιανοὶ τῶν ἡμετέρων ἐφίενται καὶ ὑποκριταί τινές εἰσι, διαβάλλοντες μὲν δαίμονας καὶ ἀποστρεφόμενοι, ἐπὶ δὲ τὰς τραπέζας αὐτῶν τρέχοντες. τί ἂν γένοιτ' ἂν ἀναισθητότερον; οὐκ ἄρα ἀληθείας ἕνεκεν, ἀλλὰ φιλοτιμίας καὶ φιλαρχίας ἐπὶ τὸ δόγμα τοῦτο ἐληλύθασι. πόσης οὖν ἀνοίας ἂν εἴη, ὑπὲρ ὧν οὕτως εὐηργετήθην, ὡς καὶ εὐχαριστεῖν, ὑπὲρ τούτων βλασφημίας αἴτιον γίνεσθαι; ἀλλὰ ταῦτα καὶ νῦν ἐρεῖ, φησιν, ὁ Ἕλλην, ὅταν ἴδῃ μὴ περιεργαζομένους. οὐδαμῶς. οὐ γὰρ πάντα εἰδωλοθύτων γέμει, ἵνα τοῦτο ὑποπτεύσῃ· οὔτε αὐτὸς ὡς εἰδωλοθύτων ἀπογεύῃ. μὴ τοίνυν περιεργάζου περιττά, μηδ' αὖ πάλιν, λεγόντων τινῶν ὅτι εἰδωλόθυτόν ἐστι, κοινώνει. ὁ γὰρ Χριστὸς χάριν σοι δέδωκε, καὶ ὑψηλόν σε ἐποίησε καὶ μείζονα τῆς ἐκεῖθεν βλάβης, οὐχ ἵνα κακῶς ἀκούσῃς, οὐδ' ἵνα, ὅθεν τοσαῦτα ἐκέρδανας ὡς καὶ εὐχαριστεῖν, ἐντεῦθεν οὕτω βλάψῃς ἑτέρους ὡς καὶ βλασφημεῖν. διὰ τί γὰρ οὐ λέγω τῷ Ἕλληνι, φησίν, ὅτι τοῦτο πράττω, καὶ οὐδὲν βλάπτομαι, τοῦτο ὅτι οὐχ ὡς φίλους τοὺς δαίμονας τοῦτο ποιῶ; ὅτι οὐ δυνήσῃ πεῖσαι, κἂν μυριάκις λέγῃς. ἀσθενὴς γάρ ἐστι, καὶ πολέμιος. εἰ γὰρ τὸν ἀδελφὸν οὐδέπω ἔπεισας, πολλῷ μᾶλλον τὸν ἐχθρὸν τὸν Ἕλληνα· εἰ ἐκεῖνος ἐπὶ τῇ συνειδήσει τοῦ εἰδωλοθύτου κατέχεται, πολλῷ μᾶλλον ὁ ἄπιστος. τί δὲ ἡμῖν τῶν πραγμάτων δεῖ τοσούτων; τί οὖν, ἐπειδὴ Χριστὸν ἔγνωμεν καὶ εὐχαριστοῦμεν, βλασφημοῦσι δὲ ἐκεῖνοι, διὰ τοῦτο ἀποστησόμεθα καὶ τούτου; ἄπαγε. οὐ γάρ ἐστιν ἴσον. ἐκεῖ μὲν γὰρ πολὺ τὸ κέρδος ἐκ τοῦ φέρειν τὴν βλασφημίαν, ἐνταῦθα δὲ οὐδὲν ἔσται πλέον. διὸ καὶ προλαβὼν ἔλεγεν· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα· καὶ χωρὶς τούτου δὲ φαυλότερον τὸ πρᾶγμα ἀπέφηνεν, ὥστε καὶ ἑτέρωθεν αὐτῶν ἀπέχεσθαι δεῖ, οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὰς ἄλλας ἃς εἴρηκεν αἰτίας.

γρ. ἰδὲ
γρ. ἰδὼν

31 Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

Εἶδες πῶς ἀπὸ τοῦ προκειμένου ἐπὶ τὸ καθολικὸν ἐξήγαγε τὴν παραίνεσιν, ἵνα κάλλιστον [τὸν] ὅρον ἡμῖν δῷ, τὸ τὸν Θεὸν διὰ πάντων δοξάζεσθαι.

32 Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.

Τουτέστι, μηδεμίαν παρέχετε λαβὴν μηδενί. καὶ γὰρ ὁ ἀδελφὸς σκανδαλίζεται, καὶ ὁ Ἰουδαῖος μᾶλλόν σε μισήσει καὶ καταγνώσεταί σου, καὶ ὁ Ἕλλην ὁμοίως ὡς λαίμαργον οὕτω γελάσεται καὶ ὑποκριτήν. οὐ μόνον τοὺς ἀδελφοὺς οὐ χρὴ πλήττειν, ἀλλ' ἐν τοῖς δυνατοῖς οὐδὲ τοὺς ἔξωθεν. εἰ γὰρ φῶς ἐσμεν καὶ ζύμη καὶ φωστῆρες καὶ ἅλες, φωτίζειν, οὐ σκοτίζειν δεῖ· σφίγγειν, οὐ παραλύειν· πρὸς ἑαυτοὺς ἐπισπᾶσθαι τοὺς ἀπίστους, οὐ φυγαδεύειν. τί τοί-

τινα διώκεις, οὓς ἐφέλκεσθαι δεῖ; καὶ γὰρ Ἕλληνες πλήττονται, ὅταν ἴδωσι παλινδρομοῦντας ἡμᾶς εἰς τὰ τοιαῦτα (τὴν γὰρ διάνοιαν οὐκ ἴσασιν, οὐδὲ ὅτι πάντοθεν αἰσθητοῦ μολυσμοῦ ἀνωτέρα γέγονεν ἡ ψυχή) καὶ οἱ Ἰουδαῖοι δὲ, καὶ τῶν ἀδελφῶν οἱ ἀσθενέστεροι τὰ αὐτὰ πείσονται. Εἶδες πόσας αἰτίας τέθεικε, δι' ἃς χρὴ τῶν εἰδωλοθύτων ἀπέχεσθαι; διὰ τὸ ἀνόνητον, διὰ τὸ περιττὸν, διὰ τὴν τοῦ ἀδελφοῦ βλάβην, διὰ τὴν τοῦ Ἰουδαίου βλασφημίαν, διὰ τὴν τοῦ Ἕλληνος ''κακηγορίαν, διὰ τὸ μὴ δεῖν δαίμοσι κοινωνεῖν, διὰ τὸ εἰδωλολατρείαν εἶναι τὸ πρᾶγμα. [γρ. κατηγορίαν] Εἶτα, ἐπειδὴ εἶπεν, ἀπρόσκοποι γίνεσθε, καὶ ὑπευθύνους αὐτοὺς ἐποίησε καὶ τῆς τῶν Ἑλλήνων βλάβης καὶ τῆς τῶν Ἰουδαίων, καὶ βαρὺ τὸ λεγόμενον ἦν, ὅρα πῶς αὐτὸ εὐπαράδεκτον καὶ κοῦφον ποιεῖ, τιθεὶς ἑαυτὸν μέσον, καὶ λέγων·

33 Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι.

κεφ. ια. 1 Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Τοῦτο κανὼν χριστιανισμοῦ τοῦ τελειοτάτου, τοῦτο ὅρος ἠκριβωμένος, αὕτη ἡ κορυφὴ ἡ ἀνωτάτω, τὸ τὰ κοινῇ συμφέροντα ζητεῖν· ὅπερ καὶ αὐτὸς δηλῶν ἐπήγαγε, καθὼς κἀγὼ Χριστοῦ. οὐδὲν γὰρ οὕτω δύναται ποιῆσαι μιμητὴν Χριστοῦ, ὡς τὸ κήδεσθαι τῶν πλησίον. ἀλλὰ κἂν νηστεύσῃς, κἂν χαμευνήσῃς, κἂν ἀπαγχονίσῃς σαυτὸν, τοῦ δὲ πλησίον μὴ προνοῇς, οὐδὲν μέγα εἰργάσω, ἀλλ' ἔτι πόῤῥω ταύτης τῆς εἰκόνος ἕστηκας ταῦτα ποιῶν. καίτοι ἐνταῦθα μὲν καὶ αὐτῇ φύσει τὸ πρᾶγμα λυσιτελές ἐστι, τὸ ἀπέχεσθαι τῶν εἰδωλοθύτων· ἐγὼ δὲ πολλὰ καὶ τῶν ἀσυμφόρων ἐποίησα, φησιν, οἷον, ὅτε περιετεμόμην, ὅτε ἔθυσα (ταῦτα γὰρ εἴ τις καθ' ἑαυτὰ ἐξετάσειε, καὶ ἀπόλλυσι τοὺς μετιόντας καὶ τῆς σωτηρίας ἐκπίπτειν ποιεῖ) ἀλλ' ὅμως ὑπέμεινα καὶ ταῦτα διὰ τὸ ἐξ αὐτῶν κέρδος. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. ἐκεῖ μὲν γὰρ, ἂν μὴ προσῇ ἡ ὠφέλεια καὶ τὸ δι' ἑτέρους γίνεσθαι, τότε βλάβος τὸ πρᾶγμα γίνεται· ἐνταῦθα δὲ, κἂν μηδεὶς ὁ σκανδαλιζόμενος ᾖ, καὶ οὕτως ἀπέχεσθαι τῶν κεκωλυμένων χρή. οὐ μόνον δὲ βλαβερὰ, ἀλλὰ καὶ ἐπίπονα ὑπέμεινα. [β. Κορ. ια. η.] Ἄλλας γὰρ ἐκκλησίας ἐσύλησα, φησὶ, λαβὼν ὀψώνιον, καὶ ἐξὸν ἐσθίειν καὶ μὴ ἐργάζεσθαι, οὐκ ἐζήτησα τοῦτο, ἀλλ' εἱλόμην λιμῷ διαφθαρῆναι μᾶλλον, ἢ σκανδαλίσαι ἕτερον. διὰ τοῦτό φησι, πάντα πᾶσιν ἀρέσκω. κἂν τι παράνομον, κἄν τε ἐπίπονον καὶ ἐπικίνδυνον δέῃ ποιῆσαι, πάντα εἰς τὸ ἑτέρων συμφέρον ὑπομένω.

ΗΘΙΚΟΝ

Πάντων γοῦν ἀνώτερος ὢν κατὰ τὴν ἀκρίβειαν, πάντων κατώτερος γέγονε κατὰ τὴν συγκατάβασιν. καὶ γὰρ οὐδὲν κατόρθωμα σφόδρα μέγα εἶναι δύναιτ' ἂν, ὅταν μὴ τὸ κέρδος καὶ εἰς ἑτέρους ''διαδῷ. [γρ. διαδίδω] καὶ δηλοῖ ὁ τὸ τάλαντον ὑγιὲς προσενεγκὼν, καὶ διχοτομηθεὶς ἐπειδὴ αὐτὸ οὐκ ἐπλεόνασε. καὶ σὺ τοίνυν, ἀδελφέ, κἂν ἄσιτος μένῃς, κἂν χαμαὶ καθεύδῃς, καὶ τέφραν ἐσθίῃς καὶ θρηνῇς διαπαντὸς, καὶ μηδένα ἕτερον ὠφελῇς, οὐδὲν μέγα ἐργάσῃ. καὶ γὰρ τοῖς ἐν ἀρχῇ μεγάλοις καὶ γενναίοις ἐκείνοις ἀνδράσι τοῦτο μάλιστα περιεσπούδαστον ἦν. ἐξέτασον αὐτῶν μετὰ ἀκριβείας τὸν βίον, καὶ ὄψει σαφῶς, ὅτι οὐδεὶς αὐτῶν τὰ ἑαυτοῦ ποτε ἐσκόπησεν, ἀλλὰ* τὸ τοῦ πλησίον ἕκαστος· ὅθεν καὶ ἔλαμψαν μᾶλλον. [* τὰ] καὶ γὰρ καὶ τῷ Μωϋσῇ πολλὰ καὶ μεγάλα εἰργάσθη θαύματα καὶ σημεῖα· ἀλλ' οὐδὲν αὐτὸν οὕτω μέγαν ἐποίησεν, ὡς ἡ μακαρία ἐκείνη φωνὴ, ἣν πρὸς τὸν Θεὸν ἀφῆκε, λέγων, [Ἐξοδ. λβ. λβ.] Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον. [β. Βασ. κδ. ιζ.] τοιοῦτος ἦν καὶ ὁ Δαβίδ. διὸ καὶ ἔλεγεν, Ἐγὼ ὁ ποιμὴν ἥμαρτον καὶ ἐγὼ ἐκακοποίησα, καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. οὕτω καὶ ὁ Ἀβραὰμ οὐκ ''ἐζήτει τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν. [γρ. ἐζήτησε] διὸ καὶ κινδύνοις ἑαυτὸν ἐξεδίδου, καὶ τὸν Θεὸν ὑπὲρ τῶν οὐδὲν αὐτῷ προσηκόντων παρεκάλει. καὶ οὗτοι μὲν οὕτως ἔλαμψαν· οἱ δὲ τὰ ἑαυτῶν ζητήσαντες σκόπει πῶς καὶ [Γεν. ιγ. θ.] ἐβλάβησαν. ὁ γοῦν ἀδελφιδοῦς ὁ τούτου, ἐπειδὴ ἤκουσεν, Εἰ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερά,

γεφῶ, καὶ τὴν αἵρεσιν λαβὼν, τὸ ἑαυτοῦ συμφέρον ἐζήτησεν, οὐδὲ τὸ ἑαυτοῦ εὗρεν· ἀλλ' αὕτη μὲν ἐνεπυρίζετο ἡ χώρα, ἐκεῖνος δὲ ἔμενεν ἀνέπαφος. ὁ Ἰωνᾶς πάλιν οὐ ζητήσας τὸ τῶν πολλῶν συμφέρον, ἀλλὰ τὸ ἑαυτοῦ, καὶ ἀπολέσθαι ἐκινδύνευσε· καὶ ἡ μὲν πόλις εἱστήκει, αὐτὸς δὲ ἐσαλεύετο * καὶ κατεποντίζετο. ὅτε δὲ τὸ τῶν πολλῶν συμφέρον ἐζήτησε, τότε καὶ τὸ ἑαυτοῦ εὗρεν. οὕτω καὶ ὁ Ἰακὼβ ἐπὶ τῶν ποιμνίων μὴ ζητήσας τὸ οἰκεῖον κέρδος, τῆς πολλῆς εὐπορίας ἀπήλαυσε. καὶ ὁ Ἰωσὴφ δὲ τὸ τῶν ἀδελφῶν συμφέρον ζητήσας, εὗρε τὸ ἑαυτοῦ. πεμπόμενος γοῦν παρὰ τοῦ πατρὸς οὐκ εἶπε, τί τοῦτο; οὐκ ἤκουσας ὅτι ὑπὲρ ὀνείρων καὶ ἐνυπνίων καὶ διασπάσασθαί με ἐπεχείρησαν, καὶ οἰκετῶν εὐθύνας ὑπέχειν, καὶ τῆς φιλοστοργίας με παρὰ σοῦ δίδωμι δίκην; τί δὲ οὐκ ἐργάσονταί με λαβόντες εἰς μέσον; οὐδὲν τούτων εἶπεν, οὐκ ἐνενόησεν, ἀλλὰ πάντων προετίμα τὴν τῶν ἀδελφῶν θεραπείαν. διὰ τοῦτο καὶ πάντων τῶν μετὰ ταῦτα ἀπήλαυσεν ἀγαθῶν, ἃ καὶ σφόδρα λαμπρὸν αὐτὸν ἐποίησαν καὶ ἔνδοξον ἀπέφηναν. οὕτω καὶ Μωϋσῆς (οὐδὲν γὰρ κωλύει καὶ ἐκ δευτέρου πάλιν αὐτοῦ μνησθῆναι) καὶ ἰδεῖν πῶς τὰ καθ' ἑαυτὸν παρεώρα, καὶ τὰ τῶν ἄλλων ἐζήτει. ὢν γὰρ ἐν βασιλείοις στρεφόμενος, ἐπειδὴ μείζονα πλοῦτον ἡγήσατο τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν, καὶ πάντα ἀπὸ τῶν χειρῶν ῥίψας ἐκοινώνει τῆς κακώσεως τοῖς Ἑβραίοις, οὐ μόνον αὐτὸς οὐκ ἐδουλώθη, ἀλλὰ καὶ ἐκείνους δουλείας ἀπήλλαξε. μεγάλα μὲν οὖν ταῦτα, καὶ ἀγγελικῆς ἄξια πολιτείας· τὸ δὲ τοῦ Παύλου, πολλὴν ἔχει τὴν ὑπερβολήν. οἱ μὲν γὰρ ἄλλοι πάντες τὰ αὑτῶν ἀφέντες ἀγαθὰ, τοῖς τῶν πλησίον εἵλοντο κοινωνεῖν κακοῖς· ὁ δὲ Παῦλος πολλῷ μεῖζον ἐποίησεν. οὐ γὰρ τῶν ἑτέρων ἠθέλησε κοινωνῆσαι συμφοραῖς, ἀλλ' εἵλετο αὐτὸς εἶναι ἐν τοῖς ἐσχάτοις, ἵνα ἕτεροι γένωνται ἐν ἀγαθοῖς. οὐκ ἔστι δὲ ἴσον ὄντα ἐν τρυφῇ ῥίψαι τρυφὴν καὶ κακουχεῖσθαι, καὶ αὐτὸν μόνον κακουχούμενον ἑτέρους ποιῆσαι εἶναι ἐν ἀδείᾳ καὶ τιμῇ. ἐκεῖ μὲν γὰρ εἰ καὶ μέγα τὸ ἀλλάξασθαι τὰ κακὰ τῶν ἀγαθῶν διὰ τὸν πλησίον, ἀλλ' ὅμως φέρει τινὰ παραμυθίαν τὸ κοινωνοὺς ἔχειν τῆς δυσημερίας· τὸ δὲ αὐτὸν μόνον ἐθέλειν εἶναι ἐν τοῖς λυπηροῖς, ἵνα ἕτεροι τῶν χρηστῶν ἀπολαύσωσι, τοῦτο πολλῷ γενναιοτέρας ψυχῆς καὶ τοῦ Παύλου φρονήματος. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρᾳ ὑπερβολῇ μείζονι νικᾷ τοὺς προειρημένους ἅπαντας. ὁ μὲν γὰρ Ἀβραὰμ καὶ οἱ λοιποὶ πάντες κινδύνοις ἑαυτοὺς περιέβαλλον τοῖς ἐν τῷ παρόντι βίῳ, καὶ πάντες ἅπαξ ἁπλῶς ἐκεῖνοι τοῦτον ἤτουν τὸν θάνατον· ὁ δὲ Παῦλος τῆς δόξης τῆς μελλούσης ηὔξατο ἐκπεσεῖν ὑπὲρ τῆς τῶν ἑτέρων σωτηρίας. ἔχω καὶ τρίτην εἰπεῖν ὑπερβολήν. ποίαν δὴ ταύτην; ὅτι ἐκείνων μὲν ἔνιοι, εἰ καὶ τῶν ἐπιβουλευσάντων προΐσταντο, ἀλλ' ὅμως ὧν τὴν δημαγωγίαν ἦσαν ἐγκεχειρισμένοι καὶ τούτων συνέβαινεν, ὥσπερ ἂν εἴ τις προΐσατο υἱοῦ φαύλου μὲν καὶ παρανόμου, υἱοῦ δὲ ὅμως· ὁ δὲ Παῦλος ὑπὲρ τούτων ἐβούλετο εἶναι ἀνάθεμα, ὧν οὐκ ἦν ἐμπεπιστευμένος τὴν προστασίαν. εἰς γὰρ τὰ ἔθνη ἦν ἀπεσταλμένος. εἶδες ψυχῆς μέγεθος, καὶ φρονήματος ὕψος αὐτὸν ὑπερβαῖνον τὸν οὐρανόν; τοῦτον ζήλωσον. εἰ δὲ οὐ δύνασαι, κἂν τοὺς ἐν τῇ παλαιᾷ λάμψαντας. οὕτω γὰρ εὑρήσεις τὸ σὸν συμφέρον, ἂν τὸ τοῦ πλησίον ζητῇς. ὥστε ὅταν ὀκνῇς ἐπιμελεῖσθαι τοῦ ἀδελφοῦ, ἐννοήσας ὅτι οὐδὲ ἄλλως δυνήσῃ σωθῆναι, διὰ γοῦν σαυτὸν ἐκείνου πρόστηθι καὶ τῶν ἐκείνου πραγμάτων. ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα πεῖσαι, ὅτι ἄλλως οὐκ ἔνι τὸ ἡμῖν συμφέρον εὑρεῖν. εἰ δὲ βούλει καὶ ἐκ τῶν ἐν συνηθείᾳ παραδειγμάτων τοῦτο μαθεῖν, ἐννόησον, εἰ συμβαίη που πῦρ ἀναφθῆναι ἐν οἰκίᾳ, εἶτά τινες τῶν πλησίον οἰκούντων, τὸ ἑαυτῶν σκοποῦντες μὴ παρατάξωνται τοῖς κινδύνοις, ἀλλὰ καὶ κατακλείσαντες ἑαυτοὺς οἴκοι μένωσι, δεδοικότες μή τις ἐπεισελθὼν ὑφέληταί τι τῶν ἔνδον, ὅσην ὑποστήσονται τιμωρίαν; καὶ γὰρ τὸ πῦρ ἐπελθὸν ἅπαντα καταφλέξει τὰ ἐκείνων· καὶ ἐπειδὴ τὸ τοῦ πλησίον συμφέρον οὐκ εἶδον, καὶ τὸ ἑαυτῶν προσαπολλύουσι. καὶ γὰρ ὁ Θεὸς βουλόμενος συνδῆσαι πάντας ἀλλήλοις, τοιαύτην τοῖς πράγμασιν ἐπέθηκεν ἀνάγκην, ὡς ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ τοῦ ἑτέρου δεδέσθαι·

καὶ

* καὶ ἐκλυδωνίζετο

γρ. πεπιστευμένοι

γρ. εἰσελθὸν

καὶ ὁ κόσμος ἅπας οὕτω συνέστηκε. διὰ δὴ τοῦτο καὶ ἐν πλοίῳ εἰ χειμῶνος γενομένου ὁ κυβερνήτης ἀφεὶς τὸ τῶν πολλῶν συμφέρον, τὸ ἑαυτοῦ ζητοίη μόνον, καὶ ἑαυτὸν καὶ ἐκείνους καταδύσει ταχέως. καὶ ἑκάστη δὲ τέχνη εἰ τὸ ἑαυτῆς συμφέρον σκοποίη μόνον, οὐκ ἄν ποτε ὁ βίος σταίη, οὐδὲ ἡ τέχνη ἡ τοῦτο ζητοῦσα. διὰ τοῦτο ὁ γεωργὸς οὐ τοσοῦτον σπείρει σῖτον, ὅσον ἀρκέσαι ἑαυτῷ (ἐπεὶ πάλαι καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους ἀπώλεσεν ἄν) ἀλλὰ τὸ τῶν πολλῶν ζητεῖ· καὶ ὁ στρατιώτης, οὐχ ἵνα ἑαυτὸν διασώσῃ παρατάττεται πρὸς κινδύνους, ἀλλ᾽ ἵνα καὶ τὰς πόλεις ἐν ἀσφαλείᾳ καταστήσῃ· καὶ ὁ ἔμπορος οὐ τοσαῦτα κομίζει, ὅσα αὐτῷ μόνον ἀρκέσαι, ἀλλ᾽ ὅσα καὶ ἑτέροις πολλοῖς. εἰ δὲ λέγει τις, ὅτι οὐχὶ τὸ ἐμὸν, ἀλλὰ τὸ ἑαυτοῦ ἕκαστος σκοπῶν, ταῦτα ποιεῖ (καὶ γὰρ χρήματα ἑαυτῷ, καὶ δόξαν, καὶ ἀσφάλειαν κτώμενος, ἅπαντα πραγματεύεται) ταῦτα· ὥστε τὸ ἐμὸν ζητῶν συμφέρον, τὸ ἑαυτοῦ ζητεῖ) τοῦτο καὶ ἐγώ φημι, καὶ πάλαι ἀκοῦσαι ἐβουλόμην, καὶ ὑπὲρ τούτου πάντα τὸν λόγον ἐποιησάμην, ὥστε δεῖξαι, ὅτι τότε τὸ ἑαυτοῦ συμφέρον ὁ πλησίον ζητεῖ, ὅταν τὸ σὸν σκοπήσῃ. ἐπειδὴ γὰρ ἑτέρως οὐκ ἠνείχοντο ἄνθρωποι τὰ τοῦ πλησίον ζητεῖν, εἰ μὴ εἰς ταύτην κατασταῖεν τὴν ἀνάγκην, διὰ τοῦτο οὕτως αὐτὰ συνέζευξεν ὁ Θεὸς, καὶ οὐκ ἀφίησι πρότερον ἐπὶ τὸ οἰκεῖον συμφέρον ἐλθεῖν μὴ διὰ τῶν ἀλλοτρίων συμφερόντων ὁδεύσαντας. τοῦτο μὲν οὖν ἀνθρώπινον, τὸ οὕτως ἐπὶ τὸ τοῦ πλησίον συμφέρον ἰέναι· δεῖ δὲ μὴ ἐντεῦθεν, ἀλλ᾽ ἀπὸ τῶν τῷ Θεῷ δοκούντων πείθεσθαι. οὐδὲ γὰρ ἔνι σωθῆναι μὴ τοῦτο ἔχοντα· ἀλλὰ κἂν τὴν ἄκραν φιλοσοφίαν ἀσκῇς, τῶν δὲ λοιπῶν ἀπολλυμένων ἀμελῇς, οὐδεμίαν κτήσῃ παρὰ Θεῷ παρρησίαν. (α Κορ. ιγ. γ.) πόθεν δῆλον; ἀφ᾽ ὧν ὁ μακάριος ἀπεφήνατο Παῦλος. Ἐὰν γὰρ ψωμίσω μου τὰ ὑπάρχοντα, καὶ παραδῶ τὸ σῶμά μου, ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι, φησίν. ὁρᾷς πόσην ὁ Παῦλος ἐπιζητεῖ παρ᾽ ἡμῶν; καίτοιγε ὁ ψωμίσας, οὐ τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πλησίον ἐζήτησεν. ἀλλ᾽ οὐκ ἀρκεῖ τοῦτο μόνον, φησί. μετὰ γὰρ γνησιότητος αὐτὸ βούλεται γίνεσθαι καὶ συμπαθείας πολλῆς. διὰ γὰρ τοῦτο καὶ ἐνομοθέτησεν αὐτὸ ὁ Θεὸς, ἵνα εἰς σύνδεσμον ἀγάπης ἀγάγῃ. ὅταν οὖν ἐκεῖνος μὲν τοσοῦτον ἀπαιτῇ μέτρον, ἡμεῖς δὲ μηδὲ τὸ ἔλαττον παρέχωμεν, τίνος ἐσόμεθα ἄξιοι συγγνώμης; καὶ πῶς, φησὶ, τῷ Λὼτ ἔλεγεν ὁ Θεὸς (Γενέσ. ιθ.) διὰ τῶν ἀγγέλων, Σῶζων σῶζε τὴν ἑαυτοῦ ψυχήν; εἰπέ, πότε, καὶ διὰ τί; ὅτε ἡ κόλασις (χ. σωτῆ) ἐφέρετο, οὐχ ὅτε διορθοῦσθαι ἔδει, ἀλλ᾽ ὅτε κατεγνωσμένοι ἦσαν καὶ ἀνίατα ἐνόσουν, καὶ πρεσβῦται καὶ νέοι εἰς τοὺς αὐτοὺς ἐξεπήδησαν ἔρωτας, καὶ κατακαίεσθαι αὐτοὺς λοιπὸν ἐχρῆν, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτε οἱ κεραυνοὶ καταφέρεσθαι ἔμελλον· ἄλλως δὲ, οὐδὲ περὶ κακίας καὶ ἀρετῆς τοῦτο εἴρηται, ἀλλὰ περὶ τῆς θεηλάτου πληγῆς. τί γὰρ ἔδει ποιεῖν, εἰπέ (χ. ὑγιής.) μοι; καθέζεσθαι καὶ δέχεσθαι τὴν τιμωρίαν, καὶ μηδὲν ἐκείνους ὠφελοῦντα κατακαίεσθαι; ἀλλὰ ἀνοίας τοῦτο ἐσχάτης ἦν. οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ὅτι ἁπλῶς καὶ εἰκῇ δεῖ κολάζεσθαι παρὰ τὸ τῷ Θεῷ δοκοῦν. ἀλλ᾽ ὅταν ἐν κακίᾳ ἄνθρωπος διατρίβῃ, τότε κελεύω μέσον ἑαυτὸν ἐμβαλόντα, διορθοῦν· εἰ μὲν βούλει, διὰ τὸ τοῦ πλησίον· εἰ δὲ μὴ, κἂν διὰ τὸ σοὶ λυσιτελοῦν. τὸ μὲν γὰρ βέλτιον, ἐκεῖνο· εἰ δὲ μὴ φθάνεις πρὸς ἐκεῖνο τὸ ὕψος, κἂν διὰ τοῦτο ποίει. καὶ μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἵνα τὸ ἑαυτοῦ εὕρῃ· καὶ ἐννοήσαντες, ὅτι οὔτε ἀκτημοσύνη, οὔτε μαρτύριον, οὔτε ἄλλο οὐδὲν ἡμᾶς περισῶσαι δυνήσεται, ἂν μὴ τὴν ἄκραν ἀγάπην ἔχωμεν, ταύτην πρὸ τῶν ἄλλων διατηρῶμεν, ἵνα καὶ τῶν ἄλλων δι᾽ αὐτῆς ἐπιτύχωμεν καὶ τῶν παρόντων καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κϛ. 2 ΕΠΑΙΝΩ ΔΕ ΥΜΑΣ, ΟΤΙ ΠΑΝΤΑ ΜΟΥ μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε.

Παραινέσας τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ὡς αὐτῷ προσῆκον ἦν, καὶ τελειότατον αὐτὸν διὰ πάντων ἐργασάμενος, μέτεισιν ἐφ' ἕτερον· ὃ καὶ αὐτὸ μὲν ἔγκλημα ἦν, οὐ τοσοῦτον δέ. ὅπερ γὰρ καὶ ἔφθην εἰπών, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι οὐ πάντα ἐφεξῆς τίθησι τὰ σφοδρὰ κατηγορήματα, ἀλλὰ διαθεὶς αὐτὰ κατὰ τάξιν τὴν προσήκουσαν, εἰς μέσον αὐτῶν παρεμβάλλει τὰ κουφότερα, παραμυθούμενος τὸ ἐπαχθὲς τοῦ λόγου τὸ ἐκ τοῦ συνεχοῦς ἐπιτιμήσεως ἐγγινόμενον τοῖς ἀκούουσι. διὸ καὶ τὸ πάντων σφοδρότερον ὕστερον τίθησι, τὸ περὶ τῆς ἀναστάσεως· τέως δὲ ἐφ' ἕτερον χωρεῖ κουφότερον λέγων, ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε. ὅταν μὲν γὰρ ὡμολογημένον ᾖ τὸ ἁμάρτημα, καὶ κατηγορεῖ σφοδρῶς καὶ ἀπειλεῖ· ὅταν δὲ ἀμφιβαλλόμενον, κατασκευάζει πρότερον αὐτό, καὶ τότε ἐπιτιμᾷ. καὶ τὸ μὲν ὡμολογημένον ἐπαίρει, τὸ δὲ ἀμφισβητήσιμον δείκνυσιν ὡμολογημένον. οἷον ἡ πορνεία, ὡμολογημένον ἦν. διόπερ οὐκ ἐδεήθη δεῖξαι, ὅτι ἁμάρτημα ἦν· ἀλλὰ τὸ μέγεθος ἐκ συγκρίσεως κατεσκεύασε τοῦ πλημμελήματος, καὶ κατὰ σύγκρισιν προσήγαγε τὸν λόγον. πάλιν, τὸ ἐφ' ἑτέρων δικάζεσθαι, ἁμάρτημα μὲν ἦν, οὐ τοσοῦτον δέ. διόπερ αὐτὸ καὶ παρενέθηκε, καὶ κατεσκεύασε. τὸ τῶν εἰδωλοθύτων πάλιν ἀμφεβάλλετο μέν, ἦν δὲ μέγιστον κακόν. διὸ καὶ ἀποδείκνυσιν ἁμάρτημα ὄν, καὶ ἐπαίρει τῷ λόγῳ. ὅταν δὲ τοῦτο ποιήσῃ, οὐκ ἀπάγει τῶν ἐγκλημάτων μόνον, ἀλλὰ καὶ εἰς τὰ ἐναντία ἐνάγει. οὐδὲ γὰρ εἶπεν, ὅτι οὐ δεῖ πορνεύειν μόνον, ἀλλ' ὅτι καὶ πολλὴν ἁγιωσύνην ἐνδείκνυσθαι χρή. διόπερ ἐπήγαγε, Δοξάσατε δὴ ἄρα τὸν Θεὸν ἐν *(α. Κορ. ϛ. κ.)* τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν. καὶ εἰπὼν πάλιν, ὅτι οὐ δεῖ σοφὸν εἶναι τὴν ἔξω σοφίαν, οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ* *(οὐ)* κελεύει καὶ μωρὸν γίνεσθαι. καὶ συμβουλεύων ἐπὶ τῶν ἔξω μὴ δικάζεσθαι, μηδὲ ἀδικεῖν, περιττῶν καὶ αὐτὸ τὸ δικάζεσθαι ἀναιρεῖ, καὶ συμβουλεύει μὴ μόνον μὴ ἀδικεῖν, ἀλλὰ καὶ ἀδικεῖσθαι. καὶ περὶ τῶν εἰδωλοθύτων διαλεγόμενος, οὐκ εἶπεν ὅτι τῶν κεκωλυμένων ἀπέχεσθαι δεῖ μόνον, ἀλλ' ὅτι καὶ τῶν συγκεχωρημένων, ὅταν σκάνδαλον γίνηται· καὶ οὐχὶ τοὺς ἀδελφοὺς μόνον μὴ πλήττειν, ἀλλ' οὐδὲ Ἕλληνας, οὐδὲ Ἰουδαίους. Ἀπρόσκοποι γὰρ γίνεσθε, φησί, καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. *(α. Κορ. ι. λϐ.)* πληρώσας τοίνυν ἅπαντα τὸν περὶ τούτων ἁπάντων λόγον, μετὰ ταῦτα καὶ ἐφ' ἕτερον ἔγκλημα πρόεισι λοιπόν. τί δὲ τοῦτο ἦν; αἱ μὲν γυναῖκες ἀνακεκαλυμμέναι καὶ γυμνῇ τῇ κεφαλῇ καὶ ηὔχοντο καὶ προεφήτευον (καὶ γὰρ προεφήτευον τότε γυναῖκες)· οἱ δὲ ἄνδρες καὶ ἐκόμων, ἅτε ἐν φιλοσοφίᾳ" *(γ. διατείναντες,)* διατρίβοντες, καὶ περιεβάλλοντο τὰς κεφαλὰς εὐχόμενοι καὶ προφητεύοντες, ὅπερ ἑκάτερον Ἑλληνικοῦ νόμου ἦν. ἐπεὶ οὖν περὶ τούτων ἤδη παρῄνεσε παρών, καὶ ἴσως οἱ μὲν ἤκουσαν, οἱ δὲ ἠπείθησαν, διὰ τοῦτο καὶ διὰ τῆς ἐπιστολῆς πάλιν, ὥσπερ σοφὸς ἰατρός, ἐπανατείνει τῷ λόγῳ διορθούμενος τὸ ἁμάρτημα. ὅτι γὰρ παρῄνεσεν ἤδη παρών, δῆλον ἐξ ὧν προοιμιάζεται. τίνος γὰρ ἕνεκεν οὐδὲν εἰπὼν περὶ τούτου οὐδαμοῦ τῆς ἐπιστολῆς ἔμπροσθεν, ἀλλ' ἀπὸ ἐγκλημάτων ἑτέρων ἐλθών, εὐθέως φησίν· ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε. ὁρᾷς ὅτι οἱ μὲν ἤκουσαν, οὓς ἐπαινεῖ, οἱ δὲ παρήκουσαν, οὓς διορθοῦται διὰ τῶν ἑξῆς λέγων· Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. *(α. Κορ. ια. ιϛ.)* εἰ γὰρ τῶν μὲν κατωρθωκότων, τῶν δὲ παρακουσάντων, πάντας ἐνέβαλε τῇ κατηγορίᾳ, ἐκείνους τε θρασυτέρους ἐποίησε, καὶ τούτους ῥᾳθυμοτέρους ἂν εἰργάσατο· νῦν δὲ τοὺς μὲν ἐπαινέσας καὶ ἀποδεξάμενος, τοὺς δὲ κακίσας, καὶ ἐκείνους μᾶλλον ἤλειψε, καὶ τούτους καταδύεσθαι παρεσκεύασεν. ἱκανὴ μὲν γὰρ καὶ καθ' ἑαυτὸ ἡ κατηγορία πλῆξαι· ὅταν δὲ πρὸς παράθεσιν ἑτέρων κατωρθωκότων καὶ ἐγκωμιαζομένων γίνηται, μείζον ἔχει τὸ κέντρον. ἀλλὰ τέως οὐκ ἀπὸ κατηγορίας, ἀλλ' ἀπὸ ἐγκωμίων ἄρχεται, καὶ ἐγκωμίων μεγάλων, λέγων, ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε.

σθε. τοιοῦτον γὰρ τοῦ Παύλου τὸ ἦθος, καὶ ἐπὶ μικροῖς μεγάλους ἐπαίνους ὑφαίνει, οὐ κολακείᾳ τοῦτο ποιῶν (μὴ γένοιτο. πῶς γὰρ ὁ μηδὲ χρημάτων ἐφιέμενος, μήτε δόξης, μήτε ἄλλου μηδενὸς τῶν τοιούτων;) ἀλλ᾽ ὑπὲρ τῆς σωτηρίας αὐτῶν πάντα πραγματευόμενος. διὸ καὶ ἐπαίρει τὸ ἐγκώμιον λέγων, ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε. ποῖα πάντα; ὑπὲρ γὰρ τοῦ μὴ κομᾶν, μηδὲ κατακαλύπτεσθαι τέως ὁ λόγος ἦν αὐτῷ μόνον· ἀλλ᾽, ὅπερ ἔφην, ἐπιδαψιλεύεται τοῖς ἐγκωμίοις, προθυμοτέρους ποιῶν. διό φησιν, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε. ἄρα καὶ ἀγράφως πολλὰ παρεδίδου τότε, ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ δηλοῖ. ἀλλὰ τότε μὲν παρέδωκε μόνον, νῦν δὲ καὶ αἰτιολογίαν τίθησιν. οὕτω γὰρ καὶ τούτους ἰσχυροτέρους ἐποίει τοὺς ἀκούοντας, καὶ ἐκείνων κατέσπα τὸ φύσημα τῶν ἐναντιουμένων. εἶτα οὐ λέγει ὅτι ὑμεῖς μὲν ὑπηκούσατε, ἕτεροι δὲ παρήκουσαν, ἀλλὰ ἀνυπόπτως ἐκ τῆς διδασκαλίας αὐτὸ αἰνίττεται διὰ τῶν ἑξῆς, οὕτω λέγων·

3 Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός.

Ἡ μὲν αἰτιολογία αὕτη· τίθησι δὲ αὐτήν, τοὺς ἀσθενεστέρους προσεκτικωτέρους ποιῶν. ὁ μὲν οὖν πιστός, ὡς χρή, καὶ ἐρρωμένος οὐδὲ δεῖται λόγου καὶ αἰτίας, ὑπὲρ ὧν ἂν ἐπιταχθῇ, ἀλλ᾽ ἀρκεῖται τῇ παραδόσει μόνῃ· ὁ δὲ ἀσθενέστερος, ὅταν καὶ τὴν αἰτίαν μάθῃ, τότε καὶ μετὰ πλείονος τῆς σπουδῆς κατέχει τὸ λεχθέν, καὶ μετὰ πολλῆς ὑπακούει τῆς προθυμίας. διόπερ οὐδὲ εἶπε τὴν αἰτίαν, ἕως ὅτου παραβαινομένην εἶδε τὴν ἐντολήν. τίς οὖν ἡ αἰτία; παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν. ἄρ᾽ οὖν καὶ τοῦ Ἕλληνος; οὐδαμῶς. εἰ γὰρ σῶμά ἐσμεν τοῦ Χριστοῦ, καὶ μέλη ἐκ μέρους, κατὰ ταύτῃ ἐκεῖνος ἡμῶν κεφαλή, τῶν οὐκ ὄντων ἐν τῷ σώματι, οὐδὲ εἰς μέλη τελούντων οὐκ ἂν εἴη κεφαλή. ὥστε ὅταν εἴπῃ, παντός, τοῦ πιστοῦ δεῖ προσυπακούειν. εἶδες πῶς πανταχοῦ ἄνωθεν ἐντρέπει τὸν ἀκροατήν; καὶ γὰρ ὅτε περὶ ἀγάπης διελέγετο, καὶ ὅτε περὶ ταπεινοφροσύνης, καὶ ὅτε περὶ ἐλεημοσύνης, ἐκεῖθεν εἷλκε τὰ παραδείγματα. κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός. ἐνταῦθα ἐπιπηδῶσιν ἡμῖν οἱ αἱρετικοὶ ἐλάττωσιν ἐκ τῶν εἰρημένων ἐπινοοῦντες τῷ υἱῷ· ἀλλ᾽ ἑαυτοῖς περιπίπτουσιν. εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνήρ, ὁμοούσιος δὲ ἡ κεφαλὴ τῷ σώματι, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ Θεός, ὁμοούσιος ὁ υἱὸς τῷ πατρί. ἀλλ᾽ οὐ τὸ ἑτεροούσιον ἐντεῦθεν ἀποδεῖξαι βουλόμεθα, ἀλλ᾽ ὅτι ἄρχεται, φησί. τί οὖν πρὸς τοῦτο εἴποιμεν ἄν; ὅτι μάλιστα μέν, ὅταν τι ταπεινὸν λέγηται μετὰ τῆς σαρκὸς ὄντος αὐτοῦ, οὐκ εὐτέλεια τῆς θεότητός ἐστι τὸ λεγόμενον, τῆς οἰκονομίας δεχομένης τὸ λεχθέν. πλὴν ἀλλ᾽ εἰπέ, πῶς τοῦτο βούλει ἐκ τούτου κατασκευάσαι νῦν; ὅτι ὥσπερ ἀνὴρ ἄρχει τῆς γυναικός, φησίν, οὕτω καὶ ὁ πατὴρ τοῦ Χριστοῦ. οὐκοῦν καὶ ὥσπερ ὁ Χριστὸς τοῦ ἀνδρός, οὕτω καὶ ὁ πατὴρ τοῦ υἱοῦ. παντὸς γὰρ ἀνδρός, φησίν, ἡ κεφαλὴ ὁ Χριστός ἐστι. καὶ τίς ἂν ταῦτα καταδέξαιτό ποτε; εἰ γὰρ ὅσον τὸ ὑπερέχον τοῦ υἱοῦ πρὸς ἡμᾶς, τοσοῦτον τοῦ πατρὸς πρὸς τὸν υἱόν, ἐννόησον εἰς ὅσην αὐτὸν ἄξεις τὴν εὐτέλειαν. ὥστε οὐ πάντα ὁμοίως ἐξεταστέον ἐφ᾽ ἡμῶν καὶ τοῦ Θεοῦ, κἂν ὁμοίως λέγηται· ἀλλ᾽ ἀπονεμητέον τῷ Θεῷ τινα ἰδιάζουσαν ὑπεροχήν, καὶ τοσαύτην ὅσην Θεῷ. εἰ γὰρ μὴ τοῦτο συγχωρήσαιεν, πολλὰ ἕψεται τὰ ἄτοπα. σκόπει δέ· κεφαλὴ τοῦ Χριστοῦ ὁ Θεός· οὗτος δὲ τοῦ ἀνδρός· κἀκεῖνος τῆς γυναικός. οὐκοῦν εἰ ἐπὶ πάντων ὁμοίως ἐκλάβοιμεν τὴν κεφαλήν, τοσοῦτον ἔσται ὁ υἱὸς ἀφεστηκὼς τοῦ πατρός, ὅσον ἡμεῖς αὐτοῦ. ἀλλὰ καὶ ἡ γυνὴ τοσοῦτον ἡμῶν ἀποστήσεται, ὅσον ἡμεῖς τοῦ Θεοῦ λόγου· καὶ ὅπερ ἐστὶν ὁ υἱὸς πρὸς τὸν πατέρα, τοῦτο καὶ ἡμεῖς πρὸς τὸν υἱόν, καὶ ἡ γυνὴ πρὸς τὸν ἄνδρα πάλιν. καὶ τίς ταῦτα ἀνέξεται; ἀλλ᾽ ἑτέρως ἐκλαμβάνεις ἐπὶ γυναικὸς καὶ ἀνδρὸς τὴν κεφαλήν, καὶ οὐχ ὡς ἐπὶ τοῦ Χριστοῦ; οὐκοῦν καὶ ἐπὶ τοῦ υἱοῦ καὶ πατρὸς ἑτέρως ἐκληπτέον ἡμῖν. καὶ πῶς ἑτέρως ἐκληπτέον, φησί; κατὰ τὸ αἴτιον. καὶ γὰρ εἴπερ ἀρχὴν ἐζήτει εἰπεῖν καὶ ὑποταγὴν ὁ Παῦλος, ὡς σὺ φής, οὐκ ἂν γυναῖκα παρήγαγεν εἰς μέσον, ἀλλὰ δοῦλον

μᾶλλον

μᾶλλον καὶ δεσπότην. εἰ γὰρ καὶ ὑποτέτακται ἡμῖν ἡ γυνή, ἀλλ' ὡς γυνή, ἀλλ' ὡς ἐλευθέρα, ἀλλ' ὡς ὁμότιμος. καὶ ὁ υἱὸς δέ, εἰ καὶ ὑπήκοος γέγονε τῷ πατρί, ἀλλ' ὡς υἱὸς Θεοῦ, ἀλλ' ὡς Θεός. ὥσπερ γὰρ πλείων ἡ πειθὼ τῷ υἱῷ πρὸς τὸν πατέρα, ἢ τοῖς ἀνθρώποις πρὸς τοὺς γεγεννηκότας· οὕτω καὶ ἡ ἐλευθερία μείζων. οὐ γὰρ δήπου τὰ μὲν τοῦ υἱοῦ πρὸς τὸν πατέρα μείζονα τῶν ἀνθρώπων καὶ γνησιώτερα, τὰ δὲ τοῦ πατρὸς πρὸς τὸν υἱὸν ἐλάττονα. εἰ γὰρ θαυμάζομεν τὸν υἱόν, ὅτι ὑπήκουσεν, ὡς καὶ μέχρι θανάτου ἐλθεῖν, καὶ θανάτου σταυροῦ, καὶ θαῦμα αὐτοῦ μέγα τίθεμεν τοῦτο, θαυμάζειν δεῖ καὶ τὸν πατέρα, ὅτι τοιοῦτον ἐγέννησεν, οὐχ ὡς δοῦλον ἐπιταττόμενον, ἀλλ' ὡς ἐλεύθερον ὑπακούοντα, καὶ σύμβουλον ὄντα. ὁ γὰρ σύμβουλος, οὐ δοῦλος. σύμβουλον δὲ ὅταν ἀκούσῃς πάλιν, μὴ ὡς τοῦ πατρὸς ἐνδεῶς ἔχοντος ἄκουε, ἀλλ' ὡς τοῦ παιδὸς ὁμοτίμου πρὸς τὸν γεγεννηκότα. μὴ τοίνυν εἰς πάντα ἕλκε τὸ παράδειγμα τοῦ ἀνδρὸς καὶ τῆς γυναικός. παρ' ἡμῖν μὲν γὰρ εἰκότως ὑποτέτακται τῷ ἀνδρὶ ἡ γυνή· ἡ γὰρ ἰσοτιμία μάχην ποιεῖ. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἀπάτην τὴν παρὰ τὴν ἀρχὴν συμβᾶσαν. διά τοι τοῦτο γενομένη μὲν εὐθέως οὐχ ὑπετάγη· οὔτε ὅταν αὐτὴν ἤγαγε πρὸς τὸν ἄνδρα, οὔτε αὐτὴ ἤκουσέ τι παρὰ τοῦ Θεοῦ τοιοῦτον, οὔτε ὁ ἀνὴρ εἶπέ τι πρὸς αὐτὴν τοιοῦτον· ἀλλ' ὅτι μέν, Ὀστοῦν ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ σὰρξ ἐκ τῆς σαρκὸς αὐτοῦ ἦν, εἶπεν· ἀρχῆς δὲ οὐδαμοῦ οὐδὲ ὑποταγῆς ἐμνημόνευσε πρὸς αὐτήν. Γεν. β. κγ. ὅτε δὲ κακῶς ἐχρήσατο τῇ ἐξουσίᾳ, καὶ ἡ γενομένη βοηθός, ἐπίβουλος εὑρέθη, καὶ πάντα ἀπώλεσε, τότε ἀκούει δικαίως λοιπόν, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου. Γεν. γ. ις. ἐπειδὴ γὰρ εἰκὸς ἦν τὴν ἁμαρτίαν ταύτην ἐκπολεμῶσαι τὸ γένος τὸ ἡμέτερον (οὐδὲ γὰρ ἂν ὤνησέ τι εἰς εἰρήνην τὸ ἐξ αὐτοῦ γεγενῆσθαι τούτου συμβάντος· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο καὶ τραχύτερον ἂν ἐποίησε τὸν ἄνδρα, τὸ μηδὲ τοῦ οἰκείου φείσασθαι μέλους τὴν ἐξ αὐτοῦ γενομένην) συνιδὼν τὴν τοῦ διαβόλου κακουργίαν ὁ Θεός, ἐπετείχισε τοῦτο τὸ ῥῆμα, καὶ τὴν ἐκ τῆς ἐπιβουλῆς μέλλουσαν ἀπέχθειαν ἔσεσθαι διὰ τῆς ἀποφάσεως ταύτης ἀνεῖλε καὶ τῆς ἐπιθυμίας τῆς ἐμφύτου, καθάπερ μεσότοιχον κατασπάσας τὴν ἐκ τῆς ἁμαρτίας μνησικακίαν. ἀλλ' ἐπὶ τοῦ Θεοῦ καὶ τῆς ἀκηράτου οὐσίας ἐκείνης, οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαι. μὴ τοίνυν κατὰ πάντων δέχου τὰ παραδείγματα· ἐπεὶ καὶ ἀλλαχοῦ πολλὰ ἐντεῦθεν ἀπαντήσει χαλεπὰ ἁμαρτήματα. καὶ γὰρ καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς ἔλεγε· Πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ. α. Κορ. γ. κγ. τί οὖν; ὁμοίως ἡμῶν τὰ πάντα, καὶ ἡμεῖς τοῦ Χριστοῦ, καὶ ὁ Χριστὸς τοῦ Θεοῦ; οὐδαμῶς, ἀλλὰ καὶ τοῖς σφόδρα ἀνοήτοις δήλη ἡ διαφορά, εἰ καὶ ἡ αὐτὴ ῥῆσις ἐπὶ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ καὶ ἡμῶν εἴρηται. καὶ ἀλλαχοῦ δὲ κεφαλὴν εἰπὼν τὸν ἄνδρα τῆς γυναικός, ἐπήγαγεν· Ὥσπερ καὶ ὁ Χριστὸς κεφαλὴ καὶ σωτήρ ἐστι τῆς ἐκκλησίας καὶ προστάτης· οὕτω καὶ ὁ ἀνὴρ ὀφείλει τῆς αὐτοῦ γυναικὸς εἶναι. Εφεσ. ε. κγ. ἆρ' οὖν ὁμοίως ἐκληψόμεθα τὸ εἰρημένον, καὶ τοῦτο καὶ τὰ μετὰ τοῦτο ἅπαντα Ἐφεσίοις ἐπεσταλμένα περὶ τῆς ὑποθέσεως ταύτης; ἄπαγε. οὐδὲ γὰρ δυνατόν. (γ. ὁ) τὰ γὰρ αὐτὰ ῥήματα λέγεται μὲν ἐπὶ Θεοῦ καὶ ἀνθρώπων· ἀλλ' ἑτέρως μὲν ἐκεῖνα νοητέον, ἑτέρως δὲ ταῦτα· οὐ μὴν πάλιν πάντα ἐξηλλαγμένως· ἐπεὶ πάλιν εἰκῆ καὶ μάτην παρειλῆφθαι δόξει, οὐδὲν ἀπ' αὐτῶν καρπουμένων ἡμῶν. ὥσπερ γὰρ οὐ πάντα ὁμοίως ἐκληπτέον, οὕτως οὐδὲ πάντα ἁπλῶς ἐκβλητέον. ἵνα δὲ ὃ λέγω γένηται σαφέστερον, ἐπὶ ὑποδείγματος αὐτὸ πειράσομαι ποιῆσαι φανερόν. εἴρηται κεφαλὴ τῆς ἐκκλησίας ὁ Χριστός. ἂν μηδὲν ἀπὸ τοῦ ἀνθρωπίνου λάβω, τί μοι καὶ εἴρηται τοῦτο; πάλιν ἂν ἅπαντα λάβω, πολλὴ ἕψεται ἡ ἀλογία. καὶ γὰρ ὁμοιοπαθὴς τῷ σώματι ἡ κεφαλή, καὶ τοῖς αὐτοῖς ὑπεύθυνος. τί οὖν δεῖ ἀφεῖναι, ἢ τί λαβεῖν; ἀφεῖναι μὲν ταῦτα ἃ εἶπον δεῖ, λαβεῖν δὲ ἕνωσιν ἀκριβῆ, καὶ αἰτίαν καὶ ἀρχὴν τὴν πρώτην· καὶ οὐδὲ ταῦτα ἁπλῶς, ἀλλὰ καὶ ἐν τούτοις τὸ μεῖζον οἴκοθεν ἐπινοεῖν καὶ Θεῷ πρέπον. καὶ γὰρ ἡ ἕνωσις ἀσφαλεστέρα, καὶ ἡ ἀρχὴ τιμιωτέρα. (γ. κοινωτέρα.) πάλιν ἤκουσας υἱόν· μὴ πάντα μηδὲ ἐνταῦθα λάβῃς, ἀλλὰ μηδὲ πάντα ἐκβάλῃς,

ἀλλ' ὅσα Θεῷ πρέπει δεξάμενος, ὅτι ὁμοούσιος, ὅτι ἐξ αὐτοῦ, τὰ ἄτοπα καὶ ἀσθενείας ὄντα ἀνθρωπίνης ἐπὶ τῆς γῆς ἔα. Εἴρηται φῶς ὁ Θεὸς πάλιν. ἆρ' οὖν πάντα δεξόμεθα, ὅσα τοῦ φωτὸς τούτου; οὐδαμῶς. καὶ γὰρ ἐκ τοῦ σκότει τοῦτο, καὶ τόπῳ περικλείεται, καὶ ὑφ' ἑτέρας κινεῖται δυνάμεως, καὶ ἐπισκιάζεται, ὧν οὐδὲν οὐδὲ ἐννοῆσαι θέμις ἐπὶ τῆς οὐσίας ἐκείνης. ἀλλ' οὐδὲ πάντα διὰ τοῦτο ἐκβαλοῦμεν, ἀλλὰ δρεψόμεθά τι καὶ χρήσιμον ἀπὸ τοῦ παραδείγματος, τὸν φωτισμὸν τὸν ἐκ τοῦ Θεοῦ γινόμενον ἡμῖν, τὴν τοῦ σκότους ἀπαλλαγὴν ἐκ τούτου συνάγοντες. καὶ τὰ μὲν πρὸς αἱρετικοὺς, τοσαῦτα· δεῖ δὲ καὶ ὁλόκληρον λοιπὸν ἐπεξελθεῖν τὸ χωρίον. ἴσως γὰρ ἄν τις ἐν τούτῳ καὶ διαπορήσειε, πρὸς ἑαυτὸν ζητῶν, ποῖον ἔγκλημα τὸ ἀνακαλύπτεσθαι τὰς γυναῖκας, ἢ τὸ καλύπτεσθαι τοὺς ἄνδρας. ποῖον οὖν ἔγκλημα τοῦτο, ἐντεῦθεν ἤδη μάνθανε. σύμβολα δέδοται ἀνδρὶ καὶ γυναικὶ πολλὰ μὲν καὶ ἕτερα, τῷ μὲν τῆς ἀρχῆς, τῇ δὲ τῆς ὑποταγῆς, μετὰ δὲ ἐκείνων καὶ τοῦτο, τὸ ταύτην μὲν καλύπτεσθαι, τοῦτον δὲ γυμνὴν ἔχειν τὴν κεφαλήν. εἰ τοίνυν σύμβολα ταῦτά ἐστιν, ἀμφότεροι ἁμαρτάνουσι τὴν εὐταξίαν συγχέοντες, καὶ τὴν τοῦ Θεοῦ διαταγὴν, καὶ τοὺς οἰκείους παραβαίνοντες ὅρους, καὶ ὁ μὲν εἰς τὴν ἐκείνης καταπίπτων εὐτέλειαν, ἡ δὲ ἐπανισταμένη τῷ ἀνδρὶ διὰ τοῦ σχήματος. εἰ γὰρ ἱμάτιον ἐναλλάττειν οὐ θέμις, οὐδὲ ταύτην μὲν χλανίδα περικεῖσθαι, ἐκεῖνον δὲ φάρος ἢ καλύπτραν (Οὐκ ἔσται γάρ, φησι, σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ ἐνδύσεται ἀνὴρ στολὴν γυναικείαν) πολλῷ μᾶλλον ταῦτα ἀντικαταλλάττεσθαι οὐ δεῖ. ταῦτα μὲν γὰρ παρὰ τῶν ἀνθρώπων νενομοθέτηται, εἰ καὶ ὁ Θεὸς ὕστερον αὐτὰ ἐκύρωσεν· ἐκεῖνο δὲ παρὰ τῆς φύσεως, τὸ καλύπτεσθαι λέγω, καὶ τὸ μὴ καλύπτεσθαι. ὅταν δὲ εἴπω τὴν φύσιν, τὸν Θεὸν λέγω. ὁ γὰρ τὴν φύσιν δημιουργήσας, αὐτός ἐστιν. ὅταν οὖν τοὺς ὅρους ἀνατρέψῃς τούτους, ὅρα πόσα γίνεται τὰ ἐπιβλαβῆ. καὶ μή μοι τοῦτο εἴπῃς, ὅτι μικρὸν τὸ ἁμαρτανόμενον. μέγα μὲν γάρ ἐστι, καὶ καθ' ἑαυτό. παρακοὴ γάρ ἐστιν. εἰ δὲ καὶ μικρὸν ἦν, μέγα ἐγίνετο, ἐπειδὴ μεγάλων ἐστὶ σύμβολον πραγμάτων. ὅτι δὲ καὶ μέγα ἐστί, δῆλον ἐξ ὧν τοσαύτην εὐταξίαν τὸ γένος περιέχει, τῷ τὸν ἄρχοντα καὶ τὸν ἀρχόμενον ἐν κόσμῳ διατάττειν. ὥστε ὁ παραβαίνων, πάντα συγχεῖ, καὶ τὰ τοῦ Θεοῦ προδίδωσι δῶρα, καὶ τὴν ἄνωθεν αὐτῷ δοθεῖσαν τιμὴν χαμαὶ ῥίπτει, οὐχ ὁ ἀνὴρ δὲ μόνον, ἀλλὰ καὶ ἡ γυνή. καὶ γὰρ καὶ ἐκείνῃ τιμὴ μεγίστη, τὸ τὴν οἰκείαν τάξιν διατηρεῖν, ὥσπερ οὖν καὶ αἰσχύνη τὸ στασιάζειν. διόπερ ἐπ' ἀμφοτέρων αὐτὸ τέθεικεν, οὕτω λέγων·

γρ. πάντα

γρ. τόπον

Δευτ. κβ. ε.

4 Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.

5 Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς.

Ἦσαν γάρ, ὅπερ ἔφην, καὶ ἄνδρες καὶ γυναῖκες προφητεύοντες, καὶ γυναῖκες τὸ χάρισμα τοῦτο ἔχουσαι τότε, ὡς αἱ Φιλίππου θυγατέρες, ὡς ἕτεραι πρὸ ἐκείνων καὶ μετ' ἐκείνας· περὶ ὧν καὶ ὁ προφήτης ἔλεγεν ἄνωθεν, Ὅτι προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται. τὸν μὲν οὖν ἄνδρα οὐκ ἀεὶ ἀναγκάζει ἀκατακάλυπτον εἶναι, ἀλλ' ὅταν εὔχηται μόνον. πᾶς γὰρ ἀνήρ, φησι, προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. τὴν δὲ γυναῖκα διαπαντὸς κατακαλύπτεσθαι κελεύει. διὸ καὶ εἰπών, πᾶσα γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ καταισχύνει τὴν κεφαλὴν αὐτῆς, οὐκ ἔστη μέχρι τούτου μόνον, ἀλλὰ καὶ ἐπεξῆλθεν, εἰπών· Ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.

Ιωηλ. β. κη.

Εἰ δὲ ἀεὶ ἐξυρῆσθαι αἰσχρόν, εὔδηλον ὅτι καὶ ἀκατακάλυπτον εἶναι ἀεὶ ὄνειδος. καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνον, ἀλλὰ καὶ πάλιν προσέθηκεν, εἰπών·

10 Ὅτι ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς ἡ γυνὴ διὰ τοὺς ἀγγέλους.

Δείκνυσιν ὅτι οὐκ ἐν τῷ καιρῷ τῆς εὐχῆς μόνον, ἀλλὰ καὶ διηνεκῶς ἐγκεκαλύφθαι δεῖ.

δεῖ. ἐπὶ δὲ τοῦ ἀνδρὸς οὐκέτι τὸν τοῦ καλύμματος, ἀλλὰ τὸν τῆς κόμης οὕτω γυμνάζει λόγον. καλύπτεσθαι μὲν γὰρ τότε μόνον κωλύει ὅταν εὔχηται, κομᾶν δὲ ἀεὶ ἀποτρέπει. διὰ τοῦτο ὥσπερ ἐπὶ τῆς γυναικὸς εἶπεν, εἰ δὲ οὐ κατακαλύπτεται, καὶ κειράσθω· οὕτω καὶ ἐπὶ τοῦ ἀνδρός, ὅτι ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν. οὐκ εἶπεν, ἐὰν καλύπτηται, ἀλλ' ἐὰν κομᾷ. διὸ καὶ ἀρχόμενος ἔλεγε, πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων· οὐκ εἶπε, κεκαλυμμένος, ἀλλά, κατὰ κεφαλῆς ἔχων, δεικνὺς ὅτι κἂν γυμνῇ εὔχηται τῇ κεφαλῇ, κόμην δὲ ἔχῃ, ἴσος ἐστὶ τῷ κεκαλυμμένῳ. ἡ γὰρ κόμη, φησίν, ἀντὶ περιβολαίου δέδοται.

6 Εἰ δὲ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναικὶ κείρεσθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. Ἐν προοιμίοις μὲν γὰρ τὸ μὴ γυμνὴν ἔχειν τὴν κεφαλὴν ἀπαιτεῖ· προϊὼν δὲ καὶ τὸ διηνεκὲς αἰνίττεται λέγων, ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ, καὶ τὸ μετ' ἐπιμελείας καὶ σπουδῆς ἁπάσης. οὐδὲ γὰρ καλύπτεσθαι εἶπεν ἁπλῶς, ἀλλά, κατακαλύπτεσθαι, ὥστε ἀκριβῶς πάντοθεν περιεστάλθαι. καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐντρέπει, σφοδρῶς καθαπτόμενος καὶ λέγων, εἰ δὲ οὐ κατακαλύπτεται, καὶ κειράσθω. εἰ γὰρ τὸ ἀπὸ τοῦ νόμου τοῦ Θεοῦ κάλυμμα τεθὲν ῥίπτεις, φησί, καὶ τὸ ἀπὸ τῆς φύσεως ῥίψον. εἰ δὲ λέγοι τις, καὶ πῶς ἂν εἴη τοῦτο αἰσχύνη τῇ γυναικί, εἰ εἰς τὴν δόξαν ἀναβαίνει τοῦ ἀνδρός; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἀναβαίνει, ἀλλὰ καὶ τῆς οἰκείας ἐκπίπτει τιμῆς. τὸ γὰρ μὴ εἴσω τῶν οἰκείων ὅρων μένειν καὶ τῶν τεθέντων παρὰ τοῦ Θεοῦ νόμων, ἀλλ' ὑπερβαίνειν, οὐκ ἐπίδοσίς ἐστιν, ἀλλ' ἐλάττωσις. ὥσπερ γὰρ ὁ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ ἁρπάζων τὰ μὴ ἑαυτοῦ, οὐ πλέον τι προσέλαβεν, ἀλλ' ἠλάττωται καὶ ὃ εἶχεν ἀπολέσας, γ. ἀπώλεσε, ὅπερ οὖν καὶ ἐν τῷ παραδείσῳ γέγονεν· οὕτω καὶ ἡ γυνὴ οὐ προσλαμβάνει τοῦ ἀνδρὸς τὴν εὐγένειαν, ἀλλὰ καὶ τὴν τῆς γυναικὸς ἀπόλλυσιν εὐσχημοσύνην. καὶ οὐκ ἐντεῦθεν μόνον αὐτῇ τὰ τῆς αἰσχύνης, ἀλλὰ καὶ ἀπὸ τῆς πλεονεξίας. λαβὼν τοίνυν τὸ ὡμολογημένον αἰσχρόν, γ. μείζοσιν, καὶ εἰπών, εἰ δὲ αἰσχρὸν γυναικὶ κείρεσθαι ἢ ξυρᾶσθαι, τίθησι τὸ παρ' ἑαυτοῦ λοιπὸν λέγων, κατακαλυπτέσθω. καὶ οὐκ εἶπε, κομάτω, ἀλλὰ κατακαλυπτέσθω, ἀμφότερα ταῦτα ἓν εἶναι νομοθετῶν, καὶ ἑκατέρωθεν αὐτὰ κατασκευάζων, ἀπό τε τῶν νενομισμένων, ἀπό τε τῶν ἐναντίων. τήν τε γὰρ περιβολὴν καὶ τὴν κόμην, ἓν εἶναί φησι· τήν τε ἐξυρημένην καὶ τὴν γυμνὴν ἔχουσαν κεφαλήν, τὸ αὐτὸ πάλιν. ἓν γάρ ἐστι, φησί, καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. εἰ δὲ λέγοι τις, καὶ πῶς ἐστιν ἕν, εἴγε αὕτη μὲν τὸ κάλυμμα τῆς φύσεως ἔχει, ἐκείνη δὲ ἡ ἐξυρημένη οὐδὲ τοῦτο; ὅτι τῇ προαιρέσει κἀκεῖνο ἔρριψε τῷ γυμνὴν ἔχειν τὴν κεφαλήν. εἰ δὲ μὴ γυμνὴν τῶν τριχῶν, τοῦτο τῆς φύσεώς ἐστιν, οὐκ ἐκείνης. ὥστε καὶ ἡ ἐξυρημένη γυμνὴν ἔχει τὴν κεφαλήν, γ. ἐξ αὐτῆς, κἀκείνη ὁμοίως. διὰ γὰρ τοῦτο τῇ φύσει ἐπέτρεψεν αὐτὴν σκεπάσαι, ἵνα καὶ ἀπ' ἐκείνης τοῦτο μαθοῦσα καλύπτηται. εἶτα καὶ αἰτίαν τίθησιν, ὅπερ ἔφην πολλαχοῦ, καθάπερ ἐλευθέροις διαλεγόμενος. τίς οὖν ἡ αἰτία;

7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων.

Πάλιν ἑτέρα αὕτη αἰτία. οὐδὲ γὰρ ὅτι κεφαλὴν ἔχει τὸν Χριστὸν μόνον οὐκ ὀφείλει καλύπτεσθαι, φησί, τὴν κεφαλήν, ἀλλ' ὅτι καὶ ἄρχει τῆς γυναικός. τὸν γὰρ ἄρχοντα τῷ βασιλεῖ προσιόντα τὸ τῆς ἀρχῆς σύμβολον ἔχειν δεῖ. ὥσπερ οὖν οὐδεὶς τῶν ἀρχόντων χωρὶς ζώνης καὶ χλαμύδος τολμήσειεν ἂν φανῆναι τῷ τὸ διάδημα ἔχοντι· οὕτω μηδὲ σὺ χωρὶς τῶν συμβόλων τῆς ἀρχῆς, ὅπερ ἐστὶ τὸ μὴ καλύπτεσθαι, προσεύχου τῷ Θεῷ, ἵνα μὴ ὑβρίζῃς καὶ σαυτὸν καὶ τὸν τετιμηκότα. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς γυναικὸς εἴποι τις ἄν. καὶ γὰρ καὶ ἐκείνη ὑβρίζει, τὸ μὴ ἔχειν τὰ σύμβολα τῆς ὑποταγῆς. — Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.

Ἄρα φυσικὴ ἡ ἀρχὴ τοῦ ἀνδρός. εἶτα ἐπειδὴ ἀπεφήνατο, καὶ λογισμοὺς καὶ αἰτίας τίθησι πάλιν ἑτέρας, ἐπὶ τὴν προτέραν σε ἄγων δημιουργίαν, καὶ λέγων οὕτως·

8 Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. Εἰ δὲ ἐκ τινός ἐστι, δόξα ἐκείνου ἐξ οὗ ἐστι, πολλῷ μᾶλλον δὲ ἐοικότα ἐστί.

9 Καὶ γὰρ οὐκ ἐκτίσθη ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ᾽ ἡ γυνὴ διὰ τὸν ἄνδρα.

Δευτέρα αὕτη ὑπεροχὴ πάλιν, μᾶλλον δὲ καὶ τρίτη καὶ τετάρτη· πρώτη, ὅτι κεφαλὴ ἡμῶν ὁ Χριστός, ἡμεῖς δὲ τῆς γυναικός· δευτέρα, ὅτι ἡμεῖς δόξα Θεοῦ, ἡμῶν δὲ ἡ γυνή· τρίτη, ὅτι οὐχ ἡμεῖς ἐκ τῆς γυναικός, ἀλλ᾽ ἐκείνη ἐξ ἡμῶν· τετάρτη, ὅτι οὐχ ἡμεῖς δι᾽ αὐτήν, ἀλλ᾽ ἐκείνη δι᾽ ἡμᾶς.

10 Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς.

Διὰ τοῦτο, ποῖον, εἰπέ μοι; διὰ ταῦτα τὰ εἰρημένα ἅπαντα, φησί, μᾶλλον δὲ οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ διὰ τοὺς ἀγγέλους. εἰ γὰρ τοῦ ἀνδρὸς καταφρονεῖς, φησί, τοὺς ἀγγέλους αἰδέσθητι. ἄρα δὲ καλύπτεσθαι, ὑποταγῆς καὶ ἐξουσίας. κάτω γὰρ νεύειν παρασκευάζει καὶ ἐντρέπεσθαι καὶ τὴν οἰκείαν διατηρεῖν ἀρετήν. ἀρετὴ γὰρ ἀρχομένου καὶ τιμή, τὸ μένειν ἐπὶ τῆς ὑπακοῆς. ὁ μὲν γὰρ ἀνὴρ οὐκ ἀναγκάζεται τοῦτο ποιεῖν (τοῦ γὰρ δεσπότου αὐτοῦ ἐστιν εἰκών) ἡ γυνὴ δὲ εἰκότως. ἐννόησον οὖν τῆς παρανομίας τὴν ὑπερβολήν, ὅταν τοσαύτης τιμηθεὶς ἐξουσίας σαυτὸν καταισχύνῃς, τὸ τῆς γυναικὸς ἁρπάζων σχῆμα. καὶ ταὐτὸν ποιεῖς, ὡς ἂν εἰ διάδημα λαβών, ῥίψῃς δὲ διάδημα ἀπὸ τῆς κεφαλῆς, ἀντὶ δὲ τοῦ διαδήματος δουλικὸν λάβῃς ἱμάτιον.

11 Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, "οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ. γρ. ἐπὶ

Ἐπειδὴ γὰρ πολλὴν ὑπεροχὴν ἔδωκε τῷ ἀνδρί, εἰπὼν ὅτι ἐξ αὐτοῦ ἡ γυνὴ καὶ δι᾽ αὐτὸν καὶ ὑπ᾽ αὐτόν, ἵνα μήτε τοὺς ἄνδρας ἐπάρῃ πλέον τοῦ δέοντος, μήτε ἐκείνας ταπεινώσῃ, ὅρα πῶς ἐπάγει τὴν διόρθωσιν, λέγων· πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ. μὴ γάρ μοι, φησί, τὰ πρῶτα ἐξέταζε μόνα, μηδὲ τὴν δημιουργίαν ἐκείνην. ἂν γὰρ τὰ μετὰ ταῦτα ζητῇς, ἑκάτερος ἑκατέρου αἴτιος, μᾶλλον δὲ οὐδὲ οὕτως ἑκάτερος ἑκατέρου, ἀλλ᾽ ὁ Θεὸς ἁπάντων. διό φησιν, οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ.

12 Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός.

Οὐκ εἶπεν, ἐκ τῆς γυναικός, ἀλλὰ πάλιν ἐκ τοῦ ἀνδρός. ἔτι γὰρ αὐτὸ τοῦτο ἀκέραιον μένει παρὰ τῷ ἀνδρί. ἀλλ᾽ οὐ τοῦ ἀνδρὸς ταῦτα τὰ κατορθώματα, ἀλλὰ τοῦ Θεοῦ. διὸ καὶ ἐπήγαγεν, Ἀλλὰ πάντα ἐκ τοῦ Θεοῦ. Εἰ τοίνυν τοῦ Θεοῦ τὰ πάντα, αὐτὸς δὲ κελεύει ταῦτα, πείθου καὶ μὴ ἀντίλεγε.

13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;

Πάλιν αὐτοὺς καθίζει δικαστὰς τῶν λεγομένων, ὅπερ καὶ ἐπὶ τῶν εἰδωλοθύτων ἐποίησε. α. Κορ. ι. ιε. καὶ γὰρ ἐκεῖ φησι, Κρίνατε ὑμεῖς ὅ φημι· καὶ ἐνταῦθα, ἐν ὑμῖν αὐτοῖς κρίνατε. καί τι φοβερώτερον αἰνίττεται ἐνταῦθα. τὴν γὰρ ὕβριν ἐνταῦθα εἰς τὸν Θεόν φησι διαβαίνειν· ἀλλ᾽ οὕτω μὲν οὔ φησιν, ἡμερώτερον δέ πως καὶ αἰνιγματωδέστερον, λέγων, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;

14 Ἡ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι;

15 Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ.

Ὅπερ ἀεὶ ποιεῖ κοινοὺς λογισμοὺς τιθείς, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται ἐπὶ τὴν κοινὴν συνήθειαν καταφεύγων, καὶ σφόδρα ἐντρέπων τοὺς ἀναμένοντας ταῦτα μανθάνειν παρ᾽ αὐτοῦ, ἃ καὶ ἀπὸ τῆς κοινῆς συνηθείας δυνατὸν ἦν μανθάνειν. τὰ γὰρ τοιαῦτα, οὔτε βαρβάροις ἄγνωστα. καὶ ὅρα πῶς πανταχοῦ "πληκτικῶς κέχρηται" ταῖς λέξεσι· πᾶς ἀνὴρ προσευχόμενος κατακαλύπτων αὐτοῦ τὴν κεφαλήν, "καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. γρ. πλατικῶς γρ. αἰσχύνει καὶ πάλιν, εἰ δὲ αἰσχρὸν γυναικὶ κείρεσθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω· καὶ ἐνταῦθα πάλιν,

λει, ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται. καὶ εἰ ἀντὶ περιβολαίου δέδοται, φησὶ, τίνος ἕνεκεν δεῖ περιβόλαιον ἕτερον προσθεῖναι; ὥστε μὴ ἀπὸ τῆς φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς προαιρέσεως τὴν ὑποταγὴν ὁμολογεῖν. ὅτι γὰρ δεῖ σε καλύπτεσθαι, προλαβοῦσα καὶ ἡ φύσις ἐνομοθέτησε. γρ. περὶ ἑαυτ. πρόσθες τοίνυν καὶ τὰ παρὰ σαυτῆς, ἵνα μὴ τὴν δόξαν καὶ τὸν τῆς φύσεως ἀνατρέπειν νόμον δόξῃς· ὅπερ πολλῆς ἐστιν ἰταμότητος, μὴ μόνον ἡμῖν, ἀλλὰ καὶ τῇ φύσει πυκτεύειν. διὸ καὶ Ἰουδαίοις ὁ Θεὸς ἐγκαλῶν ἔλεγεν, Ἔσφαξας τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου· τοῦτο παρὰ πάντα τὰ βδελύγματά σου. Ιεζεκ. ις. κα. καὶ τοῖς παρὰ Ῥωμαίοις ἀσελγαίνουσι πάλιν ὁ Παῦλος ἐπιτιμῶν, οὕτως αὔξει τὴν κατηγορίαν λέγων, ὅτι οὐ παρὰ τὸν νόμον τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ παρὰ φύσιν ἡ χρῆσις αὐτῶν. Ἐνήλλαξαν γὰρ τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. Ρωμ. α. κς. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα τοῦτον γυμνάζει τὸν λόγον, τοῦτό τε αὐτὸ δεικνὺς, καὶ ὅτι οὐδὲν ξένον νομοθετεῖ, καὶ ὅτι παρὰ Ἕλλησι τὰ τῆς καρποτομίας ἅπαντα τῆς παρὰ φύσιν. οὕτω καὶ ὁ Χριστὸς τοῦτο δικαίως ἔλεγεν· Ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· Ματθ. ζ. ιβ. δηλῶν ὅτι οὐδὲν καινὸν ἐπεισάγει.

γρ. ἐκκλησία 16 Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ. Ἄρα φιλονεικίας ἦν τὸ ἀντιτείνειν τούτοις, καὶ οὐ λογισμοῦ. πλὴν ἀλλὰ καὶ οὕτω μεμετρημένην τὴν ἐπιτίμησιν ἐποίησε, πλείονα τὴν ἐντροπὴν ἐντεῦθεν ὁ διδοὺς καὶ βαρύτερον ἐποίει τὸν λόγον. ἡμεῖς γὰρ, φησὶ, τοιαύτην συνήθειαν οὐκ ἔχομεν, ὥστε φιλονεικεῖν, καὶ ἐρίζειν, καὶ ἀντιτάττεσθαι. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ, δεικνὺς ὅτι πάσῃ τῇ οἰκουμένῃ ἀντιπίπτουσι καὶ ἐναντιοῦνται, μὴ θέλοντες. ἀλλ' εἰ καὶ τότε ἐφιλονείκησαν οἱ Κορίνθιοι, νῦν πᾶσα ἡ οἰκουμένη τὸν νόμον τοῦτον καὶ κατεδέξατο καὶ ἐφύλαξε. τοσαύτη τοῦ σταυρωθέντος ἡ δύναμις.

ΗΘΙΚΟΝ

Ἀλλὰ δέδοικα, μήποτε τὸ σχῆμα καταδεξάμεναι, ἐπὶ τῶν ἔργων εὑρεθῶσιν ἀναισχυντοῦσαι εἶναι τῶν γυναικῶν, καὶ ἀνακεκαλυμμέναι ἑτέρως. διὰ γὰρ τοῦτο καὶ Τιμοθέῳ γράφων οὐκ ἠρκέσθη τούτοις ὁ Παῦλος, ἀλλ' ἕτερα προσέθηκεν εἰπών· Ἐν καταστολῇ κοσμίῳ μετὰ α. Τιμ. β. θ. αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ. εἰ γὰρ γυμνὴν οὐ δεῖ τὴν κεφαλὴν ἔχειν, ἀλλὰ τῆς ὑποταγῆς τὸ σύμβολον πανταχοῦ περιφέρειν, πολλῷ μᾶλλον διὰ τῶν πράξεων τοῦτο ἐπιδείκνυσθαι χρή. γρ. ἔξωθεν οὕτω γοῦν καὶ αἱ πρότεραι γυναῖκες καὶ κυρίους τοὺς ἄνδρας ἐκάλουν, καὶ τῶν πρωτείων αὐτοῖς παρεχώρουν. καὶ γὰρ ἐκεῖνοι, φησὶ, τὰς γυναῖκας ἠγάπων τὰς ἑαυτῶν. οἶδα κἀγὼ, καὶ οὐκ ἀγνοῶ. ἀλλ' ὅταν ὑπὲρ τῶν σοὶ προσηκόντων παραινῶμεν, μὴ τὰ ἐκείνων σκόπει. καὶ γὰρ ὅταν παισὶ παραινῶμεν ὑπακούειν γονεῦσι λέγοντες, ὅτι γέγραπται, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, λέγουσι Ἐξοδ. κ. ιβ. πρὸς ἡμᾶς, εἰπὲ καὶ τὰ ἑξῆς, Ὅτι καὶ ὑμεῖς οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα. καὶ τοῖς δού- Εφεσ. ς. δ. λοις ὅταν εἴπωμεν, ὅτι γέγραπται ὑπακούειν τοῖς κυρίοις, καὶ μὴ κατ' ὀφθαλμοδουλείαν δουλεύειν, καὶ αὐτοὶ πάλιν τὰ ἑξῆς ἡμᾶς ἀπαιτοῦσι, κελεύοντες καὶ τοῖς δεσπόταις τὰ αὐτὰ παραινεῖν. καὶ γὰρ καὶ ἐκείνοις ὁ Παῦλος ἐκέλευσε, φησὶν, ἀνιέναι τὴν ἀπειλήν. ἀλλὰ μὴ οὕτω ποιῶμεν, μηδὲ τὰ ἑτέροις ἐπιτεταγμένα ζητῶμεν, ὅταν ὑπὲρ τῶν ἡμετέρων ἐγκαλώμεθα (οὐδὲ γὰρ, αἱ κοινωνοὺς λάβῃς τῶν ἐγκλημάτων, ἀπαλλαγήσῃ τῆς αἰτίας) ἀλλ' ἓν σκόπει μόνον, ὅπως τὰ σὰ ἐγκλήματα ἀποδύσῃ. ἐπεὶ καὶ ὁ Ἀδὰμ ἐπὶ τὴν γυναῖκα τὴν γρ. αὐτῷ τέ-τα αἰτίαν ἔφερε, καὶ αὕτη πάλιν ἐπὶ τὸν ὄφιν, ἀλλ' οὐδεὶς αὐτοὺς τοῦτο ἐξείλετο. μὴ τοίνυν μηδὲ σὺ τοῦτο λέγε μοι νῦν, ἀλλὰ σπούδαζε μετὰ εὐγνωμοσύνης ἁπάσης παρέχειν, ἅπερ ὀφείλεις τῷ ἀνδρί. ἐπεὶ καὶ ὅταν τῷ ἀνδρὶ τῷ σῷ διαλεγώμεθα, συμβουλεύοντες ἀγαπᾶν καὶ θεραπεύειν, οὐκ ἀφίημι αὐτὸν προενεγκεῖν εἰς μέσον τὸν τῇ γυναικὶ κείμενον νόμον, ἀλλὰ τὸν αὐτῷ γεγραμμένον ἀπαιτῶ. καὶ σὺ τοίνυν τὰ σοὶ προσήκοντα περιεργάζου μόνα, καὶ

MVSEVM BRITANNICVM

πάρεχε σαυτὴν εὐήνιον τῷ συνοικοῦντι. καὶ γὰρ εἰ διὰ τὸν Θεὸν πείθῃ τῷ ἀνδρί, μή μοι πρόφερε τὰ ὀφείλοντα παρ' αὐτοῦ γίνεσθαι, ἀλλ' ἃ σε ὑπεύθυνον ἐποίησεν ὁ νομοθέτης, ταῦτα ἄνυε μετ' ἀκριβείας. τοῦτο γάρ ἐστι μάλιστα Θεῷ πείθεσθαι, τὸ καὶ ἐναντία πάσχουσαν μὴ παραβαίνειν τὸν νόμον. ἐπεὶ γὰρ ὁ μὲν τὸν φιλοῦντα φιλῶν, οὐδὲν δοκεῖ τι μέγα ποιεῖν· ὁ δὲ τὸν μισοῦντα θεραπεύων, οὗτος μάλιστά ἐστιν ὁ στεφανούμενος. τὸν αὐτὸν δὴ τρόπον καὶ σὺ λογίζου, ὅτι ἂν μὲν φορτικὸν ὄντα τὸν ἄνδρα ἐνέγκῃς, λαμπρὸν λήψῃ τὸν στέφανον· ἂν δὲ ἥμερον καὶ πρᾶον, τίνος σοι δώσει μισθὸν ὁ Θεός; καὶ ταῦτα λέγω, οὐ θρασύνεσθαι τοὺς ἄνδρας κελεύων, ἀλλὰ πείθων τὰς γυναῖκας καὶ θρασυνομένους φέρειν τοὺς ἄνδρας. ὅταν γὰρ ἕκαστος τὰ ἑαυτοῦ σπουδῇ πληροῦν, ταχέως καὶ τὰ τοῦ πλησίον ἕψεται· οἷον, ὅταν ἡ γυνὴ καὶ τραχυνομένους παρεσκευασμένη ᾖ φέρειν τὸν ἄνδρα, καὶ ὁ ἀνὴρ χαλεπαίνουσαν αὐτὴν μὴ ὑβρίζῃ, τότε πάντα γαλήνη καὶ λιμὴν κυμάτων ἀπηλλαγμένος. οὕτω καὶ ἐπὶ τῶν παλαιῶν ἐγίνετο. τὰ ἑαυτοῦ ἕκαστος ἐπλήρου, οὐ τὰ τοῦ πλησίον ἀπῄτει. σκόπει δέ. ἔλαβε τὸν ἀδελφιδοῦν ὁ Ἀβραάμ, οὐκ ἐνεκάλεσεν ἡ γυνή. ἐκέλευσεν αὐτὴν ὁδὸν ὁδεῦσαι μακράν, οὐκ ἀντεῖπεν οὐδὲ πρὸς τοῦτο, ἀλλ' ἠκολούθησε. πάλιν μετὰ τὰς πολλὰς ταλαιπωρίας ἐκείνας καὶ τοὺς μόχθους καὶ τοὺς ἱδρῶτας τῶν πάντων κύριος γενόμενος, παρεχώρησε τῶν πρωτείων τῷ Λώτ. καὶ οὐ μόνον οὐκ ἐδυσχέρανεν ἡ Σάρρα πρὸς τοῦτο, ἀλλ' οὐδὲ τὸ στόμα διῆρεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον, οἷα πολλαὶ τῶν γυναικῶν νῦν φθέγγονται, ὅταν ἴδωσιν ἐλαττουμένους ἐν ταῖς τοιαύταις μοίραις τοὺς ἄνδρας τοὺς ἑαυτῶν, καὶ μάλιστα ὑπὸ ἐλαττόνων, ὀνειδίζουσαι καὶ μωροὺς καὶ ἀνοήτους καλοῦσαι καὶ ἀνάνδρους καὶ προδότας καὶ νωθεῖς. ἀλλ' οὐδὲν ἐκείνη τοιοῦτον οὔτε εἶπεν, οὔτε ἐνενόησεν, ἀλλ' ἔστερξεν ἅπαντα τὰ παρ' ἐκείνου γινόμενα. καὶ τὸ δὴ μεῖζον· μετὰ γὰρ τὸ κύριον ἐκεῖνον γενέσθαι τῆς αἱρέσεως καὶ τὰ ἐλάττονα περιστρέψαι τῷ θείῳ, κίνδυνος αὐτὸν κατέλαβε χαλεπός. καὶ ἀκούσας ὁ πατριάρχης, πάντας καθοπλίσας τοὺς αὐτοῦ, καὶ πρὸς ὅλον τὸ τῶν Περσῶν παρεσκευάζετο στρατόπεδον μετὰ τῶν οἰκετῶν τῶν ἑαυτοῦ μόνος. καὶ οὐδὲ τότε αὐτὸν κατεῖχεν ἐκείνη, οὐδὲ εἶπεν οἷα εἰκός· ἄνθρωπε, ποῖ φέρῃ; κατὰ κρημνῶν σεαυτὸν ὠθεῖς καὶ τοσούτοις ἐκδίδως κινδύνοις, ὑπὲρ ἀνδρὸς ὑβρικότος σε καὶ τὰ σὰ ἡρπακότος ἅπαντα, τὸ αἷμα ἐκχέων; εἰ γὰρ καὶ σαυτοῦ καταφρονεῖς, ἀλλ' ἐμὲ τὴν καταλιποῦσαν οἰκίαν καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς, καὶ τοσαύτην ἀκολουθήσασάν σοι ἀποδημίαν ἐλέησον, καὶ μὴ περιβάλῃς χηρείᾳ καὶ τοῖς ἀπὸ τῆς χηρείας κακοῖς. οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερε πάντα σιγῇ. μετὰ ταῦτα τῆς γαστρὸς ἀγόνου μενούσης, αὐτὴ μὲν οὐ πάσχει τὰ τῶν γυναικῶν, οὐδὲ ἀποδύρεται· ἐκεῖνος δὲ θρηνεῖ, ἀλλ' οὐχὶ πρὸς τὴν γυναῖκα, ἀλλὰ πρὸς τὸν Θεόν. καὶ ὅρα πῶς ἕκαστος τὸ πρέπον διαφυλάττει. οὔτε γὰρ αὐτὸς κατεφρόνησε τῆς Σάρρας ὡς ἄπαιδος, οὔτε ὠνείδισέ τι τοιοῦτον αὐτῇ· κἀκείνη πάλιν ἐσπούδασε τῆς ἀπαιδίας ἐπινοῆσαι παραμυθίαν αὐτῷ τινα ἀπὸ τῆς παιδίσκης. οὐδέπω γὰρ ταῦτα τότε κεκώλυτο, καθάπερ νῦν. νῦν γὰρ οὔτε γυναιξὶ τοιαῦτα ἀνδράσι χαρίζεσθαι θέμις, οὔτε ἐκείνοις, οὔτε εἰδυιῶν οὔτε ἀγνοουσῶν τῶν γυναικῶν, τοιαύταις μίξεσιν ἐπιχειρεῖν, κἂν μυριάκις ἡ τῆς ἀπαιδίας ἐνοχλῇ λύπη· Μαρκ. θ. μδ. ἐπεὶ ἀκούσονται καὶ αὐτοί, Ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. οὐ γὰρ ἐφίεται νῦν, τότε δὲ οὐκ ἀπηγόρευτο. διὸ καὶ ἡ γυνὴ τοῦτο ἐπέταττε, κἀκεῖνος ὑπήκουε, καὶ οὐδὲ οὕτω δι' ἡδονήν. ἀλλ' ὅρα, φησί, πῶς αὐτὴν πάλιν ἐξέβαλε κελευούσης αὐτῆς. καὶ γὰρ ἐγὼ τοῦτο βούλομαι δεῖξαι, ὅτι καὶ οὗτος ἐκείνῃ ἅπαντα ἐπείθετο, καὶ ἐκείνη τούτῳ. πλὴν μὴ τούτοις πρόσεχε μόνον, ἀλλ' ἡ ταῦτα λέγουσα σὺ καὶ τὰ πρότερα ἐξέταζε, ὅτι ὕβριζεν* αὐτήν, ὅτι κατηλαζονεύετο τῆς κυρίας, οὗ τί γένοιτ' ἂν ὀδυνηρότερον ἐλευθέρᾳ γυναικὶ καὶ εὐσχήμονι; μὴ τοίνυν τοῦ ἀνδρὸς τὴν ἀρετὴν ἀναμενέτω ἡ γυνή, καὶ τότε τὴν ἑαυτῆς παρεχέτω (τοῦτο γὰρ οὐδὲν μέγα) μηδ' αὖ πάλιν ὁ ἀνὴρ τὴν τῆς γυναικὸς εὐταξίαν, καὶ τότε φιλοσοφείτω (οὐδὲ

γὰρ

γὰρ τοῦτο λοιπὸν αὐτοῦ κατόρθωμα) ἀλλ' ἕκαστος, ὅπερ ἔφην, τὰ παρ' ἑαυτοῦ παρεχέτω πρότερος. Εἰ γὰρ τοῖς ἔξωθεν ῥαπίζουσι τὴν δεξιὰν δεῖ τὴν ἑτέραν ἐκδιδόναι σιαγόνα, πολλῷ μᾶλλον ἄνδρα θρασυνομένην δεῖ φέρειν. καὶ οὐ τοῦτο λέγω, ὥστε τύπτεσθαι γυναῖκα, ἄπαγε (ἐσχάτη γὰρ τοῦτο ὕβρις, οὐ τῇ τυπτομένῃ, ἀλλὰ τῷ τύπτοντι)· ἀλλὰ κἂν ἀπὸ περιστάσεώς τινος κληρωθῇς, ὦ γύναι, συνοικεῖν τοιούτῳ, μὴ δυσχεράνῃς, τὸν ἀποκείμενον ὑπὲρ τούτων ἐννοοῦσα μισθὸν καὶ τὸν ἐν τῷ παρόντι βίῳ ἔπαινον. καὶ πρὸς ὑμᾶς δὲ τοὺς ἄνδρας ἐκεῖνό φημι· μηδὲν ἔστω τοιοῦτον ἁμάρτημα, ὡς εἰς ἀνάγκην ὑμᾶς ἄγειν τοῦ γυναῖκα τύπτειν. καὶ τί λέγω γυναῖκα; οὐδὲ θεραπαινίδα μὲν οὖν ἀνδρὶ τύπτειν ἐλευθέρῳ καὶ χεῖρας ἐπάγειν ἀνεκτὸν ἂν εἴη. εἰ δὲ δούλην τυπτῆσαι ἀνδρὶ πολὺ τὸ ὄνειδος, πολλῷ μᾶλλον κατὰ τῆς ἐλευθέρας ἀνατεῖναι τὴν δεξιάν. καὶ τοῦτο καὶ ἐκ τῶν ἔξωθεν ἄν τις ἴδοι νομοθετῶν, οἳ τὴν τὰ τοιαῦτα παθοῦσαν οὐκέτι ἀναγκάζουσι συνοικεῖν τῷ τυπτήσαντι, ἅτε ἀναξίῳ ὄντι τῆς πρὸς αὐτὴν ὁμιλίας. καὶ γὰρ ἐσχάτης παρανομίας τὴν τοῦ βίου κοινωνόν, τὴν ἐν τοῖς ἀναγκαίοις καὶ ʺἀνωτάτω σοι συνεφαπτομένην, ταύτην ὡς ἀνδράποδον ἀτιμάζειν. διὸ καὶ τὸν τοιοῦτον ἄνδρα, εἴγε ἄνδρα αὐτὸν δεῖ καλεῖν, ἀλλ' οὐχὶ θηρίον, καὶ πατραλοίου καὶ μητραλοίου ἴσον εἶναι φαίην ἄν. εἰ γὰρ καὶ πατέρα καὶ μητέρα διὰ ταύτην ἀφεῖναι προσετάγημεν, οὐκ ἀδικοῦντες ἐκείνους, ἀλλὰ νόμον θεῖον πληροῦντες, καὶ τοῖς γεγεννηκόσιν αὐτοῖς οὕτω ποθεινόν, ὡς καὶ αὐτοὺς τοὺς καταλιμπανομένους καὶ χάριν ἔχειν καὶ μετὰ πολλῆς αὐτὸ ἀνύειν τῆς σπουδῆς· πῶς οὐκ ἐσχάτης μανίας ταύτην ὑβρίζειν, δι' ἣν καὶ τοὺς γεγεννηκότας ὁ Θεὸς ἀφεῖναι ἐκέλευσεν; ἆρ' οὖν μανία μόνον τοῦτο; τὴν δὲ αἰσχύνην, εἰπέ μοι, τίς οἴσει; ποῖος δὲ αὐτὴν παραστῆσαι δυνήσονται λόγος, ὅταν ὀλολυγαὶ καὶ κωκυτοὶ κατὰ τοὺς στενωποὺς φέρωνται, καὶ δρόμος ἐπὶ τὴν οἰκίαν τοῦ ταῦτα ἀσχημονοῦντος καὶ τῶν γειτόνων καὶ τῶν παριόντων, καθάπερ τινὸς θηρίου τὰ ἔνδον λυμαινομένου; βέλτιον διαστῆναι τὴν γῆν τῷ τὰ τοιαῦτα παροινοῦντι, ἢ ἐπ' ἀγορᾶς αὐτὸν ὀφθῆναι λοιπόν. ἀλλὰ θρασύνεται ἡ γυνή, φησίν. ἀλλ' ἐννόησον ὅτι γυνή, τὸ ἀσθενὲς σκεῦος, σὺ δὲ ἀνήρ. διὰ γὰρ τοῦτο καὶ ἄρχων ἐχειροτονήθης, καὶ ἐν τάξει κεφαλῆς ἐδόθης, ἵνα φέρῃς τῆς ἀρχομένης τὴν ἀσθένειαν. ποίησον τοίνυν λαμπράν σοι τὴν ἀρχήν. ἔσται δὲ λαμπρά, ὅταν τὸ ἀρχόμενον μὴ ἀτιμάζῃς. καὶ καθάπερ ὁ βασιλεύων τοσούτῳ σεμνότερος φαίνεται, ὅσῳ ἂν τὸν ὕπαρχον σεμνότερον ἀποφήνῃ· ἂν δὲ ἀτιμάσῃ καὶ καταισχύνῃ τῆς ἀξίας ἐκείνης τὸ μέγεθος, καὶ τῆς ἑαυτοῦ δόξης οὐκ ὀλίγον ʺὑποτέμνεται μέρος· οὕτω καὶ σύ, ἂν τὴν μετὰ σὲ ἄρχουσαν ἀτιμάσῃς, οὐχ ὡς ἔτυχε λυμανεῖς σου τῆς ἀρχῆς τὴν τιμήν. ταῦτα τοίνυν λογιζόμενος ἅπαντα σωφρόνει, καὶ μετὰ τούτων καὶ τὴν ἑσπέραν ἐκείνην ἐννόει, καθ' ἣν καλέσας σε ὁ πατήρ, ὥσπερ τινά σοι παρακαταθήκην τὴν θυγατέρα παρέδωκε, καὶ πάντων ἀποστήσας, καὶ μητρός, καὶ αὐτοῦ, καὶ οἰκίας, ὁλόκληρον αὐτῆς τὴν ἐπιτροπὴν ἐνεχείρισέ σου τῇ δεξιᾷ. ἐννόησον ὅτι μετὰ τὸν Θεὸν δι' αὐτῆς παῖδας ἔχεις, καὶ πατὴρ γέγονας, καὶ γίνου καὶ ἐντεῦθεν ἥμερος πρὸς αὐτήν. οὐχ ὁρᾷς τοὺς γεωργούς, πῶς τὴν ἅπαξ ὑποδεξαμένην τὰ σπέρματα γῆν θεραπεύουσι παντοδαπῷ θεραπείας τρόπῳ, κἂν μυρία ἐλαττώματα ἔχῃ, οἷον κἂν ʺλυπρόγεως ᾖ, κἂν βοτάνας φέρῃ πονηράς, κἂν ὑπὸ ἐπομβρίας ἐπηρεάζηται τῇ φύσει τῆς θέσεως; τοῦτο καὶ σὺ ποίει. οὕτω γὰρ πρότερος ἀπολαύσεις καὶ τῶν καρπῶν καὶ τῆς γαλήνης. καὶ γὰρ λιμήν ἐστιν ἡ γυνή, καὶ φάρμακον εὐθυμίας μέγιστον. ἂν μὲν οὖν τὸν λιμένα πνευμάτων ἀπαλλάξῃς καὶ κυμάτων, πολλῆς ἀπολαύσῃ τῆς ἀδείας ἐξ ἀγορᾶς ἀνιών· ἂν δὲ θορύβων καὶ ταραχῆς ἐμπλήσῃς, σαυτῷ χαλεπώτερον κατασκευάζεις τὸ ναυάγιον. ἵν' οὖν τοῦτο μὴ γίνηται, τοῦτο ὃ λέγω γινέσθω· ὅταν τι συμβῇ λυπηρὸν κατὰ τὴν οἰκίαν, ἐκείνης ἁμαρτούσης, παραμυθοῦ, καὶ μὴ ἐπίτεινε τὴν λύπην. κἂν γὰρ ἅπαντα ἀποβάλῃς, οὐδὲν λυπηρότερον τοῦ μὴ μετ' εὐνοίας ἔχειν γυναῖκα ἔνδον συνοικοῦσαν.

γρ. ἀνωτάτοις

γρ. ἀποτέμνεται

γρ. λιθόγαιος

καὶ

κἂν ὁποιονοῦν εἴπῃς ἁμάρτημα, οὐδὲν οὕτως ὀδυνηρότερον ἐρεῖς, οἷόν ἐστι τὸ πρὸς ἐκείνην στασιάζειν. ὥστε καὶ διὰ ταῦτα πάντων ἔστω τιμιωτέρα ἡ ταύτης ἀγάπη. εἰ γὰρ ἀλλήλων τὰ βάρη δεῖ βαστάζειν, πολλῷ μᾶλλον τῆς γυναικός. κἂν πένης ᾖ, μὴ ὀνειδίσῃς· κἂν ἀνόητος ᾖ, μὴ ἐπεμβαίνε, ἀλλὰ ῥύθμισον μᾶλλον. καὶ γὰρ μέλος ἐστὶ σὸν, καὶ σὰρξ ἐγένεσθε μία. ἀλλὰ φλύαρός ἐστι, καὶ μέθυσος, καὶ ὀργίλος. οὐκοῦν ἀλγεῖν ἐπὶ τούτοις, οὐκ ὀργίζεσθαι χρὴ, καὶ τὸν Θεὸν παρακαλεῖν, καὶ παραινεῖν αὐτῇ καὶ συμβουλεύειν, καὶ πάντα ποιεῖν, ὥστε ἐκκόψαι τὸ πάθος. ἂν δὲ τύπτῃς, καὶ ἐπιτείνῃς, τὸ νόσημα οὐ θεραπεύεται. θρασύτης γὰρ ἐπιεικείᾳ λύεται, οὐχ ἑτέρᾳ θρασύτητι. μετὰ τούτων καὶ τὸν παρὰ τοῦ Θεοῦ μισθὸν ἐννόει. ὅταν γὰρ, ἐξόν σοι ἐκτεμεῖν αὐτὴν, μὴ ποιῇς τοῦτο διὰ τὸν τοῦ Θεοῦ φόβον, ἀλλὰ φέρῃς ἐλαττώματα τοσαῦτα, δεδοικὼς τὸν ἐπὶ τούτοις κείμενον νόμον τὸν κωλύοντα ἐκβαλεῖν γυναῖκα, κἂν ὁποιονοῦν ἔχῃ νόσημα, ἄφατον λήψῃ μισθόν· καὶ πρὸ τῶν μισθῶν δὲ τὰ μέγιστα κερδανεῖς, ἐκείνην τε εὐπειθεστέραν κατασκευάζων, καὶ αὐτὸς ἐπιεικέστερος ταύτῃ γινόμενος. λέγεται γοῦν τις καὶ τῶν ἔξωθεν φιλοσόφων μοχθηρὰν ἔχων γυναῖκα καὶ φλύαρον καὶ πάροινον, πρὸς τοὺς ἐρωτῶντας, τίνος ἕνεκεν τοιαύτην ἔχων ἀνέχεται, εἰπεῖν, ὥστε γυμνάσιον καὶ παλαίστραν ἔχειν φιλοσοφίας ἐπὶ τῆς οἰκίας. ἔσομαι γὰρ τοῖς λοιποῖς πρᾳότερος, φησὶν, ἐν ταύτῃ καθ' ἑκάστην παιδευόμενος τὴν ἡμέραν. ἐβοήσατε μεγάλα; ἀλλ' ἐγὼ νῦν ὀδύρομαι μέγα, ὅταν Ἕλληνες ἡμῶν ὦσι φιλοσοφώτεροι, ἡμῶν τῶν κελευσθέντων ἀγγέλους μιμεῖσθαι, μᾶλλον δὲ τῶν κελευσθέντων αὐτὸν τὸν Θεὸν ζηλοῦν κατὰ τὸν τῆς ἐπιεικείας λόγον. ὁ μὲν οὖν φιλόσοφος λέγεται διὰ τοῦτο πονηρὰν ἔχων γυναῖκα μὴ ἐκβαλεῖν· τινὲς δὲ καὶ διὰ τοῦτο ἀγαγέσθαι αὐτὸν αὐτὴν λέγουσιν. ἐγὼ δὲ, ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων ἀλογώτερόν εἰσι διακείμενοι, παραινῶ μὲν ἐξ ἀρχῆς πάντα ποιεῖν, καὶ σπουδάζειν ὅπως εὐάρμοστον λάβοιεν σύνοικον καὶ πάσης γέμουσαν ἀρετῆς· εἰ δὲ συμβαίη διαμαρτεῖν, καὶ μὴ χρηστὴν μηδὲ ἀνεκτὴν νύμφην εἰσαγαγεῖν εἰς τὴν οἰκίαν, τότε γοῦν τὸν φιλόσοφον τοῦτον ζηλοῦν, καὶ ῥυθμίζειν αὐτὴν πάντοτε, καὶ μηδὲν τούτων προστιθέναι. ἐπεὶ καὶ ἔμπορος, πρὶν ἢ πρὸς τὸν κοινωνὸν συνθήκας θέσθαι τὰς δυναμένας εἰρήνην φυλάττειν, οὐ πρότερον καθέλξει τὸ πλοῖον εἰς τὸ πέλαγος, οὐδὲ τῆς ἄλλης ἅψεται ἐμπορίας. καὶ ἡμεῖς τοίνυν πάντα πράττωμεν, ὥστε τὴν κοινωνὸν τῆς τοῦ βίου πραγματείας ἡμῖν καὶ τοῦ πλοίου τούτου μετὰ πάσης εἰρήνης κατέχειν τῆς εἰρήνης. οὕτω γὰρ καὶ τὰ ἄλλα πάντα ἡμῖν ἔσται γαληνὰ, καὶ μετ' ἀδείας τὸ πέλαγος τοῦ παρόντος διαδραμούμεθα βίου. τοῦτο καὶ πρὸ οἰκίας, καὶ ἀνδραπόδων, καὶ χρημάτων, καὶ ἀγρῶν, καὶ αὐτῶν τῶν πολιτικῶν πραγμάτων ἄγωμεν· καὶ πάντων ἡμῖν προτιμότερον ἔστω τὸ τὴν μεθ' ἡμῶν ἐπὶ τῶν οἴκων καθημένην μὴ στασιάζειν, μηδὲ διχοστατεῖν πρὸς ἡμᾶς. οὕτω γὰρ καὶ τὰ ἄλλα ἡμῖν κατὰ ῥοῦν ἥξει, καὶ ἐν τοῖς πνευματικοῖς δὲ πολλὴν ἕξομεν τὴν εὐκολίαν, μετ' ὁμονοίας τὸν ζυγὸν τοῦτον ἕλκοντες, καὶ πάντα κατορθώσαντες, τῶν ἀποκειμένων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

χ. πίνης

χ. πάντῃ

Λογ. κζ. 17 ΤΟΥΤΟ ΔΕ ΠΑΡΑΓΓΕΛΛΩΝ ΟΥΚ ΕΠΑΙΝΩ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.

ΑΝαγκαῖον καὶ τοῦ παρόντος ἐγκλήματος πρότερον τὴν αἰτίαν εἰπεῖν. οὕτω γὰρ ἡμῖν εὐμαθέστερος πάλιν ἔσται ὁ λόγος. τίς οὖν ἐστιν αὕτη; καθάπερ ἐπὶ τῶν τρισχιλίων τῶν ἐξ ἀρχῆς πιστευσάντων κοινῇ πάντες εἱστιῶντο, καὶ κοινὰ πάντα ἐκέκτηντο, οὕτω καὶ τότε ὅτε ταῦτα ἔγραφεν ὁ ἀπόστολος ἐγίνετο, οὐχ οὕτω μὲν μετ' ἀκριβείας· ὥσπερ δέ τις ἀπόρροια τῆς κοινωνίας ἐκείνης ἐναπομείνασα, καὶ εἰς τοὺς μετὰ ταῦτα

κατέβη.

κατέβη. καὶ ἐπειδὴ συνέβαινε τοὺς μὲν πένητας εἶναι, τοὺς δὲ πλουσίους, τὰ μὲν ἑαυτῶν οὐ κατετίθεντο πάντα εἰς μέσον, κοινὰς δὲ ἐποιοῦντο τὰς τραπέζας ἐν ἡμέραις νενομισμέναις, ὡς εἰκὸς, καὶ τῆς συνάξεως ἀπαρτισθείσης μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν ἐπὶ κοινὴν πάντες ᾔεσαν εὐωχίαν, τῶν μὲν πλουτούντων φερόντων τὰ ἐδέσματα, τῶν δὲ πενομένων καὶ οὐδὲν ἐχόντων ὑπ᾽ αὐτῶν καλουμένων καὶ κοινῇ πάντων ἑστιωμένων. ἀλλ᾽ ὕστερον καὶ τοῦτο διεφθάρη τὸ ἔθος. τὸ δὲ αἴτιον, ἐκ τοῦ διεσπάσθαι καὶ προσνέμειν ἑαυτοὺς, τοὺς μὲν τούτοις, τοὺς δὲ ἐκείνοις, καὶ λέγειν, ἐγὼ μέν εἰμι τοῦ δεῖνος, ἐγὼ δὲ τοῦ δεῖνος· ὅπερ καὶ ἐν ἀρχῇ τῆς ἐπιστολῆς διορθούμενος, ἔλεγεν· Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ· οὐκ ἐπειδὴ Παύλῳ προσένεμον ἑαυτούς (οὐδὲ γὰρ ἂν ἠνέσχετο) ἀλλ᾽ ἐκ περιουσίας πρόρριζον τὸ ἔθος ἀνασπάσαι βουλόμενος, ἑαυτὸν παρενέθηκε, δεικνὺς ὅτι εἰ καὶ αὐτόν τις ἐπεγράφετο τοῦ κοινοῦ σώματος ἀπορρηγνύμενος, καὶ οὕτως ἄτοπον τὸ γινόμενον ἦν καὶ παρανομίας ἐσχάτης. εἰ δὲ ἐπὶ τούτου παρανομία, πολλῷ μᾶλλον ἐπ᾽ ἐκείνων τῶν καταδεεστέρων. ἐπεὶ οὖν διεσπάσθη τὸ ἔθος τοῦτο, ἔθος κάλλιστον καὶ χρησιμώτατον (καὶ γὰρ ἀγάπης ὑπόθεσις ἦν, καὶ πενίας παραμυθία, καὶ πλούτου σωφρονισμὸς, * καὶ ταπεινοφροσύνης διδασκαλία) ἐπεὶ οὖν εἶδε τοσαῦτα ἀγαθὰ διαφθειρόμενα, πληκτικῶς εἰκότως τῷ λόγῳ κέχρηται, οὕτω λέγων· τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ. ἐν μὲν γὰρ τῷ προτέρῳ ἐγκλήματι, ἅτε πολλῶν ὄντων τῶν φυλαττόντων, ἑτέρως ἤρξατο λέγων οὕτως· ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε· ἐνταῦθα δὲ ἐναντίως, τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ. διόπερ οὐδὲ μετὰ τὴν ἐπιτίμησιν τὴν κατὰ τῶν τὰ εἰδωλόθυτα ἐσθιόντων αὐτὸ τέθεικεν. ἀλλ᾽ ἐπειδὴ τραχύτερον ἦν ἐκεῖνο, μέσον παρεμβαλὼν τὸν περὶ τῆς κόμης λόγον, ἵνα μὴ δόξῃ ἐκ τῶν ἐγκλημάτων σφοδρῶν εἰς ἕτερα πάλιν ἐπαχθῆ διαβαίνων τραχύτερος φαίνηται, τότε ἔρχεται ἐπὶ τὸ σφοδρότερον πάλιν, καί φησι· τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ. ποῖον τοῦτο; ὃ μέλλω λέγειν νῦν. τί ἐστι, παραγγέλλων οὐκ ἐπαινῶ; οὐκ ἀποδέχομαι ὑμᾶς, φησὶν, ὅτι με εἰς ἀνάγκην κατεστήσατε συμβουλῆς· οὐκ ἐπαινῶ, ὅτι ἐδεήθητε διδασκαλίας εἰς τοῦτο, ὅτι χρείαν ἔχετε τοῦ παραγγελθῆναι ὑπ᾽ ἐμοῦ. εἶδες πῶς ἐκ προοιμίων ἔδειξε σφόδρα ἄτοπον ὂν τὸ γινόμενον; ὅταν γὰρ μηδὲ παραγγελίας ὀφείλῃ δεῖσθαι ὁ ἁμαρτάνων εἰς τὸ μὴ ἁμαρτεῖν, ἀσύγγνωστον εἰκὸς εἶναι τὸ ἁμαρτανόμενον. καὶ διατί οὐκ ἐπαινεῖς; ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ᾽ εἰς τὸ ἧττον συνέρχεσθέ, φησι, τουτέστιν, ὅτι οὐ προβαίνετε εἰς ἀρετήν. δέον γὰρ ἐπιδοῦναι καὶ πλείονα ἐνδείξασθαι τὴν φιλοτιμίαν, ὑμεῖς δὲ καὶ τὸ ἤδη κρατῆσαν ἔθος ἠλαττώσατε, καὶ οὕτως ἠλαττώσατε, ὡς καὶ παραγγελίας δεηθῆναι παρ᾽ ἐμοῦ, ἵνα ἐπὶ τὴν προτέραν ἐπανέλθητε τάξιν. εἶτα ἵνα μὴ δόξῃ διὰ τοὺς πένητας ταῦτα λέγειν μόνον, οὐκ εὐθέως εἰς τὸν περὶ τῶν τραπεζῶν ἐμβάλλει λόγον, ὥστε μὴ εὐκαταφρόνητον ταύτῃ ποιῆσαι τὴν ἐπιτίμησιν ἐκείνοις, ἀλλὰ ζητεῖ λέξιν πληκτικωτάτην καὶ πολὺν ἔχουσαν τὸν φόβον. τί γάρ φησι;

* χ. φιλονεικίας ἀφορμὴ τῆς μήτρας

χ. παραγγέλλματος τοῦ ὑπ᾽ ἐμοῦ.

α. Κορ. α. ια.

18 Πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν.

Καὶ οὐ λέγει, ἀκούω γὰρ μὴ κοινῇ ὑμᾶς συνδειπνεῖν, ἀκούω γὰρ κατ᾽ ἰδίαν ὑμᾶς ἑστιᾶσθαι καὶ μὴ μετὰ τῶν πενήτων, ἀλλ᾽ ὃ μάλιστα ἱκανὸν ἦν αὐτῶν διασεῖσαι τὴν διάνοιαν, τοῦτο τέθεικε, τὸ τοῦ σχίσματος ὄνομα, ὃ καὶ τούτου ἦν αἴτιον, κἀκείνου πάλιν ἀναμιμνήσκει τοῦ ἐν ἀρχῇ τῆς ἐπιστολῆς εἰρημένου καὶ δηλωθέντος ὑπὸ τῶν Χλόης.

Καὶ μέρος τι πιστεύω. Ἵνα γὰρ μὴ λέγωσι, τί οὖν εἰ ψεύδονται οἱ διαβάλλοντες; οὔτε ὅτι πιστεύω εἶπεν, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ, οὔτε αὖ πάλιν ὅτι ἀπιστῶ, ἵνα μὴ δόξῃ μάτην ἐπιτιμᾶν, ἀλλὰ μέρος τι καὶ πιστεύω φησὶ, τουτέστιν, ἐκ μέρους μικροῦ πιστεύω, ἐναγωνίους ποιῶν, καὶ εἰς τὴν τῆς διορθώσεως καλῶν ἐπάνοδον.

19 Δεῖ

19 Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν.

Αἱρέσεις ἐνταῦθα, οὐ ταύτας λέγων τὰς τῶν δογμάτων, ἀλλὰ τὰς τῶν σχισμάτων τούτων. εἰ δὲ καὶ τὰς τῶν δογμάτων ἔλεγεν, οὐδὲ οὕτω λαβὴν ἐδίδου. καὶ γὰρ ὁ Χριστός φησιν, Ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, οὐ τὴν ἐλευθερίαν τῆς προαιρέσεως λυμαινόμενος, οὐδὲ ἀνάγκην τινὰ καὶ βίαν ἐφιστὰς τῷ βίῳ, ἀλλὰ τὸ πάντως ἐσόμενον ἐκ τῆς πονηρᾶς τῶν ἀνθρώπων γνώμης προλέγων, ὅπερ ἔμελλε γίνεσθαι, οὐ διὰ τὴν αὐτοῦ πρόρρησιν, ἀλλὰ διὰ τὴν τῶν ἀνιάτως ἐχόντων γνώμην. οὐ γὰρ ἐπειδὴ προεῖπε, ταῦτα ἐγίνετο, ἀλλ᾽ ἐπειδὴ πάντως ἔμελλε γίνεσθαι, διὰ τοῦτο προεῖπεν. ἐπεὶ, εἰ ἀνάγκης ἦν τὰ σκάνδαλα, καὶ μὴ γνώμης τῶν εἰσαγόντων αὐτὰ, περιττῶς ἔλεγεν, Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽ οὗ τὰ σκάνδαλα ἔρχεται. ἀλλὰ ταῦτα μὲν εὐρύτερον ἐν αὐτοῖς γενόμενοι τοῖς χωρίοις διελέχθημεν· νῦν δὲ ἐπὶ τὸ προκείμενον ἰέναι ἀνάγκη. ὅτι γὰρ περὶ τῶν αἱρέσεων τούτων εἶπε τῶν κατὰ τὰς τραπέζας, καὶ τῆς φιλονεικίας ταύτης, καὶ διαστάσεως, καὶ ἐκ τῶν ἑξῆς δῆλον ἐποίησεν. εἰπὼν γὰρ, ὅτι ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ δεικνὺς ποῖα λέγει σχίσματα, ἐν τῷ φαγεῖν φησιν· ὅτι ἕκαστος τὸ ἴδιον δεῖπνον προλαμβάνει. καὶ πάλιν, Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε; ἀλλ᾽ ὅτι μὲν περὶ τούτων εἶπε, δῆλον. εἰ δὲ σχίσματα αὐτὰ καλεῖ, μὴ θαυμάσῃς. ὅπερ γὰρ ἔφην, τῇ λέξει καθικέσθαι αὐτῶν βούλεται. εἰ δὲ δογμάτων ἦν τὰ σχίσματα, οὐκ ἂν οὕτως αὐτοῖς διελέχθη ἡμέρως. ἄκουσον γοῦν ὅταν τι τοιοῦτον λέγῃ, πῶς ἐστι σφοδρὸς καὶ ἀσφαλιζόμενος, καὶ ἐπιτιμῶν· ἀσφαλιζόμενος μὲν, ὡς ὅταν λέγῃ, Κἂν ἄγγελος ὑμᾶς εὐαγγελίζηται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἐπιτιμῶν δὲ, ὡς ὅταν λέγῃ, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. καὶ νῦν μὲν κύνας καλεῖ τοὺς διαφθείροντας, λέγων, Βλέπετε τοὺς κύνας· νῦν δὲ κεκαυτηριασμένους τὴν συνείδησιν, καὶ ἀγγέλους διαβόλου πάλιν· ἀλλ᾽ οὐκ ἐνταῦθα τοιοῦτον οὐδὲν εἶπεν, ἀλλ᾽ ἡμέρως καὶ ὑφειμένως. τί δέ ἐστιν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν; ἵνα λάμψωσι μειζόνως. ὃ δὲ βούλεται εἰπεῖν τοῦτό ἐστιν, ὅτι τοὺς ἀπεριτρέπτους καὶ στερροὺς οὐ μόνον οὐδὲν τοῦτο παραβλάπτει, ἀλλὰ καὶ δείκνυσι μᾶλλον, καὶ λαμπροτέρους ἀποφαίνει. τὸ γὰρ, ἵνα, τοῦτο, οὐ πανταχοῦ αἰτιολογίας ἐστὶν, ἀλλὰ πολλαχοῦ καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. οὕτω καὶ ὁ Χριστὸς αὐτὸ τίθησιν, ὅταν λέγῃ, Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. οὕτω καὶ αὐτὸς ὁ Παῦλος, ὅταν περὶ τοῦ νόμου διαλεγόμενος γράφῃ· Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. ἀλλ᾽ οὔτε ὁ νόμος διὰ τοῦτο ἐδόθη, ἵνα αὐξηθῇ τὰ ἁμαρτήματα τῶν Ἰουδαίων· τοῦτο δὲ ἐξέβη· οὔτε ὁ Χριστὸς διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται, ἀλλὰ διὰ τὸ ἐναντίον· συνέβη δὲ τοῦτο. οὕτως οὖν καὶ ἐνταῦθα νοητέον τὸ, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. οὐδὲ γὰρ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλὰ τῶν αἱρέσεων τούτων γενομένων τοῦτο συνέβη. ταῦτα δὲ εἶπε, τοὺς πένητας παραμυθούμενος τοὺς γενναίως φέροντας τὴν τοιαύτην ὑπεροψίαν. διὸ οὐδὲ εἶπεν, ἵνα δόκιμοι γένωνται, ἀλλ᾽, ἵνα οἱ δόκιμοι ὄντες φανεροὶ γένωνται, δηλῶν ὅτι καὶ πρὸ τούτου πιστοὶ ἦσαν, ἀλλ᾽ ἀνεμίγνυντο τοῖς πολλοῖς, καὶ παραμυθίας ἀπολαύοντες τῆς παρὰ τῶν πλουσίων, οὐ σφόδρα ἐφαίνοντο· νυνὶ δὲ ἡ στάσις αὕτη καὶ ἡ φιλονεικία δήλους αὐτοὺς ἐποίησεν, ὥσπερ τὸν κυβερνήτην ὁ χειμὼν δείκνυσι. καὶ οὐκ εἶπεν, ἵνα ὑμεῖς δόκιμοι φανῆτε, ἀλλ᾽, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, οἱ ἐν ὑμῖν τοιοῦτοι. οὔτε γὰρ κατηγορῶν δήλους ποιεῖ, ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, οὔτε ἐγκωμιάζων, ὥστε μὴ χαυνοτέρους, ἀλλ᾽ εἰς μετέωρον ἀφίησι τὸν λόγον καὶ τούτοις κἀκείνοις, ἑκάστου τῷ συνειδότι τὰ λεγόμενα ἁρμόζειν παρέχων. οὐ τοὺς πένητας δὲ ἐνταῦθά μοι δοκεῖ παραμυθεῖσθαι μόνον, ἀλλὰ καὶ τοὺς τὸ ἔθος μὴ διαφθείροντας. καὶ γὰρ εἰκὸς εἶναι ἐν αὐτοῖς καὶ τοὺς διατηροῦντας αὐτό. διὸ καὶ ἔλεγε, μέρος τι πιστεύω. εἰκότως τοίνυν τούτους δοκίμους

Ματθ. ιη. ζ.

Γαλατ. α. η.

Γαλατ. ε. δ.

Φιλιπ. γ. β.

Ιωαν. θ. λθ.

κινοῦσι, φησί, τοῦ μὴ μόνον μετὰ τῶν ἄλλων διατηρῆσαι τὸ ἔθος, ἀλλὰ καὶ χωρὶς ἐκείνων ἀκίνητον τὸν καλὸν τοῦτον φυλάξαντας νόμον. ποιεῖ δὲ τοῦτο καὶ δι᾽ ἑτέρους, καὶ τούτους διὰ τῶν τοιούτων ἐγκωμίων προθυμοτέρους ἐργάσασθαι σπουδάζων. Εἶτα λοιπὸν λέγει καὶ αὐτὸ τοῦ ἁμαρτήματος τὸ εἶδος. Τί δὲ τοῦτό ἐστι;

20 Συνερχομένων ὑμῶν ἐπὶ τὸ αὐτό, φησιν, οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν.

Ὁρᾷς πῶς ἐντρεπτικῶς, καὶ ἐν τάξει διηγήσεως ἤδη τὴν συμβουλὴν κατασκευάσει; τὸ μὲν γὰρ σχῆμα τῆς συνόδου, φησίν, ἄλλο. ἀγάπης γάρ ἐστι, καὶ φιλαδελφίας. Εἷς γοῦν ὑμᾶς ἅπαντας δέχεται τόπος, καὶ ὁμοῦ συναγελάζεσθε· ἡ δὲ τράπεζα λοιπὸν οὐχ ὁμοία τῇ συνόδῳ. καὶ οὐκ εἶπε, συνερχομένων ὑμῶν οὐκ ἔστι κοινῇ φαγεῖν, οὐκ ἔστι μετ᾽ ἀλλήλων ἑστιᾶσθαι, ἀλλὰ πάλιν ἑτέρως καὶ πολλῷ φοβερώτερον αὐτῶν καθάπτεται, λέγων, οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν, ἐκείνη παραπέμπων αὐτοὺς ἐν ᾗ δεῖπνον ἤδη τῇ ἑσπέρᾳ, καθ᾽ ἣν τὰ φρικτὰ μυστήρια παρέδωκεν ὁ Χριστός. διὰ τοῦτο καὶ δεῖπνον τὸ ἄριστον ἐκάλεσε. καὶ γὰρ ἐκεῖνο τὸ δεῖπνον κοινῇ πάντας εἶχε κατακεκλιμένους· καίτοιγε οὐ τοσοῦτον τὸ μέσον τῶν πλουτούντων καὶ τῶν πενομένων, ὅσον τοῦ διδασκάλου καὶ τῶν μαθητῶν. ἄπειρον γὰρ ἐκεῖνο. καὶ τί λέγω τοῦ διδασκάλου καὶ τῶν μαθητῶν; ἐννόησον τὸ μέσον τοῦ διδασκάλου, καὶ τοῦ προδότου· ἀλλ᾽ ὅμως καὶ αὐτὸς μετ᾽ αὐτῶν κατεκλίνετο, καὶ οὐδὲ τοῦτον ἐξέβαλεν, ἀλλὰ καὶ ἁλῶν αὐτῷ μετέδωκε, καὶ τῶν μυστηρίων κοινωνὸν ἐποίησεν. Εἶτα ἑρμηνεύει πῶς οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν.

γ. πάντα

21 Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει, φησίν, ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. Εἶδες πῶς ἔδειξεν αὐτοὺς καταισχύνοντας ἑαυτοὺς μᾶλλον; τὸ γὰρ Κυριακὸν, ἰδιωτικὸν ποιοῦσιν, ὥστε αὐτοὶ πρῶτοί εἰσιν οἱ καθυβριζόμενοι, οἱ τῆς αὐτῶν τραπέζης τὸ μέγιστον ἀφαιροῦντες ἀξίωμα. πῶς καὶ τίνι τρόπῳ; ὅτι τὸ Κυριακὸν δεῖπνον, τουτέστι, τὸ δεσποτικὸν, ὀφείλει κοινὸν εἶναι. τὰ γὰρ τοῦ δεσπότου, οὐχὶ τοῦδε μέν ἐστι τοῦ οἰκέτου, τοῦδε δὲ οὐκ ἔστιν, ἀλλὰ κοινῇ πάντων. τὸ οὖν Κυριακὸν τοῦτό φησι τὸ κοινόν. Εἰ γὰρ τοῦ δεσπότου σοῦ ἐστιν, ὥσπερ οὖν καὶ ἔστιν, οὐκ ὀφείλεις ὡς ἴδια ἀποσπᾶν, ἀλλ᾽ ὡς τοῦ Κυρίου καὶ τοῦ δεσπότου ὄντα, κοινῇ πᾶσι προτιθέναι. τοῦτο γάρ ἐστι Κυριακόν. νῦν δὲ οὐκ ἀφίης αὐτὸ εἶναι Κυριακὸν, μὴ ἀφεὶς εἶναι κοινὸν, ἀλλὰ καθ᾽ ἑαυτὸν ἑστιώμενος. διὸ καὶ ἐπάγει λέγων, ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει. καὶ οὐκ εἶπεν, ἀποσχίζει, ἀλλὰ, προλαμβάνει, ἠρέμα καὶ εἰς λαιμαργίαν αὐτοὺς καὶ εἰς προπέτειαν διαβάλλων. τοῦτο γοῦν καὶ τὸ ἑξῆς δηλοῖ. Εἰπὼν γὰρ τοῦτο, ἐπήγαγε πάλιν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει, ἅπερ ἑκάτερα ἀμετρίας ἦν, καὶ ἡ ἔνδεια, καὶ ἡ ὑπερβολή. ἰδοὺ καὶ δεύτερον ἔγκλημα πάλιν αὐτοὺς ἐκείνους καταβλάπτον· πρῶτον μὲν, ὅτι τὸ δεῖπνον αὐτῶν ἀτιμάζουσι· δεύτερον δὲ, ὅτι γαστρίζονται καὶ μεθύουσι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ τῶν πενήτων πεινώντων. ἃ γὰρ ἔδει γε κοινῇ πᾶσι προκεῖσθαι, ταῦτα οὗτοι μόνοι σιτούμενοι, καὶ εἰς ἀπληστίαν καὶ εἰς μέθην ἐξέβαινον. διὸ οὐδὲ εἶπεν, ὃς μὲν πεινᾷ, ὃς δὲ κορέννυται, ἀλλὰ, μεθύει. τούτων δὲ ἕκαστον καὶ καθ᾽ ἑαυτὸ μὲν κατηγορίας ἄξιον. καὶ γὰρ τὸ μεθύειν χωρὶς τοῦ περιορᾶν πένητας, ἔγκλημα, καὶ τὸ περιορᾶν πένητας χωρὶς τοῦ μεθύειν, κατηγορία. ὅταν δὲ καὶ ὁμοῦ συμμεμιγμένα ᾖ, ἐννόησον ὅση ἡ ὑπερβολὴ τῆς παρανομίας. Εἶτα δείξας τὴν ἀτοπίαν, μετὰ πολλοῦ λοιπὸν τοῦ θυμοῦ τὴν ἐπίπληξιν ἐπάγει, λέγων·

22 Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; — Ὁρᾷς πῶς ἀπὸ τῆς τῶν πενήτων ὕβρεως ἐπὶ τὴν ἐκκλησίαν μετήγαγε τὸ ἔγκλημα, ἵνα φορτικώτερον ποιήσῃ τὸν λόγον; ἰδοὺ τοίνυν καὶ τετάρτη κατηγορία, ὅταν μὴ πένητες μόνον, ἀλλὰ καὶ ἡ ἐκκλησία ὑβρίζηται. ὥσπερ γὰρ τὸ Κυριακὸν δεῖπνον ἰδιωτικὸν ποιεῖς, οὕτω καὶ τὸν τόπον πάλιν, ὡς οἰκίᾳ τῇ ἐκκλησίᾳ κεχρημένος.

κεχωρισμένος. ἐκκλησία γὰρ γέγονεν, οὐχ ἵνα διῃρημένοι ὦμεν οἱ συνελθόντες, ἀλλ' ἵνα οἱ διῃρημένοι συνημμένοι· καὶ τοῦτο ἡ σύνοδος δείκνυσι. καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας. οὐκ εἶπε, καὶ λιμοκτονεῖτε τοὺς μὴ ἔχοντας, ἀλλὰ πολὺ ἐντρεπτικώτερον, καταισχύνετε, ἵνα δείξῃ ὅτι οὐ τῆς τροφῆς αὐτῷ τοσοῦτον μέλει, ὅσον τῆς ὕβρεως τῆς εἰς αὐτοὺς γινομένης. ἰδοὺ καὶ πέμπτη κατηγορία, τὸ μὴ μόνον πεινῶντας περιορᾷν, ἀλλὰ καὶ καταισχύνειν αὐτούς. τοῦτο δὲ ἔλεγεν, ὁμοῦ μὲν σεμνοποιῶν τὰ κατὰ τοὺς πένητας, καὶ δεικνὺς ὅτι οὐχ οὕτως ὑπὲρ τῆς γαστρὸς, ὡς ὑπὲρ τῆς αἰσχύνης ἀλγοῦσιν, ὁμοῦ δὲ καὶ εἰς ἔλεον ἐπισπώμενος τὸν ἀκροατήν. τοσαῦτα τοίνυν δείξας τὰ ἄτοπα, ὕβριν εἰς τὸ δεῖπνον, ὕβριν εἰς τὴν ἐκκλησίαν, τὴν εἰς τοὺς πένητας γινομένην ὑπεροψίαν, χαλᾷ πάλιν τῆς ἐπιτιμήσεως τὸν τόνον ἀθρόον, λέγων·

Ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. Ὃ καὶ μάλιστα ἄν τις αὐτοῦ θαυμάσειεν, ὅτι ἐπιπλῆξαι δέον σφοδρότερον μετὰ τὴν ἀπόδειξιν τῶν τοσούτων ἁμαρτημάτων καὶ καθάψασθαι, ὁ δὲ τοὐναντίον ποιεῖ μᾶλλον, ἄνεσιν καὶ ἀναπνεῦσαι δίδωσι. τί ποτ' οὖν ἐστι τὸ αἴτιον; φορτικώτερον αὐτῶν καθήψατο τὴν κατηγορίαν αὐξήσας, καὶ ἰατρὸς ὢν ἄριστος καταλλήλως τοῖς τραύμασι τὴν τομὴν ἐπάγει, οὔτε τὰ βαθείας δεόμενα πληγῆς ἐξ ἐπιπολῆς τέμνων (ἤκουσας γὰρ αὐτοῦ πῶς τὸν πεπορνευκότα παρ' αὐτοῖς τούτοις ἀπέκοψεν) οὔτε τὰ προσηνεστέρων χρῄζοντα τῶν φαρμάκων σιδήρῳ παραδιδούς. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα πρᾳότερον τῷ λόγῳ κέχρηται, καὶ ἄλλως δὲ ἡμέρους αὐτοὺς μάλιστα ἐσπούδακε καταστῆσαι τοῖς πένησι· διὸ καὶ ὑφειμένως διαλέγεται μᾶλλον αὐτοῖς. εἶτα θέλων αὐτοὺς καὶ ἑτέρωθεν ἐντρέψαι μειζόνως, ἀπὸ τῶν κυριωτέρων τὸν λόγον ὑφαίνει πάλιν.

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, φησὶν, ὃ καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε, λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Τίνος ἕνεκεν ἐνταῦθα τῶν μυστηρίων μέμνηται; ὅτι σφόδρα ἀναγκαῖος εἰς τὴν παροῦσαν ὑπόθεσιν ὁ λόγος ἦν οὗτος αὐτῷ. καὶ γὰρ ὁ δεσπότης σου, φησὶ, τῆς αὐτῆς ἅπαντας ἠξίωσε τραπέζης, καίτοι σφόδρα φρικωδεστάτης οὔσης καὶ πολὺ τὴν ἀξίαν ὑπερβαινούσης ἁπάντων· σὺ δὲ αὐτοὺς καὶ τῆς σῆς ἀναξίους εἶναι ἡγῇ, τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς, καὶ ἐν τοῖς πνευματικοῖς οὐδὲν αὐτῶν σου πλεονεκτούντων ἁρπάζεις αὐτοὺς ἐν τοῖς αἰσθητοῖς. οὐδὲ γὰρ ταῦτα σά. ἀλλ' οὕτω μὲν οὐ λέγει, ὥστε μὴ γενέσθαι τραχὺν τὸν λόγον· ἡμερώτερον δὲ αὐτὸν κατασκευάζει λέγων· ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον. καὶ τίνος ἕνεκεν τοῦ καιροῦ ἡμᾶς ἀναμιμνήσκει, καὶ τῆς ἑσπέρας ἐκείνης, καὶ τῆς προδοσίας; οὐχ ἁπλῶς, οὐδὲ ἄνευ λόγου τινὸς, ἀλλ' ἵνα μεθ' ὑπερβολῆς κατανύξῃ καὶ ἀπὸ τοῦ καιροῦ. καὶ γὰρ εἰ λίθος ἦν τις, ἐννοήσας ἐκείνην τὴν νύκτα, πῶς ἦν μετὰ τῶν μαθητῶν ἀδημονῶν, πῶς προεδόθη, πῶς ἐδέθη, πῶς ἀπήχθη, πῶς ἐδικάσθη, πῶς τὰ ἑξῆς ἔπαθεν ἅπαντα, κηροῦ γίνεται ἁπαλώτερος, καὶ τῆς γῆς ἀπαλλάττεται καὶ τῆς ἐνταῦθα φαντασίας ἁπάσης. διὰ τοῦτο πάντων ἐκείνων εἰς μνήμην ἡμᾶς ἄγει, διὰ τοῦ καιροῦ καὶ τῆς τραπέζης καὶ τῆς προδοσίας ἐντρέπων, καὶ λέγων· ὅτι ὁ μὲν δεσπότης σου καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ σοῦ· σὺ δὲ τῷ ἀδελφῷ οὐδὲ σιτίων μεταδίδως ὑπὲρ σαυτοῦ; πῶς δέ φησι παρὰ τοῦ Κυρίου παρειληφέναι; οὐδὲ γὰρ παρῆν τότε, ἀλλὰ τῶν διωκόντων ἦν. ἵνα μάθῃς ὅτι οὐδὲν πλέον ἔχει ἐκείνη ἡ τράπεζα τῆς μετὰ ταῦτα. καὶ γὰρ καὶ σήμερον αὐτός ἐστιν ὁ πάντα ἐργαζόμενος καὶ παραδιδοὺς, ὥσπερ καὶ τότε. οὐ διὰ τοῦτο δὲ μόνον τῆς νυκτὸς ἀναμιμνήσκει ἐκείνης, ἀλλ' ἵνα καὶ ἑτέρως ἡμᾶς κατανύξῃ. ὥσπερ γὰρ ἐκείνων μάλιστα μεμνήμεθα τῶν ῥημάτων, ὧν ἂν τελευταῖον παρὰ τῶν ἀπιόντων ἀκούσωμεν, καὶ πρὸς τοὺς κληρονόμους τοὺς ἐκείνων, εἰ τολμήσαιεν αὐτῶν παραβῆναι τὰς ἐντολὰς, ἐντρέποντες αὐτοὺς λέγομεν, ἐννοήσατε ὅτι ταύτην ὑστέραν ἀφῆκε πρὸς ὑμᾶς τὴν φωνὴν ὁ πατὴρ, καὶ μέχρι τῆς ἑσπέρας ἧς ἔμελλεν ἐκπνεῖν ταῦτα ἐπέσκηπτε·

οὕτω

οὕτω καὶ ὁ Παῦλος καὶ ἐντεῦθεν φρικτὸν ποιῆσαι τὸν λόγον βουλόμενος, ἀναμνήσθητε, φησίν, ὅτι ταύτην ἐσχάτην ὑμῖν δέδωκε τὴν μυσταγωγίαν, καὶ ἐν αὐτῇ τῇ νυκτὶ, ᾗ καὶ σφάττεσθαι ὑπὲρ ἡμῶν ἔμελλε, ταῦτα ἐνετέλλετο, καὶ παραδιδοὺς ἡμῖν τὸ δεῖπνον ἐκεῖνο, μετ' ἐκεῖνο οὐκέτι προσέθηκεν ἕτερον. [γρ. πάλιν] Εἶτα καὶ αὐτὰ λοιπὸν διηγεῖται τὰ γεγενημένα λέγων· ὅτι ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον. Εἰ τοίνυν ἐπ' εὐχαριστίᾳ προσέρχῃ, καὶ σὺ μηδὲν ἀνάξιον ποίει τῆς εὐχαριστίας, μηδὲ καταίσχυνε τὸν ἀδελφὸν, μηδὲ περιόρα πεινῶντα, μὴ μέθυε, μὴ ὕβριζε τὴν ἐκκλησίαν. προσέρχῃ γὰρ εὐχαριστῶν ὑπὲρ ὧν ἀπήλαυσας. οὐκοῦν καὶ αὐτὸς ἀμοιβὴν ἀποδίδου, καὶ μὴ ἀποσχίζε σεαυτὸν τοῦ πλησίον. καὶ γὰρ ὁ Χριστὸς πᾶσιν ἐξίσης ἔδωκε λέγων, λάβετε, φάγετε. ἐκεῖνος τὸ σῶμα ἐξίσης ἔδωκε, σὺ δὲ οὐδὲ τὸν κοινὸν ἄρτον δίδως ἐξίσης; καὶ γὰρ ὑπὲρ ἁπάντων ὁμοίως ἐκλάσθη, καὶ σῶμα γέγονεν ὑπὲρ ἁπάντων ἐξίσης.

25 Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Τί λέγεις; ἀνάμνησιν τοῦ Χριστοῦ ποιεῖς, καὶ πένητας περιορᾷς, καὶ οὐ φρίττεις; ἀλλ' εἰ μὲν υἱοῦ ἢ ἀδελφοῦ τετελευτηκότος ἀνάμνησιν ἐποίεις, ἐπλήγης ἂν ὑπὸ τοῦ συνειδότος, εἰ μὴ τὸ ἔθος ἐπλήρωσας, καὶ πένητας ἐκάλεσας· τὴν δὲ τοῦ δεσπότου σου ποιῶν ἀνάμνησιν, οὐδὲ τραπέζης ἁπλῶς μεταδίδως; τί δέ ἐστιν ὅ φησιν, ὅτι τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστίν; ἦν γὰρ καὶ τῆς παλαιᾶς διαθήκης ποτήριον, αἱ σπονδαὶ καὶ τὸ αἷμα τῶν ἀλόγων. καὶ γὰρ μετὰ [γρ. τοῦ] τὸ θῦσαι, ποτηρίῳ καὶ φιάλῃ τὸ αἷμα δεχόμενοι οὕτως ἔσπενδον. ἐπεὶ οὖν ἀντὶ αἵματος ἀλόγων αἷμα εἰσήγαγε τὸ αὐτοῦ, ἵνα μή τις θορυβηθῇ τοῦτο ἀκούων, ἀνέμνησε τῆς παλαιᾶς θυσίας ἐκείνης. Εἶτα εἰπὼν περὶ τοῦ δείπνου ἐκείνου, συνάπτει τὰ παρόντα τοῖς τότε, ἵνα, ὡς ἐν αὐτῇ ἐκείνῃ τῇ ἑσπέρᾳ, καὶ ἐπ' αὐτῆς κείμενοι τῆς στιβάδος, καὶ παρ' αὐτοῦ τοῦ Χριστοῦ λαμβάνοντες τὴν θυσίαν ταύτην, οὕτω καὶ νῦν διακέωνται, καί φησιν·

26 Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ.

Ὥσπερ γὰρ ὁ Χριστὸς ἐπὶ τοῦ ἄρτου καὶ ἐπὶ τοῦ ποτηρίου, εἰς τὴν ἐμὴν ἀνάμνησιν ποιεῖτε τοῦτο, ἔφη, τὴν αἰτίαν ἐκκαλύπτων ἡμῖν τῆς τοῦ μυστηρίου δόσεως, καὶ μετὰ τῶν ἄλλων καὶ ταύτην εἶναι λέγων ἀρκοῦσαν ἡμῖν εἰς εὐλαβείας ὑπόθεσιν (ὅταν γὰρ ἐννοήσῃς τί πέπονθεν ὁ δεσπότης σου διὰ σὲ, φιλοσοφώτερος ἔσῃ) οὕτω καὶ ὁ Παῦλος ἐνταῦθά φησιν· ὁσάκις ἂν ἐσθίητε, τὸν θάνατον αὐτοῦ καταγγέλλετε. καὶ τοῦτο ἐκεῖνο τὸ δεῖπνόν ἐστιν. Εἶτα δεικνὺς, ὅτι ἕως τῆς συντελείας αὐτὸ μένει, φησὶν, ἕως ἂν ἔλθῃ.

27 Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου.

Τί δήποτε; ὅτι ἐξέχεεν αὐτὸ, καὶ σφαγὴν τὸ πρᾶγμα ἀπέφηνεν, οὐκέτι θυσίαν. ὥσπερ οὖν οἱ τότε αὐτὸν κεντήσαντες οὐχ ἵνα πίωσιν ἐκέντησαν, ἀλλ' ἵνα ἐκχέωσιν· οὕτω καὶ ὁ ἀναξίως μετιὼν, καὶ μηδὲν ἐντεῦθεν καρπούμενος. εἶδες πῶς φοβερὸν τὸν λόγον ἐποίησε, καὶ μεθ' ὑπερβολῆς αὐτῶν καθήψατο πάσης, δεικνὺς ὅτι εἰ οὕτω μέλλοιεν πίνειν, ἀναξίως μετέχουσι τῶν προκειμένων. πῶς γὰρ οὐκ ἀναξίως, ὁ περιορῶν πεινῶντα; ὁ καταισχύνων πρὸς τῷ περιιδεῖν; εἰ γὰρ τὸ μὴ δοῦναι πένησιν ἐκβάλλει τῆς βασιλείας, κἂν παρθένος ᾖ τις, μᾶλλον δὲ τὸ μὴ δαψιλῶς δοῦναι (καὶ γὰρ καὶ ἐκεῖναι ἔλαιον εἶχον, ἀλλὰ δαψιλὲς οὐκ εἶχον) τὸ καὶ τοσαῦτα ἄτοπα ἐργάσασθαι, ἐννόησον ἡλίκον ἔσται κακόν. ποῖα ἄτοπα, φησί; τί λέγεις, ποῖα ἄτοπα; τραπέζης μετέχεις τοιαύτης, καὶ πάντων ὀφείλων ἡμερώτερος εἶναι καὶ τῶν ἀγγέλων ἴσος, πάντων ὠμότερος γέγονας· αἵματος ἐγεύσω δεσποτικοῦ, καὶ τὸν ἀδελφὸν οὐδὲ οὕτως ἐπιγινώσκεις. καὶ ποίας ἄξιος εἶ συγγνώμης; καίτοι εἰ καὶ πρὸ τούτου ἠγνόεις, ἀπὸ τῆς τραπέζης αὐτὸν ἐπιγνῶναι ἐχρῆν. νῦν δὲ καὶ αὐτὴν ἀτι-

μάζεις τὴν τράπεζαν, τῶν ἐκείνης καταξιωθέντα μέτοχον εἶναι, τῶν σῶν οὐχ ἡγούμενος ἄξιον εἶναι σιτίων. οὐκ ἤκουσας πόσα ἔπαθεν ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτῶν; πῶς δωρεὰν ἐξενεχθεῖσαν ἄκυρον ἐποίησεν; οὐκ ἐννοεῖς τίς ὢν τίς γέγονας; οὐκ ἀναμιμνήσκεις σαυτόν, ὅτι τούτου τοῦ πένητος ἐν χρήμασι πολὺ πτωχότερος ἦς ἐν κατορθώμασι, μυρίων γέμων ἁμαρτημάτων; ἀλλ᾽ ὅμως πάντων σε ἐκείνων ἀπήλλαξεν ὁ Θεός, καὶ τραπέζης ἠξίωσε τοιαύτης· σὺ δὲ οὐδὲ οὕτω φιλανθρωπότερος γίνῃ. οὐκοῦν οὐδὲν ἕτερον λείπεται, ἢ καὶ τό σε παραδοθῆναι τοῖς βασανισταῖς.

ΗΘΙΚΟΝ

Τούτων καὶ ἡμεῖς ἀκούσωμεν τῶν ῥημάτων πάντες, ὅσοι ἐνταῦθα μὲν μετὰ πενήτων προσερχόμεθα τῇ ἱερᾷ τραπέζῃ ταύτῃ· ἐξελθόντες δὲ ἔξω, οὐδὲ ἑωρακέναι δοκοῦμεν αὐτούς, ἀλλὰ καὶ μεθύομεν, καὶ πεινῶντας παρατρέχομεν, ἃ καὶ Κορίνθιοι τότε ἐνεκαλοῦντο. καὶ πότε τοῦτο γίνεται, φησίν; ἀεὶ μέν, μάλιστα δὲ ἐν ταῖς ἑορταῖς, ὅτε μάλιστα γίνεσθαι οὐκ ἐχρῆν. καὶ γὰρ τότε μετὰ τὴν κοινωνίαν εὐθέως μέθη διαδέχεται, καὶ πενήτων ὑπεροψία. (γρ. ἐνδεῶν) καὶ τοῦ αἵματος μεταλαβών, ὅτε νηστείας σοι καιρὸς καὶ νήψεως, τρυφᾷς καὶ κωμάζεις. καίτοι μέν τι χρηστὸν τύχῃς ἠριστηκώς, φυλάττεις σαυτόν, ὥστε μὴ ἑτέρῳ ἐδέσματι πονηρῷ λυμήνασθαι τὸ πρότερον· πνεύματος δὲ ἑστιαθείς, σατανικὴν ἐπεισάγεις τρυφήν. ἐννόησον, ὅτε μετέλαβον οἱ ἀπόστολοι τοῦ ἱεροῦ δείπνου ἐκείνου, τί ἐποίησαν· οὐχὶ εἰς εὐχὰς ἐτράπησαν καὶ ὑμνῳδίας; οὐχὶ εἰς παννυχίδας ἱεράς; οὐχὶ εἰς διδασκαλίαν τὴν μακρὰν ἐκείνην καὶ πολλῆς γέμουσαν φιλοσοφίας; τὰ γὰρ μεγάλα καὶ παράδοξα τότε αὐτοῖς διηγεῖτο καὶ παρήγγελλεν, ἀπελθόντος τοῦ Ἰούδα καλέσαι τοὺς μέλλοντας αὐτὸν σταυροῦν. οὐκ ἤκουσας πῶς καὶ οἱ τρισχίλιοι οἱ τῆς κοινωνίας ἀπολαύοντες διαπαντὸς ἦσαν προσκαρτεροῦντες τῇ προσευχῇ καὶ τῇ διδασκαλίᾳ, οὐ μέθαις καὶ κώμοις; σὺ δὲ πρὶν ἢ μὲν μεταλαβεῖν, νηστεύεις, ἵνα ὁπωσδήποτε ἄξιος φανῇς τῆς κοινωνίας· ὅταν δὲ μεταλάβῃς, δέον σε ἐπιτεῖναι τὴν σωφροσύνην, πάντα ἀπολλύεις. καίτοιγε οὐκ ἔστιν ἴσον πρὸ τούτου νήφειν, καὶ μετὰ ταῦτα. δεῖ μὲν γὰρ ἐν ἑκατέρῳ σωφρονεῖν, μάλιστα δὲ μετὰ τὸ δέξασθαι τὸν νυμφίον. πρὸ τούτου μέν, ἵνα ἄξιος γένῃ τοῦ λαβεῖν· μετὰ δὲ ταῦτα, ἵνα μὴ ἀνάξιος φανῇς ὧν ἔλαβες. τί οὖν, νηστεύειν δεῖ μετὰ τὸ λαβεῖν; οὐ λέγω τοῦτο, οὐδὲ κατα- (γρ. μεταλαβεῖν;) ναγκάζω. καλὸν μὲν γὰρ καὶ τοῦτο· πλὴν οὐ βιάζομαι τοῦτο, ἀλλὰ παραινῶ μὴ τρυφᾶν [εἰς ἀπληστίαν]. εἰ γὰρ οὐδέποτε χρὴ τρυφᾶν, καὶ τοῦτο ὁ Παῦλος ἐδήλωσεν εἰπών, ὅτι

α. Τιμ. ε. ς. Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε, πολλῷ μᾶλλον τότε τεθνήξεται. εἰ δὲ γυναικὶ ἡ τρυφὴ θάνατος, πολλῷ μᾶλλον ἀνδρί· καὶ εἰ ἐν ἄλλῳ καιρῷ τοῦτο γινόμενον ἀπόλλυσι, πολλῷ μᾶλλον μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν. σὺ δὲ ἄρτον ζωῆς λαβών, πρᾶγμα θανάτου ποιεῖς, καὶ οὐ φρίττεις; οὐκ οἶσθα ὅσα ἀπὸ τρυφῆς ἐπεισέρχεται κακά; γέλως ἄκαιρος, ῥήματα ἄτακτα, εὐτραπελία ὀλέθρου γέμουσα, φλυαρία ἀνόητος, τὰ ἄλλα ἃ μηδὲ εἰπεῖν καλόν. καὶ ταῦτα ποιεῖς τραπέζης ἀπολαύσας Χριστοῦ, κατὰ τὴν ἡμέραν ἐκείνην, καθ᾽ ἣν ἅψασθαι διὰ γλώττης τῆς σαρκὸς αὐτοῦ κατηξιώθης. ἵν᾽ οὖν ταῦτα μὴ γίνηται, (γρ. πῶς) καθάρνιζέ σου τὴν δεξιάν, τὴν γλῶτταν, τὰ χείλη, ἅπερ ἐγένετο πρόθυρα τῇ ἐπιβάσει τοῦ Χριστοῦ· καὶ τράπεζαν παραθεὶς αἰσθητήν, πρὸς ἐκείνην τὴν τράπεζαν τὸν νοῦν ἀνάτεινον, πρὸς τὸ δεῖπνον τὸ Κυριακόν, πρὸς τὴν ἀγρυπνίαν τῶν μαθητῶν τὴν κατὰ τὴν νύκτα ἐκείνην τὴν ἱεράν· μᾶλλον δέ, εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ τὰ παρόντα νύξ. γρηγορῶμεν τοίνυν μετὰ τοῦ δεσπότου, κατανυγῶμεν μετὰ τῶν μαθητῶν. εὐχῶν ὁ καιρός, οὐ μέθης, ἀεὶ μέν, μάλιστα δὲ ἐν ἑορτῇ. ἑορτὴ γὰρ διὰ τοῦτο γίνεται, οὐχ ἵνα ἀσχημονῶμεν, οὐχ ἵνα ἁμαρτήματα συνάγωμεν, ἀλλ᾽ ἵνα καὶ τὰ ὄντα ἀνέλωμεν. (γρ. ἀναιρῶμεν) καὶ οἶδα μὲν ὅτι εἰκῇ ταῦτα λέγω, ἀλλ᾽ οὐ παύσομαι λέγων. κἂν γὰρ μὴ πάντες ὑπακούσητε, ἀλλ᾽ οὐδὲ πάντες παρακούσεσθε, μᾶλλον δέ, κἂν πάντες παρακούσητε, ἐμοὶ μὲν μείζων ὁ μισθός, ὑμῖν δὲ πλεῖον τὸ κρίμα. ἵν᾽ οὖν μὴ γένηται πλεῖον, διὰ τοῦτο οὐ παύσομαι λέγων. ἴσως

γάρ,

γάρ, ἴσως τῇ συνεχείᾳ καθαψόμεθα. διὸ παρακαλῶ, ἵνα μὴ εἰς κρίμα τοῦτο ποιῶμεν, θρέψωμεν τὸν Χριστόν, ποτίσωμεν, ἐνδύσωμεν. ταῦτα τῆς τραπέζης ἐκείνης ἄξια. ἤκουσας ὕμνων ἱερῶν; εἶδες γάμον πνευματικόν; ἀπήλαυσας τραπέζης βασιλικῆς; ἐνεπλήσθης πνεύματος ἁγίου; συνεχόρευσας τοῖς σεραφίμ; κοινωνὸς ἐγένου τῶν ἄνω δυνάμεων; μὴ ῥίψῃς χαρὰν τοσαύτην, μὴ ἐκχέῃς τὸν θησαυρόν, μὴ ἐπεισάγῃς μέθην τὴν τῆς ἀθυμίας μητέρα, τὴν τοῦ διαβόλου χαράν, τὴν μυρία τίκτουσαν κακά. καὶ γὰρ ὕπνος θανάτῳ ἐοικὼς ἐντεῦθεν, καὶ καρηβαρία, καὶ νόσοι, καὶ λήθη, καὶ νεκρότητος εἰκών. εἶτα φίλῳ μὲν οὐκ ἂν ἕλοιο συντυχεῖν οἰνούμενος, τὸν δὲ Χριστὸν ἔνδον ἔχων τολμᾷς, εἰπέ μοι, τοσαύτην ἐπεμβαλεῖν μέθην; ἀλλὰ τρυφῆς ἐρᾷς; οὐκοῦν διὰ τοῦτο παῦσαι μεθύων. καὶ γὰρ ἐγώ σε βούλομαι τρυφᾶν, ἀλλὰ τὴν ὄντως τρυφήν, τὴν οὐδέποτε μαραινομένην. τίς οὖν ἡ ὄντως τρυφή, καὶ διηνεκῶς ἀνθοῦσα; κάλεσον ἐπ' ἄριστον τὸν Χριστόν· μετάδος αὐτῷ τῶν σῶν, μᾶλλον δὲ τῶν αὐτοῦ. τοῦτο τὴν ἡδονὴν ἀπέραντον ἔχει καὶ ἀκμάζουσαν διηνεκῶς. ἀλλ' οὐ τὰ αἰσθητὰ τοιαῦτα, ἀλλ' ὁμοῦ τε ἐφάνη καὶ ἠφανίσθη, καὶ ὁ τρυφήσας οὐδὲν ἄμεινον διακείσεται τοῦ μὴ τρυφήσαντος, μᾶλλον δὲ χεῖρον. ὁ μὲν γὰρ ὥσπερ ἐν λιμένι κάθηται, ὁ δὲ χειμάρρουν τινὰ καὶ πολιορκίαν νοσημάτων ἐδέξατο, καὶ οὐδὲ ἐνεγκεῖν τὴν ζάλην ταύτην δύναται. ἵν' οὖν μὴ ταῦτα γίνηται, τὴν συμμετρίαν διώκωμεν. οὕτω γὰρ καὶ τὸ σῶμα εὖ διακεισόμεθα, καὶ τὴν ψυχὴν ἐν ἀσφαλείᾳ καταστήσομεν, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀπαλλαγησόμεθα κακῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας, τῆς βασιλείας ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. ταῦτα
γ. σεραφείμ;
γ. ἐπισαγάγῃς
γ. οἰνωμένος,
γ. δεξάμενος [illegible]

Λογ. κη. 28 ΔΟΚΙΜΑΖΕΤΩ ΔΕ ΑΝΘΡΩΠΟΣ ΕΑΥΤΟΝ, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ τοῦ ποτηρίου πινέτω.

Τί βούλεται ταῦτα τὰ ῥήματα, ἑτέρας ὑποθέσεως τῆς προκειμένης οὔσης; ἔθος τοῦτο τῷ Παύλῳ, ὥσπερ καὶ ἔμπροσθεν ἔφθην εἰπών, μὴ μόνον ἐκεῖνα ἐργάζεσθαι, ἅπερ αὐτῷ προκείμενά ἐστιν, ἀλλὰ κἂν παρεμπέσῃ λόγος τῇ ὑποθέσει, καὶ τούτῳ μετὰ πολλῆς ἐπεξιέναι τῆς σπουδῆς, καὶ μάλιστα ὅταν περὶ σφόδρα ἀναγκαίων καὶ κατεπειγόντων ᾖ. καὶ γὰρ ὅτε τοῖς γεγαμηκόσι διελέγετο, καὶ ὁ τῶν οἰκετῶν αὐτῷ παρενέπεσε λόγος, σφόδρα γενναίως καὶ διὰ πολλῶν αὐτὸν κατεσκεύασε. καὶ ὅτε περὶ τοῦ μὴ δεῖν κρίνεσθαι ἐν τοῖς δικαστηρίοις ἔλεγε, καὶ τότε εἰς τὴν περὶ πλεονεξίας ἐμπεσὼν νουθεσίαν, πολλὰ καὶ περὶ ταύτης διελέχθη τῆς ὑποθέσεως· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἐπειδὴ γὰρ ἅπαξ τῆς τῶν μυστηρίων ἐδεήθη μνήμης, ἀναγκαῖον εἶναι ἐνόμισεν ἐπεξελθεῖν τῇ ὑποθέσει. οὐδὲ γὰρ ἡ τυχοῦσα ἦν. διὸ καὶ σφόδρα φοβερῶς περὶ αὐτῆς διελέχθη, τὸ κεφάλαιον τῶν ἀγαθῶν κατασκευάζων, τὸ μετὰ καθαροῦ προσιέναι συνειδότος αὐτοῖς. ὅθεν οὐδὲ τοῖς ἔμπροσθεν εἰρημένοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ταῦτα προστίθησι λέγων· δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν· ὃ καὶ ἐν τῇ δευτέρᾳ φησίν, Ἑαυτοὺς πειράζετε, ἑαυτοὺς δοκιμάζετε· (β. Κορ. ιγ. ε.) οὐ καθάπερ ἡμεῖς ποιοῦμεν, νῦν καιρῷ προσιόντες μᾶλλον, ἢ σπουδῇ γνώμης. οὐ γὰρ ὅπως παρεσκευασμένοι καὶ τὰ κακὰ ἑαυτῶν ἐκκαθάραντες, κατανύξεως πληρωθέντες προσέλθοιμεν σκοποῦμεν, ἀλλ' ὅπως ἐν ἑορταῖς, καὶ ἡνίκα ἂν ἅπαντες. ἀλλ' οὐχ οὕτως ὁ Παῦλος ἐκέλευσεν, ἀλλ' ἕνα καιρὸν οἶδε προσόδου καὶ κοινωνίας, τοῦ συνειδότος τὴν καθαρότητα. εἰ γὰρ αἰσθητῆς οὐκ ἄν ποτε μεταλάβοιμεν τραπέζης πυρέττοντες καὶ χυμῶν γέμοντες πονηρῶν, ὥστε μὴ ἀπολέσθαι, πολλῷ μᾶλλον ταύτης ἅπτεσθαι ἡμῖν οὐ θέμις μετὰ ἐπιθυμιῶν ἀτόπων, αἳ πυρετῶν εἰσι χαλεπώτεραι. ὅταν δὲ ἐπιθυμίας ἀτόπους

γ. ἐπεξεργάζεσθαι,

εἴπω, καὶ τὰ τῶν σωμάτων λέγω, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ τῆς ὀργῆς, καὶ τὰ τῆς μνησικακίας, καὶ πάσας ἁπλῶς τὰς ἀτόπους. καὶ δεῖ τὸν προσιόντα, πάντα ἐξαντλήσαντα ταῦτα, οὕτω τῆς καθαρᾶς ἐκείνης ἅπτεσθαι θυσίας, καὶ μήτε ῥαθύμως διακείμενον καὶ ταλαιπώρως, ἀναγκάζεσθαι διὰ τὴν ἑορτὴν προσιέναι, μήτε αὖ κατανενυγμένον καὶ παρεσκευασμένον, κωλύεσθαι διὰ τὸ μὴ εἶναι ἑορτήν. ἑορτὴ γὰρ, ἔργων ἀγαθῶν ἐστὶν ἐπίδειξις, καὶ ψυχῆς εὐλάβεια, καὶ πολιτείας ἀκρίβεια. κἂν ταῦτα ἔχῃς, διαπαντὸς ἑορτάζειν δυνήσῃ, καὶ διαπαντὸς προσιέναι. διὰ τοῦτό φησι, δοκιμαζέτω δὲ ἑαυτὸν ἕκαστος, καὶ τότε προσίτω· καὶ οὐχ ἕτερον ἑτέρῳ κελεύει δοκιμάσαι, ἀλλ' αὐτὸν ἑαυτὸν, ἀδημοσίευτον ποιῶν τὸ δικαστήριον, ἀμάρτυρον τὸν ἔλεγχον.

29 Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως [τοῦ Κυρίου], κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει.

Τί λέγεις, εἰπέ μοι; ἡ τοσούτων ἀγαθῶν αἰτία, καὶ ζωῆς βρύουσα τράπεζα, αὕτη κρίμα γίνεται; οὐ παρὰ τὴν αὐτῆς φύσιν, φησὶν, ἀλλὰ παρὰ τὴν τοῦ προσιόντος προαίρεσιν. ὥσπερ γὰρ ἡ παρουσία αὐτοῦ, ἡ τὰ μεγάλα ἐκεῖνα καὶ ἀπόρρητα κομίσασα ἡμῖν ἀγαθὰ, τοὺς μὴ δεξαμένους αὐτὴν μᾶλλον κατέκρινεν· οὕτω καὶ τὰ μυστήρια μείζονος ἐφόδια κολάσεως γίνεται τοῖς ἀναξίως μετέχουσι. διὰ τί δὲ κρίμα ἑαυτῷ ἐσθίει; χ. ζωῶν

Μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Τουτέστι, μὴ ἐξετάζων, μὴ ἐννοῶν, ὡς χρὴ, τὸ μέγεθος τῶν προκειμένων, μὴ λογιζόμενος τὸν ὄγκον τῆς δωρεᾶς. εἰ γὰρ μάθοις ἀκριβῶς τίς ποτέ ἐστιν ὁ προκείμενος, καὶ τίς ὢν τίνι ἑαυτὸν δίδωσιν, οὐδενὸς ἑτέρου δεήσῃ λόγου, ἀλλ' ἀρκεῖ σοι τοῦτο εἰς ἅπασαν νῆψιν, εἰ μὴ σφόδρα εἴης ἀναπεπτωκώς.

30 Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί.

Ἐνταῦθα λοιπὸν οὐκέτι ἀπὸ ἑτέρων τὰ παραδείγματα φέρει, ὥσπερ ἐπὶ τῶν εἰδωλοθύτων ἐποίησε, τὰς παλαιὰς διηγούμενος ἱστορίας καὶ τὰς ἐν τῇ ἐρήμῳ πληγὰς, ἀλλ' ἀπ' αὐτῶν Κορινθίων, ὅπερ καὶ πληκτικώτερον ἐποίει τὸν λόγον. ἐπειδὴ γὰρ ἔλεγε, κρίμα ἑαυτῷ ἐσθίει, καὶ ἔνοχός ἐστιν, ἵνα μὴ δοκῇ ῥήματα λέγειν, καὶ ἔργα δείκνυσι, καὶ μάρτυρας αὐτοὺς καλεῖ, ὅπερ μᾶλλον τοῦ ἀπειλῆσαι καθικνεῖται, τῷ δεῖξαι εἰς ἔργον τὴν ἀπειλὴν ἐξελθοῦσαν. οὐ μὴν τούτοις ἠρκέσθη μόνοις, ἀλλ' ἀπὸ τούτων καὶ τὸν περὶ τῆς γεέννης εἰσήγαγε, καὶ ἐπισώσατο λόγον, ἀμφοτέρωθεν φοβῶν, καὶ ζήτημα πανταχοῦ περιφερόμενον λύων. ἐπειδὴ γὰρ πολλοὶ πρὸς ἀλλήλους ἀποροῦσι, πόθεν οἱ ἄωροι θάνατοι, πόθεν αἱ μακραὶ νόσοι, λέγει ὅτι ἐξ ἁμαρτημάτων πολλὰ τούτων τῶν ἀδοκήτων τὴν ὑπόθεσιν ἔχει. τί οὖν, οἱ ὑγιαίνοντες, φησὶ, διηνεκῶς, καὶ εἰς γῆρας ἐρχόμενοι λιπαρὸν, οὐχ ἁμαρτάνουσι; καὶ τίς ἂν τοῦτο εἴπῃ; χ. εἴποι πῶς οὖν, φησὶν, οὐ διδόασι δίκην; ὅτι ἐκεῖ δώσουσι χαλεπωτέραν. ἡμεῖς δὲ, εἰ ἐβουλόμεθα, οὐδ' ἂν ἐνταῦθα, οὐδ' ἂν ἐκεῖ ἐδώκαμεν.

31 Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, φησὶν, οὐκ ἂν ἐκρινόμεθα.

Καὶ οὐκ εἶπεν, εἰ ἐκολάζομεν ἑαυτοὺς, εἰ ἐτιμωρούμεθα, ἀλλὰ μόνον εἰ ἐπιγνῶναι τὰ ἁμαρτήματα ἐβουλήθημεν, εἰ καταδικάσαι ἑαυτοὺς, εἰ καταγνῶναι τῶν πεπλημμελημένων, ἀπηλλάγημεν ἂν καὶ τῆς ἐνταῦθα καὶ τῆς ἐκεῖσε τιμωρίας. ὁ γὰρ καταγνοὺς ἑαυτοῦ, διπλῇ τὸν Θεὸν ἐξιλεοῦται, καὶ τῷ ἐπιγνῶναι τὰ ἁμαρτήματα, καὶ τῷ πρὸς τὸ μέλλον ὀκνηρότερος γίνεσθαι. ἐπειδὴ δὲ οὐδὲ τοῦτο τὸ κοῦφον βουλόμεθα ποιεῖν, ὡς χρὴ ποιεῖν, οὐδὲ οὕτως ἡμᾶς μετὰ τῆς οἰκουμένης κολάζειν ἀνέχεται, ἀλλὰ καὶ οὕτω φείδεται, ἐνταῦθα δίκην ἀπαιτῶν, οὗ πρόσκαιρος ἡ τιμωρία, καὶ πολλὴ ἡ παραμυθία καὶ ἁμαρτημάτων ἀπαλλαγὴ τὸ γινόμενον, καὶ χρηστὴ τῶν μελλόντων ἐλπὶς κουφίζουσα τὰ παρόντα. ταῦτα δὲ λέγει, ὁμοῦ μὲν παραμυθούμενος τοὺς ἀρρώστους, ὁμοῦ δὲ τοὺς ἄλλους σπουδαιοτέρους ποιῶν. διό φησι·

32 Νυνὶ δὲ κρινόμενοι, ὑπὸ Κυρίου παιδευόμεθα. Οὐκ εἶπε, κολαζόμεθα,

οὐκ

οὐκ εἶπε, τιμωρούμεθα, ἀλλὰ, παιδευόμεθα. νουθεσίας γάρ μᾶλλόν ἐστιν ἢ καταδίκης τὸ γινόμενον, ἰατρείας ἢ τιμωρίας, διορθώσεως ἢ κολάσεως. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῇ ἀπειλῇ τοῦ μείζονος κοῦφον τὸ παρὸν ποιεῖ, λέγων· Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Εἶδες πῶς καὶ τὴν γέενναν ἐπέστησε, καὶ τὸ φρικτὸν ἐκεῖνο δικαστήριον, καὶ ἀναγκαίαν ἔδειξε καὶ πάντως ἐσομένην τὴν ἐξέτασιν ἐκείνην καὶ τὴν τιμωρίαν; εἰ γὰρ οἱ πιστοὶ, καὶ τῷ Θεῷ προσπεπουδακότες οὐκ ἀτιμωρητὶ διαφεύγουσιν ἐν οἷς ἂν πλημμελήσωσι (καὶ δῆλον ἐκ τῶν παρόντων) πολλῷ μᾶλλον οἱ ἄπιστοι καὶ οἱ τὰ ἀνήκεστα καὶ αἴτια ἁμαρτάνοντες.

33 Ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε.

Ἐπεὶ γὰρ ἀκμάζοντος αὐτοῖς τοῦ φόβου, καὶ τοῦ τρόμου θάλποντος τοῦ τῆς γεέννης, βούλεται πάλιν καὶ ὑπὲρ τῶν πενήτων εἰσαγαγεῖν παραίνεσιν, δι' ἣν ἅπαντα ταῦτα εἴρηκε, δεικνὺς ὅτι τοῦτο μὴ ποιοῦντας ἀναξίως ἐστὶ μεταλαμβάνειν. εἰ δὲ τὸ μὴ μεταδοῦναι τῶν ὄντων εἴργει τῆς τραπέζης ἐκείνης, πολλῷ μᾶλλον τὸ ἁρπάζειν. καὶ οὐκ εἶπεν, ὥστε συνερχόμενοι μεταδότε τοῖς δεομένοις, ἀλλ' ὃ σεμνότερον ἦν, ἀλλήλους ἐκδέχεσθε. τοῦτο γὰρ καὶ ἐκεῖνο κατεσκεύαζε καὶ ἠνίττετο, καὶ μετὰ τοῦ πρέποντος σχήματος τὴν παραίνεσιν εἰσήγαγεν. εἶτα λοιπὸν ἐπιτρεπτικῶς·

34 Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω. Ἐπιτρέψας ἐκώλυσε, καὶ σφοδρότερον, ἢ εἰ ἀπηγόρευσε. τῆς γὰρ ἐκκλησίας αὐτὸν ἐξήγαγε, καὶ εἰς τὴν οἰκίαν παρέπεμψε, ταύτῃ καθαπτόμενος σφοδρῶς, καὶ κωμῳδῶν αὐτοὺς, ὡς δούλους γαστρὸς καὶ ἀκαρτερήτους. οὐδὲ γὰρ εἶπεν, εἴ τις ὑπὸ φορᾶς τῶν πενήτων, ἀλλ', εἴ τις πεινᾷ, ὡς πρὸς παιδία δυσαναχετοῦντα διαλεγόμενος, ὡς πρὸς ἄλογα γαστρὶ δουλεύοντα. καὶ γάρ πολὺς ὁ γέλως, εἰ διὰ τὸ πεινῆν ἔμελλον οἴκοι ἐσθίειν. ἀλλ' οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ἐπήγαγεν ἕτερον φοβερώτερον, λέγων· Ἵνα μὴ εἰς κρίμα συνέρχησθε· Ἵνα μὴ εἰς κόλασιν, ἵνα μὴ εἰς τιμωρίαν, τὴν ἐκκλησίαν ὑβρίζοντες, τὸν ἀδελφὸν καταισχύνοντες. καὶ γὰρ διὰ τοῦτο συνέρχεσθε, φησὶν, ἵνα στέργητε ἀλλήλους, ἵνα ὠφεληθῆτε, ἵνα ὠφελῆτε. εἰ δὲ τοὐναντίον γίνεται, βέλτιον ὑμᾶς οἴκοι σιτεῖσθαι. τοῦτο δὲ ἔλεγεν, ἵνα ἐφελκύσηται πλέον. διὰ γὰρ τοῦτο καὶ τὸ βλάβος ἔδειξε τὸ ἐντεῦθεν, καὶ κρίμα ἔφησεν εἶναι οὐ μακρὸν, καὶ πανταχόθεν ἐφόβησεν, ἀπὸ τῶν μυστηρίων, ἀπὸ τῶν ἀρρώστων, ἀπὸ τῶν τετελευτηκότων, ἀπὸ τῶν ἄλλων τῶν ἔμπροσθεν εἰρημένων. εἶτα καὶ ἑτέρως πάλιν φοβεῖ, λέγων· Τὰ δὲ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι. Ἢ εἰς ἕτερά τινα, ἢ εἰς αὐτὸ τοῦτο. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν καὶ αἰτίας τινὰς, καὶ οὐκ ἐνῆν πάντα διὰ γραμμάτων κατορθοῦν, ἃ μὲν παρήνεσα, φυλαττέσθω τέως, φησίν· εἰ δέ τι ἕτερον ἔχοιτε λέγειν, ἐκεῖνο τῇ παρουσίᾳ τηρείσθω τῇ ἐμῇ, ἢ περὶ τούτου τοῦ πράγματος λέγων, ὡς ἔφην, ἢ περὶ ἑτέρων τινῶν οὐ σφόδρα κατεπειγόντων. ποιεῖ δὲ τοῦτο, ἵνα κἀντεῦθεν σπουδαιοτέρους ἐργάσηται. μεριμνῶντες γὰρ αὐτοῦ τὴν παρουσίαν, ἔμελλον διορθοῦν τὸ ἡμαρτημένον. οὐδὲ γὰρ τὸ τυχὸν ἦν ἡ Παύλου ἐπιδημία· καὶ τοῦτο δεικνὺς ἔλεγεν, Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες· καὶ ἀλλαχοῦ πάλιν, Μὴ ὡς τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. διὰ τοῦτο οὐδὲ ἁπλῶς ἐπηγγείλατο ἥξειν, ἵνα μὴ ἀπιστήσωσι καὶ ῥᾳθυμότεροι γίνωνται, ἀλλὰ καὶ αἰτίαν τίθησι τῇ ἐπιδημίᾳ ἀναγκαίαν, λέγων, ὅτι τὰ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι, δεικνὺς ὅτι ἡ τῶν " λιπόντων διόρθωσις εἰ καὶ μὴ ἐσπουδάκει πάντως, αὐτὸν εἷλκεν ἐκεῖσε.

α. Κορ. δ. ιη.

φιλιπ. β. ιβ.

καὶ λιπόντων

ΗΘΙΚΟΝ

Ταῦτα τοίνυν ἀκούοντες ἅπαντα, καὶ τῶν πενήτων πολλὴν ποιώμεθα σπουδὴν, καὶ γαστρὸς κατέχωμεν, καὶ μέθης ἀπαλλαττώμεθα, καὶ τῶν μυστηρίων ἀξίως σπουδάζωμεν μεταλαμβάνειν, καὶ ἐφ' οἷς ἂν πάθωμεν, μὴ ἀλγῶμεν, μήτε ἐφ' ἑαυτοῖς, μήτε ἐφ' ἑτέροις,

οἷς ὅταν ἢ ἄωροι γίνωνται θάνατοι, ὅταν ἀρρωστίαι μακραί. τοῦτο γὰρ ἀπαλλαγὴ κολάσεως, τοῦτο διόρθωσις, τοῦτο νουθεσία ἀρίστη. τίς ταῦτά φησιν; ὁ ἦν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα. ἀλλ' ὅμως καὶ μετὰ ταῦτα ἔτι πολλαὶ τῶν γυναικῶν ἀναισθήτως διάκεινται, ὡς καὶ τοὺς ἀπίστους παραπέμπειν τῇ τοῦ πένθους ὑπερβολῇ. καὶ αἱ μὲν ὑπὸ τοῦ πάθους ἐσκοτωμέναι τοῦτο ποιοῦσιν, αἱ δὲ πρὸς ἐπίδειξιν καὶ ὑπὲρ τοῦ τὰ τῶν ἔξωθεν διαφυγεῖν ἐγκλήματα, ἃς μάλιστα πάσης συγγνώμης ἀπεστερῆσθαί φημι. ἵνα γὰρ μὴ ὁ δεῖνα ἐγκαλέσῃ, φησίν, ἐγκαλείτω ὁ Θεός· ἵνα μὴ ἄνθρωποι τῶν ἀλόγων ἀνοητότεροι καταγνῶσιν, ὁ τοῦ βασιλέως τῶν ὅλων πατείσθω νόμος. καὶ πόσων οὐκ ἄξια ταῦτα σκηπτῶν; κἂν μὲν εἰς περίδειπνόν τις καλέσῃ μετὰ τὸ πένθος, οὐδεὶς ὁ ἀντερῶν, ἐπειδὴ νόμος ἀνθρώπων ἐστὶν ὁ ταῦτα κελεύων· (γρ. ἀντέρων) Θεοῦ δὲ νομοθετοῦντος μὴ πενθεῖν, οὕτω πάντες ἀντιφθέγγονται; οὐκ ἐννοεῖς τὸν Ἰὼβ, ὦ γύναι; οὐκ ἀναμιμνήσκῃ τῶν ῥημάτων αὐτοῦ τῶν ἐπὶ τῇ συμφορᾷ τῶν παίδων, ἃ μυρίων στεφάνων μᾶλλον ἀνέδησε τὴν ἁγίαν κεφαλὴν ἐκείνην, καὶ σαλπίγγων πολλῶν λαμπρότερον ἀνεκήρυξεν; οὐ λογίζῃ τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τὸ καινὸν ἐκεῖνο ναυάγιον, καὶ τὴν ξένην καὶ παράδοξον τραγῳδίαν; σὺ μὲν γὰρ ἴσως ἕνα ἀπώλεσας, ἢ δεύτερον, ἢ τρίτον· ἐκεῖνος δὲ τοσούτους, καὶ τοσαύτας· καὶ ὁ πολύπαις ἐξαίφνης ἄπαις ἐγένετο, καὶ οὐδὲ κατὰ μικρὸν αὐτῷ τὰ σπλάγχνα ἀνηλίσκετο, ἀλλ' ἀθρόον ἅπας ὁ καρπὸς ἀνηρπάζετο, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, οὐδὲ εἰς γῆρας ἐλθόντες, ἀλλὰ καὶ ἀώρῳ καὶ βιαίῳ θανάτῳ, καὶ πάντες ὁμοῦ, καὶ οὐδὲ παρόντος οὐδὲ παρακαθημένου, ἵνα κἂν ἐσχάτων ἀκούσας ῥημάτων ἔχῃ τινὰ παραμυθίαν τῆς οὕτω πικρᾶς τελευτῆς, ἀλλὰ παρ' ἐλπίδα πᾶσαν, καὶ μηδὲν τῶν γινομένων εἰδότος, ἀθρόον ἅπαντες κατεχώννυντο, καὶ ἡ οἰκία τάφος αὐτοῖς ἐγίνετο καὶ παγίς. καὶ οὐχ ἄωρος μόνον θάνατος, ἀλλὰ καὶ πολλὰ μετὰ τούτου τὰ λυποῦντα ἦν, οἷον τὸ ἐν ἀκμῇ πάντας εἶναι, τὸ ἐναρέτους πάντας, τὸ φιλικούς, τὸ πάντας ὁμοῦ, τὸ τῆς φύσεως ἑκατέρας μηδ' ἕνα παραλειφθῆναι, τὸ μὴ τῷ κοινῷ νόμῳ τῆς φύσεως, τὸ μετὰ τοσαύτην ζημίαν, τὸ μηδὲν ἑαυτῷ συνειδότα πονηρὸν μηδὲ ἐκείνοις ταῦτα παθεῖν. τούτων γὰρ ἕκαστον ἱκανὸν μὲν καὶ καθ' ἑαυτὸ θορυβεῖν· ὅταν δὲ καὶ ὁμοῦ φαίνηται συντρέχοντα, ἐννόησον τῶν κυμάτων τὸ ὕψος, ὅση τοῦ χειμῶνος ἡ ὑπερβολή. καὶ τὸ δὴ μεῖζον καὶ τοῦ πένθους χεῖρον, ὅτι οὐδὲ ᾔδει τίνος ἕνεκεν ταῦτα ἐγίνετο. διὰ δὴ τοῦτο, οὐκ ἔχων οὐδεμίαν αἰτίαν ἐπιθεῖναι τῇ συμφορᾷ, ἐπὶ τὸ τῷ Θεῷ δοκοῦν ἀναβαίνει, καί φησιν· (Ἰωβ. α. κα.) Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. καὶ ταῦτα ἔλεγεν, ἑαυτὸν μὲν ἐν τοῖς ἐσχάτοις ὄντα ὁρῶν τῶν παθῶν ἐπελθόντα ἀρετήν [?], πονηροὺς δὲ ἀνθρώπους καὶ γόητας, εὐημεροῦντας, τρυφῶντας, κομῶντας πάντοθεν. καὶ οὐκ εἶπεν οὐδὲν τοιοῦτον, οἷον εἰκός τινας τῶν ἀσθενεστέρων εἰπεῖν, ἐπὶ τούτοις ἔθρεψα τοὺς παῖδας; καὶ μετ' ἀκριβείας ἤσκησα ἁπάσης; ἐπὶ τούτοις ἀνέῳξα τὴν οἰκίαν τοῖς παριοῦσιν, ἵνα μετὰ τοὺς πολλοὺς δρόμους ἐκείνους τοὺς ὑπὲρ τῶν δεομένων, τοὺς ὑπὲρ τῶν γυμνῶν, τοὺς ὑπὲρ τῶν ὀρφανῶν, ταύτας ἀπολάβω τὰς ἀμοιβάς; ἀλλ' ἀντὶ τούτων τὰ πάσης θυσίας κρείττονα ῥήματα ἀνήνεγκεν ἐκεῖνα, λέγων· Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. εἰ δὲ διέρρηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, μὴ θαυμάσῃς. πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος· καὶ ἔδει καὶ τὴν τῆς φύσεως δειχθῆναι συμπάθειαν, καὶ τὴν τῆς γνώμης φιλοσοφίαν. εἰ δὲ μὴ τοῦτο ἐποίησε, τάχα καὶ ἀναισθησίας ἐνόμιζεν ἄν τις εἶναι τὴν φιλοσοφίαν ταύτην. (γρ. [?]) διὰ τοῦτο καὶ τὰ σπλάγχνα δείκνυσι καὶ τῆς εὐσεβείας τὴν ἀκρίβειαν, καὶ ἀλγήσας, οὐ παρεξετράπη· ἀλλὰ καὶ περαιτέρω προϊόντος αὐτῷ τοῦ ἀγῶνος, πάλιν ἑτέροις ἀναδεῖται στεφάνοις ἐκ τῶν πρὸς τὴν γυναῖκα ῥημάτων, λέγων· (Ἰωβ. β. ι.) Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καὶ γὰρ ἡ γυνὴ μόνη λοιπὸν ὑπελείφθη, πάντων ἀφαιρεθέντων αὐτῷ, καὶ τῶν παίδων, καὶ τῶν κτημάτων, καὶ αὐτοῦ τοῦ σώματος, καὶ αὕτη πρὸς πεῖραν

καὶ ἐπιβουλήν. διὰ τοῦτο καὶ αὐτὴν μετὰ τῶν τέκνων οὐκ ἠφάνισεν ὁ διάβολος, οὐδὲ ᾔτησεν αὐτῆς τὴν σφαγήν, ἐπειδὴ προσεδόκησεν μεγάλα αὐτῷ συντελεῖν πρὸς τὴν ἐπιβουλὴν τοῦ ἁγίου τούτου. διὰ τοῦτο ὥσπερ τι μέγιστον ὅπλον αὐτὴν αὐτῷ κατέλιπεν. εἰ γὰρ παραδείσου, φησί, δι᾽ αὐτῆς ἐξέβαλον, πολλῷ μᾶλλον ἀπὸ κοπρίας ὑποσκελίσαι δυνήσομαι. (χ. ἐπὶ) καὶ θέα τὴν πανουργίαν. οὐδὲ γὰρ τῶν βοῶν ἀπολλυμένων προσήγαγε τὸ μηχάνημα τοῦτο, οὐδὲ τῶν ὄνων, οὐδὲ τῶν καμήλων, ἀλλ᾽ οὐδὲ τῆς οἰκίας καταπνεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων, ἀλλὰ σιγᾷ τέως καὶ ἡσυχάζει ἐᾷ τὸν ἀθλητήν. ὁρῶν δὲ ὅτι τῶν σκωλήκων ἀνέβλυσεν ἡ πηγή, καὶ σηπόμενον τὸ δέρμα κατέρρει, καὶ δαπανώμεναι αἱ σάρκες ἰχῶρα πολλῆς γέμοντα δυσωδίας ἐποίουν, καὶ τηγάνων καὶ καμίνων καὶ πάσης φλογὸς ὀδυνηρότερον αὐτὸν ἡ τοῦ διαβόλου κατανήλισκε χεὶρ, θηρίου παντὸς χαλεπώτερον διαβιβρώσκουσα πάντοθεν καὶ κατεσθίουσα τὸ σῶμα, καὶ ἐν ταύτῃ τῇ συμφορᾷ πολὺς παρῆλθε χρόνος, τότε αὐτὴν προσάγει ἤδη ταριχευομένῳ καὶ κατεργασθέντι. εἰ γὰρ παρὰ τὰ προοίμια προσῆλθε τῆς συμφορᾶς, οὐδὲ ἂν ἐκεῖνον εὗρεν οὕτως ἐκνενευρισμένον, οὐδὲ ἂν αὐτὴ τῆς συμφορᾶς εἶχεν ἐξογκῶσαι οὕτω καὶ ἐπᾶραι τῷ λόγῳ. νυνὶ δὲ ὅτε αὐτὸν εἶδε διὰ τὸ μῆκος τοῦ χρόνου διψῶντα ἀπαλλαγῆς, καὶ ἐπιθυμοῦντα τῆς τῶν ἐπικειμένων λύσεως, σφοδρῶς τότε προσέρχεται. ὅτι γὰρ σφόδρα κατειργασμένος ἦν, καὶ οὐδὲ ἀναπνεῖν λοιπὸν εἶχεν, ἀλλὰ καὶ ἀποθανεῖν ἐπεθύμει, ἄκουσον τί φησιν· εἰ γὰρ δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθῆναι ἑτέρου, καὶ ποιήσαιμι τοῦτο. καὶ θέα μοι τῆς κακουργίαν τῆς γυναικός, πόθεν εὐθέως προοιμιάζεται; ἀπὸ τοῦ πλήθους τοῦ χρόνου· Μέχρι τίνος καρτερήσεις; λέγουσα. (Ἰωβ. α. 3.) εἰ δὲ πολλάκις καὶ πραγμάτων οὐκ ὄντων λόγοι μόνοι ἴσχυσαν μαλάξαι, ἐννόησον τί τότε παθεῖν αὐτὸν εἰκὸς ἦν, μετὰ τῶν ῥημάτων τούτων καὶ τῶν πραγμάτων ὀδυνώντων αὐτόν, καὶ τὸ δὴ πάντων χεῖρον, ὅτι καὶ γυνὴ ταῦτα λέγουσα ἦν, καὶ γυνὴ ἀναπεσοῦσα, καὶ ἀπαγορεύουσα, καὶ διὰ τοῦτο σπουδάζουσα καὶ αὐτὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν. πλὴν ἀλλ᾽ ἵνα σαφέστερον ἴδωμεν τὸ μηχάνημα τὸ τῷ ἀδαμαντίνῳ τούτῳ προσαγόμενον τείχει, καὶ αὐτῶν ἀκούσωμεν τῶν ῥημάτων. τίνα οὖν ταῦτά ἐστι; μέχρι τίνος καρτερήσεις λέγων, ἰδοὺ ἀναμενῶ χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; ἤλεγξε γάρ σου, φησί, τὰ ῥήματα ὁ χρόνος, μακρότερος μὲν γινόμενος, λύσιν δὲ οὐδεμίαν ἐμφαίνων. ταῦτα δὲ ἔλεγεν, οὐκ εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλουσα μόνον, ἀλλὰ καὶ ὀνειδίζουσα καὶ κωμῳδοῦσα. καὶ γὰρ ἐκεῖνος ἐνοχλοῦσαν ἀεὶ παραμυθούμενος καὶ διακρουόμενος τοιαῦτα ἐφθέγγετο· ἀνάμεινον ἔτι μικρόν, καὶ ταχέως ἔσται τούτων τὸ τέλος. ὀνειδίζουσα τοίνυν αὐτῷ φησι, μὴ καὶ νῦν τὸ αὐτὸ ἐρεῖς; πολὺς γὰρ ἤδη χρόνος παρέδραμε, καὶ τέλος τούτων οὐδὲν ἀνεφάνη. καὶ θέα τὴν κακουργίαν. (χ. ἐπὶ) οὐδὲ γὰρ μέμνηται τῶν βοῶν, οὐ τῶν προβάτων, οὐδὲ τῶν καμήλων (ᾔδει γὰρ οὐ σφόδρα αὐτὸν τούτοις δακνόμενον) ἀλλ᾽ ἐπὶ τὴν φύσιν εὐθέως ἔρχεται, καὶ τῶν παίδων ἀναμιμνήσκει. ἐπ᾽ αὐτοῖς γὰρ εἶδεν αὐτὸν καὶ τὴν ἐσθῆτα διαρρήξαντα, καὶ τὴν κόμην ἀποκειράμενον. καὶ οὐκ εἶπεν, ἀπώλετό σου τὰ παιδία, ἀλλὰ σφόδρα περιπαθῶς, ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, δι᾽ ὃ καὶ τὰ παιδία ποθεινά. εἰ γὰρ καὶ νῦν, ἀναστάσεως φανείσης, ἐντεῦθέν ἐστι τὰ παιδία ἐπέραστα ἀπὸ τοῦ τὴν μνήμην τῶν ἀπελθόντων διατηρεῖν, πολλῷ μᾶλλον τότε. διὰ τοῦτο καὶ ἡ ἀρὰ ἐντεῦθεν γέγονε πικροτέρα. οὐδὲ γὰρ ἐκεῖ τὰ παιδία, ὁ ἐπαρώμενος εἶπεν, ἐξολοθρευθείη, ἀλλὰ τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τῆς γῆς· οἱ υἱοί σου, καὶ αἱ θυγατέρες σου. εἰποῦσα γὰρ τὸ μνημόσυνον, μετ᾽ ἀκριβείας πάλιν ἑκατέρας τῆς φύσεως μέμνηται. εἰ δὲ σοί, φησιν, οὐ μέλει τούτων, κἂν τὸ ἐμὸν σκόπει. τῆς ἐμῆς κοιλίας ὠδῖνες, καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ τὸ πλεῖον ἐνεγκοῦσα ἠδίκημαι διὰ σέ, καὶ τοὺς μὲν πόνους ὑπέστην, τῶν δὲ καρπῶν ἀπεστέρημαι. καὶ ὅρα πῶς οὔτε τίθησι τὴν ζημίαν τῶν χρημάτων;

μάτων, οὐ σιγᾷ αὐτὴν καὶ παρατρέχει, ἀλλ' ὡς ἐκείνην καὶ περιπαθῶς αὐτὴν ἀπαγγέλλει, οὕτως αὔξεται. ὅταν γὰρ εἴπῃ, κἀγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου, οἰκίαν ἐξ οἰκίας περιερχομένη, καὶ τὴν ζημίαν αὔξεται, καὶ πολλὴν τὴν περίστασιν δείκνυσι. καὶ γὰρ καὶ αἱ λέξεις αὐταὶ ἱκαναὶ ἐπᾶραι τὴν συμφοράν. ἐπὶ γὰρ τὰς ἑτέρων ἐρχομένη θύρας, φησίν. οὐδὲ γὰρ περὶ ἑαυτῆς μόνον, ἀλλὰ καὶ πλανωμένη, καὶ δουλεύω δουλείαν ξένην καὶ καινήν, πανταχοῦ περιϊοῦσα, καὶ τὰ σύμβολα τῆς συμφορᾶς περιφέρουσα, καὶ πάντας διδάσκουσα τὰ ἐμὰ κακά· ὃ πάντων ἐστὶν ἐλεεινότερον, τὸ οἰκίαν ἐξ οἰκίας ἀμείβειν. καὶ οὐδὲ ἐνταῦθα ἔστη τῶν θρήνων, ἀλλ' ἐπήγαγε λέγουσα· προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ ἀναπαύσομαι τῶν μόχθων μου καὶ τῶν περιεχουσῶν με ὀδυνῶν, αἵ με νῦν συνέχουσιν. ὃ γὰρ τοῖς ἄλλοις ἐστὶν ἡδύ, φησι, τὸ τὴν ἀκτῖνα ὁρᾶν, τοῦτο ἐμοὶ βαρύ· ποθεινὸν δὲ ἡ νὺξ καὶ τὸ σκότος. αὕτη γάρ με ἀναπαύει τῶν ἱδρώτων μόνη, αὕτη μοι παραμυθία γίνεται τῶν κακῶν· ἀλλ' εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. Εἶδες κἀνταῦθα τὴν κακουργίαν; πῶς οὐδὲ ἐν αὐτῇ τῇ συμβουλῇ εὐθέως εἰσήγαγε τὴν ὀλεθρίαν παραίνεσιν; ἀλλὰ διηγησαμένη πρότερον ἐλεεινῶς τὰς συμφοράς, καὶ ἐκτείνασα τὴν τραγῳδίαν, ἐν βραχεῖ τίθησι τὴν παραίνεσιν, καὶ οὐδὲ ἐμφαίνει σαφῶς αὐτήν, ἀλλὰ συσκιάσασα ἐκείνην, τὴν ἀπαλλαγὴν αὐτοῦ προτείνει τὴν μάλιστα ποθεινήν, καὶ ἐπαγγέλλεται τελευτήν, ὃ μάλιστα ἐπεθύμει. καὶ σκόπει κἀντεῦθεν τοῦ διαβόλου τὴν κακουργίαν. ἐπειδὴ γὰρ ᾔδει τὸν πόθον τοῦ Ἰὼβ τὸν περὶ τὸν Θεόν, οὐκ ἀφίησι τὴν γυναῖκα κατηγορῆσαι τοῦ Θεοῦ, ἵνα μὴ ὡς ἐχθρὰν εὐθέως ἀποστραφῇ. διὸ ὑπὸ αὐτοῦ μὲν οὐδαμοῦ μέμνηται, τὰ δὲ συμβάντα, ἄνω καὶ κάτω στρέφει. σὺ δὲ μετὰ τῶν εἰρημένων, ὅτι καὶ γυνὴ ἦν ἡ ταῦτα συμβουλεύουσα, πρόσθες, δεινὸς καταγοητεῦσαι ῥήτωρ τοὺς μὴ προσέχοντας. πολλοὶ γοῦν καὶ χωρὶς συμφορῶν, ἀπὸ γυναικῶν συμβουλῆς κατηνέχθησαν μόνης. τί οὖν ὁ μακάριος οὗτος, καὶ ἀδάμαντος στερρότερος; βλέψας εἰς αὐτὴν πικρόν, ἀπὸ τῆς ὄψεως καὶ παρὰ τῆς φωνῆς διεκρούσατο τὰ μηχανήματα. ἐκείνη μὲν γὰρ προσεδόκησε δακρύων κινήσειν πηγάς· οὗτος δὲ λέοντος σφοδρότερος γέγονε, θυμοῦ πληρωθεὶς καὶ ἀγανακτήσεως, οὐχ ὑπὲρ ὧν ἔπασχεν, ἀλλ' ὑπὲρ ὧν ἐκείνη διαβολικῶς συνεβούλευσε, καὶ τῷ βλέμματι τὸν θυμὸν ἐνδειξάμενος, μεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. καὶ γὰρ καὶ ἐν συμφοραῖς σώφρων ἦν. καὶ τί φησιν; Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; οὐχ οὕτω σε ἐπαίδευσα, φησιν, οὐχ οὕτω σε ἔθρεψα· ὅθεν οὐδὲ ἐπιγινώσκω τὴν σύνοικον τὴν ἐμήν. τὰ γὰρ ῥήματα ταῦτα, ἀνοήτου γυναικός, καὶ παραπαιούσης ἡ συμβουλή. Εἶδες τομὴν σύμμετρον, καὶ πληγὴν ἱκανὴν διορθῶσαι τὸ νόσημα; εἶτα μετὰ τὴν ἐπίπληξιν, καὶ συμβουλὴν εἰσάγει πάλιν ἀρκοῦσαν αὐτὴν παραμυθήσασθαι καὶ πολὺ τὸ εὔλογον ἔχουσαν, λέγων· Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀναμνήσθητι γάρ, φησι, τῶν προτέρων ἐκείνων, καὶ λογίζου τὸν αἴτιον, καὶ οἴσεις καὶ ταῦτα γενναίως. εἶδες μετριοφροσύνην ἀνδρός; οὐδὲ γὰρ τῇ ἀνδρείᾳ αὐτοῦ λογίζεται τὴν ὑπομονήν, ἀλλὰ τῆς τῶν πραγμάτων ἀκολουθίας αὐτὴν εἶναί φησιν. ἀντὶ τίνων γὰρ ἐκεῖνα ἡμῖν ἔδωκεν ὁ Θεός; ποίαν ἐκτίννες ἀμοιβήν; οὐδεμίαν· ἀλλ' ἐξ ἀγαθότητος μόνης. δωρεὰ γὰρ ἦν, οὐκ ἀμοιβή· καὶ χάρις, οὐκ ἀντίδοσις. οὐκοῦν καὶ ταῦτα φέρωμεν γενναίως. τούτοις καὶ ἄνδρες καὶ γυναῖκες τὸν λόγον ἀνάγραπτον ἔχωμεν, καὶ τὰ ῥήματα ταῦτα ἐγκολάψωμεν τῇ διανοίᾳ, καὶ ταῦτα καὶ τὰ πρὸ τούτων· καὶ τὴν ἱστορίαν αὐτοῦ τῶν παθημάτων, καθάπερ εἰκόνα, ἐπὶ τῆς διανοίας ὑπογράψαντες, τὴν ζημίαν λέγω τῶν χρημάτων, τὴν ἀφαίρεσιν τῶν παίδων, τὴν πληγὴν τοῦ σώματος, τὰ ὀνείδη, τὰς χλευασίας, τὰς τῆς γυναικὸς μηχανάς, τὴν τοῦ διαβόλου ἐπιβουλήν, πάντα ἁπλῶς μετὰ ἀκριβείας τὰ πάθη τοῦ δικαίου, λιμένα κατασκευάσωμεν μέγιστον ἡμῖν· ἵνα πάντα γενναίως καὶ εὐχαρίστως φέροντες, καὶ ἐν τῷ παρόντι βίῳ πᾶσαν ἀποκρουσώμεθα ἀθυμίαν, καὶ τοὺς ὑπὲρ τῆς εὐφημίας ταύτης ἀπολάβωμεν μισθούς, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ἐφεχομένη

Ἰὼβ β. θ.

Λογ.

Λογ. κθ. 1 ΠΕΡΙ ΔΕ ΤΩΝ ΠΝΕΥΜΑΤΙΚΩΝ, ΑΔΕΛΦΟΙ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν.
2 Οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι.

Τοῦτο ἅπαν τὸ χωρίον σφόδρα ἐστὶν ἀσαφές· τὴν δὲ ἀσάφειαν ἡ τῶν πραγμάτων ἄγνοιά τε καὶ ἔλλειψις ποιεῖ, τῶν τότε μὲν συμβαινόντων, νῦν δὲ οὐ γινομένων. καὶ τίνος ἕνεκεν οὐ γίνεται νῦν; ἰδοὺ γὰρ καὶ ἡ αἰτία πάλιν τῆς ἀσαφείας ἑτέραν ἡμῖν ζήτημα ἔτεκε. τί δήποτε γὰρ τότε μὲν ἐγίνετο, νῦν δὲ οὐκέτι; ἀλλὰ τοῦτο μὲν εἰσαῦθις "ἀναβαλλώμεθα, πῶς δὲ τὰ συμβαίνοντα τότε λέγωμεν. τί οὖν τότε συνέβαινεν; εἴ τις ἐβαπτίσατο, γλώσσαις εὐθέως ἐλάλει, καὶ οὐ γλώσσαις μόνον, ἀλλὰ πολλοὶ καὶ προεφήτευον, τινὲς δὲ καὶ ἑτέρας πλείους δυνάμεις ἐπεδείκνυντο. ἐπειδὴ γὰρ ἀπὸ τῶν εἰδώλων προσιόντες, οὐδὲν εἰδότες σαφῶς, οὐδὲ ταῖς παλαιαῖς ἐντραφέντες βίβλοις, βαπτισθέντες εὐθέως πνεῦμα ἐλάμβανον, τὸ δὲ πνεῦμα οὐχ ἑώρων (ἀόρατον γάρ ἐστιν) αἰσθητὴν ἵνα ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνης ἡ χάρις. καὶ ὁ μὲν τῇ Περσῶν, ὁ δὲ τῇ Ῥωμαίων, ὁ δὲ τῇ Ἰνδῶν, ὁ δὲ ἑτέρᾳ τινὶ τοιαύτῃ εὐθέως ἐφθέγγετο γλώσσῃ, καὶ τοῦτο ἐφανέρου τοῖς ἔξωθεν, ὅτι πνεῦμά ἐστιν ἐν αὐτῷ τῷ φθεγγομένῳ. διὸ καὶ οὕτως αὐτὸ καλεῖ λέγων, Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον, τὰ χαρίσματα φανέρωσιν πνεύματος ὀνομάζων. ἐπειδὴ γὰρ καὶ οἱ ἀπόστολοι τοῦτο πρῶτον σημεῖον ἔλαβον, καὶ οἱ πιστοὶ τοῦτο ἐλάμβανον τὸ τῶν γλωσσῶν, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα πλείω. καὶ γὰρ καὶ νεκροὺς ἤγειρον πολλοί, καὶ δαίμονας ἤλαυνον, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐθαυματούργουν, καὶ χαρίσματα δὲ εἶχον, οἱ μὲν ἐλάττονα, οἱ δὲ "πλείω. πλέον δὲ πάντων τὸ τῶν γλωσσῶν ἦν παρ' αὐτοῖς χάρισμα, καὶ τοῦτο αἴτιον σχίσματος αὐτοῖς ἐγένετο, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀγνωμοσύνην τῶν εἰληφότων. οἵ τε γὰρ τὰ μείζονα ἔχοντες ἐπῄροντο κατὰ τῶν τὰ ἐλάττονα κεκτημένων· οὗτοι δὲ αὖ πάλιν ἤλγουν, καὶ τοῖς τὰ μείζονα ἔχουσιν ἐφθόνουν. [πλέον δὲ πάντων, τὸ τῶν γλωσσῶν ἦν παρ' αὐτοῖς χάρισμα.] καὶ τοῦτο προϊὼν δείκνυσιν αὐτὸς ὁ Παῦλος. ἐπεὶ οὖν ἐντεῦθεν χαλεπὴν ἐλάμβανον * πληγήν, διαλυομένης αὐτοῖς τῆς ἀγάπης, πολλὴν σπουδὴν ποιεῖται, ὥστε αὐτὸ διορθῶσαι. συνέβη μὲν γὰρ τοῦτο καὶ ἐν τῇ Ῥώμῃ, ἀλλ' οὐχ οὕτω. διόπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ κινεῖ μὲν αὐτό, συνεσκιασμένως δὲ καὶ ἐν βραχεῖ, λέγων οὕτω· Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεῖς, ἀλλήλων μέλη. ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ. ὅτι δὲ καὶ ἐκεῖνοι εἰς ἀπόνοιαν ἐντεῦθεν ἐνέπιπτον, ἀρχόμενος ἠνίξατο τοῦτο, οὕτως εἰπών· Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως. ἐκείνοις μὲν οὖν (οὐδὲ γὰρ πολὺ τὸ νόσημα ἦν τῆς διαστάσεως καὶ ἀπονοίας) οὕτω διείλεκται· ἐνταῦθα δὲ μετὰ πολλῆς τῆς σπουδῆς. καὶ γὰρ σφόδρα τὸ πάθος ἦν ἡ νομή. καὶ οὐδὲ τοῦτο μόνον αὐτοὺς ἐθορύβει, ἀλλὰ καὶ μάντεις ἦσαν αὐτόθι πολλοί, ἅτε ἑλληνικώτερον τῆς πόλεως διακειμένης, καὶ μετὰ τῶν ἄλλων καὶ τοῦτο αὐτοὺς παρεσκέλιζε καὶ ἐτάραττε. διὸ καὶ ἀρχόμενος, πρῶτον τὸ μέσον μαντείας καὶ προφητείας τίθησι. διὰ τοῦτο καὶ διακρίσεις ἔλαβον πνευμάτων, ὥστε διακρίνειν καὶ εἰδέναι, τίς μὲν ὁ πνεύματι φθεγγόμενος καθαρῷ, τίς δὲ ὁ ἀκαθάρτῳ. ἐπειδὴ γὰρ αὐτόθεν οὐκ ἦν παραδεῖν τὴν

[Margin notes: γ. ἀναβαλώμεθα, — γ. μείζονα. — * τὴν — Ῥωμ. ιβ. δ. — Ῥωμ. ιβ. γ.]

τῶν λεγομένων τὴν ἀπόδειξιν (προφητεία γὰρ οὐκ ἐν τῷ καιρῷ, ᾧ λέγεται, ἀλλ' ἐν τῷ καιρῷ τῆς ἐκβάσεως παρέχεται τῆς οἰκείας ἀληθείας τὸν ἔλεγχον) καὶ οὐκ ἦν εὔκολον αὐτὴν διαγνῶναι, καὶ τίς μὲν ὁ προφητεύων, τίς δὲ ὁ ψευδόμενος (καὶ γὰρ μιαρὸς ὢν ὁ διάβολος ἐπεισῄει τοῖς προφητεύουσι, ψευδοπροφήτας εἰσάγων ὡς δῆθεν τὰ μέλλοντα προλέγοντας καὶ αὐτούς) εἶτα ἐπειδὴ τέως ἀνεύθυνα ἦν τὰ λεγόμενα, οὔπω τῶν πραγμάτων ἐκβάντων περὶ ὧν προελέγετο, καὶ ῥᾳδίως παρεκρούετο (τῶν γὰρ ψευδομένων, καὶ τῶν ἀληθευόντων, τὸ τέλος ἤλεγχεν) ἵνα μηδὲ πρὸ τοῦ τέλους ἀπατῶνται οἱ ἀκροαταί, δίδωσιν αὐτοῖς σημεῖον, ὃ καὶ πρὸ τῆς ἐκβάσεως ἐδείκνυ τοῦτον, κἀκεῖνον· καὶ ἐντεῦθεν λαβὼν ἀκολουθίαν καὶ ἀρχὴν, οὕτω καὶ εἰς τὸν περὶ τῶν χαρισμάτων ἐμβαίνει λόγον, καὶ τὴν φιλονεικίαν διορθοῦται τὴν ἐντεῦθεν γινομένην. τέως μέντοι τοῦ περὶ τῶν μάντεων ἄρχεται λόγου οὕτω λέγων· περὶ δὲ τῶν πνευματικῶν οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, πνευματικὰ τὰ σημεῖα καλῶν, ὅτι * ταῦτα ἔργα τοῦ πνεύματος μόνου, οὐδὲν ἀνθρωπίνης ἐπεισφερούσης σπουδῆς εἰς τὸ τὰ τοιαῦτα θαυματουργεῖν. καὶ μέλλων περὶ αὐτῶν διαλέγεσθαι, πρότερον, ὅπερ ἔφην, τῆς μαντείας τὴν διαφορὰν καὶ τῆς προφητείας τίθησιν, οὕτω λέγων· οἴδατε ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐν τοῖς ″ εἰδώλοις, φησὶν, εἴποτε κατεσχέθη τις ὑπὸ πνεύματος ἀκαθάρτου καὶ ἐμαντεύετο, ὥσπερ ἀπαγόμενος, οὕτως εἵλκετο ὑπὸ τοῦ πνεύματος δεδεμένος, οὐδὲν εἰδὼς ὧν λέγει. τοῦτο γὰρ μάντεως ἴδιον, τὸ ἐξεστηκέναι, τὸ ἀνάγκην ὑπομένειν, τὸ ὠθεῖσθαι, τὸ ἕλκεσθαι, τὸ σύρεσθαι ὥσπερ μαινόμενον. ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ μετὰ διανοίας νηφούσης, καὶ σωφρονούσης καταστάσεως, καὶ εἰδὼς ἃ φθέγγεταί φησιν ἅπαντα. ὥστε καὶ πρὸ τῆς ἐκβάσεως κἀντεῦθεν γνώριζε τὸν μάντιν καὶ τὸν προφήτην. καὶ σκόπει πῶς ἀνύποπτον ποιεῖ τὸν λόγον· αὐτοὺς μάρτυρας καλεῖ τοὺς ἐν τῇ πείρᾳ τοῦ πράγματος γενομένους. ὅτι γὰρ οὐ ψεύδομαι, φησιν, οὐδὲ ἁπλῶς διασύρω τὰ τῶν ἐθνῶν, ὡς ἐχθρὸς πλάττων, αὐτοὶ ὑμεῖς μοι μαρτυρήσατε. καὶ γὰρ οἴδατε ὅτε ἕλληνες ἦτε, πῶς ἀπήγεσθε ἑλκόμενοι τότε. εἰ δέ τις καὶ τούτοις ὡς πιστοῖς ὑπόπτοις εἶναι φαίη, φέρε καὶ ἐκ τῶν ἔξωθεν τοῦτο ὑμῖν ποιήσω φανερόν. ἄκουσον γοῦν Πλάτωνος λέγοντος οὕτως· Ὥσπερ οἱ χρησμῳδοὶ καὶ οἱ θεομάντεις λέγουσι μὲν πολλὰ καὶ καλὰ, ἴσασι δὲ οὐδὲν ὧν λέγουσιν. ἄκουσον γοῦν καὶ ἑτέρου ποιητοῦ τὰ αὐτὰ ἐνδεικνυμένου. ἐπειδὴ γὰρ τελεταῖς τισι καὶ μαγγανείαις κατέδησε δαίμονά τις εἰς ἄνθρωπον, καὶ ἐμαντεύετο ἐκεῖνος, καὶ μαντευόμενος ἐῤῥιπτεῖτο, καὶ ἐσπαράττετο, καὶ ἐνεγκεῖν τοῦ δαίμονος τὴν ὁρμὴν οὐκ ἠδύνατο, ἀλλ' ἔμελλε διασπώμενος οὕτως ἀπόλλυσθαι, τοῖς τὰ τοιαῦτα μαγγανεύουσί φησι·

Πλατ. ἀπολ. Σωκρ.

Λύσατε λοιπὸν, ἄνακτα βροτὸς θεὸν οὐκέτι χωρεῖ·
Καὶ πάλιν, Λύσατέ μοι στεφάνους, καὶ μοῦ πόδας ὕδατι λευκῷ
Ῥάνατε, καὶ γραμμὰς ἀπαλείψατε, καί γε μολοῖμι.

Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα (καὶ γὰρ ἔστι πολλῷ πλείονα εἰπεῖν) ἀμφότερα ταῦτα ἡμῖν ἐνδείκνυται, καὶ τὴν ἀνάγκην ἣν κατεχόμενοι δουλεύουσιν οἱ δαίμονες, καὶ τὴν βίαν ἣν ὑπομένοντες οἱ καθάπαξ ἑαυτοὺς ἐκδόντες αὐτοῖς, καὶ τῶν κατὰ φύσιν ἐξίστανται φρενῶν. καὶ ἡ Πυθία δὲ (ἀναγκάζομαι γὰρ καὶ ἑτέραν αὐτῶν ἀσχημοσύνην ἐκπομπεῦσαι νῦν, ἣν καλὸν μὲν ἦν ″ παρελθεῖν διὰ τὸ ἡμῖν ἀπρεπὲς εἶναι τὰ τοιαῦτα λέγειν· ὥστε δὲ σαφέστερον αὐτῶν μαθεῖν τὴν ″ αἰσχύνην, ἀναγκαῖον εἰπεῖν, ἵνα κἀντεῦθεν μάθητε τὴν παράνοιαν, καὶ τὸν πολὺν γέλωτα τῶν τοῖς μάντεσι κεχρημένων) λέγεται τοίνυν αὕτη ἡ Πυθία γυνή τις οὖσα ἐπικαθῆσθαι τῷ τρίποδί ποτε τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη, εἶθ' οὕτω πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων πληροῦν τὴν γυναῖκα τῆς μανίας, καὶ ταύτην τὰς τρίχας λύουσαν λοιπὸν ἐκβακχεύεσθαί

τε,

* μόνα

ἴσ. ἐν εἰδώλοις

χ. [illegible] ναι

χ. ἀσχημοσύνην,

τε, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀφιέναι, καὶ οὕτως ἐν παρανοίᾳ γινομένην τὰ τῆς μανίας φθέγγεσθαι ῥήματα. οἶδα ὅτι ἠσχύνθητε καὶ ἠρυθριάσατε ταῦτα ἀκούσαντες· ἀλλ᾽ ἐκεῖνοι καὶ μέγα φρονοῦσι καὶ διὰ τὴν ἀσχημοσύνην καὶ διὰ τὴν μανίαν ταύτην. ταῦτα οὖν καὶ τὰ τοιαῦτα ὁ Παῦλος ἅπαντα ἀνακινῶν ἔλεγεν· οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. καὶ ἐπειδὴ πρὸς εἰδότας διελέγετο, οὐ τίθησι πάντα μετ᾽ ἀκριβείας, μὴ βουλόμενος αὐτοῖς ἐνοχλεῖν, ἀλλ᾽ ἀναμνήσας μόνον καὶ εἰς ἔννοιαν ἁπάντων αὐτοὺς ἀγαγὼν ἀπαλλάττεται ταχέως, πρὸς τὸ προκείμενον ἐπειγόμενος. τί δέ ἐστι, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα; οὗτοι οἱ μάντεις πρὸς ἐκεῖνα ἤγοντο ἑλκόμενοι. εἰ δὲ αὐτὰ ἄφωνα, πῶς ἐκείνοις ἐκέχρηντο; τίνος δὲ ἕνεκεν τοῖς ζωδίοις αὐτοὺς προσῆγεν ὁ δαίμων ὡς αἰχμαλώτους καὶ δεσμίους; ὁμοῦ δὲ καὶ τὴν πλάνην πιθανὴν ἐργαζόμενος. ἵνα γὰρ μὴ δόξῃ ὁ λίθος ἄφωνος εἶναι, ἐσπούδαζον τοῖς εἰδώλοις προσηλοῦν τοὺς ἀνθρώπους, ἵνα τὰ αὐτῶν ἐκείνοις ἐπιγράφηται. ἀλλ᾽ οὐ τὰ ἡμέτερα τοιαῦτα. ἀλλ᾽ οὐκ ἔθηκε τὰ ἡμέτερα, τὰ τῶν προφητῶν λέγω. καὶ γὰρ δῆλα ἦν αὐτοῖς ἅπαντα· καὶ ἐν αὐτοῖς προεφήτευον, ὡς αὐτοῖς πρέπον ἦν, μετὰ συνέσεως καὶ ἀληθείας ἁπάσης. διά τοι τοῦτο καὶ τοῦ εἰπεῖν, καὶ τοῦ μὴ εἰπεῖν ἦσαν κύριοι. οὐ γὰρ ἀνάγκῃ κατείχοντο, ἀλλ᾽ ἐξουσίᾳ ἦσαν τετιμημένοι. διὰ τοῦτο καὶ Ἰωνᾶς ἔφυγε, διὰ τοῦτο καὶ Ἰεζεκιὴλ ἀνεβάλλετο, διὰ τοῦτο καὶ Ἱερεμίας παρῃτεῖτο. ὁ δὲ Θεὸς οὐ μετ᾽ ἀνάγκης αὐτοὺς ὠθεῖ, ἀλλὰ συμβουλεύων, παραινῶν, ἀπειλῶν, οὐ σκοτῶν τὴν διάνοιαν. δαίμονος μὲν γὰρ ἴδιον, τὸ θόρυβον καὶ μανίαν ποιεῖν, καὶ πολὺν τὸν ζόφον· Θεοῦ δὲ, τὸ φωτίζειν, καὶ μετὰ συνέσεως διδάσκειν τὰ δέοντα. πρώτη μὲν οὖν διαφορὰ αὕτη μαντείας καὶ προφητείας· δευτέρα δὲ ἑτέρα, ἣν ἐφεξῆς τίθησι, λέγων·

[ἴσ. ἐκέχρηντο]

3 Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν.

Εἶτα καὶ ἑτέρα· Καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. Ὅταν ἴδῃς, φησὶν, τινὰ μὴ φθεγγόμενον τὸ ὄνομα αὐτοῦ, ἢ καὶ ἀναθεματίζοντα, * μάντις ἐστί. πάλιν ὅταν ἴδῃς ἕτερον μετὰ τοῦ ὀνόματος αὐτοῦ πάντα φθεγγόμενον, νόησον ὅτι πνευματικός ἐστι. τί οὖν, φησι, περὶ τῶν κατηχουμένων ἂν εἴποιμεν; εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ, τί ἂν εἴποιμεν περὶ τούτων, ὀνομαζόντων μὲν αὐτοῦ τὸ ὄνομα, πνεύματος δὲ ἀπεστερημένων; ἀλλ᾽ οὐ περὶ τούτων ὁ λόγος αὐτῷ νῦν (οὐ γὰρ ἦσαν κατηχούμενοι τότε) ἀλλὰ περὶ πιστῶν καὶ ἀπίστων. τί οὖν, οὐδεὶς δαίμων ὀνομάζει τὸν Θεόν; οὐχὶ οἱ δαιμονῶντες ἔλεγον, Οἴδαμέν σε τίς εἶ ὁ υἱὸς τοῦ Θεοῦ; οὐχὶ Παύλῳ ἔλεγον, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν; ἀλλὰ μαστιζόμενοι, ἀλλ᾽ ἀναγκαζόμενοι· ἑκόντες δὲ καὶ μὴ μαστιγούμενοι, οὐδαμοῦ. ἄξιον δὲ ἐνταῦθα ζητῆσαι, διὰ τί καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ Παῦλος ἐπετίμησε; τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος· καὶ γὰρ καὶ ὁ Χριστὸς ἐπετίμησεν. οὐδὲ γὰρ ἐβούλετο παρ᾽ ἐκείνων τὴν μαρτυρίαν ἔχειν. τίνος δὲ ἕνεκεν; καὶ ὁ δαίμων ἐποίει τοῦτο, βουλόμενος συγχέαι τὴν τῶν πραγμάτων τάξιν, καὶ ἁρπάσαι τῶν ἀποστόλων τὸ ἀξίωμα, καὶ πεῖσαι πολλοὺς προσέχειν αὐτῷ· ὅπερ εἰ ἐγεγόνει, ῥᾳδίως ἂν ἐντεῦθεν ἀξιόπιστοι φανέντες, καὶ τὰ παρ᾽ ἑαυτῶν ἐπεισήγαγον ἄν. ἵν᾽ οὖν μὴ τοῦτο γένηται, μηδὲ ἀρχὴν ἡ ἀπάτη λάβῃ, καὶ τὰ ἀληθῆ λέγοντας ἐπιστομίζει, ὥστε ἐν τοῖς ψεύδεσι μηδ᾽ ὅλως τινὰ αὐτοῖς προσέχειν, ἀλλὰ καθόλου πρὸς τὰ λεγόμενα παρ᾽ αὐτῶν ἀποφράττειν τὰς ἀκοάς. δήλους τοίνυν ποιήσας τοὺς μάντεις, καὶ τοὺς προφήτας ἀπό τε τοῦ προτέρου καὶ τοῦ δευτέρου σημείου, λοιπὸν περὶ τῶν θαυμάτων διαλέγεται, οὐχ ἁπλῶς εἰς τοῦτον προελθὼν τὸν λόγον, ἀλλ᾽ ὥστε τὴν ἐντεῦθεν γινομένην διαφορὰν ἀνελεῖν, καὶ πεῖσαι καὶ τοὺς τὸ ἔλαττον ἔχοντας μὴ ἀλγεῖν, καὶ τοὺς τὰ μείζονα κεκληρωμένους μὴ ἐπαίρεσθαι. διὸ καὶ οὕτως ἤρξατο,

[* ἤπου τὸ] [γρ. αὐτοῦ] [γρ. ψευδοπροφήτας] [Μαρ. α. κδ.] [Πραξ. ις. ιζ.]

4 Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· Καὶ θεραπεύει

προσῆπτον τὸν τὸ ἔλαττον ἔχοντα χάρισμα, καὶ διὰ τοῦτο ἀλγοῦντα. τίνος γὰρ ἕνεκεν, φησὶν, ἀθυμεῖς; ὅτι οὐκ ἔλαβες ὅσον ἕτερος; ἀλλ' ἐννόησον ὅτι χάρισμά ἐστι, καὶ οὐκ ὀφειλὴ, καὶ παραμυθήσῃ τὴν ὀδύνην. διὰ τοῦτο εὐθέως εἶπεν οὕτω· διαιρέσεις δὲ χαρισμάτων εἰσί· καὶ οὐκ εἶπε, σημείων, οὐδὲ θαυμάτων, ἀλλὰ, χαρισμάτων, τῷ ὀνόματι τῆς δωρεᾶς πείθων μὴ μόνον ἀλγεῖν, ἀλλὰ καὶ χάριν εἰδέναι. καὶ μετὰ τούτου κἀκεῖνο λογίζου, φησὶν, ὅτι εἰ καὶ τῷ μέτρῳ ἠλάττωσαι τοῦ δοθέντος, τῷ καταξιωθῆναι λαβεῖν ἐκεῖθεν, ὅθεν καὶ ὁ τὸ πλέον λαβὼν, τὴν ἴσην ἔχεις τιμήν. οὐ γὰρ δήπου ἔχοις ἂν εἰπεῖν, ὅτι ἐκείνῳ μὲν ἐχαρίσατο τὸ πνεῦμα, σοὶ δὲ ἄγγελος. καὶ γὰρ καὶ σοὶ κἀκείνῳ τὸ πνεῦμα. διὸ ἐπήγαγε, τὸ δὲ αὐτὸ πνεῦμα. ὥστε εἰ καὶ ἐν τῇ δόσει διαφορὰ, ἀλλ' οὐκ ἐν τῷ δεδωκότι διαφορά. ἀπὸ γὰρ τῆς αὐτῆς πηγῆς καὶ σὺ κἀκεῖνος ἀρύεσθε.

5 Καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος. Λιπαίνων γὰρ τὴν παραμυθίαν, καὶ τὸν υἱὸν καὶ τὸν πατέρα προστίθησι. καὶ ἑτέρῳ πάλιν ὀνόματι καλεῖ τὰς δωρεὰς ταύτας, πλείονα κἀντεῦθεν παραμυθίαν ἐπινοῶν. διὸ καὶ οὕτως εἶπε· διαιρέσεις δὲ διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος. ὁ μὲν γὰρ χάρισμα ἀκούσας, καὶ ἔλαττον λαβὼν, ἴσως ἂν ἀλγήσῃ· ὁ δὲ διακονίαν, οὐχ ὁμοίως. πόνου γὰρ ἐνδεικτικὸν τὸ πρᾶγμα, καὶ ἱδρῶτος. τί τοίνυν ἀλγεῖς, φησιν, εἰ ἕτερον πλείονα πονῆσαι ἐκέλευσε, σοῦ φεισάμενος;

6 Καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.

7 Εκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον. Καὶ τί ἐστιν ἐνέργημα; τί δὲ χάρισμα, φησι; τί δὲ διακονία; ὀνομάτων διαφοραὶ μόνον, ἐπεὶ πράγματα τὰ αὐτά. ὃ γάρ ἐστι χάρισμα, τοῦτο διακονίαν, τοῦτο καὶ ἐνεργείαν λέγει. Τὴν γὰρ διακονίαν σου, φησι, πληροφόρησον· καὶ, Τὴν διακονίαν μου δοξάζω. καὶ Τιμοθέῳ γράφων φησί· Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοί. καὶ Γαλάταις πάλιν ἐπιστέλλων ἔλεγεν· Ο γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. ὁρᾷς ὅτι οὐδεμίαν διαφορὰν δείκνυσιν ἐν ταῖς δωρεαῖς πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου; οὐ τὰς ὑποστάσεις συναλείφων (μὴ γένοιτο) ἀλλὰ τῆς οὐσίας τὴν ὁμοτιμίαν ἐμφαίνων. ὅπερ γὰρ τὸ πνεῦμα χαρίζεται, τοῦτο καὶ τὸν Θεὸν ἐνεργεῖν, τοῦτο καὶ τὸν υἱὸν διατάττειν καὶ παρέχειν φησί. καίτοιγε εἰ ἔλαττον ἦν τοῦτο ἐκείνου, ἢ ἐκεῖνο τούτου, οὐκ ἂν οὕτως αὐτὸ τέθεικεν, οὐδ' ἂν ταύτῃ παρεμυθήσατο τὸν ἀλγοῦντα. μετὰ δὲ ταῦτα, καὶ ἑτέρῳ τινὶ τρόπῳ αὐτὸν παρακαλεῖ, τῷ καὶ συμφέρειν αὐτῷ τὸ δοθὲν μέτρον, εἰ καὶ ἔλαττον εἴη. εἰπὼν γὰρ, ὅτι τὸ αὐτὸ πνεῦμα, καὶ ὁ αὐτὸς Κύριος, καὶ ὁ αὐτὸς Θεὸς, καὶ ταύτῃ αὐτὸν ἀνακτησάμενος, ἐπάγει πάλιν ἑτέραν παράκλησιν, οὕτω λέγων, ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον. ἵνα γὰρ μὴ λέγῃ τις, τί γὰρ, εἰ καὶ ὁ αὐτὸς Κύριος, καὶ τὸ αὐτὸ πνεῦμα, καὶ ὁ αὐτὸς Θεὸς, ἀλλ' ἐγὼ ἔλαττον ἔλαβον; φησὶν, ὅτι οὕτω συνέφερε. φανέρωσιν δὲ πνεύματος, τὰ σημεῖα καλεῖ, εἰκότως. ἐμοὶ μὲν γὰρ τῷ πιστῷ δῆλος ὁ πνεῦμα ἔχων ἀπὸ τοῦ βαπτισθῆναι· τῷ δὲ ἀπίστῳ οὐδαμόθεν ἔσται τοῦτο καταφανὲς, ἀλλ' ἢ ἀπὸ τῶν σημείων. ὥστε κἀντεῦθεν πάλιν οὐ μικρὰ παραμυθία. εἰ γὰρ καὶ τὰ χαρίσματα διάφορα, ἀλλ' ἡ ἔνδειξις μία. κἂν γὰρ πολὺ ἔχῃς, κἂν ὀλίγον, ὁμοίως εἶ δῆλος. ὥστε εἰ τοῦτο σπουδάζεις ἐπιδείξασθαι, ὅτι πνεῦμα ἔχεις, ἀρκοῦσαν ἔχεις τὴν ἀπόδειξιν. ὅταν οὖν καὶ εἷς ὁ δεδωκὼς ᾖ, καὶ χάρισμα τὸ δοθὲν, καὶ ἡ φανέρωσις κἀντεῦθεν γίνηται, καὶ τοῦτο μᾶλλόν σοι συμφέρῃ, μὴ ἄλγει ὡς καταφρονηθείς. οὐ γὰρ ἀτιμάζων σε ὁ Θεὸς, οὐδὲ καταδεέστερον ἑτέρου ἀποφαίνων ἐποίησεν, ἀλλὰ φειδόμενός σου, καὶ τὸ λυσιτελές σοι σκοπῶν. τὸ γὰρ μεῖζον λαβεῖν τὸν οὐ δυνάμενον ἐνεγκεῖν, τοῦτο καὶ ἀσύμφορον, καὶ βλάβην ἔχον, καὶ ἀθυμίας ἄξιον. Ιω. ζ.

8 Ωι μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα·

9 Ετέρῳ

9 Ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ πνεύματι. Ὁρᾷς πῶς πανταχοῦ ταύτην ποιεῖται τὴν προσθήκην, ἐν τῷ αὐτῷ πνεύματι λέγων, καὶ κατὰ τὸ αὐτὸ πνεῦμα; οἶδε γὰρ μεγάλην οὖσαν τὴν ἐντεῦθεν παράκλησιν.

10 Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. Ἐπειδὴ γὰρ ἐν τούτῳ μέγα ἐφρόνουν, διὰ τοῦτο αὐτὸ ὕστερον τέθεικε, καὶ ἐπήγαγε·

11 Πάντα δὲ ταῦτα, ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. Τὸ φάρμακον τὸ καθολικὸν τῆς παραμυθίας, τὸ ἐκ τῆς αὐτῆς ῥίζης, ἐκ τῶν αὐτῶν θησαυρῶν, ἐκ τῶν αὐτῶν ναμάτων πάντας λαμβάνειν. διὸ καὶ συνεχῶς ἐπαντλῶν τῷ ῥήματι τούτῳ τὴν δοκοῦσαν ἀνωμαλίαν εἶναι, ἐξισοῖ καὶ παραμυθεῖται. καὶ ἀνωτέρω μὲν καὶ τὸ πνεῦμα, καὶ τὸν υἱὸν, καὶ τὸν πατέρα δείκνυσι χορηγοῦντα τὰ χαρίσματα· ἐνταῦθα δὲ τὸ πνεῦμα εἰπὼν ἠρκέσθη, ἵνα μάθῃς κἀντεῦθεν πάλιν τὴν αὐτὴν ἀξίαν οὖσαν. τί δέ ἐστι λόγος σοφίας; ὃν εἶχεν ὁ Παῦλος, ὃν εἶχεν Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς. τί δὲ λόγος γνώσεως; ὃν εἶχον οἱ πολλοὶ τῶν πιστῶν, γνῶσιν μὲν ἔχοντες, διδάσκειν δὲ οὕτως οὐ δυνάμενοι, οὐδὲ εἰς ἑτέρους εὐκόλως ἐξενεγκεῖν, ἅπερ ᾔδεσαν. ἑτέρῳ δὲ πίστις· πίστιν οὐ ταύτην λέγων τὴν τῶν δογμάτων, ἀλλὰ τὴν τῶν σημείων, περὶ ἧς φησιν, Ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται. καὶ οἱ Ματθ. ιζ. κ. ἀπόστολοι δὲ περὶ αὐτῆς ἠξίουν λέγοντες, Πρόσθες ἡμῖν πίστιν. αὕτη γὰρ μήτηρ τῶν σημείων Λουκ. ιζ. ε. ἐστίν. ἐνεργήματα δὲ δυνάμεων κεκτῆσθαι, καὶ χαρίσματα ἰαμάτων, οὐκ ἔστι τὸ αὐτό. ὁ μὲν γὰρ ἔχων χάρισμα ἰαμάτων ἐθεράπευε μόνον· ὁ δὲ ἐνεργήματα δυνάμεων κεκτημένος, καὶ ἐτιμωρεῖτο. δύναμις γάρ ἐστιν οὐ τὸ ἰάσασθαι μόνον, ἀλλὰ καὶ τὸ κολάσαι, ὥσπερ ὁ Παῦλος ἐπήρωσεν, ὥσπερ ὁ Πέτρος ἀνεῖλεν. ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων. τί ἐστι, διακρίσεις πνευμάτων; τὸ εἰδέναι τίς ὁ πνευματικὸς, καὶ τίς ὁ μὴ πνευματικός· τίς ὁ προφήτης, καὶ τίς ὁ ἀπατεών· ὃ Θεσσαλονικεῦσιν ἔλεγε, Προφητείας μὴ ἐξουθενεῖτε. πάντα δὲ δοκιμάζοντες, τὸ καλὸν κα- α. Θεσ. ε. κ. τέχετε. καὶ γὰρ πολλὴ τότε τῶν ψευδοπροφητῶν ἦν διαφορὰ, τοῦ διαβόλου φιλονεικοῦντος παρυποστῆσαι τῇ ἀληθείᾳ τὸ ψεῦδος. ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. ὁ μὲν γὰρ ᾔδει τὸ τί ἔλεγεν αὐτὸς, ἑτέρῳ δὲ ἑρμηνεῦσαι οὐκ ἠδύνατο· ὁ δὲ καὶ ἀμφότερα ταῦτα ἐκέκτητο, ἢ τούτων θάτερον. ἐδόκει δὲ τοῦτο χάρισμα μέγα εἶναι, ἐπειδὴ καὶ πρῶτον αὐτὸ ἔλαβον οἱ ἀπόστολοι, καὶ παρὰ Κορινθίοις οἱ πλείους τοῦτο ἐκέκτηντο. ὁ δὲ τῆς διδασκαλίας λόγος, οὐχ οὕτω. διὸ ἐκεῖνο μὲν πρῶτον τίθησιν, ὕστερον δὲ τοῦτο. καὶ γὰρ καὶ τοῦτο δι' ἐκεῖνο, καὶ τὰ ἄλλα πάντα, καὶ προφητεία, καὶ ἐνεργήματα δυνάμεων, καὶ γένη γλωσσῶν, καὶ ἑρμηνεία γλωσσῶν. οὐδὲν γὰρ τούτῳ ἴσον. διὸ καὶ ἔλεγεν, Οἱ καλῶς προεστῶτες α. Τιμ. ε. ιζ. πρεσβύτεροι, διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. καὶ τῷ Τιμοθέῳ ἐπέστελλε λέγων· Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδα- α. Τιμ. δ. ιγ. σκαλίᾳ, μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος. ὁρᾷς πῶς καὶ χάρισμα αὐτὸ καλεῖ; εἶτα ἣν ἀνωτέρω τέθεικε παραμυθίαν εἰπὼν, τὸ αὐτὸ πνεῦμα, ταύτην καὶ ἐνταῦθα τίθησι, λέγων·

Πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.

Οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἐπιστομίζει τοὺς ἀντιλέγοντας ἐνταῦθα λέγων, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. δεῖ γὰρ καὶ ἐπιστύφειν, οὐχὶ θεραπεύειν μόνον, ὥσπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ, ὅταν λέγῃ, Σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; οὕτω Ρωμ. θ. κ. καὶ ἐνταῦθα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται· καὶ ὃ τοῦ πατρὸς ἦν, τοῦτο καὶ τοῦ πνεύματος ἔδειξεν ὄν. ὥσπερ γὰρ περὶ αὐτοῦ φησιν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν, οὕτω καὶ περὶ τοῦ πνεύματος, πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. ἀλλ' ἐνεργούμενον, φησιν, ὑπὸ τοῦ Θεοῦ. ἀλλ' οὐδαμοῦ τοῦτο εἴρηκεν, ἀλλὰ σὺ τοῦτο πλάτ-

τις. ὅταν γὰρ λέγῃ, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, περὶ ἀνθρώπων τοῦτο λέγει· οὐδέπου μετὰ τῶν ἀνθρώπων καὶ τὸ πνεῦμα ἀριθμεῖ, κἂν μυριάκις ᾖς παραπαίων, κἂν μυριάκις μαινόμενος. ἐπεὶ γὰρ εἶπε, διὰ τοῦ πνεύματος, ἵνα τὸ, διὰ, τοῦτο, μὴ νομίσῃς ἐλαττώσεως εἶναι, μηδὲ τοῦ ἐνεργεῖσθαι, ἐπήγαγεν ὅτι ἐνεργεῖ τὸ πνεῦμα, οὐκ ἐνεργεῖται, καὶ ἐνεργεῖ ὡς βούλεται, οὐ καθὼς κελεύεται. καθάπερ γὰρ περὶ τοῦ πατρὸς ὁ υἱὸς λέγει, Ὅτι ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, ὁμοίως καὶ περὶ ἑαυτοῦ, ὅτι οὓς θέλει ζωοποιεῖ· οὕτω καὶ περὶ τοῦ πνεύματος, ἀλλαχοῦ μὲν ὅτι μετ' ἐξουσίας πάντα ποιεῖ, καὶ τὸ κωλῦον οὐδέν (τὸ γὰρ, Ὅπου θέλει πνεῖ, εἰ καὶ περὶ τοῦ ἀνέμου εἴρηται, * τοῦτο ἐστὶ κατασκευαστικόν) ἐνταῦθα δὲ, ὅτι πάντα ἐνεργεῖ καθὼς βούλεται). καὶ ἑτέρωθεν δὲ ὅτι οὐχὶ τῶν ἐνεργουμένων ἐστὶν, ἀλλὰ τῶν ἐνεργούντων, μάνθανε. Τίς γὰρ οἶδε, φησι, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. ὅτι δὲ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τουτέστιν ἡ ψυχὴ, οὐ δεῖται ἐνεργείας, ἵνα εἰδῇ τὰ ἑαυτῆς, παντί που δῆλον. οὐκοῦν οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον, ἵνα εἰδῇ τὰ τοῦ Θεοῦ. οὕτω γάρ φησι, Τὰ τοῦ Θεοῦ οἶδεν ἀπόρρητα τὸ πνεῦμα τὸ ἅγιον, ὡς ἡ ψυχὴ τοῦ ἀνθρώπου τὰ ἀπόρρητα τὰ ἑαυτῆς. εἰ δὲ εἰς τοῦτο οὐκ ἐνεργεῖται, πολλῷ μᾶλλον τὸ ἐπιστάμενον τοῦ Θεοῦ τὰ βάθη, καὶ οὐκ ἐνεργούμενον εἰς τοῦτο, εἰς τὸ δοῦναι χαρίσματα τοῖς ἀποστόλοις, ἐνεργείας οὐκ ἂν ἐδεήθη. χωρὶς δὲ τούτων κἀκεῖνο, ὅπερ ἔμπροσθεν εἶπον, ἐρῶ καὶ νῦν. ποῖον δὴ τοῦτο; ὅτι εἰ ἔλαττον τὸ πνεῦμα, καὶ ἑτέρας οὐσίας, οὐδὲν ἂν ὤνησεν ἡ παραμυθία, οὐδὲ τὸ ἀκοῦσαι, τὸ αὐτὸ πνεῦμα. ὁ μὲν γὰρ παρὰ τοῦ βασιλέως λαβὼν, μεγίστην ἂν ταύτην ἔχοι παραμυθίαν, ὅτι αὐτὸς αὐτῷ ἔδωκεν· ὁ δὲ παρὰ τοῦ δούλου, τότε μᾶλλον ἀλγεῖ, ὅταν οὗτός τις αὐτῷ προσενέγκῃ. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ τῆς δουλικῆς, ἀλλὰ τῆς βασιλικῆς οὐσίας τὸ πνεῦμα τὸ ἅγιον. διόπερ καθάπερ προεμυθήσατο αὐτοὺς εἰπὼν, ὅτι διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων, ὁ δὲ αὐτὸς Θεός· οὕτω καὶ ἀνωτέρω εἰπὼν, διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ μετὰ ταῦτα πάλιν εἰπὼν, πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.

[Margin: Ιωαν. ε. κα. — Ιωαν. γ. η. — α. Κορ. β. ια. — * ἀλλὰ — χ. αὐτ.]

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἀλύωμεν, φησι, μηδὲ ἀλγῶμεν λέγοντες, διὰ τί ὁ δεῖνα ἔλαβεν, καὶ τὸ οὐκ ἔλαβον; μηδὲ εὐθύνας ἀπαιτῶμεν τὸ πνεῦμα τὸ ἅγιον. εἰ γὰρ οἶδας, ὅτι ἀπὸ κηδεμονίας ἐχαρίσατο, ἐννόησον ὅτι ἀπὸ τῆς αὐτῆς κηδεμονίας καὶ τὸ μέτρον ἔδωκε, στέργε, καὶ χαῖρε ὑπὲρ ὧν ἔλαβες· καὶ μὴ δυσχέραινε ὑπὲρ ὧν οὐκ εἴληφας, ἀλλὰ καὶ ὁμολόγει χάριν, ὅτι μὴ μείζονα ἔλαβες τῆς δυνάμεως τῆς σῆς. εἰ δὲ ἐν τοῖς πνευματικοῖς οὐ χρὴ περιεργάζεσθαι, πολλῷ μᾶλλον ἐν τοῖς σαρκικοῖς, ἀλλ' ἡσυχάζειν, καὶ μὴ ἀλύειν, διὰ τί ὁ δεῖνα πλούσιος, ὁ δεῖνα δὲ πένης. μάλιστα μὲν γὰρ οὐχ ἕκαστος ἀπὸ Θεοῦ πλουτεῖ, ἀλλὰ πολλοὶ καὶ ἐξ ἀδικίας, καὶ ἁρπαγῆς, καὶ πλεονεξίας. ὁ γὰρ κελεύσας μὴ πλουτεῖν, πῶς ἂν ἔδωκεν ὅπερ ἐκώλυσε μὴ λαβεῖν; ἵνα δὲ ἐκ πλείονος ἐπιστομίσω τῆς περιουσίας τοὺς ὑπὲρ τούτων ἀντιλέγοντας ἡμῖν, φέρε ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, ὡς εἴγε παρὰ τοῦ Θεοῦ ὁ πλοῦτος ἐδίδοτο, καὶ ἀπόκριναί μοι τίνος ἕνεκεν ὁ Ἀβραὰμ ἐπλούτει, ὁ δὲ Ἰακὼβ καὶ ἄρτου ἐδεῖτο; οὐχὶ δίκαιος καὶ οὗτος ἦν, καὶ ἐκεῖνος; οὐχὶ ὁμοίως περὶ τῶν τριῶν φησιν, Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακώβ; διὰ τί τοίνυν ὁ μὲν ἐπλούτει, ὁ δὲ ἐθήτευε; μᾶλλον δὲ διὰ τί ὁ μὲν Ἡσαῦ ἐπλούτει ἄδικος ὢν καὶ ἀδελφοκτόνος, οὗτος δὲ ἐν δουλείᾳ ἦν χρόνον τοσοῦτον; διὰ τί πάλιν ὁ μὲν Ἰσαὰκ μετὰ ἀδείας ἔζησε τὸν ἅπαντα χρόνον, ὁ δὲ Ἰακὼβ ἐν μόχθοις καὶ ταλαιπωρίαις; διὸ καὶ ἔλεγε, Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου. διὰ τί ὁ μὲν Δαβὶδ προφήτης ὢν καὶ βασιλεὺς, καὶ αὐτὸς τὸν ἅπαντα χρόνον ἐν πόνοις ἔζησεν, ὁ δὲ Σολομὼν ὁ υἱὸς ὁ τούτου τεσσαράκοντα ἔτη πάντων ἀνθρώπων ἀδεέστερον διῆγεν, εἰρήνης ἀπολαύων βαθείας, δόξης, τιμῆς, καὶ τρυφῆς ἅπαν ἐπιτῶν εἶδος; διὰ τί δήποτε καὶ ἐν τοῖς προφήταις ὁ μὲν μειζόνως, ὁ δὲ ἐλαττόνως ἐθλίβετο; ὅτι ἑκάστῳ οὕτω συμφέρει

[Margin: Ἐξοδ. γ. ϛ. — Γεν. μζ. θ. — Ψαλμ. λθ. ε.]

φέρειν ἦν. διὸ καὶ ἑκάστῳ ἐπιλέγειν χρή, Τὰ κρίματά σου ἄβυσσος πολλή. Ψαλ. λε. ς. Εἰ γὰρ τοὺς μεγάλους ἐκείνους καὶ θαυμαστοὺς οὐχ ὁμοίως ἐγύμναζεν ὁ Θεός, ἀλλὰ τὸν μὲν διὰ πενίας, τὸν δὲ διὰ πλούτου, καὶ τὸν μὲν δι' ἀνέσεως, τὸν δὲ διὰ θλίψεως, πολλῷ μᾶλλον νῦν ταῦτα ἐννοεῖν χρή. μετὰ δὲ τούτου κἀκεῖνο λογίζεσθαι δεῖ, ὅτι πολλὰ τῶν συμβαινόντων οὐ κατὰ τὴν αὐτοῦ γίνεται γνώμην, ἀλλ' ἀπὸ τῆς ἡμετέρας κακίας. μὴ τοίνυν λέγε, διὰ τί ὁ μὲν πλούσιος φαῦλος ὤν, ὁ δὲ πένης δίκαιος ὤν; μάλιστα μὲν γὰρ καὶ τούτων ἔστι δοῦναι λόγον, καὶ εἰπεῖν· ὅτι οὔτε ὁ δίκαιος ἀπὸ τῆς πενίας ἔχει τι βλάβος, ἀλλὰ καὶ μείζονα προσθήκην εὐδοκιμήσεως, καὶ ὁ κακὸς ἐφόδιον τιμωρίας τὸν πλοῦτον, ἂν μὴ μεταβάλληται, κέκτηται· καὶ πρὸ τῆς κολάσεως δὲ πολλάκις κακῶν αἴτιος αὐτῷ γέγονεν ὁ πλοῦτος πολλῶν, καὶ εἰς μυρία ἤγαγε βάραθρα. ὁ δὲ Θεὸς ἀφίησιν, ὁμοῦ τε δεικνὺς τὸ αὐτεξούσιον τῆς προαιρέσεως, ὁμοῦ τε τοὺς ἄλλους παιδεύων μὴ μαίνεσθαι, μηδὲ λυπᾶν περὶ τὰ χρήματα. τί οὖν ὅταν πονηρός τις ὢν πλουτῇ, καὶ μηδὲν πάσχῃ δεινόν, φησιν; ἂν μὲν γὰρ ἀγαθὸς ὢν πλουτῇ, δικαίως· ἂν δὲ πονηρός, τί ἐροῦμεν; ὅτι καὶ ταύτῃ ἐλεεινός. πλοῦτος γὰρ πονηρίᾳ προσγινόμενος ἐπιτείνει τὸ πάθος. ἀλλ' ἀγαθός ἐστι, καὶ πένεται; ἀλλ' οὐδὲν βλάπτεται. ἀλλὰ πονηρός ἐστι, καὶ πένεται; οὐκοῦν δικαίως καὶ κατ' ἀξίαν, μᾶλλον δὲ καὶ χρησίμως αὐτῷ. ἀλλ' ὁ δεῖνα, φησί, παρὰ προγόνων ἐδέξατο πλοῦτον, καὶ σκορπίζει τοῦτον εἰς πόρνας, καὶ παρασίτους, καὶ οὐδὲν πάσχει δεινόν. τί φῄς; πορνεύει, καὶ λέγεις, οὐδὲν πάσχει δεινόν; μεθύει, καὶ νομίζεις αὐτὸν τρυφᾶν; εἰς οὐδὲν δέον δαπανᾷ, καὶ νομίζεις αὐτὸν ζηλωτὸν εἶναι; [γ. εἶς] καὶ τί χεῖρον γένοιτ' ἂν τούτου τοῦ τὴν ψυχὴν λυμαινομένου; σὺ δέ, εἰ μὲν τὸ σῶμα διέστραπτο καὶ πεπήρωτο, μυρίων ἂν αὐτὸν ἔφης ἄξιον εἶναι δακρύων, τὴν δὲ ψυχὴν αὐτοῦ πᾶσαν πεπηρωμένην ὁρῶν, καὶ μακάριον νομίζεις; ἀλλ' οὐκ αἰσθάνεταί, φησι. καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο πάλιν ἐλεεινός, ὥσπερ οἱ παραπαίοντες. ὁ μὲν γὰρ εἰδώς, ὅτι νοσεῖ, καὶ τὸν ἰατρὸν ἐπιζητήσει πάντως, καὶ φαρμάκων ἀνέξεται· ὁ δὲ ἀγνοῶν, οὐδὲ ἀπαλλαγῆναι δυνήσεται. τοῦτον οὖν μακαρίζεις, εἰπέ μοι; ἀλλ' οὐδὲν θαυμαστόν. φιλοσοφίας γὰρ οἱ πλείους ἄπειροι. διὰ τοῦτο τὴν ἐσχάτην τινόμενοι δίκην, κολαζόμενοι, καὶ οὐδὲ ἀπαλλαττόμενοι τῆς τιμωρίας· διὰ τοῦτο θυμοί, καὶ ἀθυμίαι, καὶ θόρυβοι διηνεκεῖς, ἐπειδὴ βίον ἄλυπον δείξαντος ἡμῖν τοῦ Θεοῦ, τὸν τῆς ἀρετῆς, ἡμεῖς ταύτην ἀφέντες, ἑτέραν τεμνόμεθα ὁδόν, τὴν τοῦ πλούτου καὶ τῶν χρημάτων, τὴν μυρίων γέμουσαν κακῶν. καὶ ταυτὸν ποιοῦμεν, ὥσπερ ἂν εἴ τις σωμάτων οὐκ εἰδὼς διακρίνειν κάλλος, ἀλλὰ τὸ πᾶν τοῖς ἱματίοις τεθειμένος καὶ τῷ περικειμένῳ κόσμῳ, τὴν μὲν ὡραίαν γυναῖκα καὶ φυσικὸν κάλλος κεκτημένην ἰδὼν παραδράμοι· τὴν δὲ αἰσχρὰν καὶ δυσειδῆ καὶ τὸ σῶμα ἀνάπηρον, καλὰ ἱμάτια ἔχουσαν θεασάμενος, γυναῖκα ἀγάγοιτο. τοιοῦτόν τι καὶ νῦν περὶ τὴν ἀρετήν, καὶ τὴν κακίαν πάσχουσιν οἱ πολλοί, τὴν μὲν αἰσχρὰν φύσει προσιέμενοι διὰ τὸν ἔξωθεν αὐτῆς κόσμον, τὴν δὲ ὡραίαν καὶ εὔμορφον ἀποστρεφόμενοι διὰ τὸ γυμνὸν αὐτῆς κάλλος, δι' ὃ μάλιστα αὐτὴν ἑλέσθαι ἐχρῆν. διὰ τοῦτο αἰσχυνόμεθα, ὅτι παρὰ Ἕλλησι μὲν τοῖς ἀνοήτοις εἰσὶν οἱ ταῦτα φιλοσοφοῦντες, εἰ καὶ μὴ πράγμασιν, ἀλλὰ τῇ γνώμῃ γοῦν τέως, καὶ εἰδότες τὸ τῶν παρόντων ἐπίκηρον· [γ. πραγμάτων] παρ' ἡμῖν ἔνιοι οὐδὲ ταῦτα ἐπίστανται, ἀλλὰ καὶ τὴν κρίσιν αὐτὴν διεφθαρμένην ἔχουσι· καὶ ταῦτα ἄνω καὶ κάτω τῆς γραφῆς ἐπᾳδούσης ἡμῖν καὶ λεγούσης· Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει· [Ψαλ. ιε. δ.] Φόβος Κυρίου ὑπὲρ πάντα ὑπερέβαλε· [Σειρ. κε. ιδ.] Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος· [Ἐκκλ. ιβ. ιγ.] Μὴ παραζήλου ἐν τοῖς πονηρευομένοις· [Ψαλμ. λζ.] Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος· Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. [Ἡσ. μ. ζ.] ταῦτα γάρ, καὶ τὰ τοιαῦτα καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν, ἐπὶ τῇ γῇ προσηλούμεθα. καὶ καθάπερ παιδία ἀμαθῆ συνεχῶς τὰ στοιχεῖα μανθάνοντα, ἐπειδὰν διεσπαρμένως ἐξετάζηται περὶ τῆς ἐκείνων τάξεως, ἕτερα ἀνθ' ἑτέρων λέγοντα πολλὴν κινεῖ [γ. ἑτέρων]

τὸν γέλωτα· οὕτω καὶ ὑμεῖς, ὅταν ἐνταῦθα κατὰ τάξιν αὐτὰ καταλέξωμεν, ὁπωσδήποτε παρακολουθεῖτε· ὅταν δὲ ἔξω διεσπαρμένως ὑμᾶς ἐρωτήσωμεν, ποῖα μὲν πρῶτα, ποῖα δὲ δεύτερα τῶν πραγμάτων τάττειν ἄξιον, καὶ τίνα μετὰ τίνα, οὐκ εἰδότες εἰπεῖν, καταγέλαστοι γίνεσθε. ἢ οὐ πολλοῦ γέλωτος, εἰπέ μοι, ἀθανασίαν προσδοκῶντας καὶ τὰ ἀγαθά, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, περὶ τῶν ἐνταῦθα μενόντων φιλονεικεῖν, καὶ ζηλωτὰ αὐτὰ εἶναι νομίζειν; εἰ γὰρ ἔτι ταῦτα χρείαν ἔχεις μανθάνειν, ὅτι οὐδὲν μέγα πλοῦτος, ὅτι σκιὰ τὰ παρόντα καὶ ὄναρ, ὅτι καπνοῦ δίκην διαλύεται καὶ ἀφίσταται· ἔξω τῶν ἀδύτων ἕστηκας, ἐν τοῖς προπυλαίοις μένε. οὔπω γὰρ τῆς εἰσόδου τῆς πρὸς τὰ ἄνω βασίλεια ἄξιος γέγονας. εἰ γὰρ τὴν φύσιν αὐτῶν διακρίνειν οὐκ οἶσθα τὴν ἄστατον καὶ διηνεκῶς ῥέουσαν, πότε αὐτῶν ὑπεριδεῖν δυνήσῃ; εἰ δὲ λέγεις εἰδέναι, παῦσαι πολυπραγμονῶν καὶ περιεργαζόμενος, τί δήποτε ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα πένης. ταὐτὸν γὰρ ποιεῖς ταῦτα ἐρωτῶν, ὡσανεὶ περὶ ὧν ἐπυνθάνου, τί δήποτε ὁ δεῖνα λευκὸς καὶ ὁ δεῖνα μέλας, ἢ ὁ δεῖνα γρυπός, καὶ ὁ δεῖνα σιμός. ὥσπερ γὰρ οὐδὲν ταῦτα ἡμῖν διαφέρει, ἄν τε οὕτως, ἄν τε ἐκείνως ἔχῃ, οὕτως οὐδὲ πένεσθαι καὶ πλουτεῖν, καὶ πολλῷ μᾶλλον, ἢ ἐκεῖνα· ἀλλὰ τὸ πᾶν παρὰ τὸν τῆς χρήσεως γίνεται τρόπον. κἂν πένης ᾖς, δύνασαι μετ' εὐθυμίας ζῆν φιλοσοφῶν· κἂν πλούσιος ᾖς, πάντων ἀθλιώτερος εἶ φεύγων ἀρετήν. τὰ γὰρ διαφέροντα ἡμῖν ταῦτα, τὰ τῆς ἀρετῆς. κἂν ταῦτα μὴ παρῇ, τῶν ἄλλων οὐδὲν ὄφελος. διὰ τοῦτο καὶ αἱ πυκναὶ αὗται ἐρωτήσεις, ὅτι τὰ μὲν ἀδιάφορα διαφέρειν αὐτοῖς νομίζουσιν οἱ πολλοί, τῶν δὲ διαφερόντων οὐδένα ποιοῦνται λόγον. ὃ γὰρ διαφέρει ἡμῖν, ἀρετὴ καὶ φιλοσοφία. ἐπεὶ οὖν ταύτης πόῤῥω που καὶ μακρὰν ἑστήκατε, διὰ τοῦτο θόρυβος τῶν λογισμῶν, διὰ τοῦτο τὰ πολλὰ κύματα, διὰ τοῦτο ἡ ζάλη. ὅταν γὰρ τῆς ἄνω δόξης ἐκπέσωσι καὶ τοῦ τῶν οὐρανῶν ἔρωτος, τῆς παρούσης ἐφίενται, καὶ γίνονται δοῦλοι καὶ αἰχμάλωτοι. καὶ πόθεν ταύτης ἐφιέμεθα, φησίν; ἀπὸ τοῦ μὴ σφόδρα ἐκείνης ἐφίεσθαι. αὐτὸ δὲ τοῦτο πόθεν συμβαίνει; ἀπὸ ῥαθυμίας. ἡ δὲ ῥαθυμία πόθεν; ἀπὸ καταφρονήσεως. ἡ δὲ καταφρόνησις πόθεν; ἐξ ἀνοίας καὶ τοῦ τοῖς παροῦσι προσεστηκέναι, καὶ μὴ βούλεσθαι τῶν πραγμάτων ἐξετάζειν μετ' ἀκριβείας τὴν φύσιν. αὐτὸ δὲ τοῦτο πόθεν συμβαίνει πάλιν; ἐκ τοῦ μήτε γραφῶν ἀναγνώσει προσέχειν, μήτε ἀνδράσι συγγίνεσθαι ἁγίοις, καὶ ἰδεῖν τῶν πονηρῶν συλλόγους διώκειν. ἵν' οὖν μὴ ἀεὶ τοῦτο γίνηται, καὶ κύματα ἐκ κυμάτων ὑμᾶς δεχόμενα εἰς τὸ πέλαγος ἀπάγῃ τῶν κακῶν καὶ καταπνίξῃ καὶ ἀπολέσῃ παντελῶς, ἕως ἔτι καιρός, ἀνενέγκωμεν, καὶ ἐπὶ τῆς πέτρας στάντες, τῶν τοῦ Θεοῦ δογμάτων λέγω καὶ λόγων, καταπαύσωμεν τὸν σάλον τοῦ παρόντος βίου. οὕτω γὰρ καὶ αὐτοὶ τοῦτον διαφευξόμεθα, καὶ ἑτέρους ναυαγοῦντας ἀνιμησάμενοι, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ὅταν ἐν τάξει ὑμῖν ἐνταῦθα

γρ. ἀπαγάγῃ

Λογ. λ. 12 ΚΑΘΑΠΕΡ ΓΑΡ ΤΟ ΣΩΜΑ ΕΝ ΕΣΤΙ, ΚΑΙ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός.

Παραμυθησάμενος ἐκ τοῦ χάρισμα εἶναι τὸ διδόμενον, ἐκ τοῦ πάντα ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος λαμβάνειν, ἐκ τοῦ πρὸς τὸ συμφέρον δίδοσθαι, ἐκ τοῦ διὰ τῶν ἐλαττόνων φανέρωσιν γίνεσθαι, καὶ μετὰ τούτων καὶ ἐπισφραγίσας ἐκ τοῦ δεῖν παραχωρεῖν τῇ ἐξουσίᾳ τοῦ πνεύματος (πάντα γὰρ ταῦτα, φησίν, ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται, διὸ οὐδὲ περιεργάζεσθαι θέμις)

καὶ

καὶ ἐξ ἑτέρου λοιπὸν αὐτοὺς παραμυθεῖται κοινοῦ παραδείγματος, καὶ ἐπὶ τὴν φύσιν αὐτὴν καταφεύγει, ὅπερ ἔθος αὐτῷ ποιεῖν. καὶ γὰρ ἡνίκα περὶ τῆς κόμης διελέγετο τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, μετὰ τὰ ἄλλα καὶ ἐντεῦθεν αὐτοὺς ἐπαίδευσε, λέγων· Ἡ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῆς ἐστι; α. Κορ. ια. ιδ. καὶ ὅτε περὶ τῶν εἰδωλοθύτων ἔλεγεν, ἀπαγορεύων αὐτῶν ἅπτεσθαι, καὶ ἀπὸ τῶν ἔξωθεν παραδειγμάτων ἐπεχείρει τῷ λόγῳ, Ὀλυμπικῶν τι ἀγώνων μεμνημένος, καὶ λέγων· Ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον· α. Κορ. θ. κδ. καὶ ἀπὸ ποιμένων, καὶ στρατιωτῶν, καὶ γεωργῶν ταῦτα κατασκευάζων. διὸ δὴ καὶ ἐνταῦθα κοινὸν ὑπόδειγμα εἰς μέσον φέρει, δι' οὗ βιάζεται καὶ φιλονεικεῖ δεῖξαι οὐδένα ἠλαττωμένον, ὃ καὶ θαυμαστὸν ἦν καὶ παράδοξον δυνηθῆναι κατασκευάσαι καὶ τοὺς ἀφελεστέρους ἱκανὸν ἀνακτήσασθαι, τὸ τοῦ σώματος λέγω. τὸν γὰρ μικρόψυχον καὶ ἠλαττωμένον οὐδὲν οὕτω παραμυθεῖται καὶ πείθει μὴ ἀλγεῖν, ὡς τὸ μαθεῖν ὅτι οὐκ ἠλάττωται. διόπερ καὶ αὐτὸς κατασκευάζων αὐτό, οὕτω φησί· καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλά. εἶδες συνέσεως ἠκριβωμένην; τὸ αὐτὸ καὶ ἕν, καὶ πολλὰ δείκνυσι. διὸ καὶ ἐπάγει, μειζόνως ἐπαγωνιζόμενος τῷ προκειμένῳ· πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα. οὐκ εἶπε, πολλὰ ὄντα τοῦ ἑνός ἐστι σώματος, ἀλλ', αὐτὸ τὸ σῶμα πολλά ἐστι· κἀκεῖνα τὰ πολλὰ μέλη, τοῦτο ἐστὶ τὸ ἕν. εἰ τοίνυν ἕν ἐστι τὰ πολλά, καὶ τὸ ἓν πολλά, ποῦ ἡ διαφορά; ποῦ τὸ ὑπερέχον; ποῦ τὸ ἔλαττον; πάντα γάρ, φησιν, ἕν ἐστι, καὶ οὐχ ἁπλῶς ἕν, ἀλλὰ κατὰ τὸ κυριώτερον ἐξεταζόμενα, κατὰ τό, σῶμα εἶναι, εὑρίσκεται πάντα ἓν ὄντα. ὅταν δὲ τὸ κατὰ μέρος, τότε ἡ διαφορά, καὶ ἡ διαφορὰ ἐν πᾶσιν ὁμοίως. οὐδὲν γὰρ αὐτῶν καθ' ἑαυτὸ σῶμα δύναται ποιεῖν, ἀλλ' ὁμοίως ἕκαστον λείπεται εἰς τὸ ποιεῖν σῶμα, καὶ δεῖ τῆς συνόδου. ὅταν γὰρ τὰ πολλὰ ἓν γένηται, τότε ἐστὶν ἓν σῶμα. διὸ καὶ αὐτὸ τοῦτο αἰνιττόμενος ἔλεγε· πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα. καὶ οὐκ εἶπε, τὰ ὑπερέχοντα, καὶ τὰ ἐλάττονα, ἀλλά, πολλὰ ὄντα, ὃ κοινὸν πᾶσίν ἐστι. καὶ πῶς δυνατὸν ἓν εἶναι; ὅταν τὴν διαφορὰν ἐκβαλὼν τῶν μελῶν, τὸ σῶμα ἐξετάζῃς. ὅπερ γάρ ἐστιν ὀφθαλμός, τοῦτο καὶ πούς, κατὰ τό, μέλος εἶναι καὶ σῶμα ποιεῖν. οὐδεμία γὰρ ἐνταῦθα διαφορά. οὐδὲ γὰρ ἂν ἔχοις εἰπεῖν, ὅτι τὸ μὲν τῶν μελῶν ποιεῖ σῶμα καθ' ἑαυτό, τὸ δὲ οὐ ποιεῖ. πάντα γὰρ ἰσάζει ἐν τούτῳ, ἐπειδὴ καὶ πάντα ἕν ἐστι σῶμα. εἰπὼν δὲ τοῦτο, καὶ ἀποδείξας σαφῶς ἀπὸ τῆς κοινῆς ἁπάντων ψήφου, ἐπήγαγεν· οὕτω καὶ ὁ Χριστός· καὶ δέον εἰπεῖν, οὕτω καὶ ἡ ἐκκλησία (τοῦτο γὰρ ἀκόλουθον ἦν) τοῦτο μὲν οὔ φησιν, ἀντ' ἐκείνης δὲ τὸν Χριστὸν τέθεικεν, εἰς ὕψος ἀνάγων τὸν λόγον, καὶ μειζόνως τὸν ἀκροατὴν ἐντρέπων. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὕτω καὶ τοῦ Χριστοῦ τὸ σῶμα, ὅπερ ἐστὶν ἡ ἐκκλησία. καθάπερ γὰρ καὶ σῶμα καὶ κεφαλὴ εἷς ἐστιν ἄνθρωπος, οὕτω τὴν ἐκκλησίαν καὶ τὸν Χριστὸν ἓν ἔφησεν εἶναι. διὸ καὶ τὸν Χριστὸν ἀντὶ τῆς ἐκκλησίας τέθεικε, τὸ σῶμα αὐτοῦ οὕτως ὀνομάζων. ὥσπερ οὖν, φησιν, ἕν τι ἐστὶ τὸ ἡμέτερον σῶμα, εἰ καὶ ἐκ πολλῶν συγκεῖται· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ ἕν τι πάντες ἐσμέν. εἰ γὰρ καὶ ἐκ πολλῶν αὕτη συγκεῖται μελῶν, ἀλλὰ τὰ πολλὰ ταῦτα ἓν γίνεται σῶμα. ἀνακτησάμενος τοίνυν καὶ ἀναγαγὼν τοὺς δοκοῦντας ἠλαττῶσθαι ἀπὸ τοῦ κοινοῦ τούτου παραδείγματος, πάλιν τὴν κοινὴν συνήθειαν ἀφίησι, καὶ ἐφ' ἕτερον ἔρχεται κεφάλαιον πνευματικόν, μείζονα φέρον τὴν παράκλησιν, καὶ πολλῆς ἰσοτιμίας ἐνδεικτικόν. ποῖον δὴ τοῦτο;

13 Καὶ γὰρ ἐν ἑνὶ πνεύματι, φησι, πάντες ἡμεῖς εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι. Ὃ δὲ λέγει τοῦτό ἐστι· τὸ κατασκευάσαν ἡμᾶς ἓν σῶμα γενέσθαι, καὶ ἀναγεννῆσαν ἡμᾶς, ἕν ἐστι πνεῦμα. οὐ γὰρ ἐν ἄλλῳ μὲν οὗτος, ἐν ἄλλῳ δὲ ὁ ἕτερος ἐβαπτίσθη πνεύματι. οὐ μόνον δὲ τὸ βαπτίσαν ἡμᾶς, ἕν, ἀλλὰ καὶ εἰς ὃ ἐβάπτισεν, τουτέστιν, ἐφ' ᾧ ἐβάπτισεν, ἕν. οὐ γὰρ ἵνα διάφορα γένηται σώματα, ἀλλ' ἵνα πάντες τὴν ἑνὸς σώματος ἀκρίβειαν πρὸς ἀλλήλους διασώζωμεν, ἐβαπτίσθημεν· τουτέστιν, ἵνα

γρ. Ὀλυμπιακῶν τι

ἴσ. δὲ

πάντες εἰς ἓν σῶμα ὄντες, εἰς τοῦτο ἐβαπτίσθημεν. ὥστε καὶ ὁ κατασκευάσας, εἷς, καὶ εἰς ὃ κατεσκεύασεν, ἕν. καὶ οὐκ εἶπε, τοῦ αὐτοῦ σώματος ἵνα γενώμεθα, ἀλλ', ἵνα ἓν σῶμα πάντες. ἀεὶ γὰρ φιλονεικεῖ τὰς ἐμφαντικωτέρας λέξεις τιθέναι. καὶ καλῶς εἶπε, πάντες ἡμεῖς, καὶ ἑαυτὸν προσθείς. οὐδὲ γὰρ ἐγὼ ὁ ἀπόστολος σοῦ τι πλέον ἔχω κατὰ τοῦτο, φησί. καὶ γὰρ σὺ σῶμα εἶ, καθάπερ ἐγώ, καὶ ἐγὼ καθάπερ σύ, καὶ τὴν αὐτὴν ἅπαντες ἔχομεν κεφαλήν, καὶ τὰς αὐτὰς ἐλύσαμεν ὠδῖνας. διὸ καὶ τὸ αὐτὸ σῶμά ἐσμεν. καὶ τί λέγω, φησίν, Ἰουδαίους; οὐδὲ γὰρ τοσοῦτον ἀφεστηκότας ἡμῶν Ἕλληνας εἰς ἑνὸς σώματος ἀκρίβειαν ἤγαγε. διὸ εἰπών, ἡμεῖς πάντες, οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν· εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι. εἰ δὲ παρὰ τοῦτο τοσοῦτον ἀφεστηκότες ἡνώθημεν καὶ ἐγενόμεθα ἕν, πολλῷ μᾶλλον μετὰ τὸ γενέσθαι ἕν, οὐκ ἂν εἴημεν δίκαιοι λυπεῖσθαι καὶ ἀθυμεῖν. οὐδὲ γὰρ ἔχει χώραν ἡ διαφορά. εἰ γὰρ Ἕλληνας καὶ Ἰουδαίους τῆς αὐτῆς ἠξίωσε, καὶ δούλους καὶ ἐλευθέρους, πῶς μετὰ τὸ ἀξιῶσαι διΐστησιν, ὅτι πλείονα ἐκ τῆς τῶν χαρισμάτων χορηγίας τῆς ἑνώσεως τὴν ἀκρίβειαν εἰργάσατο; Καὶ πάντες ἓν πνεῦμα ἐποτίσθημεν.

14 Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. Τουτέστι, πρὸς τὴν αὐτὴν ἐλθόντες μυσταγωγίαν, τῆς αὐτῆς ἀπολαύομεν τραπέζης. καὶ διατί μὴ εἶπε, τὸ αὐτὸ σῶμα τρεφόμεθα, καὶ τὸ αὐτὸ αἷμα πίνομεν; ὅτι πνεῦμα εἰπών, ἀμφότερα ἐδήλωσε, καὶ τὸ αἷμα καὶ τὴν σάρκα. δι' ἀμφοτέρων γὰρ ἓν πνεῦμα ποτιζόμεθα. ἐμοὶ δὲ δοκεῖ νῦν ἐκείνην λέγειν τοῦ πνεύματος τὴν ἐπιφοίτησιν, τὴν ἀπὸ τοῦ βαπτίσματος καὶ πρὸ τῶν μυστηρίων ἐγγινομένην ἡμῖν. ἐποτίσθημεν δὲ εἶπεν, ἐπειδὴ ἡ μεταφορὰ τῆς λέξεως σφόδρα ἁρμόδιος αὐτῷ πρὸς τὴν προκειμένην ὑπόθεσιν· ὡς ἂν εἰ ἐπὶ φυτῶν καὶ παραδείσου ἔλεγεν, ὅτι ἀπὸ τῆς αὐτῆς πηγῆς πάντα τὰ δένδρα ἄρδεται, οὕτω ἀπὸ τοῦ αὐτοῦ ὕδατος· οὕτω δὴ καὶ ἐνταῦθα, τὸ αὐτὸ πνεῦμα ἐπίομεν ἅπαντες, τῆς αὐτῆς ἀπηλαύσαμεν χάριτος, φησί. εἰ τοίνυν καὶ ἓν πνεῦμα ἡμᾶς κατεσκεύασε, καὶ εἰς ἓν σῶμα ἅπαντας ἡμᾶς συνήγαγε (τοῦτο γάρ ἐστιν εἰς ἓν σῶμα ἐβαπτίσθημεν) καὶ μίαν τράπεζαν εἰργάσατο, καὶ τὴν αὐτὴν ἀρδείαν ἅπασιν ἔδωκε (τοῦτο γάρ ἐστιν εἰς ἓν πνεῦμα ἐποτίσθημεν) καὶ τοσοῦτον διεστῶτας ἥνωσε καὶ τὰ πολλὰ τότε γίνεται σῶμα, ὅταν γένηται ἕν· τί μοι τὴν διαφορὰν ἄνω καὶ κάτω στρέφεις; εἰ δὲ λέγεις, ὅτι πολλά ἐστι τὰ μέλη καὶ διάφορα, μάθε ὅτι αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ θαυμαστόν, καὶ τοῦ σώματος τὸ ἐξαίρετον, ὅταν τὰ πολλὰ καὶ διάφορα ἓν ποιῇ. εἰ δὲ μὴ ἦν πολλά, οὐχ οὕτω θαυμαστὸν ἦν καὶ παράδοξον τό, ἓν εἶναι σῶμα· μᾶλλον δὲ οὐδὲ ἂν ἦν σῶμα· ἀλλὰ τοῦτο μὲν ὕστερον τίθησι, πῶς δὲ ἐπ' αὐτὰ τὰ μέλη χωρεῖ, λέγων οὕτως·

15 Ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;

16 Καὶ ἐὰν εἴπῃ τὸ οὖς, ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; Εἰ γὰρ τὸ τῶν μὲν ἠλαττῶσθαι, τῶν δὲ ὑπερέχειν οὐκ ἀφίησιν εἶναι ἐκ τοῦ σώματος, τὸ πᾶν διήρηται. μὴ τοίνυν εἴπῃς, ὅτι οὐκ εἰμὶ σῶμα, ἐπειδὴ ἐλάττων εἰμί. καὶ γὰρ ὁ πούς τὴν ἐλάττονα τάξιν ἔχει, ἀλλὰ τοῦ σώματός ἐστι. τὸ γὰρ ἐκ τοῦ σώματος εἶναι, καὶ μὴ εἶναι, οὐκ ἀπὸ τοῦ τῶν μὲν ἐν τῷδε τῷ τόπῳ, τῶν δὲ ἐν τῷδε κεῖσθαι (τοῦτο γὰρ τόπου ποιεῖ διαφοράν) ἀλλ' ἀπὸ τοῦ συνῆφθαι, ἢ ἀπέχεσθαι. τὸ γὰρ εἶναι, ἢ μὴ εἶναι σῶμα, ἐκ τοῦ ἡνῶσθαι ἢ μὴ ἡνῶσθαι γίνεται. σὺ δέ μοι σκόπει τὴν σύνεσιν, πῶς αὐτῶν τὰ ῥήματα τοῖς μέλεσι περιτίθησι τοῖς ὑμετέροις. ὥσπερ γὰρ ἀνωτέρω ἔλεγε, Ταῦτα μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, οὕτω δὴ καὶ ἐνταῦθα, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον καὶ εὐπαράδεκτον, τὰ μέλη εἰσάγει φθεγγόμενα, ἵν', ὅταν ἀκούσωσι τῆς φύσεως αὐτοῖς ἀποκρινομένης, ἀπὸ τῆς πείρας αὐτοὺς ἐλεγχόμενοι καὶ τῆς κοινῆς ψήφου, μηδὲν λοιπὸν ἀντιλέγειν ἔχωσι. καὶ γὰρ λέγητε, φησί, τοῦτο αὐτό, καὶ γογγύζητε, οὐ δύνασθε ἐκ τοῦ εἶναι

τοῦ

τοῦ σώματος. ὥσπερ γὰρ ὁ τῆς φύσεως νόμος, οὕτω καὶ πολλῷ πλέον ἡ τῆς χάριτος δύναμις φυλάττει πάντα καὶ διατηρεῖ. καὶ ὅρα πῶς ἐφύλαξε τὸ ἀπαρίττον, οὐκ ἐπὶ πάντων τῶν μελῶν τὸν λόγον γυμνάζων, ἀλλ' ἐπὶ δύο μόνων, καὶ τούτων τῶν ἄκρων. τὸ γὰρ τὸ πάντων τιμιώτερον τέθεικε, τὸν ὀφθαλμὸν, καὶ τὸ πάντων εὐτελέστερον, τοὺς πόδας. καὶ οὐ ποιεῖ τὸν πόδα τῷ ὀφθαλμῷ διαλεγόμενον, ἀλλὰ τῇ ὀλίγον ἀναβεβηκυίᾳ χειρὶ, τὴν δὲ ἀκοὴν τοῖς ὀφθαλμοῖς. ἐπεὶ γὰρ οὐ τοῖς σφόδρα ὑπερέχουσιν, ἀλλὰ τοῖς ὀλίγον ἀναβεβηκόσι φθονεῖν εἰώθαμεν, διὰ τοῦτο καὶ αὐτὸς οὕτω ποιεῖται τὴν σύγκρισιν.

17 Εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοὴ, ποῦ ἡ ὄσφρησις;

Ἐπειδὴ γὰρ εἰς τὴν τῶν μελῶν ἐμπεσὼν διαφορὰν, καὶ εἰπὼν πόδας καὶ χεῖρας καὶ ὀφθαλμοὺς καὶ ὦτα, εἰς ἔννοιαν αὐτοὺς τῆς ἐλαττώσεως καὶ τῆς ὑπεροχῆς ἤγαγεν, ὅρα πῶς πάλιν αὐτοὺς παραμυθεῖται, δεικνὺς, ὅτι οὕτω συμφέρει εἶναι καὶ τὸ πολλοὺς εἶναι καὶ διαφόρους, τοῦτο μάλιστα ποιεῖ σῶμα εἶναι. εἰ δὲ ἐν ἦσαν ἅπαντες, οὐκ ἦσαν σῶμα. διό φησιν, Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; ἀλλὰ τοῦτο μὲν ὕστερον λέγει· ἐνταῦθα δὲ τι καὶ πλέον δείκνυσιν, ὅτι οὐ μόνον σῶμα εἶναι οὐκ ἐγχωρεῖ, ἀλλ' οὐδὲ εἶναι τοὺς λοιπούς. εἰ ὅλον γὰρ ἦν ἀκοὴ, ποῦ ἡ ὄσφρησις, φησίν; εἶτα ἐπειδὴ ἔτι καὶ οὕτως ἐθορυβοῦντο, ὅπερ ἀνωτέρω ἐποίησε, καὶ νῦν τοῦτο ποιεῖ. ὥσπερ γὰρ ἐκεῖ διὰ τοῦ συμφέροντος παρακαλέσας, ὕστερον καὶ ἐπεστόμισε σφοδρῶς, εἰπὼν, ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· οὕτω καὶ ἐνταῦθα λογισμοὺς θεὶς, καθ' οὓς ἔδειξε συμφέρον ὂν οὕτω διῃρέσθαι πάντα, πάλιν ἐπὶ τὸ τοῦ Θεοῦ βούλημα ἀνάγει τὸ πᾶν, λέγων·

18 Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν.

Ὥσπερ περὶ τοῦ πνεύματος εἶπε, καθὼς βούλεται, οὕτω καὶ ἐνταῦθα, καθὼς ἠθέλησε. μὴ τοίνυν ἐξέταζε λοιπὸν τὴν αἰτίαν, διὰ τί οὕτω, καὶ διὰ τί οὐχ οὕτω. κἂν γὰρ μυρίους λογισμοὺς ἔχωμεν εἰπεῖν, οὐχ οὕτω δυνησόμεθα δεῖξαι ὅτι καλῶς, ὡς ὅταν εἴπωμεν, ὅτι, ὡς ὁ ἀριστοτέχνης ἠθέλησεν, οὕτω γέγονεν. ὡς γὰρ συμφέρον ἐστὶν, οὕτω βούλεται. εἰ δὲ ἐν τῷ σώματι τούτῳ οὐ περιεργαζόμεθα τὰ μέλη, πολλῷ μᾶλλον ἐν τῇ ἐκκλησίᾳ. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν. οὐ γὰρ τὴν ἀπὸ τῆς φύσεως τίθησι διαφορὰν, οὐδὲ τὴν ἀπὸ τῆς ἐνεργείας, ἀλλὰ τὴν ἀπὸ τῆς θέσεως τῶν τόπων. νυνὶ γὰρ, φησὶν, ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησε. καὶ καλῶς εἶπεν, ἕκαστον, ἐπὶ πάντων τὸ λυσιτελὲς ἐνδεικνύμενος. οὐ γὰρ ἂν ἔχοις εἰπεῖν, ὅτι τοῦτο μὲν αὐτὸς ἔταξεν, ἐκεῖνο δὲ οὐχί· ἀλλὰ ἕκαστον κατὰ τὸ θέλημα αὐτοῦ, οὕτω κεῖται. ὥστε καὶ τῷ ποδὶ συμφέρει τὸ οὕτω τετάχθαι, οὐχὶ τῇ κεφαλῇ μόνον. κἂν ἀνταλλάξῃ τὴν τάξιν, καὶ τὴν οἰκείαν χώραν ἀφεὶς, ἐφ' ἑτέραν ἔλθῃ, κἂν ἐπὶ μείζονα δοκῇ ἐληλυθέναι, τὸ πᾶν ἀπώλεσε καὶ διέφθειρε. τῆς τε γὰρ οἰκείας ἐκπίπτει, καὶ τῆς ἑτέρας οὐκ ἐπιτυγχάνει.

19 Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;

20 Νυνὶ δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. Ἐπιστομίσας γὰρ αὐτοὺς ἱκανῶς ἀπὸ τῆς τοῦ Θεοῦ διατάξεως, πάλιν λογισμοὺς τίθησι, καὶ οὔτε τοῦτο ἀεὶ ποιεῖ, οὔτε ἐκεῖνο, ἀλλ' ἐναλλάττων ποικίλλει τὸν λόγον. ὅ τε γὰρ ἐπιστομίζων μόνον, τὸν ἀκροατὴν θορυβεῖ· ὅ τε δὲ ἐθίζων αὐτὸν πάντων αἰτίας ἀπαιτεῖν, εἰς τὸ τῆς πίστεως αὐτὸν παραβλάπτει λόγον. διὰ δὴ τοῦτο καὶ τοῦτο κἀκεῖνο συνεχῶς ὁ Παῦλος ποιεῖ, ἵνα καὶ πιστεύσωσι, καὶ μὴ θορυβῶνται· καὶ μετὰ τὸ ἐπιστομίσαι πάλιν, καὶ λόγον παρέχει. καὶ σκόπει τὴν φιλονεικίαν, καὶ τὴν περιουσίαν τῆς νίκης. χ. ἀλλὰ ἀφ' ὧν γὰρ ἐνόμιζον οὐκ εἶναι ἰσότιμοι, τῷ πολλὴν ἐν αὐτοῖς εἶναι τὴν διαφορὰν, ἀπὸ τούτων δείκνυσιν, ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο ἰσότιμοι. πῶς, ἐγὼ λέγω. εἰ ἦν τὰ πάντα, φησὶν, ἓν μέλος, ποῦ τὸ σῶμα; ὃ δὲ λέγει τοῦτό ἐστιν· εἰ μὴ ἦν, φησὶν, ἐν ὑμῖν πολλὴ ἡ διαφορὰ, οὐκ ἂν ἦτε σῶμα· σῶμα δὲ οὐκ ὄντες, οὐκ ἂν ἦτε ἕν· ἓν δὲ οὐκ ὄντες, οὐκ ἂν ἦτε ἰσότιμοι.

ὥστε

ὥστε οὖν εἰ πάντες ἰσότιμοι ἦτε, οὐκ ἂν ἦτε σῶμα· οὐκ ὄντες δὲ σῶμα, οὐκ ἂν ἦτε ἕν· οὐκ ὄντες δὲ ἕν, πῶς ἂν ἦτε ἰσότιμοι; νῦν μέν τοι, ἐπειδὴ οὐκ ἐστὲ πάντες ἕν τι χάρισμα ἔχοντες, διὰ τοῦτο σῶμά ἐστε· σῶμα δὲ ὄντες, πάντες ἐστὲ ἕν, καὶ οὐδὲν ἀλλήλων διαφέρετε κατὰ τὸ σῶμα εἶναι. ὥστε ἡ διαφορὰ αὕτη μάλιστά ἐστιν ἡ ποιοῦσα τὴν ἰσοτιμίαν. διὸ καὶ ἐπήγαγε, νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν ἐννοοῦντες καὶ ἡμεῖς πᾶσαν βασκανίαν ἐκβάλωμεν, καὶ μήτε τοῖς μείζονα χαρίσματα ἔχουσι φθονῶμεν, μήτε καταφρονῶμεν τῶν τὰ ἐλάττονα κεκληρωμένων. οὕτω γὰρ ὁ Θεὸς ἠθέλησε. μὴ τοίνυν ἀντιπαιώμεθα. Εἰ δὲ ἔτι θορυβῇ, ἐννόησον ὅτι τὸ σὸν ἔργον οὐ δύναται ἐκεῖνος πολλάκις ἀνύειν. ὥστε κἂν ἐλάττων ᾖς, τούτῳ πλεονεκτεῖς· κἂν μείζων ἐκεῖνος ᾖ, ἐλαττοῦται [ἐν] τούτῳ, καὶ οὕτως ἰσότης γίνεται. καὶ γὰρ καὶ ἐν τῷ σώματι καὶ τὰ μικρὰ οὐ μικρὰ δοκεῖ συντελεῖν, ἀλλὰ καὶ τοῖς μεγάλοις λυμαίνεται πολλάκις, ὅταν ἀποστῇ. τί γὰρ τριχῶν εὐτελέστερον ἐν τῷ σώματι; ἀλλὰ τὰς εὐτελεῖς ταύτας ἂν ἀνέλῃς ἀπὸ τῶν ὀφρύων καὶ τῶν βλεφάρων, ὅλην ἠφάνισας τῆς ὄψεως τὴν ὥραν, καὶ ὀφθαλμὸς οὐκέτι ὁμοίως φαίνεται καλός. καίτοιγε περὶ τὸ τυχόν ἐστιν ἡ ζημία, ἀλλ' ὅμως καὶ οὕτω πᾶσα διεφθάρη ἡ εὐμορφία· οὐχ ἡ εὐμορφία δὲ μόνον, ἀλλὰ καὶ πολὺ τῆς χρείας τῶν ὀφθαλμῶν. τῶν γὰρ μελῶν ἡμῶν ἕκαστον καὶ ἰδίαν ἐνέργειαν ἔχει, καὶ κοινήν· καὶ κάλλος ὁμοίως καὶ ἴδιον, καὶ κοινόν ἐστιν ἐν ἡμῖν. καὶ δοκεῖ μὲν διῃρῆσθαι ταῦτα, συμπέπλεκται δὲ ἀκριβῶς, καὶ θατέρου διαφθαρέντος καὶ τὸ ἕτερον συναπόλλυται. σκόπει δέ· ἔστωσαν ὀφθαλμοὶ λάμποντες, καὶ παρειὰ μειδιῶσα, καὶ χεῖλος ἐρυθρόν, καὶ ῥὶς εὐθεῖα, καὶ ὀφρὺς ἐκτεταμένη· ἀλλ' ὅμως κἂν τὸ τυχὸν ἐκ τούτων λυμήνῃς, τῷ κοινῷ πάντων ἐλυμήνω κάλλει, καὶ πάντα κατηφείας μεστά, καὶ πάντα αἰσχρὰ φαίνεται τὰ πρὸ τούτου καλά. ἂν γὰρ τὸ ἄκρον μόνον τῆς ῥινὸς συντρίψῃς, πάντων πολλὴν κατέχεας τὴν ἀμορφίαν· καίτοιγε ἑνὸς μέλους ἐστὶν ἡ πήρωσις. καὶ ἐπὶ χειρὸς ὁμοίως, ἂν ἑνὸς δακτύλου τὸν ὄνυχα ἐξέλῃς, τὸ αὐτὸ γινόμενον ὄψει. εἰ δὲ καὶ ἐπὶ ἐνεργείας βουληθείης τὸ αὐτὸ συμβαῖνον ἰδεῖν, αἶρε δάκτυλον ἕνα, καὶ τοὺς λοιποὺς ἀργοτέρους ὄψει, καὶ οὐκέτι τὰ αὐτὰ ποιοῦντας ὁμοίως. ἐπεὶ οὖν κοινὸν αἶσχος ἡ τοῦ μέλους ζημία, καὶ κοινὸν κάλλος ἡ σωτηρία, μὴ ἐπαιρώμεθα, μηδὲ ἐπεμβαίνωμεν τοῖς πλησίον. διὰ γὰρ ἐκεῖνο τὸ μικρὸν μέλος, καὶ τὸ μέγα ἐστὶ καλὸν καὶ ὡραῖον, καὶ διὰ τῶν βλεφαρίδων ὀφθαλμὸς καλλωπίζεται. ὥστε ἑαυτῷ πολεμεῖ ὁ τῷ ἀδελφῷ πολεμῶν. οὐ γὰρ μέχρις ἐκείνου τὰ τῆς βλάβης, ἀλλὰ καὶ αὐτὸς οὐ μικρὰν ὑποστήσεται ζημίαν. ἵν' οὖν μὴ τοῦτο γίνηται, ὡς ἑαυτῶν, οὕτω καὶ τῶν πλησίον φροντίζωμεν, καὶ ταύτην τὴν εἰκόνα τὴν τοῦ σώματος καὶ νῦν ἐπὶ τὴν ἐκκλησίαν μεταγάγωμεν, καὶ προνοῶμεν ἁπάντων, ὡς μελῶν οἰκείων. καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ μέλη πολλὰ καὶ διάφορα· καὶ τὰ μὲν τιμιώτερα, τὰ δὲ καταδεέστερα· οἷον εἰσὶ παρθένων χοροί, εἰσὶ χηρῶν σύλλογοι, εἰσὶ τῶν ἐν γάμῳ σωφρόνως λαμπόντων φρατρίαι, καὶ πολλοὶ τῆς ἀρετῆς οἱ βαθμοί· καὶ ἐπὶ τῆς ἐλεημοσύνης πάλιν ὁμοίως. "ὁ μὲν γὰρ τὰ πάντα ἐκένωσεν, οἱ δὲ τῆς αὐταρκείας ἐπιμελοῦνται μόνης, καὶ πλέον τῆς χρείας οὐδὲν ζητοῦσιν, οἱ δὲ ἐκ τοῦ περισσεύματος ἔδωκαν· ἀλλ' ὅμως οὗτοι πάντες ἀλλήλους κοσμοῦσι, κἂν ἐξουθενήσῃ τὸν ἐλάττονα ὁ μείζων, ἑαυτὸν τὰ μέγιστα ἔβλαψεν. ἥ τε γὰρ παρθένος, ἂν ὑβρίσῃ τὴν "ἔγγαμον, οὐ μικρὸν ἀπετέμετο" τοῦ μισθοῦ· ὅ τε τὰ πάντα κενώσας, ἂν ὀνειδίσῃ τῷ μὴ τοῦτο πεποιηκότι, πολὺ τῶν αὑτοῦ πόνων ἐκένωσε. καὶ τί λέγω παρθένους, καὶ χήρας, καὶ ἀκτήμονας ἄνδρας; τί γὰρ τῶν προσαιτούντων εὐτελέστερον; ἀλλ' ὅμως καὶ οὗτοι χρείαν πληροῦσι μεγίστην ἐν ἐκκλησίᾳ, προσηλωμένοι ταῖς θύραις τοῦ ναοῦ, καὶ κόσμον παρέχοντες μέγιστον, καὶ τούτων ἄνευ οὐκ ἂν ἀπαρτισθείη τὸ πλήρωμα τῆς ἐκκλησίας. ὅπερ οὖν καὶ οἱ ἀπόστολοι συνιδόντες ἐξ ἀρχῆς ἐνομοθέτησαν, ὥσπερ τὰ ἄλλα πάντα, οὕτω καὶ τὸ χήρας εἶναι· καὶ τοσαύ-

την

χ. λυμαίν[illegible]
χ. οἱ μὲν
χ. ἐκένωσαν
χ. ἐν γάμ[illegible]
χ. ὁ [illegible]

τὴν ἐποιήσατο περὶ τὸ πρᾶγμα σπουδὴν, ὡς καὶ διακόνους αὐτὰς ἐπιστῆσαι ἐνταῦθα. ὥσπερ γὰρ ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ παρθένους, καὶ ἐγκρατευομένους ἀριθμῶν, τὰ μέλη τῆς ἐκκλησίας καταλέγων, οὕτω καὶ χήρας. οὐδὲ γὰρ τὴν τυχοῦσαν χρείαν αὗται πληροῦσι. σὺ μὲν γὰρ ὅτε βούλει, παραγίνεσαι· αὗται δὲ καὶ ἡμέρας καὶ νύκτα ψάλλουσι, καὶ πρεσβεύουσιν, οὐ τῆς ἐλεημοσύνης ἕνεκεν μόνης τοῦτο ποιοῦσαι (ἐπεὶ εἰ τοῦτο ἐβούλοντο, ἐξῆν κατὰ τὴν ἀγορὰν βαδίζειν, καὶ ἐν τοῖς στενωποῖς προσαιτεῖν) ἀλλ' ἔχουσί τι καὶ εὐλαβείας οὐ μικρόν. ὅρα γοῦν ἐν ὅσῃ καμίνῳ πενίας εἰσί. καὶ βλασφημουσῶν οὐκ ἄν ποτε αὐτῶν ἀκούσῃς, οὐδὲ ἀποδυσπετουσῶν, ἅπερ πολλοὶ τῶν πλουτούντων ποιοῦσιν. καὶ αἱ μὲν αὐτῶν πεινῶσαι ἐκοιμήθησαν πολλάκις, αἱ δὲ καὶ διηνεκῶς ὑπὸ τοῦ κρυμοῦ πηγνύμεναι

ἴσ. τινῶν

χ. πεινῶσαι

διατελοῦσι, καὶ ὅμως ἐν εὐχαριστίᾳ καὶ δοξολογίᾳ διάγουσι. κἂν ὀβολὸν δῷς, εὐχαριστοῦσι καὶ ἐπεύχονται μυρία τῷ δεδωκότι· κἂν μηδὲν δῷς, οὐ δυσχεραίνουσιν, ἀλλὰ καὶ οὕτως εὐλογοῦσι, καὶ ἀγαπῶσι τῆς ἐφημέρου τροφῆς ἀπολαύουσαι. κἂν γὰρ μὴ βούλωνται, φησίν, ἀνάγκη φέρειν αὐτάς. διὰ τί, εἰπέ μοι; τίνος ἕνεκεν τὸ πικρὸν τοῦτο ἐφθέγξω ῥῆμα; οὐκ εἰσὶ τέχναι αἰσχραὶ, καὶ τοῖς γεγηρακόσι κέρδος ἔχουσαι καὶ ταῖς γεγηρακυίαις; οὐκ ἠδύναντο, εἴπερ ἐβούλοντο τοῦ ζῆν ἐπιεικῶς ἀμελεῖν, ἐντεῦθεν μετὰ πολλῆς ἀποτρέφεσθαι τῆς περιουσίας; οὐχ ὁρᾷς πόσοι τῶν ἐν ταύτῃ τῇ ἡλικίᾳ μαστροποὶ καὶ προαγωγοὶ γινόμενοι, καὶ ἕτερα τοιαῦτα ἄτλα διακονούμενοι, καὶ τρέφονται καὶ τρυφῶσιν; ἀλλ' οὐχ οὗτοι, ἀλλ' αἱροῦνται λιμῷ διαφθείρεσθαι μᾶλλον, ἢ καταισχῦναι τὴν ἑαυτῶν ζωὴν καὶ προδοῦναι τὴν σωτηρίαν· καὶ κάθηνται δι' ἡμέρας ὅλης φάρμακόν σοι κατασκευάζοντες σωτηρίας.

χ. αὐτο,

χ. ζωὴν

οὐ γὰρ οὕτως ἰατρὸς, χεῖρα ἐκτείνων καὶ σιδήριον ἐπάγων, ἐκτέμνει τὰ σεσηπότα τῶν τραυμάτων, ὡς πένης, δεξιὰν ἐκτείνων καὶ ἐλεημοσύνην λαμβάνων, περιαιρεῖ τῶν τραυμάτων τοὺς μώλωπας. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι χωρὶς ἀλγηδόνος καὶ ὀδύνης τὴν καλὴν ταύτην ἐργάζονται ἰατρείαν· καὶ ἡμῶν τῶν τοῦ λαοῦ προκαθημένων καὶ διαπονούντων ὑμῖν τὰ συμφέροντα οὐκ ἔλαττον ἐκεῖνος διαλέγεται ὁ πρὸ τῶν θυρῶν τῆς ἐκκλησίας καθήμενος διὰ τῆς σιγῆς καὶ τῆς ὄψεως.

χ. ἐργάζεται

καὶ γὰρ ἡμεῖς ταῦτα καθ' ἑκάστην ὑμῖν ἐπᾴδομεν τὴν ἡμέραν, λέγοντες, μὴ μέγα φρόνει, ὦ ἄνθρωπε, ὀξύρροπον καὶ εὐμετάπτωτον τῶν ἀνθρώπων ἡ φύσις, ἡ νεότης πρὸς γῆρας ἐπείγεται, τὸ κάλλος πρὸς ἀμορφίαν, ἡ ἰσχὺς πρὸς ἀσθένειαν, ἡ τιμὴ πρὸς καταφρόνησιν, ἡ ὑγεία πρὸς ἀρρωστίαν μεταπίπτει, ἡ δόξα πρὸς εὐτέλειαν, ὁ πλοῦτος πρὸς πενίαν· ῥεύματι σφοδρῷ τὰ ἡμέτερα ἔοικεν οὐδαμοῦ ἵστασθαι βουλομένῳ, ἀλλ' ἐπειγομένῳ πρὸς τὸ κάταντες. ταὐτὰ καὶ ἐκεῖνοι, καὶ πλείονα τούτων διὰ τῆς ὄψεως συμβουλεύουσι, καὶ διὰ τῆς πείρας αὐτῆς, ἥτις καὶ σαφεστέρα ἐστὶ παραίνεσις. πόσοι γοῦν τῶν ἔξω καθημένων νῦν ἤκμασαν ἐν νεότητι, καὶ μεγάλα εἰργάσαντο; πόσοι τῶν εἰδεχθῶν τούτων καὶ ἐπὶ τῇ τοῦ σώματος ἰσχύϊ καὶ ἐπὶ τῇ τῆς ὄψεως ὥρᾳ πολλοὺς παρήλασαν; ἀλλὰ μὴ ἀπιστεῖτε, μηδὲ χλευάζετε. καὶ γὰρ μυρίων γέμει τοιούτων ὑποδειγμάτων ὁ βίος. εἰ γὰρ βασιλεῖς ἐξ εὐτελῶν καὶ ταπεινῶν πολλοὶ πολλάκις ἐγένοντο, τί θαυμαστὸν, εἰ ἐκ μεγάλων καὶ ἐνδόξων ταπεινοὶ καὶ εὐτελεῖς κατέστησαν; καὶ γὰρ τὸ πολλῷ παραδοξότερον ἐκεῖνό ἐστι· τοῦτο δὲ τῶν ἀεὶ συμβαινόντων. ὥστε οὐ χρὴ διαπιστεῖν, εἴ τινες τούτων καὶ ἐν τέχναις καὶ ἐν στρατείαις ἤνθησαν καὶ ἐν χρημάτων περιουσίαις, ἀλλὰ καὶ ἐλεεῖν αὐτοὺς μετὰ πολλῆς τῆς συμπαθείας, καὶ ὑπὲρ ἑαυτῶν δεδοικέναι, μήποτε καὶ αὐτοὶ τὰ αὐτὰ πάθωμεν. καὶ γὰρ καὶ ἡμεῖς ἄνθρωποι, καὶ ὑπὸ τὴν ὀξύρροπον ταύτην κείμεθα μεταβολήν. ἀλλ' ἴσως τῶν ἀγνωμόνων τις καὶ σκώπτειν εἰωθότων καὶ ἐπισκήψει τοῖς εἰρημένοις, καὶ κωμῳδήσει πάντως ἡμᾶς λέγων, μέχρι τίνος οὐ παύσῃ πένητας ἀεὶ καὶ πτωχοὺς ἐν τοῖς λόγοις εἰσάγων, καὶ συμφορὰς ἡμῖν προφητεύων, καὶ πενίαν προαναφωνῶν, καὶ πτωχοὺς ποιῆσαι σπουδάζων; οὐ πτωχοὺς ὑμᾶς σπουδάζων ποιῆσαι, ἄνθρωπε, ταῦτα λέγω, ἀλλὰ τοῦ οὐρανοῦ τὸν πλοῦτον

χ. ἐπισκώψει

ὑμῖν

ὑμῖν ἀνοῖξαι σπεύδων. ἐπεὶ καὶ πρὸς τὸν ὑγιαίνοντα ὁ τῶν ἀρρωστούντων μεμνημένος, καὶ τὰς ἐκείνων διηγούμενος ὀδύνας, οὐχ ἵνα ἐπίνοσον ποιήσῃ, λέγει, ἀλλ' ἵνα ἐπὶ τῆς ὑγείας διατηρήσῃ, τῷ φόβῳ τῶν ἐκείνοις συμβαινόντων τὴν τούτου ῥαθυμίαν ἐκκόπτων. φοβερὸν ὑμῖν ἡ πενία εἶναι δοκεῖ, καὶ φρικτὸν καὶ μέχρι προσηγορίας αὐτῆς. διὰ γὰρ τοῦτο πένητές ἐσμεν, ὅτι πενίαν δεδοίκαμεν, κἂν μυρία ἔχωμεν τάλαντα. οὐ γὰρ ὁ μηδὲν ἔχων, πένης, ἀλλ' ὁ πενίαν φρίττων. ἐπεὶ καὶ ἐν ταῖς συμφοραῖς οὐ τοὺς τὰ μεγάλα πάσχοντας κακὰ δακρύομεν καὶ ἀθλίους ἡγούμεθα, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτὰ φέρειν, κἂν μικρὰ τύχῃ ὄντα· ὡς ὅγε φέρειν εἰδώς, καὶ ἐπαίνων ἄξιος καὶ στεφάνων. καὶ ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, ἐν τοῖς ἀγῶσι τίνας ἐπαινοῦμεν, τοὺς πολλὰ τυπτομένους, καὶ μὴ ἀλγοῦντας, ἀλλ' ὑψηλὸν τὸν αὐχένα ἔχοντας, ἢ τοὺς ἀπὸ τῶν πρώτων φεύγοντας πληγῶν; οὐχὶ ἐκείνους μὲν καὶ στεφανοῦμεν, ὡς ἀνδρείους καὶ γενναίους; τούτους δὲ καὶ γελῶμεν, ὡς ἀνάνδρους καὶ δειλούς; οὕτω τοίνυν καὶ ἐπὶ τῶν τοῦ βίου πραγμάτων ποιῶμεν. τὸν μὲν εὐκόλως ἅπαντα φέροντα στεφανώσωμεν, καθάπερ ἐκεῖνον τὸν γενναῖον παγκρατιαστήν· τοῦτον δὲ δακρύσωμεν τὸν δεδοικότα καὶ τρέμοντα τὰ δεινά, καὶ πρὶν ἢ δέξασθαι πληγὴν ἀποτεθνηκότα τῷ δέει. καὶ γὰρ ἐπὶ τῶν ἀγώνων εἴ τις, πρὶν ἢ χεῖρας ἀντᾶραι, τὸν ἀντίπαλον ἰδὼν τὴν δεξιὰν τείνοντα μόνον ἀποφύγοι, κἂν μὴ δέξηται πληγήν, καταγέλαστος ἔσται, ὡς ἄτονος καὶ μαλακὸς καὶ πόνων ἄπειρος τοιούτων. οὕτω καὶ ἐπὶ τούτων συμβαίνει τῶν πενίαν δεδοικότων, καὶ οὐδὲ τὴν προσδοκίαν αὐτῆς ἐνεγκεῖν δυναμένων. οὐκ ἄρα ἡμεῖς ποιοῦμεν ὑμᾶς ἀθλίους, ἀλλ' ὑμεῖς ἑαυτούς. πῶς γὰρ οὐ καταπαίζεταί σου λοιπὸν ὁ διάβολος, καὶ περὶ τῆς πληγῆς τὴν ἀπειλὴν ὁρῶν δεδοικότα καὶ τρέμοντα; μᾶλλον δέ, ὅταν ἀπειλὴν τοῦτο νομίζῃς, οὐ δεήσεται λοιπὸν οὐδὲ πλῆξαι, ἀλλ' ἀφεὶς ἔχειν τὸν πλοῦτον, τῇ προσδοκίᾳ τῆς ἀφαιρέσεως κηροῦ παντὸς μαλακώτερόν σε ἐργάσεται. καὶ γὰρ πεφύκαμεν, ὡς εἰπεῖν, ἅπερ δεδοίκαμεν, μετὰ τὸ παθεῖν οὐχ οὕτω νομίζειν εἶναι φοβερά, ὥσπερ ἔμπροσθεν καὶ πρὸ τῆς πείρας. ἵν' οὖν μηδὲ ταύτην κτήσῃ τὴν ἀρετήν, ἐν ἀκμάζοντί σε κατέχει φόβῳ, πρὸ τῆς πείρας τῷ φόβῳ τῆς πενίας, ὥσπερ κηρὸν πυρὶ κατατήκων. καὶ γὰρ κηροῦ παντὸς μαλακώτερος ὁ τοιοῦτος, καὶ αὐτοῦ τοῦ Κάϊν ἀθλιώτερον βίον ζῶν, ὑπὲρ μὲν ὧν πλεονεκτεῖ, δεδοικώς· ὑπὲρ δὲ ὧν οὐκ ἔχει, ἀλγῶν· καὶ ὑπὲρ ὧν ἔχει, τρέμων πάλιν, ἅτε δραπέτην ἀγνώμονα κατέχων ἔνδον τὸν πλοῦτον, καὶ ποικίλοις τισὶ καὶ ἀτόποις πολιορκούμενος πάθεσι. καὶ γὰρ ἐπιθυμία ἄτοπος, καὶ φόβος πολυειδής, καὶ ἀγωνία, καὶ τρόμος πανταχόθεν αὐτοὺς χειμάζουσι. καὶ ἐοίκασι πλοίῳ πάντοθεν ἐναντίοις ἀνέμοις ἐλαυνομένῳ, καὶ πολλὰς ὑπομένοντι τὰς τρικυμίας. καὶ πόσῳ βέλτιον τὸν τοιοῦτον ἀπελθεῖν, ἢ διηνεκῆ φέρειν χειμῶνα; ἐπεὶ καὶ τοῦ Κάϊν ἀνεκτότερον ἦν ἀποθανεῖν, ἢ διὰ παντὸς τρέμειν. ἵν' οὖν μὴ καὶ ἡμεῖς ταῦτα πάσχωμεν, καταγελάσωμεν τῆς τοῦ διαβόλου μηχανῆς, διαῤῥήξωμεν αὐτοῦ τὰ σχοινία, διακόψωμεν τοῦ χαλεποῦ δράκοντος τὴν αἰχμήν, καὶ πᾶσαν ἔφοδον ἀποτειχίσωμεν. ἂν γὰρ χρημάτων καταγελάσῃς, οὐκ ἔχει ποῦ πλῆξαι, οὐκ ἔχει πόθεν ἐπιλάβηται. τὴν γὰρ ῥίζαν ἀνέσπασας τῶν κακῶν. ῥίζης δὲ οὐκ οὔσης, οὐδὲ καρπὸς βλαστήσει πονηρός. ταῦτα λέγωμεν μὲν ἀεί, καὶ λέγοντες οὐ παυώμεθα. εἰ δέ τι λέγοντες ἀνύομεν, ἡ ἡμέρα δείξει ἐκείνη ἡ ἐν πυρὶ ἀποκαλυπτομένη, ἡ τὸ ἑκάστου ἔργον δοκιμάζουσα, ἡ τὰς λαμπάδας δεικνύουσα τὰς λαμπρὰς καὶ τὰς οὐ τοιαύτας. τότε καὶ ὁ ἔχων τὸ ἔλαιον, καὶ ὁ μὴ ἔχων δῆλος ἔσται. ἀλλὰ μηδένα γένοιτο τότε εὑρεθῆναι ταύτης ἔρημον τῆς παραμυθίας· ἀλλὰ πάντας δαψιλῆ τὴν φιλανθρωπίαν ἐπιφερομένους, καὶ φαιδρὰς ἔχοντας τὰς λαμπάδας, συνεισελθεῖν τῷ νυμφίῳ. ὡς οὐδὲν τῆς φωνῆς ἐκείνης φοβερώτερον καὶ ὀδυνηρότερον, ἣν οἱ χωρὶς ἐλεημοσύνης δαψιλοῦς ἀπιόντες τότε ἀκούσονται τοῦ
Ματθ. κε. ιβ. νυμφίου λέγοντος, Οὐκ οἶδα ὑμᾶς. ἀλλὰ μήποτε ταύτης ἀκούσαιμεν τῆς φωνῆς, ἀλλὰ τῆς
Ματθ. κε. λδ. ἡδίστης ἐκείνης καὶ ποθεινοτάτης, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην

χ. ἄπειρ

ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. οὕτω γὰρ τὸν μακάριον ζησόμεθα βίον, καὶ τῶν ἀγαθῶν ἀπολαυσόμεθα πάντων τῶν καινῶν ὑπερβαινόντων ἀνθρώπινον, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λα. 21 ΟΥ ΔΥΝΑΤΑΙ ΔΕ Ο ΟΦΘΑΛΜΟΣ ΕΙΠΕΙΝ τῇ χειρί, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω.

Κατεστειλε τῶν ἐλαττόνων τὸν φθόνον, καὶ τὴν ἀθυμίαν αὐτῶν ἐξελών, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἐκ τοῦ μειζόνων ἑτέρους κατηξιῶσθαι χαρισμάτων, ταπεινοῖ καὶ τούτων τὸν τῦφον τῶν τὰ μείζονα εἰληφότων χαρίσματα· ποιήσας μὲν αὐτὸ καὶ ἐν οἷς πρὸς ἐκείνους διελέγετο (τὸ γὰρ λέγειν, ὅτι χάρισμά ἐστι, καὶ οὐ κατόρθωμα, τοῦτο ἐμφαίνοντος ἦν)· ποιεῖ δὲ αὐτὸ καὶ σφοδρότερον πάλιν, ἐπὶ τῆς αὐτῆς μένων εἰκόνος. ἀπὸ γὰρ τοῦ σώματος λοιπὸν καὶ τῆς ἐκεῖθεν ἑνότητος ἐπ' αὐτὴν τὴν μεγάλην χωρεῖ τὴν σύγκρισιν, ὃ μάλιστα ἐζήτουν ἐκεῖνοι μαθεῖν. ἐπειδὴ οὐχ οὕτως ἱκανὸν ἦν αὐτοὺς παραμυθήσασθαι τὸ πάντας ἓν σῶμα εἶναι, ὡς τὸ μαθεῖν ὅτι καὶ ἐν αὐτοῖς, οἷς εἶχον, οὐδὲν μέγα ἠλαττοῦντο, καί φησιν· οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. εἰ γὰρ καὶ ἔλαττον τὸ χάρισμα, ἀλλ' ἀναγκαῖον· καὶ ὥσπερ οὐκ ὄντος ἐκείνου πολλὰ ἐμποδίζεται, οὕτω καὶ τούτου χωρὶς χωλεύει τὸ πλήρωμα τῆς ἐκκλησίας. καὶ οὐκ εἶπεν, οὐκ ἐρεῖ, ἀλλ', ὅτι οὐ δύναται εἰπεῖν. ὥστε κἂν θέλῃ, κἂν λέγῃ, οὐκ ἐνδέχεται, οὐδὲ ἔχει τὸ πρᾶγμα [τὴν] φύσιν. διὰ τοῦτο λαβὼν ἑκάτερα τὰ ἄκρα, ἐν αὐτοῖς γυμνάζει τὸν λόγον, πρότερον μὲν ἐπὶ χειρὸς καὶ ὀφθαλμοῦ, δεύτερον δὲ ἐπὶ κεφαλῆς καὶ ποδῶν, αὔξων τὸ παράδειγμα. οἱ γὰρ πόδες εὐτελέστεροι, ἡ δὲ κεφαλὴ τιμιώτερον καὶ ἀναγκαιότερον· τοῦτο γάρ μάλιστά ἐστιν ἄνθρωπος, ἡ κεφαλή. ἀλλ' ὅμως οὐκ ἔστιν αὐτάρκης, οὐδὲ τὰ πάντα αὐτὴ δύναιτ' ἂν ἀνύειν· ἐπεὶ εἰ τοῦτο ἦν, περιττῶς ἡμῖν οἱ πόδες προσέκειντο. καὶ οὐδὲ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἑτέραν ὑπερβολὴν ζητεῖ· ὅπερ ἀεὶ ποιεῖ, οὐ μέχρι τοῦ ἴσου φιλονεικῶν, ἀλλὰ καὶ περαιτέρω προβαίνων. διὸ καὶ ἐπάγει λέγων·

γρ. ποιῶν εἴωθεν,

22 Ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι·

23 Καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει.

γρ. ἐπιτίθεμεν.

Πανταχοῦ τὴν τοῦ σώματος προσθήκην τιθείς, καὶ ταύτῃ κἀκείνους παραμυθούμενος καὶ τούτους καταστέλλων. οὐ γὰρ τοῦτο λέγω, φησίν, ὅτι οὐ μόνον χρείαν ἔχει τὰ μείζονα τῶν ἐλαττόνων, ἀλλ' ὅτι καὶ πολλὴν χρείαν ἔχει. εἰ δὲ γὰρ ἀσθενῆ ἐν ἡμῖν, εἰ δὲ ἄτιμα, τοῦτο καὶ ἀναγκαιότερον, καὶ τιμῆς ἀπολαύει μείζονος. καὶ καλῶς εἶπε, τὰ δοκοῦντα, καί, ἃ δοκοῦμεν, δεικνὺς ὅτι οὐ τῆς φύσεως τῶν πραγμάτων, ἀλλὰ τῆς τῶν πολλῶν ὑπονοίας ἡ ψῆφος. οὐδὲν γὰρ ἐν ἡμῖν ἄτιμον· Θεοῦ γὰρ ἔργον ἐστί. τί γὰρ τῶν μορίων τῶν γεννητικῶν ἀτιμότερον ἐν ἡμῖν εἶναι δοκεῖ; ἀλλ' ὅμως πλείονος ἀπολαύει τιμῆς. καὶ οἱ σφόδρα πένητες, κἂν τὸ λοιπὸν γυμνὸν ἔχωσι σῶμα, οὐκ ἂν ἀνάσχοιντο ἐκεῖνα τὰ μέλη δεῖξαι γυμνά. καίτοιγε οὐχ αὕτη τῶν ἀτίμων ἡ τάξις, ἀλλὰ μᾶλλον τῶν ἄλλων καταφρονεῖσθαι ἔδει. καὶ γὰρ ἐν οἰκίᾳ ὁ ἠτιμωμένος οἰκέτης οὐ μόνον οὐκ ἀπολαύει πλείονος θεραπείας, ἀλλ' οὐδὲ τῆς αὐτῆς ἀξιοῦται. ὥστε εἰ καὶ τοῦτο ἄτιμον ἦν, οὐ μόνον μειζόνων ἀπολαύειν οὐκ ἔδει, ἀλλ' οὐδὲ τῶν αὐτῶν· νυνὶ δὲ πλείονος ἀπολαύει τιμῆς, καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας ἐργασαμένης. τοῖς μὲν

γρ. πλείονος.

γὰρ

γὰρ ἐν τῇ φύσει τὸ μὴ δεῖσθαι ἔδωκε· τοῖς δὲ, ὅπερ ἐν τῇ φύσει οὐκ ἔδωκεν, ἡμᾶς παρέχειν ἠνάγκασεν. ἀλλ' οὐ διὰ τοῦτο ἄτιμα. ἐπεὶ καὶ τὰ ζῶα ἐν τῇ φύσει τὸ ἀνενδεὲς ἔχει, καὶ οὔτε ἱματίων δεῖται, οὔτε ὑποδημάτων, οὔτε ὀρόφου τὰ πλείονα αὐτῶν· ἀλλ' οὐ διὰ τοῦτο ἀτιμότερον αὐτῶν τὸ σῶμα τὸ ἡμέτερον, ὅπερ πάντων δεῖται τούτων. καὶ γὰρ εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ αὐτῇ τῇ φύσει τίμιά τε καὶ ἀναγκαῖά ἐστιν. ὃ δὴ καὶ αὐτὸς ἠνίξατο, οὐκ ἀπὸ τῆς ἡμετέρας ἐπιμελείας καὶ τοῦ πλείονος ἀπολαύειν τιμῆς, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως αὐτὰ ψηφισάμενος. διὸ, ὅταν μὲν ἀσθενῆ λέγῃ καὶ ἄτιμα, τὰ δοκοῦντα λέγει· ὅταν δὲ ἀναγκαῖα, οὐκέτι προστίθησι τὰ δοκοῦντα, ἀλλ' αὐτὸς ἀποφαίνεται λέγων, ὅτι ἀναγκαῖά ἐστι, καὶ μάλα εἰκότως. καὶ γὰρ πρὸς παιδοποιΐαν καὶ τὴν τοῦ γένους ἡμῶν διαδοχὴν χρήσιμα. διὰ τοῦτο καὶ οἱ νομοθέται Ῥωμαίων τοὺς ταῦτα ἀκρωτηριάζοντας τὰ μέλη καὶ ποιοῦντας εὐνούχους, κολάζουσιν, ἅτε τῷ κοινῷ γένει λυμαινομένους, καὶ αὐτῇ ἐπηρεάζοντας τῇ φύσει. ἀλλ' ἀπόλοιντο οἱ ἀκόλαστοι, οἱ τοῦ Θεοῦ τὰ δημιουργήματα διαβάλλοντες. ὥσπερ γὰρ τῷ οἴνῳ πολλοὶ διὰ τοὺς μεθύοντας κατηγορήσαντο, καὶ τῇ φύσει τῶν γυναικῶν διὰ τὰς μοιχευομένας, οὕτω καὶ τὰ μέλη ταῦτα αἰσχρὰ εἶναι ἐνόμισαν διὰ τοὺς οὐκ εἰς δέον αὐτοῖς χρωμένους· ἀλλ' οὐκ ἐχρῆν. οὐ γὰρ τῇ φύσει τοῦ πράγματος ἡ ἁμαρτία συγκεκλήρωται, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τίκτεται τοῦ τολμῶντος τὸ πλημμέλημα. τινὲς δὲ τὰ ἀσθενέστερα καὶ ἄτιμα καὶ ἀναγκαῖα καὶ τιμῆς ἀπολαύοντα πλείονος, περὶ ὀφθαλμῶν καὶ ποδῶν εἰρῆσθαι τῷ Παύλῳ νομίζουσι, καὶ ἀσθενέστερα καὶ ἀναγκαῖα τοὺς ὀφθαλμοὺς λέγει, ὅτι ἐλαττούμενοι τῇ δυνάμει, πλεονεκτοῦσι τῇ χρείᾳ· τὰ δὲ ἀτιμότερα, τοὺς πόδας. καὶ γὰρ καὶ οὗτοι πολλῆς ἀπολαύουσι προνοίας. εἶτα ἵνα μὴ πάλιν ἄλλην ὑπερβολὴν ἐργάσηται, φησί·

24 Τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. Ἵνα γὰρ μή τις λέγῃ, καὶ ποῖος οὗτος ὁ λόγος; τῶν μὲν τιμίων καταφρονεῖν, τοῖς δὲ ἀτιμοτέροις προσεδρεύειν; οὐχὶ καταφρονοῦντες τοῦτο ποιοῦμεν, φησὶν, ἀλλ' ὅτι αὐτὰ οὐ δεῖται. καὶ ὅρα πηλίκα ἐγκώμια ἐν βραχέσι παρέδραμε, συμφερόντως τοῦτο καὶ χρησίμως ποιῶν. καὶ οὐδὲ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ αἰτίαν προστίθησι, λέγων, Ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν.

25 Ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι. Εἰ δὲ συνεκέρασεν, οὐκ ἀφῆκε τὰ ἀτιμότερα φαίνεσθαι. τὸ γὰρ κιρνώμενον ἓν γίνεται, καὶ οὐ φαίνεται τί πρὸ τούτου ἦν. ἐπεὶ οὐδ' ἀνεκράθη, αὐτὸ φαινόμενον ἄν. καὶ ὅρα πῶς συνεχῶς τὰ ἐλαττώματα περιτρέχει λέγων, τῷ ὑστεροῦντι. οὐκ εἶπε, τῷ ἀτίμῳ, τῷ ἀσχήμονι, ἀλλὰ, τῷ ὑστεροῦντι. ὑστεροῦντι πῶς; κατὰ φύσιν, περισσοτέραν δοὺς τιμήν. καὶ διατί; ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι. ὅπερ γὰρ μυρίας παραμυθίας ἀπολαύοντες ἤλγουν ὅμως, ἅτε ἐλάττονα λαβόντες, δεικνύουσιν ὅτι μᾶλλον ἐθυμήθησαν. τῷ γὰρ ὑστεροῦντι, φησὶ, περισσοτέραν δοὺς τιμήν. εἶτα καὶ τὸν λόγον ἐπάγει, δεικνὺς ὅτι συμφερόντως καὶ ὕστερον ἐποίησε, καὶ μειζόνως ἐτίμησε. τίς δὲ ὁ λόγος; ἵνα μὴ ᾖ σχίσμα, φησὶν, ἐν τῷ σώματι. [καὶ οὐκ εἶπεν, ἐν τοῖς μέλεσιν, ἀλλ' ἐν τῷ σώματι.] καὶ γὰρ πολλὴ ἔμελλεν ἡ πλεονεξία εἶναι, εἰ τὰ μὲν καὶ ἀπὸ τῆς φύσεως καὶ ἀπὸ τῆς ἡμετέρας ἐθεραπεύετο προνοίας, τὰ δὲ οὐδετέρωθεν· καὶ ἀπεσχίσθη ἂν ἀλλήλων, οὐ δυνάμενα φέρειν τὸν σύνδεσμον. ἀποσχισθέντων δὲ τούτων, καὶ τοῖς λοιποῖς ἐγένετο βλάβη. εἶδες πῶς ἔδειξεν ἀναγκαίως μείζονα τῷ ὑστεροῦντι δεδομένην τιμήν; εἰ γὰρ μὴ τοῦτο γέγονε, κοινὴ πάντων ἂν ἡ λύμη ἐγεγόνει, φησί. καὶ γὰρ εἰ μὴ πολλῆς ταῦτα παρ' ἡμῶν ἀπήλαυσε προνοίας, ἐπηρεάσθη ἂν μὴ ἔχοντα τὴν ἀπὸ τῆς φύσεως βοήθειαν· ἐπηρεασθέντα δὲ, ἀπώλετο ἄν· ἀπολόμενα δὲ, ἔσχισεν ἂν τὸ σῶμα· σχισθέντος δὲ τοῦ σώματος, καὶ τὰ λοιπὰ ἂν ἀπώλετο τὰ πολλῷ μείζονα τούτων. ὁρᾷς ὅτι καὶ τῆς ἐκείνων προνοίας ἔχεται ἡ τούτων ἐπιμέλεια; οὐ γὰρ

οὕτως

οὕτως ἐν τῇ οἰκείᾳ φύσει τὸ εἶναι ἔχουσιν, ὡς ἐν τῷ σώματι εἶναι ἕν. διὰ δὴ τοῦτο, ἂν μὲν τὸ σῶμα ἀπόληται, οὐδὲν αὐτοῖς κέρδος τῆς καθ' ἕκαστον ὑγείας. ἀλλ' ἄν τε ὀφθαλμὸς μένῃ, ἄν τε ῥὶς διατηροῦσα τὸ οἰκεῖον, τοῦ συνδέσμου λυθέντος, ὄφελος οὐδὲν ἔσται λοιπόν· ἂν δὲ, τούτου μένοντος, ἐκεῖνα βλαβῇ, καὶ διαβαστάζεται καὶ πρὸς ὑγείαν ἐπάνεισι ταχέως. Ἀλλ' ἴσως εἴποι τις ἄν· τοῦτο μὲν ἐν τῷ σώματι λόγον ἔχει, ὅτι τὸ ὑστερούμενον περισσοτέραν ἔλαβε τιμὴν, ἐπὶ δὲ τῶν ἀνθρώπων πῶς ἂν τοῦτο φανείη; ἐπὶ τῶν ἀνθρώπων μὲν οὖν μάλιστα ἴδοις ἂν τοῦτο συμβαῖνον. καὶ γὰρ οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, πρῶτοι τὸν μισθὸν ἔλαβον· καὶ τὸ πλανηθὲν πρόβατον ἔπεισε τὸν ποιμένα τὰ ἐνενηκονταεννέα καταλιπόντα, καὶ ἐπ' αὐτὸ δραμεῖν, καὶ εὑρεθὲν ἐβάσταζεν, οὐκ ἤλαυνε· καὶ ὁ ἄσωτος υἱὸς πλείονος τοῦ εὐδοκιμηκότος τῆς τιμῆς ἀπήλαυσε· καὶ ὁ λῃστὴς πρὸ τῶν ἀποστόλων ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο. καὶ ἐπὶ τῶν ταλάντων δὲ τοῦτο ἴδοις ἂν γινόμενον. καὶ γὰρ ὁ τὰ πέντε τάλαντα λαβὼν, καὶ ὁ δύο τῶν αὐτῶν ἠξιώθησαν, καὶ αὐτῷ τῷ τὰ δύο λαβόντι πολλῆς ἀπήλαυσε μᾶλλον τῆς προνοίας. εἰ γὰρ τὰ πέντε ἐνεχειρίσθη, μὴ δυνάμενος, τοῦ παντὸς ἂν ἐξέπεσε· δεξάμενος δὲ τὰ δύο, καὶ τὸ παρ' ἑαυτοῦ πληρώσας, τῶν αὐτῶν ἠξιώθη τῷ τὰ πέντε ἐργασαμένῳ, τοσοῦτον πλεονεκτήσας, ὅσῳ ἀπ' ἐλαττόνων πόνων τῶν αὐτῶν ἐπέτυχε στεφάνων. καίτοι καὶ αὐτὸς ἄνθρωπος ἦν, ὥσπερ ὁ τὰ πέντε. ἀλλ' ὅμως οὐδὲν πρὸς αὐτὸν ὁ δεσπότης ἀκριβολογεῖται, οὐδὲ ἀναγκάζει τὰ αὐτὰ ποιεῖν τῷ συνδούλῳ, οὐδὲ λέγει, διὰ τί μὴ δυνάσαι τὰ πέντε ἐργάσασθαι; δικαίως ἂν εἰπών· ἀλλὰ καὶ αὐτὸν ἐστεφάνου. Ταῦτ' οὖν εἰδότες, μὴ ἐπεμβαίνετε τοῖς ἐλάττοσιν οἱ μείζους, ἵνα μὴ πρὸ ἐκείνων ἑαυτοὺς βλάψητε. ἀποσχιζομένων γὰρ αὐτῶν, τὸ πᾶν διαφθείρεται σῶμα. τί γὰρ ἄλλο ἐστὶ σῶμα, ἢ τὸ πολλὰ εἶναι μέλη; καθὼς καὶ αὐτός φησιν, ὅτι τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. Εἰ τοίνυν τοῦτό ἐστι σῶμα, φροντίζωμεν τοῦ τὰ πολλὰ μένειν πολλά. ὡς ἐὰν μὴ τοῦτο διασώζηται, περὶ τὰ καίρια ἡ πληγὴ γίνεται. διὸ καὶ αὐτὸς οὐ τοῦτο μόνον ἀπαιτεῖ, τὸ μὴ ἀποσχίζεσθαι ἀλλήλων, ἀλλὰ καὶ τὸ σφόδρα συνῆφθαι. Εἰπὼν γοῦν, ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, οὐκ ἠρκέσθη τούτῳ, ἀλλ' ἐπήγαγεν, Ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη.

γρ. ποιεῖν

Ἑτέραν καὶ ταύτην αἰτίαν προστιθεὶς τοῦ τὰ ἐλάττονα πλείονος ἀπολαύειν τιμῆς. οὐ γὰρ ἵνα μὴ ἀποσχίζηται μόνον ἀλλήλων, οὕτως ᾠκονόμησεν ὁ Θεὸς, ἀλλ' ἵνα καὶ ἀγάπη ᾖ πολλὴ καὶ ὁμόνοια. Εἰ γὰρ ἐν τῇ τοῦ πλησίον σωτηρίᾳ τὸ εἶναι ἕκαστος ἔχει, μή μοι τὸ ἔλαττον καὶ τὸ πλέον εἴπῃς. ἐνταῦθα γὰρ οὐκ ἔστι πλέον καὶ ἔλαττον. μένοντος γὰρ τοῦ σώματος, δυνατὸν καὶ τὴν διαφορὰν ἰδεῖν· ἀπολλυμένου δὲ, οὐκέτι. ἀπόλλυται δὲ, ἂν μὴ καὶ τὰ ἐλάττονα μένῃ. Εἰ τοίνυν καὶ τὰ μεγάλα ἀπόλλυται τῶν μικρῶν ἀπορραγέντων, ὁμοίως ὀφείλει ταῦτα τῶν μικρῶν φροντίζειν, καὶ οὕτως ὡς ἑαυτῶν, ἅτε ἐν τῇ τούτων σωτηρίᾳ καὶ τῶν μειζόνων μενόντων. ὥστε κἂν μυριάκις λέγῃς, ὅτι ἄτιμον τὸ μέλος καὶ ἔλαττον, ἀλλ' ἐὰν μὴ ὁμοίως προνοῇς, ὡς καὶ σαυτοῦ, ἀλλ' ὡς ἐλάττονος ἀμελῇς, ἡ βλάβη εἰς σὲ διαβήσεται. διὰ τοῦτο οὐκ εἶπεν, ἵνα ὑπὲρ ἀλλήλων μόνον μεριμνῶσι τὰ μέλη, ἀλλὰ προσέθηκεν, ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι, τουτέστιν, ὁμοίας καὶ τῆς αὐτῆς τῷ μεγάλῳ καὶ ὁ μικρὸς ἀπολαύῃ προνοίας. μὴ τοίνυν εἴπῃς ὅτι ὁ δεῖνα ὁ τυχών ἐστιν, ἀλλ' ἐννόησον, ὅτι μέλος ἐστὶν ἐκείνου τοῦ σώματος τοῦ τὸ πᾶν συγκροτοῦντος, καὶ ὥσπερ ὁ ὀφθαλμὸς, οὕτω καὶ οὗτος ποιεῖ σῶμα εἶναι τὸ σῶμα. ἔνθα γὰρ ἂν τὸ σῶμα οἰκοδομῆται, οὐδεὶς οὐδὲν τοῦ πλησίον ἔχει πλέον. οὐδὲ γὰρ τοῦτο ποιεῖ σῶμα, τὸ εἶναι τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον, ἀλλὰ τὸ πολλὰ εἶναι καὶ διάφορα. ὥσπερ γὰρ σὺ, ἐπειδὴ μείζων εἶ, τὸ σῶμα συνέστησας, οὕτω καὶ οὗτος, ἐπειδὴ ἐλάττων. ὥστε ἡ ἐλάττωσις αὐτοῦ, ὅταν δέῃ τὸ σῶμα οἰκοδομεῖν, ἰσότιμός σοι γέγονεν εἰς τὸν καλὸν τοῦτον ἔρανον. τὸ γὰρ αὐτό σοι δύναται· καὶ δῆλον ἐκεῖθεν. μὴ ἔστω ἔλαττόν τι καὶ μεῖζον μέλος, μηδὲ τίμιον καὶ ἀτιμότερον· ἀλλ' ἔστω πάντα ὀφθαλμὸς, ἢ πάντα κεφαλή. οὐκ ἀπό-

λέγηται τὸ σῶμα; πάντως που δῆλον. πάλιν ἂν πάντα ἐλάττονα ᾖ, τὸ αὐτὸ συμβήσεται. ὥστε καὶ ταύτῃ ἰσοῦται τὰ ἐλάττω. εἰ δὲ δεῖ τι καὶ πλέον εἰπεῖν, ἵνα μὲν ᾖ σῶμα, ἐλάττων ἐστὶν ὁ ἐλάττων. ὥστε διὰ σέ ἐστιν ἐλάττων, ἵνα σὺ μένῃς μέγας ὤν. διὰ τοῦτο καὶ τὴν αὐτὴν ἀπαιτεῖ παρὰ πάντων πρόνοιαν. καὶ εἰπὼν, ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, ἑρμηνεύει τὸ αὐτὸ τοῦτο πάλιν, λέγων·

26 Καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. Διὰ γὰρ τοῦτο, φησι, καὶ τὴν πρόνοιαν κοινὴν ἐποίησεν, ἐν τοσαύτῃ διαφορᾷ κατασκευάσας εἶναι, ἵνα καὶ τῶν συμβαινόντων πολλὴ ἡ κοινωνία ᾖ. εἰ γὰρ ἡ τοῦ πλησίον πρόνοια σωτηρία κοινή ἐστιν, ἀνάγκη καὶ τὴν δόξαν καὶ τὴν ἀθυμίαν εἶναι κοινήν. τρία τοίνυν ἐνταῦθα ἀπαιτεῖ· τὸ μὴ σχίζεσθαι, ἀλλ' ἑνοῦσθαι μετὰ ἀκριβείας· τὸ προνοεῖν ὁμοίως ἀλλήλων· τὸ κοινὰ τὰ συμβαίνοντα ἡγεῖσθαι. καὶ δεύτερον μὲν φησιν, ὅτι περισσοτέραν ἔδωκε τιμὴν τῷ ὑστερουμένῳ διὰ τὸ δεῖσθαι, δεικνὺς ὅτι αὐτὸ τὸ ἠλαττῶσθαι, μείζονος τιμῆς πρόξενον γέγονεν· ἐνταῦθα δὲ καὶ ἐκ τῆς προνοίας ἐξισοῖ λέγων αὐτὰ τῆς ὑπὲρ ἀλλήλων γινομένης. διὰ γὰρ τοῦτο καὶ μείζονος ἐποίησεν ἀπολαῦσαι τιμῆς, φησιν, ἵνα μὴ ἐλάττονος ἀπολαύῃ προνοίας. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν συμβαινόντων χρηστῶν καὶ λυπηρῶν ἀλλήλοις συνδέδεται τὰ μέλη. καὶ γὰρ τῇ πτέρνῃ πολλάκις περιπαρείσης ἀκάνθης, ὅλον τὸ σῶμα αἰσθάνεται, καὶ μεριμνᾷ· καὶ νῶτος κάμπτεται, καὶ γαστὴρ καὶ μηροὶ συστέλλονται, καὶ χεῖρες, καθάπερ δορυφόροι καὶ ὑπηρέται προσιόντες, ἀνέλκουσι τὸ παγέν, καὶ κεφαλὴ ἐπικύπτει, καὶ ὀφθαλμοὶ μετὰ πολλῆς ὁρῶσι τῆς φροντίδος. ὥστε εἰ καὶ ἔλαττον ἔχει τῷ μὴ δύνασθαι ἀνελθεῖν ὁ πούς, ἀλλὰ τῷ τὴν κεφαλὴν καταγαγεῖν τὸ ἴσον ἔσχε, καὶ τῆς αὐτῆς ἀπήλαυσε τιμῆς, καὶ μάλιστα ὅταν μὴ χάριτι καταφέρωσιν αὐτὴν οἱ πόδες, ἀλλ' ὀφειλῇ. ὥστε εἰ τῷ τιμιωτέρα εἶναι πλεονεκτεῖ, τῷ καὶ τοιαύτη οὖσα τῷ ἐλάττονι τὴν τιμὴν ὀφείλειν καὶ τὴν κηδεμονίαν, καὶ τὸ ὁμοίως [ὡσαύτως] συναλγεῖν ἰσότητα δείκνυσι πολλήν. τί γὰρ πτέρνης εὐτελέστερον; τί δὲ κεφαλῆς τιμιώτερον; ἀλλὰ τοῦτο πρὸς ἐκεῖνο βαδίζει τὸ μέλος, καὶ πάντα μεθ' ἑαυτῆς συγκινεῖ. πάλιν αἱ ὀφθαλμοὶ τί πάθωσι, πάντα ἀλγεῖ, καὶ πάντα ἐν ἀργίᾳ· καὶ οὔτε πόδες βαδίζουσιν, οὔτε χεῖρες ἐργάζονται, οὔτε γαστὴρ ἀπολαύει τῶν εἰωθότων· καίτοι τὸ πάθος τῶν ὀφθαλμῶν ἐστι. τί τήκεις τὴν γαστέρα; τί κατέχεις τοὺς πόδας; τί δεσμεῖς τὰς χεῖρας; ὅτι ἐκείνοις συνδέδεται, καὶ ἀρρήτως τὸ πᾶν πάσχει σῶμα. εἰ γὰρ μὴ συνέπασχεν, οὐδ' ἂν ἠνέσχετο κοινωνεῖν τῆς προνοίας. διόπερ εἰπὼν, ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, ἐπήγαγεν, εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. καὶ πῶς συγχαίρει, φησί; στεφανοῦται ἡ κεφαλή, καὶ ἅπας ὁ ἄνθρωπος δοξάζεται. λέγει τὸ στόμα, καὶ γελῶσιν ὀφθαλμοὶ καὶ εὐφραίνονται· καίτοι οὐ τοῦ κάλλους τῶν ὀφθαλμῶν, ἀλλὰ τῆς γλώττης ἡ εὐδοκίμησις. πάλιν ὀφθαλμῶν καλῶν φαινομένων, ἡ πᾶσα γυνὴ καλλωπίζεται· ὥσπερ οὖν καὶ οὗτοι, καὶ ῥινὸς εὐθείας, καὶ αὐχένος ὀρθοῦ, καὶ ἑτέρων μελῶν ἐγκωμιαζομένων, γεγήθασι καὶ φαιδροὶ γίνονται· καὶ δακρύουσι πάλιν μετὰ πολλῆς τῆς δαψιλείας ἐν ταῖς ὀδύναις αὐτῶν καὶ ταῖς συμφοραῖς, κἂν ἀσινεῖς αὐτοὶ διαμένωσι.

χ. κατάγειν

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν ἅπαντες ἐννοήσαντες, μιμησώμεθα τὴν ἀγάπην τῶν μελῶν τούτων, μηδὲ τἀναντία ποιῶμεν, ἐπεμβαίνοντες τοῖς τοῦ πλησίον κακοῖς, καὶ φθονοῦντες τοῖς τοῦ πλησίον ἀγαθοῖς. μαινομένων γὰρ τοῦτο, καὶ ἐξεστηκότων. καὶ γὰρ ὁ τὸν ὀφθαλμὸν ἐξορύττων, παραφροσύνης μέγιστον δεῖγμα ἐξήνεγκε· καὶ ὁ τὴν χεῖρα καταπεδῶν, λαμπρᾶς μανίας παρέχεται ἔλεγχον. εἰ δὲ ἐπὶ τῶν μελῶν τούτων, καὶ ἐπὶ τῶν ἀδελφῶν ὁμοίως γινόμενον παραφροσύνης περιτίθησι δόξαν, καὶ βλάβην οὐ τὴν τυχοῦσαν ἐπάγει. ἕως μὲν γὰρ ἂν ἐκεῖνος λάμπῃ, καὶ ἡ σὴ εὐμορφία φαίνεται καὶ ὅλον καλλωπίζεται τὸ σῶμα. οὐδὲ γὰρ εἰς ἑαυ-

τόν

τὸν μόνον τὸ κάλλος περιΐστησιν, ἀλλὰ καὶ σοὶ δίδωσι σεμνύνεσθαι. ἂν δὲ κατασβέσῃς αὐτὸν, ὅλῳ τῷ σώματι κοινὸν τὸ σκότος εἰργάσω, καὶ πᾶσι τοῖς μέλεσι τὴν συμφορὰν ἐπήγαγες· ὥσπερ οὖν ἐὰν διατηρῇς λάμποντα, ὁλοκλήρῳ τῷ σώματι τὴν ὥραν διατηρεῖς. οὐδεὶς γὰρ φησὶν, ὅτι καλὸς ὁ ὀφθαλμὸς, ἀλλὰ τί; καλὴ ἡ δεῖνα. ἂν δὲ καὶ αὐτὸς ἐπαινῆται, μετὰ τὸ κοινὸν ἐγκώμιον ἐπαινεῖται. οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ συμβαίνει. ἂν γὰρ ὦσί τινες τῶν εὐδοκιμούντες, τὸ κοινὸν καρποῦνται τὴν εὐφημίαν. τῶν γὰρ ἐχθροὶ οὐ διαιροῦσι τὰ ἐγκώμια, ἀλλὰ συνάπτουσι. κἂν ἦ τις ἐν τῷ λέγειν λάμπων, οὐκ αὐτὸν ἐγκωμιάζουσι μόνον, ἀλλὰ καὶ τὴν ἐκκλησίαν ἅπασαν. οὐδὲ γὰρ φασιν, ὅτι θαυμαστὸς ὁ δεῖνα μόνον, ἀλλὰ τί; θαυμαστὸν ἔχουσι διδάσκαλον τῶν χριστιανοί· καὶ κοινὸν τὸ κλῆμα ποιοῦσιν. εἶτα ἕλληνες μὲν συνάπτουσι, σὺ δὲ διαιρεῖς, καὶ πολεμεῖς τῷ σαυτοῦ σώματι, καὶ κατὰ τῶν οἰκείων ἵστασαι μελῶν; οὐκ οἶσθα, ὅτι τοῦτο πάντα ἀνατρέπει; καὶ γὰρ καὶ βασιλεία, φησὶν, ἐφ' ἑαυτὴν μερισθεῖσα οὐ σταθήσεται. Ματθ. ιβ. κε. οὐδὲν δὲ οὕτω μερίζει καὶ διΐστησιν, ὡς φθόνος καὶ βασκανία, τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πάσης ἀπεστερημένον συγγνώμης, καὶ τῆς τῶν χρημάτων ῥίζης κατά τι χαλεπώτερον. ὁ μὲν γὰρ φιλάργυρος τότε ἥδεται, ὅταν αὐτὸς λάβῃ· ὁ δὲ βάσκανος τότε ἥδεται, ὅταν ἕτερος μὴ λάβῃ, οὐχ ὅταν αὐτὸς λάβῃ. εὐεργεσίαν γὰρ οἰκείαν νομίζει τὴν ἑτέρων κακοπραγίαν, οὐ τὴν οἰκείαν εὐημερίαν, κοινός τις ἐχθρὸς τῆς τῶν ἀνθρώπων περιεργόμενος φύσεως, καὶ τὰ τοῦ Χριστοῦ μέλη τύπτων, οὗ τί γένοιτ' ἂν μιαρώτερον; ὁ δαίμων φθονεῖ μὲν, ἀλλ' ἀνθρώποις, δαίμονι δὲ οὐδενί· σὺ δὲ ἄνθρωπος ὢν, ἀνθρώποις φθονεῖς, καὶ πρὸς τὸ ὁμόφυλον ἵστασαι καὶ ὁμογενὲς, ὅπερ οὐδὲ ὁ δαίμων ποιεῖ. καὶ ποίας τεύξῃ συγγνώμης; ποίας δὲ ἀπολογίας, ὅταν ἴδῃς ἀδελφὸν εὐημεροῦντα, τρέμων καὶ ὠχριῶν, στρεφόμενος, δέον καὶ χαίρειν καὶ ἀγάλλεσθαι; εἰ δὲ καὶ ζηλοῦν ἐθέλεις, οὐ κωλύω· ζήλωσον, ἀλλ' ἵνα κατ' ἐκεῖνον γένῃ τὸν εὐδοκιμοῦντα· μὴ ἵνα αὐτὸν καταβιβάσῃς, ἀλλ' ἵνα πρὸς τὴν αὐτὴν φθάσῃς κορυφὴν, ἵνα τὴν αὐτὴν ἀρετὴν ἐπιδείξῃ. τοῦτο ζῆλος καλὸς, τὸ μιμεῖσθαι καὶ μὴ πολεμεῖν· τὸ μὴ ἀλγεῖν ἐπὶ τοῖς ἑτέρων ἀγαθοῖς, ἀλλὰ δάκνεσθαι ἐπὶ τοῖς οἰκείοις κακοῖς, οὗ τὸ ἐναντίον ὁ φθόνος ποιεῖ. τῶν γὰρ οἰκείων κακῶν ἀμελῶν, ἐπὶ τοῖς ἀλλοτρίοις τήκεται καλοῖς. καὶ γὰρ ὁ πένης οὐχ οὕτω τῇ οἰκείᾳ δάκνεται πενίᾳ, ὡς τῇ τοῦ πλησίον εὐπορίᾳ, οὗ τί γένοιτ' ἂν χαλεπώτερον; οὐδὲν γὰρ κατὰ τοῦτο, ὅπερ ἔφθην εἰπὼν, καὶ τοῦ πλεονέκτου χείρων. ὁ μὲν γὰρ ὅταν αὐτός τι λάβῃ, χαίρει· ὁ δὲ, ὅταν ἕτερος μὴ λάβῃ, τότε εὐφραίνεται. διὸ παρακαλῶ τὴν πονηρὰν ταύτην ἀφέντας ὁδὸν, καὶ μεταβαλόντας πρὸς ζῆλον καλὸν (καὶ γὰρ ἐστι σφοδρὸν καὶ πυρὸς παντὸς θερμότερον ὁ ζῆλος ὁ τοιοῦτος) μεγάλα ἐντεῦθεν καρπώσασθαι ἀγαθά. οὕτω καὶ Παῦλος τοὺς ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τὴν πίστιν ἐχειραγώγει, λέγων· Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν. Ρωμ. ια. ιδ. ὁ γὰρ οὕτω ζηλῶν, ὡς ἐκεῖνος ἐβούλετο, οὐ τήκεται ὅταν τὸν ἕτερον εὐδοκιμοῦντα ἴδῃ, ἀλλ' ὅταν ἑαυτὸν ἀπολιμπανόμενον. ὁ δὲ φθονερὸς οὐχ οὕτως, ἀλλ' ὅταν ἕτερον εὖ πράττοντα ἴδῃ· καὶ καθάπερ κηφήν τίς ἐστι τοῖς ἀλλοτρίοις λυμαινόμενος πόνοις, καὶ αὐτὸς μὲν οὐδέποτε ἀναστῆναι σπουδάζων, δακρύων δὲ ὅταν ἕτερον ἀναστάντα ἴδῃ, καὶ πάντα ποιῶν ὥστε αὐτὸν καταβαλεῖν. τίνι οὖν ἄν τις τοῦτο παραβάλλοι τὸ πάθος; ὅμοιον εἶναί μοι δοκεῖ τοῦτο, οἷον ἂν εἴ τις νωθὴς ὄνος καὶ πολυσαρκίᾳ βεβαρημένος ἵππῳ πτηνῷ συνεζευγμένος, μήτε αὐτὸς διανίστασθαι βούλοιτο, καὶ ἐκεῖνον τῷ βάρει τῶν σαρκῶν καθέλκειν ἐπιχειροίη. καὶ γὰρ καὶ οὗτος, ὅπως μὲν αὐτὸς ἀπαλλαγείη τοῦ βαθέος ὕπνου τούτου, οὐδὲν οὔτε ἐννοεῖ, οὔτε σπουδάζει· πάντα δὲ ποιεῖ ὥστε τὸν εἰς τὸν οὐρανὸν ἱπτάμενον ὑποσκελίσαι, καὶ καταβαλεῖν, ἀκριβὴς τοῦ διαβόλου ζηλωτὴς γινόμενος. καὶ γὰρ ἐκεῖνος ὁρῶν τὸν ἄνθρωπον ἐν παραδείσῳ, οὐκ αὐτὸς ἐσπούδαζε μεταβαλέσθαι, ἀλλ' ἐκεῖνον ἐκβαλεῖν τοῦ παραδείσου. καὶ πάλιν ἰδὼν αὐτὸν ἐν οὐρανῷ καθήμενον, καὶ τοὺς ἄλλους ἐπειγομένους ἐκεῖ, τῆς αὐτῆς ἔχεται μελέτης, τοὺς ἐκεῖ σπεύδοντας ὑποσκελίζων, καὶ πλείονα ἐντεῦθεν ἑαυτῷ σωρεύων τὴν

κάμινον. καὶ γὰρ ἁπανταχοῦ τοῦτο συμβαίνει. ὁ μὲν γὰρ φθονούμενος, ἂν νήφῃ, λαμπρότερος γίνεται· ὁ δὲ βασκαίνων, πλείονα ἑαυτῷ συνάγει κακά. οὕτω καὶ ὁ Ἰωσὴφ ἐγένετο λαμπρότερος· οὕτω Ἀαρὼν ὁ ἱερεύς. ἡ γὰρ τῶν φθονούντων ἐπιβουλὴ, καὶ ἅπαξ καὶ δὶς ψηφίσασθαι αὐτὸν τὸν Θεὸν ἐποίησε, καὶ τὴν ῥάβδον βλαστῆσαι παρεσκεύασεν. οὕτως ὁ Ἰακὼβ τῆς πολλῆς εὐπορίας ἀπήλαυσε, καὶ τῶν ἄλλων ἁπάντων. οὕτως οἱ βασκαίνοντες μυρίοις ἑαυτοὺς περιέπειραν κακοῖς. ἅπερ εἰδότες ἅπαντα, φεύγωμεν τὸν τοιοῦτον ζῆλον. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, φθονεῖς; ὅτι χάριν ἔλαβε πνευματικὴν ὁ ἀδελφός; καὶ παρὰ τίνος ἔλαβεν, εἰπέ μοι; οὐ παρὰ τοῦ Θεοῦ; οὐκοῦν πρὸς ἐκεῖνον τὴν ἀπέχθειαν ἀναδέχῃ τὸν δεδωκότα τὴν δωρεάν. εἶδες ποῖ τὸ κακὸν ἕρπει, καὶ εἰς τὸν κολοφῶνα τῶν ἁμαρτημάτων ἐπάγει, καὶ ὅσον ἀνορύττει βάραθρον τιμωρίας; φεύγωμεν τοίνυν, ἀγαπητοὶ, καὶ μήτε φθονῶμεν, καὶ τῶν φθονούντων ὑπερευχώμεθα, καὶ πάντα ποιῶμεν, ὥστε αὐτῶν κατασβέσαι τὸ πάθος· ἀλλὰ μὴ τὰ τῶν ἀνοήτων πάσχωμεν, οἱ βουλόμενοι δίκην αὐτοὺς ἀπαιτῆσαι, πάντα ποιοῦσιν ὥστε αὐτῶν ἀνάψαι τὴν φλόγα. ἀλλὰ μὴ ἡμεῖς οὕτως, ἀλλὰ δακρύωμεν αὐτοὺς καὶ θρηνῶμεν. αὐτοὶ γάρ εἰσιν οἱ ἠδικημένοι, σκώληκα ἔχοντες διηνεκῆ διατετρῶντα αὐτῶν τὴν καρδίαν, καὶ πηλὸν ἰοῦ συνάγοντες πάσης χολῆς πικρότερον. παρακαλῶμεν τοίνυν τὸν φιλάνθρωπον Θεὸν καὶ ἐκείνοις τὸ πάθος μεταβαλεῖν, καὶ ἡμᾶς μήποτε ἐμπεσεῖν τῷ νοσήματι. καὶ γὰρ ἄβατος ὁ οὐρανὸς τῷ ταύτην ἔχοντι τὴν τηκεδόνα· καὶ πρὸ τοῦ οὐρανοῦ δὲ, καὶ ὁ παρὼν βίος ἀβίωτος. οὐδὲ γὰρ οὕτω ξύλον καὶ ἔριον σὴς ἐγκαθήμενος καὶ σκώληξ διατρώγειν εἴωθεν, ὡς ὁ τῆς βασκανίας πυρετὸς αὐτὰ κατεσθίει τὰ ὀστᾶ τῶν βασκαινόντων, καὶ τῆς ψυχῆς τὴν σωφροσύνην λυμαίνεται. ἵν' οὖν καὶ ἑαυτοὺς, καὶ ἑτέρους τῶν μυρίων ἀπαλλάξωμεν κακῶν, ἀπελάσωμεν τὸν πονηρὸν τοῦτον ἐξ ἡμῶν πυρετὸν, τὸν πάσης τηκεδόνος χαλεπώτερον· ἵνα πνευματικὴν ἀναλαβόντες ἰσχὺν, καὶ τὸν παρόντα διανύσωμεν ἀγῶνα, καὶ τῶν μελλόντων ἐπιτύχωμεν στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. αὐτὸ

Λογ. λϐ. 27 ΥΜΕΙΣ ΔΕ ΕΣΤΕ ΣΩΜΑ ΧΡΙΣΤΟΥ, ΚΑΙ μέλη ἐκ μέρους.

Ἵνα γὰρ μή τις λέγῃ, τί πρὸς ἡμᾶς τοῦ σώματος τὸ ὑπόδειγμα; ἐκεῖνο μὲν γὰρ φύσει δουλεύει, τὰ δὲ ἡμέτερα προαιρέσεώς ἐστι κατορθώματα, ″περιάγων αὐτὸ τοῖς καθ' ἡμᾶς πράγμασι, καὶ δεικνὺς ἰσ. περὶ ὅτι τοσαύτην ἀπὸ γνώμης ὀφείλομεν ἔχειν ὁμόνοιαν, ὅσην ἀπὸ φύσεως ἐκεῖνα, φησὶν, ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ. εἰ δὲ τὸ ἡμέτερον οὐ δεῖ στασιάζειν σῶμα, πολλῷ μᾶλλον τὸ τοῦ Χριστοῦ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ φύσεως χάρις δυνατωτέρα. καὶ μέλη ἐκ μέρους. οὐ γὰρ δὴ σῶμα μόνον, φησὶν, ἀλλὰ καὶ μέλη ἐσμέν. περὶ γὰρ ἀμφοτέρων τούτων ἀνωτέρω διελέχθη, τοὺς πολλοὺς εἰς ἓν ″συνάγων, καὶ δεικνὺς ἅπαντας ἕν τι κατὰ τὴν τοῦ σώματος εἰκόνα γινομένους, καὶ τὸ ἓν χ. ἀπαγ- τοῦτο διὰ τῶν πολλῶν συνιστάμενον, καὶ ἐν τοῖς πολλοῖς ὂν, καὶ τὰ πολλὰ ἐκ τούτου συνεχόμενα γῶν. καὶ δυνάμενα εἶναι πολλά. τί δέ ἐστι, τὸ ἐκ μέρους; τόγε εἰς ὑμᾶς ἧκον, καὶ ὅσον εἰκὸς ἐξ ὑμῶν οἰκοδομηθῆναι μέρος. ἐπειδὴ γὰρ εἶπε, σῶμα, τὸ δὲ πᾶν σῶμα ἦν, οὐχὶ ἡ παρὰ Κορινθίοις ἐκκλησία, ἀλλ' ἡ πανταχοῦ τῆς οἰκουμένης, διὰ τοῦτο ἔφησεν, ἐκ μέρους· τουτέστιν, ὅτι ἡ ἐκκλησία ἡ παρ' ὑμῖν μέρος ἐστὶ τῆς πανταχοῦ κειμένης ἐκκλησίας, καὶ τοῦ σώματος τοῦ διὰ πασῶν συνισταμένου τῶν ἐκκλησιῶν· ὥστε οὐχὶ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν κατὰ τὴν οἰκουμένην ἐκκλησίαν εἰρηνεύειν ἂν εἴητε δίκαιοι, εἴγε πάντες ἐστὲ μέλη τοῦ σώματος.

28 Καὶ

28 Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Ὅπερ γὰρ ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ποιεῖ· ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ ταῖς γλώσσαις, ἔσχατον αὐτὸ τίθησι πανταχοῦ. τὸ γὰρ πρῶτον ἐνταῦθα καὶ δεύτερον οὐχ ἁπλῶς εἴρηκεν, ἀλλὰ προστάττων τὸ προτιμότερον, καὶ τὸ καταδεέστερον δεικνύς. διὸ καὶ τοὺς ἀποστόλους προὔθηκεν, οἱ πάντα ἐν ἑαυτοῖς εἶχον τὰ χαρίσματα. καὶ οὐκ εἶπεν,* οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους ἁπλῶς ἢ προφήτας, ἀλλὰ πρῶτον καὶ δεύτερον καὶ τρίτον τίθησι, τὸ αὐτὸ τοῦτο, ὅπερ εἶπον, ἐμφαίνων. δεύτερον προφήτας. προεφήτευον γὰρ, ὡς αἱ θυγατέρες Φιλίππου, ὡς ὁ Ἄγαβος, ὡς αὐτοὶ οὗτοι οἱ παρὰ Κορινθίοις, περὶ ὧν φησι, Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν· καὶ Τιμοθέῳ δὲ γράφων ἔλεγε, Μὴ ἀμέλει (α. Κορ. ιδ. κθ.) τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας. καὶ πολλῷ πλείους τότε ἦσαν, ἢ ἐπὶ τῆς παλαιᾶς (α. Τιμ. δ. ιδ.). οὐ γὰρ εἰς δέκα καὶ εἴκοσι καὶ πεντήκοντα καὶ ἑκατὸν περιεισήκει τὸ χάρισμα, ἀλλ' ἐξεχύθη δαψιλῶς ἡ χάρις αὕτη, καὶ ἑκάστη ἐκκλησία πολλοὺς εἶχε τοὺς προφητεύοντας. εἰ δέ φησιν ὁ Χριστὸς, ὅτι Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, περὶ ἐκείνων φησὶ τῶν προφη- (Ματθ. ια. ιγ.) τῶν τῶν τὴν παρουσίαν αὐτοῦ προαναφωνησάντων. τρίτον διδασκάλους. ὁ μὲν γὰρ προφητεύων, πάντα ἀπὸ τοῦ πνεύματος φθέγγεται· ὁ δὲ διδάσκων, ἔστιν ὅπου καὶ ἐξ οἰκείας διανοίας διαλέγεται. διὸ καὶ ἔλεγεν, Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξι- (α. Τιμ. ε. ιζ.) ούσθωσαν, μάλιστα δὲ οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ· ὁ δὲ πνεύματι πάντα φθεγγόμενος, οὐ κοπιᾷ. διὰ δὴ τοῦτο καὶ μετὰ τὸν προφήτην, αὐτὸν τέθεικεν· ὅτι τὸ μὲν, ὅλον ἐστὶ χάρισμα, τὸ δὲ, καὶ ἀνθρώπινος πόνος. καὶ γὰρ καὶ οἴκοθεν πολλὰ φθέγγεται, συμβαίνοντα μέντοι ταῖς θείαις γραφαῖς. ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων. ὁρᾷς πῶς πάλιν διαιρεῖ τὰ ἰάματα ἀπὸ τῆς δυνάμεως, ὅπερ καὶ ἔμπροσθεν ἐποίησεν. ἡ γὰρ δύναμις πλέον τῆς ἰάσεως. ὁ μὲν γὰρ δύναμιν ἔχων, καὶ κολάζει, καὶ ἰᾶται· ὁ δὲ χάρισμα ἰαμάτων, θεραπεύει μόνον. καὶ ὅρα πῶς ἀντέστρεψε τὴν τάξιν, τὴν προφητείαν τῶν δυνάμεων καὶ τῶν ἰαμάτων προστιθείς. ἀνωτέρω μὲν γὰρ, ἔνθα ἔλεγεν, ὅτι τῷ μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, καὶ ἄλλῳ λόγος γνώσεως, οὐ κατὰ τάξιν τιθεὶς ἔλεγεν, ἀλλ' ἀδιαφόρως· ἐνταῦθα μέντοι προτίθησι, καὶ ὑποτάττει. τίνος οὖν ἕνεκεν τὴν προφητείαν προτίθησιν; ὅτι καὶ ἐν τῇ παλαιᾷ ταύτην εἶχε τὸ πρᾶγμα τὴν τάξιν. ὅτε γοῦν ὁ Ἡσαΐας πρὸς Ἰουδαίους διελέγετο, καὶ τῆς τοῦ Θεοῦ δυνάμεως παρεῖχεν ἀπόδειξιν, καὶ τῆς τῶν δαιμόνων εὐτελείας τὸν ἔλεγχον περιῆγεν εἰς μέσον, καὶ τοῦτο τῆς θειότητος αὐτοῦ ἔφησεν εἶναι δεῖγμα μέγιστον, τὸ λέγειν τὰ μέλλοντα. (γ. περιήγαγεν) καὶ ὁ Χριστὸς δὲ τοσαῦτα σημεῖα ποιήσας, οὐ μικρὸν τοῦτό φησιν αὐτοῦ τῆς θειότητος εἶναι σημεῖον· καὶ ἐπιλέγει συνεχῶς, Ταῦτα δὲ εἴρηκα ὑμῖν, ἵν', ὅταν (Ἰωάν. ιγ. ιθ.) γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι. ἀλλὰ προφητείας μὲν εἰκότως τὰ χαρίσματα τῶν ἰαμάτων δεύτερα. διὰ τί δὲ καὶ διδασκαλίας; ὅτι οὐκ ἔστιν ἴσον, λόγον καταγγέλλειν κηρύγματος, καὶ σπείρειν τὴν εὐσέβειαν εἰς τὰς τῶν ἀκουόντων ψυχὰς, καὶ δυνάμεις ποιεῖν· ἐπεὶ καὶ αὗται δι' ἐκεῖνο γίνονται. (γ. ἐκείνων) ὅταν οὖν τις καὶ λόγῳ παιδεύῃ καὶ βίῳ, πάντων ἐστὶ μείζων. διδασκάλους γὰρ τούτους φησὶ, τοὺς καὶ τοῖς ἔργοις διδάσκοντας, καὶ τῷ λόγῳ παιδεύοντας. τοῦτο γοῦν καὶ τοὺς ἀποστόλους, ἀποστόλους εἶναι ἐποίησε. κἀκεῖνα μὲν καὶ ἕτεροί τινες οὐ πολλοῦ ἄξιοι παρὰ τὴν ἀρχὴν εἰλήφασιν, ὡς ἐκεῖνοι οἱ εἰρηκότες, Κύριε, οὐχὶ τῷ σῷ ὀνόματι προε- (Ματθ. ζ. κβ.) φητεύσαμεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ μετὰ ταῦτα ἀκούσαντες, Οὐδέποτε ἔγνων ὑμᾶς· πορεύεσθε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. τὸν δὲ τῆς διδασκαλίας λόγον τὸν διπλοῦν τοῦτον, τὸν διὰ τῶν ἔργων καὶ τῶν λόγων, οὐκ ἂν ἀναδέξαιτό ποτε πονηρὸς ἄνθρωπος. εἰ δὲ τοὺς προφήτας προτίθησι, μὴ θαυμάσῃς. οὐ γὰρ ἁπλῶς προφήτας λέγει, ἀλλὰ τοὺς διὰ τῆς προφητείας καὶ διδάσκοντας, καὶ εἰς τὸ κοινὸν συμφέρει ἅπαντα

* ὅτι

λέγοντας, ὅπερ σαφέστερον ἡμῖν ποιεῖ. ἀντιλήψεις, κυβερνήσεις. Τί ἐστιν, ἀντιλήψεις; ὥστε ἀντέχεσθαι τῶν ἀσθενῶν. τοῦτο οὖν χάρισμα, εἰπέ μοι; μάλιστα μὲν καὶ τοῦτο τῆς τοῦ Θεοῦ δωρεᾶς, τὸ προστατικὸν εἶναι, τὸ πράγματα οἰκονομεῖν πνευματικά· ἄλλως τε δὲ πολλὰ καὶ τῶν ἡμετέρων κατορθωμάτων, χαρίσματα καλεῖ, οὐκ ἀναπίπλειν ἡμᾶς βουλόμενος, ἀλλὰ δεικνὺς ὅτι πανταχοῦ τῆς τοῦ Θεοῦ δεόμεθα βοηθείας, καὶ παρασκευάζων εὐχαρίστους εἶναι, καὶ προθυμοτέρους ταύτῃ ποιῶν καὶ διεγείρων αὐτῶν τὰ φρονήματα. γένη γλωσσῶν. Εἶδες ποῦ τέθεικε τοῦτο τὸ χάρισμα, καὶ πῶς πανταχοῦ τὴν ἐσχάτην αὐτῷ νέμει τάξιν; Εἶτα ἐπειδὴ πάλιν ἐκ τοῦ καταλόγου τούτου πολλὴν ἔδειξε διαφορὰν, καὶ τὸ νόσημα ἐκεῖνο διήγειρε τὸ τῶν ἐλάττονα ἐχόντων χαρίσματα, λοιπὸν μετὰ πολλῆς αὐτοῖς ἐπιπλήσσει τῆς σφοδρότητος, διὰ τὸ πολλὰς αὐτοῖς παρασχεῖν τὰς ἀποδείξεις τοῦ μὴ σφόδρα ἐλαττοῦσθαι αὐτούς. ἐπειδὴ γὰρ εἰκὸς ἦν ταῦτα ἀκούσαντας αὐτοὺς λέγειν, καὶ διὰ τί μὴ πάντες ἀπόστολοι ἐγενόμεθα; ἀνωτέρω μὲν παρακλητικωτέρῳ λόγῳ κέχρηται, διὰ πολλῶν ἀποδεικνὺς ἀναγκαίως τοῦτο γινόμενον, καὶ ἀπὸ τῆς τοῦ σώματος εἰκόνος (Τὸ γὰρ σῶμα, φησὶν, οὐκ ἔστιν ἓν μέλος· καὶ πάλιν, Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;) καὶ ἀπὸ τοῦ συμφερόντως δεδόσθαι (Ἑκάστῳ γὰρ, φησὶν, ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον) καὶ ἀπὸ τοῦ πάντας ἀπὸ τοῦ πνεύματος ἀρύεσθαι τοῦ αὐτοῦ, καὶ ἀπὸ τοῦ χάρισμα εἶναι τὸ διδόμενον, ἀλλὰ μὴ ὀφειλὴν (Διαιρέσεις γὰρ, φησὶ, χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα) καὶ ἀπὸ τοῦ φανέρωσιν ὁμοίως γίνεσθαι διὰ πάντων τοῦ πνεύματος (Ἑκάστῳ γὰρ ἡ φανέρωσις, φησὶ, δίδοται διὰ τοῦ πνεύματος) καὶ ἀπὸ τοῦ κατὰ τὸ δοκοῦν τῷ πνεύματι καὶ τῷ Θεῷ ταῦτα τετυπῶσθαι (Πάντα γὰρ ταῦτα, φησὶν, ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται· καὶ, ἔθετο ὁ Θεὸς τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησε) καὶ ἀπὸ τοῦ ἀναγκαῖα εἶναι καὶ τὰ ἐλάττονα (Τὰ γὰρ δοκοῦντα, φησὶν, ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστιν) ἀπὸ τοῦ ὁμοίως ἀναγκαῖα εἶναι, ἐν τῷ ὁμοίως τὸ σῶμα κατασκευάζειν τοῖς μείζοσι (Τὸ γὰρ σῶμα, φησὶν, οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά) ἀπὸ τοῦ καὶ τὰ μείζονα τῶν ἐλαττόνων δεῖσθαι (Οὐ δύναται γὰρ, φησὶν, εἰπεῖν ἡ κεφαλὴ τοῖς ποσὶ, χρείαν ὑμῶν οὐκ ἔχω) ἀπὸ τοῦ καὶ πλείονος ταῦτα ἀπολαύειν τιμῆς (Τῷ γὰρ ὑστεροῦντι, φησὶ, περισσοτέραν ἔδωκε τιμήν) ἀπὸ τοῦ κοινὴν αὐτῶν εἶναι τὴν φροντίδα καὶ ἴσην (Τὸ γὰρ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι πάντα τὰ μέλη) καὶ ἀπὸ τοῦ μίαν εἶναι τὴν δόξαν καὶ τὴν ἀλγηδόνα αὐτῶν ἁπάντων (Εἴτε γὰρ πάσχει, φησὶν, ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη) ἀνωτέρω μὲν οὖν παρεκάλεσε διὰ τούτων· ἐνταῦθα δὲ καταφορικῶς καὶ ἐπιτιμητικῶς κέχρηται τῷ λόγῳ λοιπόν. ὅπερ γὰρ ἔφην, οὔτε ἀεὶ παρακαλεῖν, οὔτε ἐπιστομίζειν ἀεὶ χρή. διὰ τοῦτο καὶ αὐτὸς, ἐπειδὴ διὰ πολλῶν αὐτοὺς παρεκάλεσε, σφοδρῶς λοιπὸν ἐπιτίθεται λέγων·

29 Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Καὶ οὐχ ἵσταται μέχρι τοῦ πρώτου καὶ τοῦ δευτέρου χαρίσματος, ἀλλὰ μέχρις ἐσχάτων πρόεισιν, ἢ τοῦτο λέγων, ὅτι οὐ δυνατὸν πάντας εἶναι πάντα (ὥσπερ ἐκεῖ φησιν, Εἰ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;) ἢ καὶ ἕτερόν τι μετὰ τούτων κατασκευάζων εἰς παραμυθίας λόγον πάλιν. ποῖον δὴ τοῦτο; τὸ δεῖξαι καὶ τὰ ἐλάττονα ὁμοίως τοῖς μείζοσι περιμάχητα ἐκ τοῦ μηδὲ ταῦτα ἁπλῶς πᾶσι δεδόσθαι. Τί γὰρ, φησὶν, ἀλγεῖς, ὅτι οὐκ ἔχεις χαρίσματα ἰαμάτων; ἐννόησον ὅτι ὅπερ ἔχεις σὺ, κἂν ἔλαττον ᾖ, πολλάκις ὁ τὸ μεῖζον ἔχων, οὐκ ἔχει· διὸ τοῦτό φησι,

30 Μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσιν;

Ὥσπερ γὰρ τὰ μεγάλα οὐ πᾶσιν ἐχαρίσατο ὁ Θεὸς πάντα, ἀλλὰ τοῖς μὲν τοῦτο, τοῖς δὲ ἐκεῖνο, οὕτω καὶ ἐπὶ τῶν ἐλαττόνων ἐποίησεν, οὐδὲ ταῦτα πᾶσι προθείς. ἐποίησε δὲ τοῦτο, πολ-

λὴν

λὴν ἐκ τούτου τὴν συμφωνίαν καὶ τὴν ἀγάπην οἰκοδομῶν, ἵνα ἕκαστος τοῦ πλησίον δεόμενος συνάγηται πρὸς τὸν ἀδελφόν. τοῦτο καὶ ἐν ταῖς τέχναις ἀσκούμενον, τοῦτο καὶ ἐν τοῖς στοιχείοις, τοῦτο καὶ ἐν τοῖς φυτοῖς, καὶ ἐν τοῖς μέλεσι τοῖς ἡμετέροις, καὶ πᾶσιν ἁπλῶς. Εἶτα ἐπάγει λοιπὸν τὴν κυριωτάτην παραμυθίαν, καὶ ἱκανὴν αὐτοὺς ἀνακτήσασθαι καὶ ἀναπαῦσαι τὴν ὀδυνωμένην ψυχήν. τίς δὲ αὕτη ἐστί;

31 Ζηλοῦτε, φησί, τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι ὑμῖν. Τοῦτο δὲ εἰπὼν ἠρέμα ἠνίξατο αἰτίους ὄντας τοῦ τὰ ἐλάττονα λαμβάνειν, καὶ κυρίους, εἰ βούλοιντο, τοῦ τὰ μείζονα λαβεῖν. ὅταν γὰρ εἴπῃ, ζηλοῦτε, τὴν παρ' ἐκείνων σπουδὴν ἀπαιτεῖ καὶ τὴν ἐπιθυμίαν τὴν περὶ τὰ πνευματικά. καὶ οὐκ εἶπε, τὰ μείζονα, ἀλλά, τὰ κρείττονα, τουτέστι, τὰ χρησιμώτερα, τὰ συμφέροντα. ὃ δὲ λέγει τοῦτό ἐστι· μένετε ἐπιθυμοῦντες χαρισμάτων. καὶ δείκνυμι ὁδὸν χαρισμάτων ὑμῖν. οὐδὲ γὰρ εἶπε, χάρισμα, ἀλλ', ὁδόν, ἵνα μειζόνως ἐπάρῃ τοῦτο, ὃ μέλλει λέγειν. οὐδὲ γὰρ ἕν, καὶ δύο, καὶ τρία χαρίσματα δείκνυμι ὑμῖν, ἀλλ' ὁδὸν μίαν τὴν ἐπὶ πάντα ταῦτα φέρουσαν· καὶ οὐχ ἁπλῶς ὁδόν, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς, καὶ κοινὴν πᾶσι προκειμένην. οὐ γὰρ ὥσπερ τὰ χαρίσματα τοῖς μὲν ταῦτα, τοῖς δὲ ἐκεῖνα, ἀλλ' οὐ πᾶσι πάντα δέδοται, οὕτω καὶ τοῦτο, ἀλλὰ καθολικὸν δῶρόν ἐστι. διὸ καὶ πάντας εἰς τοῦτο καλεῖ. ζηλοῦτε γάρ, φησι, τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι ὑμῖν, τὴν ἀγάπην λέγων τὴν πρὸς τὸν πλησίον. Εἶτα μέλλων ἐμβαίνειν εἰς τὸν περὶ αὐτῆς λόγον καὶ τὸ ἐγκώμιον τοῦ κατορθώματος τούτου, πρότερον καθαιρεῖ ταῦτα τῇ πρὸς ἐκείνην συγκρίσει, οὐδὲν ὄντα δεικνὺς ταύτης χωρίς, σφόδρα συνετῶς. εἰ γὰρ εὐθέως περὶ ἀγάπης διελέχθη, καὶ εἰπών, ὁδὸν ὑμῖν δείκνυμι, ἐπήγαγεν, αὕτη δέ ἐστιν ἡ ἀγάπη, καὶ μὴ κατὰ σύγκρισιν τὸν λόγον προήγαγε, κἂν ἐμυκτήρισάν τινες τὸ λεχθέν, οὐκ εἰδότες σαφῶς τοῦ πράγματος τὴν ἰσχύν, ἀλλ' ἔτι πρὸς ταῦτα κεχηνότες. διόπερ οὐκ εὐθέως αὐτὴν ἀνακαλύπτει, ἀλλὰ πρότερον τῇ ἐπαγγελίᾳ τὸν ἀκροατὴν ἐπάρας, καὶ εἰπών, καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι ὑμῖν, καὶ εἰς ἐπιθυμίαν αὐτὸν ἀγαγών, οὐδὲ οὕτως εὐθέως εἰς αὐτὴν ἐμβαίνει, ἀλλ' αὔξων ἔτι καὶ ἐπιτείνων αὐτῶν τὴν ἐπιθυμίαν, περὶ τούτων αὐτῶν διαλέγεται πρότερον, καὶ δείκνυσιν ἐκείνης οὐκ οὔσης οὐδὲν ὄντα, εἰς μεγίστην αὐτοὺς ἀνάγκην τοῦ φιλεῖν ἀλλήλους καθιστάς. ἐπεὶ καὶ ἐκ τούτων ἠμελῆσθαι, ἡ αἰτία τῶν κακῶν ἀπολύτων ἦν. ὥστε καὶ κατὰ τοῦτο εἰκότως ἂν μεγάλη φανείη, εἴγε τὰ μὲν χαρίσματα οὐ μόνον αὐτοὺς οὐ συνῆγεν, ἀλλὰ καὶ ἠνωμένους διέστησεν, αὕτη δὲ τοὺς δι' ἐκείνων διαστάντας δι' ἑαυτῆς μέλλοι συνάγειν καὶ ποιεῖν σῶμα ἕν. ἀλλ' οὐ λέγει τοῦτο εὐθέως, ἀλλ' ὃ μάλιστα ἐπόθουν, τοῦτο τίθησιν· οἶδεν ὅτι χάρισμα τὸ πρᾶγμά ἐστι, καὶ τῶν χαρισμάτων ἁπάντων ὁδὸς μεθ' ὑπερβολῆς. ὥστε εἰ καὶ μὴ διὰ τὸ ὀφείλειν τοὺς ἀδελφοὺς ἀγαπᾶν, διὰ τὸ κρείττονος ἐπιλαμβάνεσθαι σημείου καὶ χαρίσματος δεῖ φιλοτίμως καταδέξασθαι τὴν ἀγάπην. καὶ ὅρα πόθεν ἄρχεται, πρότερον ἀπὸ τοῦ θαυμαστοῦ δοκοῦντος εἶναι παρ' αὐτοῖς καὶ μεγάλου, τῶν γλωσσῶν. καὶ ἀγαγὼν εἰς μέσον τὸ χάρισμα, οὐ τοσοῦτον τίθησιν, ὅσον εἶχον, ἀλλὰ πολλῷ πλέον. οὐδὲ γὰρ εἶπεν, ἐὰν γλώσσαις λαλῶ, ἀλλ',

γρ. πολλῶν

γρ. φίλων

1 Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ. Τί ἐστι, τῶν ἀνθρώπων; πάντων τῶν πανταχοῦ τῆς οἰκουμένης ἐθνῶν. καὶ οὐδὲ ταύτῃ ἠρκέσθη τῇ ὑπερβολῇ, ἀλλὰ καὶ ἑτέραν πολλῷ μείζονα τίθησιν, ἐπάγων καὶ λέγων, Καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Εἶδες ποῦ τὸ χάρισμα ἐπάρας, ποῦ καθεῖλεν αὐτὸ καὶ κατέρριψεν; οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδέν εἰμι, ἀλλ' ὅτι γέγονα χαλκὸς ἠχῶν, ἀναίσθητόν τι καὶ ἄψυχον. πῶς δὲ χαλκὸς ἠχῶν; φωνὴν μὲν ἀφιείς, εἰκῇ δὲ καὶ μάτην, καὶ εἰς οὐδὲν δέον. πρὸς γὰρ τῷ μηδὲν ἀνύειν, καὶ παρενοχλεῖν δοκῶ, καὶ φορτικός τις εἶναι καὶ ἐπαχθὴς τοῖς πολλοῖς. ὁρᾷς πῶς ὁ ἀγάπης ἀπεστερημένος τοῖς ἀψύχοις προσέοικε καὶ ἀναισθήτοις;

γρ. κατέρρηξεν;

ναι αὐτοῖς; γλῶτταν δὲ ἀγγέλων ἐνταῦθά φησιν, οὐχὶ σῶμα περιτιθεὶς ἀγγέλοις, ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι· κἂν οὕτω φθεγγώμεθα, ὡς ἀγγέλοις νόμος πρὸς ἀλλήλους διαλέγεσθαι, τούτων δὲ χωρὶς ἀγάπης οὐδέν εἰμι, ἀλλὰ καὶ ἐπαχθὴς καὶ φορτικός. οὕτω γοῦν καὶ ἀλλαχοῦ ὅταν λέγῃ, ὅτι Αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, (Ρωμ. ιδ. ια.) οὐ γόνατα καὶ ὀστᾶ περιτιθεὶς τοῖς ἀγγέλοις ταῦτα λέγει (ἄπαγε) ἀλλὰ τὴν ἐπιτεταμένην προσκύνησιν διὰ τοῦ παρ' ἡμῖν σχήματος αἰνίξασθαι βούλεται). οὕτω καὶ ἐνταῦθα γλῶτταν ἐκάλεσεν, οὐ σαρκὸς ὄργανον δηλῶν, ἀλλὰ τὴν πρὸς ἀλλήλους αὐτῶν ὁμιλίαν τῷ γνωρίμῳ παρ' ἡμῖν τρόπῳ αἰνίξασθαι βουλόμενος. εἶτα ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, οὐ μέχρι τῶν γλωττῶν ἵσταται, ἀλλὰ καὶ ἐπὶ τὰ λοιπὰ πρόεισι χαρίσματα, καὶ πάντα τῇ αὐτῆς ἀπουσίᾳ καθελὼν, τότε αὐτῆς ὑπογράφει τὴν εἰκόνα. καὶ ἐπειδὴ αὔξησιν ποιῆσαι προῄρηται τοῦ λόγου, ἀπὸ τῶν ἐλαττόνων ἀρχόμενος ἄνεισιν ἐπὶ τὰ μείζω. ὅπερ γὰρ, ἡνίκα τὴν τάξιν αὐτῶν ἐνέφηνεν, ὕστερον τέθεικε τὸ τῶν γλωττῶν, τοῦτο πρῶτον ἀριθμεῖ νῦν, κατὰ μικρὸν, ὅπερ ἔφην, ἐπὶ τὰ μείζονα ἀναβαίνων. εἰπὼν γὰρ περὶ τῶν γλωττῶν, ἐπὶ τὴν προφητείαν εὐθέως ἐκβαίνει, καί φησι,

2 Καὶ ἐὰν ἔχω προφητείαν· Καὶ ταύτην πάλιν μεθ' ὑπερβολῆς. ὥσπερ γὰρ ἐκεῖ οὐ γλώσσας ἔθηκεν, ἀλλὰ τὰς πάντων τῶν ἀνθρώπων γλώσσας, καὶ πρὸς αὐτῶν τὰς τῶν ἀγγέλων, καὶ τότε ἔδειξεν οὐδὲν ὂν τὸ χάρισμα ἀγάπης χωρίς· οὕτω καὶ ἐνταῦθα οὐ τὴν προφητείαν τίθησι μόνον, ἀλλὰ καὶ τὴν ὑψηλοτάτην προφητείαν. εἰπὼν γοῦν, ἐὰν ἔχω προφητείαν, ἐπήγαγε, Καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν,

Μετ' ἐπιτάσεως τιθεὶς καὶ τοῦτο τὸ χάρισμα. εἶτα μετὰ τοῦτο καὶ ἐπὶ τὰ λοιπὰ χαρίσματα προβαίνει. καὶ ἵνα μὴ καθ' ἕκαστον αὐτῶν λέγων δοκῇ πάλιν ἐνοχλεῖν, τὴν μητέρα καὶ πηγὴν ἁπάντων τίθησι, καὶ αὐτὴν πάλιν μεθ' ὑπερβολῆς, οὕτω λέγων·

Καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν. Καὶ οὐδὲ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ, ὅπερ ὡς μέγιστον εἶπεν ὁ Χριστὸς, καὶ τοῦτο προσέθηκεν, εἰπών· Ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ σκόπει πῶς πάλιν κἀνταῦθα καθαιρεῖ τῶν γλωσσῶν τὸ ἀξίωμα. ἐπὶ μὲν γὰρ τῆς προφητείας δείκνυσι πολὺ τὸ κέρδος τὸ ἀπ' αὐτῆς, τὸ εἰδέναι τὰ μυστήρια καὶ τὴν γνῶσιν ἔχειν πᾶσαν, καὶ ἐπὶ τῆς πίστεως ἔργον οὐ μικρὸν, τὸ τὰ ὄρη μεθιστάνειν· ἐπὶ δὲ τῶν γλωττῶν, αὐτὸ μόνον εἰπὼν τὸ χάρισμα, ἀνεχώρησε. σὺ δέ μοι κἀκεῖνο σκόπει, πῶς ἐν βραχεῖ πάντα περιέλαβε τὰ χαρίσματα, προφητείαν εἰπὼν καὶ πίστιν. ἢ γὰρ ἐν λόγοις, ἢ ἐν ἔργοις ἐστὶ τὰ θαύματα. καὶ πῶς ὁ Χριστός φησιν ἐλάχιστον μέρος τῆς πίστεως εἶναι τὸ δύνασθαι ὄρος μεταστῆσαι (ὡς γὰρ ἐλάχιστον λέγων, οὕτως ἔθηκεν εἰπών, Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι, καὶ μεταβήσεται) (Ματθ. ιζ. κ.) ὁ δὲ Παῦλος πᾶσαν τὴν πίστιν ταύτην εἶναί φησι; τί οὖν ἐστιν εἰπεῖν; ἐπειδὴ μέγα ἦν τοῦτο, τὸ ὄρος μεταστῆσαι, διὰ τοῦτο καὶ αὐτοῦ ἐμνημόνευσεν, οὐχ ὡς τούτου μόνης δυναμένης πάσης τῆς πίστεως, ἀλλ' ἐπειδὴ τοῦτο μέγα εἶναι ἐδόκει τοῖς παχυτέροις διὰ τὸν ὄγκον τοῦ σώματος, κἀντεῦθεν ἐπαίρει τὸ προκείμενον. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, καὶ ἐὰν δυνώμεθα ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.

3 Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Βαβαὶ τῆς ὑπερβολῆς. καὶ γὰρ καὶ ταῦτα μετὰ προσθήκης ἑτέρας τίθησιν. οὐ γὰρ εἶπεν, ἐὰν δῶ τοῖς πένησι τὴν ἡμίσειαν μοῖραν τῶν ὄντων, ἢ τὰς δύο, ἢ τὰς τρεῖς μοίρας, ἀλλ', ἐὰν πάντα μου τὰ ὑπάρχοντα. καὶ οὐκ εἶπε, δῶ, ἀλλὰ, ψωμίσω, ὡς προσκεῖσθαι τῇ δαπάνῃ καὶ τὴν διακονίαν τὴν μετ' ἐπιμελείας ἁπάσης. καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι. οὐκ εἶπεν, ἐὰν ἀποθάνω, ἀλλὰ καὶ τοῦτο μεθ' ὑπερβολῆς. τὸν γὰρ πάντων χαλεπώτερον θάνατον θεὶς, τὸ

ζῶντα

ζῶντα κατακαῦσαι, καὶ τοῦτον χωρὶς ἀγάπης οὐδὲν μέγα ἔφησεν εἶναι. ἐπήγαγε γοῦν, οὐδὲν ὠφελοῦμαι. ἀλλ' οὐδέπω τὴν πᾶσαν ὑπερβολὴν ἔδειξα, ἕως ἂν τοῦ Χριστοῦ τὰς μαρτυρίας τὰς περὶ ἐλεημοσύνης καὶ θανάτου εἰρημένας εἰς μέσον ἀγάγω. τίνες οὖν εἰσιν αἱ μαρτυρίαι; τῷ πλουσίῳ φησίν, Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. Ματθ. ιθ. κα. καὶ περὶ ἀγάπης δὲ διαλεγόμενος τῆς εἰς τὸν πλησίον φησί, Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ιωαν. ιε. ιγ. ὅθεν δῆλον, ὅτι καὶ ἐπὶ τοῦ Θεοῦ τοῦτο πάντων μέγιστόν ἐστιν. ἀλλ' ἐγὼ λέγω, φησὶν ὁ Παῦλος, κἂν ὑπὲρ τοῦ Θεοῦ θῶμεν αὐτήν, καὶ μηδὲ ἁπλῶς θῶμεν, ἀλλ' ὥστε καὶ ἐμπρησθῆναι (τοῦτο γάρ ἐστιν, ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι) οὐ μέγα ἔσται κέρδος ἡμῖν τὸν πλησίον οὐκ ἀγαπῶσι. τὸ μὲν οὖν λέγειν τὰ χαρίσματα οὐδὲν μέγα ὠφελεῖν ἀγάπης ἀπούσης, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ τοῦ βίου δεύτερά ἐστι τὰ χαρίσματα. πολλοὶ γοῦν χαρίσματα ἐπιδειξάμενοι, ἐπειδὴ φαῦλοι γεγόνασιν, ἐκολάσθησαν, ὡς ἐκεῖνοι οἱ τῷ ὀνόματι αὐτοῦ προφητεύσαντες καὶ δαιμόνια πολλὰ ἐκβαλόντες καὶ δυνάμεις πολλὰς ποιήσαντες, ὡς Ἰούδας ὁ προδότης· ἕτεροι δὲ βίον παρασχόμενοι πιστοὶ καθαρόν, οὐδενὸς ἐδεήθησαν ἑτέρου πρὸς τὸ σωθῆναι. τὸ μὲν οὖν τὰ χαρίσματα, ὅπερ ἔφην, δεῖσθαι ταύτης, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ βίον ἠκριβωμένον μηδὲν ἰσχύειν ταύτης ἄνευ, τοῦτό ἐστι τὸ τὴν ὑπερβολὴν ἐμφαῖνον καὶ πολλὴν ποιοῦν τὴν ἀπορίαν, καὶ μάλιστα ὅταν ὁ Χριστὸς ἀμφοτέροις τούτοις τὰ μεγάλα φαίνηται ψηφιζόμενος, τῇ τε ἀκτημοσύνῃ λέγω, καὶ τοῖς τοῦ μαρτυρίου κινδύνοις. καὶ γὰρ τῷ πλουσίῳ φησίν, ὅπερ ἔφθην εἰπών, Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι· Ματθ. ιθ. κα. ι. λθ. ι. λβ. καὶ τοῖς μαθηταῖς περὶ μαρτυρίου διαλεγόμενος ἔλεγεν, Ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· καί, Ὃς ἐὰν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ πολὺς ὁ τοῦ κατορθώματος τούτου πόνος καὶ αὐτὴν σχεδὸν ὑπερβαίνων τὴν φύσιν, καὶ τοῦτο ἴσασιν οἱ καταξιωθέντες τῶν στεφάνων τούτων καλῶς. λόγος γὰρ οὐδεὶς αὐτὸ παραστῆσαι δυνήσεται. οὕτω γενναίας τὸ πρᾶγμά ἐστι ψυχῆς, καὶ μεθ' ὑπερβολῆς θαυμαστόν. ἀλλ' ὅμως τὸ θαυμαστὸν τοῦτο οὐδὲν μέγα ἔφησεν ὠφελεῖν ἀγάπης χωρὶς ὁ Παῦλος, κἂν τὴν ἀκτημοσύνην συνεζευγμένην ἔχῃ. τίνος οὖν ἕνεκεν οὕτως εἴρηκε; τοῦτο ἤδη δεῖξαι πειράσομαι, πρότερον ἐκεῖνο ζητήσας, πῶς ὁ τὰ ὑπάρχοντα ψωμίζων πάντα δύναται μὴ ἔχειν ἀγάπην. τὸν μὲν γὰρ ἕτοιμον ὄντα καῆναι καὶ τὰ χαρίσματα ἔχοντα ἐγχωρεῖ ἴσως καὶ μὴ ἀγαπῆσαι· ὁ δὲ μὴ μόνον δοὺς τὰ ὑπάρχοντα, ἀλλὰ καὶ ψωμίζων, πῶς οὐκ ἀγαπᾷ; τί οὖν ἐστιν εἰπεῖν; ἢ ὅτι τὸ οὐκ ὄν, ὡς ὂν ὑπέθετο; ὅπερ ἀεὶ φιλεῖ ποιεῖν, ὅταν ὑπερβολὴν παραστῆσαι βουληθῇ· ὡς ὅταν Γαλάταις γράφων λέγῃ, Ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Γαλ. α. η. καίτοι οὔτε αὐτός, οὔτε ἄγγελος ἔμελλε τοῦτο ποιεῖν· ἀλλ' ἵνα δείξῃ τὴν ὑπερβολὴν τοῦ πράγματος, καὶ τὸ μηδ' ὅλως ἐσόμενον τέθεικε. καὶ πάλιν ὅταν Ῥωμαίοις ἐπιστέλλῃ, καὶ λέγῃ, Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ. Ρω. η. λθ. οὐδὲ γὰρ τοῦτο ἔμελλον ποιεῖν ἄγγελοι, ἀλλὰ κἀνταῦθα τὸ μὴ ὂν ὑποτίθεται, ὥσπερ οὖν καὶ τὸ ἑξῆς λέγων, οὔτε κτίσις ἑτέρα· καίτοιγε ἑτέρα οὐκ ἔστι κτίσις. πᾶσαν γὰρ αὐτὴν περιέλαβε, καὶ τὰ ἄνω καὶ τὰ κάτω [πάντα] εἰπών. ἀλλ' ὅμως κἀνταῦθα τὸ μὴ ὂν καθ' ὑπόθεσιν τίθησιν, ὥστε δεῖξαι τὸν μεθ' ὑπερβολῆς αὐτοῦ πόθον. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι κἂν πάντα τις δῷ, ἀγάπην δὲ μὴ ἔχῃ, οὐδὲν ὠφέληται. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι βούλεται τοὺς παρέχοντας καὶ συγκεκολλῆσθαι τοῖς λαμβάνουσι, καὶ μὴ ἁπλῶς διδόναι ἀσυμπαθῶς, ἀλλ' ἐλεοῦντας καὶ κατακαμπτομένους, ἐπικλωμένους καὶ συναλγοῦντας τοῖς δεομένοις.

γ. πρῶτον

γ. Χριστοῦ

Διὰ

ΗΘΙΚΟΝ Διὰ τοῦτο γὰρ καὶ ἡ ἐλεημοσύνη παρὰ τοῦ Θεοῦ νενομοθέτηται. καὶ γὰρ ἠδύνατο τοὺς πένητας
διατρέφειν ὁ Θεὸς καὶ χωρὶς τούτου, ἀλλ' ἵνα ἡμᾶς εἰς τὴν ἀγάπην συνδήσῃ, καὶ ἵνα δια-
θερμαινώμεθα πρὸς ἀλλήλους, παρ' ἡμῶν αὐτοὺς ἐκέλευσε τρέφεσθαι. διὰ τοῦτο καὶ ἀλ-
Σειρ. ιη. ιε. λαχοῦ φησι· Κρείσσων λόγος ἀγαθὸς ἢ δόσις· καὶ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν. καὶ αὐτός
Ματθ. θ. λ. φησιν, Ἔλεον θέλω, καὶ οὐ θυσίαν. ἐπειδὴ γὰρ ἔθος τούς τε εὐεργετουμένους φιλεῖν, τούς τε εὖ χ. τὰς τὸ εὐεργετουμένους ὑπὸ τῶν εὐεργετούντων φιλεῖσθαι,
πάσχοντας πρὸς τοὺς εὐεργετοῦντας οἰκειότερον διακεῖσθαι, σύνδεσμον φιλίας ποιῶν, τοῦτο
ἐνομοθέτησεν. ἀλλὰ τὸ ζητούμενον ἐκεῖνό ἐστι, πῶς τοῦ Χριστοῦ ἀμφότερα ταῦτα τελειό-
τητος εἶναι φήσαντος, οὗτος χωρὶς ἀγάπης ἀτελῆ ταῦτα εἶναί φησιν; οὐκ ἀντιφθεγγόμενος
αὐτῷ (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα αὐτῷ συνᾴδων. καὶ γὰρ ἐπὶ τοῦ πλουσίου οὐχ ἁ-
πλῶς εἶπε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, ἀλλ' ἐπήγαγε, καὶ δεῦρο ἀκο-
λούθει μοι. ἡ δὲ ἀκολούθησις αὐτοῦ οὐδένα οὕτω μαθητὴν ἀποδείκνυσι τοῦ Χριστοῦ, ὡς τὸ χ. οὐδὲν
Ιωαν. ιγ. λε. ἀλλήλους ἀγαπᾶν. ἐν γὰρ τούτῳ γνώσονται πάντες, φησίν, ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγα-
Ματθ. ι. λθ. πᾶτε ἀλλήλους. καὶ ὅταν δὲ λέγῃ, Ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐ-
ι. λβ. τήν· καί, Ὃς ἂν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπρο-
σθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, οὐ τοῦτό φησιν, ὅτι οὐ δεῖ ἀγάπην, ἀλλὰ τὸν μισθὸν τὸν
ἀποκείμενον τοῖς πόνοις τούτοις δηλοῖ. ἐπεὶ ὅτι μετὰ τοῦ μαρτυρίου καὶ ταύτην ζητεῖ, ἀλλαχοῦ
Ματθ. κ. κγ. σφόδρα αὐτὸ ᾐνίξατο, οὕτως εἰπών· Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βα-
πτίζομαι, βαπτισθήσεσθε, τουτέστι, μαρτυρήσετε, σφαγήσεσθε ὑπὲρ ἐμοῦ· τὸ δὲ καθίσαι ἐκ δε-
ξιῶν, καὶ ἐξ εὐωνύμων, οὐχ ὡς τινῶν καθημένων ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἀλλὰ τὴν ἀνωτάτω
λέγων προεδρίαν τε καὶ τιμήν, οὐκ ἔστιν ἐμὸν δοῦναι, φησίν, ἀλλ' οἷς ἡτοίμασται. εἶτα δει-
Ματθ. κ. κϛ. κνὺς τίσιν ἡτοίμασται, καλέσας αὐτούς φησιν· Ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων
ὑμῶν διάκονος, ταπεινοφροσύνην δηλῶν καὶ ἀγάπην. ἀγάπην δὲ ἐπιτεταμένην ἀπαιτεῖ.
διὸ δὴ τούτου οὐδὲ μέχρι τούτου ἔστη, ἀλλ' ἐπήγαγεν· Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε δια-
κονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν, δεικνὺς ὅτι οὕτω
δεῖ φιλεῖν, ὡς καὶ σφάττεσθαι ὑπὲρ τῶν ἀγαπωμένων. τοῦτο γὰρ μάλιστα αὐτόν ἐστι φιλεῖν. διὸ
Ιωαν. κα. ιε. καὶ τῷ Πέτρῳ φησίν, Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. καὶ ἵνα μάθητε ὅσον ἐστὶ τὸ κα-
τόρθωμα, ὑπογράψωμεν αὐτὴν τῷ λόγῳ, ἐπεὶ τοῖς πράγμασιν αὐτὴν οὐχ ὁρῶμέν που φαινο-
μένην καὶ ἐννοήσωμεν, ὡς εἰ πανταχοῦ μετὰ δαψιλείας ἦν αὕτη, πόσα ἂν ἐγένετο ἀγαθά. οὔτε
γὰρ νόμων, οὔτε δικαστηρίων ἔδει, οὐ κολάσεων, οὐ τιμωριῶν, οὐκ ἄλλου τῶν τοιούτων οὐδε-
νός. εἰ γὰρ ἅπαντες ἠγάπων, καὶ ἠγαπῶντο, οὐδεὶς ἂν ἠδίκησεν οὐδένα, ἀλλὰ καὶ φόνοι, ἴσ. οὐδένα
καὶ μάχαι, καὶ πόλεμοι, καὶ στάσεις, καὶ ἁρπαγαί, καὶ πλεονεξίαι, καὶ πάντα ἂν ἐκπο-
δὼν ἐγεγόνει τὰ πονηρά, καὶ μέχρις ὀνόματος ἂν ἠγνοήθη ἡ κακία. τὰ μέντοι σημεῖα οὐκ ἂν
τοῦτο εἰργάσατο, ἀλλὰ καὶ εἰς κενοδοξίαν ἐπαίρει τοὺς μὴ προσέχοντας καὶ ἀπονοίας.
καὶ τὸ δὴ θαυμαστὸν τῆς ἀγάπης, ὅτι τὰ μὲν ἄλλα ἀγαθὰ ἔχει παρεζευγμένα [τὰ] κακά· οἷ-
ον ὁ ἀκτήμων φυσᾶται πολλάκις διὰ τοῦτο· ὁ λέγειν εἰδώς, καὶ δοξομανίαν νοσεῖ· ὁ ταπεινό-
φρων, δι' αὐτὸ τοῦτο πολλάκις κατὰ τὸ συνειδὸς μέγα φρονεῖ· ἡ δὲ ἀγάπη πάσης τῆς τοιαύτης
ἀπήλλακται λύμης. κατὰ γὰρ τοῦ ἀγαπωμένου οὐκ ἄν τις ἐπαρθείη ποτέ. καὶ μή μοι θῇς
ἕνα ἀγαπῶντα, ἀλλὰ πάντας ὁμοίως, καὶ τότε αὐτῆς ὄψει τὴν ἀρετήν. μᾶλλον δέ, εἰ βού-
λει, πρότερον ἕνα ἀγαπώμενον καὶ ἕνα φιλοῦντα τίθει· φιλοῦντα μέντοι, ὡς φιλεῖν ἄξιον.
τὴν γὰρ γῆν οὕτως ὡς τὸν οὐρανὸν οἰκήσει, πανταχοῦ γαλήνης ἀπολαύων, καὶ μυρίους ἑ-
αυτῷ πλέκων στεφάνους. ὁ γὰρ τοιοῦτος καὶ φθόνου, καὶ ὀργῆς, καὶ βασκανίας, καὶ ἀπονοίας,
καὶ κενοδοξίας, καὶ πονηρᾶς ἐπιθυμίας, καὶ παντὸς ἔρωτος ἀτόπου, καὶ παντὸς νοσήματος
καθαρεύουσαν διατηρήσει τὴν ἑαυτοῦ ψυχήν. ὥσπερ γὰρ ἑαυτὸν οὐκ ἄν τις ἐργάσαιτό τι χ. ἑαυτῷ
κακόν, οὕτως οὐδὲ τὸν πλησίον οὗτος. τοιοῦτος δὲ ὤν, μετ' αὐτοῦ στήσεται τοῦ Γαβριὴλ ἐπὶ τῆς

γῆς βαδίζων. καὶ ὁ μὲν ἀγάπην ἔχων, τοιοῦτος· ὁ δὲ σημεῖα ποιῶν, καὶ γνῶσιν ἔχων ἀπηρτισμένην ταύτης ἄνευ, κἂν μυρίους ἐγείρῃ νεκροὺς, οὐδὲν μέγα ὀνήσει, πάντων ἀπερρηγμένος, καὶ οὐδενὶ τῶν συνδούλων ἀναμιγνύναι ἑαυτὸν ἀνεχόμενος. διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς τῆς εἰς αὐτὸν ἀκριβοῦς ἀγάπης σημεῖον ἔφησεν εἶναι, τὸ τὸν πλησίον φιλεῖν. Εἰ γὰρ φιλεῖς με, φησὶν, ὦ Πέτρε, τούτων πλέον, ποίμαινε τὰ πρόβατά μου. Εἶδες πῶς καὶ ἐνταῦθα πάλιν ᾐνίξατο, ὅτι μαρτυρίου μεῖζον τοῦτο; καὶ γὰρ εἰ παῖδά τις εἶχεν ἀγαπητὸν, ὑπὲρ οὗ καὶ τὴν ψυχὴν ἂν ἐπέδωκεν, εἶτά τις τὸν μὲν πατέρα ἐφίλει, τῷ δὲ παιδὶ μηδ᾽ ὅλως προσεῖχε, σφόδρα ἂν παρώξυνε τὸν πατέρα, καὶ οὐκ ἂν ᾔσθετο τῆς οἰκείας ἀγάπης διὰ τὴν τοῦ παιδὸς ὑπεροψίαν. εἰ δὲ ἐπὶ πατρὸς καὶ παιδὸς τοῦτο συμβαίνει, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ καὶ ἀνθρώπων. καὶ γὰρ πατέρων ἁπάντων ἐστὶ φιλοστοργότερος ὁ Θεός. διὰ δὴ τοῦτο εἰπὼν, Πρώτη καὶ μεγάλη ἐντολὴ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐπήγαγε, δευτέρα δὲ, καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, ὁμοία αὐτῆς, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. καὶ ὅρα πῶς μετὰ τῆς αὐτῆς σχεδὸν ὑπερβολῆς ἀπαιτεῖ καὶ ταύτην. περὶ μὲν γὰρ τοῦ Θεοῦ φησιν, ἐξ ὅλης καρδίας σου· περὶ δὲ τοῦ πλησίον σου, ὡς ἑαυτόν, ὅπερ ἴσον ἐστὶ τῷ ἐξ ὅλης τῆς καρδίας σου. καὶ γὰρ εἰ μετὰ ἀκριβείας τοῦτο ἐφυλάττετο, οὐ δοῦλος, οὐκ ἐλεύθερος ἦν, οὐκ ἄρχων, οὐκ ἀρχόμενος, οὐ πλούσιος, οὐ πένης, οὐ μικρὸς, οὐ μέγας, οὐ διάβολος ἂν ἐγνώσθη ποτέ· οὐ λέγω, οὗτος, ἀλλ᾽ εἰ καὶ ἕτερος τοιοῦτος, μᾶλλον δὲ εἰ καὶ ἑκατὸν, καὶ μυρίοι τοιοῦτοι ἦσαν, οὐδὲν ἂν ἴσχυσαν ἐκείνης οὔσης. μᾶλλον γὰρ χόρτος ἤνεγκε πυρὸς ἐπαγωγὴν, ἢ φλόγα ἀγάπης ὁ διάβολος. αὕτη τείχους ἰσχυροτέρα, αὕτη ἀδάμαντος στερροτέρα· κἂν ἑτέραν ταύτης ἰσχυροτέραν εἴποις ὕλην, πάντα ὑπερβάλλει τῆς ἀγάπης ἡ στερρότης. ταύτην οὐ πλοῦτος, οὐ πενία νικᾷ· μᾶλλον δὲ οὐδὲ ἂν ἦν πενία, οὐκ ἀμετρία πλούτου, εἰ ἀγάπη ἦν, ἀλλὰ τὰ ἐξ ἑκατέρων ἀγαθὰ μόνον. καὶ γὰρ τὴν ἐξ ἐκείνου ἀφθονίαν ἐκαρπωσάμεθα ἂν, καὶ τὴν ἐκ ταύτης ἀμεριμνίαν· καὶ οὔτε τοῦ πλούτου τὰς φροντίδας, οὔτε τῆς πενίας τὸ δέος ὑπεμείναμεν ἄν. καὶ τί λέγω τὰ ἐξ αὐτῆς κέρδη; αὐτὸ γὰρ καθ᾽ ἑαυτὸ τὸ φιλεῖν ἐννόησον ἡλίκον ἐστὶ, πόσην φέρει τὴν εὐφροσύνην, ἐν πόσῃ καθίστησι χάριτι τὴν ψυχὴν, ὃ μάλιστα αὐτῆς ἐστιν ἐξαίρετον. τὰ μὲν γὰρ ἄλλα τῆς ἀρετῆς μέρη συνεζευγμένον ἔχει τὸν πόνον, οἷον νηστεία, σωφροσύνη, ἀγρυπνία, βασκανίαν, ἐπιθυμίαν, ὑπεροψίαν· ἡ δὲ ἀγάπη μετὰ τοῦ κέρδους πολλὴν ἔχει καὶ τὴν ἡδονὴν, καὶ πόνον οὐδένα, καὶ καθάπερ μέλιττα ἀγαθὴ, τὰ πανταχόθεν συνάγουσα ἀγαθὰ, εἰς τὴν τοῦ φιλοῦντος κατατίθεται ψυχήν. κἂν δουλεύῃ τις, ἡδίω τῆς ἐλευθερίας ἀποφαίνει τὴν δουλείαν. ὁ γὰρ φιλῶν οὐχ οὕτως ἐπιτάττων, ὡς ἐπιταττόμενος χαίρει, καίτοιγε τὸ ἐπιτάττειν ἡδύ· ἀλλὰ μετατίθησιν αὕτη τῶν πραγμάτων τὴν φύσιν, καὶ πάντα ἐν χερσὶν ἔχουσα παραγίνεται τὰ ἀγαθὰ, πάσης μητρὸς ἠπιωτέρα, πάσης βασιλίδος εὐπορωτέρα, καὶ τὰ ἐπίπονα κοῦφα καὶ ῥᾷστα ποιεῖ, τὴν μὲν ἀρετὴν εὔκολον, τὴν δὲ κακίαν πικροτάτην ἡμῖν ἀποφαίνουσα. σκόπει δέ· τὸ δαπανᾶν, λυπηρὸν εἶναι δοκεῖ, καὶ ποιεῖ αὐτὸ αὕτη ἡδύ· τὸ λαμβάνειν τὰ ἑτέρων, ἡδὺ, καὶ οὐκ ἀφίησιν αὐτὸ φαίνεσθαι ἡδὺ, ἀλλὰ φεύγειν ὡς μιαρὸν παρασκευάζει. πάλιν τὸ κακῶς λέγειν, γλυκὺ πᾶσιν εἶναι δοκεῖ· αὕτη τοῦτο μὲν πικρὸν ἀποφαίνει· τὸ δὲ καλῶς λέγειν, ἡδύ. οὐδὲν γὰρ οὕτως, ὡς τὸ τὸν φιλούμενον ἐγκωμιάζειν, ἡμῖν ἡδύ. πάλιν ὁ θυμὸς ἔχει τινὰ ἡδονὴν, ἀλλ᾽ ἐνταῦθα οὐκέτι, ἀλλὰ πάντα αὐτοῦ τὰ νεῦρα διῄρηται. κἂν λυπήσῃ τὸν φιλοῦντα ὁ ἀγαπώμενος, θυμὸς μὲν οὐδαμοῦ φαίνεται· δάκρυα δὲ καὶ παρακλήσεις, καὶ ἱκετηρίαι· τοσοῦτον ἀπέχει τοῦ παροξυνθῆναι· κἂν ἴδῃ ἁμαρτάνοντα, πενθεῖ καὶ ὀδυνᾶται. ἀλλὰ καὶ ἡ ὀδύνη αὕτη ἡδονὴν φέρει. τῆς γὰρ ἀγάπης καὶ τὰ δάκρυα καὶ ἡ λύπη, γέλωτος παντὸς ἡδίω καὶ χαρᾶς. οὐχ οὕτω γοῦν ἀναπαύονται οἱ γελῶντες, ὡς οἱ ὑπὲρ φίλων κλαίοντες. κἂν ἀπιστῇς, ἐπίσχες αὐτῶν τὰ δάκρυα, καὶ ὡς τὰ ἀνήκεστα παθόντες, οὕτω δυσχεραίνουσιν. ἀλλ᾽ ἡδονὴν ἔχει, φησὶν, ἄτοπον τὸ φιλεῖν. ἄπαγε, καὶ εὐφήμει, ἄνθρωπε.

οὐδὲ

Ματθ. κβ. λη.

γ. αὐτῇ

γ. ἔπῃς

οὐδὲν γὰρ οὕτως ἡδονῆς καθαρεύει τοιαύτης, ὡς ἀγάπη γνησία. μὴ γάρ μοι ταύτην εἴπῃς τὴν δημώδη καὶ ἀγοραῖον, καὶ νόσον μᾶλλον ἢ ἀγάπην οὖσαν, ἀλλὰ ταύτην ἣν ὁ Παῦλος ἐπιζητεῖ τὴν τὸ συμφέρον τῶν ἀγαπωμένων σκοποῦσαν, καὶ ὄψει ὅτι πατέρων οὗτοι φιλοστοργότεροι. καὶ ὥσπερ οἱ χρήματα φιλοῦντες οὐκ ἂν ἕλοιντο δαπανῆσαι χρήματα, ἀλλ᾽ ἥδιον ἂν ἐν στενοχωρίᾳ γενέσθαι, ἢ ἐκεῖνα ἰδεῖν ἐλαττούμενα, οὕτω καὶ ὁ περί τινα ἡδέως ἔχων, μυρία ἂν ἕλοιτο παθεῖν, ἢ τὸν ἀγαπώμενον καταβλαπτόμενον ἰδεῖν. πῶς οὖν, φησί, τὸν Ἰωσὴφ ἡ Αἰγυπτία φιλοῦσα, καταδῦσαι ἠθέλησεν; ὅτι ταύτην ἐφίλει τὴν ἀγάπην τὴν διαβολικήν. ὁ μέντοι Ἰωσὴφ οὐ ταύτην, ἀλλ᾽ ἣν ὁ Παῦλος ζητεῖ. ἐννόησον οὖν ὅσης ἀγάπης αὐτοῦ τὰ ῥήματα ἦν, καὶ τὰ πράγματα ἃ ἐκείνη ἔλεγε. καθύβρισόν με, καὶ ποίησον μοιχαλίδα, καὶ τὸν ἄνδρα ἀδίκησον, καὶ τὴν οἰκίαν ἀνάτρεψον ἅπασαν, καὶ σαυτὸν τῆς πρὸς τὸν Θεὸν ἔκβαλε παρρησίας· ἅπερ οὐ μόνον ἐκεῖνον, ἀλλ᾽ οὐδὲ ἑαυτὴν φιλούσης ἦν. ἐκεῖνος δὲ ἐπειδὴ γνησίως ἐφίλει, τούτων πάντων ἀπῆγε. καὶ ἵνα μάθῃς ὅτι αὐτῆς ἐκήδετο, ἐκ τῆς παραινέσεως αὐτοῦ καταμάνθανε. οὐ γὰρ ἀπώσατο μόνον αὐτήν, ἀλλὰ καὶ παραίνεσιν εἰσήγαγε δυναμένην σβέσαι πᾶσαν πυράν. εἰ γὰρ ὁ κύριός μου, φησίν, οὐ γινώσκει δι᾽ ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ. εὐθέως αὐτὴν ἀνέμνησε τοῦ ἀνδρός, ἵνα ἐντρέψῃ. καὶ οὐκ εἶπεν, ὁ ἀνήρ σου, ἀλλ᾽, ὁ κύριός μου, ὃ μᾶλλον ἱκανὸν ἦν αὐτὴν καταστεῖλαι, καὶ πεῖσαι ἐννοῆσαι τίς οὖσα, τίνος ἐρᾷ, ὅτι δέσποινα οὖσα, δούλου. εἰ γὰρ ἐκεῖνος κύριος, καὶ σὺ κυρία. αἰσχύνθητι τοίνυν τὴν πρὸς τὸν δοῦλον ὁμιλίαν, καὶ ἐννόησον τίνος οὖσα γυνή, τίνι βούλει συμπλακῆναι, καὶ πρὸς τίνα ἀχάριστος γίνῃ καὶ ἀγνώμων, καὶ ὅτι ἐγὼ πλείονα αὐτῷ ἀπονέμω εὔνοιαν. καὶ ὅρα πῶς ἐπαίρει αὐτοῦ τὰς εὐεργεσίας. ἐπειδὴ γὰρ οὐδὲν τῶν ὑψηλῶν ἐννοῆσαι ἠδύνατο ἡ βάρβαρος ἐκείνη καὶ ἀκόλαστος, ἀπὸ τῶν ἀνθρωπίνων αὐτὴν ἐντρέπει λέγων, οὐ γινώσκει δι᾽ ἐμὲ οὐδέν, τουτέστιν, εὐεργέτης μοι μεγάλα, καὶ οὐ δύναμαι τὸν προστάτην ἐν τοῖς καιρίοις πλῆξαι. ἐμὲ δεύτερον ἐποίησε δεσπότην τῆς οἰκίας, καὶ οὐδεὶς ὑπεξῄρηταί μου, πλὴν σοῦ. ἐνταῦθα ἐπαίρει αὐτῆς τὸ φρόνημα, ἵνα κἂν οὕτως αἰσχυνθῆναι παρασκευάσῃ, καὶ δείξῃ μεγάλην οὖσαν τὴν τιμήν. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν ὄνομα ἱκανὸν αὐτὴν καταστεῖλαι, λέγων· διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο; ἀλλὰ τί λέγεις; ὅτι οὐ πάρεστιν ὁ ἀνήρ, οὐδὲ οἶδεν ὅτι ἀδικεῖται; ἀλλ᾽ ὁ Θεὸς ἐπόψεται. ἀλλ᾽ οὐκ ἐκέρδανεν οὐδὲν ἀπὸ τῆς συμβουλῆς ἐκείνη, ἀλλ᾽ ἐπεσπάσατο αὐτόν. τὴν γὰρ οἰκίαν μανίας πληρῶσαι βουλομένη, οὐ φιλοῦσα τὸν Ἰωσήφ, ταῦτα ἔπραττε, καὶ δῆλον ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. καὶ γὰρ δικαστήριον καθίζει, καὶ κατηγορίαν εἰσάγει, καὶ τὰ ψευδῆ καταμαρτυρεῖ, καὶ ἐκδίδωσι θηρίοις τὸν οὐδὲν ἠδικηκότα, καὶ εἰς δεσμωτήριον ἐμβάλλει· μᾶλλον δέ, τό γε αὐτῆς μέρος, καὶ ἀνεῖλεν, ὑπὸ τὸν δικαστὴν καθοπλίσασα. τί οὖν; ἆρα καὶ Ἰωσὴφ τοιοῦτος; τοὐναντίον μὲν οὖν ἅπαν. οὔτε γὰρ αὐτὴν εἶπεν, οὔτε κατηγόρησε τῆς γυναικός. ἠπιστήθη γὰρ ἄν, φησί. καὶ μὴν σφόδρα ἐφιλεῖτο, καὶ δῆλον οὐκ ἀπὸ τῆς ἀρχῆς μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τέλους. εἰ γὰρ μὴ σφόδρα αὐτὸν ὁ βάρβαρος ἐκεῖνος ἐφίλει, κἂν ἀπέκτεινε σιγῶντα καὶ οὐδὲν ἀπολογούμενον. καὶ γὰρ Αἰγύπτιος ἦν, καὶ ἄρχων, καὶ περὶ γυναῖκα ἠδικημένος, ὡς ἐνόμιζε, καὶ παρὰ οἰκέτου, καὶ οἰκέτου τοιαῦτα εὐεργετηθέντος. ἀλλ᾽ ἐνίκησε ταῦτα πάντα ὁ πόθος καὶ ἡ χάρις, ἣν ὁ Θεὸς αὐτοῦ κατέχεε. μετὰ δὲ τῆς χάριτος καὶ τῆς ἀγάπης ταύτης καὶ τεκμήρια εἶχεν οὐ μικρά, εἰ δικαιολογεῖσθαι ἐβούλετο, αὐτὰ τὰ ἱμάτια. εἰ γὰρ αὐτὴ ἦν ἡ βιασθεῖσα, τὸν χιτῶνα αὐτῆς περιερρῆχθαι ἔδει, τὴν ὄψιν κατεσπαράχθαι, οὐ τὰ ἐκείνου κατέχειν ἱμάτια. ἀλλ᾽ ἤκουσε, φησίν, ὅτι ὕψωσα τὴν φωνήν, καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ, ἀπῆλθε. τίνος οὖν ἕνεκεν καὶ ἀπέδυσας; τῇ γὰρ πασχούσῃ βίαν ἀγαπητὸν ἦν τὸ ἀπαλλαγῆναι τοῦ ἐνοχλοῦντος. ἐγὼ δὲ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα δεῖξαι δυνήσομαι αὐτοῦ τὴν εὔνοιαν καὶ τὴν ἀγάπην.

Γεν. λθ. κ.

χ. ἡδέως · χ. γοῦν · χ. αὐτὸν · χ. εὐεργέτημα μοι μεγ. · ἴσ. δημίῳ · χ. αὐτὸν

πήν. καὶ γὰρ ὅτε εἰς ἀνάγκην ἐνέπεσε τοῦ τὴν αἰτίαν εἰπεῖν τοῦ δεσμωτηρίου καὶ τῆς ἐκεῖ διατριβῆς, οὐδὲ τότε ἐξεῖπε τὸ δρᾶμα. ἀλλὰ τί φησι; Καὶ ἐγὼ οὐκ ἐποίησα οὐδέν· Γεν. μ. ιε. ἀλλὰ κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ οὐδαμοῦ μέμνηται τῆς μοιχαλίδος, οὐδὲ καλλωπίζεται γ. ποιοῦ ἐπὶ τῷ πράγματι, ὅπερ πᾶς τις ἂν ἔπαθεν, εἰ καὶ μὴ φιλοτιμίας ἕνεκεν, ἀλλ' ὥστε μὴ δόξαι πονηρᾶς ἕνεκεν αἰτίας εἰς τὸ οἴκημα ἐμβεβλῆσθαι ἐκεῖνο. εἰ γὰρ καὶ ἁμαρτάνοντες ἄνθρωποι, οὐδὲ οὕτως ἀπέχονται τοῦ ταῦτα ἐγκαλεῖν, καίτοιγε αἰσχύνην τοῦ πράγματος φέροντος, πῶς οὐκ ἄξιον θαυμάσαι ἐκεῖνον, ὅτι καὶ καθαρὸς ὢν οὐκ εἶπε τὸν ἔρωτα τῆς γυναικός, οὐδὲ ἐξεπόμπευσε τὴν ἁμαρτίαν, οὐδὲ ἡνίκα ἐπὶ τὸν θρόνον ἀνέβη καὶ τῆς Αἰγύπτου πάσης ἐγένετο βασιλεύς, ἐμνησικάκησε τῇ γυναικί, οὐδὲ ἀπῄτησε δίκην; εἶδες πῶς αὐτὸς μὲν ἐκήδετο, ἐκείνη δὲ οὐκ ἐφίλει, ἀλλ' ἐμαίνετο; οὐ γὰρ τὸν Ἰωσὴφ ἐφίλει, ἀλλὰ τὴν ἀκολασίαν πληρῶσαι ἐβούλετο, καὶ αὐτὰ δὲ τὰ ῥήματα εἴ τις ἐξετάσειεν ἀκριβῶς, μετὰ θυμοῦ καὶ πολλοῦ φόνου. τί γάρ φησιν; Εἰσήγαγες παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν, ὀνειδίζουσα Γεν. λθ. ιζ. τὴν εὐεργεσίαν τῷ ἀνδρί· καὶ τὰ ἱμάτια ἐπεδείκνυ, θηρίου παντὸς ἀγριωτέρα γινομένη· ἀλλ' οὐκ ἐκεῖνος οὕτω. καὶ τί λέγω τὴν πρὸς ταύτην εὔνοιαν, ὅπου γε καὶ πρὸς τοὺς ἀνελόντας ἀδελφοὺς τοιοῦτος ἦν, καὶ οὐδὲ περὶ ἐκείνων οὐδέν ποτε εἶπε δυσχερές, οὐκ ἔνδον, οὐκ ἔξω; διὰ τοῦτο ὁ Παῦλος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων ταύτην εἶναί φησι, καὶ σημείων καὶ τῶν ἄλλων χαρισμάτων προτίθησιν. ὥσπερ γὰρ χρυσῶν μὲν ἱματίων ὄντων καὶ ὑποδημάτων, δεόμεθα καὶ ἑτέρου τινὸς ἐνδύματος, ὥστε τὸν βασιλέα μαθεῖν· ἂν δὲ τὴν ἁλουργίδα ἴδωμεν καὶ τὸ διάδημα, οὐδὲν ἕτερον ἐπιζητοῦμεν τῆς βασιλείας ἰδεῖν σημεῖον· οὕτω δὴ καὶ ἐνταῦθα. ὅταν τὸ τῆς ἀγάπης ἐπίκειται διάδημα, ἀρκεῖ δεῖξαι τοῦ Χριστοῦ τὸν ἀκριβῆ μαθητήν, οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ τοῖς ἀπίστοις. Ἐν τούτῳ γάρ, φησι, γνώσονται πάντες, ὅτι μαθηταί μου Ιωαν. ιγ. λε. ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ὥστε τὸ σημεῖον τοῦτο σημείων ἁπάντων μεῖζον· εἴγε ἐν αὐτῷ γνωρίζεται ὁ μαθητής. κἂν γὰρ μυρία ποιῶσί τινες σημεῖα, στασιάζωσι δὲ πρὸς ἀλλήλους, καταγέλαστοι τοῖς ἀπίστοις ἔσονται· ὥσπερ κἂν μηδὲν ποιῶσι σημεῖον, ἀγαπῶσι δὲ ἀλλήλους ἀκριβῶς, καὶ αἰδέσιμοι καὶ ἀχείρωτοι πᾶσιν ὄντες διαμενοῦσιν. ἐπεὶ καὶ Παῦλον διὰ τοῦτο θαυμάζομεν, οὐ διὰ τοὺς νεκροὺς οὓς ἤγειρεν, οὐδὲ διὰ τοὺς λεπροὺς οὓς ἐκαθάρισεν, ἀλλ' ἐπειδὴ ἔλεγε, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; β. Κορ. ια. κθ. κἂν γὰρ μυρία πρὸς ταῦτα θῇς σημεῖα, οὐδὲν ἴσον ἐρεῖς. ἐπεὶ καὶ αὐτὸς μισθὸν ἀποκεῖσθαι μέγαν ἔφησεν αὐτῷ, οὐκ ἐπειδὴ σημεῖα ἐποίει, ἀλλ' ἐπειδὴ τοῖς ἀσθενοῦσι γέγονεν ὡς ἀσθενής. Τίς γάρ μού ἐστι, φησιν, ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον. καὶ α. Κορ. θ. ιη. ὅταν τῶν ἀποστόλων ἑαυτὸν προτιθῇ, οὐ λέγει, περισσότερα αὐτῶν σημεῖα ἐποίησα· ἀλλά, Περισσότερον αὐτῶν ἐκοπίασα. καὶ λιμῷ δὲ διὰ τοῦτο ἐβούλετο ἀποθανεῖν διὰ τὴν σωτηρίαν α. Κορ. ιε. ι. τῶν μαθητῶν. Καλὸν γάρ μοι μᾶλλον, φησιν, ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις θ. ιε. κενώσῃ· οὐκ ἐπειδὴ ἐκαυχᾶτο αὐτός, ἀλλ' ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτούς. οὐδαμοῦ γὰρ οἶδε καυχᾶσθαι ἐπὶ τοῖς αὐτοῦ κατορθώμασι, μὴ καλοῦντος καιροῦ· ἀλλὰ κἂν ἀναγκασθῇ, ἄφρονα ἑαυτὸν καλεῖ. εἰ δέ ποτε καυχᾶται, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν τῷ σφοδρῶς συναλγεῖν τοῖς ἐπηρεαζομένοις· ὥσπερ οὖν καὶ ἐνταῦθά φησι, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; ταῦτα καὶ κινδύνων μείζω τὰ ῥήματα. διὸ καὶ ὕστερον αὐτὰ τίθησιν, αὔξων τὸν λόγον. τίνος οὖν ἂν εἴημεν ἄξιοι ἡμεῖς πρὸς ἐκεῖνον ἐξεταζόμενοι, οἳ μήτε χρημάτων καταφρονοῦντες δι' ἡμᾶς αὐτούς, μήτε τὰ περιττὰ προϊέμενοι τῶν ὄντων; ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐπεδίδου, ἵνα οἱ λιθάσαντες αὐτὸν καὶ ῥαπίσαντες βασιλείας ἐπιτύχωσιν. οὕτω γάρ με, φησιν, ἀγαπᾶν ἐδίδαξεν ὁ Χριστός, ὁ τὴν καινὴν ἐντολὴν καταλιπὼν τὴν περὶ τῆς ἀγάπης, καὶ ἣν αὐτὸς διὰ τῶν ἔργων ἐπλήρωσε. καὶ γὰρ βασιλεὺς τῶν ὅλων τυγχάνων, καὶ τῆς μακαρίας ἐκείνης φύσεως ὤν, ἀνθρώπους, οὓς ἐξ οὐκ ὄντων ἐποίησε, καὶ οὓς μυρία εὐηργέ-

τησε, τούτους ὑβρίζοντας καὶ διαλύοντας οὐκ ἀπεστράφη, ἀλλὰ καὶ ἄνθρωπος ἐγένετο δι᾽ αὐτούς, καὶ συνανεστράφη πόρναις καὶ τελώναις, καὶ τοὺς δαιμονῶντας ἰάσατο, καὶ τὸν οὐρανὸν ἐπηγγείλατο. καὶ μετὰ ταῦτα πάντα λαβόντες αὐτὸν ἐρράπισαν, ἔδησαν, ἐμαστίγωσαν, κατεγέλασαν, τέλος ἐσταύρωσαν. καὶ οὐδὲ οὕτως ἀπεστρέφετο, ἀλλὰ καὶ ἄνω ὢν ἐν τῷ σταυρῷ, φησί· Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν, τὸν δὲ περὶ τούτου κατηγοροῦντα λῃστὴν καὶ εἰς παράδεισον εἰσήγαγε, (Λουκ. κγ. λδ.) καὶ τὸν διώκτην Παῦλον ἀπόστολον ἐποίησε, καὶ τοὺς οἰκείους τοὺς αὐτοῦ καὶ ἀνακειμένους αὐτῷ μαθητὰς εἰς θάνατον ἐξεδίδου διὰ τοὺς σταυρώσαντας αὐτὸν Ἰουδαίους. ταῦτ᾽ οὖν ἅπαντα παρ᾽ ἑαυτοῖς συλλέγοντες τὰ τοῦ Θεοῦ, τὰ τῶν ἀνθρώπων, ζηλώσωμεν ταῦτα τὰ κατορθώματα, καὶ τὴν χαρισμάτων ἁπάντων ἀνωτέραν κτησώμεθα ἀγάπην, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λγ. 4 Η ΑΓΑΠΗ ΜΑΚΡΟΘΥΜΕΙ, ΧΡΗΣΤΕΥΕΤΑΙ, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται.

Ἐπειδὴ γὰρ ἀπεφήνατο, ὅτι καὶ πίστεως, καὶ γνώσεως, καὶ προφητείας, καὶ γλωσσῶν, καὶ χαρισμάτων, καὶ ἰαμάτων, καὶ βίου ἄκρου, καὶ μαρτυρίου ταύτης ἀπούσης οὐδὲν ὄφελος μέγα, ἀναγκαίως λοιπὸν ὑπογράφει τὸ κάλλος αὐτῆς τὸ ἀμήχανον, καθάπερ τισὶ χρώμασι, τοῖς μέρεσι τῆς ἀρετῆς τὴν εἰκόνα αὐτῆς κατακοσμῶν, καὶ τὰ μέλη αὐτῆς συντιθεὶς μετὰ ἀκριβείας ἅπαντα. ἀλλὰ μὴ παραδράμῃς, ἀγαπητέ, τὰ λεγόμενα, ἀλλ᾽ ἕκαστον αὐτῶν μετὰ πολλῆς ἐξέταζε τῆς ἐπιμελείας, ἵνα καὶ τοῦ πράγματος εἰδῇς τὸν θησαυρόν, καὶ τοῦ ζωγράφου τὴν τέχνην. σκόπει γοῦν πόθεν εὐθέως ἤρξατο, καὶ τί τέθεικε πρῶτον. τὸ πάντων αἴτιον τῶν ἀγαθῶν. τί δὲ τοῦτό ἐστι; μακροθυμία. (Παρ. ιδ. κθ.) αὕτη τῆς φιλοσοφίας ἡ ῥίζα πάσης. διὸ καί τις σοφὸς ἔλεγε· Μακρόθυμος ἀνὴρ, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων. καὶ πόλει δὲ παραβαλὼν αὐτὴν ἰσχυρᾷ, ἀσφαλεστέραν αὐτὴν ἔφησεν ἐκείνης εἶναι. καὶ γὰρ ὅπλον ἐστὶν ἄμαχον, καὶ πύργος τις ἀρραγής, πάντα διακρουομένη ῥᾳδίως τὰ λυπηρά. καὶ καθάπερ εἰς ἄβυσσον σπινθὴρ ἐμπεσὼν ἐκείνην μὲν οὐδὲν ἔβλαψεν, αὐτὸς δὲ ἐσβέσθη ῥᾳδίως· οὕτως εἰς μακρόθυμον ψυχὴν ὅπερ ἂν ἐμπέσῃ τῶν ἀδοκήτων, τοῦτο μὲν ἀφανίζεται ῥᾳδίως, ἐκείνην δὲ οὐ ταράττει. καὶ γὰρ πάντων στερρότερον μακροθυμία. κἂν στρατόπεδα εἴπῃς, κἂν χρήματα, κἂν ἵππους, κἂν τείχη, κἂν ὅπλα, κἂν ὁτιοῦν, οὐδὲν ἴσον μακροθυμίας ἐρεῖς. ὁ μὲν γὰρ ἐκεῖνα περιβεβλημένος, ὑπὸ θυμοῦ κρατηθεὶς πολλάκις, καθάπερ μειράκιον εὐτελές, περιτρέπεται, καὶ πάντα θορύβου πληροῖ καὶ ζάλης· οὗτος δὲ ὥσπερ ἐν λιμένι καθήμενος, βαθείας ἀπολαύει γαλήνης. κἂν ζημίαν περιβάλῃς, οὐκ ἐκίνησας τὴν πέτραν, κἂν ὕβριν ἐπαγάγῃς, οὐκ ἔσεισας τὸν πύργον, κἂν πληγὰς περιτρίψῃς, οὐκ ἔπληξας τὸν ἀδάμαντα. καὶ γὰρ μακρόθυμος διὰ τοῦτο λέγεται, ἐπειδὴ μακράν τινα καὶ μεγάλην ἔχει ψυχήν. τὸ γὰρ μακρὸν, καὶ μέγα λέγεται. ἀλλὰ τοῦτο τὸ καλὸν ἀπὸ τῆς ἀγάπης φύεται, καὶ τοῖς κεκτημένοις καὶ τοῖς ἀπολαύουσι πολλὴν παρέχον τὴν ὠφέλειαν. μὴ γάρ μοι τοὺς ἀπεγνωσμένους εἴπῃς, οἳ ποιοῦντες κακῶς, καὶ μὴ πάσχοντες κακῶς, χείρους γίνονται. ἐνταῦθα γὰρ οὐ παρὰ τὴν μακροθυμίαν τοῦτο, ἀλλὰ παρ᾽ ἐκείνους τοὺς οὐκ εἰς δέον αὐτῇ χρωμένους τοῦτο συμβαίνει. μὴ τοίνυν μοι τούτους εἴπῃς, ἀλλὰ τοὺς ἐπιεικεστέρους, οἳ μεγάλα ἐντεῦθεν κερδαίνουσιν. ὅταν γὰρ κακῶς ποιήσαντες μὴ πάθωσι κακῶς, τὴν πραότητα τοῦ παθόντος θαυμάσαντες, μεγίστην ἐντεῦθεν καρποῦνται φιλοσοφίας διδασκαλίαν. αὐτὸς δὲ οὐδὲ μέχρι

τούτου ἵσταται, ἀλλὰ καὶ τὰ ἄλλα αὐτῆς ἐπάγει κατορθώματα, λέγων· χρηστεύεται. ἐπειδὴ γάρ τινές εἰσιν, οἳ τῇ μακροθυμίᾳ οὐκ εἰς τὴν οἰκείαν κέχρηνται φιλοσοφίαν, ἀλλ᾽ εἰς τὴν ἄμυναν τῶν προξενούντων διαρρηγνύντες αὐτούς, φησὶν ὅτι οὐδὲ τοῦτο ἔχει τὸ ἐλάττωμα. διὸ καὶ ἐπήγαγε, χρηστεύεται. οὐδὲ γὰρ ἐπὶ τῷ τὴν φλόγα ἀνάψαι τῶν ὑπὸ τῆς ὀργῆς ἐκκαιομένων ἠπιώτερον αὐτοῖς κέχρηται, ἀλλ᾽ ἐπὶ τῷ καταπραῧναι καὶ κατασβέσαι, καὶ οὐ μόνον τῷ φέρειν γενναίως, ἀλλὰ καὶ τῷ θεραπεύειν καὶ παρακαλεῖν τὸ ἕλκος ἰᾶται, καὶ τὸ τραῦμα θεραπεύουσα τοῦ θυμοῦ. οὐ ζηλοῖ. ἔστι γὰρ καὶ μακρόθυμόν τινα εἶναι καὶ βάσκανον, καὶ τούτῳ ἐκεῖνο διαφθείρεται τὸ κατόρθωμα. ἀλλ᾽ αὕτη καὶ τοῦτο διέφυγεν. οὐ περπερεύεται. τουτέστιν, οὐ προπετεύεται. καὶ γὰρ συνετὸν ἐργάζεται τὸν ἀγαπῶντα, καὶ βαρὺν, καὶ βεβηκότα. τῶν μὲν γὰρ αἰσχρῶς φιλούντων ἴδιον τὸ ἐλάττωμα τοῦτο. ὁ δὲ ταύτην εἰδὼς τὴν ἀγάπην, τούτων μάλιστα πάντων ἀπήλλακται. ὅταν γὰρ θυμὸς ἔνδον μὴ ᾖ, καὶ προπέτεια πᾶσα ἀνῄρηται, καὶ ὕβρις. καὶ γὰρ καθάπερ τις ἄριστος γεωργὸς ἔνδον ἐγκαθημένη τῇ ψυχῇ ἡ ἀγάπη, οὐκ ἀφίησιν οὐδὲν τούτων βλαστῆσαι τῶν ἀκανθῶν. οὐ φυσιοῦται. καὶ γὰρ ὁρῶμεν πολλοὺς ἐπ᾽ αὐτοῖς τούτοις τοῖς κατορθώμασι μέγα φρονοῦντας, οἷον ὅτι μὴ ἔστι βάσκανος, μηδὲ πονηρὸς, μηδὲ ὀλιγόψυχος, μηδὲ προπετής. οὐδὲ γὰρ πλούτῳ καὶ πενίᾳ παρυφέστηκε τὰ κακὰ ταῦτα μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς φύσει καλοῖς. ἀλλ᾽ ἡ ἀγάπη μετὰ ἀκριβείας ἐκκαθαίρει πάντα. σκόπει δέ· ὁ μακρόθυμος, οὐ πάντως καὶ χρηστός. ἂν δὲ μὴ ᾖ χρηστὸς, πονηρία τὸ πρᾶγμα γίνεται, καὶ κινδυνεύει εἰς μνησικακίαν ἐμπεσεῖν. διὰ τοῦτο αὕτη τὸ φάρμακον δοῦσα, τὴν χρηστότητα λέγω, καθαρὰν διατηρεῖ τὴν ἀρετήν. πάλιν ὁ χρηστὸς πολλάκις εὔκολος γίνεται, ἀλλὰ καὶ τοῦτο αὕτη διορθοῦται. ἡ ἀγάπη γάρ, φησιν, οὐ περπερεύεται, οὐ φυσιοῦται. ὁ χρηστὸς καὶ μακρόθυμος ἀλαζονεύεται πολλάκις. ἀλλὰ καὶ ταύτην ἀναιρεῖ τὴν κακίαν. καὶ θέα πῶς αὐτὴν οὐκ ἀφ᾽ ὧν ἔχει μόνον, ἀλλὰ καὶ ἀφ᾽ ὧν οὐκ ἔχει, κοσμεῖ. καὶ γὰρ ἀρετὴν ἐπεισάγει, καὶ κακίαν ἐκκόπτει φησί, μᾶλλον δὲ οὐδὲ ἀφίησι φῦναι τὴν ἀρχήν. οὐδὲ γὰρ εἶπε, ζηλοῖ μὲν, περιγίνεται δὲ τοῦ φθόνου· οὐδ᾽ ὅτι ἀπονοεῖται μὲν, κολάζει δὲ τὸ πάθος, ἀλλ᾽ ὅτι οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, ὃ δὴ μάλιστά ἐστι θαυμαστὸν, ὅτι καὶ χωρὶς πόνων κατορθοῖ τὰ ἀγαθά, καὶ χωρὶς πολέμου καὶ παρατάξεως τὸ τρόπαιον ἵστησιν. οὐ γὰρ ἀφίησιν ἱδρῶσαι τὸν ἔχοντα, καὶ οὕτω τὸν στέφανον λαβεῖν, ἀλλ᾽ ἀπονητὶ κομίζει τὸ βραβεῖον αὐτῷ. ἔνθα γὰρ οὐκ ἔστιν ἀντίπαλον πάθος τῷ σώφρονι λογισμῷ, τίς ἂν γένοιτο πόνος;

5 Οὐκ ἀσχημονεῖ. Τί γὰρ λέγω, φησὶν, ὅτι οὐ φυσιοῦται; ὅπου γε τοσοῦτον ἀπέχει τοῦ πάθους, ὅτι καὶ τὰ ἔσχατα πάσχουσα διὰ τὸν ἀγαπώμενον, οὐδὲ ἀσχημοσύνην τὸ πρᾶγμα νομίζει. οὐκ εἶπε πάλιν, ὅτι ἀσχημονεῖ μὲν, φέρει δὲ τὴν αἰσχύνην γενναίως· ἀλλ᾽ ὅτι οὐδὲ αἴσθησίν τινα λαμβάνει τῆς αἰσχύνης. εἰ γὰρ οἱ φιλοχρήματοι πάντα ὑπομένοντες τὰ ἐπονείδιστα τῆς καπηλείας ἕνεκεν ἐκείνης, οὐ μόνον οὐκ ἐγκαλύπτονται, ἀλλὰ καὶ ἀγάλλονται, πολλῷ μᾶλλον ὁ τὴν ἐπαινετὴν ταύτην ἔχων ἀγάπην, ὑπὲρ τῆς τῶν φιλουμένων ἀσφαλείας οὐδὲν ὁποιοῦν παραιτήσεται, ἀλλ᾽ οὐδὲ πάσχων αἰσχυνεῖται. ἀλλ᾽ ἵνα μὴ ἀπὸ πονηροῦ πράγματος τὸ παράδειγμα φέρωμεν, ἐξετάσωμεν ἐπὶ τοῦ Χριστοῦ τοῦτο αὐτὸ, καὶ τότε ὀψόμεθα τοῦ λεχθέντος τὴν δύναμιν. ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἐνεπτύετο, καὶ ἐρραπίζετο παρὰ ἀνδραπόδων οἰκτρῶν· καὶ οὐ μόνον οὐκ ἐνόμιζεν ἀσχημονεῖν, ἀλλὰ καὶ ἠγάλλετο, καὶ δόξαν τὸ πρᾶγμα ἐκάλει· καὶ λῃστὴν καὶ ἀνδροφόνον μεθ᾽ ἑαυτοῦ πρὸ τῶν ἄλλων εἰς τὸν παράδεισον εἰσάγων, καὶ πόρνῃ διαλεγόμενος, καὶ ταῦτα τῶν παρεστώτων ἁπάντων ἐγκαλούντων, οὐκ ἐνόμισε τὸ πρᾶγμα εἶναι αἰσχρὸν, ἀλλὰ καὶ φιλεῖν αὐτῇ τοὺς πόδας παρεῖχε τοὺς ἑαυτοῦ, καὶ βρέχειν τὸ σῶμα τοῖς δάκρυσι, καὶ ἀπομάττειν ταῖς θριξί· καὶ ταῦτα ἐν μέσῳ θεάτρῳ τῶν ἐχθρῶν καὶ πολεμίων. ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ. διὰ τοῦτο καὶ πατέρες, κἂν ἁπάντων ὦσι φιλοσο-

γρ. ἑαυτούς.

γρ. ἀσχημοσύνην,

φώτεροι καὶ ῥηποεικώτεροι, οὐκ αἰσχύνονται τοῖς παισὶ συμψελλίζοντες· καὶ οὐδεὶς ἐγκαλεῖ τῶν ὁρώντων, ἀλλ' οὕτω καλὸν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς καὶ εὐχῆς ἄξιον εἶναι. κἂν πονηροὶ γίνωνται πάλιν, οὗτοι μᾶλλον διορθοῦντες, ἐπιμελούμενοι, συστέλλοντες αὐτῶν τὰ ὀνείδη, καὶ οὐκ αἰσχύνονται. ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ, ἀλλὰ καθάπερ χρυσαῖς τισι πτέρυξι συγκαλύπτει πάντα τὰ ἁμαρτήματα τῶν ἀγαπωμένων. οὕτω καὶ τὸν Δαβὶδ ὁ Ἰωνάθαν ἐφίλει, καὶ ἀκούων τοῦ πατρὸς λέγοντος, Υἱὲ κορασίων αὐτομολουσῶν, γυναικοτραφές, οὐκ ᾐσχύνετο, καίτοιγε πολλῆς αἰσχρότητος τὰ ῥήματα γέμει. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· υἱὲ πορνιδίων ἐπιμαινομένων ἀνδράσιν, ἐπιτρεχόντων τοῖς παριοῦσιν, ἐκνενευρισμένε, καὶ μαλακέ, καὶ μηδὲν ἔχων ἀνδρός, ἀλλ' ἐπ' αἰσχύνῃ σου καὶ τῆς τεκούσης σε μητρὸς ζῶν. τί οὖν; ἤλγησεν ἐπὶ τούτοις καὶ ἐνεκαλύψατο, καὶ ἀπέστη τοῦ φιλουμένου; τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἐκαλλωπίζετο τῷ φίλτρῳ· καίτοιγε ὁ μὲν βασιλεὺς ἦν τότε, καὶ βασιλέως υἱὸς ὁ Ἰωνάθαν, ὁ δὲ φυγὰς καὶ ἀλήτης ὁ Δαβίδ. ἀλλ' οὐδὲ οὕτως ᾐσχύνετο αὐτοῦ τῇ φιλίᾳ. ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ. καὶ γὰρ τὸ θαυμαστὸν αὐτῆς τοῦτό ἐστιν, ὅτι τὸν ὑβριζόμενον οὐ μόνον οὐκ ἀφίησιν ἀλγεῖν οὐδὲ δάκνεσθαι, ἀλλὰ καὶ χαίρειν παρασκευάζει. διὰ δὴ τοῦτο καὶ ἐκεῖνος μετὰ ταῦτα ἅπαντα, ὥσπερ δὴ στέφανον περικείμενος, οὕτως ἀπελθὼν περιεχύθη τῷ Δαβίδ. οὐ γὰρ οἶδε τί ποτέ ἐστιν αἰσχύνη ἡ ἀγάπη. διὰ τοῦτο καὶ φιλοτιμεῖται, ἐφ' οἷς ἕτεροι ἐγκαλύπτονται. αἰσχύνη γὰρ τὸ μὴ εἰδέναι φιλεῖν, οὐ τὸ φιλοῦντα κινδυνεύειν καὶ πάντα ὑπομένειν ὑπὲρ τῶν φιλουμένων. πάντα δὲ ὅταν εἴπω, μὴ νομίσῃς καὶ τὰ ἐπιβλαβῆ λέγειν, οἷον εἴ τις λέγοι, νέῳ συμπράττειν εἰς ἐρωμένην, ἢ εἴ τις ἕτερόν τι ἐπιβλαβὲς ἀξιοῖ διακονεῖν. ὁ γὰρ τοιοῦτος οὐ φιλεῖ, καὶ τοῦτο πρῴην ὑμῖν ἔδειξα ἀπὸ τῆς Αἰγυπτίας γυναικός. ἐκεῖνος γὰρ μόνος ἐστὶν ὁ φιλῶν, ὁ τὰ συμφέροντα ζητῶν τῷ φιλουμένῳ· ὡς εἴ τις τοῦτο μὴ θηρεύοι τὸ καλόν, κἂν μυριάκις λέγῃ φιλεῖν, ἐχθρῶν ἐστι πολεμιώτερος πάντων. οὕτω καὶ ἡ Ῥεβέκκα ποτέ, ἐπειδὴ σφόδρα ἐξήρτητο τοῦ παιδός, καὶ κλοπὴν εἰργάζετο, καὶ οὐκ ᾐσχύνετο μὴ ἁλῷ, οὐδὲ ἐδεδοίκει (καὶ γὰρ καὶ κίνδυνος ἦν οὐχ ὁ τυχών) ἀλλὰ καὶ τοῦ παιδὸς ἀκριβολογουμένου πρὸς αὐτήν, Ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον, ἔλεγεν. εἶδες καὶ ἐν γυναικὶ ψυχὴν ἀποστολικήν; καθάπερ γὰρ ὁ Παῦλος εἵλετο, ὡς ἂν εἰ μεγάλῳ τις μικρὸν παραβάλλοι, ὑπὲρ Ἰουδαίων ἀνάθεμα γενέσθαι, οὕτω καὶ αὕτη, ἵνα ὁ παῖς εὐλογηθῇ, καὶ καταραθῆναι εἵλετο. καὶ τῶν μὲν ἀγαθῶν ἐκείνῳ παρεχώρει (οὐ γὰρ δὴ μετ' ἐκείνου εὐλογεῖσθαι ἔμελλε) τὰ δὲ κακὰ αὐτὴ μόνη παρεσκευάζετο ὑπομένειν· ἀλλ' ὅμως ἔχαιρε, καὶ ἠπείγετο, καὶ ταῦτα τοσούτου κινδύνου προκειμένου, καὶ τῇ μελλήσει τῶν πραγμάτων ἐδυσχέραινε. καὶ γὰρ ἐδεδοίκει μὴ προλαβὼν ὁ Ἡσαῦ ματαίαν αὐτῆς ποιήσῃ τὴν σοφίαν. διὸ καὶ συντέμνει τὰ ῥήματα, καὶ ἐπείγει τὸν νεανίσκον, καὶ ἀφεῖσα ἀντειπεῖν πρὸς τὰ εἰρημένα, λογισμὸν ἱκανὸν πεῖσαι αὐτὸν λέγει. οὐδὲ γὰρ εἶπεν, εἰκῇ ταῦτα λέγεις, καὶ μάτην δέδοικας, τοῦ πατρός σου γεγηρακότος καὶ τὸ πλέον τῆς αἰσθήσεως ἀφῃρημένου, ἀλλὰ τί; ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον. μόνον σὺ μὴ διαφθείρῃς τὸ δρᾶμα, μηδὲ ἀπολέσῃς τὸ θήραμα, μηδὲ τὸν θησαυρὸν προδῷς. αὐτὸς δὲ οὗτος ὁ Ἰακὼβ οὐχὶ ἐθήτευε παρὰ τῷ συγγενεῖ δὶς ἔτη ἑπτά; οὐχὶ μετὰ τῆς δουλείας καὶ γέλωτα ὦφλεν ὑπὲρ τῆς ἀπάτης ἐκείνης; τί οὖν; ἆρα ἠχθέτο τοῦ γέλωτος; ἆρα ἀσχημονεῖν ἐνόμιζεν, ὅτι ἐλεύθερος ὤν, καὶ ἐξ ἐλευθέρων, καὶ τραφεὶς εὐγενῶς, τὰ τῶν δούλων ὑπέμεινε παρὰ τοῖς προσήκουσιν; (ὃ μάλιστα δάκνειν εἴωθεν ὅταν παρὰ τοῖς γνωρίμοις τις τὰ ἐπονείδιστα πάσχῃ) οὐδαμῶς. τὸ δὲ αἴτιον ἡ ἀγάπη, ἣ καὶ τὸν χρόνον πολὺν ὄντα ὀλίγον ἀπέφηνεν. Ἦσαν γάρ, φησιν, ἐνώπιον αὐτοῦ ὡσεὶ ἡμέραι ὀλίγαι. τοσοῦτον ἀπεῖχε τοῦ δάκνεσθαι καὶ ἐρυθριᾶν ἐπὶ τῇ δουλείᾳ ταύτῃ. εἰκότως οὖν ἔλεγεν ὁ μακάριος Παῦλος, ἡ ἀγάπη οὐκ ἀσχημονεῖ.

Οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται.

Εἰπὼν γάρ, ὅτι οὐκ ἀσχημονεῖ, δείκνυσι καὶ τὸν τρόπον, δι' ὃν οὐκ ἀσχημονεῖ.

Margin notes: α. Βασ. κ. λ. — Γεν. κζ. ιγ. — Γεν. κθ. κ. — χ. ὀπτωμένοι — χ. αἰπμαλωτιῶν

μονεῖ. Τίς δὲ ὁ τρόπος; ὅτι οὐ ζητεῖ τὰ ἑαυτῆς. Τὸν γὰρ ἀγαπώμενον, πάντα εἶναι νομίζει, καὶ τότε ἀσχημονεῖ, ὅταν μὴ δυνηθῇ ἀπαλλάξαι ἐκεῖνον ἀσχημονοῦντα· ὥς ἐὰν δέῃ διὰ τῆς ἀσχημοσύνης τῆς ἑαυτοῦ τὸν ἀγαπώμενον ὠφελῆσαι, οὐδὲ ἀσχημοσύνην τὸ πρᾶγμα εἶναι νομίζει. ἐκεῖνος γὰρ αὐτός ἐστι λοιπόν. τοῦτο γάρ ἐστι φιλία, μηκέτι εἶναι τὸν φιλοῦντα καὶ τὸν φιλούμενον δύο διῃρημένους, ἀλλ' ἕνα τινὰ ἄνθρωπον· ὅπερ οὐδαμόθεν, ἀλλ' ἢ ἀπὸ τῆς ἀγάπης γίνεται. μὴ τοίνυν ζήτει τὸ σὸν, ἵνα εὕρῃς τὸ σόν. ὁ γὰρ ζητῶν τὸ ἑαυτοῦ, οὐχ εὑρίσκει τὸ ἑαυτοῦ. διὸ καὶ ὁ Παῦλος ἔλεγε, Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστος. α. Κορ. ι. κδ. τὸ γὰρ οἰκεῖον συμφέρον ἐν τῷ τοῦ πλησίον συμφέροντι κεῖται, καὶ τὸ ἐκείνου ἐν τούτῳ. ὥσπερ οὖν εἴ τις χρυσίον ἴδιον ἐν τῇ οἰκίᾳ τῇ τοῦ πλησίον κατορωρυγμένον εἶτα παραιτοῖτο ἐλθὼν ἐκεῖ ζητεῖν καὶ ἀνορύττειν, οὐδέποτε αὐτὸ ὄψεται· οὕτω καὶ ἐνταῦθα ὁ μὴ βουλόμενος ἐν τῇ τοῦ πλησίον ὠφελείᾳ τὸ οἰκεῖον συμφέρον ζητεῖν, οὐκ ἐπιτεύξεται τῶν ὑπὲρ τούτου στεφάνων. καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο οὕτως αὐτὰ κατέθηκεν, ἵνα ὦμεν ἀλλήλοις συνδεδεμένοι. καὶ ὥσπερ τις παιδίον ὑπνηλὸν διεγείρων τῷ ἀδελφῷ κατακολουθεῖν, ὅταν οἴκοθεν μὴ βούλοιτο, τὸ ἐπιθυμητὸν αὐτῷ καὶ ἐπέραστον ἐγχειρίζει τῷ ἀδελφῷ, ἵνα ἐπιθυμίᾳ τοῦ λαβεῖν καταδιώκῃ τὸν κατέχοντα, ὃ δὴ καὶ γίνεται· οὕτω καὶ ἐνταῦθα τὸ ἑκάστου συμφέρον τῷ πλησίον ἔδωκεν, ἵνα ἀλλήλων ἐντεῦθεν κατατρέχωμεν, καὶ μὴ ὦμεν διεσπασμένοι. καὶ εἰ βούλει, τοῦτο καὶ ἐφ' ἡμῶν ἴδε τῶν λεγόντων. τὸ γὰρ ἐμοὶ συμφέρον ἐν σοὶ κεῖται, καὶ τὸ σοὶ λυσιτελοῦν ἐν ἐμοί. καὶ γὰρ σοὶ συμφέρει τὸ διδάσκεσθαι τὰ τῷ Θεῷ δοκοῦντα, ἀλλὰ τοῦτο ἐπιστεύθην ἐγὼ, ἵνα παρ' ἐμοῦ σὺ αὐτὸ λάβῃς, καὶ διὰ τοῦτο ἀναγκασθῇς δραμεῖν ἐπ' ἐμέ· καὶ ἐμοὶ συμφέρει, τὸ σὲ βελτίω γενέσθαι. μισθὸν γὰρ τούτου λήψομαι πολύν. ἀλλὰ τοῦτο πάλιν κεῖται ἐν σοί. καὶ διὰ τοῦτο ἀναγκάζομαι σὲ καταδιώκειν, ἵνα σὺ ᾖς βελτίων, καὶ τὸ ἐμοὶ συμφέρον παρὰ σοῦ λαμβάνω. διὸ καὶ Παῦλος ἔλεγε, Τίς γάρ α. Θεσ. β. ιθ. μου ἐστὶν ἡ ἐλπίς; ἢ οὐχὶ καὶ ὑμεῖς; καὶ πάλιν, Ἡ ἐλπίς μου, καὶ ἡ χαρά μου, καὶ ὁ στέφανος τῆς καυχήσεώς μου. ὥστε ἡ Παύλου χαρὰ, οἱ μαθηταὶ ἦσαν, καὶ τὴν ἐκείνου χαρὰν ἐκεῖνοι εἶχον. διὰ τοῦτο καὶ ἐδάκρυεν, εἴποτε εἶδεν ἀπολλυμένους. πάλιν τὸ ἐκείνων συμφέρον ἐν τῷ Παύλῳ ἦν. διὸ ἔλεγεν, Ὑπὲρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. Πράξ. κη. κ. καὶ πάλιν, Ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτοὺς, ἵνα ζωῆς αἰωνίου τύχωσι. τοῦτο καὶ ἐπὶ τῶν β. Τιμ. β. ι. βιωτικῶν ἴδοι τις ἄν. Ἡ γὰρ γυνὴ, φησὶ, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, οὐδὲ ὁ ἀνὴρ, α. Κορ. ζ. δ. ἀλλ' ἡ γυνὴ τοῦ ἀνδρὸς, καὶ ὁ ἀνὴρ τῆς γυναικός. οὕτω καὶ ἡμεῖς ὅταν τινὰς συνδῆσαι θελήσωμεν, τοῦτο ποιοῦμεν. οὐδένα ἑαυτοῦ κύριον ἀφίεμεν, ἀλλὰ μέσην ἅλυσιν ἐκτείνοντες, τοῦτον ὑπ' ἐκείνου καὶ ἐκεῖνον ὑπὸ τούτου κρατεῖσθαι παρασκευάζομεν. βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; ὁ δικάζων οὐχ ἑαυτῷ κάθηται κρίνων, ἀλλὰ τὸ τοῦ πλησίον συμφέρον ζητῶν. οἱ ἀρχόμενοι πάλιν τὸ τῷ ἄρχοντι συμφέρον ζητοῦσι διὰ τῆς θεραπείας, διὰ τῆς διακονίας, διὰ τῶν ἄλλων ἁπάντων. οἱ στρατιῶται ὑπὲρ ἡμῶν ὅπλα τίθενται· δι' ἡμᾶς γὰρ κινδυνεύουσιν· ἡμεῖς ὑπὲρ ἐκείνων ταλαιπωρούμεθα. παρ' ἡμῶν γὰρ αὐτοῖς αἱ τροφαί. εἰ δὲ λέγεις, ὅτι τὸ οἰκεῖον ζητῶν ἕκαστος τοῦτο ποιεῖ, τοῦτο καὶ ἐγὼ λέγω, ἀλλ' ὅτι διὰ τοῦ ἀλλοτρίου τὸ οἰκεῖον εὑρίσκεται. ὅ τε γὰρ στρατιώτης, ἐὰν μὴ πολεμήσῃ ὑπὲρ τῶν τρεφόντων, οὐκ ἔχει τοὺς εἰς τοῦτο διακονουμένους· αὐτός τε οὗτος πάλιν, ἐὰν μὴ θρέψῃ τὸν στρατιώτην, οὐκ ἔχει τὸν ὑπερασπίζοντα. εἶδες τὴν ἀγάπην πανταχοῦ διατεταμένην καὶ πάντα οἰκονομοῦσαν; ἀλλὰ μὴ ἀποκάμῃς, ἕως ἂν ὁλόκληρον τὴν χρυσῆν ταύτην σειρὰν καταμάθῃς. εἰπὼν γὰρ, οὐ ζητεῖ τὸ ἑαυτῆς, λέγει πάλιν τὰ ἐκ τούτου τικτόμενα ἀγαθά. τίνα δὲ ταῦτά ἐστιν; Οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν. Ὅρα πάλιν οὐ κρατοῦσαν τῆς κακίας μόνον, ἀλλ' οὐδὲ ἀφιεῖσαν αὐτὴν εἶναι τὴν ἀρχήν. οὐ γὰρ εἶπε, παροξύνεται μὲν, περιγίνεται δὲ, ἀλλ' οὐδὲ παροξύνεται. καὶ οὐκ εἶπεν, οὐκ ἐργάζε-

ται τὸ κακὸν, ἀλλ' οὐδὲ λογίζεται. οὐδὲν γὰρ πονηρὸν οὐ μόνον οὐ κατασκευάζει, ἀλλ' οὐδὲ ὑποπτεύει κατὰ τοῦ φιλουμένου. πῶς οὖν ἂν ἐργάσαιτο, ἢ πῶς ἂν παροξυνθείη ἡ μηδὲ ὑπόνοιαν πονηρὰν δέξασθαι ἀνεχομένη; ὅθεν ἡ πηγὴ τῆς ὀργῆς.

6 Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ. Τουτέστιν, οὐκ ἐφήδεται τοῖς κακῶς πάσχουσι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ, ὃ πολλῷ μεῖζόν ἐστι, Συγχαίρει τῇ ἀληθείᾳ. Συνήδεται, χ. ἐπεγ-ξαίνει

Ρωμ. ιβ. ιε. φησι, τοῖς εὐδοκιμοῦσιν· ὃ λέγει Παῦλος, Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. ἐντεῦθεν οὐ ζηλοῖ, ἐντεῦθεν οὐ φυσιοῦται. καὶ γὰρ οἰκεῖα τὰ ἀλλότρια νομίζει καλά. χ. καλά. Εἶδες πῶς κατὰ μικρὸν ἄγγελον ποιεῖ τὸν αὐτῆς τρόφιμον ἡ ἀγάπη; ὅταν γὰρ ἀόργητος ᾖ, καὶ βασκανίας καθαρὸς, καὶ πάντων τυραννικῶν παθῶν ἐλεύθερος, ἐννόησον ὅτι καὶ τῆς ἀνθρωπίνης φύσεως ἀπηλλάγη λοιπὸν, καὶ πρὸς αὐτὴν τὴν τῶν ἀγγέλων τὴν ἀπάθειαν μεθωρμίσατο. χ. μεθωρμίσαντο. ἀλλ' ὅμως οὐκ ἀρκεῖται τούτοις, ἀλλ' ἔχει τι καὶ πλεῖον τούτων εἰπεῖν. τὰ γὰρ ἰσχυρότερα ὕστερον τίθησι. διό φησι,

7 Πάντα στέγει, Ἀπὸ τῆς μακροθυμίας, ἀπὸ τῆς χρηστότητος, *κἂν ὕβρεις, κἂν πληγαὶ, κἂν θάνατος, κἂν ὁποιονοῦν. καὶ τοῦτο πάλιν ἀπὸ τοῦ μακαρίου Δαβὶδ συνιδεῖν δυνατόν. τί γὰρ φορτικώτερον τοῦ υἱὸν ἰδεῖν ἐπανιστάμενον, καὶ τυραννίδος ἐφιέμενον, καὶ αἵματος διψῶντα πατρῴου; ἀλλὰ καὶ τοῦτο ἔστεγεν ὁ μακάριος ἐκεῖνος, καὶ οὐδὲ οὕτως ἠνείχετο πικρὸν ῥῆμα ἐκβαλεῖν κατὰ τοῦ πατραλοίου, ἀλλὰ καὶ τοῖς στρατηγοῖς πάντα τὰ ἄλλα ἀφεὶς, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἐπέσκηπτεν. ἰσχυρὰ γὰρ ἦν ἡ τῆς ἀγάπης κρηπίς. διὸ καὶ πάντα στέγει, καὶ τὴν μὲν δύναμιν αὐτῆς ἐντεῦθεν αἰνίττεται, τὴν δὲ ἀγαθότητα διὰ τῶν ἑξῆς.

* κἂν φορτικὴ ᾖ, κἂν ἐπαχθής.

Πάντα γὰρ ἐλπίζει, φησὶ, πάντα πιστεύει, πάντα ὑπομένει. Τί ἐστι, πάντα ἐλπίζει; πάντα τὰ χρηστά, φησιν. οὐκ ἀπογινώσκει τοῦ ἀγαπωμένου, ἀλλὰ κἂν φαῦλος ᾖ, παραμένει διορθουμένη, προνοοῦσα, ἐπιμελομένη. πάντα πιστεύει. οὐ γὰρ ἁπλῶς ἐλπίζει, φησὶν, ἀλλὰ καὶ πιστεύει ἐκ τοῦ σφόδρα φιλεῖν. κἂν μὴ ἐκβαίνῃ κατὰ τὴν ἐλπίδα τὰ χρηστὰ ταῦτα, ἀλλ' ἔτι φορτικώτερος ἐκεῖνος ᾖ, καὶ ταῦτα φέρει. πάντα γὰρ, φησιν, ὑπομένει.

8 Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Εἶδες τὴν κορωνίδα ποῦ ἔθηκε, καὶ ὃ μάλιστά ἐστιν ἐξαίρετον τούτου τοῦ δώρου; τί γάρ ἐστιν, οὐκ ἐκπίπτει; οὐ διακόπτεται, οὐ διαλύεται τῷ φέρειν. στέργει γὰρ πάντα. ὁ γὰρ φιλῶν οὐδέποτε μισῆσαι δύναται, κἂν ὁποιονοῦν γένηται.

Ρωμ. ια. ιδ. τοῦτο γὰρ αὐτῆς τὸ μέγιστον ἀγαθόν. τοιοῦτος ἦν ὁ Παῦλος. διὸ καὶ ἔλεγεν, Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ ἔμενεν ἐλπίζων, καὶ Τιμοθέῳ παρῄνει λέγων·

β. Τιμ. β. κδ. Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς ἐπίγνωσιν ἀληθείας. τί οὖν, φησιν, ἂν ἐχθροὶ ὦσι καὶ Ἕλληνες, οὐ δεῖ μισεῖν; μισεῖν μὲν, οὐκ ἐκείνους δὲ, ἀλλὰ τὸ δόγμα, οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὴν πονηρὰν πρᾶξιν, τὴν διεφθαρμένην γνώμην. ὁ μὲν γὰρ ἄνθρωπος ἔργον Θεοῦ, ἡ δὲ πλάνη ἔργον τοῦ διαβόλου. μὴ τοίνυν ἀναμίξῃς τὰ τοῦ Θεοῦ, καὶ τὰ τοῦ διαβόλου. ἐπεὶ καὶ Ἰουδαῖοι καὶ βλάσφημοι ἦσαν, καὶ διῶκται, καὶ ὑβρισταὶ, καὶ μυρία τὸν Χριστὸν ἔλεγον κακά. ἆρ' οὖν ἐμίσει αὐτοὺς Παῦλος, ὁ μάλιστα πάντων τὸν Χριστὸν φιλῶν; οὐδαμῶς, ἀλλὰ καὶ ἐφίλει, καὶ

Ρωμ. ι. α. θ. γ. πάντα ὑπὲρ αὐτῶν ἔπραττε. καὶ νῦν μέν φησιν, Ἡ μὲν εὐδοκία καὶ ἡ δέησίς μου πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν· νῦν δὲ, Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ αὐτῶν.

Ιεζεκ. θ. η. οὕτω καὶ ὁ Ἰεζεκιὴλ ὁρῶν αὐτοὺς σφαζομένους ἔλεγεν· Οἴμοι, Κύριε, ἐξα-

Εξοδ. λβ. λβ. λείφεις σὺ τοὺς καταλοίπους τοῦ Ἰσραήλ; καὶ ὁ Μωϋσῆς, Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν,

Ψαλμ. ρλη. κα. ἄφες. τί οὖν φησιν ὁ Δαβὶδ, Τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην, τέλειον μῖσος ἐμίσουν αὐτούς; μάλιστα μὲν οὐ πάντα τὰ ἐν τοῖς ψαλμοῖς ὑπὸ τοῦ Δαβὶδ εἰρημένα, ἐκ προσώπου τοῦ Δαβὶδ εἴρηται. καὶ γὰρ αὐτὸς οὗτός φησι,

Κατεσκήνωσα

Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· Καὶ ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν· [Ψαλμ. ρλθ. ε. ρλϛ. α.] οὔτε δὲ Βαβυλῶνα εἶδεν, οὔτε τὰ σκηνώματα Κηδάρ. ἄλλως δὲ, καὶ πλείονα νῦν ἀπαιτούμεθα φιλοσοφίαν. διὸ καὶ τῶν μαθητῶν ἀξιούντων καταβῆναι πῦρ, ὡς ἐπὶ Ἠλιοῦ, Οὐκ οἴδατε, φησὶν ὁ Χριστὸς, ποίου πνεύματός ἐστε. [Λουκ. θ. νε.] τότε μὲν γὰρ οὐχὶ τὴν ἀσέβειαν μόνον, ἀλλὰ καὶ τοὺς ἀσεβοῦντας αὐτοὺς μισεῖν ἐκελεύοντο, ἵνα μὴ ἡ φιλία ἀφορμὴ γένηται παρανομίας αὐτοῖς. διὰ τοῦτο καὶ τὰς συγγενείας διέκοψε, καὶ τὰς ἐπιμιξίας, καὶ πάντοθεν αὐτοὺς ἀπετείχισε. νῦν δὲ ἐπὶ τὸ πρὸς μείζονα ἡμᾶς ἤγαγε φιλοσοφίαν, καὶ ὑψηλοτέρους τῆς βλάβης ἐκείνης ἐποίησε, καὶ προσιέναι καὶ παρακαλεῖν κελεύει. οὐ γὰρ ἡμῖν ἐξ ἐκείνων βλάβη, ἀλλ' ἐκείνοις ἐξ ἡμῶν ὠφέλεια γίνεται. τί οὖν φησι; οὐ δεῖ μισεῖν, ἀλλ' ἐλεεῖν. ἂν γὰρ μισήσῃς, πῶς ἐπιστρέψεις ῥᾳδίως τὸν πλανώμενον, πῶς εὔξῃ ὑπὲρ τοῦ ἀπίστου; ὅτι γὰρ εὔχεσθαι δεῖ, ἄκουσον τί φησιν ὁ Παῦλος· Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων. [α. Τιμ. β. α.] ὅτι δὲ πάντες τότε οὐκ ἦσαν πιστοὶ, πρόδηλόν που δῆλον. καὶ πάλιν, ὑπὲρ βασιλέων, καὶ τῶν ἐν ὑπεροχῇ ὄντων. ὅτι δὲ οὗτοι ἀσεβεῖς ἦσαν καὶ παράνομοι, καὶ τοῦτο δῆλον ὁμοίως. εἶτα καὶ τὴν αἰτίαν λέγων τῆς εὐχῆς, ἐπήγαγε· τοῦτο γὰρ καλὸν, καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. διὰ τοῦτο κἂν [γ. χάρ.] ἑλληνίδα γυναῖκα εὕρῃ συνοικοῦσαν πιστῷ, οὐ διαζεύγνυσι τῶν γάμων. καίτοι τί οἰκειότερον ἀνδρὸς γυναικί; Ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν, καὶ πολὺ τὸ φίλτρον ἐκεῖ καὶ θερμὸς [Γεν. β. κδ.] ὁ πόθος. εἰ δὲ μέλλοιμεν ἀσεβεῖς μισεῖν καὶ παρανομοῦντας, προϊόντες καὶ ἁμαρτωλοὺς μισήσομεν, καὶ οὕτως ὁδῷ προβαίνων καὶ τῶν ἀδελφῶν ἀπορραγήσῃ τῶν πλειόνων, μᾶλλον δὲ πάντων. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς ἁμαρτίας χωρίς. εἰ γὰρ δεῖ τοὺς ἐχθροὺς τοῦ Θεοῦ μισεῖν, οὐχὶ ἀσεβεῖς δεῖ μισεῖν μόνον, ἀλλὰ καὶ ἁμαρτωλούς· καὶ οὕτως ἐσόμεθα θηρίων χείρους, πάντας ἀποστρεφόμενοι, καὶ ἀπονοίᾳ φυσώμενοι, καθάπερ ὁ Φαρισαῖος ἐκεῖνος. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως ἐκέλευσεν, ἀλλὰ πῶς; Νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. [α. Θεσ. ε. ιδ.] τί οὖν φησιν, ὅταν λέγῃ, Εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ; [β. Θεσ. γ. ιδ.] μάλιστα μὲν περὶ ἀδελφῶν τοῦτο εἴρηται, πλὴν οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καὶ τοῦτο μετὰ ἡμερότητος. μὴ γὰρ δὴ περικόψῃς τὰ ἑξῆς, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα πρόσθες. καὶ γὰρ εἰπὼν, μὴ συναναμίγνυσθε, ἐπήγαγε, καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ὁρᾷς πῶς τὸ ἔργον μισεῖν τὸ φαῦλον, καὶ οὐ τὸν ἄνθρωπον ἐκέλευσε; καὶ γὰρ ἔργον τοῦ διαβόλου τὸ διασπᾶν ἡμᾶς ἀπ' ἀλλήλων, καὶ σφόδρα ἐσπούδακεν ἀνελεῖν τὴν ἀγάπην, ἵνα ἐκκόψῃ τῆς διορθώσεως τὴν ὁδὸν, καὶ κατάσχῃ ἐκεῖνον μὲν ἐν πλάνῃ, σὲ δὲ ἐν ἀπεχθείᾳ, εἶθ' οὕτως ἀποτειχίσῃ τῆς ἐκείνου σωτηρίας τὴν ὁδόν. ὅταν γὰρ καὶ ὁ ἰατρὸς μισῇ τὸν κάμνοντα καὶ φεύγῃ, καὶ ὁ κάμνων τὸν ἰατρὸν ἀποστρέφηται, πότε ἀναστήσεται ὁ νοσῶν, ὅταν μήτε ἐκεῖνος αὐτὸν καλῇ, μήτε οὗτος πρὸς αὐτὸν ἀπίῃ; τίνος δὲ ἕνεκεν, εἰπέ μοι, καὶ ἀποστρέφῃ καὶ φεύγεις αὐτόν; ὅτι ἀσεβής ἐστιν; οὐκοῦν διὰ τοῦτο δεῖ προσιέναι καὶ θεραπεύειν, ἵνα ἀναστήσῃς νοσοῦντα. εἰ δὲ ἀνίατα νοσεῖ, ἀλλὰ σὺ τὸ σαυτοῦ ποιεῖν ἐκελεύσθης. ἐπεὶ καὶ ὁ Ἰούδας ἀνίατα ἐνόσει, καὶ οὐ διέλιπεν ὁ Θεὸς αὐτὸν θεραπεύων. μὴ τοίνυν, μηδὲ σὺ ἀποκάμῃς. καὶ γὰρ πολλὰ σπουδάσας μὴ ἀπαλλάξῃς τῆς ἀσεβείας αὐτὸν, καὶ τοῦ ἀπαλλάξαι λήψῃ τὸν μισθὸν, καὶ παρασκευάσεις αὐτὸν θαυμάζειν σου τὴν ἡμερότητα, καὶ οὕτως εἰς τὸν Θεὸν ἡ δόξα ἅπασα [αὕτη] διαβήσεται. κἂν γὰρ θαύματα ποιῇς, κἂν νεκροὺς ἐγείρῃς, κἂν ὁτιοῦν ἐργάσῃ, οὐδέποτέ σε οὕτω θαυμάσονται Ἕλληνες, ὡς ὅταν ἴδωσι πρᾷον, καὶ ἥμερον, καὶ γλυκὺν περιερχόμενον ἅπασιν. οὐ μικρὸν δὲ καὶ τοῦτο κατόρθωμα. πολλοὶ γὰρ καὶ τέλεον ἀπαλλαγήσονται τοῦ κακοῦ. οὐδὲν γὰρ οὕτως ἐπισπάσασθαι δύναται, ὡς ἀγάπη. ἐπ' ἐκείνοις μὲν γάρ σε καὶ ζηλοτυπήσουσι,

τοῖς

τοῖς σημείοις λέγω καὶ θαύμασιν, ἐπὶ τούτῳ δὲ καὶ θαυμάσονται καὶ φιλήσουσι· φιλοῦντες δὲ καὶ τῆς ἀληθείας ἐπιλήψονται ὁδῷ προβαίνοντες. εἰ δὲ οὐκ εὐθέως γένοιτο πιστὸς, μὴ θαύμαζε, μηδὲ ἐπείγου, μηδὲ ἅπαντα ὁμοῦ ζήτει, ἀλλ' ἔασον αὐτὸν τέως ἐπαινεῖν, φιλεῖν, καὶ εἰς τοῦτο ὁδῷ προϊὼν ἥξει. καὶ ἵνα μάθῃς σαφῶς ἡλίκον τοῦτό ἐστιν, ἄκουσον πῶς καὶ Παῦλος
Πραξ. κς. ϛ. πρὸς δικαστὴν εἰσιὼν ἄπιστον ἀπελογεῖτο. Μακάριον γὰρ, φησιν, ἥγημαι ἐμαυτὸν, μέλλων ἐπὶ σοῦ κρίνεσθαι. ταῦτα δὲ ἔλεγεν, οὐ κολακεύων αὐτὸν, ἄπαγε, ἀλλὰ διὰ τῆς ἡμερότητος χ. σοὶ κερδῆναι βουλόμενος. καὶ ἐκ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν ὁ τέως κατάδικος εἶναι νομιζόμενος, καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ παρόντων ἁπάντων λέ-
Πραξ. κς. κη. γων, Ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι. τί οὖν ὁ Παῦλος; ἐπιπλέον ἁπλοῖ τὴν σαγήνην, καί φησιν· εὐξαίμην ἂν ἔγωγε μὴ μόνον σὲ, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας, τοῦτο γενέσθαι ὅπερ ἐγὼ, δίχα τῶν δεσμῶν τούτων. τί λέγεις, ὦ Παῦλε; δίχα τῶν δεσμῶν; καὶ ποία σοι λοιπὸν παρρησία, εἰ ταῦτα αἰσχύνῃ καὶ φεύγεις, καὶ ταῦτα ἐπὶ δήμου τοσούτου; οὐ πανταχοῦ τῶν ἐπιστολῶν ἐπὶ τῷ πράγματι τούτῳ καυχᾶσαι; καὶ δέσμιον σεαυτὸν καλεῖς; καὶ τὴν ἅλυσιν ταύτην ἡμῖν ἀντὶ διαδήματος πανταχοῦ περιφέρεις; τί τοίνυν γέγονε νῦν, ὅτι ἀπεύχῃ τὰ δεσμά; οὐκ αὐτὸς ἀπεύχομαι, φησιν, οὐδὲ αἰσχύνομαι, ἀλλ' ἐκείνων τῇ ἀσθενείᾳ συγκαταβαίνω. οὔπω γὰρ χωροῦσι δέξασθαι τὸ καύχημα τὸ ἐμόν· ἔμαθον δὲ παρὰ τοῦ δεσπότου
Ματθ. θ. ιϛ. μου μὴ ἐπιβάλλειν ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· διὰ τοῦτο οὕτως εἶπον. καὶ γὰρ διαβέβληνται τέως πρὸς τὸ δόγμα τὸ ἡμέτερον, καὶ πρὸς τὸν σταυρὸν ἀπεχθῶς ἔχουσιν. ἂν τοίνυν καὶ τὰ δεσμὰ προσθῶ, μεῖζον τὸ μῖσος γίνεται. διὰ τοῦτο ἀνεῖλον ταῦτα, ἵνα ἐκεῖνο εὐπαράδεκτον γένηται. καὶ γὰρ ἐπονείδιστον αὐτοῖς εἶναι δοκεῖ τὸ δεδέσθαι, ἐπεὶ μηδέπω τῆς παρ' ἡμῖν ἐγεύσαντο δόξης. δεῖ τοίνυν συγκαταβαίνειν. ὅταν γὰρ μάθωσι φιλοσοφεῖν, τότε εἴσονται καὶ τοῦ σιδήρου τούτου τὸ κάλλος, καὶ τὴν ἀπὸ τῶν δεσμῶν περιφάνειαν. ἄλλοις γοῦν διαλεγόμενος, καὶ χάριν τὸ πρᾶγμα καλεῖ λέγων, ὅτι ἐδόθη ἡμῖν ἀπὸ Θεοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. τέως δὲ, ἀγαπητὸν ἦν τὸν σταυρὸν οὐκ ἀκούοντας μὴ ἐπαισχυνθῆναι· διὰ τοῦτο ὁδῷ προέβη. οὐδὲ γὰρ εἰς βασίλεια τις εἰσάγων τινὰ, πρὶν ἢ τὰ προπύλαια θεάσασθαι ἔξω ἑστῶτα, ἀναγκάζει κατοπτεύειν τὰ ἔνδον. οὕτω γὰρ οὐδὲ θαυμαστὰ φανεῖται, ἂν μή τις ἔνδον γινόμενος, ἅπαντα καταμάθοι. οὕτω τοίνυν καὶ ἡμεῖς τοῖς Ἑλλήνων παισὶ προσβάλλωμεν, μετὰ συγκαταβάσεως, μετὰ ἀγάπης. μεγάλη γὰρ αὕτη διδάσκαλος, καὶ ἱκανὴ καὶ πλάνης ἀπαγαγεῖν, καὶ τρόπον μεταρρυθμίσαι, καὶ πρὸς φιλοσοφίαν χειραγωγῆσαι, καὶ ἀπὸ λίθων ἀνθρώπους ἐργάσασθαι. καὶ εἰ βούλει μαθεῖν αὐτῆς τὴν δύναμιν, ἄγε μοι ἄνδρα δειλὸν καὶ ψοφοδεῆ καὶ τὰς σκιὰς τρέμοντα, καὶ ὀργίλον καὶ τραχὺν καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπον, καὶ λάγνον καὶ ἀσελγῆ καὶ πᾶσαν ἔχοντα κακίαν, καὶ παράδος αὐτὸν ταῖς τῆς ἀγάπης χερσὶ, καὶ εἰς τὸ γυμνάσιον εἰσάγαγε τοῦτο, καὶ ὄψει ταχέως τὸν δειλὸν ἐκεῖνον καὶ ἄτολμον, ἀνδρεῖον καὶ μεγαλόψυχον γινόμενον καὶ πάντα τολμῶντα ῥᾳδίως. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐ τῆς φύσεως αὐτοῦ μεταβληθείσης ταῦτα γίνεται, ἀλλ' ἐν αὐτῇ τῇ δειλῇ ψυχῇ τὴν ἑαυτῆς ἐνδείκνυσι δύναμιν ἡ ἀγάπη· καὶ ταυτὸν γίνεται, οἷον ἂν εἴ τις χ. ἐνδείκνυται μάχαιραν μολιβδίνην, οὐ σιδηρᾶν ποιήσας, ἀλλὰ μένουσαν ἐπὶ τῆς τοῦ μολίβδου φύσεως, τὰ σιδήρου ἐργάζεσθαι παρασκευάσῃ. σκόπει δέ· ὁ Ἰακὼβ ἄπλαστος ἦν, οἰκῶν οἰκίαν, καὶ πόνων ἀμελέτητος καὶ κινδύνων, ἀνειμένον τινὰ βίον ζῶν καὶ ἐλεύθερον, καὶ καθάπερ παρθένος ἐν θαλάμῳ, οὕτω καὶ αὐτὸς ἔνδον καθήμενος, τὰ πλείονα οἰκουρεῖν ἠναγκάζετο, ἀγορᾶς μὲν καὶ τῶν ἐκ τῆς ἀγορᾶς θορύβων καὶ πάντων τῶν τοιούτων ἀπηλλαγμένος, διαπαντὸς δὲ ἐν ἀδείᾳ καὶ ἡσυχίᾳ μένων. τί οὖν; ἐπειδὴ αὐτὸν ὁ πυρσὸς τῆς ἀγάπης ἀνῆψε, τὸν ἄπλαστον τοῦτον καὶ οἰκουροῦντα οἰκίαν ὅρα πῶς ἐποίησε καρτερικὸν καὶ φιλόπονον. καὶ ταῦτα μὴ παρ'
Γεν. λα. λϛ. ἐμοῦ, ἀλλὰ παρ' αὐτοῦ ἄκουε τοῦ πατριάρχου. ἐγκαλῶν γὰρ τῷ κηδεστῇ, φησι, ταῦτά μοι εἴκοσιν χ. παρ' ἐμοὶ

ἔτη

ἔτι ἐγώ εἰμι μετὰ σοῦ. καὶ πῶς τὰ εἴκοσιν ἔτη ἐγένου; καὶ γὰρ καὶ τοῦτο προστίθει, συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. Ταῦτα ὁ ἄπλαστος, καὶ οἰκῶν οἰκίαν, καὶ τὸν ἀνειμένον βίον ζῶν. ὅτι δὲ καὶ δειλὸς ἦν, δῆλον ἐξ ὧν τὸν Ἠσαῦ προσδοκῶν ὄψεσθαι, ἐτεθνήκει τῷ δέει. ἀλλ' ὅρα πάλιν, πῶς οὗτος ὁ δειλὸς, λέοντος θρασύτερος ὑπὸ τῆς ἀγάπης γέγονε. καθάπερ γάρ τινα προβολὴν ἑαυτὸν πρὸ τῶν ἄλλων τάξας ἁπάντων, ἕτοιμος ἦν τὸν ἄγριον ἐκεῖνον καὶ φόνου πνέοντα, καθὼς ᾤετο, δέξασθαι πρῶτος, καὶ ἐν τῷ οἰκείῳ σώματι ταῖς γυναιξὶ τὴν ἀσφάλειαν κατασκευάσαι· καὶ ὃν ἐδεδοίκει καὶ ἔφριττε, πρῶτος ἰδεῖν ἐπὶ τῆς παρατάξεως ἐπεθύμει. τοῦ γὰρ φόβου τούτου δυνατώτερος ἦν ὁ τῶν γυναικῶν πόθος. εἶδες πῶς δειλὸς ὢν, τολμητὴς γέγονεν ἄφνω, οὐ τὴν ἕξιν μεταβαλὼν, ἀλλ' ὑπὸ τῆς ἀγάπης κρατυνθείς; (γρ. κρατηθείς;) ὅτι γὰρ καὶ μετὰ ταῦτα δειλὸς ἦν, δῆλον ἐξ ὧν τόπους ἐκ τόπων ἀμείβει. ἀλλὰ μηδεὶς νομιζέτω κατηγορίαν εἶναι τοῦ δικαίου τὰ εἰρημένα. οὐ γὰρ τὸ δειλὸν εἶναι, ἔγκλημα (τοῦτο γὰρ φύσεως) ἀλλὰ τὸ διὰ δειλίαν τι ποιεῖν τῶν μὴ προσηκόντων. ἔστι γὰρ καὶ δειλὸν ὄντα τῇ φύσει, ἀνδρεῖον γενέσθαι ὑπὸ τῆς εὐλαβείας. τί δὲ ὁ Μωϋσῆς; οὐχὶ ἕνα Αἰγύπτιον φοβηθεὶς ἔφυγε, καὶ πρὸς τὴν ὑπερορίαν μετέστη; ἀλλ' ὅμως ὁ φυγὰς οὗτος, καὶ ἑνὸς ἀνδρὸς ἀπειλὴν οὐκ ἐνεγκὼν, ἐπειδὴ ἐγεύσατο τοῦ μέλιτος τῆς ἀγάπης, καλῶς καὶ μηδενὸς καταναγκάζοντος συναπολέσθαι τοῖς ἀγαπωμένοις ἠπείγετο. Εἰ μὲν γὰρ ἀφῆς αὐτοῖς τὴν ἁμαρτίαν, φησίν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας. (Ἐξοδ. λβ. λα.) ὅτι δὲ καὶ τὸν θρασὺν ἐπιεικῆ, καὶ τὸν ἀσελγῆ σώφρονα ποιεῖ τὸ φιλεῖν, οὐδὲ παραδειγμάτων ἡμῖν ἐνταῦθα χρεία λοιπόν. πᾶσι γὰρ τοῦτο δῆλον. κἂν θηρίου παντὸς τις ἀγριώτερος ᾖ, προβάτου παντὸς ἡμερώτερος ἀπὸ τοῦ φιλεῖν γίνεται. τί γὰρ τοῦ Σαοὺλ ἀγριώτερον ἦν καὶ μανικώτερον; ἀλλ' ἡνίκα τὸν ἐχθρὸν ἀπέλυσεν ἡ θυγάτηρ, οὐδὲ ῥῆμα πρὸς αὐτὴν ἐξέβαλε πικρόν. καὶ ὁ τοὺς ἱερέας ἄρδην ἅπαντας κατασφάξας διὰ τὸν Δαβὶδ, τὴν θυγατέρα ὁρῶν ἐκ τῆς οἰκίας αὐτὸν ἀφεῖσαν, οὐδὲ μέχρι λόγου πρὸς αὐτὴν ἠγανάκτησε, καὶ ταῦτα ἀπάτης τοσαύτης ἐπ' αὐτὸν συντεθείσης. δυνατωτέρῳ γὰρ χαλινῷ τῷ τῆς ἀγάπης κατείχετο. ὥσπερ δὲ ἐπιεικεῖς, οὕτω καὶ σώφρονας οἶδεν αὕτη ποιεῖν. κἂν τὴν ἑαυτοῦ τις ἀγαπᾷ γυναῖκα οὕτως, ὡς ἀγαπᾶν δεῖ, κἂν μυριάκις ἀσελγὴς ᾖ, οὐκ ἀνέξεται ἑτέραν ἰδεῖν διὰ τὸν πρὸς ἐκείνην πόθον. Κραταιὰ γάρ, φησιν, ὡς θάνατος, ἡ ἀγάπη. (Ἀσμ. η. ς.) ὥστε οὐδαμόθεν ἀλλαχόθεν τὸ ἀσελγαίνειν γίνεται, ἢ ἐκ τοῦ μὴ φιλεῖν. ἐπεὶ οὖν δημιουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη, μετὰ ἀκριβείας ἁπάσης ἐν ταῖς ἑαυτῶν καταφυτεύσωμεν αὐτὴν ψυχαῖς, ἵν' ἡμῖν πολλὰ κομίσῃ τὰ ἀγαθὰ, καὶ βρύοντα αὐτῆς διηνεκῶς τὸν καρπὸν ἔχωμεν, τὸν ἀεὶ τεθηλότα, καὶ οὐδέποτε μαραινόμενον. οὕτω γὰρ καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λδ. ΕΙΤΕ ΔΕ ΠΡΟΦΗΤΕΙΑΙ ΚΑΤΑΡΓΗΘΗΣΟΝΤΑΙ, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται.

Δείξας τῆς ἀγάπης τὴν ὑπεροχὴν ἐκ τοῦ καὶ τὰ χαρίσματα καὶ τὰ τοῦ βίου κατορθώματα αὐτῆς δεῖσθαι, ἐκ τοῦ τὰς ἀρετὰς αὐτῆς ἀριθμῆσαι πάσας, καὶ φιλοσοφίας ἀκριβοῦς ὑπόθεσιν ἀποφῆναι, ἐξ ἑτέρου πάλιν τρίτου κεφαλαίου δείκνυσιν αὐτῆς τὴν ἀξίαν. καὶ ταῦτα ποιεῖ τούς τε ἠλαττῶσθαι δοκοῦντας πεῖσαι θέλων, ὅτι ἔξεστιν αὐτοῖς τὸ κεφάλαιον τῶν σημείων ἔχειν, καὶ οὐδὲν ἔλαττον ἕξουσι τῶν ἐχόντων τὰ χαρίσματα, εἰ ταύτην ἔχοιεν, ἀλλὰ καὶ πολλῷ πλέον, καὶ τοὺς ἔχοντας τὰ

μεγάλα

μεγάλα χαρίσματα πάλιν καὶ ἐντεῦθεν ἐπαιρομένους, ταπεινῶσαι σπουδάζων, καὶ δεῖξαι μηδὲν ἔχοντας, ἐὰν μὴ ταύτην ἔχωσιν. οὕτω γὰρ ἔμελλόν τε ἀλλήλους ἀγαπᾶν, βασκανίας τε καὶ ἀπονοίας ἐντεῦθεν ἀναιρουμένης, ἀγαπῶντές τε πάλιν πορρωτέρω ταῦτα ἐξώριζον τὰ πάθη. ἡ γὰρ ἀγάπη οὐ ζηλοῖ, οὐ φυσιοῦται. ὥστε πανταχόθεν τεῖχος αὐτοῖς ἀῤῥαγὲς περιέβαλε, καὶ πολύπλοκον ὁμόνοιαν ἀναιρεῦσαί τε τὰ νοσήματα ἅπαντα, καὶ ἐντεῦθεν πάλιν ἰσχυροτέραν γενομένην. διὰ τοῦτο καὶ μυρίους ἐκίνησε λογισμοὺς τοὺς δυναμένους αὐτῶν παραμυθήσασθαι τὴν ἀθυμίαν. καὶ γὰρ τὸ αὐτὸ πνεῦμα δίδωσί, φησι, καὶ πρὸς τὸ συμφέρον δίδωσι, καὶ ὡς βούλεται διαιρεῖ, καὶ χαριζόμενον οὐκ ὀφείλοντι διαιρεῖ. κἂν μικρὸν λάβῃς, ὁμοίως εἰς τὸ σῶμα τελεῖς, καὶ πολλῆς καὶ οὕτως ἀπολαύεις τιμῆς. καὶ ὁ τὸ μεῖζον ἔχων, σοῦ τοῦ τὸ ἔλαττον ἔχοντος δεῖται. καὶ ὅτι τὸ μέγιστον χάρισμα καὶ ἡ καθ' ὑπερβολὴν ὁδός ἐστιν ἡ ἀγάπη. ταῦτα δὲ ἔλεγε, διπλῆ περισφίγγων αὐτοὺς ἀλλήλοις, τῷ τε μὴ νομίζειν ἠλαττῶσθαι ταύτης παρούσης, καὶ τῷ ἐπιδραμόντας αὐτῇ καὶ ἑλόντας, μηδὲν πάσχειν λοιπὸν ἀνθρώπινον, καὶ ὡς τὴν ῥίζαν ἔχοντας τῶν χαρισμάτων, καὶ ὡς οὐκέτι δυναμένους, οὐδὲ εἰ μηδὲν εἶχον, φιλονεικεῖν. ὁ γὰρ ἁλοὺς ἅπαξ ὑπὸ τῆς ἀγάπης, φιλονεικίας ἀπήλλακται. διὸ καὶ δεικνὺς αὐτοῖς, ὅσα ἐντεῦθεν καρποῦνται τὰ ἀγαθὰ, τοὺς καρποὺς αὐτῆς ὑπέγραφε, διὰ τῶν ἐγκωμίων αὐτῆς τὰ ἐκείνων νοσήματα καταστέλλων. καὶ γὰρ τῶν εἰρημένων ἕκαστον, φάρμακον ἱκανὸν ἦν τοῖς ἐκείνων τραύμασιν ἀρκέσαι. διὸ καὶ ἔλεγε, μακροθυμεῖ, πρὸς τοὺς ἀλλήλοις φιλονεικοῦντας· χρηστεύεται, πρὸς τοὺς διεστῶτας, καὶ ὑπούλους· οὐ ζηλοῖ, πρὸς τοὺς βασκαίνοντας τοῖς ὑπερέχουσιν· οὐ περπερεύεται, πρὸς τοὺς διασπασθέντας· οὐ φυσιοῦται, πρὸς τοὺς καταλαζονευομένους αὐτῶν· οὐκ ἀσχημονεῖ, πρὸς τοὺς οὐκ ὀφείλοντας συγκαταβαίνειν· οὐ ζητεῖ τὸ ἑαυτῆς, πρὸς τοὺς ὑπερορῶντας τῶν λοιπῶν· οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, πρὸς τοὺς ὑβριζομένους· οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πρὸς τοὺς βασκαίνοντας πάλιν· πάντα στέγει, πρὸς τοὺς ἐπιβουλευομένους· πάντα ἐλπίζει, πρὸς τοὺς ἀπογινώσκοντας· πάντα ὑπομένει, οὐδέποτε ἐκπίπτει, πρὸς τοὺς εὐκόλως διϊσταμένους. ἐπεὶ οὖν πανταχόθεν αὐτὴν μεγάλην ἔδειξε μεθ' ὑπερβολῆς ἁπάσης, πάλιν ἐξ ἑτέρου κεφαλαίου μεγίστου τοῦτο ποιεῖ, κατὰ σύγκρισιν ἑτέρων ἐπαίρων αὐτῆς τὸ ἀξίωμα, καὶ λέγων οὕτως· εἴτε δὲ προφητεῖαι καταργηθήσονται· εἴτε γλῶσσαι παύσονται. εἰ γὰρ ἀμφότερα ταῦτα τῆς πίστεως ἕνεκεν εἰσενήνεκται, ταύτης πανταχοῦ διασπαρείσης περιττὴ τούτων ἡ χρεία λοιπόν. ἀλλ' οὐ τὸ ἀγαπᾶν ἀλλήλους παυθήσεται, ἀλλὰ καὶ ἐπιδώσει μειζόνως, καὶ ἐνταῦθα καὶ κατὰ τὸ μέλλον, καὶ τότε μᾶλλον ἢ νῦν. ἐνταῦθα μὲν γὰρ πολλὰ τὰ χαυνοῦντα τὴν ἀγάπην, χρήματα, πράγματα, πάθη σωμάτων, νοσήματα ψυχῆς· ἐκεῖ δὲ οὐδὲν τούτων. ἀλλὰ τὸ μὲν προφητείας καταργεῖσθαι καὶ γλώσσας, θαυμαστὸν οὐδέν· τὸ δὲ γνῶσιν καταργεῖσθαι, τοῦτό ἐστι τὸ τὴν ἀπορίαν ποιοῦν. καὶ γὰρ καὶ τοῦτο προσέθηκεν εἰπών, εἴτε γνῶσις καταργηθήσεται. τί οὖν; ἐν ἀγνωσίᾳ μέλλομεν ζῆν τότε; ἄπαγε. καὶ γὰρ τότε μάλιστα ἐπιταθῆναι εἰκὸς τὴν γνῶσιν. διὸ καὶ ἔλεγε, Τότε ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. διά τοι τοῦτο, ἵνα μὴ ὁμοίως τῇ προφητείᾳ καὶ ταῖς γλώσσαις, καὶ ταύτην καταργεῖσθαι νομίσῃς, εἰπών, εἴτε γνῶσις καταργηθήσεται, οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγε καὶ τὸν τρόπον τῆς καταργήσεως, ταχέως προσθεὶς τό,

α. Κορ. ιγ. ιβ.

9 Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν.

10 Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.

Οὐκ ἄρα ἡ γνῶσις καταργεῖται, ἀλλὰ τὸ μερικὴν εἶναι γνῶσιν. οὐκέτι γὰρ τοσαῦτα εἰσόμεθα μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα. ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος αὐτὸ ποιήσω φανερόν, νῦν ἴσμεν ὅτι πανταχοῦ ἐστιν ὁ Θεός, ἀλλὰ πῶς, οὐκ ἴσμεν. ὅτι δὲ ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν,

ἐποίησεν, ἴσμεν· τὸν δὲ τρόπον ἀγνοοῦμεν. ὅτι ἐκ παρθένου ἐτέχθη, πῶς δὲ, οὐκέτι. τότε δὲ εἰσόμεθά τι πλέον καὶ σαφέστερον περὶ τούτων. Εἶτα δείκνυσι καὶ τὸ μέσον ὅσον, καὶ ὅτι οὐ μικρὸν τὸ λειπόμενον, λέγων,

11 Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, τὰ τοῦ νηπίου κατήργηκα. Καὶ δι᾽ ἑτέρου δὲ παραδείγματος τὸ αὐτὸ πάλιν δηλοῖ λέγων,

12 Βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου. Εἶτα ἐπειδὴ τὸ ἔσοπτρον περίεισι τὸ ὁρώμενον ὁπωσδήποτε, ἐπήγαγεν,

Ἐν αἰνίγματι, Μεθ᾽ ὑπερβολῆς δεικνὺς μερικωτάτην τὴν παροῦσαν γνῶσιν.

Τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Οὐχ ὡς πρόσωπον ἔχοντος τοῦ Θεοῦ, ἀλλ᾽ ἵνα εἴπῃ σαφέστερον καὶ τρανότερον. ὁρᾷς κατ᾽ ἐπίδοσιν πάντα μανθάνοντας;

Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

Εἶδες πῶς διπλῇ τὸ φύσημα αὐτῶν κατέσπασεν; ὅτι καὶ μερικὴ ἡ γνῶσις, καὶ οὐδὲ ταύτην οἴκοθεν ἔχουσιν. οὐ γὰρ ἐγὼ αὐτὸν ἔγνων, ἀλλ᾽ αὐτός με ἐγνώρισε, φησίν. ὥσπερ οὖν αὐτός με ἔγνω πρότερος νῦν, καὶ αὐτός μοι ἐπέδραμεν, οὕτως ἐγὼ αὐτῷ ἐπιδραμοῦμαι τότε πολλῷ μειζόνως, ἢ νῦν. καὶ γὰρ ὁ ἐν σκότῳ καθήμενος, ἕως μὲν ἂν μὴ βλέπῃ τὸν ἥλιον, οὐκ αὐτὸς ἐπιτρέχει τῷ κάλλει τῆς ἀκτῖνος, ἀλλ᾽ ἐκείνη δείκνυσιν ἑαυτὴν, ἐπειδὰν λάμψῃ· ὅταν δὲ αὐτῆς δέξηται τὴν αὐγὴν, τότε καὶ αὐτὸς λοιπὸν διώκει τὸ φῶς. τοῦτο οὖν ἐστι τὸ, καθὼς καὶ ἐπεγνώσθην. οὐχ ὅτι οὕτως αὐτὸν εἰσόμεθα, καθὼς αὐτὸς ἡμᾶς, ἀλλ᾽ ὅτι ὥσπερ αὐτὸς ἡμῖν ἐπέδραμε νῦν, οὕτω καὶ ἡμεῖς ἀνθεξόμεθα αὐτοῦ τότε, καὶ πολλὰ τῶν νῦν ἀπορρήτων εἰσόμεθα, καὶ τῆς μακαριωτάτης ἐκείνης ἀπολαύσομεν ὁμιλίας καὶ σοφίας. εἰ γὰρ ὁ τοσαῦτα εἰδὼς Παῦλος νήπιος, ἐννόησον ἡλίκα ἐκεῖνα. εἰ ταῦτα ἔσοπτρον καὶ αἴνιγμα, λογίζου μοι πάλιν ἐντεῦθεν τὸ πρόσωπον ἡλίκον ἐστίν. ἵνα δέ σοι μικρόν τι παραδηλώσω τῆς διαφορᾶς ταύτης, καὶ ἀκτῖνά τινα ἀμυδρὰν τοῦ νοήματος ἐναφῶ σου τῇ ψυχῇ τούτου, ἀναμνήσθητί μοι τῶν ἐν τῷ νόμῳ νῦν, ἡνίκα ἡ χάρις ἔλαμψε. καὶ γὰρ ἐκεῖνα πρὸ τῆς χάριτος μεγάλα τινὰ καὶ θαυμαστὰ ἐφαίνετο· ἀλλ᾽ ὅμως ἄκουσον τί φησι περὶ αὐτῶν μετὰ τὴν χάριν ὁ Παῦλος· Ὅτι οὐ β. Κορ. γ. α.
δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης. ἵνα δὲ καὶ σαφέστερον, ὃ λέγω, γένηται, ἐφ᾽ ἑνός τινος τῶν τότε τελουμένων τὸν λόγον μεταχειρισώμεθα, καὶ τότε ὄψει τὸ μέσον ὅσον. καὶ, εἰ βούλει, τὸ πάσχα εἰς μέσον ἀγάγωμεν ἐκεῖνο καὶ τοῦτο, καὶ τότε εἴσῃ τὴν ὑπεροχήν. ἐπετέλουν μὲν γὰρ καὶ Ἰουδαῖοι, ἐπετέλουν δὲ οὕτως, ὡς ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι. τὰ δὲ ἀπόρρητα ταῦτα μυστήρια οὐδὲ εἰς νοῦν ποτε ἔλαβον, οὐδὲ ἵνα ἴδωσιν, ἃ ἐκεῖνα προανεφώνει· ἀλλὰ πρόβατον ἑώρων σφαττόμενον, καὶ αἷμα ἀλόγου, καὶ θύρας χριομένας τούτῳ. ὅτι δὲ ὁ υἱὸς τοῦ Θεοῦ σαρκωθεὶς σφαγήσεται, καὶ τὴν οἰκουμένην ἐλευθερώσει πᾶσαν, καὶ δώσει καὶ Ἕλλησι καὶ βαρβάροις τοῦ αἵματος ἀπογεύσασθαι τούτου, καὶ τὸν οὐρανὸν ἀνοίξει πᾶσι, καὶ τὰ ἐκεῖ προθήσει τῷ τῶν ἀνθρώπων γένει, καὶ τὴν αἱμαχθεῖσαν σάρκα λαβὼν ὑπὲρ τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ πάσας ἁπλῶς τὰς ἄνω τῶν ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄλλων δυνάμεων στρατιὰς ἀναβιβάσει, καὶ ἐπὶ αὐτοῦ τοῦ θρόνου τοῦ βασιλικοῦ ἐν δεξιᾷ τοῦ πατρὸς αὐτὴν καθιεῖ δόξῃ λάμπουσαν ἀρρήτῳ, ταῦτα δὴ οὔτε ἐκείνων τις, οὔτε τῶν ἄλλων οὐδεὶς ἀνθρώπων οὔτε προέγνω, οὔτε εἰς νοῦν ἠδυνήθη βαλέσθαι ποτέ. ἀλλὰ τί φασιν οἱ πάντα τολμηροί; τὸ, ἄρτι γινώσκω ἐκ μέρους, περὶ οἰκονομίαν εἰρῆσθαι· τὴν γὰρ περὶ τοῦ Θεοῦ γνῶσιν ἀπηρτισμένην αὐτὸν ἔχειν. καὶ πῶς νήπιον ἑαυτὸν καλεῖ, πῶς δι᾽ ἐσόπτρου βλέπει, πῶς ἐν αἰνίγματι, εἰ τὸ πλέον ἐκεῖ τῆς γνώσεως; τί δὲ ὥσπερ ἐξαίρετον αὐτὸ τίθησιν αὐτῷ τῷ πνεύματι, καὶ οὐδεμίᾳ ἄλλῃ δυνάμει τῆς κτίσεως, λέγων· Τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν α. Κορ. β. ια.
αὐτῷ;

αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. καὶ ὁ Χριστὸς πάλιν ἑαυτοῦ μόνου τοῦτο εἶναί φησιν, οὕτω λέγων· Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα, ὅρασιν τὴν γνῶσιν λέγων τὴν σαφεστάτην καὶ ἀπηρτισμένην. πῶς δὲ ὁ τὴν οὐσίαν εἰδὼς, τὰς οἰκονομίας ἀγνοήσει; ἐκείνη γὰρ μείζων ταύτης ἡ γνῶσις. ἀγνοοῦμεν οὖν, φησι, τὸν Θεόν; ἄπαγε, ἀλλ' ὅτι μέν ἐστιν, ἴσμεν, τί ποτε δέ ἐστι τὴν οὐσίαν, οὐκέτι. καὶ ἵνα γνῷς ὅτι οὐ περὶ τῶν οἰκονομιῶν εἴρηκε τό, ἄρτι γινώσκω ἐκ μέρους, ἄκουσον τῶν ἑξῆς. ἐπήγαγεν οὖν· τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. οὐ δήπου δὲ ὑπὸ τῶν οἰκονομιῶν ἐπεγνώσθη, ἀλλ' ὑπὸ τοῦ Θεοῦ. μηδεὶς τοίνυν μικρὰν, μηδὲ ἁπλῆν νομιζέτω εἶναι ταύτην τὴν παραγινομένην, ἀλλὰ καὶ διπλῆν καὶ τριπλῆν καὶ πολλαπλασίονα. οὐ γὰρ δὴ τοῦτο μόνον ἐστὶ τὸ ἄτοπον, ὅτι ταῦτα ἀλαζονεύονται εἰδέναι, ἃ τοῦ πνεύματός ἐστι μόνου, καὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἀλλ' ὅτι καὶ Παύλου οὐδὲ τὸ μερικὸν τοῦτο τῆς γνώσεως αὐτὴν τῆς ἄνωθεν ἀποκαλύψεως δυνηθέντος μαθεῖν, αὐτοὶ τὸ πᾶν ἐκ τῶν οἰκείων λογισμῶν κατειληφέναι φασίν. οὐδὲ γὰρ ἔχουσιν οὐδαμοῦ τὴν γραφὴν περὶ τούτων ἡμῖν διαλεγομένην δεῖξαι. ἀλλὰ γὰρ τὴν μανίαν αὐτῶν ἀφέντες, τῶν ἑξῆς ἐχώμεθα περὶ τῆς ἀγάπης λόγων. οὐ γὰρ τούτοις ἠρκέσθη, ἀλλ' ἐπάγει πάλιν λέγων·

13 Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Ἡ μὲν γὰρ πίστις καὶ ἡ ἐλπὶς, τῶν πιστευθέντων καὶ τῶν ἐλπισθέντων παραγινομένων ἀγαθῶν, παύεται. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· (Ρωμ. η. κδ.) Ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; πάλιν, (Εβρ. ια. α.) Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. ὥστε αὗται μὲν παύονται φανέντων ἐκείνων· ἡ δὲ ἀγάπη τότε μάλιστα αἴρεται, καὶ γίνεται σφοδροτέρα. ἕτερον πάλιν ἐγκώμιον τῆς ἀγάπης. οὐδὲ γὰρ ἀρκεῖται τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ ἄλλο φιλονεικεῖ πάλιν εὑρεῖν. σκόπει δέ· εἶπεν αὐτὴν χάρισμα εἶναι μέγα καὶ ὁδὸν τούτων καθ' ὑπερβολήν, εἶπε χωρὶς αὐτῆς μηδὲν μέγα ὠφελεῖν τὰ χαρίσματα, ὑπέγραψεν αὐτῆς διὰ πολλῶν τὴν εἰκόνα· βούλεται πάλιν καὶ ἑτέρως αὐτὴν ἐπᾶραι καὶ δεῖξαι μεγάλην οὖσαν ἐκ τοῦ διαμένειν. διὸ καὶ ἔλεγε, νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων, ἡ ἀγάπη. πῶς οὖν μείζων ἡ ἀγάπη; ὅτι ἐκεῖνα διαβαίνει. εἰ τοίνυν τοσαύτη ἡ ἰσχὺς τῆς ἀγάπης, εἰκότως ἐπάγει λέγων, Διώκετε τὴν ἀγάπην.

ΗΘΙΚΟΝ

Καὶ γὰρ διώξεως χρεία καὶ δρόμου τινὸς σφοδροῦ ἐπ' αὐτήν. οὕτως ἡμῶν ἀπέπτη, καὶ τοσαῦτα τὰ ὑποσχίζοντα τὸν ἐκεῖσε δρόμον. διὸ καὶ πολλῆς ἡμῖν ἀεὶ τῆς σφοδρότητος δεῖ, ὥστε αὐτὴν καταλαβεῖν. ὅπερ ἐνδεικνύμενος ὁ Παῦλος οὐκ εἶπεν, ἀκολουθεῖτε τῇ ἀγάπῃ, ἀλλὰ, διώκετε αὐτήν, διεγείρων ἡμᾶς καὶ ἀνάπτων πρὸς τὴν ἐκείνης ἀντίληψιν. καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς μυρία ὑπὲρ τοῦ ταύτην ἡμῖν ἐμφυτεῦσαι ἐμηχανήσατο. καὶ γὰρ μίαν ἅπασιν ἔδωκε κεφαλὴν, τὸν Ἀδάμ. διὰ τί γὰρ μὴ ἐκ γῆς γινόμεθα πάντες; διὰ τί μὴ τέλειοι, ὡς ἐκεῖνος; ἵνα καὶ οἱ τόκοι, καὶ αἱ παιδοτροφίαι, καὶ τὸ ἐξ ἀλλήλων φύεσθαι, συνδήσωσι πρὸς ἀλλήλους ἡμᾶς. διὰ τοῦτο οὐδὲ τὴν γυναῖκα ἐποίησεν ἀπὸ γῆς. ἐπειδὴ γὰρ οὐκ ἤρκει δυσωπῆσαι πρὸς ὁμόνοιαν ἡμᾶς ὁμοίως, τὸ τῆς αὐτῆς οὐσίας εἶναι, εἰ μὴ καὶ τὸν αὐτὸν ἔχοιμεν πρόγονον, καὶ τοῦτο κατεσκεύασεν. εἰ γὰρ νῦν τόποις διεστηκότες μόνοις, ἀλλοτρίους εἶναι νομίζομεν ἑαυτοὺς ἀλλήλων, εἰ δύο τὸ γένος ἡμῶν εἶχεν ἀρχὰς, πολλῷ μᾶλλον ἂν τοῦτο ἐγένετο. διὰ δὴ τοῦτο, ὥσπερ ἀπό τινος μιᾶς κεφαλῆς, τὸ πᾶν ἔδησε σῶμα τοῦ τῶν ἀνθρώπων γένους. καὶ ἐπειδήπερ ἐξ ἀρχῆς δύο τινὲς (Γεν. β. κδ.) ἐδόκουν εἶναι, ὅρα πῶς αὐτοὺς συγκολλᾷ πάλιν καὶ εἰς ἓν συνάγει διὰ τοῦ γάμου. Ἀντὶ τούτου γὰρ καταλείψει, φησὶν, ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. καὶ οὐκ εἶπεν, ἡ γυνὴ, ἀλλ', ὁ ἄνθρωπος, ἐπειδὴ καὶ μείζων ἡ ἐπιθυμία ἐν ἐκείνῳ. καὶ γὰρ καὶ μείζονα αὐτὴν

διὰ

διὰ τοῦτο ἐποίησεν, ἵνα ὁ ὑπερέχων καταλύηται τῇ τυραννίδι τούτου τοῦ ἔρωτος, καὶ ὑποτάξῃ τῷ ἀσθενεστέρῳ. ἐπειδὴ δὲ καὶ γάμον ἔδει εἰσαχθῆναι, τὸν ἐξ οὗ γέγονε, τοῦτον ἄνδρα ἐποίησε τῇ γυναικί. πάντα γὰρ ἀγάπης τῷ Θεῷ δεύτερα. εἰ γὰρ οὕτω γινομένων ὁ πονηρὸς εὐθέως οὕτως ἐμάνη, καὶ τοσαύτην μάχην ὁ διάβολος καὶ βασκανίαν ἐνέσπειρε, τί οὐκ ἂν εἰργάσατο, εἰ μὴ ἀπὸ μιᾶς ῥίζης ἐβλάστησαν; εἶτα ἵνα ὁ μὲν ὑποτάττηται, ἡ δὲ ἄρχῃ (τὸ γὰρ ὁμότιμον οἶδε πολλάκις μάχην εἰσάγειν) οὐκ ἀφῆκε δημοκρατίαν εἶναι, ἀλλὰ βασιλείαν, καί, καθάπερ ἐν στρατοπέδῳ, ταύτην ἄν τις ἴδοι τὴν διάταξιν καθ' ἑκάστην οἰκίαν. ἔστι γοῦν ἐν τάξει μὲν βασιλέως, ὁ ἀνήρ· ἐν τάξει δὲ ὑπάρχου ἡ γυνὴ καὶ στρατηγοῦ· καὶ οἱ παῖδες δὲ ἀρχὴν κεκλήρωνται τρίτην. εἶτα μετὰ ταῦτα ἀρχὴ τετάρτη, ἡ τῶν οἰκετῶν. καὶ γὰρ καὶ οὗτοι κρατοῦσι τῶν ἐλαττόνων, καὶ εἷς τις πολλάκις τοῖς πᾶσιν ἐφέστηκε, τὴν τοῦ δεσπότου τάξιν διατηρῶν, πλὴν ὡς οἰκέτης. καὶ μετὰ ταύτης ἑτέρα πάλιν ἀρχή, καὶ ἐν αὐτοῖς τοῖς παισὶ πάλιν ἑτέρα κατὰ τὴν ἡλικίαν καὶ κατὰ τὴν φύσιν. οὐ γὰρ ἐν τοῖς παιδίοις ὁμοίως τὸ θῆλυ κρατεῖ. καὶ πανταχοῦ δι' ὀλίγου καὶ πυκνὰς ἐποίησε τὰς ἀρχὰς ὁ Θεός, ἵνα πάντα ἐν ὁμονοίᾳ μένῃ καὶ εὐταξίᾳ πολλῇ. (κ ἐν τάξει) διὰ τοῦτο καὶ πρὶν εἰς πλῆθος ἐξενεχθῆναι τὸ γένος, δύο μόνων ὄντων τῶν πρώτων, τὸν μὲν ἄρχειν, τὴν δὲ ἄρχεσθαι ἐκέλευσε. καὶ ἵνα μὴ ὡς ἐλάττονος καταφρονῇ πάλιν καὶ ἀποσχίζηται, ὅρα πῶς αὐτὴν ἐτίμησέ τε καὶ ἤνωσε καὶ πρὸ τῆς δημιουργίας. Ποιήσωμεν γὰρ αὐτῷ, φησί, βοηθόν, δεικνὺς ὅτι εἰς χρείαν αὐτοῦ γέγονε, καὶ ταύτῃ συνάγων αὐτὸν πρὸς τὴν δι' αὐτὸν γεγενημένην. (Γεν. β. ιη.) καὶ γὰρ πρὸς ταῦτα οἰκειότερον διακείμεθα τὰ δι' ἡμᾶς παραχθέντα. ἵνα δὲ μὴ ἐπαίρηται πάλιν ἐκείνη, ὡς εἰς βοήθειαν αὐτῷ δοθεῖσα, καὶ τὸν δεσμὸν ἀπορρήξῃ τοῦτον, ἀπὸ τῆς πλευρᾶς αὐτὴν ποιεῖ, δεικνὺς ὅτι μέρος τοῦ παντός ἐστιν αὕτη σώματος. ἵνα δὲ μηδὲ ὁ ἀνὴρ ἐντεῦθεν ἐπαίρηται, οὐκέτι ἀφίησιν εἶναι μόνου, ὃ μόνου τὸ πρότερον ἐγένετο, ἀλλὰ τοὐναντίον ἐποίησε τούτῳ, τὴν παιδοποιίαν εἰσαγαγών, κἀν τούτῳ προτιμήσας μὲν τὸν ἄνδρα, οὐ μὴν τὸ πᾶν ἀφεὶς εἶναι αὐτοῦ. Εἶδες πόσους συνδέσμους ἀγάπης ὁ Θεὸς εἰργάσατο; ἀλλὰ ταῦτα μὲν ἀπὸ τῆς φύσεως κατέθηκε τῇ ὁμονοίᾳ τὰ ἐνέχυρα. καὶ γὰρ τὸ τῆς αὐτῆς οὐσίας εἶναι, εἰς τοῦτο ἄγει (πᾶν γὰρ ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ) καὶ τὸ ἐξ ἀνδρὸς τὴν γυναῖκα εἶναι, καὶ τὸ ἐξ ἀμφοτέρων πάλιν τοὺς παῖδας. ὅθεν καὶ πολλοὶ φύονται διαθέσεως τρόποι. τὸν μὲν γὰρ ὡς πατέρα ἀγαπῶμεν, τὸν δὲ ὡς πάππον· καὶ τὴν μὲν ὡς μητέρα, τὴν δὲ ὡς τιθήνην· καὶ τοὺς μὲν ὡς υἱοὺς καὶ ἐκγόνους, καὶ ἐξ ἐγγόνων πάλιν, τὴν δὲ ὡς θυγατέρα καὶ θυγατριδῆν· καὶ τὸν μὲν ὡς ἀδελφόν, τὸν δὲ ὡς ἀδελφιδοῦν· καὶ τὴν μὲν ὡς ἀδελφήν, τὴν δὲ ὡς ἀδελφιδῆν. καὶ τί γὰρ δεῖ πάντα καταλέγειν τὰ τῆς συγγενείας ὀνόματα; ἐπενόησε δὲ καὶ ἑτέραν διαθέσεως ὑπόθεσιν. ἀπαγορεύσας γὰρ τοὺς τῶν συγγενῶν γάμους, ἐπ' ἀλλοτρίους ἡμᾶς ἐξήγαγε, κἀκείνους πάλιν πρὸς ἡμᾶς εἵλκυσεν. ἐπειδὴ γὰρ ἀπὸ τῆς φυσικῆς ταύτης συγγενείας οὐκ ἦν ἐκείνους ἡμῖν συναφθῆναι, ἀπὸ τοῦ γάμου πάλιν συνῆψεν, ὁλοκλήρους οἰκίας διὰ τῆς μιᾶς νύμφης συνάγων, καὶ γένη γένεσιν ὅλα ἀναμιγνύς. Μὴ γάμει γάρ, φησί, τὴν ἀδελφὴν τὴν σήν, μηδὲ τὴν ἀδελφὴν τοῦ πατρός, (Λευϊτ. ιη.) μηδὲ ἄλλην κόρην τοιαύτην συγγενείας πρὸς σὲ κεκλημένην, ἢ διακωλύει τὸν γάμον, ὀνόματι θεὶς τῶν τοιούτων συγγενῶν τὰ εἴδη. ἀρκεῖ σοι πρὸς τὴν ἐκείνων διάθεσιν τὸ λῦσαι τὰς αὐτὰς ὠδῖνας, τὸ ἑτέρως σοι προσήκειν τὰς ἄλλας. τί στενοχωρεῖς τῆς ἀγάπης τὸ πλάτος; τί περιττῶς ὑπόθεσιν ἀναλίσκεις εἰς αὐτὴν φιλίας, δι' ἧς δύνασαι καὶ ἑτέραν πορίσασθαι φιλίας ἀφορμήν, ἔξωθεν γυναῖκα ἀγαγών, καὶ δι' ἐκείνης συγγενῶν ὁρμαθόν, καὶ μητέρα, καὶ πατέρα, καὶ ἀδελφούς, καὶ τοὺς τούτων ἐπιτηδείους; Εἶδες πόσοις τρόποις ἡμᾶς συνέδησεν; ἀλλ' ὅμως οὐδὲ ταῦτα αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ ἀλλήλων χρῄζειν παρεσκεύασεν, ἵνα καὶ οὕτως ἡμᾶς συναγάγῃ, ἐπειδὴ μάλιστα τὰς φιλίας αἱ χρεῖαι ποιοῦσι. διὰ δὴ τοῦτο οὐδὲ πάντα ἀφῆκε πανταχοῦ γίνεσθαι, ἵνα κἀντεῦθεν

ἀλλήλοις ἀναμίγνυσθαι ἀναγκάσῃ. καταστήσας δὲ ἡμᾶς ἐν χρείᾳ ἀλλήλων, εὔκολον πάλιν τὴν ἐπιμιξίαν ἐποίησεν. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, εἰς ἑτέραν ἀηδίαν τὸ πρᾶγμα περιέστατο καὶ δυσχέρειαν. εἰ γὰρ ἰατροῦ δεόμενον, ἢ τέκτονος, ἢ ἑτέρου δημιουργοῦ μακρὰν ἔδει στέλλεσθαι ἀποδημίαν, τὸ πᾶν ἀπολώλει. διὰ δὴ τοῦτο καὶ πόλεις κατεσκεύασε, καὶ πάντας ὁμοῦ συνήγαγεν. ἵνα δὴ καὶ τοῖς πόρρωθεν ῥᾳδίως ἐπιχωριάζωμεν, θάλατταν εἰς μέσον ἥπλωσε, καὶ ἀνέμων ταχυτῆτα ἔδωκε, ῥᾳδίας ἐντεῦθεν τὰς ἀποδημίας ποιῶν. παρὰ δὲ τὴν ἀρχὴν καὶ ἐν ἑνὶ πάντας συνήγαγε χωρίῳ, καὶ οὐ πρότερον διέσπειρεν, ἕως εἰς κακὸν ἐχρήσαντο τῇ ὁμονοίᾳ οἱ πρῶτοι λαβόντες τὸ δῶρον· ἀλλὰ πάντοθεν ἡμᾶς συνήγαγε, καὶ ἀπὸ φύσεως, καὶ ἀπὸ συγγενείας, καὶ ἀπὸ γλώττης, καὶ ἀπὸ τόπου. καὶ ὥσπερ οὐκ ἐβούλετο ἐκπεσεῖν ἡμᾶς τοῦ παραδείσου (εἰ γὰρ ἐβούλετο, οὐδ᾽ ἂν ἐκεῖ κατέθετο ὃν ἐποίησεν ἄνθρωπον τὴν ἀρχήν) ἀλλ᾽ ὁ παρακούσας αἴτιος, οὕτως οὐδὲ ἀλλογλώσσους εἶναι ἠθέλησεν· ἐπεὶ κἂν ἐξ ἀρχῆς τοῦτο ἐποίησε. νῦν δὲ πᾶσα ἡ γῆ χεῖλος ἓν ἦν, καὶ φωνὴ μία πᾶσι. διὰ δὴ τοῦτο οὐδὲ ἡνίκα τὴν γῆν ἀφανισθῆναι ἔδει, οὐδὲ τότε ἡμᾶς ἐξ ἄλλης ἐποίησεν ὕλης, οὐδὲ μετέθηκε τὸν δίκαιον, ἀλλ᾽ ἀφεὶς αὐτὸν ἐν μέσῳ τῷ κλυδωνίῳ, ὥσπερ τινὰ σπινθῆρα τῆς οἰκουμένης, ἀνῆψε πάλιν ἡμῶν τὸ γένος ἐκεῖθεν ἀπὸ τοῦ μακαρίου Νῶε. καὶ ἐξ ἀρχῆς μὲν μίαν ἐποίησεν ἀρχήν, τὸν ἄνδρα ἐπιστήσας τῇ γυναικί. ἐπειδὴ δὲ εἰς πολλὴν ἐξώκειλεν ἀταξίαν τὸ γένος ἡμῶν, καὶ ἑτέρας κατέστησε, τὰς τῶν δεσποτῶν, τὰς τῶν ἀρχόντων· καὶ τοῦτο δὲ δι᾽ ἀγάπην. ἐπειδὴ γὰρ ἡ κακία διαλυτικὸν καὶ ἀναιρετικὸν ἡμῶν τοῦ γένους, ὥσπερ τινὰς ἰατροὺς ἐν μέσαις ταῖς πόλεσιν ἐκάθισε τοὺς δικάζοντας, ἵν᾽ ὥσπερ τινὰ λοιμὸν τῆς ἀγάπης τὴν κακίαν ἀπελαύνοντες, πάντας εἰς ἓν συναγάγωσιν. ἵνα δὲ μὴ μόνον ἐν ταῖς πόλεσιν, ἀλλὰ καὶ ἐν ἑκάστῃ οἰκίᾳ πολλὴ ἡ ὁμόνοια ᾖ, τὸν μὲν ἄνδρα τῇ ἀρχῇ καὶ τῇ ὑπεροχῇ τιμήσας, τὴν δὲ γυναῖκα τῇ ἐπιθυμίᾳ καθοπλίσας, καὶ τὸ τῆς παιδοποιίας δὲ δῶρον εἰς μέσον ἀμφοτέροις καταθεὶς, καὶ ἕτερα μετὰ τούτων συναγωγὰ τῆς ἀγάπης κατεσκεύασεν. οὔτε γὰρ πάντα ἐπέτρεψε τῷ ἀνδρὶ, οὔτε πάντα τῇ γυναικί· ἀλλὰ καὶ ταῦτα διεῖλεν ἑκάστῳ, τῇ μὲν τὴν οἰκίαν, τῷ δὲ τὴν ἀγορὰν ἐγχειρίσας, καὶ τῷ μὲν τὸ τρέφειν (γεωργεῖ γάρ) τῇ δὲ τὸ περιβάλλειν. ἱστὸς γὰρ καὶ ἠλακάτη, τῆς γυναικός. αὐτὸς γὰρ ἔδωκε γυναικὶ ὑφάσματος σοφίαν. ἀλλ᾽ ἀπόλωλεν ἡ φιλεργία, οὐκ ἀφεῖσα ταύτην φαίνεσθαι τὴν διάκρισιν. ἡ γὰρ βλακεία τῶν πολλῶν καὶ τοὺς ἄνδρας εἰς τοὺς ἱστοὺς ἐπεισήγαγε, καὶ κερκίδας αὐτοῖς ἐνεχείρισε, καὶ κρόκην, καὶ στήμονας. ἀλλ᾽ ὅμως καὶ οὕτω διαλάμπει τῆς θείας οἰκονομίας ἡ πρόνοια. καὶ γὰρ καὶ τῆς γυναικὸς ἐν ἄλλοις ἀναγκαιοτέροις σφόδρα δεόμεθα, καὶ τῶν ἐλαττόνων ἐν τοῖς συνέχουσι τὸν βίον ἡμῶν χρήζομεν. καὶ τοσαύτη τῆς χρείας ἐστὶν ἡ ἀνάγκη, ὅτι κἂν πάντων ἀνθρώπων πλουσιώτερος ᾖ τις, οὐδὲ οὕτω ταύτης ἀπήλλακται τῆς συναφείας, καὶ τοῦ δεῖσθαι τοῦ καταδεεστέρου. οὐ γὰρ δὴ τῶν πλουσίων οἱ πένητες δέονται μόνον, ἀλλὰ καὶ οἱ πλούσιοι τῶν πενήτων· καὶ οὗτοι μᾶλλον ἐκείνων, ἢ ἐκεῖνοι τούτων. καὶ ἵνα τοῦτο σαφέστερον ἴδῃς, ποιήσωμεν, εἰ δοκεῖ, δύο πόλεις, τὴν μὲν πλουσίων μόνον, τὴν δὲ πενήτων· καὶ μήτε ἐν τῇ τῶν πλουτούντων ἔστω τις πένης, μήτε ἐν τῇ τῶν πενήτων ἔστω τις πλούσιος ἀνήρ, ἀλλ᾽ ἐκκαθαρῶμεν ἀκριβῶς ἑκατέρας, καὶ ἴδωμεν ποία μᾶλλον ἀρκέσαι ἑαυτῇ δυνήσεται. ἐὰν γὰρ εὕρωμεν τὴν τῶν πενήτων δυναμένην, εὔδηλον ὅτι οἱ πλούσιοι τούτων μᾶλλον δεήσονται. οὐκοῦν ἐν μὲν ἐκείνῃ τῇ τῶν εὐπόρων οὐδεὶς ἔσται δημιουργὸς, οὐκ οἰκοδόμος, οὐ τέκτων, οὐχ ὑποδηματορράφος, οὐκ ἀρτοποιὸς, οὐ γεωργὸς, οὐ χαλκοτύπος, οὐ σχοινοστρόφος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. τίς γὰρ ἂν ἕλοιτο τῶν πλουτούντων ταῦτα μετιέναι ποτέ, ὅπου γε καὶ αὐτοὶ οἱ ταῦτα μεταχειρίζοντες, ὅταν εὐπορήσωσιν, οὐκ ἀνέχονται τῆς ἀπὸ τῶν ἔργων τούτων ταλαιπωρίας; πῶς οὖν ἡμῖν ἡ πόλις στήσεται αὕτη; διδόντες, φησὶν, ἀργύριον οἱ πλουτοῦντες, ταῦτα ὠνήσονται παρὰ τῶν πενήτων. οὐκοῦν οὐκ ἀρκέσουσιν ἑαυτοῖς, εἴ γε ἐκείνων δέονται.

ται. πῶς δὲ οἰκίας οἰκοδομήσουσι; ἢ καὶ τοῦτο ὠνήσονται; ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο φύσιν. οὐκοῦν ἀνάγκη τοὺς τεχνίτας ἐκεῖ καλεῖν, καὶ διαφθείρειν τὸν νόμον, ὃν ἐθήκαμεν ἐξ ἀρχῆς τὴν πόλιν οἰκίζοντες. μέμνησθε γὰρ, ὅτι ἐλέγομεν, μηδεὶς ἔστω πένης ἔνδον. ἀλλ' ἰδοὺ ἡ χρεία, καὶ μὴ βουλομένων ἡμῶν, ἐκάλεσεν αὐτοὺς καὶ εἰσήγαγεν. ὅθεν δῆλον, ὡς ἀδύνατον χωρὶς πενήτων συστῆναι πόλιν. εἰ γὰρ μένοι ἡ πόλις μηδένα παραδεχομένη τούτων, οὐκέτι ἔσται πόλις, ἀλλ' ἀπολεῖται. οὐκοῦν οὐκ ἀρκέσει ἑαυτῇ, εἰ μὴ καθάπερ τινὰς σωτῆρας τοὺς πένητας πρὸς ἑαυτὴν συναγάγοι. ἴδωμεν δὲ καὶ τὴν τῶν πενήτων πόλιν, εἰ καὶ αὕτη ὁμοίως ἐνδεῶς διακείσεται τῶν πλουτούντων ἐστερημένη. καὶ πρότερον διακαθάρωμεν τῷ λόγῳ τὸν πλοῦτον, καὶ δείξωμεν αὐτὸν σαφῶς. τί ποτ' οὖν ἐστι πλοῦτος; χρυσὸς, καὶ ἄργυρος, καὶ λίθοι τίμιοι, καὶ ἱμάτια σηρικὰ καὶ ἁλουργὰ καὶ διάχρυσα. ἐπεὶ οὖν ἐφάνη τί ποτέ ἐστιν ὁ πλοῦτος, ἀπελάσωμεν αὐτὸν τῆς τῶν πενήτων πόλεως. εἰ μέλλοιμεν καθαρῶς πόλιν πενήτων ποιεῖν, μηδὲ ὄναρ ἐκεῖ φαινέσθω χρυσίον, μηδὲ ἱμάτια τοιαῦτα· εἰ δὲ βούλει, μηδὲ ἄργυρος, μηδὲ τὰ ἐξ ἀργύρου σκεύη. τί οὖν; παρὰ τοῦτο ἐνδεῶς ζήσονται τὰ τῆς πόλεως ταύτης, εἰπέ μοι; οὐδέν. ἂν τε γὰρ οἰκοδομεῖν δέοι, οὐ χρυσοῦ καὶ ἀργύρου δεῖ καὶ μαργαριτῶν, ἀλλὰ τέχνης, καὶ χειρῶν, χειρῶν δὲ οὐχ ἁπλῶς, ἀλλὰ τετυλωμένων, καὶ δακτύλων ἀπεσκληκότων, καὶ ἰσχύος πολλῆς, καὶ ξύλων, καὶ λίθων· ἄν τε ὑφαίνειν πάλιν ἱμάτιον, οὐ χρυσοῦ πάλιν ἡμῖν δεῖ, καὶ ἀργύρου, ἀλλὰ χειρῶν πάλιν, καὶ τέχνης, καὶ γυναικῶν ἐργαζομένων. τί δὲ ἐὰν γεωργεῖν δέῃ, καὶ σκάπτειν τὴν γῆν; πλουτούντων, ἢ πενομένων χρεία; παντί που δῆλον, ὅτι πενήτων. καὶ σίδηρον δὲ ὅταν δέῃ χαλκεύειν, καὶ ἄλλο τι τῶν τοιούτων ποιεῖν, τοῦ δήμου τούτου μάλιστα ἡμῖν δεῖ. ποῦ οὖν δεησόμεθα τῶν πλουτούντων λοιπόν; πλὴν εἰ μὴ καθελεῖν δέοι τὴν πόλιν ταύτην; εἰ γὰρ ἐπεισελθόντων ἐκείνων εἰς τὴν τοῦ χρυσίου καὶ τὴν τῶν μαργαριτῶν ἐμπέσοιεν ἐπιθυμίαν, οὗτοι οἱ φιλόσοφοι (φιλοσόφους γὰρ ἐγὼ καλῶ, τοὺς οὐδὲν περιττὸν ἐπιζητοῦντας) ἀργίᾳ δόντες ἑαυτοὺς καὶ τρυφῇ, πάντα ἀπολοῦσι λοιπόν. καὶ εἰ μὴ χρήσιμος ὁ πλοῦτος, φησὶ, τίνος ἕνεκεν δέδοται παρὰ τοῦ Θεοῦ; καὶ πόθεν δῆλον, ὅτι παρὰ τοῦ Θεοῦ τὸ πλουτεῖν; ἡ γραφή φησιν, Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, καὶ ᾧ ἐὰν βούλωμαι, δώσω αὐτό. Αγγ. β. θ.

ἐνταῦθα εἰ μὴ πρᾶγμα ἐποίουν αἰσχρὸν, κἂν ἐγέλασα πλατὺν γέλωτα, τῶν ταῦτα λεγόντων καταγελῶν, ὅτι καθάπερ παιδία μικρὰ τραπέζης ἀπολαύοντα βασιλικῆς, μετ' ἐκείνης τῆς τροφῆς τὸ προστυχὸν ἅπαν ἐπεμβάλλουσι τῷ στόματι· οὕτω καὶ οὗτοι, μετὰ τῶν θείων γραφῶν, καὶ τὰ παρ' ἑαυτῶν συνεισάγουσι. τὸ μὲν γὰρ, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, οἶδα εἰρημένον τῷ προφήτῃ· τὸ δὲ, ᾧ ἐὰν θέλω, δώσω αὐτό, οὐκέτι προσκείμενον, ἀλλὰ παρὰ τῶν συρφετῶν τούτων ἐπεισενεγμένον. καὶ ἐκεῖνο δὲ τίνος ἕνεκεν εἴρηται, ἐρῶ. ὁ γὰρ προφήτης Ἀγγαῖος ἐπειδὴ συνεχῶς ἐπηγγέλλετο τοῖς Ἰουδαίοις μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος τὸν ναὸν δείξειν ἐπὶ τοῦ σχήματος τοῦ προτέρου, καὶ ἠπίστουν τῶν λεγομένων τινὲς καὶ σχεδὸν ἀδύνατον εἶναι ἐνόμιζον, εἰ μετὰ τὴν τέφραν καὶ τὴν κόνιν τοιοῦτος πάλιν φανεῖται ὁ οἶκος ἐκεῖνος, ἐκλύων αὐτῶν τὴν ἀπιστίαν, ἐκ προσώπου τοῦ Θεοῦ ταῦτα λέγει, ὡς ἂν εἰ ἔλεγε· τί δεδοίκατε; τί δὲ ἀπιστεῖτε; ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, καὶ οὐ δέομαι παρ' ἑτέρων δανεισάμενος, οὕτω καλλωπίσαι τὸν οἶκον. καὶ ὅτι τοῦτό ἐστιν, ἐπήγαγε, Καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην. Αγγ. β. ι.

μὴ τοίνυν ἀραχνῶν ὑφάσματα ἐπεισάγωμεν τῷ πέπλῳ τῷ βασιλικῷ. εἰ γὰρ ἐν ἁλουργίδι εἴ τις ἀλλοίαν κρόκην παράσημον ἐμπλέκων, τὴν ἐσχάτην δώσει δίκην, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν. οὐδὲ γάρ τὸ τυχὸν ἐντεῦθεν ἁμάρτημα γίνεται. καὶ τί λέγω παρὰ προσθήκην καὶ ἀφαίρεσιν; παρὰ στιγμὴν μόνην, καὶ παρὰ ὑπόκρισιν μόνην ἀναγνώσεως, πολλὰ πολλάκις ἄτοπα ἐτέχθη νοήματα. πόθεν οὖν οἱ πλουτοῦντες, φησί; καὶ γὰρ εἴρηται, πλοῦτος καὶ πενία παρὰ Κυρίου. ἐρώμεθα τοίνυν τοὺς ταῦτα ἡμῖν ἀνθυποφέροντας, ἆρα πᾶς πλοῦτος, καὶ πᾶσα πενία παρὰ Κυρίου; καὶ τίς ἂν

τοῦτο εἴποι; καὶ γὰρ ὁρῶμεν, καὶ ἐξ ἁρπαγῆς, καὶ ἀπὸ τῆς περὶ τάφους κακουργίας, καὶ ἀπὸ γοητείας, καὶ ἐξ ἑτέρων τοιούτων προφάσεων πολλὴν πολλοὺς συναγαγόμενον πλοῦτον, καὶ τοὺς ἔχοντας οὐδὲ ζῆν ἀξίους ὄντας. τί οὖν, εἰπέ μοι, τοῦτον παρὰ τοῦ Θεοῦ τὸν πλοῦτον εἶναι φαμέν; ἄπαγε. ἀλλὰ πόθεν; ἐξ ἁμαρτίας. καὶ γὰρ ἡ πόρνη τὸ σῶμα ἐνυβρίσασα πλουτεῖ, καὶ εὔμορφος νέος πολλάκις τὴν ὥραν ἀποδόμενος μετ' ἀσχημοσύνης κέκτηται χρυσίον, καὶ ὁ τυμβωρύχος τοὺς τάφους ἀναρρήξας συνήγαγε πλοῦτον ἄδικον, καὶ λῃστὴς τοὺς τοίχους διορύξας. οὐκοῦν ἀπὸ τοῦ Θεοῦ ἅπας ὁ πλοῦτος; τί οὖν, φησιν, ἐροῦμεν πρὸς τὴν ῥῆσιν ταύτην; μάθε πρότερον καὶ πενίαν οὐκ ἀπὸ Θεοῦ γινομένην, καὶ τότε καὶ ἐπὶ τὴν ῥῆσιν αὐτὴν βαδιούμεθα. ὅταν γάρ τις ἄσωτος ὢν νέος, ἢ εἰς πόρνας ἀναλώσῃ τὸν πλοῦτον, ἢ εἰς γόητας, ἢ εἰς ἑτέρας τινὰς τοιαύτας ἐπιθυμίας, καὶ γένηται πένης, οὐκ εὔδηλον, ὅτι οὐκ ἀπὸ τοῦ Θεοῦ γέγονε τοῦτο, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀσωτίας; πάλιν εἴ τις ὑπὸ ἀργίας γένοιτο πένης, εἴ τις ὑπὸ ἀνοίας εἰς πτωχείαν κατενεχθείη, εἴ τις ἐπικινδύνοις καὶ παρανόμοις ἐπιχειρῶν πράγμασιν, οὐκ εὔδηλον πάντως, ὅτι οὐδὲ τούτων τις καὶ τῶν τοιούτων εἰς τὴν πτωχείαν αὐτὴν ἀπὸ Θεοῦ κατηνέχθη; ψεύδεται οὖν ἡ γραφή; μὴ γένοιτο, ἀλλ' ἀνοηταίνουσιν οἱ μὴ μετὰ τῆς προσηκούσης ἀκριβείας ἐξετάζοντες τὰ γεγραμμένα ἅπαντα. εἰ γὰρ καὶ τοῦτο ὡμολόγηται, ὅτι ἀψευδὴς ἡ γραφή, καὶ τοῦτο ἀπεδείχθη, ὅτι οὐ πᾶς πλοῦτος παρὰ Θεοῦ, τῆς τῶν ἀπερισκέπτως ἀναγινωσκόντων* ἀσθενείας ἡ ἀπορία. καὶ ἔδει μὲν ἡμᾶς ἀφεῖναι ἐν τούτῳ ἀπαλλάξαντας τὴν γραφὴν τῶν ἐγκλημάτων, ἵνα ταύτην ἡμῖν δίκην δῶτε τῆς περὶ τὰς γραφὰς ῥᾳθυμίας· ἀλλ' ἐπειδὴ φειδόμεθα σφόδρα ὑμῶν, καὶ οὐ δυνάμεθα ἐπιπλέον θορυβουμένους ἰδεῖν καὶ διαπαρατιλομένους, φέρε καὶ τὴν λύσιν ἐπαγάγωμεν, πρότερον τὸν εἰρηκότα εἰπόντες, καὶ πότε εἴρηται, καὶ πρὸς τίνας. οὐδὲ γὰρ ὁμοίως ἅπασιν ὁ Θεὸς διαλέγεται, ὥσπερ οὐδὲ ἡμεῖς παιδίοις, καὶ ἀνδράσιν ὁμοίως κεχρήμεθα. πότε οὖν εἴρηται, καὶ ὑπὸ τίνος, καὶ πρὸς τίνας; ὑπὸ τοῦ Σολομῶντος ἐπὶ τῆς παλαιᾶς πρὸς τοὺς Ἰουδαίους τοὺς οὐδὲν ἕτερον εἰδότας, ἢ τὰ αἰσθητά, καὶ ἀπὸ τούτων τοῦ Θεοῦ δοκιμάζοντας τὴν ἰσχύν.

Ψαλμ. οζ. κδ. οὗτοι γάρ εἰσιν οἱ λέγοντές εἰσι, Μὴ καὶ ἄρτον δύναται δοῦναι; καὶ, Τί σημεῖον δεικνύεις ἡμῖν; Οἱ

Ματθ. ιβ. λη. πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ· Ὧν ὁ Θεὸς ἡ κοιλία. ἐπεὶ οὖν ἀπὸ τούτων αὐ-

Ιωαν. ς. λα. τὸν ἐδοκίμαζον, λέγει πρὸς αὐτούς, δυνατὸν καὶ τοῦτο τῷ Θεῷ, καὶ πλουσίους ποιῆσαι καὶ πένητας.

Φιλιπ. γ. ιθ. οὐχ ὅτι πάντως αὐτὸς ποιεῖ, ἀλλ' ὅτι δύναται, ὅταν θέλῃ. ὥσπερ ὅταν λέγῃ, Ὁ ἀπειλῶν

Ναυμ. α. δ. τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτήν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν· καίτοι τοῦτο οὐδέποτε γέγονε. πῶς οὖν αὐτὸ ὁ προφήτης φησίν; οὐχ ὡς γινόμενον ἀεί, ἀλλ' ὡς δυνατὸν αὐτῷ ποιῆσαι. ποίαν οὖν πενίαν δίδωσι, καὶ ποῖον πλοῦτον; ἀναμνήσθητι τοῦ πατριάρχου, καὶ εἴσῃ τὸν παρὰ τοῦ Θεοῦ διδόμενον πλοῦτον. καὶ γὰρ τὸν Ἀβραὰμ αὐτὸς πλούσιον ἐποίησε, καὶ

Ιωβ. β. ι. μετ' ἐκεῖνον τὸν Ἰώβ, καθὼς καὶ αὐτός φησιν· Εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν; καὶ ὁ τοῦ Ἰακὼβ πλοῦτος ἐκεῖθεν τὴν ἀρχὴν εἶχεν. ἔστι δὲ καὶ

Ματθ. ιθ. κα. πενία παρ' αὐτοῦ ἡ ἐπαινετή, οἵαν προξενεῖ τότε τῷ πλουσίῳ ἐκείνῳ λέγων· Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι· καὶ τοῖς μα-

Ματθ. ι. θ. θηταῖς πάλιν νομοθετῶν καὶ λέγων, Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας. μὴ τοίνυν λέγε ὅτι πάντα πλοῦτον αὐτὸς δίδωσι. καὶ γὰρ ἐδείχθη καὶ ἀπὸ φόνων, καὶ ἀπὸ ἁρπαγῆς, καὶ ἀπὸ μυρίων ἑτέρων προφάσεων συλλεγόμενος οὗτος. ἀλλὰ πάλιν εἰς τὸ πρότερον ἡμῖν ὁ λόγος περιίσταται ζήτημα. εἰ γὰρ μηδὲν ἡμῖν χρήσιμοι οἱ πλουτοῦντες, διατί γεγένηνται; τί οὖν ἂν εἴποιμεν; ὅτι οὗτοι οὐ χρήσιμοι, οἱ ἑαυτοὺς οὕτω ποιοῦντες πλουσίους· ὡς οἵ γε παρὰ τοῦ Θεοῦ γενόμενοι, καὶ σφόδρα χρήσιμοι, καὶ τοῦτο ἀπ' αὐτῶν τῶν περὶ ἐκείνων γινομένων μάθωμεν. καὶ γὰρ ὁ Ἀβραὰμ τοῖς ξένοις καὶ τοῖς δεομένοις ἅπασι τὸν πλοῦτον ἐκέκτητο. ὁ γὰρ τελείων παραγινομένων, ὡς ἐνόμιζεν, ἀνθρώπων μόσχον θύσας,

* πάντα

θύσας, καὶ τρία μέτρα σεμιδάλεως φυράσας, καὶ πρὸς τῇ θύρᾳ καθήμενος ἐν καιρῷ μεσημβρίας, ἐννόησον μεθ' ὅσης δαψιλείας καὶ προθυμίας τὰ αὐτοῦ πᾶσιν ἀνήλισκε, μετὰ τῶν χρημάτων καὶ τὴν τοῦ σώματος παρεχόμενος ὑπηρεσίαν, καὶ ταῦτα ἐν γήρᾳ τοσούτῳ, καὶ λιμὴν τῶν ξένων καὶ τῶν ἐν χρείαις καθεστηκότων ὤν, καὶ οὐδὲν ἴδιον κεκτημένος, οὐδὲ αὐτὸν τὸν υἱόν. καὶ γὰρ τοῦ Θεοῦ κελεύσαντος, καὶ τοῦτον ἐπέδωκε· μετὰ δὲ τοῦ υἱοῦ καὶ ἑαυτὸν ἐπέδωκε καὶ τὴν οἰκίαν ἅπασαν, ἡνίκα τὸν ἀδελφιδοῦν ἐξαρπάσαι ἔσπευδε· καὶ ταῦτα οὐ χρημάτων ἕνεκεν ἐποίει, ἀλλὰ φιλανθρωπίας μόνης. ὅτε γοῦν τῶν λαφύρων αὐτὸν ἐποίουν κύριον οἱ δι' αὐτοῦ σωθέντες, μέχρι σπαρτίου καὶ σφαιρωτῆρος ἅπαντα διεκρούσατο. τοιοῦτος καὶ ὁ μακάριος ἦν Ἰώβ. Καὶ γὰρ ἡ θύρα μου, φησὶ, παντὶ ἐλθόντι ἀνέῳκτο· ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, πους δὲ χωλῶν· ἐγὼ ἤμην πατὴρ ἀδυνάτων. ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἀδύνατοι δὲ, ἥν ποτε χρείαν εἶχον, οὐκ ἀπέτυχον, οὐδὲ εἴασα ἐξελθεῖν ἀδύνατον τὴν θύραν μου κόλπῳ κενῷ. καὶ πολλῷ πλείονα δὲ τούτων, ἵνα μὴ πάντα καταλέγωμεν νῦν, διετέλει πράττων, εἰς τοὺς δεομένους ἅπαντα τὸν πλοῦτον καταναλίσκων. βούλει καὶ τοὺς οὐ παρὰ Θεοῦ γινομένους πλουσίους ἰδεῖν, ἵνα μάθῃς πῶς κέχρηνται τῷ πλούτῳ; ὅρα τὸν ἐπὶ τοῦ Λαζάρου, τὸν οὐδὲ τῶν ψιχίων μεταδιδόντα. ὅρα τὸν Ἀχαὰβ τὸν καὶ τὸν ἀμπελῶνα ἁρπάζοντα. ὅρα τὸν Γιεζῆ, ὅρα τοὺς τοιούτους ἅπαντας. οἱ μὲν γὰρ δικαίως κεκτημένοι, ἅτε παρὰ τοῦ Θεοῦ λαβόντες, εἰς τὰ τοῦ Θεοῦ προστάγματα ἀναλίσκουσιν· οἱ δὲ ἐν τῷ κτᾶσθαι προσκρούσαντες τῷ Θεῷ, καὶ ἐν τῷ δαπανᾷν τὸ αὐτὸ ποιοῦσιν, εἰς πόρνας καὶ παρασίτους ἀναλίσκοντες, ἢ κατορύττοντες καὶ ἀποκλείοντες, εἰς πένητας δὲ οὐδὲν δαπανῶντες. καὶ τίνος ἕνεκεν, φησὶν, ὁ Θεὸς ἀφίησι πλουτεῖν τοὺς τοιούτους; ὅτι μακρόθυμός ἐστιν, ὅτι βούλεται εἰς μετάνοιαν ἡμᾶς ἀγαγεῖν, ὅτι γέενναν ἡτοίμασεν, ὅτι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. εἰ δὲ εὐθέως τοὺς πλουτοῦντας κακῶς ἐκόλαζεν, οὐκ ἂν ὁ Ζακχαῖος ἔσχε προθεσμίαν μετανοίας, ὥστε καὶ τετραπλάσιονα ἀποδοῦναι, ἅπερ ἥρπασε, καὶ τὰ ἡμίση προσθεῖναι τῶν ἑαυτοῦ· οὐκ ἂν ὁ Ματθαῖος μεταβαλέσθαι καὶ γενέσθαι ἀπόστολος, προσλαμβάνων τοῦ προσήκοντος καιροῦ· οὐκ ἂν ἕτεροι πολλοὶ τοιοῦτοι. διὰ ταῦτα ἀνέχεται εἰς μετάνοιαν καλῶν ἅπαντας. εἰ δὲ μὴ βούλοιντο, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένοιεν, ἄκουσον τοῦ Παύλου λέγοντος, Ὅτι κατὰ τὴν σκληρότητα αὐτῶν καὶ ἀμετανόητον καρδίαν θησαυρίζουσιν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ· ἵν' οὖν τὴν ὀργὴν ἵνα φύγωμεν, πλουτῶμεν τὸν τοῦ οὐρανίου πλοῦτον καὶ τὴν ἐπαινετὴν διώκωμεν πενίαν. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

[Margin: Ἰὼβ λα. λβ. — γ. ἵνα ἀγαγεῖν — Ῥωμ. β. ε. — γ. τὸν οὐρανόν]

Λογ. λε. 1 ΔΙΩΚΕΤΕ ΤΗΝ ΑΓΑΠΗΝ· ΖΗΛΟΥΤΕ ΔΕ τὰ πνευματικὰ, μᾶλλον δὲ ἵνα προφητεύητε. κεφ. ιδ.

Ἐπειδὴ γὰρ μετ' ἀκριβείας τὴν ἀρετὴν αὐτῆς κατέλεξεν ἅπασαν τῆς ἀγάπης, παραινεῖ λοιπὸν μετὰ προθυμίας αὐτῆς ἀντέχεσθαι. διὸ καὶ ἔλεγε, διώκετε. ὁ γὰρ διώκων, ἐκεῖνο μόνον ὁρᾷ τὸ διωκόμενον, καὶ πρὸς ἐκεῖνο τέταται, καὶ οὐκ ἀφίσταται ἕως ἂν λάβῃ. ὁ διώκων ὅταν δι' ἑαυτοῦ μὴ δυνηθῇ, διὰ τῶν πρὸ αὐτοῦ καταλαμβάνει τὸν φεύγοντα, τοὺς ἐγγὺς ὄντας μετὰ πολλῆς παρακαλῶν τῆς σπουδῆς κατέχειν καὶ τηρεῖν αὐτῷ καταληφθέντα, ἕως ἂν φθάσῃ. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. ὅταν αὐτοὶ μὴ φθάνωμεν τὴν ἀγάπην, τοὺς ἐγγὺς ὄντας αὐτῆς ἱκετεύωμεν κατέχειν αὐτὴν, ἕως ἂν φθάσωμεν πρὸς αὐτήν· εἶτα ἐπειδὰν ἐπιλαβώμεθα, μηκέτ' ἀφῶμεν αὐτὴν, ἵνα μὴ πάλιν ἡμᾶς διαφύγῃ. συνεχῶς γὰρ ἡμῶν ἀπο-

[Margin: γ. κατέχει]

πηδᾷ, ἐπειδὴ οὐκ εἰς δέον αὐτῇ κεχρήμεθα, ἀλλὰ πάντα αὐτῆς προτιμῶμεν. διὰ τοῦτο πάντα χρὴ ποιεῖν, ὥστε αὐτὴν μετ' ἀκριβείας καταλαβεῖν. ἐὰν γὰρ τοῦτο γένηται, οὐδὲ πολλοῦ δεῖ πόνου ἡμῖν λοιπὸν, μᾶλλον δὲ οὐδὲ τοῦ τυχόντος, ἀλλὰ πτεροφυοῦντες καὶ πανηγυρίζοντες, τὴν στενὴν τῆς ἀρετῆς ὁδὸν βαδιούμεθα. διὸ φησι, διώκετε αὐτήν. Εἶτα ἵνα μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο τὸν τῆς ἀγάπης εἰσήγαγε λόγον, ἵνα σβέσῃ τὰ χαρίσματα, ἐπάγει λέγων·

Ζηλοῦτε δὲ τὰ πνευματικὰ, μᾶλλον δὲ ἵνα προφητεύητε.

2 Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ (οὐδεὶς γὰρ ἀκούει) πνεύματι δὲ λαλεῖ μυστήρια·

3 Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

Σύγκρισιν ἐνταῦθα λοιπὸν ποιεῖται τῶν χαρισμάτων, καὶ καθαιρεῖ τὸ τῶν γλωσσῶν, οὔτε παντῇ ἄχρηστον δεικνὺς, οὔτε σφόδρα ὠφέλιμον καθ' ἑαυτό. καὶ γὰρ σφόδρα ἐπὶ τούτῳ ἐφυσῶντο, ἐπειδὴ καὶ μέγα εἶναι τὸ χάρισμα ἐνομίζετο. ἐνομίζετο δὲ μέγα εἶναι, διὰ τὸ πρῶτον αὐτὸ τοὺς ἀποστόλους εἰληφέναι, καὶ μετὰ τοσαύτης ἐπιδείξεως. οὐ μὴν διὰ τοῦτο τῶν ἄλλων προτιμότερον ἦν. τίνος οὖν ἕνεκεν πρὸ τῶν ἄλλων ἔλαβον αὐτὸ οἱ ἀπόστολοι; ἐπειδὴ πανταχοῦ διέρχεσθαι ἔμελλον. καὶ ὥσπερ ἐν καιρῷ τῆς πυργοποιΐας ἡ μία γλῶττα εἰς πολλὰς διετέμνετο· οὕτω τότε αἱ πολλαὶ πολλάκις εἰς ἕνα ἄνθρωπον ἤεσαν, καὶ ὁ αὐτὸς καὶ τῇ Περσῶν, καὶ τῇ Ῥωμαίων, καὶ τῇ Ἰνδῶν καὶ ἑτέραις πολλαῖς διελέγετο γλώτταις, τοῦ πνεύματος ἐνηχοῦντος αὐτῷ. καὶ τὸ χάρισμα ἐκαλεῖτο χάρισμα γλωσσῶν, ἐπειδὴ πολλαῖς ἀθρόον ἠδύνατο λαλεῖν φωναῖς. ὅρα τοίνυν πῶς αὐτὸ καὶ καθαιρεῖ, καὶ ἐπαίρει. τῷ μὲν γὰρ εἰπεῖν, ὁ λαλῶν γλώσσαις, οὐκ ἀνθρώποις λαλεῖ, οὐδεὶς γὰρ ἀκούει, καθεῖλε, δείξας οὐ πολὺ τὸ χρήσιμον ὄν· τῷ δὲ ἐπάγειν, ὅτι πνεύματι λαλεῖ μυστήρια, πάλιν ἐπῆρεν, ἵνα μὴ περιττὸν εἶναι δόξῃ καὶ ἄχρηστον καὶ εἰκῇ δεδομένον. ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. εἶδες πόθεν τὸ ἐξαίρετον δείκνυσι τοῦ χαρίσματος τούτου; ἀπὸ τοῦ κοινῇ συμφέροντος, καὶ πῶς πανταχοῦ τοῦτο προτιμᾷ, τὸ εἰς τὴν τῶν πολλῶν ὠφέλειαν γινόμενον; ἐκεῖνοι γὰρ οὐκ ἀνθρώποις λαλοῦσιν, εἰπέ μοι; ἀλλ' οὐ τοιαύτην οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. ὥστε τὸ μὲν ὑπὸ τοῦ πνεύματος κατέχεσθαι, ἀμφοτέροις κοινὸν, καὶ τῷ προφητεύοντι, καὶ τῷ γλώσσαις λαλοῦντι· τούτῳ δὲ αὐτὸς, ὁ προφητεύων λέγω, πλεονεκτεῖ, τῷ καὶ χρήσιμος εἶναι τοῖς ἀκούουσι. τῶν γὰρ γλώσσαις λαλούντων οὐκ ἤκουον οἱ τὸ χάρισμα οὐκ ἔχοντες. τί οὖν; οὐδένα ᾠκοδόμουν ἐκεῖνοι; ναὶ, φησιν, ἑαυτοὺς μόνους. διὸ καὶ ἐπήγαγεν·

4 Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ. Καὶ πῶς, εἰ μὴ οἶδεν ἃ λέγει; ἀλλὰ τέως περὶ τῶν εἰδότων ἃ λέγουσι διαλέγεται, εἰδότων μὲν αὐτῶν, οὐκ ἐπισταμένων δὲ εἰς ἑτέρους ἐξενεγκεῖν. Ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ.

Ὅσον δὲ τὸ μέσον ἑνὸς καὶ ἐκκλησίας, τοσοῦτον διάφορον τούτου κἀκείνου. Εἶδες αὐτοῦ τὴν σοφίαν, πῶς οὐκ εἰς τὸ μηδὲν ἐξωθεῖ τὸ χάρισμα, ἀλλὰ δείκνυσιν ἔχον μὲν κέρδος, μικρὸν δὲ, καὶ ὅσον τῷ κεκτημένῳ μόνον ἀρκέσαι; Εἶτα ἵνα μὴ νομίσωσιν ὅτι βασκαίνων αὐτοῖς καθαιρεῖ τὰς γλώσσας (καὶ γὰρ οἱ πλείους εἶχον τὸ χάρισμα τοῦτο) διορθούμενος αὐτῶν τὴν ὑπόνοιαν, φησιν·

5 Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε. μείζων γὰρ ὁ προφητεύων, ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύει, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ. Τὸ δὲ μᾶλλον καὶ μεῖζον οὐ τῶν ἐναντίων ἐστὶν, ἀλλὰ τῶν ὑπερεχόντων. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ διαβάλλει τὸ χάρισμα, ἀλλ' ἐπὶ τὰ βελτίονα αὐτοὺς ἄγει, τήν τε περὶ αὐτοὺς κηδεμονίαν, καὶ τὴν φθόνου παντὸς ἀπηλλαγμένην ψυχὴν ἐπιδεικνύς. οὐδὲ γὰρ εἶπε, δύο, ἢ τρεῖς, ἀλλὰ, πάντας ὑμᾶς θέλω γλώσσαις λαλεῖν, καὶ οὐ τοῦτο μόνον, ἀλ-

λὰ

λεῖ καὶ προφητεύειν· καὶ τοῦτο μᾶλλον, ἢ ἐκεῖνο. μείζων γὰρ ὁ προφητεύων. ἐπεὶ γὰρ κατεσκεύασεν αὐτὸ καὶ ἀπέδειξε, τότε λοιπὸν καὶ ἀποφαίνεται, οὐ μὴν ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης. ἐπήγαγε γὰρ, ἐκτὸς εἰ μὴ διερμηνεύει, ὡς ἐὰν δύνηται τοῦτο, τὸ διερμηνεύειν λέγω, ἴσος γέγονε τῷ προφήτῃ, φησὶν, ἐπειδὴ πολλοὶ τὴν ὠφέλειαν καρπούμενοι· ὃ χρὴ μάλιστα διατηρεῖν, πῶς δεῖ πάντων τοῦτο παρὰ τῶν ἄλλων ἐπιζητεῖ.

6 Νυνὶ δὲ, ἀδελφοὶ, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ;

Καὶ τί λέγω, φησὶ, τοὺς ἄλλους; ἔστω γὰρ ὁ φθεγγόμενος γλώσσαις Παῦλος. οὐδὲ γὰρ οὕτως ἔσται τι πλέον τοῖς ἀκούουσι. Ταῦτα δὲ λέγει δεικνὺς, ὅτι τὸ ἐκείνοις συμφέρον ζητεῖ, οὐ πρὸς τοὺς τὸ χάρισμα ἔχοντας ἀπεχθῶς ἔχει, ὅπουγε οὐδὲ ἐπὶ τοῦ οἰκείου προσώπου παραιτεῖται δεῖξαι τὸ ἀνωφελές. καὶ ἀεὶ δὲ τὰ φορτικὰ ἐπὶ τοῦ οἰκείου προσώπου γυμνάζει, ὡς ἡνίκα ἐγράφομεν τῆς ἐπιστολῆς ἔλεγε· Τίς ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; τίς δὲ Κηφᾶς; ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι οὐδὲ ἐγὼ ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀποκαλύψει, ἢ ἐν προφητείᾳ, ἢ ἐν γνώσει, ἢ ἐν διδαχῇ. ὃ δὲ λέγει τοῦτό ἐστιν, ἐὰν μή τι εἴπω δυνάμενον ὑμῖν εὔληπτον γενέσθαι, καὶ δυνάμενον εἶναι σαφὲς, ἀλλ' ἐπιδείξωμαι μόνον, ὅτι γλωττῶν ἔχω χάρισμα, γλωττῶν ὧν ἀκούσαντες, οὐδὲν κερδανοῦντες ἀπελεύσεσθε. πῶς γὰρ ἀπὸ φωνῆς, ἧς οὐ συνίετε; α. Κορ. γ. δ.

7 Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον;

Καὶ τί λέγω, φησὶν, ὅτι ἐφ' ἡμῶν τοῦτο μὲν ἀκερδὲς, ὠφέλιμον δὲ τὸ σαφὲς καὶ εὔληπτον τοῖς ἀκούουσι; καὶ γὰρ ἐν τοῖς ἀψύχοις ὀργάνοις τῆς μουσικῆς τοῦτο ἴδοι τις ἄν. εἴτε γὰρ αὐλὸς, εἴτε κιθάρα εἴη, καὶ μηδὲ ῥυθμῷ, μηδὲ ἁρμονίᾳ τῇ προσηκούσῃ, ἀλλὰ συγκεχυμένως καὶ ἁπλῶς κρούοιτο καὶ ἐμπνέοιτο, οὐδένα ψυχαγωγήσει τῶν ἀκουόντων. καὶ γὰρ καὶ ἐν τοῖς ἀναρθρότοις ἐκείνοις δεῖ τινος σαφηνείας. κἂν μὴ κατὰ τέχνην κρούσῃς, καὶ ἐμπνεύσῃς τῷ αὐλῷ, οὐδὲν ἐποίησας. εἰ δὲ παρὰ τῶν ἀψύχων τοσαύτην ἀπαιτοῦμεν σαφήνειαν καὶ ἁρμονίαν καὶ διάκρισιν, καὶ ἐν τοῖς ἀσήμοις ἐκείνοις φθόγγοις βιαζόμεθα καὶ φιλονεικοῦμεν πολλὴν ἐπιθεῖναι τὴν σημασίαν, πολλῷ μᾶλλον ἐν τοῖς ἐμψύχοις καὶ λογικοῖς ἀνθρώποις, καὶ ἐν τοῖς πνευματικοῖς χαρίσμασι τὸ εὔσημον διώκειν δεῖ.

8 Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον;

Ἀπὸ γὰρ τῶν προτέρων ἐπὶ τὰ ἀναγκαιότερα καὶ χρησιμώτερα τὸν λόγον ἄγει, καί φησιν, ὅτι οὐκ ἐπὶ τῆς κιθάρας μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς σάλπιγγος τοῦτο συμβαῖνον ἴδοι τις ἄν. εἰσὶ γὰρ καὶ ἐκεῖ ῥυθμοὶ, καὶ ἐνδείκνυνται ποτὲ μὲν πολεμικὸν ἦχον, ποτὲ δὲ οὐ τοιαύτην. καὶ ποτὲ μὲν εἰς παράταξιν ἐξάγει· κἂν μὴ τοῦτο τις εἰδῇ, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. ὃ δὴ δηλῶν καὶ τὴν βλάβην ἐμφαίνων φησὶ, τίς παρασκευάσεται εἰς πόλεμον; ὥστε ἂν μὴ τοῦτο ἔχῃ, τὸ πᾶν ἀπώλεσε. καὶ τί πρὸς ἡμᾶς ταῦτα, φησί; πρὸς ὑμᾶς μὲν οὖν μάλιστα, διὸ καὶ ἐπάγει.

9 Οὕτω καὶ ὑμεῖς, ἐὰν μὴ εὔσημον λόγον δῶτε διὰ τῆς γλώττης, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες. Τουτέστιν, οὐδενὶ φθεγγόμενοι, πρὸς οὐδένα λαλοῦντες. καὶ πανταχοῦ τὸ ἀνωφελὲς δείκνυσι. καὶ εἰ ἀνωφελὲς, διὰ τί ἐδόθη, φησίν; ὥστε ἐκείνῳ χρήσιμον εἶναι τῷ λαβόντι. εἰ δὲ καὶ ἑτέροις μέλλοι γίνεσθαι, ἑρμηνείαν δεῖ προσεῖναι. Ταῦτα δὲ λέγει, συνάγων αὐτοὺς πρὸς ἀλλήλους, ἵνα καὶ αὐτὸς μὴ ἔχῃ τὸ χάρισμα τοῦ ἑρμηνεύειν, ἕτερον προσλαβὼν τὸν τοῦτο ἔχοντα, ὠφέλιμον τὸ ἑαυτοῦ δι' ἐκείνου ποιήσῃ. διὸ πανταχοῦ δείκνυσιν ἀτελὲς ὂν, ἵνα καὶ οὕτως αὐτοὺς συνδήσῃ. ὥστε νομίζων ἀρκεῖν αὐτὸ ἑαυτῷ, οὐχ οὕτως αὐτὸ ἐγκωμιάζει, ὡς καθαιρεῖ, οὐκ ἀφιεὶς

αὐτὸ

αὐτὸ λάμψαι καλῶς διὰ τῆς ἑρμηνείας. καλὸν μὲν γὰρ καὶ ἀναγκαῖον τὸ χάρισμα, ἀλλ' ὅταν ἔχῃ τὸν σαφηνίζοντα τὰ λεγόμενα. ἐπεὶ καὶ ὁ δάκτυλος, ἀναγκαῖον, ἀλλ' ὅταν αὐτοῦ ἀποστήσειας τῶν λοιπῶν, οὐχ ὁμοίως ἔσται χρήσιμος· καὶ ἡ σάλπιγξ ἀναγκαία, ἀλλ' ὅταν ἁπλῶς ἠχῇ, καὶ ἐπαχθής. οὔτε γὰρ τέχνη φαίνεται μὴ ὑποκειμένης ὕλης, οὔτε ὕλη μορφοῦται, μὴ ἐπιτεθειμένου τοῦ εἴδους. τίθει τοίνυν τὴν μὲν φωνὴν ὡς ὑποκείμενον, τὴν δὲ σαφήνειαν ὡς εἶδος, οὗ μὴ παρόντος οὐδὲν ὄφελος τοῦ ὑποκειμένου.

10 Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον.

Τουτέστι, τοσαῦται γλῶσσαι, τοσαῦται φωναί, Σκυθῶν, Θρακῶν, Ῥωμαίων, Περσῶν, Μαύρων, Ἰνδῶν, Αἰγυπτίων, ἑτέρων μυρίων ἐθνῶν.

11 Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος.

Μὴ γὰρ δὴ νομίσῃς, ὅτι ἐφ' ἡμῶν τοῦτο μόνον συμβαίνει, φησίν, ἀλλὰ καὶ ἐπὶ πάντων τοῦτο γινόμενον ἴδοι τις ἄν. ὥστε οὐ διαβάλλων τὴν φωνὴν ταῦτα λέγω, ἀλλὰ δεικνύς, ὅτι ἐμοὶ ἀνωφελής, ἕως ἂν ᾖ ἀσαφής. εἶτα ἵνα μὴ ἐπαχθῆ ποιήσῃ τὴν κατηγορίαν, ἐξισάζει τὸ ἔγκλημα λέγων, Ἐκεῖνος ἐμοὶ βάρβαρος, κἀγὼ ἐκείνῳ·

Οὐ παρὰ τὴν φύσιν τῆς φωνῆς, ἀλλὰ παρὰ τὴν ἡμετέραν ἄγνοιαν. εἶδες πῶς κατὰ μικρὸν ἐπὶ τὸ συγγενὲς ἤγαγεν; ὅπερ ἔθος αὐτῷ ποιεῖν, πόρρωθεν ἕλκειν τὰ ὑποδείγματα, καὶ πρὸς τὸ οἰκειότερον τῷ ὑποκειμένῳ τελευτᾶν. ἐπειδὴ γὰρ εἶπε περὶ αὐλοῦ καὶ κιθάρας, ἔνθα πολὺ τὸ ἀπόδεον ἦν καὶ ἀνόητον, ἔρχεται ἐπὶ τὴν σάλπιγγα, τὸ χρησιμώτερον, εἶτα ἐκεῖθεν καὶ ἐπ' αὐτὴν λοιπὸν τὴν φωνήν. οὕτω καὶ ἔμπροσθεν ὅτε περὶ τοῦ δεῖξαι μὴ κεκωλυμένον τὸ λαμβάνειν τοὺς ἀποστόλους διελέγετο, ἀρξάμενος πρότερον ἀπὸ γεωργῶν καὶ ποιμένων καὶ στρατιωτῶν, τότε καὶ ἐπὶ τὸ ἐγγύτερον τῷ προκειμένῳ τὸν λόγον ἤγαγε, τοὺς ἱερέας τοὺς ἐν τῇ παλαιᾷ. σὺ δέ μοι σκόπει, πῶς πανταχοῦ ἐσπούδακεν ἀπαλλάξαι τὸ χάρισμα κατηγορίας, καὶ περιστῆσαι τὸ ἔγκλημα εἰς τοὺς εἰληφότας. οὐ γὰρ εἶπεν, ἔσομαι βάρβαρος, ἀλλά, τῷ λαλοῦντι βάρβαρος. καὶ πάλιν οὐκ εἶπεν, ὁ λαλῶν βάρβαρος, ἀλλ' ὁ ἐμοὶ λαλῶν, βάρβαρος. τί οὖν χρὴ γενέσθαι, φησίν; οὐ γὰρ μόνον διαβάλλειν χρή, ἀλλὰ καὶ παραινεῖν καὶ διδάσκειν, ὃ δὴ καὶ αὐτὸς ποιεῖ. ἐπειδὴ γὰρ ἐνεκάλεσε καὶ ἐπετίμησε καὶ τὸ ἀνωφελὲς ἔδειξε, συμβουλεύει λοιπὸν λέγων·

12 Οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε. Εἶδες αὐτοῦ τὸν σκοπὸν πανταχοῦ, πῶς πρὸς ἓν ὁρᾷ διηνεκῶς καὶ διὰ πάντων, τὸ τοῖς πολλοῖς χρήσιμον, τὸ τὴν ἐκκλησίαν ὠφελεῖσθαι, ὥσπερ τινὰ κανόνα τοῦτο τιθείς; καὶ οὐκ εἶπεν, ἵνα κτήσησθε τὰ χαρίσματα, ἀλλ', ἵνα περισσεύητε, τουτέστιν, ἵνα καὶ μετὰ δαψιλείας πολλῆς αὐτὰ ἔχητε. τοσοῦτον γὰρ ἀπέχω τοῦ μὴ βούλεσθαι ἔχειν ὑμᾶς αὐτά, ὅτι καὶ περισσεύειν ὑμᾶς ἐν αὐτοῖς βούλομαι, μόνον ἂν εἰς τὸ κοινῇ συμφέρον αὐτὰ μεταχειρίζητε. καὶ πῶς ἂν τοῦτο γένοιτο φησι, καὶ ἐπάγει λέγων,

13 Διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω, ἵνα διερμηνεύῃ.

14 Ἐὰν γὰρ προσεύχωμαι τῇ γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι.

15 Τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. Ἐνταῦθα δείκνυσιν ἐν αὐτοῖς ὂν τὸ λαβεῖν τὸ χάρισμα. προσευχέσθω γάρ, φησι, τουτέστι, τὰ παρ' ἑαυτοῦ εἰσαγέσθω. καὶ γὰρ ἐὰν σπουδαίως αἰτήσῃς, λήψῃ. αἴτει τοίνυν μὴ γλώττης ἔχειν χάρισμα μόνον, ἀλλὰ καὶ ἑρμηνείας, ἵνα πᾶσιν ὠφέλιμος γένῃ, καὶ μὴ ἐν σεαυτῷ μόνῳ κατακλείσῃς τὸ χάρισμα. ἐὰν γὰρ προσεύξωμαι τῇ γλώττῃ, φησί, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν. εἶδες πῶς κατὰ μικρὸν τὸν λόγον ἀνάγων δείκνυσιν, ὅτι οὐκ ἄλλοις ἄχρηστος μόνον ὁ τοιοῦτος, ἀλλὰ

καὶ

καὶ ἑαυτῷ, εἴγε ὁ νοῦς αὐτοῦ ἄκαρπος; ἂν γάρ τις φθέγγηται μόνον τῇ Περσῶν γλώσσῃ, ἢ ἑτέρᾳ τινὶ ἀλλοτρίᾳ, μὴ εἰδῇ δὲ ἃ λέγει, ἄρα καὶ ἑαυτῷ λοιπὸν ἔσται βάρβαρος, οὐχ ἑτέρῳ μόνον, διὰ τὸ μὴ εἰδέναι τὴν δύναμιν τῆς φωνῆς. καὶ γὰρ ἦσαν τὸ παλαιὸν καὶ χάρισμα εὐχῆς ἔχοντες πολλοὶ μετὰ γλώττης. καὶ ηὔχοντο μὲν, καὶ ἡ γλῶττα ἐφθέγγετο, ἢ τῇ Περσῶν, ἢ τῇ Ῥωμαίων φωνῇ εὐχομένη· ὁ νοῦς δὲ οὐκ ᾔδει τὸ λεγόμενον. διὸ καὶ ἔλεγεν, ἐὰν προσεύξωμαι τῇ γλώττῃ, τὸ πνεῦμά μου προσεύχεται, τουτέστι, τὸ χάρισμα τὸ δοθέν μοι καὶ κινοῦν τὴν γλῶτταν, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. τί ποτ' οὖν τὸ ἄριστον, καὶ τὸ ὠφέλιμον; καὶ πῶς χρὴ ποιεῖν, ἢ τί αἰτεῖν παρὰ τοῦ Θεοῦ; τὸ καὶ τῷ πνεύματι, τουτέστι, τῷ χαρίσματι, καὶ τῇ διανοίᾳ προσεύχεσθαι. διὸ καὶ ἔλεγε, προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. τὸ αὐτὸ πάλιν καὶ ἐνταῦθα δηλοῖ, ἵνα καὶ ἡ γλῶττα φθέγγηται, καὶ ὁ νοῦς μὴ ἀγνοῇ τὰ λεγόμενα. ἂν γὰρ μὴ τοῦτο ᾖ, καὶ ἑτέρα σύγχυσις ἔσται.

16 Καὶ γὰρ ἐὰν εὐλογήσῃς, φησὶ, τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις οὐκ οἶδε;

17 Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

Σκόπει πῶς πάλιν ἐνταῦθα πρὸς τὴν ἀπαρτίαν τὸν λίθον ἄγει, τὴν οἰκοδομὴν πανταχοῦ ζητῶν τῆς ἐκκλησίας. ἰδιώτην δὲ τὸν λαϊκὸν λέγει, καὶ δείκνυσι καὶ αὐτὸν οὐ μικρὰν ὑπομένοντα τὴν ζημίαν, ὅταν τὸ ἀμὴν εἰπεῖν μὴ δύνηται. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἂν εὐλογήσῃς τῇ τῶν βαρβάρων φωνῇ, οὐκ εἰδὼς τί λέγεις, οὐδὲ ἑρμηνεῦσαι δυνάμενος, οὐ δύναται ὑποφωνῆσαι τὸ ἀμὴν ὁ λαϊκός. οὐ γὰρ ἀκούων τὸ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὅπερ ἐστὶ τέλος, οὐ λέγει τὸ ἀμήν. εἶτα πάλιν παραμυθούμενος τοῦτο, ἵνα μὴ δόξῃ σφόδρα ἐξευτελίζειν τὸ χάρισμα, ὅπερ ἀνωτέρω ἔλεγεν, ὅτι λαλεῖ μυστήρια, καὶ, Θεῷ λαλεῖ, καὶ, ἑαυτὸν οἰκοδομεῖ, καὶ, ὅτι τῷ πνεύματι προσεύχεται, παραμυθίαν ἐπινοῶν οὐ μικρὰν ἐκ τούτων, τοῦτο καὶ ἐνταῦθα ποιεῖ λέγων· σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς (πνεύματι γὰρ κινούμενος φθέγγῃ) ἀλλ' ἐκεῖνος οὐδὲν ἀκούων, οὐδὲ εἰδὼς τὰ λεγόμενα, ἕστηκεν οὐ πολλὴν δεχόμενος τὴν ὠφέλειαν. εἶτα ἐπειδὴ κατέδραμε τῶν τὸ χάρισμα τοῦτο ἐχόντων, ὡς οὐδὲν μέγα ἐχόντων, ἵνα μὴ δόξῃ ὡς ἀπεστερημένος αὐτοῦ ἐξευτελίζειν αὐτοὺς, ὅρα τί φησιν·

18 Εὐχαριστῶ τῷ Θεῷ, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν.

Τοῦτο δὲ καὶ ἀλλαχοῦ ποιεῖ. μέλλων γὰρ καθαιρεῖν τοῦ Ἰουδαϊσμοῦ τὰ πλεονεκτήματα, καὶ δεικνύναι λοιπὸν οὐδὲν ὄντα, πρότερον ἑαυτὸν ταῦτα ἐσχηκότα δείκνυσι, καὶ μετὰ πλείονος ὑπερβολῆς, καὶ τότε ζημίαν αὐτὰ καλεῖ, οὕτω λέγων· Εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον. περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυλῆς Βενιαμὶν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. καὶ τότε ὅτε ἔδειξε πάντων ἑαυτὸν πλεονεκτοῦντα, φησὶν, Ἀλλ' ἅτινά μοι ἦν κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. οὕτω καὶ ἐνταῦθα ποιεῖ λέγων, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. μὴ τοίνυν μέγα φρονεῖτε, ὡς μόνοι τὸ χάρισμα ἔχοντες. καὶ γὰρ καὶ ἐγὼ κέκτημαι, καὶ ὑμῶν πλέον. Ρω. ια. α.

19 Ἀλλὰ θέλω πέντε λόγους ἐν ἐκκλησίᾳ διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω. Τί ἐστι, διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω; νοῶν ἃ λέγω, καὶ ἃ δύναμαι καὶ ἑτέροις ἑρμηνεῦσαι καὶ μετὰ συνέσεως εἰπεῖν καὶ διδάξαι τοὺς ἀκούοντας.

χ. αἱ δυνάμ-

Ἢ μυρίους λόγους ἐν γλώσσῃ. Διὰ τί; ἵνα κατηχήσω ἄλλους, φησί. τὸ μὲν γὰρ καὶ ἐπίδειξιν ἔχει μόνον, τὸ δὲ πολλὴν τὴν ὠφέλειαν. τοῦτο γάρ ἐστιν ὃ πανταχοῦ ζητεῖ, τὸ κοινῇ συμφέρον. καίτοιγε ξένον τὸ χάρισμα ἦν τὸ τῶν γλωσσῶν, τὸ δὲ

τῆς

τῆς προφητείας (συνηθές τι τὸ παλαιὸν καὶ πολλοῖς ἤδη δοθέν, τοῦτο δὲ τότε προφητῶν)· ἀλλ' ὅμως οὐ σφόδρα ἦν αὐτῷ περισπούδαστον. διόπερ οὐδὲ ἐκέχρητο αὐτῷ, οὐ παρὰ τὸ μὴ ἔχειν, ἀλλὰ παρὰ τὸ τὰ χρησιμώτερα ζητεῖν. καὶ γὰρ ἦν πάσης κενοδοξίας ἀπηλλαγμένος, καὶ ἓν μόνον σκοπῶν, ὅπως βελτίους ἐργάσηται τοὺς ἀκούοντας. διὸ καὶ τὸ χρήσιμον καὶ ἑαυτῷ, καὶ τοῖς ἄλλοις ἠδύνατο βλέπειν, ἐπειδὴ τῆς κενῆς δόξης ἀπήλλακτο· ὡς ὅ γε ἐκείνῃ καταδουλωθεὶς, οὐ τὸ τῶν ἄλλων μόνον, ἀλλ' οὐδὲ τὸ ἑαυτοῦ δυνήσεται κατιδεῖν συμφέρον. τοιοῦτος ἦν ὁ Σίμων, ὃς ἐπειδὴ πρὸς δόξαν εἶδε κενὴν, οὐδὲ τὸ ἑαυτοῦ χρήσιμον εἶδε. τοιοῦτοι καὶ Ἰουδαῖοι, οἳ διὰ ταύτην, τῷ διαβόλῳ τὴν οἰκείαν προέπιον σωτηρίαν. ἐντεῦθεν καὶ εἰδωλολατρεία ἐτέχθη, καὶ οἱ τῶν ἔξωθεν φιλόσοφοι ἐπὶ τὰ πονηρὰ δόγματα ἐκ ταύτης προξιώσαντες ἐξώκειλαν τῆς μανίας. καὶ ὅρα τὴν διαστροφὴν τοῦ πάθους. διὰ γὰρ ταύτην κἀκείνων ἔνιοι πένητες ἐγένοντο, καὶ ἕτεροι περὶ πλοῦτον ἐσπούδασαν. τοσαύτη αὐτῆς ἡ τυραννὶς, ὡς καὶ ἐν τοῖς ἐναντίοις κρατεῖν. καὶ γὰρ ἐπὶ σωφροσύνῃ τις κενοδοξεῖ, καὶ ἐπὶ μοιχείᾳ πάλιν ἄλλος, καὶ ἐπὶ δικαιοσύνῃ οὗτος, καὶ ἐπὶ ἀδικίᾳ ἕτερος, καὶ ἐπὶ τρυφῇ, καὶ ἐπὶ νηστείᾳ, καὶ ἐπὶ ἐπιεικείᾳ, καὶ ἐπὶ θρασύτητι, καὶ ἐπὶ πλούτῳ, καὶ ἐπὶ πενίᾳ. καὶ γὰρ ἔνιοι τῶν ἔξωθεν, περὶ ὧν λαβεῖν, διὰ τὸ θαυμάζεσθαι οὐκ ἐλάμβανον. ἀλλ' οὐχ οἱ ἀπόστολοι οὕτως. ὅτι γὰρ καθαροὶ δόξης ἦσαν, ἐδήλωσαν δι' ὧν ἐποίησαν. καὶ γὰρ ὅτε θεοὺς αὐτοὺς ἐκάλουν, καὶ θύειν αὐτοῖς ἦσαν παρεσκευασμένοι ταύρους ἐστεμμένους, οὐχ ἁπλῶς ἀπηγόρευσαν τὸ γινόμενον μόνον, ἀλλὰ καὶ διέρρηξαν αὐτῶν τὰ ἱμάτια. καὶ ὅτε τὸν χωλὸν διώρθωσαν, πάντων πρὸς αὐτοὺς
Πράξ. γ. ιϛ. κεχηνότων ἔλεγον, Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει πεποιηκόσι τοῦ περιπατεῖν τοῦτον; κἀκεῖνοι μὲν ἐν ἀνδράσι θαυμάζουσι πενίαν, τὰ τῆς πενίας ἠρεσιῶν· οὗτοι δὲ ἐν ἀνθρώποις καταφρονοῦσι πενίας, καὶ ἐπαινοῦσι πλοῦτον. καὶ οὗτοι μὲν, εἴ τι ἔλαβον, τοῖς δεομένοις ἐπήρκουν. οὕτως οὐ διὰ κενοδοξίαν, ἀλλὰ διὰ φιλανθρωπίαν ἅπαντα ἔπραττον. ἐκεῖνοι δὲ τοὐναντίον ἅπαν, ὥσπερ ἐχθροὶ καὶ λυμεῶνες τῆς κοινῆς φύσεως ὄντες, οὕτω καὶ ταῦτα ἐποίουν. ὁ μὲν γὰρ εἰς θάλατταν τὰ αὐτοῦ κατεπόντιζεν ἅπαντα εἰκῆ καὶ μάτην, τοὺς παραπαίοντας καὶ μαινομένους μιμούμενος· ὁ δὲ μηλόβοτον τὴν αὐτοῦ χώραν ἅπασαν ἀνῆκεν. (ἴσ. πᾶσι) οὕτω πάντα πρὸς φιλοτιμίαν ἐποίουν. ἀλλ' οὐχ οὗτοι, ἀλλὰ καὶ ἐδέχοντο τὰ διδόμενα, καὶ διένεμον τοῖς δεομένοις μετὰ τοσαύτης ἐλευθερίας, ὡς καὶ λιμῷ διηνεκεῖ συζῆν. εἰ δὲ δόξης ἤρων, οὐκ ἂν τοῦτο ἐποίουν, τὸ λαμβάνειν καὶ διανέμειν, δεδοικότες μή τις ὑποψίαν λάβῃ κατ' αὐτῶν. ὁ γὰρ τὰ ἑαυτοῦ ῥίψας διὰ δόξαν, πολλῷ μᾶλλον τὰ ἑτέρων οὐ λήψεται, ὥστε μὴ δοκεῖν ἑτέρων δεῖσθαι, μηδὲ ὑποπτεύεσθαι. τούτους δὲ ὁρᾷς καὶ διακονουμένους, καὶ προσαιτοῦντας αὐτοὺς ὑπὲρ τῶν δεομένων. οὕτω πατέρων ἦσαν πάντων φιλοστοργότεροι. θέα
α. Τιμ. ϛ. η. δὲ καὶ τοὺς νόμους αὐτῶν συμμέτρους, καὶ κενοδοξίας ἀπηλλαγμένους. Ἔχοντες γὰρ, φησι, σκεπάσματα καὶ τροφὰς, τούτοις ἀρκεσθησόμεθα. οὐ καθάπερ ὁ Σινωπεὺς ἐκεῖνος ὁ ῥάκια περιβεβλημένος καὶ πίθον οἰκῶν εἰς οὐδὲν δέον, ἐξέπληξε μὲν πολλοὺς, ὠφέλησε δὲ οὐδένα· ὁ δὲ Παῦλος τούτων μὲν οὐδὲν ἐποίει. οὐδὲ γὰρ πρὸς φιλοτιμίαν ἔβλεπεν, ἀλλὰ καὶ ἱμάτια περιεβέβλητο μετὰ εὐσχημοσύνης ἁπάσης, καὶ οἰκίαν ᾤκει διηνεκῶς, καὶ τὴν ἀκρίβειαν ἅπασαν ἐπὶ τῆς ἄλλης ἀρετῆς ἐπεδείκνυτο, ἧς ὁ Κυνικὸς κατεφρόνει ζῶν ἀσελγῶς, καὶ δημοσίᾳ ἀσχημονῶν, καὶ ὑπὸ τῆς περὶ τὴν δόξαν μανίας συρόμενος. ἂν γὰρ ἔρηταί τις τῆς τοῦ πίθου οἰκήσεως τὴν αἰτίαν, οὐδεμίαν ἑτέραν εὑρήσει, ἀλλ' ἢ κενοδοξίαν μόνην. ὁ δὲ Παῦλος καὶ μισθοῦ παρεῖχε τῆς οἰκίας, ἐν ᾗ κατέμενεν ἐν τῇ Ῥώμῃ. καίτοι γε ὁ τὰ πολλῷ εὐτονώτερα δυνηθεὶς, πολλῷ μᾶλλον τοῦτο ἴσχυσεν ἄν. ἀλλ' οὐχ ἑώρα πρὸς δόξαν, τὸ χαλεπὸν θηρίον, τὸν δαίμονα τὸν δεινὸν, τὴν λύμην τῆς οἰκουμένης, τὴν ἔχιν τὴν ἰοβόλον. καθάπερ γὰρ τὸ θηρίον ἐκεῖνο τὴν νηδὺν τῆς τεκούσης διαρρήγνυσι τοῖς ὀδοῦσιν· (χ ἐπεὶ) οὕτω καὶ τοῦτο τὸ πάθος τὸν τίκτοντα διασπαράττει. πόθεν οὖν ἄν τις εὕροι τῷ ποικίλῳ τού-

τῷ νοσήματι φάρμακον; εἰ τοὺς καταπατήσαντας αὐτὸν εἰς μέσον ἀγάγοι, καὶ πρὸς τὴν ἐκείνων εἰκόνα βλέπων, οὕτω τὴν ἑαυτοῦ ζωὴν κατευθύνειε. καὶ γὰρ ὁ πατριάρχης Ἀβραάμ· ἀλλὰ μηδεὶς ἐγκαλείτω ταυτολογίαν, εἰ πολλάκις αὐτοῦ μνημονεύομεν, καὶ ἐπὶ πάντων. τοῦτο γὰρ μάλιστά ἐστιν ὃ κἀκεῖνον θαυμαστὸν ἀποφαίνει, καὶ τοὺς μὴ ζηλοῦντας αὐτὸν πάσης ἀποστερεῖ συγγνώμης. εἰ μὲν γὰρ μέρος μέν τι τοῦτον, μέρος δὲ ἕτερον κατορθωκότα ἐπιδεικνύομεν, εἶπεν ἄν τις καὶ δυσκατόρθωτον εἶναι τὴν ἀρετήν. οὐδὲ γὰρ εἶναι εὔκολον* πάντα ὁμοῦ κατορθοῦν, ὧν μέρος ἕκαστος τῶν ἁγίων ἴσχυσεν. ὅταν δὲ εὑρίσκηται εἷς καὶ ὁ αὐτὸς τὰ πάντα ἔχων, ποίαν ἕξουσιν ἀπολογίαν οἱ μετὰ νόμον καὶ χάριν τοῖς πρὸ τοῦ νόμου καὶ τῆς χάριτος εἰς τὸ αὐτὸ μέτρον μὴ δυνάμενοι φθάσαι; πῶς οὖν ἔστιν ὁ πατριάρχης τοῦ θηρίου τούτου περιεγένετο καὶ ἐκράτησεν, ἡνίκα πρὸς τὸν ἀδελφιδοῦν ἀμφισβήτησιν εἶχε; καὶ γὰρ ἐλαττωθεὶς, καὶ τῶν πρωτείων ἀποτυχὼν, οὐκ ἤλγησεν. ἴστε δὲ ὅτι ἐν τοῖς τοιούτοις ἡ αἰσχύνη τῆς ζημίας χείρων τοῖς μικροψύχοις, καὶ μάλιστα ὅταν αὐτὸς ἁπάντων κύριος ὢν, καθάπερ ἐκεῖνος τότε, καὶ τῆς τιμῆς πρότερος ἄρξας, μὴ ἀντιτιμῶτο. ἀλλ᾽ ὅμως οὐδὲν τούτων ἐκεῖνον ἔδακνεν, ἀλλὰ καὶ τὰ δεύτερα ἔχων ἔστεργε, καὶ ἀδικηθεὶς παρὰ τοῦ νέου ὁ πρεσβύτης, καὶ παρὰ τοῦ ἀδελφιδοῦ ὁ θεῖος οὐκ ἠγανάκτει, οὐδὲ ἐδυσχέραινεν, ἀλλὰ καὶ ἐφίλει ὁμοίως καὶ ἐθεράπευε. πάλιν νικήσας τὸν πόλεμον ἐκεῖνον τὸν μέγαν καὶ φοβερὸν, καὶ τοὺς βαρβάρους κατὰ κράτος ἐλάσας, οὐκ ἐμπομπεύει τῇ νίκῃ, οὐδὲ τρόπαιον ἵστησι. σῶσαι γὰρ ἐβούλετο μόνον, οὐκ ἐπιδείξασθαι. ξένους ἐδέχετο πάλιν, καὶ οὐδὲ ἐνταῦθα ἐκενοδόξει, ἀλλ᾽ αὐτὸς καὶ προσέτρεχε, καὶ προσεκύνει, οὐχ ὡς εὖ ποιῶν, ἀλλ᾽ ὡς εὖ πάσχων, καὶ κυρίους καλεῖ, οὐδὲ εἰδὼς τίνες ποτέ εἰσιν οἱ παραγενόμενοι, καὶ παρίστησι τὴν γυναῖκα ἐν τάξει θεραπαινίδος. καὶ ἐν Αἰγύπτῳ δὲ περὶ τοῦτο θαυμαστὸς οὕτω φανεὶς, καὶ αὐτὴν ταύτην τὴν γυναῖκα ἀπολαβὼν, καὶ τοσαύτης ἀπολαύσας τιμῆς, πρὸς οὐδένα ἐπιδείκνυται· ἀλλ᾽ οἱ μὲν ἐγχώριοι καὶ βασιλέα αὐτὸν ἐκάλουν, αὐτὸς δὲ καὶ τιμὴν κατέβαλε τοῦ τάφου. καὶ ἡνίκα δὲ ἔπεμπε" μνηστευσόμενος, οὐδὲν ἐκέλευσε μέγα περὶ αὐτοῦ καὶ λαμπρὸν εἰπεῖν" τῷ παιδὶ, ἀλλ᾽ ἁπλῶς ἀγαγεῖν τὴν νύμφην. βούλει καὶ τοὺς ἐπὶ τῆς χάριτος ἐξετάσαι, ὅτε πολλὴ πανταχόθεν αὐτοῖς περιέρρει τῆς διδασκαλίας ἡ δόξα, καὶ ἰδεῖν καὶ τότε τοῦτο τὸ πάθος ἐκβεβλημένον; ἐννόησόν μοι τοῦτον αὐτὸν τὸν ταῦτα λέγοντα, πῶς ἀεὶ τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ, πῶς τῶν μὲν ἁμαρτημάτων αὐτοῦ μέμνηται συνεχῶς, τῶν δὲ κατορθωμάτων οὐκέτι, πλὴν εἴποτε μαθητὰς ἐπανορθῶσαι δέοι. κἂν ἀναγκασθῇ ποιῆσαι τοῦτο, ἀφροσύνην τὸ πρᾶγμα καλεῖ, καὶ τῶν πρωτείων τῷ Πέτρῳ παραχωρεῖ, καὶ οὐκ αἰσχύνεται ἐργαζόμενος παρὰ Πρισκίλλῃ καὶ Ἀκύλᾳ, καὶ πανταχοῦ ταπεινὸν ἑαυτὸν ἐσπούδακε δεικνύναι, οὐ σοβῶν ἐπὶ τῆς ἀγορᾶς, οὐδὲ ὄχλους περιφέρων, ἀλλ᾽ ἐν τοῖς ἀσήμοις καταττάττων ἑαυτόν. διὸ καὶ ἔλεγον, Ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, β. Κορ. ι. ι. τουτέστιν, εὐκαταφρόνητος καὶ οὐδὲν ἔχουσα κόμπον. καὶ πάλιν, Εὔχομαι ὑμᾶς μὴ ποιῆσαι κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν. β. Κορ. ιγ. ζ. καὶ τί θαυμαστὸν, εἰ δόξης καταφρονεῖ ταύτης; ὁ γὰρ τῆς ἄνω δόξης καταφρονῶν, καὶ βασιλείας, καὶ γεέννης διὰ τὸ τῷ Χριστῷ δοκοῦν (καὶ γὰρ ἀνάθεμα εὔχεται εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῆς τοῦ Χριστοῦ δόξης. Ῥωμ. θ. γ. κἂν γὰρ ὑπὲρ Ἰουδαίων τοῦτο λέγῃ βούλεσθαι παθεῖν, διὰ τοῦτο λέγει, ἵνα μὴ δόξῃ τις τῶν ἀνοήτων ἐπιλαμβάνεσθαι τῶν ἐπαγγελιῶν τῶν πρὸς αὐτοὺς γεγενημένων) εἰ τοίνυν ἐκεῖνα παραδραμεῖν ἕτοιμος, τί θαυμάζεις, εἰ ἀνθρώπων ὑπερορᾷ; ἀλλὰ τοὺς νῦν ἅπαντα βασανίζει, οὐ δόξης ἐπιθυμία μόνον, ἀλλὰ καὶ τὸ ἐναντίον ὕβρεις, καὶ ἀτιμίας δέος. ἄν τε γὰρ ἐπαινέσῃ τις, ἐφυσήθης, ἄν τε ψέξῃ, κατηνέχθης ἄν. καὶ καθάπερ τὰ ἀσθενῆ σώματα καὶ ὑπὸ τῶν τυχόντων ἐπηρεάζεται, οὕτω καὶ αἱ χαμαίζηλοι ψυχαί. τοὺς γὰρ τοιούτους οὐ πενία μόνον, ἀλλὰ καὶ πλοῦτος ἀπόλλυσιν, οὐ λύπη μόνον, ἀλλὰ καὶ χαρὰ, καὶ τὰ χρηστὰ μᾶλλον,

*ἐπὶ

ἴσ. σιωπῶν. ἴσ. τῷ παιδὶ (τῇ Ῥεβέκκᾳ ἀπιούσῃ)

λον, ἢ τὰ λυπηρά. ἡ μὲν γὰρ πενία καὶ σωφρονεῖν ἀναγκάζει, ὁ δὲ πλοῦτος καὶ εἰς κακόν τι μέγα ἐξάγει πολλάκις. καὶ ὥσπερ οἱ πυρέττοντες πρὸς πάντα εἰσὶ δυσάρεστοι, οὕτω καὶ οἱ διεφθαρμένοι τὴν ψυχὴν πάντοθεν πλήττονται.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, μὴ πενίαν φεύγωμεν, μὴ πλοῦτον θαυμάζωμεν, ἀλλὰ τὴν ψυχὴν πρὸς πάντα ἱκανὴν κατασκευάζωμεν. καὶ γὰρ οἰκίαν τις οἰκοδομούμενος, οὐ τοῦτο σκοπεῖ ὅπως μήτε ὑετὸς ἐπ' αὐτὴν κατενεχθείη, μήτε ἀκτὶς ἔλθοι (τοῦτο γὰρ ἀμήχανον) ἀλλ' ὅπως αὐτὴ ἱκανὴ γένοιτο πάντα φέρειν. καὶ ὁ πλοῖον δὲ τεκταινόμενος, οὐχ ὅπως μὴ κύματα αὐτῷ προσρήξειε, μηδὲ χειμὼν ἐγερθείη θαλάσσης, ποιεῖ τι καὶ μηχανᾶται (καὶ γὰρ καὶ τοῦτο ἀμήχανον) ἀλλ' ὅπως οἱ τοῖχοι τῆς νεὼς πρὸς ἅπαντα εἶεν ἐπιτήδειοι. καὶ ὁ σώματος φροντίζων πάλιν οὐ τοῦτο σκοπεῖ, ὅπως μὴ ἀνωμαλία ἀέρων γένοιτο, ἀλλ' ὅπως τὸ σῶμα εὐκόλως ἅπαντα ταῦτα φέροι. οὕτω τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς ποιῶμεν, καὶ μὴ ὅπως φύγωμεν πενίαν, μηδὲ ὅπως γενώμεθα πλούσιοι σπουδάζωμεν, ἀλλ' ὅπως πρὸς τὴν ἑαυτῶν ἀσφάλειαν ἕκαστον τούτων μεταχειρισώμεθα. διὸ ταῦτα ἀφέντες, κατασκευάζωμεν τὴν ψυχὴν καὶ πλούτῳ καὶ πενίᾳ ἐπιτηδείαν. κἂν γὰρ μηδὲν ἀνθρώπινον συμβαίη (ὅπερ ὡς τὰ πολλὰ ἀδύνατον) καὶ οὕτω βελτίων ὁ μὴ πλοῦτον ζητῶν, ἀλλ' εἰδὼς πάντα φέρειν εὐκόλως, τοῦ διαπαντὸς πλουτοῦντος. τί δήποτε; πρῶτον μὲν ὁ τοιοῦτος οἴκοθεν ἔχει τὸ ἀσφαλές, ἐκεῖνος δὲ ἔξωθεν. καὶ ὥσπερ στρατιώτης βελτίων ὁ τῷ σώματι θαρρῶν καὶ τῇ τέχνῃ τοῦ πολεμεῖν, τοῦ τὴν ἰσχὺν ἐν τοῖς ὅπλοις ἔχοντος μόνον· οὕτω τοῦ χρήμασι θαρροῦντος ὁ ἀπὸ τῆς ἀρετῆς πεφραγμένος ἀμείνων. δεύτερον, ὅτι κἂν εἰς πενίαν μὴ καταπέσῃ, οὐ δυνατὸν αὐτὸν ἀτάραχον εἶναι. καὶ γὰρ πολλοὺς ἔχει κλύδωνας ὁ πλοῦτος καὶ ταραχάς. ἀλλ' οὐχ ἡ ἀρετή, ἀλλ' ἡδονὴν μόνον καὶ ἀσφάλειαν. καὶ γὰρ ἀχείρωτον ποιεῖ τοῖς ἐπιβουλεύουσιν, ὁ δὲ πλοῦτος τοὐναντίον ἅπαν, εὐεπιχείρητον καὶ ἁλώσιμον. καὶ καθάπερ ἐν τοῖς ζώοις ἔλαφοι καὶ λαγωοὶ μάλιστα πάντων εἰσὶν εὐχείρωτοι διὰ τὴν ἐν τῇ φύσει δειλίαν, ὁ δὲ ἄγριος καὶ ταῦρος καὶ λέων οὐδ' ἂν ἐμπέσοιεν ῥᾳδίως τοῖς ἐπιβουλεύουσιν· οὕτω δὴ καὶ ἐπὶ τῶν πλουτούντων, καὶ ἐν πενίᾳ ζώντων ἑκόντων ἐστὶν ἰδεῖν. ὁ μὲν γὰρ τῷ λέοντι καὶ τῷ ταύρῳ ἔοικεν, ὁ δὲ τῇ ἐλάφῳ καὶ τῷ λαγωῷ. τίνα γὰρ οὐ δέδοικεν ὁ πλουτῶν; οὐχὶ λῃστάς; οὐχὶ δυνάστας; οὐχὶ βασκάνους; οὐ συκοφάντας; καὶ τί λέγω λῃστάς, καὶ συκοφάντας, ὅπου γε καὶ τοὺς οἰκέτας αὐτοὺς ὑποπτεύει; καὶ τί λέγω ζῶν; οὐδὲ τελευτήσας τῆς τῶν λῃστευόντων κακουργίας ἀπήλλακται, οὐδὲ ἰσχύει ὁ θάνατος ἐν ἀσφαλείᾳ αὐτὸν καταστῆσαι, ἀλλὰ καὶ νεκρὸν ὄντα συλῶσιν οἱ κακουργοῦντες· οὕτω πρᾶγμα ἐπισφαλὲς ὁ πλοῦτος. οὐ γὰρ δὴ οἰκίαι διορύττονται μόνον, ἀλλὰ καὶ τάφοι ἀναρρήγνυνται καὶ θῆκαι. τί οὖν ἀθλιώτερον τούτου γένοιτ' ἄν, ὅταν μηδὲ θάνατος αὐτῷ παρέχῃ τὴν ἄδειαν ταύτην, ἀλλὰ τὸ δείλαιον ἐκεῖνο σῶμα οὐδὲ ζωῆς ἀποστερηθὲν ἀπήλλακται τῶν ἐν τῇ ζωῇ κακῶν, τῶν τὰ τοιαῦτα κακουργούντων καὶ πρὸς κόνιν καὶ τέφραν ἐπειγομένων πολεμεῖν, καὶ πολλῷ χαλεπώτερον, ἢ ἡνίκα ἔζη; τότε μὲν γὰρ εἰς ταμεῖον εἰσιόντες, τὰ κιβώτια μὲν ἐκίνουν, τοῦ σώματος δὲ ἀπείχοντο, καὶ οὐκ ἂν τοσαῦτα ἔλαβον, ὡς καὶ αὐτὸ γυμνῶσαι τὸ σῶμα· νυνὶ δὲ οὐδὲ τούτου ἀπέχονται αἱ μιαραὶ τῶν τυμβωρύχων χεῖρες, ἀλλὰ κινοῦσιν αὐτὸ καὶ περιστρέφουσι, καὶ μετὰ πολλῆς ὠμότητος ἐνυβρίζουσι. μετὰ γὰρ τὸ παραδοθῆναι τῇ γῇ, γυμνὸν καὶ τῆς ἔνδοθεν περιβολῆς καὶ τῆς ἀπὸ τῶν ἱματίων ποιήσαντες, οὕτως ἀφιᾶσιν ἐρρῖφθαι. τίς οὖν οὕτω πολέμιος, ὡς ὁ πλοῦτος, ζώντων μὲν καὶ τὴν ψυχὴν ἀπολλύς, τελευτησάντων δὲ καὶ τὸ σῶμα ἐνυβρίζων, καὶ οὐδὲ τῇ γῇ κρύπτεσθαι συγχωρῶν, ὃ κοινὸν καὶ τῶν καταδίκων ἐστί, καὶ τῶν ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότων; ἐκείνους μὲν γὰρ τοῦ θανάτου τὴν δίκην ἀπαιτήσαντες οἱ νομοθέται, οὐδὲν περαιτέρω περιεργάζονται· τούτους δὲ ὁ πλοῦτος καὶ μετὰ θάνατον πικροτάτην ἀπαιτεῖ δίκην, γυμνοὺς προτιθεὶς καὶ ἀτάφους, θέαμα δεινὸν καὶ ἐλεεινόν. καὶ γὰρ τῶν ἀπὸ ψήφου τοῦτο

παθόντων

χ. πρὶν

χ. πρὶν

παρόντων καὶ θυμοῦ δικαστικοῦ, χαλεπώτερα οὗτοι πάσχουσιν. ἐκεῖνοι μὲν γὰρ μίαν τὴν πρώτην καὶ δευτέραν ἡμέραν μείναντες ἄταφοι, τῇ γῇ παραδίδονται· οὗτοι δὲ ὅταν παραδοθῶσι τῇ γῇ, τότε γυμνοῦνται καὶ ὑβρίζονται. εἰ δὲ μὴ καὶ τὴν θήκην λαβόντες ἀπέρχονται οἱ λῃσταί, οὐκ ἐκείνῃ τῷ πλούτῳ χάρις, ἀλλὰ τῇ πενίᾳ κἀνταῦθα. αὕτη γὰρ αὐτὴν φυλάττει. ὡς εἴγε καὶ ταύτην ἐνεχειρίσαμεν τῷ πλούτῳ, καὶ ἀφέντες ἀπὸ λίθου κατασκευάζειν αὐτὴν, ἐχαλκεύσαμεν ἀπὸ χρυσοῦ, καὶ ταύτην ἂν ἀπωλέσαμεν. οὕτως ἄπιστον πρᾶγμα ὁ πλοῦτος καὶ οὐ τῶν ἐχόντων τοσοῦτόν ἐστιν, ὅσον τῶν ἁρπάζειν ἐπιχειρούντων. ὥστε περιττὸς ὁ λόγος ἐκεῖνος ὁ σπουδάζων δεικνύναι, ὅτι δυσχείρωτον ὁ πλοῦτος, ὅπου οὐδὲ ἐν τῇ ἡμέρᾳ τῆς τελευτῆς τυγχάνουσιν ἀσφαλείας οἱ τοῦτον ἔχοντες. καίτοι γε τίς πρὸς τὸν ἀπελθόντα οὐ καταλλάττεται, κἂν θηρίον ᾖ, κἂν δαίμων, κἂν ὁστισοῦν; καὶ γὰρ ἡ θέα ἱκανὴ καὶ τὸν σφόδρα σιδηροῦν καὶ ἀνάλγητον ἐπικάμψαι. διά τοι τοῦτο, ὅταν τις ἴδῃ νεκρὸν, κἂν ἐχθρὸν ἴδῃ, κἂν πολέμιον, μετὰ τῶν φιλτάτων δακρύει· καὶ ἡ μὲν ὀργὴ μετὰ τῆς ζωῆς σβέννυται, ὁ δὲ ἔλεος ἐπεισάγεται. καὶ οὐκ ἂν τις ἐπὶ κήδεσι καὶ ἐκφορᾶς διαγνοίη τὸν ἐχθρὸν, καὶ τὸν οὐ τοιοῦτον. οὕτως ἅπαντες τὴν κοινὴν αἰδοῦνται φύσιν, καὶ τοὺς περὶ αὐτὴν εἰσενεχθέντας νόμους. ἀλλ' ὁ πλοῦτος, οὐδὲ τούτου τυχεῖν ἀφίησι τὴν ὀργὴν τοῖς κτησαμένοις αὐτὸν, ἀλλὰ καὶ τοὺς οὐδὲν ἠδικημένους τοῦ τετελευτηκότος ἐχθροὺς καθίστησιν, εἴγε τὸ νεκρὸν σῶμα γυμνοῦν, τῶν σφόδρα ἐχθρῶν καὶ πολεμίων ἐστί. καὶ ἡ μὲν φύσις καὶ τοὺς ἐχθροὺς αὐτῷ καταλλάττει τότε· ὁ δὲ πλοῦτος καὶ τοὺς οὐδὲν ἔχοντας ἐγκαλεῖν ἐκπολεμοῖ, καὶ ἐν ἐρημίᾳ πολλῇ τὸ σῶμα αἰκίζεται. καίτοι πολλὰ ἐκεῖ τὰ δυνάμενα ἐπισπάσασθαι πρὸς οἶκτον, αὐτὸ τὸ νεκροὶ εἶναι, τὸ ἀκίνητοι, τὸ πρὸς γῆν ὁδεύειν καὶ φθοράν, τὸ μηδένα παρεῖναι τὸν βοηθήσοντα· ἀλλ' οὐδὲν τούτων κατακλᾷ τοὺς μιαροὺς ἐκείνους διὰ τὴν ἀπὸ τῆς πονηρᾶς ἐπιθυμίας τυραννίδα. ὁ γὰρ τῆς φιλοχρηματίας ἔρως, καθάπερ τις τύραννος ἀπηνὴς, ἐφέστηκεν ἐγκελευόμενος αὐτοῖς τὰ ἀπάνθρωπα ἐπιτάγματα ἐκεῖνα, καὶ θηρία ποιήσας, οὕτως ἐπὶ τὰς θήκας ἄγει. καθάπερ γὰρ θηρία τοῖς τετελευτηκόσιν ἐπιτιθέμενοι, οὐδ' ἂν τῶν σαρκῶν ἀπέσχοντο, εἴ γέ που χρήσιμα ἦν αὐτοῖς τὰ μέλη. τοιαῦτα ἀπολαύομεν τοῦ πλούτου, καὶ μετὰ τελευτὴν ὑβριζόμενοι, καὶ ταφῆς ἀποστερούμενοι, ἧς καὶ οἱ τὰ ἀνήκεστα τετολμηκότες ἀπολαύουσιν. ἔτι οὖν, εἰπέ μοι, στέρξομεν αὐτὸν τὸν οὕτω πολέμιον; μὴ, παρακαλῶ, μὴ, ἀδελφοί, ἀλλὰ φεύγωμεν ἀμεταστρεπτί· κἂν εἰς χεῖρας ἔλθῃ τὰς ἡμετέρας, μὴ κατέχωμεν ἔνδον, ἀλλὰ δήσωμεν αὐτὸν ταῖς τῶν πενήτων χερσί. ταῦτα γὰρ αὐτὸν δύναται μᾶλλον τὰ δεσμὰ κατέχειν, καὶ ἐκ τῶν ταμιείων ἐκείνων οὐδέποτε διαφεύξεται, καὶ ὁ ἄπιστος οὗτος μένει λοιπὸν πιστὸς, χειροήθης, ἥμερος, τῇ τῆς ἐλεημοσύνης δεξιᾷ ταῦτα γενόμενος. ἂν μὲν οὖν παραγένηταί ποτε ἡμῖν, ταύτῃ παραδῶμεν αὐτόν· ἂν δὲ μὴ παραγένηται, μὴ ζητῶμεν, μηδὲ ἄγχωμεν ἑαυτοὺς, μηδὲ τοὺς ἔχοντας μακαρίζωμεν. ποῖος γὰρ οὗτος μακαρισμὸς, * εἰ μὴ καὶ τοὺς θηριομάχους ζηλωτοὺς εἶναι φαίης, ὅτι τὰ πολυτίμητα ἐκεῖνα θηρία κατακλείσαντες ἑαυτοῖς φυλάττουσιν οἱ τοὺς τοιούτους τιθέντες ἀγῶνας, αὐτοὶ μήποτε οὐ προσελθεῖν, οὐχ ἅψασθαι τολμῶντες, ἀλλ' ἀγωνιῶντες αὐτὰ καὶ τρέμοντες. τοιοῦτον γάρ τι καὶ οἱ πλουτοῦντες πάσχουσιν, ὥσπερ θηρία ἀπηνῆ ἐν τοῖς ταμιείοις κατακλείσαντες τὸν πλοῦτον, καὶ καθ' ἑκάστην παρ' αὐτοῦ τὴν ἡμέραν μυρία δεχόμενοι τὰ τραύματα, ἀπεναντίας τοῖς θηρίοις. ἐκεῖνα μὲν γὰρ ὅταν ἐξαγάγῃς, τότε λυμαίνεται τοῖς ἀπαντῶσιν· οὗτος δὲ ὅταν συγκεκλεισμένος ᾖ καὶ φυλαττόμενος, τότε ἀπόλλυσι τοὺς κεκτημένους αὐτὸν καὶ φυλάττοντας. ἀλλ' ἡμεῖς τὸ θηρίον τοῦτο ποιήσωμεν ἥμερον. ἔσται δὲ ἥμερον, ἂν μὴ κατακλείωμεν αὐτὸ, ἀλλὰ ταῖς τῶν ἁπάντων τῶν δεομένων προσάγωμεν χερσίν. οὕτω καὶ τὰ μέγιστα ἐντεῦθεν καρπωσόμεθα ἀγαθὰ, καὶ ἐν τῷ παρόντι βίῳ μετ' ἀσφαλείας καὶ χρηστῆς ζῶντες ἐλπίδος, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν μετὰ παρρησίας ἱστάμενοι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λϛ. 20 ΑΔΕΛΦΟΙ, ΜΗ ΠΑΙΔΙΑ ΓΙΝΕΣΘΕ ΤΑΙΣ φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

Εἰκότως μετὰ τὴν πολλὴν κατασκευὴν καὶ τὴν ἀπόδειξιν, σφοδροτέρῳ κέχρηται τῷ λόγῳ, καὶ πολλῇ τῇ ἐπιτιμήσει, καὶ τοῦ παραδείγματος μέμνηται καταλλήλου τῷ ὑποκειμένῳ. καὶ γὰρ τὰ παιδία πρὸς μὲν τὰ μικρὰ κέχηνε καὶ ἐπτόηται, τῶν δὲ σφόδρα μεγάλων οὐ τοσοῦτον ἔχει θαῦμα. ἐπεὶ οὖν καὶ οὗτοι γλωσσῶν ἔχοντες χάρισμα, τὸ πᾶν ἔχειν ἐνόμιζον, ὅπερ τῶν ἄλλων ἔσχατον ἦν, διὰ τοῦτό φησι, μὴ παιδία γίνεσθε, τουτέστι, μὴ ἀνόητοι, ἔνθα συνετοὺς εἶναι χρὴ, ἀλλ' ἐκεῖ νήπιοι καὶ ἀφελεῖς, ἔνθα ἀδικία, ἔνθα κενοδοξία, ἔνθα φύσημα. τὸν γὰρ τῇ κακίᾳ νηπιάζοντα, καὶ φρόνιμον εἶναι δεῖ. ὥσπερ γὰρ φρόνησις μετὰ κακουργίας οὐκ ἂν εἴη φρόνησις, οὕτω καὶ ἀφέλεια μετὰ ἀνοίας οὐκ ἂν εἴη ἀφέλεια. καὶ γὰρ ἐν τῇ ἀφελείᾳ τὴν ἄνοιαν φεύγειν δεῖ, καὶ ἐν τῇ φρονήσει τὴν πονηρίαν. καθάπερ γὰρ οὔτε τὰ πικρὰ φάρμακα πέρα τοῦ δέοντος, οὔτε τὰ γλυκέα ὀνίνησιν, οὕτως οὐδὲ ἀφέλεια καθ' ἑαυτὴν, οὐδὲ φρόνησις. διόπερ ἀμφότερα κατακεράσαι κελεύων ὁ Χριστὸς ἔλεγε, Γίνεσθε φρόνιμοι, ὡς ὁ ὄφις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. (Matth. 10.16.) τί δέ ἐστι νήπιον εἶναι κακίᾳ; τὸ μηδὲ εἰδέναι τί ποτέ ἐστι κακία. τοιούτους γὰρ αὐτοὺς εἶναι ἐβούλετο. διὸ καὶ ἔλεγεν, Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία· (α. Κορ. ε. α.) οὐκ εἶπε, τολμᾶται, ἀλλ', ἀκούεται. ἴστε γὰρ ὅλως τὸ πρᾶγμά, φησιν, ἠκούσατε γὰρ αὐτό ποτε. καὶ γὰρ ἐβούλετο καὶ ἄνδρας αὐτοὺς εἶναι καὶ παῖδας, ἀλλὰ τὸ μὲν ἐν τῇ κακίᾳ, τὸ δὲ ἐν τῇ φρονήσει. οὕτω γὰρ καὶ ὁ ἀνὴρ γένοιτ' ἂν ἀνὴρ, ἐὰν καὶ παιδίον ᾖ· ἕως δ' ἂν μὴ παιδίον ᾖ τῇ πονηρίᾳ, οὐδὲ ἀνὴρ ἔσται. ὁ γὰρ κακοῦργος, οὐκ ἔσται τέλειος, ἀλλ' ἀνόητος.

21 Ἐν τῷ νόμῳ γέγραπται, ὅτι ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος.

Καίτοιγε οὐδαμοῦ ἐν τῷ νόμῳ γέγραπται, ἀλλ', ὅπερ ἔφθην εἰπὼν, πᾶσαν τὴν παλαιὰν ἀεὶ νόμον καλεῖ καὶ τοὺς προφήτας καὶ τὰς ἱστορίας. παράγει δὲ τὴν μαρτυρίαν ἀπὸ Ἡσαΐου τοῦ προφήτου, πάλιν ὑποτεμνόμενος τοῦ χαρίσματος τὴν δόξαν, πρὸς τὸ ἐκείνων χρήσιμον. ἀλλ' ὅμως καὶ οὕτω μετ' ἐγκωμίου τίθησιν αὐτό. τὸ γὰρ, οὐδὲ οὕτω, δεικνύντος ἦν, ὅτι ἱκανὸν ἦν αὐτοὺς ἐκπλῆξαι τὸ θαῦμα· εἰ δὲ οὐκ ἐπείσθησαν, ἐκείνων τὸ ἔγκλημα. καὶ τίνος ἕνεκεν αὐτὸ ἐποίησεν ὁ Θεὸς, εἰ μὴ ἔμελλον πείθεσθαι; ἵνα τὰ αὐτοῦ πανταχοῦ φαίνηται ποιῶν. δείξας τοίνυν καὶ ἀπὸ τῆς προφητείας, ὅτι οὐ σφόδρα χρήσιμον τὸ σημεῖον, ἐπήγαγεν·

22 Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

23 Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε;

24 Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων·

25 Καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ ἀπαγγέλλων, ὅτι Θεὸς ὄντως ἐν ὑμῖν ἐστι.

Πολλὴν ἐνταῦθα ἐκ τῶν εἰρημένων τὴν ἐπαπόρησιν ἴδοι τις ἄν. εἰ γὰρ τοῖς ἀπίστοις σημεῖόν εἰσιν αἱ γλῶσσαι, πῶς λέγει, ἐὰν ἴδωσιν ὑμᾶς γλώσσαις λαλοῦντας οἱ ἄπιστοι, ἐροῦσιν ὅτι μαίνεσθε; καὶ εἰ ἡ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσι, πῶς καὶ οἱ ἄπιστοι ἐξ αὐτῆς κερδαίνουσιν;

ἐὰν γὰρ εἰσέλθῃ, φησὶν, ἄπιστος προφητευόντων ὑμῶν, ἐλέγχεται ὑπὸ πάντων, καὶ ἀνακρίνεται. οὐχ αὕτη δὲ μόνον, ἀλλὰ καὶ μετὰ ταύτην δευτέρα ἑτέρα ζήτησις ἐντεῦθεν φύεται. φαίνεται γὰρ ἡ γλῶττα πάλιν τῆς προφητείας μείζων. εἰ γὰρ αἱ γλῶσσαι εἰς σημεῖον τοῖς ἀπίστοις, ἡ δὲ προφητεία τοῖς πιστοῖς, τὸ τοὺς ἀλλοτρίους ἐφελκόμενον καὶ οἰκειοῦν, μεῖζον τοῦ ῥυθμίζοντος τοὺς οἰκείους. τί οὖν ἐστι τὸ εἰρημένον; οὐδὲν δύσκολον, οὐδὲ ἀσαφές, οὐδὲ ἐναντίον τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ σφόδρα συμβαῖνον, ἐὰν προσέχωμεν. ἡ μὲν γὰρ προφητεία ἀμφοτέροις ἐπιτήδειος, ἡ δὲ γλῶττα οὐκέτι. διόπερ εἰπὼν, ἐπὶ τῆς γλώττης, εἰς σημεῖόν ἐστι, προσέθηκεν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις, καὶ τούτοις εἰς σημεῖον, τουτέστιν, εἰς ἔκπληξιν, οὐκ εἰς κατήχησιν τοσοῦτον. ἀλλὰ καὶ ἐπὶ τῆς προφητείας, φησὶ, τὸ αὐτὸ τοῦτο ἐποίησεν, εἰπὼν, ἡ δὲ προφητεία, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. οὐδὲ γὰρ χρείαν ἔχει ὁ πιστὸς σημεῖον ἰδεῖν, ἀλλὰ διδασκαλίας δεῖται μόνον καὶ κατηχήσεως. πῶς οὖν λέγεις, φησὶν, ἀμφοτέροις χρήσιμον εἶναι τὴν προφητείαν, αὐτοῦ λέγοντος, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν; ἐὰν ἀκριβῶς ἐξετάσῃς, εἴσῃ τὸ λεγόμενον. οὐδὲ γὰρ εἶπεν, ὅτι οὐκ ἔστι χρήσιμος ἡ προφητεία τοῖς ἀπίστοις, ἀλλ᾽ οὐκ ἔστιν εἰς σημεῖον, ὡς ἡ γλῶττα, ἀνωφελὲς δηλονότι. οὐδὲ τοῖς ἀπίστοις τι χρήσιμον ἡ γλῶττα· εἰ γὰρ αὐτῆς ἐστι τὸ ἔργον, τὸ ἐκπλῆξαι μόνον καὶ θορυβῆσαι. τὸ γὰρ σημεῖον τῶν μέσων ἐστίν· ὡς ὅταν λέγῃ, Ποίησον μετ᾽ ἐμοῦ σημεῖον, καὶ προστίθησιν, εἰς ἀγαθόν. καὶ πάλιν, Ἐγενήθην ὡσεὶ τέρας τοῖς πολλοῖς, τουτέστιν, εἰς σημεῖον. καὶ ἵνα μάθῃς, ὅτι τὸ σημεῖον ἐνταῦθα οὐχ ὡς πάντη χρήσιμόν τι ποιοῦν παρήγαγεν, ἐπήγαγε, τὸ ἐξ αὐτοῦ γινόμενον. τί δὲ ἦν τοῦτο; ἐροῦσι, φησὶν, ὅτι μαίνεσθε. τοῦτο δὲ οὐ παρὰ τὴν τοῦ σημείου φύσιν, ἀλλὰ παρὰ τὴν ἄνοιαν ἐκείνων. ἀπίστους δὲ ὅταν ἀκούσῃς, μὴ τοὺς αὐτοὺς πανταχοῦ νόμιζε λέγεσθαι, ἀλλὰ ποτὲ μὲν τοὺς τὰ ἀνίατα νοσοῦντας καὶ ἀδιορθώτους μένοντας, ποτὲ δὲ τοὺς καὶ μεταβάλλεσθαι δυναμένους, οἷοι ἦσαν ἐπὶ τῶν ἀποστόλων οἱ θαυμάζοντες τὰ λεγόμενα τοῦ Θεοῦ μεγαλεῖα, οἷοι ἐπὶ τοῦ Κορνηλίου. ὃ τοίνυν λέγει τοῦτό ἐστιν· ὅτι ἡ μὲν προφητεία καὶ ἐν τοῖς ἀπίστοις καὶ ἐν τοῖς πιστοῖς ἰσχύει· τὴν δὲ γλῶτταν ἀκούοντες οἱ ἄπιστοι οἱ ἀνόητοι, οὐ μόνον οὐ κερδαίνουσιν, ἀλλὰ καὶ καταγελῶσιν, ὡς μαινομένων, τῶν φθεγγομένων. καὶ γὰρ εἰς σημεῖόν ἐστιν αὐτοῖς μόνον, τουτέστιν, εἰς τὸ ἐκπλήττεσθαι, ἁπλῶς· ὡς οἵ γε νοῦν ἔχοντες καὶ ἐκέρδαινον, δι᾽ ὃ ἐδόθη τὸ σημεῖον. οὐ γὰρ μόνον οἱ μέθην αὐτῶν κατηγοροῦντες ἦσαν τότε, ἀλλὰ πολλοὶ καὶ ἐθαύμαζον αὐτοὺς, ὡς τὰ μεγαλεῖα τοῦ Θεοῦ διηγουμένους· ὥστε οἱ γελῶντες, οἱ ἀνόητοι ἦσαν. διὸ καὶ Παῦλος οὐχ ἁπλῶς εἶπεν, ἐροῦσιν ὅτι μαίνεσθε, ἀλλὰ προσέθηκεν, ἰδιῶται καὶ ἄπιστοι. ἡ δὲ προφητεία οὐκ εἰς σημεῖον ἁπλῶς, ἀλλὰ καὶ εἰς πίστιν καὶ εἰς ὠφέλειαν ἀμφοτέροις ἐπιτηδεία καὶ χρήσιμος. καὶ τοῦτο εἰ καὶ μὴ εὐθέως, ἀλλὰ διὰ τῶν ἑξῆς σαφέστερον ἡρμήνευσεν, εἰπών· ἐλέγχεται ὑπὸ πάντων. ἐὰν γὰρ πάντες προφητεύωσι, φησὶν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν. ὥστε οὐ τούτῳ μόνον μείζων ἡ προφητεία τῷ ἐν ἑκατέροις ἰσχύειν, ἀλλὰ καὶ τῷ τοὺς ἀναισχυντοτέρους τῶν ἀπίστων ἐφέλκεσθαι. οὐδὲ γὰρ τὸ αὐτὸ θαῦμα ἦν, ὅτε τὴν Σαπφείραν ἤλεγξεν, ὅπερ προφητείας ἦν, καὶ ὅτε γλώσσαις ἐλάλει Πέτρος· ἀλλὰ τότε μὲν πάντες συνεστάλησαν· ὅτε δὲ γλώσσαις ἐλάλει, καὶ διασυραίοντος ἔλαβε δόξαν. εἰπὼν τοίνυν, ὅτι οὐκ ὠφέλησε γλῶττα, καὶ ὑποτεμόμενος πάλιν αὐτοῦ τοῦτο τὸ ἔγκλημα εἰς τοὺς Ἰουδαίους περιτρέψαι, προϊὼν δείκνυσιν ὅτι καὶ βλάπτει. καὶ τίνος ἕνεκεν ἐδόθη; ἵνα μετὰ ἑρμηνείας περιῇ· ὡς τούτου χωρὶς, καὶ τοὐναντίον ἐκβαίνει παρὰ τοῖς ἀνοήτοις. ἐὰν γὰρ, φησὶ, γλώσσαις πάντες λαλῶσιν, εἰσέλθωσι δὲ ἄπιστοι ἢ ἰδιῶται, ἐροῦσιν ὅτι μαίνεσθε· καθάπερ οὖν καὶ οἱ ἀπόστολοι μεθύοντες ἐλαμβάνοντο ὑπονοῖ-

χ. πάντως

Ψαλ. πε. ις.

Ψαλ. θ. κ.

Πραξ. β. ιγ. αν (Οὗτοι γάρ, φησι, γλεύκους μεμεστωμένοι εἰσί) ἀλλ᾽ οὐ τοῦ σημείου κατηγορία, ἀλλὰ τῆς ἐκείνων ἰδιωτείας. διὰ τοῦτο προσέθηκεν, ἰδιῶται καὶ ἄπιστοι, ὥστε τῆς ἐκείνων ἀπειρίας ἡ ὑπόληψις καὶ ἀπιστίας. ὅπερ γὰρ ἔφθην εἰπών, οὐκ ἐν τοῖς διαβεβλημένοις, ἀλλ᾽ ἐν τοῖς οὐ σφόδρα ὠφελοῦσι σπουδάζει καταπαῦσαι τὸ χάρισμα, καὶ τοῦτο, ὥστε καταστεῖλαι αὐτοὺς καὶ εἰς ἀνάγκην ἀγαγεῖν τοῦ τὸν ἑρμηνεύοντα ἐπιζητεῖν. ἐπειδὴ γὰρ οὐ πρὸς τὴν χρείαν, ἀλλὰ πρὸς ἐπίδειξιν αὐτῷ καὶ φιλοτιμίαν ἐκέχρηντο οἱ πολλοί, ἀπὸ τούτου μάλιστα ἀπάγει, δεικνὺς ὅτι εἰς δόξαν παραβλάπτονται, μανίας ὑπόληψιν κτώμενοι. καὶ τοῦτο μάλιστά ἐστιν ὃ συνεχῶς ἐπιχειρεῖ κατασκευάζειν ὁ Παῦλος, ὅταν τινὸς ἀπάγειν βούληται, εἰς αὐτὰ ἃ ἐπιθυμεῖ δεικνῦσιν αὐτὸν παραβλαπτόμενον. καὶ σὺ τοίνυν οὕτω ποίει. ἂν ἡδονῆς ἀπαγάγῃς, δεῖξον ὅτι τὸ πρᾶγμα πικρόν· ἂν κενοδοξίας ἀφέλκῃς, δεῖξον ὅτι τὸ πρᾶγμα ἀτιμίας γέμει. οὕτω καὶ Παῦλος ἐποίει. καὶ γὰρ πλουσίους ἀποσπῶν τοῦ περὶ τὰ χρήματα ἔρωτος, οὐκ εἶπεν, ὅτι βλαβερὸν ὁ πλοῦτος μόνον, ἀλλ᾽ ὅτι

α. Τιμ. ς. θ. καὶ εἰς πειρασμοὺς ἐμβάλλει. Οἱ γὰρ βουλόμενοι πλουτεῖν, φησιν, ἐμπίπτουσιν εἰς πειρασμόν. ἐπειδὴ γὰρ δοκεῖ πειρασμῶν ἀπαλλάττειν, τοὐναντίον αὐτῷ προσέθηκεν, οὗπερ ἐνόμιζον [illegible] πλουτοῦντες. εἴχοντο πάλιν τῆς σοφίας τῆς ἔξωθεν ἕτεροι, ὡς ταύτῃ τὸ δόγμα ἱστῶντες· ἔδειξεν ὅτι οὐ μόνον οὐ βοηθεῖ τῷ σταυρῷ, ἀλλ᾽ ὅτι καὶ κενοῖ αὐτόν. εἴχοντο τοῦ δικάζεσθαι παρὰ ἑτέροις, ἀνάξιον ἡγούμενοι παρὰ τοῖς οἰκείοις, ὡς τῶν ἔξωθεν σοφωτέρων ὄντων· δείκνυσιν ὅτι τὸ ἔξω δικάζεσθαι, αἰσχρόν. εἴχοντο τῶν εἰδωλοθύτων, ὡς τελείαν γνῶσιν ἐπιδεικνύμενοι· ἔδειξεν ὅτι τοῦτο γνώσεως ἀτελοῦς, τὸ μὴ εἰδέναι οἰκονομεῖν τὰ τῶν πλησίον. οὕτω καὶ ἐνταῦθα, ἐπειδὴ ἐπτόηντο περὶ τὸ χάρισμα τοῦτο τὸ τῶν γλωσσῶν, δόξης ἐρῶντες, δείκνυσιν ὅτι τοῦτο μὲν οὕτω μάλιστα αὐτοὺς καταισχύνει, οὐ μόνον δόξης ἀποστεροῦν, ἀλλὰ καὶ μανίας ὑπόληψιν περιβάλλον. ἀλλ᾽ οὐκ εὐθέως τοῦτο εἶπεν, ἀλλὰ μυρία πρότερον εἰπών, ὅτε εὐπαράδεκτον τὸν λόγον ἐποίησε, τότε τὸ σφόδρα παράδοξον ἐπάγει. καὶ τοῦτο δὲ αὐτὸ τὸ θεώρημα συνιέντες· τὸν γὰρ μέλλοντα διαταλεύειν δόξαν πεπηγυῖαν καὶ εἰς τὸ ἐναντίον περιτρέπειν, οὐκ εὐθέως τὰ ἐναντία λέγειν δεῖ· ἐπεὶ καταγέλαστος ἔσται παρὰ τοῖς προκατειλημμένοις ὑπὸ τῆς ἐναντίας ψήφου (ἐπειδὴ τὸ σφόδρα παράδοξον, οὐκ ἂν γένοιτο ἐκ προοιμίων εὐπαράδεκτον) ἀλλὰ χρὴ πρότερον ὑπορύξαντα καλῶς δι᾽ ἑτέρων, τότε εἰς τὸ ἐναντίον περιτρέπειν. οὕτω γοῦν καὶ ἐπὶ τοῦ γάμου διαλεγόμενος ἐποίησεν. ἐπειδὴ γὰρ πολλοὶ προσεῖχον ὡς αἵρεσιν ἔχοντι τῷ πράγματι, αὐτὸς δὲ ἐβούλετο δεῖξαι, ὅτι τὸ μὴ γαμεῖν αἵρεσις, εἰ μὲν εὐθέως τοῦτο εἶπεν, οὐκ ἂν οὕτως εὐπαράδεκτον αὐτὸ πεποίηκε· νυνὶ δὲ μετὰ πολλὰ αὐτὸ καὶ θεὶς, καὶ εὐκαίρως εἰσάγων, σφόδρα καθίκετο τῶν ἀκουόντων. τοῦτο καὶ ἐπὶ τῆς παρθενίας πεποίηκε. καὶ γὰρ πρὸ τοῦ πολλὰ εἰπών, καὶ μετὰ ταῦτα πάλιν, τότε φησίν, ὅτι ὑμῶν φείδομαι, καὶ θέλω ὑμᾶς ἀμερίμνους εἶναι. τοῦτο δὴ καὶ ἐπὶ τῶν γλωττῶν ποιεῖ, δεικνὺς ὅτι οὐ μόνον ἀποστερεῖ δόξης, ἀλλὰ καὶ καταισχύνει τοὺς ἔχοντας παρὰ τοῖς ἀπίστοις. ἡ δὲ προφητεία τοὐναντίον καὶ αἰσχύνης ἀπήλλακται τῆς παρὰ τοῖς ἀπίστοις, καὶ δόξαν ἔχει μεγίστην καὶ ὠφέλειαν. οὐ γὰρ ἐρεῖ τις ἐπὶ τῆς προφητείας, ὅτι μαίνονται, οὐδὲ καταγελάσεται τῶν προφητευόντων, ἀλλὰ τοὐναντίον ἐκπλαγήσεται καὶ θαυμάσεται τούτους. ἐλέγχεται γὰρ ὑπὸ πάντων, τουτέστιν, ἃ ἐπὶ καρδίας ἔχει, ταῦτα εἰς μέσον ἄγεται καὶ δείκνυται πᾶσιν. οὐκ ἔστι δὲ ἴσον εἰσελθόντα τινὰ ἰδεῖν τὸν μὲν Περσιστί, τὸν δὲ Συριστί φθεγγόμενον, καὶ εἰσελθόντα ἀκοῦσαι τὰ ἀπόρρητα τῆς αὐτοῦ διανοίας (καὶ εἴτε πειράζων καὶ μετὰ πονηρᾶς γνώμης, εἴτε ὑγιῶς εἰσελήλυθε) καὶ ὅτι τὸ καὶ τὸ αὐτῷ πέπρακται, καὶ τὸ βεβούλευται. πολὺ γὰρ τοῦτο ἐκείνου φρικωδέστερον καὶ χρησιμώτερον. διὰ δὴ τοῦτο, ἐπὶ μὲν τῶν γλωσσῶν φησιν, ὅτι μαίνεσθε. ἀλλ᾽ οὐκ οἴκοθεν τοῦτο ἀποφαίνεται, ἀλλ᾽ ἀπὸ τῆς ἐκείνων κρίσεως. ἐροῦσι γάρ, φησιν, ὅτι μαίνεσθε. ἐνταῦθα δὲ καὶ τῇ τῶν πραγμάτων κέχρηται ψήφῳ, καὶ τῇ τῶν ὠφελουμένων. ἐλέγχεται γάρ, φησι,

σιν, ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν. ὁρᾷς ὅτι τὴν ἀναμφισβήτητον; οὐδὲ γὰρ ἀμφιβάλλεται τὸ γινόμενον, καὶ μάλιστα ἄν τις ἀπατᾷ τὸν ἄπιστον· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἔσται, ἀλλὰ καὶ θαυμάσεται καὶ προσκυνήσει, διὰ τῶν ἔργων πρότερον ὁμολογῶν, εἶτα καὶ διὰ τῶν ῥημάτων. οὕτω καὶ Ναβουχοδονόσορ τὸν Θεὸν προσεκύνησε λέγων, Ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν αὐτός ἐστι Θεὸς ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο. Δαν. β. μζ. εἶδες τῆς προφητείας τὴν ἰσχύν, πῶς τὸν ἄγριον ἐκεῖνον μετέβαλε, καὶ κατήχησε, καὶ εἰς πίστιν ἤγαγε;

26 Τί οὖν ἐστιν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω.

Ὁρᾷς τοῦ χριστιανισμοῦ τὴν κρηπῖδα καὶ τὴν κακίαν; ὥσπερ γὰρ τεχνίτου ἔργον τὸ οἰκοδομεῖν, οὕτω καὶ τοῦ χριστιανοῦ τὸ τὸν πλησίον διὰ πάντων ὠφελεῖν. ἐπειδὴ δὲ σφόδρα κατέδραμε τοῦ χαρίσματος, ἵνα μὴ δόξῃ περιττὸν εἶναι (τὸν γὰρ τῦφον αὐτῶν καταστεῖλαι βουλόμενος, μόνον τοῦτο πεποίηκε) πάλιν ἀριθμεῖ αὐτὸ μετὰ τῶν ἄλλων λέγων· ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει. καὶ γὰρ ψαλμοὺς τὸ παλαιὸν ἐποίουν ἀπὸ χαρίσματος, καὶ ἐδίδασκον ἀπὸ χαρίσματος. ἀλλ' ὅμως ἅπαντα ταῦτα πρὸς ἓν βλεπέτω, φησί, τὴν τοῦ πλησίον διόρθωσιν· μηδὲν ἁπλῶς γινέσθω. εἰ γὰρ μὴ παραγένῃ τὸν ἀδελφὸν οἰκοδομήσων, τί καὶ παραγίνῃ; τί δέ μοι πολὺς ὁ λόγος τῆς τῶν χαρισμάτων διαφορᾶς; ἑνὸς ἐμοὶ μέλει μόνου, καὶ τὸ σπουδαζόμενόν μοι ἕν, τὸ πρὸς οἰκοδομὴν ἅπαντα ποιεῖν. οὕτω καὶ ὁ τὸ μικρὸν ἔχων χάρισμα, τὸν τὸ μέγα ἔχοντα παραδραμεῖται, ἐὰν τοῦτο προσῇ. διὰ γὰρ τοῦτο καὶ τὰ χαρίσματα, ἵνα οἰκοδομῆται ἕκαστος· ὡς ἐὰν μὴ τοῦτο γίνηται, καὶ εἰς κρῖμα ἔσται τὸ χάρισμα τῷ λαβόντι. τί γάρ, εἰπέ μοι, ὄφελος τοῦ προφητεύειν, τί δὲ ὄφελος τοὺς νεκροὺς ἐγείρειν, ὅταν μηδεὶς ὁ κερδαίνων ᾖ; εἰ δὲ τοῦτο τῶν χαρισμάτων τὸ τέλος, ἔξεστι δὲ αὐτὸ καὶ ἑτέρως κατασκευάζειν ἀπὸ χαρισμάτων χωρίς, μὴ μέγα ἐπὶ τοῖς σημείοις φρόνει, μηδὲ ταλάνιζε σαυτὸν ὡς τῶν χαρισμάτων ἐστερημένος.

27 Εἴτε δὲ γλώσσῃ τις λαλεῖ, κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω.

28 Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ.

Τί λέγεις, εἰπέ μοι; τοσαῦτα εἰπὼν περὶ γλωσσῶν, ὅτι ἀνόνητον, ὅτι περιττόν, ἐὰν μὴ ἑρμηνείαν ἔχῃ, κελεύεις πάλιν γλώσσαις λαλεῖν; οὐ κελεύω, φησίν, ἀλλ' οὐδὲ κωλύω· ὡς ὅταν λέγῃ, Εἴ τις ὑμᾶς καλεῖ τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, οὐχὶ νομοθετῶν τὸ πορεύεσθαι λέγει, α. Κορ. ι. κζ. ἀλλ' οὐκ ἐπέχων· οὕτω καὶ ἐνταῦθα, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. εἰ μὴ καρτερεῖ σιγᾶν, φησίν, ἀλλ' οὕτως ἐστὶ φιλότιμος καὶ κενόδοξος, καθ' ἑαυτὸν φθεγγέσθω, ὥστε αὐτοῦ τοῦτο μάλιστα τῷ οὕτως ἐπιτρέψαι ἐκώλυσεν ἐπιτρέψας· ὃ καὶ ἀλλαχοῦ ποιεῖ περὶ τῆς πρὸς γυναῖκα ὁμιλίας διαλεγόμενος, καὶ λέγων· Τοῦτο δὲ λέγω διὰ τὴν ἀκρασίαν ὑμῶν. ἀλλ' οὐχ ὅτε περὶ προφητείας ἔλεγεν, οὕτως εἶπεν, ἀλλὰ πῶς; ἐπιτακτικῶς καὶ νομοθετικῶς, προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν. καὶ οὐδαμοῦ τὴν ἑρμηνείαν ἐνταῦθα ζητεῖ, οὐδὲ ἐπιστομίζει τὸν προφητεύοντα, καθάπερ ἐκεῖ λέγων, ἐὰν μὴ ᾖ διερμηνευτής, σιγάτω. οὐδὲ γὰρ αὐτάρκης ὁ τῇ γλώττῃ λαλῶν. ὥσπερ εἰ μέν τις ἀμφότερα ἔχει τὰ χαρίσματα, λαλείτω· εἰ δὲ οὐκ ἔχει, θέλει δὲ φθέγγεσθαι, μετὰ τοῦ ἑρμηνεύοντος τοῦτο ποιείτω. καὶ γὰρ ὁ προφήτης, ἑρμηνευτής ἐστιν, ἀλλὰ τοῦ Θεοῦ, σὺ δὲ τοῦ ἀνθρώπου. ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω. οὐδὲ γὰρ δεῖ περιττῶς γίνεσθαι, οὐδὲ πρὸς φιλοτιμίαν. ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ, τουτέστι, κατὰ διάνοιαν, ἢ ἠρέμα καὶ ἀψοφητί, εἴγε βούλεται. οὐ γὰρ

δὲ νομοθετοῦντος τοῦτό ἐστιν, ἀλλὰ τάχα καὶ ἐντρέποντος μᾶλλον διὰ τῆς συγχωρήσεως. ὥσπερ ὅταν λέγῃ, Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω· καὶ δοκεῖ συγχωρεῖν, δριμύτερον αὐτοῖς τούτῳ καθάπτεται. οὐ γὰρ διὰ τοῦτο συνέρχεσθέ φησιν, ἵνα δείξητε ὅτι χάρισμα ἔχετε, ἀλλ' ἵνα οἰκοδομῆτε τοὺς ἀκούοντας, ὅπερ καὶ ἀρχόμενος εἶπε· πάντα πρὸς οἰκοδομὴν γινέσθω. α. Κορ. ια. λδ. χ. α.

29 Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν.

Οὐδαμοῦ τὸ πλεῖστον προσέθηκε καθάπερ ἐπὶ τῶν γλωττῶν. καὶ τί τοῦτό φησιν; οὐδὲ γὰρ τὴν προφητείαν αὐτάρκη δείκνυσιν, εἴγε ἄλλοις ἐπιτρέπει τὴν κρίσιν. σφόδρα μὲν οὖν αὐτάρκης. οὐδὲ γὰρ ἐπεστόμισεν αὐτὸν καθάπερ ἐκεῖνον, οὐκ ὄντος ἑρμηνεύοντος· οὐδὲ ὥσπερ ἐπ' ἐκείνου εἶπεν, ἐὰν μὴ ᾖ ὁ διερμηνευτής, σιγάτω, οὕτω καὶ ἐπὶ τούτου, ἐὰν μὴ ᾖ ὁ διακρίνων, μὴ προφητευέτω, ἀλλ' ἠσφαλίσατο μόνον τῶν ἀκροατῶν. πρὸς γὰρ τὴν τῶν ἀκουόντων πληροφορίαν τοῦτο εἴρηκεν, ὥστε μὴ παρεμπεσεῖν μεταξὺ μάντιν. τοῦτο γὰρ καὶ ἀρχόμενος φυλάττεσθαι ἐκέλευεν, ὅτε μαντείας καὶ προφητείας διαίρεσιν εἰσήγαγε, καὶ νῦν αὐτοὺς διακρίνειν κελεύει καὶ σκοπεῖν, ὥστε μή τι παρεισδῦναι διαβολικόν. χ. μὴ παρευ-δῦναι διάβ... χειν διαβο-λικόν.

30 Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω.

31 Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται. Τί ποτέ ἐστι τοῦτο τὸ εἰρημένον; εἰ προφητεύοντός σου, φησὶ, καὶ φθεγγομένου, τὸ πνεῦμα τοῦ ἑτέρου διεγείρειεν αὐτὸν, σίγα λοιπόν. ὅπερ γὰρ εἶπεν ἐπὶ τῶν γλωττῶν, τοῦτο καὶ ἐνταῦθα ἀπαιτεῖ τὸ ἀνὰ μέρος, ἀλλὰ σφοδρότερον ἐνταῦθα. οὐ γὰρ εἶπεν, ἀνὰ μέρος, ἀλλ', ἐὰν ἄλλῳ ἀποκαλυφθῇ. τί γὰρ ἐχρῆν λοιπὸν, τούτου κινουμένου πρὸς προφητείαν, ἐκεῖνον λέγειν; ἀλλ' ἀμφοτέρους ἐχρῆν; ἀλλ' ἄτοπον, καὶ σύγχυσιν ἔχον. ἀλλὰ τὸν πρότερον; * καὶ τοῦτο ἄτοπον. διὰ γὰρ τοῦτο, λέγοντος ἐκείνου, τοῦτον ἐκίνει τὸ πνεῦμα, ἵνα τι καὶ οὗτος εἴπῃ. εἶτα παραμυθούμενος τὸν ἐπιστομισθέντα, φησί· δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται. ὁρᾷς πῶς πάλιν τὴν αἰτίαν τίθησι, δι' ἣν πάντα ποιεῖ; εἰ γὰρ τὸν γλώσσαις λαλοῦντα καθόλου κωλύει λέγειν, ὅταν ἑρμηνέα μὴ ἔχῃ διὰ τὸ ἀνωφελὲς, εἰκότως καὶ προφητείαν, ἂν μὴ τοῦτο ἔχῃ, ἀλλὰ σύγχυσιν ποιῇ καὶ ταραχὴν καὶ θόρυβον ἄκαιρον, καλύειν κελεύει. * ἀλλ.

32 Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. Εἶδες πῶς ἐνέτρεψεν αὐτὸν εὐτόνως καὶ φοβερῶς; ἵνα γὰρ μὴ φιλονεικῇ, μηδὲ στασιάζῃ ὁ ἄνθρωπος, αὐτὸ τὸ χάρισμα δείκνυσιν ὑποτασσόμενον. πνεῦμα γὰρ ἐνταῦθα, τὴν ἐνέργειαν λέγει. εἰ δὲ τὸ πνεῦμα ὑποτάσσεται, πολλῷ μᾶλλον σὺ ὁ κεκτημένος οὐκ ἂν εἴης δίκαιος φιλονεικεῖν. εἶτα δείκνυσιν, ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ, ἐπάγων καὶ λέγων·

33 Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλὰ εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων διδάσκω. Εἶδες δι' ὅσων ἤγαγεν αὐτὸν εἰς σιγὴν, καὶ παρεμυθήσατο θατέρου παραχωροῦντα; δι' ἑνὸς μὲν καὶ πρώτου, τοῦ μὴ ἐκλύεσθαι τούτου γινομένου (δύνασθε γάρ, φησι, καθ' ἕνα πάντες προφητεύειν) δι' ἑτέρου δὲ τοῦ καὶ τῷ πνεύματι τοῦτο δοκεῖν (πνεύματα γὰρ προφητῶν προφήταις ὑποτάσσεται) πρὸς τούτοις τῷ κατὰ γνώμην τοῦ Θεοῦ τοῦτ' εἶναι (οὐ γάρ ἐστιν ἀκαταστασίας, φησὶν, ὁ Θεὸς, ἀλλὰ εἰρήνης) καὶ τετάρτῳ, τῷ πανταχοῦ τῆς οἰκουμένης τοῦτον κρατεῖν τὸν νόμον, καὶ μηδὲν ξένον αὐτοῖς ἐπιτάττεσθαι. οὕτω γὰρ ἐν πάσαις, φησὶ, ταῖς ἐκκλησίαις τῶν ἁγίων διδάσκω. χ. τῷ

ΗΘΙΚΟΝ Τί τοίνυν φρικωδέστερον τούτων γένοιτ' ἂν τῶν πραγμάτων; καὶ γὰρ οὐρανὸς ἡ ἐκ-

κλησία

κλησία τότε, τοῦ πνεύματος πάντα δημαγωγοῦντος καὶ τῶν προεστώτων ἕκαστον κινοῦντος, καὶ ἔνθουν ποιοῦντος. ἀλλὰ νῦν τὰ σύμβολα κατέχομεν τῶν χαρισμάτων ἐκείνων μόνον. καὶ γὰρ καὶ νῦν δύο ἢ τρεῖς λέγομεν, καὶ ἀνὰ μέρος, καὶ ἑτέρου σιγῶντος ἕτερος ἄρχεται), ἀλλὰ σημεῖα ταῦτα μόνον ἐστὶν ἐκείνων καὶ ὑπομνήματα. διὸ ἐπειδὰν ἀρξώμεθα λέγειν, ὁ λαὸς ἀντιφθέγγεται, τῷ πνεύματί σου, δεικνὺς ὅτι οἱ παλαιοὶ οὕτως ἔλεγον, οὐκ οἰκείᾳ σοφίᾳ, ἀλλὰ τῷ πνεύματι κινούμενοι. ἀλλ' οὐχὶ νῦν· τὸ ἐμαυτοῦ λέγω τέως. ἀλλ' ἔοικεν ἡ ἐκκλησία νῦν γυναικὶ τῆς παλαιᾶς εὐημερίας ἐκπεσούσῃ, καὶ τὰ σύμβολα κατεχούσῃ πολλαχοῦ μόνον τῆς ἀρχαίας εὐπραγίας ἐκείνης, καὶ τὰς μὲν θήκας τῶν χρυσίων ἐπιδεικνυμένῃ καὶ τὰ κιβώτια, τὸν δὲ πλοῦτον ἀφῃρημένῃ, ταύτῃ προσέοικεν ἡ ἐκκλησία νῦν. καὶ οὐ χαρισμάτων ἕνεκεν τοῦτο λέγω (οὐδὲ γὰρ ἦν δεινόν, εἰ τοῦτο ἦν μόνον) ἀλλὰ καὶ βίου καὶ ἀρετῆς. καὶ γὰρ ὁ τῶν χηρῶν ἀριθμός, καὶ ὁ τῶν παρθένων χορὸς τότε μὲν εἶχε κόσμον ταῖς ἐκκλησίαις πολύν· νῦν δὲ ἠρήμωται καὶ κεκένωται, καὶ τὰ σύμβολα μένει μόνον. εἰσὶ μὲν γὰρ χῆραι καὶ νῦν, εἰσὶ καὶ παρθένοι· ἀλλ' οὐκ ἔχουσιν αὗται τὸν κόσμον ἐκεῖνον, ὃν τὰς ἀποδυσαμένας πρὸς τὰ τοιαῦτα παλαίσματα ἔχειν χρή. καὶ γὰρ τῆς παρθένου τὸ ἐξαίρετον γνώρισμα, τὸ τὰ τοῦ Θεοῦ μεριμνᾶν μόνα, καὶ τὸ εὐπρόσεδρον ἀπερισπάστως· καὶ τῆς χήρας οὐχ οὕτω τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις δεῖγμα γένοιτ' ἄν, ὡς τἄλλα, τὰ τῆς φιλοπτωχίας, τὰ τῆς φιλοξενίας, τὰ τῆς φιλοκαρτερίας τῆς ἐν εὐχαῖς, πάντα τὰ ἄλλα, ἃ μετὰ πολλῆς ἀπαιτεῖ τῆς ἀκριβείας ὁ Παῦλος Τιμοθέῳ γράφων. ἴδοι τις ἂν καὶ τὰς ἐν γάμῳ πολλὴν ἐπιδεικνυμένας παρ' ἡμῖν τὴν κοσμιότητα. ἀλλ' οὐ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἀλλ' ἡ περὶ τοὺς δεομένους μετὰ σπουδῆς θεραπεία, δι' ἧς αἱ ἀρχαῖαι μάλιστα ἀπέλαμπον γυναῖκες, οὐχ ὡς αἱ πολλαὶ τῶν νῦν. τότε μὲν γὰρ ἀντὶ χρυσοῦ τὸν ἀπὸ τῆς ἐλεημοσύνης περιέκειντο καλλωπισμόν· νυνὶ δὲ ἀφεῖσαι τοῦτο, σχοινία χρυσᾶ ἀπὸ τῆς σειρᾶς τῶν ἁμαρτιῶν πεπλεγμένα πανταχόθεν περίκεινται. εἴπω καὶ ἄλλην θήκην κεκενωμένην τοῦ πατρῴου κόσμου; συνήεσαν οἱ παλαιοὶ ἅπαντες, καὶ ὑπέψαλλον κοινῇ. τοῦτο ποιοῦμεν καὶ νῦν. ἀλλὰ τότε μὲν ἐν ἅπασι μία ψυχὴ ἦν καὶ καρδία μία· νυνὶ δὲ οὐδὲ ἐν μιᾷ ψυχῇ τὴν ὁμόνοιαν ἐκείνην ἴδοι τις ἄν, ἀλλὰ πολὺς ὁ πόλεμος πανταχοῦ. εἰρήνην καὶ νῦν πᾶσιν ὁ τῆς ἐκκλησίας προεστὼς ἐπεύχεται, ὡς εἰς πατρῴαν οἰκίαν εἰσιών· ἀλλὰ τῆς εἰρήνης ταύτης τὸ μὲν ὄνομα πολύ, τὸ δὲ πρᾶγμα οὐδαμοῦ. τότε καὶ αἱ οἰκίαι, ἐκκλησίαι ἦσαν· νυνὶ δὲ καὶ ἡ ἐκκλησία, οἰκία, μᾶλλον δὲ καὶ οἰκίας πάσης χείρων. ἐν οἰκίᾳ μὲν γὰρ πολλὴν καὶ εὐταξίαν ἴδοι τις ἄν. καὶ γὰρ ἡ κυρία τῆς οἰκίας ἐπὶ τοῦ θρόνου κάθηται μετὰ εὐσχημοσύνης ἁπάσης, καὶ αἱ θεραπαινίδες μετὰ τῆς ἡσυχίας ὑφαίνουσι, καὶ τῶν οἰκετῶν ἕκαστος τὸ ἐπιταχθὲν μετὰ χεῖρας ἔχει. ἐνταῦθα δὲ πολὺς ὁ θόρυβος, πολλὴ ἡ σύγχυσις, καὶ καπηλείου οὐδὲν διενήνοχε τὰ παρ' ἡμῖν· τοσοῦτος ὁ γέλως, τοσαύτη ἡ ταραχή, καθάπερ ἐν βαλανείοις, καθάπερ ἐν ἀγοραῖς κραζόντων, θορυβούντων ἁπάντων. καὶ ταῦτα ἐνταῦθα μόνον· ὡς ἀλλαχοῦ οὐδὲ προσειπεῖν τὸν πλησίον ἔξεστιν ἐν ἐκκλησίᾳ, κἂν χρόνιοί τις ἀπολάβῃ τὸν φίλον, ἀλλ' ἔξω ταῦτα γίνεται, καὶ μάλα εἰκότως. οὐ γὰρ κουρεῖον, οὐδὲ μυρεψεῖον ἡ ἐκκλησία, οὐδὲ ἐργαστήριον ἕτερον τῶν ἐπ' ἀγορᾶς, ἀλλὰ τόπος ἀγγέλων, τόπος ἀρχαγγέλων, βασιλεία Θεοῦ, αὐτὸς ὁ οὐρανός. ὥσπερ οὖν εἴ τις τὸν οὐρανὸν διαστείλας ἐκεῖ σε εἰσήγαγε, κἂν τὸν πατέρα, κἂν τὸν ἀδελφὸν εἶδες, οὐκ ἂν ἐτόλμησας φθέγξασθαι, οὕτως οὐδὲ ἐνταῦθα ἕτερόν τι, πλὴν τῶν πνευματικῶν φθέγγεσθαι ἔδει. καὶ γὰρ καὶ τὰ ἐνταῦθα οὐρανός. εἰ δὲ ἀπιστεῖς, ἰδὲ πρὸς ταυτηνὶ τὴν τράπεζαν, ἀναμνήσθητι τίνος ἕνεκεν ἕστηκε, καὶ διὰ τί· ἐννόησον τίς ὁ παραβαίνων ἐνταῦθα, φρῖξον καὶ πρὸ τοῦ καιροῦ. καὶ γὰρ καὶ θρόνον τις ἰδὼν μόνον βασιλέως, διανίσταται τῇ ψυχῇ, προσδοκῶν τὴν ἔξοδον τοῦ βασιλέως. καὶ σὺ τοίνυν καὶ πρὸ τοῦ καιροῦ τοῦ φρικώδους φρῖξον ἐκείνου, διανάστηθι, καὶ πρὶν ἰδεῖν τὰ παραπετάσματα ἀναστελλόμενα καὶ τὸν χορὸν

γ. ἐπέψαλλον

τῶν ἀγγέλων προβαίνοντα, πρὸς αὐτὸν ἀνάβαινε τὸν οὐρανόν. ἀλλ' ἀγνοεῖ ταῦτα ὁ ἀμύητος· οὐκοῦν ἀναγκαῖον καὶ πρὸς ἐκεῖνον εἰπεῖν ἕτερα. οὐδὲ γὰρ πρὸς τοῦτον ἀπορήσομεν τὴν δυναμένην αὐτὸν διαναστῆσαι καὶ πεῖσαι πέτεσθαι. σὺ τοίνυν ὁ ταῦτα ἀγνοῶν, ὅταν ἀκούσῃς τοῦ προφήτου λέγοντος, τάδε λέγει Κύριος, ἀπόστηθι τῆς γῆς, ἀνάβηθι καὶ αὐτὸς εἰς τὸν οὐρανόν, ἐννόησον τίς ἐστιν ὁ δι' ἐκείνου σοι διαλεγόμενος. νῦν δὲ μίμου μὲν γελωτοποιοῦντος, καὶ πορνευομένης γυναικὸς καὶ ἀσχημονούσης, θέατρον τοσοῦτον κάθηται πολλὴν παρέχον τὴν ἡσυχίαν τοῖς λεγομένοις, καὶ ταῦτα οὐδενὸς κελεύοντος σιγᾶν, καὶ οὔτε θόρυβος, οὔτε κραυγή, οὐχ ὁ τυχὼν θρόος· Θεοῦ δὲ ἐκ τῶν οὐρανῶν φθεγγομένου περὶ φρικτῶν οὕτω πραγμάτων, κυνῶν ἀναισχυντότερον διακείμεθα, οὐδὲ ὅσην ταῖς πόρναις γυναιξί, τοσαύτην τῷ Θεῷ παρέχοντες τὴν αἰδῶ. ἐφρίξατε ταῦτα ἀκούσαντες; οὐκοῦν πολλῷ μᾶλλον ταῦτα ποιοῦντες φρίξατε. ὃ περὶ τῶν καταφρονούντων τοὺς πένητας εἶπεν ὁ Παῦλος, καὶ μόνων ἐσθιομένων (Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;) δότε κἀμοὶ περὶ τῶν θορυβούντων ἐνταῦθα καὶ διαλεγομένων εἰπεῖν· μὴ γὰρ οὐκ ἔχετε οἰκίας εἰς τὸ φλυαρεῖν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ διαφθείρετε καὶ τοὺς σωφρονεῖν καὶ ἡσυχάζειν βουλομένους; ἀλλὰ ἡδὺ καὶ φίλον ὑμῖν τοῖς γνωρίμοις διαλέγεσθαι; οὐ κωλύω τοῦτο, ἀλλ' ἐν οἰκίᾳ, ἀλλ' ἐν ἀγορᾷ, ἀλλ' ἐν βαλανείοις γινέσθω. ἡ γὰρ ἐκκλησία οὐ διαλέξεως, ἀλλὰ διδασκαλίας χωρίον ἐστί. νυνὶ δὲ τῆς ἀγορᾶς οὐδὲν διενήνοχεν, εἰ δὲ μὴ τολμηρὸν εἰπεῖν, τάχα οὐδὲ τῆς σκηνῆς. οὕτω τῶν ἐκεῖ πορνευομένων γυναικῶν ἀσελγέστερον αἱ ἐνταῦθα συλλεγόμεναι καλλωπίζονται. διὸ δὴ πολλοὺς καὶ ἐνταῦθα ἐφέλκονται τῶν ἀκολάστων· καὶ εἴ τι πειρᾶταί τις, ἢ βούλεται γυναῖκα διαφθείρειν, οὐδεὶς οἶμαι τῆς ἐκκλησίας ἐπιτηδειότερος αὐτῷ τόπος εἶναι δοκεῖ· ἄν τι ὠνήσασθαί τι καὶ πρίασθαι δέῃ, μᾶλλον τῆς ἀγορᾶς χρήσιμος ἡ ἐκκλησία φαίνεται. ἐνταῦθα γὰρ καὶ περὶ τούτων πλείους γίνονται λόγοι, ἢ ἐν αὐτοῖς τοῖς ἐργαστηρίοις. εἴ τι κακῶς εἰπεῖν καὶ ἀκοῦσαι βούλονταί τινες, καὶ τοῦτο ὄψει ἐνταῦθα μᾶλλον, ἢ ἐπὶ τῆς ἀγορᾶς ἔξω συμβαῖνον· κἂν τῶν πολιτικῶν τι βουληθῇς ἀκοῦσαι πραγμάτων, κἂν τῶν ἐν οἰκίαις, κἂν τῶν ἐν στρατοπέδῳ, μὴ βαδίσῃς εἰς δικαστήριον, μηδὲ καθίσῃς ἐν ἰατρείῳ. εἰσὶ γὰρ ἐνταῦθα, εἰσὶ τῶν πάντων ἀκριβέστερον ταῦτα ἅπαντα καταγγέλλοντες, καὶ πάντα μᾶλλον ἐστι τὰ ἐνταῦθα, ἢ ἐκκλησία. τάχα σφόδρα καθηψάμην ὑμῶν. οὐκ ἔγωγε οἶμαι. ὅταν γὰρ τοῖς αὐτοῖς ἐπιμένητε, πόθεν εἴσομαι, ὅτι καθίκετο ὑμῶν τὰ εἰρημένα; οὐκοῦν τῶν αὐτῶν ἀναγκαῖον ἅψασθαι πάλιν. ταῦτα οὖν ἀνεκτά; ταῦτα φορητά; κοπτόμεθα καθ' ἑκάστην ἡμέραν καὶ δαπανώμεθα, ἵνα τι χρήσιμον μαθόντες ἀπέλθητε· καὶ οὐδεὶς ὑμῶν κερδάνας ἄπεισιν, ἀλλὰ καὶ βλαβεὶς μειζόνως. καὶ γὰρ εἰς κρίμα συνέρχεσθε πρόφασιν οὐκέτι περὶ τῆς ἁμαρτίας ἔχοντες, καὶ τοὺς ἐπιεικεστέρους ἐκκρούετε, ταῖς ὑμετέραις φλυαρίαις ἐνοχλοῦντες πάντοθεν. ἀλλὰ τίς ὁ τῶν πολλῶν λόγος; οὐκ ἀκούω τῶν ἀναγινωσκομένων, φησίν, οὐδὲ οἶδα τίνα ἐστὶ τὰ λεγόμενα. ἐπειδὴ θορυβεῖς, ἐπειδὴ ταράττεις, ἐπειδὴ μετὰ ψυχῆς εὐλάβειαν ἐχούσης οὐ παραγίνῃ. τί φῄς, οὐκ οἶδα τίνα ἐστὶ τὰ λεγόμενα; δι' αὐτὸ μὲν οὖν τοῦτο προσέχειν ἐχρῆν. εἰ δὲ οὐδὲ τὸ ἀσαφὲς διεγείρει σου τὴν ψυχήν, πολλῷ μᾶλλον, εἰ σαφῆ ἦν, παρέδραμες. διὰ γὰρ τοῦτο οὔτε σαφῆ πάντα ἐστίν, ἵνα μὴ ῥᾳθυμήσῃς, οὔτε ἀσαφῆ, ἵνα μὴ ἀπογνῷς. καὶ ὁ μὲν εὐνοῦχος ἐκεῖνος καὶ βάρβαρος οὐδὲν τούτων εἶπεν, ἀλλὰ καὶ τοσούτων πραγμάτων ὄχλῳ κυκλούμενος, καὶ ἐν ὁδῷ ὤν, βιβλίον μετὰ χεῖρας εἶχε καὶ ἀνεγίνωσκε*· σὺ δὲ καὶ ἐν διδασκάλων εὐπορίᾳ ὤν, καὶ ἑτέρους ἔχων τοὺς ὑπαναγινώσκοντας, σκήψεις προβάλλῃ μοι καὶ προφάσεις. οὐκ οἶσθα τὰ λεγόμενα; οὐκοῦν εὖξαι ἵνα μάθῃς, μᾶλλον δὲ ἀμήχανον πάντα ἀγνοεῖν. καὶ γὰρ πολλὰ αὐτόθεν ἐστὶ καταδηλα καὶ σαφῆ. μᾶλλον δέ, κἂν ἅπαντα ἀγνοῇς, καὶ οὕτως ἡσυχάζειν ἔδει, ἵνα μὴ τοὺς προσέχοντας

α. Κορ. ια. κβ.

χ. ἀπηγ.

* ἐν ἄλλοις ... αἰτίαι

χοντας

χοντας ἐκχεούσης, ἵνα σὺ τὴν ἡσυχίαν καὶ τὴν αἰδῶ ἀποδεξάμενος ὁ Θεὸς, καὶ τὰ ἀσαφῆ ποιήσῃ δῆλα. ἀλλ' οὐ δύνασαι σιγᾶν. οὐκοῦν ἔξιθι, ἵνα μὴ καὶ ἑτέροις γένῃ βλάβη. καὶ γὰρ μίαν ἐν ἐκκλησίᾳ δεῖ φωνὴν εἶναι ἀεὶ, καθάπερ ἑνὸς ὄντος σώματος. διὰ τοῦτο καὶ ὁ ἀναγινώσκων, μόνος φθέγγεται· καὶ αὐτὸς ὁ τὴν ἐπισκοπὴν ἔχων, ἀνέχεται σιγῇ καθήμενος· καὶ ὁ ψάλλων, ψάλλει μόνος. κἂν πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στόματος ἡ φωνὴ φέρεται. καὶ ὁ ὁμιλῶν, ὁμιλεῖ μόνος. ὅταν δὲ πολλοὶ καὶ πολλὰ καὶ διάφορα διαλέγωνται, τίνος ἕνεκεν ἐνοχλοῦμεν ἡμεῖς εἰκῆ; οὐδὲ γὰρ εἰ μὴ εἰκῆ ἐνοχλεῖν ἡμᾶς ἠνείχεσθε, περὶ τηλικούτων φθεγγομένων ἡμῶν, περὶ τῶν οὐδὲν ἂν προσηκόντων ὑμεῖς διελέγεσθε. διὰ ταῦτα οὐκ ἐν τῷ βίῳ μόνον ὑμῶν, ἀλλὰ καὶ ἐν αὐτῇ τῶν πραγμάτων τῇ ψήφῳ πολλὴ ἡ διαστροφή. καὶ περὶ τὰ περιττὰ κεχήνατε, καὶ τὴν ἀλήθειαν ἀφέντες, τὰς σκιὰς καὶ τὰ ὀνείρατα διώκετε. ἢ οὐ σκιὰ καὶ ὀνείρατα τὰ παρόντα ἅπαντα; καὶ σκιᾶς χείρω; καὶ γὰρ πρὶν ἢ φανῆναι, ἀφίπταται· [γρ. ἀφίσαται·] καὶ πρὶν ἀποπτῆναι, πολὺν παρέχει τὸν θόρυβον καὶ πλείονα τῆς ἡδονῆς. κἂν μυρία τις ἐνταῦθα λαβὼν κατορύξῃ χρήματα, τῆς νυκτὸς ἐπελθούσης, γυμνὸς ἄπεισιν ἐντεῦθεν, καὶ μάλα εἰκότως. ἐπεὶ καὶ οἱ ὄναρ πλουτοῦντες, διαναστάντες ἀπὸ τῆς εὐνῆς, οὐδὲν ἔχουσιν, ὧν ἔχειν ἐδόκησαν καθεύδοντες, οὕτω καὶ οἱ πλεονεκτοῦντες· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον. ὁ μὲν γὰρ ὄναρ πλουτῶν, ὅτι τὰ χρήματα ἔχει, ἅπερ ἐφαντάζετο ἔχειν, οὐ [γρ. χεῖρον] τι ἄλλο κακὸν ἀπὸ τῆς φαντασίας ταύτης λαβὼν ἀνίσταται· οὗτος δὲ τῶν μὲν χρημάτων ἐστέρηται, τῶν δὲ ἁμαρτημάτων τῶν ἐκ τῶν χρημάτων ἐμπλησθεὶς ἄπεισι· καὶ ἐν τῷ πλούτῳ φαντασθεὶς, τὰ ἐκ τοῦ πλούτου κακὰ οὐχ ὁρᾷ ἐν φαντασίᾳ λοιπὸν, ἀλλ' ἐν αὐτῇ τῶν πραγμάτων τῇ ἀληθείᾳ. καὶ ἡ μὲν ἡδονὴ γέγονεν ἐν ὀνείροις, ἡ δὲ ἐκ τῆς ἡδονῆς κόλασις οὐκέτι ὄναρ συμβαίνει, ἀλλ' ἐν αὐτῇ τῇ πείρᾳ, μᾶλλον δὲ πρὸ τῆς κολάσεως ἐκείνης καὶ ἐνταῦθα τὴν ἐσχάτην τίνει δίκην, ἐν αὐτῷ τῷ συλλέγειν μυρίας περιτριβόμενος ἀθυμίας, φροντίδας, κατηγορίας, διαβολὰς, θορύβους, ταραχάς. ἵν' οὖν καὶ τῶν ὀνειράτων ἀπαλλαγῶμεν καὶ τῶν κακῶν τῶν ἐκ τῶν ὀνείρων, ἀντὶ πλεονεξίας ἐλεημοσύνην ἑλώμεθα, ἀντὶ ἁρπαγῆς φιλανθρωπίαν. οὕτω γὰρ καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λζ. 34 ΑΙ ΓΥΝΑΙΚΕΣ ΥΜΩΝ ΕΝ ΤΑΙΣ ΕΚΚΛΗσίαις σιγάτωσαν. οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει.

ΠΕρικόψας τὸν θόρυβον τὸν ἀπὸ τῶν γλωσσῶν, τὸν ἀπὸ τῶν προφητειῶν, καὶ νομοθετήσας, ὥστε μὴ σύγχυσιν γίνεσθαι, τούς τε γλώσσαις λαλοῦντας ἀνὰ μέρος τοῦτο ποιεῖν, τούς τε προφητεύοντας, ἀρξαμένου ἑτέρου σιγᾶν, λοιπὸν καὶ ἐπὶ τὴν ταραχὴν τὴν ἀπὸ τῶν γυναικῶν γινομένην ὁδῷ πρόεισι, τὴν ἄκαιρον αὐτῶν ἐκκόπτων παρρησίαν, καὶ σφόδρα εὐκαίρως. εἰ γὰρ τοῖς τὰ χαρίσματα ἔχουσιν ἁπλῶς οὐκ ἐφίεται λαλεῖν, οὐδ' ὅτε βούλονται, καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος κινουμένοις, πολλῷ μᾶλλον ἐκείναις εἰκῆ φλυαρούσαις καὶ μάτην. διὰ τοῦτο καὶ μετὰ πολλῆς τῆς αὐθεντίας ἐπιστομίζει τὸ φλυαρεῖν αὐτῶν, καὶ τὸν νόμον μεθ' ἑαυτοῦ λαβὼν, οὕτως αὐτῶν ἀποῤῥάπτει τὰ στόματα. οὐ γὰρ παραινεῖ μόνον ἐνταῦθα, οὐδὲ συμβουλεύει, ἀλλὰ καὶ ἐπιτάττει σφοδρῶς, παλαιὸν ὑπὲρ τούτων ἀναγινώσκων νόμον. εἰπὼν γὰρ, ὅτι αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν, καὶ οὐκ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, ἐπήγαγε, καθὼς καὶ ὁ νόμος λέγει. καὶ ποῦ τοῦτο ὁ νόμος λέγει; Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, Γεν. γ. 16.

καὶ

καὶ αὐτὸς συγκελεύουσι. Εἶδες Παύλου σοφίαν, ἡλίκην παρήγαγε μαρτυρίαν, οὐ σιγᾶν αὐ-
ταῖς κελεύουσαν μόνον, ἀλλὰ καὶ μετὰ φόβου σιγᾶν, καὶ μετὰ φόβου πολλοῦ, μεθ' ὅσου τὴν δούλην
ἡσυχάζειν χρή; διὸ καὶ αὐτὸς εἰπὼν, ὅτι οὐκ ἐπιτέτραπται αὐταῖς λαλεῖν, οὐκ ἐπήγαγεν,
ἀλλὰ σιγᾶν, ἀλλὰ τὸ πλέον ἀντὶ τοῦ σιγᾶν τέθεικε, τὸ ὑποτάσσεσθαι. Εἰ δὲ ἐπὶ ἀνδρῶν τοῦ-
το, πολλῷ μᾶλλον ἐπὶ διδασκάλων καὶ πατέρων καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας συλλόγου. Καὶ εἰ
μηδὲ φθέγξονταί, φησι, μηδὲ ἐρωτήσουσι, τίνος ἕνεκεν καὶ παρέσονται; ἵνα ἀκούωσι μὲν ἃ χρή,
τὰ δὲ ἀμφιβαλλόμενα παρὰ τῶν ἀνδρῶν οἴκοι μανθανέτωσαν. διὸ καὶ ἐπήγαγεν·

35 Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. Οὐ γὰρ
δὴ μόνον λαλεῖν αὐταῖς οὐκ ἐφίεται, φησιν, ἁπλῶς, ἀλλ' οὐδὲ ἐρωτᾶν τι ἐν ἐκκλησίᾳ. Εἰ δὲ
ἐρωτᾶν οὐ χρὴ, πολλῷ μᾶλλον ἁπλῶς λαλεῖν οὐ θέμις. καὶ τί δήποτε ἐν τοσαύτῃ κατέστη-
σεν αὐτὰς ὑποταγῇ; ὅτι ἀσθενέστερόν πως ἐστὶν ἡ γυνὴ καὶ εὐρίπιστον καὶ κοῦφον. διὰ δὴ τοῦτο
τοὺς ἄνδρας αὐταῖς ἐπέστησε διδασκάλους, ἀμφοτέρους ὠφελῶν· ἐκείνας τε γὰρ κοσμίας κα-
τεσκεύασε, τούτους τε ἐναγωνίους ἐποίησεν, ἅτε μέλλοντας μετὰ πολλῆς τῆς ἀκριβείας, ἀπηρτη-
κυῖαν, ταῖς γυναιξὶ παρακατατίθεσθαι. Εἶτα ἐπειδὴ καλλωπίζεσθαι ἐντεῦθεν ἐνόμιζον
ἐκ τοῦ φθέγγεσθαι δημοσίᾳ, πάλιν εἰς τὸ ἐναντίον περιάγει τὸν λόγον, λέγων· Αἰσχρὸν
γάρ ἐστι γυναικὶ ἐν ἐκκλησίᾳ λαλεῖν. Πρῶτον μὲν γὰρ ἀπὸ τοῦ νόμου τοῦτο κατεσκεύ- χ. γυναιξὶ
ασε τοῦ Θεοῦ, ἔπειτα ἀπὸ κοινοῦ λογισμοῦ καὶ τῆς συνηθείας, ὥσπερ καὶ, ἡνίκα περὶ κόμης
α. Κορ. ια. ιδ. αὐταῖς διελέγετο, ἔλεγεν· Ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει; καὶ πανταχοῦ τοιοῦτον εὑ-
ρήσεις αὐτὸν τὸν τρόπον ὄντα, οὐκ ἀπὸ τῶν θείων γραφῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κοινῆς συν-
ηθείας ἐντρέποντα. πρὸς τούτοις δὲ καὶ ἀπὸ τῶν πᾶσι δοκούντων καὶ πανταχοῦ τυπωθέντων
ἐντρέπει, ὃ καὶ ἐνταῦθα τέθεικεν, εἰπών·

36 Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησε; Καὶ
γὰρ τὰς λοιπὰς ἐκκλησίας παρήγαγε τοῦτον τηρούσας τὸν νόμον, καὶ ἀπὸ τῆς καινοτομίας τὸν
θόρυβον ὑποτεμνόμενος, καὶ τῇ τῶν πολλῶν ψήφῳ τὸν λόγον ποιῶν εὐπαράδεκτον. διὸ καὶ
α. Κορ. δ. ιζ. ἀλλαχοῦ ἔλεγεν· Ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν
α. Κορ. ιδ. λ. πάσαις ταῖς ἐκκλησίαις διδάσκω. καὶ πάλιν, Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλ' εἰρήνης,
καθὼς καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων· καὶ ἐνταῦθα, ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ
ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησε; τουτέστιν, οὔτε πρῶτοι, οὔτε μόνοι ὑμεῖς πιστοὶ, ἀλλ'
Κολασ. α. ϛ. ἡ οἰκουμένη πᾶσα· ὃ καὶ πρὸς Κολασσαεῖς γράφων ἔλεγε, Καθώς ἐστι καρποφορούμενον καὶ
αὐξανόμενον ἐν παντὶ τῷ κόσμῳ, περὶ τοῦ εὐαγγελίου λέγων. ποιεῖ δὲ αὐτὸ καὶ ἑτέρως εἰς
προτροπὴν τῶν ἀκουόντων, ὡς ὅταν λέγῃ τὰ αὐτῶν πρῶτα εἶναι, καὶ πᾶσιν εἶναι κατάδηλα.
α. Θεσ. α. η. Θεσσαλονικεῦσι γὰρ ἐπιστέλλων, ἔλεγεν· Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐν
παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε. καὶ Ῥωμαίοις δὲ πάλιν, Ὅτι ἡ πίστις ὑ-
μῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. ἀμφότερα γὰρ ἱκανὰ προτρέψαι καὶ διεγεῖραι, καὶ τὸ
παρ' ἑτέρων ἐπαινεῖσθαι, καὶ τὸ ἑτέρους ἔχειν κοινωνοὺς τῆς γνώμης. διὸ καὶ ἐνταῦθά φησιν· ἢ
ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; οὔτε γὰρ τοῦτο ἂν ἔχοιτε
εἰπεῖν, φησιν, ὅτι ἡμεῖς τῶν ἄλλων διδάσκαλοι ἐγενόμεθα, καὶ οὐκ ἂν εἴημεν δίκαιοι παρ'
ἑτέρων μανθάνειν, οὔτε ὅτι ἐνταῦθα ἔστη τὰ τῆς πίστεως μόνον, καὶ οὐ χρὴ τὰ παρ' ἑτέρων παρα-
δείγματα δέχεσθαι. ὁρᾷς διὰ πόσων ἐνέτρεψε; τὸν νόμον παρήγαγε, τὸ αἰσχρὸν τοῦ πρά-
γματος ἔδειξε, τὰς λοιπὰς ἐκκλησίας εἰς μέσον τέθεικεν. εἶτα τὸ πάντων ἰσχυρότερον,
ὕστερον τίθησι λέγων, ὅτι ὁ Θεὸς ταῦτα καὶ νῦν ἐπιτάττει δι' ἐμοῦ.

37 Εἰ γάρ τις δοκεῖ προφήτης εἶναι, ἢ πνευματικὸς, γινωσκέτω ταῦτα ἃ γράφω ὑμῖν,
ὅτι Κυρίου εἰσὶν αἱ ἐντολαί.

38 Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. Καὶ τίνος ἕνεκεν τοῦτο ἐπήγαγε; δεικνὺς ὅτι οὐ βι-
άζεται.

άζει), οὐδὲ φιλονεικεῖ, ὅπερ σημεῖόν ἐστι τῶν οὐ τὰ ἑαυτῶν βουλομένων ἱστᾶν, ἀλλὰ τὸ ἑτέροις συμφέρον σκοπούντων. διὸ καὶ ἀλλαχοῦ φησιν· Εἰ δέ τις φιλόνεικος ἐστιν, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. ἀλλ' οὐ πανταχοῦ τοῦτο ποιεῖ, ἀλλ' ἔνθα ἂν μὴ σφόδρα μεγάλα τὰ ἁμαρτανόμενα ᾖ, καὶ τότε ἐντρέπων μᾶλλον· ἐπεὶ ὅταν περὶ ἑτέρων διαλέγηται), οὐ λέγει οὕτως ἀλλὰ πῶς; Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μαλακοὶ βασιλείαν Θεοῦ κληρονομήσουσι. καὶ πάλιν, Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. ἐνταῦθα δὲ, ἐπειδὴ περὶ σιγῆς ἦν αὐτῷ ὁ λόγος, οὐ σφόδρα εὐτόνως ἐπιτίθεται), τούτῳ αὐτῷ μᾶλλον αὐτοὺς ἐπισπώμενος. εἶτα ὅπερ ἀεὶ ποιεῖν εἴωθεν, ἐπὶ τὴν προτέραν ὑπόθεσιν, ὅθεν ταῦτα εἰπεῖν ἐξέβη, ἐπάγει τὸν λόγον λέγων·

α Κορ. ια ις. α. Κορ. ϛ. θ. Γαλ. ε. β.

39 Ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.

Καὶ γὰρ ἔθος αὐτῷ τοῦτο, μὴ τὸ προκείμενον ἐργάζεσθαι μόνον, ἀλλὰ καὶ τὸ ἐξ ἐκείνου τὸ δοκοῦν αὐτῷ συγγενὲς ὁπωσδήποτε εἶναι διορθοῦν, καὶ πάλιν ἐπὶ τὸ πρότερον ἐπανιέναι, ὥστε μὴ δοκεῖν τῆς ὑποθέσεως ἐκπίπτειν. καὶ γὰρ ὅτε περὶ τῆς ἐν ταῖς τραπέζαις διηγεῖτο συμφωνίας, ἐπὶ τὴν κοινωνίαν τὴν ἐν τοῖς μυστηρίοις ἐκβὰς, κἀκεῖθεν ἐντρέψας, εἰς τὰ πρότερα ἐπανίεισι πάλιν, λέγων· Ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. καὶ ἐνταῦθα τοίνυν περὶ τῆς ἐν τοῖς χαρίσμασιν εὐταξίας διαλεχθεὶς, καὶ τοῦ μὴ δεῖν μήτε ἀλύειν ἐν τοῖς ἐλάττοσι, μήτε φυσιοῦσθαι ἐπὶ τοῖς μείζοσιν, εἶτα ἐπὶ τὴν γυναιξὶ πρέπουσαν ἐξελθὼν εὐκοσμίαν ἐντεῦθεν, καὶ κατασκευάσας αὐτὴν, ἐπὶ τὸ προκείμενον ἐπανίεισι λέγων πάλιν, Ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε. Εἶδες πῶς μέχρι τέλους τὴν διαφορὰν ἐφύλαξε; καὶ πῶς ἔδειξε τὸ μὲν σφόδρα ἀναγκαῖον ὄν, τὸ δὲ οὐχ οὕτω; διὸ ἐπ' ἐκείνου μέν φησι, ζηλοῦτε, ἐπὶ τούτου δὲ, μὴ κωλύετε. εἶτα ὡς ἐν κεφαλαίῳ τὰ πάντα διορθούμενος ἐπάγει, λέγων·

α. Κορ. ια. λγ.

χ. ἀύειν

40 Πάντα δὲ εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω. Πάλιν πλήττει τοὺς εἰκῇ βουλομένους ἀσχημονεῖν, καὶ μυρίας δόξαν λαμβάνειν, καὶ τὴν οἰκείαν μὴ φυλάττοντας τάξιν. οὐδὲν γὰρ οὕτως οἰκοδομεῖ, ὡς εὐταξία, ὡς εἰρήνη, ὡς ἀγάπη, ὥσπερ οὖν καὶ τὰ ἐναντία διαλύει. οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι τοῦτο ἴδοι τις ἄν. ἄν τε γὰρ ἐν χορῷ, ἄν τε ἐν πλοίῳ, ἄν τε ἐν ἅρματι, ἄν τε ἐν στρατοπέδῳ τὴν τάξιν συγχέῃς, καὶ τὰ μείζονα τῆς οἰκείας χώρας ἐκβαλὼν, τὰ ἐλάττονα εἰσαγάγῃς εἰς τὴν ἐκείνων τάξιν, πάντα διέφθειρας, καὶ οὕτω τὰ ἄνω, κάτω γέγονε.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν, μηδὲ ἡμεῖς τὴν τάξιν διαφθείρωμεν, μηδὲ τὴν κεφαλὴν κάτω ποιῶμεν, καὶ τοὺς πόδας ἄνω. τοῦτο δὲ γίνεται, ὅταν τὸν μὲν ὀρθὸν λογισμὸν κάτω ῥίψωμεν, τὰς δὲ ἐπιθυμίας, τὸν θυμὸν, καὶ τὴν ὀργὴν, καὶ τὴν ἡδονὴν ἐπιστήσωμεν τῷ λογικῷ· ὅθεν πολὺς ὁ κλύδων, καὶ πολλὴ ἡ ταραχὴ, καὶ ἀφόρητος ἡ ζάλη, πάντων σκότῳ κατεχομένων. καὶ, εἰ βούλει, τὴν ἀσχημοσύνην τὴν ἐντεῦθεν γινομένην πρῶτον ἐξετάσωμεν, καὶ τότε τὴν ζημίαν. πῶς οὖν ἔσται τοῦτο σαφὲς ἡμῖν καὶ σφόδρα γνώριμον; παραγάγωμεν εἰς μέσον ἄνθρωπον οὕτω διακείμενον, πόρνης ἐρῶντα, καὶ ὑπὸ ἐπιθυμίας ἀτόπου κρατούμενον, καὶ τότε ὀψόμεθα τὸν γέλωτα τοῦτον. τί γὰρ ἂν γένοιτο αἰσχρότερον τοῦ θυραυλοῦντος περὶ τῶν πορνικῶν οἰκημάτων, καὶ ῥαπιζομένου παρὰ πόρνης γυναικὸς, καὶ κλαίοντος, καὶ ὀδυρομένου, καὶ τὴν ἑαυτοῦ καταισχύνοντος δόξαν; Εἰ δὲ βούλει καὶ τὴν ζημίαν ἰδεῖν, ἐννόει μοι τῶν χρημάτων τὴν δαπάνην, τοὺς περὶ τῶν ἐσχάτων κινδύνους, τὸν πρὸς τοὺς ἀντεραστὰς πόλεμον, τὰ τραύματα, τὰς πληγὰς τὰς ἐκ τῶν τοιούτων παρατάξεων. τοιοῦτοι καὶ οἱ χρημάτων ἐπιθυμίᾳ κατεχόμενοι· μᾶλλον δὲ μείζονα ἀσχημονοῦσιν. οὗτοι μὲν γὰρ περὶ ἓν εἰσιν ἠσχολημένοι σῶμα· οἱ δὲ φιλάργυροι τὰς πάντων οὐσίας ὁμοίως περιεργάζονται, καὶ πενήτων, καὶ πλουτούντων, καὶ τῶν οὐκ ὄντων πραγμάτων ἐρῶσιν, ὃ μάλιστα τῆς τοῦ πάθους ἀτοπίας σημεῖον

μεῖόν ἐστιν. οὐ γὰρ λέγουσιν, ὅτι τὴν τοῦ δεῖνος ἐβουλόμην οὐσίαν ἔχειν, καὶ τὴν τοῦ δεῖνος μόνον, ἀλλὰ καὶ τὰ ὄρη χρυσία εἶναι βούλονται, καὶ τὰς οἰκίας, καὶ τὰ ὁρώμενα πάντα, κἂν ἐφ' ἑτέρους παραβαίνουσι κόσμους, καὶ τοῦτο ἐπ' ἄπειρον πάσχουσι, καὶ οὐδαμοῦ τῆς ἐπιθυμίας λήγουσι. τίς ἂν παραστήσειε λόγος τὸν χειμῶνα τῶν λογισμῶν ἐκείνων; τὰ κύματα; τὸν ζόφον; ὅπου δὲ κύματα καὶ χειμὼν τοσοῦτος, ποία γένοιτ' ἂν ἡδονή; οὐκ ἔστιν οὐδεμία, ἀλλὰ θόρυβος, καὶ ὀδύνη, καὶ νεφέλαι ζοφώδεις αἱ τὴν ὑδάτων πολλὴν φέρουσαι τὴν ἀθυμίαν, ὃ δὴ καὶ ἐπὶ τῶν ἐρώντων ἀλλοτρίου κάλλους συμβαίνειν εἴωθε. διά τοι τοῦτο οἱ μηδ' ὅλως ἐρῶντες, τῶν ἐρώντων ἐν πλείονι εἰσὶν ἡδονῇ· ἀλλὰ πρὸς τοῦτο μὲν οὐδεὶς ἀντείποι. ἐγὼ δὲ καὶ τὸν ἐρῶντα μὲν, κατέχοντα δὲ τὴν ἐπιθυμίαν, μᾶλλον ἂν φαίην τρυφᾶν τοῦ συνεχῶς τῆς πόρνης ἀπολαύοντος. εἰ γὰρ καὶ δυσκολωτέρα ἡ ἀπόδειξις, ἀλλ' ὅμως καὶ οὕτως ἀναγκαῖον καταπολμῆσαι τοῦ λόγου. καὶ γὰρ δυσκολωτέρα ἐστὶν, οὐ παρὰ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ παρὰ τὸ μὴ εἶναι τῆς φιλοσοφίας ταύτης ἀκροατὰς ἀξίους. τί γὰρ ἥδιον, εἰπέ μοι, τῷ ἐρῶντι, τὸ καταφρονεῖσθαι ὑπὸ τῆς ἐρωμένης, ἢ τὸ τιμᾶσθαι καὶ ὑπερορᾶν; εὔδηλον ὅτι τοῦτο. τίνα οὖν, εἰπέ μοι, τιμήσει πλέον ἡ πόρνη, τὸν δουλεύοντα αὐτῇ καὶ αἰχμάλωτον ὑπ' αὐτῆς ἤδη γενόμενον, ἢ τὸν ἀνώτερον τῶν ἐκείνης δικτύων, καὶ ὑψηλότερον τῶν καλάμων αὐτῆς πετόμενον; πάντως που δῆλον, ὅτι τοῦτον. περὶ τίνα δὲ σπουδάσει πλέον, τὸν πεπτωκότα, ἢ τὸν οὐδέπω; τὸν οὐδέπω πάντως. τίς δὲ ἔσται ποθεινότερος, ὁ κατειργασμένος, ἢ ὁ μηδέπω ἁλούς; ὁ μηδέπω τέως ἁλούς. εἰ δὲ ἀπιστεῖτε, ἀπὸ τῶν ὑμετέρων παρέξω τὴν ἀπόδειξιν. τίνος γὰρ ἄν τις μᾶλλον ἐρασθείη γυναικός, τῆς εὐκόλως ὑποκατακλινομένης αὐτῷ καὶ ἐκδιδομένης, ἢ τῆς ἀρνουμένης καὶ πράγματα αὐτῷ παρεχούσης; εὔδηλον ὅτι ταύτης. καὶ γὰρ μειζόνως ἐντεῦθεν ὁ πόθος ἀνάπτεται. οὐκοῦν καὶ ἐπὶ τῆς γυναικὸς τὸ αὐτὸ δὴ τοῦτο ἔσται· καὶ τοῦτον τιμήσουσι καὶ θαυμάσονται πλέον τὸν ὑπερορῶντα αὐτῶν. εἰ δὲ τοῦτο ἀληθὲς, κἀκεῖνο ὁμοίως, τὸ ἐν μείζονι εἶναι ἡδονῇ τὸν μᾶλλον τιμώμενον καὶ ἀγαπώμενον. ἐπεὶ καὶ στρατηγὸς πόλιν τὴν μὲν καθάπαξ ἁλοῦσαν ἀφίησι, τῇ δὲ ἑστηκυίᾳ καὶ φιλονεικούσῃ προσεδρεύει μετὰ σπουδῆς ἁπάσης· καὶ θηρευτὴς τὸ μὲν θηρευθὲν ζῶον ἐν σκότῳ κατακλείσας ἔχει, καθάπερ ἡ πόρνη τὸν ἐραστὴν, τὸ δὲ φεῦγον διώκει. ἀλλ' ἀπολαύει τῆς ἐπιθυμίας ἐκεῖνος, φησίν, οὗτος δὲ οὐκ ἀπολαύει. τὸ δὲ μὴ καταισχύνεσθαι, μηδὲ δουλεύειν ταῖς τυραννικαῖς αὐτῆς ἐπιταγαῖς, μηδὲ ὡς ἀνδράποδον ἄτιμον ὑπ' αὐτῆς περιάγεσθαι, ῥαπιζόμενον, ἐμπτυόμενον, ἐπὶ κεφαλῆς ὠθούμενον, μικρὰν ἡδονὴν εἶναι νομίζεις, εἰπέ μοι; εἰ γάρ τις ταῦτα ἀκριβῶς ἐξετάσειε, καὶ δυνηθείη τὰς ὕβρεις αὐτῆς συναγαγεῖν, τὰ ἐγκλήματα, τὰς συνεχεῖς ὀργάς, τὰς ἀπὸ ψυχῆς, τὰς ἀπὸ τοῦ θρύπτεσθαι γινομένας, τὰς ἀπεχθείας, τὰ ἄλλα πάντα, ἅπερ οἱ πάσχοντες ἴσασι μόνοι, πάντα πολέμου εὑρήσει πλείους ἔχοντα τὰς ἀνακωχὰς τῆς ἀθλίας τούτων ζωῆς. ποίαν οὖν λέγεις ἡδονὴν, εἰπέ μοι; τὴν ἀπὸ τῆς μίξεως; τὴν πρόσκαιρον καὶ βραχεῖαν; ἀλλ' εὐθέως ταύτην πόλεμος ἐπικαταλαμβάνει, καὶ κύματα, καὶ λύπαι, καὶ μανία πάλιν ἡ αὐτή. καὶ ταῦτα μὲν ἡμῖν εἴρηται, ὡς ἄν τις νέοις διαλεγόμενος ἀκολάστοις εἴποι, οὐ σφόδρα ἀνεχομένοις τῶν περὶ βασιλείας καὶ γεέννης ἀκοῦσαι λόγων. ὅταν δὲ καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν, οὐδὲ ἔνεστιν εἰπεῖν, ὅση τῶν σωφρονούντων ἡ ἡδονὴ, ὅταν ἀναπλάττῃ πρὸ ἑαυτοῦ τοὺς στεφάνους, τὰ βραβεῖα, τὴν μετὰ τῶν ἀγγέλων ὁμιλίαν, τὴν ἐπὶ τῆς οἰκουμένης ἀνάρρησιν, τὴν παρρησίαν, τὰς χρηστὰς καὶ ἀθανάτους ἐλπίδας ἐκείνας. ἀλλ' ἡ μίξις ἔχει τινὰ ἡδονήν (τοῦτο γὰρ συνεχῶς περιστρέφουσιν) ὁ δὲ σωφρονῶν οὐ δύναται διηνεκῶς μαχόμενος τῇ τῆς φύσεως τυραννίδι. τοὐναντίον μὲν οὖν εὕροι τις ἄν. ἡ γὰρ βία αὕτη καὶ ταραχὴ παρὰ τῷ πορνεύοντι μᾶλλόν ἐστι. καὶ γὰρ κλόνος ἐν τῷ σώματι πολὺς, καὶ πάσης θαλάττης κυματουμένης χαλεπώτερον οὗτος διάκειται, οὐδέποτε πρὸς τὴν ἐπιθυμίαν ἱστάμενος, ἀλλ' ἀεὶ βαλλόμενος ὑπ' αὐτῆς, ὥσπερ οἱ δαιμονῶντες, καὶ συνεχῶς ὑπὸ τῶν πονηρῶν καταρρηγνύμενοι πνευ-

μάτ.

χ. [illegible]

χ. ὑμῖν

χ. ἀνάμιξιν

μετὰ τό. ὁ δὲ σώφρων καθάπερ ἀριστεὺς γενναῖος συνεχῶς αὐτὴν βάλλων, τῆς ἀριστείας καὶ μυρίων τοιούτων ἡδονῶν καρποῦται ἡδονήν, τῇ νίκῃ ταύτῃ τῆς ἀρχῆς τῷ συνειδότι καὶ τοῖς λαμπροτέροις τροπαίοις καλλωπιζόμενος διηνεκῶς. εἰ δὲ μετὰ τὴν ὁμιλίαν ἀναπαύεται μικρὸν ἐκεῖνος, οὐδὲν τοῦτο ἂν εἴη. πάλιν γὰρ ὁ χειμὼν ἔπεισι, καὶ πάλιν κύματα. ὁ δὲ φιλοσοφῶν οὐδὲ ἀρχὴν ἀφίησι ταύτην λαβεῖν τὴν ταραχήν, οὐδὲ διαναστῆναι τὸ πέλαγος, οὐδὲ βοῆσαι τὸ θηρίον. εἰ δέ τινα βίαν ὑπομένοι κατέχων τὴν τοιαύτην ὁρμήν, ἀλλὰ τὸ ἐκεῖνον συνεχῶς βαλλόμενον καὶ κεντούμενον καὶ τὸν οἶστρον οὐ φέροντα, καὶ παρόμοιον γίνεται, ὥσπερ ἂν ἵππον ἄγριον μαινόμενον τὸ ἀντιτείνοντα ἀνέχοι τῷ χαλινῷ, καὶ κατέχοι μετὰ τέχνης ἁπάσης· ὁ δὲ ἐνδούς, ὥστε τὸν πόνον τοῦτον φυγεῖν, συρόμενος ὑπ' αὐτοῦ πανταχοῦ φέρεται *. ταῦτα εἰ καὶ σαφέστερον τοῦ δέοντος εἴρηται, μηδεὶς ἐγκαλείτω. οὐ γὰρ λόγων σεμνότητι καλλωπίζεσθαι βούλομαι, ἀλλὰ ποιῆσαι σεμνοὺς τοὺς ἀκούοντας. διὰ τοῦτο καὶ ὁ προφήτης οὐδενὸς τῶν τοιούτων φείδεται ῥημάτων, τὴν ἀκολασίαν τῶν Ἰουδαίων ἐκκόψαι βουλόμενος, ἀλλὰ καὶ γυμνότερον αὐτῶν καθικνοῦνται, ἢ ἡμεῖς νῦν ἐφ' οἷς εἰρήκαμεν. καὶ γὰρ ἰατρὸς σηπεδόνα ἐκβαλεῖν βουλόμενος, οὐ σκοπεῖ πῶς καθαρὰς διατηρήσει τὰς χεῖρας, ἀλλ' ὅπως ἐκεῖνον ἀπαλλάξειε τῆς σηπεδόνος· καὶ ὁ τὸν ταπεινὸν ὑψηλὸν ποιῆσαι θέλων, αὐτὸς ταπεινοῦται πρότερον· καὶ ὁ σφάξαι τὸν ἐπιβουλεύοντα σπουδάζων, καὶ ἑαυτὸν αἱμάσσει μετ' ἐκείνου, καὶ τοῦτο αὐτὸν ποιεῖ λαμπρότερον. ἐπεὶ καὶ στρατιώτην ἐπανελθόντα ἀπὸ τοῦ πολέμου ἂν ἴδοι τις ἰχῶρι καὶ αἵματι καὶ ἐγκεφάλῳ μεμολυσμένον, οὐ μισήσει, οὐδὲ ἀποστραφήσεται διὰ τοῦτο, ἀλλὰ καὶ θαυμάσεται μᾶλλον. οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν· ὅταν ἴδωμέν τινα μετὰ τὸ κατασφάξαι τὴν ἐπιθυμίαν ἡμαγμένον ἐπανιόντα, μᾶλλον αὐτὸν θαυμάζωμεν, καὶ κοινωνῶμεν τῆς μάχης καὶ τῆς νίκης αὐτῷ, καὶ πρὸς τοὺς ἐρῶντας λέγωμεν, δείξατε ἡμῖν τὴν ἐκ τῆς ἐπιθυμίας ἡδονήν. ὁ μὲν γὰρ σώφρων τὴν ἀπὸ τῆς νίκης ἔχει, σὺ δὲ οὐδαμόθεν. εἰ δὲ ὑμεῖς τὴν ἐκ τῆς ὁμιλίας λέγοιτε, ἀλλ' ἐκείνη σαφεστέρα καὶ διαρκεστέρα. σὺ γὰρ ἔχεις ἀπὸ τῆς ἀπολαύσεως βραχὺ καὶ μηδὲ φαινόμενον, ἐκεῖνος δὲ ἀπὸ τοῦ συνειδότος καὶ μείζονα καὶ διηνεκῆ καὶ γλυκυτέραν ἔχει τὴν εὐφροσύνην. οὐδὲ γὰρ οὕτως ὁμιλία γυναικός, ὡς φιλοσοφία ἀτάραχον δύναται τηρῆσαι ψυχὴν καὶ πτερῶσαι. τοῦτο μὲν οὖν, ὅπερ ἔφην, σαφῶς οὕτω δείκνυσιν ἡμῖν τὴν ἡδονὴν ἐπὶ δέ σου, τὴν μὲν ἀπὸ τῆς ἥττης ἀθυμίαν ὁρῶ, τὴν δὲ ἡδονὴν βουλόμενος ἰδεῖν, οὐχ εὑρίσκω. ποῖον γὰρ βούλει καιρὸν ἡδονῆς εἶναι; τὸν πρὸ τῆς μίξεως; ἀλλ' οὐκ ἔστι. μανίας γὰρ ἐστὶ καὶ παραφορᾶς καὶ ἐκστάσεως. τὸ γὰρ τοὺς ὀδόντας τρίζειν καὶ ὀξίσασθαι, οὐχ ἡδονῆς. εἰ δὲ ἡδονῆς ἦν, οὐκ ἂν αὐτά σε εἰργάσατο, ἃ τῶν ἀλγοῦντες ὑπομένουσι. καὶ γὰρ οἱ πυκτεύοντες καὶ πληττόμενοι, τοὺς ὀδόντας τρίζουσι, καὶ αἱ ὠδίνουσαι γυναῖκες διασπώμεναι τοῖς πόνοις, τὸ αὐτὸ τοῦτο ποιοῦσιν. ὥστε οὐχ ἡδονὴ τοῦτο, ἀλλ' ἔκστασις μᾶλλον, καὶ θόρυβος, καὶ ταραχή. ἀλλ' ὁ μετὰ ταῦτα καιρός; ἀλλ' οὐδὲ τοῦτο. οὐδὲ γὰρ τὴν τεκοῦσαν ἐν ἡδονῇ εἴποιμεν ἂν εἶναι, ἀλλ' ἐν ἀπαλλαγῇ πόνων. οὐ πάντως δὲ τοῦτο ἡδονή, ἀλλ' ἀσθένεια μᾶλλον καὶ ἔκλυσις. πολὺ δὲ τὸ μέσον ἑκατέρων τούτων ἐστί. ποῖος οὖν τῆς ἡδονῆς καιρός, εἰπέ μοι; οὐκ ἔστιν οὐδείς. εἰ δὲ καὶ ἔστιν, οὕτω βραχύς ἐστιν, ὡς μηδὲ φαίνεσθαι. μυρία οὖν φιλονεικήσαντες φωράσαι αὐτὸν καὶ κατασχεῖν, οὐκ ἠδυνήθημεν. ἀλλ' οὐχ ὁ τοῦ σώφρονος τοιοῦτος, ἀλλὰ πλατύς, καὶ πᾶσι κατάδηλος, μᾶλλον δὲ ἅπας ὁ βίος ἐν ἡδονῇ, τοῦ συνειδότος αὐτὸν στεφανουμένου, τῶν κυμάτων ἐστορεσμένων, οὐδενὸς οὐδαμόθεν ἐμποιοῦντος θόρυβον. ἐπεὶ οὖν οὗτος μᾶλλον ἐν ἡδονῇ, ὁ δὲ φιλήδονος ἐν ἀθυμίᾳ καὶ θορύβοις, φύγωμεν ἀκολασίαν, ἀντεχώμεθα σωφροσύνης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

* ἄγεται

γ. σήψεως

Λογ. λη. 1 ΓΝΩΡΙΖΩ ΔΕ ΥΜΙΝ, ΑΔΕΛΦΟΙ, ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, 2 δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν.

Απαρτίσας τὸν περὶ τῶν πνευματικῶν λόγον, ἐπὶ τὸ πάντων ἀναγκαιότατον μέτεισι, τὴν περὶ τῆς ἀναστάσεως ὑπόθεσιν. καὶ γὰρ ἐν τούτῳ σφόδρα ἐνόσουν. καὶ καθάπερ ἐπὶ τῶν σωμάτων, ὅταν αὐτῶν ἅπτηται* τῶν στερεῶν ὁ πυρετός, λέγω τῶν νεύρων καὶ τῶν φλεβῶν καὶ τῶν πρώτων στοιχείων, ἀνίατον γίνεται τὸ κακόν, ἂν μὴ πολλῆς ἀπολαύσῃ τῆς ἐπιμελείας· οὕτω δὴ καὶ τότε γενέσθαι ἐκινδύνευεν. ἐπὶ γὰρ αὐτὰ τῆς εὐσεβείας τὰ στοιχεῖα τὸ κακὸν ἐβάδιζε. διὸ καὶ πολλῇ τῇ σπουδῇ κέχρηται ὁ Παῦλος. οὐδὲ γὰρ περὶ βίου λοιπὸν ὁ λόγος ἦν αὐτῷ, οὐδ' ὅτι ὁ μὲν ἐπόρνευσεν, ὁ δὲ ἐπλεονέκτει, ὁ δὲ ἀκατακάλυπτον εἶχε τὴν κεφαλήν, ἀλλὰ περὶ αὐτοῦ τῶν ἀγαθῶν τὸ κεφάλαιον. περὶ γὰρ τὴν ἀνάστασιν αὐτὴν ἐστασίαζον. ἐπειδὴ γὰρ ἡ πᾶσα ἡμῶν ἐλπὶς αὕτη, πρὸς ταύτην σφοδρῶς ἵστατο ὁ διάβολος, καὶ ποτὲ μὲν ἀνῄρει καθάπαξ αὐτήν, ποτὲ δὲ ἔλεγεν ἤδη γεγενῆσθαι· ὃ καὶ Τιμοθέῳ γράφων ὁ Παῦλος γάγγραιναν ἐκάλει τὸ πονηρὸν τοῦτο δόγμα, καὶ τοὺς εἰσάγοντας αὐτὸ ἔστιζε λέγων, ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγενῆσθαι, καὶ ἀνατρέπουσι τὴν τινῶν πίστιν. ποτὲ μὲν οὖν οὕτως ἔλεγον, ποτὲ δὲ ὅτι τὸ σῶμα οὐκ ἀνίσταται, ἀλλ' ὁ τῆς ψυχῆς καθαρμός ἐστιν ἡ ἀνάστασις. ταῦτα δὲ ἔπειθε λέγειν ὁ πονηρὸς δαίμων ἐκεῖνος, οὐ τὴν ἀνάστασιν ἀνατρέψαι βουλόμενος μόνον, ἀλλὰ καὶ πάντα τὰ ὑπὲρ ἡμῶν γενόμενα ἅπαντα δεῖξαι μῦθον ὄντα. εἰ γὰρ ἐπείσθησαν μὴ εἶναι τῶν σωμάτων ἀνάστασιν, κατὰ μικρὸν αὐτοὺς ἔπειθε μηδὲ Χριστὸν ἐγηγέρθαι. ἀπὸ δὲ τούτου κἀκεῖνο εἰσήγαγεν ὁδῷ βαδίζων, τὸ μὴ παραγεγενῆσθαι, μηδὲ πεποιηκέναι ἅπερ ἐποίησε. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου κακουργία. διὸ καὶ μεθοδείαν αὐτὴν καλεῖ ὁ Παῦλος, ὅτι οὐκ ἐξ εὐθείας, ὃ βούλεται κατασκευάσαι, δείκνυσιν, ὥστε μὴ γενέσθαι κατάφωρος, ἀλλ' ἕτερον ἑαυτῷ περιτιθεὶς προσωπεῖον, ἕτερα τεκταίνει, καὶ καθάπερ πολέμιος καὶ κακοῦργος πόλει προσβαλὼν καὶ τείχεσι, κάτωθεν ὑπορύττει λανθάνων, ὥστε ταύτῃ γενέσθαι δυσφύλακτος, καὶ κατορθῶσαι ἅπερ ἐσπούδακε. διόπερ ἀεὶ τὰς τοιαύτας αὐτοῦ πάγας εὑρίσκων, καὶ τοὺς πονηροὺς τρόπους θηρῶν λόχους ὁ θαυμαστὸς οὗτος καὶ μέγας ἀνήρ, ἔλεγεν· Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. καὶ γὰρ ἐνταῦθα ὁλόκληρον ἀνακαλύπτει τὸν δόλον αὐτοῦ, καὶ πάντα δείκνυσι τὰ μηχανήματα, καὶ ὅσα βούλεται κατασκευάσαι προτίθησιν εἰς μέσον, μετὰ πολλῆς ἀκριβείας ἅπασιν ἐπιών. διὰ γὰρ τοῦτο καὶ ὕστερον τέθεικε τοῦτο τὸ κεφάλαιον τῶν ἄλλων, ἐπειδὴ καὶ σφόδρα ἀναγκαιότατον ἦν, καὶ τὰ ἡμέτερα συνεῖχεν ἅπαντα. καὶ σκόπει σύνεσιν. πρότερον γὰρ τοὺς οἰκείους ἀσφαλισάμενος, τότε ἐπεξέρχεται καὶ περαιτέρω τῷ λόγῳ, καὶ τοὺς ἔξωθεν ἐκ περιουσίας ἐπιστομίζει. ἀσφαλίζεται δὲ τοὺς οἰκείους, οὐκ ἀπὸ λογισμῶν, ἀλλ' ἀπὸ τῶν ἤδη γεγενημένων, καὶ ἅπερ αὐτοὶ κατεδέξαντο καὶ ἐπίστευσαν γεγενῆσθαι· ὃ μάλιστα ἦν ἐντρεπτικόν, καὶ ἱκανὸν αὐτοὺς κατασχεῖν. εἰ γὰρ ἠβουλήθησαν ἀπιστῆσαι μετὰ ταῦτα, οὐκέτι λοιπὸν τῷ Παύλῳ, ἀλλ' ἑαυτοῖς ἔμελλον ἀπιστεῖν· ὅπερ κατηγορία ἦν ἐκείνων τῶν ἅπαξ καταδεξαμένων, καὶ μεταθεμένων. διὰ δὴ τοῦτο καὶ ἐντεῦθεν ἄρχεται, δεικνὺς ὅτι οὐκ ἄλλων δεῖται μαρτύρων εἰς τὸ δεῖξαι, ὅτι τἀληθῆ λέγει, ἀλλ' αὐτῶν ἐκείνων τῶν ἠπατημένων. ἵνα δὲ ὃ λέγω σαφέστερον γένηται, αὐτῶν λοιπὸν ἀναγκαῖον ἀκοῦσαι τῶν ῥημάτων. τίνα οὖν ταῦτά ἐστι; Γνωρίζω ὑμῖν, ἀδελφοί, φησι, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν. εἶδες μεθ' ὅσης ἐπιεικείας ἄρχεται;

* λοιπ

β. Τιμ. β. ιζ.

β. Κορ. β. ια.

ἄρχεται; εἶδες πῶς ἀπὸ τῆς ἀρχῆς ἔδειξεν, ὅτι οὐδὲν καινὸν εἰσάγει, οὐδὲ ξένον; ὁ γὰρ γνωρίζων τὸ ἤδη γνωσθὲν, εἶτα εἰς λήθην ἐμπεσὸν, γνωρίζει πάλιν εἰς μνήμην ἄγων. καλέσας δὲ ἀδελφοὺς, οὐ μικρὰν καὶ ἐντεῦθεν προκατεβάλετο τῶν λεγομένων τὴν ἀπόδειξιν. ἀδελφοὶ γὰρ οὐδαμόθεν ἐγενόμεθα, ἀλλ' ἢ ἀπὸ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ οἰκονομίας. διὸ δὴ καὶ οὕτως αὐτοὺς ἐκάλεσεν, ὁμοῦ μὲν καταπραΰνων καὶ θεραπεύων, ὁμοῦ δὲ τῶν μυρίων ἀγαθῶν ἀναμιμνήσκων. καὶ τὸ ἑξῆς πάλιν τοῦ αὐτοῦ κατασκευαστικόν. ποῖον δὴ τοῦτο; τὸ εὐαγγέλιον. τῶν γὰρ εὐαγγελίων τὸ κεφάλαιον ἐντεῦθεν ἔχει τὴν ἀρχὴν, ἀπὸ τοῦ τὸν Θεὸν γενέσθαι ἄνθρωπον, καὶ σταυρωθῆναι, καὶ ἀναστῆναι. τοῦτο καὶ ὁ Γαβριὴλ εὐηγγελίζετο τῇ παρθένῳ, τοῦτο καὶ οἱ προφῆται τῇ οἰκουμένῃ, τοῦτο καὶ οἱ ἀπόστολοι ἅπαντες. Ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε,

2 Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῆ ἐπιστεύσατε. Εἶδες πῶς αὐτοὺς καλεῖ μάρτυρας τῶν εἰρημένων; καὶ οὐ λέγει, ὃ ἠκούσατε, ἀλλ', ὃ παρελάβετε, ὥσπερ τινὰ παρακαταθήκην αὐτοὺς ἀπαιτῶν. καὶ δηλοῖ ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ δι' ἔργων καὶ σημείων καὶ θαυμάτων αὐτὸ παρέλαβον, καὶ ἵνα κατέχωσι μετὰ ἀσφαλείας. εἶτα ἐπειδὴ τὰ παλαιὰ ἔλεγε, καὶ τὸν παρελθόντα ἐπέστησε χρόνον εἰπὼν, ἐν ᾧ καὶ ἑστήκατε, προκαταλαμβάνων αὐτοὺς, ὡς μηδὲ, εἰ σφόδρα βουληθεῖεν, ἀρνήσασθαι δυνηθῆναι. διὸ καὶ ἀρχόμενος οὐκ εἶπε, διδάσκω ὑμᾶς, ἀλλὰ, γνωρίζω ὑμῖν τὸ ἤδη δῆλον γενόμενον. καὶ πῶς οὐ σαλευομένους ἑστάναι φησί; προσποιεῖται ἄγνοιαν συμφερόντως, ὅπερ καὶ ἐπὶ Γαλατῶν ποιεῖ, ἀλλ' οὐχ ὁμοίως. ἐπειδὴ γὰρ οὐκ ἦν ἄγνοιαν ἐκεῖ προσποιήσασθαι, ἑτέρως μεθοδεύει τὸν λόγον λέγων, Πέποιθα δὲ εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. Γαλατ. ε. ι. οὐκ εἶπεν, ὅτι οὐδὲν ἄλλο ἐφρονήσατε, ἐπειδὴ ὡμολογημένον ἦν αὐτῶν τὸ παράπτωμα καὶ κατάδηλον, ἀλλὰ τὸ μέλλον ἐγγυᾶται· καίτοι καὶ τοῦτο ἄδηλον· ἀλλ' ἵνα αὐτοὺς ἐφελκύσηται μειζόνως. ἐνταῦθα μέντοι καὶ προσποιεῖται ἄγνοιαν, λέγων, ἐν ᾧ καὶ ἑστήκατε. εἶτα τὸ κέρδος, δι' οὗ καὶ σώζεσθε. τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν. ὥστε σαφηνείας ἐστὶν ἡ διδασκαλία αὕτη νῦν, καὶ ἑρμηνείας. οὐ γὰρ αὐτοὺς δεῖσθαι τὸ δόγμα, φησὶ, μαθεῖν, ἀλλ' ὑπομνησθῆναι, καὶ διορθωθῆναι. ταῦτα δὲ λέγει, οὐκ ἀφιεὶς αὐτοὺς ἀναισχυντῆσαι καθάπαξ. τί δέ ἐστι, τίνι λόγῳ εὐηγγελισάμην; ποίῳ τρόπῳ εἶπον, φησι, τὴν ἀνάστασιν γίνεσθαι. ὅτι μὲν γὰρ ἔστιν ἀνάστασις, οὐκ ἂν φαίην ὑμᾶς ἀμφιβάλλειν· ζητεῖτε δὲ ἴσως μαθεῖν σαφέστερον τὸ εἰρημένον. τοῦτο δὴ καὶ ποιήσω. καὶ γὰρ οἶδα σαφῶς, ὅτι τὸ δόγμα κατέχετε. εἶτα ἐπειδὴ ἀποφαινόμενος ἔλεγεν, ἐν ᾧ καὶ ἑστήκατε, ἵνα μὴ ταύτῃ ῥαθυμοτέρους ποιήσῃ, φοβεῖ πάλιν αὐτοὺς λέγων, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῆ ἐπιστεύσατε, δεικνὺς ὅτι περὶ τὸ κεφάλαιον ἡ πληγὴ, καὶ οὐχ ὑπὲρ τῶν τυχόντων ὁ ἀγὼν, ἀλλ' ὑπὲρ ὁλοκλήρου τῆς πίστεως. καὶ νῦν μὲν ὑπεσταλμένως αὐτό φησι, προϊὼν δὲ καὶ διαθερμαινόμενος, γυμνῇ λοιπὸν τῇ κεφαλῇ βοᾷ καὶ λέγει, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἀλλ' ἐν προοιμίοις οὐχ οὕτως. οὕτω γὰρ χρήσιμον ἦν ἠρέμα καὶ κατὰ μικρὸν προϊέναι.

3 Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον. Οὐ λέγει οὐδὲ ἐνταῦθα ὅτι εἶπον ὑμῖν, οὐδὲ ἐδίδαξα ὑμᾶς, ἀλλὰ τῇ αὐτῇ κέχρηται λέξει πάλιν, παρέδωκα ὑμῖν, λέγων, ὃ καὶ παρέλαβον [οὐδὲ ἐνταῦθα ἐμὲ διδαχθῆναί, φησιν, ἀλλὰ παρέλαβον] δύο ταῦτα κατασκευάζων, ὅτι τε οὐδὲν οἴκοθεν ἐπεισάγειν δεῖ, καὶ ὅτι μετὰ ἀποδείξεως τῆς διὰ τῶν ἔργων ἐπληροφορήθησαν, οὐ λόγοις ψιλοῖς. καὶ κατὰ μικρὸν ἀξιόπιστον τὸν λόγον ποιῶν, τὸ πρᾶγμα εἰς τὸν Χριστὸν ἀνάγει, καὶ δείκνυσιν οὐδὲν τούτων ἀνθρώπινον ὂν τῶν δογμάτων. τί δέ ἐστι, παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, φησίν; ἐξ ἀρχῆς, οὐ νῦν. ταῦτα δὲ λέγει τὸν χρόνον παράγων μάρτυρα, καὶ ὅτι ἐσχάτης ἦν αἰσχύνης τοσοῦτον χρόνον πεισθέντας νῦν μετατίθεσθαι· καὶ οὐ

τοῦτο μόνον, ἀλλὰ ὅτι καὶ ἀναγκαῖον τὸ δόγμα. διὸ καὶ ἐν πρώτοις παρεδόθη, καὶ ἐκ προοιμίων εὐθέως. καὶ τί παρέδωκας, εἰπέ μοι; ἀλλ' οὐ λέγει τοῦτο εὐθέως, ἀλλὰ πρῶτον, ὅτι παρέλαβον. καὶ τί παρέλαβες; Ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Οὐκ εἶπεν εὐθέως, ὅτι ἀνάστασίς ἐστι τῶν σωμάτων ἡμῶν, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο κατασκευάζει, πόρρωθεν δὲ καὶ δι' ἑτέρων, λέγων ὅτι Χριστὸς ἀπέθανε, καὶ μεγάλην τινὰ κρηπῖδα καὶ θεμέλιον ἄρραγῆ προκαταβαλλόμενος τοῦ περὶ τῆς ἀναστάσεως λόγου. οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι ἀπέθανεν ὁ Χριστὸς (καίτοι καὶ τοῦτο ἀρκοῦν δηλῶσαι τὴν ἀνάστασιν) ἀλλὰ μετὰ προσθήκης, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. πρότερον δὲ ἄξιον ἀκοῦσαι τί λέγουσιν ἐνταῦθα οἱ τὰ Μανιχαίων νοσοῦντες, καὶ τῆς ἀληθείας ἐχθροὶ, καὶ τῇ οἰκείᾳ πολεμοῦντες σωτηρίᾳ. τί οὖν οὗτοι λέγουσι; θάνατον ἐνταῦθα, φησὶν, οὐδὲν ἄλλο λέγει ὁ Παῦλος, ἢ τὸ ἐν ἁμαρτίᾳ γενέσθαι, καὶ ἀνάστασιν τὸ τῶν ἁμαρτιῶν ἀπαλλαγῆναι. εἶδες πῶς οὐδὲν πλάνης ἀσθενέστερον; καὶ πῶς τοῖς οἰκείοις ἁλίσκεται πτεροῖς, καὶ οὐ δεῖται τῆς ἔξωθεν μάχης, ἀλλ' ἑαυτῇ περιπείρεται; σκόπει γοῦν καὶ οὗτοι πῶς ἑαυτοὺς διέπειραν, δι' ὧν εἰρήκασιν. εἰ γὰρ τοῦτο θάνατος, σῶμα δὲ οὐκ ἔλαβε καθ' ὑμᾶς ὁ Χριστὸς, ἀπέθανε δὲ, ἐν ἁμαρτίᾳ ἐγένετο καθ' ὑμᾶς. ἐγὼ μὲν γὰρ λέγω, ὅτι σῶμα ἀνέλαβε, καὶ τὸν θάνατον τῆς σαρκὸς εἶναι φημί· σὺ δὲ τοῦτο ἀρνούμενος, ἐκεῖνο ἀναγκασθήσῃ λέγειν. εἰ

Ιωαν. η. μϛ. ιδ. λ. Ματθ. γ. ιε.

δὲ ἐν ἁμαρτίᾳ ἐγένετο, πῶς φησι, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ, Ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν; καὶ πάλιν, Οὕτω πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. πῶς δὲ ὅλως ὑπὲρ ἁμαρτωλῶν ἀπέθανεν, εἴγε αὐτὸς ἐν ἁμαρτίαις ἦν; τὸν γὰρ ὑπὲρ ἁμαρτωλῶν ἀποθνήσκοντα, αὐτὸν ἀναμάρτητον δεῖ εἶναι. ἐπεὶ εἰ καὶ αὐτὸς ἁμαρτάνει, πῶς ὑπὲρ ἄλλων ἁμαρτωλῶν ἀποθανεῖται; εἰ δὲ ὑπὲρ ἁμαρτιῶν ἄλλων ἀπέθανεν, ἀναμάρτητος ὢν ἀπέθανεν· εἰ δὲ ἀναμάρτητος ὢν ἀπέθανεν, οὐ τὸν τῆς ἁμαρτίας θάνατον (πῶς γὰρ, ὅτε ἀναμάρτητος;) ἀλλὰ τὸν τοῦ σώματος. * διὸ καὶ ὁ Παῦλος οὐχ ἁπλῶς εἶπεν, ἀπέθανεν, ἀλλὰ προσέθηκεν, ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἄκοντας ἐκείνους ἐμβαλὼν εἰς τὸ ὁμολογῆσαι τὸν σωματικὸν θάνατον, καὶ δεικνὺς διὰ τούτου, ὅτι καὶ πρὸ τοῦ θανάτου ἀναμάρτητος ἦν. τὸν γὰρ ὑπὲρ ἁμαρτιῶν ἀλλοτρίων ἀποθνήσκοντα, αὐτὸν ἀναμάρτητον εἶναι ἀκόλουθον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, Κατὰ τὰς γραφάς, Καὶ ἐντεῦθεν ἀξιόπιστον πάλιν ποιῶν τὸν λόγον, καὶ δηλῶν ποῖον θάνατον λέγει.

ἢ ἤτοι ἀπέθανε τὸν θάνατον ἢ τοῦτο εἶναι τὴν ἁμαρτίαν τῷ σώματι.

Ψαλμ. κα. ιη. Ζαχ. ιβ. ι.

καὶ γὰρ αἱ γραφαὶ τὸν τοῦ σώματος ἀναγορεύουσι πολλαχοῦ. Ὤρυξάν γάρ μου χεῖρας καὶ πόδας, φησὶ καὶ, Ὄψονται εἰς ὃν ἐξεκέντησαν. καὶ πολλὰ δὲ ἕτερα, ἵνα μὴ πάντα καθ' ἓν λέγωμεν, τὰ μὲν διὰ ῥημάτων, τὰ δὲ διὰ τύπων ἐστὶν ἐν αὐταῖς κείμενα ἰδεῖν δηλοῦντα τῆς σαρκὸς τὴν σφαγὴν, καὶ ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἐσφάγη.

Ησ. νγ. ε. καὶ ϛ.

Ὑπὲρ γὰρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου, φησὶν, ἥκει εἰς θάνατον· καὶ, Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ, Ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν. εἰ δὲ οὐκ ἀνέχῃ τῆς παλαιᾶς, ἄκουσον Ἰωάννου βοῶντος, καὶ

Ιωαν. α. κθ. β. Κορ. ε. κα.

ἀμφότερα δηλοῦντος, καὶ τὴν τοῦ σώματος σφαγὴν, καὶ τὴν αἰτίαν· Ἴδε γὰρ, φησὶν, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ Παύλου λέγοντος, Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα Θεοῦ δικαιοσύνη ἐν αὐτῷ. καὶ πάλιν,

Γαλατ. γ. ιγ. Κολασσ. β. ιε.

Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. καὶ πάλιν, Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισε θριαμβεύσας, καὶ μυρία ἕτερα πλείονα δηλοῦντα τὰ κατὰ τὴν σφαγὴν τοῦ σώματος γενόμενα, καὶ διὰ τὰς ἁμαρτίας

Ιωαν. ιζ. ιθ. Ιωαν. ιϛ. ια.

ἡμῶν. καὶ γὰρ αὐτός φησιν, Ὑπὲρ ὑμῶν ἁγιάζω ἐμαυτόν· καὶ, Ὁ ἄρχων τοῦ κόσμου τούτου κατακέκριται νῦν, δηλῶν ὅτι οὐκ ἔχων ἁμαρτίαν ἐσφάγη.

4 Καὶ ὅτι ἐτάφη. Καὶ τοῦτο δὲ τῶν προτέρων κατασκευαστικόν. ὁ γὰρ θαπτόμενον, πάντως σῶμά ἐστι. καὶ ἐνταῦθα οὐκέτι προστίθησι, κατὰ τὰς γραφάς. εἶχε μὲν γὰρ, πλὴν

πλὴν οὐ προστίθησι. τίνος ἕνεκεν; ἢ ὅτι ὁ τάφος ἅπασι δῆλος καὶ τότε καὶ νῦν· ἢ ὅτι κατὰ κοινοῦ κεῖται τὸ, κατὰ τὰς γραφάς. τίνος οὖν ἕνεκεν ἐνταῦθα προστίθησι τὸ, κατὰ τὰς γραφάς

(Καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς) Καὶ οὐκ ἀρκεῖται τῷ προτέρῳ τῷ κατὰ κοινοῦ εἰρημένῳ; ὅτι καὶ τοῦτο τοῖς πολλοῖς ἄδηλον ἦν. διὸ καὶ ἐνταῦθα τὰς γραφὰς παράγει ἐμπνευσθεὶς, * τοῦτο ἐννοήσας τὸ σοφὸν καὶ θεῖον νόημα. πῶς οὖν καὶ ἐπὶ τοῦ θανάτου τὸ αὐτὸ ποιεῖ; ὅτι κἀκεῖ ὁ μὲν σταυρὸς πᾶσι καταδήλος ἦν, καὶ πάντων ὁρώντων ἀνεσκολοπίζετο· ἡ δὲ αἰτία, οὐκέτι ὁμοίως. ὅτι μὲν γὰρ ἀπέθανε, πάντες ᾔδεισαν· ὅτι δὲ ὑπὲρ τῶν ἁμαρτιῶν τῆς οἰκουμένης τοῦτο ἔπαθεν, οὐκέτι ὁμοίως ἠπίσταντο οἱ πολλοί. διὸ τὴν ἀπὸ τῶν γραφῶν μαρτυρίαν παράγει. ἀλλὰ τοῦτο μὲν ἱκανῶς ἀποδέδεικται διὰ τῶν εἰρημένων ἡμῖν· ποῦ δὲ ὅτι ἐτάφη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται εἰρήκασιν αἱ γραφαί; διὰ τοῦ κατὰ τὸν Ἰωνᾶν τύπου, ὃν καὶ αὐτὸς παράγει λέγων· Ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. διὰ τοῦ βάτου τοῦ ἐν τῇ ἐρήμῳ. ὥσπερ γὰρ ἐκεῖνος ἐκαίετο, καὶ οὐ κατεκαίετο, οὕτω καὶ τὸ σῶμα ἐκεῖνο ἀπέθανε μὲν, οὐ κατεσχέθη δὲ ὑπὸ τοῦ θανάτου διηνεκῶς. καὶ ὁ δράκων δὲ ὁ ἐπὶ τοῦ Δανιὴλ τοῦτο αἰνίττεται. καθάπερ γὰρ ἐκεῖνος λαβὼν τὴν τροφὴν, ἣν ἔδωκεν ὁ προφήτης, μέσος ἐῤῥάγη· οὕτω καὶ ὁ ᾅδης, καταπιὼν τὸ σῶμα ἐκεῖνο, διεσχίσθη, τοῦ σώματος αὐτοῦ διατεμόντος αὐτῷ τὴν νηδὺν, καὶ ἀναστάντος. εἰ δὲ καὶ διὰ ῥημάτων θέλεις ἀκοῦσαι ταῦτα, ἃ διὰ τῶν τύπων εἶδες, ἄκουσον τοῦ Ἡσαΐου λέγοντος, ὅτι Αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, καὶ, Κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς· καὶ τοῦ Δαβὶδ πρὸ ἐκείνου, Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. διὰ τοῦτό σε καὶ ὁ Παῦλος παραπέμπει εἰς τὰς γραφὰς, ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ ταῦτα ἐγένετο. πῶς γὰρ, τοσούτων προφητῶν προδιαγραφόντων αὐτὰ καὶ ἀνακηρυττόντων, [ὅτι] οὐδαμοῦ ἡ γραφὴ τὸν τῆς ἁμαρτίας θάνατον λέγει, τοῦ διαβολικοῦ μεμνημένη θανάτου, ἀλλὰ τὸν σωματικὸν, καὶ ταφὴν καὶ ἀνάστασιν τοιαύτην;

5 Καὶ ὅτι ὤφθη Κηφᾷ. Εὐθέως τὸν πάντων ἀξιοπιστότερον τίθησιν. Ἔπειτα τοῖς δώδεκα·

6 Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν·

7 Ἔπειτα Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν·

8 Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. Ἐπειδὴ γὰρ τὴν ἀπὸ τῶν γραφῶν ἀπόδειξιν εἶπε, προστίθησι καὶ τὴν διὰ τῶν πραγμάτων, μάρτυρας παράγων τῆς ἀναστάσεως μετὰ τοὺς προφήτας τοὺς ἀποστόλους καὶ ἑτέρους πιστοὺς ἀνθρώπους. εἰ δὲ τὴν ἀνάστασιν ἐκείνην ἔλεγε τὴν τῆς ἁμαρτίας ἀπαλλαγὴν, περιττῶς ἔλεγεν, ὤφθη τῷ δεῖνι, καὶ τῷ δεῖνι. τοῦτο γὰρ πιστουμένου τὴν τοῦ σώματος ἀνάστασίν ἐστιν, οὐχ ἁμαρτημάτων ἀπαλλαγὴν αἰνιττομένου. διὸ οὐδὲ ἅπαξ εἶπε τὸ, ὤφθη, καίτοιγε ἤρκει κατὰ κοινοῦ τεθεῖσα ἡ λέξις· νῦν δὲ καὶ δὶς καὶ τρὶς καὶ ἐφ' ἑκάστῳ σχεδὸν τῶν ἑωρακότων αὐτὴν τίθησιν. ὤφθη γάρ, φησι, Κηφᾷ, ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς, ὤφθη κἀμοί. καὶ μὴν τὸ εὐαγγέλιον τοὐναντίον λέγει, ὅτι τῇ Μαρίᾳ πρώτῃ· ἀλλ' ἐν ἀνδράσι τούτῳ πρώτῳ, ᾧ μάλιστα αὐτὸν ἐπόθουν ἰδεῖν. ποίοις δὲ δώδεκα ἐνταῦθά φησιν ἀποστόλοις; μετὰ γὰρ τὴν ἀνάληψιν ὁ Ματθίας κατελέγη, οὐ μετὰ τὴν ἀνάστασιν εὐθέως. ἀλλ' εἰκὸς αὐτὸν καὶ μετὰ τὴν ἀνάληψιν ὦφθαι. αὐτὸς γοῦν οὗτος ὁ ἀπόστολος μετὰ τὴν ἀνάληψιν καὶ ἐκλήθη, καὶ εἶδεν αὐτόν. διὰ τοῦτο οὐδὲ τὸν καιρὸν τίθησιν, ἀλλ' ἁπλῶς καὶ ἀδιορίστως καταλέγει τὰς ὄψεις. καὶ γὰρ εἰκὸς πολλὰς γεγενῆσθαι, διὸ καὶ ὁ Ἰωάννης ἔλεγε, Τρίτον τοῦτο ἐφανέρωσεν ἑαυτόν. ἔ-

Marginal notes: * ἢ (beside "τοῦτο ἐννοήσας"); Ματθ. ιβ. μ. (beside "Ὥσπερ ἦν Ἰωνᾶς"); Ησ. νγ. η. (beside "Αἴρεται ἀπὸ τῆς γῆς"); Ψαλ. ιε. ι. (beside "Οὐκ ἐγκαταλείψεις"); Ιωαν. κα. α. (beside "Τρίτον τοῦτο ἐφανέρωσεν")

πειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς. τινὲς δὲ ἐπάνω, ″ ἄνω ἐκ τῶν οὐρανῶν εἶναί φασιν. οὐ γὰρ ἐπὶ γῆς βαδίζων, ἀλλ᾽ ἄνω, καὶ ὑπὲρ κεφαλῆς αὐτοῖς ὤφθη. καὶ γὰρ οὐχὶ τὴν ἀνάστασιν πιστώσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τὴν ἀνάληψιν. τινὲς δὲ λέγουσι τό, ἐπάνω πεντακοσίοις, τοῖς πλείοσιν ἢ πεντακοσίοις· ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι. εἰ γὰρ καὶ παλαιὰ διηγοῦμαι πράγματα, φησίν, ἀλλ᾽ ἔχω μάρτυρας ἔτι ζῶντας. τινὲς δὲ καὶ ἐκοιμήθησαν. οὐκ εἶπεν, ἀπέθανον, ἀλλ᾽, ἐκοιμήθησαν, καὶ ταύτῃ τῇ λέξει πάλιν τὴν ἀνάστασιν βεβαιῶν. ἔπειτα ὤφθη Ἰακώβῳ. ἐμοὶ δοκεῖ, τῷ ἀδελφῷ τῷ ἑαυτοῦ. αὐτὸς γὰρ αὐτὸν λέγεται κεχειροτονηκέναι, καὶ ἐπίσκοπον ἐν Ἱεροσολύμοις πεποιηκέναι πρῶτον. εἶτα τοῖς ἀποστόλοις πᾶσιν. ἦσαν γὰρ καὶ ἄλλοι ἀπόστολοι, ὡς οἱ ἑβδομήκοντα. ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. τοῦτο μετριοφροσύνης μᾶλλόν ἐστι τὸ ῥῆμα. οὐδὲ γὰρ ἐπειδὴ ἐλάχιστος ἦν, διὰ τοῦτο μετὰ τοὺς ἄλλους αὐτῷ ὤφθη. ἐπεὶ καὶ ἔσχατον ἐκάλεσε, πολλῶν τῶν πρὸ αὐτοῦ, μᾶλλον δὲ πάντων λαμπρότερος ὤφθη· καὶ οἱ πεντακόσιοι δὲ ἀδελφοὶ οὐ δήπου Ἰακώβου βελτίους ἦσαν, ἐπειδὴ πρὸ ἐκείνου αὐτοῖς ὤφθη. καὶ διὰ τί οὐχ ὁμοῦ πᾶσιν ἑωρᾶτο; ἵνα προκαταβάλῃ τῆς πίστεως τὰ σπέρματα. ὁ γὰρ πρῶτος ἰδὼν καὶ ἀκριβῶς πληροφορηθείς, τοῖς ἄλλοις ἀπήγγελλεν· εἶτα ὁ λόγος προφθάνων, ἐν προσδοκίᾳ καθίστη τοῦ μεγάλου τούτου θαύματος τὸν ἀκούοντα, καὶ προωδοποίει τῇ τῆς ὄψεως πίστει. διὰ τοῦτο οὔτε ὁμοῦ πᾶσιν ὤφθη, οὔτε ἐν ἀρχῇ πλείοσιν, ἀλλ᾽ ἑνὶ μόνῳ πρῶτον, καὶ τούτῳ τῷ κορυφαίῳ πάντων καὶ πιστοτάτῳ. καὶ γὰρ πιστοτάτης ἔδει ψυχῆς σφόδρα τῆς πρώτης δεχομένης ταύτην τὴν ὄψιν. οἱ μὲν γὰρ, μετὰ τὸ ἑτέρους ἰδεῖν καὶ ἀκοῦσαι, πρὶν ἢ αὐτοὶ βλέποντες, εἶχον οὐ μικρὰν συντελοῦσαν εἰς τὴν πίστιν αὐτοῖς τὴν ἐκείνων μαρτυρίαν, καὶ προπαρασκευάζουσαν αὐτῶν τὴν διάνοιαν· ὁ δὲ πρῶτος καταξιωθεὶς τοῦτο ἰδεῖν, πολλῆς, ὅπερ ἔφθην εἰπών, ἐδεῖτο τῆς πίστεως, ὥστε μὴ θορυβηθῆναι τῷ παραδόξῳ τῆς θέας. διὰ τοῦτο Πέτρῳ φαίνεται πρῶτον. ὁ γὰρ πρῶτος αὐτὸν ὁμολογήσας Χριστόν, εἰκότως καὶ τὴν ἀνάστασιν ἠξιώθη πρῶτος ἰδεῖν. οὐ διὰ τοῦτο δὲ φαίνεται πρώτῳ μόνῳ, ἀλλ᾽, ἐπειδὴ καὶ ἀρνησάμενος ἦν, ἐκ περιουσίας αὐτὸν παρακαλῶν καὶ δεικνὺς ὅτι οὐκ ἀπέγνωσται, πρὸ τῶν ἄλλων καὶ τῆς ὄψεως αὐτὸν ταύτης κατηξίωσε, καὶ πρώτῳ τὰ πρόβατα ἐνεχείρισε. διὰ τοῦτο καὶ γυναιξὶν ἐφάνη πρώταις. ἐπειδὴ τὸ γένος ἠλάττωτο τοῦτο, διὰ τοῦτο καὶ ἐν τῇ γεννήσει καὶ ἐν τῇ ἀναστάσει πρώτη αὐτὴ αἰσθάνεται τῆς χάριτος. μετὰ δὲ Πέτρον καὶ διεσπαρμένως ἑκάστῳ φαίνεται, καὶ ποτὲ μὲν ἐλάττοσι, ποτὲ δὲ πλείοσιν, ἀλλήλων αὐτοὺς μάρτυρας καὶ διδασκάλους ἐν τούτῳ ποιῶν, καὶ τοὺς ἀποστόλους ἀξιοπίστους κατασκευάζων, ἐν οἷς ἔλεγον. ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. τί βούλεται αὐτῷ ἐνταῦθα τῆς ταπεινοφροσύνης τὰ ῥήματα; ἢ ποῖον ἔχει καιρόν; εἰ γὰρ ἀξιόπιστον ἑαυτὸν ″ ἀποφῆναι βούλεται καὶ ἐγκαταλέξαι τοῖς μάρτυσι τῆς ἀναστάσεως, τοὐναντίον ″ ἢ βούλεται ποιεῖ. ἐπᾶραι γὰρ ἑαυτὸν ἔδει καὶ δεῖξαι μέγαν ὄντα, ὃ πολλαχοῦ ποιεῖ καιροῦ καλοῦντος αὐτόν. διὰ τοῦτο γὰρ καὶ ἐνταῦθα μετριάζει, ἐπειδὴ τοῦτο μέλλει ποιεῖν· ἀλλ᾽ οὐκ εὐθέως, ἀλλὰ μετὰ τῆς αὐτῷ πρεπούσης συνέσεως. πρότερον γὰρ μετριάσας καὶ κατηγορίας ἑαυτοῦ συμφορήσας πολλάς, τότε τὰ καθ᾽ ἑαυτὸν σεμνύνει. τί δήποτε; ἵν᾽, ὅταν δὲ μέγα καὶ ὑψηλὸν ἐκεῖνο περὶ ἑαυτοῦ φθέγξηται, τό, περισσότερον πάντων ἐκοπίασα, εὐπαράδεκτος ὁ λόγος γένηται ταύτῃ, καὶ τῷ ὡς ἐξ ἀκολουθίας τινός, ἀλλὰ μὴ προηγουμένως εἰρῆσθαι. διὰ τοῦτο καὶ Τιμοθέῳ γράφων, καὶ μέλλων λέγειν μεγάλα περὶ ἑαυτοῦ, πρότερον τὰ κατηγορήματα αὐτοῦ τίθησι. καὶ γὰρ ὁ μὲν περὶ ἄλλων τι μέγα λέγων, ἀδεῶς φθέγγεται καὶ μετὰ παρρησίας· ὁ δὲ ἑαυτὸν ἀναγκαζόμενος ἐπαινεῖν, καὶ μάλιστα ὅταν καὶ μάρτυρα ἑαυτὸν καλῇ, αἰσχύνεται καὶ ἐρυθριᾷ. διὰ δὴ τοῦτο καὶ ὁ μακάριος οὗτος πρότερον ἑαυτὸν ταλανίζει, καὶ τότε δὲ μέγα ἐκεῖνο φθέγγεται. ποιεῖ δὴ τοῦτο, τό τε ἐπαχθὲς τῆς ″ περιαυτολογίας ὑποτεμνόμενος, καὶ τὰ μετὰ ταῦτα ῥηθησόμενα ἀξιόπιστα ἐντεῦθεν ποιῶν. ὁ

γὰρ

χ. ἄνω

ἴσ. μικρὰν

χ. ἢ

χ. ἰδίων ποιεῖν

χ. περιαυτολογίας

γὰρ μετ' ἀληθείας τὰ ἐπονείδιστα θεὶς, καὶ μηδὲν αὐτῶν ἀποκρυψάμενος, δῆλον ὅτι τὴν ἐκκλησίαν ἐδίωξεν, ὅτι τὴν πίστιν ἐπόρθησε, καὶ τὰ σεμνὰ ἐντεῦθεν ἀξιόπιστα ποιεῖ. καὶ σκόπει ταπεινοφροσύνης ὑπερβολήν. Εἰπὼν γὰρ, ἔσχατον δὲ πάντων ἐμοὶ ὤφθη, οὐκ ἠρκέσθη τούτῳ. Πολλοὶ γὰρ ἔσχατοι πρῶτοι, φησὶ, καὶ πρῶτοι ἔσχατοι. Διὰ τοῦτο προσέθηκεν, ὡσπερεὶ τῷ ἐκτρώματι. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ τὴν οἰκείαν κρίσιν προστίθησι καὶ μετ' αἰτίας λέγων, Ματθ. ιθ. λ.

9 Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. Καὶ οὐκ εἶπε τῶν δώδεκα μόνων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων. Ταῦτα δὲ πάντα ὁμοῦ μὲν μετριάζων ἔλεγεν, ὁμοῦ δὲ καὶ οὕτω διακείμενος, ὅπερ ἔφην, καὶ τὸ μέλλον ῥηθήσεσθαι προδιοικούμενος καὶ ἀξιοπιστότερον μᾶλλον ποιῶν. Εἰ μὲν γὰρ προελθὼν εἶπεν, ὀφείλετέ μοι πιστεῦσαι, ὅτι ἀνέστη ὁ Χριστὸς, εἶδον γὰρ αὐτὸν, καὶ πάντων ἀξιοπιστότερός εἰμι, ἅτε πλέον καμὼν, κἂν προσέστη τοῖς ἀκούουσι τὸ λεγόμενον· νυνὶ δὲ τοῖς ταπεινοῖς ἐνσχηματίσας πρότερον καὶ τοῖς κατηγορίαν ἔχουσι, τό τε τραχὺ τῆς τοιαύτης διηγήσεως ὑπετέμνετο, καὶ τῇ πίστει τῆς μαρτυρίας προωδοποίησε. διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς, ὅπερ ἔφην, ἀποφαίνεται ἔσχατον ἑαυτὸν εἶναι, καὶ τῆς προσηγορίας τῶν ἀποστόλων ἀνάξιον, ἀλλὰ καὶ τὴν αἰτίαν τίθησι λέγων, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν. καὶ μὴν ἀφείθη πάντα ἐκεῖνα, ἀλλ' ὅμως αὐτὸς οὐδέποτε αὐτῶν ἐπιλέλησται, τὸ μέγεθος τῆς χάριτος δεῖξαι βουλόμενος. διὸ καὶ ἐπάγει λέγων,

10 Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι. Εἶδες πάλιν ἑτέρας ταπεινοφροσύνης ὑπερβολήν; τὰ μὲν γὰρ ἐλαττώματα ἑαυτῷ λογίζεται· τῶν δὲ κατορθωμάτων οὐδὲν, ἀλλὰ πάντα ἀνατίθησι τῷ Θεῷ. Εἶτα, ἵνα μὴ τὸν ἀκροατὴν ἐντεῦθεν ὕπτιον ποιήσῃ, φησί,

Καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ γέγονε. Καὶ τοῦτο πάλιν ὑπεσταλμένως. οὐ γὰρ εἶπεν, ἀξίαν τῆς χάριτος ἐπεδειξάμην σπουδὴν, ἀλλ' ὅτι οὐ κενὴ γέγονεν.

Ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα. Οὐκ εἶπεν, ἐτιμήθην, ἀλλ', ἐκοπίασα, καὶ κινδύνους καὶ θανάτους ἔχων εἰπεῖν, τῷ ὀνόματι τοῦ κόπου πάλιν ὑποτέμνεται τὸ εἰρημένον. Εἶτα πάλιν τῇ συνήθει κεχρημένος ταπεινοφροσύνῃ, καὶ τοῦτο ταχέως παρέδραμε, καὶ τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ λέγων, Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. Τί ταύτης θαυμασιώτερον γένοιτ' ἂν τῆς ψυχῆς; διὰ γὰρ τοσούτων ἑαυτὸν καθελὼν, καὶ ἕν τι μόνον ὑψηλὸν φθεγξάμενος, οὐδὲ τοῦτο αὐτοῦ φησιν εἶναι, πανταχόθεν περιστέλλων, ἀπό τε τῶν ἔμπροσθεν, ἀπό τε τῶν μετὰ ταῦτα τὸ ὑψηλὸν τοῦτο ῥῆμα, καὶ ταῦτα ἐξ ἀνάγκης ἐλθὼν ἐπ' αὐτό. σκόπει δὲ πῶς ἐπιδαψιλεύεται τοῖς τῆς ταπεινοφροσύνης ῥήμασι. καὶ γὰρ ἔσχατόν μοι ὤφθη πάντων, φησὶ (διὸ οὐδὲ μεθ' ἑαυτοῦ ἕνα ἄλλον τίθησι) καὶ ὡσπερεὶ τῷ ἐκτρώματι, καὶ ἐλάχιστον ἑαυτὸν τῶν ἀποστόλων εἶναι φησι, καὶ οὐδὲ τῆς προσηγορίας ταύτης ἄξιον. καὶ οὐδὲ τούτοις ἠρκέσθη, ἀλλ' ἵνα μὴ δόξῃ ῥήμασι ταπεινοφρονεῖν, καὶ αἰτίας τίθησι καὶ ἀποδείξεις τοῦ μὲν ἔκτρωμα εἶναι, τὸ ὕστερον αὐτὸν ἰδεῖν τὸν Ἰησοῦν· τοῦ δὲ καὶ τῆς προσηγορίας ἀνάξιον εἶναι τῶν ἀποστόλων, τὸ διῶξαι τὴν ἐκκλησίαν. ὁ μὲν γὰρ ἁπλῶς ταπεινοφρονῶν, τοῦτο οὐ ποιεῖ· ὁ δὲ καὶ τὰς αἰτίας τιθεὶς, ἀπὸ συντετριμμένης διανοίας ἅπαντα φθέγγεται. διὸ καὶ ἀλλαχοῦ τῶν αὐτῶν τούτων μέμνηται, λέγων· Χάριν δὲ ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. α. Τιμ. α. ιϛ. τίνος δὲ ἕνεκεν καὶ αὐτὸ τὸ ὑψηλὸν τοῦτο ἐφθέγξατο, τὸ, περισσότερον αὐτῶν ἐκοπίασα; τὴν χρείαν ἑώρα καταναγκάζουσαν. Εἰ γὰρ μὴ τοῦτο εἶπεν, ἀλλὰ μόνον ἑαυτὸν ἐξηυτέλισε, πῶς ἠδύνατο μετὰ παρρησίας εἰς μαρτυρίαν ἑαυτὸν καλεῖν, καὶ μετὰ τῶν ἄλλων ἀριθμεῖν καὶ λέγειν, εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν; τὸν γὰρ μάρτυρα, ἀξιόπιστον εἶναι δεῖ καὶ μέγαν. πῶς δὲ καὶ περισσότερον αὐτῶν ἐκοπίασεν, ἔδειξεν

α. Κορ. θ. δ. δείξειν δυνατώτερον λέγων· Ἢ οὐκ ἔχομεν ἐξουσίαν τοῦ φαγεῖν καὶ πιεῖν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι; καὶ πάλιν, Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος. καὶ γὰρ ὅπου ἀκρίβειαν ἐπιδείξασθαι ἔδει, πάντας ὑπερηκόντισε· καὶ ὅπου συγκαταβῆναι ἐχρῆν, τὴν αὐτὴν πάλιν ὑπερβολὴν ἐπεδείξατο. τινὲς δέ φασι, τὸ εἰς ἔθνη ἀποσταλῆναι, καὶ τὸ πλεῖον τῆς οἰκουμένης μέρος ἐπιδραμεῖν. ὅθεν δῆλον ὅτι καὶ πλείονος ἀπήλαυσε χάριτος. εἰ γὰρ πλεῖον ἐκοπίασε, πλείων ἦν καὶ ἡ χάρις· πλείονος δὲ ἀπήλαυσε χάριτος, ἐπειδὴ καὶ πλείονα ἐπεδείξατο σπουδήν. εἶδες πῶς καὶ δι' ὧν φιλονεικεῖ καὶ βιάζεται συσκιάζειν τὰ καθ' ἑαυτόν, πάντων δείκνυται πρῶτος ὤν;

ΗΘΙΚΟΝ

Ταῦτα τοίνυν ἡμεῖς ἀκούοντες, τὰ μὲν ἐλαττώματα ἡμῶν ἐκπομπεύωμεν, τὰ δὲ κατορθώματα σιγῶμεν. κἂν καιρὸς καταναγκάζῃ, συνεσταλμένως αὐτὰ λέγωμεν, καὶ τὸ πᾶν τῇ χάριτι λογιζώμεθα. ὃ δὴ καὶ αὐτὸς ποιεῖ, ἄνω καὶ κάτω τὸν μὲν πρότερον αὐτοῦ στηλιτεύων βίον, τὰ δὲ μετὰ ταῦτα τῇ χάριτι λογιζόμενος, ἵνα τοῦ Θεοῦ δείξῃ τὴν φιλανθρωπίαν πάντοθεν, ὅτι τοιοῦτον ὄντα ἔσωσε, καὶ σωθέντα πάλιν τοιοῦτον εἰργάσατο. μηδεὶς τοίνυν τῶν ἐν κακίᾳ ὄντων ἀπογινωσκέτω, μηδεὶς τῶν ἐν ἀρετῇ θαῤῥείτω, ἀλλὰ κἀκεῖνος ἔστω περιδεής, καὶ οὗτος πρόθυμος. οὔτε γὰρ ῥαθυμῶν τις ἰσχυρὸς ἔσται μεῖναι ἐν ἀρετῇ, οὔτε σπουδάζων, ἀσθενὴς πρὸς τὸ διαφυγεῖν κακίαν. καὶ τούτων ἀμφοτέρων ὑπόδειγμα ὁ μακάριος Δαβίδ, ἡνίκα μικρὸν ἐνύσταξε, καταπεσὼν μέγα· καὶ ἡνίκα κατενύγη, πάλιν πρὸς τὸ πρότερον ὕψος ἀναδραμών. ταῦτα γὰρ ἀμφότερα ἐξίσης κακά, καὶ τὸ ἀπογινώσκειν, καὶ τὸ ῥαθυμεῖν. τὸ μὲν γὰρ καθαιρεῖ ταχέως ἀπ' αὐτῆς τῆς τῶν οὐρανῶν ἁψῖδος· τὸ δὲ ἀναστῆναι τὸν κείμενον οὐκ ἀφίησι. διὸ πρὸς ἐκεῖνον μὲν ἔλεγεν ὁ Παῦλος,

α. Κορ. ι. ιβ. Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· πρὸς δὲ τοῦτον,

Ψαλ. ϟδ. η. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. καὶ πάλιν, Τὰς

Ἑβρ. ιβ. ιβ. παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. καὶ τὸν πεπορνευκότα δὲ

β. Κορ. β. ζ. μετανοήσαντα διὰ τοῦτο ἀνακτᾶται ταχέως, Ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. τί τοίνυν ἐπὶ τοῖς ἄλλοις ἀθυμεῖς, ὦ ἄνθρωπε; εἰ γὰρ ἐπὶ ἁμαρτήμασιν, ἔνθα χρήσιμον ἡ λύπη μόνον, ἡ ἀμετρία πολλὴν ἐργάζεται βλάβην, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἄλλοις. τίνος γὰρ ἕνεκεν ἀλγεῖς; ὅτι χρήματα ἀπώλεσας; ἀλλ' ἐννόησον τοὺς οὐδὲ ἄρτου κορεννυμένους, καὶ ταχεῖαν λήψῃ παραμυθίαν. καὶ ἐφ' ἑκάστῳ δὲ τῶν δεινῶν μὴ τὰ συμβάντα θρήνει, ἀλλ' ὑπὲρ τῶν μὴ συμβάντων χαλεπῶν εὐχαρίστει. εἶχες χρήματα, καὶ ἀπέβαλες; μὴ δακρύσῃς ὑπὲρ τῆς ζημίας, ἀλλ' εὐχαρίστησον ὑπὲρ τοῦ χρόνου, οὗ ταῦτα ἐκαρπώσω. εἰπὲ

Ἰὼβ β. ι. μετὰ τοῦ Ἰώβ, Εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν; μετὰ δὲ τούτου κἀκεῖνο λογίζου· ὅτι εἰ καὶ χρήματα ἀπέβαλες, ἀλλὰ τὸ σῶμά σου τέως ὑγιὲς ἔχεις, καὶ οὐ θρηνεῖς μετὰ τῆς πενίας καὶ τὴν τούτου πήρωσιν. γρ. πήρωσιν ἀλλὰ καὶ τὸ σῶμά σου λώβην τινὰ ὑπέμεινεν; ἀλλ' οὐχ ἔστι τῶν ἀνθρωπίνων κακῶν ὁ πυθμήν, ἀλλ' ἐν τῷ μέσῳ τοῦ πίθου φέρῃ πως. πολλοὶ γὰρ μετὰ πενίας καὶ λώβης, καὶ δαίμονι παλαίουσι, καὶ ἐν ἐρημίαις πλανῶνται· ἄλλοι πάλιν τούτων ἕτερα χαλεπώτερα ὑπομένουσι. μὴ γὰρ δὴ γένοιτο ἡμᾶς πάντα παθεῖν, ὅσα δυνατὸν ἐνεγκεῖν. ταῦτ' οὖν ἀεὶ λογιζόμενος, τοὺς τὰ χαλεπώτερα πάσχοντας ἐννόει, καὶ μηδὲν τούτων ἄλγει, ἀλλ' ὅταν ἁμάρτῃς, τότε μόνον στέναζον, τότε δάκρυσον· οὐ κωλύω, ἀλλὰ καὶ προτρέπω μᾶλλον, καὶ τότε δὲ μετὰ συμμετρίας, ἐννοῶν ὅτι ἔστιν ἐπάνοδος, ἔστι καταλλαγή. ἀλλ' ὁρᾷς ἑτέρους τρυφῶντας, σαυτὸν δὲ ἐν πενίᾳ, καὶ ἑτέρους ἐν λαμπροῖς ἱματίοις, καὶ ἐν περιφανείᾳ; ἀλλὰ μὴ ταῦτα μόνον σκόπει, ἀλλὰ καὶ τὰ ἐκ τούτων λυπηρά. καὶ ἐπὶ τῆς πενίας δὲ μὴ τὴν πτωχείαν μόνον, ἀλλὰ καὶ τὴν ἐντεῦθεν ἡδονὴν ἀναλογίζου. ὁ μὲν γὰρ πλοῦτος τὸ μὲν προσωπεῖον ἔχει φαιδρόν, τὰ δὲ ἔνδον ζόφου γέμοντα· ἡ δὲ πενία τοὐναντίον. κἂν τὸ ἑκάστου συνειδὸς ἀναπτύξῃς, ἐν μὲν τῇ τοῦ πένητος ψυχῇ πολλὴν τὴν ἄδειαν ὄψει καὶ τὴν ἐλευθερίαν· ἐν δὲ τῇ τοῦ πλουτοῦντος, θορύβους, ταραχάς, κύματα. εἰ δὲ ἀλγεῖς ὁρῶν αὐτὸν πλουτοῦντα,

κἀκεῖνος

κἀκεῖνος πολλῷ σου πλέον ἀλγεῖ, τὸν αὐτοῦ πλουσιώτερον θεώμενος. καὶ καθάπερ σὺ τοῦτον δέδοικας, οὕτω κἀκεῖνος ἄλλον, καὶ οὐδὲν σὺ πλεονεκτεῖς κατὰ τοῦτο. ἀλλ' ἄρχοντα ὁρῶν ἀλγεῖς, ὅτι ἰδιώτης σὺ, καὶ τῶν ἀρχομένων. ἀλλ' ἐννόει καὶ τῆς διαδοχῆς τὴν ἡμέραν, καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης τοὺς θορύβους, τοὺς κινδύνους, τοὺς πόνους, τὰς κολακείας, τὰς ἀγρυπνίας, τὰς ταλαιπωρίας πάσας. καὶ ταῦτα πρὸς τοὺς οὐκ ἐθέλοντας φιλοσοφεῖν λέγομεν· ὡς ἐὰν τοῦτο εἰδῇς, ἀφ' ἑτέρων σε μειζόνων δυνάμεθα παρακαλέσαι· τέως δὲ ἀπὸ τῶν παχυτέρων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι. ὅταν τοίνυν ἴδῃς πλουτοῦντα, τὸν ἐκείνου πλουσιώτερον ἐννόει, καὶ ὄψει τοῦτον ἐν οἷς καὶ σύ. μετὰ δὲ τοῦτον καὶ τὸν σαυτοῦ πενέστερον σκόπει, καὶ πόσοι πεινῶντες ἐκοιμήθησαν, καὶ οὐσίας πατρῴας ἀπέβαλον, καὶ δεσμωτήριον οἰκοῦσι, καὶ θάνατον καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν. οὔτε γὰρ ἀθυμίαν πενία, οὔτε ἡδονὴν τίκτει πλοῦτος, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο λογισμὸς ἡμῖν ἐμποιεῖν εἴωθε. σκόπει δὲ ἀρχόμενος κάτωθεν· ὁ κοπροφόρης ἀλγεῖ καὶ ὀδυνᾶται, ὅτι μὴ ἀπήλλακται τοῦ ταλαιπώρου καὶ ἐπονειδίστου εἶναι δοκοῦντος ἐπιτηδεύματος τούτου. ἀλλ' ἂν ἀπαλλάξῃς αὐτὸν τούτου, καὶ ποιήσῃς μετὰ ἀδείας τῶν ἀναγκαίων εὐπορεῖν, ἀλγήσει πάλιν ὅτι μὴ πλείω τῆς χρείας κέκτηται. κἂν πλείω παράσχῃς, βουλήσεται αὐτὰ διπλάσια εἶναι πάλιν, καὶ διὰ τοῦτο ὀδυνηθήσεται οὐχ ἧττον, ἢ πρότερον. κἂν διπλάσια, κἂν τριπλάσια δῷς, ἀθυμήσει πάλιν, ὅτι μὴ πολιτεύεται. κἂν τοῦτο παράσχῃς αὐτῷ, ἄθλιον ἑαυτὸν ἡγήσεται, ὅτι μὴ τῶν τὰ πρῶτα πολιτευομένων ἐστί. καὶ ταύτης δὲ ἐπιλαβόμενος τῆς τιμῆς, θρηνήσει, ὅτι μὴ ἄρχει. ὅταν δὲ ἄρξῃ, ὅτι μὴ ἔθνους ὁλοκλήρου. ὅταν δὲ καὶ ἔθνους ὁλοκλήρου, ὅτι μὴ ἐθνῶν πολλῶν. ὅταν ἐθνῶν πολλῶν, ὅτι μὴ πάντων. ὅταν ὕπαρχος γένηται, λυπηθήσεται πάλιν, ὅτι μὴ καὶ βασιλεύς· κἂν βασιλεύς, ὅτι μὴ μόνος· κἂν μόνος, ὅτι μὴ καὶ βαρβάρων, ὅτι μὴ καὶ τῆς οἰκουμένης ἁπάσης· ὅταν καὶ τῆς οἰκουμένης ἁπάσης, διὰ τί μὴ καὶ ἑτέρου κόσμου; καὶ οὕτως ἐπ' ἄπειρον ὁ λογισμὸς προϊὼν, οὐκ ἀφίησιν αὐτὸν ἡσθῆναί ποτε. εἶδες πῶς κἂν ἐξ εὐτελοῦς καὶ πτωχοῦ βασιλέα ποιήσῃς, οὐκ ἀναιρεῖς τὴν ἀθυμίαν, λογισμὸν τὸν πλεονεξίας ἐρῶντα μὴ διορθωσάμενος πρότερον; φέρε, σοι καὶ τοὐναντίον δείξω, ὅτι κἂν ἄνωθεν κάτω καταγάγῃς τὸν σύνεσιν ἔχοντα, οὐκ ἐμβαλεῖς εἰς ἀθυμίαν καὶ λύπην. καὶ, εἰ βούλει, τὴν αὐτὴν κλίμακα καταβαίνωμεν, καὶ τὸν ὕπαρχον ἀπὸ τοῦ θρόνου καταβιβάσας τῷ λόγῳ ἀποστέρει τῆς ἀξίας ἐκείνης. οὐδὲν γὰρ ἔσται ἐντεῦθεν, ἂν ἐθέλῃ ταῦτα ἐννοεῖν, ἅπερ εἶπον, ἀλγήσει. οὐδὲ γὰρ ἅπερ ἀφήρηται λογιεῖται, ἀλλ' ἅπερ ἔχει τέως, τὴν δόξαν τὴν ἀπὸ τῆς ἀρχῆς. ἂν δὲ καὶ ταύτην ἀφέλῃς, λογιεῖται τοὺς ἰδιώτας, καὶ οὐδέποτε τοιαύτης ἐπιβάντας ἀρχῆς, καὶ ἀρκέσει εἰς παραμυθίαν ὁ πλοῦτος αὐτῷ. ἂν δὲ καὶ τούτου πάλιν ἐκβάλῃς, σκοπήσει τοὺς τὰ σύμμετρα ἔχοντας. ἂν δὲ καὶ τὰ σύμμετρα ἀφέλῃς καὶ τῆς ἀναγκαίας μόνης μεταδῷς τροφῆς, δυνήσεται ἐννοεῖν τοὺς οὐδὲ ταύτης μετέχοντας, ἀλλὰ λιμῷ παλαίοντας διηνεκεῖ, καὶ δεσμωτήριον οἰκοῦντας. εἰ δὲ καὶ εἰς τὸ οἴκημα εἰσαγάγοις ἐκεῖνο, τοὺς ἐν νόσοις ἀνιάτοις ὄντας, τοὺς ἐν ὀδύναις ἀνηκέστοις ἐνθυμούμενος ὄψεται ἑαυτὸν ἐν πολλῷ βελτίοσιν ὄντα. καὶ ὥσπερ ὁ κοπροφόρης ἐκεῖνος, οὐδὲ βασιλεὺς γενόμενος εὐθυμίας καρπώσεται, οὕτως οὗτος οὐδὲ δεσμώτης κατασταθεὶς ἀλγήσει ποτέ. οὐκ ἄρα πλοῦτος ἡδονῆς, οὔτε πενία ἀθυμίας ὑπόθεσις, ἀλλ' ἡ ἡμετέρα γνώμη, καὶ τὸ τὰ ὄμματα τῆς διανοίας ἡμῶν μὴ εἶναι καθαρὰ, μηδὲ ἑστάναι που καὶ μένειν, ἀλλ' ἀπερίδυτα πέτασθαι. καὶ καθάπερ τὰ μὲν ὑγιεινὰ τῶν σωμάτων, κἂν ἄρτῳ τρέφηται μόνῳ, εὐπαθεῖ καὶ σφριγᾷ· τὰ δὲ ἐπίνοσα, κἂν δαψιλοῦς καὶ ποικίλης ἀπολαύῃ τραπέζης, τοσούτῳ μᾶλλον ἀσθενέστερα γίνεται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθεν. οἱ μὲν μικρόψυχοι, οὐδὲ ἐν διαδήματι καὶ τιμαῖς ἀφάτοις δύναιντ' ἂν εὐθυμεῖν· οἱ δὲ φιλόσοφοι, καὶ ἐν δεσμοῖς καὶ ἐν ἁλύσει καὶ ἐν πενίᾳ καθαρᾶς ἀπολαύουσιν ἡδονῆς. ταῦτ' οὖν ἐννοοῦντες,

πρὸς

χ. φόβους

χ. καὶ

ἰδιωτεύουσιν

χ. ἡμῖν

πρὸς τοὺς καταδεεστέρους ἀεὶ βλέπωμεν. ἔστι μὲν γὰρ καὶ ἑτέρα παραμυθία, ἀλλὰ φιλόσοφος καὶ τὴν τῶν πολλῶν ὑπερβαίνουσα τὴν παχύτητα. ποία αὕτη; ὅτι οὐδὲν πλοῦτος, οὐδὲν πενία, οὐδὲν ἀτιμία, οὐδὲν τιμή, ἀλλ' ἐν χρόνῳ βραχεῖ καὶ ῥήμασι διεστήκασι μόνον ἀλλήλων. μετὰ δὲ ταύτης καὶ ἑτέρα ταύτης μείζων, τὸ τὰ μέλλοντα ἐννοεῖν καὶ κακὰ καὶ ἀγαθά, τὰ ὄντως κακὰ καὶ ὄντως ἀγαθά, καὶ ἀπ' ἐκείνων παρακαλεῖσθαι. ἀλλ' ἐπειδὴ πολλοὶ τούτων, ὅπερ ἔφην, πόρρω τῶν λόγων ἑστήκασι, διὰ τῶν ἐκείνοις ἠναγκάσθημεν διαπλέξαι τοὺς λόγους, ἵνα ὁδῷ καὶ ἐπὶ τούτους ἀγάγωμεν τοὺς καταδεξαμένους ἐκεῖνα. Ταῦτ' οὖν ἅπαντα λογισάμενοι, πανταχόθεν ἑαυτοὺς ῥυθμίσωμεν, καὶ οὐδέποτε ἐπὶ τῇ ἀδοκήτῳ τούτων ἀλγήσομεν. οὐδὲ γάρ, εἰ ἐν εἰκόνι πλουσίους ἴδοιμεν, ζηλωτοὺς εἶναι φαίημεν ἄν, ὥσπερ οὐδὲ τοὺς πτωχοὺς ἐκεῖ γεγραμμένους, ἀθλίους καὶ ἐλεεινούς· καίτοιγε ἐκεῖνοι τῶν παρ' ἡμῖν πλουτούντων μονιμώτεροι. μᾶλλον γὰρ ἐν τῇ γραφῇ μένει πλούσιος, ἢ ἐν αὐτῇ τῶν πραγμάτων τῇ φύσει. ὁ μὲν γὰρ καὶ εἰς ἔτη πολλάκις ἑκατὸν ἤρκεσεν οὕτω φαινόμενος, ὁ δὲ ἔστιν ὅτε οὐδὲ εἰς ἐνιαυτὸν ἐντρυφήσας τοῖς οὖσι, πάντων ἀθρόον ἐγυμνώθη. Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, πανταχόθεν ἐπιτειχίσωμεν εὐθυμίαν κατὰ τῆς ἀλογίστου λύπης, ἵνα καὶ τὸν παρόντα βίον μεθ' ἡδονῆς διάξωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λθ. 11 ΕΙΤΕ ΟΥΝ ΕΓΩ, ΕΙΤΕ ΕΚΕΙΝΟΙ, ΟΥΤΩ κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

Ἐπάρας τοὺς ἀποστόλους, καὶ καθελὼν ἑαυτόν, εἶτα πάλιν ὑπὲρ ἐκείνους ἐπάρας, ἵνα ἰσότητα ἐργάσηται (καὶ γὰρ ἰσότητα ἐποίησε, δείξας ἑαυτὸν καὶ πλεονεκτοῦντα καὶ πλεονεκτούμενον) καὶ ταύτῃ ἀξιόπιστον ἑαυτὸν κατασκευάσας, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν, ἀλλὰ πάλιν ἑαυτὸν ἐκείνοις συνάπτει, τὴν κατὰ Χριστὸν ἐνδεικνύμενος ὁμόνοιαν. οὐ μὴν οὕτως αὐτὸ ποιεῖ, ὡς δόξαι περιερρίφθαι αὐτούς, ἀλλ' ὡς καὶ αὐτὸν ἐν τῇ αὐτῇ φαίνεσθαι τάξει. οὕτω γὰρ τῷ κηρύγματι συμφέρον ἦν. διὸ καὶ ἀμφότερα ὁμοίως ἐσπούδακε, καὶ τὸ μὴ δοκεῖν αὐτῶν ὑπερορᾶν, καὶ τὸ μὴ διὰ τὴν εἰς ἐκείνους τιμὴν ἐξευτελίζεσθαι παρὰ τῶν ἀρχομένων. διὰ τοῦτο καὶ νῦν ἐξισάζει πάλιν λέγων· εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν. παρ' οὗ, φησί, βούλεσθε μαθεῖν, μάθετε· οὐδὲν διαφερόμεθα. (χ. διαφέρομεν.) καὶ οὐκ εἶπεν, ὅτι εἰ μὴ θέλετε ἐμοὶ πεισθῆναι, ἐκείνοις πείσθητε, ἀλλὰ καὶ ἑαυτὸν ἀξιόπιστον ποιεῖ, καὶ καθ' ἑαυτὸν ἀρκεῖν φησι, καὶ ἐκείνους καθ' ἑαυτούς. οὐδὲν γὰρ ἡ τῶν προσώπων ἐποίει διαφορά, τῶν ἀξιωμάτων ἴσων ὄντων. καὶ ἐν τῇ πρὸς Γαλάτας δὲ τοῦτο ποιεῖ, προσλαμβανόμενος αὐτούς, οὐχ ὡς δεόμενος, ἀλλ' ἀρκεῖν μὲν λέγων καὶ ἑαυτόν. (Γαλ. 6 ς.) Ἐμοὶ γάρ, φησιν, οἱ δοκοῦντες οὐδὲν προσανέθεντο, πλὴν ἀλλὰ καὶ οὕτω διώκει αὐτῶν τὴν ὁμόνοιαν. δεξιὰς γὰρ ἔδωκαν ἐμοί, φησιν. εἰ γὰρ ἔμελλεν ἀεὶ τὸ ἀξιόπιστον Παύλου ἐν ἑτέροις εἶναι καὶ τῇ παρ' ἑτέρων μαρτυρίᾳ βεβαιοῦσθαι, μυρία ἂν ἐβλάβησαν ἐντεῦθεν οἱ μαθηταί. οὐ τοίνυν ἑαυτὸν ἐπαίρων τοῦτο ποιεῖ, ἀλλ' ὑπὲρ τοῦ εὐαγγελίου δεδοικώς. διὸ καὶ ἐνταῦθά φησιν ἐξισάζων ἑαυτόν, εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν. καλῶς εἶπε, κηρύσσομεν, τὴν πολλὴν παρρησίαν ἐνδεικνύμενος. οὐ γὰρ λάθρα, οὐδὲ ἐν παραβύστῳ, ἀλλὰ σάλπιγγος λαμπροτέραν ἀφίεμεν φωνήν. καὶ οὐκ εἶπεν, ἐκηρύξαμεν, ἀλλὰ καὶ νῦν οὕτω κηρύττομεν. καὶ οὕτως ἐπιστεύσατε. ἐνταῦθα οὐκ εἶπε, πιστεύετε, ἀλλ', ἐπιστεύσατε. ἐπειδὴ ἐσαλεύοντο, διὰ τοῦτο ἐπὶ τὸν ἄνω χρόνον ἀνέδραμε, καὶ τὴν παρ' αὐτῶν ἐκείνων λοιπὸν μαρτυρίαν παρίστησιν.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστι; Ὁρᾷς πῶς ἄριστα συλλογίζεται, καὶ ἀποδείκνυσι τὴν ἀνάστασιν ἐκ τοῦ τὸν Χριστὸν ἐγηγέρθαι, πρότερον ἐκεῖνο πολλαχόθεν κατασκευάσας; καὶ γὰρ καὶ οἱ προφῆται εἶπον τοῦτο, φησί, καὶ αὐτὸς ἔδειξε διὰ τῆς ὄψεως, καὶ ἡμεῖς κηρύσσομεν, καὶ ὑμεῖς ἐπιστεύσατε, τετραπλῆν τὴν μαρτυρίαν πλέκων, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως, τὴν διὰ τῶν ἀποστόλων, τὴν διὰ τῶν μαθητῶν, μᾶλλον δὲ καὶ πενταπλῆν. καὶ γὰρ καὶ αὐτὴ ἡ αἰτία δείκνυσι τὴν ἀνάστασιν, τὸ ὑπὲρ ἀλλοτρίων ἁμαρτιῶν ἀποθανεῖν. Εἰ τοίνυν τοῦτο ἀποδέδεικται, εὔδηλον ὅτι καὶ τὸ ἕτερον ἕπεται, τὸ καὶ τοὺς λοιποὺς ἐγείρεσθαι νεκρούς. διόπερ καὶ ὡς ἐπὶ ὁμολογουμένου ἐγκαλεῖ καὶ ἐπαπορεῖ λέγων· Εἰ δὲ Χριστὸς ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστι; καὶ ταύτῃ πάλιν ὑποτεμνόμενος τὴν θρασύτητα τῶν ἀντιλεγόντων. οὐ γὰρ εἶπε, πῶς λέγετε ὑμεῖς, ἀλλά, πῶς λέγουσί τινες ἐν ὑμῖν. καὶ οὔτε πάντων ποιεῖται κατηγορίαν, οὔτε αὐτοὺς τούτους οὓς αἰτιᾶται δήλους καθίστησιν, ὥστε μὴ ποιῆσαι ἀναισχυντοτέρους, οὐδ᾽ αὖ πάλιν ἀποκρύπτεται καθόλου, ὥστε αὐτοὺς διορθῶσαι. διὰ δὴ τοῦτο καὶ ἀποσχίσας αὐτοὺς τοῦ πλήθους, πρὸς αὐτοὺς ἀποδύεται, ταύτῃ τε ἀσθενεστέρους ποιῶν καὶ καταπλήττων, καὶ τοὺς ἄλλους ἐν τοῖς πρὸς τούτους ἀγῶσι κατέχων ἀσφαλέστερον ἐπὶ τῆς ἀληθείας, καὶ οὐκ ἀφεὶς αὐτομολῆσαι πρὸς τοὺς διαφθείρειν αὐτοὺς ἐσπουδακότας. καὶ γὰρ καταφορικῶς παρεσκευάσατο κεχρῆσθαι τῷ λόγῳ. Εἶτα ἵνα μὴ λέγωσιν, ὅτι τοῦτο μὲν σαφὲς καὶ δῆλον ἅπασι, τὸ τὸν Χριστὸν ἐγηγέρθαι, καὶ οὐδεὶς ἀμφιβάλλει· οὐ μὴν τοῦτο καὶ τὸ ἕτερον συναναγκάζει, τὴν τῶν ἀνθρώπων ἀνάστασιν (τὸ μὲν γὰρ καὶ προανεφωνήθη, καὶ ἐδείχθη, καὶ ἐμαρτυρήθη διὰ τῆς ὄψεως, τὸ τῆς τοῦ Χριστοῦ ἀναστάσεως· τὸ δὲ ἔτι ἐν ἐλπίσιν ἐστί, τὸ ἡμέτερον) ὅρα τί ποιεῖ· ἐκ θατέρου μέρους πάλιν αὐτὸ κατασκευάζει, ὅπερ πολλῆς δυνάμεως ἦν. τί γὰρ λέγουσί, φησί, τινες, ὅτι οὐκ ἔστι νεκρῶν ἀνάστασις; οὐκοῦν καὶ ἐκεῖνο πάλιν ἐκ τούτου ἀνῄρηται, τὸ τὸν Χριστὸν ἐγηγέρθαι. διὸ καὶ ἐπάγει λέγων,

χ. ὡμολογημένου

13 Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται.

Εἶδες τὴν βίαν, καὶ τὴν φιλονεικίαν Παύλου τὴν ἄμαχον, πῶς οὐκ ἐκ τοῦ δήλου μόνον τὸ ἀμφιβαλλόμενον, ἀλλὰ καὶ ἐκ τοῦ ἀμφιβαλλομένου τοῖς ἀντιλέγουσι τέως ἐκεῖνο τὸ δῆλον πειρᾶται ἀποδεικνύναι; οὐκ ἐπειδὴ ἐδεῖτο ἀποδείξεως τὸ ἤδη γεγενημένον, ἀλλ᾽ ἵνα δείξῃ τοῦτο ὁμοίως ἐκείνῳ πιστὸν ὄν. καὶ ποία αὕτη ἀκολουθία, φησί; τὸ μὲν γὰρ τοῦ Χριστοῦ μὴ ἐγερθέντος, μηδὲ ἄλλους ἐγείρεσθαι, ἀκόλουθον· τὸ δὲ εἰ ἄλλοι μὴ ἐγερθεῖεν, μηδὲ τοῦτον ἐγηγέρθαι, πῶς ἂν ἔχοι λόγον τινά; ἐπεὶ οὖν τοῦτο οὐ σφόδρα ἐδόκει λόγον ἔχειν, ὅρα πῶς ἐργάζεται αὐτὸ σφοδρῶς, ἄνωθεν τὰ σπέρματα προκαταβάλλων, ἀπ᾽ αὐτῆς τοῦ κηρύγματος τῆς ὑποθέσεως, τῷ εἰπεῖν ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἀποθανὼν ἐγήγερται, καὶ ὅτι ἀπαρχὴ τῶν κεκοιμημένων ἐστίν. ἡ γὰρ ἀπαρχή, τίνος ἂν εἴη ἀπαρχή, εἰ μὴ τῶν ἐγειρομένων; πῶς δ᾽ ἂν εἴη ἀπαρχή, οὐκ ἐγειρομένων ἐκείνων ὧν ἐστιν ἀπαρχή; πῶς οὖν οὐκ ἐγείρονται; εἰ δὲ οὐκ ἐγείρονται, διατί ἠγέρθη ὁ Χριστός; διατί ἦλθε; διατί σάρκα ἀνέλαβεν, εἰ μὴ ἔμελλεν ἀναστήσειν σάρκα; οὐ γὰρ ἐδεῖτο αὐτός, ἀλλὰ δι᾽ ἡμᾶς. ἀλλὰ ταῦτα μὲν ὕστερον τίθησι προϊών, τέως δέ φησιν· Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται, ὡς ἐκείνου τούτῳ συνημμένου. Εἰ γὰρ μὴ ἔμελλεν ἀνίστασθαι, οὐδ᾽ ἂν ἐκεῖνο ἐποίησεν. Εἶδες κατὰ μικρὸν ὅλην τὴν οἰκονομίαν ἀνατρεπομένην ἐκ τῶν ἐκείνων ῥημάτων, καὶ τῆς περὶ τὴν ἀνάστασιν ἀπιστίας; ἀλλὰ τέως οὐδὲν περὶ τῆς σαρκώσεως λέγει, ἀλλὰ περὶ τῆς ἀναστάσεως. οὐ γὰρ τὸ σαρκωθῆναι, ἀλλὰ τὸ ἀποθανεῖν τὸν θάνατον ἔλυσεν, ἐπεὶ σάρκα ἔχοντος, ἔτι ἐκράτει ἡ τυραννὶς ἐκείνου.

χ. σοφῶς,

14 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν. Καίτοι γε ἀκόλου-

θον ἦν εἰπεῖν, Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, τοῖς φανεροῖς μάχεσθε καὶ προφήταις τοσούτοις καὶ πραγμάτων ἀληθείᾳ, ἀλλ' ὃ πολλῷ φοβερώτερον αὐτοῖς τίθησι, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν. Κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. Καταστεῖσαι γὰρ αὐτῶν τὴν διάνοιαν βούλεται· τὸ πᾶν ἀπωλέσαμεν, φησὶν, ἅπαντα οἴχεται, εἰ μὴ ἠγέρθη. Εἶδες ὅσον τῆς οἰκονομίας τὸ μυστήριον; εἰ γὰρ ἀποθανὼν οὐκ ἴσχυσεν ἀναστῆναι, οὔτε ἡ ἁμαρτία λέλυται, οὔτε ὁ θάνατος καθῄρηται, οὔτε ἡ κατάρα ἀνῄρηται. καὶ οὐχ ἡμεῖς δὲ μόνοι κενὰ ἐκηρύξαμεν, ἀλλὰ καὶ ὑμεῖς κενὰ ἐπιστεύσατε. καὶ οὐ ταύτῃ μόνον δείκνυσι τὴν ἀτοπίαν τούτων τῶν πονηρῶν δογμάτων, ἀλλὰ καὶ ἐπαγωνίζεται λέγων·

15 Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ· ὅτι ἐμαρτυρήσαμεν κατ' αὐτοῦ, ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. Εἰ δὲ ἄτοπον τοῦτο (κατηγορία γὰρ Θεοῦ καὶ συκοφαντία) καὶ οὐκ ἤγειρεν, ὥς φατε, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα ἕψεται ἄτοπα. καὶ πάλιν αὐτὰ κατασκευάζει, καὶ ἀναλαμβάνει λέγων·

16 Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. Εἰ γὰρ μὴ ἔμελλε τοῦτο πείσειν, οὐδ' ἂν [illegible]. καὶ οὐ λέγει τοῦτο, ἀλλὰ τὸ τέλος, τὴν ἀνάστασιν αὐτοῦ, δι' αὐτῆς πάντας ἕλκων.

17 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν. Τῷ σαφεῖ καὶ ὡμολογημένῳ τὴν ἀνάστασιν τοῦ Χριστοῦ συνεχῶς προστίθησιν, ἀπὸ τοῦ ἰσχυροτέρου καὶ τὸ ἀσθενὲς εἶναι δοκοῦν καὶ ἀμφίβολον, ἰσχυρὸν ποιῶν καὶ σαφές. Ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

Εἰ γὰρ οὐκ ἠγέρθη, οὐδὲ ἀπέθανεν· εἰ δὲ οὐκ ἀπέθανεν, οὐδὲ τὴν ἁμαρτίαν ἔλυσεν. ὁ γὰρ θάνατος αὐτοῦ, τῆς ἁμαρτίας λύσις. Ἴδε γὰρ, φησὶν, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. πῶς δὲ αἴρων; τῷ θανάτῳ. διὸ καὶ ἀμνὸν ἐκάλεσεν, ὡς σφαττόμενον. εἰ δὲ οὐκ ἀνέστη, οὐδὲ ἐσφάγη· εἰ δὲ οὐκ ἐσφάγη, οὐδὲ ἡ ἁμαρτία ἐλύθη· εἰ δὲ οὐκ ἐλύθη, ἐν αὐτῇ ἐστε· εἰ δὲ ἐν αὐτῇ ἐστε, εἰκῆ ἐκηρύξαμεν· εἰ δὲ εἰκῆ ἐκηρύξαμεν, εἰκῆ ἐπιστεύσατε, ἄλλως δὲ καὶ ὁ θάνατος ἀθάνατος μένει, εἰ μὴ ἀνέστη. εἰ γὰρ καὶ αὐτὸς κατεσχέθη ὑπὸ τοῦ θανάτου, καὶ οὐκ ἔλυσεν αὐτοῦ τὰς ὠδῖνας, πῶς πάντας τοὺς ἄλλους ἀπήλλαξεν ἔτι αὐτὸς κατεχόμενος; διὸ καὶ ἐπάγει·

18 Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἀπώλοντο. Καὶ τί λέγω περὶ ὑμῶν, φησὶν, ὅπουγε καὶ ἐκεῖνοι πάντες ἀπολώλασιν, οἱ τὸ πᾶν διανύσαντες, καὶ οὐχ ὑποκείμενοι λοιπὸν τῇ ἀδηλίᾳ τοῦ μέλλοντος; τὸ δὲ, ἐν Χριστῷ, ἢ τὸ ἐν τῇ πίστει φησὶν, ἢ οἱ δι' αὐτὸν ἀποθανόντες, οἱ πολλοὺς ὑπομείναντες κινδύνους, οἱ πολλὰς ταλαιπωρίας, οἱ διὰ τῆς στενῆς ὁδοῦ βαδίσαντες. ποῦ νῦν εἰσι τὰ πονηρὰ τῶν Μανιχαίων στόματα, τῶν λεγόντων ἀνάστασιν αὐτὸν ἐνταῦθα λέγειν, τῆς ἁμαρτίας τὴν ἀπαλλαγήν; οἱ γὰρ πυκνοὶ οὗτοι καὶ συνεχεῖς συλλογισμοὶ καὶ ἀντιστρέφοντες, οὐδὲν τούτων ἐμφαίνουσιν ὧν ἐκεῖνοι λέγουσιν, ἀλλ' ὅπερ ἡμεῖς φαμέν. καὶ γὰρ ἀνάστασις τοῦ πεπτωκότος λέγεται. διὰ τοῦτο καὶ συνεχῶς ἐπιλέγει, οὐ τὸ ἐγηγέρθαι μόνον, ἀλλὰ καὶ τὸ ἐκ νεκρῶν προστιθείς. καὶ Κορίνθιοι δὲ οὐ περὶ ἀφέσεως ἁμαρτημάτων ἀμφέβαλλον, ἀλλὰ περὶ σωμάτων ἀναστάσεως. ποία δὲ ὅλως ἀνάγκη, εἰ μὴ ἀναμάρτητοι εἶεν οἱ ἄνθρωποι, * μηδὲ τὸν Χριστὸν τοῦτο εἶναι; εἰ γὰρ μὴ ἔμελλεν ἐγείρειν, ἀκόλουθον τὸ λέγειν, τίνος ἕνεκεν ἦλθε, καὶ σάρκα ἔλαβε, καὶ ἀνέστη; τὸ δὲ ὑμέτερον οὐκέτι. καὶ γὰρ ἁμαρτανόντων ἀνθρώπων καὶ μὴ ἁμαρτανόντων, ἀεὶ σύνεστι τῷ Θεῷ τὸ ἀναμάρτητον, καὶ οὐχ ἕπεται τὸ ἡμέτερον ἐκείνῳ, οὐδὲ ἀντιστρέφει τοῦτο πρὸς ἐκεῖνο, ὥσπερ ἐπὶ τῆς τῶν σωμάτων ἀναστάσεως.

* ἦν

χ. ἡμῖν

19 Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Τί λέγεις, ὦ Παῦλε; πῶς ἐν τῇ ζωῇ ταύτῃ μόνον ἠλπικότες ἐσμὲν, εἰ σώματα οὐκ ἐγείρεται, τῆς ψυχῆς μενούσης καὶ ἀθανάτου οὔσης; ὅτι κἂν μένῃ ἡ ψυχὴ,

καὶ

κἂν μυριάκις ἀθάνατος ᾖ, ὥσπερ οὖν καὶ ἔστι, τῆς σαρκὸς χωρὶς οὐκ ἀπολήψεται τὰ ἀπόῤῥητα ἀγαθὰ ἐκεῖνα, ὥσπερ οὖν οὐδὲ κολασθήσεται. πάντα γὰρ φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος, ἃ ἔπραξεν, εἴτε ἀγαθὰ, εἴτε κακά. διὰ τοῦτό φησιν, εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Εἰ γὰρ οὐκ ἀνίσταται τὸ σῶμα, ἀστεφάνωτος ἡ ψυχὴ μένει ἔξω τῆς μακαριότητος ἐκείνης τῆς ἐν οὐρανοῖς. Εἰ δὲ τοῦτο, οὐδενὸς ἀπολαυσόμεθα τότε καθόλου. Εἰ δὲ τότε οὐδενὸς, ἐν τῷ παρόντι τὰς τῶν ἀμοιβῶν. τί οὖν ἡμῶν μετὰ τοῦτο ἀθλιώτερον γένοιτ' ἄν, φησί; Ταῦτα δὲ ἔλεγεν ὁμοῦ μὲν εἰς τὸν περὶ ἀναστάσεως στηρίζων τῶν σωμάτων αὐτοὺς λόγον, ὁμοῦ δὲ καὶ περὶ τῆς ἀθανάτου ζωῆς ἐκείνης πείθων, ἵνα μὴ εἰς τὸ παρὸν νομίζωσι τὰ ἡμέτερα καταλύειν πάντα. κατασκευάσας γὰρ ἱκανῶς διὰ τῶν ἔμπροσθεν, ὅπερ ἐβούλετο, καὶ εἰπὼν, εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· Εἰ δὲ Χριστὸς οὐκ ἠγέρθη, ἀπωλόμεθα, καὶ ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις, πάλιν καὶ τοῦτο ἐπάγει, κατασείων αὐτῶν τὴν ἀπόνοιαν. καὶ γὰρ ὅταν μέλλῃ τι τῶν ἀναγκαίων εἰσάγειν δογμάτων, τῷ φόβῳ τὴν πώρωσιν αὐτῶν διασαλεύει πρότερον· ὃ δὴ καὶ ἐνταῦθα ἐποίησεν, ἀνωτέρω τε αὐτοὺς διασείσας, καὶ ἐναγωνίους καταστήσας αὐτοὺς, ὡς τοῦ παντὸς ἐκπεσόντας· καὶ νῦν πάλιν ἑτέρως, καὶ ὡς ἂν μάλιστα ἤλγησαν, τὸ αὐτὸ τοῦτο ποιῶν, καὶ λέγων, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν, εἰ μετὰ τοσούτους πολέμους, καὶ θανάτους, καὶ τὰ μυρία δεινὰ, τοσούτων μέλλοιμεν ἐκπίπτειν ἀγαθῶν, καὶ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἕστηκε. καὶ γὰρ πάντα τῆς ἀναστάσεως ἤρτηται. ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐ περὶ ἁμαρτημάτων ὁ λόγος αὐτῷ ἦν, ἀλλὰ περὶ σωμάτων ἀναστάσεως, καὶ ζωῆς τῆς παρούσης, καὶ τῆς μελλούσης.

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων. Δείξας ὅσα ἐκ τοῦ μὴ πιστεύεσθαι τὴν ἀνάστασιν τίκτεται [τὰ] κακὰ, ἀναλαμβάνει τὸν λόγον πάλιν, καί φησι, νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, συνεχῶς τὸ ἐκ νεκρῶν προστιθεὶς, ὥστε ἀποῤῥάψαι τῶν αἱρετικῶν τὰ στόματα. ἀπαρχὴ τῶν κεκοιμημένων. Εἰ δὲ ἀπαρχὴ, καὶ τούτους ἀναστῆναι δεῖ. Εἰ δὲ ἀνάστασιν τὴν τῶν ἁμαρτιῶν ἔλεγεν, οὐδεὶς δὲ ἁμαρτίας ἐκτὸς (καὶ γὰρ Παῦλος λέγει, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι) πῶς ἔσονταί τινες τῶν ἀνισταμένων καθ' ὑμᾶς; ὁρᾷς ὅτι περὶ σωμάτων ὁ λόγος αὐτῷ ἦν; καὶ ἵνα ἀξιόπιστον αὐτὸ ποιήσῃ, συνεχῶς τὸν Χριστὸν εἰς τὸ μέσον προσφέρει, τὸν ἀναστάντα ἐν σαρκί. Εἶτα καὶ αἰτιολογεῖ. ὅπερ γὰρ ἔφην, ὅταν ἀποφαίνηται μὲν, τὴν δὲ αἰτίαν μὴ λέγῃ, οὐχ οὕτως εὐπαράδεκτος ὁ λόγος γίνεται τοῖς πολλοῖς. Τίς οὖν ἡ αἰτία; α. Κορ. δ. δ.

21 Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις τῶν νεκρῶν. Εἰ δὲ δι' ἀνθρώπου, σῶμα πάντως ἔχοντος. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν, πῶς καὶ ἑτέρως ἀναγκαῖον ποιεῖ τὸν λόγον. τὸν γὰρ ἡττηθέντα φησὶν, αὐτὸν καὶ ἀναμαχέσασθαι δεῖ τὴν καταβληθεῖσαν φύσιν, αὐτὸν καὶ νικῆσαι. οὕτω γὰρ τὸ ὄνειδος ἀπετρίβετο. Ἴδωμεν δὲ ποῖόν φησι θάνατον.

22 Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. Τί οὖν; πάντες, εἰπέ μοι, ἀπέθανον ἐν τῷ Ἀδὰμ τὸν τῆς ἁμαρτίας θάνατον; πῶς οὖν Νῶε δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ; πῶς δὲ Ἀβραάμ; πῶς δὲ Ἰώβ; πῶς δὲ οἱ ἄλλοι ἅπαντες; τί δὲ, εἰπέ μοι, πάντες ζωοποιηθήσονται ἐν τῷ Χριστῷ; καὶ ποῦ οἱ εἰς γέενναν ἀπαγόμενοι; ἂν μὲν γὰρ περὶ σώματος εἰρημένον ᾖ τοῦτο, ἕστηκεν ὁ λόγος· ἂν δὲ περὶ δικαιοσύνης καὶ ἁμαρτίας, οὐκέτι. Εἶτα, ἵνα μὴ τὴν ζωοποίησιν κοινῇ ἀκούσας, καὶ τοὺς ἁμαρτωλοὺς νομίσῃς σώζεσθαι, ἐπήγαγεν·

23 Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. Μὴ γὰρ, ὅτι ἀνάστασιν ἤκουσας, νόμιζε πάντας τῶν αὐτῶν ἀπολαύειν. Εἰ γὰρ ἐπὶ τῆς κολάσεως οὐ πάντες τὰ αὐτὰ

πείσονται, ἀλλὰ πολλὴ ἡ διαφορά, πολλῷ μᾶλλον ἔνθα ἁμαρτωλοὶ καὶ δίκαιοι, πλείων ἡ διάστασις ἔσται. Ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ. Τουτέστιν, οἱ πιστοί, καὶ οἱ εὐδοκιμηκότες.

24 Εἶτα τὸ τέλος. Ὅταν γὰρ ἀναστῶσιν ἐκεῖνοι, τὰ πράγματα ἅπαντα λήψεται τέλος, οὐ καθάπερ νῦν ἀναστάντος τοῦ Χριστοῦ τὰ πράγματα ἕστηκεν ἔτι μετέωρα. διὸ προσέθηκεν, Ἐν τῇ παρουσίᾳ αὐτοῦ, Ἵνα μάθῃς ὅτι περὶ ἐκείνου τοῦ καιροῦ διαλέγεται. Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν. Ἐνταῦθά μοι προσέχετε μετὰ ἀκριβείας, καὶ ὁρᾶτε μή τι διαφύγῃ τῶν λεγομένων ὑμᾶς. καὶ γὰρ πρὸς ἐχθροὺς ἡμῖν ἡ μάχη. διὸ προσήκει τὴν εἰς ἄτοπον ἀπαγωγὴν δεῖ γυμνάζειν, ὃ καὶ Παῦλος πολλάκις ποιεῖ. οὕτω γὰρ μάλιστα αἱ λέξεις, ἀφώρατα ἡμῖν φαίνεται. ἐρώμεθα οὖν αὐτοὺς πρῶτον, τί ἐστι τὸ εἰρημένον, ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί; εἰ γὰρ ἁπλῶς ἐκλάβοιμεν τοῦτο, καὶ μὴ θεοπρεπῶς, οὐκ ἔσται μετὰ ταῦτα ἔχων αὐτήν. ὁ γὰρ παραδοὺς ἑτέρῳ, παύεται λοιπὸν τοῦ κατέχειν αὐτός. καὶ οὐ τοῦτο μόνον ἔσται τὸ ἄτοπον, ἀλλ' ὅτι οὐδὲ ἐκεῖνος ὁ παραλαβὼν εὑρεθήσεται, πρὶν ἢ παραλαβεῖν, ἔχων. οὐκοῦν κατ' ἐκείνους οὔτε ὁ πατὴρ βασιλεὺς ἦν ἔμπροσθεν, καὶ διῴκει τὰ ἡμέτερα, οὔτε ὁ υἱὸς μετὰ ταῦτα φαίνεται βασι-
Ιωαν. ε. ιζ. λεὺς ὤν. πῶς οὖν περὶ μὲν τοῦ πατρός φησιν αὐτός, ὅτι Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀ-
Δαν. β. μδ. γὼ ἐργάζομαι; περὶ δὲ αὐτοῦ ὁ Δανιήλ, ὅτι Ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, ἥτις οὐ παρελεύσεται; εἶδες πόσα ἄτοπα τίκτεται, καὶ μαχόμενα ταῖς γραφαῖς, ὅταν ἀνθρωπίνως ἐκλαμβάνῃ τις τὰ λεγόμενα; ποίαν δὲ καὶ ἀρχὴν ἄρα ἐνταῦθά φησι καταργεῖν; τὴν τῶν ἀγγέλων; ἄπαγε. ἀλλὰ τὴν τῶν πιστῶν; οὐδὲ τοῦτο. ἀλλὰ ποίαν; τὴν τῶν δαιμόνων,
Ἐφεσ. ς. ιβ. περὶ ἧς φησιν, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. νῦν μὲν γὰρ οὐδέπω κατήργηται τέλεον (ἐνεργοῦσι γὰρ πολλαχοῦ) τότε δὲ παύσονται.

25 Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Πάλιν κἀντεῦθεν ἕτερον ἄτοπον τίκτεται, ἂν μὴ καὶ τοῦτο θεοπρεπῶς ἐκλάβωμεν. τὸ γάρ, ἄχρις, τέλους ἐστὶ καὶ διορισμοῦ· ἐπὶ δὲ Θεοῦ, τοῦτο οὐκ ἔστιν.

26 Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Πῶς ἔσχατος; μετὰ πάντας, μετὰ τὸν διάβολον, μετὰ τὰ ἄλλα ἅπαντα. καὶ γὰρ καὶ ἐν ἀρχῇ ἔσχατος εἰσῆλθε. προηγεῖτο γὰρ ἡ συμβουλὴ τοῦ διαβόλου, καὶ ἡ παρακοή, καὶ τότε ὁ θάνατος. τῇ μὲν οὖν δυνάμει καὶ νῦν κατήργηται· τῇ δὲ ἐνεργείᾳ, τότε.

27 Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. ὅταν δὲ εἴπῃ, πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.

28 Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα. Καίτοι ἔμπροσθεν οὐ τὸν πατέρα ἔλεγεν εἶναι τὸν ὑποτάξαντα, ἀλλ' αὐτὸν καταργοῦντα. ὅταν γὰρ καταργήσῃ, φησί, πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν· καὶ πάλιν, δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. πῶς οὖν ἐνταῦθα τὸν πατέρα φησί; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δοκοῦν ἄπορον εἶναι, ἀλλ' ὅτι καὶ δέδοικε δέος σφόδρα ἄτοπον, καὶ κέχρηται ἐπιδιορθώσει λέγων, ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα, ὡς τάχα ὑποπτεύσαντι, μήποτε καὶ ὁ πατὴρ ὑποταγῇ τῷ υἱῷ, οὗ τί γένοιτ' ἂν ἀλογώτερον; ἀλλ' ὅμως αὐτὸ δέδοικε. τί οὖν ἐστι; καὶ γὰρ πολλὰ τὰ ζητήματα ἐφεξῆς κεῖται, ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν. καὶ γὰρ ἀναγκαῖον ἡμῖν πρότερον τὸν σκοπὸν εἰπεῖν Παύλου καὶ τὴν γνώμην, ἣν πανταχοῦ εὕροι τις ἂν διαλάμπουσαν, καὶ τότε τὴν λύσιν ἐπαγαγεῖν. καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν λύσιν ἡμῖν συντελεῖ. τίς οὖν

ἡ Παύλου γνώμη, καὶ τί τὸ ἔθος; ἄλλως, ὅταν περὶ τῆς θεότητος μόνης διαλέγηται, φθέγγεται, καὶ ἑτέρως, ὅταν εἰς τὸν τῆς οἰκονομίας ἐμπέσῃ λόγον. ὅταν γὰρ ἐπιλάβηται τῆς σαρκὸς, ἀδεῶς ἅπαντα λοιπὸν λέγει τὰ ταπεινὰ, θαρρῶν ὡς οὔσης ἱκανῆς δέξασθαι τὰ λεγόμενα. [γρ. δεξομένης] ἴδωμεν τοίνυν καὶ ἐνταῦθα πότερον περὶ γυμνῆς τῆς θεότητος ὁ λόγος αὐτῷ, ἢ μετὰ τῆς οἰκονομίας ἀποφαίνεται περὶ αὐτοῦ ταῦτα, ἅπερ φησί· μᾶλλον δὲ πρότερον δείξωμεν, ποῦ τοῦτο ἐποίησεν ὅπερ εἶπον. ποῦ τοίνυν τοῦτο ἐποίησε; Φιλιππησίοις γράφων φησὶν, Ὃς ἐν [Φιλιππ. β.] μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν. εἶδες πῶς, ὅτε μὲν περὶ τῆς θεότητος διελέγετο μόνης, τὰ μεγάλα ἐκεῖνα εἴρηκε, τὸ ἐν μορφῇ Θεοῦ ὑπάρχειν, καὶ τὸ εἶναι ἴσα τῷ γεγεννηκότι, καὶ αὐτῷ τὸ πᾶν ἀνατίθησιν; ἐπειδὴ δὲ ἔδειξεν αὐτὸν σεσαρκωθέντα, κατεβίβασε πάλιν τὸν λόγον. εἰ γὰρ μὴ ταῦτα διέλοις, πολλὴ ἡ μάχη τῶν εἰρημένων. καὶ γὰρ εἰ ἴσα Θεῷ ἦν, πῶς τὸν ἴσον ἑαυτῷ ὑπερύψωσε; εἰ ἐν μορφῇ Θεοῦ ἦν, πῶς ἐχαρίσατο αὐτῷ ὄνομα; ὁ γὰρ χαριζόμενος, τῷ μὴ ἔχοντι χαρίζεται, καὶ ὁ ὑψῶν, τὸν ἔμπροσθεν ταπεινὸν ὄντα ὑψοῖ. εὑρεθήσεται ἄρα ἀτελὴς ὢν, καὶ ἐνδεῶς ἔχων, πρὶν ἢ λαβεῖν τὸ ὕψος καὶ τὸ ὄνομα, καὶ μυρία ἕτερα λήμματα ἐντεῦθεν ἕψεται ἄτοπα. ἀλλ' ἐὰν τὴν οἰκονομίαν προσθῇς, οὐχ ἁμαρτήσῃ ταῦτα λέγων. ταῦτα δὴ καὶ ἐνταῦθα λογίζου, καὶ μετὰ τῆς γνώμης ἐκδέχου ταύτης τὰ εἰρημένα. μετὰ δὲ τούτων καὶ ἑτέρας αἰτίας ἐροῦμεν. τέως δὲ ἐκεῖνο ἀναγκαῖον εἰπεῖν, ὅτι καὶ περὶ ἀναστάσεως ὁ λόγος ἦν τῷ Παύλῳ, πράγματος ἀδυνάτου δοκοῦντος εἶναι καὶ σφόδρα ἀπιστουμένου· καὶ πρὸς Κορινθίους ἐπέστελλεν, ἔνθα πλείους οἱ φιλόσοφοι οἱ τὰ τοιαῦτα κωμῳδοῦντες ἀεί. καὶ γὰρ ἐν τοῖς ἄλλοις, ἀλλήλοις συῤῥηγνύμενοι, ἐν τούτῳ πάντες, ἅτε ἐξ ἑνὸς στόματος συνέπνευσαν, δογματίζοντες μὴ εἶναι ἀνάστασιν. ἀγωνιζόμενος τοίνυν ὑπὲρ τοιαύτης ὑποθέσεως οὕτως ἀπιστουμένης καὶ καταγελωμένης καὶ διά τε τὴν πρόληψιν τὴν γεγενημένην καὶ διά τε τοῦ πράγματος δυσκολίαν, καὶ βουλόμενος κατασκευάσαι τὸ δυνατὸν, πρῶτον ἐκ τῆς ἀναστάσεως τοῦ Χριστοῦ τοῦτο ἐργάζεται. καὶ ἀποδείξας αὐτὴν καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τῶν ἑωρακότων, καὶ ἀπὸ τῶν πιστευσάντων, ἐπειδὴ ἔλαβεν ὡμολογημένην τὴν εἰς ἄτοπον ἀπαγωγὴν, καὶ τὴν τῶν ἀνθρώπων κατασκευάζει λοιπόν. εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, φησὶν, οὐδὲ Χριστὸς ἐγήγερται. εἶτα συνεχῶς ταῦτα ἀντιστρέψας ἐν τοῖς ἔμπροσθεν, ἑτέρως πάλιν ἐπιχειρεῖ, ἀπαρχὴν αὐτὸν καλῶν, καὶ δεικνὺς καταργοῦντα πᾶσαν ἀρχὴν, καὶ ἐξουσίαν, καὶ δύναμιν, καὶ θάνατον ἔσχατον. πῶς οὖν καταργηθείη, φησὶν, ἐὰν μὴ πρότερον, ἅπερ εἶχεν, ἀποβάλῃ σώματα; ἐπεὶ οὖν μεγάλα περὶ τοῦ μονογενοῦς ἐφθέγξατο, ὅτι παραδίδωσι τὴν βασιλείαν, τουτέστιν, ὅτι αὐτὸς λύει ταῦτα, καὶ αὐτὸς τὸν πόλεμον νικᾷ, καὶ πάντα τίθησιν ὑπὸ τοὺς πόδας αὐτοῦ, ἐπήγαγε, τὴν ἀπιστίαν τῶν πολλῶν διορθούμενος· δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. οὐ τέλος ἐπιτιθεὶς τῇ βασιλείᾳ τὸ, ἄχρις, εἶπεν, ἀλλ' ἀξιόπιστον ποιῶν τὸ εἰρημένον, καὶ θαῤῥεῖν παρασκευάζων. μὴ γὰρ, ἐπειδὴ ἤκουσας, φησὶν, ὅτι καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ τὸν διάβολον καὶ τὰς τῶν δαιμόνων φάλαγγας τὰς τοσαύτας καὶ τῶν ἀπίστων τὰ πλήθη καὶ τοῦ θανάτου τὴν τυραννίδα καὶ τὰ κακὰ ἅπαντα, φοβηθῇς, ὡς ἀτονοῦντος αὐτοῦ. ἕως γὰρ ἂν ποιήσῃ ταῦτα πάντα, δεῖ βασιλεύειν αὐτόν· οὐ τοῦτο λέγων, ὅτι μετὰ τὸ ποιῆσαι, οὐ βασιλεύει, ἀλλ' ἐκεῖνο κατασκευάζων, ὅτι κἂν μὴ νῦν γένηται, πάντως ἔσται. οὐ γὰρ διακόπτεται αὐτοῦ ἡ βασιλεία. κρατεῖ γὰρ καὶ ἰσχύει καὶ μένει, ἕως ἂν πάντα κατορθώσῃ. τοῦτο δὲ τὸ ἔθος καὶ ἐν τῇ παλαιᾷ εὕροι τις ἄν, ὡς ὅταν λέγῃ, Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα· καὶ, Σὺ δὲ ὁ αὐτὸς [Ψαλμ. ριη. πθ.] εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. [Ψαλμ. ρα. κη.] ταῦτα δὲ λέγει ὁ προφήτης καὶ τὰ τοιαῦτα, ἐπειδὰν

περὶ τοῦ πατρὸς μετὰ τὸ διηγήσασθαι μακρῷ χρόνῳ κατορθουμένων καὶ πάντως ἐσομένων, τὴν δειλίαν τῶν παχυτέρων ἀκροατῶν ἐκβάλλων. ὅτι γὰρ τὸ, ἄχρις, ἐπὶ Θεοῦ λεγόμενον, καὶ, ἕως, οὐκ ἔστι τέλους, ἄκουσον τί φησιν· [Ψαλμ. πθ. β.] Ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· καὶ πάλιν, [Ἐξοδ. γ. ιδ.] Ἐγώ εἰμι· καὶ, [Ἡσ. μϛ. δ.] Ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι. διὰ δὴ τοῦτο καὶ ἔσχατον τίθησι τὸν θάνατον, ἵνα ἀπὸ τῆς τῶν ἄλλων νίκης καὶ τοῦτο εὐπαράδεκτον γένηται τῷ ἀπιστοῦντι. ὅταν γὰρ τὸν διάβολον ἀνέλῃ τὸν εἰσαγαγόντα τὸν θάνατον, πολλῷ μᾶλλον τὸ ἔργον τὸ ἐκείνου καταλύσει. ἐπεὶ οὖν πάντα αὐτῷ ἀνατέθεικε, τὸ καταργῆσαι τὰς ἀρχὰς, τὰς ἐξουσίας, τὸ κατορθῶσαι τὴν βασιλείαν, λέγω δὴ τῶν πιστῶν τὴν σωτηρίαν, τὴν τῆς οἰκουμένης εἰρήνην, τὴν τῶν κακῶν ἀναίρεσιν (τοῦτο γάρ ἐστι τὴν βασιλείαν κατορθῶσαι, τὸ καταλῦσαι τὸν θάνατον) καὶ οὐκ εἶπεν, ὅτι ὁ πατὴρ δι' αὐτοῦ, ἀλλ' αὐτὸς καταργήσει, καὶ αὐτὸς θήσει ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ οὐδαμοῦ τοῦ γεγεννηκότος ἐμνημόνευσεν· ἐφοβήθη λοιπὸν, μὴ διὰ τοῦτο δόξῃ παρά τισι τῶν ἀλογωτέρων ἢ μείζων εἶναι τοῦ πατρὸς ὁ υἱὸς, ἢ ἑτέρα τις ἀρχὴ ἀγέννητος. καὶ διὰ τοῦτο ἠρέμα ἀσφαλιζόμενος παραμυθεῖται τὸν ὄγκον τῶν εἰρημένων, λέγων· πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, πάλιν τῷ πατρὶ τὰ κατορθώματα ἀνατιθεὶς, οὐχ ὡς ἀτονοῦντος τοῦ παιδός. πῶς γὰρ, ᾧ τοσαῦτα ἐμαρτύρησεν ἔμπροσθεν, καὶ πάντα ἀνέθηκε τὰ εἰρημένα; ἀλλὰ διὰ τὴν αἰτίαν ἣν εἶπον, καὶ ἵνα δείξῃ κοινὰ πατρὶ καὶ υἱῷ τὰ ὑπὲρ ἡμῶν γενόμενα ἅπαντα. ὅτι γὰρ αὐτὸς ἑαυτῷ ἤρκεσεν εἰς τὸ ὑποτάξαι αὐτῷ τὰ πάντα, ἄκουσον πάλιν Παύλου λέγοντος· Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. εἶτα καὶ ἐπιδιορθώσει κέχρηται λέγων· ὅταν δὲ εἴπῃ, πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα, οὐ μικρὰν κἀντεῦθεν τῷ μονογενεῖ μαρτυρῶν δόξαν. εἰ γὰρ ἐλάττων ἦν καὶ πολὺ καταδεέστερος, οὐκ ἂν τοῦτο ἐφοβήθη τὸ δέος ποτέ. καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ ἕτερον προστίθησι λέγων. ἵνα γὰρ μή τις ὑποπτεύῃ καὶ λέγῃ, τί γὰρ εἰ καὶ μὴ ὑποτέτακται ὁ πατήρ; οὐδὲν τοῦτο κωλύει ἰσχυρότερον εἶναι τοῦ πατρὸς τὸν υἱόν, δείσας τὴν ἀσεβῆ ταύτην ὑπόνοιαν, ἐπειδὴ ἐκεῖνο οὐκ ἤρκει καὶ τοῦτο δεῖξαι, προσέθηκεν ἐκ περιουσίας πολλῆς· ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται, τὴν πολλὴν πρὸς τὸν πατέρα ὁμόνοιαν δεικνὺς, καὶ ὅτι οὗτος ἀρχὴ πάντων τῶν ἀγαθῶν καὶ αἰτία πρώτη, ὁ τὸν τοσαῦτα δυνάμενον καὶ κατορθοῦντα γεγεννηκώς. εἰ δὲ πλέον εἴρηκεν, ἢ ἀπῄτει τοῦ πράγματος ἡ ὑπόθεσις, μὴ θαυμάσῃς. τὸν γὰρ διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος, ταῦτα ποιεῖ. καὶ γὰρ αὐτὸς ὁμόνοιαν δεῖξαι βουλόμενος πρὸς τὸν γεγεννηκότα, καὶ ὅτι οὐ παρὰ γνώμην αὐτοῦ ἀφῖκται, τοσοῦτον καταβαίνει, οὐχ ὅσον ἀπῄτει τῆς ὁμονοίας ἡ ἀπόδειξις, ἀλλ' ὅσον ἐδεῖτο τῶν παρόντων ἡ ἀσθένεια. εὔχεται γὰρ τῷ γεγεννηκότι δι' οὐδὲν ἄλλο, ἢ διὰ τοῦτο, καὶ τὴν αἰτίαν τιθεὶς φησίν, [Ἰωαν. ια. μβ.] Ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. τοῦτον οὖν μιμούμενος καὶ ἐνταῦθα ἐκ περιουσίας τῇ λέξει κέχρηται, οὐχ ἵνα δουλείαν κατηναγκασμένην ὑποπτεύσῃς (ἄπαγε) ἀλλ' ἵνα τὰ ἄτοπα ἐκεῖνα δόγματα ἐκ περιουσίας ἐκβάλῃ. καὶ γὰρ ὅταν βούληταί τι πρόρριζον ἀνασπάσαι, πολλῇ κέχρηται τῇ περιουσίᾳ. οὕτω γοῦν καὶ περὶ γυναικὸς πιστῆς λέγων καὶ ἀνδρὸς ἀπίστου ὁμιλούντων ἀλλήλοις νόμῳ γάμου, ἵνα μὴ νομίσῃ ἡ γυνὴ μολύνεσθαι ἀπὸ τῆς μίξεως καὶ τῆς περιπλοκῆς τῆς πρὸς τὸν ἄπιστον, οὐκ εἶπεν, ὅτι οὐκ ἔστιν ἀκάθαρτος ἡ γυνή, οὐδ', ὅτι οὐδὲν βλάπτεται παρὰ τοῦ ἀπίστου, ἀλλ', ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ [α. Κορ. ζ. ιδ.] Ὁ ἄπιστος ἡγίασται δι' αὐτῆς, οὐ τοῦτο δεῖξαι βουλόμενος, ὅτι ὁ Ἕλλην ἅγιος ἐγένετο ἐξ ἐκείνης, ἀλλὰ τῇ ὑπερβολῇ τοῦ ῥήματος τὸν φόβον αὐτῆς ἐκλῦσαι σπουδάζων. οὕτω καὶ ἐνταῦθα τῇ περιουσίᾳ τῆς λέξεως τὸ ἀσεβὲς ἐκεῖνο δόγμα ἀνελεῖν ἐσπουδακώς, εἶπεν ὅπερ εἴρηκεν. ὥσπερ γὰρ ἀσθενῆ τὸν υἱὸν ὑποπτεύειν, τῆς ἐσχάτης παρανομίας ἐστί· διόπερ αὐτὸς διορθοῦται λέγων, ὅτι πάντας τοὺς ἐχθροὺς αὐτοῦ θή-

σει

σει ὑπὸ τοὺς πόδας αὐτοῦ· οὕτω πάλιν ἀσεβέστερον τοῦτο τὸ ἐλάττονα νομίζειν τὸν πατέρα. διὸ καὶ αὐτὸ μετὰ πολλῆς ἀναιρεῖ τῆς ὑπερβολῆς. καὶ ὅρα πῶς αὐτὸ τίθησιν. οὐ γὰρ εἶπεν, ἐκτὸς τοῦ ὑποτάξαντος ἁπλῶς, ἀλλὰ δῆλον ὅτι. εἰ γὰρ καὶ ὡμολόγηται, φησὶν, ἀλλ' ὅμως ἀσφαλίζομαι. καὶ ἵνα μάθῃς, ὅτι αὕτη ἐστὶν ἡ αἰτία τῶν εἰρημένων, ἐκεῖνο ἄν σε ἐροίμην· ἆρα προσθήκη δόξης ὑποταγῆς τότε τῷ υἱῷ; καὶ πῶς οὐκ ἄτοπον καὶ Θεοῦ ἀνάξιον; ἡ γὰρ μεγίστη ὑποταγὴ καὶ ὑπακοὴ αὕτη, τὸ τὸν Θεὸν ὄντα δούλου μορφὴν λαβεῖν. πῶς οὖν τότε ὑποταγήσεται; ὁρᾷς ὅτι πολὺ ἄτοπον ὑποψίαν ἀναιρῶν, τοῦτο τέθεικε· καὶ τοῦτο δὲ μετὰ τῆς προσηκούσης ὑπονοίας· ὡς γὰρ υἱῷ προσῆκε καὶ Θεῷ, οὕτως ὑπακούει, οὐκ ἀνθρωπίνως, ἀλλ' ἐλευθεριάζων καὶ ἐξουσίαν πᾶσαν ἔχων. ἐπεὶ πῶς σύνθρονος; πῶς ὡς ὁ πατὴρ ἐγείρει, οὕτω καὶ αὐτὸς οὓς θέλει; πῶς τὰ τοῦ πατρὸς, αὐτοῦ πάντα, καὶ τὰ αὐτοῦ, τοῦ πατρός; ταῦτα γὰρ ἐξουσίαν ἀπηκριβωμένην πρὸς τὸν γεγεννηκότα ἡμῖν ἐνδείκνυται. τί δέ ἐστιν, ὅταν παραδῷ τὴν βασιλείαν; βασιλείας τοῦ Θεοῦ δύο οἶδεν ἡ γραφὴ, τὴν μὲν κατ' οἰκείωσιν, τὴν δὲ κατὰ δημιουργίαν. βασιλεύει μὲν γὰρ ἁπάντων, καὶ Ἑλλήνων, καὶ Ἰουδαίων, καὶ δαιμόνων, καὶ τῶν ἀντιτεταγμένων, κατὰ τὸν τῆς δημιουργίας λόγον· βασιλεύει δὲ τῶν πιστῶν, καὶ ἑκόντων, καὶ ὑποτεταγμένων, κατὰ τὸν τῆς οἰκειώσεως. αὕτη ἡ βασιλεία καὶ ἀρχὴν ἔχειν λέγεται. περὶ γὰρ ταύτης φησὶ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ, Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. (Ψαλ. β. η.) περὶ ταύτης καὶ αὐτὸς εἴρηκε τοῖς μαθηταῖς, Ἐδόθη μοι πᾶσα ἐξουσία ὑπὸ τοῦ πατρός μου, (Ματθ. κη. ιη.) τῷ γεγεννηκότι ἅπαντα ἀνατιθεὶς, οὐχ ὡς αὐτὸς οὐκ ἀρκῶν, ἀλλὰ δεικνὺς ὅτι υἱός ἐστι, καὶ οὐχὶ ἀγέννητος. ταύτην οὖν παραδίδωσι, τουτέστι, κατορθοῖ. τί ποτ' οὖν περὶ τοῦ πνεύματος, φησὶν, οὐδὲν εἴρηκεν; ὅτι οὐ περὶ τούτου ὁ λόγος αὐτῷ τέως νῦν, οὐδὲ ὁμοῦ πάντα συγχεῖ. ἐπεὶ καὶ ὅταν λέγῃ, Εἷς ὁ Θεὸς ὁ πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς, (α. Κορ. η. ς.) οὐ πάντως ἔλαττον ἀφεὶς εἶναι τὸ πνεῦμα, διὰ τοῦτο σιγᾷ, ἀλλ' ἐπειδὴ τέως οὐ κατήπειγε, τοῦτο εἶπεν. οἶδε γὰρ καὶ τοῦ πατρὸς μεμνῆσθαι μόνου, καὶ οὐ διὰ τοῦτο τὸν υἱὸν ἐκβαλοῦμεν· οἶδε καὶ τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος μόνου, καὶ οὐ διὰ τοῦτο τὸν πατέρα ἀθετήσομεν. τί δέ ἐστιν, Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν;

Ἵνα ἅπαντα εἰς αὐτὸν ἀνηρτημένα ᾖ, ἵνα μὴ δύο τις ἀρχὰς ἀνάρχους ὑποπτεύῃ, μηδὲ ἑτέραν βασιλείαν ἀπεσχισμένην. ὅταν γὰρ οἱ μὲν ἐχθροὶ ὑπὸ τοὺς πόδας ὦσι κείμενοι τοῦ παιδὸς, ὁ δὲ ἔχων αὐτοὺς ὑπὸ πόδας ἐρριμμένους μὴ στασιάζῃ πρὸς τὸν γεγεννηκότα, ἀλλ' ὁμονοῇ μετὰ πολλῆς τῆς ἀκριβείας, αὐτὸς ἔσται τὰ πάντα ἐν πᾶσι. τινὲς δὲ τῆς κακίας τὴν ἀναίρεσιν δηλοῦντα τοῦτο αὐτὸν εἰρηκέναι φασὶν, ὡς πάντων εἰκόντων λοιπὸν, καὶ οὐδενὸς ἀνθισταμένου, οὐδὲ πονηρευομένου. ὅταν γὰρ ἁμαρτία μὴ ᾖ, εὔδηλον ὅτι ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν. εἰ δὲ μὴ ἀνίστανται τὰ σώματα, πῶς ταῦτα ἀληθῆ; ὁ γὰρ χαλεπώτατος ἐχθρὸς ἁπάντων θάνατος μένει λύσας, ὅπερ ἠθέλησεν. οὐχί, φησιν· οὐδὲ γὰρ ἁμαρτήσονται λοιπόν, φησι. καὶ τί τοῦτο; οὐδὲ γὰρ περὶ τοῦ θανάτου τῆς ψυχῆς, ἀλλὰ περὶ τοῦ σωματικοῦ διαλέγεται ἐνταῦθα. πῶς οὖν καταργεῖται; νίκη γὰρ τοῦτο ἐστι, τὸ τὰ ἀφαιρεθέντα καὶ κατεχόμενα λαβεῖν. εἰ δὲ μέλλει κατέχεσθαι ἐν τῇ γῇ τὰ σώματα, ἄρα μένει αὐτοῦ ἡ τυραννὶς, τῶν μὲν κατεχομένων, ἑτέρου δὲ οὐκ ὄντος σώματος ἔνθα ἡττηθήσεται. ἂν δὲ τοῦτο, ὅπερ εἶπεν ὁ Παῦλος, γένηται, ὥσπερ οὖν καὶ γενήσεται, καὶ λαμπρὰ ἡ νίκη φανεῖται, τοῦ Θεοῦ δυνηθέντος ἀναστῆσαι τὰ κατασχεθέντα ὑπ' αὐτοῦ σώματα. ἐπεὶ καὶ πολέμιον τότε τις νικᾷ, ὅταν λάβῃ τὰ σκῦλα, οὐχ ὅταν ἀφῇ παρ' αὐτῷ μένειν. εἰ δὲ μή τις τολμῴη τὰ αὐτοῦ λαβεῖν, πῶς ἂν φαίημεν αὐτὸν ἡττηθῆναι; (γρ. ἡττῆσθαι;) τοῦτον καὶ ὁ Χριστὸς τῆς νίκης τὸν τρόπον ἐν τοῖς εὐαγγελίοις νενικηκέναι φησὶν, οὕτω λέγων· Ὅταν δήσῃ τὸν ἰσχυρὸν, τότε καὶ τὰ σκεύη αὐτοῦ διαρπάσει. (Ματθ. ιβ. κθ.) ἐπεὶ εἰ μὴ τοῦτο γένοιτο, οὐδὲ νίκη σαφὴς ἂν εἴη. ὥσπερ γὰρ ἐπὶ τοῦ θανάτου τῆς ψυχῆς ὁ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, καὶ οὐκ ἂν εἴποιμεν τοῦτο νίκην εἶναι (ἐκεῖνος

γάρ ἐστιν ὁ νενικηκώς, οὐχ ὁ μὴ περιαχθεὶς τοῖς κακοῖς, ἀλλ' ὁ τὴν ἤδη γεγενημένην τῶν παθῶν αἰχμαλωσίαν διαλύσας) οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τὸ μὴ εἶναι τὸν θάνατον ἐπινεμόμενον τὰ σώματα φαίην ἂν εἶναι νίκην λαμπράν, ἀλλὰ τὸ τὰ καταχθέντα ἤδη παρ' αὐτοῦ ἀποσπασθῆναι. Εἰ δὲ ἔτι φιλονεικοῖεν καὶ λέγοιεν περὶ τοῦ ψυχικοῦ θανάτου ταῦτα εἰρῆσθαι, πῶς ἔσχατος καταργεῖται ἐστί; καὶ γὰρ ἐφ' ἑκάστῳ βαπτιζομένῳ κατηργήθη τέλεον. ἂν μέντοι περὶ σώματος λέγῃς, ἔχει χώραν τὸ εἰρημένον, ὅτι ὁ ἔσχατος καταργεῖται. Εἰ δέ τις ἀπορείη τίνος ἕνεκεν περὶ ἀναστάσεως διαλεγόμενος, οὐ παρήγαγεν εἰς μέσον τὰ ἀναστάντα σώματα ἐπὶ τοῦ Κυρίου, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἦν τοῦτο ὑπὲρ τῆς ἀναστάσεως εἰπεῖν. τὸ γὰρ τοὺς ἀναστάντας δεῖξαι πάλιν ἀποθνήσκοντας, οὐκ ἦν ἀποδεικνύντος ὅτι εἰς τέλος καταργεῖται ὁ θάνατος. διὰ γὰρ τοῦτο καὶ ἔσχατον αὐτὸν εἶπε καταργεῖσθαι, ἵνα μηκέτι ὑποτελθύσης αὐτὸν ἀνίστασθαι. τῆς γὰρ κακίας ἀναιρεθείσης, πολλῷ μᾶλλον ὁ θάνατος παύσεται. οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τῆς πηγῆς ξηραινομένης, τὸν ἐξ αὐτῆς συνεστάναι ποταμόν, καὶ τῆς ῥίζης ἀφανιζομένης, τὸν καρπὸν μένειν. γρ. διαπ.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἐν τῇ τελευταίᾳ ἡμέρᾳ οἱ ἐχθροὶ καταργοῦνται τοῦ Θεοῦ μετὰ τοῦ θανάτου, καὶ τοῦ διαβόλου, καὶ τῶν δαιμόνων, μὴ ἀγαλλώμεθα ἐπὶ τοῖς εὐημεροῦσιν ἐχθροῖς τοῦ Θεοῦ. οἱ γὰρ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλείποντες, ὡσεὶ καπνὸς ἐξέλιπον. ὅταν ἴδῃς τινὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ πλουτοῦντα, δορυφορούμενον, κόλακας ἔχοντα πολλούς, μὴ καταπέσῃς, ἀλλὰ στέναξον, δάκρυσον, παρακάλεσον τὸν Θεόν, ὥστε αὐτὸν εἰς τοὺς φίλους κατατάξαι· καὶ ὅσῳ ἂν εὖ πράττῃ ἐχθρὸς ὤν, τοσούτῳ αὐτὸν μᾶλλον πένθησον. τοὺς γὰρ ἁμαρτάνοντας ἀεὶ μὲν θρηνεῖν δεῖ, μάλιστα δὲ ὅταν καὶ πλούτου καὶ πολλῆς ἀπολαύωσιν εὐημερίας, καθάπερ τοὺς νοσοῦντας, ὅταν γαστρίζωνται καὶ μεθύωσιν. ἀλλ' εἰσί τινες, οἳ καὶ τούτων ἀκούοντες τῶν ῥημάτων, οὕτως ἀθλίως διάκεινται, ὡς στενάζειν ἐπ' αὐτοῖς πάλιν καὶ λέγειν, ὅτι δακρύων ἄξιος ἐγὼ ὁ μηδὲν ἔχων. καλῶς εἶπες, ὁ μηδὲν ἔχων, οὐκ ἐπειδὴ οὐκ ἔχεις ἅπερ ἐκεῖνος, ἀλλ' ἐπειδὴ μακαριστὸν τὸ πρᾶγμα νομίζεις. διὸ καὶ μυρίων ἄξιος ἂν εἴης θρήνων. καὶ γὰρ εἴ τις ἐν ὑγείᾳ ζῶν μακαρίζοι τὸν ἀρρωστοῦντα καὶ ἐν μαλακῇ στρωμνῇ κατακείμενον, ἐκείνου πολλῷ ταλαιπωρότερος καὶ ἀθλιώτερός ἐστιν, ὅτι τῶν οἰκείων ἀγαθῶν οὐδεμίαν αἴσθησιν ἔχει. ὃ δὴ καὶ ἐπὶ τούτων ἔστιν ἰδεῖν συμβαῖνον· ὅθεν καὶ ὁ βίος ἡμῶν ἅπας συγκέχυται καὶ τετάρακται. ταῦτα γὰρ τὰ ῥήματα μυρίους ἀπώλεσε, καὶ τῷ διαβόλῳ παρέδωκε, καὶ τῶν λιμῷ τηκομένων ἐλεεινοτέρους ἐποίησεν. ὅτι γὰρ οἱ τοῦ πλείονος ἐφιέμενοι, οὗτοι καὶ τῶν προσαιτούντων εἰσὶν ἀθλιώτεροι, ἅτε καὶ μείζονι καὶ δριμυτέρᾳ ἀθυμίᾳ τούτων κατεχόμενοι, δῆλον ἐντεῦθεν. αὐχμὸς κατέλαβέ ποτε τὴν πόλιν τὴν ἡμετέραν, καὶ πάντες ἔτρεμον ὑπὲρ τῶν ἐσχάτων, καὶ τὸν Θεὸν παρεκάλουν λῦσαι τουτὶ τὸ δέος. καὶ ἦν ἰδεῖν τότε τὸ ὑπὸ Μωϋσέως εἰρημένον, Χαλκοῦν τὸν οὐρανὸν γεγενημένον, καὶ θάνατον τὸν ἁπάντων θανάτων χαλεπώτερον καθ' ἑκάστην προσδοκώμενον τὴν ἡμέραν· ἀλλ' ὕστερον, δόξα τῷ φιλανθρώπῳ Θεῷ, παρὰ ἐλπίδα ἅπασαν πολὺς κατεφέρετο καὶ ἄπειρος ἄνωθεν ὑετός, καὶ πάντες ἐν πανηγύρει καὶ ἑορτῇ λοιπόν, ἅτε ἐξ αὐτῶν ἀναβάντες τῶν τοῦ θανάτου πυλῶν. ἀλλ' ἐν τοσούτοις ἀγαθοῖς καὶ τῇ κοινῇ πάντων εὐφροσύνῃ, τῶν ζαπλουτούντων τις τούτων στυγνὸς καὶ κατηφής, ἀποτεθνηκὼς ὑπὸ τῆς ἀθυμίας περιῄει, καὶ πολλῶν τὴν αἰτίαν πυνθανομένων, δι' ἣν ἐν τῇ κοινῇ πάντων ἀνθρώπων ἡδονῇ μόνος ἀλγεῖ, οὐδὲ κατασχεῖν ἔνδον ἴσχυσε τὸ χαλεπὸν τοῦτο πάθος, ἀλλ' ὑπὸ τῆς τυραννίδος τοῦ νοσήματος κεντούμενος, εἰς μέσον ἐξήνεγκε τὴν αἰτίαν. μυρία γὰρ μέτρα σίτου κεκτημένος, φησίν, οὐκ ἔχω πῶς διάθωμαι ταῦτα λοιπόν. ἆρ' οὖν τοῦτον μακαριοῦμεν, εἰπέ μοι, ὑπὲρ τούτων τῶν ῥημάτων, ὑπὲρ ὧν καταλευσθῆναι αὐτὸν ἔδει, τὸν θηρίου παντὸς ὠμότερον, τὸν κοινὸν ἐχθρόν; τί λέγεις, ἄνθρωπε; ἀλγεῖς ὅτι μὴ πάντες ἀπώλοντο, ἵνα συναγάγῃς χρυσίον; οὐκ ἤκουσας τί φησιν ὁ Σολομῶν, Ὁ τιμιουλκῶν σῖτον δημοκατάρατος,

Margin notes: Δευτ. κη. κγ. — Παροιμ. ια. — γρ. ἰδ. — γρ. φα. — γρ. ζαπλ.

ρατος, ἀλλὰ περιέρχεται κοινὸς ἐχθρὸς τῶν τῆς οἰκουμένης ἀγαθῶν, καὶ τῇ φιλοτιμίᾳ τοῦ δεσπότου τῆς οἰκουμένης πολέμιος, καὶ τοῦ μαμωνᾶ φίλος, μᾶλλον δὲ δοῦλος; οὐ γὰρ ἐκκόπτεσθαι τὴν γλῶτταν ἐκείνου ἔδει; οὐ γὰρ σβεσθῆναι τὴν καρδίαν τὴν ταῦτα τεκοῦσαν τὰ ῥήματα; εἶδες πῶς οὐκ ἀφίησιν ἀνθρώπους εἶναι τοὺς ἀνθρώπους τὸ χρυσίον, ἀλλὰ θηρία καὶ δαίμονας; τί γὰρ ἂν τούτου γένοιτ᾽ ἂν ἐλεεινότερον τοῦ πλουσίου, τοῦ καθ᾽ ἑκάστην ἡμέραν εὐχομένου γενέσθαι λιμὸν, ἵνα αὐτῷ γένηται χρυσίον; καὶ γὰρ εἰς τοὐναντίον αὐτῷ τὸ πάθος περιΐσταται λοιπόν. οὐδὲ γὰρ χαίρει τῇ ἀφθονίᾳ τῆς τῶν καρπῶν κτήσεως, ἀλλὰ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο ἀλγεῖ λοιπὸν, ὅτι ἄπειρα κέκτηται, καίτοι τὸν πολλὰ κεκτημένον χαίρειν ἔδει· οὗτος δὲ δι᾽ αὐτὸ τοῦτο ἀθυμεῖ. ὁρᾷς ὅτι ὅπερ ἔλεγον οὐ τοσαύτην ἀπὸ τῶν προσόντων καρποῦνται τὴν ἡδονὴν οἱ πλουτοῦντες, ὅσην ἀπὸ τῶν μηδέπω προσγεγενημένων ὑπομένουσι τὴν ἀθυμίαν; ὁ γὰρ σίτου μυριάδας ἀπείρους κεκτημένος τοῦ πεινῶντος μᾶλλον ἤλγει καὶ ἔστενε. καὶ ὁ μὲν τὴν ἀναγκαίαν ἔχων τροφὴν, ἐστεφανοῦτο, καὶ ἐσκίρτα, καὶ ηὐχαρίστει τῷ Θεῷ· ὁ δὲ τοσοῦτον κεκτημένος ἐδυσχέραινε, καὶ ἀπολωλέναι ἐνόμιζεν. οὐκ ἄρα περιουσία ἐστὶν ἡ τὴν ἡδονὴν ποιοῦσα, ἀλλὰ γνώμη φιλόσοφος· ὡς ταύτης ἄνευ, κἂν τὰ πάντα τις λαβὼν ἔχῃ, ὡς πάντων ἐστερημένος οὕτω διάκειται καὶ θρηνήσει. ἐπεὶ καὶ οὗτος, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, εἰ καὶ τοσαύτης ἀπέδοτο τιμῆς ἅπερ εἶχεν, ὅσης ἐβούλετο, πάλιν ἂν ἤλγησεν ὅτι μὴ πλείονος, καὶ εἰ πλείονος ἴσχυσε, πάλιν ἂν ἑτέραν ἐζήτησεν ὑπερβολήν. καὶ εἰ τὸ μέδιμνον ἑνὸς χρυσίου διέθετο, κἂν ἐνταῦθα διεκόπτετο πάλιν ὑπὸ τῆς ἀθυμίας, ὅτι μὴ τὸ ἡμιμέδιμνον τοσούτου ἦν. εἰ δὲ μὴ παρὰ τὴν ἀρχὴν τοσαύτη ἡ τιμὴ, μὴ θαυμάσῃς· ἐπεὶ καὶ οἱ μεθύοντες οὐκ ἐξ ἀρχῆς ἐμπίπρανται, ἀλλ᾽ ὅταν πολλοῦ τοῦ ἀκράτου ἐμφορηθῶσι, τότε χαλεπωτέραν ἀνάπτουσι τὴν φλόγα. καὶ οὗτοι τοίνυν ὅσῳ ἂν πλείονα περιβάλωνται, τοσούτῳ ἐν μείζονι ἐνδείᾳ καθίστανται, καὶ οἱ πλείονα κερδαίνοντες, αὐτοὶ μάλιστά εἰσιν οἱ πενόμενοι. ταῦτα δέ μοι οὐ πρὸς τοῦτον εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς ἕκαστον τῶν τὰ τοιαῦτα ποιούντων, καὶ τὴν τῶν ὠνίων τιμὴν ἐπιτεινόντων καὶ τὴν τῶν πλησίον πενίαν πραγματευομένων. φιλανθρωπίας μὲν γὰρ οὐδεὶς οὐδαμοῦ λόγος· πανταχοῦ δὲ ὁ τῆς πλεονεξίας ἔρως ἐπὶ τοῦ καιροῦ τῆς πράσεως πολλοὺς ἐξάγει· καὶ σῖτον καὶ οἶνον ὁ μὲν θᾶττον, ὁ δὲ βραδύτερον ἀπέδοτο· οὐδέτερος μέντοι ἀπὸ κηδεμονίας, ἀλλ᾽ ὁ μὲν, ἵνα πλείονα λάβῃ, ὁ δὲ ἵνα μὴ ἐλάττω, σαπέντος αὐτῷ τοῦ καρποῦ. ἐπειδὴ γὰρ οἱ πλείους οὐ πολλὴν τῶν τοῦ Θεοῦ νόμων ποιούμενοι λόγον, πάντα ἔνδον κατακλείσαντες ἔχουσιν, ἑτέρως αὐτοὺς εἰς φιλανθρωπίαν ἐξάγων ὁ Θεὸς, ἵνα κἂν ἀνάγκῃ τι ποιήσωσι χρηστὸν, μείζονος ζημίας ἐνέβαλε δέος, οὐκ ἀφιεὶς εἰς πολὺν διαρκεῖν χρόνον τῆς γῆς τοὺς καρποὺς, ἵνα κἂν τὴν ἀπὸ τῆς φθορᾶς δεδοικότες βλάβην, προδῶσι τοῖς δεομένοις καὶ ἄκοντες, ἅπερ οἴκοι κατορύξαντες τηροῦσι κακῶς. ἀλλὰ γὰρ καὶ μετὰ ταῦτα οὕτω τινές εἰσιν ἄπληστοι, ὡς μηδὲ ἐντεῦθεν παιδεύεσθαι. πολλοὶ γοῦν καὶ πίθους ὁλοκλήρους ἐκένωσαν, πένητι μὲν οὐδὲ κύαθον δόντες, οὐδὲ ἀργυρίου τοῖς δεομένοις, ὄξινον δὲ γενόμενον εἰς τὴν γῆν ῥίψαντες ἅπαντα, καὶ τοὺς πίθους αὐτῶν προσδιαφθείραντες τῷ καρπῷ. ἕτεροι δὲ πάλιν οὐδὲ μάζης μιᾶς τῷ πεινῶντι μεταδόντες, ὁλόκληρα σιτοδοχεῖα εἰς ποταμὸν ἔρριψαν· καὶ ἐπειδὴ τοῦ Θεοῦ κελεύοντος διδόναι τοῖς δεομένοις οὐκ ἤκουσαν, τοῦ σητὸς ἐπιτάττοντος καὶ ἄκοντες τὸ ἔνδον ἅπαν ἐξήντλησαν εἰς ἀπώλειαν καὶ φθορὰν ἐσχάτην, πολὺν μὲν τὸν γέλωτα, πολλὰς δὲ τὰς ἀρὰς κατὰ τῆς ἑαυτῶν κεφαλῆς μετὰ τῆς ζημίας ἐπισπασάμενοι ταύτης. καὶ τὰ μὲν ἐνταῦθα, τοιαῦτα· τὰ δὲ ἐκεῖ, τίς παραστήσει λόγος; ὥσπερ γὰρ οὗτοι τὸν σιτόβρωτον ἐνταῦθα σῖτον ἄχρηστον γενόμενον εἰς ποταμοὺς ῥίπτουσιν, οὕτω τοὺς ταῦτα ἐργαζομένους δι᾽ αὐτὸ τοῦτο ἀχρήστους γενομένους εἰς τὸν τοῦ πυρὸς ῥίπτει ποταμὸν ὁ Θεός. καθάπερ γὰρ τὸν σῖτον ὁ σὴς καὶ ὁ σκώληξ, οὕτω τὰς τούτων ψυχὰς ἡ ὠμότης καὶ ἡ ἀπανθρωπία διέφαγε. τούτων δὲ αἴτιον, τὸ τοῖς παροῦσι προσηλῶσθαι, καὶ πρὸς τὴν ζωὴν ταύτην κεχηνέναι μόνον. ὅθεν καὶ μυρίας

ἀθυμίας

ἀθυμίας μεστοὶ γίνονται οἱ τοιοῦτοι. κἂν γὰρ ὅπου εἴπῃς ἡδὺ, πάντα ἱκανός ἐστιν ἀφανίσαι τῆς τελευτῆς ὁ φόβος, καὶ τέθνηκεν ὁ τοιοῦτος ἔτι ζῶν. καὶ ὁ μὲν τῶν ἀπίστων ταῦτα πάσχει, θαυμαστὸν οὐδέν· ὅταν δὲ οἱ τοσούτων μυστηρίων ἀπολελαυκότες, καὶ τοσαῦτα περὶ τῶν μελλόντων φιλοσοφήσαντες τοῖς παροῦσιν ἐμφιλοχωρῶσι, τίνος ἂν εἶεν ἄξιοι συγγνώμης; πόθεν οὖν γίνεται τὸ τοῖς παροῦσιν ἐμφιλοχωρεῖν; ἀπὸ τοῦ τρυφῇ προσέχειν, καὶ λιπαίνειν τὴν σάρκα, καὶ θρύπτειν τὴν ψυχήν, καὶ βαρὺ τὸ φορτίον ἐργάζεσθαι καὶ πολὺ τὸ σκότος καὶ παχὺ τὸ παραπέτασμα. ἐν γὰρ τῇ τρυφῇ τὸ μὲν κρεῖττον δουλεύεται, τὸ δὲ χεῖρον κρατεῖ· καὶ τὸ μὲν τυφλοῦται πάντοθεν καὶ σύρεται πεπηρωμένον, τὸ δὲ ἄγει καὶ περιάγει πανταχοῦ, ἐν τῇ τῶν ἀγομένων ὀφεῖλον κεῖσθαι τάξει. καὶ γὰρ πολὺς ὁ σύνδεσμος τῆς ψυχῆς πρὸς τὸ σῶμα, τοῦτο τοῦ δημιουργοῦ μηχανησαμένου, ἵνα μὴ ὡς ἀλλότριον αὐτὸ πείθωσί τινες μισεῖν. ὁ μὲν γὰρ Θεὸς τοὺς ἐχθροὺς ἐκέλευσε φιλεῖν· ὁ δὲ διάβολος τοσοῦτον ἴσχυσεν, ὡς καὶ τὸ οἰκεῖον σῶμα πεῖσαί τινας μισεῖν. ὅταν γὰρ εἴπῃ ὅτι τοῦ διαβόλου ἐστὶν, οὐδὲν ἄλλο κατασκευάζει, ἢ τοῦτο· ὅπερ ἐσχάτης ληρῳδίας ἐστίν. εἰ γὰρ τοῦ διαβόλου ἐστὶ, τίς ἡ τοσαύτη συμφωνία, ὡς ἐπιτήδειον αὐτὸ πάντοθεν εἰς τὰς τῆς φιλοσόφου ψυχῆς ἐνεργείας κατασκευάσαι; καὶ εἰ ἐπιτήδειόν, φησι, πῶς αὐτὴν τυφλοῖ; οὐχὶ τὸ σῶμά ἐστι τὸ τυφλοῦν τὴν ψυχήν (ἄπαγε, ἄνθρωπε) ἀλλ' ἡ τρυφή. τῆς δὲ τρυφῆς πόθεν ἐφιέμεθα; οὐ παρὰ τὸ σῶμα ἔχειν, οὐδαμῶς· ἀλλὰ παρὰ προαίρεσιν πονηράν. τὸ γὰρ σῶμα τροφῆς δεῖται, οὐ τρυφῆς, τὸ σῶμα τοῦ τρέφεσθαι χρῄζει, οὐχὶ τοῦ διακόπτεσθαι καὶ διαρρεῖν. οὐδὲ γὰρ ψυχῇ μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ σώματι τῷ τρεφομένῳ πολέμιον ἡ τρυφή. καὶ γὰρ ἀσθενέστερον ἀντὶ ἰσχυροῦ γίνεται, καὶ μαλακώτερον ἀντὶ στερροῦ, καὶ ἐπίνοσον ἀντὶ ὑγιεινοῦ, καὶ βαρύτερον ἀντὶ κούφου, καὶ ἀραιότερον ἀντὶ πυκνοῦ, καὶ αἰσχρὸν ἀντὶ ὡραίου, καὶ δυσωδέστερον ἀντὶ εὐώδους, καὶ ἀκάθαρτον ἀντὶ καθαροῦ, καὶ περιώδυνον ἀντὶ ἀνωδύνου, καὶ ἄχρηστον ἀντὶ χρησίμου, καὶ παλαιὸν ἀντὶ νέου, καὶ σαθρὸν ἀντὶ ἰσχυροῦ, καὶ βραδὺ καὶ νωθρὸν ἀντὶ τάχεος, καὶ χωλὸν ἀντὶ ἀρτίου. καίτοι εἰ τοῦ διαβόλου ἦν, οὐκ ἐχρῆν ὑπὸ τῶν αὐτοῦ παραβλάπτεσθαι, τῆς κακίας λέγω. ἀλλ' οὔτε τὸ σῶμα, οὔτε τὰ σιτία, τοῦ διαβόλου, ἀλλ' ἡ τρυφὴ μόνη. διὰ γὰρ ταύτης τὰ μυρία ὁ
Δευτ. λβ. ιε. πονηρὸς δαίμων ἐκεῖνος ἀνύει κακά. οὕτω δῆμον ὁλόκληρον ἐξετραχήλισεν. Ἐλιπάνθη γάρ, φησι, καὶ ἐπαχύνθη, καὶ ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. καὶ Σοδομίταις δὲ
Ἐζεκ. ις. μθ. ἐντεῦθεν ἡ ἀρχὴ τῶν κεραυνῶν ἐκείνων ἐγένετο. καὶ τοῦτο δηλῶν ὁ Ἰεζεκιὴλ ἔλεγε· Πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων, ἐν ὑπερηφανίᾳ καὶ ἐν πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίαις
α. Τιμ. ε. ϛ. ἐσπατάλων. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. τί δήποτε; ὅτι ὥσπερ τάφον τὸ σῶμα περιφέρει μυρίοις συνδεδεμένον κακοῖς. εἰ δὲ τὸ σῶμα οὕτως ἀπόλλυται, πῶς ἡ ψυχὴ διακείσεται, πόσου θορύβου, πόσων κυμάτων, πόσης ζάλης ἀνάπλεως ἔσται; διά τοι τοῦτο πρὸς πάντα ἄχρηστος γίνεται, καὶ οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι, οὔτε βουλεύσασθαι, οὔτε τι πρᾶξαι τῶν δεόντων ῥᾳδίως δυνήσεται. ἀλλ' ὥσπερ κυβερνήτης, χειμῶνος κρατήσαντος τῆς τέχνης, αὐτῷ τῷ πλοίῳ καὶ τοῖς ἐπιβάταις ὑποβρύχιος γίνεται· οὕτω καὶ ἡ ψυχὴ μετὰ τοῦ σώματος εἰς τὴν χαλεπὴν τῆς ἀναισθησίας καταποντίζεται ἄβυσσον. καὶ γὰρ καθάπερ μύλην τινὰ τὴν γαστέρα ἡμῖν ἐνέθηκεν ὁ Θεὸς, σύμμετρον αὐτῇ δύναμιν δούς, καὶ τάξας μέτρον ῥητὸν, ὅπερ αὐτὴν ἀλήθειν δεῖ καθ' ἑκάστην ἡμέραν. ἂν οὖν τις ἐπιβάλῃ πλείονα, ἀκατέργαστα γινόμενα τῷ παντὶ λυμαίνεται. ἐντεῦθεν νόσοι, καὶ ἀσθένειαι, καὶ ἀμορφίαι. καὶ γὰρ οὐκ ἐπίνοσον μόνον, ἀλλὰ καὶ αἰσχρὰν ποιεῖ ἡ τρυφὴ τὴν καλήν. ὅταν γὰρ ἐρυγγάνῃ συνεχῶς ἀηδῆ, καὶ σεσηπότος οἴνου πνέῃ, καὶ πλέον τοῦ δέοντος ἐρυθαίνηται, καὶ τὸν προσήκοντα γυναικὶ ῥυθμὸν διαφθείρῃ, καὶ τὴν εὐκοσμίαν ἀπολέσῃ πᾶσαν, καὶ πλαδαρὰ μὲν ἡ σὰρξ γίνηται, ὕφαιμοι δὲ καὶ διατεταμέναι αἱ βλεφαρίδες, καὶ πάχος πλέον τοῦ δέοντος, καὶ πολυσαρκία περιττή, ἐννόησον πόση γίνεται ἐντεῦθεν ἀηδία. ἐγὼ δὲ καὶ ἰατρῶν

ἤκουσα

γ. πολλάς
γ. ἐπεπόλαζε.
γ. πυκνοτέραις

ἤκουσα λεγόντων, ὅτι πολλοὺς καὶ πρὸς ὕψος ἀναδραμεῖν ἡ τρυφὴ μάλιστα ἐκώλυσε. τοῦ γὰρ πνεύματος ἐγκατακλειομένου τῷ πλήθει τῶν καταβαλλομένων καὶ περὶ τὴν τούτων ἐργασίαν ἀπολλυμένου, ὅπερ εἰς αὔξησιν ἔδει προχωρεῖν, τοῦτο δαπανᾶται εἰς τὴν τῶν περιττῶν ἐργασίαν. τί δὲ ἄν τις εἴποι τὰς ποδαλγίας, καὶ ῥεῦμα τὸ πανταχοῦ πλανώμενον, τὰς ἄλλας νόσους τὰς ἐντεῦθεν, τὴν βδελυρίαν ἅπασαν; οὐδὲν γὰρ οὕτως ἀηδές, ὡς γυνὴ πολλὰ σιτουμένη. διὰ τοῦτο ἐν ταῖς πενομέναις πλείονα τὴν εὐμορφίαν ἴδοι τις ἄν, τῶν περιττωμάτων ἀναλισκομένων καὶ οὐχὶ περιαπεπλασμένων αὐταῖς, πηλοῦ τινος περιττοῦ δίκην, εἰκῆ καὶ μάτην. ἡ γὰρ καθημερινὴ γυμνασία, καὶ οἱ πόνοι, καὶ αἱ ταλαιπωρίαι, καὶ ἡ σύμμετρος τράπεζα, καὶ ἡ λιτὴ δίαιτα πολλὴν μὲν αὐταῖς τὴν εὐεξίαν, πολλὴν δὲ ἐντεῦθεν καὶ τὴν ὥραν παρέχουσιν. εἰ δὲ τὴν ἡδονὴν τῆς τρυφῆς λέγοις, μέχρι τῆς φάρυγγος αὐτὴν εὑρήσεις μόνον. ὁμοῦ τε γὰρ τὴν γλῶτταν παρῆλθε καὶ ἀπέπτη, πολλὰς ἐναφεῖσα τὰς ἀηδίας. μὴ γάρ μοι κατακειμένους μόνον τοὺς τρυφῶντας ἴδῃς, ἀλλ' ὅταν αὐτοὺς ἀναστάντας ἴδῃς, τότε παρακολούθησον, καὶ ὄψει θηρίων μᾶλλον καὶ ἀλόγων, ἢ ἀνθρώπων σώματα. ὄψει γὰρ καρηβαροῦντας, διατεινομένους, συνδεδεμένους, κλίνης δεομένους καὶ στρωμνῆς καὶ ἡσυχίας πολλῆς, καὶ καθάπερ ἐν κλυδωνίῳ πολλῷ ταραττομένους, καὶ τῶν διασωζόντων δεομένους, καὶ ἐπιθυμοῦντας τῆς καταστάσεως ἐκείνης, ἐν ᾗ πρὶν ἢ διαρραγῆναι ἦσαν. καθάπερ γὰρ αἱ κύουσαι τῶν γυναικῶν, οὕτω βαρούμενοι τὰς γαστέρας περιφέρονται, καὶ μόλις ἐπιβαίνουσι, καὶ μόλις βλέπουσι, καὶ μόλις φθέγγονται, καὶ πάντα μόλις. ἂν δὲ μικρὸν αὐτοὺς τύχῃ καταδαρθεῖν, ὀνείρατα πάλιν ἄτοπα καὶ μυρίων γέμοντα φαντασιῶν ὁρῶσι. τί δὲ ἄν τις εἴποι τὴν ἑτέραν τούτων μανίαν, τὴν τῶν ἀφροδισίων λέγω; καὶ γὰρ καὶ αὕτη τὰς πηγὰς ἐντεῦθεν ἔχει· καὶ καθάπερ ἵπποι θηλυμανεῖς, οὕτω τῷ οἴστρῳ τῆς μέθης κεντούμενοι, πᾶσιν ἐπιπηδῶσιν, ἀλογώτερον καὶ μανικώτερον ἐκείνων σκιρτῶντες, καὶ πολλὰ ἕτερα ἀσχημονοῦντες, ἃ μηδὲ εἰπεῖν θέμις. οὐδὲ γὰρ ἴσασι λοιπὸν οὔτε ἃ πάσχουσιν, οὔτε ἃ πράττουσιν. ἀλλ' οὐχ ὁ μὴ τρυφῶν, τοιοῦτος· ἀλλ' ἐν λιμένι καθήμενος τὰ ἑτέρων ὁρᾷ ναυάγια, καὶ ἡδονῆς ἀπολαύει καθαρᾶς καὶ διαρκοῦς, τὴν ἐλευθέρῳ προσήκουσαν ζωὴν μετιών. ταῦτ' οὖν εἰδότες, φύγωμεν τὰ πονηρὰ τῆς τρυφῆς συμπόσια, καὶ λιτῆς ἀντεχώμεθα τραπέζης, ἵνα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα εὖ διακείμενοι, πᾶσάν τε ἐργασώμεθα ἀρετήν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. μ. 29

ΕΠΕΙ ΤΙ ΠΟΙΗΣΟΥΣΙΝ ΟΙ ΒΑΠΤΙΖΟΜΕνοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;

γ. παραγάγη,

ΕΤέρῳ πάλιν ἐπιχειρεῖ κεφαλαίῳ, ποτὲ μὲν ἐξ ὧν ὁ Θεὸς ποιεῖ, ποτὲ δὲ ἐξ αὐτῶν ὧν πράττουσι, τὰ λεγόμενα κατασκευάζων. οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς συνηγορίαν δικαίωμα, ὅταν τοὺς ἀντιλέγοντας αὐτοὺς μάρτυρας παραγάγῃ, δι' ὧν ποιοῦσι, τῶν λεγομένων. τί οὖν ἐστιν ὅ φησιν; ἢ βούλεσθε πρότερον εἴπω, πῶς παραποιοῦσι τὴν ῥῆσιν ταύτην οἱ τὰ Μαρκίωνος νοσοῦντες; καὶ οἶδα μὲν ὅτι πολὺν κινήσω γέλωτα, πλὴν ἀλλὰ καὶ διὰ τοῦτο μάλιστα ἐρῶ, ἵνα μειζόνως αὐτῶν φύγητε τὴν νόσον. ἐπειδὰν γάρ τις κατηχούμενος ἀπέλθῃ παρ' αὐτοῖς, τὸν ζῶντα ὑπὸ τὴν κλίνην τοῦ τετελευτηκότος κρύψαντες, προσίασι τῷ νεκρῷ, καὶ διαλέγονται, καὶ πυνθάνονται, εἰ βούλοιτο λαβεῖν τὸ βάπτισμα· εἶτα ἐκείνου μηδὲν ἀποκρινομένου, ὁ κεκρυμμένος κάτωθεν ἀντ' ἐκείνου φησίν, ὅτι δὴ βούλοιτο βαπτισθῆναι, καὶ οὕτω βαπτίζουσιν αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος,

ἀπελθόντος, καθάπερ ἐπὶ τῆς σκηνῆς παίζοντες. τοσοῦτον ἰσχύει ταῖς τῶν ῥαθύμων ψυχαῖς
ὁ διάβολος. εἶτα ἐγκαλούμενοι, τοῦτο προφέρουσι τὸ ῥῆμα λέγοντες, ὅτι καὶ ὁ ἀπόστολος
εἴρηκε, τί βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν. εἶδες τὸν καταγέλωτα τὸν πολύν; ἆρ'
οὖν πρὸς ταῦτα ἀντειπεῖν ἄξιον; οὐκ ἔγωγε οἶμαι· πλὴν εἰ μὴ τοῖς μαινομένοις ὑπὲρ
ὧν παραπαίοντες φθέγγονται, διαλέγεσθαι δεῖ. ἵνα δὲ μηδεὶς τῶν σφόδρα ἀφελεστέρων ἁ-
λῷ, ἀναγκαῖον ὑπομεῖναι καὶ τὴν πρὸς τούτους ἀντίρρησιν. εἰ γὰρ τοῦτο ἔλεγε Παῦλος, τί-
νος ἕνεκεν ἠπείλησεν ὁ Θεὸς τοῖς μὴ βαπτιζομένοις; οὐ γάρ ἐστιν ἵνα μὴ βαπτισθῶσι λοιπὸν
ἐπινοηθέντος τούτου· ἄλλως δὲ τὸ ἔγκλημα οὐκέτι παρὰ τὸν ἀπελθόντα γίνεται, ἀλλὰ παρὰ
Ιωαν. ς. νγ. τὸν ζῶντα. τίσι δὲ ἔλεγεν, ἐὰν μὴ φάγητέ μου τὴν σάρκα, καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔ-
Ιωαν. γ. ε. χετε ζωὴν ἐν ἑαυτοῖς; τοῖς ζῶσιν, ἢ τοῖς τετελευτηκόσιν, εἰπέ μοι; καὶ πάλιν, ἂν μή τις ἀνα-
γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ; εἰ γὰρ τοῦτο ἐ-
φίεται, καὶ οὐ χρεία γνώμης τῆς τοῦ λαμβάνοντος, οὐδὲ συγκαταθέσεως τῆς ἐν τῷ ζῆν, τί
κωλύει καὶ Ἕλληνας καὶ Ἰουδαίους οὕτω γίνεσθαι πιστούς, ἑτέρων μετὰ τὴν τελευτὴν ἐκείνων
ὑπὲρ ἐκείνων ταῦτα ποιούντων; ἀλλ' ἵνα μὴ ἐπὶ πλέον τὰ ἀραχνίδια διακό- χ.
πτοντες ματαιοπονῶμεν, φέρε τῆς ῥήσεως ταύτης τὴν δύναμιν ὑμῖν ἀναπτύξωμεν. τί οὖν
φησιν ὁ Παῦλος; πρότερον δὲ ἀναμνῆσαι βούλομαι τοὺς μεμυημένους ὑμᾶς ῥήσεως, ἣν κατὰ
τὴν ἑσπέραν ἐκείνην οἱ μυσταγωγοῦντες ὑμᾶς λέγειν κελεύουσι, καὶ τότε ἐρῶ καὶ τὸ τοῦ Παύ-
λου. οὕτω γὰρ ὑμῖν καὶ τοῦτο ἔσται σαφέστερον. μετὰ γὰρ τὰ ἄλλα πάντα τοῦτο προστίθεμεν,
ὃ νῦν ὁ Παῦλος λέγει. καὶ βούλομαι μὲν σαφῶς αὐτὸ εἰπεῖν, οὐ τολμῶ δὲ διὰ τοὺς ἀ-
μυήτους. οὗτοι γὰρ δυσκολωτέραν ἡμῖν ποιοῦσι τὴν ἐξήγησιν, ἀναγκάζοντες ἢ μὴ λέγειν
σαφῶς, ἢ εἰς αὐτοὺς ἐκφέρειν τὰ ἀπόρρητα. πλὴν ἀλλ' ὡς ἂν οἷός τε ὦ, συνεσκια-
σμένως ἐρῶ. μετὰ γὰρ τὴν ἀπαγγελίαν τῶν μυστικῶν ῥημάτων ἐκείνων καὶ φοβερῶν, καὶ τοὺς φρι-
κτοὺς κανόνας τῶν ἐκ τοῦ οὐρανοῦ κατενεχθέντων δογμάτων, καὶ τοῦτο πρὸς τῷ τέλει προστίθεμεν,
ὅταν μέλλωμεν βαπτίζειν, κελεύοντες λέγειν· ὅτι πιστεύω εἰς νεκρῶν ἀνάστασιν, καὶ ἐπὶ τῇ
πίστει ταύτῃ βαπτιζόμεθα. μετὰ γὰρ τὸ ὁμολογῆσαι τοῦτο μετὰ τῶν ἄλλων, τότε καθιέμεθα
εἰς τὴν πηγὴν τῶν ἱερῶν ναμάτων ἐκείνων. τοῦτο τοίνυν ἀναμιμνήσκων ὁ Παῦλος ἔλεγεν·
εἰ μὴ ἔστιν ἀνάστασις, τί καὶ βαπτίζῃ ὑπὲρ τῶν νεκρῶν; τουτέστι, τῶν σωμάτων. καὶ γὰρ ἐπὶ
τούτῳ βαπτίζῃ, τοῦ νεκροῦ σώματος ἀνάστασιν πιστεύων, ὅτι οὐκέτι μένει νεκρόν. καὶ σὺ μὲν διὰ τῶν
ῥημάτων λέγεις νεκρῶν ἀνάστασιν· ὁ δὲ ἱερεύς, ὥσπερ ἐν εἰκόνι τινί, ἅπερ ἐπίστευσας καὶ διὰ
τῶν ῥημάτων ὡμολόγησας, δείκνυσί σοι καὶ διὰ τῶν πραγμάτων αὐτῶν. ὅταν χωρὶς σημείου
πιστεύῃς, τότε σοι καὶ τὸ σημεῖον παρέχει· ὅταν τὰ σαυτοῦ ποιήσῃς, τότε καὶ ὁ Θεός σε πληρο-
φορεῖ. πῶς καὶ τίνι τρόπῳ; διὰ τοῦ ὕδατος. τὸ γὰρ βαπτίζεσθαι καὶ καταδύεσθαι, εἶτα
ἀνανεύειν, τῆς εἰς ᾅδου καταβάσεώς ἐστι σύμβολον καὶ τῆς ἐκεῖθεν ἀνόδου. διὸ καὶ τάφον
Ρωμ. ς. δ. τὸ βάπτισμα ὁ Παῦλος καλεῖ λέγων, συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν
θάνατον. ἀπὸ τούτου καὶ τὸ μέλλον ἀξιόπιστον ποιεῖ, τῶν σωμάτων λέγω τὴν ἀνάστασιν. τοῦ
γὰρ σῶμα ἀναστῆσαι πολλῷ μεῖζον τὸ ἁμαρτήματα ἀφανίσαι. καὶ τοῦτο ὁ Χριστὸς ἀποφαινό-
Ματθ. θ. ε. μενος, ἔλεγε· τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἆρον
τὸν κράββατόν σου, καὶ περιπάτει; τὸ μὲν δυσκολώτερον ἐκεῖνο, φησίν· ἐπειδὴ δὲ ἀπιστεῖτε ἅτε ἀ-
δήλῳ ὄντι, καὶ τὸ εὐκολώτερον ἀντὶ δυσκόλου ποιεῖσθε τῆς ἐμῆς δυνάμεως ἀπόδειξιν, οὐδὲ
τοῦτο παραιτήσομαι παρασχεῖν ὑμῖν τὸ δεῖγμα. τότε λέγει τῷ παραλυτικῷ, ἐγερθεὶς ἆρον
τὴν κλίνην σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ πῶς τοῦτο δύσκολον, φησίν, ὅταν καὶ βασιλεῦσι,
καὶ ἄρχουσι δυνατὸν ᾖ; καὶ γὰρ μοιχούς, καὶ ἀνδροφόνους ἀφιᾶσιν ἐκεῖνοι. παίζεις, ἄνθρωπε,
ταῦτα λέγων. ἁμαρτήματα μὲν γὰρ ἀφεῖναι, μόνῳ Θεῷ δυνατόν· ἄρχοντες δὲ καὶ βασιλεῖς,
κἂν μοιχούς, κἂν ἀνδροφόνους ἀφῶσι, τῆς μὲν κολάσεως τῆς παρούσης ἀπαλλάττουσι, τὴν δὲ

ἁμαρτίαν

ἁμαρτίαν αὐτῶν οὐκ ἐκκαθαίρουσι· κἂν εἰς ἀρχὰς ἀναγάγωσι τοὺς ἀφεθέντας, κἂν αὐτὴν περιβάλωσι τὴν ἁλουργίδα, καὶ τὸ διάδημα ἐπιθῶσιν, ἀλλὰ βασιλέας μὲν ἐποίησαν ἂν οὕτω, τῆς δὲ ἁμαρτίας οὐκ ἂν ἠλευθέρωσαν. Θεὸς γὰρ μόνος τοῦτο ποιεῖ, ὃ δὴ καὶ ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας ἐργάζεται. αὐτῆς γὰρ ἅπτεται τῆς ψυχῆς ἡ χάρις, κἀκεῖθεν πρόρριζον ἀνασπᾷ τὴν ἁμαρτίαν. διὰ δὴ τοῦτο τοῦ μὲν ὑπὸ βασιλέως ἀφεθέντος ῥυπῶσαν τὴν ψυχὴν ἔστιν ἰδεῖν, τὴν δὲ τοῦ βαπτισθέντος οὐκέτι, ἀλλ' αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων καθαρωτέραν, καὶ οἵα ἐξ ἀρχῆς ἐγεννήθη, μᾶλλον δὲ καὶ ἐκείνης ἀμείνω πολλῷ. πνεύματος γὰρ ἀπολαύει τοῦ πάντοθεν αὐτὴν πυροῦντος καὶ τὴν ἁγιωσύνην ἐπιτείνοντος. καὶ ὥσπερ σίδηρον ἢ χρυσὸν ἀναχωνεύων, καθαρὸν καὶ καινὸν ἄνωθεν ποιεῖς· οὕτω δὴ καὶ τὸ πνεῦμα τὸ ἅγιον ὥσπερ ἐν χωνευτηρίῳ τῷ βαπτίσματι ἀναχωνεῦον αὐτὴν, καὶ δαπανῶν τὰ ἁμαρτήματα, χρυσίου παντὸς καθαροῦ καθαρωτέραν ἀποστίλβειν παρασκευάζει, καὶ τὴν τῶν σωμάτων δὲ ἀνάστασιν ἀξιόπιστον κἀντεῦθέν σοι πάλιν δείκνυσιν οὖσαν. ἐπειδὴ γὰρ ἡ ἁμαρτία τὸν θάνατον εἰσήγαγε, τῆς ῥίζης ξηρανθείσης, οὐδὲν δεῖ λοιπὸν ἀμφιβάλλειν ὑπὲρ τῆς τοῦ καρποῦ ἀπωλείας. διὰ τοῦτο πρότερον εἰπὼν ἁμαρτιῶν ἄφεσιν, τότε ὁμολογεῖς καὶ νεκρῶν ἀνάστασιν, ἐντεῦθεν καὶ εἰς ἐκεῖνο χειραγωγούμενος. εἶτα ἐπειδὴ οὐκ ἀρκεῖ τὸ ὄνομα τῆς ἀναστάσεως δεῖξαι τὸ πᾶν (πολλοὶ γὰρ ἀναστάντες πάλιν ἀπῆλθον, ὡς οἱ ἐν τῇ παλαιᾷ, ὡς Λάζαρος, ὡς οἱ ἐν τῷ καιρῷ τοῦ σταυροῦ) κελεύει λέγειν, καὶ εἰς ζωὴν αἰώνιον, ἵνα μηκέτι θάνατον ὑποπτεύσῃ τις μετὰ τὴν ἀνάστασιν ἐκείνην. τούτων τοίνυν τῶν ῥημάτων ἀναμιμνήσκων ὁ Παῦλός φησι· τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ γὰρ μὴ ἔστιν ἀνάστασις, φησὶ, σκηνὴ τὰ ῥήματα ταῦτα. εἰ μὴ ἔστιν ἀνάστασις, πῶς αὐτοὺς πειθόμεθα πιστεύειν, ἅπερ οὐ δίδομεν; ὥσπερ ἂν εἴ τις κελεύων γραμματεῖον ἐκτεθῆναι ὅτι τὸ καὶ τὸ ἔλαβε, μηκέτι δῷ τὰ ἐγγραφέντα, εἶτα μετὰ τὴν ὑπογραφὴν ἀπαιτοίη τὰ ἐγγεγραμμένα. τί γὰρ ποιήσει λοιπὸν ὁ ὑπογράψας, ὑπεύθυνον μὲν ἑαυτὸν ποιήσας, οὐ λαβὼν δὲ ἅπερ ὡμολόγησεν εἰληφέναι; τοῦτο γὰρ καὶ ἐνταῦθα λέγει περὶ τῶν βαπτιζομένων· τί ποιήσουσιν οἱ βαπτιζόμενοι, φησὶν, ὑπογράψαντες μὲν ἀνάστασιν σωμάτων νεκρῶν, οὐ λαμβάνοντες δὲ, ἀλλ' ἀπατώμενοι; τί δὲ ὅλως καὶ τῆς ὁμολογίας ταύτης ἔδει, εἰ τὸ ἔργον μὴ εἵπετο;

30 Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;

31 Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ.

Ὅρα πάλιν πόθεν ἐπιχειρεῖ κατασκευάσαι τὸ δόγμα, ἀπὸ τῆς οἰκείας ψήφου, μᾶλλον δὲ οὐ τῆς αὐτοῦ μόνον, ἀλλὰ καὶ τῆς τῶν λοιπῶν ἀποστόλων. οὐ μικρὸν δὲ καὶ τοῦτο, τοὺς διδασκάλους εἰσάγειν σφόδρα πεπληροφορημένους, καὶ τοῦτο δεικνύντας οὐ διὰ λόγων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων. διὰ δὴ τοῦτο οὐ λέγει ἁπλῶς, ὅτι καὶ ἡμεῖς πεπείσμεθα (οὐδὲ γὰρ ἤρκει τοῦτο πεῖσαι μόνον) ἀλλὰ καὶ τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν παρέχεται· ὡς ἂν εἰ ἔλεγε, ῥήμασι ταῦτα ὁμολογεῖν οὐδὲν ἴσως ὑμῖν δοκεῖ θαυμαστὸν εἶναι· εἰ δὲ καὶ τὴν ἀπὸ τῶν ἔργων ὑμῖν παράσχοιμεν φωνὴν, τί πρὸς τοῦτο ἔχοιτε ἀντειπεῖν; ἀκούσατε τοίνυν, πῶς καὶ διὰ τῶν κινδύνων ταῦτα καθ' ἑκάστην ὁμολογοῦμεν τὴν ἡμέραν. καὶ οὐκ εἶπεν, ἐγὼ, ἀλλ', ἡμεῖς, περιλαμβάνων πάντας ὁμοῦ τοὺς ἀποστόλους, καὶ ταύτῃ μετριάζων τε καὶ ἀξιόπιστον ποιῶν τὸν λόγον. τί γὰρ ἂν ἔχοιτε εἰπεῖν; ὅτι ἀπατῶμεν ὑμᾶς ταῦτα κηρύττοντες καὶ κενοδοξίας ἕνεκεν δογματίζομεν; ἀλλ' οὐκ ἐῶσι ταῦτα ψηφίζεσθαι οἱ κίνδυνοι. τίς γὰρ ἂν ἕλοιτο κινδυνεύειν διηνεκῶς εἰκῇ καὶ μάτην; διὸ καὶ ἔλεγε, τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; εἰ γὰρ καὶ ἕλοιτό τις διὰ κενοδοξίαν, ἅπαξ καὶ δεύτερον τοῦτο αἱρεῖται, οὐχὶ παρὰ πάντα τὸν βίον, καθάπερ ἡμεῖς. ἡμεῖς γὰρ τὴν ζωὴν ἅπασαν εἰς τοῦτο κατεστησάμεθα. καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ· καύχησιν ἐνταῦθα, τὴν αὐτῶν προκοπὴν λέγει.

ἐπεὶ

ἐπειδὴ γὰρ πολλοὺς ἔδειξε τοὺς κινδύνους ὄντας, ἵνα μὴ δόξῃ ὡς ἀποδυρόμενος ταῦτα λέγειν, οὐ μόνον οὐκ ἀλγῶ, φησιν, ἀλλὰ καὶ καυχῶμαι διὰ ταῦτα πάσχειν ὑπὲρ ὑμῶν. διπλῇ δὲ ἐναβρύνεσθαί φησι, καὶ τῷ δι' αὐτοὺς κινδυνεύειν, καὶ τῷ ὁρᾷν αὐτοὺς ἐπιδιδόντας. Εἶτα δὲ αὐτοῦ ζηλωτὰς ποιῶν, ἐπειδὴ μεγάλα ἐφθέγξατο, ἀμφότερα ἀνατίθησι τῷ Χριστῷ. πῶς δὲ ἀποθνήσκει καθ' ἑκάστην ἡμέραν; τῇ προθυμίᾳ, καὶ τῷ παρεσκευάσθαι πρὸς τοῦτο. καὶ τίνος ἕνεκεν ταῦτα λέγει; πάλιν τὸν περὶ τῆς ἀναστάσεως καὶ διὰ τούτων κατασκευάζων λόγον. τίς γὰρ ἂν ἕλοιτο, φησι, τοσούτους ὑπομένειν θανάτους, ἀναστάσεως οὐκ οὔσης οὐδὲ ζωῆς μετὰ ταῦτα; εἰ γὰρ οἱ πιστεύοντες τῇ ἀναστάσει, μόλις ἂν ὑπὲρ αὐτῆς κινδυνεύσαιμεν, εἰ μὴ σφόδρα εἶεν γενναῖοι· πολλῷ μᾶλλον ὁ μὴ πιστεύων, φησὶν, οὐκ ἂν ἕλοιτο τοσούτους ὑπομένειν θανάτους, καὶ οὕτω χαλεπούς. καὶ γὰρ κατὰ μικρὸν ὅρα πόσην ποιεῖται τὴν αὔξησιν. εἰπὼν, ὅτι κινδυνεύομεν, προσέθηκεν, ὅτι πᾶσαν ὥραν, εἶτα, ὅτι καθ' ἡμέραν, εἶτα, ὅτι οὐ κινδυνεύω μόνον, φησὶν, ἀλλὰ καὶ ἀποθνήσκω. δείκνυσι δὴ λοιπὸν καὶ ποταποὺς θανάτους, οὕτω λέγων·

32 Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; Τί ἐστιν, εἰ κατὰ ἄνθρωπον; ὅσον τὸ εἰς ἀνθρώπους ἧκον, ἐθηριομάχησα. τί γὰρ, εἰ ὁ Θεὸς ἐξήρπασέ με τῶν κινδύνων; ὥστε ὁ μάλιστα ὑπὲρ τούτων ὀφείλων μεριμνᾷν, ἐγώ εἰμι, ὁ τοσούτους κινδύνους ὑπομένων, καὶ μηδεμίαν μηδέπω λαβὼν ἀμοιβήν. εἰ γὰρ μὴ παραγίνεται ὁ τῆς ἀνταποδόσεως καιρὸς, ἀλλὰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα συγκέκλεισται, ἡμεῖς ἐν μείζονι ζημίᾳ ἐσμέν. ὑμεῖς μὲν γὰρ ἀκινδύνως ἐπιστεύσατε, ἡμεῖς δὲ καθ' ἑκάστην σφαττόμεθα τὴν ἡμέραν. Ταῦτα δὲ ἀπόλυτα ἔλεγεν, οὐκ ἐπειδὴ οὐκ εἶχεν ὄφελος καὶ ἐν αὐτῷ τῷ πάσχειν, ἀλλὰ διὰ τὴν τῶν πολλῶν ἀσθένειαν, καὶ ὥστε αὐτοὺς εἰς τὸν περὶ τῆς ἀναστάσεως στηρίξαι λόγον· οὐκ ἐπειδὴ αὐτὸς ἐπὶ μισθῷ ἔτρεχεν. ἤρκει γὰρ αὐτῷ ἀντίδοσις, τὸ ποιῆσαι τὸ δοκοῦν τῷ Θεῷ. ὥστε καὶ ὅταν λέγῃ· Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν, κἀκεῖ πάλιν δι' ἐκείνους, ὥστε τῷ φόβῳ τῆς ἀθλιότητος ταύτης κατασεῖσαι αὐτῶν τὴν ἀπιστίαν τὴν περὶ τῆς ἀναστάσεως, καὶ πρὸς τὴν ἀσθένειαν αὐτῶν συγκαταβαίνων, οὕτω φησί. καὶ γὰρ ὁ μέγας μισθὸς, τὸ ἀρέσκειν διὰ πάντων τῷ Χριστῷ· καὶ χωρὶς τῆς ἀντιδόσεως, μεγίστη ἀμοιβὴ, τὸ δι' αὐτὸν κινδυνεύειν. Εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. Τοῦτο λοιπὸν τὸ ῥῆμα κωμῳδιῶντός ἐστι. καὶ οὐδὲ οἴκοθεν αὐτὸ παρήγαγεν, ἀλλὰ τὸν προφήτην ἐπέστησε τὸν μεγαλοφωνότατον Ἡσαΐαν, ὃς περὶ τῶν ἀπηλγηκότων διαλεγόμενος καὶ ἀπεγνωσμένων, ἔλεγε ταυτὶ τὰ

Ἡσ. κβ. ιγ. ῥήματα· Οἱ σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέα καὶ πιεῖν οἶνον· οἱ λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν, ἀνακεκαλυμμένα ταῦτά ἐστιν εἰς τὰ ὦτα Κυρίου σαβαώθ· καὶ οὐκ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνητε. Εἰ δὲ τότε συγγνώμης ἦσαν ἀπεστερημένοι οἱ ταῦτα λέγοντες, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος. Εἶτα ἵνα μὴ τραχύτερον ποιήσῃ τὸν λόγον, οὐκ ἐπὶ πολὺ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐπιμένει, ἀλλὰ πάλιν ἐπὶ παραίνεσιν τρέπει τὸν λόγον, λέγων·

33 Μὴ πλανᾶσθε, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν αὐτῶν καθαπτόμενος, ὡς ἀνοήτων (χρηστὰ γὰρ ἐνταῦθα εὐφήμως τὰ εὐεξαπάτητα ἐκάλεσεν) ὁμοῦ δὲ ὡς οἷόν τέ ἐστι καὶ συγγνώμης ὑπὲρ τῶν ἡμαρτημένων αὐτοῖς μεταδιδοὺς, καὶ τὸ πλέον τῶν ἐγκλημάτων ἀποσκευαζόμενος ἀπ' ἐκείνων, καὶ εἰς ἑτέρους μετατιθεὶς, ὥστε καὶ ταύτῃ εἰς μετάνοιαν αὐτοὺς ἐφελκύσασθαι.

Γαλ. ε. ι. ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ ποιεῖ λέγων, Ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ.

34 Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε. Ὡς πρὸς μεθύοντας καὶ μαινομένους. τὸ γὰρ ἀθρόον πάντα ἀπὸ τῶν χειρῶν ῥῖψαι, μεθυόντων καὶ μαινομένων ἦν, τῷ μηκέτι ὁ-

ρᾷν

ῥᾳθυμίᾳ ἃ ἑώρων, μηδὲ πιστεύειν οἷς ἔμπροσθεν ὡμολόγησαν. Τί δέ ἐστι, δικαίως; ἐπὶ τὸ συμφέρον καὶ χρήσιμον. ἔστι γὰρ ἀδίκως νήφειν, ὅταν ἐπὶ βλάβῃ τῆς ἑαυτοῦ ψυχῆς διεγηγερμένος τις ᾖ. καλῶς δὲ, καὶ τὸ, μὴ ἁμαρτάνετε, προσέθηκε, δεικνὺς ὅτι ἐντεῦθεν αὐτοῖς τὰ σπέρματα τῆς ἀπιστίας. καὶ πολλαχοῦ τοῦτο αἰτιᾶται, ὅτι βίος διεφθαρμένος πονηρὰ τίκτει δόγματα· ὡς ὅταν λέγῃ, Ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν τῆς πίστεως. καὶ γὰρ πολλοὶ τῶν πονηρὰ συνειδότων ἑαυτοῖς, καὶ οὐ βουλομένων δοῦναι δίκην, ἀπὸ τοῦ φόβου τούτου καὶ εἰς τὴν περὶ τῆς ἀναστάσεως παραβλάπτονται πίστιν· ὥσπερ οὖν οἱ μεγάλα κατορθοῦντες καὶ καθ᾽ ἑκάστην αὐτὴν ἐπιθυμοῦσι τὴν ἡμέραν ἰδεῖν. Ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω. Ὅρα πῶς πάλιν μετατίθησι τὰ ἐγκλήματα εἰς ἑτέρους. οὐ γὰρ εἶπεν, ὅτι ἀγνωσίαν ἔχετε, ἀλλ᾽, ἀγνωσίαν τινὲς ἔχουσι. τὸ γὰρ τῇ ἀναστάσει ἀπιστεῖν, οὐ σφόδρα εἰδότος ἐστὶ τὴν τοῦ Θεοῦ δύναμιν τὴν ἀμήχανον καὶ πρὸς πάντα ἀρκοῦσαν. εἰ γὰρ ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησε, πολλῷ μᾶλλον τὰ διαλυθέντα δυνήσεται ἀναστῆσαι. καὶ ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ μετὰ ὑπερβολῆς ἐκωμῴδησεν, εἰς γαστριμαργίαν, εἰς ἄνοιαν, εἰς παραπληξίαν διαβάλλων, παραμυθούμενος τὰ εἰρημένα, φησί· πρὸς ἐντροπὴν ὑμῖν λέγω, τουτέστιν, ὥστε διορθῶσαι, ὥστε ἐπαναγαγεῖν, ὥστε αἰσχυνθέντας ὑμᾶς γενέσθαι βελτίους. ἐδεδοίκει γὰρ μὴ πέρα τοῦ δέοντος πλήξας, ἀποσκιρτῆσαι ποιήσῃ. α.Τιμ ς.ι.

ΗΘΙΚΟΝ

Ταῦτα δὲ μὴ πρὸς ἐκείνους εἰρῆσθαι νομίζωμεν μόνον, ἀλλὰ καὶ νῦν εἰρῆσθαι πρὸς ἅπαντας τοὺς τὰ αὐτὰ νοσοῦντας, καὶ τὸν βίον διεφθαρμένον ἔχοντας. καὶ γὰρ οὐχ οἱ τὰ πονηρὰ δόγματα ἔχοντες μόνον, ἀλλὰ καὶ οἱ ἁμαρτίαις κατεχόμενοι χαλεπαῖς, μεθύουσί τε καὶ παραπαίουσι· διὸ καὶ πρὸς αὐτοὺς ἂν λεχθείη, δικαίως δὲ, ἐκνήψατε, καὶ μάλιστα πρὸς τοὺς τῷ καρῷ τῆς πλεονεξίας βεβαρημένους, τοὺς κακῶς ἁρπάζοντας. ἔστι γὰρ ἁρπαγὴ καλή, ἡ τῶν οὐρανῶν ἁρπαγὴ, ἡ μηδὲν βλάπτουσα. ἐν μὲν γὰρ τοῖς χρήμασιν οὐκ ἔστιν ἕτερον γενέσθαι πλούσιον, μὴ ἑτέρου πρότερον γενομένου πένητος· ἐπὶ δὲ τῶν πνευματικῶν οὐκ ἔνι τοῦτο, ἀλλὰ τοὐναντίον ἅπαν. οὐκ ἔστιν ἵνα γένηται πλούσιον, μὴ ἕτερον ποιήσαντα εὔπορον. ἂν γὰρ μηδένα ὠφελήσῃς, οὐ δυνήσῃ γενέσθαι εὔπορος. ἐν μὲν γὰρ τοῖς σωματικοῖς ἡ μετάδοσις μείωσιν ποιεῖ· ἐν δὲ τοῖς πνευματικοῖς ἡ μετάδοσις πλεονασμὸν ἐργάζεται. καὶ τὸ μὴ μεταδοῦναι, τοῦτο πολλὴν πενίαν κατασκευάζει, καὶ κόλασιν ἐσχάτην ἐπάγει. καὶ δείκνυσι τοῦτο ὁ τὸ τάλαντον κατορύξας. καὶ γὰρ ὁ λόγον ἔχων σοφίας, μεταδοὺς ἑτέροις, ηὔξησε τὴν περιουσίαν, πολλοὺς ποιήσας τοὺς σοφούς· ὁ δὲ κατακρύψας, ἀπεστέρησεν ἑαυτὸν τῆς περιουσίας, οὐ κτησάμενος τὴν τῶν πολλῶν ὠφέλειαν. πάλιν ὁ χαρίσματα ἔχων ἕτερα, πολλοὺς ἰασάμενος ἐξέτεινε τὴν δωρεάν· καὶ οὔτε αὐτὸς ἐξεκενώθη τῇ μεταδόσει, καὶ πολλοὺς ἑτέρους ἐνέπλησε τῆς πνευματικῆς δωρεᾶς. καὶ ἐπὶ πάντων τῶν πνευματικῶν ἀκίνητος οὗτος ὁ κανὼν διαμένει. οὕτω καὶ ἐπὶ τῆς βασιλείας, ὁ μὲν κοινωνοὺς πολλοὺς κατασκευάζων ἑαυτῷ τῆς βασιλείας, ταύτης μειζόνως αὐτῆς ἀπολαύσεται πάλιν· ὁ δὲ μηδένα σπουδάζων λαβεῖν κοινωνόν, καὶ αὐτὸς ἐκπεσεῖται τῶν πολλῶν ἀγαθῶν ἐκείνων. εἰ γὰρ ἡ σοφία ἡ αἰσθητὴ οὐ δαπανᾶται, μυρίων ἁρπαζόντων, οὔτε ὁ τεχνίτης πολλοὺς τοὺς τεχνίτας ποιῶν ἀπόλλυσι τὴν τέχνην, πολλῷ μᾶλλον ὁ τὴν βασιλείαν ἁρπάζων ἐλάττονα οὐκ ἐργάσεται, ἀλλὰ τότε πλείων ἔσται ὁ πλοῦτος ἡμῖν, ὅταν πολλοὺς ἐπὶ τοῦτο καλῶμεν. ἁρπάσωμεν τοίνυν τὰ μὴ ἀναλισκόμενα, ἀλλὰ πλεονάζοντα ἐν τῷ ἁρπάζεσθαι· ἁρπάσωμεν τὰ μηδένα ἔχοντα συκοφάντην, μηδένα βάσκανον. καὶ γὰρ εἰ χρυσίου τόπος ἦν πηγὴν ἔχων ἀναβλύζουσαν ἀέναον, καὶ τοσούτῳ πλέον ἐπιρρεῖ, ὅσῳ πλέον ἐξαντλεῖ τις, ἕτερος δὲ τόπος ἦν θησαυρὸν ἔχων κατορωρυγμένον, πόθεν ἂν ἠθέλησας πλουτεῖν; οὐχὶ ἐκεῖθεν; δῆλον. ἀλλ᾽ ἵνα μὴ λόγῳ τοῦτο μόνον ἀναπλάσωμεν, λογίσασθε ἐπὶ τοῦ ἀέρος τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ἡλίου. ταῦτα γὰρ ἁρπάζεται παρὰ πάντων, καὶ πάντας πλη-

ροι· ἀλλὰ ταῦτα μὲν καὶ ἀπολαυόντων, καὶ μὴ ἀπολαυόντων, ὅμοια μένει μὴ ἐλαττούμενα. ὃ δὲ ἐγὼ εἶπον, πολλῷ μεῖζόν ἐστιν. οὐ γὰρ ὁμοία μένει ἡ πνευματικὴ σοφία διαδιδομένη, καὶ μὴ διαδιδομένη· ἀλλ' αὔξεται μᾶλλον διαδιδομένη. εἰ δέ τις οὐκ ἀνέχεται τῶν εἰρημένων, ἀλλ' ἐπὶ τῇ τῶν βιωτικῶν προσέστηκε πενίᾳ, ἁρπάζων τὰ ἐλαττούμενα, καὶ τούτῳ πάλιν ἀναμιμνησκέσθω τῆς τροφῆς τοῦ μάννα, καὶ φοβείσθω τὸ παράδειγμα τῆς κολάσεως. ὅπερ γὰρ ἐπ' ἐκείνης συνέβαινε, τοῦτο καὶ ἐπὶ τῶν πλεονεκτούντων νῦν ἐκβαῖνόν ἐστιν ἰδεῖν. τί δὲ τότε συνέβαινε; σκώληκες ἔβρυον ἀπὸ τῆς πλεονεξίας. τοῦτο καὶ νῦν γίνεται ἐπὶ τούτων. τὸ μὲν γὰρ μέτρον τῆς τροφῆς τὸ αὐτὸ ἅπασι (μίαν γὰρ πληροῦμεν γαστέρα) ἡ δὲ κόπρος παρὰ σοὶ πλείων τῷ τρυφῶντι. καὶ καθάπερ ἐκεῖ ἐν ταῖς οἰκίαις οἱ τὸ πλέον τοῦ νενομισμένου συλλέγοντες, οὐ μάννα συνῆγον, ἀλλὰ σκώληκας πλείους καὶ σηπεδόνα, οὕτω δὴ καὶ ἐν τῇ τρυφῇ καὶ ἐν τῇ πλεονεξίᾳ, οὐ τρυφὴν πλείονα, ἀλλὰ φθορὰν πλείονα συνάγουσιν οἱ γαστριζόμενοι καὶ μεθύοντες. ἀλλ' ὅμως τοσούτῳ χείρους ἐκείνων οἱ νῦν, ὅσῳ ἐκεῖνοι μὲν ἅπαξ παθόντες τοῦτο, ἐσωφρονίσθησαν· οὗτοι δὲ καθ' ἑκάστην ἡμέραν τὸν σκώληκα τοῦτον ἐκείνου πολλῷ χαλεπώτερον εἰς τὰς οἰκίας τὰς ἑαυτῶν εἰσάγοντες, οὔτε αἰσθάνονται, οὔτε κορέννυνται. ὅτι γὰρ ταῦτα ἐκείνοις ἔοικε κατὰ τὸν τῆς ματαιοπονίας λόγον (τῇ γὰρ τιμωρίᾳ πολλῷ ταῦτα χαλεπώτερα) ἐντεῦθεν σκόπει. τίνι γὰρ διαφέρει ὁ πλούσιος τοῦ πένητος; οὐχ ἓν σῶμα περιβάλλει; οὐ μίαν τρέφει γαστέρα; τίνι οὖν πλεονεκτεῖ; ταῖς φροντίσι, τῷ δαπανᾶσθαι, τῷ παροξύνειν Θεὸν, τῷ διαφθείρειν τὴν σάρκα, τῷ λυμαίνεσθαι τὴν ψυχήν. ταῦτα γάρ ἐστιν, οἷς πλεονεκτεῖ τὸν πένητα· ὡς εἴγε πολλὰς ἐπλήρου γαστέρας, τάχα τι καὶ λέγειν εἶχεν, ὅτι πλείων ἡ χρεία, καὶ μείζων ἡ τῆς δαπάνης ἀνάγκη. ἀλλὰ καὶ νῦν ἔχουσι, φησὶν, εἰπεῖν, ὅτι πολλὰς πληροῦσι, τὰς τῶν οἰκετῶν, τὰς τῶν θεραπαινίδων. ἀλλ' οὐ χρείας ἕνεκεν, οὐδὲ φιλανθρωπίας τοῦτο γίνεται, ἀλλὰ τύφου μόνον· ὅθεν οὐδ' ἂν ἀνάσχοιτό τις τῆς ἀπολογίας αὐτῶν. διὰ τί γὰρ πολλοὺς ἔχει οἰκέτας; ὥσπερ γὰρ ἐν ἱματίοις τὴν χρείαν διώκειν δεῖ μόνον, καὶ ἐν τραπέζῃ, οὕτω καὶ ἐν οἰκέταις. τίς οὖν ἡ χρεία; οὐκ ἔστιν οὐδεμία. καὶ γὰρ ἑνὶ τὸν ἕνα χρῆσθαι δεσπότην οἰκέτῃ μόνον ἐχρῆν· μᾶλλον δὲ καὶ δύο καὶ τρεῖς δεσπότας ἑνὶ οἰκέτῃ. εἰ δὲ βαρὺ τοῦτο, ἐννόησον τοὺς οὐδένα ἔχοντας, καὶ εὐκολωτέρας ἀπολαύοντας θεραπείας. καὶ γὰρ αὐτάρκεις τῇ διακονίᾳ τῇ ἑαυτῶν ἐποίησεν ὁ Θεὸς, μᾶλλον δὲ καὶ τῇ τοῦ πλησίον. εἰ δὲ ἀπιστεῖς, ἄκουε Παύλου λέγοντος· Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. εἶτα ὁ μὲν τῆς οἰκουμένης διδάσκαλος καὶ τῶν οὐρανῶν ἄξιος, οὐκ ᾐσχύνετο μυρίοις ὑπηρετῶν· σὺ δὲ, εἰ μὴ πολλὰς περιφέρεις ἀνδραπόδων ἀγέλας, αἰσχρὸν εἶναι νομίζεις, οὐκ εἰδὼς ὅτι τοῦτο μὲν οὖν μάλιστά ἐστι τὸ καταισχῦνόν σε; καὶ γὰρ διὰ τοῦτο καὶ χεῖρας ἡμῖν ἔδωκεν ὁ Θεὸς, καὶ πόδας, ἵνα μὴ δεώμεθα οἰκετῶν. οὐδὲ γὰρ χρείας ἕνεκεν τὸ τῶν δούλων ἐπεισήχθη γένος, ἐπεὶ μετὰ τοῦ Ἀδὰμ ἐπλάσθη ἂν καὶ δοῦλος, ἀλλ' ἁμαρτίας ἐστὶ τὸ ἐπιτίμιον, καὶ τῆς παρακοῆς ἡ κόλασις. ὁ δὲ Χριστὸς παραγενόμενος, καὶ τοῦτο ἔλυσεν. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος, οὐδὲ ἐλεύθερος. ὥστε οὐκ ἀναγκαῖον τὸ δοῦλον ἔχειν· εἰ δὲ καὶ ἀναγκαῖον, ἕνα που μόνον, ἢ τὸ πολὺ δεύτερον. τί βούλεσθε τὰ σμήνη τῶν οἰκετῶν; καθάπερ γὰρ οἱ προβατοπῶλαι καὶ οἱ σωματοκάπηλοι, οὕτως ἐν βαλανείῳ, οὕτως ἐν ἀγορᾷ περιίασιν οἱ πλουτοῦντες. πλὴν ἀλλ' οὐδὲν ἀκριβολογοῦμαι. ἔστω σοι καὶ δεύτερος οἰκέτης. εἰ δὲ πολλοὺς συνάγεις, οὐ φιλανθρωπίας ἕνεκεν τοῦτο ποιεῖς, ἀλλὰ θρυπτόμενος. ἐπεὶ, εἰ κηδόμενος, μηδένα εἰς διακονίαν ἀπασχολήσῃς τὴν σὴν, ἀλλ' ἀγοράσας, καὶ τέχνας διδάξας ὥστε ἀρκεῖν ἑαυτοῖς, ἄφες ἐλευθέρους. ὅταν δὲ μαστίζῃς, ὅταν δεσμεύῃς, οὐκέτι φιλανθρωπίας τὸ ἔργον. καὶ οἶδα μὲν ὅτι φορτικός εἰμι τοῖς ἀκούουσιν, ἀλλὰ τί πάθω; εἰς τοῦτο κεῖμαι, καὶ οὐ παύσομαι ταῦτα λέγων, ἄν τε γένηταί τι πλέον, ἄν τε μηδέν. τί γὰρ

γρ. σηπεδόνας

γρ. ἔχεις

Πραξ. κ. λδ.

γρ. περιφέροις

Γαλατ. γ. κη.

σοι

σοι βούλεται τὸ σοβεῖν ἐπὶ τῆς ἀγορᾶς; μὴ γὰρ μεταξὺ θηρίων περιπατεῖς, ὅτι ἀπελαύνεις τοὺς ἐντυγχάνοντας; μὴ φοβηθῇς. οὐδεὶς δάκνει τῶν προσιόντων, καὶ πλησίον σοι βαδιζόντων. ἀλλ' ὕβριν ἡγῇ τὸ μετὰ πάντων συμβαδίζειν; καὶ πόσης ταῦτα μανίας, πόσης τερατωδείας, τὸν μὲν ἵππον πλησίον ἑπόμενον μὴ νομίζειν φέρειν ὕβριν, ἂν δὲ ἄνθρωπος ᾖ, εἰ μὴ ἀπὸ μυρίων ἐλαύνοιτο σταδίων, καταισχύνειν ἡγεῖσθαι; τί δὲ καὶ παῖδας ῥαβδούχους ἔχεις, ὡς δούλοις κεχρημένος τοῖς ἐλευθέροις, μᾶλλον δὲ αὐτὸς πάντων ἀτιμότερος οἰκέτου ζῶν; καὶ γὰρ πάντων εὐτελέστερος οἰκέτου ὁ τοσοῦτον περιφέρων τῦφον. διὰ τοῦτο οὐδὲ ὄψονται τὴν ὄντως ἐλευθερίαν οἱ τῷ χαλεπῷ τούτῳ καταδουλώσαντες ἑαυτοὺς πάθει. εἰ γὰρ ἀπελαύνειν βούλει καὶ σοβεῖν, μὴ τοὺς προσιόντας, ἀλλὰ τὸν τῦφον ἀπέλασον· μὴ διὰ τοῦ παιδὸς, ἀλλὰ διὰ σεαυτοῦ· μὴ τῇ μάστιγι ταύτῃ, ἀλλὰ τῇ πνευματικῇ. νῦν μὲν γάρ σου ὁ παῖς ἀπελαύνει τοὺς συμβαδίζοντας, σὲ δὲ ἄνωθεν ἡ ἀπόνοια αἰσχρότερον, ἢ οἰκέτης τὸν πλησίον. ἂν δὲ ἀπὸ τοῦ ἵππου καταβὰς, ἐλάσῃς αὐτὴν διὰ τῆς ταπεινοφροσύνης, ὑψηλότερον καθεδῇ τε ἐν μείζονι σαυτὸν καταστήσεις τιμῇ, οὐδὲν τοῦ παιδὸς εἰς τοῦτο δεόμενος. ὅταν γὰρ μέτριος γενόμενος χαμαὶ βαδίζῃς, ἐπὶ τοῦ ὀχήματος καθεδῇ τῆς ταπεινοφροσύνης τοῦ μέχρι τῶν οὐρανῶν σε ἀνάγοντος, τοῦ πτηνοὺς ἔχοντος ἵππους· ἂν δὲ ἀποπεσὼν ἐκείνου, εἰς τὸ τῆς ἀλαζονείας μεταβῇς, τῶν χαμαὶ συρομένων ἑρπετῶν οὐδὲν ἄμεινον διάκεισαι, ἀλλὰ καὶ ἀθλιώτερον πολλῷ καὶ ἐλεεινότερον. τοὺς μὲν γὰρ ἡ τοῦ σώματος πήρωσις οὕτω καταναγκάζει σύρεσθαι, σὲ δὲ ἡ τῆς ἀλαζονείας νόσος. Καὶ γὰρ πᾶς ὁ ὑψῶν ἑαυτὸν, φησὶ, ταπεινωθήσεται. ἵν' οὖν μὴ ταπεινωθῶμεν, ἀλλὰ ὑψωθῶμεν, ἐπὶ τὸ ὕψος ἔλθωμεν ἐκεῖνο. Ματθ. κγ. ιβ. οὕτω γὰρ καὶ ἀνάπαυσιν εὑρήσομεν ταῖς ψυχαῖς ἡμῶν κατὰ τὸν θεῖον χρησμὸν, καὶ τῆς ἀληθοῦς καὶ ὑψηλοτάτης ἐπιτευξόμεθα τιμῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ. Ματθ. ιβ. κθ.

Λογ. μα. 35 ΑΛΛ' ΕΡΕΙ ΤΙΣ, ΠΩΣ ΕΓΕΙΡΟΝΤΑΙ ΟΙ ΝΕΚΡΟΙ; ποίῳ δὲ σώματι ἔρχονται; 36 Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ.

Ἥμερος ὢν σφόδρα καὶ ταπεινὸς ὁ ἀπόστολος πανταχοῦ, ἐνταῦθα καὶ πληκτικώτερον τῷ λόγῳ κέχρηται διὰ τὴν ἀτοπίαν τῶν ἀντιλεγόντων. οὐ μὴν ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ λογισμοὺς καὶ παραδείγματα τίθησι, καὶ τὸ σφόδρα φιλόνεικον ταύτῃ χειρούμενος. καὶ ἀνωτέρω μέν φησιν, ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις· ἐνταῦθα δὲ ἀντίθεσιν λύει τῶν ἑλλήνων εἰσαγομένην. καὶ ὅρα πῶς πάλιν ὑποτέμνεται τὸ σφοδρὸν τῆς διαβολῆς. οὐ γὰρ εἶπεν, ἀλλ' ἴσως ἐρεῖτε, ἀλλ' ἀδιόριστον τέθεικε τὸν ἀντιλέγοντα, ἵνα μετὰ ἀδείας καταφορικῷ χρώμενος τῷ λόγῳ, μὴ σφόδρα πλήξῃ τοὺς ἀκούοντας· καὶ τίθησι δύο τὰς ἐπαπορήσεις, τοῦ τρόπου τῆς ἀναστάσεως, καὶ τῆς ποιότητος τῶν σωμάτων. καὶ γὰρ περὶ ἀμφοτέρων ἠπόρουν λέγοντες, πῶς ἐγείρεται τὸ διαλυθέν; καὶ ποίῳ σώματι ἔρχονται; τί δέ ἐστι, ποίῳ σώματι; ἆρα τούτῳ τῷ φθαρέντι, τῷ ἀπολωλότι, ἢ ἑτέρῳ τινί; εἶτα δεικνὺς ὅτι οὐ τὰ ἀμφιβαλλόμενα ζητοῦσιν, ἀλλὰ τὰ ὡμολογημένα, εὐθέως πληκτικώτερον ἀπαντᾷ λέγων· ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· ὅπερ καὶ ἡμεῖς εἰώθαμεν ποιεῖν ἐπὶ τῶν τοῖς ὡμολογημένοις ἀντιλεγόντων. καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἐπὶ τὴν δύναμιν τοῦ Θεοῦ καταφεύγει; ὅτι ἀπίστοις διαλέγεται. ὅταν μὲν γὰρ ἢ διελέγετο. πρὸς πιστοὺς αὐτῷ ὁ λόγος ᾖ, οὐ σφόδρα δεῖται λογισμῶν. διόπερ εἰπὼν ἀλλαχοῦ, ὅτι Μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ὑμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι Φιλιπ. γ. κα.

τῆς δόξης αὐτοῦ, καὶ πλέον τι τῆς ἀναστάσεως ἐνδειξάμενος, οὐ τέθεικε παραδείγματα, ἀλλ' αὐτὴν πάσης ἀποδείξεως τοῦ Θεοῦ τὴν δύναμιν εἰς μέσον ἤγαγε προσθεὶς καὶ εἰπών, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν ὑποτάξαι αὐτῷ τὰ πάντα. ἐνταῦθα δὲ καὶ λογισμοὺς κινεῖ. ἐπειδὴ γὰρ ἀπὸ τῶν γραφῶν αὐτὸ κατεσκεύασε, καὶ ταῦτα προστίθησιν ἐκ περιουσίας λοιπὸν πρὸς τοὺς οὐ πειθομένους ταῖς γραφαῖς, καί φησιν· ἄφρον, σὺ ὃ σπείρεις. τουτέστι, παρὰ σαυτοῦ τὴν ἀπόδειξιν ἔχεις τούτων, δι' ὧν πράττεις καθ' ἑκάστην ἡμέραν, καὶ ἀμφιβάλλεις ἔτι; διὰ τοῦτό σε ἄφρονα καλῶ, ὅτι τὰ καθ' ἡμέραν ὑπὸ σοῦ γινόμενα ἀγνοεῖς, καὶ αὐτὸς δημιουργὸς ἀναστάσεως ὢν περὶ Θεοῦ ἀμφιβάλλεις. διὸ σφόδρα ἐμφαντικῶς εἶπε, σὺ ὃ σπείρεις, σὺ ὁ (γρ. ἐμφατικῶς) θνητὸς καὶ ἀπολλύμενος. καὶ ὅρα πῶς ταῖς λέξεσιν οἰκείως τῇ ὑποκειμένῃ κέχρηται ὑποθέσει. οὐ ζωοποιεῖται γάρ, φησιν, ἐὰν μὴ ἀποθάνῃ. τὰς γὰρ οἰκείας λέξεις τῶν σπερμάτων ἀφείς, οἷον τὸ βλαστάνει, καὶ φύεται, καὶ σήπεται, καὶ διαλύεται, τὰς καταλλήλους ἥρμοσε τῇ σαρκὶ τῇ ἡμετέρᾳ, τὸ ζωοποιεῖται, καὶ ἀποθάνῃ, ὅπερ οὐ σπερμάτων κυρίως ἐστίν, ἀλλὰ σωμάτων. καὶ οὐκ εἶπεν, ὅτι μετὰ τὸ ἀποθανεῖν ζῇ, ἀλλ', ὃ μεῖζόν ἐστιν, ὅτι διὰ τοῦτο ζῇ, ἐπειδὴ ἀποθνήσκει. ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, εἰς τοὐναντίον ἀεὶ περιτρέπει τῶν λόγων; ὃ γὰρ ἐποιοῦντο ἐκεῖνοι τεκμήριον τοῦ μὴ ἀνίστασθαι, τοῦτο τοῦ ἀνίστασθαι ποιεῖται ἀπόδειξιν. καὶ γὰρ ἔλεγον οὐκ ἀνίσταται, ἐπειδὴ ἀπέθανε. τί οὖν αὐτὸς ἀντιστρέψας φησί; καὶ μὴν εἰ μὴ ἀπέθανεν, οὐκ ἂν ἀνέστη· καὶ διὰ τοῦτο ἀνίσταται, ἐπειδὴ ἀπέθανε. καθάπερ γὰρ ὁ Χριστὸς σαφέστερον αὐτὸ τοῦτο δείκνυται λέγων· Ὁ κόκκος τοῦ σίτου, ἐὰν πεσὼν εἰς τὴν γῆν μὴ ἀποθάνῃ, (Ιωαν. ιβ. κδ.) αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ἐκεῖθεν καὶ ὁ Παῦλος τὸ παράδειγμα τοῦτο ἑλκύσας, οὐκ εἶπεν, ὅτι οὐ ζῇ, ἀλλ', οὐ ζωοποιεῖται, πάλιν τοῦ Θεοῦ τὴν δύναμιν παραλαμβάνων, καὶ δεικνὺς ὅτι οὐχ ἡ τῆς γῆς φύσις, ἀλλ' αὐτὸς τὸ πᾶν ἐργάζεται. καὶ τί δήποτε οὐχ ὅπερ οἰκειότερον ἦν, τοῦτο ἤγαγεν εἰς μέσον, τὸ σπέρμα λέγω τὸ ἀνθρώπινον; καὶ γὰρ καὶ ἡ ἡμετέρα γέννησις ἀπὸ φθορᾶς ἄρχεται, ὥσπερ ἡ τοῦ σίτου. ὅτι οὐκ ἦν ἴσον, ἀλλὰ τοῦτο πλέον. ὁλόκληρον γάρ τι ζητεῖ φθειρόμενον, ἐκεῖνο δὲ μέρος ἦν. διόπερ τοῦτο εἰς μέσον ἄγει. ἄλλως δέ, ἐκεῖνο μὲν καὶ ἀπὸ ζῶντος πρόεισι, καὶ εἰς ζῶσαν ἐμπίπτει γαστέρα· ἐνταῦθα δὲ οὐκ εἰς σάρκα, ἀλλ' εἰς τὴν γῆν ὁ σπόρος καταβάλλεται, καὶ εἰς αὐτὴν διαλύεται, καθάπερ τὸ σῶμα τὸ τεθνηκός. διὸ καὶ ταύτῃ οἰκειότερον ἦν τὸ ὑπόδειγμα.

37 Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις. Τὰ μὲν γὰρ ἔμπροσθεν εἰρημένα, πρὸς τὸ λέγειν πῶς ἐγείρονται· τοῦτο δέ, πρὸς τὸ διαπορεῖν ποίῳ σώματι ἔρχονται. τί δέ ἐστιν, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις; οὐ στάχυν ὁλόκληρον, οὐδὲ σῖτον νέον. ἐνταῦθα γὰρ οὐκέτι πρὸς τὴν ἀνάστασιν ὁ λόγος, ἀλλὰ πρὸς τὸν τρόπον τῆς ἀναστάσεως, ποταπὸν τὸ σῶμα τὸ μέλλον ἀνίστασθαι, οἷον εἰ τοιοῦτον, ἢ βέλτιον καὶ λαμπρότερον. καὶ ἀμφότερα ἀπὸ τοῦ αὐτοῦ ὑποδείγματος λαμβάνει, δεικνὺς ὅτι πολλῷ βέλτιον. ἀλλ' οἱ αἱρετικοὶ μηδὲν τούτων συνιέντες ἐπιπηδῶσι, καὶ λέγουσιν· ὅτι ἕτερον σῶμα πίπτει, καὶ ἕτερον σῶμα ἀνίσταται. πῶς οὖν ἀνάστασις; τοῦ γὰρ πεσόντος ἐστὶν ἡ ἀνάστασις. ποῦ δὲ τὸ θαυμαστὸν καὶ παράδοξον κατὰ τοῦ θανάτου νικητήριον, εἰ ἄλλο πίπτει, καὶ ἄλλο ἀνίσταται; οὐκέτι γὰρ φανήσεται ἐκεῖνος ἀποδούς, ὅπερ ἔλαβεν αἰχμάλωτον. πῶς δὲ τὸ ὑπόδειγμα ἁρμόσειεν ἂν τοῖς εἰρημένοις; οὐ γὰρ ἄλλη μὲν οὐσία σπείρεται, ἄλλη δὲ ἐγείρεται, ἀλλ' ἡ αὐτὴ βελτίων. ἔσται δὲ οὐδὲ ὁ Χριστὸς τὸ αὐτὸ σῶμα ἀνειληφώς, ἀπαρχὴ τῶν ἀνισταμένων γενόμενος· ἀλλὰ καθ' ὑμᾶς ἐκεῖνο μὲν ἔρριψε, καίτοιγε οὐδὲν ἡμαρτηκός, ἕτερον δὲ ἔλαβε. πόθεν ἄρα τὸ ἕτερον; τοῦτο μὲν γὰρ ἐκ παρθένου, ἐκεῖνο δὲ πόθεν; ὁρᾷς εἰς ὅσην ἀτοπίαν ὁ λόγος ἐξεκυλίσθη; διατί γὰρ καὶ τοὺς τύπους δείκνυσι τῶν ἥλων; οὐχὶ τοῦτο ἀποδεῖξαι θέλων, ὅτι αὐτὸ ἐκεῖνό ἐστι τὸ ἀνασκολοπισθέν; καὶ αὐτὸ πάλιν ἀνέστη; τί δὲ καὶ ὁ τύπος βούλεται αὐτῷ ὁ τοῦ Ἰωνᾶ;

οὐ

γ. ἄλλο
γ. ἄλλο

οὐ γὰρ δήπου ἄλλος μὲν κατεπόθη, ἄλλος δὲ εἰς τὴν γῆν ἐξενέχθη Ἰωνᾶς. τί δὲ καὶ ἔλεγε, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν; τὸν γὰρ λυόμενον δηλονότι τοῦτον καὶ ἀνίστη. Ioan. c. 19. διὸ καὶ προσέθηκεν ὁ εὐαγγελιστής, ὅτι ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. τί οὖν φησιν, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις; τουτέστιν, οὐ τὸν ἀστάχυν. καὶ γὰρ αὐτός ἐστι, καὶ οὐκ αὐτός· αὐτὸς μὲν, ὅτι αὐτὴ ἡ οὐσία· οὐκ αὐτὸς δὲ, ὅτι βελτίων ἐστί, τῆς μὲν αὐτῆς οὐσίας μενούσης, μείζονος δὲ τῆς εὐπρεπείας γενομένης, καὶ καινοῦ τοῦ αὐτοῦ ἀνισταμένου. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲ ἀναστάσεως ἔδει, εἰ μὴ βέλτιον ἀνίστασθαι ἔμελλε. τί γὰρ καὶ καθῄρει τὴν οἰκίαν, εἰ μὴ λαμπροτέραν ἔμελλεν οἰκοδομεῖν; τοῦτο τοίνυν πρὸς τοὺς νομίζοντας τὴν αὐτὴν εἶναι φθορὰν εἶπεν· εἶτα, ἵνα μὴ ἄλλο τις πάλιν ὑποπτεύσῃ σῶμα ἐντεῦθεν εἰρῆσθαι, παραμυθεῖται τὸ αἴνιγμα, καὶ αὐτὸς ἑρμηνεύει τὸ εἰρημένον, μὴ συγχωρῶν τῷ ἀκροατῇ ἀλλαχοῦ περιάγειν τὴν ἔννοιαν τὴν ἐντεῦθεν. τί τοίνυν δεῖ τῶν ἡμετέρων λόγων; ἄκουσον αὐτοῦ λέγοντος καὶ ἑρμηνεύοντος τί ἐστιν· οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις. εὐθέως γὰρ ἐπήγαγεν·

Ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι σίτου, ἤ τινος τῶν τοιούτων σπερμάτων·

Τουτέστιν, οὐ τὸ σῶμα τὸ γενησόμενον· ἐστὶν οὐχ οὕτω περιβεβλημένον, οὐδὲ καλάμην ἔχοντα καὶ ἀνθέρικας, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου, ἤ τινος τῶν τοιούτων.

38 Καὶ ὁ Θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε. Ναὶ φησιν, ἀλλ' ἐκεῖ τῆς φύσεως τὸ ἔργον ἐστί. ποίας φύσεως, εἰπέ μοι; καὶ γὰρ καὶ ἐκεῖ τὸ πᾶν ὁ Θεὸς ἐργάζεται, οὐχ ἡ φύσις, οὐδὲ ἡ γῆ, οὐδὲ ὁ ὑετός. διόπερ καὶ αὐτὸς ταῦτα δηλῶν, καὶ γῆν καὶ ὑετὸν καὶ ἀέρα καὶ ἥλιον καὶ χεῖρας γεωργικὰς ἀφεὶς, ἐπήγαγεν, ὅτι ὁ Θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε. μὴ τοίνυν περιεργάζου, μηδὲ πολυπραγμόνει, πῶς καὶ τίνι τρόπῳ, ὅταν Θεοῦ δύναμιν καὶ θέλημα ἀκούσῃς. Καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. Ποῦ τοίνυν τὸ ἀλλότριον; τὸ γὰρ ἴδιον δίδωσιν. ὥστε ὅταν λέγῃ, οὐ τὸ γενησόμενον σπείρεις, οὐ τοῦτο λέγει, ὅτι ἄλλη ἀντὶ ἄλλης οὐσίας ἀνίσταται, ἀλλ' ὅτι βελτίων, ὅτι λαμπροτέρα. ἑκάστῳ γάρ, φησι, τῶν σπερμάτων τὸ ἴδιον σῶμα. ἐντεῦθεν λοιπὸν καὶ τὴν διαφορὰν εἰσάγει τῆς τότε ἐσομένης ἀναστάσεως. μὴ γὰρ ἐπειδὴ σῖτος σπείρεται, καὶ πάντες στάχυες ἀνέρχονται, διὰ τοῦτο νομίσῃς καὶ ἐν τῇ ἀναστάσει ἰσοτιμίαν εἶναι. μάλιστα μὲν γὰρ οὐδὲ ἐν τοῖς σπέρμασι μία τάξις, ἀλλὰ τὰ μὲν τιμιώτερα, τὰ δὲ καταδεέστερα. διὸ καὶ ἐπήγαγεν, ἑκάστῳ τὸ ἴδιον σῶμα. πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλ' ἑτέραν ζητεῖ διαφορὰν μείζονα καὶ σαφεστέραν. ἵνα γὰρ μὴ ἀκούσας, ὅπερ ἔφην, ὅτι πάντες ἀνίστανται, πάντας τῶν αὐτῶν ἀπολαύειν νομίσῃς, προκατεβάλετο μὲν καὶ ἐν τοῖς ἔμπροσθεν τῆς ἐννοίας ταύτης τὰ σπέρματα, εἰπὼν, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. ἐργάζεται δὲ αὐτὸ σαφέστερον καὶ ἐνταῦθα πάλιν λέγων·

39 Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ. Τί λέγω γάρ, φησιν, ἐπὶ τῶν σπερμάτων; ἐπὶ τῶν σωμάτων γυμνάσωμεν αὐτὸ τούτων, περὶ ὧν ὁ λόγος ἡμῖν νῦν. διὸ καὶ ἐπάγει λέγων· Ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, καὶ ἄλλη πτηνῶν, καὶ ἄλλη ἰχθύων.

40 Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

41 Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Καὶ τί βούλεται αὐτῷ ταυτὶ τὰ ῥήματα; τίνος ἕνεκεν ἐκ τῆς ἀναστάσεως τῆς τῶν σωμάτων εἰς τὸν περὶ ἀστέρων καὶ ἡλίου λόγον ἐξέπεσεν; οὐκ ἐξέπεσεν, οὐδὲ ἀπεῤῥάγη τῆς ὑποθέσεως (ἄπαγε) ἀλλ' ἔτι αὐτῆς ἔχεται. ἐπειδὴ γὰρ τὸν περὶ τῆς ἀνα-

ἀναστάσεως κατασκευάσει λόγον, δείκνυσι λοιπὸν ὅτι πολλὴ τῆς δόξης τότε ἡ διαφορά, εἰ καὶ ἡ ἀνάστασις μία. καὶ διαιρεῖ εἰς δύο τὸ πᾶν τέως, εἰς τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια. ὅτι μὲν γὰρ τὰ σώματα ἀνίσταται, ἔδειξε διὰ τοῦ σίτου· ὅτι δὲ οὐκ ἐν τῇ αὐτῇ δόξῃ πάντα, δείκνυσιν ἐντεῦθεν. ὥσπερ γὰρ τὸ ἀπιστεῖν τῇ ἀναστάσει, ὑπτίους ποιεῖ, οὕτω πάλιν ῥαθύμους, τὸ νομίζειν πάντας τῶν αὐτῶν ἀξιοῦσθαι. διόπερ ἀμφότερα διορθοῦται. καὶ τὰ μὲν, ἐν τοῖς ἔμπροσθεν ἀπήρτισε· τούτου δὲ ἄρχεται νῦν. καὶ ποιήσας δύο τάγματα δικαίων, καὶ ἁμαρτωλῶν, αὐτὰ ταῦτα δύο ταῦτα εἰς πολλὰ πάλιν κατατέμνει μέρη, δεικνὺς ὅτι οὔτε δίκαιοι καὶ ἁμαρτωλοὶ τῶν αὐτῶν τεύξονται, οὔτε δίκαιοι πάντες δικαίοις ὁμοίως, οὔτε ἁμαρτωλοὶ ἁμαρτωλοῖς. ποιεῖ τοίνυν προτέραν μίαν τομὴν δικαίων καὶ ἁμαρτωλῶν λέγων, σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· διὰ μὲν τῶν ἐπιγείων τούτους αἰνιττόμενος, διὰ δὲ τῶν ἐπουρανίων ἐκείνους. εἶτα λοιπὸν τὴν ἁμαρτωλῶν διαφορὰν πρὸς ἁμαρτωλοὺς εἰσάγει λέγων· οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν ἰχθύων, ἄλλη δὲ πτηνῶν, καὶ κτηνῶν. καίτοι πάντα σώματα, ἀλλὰ τὰ μὲν ἐν πλείονι, τὰ δὲ ἐν ἐλάττονι εὐτελείᾳ· καὶ ἐν ζωῇ δὲ ὁμοίως, καὶ ἐν αὐτῇ τῇ κατασκευῇ. καὶ εἰπὼν τοῦτο, ἀναβαίνει πάλιν εἰς τὸν οὐρανὸν λέγων, ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης. ὥσπερ γὰρ ἐν τοῖς ἐπιγείοις σώμασι διαφορά, οὕτω καὶ ἐν τοῖς ἐπουρανίοις καὶ διαφορά, οὐχ ἡ τυχοῦσα, ἀλλὰ καὶ μέχρι τῶν ἐσχάτων. οὐ γὰρ ἡλίῳ πρὸς σελήνην, οὐδὲ σελήνῃ πρὸς ἀστέρας διαφορὰ μόνον, ἀλλὰ καὶ ἄστρασι πρὸς ἀστέρας. εἰ γὰρ καὶ πάντα ἐν οὐρανῷ, ἀλλὰ τὰ μὲν πλείονος, τὰ δὲ ἐλάττονος μετέχει δόξης. τί τοίνυν ἐντεῦθεν καταμανθάνομεν; ὅτι εἰ καὶ ἐν βασιλείᾳ πάντες, οὐ πάντες τῶν αὐτῶν ἀπολαύσονται· καὶ εἰ πάντες ἐν γεέννῃ οἱ ἁμαρτωλοί, οὐ πάντες τὰ αὐτὰ ὑπομενοῦσι. διὸ ἐπήγαγεν·

42 Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. Οὕτω, πῶς; ἐν διαφορᾷ πολλῇ. εἶτα ἀφεὶς τοῦτον τὸν λόγον ὡς ἀρκούντως ἀποδειχθέντα, πάλιν ἐπ᾽ αὐτὴν τῆς ἀναστάσεως τὴν ἀπόδειξιν καὶ τὸν τύπον ἔρχεται, λέγων· Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ.

Καὶ θέα σύνεσιν. ἐπὶ μὲν τῶν σπερμάτων, τῷ τῶν σωμάτων ἐχρήσατο ὀνόματι λέγων, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· ἐπὶ δὲ τῶν σωμάτων, τῇ τῶν σπερμάτων προσηγορίᾳ λέγων, σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. οὐκ εἶπε, φύεται, ἵνα μὴ τῆς γῆς ἔργον νομίσῃς, ἀλλ᾽, ἐγείρεται. σπορὰν δὲ ἐνταῦθα, οὐ τὴν γένεσιν ἡμῶν λέγει τὴν ἐν μήτρᾳ, ἀλλὰ τὴν ταφὴν τὴν ἐν τῇ γῇ τῶν τετελευτηκότων σωμάτων, τὴν διάλυσιν, τὴν τέφραν. διὸ εἰπών, σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ, ἐπήγαγε·

43 Σπείρεται ἐν ἀτιμίᾳ. Τί γὰρ εἰδεχθέστερον νεκροῦ διαῤῥυέντος;

Ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ. Οὔπω γὰρ ἡμέραι τριάκοντα, καὶ τὸ πᾶν ἀπώλετο, καὶ κατασχεῖν ἑαυτὴν ἡ σὰρξ οὐ δύναται, οὐδὲ πρὸς μίαν ἀρκέσαι ἡμέραν. Ἐγείρεται ἐν δυνάμει. Τότε γὰρ αὐτοῦ οὐδὲν περιέσται λοιπόν. διὰ δὴ τοῦτο καὶ ἐκείνων ἐδεήθη τῶν ὑποδειγμάτων, ἵνα μὴ ταῦτα ἀκούοντες πολλοί, ὅτι ἐν ἀφθαρσίᾳ, καὶ δόξῃ, καὶ δυνάμει ἐγείρονται, νομίσωσι μηδεμίαν εἶναι διαφορὰν τῶν ἀνισταμένων. πάντες μὲν γὰρ ἀνίστανται, καὶ ἐν δυνάμει, καὶ ἐν ἀφθαρσίᾳ, καὶ ἐν δόξῃ ταύτῃ τῇ τῆς ἀφθαρσίας, οὐ μέντοι τῆς τιμῆς τῆς αὐτῆς, οὐδὲ τῆς ἀσφαλείας πάντες.

44 Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. Τί λέγεις; τοῦτο δὲ οὐ πνευματικόν; πνευματικὸν μέν, ἀλλ᾽ ἐκεῖνο πολλῷ πλέον. νῦν μὲν γὰρ καὶ ἀφίσταται τοῦ πνεύματος τοῦ ἁγίου πολλάκις ἡ πολλὴ χάρις, ἁμαρτανόντων μεγάλα πταιόντων, καὶ τοῦ πνεύματος δὲ παρόντος τῆς ψυχῆς ἡ ζωὴ τῆς σαρκός· οὐ τὸ τοιοῦτο κενὸν ἐστὶ τούτου χωρίς. τότε δὲ οὐχ οὕτως, ἀλλὰ διηνεκῶς παραμένει τῇ σαρκὶ

τῶν

τῶν δικαίων, καὶ αὐτὸ ἔσται τὸ κρεῖττον παρούσης καὶ τῆς ψυχῆς. ἢ γάρ τι τοιοῦτον ᾐνίξατο, εἰπὼν, πνευματικὸν, ἢ ὅτι κουφότερον ἔσται καὶ λεπτότερον, καὶ δεῖ καὶ ἐπ' ἀέρος ὀχεῖσθαι, μᾶλλον δὲ ἀμφότερα. εἰ δὲ ἀπιστεῖς τῷ λόγῳ, ὅρα τὰ ἐπουράνια σώματα τὰ οὕτω λαμπρὰ καὶ διαρκῆ τέως καὶ ἐν ἀγηράτῳ λήξει διαμένοντα, καὶ πίστευσον ἐντεῦθεν, ὅτι δύναται ὁ Θεὸς ποιῆσαι καὶ ταῦτα τὰ φθαρτὰ, ἄφθαρτα καὶ πολλῷ βελτίω τῶν ὁρωμένων.

45 Οὕτω καὶ γέγραπται, ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Καίτοι τὸ μὲν γέγραπται, τὸ δὲ οὐ γέγραπται. πῶς οὖν εἶπεν, ὅτι γέγραπται; ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ μετέφρασεν, ὅπερ ἔθος αὐτῷ συνεχῶς ποιεῖν. καὶ γὰρ ἔθος τοῦτο προφήτου. καὶ γὰρ τὴν Ἱερουσαλὴμ, πόλιν δικαιοσύνης ἔφησεν ὁ προφήτης κληθήσεσθαι, καὶ οὐκ ἐκλήθη. τί οὖν, ἐψεύσατο ὁ προφήτης; οὐδαμῶς. τὴν γὰρ διὰ τῶν πραγμάτων ἔκβασιν λέγει. καὶ τὸν Χριστὸν δὲ, Ἐμμανουήλ· καὶ οὐδὲ αὐτὸς οὕτω κέκληται, ἀλλὰ τὰ πράγματα ταύτην ἀφίησι τὴν φωνήν· οὕτω καὶ ἐνταῦθα, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Ταῦτα δὲ εἶπεν, ἵνα μάθῃς ὅτι καὶ τῆς παρούσης ζωῆς, καὶ τῆς μελλούσης τὰ σύμβολα ἤδη καὶ τὰ ἐνέχυρα ἔφθασε, τῆς μὲν παρούσης ὁ Ἀδὰμ, τῆς δὲ μελλούσης ὁ Χριστός. ἐπειδὴ γὰρ τὰ χρηστότερα ἐν ἐλπίσι τίθησι, δείκνυσι τὴν ἀρχὴν ἤδη ἐκβεβηκυῖαν, καὶ τὴν ῥίζαν καὶ τὴν πηγὴν φανεῖσαν. εἰ δὲ ἡ ῥίζα καὶ ἡ πηγὴ πᾶσι κατάδηλος, οὐδὲν δεῖ περὶ τῶν καρπῶν ἀμφιβάλλειν. διὸ λέγει, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. καὶ ἀλλαχοῦ δὲ, Ζωοποιήσει τὰ θνητὰ σώματα ὑμῶν (Ρωμ. η. ια.) διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. ἄρα τοῦ πνεύματος τὸ ζωοποιεῖν. εἶτα ἵνα μή τις εἴπῃ, διὰ τί πρεσβύτερα τὰ χείρονα, καὶ τὰ μὲν ὅλα ἐξέβη, τὰ ψυχικὰ οὐ μέχρι τῆς ἀπαρχῆς, τὰ δὲ ἕως τῆς ἀπαρχῆς μόνον, δείκνυσιν ὅτι καὶ αἱ ἀρχαὶ ἑκατέρων οὕτω διετάγησαν.

(χ. πνευματικόν.)

46 Οὐ γὰρ πρῶτον, φησὶ, τὸ πνευματικὸν· ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν.

Καὶ οὐ λέγει, διὰ τί; ἀλλ' ἀρκεῖται τῇ τοῦ Θεοῦ διατάξει, τὴν ἀπὸ τῶν πραγμάτων ψῆφον ἔχων μαρτυροῦσαν τῇ ἀρίστῃ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ δεικνὺς ὅτι ἐπὶ τὸ βέλτιον ἀεὶ τὰ ἡμέτερα πρόεισιν, ἅμα κἀντεῦθεν πιστούμενος τὸν λόγον. εἰ γὰρ τὰ ἐλάττονα ἐξέβη, πολλῷ μᾶλλον τὰ βελτίω προσδοκᾶν χρή.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν τοιούτων μέλλομεν ἀπολαύειν ἀγαθῶν, εἰς ταύτην ἑαυτοὺς κατατάξωμεν τὴν τάξιν, καὶ μὴ κλαίωμεν τοὺς ἀπιόντας, ἀλλὰ τοὺς κακῶς τὸν βίον καταλύοντας. ἐπεὶ καὶ γεωργὸς, ὅταν ἴδῃ τὸν σῖτον διαλυόμενον, οὐ θρηνεῖ· ἀλλ' ἕως μὲν ἂν βλέπῃ στερεὸν ἐν τῇ γῇ μένοντα, δέδοικε καὶ τρέμει· ἐπειδὰν δὲ ἴδῃ διαλυθέντα, χαίρει. ἀρχὴ γὰρ τῆς μελλούσης σπορᾶς, ἡ διάλυσις. οὕτω καὶ ἡμεῖς τότε χαίρωμεν, ὅταν πέσῃ ἡ οἰκία ἡ φθαρτὴ, ὅταν σπαρῇ ὁ ἄνθρωπος. καὶ μὴ θαυμάσῃς, εἰ σπορὰν τὴν ταφὴν ἐκάλεσε. καὶ γὰρ αὕτη βελτίων ἡ σπορά. ἐκείνην μὲν γὰρ διαδέχονται θάνατοι, καὶ πόνοι, καὶ κίνδυνοι, καὶ φροντίδες· ταύτην δὲ, ἂν ὀρθῶς βιῶμεν, στέφανοι καὶ βραβεῖα· καὶ τὴν μὲν, φθορὰ καὶ θάνατος· τὴν δὲ ἀφθαρσία, καὶ ἀθανασία, καὶ τὰ μυρία ἀγαθά. ἐπ' ἐκείνης τῆς σπορᾶς, συμπλοκαὶ, καὶ ἡδοναὶ, καὶ ὕπνος· ἐπὶ ταύτης δὲ φωνὴ μόνον ἐκ τῶν οὐρανῶν καταβαίνουσα, καὶ πάντα ἀθρόως τελεσφορεῖται· καὶ ὁ ἀνιστάμενος οὐκέτι λοιπὸν ἐπὶ βίον ἄγεται πολύμοχθον, ἀλλ' ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. εἰ καὶ προστασίαν ἐπιζητεῖς, καὶ διὰ τοῦτο θρηνεῖς τὸν ἄνδρα, ἐπὶ τὸν κοινὸν πάντων προστάτην καὶ σωτῆρα καὶ εὐεργέτην κατάφυγε τὸν Θεὸν, ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν εὔκολον βοήθειαν, ἐπὶ τὴν διαρκῆ σκέπην τὴν πανταχοῦ παροῦσαν καὶ πανταχόθεν ἡμᾶς τειχίζουσαν. ἀλλ' ἡ συνήθεια ποθεινὸν καὶ ἐπέραστον. οἶδα κἀγώ. ἀλλ' ἂν ἐπιτρέψῃς τῷ λογισμῷ τὸ πάθος, καὶ λογίσῃ πρὸς ἑαυ-

(χ. διαλυθῇ, ἴσ. φορᾶς,)

τὴν

τὴν υἱὸς ὁ λαβών, καὶ ὅτι γενναίως ἐνεγκὼν θυσίαν τὴν γνώμην ἀναφέρεις τῷ Θεῷ, καὶ τοῦτο τὸ κῦμα δυνήσῃ διαδραμεῖν· καὶ ὅπερ ὁ χρόνος ἐργάζεται, τοῦτο ἡ φιλοσοφία ποιήσει. ἂν δὲ καταμαλακισθῇς, λήξει μὲν τῷ χρόνῳ τὸ πάθος, σοὶ δὲ οὐδένα τὸν μισθὸν οἴσει. μετὰ δὲ τῶν λογισμῶν τούτων καὶ παραδείγματα σύλλεγε, τὰ ἐν τῷ παρόντι βίῳ, τὰ ἐν ταῖς θείαις γραφαῖς. ἐννόησον ὅτι ὁ Ἀβραὰμ κατέσφαζε τὸν υἱὸν τὸν αὐτοῦ, καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν ῥῆμα ἐξέβαλεν. ἀλλ' ἐκεῖνος Ἀβραάμ, φησιν, ἦν. καὶ μὴν σὺ ἐπὶ μείζονα ἐκλήθης σκάμματα. ὁ δὲ Ἰὼβ ἤλγησε μέν, τοσοῦτον δέ, ὅσον εἰκὸς πατέρα φιλόπαιδα καὶ σφόδρα κηδόμενον τῶν ἀπελθόντων· ὡς ἄν γε νῦν ποιοῦμεν ἡμεῖς, ἐχθρῶν καὶ πολεμίων ἐστίν. οὐδὲ γάρ, εἴ τινος εἰς βασίλεια ἀπενεχθέντος καὶ στεφανωθέντος ἐκόπτου σαυτὸν καὶ ἐθρήνεις, φίλον ἄν σε τοῦ στεφανωθέντος ἔφην εἶναι, ἀλλ' ἐχθρὸν σφόδρα καὶ πολέμιον. ἀλλ' οὐδὲ νῦν ἐκεῖνον θρηνῶ, φησιν, ἀλλ' ἐμαυτόν. ἀλλ' οὐδὲ τοῦτο φιλοῦντος, τὸ θέλειν ἐπ' ἐναγώνιον εἶναι ἐκεῖνον διὰ σαυτὸν καὶ ὑποκεῖσθαι τῇ ἀδηλίᾳ τοῦ μέλλοντος, δέον στεφανοῦσθαι καὶ προσορμεῖν, ἢ πελάγιον σαλεύειν, δέον ἐν λιμένι εἶναι. ἀλλ' οὐκ οἶδα ποῖ κεχώρηκε, φησί. διατί οὐκ οἶδας, εἰπέ μοι; εἴτε γὰρ ὀρθῶς ἐβίου, εἴτε ἑτέρως, δῆλον ποῦ χωρήσει. δι' αὐτὸ γὰρ τοῦτο κόπτομαι, φησιν, ὅτι ἁμαρτωλὸς ἀπῆλθε. σκῆψις ταῦτα, καὶ πρόφασις. εἰ γὰρ διὰ τοῦτο ἀπελθόντα ἐθρήνεις, ζῶντα μεταπλάσαι ἐχρῆν καὶ ῥυθμίσαι· ἀλλὰ τὰ σαυτοῦ σὺ πανταχοῦ σκοπεῖς, οὐ τὰ ἐκείνου. εἰ δὲ καὶ ἁμαρτωλὸς ἀπῆλθε, καὶ διὰ τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ, καὶ βοηθεῖν ὡς ἂν οἷόν τε ᾖ, οὐ δακρύειν, ἀλλ' εὐχαῖς, καὶ ἱκετηρίαις, καὶ ἐλεημοσύναις, καὶ προσφοραῖς. οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ εἰκῇ μνήμην ποιούμεθα τῶν ἀπελθόντων ἐπὶ τῶν θείων μυστηρίων, καὶ ὑπὲρ αὐτῶν πρόσιμεν, δεόμενοι τοῦ ἀμνοῦ τοῦ κειμένου τοῦ λαβόντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' ἵνα τις ἐντεῦθεν αὐτοῖς γένηται παραμυθία. οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ τῶν φρικτῶν μυστηρίων τελουμένων βοᾷ ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελουμένων. εἰ γὰρ μὴ ὑπὲρ αὐτῶν αἱ μνεῖαι ἐγίνοντο, οὐδ' ἂν ταῦτα ἐλέχθη. οὐ γάρ ἐστι σκηνὴ τὰ ἡμέτερα, μὴ γένοιτο. πνεύματος γὰρ διατάξει ταῦτα γίνεται. βοηθῶμεν τοίνυν αὐτοῖς, καὶ μνείας ὑπὲρ αὐτῶν ἐπιτελῶμεν. εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ πατρὸς θυσία, τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων γίνεταί τις αὐτοῖς παραμυθία; εἴωθε γὰρ ὁ Θεὸς καὶ ἑτέροις ὑπὲρ ἑτέρων χαρίζεσθαι. καὶ τοῦτο ἐδείκνυ ὁ Παῦλος λέγων, Ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ὑμῶν. μὴ δὴ ἀποκάμωμεν τοῖς ἀπελθοῦσι βοηθοῦντες, καὶ προσφέροντες ὑπὲρ αὐτῶν εὐχάς. καὶ γὰρ τὸ κοινὸν τῆς οἰκουμένης κεῖται καθάρσιον. διὰ τοῦτο θαῤῥοῦντες ὑπὲρ τῆς οἰκουμένης δεόμεθα τότε, καὶ μετὰ μαρτύρων αὐτοὺς καλοῦμεν, μετὰ ὁμολογητῶν, μετὰ ἱερέων. καὶ γὰρ ἓν σῶμά ἐσμεν ἅπαντες, κἂν λαμπρότερα μέλη μελῶν· καὶ δυνατὸν πανταχόθεν συγγνώμην αὐτοῖς συναγαγεῖν, ἀπὸ τῶν εὐχῶν, ἀπὸ τῶν ὑπὲρ αὐτῶν δώρων, ἀπὸ τῶν μετ' αὐτῶν καλουμένων. τί τοίνυν ἀλγεῖς, τί δὲ θρηνεῖς, ὁπότε τοσαύτην δυνατὸν συγγνώμην συναγαγεῖν τῷ ἀπελθόντι; ἀλλ' ὅτι σὺ γέγονας ἔρημος καὶ προστάτην ἀπώλεσας; ἀλλὰ μηδέποτε τοῦτο εἴπῃς. οὐδὲ γὰρ τὸν Θεὸν ἀπώλεσας. ὥστε ἕως ἂν τοῦτον ἔχῃς, καὶ ἀνδρὸς αὐτὸς ἔσται σοι μείζων, καὶ πατρός, καὶ παιδός, καὶ κηδεστοῦ. καὶ γὰρ καὶ ζώντων ἐκείνων, οὗτος ἦν ὁ τὰ πάντα ποιῶν. ταῦτα τοίνυν ἐννόει, καὶ λέγε κατὰ τὸν Δαβίδ, Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; εἰπέ, σὺ εἶ ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν· καὶ ἐπίσπασαι αὐτοῦ τὴν βοήθειαν, καὶ μᾶλλον αὐτὸν ἕξεις νῦν προνοοῦντα, ἢ πρότερον, ὅσον ἐν μείζονι καθέστηκας ἀπορίᾳ. ἀλλὰ παιδίον ἀπώλεσας; οὐκ ἀπώλεσας, μὴ λέγε. ὕπνος τὸ πρᾶγμά ἐστιν, οὐ θάνατος· μετάστασις, οὐκ ἀπώλεια, ἀποδημία ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ βελτίω. μὴ δὴ παροξύνῃς τὸν Θεόν, ἀλλ'

ἰσ. δάκρυον

β. Κορ. α. ια.

Ψαλμ. κς.

ἀλλ' ἵλεων ποίει. ἂν γὰρ ἐνέγκῃς γενναίως, ἔσται τις κἀντεῦθεν τῷ ἀπελθόντι, καὶ σοὶ παραμυθία· ἂν δὲ τοὐναντίον, μᾶλλον ἐξάπτεις τὴν ὀργὴν τοῦ Θεοῦ. καὶ γὰρ εἰ παιδὸς μαστιχθέντος ὑπὸ δεσπότου σὺ παρεστὼς ἐδυσχέραινες, μειζόνως ἂν παρώξυνας κατὰ σαυτοῦ τὸν δεσπότην. μὴ δὴ ποίει τοῦτο, ἀλλ' εὐχαρίστει, ἵνα σοι καὶ ταύτῃ σκεδασθῇ τὸ νέφος τῆς ἀθυμίας. Εἰπὲ κατὰ τὸν μακάριον ἐκεῖνον, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ἐννόησον ὅσοι Ιοϐ c.1. μᾶλλον εὐαρεστοῦντες οὐδὲ ἔλαβον τὴν ἀρχὴν παῖδας, οὐδὲ πατέρες ἐκλήθησαν. οὐδὲ γὰρ ἐγώ, φησιν, ἐβουλόμην. καὶ γὰρ βέλτιον ἦν μηδὲ πεῖραν λαβεῖν, ἢ μετὰ τὸ γεύσασθαι τῆς ἡδονῆς, ἐκπεσεῖν. μή, παρακαλῶ, μὴ λέγε ταῦτα, μὴ παροργίσῃς καὶ ταύτῃ τὸν δεσπότην· ἀλλ' ὑπὲρ μὲν ὧν ἔλαβες, εὐχαρίστησον· ὑπὲρ δὲ ὧν οὐκ εἰς τέλος ἔχεις, δόξαζε. οὐκ εἶπεν ὁ Ἰώβ, ὅτι βέλτιον ἦν μὴ λαβεῖν, τοῦτο ὃ σὺ λέγεις ἀγνωμόνως, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων εὐχαριστεῖ λέγων, ὁ Κύριος ἔδωκε, καὶ ὑπὲρ τούτων εὐλογεῖ λέγων, ὁ Κύριος ἀφείλετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας· καὶ τὴν γυναῖκα οὕτως ἐπιστομίζει δικαιολογούμενος πρὸς αὐτήν, καὶ τὰ θαυμαστὰ ἐκεῖνα φθεγγόμενος ῥήματα, Εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν; καίτοι μετὰ ταῦτα χαλεπώτερος γίνεται ὁ πειρασμός· ἀλλ' ἐκεῖνος οὐδὲ οὕτως ἐξελύετο, ἀλλ' ὁμοίως ἔφερε γενναίως, καὶ ἐδόξαζε. Ιοϐ. c.1. οὕτω καὶ σὺ ποίει, καὶ λογίζου πρὸς σαυτόν, ὅτι οὐκ ἄνθρωπος ἔλαβεν, ἀλλ' ὁ Θεός, ὁ Θεὸς ὁ ποιήσας, ὁ μᾶλλόν σου κηδόμενος, καὶ τὸ συμφέρον εἰδώς, οὐ πολέμιός τις, οὐδὲ ἐπίβουλος. ἐννόησον πόσοι ζῶντες ἀβίωτον τὸν βίον τοῖς γεγεννηκόσιν ἐποίησαν. ἀλλ' οὐχ ὁρᾷς γενναίους, φησιν; ὁρῶ καὶ τούτους, ἀλλὰ καὶ τούτων ἀσφαλέστερα τὰ κατὰ τὸν παῖδά σου νῦν. εἰ γὰρ καὶ εὐδοκιμοῦσιν, ἀλλ' ἐν ἀδήλῳ τὰ τοῦ τέλους αὐτῶν· ὑπὲρ δὲ ἐκείνου λοιπὸν οὐ δέδοικας, οὐδὲ τρέμεις μή τι πάθῃ, ἢ μεταβολήν τινα δέξηται. ταῦτα καὶ ἐπὶ γυναικὸς λογίζου καλῆς καὶ οἰκουροῦ, καὶ ὑπὲρ πάντων εὐχαρίστει τῷ Θεῷ. κἂν ἀπολέσῃς γυναῖκα, εὐχαρίστει. ἴσως σε εἰς ἐγκράτειαν ἴσ. ἀγαγεῖν ἀγαγεῖν βούλεται ὁ Θεός, ἐπὶ μείζονα καλέσαι σκάμματα, ἐλευθερῶσαί σε τοῦ δεσμοῦ ἠθέλησεν. ἂν οὕτω φιλοσοφῶμεν, καὶ τὴν παροῦσαν εὐθυμίαν κερδανοῦμεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα στεφάνων.

Λογ. μβ. 47 Ὁ ΠΡΩΤΟΣ ΑΝΘΡΩΠΟΣ ΕΚ ΓΗΣ ΧΟΙΚΟΣ, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ.

Ἐπειδὴ ψυχικοὺς εἶπε πρότερον, καὶ πνευματικοὺς δευτέρους, πάλιν ἄλλην τίθησι διαφοράν, χοϊκοὺς λέγων καὶ ἐπουρανίους. ἡ μὲν γὰρ προτέρα τοῦ παρόντος ἦν βίου, καὶ τοῦ μέλλοντος· αὕτη δὲ τοῦ πρὸ τῆς χάριτος καὶ τοῦ μετὰ τὴν χάριν. τέθεικε δὲ αὐτὴν εἰς πολιτείαν ἀρίστην λέγων. ἵνα γάρ, ὅπερ ἔφην, μὴ τῇ ἀναστάσει θαρροῦντες ἀμελῶσι βίου καὶ ἀκριβείας, πάλιν καὶ ἐντεῦθεν αὐτοὺς ἐναγωνίους ποιεῖ, καὶ παρακαλεῖ εἰς ἀρετήν, λέγων· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ, τὸν πάντα ἄνθρωπον καλῶν, καὶ τὸν μὲν ἀπὸ τοῦ κρείττονος, τὸν δὲ ἀπὸ τοῦ χείρονος ὀνομάζων.

48 Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· Οὕτως ἀπόλλυνται καὶ τελευτῶσιν.
Οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· Οὕτω μένουσιν ἀθάνατοι καὶ λάμποντες.

τί οὖν; οὐχὶ καὶ οὗτος ἀπέθανεν; ἀπέθανε μέν, ἀλλ' οὐδὲν ἐντεῦθεν παρεβλάβη, ἀλλὰ καὶ ταύτῃ τὸν θάνατον κατέλυσεν. εἶδες πῶς κἀντεῦθεν τὸ περὶ τῆς ἀναστάσεως συνίστησι δόγμα; ἔχων γάρ, ὅπερ ἔφθην εἰπών, τὴν ἀρχὴν καὶ τὴν κεφαλήν, φησι, μὴ ἀμφίβαλλε περὶ τοῦ σώματος παντός. πλὴν καὶ τὴν περὶ πολιτείας ἀρίστην

ἐντεῦθεν γυμνάζει παραίνεσιν, ὑποδείγματα ὑψηλοῦ καὶ φιλοσόφου βίου, καὶ τοῦ τοιούτου τιθείς, καὶ τούτων ἀμφοτέρων παράγων τὰς ἀρχάς, τοῦ μὲν τὸν Χριστόν, τοῦ δὲ τὸν Ἀδάμ. διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, ἐκ γῆς, ἀλλά, χοϊκός, τουτέστι, παχύς, τοῖς παροῦσι προσηλωμένος. καὶ πάλιν ἐπὶ τοῦ Χριστοῦ τοὐναντίον, ὁ Κύριος ἐξ οὐρανοῦ. Εἰ δὲ λέγοιέν τινες διὰ τοῦτο μὴ ἔχειν τὸν Κύριον σῶμα, διὰ τὸ ἐξ οὐρανοῦ εἰρῆσθαι, ἱκανὰ μὲν καὶ τὰ εἰρημένα πάλαι ἐμφράξαι αὐτῶν τὰ στόματα· οὐδὲν δὲ κωλύει καὶ ἐντεῦθεν αὐτοὺς ἐπιστομίσαι. τί γάρ ἐστιν, ὁ Κύριος ἐξ οὐρανοῦ; τὴν φύσιν λέγει, ἢ τὴν ἀρίστην πολιτείαν; παντί που δῆλον, ὅτι τὴν πολιτείαν. διὸ καὶ ἐπάγει·

49 Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ· Τουτέστι, καθὼς φαῦλα ἐπράξαμεν· φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, Τουτέστιν, ἄριστα πράξωμεν. χωρὶς δὲ τούτων, κἀκεῖνό σε ἡδέως ἂν ἐροίμην, περὶ φύσεως εἴρηται, ὁ ἐκ γῆς χοϊκός, καί, ὁ Κύριος ἐξ οὐρανοῦ; ναί, φησι. τί οὖν, χοϊκὸς μόνον ἦν ὁ Ἀδάμ, ἢ καὶ ἄλλην τινὰ εἶχεν οὐσίαν συγγενῆ τοῖς ἄνω καὶ τοῖς ἀσωμάτοις, ἣν ψυχὴν καλεῖ ἡ γραφή, καὶ πνεῦμα; παντί που δῆλον, ὅτι καὶ ταύτην. οὐκοῦν οὐδὲ ὁ Κύριος ἦν ἄνωθεν μόνον, εἰ καὶ ἐξ οὐρανοῦ λέγοιτο, ἀλλὰ καὶ σάρκα ἀνειλήφει. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, τὰς πονηρὰς πράξεις, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, τὴν πολιτείαν τὴν ἐν τοῖς οὐρανοῖς. εἰ δὲ περὶ φύσεως ἦν ὁ λόγος, οὐ παρακλήσεως ἐδεῖτο τὸ πρᾶγμα, οὐδὲ συμβουλῆς· ὥστε κἀντεῦθεν δῆλον, ὅτι περὶ πολιτείας τὸ λεγόμενον. διὸ καὶ συμβουλευτικῶς εἰσάγει τὸν λόγον, καὶ εἰκόνα καλεῖ, καὶ ταύτῃ πάλιν δηλῶν ὅτι περὶ πράξεως, οὐ περὶ φύσεως λέγει. καὶ γὰρ διὰ τοῦτο ἐγενόμεθα χοϊκοί, ἐπειδὴ πονηρὰ ἐπράξαμεν· οὐκ ἐπειδὴ ἐξ ἀρχῆς χοϊκοὶ διεπλάσθημεν, ἀλλ' ἐπειδὴ ἡμάρτομεν. καὶ γὰρ ἡ ἁμαρτία πρότερον, καὶ τότε ὁ θάνατος· καὶ τό, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. τότε καὶ ὁ τῶν παθῶν εἰσῆλθεν ἑσμός. οὐδὲ γὰρ τό, ἐκ γῆς γεγενῆσθαι, ποιεῖ χοϊκὸν ἁπλῶς (ἐπεὶ καὶ ὁ Κύριος ἀπὸ τῆς μάζης καὶ τοῦ φυράματος τούτου ἦν) ἀλλὰ τὸ γήινα πράττειν· ὥσπερ οὖν καὶ ἐπουράνιον, τὸ ἄξια τῶν οὐρανῶν ἐπιδείξασθαι. ἀλλὰ γὰρ τί χρὴ περιττὰ πονεῖν τοῦτο κατασκευάζοντα; προϊὼν γὰρ ἡμῖν αὐτὸς ἐκκαλύπτει τὸ νόημα, οὕτω λέγων· κ. ὑμῖν

50 Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. Εἶδες πῶς ἑαυτὸν ἑρμηνεύει πάλιν, ἀπαλλάττων ἡμᾶς πραγμάτων; ὃ πολλαχοῦ ποιεῖ. σάρκα γὰρ ἐνταῦθα τὰς πονηρὰς πράξεις καλεῖ, ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ πεποίηκεν, οἷον

Ρω. η. θ. ὡς ὅταν λέγῃ· Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί· καὶ πάλιν, Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ

Ρω. η. η. δύνανται. ὥστε ὅταν λέγῃ, τοῦτο δέ φημι, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι διὰ τοῦτο ταῦτα εἶπον, ἵνα μάθῃς ὅτι πονηραὶ πράξεις εἰς βασιλείαν οὐκ εἰσάγουσιν. ἀπὸ γὰρ τῆς ἀναστάσεως εὐθέως καὶ τὸν τῆς βασιλείας εἰσήγαγε λόγον, διὸ καὶ ἐπήγαγεν·

Οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ, Τουτέστιν, ἡ κακία τὴν δόξαν ἐκείνην καὶ τὴν τῶν ἀφθάρτων πραγμάτων ἀπόλαυσιν. καὶ γὰρ πολλαχοῦ πάλιν τῇ

Γαλατ. ς. η. προσηγορίᾳ ταύτῃ τὴν κακίαν ἐκάλεσεν εἰπών, Ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. εἰ δὲ περὶ σώματος ἔλεγεν, ἀλλ' οὐ περὶ πονηρᾶς πράξεως, οὐκ ἂν εἶπε φθοράν. οὐδαμοῦ γὰρ τὸ σῶμα φθορὰν καλεῖ. οὐδὲ γάρ ἐστι φθορά, ἀλλὰ φθαρτόν. διὸ προϊὼν καὶ περὶ αὐτοῦ διαλεγόμενος, οὐκ εἶπεν αὐτὸ φθοράν, ἀλλὰ φθαρτόν, λέγων· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. εἶτα τὴν περὶ πολιτείας πληρώσας παραίνεσιν, ὅπερ ἀεὶ ποιεῖ, ὑπόθεσιν ὑποθέσει συνεχῶς ἀναμιγνύς, εἰς τὸν περὶ ἀναστάσεως πάλιν τῶν σωμάτων ἐμβαίνει λόγον, οὕτω λέγων·

51 Ἰδοὺ μυστήριον ὑμῖν λέγω. Φρικτόν τι καὶ ἀπόρρητον, καὶ ὃ μὴ πάντες ἴσασι, μέλλει λέγειν· ὃ καὶ πολλὴν ἐνδείκνυται τὴν εἰς αὐτοὺς τιμήν, τὸ τὰ ἀπόρρητα λέγειν αὐτοῖς. τί δὲ

τοῦτο ἐστι· Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα.

Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ πάντες μὲν ἀποθανούμεθα, πάντες δὲ ἀλλαγησόμεθα, καὶ οἱ μὴ ἀποθνήσκοντες. θνητοὶ γὰρ κἀκεῖνοι. μὴ τοίνυν, ἐπειδὴ ἀποθνήσκεις, διὰ τοῦτο δείσῃς, φησίν, ὡς οὐκ ἀναστησόμενος. Εἰσὶ γάρ τινές, εἰσιν, οἳ καὶ τοῦτο διαφεύξονται· καὶ ὅμως οὐκ ἀρκεῖ τοῦτο αὐτοῖς εἰς τὴν ἀνάστασιν ἐκείνην, ἀλλὰ δεῖ καὶ ἐκεῖνα τὰ σώματα τὰ μὴ ἀποθνήσκοντα ἀλλαγῆναι, καὶ εἰς ἀφθαρσίαν μεταπεσεῖν.

52 Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. Ὅτι πολλὰ περὶ ἀναστάσεως διελέχθη, τότε εὐκαίρως καὶ τὸ πολὺ παράδοξον αὐτῆς δείκνυσιν. οὐ γὰρ τοῦτο θαυμαστὸν μόνον, ὅτι σηπέντα πρότερον τὰ σώματα, καὶ τότε ἀνίσταται, φησίν, οὐδ' ὅτι βελτίονα τῶν νῦν τὰ ἐκ τῶν σηπομένων ἀνιστάμενα, οὐδ' ὅτι ἐπὶ πολλῷ μείζονα λῆξιν μεταβαίνει, οὐδ' ὅτι ἕκαστος τὸ ἴδιον ἀπολαμβάνει καὶ οὐδεὶς τὸ ἑτέρου, ἀλλ' ὅτι τὰ τοσαῦτα καὶ τηλικαῦτα καὶ πάντων λογισμὸν καὶ νοῦν ὑπερβαίνοντα ἐν ἀτόμῳ γίνεται, τουτέστιν, ἐν ἀκαριαίῳ χρόνῳ. καὶ δηλῶν σαφέστερον τοῦτο, ἐν ῥιπῇ ὀφθαλμοῦ, φησίν, ὅσον μῦσαι βλέφαρον. Εἶτα ἐπειδὴ μέγα εἶπε καὶ ἐκστάσεως γέμον, εἰ τοσαῦτα καὶ τηλικαῦτα πράγματα οὕτω γίνεται ταχέως, ἐπάγει εἰς ἀπόδειξιν, τὸ ἀξιόπιστον τοῦ ἐργαζομένου λέγων.

Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα.

Τό, ἡμεῖς, οὐ περὶ ἑαυτοῦ λέγει, ἀλλὰ περὶ τῶν ζώντων τῶν τότε εὑρισκομένων. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. ἵνα γὰρ μὴ ἀκούσας τις, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσει, νομίσῃ τὰ σώματα μὴ ἀνίστασθαι, ἐπήγαγεν,

53 Ὅτι δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Φθαρτὸν δὲ τὸ σῶμα, καὶ θνητὸν τὸ σῶμα· ὥστε τὸ μὲν σῶμα μένει· αὐτὸ γάρ ἐστι τὸ ἐνδυόμενον. ἡ δὲ θνητότης καὶ ἡ φθορὰ ἀφανίζεται, ἀθανασίας καὶ ἀφθαρσίας ἐπιούσης αὐτῷ. μὴ τοίνυν ἀμφίβαλλε λοιπὸν πῶς ἄπειρον ζήσεται ζωήν, ὅταν ἀκούσῃς, ὅτι ἄφθαρτον γίνεται.

54 Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, κατεπόθη ὁ θάνατος εἰς νῖκος.

Ἐπειδὴ γὰρ μεγάλα καὶ ἀπόρρητα εἶπε, πάλιν ἀπὸ προφητείας πιστοῦται τὸν λόγον. κατεπόθη ὁ θάνατος εἰς νῖκος, τουτέστιν, εἰς τέλος· οὐδὲ λείψανον αὐτοῦ μένει, οὐδὲ ὑποστροφῆς ἐλπίς, τῆς ἀφθαρσίας τὴν φθορὰν ἀναλωσάσης.

55 Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; Εἶδες ψυχὴν γενναίαν; καὶ γὰρ ὡς νικητήρια θύων, καὶ ἔνθους γινόμενος, καὶ ὁρῶν ἤδη ὡς γεγενημένα τὰ μέλλοντα, ἐνάλλεται καὶ ἐπεμβαίνει τῷ θανάτῳ κειμένῳ, καὶ τὴν ἐπινίκιον ἀλαλάζει φωνὴν κατὰ τῆς τούτου κεφαλῆς κειμένης, μεγάλα βοῶν καὶ λέγων· ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; οἴχεται καὶ ἀπόλωλε καὶ ἠφάνισαι παντελῶς, καὶ εἰκῇ πάντα ἐκεῖνα ἐποίησας. οὐδὲ γὰρ ἀφώπλισε μόνον αὐτόν, οὐδ' ἐνίκησεν, ἀλλὰ καὶ ἀπώλεσε, καὶ εἰς τὸ μηδὲ ὅλως εἶναι κατέστησε.

56 Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος.

Ὁρᾷς πῶς περὶ θανάτου σωματικοῦ ὁ λόγος; οὐκοῦν καὶ περὶ ἀναστάσεως σωματικῆς. Εἰ γὰρ μὴ ἀνίσταται ταῦτα, πῶς κατεπόθη ὁ θάνατος; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ πῶς δύναμις τῆς ἁμαρτίας ὁ νόμος; ὅτι μὲν γὰρ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, καὶ χαλεπωτέρα ἐκείνου, καὶ ἐν αὐτῇ τὴν ἰσχὺν οὗτος ἔχει, δῆλον. πῶς δὲ καὶ ταύτης δύναμις, ὁ νόμος; ὅτι χωρὶς αὐτοῦ ἀσθενὴς ἦν, πραττομένη μέν, οὐ δυναμένη δὲ οὕτω καταδικάσαι. τὸ μὲν γὰρ κακὸν ἐγίνετο, σαφῶς δὲ οὐκ ἐδείκνυτο οὕτως. ὥστε οὐ μικρὸν εἰσήνεγκεν ὁ νόμος, τὸ καὶ γνωρίσαι τὴν ἁμαρτίαν μᾶλλον καὶ ἐπιτεῖναι τὴν κόλασιν. Εἰ δέ, βουλόμενος κωλῦσαι, χαλεπωτέραν

πότερον ἀπέφηνεν, οὐ παρὰ τὸν ἰατρὸν τὸ ἔγκλημα, ἀλλὰ παρὰ τὸν κακῶς τῷ φαρμάκῳ χρησάμενον. ἐπεὶ καὶ ἡ παρουσία τοῦ Χριστοῦ μᾶλλον ἐβάρησε τοὺς Ἰουδαίους, ἀλλ' οὐ διὰ τοῦτο αὐτῇ ἐγκαλέσομεν· ἀλλὰ ταύτην μὲν καὶ θαυμασόμεθα, ἐκείνους δὲ μειζόνως μισήσομεν βλαβέντας, δι' ὧν ὠφελεῖσθαι ἔδει. ὅτι γὰρ οὐκ αὐτὸς τὴν ἁμαρτίαν ἐδυνάμωσεν, ὁ Χριστὸς αὐτὸς ἐπλήρωσεν ἅπαντα, καὶ ἁμαρτίας ἐκτὸς ἦν. σὺ δέ μοι σκόπει, πῶς καὶ ἐντεῦθεν τὴν ἀνάστασιν πιστοῦται. εἰ γὰρ τοῦτο θανάτου αἴτιον τὸ ἁμαρτάνειν, ὁ δὲ Χριστὸς ἐλθὼν ἔλυσε τὴν ἁμαρτίαν, καὶ ἡμᾶς αὐτῆς διὰ τοῦ βαπτίσματος ἀπήλλαξε, καὶ μετὰ τῆς ἁμαρτίας καὶ τὸν νόμον ἔπαυσεν, οὗ παραβαινομένου αὕτη συνίσταται, τί λοιπὸν ἀμφιβάλλεις περὶ τῆς ἀναστάσεως; πόθεν γὰρ λοιπὸν ὁ θάνατος κρατήσει; ἀπὸ τοῦ νόμου; ἀλλ' ἐλύθη οὗτος. ἀλλ' ἀπὸ τῆς ἁμαρτίας; ἀλλ' ἀνῃρέθη αὕτη.

57 Τῷ δὲ Θεῷ χάρις τῷ δόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὸ μὲν γὰρ τρόπαιον αὐτὸς ἔστησε, τῶν δὲ στεφάνων καὶ ἡμᾶς ἀπολαῦσαι ἐποίησε. καὶ (χ. ἐκείνω) τοῦτο οὐκ ἐξ ὀφειλῆς, ἀλλ' ἀπὸ φιλανθρωπίας μόνης.

58 Ἄρα οὖν, ἀδελφοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι. Δικαία λοιπὸν καὶ εὔκαιρος ἡ παραίνεσις. οὐδὲν γὰρ οὕτω σαλεύει, ὡς τὸ εἰκῆ νομίζειν κόπτεσθαι καὶ μάτην.

Περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε. Τουτέστιν, ἐν τῷ βίῳ τῷ καθαρῷ. καὶ οὐκ εἶπεν, ἐργαζόμενοι τὸ ἀγαθόν, ἀλλά, περισσεύοντες, ἵνα μετὰ περιουσίας αὐτὸ ποιῶμεν, καὶ τὰ σκάμματα ὑπερβαίνωμεν. Εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ. Τί λέγεις; πάλιν κόπος; ἀλλὰ στεφάνους ἔχων, καὶ ὑπὲρ τῶν οὐρανῶν. ὁ μὲν γὰρ πρότερος ὁ μετὰ τὸν παράδεισον, κόλασις τῶν ἁμαρτηθέντων ἦν· οὗτος δὲ ὑπόθεσις τῶν μελλόντων βραβείων. ὥστε οὐδ' ἂν εἴη κόπος, ταύτῃ τε, καὶ τῷ πολλῆς τῆς ἄνωθεν ἀπολαύειν βοηθείας. διὸ καὶ ἐπήγαγεν, ἐν Κυρίῳ. ὁ μὲν γὰρ πρότερος, ἵνα δίκην δῶμεν· οὗτος δέ, ἵνα τῶν μελλόντων τύχωμεν ἀγαθῶν.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν καθεύδωμεν, ἀγαπητοί. οὐ γάρ ἐστιν, οὐκ ἔστι ῥαθυμοῦντα τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, οὐδὲ τρυφῶντας καὶ μαλακιζομένους. ἀγαπητὸν γὰρ καταπονουμένους καὶ ὑπωπιάζοντας τὸ σῶμα, καὶ μυρία ὑπομένοντας ἐπίπονα, δυνηθῆναι τυχεῖν τῶν ἀγαθῶν ἐκείνων. ἢ οὐχ ὁρᾶτε τοῦτο τὸ μέσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν ὅσον ἐστί; καὶ ἡλίκος ὁ πόλεμος ἐφέστηκε; καὶ πῶς ὀξύρροποι ἄνθρωποι πρὸς τὴν κακίαν; καὶ πῶς εὐπερίστατος ἡ ἁμαρτία; καὶ ὅσαι ἐν μέσῳ παγίδες; τί τοίνυν τοσαύτας ἐπισυρόμεθα φροντίδας ἐκτὸς τῶν φυσικῶν, καὶ πλείονα παρέχομεν ἑαυτοῖς πράγματα, καὶ μείζονα ποιοῦμεν τὰ φορτία; οὐκ ἀρκεῖ τὸ ὑπὲρ γαστρὸς φροντίζειν, καὶ ἱματίων, καὶ οἰκίας; οὐκ ἀρκεῖ ἡ μέριμνα τῶν ἀναγκαίων; καίτοιγε καὶ τούτων ἀπήγαγεν ὁ Χριστός, λέγων· (Ματθ. ϛ. κε.) Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. εἰ δὲ ὑπὲρ τῆς ἀναγκαίας τροφῆς καὶ περιβολῆς μεριμνᾶν οὐ χρή, οὐδὲ ὑπὲρ τῆς ἐπιούσης ἡμέρας, οἱ τὸ τοσοῦτον φορτίον ἐπισάξαντες, καὶ καταχωννύντες ἑαυτούς, πότε δυνήσονται ἀνανεῦσαι; οὐκ ἤκουσας Παύλου λέγοντος, (β. Τιμ. β. δ.) Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου μερίμναις (χ. πραγματείαις); ἡμεῖς δὲ καὶ τρυφῶμεν, καὶ γαστριζόμεθα, καὶ μεθύομεν, καὶ ὑπὲρ μὲν τῶν ἔξω κοπτόμεθα πραγμάτων, ἐν δὲ τοῖς τοῦ οὐρανοῦ μαλακιζόμεθα. οὐκ ἴστε, ὅτι ὑπὲρ ἄνθρωπον ἡ ἐπαγγελία; οὐκ ἔστι χαμαὶ βαδίζοντα τῶν οὐρανίων ἀψίδων ἐπιβῆναι. ἡμεῖς δὲ οὐ κατὰ ἀνθρώπους σπουδάζομεν ζῆν, ἀλλὰ καὶ ἀλόγων ἐγενόμεθα χείρους. οὐκ ἴστε ποίῳ παραστησόμεθα βήματι; οὐκ ἐννοεῖτε, ὅτι καὶ ῥημάτων καὶ ἐνθυμημάτων ἀπαιτούμεθα δίκας; καὶ οὐδὲ πραγμάτων φροντίζομεν; (Ματθ. ε. κη.) Ὁ γὰρ ἐμβλέψας γυναικί, φησι, πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτήν. ἀλλ' ὅμως οἱ οὕτως περιέργου λόγου ὑπέχοντες, οὐ παραιτοῦνται καὶ αὐτῇ ἐμπίπτεσθαι τῇ ἁμαρτίᾳ. (Ματθ. ε. κβ.) Ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, εἰς τὴν γέενναν ἐμπεσεῖται· ἡμεῖς δὲ οὐδὲ τοὺς μυρίοις αὐτοὺς

καταισχύνει

καταισχύνειν ὀνείδεσι καὶ ποικίλως ἐπιβουλεύειν ἀφιστάμεθα. ὁ τοὺς φιλοῦντας φιλῶν, οὐδὲν ἔχει τοῦ ἐθνικοῦ πλέον· ἡμεῖς δὲ καὶ τούτοις βασκαίνομεν. ἵνα οὖν ἔχωμεν συγγνώμην, ὅταν παρὰ ὀλίγων τὰ παλαιὰ κελευόμενοι σκάμματα, καὶ ἐλάττονα ἐκείνου τοῦ μέτρου τὴν ἑαυτῶν πολιτείαν ὑφαιρῶμεν; τίς ἡμᾶς ἐξαιρήσεται; λέγε, τίς παραστήσεται καὶ βοηθήσει κολαζομένοις; οὐκ ἔστιν οὐδείς, ἀλλ' ἀνάγκη πᾶσα οἰμώζοντας, ὀδυρομένους, βρύχοντας τοὺς ὀδόντας, στρεβλουμένους εἰς τὸ σκότος ἀπάγεσθαι τὸ ἀφεγγὲς ἐκεῖνο, εἰς τὰς ἀπαραιτήτους ὀδύνας, εἰς τὰς ἀνηκέστους τιμωρίας. διὸ δέομαι καὶ παρακαλῶ, καὶ αὐτῶν ἅπτομαι τῶν γονάτων, ἕως ἂν ἔχωμεν τὸ μικρὸν τοῦτο τῆς ζωῆς ἐφόδιον, κατανυγῆναι τοῖς εἰρημένοις, ἐπιστραφῆναι, βελτίους γενέσθαι· ἵνα μὴ κατὰ τὸν πλούσιον ἐκεῖνον ἀνόνητα ἐκεῖ θρηνῶμεν ἀπελθόντες, καὶ ἀνίατα λοιπὸν ὀδυρώμεθα. κἂν γὰρ πατέρα ἔχῃς, κἂν υἱόν, κἂν φίλον, κἂν ὁντιναοῦν παρρησίαν ἔχοντα πρὸς τὸν θεόν, οὐδείς σε ποτὲ ἐξαιρήσεται τούτων ὑπὸ τῶν οἰκείων ἔργων προδιδόμενον. τοιοῦτον γὰρ ἐκεῖνο τὸ δικαστήριον· ἀπὸ τῶν πράξεων δικάζει μόνων, καὶ ἄλλως ἐκεῖ σωθῆναι οὐκ ἔνι. καὶ ταῦτα λέγω, οὐχ ἵνα λυπήσω, οὐδ' ἵνα εἰς ἀπόγνωσιν ἐμβάλω, ἀλλ' ἵνα μὴ ματαίαις μηδὲ ψυχραῖς ἐλπίσι τρεφόμενοι, καὶ εἰς τὸν δεῖνα, καὶ εἰς τὸν δεῖνα θαρροῦντες, τῆς καθ' ἑαυτοὺς ἀμελήσωμεν ἀρετῆς. ἂν μὲν γὰρ ῥαθυμήσωμεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἀπόστολος, οὐδεὶς ἡμῖν παραστήσεται· ἂν δὲ σπουδάσωμεν, ἀρκοῦσαν τὴν ἀπὸ τῶν ἔργων συνηγορίαν ἔχοντες, μετὰ παρρησίας ἀπολαυσόμεθα καὶ τῶν ἀγαθῶν τῶν ἀποκειμένων τοῖς τὸν θεὸν ἀγαπῶσιν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

κ. παραστήσεται. κ. ἀπολαυσόμεθα, καὶ τῶν ἀγαθῶν ἐπιτευξόμεθα τῶν ἐπαγ.

Λογ. μγ. 1 ΠΕΡΙ ΔΕ ΤΗΣ ΛΟΓΙΑΣ ΤΗΣ ΕΙΣ ΤΟΥΣ ἁγίους, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. κεφ. ις.

ΑΠαρτίσας τὸν περὶ τῶν δογμάτων λόγον, καὶ μέλλων εἰς τὸν ἠθικώτερον ἐμβαίνειν, πάντα τὰ ἄλλα ἀφείς, ἐπὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν χωρεῖ, περὶ ἐλεημοσύνης ποιούμενος λόγον. ἀλλὰ περὶ τούτου μόνου διαλεχθείς, ἀπαλλάττεται. καίτοιγε οὐδαμοῦ τοῦτο ἐποίησεν, ἀλλὰ περὶ ἐλεημοσύνης, καὶ περὶ σωφροσύνης, καὶ περὶ πραότητος, καὶ περὶ μακροθυμίας καὶ περὶ τῶν ἄλλων ἁπάντων διαλέγεται ἐν ταῖς ἄλλαις ἐπιστολαῖς πλατέως. τίνος οὖν ἕνεκεν ἐνταῦθα [περὶ] τοῦ ἠθικοῦ τοῦτο μόνον γυμνάζει τὸ μέρος; ὅτι καὶ τῶν ἔμπροσθεν εἰρημένων τὰ πλείονα ἠθικώτερα ἦν, δι' ὧν τὸν πόρνον ἐκόλασε, δι' ὧν τοὺς ἔξω δικαζομένους ἐσωφρόνιζε, δι' ὧν τοὺς μεθύοντας καὶ γαστριζομένους ἐφόβησε, δι' ὧν τοὺς στασιάζοντας καὶ φιλονεικοῦντας καὶ φιλαρχοῦντας κατέπαυσε, δι' ὧν τοὺς ἀναξίως τοῖς μυστηρίοις προσιόντας τῇ ἀφορήτῳ δίκῃ ἐκείνῃ παρέδωκε, δι' ὧν περὶ ἀγάπης διελέχθη. διὰ δὴ τοῦτο, οὗ μάλιστα αὐτῷ ἔδει, τῆς εἰς τοὺς ἁγίους ἐπικουρίας, τούτου μέμνηται μόνου. καὶ θέα τὴν σύνεσιν. ὅτε αὐτοὺς περὶ ἀναστάσεως ἔπεισε, καὶ προθυμοτέρους ἐποίησε, τότε λοιπὸν καὶ περὶ τούτου διαλέγεται. καίτοιγε καὶ ὑπὲρ τούτων διελέχθη πρὸς αὐτοὺς ἔμπροσθεν, ὅτε ἔλεγεν, Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; καί, Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἀλλ' ἐπειδὴ ᾔδει τοῦ κατορθώματος τὸ μέγεθος, οὐ παραιτεῖται καὶ τῷ τέλει τῆς ἐπιστολῆς αὐτὸ προσθεῖναι. λογίαν δὲ τὴν συλλογὴν καλεῖ, ἐκ προοιμίων εὐθέως κοῦφον τὸ πρᾶγμα ποιῶν. ὅταν γὰρ ἐξ ἁπάντων συνεισφέρηται, ἑκάστῳ κοῦφον γίνεται τὸ ἐπίταγμα. εἰπὼν δὲ περὶ τῆς συλλογῆς, οὐκ εὐθέως εἶπεν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων (καίτοιγε τὸ ἀκόλουθον τοῦτο ἦν) ἀλλὰ πρότερον εἰπών, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, τότε τὸ-

τί ἐπήγαγεν, εἰς ζῆλον αὐτοὺς τῇ διηγήσει τῶν ἑτέροις κατορθουμένων ἄγων, καὶ ἐν τάξει διηγήματος αὐτὸ θείς, ὃ καὶ Ῥωμαίοις ἐπιστέλλων ἐποίησε. καὶ γὰρ ἐκείνοις δοκῶν διηγεῖσθαι τὴν πρόφασιν τῆς ἐπὶ τὰ Ἱεροσόλυμα ἀποδημίας, οὕτω τὸν περὶ ἐλεημοσύνης ἐμβάλλει λόγον λέγων· Νυνὶ δὲ πορεύομαι εἰς Ἱεροσόλυμα διακονῶν τοῖς ἁγίοις. εὐδόκησε γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων. ἀλλ' ἐκείνους μὲν διὰ Μακεδόνων καὶ Κορινθίων, τούτους δὲ διὰ Γαλατῶν προτρέπει. καθὼς διέταξα γάρ, φησι, ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. καὶ γὰρ ᾐσχύνοντο λοιπὸν ἐλάττους Γαλατῶν φανῆναι. καὶ οὐκ εἶπε, παρῄνεσα, καὶ συνεβούλευσα, ἀλλά, διέταξα, ὅπερ αὐθεντικώτερον. καὶ οὐ παράγει μίαν πόλιν, καὶ δύο, καὶ τρεῖς, ἀλλ' ὁλόκληρον ἔθνος, ὅπερ καὶ ἐπὶ τῶν δογμάτων ποιεῖ λέγων, καθὼς καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων. εἰ γὰρ πρὸς δογμάτων πίστιν τοῦτο ἰσχυρόν, πολλῷ μᾶλλον πρὸς ἔργων μίμησιν. τί οὖν διέταξας, εἰπέ μοι;

Ρω. ιε. κϛ.

2 Κατὰ μίαν σαββάτου, τουτέστι, κυριακήν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ,τι ἂν εὐοδῶται. Ὅρα πῶς καὶ ἀπὸ τοῦ καιροῦ προτρέπει. καὶ γὰρ ἡ ἡμέρα ἱκανὴ ἦν ἀγαγεῖν εἰς ἐλεημοσύνην. ἀναμνήσθητε γάρ, φησι, τίνων ἐτύχετε ἐν τῇ ἡμέρᾳ ταύτῃ. τὰ γὰρ ἀπόρρητα ἀγαθά, καὶ ἡ ῥίζα καὶ ἡ ἀρχὴ τῆς ζωῆς τῆς ἡμετέρας ἐν ταύτῃ γέγονεν. οὐ ταύτῃ δὲ μόνον ἐπιτήδειος ὁ καιρὸς εἰς προθυμίαν φιλανθρωπίας, ἀλλ' ὅτι καὶ ἄνεσιν ἔχει καὶ πόνων ἀτέλειαν. ψυχὴ γὰρ ἀφειμένη μόχθων, εὐκολωτέρα καὶ ἐπιτηδειοτέρα πρὸς τὸ ἐλεεῖν γίνεται. μετὰ δὲ τούτων καὶ τὸ μυστηρίων ἐν αὐτῇ κοινωνεῖν οὕτω φρικτῶν καὶ ἀθανάτων, πολλὴν ἐντίθησι προθυμίαν. ἐν αὐτῇ τοίνυν ἕκαστος ὑμῶν. οὐχ ἁπλῶς ὁ δεῖνα, καὶ ὁ δεῖνα· ἀλλ' εἷς ἕκαστος, κἂν πένης ᾖ, κἂν πλούσιος, κἂν γυνή, κἂν ἀνήρ, κἂν δοῦλος, κἂν ἐλεύθερος, παρ' ἑαυτῷ τιθέτω θησαυρίζων. οὐκ εἶπεν, εἰς τὴν ἐκκλησίαν φερέτω, ἵνα μὴ διὰ τὸ μικρὸν αἰσχύνωνται, ἀλλὰ ταῖς κατ' ὀλίγον συναγωγαῖς αὐξήσας τὴν εἰσφοράν, τότε δεικνύτω ἐμοῦ παραγινομένου. πῶς δὲ παρὰ σαυτῷ τίθει, φησί, καὶ ποίησόν σου τὴν οἰκίαν ἐκκλησίαν, τὸ κιβώτιον, γαζοφυλάκιον· γενοῦ φύλαξ χρημάτων ἱερῶν, αὐτοχειροτόνητος οἰκονόμος πτωχῶν. ἡ φιλανθρωπία ταύτην σοι δίδωσι τὴν ἱερωσύνην. τούτου σύμβολόν ἐστι καὶ τὸ γαζοφυλάκιον νῦν. ἀλλὰ τὸ μὲν σύμβολον μένει, τὸ δὲ ἔργον οὐδαμοῦ. Καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν συνεδρευόντων πάλιν ἡμῖν ἐγκαλέσουσιν, ὅταν ὑπὲρ τούτων διαλεγώμεθα, λέγοντες, μὴ παρενόχλει, μὴ γίνου φορτικὸς καὶ ἐπαχθὴς τοῖς ἀκούουσιν· ἐπίτρεψον τῇ προαιρέσει, δὸς τῇ γνώμῃ τῶν ἀκουόντων· ὡς νῦν γε καταισχύνεις ἡμᾶς, ἐρυθριᾶν ποιεῖς. ἀλλ' οὐκ ἀνέχομαι τούτων τῶν λόγων. οὐδὲ γὰρ Παῦλος ᾐσχύνετο ὑπὲρ τοιούτων συνεχῶς ἐνοχλῶν, καὶ προσαιτούντων φθεγγόμενος ῥήματα. εἰ μὲν γὰρ τοῦτο ἔλεγον, ὅτι ἐμοὶ δός, καὶ εἰς τὴν ἐμὴν κατάθες οἰκίαν, ἴσως ἂν αἰσχύνης ἦν τὸ λεγόμενον· μᾶλλον δὲ οὐδὲ τότε. Οἱ γὰρ τῷ θυσιαστηρίῳ, φησί, προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται. πλὴν ἀλλ' ἴσως ἄν τις ἐπετίμησεν, ὡς ὑπὲρ ἑαυτοῦ ποιουμένῳ τὸν λόγον· νῦν δὲ ὑπὲρ τῶν δεομένων τὴν ἱκετηρίαν τίθημι, μᾶλλον δὲ οὐχ ὑπὲρ τῶν δεομένων, ἀλλ' ὑπὲρ ὑμῶν τῶν παρεχόντων· διὸ καὶ παρρησιάζομαι. ποία γὰρ αἰσχύνη εἰπεῖν, δὸς τῷ Κυρίῳ πεινῶντι, ἔνδυσον αὐτὸν γυμνὸν περιιόντα, ὑπόδεξαι ξένον ὄντα; ὁ δεσπότης σου οὐκ αἰσχύνεται ἐπὶ τῆς οἰκουμένης ταῦτα λέγων, Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ὁ ἀνενδεὴς καὶ μηδενὸς χρῄζων· καὶ ἐγὼ αἰσχυνοῦμαι καὶ ὀκνήσω; ἄπαγε. διαβολικῆς ἐπιβουλῆς αὕτη ἡ αἰσχύνη. οὐ τοίνυν αἰσχυνθήσομαι, ἀλλὰ καὶ μετὰ παρρησίας ἐρῶ, δότε τοῖς δεομένοις, καὶ μετὰ πλείονος, ἢ οἱ δεόμενοι, φωνῆς. εἰ μὲν γὰρ ἔχει τις δεῖξαι καὶ ἐλέγξαι, ὅτι ταῦτα λέγοντες πρὸς ἑαυτοὺς ὑμᾶς ἕλκομεν, καὶ προσχήματι τῶν πενήτων αὐτοὶ κερδαίνομεν, οὐκ αἰσχύνης ἄξια ταῦτα μόνον, ἀλλὰ καὶ μυρίων κεραυνῶν, καὶ οὐδὲ ζῆν ἄξιον τοὺς τὰ τοιαῦτα ποιοῦντας. εἰ δὲ τῇ τοῦ Θεοῦ

α. Κορ. θ. ιγ.

Ματθ. κε. μβ.

χάριτι

χάριτι οὐδὲν ὑπὲρ ἑαυτῶν ἐνοχλοῦμεν, ἀλλ' ἀδάπανον ὑμῖν τὸ εὐαγγέλιον ἐθήκαμεν, ποιοῦντες μὲν οὐδαμῶς καθάπερ Παῦλος, τοῖς δὲ οἰκείοις ἀρκούμενοι, μετὰ παῤῥησίας πάσης ἐρῶ, δότε τοῖς δεομένοις, καὶ οὐ παύσομαι τοῦτο λέγων, καὶ μὴ διδόντων ἔσομαι χαλεπὸς κατήγορος. καὶ γὰρ εἰ στρατηγὸς ἦμεν καὶ στρατιώτας εἴχομεν, οὐκ ἂν ἠγανακτοῦμεν τοῖς στρατιώταις τὰς τροφὰς αἰτῶν. σφόδρα γὰρ ἐρῶ τῆς σωτηρίας τῆς ὑμετέρας. ἀλλ' ἵνα καὶ ἐνεργέστερος ὁ λόγος γένηται καὶ δραστήριος μᾶλλον, Παῦλον παραστάτην λαβὼν, μετ' ἐκείνου διαλέξομαι λέγων· ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ, τι ἂν εὐοδῶται. σκόπει γὰρ αὐτὸ κἀντεῦθεν τὸ ἀνεπαχθές. οὐκ εἶπε, τοσόνδε, ἢ τοσόνδε, ἀλλ' ὅ, τι ἂν εὐοδῶται, εἴτε πολὺ, εἴτε ὀλίγον. καὶ οὐκ εἶπεν, ὅ, τι ἄν τις κερδάνῃ, ἀλλ' ὅ, τι ἂν εὐοδωθῇ, δεικνὺς ὅτι παρὰ τοῦ Θεοῦ ἡ χορηγία. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ μὴ ἐν ἑνὶ χρόνῳ τὸ πᾶν κελεῦσαι καταβαλεῖν, ῥᾳδίαν ποιεῖ τὴν συμβουλήν. τὸ γὰρ κατὰ μικρὸν συλλέγεσθαι ἀνεπαίσθητος ἡ λειτουργία καὶ ἡ δαπάνη. διὰ δὴ τοῦτο οὐδὲ εὐθέως κελεύει εἰς μέσον ἀγαγεῖν, ἀλλὰ πολλὴν δίδωσι τὴν προθεσμίαν, καὶ τὴν αἰτίαν τιθείς, φησιν· Ἵνα μὴ, ὅταν ἔλθω, τότε λογίαι γίνωνται.

γρ. δεδίδοται

ἰσ. συμβουλήν.

Τουτέστιν, ἵνα μὴ ἐν τῷ καιρῷ τῆς εἰσφορᾶς, τότε ἀναγκάζησθε συλλέγειν. καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτοὺς πάλιν προετρέψατο. ἡ γὰρ προσδοκία Παύλου προθυμοτέρους αὐτοὺς ἐποίει.

3 Ὅταν δὲ ἔλθω, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ. Οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ', οὓς ἐὰν ὑμεῖς δοκιμάσητε, οὓς ἐὰν ἕλησθε, ὥστε ἀνύποπτον ποιῆσαι τὴν λειτουργίαν. διὸ αὐτοῖς ποιεῖται τὴν ψῆφον τῆς τῶν ἀποκομιζόντων αἱρέσεως. οὐ γὰρ δήπου φησὶν, ἡ μὲν εἰσφορὰ ὑμῶν, ἡ δὲ ἐξουσία τῆς ἐκλογῆς τῶν ἀποκομιζόντων οὐχ ὑμῶν. εἶτα ἵνα μὴ αὐτοὺς ἀπολιμπάνεσθαι δόξῃ, τὰ γράμματα προστίθησι, λέγων· οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν πέμψω, ὡσανεὶ ἔλεγεν, ὅτι κἀγὼ συνέσομαι αὐτοῖς καὶ κοινωνήσω τῆς λειτουργίας διὰ τῶν γραμμάτων. καὶ οὐκ εἶπε, τούτους πέμψω ἀπενεγκεῖν τὴν ἐλεημοσύνην ὑμῶν, ἀλλὰ τὴν χάριν ὑμῶν, ἵνα δείξῃ μεγάλα ἐργαζομένους, ἵνα δείξῃ αὐτοὺς κερδαίνοντας. ἀλλαχοῦ δὲ καὶ εὐλογίαν καὶ κοινωνίαν καλεῖ· τὸ μὲν, ἵνα μὴ ῥαθυμοτέρους ποιήσῃ, τὸ δὲ, ἵνα μὴ ἐπάρῃ· οὐδαμοῦ μέντοι γε ἐλεημοσύνην ὠνόμασεν.

γρ. αὐτῆς

4 Ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. Ἐνταῦθα πάλιν εἰς δαψίλειαν αὐτοὺς προτρέπει. ἐὰν γὰρ τοσοῦτον ᾖ, φησιν, ὡς καὶ τῆς ἐμῆς δεῖσθαι παρουσίας, οὐδὲ τοῦτο παραιτήσομαι. ἀλλ' εὐθέως μὲν τοῦτο οὐκ ἐπηγγείλατο, οὐδὲ εἶπεν, ἐπειδὰν παραγένωμαι ἐγὼ ἀποκομίζω. οὐδὲ γὰρ ἂν οὕτως αὐτὰ ηὔξησεν, εἰ ἐξ ἀρχῆς αὐτὸ τέθεικεν· ὕστερον μέντοι καλῶς καὶ εὐκαίρως αὐτὸ προστίθησι. διὰ δὴ τοῦτο οὐκ εὐθέως ὑπέσχετο, οὔτε καθάπαξ αὐτὸ ἀπεσιώπησεν, ἀλλ' εἰπὼν ὅτι πέμψω, τότε καὶ ἑαυτὸν προστίθησι. καὶ ἐνταῦθα δὲ πάλιν κυρίους αὐτοὺς ἐποίησεν ἐν τῷ εἰπεῖν, ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι· τοῦτο δὲ ἐπ' ἐκείνοις ἔκειτο, τῷ πολὺ ποιῆσαι τὸ συλλεγόμενον, καὶ τοσοῦτον, ὡς δυσωπῆσαι καὶ αὐτὸν ἀναστῆναι.

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, φησιν, ὅταν Μακεδονίαν διέλθω. Εἶπε καὶ ἀνωτέρω τοῦτο, ἀλλὰ τότε μὲν μετὰ θυμοῦ· προσέθηκε γοῦν, Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· ἐνταῦθα δὲ προσηνέστερον, ἵνα καὶ ποθήσωσιν αὐτοῦ τὴν παρουσίαν. εἶτα, ἵνα μὴ λέγωσι, τί οὖν, Μακεδόνας ἡμῶν προτιμᾷς; οὐκ εἶπεν, ἐπειδὰν ἀπέλθω, ἀλλ', ἐπειδὰν διέλθω Μακεδονίαν. Μακεδονίαν γὰρ διελεύσομαι· α. Κορ. δ. ιθ.

6 Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω. Οὐδὲ γὰρ ὁδοῦ βούλομαι ποιήσασθαι πάρεργον ὑμᾶς, ἀλλ' ἐνδιατρίψαι καὶ παραμεῖναι. ὅτι γὰρ ταῦτα ἐπέστελλεν, ἐν Ἐφέσῳ ὢν, χειμῶνος ὄντος. λέγει τοίνυν, ὅτι Ἕως πεντηκοστῆς ἐν Ἐφέσῳ ἐπιμενῶ· α. Κορ. ιϛ. η.

μενῶ· μετὰ δὲ ταῦτα ἀπελεύσομαι εἰς Μακεδονίαν, καὶ διελθὼν αὐτὴν, ἥξω πρὸς ὑμᾶς τοῦ θέρους· πολλάκις δὲ καὶ τὸν χειμῶνα πρὸς ὑμᾶς ποιήσω. τίνος δὲ ἕνεκεν εἶπε, τυχὸν, καὶ οὐκ ἀπεφήνατο; ὅτι οὐ πάντα προῄδει Παῦλος, καὶ συμφερόντως. διὰ τοῦτο οὐδὲ ἁπλῶς ἀποφαίνεται, ἵνα κἂν μὴ γένηται, ἔχῃ καταφυγὴν, τό τε ἀδιορίστως προειπεῖν, καὶ τὴν τοῦ πνεύματος ἐξουσίαν ἄγουσαν αὐτὸν, ὅπουπερ ἐβούλετο, οὐκ ἔνθα αὐτὸς ἐπεθύμει· ὃ καὶ ἐν τῇ δευτέρᾳ τίθησιν ἐπιστολῇ, τῆς μελλήσεως ἕνεκεν ἀπολογούμενος, καὶ λέγων· Ἢ (β.Κορ.α.ιζ.) ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ.

Ἵνα ὑμεῖς με προπέμψητε, οὗ ἐὰν πορεύωμαι. Καὶ τοῦτο ἀγάπης καὶ φιλοστοργίας πολλῆς.

7 Οὐ θέλω γὰρ ἄρτι ὑμᾶς ἐν παρόδῳ ἰδεῖν. ἐλπίζω γὰρ τινὰ χρόνον ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέψῃ. Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν τὴν ἀγάπην δεικνύμενος, ὁμοῦ δὲ τοὺς ἁμαρτάνοντας φοβῶν, οὐ μὴν ἐκκεκαλυμμένως, ἀλλὰ προσχήματι φιλίας.

8 Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς. Εἰκότως ἀκριβῶς αὐτοῖς ἅπαντα λέγει, καθάπερ φίλοις δηλῶν. καὶ γὰρ τοῦτο φιλίας, τὸ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν οὐ παραγίνεται, δι' ἣν μέλλει, καὶ ποῦ διατρίβει.

9 Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς, καὶ ἀντικείμενοι πολλοί. Καὶ εἰ μεγάλη, πῶς ἀντικείμενοι; δι' αὐτὸ μὲν τοῦτο οἱ ἀντικείμενοι πολλοὶ, ἐπειδὴ μεγάλη ἡ πίστις, ἐπειδὴ μεγάλη καὶ θύρα ἡ εἴσοδος. τί δέ ἐστι, θύρα μεγάλη; πολλοί εἰσιν οἱ παρεσκευασμένοι τὴν πίστιν δέξασθαι, πολλοὶ ἕτοιμοι προσελθεῖν καὶ ἐπιστρέψαι. (γρ. ὑποστρέψαι) εὐρύχωρός μοι ἡ εἴσοδος, ἀκμαζούσης λοιπὸν τῆς τῶν προσιόντων διανοίας εἰς τὴν τῆς πίστεως ὑπακοήν. διὰ τοῦτο σφοδρῶς ὁ διάβολος ἔπνει, ἐπειδὴ πολλοὺς ἑώρα ἀφισταμένους αὐτοῦ. διὸ δὴ καὶ ἀμφοτέρων ἕνεκεν μεῖναι ἐχρῆν, καὶ ἐπειδὴ μέγα τὸ κέρδος, καὶ ὅτι πολὺς ὁ ἀγών. καὶ τούτῳ δὲ αὐτοὺς παρεθάρρυνε τῷ εἰπεῖν, ὅτι πανταχοῦ λοιπὸν ὁ λόγος ἐνεργεῖται, καὶ βλαστάνει ῥᾳδίως. εἰ δὲ πολλοὶ οἱ ἐπιβουλεύοντες, καὶ τοῦτο σημεῖον τῆς τοῦ εὐαγγελίου προκοπῆς. οὐδέποτε γὰρ ὁ πονηρὸς δαίμων ἐκεῖνος ἀγριαίνει, ἀλλ' ἢ ὅταν πολλὰ τῶν σκευῶν αὐτοῦ ἁρπαζόμενα ἴδῃ.

ΗΘΙΚΟΝ

Καὶ ἡμεῖς τοίνυν, ὅταν τι μέγα καὶ γενναῖον ἐργάσασθαι βουληθῶμεν, μὴ τοῦτο σκοπῶμεν, ὅτι πολὺν ἔχει πόνον, ἀλλ' εἰς τὸ κέρδος βλέπωμεν. ὅρα γοῦν καὶ Παῦλον οὐ διὰ τοῦτο ὀκνοῦντα, οὐ διὰ τοῦτο ἀναδυόμενον, ἐπειδὴ ἀντικείμενοι πολλοὶ, ἀλλ', ἐπειδὴ μεγάλη ἦν ἡ θύρα, ἐπικείμενον καὶ παραμένοντα. καὶ γὰρ, ὅπερ ἔφην, σημεῖον τοῦτο ἦν τοῦ γυμνῶσαι τὸν διάβολον. οὐδὲ γάρ ἐστι μικρὰ καὶ φαῦλα πράξαντας, παροξῦναι τὸ πονηρὸν θηρίον ἐκεῖνο. ὥστε ὅταν ἴδῃς ἄνδρα δίκαιον μεγάλα κατορθοῦντα, καὶ μυρία πάσχοντα δεινὰ, μὴ θαυμάσῃς. τοὐναντίον γὰρ ἔδει θαυμάζειν, εἰ πολλὰς λαμβάνων ὁ διάβολος πληγὰς, ἔμελλεν ἡσυχάζειν καὶ πρᾴως φέρειν τὰ τραύματα. οὐδὲ γὰρ, εἰ ὄφις κεντούμενος συνεχῶς ἀγριαίνοι καὶ ἐφάλλοιτο τῷ κεντοῦντι, θαυμάζειν χρή. καὶ γὰρ ὄφεως παντὸς χαλεπώτερον ἕρπει ὁ διάβολος πᾶσιν ἐπιπηδῶν, καὶ ὥσπερ σκορπίος τὸ κέντρον ἄρας, διανίσταται. μὴ δὴ τοῦτο ὑμᾶς θορυβείτω. καὶ γὰρ τὸν ἐκ πολέμου καὶ νίκης καὶ σφαγῆς ἐπανιόντα ἀνάγκη καὶ ᾑμάχθαι, πολλάκις δὲ καὶ τραύματα ἔχειν. καὶ σὺ τοίνυν ὅταν ἴδῃς τινὰ ἐλεημοσύνας ποιοῦντα, καὶ ἄλλα μυρία ἐργαζόμενον ἀγαθὰ, καὶ ταύτῃ συγκόπτοντα τοῦ διαβόλου τὴν δύναμιν, εἶτα πειρασμοῖς περιπεσόντα καὶ κινδύνοις, μὴ διὰ τοῦτο θορυβηθῇς. διὰ γὰρ τοῦτο περιέπεσε πειρασμοῖς, ἐπειδὴ σφόδρα ἔπληξε τὸν διάβολον. καὶ πῶς ὁ Θεὸς συνεχώρησε, φησίν; ἵνα μᾶλλον στεφανωθῇ, ἵνα πλείονα πληγὴν λάβῃ ἐκεῖνος. ὅταν γὰρ μετὰ τὸ ἀγαθὰ ποιεῖν καὶ δεινὰ πάσχων εὐχαριστῇ διαπαντὸς, πλήττεται ὁ διάβολος. μέγα μὲν γὰρ, καὶ ἐξουσίας φερομένων τῶν πραγμάτων,

πραγμάτων, καὶ ἐλεεῖν, καὶ ἀρετῆς ἀντέχεσθαι· πολλῷ δὲ μεῖζον τὸ δεινὰ πάσχοντα, μὴ ἀφίστασθαι τῆς καλῆς ταύτης ἐργασίας. οὗτός ἐστιν ὁ διὰ τὸν Θεὸν μάλιστα ταῦτα ποιῶν. ὥστε κἂν κινδυνεύωμεν, ἀγαπητοὶ, κἂν ὁτιοῦν πάσχωμεν, μετὰ πλείονος ἐχώμεθα προθυμίας τῶν ὑπὲρ ἀρετῆς πόνων. οὐδὲ γὰρ οὗτος ὁ τῆς ἀντιδόσεως καιρός. μὴ τοίνυν ἐνταῦθα ἀπαιτῶμεν τοὺς στεφάνους, ἵνα μὴ ἐν τῷ καιρῷ τῶν στεφάνων ἐλαττώσωμεν ἡμῶν τὴν ἀμοιβήν. καθάπερ γὰρ ἐπὶ τῶν τεχνιτῶν οἱ μὲν ἑαυτοὺς τρέφοντες καὶ ἐργαζόμενοι, μείζονα τὸν μισθὸν λαμβάνουσιν, οἱ δὲ παρὰ τοῖς μισθωσαμένοις τρεφόμενοι, ὑποτέμνονται τοῦ μισθοῦ οὐ μικρὸν μέρος· οὕτω καὶ ἐπὶ τῶν ἁγίων. ὁ μὲν μυρία ποιῶν ἀγαθὰ, καὶ μυρία πάσχων κακὰ, ἀκέραιον ἔχει τὸν μισθὸν, καὶ πολὺ πλείονα τὴν ἀμοιβὴν, οὐχ ὑπὲρ τῶν ἀγαθῶν, ὧν ἐποίησε μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν κακῶν ὧν ἔπαθεν· ὁ δὲ ἀνέσεως ἐνταῦθα ἀπολαύων καὶ τρυφῆς, οὐχ οὕτως ἕξει λαμπροὺς τοὺς στεφάνους ἐκεῖ. μὴ τοίνυν ἐνταῦθα ζητῶμεν τὴν ἀντίδοσιν, ἀλλὰ τότε μάλιστα χαίρωμεν, ὅταν κατορθοῦντες πάσχωμεν κακῶς. οὐ γὰρ τῶν ἐκ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τὸν τῶν πειρασμῶν μισθὸν ἡμῖν ὁ Θεὸς ἐκεῖ ταμιεύεται. ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἔστωσαν δύο πλούσιοι ἐλεήμονες, καὶ διδότωσαν πένησιν. εἶτα ὁ μὲν ἐπὶ τῷ πλούτῳ μενέτω, καὶ πάσης εὐημερίας ἀπολαυέτω· ὁ δὲ εἰς πενίαν πιπτέτω καὶ νόσους καὶ συμφορὰς, καὶ χάριν ἐχέτω τῷ Θεῷ. τούτων τοίνυν ἀπελθόντων ἐκεῖ, τίς μείζονα λήψεται τὸν μισθόν; οὐκ εὔδηλον ὅτι ὁ νοσῶν καὶ ταλαιπωρούμενος, ὅτι καὶ εὖ ποιῶν, καὶ πάσχων κακῶς οὐδὲν ἔπαθεν ἀνθρώπινον; πολλῷ τοι που δῆλον. καὶ γὰρ οὗτός ἐστιν ὁ ἀνδριὰς ὁ ἀδαμάντινος, οὗτος ὁ εὐγνώμων οἰκέτης. εἰ δὲ οὐ δι᾽ ἐλπίδα βασιλείας δεῖ τι ποιεῖν ἀγαθὸν, ἀλλὰ διὰ τὸ τῷ Θεῷ δοκοῦν, ὃ πάσης βασιλείας μεῖζόν ἐστι, τίνος ἄξιός ἐστιν ὁ διὰ τὸ μὴ λαβεῖν ἐνταῦθα τὴν ἀντίδοσιν ἀργότερος περὶ τὴν ἀρετὴν γινόμενος; μὴ τοίνυν θορυβώμεθα, ὅταν ἴδωμεν, ὅτι ὁ δεῖνα χήρας καλῶν, καὶ δόξας συνεχῶς ἐργαζόμενος, ἀπώλεσε τὴν οἰκίαν ἐμπρησθεῖσαν, ἢ ἑτέραν τινὰ τοιαύτην ὑπέμεινε συμφοράν. καὶ γὰρ διὰ τοῦτο λήψεται τὸν μισθόν· ἐπεὶ καὶ ὁ Ἰὼβ οὐχ οὕτως ἐπὶ ταῖς ἐλεημοσύναις ἐθαυμάζετο, ὡς ἐφ᾽ οἷς ἔπαθε μετὰ ταῦτα. διὰ τοῦτο καὶ οἱ φίλοι ἐξευτελίζονται οἱ τούτου, καὶ οὐδενὸς ἄξιοι λόγου νομίζονται εἶναι, ὅτι τὰς παρούσας ἐζήτουν ἀντιδόσεις, καὶ ἀπὸ τούτων τοῦ δικαίου κατεψηφίζοντο. μὴ τοίνυν ἐνταῦθα ζητῶμεν τὴν ἀμοιβὴν, πένητες καὶ ταλαίπωροι γινόμενοι. καὶ γὰρ ἐσχάτης τοῦτο εὐτελείας, οὐρανοῦ προκειμένου καὶ τῶν ὑπὲρ τὸν οὐρανὸν, τὰ ἐνταῦθα περισκοπεῖν. μὴ δὴ οὕτω ποιῶμεν· ἀλλ᾽ ὅπερ ἂν ἐπέλθῃ τῶν ἀδοκήτων ἐπιταγμάτων, ἡμεῖς ἐχώμεθα τοῦ Θεοῦ διηνεκῶς, καὶ πειθώμεθα τῷ μακαρίῳ Παύλῳ, καὶ κιβώτιον πενήτων ποιῶμεν ἐπὶ τῆς οἰκίας, καὶ παρὰ τὸν τόπον, ὃν ἕστηκας εὐχόμενος, ἐκεῖ κείσθω, καὶ ὁσάκις ἂν εἰσέλθῃς εὔξασθαι, καταθεὶς πρότερον τὴν ἐλεημοσύνην, καὶ τότε ἀνάπεμπε εὐχήν. καὶ ὥσπερ οὐκ ἂν ἕλοιο χερσὶν ἀνίπτοις εὔξασθαι, οὕτω μηδὲ ἐλεημοσύνης χωρίς. καὶ γὰρ τοῦ εὐαγγέλιον κρέμασθαι παρὰ τὴν κλίνην οὐκ ἔλαττον τὸ ἐλεημοσύνην κεῖσθαι. εὐαγγέλιον μὲν γὰρ ἐὰν κρεμάσῃς μηδὲν ποιῶν, οὐδὲν τοσοῦτον ὠφεληθήσῃ. τοῦτο δὲ ἔχων τὸ κιβώτιον, ὅπλον ἔχεις κατὰ τοῦ διαβόλου, τὴν εὐχὴν ὑπόπτερον ποιεῖς, ἁγίαν κατασκευάζεις τὴν οἰκίαν, τροφὰς ἔνδον ἔχων ἀποκειμένας τοῦ βασιλέως. παρὰ τοῦτο καὶ τῇ κλίνῃ κείσθω τὸ κιβώτιον, καὶ ἀφαντασίαστος ἔσται ἡ νύξ· μόνον μηδὲν ἐξ ἀδικίας ἐκεῖ βαλλέσθω. ἐλεημοσύνη γὰρ τὸ πρᾶγμά ἐστιν· ἐλεημοσύνην δὲ ἀπὸ ὠμότητος οὐκ ἔνι βλαστῆσαί ποτε. βούλεσθε καὶ τὰς ἀφορμὰς, ὅθεν δεῖ καταβάλλειν, εἴπω, ὥστε καὶ ταύτῃ ποιῆσαι εὔκολον τὴν τοιαύτην φοράν; ὁ χειροτέχνης, οἷον ὁ ὑποδηματορράφος, ἢ ὁ σκυτοτόμος, ἢ ὁ χαλκοτύπος, ἢ ἕτερος οἱοσοῦν δημιουργὸς, ἐπειδὰν πωλήσῃ τι τῶν ἀπὸ τῆς τέχνης, ἀπαρχέσθω τῆς τιμῆς τῷ Θεῷ, καταβαλλέτω μικρὸν μέρος αὐτόθι, καὶ μεριζέσθω πρὸς τὸν Θεὸν ἐξ ἐλάττονος μοίρας. οὐδὲ γὰρ μέγα τι αἰτῶ· ἀλλὰ τοσοῦτον ὅσον Ἰουδαίων οἱ νήπιοι, καὶ μυρίων γέμοντες κακῶν, τοσοῦτον οἱ τὸν οὐρανόν

Margin notes: γ. στέφανον; (beside "ζονα λήψεται τὸν μισθόν;") — γ. ἠγνόμεθα. (beside "το. μὴ τοίνυν ἐνταῦθα ζητῶμεν…")

νοι προσδοκῶντες ἡμεῖς βαλλώμεθα. Ταῦτα δὲ οὐ νομοθετῶν, οὐδὲ κωλύων τὸ πλέον λέγω, ἀλλ' ἀξιῶν μὴ ἔλαττον τῆς δεκάτης μοίρας καταθεῖναι. Τοῦτο δὲ μὴ πωλῶν μόνον, ἀλλὰ καὶ ἀγοράζων ποίει*. Τοῦτον καὶ οἱ τοὺς ἀγροὺς κεκτημένοι τηρείτωσαν τὸν νόμον ἐν ταῖς προσόδοις· τοῦτον πάντες οἱ τοὺς δικαίους συλλέγοντες πόρους. Πρὸς γὰρ τοὺς τόκους ἀπαιτοῦντας οὐδείς μοι λόγος, οὐδὲ πρὸς στρατιώτας διασείοντας ἄλλους, καὶ πραγματευομένους ἀλλοτρίας συμφοράς. Οὐδὲν γὰρ ἐκεῖθεν βούλεται δέχεσθαι ὁ Θεός· ἀλλὰ πρὸς τοὺς ἐκ δικαίων πόνων συλλέγοντας τὰ ὄντα, ταῦτα λέγω. Καὶ γὰρ ἐὰν ἐν τοιαύτῃ συνηθείᾳ καταστήσωμεν ἑαυτοὺς, ὑπὸ τοῦ συνειδότος κεντούμεθα λοιπὸν, ἄν ποτε τοῦτον ἀπολίπωμεν τὸν νόμον, καὶ οὐδὲ βαρὺ λοιπὸν τὸ πρᾶγμα ἡγησόμεθα, καὶ κατὰ μικρὸν ἐπὶ τὰ μείζονα ἥξομεν, καὶ μελετήσαντες χρημάτων καταφρονεῖν, καὶ τὴν ῥίζαν τῶν κακῶν ἀνασπάσαντες, τόν τε ἐνταῦθα μετ' ἀδείας βιωσόμεθα βίον, καὶ τῆς μελλούσης τευξόμεθα ζωῆς, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

* ἢ μᾶλλον μειζόνων.

Λογ. μδ. 10 ΕΑΝ ΔΕ ΕΛΘΗ ΤΙΜΟΘΕΟΣ ΠΡΟΣ ΥΜΑΣ, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς.

Τάχα τις ἡγήσεται ἀνάξιον εἶναι τῆς ἀνδρείας τῆς Τιμοθέου τὴν παράκλησιν ταύτην· ἀλλ' οὐ Τιμοθέου ἕνεκεν τοῦτο εἴρηται, ἀλλὰ τῶν ἀκουόντων, ἵνα μὴ διὰ τῆς εἰς αὐτὸν ἐπιβουλῆς ἑαυτοὺς καταβλάψωσιν. Ἐκεῖνος μὲν γὰρ ἀεὶ πρὸς κινδύνους ἦν παρεμβεβλημένος. Ὡς γὰρ πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν ἐν τῷ εὐαγγελίῳ, φησίν. (Φιλιππησ. β.) (χ. παραβεβλημένος.) Ἀλλ' ἵνα μὴ ἀπὸ τῆς εἰς τὸν μαθητὴν θρασύτητος, καὶ εἰς τὸν διδάσκαλον προέλθωσι, καὶ χείρους γένωνται, πόρρωθεν αὐτοὺς καταστέλλει λέγων, ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς, τουτέστιν, ἵνα μή τις αὐτοῦ καταξανίσταται τῶν ἀπεγνωσμένων ἐκείνων. Καὶ γὰρ ἔμελλεν αὐτοῖς ἴσως ἐπιτιμᾶν, ὑπὲρ ὧν καὶ Παῦλος ἐπέστειλε. (χ. ἐπέπληξε.) Καὶ γὰρ ἐπηγγείλατο διὰ τοῦτο πέμπειν αὐτόν. Ἔπεμψα γὰρ Τιμόθεον ὑμῖν, φησὶν, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. (α. Κορ. δ. ιζ.) Ἵν' οὖν μὴ εὐγενείᾳ, καὶ πλούτῳ, καὶ τῇ τοῦ δήμου στάσει, καὶ τῇ ἔξωθεν σοφίᾳ θαῤῥοῦντες ἐπιθῶνται, καὶ διαπτύσωσι, καὶ ἐπιβουλεύσωσιν ἀλγοῦντες τοῖς ἐλέγχοις τοῖς παρ' αὐτοῦ, ἢ ὑπὲρ ὧν ὁ διδάσκαλος ἐπετίμησε, δίκην αὐτὸν ἀπαιτήσωσιν ἐκεῖνον ἀμυνόμενοι, διὰ τοῦτό φησιν, ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς. Μὴ γάρ μοι τοὺς ἔξωθεν εἴπῃς τοὺς Ἕλληνας καὶ ἀπίστους· τὰ παρ' ὑμῶν ἀπαιτῶ, ὑπὲρ ὧν καὶ ἡ ἐπιστολὴ ἅπασα συνετέθη, οὓς καὶ ἐν ἀρχῇ καὶ προοιμίοις ἐφόβησε. Διὸ καὶ τοῦτο εἶπε, πρὸς ὑμᾶς. Εἶτα ἀπὸ τῆς διακονίας ἀξιόπιστον αὐτὸν ποιεῖ, λέγων·

Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται. Μὴ γὰρ διὰ τοῦτο ἴδῃς, φησὶν, εἰ μὴ πλούσιος, εἰ μὴ εὐπαίδευτος, μηδὲ πρεσβύτης, ἀλλὰ τί ἐπιτέτακται, καὶ ἀνύει· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται. Τοῦτο δὲ ἀντὶ πάσης αὐτῷ καὶ εὐγενείας, καὶ πλούτου, καὶ ἡλικίας, καὶ σοφίας ἀπόχρη. Καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ προσέθηκε, Καθὼς καὶ ἐγώ. Καὶ ἀνωτέρω, Ὅς ἐστί μου τέκνον ἀγαπητὸν ἐν Κυρίῳ, αὐτὸς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ. Ἐπεὶ οὖν καὶ νέος ἦν, καὶ μόνος ἐνεχειρίσθη τοσούτου δήμου διόρθωσιν, ἀμφότερα δὲ εἰς καταφρόνησιν ἦγεν, εἰκότως ἐπάγει·

11 Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. Καὶ οὐ τοῦτο ἀπαιτεῖ μόνον, ἀλλὰ καὶ τιμὴν πλείονα, διὸ καί φησι· Προπέμψατε δὲ αὐτὸν μετ' εἰρήνης· Τουτέστιν, ἀφόβως, μὴ μάχας καὶ φιλονεικίας ἐμποιοῦντες, μὴ ἔχθρας καὶ ἀπεχθείας, ἀλλ' ὑποταγὴν καὶ τιμὴν, ὡς διδασκάλῳ προσέχοντες. Ἵνα ἔλθῃ πρὸς μέ. Ἐκδέχομαι γὰρ αὐτὸν

μετὰ τῶν ἀδελφῶν. Καὶ τοῦτο φοβοῦντος αὐτούς ἐστιν. ἵνα γὰρ εἰδότες, ὅτι πάντα εἰρήσεται πρὸς αὐτὸν ἅπερ ἂν πάθῃ, ἐπιεικέστεροι γίνωνται, διὰ τοῦτο προσέθηκεν, ἐκδέχομαι γὰρ αὐτόν. ἄλλως δὲ, καὶ ἐντεῦθεν ἀξιόπιστον ποιεῖ, εἴγε μέλλων ἐξιέναι, αὐτὸν περιμένει, καὶ τὴν εἰς ἐκείνους δείκνυσιν ἀγάπην, ὅταν τὸν οὕτω χρήσιμον δι' αὐτοὺς φαίνηται πέμψας.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ πολλὰ παρεκάλεσα αὐτὸν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν. Οὗτος καὶ εὐπαίδευτος δοκεῖ εἶναι, καὶ πρεσβύτερος τοῦ Τιμοθέου. ἵν' οὖν μὴ λέγωσι, τί δήποτε τὸν μὲν ἄνδρα οὐκ ἀπέστειλε, τὸν δὲ νέον ἀντ' ἐκείνου; ὅρα δὲ καὶ τοῦτο πῶς παραμυθεῖται, ἀδελφόν τε αὐτὸν καλῶν, καὶ πολλὰ παρακεκληκέναι λέγων. ἵνα γὰρ μὴ δόξῃ προτετιμηκέναι αὐτοῦ τὸν Τιμόθεον, καὶ διὰ τοῦτο μὴ ἀπεσταλκέναι, καὶ πλείονα ἐκκαύσῃ τὸν φθόνον, ἐπήγαγε, πολλὰ αὐτὸν παρεκάλεσα, ἵνα ἔλθῃ. τί οὖν, οὐκ εἶξεν ἐκεῖνος, οὐδὲ ἐπένευσεν, ἀλλ' ἀντέστη καὶ ἐφιλονείκησε; οὐ λέγει τοῦτο, ἀλλ' ἵνα μήτε ἐκεῖνον διαβάλῃ, καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσηται, φησι, Καὶ πάντως οὐκ ἦν θέλημα, ἵνα νῦν ἔλθῃ. Εἶτα ἵνα μὴ λέγωσιν, ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, ἐπήγαγεν· Ἐλεύσεται δὲ πρὸς ὑμᾶς, ὅταν εὐκαιρήσῃ. Τοῦτο καὶ ὑπὲρ ἐκείνου ἀπελογήσατο, καὶ αὐτοὺς ἐπιποθοῦντας αὐτὸν, τῇ ἐλπίδι τῆς παρουσίας ἀνέπαυσεν. Εἶτα δεικνὺς ὅτι οὐκ ἐν τοῖς διδασκάλοις, ἀλλὰ καὶ ἐν ἑαυτοῖς ὀφείλουσι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, φησί,

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει· Οὐκ ἐν τῇ σοφίᾳ τῇ ἔξω. οὐ γάρ ἐστιν ἐκεῖ ἑστάναι, ἀλλὰ φέρεσθαι, ὥσπερ οὖν ἐν τῇ πίστει ἑστάναι. Ἀνδρίζεσθε, κραταιοῦσθε·

14 Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Ταῦτα δὲ λέγων, δοκεῖ μὲν παραινεῖν, καθάπτεται δὲ αὐτῶν ὡς ῥαθυμούντων. διὸ λέγει, γρηγορεῖτε, ὡς καθευδόντων· στήκετε, ὡς σαλευομένων· ἀνδρίζεσθε, κραταιοῦσθε, ὡς μαλακιζομένων· πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω, ὡς στασιαζόντων. καὶ τὸ μὲν πρὸς τοὺς ἀπατῶντας, τὸ γρηγορεῖτε, στήκετε· τὸ δὲ πρὸς τοὺς ἐπιβουλεύοντας, τὸ ἀνδρίζεσθε· τὸ δὲ πρὸς τοὺς στασιάζοντας καὶ διασπᾶν ἐπιχειροῦντας, τὸ πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω, ὅπερ σύνδεσμός ἐστι τελειότητος, καὶ ῥίζα καὶ πηγὴ τῶν ἀγαθῶν. τί δέ ἐστι, τὸ πάντα ἐν ἀγάπῃ; εἴτε ἐπιτιμᾷ τις, φησιν, εἴτε ἄρχει, εἴτε ἄρχεται, εἴτε μανθάνει, εἴτε διδάσκει, πάντα μετ' ἀγάπης ἔστω· καὶ τὰ εἰρημένα ἅπαντα ἐκ τοῦ ταύτην ἠμελῆσθαι ἐγένετο. εἰ γὰρ αὕτη μὴ ἠμελήθη, οὐκ ἂν ἐφυσιώθησαν, οὐκ ἂν εἶπον, Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ· εἰ αὕτη ἦν, οὐκ ἂν ἔξω ἐδικάσαντο, μᾶλλον δὲ οὐδ' ἂν ἐδικάσαντο· εἰ αὕτη ἦν, οὐκ ἂν ἐκεῖνος τοῦ πατρὸς τὴν γυναῖκα ἔλαβεν, οὐκ ἂν τῶν ἀσθενούντων ἀδελφῶν κατεφρόνησαν, οὐκ ἂν αἱρέσεις εἶχον, οὐκ ἂν ἐκενοδόξησαν ἐπὶ τοῖς χαρίσμασι· διὰ τοῦτό φησι, πάντα μετ' ἀγάπης γινέσθω.

χ. αὕτη / χ. αὐτὴ — α. Κορ. α. ιβ.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς. Καὶ ἀρχόμενος τούτου μέμνηται λέγων, Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· καὶ νῦν ἀπαρχὴν αὐτὸν οὐχὶ τῆς Κορίνθου μόνον, ἀλλὰ καὶ ὅλης τῆς Ἑλλάδος φησίν. οὐ μικρὸν δὲ καὶ τοῦτο ἐγκώμιον, τὸ πρῶτον τῷ Χριστῷ προσελθεῖν. διὸ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ἐντεῦθεν ἐγκωμιάζων τινὰς, ἔλεγεν, Οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ. καὶ οὐκ εἶπεν, ὅτι πρῶτοι ἐπίστευσαν, ἀλλ' ἀπαρχὴ ἐγένοντο, δεικνὺς ὅτι μετὰ τῆς πίστεως καὶ βίον ἄριστον ἐπεδείξαντο, ὥσπερ ἐπὶ καρπῶν, πάντοθεν ἑαυτοὺς ἀξίους παρέχοντες. καὶ γὰρ τὴν ἀπαρχὴν, ἀμείνω τῶν λοιπῶν εἶναι χρὴ, ὧν ἐστιν ἀπαρχή· ὃ δὴ καὶ τούτοις διὰ τῆς ῥήσεως ταύτης ἐπεμαρτύρησεν ὁ Παῦλος. οὐδὲ

Ρω. ιϛ. ζ.

γὰρ

γὰρ ἐπίστευσαν μόνον γνησίως, ὅπερ ἔφην, ἀλλὰ καὶ πολλὴν ἐπεδείξαντο τὴν εὐλάβειαν, καὶ ἀκμάζουσαν τὴν ἀρετήν, καὶ τὴν ἐν ἐλεημοσύναις φιλοτιμίαν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν αὐτῶν τὴν εὐλάβειαν δείκνυσιν, ἐκ τοῦ καὶ τὴν οἰκίαν ἅπασαν εὐσεβείας πληρῶσαι. ὅτι δὲ καὶ ἐν ἔργοις ἐκόμων ἀγαθοῖς, δηλοῖ διὰ τῶν ἑξῆς λέγων· Εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς. ἠκούσατε ἡλίκα τῆς φιλοξενίας τὰ ἐγκώμια; οὐ γὰρ εἶπε, διακονοῦσιν, ἀλλ', ἔταξαν ἑαυτούς, τοῦτον τὸν βίον εἵλοντο διαπαντός, ταύτην μελετῶσι τὴν μελέτην.

16 Ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, Τουτέστιν, ἵνα συναντιλαμβάνησθε καὶ εἰς δαπάνην χρημάτων, καὶ εἰς σώματος διακονίαν, ἵνα κοινωνῆτε. καὶ γὰρ ἐκείνοις ὁ κόπος ἔσται κοῦφος, ὅταν ἔχωσι συμμάχους, καὶ τὰ τῆς εὐεργεσίας εἰς πλείονας διαβήσεται. καὶ οὐκ εἶπεν ἁπλῶς, Συνεργεῖτε, ἀλλὰ καὶ ἐν οἷς ἂν κελεύωσι, πείθεσθε, τὴν ἐπιτεταμένην ὑπακοὴν ἐνδεικνύμενος. καὶ ἵνα μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι, προσέθηκε,

Καὶ παντὶ τῷ κοπιῶντι, καὶ συνεργοῦντι. Κοινός, φησιν, ἔστω ὁ νόμος οὗτος. οὐδὲ γὰρ ἰδιαζόντως περὶ ἐκείνων λέγω, ἀλλ' εἴ τις κατ' ἐκείνους, καὶ οὗτος ἀπολαυέτω τούτων. διὰ τοῦτο καὶ ἀρχόμενος συνιστᾶν, αὐτοὺς μάρτυρας καλεῖ, λέγων· παρακαλῶ δὲ ὑμᾶς, οἴδατε τὴν οἰκίαν Στεφανᾶ. ἴστε γάρ, φησι, καὶ ὑμεῖς πῶς κάμνουσι, καὶ οὐ παρ' ἡμῶν δεῖσθε μαθεῖν.

17 Ἐχάρην δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα αὐτοὶ ἀνεπλήρωσαν.

18 Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα, καὶ τὸ ὑμῶν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ἀπηχθῆσθαι πρὸς τούτους (οὗτοι γὰρ οἱ ἐλθόντες εἰσὶ καὶ δηλώσαντες αὐτῷ τὰ κατὰ τὴν στάσιν. δι' αὐτῶν γὰρ καὶ ἔγραψαν τὰ περὶ τῶν παρθένων, τὰ περὶ τῶν γεγαμηκότων) ὅρα πῶς α. Κορ. α. ια. αὐτοὺς κατεπραΰνεν, ἐν ἀρχῇ μὲν τῆς ἐπιστολῆς εἰπών, Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ὑπὸ τῶν Χλόης, καὶ τούτους κρύψας, κἀκείνους εἰς μέσον ἀγαγών (εἰκὸς γὰρ ἐκείνους διὰ τούτων δηλῶσαι) ἐνταῦθα δέ, τὸ ὑμῶν ὑστέρημα ἀνεπλήρωσαν, καὶ ἀνέπαυσαν τὸ ἐμὸν πνεῦμα, καὶ τὸ ὑμῶν· δεικνὺς ἀντὶ πάντων ἐλθόντας, καὶ ἑλομένους ἀποδημίαν στείλασθαι τοσαύτην ὑπὲρ αὐτῶν. πῶς οὖν τοῦτο τὸ ἴδιον κοινὸν γίνεται; εἰ τὸ ὑστέρημα παραμυθήσασθε διὰ τῆς εὐνοίας τῆς εἰς αὐτούς, ἐὰν τιμήσητε, ἐὰν ἀποδέξησθε αὐτούς, ἐὰν τῇ εὐποιΐᾳ κοινωνήσητε. διό φησιν·

Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. Καὶ ἐπαινῶν τοὺς ἐλθόντας, συμπλέκει καὶ ἐκείνους τῷ ἐγκωμίῳ, τοῖς ἀπεσταλμένοις τοὺς ἀπεσταλκότας, λέγων, ὅτι ἀνέπαυσαν τὸ ἐμὸν πνεῦμα, καὶ τὸ ὑμῶν. ἐπιγινώσκετε οὖν τοὺς τοιούτους, ὅτι δι' ὑμᾶς πατρίδα καὶ οἰκίαν κατέλιπον. εἶδες σύνεσιν; οὐ Παύλῳ μόνον, ἀλλὰ καὶ ἐκείνοις αὐτοὺς χαριζομένους δείκνυσι, τῷ τὴν πόλιν ἅπασαν ἐν αὐτοῖς περιφέρειν· ὃ καὶ τούτους ἀξιοπίστους ἐποίει, καὶ ἐκείνους οὐκ ἠφίει τούτων ἀποσχίζεσθαι, ἅτε δι' αὐτῶν πρεσβεύσαντας τῷ Παύλῳ. 19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τῆς Ἀσίας. Ἀεὶ συνάγει καὶ συγκολλᾷ τὰ μέλη διὰ τοῦ ἀσπασμοῦ. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα. Παρ' αὐτοῖς γὰρ ἔμενε, σκηνοποιὸς ὤν. Σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. Καὶ τοῦτο οὐ μικρὰ ἀρετή, τὸ καὶ τὴν οἰκίαν ἐκκλησίαν ποιῆσαι.

20 Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ταύτην τὴν τοῦ ἁγίου φιλήματος ἐνταῦθα μόνον τίθησι προσθήκην. τί α. Κορ. α. ιβ. ια. κα. δήποτε; σφόδρα διεστήκεσαν ἀλλήλων τῷ λέγειν, Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ· τῷ, Τὸν μὲν πεινᾶν, τὸν δὲ μεθύειν· τῷ, μάχας καὶ ζηλοτυπίας καὶ κρίματα ἔχειν. καὶ ἀπὸ τῶν χαρισμάτων πολὺς ὁ φθόνος ἦν, πολλὴ ἡ ὑπερηφανία.

φανία. ἐπεὶ οὖν αὐτοὺς συνῆψε διὰ τῆς προσρήσεως, εἰκότως κελεύει καὶ διὰ τοῦ φιλήματος τοῦ ἁγίου συνάπτεσθαι. τοῦτο γὰρ ἑνοῖ, καὶ ἓν τίκτει σῶμα· τοῦτο ἅγιόν ἐστι, τὸ μὴ μετὰ δόλου καὶ ὑποκρίσεως.

21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Δείκνυσι μετὰ πολλῆς σπουδῆς τὴν ἐπιστολὴν συντεθεῖσαν· διὸ καὶ τοῦτο προσέθηκεν·

22 Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα. Δι' ἑνὸς τούτου ῥήματος πάντας ἐφόβησε, τοὺς τὰ μέλη αὐτοῦ ποιοῦντας πόρνης μέλη, τοὺς σκανδαλίζοντας τοὺς ἀδελφοὺς διὰ τῶν εἰδωλοθύτων, τοὺς ἀπ' ἀνθρώπων ὀνομαζομένους, τοὺς τῇ ἀναστάσει διαπιστοῦντας. οὐκ ἐφόβησε δὲ μόνον, ἀλλὰ καὶ ἔδειξε τῆς ἀρετῆς τὴν ὁδὸν, καὶ τῆς κακίας τὴν πηγήν. ὥσπερ γὰρ σφοδρᾶς περὶ αὐτὸν ἡ ἀγάπη ᾖ θερμομένη, πάντα τῶν ἁμαρτημάτων τὰ εἴδη κατασβέννυσι καὶ ἐξωθεῖ· οὕτως ὅταν ἀσθενεστέρα ᾖ, βλαστάνειν ταῦτα ποιεῖ. Μαραναθά. Τίνος ἕνεκεν τοῦτο εἴρηται; τί δήποτε καὶ Ἑβραΐδι φωνῇ; ἐπειδὴ πάντων τῶν κακῶν ὁ τῦφος αἴτιος ἦν, τοῦτον δὲ τὸν τῦφον ἡ ἔξωθεν σοφία ἐποίει, καὶ τοῦτο δὲ κεφάλαιον τῶν κακῶν ἦν, ὃ μάλιστα τὴν Κόρινθον διέσπασε, καταστέλλων αὐτῶν τὸν τῦφον, οὐδὲ Ἑλλάδι κέχρηται γλώσσῃ, ἀλλὰ τῇ Ἑβραΐδι, δεικνὺς ὅτι οὐ μόνον οὐκ αἰσχύνεται τὴν ἰδιωτείαν, ἀλλὰ καὶ μετὰ πολλῆς ἀσπάζεται τῆς θερμότητος. τί δέ ἐστι μαραναθά; ὁ Κύριος ἡμῶν ἦλθε. τίνος οὖν ἕνεκεν αὐτὸ τοῦτό φησι; τὸν τῆς οἰκονομίας βεβαιῶν λόγον, ἐξ ὧν μάλιστα τὰ σπέρματα τῆς ἀναστάσεως συντέθεικεν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐκείνους ἐντρέπων· ὡσανεὶ ἔλεγεν, ὁ κοινὸς πάντων δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσε, καὶ ὑμεῖς ἐν τοῖς αὐτοῖς ἐστε, καὶ ἐπιμένετε ἁμαρτάνοντες; καὶ οὐ φρίττετε τῆς ἀγάπης τὴν ὑπερβολὴν; τῶν ἀγαθῶν δὲ κεφάλαιον; ἐννόησον γὰρ τοῦτο μόνον, φησὶ, καὶ ἀρκέσει σοι εἰς πάσης ἀρετῆς προκοπὴν, καὶ πᾶσαν δυνήσῃ κατασβέσαι ἁμαρτίαν.

23 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Τοῦτο διδασκάλου, τὸ μὴ μόνον συμβουλαῖς, ἀλλὰ καὶ εὐχαῖς βοηθεῖν.

24 Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. ἀμήν. Ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι κολακεύων αὐτοὺς εἰς τοῦτο κατέληξε, φησὶν ἐν Χριστῷ Ἰησοῦ. οὐδὲν γὰρ ἀνθρώπινον ἔχει, οὐδὲ σαρκικὸν, ἀλλὰ πνευματική τίς ἐστι· διὸ σφόδρα γνησία. καὶ γὰρ σφόδρα ἐρῶντος τὸ ῥῆμα ἦν. καὶ γὰρ ἐπειδὴ διεστήκει τῷ τόπῳ, καθάπερ δεξιᾶς τινος ἐκτάσει, ταῖς τῆς ἀγάπης αὐτοὺς χερσὶ περιλαμβάνει λέγων, ἡ ἀγάπη μου μεθ' ὑμῶν, ὡσανεὶ ἔλεγε, μετὰ πάντων ὑμῶν ἐγώ. δι' ὧν δείκνυσιν, ὅτι οὐ θυμοῦ, οὐδὲ ὀργῆς ἦν τὰ γραφέντα, ἀλλὰ κηδεμονίας· ὅπου γε μετὰ τοσαύτην κατηγορίαν οὐκ ἀποστρέφεται, ἀλλὰ καὶ φιλεῖ, καὶ περιλαμβάνει πόῤῥωθεν αὐτοὺς ὄντας, διὰ τῶν ἐπιστολῶν καὶ τῶν γραμμάτων τούτων αὐτοῖς περιχυθείς. οὕτω γὰρ τὸν διορθοῦντα δεῖ ποιεῖν· ὡς ὅ γε ὀργῇ μόνον ποιῶν, οἰκεῖον πάθος πληροῖ· ὁ δὲ μετὰ τὸ διορθῶσαι τὸν ἁμαρτάνοντα, καὶ τὰ τῆς ἀγάπης ἐπιδεικνύμενος, δείκνυσιν ὅτι κἀκεῖνα φιλοστοργίας ἦν, ὅσα ἐπιπλήττων ἔλεγεν.

Οὕτω δὴ καὶ ἡμεῖς ἀλλήλους παιδεύωμεν, καὶ μήτε ὁ ἐλέγχων ὀργιζέσθω (οὐ γὰρ διορθώσεως τοῦτο, ἀλλὰ πάθους) μήτε ὁ ἐλεγχόμενος δυσχεραινέτω. ἰατρεία γὰρ τὸ γινόμενον, οὐκ ἀπέχθεια. εἰ δὲ ἰατρῶν παῖδες καιόμενοι, καὶ οὐκ ἐγκαλοῦνται, πολλάκις καὶ διαμαρτάνοντες τοῦ τέλους, ἀλλὰ καὶ ἀλγοῦντες τότε καιόμενοι καὶ τεμνόμενοι, εὐεργέτας αὐτοὺς νομίζουσι τοὺς τὴν ἀλγηδόνα ταύτην διεγείροντας· πολλῷ μᾶλλον τὸν δεχόμενον ἐλέγχους οὕτω διακεῖσθαι χρή, καὶ ὡς ἰατρῷ προσέχειν τῷ διορθοῦντι, ἀλλ' οὐχ ὡς ἐχθρῷ. καὶ ἡμᾶς δὲ τοὺς ἐπιτιμῶντας* προσιέναι μετὰ πολλῆς τῆς ἡμερότητος, μετὰ πολλῆς τῆς συνέσεως. κἂν ἴδῃς τὸν ἀδελφὸν πλημμελοῦντα, ὡς ὁ Χριστὸς ἐκέλευσε, μὴ δημοσίευε τὸν ἔλεγχον, ἀλλὰ μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, οὐκ ὀνειδίζων, οὐδὲ ἐπεμβαίνων κειμένῳ, ἀλλὰ ἀλγῶν καὶ τηκόμενος·

γ. κινουμένη

* ἴω

ΗΘΙΚΟΝ

Ματθ. 18. 15.

μενος· καὶ ἕτοιμον σαυτὸν πάρεχε καὶ πρὸς τὸ ἐλέγχεσθαι, εἴ τι διαμαρτάνοις. ἵνα δὲ τὸ σαφέστερον ὃ λέγω γένηται, καθ' ὑπόθεσιν τὸν λόγον γυμνάσωμεν. μὴ γὰρ δὴ γένοιτο ἐπὶ τῆς ἀληθείας αὐτῆς εὐπορῆσαι παραδείγματος τοιούτου. ἔστω τις ἀδελφὸς μετὰ παρθένου συνοικῶν, κόσμιος μὲν καὶ σώφρων, πλὴν ἀλλὰ μηδὲ οὕτω διαφευγέτω τὴν πονηρὰν δόξαν. σὺ τοίνυν ἀκούσῃς θρυλλουμένην τὴν συνοίκησιν ταύτην, μὴ καταφρονήσῃς, μηδὲ εἴπῃς· αὐτὸς γὰρ οὐ κέκτηται νοῦν; αὐτὸς γὰρ οὐκ οἶδε τί τὸ συμφέρει; εἰκῇ φιλοῦ, καὶ μὴ μισοῦ εἰκῇ. τί γάρ μοι μέλει ἔχθραν ἀναδέξασθαι περιττήν; ταῦτα ληρώδη ῥήματα τῶν θηρίων, μᾶλλον δὲ τῶν δαιμόνων. οὐ γάρ ἐστιν εἰκῇ μισεῖσθαι τὸν ἐπὶ διορθώσει τοῦ τοιούτου, ἀλλ' ἐπὶ μεγάλοις ἀγαθοῖς καὶ σεμνοῖς ἀπορρήτοις. εἰ δὲ λέγοις, τί γάρ, αὐτὸς οὐκ ἔχει νοῦν; ἀκούσῃ παρ' ἡμῶν, ὅτι οὐκ ἔχει· μεθύει γὰρ τῷ πάθει. εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων οἱ ἀδικούμενοι οὐκ ἂν δύναιντο εἰπεῖν ὑπὲρ ἑαυτῶν ζέοντες τῇ ὀργῇ, καίτοιγε οὐκ ἔστιν ἔγκλημα ἡ συμπάθεια αὕτη· πόσῳ μᾶλλον οἱ συνηθείᾳ πονηρᾷ κατεχόμενοι. διὰ τοῦτο λέγω, ὅτι κἂν μυριάκις ᾖ φρόνιμος, οὐκ ἔχει νοῦν ἐγρηγορότα. τί γὰρ τῷ Δαβὶδ συνετώτερον

[Ψαλμ. ν. ζ.] ἦν, αὐτοῦ θεόπνου λέγοντος, Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι; ἀλλ' ὅτε τὴν τοῦ στρατιώτου γυναῖκα εἶδεν ὀφθαλμοῖς ἀδίκοις, τότε ὅπερ ἐπὶ τῆς θαλάττης τῆς μαινομένης τοῦ ἐμπλέοντας πάσχειν ἔλεγε, πᾶσα ἡ σοφία αὐτοῦ κατεπόθη, καὶ ἑτέρων ἐδεῖτο τῶν διορθωσόντων, καὶ οὐδὲ ᾐσθάνετο οἵων κακῶν ἦν ἐντός. διὸ καὶ θρηνῶν τὰ ἁμαρτήματα

[Ψαλμ. λζ. δ.] αὐτοῦ, ἔλεγεν· Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν, καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. οὐ τοίνυν ἔχει νοῦν ὁ ἁμαρτάνων· μεθύει γὰρ καὶ ἐσκότωται. μὴ δὴ ταῦτα λέγε, μηδὲ πρόστιθει ἐκεῖνο, ὅτι οὐδέν μοι μέλει. ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. καὶ γὰρ τὸ σοὶ μέγιστον ἔγκλημα φύεται, ὅτι πεπλανημένον ἰδὼν οὐκ ἀνέστησας. εἰ γὰρ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ κατὰ τοὺς Ἰουδαίων νόμους περιορᾶν οὐ χρή, ὁ μὴ ὑποζύγιον, μηδὲ ἐχθροῦ ψυχὴν ἀπολλυμένην περιορῶν, ἀλλὰ φίλου, ποίαν ἕξει συγγνώμην; [γ. περι[illegible]] οὐδὲ γὰρ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν τὸ νοῦν ἔχειν ἐκεῖνον· ἐπεὶ καὶ ἡμεῖς πολλὰ πολλάκις παραινέσαντες, ἑαυτοῖς οὐκ ἠρκέσαμεν, οὐδὲ ἐγενόμεθα χρήσιμοι. τοῦτο τοίνυν καὶ περὶ ἐκείνου σκόπει τοῦ πλημμελοῦντος, ὅτι εἰκὸς αὐτὸν παρὰ σοῦ μᾶλλον, ἢ παρ' ἑαυτοῦ δέξασθαι συμβουλὴν ἀρίστην· καὶ μὴ λέγε, τί δέ μοι μέλει τούτου;

[Γεν. δ. θ.] φοβήθητι τὸν πρότερον εἰρηκότα τοῦτο τὸ ῥῆμα. τὸ γάρ, Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; εἰς ταὐτὸν φέρει τούτῳ. ἐντεῦθεν τὰ κακὰ τίκτεται πάντα, ὅτι τὰ τοῦ σώματος τοῦ ἡμετέρου ἀλλότρια ἡγούμεθα εἶναι. τί φῄς; οὐδέν σοι μέλει τοῦ ἀδελφοῦ; ἀλλὰ τίνι μελήσει; τῷ ἀπίστῳ, τῷ ἐπιχαίροντι καὶ ὀνειδίζοντι καὶ ἐνηδομένῳ; ἀλλὰ τῷ διαβόλῳ, τῷ ὠθοῦντι καὶ ὑποσκελίζοντι; καὶ πόθεν τοῦτο; ὅτι ἀνύω, φησί, λέγων καὶ συμβουλεύων τὰ δέοντα. [ἴσ. ἐπὶ [illegible]] πόθεν δὲ δῆλον ὅτι οὐκ ἀνύσεις; καὶ γὰρ τοῦτο πάλιν ἐσχάτης ἀνοίας, ἐν ἀδήλῳ τοῦ τέλους κειμένου, ῥᾳθυμίας ὡμολογημένης ἐγκλήματα δέχεσθαι. καίτοι ὁ Θεὸς τὰ μέλλοντα προειδώς, πολλάκις εἶπε, καὶ οὐκ ἤνυσε, καὶ οὐδὲ οὕτως ἀπέστη, καὶ ταῦτα εἰδώς, ὅτι οὐ μέλλει πείθειν. εἰ δὲ ὁ προειδὼς ὅτι οὐδὲν πλέον ποιήσει, τοῦ διορθοῦν οὐκ ἀφίσταται, ἵνα ἔχεις ἀπολογίαν ὁ ἀγνοῶν τὸ μέλλον παντελῶς, καὶ ἐκλυόμενος καὶ ναρκῶν; καὶ γὰρ πολλάκις ἐπιχειρήσαντες ἤνυσαν πολλοί· καὶ ὅτε μάλιστα ἀπέγνωσαν, τότε μάλιστα ἐπέτυχον. ἂν δὲ καὶ μηδὲν ποιήσῃς πλέον, τὸ σαυτοῦ πεποίηκας. μὴ τοίνυν ἀπάνθρωπος γίνου, μήτε ἀνηλεής, μήτε ὀλίγωρος. ὅτι γὰρ ὠμότητος ταῦτα τὰ ῥήματα καὶ ῥᾳθυμίας, δῆλον ἐκεῖθεν. τίνος γὰρ ἕνεκεν, ἑνὸς τῶν μελῶν τοῦ σώματός σου κάμνοντος, οὐ λέγεις, τί μοι μέλει; καὶ πόθεν δῆλον, ὅτι εἰ ἐπιμελείας τυγχάνει, ὑγιανεῖ; ἀλλὰ πάντα ποιεῖς ἵνα, κἂν μηδὲν ὠφελήσῃς, μὴ ἔχῃς ἐγκαλεῖν σεαυτῷ, ὅτι τῶν ὀφειλόντων γενέσθαι τι παρελείφθη. εἶτα τῶν μὲν τοῦ σώματος οὕτω φροντίζομεν μελῶν, τῶν δὲ τοῦ Χριστοῦ ἀμελήσομεν; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια;

Εἰ γὰρ σὲ μὴ κατακάμπτω λέγων, ὅτι τοῦ μέλους σου φείδεσθαι, ἵνα κἂν τῆς φειδοῦς ἤδη βελτίων, τοῦ σώματος ἀναμιμνήσκω σε τοῦ Χριστοῦ. πῶς γὰρ οὐ φρίκης ἄξιον ὅτι περιορᾷς αὐτοῦ τὴν σάρκα ὁρᾶν, καὶ περιορᾶν; καὶ εἰ μὲν οἰκέτην ἔχοις, ἢ οἷον ὅτι ἐπιτήδεια ἔχοντα, οὐκ ἂν ἀνάξιον περιεῖδες· τὸ δὲ σῶμα τοῦ Χριστοῦ ψώρας ὁρῶν ἐμπεπλησμένον, παραπέμπεις, καὶ οὐχ ἡγῇ ταῦτα μυρίων ἄξια εἶναι κεραυνῶν; διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, διὰ τὴν ἀπηνῆ θεραπείαν ταύτην, διὰ τὴν ῥαθυμίαν. διὸ δὴ, παρακαλῶ, ταύτην ἐκβάλωμεν τὴν ὠμότητα· προσέλθε ἐκείνῳ τῷ συνοικοῦντι τῇ παρθένῳ, καὶ εἰπὲ μακρὸν ἐγκώμιον τοῦ ἀδελφοῦ, ἀπὸ τῶν ἄλλων ὧν ἔχει πλεονεκτημάτων αὐτὸν συνθεὶς· καὶ ὥσπερ ὕδατι θερμῷ περικλύζων τοῖς ἐπαίνοις, οὕτω χάλασον αὐτοῦ τὸν ὄγκον τοῦ τραύματος. χάλασον καὶ σαυτὸν, κατηγόρησον τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως, δεῖξον ὅτι πάντες ἐν ἁμαρτήμασι τυγχάνομεν· αἴτησον συγγνώμην εἰπὼν, ὅτι μείζοσι σαυτοῦ πράγμασιν ἐπιχειρεῖς, ἀλλ' ἡ ἀγάπη πάντα πείθει τολμᾶν. εἶτα συμβουλεύων, μὴ ἐπιτακτικῶς, ἀλλ' ἀδελφικῶς τοῦτο ποίει. καὶ τούτοις πᾶσι χαλάσας τὴν φλεγμονὴν, καὶ παραμυθησάμενος τὴν ἀλγηδόνα τὴν ἐκ τῆς τομῆς συμβαίνουσαν τοῦ μέλλοντος ἐλέγχου γίνεσθαι, καὶ πολλάκις τῇ παραιτήσει χρησάμενος, καὶ παρακαλέσας μὴ ὀργισθῆναι, ὅταν αὐτὸν καταδήσῃς τούτοις, τότε ἐπάγε τὴν πληγὴν, μήτε δεσμῶν τὸ πρᾶγμα, μήτε ἐκλύων, ἵνα μήτε ἐκεῖθεν ἀποπηδήσῃ, μήτε ἐντεῦθεν καταφρονήσῃ. ἄν τε γὰρ μὴ χαλεπῶς ἅψῃ, οὐδὲν εἰργάσω πλέον· ἄν τε σφοδρῶς πλήξῃς, ἀποσκιρτῆσαι ἐποίησας. διὸ δὴ καὶ μετὰ ταῦτα πάντα ἐλέγχειν μέλλων, ἀνάμιξον πάλιν ἐγκώμιον τοῖς ἐλέγχοις. καὶ ἐπειδὴ αὐτὸ καθ' ἑαυτὸ τὸ γινόμενον οὐ δύναται εἶναι ἐγκώμιον (οὐ γὰρ ἄξιον ἐπαίνου τὸ κόρῃ συνοικεῖν παρθένῳ) ἀπὸ τῆς γνώμης τοῦ συνοικοῦντος τοῦτο ἐργάζου, καὶ εἰπὲ, ὅτι οἶδα μὲν ὅτι διὰ τὸν Θεὸν σὺ ποιεῖς, καὶ τὴν ἐρημίαν καὶ τὸ ἀπροστάτευτον τῆς ἀθλίας ἐκείνης ἰδὼν χεῖρα ὤρεξας. κἂν μὴ ταύτῃ ποιῇ τῇ γνώμῃ, σὺ οὕτω λέγε, καὶ μετὰ τὸ προσθεῖναι καὶ ταῦτα (πάλιν παραιτήσει χρώμενος, καὶ λέγων, οὐκ ἐπιτάττων, ἀλλ' ὑπομιμνήσκων ταῦτά φημι) διὰ τὸν Θεὸν σὺ ποιεῖς, οἶδα κἀγώ· ἀλλ' ἴδωμεν μὴ τίκτηται ἐκ τούτου κακὸν ἕτερον. κἂν μὲν μηδὲν ᾖ, κἄν τι χρηστὸν ἔνδον, καὶ ἔχου τῆς καλῆς ταύτης σπουδῆς. ὁ κωλύων οὐδείς. εἰ δὲ βλάβη τις ἐντεῦθεν γίνηται τοῦ κέρδους μείζων, φυλαξώμεθα, παρακαλῶ, μὴ σπεύδοντες μίαν ἀναπαῦσαι ψυχὴν, μυρίας σκανδαλίσωμεν. καὶ μὴ προσδοκήσῃς εὐθέως τὰ κείμενα τοῖς σκανδαλίζουσι χαλεπὰ εἶναι, ἀλλὰ τὴν αὐτοῦ προσλάμβανε μαρτυρίαν, λέγων· οὐ χρείαν ἔχεις μαθεῖν ταῦτα παρ' ἐμοῦ, οἶδας καὶ αὐτὸς ὅτι ἐάν τις ἕνα τῶν μικρῶν τούτων σκανδαλίσῃ, πόσην ἠπείληται δίκην. καὶ οὕτως ἡδύνας Ματθ. ι. μϛ. τὸν λόγον, καὶ λεάνας τὴν ὀργὴν, ἐπιτίθει τὸ φάρμακον τῆς διορθώσεως. εἰ δὲ προφασίζοιτο πάλιν τὴν ἐρημίαν αὐτῆς, μηδὲ οὕτως ἐλέγξῃς τὴν σκῆψιν, ἀλλ' εἰπὲ πρὸς αὐτὸν· μηδὲν σὺ τούτων φοβεῖσθαι, ἀπολογίαν ἕξεις ἀρκοῦσαν, τὰ ἑτέρων σκάνδαλα. οὐ γὰρ διὰ ῥαθυμίαν, ἀλλ' ἐκείνων κηδόμενος, ταύτης ἀπέστης τῆς σπουδῆς. καὶ τὰ μὲν τῆς συμβουλῆς ἔστω ἐν βραχεῖ (οὐδὲ γὰρ δεῖται διδασκαλίας πολλῆς) τὰ δὲ τῆς συγγνώμης πάλιν πολλὰ καὶ ἐπάλληλα· καὶ ἐπὶ τὴν ἀγάπην καταφεύγε συνεχῶς, συσκιάζων τὸ φορτικὸν τῶν εἰρημένων, καὶ τὴν ἐξουσίαν αὐτῷ διδοὺς, καὶ λέγων ὅτι ἐγὼ μὲν ταῦτα παραινῶ καὶ συμβουλεύω, τοῦ δὲ πεισθῆναι κύριος αὐτός. οὐδὲ γὰρ καταναγκάζω καὶ βιάζομαι, ἀλλὰ τῇ οἰκείᾳ σου τὸ πᾶν ἐπιτρέπω γνώμῃ. ἂν οὕτω μεταχειρίζωμεν τὸν ἔλεγχον, δυνησόμεθα ῥᾳδίως τοὺς ἁμαρτάνοντας διορθοῦν· ὡς ἄν γε νῦν ποιοῦμεν, θηρίων μᾶλλον ἐστὶ καὶ ἀλόγων, ἢ ἀνθρώπων. ἂν γὰρ αἴσθωνταί τινες νῦν τοιαῦτα τινὸς ἁμαρτάνοντος, ἐκείνῳ μὲν οὐδὲν διαλέγονται, αὐτοὶ δὲ καθάπερ παιδία μεθύοντα ψιθυρίζουσι μετ' ἀλλήλων· καὶ οὐδαμοῦ τὸ, εἰκῆ φιλοῦν, εἰκῆ μὴ μισοῦν, ἐνταῦθα δοκεῖ χώραν ἔχειν αὐτοῖς. ἀλλ' ὅταν μὲν κατηγορῆσαι ἐπιθυμῶσι, καταφρονοῦσι τοῦ μὴ εἰκῆ μισεῖσθαι, μᾶλλον δὲ καὶ τοῦ κολάζεσθαι

ζεται (οὐδὲ γὰρ μῖσος ἐντεῦθεν μόνον, ἀλλὰ καὶ κόλασις τίκτεται) ὅταν δὲ διορθώσεως δέῃ, τότε τὰ αὐτὰ καὶ μυρίας ἑτέρας προφέρουσι προφάσεις. ταῦτα γὰρ τότε ἐννοεῖν ἐχρῆν, ὅταν κατηγορῇς, ὅταν διαβάλλῃς, τὸ εἰκῆ μὴ μισεῖν, καὶ τὸ οὐδὲν αἰτῶ, καὶ τὸ οὐδέν μοι μέλει. νῦν δὲ τότε μὲν πολυπραγμονεῖς σφοδρῶς καὶ περιέργως, καὶ μίσους καταφρονεῖς καὶ μυρίων κακῶν· ὅταν δὲ ὑπὲρ τῆς σωτηρίας τοῦ ἀδελφοῦ φροντίζειν δέῃ, τότε καὶ ἀπράγμων καὶ ἀνεπαχθής τις εἶναι βούλει. καίτοι ἀπὸ μὲν κατηγορίας, καὶ τὸ πρὸς ἀνθρώπους, καὶ τὸ πρὸς τὸν Θεὸν γίνεται μῖσος, καὶ οὐ σφόδρα σοι τούτου μέλει· ἀπὸ δὲ τῆς κατ' ἰδίαν συμβουλῆς καὶ τῶν τοιούτων ἐλέγχων, καὶ πρὸς τοῦτον, καὶ πρὸς τὸν Θεὸν ἔσται σοι φιλία. ἂν δὲ καὶ αὐτὸς μισῇ, ὁ Θεὸς μᾶλλον διὰ τοῦτο μᾶλλον φιλῶν· μᾶλλον δὲ οὐδὲ οὕτω μισήσει, ὡς τηνίκα ἐμίσει κατηγοροῦντα· ἀλλὰ τότε μὲν ὡς ἐχθρὸν καὶ πολέμιον ἀπογράψεται, νυνὶ δὲ πατρὸς ἡγήσεται παντὸς αἰδεσιμώτερον. κἂν φανερῶς δυσχεραίνῃ, κατὰ νοῦν καὶ ἰδίᾳ πολλάς εἴσεταί σοι τὰς χάριτας. ταῦτα οὖν ἐννοοῦντες, ἐπιμελώμεθα τῶν μελῶν τῶν ἡμετέρων, καὶ μὴ κατ' ἀλλήλων τὴν γλῶτταν ἀκονῶμεν, μηδὲ λαλῶμεν ῥήματα καταποντισμοῦ, τὴν δόξαν τοῦ πλησίον ὑπορύττοντες, καὶ καθάπερ ἐν πολέμῳ καὶ μάχῃ βάλλοντες, καὶ βαλλόμενοι. τί γὰρ ὄφελος νηστείας ἢ ἀγρυπνίας λοιπὸν, ὅταν γλῶττα μεθύῃ, καὶ κυνείων κρεῶν ἀκαθαρτοτέραν σιτῆται τράπεζαν, αἱμοβόρος γινομένη, καὶ περιχέουσα βόρβορον, καὶ ἀμάρας ὀχετὸν τὸ στόμα ποιῇ, μᾶλλον δὲ καὶ πολὺ ταύτης βδελυρώτερον; τὸ μὲν γὰρ ἐκεῖθεν προϊὸν, σῶμα ἐμόλυνε, τὸ δὲ ἐντεῦθεν, ψυχὴν πολλάκις ἀπέπνιξε. ταῦτα οὐ τῶν κακῶς ἀκουόντων μάλιστα κηδόμενος λέγω (ἐκεῖνοι γὰρ καὶ στεφάνων εἰσὶν ἄξιοι, ὅταν φέρωσι γενναίως τὰ λεγόμενα) ἀλλ' ὑμῶν τῶν λεγόντων. τὸν μὲν γὰρ κακῶς ἀκούοντα μάλιστα μακαρίζουσιν αἱ γραφαί, τὸν δὲ κακῶς λέγοντα ἐκβάλλουσι τῶν ἱερῶν μυστηρίων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν περιβόλων.

Ψαλμ. ρ. ε. Τὸν γὰρ καταλαλοῦντα, φησὶ, λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον

Ψαλμ. μθ. ιϛ. ἐξεδίωκον· καὶ τῆς τῶν ἱερῶν δὲ βίβλων τὸν τοιοῦτον ἀνάξιον εἶναί φησιν ἀναγνώσεως. Ἵνα τί γὰρ, φησὶν, ἐκδιηγῇ σὺ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; εἶτα τὴν αἰτίαν τιθεὶς φησὶ, καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. καὶ ἐνταῦθα μὲν οὐ διώρισεν, εἴτε ἀληθῆ, εἴτε ψευδῆ· ἀλλαχοῦ δὲ καὶ τοῦτο ἀπηγόρευσε, δεικνὺς ὅτι κἂν ἀληθῆ λέγῃς, οὐ σοὶ ταῦτα ῥητέα.

Ματθ. ζ. α. Μὴ κρίνετε γὰρ, φησὶν, ἵνα μὴ κριθῆτε· ἐπεὶ καὶ ὁ τὸν τελώνην κατηγορῶν κατεδικάζετο, καίτοιγε ἀληθῆ κατηγορῶν ἐκείνου. (κ. κατηγορῶν ἐκείνου) τί οὖν, ἂν ᾖ τις θρασὺς καὶ μιαρὸς, φησὶν, οὐ διορθωτέον αὐτὸν, οὐδὲ ἐλεγκτέον ἡμῖν; ἐλεγκτέον, καὶ διορθωτέον· οὕτω δὲ ὡς ἔμπροσθεν εἶπον. ἐὰν δὲ ὀνειδίζων τοῦτο ποιῇς, ὅρα μὴ τὸν Φαρισαῖον ἐκεῖνον μιμούμενος, τὰ ἐκείνου πάθῃς. οὐδὲν γὰρ ἐντεῦθεν γίνεται κέρδος, οὐ σοὶ τῷ λέγοντι, οὐκ ἐκείνῳ τῷ ἀκούοντι οὕτω κατηγορουμένῳ. ἀλλ' ὁ μὲν ἀναισχυντότερος γίνεται. ἕως μὲν γὰρ λανθάνει, καὶ αἰδεῖσθαι οἶδεν· ἐπειδὰν δὲ πάντων δῆλος καὶ καταφανὴς, καὶ τὴν ἐντεῦθεν ἐκβάλλει [illegible]. ὁ δὲ ἀκούων, πάλιν μειζόνως βλαβήσεται. ἄν τε γὰρ κατορθώματα συνειδῇ ἑαυτῷ, φυσᾶται ταῖς ἑτέρου κατηγορίαις ὀγκούμενος· ἄν τε ἁμαρτήματα, προθυμότερος εἰς πονηρίαν καθίσταται. αὐτός τε ὁ λέγων πάλιν καὶ παρὰ τῷ ἀκούοντι πονηρὰν λήψεται δόξαν, καὶ τὸν Θεὸν μειζόνως καθ' ἑαυτοῦ παροξυνεῖ. διὸ, παρακαλῶ, πᾶν δυσῶδες ἐκβάλλωμεν ῥῆμα· εἴ τι ἀγαθὸν πρὸς οἰκοδομὴν, τοῦτο λέγωμεν. ἀλλ' ἀμύνασθαι ἐκεῖνον ἐπιθυμεῖς; τί οὖν ἀντ' ἐκείνου σαυτὸν ἀμύνῃ; ὁ γὰρ τὸν λελυπηκότα ἀμύνασθαι σπουδάζων, οὕτως ὡς ὁ

Ρω. ιβ. κ. Παῦλος ἀμύνασθαι ἐκέλευσεν, ἀμύνου· Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν, ἐὰν διψᾷ, πότιζε αὐτόν· ἐὰν δὲ τοῦτο μὲν μὴ ποιῇς, ἐπιβουλεύῃς δὲ μόνον, κατὰ σεαυτοῦ τὸ ξίφος ὠθεῖς. διόπερ ἂν κακῶς ἐκεῖνος λέγῃ, ἐγκωμίοις αὐτὸν ἀμείβου καὶ ἐπαίνοις. οὕτω γὰρ κἀκεῖνον ἀμύνασθαι δυνήσῃ, καὶ σαυτὸν ἀπαλλάξεις πονηρᾶς ὑποψίας. ὁ μὲν γὰρ ἐπὶ τῷ κακῶς ἀκούειν ἀλγῶν, ἀπὸ συνειδότος δοκεῖ τοῦτο πάσχειν πονηροῦ· ὁ δὲ καταγελῶν τῶν λεγομένων,

μένων, μέγιστον ἐκφέρει τεκμήριον τοῦ μηδὲν ἑαυτῷ συνειδέναι πονηρόν. ἐπεὶ οὖν οὔτε τὸν ἀκούοντα, οὔτε ἑαυτόν, οὔτε τὸν διαβαλλόμενον ὠφελεῖς, καὶ κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, κἂν ἐντεῦθεν γενοῦ σωφρονέστερος. ἐκβεβλήμεθα γὰρ ἀπὸ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τὸ τῷ Θεῷ δοκοῦντων πείθεσθαι· ἐπεὶ δὲ παχύτερον διάκεισαι, καὶ ὥσπερ θηρίον δάκνεις, κἂν ἐντεῦθεν παιδεύθητι, ἵνα τοῖς λόγοις τούτοις σωφρονισθείς, δυνηθῇς ἀπὸ τῶν τῷ Θεῷ δοκιμωτῶν μόνων ῥυθμίζεσθαι, καὶ γενόμενος παντὸς πάθους ἀνώτερος ἐπιτύχῃς τῶν οὐρανίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, σὺν τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους δευτέραν ἐπιστολήν.

Λογ. α. 1 ΠΑΥΛΟΣ ἈΠΟΣΤΟΛΟΣ ἸΗΣΟΥ ΧΡΙΣΤΟΥ κεφ. α.
διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ
οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ·
2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρός, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
3 Εὐλογητὸς ὁ Θεός, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ
τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, 4 Ὁ παρακαλῶν ἡμᾶς ἐν
πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ
θλίψει, διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ.

Ἄξιον ζητῆσαι πρότερον, τίνος ἕνεκεν δευτέραν προστίθησιν ἐπιστολὴν τῇ προτέρᾳ, καὶ τί δήποτε οὕτως ἄρχεται ἀπὸ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, καὶ τῆς παρακλήσεως. τίνος οὖν ἕνεκεν δευτέραν προστίθησιν; Εἰπὼν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, Ὅτι ἐλεύσομαι πρὸς ὑμᾶς, καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν, (α. Κορ. δ. ιθ.) καὶ πρὸς τῷ τέλει πάλιν προσηνέστερον αὐτὸ τοῦτο ὑποσχόμενος (Ἐλεύσομαι γάρ, φησι, πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ (α. Κορ. ις. ε.) διέρχομαι· πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω)

μάσω) πολλοῦ μεταξὺ γενομένου χρόνου οὐ παρεγένετο· ἀλλὰ καὶ τῆς προθεσμίας παρελ-
θούσης, ἔμελλεν ἔτι καὶ ἐβράδυνε, τοῦ πνεύματος αὐτὸν κατέχοντος ἐν ἑτέροις πολλῷ τούτων
ἀναγκαιοτέροις. διὰ τοῦτο ἐπιστολῆς ἐδεήθη δευτέρας, οὐκ ἂν δεηθεὶς, εἰ μὴ παρὰ μικρὸν
ὑστέρησεν. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ βελτίους ἦσαν ἀπὸ τῆς προτέρας γεγενημένοι.
καὶ γὰρ τὸν πεπορνευκότα, ὃν πρότερον συνεκρότουν, καὶ ἐφ' ᾧ μέγα ἐφρόνουν, τοῦτον ἐξέκο-
β. Κορ. β. α. ψαν καὶ ἀφώρισαν παντελῶς. καὶ τοῦτο ἐδήλωσεν εἰπών· Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ
λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. ἱκανὸν τῷ τοιούτῳ ἡ
β. Κορ. ζ. ια. ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. καὶ προϊὼν πάλιν τὸ αὐτὸ *αἰνίττεται λέγων· Ἰδοὺ γὰρ *ἀπτι
τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν,
ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. ἐν
παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. καὶ τὴν εὐλογίαν δὲ, ἣν ἐκέ-
β. Κορ. θ. β. λευσε, μετὰ πολλῆς συνήγαγον τῆς σπουδῆς. διὸ καὶ ἔλεγεν· Οἶδα γὰρ τὴν προθυμίαν
ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι. καὶ τὸν
Τιμόθεον, ὃν ἔπεμψε, μετὰ πάσης ἐδέξαντο τῆς εὐνοίας. καὶ τοῦτο αὐτὸ δεικνὺς, πάλιν ἔλεγεν· χ. Τιμ.
β. Κορ. ζ. ιε. Ὅτι τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστὶν εἰς ὑμᾶς, ἀναμιμνησκομένου τὴν πάντων ὑ-
μῶν ὑπακοὴν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. διὰ ταῦτα πάντα γράφει τὴν
δευτέραν ἐπιστολήν. καὶ γὰρ ἐχρῆν, ὥσπερ ἡνίκα ἡμάρτανον ἐνεκάλει, οὕτω διορθωθέντας
ἀποδέξασθαι καὶ ἐπαινέσαι. διόπερ οὐδὲ καταφορικωτέρα ἐστὶ πᾶσα ἡ ἐπιστολή, ἀλλ' ὀ-
λίγα τοῦ τέλους αὐτῆς μέρη. καὶ γὰρ ἦσαν καὶ παρ' αὐτοῖς ἐξ Ἰουδαίων μέγα φρονοῦντες, καὶ
β. Κορ. ι. ι. Παῦλον διαβάλλοντες, ὡς ἀλαζόνα καὶ οὐδενὸς ἄξιον λόγου. διὸ καὶ ἔλεγον, Αἱ μὲν ἐπιστολαὶ
βαρεῖαι, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. ὃ δὲ ἔλεγον τοῦτο ἦν·
ὅταν μὲν παρῇ, φησιν, οὐδενὸς ἄξιος φαίνεται (τοῦτο γάρ ἐστιν, ἡ παρουσία τοῦ σώματος ἀσθε-
νής) ἀπελθὼν δὲ κομπάζει μεγάλα, δι' ὧν ἐπιστέλλει. τὸ γὰρ, αἱ ἐπιστολαὶ βαρεῖαι, τοῦτο
σημαίνει. καὶ ἵνα δόξωσι τὰ καθ' ἑαυτοὺς σεμνοποιεῖν, ὑπεκρίνοντο μὴ λαμβάνειν. ὅπερ οὖν
β. Κορ. ια. ιβ. καὶ αὐτὸ αἰνιττόμενος, ἔλεγεν· Ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. μετὰ δὲ τούτων, καὶ τὴν
ἀπὸ τοῦ λόγου δύναμιν ἔχοντες, αὐτόθι σφόδρα ἐπῄροντο. διὸ καὶ ἰδιώτην ἑαυτὸν καλεῖ,
δεικνὺς ὅτι οὐκ αἰσχύνεται τούτῳ, οὐδὲ μέγα τι κτῆμα, [illegible] μὲν οὖν ἡγεῖται. ἐπεὶ οὖν
εἰκὸς ἦν τινας ὑπὸ τούτων παραπείθεσθαι, πρότερον αὐτοὺς ἐγκωμιάσας ὑπὲρ ὧν
κατώρθωσαν, καὶ τὴν ἀπόνοιαν ἐκείνων τὴν ἐπὶ τοῖς Ἰουδαϊκοῖς καταβαλὼν, ἐπειδὴ παρὰ μι-
κρὸν αὐτὰ τηρεῖν ἐφιλονείκουν, τότε συμμέτρως καὶ τὴν ὑπὲρ τούτων ποιεῖται ἐπίπληξιν.
ἡ μὲν οὖν ὑπόθεσις τῆς ἐπιστολῆς, ὡς ἄν τις ἐν κεφαλαίῳ καὶ παρατρέχων εἴποι, αὕτη μοι
εἶναι δοκεῖ. δεῖ δὲ αὐτοῦ τοῦ προοιμίου τῆς ἐπιστολῆς ἅψασθαι λοιπὸν, καὶ μετὰ τὴν εἰω-
θυῖαν αὐτοῦ πρόσρησιν εἰπεῖν, τίνος ἕνεκεν οὕτως ἤρξατο ἀπὸ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ. πρῶτον
μέντοι αὐτὴν τὴν ἀρχὴν ἀναγκαῖον εἰπεῖν, καὶ ζητῆσαι πῶς τὸν Τιμόθεον ἐνταῦθα ἑαυτῷ
συντάττει. Παῦλος γὰρ, φησιν, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τι-
μόθεος ὁ ἀδελφός. καὶ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐπηγγέλλετο αὐτὸν πέμπειν, καὶ παρήγ-
α. Κορ. ιϛ. ι. γελλε λέγων· Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς. πῶς οὖν
ἐνταῦθα αὐτὸν ἑαυτῷ ἐν τῷ προοιμίῳ συντάττει; παραγενόμενος κατὰ τὴν ὑπόσχεσιν τοῦ
α. Κορ. δ. ιζ. διδασκάλου (Ἔπεμψα γὰρ ὑμῖν Τιμόθεον, φησιν, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν
α. Κορ. ιϛ. ια. Χριστῷ) καὶ διορθώσας ἅπαντα, ἐπανῆλθε. καὶ γὰρ πέμπων αὐτὸν ἔλεγε· Προπέμψατε
αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. ἐπεὶ οὖν
α. Κορ. ιϛ. η. ἀπέλαβε τὸν διδάσκαλον, καὶ τὰ ἐν Ἀσίᾳ διορθώσας μετ' αὐτοῦ (Ἐπιμενῶ γὰρ, φησιν, ἐν
Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς) πάλιν εἰς Μακεδονίαν διέβη, εἰκότως αὐτὸν ἅτε παρόντα ἑ-
αυτῷ συντάττει λοιπόν. καὶ γὰρ τότε μὲν ἐξ Ἀσίας, νῦν δὲ ἀπὸ Μακεδονίας ἐπιστέλλει. συνέ-
ταξε

τάττει δὲ αὐτόν, ἐκεῖνόν τι σεμνότερον ταύτῃ ποιῶν, καὶ τὴν πολλὴν ἑαυτοῦ ταπεινοφροσύνην ἐνδεικνύμενος. καὶ γὰρ καταδεέστερος αὐτοῦ ἦν. ἀλλ' ἡ ἀγάπη πάντα συνάγει. διὸ καὶ πανταχοῦ αὐτὸν ἑαυτῷ συντάττει, νῦν μὲν λέγων, Ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσε· νῦν δέ, Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς κἀγώ. ἐνταῦθα δὲ καὶ ἀδελφὸν καλεῖ, διὰ πάντων αἰδέσιμον αὐτὸν Κορινθίοις καθιστάς. καὶ γὰρ ἦν παραγεγονώς, ὥσπερ ἔφην, αὐτόθι, καὶ πεῖραν τῆς αὐτοῦ διδασκαλικῆς ἀρετῆς. Τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ. Πάλιν αὐτοὺς ἐκκλησίαν καλεῖ, συνάγων πάντας εἰς ἕν, καὶ συνδέων. οὐ γὰρ ἂν γένοιτο ἐκκλησία μία, διεσπασμένων τῶν ἐν αὐτῇ καὶ κατ' ἀλλήλων ἑστώτων. Σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ.

Ἅμα καὶ τιμῶν Κορινθίους, διὰ τῆς τούτων ἐπιστολῆς πάντας προσαγορεύων, καὶ ὁλόκληρον συνάγει τὸ ἔθνος. ἁγίους δὲ καλεῖ, δεικνὺς ὅτι εἴ τις ἀκάθαρτος, ἐκτός ἐστι τῆς προσηγορίας ταύτης. διὰ τί δὲ τῇ μὲν τῶν πόλει γράφων, πᾶσι δι' αὐτῆς ἐπιστέλλει, οὐ πανταχοῦ τοῦτο ποιῶν; Θεσσαλονικεῦσι γοῦν ἐπιστέλλων οὐδέπου καὶ Μακεδόσιν ἐπέστελλε, καὶ Ἐφεσίοις γράφων ὁμοίως οὐ περιέλαβε τὴν Ἀσίαν ἅπασαν. καὶ ἡ πρὸς Ῥωμαίους δὲ ἐπιστολή, οὐχὶ καὶ τοῖς τὴν Ἰταλίαν οἰκοῦσιν ἐστὶν ἐπεσταλμένη. ἀλλ' ἐνταῦθα αὐτὸ ποιεῖ, καὶ ἐν τῇ πρὸς Γαλάτας. οὐδὲ γὰρ ἐκεῖ μιᾷ πόλει, καὶ δύο, καὶ τρισίν, ἀλλὰ τοῖς πανταχοῦ διεσπαρμένοις ἐπιστέλλει λέγων· Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις τῆς Γαλατίας, χάρις ὑμῖν καὶ εἰρήνη. καὶ Ἑβραίοις δὲ μίαν ἅπασιν ἔγραψεν ἐπιστολήν, οὐδὲ τούτους διελὼν κατὰ πόλεις. τί ποτ' οὖν ἐστι τὸ αἴτιον; ἐμοὶ δοκεῖ τὰ κοινὰ τὰ νοσήματα εἶναι ἐνταῦθα. διὸ καὶ κοινὴν ποιεῖται τὴν ἐπιστολήν, ἐπειδὴ καὶ κοινῆς ἐδέοντο τῆς διορθώσεως. καὶ γὰρ Γαλάται πάντες ἐνόσουν, καὶ Ἑβραῖοι· οἶμαι δὲ καὶ οὗτοι. συναγαγὼν τοίνυν ἅπαν τὸ ἔθνος, καὶ προσειπὼν αὐτούς, ὡς πάντας αὐτῷ προσαγορεύειν νόμος ἦν (χάρις γὰρ ὑμῖν καὶ εἰρήνη, φησίν, ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ) ἄκουσον πῶς καταλλήλως ἄρχεται τῇ προκειμένῃ ὑποθέσει. Εὐλογητὸς ὁ Θεός, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. καὶ πῶς τοῦτο κατάλληλον τῇ προκειμένῃ ὑποθέσει, φησί; καὶ σφόδρα μὲν οὖν. σκόπει δέ· ἐλύπει λίαν αὐτοὺς καὶ ἐθορύβει τὸ μὴ παραγενέσθαι ἐκεῖ τὸν ἀπόστολον, καὶ ταῦτα ἐπαγγειλάμενον, ἀλλὰ τὸν ἅπαντα ἐν Μακεδονίᾳ ἀναλῶσαι χρόνον, καὶ δοκεῖν αὐτῶν ἑτέρους προτετιμηκέναι. διὰ τοῦτο πρὸς τοῦτο ἱστάμενος τὸ θορυβοῦν, λέγει τὴν αἰτίαν δι' ἣν οὐ παρεγένετο· οὐ μὴν ἐξ εὐθείας αὐτὴν τίθησιν, οὐδὲ λέγει, ὅτι οἶδα μὲν ὑποσχόμενος ἥξειν, ἐπειδὴ δὲ διὰ τὰς θλίψεις ἐνεποδίσθην, σύγγνωτε, καὶ μὴ καταγνῶτέ τινα ὑπεροψίαν ἢ ῥᾳθυμίαν ἡμῶν· ἀλλ' ἑτέρως αὐτὸ καὶ μεγαλοπρεπέστερον καὶ ἀξιοπιστότερον κατασκευάζει, ἐπαίρων τῇ παραμυθίᾳ τὸ πρᾶγμα, ἵνα μηδὲ ἐρωτῶσι λοιπὸν τὴν αἰτίαν δι' ἣν ὑστέρησε. καὶ ταὐτὸν ποιεῖ, οἷον εἴ τις ἐπαγγειλάμενος ἐλθεῖν πρός τινα ποθούμενον, εἶτα μετὰ μυρίους κινδύνους ἐλθὼν λέγοι, δόξα σοι ὁ Θεός, ὅτι μοι τὸ ποθούμενον ἔδειξας πρόσωπον· εὐλογητὸς ὁ Θεός, οἵων με κινδύνων ἀπήλλαξας; ἡ γὰρ δοξολογία αὕτη, ἀπολογία γίνεται τῷ μέλλοντι ἐγκαλεῖν, καὶ οὐδὲ ἀφίησι μέμψασθαι τῇ μελλήσει. ἐρυθριᾷ γὰρ τὸν ἐπὶ τῇ τῶν τοσούτων ἀπαλλαγῇ κακῶν εὐχαριστοῦντα τῷ Θεῷ εἰς δικαστήριον ἕλκειν, καὶ εὐθύνας ἀπαιτεῖν τῆς βραδυτῆτος. διὰ τοῦτο καὶ οὕτως ἄρχεται· εὐλογητὸς ὁ Θεὸς τῶν οἰκτιρμῶν, μεγάλων κινδύνων ἐντεῦθεν ἐπαγωγήν τε καὶ ἀπαλλαγὴν αἰνιττόμενος. ἐπεὶ καὶ ὁ Δαβὶδ οὐχ ὁμοίως αὐτὸν πανταχοῦ καλεῖ, οὐδὲ ἀπὸ τῶν αὐτῶν· ἀλλ' ὅταν μὲν περὶ πολέμου διαλέγηται καὶ νίκης, Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου, φησί, Κύριος ὑπερασπιστής μου· ὅταν δὲ περὶ θλίψεως ἀπαλλαγῆς καὶ τοῦ ζόφου τοῦ κατεσχηκότος αὐτόν, Κύριος φωτισμός μου καὶ σωτήρ μου· καὶ νῦν μὲν ἀπὸ φιλανθρωπίας, νῦν δὲ ἀπὸ δικαιοσύνης, νῦν δὲ ἀπὸ

Margin notes: Φιλιππ. β. — α. Κορ. ις. ι. — Γαλατ. α. α. — γρ. αἰδεσιμῶν — γρ. ἐπαγωγὴν — Ψαλμ. ρμγ. ς. — Ψαλμ. κς. α.

κρίσεως ἀδεκάστου αὐτῶν ὀνομάζει καταλλήλως τοῖς ὑποκειμένοις καιροῖς. οὕτω δὴ καὶ ὁ Παῦλος ἐνταῦθα ἀρχόμενος, ἀπὸ φιλανθρωπίας αὐτὸν καλεῖ, ὁ Θεὸς τῶν οἰκτιρμῶν, λέγων· τουτέστιν, ὁ οἰκτιρμοὺς τοσούτους ἐπιδειξάμενος, ὡς ἐξ αὐτῶν ἡμᾶς ἀναγαγεῖν τῶν τοῦ θανάτου πυλῶν. τοῦτο γὰρ μάλιστα ἴδιον Θεοῦ καὶ ἐξαίρετον, καὶ τῇ φύσει συγκεκληρωμένον, τὸ οὕτως ἐλεεῖν. διὰ τοῦτο Θεὸν οἰκτιρμῶν καλεῖ. σὺ δέ μοι κἀντεῦθεν σκόπει τὴν ταπεινοφροσύνην Παύλου. ὑπὲρ γὰρ τοῦ κηρύγματος κινδυνεύων, οὔ φησι διὰ τὴν ἀξίαν σώζεσθαι, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ. ἀλλὰ τοῦτο μὲν ὕστερον σαφέστερον φησί, νῦν δὲ ἐπάγει λέγων· ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει. οὐκ εἶπεν, ὁ μὴ ἐῶν ἡμᾶς θλίβεσθαι, ἀλλ', ὁ ἐν τῷ θλίβεσθαι παρακαλῶν. τοῦτο γὰρ καὶ τοῦ Θεοῦ τὴν δύναμιν δείκνυσι, καὶ τῶν θλιβομένων αὔξει τὴν ὑπομονήν. Ῥω. ε. γ. Ἡ γὰρ θλῖψις, φησίν, ὑπομονὴν κατεργάζεται. Ψαλμ. δ. α. τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, Ἐν θλίψει ἐπλάτυνάς με. οὐκ εἶπεν, ὅτι οὐκ εἴασάς με ἐμπεσεῖν εἰς θλῖψιν, οὐδ' ὅτι περιῆρας ταχέως τὴν θλῖψιν, ἀλλ' ὅτι μενούσης αὐτῆς ἐπλάτυνάς με, τουτέστι, πολλὴν τὴν εὐρυχωρίαν καὶ τὴν ἄνεσιν παρέσχες. ὃ δὴ καὶ ἐπὶ τῶν παίδων τῶν τριῶν γέγονεν. οὔτε γὰρ ἐκώλυσεν αὐτοὺς ἐμπεσεῖν, οὔτε ἐμπεσόντων, τὴν φλόγα ἔσβεσεν, ἀλλὰ καιομένης τῆς καμίνου, τὴν εὐρυχωρίαν παρέσχε. τοῦτο καὶ ἀεὶ ποιεῖν εἴωθεν ὁ Θεός· ὅπερ αἰνιττόμενος καὶ ὁ Παῦλος ἔλεγεν, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει. καὶ ἕτερον δέ τι διὰ τούτων δείκνυσι. ποῖον δὴ τοῦτο; ὅτι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ διηνεκῶς τοῦτο ποιεῖ. οὐδὲ γὰρ νῦν μὲν παρακαλεῖ, νῦν δὲ ἀφίησιν, ἀλλ' ἀεὶ καὶ διαπαντὸς τοῦτο ἐργάζεται. διὸ εἶπεν, ὁ παρακαλῶν, οὐχ, ὁ παρακαλέσας, καὶ ἐν πάσῃ θλίψει· οὐκ ἐν τῇδε καὶ τῇδε, ἀλλ', ἐν πάσῃ. εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ. εἶδες πῶς προανακρούεται τὴν ἀπολογίαν, καὶ μεγάλης θλίψεως ὑπόνοιαν παρέχει τῷ ἀκροατῇ; καὶ δι' αὐτῶν πάλιν μετριάζει τούτων λέγων, ὅτι καὶ αὐτὸς ὁ οἰκτιρμὸς τοῦτο ἐγένετο, οὐ διὰ τὴν αὐτῶν ἀξίαν, ἀλλὰ διὰ τοὺς ὑπ' αὐτῶν ὠφεληθῆναι ὀφείλοντας. διὰ τοῦτο γὰρ παρεκάλεσεν ἡμᾶς, φησὶν, ἵνα ἡμεῖς ἀλλήλους παρακαλῶμεν. διὰ τούτου δὲ καὶ τὸ ἀξίωμα δείκνυσι τῶν ἀποστόλων, [γρ. τῶν ἀποστ.] ἐμφαίνων ὅτι παρακληθεὶς καὶ ἀναπνεύσας, οὐκ ἀναπίπτει καθάπερ ἡμεῖς, ἀλλ' εἰς τὸ ἑτέρους ἀλείφειν πρόεισι καὶ νευροῦν καὶ διεγείρειν. τινὲς δὲ αὐτὸν καὶ τοῦτο λέγειν φασὶν, ὅτι ἡ παράκλησις ἡμῶν, καὶ ἄλλων παράκλησίς ἐστι. δοκεῖ δέ μοι καὶ πρὸς τοὺς ψευδαποστόλους [γρ. ἀποστόλων] τοὺς εἰκῆ καυχωμένους, καὶ οἴκοι καθημένους καὶ τρυφῶντας, ἀποτείνεσθαι διὰ τοῦ προοιμίου. ἀλλὰ τοῦτο μὲν αἰνιγματωδῶς, καὶ ὡς ἐν παρέργῳ· τὸ δὲ προηγούμενον τοῦτο ἦν, ἀπολογήσασθαι ὑπὲρ τῆς μελλήσεως. εἰ γὰρ διὰ τοῦτο παρακαλούμεθα, ἵνα καὶ ἄλλους παρακαλῶμεν, μὴ ἐγκαλεῖτε ὡς μὴ παραγενομένοις. εἰς γὰρ τοῦτο ἡμῖν ὁ χρόνος ἅπας ἐτρίβετο, εἰς τὰς ἐπιβουλὰς, εἰς τὰς ἐπαγωγὰς, εἰς τὸ διαλῦσαι τὰ ἐπιόντα δεινά.

5 Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. Ἵνα γὰρ μὴ καταβάλῃ τοὺς μαθητὰς τῷ σφόδρα ἐπαίρειν τὰς συμφορὰς, δείκνυσι πάλιν πολλὴν τὴν περιουσίαν καὶ τῆς παρακλήσεως οὖσαν, καὶ ἀνίστησιν αὐτῶν τὴν διάνοιαν, οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ἀναμνῆσαι τοῦ Χριστοῦ, καὶ αὐτοῦ εἰπεῖν εἶναι τὰ παθήματα· καὶ πρὸ τῆς παρακλήσεως ἀπ' αὐτῶν τῶν θλίψεων τὴν παραμυθίαν εἰσάγει. τί γὰρ ἥδιον τοῦ τῷ Χριστῷ με γίνεσθαι κοινωνόν, καὶ δι' αὐτὸν ταῦτα πάσχειν; τί ταύτης ἴσον τῆς παρακλήσεως; οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἐπαίρει τὰ φρονήματα τῶν θλιβομένων. πόθεν ἑτέρωθεν; ἀπὸ τοῦ εἰπεῖν, ὅτι περισσεύει. οὐ γὰρ εἶπεν, ὅτι καθὼς ἔπεισιν ἡμῖν τὰ παθήματα τοῦ Χριστοῦ, ἀλλὰ, καθὼς περισσεύει· δεικνὺς ὅτι οὐ μόνον τὰ ἐκείνου, ἀλλὰ καὶ πλείονα ὑπομένουσι πάθη. οὐ γὰρ ὅσα ἔπαθε, φησὶν,

χ. μόνον

ἐπάθομεν πάθη, ἀλλὰ καὶ περισσά. σκόπει δέ· ἠλάθη, ἐδιώχθη ὁ Χριστὸς, ἐμαστιγώθη, ἀπέθανεν. ἀλλ' ἡμεῖς πλέον τούτων, φησίν· ὅπερ καὶ μόνον ἱκανὸν εἰς παραμυθίαν ἀρκέσαι. ἀλλὰ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· Νῦν χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. (Κολασ. α. κδ.) ἀλλ' οὐδὲ τοῦτο τόλμης, οὐδὲ ἀπονοίας τινός. καθάπερ γὰρ μείζονα αὐτοῦ εἰργάσαντο σημεῖα (Ὁ γὰρ πιστεύων, φησὶν, εἰς ἐμὲ, μείζονα τούτων ποιήσει· τὸ δὲ πᾶν αὐτοῦ γίνεται τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς) (Ιωαν. ιδ. ιβ.) οὕτω καὶ πλείονα αὐτοῦ ἔπαθον· τὸ δὲ πᾶν αὐτοῦ πάλιν ἐστὶ τοῦ παρακαλοῦντος αὐτοὺς, καὶ παρασκευάζοντος φέρειν τὰ συμπίπτοντα δεινά. διὸ δὴ καὶ ὁ Παῦλος αἰσθόμενος ἡλίκην ἐφθέγξατο, ὅρα πῶς αὐτὸ συστέλλει πάλιν λέγων, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν· καὶ τὸ πᾶν αὐτῷ ἀνατιθεὶς, καὶ ἀνακηρύττων αὐτοῦ καὶ ἐντεῦθεν τὴν φιλανθρωπίαν. οὐ γὰρ ὅσα θλιβόμεθα, τοσοῦτον παρακαλούμεθα, φησὶν, ἀλλὰ πολλῷ πλέον. οὐ γὰρ εἶπεν, ἀντίρροπος ἡ παράκλησις τῶν παθημάτων, ἀλλὰ, περισσεύει ἡ παράκλησις· ὡς τῶν χαιρόντων ἀγώνων, ἑτέρων στεφάνων πάλιν εἶναι χρείαν. τί γὰρ ἴσον, εἰπέ μοι, τοῦ διὰ τὸν Χριστὸν μαστίζεσθαι, καὶ Θεῷ διαλέγεσθαι, καὶ πάντων εἶναι δυνατώτερον, καὶ τῶν ἐλαυνόντων περιγίνεσθαι, καὶ τῇ οἰκουμένῃ ἀχείρωτον εἶναι, καὶ τὰ τοιαῦτα προσδοκᾶν ἐντεῦθεν ἀγαθὰ, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; τί δὲ ἴσον τοῦ θλίβεσθαι δι' εὐσέβειαν, καὶ μυρίων ἀπολαύειν παρὰ τοῦ Θεοῦ παρακλήσεων, καὶ ἁμαρτημάτων ἀπαλλάττεσθαι τοσούτων, καὶ πνεύματος καταξιοῦσθαι, καὶ ἁγιασμοῦ, καὶ δικαιοσύνης, καὶ μηδένα δεδοικέναι καὶ τρέμειν, καὶ πάντων λαμπρότερον φαίνεσθαι ἐν αὐτῷ τῷ κινδυνεύειν;

Μὴ δὴ καταπίπτωμεν ἐν τοῖς πειρασμοῖς. οὐδεὶς γὰρ κοινωνὸς τοῦ Χριστοῦ τρυφῶν καὶ (ΗΘΙΚΟΝ) καθεύδων καὶ ἀναπίπτων, οὐδεὶς τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον ζῶν βίον· ἀλλ' ὁ ἐν θλίψει καὶ πειρασμῷ, οὗτος ἐγγὺς ἕστηκεν ἐκείνου, ὁ τὴν στενὴν ὁδεύων ὁδόν. καὶ γὰρ καὶ αὐτὸς ταύτην ἐβάδισε. διὸ καὶ ἔλεγεν, Ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίναι. (Ματθ. η. κ.) μὴ τοίνυν ἄλγει θλιβόμενος, ἐννοῶν τίνι κοινωνεῖς, καὶ πῶς ἐκκαθαίρῃ διὰ τῶν πειρασμῶν, καὶ ὅσα κερδαίνεις. οὐδὲν γάρ ἐστιν ἀνιαρὸν, ἀλλ' ἢ τὸ τῷ Θεῷ προσκρούειν. τούτου δὲ οὐκ ὄντος, οὐ θλίψις, οὐκ ἐπιβουλαὶ, οὐκ ἄλλο οὐδὲν δυνατὸν λυπῆσαι τὴν εὐφραινομένην ψυχήν· ἀλλὰ καθάπερ σπινθῆρα μικρὸν εἰς ἄβυσσον πολλὴν ἐμβαλὼν εὐθέως κατέσβεσας· οὕτω καὶ ἀθυμίας ἁπάσης ὑπερβολὴ εἰς συνειδὸς ἐμπεσοῦσα ἀγαθὸν ἀπόλλυται, καὶ ἀφανίζεται ῥᾳδίως. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ἔχαιρεν ἀεὶ, ἐπειδὴ ἐν τοῖς κατὰ Θεὸν ἐθάρρει· καὶ οὐδὲ αἴσθησιν τῶν τοσούτων κακῶν ἐλάμβανεν, ἀλλ' ἤλγει μὲν ὡς ἄνθρωπος, οὐ μὴν κατέπιπτεν. οὕτω καὶ ὁ πατριάρχης ἐκεῖνος ἐν ἡδονῇ ἦν, πολλὰ παθὼν ὀδυνηρά. σκόπει δέ· πατρίδος ἐξέπεσεν, ὁδοιπορίας ὑπέστη μακρὰς καὶ χαλεπὰς, ἐπὶ τῆς ἀλλοτρίας ἐλθὼν οὐδὲ βῆμα εἶχε ποδός. ἐντεῦθεν πάλιν λιμὸς αὐτὸν διεδέξατο καὶ μετανάστην ἐποίησε, καὶ τὸν λιμὸν διαδέχεται πάλιν ἁρπαγὴ γυναικὸς, καὶ θανάτου φόβος, καὶ ἀπαιδία, καὶ πόλεμος, καὶ κίνδυνοι, καὶ ἐπιβουλαὶ, καὶ τὸ τελευταῖον ὁ κολοφὼν τῶν ἄθλων, ἡ τοῦ μονογενοῦς καὶ γνησίου παιδὸς σφαγὴ, ἡ ὀδυνηρὰ ἐκείνη καὶ ἀνήκεστος. μὴ δὴ γὰρ, ἐπειδὴ εὐκόλως ὑπήκουσε, νομίσῃς αὐτὸν καὶ ἀπαθῶς πάντα ἐκεῖνα ὑπενηνοχέναι. εἰ γὰρ καὶ μυριάκις δίκαιος ἦν, ὥσπερ οὖν καὶ ἦν, ἀλλ' ἄνθρωπος ἦν, καὶ τὰ τῆς φύσεως ἔπασχεν. ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων κατέβαλεν, ἀλλ' εἱστήκει καθάπερ ἀθλητὴς γενναῖος, καὶ στεφανίτης ἐφ' ἑκάστῳ τούτων ἀνακηρυττόμενος. οὕτω καὶ ὁ μακάριος Παῦλος νιφάδας πειρασμῶν ὁρῶν καθ' ἑκάστην ἐπιοῦσαν ἡμέραν, ὡς ἐν μέσῳ παραδείσῳ τρυφῶν, οὕτως ἔχαιρε καὶ ἠγάλλετο. ὥσπερ οὖν ὁ ταύτην χαίρων τὴν χαρὰν οὐκ ἔστιν ἁλώσιμος ἀθυμίᾳ, οὕτως ὁ μὴ ταύτην ἑλόμενος, πᾶσιν ἐστὶν εὐχείρωτος, καὶ πάσχει ταὐτὸν, οἷον εἴ τις ὅπλα ἔχων σαθρὰ, καὶ ὑπὸ τῆς τυχούσης περιτιτρώσκοιτο πληγῆς· ἀλλ'

οὐχ ὁ καλῶς πάντοθεν περιπεφραγμένος, ἀλλ᾽ ἅπαν ἀκόντιον ἐπιὸν διακρούεται. καὶ γὰρ ὅπλου παντὸς ἰσχυρότερον ἡ κατὰ Θεὸν ἡδονή· καὶ οὐδὲν τὸν τοιοῦτον ποιῆσαι κατηφῆ καὶ σκυθρωπὸν δυνήσεται ἄν, ἀλλὰ πάντα φέρει γενναίως. τί γὰρ πυρὸς χεῖρον; τί βασάνων διηνεκῶν ὀδυνηρότερον; κἂν γὰρ μυρία τις ἀπολέσῃ κτήματα, κἂν παῖδας, κἂν ὁτιοῦν τῶν πάντων τυραννικώτερον εἰς ὀδύνης λόγον ἐστί. Δέρμα γάρ, φησιν, ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει ἀνθρώπῳ, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. καὶ οὐδὲν ἂν γένοιτο ὀδυνῶν χαλεπώτερον. ἀλλ᾽ ὅμως καὶ τὰ τῇ ἀκοῇ ἀφόρητα, ταῦτα φορητὰ καὶ ποθεινὰ διὰ τὴν κατὰ Θεὸν ἡδονὴν γίνεται. κἂν ἀγάγῃς τὸν μάρτυρα ἔτι ἐμπνέοντα μικρὸν ἀπὸ τοῦ ξύλου, ἢ ἀπὸ τῶν τηγάνων, τοσαύτην εὑρήσεις τὴν κειμένην αὐτῷ χαράν, ὅσην οὐδὲ εἰπεῖν ἔνι. καὶ τί πάθω, φησίν, ὅτι μαρτυρίου καιρὸς οὐ πάρεστι νῦν; τί φῄς; οὐ πάρεστι μαρτυρίου καιρός; οὐδέποτε μὲν οὖν ἄπεστιν, ἀλλ᾽ ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἐστι τῶν ἡμετέρων, ἐὰν νήφωμεν. οὐδὲ γὰρ τὸ ἐπὶ ξύλου κρέμασθαι μόνον, τοῦτο ποιεῖ μάρτυρα· ἐπεὶ εἰ τοῦτο ἦν, ἐκτὸς τῶν στεφάνων τούτων ὁ Ἰὼβ ἦν. οὔτε γὰρ δικαστηρίῳ παρέστη, οὔτε δικαστοῦ φωνῆς ἤκουσεν, οὐ δημίους εἶδεν. οὐ γὰρ ἀνηρτημένος ἐπὶ ξύλου, καὶ μετέωρος ὤν, κατεξαίνετο τὰς πλευράς· ἀλλ᾽ ὅμως πολλῶν μαρτύρων χαλεπώτερα ἔπαθε, καὶ αἱ φωναὶ τῶν ἐπαλλήλων ἀγγέλων ἐκείνων πάσης πληγῆς δριμύτερον ἔπληττον, καὶ ἐκέντουν πάντοθεν αὐτόν, καὶ μυρίων δημίων πικρότερον τῶν σκωλήκων ἐκείνων τὰ στόματα πάντοθεν αὐτὸν κατήσθιε. πόσων οὖν οὐκ ἀντάξιος μαρτύρων ἐστί; μυρίων μὲν οὖν. καὶ γὰρ διὰ πάντων καὶ ἐπάλαισε καὶ ἐστεφανοῦτο, διὰ χρημάτων, διὰ παίδων, διὰ σώματος, διὰ γυναικός, διὰ φίλων, δι᾽ ἐχθρῶν, δι᾽ οἰκετῶν (καὶ γὰρ καὶ οὗτοι εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυον) διὰ λιμοῦ, δι᾽ ὀνειράτων, δι᾽ ὀδυνῶν, διὰ δυσωδίας. διὰ δὴ τοῦτο ἔφην, ὅτι οὐχ ἑνός, καὶ δύο, καὶ τριῶν, ἀλλὰ μυρίων ἀντάξιος ἂν εἴη μαρτύρων. μετὰ γὰρ τῶν εἰρημένων, καὶ ὁ χρόνος πολλὴν δίδωσιν αὐτοῦ τοῖς στεφάνοις προσθήκην· οἶμαι, τὸ πρὸ τοῦ νόμου, πρὸ τῆς χάριτος ταῦτα παθεῖν, καὶ μῆνας πολλούς, καὶ πάντα μετὰ ὑπερβολῆς, καὶ τὸ πάντα ὁμοῦ ἐπιθέσθαι αὐτῷ τὰ δεινά. καίτοι καὶ καθ᾽ ἑαυτὸ ἕκαστον αὐτῶν ἀφόρητον· καὶ τὸ δοκοῦν φορητότερον εἶναι, ἡ τῶν χρημάτων ζημία. πολλοὶ γοῦν πληγὰς μὲν ἤνεγκαν, ζημίαν δὲ χρημάτων οὐκ ἤνεγκαν, ἀλλὰ καὶ μαστίζεσθαι ὑπὲρ αὐτῶν εἵλοντο, καὶ μυρία πάσχειν δεινὰ μᾶλλον ἢ ἐκείνων τι προέσθαι· καὶ μείζων αὐτοῖς ἐφαίνετο ἡ πληγὴ αὕτη, ἢ τῆς ζημίας τῶν χρημάτων. ὥστε καὶ οὗτος ἕτερος πάλιν μαρτυρίου τρόπος τὸ φέρειν γενναίως τὴν τούτων ἀπώλειαν. καὶ πῶς οἴσομεν γενναίως, φησίν; ὅταν μάθῃς ὅτι πλείονα κερδαίνεις ὧν ἀπώλεσας δι᾽ ἑνὸς ῥήματος τοῦ τῆς εὐχαριστίας. ἂν γὰρ ἀκούσαντες τὴν ἀπώλειαν μὴ ταραχθῶμεν, ἀλλ᾽ εἴπωμεν, εὐλογητὸς ὁ Θεός· πολλῷ πλείονα πλοῦτον εὑρήκαμεν. οὐ γὰρ δὴ τοσαῦτα καρπώσῃ τὸν πλοῦτον ἀναλίσκων εἰς τοὺς δεομένους, καὶ περιϊὼν, καὶ πένητας ἐπιζητῶν, καὶ σκορπίζων τὰ ὄντα τοῖς πεινῶσιν, ὅσα διὰ τούτου τοῦ ῥήματος κερδαίνεις. ἐπεὶ καὶ τὸν Ἰὼβ οὐχ οὕτω θαυμάζω τὴν οἰκίαν ἀνοίγοντα τοῖς δεομένοις, ὡς ἐκπλήττομαι καὶ ἀνακηρύττω τὴν ἁρπαγὴν τῶν χρημάτων εὐχαρίστως φέροντα. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ παίδων ἀποβολῆς ἐστι συμβαῖνον ἰδεῖν. οὐδὲ γὰρ ἐνταῦθα ἐλάττονα λήψῃ μισθὸν τοῦ τὸν υἱὸν ἀναγαγόντος καὶ καταθύσαντος, εἰ τελευτῶντα ἰδὼν εὐχαριστήσαις τῷ φιλανθρώπῳ Θεῷ. τί γὰρ ὁ τοιοῦτος τοῦ Ἀβραὰμ ἔσται χείρων; ἐκεῖνος γὰρ οὐκ εἶδε κείμενον νεκρόν, ἀλλὰ προσεδόκησε μόνον. ὥστε εἰ πλεονεκτεῖ τῷ μέλλειν καταθύειν, καὶ τὴν χεῖρα ἐκτείνας τὴν μάχαιραν ἁρπάσαι· πλεονεκτεῖται τῷ κεῖσθαι τὸ παιδίον νεκρὸν ἐνταῦθα. καὶ ἄλλως δέ, ἐκείνῳ μὲν ἡ τοῦ κατορθώματος ἐλπὶς ἔφερε παραμυθίαν, καὶ τὸ τῆς ἰδίας ἀνδρείας ἔργον εἶναι τὴν ἀριστείαν ἐκείνην, καὶ τὸ φωνῆς ἄνωθεν φερομένης ἀκοῦσαι προθυμότερον ἐποίει. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ὅθεν ἀδαμαντίνης δεῖ ψυχῆς τὸν μονογενῆ παῖδα, καὶ ἐν πλούτῳ τραφέντα, καὶ χρηστὰς ὑποφαίνοντα ἐλπίδας, ἐπὶ τοῦ βορβόρου κείμενον ὁρῶν-

Iob.c.2.

πη, καὶ πεπαιδευμένον, ὥστε πράως ἐνεγκεῖν τὸ συμβάν. ὁ τοιοῦτος ἂν δυνηθῇ, τῆς φύσεως τὰ κύματα καταλύσας, εἰπεῖν τὸ τοῦ Ἰὼβ ἀδακρυτί, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· [Ἰωβ. α. κα.] μετὰ τοῦ Ἀβραὰμ αὐτὸς στήσεται, μετὰ τοῦ Ἰὼβ ἀνακηρυχθήσεται ἀπὸ τοῦ ῥήματος τούτου μόνου. κἂν τὸν κωκυτὸν τὸν γυναικικὸν παύσας, καὶ τοὺς χοροὺς τῶν θρηνούντων διαλύσας, εἰς δοξολογίαν ἅπαντας διεγείρῃ· μυρία ἄνωθεν, μυρία κάτωθεν δέξεται* βραβεῖα, ἀνθρώπων αὐτὸν θαυμαζόντων, ἀγγέλων κροτούντων, τοῦ Θεοῦ στεφανοῦντος. καὶ πῶς δυνατὸν μὴ παθεῖν ἄνθρωπον ὄντα, φησίν; ἂν ἐννοήσῃς πόθεν ὁ πατριάρχης, πῶς ὁ Ἰὼβ, ἄνθρωποι ὄντες οἱ ἀμφότεροι, οὐδὲν τοιοῦτον ἔπαθον, καὶ ταῦτα πρὸ νόμου καὶ χάριτος καὶ τῆς τοσαύτης τῶν νόμων φιλοσοφίας ἑκάτερος αὐτῶν γενόμενος· ἂν λογίσῃ, ὅτι εἰς βελτίονα χώραν μετέστη, καὶ πρὸς ἀμείνω λῆξιν ἀπεπήδησεν ὁ τελευτήσας, καὶ οὐκ ἀπώλεσας τὸν υἱὸν, ἀλλ' ἐναπέθου λοιπὸν ἀσύλῳ χωρίῳ. μὴ τοίνυν λέγε, ὅτι οὐκέτι καλοῦμαι πατήρ. διὰ τί γὰρ οὐκέτι καλῇ, τοῦ υἱοῦ μένοντος; μὴ δὴ γὰρ ἀπέδου τὸ παιδίον; μὴ γὰρ ἀπώλεσας τὸν υἱόν; μᾶλλον ἐκτήσω, καὶ ἀσφαλέστερον ἔσχες. διὰ τοῦτο οὐκέτι ἐνταῦθα μόνον καλῇ πατὴρ, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς· ὥστε οὐ τὸ πατὴρ καλεῖσθαι ἀπώλεσας, ἀλλὰ τὸ μειζόνως καλεῖσθαι προσέλαβες. οὐ γὰρ θνητοῦ παιδίου λοιπὸν, ἀλλ' ἀθανάτου κληθήσῃ πατὴρ, στρατιώτου γνησίου, καὶ ἔνδον ἑστῶτος διηνεκῶς. μὴ γὰρ, ἐπειδὴ μὴ πάρεστι, καὶ ἀπολωλέναι αὐτὸν νόμιζε. οὐ γὰρ, εἰ ἀποδημῶν ἐτύγχανεν, ἀπέστη ἄν σου τὸ ὄνομα τῆς συγγενείας μετὰ τοῦ σώματος. μὴ δὴ τῇ ὄψει τοῦ κειμένου πρόσεχε (ἐπεὶ ἀναρριπίζεις τὸ πάθος) ἀλλ' ἄναγε τὴν διάνοιαν ἀπὸ τοῦ κειμένου πρὸς τὸν οὐρανόν. οὐχ οὗτός ἐστι τὸ παιδίον τὸ κείμενον, ἀλλ' ἐκεῖνος ὁ ἀποπτὰς καὶ ἀναδραμὼν εἰς ὕψος ἄπειρον. ὅταν τοίνυν ἴδῃς τοὺς ὀφθαλμοὺς καθῃρημένους, καὶ τὸ στόμα σεσιωπημένον, καὶ τὸ σῶμα ἀκίνητον, μὴ τοῦτο ἐννόει, ὅτι τοῦτο τὸ στόμα οὐκέτι φθέγγεται), οὗτοι οἱ ὀφθαλμοὶ οὐκέτι βλέπουσιν, οὗτοι οἱ πόδες οὐκέτι βαδίζουσιν, ἀλλ' εἰς φθορὰν πάντα οἴχεται· μὴ ταῦτα λέγε, ἀλλὰ τὰ ἐναντία τούτων· ὅτι τοῦτο τὸ στόμα ἄμεινον φθέγξεται, καὶ οἱ ὀφθαλμοὶ μείζονα ὄψονται, καὶ οἱ πόδες ἐπὶ νεφελῶν ἀρθήσονται, καὶ τὸ διαφθειρόμενον τοῦτο σῶμα ἀθανασίαν ἐνδύσεται, καὶ λαμπρότερον τὸν υἱὸν ἀπολήψομαι. εἰ δὲ λυπεῖ σε τὰ ὁρώμενα, πάλιν εἰπὲ πρὸς ἑαυτόν· ἱμάτιον τοῦτό ἐστι, καὶ ἀπεδύσατο, ὥστε αὐτὸ πολυτελέστερον ἀπολαβεῖν· οἰκία αὕτη ἐστὶ, καὶ καθῃρέθη, ὥστε γενέσθαι αὐτὴν φαιδροτέραν. καθάπερ γὰρ ἡμεῖς, ἐπειδὰν μέλλωμεν καθαιρεῖν οἰκίας, οὐκ ἀφίεμεν τοὺς ἔνδον οἰκοῦντας μένειν,* ὥστε ἀπαλλαγῆναι τῆς κόνεως καὶ τοῦ θορύβου, [ἀλλὰ] κελεύσαντες πρὸς βραχὺ μεταστῆναι, ἐπειδὰν κατασκευάσωμεν ἀσφαλὲς τὸ δωμάτιον, τότε αὐτοὺς μετὰ ἀδείας εἰσάγομεν· οὕτω καὶ ὁ Θεὸς ποιεῖ, καθελὼν αὐτοῦ τὴν σαθρὰν σκηνὴν πῶς εἰς τὴν πατρικὴν αὐτὸν ἔλαβεν οἰκίαν, καὶ πρὸς ἑαυτὸν, ἵν' ὅταν καθαιρεθῇ αὕτη καὶ οἰκοδομηθῇ, λαμπροτέραν αὐτὴν τότε αὐτῷ ἀποδῷ. μὴ τοίνυν εἴπῃς ὅτι ἀπόλωλε, καὶ οὐκέτι ἔσται (καὶ γὰρ ἀπίστων τὰ ῥήματα ταῦτα) ἀλλ' εἰπὲ, καθεύδει, καὶ ἀναστήσεται, ἀπεδήμησε, καὶ ἥξει μετὰ τοῦ βασιλέως. τίς ταῦτά φησιν; ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα. Εἰ γὰρ πιστεύομεν, φησὶν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ [α. Θεσ. δ. ιδ.] ἀνέστη καὶ ἔζησεν, οὕτως ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. εἰ τοίνυν ζητεῖς τὸν υἱὸν, ἐκεῖ ζήτει ἔνθα ὁ βασιλεὺς, ἔνθα τὸ τῶν ἀγγέλων στρατόπεδον· μὴ ἐν τῷ τάφῳ, μηδὲ ἐν τῇ γῇ, ἵνα μὴ ἐκείνου τοσοῦτον ὑψωθέντος αὐτὸς μένῃς ἐπὶ τῆς γῆς συρόμενος. ἂν τοίνυν οὕτω φιλοσοφῶμεν, πᾶσαν τοιαύτην ὀδύνην εὐκόλως διακρουσόμεθα. ὁ δὲ Θεὸς τῶν οἰκτιρμῶν καὶ πατὴρ πάσης παρακλήσεως, παρακαλέσοι τὰς καρδίας πάντων ἡμῶν, καὶ τῶν τὰ τοιαῦτα ὀδυνωμένων, καὶ τῶν ἑτέρᾳ λύπῃ κατεχομένων, καὶ ἀθυμίας ἀπαλλαγῆναι δῴη πάσης, καὶ πνευματικὴν καρπώσασθαι χαρὰν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ.

Λογ. β. 6 ΕΙΤΕ ΘΛΙΒΟΜΕΘΑ, ΥΠΕΡ ΤΗΣ ΥΜΩΝ ΠΑρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν· καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν.

Εἰπὼν μίαν τε περὶ τὴν παράκλησιν καὶ παραμυθίας ἀφορμήν, αὕτη δὲ ἦν τὸ τῷ Χριστῷ κοινωνεῖν, τίθησι καὶ δευτέραν ταύτην ἥν φησιν. ἔστι δὲ αὕτη, τὸ αὐτῶν τῶν μαθητευομένων ἐντεῦθεν κατασκευάζεσθαι τὴν σωτηρίαν. μὴ τοίνυν καταπέσητε, φησίν, ἐπειδὴ θλιβόμεθα, μηδὲ θορυβηθῆτε καὶ δείσητε. καὶ γὰρ δι' αὐτὸ τοῦτο μᾶλλον ἂν εἴη δίκαιον ὑμᾶς θαρρεῖν. εἰ γὰρ μὴ ἐθλιβόμεθα, πάντα ἂν ὑμᾶς ταῦτα ἀπώλεσε. πῶς, καὶ τίνα τρόπον; ὅτι εἰ μαλακισθέντες, καὶ τὰ δεινὰ δείσαντες, μὴ ἐκηρύξαμεν ὑμῖν τὸν λόγον, ὥστε μαθεῖν τὴν ἀληθῆ γνῶσιν, ἐν ἐσχάτοις ἦν τὰ ὑμέτερα. εἶδες πάλιν Παύλου τὴν βίαν καὶ τὴν φιλονεικίαν; ἀφ' ὧν ἐφοβοῦντο, ἀπὸ τούτων αὐτοὺς παραμυθεῖται. ὅσῳ γὰρ ἂν ἐπιτείνητε τὰ τῶν διωγμῶν τῶν ἡμετέρων, φησί, τοσούτῳ μᾶλλον ἐπιδιδόναι δεῖ τὰ τῆς χρηστῆς ἐλπίδος ὑμῖν· ἐπειδὴ καὶ τοσούτῳ μᾶλλον αὔξεται τὰ τῆς σωτηρίας τῆς ὑμετέρας, καὶ τὰ τῆς παρακλήσεως. τί γὰρ ἴσον εἰς παρακλήσεως λόγον τοῦ τοσούτων ἐπιτυχεῖν ἀγαθῶν διὰ τοῦ κηρύγματος; εἶτα ἵνα μὴ δόξῃ εἰς ἑαυτὸν μόνον τὸ ἐγκώμιον περιϊστᾶν, ὅρα πῶς καὶ ἐκείνους ποιεῖ τῶν ἐπαίνων τούτων κοινωνούς. εἰπὼν γάρ, εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, ἐπήγαγε, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν. σαφέστερον μὲν οὖν αὐτὸ τίθησιν ὕστερον λέγων οὕτως· ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως· ἐνταῦθα δὲ τέως αὐτὸ ἠνίξατο εἰπών, τῶν αὐτῶν παθημάτων, καὶ κοινώσας τὸν λόγον. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐχ ἡμῶν ἔργον ἡ ὑμετέρα σωτηρία μόνον, ἀλλὰ καὶ ὑμῶν αὐτῶν. καὶ γὰρ καὶ ἡμεῖς κηρύττοντες θλιβόμεθα, καὶ ὑμεῖς δεχόμενοι τὸν λόγον, τὰ αὐτὰ πάσχετε· ἡμεῖς μέν, ἵνα μεταδῶμεν ἅπερ ἐλάβομεν· ὑμεῖς δέ, ἵνα τὸ διδόμενον δέξησθε, καὶ μὴ ἀποβάλητε. τί τοίνυν ἴσον τῆς ταπεινοφροσύνης ταύτης γένοιτ' ἄν, ὅταν καὶ τοὺς τοσοῦτον αὐτοῦ ἀποδέοντας, εἰς τὸ αὐτὸ ἀξίωμα τῆς ὑπομονῆς ἀνάγῃ; τῆς ἐνεργουμένης γάρ, φησιν, ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων. οὐ γὰρ διὰ τὸ πιστεῦσαι μόνον ἡ σωτηρία ὑμῶν γέγονεν, ἀλλὰ καὶ διὰ τὸ πάσχειν τὰ αὐτὰ ἡμῖν, καὶ ὑπομένειν. καθάπερ γὰρ παγκρατιαστὴς θαυμαστὸς μέν ἐστι, καὶ φαινόμενος, καὶ εὐεκτῶν, καὶ τὴν τέχνην ἔχων ἐν ἑαυτῷ· ὅταν δὲ ἐνεργῇ, καὶ φέρῃ πληγάς, καὶ πλήττῃ τὸν ἀντίπαλον, τότε μάλιστα ἀπολάμπει, ἐπειδὴ καὶ τότε μάλιστα ἐνεργεῖται αὐτοῦ ἡ εὐεξία, καὶ διαδείκνυται τῆς τέχνης ἡ δοκιμή· οὕτω δὴ καὶ ἡ σωτηρία ὑμῶν τότε ἐνεργεῖται μειζόνως, τουτέστι, δείκνυται, αὔξεται, ἐπιτείνεται, ὅταν ὑπομονὴν ἔχῃ, ὅταν πάσχῃ καὶ γενναίως ἅπαντα φέρῃ. ἄρα ἐνέργεια σωτηρίας, οὐ τὸ ποιεῖν κακῶς, ἀλλὰ τὸ πάσχειν κακῶς. καὶ οὐκ εἶπε, τῆς ἐνεργούσης, ἀλλά, τῆς ἐνεργουμένης, δεικνὺς ὅτι μετὰ τῆς αὐτῶν προθυμίας καὶ ἡ χάρις πολλὰ εἰσέφερεν ἐνεργοῦσα ἐν αὐτοῖς. Καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν· Τουτέστιν, ὅτι κἂν μυρία πάθητε δεινά, θαρροῦμεν ὅτι οὐ περιτραπήσεσθε, οὔτε ἐπὶ τοῖς ἡμετέροις διωγμοῖς. τοσοῦτον γὰρ ἀπέχομεν ὑποπτεύειν ὑμᾶς, ἐφ' οἷς αὐτοὶ πάσχομεν, ὡς θορυβουμένους, ὅτι ἡνίκα ἂν αὐτοὶ κινδυνεύητε, καὶ τότε θαρροῦμεν. εἶδες ὅσην γέγονεν αὐτῶν ἐπίδοσις ἀπὸ τῆς προτέρας ἐπιστολῆς; πολὺ γὰρ μείζονα αὐτοῖς ἐμαρτύρησε Μακεδόνων, οὓς ἐπαίρει καὶ ἐγκωμιάζει πανταχοῦ τῆς ἐπιστολῆς ἐκείνης. ὑπὲρ μὲν γὰρ ἐκείνων δέδοικε, καί φησιν, Ἐπέμψαμεν ὑμῖν Τιμόθεον εἰς τὸ στηρίξαι ὑμᾶς, καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως, εἰς τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις.

χ. ὁδηγῶν

χ. ἐδημοσίευον, ἴσ. τοῦ

ἴσ. ὑμετ.

α. Θεσ. γ. β. γ. ε.

αὐτοὶ

αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα. καὶ πάλιν, Διὰ τοῦτο μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. περὶ δὲ τούτων οὐδὲν τοιοῦτόν φησιν, ἀλλὰ καὶ τοὐναντίον· ὅτι ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν.

Εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας·

7 Εἰδότες, ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.

Ὅτι μὲν γὰρ δι' αὐτοὺς ἐθλίβοντο οἱ ἀπόστολοι, ἀπέδειξεν εἰπών, ὅτι Εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας. βούλεται δὲ δεῖξαι, ὅτι καὶ δι' αὐτοὺς παρεκαλοῦντο. εἶπε μὲν οὖν αὐτὸ καὶ ἀνωτέρω, εἰ καὶ ἀδιορίστως. εὐλογητὸς γάρ, φησιν, ὁ Θεὸς ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει. λέγει δὲ αὐτὸ καὶ ἐνταῦθα πάλιν ἑτέρως, σαφέστερόν τε καὶ θεραπευτικώτερον. Εἴτε γὰρ παρακαλούμεθα, φησιν, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἡ παράκλησις ἡμῶν, ὑμῶν γίνεται παραψυχή, καὶ χωρὶς τοῦ διὰ λόγου παρακαλεῖν ὑμᾶς. ἂν μικρὸν ἀναπνεύσωμεν μόνοι ἡμεῖς, ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ὑμῖν· κἂν αὐτοὶ παρακληθῶμεν, ὑμετέρα τοῦτο παράκλησις γίνεται. ὥσπερ γὰρ τὰ παθήματα τὰ ἡμέτερα, ὑμέτερα εἶναι νομίζετε· οὕτω καὶ τὴν παράκλησιν τὴν ἡμετέραν, ὑμετέραν ἡγεῖσθε. οὐ γὰρ δήπου ἐν τοῖς δυσχερέσι κοινωνοῦντες, ἐν τοῖς χρηστοτέροις οὐ κοινωνήσετε. εἰ τοίνυν ἐν πᾶσι κοινωνεῖτε, ἐν θλίψει, καὶ ἐν παρακλήσει· οὐδὲν ἡμῖν ἐγκαλέσετε ὑπὲρ τῆς μελλήσεως καὶ τῆς βραδυτῆτος ταύτης. καὶ γὰρ θλιβόμεθα ὑπὲρ ὑμῶν, καὶ παρακαλούμεθα δι' ὑμᾶς. ἵνα γὰρ μή τις νομίσῃ βαρὺ τὸ εἰπεῖν, ὅτι δι' ὑμᾶς ταῦτα πάσχομεν, λέγει ὅτι καὶ δι' ὑμᾶς παρακαλούμεθα. καὶ οὔτε μόνοι κινδυνεύομεν ἡμεῖς· καὶ γὰρ καὶ ὑμεῖς κοινωνοί ἐστε τῶν αὐτῶν παθημάτων, φησίν. ὥστε καὶ τὸ κοινωνοὺς αὐτοὺς λαβεῖν τῶν κινδύνων, καὶ τῆς παρακλήσεως αὐτοῖς ἀναθεῖναι τὴν αἰτίαν, καταπραΰνει ὧν λέγει. ἄν τε ἐπιβουλευώμεθα, θαρρεῖτε. ἵνα γὰρ ἡ πίστις ὑμῶν δυνατωτέρα γένηται, τοῦτο ὑπομένομεν. κἂν παρακαλώμεθα, ὑμεῖς ἐναβρύνεσθε καὶ τούτῳ. καὶ γὰρ δι' ὑμᾶς τούτων ἀπολαύομεν, ὥστε κἀντεῦθεν ὑμῖν γίνεσθαί τινα παραμυθίαν κοινωνοῦσιν ἡμῖν τῆς ἡδονῆς. καὶ ὅτι τοῦτο λέγει τὸν τόπον τῆς παρακλήσεως νῦν, ὃν ἐκαρποῦντο, οὐ διὰ τοῦ παρακαλεῖσθαι παρ' αὐτῶν μόνον, ἀλλὰ καὶ διὰ τοῦ μανθάνειν αὐτοὺς ἐν ἀνέσει ὄντας, ἄκουσον τῶν ἑξῆς, δι' ὧν αὐτὸ ἐξεκάλυψεν εἰπών, Εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως. ὥσπερ γὰρ διωκομένων ἡμῶν ἀλγεῖτε, ὡς αὐτοὶ ταῦτα πάσχοντες· οὕτως ἴσμεν ὅτι καὶ παρακαλουμένων, αὐτοὶ τούτων ἀπολαύειν νομίζετε. τί ταύτης ταπεινοφρονέστερον τῆς ψυχῆς; ὅς γε ἐν μὲν τοῖς κινδύνοις τοσοῦτον πλεονεκτῶν, κοινωνοὺς καλεῖ τοὺς οὐδὲ τὸ πολλοστὸν αὐτῷ συμμεριζομένους· ἐν τῇ παρακλήσει, τὴν αἰτίαν ἅπασαν ἐκείνοις λογίζεται, οὐ τοῖς οἰκείοις πόνοις. εἶτα, ἐπειδὴ περὶ θλίψεων ἀορίστως ἔλεγε, λέγει λοιπὸν καὶ τὸν τόπον, καθ' ὃν ταῦτα ὑπέμεινεν·

8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ.

Ταῦτα δὲ λέγομεν, φησιν, ἵνα μὴ ἀγνοῆτε τὰ συμβάντα ἡμῖν. καὶ γὰρ βουλόμεθα ὑμᾶς εἰδέναι τὰ ἡμέτερα, καὶ σφόδρα τοῦτο ἐσπουδάκαμεν· ὅπερ μέγιστον ἀγάπης σημεῖόν ἐστι. τοῦτο δὲ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ προσημαίνουσα, καὶ εἰπών, ὅτι Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ οἱ ἀντικείμενοι πολλοί, ἐν τῇ Ἐφέσῳ. ἐκείνων οὖν αὐτοὺς ἀναμιμνήσκων, καὶ διηγούμενος ὅσα ἔπαθε, φησίν· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ. τοῦτο δὲ καὶ Ἐφεσίοις ἐπιστέλλων ἔλεγε. Τυχικὸν γὰρ ἀποστείλας πρὸς αὐτούς, ταύτην ἔφη τῆς ἀποδημίας εἶναι τὴν αἰτίαν αὐτοῦ. διὸ καὶ ἔλεγεν, Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικός,

ἰσ. ἐκαρποῦντο.

α. Κορινθ. ις.

Ἐφεσ. ς. κα.

κός, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ· ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. καὶ ἐν ἄλλαις δὲ ἐπιστολαῖς αὐτὸ τοῦτο ποιεῖ. καὶ οὐκ ἔστι περιττὸν, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον· τοῦτο μὲν διὰ τὴν ἀγάπην ἣν σφόδρα περὶ τοὺς μαθητὰς εἶχε, τοῦτο δὲ διὰ τοὺς συνεχεῖς πειρασμούς, ἐν οἷς μεγίστη ἦν παραμυθία τὸ τὰ ἀλλήλων εἰδέναι, ὥστε καὶ λυπηρῶν ὄντων, παρασκευάζεσθαι καὶ ἐναγωνίους εἶναι καὶ ἀσφαλεστέρους, καὶ χρηστῶν ὄντων συνήδεσθαι. ἐνταῦθα μέντοι καὶ ἀπαλλαγὴν καὶ ἐπαγωγὴν μηνύει πειρασμῶν λέγων, Ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν. Καθάπερ φορτίῳ τινὶ μεγάλῳ βαπτιζόμενον πλοῖον. καὶ δοκεῖ μὲν ἕν τι εἰρηκέναι, εἰπὼν καθ' ὑπερβολὴν, καὶ ὑπὲρ δύναμιν· οὐκ ἔστι δὲ ἓν, ἀλλὰ δύο ταῦτα. ἵνα γὰρ μή τις λέγῃ, τί γὰρ, εἰ καθ' ὑπερβολὴν μὲν ὁ κίνδυνος ἦν, ὑμῖν δὲ οὐ μέγας ἦν; ἐπήγαγεν, ὅτι καὶ μέγας ἦν, καὶ τὴν δύναμιν ὑπερέβη τὴν ἡμετέραν, καὶ οὕτως ἐνίκα. Ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν.

Ψαλμ. πε. ς. ιζ. ε. ρι. ιδ. Τουτέστι, μηδὲ προσδοκῆσαι λοιπὸν ἡμᾶς ζῆν. ὅπερ ὁ Δαβὶδ πύλας ᾅδου καλεῖ, καὶ ὠδῖνας καὶ σκιὰν θανάτου, τοῦτο δὴ καὶ αὐτός φησιν, ὅτι κίνδυνον ὑπεμείναμεν πάντως θάνατον τίκτοντα.

9 Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. Τί ἐστι, τὸ ἀπόκριμα τοῦ θανάτου; τὴν ψῆφον, τὴν κρίσιν, τὴν προσδοκίαν. τοιαύτην γὰρ ἠφίει τὰ πράγματα φωνὴν, τοιαύτην ἀπόκρισιν ἐδίδου τὰ συμβάντα, ὅτι ἀποθανούμεθα πάντως. οὐ μὴν μέχρι τῆς πείρας ἐξέβη τοῦτο, ἀλλὰ μέχρι τῆς ὑπονοίας ἔστη τῆς ἡμετέρας. ἡ μὲν γὰρ τῶν πραγμάτων φύσις τοῦτο ἀπεφήνατο· ἡ δὲ τοῦ Θεοῦ δύναμις οὐκ ἀφῆκε τὴν ἀπόφασιν εἰς ἔργον ἐξελθεῖν, ἀλλ' ἐν τῇ διανοίᾳ μόνῃ τῇ ἡμετέρᾳ, καὶ ἐν τῇ προσδοκίᾳ τοῦτο συμβῆναι συνεχώρησε. διό φησιν, ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, οὐκ ἐν τῇ πείρᾳ. καὶ τίνος ἕνεκεν συνεχώρησε τοσοῦτον κίνδυνον, ὡς ἀπελπίσαι ἡμᾶς καὶ ἀπογνῶναι; ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, φησιν, ἀλλ' ἐπὶ τῷ Θεῷ. ταῦτα δὲ ἔλεγεν ὁ Παῦλος, οὐκ ἐπειδὴ αὐτὸς οὕτω διέκειτο, ἄπαγε, ἀλλὰ τοὺς ἄλλους ἐν τοῖς περὶ αὐτοῦ λεγομένοις ῥυθμίζων, ἅμα δὲ καὶ μετριάζειν ἐσπουδακώς. (β. Κορ. ιβ. ζ.) ἐπεὶ καὶ προϊών φησιν, Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ (τοὺς πειρασμοὺς λέγων) ἵνα μὴ ὑπεραίρωμαι. καίτοι ὁ Θεός οὐ διὰ τοῦτό φησιν αὐτοὺς συγκεχωρηκέναι, ἀλλὰ δι' ἑτέραν αἰτίαν. ποίαν δὴ ταύτην; ἵνα ἡ δύναμις αὐτοῦ διαλάμψῃ μειζόνως. Ἀρκεῖ γάρ σοι, φησιν, ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἀλλ', ὅπερ ἔφην, οὐδαμοῦ ἐπιλανθάνεται τοῦ οἰκείου ἤθους, ἐν τοῖς σφόδρα καταδεεστέροις ἑαυτὸν ἀριθμῶν, καίτοι πολλῆς δεομένοις παιδαγωγίας καὶ διορθώσεως. εἰ γὰρ καὶ τοὺς τυχόντας εἰς τὸ δέον ὁ πειρασμὸς ἱκανὸς ἐπελθὼν σωφρονίσαι, πῶς ἐκεῖνος ὁ πάντων ἀνθρώπων μάλιστα ταπεινοφροσύνην ἀσκήσας διὰ παντὸς τοῦ βίου, καὶ τοσαῦτα παθὼν ὡς μηδεὶς ἀνθρώπων, μετὰ τοσαῦτα ἔτη καὶ φιλοσοφίαν τὴν τῶν οὐρανῶν ἀξίαν, ταύτης ἐδεῖτο τῆς νουθεσίας; ὅθεν δῆλον ὅτι καὶ μετριάζων ἐνταῦθα, καὶ τοὺς ἐφ' ἑαυτοῖς μέγα φρονοῦντας καὶ ἀλαζονευομένους καταστέλλων, λέγει, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ. καὶ ὅρα πῶς αὐτοὺς καὶ ταύτῃ θεραπεύει. Οἱ μὲν γὰρ πειρασμοί, φησι, δι' ὑμᾶς ἡμῖν ἐπενεχθῆναι συνεχωρήθησαν· τοσούτου τιμᾶται ὑμᾶς ὁ Θεός (Εἴτε γὰρ θλιβόμεθα, φησιν, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας) ἡ δὲ ὑπερβολὴ, δι' ἡμᾶς, ἵνα μὴ μέγα φρονῶμεν. καθ' ὑπερβολὴν γὰρ ἐβαρήθημεν, καὶ ὑπὲρ δύναμιν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. πάλιν τοῦ περὶ ἀναστάσεως ἀναμιμνήσκει λόγου, ὑπὲρ οὗ τοσαῦτα εἶπεν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, καὶ ἀπὸ τῶν παρόντων αὐτὴν βεβαιῶν. διὸ καὶ ἐπήγαγεν,

10 Ὃς

10 Ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς. Οὐκ εἶπεν, ἐκ τοσούτων κινδύνων, ὁμοῦ μὲν δεικνὺς τὸ ἀφόρητον τῶν πειρασμῶν, ὁμοῦ δὲ ἐκεῖνο, ὅπερ ἔφην, πιστούμενος τὸν λόγον. ἐπειδὴ γὰρ μέλλον πρᾶγμα ἡ ἀνάστασις ἦν, δείκνυσιν ὅτι τοῦτο καθ᾽ ἑκάστην γίνεται τὴν ἡμέραν. ὅταν γὰρ ἄνθρωπον ἀπογνωσθέντα, καὶ πρὸς αὐτὰς ἐλθόντα τοῦ ᾅδου τὰς πύλας ἀνελκύσῃ, οὐδὲν ἕτερον ἢ ἀνάστασιν ἐπιδείκνυται, ἀπ᾽ αὐτοῦ τοῦ στόματος ἀνασπῶν τοῦ θανάτου τὸν ἐμπεσόντα. διὸ καὶ τοῖς πολλοῖς, ἐπὶ τῶν ἀπογνωσθέντων, εἶτα ἀνενεγκόντων ἐξ ἀρρωστίας χαλεπῆς, ἢ ἐκ πειρασμῶν ἀφορήτων, ἔθος τοῦτο λέγειν· ἀνάστασιν νεκρῶν ἑωράκαμεν ἐπὶ τοῦδε. γ. οὕτω Ἠλπίκαμεν δὲ ὅτι καὶ ἔτι ῥύσεται,

11 Συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν· ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

Ἐπειδὴ δὲ, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, κοινὸν ἐδόκει εἶναι ἔγκλημα καὶ κατηγορία, καὶ ἐκείνων ἐνίους αἰνιττομένη, παραμυθεῖται πάλιν τὸ εἰρημένον, τὰς εὐχὰς τὰς ἐκείνων ἀντὶ προστασίας μεγάλης καλῶν, καὶ δεικνὺς ἅμα, ὅτι διαπαντὸς ἐναγώνιον εἶναι χρὴ τὸν βίον τὸν ἡμέτερον. τὸ γὰρ εἰπεῖν, ἠλπίκαμεν δὲ ὅτι καὶ ῥύσεται, πολλῶν προαναφωνοῦντος πειρασμῶν νιφάδας· οὐ μὴν ἐγκαταλείψει οὐδαμοῦ, ἀλλὰ βοηθεῖν πάλιν καὶ συμμαχεῖν. Εἶτα, ἵνα μὴ ἀκούοντες ὅτι διηνεκῶς μέλλουσι κινδυνεύειν, καταπέσωσιν, ἔδειξε πρότερον τῶν κινδύνων τὸ ὄφελος, εἶναι τὸ, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς (τουτέστιν, ἵνα ἐν διηνεκεῖ ταπεινοφροσύνῃ κατέχῃ ἡμᾶς) καὶ ἵνα ἡ σωτηρία αὐτῶν ἐνεργῆται, καὶ ἕτερα γεννῶν πλείονα, τὸ τῷ Χριστῷ κοινωνεῖν (περισσεύει γάρ, φησι, τὰ παθήματα τοῦ Χριστοῦ ἐν ἡμῖν) τὸ ὑπὲρ τῶν πιστῶν πάσχειν (εἴτε γάρ, φησι, θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας) τὸ καὶ αὐτὴν ταύτην διαλάμπειν μειζόνως (τῆς ἐνεργουμένης γάρ, φησιν, ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων) τὸ καρτερικοὺς γίνεσθαι· καὶ ἐπὶ πρὸς τούτοις, τὸ τὴν ἀνάστασιν ὁρᾶν πρὸ τῶν ὀφθαλμῶν διαλάμπουσαν (ἐκ τηλικούτων γὰρ θανάτων ἐρρύσατο ἡμᾶς) τὸ ἐναγωνίους εἶναι καὶ πρὸς αὐτὸν διηνεκῶς ὁρᾶν (ἠλπίκαμεν γάρ, φησιν, ὅτι καὶ ῥύσεται) τὸ εὐχαῖς προσηλῶσθαι (συνυπουργούντων γάρ, φησι, καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν. δείξας τοίνυν τὸ κέρδος τῶν θλίψεων, εἶτα ἐναγωνίους ποιήσας, ἀλείφει πάλιν αὐτῶν τὰ φρονήματα, καὶ προθυμοτέρους εἰς ἀρετὴν ποιεῖ, μεγάλα αὐτῶν μαρτυρῶν ταῖς εὐχαῖς, εἴγε ταύταις Παῦλον ἐχαρίσαντο. ἴσ. ἐχαρίσαντο. Συνυπουργούντων γὰρ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, φησί. τί δέ ἐστιν, ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν; ἐρρύσατο ἡμᾶς ἐκ τῶν θανάτων ἐκείνων, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει, φησί· τουτέστιν, εὐχομένων πάντων ὑμῶν ὑπὲρ ἡμῶν. τὸ γὰρ εἰς ἡμᾶς χάρισμα, τουτέστι, τὴν σωτηρίαν τὴν ἡμετέραν ἐβουλήθη πᾶσιν ὑμῖν χαρίσασθαι, ἵνα τὰ πολλὰ πρόσωπα αὐτῷ εὐχαριστήσῃ, ἐπειδὴ καὶ τὰ πολλὰ τὴν χάριν ἔλαβε. Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν καὶ εἰς τὰς ὑπὲρ ἑτέρων εὐχὰς αὐτοὺς διεγείρων· ὁμοῦ δὲ ἐθίζων καὶ ὑπὲρ ὧν ἂν ἕτεροι πάθωσιν, εὐχαριστεῖν ἀεὶ τῷ Θεῷ, δεικνὺς ὅτι μάλιστα τοῦτο βούλεται καὶ αὐτός. οἱ γὰρ μελετήσαντες ὑπὲρ ἑτέρων ταῦτα ποιεῖν, πολλῷ μᾶλλον ὑπὲρ ἑαυτῶν ἐπιδείξονται ταῦτα ἀμφότερα. πρὸς δὲ τούτοις, καὶ ταπεινοφροσύνην αὐτοὺς διδάσκει, καὶ εἰς ἀγάπην ἄγει θερμοτέραν. εἰ γὰρ αὐτὸς ὁ τοσοῦτον αὐτῶν ὑψηλότερος ὤν, ἐκ τῶν εὐχῶν ἐκείνων σεσῶσθαί φησι, καὶ χάρισμα αὐτῶν τῇ δεήσει δεδόσθαι αὐτῷ παρὰ τοῦ Θεοῦ, ἐννόησον πῶς ἐκείνους ἔδει διακεῖσθαι καὶ μετριάζειν. σὺ δέ μοι κἀκεῖνο σκόπει· ὅτι κἂν ἀπὸ οἰκτιρμῶν ὁ Θεός τι ποιῇ, μεγάλα ἐνταῦθα καὶ ἡ εὐχὴ συμβάλλεται. ἀρχόμενος μὲν γάρ, τοῖς οἰκτιρμοῖς αὐτοῦ τὴν σωτηρίαν ἐλογίσατο (ὁ Θεὸς γάρ, φησι, τῶν οἰκτιρμῶν, αὐτὸς ἡμᾶς ἐρρύσατο) ἐνταῦθα δὲ καὶ ταῖς εὐχαῖς. ἐπεὶ κἀκεῖνον τὸν τὰ μυρία ὀφείλοντα τάλαντα, μετὰ τὸ προσπεσεῖν ἠλέησε, καίτοιγε εἴρηται, ὅτι σπλαγχνισθεὶς ἀπέλυσεν αὐτόν· καὶ τῇ Χαναναίᾳ δὲ μετὰ τὴν πολλὴν προσεδρίαν ἐκεί- Ματθ. ιη. κζ.

νην

νὴν καὶ καρτερίαν, ὅτε ἐχαρίσατο τῆς θυγατρὸς τὴν σωτηρίαν, καίτοιγε ἀπὸ ἐλέου αὐτὴν ἔσωσεν. ἀπὸ τούτου τοίνυν μανθάνομεν, ὅτι κἂν ἐλεεῖσθαι μέλλωμεν, ἀξίους τοῦ ἐλέου πρότερον παρέχειν ἡμᾶς ἑαυτοὺς χρή. κἂν γὰρ ἔλεος ᾖ, τοὺς ἀξίους ἐπιζητεῖ· οὐ γὰρ ἁπλῶς
Ἐξοδ. λγ. ιθ. ἔπεισιν ἅπασι, καὶ τοῖς ἀναισθήτως διακειμένοις. Ἐλεήσω γάρ, φησιν, ὃν ἂν ἐλεῶ· καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω. ὅρα γοῦν καὶ ἐνταῦθα τί φησι· Συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει. καὶ οὔτε τὸ πᾶν αὐτοῖς ἔδωκεν, ἵνα μὴ αὐτοὺς ἐπάρῃ· οὔτε πάντη ἠλλοτρίωσεν αὐτοὺς τοῦ κατορθώματος, ἵνα προτρέψῃ, καὶ προθυμοτέρους ἐργάσηται, καὶ συναγάγῃ πρὸς ἀλλήλους αὐτούς. διὸ καὶ ἔλεγεν, ὅτι ὑμῖν ἐχαρίσατό μου τὴν σωτηρίαν. καὶ γὰρ καὶ πλῆθος δυσωπεῖται πολλάκις ὁ Θεὸς ὁμονοούντων καὶ συμφωνούντων εἰς εὐχήν. διὸ καὶ πρὸς τὸν προ-
Ἰων. δ. ια. φήτην ἔλεγεν, Ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως ταύτης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα
Ἡσ. ι. κβ. μυριάδες ἀνθρώπων; εἶτα ἵνα μὴ νομίσῃς ὅτι πλῆθος αἰδεῖται μόνον, φησίν· Ἐὰν ᾖ ὁ ἀριθμὸς τοῦ Ἰσραήλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. πῶς οὖν Νινευΐτας ἔσωσεν; ὅτι οὐ πλῆθος μόνον ἦν, ἀλλὰ πλῆθος μετὰ ἀρετῆς. μετενόησε γὰρ ἕκα-
Ἰων. δ. ια. στος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ σώζων δὲ αὐτοὺς ἔλεγεν, ὅτι Οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν. ὅθεν δῆλον, ὅτι καὶ τὰ πρότερα ἐξ ἀφελείας μᾶλλον ἔπταιον, ἢ πονηρίας· καὶ δῆλον ἐξ ὧν μετεβάλλοντο, ὀλίγων ῥημάτων ἀκούσαντες. εἰ δὲ τὸ δώδεκα μυριάδας εἶναι μόνον ἴσχυσεν εἰς τὸ σῶσαι αὐτούς, τί καὶ πρὸ τούτου αὐτοὺς σωθῆναι ἐκώλυσε; καὶ τίνος ἕνεκεν οὐκ εἶπε πρὸς αὐτόν, ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως ταύτης τῆς οὕτω μεταβεβλημένης, ἀλλὰ τὰς μυριάδας παρήγαγεν; ἐκ περιουσίας καὶ τοῦτο τίθεις. τὸ μὲν γὰρ ἦν δῆλον, ἡ μεταβολή· ὁ δὲ ἀριθμὸς καὶ ἡ ἀφέλεια, ἄδηλα τῷ προφήτῃ. πανταχόθεν τοίνυν αὐτοὺς καταλλάξαι βούλεται. ἰσχύει γὰρ καὶ πλῆθος, ὅταν καὶ ἀρετὴ ᾖ. τοῦτο γοῦν καὶ ἀλλα-
Πραξ. ιβ. ε. χοῦ δηλοῖ λέγουσα ἡ γραφή, Προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν γινομένη ὑπὲρ αὐτοῦ· καὶ τοσοῦτον ἴσχυσεν, ὥς, κεκλεισμένων τῶν θυρῶν, καὶ ἁλύσεων ἐπικειμένων, καὶ φυλάκων ἑκατέρωθεν παρακαθευδόντων, ἐξαγαγεῖν τὸν ἀπόστολον, καὶ ἀπαλλάξαι πάντων ἐκείνων. ἀλλ' ὥσπερ, ἀρετῆς οὔσης, μέγα δύναται· οὕτω, κακίας οὔσης, οὐδὲν ὀνίνησι τὸ πλῆθος. καὶ γὰρ οἱ Ἰσραηλῖται, περὶ ὧν φησιν, ὅτι ὁ ἀριθμὸς αὐτῶν ἦν ὡς ἡ ἄμμος τῆς θαλάσσης, πάντες ἀπώλοντο. καὶ οἱ ἐπὶ Νῶε δέ, πολλοὶ καὶ ἄπειροι ἦσαν· καὶ οὐδὲν αὐτοὺς τοῦτο ὤνησε. καθ' ἑαυτὸ γὰρ οὐδὲν δύναται πλῆθος, ἀλλ' ἐν προσθήκης μέρει.

ΗΘΙΚΟΝ Σπουδάζωμεν οὖν συνιέναι ἐν ταῖς δεήσεσι, καὶ ὑπὲρ ἀλλήλων εὐχώμεθα, καθάπερ ὑπὲρ τῶν ἀποστόλων ἐκεῖνοι. καὶ γὰρ ἐντολὴν πληροῦμεν, καὶ εἰς ἀγάπην ἀλειφόμεθα (ὅταν δὲ ἀγάπην εἴπω, πάντα λέγω τὰ ἀγαθά) καὶ εὐχαριστεῖν σπουδαιότερον μανθάνομεν. οἱ γὰρ ὑπὲρ τῶν ἀλλοτρίων εὐχαριστοῦντες, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἰδίων.
Ψαλμ. λγ. δ. τοῦτο καὶ ὁ Δαβὶδ ἐποίει λέγων, Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό· τοῦτο καὶ ὁ ἀπόστολος πανταχοῦ ζητεῖ· τοῦτο καὶ ἡμεῖς ἐργαζώμεθα, καὶ εἰς πάντας τοῦ Θεοῦ τὴν εὐεργεσίαν ἐκφέρωμεν, ἵνα κοινωνοὺς λάβωμεν τῆς εὐφημίας. εἰ γὰρ παρὰ ἀνθρώπων τι παθόντες ἀγαθόν, ὅταν ἀνακηρύξωμεν, προθυμοτέρους αὐτοὺς ποιοῦμεν· πολλῷ μᾶλλον τοῦ Θεοῦ τὰς εὐεργεσίας ἀναγορεύοντες, εἰς πλείονα αὐτὸν ἐπισπασόμεθα εὔνοιαν. καὶ εἰ παρὰ ἀνθρώπων εὐεργετηθέντες, καὶ ἄλλους διεγείρομεν εἰς τὴν κοινωνίαν τῆς εὐχαριστίας· πολλῷ μᾶλλον τῷ Θεῷ πολλοὺς προσάγειν χρὴ τοὺς ὑπὲρ ἡμῶν εὐχαριστήσοντας. εἰ γὰρ Παῦλος τοῦτο ποιεῖ, τοσαύτην ἔχων τὴν παρρησίαν, πολλῷ μᾶλλον ἡμᾶς ἀναγκαῖον τοῦτο ποιεῖν. παρακαλῶμεν τοίνυν τοὺς ἁγίους ὑπὲρ ἡμῶν εὐχαριστεῖν, καὶ αὐτοὶ ὑπὲρ ἀλλήλων τοῦτο ποιῶμεν. τοῦτο ἱερέων μάλιστά ἐστι κατόρθωμα, ἐπειδὴ μέγιστον ἀγαθόν. προσιόντες γάρ, πρότερον ὑπὲρ τῆς οἰκουμένης καὶ τῶν κοινῶν εὐχαριστοῦμεν ἀγαθῶν.

θῶν. εἰ γὰρ καὶ κοιναὶ αἱ εὐεργεσίαι τοῦ Θεοῦ, ἀλλὰ καὶ σὺ ἐν τῷ κοινῷ ἐσώθης. ὥστε καὶ ὑπὲρ τῆς ἰδίας κοινὴν ὀφείλεις χάριν, καὶ ὑπὲρ τῆς κοινῆς ἰδιάζουσαν δίκαιος ἂν εἴης ἀναφέρειν εὐφημίαν. καὶ γὰρ τὸν ἥλιον ἀνῆψεν οὐ σοὶ μόνῳ, ἀλλὰ καὶ τῷ κοινῷ· ἀλλ' ὅμως ἐν τῷ μέρει τὸ ὅλον ἔχεις. καὶ γὰρ τοσοῦτος γέγονε διὰ τὸ κοινόν· καὶ ὁρᾷς σὺ μόνος τοσοῦτον, ὅσον εἶδον πάντες ἄνθρωποι. ὥστε τοσαύτην ὀφείλεις εὐχαριστίαν, ὅσην ἅπαντες· καὶ ὑπὲρ τῶν κοινῶν εὐχαριστεῖν ἂν εἴης δίκαιος, καὶ ὑπὲρ τῆς ἑτέρων ἀρετῆς. πολλὰ γὰρ καὶ δι' ἄλλους πάσχομεν καλῶς. καὶ γὰρ εἰ δέκα μόνον ἐν Σοδόμοις εὑρέθησαν δίκαιοι, οὐκ ἂν ἔπαθον ἅπερ ἔπαθον. ὥστε καὶ ὑπὲρ τῆς ἑτέρων παῤῥησίας εὐχαριστῶμεν. καὶ γὰρ ἀρχαῖος οὗτος ὁ νόμος ἐστὶν, ἄνωθεν ἐν τῇ ἐκκλησίᾳ πεφυτευμένος. οὕτω καὶ Παῦλος εὐχαριστεῖ ὑπὲρ Ῥωμαίων, ὑπὲρ Κορινθίων, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης. καὶ μή μοι λέγε, οὐκ ἔστιν ἐμὸν τὸ κατόρθωμα. καὶ γὰρ μὴ σὸν ᾖ, καὶ οὕτως εὐχαριστεῖν ὀφείλεις, ὅτι τὸ μέλος σου τοιοῦτόν ἐστιν. ἄλλως δὲ, καὶ σὸν αὐτὸ ποιεῖς διὰ τῆς εὐφημίας, καὶ κοινωνεῖς τῶν στεφάνων, καὶ λήψῃ καὶ αὐτὸς τὸ χάρισμα. διά τοι τοῦτο, καὶ τὰς εὐχὰς οὕτω γίνεσθαι κελεύουσιν οἱ τῆς ἐκκλησίας νόμοι, οὐ τὰς ὑπὲρ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τὰς ὑπὲρ τῶν κατηχουμένων. οὐδὲ γὰρ πιστοὺς ὁ νόμος διεγείρει πρὸς τὴν τῶν ἀμυήτων ἱκετηρίαν. ὅταν γὰρ ὁ διάκονος λέγῃ, ὑπὲρ τῶν κατηχουμένων ἐκτενῶς δεηθῶμεν, οὐδὲν ἄλλο ἢ τὸν δῆμον ἅπαντα τῶν πιστῶν διανίστησιν εἰς τὰς ὑπὲρ ἐκείνων εὐχάς. καίτοιγε ἀλλότριοι τέως εἰσὶν οἱ κατηχούμενοι. οὐδέπω γὰρ τοῦ σώματός εἰσι τοῦ Χριστοῦ, οὐδέπω μυστηρίων ἐκοινώνησαν, ἀλλ' ἔτι διῃρημένοι τυγχάνουσι τῆς ἀγέλης τῆς πνευματικῆς. εἰ δὲ ὑπὲρ τούτων παρακαλεῖν δεῖ, πολλῷ μᾶλλον ὑπὲρ τῶν μελῶν τῶν ἡμετέρων. διὰ γὰρ τοῦτο καὶ ἐκτενῶς, φησὶ, δεηθῶμεν, ἵνα μὴ ὡς ἀλλοτρίους ἀποποιήσῃ, ἵνα μὴ ὡς ξένους ἀγνοήσῃ. οὐδέπω γὰρ εὐχὴν ἔχουσι τὴν νενομισμένην καὶ εἰσενεχθεῖσαν ὑπὸ τοῦ Χριστοῦ, οὐδέπω παῤῥησίαν κέκτηνται, ἀλλ' ἑτέρων δέονται τῶν μυσταγωγηθέντων. ἔξω γὰρ τῶν βασιλικῶν ἑστήκασιν αὐλῶν, πόῤῥω τῶν ἱερῶν περιβόλων. διὰ τοῦτο καὶ ἀπελαύνονται, τῶν φρικτῶν εὐχῶν ἐκείνων γινομένων. διὰ τοῦτο καὶ σὲ παρακαλεῖ δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα μέλη γένωνται σὰ, ἵνα μὴ ἔτι ὦσι ξένοι καὶ ἠλλοτριωμένοι. τὸ γὰρ, δεηθῶμεν, οὐ τοῖς ἱερεῦσι λέγεται μόνον, ἀλλὰ καὶ τοῖς εἰς τὸν λαὸν συντελοῦσιν. ὅταν γὰρ εἴπῃ, στῶμεν καλῶς, δεηθῶμεν, πάντας εἰς τὴν εὐχὴν παρακαλεῖ. (γ. καλεῖ.) εἶτα ἀρχόμενος τῆς εὐχῆς φησιν, ἵνα ὁ πανελεήμων καὶ οἰκτίρμων Θεὸς ἐπακούσῃ τῶν δεήσεων αὐτῶν. ἵνα γὰρ μὴ λέγῃς, τί δεηθῶμεν; ἠλλοτριωμένοι εἰσὶν, οὐδέπω συνημμένοι· πόθεν ἔχω δυσωπῆσαι τὸν Θεόν; πόθεν ἔχω πεῖσαι μεταδοῦναι ἐλέους καὶ συγγνώμης αὐτοῖς; ἵνα μὴ ταῦτα ζητῶν ἀπορῇς, ὅρα πῶς σοι λύει τὴν ἀπορίαν λέγων, ἵνα ὁ πανελεήμων καὶ οἰκτίρμων Θεός. ἤκουσας πανελεήμων Θεός; μὴ ἀπόρει λοιπόν. ὁ γὰρ πανελεήμων πάντας ἐλεεῖ, καὶ ἁμαρτωλοὺς, καὶ φίλους. μὴ τοίνυν λέγε, πῶς ὑπὲρ αὐτῶν προσέλθω; αὐτὸς ἐπακούσει τῶν δεήσεων αὐτῶν. δέησις δὲ κατηχουμένων τίς ἂν εἴη, ἀλλ' ἢ ὥστε μὴ μεῖναι κατηχουμένους; εἶτα καὶ ὑπαγορεύει τῆς ἱκετηρίας τὸν τρόπον. τίς δὲ οὗτός ἐστιν; ἵνα διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν. μέμυκε γὰρ ἔτι, καὶ βέβυσται. ὦτα δὲ οὐ ταῦτά φησι τὰ ἔξωθεν, ἀλλὰ τὰ τῆς διανοίας· ὥστε ἀκοῦσαι ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. οὐδὲ γὰρ ἤκουσαν τῶν ἀποῤῥήτων μυστηρίων, ἀλλὰ πόῤῥω που καὶ μακρὰν ἑστήκασι. κἂν ἀκούσωσι δὲ, οὐκ ἴσασι τὰ λεγόμενα. συνέσεως γὰρ δεῖται πολλῆς ἐκεῖνα, οὐκ ἀκροάσεως μόνης. τὰς ἔνδον δὲ οὐδέπω ἔχουσιν ἀκοάς. διὸ καὶ προφητικὸν αὐτοῖς ἐπεύχεται χάρισμα. καὶ γὰρ ὁ προφήτης οὕτως ἔλεγεν· Ὁ Θεὸς δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. (Ησ. ν. δ.) ὅτι αὐτὸς ἀνοίγει μου τὸ στόμα, (γ. ποιῶν,) ἔδωκέ μοι πρωῒ, προσέθηκέ μοι ὠτίον ἀκούειν. ὥσπερ γὰρ οἱ προφῆται ἄλλως ἤκουον παρὰ τοὺς πολλοὺς, οὕτω καὶ οἱ πιστοὶ παρὰ τοὺς κατηχουμένους. ἐν-

πόθεν μανθάνει καὶ ὁ κατηχούμενος, μὴ παρὰ ἀνθρώπων ταῦτα μανθάνειν, μηδὲ ἀκούειν (Μὴ καλέσητε γάρ, φησι, διδάσκαλον ἐπὶ τῆς γῆς) ἀλλ᾽ ἄνωθεν ἐκ τῶν οὐρανῶν. Ἔσονται
Ματθ. κγ. η.
Ησ. νδ. ιγ.
γὰρ πάντες διδακτοὶ Θεοῦ. διό φησι, καὶ κατηχήσει αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας. ὥστε ἔνδοθεν αὐτοὺς ἐνηχεῖσθαι. ὡς γὰρ εἰδέναι χρή, οὐδέπω ἴσασι τῷ λόγῳ τῆς ἀληθείας. ἴσ. ...
ἵνα καταπείρῃ τὸν φόβον αὐτοῦ ἐν αὐτοῖς. ἀλλ᾽ οὐκ ἀρκεῖ τοῦτο. τὰ μὲν γὰρ ἔπεσε παρὰ τὴν ὁδόν, τὰ δὲ ἐπὶ τῆς πέτρας. ἀλλ᾽ ἡμεῖς οὐχ οὕτως αἰτούμεθα· ἀλλ᾽ ὥσπερ ἐπὶ γῆς λιπαρᾶς ἀνοίγει τὰς αὔλακας ὁ ἀροτήρ, οὕτω καὶ ἐνταῦθα γενέσθαι δεόμεθα, ὥστε κειμένας ἐν τῷ βάθει τῆς διανοίας δέξασθαι τὰ καταβαλλόμενα, καὶ πᾶν ὅπερ ἤκουσαν μετὰ ἀκριβείας κατασχεῖν. διὸ καὶ ἐπάγει λέγων, καὶ βεβαιώσει τὴν πίστιν αὐτοῦ ἐν ταῖς διανοίαις αὐτῶν· τουτέστιν, ἵνα μὴ ἐξ ἐπιπολῆς κέηται, ἀλλ᾽ ἵνα κατὰ βάθους βάλῃ τὴν ῥίζαν. ἴσ. ...
ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. δείκνυσι διπλοῦν τὸ κάλυμμα· τὸ μὲν διὰ τὸ μεμυκέναι αὐτῶν τοὺς ὀφθαλμοὺς τῆς διανοίας, τὸ δὲ διὰ τὸ κεκαλύφθαι αὐτοῖς τὸ εὐαγγέλιον. διὸ ἀνωτέρω μὲν ἔλεγεν, ἵνα διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν· ἐνταῦθα δέ, ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης· τουτέστιν, ἵνα καὶ αὐτοὺς σοφοὺς ἐργάσηται, καὶ ἐπιτηδείους πρὸς ὑποδοχήν· καὶ ἵνα διδάξῃ, καὶ καταβάλῃ τὰ σπέρματα. ἄν τε γὰρ ἐπιτήδειοι ὦσιν, οὐδὲν ὄφελος, τοῦ Θεοῦ μὴ ἐκκαλύψαντος· ἄν τε ἀποκαλύψῃ, μὴ δέξωνται δέ, πάλιν εἰς τὸ αὐτὸ ἡ ζημία περιίσταται. διὰ τοῦτο ἀμφότερα αἰτούμεθα, ἵνα καὶ ἀνοίξῃ τὰς καρδίας, καὶ ἀποκαλύψῃ τὸ εὐαγγέλιον. οὐδὲ γάρ, εἰ κόσμος κέοιτο βασιλικὸς ἄνωθεν κεκαλυμμένος, ἔσται τι πλέον ὀφθαλμῶν βλεπόντων· ὥσπερ οὖν οὐδὲ γεγυμνωμένου, τούτων μὴ ἐγρηγορότων. ταῦτα δὲ ἀμφότερα γίνεται, ἂν ἐκεῖνοι ἐλευθερωθῶσι πρότερον. χ. ἠρέμα.
τί δή ἐστιν, εὐαγγέλιον δικαιοσύνης; τὸ ποιοῦν δικαίους. διὰ τούτων γὰρ εἰς ἐπιθυμίαν αὐτοὺς ἄγει τοῦ βαπτίσματος, δεικνὺς ὅτι οὐχ ἁμαρτημάτων ἀφέσεώς ἐστι μόνον τὸ εὐαγγέλιον, ἀλλὰ καὶ δικαιοσύνης ποιητικόν. ἵνα αὐτοῖς δοίη νοῦν ἔνθεον, σώφρονα λογισμόν, καὶ ἐνάρετον πολιτείαν. ἀκουέτωσαν οἱ πιστοί, ὅσοι τοῖς βιωτικοῖς εἰσι προσηλωμένοι πράγμασιν. εἰ γὰρ τοῖς ἀμυήτοις κελευόμεθα ταῦτα αἰτεῖν, ἐννόησον ἐν τίσιν ἡμᾶς εἶναι χρή, τοὺς ταῦτα ἑτέροις αἰτοῦντας. καὶ γὰρ ἐφάμιλλοι διὰ τὸ εὐαγγέλιον τὴν πολιτείαν ἔχειν. διὸ δὴ καὶ τῆς εὐχῆς ὁ νόμος ἀπὸ τῶν δογμάτων ἐπὶ τὴν πολιτείαν μεταβαίνει. εἰπὼν γάρ, ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης, ἐπήγαγεν, ἵνα δῷ αὐτοῖς νοῦν ἔνθεον.
Λευϊτ. κϛ. ιϐ.
τί δέ ἐστιν, *ἔνθεον; ἵνα ὁ Θεὸς οἰκῇ ἐν αὐτῷ. Ἐνοικήσω γάρ, φησιν, ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω. ὅταν γὰρ γένηται δίκαιος ὁ νοῦς, ὅταν ἀποδύσηται τὰ ἁμαρτήματα, οἶκος γίνεται τοῦ Θεοῦ. ὅταν δὲ ὁ Θεὸς ἐνοικῇ, οὐδὲν ἀνθρώπινον ἔσται λοιπόν. καὶ οὕτω γίνεται ἔνθεος ὁ νοῦς, ἅπαντα φθεγγόμενος ἐκεῖθεν, ὥσπερ οὖν καὶ οἶκος τοῦ Θεοῦ ἔνδον οἰκοῦντος. ὁ αἰσχρολογῶν ἄρα οὐκ ἔχει ἔνθεον νοῦν· οὐδὲ ὁ εὐτραπελίᾳ καὶ γέλωτι χαίρων, σώφρονα λογισμόν. καὶ τί ποτέ ἐστι σώφρονα λογισμὸν ἔχειν; τὸ τὴν ὑγείαν κεκτῆσθαι τὴν κατὰ ψυχήν. ὡς ὅ γε κατεχόμενος ἐπιθυμίᾳ πονηρᾷ, καὶ πρὸς τὰ παρόντα ἐπτοημένος, οὐκ ἂν εἴη σώφρων, τουτέστιν, ὑγιής. καὶ ὥσπερ ὁ νοσῶν καὶ τῶν οὐ προσηκόντων ἐπιθυμεῖ, οὕτω καὶ οὗτος. καὶ ἐνάρετον πολιτείαν. τὰ γὰρ δόγματα, πολιτείας χρείαν ἔχει. ἀκούσατε τοῦτο οἱ πρὸς τῷ τέλει τοῦ βίου ἐπὶ τὸ βάπτισμα ἰόντες. ἡμεῖς μὲν γὰρ εὐχόμεθα, ἵνα μετὰ τὸ βάπτισμα, καὶ πολιτείαν ἔχωσι· σὺ δὲ σπεύδεις, καὶ πάντα ποιεῖς, ὥστε πολιτείας ἔρημος ἀπελθεῖν. τί γὰρ εἰ καὶ δίκαιος γένῃ; ἀλλ᾽ ἀπὸ τῆς πίστεως μόνης. ἡμεῖς δὲ καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων εὐχόμεθα γενέσθαι παρρησίαν. διαπαντὸς τὰ αὐτοῦ νοεῖν, τὰ αὐτοῦ φρονεῖν, τὰ αὐτοῦ μελετᾶν. σώφρονα γὰρ λογισμὸν καὶ ἐνάρετον πολιτείαν, οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς αἰτούμεθα μόνον, ἀλλὰ διὰ παντὸς τοῦ βίου
Φιλιπ. β. κα.
καὶ τῆς ζωῆς· καὶ τὴν ὑπόθεσιν τῶν ἀγαθῶν ἁπάντων, τὸ τὰ αὐτοῦ φρονεῖν. Οἱ γὰρ πολλοὶ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ. πῶς οὖν τοῦτο ἂν γένοιτο; διὰ γὰρ μετὰ τῆς εὐχῆς

* νοῦν

καὶ τὰ πρὸς ἑαυτὴν συμφέρειν. ἐὰν ἐν τῷ νόμῳ αὐτοῦ καταγινώμεθα ἡμέρας καὶ νυκτός. διὸ καὶ ἐπάγει τὸν τρόπον αὐτῆς, ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι. καὶ ὥσπερ ἀνωτέρω, διαπαντὸς εἶπεν, οὕτως ἐνταῦθα, ἡμέρας καὶ νυκτός. διὸ καὶ αἰσχύνομαι, διὰ τὸ ὑμᾶς ἅπαξ τοῦ ἐνιαυτοῦ μόλις ἐν ἐκκλησίᾳ φαινομένους. τίνα γὰρ ἂν ἔχοιεν ἀπολογίαν, οἱ δι' ἡμέρας καὶ νυκτὸς οὐχ ἁπλῶς ὁμιλεῖν τῷ νόμῳ, ἀλλὰ καταγίνεσθαι κελευόμενοι (τουτέστι, προσαδολεσχεῖν) καὶ μηδὲ τὸ πολλοστὸν μέρος τῆς ζωῆς τοῦτο ποιοῦντες, τὴν ἐντολὴν αὐτοῦ μνημονεύειν, τὰ δικαιώματα αὐτοῦ φυλάττειν; εἶδες σειρὰν ἀρίστην, καὶ πῶς ἕκαστον αὐτῶν τοῦ πλησίον ἔχεται, πάσης χρυσῆς ἁλύσεως ἀσφαλέστερόν τε καὶ εὐπρεπέστερον συγκείμενον; αἰτήσας γὰρ νοῦν ἔνθεον, λέγει πῶς ἂν γένοιτο τοῦτο. πῶς δ' ἂν γένοιτο; ἐκ τοῦ διαπαντὸς αὐτὸν μελετᾶν. τοῦτο δὲ πῶς ἂν συμβαίη; ἐκ τοῦ τῷ νόμῳ προσέχειν διηνεκῶς. πῶς δ' ἂν πεισθεῖεν ἄνθρωποι τοῦτο; εἰ τὰς ἐντολὰς αὐτοῦ τηροῖεν μᾶλλον ἢ ἐκ τοῦ τῷ νόμῳ προσέχειν, καὶ τὸ τὰς ἐντολὰς τηρεῖν γίνεται. ὥσπερ οὖν καὶ ἐκ τοῦ τὰ αὐτοῦ φρονεῖν καὶ ἔνθεον ἔχειν νοῦν, τὸ τὰ αὐτοῦ μελετᾶν. ἕκαστον γὰρ τῶν εἰρημένων καὶ συγκατασκευάζει τὸ πλησίον, καὶ συγκατασκευάζεται παρ' αὐτοῦ, συνέχον τε αὐτὸ, καὶ (ἴσ. τῷ) συνεχόμενον παρ' αὐτοῦ. ἔτι ἐκτενέστερον ὑπὲρ αὐτῶν παρακαλέσωμεν. ἐπειδὴ γὰρ ἐν τῷ μακρῷ λόγῳ καταδαρθάνειν εἴωθεν ἡ ψυχὴ, πάλιν αὐτὴν διανίστησι. μεγάλα γὰρ βούλεται ἵνα αἰτήσαι πάλιν, καὶ ὑψηλά. διό φησιν, ἔτι ἐκτενέστερον ὑπὲρ αὐτῶν παρακαλέσωμεν. τί δὲ τοῦτό ἐστιν; ἵνα ἐξέληται αὐτοὺς ἀπὸ παντὸς πονηροῦ καὶ ἀτόπου πράγματος. ἐνταῦθα τὸ μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ τὸ πάσης ἐπιβουλῆς ἀπαλλαγῆναι αἰτούμεθα αὐτοῖς, σωματικόν τε ὁμοῦ, καὶ πνευματικόν. (ἴσ. σωματικῆς τε ὁμοῦ καὶ πνευματικῆς) διὸ καὶ ἐπάγει λέγων, ἀπὸ παντὸς ἁμαρτήματος διαβολικοῦ, καὶ πάσης περιστάσεως τοῦ ἀντικειμένου· τοὺς πειρασμοὺς δηλῶν καὶ τὰς ἁμαρτίας. εὐπερίστατος γὰρ ἡ ἁμαρτία, πάντοθεν ἱσταμένη, ἔμπροσθεν, ὄπισθεν, καὶ οὕτως ἡμᾶς καταβάλλουσα. ἐπειδὴ γὰρ εἶπεν ἃ δεῖ γίνεσθαι παρ' ἡμῶν, ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι, τὴν ἐντολὴν αὐτοῦ μνημονεύειν, τὰ δικαιώματα αὐτοῦ φυλάττειν· πείθει λοιπὸν, ὅτι οὐδὲ ταῦτα ἀρκεῖ, ἂν μὴ αὐτὸς παρῇ καὶ βοηθῇ. Ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. (Ψαλμ. ρκϛ. α.) καὶ μάλιστα ἐπὶ τούτων, οἳ ἐπιπρόσκεινται τῷ διαβόλῳ, καὶ ὑπὸ τὴν ἀρχήν εἰσι τὴν αὐτοῦ. καὶ ἴστε ταῦτα οἱ μεμυημένοι. ἀναμνήσθητε γοῦν τῶν ῥημάτων ἐκείνων, δι' ὧν ἀπετάξασθε αὐτοῦ τῇ τυραννίδι, γόνυ κλίναντες, καὶ πρὸς τὴν βασιλέα αὐτομολήσαντες, καὶ τὰ φρικώδη ἐκεῖνα φθεγξάμενοι ῥήματα, δι' ὧν παιδευόμεθα μηδὲν αὐτῷ καθόλου πείθεσθαι. ἀντικείμενον δὲ αὐτὸν καλεῖ, καὶ διάβολον, ἐπειδὴ καὶ Θεὸν πρὸς ἀνθρώπους διαβάλλει, καὶ ἡμᾶς πρὸς Θεὸν, καὶ πάλιν ἡμᾶς αὐτοὺς πρὸς ἀλλήλους. ποτὲ μὲν γὰρ τὸν Ἰὼβ πρὸς τὸν Θεὸν, λέγων, Μὴ δωρεὰν σέβεται (Ἰωβ. α. θ.) Ἰὼβ τὸν Κύριον; καὶ πάλιν τὸν Θεὸν πρὸς τὸν Ἰὼβ· πῦρ κατῆλθεν ἐκ τοῦ οὐρανοῦ. καὶ πρὸς τὸν Ἀδὰμ πάλιν τὸν Θεὸν, ὅτε ἔλεγε διανοιχθήσεσθαι αὐτῶν τοὺς ὀφθαλμούς. (Γεν. γ. ε.) καὶ πρὸς πολλοὺς τῶν νῦν ἀνθρώπων, λέγων, οὐ προνοεῖ Θεὸς τῶν ὁρωμένων, ἀλλὰ δαίμοσιν ἀφῆκε τὰ καθ' ὑμᾶς. καὶ πρὸς πολλοὺς δὲ τῶν Ἰουδαίων τὸν Χριστὸν διέβαλε, πλάνον καὶ γόητα καλῶν. πῶς δὲ ἐνεργεῖ, ἴσως βούλεταί τις ἀκοῦσαι. ὅταν μὴ εὕρῃ νοῦν ἔνθεον, ὅταν μὴ σώφρονα ψυχήν· ὅταν μὴ μνημονεύῃ τὴν ἐντολὴν τοῦ Θεοῦ, μηδὲ φυλάσσῃ τὰ δικαιώματα αὐτοῦ, τότε αἰχμάλωτον λαβὼν ἄπεισιν. ὁ γοῦν Ἀδὰμ εἰ ἐμνημόνευε τῆς ἐντολῆς λεγούσης, Ἀπὸ παντὸς ξύλου φαγῇ, εἰ ἐφύλαξε τὸ δικαίωμα τὸ λέγον, ᾗ ἂν ἡμέρᾳ φάγητε, (Γεν. β. ιζ.) τότε θανάτῳ ἀποθανεῖσθε· οὐκ ἂν ἔπαθεν ἅπερ ἔπαθεν. ἵνα καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν. τὰ μὲν γὰρ παρόντα αἰτούμεθα, τὰ δὲ μέλλοντα· καὶ φιλοσοφοῦμεν ὑπὲρ τοῦ λουτροῦ, καὶ ἐν τῇ αἰτήσει παιδεύομεν αὐτοὺς εἰδέναι αὐτοῦ τὴν ἰσχύν. ἐντεῦθεν γὰρ ἤδη ὁ λόγος αὐτοὺς συνεθίζει εἰδέναι, ὅτι ἀναγέννησις τὸ πρᾶγμά ἐστι, καὶ πάλιν γεννώμεθα, ὥσπερ ἀπὸ τῆς μήτρας, οὕτως ἀπὸ τῶν ὑδάτων·

Ιωαν. γ. δ. ἵνα μὴ λέγωσι κατὰ τὸν Νικόδημον, Πῶς δύναταί τις γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ εἰσελθεῖν, καὶ γεννηθῆναι ἄνωθεν; Εἶτα, ἐπειδὴ ἄφεσιν εἶπεν ἁμαρτιῶν, διὰ τὴν ἑξῆς αὐτὴν πιστοῦται λέγων, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας. ὁ γὰρ υἱότητα ἐνδυόμενος, δῆλον ὅτι ἄφθαρτος γίνεται. τί δέ ἐστιν, ἐν καιρῷ εὐθέτῳ; ὅταν εὖ διακείμενος ᾖ, ὅταν μετὰ προθυμίας καὶ πίστεως προσίῃ. τοῦ γὰρ πιστοῦ καιρὸς εὔθετος οὗτός ἐστιν. ἵνα εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους, πάντα τὸν βίον αὐτῶν. ἐνταῦθα δὲ καὶ σωματικόν τι αἰτεῖν κελεύονται, ὡς ἔτι ἀσθενέστεροι ὄντες. τοὺς οἴκους αὐτῶν, καὶ τὰς οἰκετείας· τουτέστιν, εἴ τι θεράποντας ἔχωσιν, εἴ τι συγγενεῖς, εἴ τι ἑτέρους τινὰς προσήκοντας. ταῦτα γὰρ ἦν τῆς παλαιᾶς τὰ ἔπαθλα. καὶ οὐδὲν οὕτω δεινὸν ἐδόκει εἶναι, ὡς χηρεία, ὡς ἀπαιδία, ὡς τὰ γρ. καὶ πένθη τὰ ἄωρα, ὡς τὸ ἐν λιμῷ εἶναι, ὡς τὸ μὴ ἐξ οὐρίας τὰ πράγματα αὐτοῖς φέρεσθαι. διὰ δὴ τοῦτο καὶ τούτους ἀφίησιν ἐμφιλοχωρεῖν ταῖς αἰτήσεσι ταῖς σωματικωτέραις, κατὰ μι- γρ. τῶν κρὸν αὐτοὺς ἀναβιβάζων. τοῦτο γὰρ καὶ ὁ Χριστὸς ποιεῖ, τοῦτο καὶ ὁ Παῦλος, παλαιῶν μεμνημένος εὐλογιῶν·

Ματθ. ε. ε. ὁ μὲν Χριστὸς, ὅταν λέγῃ, Μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν·

Εφεσ. ε. γ. ὁ δὲ Παῦλος, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. τὰ τέκνα αὐτῶν ἵνα αὐξήσας εὐλογήσῃ, καὶ εἰς μέτρον ἡλικίας ἀγαγὼν σοφίσῃ. πάλιν ἐνταῦθα καὶ σωματικὸν καὶ πνευματικὸν, ἅτε νηπιωδέστερον διακειμένοις. εἶτα τὸ ὕστερον καθόλου πνευματικόν· ἵνα κατευθύνῃ αὐτοῖς πάντα τὰ προκείμενα πρὸς τὸ συμφέρον. οὐ γὰρ ἁπλῶς τὰ προκείμενα, ἀλλὰ πρὸς τὸ συμφέρον. πολλάκις γὰρ πρόκειται ἀποδημία, ἀλλ' οὐ συμφέρει· ἕτερόν τι τοιοῦτον, ἀλλ' οὐκ ἔστι λυσιτελοῦν. ἀπὸ τούτων παιδεύονται ἐν πᾶσιν εὐχαριστεῖν τῷ Θεῷ, ὡς συμφερόντως γινομένοις. καὶ μετὰ ταῦτα πάντα, ἐγείρεσθαι κελεύει λοιπόν. πρότερον γὰρ αὐτοὺς χαμαὶ ῥίψας, ὅτε ᾔτησαν ἅπερ ᾔτησαν, καὶ παρρησίας ἐνεπλήσθησαν, ἀνίστησιν αὐτοὺς ὁ λόγος, καὶ κελεύει λοιπὸν καὶ αὐτοὺς ἔχεσθαι τῆς πρὸς τὸν Θεὸν ἱκετηρίας. τὰ μὲν γὰρ ἡμεῖς λέγομεν, τὰ δὲ αὐτοῖς ἐπιτρέπομεν, ἤδη τὰς θύρας αὐτοῖς ἀνοίγοντες τοῦ αἰτεῖν (καθάπερ τοὺς παῖδας πρότερον μὲν αὐτοὶ διδάσκομεν, ἔπειτα δὲ καὶ δι' ἑαυτῶν φθέγγεσθαι κελεύομεν) λέγοντες, τὸν ἄγγελον τῆς εἰρήνης

Ψαλμ. οζ. νδ. αἰτήσατε οἱ κατηχούμενοι. ἔστι γὰρ ἄγγελος κόλασιν ἔχων· ὡς ὅταν λέγῃ, Ἀποστολὴν δι' ἀγγέλων πονηρῶν· ἔστιν ὀλοθρευτής. διὰ τοῦτο τὸν ἄγγελον τῆς εἰρήνης κελεύομεν αἰτεῖν, παιδεύοντες, ὃ πάντων ἐστὶ σύνδεσμος τῶν ἀγαθῶν εἰρήνη, τοῦτο ζητεῖν, ὥστε πάσης ἀπηλλάχθαι μάχης, παντὸς πολέμου, πάσης στάσεως. εἰρηνικὰ ἡμῖν πάντα τὰ προκεί- ἴσ. ὑμῖν μενα. κἂν γὰρ φορτικὸν ᾖ τι, εἰρήνην δὲ ἔχῃ, κοῦφόν ἐστι. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν,

Ιωαν. ιδ. κζ. Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. οὐδὲν γὰρ οὕτως ὅπλον ἰσχυρὸν τῷ διαβόλῳ, ὡς μάχη, καὶ ἔχθρα, καὶ πόλεμος. εἰρηνικὴν τὴν παροῦσαν ἡμέραν, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν αἰτήσασθε. εἶδες πῶς πάλιν ὁλόκληρον τὸν βίον ἐν ἀρετῇ κελεύει εἶναι; χριστιανὰ ὑμῶν τὰ τέλη· τὸ κεφάλαιον τῶν ἀγαθῶν, τὸ καλὸν καὶ τὸ συμφέρον. ὁ γὰρ μὴ καλὸν, οὐδὲ συμφέρον. ἄλλη γὰρ παρ' ἡμῖν τῶν συμφερόντων ἡ φύσις παρὰ τὴν τῶν πολλῶν ὑπόληψιν. ἑαυτοὺς τῷ ζῶντι Θεῷ, καὶ τῷ Χριστῷ αὐτοῦ παραθέσθαι. οὔπω γὰρ τὴν ὑπὲρ ἑτέρων αὐτοῖς ἐπιτρέπομεν, ἀλλ' ἀγαπητὸν ὑπὲρ αὐτῶν δύνασθαι δεῖσθαι. εἶ- ἰσ. ... χλῶ, ... δες εὐχὴν ἀπηρτισμένην, καὶ δογμάτων ἕνεκεν καὶ πολιτείας; ὅταν γὰρ εὐαγγέλιον εἴπωμεν, ὅταν ἔνδυμα ἀφθαρσίας, ὅταν λουτρὸν παλιγγενεσίας, τὰ δόγματα εἴπομεν πάντα. ὅταν νοῦν ἔνθεον, ὅταν σώφρονα λογισμὸν, ὅταν τὰ ἄλλα ἅπερ εἰρήκαμεν, τὴν πολιτείαν ᾐνιξάμεθα. εἶτα κλῖναι τὰς κεφαλὰς κελεύομεν, τεκμήριον τοῦ τὰς εὐχὰς ἀκουσθῆναι ποιούμενοι τὸ τὸν Θεὸν εὐλογεῖν. οὐ γὰρ δὴ ἄνθρωπός ἐστιν ὁ εὐλογῶν, ἀλλὰ διὰ τῆς ἐκείνου χειρὸς καὶ γλώττης, αὐτῷ προσάγομεν τῷ βασιλεῖ τὰς κεφαλὰς τῶν παρεστώτων, καὶ ἐπι- γρ. ... βοῶσιν ἅπαντες τὸ, ἀμήν. ταῦτα δέ μοι πάντα τίνος ἕνεκεν εἴρηται; ἵνα διδάξω ὅτι τὸ ἑτέ-

ρων

ρων δεῖ ζητεῖν, ἵνα μὴ νομίσωσι τὸ πιστοὶ μηδὲν εἶναι παρ' αὐτοὺς ὅταν ταῦτα λέγηται. οὐ γὰρ δὴ τοῖς τοίχοις ὁ διάκονος λέγει, δεηθῶμεν ὑπὲρ τῶν κατηχουμένων. ἀλλ' ἐπειδή τινες οὕτως εἰσὶν ἀνόητοι καὶ βλᾶκες καὶ διαλελυμένοι, ὡς μὴ μόνον ἐν τῷ καιρῷ τῶν κατηχουμένων, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῶν πιστῶν ἑστάναι καὶ διαλέγεσθαι. ἐντεῦθεν πάντα διέστραπται, ἐντεῦθεν πάντα ἀπόλωλεν, ὅτι ἐν τῷ καιρῷ, ἐν ᾧ μάλιστα δεῖ τὸν Θεὸν καταλλάττειν, ἐν τούτῳ προσκρούοντες ἄπιμεν. καὶ γὰρ ἐπὶ τῶν πιστῶν, ὑπὲρ ἐπισκόπων, ὑπὲρ πρεσβυτέρων, ὑπὲρ βασιλέων, ὑπὲρ τῶν κρατούντων, ὑπὲρ γῆς καὶ θαλάσσης, ὑπὲρ ἀέρων, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης κελευόμεθα προσιέναι τῷ φιλανθρώπῳ Θεῷ. ὅταν οὖν τὸ τοσαύτην ὀφείλοντες ἔχειν παῤῥησίαν, ὡς ὑπὲρ ἀλλοτρίων δεῖσθαι, μηδὲ ὑπὲρ ἑαυτῶν ἰσχύοντες προσευχόμεθα, τίς ἡμῖν ἡ ἀπολογία; ποία συγγνώμη; διὸ δὴ παρακαλῶ ταῦτα πάντα ἐννοήσαντες, εἰδέναι καιρὸν εὐχῆς, καὶ μεταρσίους γίνεσθαι, καὶ ἀπαλλάττεσθαι τῆς γῆς, καὶ αὐτῶν ἅπτεσθαι τῶν ἀψίδων τοῦ οὐρανοῦ· ἵνα δυνηθῶμεν τὸν Θεὸν ἵλεων ποιῆσαι, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

ἰσ. πισ.

Λογ. γ. 12 Η ΓΑΡ ΚΑΥΧΗΣΙΣ ΗΜΩΝ ΑΥΤΗ ΕΣΤΙ, ΤΟ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ.

ΕΝταῦθα πάλιν καὶ ἑτέραν παρακλήσεως ὑπόθεσιν οὐ μικρὰν ἡμῖν ἀνακαλύπτει, ἀλλὰ καὶ σφόδρα μεγάλην, καὶ ἱκανὴν ἀνορθῶσαι διάνοιαν ὑπὸ κινδύνων βαπτιζομένην. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ὁ Θεὸς ἡμᾶς ἐῤῥύσατο, καὶ τοῖς οἰκτιρμοῖς αὐτοῦ καὶ ταῖς εὐχαῖς τούτων τὸ πᾶν ἀνέθηκεν, ἵνα μὴ ταύτῃ τὸν ἀκροατὴν ὕπτιον ποιήσῃ, τῷ ἐλέει τοῦ Θεοῦ μόνον καὶ ταῖς ἑτέρων εὐχαῖς θαῤῥοῦντα, δείκνυσιν ὅτι καὶ αὐτοὶ οὐ μικρὸν οἴκοθεν συνεισήνεγκαν. καὶ ἐδήλωσε μὲν αὐτὸ καὶ ἔμπροσθεν εἰπὼν, ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ, περισσεύει καὶ ἡ παράκλησις ἡμῶν· ἐνταῦθα δὲ καὶ ἕτερον λέγει οἰκεῖον κατόρθωμα. ποῖον δὴ τοῦτο; ὅτι ἐν καθαρᾷ συνειδήσει καὶ ἀδόλῳ, πανταχοῦ τῆς οἰκουμένης ἀναστρεφόμεθα, φησίν. οὐ μικρὸν δὲ τοῦτο ἡμῖν εἰς παραμυθίαν καὶ παράκλησιν· μᾶλλον δὲ οὐκ εἰς παράκλησιν μόνον, ἀλλὰ καὶ εἰς ἕτερον, ὃ πολλῷ μεῖζον τῆς παρακλήσεώς ἐστι, καὶ εἰς καύχησιν. ταῦτα δὲ ἔλεγε, κἀκείνους παιδεύων ἐν ταῖς θλίψεσι μὴ καταπίπτειν, ἀλλὰ καὶ ἐναβρύνεσθαι, ὅταν καθαρὸν ἔχωσι συνειδὸς, καὶ ἠρέμα καθαπτόμενος τῶν ψευδαποστόλων. καὶ ὥσπερ ἐν τῇ προτέρᾳ φησὶν, ὅτι Ἀπέστειλέ με Χριστὸς εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, καὶ ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ· οὕτω καὶ ἐνταῦθά φησιν, Οὐκ ἐν σοφίᾳ, ἀλλ' ἐν χάριτι Χριστοῦ. καὶ ἕτερον δέ τι ᾐνίξατο εἰπὼν, οὐκ ἐν σοφίᾳ, τουτέστιν, οὐκ ἐν ἀπάτῃ· καὶ ταύτῃ βάλλων τὴν ἔξω παίδευσιν. ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, φησὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν· τουτέστιν, ἡ συνείδησις ἡμῶν, οὐκ ἔχουσα ἡμᾶς καταδικάζειν, ὡς ἐπὶ πονηροῖς πράγμασιν ἐλαυνομένους. καὶ γὰρ μυρία πάσχωμεν δεινὰ, κἂν πάντοθεν βαλλώμεθα καὶ κινδυνεύωμεν, ἀρκεῖ εἰς παραμυθίαν ἡμῖν (μᾶλλον δὲ οὐ μόνον εἰς παραμυθίαν, ἀλλὰ καὶ εἰς τὸ στεφανοῦσθαι) τὸ συνειδὸς, καθαρὸν ὂν, καὶ μαρτυροῦν ἡμῖν, ὅτι δι' οὐδὲν πονηρὸν, ἀλλὰ διὰ τὸ τῷ Θεῷ δοκοῦν, ταῦτα πάσχομεν, δι' ἀρετὴν, διὰ φιλοσοφίαν, διὰ τὴν τῶν πολλῶν σωτηρίαν. ἐκείνη μὲν οὖν ἡ προτέρα παράκλησις παρὰ τοῦ Θεοῦ ἦν· αὕτη δὲ παρ' αὐτῶν, καὶ τῆς τοῦ βίου καθαρότητος συνεισήγητο. διὸ καὶ καύχησιν αὐτὴν καλεῖ, ὅτι τῆς οἰκείας αὐτῶν

a. Κορ. α. ιζ.

γ. ἡμῶν

a. Κορ. β. α.

ἀρετῆς κατόρθωμα ἦν. τίς οὖν ἐστιν ἡ καύχησις, καὶ τί μαρτυρεῖ ἡμῖν τὸ συνειδὸς ἡμῶν; ὅτι ἐν εἰλικρινείᾳ· τουτέστιν, οὐδὲν δόλερον, οὐχ ὑπόκρισιν, οὐκ εἰρωνείαν, οὐ κολακείαν, οὐκ ἐπιβουλὴν καὶ ἀπάτην, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλ' ἐν ἐλευθερίᾳ πάσῃ, ἐν ἁπλότητι, ἐν ἀληθείᾳ, ἐν καθαρᾷ καὶ ἀπονήρῳ γνώμῃ, ἐν ἀδόλῳ διανοίᾳ, οὐδὲν ἔχοντες συνεσκιασμένον, οὐδὲ ὕπουλον. οὐκ ἐν σοφίᾳ σαρκικῇ, τουτέστιν, οὐκ ἐν κακουργίᾳ, οὐδὲ πονηρίᾳ, οὐδὲ ἐν δεινότητι λόγων, ἢ ἐν συμπλοκῇ σοφισμάτων· ταύτην γὰρ λέγει σοφίαν σαρκικήν. καὶ ἐφ' ᾧ μέγα ἐφρόνουν ἐκεῖνοι, τοῦτο οὗτος ἀρνεῖται καὶ διωθεῖται, δεικνὺς ἐκ πολλοῦ τοῦ περιόντος οὐκ ὂν ἄξιον καυχήσεως τοῦτο, καὶ ὅτι οὐ μόνον αὐτὸ οὐ ζητεῖ, ἀλλὰ καὶ διακρούεται καὶ ἐπαισχύνεται. ἀλλ' ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ. τί ἐστιν, ἐν χάριτι Θεοῦ; τὴν παρ' αὐτοῦ σοφίαν, τὴν παρ' αὐτοῦ δύναμιν δεδομένην ἡμῖν ἐνδεικνύμενοι διὰ τῶν σημείων, διὰ τοῦ περιγενέσθαι σοφῶν, ῥητόρων, φιλοσόφων, βασιλέων, δήμων, ἰδιῶται τυγχάνοντες, καὶ μηδὲν τῆς ἔξωθεν σοφίας ἐπιφερόμενοι. οὐχ ἡ τυχοῦσα δὲ αὕτη παράκλησίς τε καὶ καύχησις τοῦ συνειδέναι ἑαυτοῖς, ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει ἐκέχρηντο, ἀλλὰ θείᾳ χάριτι πάντα κατώρθουν. οὕτως οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης. Περισσοτέρως δὲ πρὸς ὑμᾶς. Τί περισσοτέρως πρὸς ὑμᾶς; ἐν χάριτι Θεοῦ ἀνεστράφημεν. καὶ γὰρ σημεῖα καὶ θαύματα παρ' ὑμῖν ἐπεδειξάμεθα, καὶ πλείονα ἀκρίβειαν, καὶ βίον ἄληπτον. καὶ γὰρ καὶ τοῦτο χάριν Θεοῦ καλεῖ, καὶ τὰ οἰκεῖα κατορθώματα αὐτῇ λογιζόμενος. ἐκεῖ γὰρ καὶ τὰ σκάμματα ὑπερέβη, ἀδάπανον τιθεὶς τὸ εὐαγγέλιον, διὰ τὸ τῆς ἀσθενείας αὐτῶν φείδεσθαι.

13 Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε.

Ἐπειδὴ γὰρ μεγάλα ἐφθέγξατο ὑπὲρ ἑαυτοῦ, καὶ ἔδοξεν ἑαυτῷ μαρτυρεῖν, ὅπερ ἦν φορτικόν, πάλιν αὐτοὺς παράγει μάρτυρας τῶν λεγομένων. μὴ γάρ τις νομιζέτω πραγμάτων εἶναι κόμπον τὰ λεγόμενα, φησί· ταῦτα γὰρ ὑμῖν δηλοῦμεν, ἃ αὐτοὶ ὑμεῖς ἴστε· καὶ ὅτι οὐ ψευδόμεθα, πρὸ τῶν ἄλλων ἂν ἡμῖν μαρτυρήσητε. ἀναγινώσκοντες γὰρ ἐπιγινώσκετε, ὅτι ἃ συνίστε ἡμῖν ἐν τοῖς ἔργοις, ταῦτα καὶ ἐν τοῖς γράμμασι λέγομεν· καὶ οὐκ ἐναντιοῦται ἡμῶν ἡ μαρτυρία ταῖς ἐπιστολαῖς, ἀλλὰ συνᾴδει τῇ ἀναγνώσει ἡ γνῶσις, ἣν προλαβόντες εἴχετε περὶ ἡμῶν. ἴσ. ῥημάτων ἴσ. ὑμῶν

14 Καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους. Οὐδὲ γὰρ ἐξ ἀκοῆς ἴστε, φησί, τὰ καθ' ἡμᾶς, ἀλλ' ἀπ' αὐτῆς τῆς πείρας. τὸ δέ, ἀπὸ μέρους, μετριάζων εἶπεν. ἔθος γὰρ αὐτῷ τοῦτο, ἐπειδὰν μέγα τι φθέγξηται κατεπειγούσης ἀνάγκης (οὐδὲ γὰρ ἄλλως αὐτὸ ποιεῖ) ταχέως συστέλλειν πάλιν τὸν ἐκ τῶν εἰρημένων ὄγκον βουλόμενος.

Ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε. Εἶδες πάλιν ἀπὸ τῶν παρελθόντων τὰ μέλλοντα πιστούμενον· καὶ οὐκ ἀπὸ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως. οὐ γὰρ ἁπλῶς ἀπεφήνατο, ἀλλὰ τὸ πᾶν ἐπ' αὐτὸν ἔρριψε καὶ τὴν εἰς αὐτὸν ἐλπίδα. Ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐνταῦθα τὸν ἐκ τῶν εἰρημένων ὑποτέμνεται φθόνον, μερίσας αὐτοὺς καὶ κοινωνοὺς ποιήσας τῆς δόξης τῶν αὐτοῦ κατορθωμάτων. οὐ γὰρ μέχρις ἡμῶν ἔστηκεν, ἀλλὰ καὶ εἰς ὑμᾶς διαβαίνει, καὶ πάλιν ἀφ' ὑμῶν εἰς ἡμᾶς. ἐπειδὴ γὰρ ἐπῇρεν ἑαυτόν, καὶ τῶν παρελθόντων παρέχων ἀπόδειξιν, καὶ τὰ μέλλοντα ἐνεγγυήσατο· ὥστε μὴ ἐπισκήψαι τοὺς ἀκούοντας ὡς μεγαλορρημονοῦντι, μηδὲ εἰς βασκανίαν, ὅπερ ἔφην, ἐξενεχθῆναι, κοινοῖ τὸ καύχημα, καὶ αὐτῶν εἶναί φησι τὸν τῶν ἐγκωμίων στέφανον τοῦτον. ἂν γὰρ τοιοῦτοι φανῶμεν, φησίν, ὁ ἔπαινος ἡμῶν, ὑμῶν ἡ δόξα· ὥσπερ οὖν καὶ ὑμῶν εὐδοκιμούντων ἡμεῖς ἀγαλλόμεθα, καὶ σκιρτῶμεν, καὶ στεφανούμεθα. πάλιν κἀνταῦθα πολὺ τὸ τῆς ταπεινοφροσύνης αὐτοῦ δι' ὧν εἴρηκεν ἐπιδείκνυται. οὐ γὰρ ὡς διδάσκαλος μαθηταῖς, ἀλλ' ὡς μαθηταῖς ὁμοτίμοις διαλεγόμενος, χ. μείζους

γενόμενος, οὕτως ἐξετάζει τὸν λόγον. καὶ θέα πῶς αὐτοὺς ὑψηλοὺς ποιεῖ, καὶ φιλοσοφίας πληροῖ, παραπέμπων ἐκείνῃ τῇ ἡμέρᾳ. μή γάρ μοι τὰ παρόντα εἴπῃς, φησί, τουτέστι, τὰ ὀνείδη, τὰς λοιδορίας, τὰ σκώμματα τὰ παρὰ τῶν πολλῶν (οὐδὲν γὰρ μέγα τὰ ἐνταῦθα, οὔτε τὰ χρηστά, οὔτε τὰ λυπηρά, οὐ τὰ σκώμματα, οὐ τὰ ἐγκώμια τὰ παρὰ τῶν ἀνθρώπων) ἀλλ' ἀναμνήσθητί μοι τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς καὶ φρικώδους, ἐν ᾗ πάντα ἀνακεκαλυμμένα. τότε γὰρ καὶ ἡμεῖς ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν ἡμῖν καλλωπισθήσεσθε· ὅταν καὶ ὑμεῖς φανῆτε τοιούτους ἔχοντες διδασκάλους, μηδὲν ἀνθρώπινον διδάσκοντας, μηδὲ πονηρία συνεζηκότας, μηδὲ πλεονεξίαν ἵνα δεδωκότας, καὶ ἡμεῖς τοιούτους ἔχοντες μαθητὰς μηδὲν ἀνθρώπινον πάσχοντας, μηδὲ σαλευομένους, ἀλλὰ μετὰ προθυμίας πάντα ὑποδεχομένους, καὶ μηδαμόθεν παραλογιζομένους. καὶ νῦν μὲν γὰρ ταῦτα δῆλα τοῖς νοῦν ἔχουσι· τότε δὲ πᾶσιν. ὥστε εἰ καὶ θλιβόμεθα νῦν, οὐ μικρὰν καὶ ταύτην ἔχομεν παραμυθίαν· νῦν μὲν τὴν ἀπὸ τοῦ συνειδότος, τότε δὲ καὶ τὴν ἀπὸ τῆς ἐκλάμψεως αὐτῆς. νῦν μὲν γὰρ τὸ συνειδὸς ἡμῶν οἶδεν ὅτι χάριτι Θεοῦ πάντα ποιοῦμεν, ὡς καὶ ὑμεῖς ἴστε, καὶ εἴσεσθε· τότε δὲ καὶ πάντες μαθήσονται ἄνθρωποι καὶ τὰ ἡμέτερα καὶ τὰ ὑμῶν, καὶ ὄψονται δι' ἀλλήλων ἡμᾶς δοξαζομένους. ἵνα γὰρ μὴ δόξῃ μόνος αὐτὸς εἶναι λαμπρὸς ἀπὸ τῆς καυχήσεως, καὶ αὐτοῖς δίδωσι αὐτὴν τοῦ καυχήματος, καὶ ἀπαλλάττει τῶν παρόντων λυπηρῶν. καὶ ὅπερ ἐπὶ τῆς παρακλήσεως ἐποίησεν εἰπών, ὅτι δι' ὑμᾶς παρακαλούμεθα, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, δι' ὑμᾶς καυχώμεθα λέγων, ὥσπερ καὶ ὑμεῖς δι' ἡμᾶς, πανταχοῦ κοινωνοὺς αὐτοὺς ποιῶν ἁπάντων, τῆς παρακλήσεως, τῶν παθημάτων, τῆς σωτηρίας τῆς αὐτοῦ. καὶ γὰρ τὴν σωτηρίαν ταύτην ταῖς εὐχαῖς αὐτῶν λογίζεται. συνυπουργούντων γὰρ ὑμῶν τῇ δεήσει, φησίν, ἐρρύσατο ἡμᾶς ὁ Θεός. (γ. Κύειθ.) οὕτω δὴ καὶ τὰ καυχήματα κοινὰ τίθησιν. ὥσπερ γὰρ ἐκεῖ φησιν, εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως· οὕτω καὶ ἐνταῦθα, καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν.

15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρότερον πρὸς ὑμᾶς ἐλθεῖν.

Ποίᾳ πεποιθήσει; τῷ σφόδρα θαῤῥεῖν ὑμῖν, τῷ καυχᾶσθαι ἐφ' ὑμῖν, τῷ καύχημα ὑμῶν εἶναι, τῷ σφόδρα ὑμᾶς ἀγαπᾶν, τῷ μηδὲν ἑαυτῷ συνειδέναι πονηρόν, τῷ πεποιθέναι ὅτι πάντα πνευματικὰ παρ' ἡμῖν, καὶ ὑμᾶς τούτων μάρτυρας ἔχειν.

Ἐβουλόμην ἐλθεῖν πρὸς ὑμᾶς,

16 Καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν. Καίτοι γε τοὐναντίον ἐπηγγείλατο ἐν τῇ προτέρᾳ οὕτω λέγων· Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι. (α Κορ. 15. ε.) πῶς οὖν ἐνταῦθα τἀναντία φησί; οὐ τὰ ἐναντία φησίν, ἄπαγε. ταῦτα γὰρ ἐναντία μὲν ἐστὶν οἷς ἔγραψεν, οὐκ ἐναντία δὲ οἷς ἐβούλετο. διὸ καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι ἔγραψα δι' ὑμῶν ἀπελθεῖν εἰς Μακεδονίαν, ἀλλ', ἐβουλόμην. εἰ γὰρ καὶ οὐχ οὕτως ἔγραψα, φησίν, ἀλλ' ὅμως ἐσπούδαζον, καὶ ἐβουλόμην καὶ πρὸ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς· τοσοῦτον ἀπεῖχον τοῦ βουληθῆναι ὑστερῆσαι τῆς ὑποσχέσεως, ὅτι καὶ φθάσαι αὐτὴν ἠθέλησα.

Ἵνα δευτέραν χάριν ἔχητε. Τί ἐστι, δευτέραν; ἵνα διπλῆν χάριν ἔχητε, καὶ τὴν διὰ τῶν γραμμάτων, καὶ τὴν διὰ τῆς παρουσίας. χάριν δὲ ἐνταῦθα, χαρὰν λέγει. Καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν.

17 Τοῦτο οὖν βουλόμενος, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; Ἐνταῦθα λοιπὸν ἐξ εὐθείας ἀποδύεται τὸ ἔγκλημα τὸ ἐκ τῆς μελλήσεως καὶ τῆς ἀποδημίας. ὃ γὰρ λέγει τοιοῦτόν ἐστι· ἐβουλόμην ἐλθεῖν πρὸς ὑμᾶς. τίνος οὖν ἕνεκεν οὐκ ἦλθον; ἆρα ὡς κοῦφος καὶ εὐρίπιστος; (τοῦτο γάρ ἐστι, μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην;) οὐδαμῶς ἀλλὰ διὰ τί; Ὅτι ἃ βουλεύομαι, οὐ κατὰ σάρκα βουλεύομαι. Τί ἐστιν, οὐ κατὰ σάρκα; οὐ

σαρκικῶς

σαρκικῶς βουλεύομαι. Ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ. Ἀλλ' ἔτι καὶ τοῦτο ἀσαφές. τί οὖν ἐστιν ὅ φησιν; ὁ σαρκικὸς ἄνθρωπος (τουτέστιν, ὁ τοῖς παροῦσι προσηλωμένος, καὶ ἐν τούτοις διαπαντὸς ὤν, καὶ τῆς τοῦ πνεύματος ἐνεργείας ἐκτὸς τυγχάνων) πανταχοῦ ἀπιέναι δύναται, καὶ πλανᾶσθαι ὅπου βούλεται. ὁ δὲ ὑπηρέτης τοῦ πνεύματος, καὶ ὑπ' ἐκείνου ἀγόμενος καὶ περιαγόμενος, οὐ δύναται κύριος εἶναι τῆς ἑαυτοῦ γνώμης πανταχοῦ, τῆς ἐκεῖθεν ἐξουσίας ἐξαρτήσας αὐτήν· ἀλλὰ τοιοῦτον ὑπομένει, οἷον ἂν εἰ δοῦλος εὐδοκιμῶν, καὶ πανταχοῦ περιελκόμενος ὑπὸ τῶν δεσποτικῶν ἐπιταγμάτων, καὶ οὐκ ἔχων ἐξουσίαν ἑαυτοῦ, οὐδὲ ἀναπνεῦσαι δυνάμενος οὐδὲ μικρόν, ἐπαγγέλλοιτο ἵνα τοῖς συνδούλοις, εἶτα τῷ δεσπότῃ τἀναντία δοκοῦντα, μὴ ἀπίοι τὰ ἐπηγγελμένα. τοῦτο οὖν φησιν, ὅτι οὐ κατὰ σάρκα βουλεύομαι, καὶ οὐκ εἰμὶ τῆς τοῦ πνεύματος ἐκτὸς κυβερνήσεως, οὐδὲ ἐξουσίαν ἔχω βαδίζειν ὅπου βούλομαι. καὶ γὰρ ὑπόκειμαι δεσποτείᾳ τῇ τοῦ παρακλήτου καὶ ἐπιτάγμασι, καὶ ταῖς ἐκείνου ψήφοις ἄγομαι καὶ περιάγομαι. διὰ τοῦτο οὐκ ἠδυνήθην ἐλθεῖν· οὐ γὰρ ἔδοξε τῷ πνεύματι· ὃ καὶ ἐν ταῖς πράξεσι πολλαχοῦ γέγονεν. ἀλλαχοῦ γὰρ προειρημένον ἐλθεῖν, τὸ πνεῦμα ἀλλαχοῦ βαδίζειν ἐκέλευσεν. ὥστε οὐ τῆς ἐμῆς ἐλαφρίας (τουτέστι, κουφότητος) τὸ μὴ ἐλθεῖν· ἀλλὰ τὸ τοῦ πνεύματος, ὑποκειμένους ἐκείνῳ πείθεσθαι. Εἶδες πάλιν αὐτοῦ τὸ σύνηθες θεώρημα; ἀφ' ὧν ἐνόμιζον αὐτὸν δεικνύναι σαρκικῶς βουλευόμενον, ἐκ τοῦ μὴ πληρῶσαι τὴν ὑπόσχεσιν, ἐκ τούτου δείκνυσι μάλιστα πνευματικῶς βεβουλευμένον, καὶ τοὐναντίον σαρκικῶς βουλεύεσθαι. τί οὖν φησιν; οὐ μετὰ τοῦ πνεύματος ἐπηγγείλατο; (ἴσ. πνευματικῶν τῷ σαρκ.) οὐδαμῶς. καὶ γὰρ καὶ ἤδη εἶπον, ὅτι οὐ πάντα προῄδει Παῦλος τὰ μέλλοντα, καὶ συμφέροντα.
α. Κορ. 15. 5. διὰ δὴ τοῦτο, ἐν μὲν τῇ προτέρᾳ φησίν, Ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι, δεδοικὼς αὐτὸ τοῦτο, μὴ εἰς τὴν Ἰουδαίαν εἰπών, ἀναγκασθῇ ἑτέρωσε ἀπελθεῖν. ἐνταῦθα δὲ ἐπειδὴ ἀπέτυχε, λέγει αὐτό, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. ὁ μὲν γὰρ τῆς ἀγάπης, τίθησι, τὸ ἐλθεῖν πρὸς αὐτούς· ὃ δὲ οὐδὲν πρὸς αὐτούς ἦν, τὸ ἀπελθεῖν εἰς τὴν Ἰουδαίαν, οὐκέτι τοῦτο προστίθησι διωρισμένως. ἐπειδὴ δὲ ἠλέγχθη, ἐνταῦθα θαρρῶν λέγει λοιπόν, ὅτι εἰς τὴν Ἰουδαίαν. καὶ τοῦτο δὲ συμφερόντως ἐγένετο, ἵνα μή τις αὐτὸν μείζονα περὶ αὐτὸν τῆς ἀξίας ὑπόνοιαν ἔχῃ. εἰ γὰρ καὶ τούτων ὄντων θύειν αὐτοῖς ἐβούλοντο ταύρους, ποῦ οὐκ ἂν ἐξώκειλαν ἀσεβείας, εἰ μὴ πολλὰ δείγματα τῆς ἀνθρωπίνης ἀσθενείας παρείχοντο; καὶ τί θαυμάζεις, εἰ τὰ μέλλοντα πάντα οὐκ ᾔδει, ὅπου
Ρωμ. η. κϛ. καὶ ἐν εὐχαῖς πολλαχοῦ τὸ συμφέρον ἀγνοεῖ; Τὸ γὰρ, τί προσευξόμεθα, φησι, καθὸ δεῖ, οὐκ οἴδαμεν. καὶ οὐ λέγει τοῦτο μόνον, ἵνα μὴ δόξῃ μετριάζειν, ἀλλὰ καὶ δείκνυσι ποῦ τὸ συμφέρον (ἴσ. ἵνα δόξῃ) ἐν εὐχαῖς ἠγνόησε. ποῦ τοίνυν ἠγνόησεν; ἡνίκα παρεκάλει τῶν πειρασμῶν ἀπαλλαγῆναι,
β. Κορ. ιβ. ζ. λέγων, Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ· ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Εἶδες πῶς οὐκ ᾔδει τὰ συμφέροντα αἰτῆσαι; διὸ οὐδὲ ἔλαβε, καίτοι πολλάκις αἰτήσας.

18 Πιστὸς δὲ ὁ Θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς, οὐκ ἐγένετο ναὶ καὶ οὔ.

Καλῶς ἀντίθεσιν ἀνακύπτουσαν καταλύει. Εἰ γὰρ ὑπισχνούμενος, φησί, παραγίνεσθαι ὑπερέθου, καὶ οὐκ ἔστι παρὰ σοὶ ναὶ ναί, καὶ οὒ οὔ, ἀλλὰ νῦν ἃ λέγεις ἀνατρέπεις μετὰ ταῦτα, (ἴσ. ἀλλ' ἃ νῦν λέγεις) ὥσπερ ἐπὶ τῆς σῆς ἐπιδημίας ἐποίησας· οὐαὶ ἡμῖν, μήποτε καὶ ἐν τῷ κηρύγματι τοῦτο γέγονεν. ἵν' οὖν μὴ ταῦτα ἐννοῶσι, μηδὲ θορυβῶνται, φησί· πιστὸς δὲ ὁ Θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς, οὐκ ἐγένετο ναὶ καὶ οὔ. ἐν γὰρ τῷ κηρύγματί, φησι, τοῦτο οὐκ ἐγένετο, ἀλλ' ἐν ταῖς ὁδοῖς καὶ ταῖς ἀποδημίαις μόνον· ἐν δὲ τῷ κηρύγματι μένει βέβαια καὶ ἀκίνητα ἅπερ εἰρήκαμεν. λόγον γὰρ ἐνταῦθα τὸ κήρυγμα καλεῖ. Εἶτα ἀπόδειξιν ἀναντίρρητον παρέχει τούτου, εἰς τὸν Θεὸν τὸ πᾶν ἀνάγων. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ ὑπόσχεσις τῆς παρουσίας, ἐμὴ ἦν,

λῶ, καὶ ἐγὼ οἰκόθεν ἐπηγγειλάμην ἐκεῖνο· τὸ δὲ κήρυγμα, οὐκ ἐμόν, οὐδὲ ἀνθρώπινον, ἀλλὰ τοῦ Θεοῦ· τὸ δὲ τοῦ Θεοῦ ἀμήχανον διαψεύσασθαι. διὸ καὶ ἔφη, πιστὸς δὲ ὁ Θεός· τουτέστιν, ἀληθής. μὴ τοίνυν ὑποπτεύετε τὰ ἐκείνου. οὐδὲν γὰρ ἐν αὐτοῖς ἀνθρώπινον. καὶ ἐπεὶ εἶπε λόγον, ἐπάγει λοιπὸν δεικνὺς ποῖον λόγον φησί. ποῖος οὖν λόγος οὗτός ἐστιν;

19 Ὁ γὰρ τοῦ Θεοῦ υἱός, φησιν, ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθείς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ. Διὰ γὰρ τοῦτο καὶ τὸν χορὸν εἰσάγει τῶν διδασκάλων εἰς μέσον, ἀξιόπιστον κἀντεῦθεν καὶ μαρτυρίαν ποιῶν, οὐ διὰ τῶν ἀκουσάντων μόνον, ἀλλὰ καὶ διὰ τῶν διδαξάντων. καίτοι μαθηταὶ ἦσαν· ἀλλὰ μετριάζων, ἐν τάξει διδασκάλων αὐτοὺς ἀριθμεῖ. τί δέ ἐστιν, οὐκ ἐγένετο ναὶ καὶ οὔ; οὐκ ἀνέστρεψα, φησιν, ἃ πρότερον εἶπον ἐν τῷ κηρύγματι· οὐ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο διελέχθην ὑμῖν. τοῦτο γὰρ οὐκέτι πίστεως, ἀλλὰ πεπλανημένης διανοίας ἐστίν. Ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε· Τουτέστιν, ἀπαρασάλευτος καὶ βέβαιος ὁ λόγος μένει.

γ. ἀνέτρεψα,

20 Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναί, καὶ ἐν αὐτῷ τὸ ἀμήν, τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν. Τί ἐστιν, ὅσαι ἐπαγγελίαι Θεοῦ; πολλὰ τὸ κήρυγμα ὑπισχνεῖται, καὶ αὐτοὶ τὰ πολλὰ ταῦτα ἐπηγγέλλοντο καὶ ἐκήρυττον. καὶ γὰρ περὶ ἀναστάσεως διελέχθησαν, καὶ περὶ ἀναλήψεως, καὶ περὶ ἀφθαρσίας, καὶ περὶ τῶν μεγάλων ἐπάθλων καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων. ταύτας οὖν τὰς ἐπαγγελίας μένειν ἀκινήτους φησί. καὶ οὐκ ἐγένετο ναὶ καὶ οὒ ἐν αὐταῖς· τουτέστιν, οὔ ποτε μὲν ἀληθῆ τὰ εἰρημένα, ποτὲ δὲ ψευδῆ, καθάπερ ἡ ἐπιδημία ἡ ἐμή, ἀλλ' ἀεὶ ἀληθῆ. καὶ πρότερον μὲν ὑπὲρ τῶν τῆς πίστεως δογμάτων καὶ τοῦ περὶ Χριστοῦ λόγου ἀγωνίζεται λέγων, ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐγένετο ναὶ καὶ οὔ. ἔπειτα ὑπὲρ τῶν ὑποσχέσεων· ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναί. εἰ δὲ ἃ ὑπέσχετο βέβαια, καὶ δώσει πάντως· πολλῷ μᾶλλον αὐτός, καὶ ὁ περὶ αὐτοῦ λόγος ἐστὶ βέβαιος, καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι νῦν μέν ἐστι, νῦν δὲ οὐκ ἔστιν, ἀλλ' ἀεί ἐστι, καὶ ὁ αὐτός ἐστι. τί δέ ἐστιν, ἐν αὐτῷ τὸ ναί, καὶ τὸ ἀμήν; τὸ πάντως ἐσόμενον δηλοῖ. αἱ γὰρ ἐπαγγελίαι, ἐν αὐτῷ, οὐκ ἐν ἀνθρώπῳ τὸ γενέσθαι ἔχουσι καὶ πληρωθῆναι. μὴ τοίνυν δείσῃς. οὐ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπιστεύσῃς, ἀλλὰ Θεός ἐστιν, ὁ καὶ εἰπὼν καὶ πληρῶν. τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν. τί ἐστι, πρὸς δόξαν δι' ἡμῶν; πληροῖ αὐτὰς δι' ἡμῶν· τουτέστι, καὶ τὴν εἰς ἡμᾶς εὐεργεσίαν πρὸς δόξαν αὐτοῦ· τοῦτο γάρ ἐστι τῷ Θεῷ πρὸς δόξαν. εἰ δὲ πρὸς δόξαν τοῦ Θεοῦ, πάντως ἔσται. τῆς γὰρ αὐτοῦ δόξης οὐ καταφρονήσει, εἰ καὶ τῆς ἡμετέρας καταφρονεῖ σωτηρίας (καίτοι διὰ τὸ σφόδρα φιλάνθρωπος εἶναι), καὶ πρὸς τοῦτο ἡμῶν ἡ σωτηρία συνδέδεται τῇ αὐτοῦ δόξῃ τῇ ἐπὶ τούτοις. ὥστε εἰ πρὸς δόξαν αὐτοῦ εἰσιν αἱ ἐπαγγελίαι, πάντως καὶ ἡ σωτηρία ἡμῶν ἕψεται. ὃ καὶ ἐν τῇ πρὸς Ἐφεσίους συνεχῶς περιστρέφει λέγων, Εἰς περιποίησιν τῆς δόξης αὐτοῦ. Εφεσ.α.ιδ. καὶ πανταχοῦ τοῦτο τίθησι, δεικνὺς τὸ ἀναγκαῖον τῆς ἐκβάσεως· ὃ καὶ ἐνταῦθά φησιν, ὅτι αἱ ἐπαγγελίαι αὐτοῦ οὐ ψεύδονται. οὐ γὰρ ἡμᾶς μόνον σώζουσι, ἀλλὰ καὶ αὐτὸν δοξάζουσι. μὴ τοίνυν τοῦτο ἐννοήσῃς, ὅτι δι' ἡμῶν ἐπηγγέλθησαν, καὶ διστάσῃς. οὐ γὰρ δι' ἡμῶν πληροῦνται, ἀλλὰ δι' αὐτοῦ. καὶ αἱ ἐπαγγελίαι δὲ [δι'] αὐτοῦ. οὐ γὰρ τὰ ἡμέτερα, ἀλλὰ τὰ αὐτοῦ πρὸς ὑμᾶς εἰρήκαμεν.

ἴσ. διὰ τῶν

21 Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστόν, καὶ χρίσας ἡμᾶς, Θεός·

22 Καὶ σφραγισάμενος, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. Πάλιν ἀπὸ τῶν παρελθόντων τὰ μέλλοντα βεβαιοῦται. εἰ γὰρ αὐτός ἐστιν ὁ βεβαιῶν ἡμᾶς εἰς Χριστόν (τουτέστιν, ὁ μὴ ἐῶν ἡμᾶς παρασαλεύεσθαι ἐκ τῆς πίστεως τῆς εἰς τὸν Χριστόν) καὶ αὐτὸς ὁ χρίσας ἡμᾶς, καὶ δοὺς τὸ πνεῦμα ἐν ταῖς καρδίαις ἡμῶν· πῶς τὰ μέλλοντα οὐ δώσει; εἰ γὰρ τὰς ἀρχάς, καὶ τὰς ὑποθέσεις ἔδωκε, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγὴν (τουτέστι τὴν ἀληθῆ περὶ αὐτοῦ γνῶσιν, τὴν τοῦ πνεύματος μετάληψιν) πῶς τὰ

ἐκ

ἐκ τούτων οὐ δώσει; εἰ γὰρ ἐκεῖνα διὰ ταῦτα δίδονται· πολλῷ μᾶλλον ὁ ταῦτα δοὺς, καὶ ἐκεῖνα παρέξει· καὶ εἰ ταῦτα ἐχθροῖς οὖσιν ἔδωκε, πολλῷ μᾶλλον ἐκεῖνα φίλοις γενομένοις χαριεῖται. διὰ τοῦτο οὐδὲ πνεῦμα εἶπεν ἁπλῶς, ἀλλ' ἀῤῥαβῶνα ὠνόμασεν· ἵνα ἀπὸ τούτου καὶ περὶ τοῦ παντὸς θαῤῥῇς. οὐ γὰρ, εἰ μὴ ἔμελλε τὸ πᾶν διδόναι, εἵλετο ἂν τὸν ἀῤῥαβῶνα παραχεῖν, καὶ ἀπολέσαι εἰκῆ καὶ μάτην. καὶ ὅρα εὐγνωμοσύνην Παύλου. τί γὰρ δεῖ λέγειν, φησὶν, ὅτι οὐκ ἐν ἡμῖν ἡ τῶν ἐπαγγελιῶν ἀλήθεια; αὐτὸ τοῦτο τὸ ἑστάναι ἀπεριτρέπτως, καὶ πεπῆχθαι ὑμᾶς, οὐκ ἐν ἡμῖν, ἀλλὰ καὶ τοῦτο τοῦ Θεοῦ. ὁ γὰρ βεβαιῶν ἡμᾶς, φησι, Θεός. οὐκ ἄρα ἡμεῖς ἐσμεν οἱ στηρίζοντες ὑμᾶς. καὶ γὰρ καὶ ἡμεῖς δεόμεθα τοῦ βεβαιοῦντος. ὥστε μηδεὶς ἐν ἡμῖν νομιζέτω κινδυνεύεσθαι τὸ κήρυγμα· αὐτὸς τὸ πᾶν ἀνεδέξατο, αὐτῷ μέλει τοῦ παντός. τί δέ ἐστι χρίσας, καὶ σφραγισάμενος; τὸ πνεῦμα δοὺς, δι' οὗ ταῦτα ἀμφότερα ἐποίησεν, ὁμοῦ προφήτας καὶ ἱερεῖς καὶ βασιλέας ἐργαζόμενος. ταῦτα γὰρ τὸ παλαιὸν ἐχρίετο τὰ γένη. ἀλλ' ἡμεῖς οὐχ ἕν, ἀλλὰ τὰ τρία μετ' ὑπεροχῆς ἔχομεν ἀξιώματα νῦν. καὶ γὰρ βασιλείας μέλλομεν ἀπολαύειν, καὶ ἱερεῖς γινόμεθα προσφέροντες θυσίαν τὰ

Ρωμ. ιβ. α. σώματα ἡμῶν (Παραστήσατε γὰρ τὰ μέλη ὑμῶν, θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, φησι) καὶ μετὰ τούτων καὶ προφῆται καθιστάμεθα· ἃ γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὓς οὐκ ἤκουσε, ταῦτα ἐκκεκαλυμμένα ἡμῖν ἐστι.

ΗΘΙΚΟΝ

Καὶ ἄλλως δὲ βασιλεῖς γινόμεθα, ἐὰν βουληθῶμεν κρατεῖν τῶν ἀτόπων λογισμῶν. ὅτι γὰρ ὁ τοιοῦτος βασιλεύει, καὶ μᾶλλον ἢ ὁ τὸ διάδημα περικείμενος, ἤδη τοῦτο ποιήσω δῆλον ὑμῖν. πολλὰ ἔχει στρατόπεδα ἐκεῖνος, ἀλλὰ καὶ ἡμεῖς τούτων πλείονας ἔχομεν λογισμούς. οὐ γάρ ἐστιν ἀριθμῆσαι τὸ ἄπειρον τῶν ἐννοιῶν πλῆθος τῶν ἐν ἡμῖν. οὐ πλῆθος δὲ μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ πολλοὺς ἐν τῷ πλήθει τούτῳ τῶν λογισμῶν καὶ στρατηγοὺς, καὶ ταξιάρχους, καὶ λοχαγοὺς, καὶ τοξότας, καὶ σφενδονήτας. τί ἕτερον ποιεῖ βασιλέα; τὰ ἱμάτια; ἀλλὰ καὶ οὗτος βελτίω περίκειται καὶ ἀμείνω στολὴν, ἣν οὔτε σὴς ἐσθίει, οὔτε χρόνος δαπανᾷ. καὶ στέφανον

Ψαλμ. ρβ. δ. ἔχει ποικίλον, τὸν τῆς δόξης, τὸν τῶν οἰκτιρμῶν τοῦ Θεοῦ. Εὐλόγει γὰρ ἡ ψυχή μου, φησι, τὸν

Ψαλμ. η. ε. Κύριον, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. καὶ τὸν τῆς δόξης· Δόξῃ γὰρ καὶ τιμῇ ἐστε-

Ψαλμ. ε. ιβ. φάνωσας αὐτὸν, καὶ, Ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. καὶ τὸν τῶν χαρίτων· Στέφα-

Παροιμ. α. θ. νον γὰρ χαρίτων δέξῃ σῇ κεφαλῇ. Εἶδες πολύπλοκον καὶ χαριέστερον τοῦτο τὸ διάδημα; πλὴν ἀλλ' ἴδωμεν αὐτὰ ἀκριβέστερον ἐξετάσωμεν πάλιν τὰ τῶν βασιλέων τούτων. ἐκεῖνος κρατεῖ τῶν δορυφόρων, καὶ πᾶσιν ἐπιτάττει, καὶ πάντες ὑπακούουσι, καὶ διακονοῦσιν αὐτῷ· ἀλλ' ἐγὼ δείκνυμι μείζονα ἐνταῦθα τὴν ἀρχήν. τὸ μὲν γὰρ πλῆθος ἴσον, ἢ καὶ πλέον· λοιπὸν δὲ περὶ τῆς ὑποταγῆς ἐξετάζειν δεῖ. καί μοι εἰς μέσον ἀγάγῃς τοὺς ἐκπεσόντας τῆς βασιλείας, καὶ σφαγέντας ὑπ' αὐτῶν τῶν σωματοφυλάκων. μὴ τοίνυν τούτους εἰς μέσον ἄγωμεν, ἀλλὰ τοὺς καλῶς ἐν ἀμφοτέροις τὴν ἑαυτῶν διοικήσαντας βασιλείαν ζητήσωμεν. καὶ σὺ μὲν, οὓς βούλει, λέγε· ἐγὼ δέ σοι τὸν πατριάρχην ἀντιπαρατάττω πᾶσιν. ὅτε γὰρ τὸν υἱὸν ἐκελεύετο σφαγιάσαι, ἐννόησον πόσοι τότε ἐπανέστησαν αὐτῷ λογισμοί. ἀλλ' ὅμως πάντας ὑπέταξε, καὶ πάντες αὐτὸν ἔτρεμον μᾶλλον, ἢ βασιλέα οἱ δορυφόροι. καὶ βλέμματι μόνῳ πάντας κατέστελλε, καὶ οὐδὲ γρύξαι ἐτόλμα τούτων οὐδεὶς, ἀλλ' ὑπέκυπτον, καὶ ὡς βασιλεῖ παρεχώρουν ἅπαντες, καίτοιγε ὀξύτατοι ὄντες καὶ σφόδρα ἀπότομοι. οὐδὲ γὰρ οὕτως εἰσὶν αἱ τῶν δοράτων αἰχμαὶ φοβεραὶ, ὀρθαὶ ὑπὸ πολλῶν ἀνισάμεναι στρατιωτῶν, ὡς ἐκεῖνοι ποτὲ ἦσαν φοβεροὶ οἱ λογισμοί. οὐ δοράτων γὰρ χαλεπωτέρα ἡ τῆς φύσεως συμπάθεια; διὸ καὶ αἰχμῆς ἠκονημένης μᾶλλον τέμνειν ἠδύνατο τὴν ἐκείνου ψυχήν. οὐ γὰρ οὕτως ὀξὺ δόρυ γένοιτ' ἄν ποτε, ὡς ἐκείνων τῶν λογισμῶν τὰ κέντρα κάτωθεν ἀπὸ τῶν σπλάγχνων ὀξυνόμενά τε καὶ ὀρθούμενα διέπειρε τοῦ δικαίου τὴν διάνοιαν. ἐνταῦθα μὲν γὰρ καὶ χρόνου δεῖ, καὶ βουλῆς, καὶ πληγῆς, καὶ ὀδύνης, καὶ τότε ὁ θάνατος ἕπεται· ἐκεῖ δὲ οὐδέ-

νος τούτων ἔδει· οὕτω ταχύτερα καὶ δριμύτερα ἦν τὰ πράγματα. ἀλλ' ὅμως τοσούτων τότε ὁπλισθέντων κατ' αὐτοῦ λογισμῶν, πολλὴ ἦν ἡ εὐταξία, καὶ πάντες εἱστήκεισαν εὐτάκτως, κοσμοῦντες μᾶλλον αὐτὸν, ἢ φοβοῦντες. ὁρᾷς γυμνὴν τὴν μάχαιραν αὐτὸν ἐκτείνοντα, καὶ ἴσως βούλει μετὰ βασιλεῖς εἰς τὸ μέσον, Αὐγούστους, Καίσαρας, ἀλλ' οὐδένα τοιοῦτον ἐρεῖς, οὐδὲ ἕξεις σχῆμα δεῖξαι τοιοῦτον, οὕτω μεγαλοφυὲς καὶ τῶν οὐρανῶν ἄξιον. καὶ γὰρ τυραννίδος δυνατωτάτης ἐστὶ τρόπαιον ὁ δίκαιος τότε ἐκεῖνος. οὐδὲν γὰρ φύσεως τυραννικώτερον. καὶ μυρίους ταύτης τυραννοκτόνους, οὐδένα τοιοῦτον ἐπιδείξῃς ἡμῖν. καὶ γὰρ ἀγγέλων τὸ τρόπαιον ἦν, οὐκ ἀνθρώπου τότε. σκόπει δέ· ἡ φύσις ἔρριπτο χαμαὶ μετὰ τῶν ὅπλων τῶν αὐτῆς, μετὰ τοῦ στρατοπέδου παντὸς, καὶ αὐτὸς εἱστήκει τὴν χεῖρα ἀνατείνας, οὐχὶ στέφανον ἔχουσαν, ἀλλὰ μάχαιραν στεφάνου παντὸς λαμπροτέραν, καὶ ὁ τῶν ἀγγέλων ἐπεκρότει δῆμος, καὶ ὁ Θεὸς ἐκ τῶν οὐρανῶν ἀνεκήρυττεν. ἐπειδὴ γὰρ ἐν οὐρανοῖς ἐπολιτεύετο, ἐκεῖθεν ἐδέχετο καὶ τὸ κήρυγμα. τί τούτου λαμπρότερον; μᾶλλον δὲ, τί τούτου γένοιτ' ἂν ἴσον τοῦ τροπαίου; εἰ γὰρ, ἀθλητοῦ νικήσαντος, μὴ κῆρυξ κάτωθεν, ἀλλ' ἄνωθεν αὐτὸς ὁ βασιλεὺς ἀναστὰς ἀνηγόρευσε τὸν Ὀλυμπιονίκην, ἆρ' οὐχὶ τοῦτο τῶν στεφάνων αὐτῷ λαμπρότερον ἔδοξεν εἶναι, καὶ τὸ θέατρον ἅπαν ἐπέστρεψεν ἄν; ὅταν οὖν μὴ ἄνθρωπος βασιλεὺς, ἀλλ' αὐτὸς ὁ Θεὸς, οὐκ ἐν θεάτρῳ τούτῳ, ἀλλ' ἐν θεάτρῳ τῷ τῆς οἰκουμένης, ἐν τῷ δήμῳ τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, αὐτὸν ἀνακηρύττῃ λαμπρᾷ τῇ φωνῇ βοῶν ἄνωθεν, ποῦ θήσομεν τὸν ἅγιον τοῦτον, εἰπέ μοι; εἰ δὲ δοκεῖ, καὶ αὐτῆς ἀκούσωμεν τῆς φωνῆς. τίς οὖν ἡ φωνή; Ἀβραὰμ, Ἀβραὰμ, μὴ ἐπενέγκῃς τὴν χεῖρά σου ἐπὶ Ἰσαὰκ, μηδὲ ποιήσῃς αὐτῷ μηδέν. νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεὸν, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. τί τοῦτο; ὁ πάντα πρὸ γενέσεως αὐτῶν εἰδὼς, νῦν ἔγνω; καίτοιγε καὶ ἀνθρώπῳ δήλη ἦν ἡ εὐλάβεια τἀνδρός· τοσαῦτα παρέσχετο δείγματα τῆς περὶ τὸν Θεὸν εὐνοίας, ὅτε εἶπεν αὐτῷ, Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, ὅτε δι' αὐτὸν καὶ τὴν εἰς αὐτὸν τιμὴν, τῶν πρωτείων παρεχώρησε τῷ ἀδελφιδῷ, ὅτε αὐτὸν τῶν τοσούτων ἐξείλετο κινδύνων, ὅτε ἐκέλευσεν εἰς Αἴγυπτον ἐλθεῖν, καὶ τὴν γυναῖκα ἀφαιρούμενος, οὐκ ἐδυσχέραινε, καὶ ἕτερα πλείονα. καὶ ὅπερ ἔφην, κἂν ἄνθρωπος ἀπὸ τούτων ἔμαθεν ἂν τἀνδρὸς τὴν εὐλάβειαν, μήτιγε ὁ Θεὸς, ὁ μὴ περιμένων ἀπὸ τῶν πραγμάτων μαθεῖν τὸ τέλος. πῶς δὲ αὐτὸν καὶ ἐδικαίωσεν ἀγνοῶν; Ἐπίστευσε Ρωμ. δ. γ.
γὰρ, φησὶν, Ἀβραὰμ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τί οὖν ἐστι τὸ, νῦν ἔγνων; ὁ μὲν Σύρος φησὶ, νῦν ἐγνώρισας· τουτέστι, τοῖς ἀνθρώποις. ἐγὼ γὰρ ᾔδειν πάλαι, καὶ πρὸ τῶν ἐπιταγμάτων ἁπάντων ἐκείνων. διὰ τί δὲ καὶ τοῖς ἀνθρώποις νῦν; ἐκεῖνα γὰρ οὐχ ἱκανὰ δεῖξαι τὴν περὶ τὸν Θεὸν εὔνοιαν; ἱκανὰ μέν· ἀλλὰ τοσοῦτο πάντων τοῦτο ἐκείνων μεῖζον, ὡς μηδὲν ἐκεῖνα πρὸς τοῦτο φαίνεσθαι. τοῦτο τοίνυν ἐπαίρων τὸ κατόρθωμα, καὶ δεικνὺς πάντων ἀνώτερον, ταῦτα εἴρηκε. καὶ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἐπὶ τοῖς ὑπερέχουσι, καὶ τὰ πρότερα νικῶσιν, οὕτως εἰώθασι λέγειν· οἷον ὅταν τις μεῖζον τῶν προτέρων λάβῃ τι παρ' αὐτοῦ δῶρον, πολλάκις λέγει, νῦν ἔγνων ὅτι με ἀγαπᾷ ὁ δεῖνα· οὐ τοῦτο λέγων, ὅτι τὸν ἔμπροσθεν ἠγνόει χρόνον, ἀλλὰ δηλῶσαι βουλόμενος, ὅτι πάντων μεῖζον τὸ δοθὲν νῦν. οὕτω καὶ ὁ Θεὸς ἀνθρωπίνως διαλεγόμενος, νῦν ἔγνων φησὶν, οὐδὲν ἄλλο ἢ τὴν ὑπερβολὴν παραστῆσαι τοῦ ἄθλου βουλόμενος, οὐχὶ τότε μαθὼν, οὐ τὸν φόβον, ἢ τὸ μέγεθος τοῦ φόβου. καὶ γὰρ ὅταν λέγῃ, Δεῦτε, καταβάντες ἴδωμεν, οὐ καταβάσεως δεόμενος λέγει (καὶ γὰρ τὰ πάντα πληροῖ, καὶ πάντα οἶδε σαφῶς) ἀλλὰ παιδεύων ἡμᾶς, μὴ ἁπλῶς ἀποφαίνεσθαι. καὶ ὅταν λέγῃ, Κύριος ἐξέκυψεν ἐκ τοῦ οὐρανοῦ, ἀπὸ μεταφορᾶς τῶν ἀνθρώπων τὴν ἀκριβῆ λέγει γνῶσιν. οὕτω καὶ ἐνταῦθα, νῦν ἔγνων, φησὶ, τοῦτο δεικνὺς μεῖζον ἁπάντων ὂν τῶν ἔμπροσθεν. τοῦτο καὶ ἀπόδειξιν αὐτῷ παρέχεται ἐπάγων, καὶ λέγων, ὅτι οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. οὐκ εἶπε, τοῦ υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ ἀγαπητοῦ. οὐδὲ γὰρ

φύσεως

φύσεως μόνον, ἀλλὰ καὶ φιλοστοργίας, ἧς καὶ διὰ τὸν οἰκεῖον τρόπον, καὶ τὴν ἀρετὴν τοῦ παιδὸς πολλὴν οὖσαν ἐν αὐτῷ, κατεπέπλησεν. Εἰ δὲ φαύλων παίδων οὐκ ἂν εὐκόλως καταφρονήσαιεν πατέρες, ἀλλὰ καὶ τούτοις πείθονται· ὅταν καὶ υἱὸς ᾖ, καὶ γνήσιος, καὶ μονογενής, καὶ ἀγαπητός, καὶ Ἰσαάκ, καὶ ὑπ' αὐτοῦ μέλλῃ σφάττεσθαι τοῦ πατρός, τίς ἂν εἴποι τὴν ὑπερβολὴν τῆς φιλοσοφίας; οὐκ ἐκ μυρίων διαδημάτων καὶ στεφάνων ἀπείρων ὁ ἆθλος φαιδρότερος. τὸ μὲν γὰρ τὸν στέφανον ἐκεῖνον περικείμενον καὶ θάνατος ἐπελθὼν πολλάκις ἐπηρεάζει, καὶ πρὸ τοῦ θανάτου μυρίαι πραγμάτων ἐπιβουλαί· τοῦτο δὲ οὐδεὶς οὐδὲ μετὰ τελευτὴν τὸ διάδημα ἀφελέσθαι δυνήσεται τὸν περικείμενον, οὐ τῶν ἰδίων, οὐ τῶν ἀλλοτρίων. θέα δέ μοι καὶ τὸν τιμιώτατον λίθον τοῦ διαδήματος τούτου. ὥσπερ γὰρ λίθος τίμιος, οὕτως αὐτὸ συνδεῖ πρὸς τῷ τέλει. τί δὲ τοῦτό ἐστι; τὸ, δι' ἐμέ. οὐδὲ γὰρ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐκ ἐφείσατο, ἀλλ' ὅτι δι' αὐτόν. ὢ δεξιᾶς μακαρίας, οἵας κατηξιώθη μαχαίρας; ὢ μαχαίρας θαυμαστῆς, ποίας κατηξιώθη δεξιᾶς; ὢ μαχαίρας θαυμαστῆς, εἰς ποίαν παρεσκευάσθη χρείαν, καὶ ποίαν ἤνυσε διακονίαν, καὶ ποίῳ ὑπηρέτησε τύπῳ; πῶς ᾑμάχθη, πῶς οὐχ ᾑμάχθη; οὐδὲ γὰρ οἶδα τί εἴπω, οὕτω φρικτὸν τὸ μυστήριον ἦν. οὐχ ἥψατο τοῦ παιδὸς δέρρης, οὐδὲ διῆλθε διὰ τοῦ λαιμοῦ τοῦ ἁγίου ἐκείνου, οὐδὲ ἐφοινίχθη αἵματι δικαίου· μᾶλλον δὲ καὶ ἥψατο, καὶ διῆλθε, καὶ ἐφοινίχθη, καὶ ἐβαπτίσθη, καὶ οὐκ ἐβαπτίσθη. Τάχα ἐξεστηκέναι ὑμῖν δοκῶ οὕτως ἐναντιολογῶν. καὶ γὰρ ἐξέστηκα, τὸ θαῦμα ἐννοῶν τοῦ δικαίου· ἀλλ' οὐκ ἐναντιολογῶ. ἡ μὲν γὰρ τοῦ δικαίου χεὶρ ἐνέπηξεν αὐτὴν τῇ φάρυγγι τοῦ παιδός· ἡ δὲ τοῦ Θεοῦ χεὶρ καὶ ἐμπαγεῖσαν οὐκ ἀφῆκεν αἵματι μολυνθῆναι τοῦ παιδός. καὶ γὰρ οὐχ ὁ Ἀβραὰμ αὐτὴν κατεῖχε μόνον, ἀλλὰ καὶ ὁ Θεός. καὶ ὁ μὲν ὤθει διὰ τῆς γνώμης· ὁ δὲ Θεὸς ἀνέστελλε διὰ τῆς φωνῆς. ἡ γὰρ αὐτὴ φωνὴ καὶ ὥπλισε τὴν δεξιὰν, καὶ κατέστειλε· καὶ καθάπερ ὑπὸ στρατηγῷ ταττόμενος τῷ Θεῷ, πάντα τῷ ἐκείνου νεύματι διεπράττετο, καὶ πάντα τῇ ἐκείνου φωνῇ διηκόνει. σκόπει δέ· εἶπε, σφάξον, καὶ εὐθέως ὡπλίζετο· εἶπε, μὴ σφάξῃς, καὶ εὐθέως ἀφωπλίζετο. καὶ γὰρ ἦν πάντα ἀπηρτισμένα. καὶ ἐδείκνυ λοιπὸν ὁ Θεὸς τὸν στρατιώτην καὶ στρατηγὸν τῇ οἰκουμένῃ, τὸν στεφανίτην τῷ θεάτρῳ τῶν ἀγγέλων, τὸν ἱερέα, τὸν βασιλέα, τὸν διαδήματος μᾶλλον τῇ μαχαίρᾳ στεφανούμενον, τὸν τροπαιοῦχον, τὸν ἀριστέα, τὸν χωρὶς συμβολῆς νικητήν. καὶ γὰρ ὥσπερ ἂν εἴ τις στρατηγὸς ἄριστον ἔχων στρατιώτην, ἀπὸ τῆς ὁπλοδεξίας, ἀπὸ τῆς στάσεως, ἀπὸ τῆς ῥώμης καταπλήξειε τὸν ἀντίδικον· οὕτω καὶ ὁ Θεὸς, ἀπὸ τῆς γνώμης, ἀπὸ τοῦ σχήματος, ἀπὸ τῆς στάσεως μόνης τοῦ δικαίου τὸν κοινὸν ἁπάντων ἡμῶν ἐχθρὸν διάβολον κατέπληξε καὶ ἐφυγάδευσε. καὶ γὰρ οἶμαι κἀκεῖνον τότε φρίξαντα ἀναχωρῆσαι. Εἰ δὲ λέγει τις, καὶ τίνος ἕνεκεν οὐκ εἴασε βαπτισθῆναι τὴν δεξιὰν, εἶτα ἀθρόον ἀνέστησε τὸν σφαγιασθέντα; ὅτι Θεῷ θέμις οὐκ ἦν αἵματα δέχεσθαι τοιαῦτα, ἀλλὰ ἀλαστόρων δαιμόνων ἡ τοιαύτη τράπεζα. ἐνταῦθα δὲ ἀμφότερα ἐδείκνυτο, καὶ ἡ τοῦ δεσπότου φιλανθρωπία, καὶ ἡ τοῦ δούλου εὐγνωμοσύνη. καὶ πρότερον μὲν ἐξῆλθεν ἀπὸ τῆς γῆς· τότε δὲ ἀπὸ τῆς φύσεως αὐτῆς ἀπεχώρησε. διὸ καὶ ἔλαβε μετὰ τόκου τὸ κεφάλαιον· καὶ μάλα εἰκότως. εἵλετο γὰρ μὴ κληθῆναι πατήρ, ὥστε δοῦλος εὐγνώμων φανῆναι. διὰ τοῦτο οὐχὶ πατὴρ μόνον, ἀλλὰ καὶ ἱερεὺς ἐγένετο· καὶ ἐπειδὴ ἀπέστη τῶν ἑαυτοῦ διὰ τὸν Θεὸν, διὰ τοῦτο καὶ ὁ Θεὸς μετὰ τούτων ἐχαρίσατο αὐτῷ καὶ τὰ αὐτοῦ. ὅταν μὲν οὖν πολέμιοι ἐπιβουλεύωσι, καὶ μέχρι τῆς πείρας προέλθωσι θαυματουργῶν· οἷον ἐπὶ τῆς καμίνου, καὶ τῶν λεόντων. ὅταν δὲ αὐτὸς ἐπιτάττῃ, μέχρι προθυμίας ἵστησι τὸ ἐπίταγμα. τί γὰρ ἔλειπεν, εἰπέ μοι, τῇ ἀριστείᾳ ταύτῃ λοιπόν; μὴ γὰρ προῄδει τὸ μέλλον ὁ Ἀβραάμ; μὴ γὰρ ἐπραγματεύετο τοῦ Θεοῦ τὴν φιλανθρωπίαν; εἰ γὰρ καὶ προφήτης ἦν, ἀλλ' οὐ πάντα ὁ προφήτης οἶδεν. ὥστε περιττὴ λοιπὸν ἦν ἡ σφαγὴ, καὶ ἀναξία Θεοῦ. εἰ δὲ ἔδει μαθεῖν, ὅτι ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεὸς, ἀπὸ τῆς μήτρας πολλῷ θαυμαστότερον τοῦτο ἔμαθε· μᾶλλον δὲ, καὶ πρὸ τῆς

ἀποδείξεως

κ. μυρίων

ἀποδείξεως ἐκείνης. πιστὸς γάρ ἐστιν. σὺ δέ μοι θαύμαζε τὸν δίκαιον μόνον, ἀλλὰ καὶ ζήλου· καὶ ὁρῶν αὐτὸν ἐν τοσούτῳ θορύβῳ καὶ ζάλῃ κυμάτων, ὡς ἐν γαλήνῃ πλέοντα, ὁμοίως καὶ σὺ μεταχείριζου τῆς ὑπακοῆς καὶ τῆς ἀνδρείας τὸ πηδάλιον. μὴ γάρ μοι τοῦτο εἴπῃς μόνον, ὅτι θυσιαστήριον ᾠκοδόμησε, καὶ τὰ ξύλα· ἀλλὰ ἀναμνήσθητι καὶ τῆς φωνῆς τοῦ παιδίου, καὶ λόγισαι πόσαι νιφάδες ἐπῆλθον αὐτῷ στρατοπέδων ἐκδειματοῦσαι, ὅτε ἤκουσε τοῦ παιδίου λέγοντος, ὁ πατήρ, τὸ πρόβατον ποῦ; ἐννόησον πόσοι τότε ἐκινήθησαν λογισμοί, οὐ σιδήρῳ, ἀλλὰ φλογίνοις δόρασιν ὡπλισμένοι, καὶ πάντοθεν κατακεντοῦντες αὐτὸν καὶ διατέμνοντες. εἰ γὰρ καὶ νῦν κατακλῶνται πολλοὶ καὶ μὴ πατέρες ὄντες, καὶ ἐδάκρυσαν εἰ μὴ τὸ τέλος ᾔδεισαν, πολλοὺς δέ, καίτοι τοῦτο εἰδότας, δακρύοντας ὁρῶ· τί πάσχειν ἐκεῖνον εἰκός ἐστι, τὸν αὐτὸν γεγεννηκότα, τὸν θρέψαντα, τὸν ἐν γήρᾳ, τὸν μόνον ἔχοντα τοιοῦτον, τὸν ὁρῶντα, τὸν ἀκούοντα, τὸν εὐθέως μέλλοντα ἀναιρεῖν; τίς ἡ σύνεσις τῶν ῥημάτων; τίς ἡ ἐπιείκεια τῆς πεύσεως; τίς ἄρα ὁ ἐνεργῶν; ὁ διάβολος, ὥστε ἐμπαρῆσαι τὴν φύσιν; μὴ γένοιτο, ἀλλ' ὁ Θεός, ἵνα μᾶλλον βασανίσῃ τὴν χρυσὴν τοῦ δικαίου ψυχήν. ὅταν μὲν γὰρ ἡ γυνὴ φθέγγηται τοῦ Ἰώβ, διάβολος ἐνεργεῖ. τοιαύτη γὰρ ἡ συμβουλή. ἐνταῦθα δὲ οὐδὲν βλάσφημον φθέγγεται, ἀλλὰ καὶ σφόδρα εὐσεβές, καὶ μεμελημένον· καὶ πολλὴ ἡ χάρις ἐπικάθηται τοῖς ῥήμασι, πολὺ δὲ μέλι τῶν λόγων ἀπέσταξεν ἀπὸ γαληνῆς καὶ ἡμέρου ῥέον ψυχῆς· καὶ λιθίνην ἱκανὰ ταῦτα ἦν μαλάξαι διάνοιαν τὰ ῥήματα. ἀλλ' οὐ τὸν ἀδάμαντα ἐκεῖνον περιέτρεψεν, ἀλλ' οὐδὲ ἔσεισεν· οὐδὲ εἶπε, τί πατέρα καλεῖς τὸν μικρὸν ὕστερον οὐκ ἐσόμενόν σου πατέρα, τὸν ἤδη ταύτην ἀπολέσαντα τὴν τιμήν; τίνος δὲ ἕνεκεν καὶ ὁ παῖς ἐρωτᾷ; οὐ περιεργαζόμενος ἁπλῶς, οὐδὲ πολυπραγμονῶν, ἀλλ' ἀγωνιῶν ὑπὲρ τῶν προκειμένων. καὶ γὰρ ἐνενόει ὅτι εἰ μὴ ἐβούλετο λαβεῖν κοινωνὸν τῶν γινομένων, οὐκ ἂν τοὺς μὲν παῖδας ἀφῆκε κάτω μένειν, αὐτὸν δὲ μόνον παρέλαβε. διὰ δὴ τοῦτο, καὶ ὅτε μόνοι γεγόνασι, τότε αὐτὸν ἐρωτᾷ, ὅτε οὐδεὶς ἤκουε τῶν λεγομένων. τοσαύτη τοῦ παιδὸς ἡ σύνεσις ἦν. ἆρα οὐ διεθερμάνθητε πάντες, καὶ ἄνδρες, καὶ γυναῖκες; οὐχὶ ἕκαστος ὑμῶν περιεπτύξατο δὲ τῇ διανοίᾳ καὶ κατεφίλησε τὸ παιδίον, καὶ θαυμάζει τὴν σύνεσιν, καὶ αἰδεῖται τὴν εὐλάβειαν, μεθ' ἧς, καὶ συμποδιζόμενος, καὶ ἐπὶ τοῖς ξύλοις ἐπιτιθέμενος οὐκ ἐξεπλήττετο, οὐκ ἐσκίρτα, οὐ κατεγίνωσκε τοῦ πατρὸς ὡς μαινομένου, ἀλλὰ καὶ ἐδεσμεῖτο, καὶ ἀνεβιβάζετο, καὶ ἐπετίθετο, καὶ πάντα ἔφερε σιγῇ, καθάπερ τις ἀρνειός· μᾶλλον δέ, καθάπερ ὁ κοινὸς πάντων δεσπότης; καὶ γὰρ ἐκείνου ἐμιμεῖτο τὴν ἐπιείκειαν, καὶ τὸν τύπον ἐφύλαττεν. Ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. Ἡσ. νγ. ζ. καίτοιγε ἐφθέγξατο οὗτος· καὶ γὰρ καὶ ὁ δεσπότης αὐτοῦ ἐφθέγξατο. πῶς οὖν ἄφωνος; τουτέστιν, οὐδὲν αὔθαδες εἶπεν, οὐδὲ τραχύ, ἀλλὰ πάντα ἥμερα καὶ προσηνῆ, καὶ μᾶλλον τῆς σιγῆς τὰ ῥήματα τὴν ἐπιείκειαν ἐδήλου. ἐπεὶ καὶ ὁ Χριστὸς ἔλεγεν, Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; Ἰωάν. ιη. κγ. καὶ τὴν ἐπιείκειαν μᾶλλον ἐδήλωσεν, ἢ ἐσίγησε. καὶ ὥσπερ οὗτος τῷ πατρὶ ἀπὸ τοῦ θυσιαστηρίου, οὕτω καὶ ἐκεῖνος ἀπὸ τοῦ σταυροῦ διαλέγεται, Πάτερ, ἄφες αὐτοῖς, λέγων· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Λουκ. κγ. λδ. τί οὖν ὁ πατριάρχης; Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. Γεν. κβ. η. ἑκάτεροι τὰ ὀνόματα τῆς φύσεως καλοῦσιν· ἐκεῖνος πατέρα, καὶ τέκνον οὗτος. καὶ χαλεπὸς ἑκατέρωθεν ὁ πόλεμος διεγείρεται, καὶ πολλὴ ἡ ζάλη· καὶ ναυάγιον οὐδαμοῦ. ἡ γὰρ φιλοσοφία πάντων κρατεῖ. εἶτα ἐπειδὴ ἤκουσε τὸν Θεόν, οὐκέτι εἶπεν οὐδέν, οὐδὲ περιειργάσατο. οὕτω συνετὸν ἦν τὸ παιδίον, καὶ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει. εἶδες τὸν βασιλέα πόσων ἐκράτησε στρατοπέδων, πόσων πολέμων ἐπιόντων; οὐδὲ γὰρ οὕτως ἦσαν οἱ βάρβαροι τῇ πόλει τῶν Ἱεροσολύμων φοβεροί, ὅτε ἐπῆλθον αὐτῇ πολλάκις, ὡς οἱ λογισμοὶ τούτων πάντοθεν αὐτὸν περιεκάθηντο· ἀλλ' ὅμως ἁπάντων περιεγένετο. βούλει καὶ τὸν ἱερέα ἰδεῖν; οὐ πόρρωθεν τὸ ὑπόδειγμα. ὅταν γὰρ αὐτὸν ἴδῃς πῦρ ἔχοντα, καὶ μάχαιραν, καὶ θυσιαστηρίῳ ἐ-

φέροντα, τί λοιπὸν ἀμφιβάλλεις περὶ τῆς ἱερωσύνης; εἰ δὲ βούλει καὶ τὴν θυσίαν ἰδεῖν, ὄψει διπλῆν. προσήνεγκε γὰρ παῖδα, προσήνεγκε καὶ πρόβατον· μᾶλλον δὲ πρὸ πάντων, τὴν ἑαυτοῦ γνώμην· καὶ τῷ μὲν αἵματι τοῦ προβάτου, τὴν δεξιάν· τῇ δὲ σφαγῇ τοῦ παιδὸς, τὴν ψυχὴν ἡγίασεν. οὕτως ἐχειροτονήθη ἱερεὺς, αἵματι μονογενοῦς, θυσίᾳ ἀμνοῦ. καὶ γὰρ καὶ οἱ ἱερεῖς αἵματι ἡγιάζοντο τῶν ἱερείων τῶν τῷ Θεῷ προσαγομένων. βούλει καὶ προφήτην ἰδεῖν; Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη, φησίν. οὕτω καὶ σὺ γίνῃ βασιλεὺς, καὶ ἱερεὺς, καὶ προφήτης ἐν τῷ λουτρῷ· βασιλεὺς μὲν, πάσας χαμαὶ ῥίψας τὰς πονηρὰς πράξεις, καὶ τὰ ἁμαρτήματα κατασφάξας· ἱερεὺς δὲ, ἑαυτὸν προσενεγκὼν τῷ Θεῷ, καὶ καταθύσας τὸ σῶμα, καὶ σφαγεὶς καὶ αὐτός (Εἰ γὰρ συναπεθάνομεν αὐτῷ, φησὶ, καὶ συζήσομεν αὐτῷ) προφήτης δὲ, τὰ μέλλοντα μανθάνων, καὶ ἔνθεος γινόμενος, καὶ σφραγισάμενος. καθάπερ γὰρ στρατιώταις σφραγὶς, οὕτω καὶ τοῖς πιστοῖς τὸ πνεῦμα ἐπιτίθεται. κἂν λειποτακτήσῃς, κατάδηλος γίνῃ πᾶσιν. Ἰουδαῖοι μὲν γὰρ εἶχον σφραγῖδα τὴν περιτομὴν, ἡμεῖς δὲ τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος. ταῦτα οὖν εἰδότες, καὶ τὸ ἀξίωμα τὸ ἑαυτῶν ἐννοήσαντες, ἄξιον τῆς χάριτος ἐπιδειξώμεθα βίον, ἵνα καὶ τῆς μελλούσης ἐπιτύχωμεν βασιλείας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. δ. 23 ΕΓΩ ΔΕ ΜΑΡΤΥΡΑ ΤΟΝ ΘΕΟΝ ΕΠΙΚΑΛΟΥμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον.

Τί φῂς, ὦ μακάριε Παῦλε; φειδόμενος αὐτῶν οὐκ ἦλθες εἰς Κόρινθον; οὐκοῦν ἐναπολογίαν ἑτέραν ἡμῖν εἰσάγεις ἐνταῦθα. ἀνωτέρω μὲν γὰρ ἔλεγες, ὅτι διὰ τοῦτο οὐκ ἦλθες, ἐπειδὴ οὐ κατὰ σάρκα βουλεύῃ, οὐδὲ κύριος εἶ σαυτοῦ, ἀλλ᾽ ὑπὸ τῆς τοῦ πνεύματος ἐξουσίας πανταχοῦ περιάγῃ· καὶ τὰς θλίψεις εἰς μέσον ἦγες· ἐνταῦθα δὲ σὸν φῂς εἶναι τὸ μὴ ἐλθεῖν, οὐκέτι τῆς τοῦ πνεύματος ἐξουσίας. καὶ γάρ φησιν, ὅτι φειδόμενος ὑμῶν, οὐκ ἦλθον εἰς Κόρινθον. τί οὖν ἐστιν εἰπεῖν; ἢ ὅτι καὶ τοῦτο αὐτὸ τοῦ πνεύματος ἦν, καὶ ἠθέλησε μὲν αὐτὸς ἐλθεῖν, ὑπέβαλε δὲ τὸ πνεῦμα μὴ παραγενέσθαι, τὴν φειδὼ τὴν αὐτῶν προβαλλόμενον· ἢ περὶ ἑτέρας λέγει παρουσίας, δηλαδὴ ὅτι πρὶν ἢ γράψαι τὴν προτέραν ἐπιστολὴν, ἠθέλησεν ἐλθεῖν, καὶ κατέσχεν ἑαυτὸν δι᾽ ἀγάπην, ὥστε μὴ ἀδιορθώτοις ἐπιστῆναι. εἰκὸς δὲ καὶ μετὰ τὴν δευτέραν ἐπιστολὴν, τοῦ πνεύματος μηκέτι κωλύοντος αὐτὸν, ἑκόντα διὰ τὴν αἰτίαν ταύτην μεῖναι. ὃ καὶ μᾶλλόν ἐστιν ὑποπτεῦσαι, ὅτι παρὰ μὲν τὴν ἀρχὴν τὸ πνεῦμα ἐκώλυεν· ὕστερον δὲ καὶ αὐτὸς ἐπιλογισάμενος ὅτι τοῦτο βέλτιον, ἔμεινε. σὺ δέ μοι σκόπει πῶς πάλιν ἑαυτοῦ μέμνηται (ὃ συνεχῶς λέγων οὐ παύσομαι) ἀπὸ τῶν ἐναντίων ἑαυτὸν συνιστάμενος. ἐπειδὴ γὰρ καὶ τοῦτο εἰκὸς ἦν ὑποπτεύειν αὐτοὺς, καὶ λέγειν, ὅτι διὰ τοῦτο οὐκ ἠθέλησας ἐλθεῖν (ἐμίσησας γὰρ ἡμᾶς) δείκνυσι τοὐναντίον, ὅτι διὰ τοῦτο οὐκ ἠθέλησεν, ἐπειδὴ ἐφίλει αὐτούς. τί δέ ἐστι τὸ, φειδόμενος; ἤκουσα, φησὶν, ὅτι ἐπόρνευσάν τινες παρ᾽ ὑμῖν· οὐκ ἤθελον οὖν ἐλθὼν λυπῆσαι ὑμᾶς. καὶ γὰρ ἀνάγκη παρόντα ἐξετάσαι τὸ πρᾶγμα, καὶ ἐπεξελθεῖν καὶ κολάσαι, καὶ πολλοὺς ἀπαιτῆσαι δίκην. βέλτιον οὖν εἶναι ἐνόμισα ἀπεῖναι, καὶ ἐνδοῦναι μετανοῆσαι, ἢ παρὼν ἐπεξελθεῖν, καὶ παροξῦναι θεῖναι μειζόνως. καὶ γὰρ πρὸς τῷ τέλει τῆς ἐπιστολῆς σαφῶς αὐτὸ προεδήλωσεν εἰπὼν, Φοβοῦμαι μήπως ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ, ᾗ ἔπραξαν. τοῦτο τοίνυν καὶ ἐνταῦθα ἐνδείκνυται, καὶ λέγει μὲν αὐτὸς ἀπολογούμενος· ἐπι-

Margin notes (left): Ιωαν. η. νϛ. — β. Τιμ. β. ια. — β. Κορ. ιβ. κα.

Margin notes (right): χ. ὑπὲρ — χ. ἐγὼ

στύφει δὲ αὐτοὺς σφοδρότατα, καὶ φοβεῖ. καὶ γὰρ ἠνίξατο τιμωρίας οὔσας αὐτοὺς ὑποβαθμίους, καί τι καὶ πεισομένους, εἰ μὴ ταχέως διορθωθεῖεν. ὃ καὶ αὐτὸ πάλιν ἐν τῷ τέλει τῆς ἐπιστολῆς φησιν· ὅτι Ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. πλὴν ἀλλ' ἐκεῖ μὲν σαφέστερον, ἐνταῦθα δὲ, ἐπειδὴ προοίμιον ἦν, οὐχ οὕτως αὐτὸ λέγει, ἀλλ' ὑποσταλμένως· καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ αὐτὸ τοῦτο πάλιν θεραπεύει, ἐπιδιορθώσει κεχρημένος. ἐπειδὴ γὰρ ὥσπερ ἐξουσίαν πολλὴν ἐνδεικνυμένου τὸ ῥῆμα ἦν (φείδεται γάρ τις ἐκείνων, οὓς καὶ κολάσαι κύριός ἐστι) τοῦτο αὐτὸ παραμυθούμενος, καὶ τὸ δοκοῦν εἶναι τραχὺ συσκιάζων, φησίν, β. Κορ. ιγ. β.

24 Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως· Τουτέστιν, οὐ διὰ τοῦτο εἶπον, ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον, ὡς κυριεύων ὑμῶν. καὶ οὐκ εἶπεν, ὑμῶν, ἀλλὰ, τῆς πίστεως· ὃ καὶ πρᾳότερον ἦν καὶ ἀληθέστερον. τὸν γὰρ μὴ βουλόμενον πιστεῦσαι τίς κύριος ἀναγκάσαι; Ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν. Ἐπειδὴ γάρ, φησιν, ἡ χαρὰ ὑμῶν ἡμετέρα ἐστίν, οὐκ ἦλθον, ἵνα μὴ ἐμβάλω εἰς λύπην ὑμᾶς, καὶ αὐξήσω τὴν ἀθυμίαν τὴν ἐμήν· ἀλλ' ἔμεινα, ἵνα διορθωθέντες ἀπὸ τῆς ἀπειλῆς, εὐφρανθῆτε. πάντα γὰρ ποιοῦμεν ὑπὲρ τῆς χαρᾶς τῆς ὑμετέρας, καὶ ὑπὲρ τούτου σπουδάζομεν· ἐπειδὴ καὶ αὐτοὶ κοινωνοῦμεν αὐτῇ. Τῇ γὰρ πίστει ἑστήκατε. Ὅρα πάλιν ὑποσταλμένως διαλεγόμενον. δέδοικε γὰρ αὐτῶν καθάψασθαι πάλιν, ἐπειδὴ σφοδρῶς αὐτῶν ἐν τῇ προτέρᾳ καθήψατο ἐπιστολῇ, καὶ ἵνα μεταβολὴν ἐπεδείξαντο· καὶ ἔμελλεν αὐτοὺς τοῦτο ἀνατρέπειν, εἰ μεταβαλλόμενοι πάλιν τὴν αὐτὴν ἐπιτίμησιν ὑπομένοιεν. διὸ πολλῷ τῆς προτέρας ἡμερωτέρα αὕτη.

1 Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο μὴ πάλιν ἐν λύπῃ ἐλθεῖν πρὸς ὑμᾶς. Τὸ, πάλιν, δείκνυσι καὶ ἤδη λυπηθέντα ἐκεῖθεν· καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι, λεληθότως αὐτῶν καθάπτεται. εἰ δὲ καὶ ἤδη ἐλύπησαν, καὶ πάλιν ἔμελλε λυπεῖν, ἐννόησον ὅσην εἰκὸς γενέσθαι τὴν ἀηδίαν. ἀλλὰ τοῦτο μὲν οὐ λέγει, ὅτι ἐλυπήσατε· ἑτέρως δὲ μεθοδεύει τὸν λόγον, αὐτὸ τοῦτο αἰνιττόμενος, καὶ λέγων, ὅτι διὰ τοῦτο οὐκ ἦλθον, ἵνα μὴ λυπήσω ὑμᾶς. ὃ τὴν αὐτὴν μὲν ἰσχὺν ἔχει τούτῳ ᾧ εἶπον, εὐπαράδεκτον δὲ μᾶλλόν ἐστιν. κεφ. β.

γ. λυπηθέντας

ἴσ. λον γ. ἀηδίαν.

γ. εἶπεν,

2 Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;

Ποία αὕτη ἀκολουθία; μεγίστη μὲν οὖν. σκόπει δέ· οὐκ ἠθέλησα, φησιν, ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα μὴ λυπήσω ὑμᾶς πλέον ἐπιτιμῶν, ἀγανακτῶν, ἀποστρεφόμενος. εἶτα ἐπειδὴ καὶ αὐτὸ σφοδρὸν ἦν, καὶ κατηγορίαν αὐτῶν εἶχεν, εἴγε οὕτως ἔζων ὡς Παῦλον λυπεῖν, ἐπιδιορθώσει χρώμενός φησιν, Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ δὲ καὶ ἐν λύπῃ ἔμελλον εἶναι, ἀναγκαζόμενος ὑμῖν ἐπιτιμᾶν, καὶ ὁρᾶν λυπουμένους, ἀλλ' ὅμως καὶ αὐτὸ τοῦτο ηὔφραινέ με. μεγίστης γὰρ τοῦτο ἀγάπης τεκμήριον, τὸ τοσούτου παρ' ὑμῖν ἄξιον εἶναί με, ὡς δύνασθαι δάκνειν ὑμᾶς ἀποστρεφόμενον. καὶ ὅρα συνέσιν. ὃ γὰρ οὐ νόμου τῶν μαθητῶν ἦν, τὸ ἀλγεῖν καὶ αἰσθάνεσθαι ἐπιτιμωμένους, τοῦτο ὡς χαριζομένους αὐτοὺς εἰσάγει. οὐδεὶς γάρ με οὕτως εὐφραίνει, φησίν, ὡς ἐκεῖνος ὁ ἐπιστρεφόμενος τῶν ἐμῶν ῥημάτων, καὶ λυπούμενος ὅταν βλέπῃ με ὀργιζόμενον. καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν, εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ δυνάμενος ὑμᾶς εὐφρᾶναι; ἀλλ' οὐ λέγει τοῦτο, ἀλλ' ἀναστρέφει πάλιν αὐτὸ, θεραπεύων αὐτοὺς, καὶ λέγων, εἰ καὶ λυπῶ ὑμᾶς, χάριν μοι παρέχετε καὶ τοῦτο μεγίστην, ὅτι δάκνεσθε ὑπὸ τῶν παρ' ἐμοῦ λεγομένων.

3 Καὶ γὰρ ἔγραψα ὑμῖν αὐτὸ τοῦτο. Ποῖον; ὅτι διὰ τοῦτο οὐκ ἦλθον, φειδόμενος ὑμῶν. πότε ἔγραφεν; ἐν τῇ προτέρᾳ, ὅτε ἔλεγεν, Οὐ θέλω ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐν αὐτῇ τῇ ἐπιστολῇ, ὅτι εἶπε, Μὴ ἐλθόντα με πάλιν ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς. ἔγραψα οὖν αὐτὸ τοῦτο πρὸς τῷ τέλει, φησί, μήπως ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων. διὰ τί δὲ ἔγραφες; a.Κορ.ιε.ζ. a.Κορ.ιβ.κα.

Ἵνα μὴ ἐλθὼν λύπην σχῶ ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι εὐφραίνομαι ἀλγούντων ὑμῶν, καὶ ἔτι αὐθαδέστερον τοῦτο ἦν καὶ τραχύτερον, πάλιν αὐτὸ ἀνέστρεψεν ἑτέρως, καὶ ἡμερώτερον αὐτὸ ἐποίησεν οἷς ἐπήγαγε. διὰ τοῦτο γὰρ, φησι, προέγραψα ὑμῖν, ἵνα μὴ ἐν ὀδύνῃ ὑμᾶς εὕρω μὴ διορθωθέντας. διὰ τοῦτο εἶπον ἵνα μὴ λυπηθῶ, οὐ τὸ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον. οἶδα γὰρ ὅτι ἐὰν ἴδητε χαίροντα, χαίρετε· κἂν θεάσησθε ἀλγοῦντα, ἀλγεῖτε. ὅρα τοίνυν ἄνωθεν τὴν ἀκολουθίαν τῶν εἰρημένων· οὕτω γὰρ εὐμαθέστερος ἡμῖν ἔσται ὁ λόγος. οὐκ ἦλθον, φησιν, ἵνα μὴ λυπήσω ὑμᾶς, ἀδιορθώτους εὑρών. τοῦτο δὲ ἐποίουν, οὐ τὸ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον. ἐγὼ μὲν γὰρ, λυπουμένων ὑμῶν, ἔχω ἡδονὴν οὐ μικρὰν, ὅταν ἴδω τοσοῦτον ἐμοῦ φροντίζοντας, ὡς καὶ λυπεῖσθαι καὶ ἀλγεῖν ἀγανακτοῦντος ἐμοῦ. τίς γάρ ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; πλὴν ἀλλὰ καὶ οὕτω διακείμενος, ἐπειδὴ τὸ ὑμέτερον σκοπῶ, ἔγραψα ὑμῖν τὸ αὐτὸ τοῦτο, ἵνα μὴ λυπηθῶ· καὶ ἐν τούτῳ πάλιν, οὐ τὸ ἐμὸν σκοπῶν, ἀλλὰ τὸ ὑμέτερον. οἶδα γὰρ ὅτι καὶ ὑμεῖς μέλλετε λυπεῖσθαι ἀλγοῦντά με ὁρῶντες· ὥσπερ οὖν καὶ εὐφραίνεσθε χαίροντα θεωροῦντες. σκόπει τοίνυν σύνεσιν. εἶπεν, ἵνα μὴ λυπήσω οὐκ ἦλθον, καίτοιγε εὐφραίνομαι, φησιν. εἶτα, ἵνα μὴ δόξῃ ἐκείνων ἀλγούντων εὐφραίνεσθαι, κατὰ τοῦτό φησι, χαίρω, καθὸ καθάπτομαι· ἐπεὶ καθ' ἕτερον λυποῦμαι, ὅταν ὑμᾶς οὕτω φιλοῦντας ἀναγκάζωμαι λυπεῖν, οὐ τούτῳ μόνον τῷ ἐπιτιμᾶν, ἀλλὰ τῷ καὶ αὐτὸς ἐν λύπῃ εἶναι, καὶ ὑμᾶς διὰ τοῦτο πάλιν λυπεῖν. σκόπει δὲ πῶς αὐτὸ καὶ μετ' ἐγκωμίου τίθησι λέγων, ἀφ' ὧν ἔδει με χαίρειν. τοῦτο γὰρ γνησιότητα μαρτυροῦντός ἐστι, καὶ πολλὴν φιλοστοργίαν· ὡς ἂν εἰ περὶ υἱῶν τις εἴπε πολλὰ εὐεργετηθέντων, καὶ περὶ οἷς ἐπόνησεν. εἰ τοίνυν διὰ τοῦτο γράφω, καὶ οὐκ ἔρχομαι, μέγα τι οἰκονομῶν οὐκ ἔρχομαι, καὶ οὐ μισῶν, οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ καὶ σφόδρα φιλῶν. εἶτα, ἐπειδὴ εἶπεν, ὅτι ὁ λυπῶν εὐφραίνει, ἵνα μὴ λέγωσι, τοῦτο οὖν αὐτὸ σπουδάζεις, ἵνα εὐφραίνῃ, καὶ ἐπιδείξῃ πᾶσι πόσην ἔχεις ἰσχύν; ἐπήγαγεν·

4 Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων· οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

Τί ταύτης φιλοστοργότερον τῆς ψυχῆς; αὐτῶν γὰρ τῶν ἡμαρτηκότων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον δείκνυσιν ἑαυτὸν ἀλγήσαντα. οὐ γὰρ ἀπὸ θλίψεώς φησι μόνον, ἀλλ' ἀπὸ πολλῆς· οὐδὲ δακρύων, ἀλλὰ διὰ πολλῶν δακρύων καὶ συνοχῆς καρδίας· τουτέστιν, ἀπηγχονιζόμην, ἀπεπνιγόμην ὑπὸ τῆς ἀθυμίας, καὶ μηκέτι φέρων τῆς ἀθυμίας τὸ νέφος, ἔγραψα ὑμῖν· οὐχ ἵνα λυπηθῆτε, ἀλλ' ἵνα γνῶτε τὴν ἀγάπην, φησὶν, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν, οὐχ ἵνα λυπηθῆτε, ἀλλ' ἵνα διορθωθῆτε (καὶ γὰρ διὰ τοῦτο ἔγραψεν) ἀλλ' οὐ λέγει τοῦτο, ἀλλὰ καταγλυκαίνων μᾶλλον τὸν λόγον, καὶ εἰς μεῖζον φίλτρον αὐτοὺς ἐπισπώμενος, τοῦτο ἀντ' ἐκείνου τίθησι, δεικνὺς ὅτι πάντα ἀπὸ ἀγάπης ποιεῖ. καὶ οὐχ ἁπλῶς φησιν, ἀγάπην, ἀλλ', ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. βούλεται γὰρ αὐτοὺς καὶ ταύτῃ ἐπισπάσασθαι, τῷ δεῖξαι ὅτι πλέον πάντων αὐτοὺς φιλεῖ, καὶ ὡς περὶ ἐξαιρέτους μαθητὰς διάκειται. διό φησιν, Εἰ καὶ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· καὶ, Ἐὰν πολλοὺς παιδαγωγοὺς ἔχητε, ἀλλ' οὐ πολλοὺς πατέρας· καὶ πάλιν, Ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς· καὶ προϊών φησι, Καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι· καὶ ἐνταῦθα, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. ὥστε εἰ καὶ θυμοῦ τὰ ῥήματα ἐγέμεν, ἀλλ' ἐξ ἀγάπης ἦν πολλῆς καὶ ὀδύνης ὁ θυμός· καὶ γράφων τὴν ἐπιστολὴν, ἔπασχον, ἤλγουν, οὐχ ὅτι ἡμαρτήκατε μόνον, ἀλλ' ὅτι καὶ ἠναγκαζόμην λυπεῖν. καὶ τοῦτο δὲ αὐτὸ ἐξ ἀγάπης· ὥσπερ ἂν ἔχων τις παῖδα γνήσιον σηπεδόνα ἔχοντα, ἀναγκαζόμενος τέμνειν καὶ καίειν, δι' ἀμφότερα πάσχει, καὶ ὅτι νοσεῖ, καὶ ὅτι ἀναγκάζεται

α. Κορ. θ. β. δ. ιε.

β. Κορ. α. ιβ. ιβ. ιε.

κ. ἵνα εἰ ἐν ὀδύνῃ ὑμᾶς ἄγω διαθέντας.

γ. ὀδύνη

ἀναγκάζεται αὐτὸν τέμνειν. ὥστε ὃ νομίζετε εἶναι τοῦ μισεῖν ὑμᾶς σημεῖον, τοῦτο τοῦ σφόδρα φιλεῖν ἦν. εἰ δὲ τὸ λυπῆσαι ἐξ ἀγάπης, πολλῷ μᾶλλον τὸ εὐφραίνεσθαι λυπουμένων. ἀπολογησάμενος τοίνυν ὑπὲρ ἑαυτοῦ (καὶ γὰρ ἀπολογεῖται πολλαχοῦ, καὶ οὐκ αἰσχύνεται). εἰ γὰρ ὁ Θεὸς αὐτὸ ποιεῖ λέγων, Λαός μου, τί ἐποίησά σοι; πολλῷ μᾶλλον Παῦλος) ἀπολογησάμενος οὖν ὑπὲρ ἑαυτοῦ, καὶ μέλλων μετιέναι λοιπὸν ἐπὶ τὴν ἀπολογίαν τὴν ὑπὲρ τοῦ πεπορνευκότος, ἵνα μὴ διαστραφῶσιν ὡς τἀναντία κελευόμενοι, καὶ προσφιλονεικήσωσιν, ἐπειδὴ αὐτὸς ἦν ὁ καὶ τότε ὀργισθεὶς, καὶ νῦν κελεύων αὐτὸν ἀφιέναι· ὅρα πῶς αὐτὸ προοικονόμησεν, ἀπό τε τῶν εἰρημένων, ἀπό τε τῶν ῥηθησομένων. τί γάρ φησιν; Mix. ς. γ.

5 Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκε. Πρῶτον αὐτοὺς ἐπαινέσας, ὡς τὰ αὐτὰ χαίροντας, καὶ τὰ αὐτὰ λυπουμένους, τότε ἐμβάλλει εἰς τὸν περὶ τούτου λόγον, εἰπὼν πρότερον, ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. εἰ δὲ ἡ χαρὰ πάντων ὑμῶν ἐστι χαρὰ, δεῖ μετ' ἐμοῦ καὶ νῦν ἡσθῆναι, ὥσπερ ἠλγήσατε μετ' ἐμοῦ τότε. καὶ γὰρ δι' ὧν ἐλυπήθητε, ηὐφράνατε· καὶ δι' ὧν χαίρετε νῦν (ἂν ἄρα ἡσθῆτε) τὸ αὐτὸ ποιήσετε. καὶ οὐκ εἶπεν, ἡ ἐμὴ λύπη, πάντων ὑμῶν ἐστιν· ἀλλ' ἐν τοῖς ἄλλοις κατασκευάσας τοῦτο, νῦν μόνον οὗ ἐχρῆζε, τοῦτο τέθεικε, τὴν χαρὰν, εἰπὼν ὅτι ἡ ἐμὴ χαρὰ, πάντων ὑμῶν ἐστιν. εἶτα καὶ τῶν προτέρων μέμνηται λέγων, Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους (ἵνα μὴ ἐπιβαρῶ) πάντας ὑμᾶς. Οἶδα, φησὶν, ὅτι συνωργίσθητέ μοι καὶ συνηγανακτήσατε ἐπὶ τῷ πεπορνευκότι, καὶ ἐκ μέρους πάντας ὑμᾶς ἐλύπησε τὸ συμβάν. διὰ τοῦτο δὲ εἶπον, ἐκ μέρους, οὐχ ὡς ὑμῶν ἐλάττονα ἀλγησάντων ἢ ἐγὼ, ἀλλ' ἵνα μὴ βαρύνω ἐκεῖνον τὸν πορνεύσαντα. οὐκ ἐμὲ τοίνυν μόνον ἐλύπησεν, ἀλλὰ καὶ ὑμᾶς ὁμοίως· * καὶ φειδόμενος αὐτοῦ εἶπον, ἀπὸ μέρους. εἶδες πῶς αὐτῶν εὐθέως ἐχάλασε τὸν θυμὸν, δείξας καὶ τῆς ἀγανακτήσεως κοινωνοὺς γενομένους;

ἴσ. ἡ ἐμὴ χα.

χ. νῦν δ' μάλιστα ἐχρῆζ. τοῦτ.

* ἡ

6 Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων.

Καὶ οὐ λέγει, τῷ πεπορνευκότι, ἀλλὰ πάλιν τῷ τοιούτῳ, ὡς καὶ ἐν τῇ προτέρᾳ· ἀλλ' οὐ διὰ τὴν αὐτὴν αἰτίαν· ἀλλ' ἐκεῖ μὲν αἰσχυνόμενος, ἐνταῦθα δὲ φειδόμενος. διὸ οὐδὲ μέμνηται λοιπὸν οὐδαμοῦ τῆς ἁμαρτίας· καιρὸς γὰρ ἀπολογίας ἦν.

7 Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Οὐ γὰρ μόνον κελεύει λῦσαι τὴν ἐπιτίμησιν, ἀλλὰ καὶ ἐπὶ τὰ πρότερα ἐπαναγαγεῖν. τὸ γὰρ μαστιγωθέντα ἂν μόνον τις ἀφῇ, καὶ οὐ θεραπεύσῃ, οὐδὲν ἐποίησεν. ὅρα δὲ πῶς κἀκεῖνον πάλιν καταστέλλει, ἵνα μὴ τῇ συγχωρήσει γένηται χείρων. εἰ γὰρ καὶ ἐξωμολογήσατο, καὶ μετενόησε, δείκνυσιν ὅτι οὐ τοσοῦτον ἀπὸ τῆς μετανοίας, ὅσον ἀπὸ τῆς δωρεᾶς λαμβάνει τὴν ἄφεσιν. διό φησι, χαρίσασθαι καὶ παρακαλέσαι. καὶ τὸ ἑξῆς πάλιν τὸ αὐτὸ δηλοῖ. οὐ γὰρ, ἐπειδὴ ἄξιός ἐστιν, οὐδὲ, ἐπειδὴ ἀρκοῦσαν μετάνοιαν ἐπεδείξατο, ἀλλ' ἐπειδὴ ἀσθενής ἐστι, διὰ τοῦτό φησιν, ἀξιῶ. διὸ καὶ ἐπήγαγε, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. τοῦτο δὲ καὶ μαρτυροῦντός ἐστιν αὐτῷ πολλὴν τὴν μετάνοιαν, καὶ οὐκ ἀφιέντος εἰς ἀπόνοιαν ἐλθεῖν. τί δέ ἐστι τὸ καταποθῇ; ἢ τοῦτο ποιῆσαι ὅπερ καὶ Ἰούδας ἐποίησεν, ἢ καὶ ἐν τῷ ζῆν χείρων γενόμενος. κἂν γὰρ ἀποσκιρτήσῃ, φησὶ, τῷ μὴ φέρειν ἐπιπλέον τὴν ἐκ τῆς ἐπιτεινομένης ἐπιπλήξεως ὀδύνην· πολλάκις καὶ ἀπογνοὺς, ἢ εἰς ἀγχόνην, ἢ εἰς μείζονα λοιπὸν ἥξει κακίαν. δεῖ τοίνυν προκαταλαβεῖν, ἵνα μὴ χαλεπώτερον τὸ ἕλκος γένηται, μηδὲ, ὅπερ κατωρθώσαμεν, ἀπολέσωμεν τῇ ἀμετρίᾳ. ταῦτα δὲ ἔλεγεν, ἐκεῖνον (ὅπερ ἔφθην εἰπὼν) καὶ καταστέλλων, καὶ παιδεύων μὴ γίνεσθαι μετὰ τὴν ἄφεσιν ῥαθυμότερον. οὐ γὰρ ὡς ἀπονιψάμενοι τέλεον, ἀλλ' ὡς δεδοικότες μὴ χαλεπώτερόν τι ἐργάσηται), οὕτως ἐδεξάμην, φησίν. ὅθεν μανθάνομεν, ὅτι οὐ δεῖ μόνον πρὸς τὴν φύσιν τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὴν διάνοιαν καὶ τὴν ἕξιν τῶν ἁμαρτανόν-

των τὴν μετάνοιαν δείξειν· ὃ καὶ τότε ὁ ἀπόστολος ἐποίησε. καὶ γὰρ ἐφοβεῖτο αὐτὸν ὡς ἀσθενῆ· καὶ διὰ τοῦτο ἔλεγε, μὴ καταποθῇ, ὡς ἐπὶ θηρίου, ὡς ἐπὶ χειμῶνος, ὡς ἐπὶ κλύδωνος.

8 Διὸ παρακαλῶ ὑμᾶς. Οὐκέτι ἐπιτάττει, ἀλλὰ παρακαλεῖ, οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς ὁμότιμος, κἀκείνους ἐπὶ τοῦ θρόνου καθίσας τοῦ δικαστικοῦ, ἑαυτὸν ἔστησεν ἐν τάξει συνηγόρου. ἐπειδὴ γὰρ κατώρθωσεν ὅπερ ἐβούλετο, ἀπλήστως ὑπὸ χαρᾶς τῇ ἱκετηρίᾳ κέχρηται. καὶ τί ποτέ ἐστιν ὃ παρακαλεῖς, εἰπέ μοι; Κυρῶσαι εἰς αὐτὸν ἀγάπην. Τουτέστι, βεβαιῶσαι, μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε, προσέχεσθαι. τοῦτο δὲ πάλιν μαρτυροῦντός ἐστιν αὐτοῖς ἀρετὴν μεγίστην εἶναι τὸ οὕτω φιλοῦντας αὐτὸν, καὶ συγκροτοῦντας, ὡς καὶ φυσιωθῆναι, οὕτως ἀπεστράφησαν, ὡς τοσαῦτα κάμνειν τὸν Παῦλον, ἵνα κυρώσωσιν εἰς αὐτὸν ἀγάπην. τοῦτο ἀρετὴ μαθητῶν, τοῦτο ἀρετὴ διδασκάλων, τὸ οὕτως ἐκείνους εὐνοίους εἶναι, τὸ οὕτως αὐτὸν ῥυθμίζειν αὐτούς. τοῦτο εἰ καὶ νῦν ἐγένετο, οὐκ ἂν τὸ ἁμαρτάνοντας ἀναισθήτως ἐπλημμέλησαν. οὔτε γὰρ φιλεῖν ἁπλῶς δεῖ, οὔτε ἀποστρέφεσθαι ἄνευ λόγου τινός.

9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. Μὴ μόνον ἐν τῷ ἀποτέμνειν, ἀλλὰ καὶ ἐν τῷ συνάπτειν. εἶδες πῶς πάλιν καὶ ἐνταῦθα αὐτοῖς περιίστησι τὸν ἀγῶνα; ὥσπερ γὰρ ἡνίκα ἥμαρτεν, ἐναγωνίους αὐτοὺς ἐποίησεν, εἰ μὴ ἐκτέμοιεν, εἰπὼν, Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, καὶ ἕτερα πλείονα· οὕτω καὶ ἐνταῦθα πάλιν τὸν τῆς παρακοῆς αὐτοῖς ἐφίστησι φόβον, μονονουχὶ λέγων, ὅτι ὥσπερ τότε οὐχ ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ ὑπὲρ ὑμῶν, καὶ νῦν οὐχ ὑπὲρ ἐκείνου μᾶλλον ἢ ὑμῶν αὐτῶν βουλευτέον ὑμῖν ἐστι, μὴ δόξητε φιλόνεικοί τινες εἶναι, καὶ ἀπάνθρωποι, καὶ οὐκ ἐν ἅπασιν ὑπήκοοι. διό φησιν, Εἰς τοῦτο γὰρ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. ἐκεῖνο μὲν γὰρ ἐδόκει ἂν καὶ φθόνου εἶναι, καὶ βασκανίας· τοῦτο δὲ δείκνυσι καθαρὰν μάλιστα τὴν ὑπακοὴν, καὶ εἰ πρὸς φιλανθρωπίαν εἰσὶν ἐπιτήδειοι. τοῦτο γὰρ μαθητῶν εὐγνωμόνων, τὸ μὴ μόνον ἐκεῖνα, ἀλλὰ καὶ τὰ ἐναντία κελεύσαντι πείθεσθαι. διὰ τοῦτο εἶπεν, Εἰς πάντα, δεικνὺς ὅτι ἐὰν μὴ ὑπακούσωσιν, οὐχ οὕτως ἐκεῖνον ὡς ἑαυτοὺς καταισχυνοῦσι, φιλονείκων λαμβάνοντες δόξαν. ποιεῖ δὲ τοῦτο, ἵνα κἀντεῦθεν αὐτοὺς ὠθήσῃ πρὸς τὸ πεισθῆναι. διὸ καὶ λέγει, Εἰς τοῦτο γὰρ ἔγραψα ὑμῖν. καίτοι οὐ διὰ τοῦτο ἔγραψε· λέγει δὲ διὰ τοῦτο, ὥστε αὐτοὺς ἐπισπάσασθαι. τὸ γὰρ προηγούμενον ἦν ἡ ἐκείνου σωτηρία. ἀλλ' ἔνθα μηδὲν βλάπτεται, κἀκείνοις χαρίζεται. τῷ δὲ εἰπεῖν, Εἰς πάντα, πάλιν ἐγκωμιάζει, τῆς προτέρας ὑπακοῆς ἀναμνήσας, καὶ εἰς μέσον αὐτὴν ἀγαγών.

α. Κορ. ε. ς.

ἴσ. ποι.

γ. ἡμῶν

10 Ὧ δέ τι χαρίζεσθε, κἀγώ. Ὁρᾷς πῶς πάλιν τὰ δευτερεῖα ἑαυτῷ δίδωσιν, ἐκείνους μὲν ἄρχοντας, ἑαυτὸν δὲ ἑπόμενον δεικνύς; τοῦτό ἐστι μαλάξαι τραχυνομένην γνώμην, τοῦτο ἐκλῦσαι φιλονεικοῦσαν. εἶτα ἵνα μὴ ὑπτίους ποιήσῃ, ὡς κυρίους ὄντας, καὶ μὴ ἀφῶσιν αὐτὸν, πάλιν αὐτοὺς ἄγει πρὸς τοῦτο, λέγων, ὅτι καὶ αὐτὸς ἐχαρίσατο.

Καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι, ὃ κεχάρισμαι, δι' ὑμᾶς. Καὶ τοῦτο γὰρ αὐτὸ δι' ὑμᾶς ἐποίησα, φησί. καὶ ὥσπερ ἡνίκα ἐκέλευεν ἀποτεμεῖν, οὔτε ἀφῆκεν αὐτοὺς γενέσθαι κυρίους χαρίσασθαι, εἰπὼν, ἤδη κέκρικα παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ, καὶ ἔλαβε πάλιν κοινωνοὺς αὐτοὺς τῆς ψήφου, εἰπὼν, Συναχθέντων ὑμῶν παραδοῦναι αὐτὸν (δύο τὰ μέγιστα κατασκευάζων, καὶ τὸ ἐξενεχθῆναι τὴν ἀπόφασιν, καὶ τὸ μὴ χωρὶς ἐκείνων, ὥστε μὴ δόξαι ταύτῃ πλήττειν) καὶ οὔτε μόνος αὐτὴν ἐκφέρει, ἵνα μὴ νομίσωσιν αὐθάδη εἶναι, καὶ ὑπερῶφθαι αὐτοί, οὔτε τὸ πᾶν αὐτοῖς ἐπιτρέπει, ἵνα μὴ κύριοι γενόμενοι προδῶσι τὸν ἡμαρτηκότα, ἀκαίρως αὐτῷ χαριζόμενοι· οὕτω καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι ἐγὼ ἤδη ἐχαρισάμην, ὃς

α. Κορ. ε. ε.

ἐν

ἐν τῇ προτέρᾳ ἤδη κέκρικα. Εἶτα ἵνα μὴ πληγῶσιν, ὡς ὑπεροφθέντες, φησὶ, δι' ὑμᾶς. τί οὖν; δι' ἀνθρώπους συνεχώρησεν; οὐχί. διὰ γὰρ τοῦτο καὶ προσέθηκεν,

Ἐν προσώπῳ Χριστοῦ. Τί ἐστιν, ἐν προσώπῳ Χριστοῦ; ἢ κατὰ Θεὸν, φησὶν, ἢ εἰς δόξαν τοῦ Χριστοῦ. Ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ.

11 Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Εἶδες πῶς καὶ τὴν ἐξουσίαν αὐτοῖς ἐπιτρέπει, καὶ πάλιν ἀφαιρεῖται αὐτὴν, ἵνα ἐκεῖνον μὴ μαλάξῃ, τοῦτο δὲ τὸ αὐθάδες αὐτῶν ἐκκόψῃ; οὐ τοῦτο δὲ μόνον ἐντεῦθεν κατασκευάζει, ἀλλὰ καὶ τὸ δεῖξαι κοινὴν τὴν βλάβην οὖσαν, εἰ παρακούσαιεν· ὅπερ καὶ ἐν ἀρχῇ πεποίηκε. καὶ γὰρ τότε ἔλεγε, Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· καὶ ἐνταῦθα πάλιν, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. καὶ πανταχοῦ, καὶ αὐτοὺς, καὶ ἐκείνων ποιεῖ τὴν ἄφεσιν. σκόπει δὲ ἄνωθεν. Εἰ δέ τις λελύπηκε, φησὶν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους (ἵνα μὴ ἐπιβαρῶ) πάντας ὑμᾶς. Εἶτα πάλιν, Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. τοῦτο αὐτῶν ψῆφος καὶ γνώμη. ἀλλ' οὐκ ἔστη μέχρι τῆς ψήφου, ἀλλὰ πάλιν αὐτοὺς κοινωνοὺς ποιεῖ, λέγων, ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι. διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην. πάλιν ἐκείνων τὸ ὅλον ποιήσας, εἰς τὴν ἐξουσίαν τὴν ἑαυτοῦ μεταβαίνει, λέγων, εἰς τοῦτο γὰρ καὶ ἔγραψα ὑμῖν, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. εἶτα πάλιν αὐτῶν ποιεῖ τὴν χάριν, λέγων ᾧ δέ τι χαρίζεσθε. εἶτα αὐτοὺς καὶ ἐγὼ, λέγων, εἴ τι κεχάρισμαι, δι' ὑμᾶς. εἶτα καὶ ἐκείνων καὶ ἑαυτοῦ. καὶ γὰρ ἐγὼ, φησὶν, εἴ τι κεχάρισμαι, δι' ὑμᾶς, ἐν προσώπῳ Χριστοῦ· ἢ εἰς δόξαν Χριστοῦ, ἢ ὡς τοῦ Χριστοῦ τοῦτο κελεύοντος· ὃ μάλιστα αὐτοὺς ἔπειθε. τὸ γὰρ ἐδεδοίκεισαν λοιπὸν μὴ χαρίσασθαι πρᾶγμα εἰς δόξαν αὐτοῦ διαφέροντα, καὶ αὐτῷ δοκοῦν. Εἶτα πάλιν τὸ κοινὸν βλάβος, εἰ παρακούσαιεν, τίθησι λέγων, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ, καλῶς πλεονεξίαν ὀνομάσας. οὐ γὰρ τὰ αὐτοῦ λαμβάνει λοιπὸν, ἀλλὰ τὰ ἡμῶν ἁρπάζει. μὴ δέ μοι τοῦτο εἴπῃς, ὅτι οὐκ ἔτι μόνος θηριάλωτος γέγονεν, ἀλλὰ τοῦτο σκόπησον, ὅτι ἐλαττοῦται τῆς ἀγέλης ὁ ἀριθμός· καὶ νῦν μάλιστα, ὅτε δύναται ὅπερ ἀπέβαλεν ἀνακτήσασθαι. Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Ὅτι καὶ προσχήματι εὐλαβείας ἀπόλλεσιν. οὐ γὰρ μόνον τῷ εἰς πορνείαν ἀγαγεῖν, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐναντίου δύναται διαφθεῖραι, τῆς ἀμέτρου λύπης τῆς ἐπὶ τῇ μετανοίᾳ. ὅταν οὖν μετὰ τῶν ἰδίων καὶ τοὺς ἡμετέρους λαμβάνῃ, ὅταν καὶ ἁμαρτάνειν κελεύων ἀπολλύῃ, καὶ μετανοεῖν κελευόντων ἡμῶν ἁρπάζῃ, πῶς οὐχὶ πλεονεξία τὸ πρᾶγμα; οὐ γὰρ ἀρκεῖ αὐτῷ δι' ἁμαρτίας καταβάλλειν· ἀλλὰ καὶ διὰ μετανοίας, ἂν μὴ νήφωμεν, τοῦτο ποιεῖ. διὸ καὶ πλεονεξίαν εἰκότως ἐκάλεσεν, ὅταν καὶ διὰ τῶν ἡμετέρων κρατῇ. τὸ γὰρ δι' ἁμαρτίας λαμβάνειν, ἴδιον αὐτοῦ ἐστι· τὸ μέντοι διὰ μετανοίας, οὐκ ἔτι. ἡμέτερον γὰρ, οὐκ ἐκείνου τὸ ὅπλον. ὅταν οὖν καὶ ἐντεῦθεν δύνηται λαμβάνειν, σκόπησον πῶς ἡ ἧττα αἰσχρὰ, πῶς ὡς ἀσθενεῖς καὶ ταλαιπώρους καταγελάσεται καὶ καταδραμεῖται, εἰ τοῖς ἡμετέροις ὅπλοις ἡμᾶς μέλλει χειροῦσθαι. καὶ γὰρ σφόδρα καταγέλαστον, καὶ τῆς ἐσχάτης αἰσχύνης, διὰ τῶν ἡμετέρων φαρμάκων τὰ τραύματα αὐτὸν κατασκευάζειν. διὰ τοῦτο ἔλεγεν, οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν, τὸ ποικίλον, τὸ δολερὸν, τὸ κακομήχανον, τὸ κακοῦργον, τὸ ἐπὶ προσχήματι εὐλαβείας ἐπηρεαστικὸν ἐμφαίνειν.

α. Κορ. ε.

ἰσ. ἐμφαίνων.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν καὶ ἡμεῖς ἐννοοῦντες, μηδέποτε μηδενὸς καταφρονῶμεν, μηδέποτε ἁμαρτάνοντες ἀπογινώσκωμεν· μηδ' αὖ ῥαθυμῶμεν πάλιν, ἀλλὰ συντρίβωμεν τὴν διάνοιαν πλημμελοῦντες, μὴ ἁπλῶς ῥήματα προβαλλώμεθα. καὶ γὰρ οἶδα πολλοὺς ἐγὼ, οἳ λέγουσι μὲν πενθεῖν τὰ ἁμαρτήματα, οὐδὲν δὲ μέγα ἐργάζονται, ἀλλὰ νηστεύουσι μὲν, καὶ τραχέα φοροῦσιν ἱμάτια, χρημάτων δὲ μᾶλλον τῶν καπηλευόντων ἐφίενται, καὶ ὀργῇ πλέον θηρίων ἁλίσκονται, καὶ κακηγορίαις χαίρουσι μᾶλλον, ἢ ἐγκωμίοις ἑτέρων. οὐκ ἔστι ταῦτα μετάνοια·

τάνοια· εἰκὼν ἐστὶ μετανοίας ταῦτα, καὶ σκιὰ μόνον, οὐ μετάνοια. διὸ καὶ ἐπὶ τούτων καλὸν εἰπεῖν, σκοπεῖτε μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. τοὺς μὲν γὰρ διὰ ἁμαρτημάτων, τοὺς δὲ διὰ μετανοίας ἀπόλλυσι, τούτους δὲ ἑτέρῳ τρόπῳ πάλιν, τῷ μηδὲν ἀπὸ μετανοίας ἀφεῖναι καρποῦσθαι. ἐπειδὴ γὰρ ἀπολέσαι διὰ τῆς εὐθείας οὐχ εὗρεν, ἑτέραν ἦλθεν ὁδόν, τοὺς μὲν πόνους ἐπιτείνων, τοὺς δὲ καρποὺς ἀφαιρούμενος, καὶ πείθων ὡς τὸ πᾶν κατωρθωκότας, οὕτω τῶν ἄλλων ἀμελεῖν. ἵν' οὖν μὴ εἰκῆ κοπιῶμεν ἑαυτούς, μικρὰ πρὸς τὰς τοιαύτας διαλεχθῶμεν γυναῖκας. γυναικῶν γὰρ μάλιστα τοῦτο τὸ νόσημα. καλὸν μὲν καὶ τοῦτο ὃ πράττετε νῦν, νηστεία, καὶ χαμευνία, καὶ σποδός· ἀλλ' ὅταν τὰ ἄλλα μὴ προσῇ, τούτων ὄφελος οὐδέν. ἔδειξε πῶς ἀφίησιν ἁμαρτίας ὁ Θεός. τί τοίνυν ἐκείνην ἀφέντες τὴν ὁδόν, ἑτέραν αὐτοῖς τέμνετε; ἥμαρτον οἱ Νινευῖταί ποτε, καὶ ἐποίησαν ταῦτα, ἃ καὶ ὑμεῖς ποιεῖτε νῦν· ἀλλ' ἴδωμεν τί αὐτοὺς ὠφέλησε. καθάπερ γὰρ ἐπὶ τῶν καμνόντων πολλὰ μὲν ἐπάγουσιν οἱ ἰατροί, ὁ δὲ συνετὸς οὐ τοῦτο σκοπεῖ, ὅτι τὸ καὶ τὸ ἐποίησεν ὁ ἄρρωστος, ἀλλὰ τί αὐτὸν ὠφέλησεν· οὕτω καὶ ἐνταῦθα σκοπεῖν δεῖ. τί οὖν ὠφέλησε τοὺς βαρβάρους ἐκείνους; ἐπέθηκαν νηστείαν τοῖς τραύμασι, καὶ σφοδρὰν νηστείαν ἐπέθηκαν, καὶ χαμευνίαν, καὶ σάκκου περιβολήν, καὶ τέφραν, καὶ ὀδυρμοὺς ἐπέθηκαν καὶ μεταβολὴν βίου. ἴδωμεν οὖν τί τούτων ἐποίησεν αὐτοὺς ὑγιεῖς. καὶ πόθεν εἰσόμεθα, φησί; ἂν πρὸς τὸν ἰατρὸν ἔλθωμεν, ἂν αὐτὸν ἐρωτήσωμεν. οὐ γὰρ ἀποκρύψεται ἡμᾶς, ἀλλὰ καὶ σφόδρα ἐρεῖ. μᾶλλον δὲ ἵνα μηδεὶς ἀγνοῇ, μηδὲ ἐρέσθαι δέηται, καὶ ἀνέγραψε τὸ φάρμακον τὸ ἀναστῆσαν αὐτούς.

Ἰων. γ. ι. τί οὖν τοῦτό ἐστιν; Εἶδε, φησίν, ὁ Θεὸς ὅτι ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς. οὐκ εἶπεν, ὅτι εἶδε νηστείαν, καὶ σάκκον, καὶ σποδόν. καὶ ταῦτα οὐ νηστείαν ἀναιρῶν λέγω (μὴ γένοιτο) ἀλλὰ τὸ τῆς νηστείας κρεῖττον ποιεῖν παραινῶν, τὸ πάσης κακίας ἀπέχεσθαι. ἥμαρτε καὶ ὁ Δαβίδ. ἴδωμεν οὖν καὶ τοῦτον πῶς μετενόησε. τρεῖς ἡμέρας ἐκάθισεν ἐπὶ τέφρας. ἀλλ' ἐκεῖνος οὐχ ὑπὲρ τῆς ἁμαρτίας ἐποίει, ἀλλ' ὑπὲρ τοῦ παιδίου, μεθύων ἔτι τῷ πάθει· τὴν δὲ ἁμαρτίαν ἑτέρως ἀπέσμηξε, ταπεινοφροσύνῃ, συντριβῇ καρδίας, κατανύξει ψυχῆς, τῷ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, τῷ μεμνῆσθαι διηνεκῶς αὐτῆς, τῷ φέρειν εὐχαρίστως τὰ ἐπιόντα ἅπαντα, τῷ φείδεσθαι τῶν λυπούντων, τῷ μὴ ἀμύνεσθαι τοὺς ἐπιβουλεύοντας, ἀλλὰ καὶ τοὺς βουλομένους τοῦτο ποιεῖν, κωλύειν. ὅτε γοῦν αὐτὸν ὁ Σεμεεὶ μυρίοις ἔπλυνεν ὀνείδεσι, τοῦ στρα-

β. Βασ. ις. ια. τηγοῦ τοῦ παρόντος ἀγανακτοῦντος, ἔλεγεν, Ἄφες αὐτὸν καταρᾶσθαί με, ὅτι Κύριος ἐνετείλατο αὐτῷ. καρδίαν γὰρ συντετριμμένην καὶ τεταπεινωμένην εἶχεν, ὃ μάλιστα αὐτοῦ τὰ ἁμαρτήματα ἀπέσμηξε. καὶ γὰρ τοῦτο ἐξομολόγησις, τοῦτο μετάνοια. ἂν δὲ νηστεύοντες ἀλαζόνες ὦμεν, οὐ μόνον οὐδὲν ὠφελήθημεν, ἀλλὰ καὶ ἐβλάβημεν. ταπείνωσον τοί-

Ψαλμ. λγ. ιη. νυν τὴν καρδίαν καὶ σύ, ἵνα τὸν Θεὸν ἐπισπάσῃ. Ἐγγὺς γὰρ Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. οὐχ ὁρᾷς ἐν ταῖς οἰκίαις ταῖς λαμπραῖς τοὺς ἠτιμωμένους, πῶς οὐδὲ τῶν ἐλαττόνων οἰκετῶν ὑβριζόντων αὐτοὺς οὐκ ἀντιλέγουσιν, ἀλλὰ φέρουσι διὰ τὴν ἀτιμίαν, ἣν περιέβαλεν αὐτοὺς ἡ ἁμαρτία; οὕτω καὶ σὺ ποίει· κἂν λοιδορήσῃ σέ τις, μὴ ἀγριάνῃς, ἀλλὰ στέναξον, μὴ ἐπὶ τῇ ὕβρει, ἀλλ' ἐπὶ τῇ ἁμαρτίᾳ τῇ σε εἰς ἀτιμίαν ἐμβαλούσῃ. στέναξον ὅταν ἁμάρτῃς, μὴ ὅτι κολάζεσθαι μέλλεις (τοῦτο γὰρ οὐδέν) ἀλλ' ὅτι προσέκρουσάς σου τῷ δεσπότῃ τῷ οὕτως ἡμέρῳ, τῷ οὕτω σε φιλοῦντι καὶ ἐκκρεμαμένῳ τῆς σωτηρίας τῆς σῆς, ὡς καὶ τὸν υἱὸν ἐπιδοῦναι ὑπὲρ σοῦ. διὰ ταῦτα στέναξον, καὶ τοῦτο ποίει διηνεκῶς. τοῦτο γὰρ ἐξομολόγησις. μὴ νῦν μὲν φαιδρός, αὔριον δὲ σκυθρωπός, εἶτα φαιδρός· ἀλ-

Ματθ. ε. δ. λὰ διαπαντὸς μένε ἐν τῷ πενθεῖν καὶ συντρίβειν σαυτόν. Μακάριοι γάρ, φησιν, οἱ πενθοῦντες, τουτέστιν, οἱ διηνεκῶς τοῦτο ποιοῦντες. μένε τοῦτο ποιῶν διηνεκῶς, καὶ σαυτῷ προσ-

Ἰωηλ. β. ιγ. έχων, καὶ συντρίβων σου τὴν καρδίαν, ὡς ἄν τις γνήσιον υἱὸν ἀποβαλών, πενθοίη. Διαρρή-

ξατε,

ξατε, φησί, τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. τὸ δὲ διερρωγὸς οὐκ ἂν ἐπαρθείη· τὸ συντετριμμένον οὐκ ἂν ἐξοιδμασαίη. διὰ τοῦτο ὁ μὲν λέγει, διαρρήξατε· ὁ δὲ λέγει, Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. κἂν σοφὸς ᾖς, κἂν πλούσιος, κἂν δυνάστης, διάρρηξον τὴν καρδίαν, μὴ ἀφῇς αὐτὴν μέγα φρονεῖν, μηδὲ φυσᾶσθαι. τὸ γὰρ διερρωγὸς οὐ φυσᾶται· κἂν ᾖ τις ὁ ἐπαίρων, οὐ δύναται στέγειν τὸ φύσημα τῷ διερρῆχθαι. οὕτω καὶ σὺ ταπεινοφρόνησον· ἐννόησον ὅτι τελώνης ἀπὸ ῥήματος ἑνὸς ἐδικαιώθη. καίτοιγε οὐδὲ ταπεινοφροσύνη ἐκεῖνο ἦν, ἀλλ' ὁμολογία ἀληθής. εἰ δὲ τοῦτο τοσαύτην ἔχει ἰσχύν, πόσῳ μᾶλλον ταπεινοφροσύνη; ἄφες ἁμαρτήματα τοῖς "πεπλημμεληκόσιν εἰς σέ. καὶ γὰρ καὶ τοῦτο ἁμαρτίας ἀφίησι. καὶ περὶ μὲν τοῦ προτέρου φησίν, Εἶδον ὅτι ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. καὶ ἐπὶ τοῦ Ἀχαὰβ δὲ τοῦτο τὴν ὀργὴν ἔλυσε τοῦ Θεοῦ. περὶ δὲ "τοῦ δευτέρου, Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν. ἔστι καὶ πάλιν ἄλλη ὁδὸς τοῦτο φέρουσα τὸ φάρμακον ἡμῖν, ἡ κατάγνωσις τῶν πεπλημμελημένων. Λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. καὶ τὸ κακῶς πάσχοντα εὐχαριστεῖν, λύει τὰ ἁμαρτήματα, καὶ ἡ πασῶν μείζων ἐλεημοσύνη. ἀρίθμει τοίνυν τὰ φάρμακα τὰ ἰώμενά σου τραύματα, καὶ πάντα ἐπιτίθει συνεχῶς, ταπεινοφροσύνην, ἐξομολόγησιν, τὸ μὴ μνησικακεῖν, τὸ πάσχοντα κακῶς εὐχαριστεῖν, τὸ ἐλεεῖν διὰ χρημάτων, διὰ πραγμάτων, τὸ εὔχεσθαι "καρτερῶς. οὕτως ἡ χήρα τὸν ὠμὸν καὶ ἀπηνῆ ἐξιλεώσατο δικαστήν. εἰ δὲ ἐκείνη τὸν ἄδικον, πολλῷ μᾶλλον σὺ τὸν ἥμερον. ἔστι καὶ ἑτέρα μετὰ τούτων ὁδός, τὸ προΐστασθαι τῶν ἀδικουμένων. Κρίνατε γάρ, φησιν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διελεγχθῶμεν, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ποίας οὖν ἂν εἴημεν ἀπολογίας ἄξιοι, εἰ τοσαύτας ἔχοντες ὁδοὺς εἰς τὸν οὐρανὸν ἀναγούσας, καὶ τοιαῦτα φάρμακα ἰώμενα τὰ τραύματα, καὶ μετὰ τὸ λουτρὸν τοῖς αὐτοῖς ἐπιμένομεν; μὴ τοίνυν ἐπιμένωμεν· ἀλλ' οἱ μὲν μηδέπω πεσόντες, ἐν τῷ οἰκείῳ μενέτωσαν κάλλει, μᾶλλον δὲ ἐπιπλέον ἀσκείτωσαν τοῦτο (κἂν γὰρ μὴ εὕρῃ ἁμαρτήματα, ταυτὶ τὰ κατορθώματα πλείονα ποιεῖ τὴν εὐμορφίαν)· ἡμεῖς δὲ οἱ πολλὰ πεπλημμεληκότες, εἰς τὴν τῶν ἁμαρτημάτων διόρθωσιν χρησώμεθα τοῖς εἰρημένοις, ἵνα τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας παραστῶμεν πολλῆς· ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

[Margin: Ψαλμ. ν. ιθ. — χ. κόπ συ. — Ησ. νζ. ιζ. — χ. τούτου, — Λουκ. ζ. λζ. — Ησ. μγ. κϛ. — χ. καρτερικῶς. — Ησ. α. ιζ.]

Λογ. ε. 12 ΕΛΘΩΝ ΔΕ ΕΙΣ ΤΗΝ ΤΡΩΑΔΑ ΕΙΣ ΤΟ ΕΥαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου.

ΤΑῦτα δοκεῖ μὲν ἀνάξια εἶναι Παύλου τὰ ῥήματα, εἰ δι' ἀποστολὴν ἀδελφοῦ τοσαύτην προήκατο σωτηρίαν. δοκεῖ δὲ καὶ τῆς ἀκολουθίας ἀπηρτῆσθαι. τί οὖν βούλεσθε; πρότερον ἀποδείξωμεν ὅτι τῆς ἀκολουθίας ἤρτηται, ἢ ὅτι οὐδὲν ἀνάξιον εἴρηκεν ἑαυτοῦ; ἐμοὶ δοκεῖ τὸ δεύτερον. οὕτω γὰρ κἀκεῖνο ἡμῖν εὐκολώτερον ἔσται καὶ σαφέστερον. πῶς οὖν ἤρτηται τῶν προτέρων ταῦτα; ἀναμνησθῶμεν αὐτῶν ἐκείνων, καὶ οὕτως εἰσόμεθα τοῦτο. τίνα οὖν ἦν τὰ πρότερα; ἅπερ ἔλεγεν ἀρχόμενος· οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως, φησί, τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν· καὶ δείξας πῶς ἀπηλλάγη, καὶ τὰ ἐν μέσῳ παρείς, ἀναγκαίως διδάσκει πάλιν ὅτι καὶ ἑτέρως ἐθλίβη. πῶς καὶ τίνι τρόπῳ; τῷ μὴ εὑρεῖν Τίτον. δεινὸν μὲν γάρ, καὶ ἱκανὸν καταβαλεῖν ψυχήν, καὶ τὸ πειρασμοῖς ὑπομένειν· ὅταν δὲ ὁ * παραμυθούμενος μὴ ᾖ, καὶ δυνάμενος τὸ φορτίον συνδιενεγκεῖν, μείζων γίνεται ὁ χειμών. Τί-

[Margin: * ὢ]

τος δὲ αὐτός ἐστιν, ὅν φησι προσιὼν πρὸ αὐτῆς ἀφῖχθαι πρὸς αὐτόν, καὶ περὶ οὗ πολλὰ καὶ μεγάλα διεξέρχεται ἐγκώμια, καὶ ὃν ἔφησεν ἀπεσταλκέναι. δεῖξαι τοίνυν βουλόμενος ὅτι καὶ ταύτῃ δι' αὐτοὺς ἐθλίβη, ταῦτα εἴρηκεν. ὅτι μὲν οὖν ἤρτηται τῶν προτέρων τὰ εἰρημένα, δῆλον ἐκ τούτων· ὅτι δὲ οὐδὲ ἀνάξια Παύλου, καὶ τοῦτο δεῖξαι πειρασόμεθα. οὐ γὰρ λέγει, ὅτι ἐνεπόδισε τῇ σωτηρίᾳ τῶν προσιέναι μελλόντων ἡ ἀπουσία Τίτου, οὐδὲ ὅτι προσέδε τοὺς πιστεύσαντας διὰ τοῦτο, ἀλλ' ὅτι οὐκ ἔσχηκεν ἄνεσιν, τουτέστιν, ἐθλίβη, ὠδυνήθη διὰ τὴν ἀπουσίαν τοῦ ἀδελφοῦ, δεικνὺς ὅσον ἐστὶν ἀδελφοῦ ἀπουσία· καὶ διὰ τοῦτο ἀπῆλθεν ἐκεῖθεν. τί δέ ἐστιν, ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον; οὐχ ἁπλῶς, φησιν, ἐπεδήμησα, ἀλλ' ὥστε κηρύξαι. ἀλλ' ὅμως καὶ διὰ τοῦτο ἐλθὼν, καὶ εὑρὼν ἔργον μέγιστον (θύρας γάρ μοι ἀνεῳγμένης ἐν Κυρίῳ) οὐκ ἔσχηκα ἄνεσιν, φησιν. οὐ μὴν διὰ τοῦτο ἐνεπόδισε τὸ ἔργον. πῶς οὖν φησιν, ὅτι

13 Ἀποταξάμενος ἐξῆλθον; Τουτέστιν, οὐ διέτριψα πλείονα χρόνον, στενοχωρούμενος, ὀδυνώμενος. ἴσως δὲ καὶ ἐνεπόδιζεν τὸ ἔργον, ἐκείνου ἀπόντος. τοῦτο δὲ οὐ μικρὰ καὶ τούτοις παραμυθία. εἰ γὰρ ἐκ θύρας ἀνεῳγμένης, καὶ εἰς τοῦτο ἐλθὼν, ἐπειδὴ τὸν ἀδελφὸν οὐχ εὗρεν, ἀπεπήδησε ταχέως, πολλῷ μᾶλλον ὑμᾶς, φησι, συγγινώσκειν χρὴ ταῖς τῶν πραγμάτων ἀνάγκαις ἀγούσαις καὶ περιαγούσαις ἡμᾶς πανταχοῦ, καὶ οὐκ ἐώσαις, ὡς βουλόμεθα, οὔτε ἀποδημεῖν, οὔτε ἐνδιατρίβειν οἷς ἂν ἐθέλωμεν ἐπιπλέον. διὸ καὶ ἐπάγει πάλιν, ὥσπερ ἄνω τῷ πνεύματι, οὕτω καὶ ἐνταῦθα τῷ Θεῷ τὰς ἀποδημίας ἀνατιθεὶς, καὶ λέγων,

14 Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ. Ἵνα γὰρ μὴ δόξῃ ὡς θρηνῶν ταῦτα ἀποδύρεσθαι, χάριν ἀναπέμπει τῷ Θεῷ. ὃ δὲ λέγει, τοῦτό ἐστι· πανταχοῦ θλῖψις, πανταχοῦ στενοχωρία. ἦλθον εἰς τὴν Ἀσίαν· ἐβαρήθην ὑπὲρ δύναμιν. ἦλθον εἰς τὴν Τρωάδα· οὐχ εὗρον τὸν ἀδελφόν. οὐκ ἦλθον πρὸς ὑμᾶς· οὐ μικρὰν μοι καὶ τοῦτο ἀθυμίαν ἐνεποίησεν, ἀλλὰ καὶ σφόδρα μεγάλην, καὶ τὸ πολλοὺς ἡμαρτηκέναι παρ' ὑμῖν, καὶ τὸ διὰ τοῦτο ὑμᾶς μὴ ὁρᾷν. Φειδόμενος γὰρ ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον, φησιν. (C. Κορ. α. κγ.) ἵν' οὖν μὴ δόξῃ ὀλοφύρεσθαι ταῦτα λέγων, ἐπάγει, ὅτι οὐ μόνον οὐκ ἀλγοῦμεν ἐν ταῖς θλίψεσι ταύταις, ἀλλὰ καὶ χαίρομεν· καὶ τὸ μεῖζον, οὐ τῶν μελλόντων ἕνεκεν μόνον ἐπάθλων, ἀλλὰ καὶ αὐτῶν τῶν παρόντων. καὶ γὰρ ἐνταῦθα ἐσμὲν λαμπροὶ ἐκ τούτων καὶ περιφανεῖς. τοσοῦτον τοίνυν ἀπέχομεν τοῦ θρηνεῖν, ὅτι καὶ θρίαμβον τὸ πρᾶγμα καλοῦμεν, καὶ ἐγκαλλωπιζόμεθα τοῖς γινομένοις. διὸ καὶ ἔλεγε, τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι· τουτέστι, τῷ πᾶσι ποιοῦντι περιφανεῖς. ὃ γὰρ δοκεῖ εἶναι ἀτιμίας, τὸ πανταχοῦ ἐλαύνεσθαι, τοῦτο τιμῆς ἡμῖν εἶναι φαίνεται μεγίστης. διὸ οὐκ εἶπε, τῷ καταδήλους ποιοῦντι, ἀλλὰ, τῷ θριαμβεύοντι· δεικνὺς, ὅτι οἱ διωγμοὶ οὗτοι τρόπαια συνεχῆ κατὰ τοῦ διαβόλου πανταχοῦ τῆς γῆς ἀνίστων. εἶτα μετὰ τοῦ θριαμβεύοντος θεὶς καὶ τὴν ὑπόθεσιν, ἀνίστησι κἀντεῦθεν τὸν ἀκροατήν. οὐ γὰρ μόνον ὑπὸ τοῦ Θεοῦ θριαμβευόμεθα, ἀλλὰ καὶ ἐν Χριστῷ· τουτέστι, διὰ Χριστὸν καὶ τὸ κήρυγμα. ἐπειδὴ γὰρ θριαμβεῦσαι δέη, ἀνάγκη πᾶσα καὶ ἡμᾶς τοὺς φέροντας τὸ τρόπαιον καταδήλους εἶναι, ἐπειδὴ αὐτὸν βαστάζομεν. διὰ τοῦτο περίβλεπτοί ἐσμεν, καὶ περιφανεῖς. καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ. ἄνω εἶπε, πάντοτε θριαμβεύοντι, ἐνταῦθα, ἐν παντὶ τόπῳ φησί· δεικνὺς, ὅτι καὶ τόπος καὶ καιρὸς πᾶς τῶν ἄθλων ἐμπέπλησται τῶν ἀποστολικῶν. καὶ ἑτέρᾳ πάλιν κέχρηται μεταφορᾷ τῇ τῆς εὐωδίας. καθάπερ γὰρ μύρον βαστάζοντες, οὕτω πᾶσίν ἐσμεν κατάδηλοι, φησί· μύρον πολύτιμον τὴν γνῶσιν λέγων. καὶ οὐκ εἶπε, τὴν γνῶσιν, ἀλλ', ὀσμὴν γνώσεως. τοιαύτη γὰρ ἡ παροῦσα γνῶσις· οὐ σφόδρα σαφής, οὐδὲ ἐκκεκαλυμμένη. διὸ καὶ

ἐν

ἐν τῇ προτέρᾳ ἔλεγεν ἐπιστολῇ, Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι· καὶ ἐνταῦθα ὀσμὴν τὸ τοιοῦτον καλεῖ. ὁ δὲ τὴν ὀσμὴν εἰδὼς, ὅτι μὲν ἔστι μύρον που κείμενον οἶδε· ποταπὸν δὲ τὴν οὐσίαν, οὐκέτι, ἐὰν μὴ πρότερον αὐτὸ εἰδὼς τύχῃ. οὕτω καὶ ἡμεῖς, ὅτι μὲν ἔστι Θεὸς ἴσμεν· τί δὲ τὴν οὐσίαν, οὐκέτι· ὥσπερ οὖν θυμιατήριον ἐσμὲν βασιλικὸν, ὅπου ἂν ἀπέλθωμεν τὸν οὐράνιον πνέοντες μύρον, καὶ τῆς πνευματικῆς εὐωδίας. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ τοῦ κηρύγματος δεικνὺς τὴν ἰσχὺν (ὅτι δι' ὧν ἐπιβουλεύουσι), διὰ τούτων λάμπουσι μᾶλλον τῶν διωκόντων αὐτοὺς, καὶ πᾶσαν τὴν οἰκουμένην ποιούντων εἰδέναι καὶ τὰ τρόπαια αὐτῶν καὶ τὴν εὐωδίαν) καὶ παρακαλῶν ἀπὸ τῶν θλίψεων αὐτοὺς καὶ τῶν πειρασμῶν, ὥστε πάντα φέρειν γενναίως, εἴγε καὶ πρὸ τῆς ἀντιδόσεως ἄφατον καρποῦνται τὸ κλέος. [α. Κορ. ιγ. ιβ.] [γ. ποιοῦν]

15 Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις.

Ἄν τε γὰρ σώζηταί τις, φησὶν, ἄν τε ἀπόλλυται, τὸ εὐαγγέλιον τὴν οἰκείαν ἀρετὴν ἔχον μένει. καὶ καθάπερ τὸ φῶς κἂν σκοτίζῃ τοὺς ἀσθενεῖς, φῶς ἐστι, καίτοι σκοτίζον· καὶ τὸ μέλι κἂν πικρὸν ᾖ τοῖς νοσοῦσι, γλυκὺ τὴν φύσιν ἐστίν· οὕτω καὶ τὸ εὐαγγέλιον εὐῶδές ἐστι, κἂν ἀπολλύωνταί τινες ἀπιστοῦντες. οὐ γὰρ αὐτὸ ἐργάζεται ἡ ἀπώλεια, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. καὶ ταύτῃ δὲ μάλιστα ἡ εὐωδία αὐτοῦ φαίνεται, ἐκ τοῦ τοὺς διεφθαρμένους καὶ πονηροὺς ἀπόλλυσθαι. [γ. ἂν] ὥστε οὐκ ἀπὸ τῆς τῶν ἀγαθῶν σωτηρίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν πονηρῶν ἀπωλείας δείκνυται αὐτοῦ ἡ ἀρετή. ἐπεὶ καὶ ὁ ἥλιος, ἐπειδὴ σφόδρα φαιδρός ἐστι, διὰ τοῦτο μάλιστα πλήττει τῶν ἀσθενούντων τὰς ὄψεις· καὶ ὁ σωτὴρ εἰς πτῶσιν πολλῶν καὶ ἀνάστασίν ἐστιν, ἀλλ' ὅμως μένει σωτὴρ ὤν, καὶ μυρίων πιπτόντων· καὶ ἡ παρουσία αὐτοῦ μειζόνως ἐκόλασε τοὺς μὴ πειθομένους, ἀλλ' ὅμως μένει σωτήριος οὖσα. διὰ τοῦτο καὶ αὐτός φησιν, ὅτι τῷ Θεῷ εὐωδία ἐσμέν· τουτέστι, κἂν ἀπολλύωνταί τινες, ἡμεῖς μένομεν τοῦτο ὄντες ὅπερ ἐσμέν. καὶ οὐχ ἁπλῶς εἶπεν, εὐωδία, ἀλλὰ, τῷ Θεῷ. ὅταν δὲ τῷ Θεῷ εὐωδία ὦμεν, κἀκεῖνος ταῦτα ψηφίζηται, τίς ἀντερεῖ λοιπόν; καὶ τὸ, Χριστοῦ δὲ εὐωδία, διπλῆν μοι τὴν ἐξήγησιν ἔχειν δοκεῖ. ἢ γὰρ τοῦτό φησιν, ὅτι ἑαυτοὺς θυσίαν προσφέρουσιν ἀποθνήσκοντες, ἢ ὅτι τῆς τοῦ Χριστοῦ σφαγῆς εὐωδία ἐσμέν· ὡς ἂν εἴποι τις, τοῦδε τοῦ ἱερείου εὐωδία ἐστὶ τόδε τὸ θυμίαμα. ἢ τοῦτο οὖν ἐμφαίνει τῆς εὐωδίας τὸ ὄνομα· ἢ (ὅπερ ἔφθην εἰπὼν) ὅτι καθημέραν θύονται διὰ τὸν Χριστόν. [γ. τῆς] εἶδες ποῦ τοὺς πειρασμοὺς ἀνήγαγε, θρίαμβον καὶ εὐωδίαν καλῶν, καὶ θυσίαν τῷ Θεῷ προσαγομένην; εἶτα, ἐπειδὴ εἶπεν, εὐωδία ἐσμὲν, καὶ ἐν τοῖς ἀπολλυμένοις, ἵνα μὴ νομίσῃς ὅτι κἀκεῖνοι εὐπρόσδεκτοί εἰσιν, ἐπήγαγε,

16 Τοῖς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον· τοῖς δὲ, ὀσμὴ ζωῆς εἰς ζωήν.

Τὴν γὰρ εὐωδίαν ταύτην οἱ μὲν οὕτω προσίενται ὥστε σωθῆναι· οἱ δὲ οὕτως, ὥστε ἀπολέσθαι. ὥστε κἂν ἀπόλλυταί τις, παρ' αὐτὸν ἡ αἰτία. ἐπεὶ καὶ τὰς ὗς τὸ μύρον λέγεται πνίγειν, καὶ τὸ φῶς (ὅπερ ἔφθην εἰπὼν) τοὺς ἀσθενεῖς σκοτίζειν. καὶ τοιαύτη ἀγαθῶν ἡ φύσις· οὐ τὰ οἰκεῖα διορθοῦνται μόνον, ἀλλὰ καὶ τὰ ἐναντία ἀπόλλυσι. καὶ ταύτῃ μάλιστα διαδείκνυται αὐτῶν ἡ δύναμις. καὶ γὰρ καὶ τὸ πῦρ οὐχ ὅταν φωτίζῃ μόνον, οὐδ' ὅταν χρυσίον καθαίρῃ, ἀλλὰ καὶ ὅταν ἀκάνθας δαπανᾷ, μάλιστα τὴν οἰκείαν ἰσχὺν ἐπιδείκνυται, καὶ ταύτῃ φαίνεται πῦρ· καὶ ὁ Χριστὸς δὲ ταύτῃ τὴν μεγαλωσύνην αὐτοῦ ἐνδείκνυται, ὅταν ἀναλώσῃ τὸν ἀντίχριστον τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσῃ τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ. Καὶ πρὸς ταῦτα τίς ἱκανός; Ἐπειδὴ * μεγάλα ἐφθέγξατο, ὅτι θυσία ἐσμὲν τοῦ Χριστοῦ καὶ εὐωδία, καὶ θριαμβευόμεθα πανταχοῦ, πάλιν μετριάζει, τῷ Θεῷ πάντα ἀνατιθείς. διὸ καί φησι, καὶ πρὸς ταῦτα τίς ἱκανός; τὸ γὰρ πᾶν τοῦ Χριστοῦ, φησὶν, ἐστίν· οὐδὲν ἡμέτερον. ὁρᾷς ἀπεναντίας τοῖς ψευδαποστόλοις φθεγγόμενον; οἱ μὲν γὰρ καυχῶνται ὡς παρ' ἑαυτῶν εἰσφέροντές τι εἰς τὸ κήρυγμα· οὗτος δὲ διὰ τοῦτό φησι καυχᾶσθαι, ἐπειδὴ οὐδὲν αὐτοῦ φησιν εἶναι. Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως, ὅτι οὐκ ἐν [*δὲ] [β. Κορ. α. ιβ.]

σοφίᾳ

σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ. καὶ οὐ τὴν κτῆσιν ἐνόμιζον ἐκεῖνοι εἶναι καύχημα, τῆς σοφίας λέγω τῆς ἔξωθεν, ἀλλὰ τὴν ἀναίρεσιν· διὸ καὶ ἐνταῦθά φησι, καὶ πρὸς ταῦτα τίς ἱκανός; Εἰ δὲ μὴ ἱκανοὶ, χάριτος τὸ γινόμενον.

17 Οὐ γάρ ἐσμεν, ὥσπερ οἱ λοιποὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

Εἰ γὰρ καὶ μεγάλα φθεγγόμεθα, ἀλλ' οὐδὲν ἡμέτερον ἔφαμεν εἶναι κατόρθωμα, ἀλλὰ τὰ πάντα τοῦ Χριστοῦ. οὐδὲ γὰρ μιμησόμεθα τοὺς ψευδαποστόλους, τοὺς τὰ πολλὰ αὐτῶν εἶναι λέγοντας. τοῦτο γάρ ἐστι καπηλεῦσαι, ὅταν τις νοθεύῃ τὸν οἶνον, ὅταν τις χρημάτων πωλῇ, ὅπερ δωρεὰν ἔδει δοῦναι. ἐνταῦθα γὰρ καὶ εἰς χρήματα αὐτοὺς σκώπτειν μοι δοκεῖ, καὶ ὅπερ εἶπον αἰνίττεσθαι πάλιν, δηλονότι τὰ αὐτῶν ἀναμιγνύουσι τοῖς θείοις· ὅπερ ὁ Ἡσαΐ-

Ησ. α. κϐ. ας ἐγκαλῶν ἔλεγεν, Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. Εἰ γὰρ καὶ περὶ οἴνου τοῦτο εἴρηται, οὐκ ἄν τις ἁμάρτοι καὶ εἰς διδασκαλίαν αὐτὸ ἐκλαμβάνων. ἀλλ' οὐχ ἡμεῖς, φησιν, οὕτως· ἀλλ' οἷα ἐπιστεύθημεν, τοιαῦτα προφέρομεν, ἄκρατον κιρνῶντες τὸν λόγον. διὸ ἐπήγαγεν, Ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν. Οὐκ ἀπατῶντες ὑμᾶς, φησιν, οὕτω κηρύττομεν, οὐδὲ ὡς χαριζόμενοι ὑμῖν, ἢ παρ' ἑαυτῶν τι εἰσφέροντες καὶ ἀναμιγνύντες, ἀλλ' ὡς ἐκ Θεοῦ· τουτέστιν, οὐ λεγόμενοι ὅτι οἴκοθέν τι χαριζόμεθα, ἀλλ' ὅτι πάντα ὁ Θεὸς ἔδωκε. τοῦτο γάρ ἐστι τὸ, ἐκ Θεοῦ· τὸ μηδὲν καυχᾶσθαι ὡς ἴδιον ἔχοντας, ἀλλὰ πάντα εἰς αὐτὸν ἀναφέρειν. ἐν Χριστῷ λαλοῦμεν· οὐδὲν τῇ ἡμετέρᾳ σοφίᾳ, ἀλλὰ τῇ παρ' ἐκείνου δυνάμει ἐνηχούμενοι. οἱ δὲ καυχώμενοι,

α. Κορ. δ. ζ. οὐχ οὕτως, ἀλλ' ὡς παρ' ἑαυτῶν τι εἰσφέροντες. διὸ καὶ ἀλλαχοῦ αὐτοὺς κωμῳδεῖ λέγων, Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών; αὕτη μεγίστη ἀρετὴ, τὸ πάντα τῷ Θεῷ ἀνατιθέναι, τὸ μηδὲν οἰκεῖον εἶναι νομίζειν, τὸ μηδὲν πρὸς ἀνθρώπων δόξαν ποιεῖν, ἀλλὰ πρὸς τὸ τῷ Θεῷ δοκοῦν. οὗτος γάρ ἐστιν ὁ τὰς εὐθύνας ἀπαιτῶν. νυνὶ δὲ ἡ τάξις ἀντέστραπται καὶ οἱ μὲν ἐπὶ τοῦ βήματος καθιούμενοι, καὶ τὰς εὐθύνας ἀπαιτήσοντες οὐ σφόδρα δεδοίκαμεν· τοὺς δὲ μεθ' ἡμῶν ἑστῶτας καὶ κρινομένους φοιτόμεθα.

ΗΘΙΚΟΝ Πόθεν οὖν ἡ νόσος αὕτη; πόθεν εἰς τὰς ἡμετέρας κατέσκηψε ψυχάς; ἀπὸ τοῦ μὴ διηνεκῶς τὰ ἐκεῖ λογίζεσθαι, ἀλλὰ τοῖς παροῦσι προσηλῶσθαι. ἐντεῦθεν καὶ ἐν ταῖς πονηραῖς πράξεσιν εὐκόλως πίπτομεν· κἂν ἀγαθόν τι πράξωμεν, πρὸς ἐπίδειξιν ποιοῦμεν, ὥστε κἀντεῦθεν ἡμῖν γίνεσθαι τὴν ζημίαν. Εἶδε γυναῖκά τις ἀκολάστοις ὀφθαλμοῖς ἵνα πολλάκις, καὶ ἔλαθε καὶ τὴν ὀφθεῖσαν καὶ τοὺς συμβαδίζοντας· ἀλλὰ τὸν ἀκοίμητον οὐκ ἔλαθεν ὀφθαλμόν. ἐκεῖνος γὰρ καὶ πρὶν ἢ τὴν ἁμαρτίαν ἐργάσασθαι, εἶδε τὴν ψυχὴν τὴν ἀκόλαστον, καὶ τὴν μανίαν τὴν ἔνδον, καὶ τοὺς λογισμοὺς τοὺς στρεφομένους ἐν ζάλῃ καὶ κλύδωνι. οὐδὲ γὰρ δεῖται μαρτύρων καὶ τεκμηρίων ὁ πάντα εἰδώς. μὴ τοίνυν πρὸς τοὺς συνδούλους ὅρα. κἂν γὰρ ἐπαινέσῃ ἄνθρωπος, οὐδὲν ὄφελος, ὅταν ὁ Θεὸς μὴ ἀποδέξηται. κἂν καταγνῷ ἄνθρωπος, οὐδὲν βλάβος, ὅταν ὁ Θεὸς μὴ καταγνῷ. μὴ δὴ ταύτῃ προσέχωμεν. τὸν δικαστὴν, τῶν μὲν συνδούλων πολλὴν ποιούμενος λόγον, αὐτὸν δὲ ἀγωνιῶντος οὐ δεδοικὼς καὶ τρέμων. καταφρονήσωμεν * τοῦ παρ' ἀνθρώπων ἐπαίνου. μέχρι πότε ὑπτελεῖς καὶ χαμαίζηλοι; μέχρι πότε τοῦ Θεοῦ πρὸς τὸν οὐρανὸν ἡμᾶς ἄγοντος, αὐτοὶ χαμαὶ σύρεσθαι ἐσπουδάκαμεν; οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ, εἰ τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν εἶχον, ὡς ἔχειν ἔδει, οὐκ ἂν ἐπ' ἐρημίας τὸν ἀδελφὸν λαβόντες ἀπέκτειναν. ὁ Κάϊν πάλιν εἰ τὴν ψῆφον ἐκείνου ἐδεδοίκει, ὡς δεδοικέναι ἔδει, οὐκ ἂν εἶπε, δεῦρο, καὶ ἐξέλθωμεν εἰς τὸ πεδίον. τί γὰρ, ὦ δειλὲ καὶ ταλαίπωρε, χωρίζεις αὐτὸν τοῦ γεγεννηκότος, καὶ εἰς ἐρημίαν ἐξάγεις; μὴ γὰρ ὁ Θεὸς οὐχ ὁρᾷ καὶ ἐν τῷ πεδίῳ τὸ τόλμημα; ἀπὸ τῶν τῷ πατρί σου συμβεβηκότων οὐκ ἐπαιδεύθης, ὅτι πάντα οἶδε, καὶ πᾶσι πάρεστι τοῖς γινομένοις; καὶ τίνος ἕνεκεν

οὐκ

* πλεῖον

χ...

οὐκ εἶπε τοῦτο πρὸς αὐτὸν ὁ Θεὸς ἀγνοούμενος, ἐμὲ κρύπτεις τὸν πανταχοῦ παρόντα, καὶ τὰ ἀπόρρητα ἐπιστάμενον; ὅτι οὔπω ταῦτα φιλοσοφεῖν ἐκεῖνος ᾔδει καλῶς. ἀλλὰ τί φησι; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς με· οὐχ ὡς τοῦ αἵματος φωνὴν ἔχοντος, ἀλλ' (Γεν. δ. ι.) ὅπερ ἡμεῖς λέγομεν, ὅτι τὸ πρᾶγμα βοᾷ, ἐπὶ τῶν δήλων καὶ σαφῶν. διὰ δὴ τὴν ψῆφον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχειν δεῖ, καὶ πάντα σβέννυται τὰ δεινά. οὕτω καὶ ἐν εὐχαῖς νήφειν δυνάμεθα, ἂν ἐννοήσωμεν τίνι διαλεγόμεθα, ἀναλογισώμεθα ὅτι θυσίαν προσάγομεν, (ἴσ. αὖ ἀναλογ.) καὶ μάχαιραν μετὰ χεῖρας ἔχομεν, καὶ πῦρ, καὶ ξύλα, ἀναπετάσωμεν τοῦ οὐρανοῦ τὰς πύλας (ἴσ. αὖ ἀναπτ.) τῷ λογισμῷ, ἂν μεταστῶμεν ἐκεῖ, καὶ λαβόντες τὴν μάχαιραν τοῦ πνεύματος ἐμπήξωμεν εἰς τὸν τοῦ ἱερείου λαιμὸν, καὶ καταθύσωμεν αὐτῷ νῆψιν, καὶ ἐκχέωμεν αὐτῷ δάκρυα. τοιοῦτον γὰρ τὸ αἷμα τοῦ ἱερείου τούτου· τοιαύτῃ τὸ θυσιαστήριον ἐκεῖνο φοινίσσεται σφαγῇ. μηδὲν τοίνυν ἀφῇς τῶν ἀνθρωπίνων λογισμῶν κατέχειν σου τὴν ψυχὴν ποτέ. ἐννόησον ὅτι καὶ ὁ Ἀβραὰμ θυσίαν ἀνάγων, οὐ γυναῖκα, οὐ δοῦλον, οὐκ ἄλλον τινὰ ἀφῆκε παρεῖναι. μὴ τοίνυν μηδὲ σὺ τῶν δουλικῶν καὶ ἀνελευθέρων παθῶν ἀφῇς τινὰ σοι παρεῖναι, ἀλλ' ἀνάβηθι μόνος εἰς τὸ ὄρος, ἔνθα ἐκεῖνος ἀνέβη, ἔνθα ἀναβῆναι θέμις οὐδένα ἕτερον. κἂν ἐπιχειρῶσι συνανα-βαίνειν τινὲς τῶν τοιούτων ἐννοιῶν, ἐπίταξον αὐταῖς μετ' ἐξουσίας, καὶ εἰπὲ, καθίσατε αὐτοῦ· Ἐγὼ δὲ καὶ τὸ παιδίον προσκυνήσαντες ὑποστρεψόμεθα. καὶ τὴν ὄνον καὶ τοὺς παῖδας ἀφεὶς (Γεν. κβ. ε.) κάτω, καὶ εἴ τι ἄλογον καὶ ἀνόητον· εἴ τι λογικὸν, λαβὼν ἀνάβηθι, ὥσπερ ἐκεῖνος τὸν Ἰσαάκ. καὶ τὸ θυσιαστήριον οἰκοδόμησον οὕτως ὡς ἐκεῖνος, ὡς μηδὲν ἔχων ἀνθρώπινον, ἀλλ' ἔξω τῆς φύσεως γενόμενος. ἐπεὶ καὶ ἐκεῖνος, εἰ μὴ ἔξω τῆς φύσεως ἦν, οὐκ ἂν τὸν παῖδα κατέσφαξε. καὶ μηδὲν ἐνοχλείτω σοι ποτὲ, ἀλλ' αὐτῶν γίνου τῶν οὐρανῶν ὑψηλότερος. στέναξον πικρὸν, κατάθυσον ἐξομολόγησιν (λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, φησιν, ἵνα (γ. ἁμαρτίας) (Ησ. μγ. κς.) δικαιωθῇς) κατάθυσον συντριβὴν καρδίας. ταῦτα τὰ ἱερεῖα οὐκ εἰς τέφραν τελευτᾷ, οὐδὲ εἰς καπνὸν διαλύεται, οὐδὲ ξύλων δεῖται καὶ πυρὸς, ἀλλὰ κατανενυγμένης διανοίας μόνης. τοῦτο ξύλα, τοῦτο πῦρ καῖον αὐτὰ, καὶ οὐ κατακαῖον. ὁ γὰρ μετὰ θερμότητος εὐχόμενος, καίεται, καὶ οὐ κατακαίεται· ἀλλ' ὥσπερ χρυσίον πυρὶ βασανιζόμενον, λαμπρότερος γίνεται. μετὰ δὲ τούτων κἀκεῖνο φυλάττου, τὸ μηδὲν εἰπεῖν εὐχόμενος τῶν παροξυνόντων σου τὸν δεσπότην· μηδὲ κατ' ἐχθρῶν προσέλθῃς. εἰ γὰρ τὸ ἔχειν ἐχθροὺς ὄνειδος, τὸ κατεύχεσθαι αὐτῶν ἐννόησον ἡλίκον*. (* κακόν.) δέον γάρ σε ἀπολογήσασθαι διὰ τί ἐχθροὺς ἔχεις· σὺ δὲ αὐτῶν καὶ κατηγορεῖς. (ἴσ. κατηγορεῖς.) καὶ ποίας τεύξῃ συγγνώμης, καὶ κατηγορῶν, καὶ ἐν καιρῷ τοιούτῳ, ὅτε ἐλέου σοι δεῖ πολλοῦ; καὶ γὰρ ὑπὲρ οἰκείων προσῆλθες ἁμαρτημάτων δεόμενος· μὴ τοίνυν μνημονεύσῃς τῶν ἀλλοτρίων, ἵνα μὴ τῶν ἰδίων ἀναμνήσῃς. ἂν γὰρ εἴπῃς, πάταξον τὸν ἐχθρὸν, ἐνέφραξάς σου τὸ στόμα, οὐκέτι παρρησίαν ἔδωκας τῇ γλώττῃ· πρῶτον μὲν, ὅτι παρώργισας τὸν δικαστὴν ἐκ προοιμίων εὐθέως· δεύτερον, ὅτι ἐναντία αἰτεῖς τῷ σχήματι τῆς εὐχῆς. εἰ γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων προσεύχῃ, (γ. προσέρχῃ) πῶς ὑπὲρ κολάσεως διαλέγῃ; τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν, καὶ δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα τούτοις καὶ ὑπὲρ ἑαυτῶν μετὰ παρρησίας παρακαλέσωμεν. νυνὶ δὲ προκατέλαβες τοῦ δικαστοῦ τὴν ψῆφον διὰ τῆς σῆς, ἀξιῶν τοὺς ἁμαρτάνοντας κολάζειν· ὃ καὶ συγγνώμης ἀποστερεῖ πάσης. ἂν δὲ ὑπὲρ αὐτῶν εὔξῃ, καὶ μηδὲν ὑπὲρ τῶν σῶν εἴπῃς, τὸ πᾶν ἤνυσας. ἐννόησον πόσαι θυσίαι εἰσὶν ἐν τῷ νόμῳ· θυσία αἰνέσεως, θυσία ἐξομολογήσεως, θυσία σωτηρίου, θυσία καθαρμῶν, καὶ ἕτεραι μυρίαι, καὶ οὐδεμία κατ' ἐχθρῶν, ἀλλ' ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων ἑκάστη, ἢ [καὶ] κατορθωμάτων. μὴ γὰρ ἄλλῳ προσέρχῃ Θεῷ; ἐκείνῳ προσέρχῃ τῷ εἰπόντι, Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν. πῶς οὖν αὐτῶν καταβοᾷς; πῶς παρακαλεῖς τὸν Θεὸν τὸν οἰκεῖον λῦσαι νόμον; οὐκ ἔστι τοῦτο ἱκέτου σχῆμα· οὐδεὶς ἱκετεύει ἵνα ἄλλος ἀπόληται, ἀλλ' ἵνα αὐτὸς σωθῇ. τί τοίνυν σχῆμα μὲν ἱκέτου περίκεισαι, ῥήματα δὲ ἔχεις κατηγόρου; καὶ ὅταν μὲν ὑπὲρ

ἑαυτῶν εὐχόμεθα, καὶ κνώμεθα, καὶ χασμώμεθα, καὶ εἰς μυρίους ἐμπίπτομεν λογισμούς· ὅταν δὲ κατ᾽ ἐχθρῶν, νήφοντες τοῦτο ποιοῦμεν. ἐπεὶ γὰρ οἶδεν ὁ διάβολος, ὅτι καθ᾽ ἑαυτῶν τὸ ξίφος ὠθοῦμεν, οὐ περιέλκει, οὐδὲ περισπᾷ τότε, ἵνα μειζόνως ἡμῖν λυμαίνηται. ἀλλ᾽ ἠδίκημαι, φησι, καὶ θλίβομαι. οὐκοῦν κατὰ τοῦ διαβόλου εὖξαι, τοῦ μάλιστα πάντων ἀδικοῦντος ἡμᾶς. τοῦτο καὶ ἐπετάγης λέγειν, ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐκεῖνός ἐστιν ὁ ἀκατάλλακτος ἐχθρός· ἄνθρωπος δὲ, ὅσα ἂν ποιῇ, φίλος ἐστὶ, καὶ ἀδελφός. ἐκείνῳ τοίνυν πάντες ὀργιζώμεθα, κατ᾽ αὐτοῦ παρακαλῶμεν τὸν Θεὸν, λέγοντες, συντρίψον τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν. οὗτος γὰρ τίκτει καὶ τοὺς ἐχθρούς. ἂν δὲ κατ᾽ ἐχθρῶν εὔξῃ, τὴν εὐχὴν, ἣν ἐκεῖνος βούλεται, εὔχῃ· ὥσπερ οὖν ἂν ὑπὲρ ἐχθρῶν, κατὰ τούτου. τί τοίνυν τὸν ὄντως ἐχθρὸν ἀφεὶς, τὰ μέλη δάκνεις τὰ σὰ, θηρίων χαλεπώτερος ταύτῃ γινόμενος; ἀλλ᾽ ὕβρισε, φησι, καὶ χρήματα ἀπεστέρησε. καὶ τίνα δεῖ πενθεῖν, τὸν παθόντα κακῶς, ἢ τὸν ποιήσαντα κακῶς; ὅτι χρήματα κερδάνας, τῆς εὐνοίας αὐτὸν ἐξέβαλε τοῦ Θεοῦ, καὶ μείζονα ἀπώλεσεν ἢ ἔλαβεν. ὥστε ἐκεῖνός ἐστιν ὁ ἠδικημένος. οὐκοῦν οὐχὶ κατεύχεσθαι δεῖ, ἀλλ᾽ ὑπερεύχεσθαι αὐτοῦ, ἵνα ὁ Θεὸς ἵλεως αὐτῷ γένηται. ὅρα πόσα ἔπαθον οἱ παῖδες οἱ τρεῖς, οὐδὲν ποιήσαντες δεινόν· ἐξέπεσον πατρίδος, ἐλευθερίας, ἐξηχμαλωτίσθησαν, καὶ ἐγένοντο δοῦλοι, καὶ εἰς ἀλλοτρίαν καὶ βάρβαρον ἀπενεχθέντες χώραν, καὶ σφάττεσθαι ἔμελλον διὰ τὸ ὄναρ, εἰκῇ καὶ μάτην. τί οὖν εἰσελθόντες μετὰ τοῦ Δανιὴλ, τί ηὔξαντο; τί δὲ εἶπον; καταρράξον τὸν Ναβουχοδονόσορ; κατάσπασον αὐτοῦ τὸ διάδημα; κατάβαλε αὐτὸν ἀπὸ τοῦ θρόνου; οὐδὲν τοιοῦτον, ἀλλ᾽ ἐξήτουν οἰκτιρμοὺς παρὰ τοῦ Θεοῦ. καὶ ὅτε ἐν τῇ καμίνῳ ἦσαν, ὁμοίως. ἀλλ᾽ οὐχ ὑμεῖς· ἀλλὰ πολλῷ ἐλάττονα ἐκείνων πάσχοντες, καὶ δικαίως πολλάκις, οὐ παύεσθε ἀρώμενοι μυρία. καὶ ὁ μὲν φησι, κατάβαλε τὸν ἐχθρὸν, ὡς κατεπόντισας τὸ ἅρμα τοῦ Φαραώ· ὁ δὲ, πλῆξον αὐτοῦ τὴν σάρκα· ἕτερος πάλιν, ἀπόδος εἰς τὰ τέκνα. ἢ οὐκ ἐπιγινώσκετε ταυτὶ τὰ ῥήματα; πόθεν οὖν ὑμῖν ὁ γέλως οὗτος; ὁρᾷς πῶς ἐστι καταγέλαστα, ὅταν χωρὶς πάθους λέγηται; καὶ πᾶσα δὲ ἁμαρτία τότε δείκνυται πῶς ἐστιν αἰσχρὰ, ὅταν αὐτὴν γυμνώσῃς τῆς διαθέσεως τοῦ τολμῶντος. ἂν τὸν ὀργισθέντα ὑπομνήσῃς τῶν ῥημάτων, ὧν εἶπεν ἐν τῷ θυμῷ, καταδύσεται, καὶ καταγελάσεται ἑαυτοῦ, καὶ βουλήσεται μυρία πεπονθέναι, ἢ ἐκεῖνα αὐτοῦ εἶναι τὰ ῥήματα. κἂν τὸν ἀκόλαστον ἀγάγῃς μετὰ τὴν μῖξιν πρὸς τὴν πορνευομένην γυναῖκα, καὶ οὗτος ταύτην ἀποστραφήσεται ὡς μυσαρόν. οὕτω καὶ ὑμεῖς οἱ μὴ ὄντες ἐν τῷ πάθει, καταγνῶτε νῦν. καταγέλαστα γὰρ, καὶ γραϊδίων τὰ ῥήματα ταῦτα μεθυόντων, καὶ γυναικώδους μικροψυχίας. καὶ ὁ Ἰωσὴφ δὲ πραθεὶς, καὶ δοῦλος γενόμενος, καὶ δεσμωτήριον οἰκήσας, οὐδὲ οὕτως ἐξέβαλε ῥῆμα πικρὸν κατὰ τῶν λελυπηκότων. ἀλλὰ τί φησι; Κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων· καὶ οὐ προστίθησιν ὑπὸ τίνος. αἰσχύνεται γὰρ ὑπὲρ τῶν ἀδελφικῶν κακῶν μᾶλλον ἐκείνων τῶν ποιησάντων αὐτά. οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρὴ, μᾶλλον τῶν ἐπηρεαζόντων αὐτῶν ἀλγεῖν ὑπὲρ αὐτῶν. ἡ βλάβη γὰρ εἰς ἐκείνους διαβαίνει. ὥσπερ οὖν οἱ λακτίζοντες ἥλους, καὶ μέγα φρονοῦντες, ἐλέου ἄξιοι καὶ θρήνου τῆς μανίας ἕνεκα ταύτης εἰσίν· οὕτως οἱ ἀδικοῦντες τοὺς οὐδὲν ποιοῦντας αὐτοὺς κακὸν, ἅτε τὰς ἑαυτῶν πλήττοντες ψυχὰς, πολλῶν ὀδυρμῶν ἄξιοι καὶ θρήνων, οὐκ ἀρῶν. οὐδὲν γὰρ μιαρώτερον ψυχῆς ἀρωμένης, οὐδὲ γλώττης ἀκαθαρτότερον τοιαῦτα θυούσης. ἄνθρωπος εἶ· μὴ ἀσπίδων ἰὸν ἐμέσῃς. ἄνθρωπος εἶ· μὴ γένῃ θηρίον. διὰ τοῦτό σοι στόμα γέγονεν, οὐχ ἵνα δάκνῃς, ἀλλ᾽ ἵνα θεραπεύῃς τὰ ἑτέρων τραύματα. ἀναμνήσθητι τί σοι παρῄνεσα, φησιν ὁ Θεός· συγχωρεῖν, καὶ ἀφιέναι. σὺ δὲ καὶ ἐμὲ παρακαλεῖς κοινωνὸν γενέσθαι τῆς παραβάσεως τῶν ἐμῶν προσταγμάτων, καὶ ἐσθίεις τὸν ἀδελφὸν, καὶ φοινίττεις τὴν γλῶτταν, καθάπερ οἱ μαινόμενοι ἀπὸ τῶν οἰκείων μελῶν τοὺς ὀδόντας. πῶς οἴει τὸν διάβολον ἥδεσθαι καὶ γελᾶν, ὅταν τοιαύτης εὐχῆς ἀκούσῃ; πῶς τὸν Θεὸν παροξύνεσθαι,

Margin notes: χ. ἐξήτουν; χ. ἡμῖν; χ. ἡμῶν; χ. αὐτοῦ εἶναι; Γεν. μ. ιε.; χ. οὐ; χ. θρήνων

καὶ ἀποστρέφεσθαι, καὶ μισεῖν, ὅταν τοιαῦτα παρακαλῇς; οὗ τί γένοιτ' ἂν χαλεπώτερον; Εἰ γὰρ μυστηρίοις οὐ χρὴ παραστῆναι ἐχθροὺς ἔχοντα, τὸν οὐκ ἔχοντα μόνον, ἀλλὰ καὶ κατευχόμενον, πῶς οὐχὶ καὶ τῆς περιβολῆς αὐτῆς ἀπείργεσθαι δεῖ; Ταῦτ' οὖν ἐννοοῦντες, καὶ τῆς θυσίας τὴν ὑπόθεσιν εἰδότες, ὅτι ὑπὲρ ἐχθρῶν ἐτύθη, μήτε ἐχθροὺς ἔχωμεν· κἂν ἔχωμεν, ὑπερευχώμεθα· ἵνα καὶ ἡμεῖς τῶν ἡμαρτημένων ἡμῖν λαβόντες συγχώρησιν, μετὰ παρρησίας τῷ βήματι τοῦ Χριστοῦ παραστῶμεν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Λογ. ς. 1 ΑΡΧΟΜΕΘΑ ΠΑΛΙΝ ΕΑΥΤΟΥΣ ΣΥΝΙΣΤΑνειν; εἰ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς; ἢ ἐξ ὑμῶν συστατικῶν; κεφ. γ.

γρ. ἀπηφέρεσθαι

Ὅπερ ἔμελλεν αὐτῷ παρ' ἑτέρων ἀλυποφέρεσθαι, ὅτι ἐπαίρεις σαυτόν, τοῦτο προλαβὼν αὐτὸς τέθηκε· καίτοι τοσαύτῃ ἐπιδιορθώσει χρησάμενος ἔμπροσθεν, καὶ εἰπών· πρὸς ταῦτα τίς ἱκανός; καὶ ὅτι ἐξ εἰλικρινείας λαλοῦμεν· ἀλλ' ὅμως οὐκ ἀρκεῖται ἐκείνοις. τοιοῦτον γὰρ αὐτοῦ τὸ ἦθος· τοῦ δοκεῖν περὶ ἑαυτοῦ μέγα τι λέγειν πόρρω καθέστηκε, καὶ μετὰ πολλῆς τῆς περιουσίας αὐτὸ φεύγει, καὶ ὑπερβολῆς. σὺ δέ μοι κἀντεῦθεν σκόπει τὴν περιουσίαν αὐτοῦ τῆς σοφίας. πρᾶγμα γὰρ δοκοῦν εἶναι σκυθρωπόν, τὰς θλίψεις λέγω, οὕτως ἐπῆρε, καὶ ἔδειξε λαμπρὸν ὂν καὶ περιφανές, ὡς ταύτην αὐτῷ τὴν ἀντίθεσιν ἐκ τῶν εἰρημένων ἀνακύψαι. ποιεῖ δὲ αὐτὸ καὶ πρὸς τῷ τέλει. μετὰ γὰρ τὸ μυρίους ἀριθμῆσαι κινδύνους, ὕβρεις, στενοχωρίας, ἀνάγκας, καὶ ὅσα τοιαῦτα, ἐπήγαγε λέγων, Οὐχ ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ β. Κορ. ε. ιβ. τίθησιν αὐτὸ πάλιν ἐκεῖ σφοδρῶς, καὶ μετὰ πλείονος παραμυθίας. ἐνταῦθα μὲν γὰρ ἀγάπης ἐστὶ τὰ ῥήματα, Εἰ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν ἐπιστολῶν· ἐκεῖ δὲ γέμει ὀργῆς καὶ φρονήματος τὰ λεγόμενα, ἀναγκαίως καὶ χρησίμως, * καὶ θυμοῦ. οὐ γὰρ πάλιν φησίν, ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καί, Πάλιν δοκεῖτε ὅτι ὑμῖν β. Κορ. ιβ. ιθ. ἀπολογούμεθα; ὅτι κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν. φοβοῦμαι γὰρ μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε. ἵνα γὰρ μὴ δόξῃ κολακείας δόξαν λαμβάνειν, ὡς ἱέμενος τῆς παρ' αὐτῶν τιμῆς, ταῦτά φησι, φοβοῦμαι μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε. ἀλλὰ ταῦτα μὲν μετὰ κατηγορίας πολλῆς· ἐν ἀρχῇ δὲ οὐχ οὕτως, ἀλλ' ἡμερώτερον. τί δέ ἐστιν ὅ φησιν; εἰπὼν περὶ τῶν πειρασμῶν καὶ τῶν κινδύνων, καὶ ὅτι πανταχοῦ πομπεύει διὰ τοῦ Θεοῦ ἐν τῷ Χριστῷ, καὶ ἡ οἰκουμένη πᾶσα τοὺς θριάμβους οἶδε τούτους. ἐπεὶ οὖν μεγάλα περὶ αὐτοῦ ἐφθέγξατο, ἀλυποφέρει ἑαυτῷ λέγων, ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἴσως τις ἡμῖν ἀντερεῖ, τί τοῦτο, ὦ Παῦλε; ταῦτα περὶ σαυτοῦ λέγεις, καὶ σαυτὸν ἐπαίρεις; ταύτην οὖν λύων τὴν ὑπόνοιαν, φησίν, ὅτι οὐ τοῦτο βουλόμεθα, οὐδὲ κομπάζειν καὶ ἑαυτοὺς ἐπαίρειν· ἀλλὰ τοσοῦτον ἀπέχομεν τοῦ δεηθῆναι πρὸς ὑμᾶς συστατικῶν ἐπιστολῶν, ὡς ὑμᾶς αὐτοὺς ἐπιστολῆς ἔχειν.

γρ. τὸ

* ἢ φρονήματος

2 Ἡ γὰρ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστέ, φησί. Τί ἐστιν, ὑμεῖς ἐστε; Εἰ ἔδει πρὸς ἑτέρους ἡμᾶς συσταθῆναι, ὑμᾶς ἂν παρηγάγομεν εἰς μέσον ἀντ' ἐπιστολῆς· ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, Ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε. α. Κορ. θ. β. ἀλλ' οὕτω μὲν ἐνταῦθα οὐ λέγει, μετ' εἰρωνείας δέ, ὥστε ἐμπληκτικώτερον ποιῆσαι τὸν λόγον, εἰ μὴ χρῄζομεν συστατικῶν ἐπιστολῶν; καὶ αἰνιττόμενος τοὺς ψευδαποστόλους, ἐπήγαγεν, ὥς τινες, πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν ἐπιστολῶν πρὸς ἄλλους. εἶτα, ἐπειδὴ βαρὺ ἦν τὸ εἰρημένον,

παραμυθεῖται αὐτοὺς ἐπάγων καὶ λέγων, Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη ὑπὸ πάντων,

3 Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ. Ἐνταῦθα οὐ μόνον αὐτοῖς ἀγάπην, ἀλλὰ καὶ κατορθώματα μαρτυρεῖ· εἴγε ἱκανοί εἰσι δεῖξαι πᾶσιν ἀνθρώποις διὰ τῆς οἰκείας ἀρετῆς, τοῦ διδασκάλου τὸ ἀξίωμα. τοῦτο γάρ ἐστιν, ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε· ὅπερ ἂν ἐποίησε τὰ γράμματα συνιστῶντα ἡμᾶς καὶ αἰδεσίμους ποιοῦντα, τοῦτο ὑμεῖς ποιεῖτε, καὶ ὁρώμενοι καὶ ἀκουόμενοι. μαθητῶν γὰρ ἀρετὴ τὸν διδάσκαλον εἴωθε κοσμεῖν, καὶ συνιστᾶν πάσης μᾶλλον ἐπιστολῆς. ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν· τουτέστιν, ἣν πάντες ἴσασιν, οὕτως ὑμᾶς πανταχοῦ περιφέρομεν, καὶ ἐν νῷ ἔχομεν· ὡς ἂν εἰ ἔλεγεν, ἡ σύστασις ἡμῶν πρὸς ἑτέρους ὑμεῖς ἐστε. καὶ γὰρ ἔχομεν ὑμᾶς ἐν τῇ καρδίᾳ διηνεκῶς, καὶ πρὸς ἅπαντας τὰ ὑμέτερα ἀνακηρύττομεν κατορθώματα. οὐ τοίνυν ὅτι καὶ πρὸς ἑτέρους ὑμᾶς εἶναι σύστασιν ἡμῶν, δεόμεθα ἐπιστολῶν παρ᾽ ὑμῶν· ἀλλὰ καὶ τῷ σφόδρα φιλεῖν ὑμᾶς, οὐ δεόμεθα πρὸς ὑμᾶς συστάσεως. πρὸς γὰρ τὸν ἀγνοοῦντά τις δεῖται γραμμάτων· ὑμεῖς δὲ ἐν τῇ διανοίᾳ ἡμῶν ἐστε. καὶ οὐκ εἶπεν, ἐστέ, ἁπλῶς, ἀλλά, ἐγγεγραμμένη· τουτέστιν, οὐδὲ ἀποπεσεῖν δύνασθε. ὥσπερ γὰρ ἀπὸ γραμμάτων ἀναγινώσκοντες, οὕτως ἀπὸ τῆς καρδίας ἡμῶν γινώσκοντες ἴσασι πάντες τὴν ἀγάπην ἡμῶν, ἣν ἔχομεν περὶ ὑμᾶς. εἰ τοίνυν τὰ γράμματα διὰ τοῦτό ἐστιν, ἵνα δηλώσῃ ὅτι ὁ δεῖνά μοι φίλος, καὶ ἀπολαυέτω παρρησίας, ἀρκεῖ ἡ ὑμετέρα ἀγάπη τὸ πᾶν ἀνύσαι. ἄν τε γὰρ πρὸς ὑμᾶς ἴωμεν, οὐ δεόμεθα ἑτέρων τῶν συνιστώντων ἡμᾶς, τῆς φιλίας ὑμῶν προλαμβανούσης· ἄν τε πρὸς ἑτέρους, οὐ χρῄζομεν πάλιν γραμμάτων, τῆς αὐτῆς ἀγάπης ἀντὶ τούτων ἀρκούσης ἡμῖν πάλιν. περιφέρομεν γὰρ τὴν ἐπιστολὴν ἐν ταῖς καρδίαις ἡμῶν. εἶτα ἐπὶ μεῖζον ἐπαίρων αὐτούς, καὶ ἐπιστολὴν Χριστοῦ καλεῖ, λέγων,

χ. ἵνα

χ. περισσεία

Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ. Καὶ τοῦτο εἰπών, λαμβάνει λοιπὸν ὑπόθεσιν καὶ ἀρχὴν ἐντεῦθεν ἐξετάσαι τὰ τοῦ νόμου. καὶ ἄλλως δὲ αὐτοὺς ἐνταῦθά φησιν εἶναι ἐπιστολήν· ἀνωτέρω μὲν γὰρ ὡς συνιστῶντας, διὸ ἐπιστολὴν ἐκάλεσεν· ἐνταῦθα δὲ ἐπιστολὴν Χριστοῦ, ὡς ἔχοντας τὸν νόμον ἐγγεγραμμένον τοῦ Θεοῦ. ἃ γὰρ ἐβούλετο ὁ Θεὸς δηλῶσαι πᾶσι, καὶ ὑμῖν, ταῦτα γέγραπται ἐν ταῖς καρδίαις ὑμῶν. ἡμεῖς δὲ παρεσκευάσαμεν ὑμᾶς, ὥστε δέξασθαι τὰ γράμματα. καθάπερ Μωϋσῆς τοὺς λίθους καὶ τὰς πλάκας ἐκόλαψεν, οὕτως ἡμεῖς τὰς ὑμετέρας ψυχάς. διό φησι, Διακονηθεῖσα ὑφ᾽ ἡμῶν.

ἴσ. αὐτοῦ

Ἀλλ᾽ ἐν τούτῳ τὸ ἴσον εἶχον. καὶ γὰρ ἐκεῖναι ὑπὸ Θεοῦ ἐγράφησαν, καὶ αὗται ὑπὸ τοῦ πνεύματος. ποῦ τοίνυν ἡ διαφορά; Ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος· οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ᾽ ἐν πλαξὶ καρδίας σαρκίναις.

Ὅσον δὲ τὸ μέσον πνεύματος καὶ μέλανος, καὶ λιθίνης πλακὸς καὶ σαρκίνης, τοσοῦτον τὸ διάφορον τούτων κἀκείνων· οὐκοῦν καὶ τῶν διακονησάντων, τοῦ διακονήσαντος ἐκείνοις. διά τοι τοῦτο, ἐπεὶ μέγα ἐφθέγξατο, ταχέως ἐπιλαμβάνεται ἑαυτοῦ, λέγων,

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν.

Καὶ πάλιν ὅλον ἀνατίθησι τῷ Θεῷ. τούτων γὰρ ἡμῖν ὁ Χριστὸς αἴτιος, φησίν.

5 Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ᾽ ἑαυτῶν τι λογίσασθαι, ὡς ἐξ ἑαυτῶν. Ὅρα πάλιν καὶ ἑτέραν ἐπιδιόρθωσιν. καὶ γὰρ μεθ᾽ ὑπερβολῆς τὴν ἀρετὴν ταύτην μάλιστα κέκτηται, τὴν ταπεινοφροσύνην λέγω. διόπερ ὅταν εἴπῃ τι μέγα περὶ ἑαυτοῦ, πάσῃ κέχρηται σπουδῇ, ὥστε σφοδρῶς παραμυθήσασθαι τὸ εἰρημένον τρόπῳ παντί· ὃ καὶ ἐνταῦθα ποιεῖ, λέγων, οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ᾽ ἑαυτῶν τι λογίσασθαι, ὡς ἐξ ἑαυτῶν· τουτέστιν, οὐχ οὕτως εἶπον, πεποίθησιν ἔχομεν, ὡς τὸ μὲν ἡμέτερον εἶναι, τὸ δὲ τοῦ Θεοῦ· ἀλλὰ τὸ πᾶν αὐτῷ ἀνατίθημι καὶ λογίζομαι. Ἡ γὰρ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ·

6 Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης. Τί ἐστιν, ἱκάνωσε; δυνα-

τούς

τῶν ἐποίησε καὶ ἐπιτηδείους. οὐ μικρὸν δὲ τοῦτο, τὸ καὶ μίσους τοιαύτας πλάκας καὶ ἐπιστολὰς τῇ οἰκουμένῃ, πολὺ μείζους τῶν προτέρων. διὸ καὶ ἐπήγαγεν, Οὐ γράμματος, ἀλλὰ πνεύματος. Ἰδοὺ πάλιν ἄλλη διαφορά. τί οὖν; ἐκεῖνος οὐκ ἦν πνευματικὸς ὁ νόμος; πῶς οὖν φησιν, Οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστι; πνευματικὸς μὲν, ἀλλ' οὐ πνεῦμα παρεῖχεν. (Ρω. ζ. ιδ.) οὐ γὰρ πνεῦμα ἐκόμισε Μωϋσῆς, ἀλλὰ γράμματα· ἡμεῖς δὲ ἐπιστεύθημεν πνεῦμα διδόναι. διὸ καὶ ἐπεξεργάζεται αὐτὸ λέγων, (ις ἐπεξεργ.) Τὸ γὰρ γράμμα ἀποκτείνει· τὸ δὲ πνεῦμα ζωοποιεῖ. Ταῦτα δὲ οὐχ ἁπλῶς φησιν, ἀλλ' ἐκείνους αἰνιττόμενος τοὺς μεγαλοφρονοῦντας ἐπὶ τοῖς Ἰουδαϊκοῖς. γράμμα δὲ ἐνταῦθα τὸν νόμον φησὶ, τὸν κολάζοντα τοὺς πλημμελοῦντας· πνεῦμα δὲ τὴν χάριν τὴν διὰ τοῦ βαπτίσματος τοὺς ὑπὸ τῶν ἁμαρτιῶν νεκρωθέντας ζωοποιοῦσαν. εἰπὼν γὰρ τὴν διαφορὰν τὴν ἀπὸ τῆς φύσεως τῶν πλακῶν, οὐκ ἐνδιατρίβει αὐτῇ, ἀλλὰ παραδραμὼν αὐτὴν, ταύτην ἐπιπλεῖον ἐργάζεται, ἣ μάλιστα ἐλκύσαι τὸν ἀκροατὴν ἠδύνατο, ἀπὸ τοῦ συμφέροντος καὶ κούφου. οὔτε γὰρ πόνον ἔχει, φησὶ, καὶ μείζονα παρέχει τὴν χάριν. Εἰ γὰρ περὶ Χριστοῦ διαλεγόμενος, ἐκεῖνα μάλιστα τίθησιν, ἃ τῆς φιλανθρωπίας αὐτοῦ ἐστι μᾶλλον ἢ τῆς ἀξίας, καὶ ἀλλήλοις συνᾴδει ταῦτα· πολλῷ μᾶλλον ἐπὶ τῆς διαθήκης [ἀναγκαίως] τοῦτο ποιεῖ. τί οὖν ἐστι, τὸ γράμμα ἀποκτείνει; Εἶπεν ὅτι ἐν πλαξὶ λιθίναις, καὶ καρδίαις σαρκίναις· οὐδέπω δὲ μεγάλην ἐδόκει διαφορὰν λέγειν. προσέθηκεν οὖν ὅτι ἐκείνη γράμματι ἦν μέλανι, αὕτη δὲ πνεύματι· οὔτε τοῦτο πάνυ αὐτοὺς διήγειρε. λέγει οὖν λοιπὸν ὅπερ ἱκανὸν αὐτοὺς πτερῶσαι· ὅτι τὸ μὲν ἀποκτείνει, τὸ δὲ ζωοποιεῖ. τί δὲ τοῦτό ἐστιν; ἐν τῷ νόμῳ ὁ ἁμάρτημα ἔχων, κολάζεται· ἐνταῦθα ὁ ἁμάρτημα ἔχων, προσελθὼν βαπτίζεται, καὶ γίνεται δίκαιος· δίκαιος δὲ γενόμενος ζῇ, τοῦ θανάτου τῆς ἁμαρτίας ἀπαλλαγείς. ὁ νόμος ἐὰν λάβῃ φονέα, ἀναιρεῖ· ἡ χάρις ἐὰν λάβῃ φονέα, φωτίζει καὶ ζωοποιεῖ. καὶ τί λέγω φονέα; ξύλα ἔλαβεν ἐν σαββάτῳ συλλέξαντα ὁ νόμος, καὶ ἐλίθασε· τοῦτό ἐστι, τὸ γράμμα ἀποκτείνει. μυρίους ἀνδροφόνους καὶ λῃστὰς λαμβάνει ἡ χάρις, καὶ βαπτίζουσα ἀπαλλάττει τῶν προτέρων κακῶν· τοῦτό ἐστι, τὸ πνεῦμα ζωοποιεῖ. ἐκεῖνος ἀπὸ ζῶντος νεκρὸν ἐργάζεται τὸν ἁλόντα· αὕτη ἀπὸ νεκροῦ ζῶντα κατασκευάζει τὸν ὑπεύθυνον. Δεῦτε γὰρ πρός με οἱ κοπιῶντες καὶ πεφορτισμένοι· καὶ οὐκ εἶπε, κολάσω ὑμᾶς, ἀλλ', ἀναπαύσω ὑμᾶς. (Ματθ. ια. κη.) ἐν γὰρ τῷ βαπτίσματι θάπτεται τὰ ἁμαρτήματα, ἐξαλείφεται τὰ πρότερα, ζωοποιεῖται ὁ ἄνθρωπος, ὥσπερ εἰς πλάκα αὐτοῦ τὴν καρδίαν ἐγγράφεται πᾶσα ἡ χάρις. ἐννόησον τοίνυν ὅση τοῦ πνεύματος ἡ ἀξία, ὅταν αἱ πλάκες αὐτοῦ βελτίους τῶν προτέρων, ὅταν μεῖζόν τι καὶ αὐτῆς τῆς ἀναστάσεως ἐπιδείκνυνται. καὶ γὰρ καὶ ἡ νέκρωσις αὕτη τῆς προτέρας χαλεπωτέρα, ἧς καὶ ἀπαλλάττει, καὶ τοσούτῳ, ὅσῳ ψυχὴ σώματος βελτίων· καὶ αὕτη δι' ἐκείνης συνίσταται ἡ ζωὴ, ἣν τὸ πνεῦμα δίδωσιν. εἰ δὲ ταύτην δυνατὸν χαρίσασθαι, πολλῷ μᾶλλον τὴν ἐλάττονα. ἐκείνην μὲν γὰρ προφῆται εἰργάσαντο· ταύτην δὲ οὐκέτι. οὐδεὶς γὰρ δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός. οὐδὲ ἐκείνην δὲ χωρὶς πνεύματος παρέσχον οἱ προφῆται. οὐ τοῦτο δέ ἐστι μόνον τὸ θαυμαστὸν, ὅτι ζωοποιεῖ, ἀλλ' ὅτι καὶ ἑτέροις τοῦτο παρέχει ποιεῖν. Λάβετε γὰρ, φησὶ, πνεῦμα ἅγιον. (Ιωαν. κ. κβ.) διατί; χωρὶς πνεύματος γὰρ οὐκ ἐνῆν; ἀλλὰ δεικνὺς ὁ Θεὸς, ὅτι τοῦτο τῆς ἐξουσίας ἐστὶ τῆς ἀνωτάτω, καὶ τῆς οὐσίας τῆς βασιλικῆς ἐκείνης, καὶ τὴν αὐτὴν ἔχει ἰσχὺν, καὶ τοῦτό φησι. διὸ καὶ ἐπάγει, Ὧν ἐὰν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται· καὶ ὧν ἐὰν κρατῆτε, κεκράτηνται.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἐζωοποίησεν ἡμᾶς, μένωμεν ζῶντες, καὶ μὴ πάλιν ἐπὶ τὴν προτέραν ἐπανίωμεν νεκρότητα. ὁ Χριστὸς γὰρ οὐκέτι ἀποθνήσκει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ. (Ρωμ. ς. ι.) καὶ οὐ βούλεται ἀεὶ χάριτι ἡμᾶς σώζεσθαι· ἐπεὶ κενοὶ πάντων ἡμεῖς ἐσόμεθα. διὸ καὶ παρ' ἡμῶν εἰσφέρεσθαί τι βούλεται. Εἰσενέγκωμεν τοίνυν, καὶ τὴν ψυχὴν

ζῶσαι διατηρούμεθα. τί δέ ἐστι ψυχῆς ζωὴ, ἀπὸ τοῦ σώματος μάνθανε. καὶ γὰρ τὸ σῶμα τότε λέγομεν ζῆν, ὅταν βαδίζῃ ὑγιῆ τινα βάδισιν· ὅταν δὲ κατακέηται διαλυθὲν, καὶ παρὰ τάξιν κινῆται, κἂν δοκῇ ζῆν, ἢ βαδίζειν, παντὸς θανάτου χαλεπωτέρα ἡ τοιαύτη ζωή. κἂν φθέγγηται μηδὲν ὑγιὲς, ἀλλὰ τὰ τῶν παραπλήγων ῥήματα, καὶ ἕτερα ἀνθ᾽ ἑτέρων βλέπῃ, πάλιν τῶν τετελευτηκότων ἐλεεινότερος ὁ τοιοῦτος. οὕτω καὶ ἡ ψυχὴ, ὅταν μηδὲν ὑγιὲς ἔχῃ, κἂν δοκῇ ζῆν, τέθνηκεν· ὅταν τὸ χρυσίον μὴ βλέπῃ ὡς χρυσίον, ἀλλ᾽ ὡς μέγα τι καὶ τίμιον, ὅταν τὰ μέλλοντα μὴ ἐννοῇ, ἀλλὰ χαμαὶ σύρηται, ὅταν ἀνθ᾽ ἑτέρων ἕτερα πράττῃ. πόθεν γὰρ δῆλον ὅτι ψυχὴν ἔχομεν; οὐκ ἀπὸ τῶν ἐνεργειῶν; ὅταν οὖν τὰ αὐτῆς μὴ ἐνεργῇ, οὐχὶ τέθνηκεν; οἷον, ὅταν μὴ ἐπιμελῆται ἀρετῆς, ἀλλὰ ἁρπάζῃ, καὶ παρανομῇ. πόθεν δύναμαι εἰπεῖν ὅτι ψυχὴν ἔχεις; ὅτι βαδίζεις; ἀλλὰ τοῦτο καὶ τῶν ἀλόγων. ἀλλ᾽ ὅτι ἐσθίεις καὶ πίνεις; ἀλλὰ τοῦτο καὶ τῶν θηρίων. ἀλλ᾽ ὅτι ὀρθὸς ἕστηκας ἐπὶ δύο ποσί; τοῦτό μοι μᾶλλον δείκνυσιν, ὅτι θηρίον εἶ ἀνθρωπόμορφον. ὅταν μὲν γὰρ τὰ ἄλλα ἔχῃς ἐκείνου, τοῦτο δὲ ἀφανίσασιν μηκέτι, μᾶλλόν με ταράττεις καὶ ἐκδειματοῖς, καὶ μᾶλλον τέρας εἶναι νομίζω τὸ φαινόμενον. καὶ γὰρ εἰ θηρίον εἶδον ἀνθρωπίνῃ φθεγγόμενον τῇ φωνῇ, οὐκ ἂν διὰ τοῦτο ἔφην ἄνθρωπον εἶναι, ἀλλὰ διὰ τοῦτο μὲν οὖν τῶν θηρίων θηρίου τερατωδέστερον. πόθεν οὖν δυνήσομαι μαθεῖν ὅτι ψυχὴν ἔχεις ἀνθρώπου, ὅταν λακτίζῃς ὡς οἱ ὄνοι, ὅταν μνησικακῇς ὡς αἱ κάμηλοι, ὅταν δάκνῃς ὡς αἱ ἄρκτοι, ὅταν ἁρπάζῃς ὡς οἱ λύκοι, ὅταν κλέπτῃς ὡς αἱ ἀλώπεκες, ὅταν δολερὸς ᾖς ὡς οἱ ὄφεις, ὅταν ἀναισχυντῇς ὡς ὁ κύων; πόθεν δυνήσομαι μαθεῖν ὅτι ψυχὴν ἔχεις ἀνθρώπου; βούλεσθε δείξω νεκρὰν ψυχὴν, καὶ ζῶσαν; ἄγωμεν τῷ λόγῳ πάλιν ἐπὶ τοὺς ἀρχαίους ἄνδρας ἐκείνους, καὶ, εἰ δοκεῖ, τὸν πλούσιον εἰς μέσον καταθώμεθα τὸν ἐπὶ τοῦ Λαζάρου, καὶ εἰσόμεθα τί ποτέ ἐστι ψυχῆς νέκρωσις. καὶ γὰρ ἐκεῖνος νεκρὰν εἶχε ψυχὴν, καὶ δῆλον ἀφ᾽ ὧν ἐποίει. τῶν μὲν γὰρ ψυχῆς ἔργων οὐδὲν ἔπραττεν· ἤσθιε δὲ καὶ ἔπινε καὶ ἐτρύφα μόνον. τοιοῦτοί εἰσι καὶ νῦν οἱ ἀνελεήμονες καὶ ὠμοί· νεκρὰν γὰρ ἔχουσι καὶ οὗτοι ψυχὴν, ὥσπερ ἐκεῖνος. τὸ γὰρ θερμὸν αὐτῆς ἅπαν τὸ ἀπὸ τῆς φιλίας τῆς εἰς τὸν πλησίον ἀνήλωται, καὶ ἔστιν ἀψύχου σώματος νεκροτέρα. ὁ δὲ πένης οὐ τοιοῦτος, ἀλλ᾽ ἐν αὐτῷ τῷ ἄκρῳ τῆς φιλοσοφίας ἑστὼς διέλαμπε· καὶ λιμῷ παλαίων διηνεκεῖ, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς, οὐδὲ οὕτως εἶπέ τι βλάσφημον εἰς τὸν Θεὸν, ἀλλ᾽ ἔφερεν ἅπαντα γενναίως. οὐ μακρὰν δὲ τοῦτο ψυχῆς ἔργον, ἀλλὰ καὶ τῆς εὐτονίας καὶ τῆς ὑγείας τεκμήριον μέγιστον. ὅταν δὲ ταῦτα μὴ ᾖ, δῆλον ὅτι παρὰ τὸ νενεκρῶσθαι ἀπώλεσεν. ἢ οὐ νεκρὰν ἐκείνην εἶναι φήσομεν, εἰπέ μοι, ἣ ἐπεισι μὲν ὁ διάβολος πλήττων, κεντῶν, δάκνων, λακτίζων, αἰσθάνεται δὲ ἐκείνη οὐδενὸς τούτων, ἀλλὰ κεῖται νενεκρωμένη, καὶ τῆς περιουσίας αὐτῆς ἀφαιρουμένης οὐκ ἀλγεῖ, ἀλλ᾽ ἐφάλλεται μὲν ἐκεῖνος, μένει δὲ αὕτη ἀκίνητος, ὥσπερ σῶμα ψυχῆς ἀπελθούσης, οὐδὲ αἰσθανομένη; ὅταν γὰρ ὁ τοῦ Θεοῦ φόβος μὴ παρῇ μετὰ ἀκριβείας, τοιαύτην αὐτὴν εἶναι ἀνάγκη, καὶ νεκρῶν ἀθλιωτέραν. οὐδὲ γὰρ εἰς ἰχῶρα διαλύεται καὶ τέφραν καὶ κόνιν ἡ ψυχὴ, καθάπερ τὸ σῶμα, ἀλλ᾽ εἰς τὰ τούτων δυσωδέστερα, εἰς μέθην, καὶ θυμὸν, καὶ πλεονεξίαν, εἰς ἀτόπους ἔρωτας, καὶ ἀκαίρους ἐπιθυμίας. εἰ δὲ βούλει αὐτῆς ἀκριβέστερον ἰδεῖν τὸ δυσῶδες, δός μοι ψυχὴν καθαρὰν, καὶ τότε ὄψει σαφῶς πῶς ἐστι δυσώδης ἡ αἰσχρὰ αὕτη καὶ ἀκάθαρτος. νῦν μὲν γὰρ οὐ δυνήσῃ συνιδεῖν. ἕως γὰρ ἂν ὦμεν ἐν συνηθείᾳ δυσωδίας, οὐκ αἰσθανόμεθα· ὅταν δὲ πνευματικοῖς τρεφώμεθα ῥήμασι, τότε εἰσόμεθα ἐκεῖνο τὸ κακόν. καίτοι πολλοῖς ἀδιάφορον τοῦτο εἶναι δοκεῖ. καὶ οὐδέπω λέγω περὶ γεέννης· ἀλλ᾽, εἰ βούλεσθε, τὰ παρόντα ἐξετάσωμεν, καὶ μὴ τῶν αἰσχρὰ πραττόντων, ἀλλὰ τῶν αἰσχρὰ φθεγγομένων, πῶς ἐστι καταγέλαστος, πῶς ἑαυτὸν καθυβρίζει πρότερον, καθάπερ τις βόρβορόν τινα ἀπὸ τοῦ στόματος ἀφιεὶς, οὕτως ἑαυτὸν μολύνει. εἰ γὰρ τὸ ῥῆμα οὕτως ἀκάθαρτον, ἐννόησον

Ματθ. ιε. λδ. οἵα ἡ πηγὴ τοῦ βορβόρου τούτου. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. ἐγὼ

γρ. ἐπεὶ
ἰσ. ἐμιαίνεν

γὰρ δὲ οὐ διὰ τοῦτο πενθοῦμεν μόνον, ἀλλ' ὅτι οὐδὲ εἶναι δοκεῖ τὴν ἀτοπίαν τοῦ πράγματος. ἐντεῦθεν ἅπαντα αὔξεται τὰ κακὰ, ὅταν καὶ ἁμαρτάνωμεν, καὶ μηδὲ πλημμελεῖν νομίζωμεν. βούλει οὖν μαθεῖν ὅσον κακὸν τὸ αἰσχρὰ φθέγγεσθαι; ἐπίστησον τοῖς ἀκούουσι, πῶς ἐρυθριῶσιν ἐν τῇ ἀσχημοσύνῃ τῇ σῇ. τί γὰρ εὐτελέστερον ἀνδρὸς αἰσχρολόγου; τί ἀτιμότερον; εἰς γὰρ τὴν τῶν μίμων ὠθοῦσιν ἑαυτοὺς καὶ τῶν τοιούτων τάξιν, εἰς τὴν τῶν πεπορνευμένων γυναικῶν· μᾶλλον δὲ ἐκεῖναι ἐρυθριῶσι μᾶλλον ἢ ὑμεῖς. πῶς δυνήσῃ διδάξαι γυναῖκα σωφρονεῖν, παιδεύων αὐτὴν εἰς ἀσέλγειαν διὰ τούτων ἐκβαίνειν τῶν ῥημάτων; βέλτιον σηπεδόνα ἀπὸ τοῦ στόματος ἀφιέναι, ἢ ῥῆμα αἰσχρόν. νῦν δὲ ἂν μὲν ὄζῃ τὸ στόμα, οὐδὲ τῆς κοινῆς μετέχεις σιτίων· τοσαύτης δὲ δυσωδίας οὔσης ἐν τῇ ψυχῇ, μυστηρίων τολμᾷς κοινωνεῖν; εἰπέ μοι· καὶ εἰ μέν σκεῦος ἀκάθαρτόν τις λαβὼν, ἐπὶ τῆς τραπέζης κατέθετο τῆς σῆς, ξύλοις ἂν αὐτὸν παίων ἤλασας· τὸν δὲ Θεὸν ἐπὶ τῆς τραπέζης τῆς αὐτοῦ (τράπεζα γὰρ αὐτοῦ, τὸ στόμα τὸ ἡμέτερον εὐχαριστίας πληρούμενον) σκεύους ἀκαθάρτου παντὸς ῥήματα βδελυρώτερα προσφέρων, οὐκ οἴει παροξύνειν; εἰπέ μοι· καὶ πῶς ἔνι τοῦτο; οὐδὲν γὰρ οὕτω παροργίζει τὸν ἅγιον καὶ τὸν καθαρὸν, ὡς τὰ ῥήματα ταῦτα· οὐδὲν οὕτως ἰταμοὺς καὶ ἀναισχύντους ποιεῖ, ὡς τὸ λέγειν τοιαῦτα καὶ ἀκούειν· οὐδὲν οὕτως ἐκλύει τὰ νεῦρα τῆς σωφροσύνης, ὡς ἡ διὰ τούτων ἀναπτομένη φλόξ. μύρον ἐνέθετό σου τῷ στόματι ὁ Θεός· σὺ δὲ νεκροῦ δυσωδέστερα ἀποτίθεσαι ῥήματα, καὶ αὐτὴν ἀναιρεῖς τὴν ψυχὴν, καὶ ἀκίνητον ποιεῖς. καὶ γὰρ ὅταν ὑβρίζῃς, οὐκ ἔστι τοῦτο ψυχῆς φωνὴ, ἀλλὰ θυμοῦ· ὅταν αἰσχρὰ λέγῃς, οὐκ ἐκείνη ἐφθέγξατο, ἀλλ' ἡ ἀκολασία· ὅταν κατηγορῇς, ἡ βασκανία· ὅταν ἐπιβουλεύῃς, ἡ πλεονεξία. ταῦτα γὰρ οὐκ ἐκείνης, ἀλλὰ τῶν παθῶν αὐτῆς, καὶ τῶν νοσημάτων. ὥσπερ οὖν τὸ φθείρεσθαι, οὐχ ἁπλῶς τοῦ σώματος, ἀλλὰ τοῦ θανάτου, καὶ τοῦ πάθους τοῦ ἐν τῷ σώματι· οὕτω δὴ καὶ ταῦτα, τῶν προσγινομένων αὐτῇ παθῶν. εἰ γὰρ βούλει ψυχῆς ἀκοῦσαι φωνῆς ζώσης, ἄκουσον Παύλου λέγοντος, Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. καὶ, Ἔστι πορισμὸς μέγας ἡ εὐσέβεια. καὶ, Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἄκουσον Πέτρου λέγοντος, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. ἄκουσον τοῦ Ἰὼβ εὐχαριστοῦντος, καὶ λέγοντος, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ταῦτα ψυχῆς ζώσης τὰ ῥήματα, ταῦτα ἐνεργούσης τὴν οἰκείαν ἐνέργειαν. οὕτω καὶ Ἰακὼβ ἔλεγεν, Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι. οὕτω καὶ Ἰωσὴφ, Πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐνώπιον τοῦ Θεοῦ; ἀλλ' οὐχ ἡ βάρβαρος ἐκείνη· ἀλλ' ὥσπερ μεθύουσα καὶ παραπαίουσα, οὕτως ἐφθέγγετο λέγουσα, Κοιμήθητι μετ' ἐμοῦ. ταῦτ' οὖν εἰδότες, ζηλώσωμεν τὴν ζῶσαν ψυχὴν, φύγωμεν τὴν νενεκρωμένην, ἵνα καὶ τῆς μελλούσης ἐπιτύχωμεν ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς μεταλαβεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Marginal notes: χ. παιδεύτα· — α. Τιμ. ϛ. η. — ϛ. ϛ. — Γαλ. ϛ. ιδ. — Πραξ. γ. ϛ. — Ἰωβ. α. κα. — Γεν. κη. κ. — Γεν. λθ θ. — Γεν. λθ. ζ.

Λογ. ζ. 7 ΕΙ ΔΕ Η ΔΙΑΚΟΝΙΑ ΤΟΥ ΘΑΝΑΤΟΥ ΕΝ γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην,
8 Πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ;

Εἰπὼν ὅτι λίθιναι αἱ πλάκες αἱ Μωϋσέως, ὡς ὅτι γράμματα εἶχον καὶ ὅτι σάρκιναι αὗται· αἱ καρδίαι δὲ τῶν ἀποστόλων καὶ πνεύματι ἦσαν ἐγγεγραμμέναι· καὶ ὅτι τὸ μὲν γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ· ἐλείπετο λοιπὸν τῇ συγκρίσει ταύτῃ προσθεῖναι καὶ ἕτερον οὐ μικρὸν, τὸ τῆς δόξης Μωϋσέως· ὅπερ ἐνταῦθα οὐδεὶς εἶδεν ἐπὶ τῆς καινῆς, τοῖς τοῦ σώματος ὀφθαλμοῖς· διὸ καὶ μέγα ἐδόκει εἶναι, ἐπειδὴ αἰσθητὴ ἦν ἡ δόξα. ὀφθαλμοῖς γὰρ ἑωρᾶτο σώματος, εἰ καὶ ἀπρόσιτος ἦν. ἡ δὲ τῆς καινῆς, νοητή. οὐ γὰρ σαφὴς τοῖς ἀσθενεστέροις τῆς τοιαύτης ὑπεροχῆς ἡ κατάληψις, ἀλλ' ἐκείνη μᾶλλον αὐτοὺς ἧρε, καὶ ἐπέστρεφε πρὸς ἑαυτήν. ἐπεὶ οὖν εἰς ταύτην ἐνέπεσε τὴν σύγκρισιν, καὶ σπουδάζει δεῖξαι τὴν ὑπεροχὴν, σφόδρα δὲ δύσκολον ἦν διὰ τὸ παχὺ τῶν ἀκροατῶν· ὅρα τί ποιεῖ, καὶ πῶς αὐτὸ μεθοδεύει, πρῶτον ἀπὸ λογισμῶν τὴν διαφορὰν εἰσάγων, καὶ πλέκων αὐτοὺς ἀπὸ τῶν ἔμπροσθεν εἰρημένων. εἰ γὰρ ἐκείνη μὲν θανάτου, αὕτη δὲ ζωῆς ἡ διακονία, ἀναμφίβολον ὅτι καὶ ἡ δόξα αὕτη μείζων ἐκείνης, φησίν. ἐπειδὴ γὰρ οὐκ εἶχεν αὐτὴν δεῖξαι τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς, τοῖς συλλογισμοῖς παρέστησεν αὐτῆς τὸ ὑπερέχον, λέγων, εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐγενήθη ἐν δόξῃ, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; διακονίαν δὲ θανάτου, τὸν νόμον λέγει. καὶ σκόπει πῶς ἐν τῇ συγκρίσει πολλὴν ποιεῖται τὴν ἀσφάλειαν, ὥστε μηδεμίαν δοῦναι τοῖς αἱρετικοῖς λαβήν. οὐ γὰρ εἶπεν, ὁ ποιητικὸς τοῦ θανάτου, ἀλλ', ἡ διακονία τοῦ θανάτου. διηκονεῖτο γὰρ εἰς θάνατον, οὐκ ἔτικτε θάνατον. ἡ γὰρ τοῦ θανάτου ποιητικὴ, ἡ ἁμαρτία ἦν· οὗτος δὲ τὴν κόλασιν ἐπῆγε, καὶ τῆς ἁμαρτίας δεικτικὸς ἦν, οὐ ποιητικός. ἀπεκάλυπτε γὰρ σαφέστερον τὸ κακὸν, καὶ ἐκόλαζεν, οὐκ ὤθει εἰς τὸ κακόν· καὶ διηκόνει, οὐ πρὸς τὸ γενέσθαι ἁμαρτίαν ἢ θάνατον, ἀλλὰ πρὸς τὸ δοῦναι δίκην τὸν ἁμαρτάνοντα. ὥστε καὶ ἀναιρετικὸς ἦν ταύτῃ τῆς ἁμαρτίας. ὁ γὰρ οὕτω φοβερὰν αὐτὴν δεικνὺς, εὔδηλον ὅτι καὶ φευκτὴν αὐτὴν ποιεῖ. ὥσπερ οὖν ὁ τὸ ξίφος μεταχειρίζων, καὶ τὸν καταδίκην ἀποτέμνων, διακονεῖ τῷ δικαστῇ ἀποφαινομένῳ, καὶ οὐκ αὐτός ἐστιν ὁ ἀναιρῶν, καίτοιγε αὐτὸς ἀποτέμνων, ἀλλ' οὐδὲ ὁ ἀποφαινόμενος καὶ καταδικάζων, ἀλλ' ἡ τοῦ κολαζομένου πονηρία· οὕτω δὴ καὶ ἐνταῦθα οὐκ αὐτὸς ἀναιρεῖ, ἀλλ' ἡ ἁμαρτία. αὕτη καὶ ἀνῄρει καὶ κατεδίκαζεν· τιμωρούμενος δὲ οὗτος, ἐκείνης ὑπετέμνετο τὴν ἰσχὺν, τῷ φόβῳ τῆς τιμωρίας ἀναστέλλων αὐτήν. οὐκ ἠρκέσθη δὲ τούτῳ μόνῳ εἰς τὴν παράστασιν τῆς ὑπεροχῆς, ἀλλὰ καὶ ἑτέραν προστίθησι λέγων, ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις. ὅρα πῶς πάλιν ὑποτέμνεται τὸ φρόνημα τὸ Ἰουδαϊκόν. οὐδὲν γὰρ ἕτερον ἦν, ἢ γράμματα ὁ νόμος· οὐ βοήθειά τις ἀπὸ τῶν γραμμάτων ἐκπηδῶσα, καὶ ἐμπνέουσα τοῖς ἀγωνιζομένοις, καθάπερ ἐπὶ τοῦ βαπτίσματος, ἀλλὰ στῆλαι καὶ γραφαὶ θάνατον φέρουσαι τοῖς τὰ γράμματα παραβαίνουσιν. εἶδες πῶς διορθούμενος τὴν Ἰουδαϊκὴν φιλονεικίαν, καὶ διὰ τῶν ὀνομάτων αὐτῶν καθαιρεῖ τὸ ἀξίωμα, λίθους εἰπὼν, καὶ γράμματα, καὶ διακονίαν θανάτου, καὶ προσθεὶς ὅτι ἐντετυπωμένη; ἐντεῦθεν γὰρ οὐδὲν ἄλλο ἐμφαίνει, ἢ ὅτι ἐν ἑνὶ χωρίῳ ὁ νόμος ἵδρυτο, οὐ καθάπερ τὸ πνεῦμα πανταχοῦ περιιὸν πολλὴν ἐμπνέον τὴν ἰσχὺν ἅπασιν· ἢ ὅτι πολλὴν ἐμπνεῖ τὴν ἀπειλὴν τὰ γράμματα, καὶ ἀπειλὴν οὐδὲ ἀφανισθῆναι δυναμένην, ἀλλὰ διηνεκῶς μένουσαν, ἅτε λίθοις ἐγκεκολαμμένην. εἶτα καὶ δοκῶν ἐγκωμιάζειν τὰ παλαιὰ, κατηγορίαν πάλιν ἀναμίγνυσιν Ἰουδαίων. εἰπὼν γὰρ, ἐν γράμμασιν, ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ἐπήγαγεν, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως· ὃ πολλῆς ἦν αὐτῶν ἀσθενείας καὶ χαμαιζηλίας. καὶ πάλιν, οὐ διὰ τὴν δόξαν τῶν πλακῶν, ἀλλὰ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, φησί. δείκνυσι γὰρ τὸν φέροντα δοξαζόμενον, οὐκ ἐκείνας.

νας. οὐ γὰρ εἶπε, διὰ τὸ μὴ δύνασθαι ἀτενίσαι εἰς τὰς πλάκας, ἀλλ' εἰς τὸ πρόσωπον Μωϋσέως. καὶ πάλιν, οὐ διὰ τὴν δόξαν τῶν πλακῶν, ἀλλὰ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ. εἶτα ἐπειδὴ ἐπῆρεν αὐτὴν, ὅρα πῶς πάλιν καθαιρεῖ λέγων, τὴν καταργουμένην. οὐ μὴν τοῦτο κατηγορίας ἐστὶν, ἀλλὰ ἐλαττώσεως. οὐδὲ γὰρ εἶπε τὴν διεφθαρμένην, τὴν πονηρὰν, ἀλλὰ τὴν παυομένην, καὶ τέλος λαμβάνουσαν. Πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; Τεθαρρηκὼς γὰρ λοιπὸν τὰ τῆς χάριτος αἴρει, ὡς ἀναμφισβήτητα. καὶ σκόπει τί ποιεῖ. ἀντέθηκε λίθον καρδίᾳ, καὶ γράμμα πνεύματι. εἶτα δείξας τὰ ἐξ ἀμφοτέρων, οὐκέτι τίθησι τὰ ἐξ ἀμφοτέρων· ἀλλὰ τὸ ἀπὸ τοῦ γράμματος θεὶς, τὸν θάνατον καὶ τὴν κατάκρισιν, τὸ ἀπὸ τοῦ πνεύματος οὐκέτι τίθησι, τὴν ζωὴν καὶ τὴν δικαιοσύνην, ἀλλ' αὐτὸ τὸ πνεῦμα· ὅπερ μείζονα ἐποίει τὸν λόγον. οὐ γὰρ ζωὴν ἐδίδου μόνον, ἀλλὰ καὶ πνεῦμα ἐχορήγει τὸ τὴν ζωὴν παρέχον· ὃ πολλῷ μεῖζον τῆς ζωῆς ἦν. διόπερ εἶπεν, ἡ διακονία τοῦ πνεύματος. εἶτα πάλιν τὸ αὐτὸ περιστρέφει λέγων,

9 Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως, δόξα. Καὶ ἑρμηνεύει σαφέστερον τί ἐστι, τὸ γράμμα ἀποκτείνει, τοῦτο λέγων ὅπερ ἔμπροσθεν εἰρήκαμεν, ὅτι δεικτικὸς ἁμαρτίας ἦν ὁ νόμος, οὐ ποιητικός. Πολλῷ μᾶλλον ἡ διακονία τῆς δικαιοσύνης περισσεύει ἐν δόξῃ. Ἐκεῖναι μὲν γὰρ αἱ πλάκες τοὺς ἁμαρτωλοὺς ἐδείκνυον, καὶ ἐκόλαζον· αὕτη δὲ τοὺς ἁμαρτωλοὺς οὐ μόνον οὐκ ἐκόλαζεν, ἀλλὰ καὶ δικαίους ἐποίει. τοῦτο γὰρ τὸ βάπτισμα εἰργάζετο.

10 Καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον, ἐν τούτῳ τῷ μέρει, εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης. Ἐν μὲν οὖν τοῖς προτέροις ἔδειξεν, ὅτι καὶ τοῦτο ἐν δόξῃ, καὶ οὐχ ἁπλῶς ἐν δόξῃ, ἀλλὰ καὶ περισσεύει. οὐ γὰρ εἶπε, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ, ἀλλὰ, περισσεύει ἐν δόξῃ, τὴν ἀπὸ τῶν λογισμῶν τῶν εἰρημένων ἔχων ἀπόδειξιν. ἐνταῦθα καὶ τὴν ὑπεροχὴν, ὅση, δείκνυσι λέγων, ὅτι ἐν συγκρίσει ταύτης ἐκείνη, οὐδὲ δόξα ἐστὶν ἡ δόξα τῆς παλαιᾶς· οὐχ ἁπλῶς τὸ μὴ εἶναι δόξαν κατασκευάζων, ἀλλὰ τῷ τῆς συγκρίσεως λόγῳ. διὸ καὶ ἐπήγαγε, τούτῳ τῷ μέρει· τουτέστι, κατὰ τὸν τῆς συγκρίσεως λόγον. οὐ μὴν τοῦτο διαβάλλει τὴν παλαιὰν, ἀλλὰ καὶ σφόδρα αὐτὴν συνίστησιν. αἱ γὰρ συγκρίσεις ἐπὶ τῶν συγγενῶν εἰώθασι γίνεσθαι. εἶτα καὶ ἄλλον κινεῖ λογισμὸν τὸν ἀποδεικνύντα τὴν ὑπεροχὴν καὶ ἐπίρρωσιν. ποῖον δὴ τοῦτον; τὸν ἀπὸ τοῦ χρόνου, λέγων,

11 Εἰ δὲ τὸ καταργούμενον, διὰ δόξης· πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ. Τὸ μὲν γὰρ ἐπαύσατο· τὸ δὲ μένει διηνεκῶς.

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παρρησίᾳ χρώμεθα. Ἐπειδὴ γὰρ τοσαῦτα καὶ τηλικαῦτα ἀκούσας ὁ ἀκροατὴς περὶ τῆς χάριτος, ἐζήτει καὶ ὀφθαλμοφανῶς τὴν δόξαν ταύτην ἰδεῖν, ὅρα ποῦ αὐτὸν διακοντίζει, πρὸς τὸν μέλλοντα αἰῶνα. διὸ καὶ τὴν ἐλπίδα εἰς μέσον ἔθηκε, λέγων, ἔχοντες οὖν τοιαύτην ἐλπίδα. τοιαύτην· ποταπήν; ὅτι μειζόνων ἠξιώθημεν ἢ Μωϋσῆς, οὐχ οἱ ἀπόστολοι μόνοι ἡμεῖς, ἀλλὰ καὶ πάντες οἱ πιστοί. πολλῇ παρρησίᾳ χρώμεθα. πρὸς τίνα, εἰπέ μοι; πρὸς τὸν Θεὸν, ἢ πρὸς τοὺς μαθητάς; πρὸς ὑμᾶς τοὺς μαθητευομένους, φησί· τουτέστι, μετ' ἐλευθερίας πανταχοῦ φθεγγόμεθα, οὐδὲν ἀποκρυπτόμενοι, οὐδὲν ὑποστελλόμενοι, οὐδὲν ὑφορώμενοι, ἀλλὰ σαφῶς λέγοντες. καὶ οὐ δεδοίκαμεν μὴ πλήξωμεν ὑμῶν τὰς ὄψεις, καθάπερ Μωϋσῆς τὰς Ἰουδαίων. ὅτι γὰρ τοῦτο ᾐνίξατο, ἄκουσον τῶν ἑξῆς· μᾶλλον δὲ τὴν ἱστορίαν πρῶτον ἀναγκαῖον εἰπεῖν. καὶ γὰρ αὐτὸς αὐτὴν συνεχῶς περιστρέφει. τίς οὖν ἡ ἱστορία; ὅτι ἐκ δευτέρου τὰς πλάκας κατήει λαβὼν ὁ Μωϋσῆς, δόξα τις ἐκπηδῶσα τοῦ προσώπου αὐτοῦ τοσαύτη ἀπέλαμπεν, ὡς μὴ δύνασθαι

δυνάσθαι τοὺς Ἰουδαίους προσιέναι αὐτῷ καὶ διαλέγεσθαι, ἕως ὅτε ἐπέθηκε κάλυμμα τῷ προσώπῳ. καὶ γέγραπται οὕτως ἐν τῇ ἐξόδῳ· (Ἐξοδ. λδ. κθ.) Ἡνίκα κατέβη Μωϋσῆς ἐκ τοῦ ὄρους, αἱ δύο πλάκες ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ οὐκ ᾔδει Μωϋσῆς ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ· καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτῷ. καὶ ἐκάλεσεν αὐτοὺς Μωϋσῆς, καὶ ἐλάλησε πρὸς αὐτούς. καὶ ἐπειδὴ κατέπαυσε Μωϋσῆς λαλῶν πρὸς αὐτούς, ἐπέθηκεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ κάλυμμα. ἡνίκα δὲ εἰσεπορεύετο ἐνώπιον τοῦ Κυρίου λαλεῖν, περιῄρει τὸ κάλυμμα ἕως τοῦ ἐκπορεύεσθαι αὐτόν. Ταύτης οὖν ἀναμνήσας τῆς ἱστορίας, φησί·

13 Καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ χρεία καλύπτεσθαι ἡμᾶς, καθάπερ Μωϋσῆς. δυνατοὶ γὰρ ὑμεῖς ἰδεῖν εἰς τὴν δόξαν ταύτην ἣν περικείμεθα, καίτοι πολλῷ μείζονα καὶ φαιδροτέραν οὖσαν ἐκείνης. (α. Κορ. γ. β.) Εἶδες τὴν προκοπήν; ὁ γὰρ ἐν τῇ προτέρᾳ εἰπών, Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, ἐνταῦθα λέγει ὅτι πολλῇ παρρησίᾳ χρώμεθα· καὶ Μωϋσέα εἰς μέσον παράγει, κατὰ σύγκρισιν προάγων τὸν λόγον, καὶ ταύτῃ τὸν ἀκροατὴν ἀνάγων. καὶ τέως Ἰουδαίων αὐτοὺς προτίθησι λέγων, ὅτι οὐ δεόμεθα καλύμματος, καθάπερ ἐκεῖνος ἐπὶ τῶν ἀρχομένων· τὰ δὲ μετὰ ταῦτα, καὶ εἰς αὐτὸν τὸν νομοθέτην τὸ ἀξίωμα ἀνάγει, ἢ καὶ πολλῷ μείζω. τέως δὲ τῶν ἑξῆς ἀκούσωμεν.

14 Ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ τῆς σήμερον, τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. Ὅρα τί κατασκευάζει διὰ τούτων. ὅπερ γὰρ γέγονεν ἐπὶ Μωϋσέως τότε ἅπαξ, τοῦτο ἐπὶ τοῦ νόμου γίνεται διηνεκῶς. οὐκ ἄρα τοῦ νόμου διαβολὴ τὸ εἰρημένον, ὥσπερ οὐδὲ Μωϋσέως τότε καλυπτομένου, ἀλλὰ τῶν ἀγνωμόνων Ἰουδαίων. ἐκεῖνος μὲν γὰρ ἔχει τὴν οἰκείαν δόξαν· οὗτοι δὲ αὐτὴν ἰδεῖν οὐκ ἠδυνήθησαν. τί τοίνυν διαπορεῖς τί, φησιν, εἰ τὴν δόξαν ταύτην ἰδεῖν οὐ δύνανται τὴν τῆς χάριτος, ὅπουγε τὴν ἐλάττω τὴν Μωϋσέως οὐκ εἶδον, οὐδὲ πρὸς τὸ πρόσωπον ἴσχυσαν ἀτενίσαι τὸ ἐκείνου; τί δὲ ταράττεσθε, εἰ οὐ πιστεύουσιν Ἰουδαῖοι Χριστῷ, ὅπουγε οὐδὲ τῷ νόμῳ πιστεύουσι; διὰ γὰρ τοῦτο καὶ τὴν χάριν ἠγνόησαν, ἐπειδὴ οὐδὲ τὴν παλαιὰν διαθήκην εἶδον, οὐδὲ τὴν ἐν αὐτῇ δόξαν. δόξα γὰρ νόμου, πρὸς Χριστὸν ἐπιστρέψαι. ὁρᾷς πῶς κἀντεῦθεν καθαιρεῖ τὸ τῶν Ἰουδαίων φύσημα; ἀφ᾽ ὧν γὰρ ἐδόκουν πλεονεκτεῖν, τοῦ τὴν ὄψιν Μωϋσέως ἐξαστράπτειν, ἀπὸ τούτων δείκνυσιν αὐτῶν τὸ παχὺ καὶ χαμαίζηλον. μὴ τοίνυν τούτῳ καλλωπιζέσθωσαν. τί γὰρ τοῦτο πρὸς Ἰουδαίους τοὺς μὴ ἀπολαύσαντας; διὸ καὶ συνεχῶς αὐτὸ περιστρέφει, νῦν μὲν λέγων, ὅτι τὸ αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται· νῦν δέ, ὅτι ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, τὸ αὐτὸ κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, καὶ ἐν τῇ ἀναγνώσει καὶ ἐν τῇ καρδίᾳ αὐτῶν δεικνὺς ἐπικείμενον· ἀνωτέρω δέ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· οὗ τί γένοιτ᾽ ἂν εὐτελέστερον; ὅταν μηδὲ καταργουμένης δόξης, μᾶλλον δὲ τῆς μηδὲ οὔσης τῇ συγκρίσει, δύνωνται θεαταὶ γενέσθαι, ἀλλὰ καλύπτηται ἀπ᾽ αὐτῶν, εἰς τὸ μὴ ἀτενίσαι εἰς τὸ τέλος τοῦ καταργουμένου, τουτέστι, τοῦ νόμου, ὅ,τι τέλος ἔχει. Ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν.

Καὶ τί τοῦτο πρὸς τὸ κάλυμμα, φησί, τότε; ὅτι τὰ μέλλοντα προδιέγραφε. οὐ γὰρ μόνον τότε οὐκ εἶδον, ἀλλ᾽ οὐδὲ νῦν ὁρῶσι τὸν νόμον. καὶ ἡ αἰτία, παρ᾽ αὐτούς. ἡ γὰρ πώρωσις, γνώμης ἐστὶν ἀναισθήτου καὶ ἀγνώμονος. ὥστε ἡμεῖς ἐσμὲν οἱ καὶ τὸν νόμον εἰδότες· ἐκείνοις δὲ οὐχ ἡ χάρις μόνον, ἀλλὰ καὶ οὗτος συνεσκίασται. Ἄχρι γὰρ τῆς σήμερον, τὸ

αὐτὸ

αὐτὸ κάλυμμα ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, φησὶ, μὴ ἀνακαλυπτόμενον, ὅ, τι ἐν Χριστῷ καταργεῖται. Ὃ δὲ λέγει τοῦτό ἐστι· τὸ αὐτὸ οὐ δύνανται συνιδεῖν ὅτι πέπαυται, ἐπειδὴ τῷ Χριστῷ οὐ πιστεύουσιν. εἰ γὰρ διὰ τοῦ Χριστοῦ πέπαυται, ὥσπερ οὖν καὶ πέπαυται, καὶ ὁ νόμος τοῦτο προλαβὼν εἶπε, πῶς οἱ μὴ δεχόμενοι τὸν Χριστὸν τὸν καταργήσαντα τὸν νόμον, δυνήσονται ἰδεῖν ὅτι κατήργηται ὁ νόμος; οὐ χωροῦντες δὲ τοῦτο ἰδεῖν, εὔδηλον ὅτι καὶ αὐτοῦ τοῦ νόμου τοῦ ταῦτα λέγοντος τὴν ἰσχὺν ἀγνοοῦσι, καὶ τὴν δόξαν ἅπασαν. καὶ ποῦ τοῦτο εἶπε, φησὶν, ὅτι ἐν Χριστῷ καταργεῖται; οὐκ εἶπε μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἔδειξε· καὶ πρῶτον μὲν, τῷ τὰς θυσίας καὶ τὴν ἁγιστείαν ἅπασαν ἐν ἑνὶ κατακλεῖσαι τόπῳ τῷ ναῷ, καὶ αὐτὸν ὕστερον καθελεῖν. εἰ γὰρ μὴ ἐβούλετο αὐτὰς παύσασθαι, καὶ τὸν περὶ τούτων νόμον ἀπολῦσαι, δυοῖν θάτερον ἂν ἐποίησεν, ἢ οὐκ ἂν καθεῖλε τὸν ναὸν, ἢ καθελὼν, οὐκ ἂν ἀπηγόρευσεν ἀλλαχοῦ θύεσθαι. νῦν δὲ τὴν οἰκουμένην ἅπασαν, καὶ αὐτὴν δὲ τὴν Ἱερουσαλὴμ, ἄβατον ταῖς τοιαύταις κατέστησεν ἱερουργίαις· μόνον δὲ τὸν ναὸν αὐταῖς ἀνεὶς καὶ ἀποτάξας, εἶτα αὐτὸν τοῦτον ὕστερον καθελὼν, καὶ εἰς τέλος ἔδειξε διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι πέπαυται τὰ τοῦ νόμου διὰ Χριστοῦ. καὶ γὰρ τὸν ναὸν καθεῖλεν ὁ Χριστός. εἰ δὲ βούλει καὶ διὰ ῥημάτων ἰδεῖν πῶς διὰ τοῦ Χριστοῦ καταργεῖται, ἄκουσον αὐτοῦ τοῦ νομοθέτου λέγοντος· ὅτι Προφήτην ὑμῖν ἀναστήσει Κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν ἐντείληται ὑμῖν. καὶ ἔσται, πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται. εἶδες πῶς ἔδειξεν ὁ νόμος ὅτι ἐν Χριστῷ παύεται; ὁ γὰρ προφήτης οὗτος (τουτέστιν, ὁ Χριστὸς ὁ κατὰ σάρκα) οὗ ἀκούειν ἐκέλευσε Μωϋσῆς, καὶ σάββατον, καὶ περιτομὴν, καὶ τἄλλα πάντα ἔπαυσε. καὶ ὁ Δαβὶδ δὲ τὸ αὐτὸ τοῦτο δηλῶν, ἔλεγε περὶ τοῦ Χριστοῦ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Ψαλμ. ρθ. δ.
Μελχισεδὲκ, οὐ κατὰ τὴν τάξιν Ἀαρών. διὸ καὶ σαφῶς ὁ Παῦλος ἑρμηνεύων αὐτὸ, φησὶν, ὅτι Μετατιθεμένης τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. καὶ ἀλλαχοῦ δὲ πάλιν Ἑβρ. ζ. ιβ.
φησὶ, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας· τότε εἶπον, ἰδοὺ ἥκω. καὶ ἑτέρας δὲ πολλῷ τούτων πλείους δυνατὸν ἐκ τῆς παλαιᾶς παραγαγεῖν μαρτυρίας, δηλούσας πῶς διὰ τοῦ Χριστοῦ καταργεῖται ὁ νόμος. ὥστε ὅταν ἀποστῇς τοῦ νόμου, τότε ὄψει τὸν νόμον καλῶς· ἕως δ' ἂν αὐτὸν κατέχῃς, καὶ μὴ πιστεύῃς Χριστῷ, οὐκ οἶδας οὐδὲ αὐτὸν τὸν νόμον. διὸ καὶ ἐπήγαγε, σαφέστερον τοῦτο αὐτὸ κατασκευάζων, Ψαλμ. μ. ζ.

15 Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐν τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει τὸ κάλυμμα, ἵνα μή τις νομίσῃ τῆς ἀσαφείας τοῦ νόμου εἶναι τὸ εἰρημένον, καὶ δι' ἑτέρων μὲν αὐτὸ καὶ ἔμπροσθεν ἔδειξε (τῷ γὰρ εἰπεῖν, ἐπωρώθη τὰ νοήματα αὐτῶν, δείκνυσιν αὐτῶν τὸ ἔγκλημα ὄν) καὶ ἐν αὐτοῖς δὲ τούτοις πάλιν. οὐ γὰρ εἶπεν, ἐν τοῖς γράμμασι μένει τὸ κάλυμμα, ἀλλ', ἐν τῇ ἀναγνώσει. ἡ δὲ ἀνάγνωσις, ἐνέργεια τῶν ἀναγινωσκόντων ἐστί. καὶ πάλιν, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς. σαφέστερον δὲ αὐτὸ τῇ λέξει τῇ ἑξῆς ἐδήλωσεν, ἀνακεκαλυμμένως εἰπὼν, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. ἐπεὶ καὶ ἐν τῇ ὄψει Μωϋσέως, οὐ διὰ Μωϋσέα ἔκειτο, ἀλλὰ διὰ τὴν παχύτητα καὶ σαρκικὴν γνώμην. κατηγορήσας τοίνυν αὐτῶν ἱκανῶς, δείκνυσι καὶ τὸν τρόπον τῆς διορθώσεως. τίς δὲ οὗτός ἐστι; 16 Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον (ὅπερ ἐστὶν ἀπόστῃ τοῦ νόμου) περιαιρεῖται τὸ κάλυμμα. Ὁρᾷς ὅτι οὐ τοῦ προσώπου Μωϋσέως κάλυμμα ἦν ἐκεῖνο, ἀλλὰ τῆς ὄψεως τῆς Ἰουδαϊκῆς; οὐ γὰρ ἵνα κρύπτηται ἡ δόξα Μωϋσέως τοῦτο ἐγένετο, ἀλλ' ἵνα ἐκεῖνοι μὴ βλέπωσιν. οὐδὲ γὰρ ἐχώρουν. ὥστε ἐκείνων ἐλάττωμα τοῦτο. οὐδὲ γὰρ τοῦτον ἐποίει τι ἀγνοεῖν, ἀλλ' ἐκείνους. καὶ οὐκ εἶπε μὲν, ἡνίκα ἂν ἀφῇ τὸν νόμον, τοῦτο δὲ ᾐνίξατο· ὅτι γὰρ ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. μέχρι τέλους ἐπέμεινε τῇ ἱστορίᾳ.

Δευτ. ιη. ιη.

ἰν. ἐντίλληται / ἀν. ἐντείληται

γ. ἀφῇς

γ. ἐπιστρέψεις

εἶναι. καὶ γὰρ ὅτε Ἰουδαίοις διελέγετο Μωϋσῆς, ἐκάλυπτεν αὐτοῦ τὸ πρόσωπον· ὅτε δὲ πρὸς τὸν Θεὸν ἐπέστρεφεν, ἀποκεκαλυμμένον ἦν. τοῦτο δὲ τύπος ἦν τοῦ μέλλοντος ἔσεσθαι, ὅτι ὅταν ἐπιστρέψωμεν πρὸς Κύριον, τότε ὀψόμεθα τὴν δόξαν τοῦ νόμου, καὶ γυμνὸν τὸ πρόσωπον τοῦ νομοθέτου· μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ τότε ἐσόμεθα καὶ ἐν τάξει Μωϋσέως. Εἶδες πῶς ἐκκαλεῖται τοὺς Ἰουδαίους ἐπὶ τὴν πίστιν, δεικνὺς ὅτι οὐ μόνον Μωϋσέα δύνανται ἰδεῖν, πρὸς τὴν χάριν ἐλθόντες, ἀλλὰ καὶ ἐν αὐτῇ γενέσθαι τῇ τάξει τοῦ νομοθέτου; οὐ γὰρ μόνον φησὶ τὴν δόξαν ὄψει ἣν τότε οὐκ εἶδες, ἀλλὰ καὶ αὐτὸς ἐν δόξῃ ἔσῃ τῇ αὐτῇ· μᾶλλον δὲ πολλῷ πλείονι, καὶ τοσαύτῃ, ὡς μηδὲ δόξαν ἐκείνην φαίνεσθαι ταύτῃ παραβαλλομένην. πῶς καὶ τίνι τρόπῳ; ὅτι πρὸς τὸν Κύριον ἐπιστρέψας, καὶ γενόμενος ἐν τῇ χάριτι, ἐκείνης ἀπολαύσῃ τῆς δόξης, πρὸς ἣν ἡ δόξα Μωϋσέως συγκρινομένη οὕτως ἐλάττων ἐστὶν, ὡς μηδὲ δόξα εἶναι. ἀλλ᾽ ὅμως εἰ καὶ μικρὰ, καὶ σφόδρα ἀποδέουσα ἐκείνης, Ἰουδαῖος μὲν ὢν, οὐδὲ ταύτης ἀξιωθήσῃ· πιστὸς δὲ γενόμενος, καὶ τὴν πολλῷ μείζονα αὐτῆς καταξιωθήσῃ θεάσασθαι. καὶ ὅτε μὲν τοῖς πιστοῖς διελέγετο, οὐ δεδοξάσθαι τὸ δεδοξασμένον ἔλεγεν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πῶς; ὅταν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα, κατὰ μικρὸν αὐτὸν ἐνάγων, καὶ ἐν τάξει Μωϋσέως πρῶτον ἱστὰς, καὶ τότε τῶν μειζόνων ποιῶν κοινωνόν. ὅταν γὰρ ἴδῃς τὸν Μωϋσέα ἐν δόξῃ, τότε λοιπὸν καὶ πρὸς τὸν Θεὸν ἐπιστρέψας, καὶ μείζονος ἀπολαύσεις ταύτης. ὅρα τοίνυν ἐξ ἀρχῆς πόσα τέθεικε τὰ ποιοῦντα τὴν διαφορὰν, καὶ δεικνύντα τῆς καινῆς πρὸς τὴν παλαιὰν τὴν ὑπεροχὴν, οὐ τὴν μάχην, οὐδὲ τὴν ἐναντίωσιν. ἐκεῖ γράμμα, φησὶ, καὶ λίθος, καὶ θανάτου διακονία, καὶ καταργεῖται· καὶ ὅμως οὐδὲ ταύτης ἠξιώθησαν οἱ Ἰουδαῖοι τῆς δόξης· αὕτη σαρκίνη ἡ πλὰξ, καὶ πνεῦμα, καὶ δικαιοσύνη, καὶ μένει· καὶ πάντες αὐτῆς καταξιούμεθα, οὐχ εἷς μόνος, καθάπερ Μωϋσῆς τῆς ἐλάττονος τότε. Ἡμεῖς γὰρ, φησι, πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ Κυρίου κατοπτριζόμεθα, οὐ τὴν Μωϋσέως. ἀλλ᾽ ἐπειδή τινες τὸ, ἡνίκα ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περὶ τοῦ υἱοῦ εἰρῆσθαί φασι, τοῖς σφόδρα ὡμολογημένοις ἀντιπίπτοντες, ἀκριβέστερον αὐτὸ ἐξετάσωμεν, θέντες πρότερον ἐκεῖνο, ἀφ᾽ οὗ δοκοῦσιν αὐτὸ κατασκευάζειν. τί δὲ τοῦτό ἐστι; καθάπερ, φησὶ, λέγει πνεῦμα ὁ Θεὸς, οὕτω καὶ ἐνταῦθα, πνεῦμα ὁ Κύριος. ἀλλ᾽ οὐκ εἶπε, πνεῦμα ὁ Κύριος, ἀλλ᾽, ὁ Κύριος τὸ πνεῦμά ἐστι. πολὺ δὲ ταύτης κἀκείνης τῆς συνθήκης τὸ μέσον. ὅταν γὰρ βούληται οὕτω λέγειν, ὡς σὺ φῄς, τῷ ἐπιθέτῳ ἄρθρον οὐ προστίθησιν. ἄλλως δὲ, ἴδωμεν πάντα ὅσα διελέχθη ἄνωθεν, περὶ τίνος εἴρηκεν· οἷον, ὅτε ἔλεγε, τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ· καὶ πάλιν, ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος. ἆρα περὶ τοῦ υἱοῦ, ἢ περὶ τοῦ πνεύματος; εὔδηλον ὅτι περὶ τοῦ πνεύματος. πρὸς γὰρ τοῦτο ἀπὸ τοῦ γράμματος αὐτοὺς ἐκάλει. ἵνα γὰρ μὴ ἀκούσας τις πνεῦμα, εἶτα λογισάμενος, εἰ Μωϋσῆς πρὸς Κύριον ἐπέστρεψεν, αὐτὸς δὲ πρὸς πνεῦμα, ἔλαττον ἔχειν νομίσῃ, διορθούμενος τὴν τοιαύτην ὑπόνοιαν, φησιν,

17 Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι. Καὶ τοῦτο Κύριός ἐστι φησι. καὶ ἵνα μάθῃς ὅτι περὶ τοῦ παρακλήτου ὁ λόγος, ἐπήγαγεν, Οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.

Οὐ γὰρ δήπου τοῦτο ἂν εἴποις αὐτὸν λέγειν, οὗ δὲ ὁ Κύριος τοῦ Κυρίου. ἐλευθερίαν δὲ εἶπε πρὸς τὴν ἔμπροσθεν δουλείαν. εἶτα, ἵνα μὴ νομίσῃς, ὅτι περὶ μέλλοντος χρόνου λέγει, φησίν,

18 Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, Οὐ τὴν παυομένην ἐκείνην, ἀλλὰ τὴν μένουσαν,

Τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος. Εἶδες πῶς πάλιν ἐν τάξει τοῦ Θεοῦ τὸ πνεῦμα τίθησι, καὶ αὐτοὺς εἰς τὴν τάξιν ἀναβιβάζει τῶν ἀποστόλων; καὶ γὰρ ἔμπροσθεν εἴρηκεν, ἐπιστολή ἐστε Χριστοῦ· καὶ

ἐνταῦθα

ἐνταῦθα, ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ. καίτοι αὐτοὶ ἦλθον φέροντες καὶ τὸν Μωϋσέα νόμον. ἀλλ' ὥσπερ ἡμεῖς, φησὶν, οὐκ ἐδεήθημεν καλύμματος, οὕτως οὐδὲ ὑμεῖς οἱ δεξάμενοι. καίτοιγε πολλῷ μείζων αὕτη ἡ δόξα. οὐ γὰρ τοῦ προσώπου ἡμῖν αὕτη, ἀλλὰ τοῦ πνεύματος. ἀλλ' ὅμως ἡμῖν ὁμοίως ἀτενίσαι δύνασθε εἰς ταύτην. ἐκεῖνοι μὲν γὰρ οὐδὲ διὰ μεσίτου, ὑμεῖς δὲ καὶ χωρὶς μεσίτου δύνασθε τὴν μείζονα. ἐκεῖνοι εἰς τὴν Μωϋσέως οὐκ ἴσχυσαν· ὑμεῖς καὶ εἰς τὴν τοῦ πνεύματος. οὐκ ἂν δὲ, εἰ καταδεέστερον τὸ πνεῦμα ἦν, ὡς μείζονα ταῦτα ἐκείνων ἔθηκε. τί δέ ἐστι, τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα; σαφέστερον μὲν τοῦτο ἐδείκνυτο ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει. πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τῷ πιστοὺς ὀφθαλμοὺς ἔχοντι. ὁμοῦ τε γὰρ βαπτιζόμεθα, καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει, τῷ πνεύματι καθαιρομένη. καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθά τινα αἴγλην. ὥσπερ ἂν εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς· οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου λαμπροτέρα γινομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ πνεύματος, καὶ ταύτην ἀντιπέμπει. διὸ καί φησι, κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης, τῆς τοῦ πνεύματος, εἰς δόξαν τὴν ἡμετέραν, τὴν ἐγινομένην, καὶ τοιαύτην, οἵαν εἰκὸς ἀπὸ Κυρίου πνεύματος. ὅρα πῶς καὶ ἐνταῦθα τὸ πνεῦμα Κύριον καλεῖ. καὶ ἀλλαχοῦ δὲ αὐτοῦ τὴν κυριότητά ἐστιν ἰδεῖν. Λειτουργούντων γὰρ αὐτῶν, καὶ νηστευόντων τῷ Κυρίῳ, φησὶν, εἶπε τὸ πνεῦμα, ἀφορίσατέ μοι Παῦλον καὶ Βαρνάβαν. διὰ γὰρ τοῦτο εἶπε, λειτουργούντων αὐτῶν τῷ Κυρίῳ, ἀφορίσατέ μοι, ἵνα τὸ ὁμότιμον δείξῃ. καὶ πάλιν ὁ Χριστός φησιν, Ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ. τὸ δὲ πνεῦμα, ὡς ἄνθρωπος οἶδε τὰ ἑαυτοῦ, οὕτως οἶδε τὰ τοῦ Θεοῦ, οὐχὶ διδασκόμενον· ἐπεὶ ἡ εἰκὼν οὐ μένει. καὶ τὸ ἐνεργεῖν δὲ καθὼς βούλεται, δείκνυσιν αὐτοῦ τὴν ἐξουσίαν καὶ τὴν κυριότητα. τοῦτο μεταμορφοῖ, τοῦτο οὐκ ἐᾷ συσχηματίζεσθαι ἡμᾶς τῷ αἰῶνι τούτῳ, τοῦτο δημιουργὸν τῆς τοιαύτης κτίσεως. ὥσπερ γάρ φησι, Κτισθέντες ἐν Χριστῷ Ἰησοῦ, οὕτω φησὶ, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

ϗ. αὐτὴ ἐκπέμπει.

Πραξ. ιγ. β.

Ιωαν. ιε. ιε.

α. Κορ. β. ια.

Εφεσ. β. ι.

Ψαλμ. ν. ιβ.

ΗΘΙΚΟΝ

Βούλει σοι δείξω τοῦτο, καὶ ἀπὸ τῶν ἀποστόλων, αἰσθητικώτερον; ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει· Πέτρον, οὗ καὶ αἱ σκιαὶ ἴσχυον. οὐ γὰρ δὴ, εἰ μὴ βασιλέως ἔφερον εἰκόνα, καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαὶ, τοσοῦτον τὰ ἱμάτια αὐτῶν καὶ αἱ σκιαὶ ἐνήργησαν. βασιλέως γὰρ ἱμάτια καὶ τοῖς λῃσταῖς ἐστι φοβερά. θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; Ἀτενίσαντες, φησὶν, εἰς τὸ πρόσωπον Στεφάνου, εἶδον ὡς πρόσωπον ἀγγέλου. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀστράπτουσαν δόξαν. ὅπερ γὰρ Μωϋσῆς ἐπὶ τοῦ προσώπου εἶχε, τοῦτο οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον· μᾶλλον δὲ καὶ πολλῷ πλέον. τὸ μὲν γὰρ Μωϋσέως, αἰσθητικώτερον ἦν· τοῦτο δὲ ἀσώματον. καὶ καθάπερ πυραυγῆ σώματα ἀπὸ τῶν λαμπρῶν σωμάτων ἐπὶ τὰ πλησίον ἀπορρέοντα, καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας αὐγῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν πιστῶν συμβαίνει. διὰ δὴ τοῦτο, τῆς γῆς ἀπαλλάττονται οἱ τοῦτο πάσχοντες, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ὀνειροπολοῦσιν. οἴμοι· καλὸν γὰρ ἐνταῦθα καὶ στενάξαι πικρὸν, ὅτι τοσαύτης ἀπολαύοντες εὐεργεσίας, οὐδὲ τὰ λεγόμενα ἴσμεν, διὰ τὸ ταχέως ἀπολλύναι τὰ πράγματα, καὶ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι. αὕτη γὰρ ἡ δόξα ἡ ἀπόρρητος καὶ φρικώδης, μέχρι μὲν μιᾶς καὶ δευτέρας ἡμέρας ἐν ἡμῖν μένει· λοιπὸν δὲ αὐτὴν κατασβέννυμεν, τὸν χειμῶνα ἐπάγοντες τῶν βιωτικῶν πραγμάτων, καὶ τῇ πυκνότητι τῶν νεφῶν ἀποκρουόμενοι τὰς ἀκτῖνας. χειμὼν γὰρ τὰ βιωτικὰ, καὶ χειμῶνος σκυθρωπότερα. οὐ γὰρ κρυμὸς πήγνυται ἐντεῦθεν, οὐδὲ ὑετὸς, οὐδὲ πηλὸν ποιεῖ καὶ τέλμα βα-

Πραξ. ς. ιε.

ϗ. ἀζημίας,

θῶ, ἀλλὰ τὰ πάντων χαλεπώτερα τούτων, γέεννάν συνίστησι, καὶ τὰ τῆς γεέννης κακά. καὶ καθάπερ ἐν κρυμῷ σφοδρῷ πέπηγε πάντα τὰ μέλη, καὶ ἔστι νεκρά· οὕτω δὴ καὶ ἐν τῷ χειμῶνι τῶν ἁμαρτημάτων φρίττουσα ἡ ψυχὴ, οὐδὲν τῶν αὐτῆς ἐργάζεται, πεπηγυῖα καθάπερ ὑπὸ κρυμοῦ, τοῦ συνειδότος. ὅπερ γὰρ τῷ σώματι ψύχος, τοῦτο ποιεῖ συνειδὸς τῇ ψυχῇ· ὅθεν καὶ δειλία γίνεται. οὐδὲν γὰρ δειλότερον τοῦ τοῖς βιωτικοῖς προσηλωμένου. τὸν γὰρ τοῦ Κάϊν βίον ὁ τοιοῦτος ζῇ, καθ' ἑκάστην ἡμέραν τρέμων. καὶ τί λέγω θανάτους, καὶ ζημίας, καὶ προσκρούσματα, καὶ κολακείας, καὶ θεραπείας; καὶ γὰρ καὶ τούτων χωρὶς, μυρίας δέδοικε μεταβολάς. καὶ ὅταν μεστὸν γέμει χρυσίου ἡ ψυχὴ, δὲ οὐκ ἀπήλλακται τοῦ τῆς πενίας φόβου. καὶ μάλα εἰκότως. ὡς ἐπὶ πραγμάτων γὰρ ὅρμα σαλευόντων, καὶ εὐμεταπτώτων. κἂν μὴ αὐτὸς ὑπομείνῃ τὴν μεταβολὴν, ἐν ἑτέροις γινομένην ὁρῶν, ἀπόλωλε· καὶ πολλὴ μὲν ἡ δειλία, πολλὴ δὲ ἡ ἀνανδρία. οὐ γὰρ μόνον πρὸς κινδύνους ἄτολμος ὁ τοιοῦτος, ἀλλὰ καὶ πρὸς τὰ ἄλλα πάντα. κἂν ἐπιθυμία χρημάτων ἐμπέσῃ, οὐχ ὡς ἀνὴρ ἐλεύθερος ἀποκρούεται τὴν προσβολὴν, ἀλλ' ὡς ἀργυρώνητος πάντα πράττει, καθάπερ δεσποίνῃ χαλεπῇ τῇ φιλαργυρίᾳ δουλεύων· κἂν εὔμορφόν τινα κόρην ἴδῃ, κατέστη κεν εὐθέως ἁλοὺς, καὶ ὥσπερ κύων λυττῶν ἕπεται, δέον τοὐναντίον ποιεῖν. ὅταν γὰρ ἴδῃς γυναῖκα ὡραίαν, μὴ τοῦτο σκόπει ὅπως ἀπολαύσῃς τῆς ἐπιθυμίας, ἀλλὰ πῶς ἀπαλλαγῇς τῆς ἐπιθυμίας. καὶ πῶς τοῦτο ἔνι, φησίν; οὐ γάρ ἐστι τὸ ἐρᾶν ἐμόν. ἀλλὰ τίνος, εἰπέ μοι; τῆς τοῦ δαίμονος ἐπηρείας. ὅλως δαίμονα εἶναι νομίζεις τὸν ἐπιβουλεύοντα; οὐκοῦν πύκτευε, καὶ μάχου νοσήματι. ἀλλ' οὐ δύναμαι, φησί. φέρε οὖν, πρότερον τοῦτό σε διδάξωμεν, ὅτι τῆς σῆς ῥᾳθυμίας τὸ γινόμενον, καὶ ὅτι σὺ παρέδωκας τὴν ἀρχὴν τῷ δαίμονι δέδωκας πρόσοδον· καὶ νῦν ἂν ἐθέλῃς, μετὰ πολλῆς αὐτὸν ἀπώσῃ τῆς εὐκολίας. εἰπὲ γάρ μοι, οἱ μοιχεύοντες ἐρῶντες μοιχεύουσιν, ἢ ἁπλῶς κινδυνεύειν ἐπιθυμοῦντες; εὔδηλον ὅτι ἐρῶντες. ἆρ' οὖν συγγνώμης τυγχάνουσιν; οὐδαμῶς. τί δήποτε; ὅτι αὐτῶν ἐστι τὸ ἁμάρτημα. ἀλλὰ τί μοι συλλογισμοὺς πλέκεις, φησίν; ἐγὼ σύνοιδα ἐμαυτῷ βουλόμενος ἀποκρούσασθαι τὸ πάθος, καὶ οὐκ ἰσχύω, ἀλλ' ἐφέστηκε, καὶ πιέζει, καὶ ὀδυνᾷ χαλεπῶς. βούλει μὲν ἀποκρούσασθαι, ἄνθρωπε, οὐ ποιεῖς δὲ ἃ τῶν ἀποκρουομένων ἐστὶν· ἀλλὰ ταὐτὸν πάσχεις, οἷον ἂν εἴ τις πυρέττων, καὶ ψυχρῷ ἐμφορούμενος νάματι, λέγοι, πόσα ἐπινοῶ βουλόμενος σβέσαι τὸν πυρετὸν, καὶ οὐκ ἰσχύω, ἀλλὰ μᾶλλόν μου τὴν φλόγα ἀνάπτω; ἴδωμεν οὖν μήποτε καὶ σὺ τὰ μὲν ἐκκαίοντα ποιεῖς, νομίζεις δὲ ἐπινοεῖν τὰ σβεννύντα. οὔ, φησιν. εἰπὲ οὖν, τί ποτε ἐπεχείρησας ποιῆσαι πρὸς τὸ σβέσαι τὸ πάθος; τί δὲ ἐστὶν ὅλως τοῦ πάθους αὐξητικόν; εἰ γὰρ καὶ μὴ πάντες ὑπεύθυνοι τοῖς ἐγκλήμασι τούτοις ἐσμὲν (πλείους γὰρ ἂν εὕροιμεν τῷ τῶν χρημάτων, ἢ τῷ τῶν σωμάτων ἁλισκομένους ἔρωτι) ἀλλὰ κοινὸν πᾶσι πρόκειται τὸ φάρμακον, καὶ τούτοις, κἀκείνοις. καὶ γὰρ κἀκεῖνος ἔρως ἄτοπος, καὶ τοῦτο· ἀλλ' οὗτος ἐκείνου δριμύτερος, καὶ ὀξύτερος. ὅταν οὖν τοῦ μείζονος περιγενώμεθα, εὔδηλον ὅτι καὶ τὸν ἐλάττω ῥᾳδίως αἱρήσομεν. καὶ πῶς, εἰ δριμύτερος οὗτος, φησιν, οὐ πάντες ἁλίσκονται τῷ κακῷ, ἀλλ' οἱ πλείους περὶ χρήματα μεμήνασιν; ὅτι πρότερον μὲν ἀκίνδυνος αὕτη εἶναι δοκεῖ ἡ ἐπιθυμία· ἔπειτα, εἰ καὶ ὀξυτέρα ἐστὶν ἡ τῶν σωμάτων, ἀλλὰ θᾶττον ἐκείνη σβέννυται· ὡς εἴγε παρέμενεν, ὡς ἡ τῶν χρημάτων, κἂν ἀπώλεσε τὸν ἁλόντα ἄρδην. φέρε οὖν, περὶ τούτου ὑμῖν διαλεχθῶμεν τοῦ τῶν σωμάτων, καὶ ἴδωμεν πόθεν αὔξεται τὸ κακόν. οὕτω γὰρ εἰσόμεθα, εἴτε ἡμέτερον τοῦτο ἔγκλημα, εἴτε οὐχ ἡμέτερον. καὶ εἰ μὲν ἡμέτερον, πάντα πράξομεν, ὥστε περιγενέσθαι· εἰ δὲ οὐχ ἡμέτερον, τί μάτην κόπτομεν ἑαυτούς; τί δὲ οὐ συγγινώσκομεν, ἀλλ' ἐγκαλοῦμεν τοῖς ἁλισκομένοις; πόθεν οὖν τίκτεται οὗτος ὁ ἔρως; ἀπὸ εὐμορφίας προσώπου, φησὶν, ὅταν καλὴ καὶ εὐειδὴς ἡ τιτρώσκουσα ᾖ. εἰκῇ ταῦτα λέγεις, καὶ μάτην. εἰ γὰρ τῆς εὐμορφίας τὸ ἐραστὰς ἐπισπάσασθαι, πάντας ἂν εἶχεν ἐραστὰς ἡ τοιαύτη κόρη· εἰ δὲ οὐ πάν-

ται ἔχει, οὐ τῆς φύσεως τοῦτο, οὐδὲ τῆς εὐμορφίας, ἀλλὰ τῶν ἀκολάστων ὀφθαλμῶν. ὅταν γὰρ ἰδὼν περιέργως θαυμάσῃς, καὶ ἐρασθῇς, ἐδέξω τὸ βέλος. καὶ πῶς ἂν δύναιτο καλὴν γυναῖκα ὁρῶν, μὴ ἐπαινέσαι τὴν ὁρωμένην, φησί; εἰ τοίνυν οὐ τῆς προαιρέσεως ἡμῶν τὸ τὰ τοιαῦτα θαυμάζειν, οὐκ ἐν ἡμῖν ἄρα ὁ ἔρως. ἐπίσχες, ἄνθρωπε. τί πάντα φύρεις ὁμοῦ, πανταχοῦ περιτρέχων, καὶ τοῦ κακοῦ τὴν ῥίζαν οὐκ ἐθέλων ἰδεῖν; καὶ γὰρ πολλοὺς ὁρῶ θαυμάζοντας, καὶ ἐπαινοῦντας, οὐκ ἐρῶντας δέ. καὶ πῶς ἔνι θαυμάζοντας, μὴ ἐρᾶν; μὴ θορύβει (τοῦτο γὰρ ἔρχομαι εἰπεῖν) ἀλλ᾽ ἀνάμεινον, καὶ ἄκουσον τοῦ Μωϋσέως θαυμάζοντος τὸν παῖδα τοῦ Ἰακὼβ, καὶ λέγοντος, Καὶ ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα. (Γεν. λθ. ϛ.) ἆρα οὖν ἤρα ὁ ταῦτα λέγων; οὐδαμῶς. οὐδὲ γὰρ ἑώρα, φησὶ, τὸν ἐπαινούμενον. ἀλλὰ καὶ πρὸς τὰ ἀκουόμενα πάλιν πάσχομέν τι τοιοῦτον, οὐ πρὸς τὰ ὁρώμενα μόνον. ἵνα δὲ μὴ φιλονεικῇς ἡμῖν ἐν τούτοις, ὁ Δαβὶδ οὐκ ἦν ὡραῖος σφόδρα, καὶ ὑπέρυθρος μετὰ κάλλους ὀφθαλμῶν; ὃ δὴ μάλιστά ἐστι τυραννικώτερον μέρος τῆς εὐμορφίας, τῶν ὀφθαλμῶν τὸ κάλλος. ἆρ᾽ οὖν ἠράσθη τις αὐτοῦ; οὐδαμῶς. οὐκ ἄρα μετὰ τοῦ θαυμάζειν καὶ τὸ ἐρᾶν γίνεται. καὶ γὰρ καὶ μητέρας ἔχουσι πολλοὶ σφόδρα ἀνθούσας τῇ τοῦ σώματος ὥρᾳ. τί οὖν; ἠράσθησαν αὐτῶν οἱ παῖδες; ἄπαγε. ἀλλὰ θαυμάζουσι μὲν τὸ ὁρώμενον, οὐκ ἐμπίπτουσι δὲ εἰς ἔρωτα αἰσχρόν. πάλιν γὰρ τῆς φύσεως τὸ κατόρθωμά ἐστι. ποίας φύσεως, εἰπέ μοι; ὅτι μητέρες εἰσί, φησιν. εἶτα οὐκ ἀκούεις, ὅτι Πέρσαι, μηδενὸς καταναγκάζοντος, ταῖς αὐτῶν μίγνυνται μητράσι, καὶ οὐχ εἷς, οὐδὲ δύο τρεῖς, ἀλλ᾽ ὁλόκληρον ἔθνος; χωρὶς δὲ τούτων, κἀκεῖθεν δῆλον, ὅτι τὸ νόσημα τοῦτο, οὐ τῆς ὥρας τοῦ σώματος, οὐδὲ τῆς εὐμορφίας ἐστὶν ἁπλῶς, ἀλλὰ τῆς ῥᾳθύμου καὶ πλανωμένης ψυχῆς. πολλοὶ γοῦν πολλάκις μυρίας εὐπρεπεῖς παραδραμόντες γυναῖκας, ταῖς αἰσχροτέραις ἔδωκαν ἑαυτούς· ὅθεν δῆλον ὅτι οὐ τῆς εὐμορφίας τὸ ἐρᾶν. ἢ γὰρ ἂν εἷλον ἐκείνας πρὸ τούτων οἱ ἐμπεσόντες. τί οὖν τὸ αἴτιον; εἰ γὰρ μὴ τῆς εὐμορφίας τὸ ἐρᾶν, πόθεν ἔχει τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, φησίν; ἀπὸ δαίμονος πονηροῦ; ἔχει μὲν καὶ ἐκεῖθεν, ἀλλ᾽ οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ᾽ εἰ μὴ καὶ ἡμεῖς αἴτιοι. οὐ γὰρ ἐκείνων μόνον ἡ ἐπιβουλὴ, ἀλλὰ μετ᾽ ἐκείνων καὶ ἡμῶν πρώτων. οὐδαμόθεν γὰρ ἑτέρωθεν οὕτω τίκτεται τὸ πονηρὸν τοῦτο νόσημα, ὡς ἀπὸ συνηθείας, καὶ κολακείας ῥημάτων, καὶ σχολῆς, καὶ ἀργίας, καὶ τοῦ μηδὲν ἔχειν ποιεῖν. μεγάλη γὰρ, μεγάλη τῆς συνηθείας ἡ τυραννὶς, καὶ τοσαύτη, ὡς εἰς φύσεως ἀνάγκην καθίστασθαι. εἰ δὲ συνήθεια τὸ τίκτειν αὐτὴν, εὔδηλον ὅτι καὶ τὸ σβεννύναι. πολλοὶ γοῦν ἐρῶντες, οὕτως ἐπαύσαντο, μὴ ὁρῶντες τῶν ἐρωμένων. τοῦτο δὲ πρὸς βραχὺ μὲν δοκεῖ πικρὸν εἶναι, καὶ σφόδρα ἀηδές· τῷ χρόνῳ δὲ ἡδὺ γίνεται, καὶ οὐδὲ βουλομένοις λοιπὸν ἔνι ἀνακλήσασθαι τὸ πάθος. τί οὖν, ὅταν συνηθείας χωρὶς ἀπὸ πρώτης τῆς ὄψεως ἁλῷς; καὶ ταῦτα ἀργία τοῦ σώματος, ἢ τρυφὴ, (χ. τρυφή,) καὶ τὸ μὴ φροντίζειν τῶν προσηκόντων, μηδὲ ἐν ἀναγκαίοις εἶναι πράγμασι. καθάπερ γὰρ πλάνος (χ. πλανήτης) τις ὁ τοιοῦτος περιερχόμενος, πάντῃ περιπείρεται πονηρῷ· καὶ καθάπερ παιδίον ἄφετον, ὁ βουλόμενος ἀνδραποδίζει τὴν τοιαύτην ψυχήν. ἐπειδὴ γὰρ ἔθος αὐτῇ ἐνεργεῖν, ὅταν αὐτῆς παύσῃς (χ. παύσῃ) τὴν ἐνέργειαν τὴν ἐν τοῖς ἀγαθοῖς, ἐπειδὴ ἀργεῖν οὐ δύναται, ἀναγκάζεται ἕτερα τίκτειν. καθάπερ ἡ γῆ, ὅταν μὴ σπείρηται, μηδὲ φυτεύηται, βοτάνην ἀναδίδωσιν ἁπλῶς· οὕτω καὶ ἡ ψυχὴ, ὅταν μὴ ἔχῃ τι πρᾶξαι τῶν ἀναγκαίων, πάντως τοῦ πράττειν ἐπιθυμοῦσα, πονηροῖς ἑαυτὴν δίδωσι πράγμασι. καὶ ὥσπερ ὀφθαλμὸς τοῦ μὲν ὁρᾶν οὐ παύεται, καὶ διὰ τοῦτο ὄψεται πονηρὰ, ὅταν ἀγαθὰ μὴ ᾖ ὑποκείμενα· οὕτω καὶ ὁ λογισμὸς, ὅταν τῶν ἀναγκαίων ἑαυτὸν ἀπαγάγῃ, περὶ τὰ ἄχρηστα στρέφεται λοιπόν. ἐπεὶ ὅτι καὶ τὴν πρώτην προσβολὴν δύναται ἀποκρούσασθαι ἀσχολία, καὶ φροντὶς, πολλαχόθεν δῆλον. ὅταν οὖν ἴδῃς γυναῖκα καλὴν, καὶ πάθῃς τι πρὸς αὐτὴν, μηκέτι ἴδῃς, καὶ ἀπηλλάγης. καὶ πῶς δυνήσομαι μηκέτι ἰδεῖν ὑπὸ τῆς ἐπιθυμίας ἑλκόμενος, φησιν; ἑτέροις σεαυτὸν δὸς παρελ-

χερσὶ τὴν ψυχὴν, βιβλίοις, φροντίσιν ἀναγκαίαις, προστασίαις, βοηθείαις ἀδικουμένων, εὐχαῖς, φιλοσοφίᾳ τῇ περὶ τῶν μελλόντων. Τούτοις κατάδησον τὴν ψυχήν· οὕτως οὐχὶ τὸ ἕλκος διορθώσῃ μόνον, ἀλλὰ παχὺ, καὶ χρόνιον γενόμενον ἀποτρίψῃ ῥᾳδίως. Εἰ γὰρ οὐδεὶς τὸν ἐρῶντα πείθει καταλύειν τὸν ἔρωτα, κατὰ τὴν παροιμίαν, πῶς οὐ πολλῷ μᾶλλον αἱ πνευματικαὶ αὗται ἐπῳδαὶ περιέσονται τοῦ κακοῦ, μόνον ἂν ἐθέλωμεν ἀποστῆναι; ἂν γὰρ ἀεὶ προσομιλῶμεν, καὶ συναναστρεφώμεθα ταῖς τοξευούσαις ἡμᾶς τὰ τοιαῦτα τοξεύματα, καὶ λέγοντες καὶ ἀκούοντες τὰ περὶ ἐκείνων, τρέφομεν τὸ νόσημα. πῶς οὖν ἀξιοῖς σβεσθῆναι τὸ πῦρ, καθ' ἑκάστην ἡμέραν τὴν φλόγα ἀνάπτων; καὶ ταῦτα μὲν ἡμῖν τὰ τῆς συνηθείας πρὸς τοὺς νέους εἰρήσθω· ὡς τοῖς γε ἀνδράσι, καὶ φιλοσοφεῖν ἐπισταμένοις, πάντων μείζων ὁ τοῦ Θεοῦ φόβος, ἡ τῆς γεέννης μνήμη, ἡ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιθυμία. ἱκανὰ γὰρ ταῦτα σβέσαι τὸ πῦρ. μετὰ δὲ τούτων, κἀκεῖνο ἐννόει, ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ὁρώμενον, ἢ φλέγμα, καὶ αἷμα, καὶ τροφῆς διασεσηπυίας χυμός. ἀλλὰ φαιδρὸν τὸ ἄνθος τῆς ὄψεως, φησιν. ἀλλ' οὐδὲν τῶν ἀνθῶν τῶν ἀπὸ τῆς γῆς φαιδρότερον· ἀλλὰ καὶ ταῦτα σήπεται καὶ μαραίνεται. μὴ τοίνυν μηδὲ ἐνταῦθα τῷ ἄνθει πρόσεχε, ἀλλ' ἐνδότερον διάβηθι τῷ λογισμῷ, καὶ τὸ δέρμα τὸ καλὸν ἐκεῖνο περιελὼν τῷ λογισμῷ, περιεργάζου τὰ ὑπὸ τοῦτο κείμενα. ἐπεὶ καὶ τὸ τῶν ὑδεριώντων σῶμα ἀποστίλβει λαμπρὸν, καὶ οὐδὲν ἡ ἐπιφάνεια φαῦλον ἔχει, ἀλλὰ τῇ ἐννοίᾳ τοῦ ἔνδον ἀποκειμένου χυμοῦ πληττόμενοι, φιλεῖν τοὺς τοιούτους οὐ δυνάμεθα. ἀλλ' ὑγρὸς ὁ ὀφθαλμὸς, καὶ γοργὸς, καὶ καλῶς ἀποτεταμένη ἡ ὀφρὺς, καὶ κυαναῖ αἱ βλεφαρίδες, καὶ ἥμερος ἡ κόρη, καὶ γαληνὸν τὸ ὄμμα. ἀλλ' ὅρα ὅτι αὐτὸ τοῦτο πάλιν οὐδὲν ἕτερόν ἐστιν, ἢ νεῦρα, καὶ φλέβες, καὶ ὑμένες, καὶ ἀρτηρίαι. σὺ δέ μοι τὸν καλὸν τοῦτον ὀφθαλμὸν ἐννόησον νοσοῦντα, γηρῶντα, ὑπὸ ἀθυμίας μαραινόμενον, ὑπὸ ὀργῆς οἰδοῦντα, πῶς εἰδεχθὴς, πῶς ταχέως ἀπόλλυται, καὶ τῶν γεγραμμένων τάχιον ἀφανίζεται. ἀπὸ τούτων μετάγαγε τὴν διάνοιαν ἐπὶ τὸ κάλλος τὸ ἀληθινόν. ἀλλ' οὐχ ὁρῶ, φησὶ, κάλλος ψυχῆς. ἀλλ' ἂν ἐθέλῃς, ὄψει. καὶ ὥσπερ τοὺς ἀπόντας καλοὺς ἔστιν ὀφθαλμοῖς μὴ ἰδόντα, τῷ νῷ θαυμάσαι· οὕτω δυνατὸν ψυχῆς κάλλος χωρὶς ὀφθαλμῶν ἰδεῖν. οὐχ ὑπέγραψας πολλάκις μορφὴν εὐειδῆ, καὶ ἔπαθές τι πρὸς τὴν διάπλασιν; ἀνατύπωσον καὶ νῦν ψυχῆς κάλλος, καὶ ἐντρύφα τῇ εὐμορφίᾳ. ἀλλ' οὐχ ὁρῶ, φησιν, ἀσώματα. καὶ μὴν τῶν σωμάτων αὐτὰ μᾶλλον ὁρῶμεν τῷ νῷ. διὰ τοῦτο γοῦν θαυμάζομεν καὶ ἀγγέλους, καὶ ἀρχαγγέλους, καίτοιγε μὴ ὁρῶντες, καὶ τρόπων ἤθη καὶ ψυχῆς ἀρετήν. κἂν ἴδῃς ἄνθρωπον ἐπιεικῆ καὶ μέτριον, μᾶλλον θαυμάσῃ τοῦτον ἢ ἐκείνην τὴν εὔμορφον ὄψιν. κἂν ἴδῃς ὑβριζόμενον, καὶ φέροντα ἀδικούμενον, * μετὰ τοῦ θαυμάζειν ἐρᾷς τῶν τοιούτων, κἂν γεγηρακότες ὦσι. καὶ γὰρ τοιοῦτον τῆς ψυχῆς τὸ κάλλος, καὶ ἐν γήρᾳ πολλοὺς ἔχει τοὺς ἐραστὰς, καὶ οὐδέποτε μαραίνεται, ἀλλ' ἀνθεῖ διηνεκῶς. ἵν' οὖν καὶ αὐτοὶ τοῦτο κτησώμεθα, τοὺς ἔχοντας αὐτὸ θηρῶμεν, καὶ ἐρασταὶ τούτων γινώμεθα. οὕτω γὰρ καὶ αὐτοὶ δυνησόμεθα, ταύτην λαβόντες τὴν εὐμορφίαν, τῶν αἰωνίων ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ὑμᾶς μεταλαχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

* καὶ περιιδόντα,

κεφ. δ.

Λογ. η. 1 ΕΧΟΝΤΕΣ ΟΥΝ ΤΗΝ ΔΙΑΚΟΝΙΑΝ ΤΑΥΤΗΝ, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν; 2 Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης.

Ἐπειδὴ

Ἐπειδὴ μεγάλα ἐφθέγξατο, καὶ Μωϋσέως ἑαυτὸν προὔθηκε, καὶ τοὺς πιστοὺς πάντας, αἰσθόμενος τῆς ὑπερβολῆς καὶ τοῦ μεγέθους τῶν εἰρημένων, ὅρα πῶς μετριάζει πάλιν. καὶ γὰρ ἐπαίρειν ἔδει διὰ τοὺς ψευδαποστόλους, καὶ τοὺς ἀκροατάς, καὶ πάλιν παραμυθεῖσθαι τὸν ὄγκον, οὐχὶ καθαιρεῖ· ἐπεὶ τῶν παίζοντος ἦν. διόπερ ἑτέρως αὐτὸ μεθοδεύει, τῷ δεικνῦναι, ὅτι οὐκ ἐκ τῶν οἰκείων κατορθωμάτων γέγονεν, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸ πᾶν. διὸ καί φησιν, ἔχοντες οὖν τὴν διακονίαν ταύτην. οὐδὲν γὰρ πλέον ἡμεῖς εἰσενηνόχαμεν, ἀλλ' ἢ διάκονοι μόνον ἐγενόμεθα, καὶ τοῖς παρὰ τοῦ Θεοῦ δοθεῖσιν ὑπηρετήσαμεν. διόπερ οὐκ εἶπε προστασίαν, οὐδὲ χορηγίαν, ἀλλὰ διακονίαν. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, καθὼς ἠλεήθημεν. καὶ γὰρ τοῦτο αὐτό, φησι, τὸ διακονήσασθαι τούτοις, ἀπὸ ἐλέου καὶ φιλανθρωπίας. καίτοιγε ἐλέους ἐστὶ τὸ κακῶν ἀπαλλάξαι, οὐχὶ τὸ καὶ τοσαῦτα δοῦναι ἀγαθά. ἀλλ' ὁ τοῦ Θεοῦ ἔλεος καὶ τοῦτο ἔχει. οὐκ ἐκκακοῦμεν. καὶ τοῦτο γὰρ αὐτῇ τῇ φιλανθρωπίᾳ λογιστέον. τὸ γάρ, καθὼς ἠλεήθημεν, καὶ ὑπὲρ τῆς διακονίας, καὶ ὑπὲρ τοῦ, οὐκ ἐκκακοῦμεν, εἰρῆσθαι νόμιζε. καὶ σκόπει πῶς σπουδάζει τὰ καθ' ἑαυτὸν καθαιρεῖν. τὸ γὰρ τοιούτων ἀξιωθέντα, φησί, καὶ τηλικούτων, καὶ ταῦτα ἀπὸ ἐλέου μόνον, καὶ φιλανθρωπίας, οὐδὲν μέγα τοιούτους ἐπιδείκνυσθαι πόνους, καὶ κινδυνεύειν, καὶ πειρασμοὺς ὑπομένειν. διὰ τοῦτο οὐ μόνον οὐ καταπίπτομεν, ἀλλὰ καὶ χαίρομεν, καὶ παρρησιαζόμεθα. εἰπὼν γοῦν, οὐκ ἐκκακοῦμεν, ἐπήγαγεν,

Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ. Καὶ τί ἐστι τὰ κρυπτὰ τῆς αἰσχύνης; οὐκ ἐπαγγελλόμεθα, φησί, καὶ ὑπισχνούμεθα μεγάλα, καὶ ἕτερα δὲ ἐπὶ τῶν ἔργων δείκνυμεν, καθάπερ ἐκεῖνοι (διὸ καὶ ἔλεγε, Τὰ κατὰ πρόσωπον βλέπετε;) ἀλλὰ τοιοῦτοί ἐσμεν οἷοι ὁρώμεθα, οὐχὶ διπλόην τινὰ ἔχοντες, οὔτε τοιαῦτα λέγοντες καὶ ποιοῦντες ἃ κρύπτειν δεῖ, καὶ συσκιάζειν αἰσχυνομένους καὶ ἐρυθριῶντας. καὶ τοῦτο ἑρμηνεύων, ἐπήγαγε, μὴ περιπατοῦντες ἐν πανουργίᾳ. ὃ γὰρ ἐνόμιζον ἐγκώμιον εἶναι ἐκεῖνοι, τοῦτο αἰσχρὸν καὶ καταγέλαστον ἀποφαίνει. τί δέ ἐστιν, ἐν πανουργίᾳ; δόξαν εἶχον μὴ λαμβανόντων ἐκεῖνοι· ἐλάμβανον δὲ καὶ ἔκρυπτον· δόξαν εἶχον ἁγίων, καὶ ἀποστόλων δοκίμων· ἦσαν δὲ μυρίων γέμοντες κακῶν. ἀλλ' ἡμεῖς, φησι, τούτοις ἀπειπάμεθα (ταῦτα γὰρ καὶ κρυπτὰ αἰσχύνης καλεῖ) τοιοῦτοι ὄντες οἷοι φαινόμεθα, καὶ οὐδὲν ἔχοντες συνεσκιασμένον, καὶ οὐκ ἐν τῷ βίῳ μόνον τοῦτο, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κηρύγματι. τοῦτο γάρ ἐστιν, — 2. Κορ. ι. ζ.

Οὐδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας.

Οὐ τῇ προσωπείᾳ, καὶ τῇ ἐπιδείξει, ἀλλ' αὐτῇ τῇ τῶν πραγμάτων ἀποδείξει.

Συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων.

Οὐ γὰρ πιστοῖς μόνον, ἀλλὰ καὶ ἀπίστοις ἐσμὲν κατάδηλοι, προκείμενοι πᾶσιν εἰς τὸ βασανίσαι τὰ ἡμέτερα, ὡς ἂν ἐθέλοιεν· καὶ ἀπὸ τούτου συνίσταμεν ἑαυτούς, οὐκ ἀπὸ τοῦ ὑποκρίνεσθαι, καὶ προσωπεῖον περιφέρειν φαιδρόν. λέγομεν οὖν μηδὲν λαμβάνειν, καὶ μάρτυρας ὑμᾶς καλοῦμεν· λέγομεν μηδὲν συνειδέναι ἑαυτοῖς πονηρόν, καὶ τούτου πάλιν τὴν μαρτυρίαν παρ' ὑμῶν ἕλκομεν· οὐ καθάπερ ἐκεῖνοι συσκιάζοντες τὰ καθ' ἑαυτούς, πολλοὺς ἀπατῶσιν. ἡμεῖς δὲ καὶ τὸν βίον ἡμῶν πᾶσιν εἰς μέσον προτίθεμεν, καὶ τὸ κήρυγμα ἀπογυμνοῦμεν, ὥστε πάντας αὐτὸ καταμανθάνειν. εἶτα ἐπειδὴ οἱ ἄπιστοι ἠγνόουν αὐτοῦ τὴν ἰσχύν, ἐπήγαγεν, ὅτι οὐχ ἡμῶν τοῦτο ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀμαθίας. διό καί φησιν,

3 Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον,

4 Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων.

2.Κορ.β.ιε. Ὅπερ καὶ ἔμπροσθεν εἶπεν, Οἷς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ, ὀσμὴ ζωῆς εἰς ζωὴν, τοῦτο καὶ ἐνταῦθά φησι. τί δέ ἐστιν, ὁ Θεὸς τοῦ αἰῶνος τούτου; οἱ μὲν τὰ Μαρκίωνος νοσοῦντες, λέγουσι περὶ τοῦ δημιουργοῦ τοῦ δικαίου μόνον, καὶ οὐκ ἀγαθοῦ, ταῦτα εἰρῆσθαι. λέγουσι γὰρ εἶναί τινα Θεὸν δίκαιον, καὶ οὐκ ἀγαθόν. Μανιχαῖοι δέ φασι τὸν διάβολον ἐνταῦθα λέγεσθαι, ἐκ τούτου δημιουργὸν τῆς κτίσεως ἕτερον ἐπεισαγαγεῖν παρὰ τὸν ὄντα βουλόμενοι, σφόδρα ἀνοήτως. οἶδε μὲν γὰρ πολλάκις ἡ γραφὴ Θεὸν καλεῖν, οὐκ ἀπὸ τῆς ἀξίας τοῦ καλουμένου, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τῶν ὑποταττομένων· ὡς ὅταν τὸν μαμωνᾶν, Κύριον λέγῃ, καὶ τὴν κοιλίαν Θεόν. ἀλλ' οὐ παρὰ τοῦτο, οὔτε ἡ κοιλία Θεός, οὔτε ὁ μαμωνᾶς Κύριος, ἀλλ' ἐκείνων τῶν ὑποκατακλινόντων ἑαυτούς. ἡμεῖς δὲ ἐκεῖνό φαμεν, ὅτι οὔτε περὶ τοῦ διαβόλου τοῦτο εἴρηται, ἀλλὰ τοῦ τῶν ὅλων Θεοῦ· καὶ οὕτως ἀναγνωστέον, ὅτι τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ Θεὸς τὰ νοήματα. ὁ γὰρ μέλλων, οὐκ ἔχει ἀπίστους, ἀλλ' ὁ παρὼν μόνος. εἰ δὲ καὶ ἑτέρως τις ἀναγινώσκει, οἷον, ὅτι ὁ Θεὸς τοῦ αἰῶνος τούτου, οὐδὲ τοῦτο ἔχει τινὰ λαβήν. οὐ γὰρ τοῦτο δείκνυσιν αὐτὸν τούτου μόνον ὄντα τοῦ αἰῶνος Θεόν. καὶ γὰρ ὁ Θεὸς οὐρανοῦ λέγεται, ἀλλ' οὐκ ἔστιν οὐρανοῦ μόνον Θεός. καὶ ὁ Θεὸς τῆς παρούσης ἡμέρας λέγομεν· καὶ οὐκ εἰς ἐκείνην μόνην συγκλείοντες αὐτοῦ τὴν ἀρχὴν, τοῦτό φαμεν. καὶ ὁ Θεὸς δὲ Ἀβραὰμ λέγεται, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ· καὶ οὐκ ἐκείνων μόνον ἐστὶ Θεός. καὶ πολλὰς ἄν τις καὶ ἑτέρας τοιαύτας ἐν ταῖς γραφαῖς εὕροι μαρτυρίας. πῶς οὖν ἐτύφλωσεν; οὐκ ἐνεργήσας εἰς τοῦτο· ἄπαγε· ἀλλ' ἀφεὶς καὶ συγχωρήσας.
Ρωμ.α.κη. καὶ γὰρ ἔθος τῇ γραφῇ οὕτω λέγειν· ὡς ὅταν λέγῃ, Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. ἐπειδὴ γὰρ αὐτοὶ ἠπίστησαν πρότεροι, καὶ ἀναξίους ἑαυτοὺς κατεσκεύασαν τοῦ ἰδεῖν τὰ μυστήρια, καὶ αὐτὸς λοιπὸν εἴασεν. ἀλλὰ τί ἔδει ποιῆσαι; πρὸς βίαν ἕλκειν, καὶ ἐκκαλύπτειν μὴ βουλομένοις ἰδεῖν; ἀλλὰ μᾶλλον ἂν κατεφρόνησαν, καὶ οὐδ' ἂν εἶδον. διὸ καὶ ἐπήγαγεν,

Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ·

Οὐ πρὸς τὸ ἀπιστῆσαι τῷ Θεῷ, ἀλλὰ πρὸς τὸ τὴν ἀπιστίαν μὴ ἰδεῖν τίνα ἐστὶ τὰ ἔνδον.
Ματθ.ζ.ς. ὃ καὶ ἡμῖν ἐπέταξε, μὴ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, κελεύσας. εἰ γὰρ καὶ ἀπιστοῦσιν ἐξεκάλυψε, μᾶλλον ἂν ἡ νόσος αὐτῶν ἐπετείνετο. καὶ γὰρ εἰ ὀφθαλμιῶντά τις ἀναγκάσειε πρὸς τὰς ἀκτῖνας ἰδεῖν, ἐπιτείνει μᾶλλον αὐτοῦ τὴν ἀσθένειαν. διὰ τοῦτο καὶ ἐν σκότει κατακλείουσιν αὐτοὺς ἰατρῶν παῖδες, ὥστε μὴ ἐπιτεῖναι τὸ νόσημα. οὕτω τοίνυν καὶ ἐνταῦθα νοητέον, ὅτι οὗτοι μὲν γεγόνασιν ἄπιστοι δι' ἑαυτούς· γενόμενοι δὲ ἄπιστοι, οὐκέτι ἑώρων τὰ ἀπόρρητα τοῦ εὐαγγελίου, τοῦ Θεοῦ λοιπὸν ἀποκλείοντος τὰς ἀκτῖνας αὐτοῖς. ὅπερ καὶ
Μαρκ.δ.ιβ. τοῖς μαθηταῖς ἔλεγεν, ὅτι Διὰ τοῦτο ἐν παροιμίαις λαλῶ αὐτοῖς, ὅτι ἀκούοντες οὐκ ἀκούουσιν. ἵνα δὲ καὶ ἐπὶ παραδείγματος σαφέστερον ὃ λέγω γένηται, ὑπόθου τινὰ Ἕλληνα εἶναι μύθους τὰ ἡμέτερα ἡγούμενον. οὗτος οὖν πῶς ὠφεληθήσεται μᾶλλον εἰσελθὼν, καὶ ἰδὼν τὰ μυστήρια, ἢ ἔξω μένων; διὰ τοῦτό φησιν, Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμόν, ἐπιμένων ἔτι τῇ ἱστορίᾳ Μωϋσέως. ὅπερ γὰρ πρὸς Ἰουδαίους γέγονεν ἐπ' ἐκείνου, τοῦτο ἐπὶ πάντων τῶν ἀπίστων γίνεται ἐπὶ τοῦ εὐαγγελίου. καὶ τί ἐστι τὸ συνεσκιασμένον, καὶ ὅπερ αὐτοῖς οὐκ ἔστι πεφωτισμένον, ἄκουσον αὐτοῦ λέγοντος· Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ·

Οἷον, ὅτι ὁ σταυρὸς, τῆς οἰκουμένης σωτηρία, καὶ αὐτοῦ δόξα, ὅτι αὐτὸς οὗτος ὁ σταυρωθεὶς μετὰ πολλῆς περιφανείας μέλλει παραγίνεσθαι, τὰ ἄλλα πάντα, τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ οὐχ ὁρώμενα, ἡ ἀπόρρητος τῶν προσδοκωμένων περιφάνεια. διὸ καὶ αὐγάσαι εἶπεν, ἵνα μὴ τὸ ὅλον ἐνταῦθα ζητῇς· ὥσπερ γὰρ αὐγή τίς ἐστι μόνον τοῦ πνεύματος ἡ δεδομένη. τοῦτο γοῦν καὶ ἀνωτέρω δηλῶν, ὃ μὲν εἶπε, καὶ πάλιν ἀῤῥαβῶνα, δεικνὺς ὅτι τὸ πλέ-

ον ἐκεῖ μένει. ἀλλ᾽ ὅμως ταῦτα ἅπαντα κέκρυπται ἀπ᾽ αὐτῶν· κέκρυπται δὲ, ἐπειδὴ ἡ ἀπιστία προτέρησι. Εἶτα δεικνὺς ὅτι οὐχὶ τὴν τοῦ Χριστοῦ δόξαν ἀγνοοῦσι μόνον, ἀλλὰ καὶ τὴν τοῦ πατρὸς, καὶ ταύτην οὐκ ἰδόντες, ἐπήγαγεν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ. μὴ γὰρ μέχρι τοῦ Χριστοῦ στῇς μόνον. ὥσπερ γὰρ διὰ τούτου τὸν πατέρα ὁρᾷς· οὕτως ἀγνοήσας τὴν τούτου δόξαν, οὐδὲ τὴν ἐκείνου εἴσῃ.

5 Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον· ἑαυτοὺς δὲ, δούλους ὑμῶν διὰ Ἰησοῦν. Καὶ ποία αὕτη ἀκολουθία; τί τοῦτο πρὸς τὰ εἰρημένα ἔχει κοινόν; ἢ (γ. αὐτοῦ) ἐκείνοις αἰνίττεται, ὡς ἐπαίροντας ἑαυτοὺς, καὶ πείθοντας τοὺς μαθητὰς ἀπ᾽ αὐτῶν ἑαυτοὺς ὀνομάζειν, ὅπερ ἐν τῇ προτέρᾳ ἔλεγεν, Ἐγὼ εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλώ· ἢ ἕτερόν τι βαρύτατον. (α. Κορ. α. ιβ.) ποῖον δὴ τοῦτο; ἐπειδὴ σφόδρα αὐτοὺς ἐπολέμουν, καὶ ἐπεβούλευον αὐτοῖς πανταχόθεν. μὴ (ἴσ. ὑ πρ) γὰρ ἡμῖν μάχεσθε, φησὶ, καὶ πολεμεῖτε, τί δὲ ἡμῶν κηρυττομένων; οὐ γὰρ ἑαυτοὺς κηρύττομεν. ἐγὼ δοῦλός εἰμι, ἐγὼ διάκονός εἰμι καὶ τῶν δεχομένων τὸ κήρυγμα, ἑτέρῳ πάντα πραγματευόμενος, καὶ ὑπὲρ τῆς ἐκείνου δόξης πᾶν ὁποιοῦν ποιῶν. ὥστε ἐμοὶ πολεμῶν, τὰ ἐκείνου καταβάλλεις. τοσοῦτον γὰρ ἀπέχω εἰς ἐμαυτόν τι περιστῆσαι τῶν τοῦ εὐαγγελίου, ὅτι καὶ ὑμῶν οὐ παραιτήσομαι εἶναι δοῦλος διὰ τὸν Χριστὸν, ἐπειδὴ ἐκείνῳ ἔδοξεν οὕτω τιμῆσαι ὑμᾶς, ἐπειδὴ οὕτως ὑμᾶς ἐφίλησε, καὶ πάντα ὑπὲρ ὑμῶν ἔπραξε. διὸ καὶ λέγει, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Χριστόν. Εἶδες ψυχὴν δόξης καθαράν; οὐ γὰρ δὴ μόνον φησὶ, τῶν δεσποτικῶν οὐδὲν νοσφιζόμεθα, ἀλλὰ καὶ ὑμῖν ἑαυτοὺς ὑποτάσσομεν δι᾽ ἐκεῖνον.

6 Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν.

Εἶδες πῶς πάλιν τοῖς ζητοῦσι τὴν δόξαν ἐκείνην ἰδεῖν τὴν ὑπερβάλλουσαν, τὴν Μωϋσέως λέγω, δείκνυσι μετὰ προσθήκης ἀστράπτουσαν; καθάπερ εἰς τὸ πρόσωπον Μωϋσέως, οὕτως εἰς τὰς ὑμετέρας καρδίας ἔλαμψε, φησί. καὶ πρότερον ἀναμιμνήσκει τῶν ἐν ἀρχῇ τῆς κτίσεως γινομένων, αἰσθητοῦ φωτὸς, καὶ σκότους αἰσθητοῦ, δεικνὺς ὅτι αὕτη μείζων ἡ δημιουργία. καὶ ποῦ εἶπεν, ἐκ σκότους φῶς λάμψαι; ἐν ἀρχῇ καὶ ἐν προοιμίοις τῆς κτίσεως. Σκότος γὰρ ἦν, φησὶν, ἐπάνω τῆς ἀβύσσου. καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς· καὶ (Γεν. α. β.) ἐγένετο φῶς. ἀλλὰ τότε μὲν εἶπε, γενηθήτω, καὶ ἐγένετο· νῦν δὲ οὐκ εἶπεν, ἀλλ᾽ αὐτὸς ἡμῖν γέγονε φῶς. οὐ γὰρ εἶπεν, ὅ,τι καὶ νῦν εἶπεν, ἀλλ᾽ αὐτὸς ἔλαμψε. διὰ τοῦτο οὐδὲ αἰσθητὰ πράγματα ὁρῶμεν τοῦ φωτὸς λάμποντος τούτου, ἀλλ᾽ αὐτὸν τὸν Θεὸν διὰ τοῦ Χριστοῦ. ὁρᾷς τὸ ἀπαράλλακτον τῆς τριάδος; περὶ μὲν γὰρ τοῦ πνεύματός φησιν, Ἡμεῖς δὲ πάντες ἀ- (α. Κορ. γ. ιη.) νακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος. περὶ δὲ τοῦ υἱοῦ, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ. περὶ δὲ τοῦ πατρὸς, Ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Χριστοῦ.

Ὥσπερ γὰρ εἰπὼν, τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ἐπήγαγεν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ, δεικνὺς ὅτι καὶ τῆς ἐκείνου δόξης ἀπεστερήθησαν· οὕτως εἰπὼν, τῆς γνώσεως τοῦ Θεοῦ, ἐπήγαγεν, ἐν προσώπῳ Χριστοῦ, δεικνὺς ὅτι διὰ τούτου τὸν πατέρα γινώσκομεν, ὥσπερ οὖν καὶ διὰ τοῦ πνεύματος αὐτῷ προσαγόμεθα.

7 Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. Ἐπειδὴ γὰρ πολλὰ καὶ μεγάλα εἶπε περὶ τῆς (γ. ἀῤῥήτου) ἀποῤῥήτου δόξης, ἵνα μή τις λέγῃ, καὶ πῶς τοσαύτης δόξης ἀπολαύοντες μένομεν ἐν θνητῷ σώματι; φησὶν, ὅτι τοῦτο μὲν οὖν αὐτὸ μάλιστά ἐστι τὸ θαυμαστὸν, καὶ δεῖγμα μέγιστον τῆς τοῦ Θεοῦ δυνάμεως, ὅτι σκεῦος ὀστράκινον τοσαύτην ἠδυνήθη λαμπρότητα ἐνεγκεῖν, καὶ τηλικοῦτον φυλάξαι θησαυρόν. (ἄλ. αὐτοῖς. ἄλλ. αὐτῷ) ὅπερ οὖν καὶ τὸ θαυμάζων, ἔλεγεν, ἵνα ἡ ὑπερβολὴ τῆς δυ-

νάμεως ἡ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. πάλιν ἐκείνοις ἀντιπτόμενος τοῖς καυχωμένοις ἐφ' ἑαυτοῖς. τό τε γὰρ μέγεθος τῶν δοθέντων, τό τε ἀσθενὲς τῶν δεξαμένων, δείκνυσι τὴν ἰσχὺν, οὐχ ὅτι μεγάλα εἰργάσατο μόνον, ἀλλ' ὅτι καὶ μικροῖς οὖσι. τὸ γὰρ ὀστράκινον, τὸ εὔθραυστον τῆς θνητῆς φύσεως αἰνιττόμενος ἔλεγε, καὶ τὸ τῆς σαρκὸς ἡμῶν ἀσθενὲς ἐμφαίνων. ὀστράκου γὰρ ἄμεινον οὐδὲν αὐτὴ διακεῖται, οὕτως ἐστὶν εὐεπηρέαστος, καὶ θανάτῳ, καὶ νόσοις, καὶ ἀέρων ἀνωμαλίαις, καὶ ἑτέροις μυρίοις διαλυομένη ῥᾳδίως. ταῦτα δὲ ἔλεγε, καὶ καταστέλλων ἐκείνων τὸ φύσημα, καὶ πᾶσι δεικνὺς ὅτι οὐδὲν ἀνθρώπινον τῶν καθ' ἡμᾶς. καὶ γὰρ τότε μάλιστα διαφαίνεται ἡ τοῦ Θεοῦ δύναμις, ὅταν δι' εὐτελῶν ἐνεργῇ μεγάλα. διὸ καὶ ἀλλαχοῦ ἔλεγεν, Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. καὶ ἐν τῇ παλαιᾷ δὲ, διὰ κωνώπων καὶ μυιῶν ὁλόκληρα στρατόπεδα βαρβάρων ἐτροποῦτο. διὸ καὶ μεγάλην δύναμιν αὐτὸς τὴν κάμπην ἐκάλει. καὶ ἐν ἀρχῇ γλώττας συγχέων μόνον, τὸν μέγαν πύργον ἐκεῖνον τὸν ἐν Βαβυλῶνι κατέλυε. καὶ ἐν τοῖς πολέμοις δὲ, νῦν μὲν διὰ τριακοσίων ἄπειρα στρατόπεδα ἤλασε, νῦν δὲ διὰ σαλπίγγων πόλεις καθεῖλε. μετὰ δὲ ταῦτα διὰ παιδίου μικροῦ καὶ εὐτελοῦς τοῦ Δαβὶδ, ἅπασαν τῶν βαρβάρων τὴν παράταξιν ἐτροπώσατο. οὕτω δὴ καὶ ἐνταῦθα δώδεκα μόνους ἀποστείλας, τῆς οἰκουμένης περιεγένετο, δώδεκα, καὶ τούτους ἐλαυνομένους [πολεμουμένους.]

Margin: χ. εὔθραυστον

Margin: 2. Κορ. ιβ. θ.

ΗΘΙΚΟΝ

Ἐκπλαγῶμεν οὖν τοῦ Θεοῦ τὴν δύναμιν, θαυμάσωμεν, προσκυνήσωμεν, ἐρωτήσωμεν Ἰουδαίους, ἐρωτήσωμεν Ἕλληνας, τίς ἔπεισε τὴν οἰκουμένην ἅπασαν πρὸς ζωὴν τῶν πατρίων ἐθῶν, καὶ πρὸς ἑτέραν μετατάξασθαι πολιτείαν; ὁ ἁλιεὺς, ἢ ὁ σκηνοποιός; ὁ τελώνης, ἢ ὁ ἀγράμματος καὶ ἰδιώτης; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, εἰ μὴ θεία δύναμις ἦν ἡ πάντα κατορθοῦσα δι' ἐκείνων; τί δὲ καὶ λέγοντες ἔπειθον ἐκεῖνοι; βαπτίσθητε ἐν τῷ ὀνόματι τοῦ σταυρωθέντος. ποίου; ὃν οὐκ εἶδον, οὐδὲ ἐθεάσαντο. ἀλλ' ὅμως ταῦτα λέγοντες καὶ κηρύττοντες, ἔπειθον, ὅτι οἱ μὲν μαντευόμενοι, καὶ ἐκ προγόνων αὐτοῖς παραδοθέντες, οὐκ εἰσὶ θεοί· ὁ δὲ προσηλωθεὶς οὗτος Χριστὸς, πάντας ἐφείλκετο. καίτοιγε ὅτι μὲν ἐσταυρώθη καὶ ἐτάφη, πᾶσί που δῆλον ἦν· ὅτι δὲ ἀνέστη, οὐδεὶς πλὴν ὀλίγων εἶδεν. ἀλλ' ὅμως καὶ τοῦτο ἔπεισαν τοὺς οὐχ ἑωρακότας, καὶ οὐχ ὅτι ἀνέστη μόνον, ἀλλ' ὅτι καὶ εἰς οὐρανοὺς ἀνῆλθε, καὶ ἔρχεται κρῖναι ζῶντας, καὶ νεκρούς. πόθεν οὖν τὸ πιθανὸν τοῖς λόγοις τούτοις, εἰπέ μοι; οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως. καὶ γὰρ πρῶτον αὐτὴ ἡ καινοτομία πᾶσι προσίστατο. ὅταν τε καὶ τοιαύτη τις καινοτομῇ, χαλεπώτερον τὸ πρᾶγμα γίνεται, ὅταν ἀναμοχλεύῃ παλαιᾶς συνηθείας θεμέλια, ὅταν ἐκ βάθρων ἀνασπᾷ νόμους. πρὸς δὲ τούτοις, οὐδὲ οἱ κήρυκες ἀξιόπιστοι εἶναι ἐδόκουν, ἀλλὰ καὶ ἔθνος παρὰ πᾶσι μεμισημένον, καὶ δειλοὶ, καὶ ἀμαθεῖς. πόθεν οὖν περιεγένοντο τῆς οἰκουμένης; πόθεν ὑμᾶς καὶ τοὺς ὑμετέρους προγόνους τοὺς δοκοῦντας φιλοσοφεῖν, μετὰ τῶν θεῶν αὐτῶν ἐξέβαλον; οὐκ εὔδηλον ὅτι ἀπὸ τοῦ Θεοῦ εἶχον μεθ' ἑαυτῶν; οὐδὲ γάρ ἐστι ταῦτα ἀνθρωπίνης δυνάμεως κατορθώματα, ἀλλὰ θείας τινὸς καὶ ἀπορρήτου. οὐχί, φησιν, ἀλλὰ γοητικῆς. οὐκοῦν αὐξηθῆναι ἔδει τὴν τῶν δαιμόνων ἀρχὴν, καὶ ἐπιταθῆναι τὴν τῶν εἰδώλων θεραπείαν. πῶς οὖν καθῄρηται, καὶ ἠφάνισται, καὶ ἀπεναντίας ἐκείνοις τὰ ἡμέτερα; ὥστε κἀντεῦθεν δῆλον, ὅτι τοῦ Θεοῦ ψῆφος ἦν τὰ γινόμενα· οὐκ ἀπὸ τοῦ κηρύγματος μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πολιτείας αὐτῆς. πότε γὰρ παρθενία τοσαύτη πανταχοῦ τῆς γῆς ἐφυτεύθη; πότε χρημάτων ὑπεροψία, καὶ ζωῆς, καὶ τῶν ἄλλων ἁπάντων; οἱ γὰρ μοχθηροὶ, καὶ γόητες, οὐδὲν τοιοῦτον ἀνύσαιεν, ἀλλὰ τἀναντία ἅπαντα. οὗτοι δὲ ἀγγέλων ἡμῖν εἰσηγήσαντο πολιτείαν· οὐκ εἰσηγήσαντο δὲ μόνον, ἀλλὰ καὶ κατώρθωσαν, ἐν τῇ ἡμετέρᾳ, ἐν τῇ τῶν βαρβάρων, ἐν αὐταῖς τῆς γῆς ταῖς ἐσχατιαῖς. ὅθεν δῆλον ὅτι πάντα ἡ τοῦ Χριστοῦ πανταχοῦ δύναμις ἴσχυσεν, ἡ πανταχοῦ λάμπουσα, καὶ ἀστραπῆς ἁπάσης ὀξύτερον τὰς τῶν ἀνθρώπων καταυγάζουσα διανοίας.

Margin: χ. ἡμ.

ταῦτ'

ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως τὰ γνωρίσματα λαβόντες ἀπόδειξιν ἐναργῆ, παρασκευάσατε μεθ' ἡμῶν τὴν ἄμαχον τοῦ σταυρωθέντος ἰσχύν· ἵνα καὶ τὰς ἀφορήτους φύγητε κολάσεις, καὶ τῆς αἰωνίου βασιλείας ἐπιτύχητε· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. θ. 8 ΕΝ ΠΑΝΤΙ ΘΛΙΒΟΜΕΝΟΙ, ΑΛΛ' ΟΥ ΣΤΕνοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· 9 Διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι.

ΕΤΙ μένει δεικνύς, ὅτι τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον τὸ πᾶν ἐστι, καταστέλλων ἐκείνων τὰ φρονήματα τῶν καυχωμένων ἐφ' ἑαυτοῖς. Οὐδὲ γὰρ τοῦτο μόνον ἐστί, φησι, θαυμαστόν, ὅτι ἐν ὀστρακίνοις σκεύεσι φυλάττομεν τὸν θησαυρὸν τοῦτον, ἀλλ' ὅτι καὶ μυρία πάσχοντες δεινά, καὶ πολλαχοῦ περικρουόμενοι, τηροῦμεν αὐτόν, καὶ οὐκ ἀπολλύμεθα. καίτοι εἰ καὶ ἀδαμάντινον σκεῦος ἦν, οὔτε θησαυρὸς ἦν τοσούτων βασάνων ἰσχύσεν ἄν, οὐδ' ἂν πρὸς τὰς τοσαύτας ἤρκεσεν ἐπιβουλάς· νυνὶ δὲ καὶ φέρει, καὶ οὐδὲν πάσχει δεινόν, διὰ τὴν τοῦ Θεοῦ χάριν. ἐν παντὶ γὰρ θλιβόμενοι, φησίν, ἀλλ' οὐ στενοχωρούμενοι. τί ἐστιν, ἐν παντί; ἐν τοῖς ἐχθροῖς, ἐν τοῖς φίλοις, ἐν τοῖς ἀναγκαίοις, ἐν ταῖς ἄλλαις χρείαις, ὑπὸ τῶν πολεμίων, ὑπὸ τῶν οἰκείων. ἀλλ' οὐ στενοχωρούμεθα. καὶ ὅρα πῶς τὰ πράγματα ἐναντία λέγει, ἵνα κἀντεῦθεν δείξῃ τοῦ Θεοῦ τὴν ἰσχύν. θλιβόμενοι γὰρ οὐ στενοχωρούμεθα, φησίν· ἀπορούμενοι οὐκ ἐξαπορούμεθα· τουτέστιν, οὐκ εἰς τέλος ἐκπίπτομεν. ἀλύομεν γὰρ πολλαχοῦ, καὶ ἀποτυγχάνομεν· ἀλλ' οὐχ οὕτως, ὥστε ἐκπεσεῖν τῶν προκειμένων. εἰς γυμνασίαν γὰρ ὑμῶν ταῦτα, οὐκ εἰς ἧτταν συγκεχώρηται παρὰ τοῦ Θεοῦ.

Διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Οἱ μὲν γὰρ πειρασμοὶ συμβαίνουσι· τὰ δὲ ἀπὸ τῶν πειρασμῶν, οὐκέτι. καὶ τοῦτο δὲ διὰ τὴν τοῦ Θεοῦ δύναμιν καὶ χάριν. ἀλλαχοῦ δέ φησι, καὶ διὰ τὴν αὐτῶν ταπεινοφροσύνην, καὶ διὰ τὴν ἑτέρων ἀσφάλειαν συγκεχωρῆσθαι ταῦτα. Ἵνα γὰρ μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ, φησί· καὶ πάλιν, Ἵνα μή τις λογίσηται εἰς ἐμὲ ὑπὲρ ὃ βλέπει, καὶ ἀκούει τι ἐξ ἐμοῦ· καὶ ἀλλαχοῦ πάλιν, Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς. ἐνταῦθα δέ φησιν, ἵνα φανῇ τοῦ Θεοῦ ἡ δύναμις. ὁρᾷς ὅσον τῶν πειρασμῶν τὸ κέρδος; καὶ γὰρ τοῦ Θεοῦ τὴν δύναμιν ἐδείκνυ, καὶ τὴν χάριν ἀπεκάλυπτε μειζόνως (Ἀρκεῖ γάρ σοι ἡ χάρις μου, φησί) καὶ εἰς ταπεινοφροσύνην ἤλειφε, καὶ τοὺς ἄλλους καταστέλλεσθαι παρεσκεύαζε, καὶ αὐτοὺς καρτερικωτέρους εἰργάζετο. Ἡ γὰρ ὑπομονή, φησι, δοκιμὴν κατεργάζεται· ἡ δὲ δοκιμή, ἐλπίδα. οἱ γὰρ μυρίοις περιπεσόντες κινδύνοις, καὶ ἐκ τῆς εἰς τὸν Θεὸν ἐλπίδος διενεγκόντες, ἐπαιδεύοντο ταύτης ἔχεσθαι ἐπὶ πλέον ἐν πᾶσι. β.Κορ.ιβ.ζ. καὶ ς. β.Κορ.α.θ. β.Κορ.ιβ.θ. Ρωμ.ε.δ.

10 Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῷ σώματι ἡμῶν. Καὶ τί ἐστιν ἡ νέκρωσις τοῦ Κυρίου Ἰησοῦ, ἣν περιφέρουσι; οἱ θάνατοι οἱ καθημερινοί, δι' ὧν καὶ ἡ ἀνάστασις ἐδείκνυτο. εἰ γάρ τις ἀπιστεῖ, φησίν, ὅτι ἀπέθανεν Ἰησοῦς, καὶ ἠγέρθη, ἡμᾶς ὁρῶν τοὺς καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντας καὶ ἀνισταμένους, πιστευέτω λοιπὸν τῇ ἀναστάσει. Εἶδες πῶς καὶ ἑτέραν αἰτίαν εὕρηκε τῶν πειρασμῶν; ποίαν δὴ ταύτην; ἵνα καὶ ἡ ζωὴ αὐτοῦ φανερωθῇ ἐν τῷ σώματι ἡμῶν, φησί· τῷ ἐξαρπάζειν ἡμᾶς τῶν κινδύνων. ὥστε τοῦτο, ὃ δοκεῖ ἀσθενείας εἶναι, καὶ ἐγκαταλείψεως, τοῦτο αὐτοῦ κηρύττει τὴν ἀνάστασιν. οὐ γὰρ ἂν οὕτως ἐφάνη, μηδὲν πασχόντων ἡμῶν ἀηδές, ἡ δύναμις ἡ ἐκείνου, ὡς νῦν δείκνυται, πασχόντων μέν, οὐ

νικωμένων

νικωμένων δέ. **11** Καὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ [ἐν ἡμῖν] ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Πάλιν ταυτὸ γὰρ ὅτε μὴ ἀσαφὲς εἴποι, ἑαυτὸν ἑρμηνεύει πάλιν. ὃ δὴ καὶ ἐνταῦθα ἐποίησε, τοῦτο, ὅπερ εἶπον, ἑρμηνεύων σαφῶς. διὰ τοῦτο γὰρ παραδιδόμεθα, φησὶ (τουτέστι, τὴν νέκρωσιν περιφέρομεν) ἵνα ἡ δύναμις αὐτοῦ τῆς ζωῆς φανῇ, μὴ συγχωροῦντος σάρκα θνητὴν τοσαῦτα πάσχουσαν, ὑπὸ τῆς νιφάδος τῶν κακῶν νικηθῆναι. καὶ ἑτέρως δὲ αὐτὸ ἐκληπτέον. πῶς; ὡς ἀλλαχοῦ φησιν, Εἰ συναπεθάνομεν, καὶ συζήσομεν. ὥσπερ γὰρ τὸν θάνατον αὐτοῦ ὑπομένομεν νῦν, καὶ αἱρούμεθα ζῶντες ἀποθανεῖν δι' αὐτόν· οὕτω καὶ αὐτὸς αἱρήσεται ἀποθανόντας ζωογονῆσαι τότε. εἰ γὰρ ἡμεῖς ἀπὸ ζωῆς εἰς θάνατον ἐρχόμεθα· καὶ αὐτὸς ἀπὸ θανάτου εἰς ζωὴν ἡμᾶς χειραγωγήσει.

Ρω.ϛ.η.

12 Ὥστε ὁ θάνατος ἐνεργεῖται ἐν ἡμῖν, ἡ δὲ ζωὴ ἐν ὑμῖν. Οὐκέτι περὶ τοῦ θανάτου λέγων, ἀλλὰ περὶ πειρασμῶν, καὶ λύσεως. ἡμεῖς μὲν γὰρ ἐν κινδύνοις καὶ ἐν πειρασμοῖς, φησιν· ὑμεῖς δὲ ἐν ἀνέσει, τὴν ἐκ τούτων τῶν κινδύνων καρπούμενοι ζωήν. καὶ τὰ μὲν ἐπικίνδυνα ἡμεῖς ὑπομένομεν, τῶν δὲ χρηστῶν ὑμεῖς ἀπολαύετε. οὐ γὰρ τοσούτους ὑπομένετε πειρασμούς.

13 Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν·

Ψαλμ.ριε.α.

14 Ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ. Ἀνέμνησεν ἡμᾶς ψαλμοῦ πολλὴν ἔχοντος φιλοσοφίαν, καὶ ἰσχύοντος μάλιστα ἐν κινδύνοις ἀλείφειν. τὴν γὰρ ῥῆσιν ταύτην, ἐν μεγάλοις κινδύνοις ὢν ὁ δίκαιος ἐκεῖνος ἐφθέγξατο, καὶ ἐξ ὧν οὐκ ἦν ἄλλως ἀνενεγκεῖν, ἢ διὰ τῆς τοῦ Θεοῦ βοηθείας. ἐπεὶ οὖν τὰ συνειδότα μάλιστα οἶδε παραμυθεῖσθαι, διὰ τοῦτό φησιν, ἔχοντες τὸ αὐτὸ πνεῦμα· τουτέστιν, ἀπὸ τῆς αὐτῆς συμμαχίας, ἀφ' ἧς ἐκεῖνος ἐσώθη, καὶ ἡμεῖς σωζόμεθα· ἀπὸ τοῦ πνεύματος ἀφ' οὗ ἐφθέγξατο, καὶ ἡμεῖς φθεγγόμεθα. ὅθεν δείκνυσι πολλὴν τῇ καινῇ πρὸς τὴν παλαιὰν τὴν συμφωνίαν οὖσαν, τὸ τὸ αὐτὸ πνεῦμα ἐν ἑκατέροις ἐνεργῆσαι, καὶ ὅτι οὐχ ἡμεῖς μόνοι ἐν κινδύνοις, ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες, καὶ διὰ πίστεως καὶ ἐλπίδι διορθοῦσθαι, καὶ μὴ λύσιν εὐθέως ζητεῖν τῶν ἐπικειμένων. ἐπειδὴ γὰρ ἔδειξε διὰ τῶν λογισμῶν τὴν ἀνάστασιν καὶ τὴν ζωήν, καὶ ὅτι οὐκ ἀσθενείας, οὐδὲ ἐγκαταλείψεως ὁ κίνδυνος· λοιπὸν καὶ τὴν πίστιν εἰσάγει, καὶ αὐτῇ τὸ πᾶν ἐπιτρέπει. ἀλλ' ὅμως καὶ αὐτῆς ἀπόδειξιν παρέχεται τοῦ Χριστοῦ τὴν ἀνάστασιν, εἰπών· διὸ καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. τί πιστεύομεν, εἰπέ μοι; ὅτι ὁ ἐγείρας Ἰησοῦν, καὶ ἡμᾶς ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν.

15 Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ. Πάλιν πληροῖ φρονήματος αὐτούς, ἵνα μὴ ἀνθρώποις χάριν εἰδῶσι, τοῖς ψευδαποστόλοις, λέγω. τοῦ γὰρ Θεοῦ τὸ πᾶν, ὃς βούλεται πολλοῖς χαρίσασθαι, ὥστε μείζονα ὀφθῆναι τὴν χάριν. δι' ὑμᾶς γοῦν ἡ ἀνάστασις, καὶ τὰ ἄλλα πάντα. οὐ γὰρ ἑνὸς ἕνεκεν μόνου ταῦτα πεποίηκεν, ἀλλὰ πάντων.

16 Διὸ καὶ οὐκ ἐκκακοῦμεν· ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρα καὶ ἡμέρα. Πῶς φθείρεται; μαστιζόμενος, ἐλαυνόμενος, μυρία πάσχων δεινά. ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρα καὶ ἡμέρα. πῶς ἀνακαινοῦται; τῇ πίστει, τῇ ἐλπίδι, τῇ προθυμίᾳ. τὸ λοιπὸν διὰ κατατολμᾶν τῶν δεινῶν. ὅσῳ γὰρ ἂν μυρία πάσχῃ τὸ σῶμα, τοσούτῳ χρηστοτέρας ἔχει τὰς ἐλπίδας ἡ ψυχή, καὶ λαμπροτέρα γίνεται, καθάπερ χρυσίον πυρούμενον ἐπὶ πλεῖον. καὶ ὅρα πῶς καθαιρεῖ τὰ λυπηρὰ τοῦ παρόντος βίου.

17 Τὸ

17 Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, φησὶν, εἰς ὑπερβολὴν καθ' ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται.

18 Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα.

Εἰς τὴν ἐλπίδα τὸ πρᾶγμα κατακλείσας, ὅπερ ἐν τῇ πρὸς Ῥωμαίους ἔλεγεν, ὅτι τῇ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς, τοῦτο καὶ ἐνταῦθα κατασκευάζων, τίθησι παράλληλα τὰ παρόντα τοῖς μέλλουσι, τὸ παραυτίκα πρὸς τὸ αἰώνιον, τὸ ἐλαφρὸν πρὸς τὸ βαρὺ, τὴν θλίψιν πρὸς τὴν δόξαν. καὶ οὐδὲ τούτοις ἀρκεῖται, ἀλλ' ἑτέραν τίθησι λέξιν, διπλασιάζων αὐτὴν, καὶ λέγων, καθ' ὑπερβολὴν εἰς ὑπερβολήν. εἶτα καὶ τὸν τρόπον δείκνυσι πῶς ἐλαφρὸν τὸ τῶν τοσούτων θλίψεων. πῶς οὖν ἐλαφρόν; μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. οὕτω καὶ τοῦτο κοῦφον τὸ παρὸν, κἀκεῖνο μέγα τὸ μέλλον, ἂν τῶν ὁρωμένων ἀπαγάγωμεν ἑαυτούς. Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα. Οὐκοῦν καὶ αἱ θλίψεις τοιαῦται. Τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. Οὐκοῦν καὶ οἱ στέφανοι τοιοῦτοι. καὶ οὐκ εἶπεν, αἱ θλίψεις τοιαῦται, ἀλλὰ, τὰ βλεπόμενα πάντα, κἂν κόλασις ᾖ, κἂν ἀνάπαυσις· ὥστε μήτε ἐκεῖθεν χαυνοῦσθαι, μήτε ἐντεῦθεν βιάζεσθαι. ἀλλὰ τοῦτο οὐδὲ περὶ τῶν μελλόντων λέγων, εἶπεν, ἡ βασιλεία αἰώνιος, ἀλλὰ τὰ μὴ βλεπόμενα, αἰώνια, κἂν βασιλεία, κἂν κόλασις ᾖ πάλιν, ὥστε καὶ ἐκεῖθεν φοβηθῆναι, καὶ ἐκεῖσε προσεπτερῶσθαι.

Ἐπεὶ οὖν τὰ βλεπόμενα, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια, πρὸς ἐκεῖνα βλέπωμεν. ποίαν γὰρ καὶ ἕξομεν ἀπολογίαν, τὰ πρόσκαιρα ἀντὶ τῶν αἰωνίων αἱρούμενοι; εἰ γὰρ καὶ τὸ παρὸν ἡδὺ, ἀλλ' οὐ διηνεκές· τὸ μέντοι ὀδυνηρὸν αὐτοῦ, διηνεκὲς καὶ ἀσύγγνωστον. ποίαν γὰρ ἕξουσιν ἀπολογίαν τοῦ πνεύματος καταξιωθέντες, καὶ τοσαύτης ἀπολαύσαντες δωρεᾶς, [καὶ] χαμαίζηλοι γενόμενοι, καὶ καταπίπτοντες πρὸς τὴν γῆν; καὶ γὰρ πολλῶν ἀκούω λεγόντων τὰ καταγέλαστα ταῦτα ῥήματα· δός μοι τὴν σήμερον, καὶ λαβὲ τὴν αὔριον. ἂν μὲν γὰρ τοιαῦτα ᾖ, φησὶν, οἷα καί φατε ἐκεῖ, ἓν ἀνθ' ἑνὸς γέγονεν· ἂν δὲ μηδὲν ὅλως ᾖ, δύο ἀντ' οὐδενός. τί τῶν ῥημάτων τούτων παρανομώτερον; τί δὲ ληρωδέστερον; ἡμεῖς περὶ οὐρανοῦ διαλεγόμεθα, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων· καὶ σὺ τὰ τῶν ἱπποδρομιῶν ἡμῖν ἄγεις εἰς μέσον, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐγκαλύπτῃ τοιαῦτα φθεγγόμενος, ἃ τῶν παραπαιόντων ἐστίν; οὐκ ἐρυθριᾷς, οὕτω προσηλωμένος τοῖς παροῦσιν; οὐ παύσῃ παραφρονῶν, καὶ ὀξέως, καὶ ἐν νεότητι ληρῶν; καὶ τὸ μὲν Ἕλληνας ταῦτα λέγειν, οὐδὲν θαυμαστόν· τὸ δὲ πιστοὺς ἀνθρώπους τοιαῦτα ληρεῖν, ποίαν ἔχει συγγνώμην; ὅλως γὰρ ἀπιστεῖς ταῖς ἀθανάτοις ἐλπίσιν ἐκείναις; ὅλως νομίζεις ἀμφίβολα ταῦτα εἶναι; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης; καὶ τίς ἦλθε, φησὶ, καὶ ἀπήγγειλε τὰ αὐτόθι; ἀνθρώπων μὲν οὐδείς· ὁ Θεὸς δὲ ὁ πάντων ἀξιοπιστότερος ταῦτα ἀπεφήνατο. ἀλλ' οὐχ ὁρᾷς τὰ ἐκεῖ· οὐδὲ γὰρ τὸν Θεὸν βλέπεις. ἆρ' οὖν οὐχ ἡγήσῃ εἶναι Θεὸν, ἐπειδὴ Θεὸν μὴ ὁρᾷς; καὶ σφόδρα ἡγοῦμαί, φησιν. ἂν οὖν σε ἔρηταί τις τῶν ἀπίστων, καὶ τίς ἦλθεν ἀπὸ τοῦ οὐρανοῦ, καὶ ταῦτα ἀπήγγειλε; τί ἐρεῖς; πόθεν οἶσθα ὅτι ἐστὶ Θεός; ἀπὸ τῶν ὁρωμένων, φησὶν, ἀπὸ τῆς εὐταξίας τῆς ἐν πάσῃ τῇ κτίσει, ἀπὸ τοῦ πᾶσιν εἶναι τοῦτο κατάδηλον. Οὐκοῦν καὶ τὸν περὶ κρίσεως οὕτω δέχου λόγον. πῶς, φησίν; ἐρήσομαί σε· σὺ δέ μοι ἀπόκριναι. δίκαιός ἐστιν οὗτος ὁ Θεὸς, καὶ τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ; ἢ τοὐναντίον, τοὺς μὲν ἀδίκους βούλεται εὐημερεῖν καὶ τρυφᾶν, τοὺς δὲ ἀγαθοὺς ἐν τοῖς ἐναντίοις εἶναι; οὐδαμῶς, φησίν· οὐδὲ γὰρ ἂν ἄνθρωπος τοῦτο πάθοι. ποῦ οὖν οἱ καλῶς ἐνταῦθα πράξαντες τῶν ἀγαθῶν ἀπολαύσονται, ποῦ δὲ οἱ πονηροὶ τῶν ἐναντίων, εἰ μὴ μέλλοι τις ζωὴ μετὰ ταῦτα καὶ ἀνταπόδοσις εἶναι; ὁρᾷς ὅτι οὐχ ἓν ἀνθ' ἑνός τινος, καὶ οὐχὶ δύο ἀνθ' ἑνός; ἐγὼ δέ σοι δείξω προϊὼν, ὅτι οὐδὲ ἓν ἀνθ' ἑνὸς, ἀλλὰ δύο ἀντ' οὐδενὸς ἔσται τοῖς δικαίοις· τοῖς δὲ ἁμαρτωλοῖς καὶ ἐνταῦθα τρυφῶσι, τοὐναντίον ἅπαν. οἱ μὲν γὰρ ἐνταῦθα τρυφήσαντες, οὐδὲ ἓν ἀνθ' ἑ-

Ρωμ. η κδ.

ΗΘΙΚΟΝ

κ. οὐχ ἑνὸς

νὸς

νὸς ἔλαβον· οἱ δὲ ἐν ἀρετῇ διαλάμψαντες, δύο ἀντ' οὐδενός. τίνες γὰρ ἐν ἀνέσει, οἱ τὸν παρόντα διαγελασάμενοι βίον, ἢ οἱ φιλοσοφήσαντες; σὺ μὲν ἴσως ἐκείνους ἐρεῖς, ἐγὼ δὲ τούτους δείκνυμι, μάρτυρας αὐτοὺς ἐκείνους καλῶν, τοὺς ἀπολελαυκότας τῶν παρόντων· καὶ οὐκ ἀναισχυντήσουσι πρὸς ἃ μέλλω λέγειν. καὶ γὰρ προμνηστρίαις ἐπηράσαντο πολλάκις, καὶ τῇ ἡμέρᾳ καθ' ἣν ἐπλάκησαν αἱ παστάδες, καὶ τοὺς μὴ γεγαμηκότας ἐμακάρισαν. πολλοὶ δὲ τῶν νέων, καὶ πρὶν αὐτοὺς γαμεῖν, διὰ τοῦτο ἑτέρων προετιμήσαντο, ἀλλ' οὐ διὰ τὸ φορτικὸν τοῦ πράγματος. καὶ ταῦτα λέγω, οὐ τὸν γάμον διαβάλλων (τίμιος γάρ) ἀλλὰ τοὺς κακῶς αὐτῷ κεχρημένους. εἰ δὲ οἱ γάμοις ὡμιληκότες ἀβίωτον πολλάκις τὸν βίον ἐνόμισαν, τί ἂν εἴποιμεν περὶ τῶν εἰς πορνικὰ βάραθρα κατενεχθέντων, καὶ παντὸς αἰχμαλώτου δουλικώτερον καὶ ἀθλιώτερον διατεθέντων; περὶ τῶν ἐν τρυφῇ καταδαπανώντων, καὶ μυρία τῷ σώματι νοσήματα περιβεβληκότων; ἀλλὰ τὸ ἐν δόξῃ εἶναι, ἡδύ. οὐδὲν μὲν οὖν ταύτης δόξης πικρότερον. καὶ γὰρ πάντων ἀνδραπόδων μᾶλλον ἐστὶ δουλικώτερος ὁ κενόδοξος, καὶ τοῖς τυχοῦσιν ἀρέσαι βουλόμενος· ὁ δὲ ταύτην καταπατήσας, πάντων ἐστὶν ἀνώτερος, ὁ μὴ φροντίζων τῆς παρὰ ἑτέρων δόξης. ἀλλὰ τὸ χρήματα ἔχειν, ἐπέραστον. ἀλλὰ πολλάκις ἀπεδείξαμεν, ὅτι ἐν πλείονι πλούτῳ καὶ ἀνέσει οἱ τούτων ἀπηλλαγμένοι καὶ μηδὲν ἔχοντες, μᾶλλον εἰσίν. ἀλλὰ τὸ μεθύειν, ἡδύ. καὶ τίς ἂν εἴποι τοῦτο; οὐκοῦν εἰ τὸ μὴ πλουτεῖν τοῦ πλουτεῖν ἥδιον, καὶ τὸ μὴ γαμεῖν τοῦ γαμεῖν, καὶ τὸ μὴ κενοδοξεῖν τοῦ κενοδοξεῖν, καὶ τὸ μὴ τρυφᾶν τοῦ τρυφᾶν· καὶ ἐνταῦθα τὸ πλέον ἔχουσιν οἱ μὴ τοῖς παροῦσι προσηλωμένοι. καὶ οὔπω λέγω, ὅτι ἐκεῖνος μὲν κἂν μυρίαις βασάνοις κατατείνηται, ἔχει τὴν χρηστὴν ἐλπίδα διαβαστάζουσαν αὐτόν· οὗτος δὲ κἂν μυρίας ἀπολαύῃ τρυφῆς, ἔχει τὸν φόβον τοῦ μέλλοντος ἐπιταράττοντα αὐτοῦ τὴν ἡδονήν, καὶ συγχέοντα. καὶ γὰρ καὶ οὗτος οὐ μικρὸς τρόπος κολάσεως· ὥσπερ οὖν ὁ ἐναντίος, τρυφῆς καὶ ἀνέσεως. καὶ τρίτος δὲ μετὰ τούτων ἐστὶ τρόπος. ποῖος δὲ οὗτος; ὅτι τὰ μὲν τῆς τρυφῆς τῆς βιωτικῆς, οὐδὲ ἡνίκα ἐστί, φαίνεται, τῇ τε φύσει καὶ τῷ χρόνῳ ἐλεγχόμενα· ἐκεῖνα δὲ οὐ μόνον ἐστίν, ἀλλὰ καὶ ἀκάματα μένει. ὁρᾷς ὅτι οὐ δύο ἀντ' οὐδενὸς μόνον, ἀλλὰ καὶ τρία, καὶ πέντε, καὶ δέκα, καὶ εἴκοσι, καὶ μυρία ἀντ' οὐδενὸς δικαιωσόμεθα θεῖναι; ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος αὐτὸ τοῦτο μάθῃς, ὁ πλούσιος, καὶ ὁ Λάζαρος, ὁ μὲν τῶν παρόντων, ὁ δὲ τῶν μελλόντων ἀπήλαυσαν. ἆρ' οὖν σοι δοκεῖ ἓν εἶναι, καὶ ἕν, τὸ ἐν παντὶ τῷ χρόνῳ κολάζεσθαι, καὶ τὸ ἐν βραχείᾳ ὥρᾳ πεινῆν; τὸ νοσεῖν ἐν φθαρτῷ σώματι, καὶ τὸ ἐν ἀθανάτῳ χαλεπῶς ἀποτηγανίζεσθαι; τὸ στεφανοῦσθαι, καὶ τρυφᾶν ἀθάνατα μετὰ τὴν μικρὰν ἀρρωστίαν ἐκείνην, καὶ τὸ βασανίζεσθαι ἀπέραντα μετὰ τὴν βραχεῖαν τῶν ὄντων ἀπόλαυσιν; καὶ τίς ἂν ταῦτα εἴποι; τί γὰρ βούλει θῶμεν; τὴν ποσότητα, τὴν ποιότητα, τὴν τάξιν τοῦ Θεοῦ, τὴν περὶ ἑκάτερον ψῆφον; μέχρι τίνος τὰ κανθάρων φθέγγεσθε ῥήματα, τῶν τῷ βορβόρῳ διηνεκῶς ἐγκαλινδουμένων; οὐδὲ γὰρ ἂν θεράπων ταῦτα λογικῶν, ψυχὴν οὕτω τιμίαν ἀντ' οὐδενὸς προέσθαι, δέον ὀλίγου πόνου τοὺς οὐρανοὺς λαβεῖν. βούλει σε καὶ ἑτέρωθεν διδάξω, ὅτι ἐστὶν ἐκεῖ κριτήριον φοβερόν; ἄνοιξόν σου τὰς θύρας τοῦ συνειδότος, καὶ βλέπε τὸν ἐν τῇ διανοίᾳ σου καθήμενον δικαστήν. εἰ δὲ σὺ σαυτὸν κατακρίνεις, καίτοιγε φίλαυτος ὤν, καὶ οὐκ ἂν ἀνάσχοιο μὴ δικαίαν τὴν κρίσιν ἐνεγκεῖν· οὐ πολλῷ μᾶλλον ὁ Θεὸς πολλὴν ποιήσεται τοῦ δικαίου πρόνοιαν, καὶ τὴν ἀδέκαστον περὶ πάντων οἴσει ψῆφον, ἀλλ' ἁπλῶς καὶ εἰκῆ πάντα φέρεσθαι ἐάσει; καὶ τίς ἂν ταῦτα εἴποι; οὐκ ἔστιν οὐδείς· ἀλλὰ καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ ποιηταί, καὶ φιλόσοφοι, καὶ πᾶν ἀνθρώπων γένος συμφωνοῦσιν ἐν τούτοις ἡμῖν, εἰ καὶ μὴ ὁμοίως, καὶ φασιν εἶναί τινα δικαστήρια ἐν ᾅδου· οὕτω φανερόν, καὶ ὡμολογημένον τὸ πρᾶγμά ἐστι. καὶ τίνος ἕνεκεν οὐκ ἐνταῦθα κολάζει, φησίν; ἵνα τὴν μακροθυμίαν ἐπιδείξηται τὴν αὑτοῦ, καὶ τὴν ἐκ μετανοίας [ἡμῖν] παράσχῃ σωτηρίαν, καὶ μὴ ποτὲ τὸ γένος ἡμῶν ἀνάρπαστον ἐργάσηται, τούς τε ἐκ μεταβολῆς ἀρίστης δυναμένους σωθῆναι μὴ

ἢ [illegible] μεν;

παρεξαρπάσῃ

προεξαρπάσῃ τῆς σωτηρίας. Εἰ γὰρ εὐθέως ἐκόλαζε τὰ ἁμαρτήματα, καὶ ἀνῄρει, πῶς ἂν ἐσώθη Παῦλος, πῶς δὲ Πέτρος, οἱ κορυφαῖοι τῆς οἰκουμένης διδάσκαλοι; πῶς ἂν ὁ Δαβὶδ τὴν ἀπὸ τῆς μετανοίας ἐκαρπώσατο σωτηρίαν; πῶς οἱ Γαλάται; πῶς ἕτεροι πλείους; Διά τοι τοῦτο, οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκας, ἀλλ' ἐκ τῶν πάντων ὀλίγους· οὔτε ἐκεῖ πάντας, ἀλλὰ τοὺς μὲν ἐνταῦθα, τοὺς δὲ ἐκεῖ, ἵνα καὶ τοὺς σφόδρα ἀναισθήτους (γ. αἰσθητοὺς) διεγείρῃ δι' ὧν κολάζει, καὶ τὰ μέλλοντα προσδοκᾶν ποιήσῃ δι' ὧν οὐ κολάζει. ἢ οὐχ ὁρᾷς ἐνταῦθα κολαζομένους πολλούς, οἷον ὡς τοὺς τῷ πύργῳ καταχωσθέντας, ὡς ἐκείνους ὧν τὸ αἷμα ταῖς θυσίαις ἀνέμιξεν ὁ Πιλάτος, ὡς τοὺς ἀώρῳ θανάτῳ παρὰ Κορινθίοις τελευτήσαντας διὰ τὸ τῶν μυστηρίων ἀναξίως μετασχεῖν, ὡς τὸν Φαραώ, ὡς τῶν Ἰουδαίων τοὺς ὑπὸ τῶν βαρβάρων κατασφαγέντας, ὡς ἑτέρους πολλούς, καὶ τότε, καὶ νῦν, καὶ διηνεκῶς; καὶ ἕτεροι δὲ πολλὰ ἁμαρτόντες, ἀπῆλθον μὴ δόντες ἐνταῦθα δίκην· ὡς ὁ πλούσιος ἐπὶ τοῦ Λαζάρου, ὡς ἕτεροι πολλοί. Ταῦτα δὲ ποιεῖ, καὶ τοὺς ἀπιστοῦντας τοῖς μέλλουσι διεγείρων, καὶ τοὺς πιστεύοντας καὶ ῥαθυμοῦντας σπουδαιοτέρους ποιῶν. ὁ γὰρ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρός, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἂν δὲ τῇ μακροθυμίᾳ παραχρησώμεθα, ἔσται καιρός, ὅτε οὐδὲ βραχὺ μακροθυμήσει λοιπόν, ἀλλ' εὐθέως ἐπάξει τὴν δίκην. μὴ τοίνυν, ἵνα μίαν ῥοπὴν τρυφήσωμεν (τοῦτο γὰρ ὁ παρὼν βίος) ἀπείρων αἰώνων ἐπισπασώμεθα κόλασιν, ἀλλὰ ῥοπὴν πονήσωμεν, ἵνα διηνεκῶς στεφανωθῶμεν. οὐχ ὁρᾶτε, ὅτι καὶ ἐν τοῖς βιωτικοῖς οὕτως οἱ πλείους τῶν ἀνθρώπων ποιοῦσι, καὶ τὸν ὀλίγον πόνον (γ. πονεῖται) αἱροῦνται ὑπὲρ τῆς μακρᾶς ἀναπαύσεως, εἰ καὶ τοὐναντίον αὐτοῖς ἐκβαίνει; ἐνταῦθα μὲν γὰρ ἰσομοιρία καὶ πόνων καὶ κέρδους (γ. τοῦ κέρδους)· πολλάκις δὲ τοὐμπαλιν, ὁ μὲν πόνος ἄπειρος, ὁ δὲ καρπὸς ὀλίγος· ἢ οὐδὲ ὀλίγος πολλάκις. ἐπὶ δὲ τῆς βασιλείας, ἀντιστρόφως· ὀλίγον μὲν τὸ ἐπίπονον, πολὺ δὲ τὸ ἡδύ, καὶ ἄπειρον. σκόπει δέ· ὁ γεωργὸς δι' ὅλου πονεῖ τοῦ ἔτους, καὶ πρὸς αὐτῷ τῷ τέλει τῆς ἐλπίδος ἐκπίπτει πολλάκις τοῦ καρποῦ τῶν πολλῶν πόνων. ὁ κυβερνήτης πάλιν, καὶ ὁ στρατιώτης, μέχρις ἡλικίας ἐσχάτης ἐν πολέμοις καὶ πόνοις· καὶ πολλάκις ἑκάτερος αὐτῶν ἀπῆλθεν, ὁ μὲν τοῦ πλούτου τῶν φορτίων, ὁ δὲ μετὰ τῆς νίκης, καὶ τῆς ζωῆς αὐτῆς ἐκπεσών. Τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰπέ μοι, ἐν μὲν τοῖς βιωτικοῖς τὰ ἐπίπονα προτιμῶντες, ἵνα μικρὸν ἀναπαυσώμεθα, ἢ οὐδὲ μικρὸν (καὶ γὰρ ἄδηλος ἡ ἐλπίς) ἐν δὲ τοῖς πνευματικοῖς ἀντιστρόφως τοῦτο ποιοῦντες, καὶ ἀφάτοις κόλασιν ἐπισπώμενοι διὰ μικρὰν ῥαθυμίαν; διὸ παρακαλῶ πάντας ὑμᾶς ὀψὲ γοῦν ποτε ἐκ τῆς παραπληξίας ταύτης ἀνενεγκεῖν. οὐδεὶς γὰρ ἡμᾶς ἐξαιρήσεται ἐν ἐκείνῳ τῷ καιρῷ, οὐκ ἀδελφός, οὐ πατήρ, οὐ παῖς, οὐ φίλος, οὐ γείτων, οὐκ ἄλλος οὐδείς· ἀλλ' ἂν ὑπὸ τῶν ἔργων προδοθῶμεν, πάντα οἴχεται, καὶ ἀπολούμεθα πάντως. πόσα ὁ πλούσιος ἐθρήνησεν ἐκεῖνος, καὶ τὸν πατριάρχην παρεκάλεσε, καὶ πεμφθῆναι τὸν Λάζαρον ᾔτησεν; ἀλλ' ἄκουσον τί πρὸς αὐτὸν ἔλεγεν Ἀβραάμ· Χάος μεταξὺ ὑμῶν καὶ ἡμῶν, ὥστε μηδὲ βουλομένοις ἐξεῖναι διαβῆναι ἐκεῖ. Λουκ. ιϛ. κϛ. πόσα παρεκάλεσαν αἱ παρθένοι ἐκεῖναι τὰς ὁμήλικας ὑπὲρ ὀλίγου ἐλαίου; ἀλλ' ἄκουσον καὶ ἐκεῖναι τί λέγουσι· Μήποτε οὐ μὴ ἀρκέσῃ ὑμῖν καὶ ἡμῖν· καὶ οὐδεὶς αὐτὰς ἴσχυσεν Ματθ. κε. θ. εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν. Ταῦτα δὴ λογιζόμενοι καὶ ἡμεῖς ἐπιμελώμεθα τῆς ἡμετέρας ζωῆς. ὅσους γὰρ ἂν εἴποις πόνους, καὶ ὅσας ἂν προσενέγκῃς τιμωρίας, οὐδὲν ἄπτονται ταῦτα ἔσται πρὸς τὰ μέλλοντα ἀγαθά. Τίθημι γοῦν, εἰ βούλει, πῦρ, καὶ σίδηρον, καὶ θηρία, καὶ εἴ τι τούτων χαλεπώτερον· ἀλλ' ὅμως οὐδὲ σκιὰ ταῦτα πρὸς ἐκεῖνα τὰ βασανιστήρια. Ταῦτα μὲν γὰρ ὅταν σφοδρότερον ἐπιτεθῇ, τότε μάλιστα γίνεται κοῦφα, ταχεῖαν ποιοῦντα τὴν ἀπαλλαγήν, τοῦ σώματος οὐκ ἀρκοῦντος καὶ εἰς σφοδρότητα καὶ εἰς μῆκος κολάσεως. ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀμφότερα συνέρχεται, καὶ παράτασις, καὶ ὑπερβολή, καὶ ἐν τοῖς χρηστοῖς, καὶ ἐν τοῖς λυπηροῖς. ἕως οὖν ἐστὶ καιρός, προφθάσωμεν τὸ

προσώπου αὐτοῦ ἐν ἐξομολογήσει· ἵνα ἡμέρᾳ αὐτῶν ἴδωμεν τότε καὶ γαλήνην, ἵνα τὰς ἀπειληφόρους ἐκείνας δυνάμεις διαφύγωμεν. οὐχ ὁρᾷς τοὺς ἐνταῦθα στρατιώτας, τοὺς τοῖς ἄρχουσι διακονουμένους, πῶς ἕλκουσι, πῶς δεσμοῦσι, πῶς μαστίζουσι, πῶς τὰς πλευρὰς διορύττουσι, πῶς λαμπάδας ταῖς βασάνοις προσάγουσι, πῶς ἀποτέμνουσι; ἀλλὰ πάντα ταῦτα παίγνια καὶ γέλως πρὸς ἐκείνας τὰς τιμωρίας. αἱ γὰρ πρόσκαιροι αὗται αἱ κολάσεις· ἐκεῖ δὲ οὔτε ὁ σκώληξ τελευτᾷ, οὔτε τὸ πῦρ σβέννυται· καὶ γὰρ τὸ σῶμα ἄφθαρτον ἐστιν. ἀλλὰ μὴ γένοιτο πείρᾳ ταῦτα ἡμᾶς μαθεῖν, ἀλλὰ μέχρι ῥήματος εἶναι ἡμῖν τὰ φοβερά· μηδὲ παραδοθῆναι τοῖς βασανισταῖς ἐκείνοις, ἀλλ' ἐνταῦθα σωφρονισθῆναι. πόσα τότε ἐροῦμεν, ἑαυτῶν κατηγοροῦντες; πόσα ὀλοφυρούμεθα; πόσα οἰμώξομεν; ἀλλ' οὐδὲν ὄφελος λοιπόν· ἐπεὶ οὐδὲ τοῖς ναύταις, τοῦ πλοίου διαλυθέντος καὶ καταδύντος, ὠφελῆσαί τι δυνατὸν ἂν λοιπόν· οὔτε ἰατρεῖ, τοῦ κάμνοντος ἀπελθόντος. ἀλλ' ἐροῦσι μὲν πολλάκις, ὅτι τὸ καὶ τὸ ποιῆσαι ἐχρῆν· πάντα δὲ εἰκῆ, καὶ μάτην. ἕως μὲν γὰρ ἐκ τῆς διορθώσεως ἐλπίδες μένουσι, καὶ λέγειν ἅπαντα, καὶ ποιεῖν χρή· ἐπειδὰν δὲ μηκέτι κύριοι μηδενὸς ὦμεν, τοῦ παντὸς διαφθαρέντος, εἰκῆ καὶ λέγεται πάντα καὶ γίνεται. καὶ γὰρ οἱ Ἰουδαῖοι ἐροῦσι τότε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ἀλλ' οὐδὲν ταύτης ἀπολαῦσαι δυνήσονται τῆς φωνῆς, εἰς τὸ τὴν κόλασιν διαφυγεῖν. ὅτε γὰρ ἔδει εἰπεῖν, οὐκ εἶπον. ἵν' οὖν μὴ καὶ ἡμεῖς ἐπὶ τῆς πολιτείας τοῦτο πάθωμεν, ἐντεῦθεν ἤδη μεταβαλώμεθα, ἵνα τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας παραστῶμεν πάσης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ἰωαν. ιβ. ιγ.

κεφ. ε.

Λογ. ι. 1 ΟΙΔΑΜΕΝ ΓΑΡ ΟΤΙ ΕΑΝ Η ΕΠΙΓΕΙΟΣ ΗΜΩΝ οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.

ΠΑλιν τὴν προθυμίαν αὐτῶν διεγείρει, διὰ τὸ πολλοῖς ἐπικεῖσθαι πειρασμοῖς. καὶ γὰρ εἰκὸς αὐτοὺς διὰ τὴν ἀποστολὴν τὴν αὐτοῦ, πρὸς τοῦτο ἀσθενεστέρους γεγενῆσθαι. τί οὖν φησιν; οὐ δεῖ θαυμάζειν ὅτι κακῶς πάσχομεν, οὐδὲ θορυβεῖσθαι. καὶ γὰρ πολλὰ κέρδη ἐντεῦθεν καρπούμεθα. καὶ τὰ μὲν ἔμπροσθεν εἶπε, δῆλον, ὅτι τὴν νέκρωσιν τοῦ Ἰησοῦ περιφέρομεν, καὶ τῆς δυνάμεως αὐτοῦ ἀπόδειξιν παρεχόμεθα μεγίστην (ἵνα γάρ, φησιν, ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ) καὶ τῆς ἀναστάσεως τεκμήριον ἐκφέρομεν σαφές. ἵνα γάρ, φησιν, ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. ἐπεὶ δὲ μετὰ τούτων εἶπεν, ὅτι καὶ ὁ ἔσω ἡμῶν ἄνθρωπος βελτίων γίνεται οὕτως (εἰ γὰρ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, φησιν, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρα καὶ ἡμέρα) δεικνὺς πάλιν ὅτι τοσοῦτο χρήσιμον τοῦτο τὸ μαστίζεσθαι καὶ ἐλαύνεσθαι, ἐπάγει λέγων, ὅτι ὅταν ὁλοκλήρως τοῦτο λύηται, τότε τὰ μυρία ἀγαθὰ ἀναβλαστήσει τοῖς ταῦτα ὑπομεμενηκόσιν. ἵνα γὰρ μὴ ἀκούων, ὅτι φθείρεται ὁ ἄνθρωπος ὁ ἔξω, ἀλγῇς, λέγει ὅτι ὅταν παντελῶς τοῦτο λύηται, τότε μάλιστα χαρήσῃ, καὶ ἥξεις ἐπὶ βελτίονα λῆξιν. ὥστε οὐ μόνον ἀλγεῖν οὐ δεῖ, ἐκ μέρους αὐτοῦ φθειρομένου νῦν, ἀλλὰ καὶ τὸ ὅλον τῆς φθορᾶς ταύτης ἐπιζητεῖν. αὕτη γάρ σε μάλιστα εἰς ἀφθαρσίαν ἄγει. διὸ καὶ ἐπήγαγεν, οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. ἐπεὶ γὰρ τὸν περὶ ἀναστάσεως γυμνάζει λόγον πάλιν, εἰς ἣν μάλιστα ἐδόνουν, προσλαμβάνει καὶ τὴν τῶν ἀκουόντων κρίσιν, καὶ οὕτως αὐτὸν κατασκευάζει. ἀλλ' οὐχ ὁμοίως ὡς ἔμπροσθεν, ἀλλ' ὡς ἐξ ἑτέρας

ὑποθέσεως

ὑποθέσεως εἰς τοῦτο ἐλθὼν (καὶ γὰρ ἦσαν διαρθρωθέντες ἤδη) καί φησιν, οἴδαμεν ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, ὅτι οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. τινὲς μὲν τὴν οἰκίαν τὴν ἐπίγειον τὸν κόσμον τοῦτόν φασιν· ἐγὼ δὲ τὸ σῶμα μᾶλλον ἂν φαίην αὐτὸν αἰνίττεσθαι. σὺ δέ μοι σκόπει πῶς διὰ τῶν ὀνομάτων δείκνυσι τὴν ὑπεροχὴν τῶν μελλόντων πρὸς τὰ παρόντα. εἰπὼν γὰρ ἐπίγειον, ἀντέθηκε τὴν οὐρανίαν· εἰπὼν οἰκίαν σκήνους, καὶ τὸ εὐδιάλυτον καὶ πρόσκαιρον δείξας ἐντεῦθεν, ἀντέθηκε τὴν αἰωνίαν. τὸ γὰρ τῆς σκηνῆς ὄνομα, τὸ πρόσκαιρον πολλάκις δείκνυσι. διό φησιν, Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. Ιωαν. ιδ. C.
εἰ δέ που καὶ σκηνὰς καλοίη τῶν ἁγίων τὰς ἀναπαύσεις, οὐχ ἁπλῶς σκηνάς, ἀλλὰ μετὰ προσθήκης. οὐ γὰρ εἶπεν, ἵνα δέξωνται εἰς τὰς σκηνὰς αὐτῶν, ἀλλ', εἰς τὰς αἰωνίους Λουκ. ις. Β.
σκηνάς. εἰπὼν δὲ καὶ ἀχειροποίητον, ᾐνίξατο τὴν χειροποίητον. τί οὖν; τὸ σῶμα χειροποίητον; οὐδαμῶς. ἀλλ' ἢ τὰς οἰκίας ἐνταῦθα αἰνίττεται τὰς χειροποιήτους· ἢ εἰ μὴ τοῦτο, ἀλλ' οἰκίαν σκήνους τὸ σῶμα ἐκάλεσε τὸ ἀχειροποίητον. οὐ γὰρ πρὸς ἀντιδιαστολὴν τούτου ἀντέθηκεν, ἀλλ' αὔξων τὰ ἐγκώμια, καὶ προστιθεὶς τοὺς ἐπαίνους.

2 Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. Ποῖον οἰκητήριον, εἰπέ μοι; τὸ σῶμα τὸ ἄφθαρτον. καὶ διὰ τί στενάζομεν νῦν; ἐπειδὴ πολλῷ βέλτιον ἐκεῖνο. ἐξ οὐρανοῦ δὲ αὐτό φησι, διὰ τὸ ἄφθαρτον. οὐ γὰρ δὴ ἄνωθεν ἡμῖν κάτεισι σῶμα, ἀλλὰ τὴν ἐκεῖθεν πεμπομένην χάριν δηλοῖ τῷ ὀνόματι τούτῳ. τοσοῦτον οὖν οὐ δεῖ ἀλγεῖν ἐπὶ τοῖς κατὰ μέρος πειρασμοῖς, ὅτι καὶ τὸ καθολικὸν δεῖ ζητεῖν. ὡσανεὶ ἔλεγε, στένεις ὅτι διώκῃ, ὅτι φθείρεταί σου ὁ ἄνθρωπος ὁ ἔξω; στέναζον ὅτι οὐ μετ' ὑπερβολῆς τοῦτο γίνεται, μηδὲ ὁλοκλήρως φθείρεται. εἶδες πῶς εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον, ἀποδείξας, ὅτι ὑπὲρ τούτων δεῖ στενάζειν μὴ γινομένων ὁλοκλήρως, ὑπὲρ ὧν μερικῶς γινομένων ἐστέναζον; διὰ τοῦτο οὐδὲ σκῆνος αὐτὸ καλεῖ λοιπόν, ἀλλ' οἰκητήριον· καὶ μάλα εἰκότως. ἡ μὲν γὰρ σκηνὴ καταλύεται ῥᾳδίως· ἐκεῖνο δὲ μένει διηνεκῶς.

3 Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. Τουτέστι, κἂν ἀποθώμεθα τὸ σῶμα, οὐ χωρὶς σώματος ἐκεῖ παραστησόμεθα, ἀλλὰ καὶ μετὰ τοῦ αὐτοῦ ἀφθάρτου γινομένου. τινὲς δέ φασιν ὃ καὶ μάλιστα ἐγκριτέον· εἴπερ καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. ἵνα γὰρ μὴ ἀπὸ τῆς ἀναστάσεως πάντες θαρρῶσι, φησίν· εἴγε καὶ ἐνδυσάμενοι, τουτέστιν, ἀφθαρσίαν καὶ σῶμα ἄφθαρτον λαβόντες, οὐ γυμνοὶ εὑρεθησόμεθα δόξης καὶ ἀσφαλείας· ὃ καὶ ἐν τῇ προτέρᾳ ταύτης πρὸς Κορινθίους ἔλεγεν, ὅτι Πάντες μὲν ἀναστησόμεθα, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· καὶ, ἔστι σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια. ἡ μὲν γὰρ ἀνάστασις, κοινὴ πάντων· ἡ δὲ δόξα οὐκέτι κοινή, ἀλλ' οἱ μὲν ἐν τιμῇ, οἱ δὲ ἐν ἀτιμίᾳ, καὶ οἱ μὲν εἰς βασιλείαν, οἱ δὲ εἰς κόλασιν ἀναστήσονται. τοῦτο γοῦν καὶ ἐνταῦθα ἐδήλωσεν εἰπών, εἴπερ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. α. Κορ. ιε. κγ.

4 Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ, στενάζομεν, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι. Ἐνταῦθα πάλιν ὁλοσχερῶς καὶ σαφῶς ἀπέφραξε τὰ στόματα τῶν αἱρετικῶν, δείξας ὅτι οὐ περὶ σώματος ἁπλῶς διαλέγεται ἄλλου καὶ ἄλλου, ἀλλὰ περὶ φθορᾶς καὶ ἀφθαρσίας. οὐ γὰρ διὰ τοῦτο στενάζομεν, φησίν, ἵνα τοῦ σώματος ἀπαλλαγῶμεν (τοῦτο γὰρ οὐδὲ ἐκδύσασθαι βουλόμεθα) ἀλλὰ τῆς φθορᾶς τῆς ἐν αὐτῷ σπεύδομεν ἐλευθερωθῆναι. διό φησιν, οὐ θέλομεν ἐκδύσασθαι τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι αὐτῷ τὴν ἀφθαρσίαν. εἶτα καὶ ἑρμηνεύει αὐτό· Ἵνα καταποθῇ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς. Ἐπειδὴ γὰρ πολλοῖς φορτικὸν εἶναι ἐδόκει τὸ ἀποθέσθαι τὸ σῶμα, καὶ ταῖς ψήφοις ταῖς ἁπάντων ἀντέπιπτε τὸ λέγειν, ὅτι στενάζομεν, οὐ βουλόμενοι αὐτοῦ ἀπαλλαγῆναι (εἰ γὰρ τοιαῦτα πάσχει, καὶ ὀδύρεται αὐτοῦ ἡ ψυχὴ χωριζομένη, πῶς σὺ λέγεις, φησίν, ὅτι στενάζομεν;

ἐπὶ τοῦ ὠχειζόμεθα αὐτοῦ;) ἢ οὐ μὴ ταῦτα αὐτῷ αἰθυποφέρῃ), οὐδὲ ἐγὼ τοῦτο λέγω, φησὶν, ὅτι διὰ τοῦτο στενάζομεν, ἵνα αὐτὸ ἀποθώμεθα (οὐδεὶς γὰρ ἀλύπως αὐτὸ ἀποθήσει) ὥσπουγε καὶ περὶ Πέτρου φησὶν ὁ Χριστὸς, ὅτι Οἴσουσί σε, καὶ ἄξουσιν, ὅπου οὐ θέλεις) ἀλλ᾽ ἵνα

Ιωαν.κα.ιη. ἐπενδυσώμεθα αὐτῷ τὴν ἀφθαρσίαν. καὶ γάρ τοῦτ᾽ ἐστιν, ᾧ τὸ σῶμα βαρυνόμεθα. οὐχ ὅτι σῶμα, ἀλλ᾽ ὅτι φθαρτὸν περικείμεθα σῶμα, καὶ παθητόν. τοῦτο γὰρ ἡμῖν καὶ τὴν λύπην παρέχει. ἀλλ᾽ ἀναλίσκει καὶ δαπανᾷ τὴν φθορὰν ἡ ζωὴ ἐπιγινομένη τὴν φθορὰν, οὐ τὸ σῶμα. καὶ πῶς γὰρ τοῦτο, φησὶ, μὴ ζήτει. ὁ Θεὸς ποιεῖ μὴ περιεργάζου. διὸ καὶ ἐπήγαγεν,

5 Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, Θεός. Ἐντεῦθεν δείκνυσι ταῦτα ἄνωθεν προτυπωθέντα. οὐ γὰρ νῦν τοῦτο ἔδοξεν, ἀλλ᾽ ὅτι ἐξ ἀρχῆς ἔπλαττεν ἡμᾶς ἀπὸ γῆς, καὶ τὸν Ἀδὰμ ἐδημιούργει. οὐκ εἰς τοῦτο δὲ ἐδημιούργει, ἵνα ἀποθάνῃ, ἀλλ᾽ ἵνα ἀθάνατον ἐργάσηται. εἶτα τὸ ἀξιόπιστον δεικνὺς, καὶ τὴν ἀπόδειξιν παρέχων, ἐπήγαγεν, χείλου.

Ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. Καὶ γὰρ καὶ τότε ἐπὶ τούτῳ διέπλασε, καὶ νῦν εἰς τοῦτο κατειργάσατο διὰ τοῦ βαπτίσματος, καὶ τούτου παρέχει ἡμῖν ἐνέχυρον οὐ μικρὸν, τὸ πνεῦμα τὸ ἅγιον. Συνεχῶς δὲ ἀρραβῶνα καλεῖ, ὀφειλέτην αὐτὸν ἀποδεῖξαι βουλόμενος τοῦ παντὸς, καὶ ἀξιοπιστότερον καὶ ἐντεῦθεν τοῖς παχυτέροις καταστῆσαι τὸν λόγον.

6 Θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες. Τὸ, θαῤῥοῦντες, πρὸς τοὺς διωγμοὺς, πρὸς τὰς ἐπιβουλὰς, πρὸς τοὺς θανάτους τοὺς συνεχεῖς εἴρηται. ὡς ἂν εἰ ἔλεγεν, ἐλαύνει σέ τις, καὶ διώκει, καὶ ἀναιρεῖ; μὴ καταπέσῃς· ὑπὲρ σοῦ τὸ πᾶν γὰρ· μὴ φοβηθῇς, ἀλλὰ θάῤῥει. καὶ γάρ δι᾽ ὃ στενάζεις καὶ ἀλγεῖς, ὅτι φθορᾷ δουλεύεις, τοῦτο ἀναιρεῖ λοιπὸν ἐκ τοῦ μέσου, καὶ ταχύτερόν σε ταύτης ἀπαλλάττει τῆς δουλείας. διὸ καὶ λέγει, θαῤῥοῦντες οὖν πάντοτε, οὐχὶ ἐν ταῖς ἀνέσεσιν, ἀλλὰ καὶ ἐν τῇ θλίψει. Καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἀποδημοῦμεν ἀπὸ τοῦ Κυρίου

(7 Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους)

8 Θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν ἀποδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. Τὸ μεῖζον πάντων, ὕστερον τέθεικε. τοῦ γὰρ ἄφθαρτον λαβεῖν, τὸ μετὰ Χριστοῦ εἶναι βέλτιον. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ σβέννυσιν ἡμῶν τὴν ζωὴν ὁ πόλεμος, καὶ ἀναιρῶν μὴ φοβηθῇς, θάῤῥει καταπεσούμενος. οὐ γὰρ μόνον φθορᾶς σε ἀπαλλάττει καὶ βάρους, ἀλλὰ καὶ τῷ Κυρίῳ σε παραπέμπει ταχέως. διὸ οὐδὲ εἶπεν, ὄντες ἐν τῷ σώματι, ὡς ἐν ἀλλοτρίᾳ ὄντων, καὶ ξένη. Εἰδότες οὖν ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου, θαῤῥοῦμεν δὲ, καὶ εὐδοκοῦμεν ἐκδημῆσαι ἀπὸ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. εἶδες πῶς τὰ λυπηρὰ ἀποκρυψάμενος τὰ ὀνόματα τοῦ θανάτου, καὶ τῆς τελευτῆς, τὰ σφόδρα ποθεινὰ ἀντ᾽ αὐτῶν τέθεικεν, ἐνδημίαν αὐτὰ καλῶν πρὸς τὸν Θεόν· καὶ τὰ δοκοῦντα εἶναι γλυκέα ἀφεὶς τὰ τῆς ζωῆς, ἀπὸ τῶν λυπηρῶν αὐτὰ ὀνόμασεν, ἐκδημίαν ἀπὸ Κυρίου τὴν ἐνταῦθα καλέσας ζωήν; τοῦτο δὲ ἐποίησεν, ἵνα μηδεὶς μήτε τοῖς παροῦσιν ἐμφιλοχωρῇ, ἀλλὰ καὶ βαρύνηται· μήτε μέλλων τελευτᾶν ἀλύῃ, ἀλλὰ καὶ χαίρῃ, ὡς ἐπὶ μείζονα ἀπιὼν ἀγαθά. εἶτα ἵνα μηδεὶς εἴπῃ ἀκούων, ὅτι ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου, τί ταῦτα λέγεις; ἀλλοτριούμεθα οὖν αὐτοῦ ἐνταῦθα ὄντες; προσδιόρθωσε τοῦτο εἰπὼν, διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους. καὶ ἐνταῦθα μὲν αὐτὸν ἴσμεν, ἀλλ᾽ οὐχ οὕτω σαφῶς· ὃ

α. Κορ.ιγ.ιϛ. καὶ ἀλλαχοῦ λέγει, Ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι. θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν. βαβαὶ, ποῦ τὸν λόγον περιήγαγεν, εἰς ἐπιθυμίαν ἄγων τελευτῆς, τὸ φορτικὸν, ἡδὺ δείξας, καὶ τὸ ἡδὺ, φορτικόν. τὸ γὰρ, εὐδοκοῦμεν, ἐπιθυμοῦμεν φησι. τί ἐπιθυμοῦμεν; ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς Κύριον. τοῦτο δὲ ἀεὶ ποιεῖ, ὃ καὶ ἔμπροσθεν ἔδειξα, εἰς τἀναντία περιτρέπων τὸν λόγον τῶν ἀντιλεγόντων αὐτῷ.

9 Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι.

Τὸ γὰρ ζητούμενον τοῦτό ἐστι φησίν· οὐ τὸ ἐκεῖ ὦμεν, οὐ τὸ ἐνταῦθα, ἀλλὰ κατὰ γνώμην αὐτοῦ ζῆν. τοῦτο γάρ ἐστι τὸ προηγούμενον. ὥστε ἐντεῦθεν ἤδη τὴν βασιλείαν ἔχεις αὐτὴν δοκιμῆς. ἵνα γὰρ μὴ πάλιν εἰς τοσαύτην ἐλθόντες ἐπιθυμίαν ἀλύωσι πρὸς τὴν μέλλησιν τῆς ἐπιδημίας, ἐντεῦθεν ἤδη δίδωσιν αὐτοῖς τὸ κεφάλαιον τῶν ἀγαθῶν. τί δὲ τοῦτό ἐστι; τὸ εὐαρέστους εἶναι. οὐδὲ γὰρ τὸ ἀπελθεῖν ἁπλῶς, καλόν· ἀλλὰ τὸ εὐδοκιμοῦντα, διὸ καὶ καλὸν κἀκεῖνο· οὐδὲ τὸ ἁπλῶς ἐνταῦθα εἶναι, βαρύ· ἀλλὰ τὸ προσκρούοντα. μὴ τοίνυν νόμιζε τὴν ἐκ τοῦ σώματος ἀποδημίαν ἀρκεῖν. ἀρετῆς γὰρ πανταχοῦ χρεία. ὥσπερ γὰρ εἰπὼν ἀνάστασιν, οὐκ ἀφῆκεν αὐτῇ θαρρεῖν μόνον, λέγων, εἴγε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα· οὕτω καὶ ἀποδημίαν δείξας, ἵνα μὴ νομίσῃς αὐτὴν ἀρκεῖν σοι πρὸς σωτηρίαν, τὸ εὐαρέστους δεῖ εἶναι προσέθηκεν. ἐπειδὴ τοίνυν προὔτρεψεν ἀπὸ πολλῶν χρηστῶν, λοιπὸν καὶ ἀπὸ τῶν σκυθρωποτέρων φοβεῖ. τὸ γὰρ συμφέρον, καὶ ἐν τῇ κλήσει τῶν ἀγαθῶν, καὶ ἐν τῇ φυγῇ τῶν κακῶν συνίσταται· ὅπερ ἐστὶ γέεννα, καὶ βασιλεία. ἐπειδὴ δὲ τοῦτο μείζονα ἔχει τὴν ἰσχύν, τὸ φυγεῖν κόλασιν (ἔνθα μὲν γὰρ μέχρι τοῦ μὴ λαβεῖν τὰ ἀγαθὰ ἡ ζημία, εὐκόλως οἱ πολλοὶ τοῦτο οἴσουσιν· ἂν δὲ καὶ μέχρι τοῦ κακῶς παθεῖν, οὐκέτι. ἔδει μὲν γὰρ ἐκείνην ἀφόρητον νομίζειν· ἀλλὰ διὰ τὴν ἀσθένειαν τῶν πολλῶν καὶ τὸ χαμαίζηλον, τοῦτο φαίνεται αὐτοῖς χαλεπώτερον) ἐπεὶ οὖν οὐχ οὕτω διεγείρει τὸν ἀκροατὴν τῶν πολλῶν ἡ τῶν ἀγαθῶν δόσις, ὡς ἡ τῶν κολάσεων ἀπειλή, ἀναγκαίως ἐνταῦθα καταλύει, λέγων,

γ. ἀποχεῖν

10 Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ.

Εἶτα φοβήσας καὶ κατασείσας τῇ μνήμῃ τοῦ βήματος ἐκείνου τὸν ἀκούοντα, οὐδὲ ἐνταῦθα χωρὶς τῶν χρηστῶν τέθεικε τὰ λυπηρά, ἀλλὰ ἀνέμιξε ταῦτα ἡδονήν, εἰπών, Ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος, ὅσα ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν. Ταῦτα δὲ λέγων, τούς τε κατωρθωκότας καὶ ἐλαυνομένους διηνεκῶς ταῖς ἐλπίσι τρέφει, καὶ τοὺς ἀναπεπτωκότας, σπουδαιοτέρους ποιεῖ τῷ φόβῳ. καὶ τὸν περὶ τῆς ἀναστάσεως δὲ τοῦ σώματος βεβαιοῖ λόγον. οὐ γὰρ δήπου τὸ διακονησάμενον εἰς τοῦτο κἀκεῖνο, τὴν ἀμοιβὴν ἔξω στήσεται, φησίν· ἀλλὰ μετὰ τῆς ψυχῆς, τὰ μὲν κολάζεται, τὰ δὲ στεφανοῦται. ἀλλὰ τινὲς τῶν αἱρετικῶν φασιν, ὅτι ἕτερον ἐγείρεται σῶμα. πόθεν, εἰπέ μοι; ἄλλο ἥμαρτε, καὶ ἄλλο κολάζεται; ἄλλο κατώρθωσε, καὶ ἄλλο στεφανοῦται; τί δὲ ἐρεῖτε λέγοντι Παύλῳ, οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι; πῶς δὲ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς καταπίνεται; οὐ γὰρ εἶπεν, ἵνα καταποθῇ τὸ θνητόν, ἢ τὸ φθαρτὸν σῶμα ὑπὸ τοῦ ἀφθάρτου σώματος· ἀλλ' ἵνα ἡ φθορὰ ὑπὸ τῆς ζωῆς. τότε γὰρ τοῦτο γίνεται, ὅταν τὸ αὐτὸ ἐγείρηται σῶμα· ἐὰν δὲ ἐκεῖνο ἀφείς, ἄλλο κατασκευάσῃ, οὐκέτι καταπίνεται, ἀλλὰ μένει ἡ φθορὰ κρατήσασα. διὰ τοῦτο οὐ γίνεται τοῦτο· ἀλλὰ δεῖ τὸ φθαρτὸν τοῦτο, τουτέστι, τὸ σῶμα, ἐνδύσασθαι ἀφθαρσίαν. τὸ γὰρ σῶμα, μέσον ἐστί· νῦν μὲν ἐν τούτῳ γινόμενον, ὕστερον δὲ ἐσόμενον ἐν ἐκείνῳ. καὶ διὰ τοῦτο ἐν τούτῳ προέφη, ἐπειδὴ τὴν ἀφθαρσίαν λυθῆναι οὐκ ἔνι. Οὐ γὰρ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ, φησίν (ἐπεὶ πῶς ἔνι ἀφθαρσία;) ἀλλὰ τοὐναντίον, καταπίνεται ἡ φθορὰ ὑπὸ τῆς ζωῆς. τοῦτο μὲν γὰρ ἐκείνου περιγίνεται, ἐκεῖνο δὲ τούτου οὐκέτι. ὥσπερ γὰρ κηρὸς λύεται μὲν ὑπὸ πυρός, αὐτὸς δὲ οὐκέτι λύει τὸ πῦρ· οὕτω καὶ ἡ φθορὰ τήκεται ὑπὸ τῆς ἀφθαρσίας καὶ ἀφανίζεται, αὕτη δὲ ἐκείνης κρατῆσαι οὐδέποτε δύναται.

γ. ἀνάστ.

γ. ἔνι.

α. Κορ. ιε.

ΗΘΙΚΟΝ

Ἀκούσωμεν τοίνυν τῆς Παύλου φωνῆς λεγούσης, ὅτι δεῖ ἡμᾶς παρασταθῆναι τῷ βήματι τοῦ Χριστοῦ· καὶ ὑπογράψωμεν ἐκεῖνο τὸ δικαστήριον, καὶ νομίσωμεν αὐτὸ παρεῖναι νῦν, καὶ τὰς εὐθύνας ἀπαιτεῖσθαι. ἐγὼ γὰρ αὐτὸ πλατύτερον ἐρῶ. Παῦλος γάρ, ἐπειδὴ περὶ θλίψεως ἦν ὁ λόγος αὐτῷ, καὶ οὐκ ἐβούλετο πάλιν θλῖψαι αὐτούς, οὐκ ἐνδιέτριψε τῷ λόγῳ· ἀλλ'

γ. ἀναστάσεως

ἀλλ' ἐν βραχεῖ τὸ γρῦφον εἰπών, ἕκαστος κομίσεται πρὸς ἃ ἔπραξε, ταχέως παρέδραμε. νομίσωμεν οὖν αὐτὸ παρεῖναι νῦν, καὶ ἕκαστος τὸ ἑαυτοῦ συνειδὸς ἀναλογιζέσθω, καὶ ἤδη λογιζέσθω παρεῖναι τὸν δικαστήν, καὶ πάντα ἀνακαλύπτεσθαι, καὶ εἰς μέσον ἄγεσθαι. οὐ γὰρ παραστῆναι ἡμᾶς ἁπλῶς δεῖ, ἀλλὰ καὶ φανερωθῆναι. ἆρα οὐκ ἠρυθριάσατε; ἆρα οὐκ ἐξέστητε; εἰ γὰρ νῦν οὔπω τοῦ πράγματος παρόντος, ἀλλ' ἁπλῶς καθ' ὑπόθεσιν λεχθέντος, καὶ λογισμῷ τυπωθέντος, ἀπολλύμεθα ὑπὸ τοῦ συνειδότος· τί ποιήσομεν ὅταν παραγένηται, ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ, ὅταν ἄγγελοι καὶ ἀρχάγγελοι, ὅταν ἐπάλληλοι τάξεις, καὶ δρόμοι ἁπάντων, καὶ ἁρπαγαὶ ἐπὶ τῶν νεφελῶν, καὶ παράταξις τρόμου γέμουσα, ὅταν αἱ σάλπιγγες αἱ ἐπάλληλοι, καὶ αἱ συνεχεῖς ἐκεῖναι φωναί; εἰ γὰρ μὴ γέεννα ἦν, τὸ ἐν τοσαύτῃ λαμπρότητι ἀπωσθῆναι, καὶ ἄτιμον ἀναχωρῆσαι, πόση κόλασις; καὶ γὰρ εἰ νῦν, βασιλέως εἰσελαύνοντος καὶ τῶν μετ' αὐτοῦ, θεωροῦντες ἕκαστος τὴν ἑαυτοῦ πενίαν, οὐ τοσαύτην ἀπὸ τῆς θέας λαμβανόμεθα ἡδονήν, ὅσην ἀπὸ τοῦ μηδενὸς μετέχειν τῶν περὶ τὸν βασιλέα, μηδὲ ἐγγὺς εἶναι τοῦ κρατοῦντος, ἀθυμίαν ὑπομένομεν· τί τότε ἔσται; ἢ μικρὰν εἶναι νομίζεις κόλασιν, τὸ μὴ κατατάττεσθαι ἐν ἐκείνῳ τῷ χορῷ, τὸ μὴ καταξιοῦσθαι τῆς ἀπορρήτου δόξης, τὸ τῆς πανηγύρεως ἐκείνης καὶ τῶν ἀφράστων ἀγαθῶν πόρρω που καὶ μακρὰν ἀπερρίφθαι; ὅταν δὲ καὶ σκότος ᾖ, καὶ βρυγμὸς ὀδόντων, καὶ δεσμὰ ἄλυτα, καὶ σκώληξ ἀτελεύτητος, καὶ πῦρ ἄσβεστον, καὶ θλῖψις, καὶ στενοχωρία, καὶ γλῶσσαι τηγανιζόμεναι, καθάπερ ἡ τοῦ πλουσίου, καὶ ὀλοφυρώμεθα, καὶ μηδεὶς ἀκούῃ, καὶ στένωμεν, καὶ βρύχωμεν ὑπὸ τῶν ἀλγηδόνων, καὶ μηδεὶς προσέχῃ, καὶ πανταχοῦ βλέπωμεν, καὶ μηδαμοῦ μηδεὶς ὁ παραμυθούμενος ᾖ, ποῦ τάξομεν τοὺς ἐν τούτοις ὄντας; τί δὲ ἐκείνων ἀθλιώτερον τῶν ψυχῶν; τί δὲ ἐλεεινότερον; εἰ γὰρ εἰς δεσμωτήριον εἰσιόντες, καὶ τοὺς μὲν αὐχμῶντας ὁρῶντες, τοὺς δὲ δεδεμένους καὶ πεινῶντας, τοὺς δὲ ἐν σκότῳ κατακεκλεισμένους, κατακλώμεθα, φρίττομεν, πάντα ὑπὲρ τοῦ μήποτε ἐμπεσεῖν ἐκεῖσε πράττομεν· ὅταν ἀπαγώμεθα συρόμενοι εἰς αὐτὰ τῆς γεέννης τὰ βασανιστήρια, τίνες ἐσόμεθα; οὐ γὰρ ἐκ σιδήρου τὰ δεσμὰ ἐκεῖνα, ἀλλ' ἀπὸ πυρὸς οὐδέποτε σβεννυμένου· οὐδὲ ὁμότιμοι οἱ ἐφεστῶτες ἡμῖν, οὓς καὶ ἐκμειλίξασθαι πολλάκις ἔνι· ἀλλ' ἄγγελοι, οἷς οὐδὲ προσβλέψαι θέμις, σφοδρῶς ὑπὲρ ὧν τὸν δεσπότην ὑβρίκαμεν ὀργιζόμενοι. οὐκ ἔστι, καθάπερ ἐνταῦθα, τοὺς μὲν ἀργύριον, τοὺς δὲ τροφάς, τοὺς δὲ λόγους εἰσάγοντας παρακλητικοὺς ἰδεῖν, καὶ παραμυθίας τυχεῖν· ἀλλὰ πάντα ἀσύγγνωστα ἐκεῖ. κἂν Νῶε ᾖ, κἂν Ἰώβ, κἂν Δανιήλ, καὶ τοὺς οἰκείους ἴδῃ κολαζομένους, οὐ τολμᾷ παραστῆναι. καὶ γὰρ καὶ τὴν ἐκ τῆς φύσεως συμπάθειαν τότε ἀφαιρεῖσθαι συμβαίνει. ἐπειδὴ γὰρ συμβαίνει δικαίους εἶναι παῖδας πατέρων πονηρῶν, καὶ παῖδας πατέρων· ὥστε καθαρὰν εἶναι τὴν ἡδονήν, καὶ μὴ τῇ τῆς συμπαθείας ἀνάγκῃ κατακλᾶσθαι τοὺς ἀπολαύοντας τῶν ἀγαθῶν, καὶ ταύτην σβέννυσθαι τὴν συμπάθειάν φημι, καὶ αὐτοὺς συναγανακτεῖν τῷ δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. εἰ γὰρ ἄνθρωποι οἱ τυχόντες, ὅταν ἴδωσι φαύλους τοὺς αὐτῶν παῖδας, ἀποκηρύττουσι καὶ τῆς συγγενείας ἐκτέμνουσι· πολλῷ μᾶλλον οἱ δίκαιοι τότε. τοιγαροῦν μηδεὶς ἐλπιζέτω χρηστά, μὴ ἐργαζόμενός τι χρηστόν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. ἕκαστος γὰρ κομίσεται πρὸς ἃ ἔπραξε διὰ τοῦ σώματος. ἐνταῦθά μοι δοκεῖ καὶ τοὺς πορνεύοντας αἰνίττεσθαι, καὶ τὸν ἐκεῖθεν ἐπιτειχίζων φόβον αὐτοῖς· οὐκ ἐκείνοις δὲ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ὁπωσοῦν πλημμελοῦσιν. ἀκούωμεν τοίνυν καὶ ἡμεῖς· κἂν πῦρ ἔχῃς ἐπιθυμίας, ἀντίστησον ἐκεῖνο τὸ πῦρ, καὶ τοῦτο εὐθέως κατασβεσθὲν οἰχήσεται. κἂν βουληθῇς τι φθέγξασθαι ἀπηνές, ἐννόησον τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ χαλινὸς ἔσται σοι ὁ φόβος. κἂν ἁρπάσαι βουληθῇς, ἄκουσον τοῦ δικαστοῦ κελεύοντος καὶ λέγοντος, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· καὶ ἐκβαλεῖς καὶ ταύτην οὕτω τὴν ἐπιθυμίαν. κἂν μεθύῃς καὶ κραιπαλῶν διατελῇς, ἄκουσον τοῦ πλουσίου

λέγοντος,

Margin notes: γρ. [illegible] — γρ. μειλίξασθαι — γρ. [illegible] — ἴσ. πάλιν πατέρας — ἴσ. ζεῖν — Ματθ. κβ. ιγ.

γ. κατεψύξω

λέγοντος, Πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ καταψύξῃ τὴν τηγανιζομένην γλῶτταν, καὶ οὐ τυγχάνοντος· καὶ ἀποστήσῃ τοῦ πάθους. Εἰ δὲ τρυφῆς ἐρᾷς, ἐννόησον τὴν ἐκεῖ θλίψιν καὶ τὴν στενοχωρίαν, καὶ οὐδὲ ἐννοήσεις ταύτην. Εἰ δὲ ἀπηνὴς εἶ καὶ ὠμὸς, ἀναμνήσθητι τῶν παρθένων ἐκείνων, αἳ, τῶν λαμπάδων αὐταῖς σβεσθεισῶν, οὕτω τοῦ νυμφῶνος ἐξέπεσον· καὶ ταχέως ἔσῃ φιλάνθρωπος. Ἀλλὰ νωθρὸς εἶ καὶ παρειμένος; λογίζου τὸν τὸ τάλαντον κατακρύψαντα, καὶ ἔσῃ πυρὸς σφοδρότερος. Ἀλλὰ κατατήκει σε ἡ τῆς τοῦ πλησίον οὐσίας ἐπιθυμία; λογίζου τὸν σκώληκα τὸν ἀτελεύτητον, καὶ εὐκόλως καὶ τοῦτο ἀποθήσεις τὸ νόσημα, καὶ τὰ ἄλλα πάντα κατορθώσεις. Οὐδὲν γὰρ φορτικὸν, οὐδὲ ἐπαχθὲς ἐπέταξε. Πόθεν οὖν ἡμῖν φορτικὰ φαίνεται τὰ ἐπιτάγματα; ἀπὸ τῆς ἡμετέρας ῥᾳθυμίας. Ὥσπερ γὰρ, ἐὰν σπουδάζωμεν, καὶ τὰ δοκοῦντα ἀφόρητα εἶναι, κοῦφα ἔσται καὶ ῥᾴδια· οὕτως ἐὰν ῥᾳθυμῶμεν, καὶ τὰ φορητὰ, δύσκολα ἡμῖν φανεῖται. Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, μὴ τρυφῶντας ἐννοῶμεν, ἀλλὰ τί τὸ τέλος αὐτῶν. Ἐνταῦθα μὲν κόρος καὶ πολυσαρκία· ἐκεῖ δὲ σκώληξ καὶ πῦρ. Μὴ τοὺς ἁρπάζοντας, ἀλλὰ τί τὸ τέλος αὐτῶν. Φροντίδες ἐνταῦθα, καὶ φόβοι, καὶ ἀγωνίαι· ἐκεῖ δὲ δεσμὰ ἄλυτα. Μὴ τοὺς δόξης ἐρῶντας, ἀλλὰ τί τὸ ἐκ τούτων τικτόμενον. Δουλεία ἐνταῦθα, καὶ εἰρωνεία· ἐκεῖ δὲ ἡ ζημία ἀφόρητος, καὶ τὸ ἐμπυρίζεσθαι διηνεκῶς. Ἂν γὰρ οὕτως ἑαυτοῖς διαλεγώμεθα, καὶ ταῦτα καὶ τὰ τοιαῦτα ἐπᾴδωμεν συνεχῶς ταῖς πονηραῖς ἡμῶν ἐπιθυμίαις, ταχέως καὶ τὸν τῶν παρόντων ἐκβαλοῦμεν ἔρωτα, καὶ τὸν τῶν μελλόντων ἀνάψομεν. Ἀνάψωμεν τοίνυν αὐτὸν, καὶ ἐκκαύσωμεν. Εἰ γὰρ ἡ ἔννοια αὐτῶν, καίτοιγε ἀμυδρά τις οὖσα, τοσαύτην παρέχει τὴν ἡδονὴν, ἐννόησον ὅσην αὐτὴ ἡ πεῖρα ἡ σαφὴς οἴσει τὴν εὐφροσύνην ἡμῖν. Μακάριοι καὶ τρισμακάριοι καὶ πολλάκις τοῦτο οἱ τῶν ἀγαθῶν ἀπολαύοντες ἐκείνων· ὥσπερ οὖν ἐλεεινοὶ καὶ τρισάθλιοι οἱ τἀναντία τούτων ὑπομένοντες. Ἵν' οὖν μὴ τούτων, ἀλλ' ἐκείνων γενώμεθα, ἑλώμεθα τὴν ἀρετήν. Οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. σφενίας

γ. ἐστί,

Λουκ. ις. κδ.

Λογ. ια. 11 ΕΙΔΟΤΕΣ ΟΥΝ ΤΟΝ ΦΟΒΟΝ ΤΟΥ ΚΥΡΙΟΥ, ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι.

Ταῦτα οὖν εἰδότες, φησὶ, τὸ δικαστήριον ἐκεῖνο τὸ φοβερὸν, πάντα πράττομεν ὥστε μὴ δοῦναι ὑμῖν λαβὴν, μηδὲ πρόσκομμα, μηδὲ ψευδῆ τινα ὑποψίαν πονηρᾶς πράξεως καθ' ἡμῶν. Εἶδες πολιτείας ἀκρίβειαν, καὶ σπουδὴν ψυχῆς κηδεμονικῆς; οὐ γὰρ δὴ μόνον, ἂν πονηρόν τι πράξωμεν, φησὶν, ἐγκαλούμεθα, ἀλλὰ καὶ μὴ πράξωμεν, ὑποπτευθῶμεν δὲ, καὶ κύριοι τὴν ὑποψίαν ὄντες ἀποκρούσασθαι καταφρονήσωμεν, δίκην τίνομεν.

12 Οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν. Ὅρα πῶς συνεχῶς διορθοῦται τὴν τοῦ δοκεῖν ἐγκωμιάζειν ἑαυτὸν ὑπόνοιαν. Οὐδὲν γὰρ οὕτω προσίσταται τοῖς ἀκούουσιν, ὡς τὸ περὶ ἑαυτοῦ τινα λέγειν μεγάλα καὶ θαυμαστά. Ἐπεὶ οὖν ἠναγκάζετο εἰς ταύτην τὸν λόγον ἐμπίπτειν τὴν ὑπόθεσιν, ἐπιδιορθώσει κέχρηται λέγων, ὅτι τοῦτο δι' ὑμᾶς ποιοῦμεν, οὐ δι' ἡμᾶς· ἵνα ὑμεῖς ἔχητε καλλωπίζεσθαι, οὐχ ἵνα ἡμεῖς. Καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ διὰ τοὺς ψευδαποστόλους. Διὸ καὶ ἐπήγαγε,

γ. ἀπεστέρησεν

Πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ οὐ καρδίᾳ. Εἶδες πῶς αὐτοὺς ἀπέστησεν ἐκείνων, καὶ πρὸς ἑαυτὸν εἵλκυσεν, ἐνδειξάμενος, ὅτι καὶ αὐτοὶ ποθοῦσιν οἱ Κορίνθιοι

λαβεῖν

λαβεῖν ἵνα ἀφορμὴν, δι' ἧς δυνήσονται ὑπὲρ αὐτοῦ λέγειν, καὶ ἀπολογεῖσθαι τοῖς ἐγκαλοῦσιν; οὐ γὰρ ἵνα ἡμεῖς καυχησώμεθα, φησι, ταῦτα φαμὲν, ἀλλ' ἵνα ὑμεῖς ἔχητε ἐλευθεροστομεῖν ὑπὲρ ἡμῶν· ὅπερ πολλὴν αὐτοῖς ἐστι μαρτυροῦντος ἀγάπην· καὶ οὐχ ἵνα ἁπλῶς καυχήσησθε, ἀλλ' ἵνα μὴ παρασυρῆτε. ἀλλ' οὕτω μὲν οὐ λέγει σαφῶς, ἑτέρως δὲ καὶ ἡμερώτερον μεθοδεύει τὸν λόγον, καὶ χωρὶς τοῦ πλῆξαι ἐκείνους, λέγων· ἵνα ἔχητε καυχᾶσθαι πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους. ἀλλ' οὐδὲ τοῦτο ἁπλῶς κελεύει ποιεῖν, αἰτίας οὐκ οὔσης· ἀλλ' ὅταν ἐκεῖνοι ἑαυτοὺς ἐπαίρωσι. πανταχοῦ γὰρ τὸν καιρὸν ἐπιζητεῖ. οὐ τοίνυν ἵνα ἑαυτὸν δείξῃ λαμπρὸν, ἀλλ' ἵνα ἐκείνους παύσῃ ἀτόπως καὶ ἐπὶ βλάβῃ τούτων τῷ πράγματι χρωμένους, τοῦτο ποιεῖ. τί δέ ἐστιν, ἐν προσώπῳ; ἐν τοῖς ὁρωμένοις, ἐν τοῖς πρὸς ἐπίδειξιν. τοιοῦτοι γὰρ ἦσαν ἐκεῖνοι, πρὸς φιλοτιμίαν πάντα ποιοῦντες, καὶ ἔνδοθεν ὄντες κενοὶ, καὶ εὐλαβείας μὲν ἔχοντες πρόσωπον, καὶ σεμνοὶ φαινόμενοι, ἔργων δὲ ἀγαθῶν ἔρημοι καθεστῶτες.

13 Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν.

Ἄν τε τι, φησι, μέγα φθεγξώμεθα (ἔκστασιν γὰρ τοῦτο καλεῖ, ὥσπερ οὖν καὶ ἀλλαχοῦ ἀφροσύνην) διὰ τὸν Θεὸν τοῦτο ποιοῦμεν· ἵνα μὴ ὑμεῖς νομίζοντες ἡμᾶς εὐτελεῖς, καταφρονήσητε, καὶ ἀπόλησθε. ἄν τε μέτριόν τι, καὶ ταπεινὸν, δι' ὑμᾶς, ἵνα μάθητε ταπεινοφρονεῖν. ἢ καὶ ἐκεῖνο πάλιν φησὶν, εἰ μὲν μαίνεσθαί τις ἡμᾶς νομίζει, ἡμεῖς παρὰ τοῦ Θεοῦ τὸν μισθὸν ἀπαιτοῦμεν, δι' ὃν ἐπὶ τούτοις ὑποπτευόμεθα· εἰ δὲ σωφρονεῖν ἡγεῖται, αὐτὸς ἀπολαυέτω τῆς σωφροσύνης ἡμῶν. καὶ πάλιν ἄλλως· μαίνεσθαι τίς ἡμᾶς φησι; διὰ τὸν Θεὸν τοιαῦτα μαινόμεθα. διὸ καὶ ἐπάγει,

14 Ἡ γὰρ ἀγάπη τοῦ Θεοῦ συνέχει ἡμᾶς,

15 Κρίναντας τοῦτο. Οὐ γὰρ ὁ τῶν μελλόντων φόβος, φησὶ, μόνον, ἀλλὰ καὶ τὰ ἤδη γεγενημένα οὐκ ἀφίησιν ἡμᾶς ῥαθυμῆσαι, οὐδὲ ὑπνῶσαι, ἀλλὰ διεγείρει πρὸς τοὺς ὑπὲρ ὑμῶν πόνους, καὶ ὠθεῖ. καὶ τίνα ἐστὶ τὰ ἤδη γεγενημένα;

Ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. Οὐκοῦν ὡς πάντων ἀπολλυμένων, φησίν. οὐ γὰρ ἂν εἰ μὴ πάντες ἀπέθανον, ὑπὲρ πάντων ἀπέθανεν. ἐνταῦθα γάρ εἰσιν αἱ τῆς σωτηρίας ἀφορμαὶ, ἐκεῖ δὲ οὐκέτι. διὰ τοῦτό φησι, Συνέχει ἡμᾶς ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἡσυχάζειν. ἐσχάτης γάρ ἐστιν ἀθλιότητος, καὶ γεέννης αὐτῆς χαλεπώτερον, αὐτοῦ πρᾶγμα τοσοῦτον ἐπιδειξαμένου, εὑρεθῆναί τινας μετὰ τὴν τοσαύτην αὐτοῦ πρόνοιαν μηδὲν καρπουμένους. καὶ γὰρ πολλὴ τῆς ἀγάπης ἡ ὑπερβολὴ, καὶ τὸ ἀποθανεῖν ὑπὲρ τοσαύτης οἰκουμένης, καὶ οὕτω διακειμένης ἀποθανεῖν.

Ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.

Εἰ τοίνυν οὐ δεῖ ἡμᾶς ἑαυτοῖς ζῆν, μὴ ταράττεσθε, φησι, μηδὲ θορυβεῖσθε κινδύνων ἐπιόντων, καὶ θανάτων. καὶ λογισμὸν δὲ τίθησιν ἀναμφίβολον, δι' οὗ δείκνυσιν ὀφειλὴν τὸ πρᾶγμα ὄν. εἰ γὰρ δι' αὐτοῦ ζῶμεν ἀποθανόντος, αὐτῷ ζῆν ὀφείλομεν δι' ὃν ζῶμεν. καὶ δοκεῖ μὲν ἓν εἶναι τὸ εἰρημένον· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, δύο ταῦτά ἐστιν· ἓν μὲν, ὅτι δι' αὐτὸν ζῶμεν· ἕτερον δὲ, ὅτι αὐτὸς δι' ἡμᾶς ἀπέθανεν. ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ ἱκανὸν ὑπευθύνους ποιῆσαι· ὅταν δὲ καὶ ἀμφότερα συνέλθῃ, ἐννόησον ἡλίκον ἐστὶ τὸ ὀφείλημα. μᾶλλον δὲ καὶ τρία ταῦτά ἐστι. καὶ γὰρ τὴν ἀπαρχὴν διὰ σὲ ἀνέστησε, καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγε. διὸ καὶ προσέθηκε, τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι.

16 Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα. Εἰ γὰρ πάντες ἀπέθανον, καὶ πάντες ἀνέστησαν, καὶ ἀπέθανον μὲν οὕτως, ὡς τῆς ἁμαρτίας ἡ τυραννὶς κατεδίκαζεν, ἀνέστησαν δὲ διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου· εἰκότως φησὶν, οὐδένα οἴδαμεν κατὰ σάρκα τῶν πιστῶν. τί γὰρ εἰ καὶ ἐν σαρκί εἰσιν; ἀλλ' ἡ ζωὴ ἐκείνη ἡ

σαρκική

σαρκικὴ ἀπώλετο, καὶ ἄνωθεν ἐγεννήθημεν ἐν πνεύματι, καὶ ἑτέραν οἴδαμεν πολιτείαν, καὶ διαγωγὴν, καὶ ζωὴν, καὶ κατάστασιν τὴν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν τοῦτο αὐτὸ ἀρχῆθεν ἀπὸ Χριστοῦ ἵνα δείξωσι· διὸ καὶ ἐπήγαγεν, Εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. Τί οὖν, εἰπέ μοι; τὴν σάρκα ἀπέθετο, καὶ νῦν οὐκ ἔστι μετὰ τοῦ σώματος; ἄπαγε. καὶ γὰρ καὶ νῦν ἐν σαρκί ἐστιν. οὗτος γὰρ ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται. πῶς; ἐν σαρκὶ, μετὰ τοῦ σώματος. πῶς οὖν φησιν, Εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι; ἡμῶν μὲν γὰρ τὸ κατὰ σάρκα, τὸ ἐν ἁμαρτίαις εἶναι· τὸ δὲ μὴ κατὰ σάρκα, τὸ μὴ ἐν ἁμαρτίαις εἶναι. Χριστοῦ δὲ τὸ κατὰ σάρκα, τὸ ἐν τοῖς παθήμασιν εἶναι τῆς φύσεως, οἷον, ἐν τῷ διψῆν, ἐν τῷ πεινῆν, ἐν τῷ κοπιᾶν, ἐν τῷ καθεύδειν. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. διὸ καὶ ἔλεγε, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ πάλιν, Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. Ιωαν. η. μϛ. ιδ. λ. τὸ δὲ, μὴ κατὰ σάρκα, τὸ καὶ τούτων ἀπηλλάχθαι λοιπὸν, οὐ τὸ ἐκτὸς σαρκὸς εἶναι. καὶ γὰρ μετὰ ταύτης ἔρχεται κρίνων τὴν οἰκουμένην, ἀπαθῆ αὐτὴν ἔχων, καὶ ἀκήρατον· εἰς ὃ καὶ ἡμεῖς βαδιούμεθα, συμμόρφου τοῦ σώματος ἡμῶν γινομένου τῷ σώματι τῆς δόξης αὐτοῦ.

17 Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις. Ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀγάπης προετρέψατο εἰς ἀρετὴν, λοιπὸν καὶ ἐξ αὐτῶν τῶν πραγμάτων εἰς τοῦτο ἐνάγει. διὸ καὶ ἐπήγαγεν, Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· εἴ τις ἐπίστευσεν αὐτῷ, φησιν, εἰς ἑτέραν ἦλθε δημιουργίαν. καὶ γὰρ ἄνωθεν ἐγεννήθη διὰ πνεύματος. ὥστε καὶ διὰ τοῦτό, φησιν, ὀφείλομεν αὐτῷ ζῆν, οὐχ ὅτι οὐκ ἐσμὲν ἑαυτῶν μόνον, οὐδ' ὅτι ἀπέθανεν ὑπὲρ ἡμῶν μόνον, οὐδ' ὅτι ἀνέστησεν ἡμῶν τὴν ἀπαρχὴν μόνον, ἀλλ' ὅτι καὶ εἰς ἄλλην ἤλθομεν ζωήν. ὅρα πόσα δικαιώματα τοῦ καλῶς ζῆν τίθησι. διὰ γὰρ τοῦτο καὶ παχυτέρῳ ὀνόματι καλεῖ τὴν διόρθωσιν, ἵνα πολλὴν δείξῃ τὴν μετάστασιν καὶ τὴν μεταβολήν. εἶτα πλατυτέρως ἐπεξιὼν τῷ εἰρημένῳ, καὶ δεικνὺς πῶς καινὴ κτίσις,

Τὰ ἀρχαῖα παρῆλθε, φησιν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.

Ποῖα ἀρχαῖα; ἤτοι τὰ ἁμαρτήματα, φησι, καὶ τὰς ἀσεβείας, ἢ τὰ Ἰουδαϊκὰ πάντα· μᾶλλον δὲ καὶ ταῦτα, κἀκεῖνα φησιν. ἰδοὺ γέγονε τὰ πάντα καινά.

18 Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ. Οὐδὲν ἐξ ἡμῶν. καὶ γὰρ ἄφεσις ἁμαρτημάτων, καὶ υἱοθεσία, καὶ ἡ δόξα ἄφθαρτος ἐξ αὐτοῦ ἡμῖν δεδώρηται. οὐκέτι γὰρ ἀπὸ τῶν μελλόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων αὖθις προτρέπει. σκόπει δέ· εἶπεν, ὅτι μέλλομεν λύσασθαι, καὶ εἰς ἀφθαρσίαν χωρεῖν, καὶ οἰκίαν ἔχειν αἰώνιον. ἀλλ' ἐπειδὴ μείζονα ἱκανῶς εἰς τὸ προτρέψαι εἶχε τὰ παρόντα τῶν μελλόντων πρὸς τοὺς μὴ πιστεύοντας τούτοις, ὡς δεῖ πιστεύειν, δείκνυσιν ὅσα καὶ ἤδη ἔλαβον, καὶ τίνες ὄντες. τίνες οὖν ὄντες ἔλαβον; νεκροὶ πάντες (πάντες γὰρ, φησιν, ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν· οὕτω πάντας ὁμοίως ἠγάπα) πεπαλαιωμένοι, γεγηρακότες ἅπαντες τοῖς κακοῖς. ἀλλ' ἰδοὺ καὶ ψυχὴ καινὴ (ἐκαθάρθη γάρ) καὶ σῶμα καινὸν, καὶ λατρεία καινὴ, καὶ ἐπαγγελίαι καιναὶ, καὶ διαθήκη, καὶ ζωὴ, καὶ τράπεζα, καὶ στολὴ, καὶ πάντα καινὰ ἁπλῶς. καὶ γὰρ ἀντὶ τῆς κάτω Ἱερουσαλὴμ, ἐλάβομεν τὴν ἄνω μητρόπολιν· καὶ ἀντὶ ναοῦ αἰσθητοῦ, ναὸν εἴδομεν πνευματικόν· ἀντὶ πλακῶν λιθίνων σαρκίνας, ἀντὶ περιτομῆς βάπτισμα, ἀντὶ τοῦ μάννα σῶμα δεσποτικὸν, ἀντὶ ὕδατος" ἀπὸ πέτρας αἷμα ἀπὸ πλευρᾶς, ἀντὶ ῥάβδου Μωϋσέως ἢ Ἀαρὼν τὸν σταυρὸν, "ἀντὶ τῆς ἐπαγγελίας τὴν βασιλείαν τῶν οὐρανῶν, ἀντὶ μυρίων ἱερέων ἕνα ἀρχιερέα, ἀντὶ ἀμνοῦ ἀλόγου ἀμνὸν πνευματικόν. ταῦτα, καὶ τὰ τοιαῦτα λογιζόμενος, ἔλεγε καινὰ τὰ πάντα. ταῦτα δὲ πάντα ἐκ τοῦ Θεοῦ, διὰ Χριστοῦ καὶ τῆς αὐτοῦ δωρεᾶς. διὸ καὶ ἐπήγαγε,

…ν. τῆς …ς. ἀπὸ τῆς …ῆς ἐπαγγ.

Τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ τοῦ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

καταλλαγῆς. Ἀπὸ γὰρ τούτου πάντα τὰ ἀγαθά. ὁ γὰρ φίλους ἡμᾶς ποιήσας, αὐτὸς καὶ τῶν ἄλλων αἴτιος, ἃ τοῖς φίλοις ἔδωκεν ὁ Θεός. οὐ γὰρ ἀφεὶς μένειν ἐχθρούς, οὕτως ἡμᾶς ἠμείψατο· ἀλλὰ φίλους ποιήσας ἑαυτῷ. ὅταν δὲ εἴπω, ὅτι Χριστὸς αἴτιος τῆς καταλλαγῆς, καὶ τὸν πατέρα λέγω· ὅταν εἴπω τὸν πατέρα δεδωκέναι, καὶ τὸν υἱὸν λέγω. πάντα γὰρ δι' αὐτοῦ ἐγένετο· καὶ τούτου δὲ αὐτὸς αἴτιος. οὐ γὰρ ἡμεῖς αὐτῷ προσεδράμομεν, ἀλλ' αὐτὸς ἡμᾶς ἐκάλεσε. πῶς ἐκάλεσε; διὰ τῆς τοῦ Χριστοῦ σφαγῆς. καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. πάλιν ἐνταῦθα δείκνυσι τὸ τῶν ἀποστόλων ἀξίωμα, δεικνὺς ἡλίκον πρᾶγμα ἐνεχειρίσθησαν, καὶ τῆς ἀγάπης τοῦ Θεοῦ τὴν ὑπερβολήν. οὐδὲ γάρ, ἐπειδὴ παρήκουσαν τοῦ ἐλθόντος πρεσβευτοῦ, παρωξύνθη, καὶ ἀφῆκεν αὐτούς, ἀλλ' ἐπιμένει παρακαλῶν, καὶ δι' ἑαυτοῦ, καὶ δι' ἑτέρων. τίς ἂν ταύτην ἀξίως ἐκπλαγείη τὴν κηδεμονίαν; ἐσφάγη ὁ υἱὸς ἐπὶ καταλλαγαῖς ἐλθών, ὁ γνήσιος καὶ μονογενής, καὶ οὐδὲ οὕτως ἀπεστράφη τοὺς ἀνῃρηκότας ὁ πατήρ, οὐδὲ εἶπεν, ἔπεμψα τὸν υἱόν μου πρεσβευσόμενον, οἱ δὲ οὐ μόνον οὐκ ἠθέλησαν ἀκοῦσαι, ἀλλὰ καὶ ἀνεῖλον καὶ ἐσταύρωσαν· ἄξιον αὐτοὺς ἀφεῖναι λοιπόν. ἀλλὰ τοὐναντίον ἅπαν, ἐπειδὴ ἐκεῖνος ἀπῆλθεν, ἡμῖν τὸ πρᾶγμα ἐπίστευσε. δόντος γὰρ ἡμῖν, φησι, τὴν διακονίαν τῆς καταλλαγῆς.

19 Ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν. Εἶδες ἀγάπην πάντα λόγον, πάντα ὑπερβαίνουσαν; τίς ὁ ὑβρισμένος; αὐτός. τίς ὁ πρῶτος ἐλθὼν εἰς καταλλαγάς; αὐτός. καὶ μὴν τὸν υἱὸν ἔπεμψε, φησιν, οὐκ αὐτὸς ἦλθε. τὸν υἱὸν μὲν ἔπεμψεν· οὐκ αὐτὸς δὲ παρεκάλει μόνον, ἀλλὰ καὶ μετ' αὐτοῦ καὶ δι' αὐτοῦ ὁ πατήρ. διὸ ἔλεγεν, ὅτι ὁ Θεὸς ἦν ὁ καταλλάσσων ἑαυτῷ τὸν κόσμον ἐν Χριστῷ· τουτέστι, διὰ τοῦ Χριστοῦ. ἐπειδὴ γὰρ εἶπε, τοῦ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς, ἐπιδιορθώσει κέχρηται, λέγων, μὴ νομίσητε, ὅτι ἡμεῖς ἐσμεν οἱ τοῦ πράγματος αὐθένται· διάκονοί ἐσμεν· ὁ δὲ τὸ πᾶν ἐργαζόμενος, Θεός ἐστιν, ὁ διὰ τοῦ μονογενοῦς τὴν οἰκουμένην καταλλάξας. καὶ πῶς κατήλλαξεν ἑαυτῷ; τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, οὐχ ὅτι φίλος ἐγένετο μόνον, ἀλλ' ὅτι καὶ οὕτω φίλος. οὕτω; πῶς; ἀφεὶς αὐτοῖς τὰ ἁμαρτήματα· ἄλλως γὰρ οὐκ ἦν. διὸ καὶ ἐπήγαγε, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν. καὶ γὰρ εἰ ἠθέλησεν ἀπαιτῆσαι λόγον τῶν πεπλημμελημένων, πάντες ἂν ἀπωλόμεθα. οἱ γὰρ πάντες ἀπέθανον. ἀλλ' ὅμως τοσούτων ὄντων τῶν ἁμαρτημάτων, κεφ. ς. οὐ μόνον οὐκ ἀπῄτησε δίκην, ἀλλὰ καὶ κατηλλάγη· οὐ μόνον ἀφῆκεν, ἀλλ' οὐδὲ ἐλογίσατο. οὕτω καὶ ἡμᾶς ἀφιέναι χρὴ τοῖς ἐχθροῖς, ἵνα τῆς αὐτῆς καὶ αὐτοὶ τύχωμεν ἀφέσεως.

Καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

Οὐδὲ γὰρ ἡμεῖς ἐπί τι φορτικὸν ἤλθομεν νῦν, ἀλλ' ἵνα φίλους πάντας ποιήσωμεν τῷ Θεῷ. ἐπειδὴ γὰρ ἐμοί, φησιν, οὐκ ἐπείσθησαν, παραμείνατε παρακαλοῦντες ὑμεῖς, ἕως ἂν πείσητε. διὸ καὶ ἐπήγαγεν·

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. Εἶδες πῶς ἦρε τὸ πρᾶγμα, τὸν Χριστὸν εἰσαγαγὼν ἰθύντα τὴν ἱκετηρίαν ταύτην; μᾶλλον δὲ οὐχὶ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα; ὃ γὰρ λέγει τοῦτό ἐστιν· ἔπεμψε τὸν υἱὸν ὁ πατὴρ παρακαλέσαι, καὶ πρεσβεύσασθαι πρὸς τὴν τῶν ἀνθρώπων φύσιν ὑπὲρ αὐτοῦ· ἐπεὶ οὖν σφαγεὶς ἐκεῖνος ἀπῆλθεν, ἡμεῖς διεδεξάμεθα τὴν πρεσβείαν, καὶ ἀντ' αὐτοῦ καὶ τοῦ πατρὸς παρακαλοῦμεν ὑμᾶς. τοσούτου τιμᾶται τὸ τῶν ἀνθρώπων γένος, ὅτι καὶ τὸν υἱὸν ἐπέδωκε, καὶ ταῦτα εἰδὼς ὅτι * σφαγήσεται· καὶ ἀποστόλους ἡμᾶς δι' ὑμᾶς ἐποίησεν· ὥστε εἰκότως ἔλεγε, πάντα δι' ὑμᾶς. ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν· τουτέστιν, ἀντὶ τοῦ Χριστοῦ· ἡμεῖς γὰρ ἀνεδεξάμεθα τὰ ἐκείνου. εἰ δὲ μέγα σοι δοκεῖ τοῦτο εἶναι, ἄκουσον καὶ τῶν ἑξῆς, δι' ὧν δείκνυσιν, ὅτι οὐκ ἀντ' αὐτοῦ μόνον,

τον, ἀλλὰ καὶ αὐτῇ τοῦ πατρὸς τοῦτο ποιοῦντι. διὰ γὰρ τοῦτο καὶ ἐπήγαγεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. οὐ γὰρ διὰ τοῦ υἱοῦ αὐτοῦ παρακαλεῖ μόνον, ἀλλὰ καὶ δι' ἡμῶν τῶν τὸ "ἐκείνου" ἀναδεξαμένων ἔργον. μὴ τοίνυν νομίσητε, φησίν, ὑφ' ἡμῶν ἀξιοῦσθαι· αὐτὸς ὁ Χριστὸς "ὑμᾶς παρακαλεῖ, αὐτὸς ὁ τοῦ Χριστοῦ πατὴρ δι' ἡμῶν. τί ταύτης τῆς ὑπερβολῆς γένοιτ' ἂν "ἴσον; αὐτὸς γὰρ ὁ μυρία εὐεργετήσας ὑβρισθεὶς, οὐ μόνον οὐκ ἀπήτησε δίκην, ἀλλὰ καὶ ἔδωκε τὸν υἱὸν αὐτοῦ, ἵνα καταλλαγῶμεν. οἱ καταλλαγῆναι δὲ οὐ δεξάμενοι, ἀλλὰ καὶ ἔσφαξαν. πάλιν ἔπεμψεν ἑτέρους πρέσβεις παρακαλοῦντας· καὶ τούτων πεμφθέντων, αὐτός ἐστιν ὁ ἀξιῶν. τί δὲ ἀξιοῖ; καταλλάγητε τῷ Θεῷ. καὶ οὐκ εἶπε, καταλλάξατε ἑαυτοῖς τὸν Θεόν. οὐ γὰρ ἐκεῖνός ἐστιν ὁ ἐχθραίνων, ἀλλ' ὑμεῖς. Θεὸς γὰρ οὐδέποτε ἐχθραίνει. καὶ δικαιολογούμενος δὲ καθάπερ πρεσβευτὴς ἀποσταλείς,

χ. τοῦ υἱοῦ
χ. ἀναδεξαμένων
χ. ἡμᾶς
χ. ἴσον; ὑβρισθεὶς μυρία δ' εὐεργετήσας, ὑβρισθεὶς οὐ

21 Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ "ἡμῶν ἁμαρτίαν ἐποίησε, φησίν. Οὐ λέγω τὰ πρότερα, ὅτι ὑβρίσατε, ὅτι οὐδὲν ἠδικηκότα, ὅτι εὐεργετήσαντα, ὅτι δίκην οὐκ ἀπήτησεν, ὅτι παρακαλεῖ πρῶτος, ὑβρισθεὶς πρῶτος· μηδὲν ἐκείνων κείσθω πως. διὰ τί τοῦτο μόνον οὐκ ἂν εἴητε δίκαιοι καταλλαγῆναι, δι' ὅπερ ἐποίησεν εἰς ὑμᾶς νῦν; καὶ τί ἐποίησε; τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, δι' ὑμᾶς ἁμαρτίαν ἐποίησεν. εἰ γὰρ μηδὲν ἕτερον κατώρθωσε, τοῦτο δὲ μόνον εἰργάσατο, ἐννόησον ἡλίκον ἦν τὸ ὑπὲρ τῶν ὑβρικότων τὸν υἱὸν δοῦναι. νυνὶ δὲ καὶ μεγάλα κατώρθωσε, καὶ μετὰ τούτων τὸν οὐδὲν ἠδικηκότα ὑπὲρ τῶν ἠδικηκότων κολασθῆναι εἴασεν." ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ πολλῷ μεῖζον ἐστὶ τούτου τέθεικε. ποῖον δὴ τοῦτο; τὸν μὴ γνόντα ἁμαρτίαν, φησί, τὸν αὐτοδικαιοσύνην ὄντα, ἁμαρτίαν ἐποίησε· τουτέστιν, ὡς ἁμαρτωλὸν κατακριθῆναι ἀφῆκεν, ὡς ἐπικατάρατον ἀποθανεῖν. Ἐπικατάρατος γὰρ ὁ κρεμάμενος ἐπὶ ξύλου. Δευτ. κα. κγ. τοῦ γὰρ ἀποθανεῖν τὸ οὕτως ἀποθανεῖν πολλῷ μεῖζον ἦν. ὅπερ καὶ ἀλλαχοῦ αἰνιττόμενος φησίν, Ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Φιλιππ. β. η. οὐδὲ γὰρ κόλασιν εἶχε μόνον τὸ πρᾶγμα, ἀλλὰ καὶ αἰσχύνην. ἐννόησον τοίνυν ὅσα σοι παρέσχε. μέγα μὲν γὰρ καὶ τὸ ἁμαρτωλὸν ὄντα ὑπέρ τινος ἀποθανεῖν· ὅταν δὲ καὶ δίκαιος ὁ τοῦτο πάσχων ᾖ, καὶ ὑπὲρ ἁμαρτωλῶν ἀποθάνῃ, καὶ μὴ ἀποθάνῃ μόνον, ἀλλὰ καὶ ὡς ἐπικατάρατος, καὶ μὴ ὡς ἐπικατάρατος μόνον, ἀλλὰ καὶ τὰ μεγάλα ἡμῖν ἐντεῦθεν χαρίζ(ηται) ἀγαθά, ἃ μηδέποτε προσεδοκήσαμεν (ἵνα γὰρ γενώμεθα Θεοῦ δικαιοσύνη ἐν αὐτῷ, φησί) ποῖος ταῦτα λόγος, ποῖος ταῦτα παραστῆσαι δυνήσεται νοῦς; τὸν γὰρ δίκαιον, φησίν, ἐποίησεν ἁμαρτωλὸν, ἵνα τοὺς ἁμαρτωλοὺς ποιήσῃ δικαίους. μᾶλλον δὲ οὐδὲ οὕτως εἶπεν, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν. οὐ γὰρ ἕξιν ἔθηκεν, ἀλλ' αὐτὴν τὴν ποιότητα. οὐ γὰρ εἶπεν, ἐποίησεν ἁμαρτωλὸν, ἀλλ' ἁμαρτίαν· οὐχὶ τὸν μὴ ἁμαρτάνοντα μόνον, ἀλλὰ τὸν μηδὲ γνόντα ἁμαρτίαν· ἵνα καὶ ἡμεῖς γενώμεθα, οὐκ εἶπε, δίκαιοι, ἀλλὰ δικαιοσύνη, καὶ Θεοῦ δικαιοσύνη. Θεοῦ γάρ ἐστιν αὕτη, ὅταν μὴ ἐξ ἔργων (ὅταν καὶ κηλῖδα ἀνάγκη τινὰ μὴ εὑρεθῆναι) ἀλλ' ἀπὸ χάριτος δικαιωθῶμεν, ἔνθα πᾶσα ἁμαρτία ἠφάνισται. τοῦτο δὲ ὁμοῦ, οὔτε ἐπαρθῆναι ἀφίησιν, ἅτε τοῦ Θεοῦ τὸ πᾶν χαρισαμένου· καὶ διδάσκει τοῦ δοθέντος τὸ μέγεθος. ἐκείνη γὰρ ἡ προτέρα, νόμου καὶ ἔργων δικαιοσύνη· αὕτη δὲ Θεοῦ δικαιοσύνη.

χ. ὑμῶν

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν ἐννοήσαντες φοβηθῶμεν τῆς γεέννης μᾶλλον τὰ ῥήματα ταῦτα, αἰδεσθῶμεν μᾶλλον τῆς βασιλείας τὰ πράγματα· καὶ μὴ νομίσωμεν χαλεπὸν εἶναι τὸ κολάζεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν. καὶ γὰρ αὐτὸς εἰ μὴ ἐκόλαζεν ἡμᾶς, αὐτοὺς ἐχρῆν ἀπαιτῆσαι δίκην ἑαυτοὺς, οὕτως ἀγνώμονας περὶ τὸν εὐεργέτην γενομένους. νῦν δὲ ἐρωμένην μέν τις ἔχων, πολλάκις καὶ ἑαυτὸν κατέσφαξε, μὴ τυχὼν τοῦ ἔρωτος· καὶ τυχὼν δὲ, πεπλημμεληκὼς εἰς αὐτὴν, οὐδὲ ἄξιον ζῆν ἡγεῖται. εἰς δὲ τὸν οὕτω φιλάνθρωπον καὶ ἥμερον ὑβρίζοντες, οὐχ ἑαυτοὺς ἐμβαλοῦμεν εἰς τὸ πῦρ τῆς γεέννης; εἴπω τι παράδοξον, καὶ θαυμαστὸν, καὶ πολλοῖς ἴσως ἄπιστον· μείζων ἔσται παραμυθία τῷ κολαζομένῳ μετὰ τὸ προσκροῦσαι τὸν οὕτω

φιλάνθρωπον,

φιλάνθρωπον, ἐὰν νοῦν ἔχῃ, καὶ φιλῇ τὸν δεσπότην, ὡς φιλεῖν δεῖ, ἢ τὸ μὴ κολαζόμενος. καὶ τοῦτο καὶ ἀπὸ τῆς κοινῆς συνηθείας ἐστὶν ἰδεῖν. ὁ γὰρ εἰς τὸν φίλτατον ἠδικηκὼς, τότε μάλιστα ἀναπαύεται, ὅταν ἑαυτὸν ἀπαιτήσῃ δίκην, καὶ πάθῃ κακῶς. ὥσπερ οὖν καὶ ὁ Δαβὶδ (β. Βασ. κδ. ιζ.) ἔλεγεν, Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὸ ποίμνιον, τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ ὅτε τὸν Ἀβεσσαλὼμ ἀπώλεσε, δίκην ἑαυτὸν ἀπῄτει τὴν ἐσχάτην· καίτοιγε οὐκ ἦν αὐτὸς ὁ ἠδικηκὼς, ἀλλ᾽ ὁ ἠδικημένος. ἀλλ᾽ ὅμως ἐπειδὴ σφόδρα ἐφίλει τὸν ἀπελθόντα, κατέτεινεν ἑαυτὸν ταῖς ὀδύναις, ταύτῃ παραμυθούμενος ἑαυτόν. καὶ ἡμεῖς τοίνυν, ὅταν ἁμαρτάνωμεν εἰς ὃν οὐκ ἐχρῆν ἁμαρτάνειν, δίκην ἑαυτοὺς ἀπαιτῶμεν. οὐχ ὁρᾶτε τοὺς ἀποβαλόντας παῖδας γνησίους, ὅτι διὰ τοῦτο καὶ κόπτονται καὶ τείχεσι καὶ ἄλλοις, ἐπειδὴ παραμυθίαν ἔχει τὸ κολάζειν ἑαυτοὺς ὑπὲρ τῶν φιλουμένων; εἰ δὲ ὅταν μηδὲν ἐργασώμεθα ἡμεῖς τοὺς φιλτάτους δεινὸν, φέρει παραμυθίαν ἡμῖν τὸ κακῶς παθεῖν, ὑπὲρ ὧν ἐκεῖνοι κακῶς πεπόνθασιν· ὅταν αὐτοὶ ὦμεν οἱ προσκρούσαντες καὶ ὑβρικότες, οὐ πολλῷ μᾶλλον ἡμᾶς ἀναπαύσει τὸ δίκην δοῦναι, καὶ τὸ μὴ κολάζεσθαι κόλασις; παντί που δῆλον. εἴ τις φιλεῖ τὸν Χριστὸν, ὡς φιλεῖν δεῖ, οἶδεν ὃ λέγω, πῶς οὐδὲ αὐτοῦ συγχωροῦντος ἀνέχεται μὴ κολάζεσθαι. τὴν γὰρ μεγίστην κόλασιν ὑπομένεις προσκρούσας αὐτόν. καὶ οἶδα μὲν τοῖς πολλοῖς ἄπιστα λέγων· πλὴν ἀλλ᾽ οὕτως ἐστὶν ὥσπερ εἴρηκα. ἐὰν τοίνυν φιλῶμεν τὸν Χριστὸν, ὡς φιλεῖν δεῖ, ἑαυτοὺς τιμωρησόμεθα ἁμαρτάνοντες. τοῖς γὰρ ὁπωσοῦν ἐρῶσιν, οὐ τὸ κακόν τι παθεῖν, ἀηδὲς, ὑπὲρ ὧν προσέκρουσαν τὸν ἐρώμενον, ἀλλ᾽ αὐτὸ τὸ παροξῦναι τὸν ἀγαπώμενον. κἂν ὀργισθεὶς ἐκεῖνος μὴ κολάσῃ, μειζόνως ἐβασάνισε τὸν ἐραστὴν, ἢ εἰ δίκην ἀπαιτήσῃ μᾶλλον παραμυθήσαιτο. μὴ τοίνυν γέενναν φοβώμεθα, ἀλλὰ τὸ προσκροῦσαι τῷ Θεῷ. τοῦτο γὰρ ἐκείνου χαλεπώτερον, ὅταν ἀποστρέφηται ὀργιζόμενος· τοῦτο πάντων χεῖρον, τοῦτο πάντων φορτικώτερον. καὶ ἵνα μάθῃς ἡλίκον ἐστὶν, ἐννόησον τοῦτο ὃ λέγω. εἴ τις κολαζόμενον ἰδὼν ἄνθρωπον λῃστὴν καὶ κακοῦργον, αὐτὸς βασιλεὺς ὢν, τὸν ἀγαπητὸν υἱὸν καὶ μονογενῆ καὶ γνήσιον ἔδωκεν ὥστε σφαγῆναι, καὶ μετὰ τοῦ θανάτου καὶ τὴν αἰτίαν ἀπ᾽ ἐκείνου μετήνεγκεν ἐπὶ τὸν υἱὸν οὐκ ὄντα τοιοῦτον, ἵνα καὶ σώσῃ τὸν καταδίκον, καὶ τῆς πονηρᾶς ὑπολήψεως ἀπαλλάξῃ, εἶτα μετὰ ταῦτα εἰς μεγάλην ἀρχὴν αὐτὸν ἀναγαγὼν, μετὰ τὴν σωτηρίαν καὶ τὴν δόξαν τὴν ἀπόρρητον, ὕβριζε παρὰ τοῦ τοιαῦτα πεπονθότος, οὐκ ἂν εἵλετο μυριάκις ἀποθανεῖν ἐκεῖνος, εἴγε νοῦν εἶχεν, ἢ τοσαύτῃ ἀγνωμοσύνῃ φανῆναι ὑπεύθυνος ὤν; τοῦτο δὴ καὶ νῦν λογιζώμεθα, καὶ στενώμεν πικρῶς ἐφ᾽ οἷς προσεκρούσαμεν τὸν εὐεργέτην· μηδὲ, ἐπειδὴ μακροθύμως ὑβριζόμενος φέρει, διὰ τοῦτο θαρρῶμεν· ἀλλὰ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο δακνώμεθα. καὶ γὰρ ἐπὶ τῶν ἀνθρώπων, ὅταν τις πληγεὶς τὴν δεξιὰν σιαγόνα, παρῇ καὶ τὴν ἀριστερὰν, μειζόνως ἀμύνεται, ἢ εἰ μυρίας ἔδωκε πληγάς· καὶ ὅταν λοιδορηθεὶς, μὴ μόνον ἀντιλοιδορήσῃ, ἀλλὰ καὶ εὐλογήσῃ, χαλεπώτερον ἔπληξεν, ἢ εἰ μυρίοις ὀνείδεσιν ἔπλυνεν. εἰ δὲ ἐπ᾽ ἀνθρώπων, ὅταν ὑβρίζοντες μακροθυμίας ἀπολαύωμεν, καταισχυνόμεθα· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ δεδοικέναι χρὴ τοὺς ἁμαρτάνοντας διηνεκῶς, καὶ οὐδὲν πάσχοντας δεινόν. καὶ γὰρ καὶ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς ἡ ἄφατος αὕτη θησαυρίζεται τιμωρία. ταῦτ᾽ οὖν ἐννοοῦντες, τὴν παντῶν ἁμαρτίαν φοβώμεθα. τοῦτο γάρ κόλασις, τοῦτο γέεννα, τοῦτο τὰ μυρία κακά. μὴ φοβώμεθα δὲ μόνον, ἀλλὰ καὶ φεύγωμεν, καὶ τῷ Θεῷ σπουδάζωμεν διηνεκῶς ἀρέσκειν. τοῦτο γὰρ βασιλεία, τοῦτο ζωὴ, τοῦτο τὰ μυρία καλά· οὕτω καὶ ἐντεῦθεν ἤδη τῆς βασιλείας ἐπιτευξόμεθα, καὶ τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ις.

Λογ. ιβ. 1 ΣΥΝΕΡΓΟΥΝΤΕΣ ΔΕ ΚΑΙ ΠΑΡΑΚΑΛΟΥμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. 2 Λέγει γάρ, καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.

Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ὁ Θεὸς παρακαλεῖ, καὶ ἡμεῖς πρεσβεύομεν, καὶ ἱκετεύομεν, καταλλάγητε τῷ Θεῷ· ἵνα μὴ ἀναπέσωσιν, ἐντεῦθεν αὐτοὺς πάλιν φοβεῖ καὶ διανίστησι, λέγων, παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. μὴ γάρ, ἐπειδὴ παρακαλεῖ, φησί, καὶ ἔπεμψε πρεσβευσομένους, διὰ τοῦτο ῥαθυμῶμεν· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ ἐπειγώμεθα. πρὸς τὸ ἀρέσαι τῷ Θεῷ, καὶ πνευματικὴν συναγαγεῖν ἐμπορείαν (ὅπερ καὶ ἀνωτέρω ἔλεγεν, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ συνέχει ἡμᾶς· τουτέστι, θλίβει, ὠθεῖ, κατεπείγει) ἵνα μὴ μετὰ τοσαύτην κηδεμονίαν ἀναπεσόντες, καὶ μηδὲν γενναῖον ἐπιδειξάμενοι, τῶν τοσούτων ἐκπέσητε ἀγαθῶν. μὴ τοίνυν, ἐπειδὴ ἔπεμψε παρακαλέσοντας, νομίσητε τοῦτο ἀεὶ εἶναι. μέχρι τῆς παρουσίας αὐτοῦ τῆς δευτέρας τοῦτο ἔσται, μέχρι τότε παρακαλεῖ, ἕως ἂν ὦμεν ἐνταῦθα· μετὰ δὲ ταῦτα, δίκη καὶ κόλασις. διὰ τοῦτο συνεργούμεθα, φησίν. οὐδὲ γὰρ ἀπὸ τοῦ μεγέθους τῶν ἀγαθῶν αὐτοὺς, καὶ τῆς φιλανθρωπίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς βραχύτητος τῆς τοῦ καιροῦ κατεπείγει ἀεί· διὸ καὶ ἀλλαχοῦ φησι, Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία· καὶ πάλιν, Ὁ Κύριος ἐγγύς. ἐνταῦθα δὲ καὶ πλέον ποιεῖ. οὐδὲ γὰρ ἀπὸ τοῦ ὑπολειπόμενον τοῦ χρόνου βραχὺ καὶ μικρὸν εἶναι, ἀλλὰ καὶ ἀπὸ τοῦ τοῦτον μόνον τὸν καιρὸν ἐπιτήδειον εἶναι εἰς σωτηρίαν, ἐνάγει. Ρωμ. ιγ. ια. Φιλιπ. δ. ε.

Ἰδοὺ γάρ, φησι, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ ἡμέρα σωτηρίας. Μὴ τοίνυν προδῶμεν τὴν εὐκαιρίαν, ἀλλ' ἐπιδειξώμεθα ἀξίαν τῆς χάριτος τὴν σπουδήν. διὰ τοῦτο γὰρ καὶ ἡμεῖς ἐπειγόμεθα, καὶ τὸ βραχὺ καὶ τὸ ἐπιτήδειον εἰδότες τοῦ καιροῦ. διὸ καὶ ἔλεγε, Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν. Συνεργοῦντες ὑμῖν. ὑμῖν γὰρ συνεργοῦμεν μᾶλλον, ἢ τῷ Θεῷ, ὑπὲρ οὗ πρεσβεύομεν. οὐδὲν γὰρ ἐκεῖνος δεῖται, ἀλλ' ἡ σωτηρία πᾶσα εἰς ὑμᾶς διαβαίνει. εἰ δὲ καὶ τῷ Θεῷ λέγει συνεργεῖν, οὐδὲ τοῦτο παραιτεῖται. καὶ γὰρ ἀλλαχοῦ φησι, Θεοῦ ἐσμεν συνεργοί. ταύτῃ φησὶ τοὺς ἀνθρώπους σώζειν πάλιν. καὶ παρακαλοῦμεν. ἐκεῖνος μὲν γὰρ παρακαλῶν, οὐχ ἁπλῶς παρακαλεῖ, ἀλλὰ ταῦτα προτεινόμενος τὰ δικαιώματα, ὅτι τὸν υἱὸν ἔδωκε τὸν δίκαιον, τὸν οὐδὲ ἁμαρτίαν εἰδότα, καὶ ἁμαρτίαν αὐτὸν ἐποίησεν ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, ἵνα ἡμεῖς γενώμεθα δίκαιοι· ἅπερ ἔχοντα, καὶ Θεὸν ὄντα, οὐδὲ παρακαλεῖν δεῖ, καὶ ταῦτα ἀνθρώπους, καὶ προσκεκρουκότας, ἀλλὰ παρακαλεῖσθαι καθ' ἑκάστην ἡμέραν· ἀλλ' ὅμως παρακαλεῖ. ἡμεῖς δὲ παρακαλοῦμεν, δικαίωμα μὲν μηδὲν ἔχοντες ἡμῶν εἰπεῖν, οὐδὲ εὐεργέτημα, ἐν δὲ μόνον, τὸ ὑπὲρ Θεοῦ, καὶ τοιαῦτα ἐπιδειξαμένου, παρακαλεῖν. παρακαλοῦμεν δὲ ἵνα τὴν εὐεργεσίαν δέξησθε, καὶ μὴ ἀποκρούσησθε τὴν δωρεάν. πείθητε τοίνυν ἡμῖν, καὶ μὴ εἰς κενὸν τὴν χάριν δέξησθε. ἵνα γὰρ μὴ νομίσωσιν ὅτι τοῦτό ἐστι καλὴ ἀγωγὴ μόνον, τὸ πιστεῦσαι τῷ καλοῦντι, ἐπάγει ταῦτα, τὴν περὶ τὸν βίον σπουδὴν ἀπαιτῶν. τὸ γὰρ ἀπαλλαγέντα ἁμαρτημάτων, καὶ φίλον γενόμενον, τοῖς προτέροις ἐγκαλινδεῖσθαι, πάλιν ἐπ' ἔχθραν ἐπανελθεῖν ἐστι, καὶ εἰς κενὸν τὴν χάριν δέξασθαι, κατὰ τὸν τοῦ βίου λόγον. οὐδὲν γὰρ ἀπὸ τῆς χάριτος μέγα ὠφελούμεθα εἰς σωτηρίαν, ἀκαθάρτως ζῶντες· ἀλλὰ καὶ βλαπτόμεθα μειζόνως ταύτῃ βαρούμενοι καὶ ἐν τοῖς ἁμαρτήμασιν, ὅτι καὶ μετὰ τὴν ἐπίγνωσιν τοιαύτην καὶ δωρεάν, ἐπὶ τὰ πρότερα ἐπανήλθομεν κακά. ἀλλὰ τοῦτο μὲν οὐδέπω τίθησιν, ὥστε μὴ τραχὺν ποιῆσαι τὸν λόγον· ὅτι δὲ οὐδὲν ὠφελούμεθα λέγει μόνον. εἶτα καὶ προφητείας ἀναμιμνήσκει, κατεπείγων αὐτοὺς, καὶ συνωθῶν εἰς τὸ ἀγωνίασαι

ἴσ. τὸ κ. καταπ. α. Κορ. γ. θ.

ναστῆναι πρὸς τὴν τῆς οἰκείας σωτηρίας ἀντίληψιν. λέγει γάρ, φησι, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. Καιρὸς εὐπρόσδεκτος. ποῖος ἐστί; ὁ τῆς δωρεᾶς, ὁ τῆς χάριτος, ὅτε οὐκ ἔστιν εὐθύνας ἀπαιτηθῆναι τῶν ἁμαρτημάτων, οὐδὲ δίκην δοῦναι, ἀλλὰ μετὰ τῆς ἀπαλλαγῆς καὶ μυρίων ἀπολαῦσαι ἀγαθῶν, δικαιοσύνης, ἁγιασμοῦ, τῶν ἄλλων ἁπάντων. πόσα γὰρ ἔδει καμεῖν, ὥστε ἐπιτυχεῖν τοῦ καιροῦ τούτου; ἀλλ' ἰδοὺ, μηδὲν καμόντων ἡμῶν, παραγέγονεν ἄφεσιν φέρων ἁπάντων τῶν ἡμαρτημένων. διὸ καὶ εὐπρόσδεκτον καλεῖ, ἐπειδὴ καὶ τοὺς μυρία πεπλημμεληκότας προσεδέχετο, καὶ οὐχ ἁπλῶς προσεδέχετο, ἀλλ' εἰς τὴν ἀνωτάτω ἦγε τιμήν· καθάπερ ἐπειδὰν ἔλθῃ βασιλεύς, οὐ δικαστηρίου καιρὸς, ἀλλὰ χάριτος καὶ σωτηρίας. διὸ καὶ εὐπρόσδεκτον αὐτὸν καλεῖ, ἕως οὗ ἐπὶ ἐν τῷ σκάμματί ἐσμεν, ἕως ἐν τῷ ἀμπελῶνι ἐργαζόμεθα, ἕως λείπεται ἡ ἑνδεκάτη. προσέλθωμεν, καὶ βίον ἐπιδειξώμεθα ἀγαθόν. καὶ γὰρ εὔκολον. ὁ γὰρ ἐν τοιούτῳ καιρῷ ἀγωνιζόμενος, ἐν ᾧ τοσαύτη κέχυται δωρεά, ἐν ᾧ τοσαύτη χάρις, εὐκόλως ἐπιτεύξεται τῶν βραβείων. καὶ γὰρ ἐπὶ βασιλέων τῶν κάτω, ἐν μὲν τῷ καιρῷ τῆς ἑορτῆς αὐτῶν, καὶ ὅτε ἐν ὑπάτων φαίνονται σχήματι, καὶ οἱ μικρὰ προσενεγκόντες μεγάλας λαμβάνουσι δωρεάς· ἐν δὲ ταῖς ἡμέραις αἷς δὴ δικάζωσι, πολλῆς ἀκριβείας χρεία, πολλῆς ἐξετάσεως. καὶ ἡμεῖς τοίνυν ἐν τῷ καιρῷ τῆς δωρεᾶς ταύτης ἀγωνισώμεθα. ἡμέρα χάριτός ἐστι, χάριτος θείας. διὸ καὶ εὐκόλως ἐπιτευξόμεθα τῶν στεφάνων. εἰ γὰρ τοσούτων γέμοντας κακῶν καὶ προσήκατο, καὶ ἀπήλλαξε πάντων ἀπηλλαγμένους, καὶ τὰ παρ' ἑαυτῶν εἰσφέροντας, οὐ πολλῷ μᾶλλον προσδέξεται; εἶτα, ὅπερ ἀεὶ ποιεῖ, ἑαυτὸν μέσον τιθείς, καὶ ἐντεῦθεν καλλύνων τὸ παράδειγμα λαμβάνει, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. διὸ καὶ ἐπάγει,

3 Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν.

Οὐκ ἀπὸ τοῦ καιροῦ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν κατορθωσάντων αὐτοὺς πείθει. καὶ ὅρα πῶς ἀτύφως. οὐ γὰρ εἶπε, προσέχετε εἰς ἡμᾶς ὅτι τοιοῦτοί ἐσμεν· ἀλλὰ πῶς ἐπ' ἀναιρέσει κατηγορίας, τὰ καθ' ἑαυτὸν διηγεῖται. καὶ δύο τίθησι παραβολὰς ἀμέμπτου βίου, μηδεμίαν ἐν μηδενὶ, λέγων. καὶ οὐκ εἶπε κατηγορίαν, ἀλλ' ὃ πολλῷ ἔλαττον ἦν, προσκοπήν· τουτέστι, μέμψιν, κατάγνωσιν μηδενὶ παρέχοντες καθ' ἡμῶν. ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν· τουτέστιν, ἵνα μή τις αὐτῆς ἐπιλάβηται. καὶ οὐκ εἶπε πάλιν, ἵνα μὴ κατηγορηθῇ, ἀλλ', ἵνα μηδὲ τὴν τυχοῦσαν αἰτίαν ἔχῃ, μή τις αὐτῇ εἰς ὁπωσοῦν ἐπισκῆψαι δυνηθῇ.

4 Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι. Τοῦτο πολλῷ μεῖζον. οὐ γάρ ἐστιν ἴσον κατηγορίας ἐλευθέρους εἶναι, καὶ τοιαῦτα ἐπιδείκνυσθαι, ὡς πάντοθεν φαίνεσθαι διακόνους ὄντας Θεοῦ. οὐ γάρ ἐστιν ἴσον ἀπηλλάχθαι κατηγορίας, καὶ ἐγκωμίοις βρύειν. καὶ οὐκ εἶπε, φαινόμενοι, ἀλλὰ συνιστῶντες· τουτέστιν, ἀποδεικνύντες. εἶτα λέγει καὶ πόθεν τοιοῦτοι ἐγένοντο. πόθεν οὖν ἐγένοντο;

Ἐν ὑπομονῇ πολλῇ, φησί· Τὸν θεμέλιον τῶν ἀγαθῶν τιθείς. διόπερ οὐδὲ ἁπλῶς ὑπομονὴν εἶπεν, ἀλλὰ πολλήν· καὶ δείκνυσιν αὐτῆς καὶ τὸ μέγεθος. τὸ γὰρ ἕν τι καὶ δεύτερον ἐνεγκεῖν, οὐδὲν μέγα. ἀλλ' ἐπάγει καὶ τὰς νιφάδας τῶν πειρασμῶν, λέγων,

Ἐν θλίψεσιν, ἐν ἀνάγκαις. Τοῦτο ἐπίτασις θλίψεως, ὅταν ἀφυκτα ᾖ πάντα, καὶ ὥσπερ ἀνάγκη τις ἐπικέηται τῶν δεινῶν δυσδιεξόδευτος. Ἐν στενοχωρίαις.

Ἤτοι ταῖς τοῦ λιμοῦ, φησὶ, καὶ ταῖς τῶν ἄλλων ἀναγκαίων· ἢ καὶ ἁπλῶς ταῖς τῶν πειρασμῶν.

5 Ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις. Καίτοι τούτων καθ' ἑαυτὸ ἕκαστον ἀφόρητον ἦν· καὶ τὸ μαστίζεσθαι μόνον, καὶ τὸ δεδέσθαι μόνον, καὶ τὸ μηδαμοῦ δύνασθαι

στῆναι

στῆναι ἐλαυνόμενον· τοῦτο γάρ ἐστιν ἐν ἀκαταστασίαις. ὅταν δὲ καὶ πάντα, καὶ ὁμοῦ πάντα ἐπίῃ, ἐννόησον ἡλίκης δεῖται ψυχῆς. Εἶτα μετὰ τὴν ἔξωθεν, καὶ τὰ παρ' ἑαυτοῦ τίθησιν.

Ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις,

6 Ἐν ἁγνότητι. Διὰ τούτων τῶν καμάτων αἰνίττεται, ὡς ἔκαμε πλείω καὶ ἐργαζόμενος, τὰς νύκτας ἐν αἷς ἐδίδασκεν ἢ ὅλως καὶ ἐν αὐταῖς εἰργάζετο, καὶ μετὰ τούτων ἁπάντων οὐδὲ τῆς νηστείας ἠμέλει, καίτοιγε ταῦτα ἀντὶ μυρίων ἤρκει νηστειῶν. ἁγνότητα δὲ ἐνταῦθα, ἢ σωφροσύνην πάλιν, ἢ τὴν ἐν ἅπασι καθαρότητα, ἢ τὸ ἀδωροδόκητον, ἢ καὶ τὸ δωρεὰν τὸ εὐαγγέλιον κηρύττειν. Ἐν γνώσει. Τί ἐστιν, ἐν γνώσει; ἐν σοφίᾳ τῇ παρὰ τοῦ Θεοῦ δεδομένῃ, τῇ ὄντως γνώσει· οὐ καθάπερ ἐκεῖνοι οἱ δοκοῦντες εἶναι σοφοί, καὶ τῇ ἔξωθεν παιδεύσει κομπάζοντες, ταύτῃ δὲ ἐλαττούμενοι. Ἐν μακροθυμίᾳ, ἐν χρηστότητι.

Πολὺ γὰρ καὶ ταῦτα γενναίας τῆς ψυχῆς, τὸ πανταχόθεν παροξυνόμενον καὶ κεντούμενον, μακροθύμως ἅπαντα φέρειν. Εἶτα δεικνὺς πόθεν τοιοῦτος γέγονεν, ἐπήγαγεν,

Ἐν πνεύματι ἁγίῳ. Ἐν αὐτῷ γὰρ πάντα ταῦτα κατορθοῦμεν, φησίν. Ἀλλ' ὅρα πότε τὴν παρὰ τοῦ πνεύματος ἔθηκε τοῦ ἁγίου βοήθειαν. ὅτε τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο. ἐμοὶ δὲ δοκεῖ καὶ ἕτερον λέγειν διὰ τούτου. ποῖον δὴ τοῦτο; ὅτι καὶ πνεύματος πολλοῦ πεπληρώμεθα, καὶ ἀποδείκνυμεν καὶ ἐντεῦθεν τὴν ἀποστολήν, ἀπὸ τοῦ χαρισμάτων ἠξιῶσθαι πνευματικῶν. Εἰ γὰρ καὶ χάρις τοῦτο, ἀλλὰ καὶ αὐτὸς αἴτιος ὁ διὰ τῶν κατορθωμάτων καὶ τῶν ἱδρώτων τὴν χάριν ἐπισπασάμενος. Εἰ δέ τις εἴποι, μετὰ τῶν εἰρημένων αὐτὸν ἐμφαίνειν τὸ ὅτι καὶ ἐν τῇ χάριτι τῇ πνευματικῇ οὐδεμίαν ἔδωκε προσκοπήν, οὐκ ἂν ἁμάρτοι τῆς ἐννοίας. καὶ γὰρ οἱ τὰς γλώσσας λαβόντες παρ' αὐτοῖς, καὶ ἐπαρθέντες, ἐμωμήθησαν. ἔστι γὰρ καὶ χάρισμα λαβόντα πνευματικόν, οὐκ εἰς δέον αὐτῷ χρήσασθαι. ἀλλ' οὐχ ἡμεῖς, φησίν· ἀλλὰ καὶ ἐν πνεύματι, τουτέστιν, * ἐν τοῖς χαρίσμασιν ἀμώμητοι ἐγενόμεθα.

*ἢ

Ἐν ἀγάπῃ ἀνυποκρίτῳ. Τοῦτο πάντων αἴτιον τῶν ἀγαθῶν, τοῦτο τοιοῦτον αὐτὸν εἰργάζετο, τοῦτο καὶ τὸ πνεῦμα μένειν ἐποίει παρ' αὐτῷ, δι' οὗ καὶ πάντα αὐτῷ κατωρθοῦτο.

7 Ἐν λόγῳ ἀληθείας. Ὃ πολλαχοῦ λέγει, ὅτι οὐ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ, οὐδὲ νοθεύοντες διετελέσαμεν. Ἐν δυνάμει Θεοῦ. Ὅπερ ἀεὶ ποιεῖ, οὐδὲν ἑαυτῷ, β. Κορ. ι. β. ἀλλὰ τῷ Θεῷ τὸ πᾶν ἀνατιθείς, καὶ αὐτῷ λογιζόμενος τὰ αὐτοῦ κατορθώματα, τοῦτο καὶ ἐνταῦθα πεποίηκεν. ἐπειδὴ γὰρ μεγάλα ἐφθέγξατο, καὶ ἔφησεν ἄληπτον παρεσχηκέναι βίον διὰ πάντων, καὶ φιλοσοφίαν ἄκραν, τῷ πνεύματι, καὶ τῷ Θεῷ ταῦτα ἀνατίθησιν. οὐδὲ γὰρ τὰ τυχόντα ἦν τὰ εἰρημένα. εἰ γὰρ καὶ ἐν ἡσυχίᾳ ζῶντα δύσκολον κατορθοῦν, καὶ ἄληπτον εἶναι, τὸν ὑπὸ τοσούτων ἐνοχλούμενον πειρασμῶν, καὶ διὰ πάντων λάμψαντα, ἐννόησον ἡλίκης εἶναι ψυχῆς. καίτοι οὐδὲ ταῦτα ὑπέμενε μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα τούτων, ἅπερ ἑξῆς τίθησι. καὶ τὸ δὴ θαυμαστόν, οὐχ ὅτι ἄληπτος ἦν ἐν τοσούτοις κύμασι πλέων, οὐδ' ὅτι πάντα ὑπέμεινε γενναίως, ἀλλ' ὅτι καὶ μεθ' ἡδονῆς πάντα. ἅπερ διὰ τῶν ἑξῆς ἡμῖν πάντα ποιεῖ φανερά, λέγων οὕτω· Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. Εἶδες ψυχῆς παράστημα, καὶ φρόνημα εὔτονον; δείκνυσι γὰρ ὅτι ὅπλα εἰσὶν αἱ θλίψεις, οὐ μόνον οὐ καταβάλλοντα, ἀλλὰ καὶ τειχίζοντα, καὶ ἰσχυροτέρους ποιοῦντα. ἀριστερὰ δὲ καλεῖ τὰ δοκοῦντα εἶναι λυπηρά. καὶ γὰρ τοιαῦτά ἐστι τὰ τὸν μισθὸν ἔχοντα. τίνος οὖν ἕνεκεν οὕτως αὐτὰ καλεῖ; ἢ κατὰ τὴν ὑπόληψιν τῶν πολλῶν, ἢ ἐπειδὴ ἐκέλευσεν ὁ Θεὸς εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν.

8 Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας. Τί λέγεις; ὅτι δόξης ἀπολαύεις, μέγα τοῦτο θεὶς εἶ; ναί, φησί. τί δήποτε; τὸ μὲν γὰρ ἀτιμίαν ἐνεγκεῖν, μέγα· τὸ δὲ δόξης μετασχεῖν, οὐ νεανικῆς δεῖται ψυχῆς. νεανικῆς μὲν οὖν, καὶ σφόδρα μεγάλης, ὥστε αὐ-

της ἀπολαύοντα μὴ ἐκτραχηλιασθῆναι. διὸ καὶ ἐπὶ τούτῳ φησὶ, ὡς ἐπ' ἐκείνῳ. καὶ γὰρ ἐν ἀμφοτέροις ὁμοίως ἔλαμπε. πῶς δὲ ὅπλον τῆς δικαιοσύνης; ὅτι ἐνάγει πολλοὺς εἰς εὐσέβειαν ὁ ἐν τιμῇ εἶναι τοὺς διδασκάλους· καὶ ἔργων δὲ ἀγαθῶν τοῦτο δεῖγμά ἐστι, καὶ τὸν Θεὸν τοῦτο δοξάζει. καὶ τὸ τοῦ δὲ τῆς τοῦ Θεοῦ εὐμηχανίας, ὃ διὰ τῶν ἐναντίων εἰσάγει τὸ κήρυγμα. σκόπει δέ· ἐδέδετο ὁ Παῦλος· καὶ τοῦτο ἦν ὑπὲρ τοῦ εὐαγγελίου. Τὸ γὰρ κατ' ἐμέ, φησιν, εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. δόξης πάλιν ἀπήλαυε; καὶ τοῦτο πάλιν ἐκείνους προθυμοτέρους εἰργάζετο. διὰ δυσφημίας, καὶ εὐφημίας. οὐ γὰρ μόνον ἐκεῖνα γενναίως ἔφερε τὰ ἐν τῷ σώματι, τὰς θλίψεις, καὶ ὅσα ἀπηριθμήσατο, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς μόνης καθαπτόμενα. οὐδὲ γὰρ καὶ ταῦτα ἁπλῶς θορυβεῖν εἰώθεν. ὁ γοῦν Ἱερεμίας πολλοὺς ἐνεγκὼν πειρασμοὺς, πρὸς ταῦτα ἀπηγόρευε·

Ιερ κ. θ. καὶ ὅτε ὠνειδίζετο, ἔλεγεν, Οὐ μὴ προφητεύσω, οὐδὲ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου. καὶ ὁ Δαβὶδ πολλαχοῦ τὸν ὀνειδισμὸν ἀποδύρεται. καὶ ὁ Ἡσαΐας μετὰ πολλά, ὑπὲρ τούτου πα-

Ησ. νζ. ζ. ρακαλεῖ λέγων, Ὀνειδισμὸν τῶν ἀνθρώπων μὴ φοβεῖσθε, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε.

Ματθ. ε. ια. καὶ ὁ Χριστὸς δὲ πάλιν τοῖς μαθηταῖς, Ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, χαίρετε καὶ ἀγαλλιᾶσθε, φησιν, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ἀλ-

Λυκ. ϛ. κγ. λαχοῦ δέ φησι, Καὶ σκιρτήσατε. οὐκ ἂν δὲ τοσοῦτον ἔθηκε τὸν μισθὸν, εἰ μὴ πολὺς ἦν ὁ ἀγών. ἐν μὲν γὰρ ταῖς βασάνοις καὶ τὸ σῶμα μερίζεται μετὰ τῆς ψυχῆς τὰς ἀλγηδόνας. καὶ γὰρ τοῦ σώματος καὶ τῆς ψυχῆς ὁ πόνος ἐστίν· ἐκεῖ δὲ τῆς ψυχῆς μόνης. πολλοὶ γοῦν ἀπὸ τούτων μόνον ἔπεσον, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν ἀπώλεσαν. καὶ τῷ Ἰὼβ δὲ τῶν σκωλήκων καὶ τῶν τραυμάτων φορτικώτερα ἐφάνη τὰ παρὰ τῶν φίλων ὀνείδη. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀφορητότερον τοῖς ὀδυνωμένοις λόγου δυναμένου δακεῖν ψυχήν. διὸ μετὰ τῶν κινδύνων καὶ τῶν ἱδρώτων, καὶ ταῦτα τίθησι, λέγων, διὰ δόξης καὶ ἀτιμίας. πολλοὶ γοῦν καὶ

Ιωαν. ιβ. μβ. τῶν Ἰουδαίων, διὰ τὴν δόξαν τὴν τῶν πολλῶν, οὐκ ἠθέλησαν πιστεῦσαι. Ἐφοβοῦντο γὰρ οὐχ

Ιωαν. ε. μδ. ἵνα μὴ κολασθῶσιν, ἀλλ' ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. διὸ λέγει, Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες; καὶ πολλοὺς ἂν ἴδοιμεν, οἳ πάντων μὲν καταφρονήσαντες τῶν δεινῶν, ὑπὸ δὲ δόξης ἡττήθησαν. Ὡς πλάνοι, καὶ ἀληθεῖς·

Τουτέστι, διὰ δυσφημίας, καὶ εὐφημίας.

9 Ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· Τουτέστι, διὰ δόξης καὶ ἀτιμίας. τοῖς μὲν γὰρ ἦσαν γνώριμοι, καὶ περισπούδαστοι· οἱ δὲ οὐδὲ εἰδέναι αὐτοὺς ἠξίουν.

Ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· Ὡς ἐπιθανάτιοι, καὶ κατάδικοι· ὅπερ καὶ αὐτὸ ἀτιμίας ἦν. τοῦτο δὲ ἔλεγε, δεικνὺς καὶ τὴν τοῦ Θεοῦ δύναμιν τὴν ἄφατον, καὶ τὴν αὐτῶν ὑπομονήν. ὃ μὲν γὰρ τῶν ἐπιβουλευόντων μέρος, ἀπεθάνομεν, καὶ τοῦτο πάντες ἐνόμιζουσι· διὰ δὲ τὸν Θεὸν διεφύγομεν τοὺς κινδύνους. εἶτα δηλῶν καὶ τίνος ἕνεκεν ταῦτα συγχωρεῖ ὁ Θεὸς, ἐπήγαγεν, Ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι·

Μέγα ἀπὸ τῶν πειρασμῶν, καὶ παρὰ τῶν μισθῶν, δεικνὺς τὸ κέρδος αὐτοῖς ἐγινόμενον, καὶ τοὺς ἐχθροὺς ἄκοντας αὐτοὺς ὠφελοῦντας.

10 Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες. Παρὰ μὲν γὰρ τοῖς ἔξωθεν ὑποπτευόμεθα, ὡς ἐν ἀθυμίᾳ εἶναι· ἡμεῖς δὲ οὐκ ἐκείνοις προσέχομεν, ἀλλὰ τὴν ἡδονὴν ἀκμάζουσαν ἔχομεν. καὶ οὐκ εἶπε, χαίροντες μόνον, ἀλλὰ προσέθηκε καὶ τὸ διηνεκές. ἀεὶ γὰρ χαίροντες, φησι. τί τοίνυν ταύτης ἴσον γένοιτ' ἂν τῆς ζωῆς, ἐν ᾗ τοσούτων ἐπιόντων δεινῶν, μείζων ἡ χαρὰ γίνεται; Ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες. Τινὲς μὲν φασι πλοῦτον ἐνταῦθα λέγεσθαι τὸν πνευματικόν· ἐγὼ δὲ εἴποιμι ἂν καὶ τὸν σαρκικόν. καὶ γὰρ καὶ τοῦτον ἐπλούτουν, καινῷ τινι τρόπῳ τὰς ἁπάντων ἔχοντες οἰκίας ἀνεῳγμένας αὐτοῖς. καὶ τοῦτο

ἐδήλωσε

ἐδήλωσε διὰ τῶν ἑξῆς, εἰπών, Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Καὶ πῶς ἔνι τοῦτο; πῶς μὲν οὖν τὸ ἐναντίον ἔνι; ὁ γὰρ πολλὰ κατέχων, οὐδὲν ἔχει· ὁ δὲ μηδὲν ἔχων, τὰ πάντα κέκτηται. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἀπὸ τῶν ἐναντίων τὰ ἐναντία ἐγίνετο. εἰ δὲ θαυμάζεις πῶς ἐστὶ τὸν μηδὲν ἔχοντα τὰ πάντα ἔχειν, αὐτὸν τοῦτον εἰς μέσον ἀγάγωμεν, ὃς τῇ οἰκουμένῃ ἐπέταττε, καὶ οὐχὶ τῶν χρημάτων αὐτῶν, ἀλλὰ καὶ αὐτῶν τῶν ὀφθαλμῶν κύριος ἦν. Εἰ δυνατόν, φησι, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες Γαλ. δ. ιε. ἂν ἐδώκατέ μοι. ταῦτα δὲ λέγει, παιδεύων μὴ παρατίθεσθαι πρὸς τὰς τῶν πολλῶν δόξας, κἂν πλάνους λέγωσι, κἂν ἀγνοῶσι, κἂν καταδίκους νομίζωσι, κἂν ἐπιθυματίους, κἂν λυπεῖσθαι, κἂν ἐν πτωχείᾳ εἶναι, κἂν μηδὲν ἔχειν, κἂν τοὺς ἐν εὐθυμίᾳ ἀθυμεῖν· ὅτι οὐδὲ τοῖς τυφλοῖς ὁ ἥλιος καταφανής, οὐδὲ τοῖς παραπαίουσιν ἡ τῶν σωφρονούντων ἡδονὴ δήλη. μόνοι γὰρ οἱ πιστοὶ ὀρθοὶ κριταὶ τῶν πραγμάτων εἰσί, καὶ οὐκ ἐπὶ τοῖς αὐτοῖς χαίρουσι καὶ ἀλγοῦσι τοῖς ἄλλοις. καὶ γὰρ εἴ τις ἄπειρος ἀγώνων πυκτεύοντα θεάσαιτο τραύματα ἔχοντα, καὶ στέφανον περικείμενον, ἡγήσαιτο αὐτὸν ἀλγεῖν διὰ τὰ τραύματα, οὐκ εἰδὼς τὴν ἡδονὴν τὴν ἀπὸ τοῦ στεφάνου· καὶ οὗτοι τοίνυν ἐπειδὴ ἃ πάσχομεν ἴσασιν, ὑπὲρ δὲ ὧν πάσχομεν ἀγνοοῦσιν, εἰκότως ταῦτα μόνα ὑποπτεύουσι, τὰ παλαίσματα μὲν καὶ τοὺς κινδύνους ὁρῶντες, τὰ δὲ ἔπαθλα καὶ τοὺς στεφάνους καὶ τὴν τῶν ἀγώνων ὑπόθεσιν οὐκέτι. τί οὖν ἦν πάντα ἅπερ Παῦλος κατεῖχε, λέγων, ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες; τὰ βιωτικά, τὰ πνευματικά. ὃν γὰρ ὡς ἄγγελον αἱ πόλεις ἐδέχοντο, ὑπὲρ οὗ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐξορύξαντες ἂν ἔδωκαν, ὑπὲρ οὗ τὸν ἑαυτῶν τράχηλον ὑπέθεντο, πῶς οὐχὶ οὐ πάντα εἶχε τὰ ἐκείνων; εἰ δὲ βούλει καὶ τὰ πνευματικὰ ἰδεῖν, ὄψει καὶ ἐν τούτοις μάλιστα πλουτοῦντα. ὁ γὰρ οὕτω τῷ βασιλεῖ τῶν πάντων φίλος, ὡς καὶ ἀπορρήτων κοινωνεῖν τῷ δεσπότῃ τῶν ἀγγέλων, πῶς οὐ πάντων εὐπορώτερος ἦν, καὶ πάντα εἶχεν; οὐκ ἂν οὕτως ὑπέκειντο δαίμονες, οὐκ ἂν οὕτως ἐθεράπευσε πάθη καὶ νοσήματα.

Καὶ ἡμεῖς τοίνυν, ὅταν τι πάσχωμεν διὰ τὸν Χριστόν, μὴ μόνον γενναίως φέρωμεν, ἀλλὰ ΗΘΙΚΟΝ καὶ χαίρωμεν. κἂν νηστεύωμεν, ὡς τρυφῶντες σκιρτῶμεν· κἂν ὑβριζώμεθα, ὡς ἐγκωμιαζόμενοι χορεύωμεν· κἂν ἀναλίσκωμεν, ὡς κερδαίνοντες διακεώμεθα· κἂν πένησι παρέχωμεν, λαμβάνειν νομίζωμεν. ὁ γὰρ μὴ οὕτω διδούς, οὐδὲ δώσει ῥᾳδίως. ὅταν τοίνυν θέλῃς σκορπίσαι, μὴ τοῦτο ἴδῃς μόνον, ὅτι ἀναλίσκεις, ἀλλ' ὅτι καὶ πλείονα κερδαίνεις· καὶ τοῦτο πρὸ ἐκείνου. καὶ μὴ μόνον ἐπὶ ἐλεημοσύνης, ἀλλὰ καὶ ἐπὶ πάσης ἀρετῆς, μὴ τὸ δριμὺ τῶν πόνων, ἀλλὰ καὶ τὸ γλυκὺ τῶν ἐπάθλων λογίζου· καὶ πρὸ πάντων, τὴν ὑπόθεσιν τῶν παλαισμάτων τὸν Κύριον ἡμῶν Ἰησοῦν· καὶ ῥᾳδίως ἐπιβήσῃ τῶν ἀγώνων, καὶ ἐν ἡδονῇ τὸν ἅπαντα βιώσῃ χρόνον. οὐδὲν γὰρ οὕτω ποιεῖν ἡδονὴν εἴωθεν, ὡς συνειδὸς ἀγαθόν. διὰ τοῦτο Παῦλος μὲν καθ' ἑκάστην κατακοπτόμενος τὴν ἡμέραν, ἔχαιρε καὶ ἠγάλλετο· οἱ δὲ νῦν, οὐδὲ ὄναρ ὑπομένοντές τι τοιοῦτον, ἀλγοῦσι καὶ θρηνοῦσιν, οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἐκ τοῦ μὴ φιλόσοφον ἔχειν γνώμην. ἐπεὶ τίνος ἕνεκεν, εἰπέ μοι, ὀδύρῃ; ὅτι πένης εἶ, καὶ τῶν ἀναγκαίων ἀπορεῖς; οὐκοῦν διὰ τοῦτό σε μᾶλλον θρηνεῖν δεῖ, οὐχ ὅτι κλαίεις, οὐχ ὅτι πένης εἶ, ἀλλ' ὅτι μικρόψυχος· οὐχ ὅτι χρήματα οὐκ ἔχεις, ἀλλ' ὅτι τοσούτου τὰ χρήματα τιμᾷς. καθ' ἑκάστην ἡμέραν ἀπέθνησκε Παῦλος, καὶ οὐκ ἔκλαιεν, ἀλλὰ καὶ ἔχαιρε. λιμῷ ἐμάχετο διηνεκεῖ, καὶ οὐκ ἤλγει, ἀλλὰ καὶ ἐκαλλωπίζετο. σὺ δὲ ὅτι μὴ πάντα ἔχεις τὰ τοῦ ἐνιαυτοῦ κείμενα, ἀλγεῖς καὶ κόπτεις ἑαυτόν; ναί, φησιν. ἐκεῖνος γὰρ τὰ ἑαυτοῦ μόνον ἐμερίμνα, ἐγὼ δὲ καὶ ὑπὲρ οἰκετῶν, καὶ παίδων, καὶ γυναικός. ἐκεῖνος μὲν οὖν μόνος τὰ ἑαυτοῦ οὐκ ἐμερίμνα, ἀλλὰ τὰ τῆς οἰκουμένης ἁπάσης. καὶ σὺ μὲν ὑπὲρ οἰκίας μιᾶς· ἐκεῖνος δὲ ὑπὲρ τῶν ἐν Ἱεροσολύμοις πενήτων τοσούτων ὄντων, ὑπὲρ τῶν ἐν Μακεδονίᾳ, ὑπὲρ τῶν πανταχοῦ πτωχευόντων, ὑπὲρ τῶν διδόντων ἐκείνοις οὐχ ἧττον, ἢ τῶν λαμβανόντων. καὶ γὰρ διπλῆ ἦν αὐτῷ ἡ φροντίς

χ. ἀναλίσκοντες,

τις ὑπὲρ τῆς οἰκουμένης· καὶ ὅπως τῶν ἀναγκαίων μὴ ἀπορῶσιν, καὶ ὅπως ἐν τοῖς πνευματικοῖς πλουτοῖεν. καὶ οὐχ οὕτως ἐλύπει τὰ παιδία πεινῶντα, ὡς ἐκεῖνον τὰ τῶν πιστῶν πράγματα πάντα. τί λέγω τὰ τῶν πιστῶν; οὐδὲ γὰρ τῆς ὑπὲρ τῶν ἀπίστων φροντίδος ἐλεύθερος ἦν, ἀλλ' οὕτως ὑπὸ ταύτης ἐτήκετο, ὡς εὔχεσθαι καὶ ἀνάθεμα γίνεσθαι ὑπὲρ αὐτῶν. σὺ δὲ, κἂν μυριάκις ἐπιχειρήσῃ λιμὸς, οὐκ ἂν ἕλοιό ποτε ἀποθανεῖν ὑπὲρ οὐδενός. καὶ σὺ μὲν ὑπὲρ γυναικὸς μιᾶς μεριμνᾷς, ἐκεῖνος δὲ ὑπὲρ τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν.

β. Κορ. ια. κη. Ἡ γὰρ μέριμνά μου, φησὶ, πασῶν τῶν ἐκκλησιῶν. μέχρι τίνος οὖν παίζεις, ἄνθρωπε, Παύλῳ σαυτὸν παραβάλλων, καὶ οὐ παύσῃ τῆς πολλῆς ταύτης μικροψυχίας; δακρύειν γὰρ, οὐχ ὅταν ἐν πενίᾳ ὦμεν, ἀλλ' ὅταν ἁμαρτάνωμεν, δεῖ. τοῦτο γὰρ θρήνων ἄξιον, ὡς τά γε ἄλλα καὶ γέλωτος. ἀλλ' οὐ τοῦτό με λυπεῖ, φησὶ, μόνον, ἀλλ' ὅτι καὶ ὁ δεῖνα ἐν δυναστείᾳ, ἐγὼ δὲ ἄτιμος καὶ ἀπερριμμένος. καὶ τί τοῦτο; καὶ γὰρ ὁ μακάριος Παῦλος ἄτιμος καὶ ἀπερριμμένος εἶναι ἐδόκει τοῖς πολλοῖς. ἀλλ' ἐκεῖνος Παῦλος ἦν, φησίν. οὐκοῦν οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ τῆς γνώμης ἀσθένεια ποιεῖ σοι τὴν ἀθυμίαν. μὴ τοίνυν τὴν πενίαν θρήνει, ἀλλὰ σαυτὸν τὸν οὕτω διακείμενον· μᾶλλον δὲ μὴ σαυτὸν θρήνει, ἀλλὰ διόρθου· μηδὲ χρήματα ζήτει, ἀλλ' ὃ μυρίων χρημάτων φαιδροτέρους ποιεῖ, τοῦτο δίωκε, φιλοσοφίαν καὶ ἀρετήν. ταύτης μὲν γὰρ οὔσης, οὐδὲν πενίας βλάβος· ταύτης δὲ οὐκ οὔσης, οὐδὲν χρημάτων ὄφελος. τί γὰρ ὄφελος, εἰπέ μοι, τῶν πλουτούντων μὲν, πενιχρὰς δὲ ἐχόντων ψυχάς; οὐχ οὕτω σὺ σαυτὸν ταλανίζεις, ὡς ἐκεῖνος ὁ πλούσιος ἑαυτὸν, ὅτι μὴ τὰ πάντων ἔχει. εἰ δὲ μὴ κλαίει, καθάπερ σὺ, ἀνάπτυξον αὐτοῦ τὸ συνειδὸς, καὶ ὄψει τοὺς θρήνους καὶ τοὺς κωκυτούς. θέλεις σοι δείξω τὸν πλοῦτον τὸν σὸν, ἵνα παύσῃ μακαρίζων τοὺς ἐν χρήμασι πλουτοῦντας; ὁρᾷς τουτονὶ τὸν οὐρανὸν, πῶς μὲν καλὸς, πῶς δὲ μέγας, πῶς δὲ ἐφ' ὑψηλοῦ κεῖται; τούτου τοῦ κάλλους οὐχὶ πλέον μὲν ἀπολαύει ἐκεῖνος· οὐδ' ἂν δυνηθείη σε παρώσασθαι, καὶ αὐτὸς ποιῆσαι τὸ πᾶν. ὥσπερ γὰρ δι' ἐκεῖνον γέγονεν, οὕτω καὶ διὰ σέ. τί δὲ ὁ ἥλιος, τὸ φαιδρότατον τῶν ἄστρων, καὶ τηλαυγὲς, καὶ τὰς ὄψεις ἡμῶν εὐφραῖνον, οὐχὶ κοινὸς ἅπασι καὶ τοῖς πᾶσι πρόκειται, καὶ πάντες ἀπολαύουσιν ἐξίσης αὐτοῦ, καὶ πλούσιοι, καὶ πένητες; ἀλλ' ὁ τῶν ἄστρων στέφανος, καὶ ὁ τῆς σελήνης κύκλος, οὐχ ὁμοίως πᾶσιν ἀνεῖται; μᾶλλον δὲ, εἰ δεῖ τι θαυμαστὸν εἰπεῖν, πλέον ἡμεῖς οἱ πένητες ἀπολαύομεν, ἢ ἐκεῖνοι. ἐκεῖνοι μὲν γὰρ τὰ πολλὰ μέθῃ βαπτιζόμενοι, καὶ ἐν κώμοις διάγοντες καὶ ὕπνῳ βαθεῖ, οὐδὲ ἐπαισθάνονται τούτων, ὑπωρόφιοι ὄντες, καὶ σκιατραφούμενοι· οἱ δὲ πένητες μάλιστα πάντων εἰσὶν οἱ τοῖς στοιχείοις ἐντυγχάνοντες τούτοις. κἂν τὸν ἀέρα δὲ ἐξετάσῃς τὸν πανταχοῦ κεχυμένον, τὸν πένητα καθαρωτέρου καὶ πλείονος ἀπολαύοντα ὄψει. καὶ γὰρ ὁδοιπόροι, καὶ γεωργοὶ, τῶν ἐν ἄστει μᾶλλον ἐντυγχάνουσι τούτοις· καὶ αὐτῶν πάλιν τῶν ἐν ἄστει τούτων, πλέον οἱ χειροτέχναι, τῶν δι' ὅλης μεθυόντων τῆς ἡμέρας. τί δὲ ἡ γῆ, οὐχὶ κοινὴ πᾶσιν ἀνεῖται; οὐχὶ, φησί. πῶς τοῦτο λέγεις, εἰπέ μοι; ὅτι ὁ πλουτῶν, καὶ ἐν ἄστει πλέθρα ἀπολαβὼν πλείονα, μακροὺς αἴρει περιβόλους, καὶ ἐν ἀγροῖς πολλὰ ἀποτέμνεται μέρη. τί οὖν, ἐπειδὴ ἀποτέμνεται αὐτὸς αὐτῶν ἀπολαύει μόνος; οὐδαμῶς, κἂν μυρία φιλονεικήσῃ. καὶ γὰρ τοὺς καρποὺς εἰς ἅπαντας ἀναγκάζεται διανέμειν, καὶ σῖτον, καὶ οἶνον, καὶ ἔλαιόν σοι γεωργεῖ, καὶ διακονεῖταί σοι πανταχοῦ. καὶ τῶν περιβόλων τῶν μακρῶν, καὶ τῶν οἰκημάτων, μετὰ τὴν ἄφατον δαπάνην καὶ τοὺς πόνους καὶ τὰς ταλαιπωρίας, σοὶ παρασκευάζει τὴν χρῆσιν, ὀλίγον παρὰ σοῦ τῆς τοσαύτης διακονίας ἀργύριον λαβών. καὶ ἐν βαλανείοις, καὶ πανταχοῦ τὸ αὐτὸ συμβαῖνον ἴδοι τις ἄν· τοὺς μὲν πλουτοῦντας, καὶ χρήμασι, καὶ φροντίσι, καὶ πόνοις δαπανωμένους· τοὺς δὲ πένητας ὀλίγων ὀβολῶν μετὰ ἀδείας ἅπαντα καρπουμένους ταῦτα. καὶ πλέον οὐδὲν ἀπολαύει σου τῆς γῆς. οὐ γὰρ δὴ ἐκεῖνος μὲν δέκα γαστέρας, σὺ δὲ μίαν πληροῖς. ἀλλὰ πολυτελεστέρων αὐτὸς μετέχει σιτίων; μάλιστα μὲν οὐ πολλὴ τοῦτο πλεονεξία. πλὴν κἀνταῦθα σε τὸ πλέον ἔχοντα εὑρήσομεν.

Εἰ

Εἰ γὰρ πολυτέλεια αὕτη διὰ τοῦτό σοι ζηλωτὴ εἶναι δοκεῖ, ἐπειδὴ πλείονα ἔχει τὴν ἡδονήν· ἀλλ' αὕτη παρὰ τῷ πένητι πλείων, οὐχ ἡδονὴ δὲ μόνον, ἀλλὰ καὶ ὑγεία. καὶ τούτῳ πλεονεκτεῖ μόνον ὁ πλούσιος, τῷ τὸ σῶμα ἀσθενέστερον κατασκευάζειν, καὶ πλείονας συνάγειν τὰς πηγὰς τῶν ἀρρωστημάτων. τὰ μὲν γὰρ τοῦ πένητος κατὰ φύσιν οἰκονομεῖται πάντα· τὰ δὲ ἐκείνου διὰ τὴν ἀμετρίαν εἰς φθορὰν τελευτᾷ καὶ ἀρρωστίαν. Εἰ δὲ βούλεσθε, καὶ ἐπὶ ὑποδείγματος αὐτὸ τοῦτο κατίδωμεν. Εἰ γὰρ δέοι κάμινον ἀνάψαι, εἶτα ὁ μὲν σηρικὰ ἱμάτια καὶ ὀθόνας λεπτὰς καταβάλοι πολλὰς καὶ ἀπείρους, καὶ οὕτως αὐτὴν ἀνακαίοι, ὁ δὲ ξύλα δρυὸς καὶ πεύκης, τί πλέον ἕξει οὗτος ἐκείνου; οὐδὲν ἀλλὰ καὶ ἐλαττοῖτο δέ. οὐδὲν γὰρ κωλύει καὶ ἑτέρως * παρατρέψαι τὸ ὑπόδειγμα· εἰ ὁ μὲν ξύλα βάλοι, ὁ δὲ σώματα ὑποκαίοι, ποίᾳ ἂν ἡδέως παρέστης καμίνῳ, τῇ τῶν ξύλων, ἢ τῇ τῶν σωμάτων; εὔδηλον ὅτι τῇ τῶν ξύλων. ἐκείνη μὲν γὰρ κατὰ φύσιν καίεται, καὶ ἡδὺ θέαμα τοῖς ὁρῶσιν ἐστίν· αὕτη δὲ τῇ κνίσῃ, καὶ τῷ ἰχῶρι, καὶ τῷ καπνῷ, καὶ τῇ τῶν ὀστέων δυσωδίᾳ πάντας ἂν ἀπελάσειεν. ἔφριξας ἀκούσας, καὶ ἐβδελύξω τὴν κάμινον; τοιαῦται αἱ τῶν πλουσίων γαστέρες εἰσί. πλείονα γὰρ ἐν ταύταις σηπεδόνια, ἢ ἐν τῇ καμίνῳ ἐκείνῃ εὕροι τις ἄν· καὶ πνεύματα δυσώδη, καὶ ῥεύματα ἀκάθαρτα, τῷ πανταχοῦ καὶ ἐν ἑκάστῳ μορίῳ πολλὴν εἶναι τὴν ἀπεψίαν διὰ τὴν πλησμονήν. τοῦ γὰρ κατὰ φύσιν θερμοῦ οὐκ ἀρκοῦντος ἅπαντα κατεργάσασθαι, ἀλλὰ καταχωννυμένου, ἐπίκειται ἐκεῖνα ἄνωθεν καπνιζόμενα, καὶ πολλὴν ποιοῦντα τὴν ἀηδίαν. τίνι οὖν ἄν τις παραβάλοι τὰς ἐκείνων γαστέρας (ἀλλὰ μὴ δυσχεράνητε πρὸς τὸν λόγον, ἀλλ' εἰ μὴ ἀληθῆ λέγω, διελέγξατε) τίνι οὖν ἄν τις αὐτὰς παραβάλοι; οὐδὲ γὰρ ἀρκεῖ τὰ εἰρημένα δεῖξαι αὐτῶν τὴν ἀθλιότητα. εὗρον καὶ ἑτέραν εἰκόνα. τίνα δὴ ταύτην; καθάπερ ἐπὶ τῶν ἀμαρῶν ἔνθα πολλοὶ οἱ φορυτοὶ κόπρου, χόρτου, καλάμης, λίθων, πηλοῦ, συνεχεῖς ἐμφράξεις γίνονται, καὶ ὑπερεκχεῖται λοιπὸν ἄνωθεν ἡ τοῦ βορβόρου ῥύμη· οὕτω καὶ ἐπὶ τῆς τούτων κοιλίας συμβαίνει. φραττομένης γὰρ αὐτῆς κάτωθεν, ἄνωθεν ἀναβλύζει τὰ πλείονα τῶν πονηρῶν τούτων ῥευμάτων. ἀλλ' οὐκ ἐπὶ τῶν πενήτων οὕτως· ἀλλ' ὥσπερ αἱ τὰ καθαρὰ περιχέουσαι ῥεῖθρα πηγαί, καὶ κήπους ἄρδουσαι καὶ παραδείσους, οὕτω καὶ αἱ τούτων γαστέρες εἰσὶ καθαραὶ τῶν τοιούτων περιττωμάτων. ἀλλ' οὐχ αἱ τῶν πλουτούντων, μᾶλλον δὲ τρυφώντων, τοιαῦται· ἀλλὰ χυμῶν, φλεγμάτων, χολῆς, αἵματος διεφθορότος, ῥεύματος σεσηπότος, καὶ τῶν ἄλλων τῶν τοιούτων εἰσὶ πεπληρωμέναι. διόπερ οὐδεὶς κἂν πρὸς βραχὺν ἀρκέσῃ χρόνον διαπαντὸς ἐν τρυφῇ ζῶν, ἀλλ' ἐν ἀρρωστίαις βιώσεται διηνεκέσι. διὸ καὶ ἡδέως ἂν ἠρόμην αὐτούς, τίνος ἕνεκεν τὰ σιτία δέδοται; ἵνα φθειρώμεθα, ἢ ἵνα τρεφώμεθα; ἵνα νοσῶμεν, ἢ ἵνα ὑγιαίνωμεν; ἵνα ἀσθενῶμεν, ἢ ἵνα ἰσχύωμεν; εὔδηλον ὅτι διὰ τροφήν, καὶ ὑγείαν, καὶ ἰσχύν. τίνος οὖν ἕνεκεν εἰς τοὐναντίον αὐτοῖς ἀποκέχρησθε, νόσον καὶ ἀσθένειαν διὰ τούτων δημιουργοῦντες τῷ σώματι; ἀλλ' οὐχ ὁ πένης, ἀλλ' ὑγείαν καὶ εὐρωστίαν καὶ ἰσχὺν διὰ τῆς λιτῆς ὠνεῖται τροφῆς. μὴ δὴ κλαῖε διὰ πενίαν τὴν ὑγείας μητέρα, ἀλλὰ καὶ ἀγάλλου· καὶ, εἰ βούλει πλουτεῖν, καταφρόνει πλούτου. οὐ γὰρ τὸ χρήματα ἔχειν, ἀλλὰ τὸ μὴ δεῖσθαι τοῦ ἔχειν, τοῦτο μάλιστα εὐπορία. ἂν τοῦτο κατορθώσωμεν, καὶ ἐνταῦθα τῶν πλουτούντων πάντων εὐπορώτεροι ἐσόμεθα, καὶ ἐκεῖ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ἡ

γρ. βούλει

* τί αὐτό

γρ. αὐτὰς

Λογ. ιγ. 11 ΤΟ ΣΤΟΜΑ ΗΜΩΝ ΑΝΕΩΓΕ ΠΡΟΣ ΥΜΑΣ, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται. 12 Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν.

Διηγησάμενος περὶ τῶν ἑαυτοῦ πειρασμῶν καὶ θλίψεων (ἐν ὑπομονῇ γάρ, φησιν, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις) καὶ δείξας ὅτι μέγα ἀγαθὸν τὸ πρᾶγμα (ὡς λυπούμενοι [γὰρ] φησιν, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες) καὶ ὅπλα αὐτὰ εἰπών (ὡς παιδευόμενοι γάρ, φησι, καὶ μὴ θανατούμενοι) καὶ τοῦ Θεοῦ τὴν πολλὴν κηδεμονίαν διὰ τούτων ἐμφήνας καὶ τὴν δύναμιν (ἵνα γὰρ ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, φησι, καὶ μὴ ἐξ ἡμῶν) καὶ τοὺς ἄθλους αὐτοῦ καταλέξας (πάντοτε γὰρ τὴν νέκρωσιν αὐτοῦ, φησι, περιφέρομεν) καὶ ὅτι ἀναστάσεως τοῦτο ἀπόδειξις σαφής (ἵνα γὰρ καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν, φησι) καὶ ὧν γέγονε κοινωνός, καὶ τίνα ἐπιστεύθη (ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, φησιν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν) καὶ ποίων ἐστὶ διάκονος, ὅτι οὐ γράμματος, ἀλλὰ πνεύματος, καὶ ὅτι οὐ τούτῳ μόνον αἰδέσιμος, ἀλλὰ καὶ τοῖς πειρασμοῖς (Θεῷ γάρ, φησι, χάρις τῷ πάντοτε ἡμᾶς θριαμβεύοντι) μέλλει λοιπὸν αὐτοῖς καὶ ἐπιτιμᾶν, ὡς οὐ σφόδρα περὶ αὐτὸν διακειμένοις. ἀλλὰ μέλλων, οὐκ εὐθέως ἐπὶ τοῦτο ἔρχεται· ἀλλὰ πρότερον τὰ περὶ τῆς ἀγάπης εἰπών, ἣν περὶ αὐτοὺς ἐπεδείκνυτο, τότε ἐμβαίνει καὶ εἰς τὸ περὶ τούτων λέγειν. εἰ γὰρ καὶ ἀπὸ τῶν οἰκείων κατορθωμάτων αἰδέσιμος ὁ ἐπιτιμῶν εἴη, ἀλλ' ὅμως ὅταν καὶ τὴν φιλίαν, ἣν ἔχει πρὸς τοὺς ἐγκαλουμένους, ἐπιδείξηται, ἀνεπαχθέστερον ποιεῖ τὸ λέγειν. διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ τῶν πειρασμῶν καὶ τῶν ἱδρώτων τῶν ἑαυτοῦ καὶ τῶν ἀγώνων ἐκβάς, εἰς τὸ περὶ τῆς ἀγάπης μεταβαίνει λέγειν· καὶ οὕτως αὐτῶν καθάπτεται. τίνα οὖν ἐστι τὰ τῆς ἀγάπης ἐνδεικτικά; τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι. καὶ ποῖον τοῦτο σημεῖον ἀγάπης; τί δὲ καὶ ἔστιν ὅλως τὸ εἰρημένον; οὐκ ἀνεχόμεθα, φησι, σιγᾶν πρὸς ὑμᾶς, ἀλλ' ἀεὶ βουλόμεθα καὶ ἐπιθυμοῦμεν φθέγγεσθαι καὶ διαλέγεσθαι ὑμῖν· ὅπερ ἔθος τῶν ἀγαπώντων ἐστί. καὶ γὰρ ὅπερ εἰσὶν ἐπὶ σώματος περιπλοκαὶ χειρῶν, τοῦτο ἐπὶ ψυχῆς συνουσία λόγων. μετὰ δὲ τούτου καὶ ἕτερον αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι πάντα μετὰ παρρησίας ὑμῖν διαλεγόμεθα, ὡς ἀγαπητοῖς, καὶ οὐδὲν ἀποστελλόμενοι, οὐδὲ ταμιευόμενοι. ἐπεὶ γὰρ λοιπὸν μέλλει ἐπιτιμᾶν, συγγνώμην αἰτεῖ αὐτὸ τὸ ἐπιτιμᾶν μετὰ παρρησίας ἀπόδειξιν ποιούμενος τοῦ σφόδρα αὐτοὺς φιλεῖν. καὶ ἡ προσθήκη δὲ τοῦ ὀνόματος, φιλίας πολλῆς, καὶ διαθέσεως, καὶ θερμότητος. καὶ γὰρ εἰώθαμεν τῶν ἀγαπωμένων συνεχῶς γυμνὰ τὰ ὀνόματα περιστρέφειν. ἡ καρδία ἡμῶν πεπλάτυνται. καθάπερ γὰρ τὸ θερμαῖνον εὐρύνειν εἴωθεν· οὕτω καὶ τῆς ἀγάπης ἔργον, τὸ πλατύνειν ἐστί. θερμὴ γάρ ἐστιν ἡ ἀρετὴ καὶ ζέουσα. αὕτη καὶ τὸ στόμα ἀνεπέτασε Παύλου, καὶ τὴν καρδίαν ἐπλάτυνεν. οὐδὲ γὰρ τῷ στόματι μόνον φιλῶ, φησιν, ἀλλὰ καὶ τὴν καρδίαν συνᾴδουσαν ἔχω. διὰ τοῦτο μετὰ παρρησίας φθέγγομαι, ὅλῳ τῷ στόματι, ὅλῃ τῇ διανοίᾳ. οὐδὲν γὰρ τῆς Παύλου καρδίας πλατύτερον, ἣ τοὺς πιστοὺς ἅπαντας, καθάπερ ἄν τις ἐρώμενον, οὕτω σφοδρῶς ἠγάπα· οὐ διαιρουμένης αὐτοῦ τῆς φιλίας καὶ ἀσθενεστέρας γινομένης, ἀλλ' ὁλοκλήρου ἐν ἑκάστῳ μενούσης. καὶ τί θαυμαστὸν ἐπὶ πιστῶν, ὅπου γε καὶ ἐπὶ τῶν ἀπίστων, τὴν οἰκουμένην πᾶσαν ἐδέχετο ἡ καρδία Παύλου; διὰ τοῦτο οὐκ εἶπε, φιλῶ ὑμᾶς, ἀλλ' ἐμφαντικώτερον, τὸ στόμα ἡμῶν ἀνέῳγεν, ἡ καρδία ἡμῶν πεπλάτυνται· πάντας

ἔνδον

ἔνδον ἔχομεν· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ μετ᾽ εὐρυχωρίας πολλῆς. ὁ γὰρ φιλούμενος,
μετὰ πολλῆς ἔνδον ἐν τῇ καρδίᾳ τοῦ φιλοῦντος βαδίζει τῆς ἀδείας. διό φησιν, οὐ στενοχω-
ρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. καὶ τὴν ἐπιτίμησιν ὅρα μετὰ φει-
δοῦς γινομένην· ὃ τῶν σφόδρα φιλούντων ἐστίν. οὐκ εἶπεν, οὐ φιλεῖτε ἡμᾶς, ἀλλ᾽ οὐ μετὰ
τοῦ αὐτοῦ μέτρου. οὐ γὰρ βούλεται αὐτῶν σφόδρα καθάψασθαι. καὶ πανταχοῦ δὲ ἴδοι τις ἂν
πῶς ἐκκαίεται τῶν πιστῶν, ἐκλέγων ἑκάστης ἐπιστολῆς αὐτοῦ τὰ ῥήματα. Ῥωμαίοις μὲν γάρ
φησιν, Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, καί, Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καί, Εἴ πως ἤδη Ρωμ. α. ια.
ποτὲ εὐοδωθήσομαι ἐλθεῖν πρὸς ὑμᾶς. Γαλάταις δέ φησι, Τεκνία μου, οὓς πάλιν ὠδίνω. καὶ ι.
Ἐφεσίοις * πάλιν, Τούτου χάριν κάμπτω τὰ γόνατά μου ὑπὲρ ὑμῶν. Φιλιππησίοις δέ, Τίς Γαλατ. δ. ιθ. Ἐφεσ. γ. ιδ.
γάρ μοί ἐστιν ἐλπίς, ἢ χαρά, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς; καὶ ἐν τῇ καρδίᾳ, καὶ ἐν α. Θεσ. ϛ. ιθ.
τοῖς δεσμοῖς αὐτοὺς περιφέρειν ἔλεγε. Κολασσαεῦσι δέ, Θέλω δὲ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα Κολασ. β. α.
ἔχω ὑπὲρ ὑμῶν, καὶ ὅσοι οὐχ ἑωράκασί με ἐν σαρκί, ἵνα παρακληθῶσιν αἱ καρδίαι ὑμῶν. Θεσ-
σαλονικεῦσι δέ, Ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν α. Θεσ. β. ζ.
ὑμῖν μεταδοῦναι οὐ μόνον τὸ εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς. Τιμοθέῳ δέ, Μεμνη- β. Τιμ. α. δ.
μένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ. Τίτῳ δέ, Τῷ ἀγαπητῷ τέκνῳ καὶ Φιλήμονι Τιτ. α. δ.
ὁμοίως. καὶ Ἑβραίοις δὲ πολλὰ ἕτερα τοιαῦτα γράφει, καὶ οὐ παύεται παρακαλῶν, καὶ λέγων,
Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· καθάπερ παῖδας δυσχεραίνοντας μήτηρ. Ἑβρ. ι. λζ.
οὕτω καὶ αὐτοῖς, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, φησίν. οὐ λέγει δὲ μόνον ὅτι φιλεῖ, ἀλλ᾽ ὅτι καὶ φιλεῖται
παρ᾽ αὐτῶν· ἵνα καὶ ταύτῃ μᾶλλον αὐτοὺς ἐπισπάσηται. καίτοι τοῖς μὲν τοῦτο μαρτυρεῖ φη-
σιν, ὅτι ἦλθε Τίτος ἀπαγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν ζῆ- β. Κορ. ζ. ζ.
λον. καὶ Γαλάταις, Εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. καὶ Γαλ. δ. ιε.
Θεσσαλονικεῦσιν, Ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. καὶ Τιμοθέῳ δέ, Μεμνημένος σου α. Θεσ. α. θ.
τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ. καὶ πανταχοῦ δὲ τῶν ἐπιστολῶν εὕροι τις ἂν αὐτὸν τοῦτο ϛ. Τιμ. α. δ.
μαρτυροῦντα τοῖς μαθηταῖς, καὶ ὅτι ἐφίλησε, καὶ ὅτι φιλεῖται· οὐ μὴν ὁμοίως. καὶ ἐνταῦθά
φησιν, Εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι. ἀλλὰ τοῦτο μὲν πρὸς τῷ τέ- ϛ. Κορ. ιϛ. ιε.
λει· νῦν δὲ σφοδρότερον, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑ-
μῶν. ὑμεῖς ἕνα δέχεσθε, φησίν· ἐγὼ δὲ πόλιν ὁλόκληρον, καὶ δῆμον τοσοῦτον. καὶ οὐκ εἶπεν,
οὐ δέχεσθε ἡμᾶς, ἀλλ᾽ ὅτι στενοχωρεῖσθε· τὸ αὐτὸ μὲν αἰνιττόμενος, μετὰ φειδοῦς δέ, καὶ τοῦ μὴ
σφόδρα καθάψασθαι.

13 Τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω· πλατύνθητε καὶ ὑμεῖς.

Καίτοι οὐκ ἔστιν ἴσον, πρότερον ἀγαπηθῆναι, εἶτα ἀγαπῆσαι. κἂν γὰρ τὸ ἴσον τις
εἰσενέγκῃ μέτρον, ἡλάττωται τῷ δεύτερος ἐπιδοῦναι. ἀλλ᾽ ὅμως οὐδὲν ἀκριβολογοῦμαι,
φησί, κἂν παρ᾽ ἐμοῦ λαβόντες τὰς ἀρχὰς τὸ αὐτὸ μέτρον ἐπιδείξησθε, ἀγαπῶ καὶ στέργω.
εἶτα ἵνα δείξῃ ὅτι καὶ ὀφειλὴ τὸ πρᾶγμά ἐστι, καὶ ὅτι κολακείας ἐκτὸς τὰ εἰρημένα, ὡς τέ-
κνοις λέγω, φησί. τί ἐστιν, ὡς τέκνοις; οὐδὲν μέγα αἰτῶ, εἰ πατὴρ ὢν βούλομαι φιλεῖσθαι
παρ᾽ ὑμῶν. καὶ ὅρα σύνεσιν, καὶ μετριοφροσύνην. οὐ τίθησιν ἐνταῦθα τοὺς κινδύνους τοὺς
ὑπὲρ αὐτῶν, καὶ τοὺς πόνους, καὶ τοὺς θανάτους, καίτοι πολλὰ ἔχων εἰπεῖν (οὕτως ἐστὶν ἄτυφος)
ἀλλὰ τὸ φιλεῖν· καὶ διὰ τοῦτο ἀξιοῖ φιλεῖσθαι, ὅτι πατὴρ ὑμῶν γενόμενος, φησίν, ὅτι σφόδρα ὑ-
μῶν περιεχόμενος· ὃ μάλιστα περιΐσταται τῷ φιλουμένῳ πολλάκις, ὅταν τις αὐτῷ τὰς εὐεργεσίας
προσφέρῃ. δοκεῖ γὰρ ὀνειδίζειν. διὸ οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλ᾽ ὡς τέκνα πατέρα ἀγα-
πήσατε, φησίν· ὃ τῆς φύσεως μᾶλλον ἐστί, καὶ ὀφειλόμενον ἑκάστῳ πατρί. εἶτα ἵνα μὴ
δόξῃ δι᾽ ἑαυτὸν ταῦτα λέγειν, δείκνυσιν ὅτι διὰ τὸ ἐκείνων κέρδος καὶ τὴν παρ᾽ αὐτῶν ἐπι-
σπᾶται φιλίαν. διὸ καὶ ἐπήγαγε,

14 Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. Καὶ οὐκ εἶπε, μὴ ἀναμίγνυσθε ἀ-
πίστοις,

πίστοις, ἀλλὰ μᾶλλον αὐτοῦ καθαπτόμενος ἀπὸ ἀδικούντων τὸ δίκαιον, μὴ ἐκκλίνητε ἑαυτούς, φησί. Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Ἐνταῦθα λοιπὸν σύγκρισιν ποιεῖται οὐχὶ τῆς ἑαυτοῦ ἀγάπης, καὶ τῆς ἐκείνων τῶν διαφθειρόντων αὐτούς, ἀλλὰ τῆς αὐτῶν εὐγενείας, καὶ τῆς ἐκείνων ἀτιμίας. οὕτω γὰρ καὶ σεμνότερος ὁ λόγος γίνεται, καὶ αὐτοῖς προσηνέστερος, καὶ μᾶλλον αὐτοὺς ἐπεσπᾶτο. ὡς ἂν εἴ τις παιδὶ τῶν γεγεννηκότων ὑπερορῶντι, καὶ μιαροῖς ἑαυτὸν ἐκδιδόντι, λέγοι, τί ποιεῖς, ὦ παιδίον; τοῦ μὲν πατρὸς καταφρονεῖς; προτιμᾷς δὲ τοὺς μιαροὺς ἄνδρας, καὶ μυρίας γέμοντας κακίας; οὐκ οἶσθα πόσον αὐτῶν βελτίων εἶ καὶ σεμνότερος; οὕτω γὰρ μᾶλλον αὐτὸν ἀφίστησι τῆς ἐκείνων συνουσίας, ἢ εἰ τὸν πατέρα θαυμάζοι. ἂν μὲν γὰρ λέγοι, οὐκ οἶσθα πόσον ἐστὶν ὁ πατήρ σου βελτίων ἐκείνων; οὐδὲν τοσοῦτον ἐργάσεται. ἂν δὲ τὸν πατέρα ἀφεὶς, αὐτὸν αὐτῶν προκρίνοι, λέγων, οὐκ οἶσθα τίς μὲν σὺ, τί δὲ ἐκεῖνοι; οὐκ ἐννοεῖς σου τὴν εὐγένειαν καὶ τὴν ἐλευθερίαν, καὶ τὴν ἀτιμίαν τὴν ἐκείνων; τίς γὰρ κοινωνία σοι κἀκείνοις τοῖς κλέπταις, τοῖς μοιχοῖς, τοῖς γόησι; ταχέως αὐτὸν τοῖς ἐγκωμίοις τοῖς αὐτοῦ πτερώσας, ἀπορραγῆναι ἐκείνων παρασκευάσει. τὸν μὲν γὰρ πρότερον οὐ σφόδρα δέξεται λόγον, ὅτι κατηγορία αὐτοῦ ἐστιν ἡ προτίμησις τοῦ πατρὸς, ὅταν μὴ μόνον πατέρα φανῇ (λυπῶν, ἀλλὰ καὶ πατέρα τοιοῦτον· ἐνταῦθα δὲ οὐκέτι οὐδὲ τοιοῦτόν τι πείσεται). οὐδεὶς γὰρ ἂν ἕλοιτο μὴ ἐγκωμιάζεσθαι· καὶ δι' αὐτὸ δὴ, μετὰ τῶν ἐπαίνων τοῦ ἀκούοντος, ὁ ἔλεγχος γίνεται εὐπαράδεκτος. χαλᾶται γὰρ ὁ ἀκροατὴς, καὶ φρονήματος πληροῦται μεγάλου, καὶ διαπτύει τὴν ἐκείνων συνουσίαν. οὐ τοῦτο δὲ μόνον αὐτοῦ ἐστι τὸ θαυμαστὸν, ὅτι οὕτω προήγαγε τὴν σύγκρισιν, ἀλλ' ὅτι καὶ ἕτερόν τι μεῖζον ἐπενόησε, καὶ ἐκπληκτικώτερον· πρῶτον μὲν κατ' ἐρώτησιν προσαγαγὼν τὸν λόγον (ὅπερ τῶν σαφῶν καὶ ὁμολογουμένων ἐστὶν) ἔπειτα δὲ πλατύνων τῇ πυκνότητι καὶ τῷ πλήθει τῶν ὀνομάτων. οὐ γὰρ ἓν, καὶ δύο, καὶ τρία, ἀλλὰ πλείονα πρὸς τούτοις ἀντὶ τῶν προσώπων τὰ ὀνόματα τῶν πραγμάτων τίθησι, καὶ ἄκραν ἐνταῦθα ἀρετὴν, καὶ ἐσχάτην ἐκεῖ κακίαν ὑπογράφει· καὶ πολὺ τὸ μέσον καὶ ἄπειρον δείκνυσιν, ὡς μηδὲ δεηθῆναι κατασκευῆς. Τίς γὰρ, φησι, μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;

15 Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

16 Ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; Εἶδες πῶς γυμνὰ τὰ ὀνόματα τίθησι, καὶ ἀρκοῦντα αὐτὰ πρὸς ἀποτροπήν; οὐδὲ γὰρ εἶπε, παρανομίᾳ, ὁ πλείων, οὐδὲ εἶπε, τοῖς τοῦ φωτὸς, καὶ τοῖς τοῦ σκότους· ἀλλ' αὐτὰ τὰ ἐναντία τίθησι, τὰ ἀπαράδεκτα τῶν ἐναντίων, φῶς καὶ σκότος. οὐδὲ εἶπε, τοῖς τοῦ Χριστοῦ καὶ τοῖς τοῦ διαβόλου, ἀλλ' ὃ πολλῷ πλέον ἀφειστήκει, Χριστῷ καὶ Βελίαρ· τῇ Ἑβραϊκῇ φωνῇ τὸν ἀποστάτην καλέσας οὕτως. ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; ἐνταῦθα λοιπὸν, ἵνα μὴ δόξῃ κακίας ἁπλῶς κατηγορίαν, καὶ ἀρετῆς ἐγκώμιον διεξιέναι, μέμνηται καὶ προσώπων ἀδιορίστως. καὶ οὐκ εἶπε κοινωνίαν, ἀλλὰ τὰ ἔπαθλα τέθεικε, μερίδα εἰπών. τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος. Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὔτε ὁ βασιλεὺς ὑμῶν ἔχει τι κοινὸν πρὸς αὐτὸν (τίς γὰρ συμφωνία Χριστῷ πρὸς Βελίαρ;) οὔτε τὰ πράγματα. τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; οὐκοῦν οὐδὲ ὑμᾶς δεῖ. καὶ πρῶτον τίθησι τὸν βασιλέα, καὶ δεύτερον αὐτοὺς, τούτῳ μάλιστα αὐτοὺς ἀποσχίζων. εἶτα εἰπὼν, ναῷ Θεοῦ μετὰ εἰδώλων, καὶ ἀποφηνάμενος, ὅτι ὑμεῖς γὰρ ναὸς Θεοῦ ζῶντος, ἀναγκαίως καὶ τὴν μαρτυρίαν ἐπάγει, δεικνὺς ὅτι οὐ κολακεία τὸ πρᾶγμά ἐστιν· ὁ γὰρ ἐγκωμιάζων, ἂν μὴ [καὶ] ἀπόδειξιν παρέχηται, δοκεῖ *κολακεύειν. τίς οὖν ἡ μαρτυρία; Ἐνοικήσω γὰρ ἐν αὐτοῖς, φησι, καὶ ἐμπεριπατήσω, Ἐνοικήσω ἐν ναοῖς, καὶ ἐμπεριπατήσω· τὴν πλείονα πρὸς αὐτοὺς σχέσιν δηλῶν. Καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν. Τί, φησι; Θεὸν φέρεις ἐν σεαυτῷ, καὶ πρὸς ἐκείνους τρέχεις; Θεὸν τὸν οὐδὲν ἔ-

χ. συμφωνή

* καὶ

Λευϊτ. κϛ. ιβ.

χοντα κοινὸν πρὸς αὐτούς; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης; ἐνόησον τίς ἐμπεριπατεῖ σοι, τίς ἐνοικεῖ.

17 Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς, λέγει Κύριος. Καὶ οὐκ εἶπε, μὴ προσάπτετε ἀκάθαρτα· Ησ. νβ. ια. ἀλλὰ πλείονα ἀκρίβειαν ζητῶν, μηδὲ ἅπτεσθε, φησί, μηδὲ ἐγγὺς γίνεσθε. τί δέ ἐστι μολυσμὸς σαρκός; μοιχεία, πορνεία, ἀσέλγεια πᾶσα. τί δὲ ψυχῆς; ἀκάθαρτοι λογισμοί, ὡς τὸ ἐμβλέψαι ἀκολάστοις ὀφθαλμοῖς, μνησικακίαι, δόλοι, καὶ ὅσα τοιαῦτα. βούλεται τοίνυν ἑκατέρωθεν εἶναι καθαρούς. Εἶδες τὸ ἔπαθλον ὅσον; τὸ ἀπαλλαγῆναι τῶν πονηρῶν, τὸ ἐνωθῆναι Θεῷ. ἄκουε καὶ τῶν ἑξῆς.

18 Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος. Ιερ. λα. α.

Εἶδες ἄνωθεν τὴν προδοθεῖσαν εὐγένειαν τὸν προφήτην προαναφωνοῦντα, τὴν διὰ τῆς χάριτος ἀναγέννησιν;

1 Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί. Ποίας; τὸ ναοὺς Θεοῦ εἶναι, τὸ κεφ. ζ.
υἱοὺς καὶ θυγατέρας, τὸ ἔνοικον αὐτὸν ἔχειν καὶ ἐμπεριπατοῦντα, τὸ λαὸν αὐτοῦ γίνεσθαι, τὸ τὸν Θεὸν αὐτὸν καὶ πατέρα κεκλῆσθαι. Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. Μήτε ἀκαθάρτων ἁπτώμεθα· τοῦτο γὰρ σαρκὸς μολυσμός· μήτε τῶν τὴν ψυχὴν μολυνόντων· τοῦτο γὰρ πνεύματος. καὶ οὐκ ἀρκεῖται τούτῳ μόνον, ἀλλὰ καὶ ἐπάγει, Ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. Οὐ γὰρ τὸ μὴ ἀκαθάρτου ἅπτεσθαι ποιεῖ καθαρόν, ἀλλὰ καὶ ἑτέρου τινὸς ἡμῖν δεῖ ὥστε γενέσθαι ἡμᾶς ἁγίους, σπουδῆς, προσοχῆς, εὐλαβείας. καὶ καλῶς εἶπεν, ἐν φόβῳ Θεοῦ. ἔστι γὰρ ἐπιτελεῖν σωφροσύνην, οὐκ ἐν φόβῳ Θεοῦ, ἀλλὰ διὰ κενοδοξίαν. μετὰ δὲ τούτου καὶ ἕτερον αἰνίττεται εἰπὼν, ἐν φόβῳ Θεοῦ, τὸν τρόπον καθ' ὃν ἂν δυνηθείη ἡ ἁγιωσύνη. εἰ γὰρ καὶ τυραννικὸν ἡ ἐπιθυμία, ἀλλ' ἂν ἐπιτειχίσῃς τὸν τοῦ Θεοῦ φόβον, κατέλυσας αὐτῆς τὴν μανίαν. ἁγιωσύνην δὲ ἐνταῦθα, οὐχὶ σωφροσύνην μόνον λέγει, ἀλλὰ τὴν πάσης ἁμαρτίας ἀπαλλαγήν. ἅγιος γάρ ἐστιν ὁ καθαρός. καθαρὸς δὲ ἄν τις γένοιτο, οὐχὶ εἰ πορνείας ἀπαλλαγείη μόνον, ἀλλὰ καὶ πλεονεξίας, καὶ βασκανίας, καὶ ἀπονοίας, καὶ κενοδοξίας· καὶ μάλιστα κενοδοξίας, ἣν πανταχοῦ μὲν φεύγειν δεῖ, πολλῷ δὲ πλέον ἐπὶ ἐλεημοσύνης· ἐπεὶ οὐδὲ ἂν εἴη ἐλεημοσύνη, εἰ τοῦτο ἔχοι τὸ νόσημα, ἀλλ' ἐπίδειξις καὶ ὠμότης. ὅταν γὰρ μὴ ἐλεῶν, ἀλλ' ἐκπομπεύων ποιῇς, οὐ μόνον οὐκ ἔστιν ἐλεημοσύνη τὸ τοιοῦτον, ἀλλὰ καὶ ὕβρις. παραδειγματίσας γὰρ τὸν ἀδελφόν.

Οὐκ ἄρα τὸ διδόναι χρήματα, ἀλλὰ τὸ ἐλεοῦντα διδόναι, ἐλεημοσύνη. ἐπεὶ καὶ οἱ ἐν τοῖς θεάτροις διδόασι καὶ παισὶ πεπορνευμένοις, καὶ ἑτέροις τοῖς ἐπὶ τῆς σκηνῆς· ἀλλ' οὐκ ἐλεημοσύνη τὸ τοιοῦτον. καὶ αὐτοὶ δὲ οἱ ὑβρίζοντες εἰς τὸ σῶμα τῶν πορνευομένων γυναικῶν διδόασιν· ἀλλ' οὐ φιλανθρωπία τοῦτο, ἀλλὰ παρανομία. τούτῳ καὶ ὁ κενόδοξος ἔοικε. καθάπερ γὰρ ἐκεῖνος ὑβρίζων εἰς τὸ σῶμα τῆς πόρνης, μισθὸν αὐτῇ δίδωσι τῆς ὕβρεως· οὕτω καὶ σὺ μισθὸν ἀπαιτεῖς τὸν λαμβάνοντα τὴν ὕβριν, καὶ τὸ πονηρᾷ δόξῃ προσδουλεύειν καὶ σαυτὸν κἀκεῖνον. καὶ μετὰ τούτων, ἡ ζημία ἄφατος. καθάπερ γὰρ θηρίον, καὶ κύων μαινόμενος ἐπιπηδῶν, οὕτως ἡμῶν ἁρπάζει τὰ ἀγαθὰ τὸ πονηρὸν τοῦτο νόσημα, καὶ ἡ ἀπανθρωπία αὕτη. καὶ γὰρ ἀπανθρωπία καὶ ὠμότης τὸ τοιοῦτόν ἐστι· μᾶλλον δὲ καὶ τούτου χαλεπώτερον. ὁ μὲν γὰρ ὠμὸς οὐκ ἂν δοίη τῷ δεομένῳ· σὺ δὲ τούτου πλέον ποιεῖς, τοὺς βουλομένους δοῦναι κωλύεις. ὅταν γὰρ ἐκπομπεύῃς τὴν δόσιν, καὶ τὴν δόξαν καθέλῃς τοῦ λαβόντος, καὶ τὸν μέλλοντα παρέχειν ἀνεχαίτισας, ἂν ῥάθυμος ᾖ. οὐδὲ γὰρ δώσει λοιπὸν, ὡς εἰληφότι, καὶ οὐχ οὕτω δεομένῳ· ἀλλὰ καὶ καταγνώσεται πολλάκις, ἂν προσελθὼν αἰτήσῃ μετὰ τὸ λαβεῖν, καὶ ἀναίσχυντον ἡγήσεται. ποία οὖν ἐλεημοσύνη τοῦτο, ὅταν καὶ σαυτὸν καταισχύνῃς, καὶ τὸν ΗΘΙΚΟΝ

εἰληφότα,

εἰληφότα, καὶ τὸν ἐπιτάξαντα διπλῆ, ὅτι τε αὐτοὶ θεραπείαν ἔχων τῆς ἐλεημοσύνης, ἐπιζητεῖς τοὺς τῶν συνδούλων ὀφθαλμοὺς μετ' ἐκεῖνον, καὶ ὅτι τὸν νόμον τὸν ταῦτα ἀπαγορεύοντα κείμενον ὑπ' αὐτοῦ παραβαίνεις; ἐβουλόμην καὶ τοῖς ἄλλοις ἐπεξελθεῖν, καὶ νηστείᾳ, καὶ εὐχῇ, καὶ δείξαι ὅσα καὶ ἐκεῖ λυμαίνεται ἡ κενοδοξία. δεῖ δὲ ἀναμνησθῆναι, ὅτι λόγον τινὰ οὐκ ἤνυσα ἀναγκαῖον, ἐν τῇ πρὸ ταύτης διαλέξει. τίς δὲ ὁ λόγος ἦν; ἐλέγομεν ὅτι οἱ πένητες τῶν πλουτούντων πλεονεκτοῦσιν ἐν τοῖς βιωτικοῖς, ὅτε περὶ ὑγείας καὶ ἡδονῆς διελεγόμην· καὶ σαφῶς τοῦτο ἐδείκνυτο. φέρε οὖν σήμερον αὐτὸ δείξωμεν, ὅτι οὐκ ἐν τοῖς βιωτικοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀνωτέρω παρὰ τούτοις τὸ πλέον ἐστί. τί γὰρ εἰς βασιλείαν εἰσάγει, πλοῦτος, ἢ πενία; ἀκούσωμεν αὐτοῦ τοῦ τῶν οὐρανῶν δεσπό-

Ματθ. ιθ. κδ. καὶ κα.

του λέγοντος, περὶ μὲν ἐκείνων, ὅτι Εὐκοπώτερον κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ῥαφίδος, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· περὶ δὲ πενήτων τοὐναντίον, Εἰ γὰρ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο, ἀκολούθει μοι,

Ματθ. ζ. ιδ.

καὶ ἑξῆς θησαυρὸν ἐν οὐρανοῖς. Εἰ δὲ βούλεσθε, ἑκατέρωθεν ἴδωμεν τὸ εἰρημένον. Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς, φησὶν, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. τίς οὖν βαδίζει τὴν στενὴν, ὁ ἐν τρυφῇ, ἢ ὁ ἐν πτωχείᾳ, ὁ μόνος, ἢ ὁ μυρία βαστάζων φορτία, ὁ χαῦνος καὶ διαλελυμένος, ἢ ὁ φροντίζων καὶ μεμεριμνημένος; ἀλλὰ τίς χρεία τῶν λογισμῶν, δέον ἐπ' αὐτὰ τὰ πρόσωπα ἐλθεῖν; πένης ὁ Λάζαρος ἦν, καὶ σφόδρα πένης· πλούσιος δὲ ὁ παρατρέχων ἐν τῷ πυλῶνι κείμενον οὗτιν. τίς οὖν εἰσῆλθεν εἰς τὴν βασιλείαν, καὶ τοῖς κόλποις ἐνετρύφα τοῦ Ἀβραάμ; τίς δὲ ἀπετηγανίζετο, καὶ οὐδὲ σταγόνος ἦν κύριος; ἀλλὰ καὶ πένητες ἀπολοῦνται πολλοὶ, φησὶ, καὶ πλούσιοι τῶν ἀπορρήτων ἐκείνων ἀπολαύσονται ἀγαθῶν. τοὐναντίον μὲν οὖν ἐστιν ἰδεῖν· πλουσίους μὲν ὀλίγους, τῶν δὲ πενήτων πολλῷ πλείους σωζομένους. σκόπει δὲ ἀκριβῶς ἐξετάζων τὰ τοῦ πλούτου κωλύματα, καὶ τὰ τῆς πενίας ἐλαττώματα· μᾶλλον δὲ οὔτε τοῦ πλούτου, οὔτε τῆς πενίας, ἀλλ' ἑκάτερα τῶν κεκτημένων ἐστί. πλὴν ἀλλὰ ποῖον δυσκολώτερον ὅπλον ἴδωμεν. τί οὖν ἡ πενία ἐλάττωμα ἔχειν δοκεῖ; ψεῦδος. τί δὲ ὁ πλοῦτος; ὑπερηφανίαν, τὴν μητέρα τῶν

α. Τιμ. ϛ. ι.

κακῶν· ἢ καὶ τὸν διάβολον ἐποίησεν εἶναι διάβολον, οὐκ ὄντα τοιοῦτον ἔμπροσθεν. πάλιν, Ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία. τίς οὖν ἕστηκε τῆς ῥίζης ταύτης πλησίον, ὁ πλούσιος, ἢ ὁ πένης; οὐκ εὔδηλον ὅτι ὁ πλούσιος; ὅσῳ γὰρ ἄν τις πλείονα περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ. κενοδοξία πάλιν τὰ μυρία λυμαίνεται κατορθώματα· ἀλλὰ καὶ ταύτης πάλιν ἐγγὺς ὁ πλουτῶν ἐσκήνωται. τὰ δὲ τοῦ πένητος, φησὶν, οὐ τίθεις, τὴν θλῖψιν, τὴν στενοχωρίαν; ἀλλὰ τοῦτο καὶ τοῦ πλουτοῦντος κοινὸν, καὶ τούτου μᾶλλον ἢ τοῦ πένητος· ὥστε ἃ μὲν τῆς πενίας δοκεῖ εἶναι κακὰ, κοινὰ ἑκατέρων ἐστίν· ἃ δὲ τοῦ πλούτου, μόνα ἐκείνου. τί δὲ, φησὶν, ὅταν διὰ τὴν τῶν ἀναγκαίων ἀπορίαν πολλὰ δεινὰ ὁ πένης ἐργάζηται; ἀλλ' οὐδεὶς πένης, οὐδεὶς τοσαῦτα ἐργάζεται δεινὰ δι' ἔνδειαν, ὅσα οἱ πλουτοῦντες διὰ τὸ πλείονα περιβάλλεσθαι, καὶ τὰ ἔνδον μὴ ἀπολλύναι. οὐ γὰρ οὕτω πένης ἐφίεται τῶν ἀναγκαίων, ὡς τῶν περιττῶν ὁ πλουτῶν· οὐδὲ αὖ τοσαύτην ἰσχὺν ἔχει πρὸς τὸ χρήσασθαι τῇ πονηρίᾳ, ὅσην δύναμιν οὗτος. εἰ τοίνυν καὶ βούλεται μᾶλλον, καὶ δύναται· εὔδηλον ὅτι μᾶλλον, καὶ πλείονα ἐργάσεται. οὐδὲ γὰρ οὕτω δέδοικεν ὁ πένης ὑπὲρ λιμοῦ, ὡς ὁ πλούσιος ὑπὲρ τῆς ἀπωλείας τῶν ὄντων τρέμει καὶ ἄγχεται, καὶ ὑπὲρ τοῦ μηδέπω τὰ πάντων λαβεῖν. ὅταν οὖν δὲ κενοδοξίας ἑστήκῃ πλησίον, καὶ ὑπερηφανίας, καὶ φιλαργυρίας τῆς ῥίζης τῶν κακῶν ἁπάντων, ποίαν ἕξει σωτηρίας ἐλπίδα, ἂν μὴ πολλὴν ἐπιδείξηται φιλοσοφίαν; πῶς δὲ βαδιεῖται τὴν στενὴν ὁδόν; μὴ τοίνυν τὰς τῶν πολλῶν δόξας περιφέρωμεν, ἀλλὰ τὰ πράγματα ἐξετάζωμεν. πῶς γὰρ οὐκ ἄτοπον ὑπὲρ μὲν χρημάτων μὴ ἑτέροις πιστεύειν, ἀλλ' ἀριθμῷ καὶ ψήφῳ τοῦτο ἐπιτρέπειν, ὑπὲρ δὲ πραγμάτων ψηφιζομένους, ἁπλῶς ταῖς ἑτέρων παρασύρεσθαι δόξαις, καὶ ταῦτα ἀκριβῆ ζυγὸν ἁπάντων ἔχοντας, καὶ γνώμονα, καὶ κανόνα, τῶν θείων νόμων τὴν ἀπόφασιν; διὸ παρακαλῶ καὶ δέομαι πάντων ὑμῶν, ἀφέντες τί τῷ δεῖνι καὶ τῷ δεῖνι δοκεῖ περὶ τούτων, παρὰ τῶν

γραφαῖς ταῦτα ἅπαντα πυνθάνεσθε, καὶ τὸν ἀληθῆ πλοῦτον μαθόντες, τοῦτον διώκωμεν, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιη. 2 ΧΩΡΗΣΑΤΕ ΗΜΑΣ· ΟΥΔΕΝΑ ΗΔΙΚΗΣΑΜΕΝ, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. 3 Οὐ πρὸς κατάκρισιν λέγω. προείρηκα γάρ, ὡς καὶ προεῖπον, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

ΠΑλιν τὸν περὶ ἀγάπης κινεῖ λόγον, συστέλλων τὸ τραχὺ τῆς ἐπιτιμήσεως. ἐπειδὴ γὰρ ἤλεγξε καὶ ἐπέπληξεν, ὡς φιλουμένοις μέν, οὐχ ὁμοίως δὲ φιλοῦσιν, ἀλλ᾽ ἀπορρηγνυμένοις τῆς ἀγάπης τῆς αὐτοῦ καὶ ἑτέροις φθόροις ἀναμιγνυμένοις, πάλιν λεαίνει τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως, λέγων, χωρήσατε ἡμᾶς, τουτέστι, φιλήσατε ἡμᾶς· καὶ χάριν αἰτεῖ λαβεῖν ἀνεπαχθῆ, καὶ τοῖς μάλιστα ἔχουσι περὶ τῶν λαμβανόντων λυσιτελῆ. καὶ οὐκ εἶπε, φιλήσατε, ἀλλ᾽ ἐλεεινότερον, χωρήσατε. τίς ἡμᾶς ἀπήλασε, φησί; τίς ἐξέβαλε τῆς διανοίας τῆς ὑμετέρας; πόθεν στενοχωρούμεθα ἐν ὑμῖν; ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν· ἐνταῦθα αὐτὸ σαφέστερον δηλῶν, ἔλεγε, χωρήσατε ἡμᾶς, καὶ ταύτῃ πάλιν αὐτοὺς ἐφελκόμενος. οὐδὲν γὰρ οὕτω ποιεῖ φιλίαν, ὡς τὸ μαθεῖν τὸν φιλούμενον ὅτι σφόδρα αὐτοῦ ἐφίεται τῆς ἀγάπης ὁ φιλῶν. οὐδένα ἠδικήσαμεν. ὅρα πῶς πάλιν οὐ τίθησι τὰς εὐεργεσίας, ἀλλὰ καὶ ἀνεπαχθέστερον καὶ πληκτικώτερον ἑτέρως τὸν λόγον ποιεῖ. ἅμα δὲ καὶ αἰνίττεται τοὺς ψευδαποστόλους, οὐδένα ἠδικήσαμεν λέγων, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. τί ἐστιν, ἐφθείραμεν; τουτέστιν, οὐδένα ἠπατήσαμεν· ὥσπερ καὶ ἀλλαχοῦ λέγει, Μήποτε ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. οὐδένα ἐπλεονεκτήσαμεν, οὐχ ἡρπάσαμεν, οὐκ ἐπενοήσαμεν. καὶ οὐ λέγει πῶς, τὰ καὶ τὰ ὠφελήσαμεν, ἀλλ᾽ ἐντρεπτικώτερον ποιῶν τὸν λόγον, οὐκ ἠδικήσαμεν, φησί· μονονουχὶ λέγων, ὅτι εἰ καὶ μηδὲν ἡμῶν εὐεργετηκότας, οὐδὲ οὕτως ἡμᾶς ἀποστρέφεσθαι ἔδει. οὐδὲ γὰρ οὐ μικρόν, οὐ μέγα ἔχετε ἡμῖν ἐγκαλεῖν. εἶτα ἐπειδὴ ᾔσθετο τῆς βαρύτητος, ἐπιδιορθοῦται πάλιν. καὶ οὔτε ἐσίγησε καθάπαξ (οὐ γὰρ ἂν διανέστησεν) οὔτε ἀδιόρθωτον εἴασε τὸ τραχὺ τοῦ λόγου· ἦ γὰρ ἂν πλέον ἔπληξε. καὶ τί φησιν; οὐ πρὸς κατάκρισιν λέγω. πόθεν δῆλον; προείρηκα γάρ, φησιν, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν. μεγίστη φιλία αὕτη, ὅταν καὶ καταφρονούμενος, καὶ συναποθνῄσκειν αὐτοῖς καὶ συζῆν αἱρῆται. οὐδὲ γὰρ ἁπλῶς ἐστε ἐν ταῖς καρδίαις ἡμῶν, ἀλλ᾽ οὕτω, φησίν, ὡς εἶπον. ἔνι γὰρ καὶ φιλεῖν, καὶ κινδύνους φεύγειν· ἀλλ᾽ οὐχ ἡμεῖς οὕτω. καὶ ὅρα κἀνταῦθα σύνεσιν ἄφατον. οὐ γὰρ τὰ γεγενημένα ὑπὲρ αὐτῶν εἶπεν, ἵνα μὴ δόξῃ πάλιν ὀνειδίζειν, ἀλλ᾽ ὑπὲρ τῶν μελλόντων ἐπαγγέλλεται. ἂν γὰρ συμβῇ, φησιν, ἐπενεχθῆναι κίνδυνον, πάντα ἕτοιμος ὑπὲρ ὑμῶν παθεῖν. καὶ οὔτε θάνατος, οὔτε ζωή μοί τι καθ᾽ ἑαυτὸ φαίνεται· ἀλλ᾽ ἔνθα ἂν ἦτε ὑμεῖς, τοῦτο ἐμοὶ προτιμότερον, καὶ θάνατος ζωῆς, καὶ ζωὴ θανάτου. ἀλλὰ τὸ μὲν ἀποθνῄσκειν, δῆλον ὅτι φιλίας· τὸ δὲ ζῆν τίς οὐκ ἂν ἕλοιτο καὶ τῶν μὴ φίλων; τίνος οὖν ἕνεκεν ὡς μέγα αὐτὸ τίθησιν; ὅτι καὶ σφόδρα μέγα ἐστί. πολλοὶ μὲν γὰρ κακῶς πράττουσι συναλγοῦσι τοῖς φίλοις· εὐδοκιμοῦσι δὲ οὐκέτι συνήδονται, ἀλλὰ φθονοῦσιν. ἀλλ᾽ οὐχ ἡμεῖς. ἀλλ᾽ ἄν τε ἐν συμφοραῖς ἦτε, οὐ φοβούμεθα κοινωνῆσαι τῆς δυσημερίας ὑμῖν· ἄν τε καλῶς πράττητε, οὐ βαλλόμεθα τῷ φθόνῳ. εἶτα ἐπειδὴ συνεχῶς ταῦτα ἔστρεψε, λέγων, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, καί, στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν, καί, χωρήσατε ἡμᾶς, καί, πλατύνθητε καὶ ὑμεῖς, καί, οὐδένα ἠδικήσαμεν,

c. Κορ. ια. γ.

χ. οὐκ ὅλως

καὶ ἐδόκει πάντα ταῦτα αὐτοῦ εἶναι κατάγνωσις· ὅρα πῶς καὶ ἑτέρως τὸ βαρὺ τοῦτο παραμυθεῖται, λέγων,

4 Πολλή μοι παρρησία πρὸς ὑμᾶς. Διὰ τοῦτο τοιαῦτα τολμῶ, φησιν, οὐ πρὸς κατάκρισιν λέγων, ἀλλὰ διὰ τὴν πολλὴν παρρησίαν· ὃ καὶ σαφέστερον δηλῶν ἔλεγε, Πολλή μοι καύχησις ὑπὲρ ὑμῶν. μὴ γὰρ δὴ νομίσητε, φησιν, ὅτι ἐπὶ τούτῳ ταῦτα λέγω, ὡς κατεγνωκὼς ὑμῶν καθάπαξ λέγω (σφόδρα γὰρ ἐφ' ὑμῖν καλλωπίζομαι καὶ καυχῶμαι) ἀλλὰ καὶ κηδόμενος, καὶ βουλόμενος ἐπιδοῦναι μειζόνως ὑμᾶς πρὸς ἀρετήν. ὃ καὶ τοῖς Ἑβραίοις μετὰ πολλὴν ἐπιτίμησιν ἔλεγε, Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν, εἰς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους. οὕτω δὴ καὶ ἐνταῦθα, (Ἑβρ. 6. 9.)

Πολλή μοι καύχησις ὑπὲρ ὑμῶν. Πρὸς ἑτέρους καυχώμεθα, φησιν, ὑπὲρ ὑμῶν. εἶδες πῶς παρεμυθήσατο γνησίως; καὶ οὐχ ἁπλῶς καυχῶμαι φησιν, ἀλλὰ καὶ σφόδρα. ἐπήγαγε γοῦν λέγων, Ὅτι πεπλήρωμαι τῇ παρακλήσει. (γρ. πεπλήρω)

Ποίᾳ παρακλήσει; τῇ παρ' ὑμῶν, ὅτι διορθωθέντες, διὰ τῶν ἔργων παρεκαλέσατέ με. τοῦτο φιλοῦντός ἐστι, καὶ ἐγκαλεῖν ὑπὲρ τοῦ μὴ φιλεῖσθαι, καὶ δεδοικέναι μὴ, παρὰ τὸ μέτρον ἐγκαλέσας, λυπήσῃ. διὰ τοῦτό φησι, πεπλήρωμαι τῇ παρακλήσει,

Ὑπερπερισσεύομαι τῇ χαρᾷ. Ἀλλὰ ταῦτα δοκεῖ, φησιν, ἐναντία εἶναι τοῖς προτέροις· ἀλλ' οὐκ ἔστιν, ἀλλὰ καὶ σφόδρα συμβαίνοντα. ταῦτα γὰρ ἐκεῖνα εὐπαράδεκτα ποιεῖ, καὶ ὁ διὰ τούτων ἔπαινος τὴν ἀπὸ τῶν ἐλέγχων ἐκείνων ὠφέλειαν γνησιωτέραν ἐργάζεται, ὑποκλέπτων αὐτῶν τὸ ὀδυνηρόν. διὸ καὶ σφόδρα γνησίως κέχρηται τοῖς ῥήμασι τούτοις, καὶ φιλοτίμως. οὐδὲ γὰρ εἶπε, πεπλήρωμαι τῇ χαρᾷ, ἀλλὰ, περισσεύομαι· μᾶλλον δὲ, οὐδὲ περισσεύομαι, ἀλλὰ ὑπερπερισσεύομαι, κἀντεῦθεν πάλιν δεικνὺς τὸν πόθον, ὅτι κἂν οὕτω φιλῆται, ὡς χαίρειν καὶ ἀγάλλεσθαι, οὐδέπω ἡγεῖται φιλεῖσθαι, ὡς φιλεῖσθαι χρή, οὐδὲ τὸ πλέον εἰληφέναι· οὕτως ἀκόρεστος περὶ τὸ σφόδρα φιλεῖν αὐτοὺς ἦν. τὸ γὰρ παρὰ τῶν ἐρωμένων ὁπωσοῦν φιλεῖσθαι, πολλὴν φέρει τὴν χαρὰν, διὰ τὸ σφόδρα αὐτοὺς φιλεῖν. ὥστε τοῦτο πάλιν τῆς αὐτοῦ ἀγάπης σημεῖον ἦν. καὶ ἐπὶ μὲν τῆς παρακλήσεώς φησι, πεπλήρωμαι· ἀπέλαβον ὅπερ ὠφείλετό μοι· ἐπὶ δὲ τῆς χαρᾶς, ὑπερπερισσεύομαι· τουτέστιν, ἠθύμησα πρὸς ὑμᾶς, ἀλλ' ἀπελογήσασθε ἀρκούντως, καὶ παρεμυθήσασθε. οὐδὲ γὰρ μόνον ἀνείλετέ μοι τὴν ὑπόθεσιν τῆς λύπης, ἀλλὰ καὶ χαρὰν ἐποιήσατε πλείονα. εἶτα δηλῶν αὐτῆς τὸ μέγεθος, οὐ τούτῳ μόνον δείκνυσιν αὐτὸ, τῷ εἰπεῖν, ὅτι ὑπερπερισσεύομαι τῇ χαρᾷ, ἀλλὰ καὶ τῷ ἐπαγαγεῖν, Ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

Τοσαύτη γὰρ ἦν ἡ δι' ὑμᾶς ἡμῖν ἡδονὴ γινομένη, ὡς μηδὲ τοσαύτῃ ἀμαυρωθῆναι θλίψει, ἀλλὰ τῇ περιουσίᾳ τοῦ οἰκείου μεγέθους περιγενέσθαι τῶν καταλαβόντων ἡμᾶς λυπηρῶν, καὶ μὴ ἀφεῖναι αἴσθησιν ἡμᾶς αὐτῶν λαβεῖν.

5 Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν.

Ἐπειδὴ γὰρ εἶπε, τῇ θλίψει, λέγει καὶ ποταπῇ θλίψει· καὶ ἐπαίρει ταύτην τῷ λόγῳ, ἵνα δείξῃ μεγάλην οὖσαν τὴν ἐκ τούτων παραμυθίαν καὶ χαράν, εἴγε τοσαύτην ἀπεκρούσατο ὀδύνην. Ἀλλ' ἐν παντὶ θλιβόμενοι. Πῶς ἐν παντί;

Ἔξωθεν μάχαι· Παρὰ τῶν ἀπίστων. Ἔσωθεν φόβοι· Διὰ τοὺς ἀσθενεῖς τῶν πιστῶν, μὴ παρασυρῶσιν. οὐδὲ γὰρ παρὰ Κορινθίοις μόνον ταῦτα συνέβαινεν, ἀλλὰ καὶ ἀλλαχοῦ. (γρ. ταῦτα)

6 Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ἐπὶ τῇ παρουσίᾳ Τίτου.

Ἐπειδὴ γὰρ μεγάλα αὐτοῖς ἐμαρτύρησεν [αὐτοῖς] εἰπὼν, ἵνα μὴ δόξῃ κολακεύειν, μάρτυρα παράγει Τίτον τὸν ἀδελφὸν, ὃς παρ' αὐτῶν ἀφίκετο πρὸς τὸν Παῦλον μετὰ τὴν

προτέραν

προτέραν ἐπιστολὴν, διηγούμενος αὐτοῖς τὰ τῆς αὐτῶν διορθώσεως. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ μέγα τίθεται τὴν παρουσίαν Τίτου. καὶ γὰρ ἔμπροσθέν φησιν, Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου. καὶ ἐνταῦθα πάλιν, ἐπὶ τῇ παρουσίᾳ Τίτου παρεκλήθημεν, φησί. καὶ γὰρ βούλεται ἀξιόπιστον αὐτοῖς καταστῆσαι τὸν ἄνδρα, καὶ φίλον σφόδρα ποιῆσαι. καὶ ὅρα πῶς ἀμφότερα κατασκευάζει. τῷ μὲν γὰρ εἰπεῖν, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τὸ μέγεθος αὐτοῦ δείκνυσι τῆς ἀρετῆς· τῷ δὲ εἰπεῖν, ὅτι ἐπὶ τῇ θλίψει ἡμῶν ἡ παρουσία αὐτοῦ ἤρκεσεν εἰς παραμυθίαν. β. Κορ. β. ιβ.

7 Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν.

Οἰκειοῖ τοῖς Κορινθίοις τὸν ἄνδρα. οὐδὲν γὰρ οὕτω φιλίας ποιεῖ καὶ συγκροτεῖ, ὡς τὸ δεξιόν τι καὶ ὑγιὲς περί τινος εἰπεῖν· ὃ καὶ Τίτῳ μαρτυρεῖ λέγων, ὅτι παραμυθούμενος ἐπλήρωσεν ἡμᾶς ὑπὸ τῆς ἡδονῆς, τοιαῦτα περὶ ὑμῶν ἀπήγγελε. διὰ τοῦτο ἡ παρουσία αὐτοῦ ηὔφρανεν ἡμᾶς. οὐ γὰρ μόνον ἐν τῇ παρουσίᾳ αὐτοῦ ἥσθημεν, ἀλλὰ καὶ ἐπὶ τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν. καὶ πῶς παρεκλήθη; διὰ τῆς ἀρετῆς ὑμῶν, διὰ τῶν κατορθωμάτων. διὸ καὶ ἐπάγει, Ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ. Ταῦτα αὐτὸν ηὔφρανέ, φησι, ταῦτα παρεκάλεσεν. εἶδες πῶς καὶ αὐτὸν δείκνυσιν αὐτῶν σφοδρὸν ἐραστὴν, εἴγε τὴν ἐκείνων εὐδοκίμησιν, οἰκείαν παράκλησιν εἶναι ἡγεῖται, καὶ ὡς ἐπ' οἰκείοις ἀγαθοῖς ἐλθὼν ἐκαυχᾶτο παρὰ Παύλῳ; καὶ ὅρα πῶς αὐτὰ θερμῶς ἀπαγγέλλει, τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον. εἰκὸς γὰρ αὐτοὺς πενθεῖν καὶ ἀλγεῖν. τί οὕτως ἐδυσχέραινεν ὁ μακάριος Παῦλος; τί τοσοῦτον ἀπέστη χρόνον; διὸ οὐδὲ ἁπλῶς εἶπε, δάκρυα, ἀλλ', ὀδυρμόν· οὐδὲ, ἐπιθυμίαν, ἀλλ', ἐπιπόθησιν· οὐδὲ, ὀργὴν, ἀλλὰ, ζῆλον, καὶ ζῆλον πάλιν τὸν ὑπὲρ αὐτοῦ, τοῦ ἐκ τοῦ πεπορνευκότος, τοῦ ἐκ τῶν κατηγορουμένων. γ. ὑπὲρ ἐπυρώθητε γάρ, φησι, καὶ ἐξεκάητε δεξάμενοί μου τὰ γράμματα. διὰ ταῦτα περισσεύει τῇ χαρᾷ, διὰ ταῦτα πεπλήρωται τῇ παρακλήσει, ὅτι αὐτῶν καθήψατο. ἐμοὶ δὲ δοκεῖ ταῦτα οὐ πρὸς παραμυθίαν τῶν ἔμπροσθεν εἰρῆσθαι μόνον, ἀλλὰ εἰς προτροπὴν τῶν κατορθωκότων αὐτά. εἰ γὰρ εἰ καὶ τοῖς ἔμπροσθεν ἐγκλήμασιν εἶναί τινας ὑπευθύνους ᾔδει, καὶ τῶν ἐπαίνων τούτων ἀναξίους· ἀλλ' ὅμως αὐτοὺς οὐ διαιρεῖ, ἀλλὰ κοινὰ τίθησι καὶ τὰ ἐγκώμια καὶ τὰ ἐγκλήματα, διδοὺς τῷ συνειδότι τῶν ἀκουόντων ἐπιλέξασθαι τὰ οἰκεῖα. οὕτω γὰρ κἀκεῖνα ἀνεπαχθῆ ἐγίνετο, καὶ ταῦτα εἰς ζῆλον ἦγε πολλήν.

Οὕτω καὶ νῦν χρὴ τοὺς ἐγκαλουμένους διακεῖσθαι, θρηνεῖν, καὶ ὀδύρεσθαι, οὕτω τοὺς διδασκάλους ποθεῖν, οὕτω μᾶλλον πατέρων ἐπιζητεῖν. δι' ἐκείνων μὲν γὰρ τὸ ζῆν, διὰ δὲ τούτων τὸ καλῶς ζῆν γέγονεν. οὕτω χρὴ φέρειν ἐπιτιμήσεις πατέρων, οὕτω τοῖς προσηκουμένοις [χρεὼν] συναλγεῖν ἐπὶ τοὺς ἁμαρτάνοντας. οὐ γὰρ ἐν αὐτοῖς κεῖται τὸ πᾶν, ἀλλὰ καὶ ἐν ὑμῖν. κἂν γὰρ ἴδῃ ὁ ἡμαρτηκὼς ὅτι ἐπετιμήθη μὲν παρὰ τοῦ πατρὸς, ἐκολακεύθη δὲ παρὰ τῶν ἀδελφῶν, ῥαθυμότερος γέγονεν. ἀλλ' ὅταν ὁ πατὴρ ἐπιτιμήσῃ, συνοργίσθητι καὶ σύ, εἴτε ὡς ἀδελφοῦ κηδόμενος, εἴτε ὡς πατρὶ συναγανακτῶν· μόνον ἐπίδειξαι πολλὴν τὴν σπουδὴν, καὶ πένθησον, μὴ ὅτι ἐπετιμήθη, ἀλλ' ὅτι ἥμαρτεν. ἂν γὰρ οἰκοδομήσω μὲν ἐγὼ, καταλύσῃς δὲ σύ, τί ὠφελήσαμεν πλέον ἢ κόπους; μᾶλλον δὲ οὐ μέχρι τούτου σοι τὰ τῆς ζημίας, ἀλλὰ καὶ κόλασιν ἄγεις ἐπὶ σαυτόν. ὁ γὰρ κωλύων τὸ τραῦμα θεραπευθῆναι, τοῦ πεποιηκότος αὐτὸ οὐκ ἐλάττονα ἔχει κόλασιν, ἀλλὰ καὶ μείζονα. οὐ γάρ ἐστιν ἴσον πλῆξαι, καὶ τὸ πληγὴν κωλῦσαι θεραπευθῆναι. τὸ μὲν γὰρ θάνατον τίκτει πάντως, ἐκεῖνο δὲ οὐ πάντως. ταῦτα δέ μοι εἴρηται πρὸς ὑμᾶς, ἵνα συνοργίζησθε τοῖς ἄρχουσιν ἐφ' οἷς δικαίως ἀγανακτοῦσιν· ἵν', ὅταν ἴδητέ τινα ἐπιτιμώμενον, πάντες ἀποστρέφησθε μειζόνως ἢ ὁ διδάσκαλος· ὑμᾶς φοβεῖσθαι μᾶλλον ἢ τοὺς ΗΘΙΚΟΝ

ἄρχοντας ὁ πεπλημμεληκώς. ἂν μὲν γὰρ τὸν διδάσκαλον φοβηθῇ μόνον, ταχέως ἁμαρτήσεται· ἂν δὲ τοσούτους ὀφθαλμοὺς περιστέλληται, τοσαῦτα στόματα, ἐν πλείονι ἔσται ἀσφαλείᾳ. ὥσπερ γὰρ, εἰ μὴ ταῦτα ποιοῦμεν, τὴν ἐσχάτην δώσομεν δίκην· οὕτως εἰ ταῦτα ἐργαζόμεθα, τοῦ κέρδους τοῦ ἐπὶ τῇ διορθώσει κοινωνήσομεν. οὕτω τοίνυν ποιῶμεν· κἂν εἴποι τις, ὅτι φιλανθρωπεῦσαι τὸν ἀδελφὸν, τοῦτο πρέπει χριστιανοῖς· μανθανέτω, ὅτι ὁ ὀργιζόμενος φιλάνθρωπός ἐστιν, οὐκ ἐκεῖνος, ὁ περὶ τὸ χεῖρον καλῶν αὐτὸν, καὶ μηδὲ ἀφιεὶς αἴσθησιν λαβεῖν τοῦ πλημμελήματος. τίς γὰρ, εἰπέ μοι, τὸν πυρεταίνοντα καὶ φρενίτιδι κατεχόμενον ἐλεεῖ, ὁ κατακλίνων ἐπὶ τῆς εὐνῆς, καὶ δεσμῶν, καὶ σίτων καὶ ποτῶν τῶν οὐ προσηκόντων ἀπάγων, ἢ ὁ διδοὺς ἀκράτου ἐμφορηθῆναι, καὶ ἐν ἐξουσίᾳ κελεύων εἶναι, καὶ πάντα ποιεῖν ἅπερ τοὺς ὑγιαίνοντας δεῖ; οὐχὶ οὗτος μὲν καὶ ἐπιτείνει τὸ νόσημα, ὁ δοκῶν φιλανθρωπεύεσθαι, ἐκεῖνος δὲ διορθοῦται; οὕτω δὴ καὶ ἐνταῦθα ψηφιζόμεθα. καὶ γὰρ φιλανθρωπίας ἐστὶ τὸ μὴ πάντα χαρίζεσθαι τοῖς κάμνουσι, μηδὲ κολακεύειν τὰς ἀτόπους αὐτῶν ἐπιθυμίας. οὐδεὶς οὕτως ἐφίλει τὸν πορνεύσαντα παρὰ Κορινθίοις, ὡς Παῦλος, ὁ κελεύων αὐτὸν παραδοῦναι τῷ Σατανᾷ. οὐδεὶς οὕτως αὐτὸν ἐμίσει, ὡς οἱ συγκροτοῦντες καὶ θεραπεύοντες. καὶ τὸ πέρας ἔδειξεν. ἐκεῖνοι μὲν γὰρ αὐτὸν καὶ ἐφύσησαν, καὶ τὴν φλεγμονὴν μείζονα εἰργάσαντο· οὗτος δὲ καὶ κατέστειλε, καὶ οὐκ ἀπέστη, ἕως πρὸς καθαρὰν ὑγίειαν ἤγαγε. καὶ οἱ μὲν τῷ ὄντι κακῷ προσετέθεσαν, οὗτος δὲ καὶ τὸ ἐξ ἀρχῆς γενόμενον ἀνέσπασε. τούτους καὶ ἡμεῖς μανθάνωμεν τῆς φιλανθρωπίας τοὺς νόμους. καὶ γὰρ ἵππον ἂν ἴδῃς κατὰ κρημνῶν φερόμενον, χαλινὸν ἐμβάλλεις, καὶ ἀναχαιτίζεις μετὰ σφοδρότητος, καὶ μαστίζεις πολλάκις· καίτοιγε τοῦτο κόλασίς ἐστιν· ἀλλ᾽ ἡ κόλασις αὐτὴ σωτηρίας μήτηρ ἐστίν. οὕτω καὶ ἐπὶ τῶν ἁμαρτανόντων ποίησον. δῆσον τὸν πλημμελήσαντα, ἕως ἂν ἐξιλεώσῃ τὸν Θεόν· μὴ ἀφῇς λελυμένον, ἵνα μὴ πλέον δεθῇ τῇ τοῦ Θεοῦ ὀργῇ. ἂν ἐγὼ δήσω, ὁ Θεὸς οὐκέτι δεσμεῖ· ἂν δὲ ἐγὼ μὴ δήσω, τὰ ἄρρηκτα αὐτὸν μένει δεσμά. α. Κορ. ια. λα. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. μὴ δὴ ὠμότητος εἶναι νόμιζε τὸ τοιοῦτον καὶ ἀπανθρωπίας, ἀλλὰ τῆς ἄκρας ἡμερότητος, καὶ τῆς ἀρίστης ἰατρείας, καὶ πολλῆς τῆς κηδεμονίας. ἀλλ᾽ ἱκανὸν ἔδοσαν χρόνον τιμωρεῖν, φησί. πόσον, εἰπέ μοι; ἐνιαυτὸν, καὶ ἔτη δύο, καὶ τρία; ἀλλ᾽ οὐ τοῦτο ζητῶ, χρόνου πλῆθος, ἀλλὰ ψυχῆς διόρθωσιν. τοῦτο τοίνυν ἐπίδειξον, εἰ κατενύγησαν, εἰ μετεβάλοντο, καὶ τὸ πᾶν γέγονεν· ὡς ἂν μὴ τοῦτο ᾖ, οὐδὲν ὄφελος τοῦ χρόνου. οὐδὲ γὰρ εἰ πολλάκις ἐπεδέθη τὸ τραῦμα ζητοῦμεν, ἀλλ᾽ εἰ ὤνησέ τι ὁ δεσμός. εἰ μὲν οὖν ὠφέλησε καὶ ἐν χρόνῳ βραχεῖ, μηκέτι προσκείσθω· εἰ δὲ μηδὲν ὤνησε, καὶ μετὰ δέκα ἐνιαυτοὺς ἔτι προσκείσθω· καὶ ὅρος οὗτος ἔστω λύσεως, τὸ τοῦ δεδεμένου τὸ κέρδος. ἂν οὕτω καὶ ἡμῶν αὐτῶν καὶ τῶν λοιπῶν ἐπιμελώμεθα, καὶ μὴ πρὸς ἀνθρώπων βλέπωμεν δόξαν καὶ αἰσχύνην, ἀλλὰ τὴν ἐκεῖ κόλασιν καὶ τὸ ὄνειδος ἐννοοῦντες, καὶ πρὸ πάντων, τὸ τὸν Θεὸν παροξύνεσθαι, σφόδρα τῆς μετανοίας ἐπιτηδεύωμεν τὰ φάρμακα· καὶ ἐπὶ τὴν καθαρὰν ἥξομεν ὑγείαν ταχέως, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιε. ὩΣΤΕ ΕΙ ΚΑΙ ΕΛΥΠΗΣΑ ΥΜΑΣ ΕΝ ΤΗ ΕΠΙΣΤΟΛῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην.

Ἀπολογεῖται

Ἀπολογεῖται λοιπὸν ὑπὲρ τῆς ἐπιστολῆς, ὅτι ἀκίνδυνοι ἦν αὐτοῖς θεραπεύειν, τῆς ἁμαρτίας διορθωθείσης· καὶ δεικνυσι τοῦ πράγματος τὴν ὠφέλειαν. ἐποίησε μὲν γὰρ αὐτὸ καὶ ἔμπροσθεν, εἰπών, Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. 2.Κορ.2.δ. ποιεῖ δὲ αὐτὸ καὶ νῦν, διὰ πλειόνων οὕτως αὐτὸ κατασκευάζων. καὶ οὐκ εἶπε, πρότερον μὲν μετεμελόμην, νῦν δὲ οὐ μεταμέλομαι· ἀλλὰ πῶς; οὐ μεταμέλομαι νῦν, εἰ καὶ μετεμελόμην. εἰ καὶ τοιαῦτα ἦν, φησι, τὰ γεγραμμένα παρ' ἐμοῦ, ὡς ὑπερβαίνειν τὸ μέτρον τῆς ἐπιτιμήσεως, καὶ ποιῆσαί με μεταμεληθῆναι· ἀλλὰ τὸ πολὺ κέρδος τὸ ἐξ αὐτῆς, οὐκ ἐᾷ με μεταμεληθῆναι. ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀμέτρως ἐπιτιμήσας, ἀλλὰ τὰ ἐγκώμια αὐτῶν αὔξων. τοσαύτην γὰρ ἐπεδείξασθε τὴν διόρθωσιν, φησιν, ὡς, εἰ καὶ ἔτυχον σφοδρότερον πλήξας οὕτως, ὡς καὶ καταγνῶναι ἐμαυτοῦ, ἐπαινέσαι με νῦν ἐμαυτὸν ἀπὸ τοῦ τέλους. καθάπερ [γὰρ] ἐπὶ τῶν παιδίων, ὅταν δέξηται θεραπείαν λυποῦσαν, οἱονεὶ τομὴν, ἢ καῦσιν, ἢ πικρὸν φάρμακον, ἀδεῶς αὐτὰ λοιπὸν κολακεύομεν· οὕτω καὶ ὁ Παῦλος ποιεῖ. Βλέπω γὰρ ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς·

9 Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν.

Εἰπὼν ὅτι οὐ μεταμέλομαι, λέγει καὶ τὴν αἰτίαν, τὸ χρήσιμον τιθεὶς τὸ ἀπὸ τῶν γραμμάτων, καὶ συνετῶς ἀπολογούμενος, καὶ λέγων, εἰ καὶ πρὸς ὥραν. τὸ μὲν γὰρ λυπηρὸν, βραχύ· τὸ δὲ ὠφέλιμον, διηνεκές. καὶ τὸ μὲν ἀκόλουθον ἦν εἰπεῖν, εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, ἀλλὰ διὰ παντὸς ηὔφρανεν ὑμᾶς καὶ ὠφέλησεν. ἀλλ' οὐ λέγει τοῦτο· ἀλλὰ πρὶν ἢ τὸ κέρδος εἰπεῖν, μεταβαίνει πάλιν ἐπὶ τὰ ἐγκώμια αὐτῶν, καὶ τὴν ἀπόδειξιν τῆς ἑαυτοῦ κηδεμονίας, λέγων, νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε (τί γάρ μοι κέρδος ἀπὸ τοῦ λυπηθῆναι ὑμᾶς;) ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν, ὅτι ἔσχε τι κέρδος ἡ λύπη. ἐπεὶ καὶ πατὴρ ὅταν ἴδῃ παῖδα τεμνόμενον, οὐχ ὅτι ὀδυνᾶται χαίρει, ἀλλ' ὅτι διορθοῦται· οὕτω καὶ οὗτος. ὅρα δὲ πῶς ἀπὸ τῶν πραγμάτων ἐπ' αὐτοὺς μεταφέρει τὸ πᾶν κατόρθωμα, καὶ τὸ λυπηρὸν τῇ ἐπιστολῇ λογίζεται, ὅτι πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, λέγων, τὸ δὲ ἐξ αὐτῆς χρήσιμον ἐκείνων αὐτῶν κατόρθωμά φησιν. οὐ γὰρ εἶπεν, ὅτι διώρθωσεν ὑμᾶς ἡ ἐπιστολὴ (εἰ καὶ οὕτως εἶχεν) ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. Ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ἐξ ἡμῶν ζημιωθῆτε. Εἶδες σύνεσιν ἄφατον; εἰ γὰρ μὴ τοῦτο ἐποιήσαμεν, φησιν, ἐζημιώσαμεν ἂν ὑμᾶς. καὶ τὸ μὲν κατόρθωμα αὐτῶν φησιν εἶναι, τὴν δὲ ζημίαν αὐτοῦ, εἴπερ ἐσιώπησεν. εἰ γὰρ μέλλοιεν ἐξ ἐπιπλήξεως διορθοῦσθαι, εἰ μὴ ἐπεπλήξαμεν, ἐζημιώσαμεν ἂν ὑμᾶς· καὶ οὐχὶ περὶ ὑμᾶς μόνον, ἀλλὰ καὶ περὶ ἡμᾶς ἂν ἡ βλάβη γέγονε. καθάπερ γὰρ ὁ μὴ διδοὺς τῷ ἐμπόρῳ τὰ πρὸς τὴν ναυτιλίαν, αὐτός ἐστιν ὁ τὴν ζημίαν ποιῶν· οὕτω καὶ ἡμεῖς, εἰ μὴ παρέσχομεν ὑμῖν τὰς ἀφορμὰς τῆς μετανοίας, ἐζημιώσαμεν ἂν ὑμᾶς. ὁρᾷς ὅτι τὸ μὴ ἐπιτιμᾶν τοῖς ἁμαρτάνουσι, ζημία ἐστὶ καὶ τῷ διδασκάλῳ, καὶ τῷ μαθητῇ;

10 Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται.

Διὰ τοῦτό φησιν, εἰ καὶ μετεμελόμην πρὶν ἢ τὸν καρπὸν ἰδεῖν καὶ τὸ κέρδος ὅσον, οὐ μεταμέλομαι νῦν. τοιοῦτον γὰρ ἡ κατὰ Θεὸν λύπη. καὶ λοιπὸν περὶ αὐτῆς φιλοσοφεῖ, δεικνὺς ὅτι οὐ πανταχοῦ χαλεπὸν λύπη, ἀλλ' ὅταν κατὰ κόσμον γίνηται. τί δέ ἐστι, κατὰ κόσμον; ἐὰν λυπηθῇς διὰ χρήματα, διὰ δόξαν, διὰ τὸν ἀπελθόντα, πάντα ἐκεῖνα κατὰ κόσμον. διὸ καὶ θάνατον ποιεῖ. ὁ γὰρ διὰ δόξαν λυπούμενος, φθονεῖ, καὶ ἀναγκάζεται πολλάκις ἀπολέσθαι

οἵαν καὶ ὁ Κάϊν ἐλυπήθη λύπην, οἵαν ὁ Ἡσαῦ. τὴν δὲ κατὰ κόσμον λύπην λέγει ταύτην τὴν ἐπὶ βλάβῃ τῶν λυπουμένων. καὶ γὰρ εἰς ἁμαρτίας μόνον ἡ λύπη χρήσιμον. καὶ τοῦτο δῆλον ἐντεῦθεν· ὁ λυπούμενος ὑπὲρ χρημάτων ἀπωλείας, τὴν ζημίαν οὐ λύει· ὁ λυπούμενος ὑπὲρ τετελευτηκότος, τὸν κείμενον οὐκ ἀνίστησιν· ὁ λυπούμενος ἐπὶ νόσῳ, οὐ μόνον οὐ διορθοῦται, ἀλλὰ καὶ ἐπιτείνει τὸ νόσημα· ὁ λυπούμενος ἐφ' ἁμαρτίαις, οὗτος μόνος ἀνύει τι πλέον ἀπὸ τῆς λύπης. δαπανᾷ γὰρ καὶ ἀφανίζει τὰς ἁμαρτίας. ἐπειδὴ γὰρ πρὸς τοῦτο κατεσκεύασται τὸ φάρμακον, ἐνταῦθα ἰσχύει μόνον καὶ τὴν ὠφέλειαν ἐπιδείκνυται· ἐπὶ δὲ τῶν ἄλλων καὶ βλάπτει. καὶ μὴν ὁ Κάϊν, φησί, διὰ τὸ μὴ παρὰ τῷ Θεῷ εὐδοκιμεῖν, ἐλυπεῖτο· οὐ διὰ τοῦτο, ἀλλ' ἐπειδὴ τὸν ἀδελφὸν εἶδε λάμποντα· ἐπεὶ εἰ διὰ τοῦτο ἤλγει, ζηλῶσαι ἔδει, καὶ συγχαίρειν ἐκείνῳ. νυνὶ δὲ ἀλγῶν, ἐδείκνυ κατὰ κόσμον λυπούμενος. ἀλλ' οὐχ ὁ Δαβὶδ οὕτως, οὐδὲ ὁ Πέτρος, οὐδὲ τῶν δικαίων ἕκαστος. διὸ καὶ ηὐδοκίμουν, ἢ ὑπὲρ οἰκείων, ἢ ὑπὲρ ἀλλοτρίων ἀλγοῦντες ἁμαρτημάτων. καίτοι τί λύπης φορτικώτερον; ἀλλ' ὅταν μὲν κατὰ Θεὸν γίνηται, τῆς ἐν τῷ κόσμῳ χαρᾶς βελτίων ἐστίν. αὕτη μὲν γὰρ εἰς οὐδὲν τελευτᾷ· ἐκείνη δὲ μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. καὶ γὰρ τὸ θαυμαστὸν αὐτῆς τοῦτο ἐστιν, ὅτι οὐδ' ἂν μετανοήσειέ τις ἀλγήσας οὕτως, ὃ μάλιστα τῆς κοσμικῆς λύπης ἴδιόν ἐστι. τί γὰρ παιδὸς ποθεινότερον γνησίου; τί δὲ ἀλγεινότερον τῆς τοιαύτης τελευτῆς; ἀλλ' ὅμως καὶ ἐν ἀκμῇ τοῦ πένθους μηδενὸς ἀνεχόμενοι πατέρες, καὶ κατακόπτοντες ἑαυτούς, ὕστερον μετὰ χρόνον μετανοοῦσιν, ἐπειδὴ ἀμέτρως ἤλγησαν, ὡς οὐδὲν ὀνήσαντες ἐντεῦθεν, ἀλλὰ καὶ μείζονας ἑαυτοῖς ἐπιτρίψαντες. ἀλλ' οὐχ ἡ κατὰ Θεὸν λύπη τοιαύτη· ἀλλ' ἔχει δύο πλεονεκτήματα, τὸ μὴ καταγινώσκεσθαι ἐφ' οἷς ἀλγεῖ τις, καὶ τὸ τὴν λύπην ταύτην εἰς σωτηρίαν τελευτᾷν· ὧν ἑκατέρων ἐκείνη ἐστέρηται. καὶ γὰρ εἰς βλάβην ἀλγοῦσι, καὶ μετὰ τὸ ἀλγῆσαι σφόδρα, καταγινώσκουσιν ἑαυτῶν, μέγιστον τοῦτο σημεῖον ἐκφέροντες τοῦ ἐπὶ βλάβῃ τοῦτο ποιῆσαι. ἡ δὲ κατὰ Θεὸν, τοὐναντίον. διὸ καὶ ἔλεγε, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. οὐδεὶς γὰρ ἑαυτοῦ καταγνώσεται, ἐὰν λυπηθῇ ἐφ' ἁμαρτίᾳ, ἐὰν πενθήσῃ καὶ ἑαυτὸν συντρίψῃ. ὅπερ καὶ ὁ μακάριος Παῦλος εἰπὼν, οὐ δεῖται ἑτέρωθεν τὸ ὑπόδειγμα παραγαγεῖν ὧν εἶπεν, οὐδὲ τοὺς ἐν παλαιαῖς ἱστορίαις λυπηθέντας παρενεγκεῖν εἰς μέσον, ἀλλ' αὐτοὺς Κορινθίους παράγει· καὶ ἀφ' ὧν ἐποίησαν, ἀπὸ τούτων τὴν ἀπόδειξιν παρέχεται, ἵνα καὶ μετ' ἐγκωμίων αὐτοὺς παιδεύσῃ, καὶ μᾶλλον αὐτοὺς ἐπισπάσηται.

11 Ἰδοὺ γὰρ, φησιν, αὐτὸ τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; Οὐ μόνον γὰρ, φησιν, οὐκ ἐνέβαλεν ὑμᾶς εἰς τὸ καταγνῶναι ἑαυτῶν ἡ ἀθυμία, ὡς εἰκῆ τοῦτο πεποιηκότων· ἀλλὰ καὶ σπουδαιοτέρους ἐποίησεν. εἶτα λέγει τῆς σπουδῆς τὰ τεκμήρια. Ἀλλὰ ἀπολογίαν· Πρὸς ἐμέ. Ἀλλὰ ἀγανάκτησιν· Πρὸς ἐκεῖνον τὸν ἡμαρτηκότα. Ἀλλὰ φόβον. Καὶ γὰρ σφόδρα δεδοικότων ἦν ἡ τοσαύτη σπουδὴ καὶ ἡ ταχίστη διόρθωσις. καὶ ἵνα μὴ δόξῃ ἐπαίρειν ἑαυτὸν, ὅρα πῶς ταχέως αὐτὸ παρεμυθήσατο, εἰπὼν, Ἀλλ' ἐπιπόθησιν· Τὴν εἰς ἐμέ. Ἀλλὰ ζῆλον· Τὸν ὑπὲρ τοῦ Θεοῦ. Ἀλλ' ἐκδίκησιν. Καὶ γὰρ ἐξεδικήσατε τοὺς τοῦ Θεοῦ νόμους ὑβρισθέντας. Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.

Οὐχὶ τῷ μὴ τολμῆσαι μόνον (τοῦτο γὰρ πρόδηλον ἦν) ἀλλὰ καὶ τῷ μὴ συνήδεσθαι. α. Κορ. ε. β. ἐπειδὴ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγε, Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, ἐνταῦθά φησι, καὶ ταύτης ἑαυτοὺς ἀπαλλάξατε τῆς ὑποψίας, οὐχὶ τῷ μὴ ἐπαινέσαι μόνον, ἀλλὰ καὶ τῷ ἐπιτιμῆσαι καὶ ἀγανακτῆσαι.

12 Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος.

Ἵνα γὰρ μὴ λέγωσι, τί δαὶ ἡμῖν ἐπιτιμᾷς, εἰ ἁγνοί ἦμεν ἐπὶ τῷ πράγματι; πρὸς τοῦτο ἱστάμενος καὶ ἀνώτερον, καὶ προδιοικούμενος αὐτὸ, ἔλεγεν ἅπερ ἔλεγεν, ὅτι, οὐ μεταμέ-

λόμην, εἰ καὶ μετεμελόμην. τοῦτον γὰρ ἀπέχω τὸν μισθὸν νῦν ἐφ' οἷς ἔγραψα τότε,
φησὶν, ὅτι τότε μᾶλλον μετενοήσατε ἢ νῦν ὅτι ἑαυτοὺς συνεστήσατε. εἶδες πάλιν αὐτοῦ τὸ βίαιον
καὶ φιλόνεικον, πῶς εἰς τοὐναντίον τὸν λόγον περιέτρεψεν; ἐξ ὧν γὰρ ἐνόμιζον αὐτὸν διαπε-
πρᾶχθαι, ὡς εἰκῆ ἐπιτιμήσαντα, διὰ τὴν προσκοπὴν αὐτῶν, ἀπὸ τούτων δείκνυσιν ὅτι παρ-
γ. δέξει ῥησιάζεσθαι αὐτὸν δίκαιον. οὐδὲ γὰρ παραιτεῖται λοιπὸν χαρίζεσθαι ἀδεῶς, ὅταν δέῃ
τοῦτο ποιεῖν. ὁ γὰρ τοιαῦτα λέγων ἀνωτέρω, ὅτι Ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστι· καὶ, Πα- α. Κορ. ϛ. ιϛ.
ράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ, εἰς ὄλεθρον τῆς σαρκός· καὶ, Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ α. Κορ. ε. ε.
ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστι, καὶ ὅσα τοιαῦτα, πῶς ἐνταῦθά φησιν, οὐχ ἕνεκεν τοῦ ἀ- α. Κορ. ϛ. ιη.
δικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος; οὐκ ἐναντιούμενος ἑαυτῷ, ἀλλὰ καὶ σφόδρα ἀκο-
λουθῶν. πῶς ἑαυτῷ ἀκολουθῶν; ὅτι περιεσπούδασεν αὐτῷ, δεῖξαι τὸ φίλτρον ὃ περὶ αὐ-
τοὺς εἶχεν. οὐ τοίνυν ἀναιρεῖ τὸ κήδεσθαι ἐκείνου, ἀλλ' ἐνδείκνυται καὶ τὴν ἀγάπην τὴν
περὶ αὐτοὺς (ὅπερ ἔφην) καὶ ὅτι μείζων αὐτὸν κατέσχε φόβος περὶ πάσης τῆς ἐκκλησίας. ἐ-
δεδοίκει γὰρ μὴ ἐπιπλέον νεμηθῇ τὸ κακὸν, καὶ ὁδῷ βαδίζον, ὅλην καταλάβῃ τὴν ἐκκλη-
σίαν. διὸ καὶ ἔλεγε, Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἀλλὰ τοῦτο μὲν τότε· νῦν δὲ, ἐπειδὴ α. Κορ. ε. ϛ.
κατώρθωσαν, οὐκέτι αὐτὸ οὕτω τίθησιν, ἀλλ' ἑτέρως· καὶ τὸ αὐτὸ μὲν αἰνίττεται, γλυκύτερον
δὲ μεταχειρίζει τὸν λόγον, λέγων, Ἕνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν
ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς. Τουτέστιν, ἵνα εἰδῆτε πῶς ὑμᾶς φιλῶ. τοῦτο δὲ τὸ αὐτὸ μέν
ἐστι τῷ προτέρῳ, ἑτέρως δὲ ἑρμηνευθὲν, ἑτέραν ἔδοξεν ἔμφασιν παρέχειν. ἐπεὶ ὅτι τὸ αὐτό ἐστιν,
ἀνάπτυξον αὐτοῦ τὴν ἔννοιαν, καὶ οὐδὲν ὄψει τὸ μέσον. ἐπειδὴ γὰρ σφόδρα φιλῶ ὑμᾶς, φησὶν,
ἐδεδοίκειν μὴ λυπηθῆτε ἐκεῖθεν ἀηδῶς, μὴ αὐτοὶ δέξησθε τὴν λύπην. ὥσπερ οὖν ὅταν
λέγῃ, Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; οὐ τοῦτο λέγει, ὅτι οὐ μέλει (οὐ γὰρ ἔνι τι συστῆναι τῶν ὄντων, α. Κορ. θ. θ.
τῆς προνοίας ἀποστερηθὲν τοῦ Θεοῦ) ἀλλ' ὅτι οὐ προηγουμένως διὰ τοὺς βόας ἐνομοθέτει·
γ. ἀλλὰ τῆς τοῦ Θεοῦ προνοίας οὕτω καὶ ἐνταῦθα, πρῶτον μὲν δι' ὑμᾶς ἔγραφον, δεύτερον δὲ καὶ δι' ἐκεῖνον. καὶ εἶχε μὲν τὴν
ἀγάπην ἐν ἑαυτῷ, καὶ χωρὶς τῆς ἐπιστολῆς, φησίν· ἐβουλόμην δὲ αὐτὴν καὶ ὑμῖν δεῖξαι, καὶ
πᾶσιν ἁπλῶς διὰ τῶν γραμμάτων ἐκείνων.

13 Διὰ τοῦτο παρακεκλήμεθα. Ἐπειδὴ καὶ τὴν σπουδὴν ἐδείξαμεν τὴν περὶ
ὑμᾶς, καὶ τὸ πᾶν ἡμῖν κατώρθωται. καθάπερ καὶ ἀλλαχοῦ ἔλεγε, Νῦν ζῶμεν, ἐὰν ὑμεῖς α. Θεσ. γ. η.
στήκητε ἐν Κυρίῳ· καὶ πάλιν, Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ α. Θεσ. β. ιθ.
ὑμεῖς; τοῦτο γὰρ ζωὴ, τοῦτο παράκλησις, τοῦτο παραμυθία διδασκάλῳ νοῦν ἔχοντι, ἡ ἐπί-
δοσις τῶν μαθητευομένων.

Οὐδὲν γὰρ οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ φιλοστοργία ἡ περὶ τοὺς ἀρχομένους. ΗΘΙΚΟΝ
καὶ γὰρ πατέρα οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι. εἰ δὲ ἔνθα
γ. ..της φύσις, τοσαύτη χρεία ἀγάπης, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις. οὕτως οἱ παλαιοὶ πάντες ἔ-
λαμψαν. ὅσοι γοῦν τῶν παρ' Ἑβραίοις εὐδοκίμησαν, ἐντεῦθεν ἐφάνησαν. οὕτω Σαμουὴλ
μέγας ἐδείχθη λέγων, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τῷ Θεῷ τοῦ διαλιπεῖν προσευχόμε- α. Βασ. ιβ. κγ.
νον ὑπὲρ ὑμῶν· οὕτως ὁ Δαβὶδ, οὕτως ὁ Ἀβραὰμ, οὕτως ὁ Ἠλίας, οὕτως ἕκαστος τῶν δικαί-
ων, τῶν ἐν τῇ καινῇ, τῶν ἐν τῇ παλαιᾷ. καὶ γὰρ Μωϋσῆς διὰ τοὺς ἀρχομένους πλοῦτον το-
σοῦτον καὶ θησαυροὺς ἀφάτους κατέλιπεν, ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ· καὶ
πρὸ τῆς χειροτονίας δημαγωγὸς ἦν διὰ τῶν ἔργων. διὸ καὶ σφόδρα ἀνοήτως ἔλεγε πρὸς
αὐτὸν ὁ Ἑβραῖος ἐκεῖνος, Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; τί λέγεις; τὰ Ἐξοδ. β. ιδ.
ἔργα ὁρᾷς, καὶ περὶ τῆς προσηγορίας ἀμφιβάλλεις; ὥσπερ ἂν εἴ τις ἰδὼν τέμνοντα ἰατρὸν
ἄριστα, καὶ τῷ πεπονηκότι μέλει τοῦ σώματος βοηθοῦντα, λέγοι, Τίς σε κατέστησεν ἰατρὸν, καὶ
τέμνειν ἐκέλευσεν; ἡ τέχνη, ὦ βέλτιστε, καὶ ἡ νόσος ἡ σή. οὕτω καὶ τοῦτον ἡ ἐπιστήμη τοιοῦτον ἐ-
ποίησε. καὶ γὰρ τέχνη τὸ ἄρχειν ἐστὶν, οὐκ ἀξίωμα μόνον· καὶ τέχνη τεχνῶν ἁπασῶν ἀνωτέρα.

Εἰ γὰρ ἡ τῶν ἔξωθεν ἀρχὴ, τέχνη καὶ ἐπιστήμη πασῶν βελτίων ἐστὶ, πολλῷ μᾶλλον αὕτη. καὶ γὰρ τοσούτῳ ἀμείνων ἐκείνης αὕτη ἡ ἀρχὴ, ὅσῳ τῶν ἄλλων ἐκείνη· μᾶλλον δὲ καὶ πολλῷ πλέον. καὶ, εἰ βούλεσθε, τὸν λόγον τοῦτον ἀκριβέστερον ἐξετάσωμεν. ἔστι τέχνη γεωργικὴ, ἔστιν ὑφαντικὴ, οἰκοδομική· αἳ καὶ ἀναγκαῖαι σφόδρα εἰσὶ, καὶ μάλιστα συνέχουσιν ἡμῶν τὸν βίον. αἱ γὰρ δὴ ἄλλαι, διακονοῦσι τούτων εἰσὶν ἡ χαλκευτικὴ, ἡ τεκτονικὴ, ἡ ποιμενική. ἀλλὰ καὶ τούτων αὐτῶν τῶν τεχνῶν ἀναγκαιοτέρα πασῶν ἡ γεωργική· ἣν καὶ πρώτην εἰσήγαγεν ὁ Θεὸς, τὸν ἄνθρωπον πλάσας. ὑποδημάτων μὲν γὰρ ἄνευ καὶ ἱματίων δυνατὸν ζῆν· γεωργικῆς δὲ χωρὶς, ἀμήχανον. τοιούτους τοὺς Ἀμαξοβίους εἶναί φασι, τοὺς παρὰ Σκύθαις Νομάδας, τοὺς Γυμνοσοφιστὰς τοὺς τῶν Ἰνδῶν. οὗτοι γὰρ καὶ οἰκοδομικὴν, καὶ ὑφαντικὴν, καὶ τὴν τῶν ὑποδημάτων εἰάσαντες τέχνην, μόνης δὲ τῆς γεωργικῆς δέονται. αἰσχύνθητε τοίνυν οἱ περιττῶν χρῄζοντες τεχνῶν, καὶ μαγείρων, καὶ πλακουντοποιῶν, καὶ ποικιλτῶν, καὶ μυρίων ἑτέρων τοιούτων, ἵνα ζῆτε. αἰσχύνθητε οἱ τὰς ματαιοτεχνίας εἰσαγαγόντες τῷ βίῳ. αἰσχύνθητε ἐκείνους τοὺς βαρβάρους ὑμεῖς οἱ πιστοὶ, τοὺς μὴ δεομένους τέχνης. καὶ γὰρ σφόδρα αὐτάρκη τὴν φύσιν ἐξ ὀλίγων ἐποίησεν ὁ Θεός. πλὴν οὐκ ἀναγκάζω, οὐδὲ νομοθετῶ οὕτω ζῆν· ἀλλ' ὡς ὁ Ἰακὼβ ᾔτησε. τί δὲ ᾔτησεν ἐκεῖνος; Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι. οὕτω καὶ Παῦλος ἐκέλευσε λέγων, Ἔχοντες δὲ τροφὴν καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. πρώτη μὲν οὖν ἡ γεωργικὴ, δευτέρα δὲ ὑφαντικὴ, καὶ τρίτη μετ' ἐκείνην οἰκοδομική· ἡ δὲ τῶν ὑποδημάτων, πασῶν ἐσχάτη. παρ' ἡμῖν εἰσὶ πολλοὶ καὶ οἰκέται καὶ γεωργοὶ χωρὶς ὑποδημάτων ζῶντες. οὐκοῦν αἱ χρήσιμοι καὶ ἀναγκαῖαι, αὗται. φέρε οὖν, παραβάλωμεν αὐταῖς τὴν ἀρχήν. διὰ γὰρ τοῦτο τὰς πασῶν κυριωτέρας παρήγαγον, ἵν' ὅταν φανῇ αὕτη βελτίων ἐκείνων, ἀναμφισβήτητος ἡ κατὰ τῶν ἄλλων αὐτῇ νίκη ᾖ. πόθεν οὖν, αὐτὴν δείξομεν ἀναγκαιοτέραν οὖσαν πασῶν; ὅτι ταύτης ἄνευ οὐδὲν ἐκείνων ὄφελος. καὶ, εἰ δοκεῖ, τὰς ἄλλας ἀφέντες, τὴν πασῶν ἀνωτέραν καὶ κυριωτέραν εἰς μέσον ἀγάγωμεν, τὴν γεωργικήν. τί οὖν ἔσται πλέον τῆς τῶν γεωργῶν πολυχειρίας, ὅταν ἀλλήλοις πολεμῶσι, καὶ τὰ ἀλλήλων ἁρπάζωσι; νῦν μὲν γὰρ ὁ τοῦ ἄρχοντος φόβος κατέχει, καὶ τὰ ὑπ' ἐκείνων γινόμενα φυλάττει· ἐὰν δὲ ταύτην ἀνέλῃς, περιττὸς ὁ πόνος ἐκεῖνος. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἑτέραν ἀρχὴν εὑρήσει μητέρα ταύτης καὶ σύνδεσμον οὖσαν. ποίαν δὴ ταύτην; καθ' ἣν ἕκαστον [αὐτόν] τινα ἑαυτοῦ κρατεῖν καὶ ἄρχειν δεῖ, τὰ μὲν ἀνελεύθερα κολάζοντα πάθη, πάντα δὲ τὰ τῆς ἀρετῆς βλαστήματα ἐκτρέφοντά τε καὶ αὔξοντα μετὰ ἀκριβείας ἁπάσης. ἔστι γὰρ ἀρχῆς εἴδη· ἓν μὲν καθ' ὃ δήμων καὶ πόλεων ἄρχουσιν ἄνθρωποι, τὸν πολιτικὸν τοῦτον διορθοῦντες βίον (ὅπερ ὁ Παῦλος δηλῶν ἔλεγε, Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ Θεοῦ. εἶτα δεικνὺς αὐτῆς τὸ κέρδος, ἐπήγαγε λέγων, ὅτι ὁ ἄρχων, Θεοῦ διάκονός ἐστιν εἰς τὸ ἀγαθόν. καὶ πάλιν, Θεοῦ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι) ἕτερον δὲ καθ' ὃ ἑαυτοῦ τις ἕκαστος ὁ νοῦν ἔχων ἄρχει. ὃ καὶ αὐτὸ προεδήλωσεν εἰπὼν, Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει· τὸν ἑαυτοῦ ἄρχοντα λέγων. ἐνταῦθα δέ ἐστι καὶ ἑτέρα ἀρχὴ τῆς πολιτικῆς ἀρχῆς ἀνωτέρα. τίς οὖν ἐστιν αὕτη; ἡ ἐν τῇ ἐκκλησίᾳ· ἧς καὶ αὐτῆς ὁ Παῦλος μέμνηται λέγων, Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. αὕτη γὰρ ἡ ἀρχὴ τοσοῦτον τῆς πολιτικῆς ἀμείνων, ὅσον τῆς γῆς ὁ οὐρανός· μᾶλλον δὲ καὶ πολλῷ πλέον. πρῶτον μὲν γὰρ οὐχ ὅπως γινόμενα κολάσειεν ἁμαρτήματα σκοπεῖ προηγουμένως, ἀλλ' ὅπως μὴ γένοιτο τὴν ἀρχήν· ἔπειτα γινόμενα, οὐχ ὅπως ἀπενέγκοι τὸν κάμνοντα, ἀλλ' ὅπως ἀφανισθείη. καὶ βιωτικῶν μὲν οὐ πολὺς αὐτῇ λόγος· πάντα δὲ ὑπὲρ τῶν ἐν οὐρανοῖς πραγμάτων χρηματίζει. Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει,

Γεν. κη. κ.
α. Τιμ. ς. κ.
Ρω. ιγ. α. β. γ.
Εβρ. ιγ. ιζ.
Φιλιπ. γ.

ὑπάρχει, καὶ ἡ ζωὴ ἡμῶν ἐκεῖ. Κέκρυπται γάρ, φησι, σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. (Κολασ. γ. γ.) καὶ τὰ ἔπαθλα ἐκεῖ, καὶ οἱ δρόμοι περὶ τῶν ἐκεῖ στεφάνων. οὐδὲ γὰρ καταλύεται μετὰ τὴν τελευτὴν αὕτη ἡ ζωή, ἀλλὰ τότε διαλάμπει μειζόνως. διὰ δὴ τοῦτο, οὐχ ὑπάρχων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν τὰ διαδήματα περικειμένων μείζονα εἰσὶν ἐγκεχειρισμένοι τιμὴν οἱ ταύτην ἔχοντες τὴν ἀρχήν, ἅτε ἐν μείζοσι καὶ ἐπὶ μείζοσι πλάττοντες τοὺς ἀνθρώπους. ἀλλ' οὔτε ὁ τὴν πολιτικὴν ἀρχὴν μετιών, οὔτε ὁ τὴν πνευματικὴν δυνήσονται καλῶς ταύτας μεταχειρίζειν, εἰ μὴ πρότερον ἑαυτῶν ἄρξαιεν, ὡς χρή, καὶ τοὺς ἑκατέρους νόμους τῆς πολιτείας φυλάξαιεν μετὰ ἀκριβείας ἁπάσης. ὥσπερ γὰρ ἡ τῶν πολλῶν ἀρχὴ διπλῆ τίς ἐστιν, οὕτω καὶ ἣν ἑαυτοῦ τις ἕκαστος ἄρχει. καὶ πάλιν κἀνταῦθα ἀμείνων τῆς πολιτικῆς ἡ πνευματική, ὥσπερ ὁ λόγος ἀπέδειξεν. ἴδοι δ' ἄν τις καὶ τῶν τεχνῶν ἐνίας ἀρχὴν μιμουμένας, καὶ μάλιστα τὴν γεωργικήν. καθάπερ γὰρ ἄρχων τίς ἐστι τῶν φυτῶν ὁ γηπόνος, τὰ μὲν περικόπτων καὶ κωλύων, τὰ δὲ αὔξων καὶ θεραπεύων· καθάπερ καὶ οἱ τῶν ἀρχόντων ἄριστοι τοὺς μὲν πονηρούς, καὶ τοῖς πλείοσι λυμαινομένους, τιμωροῦνται καὶ ἐκκόπτουσι, τοὺς δὲ χρηστοὺς καὶ ἐπιεικεῖς ἐπὶ μεῖζον ἄγουσι. διὰ τοῦτο καὶ ἡ γραφὴ τοὺς ἄρχοντας ἀμπελουργοῖς ἀπεικάζει. τί γὰρ εἰ μὴ φωνὴν ἀφιᾶσι τὰ φυτά, καθάπερ ἐπὶ τῶν πόλεων οἱ κακῶς πάσχοντες; ἀλλ' ὅμως διὰ τῆς ὄψεως δεικνύουσι τὴν ἀδικίαν, μαραινόμενα, στενοχωρούμενα ὑπὸ τῶν πονηρῶν βοτανῶν. καὶ καθάπερ νόμοις κολάζεται ἡ πονηρία, οὕτω δὴ καὶ ἐνταῦθα τῇ τέχνῃ ταύτῃ καὶ γῆς κακία, καὶ φυτοῦ δυσγένεια καὶ ἀγριότης διορθοῦται. καὶ γὰρ ὅσα ἐν τοῖς ἤθεσίν ἐστι τοῖς ἀνθρωπίνοις, εὑρήσομεν καὶ ἐκεῖ, τραχύτητα, μαλακότητα, δειλίαν, περιπέτειαν, ἀστάθειαν, καὶ τὰ μὲν αὐτῶν πλουτοῦντα κομῶντα ἀκαίρως καὶ ἐπὶ κακῷ τῶν πλησίον, τὰ δὲ πενόμενα καὶ ἀδικούμενα· οἷον ὅταν οἱ φραγμοὶ κομῶντες ἐπὶ κακῷ τῶν ἐγγὺς φυτῶν αἴρωνται, ὅταν ἕτερα δένδρα ἄκαρπα καὶ ἀνήμερα εἰς ὕψος ἀναδραμόντα τὴν αὔξησιν τῶν ὑποκειμένων κωλύῃ. καὶ καθάπερ οἱ ἄρχοντες καὶ οἱ βασιλεῖς ἔχουσι τοὺς λυμαινομένους αὐτῶν τῇ ἀρχῇ καὶ πολεμοῦντας· οὕτω καὶ ὁ γηπόνος θηρίων ἔφοδον, ἀνωμαλίαν ἀέρων, χαλάζας, ἐρυσίβην, ἐπομβρίας, αὐχμούς, ὅσα τοιαῦτα. ταῦτα δὲ λέγω, ἵνα πρὸς τὴν τοῦ Θεοῦ διηνεκῶς ἐλπίδα βλέπῃς. αἱ μὲν γὰρ ἄλλαι τέχναι καὶ ἀπὸ τῆς τῶν ἀνθρώπων συνίστανται σπουδῆς· αὕτη δὲ τὸ πλέον ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ ἔχει, καὶ ὅλη σχεδὸν ἐκεῖθεν ἤρτηται· καὶ δεῖ μὲν τῶν ἄνωθεν ὑετῶν, δεῖ δὲ τῆς ὡρῶν κράσεως, καὶ πρὸ πάντων τῆς αὐτοῦ προνοίας. Οὔτε γὰρ ὁ φυτεύων, οὔτε ὁ ποτίζων τί ἐστιν, ἀλλ' ὁ αὐξάνων Θεός. (α. Κορ. γ. ζ.) ἔστι καὶ θάνατος ἐνταῦθα, καὶ ζωή, καὶ ὠδῖνες, καὶ τόκοι, καθάπερ ἐπ' ἀνθρώπων. ἔστι γὰρ καὶ ἀποτμηθῆναι, καὶ καρπὸν ἐνεγκεῖν, καὶ ἀποθανεῖν, καὶ γενέσθαι τὸ τεθνηκὸς αὐτὸ πάλιν ἄνωθεν· ἔνθα καὶ ποικίλως ἡμῖν καὶ σαφῶς διαλέγεται περὶ ἀναστάσεως ἡ γῆ. ὅταν γὰρ ἡ ῥίζα ἐνέγκῃ καρπόν, ὅταν δὲ σπέρμα φυῇ, οὐκ ἀνάστασις τὸ πρᾶγμά ἐστι; καὶ πολλὴν ἄν τις ἴδοι τῇ ἀρχῇ ταύτῃ παρὰ τοῦ Θεοῦ πρόνοιαν ἐγκειμένην καὶ σοφίαν, εἰ καθέκαστον ἐπεξίοι. ἀλλ' ὅπερ ἐβουλόμην εἰπεῖν, ὅτι αὕτη μὲν περὶ γῆν ἐστι καὶ φυτά· ἡ δὲ ἡμετέρα περὶ ψυχῶν θεραπείαν. (ποτείας.) ὅσον δὲ φυτῶν καὶ ψυχῶν τὸ μέσον, τοσοῦτον αὕτη βελτίων ἐκείνης. οἱ δὲ τοῦ βίου τοῦ παρόντος ἄρχοντες, τοσοῦτον αὐτῆς ἐλάττους πάλιν, ὅσον τὸ ἑκόντος τοῦ ἄκοντος κρατεῖν, βέλτιον. αὕτη γάρ ἐστι καὶ ἡ φύσει ἀρχή. ἐκεῖ μὲν γὰρ τὸ πλέον τῷ φόβῳ γίνεται καὶ τῇ ἀνάγκῃ· ἐνταῦθα δὲ τῆς προαιρέσεως καὶ τῆς γνώμης ἐστὶ κατόρθωμα. καὶ οὐ ταύτῃ μόνον αὕτη βελτίων ἐκείνης, ἀλλ' ὅτι οὐκ ἀρχὴ μόνον ἐστίν, ἀλλὰ καὶ πατρότης, ὡς ἄν τις εἴποι. καὶ γὰρ πατρὸς ἔχει τὸ ἥμερον, καὶ μείζονα ἐπιτάττουσα πείθει. ὁ μὲν γὰρ ἔξωθεν ἄρχων φησίν, ἐὰν μοιχεύσῃς, ἀπέθανες· οὗτος δέ, κἂν ἀκολάστοις ὀφθαλμοῖς ἴδῃς, τὰ μέγιστα ἀπειλεῖ. καὶ γὰρ σεμνὸν τοῦτο τὸ δικαστήριον, καὶ ψυχῆς, οὐχὶ σώματος μόνον διορθωτικόν. ὅσον οὖν ψυχῆς καὶ σώματος τὸ μέσον, τοσοῦτον πάλιν αὕτη διέστηκεν ἐκείνης ἡ ἀρχή. κἀκεῖνος μὲν

τῶν

τῶν φανερῶν κάθηται κριτής· μᾶλλον δὲ οὐδὲ τούτων ἁπάντων, ἀλλὰ τῶν ἐλεγχομένων. πολλάκις δὲ καὶ τούτων προδότης γίνεται. τὸ δὲ κριτήριον τοῦτο παιδεύει τοὺς εἰσιόντας, ὅτι ὁ παρ' ἡμῖν δικάζων, πάντα γυμνὰ καὶ τετραχηλισμένα εἰς μέσον ἄξει ἐπὶ τοῦ κοινοῦ τῆς οἰκουμένης θεάτρου, καὶ λαθεῖν ἀμήχανον. ὥστε πολλῷ μᾶλλον τῶν ἔξωθεν νόμων ὁ χριστιανισμὸς τὸν ἡμέτερον συνέχει βίον. εἰ γὰρ καὶ τὸ περὶ τῶν κεκρυμμένων τρέμειν τοῦ περὶ τῶν φανερῶν μόνον δεδοικέναι ἀσφαλέστερον ποιεῖ τὸν ἄνθρωπον, καὶ τοῦ τὰ μείζω κολάζειν τὸ καὶ τῶν ἐλαττόνων ἀπαιτεῖν εὐθύνας μᾶλλον αὐτὸν διανίστησι πρὸς ἀρετήν· εὔδηλον ὅτι πάντων μάλιστα αὕτη ἡ ἀρχὴ τὴν ἡμετέραν συγκροτεῖ ζωήν. εἰ δὲ βούλει, καὶ τὰς χειροτονίας τῶν ἀρχόντων ἴδωμεν. καὶ γὰρ ἐνταῦθα πολὺ τὸ μέσον ὄψει. οὐ γὰρ χρήματα δόντας ἐστὶ λαβεῖν τὴν ἀρχὴν ταύτην, ἀλλὰ τρόπον ἐπιδειξαμένους ἄριστον. οὐδὲ ὡς ἐπὶ δόξαν ἀνθρωπίνην καὶ ἄνεσιν οἰκείαν, ἀλλ' ὡς εἰς πόνους καὶ ἱδρῶτας καὶ τὸ τῶν πολλῶν συμφέρον, οὕτως ἐπὶ τὴν ἀρχὴν ἄγεται ταύτην ὁ χειροτονηθείς. διὸ καὶ πολλῆς ἀπολαύει τῆς ἄνωθεν βοηθείας παρὰ τοῦ πνεύματος. κἀκεῖ μὲν μέχρι τοῦ διαχειρίσαι τὰ πρακτέα μόνον ἕστηκεν ἡ ἀρχή· ἐνταῦθα δὲ καὶ τὴν ἀπὸ τῶν εὐχῶν, καὶ τὴν ἀπὸ τῆς χάριτος περιΐστησι συμμαχίαν. μᾶλλον δὲ ἐκεῖ μὲν οὐδὲ λόγος ὑπὲρ φιλοσοφίας οὐδείς, οὐδὲ κάθηταί τις διδάσκων τί ψυχή, καὶ τί ποτε κόσμος, καὶ τί μελλόμεθα εἶναι μετὰ ταῦτα, καὶ ἐπὶ τίσιν ἀπελευσόμεθα ἐντεῦθεν, καὶ πῶς ἀρετῆς περιεσόμεθα, ἀλλὰ περὶ μὲν συναλλαγμάτων καὶ συμβολαίων καὶ χρημάτων πολὺς ὁ λόγος, τούτων δὲ οὐδεμία φροντίς. ἐν δὲ τῇ ἐκκλησίᾳ πάντας ὑπὲρ τούτων τοὺς λόγους ἴδοι τις ἂν γινομένους. διὸ καὶ δικαίως πάντα ἄν τις αὐτὴν καλέσειε, καὶ δικαστήριον, καὶ ἰατρεῖον, καὶ φιλοσοφίας διδασκαλεῖον, καὶ ψυχῆς παιδευτήριον, καὶ γυμνάσιον δρόμων τῶν εἰς οὐρανοὺς φερόντων. ὅτι δὲ καὶ ἡμερωτάτη πασῶν ἡ ἀρχή, καίτοι μείζονα ἀκρίβειαν ἀπαιτοῦσα, δῆλον ἐντεῦθεν. ὁ μὲν γὰρ ἔξωθεν ἄρχων, ἂν λάβῃ μοιχόν, εὐθέως ἐκόλασε. καίτοι τί τὸ κέρδος; τοῦτο γὰρ οὐχὶ τὸ πάθος ἐστὶν ἀνελεῖν, ἀλλὰ τὸ τραῦμα ἔχουσαν ἀποπέμψαι τὴν ψυχήν. ὁ δὲ ἐνταῦθα ἄρχων εὑρών, οὐχ ὅπως τιμωρήσηται, ἀλλ' ὅπως ἐξέλῃ τὸ πάθος, σπουδάζει. σὺ μὲν γὰρ ταυτὸν ποιεῖς, ὥσπερ ἂν περὶ τὴν κεφαλὴν νοσήματος γινομένου, μὴ τὸ νόσημα παύσῃς, ἀλλὰ τὴν κεφαλὴν ἀποτέμοις. ἐγὼ δὲ οὐχ οὕτως, ἀλλὰ τὸ νόσημα ἀποτέμνω. καὶ εἴργω μὲν αὐτὸν μυστηρίων καὶ ἱερῶν περιβόλων· ἀναστησάμενος δὲ αὐτόν, καὶ ἀπαλλαγέντα τῆς κακίας, καὶ ἀμείνω τῇ μετανοίᾳ γενόμενον ἀναλαμβάνω πάλιν. καὶ πῶς ἐστιν ἐξελεῖν μοιχείαν, φησί; ἔστι, καὶ σφόδρα ἐστὶν ὑπὸ τοῖς νόμοις γινόμενον τούτοις. βαλανεῖον γάρ ἐστιν ἡ ἐκκλησία πνευματικόν, οὐ ῥύπον σώματος, ἀλλὰ ψυχῆς ἀποσμήχον κηλῖδα τοῖς πολλοῖς τῆς μετανοίας τρόποις. σὺ μὲν γὰρ ἄν τι ἀφῇς ἀτιμώρητον, χείρονα εἰργάσω· ἄν τε κολάσῃς, ἀνίατον εἴασας. ἐγὼ δὲ οὔτε ἀφίημι ἀτιμώρητον, οὔτε κολάζω, ὡς σύ· ἀλλὰ καὶ δίκην ἀπαιτῶ τὴν ἐμοὶ πρέπουσαν, καὶ διορθοῦμαι τὸ γεγενημένον. βούλει καὶ ἑτέρως μαθεῖν, πῶς σὺ μὲν ξίφη γυμνῶν, καὶ φλόγα δεικνὺς τοῖς ἁμαρτάνουσιν, οὐ πολλὴν ἐργάζῃ τὴν ἰατρείαν, ἐγὼ δὲ τούτων χωρὶς πρὸς καθαρὰν ἐχειραγώγησα τὴν ὑγίειαν; οὐ δεῖ δέ μοι λόγων, οὐδὲ ῥημάτων, ἀλλὰ γῆν καὶ θάλατταν εἰς μέσον ἄγω, καὶ αὐτὴν τῶν ἀνθρώπων τὴν φύσιν. καὶ ἐξέτασον, πρὶν ἢ τὸ δικαστήριον τοῦτο καθίσαι, πῶς τὰ ἀνθρώπινα ἔκειτο πράγματα, πῶς οὐδὲν τῶν νῦν κατορθωθέντων οὐδὲ μέχρις ὀνόματος ἦν ἀκοῦσαί ποτε. τίς γὰρ θανάτου κατετόλμησε; τίς χρημάτων κατεφρόνησε; τίς δόξης ὑπερεῖδε; τίς τοὺς ἐν μέσῳ θορύβους φυγών, καὶ ἐρημίαν τὴν μητέρα τῆς φιλοσοφίας ἠσπάσατο; ποῦ παρθενίας ὄνομά ποτε ἦν; ταῦτα γὰρ πάντα, καὶ τὰ τούτων πλείονα, τούτου τοῦ δικαστηρίου κατόρθωμα γέγονε, ταύτης τῆς ἀρχῆς ἔργα. ταῦτ' οὖν εἰδότες καὶ καταμαθόντες, ὡς ἐντεῦθεν πᾶσα ὠφέλεια τοῦ βίου, καὶ ἡ τῆς οἰκουμένης διόρθωσις, θαμινὰ βαδίζετε παρὰ τὴν τῶν θείων λόγων ἀκρόασιν,

χ. γῆς

χ. ποιεῖ

καὶ

καὶ τὰς συνόδους τὰς ἐνταῦθα, καὶ τὰς εὐχάς. ἂν γὰρ οὕτως ἑαυτοὺς ῥυθμίζητε, δυνησόμεθα τὴν οὐρανῶν ἀξίαν ἐπιδειξάμενοι πολιτείαν, τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, *χάριτι καὶ φιλανθρωπίᾳ.

* ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,

Λογ. ιϛ'. 13 ΔΙΑ ΤΟΥΤΟ ΠΑΡΑΚΕΚΛΗΜΕΘΑ ΕΠΙ ΤΗ παρακλήσει ὑμῶν· περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν.

Ὅρα πάλιν πῶς ἐπαίρει αὐτοὺς τὰ ἐγκώμια, καὶ δείκνυσι τὴν ἀγάπην. Εἰπὼν γὰρ, ὅτι ἥσθην ὅτι τοσοῦτον ἡ ἐπιστολὴ ἐλύπησε, καὶ ὅτι τοσοῦτον ἐκερδάνατε (χαίρω γὰρ, φησιν, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν) καὶ δείξας αὐτοῦ τὴν ἀγάπην (ἔφησε γὰρ ὅτι εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ ἕνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ ἕνεκεν τοῦ ἀδικηθέντος, ἀλλ' ἕνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ ὑμῶν πρὸς ὑμᾶς) λέγει πάλιν ἄλλο σημεῖον τῆς αὐτῶν εὐνοίας, ὃ πολλὴν αὐτοῖς φέρει τὸν ἔπαινον, καὶ δείκνυσι τῆς ἀγάπης αὐτοῦ τὸ γνήσιον. ἐπὶ γὰρ τῇ παρακλήσει ὑμῶν περισσοτέρως μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, φησί. καίτοιγε τοῦτο οὐκ ἔστι φιλοῦντος σφοδρῶς, τὸ ἐπ' ἐκείνῳ μᾶλλον χαρῆναι, ἢ ἐπ' αὐτοῖς. ναί, φησιν. οὐδὲ γὰρ δι' ἐκεῖνον τοσοῦτον, ὅσον δι' ὑμᾶς ἥσθην. Διὰ τοῦτο καὶ τὴν αἰτίαν ἐπάγει λέγων, ὅτι τὰ σπλάγχνα αὐτοῦ ἀναπέπαυται ἀπὸ πάντων ὑμῶν. οὐκ εἶπεν, αὐτός, ἀλλά, τὰ σπλάγχνα αὐτοῦ· τουτέστιν, ἡ ἀγάπη αὐτοῦ ἡ περὶ ὑμᾶς. καὶ πῶς ἀναπέπαυται; ἀπὸ πάντων. καὶ γὰρ καὶ τοῦτο μέγιστον ἐγκώμιον.

χ. ἴσω

14 Ὅτι εἴ τι αὐτῷ κεκαύχημαι ὑπὲρ ὑμῶν. Μέγας ὁ ἔπαινος, ὅταν ὁ διδάσκαλος καυχᾶται. Φησὶ γὰρ ὅτι, Οὐ κατῃσχύνθην. Διὰ τοῦτο ἐχάρην, ὅτι βελτίους ἐφάνητε, καὶ διὰ τῶν ἔργων ἐδείξατέ μου τὰ ῥήματα. ὥστε διπλοῦς ὁ κόσμος ἐμοί, καὶ ὅτι ὑμεῖς ἐπεδώκατε, καὶ ὅτι ἐγὼ οὐκ ἐφάνην τῆς ἀληθείας διαπίπτων. Ἀλλ' ὡς πάντοτε ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν, ἡ ἐπὶ Τίτου, ἀλήθεια γέγονεν. Ἐνταῦθα καὶ ἄλλο τι αἰνίττεται)· ὅτι ὥσπερ πρὸς ὑμᾶς μετ' ἀληθείας πάντα ἐφθεγξάμεθα (εἰκὸς γὰρ αὐτὸν καὶ περὶ τούτου πολλὰ αὐτοῖς εἰπεῖν ἐγκώμια) οὕτω καὶ τὰ περὶ ὑμῶν ἡμῖν Τίτῳ εἰρημένα, ἀληθῆ ἐφάνη.

15 Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστὶν εἰς ὑμᾶς. Τοῦτο λοιπὸν ἐκεῖνον συνιστῶντός ἐστιν, ὡς σφόδρα ἐκκρεμάμενοι καὶ συνδεδεμένοι αὐτοῖς. καὶ οὐκ εἶπεν, ἡ ἀγάπη αὐτοῦ. Εἶτα, ἵνα μὴ δόξῃ κολακεύειν, πανταχοῦ τίθησι τῆς φιλίας τὰς αἰτίας· ἵν', ὅπερ εἶπον, καὶ τὴν κολακείαν διαφύγῃ, καὶ ἐκείνους μᾶλλον προτρέψῃ, τὸ ἐγκώμιον εἰς αὐτοὺς περιϊστάς, καὶ δεικνὺς τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν τῆς τοσαύτης ἀγάπης ἐκείνους ἐμβαλόντας αὐτῷ. Εἰπὼν γὰρ ὅτι τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστὶν εἰς ὑμᾶς, ἐπήγαγεν, Ἀναμιμνησκομένου τὴν ἁπάντων ὑμῶν ὑπακοήν. Τοῦτο δὲ καὶ τὸν Τίτον εὐγνώμονα δείκνυσι περὶ τοὺς εὐεργέτας, εἴγε λαβὼν αὐτοὺς ἐν τῇ ψυχῇ ἐπανῆλθεν ἅπαντας, καὶ διηνεκῶς αὐτῶν μέμνηται, καὶ ἐκείνους ἐπὶ στόματος ἔχει καὶ ἐπὶ διανοίας. καὶ Κορινθίους πάλιν κοσμεῖ μειζόνως, ὅτι αὐτὸν οὕτω χειρωσάμενοι ἐξέπεμψαν. Εἶτα καὶ τὴν ὑπακοὴν αὐτῶν λέγει, ἐπιτείνων αὐτῶν τὴν σπουδήν. διὸ καὶ ἐπάγει ταῦτα,

Ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. Οὐ μετὰ ἀγάπης μόνον, ἀλλὰ καὶ μετὰ τιμῆς ἐπιτεταμένης. Εἶδες πῶς διπλῆν αὐτοῖς ἀρετὴν μαρτυρεῖ, καὶ ὅτι ὡς πατέρα ἐφίλησαν, καὶ ὡς ἄρχοντα ἐδεδοίκασιν, οὔτε διὰ τὸν φόβον ἀμαυρώσαντες τὴν ἀγάπην, οὔτε διὰ

τὴν

τὴν ἀγάπην ἐκλύοντες τὸν φόβον; τοῦτο καὶ λυπηρότερον ἔλεγχον, ὅτι δὲ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; ἀλλὰ φόβον; ἀλλὰ ἐπιπόθησιν;

16 Χαίρω οὖν ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν. Ὁρᾷς ὅτι δι' αὐτοὺς μᾶλλον χαίρει; ὅτι οὐδαμοῦ τὸν διδάσκαλον κατῃσχύνατε, φησὶν, οὐδὲ ἀνάξιοι φαίνεσθε τῆς ἐμῆς μαρτυρίας. ὥστε οὐχ οὕτω διὰ Τίτον ἔχαιρεν, ὅτι τιμῆς ἀπήλαυσε τοσαύτης, ὡς δι' αὐτοὺς, ὅτι τοσαύτην ἐπεδείξαντο εὐγνωμοσύνην. ἵνα γὰρ μὴ νομισθῇ δι' ἐκεῖνον χαίρειν μᾶλλον, ὅρα πῶς καὶ ἐνταῦθα τὴν αἰτίαν τίθησιν. ὥσπερ οὖν λυπηρότερον εἶπεν, ὅτι εἴ τι αὐτῷ κεκαύχημαι ὑπὲρ ὑμῶν, οὐ κατῃσχύνθην· οὕτω καὶ ἐνταῦθα, ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν. κἂν ἐπιπλῆξαι δέοι, οὐ δέδοικα μὴ ἀποῤῥαγῆτε· κἂν καυχήσασθαι, οὐ φοβοῦμαι ὡς ἐλεγχόμενος· κἂν ὡς πειθηνίους ἐπαινέσαι, κἂν ὡς ἀγαπητικοὺς, κἂν ὡς ζῆλον ἔχοντας, θαῤῥῶ ἐν ὑμῖν. εἶπον ἐκκόψαι, καὶ ἐξεκόψατε· εἶπον δέξασθαι, καὶ ἐδέξασθε· εἶπον ὅτι μεγάλοι τινές ἐστε καὶ θαυμαστοὶ ἐπὶ Τίτου καὶ διδασκάλους εἰδότες αἰδεῖσθε, ἀληθῆ διὰ τῶν ἔργων ταῦτα ἐδείξατε. καὶ οὐχ οὕτως ἐμάθετε ταῦτα παρ' ἐμοῦ, ὡς παρ' ὑμῶν. ἐπαμιλλᾶσθε γοῦν σφοδρὸς ἐραστὴς ὑμῶν γενόμενος, πλείονα τῶν λόγων ἐπιδειξαμένων ὑμῶν.

κεφ. η. 1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. Ἐπάρας αὐτοὺς τοῖς ἐγκωμίοις, παραινέσιν πάλιν καθίησι. διὰ γὰρ τοῦτο τῇ ἐπιπλήξει παρέμιξε τοὺς ἐπαίνους, ἵνα μὴ ἀπὸ ἐπιπλήξεως εἰς παραίνεσιν καταλθὼν δυσπαραδεκτὸν ποιήσῃ τὸν λόγον, ἀλλὰ λεαίας αὐτῶν τὴν ἀκοὴν, οὕτω προσοδοποιήσῃ τῇ παραινέσει. βούλεται γὰρ περὶ ἐλεημοσύνης διαλεχθῆναι. διὸ καὶ προλαβὼν εἶπε, χαίρω ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν· ἀπὸ τῶν ἤδη κατωρθωμένων καὶ εἰς τοῦτο προθυμοτέρους ποιῶν. καὶ οὐκ εἶπεν εὐθέως, δότε οὖν ἐλεημοσύνην· ἀλλ' ὅρα τὴν σύνεσιν, πῶς πόῤῥωθεν καὶ ἀφ' ὑψηλοῦ προκατασκευάζει τὸν λόγον. γνωρίζω γὰρ ὑμῖν, φησὶ, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. ἵνα γὰρ μὴ ἐπαίρωνται, χάριν τὸ πρᾶγμα καλεῖ· καὶ τὰ ἑτέρων διηγούμενος, τοῖς ἑτέρων ἐγκωμίοις σπουδαιοτέρους τούτους ἐργάζεται. καὶ δύο συντίθησιν ἐπαίνους Μακεδόσι, μᾶλλον δὲ καὶ τρεῖς· καὶ ὅτι πειρασμοὺς γενναίως φέρουσι, καὶ ὅτι ἐλεεῖν ἴσασι, καὶ ὅτι πένητες ὄντες δαψίλειαν ἐνεδείξαντο ἐν ἐλεημοσύνῃ. καὶ γὰρ ἡρπάγησαν αὐτῶν αἱ οὐσίαι. καὶ τοῦτο δηλῶν ἔλεγεν, ἡνίκα αὐτοῖς ἐπέστελλεν, Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, φησὶ, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν ἐν τῇ Ἰουδαίᾳ· ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ καὶ ἐκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. ἄκουσον τί μετὰ ταῦτα Ἑβραίοις ἐπιστέλλων ἔλεγε· Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. χάριν δὲ τὸ πρᾶγμα καλεῖ, οὐχὶ καταστέλλων αὐτοὺς μόνον, ἀλλὰ καὶ ἐκκαλούμενος, καὶ ἀνεπίφθονον τὸν λόγον ἐργαζόμενος. διὸ καὶ τὸ τῶν ἀδελφῶν ὄνομα προσέθηκεν, ὥστε πᾶσαν ὑποτεμέσθαι βασκανίαν. καὶ γὰρ μέλλει μετὰ ὑπερβολῆς ἐγκωμιάζειν αὐτούς. ἄκουσον γοῦν τῶν ἐπαίνων. εἰπὼν γὰρ, γνωρίζω ὑμῖν τὴν χάριν τοῦ Θεοῦ, οὐκ εἶπε, τὴν δεδομένην ἐν τῇδε καὶ τῇδε τῇ πόλει, ἀλλ' ὁλόκληρον ἔπαρας τὸ ἔθνος, λέγων, ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. εἶτα καὶ αὐτὴν διηγεῖται τὴν χάριν·

2 Ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν.

Εἶδες σύνεσιν; περὶ τούτων γὰρ ἐκεῖνο λέγει, οὐχ ὃ βούλεται, ἀλλ' ἕτερον παρ' αὐτοῦ, ἵνα μὴ δόξῃ ἐπίτηδες τοῦτο ποιεῖν, ἀλλὰ ἀπὸ ἀκολουθίας ἑτέρας ἐπ' αὐτὸ ἔρχεσθαι.

Ἐν πολλῇ δοκιμῇ θλίψεως. Ὃ καὶ αὐτοῖς Μακεδόσιν ἐπιστέλλων ἔλεγεν, ὅτι Μιμηταὶ ἐγενήθητε τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. καὶ πάλιν, Ἀφ' ὑμῶν ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε. τί δέ

Margin notes: κεφ. η. (beside "Γνωρίζω"); α. Θεσσ. β. ιδ. (beside "Ὑμεῖς γὰρ μιμηταὶ"); Ἑβρ. ι. λδ. (beside "ἁρπαγὴν"); α. Θεσσ. α. ς. καὶ η. (beside "Μιμηταὶ ἐγενήθητε τοῦ Κυρίου")

ἐστιν, Ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν; Ἀμφότερα μετ' ὑπερβολῆς γέγονεν αὐτοῖς, φησι, καὶ ἡ θλίψις, καὶ ἡ χαρά. διὸ καὶ πολὺ τὸ παράδοξον ἦν, ὅτι τοσαύτη ἡδονῆς περιουσία ἀπὸ θλίψεως αὐτοῖς ἐβλάστησεν. οὐ γὰρ δὴ μόνον λύπην οὐκ ἔτικτεν, ἀλλὰ καὶ ἀφορμὴ γέγονεν αὐτοῖς εὐφροσύνης ἡ θλίψις καὶ ταῦτα πολλὴ οὖσα. τοῦτο δὲ ἔλεγεν, ἀλείφων αὐτοὺς ἐν τοῖς πειρασμοῖς γενναίους εἶναι καὶ ἀπεριτρέπτους. οὐδὲ γὰρ ἁπλῶς ἐθλίβησαν, ἀλλ' οὕτως ὡς καὶ δόκιμοι γενέσθαι διὰ τῆς ὑπομονῆς. μᾶλλον δὲ οὐ λέγει, διὰ τῆς ὑπομονῆς, ἀλλ', ὃ πλέον ἦν τῆς ὑπομονῆς, χαρᾶς. καὶ οὐδὲ χαρὰν ἁπλῶς λέγει, ἀλλὰ, περισσείαν χαρᾶς. καὶ γὰρ πολλὴ καὶ ἄφατος ἐβλάστησεν ἐν αὐτοῖς.

γρ. χαρᾷ.

Καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν.

Πάλιν ἀμφότερα ταῦτα μετ' ὑπερβολῆς. ὥσπερ γὰρ ἡ πολλὴ θλίψις πολλὴν χαρὰν ἔτεκε, καὶ περισσείαν χαρᾶς· οὕτως ἡ πολλὴ πενία πολὺν πλοῦτον ἔτεκεν ἐλεημοσύνης. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ γνώμῃ τῶν παρεχόντων ἡ φιλοτιμία κρίνεται. διὸ οὐδαμοῦ λέγει πλοῦτον τῶν δοθέντων, ἀλλὰ, πλοῦτον τῆς ἁπλότητος αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον οὐκ ἐνεπόδισεν αὐτοῖς πρὸς δαψίλειαν ἡ πτωχεία, ἀλλὰ καὶ ἀφορμὴ γέγονε τοῦ περισσεῦσαι, ὥσπερ ἡ θλίψις τοῦ ἡσθῆναι. ὅσῳ γὰρ ἦσαν πένητες, τοσούτῳ μᾶλλον ἐφιλοτιμοῦντο, καὶ προθυμότερον παρεῖχον. διὸ καὶ σφόδρα αὐτοὺς θαυμάζει, ὅτι ἐκ τοσαύτης πενίας τοσαύτην ἐπεδείξαντο φιλοτιμίαν. ἡ γὰρ κατὰ βάθους πτωχεία αὐτῶν (τουτέστιν, ἡ πολλὴ καὶ ἄφατος) ἔδειξεν αὐτῶν τὴν ἁπλότητα. ἀλλ' οὐκ εἶπεν, ἔδειξεν, ἀλλὰ, ἐπερίσσευσε· καὶ οὐκ εἶπεν, ἁπλότητα, ἀλλὰ, πλοῦτον ἁπλότητος, τουτέστιν, ἀντίρροπον τοῦ μεγέθους τῆς πτωχείας. μᾶλλον δὲ, καὶ πολλῷ μείζονα τὸν ὄγκον ἐπεδείξαντο τῆς δαψιλείας. εἶτα αὐτὸ καὶ ἑρμηνεύει σαφέστερον λέγων,

3 Ὅτι κατὰ δύναμιν, μαρτυρῶ (ἀξιόπιστος ὁ μάρτυς) καὶ ὑπὲρ δύναμιν·

Τουτέστιν, ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. μᾶλλον δὲ οὐ διὰ τούτου μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς ἁπάντων αὐτὸ δηλοῖ. Αὐθαίρετοι γὰρ, φησιν.

Ἰδοὺ καὶ ἑτέρα ὑπερβολή.

4 Μετὰ πολλῆς παρακλήσεως. Ἰδοὺ καὶ τρίτη, καὶ τετάρτη.

Δεόμενοι ἡμῶν. Ἰδοὺ καὶ πέμπτη. καὶ ἐν θλίψει ὄντες, καὶ ἐν πενίᾳ· αὕτη ἕκτη. καὶ ἑβδόμη, καὶ μεθ' ὑπερβολῆς ἔδωκαν. εἶτα ἐπειδὴ τοῦτο μάλιστα βούλεται κατασκευάσαι παρὰ Κορινθίοις, τὸ μετὰ προαιρέσεως δοῦναι, αὐτῷ μάλιστα ἐνδιατρίβει λέγων, μετὰ πολλῆς παρακλήσεως, καὶ, δεόμενοι ἡμῶν. οὐχ ἡμεῖς αὐτῶν ἐδεήθημεν, ἀλλ' αὐτοὶ ἡμῶν. τί δεόμενοι ἡμῶν; Τὴν χάριν, καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους. Εἶδες πῶς πάλιν ἐπαίρει τὸ πρᾶγμα, σεμνοῖς ὀνόμασιν αὐτὸ καλῶν; καὶ γὰρ ἐπειδὴ ζηλωταὶ ἦσαν πνευμάτων, χάριν αὐτὸ ὀνομάζει, ἵνα ἐπιδράμωσι· καὶ κοινωνίαν πάλιν, ἵνα μάθωσιν, ὅτι λαμβάνουσιν, οὐ διδόασι μόνον. τοῦτο οὖν ἡμᾶς παρεκάλουν, φησὶν, ὥστε ἡμᾶς ἀναδέξασθαι τὴν τοιαύτην διακονίαν.

5 Καὶ οὐ καθὼς ἠλπίσαμεν. Τοῦτο καὶ πρὸς τὴν ποσότητά φησι, καὶ πρὸς τὰς θλίψεις. οὐ γὰρ ἂν ἠλπίσαμεν, φησιν, ὅτι ἐν τοσαύτῃ θλίψει ὄντες καὶ πενίᾳ, καὶ κατηπείξαιεν ἂν ἡμᾶς, καὶ τοσαῦτα παρεκάλεσαν. καὶ τὸ τοῦ λοιποῦ δὲ βίου ἐπιμελὲς αὐτῶν ἐδήλωσεν εἰπών, Ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος Θεοῦ.

Ἐν πᾶσι γὰρ ὑπήκουσαν πλέον, ἢ προσεδοκήσαμεν. οὐδὲ, ἐπειδὴ ἠλέουν, τῶν ἄλλων ἠμέλουν ἀρετῶν· ἀλλὰ πρῶτον ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ. τί ἐστιν, ἔδωκαν ἑαυτοὺς τῷ Κυρίῳ; ἀνέθηκαν, δόκιμοι περὶ τὴν πίστιν ἐφάνησαν, πολλὴν τὴν ἀνδρείαν ἐν τοῖς πειρασμοῖς ἐπεδείξαντο, τὴν κοσμιότητα, τὴν ἐπιείκειαν, τὴν ἀγάπην, τὴν ἐν τοῖς ἄλλοις ἅπασιν

ἀγαθοῖς προθυμίαν τε καὶ σπουδήν. τί ἐστι, καὶ ἡμῖν; πειθήνιοι γεγόνασιν ἡμῖν, ἠγάπησαν, ὑπήκουσαν, καὶ τοῖς τοῦ Θεοῦ νόμοις πληθύνοντες, καὶ ἡμῖν διὰ τῆς ἀγάπης συνδεδεμένοι. σκόπει δὲ πῶς καὶ ἐνταῦθα τὴν ἐπίτασιν δείκνυσι λέγων, ἔδωκαν ἑαυτοὺς τῷ Κυρίῳ. οὐχὶ τῷ μὲν τῷ Θεῷ ὑπήκουσαν, τῷ δὲ τῷ κόσμῳ· ἀλλὰ πάντα αὐτῷ, καὶ ὅλους ἑαυτοὺς ἔδωκαν τῷ Θεῷ. οὐδὲ γάρ, ἐπὶ πλέον, ἀπενοήθησαν· ἀλλὰ πολλὴν ἐπιδειξάμενοι ταπεινοφροσύνην, πολλὴν ὑπακοήν, πολλὴν τιμήν, πολλὴν φιλοσοφίαν, οὕτω καὶ τὴν ἐλεημοσύνην εἰργάσαντο. τί δέ ἐστι, διὰ θελήματος Θεοῦ; ἐπειδὴ εἶπεν, ἡμῖν ἔδωκαν ἑαυτούς· οὐδὲ ἡμῖν ἀνθρωπίνως, ἀλλὰ καὶ τοῦτο κατὰ τὴν τοῦ Θεοῦ γνώμην ἐποίουν.

6 Ὥστε ἡμᾶς παρακαλέσαι Τίτον, ἵνα καθὼς προενήρξατο ἐν ὑμῖν, οὕτως ἐπιτελέσῃ καὶ τὴν χάριν ταύτην. Καὶ ποία ἀκολουθία αὕτη; πολλὴ καὶ σφόδρα τοῖς ἔμπροσθεν εἰρημένοις. ἐπειδὴ γὰρ εἴδομεν αὐτοὺς σφοδρούς, φησί, καὶ θερμοὺς ἐν ἅπασιν, ἐν πειρασμοῖς, ἐν ἐλεημοσύνῃ, ἐν τῇ πρὸς ἡμᾶς ἀγάπῃ, ἐν τῇ λοιπῇ τοῦ βίου καθαρότητι· ἵνα καὶ ὑμεῖς αὐτοῖς ἐξισωθῆτε, ἐπέμψαμεν Τίτον. ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τοῦτο δὲ ἐδήλωσε. σκόπει φιλίας ὑπερβολήν. πρὸς ἐκείνους γὰρ παρακαλούμενοι, φησί, καὶ ἀξιούμενοι, τὰ ὑμέτερα ἐμεριμνῶμεν, μήπως αὐτῶν ἐλαττωθῆτε. διὸ καὶ ἀπεστείλαμεν Τίτον, ἵνα κἀντεῦθεν διεγερθέντες, ὑπομνησθέντες, ζηλώσητε Μακεδόνας. καὶ γὰρ ἐτύγχανεν ἐκεῖ ὢν ὁ Τίτος, ὅτε ἡ ἐπιστολὴ αὕτη ἐγράφετο. δείκνυσι δὲ αὐτὸν καὶ καταρξάμενον τούτου πρὸ τῆς Παύλου παρουσίας· ἵνα καθὼς προενήρξατο, φησί. διὸ καὶ μεγάλα αὐτοῦ λέγει ἐγκώμια, ἐν ἀρχῇ μέν, ὅτι τῷ μὴ

β. Κορ. β. ιγ. εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου, οὐκ ἔσχον ἄνεσιν τῷ πνεύματί μου· ἐντεῦθεν δὲ ταῦτα ἅπερ εἴρηκεν ἅπαντα, καὶ τοῦτο δὲ αὐτό. οὐ μικρὸν γὰρ καὶ τοῦτο ἐγκώμιον, τὸ καὶ προενάρξασθαι. θερμῆς γὰρ τοῦτο καὶ ζεούσης ψυχῆς. διὸ καὶ ἔπεμψεν αὐτόν, μεγίστην αὐτοῖς ἐνθεὶς κἀντεῦθεν περὶ σπουδὴν τοῦ δοῦναι, τὴν παρουσίαν Τίτου. διὰ τοῦτο καὶ ἐπαίρει τοῖς ἐπαίνοις αὐτόν, οἰκειῶσαι βουλόμενος σφοδρότερον τοῖς Κορινθίοις τὸν ἄνθρωπον. καὶ γὰρ καὶ τοῦτο πρὸς τὸ πεῖσαι μέγα, τὸ οἰκείως διακεῖσθαι πρὸς τὸν συμβουλεύοντα. καλῶς δὲ καὶ ἅπαξ, καὶ δίς, καὶ τρὶς μνημονεύσας τῆς ἐλεημοσύνης, χάριν τὸ πρᾶγμα καλεῖ, νῦν μὲν λέγων, γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας· νῦν δέ, αὐθαίρετοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν· καὶ πάλιν, ἵνα καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην.

ΗΘΙΚΟΝ Καὶ γὰρ μέγα ἐστὶν ἀγαθὸν καὶ Θεοῦ δωρεὰ τοῦτο, καὶ αὐτῷ τῷ Θεῷ κατὰ δύναμιν ἡμᾶς ἐξομοιοῖ κατορθούμενον· τοῦτο γὰρ μάλιστα ἄνθρωπος. λέγων γοῦν τις σχῆμα ἀνθρώπου, τοῦτο τέθεικε· Μέγα γάρ, φησιν, ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων· αὕτη μείζων ἡ χάρις, ἢ νεκροὺς ἀνιστᾶν. τὸ γὰρ ἐν τῷ ὀνόματι Ἰησοῦ τοὺς ἀποθανόντας ἐγείρειν πολλῷ μεῖζον τὸ πεινῶντα τρέφειν τὸν Χριστόν. ἐν ἐκείνῳ μὲν γὰρ σὺ τὸν Χριστὸν εὐεργετεῖς, ἐκεῖ δὲ αὐτός σε. καὶ ὁ μισθὸς δὲ ἐν τῷ ποιεῖν εὖ, οὐκ ἐν τῷ πάσχειν εὖ. ἐν ταῦτα μὲν γάρ, ἐπὶ τῶν σημείων λέγω, αὐτὸς ὀφείλεις τῷ Θεῷ· ἐπὶ δὲ τῆς ἐλεημοσύνης τὸν Θεὸν ὀφειλέτην ἔχεις. ἐλεημοσύνη δέ ἐστιν, ὅταν μετὰ προθυμίας γίνηται, ὅταν μετὰ δαψιλείας, ὅταν μὴ νομίσῃς διδόναι, ἀλλὰ λαμβάνειν, ὅταν ὡς εὐεργετούμενος, ὅταν ὡς κερδαίνων καὶ μὴ ἀπολλύς· ἐπεὶ τοῦτο οὐδὲ χάρις. τὸν γὰρ ἕτερον ἐλεοῦντα, χαίρειν, οὐ δυσχεραίνειν δεῖ. πῶς γὰρ οὐκ ἄτοπον, εἰ τὴν ἑτέρου λύων ἀθυμίαν, αὐτὸς ἀθυμοίης; οὐκέτι γὰρ ἐᾷς αὐτὴν ἐλεημοσύνην εἶναι. εἰ γὰρ ἀθυμεῖς ὅτι ἕτερον ἀπήλλαξας ἀθυμίας, ἐσχάτης ὠμότητος καὶ ἀπανθρωπίας δεῖγμα ἐκφέρεις. βέλτιον γὰρ μὴ ἀπαλλάττειν, ἢ οὕτως ἀπαλλάττειν. τί δὲ ὅλως καὶ ἀθυμεῖς, ἄνθρωπε; μὴ ἐλαττοῦταί σοι γίνεται τὸ χρυσίον; ὅλως, εἰ τοιαύτην ἔχεις προαίρεσιν, μηδὲ δῷς· εἰ μὴ θαρρεῖς ὅτι πολυπλασιάζεταί σοι

ἐν

ἐν οὐρανοῖς, μὴ παράσχῃς. ἀλλ' ἐνταῦθα ζητεῖς τὴν ἀντίδοσιν. διὰ τί; ἄφες τὴν ἐλεημοσύνην ἐλεημοσύνην εἶναι, καὶ μὴ ἐμπορείαν. πολλοὶ μὲν οὖν καὶ ἐνταῦθα ἀπέλαβον· ἀλλ' οὐχ οὕτως ἔλαβον, ὡς ταύτῃ πλέον ἔχοντες τῶν οὐ λαβόντων ἐνταῦθα, ἀλλὰ ἔνιοι τούτων ὡς ἀσθενέστεροι, ἐπεὶ τοῖς ἐκεῖ οὐ σφόδρα ἐφείλκοντο. καὶ ὥσπερ οἱ λίχνοι καὶ ἀπειρόκαλοι καὶ γαστρὸς δοῦλοι ἐπὶ βασιλικὴν κληθέντες τράπεζαν, καὶ τὸν προσήκοντα καιρὸν οὐκ ἀναμένοντες, κατὰ τὰ παιδία τὰ μικρὰ, λυμαίνονται αὐτῶν τὴν εὐφροσύνην, προλαμβάνοντες, καὶ κορεννύντες ἑαυτοὺς σιτίοις καταδεεστέροις· οὕτω δὴ καὶ οὗτοι οἱ ἐνταῦθα ἐπιζητοῦντες καὶ λαμβάνοντες, τὸν μισθὸν ἐλαττοῦσι τὸν ἐκεῖ. εἶτα δανείζων μὲν, μετὰ πλείονα χρόνον ἐπιθυμεῖς ἀπολαβεῖν τὸ κεφάλαιον, τάχα δὲ οὐδὲ ἀπολαβεῖν, ἵνα τῇ μελλήσει πλείονα τὸν τόκον ἐργάσῃ· ἐνταῦθα δὲ εὐθέως ἀπαιτεῖς, καὶ ταῦτα οὐ μέλλων ἐνταῦθα εἶναι, ἀλλ' ἐκεῖ διηνεκῶς, οὐ μέλλων ἐνταῦθα δικάζεσθαι, ἀλλ' ἐκεῖ τὰς εὐθύνας ὑφέξων; καὶ εἰ μέν τις σοι κατεσκεύαζεν οἰκίας, ἔνθα μὴ ἔμελλες μένειν, ζημίαν τὸ πρᾶγμα ἐνόμισας ἄν· νῦν δὲ ἐνταῦθα βούλει πλουτεῖν, ὅθεν καὶ πρὸ τῆς ἑσπέρας μέλλεις πολλάκις ἀποδημεῖν; οὐκ οἶδας ὅτι ἐπ' ἀλλοτρίας διατρίβομεν, καθάπερ ξένοι καὶ πάροικοι; οὐκ οἶδας ὅτι παροίκων ἐστὶν ἐκβάλλεσθαι, ὅτε μὴ προσδοκῶσι, μηδὲ ἐλπίζουσιν; ὅπερ καὶ ἡμεῖς πάσχομεν. διὰ δὴ τοῦτο, ὅσα ἂν κατασκευάσωμεν, ἐνταῦθα ἀφίεμεν. οὐ γὰρ συγχωρεῖ ὁ δεσπότης λαμβάνοντας αὐτὰ ἀπελθεῖν, ἄν τε οἰκίας οἰκοδομήσωμεν, ἄν τε ἀγροὺς ἀγοράσωμεν, ἄν τε ἀνδράποδα, ἄν τε σκεύη, ἄν τε ἕτερόν τι τοιοῦτον. οὐ μόνον δὲ οὐκ ἀφίησιν ἐντεῦθεν λαβόντας ἀπελθεῖν, ἀλλ' οὐδὲ λογίζεταί σοι τὸν μισθόν. προεῖπε γάρ σοι, ὅτι μὴ οἰκοδομήσῃς, μηδὲ δαπανήσῃς τὰ ἀλλότρια, ἀλλὰ τὰ σά. τί τοίνυν τὰ σὰ ἀφεὶς, ἐν τοῖς ἀλλοτρίοις ἐργάζῃ, καὶ δαπανᾷς, ἵνα ἀπολέσῃς καὶ τὸν πόνον καὶ τὸν μισθὸν, καὶ κόλασιν τὴν ἐσχάτην ὑπομείνῃς; μὴ, παρακαλῶ· ἀλλ' ἐπειδὴ τῇ φύσει ἐσμὲν πάροικοι, γινώμεθα καὶ προαιρέσει, ἵνα μὴ ἐκεῖ γινώμεθα πάροικοι, καὶ ἄτιμοι, καὶ ἀπερριμμένοι. ἂν γὰρ ἐνταῦθα βουληθῶμεν γενέσθαι πολῖται, οὔτε ἐνταῦθα ἐσόμεθα, οὔτε ἐκεῖ· ἂν δὲ πάροικοι μείνωμεν ὄντες, καὶ διαγάγωμεν οὕτως, ὡς παροίκους διατρίβειν εἰκὸς, πολιτῶν καὶ ἐνταῦθα καὶ ἐκεῖ ληψόμεθα παῤῥησίαν. ὁ γὰρ δίκαιος, καὶ μηδὲν ἔχων, καὶ ἐνταῦθα ἐν τοῖς ἁπάντων, ὡς ἐν τοῖς ἑαυτοῦ, διατρίψει, καὶ πρὸς τὸν οὐρανὸν ἀπελθὼν, ὄψεται τὰς αἰωνίους αὐτοῦ σκηνάς· καὶ οὔτε ἐνταῦθα πείσεταί τι τῶν ἀηδῶν (οὔτε γὰρ ξένον αὐτόν τις ποιῆσαι δυνήσεται τὴν πᾶσαν γῆν ἔχοντα πόλιν) καὶ τὴν αὐτοῦ πατρίδα ἀπολαβὼν, ἐπιδείξεται τὸν ἀληθῆ πλοῦτον. ἵν' οὖν ἀμφότερα κερδάνωμεν, καὶ τὰ ἐνταῦθα, καὶ τὰ ἐκεῖ, εἰς δέον τοῖς οὖσι χρησώμεθα. οὕτω γὰρ ἐσόμεθα τῶν οὐρανῶν πολῖται, καὶ πολλῆς ἀπολαυσόμεθα παῤῥησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. ὑφέξων;

Λογ. ιζ. 7 ΑΛΛ' ΩΣ ΕΝ ΠΑΝΤΙ ΠΕΡΙΣΣΕΥΗΤΕ, ΠΙΣΤΕΙ, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ.

ΟΡα πάλιν μετ' ἐγκωμίων, τὴν προτροπὴν γινομένην ἐγκωμίων μειζόνων. καὶ οὐκ εἶπεν, ἵνα δῶτε, ἀλλ', ἵνα περισσεύητε, πίστει τῇ τῶν χαρισμάτων, καὶ λόγῳ τῷ τῆς σοφίας, καὶ γνώσει τῇ τῶν δογμάτων, καὶ πάσῃ σπουδῇ πρὸς τὴν ἄλλην ἀρετήν.

Καὶ τῇ ἐξ ὑμῶν ἀγάπῃ — Ταύτῃ ἣν προεῖπον, ἧς καὶ τὴν ἀπόδειξιν ἐποιησάμην. Ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.

Εἶδες ὅτι διὰ τοῦτο ἐκεῖθεν ἤρξατο ἀπὸ τῶν ἐπαίνων ἐκείνων, ἵνα ὁδῷ προ-

βάρων, εἰς τὴν αὐτὴν αὐτοὺς καὶ ἐν τούτοις ἑλκύσῃ σπουδήν.

8 Οὐ κατ' ἐπιταγὴν λέγω. Ὅρα πῶς συνεχῶς αὐτοὺς [illegible]ζεται, πῶς ἀνεπαχθὴς γίνεται, καὶ οὐ βίαιος, οὐδὲ ἀναγκαστικός· μᾶλλον δὲ ἀμφότερα ὁ λόγος ἔχει, καὶ τὸ ἀνεπαχθές, καὶ τὸ ἀκαταναγκαστον. ἐπειδὴ γὰρ συνεχῶς παρῄνεσε, καὶ σφόδρα Μακεδόνας ἐνεκωμίασεν· ἵνα μὴ δόξῃ τοῦτο ἀνάγκη εἶναι, φησιν, οὐ κατ' ἐπιταγὴν λέγω·

Ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων·

Οὐχ ὡς ἀμφισβητῶν (οὐ γὰρ τοῦτο ἐνταῦθα δηλοῖ) ἀλλὰ δόκιμον αὐτὸ ποιῶν, καὶ ἀποφαίνων, καὶ ἰσχυρότερον κατασκευάζων. διὰ γὰρ τοῦτο ταῦτά φημι, ἵνα ὑμᾶς προξενῶ πρὸς τὴν αὐτὴν προθυμίαν· καὶ μέμνημαι τῆς ἐκείνων σπουδῆς, λαμπρύνων, φαιδρύνων, ἐρεθίζων τὴν ὑμετέραν διάθεσιν. εἶτα ἀπὸ τούτου εἰς ἕτερον μεῖζον κατηύτησε. καὶ γὰρ οὐδένα παρίησι τρόπον συμβουλῆς, ἀλλὰ πάντα κινεῖ, καὶ μεταχειρίζει τῶν λόγων. καὶ γὰρ ἀπὸ τῶν ἀλλοτρίων ἐγκωμίων προέτρεψε λέγων, γινώσκετε τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας· καὶ ἀπὸ τῶν οἰκείων, ἀλλ' ὡς ἐν παντὶ περισσεύετε, λόγῳ, καὶ γνώσει. μειζόνως γὰρ δύναται τοῦτο δάκνειν, ὅταν ὑφ' ἑαυτοῦ τις ἡττᾶται, ἢ ὅταν ὑφ' ἑτέρων. εἶτα λοιπὸν ἐπὶ τὸ κεφάλαιον καὶ τὴν κορωνίδα τῆς συμβουλῆς ἵεται·

9 Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν, ὅτι δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. Ἐννοήσατε γάρ, φησιν, ἐνθυμήθητε, καὶ λογίσασθε τὴν χάριν τοῦ Θεοῦ, καὶ μὴ ἁπλῶς αὐτὴν παραδράμητε, ἀλλὰ στοχάσασθε αὐτῆς τὸ μέγεθος, ὅση ἐστὶ καὶ ἡλίκη, καὶ οὐδενὸς φείσεσθε τῶν ὑμετέρων. ἐκεῖνος δόξαν ἐκένωσεν, οὐχ ἵνα ὑμεῖς τῷ πλούτῳ αὐτοῦ, ἀλλὰ τῇ πτωχείᾳ πλουτήσητε. εἰ μὴ πιστεύεις ὅτι ἡ πτωχεία πλούτου ἐστὶ ποιητική, ἐννόησόν σου τὸν δεσπότην, καὶ οὐκέτι ἀμφιβάλῃς. εἰ μὴ γὰρ ἐκεῖνος ἐγένετο πτωχός, οὐκ ἂν ἐγένου σὺ πλούσιος. τὸ γὰρ θαυμαστὸν τοῦτο, ὅτι πτωχεία ἐπλούτησε πλοῦτον. πλοῦτον δὲ ἐνταῦθά φησι τὴν γνῶσιν τῆς εὐσεβείας, τὸν τῶν ἁμαρτημάτων καθαρισμόν, τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὰ μυρία, ἅπερ παρέσχεν ἡμῖν ἀγαθά, καὶ μέλλει παρέχειν. καὶ ταῦτα ἅπαντα διὰ τῆς πτωχείας γέγονεν ἡμῖν. ποίας πτωχείας; διὰ τοῦ σάρκα ἀναλαβεῖν καὶ γενέσθαι ἄνθρωπον, καὶ παθεῖν ἅπερ ἔπαθε. καίτοιγε ἐκεῖνος ταῦτα οὐκ ὤφειλε· σὺ δὲ ὀφείλεις αὐτῷ.

10 Καὶ γνώμην ὑμῖν ἐν τούτῳ δίδωμι πρὸς τὸ συμφέρειν. Ὅρα πῶς πάλιν τοῦ ἀνεπαχθὴς εἶναι φροντίζει, καὶ δύο τούτοις παραμυθεῖται τὸν λόγον, καὶ τῷ εἰπεῖν γνώμην δίδωμι, καὶ πρὸς τὸ ὑμῶν συμφέρειν. οὔτε γὰρ καταναγκάζω καὶ βιάζομαι, φησι, καὶ παρὰ ἀκόντων ἀπαιτῶ· οὔτε τὸ τῶν λαμβανόντων ὡς τὸ ὑμῖν λυσιτελὲς σκοπῶν, ταῦτα λέγω. εἶτα καὶ τὸ παράδειγμα λοιπὸν ἐξ αὐτῶν, ἀλλ' οὐκ ἐξ ἑτέρων. Οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι. Ὅρα πῶς δείκνυσι καὶ αὐτοὺς ἑκόντας καὶ χωρὶς προτροπῆς ἐπὶ τοῦτο ἐλθόντας. ἐπειδὴ γὰρ τοῦτο ἐμαρτύρησε Θεσσαλονικεῦσιν, ὅτι αὐθαίρετοι μετὰ πολλῆς παρακλήσεως ἠ[illegible] αὐτὸ τῆς ἐλεημοσύνης, βούλεται καὶ τούτων δεῖξαι τὸ κατόρθωμα τοῦτο ὄν. διὸ εἶπεν, οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν· καὶ οὐχί, ἐνήρξασθε, ἀλλά, προενήρξασθε ἀπὸ πέρυσι. ἐπὶ ταῦτα οὖν ὑμᾶς παρακαλῶ, ἐφ' ἃ ἑαυτοὺς φθάσαντες διηγείρατε μετὰ προθυμίας ἁπάσης.

11 Νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε· Οὐκ εἶπεν, ἐποιήσατε, ἀλλ' ἐπιθήκατε τέλος· Ὅπως καθάπερ ἡ προθυμία ἐκ τοῦ θέλειν, οὕτω καὶ τὸ ποιῆσαι ἐκ τοῦ ἔχειν·

Ἵνα μὴ μέχρι προθυμίας στῇ τὸ καλὸν τοῦτο κατόρθωμα, ἀλλὰ καὶ τὸν ἀπὸ τῶν ἔργων λάβῃ μισθόν.

12 Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ' ὃ ἂν ἔχῃ τις, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει.

Ὅρα

Ὅρα σοφίαν ἄφατον. δείξας αὐτοὺς ὑπὲρ δύναμιν ποιοῦντας, αὐτοὺς Θεσσαλονικέας λέγω, καὶ ἐπαινέσας αὐτοὺς ἐπὶ τούτῳ, καὶ εἰπὼν, ὅτι μαρτυρῶ αὐτοῖς, ὅτι καὶ ὑπὲρ δύναμιν

* ἐπὶ κατὰ δύναμιν παρακαλεῖ μόνον, ἀφεὶς τὸ ὑπόδειγμα ἐργάσασθαι τὸ ἑαυτοῦ (ᾔδει γὰρ ὅτι οὐχ οὕτω παραίνεσις, ὡς ζῆλος ἐγείρει πρὸς τὴν τῶν ὁμοίων μίμησιν) διό φησιν, Εἰ γὰρ ἡ προθυμία πρόκειται, καθ' ὃ ἐὰν ἔχῃ, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει. μὴ φοβηθῇς, φησιν, ἐπὶ ἐκεῖνα εἴρηκα. τῆς γὰρ ἐκείνων φιλοτιμίας ἐγκώμιον τὸ εἰρημένον· ὁ δὲ Θεὸς τὰ κατὰ δύναμιν ἀπαιτεῖ, τὰ καθ' ὃ ἔχει τις, οὐ καθ' ὃ οὐκ ἔχει. τὸ γὰρ, εὐπρόσδεκτος, ἐνταῦθα τὸ, ἀπαιτεῖται, δηλοῖ. καὶ σφόδρα λιπαίνει, τούτῳ θαρρῶν τῷ ὑποδείγματι, καὶ πρὸς δύναμιν ἐξουσίαν μᾶλλον ἐφελκόμενος. διὸ καὶ ἐπήγαγεν·

13 Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις. Καίτοιγε ὁ Χριστὸς τοὐναντίον ἐπῄνεσεν ἐπὶ τῆς χήρας, ὅτι τὸν βίον ὅλον ἐκένωσε, καὶ ἐκ τοῦ ὑστερήματος ἔδωκεν. ἀλλ' ἐπειδὴ Κορινθίοις διελέγετο, ἔνθα ἤρξατο λιμώττειν (Καλὸν γάρ μοι μᾶλλον τὸ ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ) διὰ τοῦτο συμμεμετρημένῃ χρῆται τῇ παραινέσει, ἐπαινῶν μὲν αὐτοὺς ὑπὲρ δύναμιν, οὐκ ἀναγκάζων δὲ τούτους ποιῆσαι τοῦτο· οὐκ ἐπειδὴ οὐκ ἠβούλετο, ἀλλ' ἐπειδὴ ἀσθενέστεροι ἦσαν. ἐπεὶ τίνος ἕνεκεν ἐκείνους ἐγκωμιάζει, ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους αὐτῶν πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, καὶ ὅτι ὑπὲρ δύναμιν ἔδωκαν; οὐκ εὔδηλον, ὅτι καὶ τούτους εἰς ταῦτα ἐνάγων; ὥστε εἰ καὶ δοκεῖ τὰ ἐλάττονα συγχωρεῖν· ἵνα διὰ ἐκείνων ἐπὶ ταῦτα ἀναβιβάσῃ, τοῦτο ποιεῖ. σκόπει γοῦν καὶ διὰ τῶν ἑξῆς πῶς λανθανόντως αὐτοὺς κατασκευάζει. εἰπὼν γὰρ ταῦτα, ἐπήγαγε, Τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα.

Οὐ γὰρ τοῖς εἰρημένοις μόνον, ἀλλὰ καὶ τούτοις κούφην ποιῆσαι βούλεται τὴν ἐντολήν. καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀντιδόσεως πάλιν εὐκολωτέραν αὐτὴν καθίστησι, καὶ μείζονα φθέγγεται τῆς ἀξίας αὐτῶν, λέγων,

14 Ἵνα γένηται ἰσότης ἐν τῷ νῦν καιρῷ, καὶ τὸ ἐκείνων περίσσευμα εἰς τὸ ὑμῶν ὑστέρημα.

Τί δέ ἐστιν ὅ φησι; κομᾶτε χρήμασιν ὑμεῖς· κομῶσιν ἐκεῖνοι βίῳ, καὶ παρρησίᾳ τῇ πρὸς τὸν Θεόν. δότε τοίνυν αὐτοῖς ἀφ' ὧν περισσεύετε χρημάτων, ἐκεῖνοι δὲ οὐκ ἔχουσιν· ἵνα λάβητε ἀπὸ τῆς παρρησίας καθ' ἣν πλουτοῦσιν ἐκεῖνοι, ὑστερεῖσθε δὲ ὑμεῖς. ὅρα πῶς τὸ ὑπὲρ δύναμιν, καὶ τὸ ἐκ τοῦ ὑστερήματος διδόναι κατεσκεύασε λανθανόντως. εἰ γὰρ βούλει, φησὶν, ἐκ τοῦ περισσεύματος λαβεῖν, ἐκ τοῦ περισσεύματος δός· εἰ δὲ ὁλόκληρον ἐπισπάσασθαι, ἐκ τοῦ ὑστερήματος παρέξεις, καὶ ὑπὲρ δύναμιν. ἀλλὰ τοῦτο μὲν οὐ λέγει· καταλείπει δὲ αὐτὸ τῷ λογισμῷ τῶν ἀκροατῶν. αὐτὸς δὲ τὸ προκείμενον, καὶ τὴν σύμμετρον παραίνεσιν ἐργάζεται, κατὰ τὸ φαινόμενον ἐπάγων καὶ λέγων, ὅπως γένηται ἰσότης ἐν τῷ νῦν καιρῷ. πῶς ἰσότης; τὰ περισσεύματα ἀντιδιδόντων ὑμῶν κἀκείνων, καὶ τὰ ὑστερήματα πληρούντων. καὶ ποία αὕτη ἰσότης, σαρκικῶν πνευματικὰ ἀντιδιδόναι; πολλὴ γὰρ ἐνταῦθα ὑπεροχή. πῶς οὖν ἰσότητα καλεῖ; ἢ κατὰ τὸ περισσεύειν καὶ ὑστερεῖσθαι, ἢ κατὰ τὸν παρόντα βίον τοῦτό φησι γενέσθαι μόνον. διὰ γὰρ τοῦτο εἰπὼν, ἰσότης, ἐπήγαγεν, ἐν τῷ νῦν καιρῷ. ταῦτα δὲ ἔλεγε, καὶ τῶν πλουτούντων καταστέλλων τὰ φρονήματα· καὶ δεικνὺς, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ἐν πλείονι τῶν πνευματικοὶ ὑπεροχῇ. ἐντεῦθεν μὲν γὰρ πολλῆς ἅπαντες ἀπολαύομεν ἰσοτιμίας· τότε δὲ πολλὴ διάκρισις, καὶ μεγίστη ὑπεροχή, ὑπὲρ τὸν ἥλιον λαμπόντων τῶν δικαίων. εἶτα ἐπειδὴ ἔδειξεν αὐτοὺς οὐ διδόντας μόνον, ἀλλὰ καὶ ἀντιλαμβάνοντας μείζονα, καὶ ἑτέρωθεν βούλεται κατασκευάσαι τὴν προθυμίαν αὐτῶν, δεικνὺς ὅτι οὐδὲ εἰ μὴ μεταδιδοῖεν ἑτέροις, ἕξουσί τι πλέον, πάντα ἔνδον συνάγοντες. καὶ παράγει παλαιὰν ἱστορίαν οὕτω λέγων,

15 Καθὼς γέγραπται, ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε. Ἐξοδ. ις. ιη.

Μαρκ. ιβ. μδ.
α. Κορ. θ. ιε.

γρ. βουλόμενος

Τοῦτο δὲ ἐπὶ τοῦ μάννα γέγονεν. οἵ τε γὰρ πλεῖον συναγαγόντες, οἵ τε ἔλαττον, τὸ αὐτὸ μέτρον εὑρίσκοντο ἔχοντες, τὴν ἀπληστίαν τοῦ Θεοῦ ταύτῃ κολάζοντος. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ φοβῶν αὐτοὺς ἀπὸ τῶν τότε γινομένων, καὶ μηδαμοῦ τοῦ πλείονος ἐφίεσθαι πείθων, μηδὲ ἀλγεῖν ἐπὶ τῷ ἔλαττον ἔχειν. τοῦτο δὲ καὶ νῦν γινόμενόν ἐστιν ἰδεῖν ἐπὶ τῶν βιωτικῶν πραγμάτων, οὐκ ἐπὶ τοῦ μάννα μόνον. εἰ γὰρ ἅπαντες μίαν γαστέρα πληροῦμεν, καὶ τὸν αὐτὸν χρόνον ζῶμεν, καὶ ἓν σῶμα περιβεβλήμεθα· οὐδὲν οὔτε τῷ πλουτοῦντι πλέον ἀπὸ τῆς περιουσίας ἔσται, οὔτε τῷ πένητι ἀπὸ τῆς πτωχείας ἔλαττον.

ΗΘΙΚΟΝ

Τί τοίνυν τρέμεις πενίαν; τί δὲ διώκεις πλοῦτον; δέδοικα, φησί, μὴ ἀναγκασθῶ ἐπὶ τὰς ἑτέρων θύρας ἐλθεῖν, καὶ δεηθῆναι τοῦ πλησίον. πολλῶν δὲ εὐχομένων τοῦτο ἀκούω συνεχῶς, καὶ λεγόντων, μή με ἀφῇς ἐν χρείᾳ ἀνθρώπων καταστῆναί ποτε· καὶ σφόδρα γελῶ ταῦτα ἀκούων. καὶ γὰρ παιδικὸς ὁ φόβος. καθ' ἑκάστην γὰρ ἡμέραν, καὶ ἐν ἅπασιν, ὡς εἰπεῖν, ἐν χρείᾳ ἀλλήλων καθεστήκαμεν. ὥστε ἀπερισκέπτου ψυχῆς, καὶ πεφυσιωμένης ταυτὶ τὰ ῥήματα, καὶ οὐ διαγινωσκούσης σαφῶς τὴν τῶν πραγμάτων φύσιν. οὐχ ὁρᾷς ὅτι πάντες ἀλλήλων χρῄζομεν; ὁ στρατιώτης, τοῦ χειροτέχνου· ὁ χειροτέχνης, τοῦ ἐμπόρου· ὁ ἔμπορος, τοῦ γεωργοῦ· ὁ δοῦλος, τοῦ ἐλευθέρου· ὁ δεσπότης, τοῦ δούλου· ὁ πένης, τοῦ πλουσίου· ὁ πλούσιος, τοῦ πένητος· ὁ μηδὲν ἐργαζόμενος, τοῦ διδόντος ἐλεημοσύνην· ὁ παρέχων, τοῦ λαμβάνοντος; καὶ γὰρ ὁ λαμβάνων ἐλεημοσύνην, μεγίστην χρείαν πληροῖ, καὶ πάντων μείζονα. εἰ γὰρ μὴ πένητες ἦσαν, τὸ πλέον ἂν ἀνετράπη τῆς ἡμετέρας σωτηρίας, οὐκ ἐχόντων ποῦ καταβαλεῖν τὰ χρήματα. ὥστε καὶ ὁ δοκῶν ἁπάντων ἀχρηστότερος εἶναι πένης, οὗτος ἁπάντων ἐστὶ χρησιμώτερος. εἰ δὲ τὸ ἑτέρου δεῖσθαι, αἰσχρόν· ἀποθανεῖν λείπεται. οὐ γὰρ ἔνι ζῆσαι τοῦτο δεδοικότα. ἀλλ' οὐ δύναμαι, φησίν, ἐνεγκεῖν ὀφρὺν ἀνεσπασμένην. τί ἄλλον διαβάλλων ἐπ' ἀλαζονείᾳ, σαυτὸν καταισχύνεις τῇ κατηγορίᾳ ταύτῃ; καὶ γὰρ ἀλαζονικὸν, τὸ μὴ φέρειν ὑπερηφάνου ψυχῆς φύσημα. τί δὲ, τὰ μηδενὸς ὄντα λόγου ἄξια ταῦτα δέδοικας, ταῦτα τρέμεις, καὶ διὰ ταῦτα τὴν πενίαν φεύγεις; κἂν γὰρ πλούσιος ᾖς, ἐν πλειόνων καταστήσῃ χρείᾳ, καὶ πλειόνων, καὶ εὐτελεστέρων. ὅσῳ γὰρ ἂν πλουτῇς, τοσούτῳ τῇ ἀρᾷ ταύτῃ σαυτὸν ὑποβάλλεις. οὕτως ἀγνοεῖς ὅπερ εὔχῃ, χρήματα μὲν αἰτῶν ὑπὲρ τοῦ μηδενὸς δεῖσθαι· ὥσπερ ἂν εἴ τις εἰς πέλαγος ἐλθὼν, ἔνθα καὶ ναυτῶν, καὶ πλοίου, καὶ μυρίας χρεία κατασκευῆς, εὔχοιτο μηδενὸς ὅλως ἐν χρείᾳ γενέσθαι. εἰ γὰρ βούλει μηδενὸς σφόδρα δεῖσθαι, εὔχου πενίαν. πένης μὲν γὰρ ὢν, κἂν τινος δεηθῇς, ὑπὲρ ἄρτου δεήσῃ μόνον, ἢ ἱματίου· πλουτῶν δὲ, καὶ ὑπὲρ ἀγρῶν, καὶ ὑπὲρ οἰκιῶν, καὶ ὑπὲρ τελεσμάτων, καὶ ὑπὲρ μισθωμάτων, καὶ ὑπὲρ ἀξιώματος, καὶ ὑπὲρ ἀσφαλείας, καὶ ὑπὲρ δόξης, καὶ ὑπὲρ ἀρχόντων χρείαν ἕξεις· οὐ τούτων δὲ μόνον, ἀλλὰ καὶ τῶν ὑποτεταγμένων ἐκείνοις, καὶ τῶν ἐν πόλει, καὶ τῶν ἐν ἀγροῖς, καὶ ἐμπόρων, καὶ καπήλων. ὁρᾶτε ὅτι ἀνοίας ἐσχάτης ταυτὶ τὰ ῥήματα; ὅλως γὰρ εἰ φρικτὸν εἶναί σοι δοκεῖ τὸ χρῄζειν τινός· καθόλου μὲν οὐ δυνατὸν ἀπαλλαγῆναι τούτου. εἰ δὲ θέλεις τὸν ὄχλον φυγεῖν (ἔξεστι γὰρ ἐπὶ τὸν ἀκύμαντον τῆς πενίας καταφυγεῖν λιμένα) τὸν πολὺν τῶν πραγμάτων ὄχλον περίκοψον, καὶ μηδὲν αἰσχρὸν τοῦτο νόμιζε τὸ δεῖσθαι ἑτέρου. τῆς γὰρ ἀφάτου σοφίας τοῦ Θεοῦ τοῦτο γέγονεν ἔργον. εἰ γὰρ ἀλλήλων χρῄζομεν, καὶ οὐδὲ ἡ τῆς χρείας ἀνάγκη συνάγει εἰς φιλίαν ἡμᾶς· εἰ αὐτάρκεις ἦμεν, οὐκ ἦμεν ἂν θηρία ἅπαντα; βίᾳ [οὖν] καὶ ἀνάγκῃ ἡμᾶς ὑπέταξεν ἀλλήλοις ὁ Θεός, καὶ καθ' ἑκάστην συγκρουόμεθα ἀλλήλοις ἡμέραν. καὶ εἰ τοῦτον περιεῖλε τὸν χαλινὸν, τίς ἂν ταχέως ἠράσθη τῆς τοῦ πλησίον φιλίας; μηδὲ τοῦτο οὖν νομίζωμεν εἶναι αἰσχρὸν, μηδὲ ἀπευχώμεθα καὶ λέγωμεν, μὴ δῷς ἡμᾶς ἐν χρείᾳ τινὸς καταστῆναι· ἀλλ' εὐχώμεθα λέγοντες, μὴ ἀφῇς, ἐν χρείᾳ καταστάντων ἡμῶν, ἀναδῦσαι τοὺς δυναμένους ἡμᾶς ὠφελεῖν. οὐ τὸ ἐν χρείᾳ ἑτέρων καταστῆναι, ἀλλὰ τὸ ἁρπάζειν τὰ ἑτέρων, φορτικόν. νῦν δὲ ὑπὲρ μὲν

ἐκείνων

ἐκείνων οὐδέποτε ηὐξάμεθα, οὐδὲ εἴπομεν, μὴ δῷς μοι ἐπιθυμῆσαι τῶν ἀλλοτρίων· τὸ δὲ ἐν χρείᾳ καταστῆναι, τοῦτο δοκεῖ ἀπευκταῖον εἶναι. καίτοι Παῦλος ἐν χρείᾳ κατέστη πολλάκις, καὶ οὐκ ᾐσχύνετο, ἀλλὰ καὶ ἐνεκαλλωπίζετο, καὶ ἐνεκωμίαζε τοῖς διακονησαμένοις, λέγων, ὅτι Καὶ ἅπαξ, καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. καὶ πάλιν, Ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν. οὐ τοίνυν ἐλευθερίας ἐστὶ τὸ ταῦτα αἰσχύνεσθαι, ἀλλὰ μαλακίας, καὶ βαναύσου ψυχῆς, καὶ ἀνοήτου. καὶ γὰρ τῷ Θεῷ δοκεῖ χρείαν ἡμᾶς ἀλλήλων ἔχειν. μὴ τοίνυν φιλοσόφει πέρα τοῦ μέτρου. ἀλλ' οὐ δύναμαι, φησὶν, ἐνεγκεῖν ἀνθρώπου παρακαλούμενον πολλάκις, καὶ οὐκ εἴκοντα. καὶ πῶς σοι οἴσει ὁ Θεὸς παρακαλούμενος ὑπὸ σοῦ, καὶ οὐ πειθόμενος, καὶ παρακαλούμενος ὑπὲρ τῶν σοι συμφερόντων; Ὑπὲρ γὰρ Χριστοῦ πρεσβεύομεν, φησὶν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καταλλάγητε τῷ Θεῷ. καὶ μέντοι δοῦλος αὐτοῦ, φησὶν, εἰμί. καὶ τί τοῦτο; ὅταν γὰρ σὺ μὲν μεθύῃς ὁ δοῦλος, ἐκεῖνος δὲ πεινᾷ ὁ δεσπότης, καὶ μηδὲ τῆς ἀναγκαίας ἀπολαύῃ τροφῆς, τί σοι τὸ τῆς δουλείας ὄνομα προσίσταται; τοῦτο μὲν οὖν αὐτό σε καὶ βαρήσει μειζόνως· ὅταν μὲν σὺ ἐν τριωρόφοις μένῃς, ἐκεῖνος δὲ μηδὲ χρηστῆς μετέχῃ στέγης, ὅταν σὺ μὲν ἐν ἁπαλαῖς στρωμναῖς, ἐκεῖνος δὲ μηδὲ προσκεφάλαιον ἔχῃ. ἀλλ' ἔδωκα, φησίν. ἀλλ' οὐ χρὴ διαλιμπάνειν ταῦτα ποιοῦντα. τότε γὰρ μόνον ἀπολογήσῃ, ὅταν μὴ ἔχῃς, ὅταν μηδὲν κεκτημένος ᾖς· ἕως δ' ἂν ἔχῃς, κἂν μυρίοις ᾖς δεδωκὼς, ὧσι δὲ ἕτεροι πεινῶντες, οὐδεμία σοι ἀπολογία. ὅταν δὲ καὶ ἀποκλείῃς σῖτον, καὶ τὴν τιμὴν ἐπιτείνῃς, καὶ ἑτέρας καπηλείας ξένας ὁδοὺς ἐπινοῇς, ποίαν ἕξεις σωτηρίας ἐλπίδα λοιπόν; δωρεὰν ἐκελεύσθης διδόναι τῷ πεινῶντι, σὺ δὲ οὐδὲ μετὰ συμμέτρου δίδως τιμῆς; αὐτὸς διὰ σὲ τὴν τοσαύτην δόξαν ἐκένωσε, σὺ δὲ αὐτὸν οὐδὲ ἄρτου ἀξιοῖς; ἀλλ' ὁ μὲν κύων ἐμπέπλησται, ὁ δὲ Χριστὸς λιμώττει· καὶ ὁ μὲν οἰκέτης διαρρήγνυται ὑπὸ πλησμονῆς, ὁ δὲ σὸς κἀκείνου δεσπότης ἀναγκαίας ἀπορεῖ τροφῆς. καὶ ποῦ ταῦτα φίλων τὰ πράγματα; καταλλάγητε τῷ Θεῷ. ταῦτα γὰρ ἐχθρῶν ἐστὶ καὶ ἐκπεπολεμωμένων. αἰσχυνθῶμεν τοίνυν ὅσα εὐεργετήθημεν, ὅσα εὐεργετεῖσθαι μέλλομεν. κἂν προσέλθῃ πένης δεόμενος, μετὰ πολλῆς αὐτὸν δεχώμεθα τῆς εὐνοίας, παρακαλοῦντες, ἀνιστῶντες τῷ λόγῳ· ἵνα καὶ αὐτοὶ τῶν αὐτῶν τύχωμεν, καὶ παρὰ τοῦ Θεοῦ, καὶ παρὰ τῶν ἀνθρώπων. Ὅσα γὰρ ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὐδὲν φορτικὸν, οὐδὲν ἐπαχθὲς οὗτος ὁ νόμος ἔχει. ἃ θέλεις παθεῖν, ταῦτα ποίει, φησίν. ἴση ἡ ἀντίδοσις. καὶ οὐκ εἶπεν, ἃ μὴ θέλετε παθεῖν, μηδὲ ποιεῖτε· ἀλλὰ τὸ πλέον. ἐκεῖνο μὲν γὰρ ἀποχὴ κακῶν, τοῦτο δὲ ἐργασία καλῶν· κἀκεῖνο τούτῳ συμπεριείληπται. καὶ οὐκ εἶπε, ταῦτα καὶ ὑμεῖς θέλετε, ἀλλὰ, ποιεῖτε αὐτοῖς. καὶ τί τὸ κέρδος; Οὗτός ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. ἐλεεῖσθαι βούλει; οὐκοῦν ἐλέει. συγγνώμης θέλεις τυχεῖν; οὐκοῦν μεταδίδου. βούλει μὴ ἀκούειν κακῶς; οὐκοῦν μηδὲ λέγε. ἐπιθυμεῖς ἐπαινεῖσθαι; οὐκοῦν ἐγκωμίαζε. θέλεις μὴ πλεονεκτεῖσθαι; οὐκοῦν μὴ ἅρπαζε. εἶδες πῶς ἔδειξε φυσικὸν ὂν τὸ καλὸν, καὶ οὐ δεομένους νόμων τῶν ἔξωθεν ἡμᾶς, οὐδὲ διδασκάλων; ἐν οἷς γὰρ θέλομεν παθεῖν, ἢ μὴ παθεῖν παρὰ τῶν πλησίον, νομοθετοῦμεν ὑμῖν ἑαυτοῖς. ὥστε ἂν ἐθέλῃς μὲν μὴ παθεῖν, ποιῇς δὲ, "εἰ θέλεις" μὲν παθεῖν, μὴ ποιῇς δέ· αὐτοκατάκριτος γέγονας, καὶ οὐδεμιᾶς λοιπὸν ἀπολαύεις ἀπολογίας, ὡς ἀγνοῶν, καὶ οὐκ εἰδὼς τὰ πρακτέα. διὸ, παρακαλῶ, οὕτως ἐν ἑαυτοῖς δι' ἑαυτῶν ἀναστήσαντες τὸν νόμον, καὶ ταῦτα ἀναγινώσκοντες τὰ γράμματα τὰ σαφῆ καὶ σύντομα, τοιοῦτοι περὶ τοὺς πλησίον γινώμεθα, οἵους περὶ ἡμᾶς αὐτοὺς εἶναι βουλόμεθα· ἵνα καὶ τῆς παρούσης ἀπολαύσωμεν ἀδείας, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, * χάριτι καὶ φιλανθρωπίᾳ.

Φιλιπ. δ. ις.
β. Κορ. ια. η.
β. Κορ. ε. κ.
Ματθ. ζ. ιβ.

*ὧν γένοιτο ἐπιτυχεῖν

Λογ.

Λογ. ιη. 16 ΧΑΡΙΣ ΔΕ ΤΩ ΘΕΩ ΤΩ ΔΟΝΤΙ ΤΗΝ ΑΥΤΗΝ σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου.

Πάλιν ἐπαινεῖ τὸν Τίτον. ἐπειδὴ γὰρ περὶ ἐλεημοσύνης διελέχθη, διαλέγεται λοιπὸν καὶ περὶ τῶν μελλόντων ὑποδέχεσθαι παρ' αὐτῶν τὰ χρήματα, καὶ ἀποκομίζειν αὐτά. τοῦτο γὰρ συνεβάλλετο πρὸς τὴν συλλογὴν ταύτην, καὶ πρὸς τὸ μείζω ποιῆσαι τὴν προθυμίαν τῶν εἰσφερόντων. ὁ γὰρ θαῤῥῶν ὑπὲρ τοῦ διακονουμένου, καὶ μὴ ὑποπτεύων τοὺς ὑποδεχομένους, μετὰ πλείονος τῆς δαψιλείας ἐπιδίδωσιν. ὅπερ ἵνα καὶ τότε γένηται, ἄκουσον πῶς συνίστησι τοὺς ἐπὶ τοῦτο ἀφικομένους, ὧν ἦν πρῶτος Τίτος. διὸ καί φησι, χάρις δὲ τῷ Θεῷ τῷ δόντι τὴν αὐτὴν σπουδὴν ἐν τῇ καρδίᾳ Τίτου. τί ἐστι, τὴν αὐτήν; ἥνπερ καὶ ὑπὲρ Θεσσαλονικέων ἔχω, ἢ τὴν αὐτὴν ἐμοί. καὶ σκόπει σύνεσιν. τοῦ Θεοῦ δείκνυσιν ἔργον τοῦτο ὄν, καὶ εὐχαριστεῖ τῷ δεδωκότι, ὥστε καὶ ταύτῃ προτρέψαι. εἰ γὰρ ὁ Θεὸς αὐτὸν διήγειρε, καὶ ἀπέστειλε πρὸς ὑμᾶς, αὐτὸς αἰτεῖ δι' ἐκείνου. μὴ τοίνυν νομίσητε ἀνθρώπινον εἶναι τὸ γεγενημένον. καὶ πόθεν δῆλον ὅτι ὁ Θεὸς αὐτὸν προέτρεψεν;

17 Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο· σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθεν. Ὅρα πῶς καὶ αὐτὸν δείκνυσι τὰ αὐτοῦ πληροῦντα, ἑτέρων μὴ δεηθέντα. καὶ εἰπὼν τοῦ Θεοῦ τὴν χάριν, οὐκ ἀφίησι τοῦ Θεοῦ τὸ πᾶν εἶναι· πάλιν ἵνα καὶ ταύτῃ εἰς πλείονα ἐπισπάσηται αὐτοὺς ἀγάπην, εἰπὼν ὅτι καὶ οἴκοθεν ἐγήγερται. σπουδαιότερος γὰρ ὑπάρχων, αὐθαίρετος ἐξῆλθεν, ἥρπασε τὸ πρᾶγμα, ἐπεπήδησε τῷ θησαυρῷ, οἰκείαν ἐνόμισεν ὠφέλειαν τὴν ὑμετέραν διακονίαν· καὶ τῷ σφόδρα ὑμᾶς φιλεῖν, οὐκ ἐδεήθη τῆς παρ' ἐμοῦ παρακλήσεως· ἀλλὰ παρεκλήθη μὲν καὶ ὑπ' ἐμοῦ, οὐ μήν τοι ἐντεῦθεν διηγέρθη, ἀλλ' οἴκοθεν, καὶ ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος.

18 Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. Καὶ τίς οὗτός ἐστιν ὁ ἀδελφός; τινὲς μὲν τὸν Λουκᾶν καί φασι, διὰ τὴν ἱστορίαν ἥνπερ ἔγραψε· τινὲς δὲ τὸν Βαρνάβαν· καὶ γὰρ καὶ τὸ ἄγραφον κήρυγμα εὐαγγέλιον καλεῖ. καὶ τίνος ἕνεκεν οὐ τίθησιν αὐτῶν τὰ ὀνόματα, ἀλλὰ τὸν μὲν Τίτον καὶ ὀνόματι γνωρίζει, καὶ ἀπὸ τῆς εἰς τὸ εὐαγγέλιον συνεργίας καλεῖ (εἴγε τοσοῦτον ἦν χρήσιμος, ὡς διὰ τὴν ἀπουσίαν αὐτοῦ μηδὲ δυνηθῆναι μέγα τι καὶ γενναῖον ποιῆσαι τὸν Παῦλον· τῷ γὰρ μὴ εὑρεῖν Τίτον τὸν ἀδελφόν μου, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου) καὶ ἀπὸ τῆς ἀγάπης τῆς εἰς αὐτοὺς (τὰ γὰρ σπλάγχνα αὐτοῦ περισσοτέρως ἐστί, φησι, πρὸς ὑμᾶς) καὶ ἀπὸ τῆς περὶ τὸ πρᾶγμα σπουδῆς (αὐθαίρετος γάρ, φησιν, ἐξῆλθε) τούτους δὲ οὔτε ὁμοίως συνίστησιν, οὔτε ὀνόμασι τίθησι; τί οὖν ἐστιν εἰπεῖν; ἴσως ἀγνοοῦντες ἦσαν αὐτούς· διόπερ οὐκ ἐμφιλοχωρεῖ τοῖς ἐγκωμίοις, ἐπειδὴ μηδέπω πεῖραν αὐτῶν εἰλήφασιν, ἀλλὰ τοσοῦτον λέγει, ὅσον εἰς σύστασιν αὐτοῖς ἤρκει μόνον, καὶ τὸ φυγεῖν τὴν πονηρὰν ὑποψίαν. πλὴν ἀλλ' ἴδωμεν πόθεν καὶ αὐτὸν τοῦτον ἐγκωμιάζει. πόθεν οὖν ἐγκωμιάζει; πρῶτον ἀπὸ τοῦ κηρύγματος ἐπαινῶν, οὐχ ὅτι ἐκήρυττε μόνον, ἀλλ' ὅτι καὶ ὡς ἐχρῆν, καὶ μετὰ τῆς προσηκούσης σπουδῆς. οὐ γὰρ εἶπεν, ὅτι κηρύττει καὶ εὐαγγελίζεται· ἀλλ' ὅτι, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. καὶ ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλ' ὁλοκλήρους ἐκκλησίας ἄγει μαρτυρούσας αὐτῷ, λέγων, διὰ πασῶν τῶν ἐκκλησιῶν. εἶτα καὶ ἀπὸ τῆς κρίσεως τῶν χειροτονησάντων αἰδέσιμον αὐτὸν ποιεῖ οὐ μικρῶς καὶ τοῦτο. διὰ τοῦτο εἰπών, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν, ἐπήγαγεν,

19 Οὐ μόνον δέ. Τί ἐστιν, οὐ μόνον δέ; οὐ μόνον ἀπὸ τούτου, φησὶν, ἐστὶν αἰδέσιμος, ὅτι κηρύττων εὐδοκιμεῖ, καὶ ἐπαινεῖται παρὰ πάντων, Ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῖν. Ὅθεν μοι δοκεῖ τὸν Βαρνάβαν αἰνίττεσθαι· καὶ πολὺ τὸ ἀξίωμα αὐτοῦ σημαίνει. δείκνυσι γὰρ καὶ ἐπί τινι κεχειροτόνηται. Συνέκδημος γὰρ ἡμῶν, φησὶ, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν. Εἶδες ὅσα αὐτοῦ τὰ ἐγκώμια; εὐαγγελιζόμενος ἔλαμψε, καὶ τὰς ἐκκλησίας ἔχει ἐπὶ τούτῳ μαρτυρούσας πάσας. ἐχειροτονήθη ὑφ᾽ ἡμῶν, καὶ ἐφ᾽ οἷς Παῦλος καὶ πανταχοῦ κοινωνὸς αὐτῷ γέγονε, καὶ κατὰ τοὺς πειρασμοὺς, καὶ κατὰ τοὺς κινδύνους. τὸ γὰρ ὄνομα τῆς ἐκδημίας τοῦτο αἰνίττεται. τί δέ ἐστι, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν; ὥστε τὸν λόγον καταγγέλλειν, φησὶ, καὶ τὸ εὐαγγέλιον κηρύττειν, ἢ ὥστε καὶ πρὸς τὰ χρήματα ὑπηρετήσασθαι· μᾶλλον δὲ, πρὸς ἀμφότερα μοι δοκεῖ λέγειν. Εἶτα ἐπάγει, Πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν. Ὃ δὲ λέγει τοῦτό ἐστιν· ἠξιώσαμεν, φησὶ, χειροτονηθῆναι αὐτὸν μεθ᾽ ἡμῶν, καὶ εἰς τὸ ἔργον τοῦτο προχειρισθῆναι, ὥστε οἰκονόμον γενέσθαι τῶν ἱερῶν χρημάτων καὶ διάκονον (οὐδὲ γὰρ τοῦτο μικρὸν ἦν. Ἐπισκέψασθε γὰρ, φησὶν, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά·) καὶ ἐχειροτονήθη ὑπὸ τῶν ἐκκλησιῶν, καὶ ψῆφος τοῦ δήμου παντὸς ἐγένετο. Ὅ ἐστιν, εἰς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν; ἵνα καὶ Θεὸς δοξάζηται, καὶ ὑμεῖς προθυμότεροι γίνησθε, τῶν ὑποδεχομένων τὰ χρήματα ταῦτα δοκίμων ὄντων, καὶ οὐδενὸς* ψευδῆ τινα ὑποψίαν κατ᾽ αὐτῶν τεκεῖν δυναμένου. διὰ τοῦτο τοιούτους ἐπεζητήσαμεν, καὶ οὐχ ἑνὶ μόνῳ τὸ πᾶν ἐπετρέψαμεν, ἵνα καὶ ταύτην φύγῃ τὴν ὑποψίαν, ἀλλὰ καὶ Τίτον ἐπέμψαμεν, καὶ μετὰ τούτου ἕτερον. Εἶτα ἑρμηνεύων αὐτὸ τοῦτο τὸ, πρὸς τὴν δόξαν τοῦ Κυρίου καὶ προθυμίαν ὑμῶν, ἐπήγαγε,

20 Στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν. Τί ποτέ ἐστι τὸ λεγόμενον; ἄξιον τῆς ἀρετῆς Παύλου, καὶ τὴν πολλὴν αὐτοῦ κηδεμονίαν ἐμφαῖνον, καὶ τὴν συγκατάβασιν. ἵνα γὰρ μή τις ἡμᾶς ὑποπτεύσῃ, φησὶ, μηδὲ τὸν τυχόντα μῶμον καθ᾽ ἡμῶν σχῇ, ὡς νοσφιζομένων ἐκ τῶν ἐγχειριζομένων ἡμῖν χρημάτων, διὰ τοῦτο τοιούτους ἐπέμψαμεν, καὶ οὐχ ἕνα μόνον, ἀλλὰ καὶ δύο, καὶ τρεῖς. Εἶδες πῶς ἀπαλλάττει πάσης ὑποψίας αὐτούς; οὐκ ἀπὸ τοῦ εὐαγγελίου, οὐδὲ ἀπὸ τοῦ χειροτονηθῆναι μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ, δοκίμους, καὶ δι᾽ αὐτὸ τοῦτο χειροτονηθῆναι, ἵνα μὴ ὑποπτεύωνται. καὶ οὐκ εἶπε, μὴ ὑμεῖς μωμήσησθε, ἀλλὰ, μή τις ἄλλος. καίτοιγε δι᾽ αὐτοὺς τοῦτο ἐποίησε, καὶ ἠνίξατο εἰπὼν, εἰς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν· ἀλλ᾽ ὅμως οὐ βούλεται αὐτοὺς πλῆξαι, ἀλλ᾽ ἑτέρως φησὶ, στελλόμενοι τοῦτο ποιῆσαι. καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ τῇ ἐπαγωγῇ θεραπεύει πάλιν λέγων, ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν· καὶ μετ᾽ ἐγκωμίου τὸ βαρὺ τίθεις. ἵνα γὰρ μὴ ἀλγήσωσι, μηδὲ εἴπωσιν, ἡμᾶς οὕτως ὑφορᾶσθαι ἔχεις, καὶ οὕτως ἐσμὲν ἄθλιοι, ὡς ὑποπτεύεσθαί ποτε ἐπὶ τούτοις; ἐπιδιορθούμενος αὐτοὺς φησὶ, πολλὰ τὰ χρήματα ὑφ᾽ ὑμῶν ἐστὶ πεμπόμενα, καὶ αὕτη ἡ ἁδρότης, τουτέστι, τὸ πλῆθος τῶν χρημάτων, ἱκανὸν τοῖς πονηροῖς παρασχεῖν ὑποψίαν, εἰ μὴ ἐπεδειξάμεθα τὴν ἀσφάλειαν.

21 Προνοούμενοι γὰρ καλὰ, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.

Τί ἴσον Παύλου γένοιτ᾽ ἄν; οὐδὲ γὰρ εἶπεν, ἀπολλύσθω, καὶ οἰμωζέτω ὁ βουλόμενός τι τοιοῦτόν τι ὑποπτεύειν· ἕως ἂν μὴ καταγινώσκῃ μου τὸ συνειδὸς, οὐδείς μοι λόγος τῶν ὑποπτευόντων· ἀλλ᾽ ὅσῳ ἀσθενέστεροι ἦσαν, τοσούτῳ συγκατέβαινε μᾶλλον. τῷ γὰρ κάμνοντι, οὐκ ἀγανακτεῖν, ἀλλὰ βοηθεῖν χρή. καίτοιγε τίνος ἁμαρτήματος ἐσμὲν πόῤῥω, ὡς ἐκεῖνος τῆς τοιαύτης ὑποψίας; οὐδὲ γὰρ, εἰ δαίμων τις ἦν, ὑπώπτευσεν ἂν τὸν μακάριον ἐκεῖνον εἰς τὴν διακονίαν ταύτην. ἀλλ᾽ ὅμως καὶ τοσοῦτον ἀπέχων τῆς ὑπονοίας τῆς πονηρᾶς,

Πράξ. ς. γ.

ἀποδειξόμεθα

ἐκεῖνον

πονηρᾶς, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε μηδὲ σκιὰν ἵνα καταλιπεῖν τοῖς κἂν ὁπωσοῦν ὑπονοῆσαί τι πονηρὸν βουλομένοις· καὶ οὐ μόνον κατηγορίας φεύγει, ἀλλὰ καὶ μώμους, καὶ τὴν τυχοῦσαν κατάγνωσιν, καὶ ψιλὴν ὑπόνοιαν.

22 Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν. Ἰδοὺ πάλιν καὶ ἕτερον προστίθησι, καὶ τοῦτον μετ' ἐγκωμίου, καὶ τῆς αὐτοῦ ψήφου, καὶ πολλῶν ἑτέρων μαρτύρων.

Ὃν ἐδοκιμάσαμεν, φησιν, ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον. Ἐγκωμιάσας αὐτὸν ἀπὸ τῶν οἰκείων κατορθωμάτων, καὶ ἀπὸ τῆς πρὸς ἐκείνους ἀγάπης ἐπαίρει. καὶ ὃ περὶ Τίτου ἔλεγεν, ὅτι σπουδαιότερος ὑπάρχων αὐθαίρετος ἐξῆλθε, τοῦτο καὶ περὶ τούτου, εἰπὼν, νυνὶ δὲ πολὺ σπουδαιότερον· σπέρματα αὐτοῖς προαποτιθέμενος τῆς πρὸς Κορινθίους ἀγάπης. καὶ λοιπὸν, ἐπειδὴ ἐπέδειξεν αὐτῶν τὴν ἀρετὴν, παρακαλεῖ καὶ αὐτοὺς ὑπὲρ αὐτῶν λέγων,

23 Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργός.

Τί ἐστιν, εἴτε ὑπὲρ Τίτου; εἰ δεῖ τι εἰπεῖν, φησιν, ὑπὲρ Τίτου, ταῦτα ἔχω λέγειν, ὅτι κοινωνὸς ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργός. ἢ γὰρ τοῦτό φησιν, ″ἢ εἴ τι ὑπὲρ Τίτου ποιήσετε, γρ. ἢ ἐπὶ Τίτῳ ποιήσετε, ὅτι οὐκ εἰς τὸν τυχόντα ποιήσετε. κοινωνὸς γὰρ ἐμός ἐστι. καὶ δοκῶν ἐγκωμιάζειν τοῦτον, ἐκείνους ἐπαίρει· δεικνὺς οὕτω περὶ αὐτὸν διακειμένους, ὡς ἀρκεῖν εἰς τιμῆς ὑπόθεσιν τὸ παρ' αὐτοῖς, ὃ κοινωνὸν αὐτοῦ ἵνα φαίνεσθαι. ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγε λέγων, εἰς ὑμᾶς συνεργός. οὐχ ἁπλῶς συνεργὸς, ἀλλ' ἐν τοῖς πρὸς ὑμᾶς, ἐν τῇ προκοπῇ τῇ ″ἡμετέρᾳ, ἐν τῇ ἐπιδόσει, ἐν τῇ φιλίᾳ, ἐν τῇ σπουδῇ τῇ περὶ ὑμᾶς· ὅ- ἴσ. ὑμ.
περ μάλιστα οἰκειῶσαι αὐτοῖς αὐτὸν ἠδύνατο. Εἴτε ἀδελφοὶ ἡμῶν. Εἴτε ὑπὲρ τῶν ἄλλων, φησὶν, ἀκοῦσαί τι βούλεσθε, καὶ οὗτοι μέγιστα ἔχουσι δικαιώματα συστάσεως τῆς γρ. ἡμ
πρὸς ″ὑμᾶς. καὶ γὰρ καὶ αὐτοί, φησιν, ἀδελφοὶ ″ἡμῶν, Καὶ ἀπόστολοι ἐκκλησιῶν. γρ. ἡμᾶς, γρ. ὑμῶν,

Τουτέστιν, ὑπὸ ἐκκλησιῶν πεμφθέντες. Εἶτα τὸ μεῖζον ἁπάντων, Δόξα Χριστοῦ.

Εἰς ἐκεῖνον γὰρ ἀναφέρεται ἅπερ ἂν εἰς τούτους γένηται. Εἴτε οὖν ὡς ἀδελφοὺς βούλεσθε δέξασθαι, εἴτε ὡς ἀποστόλους τῶν ἐκκλησιῶν, εἴτε ὡς εἰς δόξαν Χριστοῦ ποιοῦντες, πολλὰς ἔχετε ἀφορμὰς τῆς περὶ αὐτοὺς εὐνοίας. ὑπὲρ μὲν γὰρ Τίτου ἔχω λέγειν, ὅτι καὶ ἐμὸς κοινωνὸς, καὶ ὑμῶν ἐραστής· ὑπὲρ δὲ τούτων, ὅτι ἀδελφοὶ, ὅτι ἀπόστολοι ἐκκλησιῶν, ὅτι δόξα Χριστοῦ. ὁρᾷς ὅτι κἀντεῦθεν δῆλον, ὅτι τῶν ἀγνώστων ἦσαν αὐτοῖς; ἦ γὰρ ἂν αὐτοὺς καὶ ἀπὸ τούτων ἐκόσμησεν, ἀφ' ὧν καὶ Τίτον· λέγω δὴ τῆς περὶ αὐτοὺς ἀγάπης. ἀλλ' ἐπειδὴ οὐδέπω γνώριμοι ἦσαν, ὡς ἀδελφοὺς δέξασθε, φησιν, ὡς ἀποστόλους τῶν ἐκκλησιῶν, ὡς εἰς δόξαν Χριστοῦ ποιοῦντες. διὸ ἐπάγει,

24 Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε, εἰς πρόσωπον τῶν ἐκκλησιῶν. Νῦν δείξατε, φησι, πῶς μὲν ἡμᾶς ἀγαπᾶτε, πῶς δὲ ἡμεῖς οὐχ ἁπλῶς οὐδὲ εἰκῇ καυχώμεθα ἐν ὑμῖν. δείξετε δὲ τοῦτο, ἐὰν εἰς αὐτοὺς ἀγάπην ἐνδείξησθε. Εἶτα καὶ φρικωδέστερον ποιεῖ τὸν λόγον, λέγων, εἰς πρόσωπον τῶν ἐκκλησιῶν. Εἰς δόξαν, φησὶ, τῶν ἐκκλησιῶν, εἰς τιμήν. ἂν γὰρ τούτους τιμήσητε, τὰς ἀποστειλάσας ἐκκλησίας ἐτιμήσατε. οὐ γὰρ εἰς αὐτοὺς διαβαίνει μόνον ἡ τιμὴ, ἀλλὰ καὶ εἰς τοὺς ἐκπέμψαντας, οἳ ἐχειροτόνησαν αὐτούς· καὶ παρ' ἐκείνων, εἰς τὴν τοῦ Θεοῦ δόξαν. ὅταν γρ. δόντ
γὰρ τοὺς ἐκείνῳ διακονουμένους τιμήσωμεν, εἰς αὐτὸν διαβαίνει τὰ τῆς εὐφημίας. εἰς δὲ γρ. αὐτ
κοινὸν τῶν ἐκκλησιῶν. οὐ μικρὸν δὲ καὶ τοῦτο. καὶ γὰρ μεγάλη ἡ δύναμις τῆς συνόδου, ἤγουν τῶν ἐκκλησιῶν.

ΗΘΙΚΟΝ

Σκόπει πῶς μεγάλη ἦν ἡ δύναμις τῆς συνόδου. ἡ τῆς ἐκκλησίας εὐχὴ τὸν Πέτρον ἀπὸ τῶν δεσμῶν ἔλυσε, τοῦ Παύλου τὸ στόμα ἀνέῳξεν· ἡ τούτων ψῆφος, οὐχ ὡς ἔτυχε, καὶ τοὺς ἐπὶ τὰς πνευματικὰς ἀρχὰς ἐρχομένους κατακοσμεῖ. διά τοι τοῦτο καὶ ὁ μέλλων χειροτονεῖσθαι,

καὶ

καὶ τὰς ἐκείνων εὐχὰς χωλεύειν τότε, καὶ αὐτοὶ ἐπιψηφίζονται, καὶ ἐπιβοῶσιν ἅπερ ἴσασιν οἱ μεμυημένοι. οὐ γὰρ δὴ θέμις ἐπὶ τῶν ἀμυήτων ἐκκαλύπτειν ἅπαντα. ἔστι δὲ ὅπου οὐδὲ διέστηκεν ὁ ἱερεὺς τοῦ ἀρχομένου· οἷον, ὅταν ἀπολαύειν δέῃ τῶν φρικτῶν μυστηρίων· ὁμοίως γὰρ πάντες ἀξιούμεθα τῶν αὐτῶν. οὐ καθάπερ ἐπὶ τῆς παλαιᾶς, τὰ μὲν ὁ ἱερεὺς ἤσθιε, τὰ δὲ ὁ ἀρχόμενος· καὶ θέμις οὐκ ἦν τῷ λαῷ μετέχειν ὧν μετεῖχεν ὁ ἱερεύς. ἀλλ' οὐ νῦν· ἀλλὰ πᾶσιν ἓν σῶμα πρόκειται, καὶ ποτήριον ἕν. καὶ ἐν ταῖς εὐχαῖς δὲ πολὺ τὸν λαὸν ἴδοι τις ἂν συνεισφέροντα. καὶ γὰρ ὑπὲρ τῶν ἐνεργουμένων, ὑπὲρ τῶν ἐν μετανοίᾳ, κοιναὶ καὶ παρὰ τοῦ ἱερέως, καὶ παρ' αὐτῶν γίνονται αἱ εὐχαί· καὶ πάντες μίαν λέγουσιν εὐχήν, εὐχὴν τὴν ἐλέου γέμουσαν. πάλιν ἐπειδὰν εἴρξωμεν τῶν ἱερῶν περιβόλων τοὺς οὐ δυναμένους τῆς ἱερᾶς μετασχεῖν τραπέζης, ἑτέραν δεῖ γενέσθαι εὐχήν, καὶ πάντες ὁμοίως ἐπ' ἐδάφους κείμεθα, καὶ πάντες ὁμοίως ἀνιστάμεθα. ὅταν εἰρήνης πάλιν μεταλαμβάνειν καὶ μεταδιδόναι δέῃ, πάντες ὁμοίως ἀσπαζόμεθα. ἐπ' αὐτῶν πάλιν τῶν φρικωδεστάτων μυστηρίων ἐπεύχεται ὁ ἱερεὺς τῷ λαῷ, ἐπεύχεται καὶ ὁ λαὸς τῷ ἱερεῖ. τὸ γάρ, μετὰ τοῦ πνεύματός σου, οὐδὲν ἄλλο ἐστὶν ἢ τοῦτο. τὰ τῆς εὐχαριστίας πάλιν κοινά. οὐδὲ γὰρ ἐκεῖνος εὐχαριστεῖ μόνος, ἀλλὰ καὶ ὁ λαὸς ἅπας. πρότερον γὰρ αὐτῶν λαβὼν φωνήν, εἶτα συντιθεμένων ὅτι ἀξίως καὶ δικαίως τοῦτο γίνεται, τότε ἄρχεται τῆς εὐχαριστίας. καὶ τί θαυμάζεις, εἴ που μετὰ τοῦ ἱερέως ὁ λαὸς φθέγγεται, ὅπου γε καὶ μετ' αὐτῶν τῶν χερουβὶμ καὶ τῶν ἄνω δυνάμεων κοινῇ τοὺς ἱεροὺς ἐκείνους ὕμνους ἀναπέμπει; ταῦτα δέ μοι πάντα ἐκεῖνα εἴρηται, ἵνα ἕκαστος καὶ τῶν ἀρχομένων νήφῃ, ἵνα μάθωμεν ὅτι σῶμά ἐσμεν ἅπαντες ἕν, τοσαύτην ἔχοντες πρὸς ἀλλήλους διαφοράν, ὅσην μέλη πρὸς μέλη, καὶ μὴ τὸ πᾶν ἐπὶ τοὺς ἱερέας ῥίπτωμεν, ἀλλὰ καὶ αὐτοί, ὥσπερ κοινοῦ σώματος, τῆς ἐκκλησίας ἁπάσης οὕτω φροντίζωμεν. τοῦτο γὰρ καὶ ἀσφάλειαν πλείονα, καὶ ὑμῖν ἐπιδίδωσι μείζονα κατασκευάζειν πρὸς ἀρετήν. ἄκουσον γοῦν ἐπὶ τῶν ἀποστόλων, πῶς πολλαχοῦ τοὺς ἀρχομένους κοινωνοὺς τῆς γνώμης ἐλάμβανον. καὶ γὰρ ὅτε τοὺς ἑπτὰ ἐχειροτόνουν, τῷ δήμῳ πρότερον ἐκοινώσαντο· καὶ ὅτε τὸν Ματθίαν ὁ Πέτρος, τοῖς παροῦσιν ἅπασι τότε, καὶ ἀνδράσι καὶ γυναιξίν. οὐ γὰρ ἀρχόντων τῦφός ἐστι τὰ ἐνταῦθα, οὐδὲ ἀρχομένων δουλοπρέπεια, ἀλλ' ἀρχὴ πνευματική, τούτῳ μάλιστα πλεονεκτοῦσα, τῷ τὸ πλέον τῶν πόνων ὑπὲρ τῆς ὑμῶν ἀναδέχεσθαι φροντίδος, οὐ τῷ τιμὰς πλείους ἐπιζητεῖν. καὶ γὰρ ὡς μίαν οἰκίαν δεῖ τὴν ἐκκλησίαν οἰκεῖν, ὡς σῶμα ἕν, οὕτω διακεῖσθαι πάντας· ὥσπερ οὖν καὶ βάπτισμα ἕν ἐστι, καὶ τράπεζα μία, καὶ πηγὴ μία, καὶ κτίσις μία, καὶ πατὴρ εἷς. τί τοίνυν διῃρήμεθα, τοσούτων συναγόντων ἡμᾶς; τί διασπώμεθα; ἀναγκαζόμεθα γὰρ πάλιν τὰ αὐτὰ ὀδύρεσθαι, ἃ πολλάκις ἐθρηνήσαμεν. πένθους ἄξια τὰ παρόντα· οὕτω σφόδρα ἀπ' ἀλλήλων ἐσμὲν ἀπερρηγμένοι, δέον εἰς σώματος μιμεῖσθαι συνάφειαν. οὕτω γὰρ καὶ παρὰ τοῦ ἐλάττονος ὁ μείζων κερδᾶναι δυνήσεται. εἰ γὰρ Μωϋσῆς παρὰ τοῦ κηδεστοῦ τι τῶν συμφερόντων ἔμαθεν ὅπερ αὐτὸς οὐ συνεῖδε, πολλῷ μᾶλλον ἐν τῇ ἐκκλησίᾳ τοῦτο ἂν γένοιτο. καὶ τί δήποτε, ὃ συνεῖδεν ὁ ἄπιστος, οὐ συνεῖδεν ὁ πνευματικός; ἵνα μάθωσιν ἅπαντες οἱ τότε, ὅτι ἄνθρωπος ἦν, κἂν θάλατταν σχίζῃ, κἂν πέτραν ῥηγνύῃ, τῆς τοῦ Θεοῦ ῥοπῆς δεῖται· καὶ ὅτι ἐκεῖνα οὐκ ἀνθρωπίνης φύσεως ἦν, ἀλλὰ Θεοῦ δυνάμεως. καὶ νῦν εἴ σοι λέγει τὰ συμφέροντα ὁ δεῖνα, ἕτερος ἀπαρᾶς εἰπάτω· κἂν ἐλάττων ᾖ, λέγῃ δέ τι τῶν συμφερόντων, κύρωσον τὴν γνώμην· κἂν τῶν σφόδρα ἀτιμοτάτων ᾖ, μὴ ἀτιμάσῃς. οὐδεὶς γὰρ τούτων ἀφέστηκε τοῦ πλησίον, ὅσον ὁ κηδεστὴς τοῦ Μωϋσέως. ἀλλ' οὐκ ἀπηξίωσεν ἀκοῦσαι, ἀλλὰ καὶ ἐδέξατο τὴν γνώμην, καὶ ἐπείσθη, καὶ ἀνάγραπτον ἐποίησε, καὶ οὐκ ᾐσχύνθη ταῦτα ἱστορίᾳ παραδοῦναι, τὸν πολλῶν τῦφον καθαιρῶν. διὸ καὶ ὡς ἐν στήλῃ τῷ βίῳ ταῦτα γράψας κατέλιπεν· ᾔδει γὰρ πολλοῖς χρήσιμον ἐσομένην τὴν ἱστορίαν. μὴ δὴ περιορῶμεν τοὺς τὰ δέοντα συμβουλεύοντας, κἂν τῶν ἀρχομέ-

χ. ἡμῶν

χ. δέοντα

χ. συντελοῦν.

νων τις ᾖ, κἂν τῶν εὐτελῶν. μηδὲ ἅπερ ἂν ἡμεῖς εἰσηγησόμεθα, ταῦτα πάντως κρατεῖν ἀξιῶμεν· ἀλλ' ἅπερ ἂν συμφέροντα φανῇ, ταῦτα παρὰ πάντων κυρούσθω. πολλοὶ γὰρ τῶν ἀμβλυωπούντων πολλὰ συνεῖδον μᾶλλον ὑπὲρ τῶν ὀξὺ βλεπόντων, διὰ τὸ σπουδάζειν καὶ συντετάσθαι. μηδὲ λέγε, τί με καλεῖς εἰς συμβουλὴν, εἰ μὴ ἀκούεις ὃ λέγω; οὐκ ἔστι συμβούλου ταυτὶ τὰ ἐγκλήματα, ἀλλὰ τυράννου. ὁ γὰρ σύμβουλος, εἰπὼν τὰ παρ' αὐτοῦ κύριός ἐστι μόνον ἂν δὲ καὶ ἕτερον λυσιτελέστερον φανῇ, ὁ δὲ τὰ παρ' αὐτοῦ κρατεῖν ἐθέλῃ, οὐκέτι σύμβουλός ἐστιν, ἀλλὰ τύραννος, ὥσπερ ἔφην. μὴ δὴ οὕτω ποιῶμεν, ἀλλὰ τύφου πάντος καὶ ἀπονοίας ἀπαλλάξαντες τὴν ψυχὴν, σκοπῶμεν οὐχ ὅπως μόνον τὰ ἡμέτερα σταίη, ἀλλ' ὅπως ἡ συμφέρουσα γνώμη κρατήσειε, κἂν μὴ παρ' ἡμῶν εἰσφέρηται. οὐδὲ γὰρ μικρὸν κερδανοῦμεν, κἂν μὴ τὰ δέοντα εὕρωμεν, αὐτοὶ τὰ παρ' ἑτέρων φανέντα δεξάμενοι, καὶ παρὰ τοῦ Θεοῦ πολὺν ληψόμεθα τὸν μισθὸν, καὶ δόξης δὲ οὕτω μάλιστα ἀπολαύσομεν. ὥσπερ γὰρ ἐκεῖνος ὁ τὰ συμφέροντα εἰπὼν, σοφός· οὕτως ἡμεῖς καταδεξάμενοι, καὶ αὐτοὶ συνέσεως καὶ εὐγνωμοσύνης καρπωσόμεθα ἔπαινον· οὕτω καὶ οἰκίαι, καὶ πόλεις, οὕτω καὶ ἐκκλησία οἰκονομουμένη, μείζονα λήψεται προσθήκην· οὕτω καὶ ἡμεῖς τὸν παρόντα βίον ἄριστα οἰκονομήσαντες, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χεζ' θ. **Λογ. ιθ. 1 ΠΕΡΙ ΜΕΝ ΓΑΡ ΤΗΣ ΔΙΑΚΟΝΙΑΣ ΤΗΣ ΕΙΣ τοὺς ἁγίους, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν.**

Τοσαῦτα περὶ αὐτῆς εἰπὼν, ἐνταῦθά φησι, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν. καὶ οὐ τοῦτο μόνον ἐστὶν αὐτοῦ τὸ συνετὸν, ὅτι τοσαῦτα εἰπὼν, λέγει, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν· ἀλλ' ὅτι καὶ πάλιν λέγει περὶ αὐτῆς. ταῦτα μὲν γὰρ ἃ μικρὸν ἔμπροσθεν εἴρηκε, περὶ τῶν τὰ χρήματα ὑποδεξαμένων εἶπεν, ὥστε τιμῆς ἀπολαῦσαι πολλῆς· τὰ δὲ περὶ ἐκείνων, ἃ περὶ Μακεδόνων διελέγετο, ὅτι ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, καὶ τὰ ἄλλα πάντα, περὶ φιλανθρωπίας καὶ ἐλεημοσύνης. ἀλλ' ὅμως, καὶ ἔμπροσθεν τοσαῦτα εἰπὼν, καὶ πάλιν μέλλων ἐρεῖν, περιττόν μοί ἐστι, φησι, τὸ γράφειν ὑμῖν. ποιεῖ δὲ τοῦτο, ὥστε μᾶλλον αὐτοὺς ἐπισπάσασθαι. αἰδοῦνται γὰρ ἂν ἄνθρωπος δόξαν τοιαύτην ἔχων, ὡς μηδὲ δεῖσθαι συμβουλῆς, ἐλάττων φανῆναι τῆς ὑπολήψεως, καὶ ὑστερεῖσθαι. οὕτω καὶ ἐπὶ τῆς κατηγορίας ποιεῖ πολλάκις, κατὰ παράλειψιν λέγων. καὶ γὰρ μεγάλην ἔχει τὴν ἰσχύν. ὁ γὰρ δικαστὴς ὁρῶν τὴν μεγαλοψυχίαν τοῦ κατηγόρου, οὐδὲ ὑποπτεύει λοιπόν. λογίζεται γὰρ, ὅτι ὁ πολλὰ ἐξὸν εἰπεῖν, οὐκ εἰπὼν, πῶς ἂν τὰ οὐκ ὄντα πλάσειε; καὶ δίδωσι καὶ μεῖζον ὑποπτεύειν, ἢ εἰπεῖν· καὶ ἤθους χρηστοῦ ὑπόνοιαν περιτίθησιν ἑαυτῷ. τοῦτο καὶ ἐπὶ τῆς συμβουλῆς καὶ ἐπὶ τῶν ἐγκωμίων ποιεῖ. εἰπὼν γὰρ, περιττόν ἐστι τὸ γράφειν, ὅρα πῶς συμβουλεύει,

2 Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσι.

Μέγα μὲν οὖν καὶ τὸ αὐτὸν εἰδέναι· πολλῷ δὲ πλέον καὶ τὸ εἰς ἑτέρους ἐξενεγκεῖν. μείζονα γὰρ ἔχει τὴν ἰσχύν. οὐ γὰρ ἂν ἠθέλησαν ἐπὶ τοσοῦτον καταισχυνθῆναι. εἶδες σύνεσιν προαιρέσεως; ἀπὸ ἄλλων, τῶν Μακεδόνων, προέτρεψε. Γνωρίζω γὰρ ὑμῖν, φησι, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας. προέτρεψεν ἀπ' αὐτῶν. Οἵτινες γάρ, φησιν, οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι. προέτρεψεν ἀπὸ τοῦ Κυρίου. Γινώσκετε γάρ, φησι, τὴν χάριν τοῦ Κυρίου ἡμῶν, ὅτι δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν. πάλιν ἐπὶ τὸ ἰσχυρὸν κεφάλαιον καταφεύγει, τὸ ἀφ' ἑτέρων.

ρων.

β. Κορ. η. α. καὶ ι. καὶ θ.

χ. ...

χ. οὐ μόνον

ρων. ζηλότυπον γὰρ τὸ τῶν ἀνθρώπων γένος. καὶ ἔδει μὲν τὸ τοῦ Κυρίου ὑπόδειγμα μᾶλλον αὐτοὺς ἐφελκύσασθαι, καὶ μετ' ἐκεῖνο, τὸ τῆς ἀντιδόσεως. ἀλλ' ἐπειδὴ ἀσθενέστεροι ἦσαν, τούτῳ μᾶλλον ἐφέλκεται. οὐδὲν γὰρ τοσοῦτον, ὅσον ὁ ζῆλος, ποιεῖ. σκόπει δὲ πῶς αὐτὸ καὶ χρηστοτέρως εἰσάγει. οὐ γὰρ εἶπε, τούτους μιμήσασθε· ἀλλὰ τί;

Ὁ δὲ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. Τί λέγεις; πρὸ μικροῦ ἔλεγες, ὅτι αὐτεπάγγελτοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν. πῶς οὖν ὁ δὲ ὑμῶν ζῆλος; ναί, φησιν· οὐ συνεβουλεύσαμεν, οὐ παρεκαλέσαμεν, ἀλλ' ἐπῃνέσαμεν μόνον ὑμᾶς, ἐκαυχησάμεθα μόνον, καὶ τοῦτο ἤρκεσεν αὐτοῖς εἰς προτροπήν. Εἶδες πῶς δι' ἀλλήλων αὐτοὺς διεγείρει, τούτους μὲν δι' ἐκείνων, ἐκείνους δὲ διὰ τούτων, καὶ τῷ ζήλῳ καὶ ἐγκώμιον ἀνέμιξε μέγιστον; εἶτα ἵνα μὴ αὐτοὺς ἐπαίρῃ, κεκολασμένως μεθοδεύει λέγων, ὁ δὲ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. ἐννόησον τοίνυν ὅσον ἐστὶν ἑτέρους γενομένους αἰτίους τῆς φιλοτιμίας ταύτης, αὐτοὺς ὑστερῆσθαι κατὰ τὴν εἰσφορὰν ταύτην. διὰ τοῦτο οὐκ εἶπε, μιμήσασθε ἐκείνους (οὐ γὰρ τοσοῦτον εἶχε τὸν ζῆλον) ἀλλὰ πῶς; ἐκεῖνοι ὑμᾶς ἐμιμήσαντο· μηδὲ φανῆτε τῶν μαθητῶν ἐλάττους οἱ διδάσκαλοι. καὶ ὅρα πῶς διεγείρων αὐτοὺς καὶ ἀνάπτων μειζόνως, ὑποκρίνεται μετ' αὐτῶν ἑστάναι, καθάπερ ἐν φιλονεικίᾳ τινὶ καὶ ἁμίλλῃ, τὸ μέρος αὐτῶν ἐπιλεγόμενος. καθάπερ γὰρ ἀνωτέρω ἔλεγεν, ὅτι αὐθαίρετοι μετὰ πολλῆς παρακλήσεως προσῆλθον ἡμῖν, εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο, οὕτως ἐπιτελέσηται τὴν χάριν ταύτην· οὕτω καὶ ἐνταῦθά φησιν, ὅτι

3 Διὰ τοῦτο ἔπεμψα τοὺς ἀδελφούς, ἵνα μὴ κενωθῇ τὸ καύχημα ἡμῶν.

Εἶδες αὐτὸν ἀγωνιῶντα καὶ τρέμοντα; ἵνα μὴ δόξῃ προτροπῆς ἕνεκεν εἰρηκέναι μόνον ἃ εἶπεν, ἀλλὰ τῷ οὕτως ἔχειν, φησίν, ἔπεμψα τοὺς ἀδελφούς· τοσαύτην γὰρ ὑπὲρ ὑμῶν ποιούμεθα σπουδήν, ἵνα μὴ κενωθῇ τὸ καύχημα ἡμῶν. καὶ δοκεῖ τοῦ μέρους ἑαυτὸν ποιεῖν τῶν Κορινθίων διὰ πάντων, καίτοι πάντων ὁμοίως κηδόμενος. ὃ δὲ λέγει τοῦτό ἐστι· πάνυ σεμνυνόμεθα ἐφ' ὑμῖν, καλλωπιζόμεθα παρὰ πᾶσιν, ἐκαυχησάμην καὶ πρὸς ἐκείνους. ὥστε ἂν ὑστερήσητε, κοινὰ τὰ τῆς αἰσχύνης. καὶ τοῦτο δὲ μεμετρημένως. προσέθηκε γάρ,

Ἐν τούτῳ τῷ μέρει· Οὐ πανταχοῦ. Ἵνα (καθὼς ἔλεγον) παρεσκευασμένοι ἦτε. Οὐδὲ γὰρ εἶπον, ὅτι μέλλουσιν, ἀλλ' ὅτι πάντα εὐτρέπισται, καὶ οὐδὲν αὐτοῖς ἐνδεῖ λοιπόν. τοῦτο οὖν βούλομαι διὰ τῶν ἔργων δειχθῆναι, φησίν. Εἶτα καὶ αὔξει τὴν ἀγωνίαν λέγων,

4 Μή πως, ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες, καταισχυνθῶμεν ἡμεῖς (ἵνα μὴ λέγωμεν, ὑμεῖς) ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. Μείζων ἡ ἐντροπή, ὅταν πολλοὺς ἐπιστήσῃ τοὺς θεατάς, αὐτοὺς τοὺς ἀκηκοότας. καὶ οὐκ εἶπε, φέρω γὰρ Μακεδόνας μετ' ἐμοῦ, ἔρχονται [γὰρ] Μακεδόνες μετ' ἐμοῦ· ἵνα μὴ δόξῃ ἐπίτηδες αὐτὸ ποιεῖν. ἀλλὰ πῶς; μή πως, ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες. συμβαίνει γὰρ τοῦτό, φησι, γενέσθαι, τῶν ἐγχωρούντων ἐστίν. οὕτω γὰρ καὶ ἀνύποπτον ἐποίει τὸν λόγον· εἰ δὲ ἐκείνως εἶπε, καὶ φιλονεικοτέρους ἐποίησεν ἄν. ὅρα πῶς οὐκ ἀπὸ τῶν πνευματικῶν μόνον αὐτοὺς ἐνάγει, ἀλλὰ καὶ ἀπὸ τῶν ἀνθρωπίνων. εἰ γὰρ καὶ ἐμὲ οὐδὲν μέγα τίθεσθε, φησί, θαρρεῖτε δὲ ὡς συγγινώσκοντι, ἀλλ' ἐννοεῖτε Μακεδόνας· μή πως, ἐὰν ἔλθωσι, καὶ εὕρωσιν ὑμᾶς· καὶ οὐκ εἶπε, μὴ βουλομένους, ἀλλά, ἀπαρασκευάστους, μηδέπω τὸ πᾶν πεπληρωκότας. εἰ δὲ τοῦτο αἰσχύνη, τὸ μὴ ταχέως ἐνεγκεῖν· τὸ μηδὲ ὅλως εἰσενεγκεῖν, ἢ ἔλαττον τοῦ δέοντος, ἐννόησον ἡλίκον. εἶτα πράως τὸ δὲ αὐτοῦ συμβησόμενον, καὶ πληκτικῶς τίθησιν, οὕτως εἰπών, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν, ὑμεῖς. καὶ κολάζει πάλιν λέγων, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως· οὐ ῥαθυμοτέρους ποιῶν, ἀλλὰ δεικνὺς ὅτι τοὺς ἐν τοῖς ἄλλοις εὐδοκιμοῦντας, καὶ ἐν ταύτῃ πολλὴν ἔχειν δεῖ τὴν παρρησίαν.

5 Ἀναγκαῖον οὖν ἡγησάμην προπέμψαι τοὺς ἀδελφούς, ἵνα προκαταρτίσωσι ταύτην τὴν εὐλογίαν ὑμῶν ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὡς πλεονεξίαν.

Πάλιν αὐτὸ ἀνέλαβεν ἑτέρως· καὶ ἵνα μὴ δόξῃ ἁπλῶς ταῦτα λέγειν, καὶ τὴν αἰτίαν τῆς ὁδοῦ οὐκ ἄλλην εἶναί φησιν, ἀλλ' ὥστε μὴ καταισχυνθῆναι αὐτούς. ὁρᾷς ὅτι τό, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν, ἀρχὴ συμβουλῆς ἦν; ὁρᾷς γοῦν ὅσα περὶ ταύτης διαλέγεται τῆς διακονίας; μετὰ δὲ τοῦτο, κἀκεῖνό ἐστιν εἰπεῖν· ὅτι ἵνα μὴ δόξῃ ἐναντιολογεῖσθαι εἰπὼν περιττόν, τὸ περὶ αὐτῆς διαλεγόμενος, πρὸς τὸ περὶ τάχους διαλέγεσθαι, καὶ δαψιλείας, καὶ προθυμίας, * διὰ τούτων κἀκεῖνο κατασκευάζει. τὰ γὰρ τρία ταῦτα ἀπαιτεῖ, καὶ ἐκεῖ ποτε μετὰ ταῦτα τὰ κεφάλαια καὶ ἐν ἀρχῇ (ὅταν γὰρ λέγῃ, Ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι καὶ πολὺ εἰσήνεγκαν, καὶ μετὰ χαρᾶς, καὶ μετὰ τάχους, καὶ οὐ μόνον τὸ δοῦναι πολὺ ἐλύπησεν, ἀλλ' οὐδὲ τὸ ἐν πειρασμοῖς εἶναι· ὅπερ τοῦ δοῦναι φορτικώτερον. καὶ τό, ἡμῖν ἔδωκαν ἑαυτούς, καὶ τοῦτο καὶ τὴν προθυμίαν αὐτῶν δείκνυσι, καὶ τὸ σφόδρα αὐτοὺς πιστεύειν) πάλιν δὲ καὶ ἐνταῦθα αὐτὰ μεταχειρίζει. ἐπειδὴ γὰρ ταῦτα ἐναντία ἐστί, φιλοτιμία καὶ προθυμία, καὶ ὁ μὲν πολὺ δοὺς πολλάκις ἀθυμεῖ, ὁ δὲ ὑπὲρ τοῦ μὴ ἀλγεῖν ἔλαττον δίδωσιν, ὅρα πῶς ἑκατέρους ἐπιμελεῖται, καὶ μετὰ τῆς πρεπούσης αὐτῷ συνέσεως. οὐ γὰρ εἶπεν, ὀλίγον βέλτιον δοῦναι καὶ μετὰ προαιρέσεως, ἢ πολὺ μετὰ ἀνάγκης· ἐπειδὴ καὶ πολύ, καὶ μετὰ προαιρέσεως ἐβούλετο αὐτοὺς εἰσενεγκεῖν· ἀλλὰ πῶς; ἵνα προκαταρτίσωσι τὴν εὐλογίαν ὑμῶν ἑτοίμην εἶναι ὡς εὐλογίαν, μὴ ὡς πλεονεξίαν. πρότερον ἀπὸ τοῦ ἡδίστου καὶ κουφοτέρου ἄρχεται, τοῦ μὴ μετὰ ἀνάγκης. εὐλογία γάρ, φησίν, ἐστίν. ὅρα πῶς ἐν τάξει παραινέσεως τὸν καρπὸν εὐθέως δείκνυσι βλαστάνοντα, καὶ εὐλογίας πεπληρωμένους τοὺς παρέχοντας, καὶ τῇ προσηγορίᾳ αὐτοὺς ἐπεσπάσατο. οὐδεὶς γὰρ εὐλογίαν δίδωσι μετὰ λύπης. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, μὴ ὡς πλεονεξίαν. μὴ νομίσητε, φησίν, ὅτι ὡς πλεονεκτοῦντες αὐτὴν λαμβάνομεν, ἀλλ' ὥστε αἴτιοι γενέσθαι ὑμῖν εὐλογίας. ἡ γὰρ πλεονεξία, ἀκόντων ἐστίν· ὥστε ὁ διδοὺς ἐλεημοσύνην ἄκων, πλεονεξίαν δίδωσιν. εἶτα ἀπὸ τούτου πάλιν ἐπ' ἐκεῖνο μετέβη, τὸ φιλοτίμως διδόναι.

ϛ. Κορ. η. ϛ.

6 Τοῦτο δὲ λέγω· Τουτέστιν, ὅτι μετὰ τούτου κἀκεῖνό φημι. Ποῖον; Ὅτι ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Καὶ οὐκ εἶπε, μικρολόγως, ἀλλ' εὐφημότερον, τὸ τοῦ φειδωλοῦ θεὶς ὄνομα. καὶ σπόρον τὸ πρᾶγμα ἐκάλεσεν, ἵνα εὐθέως πρὸς τὴν ἀντίδοσιν ἴδῃς, καὶ τὸν ἀμητὸν ἐννοήσας, μάθῃς ὅτι πλείονα λαμβάνεις ἢ δίδως. διὸ οὐκ εἶπεν, ὁ διδούς, ἀλλ', ὁ σπείρων· καὶ οὐκ εἶπεν, ὑμεῖς ἐὰν σπείρητε, ἀλλὰ καθολικὸν τὸν λόγον ποιεῖ. οὐδὲ εἶπε, δαψιλῶς, ἀλλ', ἐπ' εὐλογίαις· ὃ πολὺ τούτου μεῖζον ἦν. καὶ πάλιν ἐπὶ τὸ πρότερον τὸ ἡδὺ καταφεύγει λέγων,

7 Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ. Μᾶλλον γὰρ ἐξουσίαν τις λαβών, ἢ ἀναγκαζόμενος ποιεῖ. διὸ καὶ τούτῳ ἐνδιατρίβει. εἰπὼν γάρ, καθὼς προαιρεῖται, ἐπήγαγε, Μὴ ἐκ λύπης, μηδὲ ἐξ ἀνάγκης. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἀπὸ γραφῆς μαρτυρίαν ἐπάγει λέγων, Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

Εἶδες πῶς συνεχῶς τοῦτο τίθησιν; οὐ κατ' ἐπιταγὴν λέγω, καί, γνώμην ἐν τούτῳ δίδωμι, καί, ὡς εὐλογίαν, καὶ μὴ ὡς πλεονεξίαν, καὶ πάλιν, μὴ ἐκ λύπης, μηδὲ ἐξ ἀνάγκης. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός· ἐνταῦθα οἶμαι τό, ἱλαρόν, δαψιλῆ λέγεσθαι. πλὴν αὐτὸς εἰς τὸ μετὰ προθυμίας διδόναι αὐτὸ παρέλαβεν. ἐπειδὴ γὰρ τὸ παράδειγμα Μακεδόνων, καὶ τὰ ἄλλα ἅπαντα ἱκανὰ ἦν ἐργάσασθαι τὴν πολυτέλειαν· οὐ πολλὰ περὶ αὐτῆς φθέγγεται, ἀλλὰ περὶ τοῦ μὴ ἄκοντας διδόναι. εἰ γὰρ ἔργον ἐστὶν ἀρετῆς, πῶς δὲ τὸ ἐξ ἀνάγκης ἀποστί-

μένεται τὸν μισθὸν, εἰκότως τοῦτο ἐργάζεται. καὶ οὐ συμβουλεύει μόνον, ἀλλὰ καὶ ἐπεύχεται (ὅπερ ἀεὶ ποιεῖ) λέγων,

8 Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν πληρῶσαι εἰς ὑμᾶς. Διὰ τῆς εὐχῆς λογισμὸν ὑφορμοῦντα τῇ φιλοτιμίᾳ ταύτῃ ἀναιρεῖ, τὸν καὶ νῦν πολλοῖς ἐμποδίζοντα. καὶ γὰρ πολλοὶ δεδοίκασιν ἐλεημοσύνην δοῦναι, λέγοντες, μήπως πένης γένωμαι, μήπως ἑτέρων δεηθῶ. τοῦτον οὖν καταλύων τὸν φόβον, προστίθησι τὴν εὐχὴν λέγων,

(margin: γρ. χαρὰν. γρ. πολλοὺς)

Πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς. Οὐχ ἁπλῶς πληρῶσαι, ἀλλὰ περισσεῦσαι. τί δέ ἐστι χάριν περισσεῦσαι; ἐμπλῆσαι, φησιν, ὑμᾶς τοσούτων, ὡς δύνασθαι περιττεύειν ἐν τῇ φιλοτιμίᾳ ταύτῃ. Ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν.

Ὅρα καὶ ἐν τῇ προσευχῇ αὐτοῦ πολλὴν τὴν φιλοσοφίαν. οὐ πλοῦτον εὔχεται, οὐδὲ περιουσίαν, ἀλλὰ πᾶσαν αὐτάρκειαν. καὶ οὐ τοῦτο μόνον ἐστὶν αὐτοῦ τὸ θαυμαστόν· ἀλλ' ὅτι ὥσπερ τὸ περιττὸν οὐκ ἐπηύξατο, οὕτως οὐ θλίβει αὐτοὺς, οὐδὲ ἀναγκάζει ἀπὸ τοῦ ὑστερήματος δοῦναι, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, ἀλλ' αὐτάρκειαν αἰτεῖ, καὶ δείκνυσιν ἅμα ὅτι τοῖς παρὰ τοῦ Θεοῦ δωρεαῖς οὐ καταχρηστέον δεῖ. ἵνα περισσεύητε, φησιν, εἰς πᾶν ἔργον ἀγαθόν. διὰ τοῦτο, φησι, ταῦτα αἰτῶ, ἵνα καὶ ἑτέροις παρέχητε. καὶ οὐκ εἶπε, παρέχητε, ἀλλὰ, περισσεύητε. ἐν μὲν γὰρ τοῖς σωματικοῖς αὐτάρκειαν αὐτοῖς αἰτεῖ, ἐν δὲ τοῖς πνευματικοῖς καὶ περισσείαν· οὐκ ἐν ἐλεημοσύνῃ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι. τοῦτο γάρ ἐστι τὸ, εἰς πᾶν ἔργον ἀγαθόν. εἶτα τὸν προφήτην αὐτοῖς ἐπάγει σύμβουλον, μαρτυρίαν ζητήσας τὴν εἰς δαψίλειαν αὐτοὺς ἐκκαλουμένην, καί φησι,

9 Καθὼς γέγραπται, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. Τουτέστι, περισσεύητε. τὸ γὰρ ἐσκόρπισεν, οὐδενὸς ἄλλου δηλωτικόν ἐστιν, ἢ τοῦ μετὰ δαψιλείας διδόναι. εἰ γὰρ καὶ αὐτὰ οὐ μένει, ἀλλὰ τὰ ἐξ αὐτῶν μένει. καὶ γὰρ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι φυλαττόμενα μὲν ἀπόλλυται, σκορπιζόμενα δὲ μένει, καὶ μένει διὰ παντός. δικαιοσύνην δὲ ἐνταῦθα τὴν φιλανθρωπίαν ἐκάλεσεν. καὶ γὰρ δικαίους ποιεῖ, τὰ ἁμαρτήματα ὥσπερ πῦρ ἀναλίσκουσα, ὅταν μετὰ δαψιλείας ἐκχέηται.

Μὴ τοίνυν ἀκριβολογώμεθα, ἀλλὰ ἀφθόνῳ τῇ χειρὶ σπείρωμεν. οὐχ ὁρᾷς μίμοις πόσα διδόασιν ἕτεροι, καὶ γυναιξὶ πόρναις; κἂν τὰ ἡμίση τῷ Χριστῷ δὸς, ὧν τοῖς ὀρχουμένοις ἐκεῖνοι διδόασιν· ὅσα πρὸς φιλοτιμίαν ἐκεῖνοι τοῖς ἐπὶ σκηνῆς, τοσαῦτα σὺ κἂν πεινῶντι δός. ἐκεῖνοι μὲν γὰρ τὸ σῶμα τῶν ἑταιριζομένων καὶ χρυσίῳ περιβάλλουσιν ἀφάτῳ· σὺ δὲ οὐδὲ ἱματίῳ ψιλῷ τὴν σάρκα τοῦ Χριστοῦ, καὶ ταῦτα γυμνὴν ὁρῶν. ποίας τοῦτο συγγνώμης ἄξιον, πόσης δὲ οὐ κολάσεως, ὅταν ἐκεῖνος μὲν τῇ ἀπολλυούσῃ αὐτὸν καὶ καταισχυνούσῃ τοσαῦτα παρέχῃ, σὺ δὲ μηδὲ τὸ ἐλάχιστον τῷ σώζοντί σε καὶ ποιοῦντι λαμπρότερον; ἀλλὰ εἰς γαστέρα μὲν καὶ μέθην καὶ ἀσωτίαν ἀναλίσκων, οὐδαμοῦ πενίας μέμνησαι· ἂν δὲ πενίαν διορθῶσαι δέῃ, πάντων γίνῃ πτωχότερος. καὶ παρασίτους μὲν τρέφων καὶ κόλακας, ὡς ἀπὸ πηγῶν δαπανῶν, οὕτω χαίρεις· εἰ δέ που πτωχὸν ἴδῃς, τότε σοι ὁ τῆς πενίας ἐπιτίθεται φόβος. διὰ δὴ τοῦτο, καὶ παρ' ἡμῶν αὐτῶν, καὶ παρ' ἑτέρων κατακριθησόμεθα τότε, καὶ τῶν κατωρθωκότων, καὶ τῶν διαμαρτόντων. ἐρεῖ γάρ σοι, διὰ τί οὐ γέγονας οὕτω μεγαλόψυχος ἐν τοῖς προσήκουσιν; ἀλλ' ἐμοὶ μὲν πόρνῃ διδοὺς, οὐδὲν τούτων ἀπελογίζετο· σὺ δὲ τῷ δεσπότῃ παρέχων τῷ εἰρηκότι μὴ μεριμνᾶν, φόβου γέμεις καὶ τρέμεις; καὶ τίνος ἂν εἴης συγγνώμης ἄξιος; εἰ γὰρ ἄνθρωπος οὐ περιόψεται λαβὼν, ἀλλ' ἀποδώσει τὴν χάριν, πολλῷ μᾶλλον ὁ Χριστός. ὁ γὰρ καὶ χωρὶς τοῦ λαβεῖν διδοὺς, πῶς μετὰ τὸ λαβεῖν οὐ δώσει; τί οὖν, φησιν, ὅταν πολλὰ ἀναλώσαντές τινες, [πρὸς τῷ μὴ λαβεῖν] καὶ ἑτέρων δέωνται; περὶ τῶν τὰ πάν-

(margin: ΗΘΙΚΟΝ)

(margin: γρ. ὑποκριταῖς)

τα δαπανησάντων λέγεις, αὐτὸς οὐδὲ ὀβολὸν διδούς. ὁ ἀπόρου τὰ πάντα κενώσει, καὶ πότι [ἢ] περὶ ἐκείνων ἐρῶντα. ἕως δ' ἂν φειδωλὸς ἦς, καὶ ὀλίγα ἐκ τῶν ὄντων παρέχῃς, τί μοι προβάλλῃ σκήψεις καὶ προφάσεις; οὐδὲ γὰρ ἐπὶ τὴν ἄκραν τῆς ἀκτημοσύνης σε ἀγάγωμεν κορυφήν, ἀλλὰ τέως σε τὰ περιττὰ περικόπτειν ἀξιοῦμεν, καὶ τῆς αὐταρκείας μόνης ἐρᾶν. αὐτάρκεια δὲ τῇ χρείᾳ τούτων ὁρίζεται, ὧν ἄνευ ζῆν οὐκ ἔνι. οὐδείς σε τούτων ἀφέλκει, οὐδὲ κωλύει τὴν καθημερινὴν τροφήν. τροφήν, οὐ τρυφὴν λέγω· σκεπάσματα, οὐ καλλωπίσματα. μᾶλλον δὲ, εἴ τις ἀκριβῶς ἐξετάσειε, τοῦτό ἐστι τρυφὴ μάλιστα. σκόπει δέ. τίνα ἂν εἴποιμεν τρυφᾶν μᾶλλον, τὸν λαχάνοις τρεφόμενον, καὶ ὑγιαίνοντα, καὶ οὐδὲν πάσχοντα ἀηδὲς, ἢ τὸν Συβαριτικὴν ἔχοντα τράπεζαν, καὶ μυρίων γέμοντα νοσημάτων; εὔδηλον ὅτι τοῦτον. οὐκοῦν μηδὲν πλέον τούτου ζητῶμεν, εἰ καὶ τρυφᾶν βουλόμεθα καὶ μεθ' ὑγείας ζῆν· καὶ τούτῳ τὴν αὐτάρκειαν ὁριζώμεθα. καὶ ὁ μὲν ὀσπρίοις δυνάμενος ἀρκεῖσθαι, καὶ ὑγιαίνειν, μηδὲν πρὸς τούτοις ζητείτω· ὁ δὲ ἀσθενέστερος, καὶ τῆς διὰ τῶν λαχάνων δεόμενος θεραπείας, μὴ κωλυέσθω. εἰ δὲ καὶ τούτου τις ἀσθενέστερος εἴη, καὶ τῆς συμμέτρου τῆς ἀπὸ τῶν κρεῶν βοηθείας δέοιτο, οὐδὲ τούτου αὐτὸν ἀπείρξομεν. οὐδὲ γὰρ ἵνα ἀνέλωμεν τοὺς ἀνθρώπους καὶ διαφθείρωμεν, ταῦτα συμβουλεύομεν, ἀλλ' ἵνα τὰ περιττὰ περικόψωμεν· περιττὸν δέ ἐστιν, ὃ τῆς χρείας πλέον ἐστίν. ὅταν γὰρ καὶ χωρὶς τούτου δυνώμεθα διαγίνεσθαι καὶ εὐσχημόνως, περιττὸν πάντως ἐκεῖνό ἐστι προστεθέν. τοῦτο καὶ ἐπὶ ἱματίων λογιζώμεθα, καὶ ἐπὶ τραπέζης, καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· καὶ τὴν χρείαν ζητῶμεν πανταχοῦ. τὸ γὰρ περιττὸν, καὶ ἀνόνητον. ὅταν τὴν αὐτάρκειαν μελετήσῃς, τότε σε βουλόμενον τῆς χήρας γενέσθαι ζηλωτὴν, εἰς τὰ μείζω τούτων ἐνάξομεν. οὐδέπω γὰρ ἔφθασας πρὸς τὴν τῆς γυναικὸς φιλοσοφίαν, ἕως ἂν αὐταρκείας φροντίζῃς. ἐκείνη γὰρ καὶ ταύτης ἀνωτέρα γέγονεν. ἃ γὰρ ἔμελλεν αὐτὴν διαθρέψαι, ταῦτα κατέβαλε πάντα. ἔτι οὖν διαπορήσεις περὶ τῶν ἀναγκαίων, καὶ οὐκ αἰσχυνῇ γυναικὸς ἡττώμενος, καὶ οὐ μόνον αὐτὴν οὐ ζηλῶν, ἀλλὰ καὶ σφόδρα αὐτῆς ἀπολιμπανόμενος; ἐκείνη γὰρ οὐκ εἶπε ταῦτα τὰ παρ' ὑμῶν λεγόμενα, τί δ' ἂν πάντα ἀναλώσασα ἀναγκασθῶ δεηθῆναι ἑτέρου; ἀλλὰ φιλοτίμως ἀπεδύσατο τὰ ὄντα. τί ἄν τις εἴποι περὶ τῆς ἐν τῇ παλαιᾷ τῆς ἐπὶ τοῦ προφήτου Ἠλίου; ἐκείνῃ γὰρ οὐκέτι περὶ πενίας, ἀλλὰ καὶ περὶ θανάτου καὶ τελευτῆς ὁ κίνδυνος ἦν, οὐ τῆς οἰκείας μόνον, ἀλλὰ καὶ τῆς τῶν παίδων. οὐδὲ γὰρ παρ' ἑτέρων προσεδόκα λήψεσθαι, ἀλλὰ ἀποθανεῖσθαι εὐθέως. ἀλλὰ τὸν προφήτην εἶδε, φησὶ, καὶ ἐντεῦθεν φιλότιμος γέγονεν. ὑμεῖς δὲ οὐχ ὁρᾶτε μυρίους ἁγίους; καὶ τί λέγω ἁγίους; τὸν τῶν προφητῶν ὁρᾶτε προσαιτοῦντα δεσπότην, καὶ οὐδὲ οὕτω φιλάνθρωποι γίνεσθε· ἀλλὰ ταμιεῖα ἔχοντες ἐρευγόμενα ἐκ τούτου εἰς τοῦτο, οὐδὲ ἐκ τοῦ περισσεύματος μεταδίδοτε. τί λέγεις; προφήτης ἦν ὁ παρών, καὶ τοῦτο αὐτὴν ἔπεισε μεγαλοψυχῆσαι τοσοῦτον; αὐτὸ μὲν οὖν τοῦτο πολλοῦ θαύματος ἄξιον, ὅτι ἐπείσθη μέγαν αὐτὸν εἶναι καὶ θαυμαστόν. πῶς γὰρ οὐκ εἶπεν, οἷα εἰκὸς ἦν βάρβαρον γυναῖκα καὶ ἀλλόφυλον λογίσασθαι, ὅτι εἰ προφήτης ἦν, οὐκ ἂν ἐμοῦ ἐδεήθη, εἰ Θεοῦ φίλος ἦν, οὐκ ἂν αὐτὸν περιεῖδεν; ἔστω, Ἰουδαῖοι διὰ ἁμαρτήματα ταύτην τίνουσι τὴν δίκην· οὗτος δὲ πόθεν, καὶ διὰ τί; ἀλλ' οὐδὲν τούτων ἐνενόησεν, ἀλλ' ἀνέῳξεν αὐτῷ τὴν οἰκίαν, καὶ πρὸ τῆς οἰκίας τὴν γνώμην, καὶ πάντα τὰ ὄντα εἰς μέσον τέθεικε, καὶ τὴν φύσιν ἀφεῖσα, καὶ τῶν παίδων καταφρονήσασα, τὸν ξένον προετίμησε πάντων. ἐννόησον οὖν ὅση κόλασις κείσεται, ὅταν γυναικὸς χήρας, πτωχῆς, ἀλλοφύλου, βαρβάρου, παίδων μητρὸς, τούτων οὐδὲν εἰδυίας ὧν ἡμεῖς ἴσμεν, ἔλαττον φερώμεθα, καὶ ἀσθενέστεροι ὦμεν. οὐ γὰρ, ἂν τὸ σῶμα ἔχωμεν ἰσχυρὸν, ἀνδρεῖοί τινές ἐσμεν. καὶ γὰρ ἐκεῖνος μόνος ταύτην ἔχει τὴν ἀρετὴν, κἂν ἐπὶ κλίνης ᾖ βεβλημένος, ὁ τὴν ἰσχὺν οἴκοθεν ἔχων· ὡς ταύτης ἄνευ, κἂν [illegible]πις δυνάσαι τῇ τοῦ σώματος ῥώμῃ, οὐδὲν αὐτοὶ κορασίου καὶ γραϊδίου ταλαιπώρου φανεῖεν ἂν

ἰσχυρότερον εἶ). ὁ μὲν γὰρ αὐτομάτοις παλαίει κακοῖς, σὺ δὲ οὐδὲ ἀντιβλέψαι τολμᾷς. καὶ ἵνα μάθῃς ὅτι σοῦ ἀνδρείας ὅρος, ἀπ' αὐτοῦ τούτου τοῦ παραδείγματος αὐτὸ συνάγαγε. τί γὰρ αὐτῆς ἀνδρειότερον γένοιτ' ἂν τῆς γυναικὸς, ἣ καὶ πρὸς φύσεως τυραννίδα, καὶ πρὸς λιμοῦ βίαν, καὶ πρὸς πενίας ἀπειλὴν ἔστη γενναίως, καὶ πάντων γέγονεν ἰσχυροτέρα; ἄκουσον γοῦν πῶς ὁ Χριστὸς αὐτὴν ἀνακηρύττει. Πολλαὶ γὰρ, φησὶν, ἦσαν χῆραι ἐν ταῖς ἡμέραις Ἠλία, καὶ πρὸς οὐδεμίαν ὁ προφήτης ἀπεστέλλετο, ἀλλ' ἢ πρὸς ἐκείνην. Λουκ. δ. κε. εἴπω τι μέγα καὶ παράδοξον. αὕτη τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ πλέον εἰς φιλοξενίαν εἰσήνεγκεν. οὐ γὰρ εἰς ἀγέλην ἔδραμε, καθάπερ ἐκεῖνος, ἀλλ' ἀπὸ τῆς δρακὸς ἐκείνης προέλαβεν ἅπαντας τοὺς ἐπὶ φιλοξενίᾳ βεβοημένους. ἐκεῖνος μὲν γὰρ ἐνίκα, ὅτι εἰς τοῦτο ἑαυτὸν ἔταξεν· αὕτη δὲ, ὅτι οὐδὲ τῶν παίδων ἐφείσατο διὰ τὸν ξένον, καὶ οὐδὲ προσδοκῶσα τὰ μέλλοντα. ἡμεῖς δὲ, βασιλείας οὔσης, γεέννης ἀπειλουμένης, ὃ πάντων μεῖζον, τοῦ Θεοῦ τοσαῦτα ὑπὲρ ἡμῶν ἐργασαμένου, καὶ τούτοις εὐφραινομένου καὶ χαίροντος, ἀναπεπτώκαμεν. μὴ, παρακαλῶ· ἀλλὰ σκορπίσωμεν, δῶμεν πένησιν ὡς δοῦναι δεῖ. τὸ γὰρ πολὺ καὶ τὸ ὀλίγον οὐ παρὰ μέτρον τῶν διδομένων ὁ Θεὸς ὁρίζει, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τοῦ διδόντος. πολλάκις γοῦν τοῦ μόνον ἕνα καταθέντος ὀβολὸν, ἔλαττον σὺ κατέθηκας, ὁ στατῆρας χρυσοῦ καταβαλὼν ἑκατόν. ἀπὸ γὰρ τοῦ περισσεύματος ἔβαλες. πλὴν καὶ οὕτω ποίει, καὶ ἥξεις ταχέως καὶ ἐπὶ τὸ διαφιλέστερον. σκόρπισον χρήματα, ἵνα συναγάγῃς δικαιοσύνην. οὐδὲ γὰρ θέλει μετὰ τῶν χρημάτων αὐτὴ παραγίνεσθαι, ἀλλὰ δι' αὐτῶν μὲν, οὐ μετ' αὐτῶν δὲ ἡμῖν παρέσται. οὐ γάρ ἐστιν ὁμοῦ καὶ χρημάτων ἐπιθυμίαν, καὶ δικαιοσύνην οἰκεῖν. κεχωρισμένας γὰρ ἔχουσι τὰς σκηνάς. μὴ δὴ φιλονείκει τὰ ἄμικτα συνάγειν· ἀλλὰ ἀπέλασον τὴν τύραννον φιλαργυρίαν, εἰ βούλει τὴν βασιλίδα λαβεῖν. αὕτη γάρ ἐστιν ἡ βασίλισσα, καὶ ἐλευθέρους ἐκ δούλων ποιοῦσα· οὐ τοὐναντίον ἐκείνη. διὸ μετὰ πάσης σπουδῆς τὴν μὲν φύγωμεν, τὴν δὲ ἀσπαζώμεθα, ἵνα καὶ τῆς ἐνταῦθα τύχωμεν ἐλευθερίας, καὶ τῆς βασιλείας ἐπιτύχωμεν τῶν οὐρανῶν· ἧς δὴ καὶ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ἀπεστέλλετο.

γρ. αὐτὴν

Λογ. κ. 10 Ο ΔΕ ΕΠΙΧΟΡΗΓΩΝ ΣΠΕΡΜΑ ΤΩ ΣΠΕΙΡΟΝΤΙ, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν.

Μάλιστα ἄν τις ἐκ τούτου θαυμάσειε τὴν Παύλου σύνεσιν, ὅτι προτρέψας ἀπὸ τῶν πνευματικῶν, ἀπὸ τῶν σαρκικῶν, καὶ ἐν τῇ ἀντιδόσει πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, ἑκατέρας τιθεὶς τὰς ἀμοιβάς. τὸ μὲν γὰρ, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα, πνευματικῆς ἐστιν ἀμοιβῆς· τὸ δὲ, πληθύναι τὸν σπόρον ὑμῶν, σαρκικῆς ἀντιδόσεως. ἀλλ' ὅμως οὐχ ἵσταται ἐνταῦθα, ἀλλὰ καὶ πάλιν ἐπὶ τὰ πνευματικὰ μεταβαίνει, συνεχῶς παραλλάττων αὐτὰ πλέκει. καὶ γὰρ τὸ, αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν, πνευματικόν. ταῦτα δὲ ποιεῖ, καὶ ποικίλλει τὸν λόγον, τὸν ἄνανδρον ἐκείνων καὶ βλακώδη λογισμὸν πρόρριζον ἀνασπῶν, καὶ τῆς πενίας τὸν φόβον ἐκλύων πολλαχόθεν, καὶ ἀπὸ τοῦ παραδείγματος τούτου τοῦ νῦν. εἰ γὰρ [καὶ] τοῖς τὴν γῆν σπείρουσι δίδωσιν ὁ Θεὸς, εἰ τοῖς τὸ σῶμα τρέφουσι παρέχει τὴν ἀφθονίαν, πολλῷ μᾶλλον τοῖς τὸν οὐρανὸν γεωργοῦσι, τοῖς τῆς ψυχῆς ἐπιμελουμένοις. καὶ γὰρ ταῦτα βούλεται μᾶλλον προνοίας ἀπολαύειν. ἀλλὰ συλλογιστικῶς μὲν αὐτὸ οὐ τίθησιν, οὐδὲ οὕτως, ὥσπερ ἔφην, ἐν δὲ εὐχῆς μέρει, ὅμως καὶ τὸν συλλογισμὸν φανερὸν ποιεῖ, καὶ μᾶλλον αὐτοὺς εἰς ἐλπίδα ἄγει, οὐκ

γρ. δὲ καὶ ποιεῖ ποικίλλων τὸν

γρ. διὰ

ἀπὸ τῶν γινομένων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς εὐχῆς ταύτης. χορηγήσαι γάρ, φησι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. πάλιν ἐνταῦθα τὴν δαψίλειαν αἰνίττεται ἀνυπόπτως (τὸ γὰρ πληθύναι καὶ αὐξήσαι, τοῦτό ἐστιν ἐνδεικνυμένου) ὁμοῦ δὲ καὶ τῶν ἀναγκαίων πλέον οὐδὲν ἀφίησιν ἐπιζητεῖν, ἄρτον εἰπὼν εἰς βρῶσιν. καὶ γὰρ καὶ τοῦτο αὐτοῦ μάλιστά ἐστι θαυμάσαι (ὃ καὶ ἔμπροσθεν κατεσκεύασεν) ὅτι ἐν μὲν τοῖς ἀναγκαίοις οὐδὲν πλέον τῆς χρείας ἀφίησιν ἐπιζητεῖν· ἐν δὲ τοῖς πνευματικοῖς πολλὴν τὴν περιουσίαν συμβουλεύει ποιεῖσθαι. διὸ καὶ ἀνωτέρω ἔλεγεν, Ἵνα αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· καὶ ἐνταῦθα, ὁ ἐπιχορηγῶν ἄρτον εἰς βρῶσιν, πληθύναι τὸν σπόρον ὑμῶν· τουτέστι, τὸν πνευματικόν. οὐ γὰρ ἁπλῶς ἐλεημοσύνην αἰτεῖ, ἀλλὰ τὴν μετὰ δαψιλείας. διὸ καὶ σπόρον αὐτὸ συνεχῶς καλεῖ. καθάπερ γὰρ ὁ σῖτος καταβαλλόμενος κομῶντα τὰ λήϊα δείκνυσιν· οὕτω καὶ ἡ ἐλεημοσύνη πολλὰ τὰ δράγματα τῆς δικαιοσύνης ἐργάζεται, καὶ δείκνυσιν ἄφατα τὰ γεννήματα. ἐπευξάμενος δὲ αὐτοῖς εὐθηνίαν τοσαύτην, δείκνυσι πάλιν ποῦ ταύτην δαπανᾶν χρή, λέγων,

11 Ἵνα ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Οὐχ ἵνα εἰς τὰ μὴ δέοντα ἀναλίσκητε, ἀλλ᾽ εἰς ἐκεῖνα ἃ πολλὴν φέρει τῷ Θεῷ τὴν εὐχαριστίαν. καὶ γὰρ μεγάλων ἡμᾶς κυρίους ἐποίησεν ὁ Θεός καὶ τὰ ἐλάττονα ἑαυτοῦ ἀφείς, ἡμῖν τῶν μειζόνων παρεχώρησε. τῆς μὲν γὰρ αἰσθητῆς τροφῆς αὐτὸς κύριος· τὴν δὲ νοητὴν ἡμῖν ἐπέτρεψε. καὶ γὰρ ἡμεῖς κύριοι τὰ λήϊα ἡμῶν δεῖξαι κομῶντα. οὐδὲ γὰρ ὑετῶν δεῖται καὶ ὡρῶν κράσεως, ἀλλὰ προαιρέσεως μόνης, καὶ πρὸς αὐτὸν τρέχει τὸν οὐρανόν. ἁπλότητα δὲ ἐνταῦθα τὴν δαψίλειαν καλεῖ, ἥτις κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. οὐ γὰρ ἐλεημοσύνη μόνον ἐστὶ τὸ γινόμενον, ἀλλὰ καὶ εὐχαριστίας πολλῆς ὑπόθεσις· μᾶλλον δὲ οὐκ εὐχαριστίας μόνον, ἀλλὰ καὶ ἑτέρων πλειόνων. καὶ τίθησιν αὐτὰ παρεξιών, ἵνα δείξας πολλὰ ὄντα τὰ κατορθούμενα, ἐντεῦθεν προθυμοτέρους ἐργάσηται. τίνα οὖν ἐστι τὰ πολλά; ἄκουσον αὐτοῦ λέγοντος,

12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ (διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης

13 Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον, καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας)

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ᾽ ὑμῖν. Ὃ δὲ λέγει τοῦτό ἐστι· πρῶτον τὰ ὑστερήματα τῶν ἁγίων οὐ μόνον πληροῦτε, ἀλλὰ καὶ περισσεύετε, τουτέστι, καὶ πλέον τῆς χρείας αὐτοῖς παρέχετε· εἶτα δι᾽ αὐτῶν εὐφημίαν ἀναπέμπετε τῷ Θεῷ. δοξάζουσι γὰρ αὐτὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν. ἵνα γὰρ μὴ δόξῃ αὐτοὺς διὰ τοῦτο εὐχαριστοῦντας μόνον, διὰ τὸ λαβεῖν λέγειν, ὅρα πῶς ὑψηλοὺς αὐτοὺς ποιεῖ· ὅπερ αὐτός φησι πρὸς Φιλιππησίους, Ὅτι οὐκ ἐπιζητῶ τὰ δόματα, καὶ τούτοις μαρτυρεῖ τὸ αὐτό. (Φιλιπ. δ. ιζ.) χαίρουσι μὲν γὰρ ὅτι τὰ ὑστερήματα αὐτῶν ἀναπληροῦτε, καὶ τὴν πενίαν αὐτῶν παραμυθεῖσθε· πολλῷ δὲ πλέον, ὅτι οὕτως ὑποτεταγμένοι ἐστὲ τῷ εὐαγγελίῳ· οὗ σημεῖον τοῦτό ἐστι, τὸ οὕτω δαψιλῶς εἰσφέρειν. τοῦτο γὰρ τὸ εὐαγγέλιον ἐπιτάττει·

Καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας.

Καὶ διὰ τοῦτο δοξάζουσι, φησι, τὸν Θεόν, ὅτι οὕτως ἐστὲ φιλότιμοι, οὐκ εἰς ἐκείνους μόνον, ἀλλὰ καὶ εἰς πάντας. τοῦτο δὲ πάλιν ἐγκώμιον ἐκείνων γίνεται, τὸ καὶ ὑπὲρ τῶν ἑτέροις διδομένων εὐχαριστεῖν. οὐ γὰρ τὰ ἑαυτῶν κοσμοῦσι μόνον, φησίν, ἀλλὰ καὶ τὰ ἑτέρων, καίτοιγε ἐν ἐσχάτῃ ὄντες πενίᾳ· ὃ πολλῆς αὐτῶν ἀρετῆς ἐστι σημεῖον. οὐδὲν γὰρ οὕτω ζηλότυπον,

ὡς

εἰς τὸ τῶν πτωχευόντων ἦθος. [illegible] τοσοῦτον αὐτοὺς [illegible] ἀλγεῖν ἐφ' οἷς ἑτέροις μεταδιδόασιν, ὅτι χαίρουσιν οὐχ ἧττον, ἢ ἐφ' οἷς αὐτοὶ λαμβάνουσι. Καὶ αὐτῶν δεήσει ἐπιποθούντων ὑμᾶς. Ὑπὲρ μὲν γὰρ τούτων εὐχαριστοῦσι, φησὶ, τῷ Θεῷ· ὑπὲρ δὲ τῆς ὑμετέρας ἀγάπης καὶ τῆς συντυχίας, παρακαλοῦσιν αὐτὸν ἵνα καταξιωθῶσιν ὑμᾶς ἰδεῖν. ἐπιποθοῦσι γὰρ οὐ διὰ τὰ χρήματα, ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς δεδομένης ὑμῖν χάριτος. Εἶδες Παύλου σύνεσιν, πῶς ἐπῆρεν αὐτοὺς, τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ, χάριν τὸ πρᾶγμα καλέσας; ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτῶν ἐφθέγξατο, λειτουργοὺς αὐτοὺς εἰπὼν, καὶ ἐπάρας εἰς ὕψος (εἴγε αὐτοὶ μὲν ἐλειτούργουν, ἐκεῖνοι δὲ διηκονοῦντο) καὶ δοκίμους ὀνομάσας, δείκνυσιν ὅτι πάντων τούτων ὁ Θεὸς αἴτιος· καὶ αὐτὸς μετ' ἐκείνων πάλιν εὐχαριστίαν ἀναφέρει λέγων,

15 Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. Δωρεὰν δὲ ἐνταῦθα λέγει καὶ τὰ τοσαῦτα ἀγαθὰ τὰ διὰ τῆς ἐλεημοσύνης γινόμενα, καὶ τοῖς λαμβάνουσι, καὶ τοῖς παρέχουσιν· ἢ τὰ ἀπόρρητα ἀγαθὰ τὰ διὰ τῆς παρουσίας αὐτοῦ τῇ οἰκουμένῃ πάσῃ μετὰ πολλῆς δωρηθέντα τῆς φιλοτιμίας· ὃ καὶ μάλιστά ἐστιν ἀποπτεύσαι. ἵνα γὰρ καὶ καταστείλῃ, καὶ φιλεχθροὺς ἐργάσηται, ὧν ἔτυχον παρὰ τοῦ Θεοῦ, τούτων αὐτοὺς ἀναμιμνήσκει. καὶ γὰρ μέγιστον τοῦτο εἰς προτροπὴν ἀρετῆς αἴτιον. διὸ καὶ ἐνταῦθα τὸν λόγον κατέκλεισεν. εἰ δὲ ἡ δωρεὰ ἀνεκδιήγητος, τί τῆς μανίας ἴσον ἡμῖν, ὅταν μηδὲ τὴν οὐσίαν αὐτοῦ παρεχώμεθα ζημιούμενοι; οὐχ ἡ δωρεὰ δὲ αὐτοῦ μόνον ἀνεκδιήγητος, ἀλλὰ καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει, δι' ἧς τὰ ἄνω τοῖς κάτω κατήλλαξε.

ΗΘΙΚΟΝ

Σπουδάσωμεν τοίνυν τοσαύτης ἀπολαύοντες χάριτος, ἀξίαν ἐπιδείκνυσθαι τοῦ βίου τὴν ἀρετὴν, καὶ πολλὴν τῆς ἐλεημοσύνης ποιεῖσθαι λόγον. ποιησόμεθα δὲ, ἂν τὴν ἀμετρίαν φεύγωμεν, ἂν τὴν μέθην, ἂν τὴν ἀδηφαγίαν. καὶ γὰρ καὶ σῖτα καὶ ποτὰ δέδωκεν ὁ Θεὸς, οὐκ εἰς ἀμετρίαν, ἀλλ' εἰς τροφήν. οὐδὲ γὰρ ὁ οἶνος ποιεῖ τὴν μέθην· ἐπεὶ εἰ τοῦτο ἦν, πάντας ἔδει μεθύειν. ἀλλ' οὐκ ἔχρην, φησιν, οὐδὲ τὸ πολὺ βλάπτειν. μεθύοντος ταυτὶ τὰ ῥήματα. εἰ γὰρ τὸ πολὺ βλάπτει, καὶ οὐδὲ οὕτως ἀφίστασαι τῆς πλεονεξίας, εἰ οὕτως αἰσχρὸν καὶ ἐπιβλαβὲς τοῦτο, καὶ οὐδὲ οὕτω λήγεις τῆς πονηρᾶς ἐπιθυμίας· εἰ ἐξῆν καὶ πολὺ πίνειν, καὶ μηδὲν παραβλάπτεσθαι, ποῦ ἂν ἔστης τῆς πλεονεξίας; ἆρα οὐκ ἂν ἐπεθύμησας καὶ τοὺς ποταμοὺς ἀμέλγεσθαι οἶνον; οὐκ ἂν πάντα ἀπώλεσας καὶ διέφθειρας; εἰ μέτρον ἐστὶ τροφῆς, καὶ τοῦτο παραβαίνοντες βλαπτόμεθα, καὶ οὐδὲ οὕτως ἀνέχῃ τοῦ χαλινοῦ, ἀλλὰ διαρρήξας αὐτὸν τὰ πάντων λαμβάνεις, ἵνα λατρεύσῃς τῇ πονηρᾷ τῆς γαστριμαργίας τυραννίδι· τί οὐκ ἂν ἐποίησας, εἰ τοῦτο ἀφῃρέθη τὸ μέτρον τῆς φύσεως; οὐκ ἂν πάντα τὸν χρόνον εἰς τοῦτο ἀνάλωσας; ἔδει οὖν οὕτως ἐπιθυμίαν ἄτοπον, ἰσχυρὰν ποιῆσαι, καὶ τὴν βλάβην μὴ κωλῦσαι τὴν ἐκ τῆς ἀμετρίας; καὶ πόσοι οὐκ ἂν ἐπεθύμησαν ἐντεῦθεν ἕτεροι βλάψαι; ἀλλ' ὢ τῶν ἀνοήτων, οἳ, καθάπερ βορβόρῳ κυλινδούμενοι τῇ μέθῃ καὶ ταῖς λοιπαῖς ἀσωτίαις, ὅταν μικρὸν ἀνανήψωσιν, οὐδὲν ἄλλο τι κάθηνται ποιοῦντες, ἢ ταυτὶ φθεγγόμενοι, διὰ τί τοῦτο εἰς τοῦτο ἀναλίσκεται, δέον τοῖς ἑαυτῶν κρίνειν πλημμελήμασι; αἰτιᾷ δὲ γὰρ λέγεις, διὰ τί ὅρους ἔθηκε, διὰ τί μὴ πάντα ἀπαντᾶν φέρει; εἰπὲ, διὰ τί μὴ παυόμεθα μεθύοντες; διὰ τί μὴ λαμβανόμεθα κόρον; διὰ τί τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι; ταῦτα γὰρ ἔδει ζητεῖν πρὸς ἀλλήλους, καὶ τῆς ἀποστολικῆς ἀκούειν φωνῆς, καὶ εἰδέναι πόσα τούτοις μαρτυρεῖ τὰ ἀγαθὰ ἐκ τῆς ἐλεημοσύνης, καὶ ἁρπάζειν τοῦτον τὸν θησαυρόν. καὶ γὰρ δοκίμους τοὺς πένητας ποιεῖ (καθάπερ αὐτὸς ἔφησε) τὸ χρῆμα τοῦτο, καὶ τὸν Θεὸν δοξάζεσθαι παρασκευάζει, καὶ ἀγάπην θερμαίνει, καὶ μεγαλοψύχους ἐργάζεται, καὶ ἱερέας καθίστησι, καὶ ἱερωσύνην πολὺν φέρουσαν τὸν μισθόν. ὁ γὰρ ἐλεήμων οὐ ποδήρη ἐνδέδυται, οὐδὲ κώδωνας περιφέρει, οὐδὲ στέφανον ἀναδεῖται, ἀγ-

λὰ

ἀπὸ τῶν γινομένων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς εὐχῆς ταύτης. Χορηγήσαι γάρ, φησι, καὶ πληθυνεῖ τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. Πάλιν ἐνταῦθα τὴν δαψίλειαν αἰνίττεται ἀνυπόπτως (τὸ γὰρ πληθυνεῖ καὶ αὐξήσαι, τοῦτό ἐστιν ἐνδεικνυμένου) ὁμοῦ δὲ καὶ τῶν ἀναγκαίων πλέον οὐδὲν ἀφίησιν ἐπιζητεῖν. Ἄρτον εἰπὼν εἰς βρῶσιν. Καὶ γὰρ καὶ τοῦτο αὐτοῦ μάλιστά ἐστι θαυμάσαι (ὃ καὶ ἔμπροσθεν κατεσκεύασεν) ὅτι ἐν μὲν τοῖς ἀναγκαίοις οὐδὲν πλέον τῆς χρείας ἀφίησιν ἐπιζητεῖν· ἐν δὲ τοῖς πνευματικοῖς πολλὴν τὴν περιουσίαν συμβουλεύει ποιεῖσθαι. Διὸ καὶ ἀνωτέρω ἔλεγεν, Ἵνα αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· καὶ ἐνταῦθα, ὁ ἐπιχορηγῶν ἄρτον εἰς βρῶσιν, πληθυνεῖ τὸν σπόρον ὑμῶν· τουτέστι, τὸν πνευματικόν. Οὐ γὰρ ἁπλῶς ἐλεημοσύνην αἰτεῖ, ἀλλὰ τὴν μετὰ δαψιλείας. Διὸ καὶ σπόρον αὐτὸ συνεχῶς καλεῖ. Καθάπερ γὰρ ὁ σῖτος καταβαλλόμενος κομῶντα τὰ λήϊα δείκνυσιν· οὕτω καὶ ἡ ἐλεημοσύνη πολλὰ τὰ δράγματα τῆς δικαιοσύνης ἐργάζεται, καὶ δείκνυσιν ἄφατα τὰ γεννήματα. Ἐπευξάμενος δὲ αὐτοῖς εὐθηνίαν τοσαύτην, δείκνυσι πάλιν ποῦ ταύτην δαπανᾶν χρή, λέγων,

11 Ἵνα ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Οὐχ ἵνα εἰς τὰ μὴ δέοντα ἀναλίσκητε, ἀλλ' εἰς ἐκεῖνα ἃ πολλὴν φέρει τῷ Θεῷ τὴν εὐχαριστίαν. Καὶ γὰρ μεγάλων ἡμᾶς κυρίους ἐποίησεν ὁ Θεός, καὶ τὰ ἐλάττονα ἑαυτῷ ἀφεὶς, ἡμῖν τῶν μειζόνων παρεχώρησε. Τῆς μὲν γὰρ αἰσθητῆς τροφῆς αὐτὸς κύριος· τὴν δὲ νοητὴν ἡμῖν ἐπέτρεψε. Καὶ γὰρ ἡμεῖς κύριοι τὰ λήϊα ἡμῶν δεῖξαι κομῶντα. Οὐδὲ γὰρ ὑετῶν δεῖται καὶ ὡρῶν κράσεως, ἀλλὰ προαιρέσεως μόνης, καὶ πρὸς αὐτὸν τρέχει τὸν οὐρανόν. Ἁπλότητα δὲ ἐνταῦθα τὴν δαψίλειαν καλεῖ, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Οὐδὲ γὰρ ἐλεημοσύνη μόνον ἐστὶ τὸ γινόμενον, ἀλλὰ καὶ εὐχαριστίας πολλῆς ὑπόθεσις· μᾶλλον δὲ οὐκ εὐχαριστίας μόνον, ἀλλὰ καὶ ἑτέρων πλειόνων. Καὶ τίθησιν αὐτὰ προϊὼν, ἵνα δείξας πολλὰ ὄντα τὰ κατορθούμενα, ἐντεῦθεν προθυμοτέρους ἐργάσηται. Τίνα οὖν ἐστι τὰ πολλά; ἄκουσον αὐτοῦ λέγοντος·

12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ (διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης

13 Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον, καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας)

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν. Ὃ δὲ λέγει τοῦτό ἐστι· πρῶτον τὰ ὑστερήματα τῶν ἁγίων οὐ μόνον πληροῦτε, ἀλλὰ καὶ περισσεύετε, τουτέστι, καὶ πλέον τῆς χρείας αὐτοῖς παρέχετε· εἶτα δι' αὐτῶν εὐφημίαν ἀναπέμπετε τῷ Θεῷ. Δοξάζουσι γὰρ αὐτὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν. Ἵνα γὰρ μὴ δόξῃ αὐτοὺς διὰ τὸ εὐχαριστοῦντας μόνον, διὰ τὸ λαβεῖν λέγειν, ὅρα πῶς ὑψηλοὺς αὐτοὺς ποιεῖ· ὅπερ αὐτός φησι πρὸς Φιλιππησίους, Ὅτι οὐκ ἐπιζητῶ τὰ δόματα, καὶ τούτοις μαρτυρεῖ τὸ αὐτό. (Φιλιπ. δ. ιζ.) Χαίρουσι μὲν γὰρ ὅτι τὰ ὑστερήματα αὐτῶν ἀναπληροῦτε, καὶ τὴν πτωχείαν αὐτῶν παραμυθεῖσθε· πολλῷ δὲ πλέον, ὅτι οὕτως ὑποτεταγμένοι ἐστὲ τῷ εὐαγγελίῳ· οὗ σημεῖον τοῦτό ἐστι, τὸ οὕτω δαψιλῶς εἰσφέρειν. Τοῦτο γὰρ τὸ εὐαγγέλιον ἐπιτάττει·

Καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας.

Καὶ διὰ τοῦτο δοξάζουσι, φησι, τὸν Θεὸν, ὅτι οὕτως ἐστὲ φιλότιμοι, οὐκ εἰς ἐκείνους μόνον, ἀλλὰ καὶ εἰς πάντας. Τοῦτο δὲ πάλιν ἐγκώμιον ἐκείνων γίνεται, τὸ καὶ ὑπὲρ τῶν ἑτέροις διδομένων εὐχαριστεῖν. Οὐ γὰρ τὰ ἑαυτῶν κοσμοῦσι μόνον, φησὶν, ἀλλὰ καὶ τὰ ἑτέρων, καίτοι ἐν ἐσχάτῃ ὄντες πενίᾳ· ὃ πολλῆς αὐτῶν ἀρετῆς ἐστι σημεῖον. Οὐδὲν γὰρ οὕτω ζηλότυπον,

ὡς τὸ τῆς ἀπαισχυνομένων ἡμᾶς. οὐκ ὀλίγον γὰρ ἀπαρχὴ τοῦτο τὸ τοῦ πάθους εἶδος, τοσοῦτον τὸ πάντες εὐχαριστεῖν ἐφ' οἷς ἑτέροις μεταδιδόασιν, ὅπη καὶ ἔστιν οὐχ ἧττον, ἢ ἐφ' οἷς αὐτοὶ λαμβάνουσι. Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν. Ὑπὲρ μὲν γὰρ τούτων εὐχαριστοῦσι, φησὶ, τῷ Θεῷ· ὑπὲρ δὲ τῆς ὑμετέρας ἀγάπης καὶ τῆς συντυχίας, παρακαλοῦσιν αὐτὸν ἵνα καταξιωθῶσιν ὑμᾶς ἰδεῖν. ἐπιποθοῦσι γὰρ οὐ διὰ τὰ χρήματα, ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς δεδομένης ὑμῖν χάριτος. Εἶδες Παύλου σύνεσιν, πῶς ἐπῆρεν αὐτοὺς, τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ, χάριν τὸ κατόρθωμα καλέσας; ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτῶν ἐφθέγξατο, λειτουργοὺς αὐτοὺς εἰπὼν, καὶ ἐπαίρων εἰς ὕψος (εἴ γε καὶ αὐτοὶ ἐλειτούργησαν, ἐκεῖνοι δὲ διηκονοῦντο) καὶ δοκίμους ἀποφαίνων, δείκνυσιν ὅτι πάντων τούτων ὁ Θεὸς αἴτιος· καὶ αὐτὸς μετ' ἐκείνων πάλιν εὐχαριστήριον προσφέρει λέγων,

15 Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. Δωρεὰν δὲ ἐνταῦθα λέγει καὶ τὰ τοσαῦτα ἀγαθὰ τὰ διὰ τῆς ἐλεημοσύνης γινόμενα, καὶ τοῖς λαμβάνουσι, καὶ τοῖς παρέχουσιν· ἢ τὰ ἀπόρρητα ἀγαθὰ τὰ διὰ τῆς παρουσίας αὐτοῦ τῇ οἰκουμένῃ πάσῃ μετὰ πολλῆς δωρηθέντα τῆς φιλοτιμίας· ὃ καὶ μάλιστα ἐστὶν ὑποπτεῦσαι. ἵνα γὰρ καὶ καταστείλῃ, καὶ διαφλεγεῖς(?) ἐργάσηται, συνεχῶς τὰ παρὰ τοῦ Θεοῦ, ταῦτα αὐτοὺς ἀναμιμνήσκει. καὶ γὰρ μέγιστον τοῦτο εἰς [illegible] ἀρετῆς ὑπόθεσις. διὸ καὶ ἐνταῦθα τὸν λόγον κατέκλεισεν. Εἰ δὲ ἡ δωρεὰ ἀνεκδιήγητος, τί τῆς μανίας ἴσον ἡμῶν ὅταν τὴν οὐσίαν αὐτοῦ περιεργαζόμενοι [illegible]; οὐχ ἡ δωρεὰ δὲ αὐτοῦ μόνον ἀνεκδιήγητος, ἀλλὰ καὶ ἡ εἰρήνη ἡ πάντα νοῦν ὑπερέχει, δι' ἧς τὰ ἄνω τοῖς κάτω κατήλλαξε.

Σπουδάσωμεν τοίνυν τοσαύτης ἀπολαύοντες χάριτος, ἀξίαν ἐπιδείκνυσθαι τοῦ βίου τὴν ἀρετὴν, καὶ πολλὴν τῆς ἐλεημοσύνης ποιεῖσθαι λόγον. ποιησόμεθα δὲ, ἂν τὴν ἀμετρίαν φύγωμεν, ἂν τὴν μέθην, ἂν τὴν ἀδηφαγίαν. καὶ γὰρ καὶ σῖτα καὶ ποτὰ δέδωκεν ὁ Θεὸς, οὐκ εἰς ἀμετρίαν, ἀλλ' εἰς τροφήν. οὐδὲ γὰρ ὁ οἶνος ποιεῖ τὴν μέθην· ἐπεὶ εἰ τοῦτο ἦν, πάντας ἔδει μεθύειν. Ἀλλ' οὐκ ἔδει, φησὶν, οὐδὲ τὸ πολὺ βλάπτειν. μεθυόντων ταυτὶ τὰ ῥήματα. Εἰ γὰρ τὸ πολὺ βλάπτει, καὶ οὐδὲ οὕτως ἀφίστασαι τῆς πλεονεξίας, εἰ οὕτως ἀρχῇ ἂν καὶ ἐπιβλαβὲς τοῦτο, καὶ οὐδὲ οὕτω λήγεις τῆς πονηρᾶς ἐπιθυμίας· εἰ ἐξῆν καὶ πολὺ πίνειν, καὶ μηδὲν παραβλάπτεσθαι, ποῦ ἂν ἔστης τῆς πλεονεξίας; ἆρα οὐκ ἂν ἐπεθύμησας καὶ τοὺς ποταμοὺς ἠλλάχθαι(?) οἶνον; οὐκ ἂν πάντα ἀπώλεσας καὶ διέφθειρας; Εἰ μέτρον ἐστὶ τροφῆς, καὶ τοῦτο παραβαίνοντες βλαπτόμεθα, καὶ οὐδὲ οὕτως ἀνέχῃ τοῦ χαλινοῦ, ἀλλὰ διαρρήξας αὐτὸν τὰ πάντων λαμβάνεις, ἵνα λειτουργήσῃς τῇ πονηρᾷ τῆς γαστριμαργίας τυραννίδι· τί οὐκ ἂν ἐποίησας, εἰ τοῦτο ἀνῃρέθη τὸ μέτρον τῆς φύσεως; οὐκ ἂν πάντα τὸν χρόνον εἰς τοῦτο ἀνάλωσας; ἔδει οὖν οὕτως ἐπιθυμίαν ἄτοπον, ἰσχυρὰν ποιῆσαι, καὶ τὴν βλάβην μὴ κωλῦσαι τὴν ἐκ τῆς ἀμετρίας; καὶ πόσα οὐκ ἂν ἐπεθύμησαν οὐκ ἔδει ἕτεροι βλάψαι; ἀλλ' ὢ τῶν ἀνοήτων, οἳ, καθάπερ βορβόρῳ κυλινδούμενοι τῇ μέθῃ καὶ ταῖς λοιπαῖς ἀσωτίαις, ὅταν μικρὸν ἀνανήψωσιν, οὐδὲν ἄλλο τι καθήμενοι ποιοῦντες, ἢ ταῦτα φθεγγόμενοι, διὰ τί τοῦτο εἰς τοῦτο ἀναλίσκεται, δέον τοῖς ἑαυτῶν κρίνειν πλημμελήμασιν; ἀνθ' ὧν γὰρ λέγεις, διὰ τί ὄρους τέθεικε, διὰ τί μὴ πάντα ἀπαντῶς φέρει, εἰπὲ, διὰ τί μὴ παυόμεθα μεθύοντες; διὰ τί μὴ λαμβάνομεν κόρον; διὰ τί τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι; ταῦτα γὰρ ἔδει ζητεῖν πρὸς ἀλλήλους, καὶ τῆς ἀποστολικῆς ἀκούειν φωνῆς, καὶ εἰδέναι πόσα τούτοις μαρτυρεῖ τὰ ἀγαθὰ ἐκ τῆς ἐλεημοσύνης, καὶ ἁρπάζειν τοῦτον τὸν θησαυρόν. καὶ γὰρ δοκίμους τοῦτο ποιεῖ (καθάπερ αὐτὸς ἔφησε) τὸ χρημάτων ὑπεροφᾶν, καὶ τὸν Θεὸν δοξάζεσθαι παρασκευάζει, καὶ ἀγάπην θερμαίνει, καὶ μεγαλοψύχους ἐργάζεται, καὶ ἱερέας καθίστησι, καὶ ἱερωσύνην πολλὴν φέρουσαν τὸν μισθόν. ὁ γὰρ ἐλεήμων οὐ ποδήρη ἐνδέδυται, οὐδὲ κώδωνας περιφέρει, οὐδὲ στέφανον ἀναδεῖται, ἀγά-

λέ

ΗΘΙΚΟΝ

ἀπὸ τῶν γινομένων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς εὐχῆς ταύτης. χορηγήσαι γάρ, φησι, καὶ πληθυνῶσαι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. πάλιν [illegible] τὴν δαψίλειαν αἰτεῖται ἀνυπόπτως (τὸ γὰρ πληθῦναι καὶ αὐξῆσαι, τοῦτό ἐστιν ἐνδεικνυμένου) ὁμοῦ δὲ καὶ τὴν ἀναγκαίαν πλέον οὐδὲν ἀφίησιν ἐπιζητεῖν, ἄρτον εἰπὼν εἰς βρῶσιν. γ. τῆ αὐ γ. ἐκ καὶ γὰρ καὶ τοῦτο αὐτοῦ μάλιστά ἐστι θαυμάσαι (ὃ καὶ ἔμπροσθεν κατεσκεύασεν) ὅτι ἐν μὲν τοῖς ἀναγκαίοις οὐδὲν πλέον τῆς χρείας ἀφίησιν ἐπιζητεῖν· ἐν δὲ τοῖς πνευματικοῖς πολλὴν τὴν περιουσίαν συμβουλεύει ποιεῖσθαι. διὸ καὶ ἀνωτέρω ἔλεγεν, Ἵνα αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· καὶ ἐνταῦθα, ὁ ἐπιχορηγῶν ἄρτον εἰς βρῶσιν, πληθυνῶσαι τὸν σπόρον ὑμῶν· τουτέστι, τὸν πνευματικόν. οὐδὲ γὰρ ἁπλῶς ἐλεημοσύνην αἰτεῖ, ἀλλὰ τὴν μετὰ δαψιλείας. διὸ καὶ σπόρον αὐτὸ συνεχῶς καλεῖ. καθάπερ γὰρ ὁ σῖτος καταβαλλόμενος χωμάτων τὰ λήϊα δείκνυσιν· οὕτω καὶ ἡ ἐλεημοσύνη πολλὰ τὰ δράγματα τῆς δικαιοσύνης ἐργάζεται, καὶ δείκνυσιν ἄφατα τὰ γεννήματα. ἐπευξάμενος δὲ αὐτοῖς εὐθηνίαν τοσαύτην, δείκνυσι πάλιν ποῦ ταύτην δαπανᾶν χρή, λέγων,

11 Ἵνα ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Οὐχ ἵνα εἰς τὰ μὴ δέοντα ἀναλίσκητε, ἀλλ' εἰς ἐκεῖνα ἃ πολλὴν φέρει τῷ Θεῷ τὴν εὐχαριστίαν. καὶ γὰρ μεγάλων ἡμᾶς κυρίους ἐποίησεν ὁ Θεός, καὶ τὰ ἐλάττονα ἑαυτῷ ἀφείς, ἡμῖν τῶν μειζόνων παρεχώρησε. τῆς μὲν γὰρ αἰσθητῆς τροφῆς αὐτὸς κύριος· τὴν δὲ νοητὴν ἡμῖν ἐπέτρεψε. καὶ γὰρ ἡμεῖς κύριοι τὰ λήϊα ἡμῶν δεῖξαι κομῶντα. οὐδὲ γὰρ ὑετῶν δεῖται καὶ ὡρῶν κράσεως, ἀλλὰ προαιρέσεως μόνης, καὶ πρὸς αὐτὸν τρέχει τὸν οὐρανόν. ἁπλότητα δὲ ἐνταῦθα τὴν δαψίλειαν καλεῖ, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. οὐδὲ γὰρ ἐλεημοσύνη μόνον ἐστὶ τὸ γινόμενον, ἀλλὰ καὶ εὐχαριστίας πολλῆς ὑπόθεσις· μᾶλλον δὲ οὐκ εὐχαριστίας μόνον, ἀλλὰ καὶ ἑτέρων πλειόνων. καὶ πληθύνει αὐτὰ προϊών, ἵνα δείξας πολλὰ ὄντα τὰ κατορθούμενα, ἐντεῦθεν προθυμοτέρους ἐργάσηται. τίνα οὖν ἐστι τὰ πολλά; ἄκουσον αὐτοῦ λέγοντος·

12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ (διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης

13 Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον, γ. ζῶντων καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας)

14 Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν γ. ἡμῶν γ. ἡμᾶς χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν. Ὃ δὲ λέγει τοῦτό ἐστι· προσθέντες τὰ ὑστερήματα τῶν ἁγίων οὐ μόνον πληροῦτε, ἀλλὰ καὶ περισσεύετε, τουτέστι, καὶ πλέον τῆς χρείας αὐτοῖς παρέχετε. εἶτα δι' αὐτῶν εὐφημίαν ἀναπέμπετε τῷ Θεῷ. δοξάζουσι γὰρ αὐτὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν. ἵνα γὰρ μὴ δόξῃ αὐτοὺς διὰ τὸ εὐχαριστοῦντας μόνον, διὰ τὸ λαβεῖν λέγειν, ὅρα πῶς ὑψηλοὺς αὐτοὺς ποιεῖ· ὅπερ αὐτός φησι πρὸς Φιλιππησίους, Ὅτι οὐκ ἐπιζητῶ τὸ δόμα, καὶ τούτοις μαρτυρεῖ τὸ αὐτό. χαίρουσι μὲν γὰρ ὅτι τὰ ὑστερήματα αὐτῶν ἀναπληροῦτε, καὶ τὴν πενίαν αὐτῶν παραμυθεῖσθε· πολλῷ δὲ πλέον, ὅτι οὕτως ὑποτεταγμένοι ἐστὲ τῷ εὐαγγελίῳ· οὗ σημεῖον τοῦτό ἐστι, τὸ οὕτω δαψιλῶς εἰσφέρειν. τοῦτο γὰρ τὸ εὐαγγέλιον ἐπιτάττει·

Καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας.

Καὶ διὰ τοῦτο δοξάζουσί, φησι, τὸν Θεόν, ὅτι οὕτως ἐστὲ φιλότιμοι, οὐκ εἰς ἐκείνους μόνον, ἀλλὰ καὶ εἰς πάντας. τοῦτο δὲ πάλιν ἐγκώμιον ἐκείνων γένοιτ' ἄν, τὸ καὶ ὑπὲρ τῶν ἑτέροις διδομένων εὐχαριστεῖν. οὐ γὰρ τὰ ἑαυτῶν κοσμοῦσι μόνον, φησίν, ἀλλὰ καὶ τὰ ἑτέρων, καίτοιγε ἐν ἐσχάτῃ ὄντες πενίᾳ· ὃ πολλῆς αὐτῶν ἀρετῆς ἐστι σημεῖον. οὐδὲν γὰρ οὕτω ζηλότυπον,

ὡς

ὡς τὸ τὴν ὁμολογίαν ... ἡμῶν. [illegible] τοσοῦτοι τὰ πάντες ἀληθῶς ἐφ' οἷς ἐπέδωκεν μεταδίδοντες, ὅπως χάριν ... οὐχ ἧττον, ἢ ἐφ' οἷς αὐτοὶ λαμβάνουσι. Καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν. Ὑπὲρ γὰρ τούτων εὐχαριστοῦσι, φησὶ, τῷ Θεῷ, ὑπὲρ τῆς ὑμετέρας ἀγάπης, τῆς συγκοινωνίας, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα καταξιωθῶσιν ὑμᾶς ἰδεῖν. Ἐπιποθοῦσι γὰρ οὐ διὰ τὰ χρήματα, ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς δεδομένης ὑμῖν χάριτος. Εἶδες Παύλου σύνεσιν, πῶς ἐπῆρεν αὐτοὺς, τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ, χάριν τὸ πρᾶγμα καλέσας; ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτῶν ἐφθέγξατο, λειτουργοὺς αὐτοὺς εἰπὼν, καὶ ἐπάρας εἰς ὕψος (εἴγε αὐτοὶ μὲν ἐλειτούργησαν, οὗτος δὲ διηκονεῖτο) καὶ δοκίμους ὀνομάσας, δείκνυσιν ὅτι πάντων τούτων ὁ Θεὸς αἴτιος· καὶ αὐτὸς μετ' ἐκείνων πάλιν εὐχαριστίαν ἀναφέρει λέγων,

15 Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. Δωρεὰν δὲ ἐνταῦθα λέγει καὶ τὰ τοσαῦτα ἀγαθὰ τὰ διὰ τῆς ἐλεημοσύνης γινόμενα, καὶ τοῖς λαμβάνουσι, καὶ τοῖς παρέχουσιν· ἢ τὰ ἀπόρρητα ἀγαθὰ τὰ διὰ τῆς παρουσίας αὐτοῦ τῇ οἰκουμένῃ πάσῃ μετὰ πολλῆς δωρηθέντα τῆς φιλοτιμίας· ὃ καὶ μάλιστά ἐστιν ἐπιπεσεῖν. ἵνα γὰρ καὶ καταστείλῃ, καὶ φιλέργους ἐργάσηται, ὧν ἔτυχον παρὰ τοῦ Θεοῦ, τούτων αὐτοὺς ἀναμιμνήσκει. καὶ γὰρ μέγιστον τοῦτο εἰς πᾶσαν ἀρετῆς ὑπόθεσιν. διὸ καὶ ἐνταῦθα τὸν λόγον κατέκλεισεν. Εἰ γὰρ ἡ δωρεὰ ἀνεκδιήγητος, τί τῆς μανίας ἴσον ποιοῦσιν οἱ τὴν οὐσίαν αὐτοῦ περιεργαζόμενοι; οὐχ ἡ δωρεὰ δὲ αὐτοῦ μόνον ἀνεκδιήγητος, ἀλλὰ καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει, δι' ἧς τὰ ἄνω τοῖς κάτω κατήλλαξε.

ΗΘΙΚΟΝ

Σπουδάσωμεν τοίνυν τοσαύτης ἀπολαύοντες χάριτος, ἀξίαν ἐπιδείκνυσθαι τοῦ βίου τὴν ἀρετὴν, καὶ πολλὴν τῆς ἐλεημοσύνης ποιεῖσθαι λόγον. ποιησόμεθα δὲ, ἂν τὴν ἀμετρίαν φύγωμεν, ἂν τὴν μέθην, ἂν τὴν ἀδηφαγίαν. καὶ γὰρ καὶ σῖτα καὶ ποτὰ δέδωκεν ὁ Θεὸς, οὐκ εἰς ἀμετρίαν, ἀλλ' εἰς τροφήν. οὐδὲ γὰρ ὁ οἶνος ποιεῖ τὴν μέθην· ἐπεὶ εἰ τοῦτο ἦν, πάντας ἔδει μεθύειν. ἀλλ' οὐκ ἔχειν, φησὶν, οὐδὲ τὸ πολὺ βλάπτειν. μεθύοντος ταυτὶ τὰ ῥήματα. Εἰ γὰρ τὸ πολὺ βλάπτει, καὶ οὐδὲ οὕτως ἀφίστασαι τῆς πλεονεξίας, εἰ οὕτως ἀπηχὲς ἦν καὶ ἐπιβλαβὲς τοῦτο, καὶ οὐδὲ οὕτω λήγεις τῆς πονηρᾶς ἐπιθυμίας· εἰ ἐξῆν καὶ πολὺ πίνειν, καὶ μηδὲν παραβλάπτεσθαι, ποῦ ἂν ἔστης τῆς πλεονεξίας; ἆρα οὐκ ἂν ἐπεθύμησας καὶ τοὺς ποταμοὺς γενέσθαι οἶνον; οὐκ ἂν πάντα ἀπώλεσας καὶ διέφθειρας; Εἰ μέτρον ἐστὶ τροφῆς, καὶ τοῦτο ὑπερβαίνοντες βλαπτόμεθα, καὶ οὐδὲ οὕτως ἀνέχῃ τοῦ χαλινοῦ, ἀλλὰ διαρρήξας αὐτὸν τὰ πάντα λυμαίνεις, ἵνα λατρεύσῃς τῇ πονηρᾷ τῆς γαστριμαργίας τυραννίδι· τί οὐκ ἂν ἐποίησας, εἰ τοῦτο ἀφῃρέθη τὸ μέτρον τῆς φύσεως; οὐκ ἂν πάντα τὸν χρόνον εἰς τοῦτο ἀνάλωσας; ἔδει οὖν οὕτως ἐπιθυμίαν ἄτοπον ἰσχυρὰν ποιῆσαι, καὶ τὴν βλάβην μὴ κωλῦσαι τὴν ἐκ τῆς ἀμετρίας; καὶ πόσα οὐκ ἂν ἐτέχθησαν ἐντεῦθεν ἕτερα βλάβαι; ἀλλ' ὦ τῶν ἀνοήτων, οἱ, καθάπερ βορβόρῳ κυλινδούμενοι τῇ μέθῃ καὶ ταῖς λοιπαῖς ἀσωτίαις, ὅταν μικρὸν ἀνανήψωσιν, οὐδὲν ἄλλο τι καθιέντες ποιοῦντες, ἢ ταυτὶ φθεγγόμενοι, διὰ τί τοῦτο εἰς τοῦτο ἀναλίσκεται, δέον τοῖς ἑαυτῶν κρίνειν πλημμελήμασι; αἰτίαν οὖν γὰρ λέγεις, διὰ τί ὄρος τέθεικε, διὰ τί μὴ πάντα ἁπλῶς φέρεται, εἰπέ, ἔχει· τί μὴ παυσόμεθα μεθύοντες; διὰ τί μὴ λαμβάνομεν κόρον; διὰ τί τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι; ταῦτα γὰρ ἔδει ζητεῖν ἐν αὐτοῖς ἀλλήλους, καὶ τῆς ἀποστολικῆς ἀκούειν φωνῆς, καὶ εἰδέναι πόσα τούτοις μαρτυρεῖ τὰ ἀγαθὰ ἐκ τῆς ἐλεημοσύνης, καὶ ἁρπάζειν τοῦτον τὸν θησαυρόν. καὶ γὰρ δοκίμους τοῦτο ποιεῖ (καθάπερ αὐτὸς ἔφησε) τὸ χρημάτων ὑπεροραν, καὶ τὸν Θεὸν δοξάζεσθαι παρασκευάζει, καὶ ἀγάπην θερμαίνει, καὶ μεγαλοψύχους ἐργάζεται, καὶ ἱερέας καθίστησι, καὶ ἱερωσύνην πολὺν φέρουσαν τὸν μισθόν. ὁ γὰρ ἐλεήμων οὐ ποδήρη ἐνδέδυται, οὐδὲ κώδωνας περιφέρει, οὐδὲ στέφανον ἀναδεῖται, ἀγ-

καὶ ἀναβέβληται μὲν τῆς φιλανθρωπίας στολήν, τῆς ἱερᾶς ἐσθῆτος ἀγλαωτέραν οὖσαν, κεχρῖσθαι δὲ ἐλαίῳ, οὐκ ἐξ ὕλης αἰσθητῆς συγκειμένῳ, ἀλλ' ὑπὸ πνεύματος γεωργουμένῳ, ἔχειν δὲ στέφανον ἀπὸ τῶν οἰκτιρμῶν (Τὸν στεφανοῦντά σε γάρ, φησιν, ἐν ἐλέει καὶ οἰκτιρμοῖς) ἀντὶ δὲ τοῦ πετάλου φέρειν ὄνομα ἔχον Θεοῦ, αὐτὸς ἴσος γενόμενος τῷ Θεῷ. πῶς γάρ; Γένεσθε, φησιν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. βούλει καὶ τὸ θυσιαστήριον αὐτοῦ ἰδεῖν; οὐ Βεσελεὴλ αὐτὸ ᾠκοδόμησεν, οὔτε ἄλλος τις, ἀλλ' αὐτὸς ὁ Θεός· οὐ διὰ λίθων, ἀλλὰ δι' ὕλης τοῦ οὐρανοῦ λαμπροτέρας, διὰ ψυχῶν λογικῶν. ἀλλὰ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσέρχεται ὁ ἱερεύς; ἔξεστί σοι εἰς τὰ φρικωδέστερα εἰσελθεῖν θύοντι τὴν θυσίαν ταύτην, ἔνθα μηδεὶς πάρεστιν, ἀλλ' ὁ πατήρ σου, ὁ βλέπων σε ἐν τῷ κρυπτῷ, ἔνθα μηδεὶς ἄλλος ὁρᾷ. καὶ πῶς, φησίν, ἔστι μὴ ὁρᾶν, δημοσίᾳ ἑστῶτος τοῦ θυσιαστηρίου; τὸ γὰρ θαυμαστὸν τοῦτο ἐστιν, ὅτι τότε μὲν ἀμφίθυρα καὶ παραπετάσματα τὴν ἐρημίαν ἐποίει· νῦν δὲ ἔξεστι δημοσίᾳ θύοντι, ὡς ἐν τοῖς ἁγίοις τῶν ἁγίων, καὶ πολλῷ φρικωδέστερον τοῦτο ποιεῖν. ὅταν γὰρ μὴ πρὸς ἐπίδειξιν ἀνθρώπων ποιῇς, κἂν ἡ οἰκουμένη εἶδεν, οὐδεὶς εἶδεν, ἐπειδὴ σὺ οὕτως ἐποίησας. οὐ γὰρ εἶπε, μὴ ποιεῖτε ἁπλῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλὰ προσέθηκε, πρὸς τὸ θεαθῆναι αὐτοῖς. τοῦτο τὸ θυσιαστήριον ἐξ αὐτῶν τῶν τοῦ Χριστοῦ σύγκειται μελῶν· καὶ τὸ σῶμα τοῦ δεσπότου, θυσιαστήριόν σοι γίνεται. αἰδέσθητι τοῦτο αὐτό· ἐν τῇ σαρκὶ θύεις τοῦ δεσπότου τὸ ἱερεῖον. τοῦτο τὸ θυσιαστήριον, καὶ τούτου τοῦ νῦν φρικωδέστερον, οὐχὶ τοῦ παλαιοῦ μόνον, ἀλλὰ μὴ θορυβηθῆτε. τοῦτο μὲν γὰρ θαυμαστόν, διὰ τὴν ἐπιτιθεμένην ἐν αὐτῷ θυσίαν· ἐκεῖνο δὲ τὸ τοῦ ἐλεήμονος, οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ ὅτι καὶ ἐξ αὐτῆς σύγκειται τῆς θυσίας τῆς τοῦτο ποιούσης. θαυμαστὸν τοῦτο πάλιν, ὅτι λίθος μέν ἐστι τὴν φύσιν, ἅγιον δὲ γίνεται, ἐπειδὴ σῶμα δέχεται Χριστοῦ· ἐκεῖνο δέ, ἐπειδὴ αὐτὸ σῶμά ἐστι Χριστοῦ. ὥστε τοῦτο φρικωδέστερον ἐκείνου, ᾧ σὺ παρέστηκας ὁ λαϊκός. ἆρά σοι μήτι ὁ Ἀαρὼν φαίνεται πρὸς ταῦτα; μηδὲ ὁ στέφανος; μηδὲ οἱ κώδωνες; μηδὲ τὰ ἅγια τῶν ἁγίων; τί γὰρ δεῖ πρὸς ἐκεῖνο λοιπὸν τὸ θυσιαστήριον ποιεῖσθαι τὴν σύγκρισιν, ὅπου γε καὶ πρὸς τοῦτο συγκρινόμενον, οὕτω λαμπρὸν ἐφάνη; σὺ δὲ τὸ μὲν θυσιαστήριον τοῦτο τιμᾷς, ὅτι δέχεται τὸ Χριστοῦ σῶμα· τὸν δὲ αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ ὄντα καθυβρίζεις, καὶ περιορᾷς ἀπολλύμενον. τοῦτο τὸ θυσιαστήριον πανταχοῦ δυνήσῃ κείμενον ἰδεῖν, καὶ ἐν στενωποῖς, καὶ ἐν ἀγοραῖς, καὶ καθ' ἑκάστην ἐν αὐτῷ θύειν τὴν ὥραν. καὶ γὰρ καὶ ἐν ταύτῃ θυσία τελεῖται. καὶ καθάπερ ὁ ἱερεὺς ἕστηκε τὸ πνεῦμα καλῶν, οὕτω καὶ σὺ τὸ πνεῦμα καλεῖς· ἀλλ' οὐ διὰ φωνῆς, ἀλλὰ δι' ἔργων. οὐδὲν γὰρ οὕτω κατέχει καὶ ἀνάπτει τοῦ πνεύματος τὸ πῦρ, ὡς τοῦτο τὸ ἔλαιον δαψιλὲς ἐκχεόμενον. εἰ δὲ βούλει καὶ τὰ καταβαλλόμενα ἰδεῖν τί γίνεται, δεῦρο, καὶ ταῦτά σοι δείξω. τίς οὖν ὁ καπνός; τίς ἡ εὐωδία τοῦ θυσιαστηρίου τούτου; δόξα καὶ εὐχαριστία. καὶ μέχρι ποῦ παραβαίνει; ἆρα μέχρι τοῦ οὐρανοῦ; οὐδαμῶς· ἀλλ' αὐτὸν ὑπερβαίνει τὸν οὐρανόν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ αὐτῷ παρίσταται τῷ θρόνῳ τῷ βασιλικῷ. Αἱ εὐχαί σου γάρ, φησι, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ. καὶ ἡ μὲν αἰσθητὴ εὐωδία οὐδὲ τὸ πολὺ διατέμνει τοῦ ἀέρος· αὕτη δὲ αὐτὰς ἀνοίγει τῶν οὐρανῶν τὰς ἁψῖδας. καὶ σὺ μὲν σιγᾷς, τὸ δὲ ἔργον βοᾷ. καὶ γίνεται θυσία αἰνέσεως· οὐ δαμάλεως σφαττομένης, οὐδὲ δέρματος καιομένου, ἀλλὰ ψυχῆς πνευματικῆς τὰ παρ' αὐτῆς εἰσφερούσης. φιλανθρωπίας γὰρ πάσης τοιαύτη θυσία εὐδοκιμωτέρα. ὅταν οὖν ἴδῃς πένητα πιστόν, θυσιαστήριον ὁρᾶν νόμιζε· ὅταν ἴδῃς πτωχὸν τοιοῦτον, μὴ μόνον μὴ ὑβρίσῃς, ἀλλὰ καὶ αἰδέσθητι· κἂν ἕτερον ἴδῃς ὑβρίζοντα, κώλυσον, ἄμυνον. οὕτω γὰρ δυνήσῃ καὶ αὐτὸς τὸν Θεὸν ἵλεων ἔχειν, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ψαλμ. ρβ. δ.

Ματθ. ε. μη.

Ματθ. ϛ. α.

Πραξ. ι. δ.

κ. πετάλου, φέρει ὄνομα Θεοῦ, κ. πῶς; γένεσθε γάρ, φησι.

κ. θύοντι.

κ. θορυβεῖσθε.

ἴσ. μήτι

ἴσ. μήτι

ἴσ. μήτι

κ. ὃ

Λογ. κα. 1 ΑΥΤΟΣ ΔΕ ΕΓΩ ΠΑΥΛΟΣ ΠΑΡΑΚΑΛΩ Υ- κεφ. ι.
μᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν
ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς. 2 Δέομαι δὲ τὸ μὴ
παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ἣ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λο-
γιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας.

Ἀπαρτίσας τὸν περὶ ἐλεημοσύνης λόγον, ὡς ἔδει, καὶ δείξας ὅτι πλέον αὐτοὺς ἀγαπᾷ, ἢ ἀγαπᾶται, καὶ τὰ περὶ τῆς ὑπομονῆς αὐτοῦ καὶ τῶν πειρασμῶν διηγησάμενος, εὐκαίρως λοιπὸν τῶν ἐπιτιμητικωτέρων ἅπτεται λόγων, τοὺς ψευδαποστόλους αἰνιττόμενος, καὶ εἰς τὰ φορτικώτερα καταλήγων τὸν λόγον, καὶ ἑαυτὸν συνιστῶν. τοῦτο γὰρ καὶ δι᾽ ὅλης ἐργάζεται τῆς ἐπιστολῆς. ὅθεν καὶ αἰσθανόμενος ἑαυτὸν πολλάκις διορθοῦται, αὐτὸ τοῦτο λέγων, Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; καὶ προϊών φησιν, Οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήσεως. καὶ μετὰ ταῦτα, Ἄφρων γέγονα καυχώμενος· ὑμεῖς με ἠναγκάσατε· καὶ πολλαῖς τοιαύταις κέχρηται διορθώσεσι. καὶ οὐκ ἄν τις ἁμάρτοι, τὴν ἐπιστολὴν ταύτην ἐγκώμιον Παύλου προσειπών· οὕτω καὶ τὰ τῆς χάριτος μετὰ δαψιλείας τίθησι, καὶ τὰ τῆς ὑπομονῆς τῆς αὐτοῦ. ἐπειδὴ γὰρ ἦσάν τινες παρ᾽ αὐτοῖς μέγα φρονοῦντες, καὶ προτιθέντες ἑαυτοὺς τοῦ ἀποστόλου, καὶ ὡς ἀλαζόνα διαβάλλοντες, καὶ ὡς οὐδὲν ὄντα, οὐδὲ ὑγιές τι διδάσκοντα (τοῦτο γὰρ αὐτοῖς μάλιστα τῆς διαφθορᾶς αὐτῶν τεκμήριον ἦν) ὅρα πῶς ἄρχεται τῆς κατ᾽ αὐτῶν ἐπιτιμήσεως· αὐτὸς δὲ ἐγὼ Παῦλος. Εἶδες πόση ἡ βαρύτης, πόσον τὸ ἀξίωμα; ὃ γὰρ θέλει εἰπεῖν τοῦτό ἐστι· δέομαι ὑμῶν, μή με ἀναγκάσητε, μηδὲ ἀφῆτε χρήσασθαι τῇ δυνάμει μου κατὰ τῶν ἐξευτελιζόντων ἡμᾶς, καὶ νομιζόντων σαρκικοὺς ἄνδρας εἶναι. βαρύτερον τοῦτο ἐκείνων ὧν ἐν τῇ προτέρᾳ πρὸς αὐτοὺς ἀπειλῶν ἔλεγεν, Ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος; νῦν δὲ ὡς μὴ ἐρχομένου [δέ] μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. ἐλεύσομαι δὲ καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. καὶ γὰρ ἐνταῦθα ἀμφότερα δείκνυσι, καὶ τὸ δυνατὸν, καὶ τὸ φιλόσοφον καὶ ἀνεξίκακον· εἴγε οὕτω παρακαλεῖ, καὶ μετὰ τοσαύτης σπουδῆς, ὥστε μὴ ἀναγκασθῆναι εἰς ἐπίδειξιν ἐλθεῖν τῆς οἰκείας δυνάμεως τῆς τιμωρητικῆς, καὶ πλῆξαι αὐτοὺς καὶ κολάσαι, καὶ τὴν ἐσχάτην ἀπαιτῆσαι δίκην. τοῦτο γὰρ ᾐνίξατο λέγων, δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ἣ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς κατὰ σάρκα περιπατοῦντας. πῶς δὲ ἐπὶ τὴν ἀρχὴν τοῦ λόγου ἀγάγωμεν. αὐτὸς δὲ ἐγὼ Παῦλος. πολλὴ ἡ ἔμφασις, πολλὴ ἡ βαρύτης· ὥσπερ ἀλλαχοῦ φησιν, Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν· καὶ πάλιν, Ὡς Παῦλος πρεσβύτης· καὶ ἀλλαχοῦ πάλιν, Ἡ τις πολλῶν προστάτις ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ· οὕτω καὶ ἐνταῦθα, αὐτὸς δὲ ἐγὼ Παῦλος. μέγα μὲν καὶ τοῦτο, ὃ αὐτὸς παρακαλεῖ, τὸ δὲ ἕτερον μεῖζον ὃ προστέθεικεν εἰπὼν, διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ. καὶ γὰρ σφόδρα αὐτοὺς ἐντρέψαι βουλόμενος, προβάλλεται τὴν πραότητα καὶ τὴν ἐπιείκειαν, ταύτῃ μείζονα ποιῶν τὴν ἱκετηρίαν· ὡς ἂν εἰ ἔλεγεν, αὐτὴν αἰδέσθητε τὴν ἐπιείκειαν τοῦ Χριστοῦ, δι᾽ ἧς ἡμᾶς παρακαλῶ. ταῦτα δὲ ἔλεγεν, ὁμοῦ καὶ δεικνὺς ὅτι κἂν μυρίαν ἀνάγκην ἐπάγωσιν, αὐτὸς πρὸς τοῦτο ἐπιῤῥεπέστερον ἔχει· διὰ τὸ πρᾶος εἶναι, οὐ διὰ τὸ ἀσθενὲς δὲ οὐκ ἐπεξέρχεται, ἐπεὶ καὶ ὁ Χριστὸς οὕτως ἐποίει. ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς. τί δή τοῦτό ἐστι; ἤτοι κατ᾽ εἰρωνείαν φησὶ, τὰ ἐκείνων φθεγγόμενος (ἐκεῖνοι γὰρ τοῦτο ἔλεγον, ὅτι ὅταν μὲν παρῇ, οὐδενός ἐστιν ἄξιος λόγου, ἀλλ᾽ εὐτελὴς καὶ εὐκαταφρόνητος·

Margin references: ϛ. Κορ. γ. α. / ε. ιϛ. / ιϛ. ια. — α. Κορ. δ. κα. / καὶ ιη. — Γαλ. ε. ϛ. / Φιλημ. θ. / Ρωμ. ιϛ. β.

ὅταν δὲ ἀπῇ, φυσᾶται καὶ κομπάζει, καὶ κατεξανίσταται ἡμῶν, καὶ ἀπειλεῖ. τοῦτο γοῦν καὶ ἑξῆς αἰνίττεται λέγων, Ὅτι αἱ μὲν ἐπιστολαί, φησι, βαρεῖαι· ἡ δὲ παρουσία τοῦ σώματος, ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος) ἣν ταύτην κατ' εἰρωνείαν φησί, πολλὴν ἐμφαίνων βαρύτητα καὶ λέγων, ἐγὼ ὁ ταπεινός, ἐγὼ ὁ εὐτελὴς ἐν τῷ παρεῖναι, καθὼς ἐκεῖνοί φασι, καὶ ἀπὼν ὑψηλός· ἢ οὐ καὶ ἂν μεγάλα φθέγγῃ), οὐκ ἐξ ἀπονοίας, ἀλλ' ἐκ τοῦ θαρρεῖν αὐτοῖς. δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας. Εἶδες πόση ἡ ἀγανάκτησις, καὶ πῶς σαφὴς ὁ ἔλεγχος τῶν εἰρημένων; δέομαι γὰρ ὑμῶν, φησί, μή με ἀναγκάσητε δεῖξαι, ὅτι καὶ παρὼν ἰσχυρός εἰμι, καὶ δύναμιν ἔχω. ἐπειδὴ γὰρ ἔλεγον, ὅτι ἀπὼν πρὸς ὑμᾶς καταθαρρεῖ καὶ ἐπαίρεται, αὐτοῖς κέχρηται τοῖς ῥήμασι· δέομαι οὖν μή με ἀναγκάσωσι χρήσασθαί μου τῇ δυνάμει. τοῦτο γάρ ἐστι, τῇ πεποιθήσει. καὶ οὐκ εἶπεν, ᾗ παρεσκεύασμαι, ἀλλ', ᾗ λογίζομαι. οὔπω μὲν γὰρ τοῦτο ἔκρινα, αὐτοὶ δέ μοι τὴν αἰτίαν παρέχουσιν. ἀλλ' οὐδὲ οὕτω βούλομαι. καίτοι οὐχ ἑαυτῷ ἀμυνόμενος τοῦτο ἐποίει, ἀλλὰ τῷ εὐαγγελίῳ. εἰ δὲ ἔνθα τῷ κηρύγματι ἀμύνειν ἐχρῆν, οὐκ ἔστιν αὐστηρός, ἀλλὰ ἀναδύεται καὶ μέλλει, καὶ παρακαλεῖ μὴ γενέσθαι τοσαύτην ἀνάγκην· πολλῷ μᾶλλον ὑπὲρ ἑαυτοῦ οὐκ ἂν οὐδέποτέ τι τοιοῦτον ἐποίησε. τοῦτο οὖν μοι χαρίσασθέ, φησιν, ὥστε μή με ἀναγκάσαι δεῖξαι, ὅτι καὶ παρὼν δύναμαι καταθαρρῆσαι καθ' ὧν ἂν δέοι· τουτέστι, κολάσαι αὐτοὺς καὶ τιμωρῆσαι. Εἶδες πῶς οὐκ ἦν φιλότιμος, οὐδὲ πρὸς ἐπίδειξίν τι ἐποίει, ὅπουγε καὶ χρείας οὔσης, τολμᾷν τὸ πρᾶγμα καλεῖ; δέομαι γάρ, φησι, τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας. τοῦτο γὰρ διδασκάλου μάλιστά ἐστι, τὸ μὴ ταχέως ἀμύνασθαι, ἀλλὰ διορθοῦσθαι, καὶ μέλλειν ἀεὶ καὶ βραδύνειν ἐν ταῖς τιμωρίαις. τίνας δὴ τούτους φησὶν οἷς ἀπειλεῖ; τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας. ἐκεῖνοι γὰρ αὐτὸν διέβαλλον ὡς ὑποκριτήν, ὡς πονηρόν, ὡς ἀλαζόνα.

β. Κορ. ι. ι.

3 Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. Ἐνταῦθα λοιπὸν καὶ φοβεῖ τῇ τροπῇ. σάρκα μὲν γὰρ περικείμεθα, φησιν, ὁμολογῶ, οὐ σαρκὶ δὲ ζῶμεν. μᾶλλον δὲ οὐδὲ τοῦτο εἶπεν, ἀλλὰ πῶς αὐτὸ ταμιεύεται (βίου γάρ ἐστιν ἐγκώμιον) περὶ δὲ τοῦ κηρύγματος διαλέγεται, δεικνὺς ὅτι οὐκ ἔστιν ἀνθρώπινον, οὐδὲ τῆς κάτωθεν δεόμενον βοηθείας. διόπερ οὐκ εἶπεν, οὐ κατὰ σάρκα ζῶμεν, ἀλλ', οὐ κατὰ σάρκα στρατευόμεθα· τουτέστι, πόλεμον ἀνεδεξάμεθα καὶ μάχην· ἀλλ' οὐχὶ σαρκικοῖς πολεμοῦμεν ὅπλοις, οὐ διά τινος ἀνθρωπίνης συμμαχίας.

4 Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά. Ποῖα γὰρ ὅπλα σαρκικά; πλοῦτος, δόξα, δυναστεία, εὐγλωττία, δεινότης, περιδρομαί, κολακεῖαι, ὑποκρίσεις, τὰ ἄλλα τὰ τούτοις ἐοικότα. ἀλλὰ τὰ ἡμέτερα, οὐ τοιαῦτα· ἀλλὰ ποταπά; Δυνατὰ τῷ Θεῷ.

Καὶ οὐκ εἶπεν, ἡμεῖς οὐ σαρκικοί, ἀλλὰ τὰ ὅπλα ἡμῶν. ὅπερ γὰρ ἔφην, περὶ τοῦ κηρύγματος διαλέγεται, καὶ τὴν δύναμιν πᾶσαν τῷ Θεῷ ἀνατίθησι. καὶ οὐ λέγει, πνευματικά (καίτοι τοῦτο ἦν τὸ πρὸς ἀντιδιαστολὴν τοῦ σαρκικοῦ) ἀλλὰ δυνατά, διὰ τούτου κἀκεῖνο αἰνιττόμενος, καὶ δεικνὺς ὅτι τὰ ἐκείνων ἀσθενῆ καὶ ἀδύνατα. καὶ σκόπει αὐτοῦ τὸ ἄτυφον. οὐ γὰρ εἶπεν, ἡμεῖς δυνατοί· ἀλλά, τὰ ὅπλα ἡμῶν δυνατὰ τῷ Θεῷ. οὐχ ἡμεῖς αὐτὰ τοιαῦτα κατεσκευάσαμεν, ἀλλ' αὐτὸς ὁ Θεός. ἐπειδὴ γὰρ ἐμαστίζοντο, ἠλαύνοντο, καὶ μυρία ἔπασχον ἀνήκεστα, ἅπερ ἀσθενείας ἦν· (δεικνὺς τοῦ Θεοῦ τὴν ἰσχύν, φησιν, ἀλλὰ τῷ Θεῷ δυνατά ἐστι. τοῦτο γὰρ μάλιστα δείκνυσιν αὐτοῦ τὴν ἰσχύν, ὅτι διὰ τούτων περιγίνεται). ὥστε εἰ καὶ ἡμεῖς αὐτὰ περικείμεθα, ἀλλ' αὐτός ἐστιν ὁ δι' αὐτῶν πολεμῶν, καὶ ἐνεργῶν. εἶτα καὶ ἐγκώμιον αὐτῶν διέξεισι μακρόν, λέγων, Πρὸς καθαίρεσιν ὀχυρωμάτων.

Καὶ ἵνα μή, ἀκούσας ὀχυρώματα, αἰσθητόν τι νομίσῃς, φησί,

5 Λογισμοὺς

5 Λογισμοὺς καθαιροῦντες. Διὰ μὲν τῆς τροπῆς τὴν ἔμφασιν δεικνὺς, διὰ δὲ τῆς ἐπαγωγῆς τὸ ἰδιον τοῦ πολέμου παραδηλῶν. ταῦτα γὰρ τὰ ὀχυρώματα ψυχὰς πολιορκεῖ, οὐ σώματα. ὥστε ἐκείνων ἰσχυρότερα. διὸ καὶ μειζόνων δεῖται τῶν ὅπλων. ὀχυρώματα δὲ λέγει τὸν τῦφον τὸν ἑλληνικὸν, καὶ τῶν σοφισμάτων καὶ τῶν συλλογισμῶν τὴν ἰσχύν. ἀλλ' ὅμως ἅπαντα ταῦτα ἤλεγξε τὰ ὅπλα, φησὶν, ἰσάμενα κατ' αὐτῶν. Λογισμοὺς γὰρ καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Ἐπέμεινε τῇ τροπῇ, ἵνα πλείονα ποιήσῃ τὴν ἔμφασιν. κἂν γὰρ ὀχυρώματα ᾖ, φησὶ, καὶ πυργώματα, κἂν ὁποιονοῦν ἕτερον, εἴκει καὶ παραχωρεῖ τοῖς ὅπλοις τούτοις. Καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Καίτοι κακέμφατος ἡ τῆς αἰχμαλωσίας προσηγορία· τῆς ἐλευθερίας γάρ ἐστιν ἀναίρεσις. τίνος οὖν ἕνεκεν αὐτῇ κέχρηται; κατ' ἕτερον σημαινόμενον. χ. σημαίνει τὸ γὰρ τῆς αἰχμαλωσίας ὄνομα δύο δηλοῖ· καὶ τὸ ἐκπεσεῖν ἐλευθερίας, καὶ τὸ κατὰ κράτος ἁλῶναι, ὥστε μὴ ἀναστῆναι πάλιν. κατὰ τοῦτο οὖν τὸ δεύτερον αὐτὴν παρέλαβεν. ὥσπερ ὅταν λέγῃ, Ἄλλας ἐκκλησίας ἐσύλησα, οὐ τὸ λάθρα λαβεῖν λέγει, ἀλλὰ τὸ γυμνῶσαι, καὶ πάντα λαβεῖν· οὕτω καὶ ἐνταῦθα λέγων, αἰχμαλωτίζοντες. 2. Κορ. ια. 8. οὐ γὰρ ἐκ τοῦ ἴσου ἡ μάχη, ἀλλὰ μετὰ πολλῆς εὐκολίας. οὐκ εἶπεν εἶ ἢ δύο, ἀλλὰ πᾶν. οὐκ εἶπε δὲ, νικῶμεν καὶ περιγινόμεθα μόνον, ἀλλὰ καὶ αἰχμαλωτίζομεν· ὥσπερ οὖν καὶ ἀνωτέρω οὐκ εἶπε, προσάγομεν μηχανήματα τοῖς ὀχυρώμασιν, ἀλλὰ καθαιροῦμεν αὐτά. καὶ γὰρ πολλὴ τῶν ὅπλων ἡ περιουσία. οὐ γὰρ λόγοις πολεμοῦμεν, φησὶν, ἀλλ' ἔργοις πρὸς λόγους, οὐκ ἐν σοφίᾳ ῥητορικῇ, ἀλλ' ἐν πνεύματι πρᾳότητος καὶ δυνάμεως. πῶς οὖν ἔμελλον φιλοτιμεῖσθαι, φησὶ, καὶ κομπάζειν διὰ λόγων, καὶ ἀπειλεῖν διὰ ἐπιστολῶν, καθάπερ ἐκεῖνοι διέβαλλον, λέγοντες, Ὅτι αἱ ἐπιστολαὶ βαρεῖαι, ὅπουγε οὐκ ἐν τούτοις ἦν ἡμῖν ἰσχύς; 2. Κορ. ι. 10. Εἰπὼν δὲ, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, ἐπειδὴ τὸ τῆς αἰχμαλωσίας ὄνομα βαρὺ, ταχέως αὐτοῦ τὸν τόνον ἐντεῦθεν κατέλυσεν, εἰπὼν, Εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἀπὸ θανάτου πρὸς ζωὴν, ἐξ ἀπωλείας πρὸς σωτηρίαν. οὐ γὰρ ἁπλῶς βαλεῖν ἤλθομεν, ἀλλὰ μεταστῆσαι πρὸς τὴν ἀλήθειαν τοὺς ἀνθισταμένους.

6 Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. Ἐνταῦθα καὶ τούτους ἐφόβησεν, οὐκ ἐκείνους μόνον. ὑμᾶς γὰρ, φησὶν, ἀναμένομεν, ἵν', ὅταν ὑπὸ τῆς παραινέσεως καὶ τῆς ἀπειλῆς διορθώσωμεν ὑμᾶς, καὶ ἐκκαθαρωμεν, καὶ ἀποστήσωμεν τῆς ἐκείνων κοινωνίας, τότε ἐκείνων ἀπολειφθέντων μόνων ἀνίατα νοσούντων ἐπαγάγωμεν τὴν τιμωρίαν, ὅταν γνησίως ἴδωμεν ὑμᾶς ἀποστάντας. ὑπακούετε μὲν γὰρ καὶ νῦν· οὐ τελείως δέ. καίτοι εἰ νῦν ἐποίησας, μεῖζον ἂν εἰργάσω τὸ κέρδος, φησίν. οὐδαμῶς. εἰ γὰρ νῦν ἐποίησα, καὶ ὑμᾶς ἂν περιέβαλον τῇ τιμωρίᾳ. ἀλλ' ἔδει κολάσαι μὲν ἐκείνους, ὑμῶν δὲ φείσασθαι. γρ. ὑμῶν ἀλλ' εἰ ἐφεισάμην, χάριτι ἂν ἔδοξα τοῦτο ποιεῖν. νῦν δὲ οὐ τοῦτο βούλομαι, ἀλλὰ πρότερον κατορθῶσαι ὑμᾶς, καὶ τότε ἐπ' ἐκείνους ἐλθεῖν. τί τῶν σπλάγχνων ἐκείνων ἡμερώτερον; ὃς ἐπειδὴ τοὺς οἰκείους ἑώρα τοῖς ἀλλοτρίοις ἀναμεμιγμένους, βούλεται μὲν ἐπαγαγεῖν τὴν πληγὴν, φείδεται δὲ, καὶ κατέχει τὴν ἀγανάκτησιν, ἕως ἂν ἐκεῖνοι ἀναχωρήσωσιν, ἵνα τούτους πατάξῃ μόνους· μᾶλλον δὲ, ἵνα μηδὲ τούτους. διὰ γὰρ τοῦτο ἀπειλεῖ τούτοις, καί φησι μόνους βούλεσθαι ἐκείνους ἀπολαβεῖν, ἵνα καὶ ἐκεῖνοι τῷ φόβῳ διορθωθέντες μεταβάλωσι, καὶ εἰς μηδένα ἀφῇ τὴν ὀργήν. καθάπερ γὰρ ἰατρὸς ἄριστος, καὶ πατὴρ κοινὸς, καὶ προστάτης, καὶ κηδεμὼν, οὕτω πάντα ἔπραττεν, οὕτω πάντων ἐκήδετο, τὰ κωλύματα ἀναιρῶν, τοὺς λυμαινομένους ἀναστέλλων, πανταχοῦ περιτρέχων. οὐδὲ γὰρ μαχόμενος οὕτω τὰ πράγματα ἤνυεν· ἀλλ' ὡς ἐπὶ ἑτοίμην καὶ προκειμένην ἐρχόμενος νίκην, τὰ τρόπαια ἵστη, κατασκάπτων, καθαιρῶν, καταβάλλων τοῦ διαβόλου

ἔλυε τὰ ὀχυρώματα καὶ τῶν δαιμόνων τὰ μηχανήματα, καὶ "τὴν λείαν μετῆγεν" ἅπασαν ἐπὶ τὸ τοῦ Χριστοῦ στρατόπεδον· καὶ οὐδὲ μικρὸν ἀνέπνει, ἀπὸ τούτων ἐπ' ἐκείνους, καὶ πάλιν ἀπ' ἐκείνων ἐφ' ἑτέρους μεταπηδῶν, καθάπερ τις στρατηγὸς ἄριστος καθ' ἑκάστην ἡμέραν ἱστῶν τρόπαια· μᾶλλον δὲ, καθ' ἑκάστην ὥραν. ἀπὸ γὰρ χιτωνίσκου μόνου εἰς τὴν παράταξιν εἰσελθὼν, αὐτάνδρους ᾕρει τῶν ἐναντίων τὰς πόλεις, καὶ τόξα, καὶ δόρατα, καὶ βέλη, καὶ πάντα ἡ γλῶττα Παύλου. καὶ γὰρ ἐφθέγγετο μόνον, καὶ παντὸς πυρὸς σφοδρότερον τοῖς "πολεμίοις αἱ ῥήσεις" ἐνέπιπτον· καὶ οὐ μόνον δαίμονας "ἤλαυνε, οὐδὲ" ὑπ' αὐτῶν κατεχομένους ἀνθρώπους πρὸς ἑαυτὸν "ἐπανῆγεν. ὅτε γοῦν τὸν δαίμονα ἐκεῖνον τὸν πονηρὸν ἐξέβαλε, γοήτων ἀνδρῶν μυριάδες πέντε συνελθοῦσαι, τὰ βιβλία τῶν μαγειῶν κατέκαυσαν, καὶ πρὸς τὴν ἀλήθειαν μετέστησαν. καὶ καθάπερ ἐν πολέμῳ, πύργου πεσόντος, ἢ τυράννου κατενεχθέντος, οἱ μετ' ἐκείνου πάντες τὰ ὅπλα ῥίψαντες, τῷ στρατηγῷ προστρέχουσιν· οὕτω δὴ καὶ τότε ἐγένετο. τοῦ γὰρ δαίμονος ἐκβληθέντος, πολιορκηθέντες ἅπαντες, καὶ τὰ βιβλία ῥίψαντες, μᾶλλον δὲ καταλύσαντες, τοῖς Παύλου ποσὶ προσέτρεχον· ὁ δὲ, καθάπερ ἐν στρατοπέδῳ, τῇ οἰκουμένῃ περιπατούμενος, οὐδαμοῦ ἵστατο· ἀλλ' ὥσπερ τις ὑπόπτερος ὢν, πάντα ἐποίει· καὶ νῦν μὲν χωλὸν διώρθου, νῦν δὲ νεκρὸν ἤγειρε, νῦν δὲ ἕτερον ἐπήρου, τὸν μάγον λέγω. καὶ οὐδὲ ἐν δεσμωτηρίῳ κατακλειόμενος ἡσύχαζεν· ἀλλὰ καὶ ἐκεῖ τὸν δεσμοφύλακα μετῆγε πρὸς ἑαυτὸν, τὴν καλὴν ταύτην αἰχμαλωσίαν ἐργαζόμενος.

ΗΘΙΚΟΝ

Τοῦτον οὖν καὶ ἡμεῖς μιμησώμεθα κατὰ δύναμιν. καὶ τί λέγω, κατὰ δύναμιν; ἔξεστι γὰρ καὶ ἐγγὺς ἐκείνου γενέσθαι τῷ βουλομένῳ, καὶ θεωρῆσαι τὴν ἀριστείαν, καὶ μιμήσασθαι τὴν ἀνδρείαν. ἔτι γὰρ καὶ τοῦτο ποιεῖ, λογισμοὺς καθαιρῶν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καίτοιγε πολλοὶ κατατέμνειν αὐτὸν ἐπεχείρησαν αἱρετικοί· ἀλλ' ὅμως "κατὰ μέλος ὢν πολλὴν ἐπιδείκνυται τὴν ἰσχύν. κέχρηνται μὲν γὰρ αὐτῷ καὶ Μαρκίων, καὶ Μανιχαῖος· ἀλλὰ κατατέμνοντες. ἀλλ' ὅμως καὶ οὕτως ἐλέγχονται ἀπὸ τῶν "μελῶν. καὶ γὰρ καὶ χεὶρ μόνη τοῦ ἀριστέως τούτου παρ' αὐτοῖς οὖσα, κατὰ κράτος αὐτοὺς ἐλαύνει· καὶ ποὺς μόνος παρ' ἑτέροις διώκει καὶ καταβάλλει, ἵνα μάθῃς δυνάμεως περιουσίαν, καὶ ὅτι καὶ περικοπτόμενος "ἀρκεῖ πάντας ἑλεῖν τοὺς ἐναντιουμένους. καὶ μήν τοι τοῦτο, φησὶ, διαστροφῆς, τὸ πάντας αὐτῷ κεχρῆσθαι τοὺς ἀλλήλοις μαχομένους. διαστροφῆς μὲν οὖν, τῆς Παύλου δὲ μὴ γένοιτο, ἀλλὰ τῆς τῶν χρωμένων. οὐ γὰρ ποικίλος τίς ἐστιν, ἀλλὰ ἁπλοῦς καὶ σαφής· οὗτοι δὲ πρὸς τὰς οἰκείας διέστρεψαν τὰ ῥήματα ἐννοίας. καὶ διὰ τί οὕτως ἐρρέθη, φησὶν, ὡς δύνασθαι λαβὰς τοῖς βουλομένοις; οὐκ αὐτὸς ἔδωκεν, ἀλλ' ἡ ἐκείνων μανία. οὐκ εἰς δέον γὰρ τούτοις "ἐχρήσαντο. ἐπεὶ καὶ ὁ κόσμος οὗτος ὅλος καὶ θαυμαστὸς καὶ μέγας, καὶ τῆς τοῦ Θεοῦ σοφίας τεκμήριον, καὶ

Ψαλ. ιη. α. ϐ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· ἀλλ' ὅμως τούτῳ πολλοὶ προσέπταισαν, καὶ ἀπ' ἐναντίας ἀλλήλοις· καὶ οἱ μὲν οὕτως αὐτὸν ὑπὲρ τὴν ἀξίαν ἐθαύμασαν, ὡς αὐτὸν νομίσαι εἶναι Θεόν· οἱ δὲ οὕτως αὐτοῦ τὸ κάλλος ἠγνόησαν, ὡς ἀνάξιον εἶναι φάσκειν τῆς τοῦ Θεοῦ δημιουργίας, καὶ ὕλῃ τινὶ πονηρᾷ τὸ πλέον αὐτοῦ ἀνατιθέναι. καίτοι τὰ ἀμφότερα ὁ Θεὸς ἠσφαλίσατο, καλὸν μὲν ποιήσας καὶ μέγαν, ἵνα μὴ ἀλλότριος αὐτοῦ τῆς σοφίας εἶναι νομίζοιτο· ἐνδεῆ δὲ καὶ οὐκ αὐτάρκη ἑαυτῷ, ἵνα μὴ Θεὸς ὑποπτεύηται. ἀλλ' ὅμως οἱ πηρωθέντες ἐξ οἰκείων λογισμῶν, εἰς ἐναντίας ἐξέπεσον ἐννοίας, ἀλλήλους ἐλέγχοντες, καὶ ἀλλήλων γινόμενοι κατήγοροι, καὶ ὑπὲρ τῆς τοῦ Θεοῦ σοφίας ἀπολογούμενοι" καὶ αὐτῶν ὧν ἐπλανήθησαν λογισμῶν. καὶ τί λέγω τὸν ἥλιον καὶ τὸν οὐρανόν; παρὰ τῶν ὀφθαλμῶν εἶδον θαύματα οἱ Ἰουδαῖοι γινόμενα τοσαῦτα, καὶ μόσχον εὐθέως προσεκύνησαν. πάλιν ἑώρων δαίμονας τὸν Χριστὸν ἀπελαύνοντα, καὶ δαιμονῶντα αὐτὸν ἐκάλουν. ἀλλ' οὐ τοῦ ἐκβάλλοντος τὸ ἔγκλημα, ἀλλὰ τῆς τῶν πεπηρωμένων διανοίας

νοίας

νοίας κατηγορία. μὴ τοίνυν μηδὲ Παύλου καταγίνωσκε διὰ τὴν τῶν κακῶς χρησαμένων γνώμην, ἀλλὰ μάθε τὸν θησαυρὸν αὐτοῦ καλῶς, καὶ τὸν πλοῦτον διάπτυξον, καὶ πρὸς πάντας ἔστης γενναίως, ἀπὸ τῶν ἐκείνου φραττόμενος ὅπλων. οὕτω καὶ Ἕλληνας, καὶ Ἰουδαίους ἐπιστομίσαι δυνήσῃ. καὶ πῶς, φησὶν, οὐ πιστεύοντας αὐτῷ; ἀπὸ τῶν γεγενημένων δι' αὐτοῦ, ἀπὸ τῆς κατὰ τὴν οἰκουμένην διορθώσεως. οὐ γὰρ ἦν ἀνθρωπίνης δυνάμεως τοσαῦτα δυνηθῆναι, ἀλλ' ἡ τοῦ σταυρωθέντος ἰσχὺς ἐμπνέουσα αὐτῷ, τοιοῦτον αὐτὸν εἰργάσατο, καὶ ῥητόρων, καὶ φιλοσόφων, καὶ τυράννων, καὶ βασιλέων, καὶ πάντων δυνατώτερον ἀπέφηνεν. ἔστι δὲ οὐχ ὁπλίσασθαι μόνον ἰσχυρῶς, καὶ βαλεῖν τοὺς ἐναντίους, ἀλλὰ καὶ ἑτέρους κατασκευάσαι τοιούτους. ἵν' οὖν καὶ ἑαυτοῖς καὶ ἑτέροις γινώμεθα χρήσιμοι, συνεχῶς αὐτὸν μεταχειριζώμεθα, ἀντὶ λειμῶνος καὶ παραδείσου τοῖς τούτου γράμμασιν ἐντρυφῶντες. οὕτω γὰρ δυνησόμεθα καὶ κακίας ἀπαλλαγῆναι, καὶ ἀρετὴν ἑλέσθαι, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, * χάριτι καὶ φιλανθρωπίᾳ.

* οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,

Λογ. κβ. 7 ΤΑ ΚΑΤΑ ΠΡΟΣΩΠΟΝ ΒΛΕΠΕΤΕ; ΕΙ ΤΙΣ πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς.

Ὁ Μάλιστα ἄν τις θαυμάσειε Παύλου μετὰ τῶν ἄλλων, τοῦτό ἐστιν, ὅτι εἰς ἀνάγκην ἐμπεσὼν μεγάλην τοῦ ἐπᾶραι ἑαυτὸν, ἀμφότερα ἐργάζεται, τοῦτό τε αὐτὸ, καὶ τὸ μὴ δοκεῖν ἐπαχθὴς εἶναι τοῖς πολλοῖς διὰ τῆς περιαυτολογίας ταύτης· ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας μάλιστα ἴδοι τις ἄν. καὶ γὰρ ἐκεῖ ἐμπεσὼν εἰς τοιαύτην ὑπόθεσιν, ἀμφοτέρων ἐπιμελεῖται τούτων (ὅπερ τῶν σφόδρα ἐστὶ δυσκολωτάτων, καὶ πολλῆς δεομένων συνέσεως) καὶ μετριάζει, καὶ περὶ ἑαυτοῦ μέγα τι λέγει. σκόπει δὲ πῶς καὶ ἐνταῦθα μέγα αὐτὸ ποιεῖται. τὰ κατὰ πρόσωπον βλέπετε; ὅρα καὶ ἐνταῦθα σύνεσιν. ἐπιτιμήσας γὰρ τοῖς ἀπατῶσιν αὐτοὺς, οὐ μέχρις ἐκείνων τὸν λόγον ἔστησεν, ἀλλ' ἀπ' ἐκείνων καὶ εἰς τούτους μεταπηδᾷ. καὶ συνεχῶς τοῦτο οὕτω ποιεῖ. οὐ γὰρ δὴ μόνον τῶν παρακρουομένων, ἀλλὰ καὶ τῶν ἠπατημένων καθάπτεται. εἰ γὰρ καὶ αὐτοὺς ἀφῆκεν ἀνευθύνους, οὐκ ἂν οὕτως εὐκόλως ἐκ τῶν ἑτέροις εἰρημένων διωρθώθησαν, ἀλλὰ καὶ σφόδρα ἂν ἐπήρθησαν, οὐκ ὄντες ἐγκλήμασιν ὑπεύθυνοι. διὰ τοῦτο καὶ αὐτῶν καθάπτεται. καὶ οὐ τοῦτο μόνον αὐτοῦ ἐστι τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ καταλλήλως ἑκατέροις ἐπιτιμᾷ. ἄκουε γοῦν τί τούτοις φησί· τὰ κατὰ πρόσωπον βλέπετε; οὐ μικρὸν τὸ ἔγκλημα, ἀλλὰ καὶ σφόδρα μέγα. πῶς; ὅτι εὐεξαπάτητον τὸ τῶν ἀνθρώπων γένος, φησίν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀπὸ τῶν φαινομένων δοκιμάζετε; ἀπὸ τῶν σαρκικῶν; ἀπὸ τῶν σωματικῶν; τί ἐστιν, ἀπὸ τῶν φαινομένων; εἴ τις πλουτεῖ, εἴ τις φυσᾶται, εἴ τις πολλοὺς περιβέβληται κόλακας, εἴ τις μεγάλα περὶ ἑαυτοῦ λέγει, εἴ τις κενόδοξος, εἴ τις ὑποκρίνεται ἀρετὴν, οὐκ ἔχων ἀρετήν. τοῦτο γάρ ἐστι, τὰ κατὰ πρόσωπον βλέπετε; εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς. οὐ γὰρ βούλεται ἐκ προοιμίων σφοδρὸς γίνεσθαι, ἀλλὰ κατὰ μικρὸν αὔξεται καὶ κορυφοῦται. σκόπει δὲ ἐνταῦθα τὴν πολλὴν τραχύτητα, καὶ πολὺ τὸ αἴνιγμα ὄν. τὸ γὰρ, ἀφ' ἑαυτοῦ, τοῦτό ἐστιν ἐμφαίνοντος· μὴ γὰρ ἀναμενέτω, φησὶ, παρ' ἡμῶν μαθεῖν (τουτέστι, διὰ τῆς ἐπιτιμήσεως τῆς κατ' αὐτοῦ) ἀλλ' ἀφ' ἑαυτοῦ τοῦτο λογιζέσθω, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς. οὐκ ἐπειδὴ οὕτως ἦν τοῦ Χριστοῦ, ὡς ἐκεῖνος· ἀλλ' ὅτι ὥσπερ ἐκεῖνος Χριστοῦ, οὕτω καὶ ἐγὼ Χριστοῦ. ἵνα κατὰ τοῦτο ἡ κοινωνία. οὐ γὰρ δὴ αὐτὸς μὲν Χριστοῦ, ἐγὼ δὲ ἑτέρου τινός. καὶ θεὶς τοῦτο τὸ ἴσον, προστίθησι καὶ τὴν ὑπεροχὴν, λέγων,

ἴσ. αὐτοῖς

χ. ὑπερ χαὶ τοῖς χ. ἰδῃ τι.

χ. αὐτοῖς

χ. τί τὸ ἀλλ' αὐτό

8 Ἐάν γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας, ἧς ἔδωκέ μοι ὁ Κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, οὐκ αἰσχυνθήσομαι. Ἐπειδὴ γὰρ μέγα τι λέγειν ἔμελλεν, ὅρα πῶς αὐτὸ παραμυθεῖται. οὐδὲν γὰρ οὕτω προσίσταται τοῖς πολλοῖς τῶν ἀκροατῶν, ὡς τὸ ἑαυτόν τινα ἐγκωμιάζειν. διόπερ ὑποτεμνόμενος τὸ βαρὺ, τοῦτό φησιν. ἐάν γὰρ καὶ περισσότερόν τι καυχήσωμαι. καὶ οὐκ εἶπεν, ὅτι εἴ τις πέποιθεν εἶναι Χριστοῦ, λογιζέσθω ὅτι πολὺ ἡμῶν ἀπέχει· ἐγὼ γὰρ ἐξουσίαν ἔχω περὶ αὐτοῦ πολλὴν, ὥστε οὓς ἂν ἐθέλω, κολάζειν καὶ ἀποκτιννύναι. ἀλλὰ τί; ἐάν γὰρ καὶ περισσότερόν τι. καίτοι ἄφατον εἶχεν, ἀλλ' ὅμως συστέλλει τῷ λόγῳ. καὶ οὐκ εἶπεν, ὅτι καυχῶμαι, ἀλλ', ἐὰν καυχήσωμαι, ἐὰν βουληθῶ· ἅμα καὶ μετριάζων, καὶ τὴν ὑπεροχὴν δεικνύς. ἐὰν οὖν καυχήσωμαί, φησι, περὶ τῆς ἐξουσίας, ἧς ἔδωκέ μοι ὁ Κύριος. πάλιν τὸ πλέον αὐτῷ ἀνατίθησι, καὶ κοινὸν ποιεῖ τὸ δῶρον. Εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν. εἶδες πῶς πάλιν παραμυθεῖται τὸν φθόνον τὸν ἀπὸ τῶν ἐγκωμίων, καὶ τὸν ἀκροατὴν ἐπισπᾶται, τὴν χρείαν εἰπὼν δι' ἣν ἔλαβε; καὶ πῶς φησι, λογισμοὺς καθαιροῦντες; ὅτι αὐτὸ τοῦτο μάλιστα οἰκοδομῆς εἶδός ἐστι, τὸ τὰ κωλύματα ἀναιρεῖν, καὶ τὰ σαθρὰ διελέγχειν, καὶ τὰ ἀληθῆ συντιθέναι ἐν οἰκοδομῇ. εἰς τοῦτο μὲν οὖν ἐλαβόμεθα, ἵνα οἰκοδομῶμεν. ἐὰν δέ τις ἀντιτείνῃ, καὶ πολεμῇ, καὶ ἀνίατος ᾖ· καὶ τῇ ἑτέρᾳ χρησόμεθα ἐνεργείᾳ, καθαιροῦντες αὐτὸν, καὶ καταβάλλοντες. διὸ καὶ, οὐκ αἰσχυνθήσομαί, φησι· τουτέστιν, οὐ δειχθήσομαι ψευδόμενος, οὐδὲ ἀλαζονευόμενος.

9 Ἵνα δὲ μὴ δόξω, ὡς ἂν ἐκφοβεῖν ὑμᾶς,

10 Ὅτι αἱ μὲν ἐπιστολαί, φησι, βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ σώματος, ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος.

11 Τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. Ὃ δὲ λέγει τοῦτό ἐστιν· ἠδυνάμην μὲν καυχήσασθαι· ἵνα δὲ μὴ τὰ αὐτὰ πάλιν λέγωσιν, ὅτι κομπάζω ἐπιστέλλων, καὶ εὐκαταφρόνητός εἰμι παρὼν, οὐδὲν μέγα ἐρῶ. καὶ τὸ μὲν ὕστερον ἐφθέγξατο· ἀλλ' οὐ περὶ τῆς δυνάμεως ταύτης δι' ἧς ἦν φοβερὸς, ἀλλὰ περὶ ἀποκαλύψεων, καὶ τὸ πλέον περὶ πειρασμῶν. ἵν' οὖν μὴ δόξω φοβεῖν ὑμᾶς, τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. ἐπειδὴ γὰρ ἔλεγον ὅτι ἐπιστέλλει μεγάλα περὶ ἑαυτοῦ, παρὼν δὲ οὐδενὸς λόγου ἐστὶν ἄξιος, διὰ τοῦτο ταῦτά φησι, καὶ αὐτὰ πάλιν συνεσταλμένως. οὐ γὰρ εἶπεν, ὅτι ὡς μεγάλα ἐπιστέλλομεν, μεγάλα καὶ πράττομεν παρόντες· ἀλλ' ὑφειμένως μᾶλλον. ὅτι μὲν γὰρ πρὸς ἐκείνους διελέγετο, μετὰ σφοδρότητος αὐτὸ τέθεικε λέγων, δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας· ὅτε δὲ πρὸς τούτους, καθυφῆκε. διὸ καὶ λέγει, ὁποῖοί ἐσμεν παρόντες, καὶ ἀπόντες· τουτέστι, ταπεινοὶ, συνεσταλμένοι, οὐδαμοῦ κομπάζοντες. καὶ δῆλον ἐκ τῶν ἑξῆς.

12 Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων.

Ἐνταῦθα καὶ ἀλαζόνας δείκνυσιν ὄντας ἐκείνους, καὶ μεγάλα περὶ ἑαυτῶν φθεγγομένους· καὶ κωμῳδεῖ αὐτοὺς ὡς ἑαυτοὺς συνιστῶντας. ἀλλ' ἡμεῖς οὐδὲν τοιοῦτον· ἀλλ' εἴ τινα καὶ μεγάλα εἰργασάμεθα, ἐπὶ τὸν Θεὸν ἅπαντα ἀναφέρομεν, καὶ ἀλλήλοις ἑαυτοὺς παραβάλλομεν. διὸ καὶ ἐπήγαγεν, Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρίνοντες ἑαυτοῖς ἑαυτοὺς οὐ συνιοῦσιν. Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ πρὸς ἐκείνους ἑαυτοὺς παρα-

β. Κορ. ιβ. ια. βαλλόμεθα, ἀλλὰ πρὸς ἀλλήλους. καὶ γὰρ προϊὼν ἔλεγεν, Οὐδὲν ὑστέρησα τῶν ὑπὲρ λί-

α. Κορ. ιε. ι. αν ἀποστόλων. καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ, Περισσότερον αὐτῶν πάντων ἐκοπίασα· καὶ πάλιν,

β. Κορ. ιβ. ιβ. Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ. ὥστε ἑαυτοῖς συγκρίνομεν ἑαυτοὺς, οὐκ ἐκείνοις τοῖς οὐδὲν ἔχουσιν. ἡ γὰρ τοιαύτη ἀπόνοια, ἀνοίας ἐστίν. ἢ περὶ ἑαυτοῦ οὖν τοῦτό φησιν, ἢ περὶ ἐκείνων, ὅτι οὐ τολμῶμεν συγκρῖναι ἑαυτοὺς ἐκείνοις τοῖς

πρὸς ἀλλήλους ἁμιλλωμένοις, καὶ μεγάλα κομπάζουσι, καὶ μὴ συνιοῦσι, τουτέστι, μὴ αἰσθανομένοις πῶς εἰσὶ καταγέλαστοι τοιαῦτα ἀλαζονευόμενοι, καὶ μεταξὺ ἀλλήλων ἑαυτοὺς ἐπαίροντες.

13 Ἡμεῖς δὲ οὐκ εἰς τὰ ἄμετρα καυχησόμεθα, Καθάπερ οὗτοι. καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς κομπάζοντας λέγειν, ὅτι τὴν οἰκουμένην ἐπεστρέψαμεν, πρὸς τὰ πέρατα τῆς γῆς ἀφικόμεθα, καὶ πολλὰ ἕτερα τοιαῦτα μεγαληγορεῖν. ἀλλ' ἡμεῖς οὐχ οὕτω, φησίν, Ἀλλὰ κατὰ τὸ μέτρον οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρις καὶ ὑμῶν.

Ὥστε ἑκατέρωθεν ἡ ταπεινοφροσύνη αὐτοῦ καταδήλος· καὶ ὅτι οὐδὲν πλέον εἰργάσατο, εἶπε, καὶ ὅτι τοῦτο αὐτὸ τῷ Θεῷ ἀνατίθησι. κατὰ γὰρ τὸ μέτρον, φησὶ, τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρις καὶ ὑμῶν. καθάπερ γεωργοῖς ἄμπελον διανέμων, οὕτως ἡμῖν ἀφώρισε. μέχρις οὖν οὗ κατηξιώθημεν φθάσαι, μέχρι τούτου καυχώμεθα.

14 Οὐ γὰρ μὴ ὡς ἐφικνούμενοι εἰς ὑμᾶς, ὑπερεκτείνομεν ἑαυτούς. μέχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Οὐχ ἁπλῶς παρεγενόμεθα, ἀλλὰ κατηγγείλαμεν, ἐκηρύξαμεν, ἐπείσαμεν, κατωρθώσαμεν. εἰκὸς γὰρ ἐκείνους καὶ ἁπλῶς παραγινομένους τοῖς τῶν ἀποστόλων μαθηταῖς, ἑαυτοῖς τὸ πᾶν λογίζεσθαι, ἐκ τῆς ψιλῆς ἐπιδημίας. ἀλλ' οὐχ ἡμεῖς οὕτως· οὐδ' ἂν ἔχοι τις εἰπεῖν, ὅτι οὐ μέχρις ὑμῶν ἰσχύσαμεν ἐλθεῖν, καὶ τῷ λόγῳ μόνον ἐκτείνομεν τὴν μέχρις ὑμῶν καύχησιν. καὶ γὰρ καὶ ὑμῖν τὸν λόγον ἐκηρύξαμεν,

15 Οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι [ἀλλ'] ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες, αὐξανομένης τῆς πίστεως, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν, εἰς περισσείαν·

16 Εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι. Πολλὴν δείκνυσι τὴν κατηγορίαν ἐκείνων ἐντεῦθεν, ὅτι καὶ εἰς τὰ ἄμετρα ἐκαυχῶντο, καὶ ὅτι εἰς τὰ ἀλλότρια, καὶ ὅτι τῶν μὲν ἀποστόλων ὁ ἱδρὼς ἦν ἅπας, ἐκεῖνοι δὲ ἐκαλλωπίζοντο τοῖς ἐκείνων κόποις. ἡμεῖς δέ, φησι, διὰ τῶν ἔργων ταῦτα ἐπεδείξαμεν. οὐ τοίνυν ἐκείνους μιμησόμεθα· ἀλλ' ἔνθα ἡμῖν μάρτυρες τὰ ἔργα, ταῦτα ἐροῦμεν. καὶ τί λέγω, φησίν, ὑμᾶς; ἐλπίδα γὰρ ἔχω, αὐξανομένης τῆς πίστεως ὑμῶν (οὐ γὰρ ἀποφαίνεται ἁπλῶς, τὸ οἰκεῖον ἦθος μιμούμενος) ἀλλ' ἐλπίζω, φησίν, ὑμῶν ἐπιδιδόντων, ὅτι καὶ περαιτέρω ὁ κανὼν ἡμῶν ἐπεκταθήσεται, εἰς τὰ ὑπερέκεινα εὐαγγελίσασθαι. προσθησόμεθα γὰρ καὶ περαιτέρω, φησίν, ὥστε κηρύξαι καὶ καμεῖν, οὐχ ὥστε λόγοις κομπάζειν ὑπὲρ ὧν ἔκαμνον ἕτεροι. καλῶς δὲ κανόνα ἐκάλεσε, καὶ μέτρον, ὡς ἐπὶ κλῆσιν τῆς οἰκουμένης ἐλθὼν καὶ κληρονομίαν ἀρίστην, καὶ δεικνὺς τὸ ἔργον τοῦ Θεοῦ ὅλον. ἔχοντες οὖν τοιαῦτα ἔργα, φησὶ, καὶ μείζονα προσδοκῶντες, οὐ κομπάζομεν, ὡς ἐκεῖνοι μηδὲν ἔχοντες, οὐδὲ ἑαυτοῖς τι λογιζόμεθα, ἀλλὰ τῷ Θεῷ τὸ πᾶν. διὸ καὶ ἐπάγει,

17 Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Καὶ τοῦτο, φησίν, ἐκ τοῦ Θεοῦ ἡμῖν προσγίνεται.

18 Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν.

Οὐκ εἶπεν, ἡμεῖς ἐσμεν, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν. Εἶδες πῶς συνεσταλμένως φθέγγεται; εἰ δὲ περὶ ὧν ὑψηλότερα εἴπῃσι, μὴ θαυμάσῃς. καὶ γὰρ τοῦτο τῆς τοῦ Παύλου συνέσεως. εἰ γὰρ ἔμελλε πανταχοῦ ταπεινὰ φθέγγεσθαι, οὐκ ἂν αὐτοὺς ἐπέπληξεν οὕτως, οὐδ' ἂν τοὺς μαθητὰς τῆς πλάνης ἀπήλλαξεν. ἔστι γὰρ καὶ μετριάζοντα ἀκαίρως, βλάψαι· καὶ λέγοντά τι περὶ ἑαυτοῦ θαυμαστὸν εὐκαίρως, ὠφελῆσαι. ὥσπερ οὖν καὶ αὐτὸς ἐποίησε (καὶ γὰρ κίνδυνος ἦν οὐ μικρός, περὶ Παύλου τι πεισθῆναι φαῦλον τοὺς μαθητάς) οὐκ ἐπειδὴ Παῦλος ἐζήτει τὴν παρὰ ἀνθρώπων δόξαν (εἰ γὰρ τοῦτο ἐζήτει, οὐκ ἂν τὰ μεγάλα

ἐκεῖνα καὶ θαυμαστὰ τὰ περὶ δεκατεσσάρων ἐτῶν ἂν ἐσίγησε χρόνον τοσοῦτον· οὐδ᾽ ἂν ἀνάγκης ἐπικειμένης, οὕτως ᾐδεῖτο καὶ ὤκνει εἰπεῖν. δῆλον δὲ ὅτι οὐδ᾽ ἄν ποτε εἶπεν, εἰ μὴ σφόδρα κατηναγκάσθη) οὐκοῦν οὐ τὴν παρὰ ἀνθρώπων δόξαν ἐπιζητῶν, ταῦτα ἔλεγεν, ἀλλὰ τῶν μαθητῶν κηδόμενος. ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν, ὡς ἀλαζόνα, καὶ λόγοις κομπάζοντα, ἔργοις δὲ οὐδὲν δυνάμενον ἐπιδεῖξαι, ἀναγκάζεται λοιπὸν εἰς ἐκείνας τὰς ἀποκαλύψεις ἐλθεῖν. καίτοιγε δυνάμενος διὰ τῶν ἔργων αὐτοὺς πεῖσαι, ἡνίκα ταῦτα ἔλεγεν, ἀλλ᾽ ὅμως ἔτι τῇ διὰ τῶν λόγων κέχρηται ἀπειλῇ. κενοδοξίας γὰρ μάλιστα καθαρὸς ἦν· καὶ τοῦτο αὐτοῦ δείκνυσιν ἅπας ὁ βίος, καὶ ὁ πρότερος, καὶ ὁ μετὰ ταῦτα. διὰ τοῦτο γοῦν καὶ ἀθρόον μετέστη, καὶ μεταστὰς συνέχεε Ἰουδαίους, καὶ πᾶσαν ἐκείνην ἔρριψε τὴν παρ᾽ αὐτῶν τιμήν. καίτοιγε τὸ κεφάλαιον αὐτῶν, καὶ ὁ προστάτης αὐτὸς ἦν. ἀλλ᾽ οὐδὲν ἐκείνων ἐνενόησεν, ἐπειδὴ τὴν ἀλήθειαν εὗρεν, ἀλλ᾽ ὕβρεις καὶ ἀτιμίας αὐτῶν ἀντηλλάξατο. καὶ γὰρ πρὸς τὴν σωτηρίαν ἑώρα τῶν πολλῶν, τοῦτο πάντα ἡγούμενος. ὁ γὰρ μήτε γέενναν, μήτε βασιλείαν ἡγούμενός τι εἶναι, μήτε κόσμους μυρίους πρὸς τὸν τοῦ Χριστοῦ πόθον, πῶς ἂν τὴν [παρὰ] τῶν πολλῶν δόξαν ἐθορύβει; οὐδαμῶς. ἀλλὰ καὶ σφόδρα ταπεινός ἐστιν, ὅταν ἐξῇ, καὶ τὸν πρότερον αὐτοῦ στηλιτεύει βίον, ἅτε βλάσφημον καὶ διώκτην καὶ ὑβριστὴν ἀποκαλῶν ἑαυτόν. καὶ ὁ μαθητὴς δὲ αὐτοῦ Λουκᾶς πολλὰ περὶ αὐτοῦ φησι, δηλονότι παρ᾽ αὐτοῦ μαθὼν, ἐκπομπεύοντος αὐτοῦ τῷ προτέρῳ βίῳ, οὐχ ἧττον ἢ τῷ μετὰ ταῦτα.

χ. δηλονότι

ΗΘΙΚΟΝ

Ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλ᾽ ἵνα καὶ μανθάνωμεν. εἰ γὰρ ἐκεῖνος τῶν περὶ τοῦ λουτροῦ πλημμελημάτων ἐμέμνητο, καίτοι πάντων ἀφανισθέντων, τίνα ἂν σχοίημεν συγγνώμην οἱ τῶν μετὰ τὸ λουτρὸν ἀμνημονοῦντες ἡμεῖς; τί λέγεις, ἄνθρωπε; προσέκρουσας τῷ Θεῷ, καὶ ἐπιλανθάνῃ; δευτέρα αὕτη πρόσκρουσις, δευτέρα ἀπέχθεια. ποίαν οὖν ἁμαρτημάτων αἰτεῖς λύσιν, ὧν οὐδὲ οἶδας αὐτός; πάνυ γε. οὐ γὰρ μεριμνᾷς καὶ φροντίζεις πῶς λόγον δώσεις, ὁ μηδὲ μεμνῆσθαι αὐτῶν σπουδάζων, ἀλλὰ παίζων ἐν οὐ παικτοῖς. ἀλλ᾽ ἔσται καιρὸς, ὅτε οὐκέτι προχωρήσει τὰ τῆς παιδιᾶς ἡμῖν. καὶ γὰρ δεῖ ἡμᾶς πάντως ἀποθανεῖν (διὰ γὰρ τὴν πολλὴν ἀναισθησίαν τῶν πολλῶν, καὶ ὑπὲρ τῶν φανερῶν διαλέγεσθαι δεῖ) καὶ ἀναστῆναι πάντως, καὶ κριθῆναι πάντως, καὶ κολασθῆναι. μᾶλλον δὲ τοῦτο οὐ πάντως, ἐὰν θέλωμεν. ἐκείνων μὲν γὰρ οὐχ ἡμεῖς κύριοι, οὔτε τῆς τελευτῆς ἡμῶν, οὔτε τῆς ἀναστάσεως, οὔτε τῆς κρίσεως, ἀλλ᾽ ὁ δεσπότης ὁ ἡμέτερος· τοῦ μέντοι διδόναι δίκην, ἢ μὴ, ἡμεῖς κύριοι. τοῦτο γὰρ τῶν ἐνδεχομένων ἐστίν· ἀλλ᾽ ἐὰν θέλωμεν, τῶν ἀδυνάτων αὐτὸ ποιήσομεν, ὥσπερ οὖν Παῦλος, ὡς Πέτρος, ὡς οἱ ἅγιοι πάντες. καὶ γὰρ ἐκείνους κολασθῆναι ἀδύνατον. ἂν τοίνυν ἐθέλωμεν, καὶ ἡμᾶς ὁμοίως ἀδύνατόν τι παθεῖν. κἂν γὰρ μυρία πεπλημμεληκότες ὦμεν, δυνατὸν ἀνακτήσασθαι, ἕως ἂν ἐνταῦθα ὦμεν. ἀνακτησώμεθα τοίνυν ἑαυτούς· καὶ ὁ μὲν γέρων ἐννοείτω, ὅτι μικρὸν ὕστερον ἀπελεύσεται, ὅτι ἱκανῶς ἐνετρύφησε τῇ ἡλικίᾳ (καίτοιγε ποία τοῦτο τρυφὴ τὸ ἐν κακίᾳ διάγειν; ἀλλὰ τέως πρὸς τὴν ἐκείνου δόξαν τοῦτό φημι) ἐννοείτω μετὰ τοῦτο, ὅτι ἔξεστιν αὐτῷ ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀπονίψασθαι. ὁ νέος πάλιν καὶ αὐτὸς τὸ ἄδηλον λογιζέσθω τῆς τελευτῆς, καὶ ὅτι πολλῶν πολλάκις πρεσβυτέρων μενόντων ἐνταῦθα, οἱ νέοι πρὸ αὐτῶν ἀπηνέχθησαν. ἵνα γὰρ μὴ πραγματευώμεθα τὴν τελευτὴν ἡμῶν, διὰ τοῦτο ἐν ἀδήλῳ κεῖται. διὸ καὶ σοφός τις παραινεῖ λέγων, Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, καὶ μὴ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. ἐκ μὲν γὰρ τοῦ ἀναβάλλεσθαι, κίνδυνος καὶ φόβος· ἐκ δὲ τοῦ μὴ ἀναβάλλεσθαι, σωτηρία δήλη καὶ ἀσφαλής. ἔχου τοίνυν τῆς ἀρετῆς. οὕτω γὰρ, κἂν νέος ἀπέλθῃς, ἀσφαλῶς ἀπῆλθες· κἂν εἰς γῆρας ἔλθῃς, μετὰ πολλῆς ἀπῆλθες τῆς εὐπορίας· καὶ διπλῆν ἑορτὴν διὰ παντὸς ἕξεις τοῦ βίου, κακίας τε ἀπεχόμενος, καὶ ἀρετῆς ἐπειλημμένος.

χ. οὖν

Σειρ. ε. η.

μένος. μὴ λέγε, ἔσται καιρὸς ὅτε δεῖ ἐπιστρέψαι δέ. ταῦτα γὰρ τὰ ῥήματα σφόδρα παροργίζει τὸν Θεόν. τί δήποτε; ὅτι αὐτὸς σοι ἀπείρους αἰῶνας ἐπηγγείλατο, σὺ δὲ οὐδὲ τὴν παροῦσαν ζωὴν ἐθέλεις πονῆσαι τὴν βραχεῖαν ταύτην καὶ πρόσκαιρον, ἀλλ' οὕτως εἶ χαῦνος καὶ ἄνανδρος, ὡς καὶ αὐτῆς ταύτης βραχυτέρας ἐπιζητεῖν; οὐχ αἱ αὐταὶ καὶ νῦν καθ' ἡμέραν; οὐχ αἱ αὐταὶ τράπεζαι; οὐχ αἱ αὐταὶ πόρναι; οὐχὶ τὰ αὐτὰ θέατρα; οὐχὶ τὰ αὐτὰ χρήματα; μέχρι τίνος ὡς ἐκείνων ὄντων ἐρᾷς; μέχρι τίνος τὴν ἀκόρεστον ἔχεις τῆς κακίας ἐπιθυμίαν; ἐννόησον ὅτι ὁσάκις ἐπόρνευσας, τοσαυτάκις κατέγνως σαυτοῦ. καὶ γὰρ τοιοῦτον ἡ ἁμαρτία· ἅμα γέγονε, καὶ τὴν ψῆφον ἐξήνεγκεν ὁ δικαστής. ἐμεθύσθης, ἐγαστριμάργησας, ἥρπασας; στῆθι λοιπόν, ἀπόστρεψον τὴν ἐναντίαν, ὁμολόγησον τῷ Θεῷ χάριν, ὅτι σε οὐκ ἐν μέσοις ἀνήρπασε τοῖς ἁμαρτήμασι· μὴ καὶ ἑτέραν ζήτει προθεσμίαν εἰς τὸ κακῶς ἐργάζεσθαι. πολλοὶ μεταξὺ πλεονεκτοῦντες ἀνηρπάγησαν, καὶ ἀπῆλθον ἐπὶ φανερὰν δίκην. φοβήθητι μὴ καὶ σὺ τοῦτο πάθῃς ἀναπολόγητος. ἀλλὰ πολλοῖς ἔδωκε προθεσμίαν ὁ Θεός, καὶ ἐν ἐσχάτῳ γήρᾳ ἐξομολογήσασθαι. τί οὖν; καὶ σοὶ δώσει; ἴσως δώσει, φησί. τί λέγεις, ἴσως, καὶ ἐνίοτε, καὶ πολλάκις; ἐννόησον ὅτι περὶ ψυχῆς βουλεύῃ, καὶ ἐννόησον καὶ τὸ ἐναντίον, καὶ λογίζου καὶ λέγε, τί δὲ, ἐὰν μὴ δῷ; τί δὲ, ἐὰν δῷ, φησίν; ἔδωκε μὲν αὐτός· πλὴν τοῦτο ἐκείνου ἀσφαλέστερον καὶ κερδαλεώτερον. ἐὰν μὲν γὰρ ἤδη ἄρξῃ, τὸ πᾶν ἐκέρδανας, ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς προθεσμίαν· ἐὰν δὲ ἀεὶ μέλλῃς, δι' αὐτὸ τοῦτο πολλάκις οὐ λήψῃ. σὺ δὲ εἰς μὲν πόλεμον ἐξιών, οὐ λέγεις, οὐκ ἀνάγκη διαθέσθαι· ἴσως ἐπανήξω· οὐδὲ περὶ γάμου βουλευόμενος, λέγεις, λάβω γυναῖκα πενιχράν· πολλοὶ παρὰ δόξαν καὶ οὕτως ἐπλούτησαν· οὐδὲ οἰκίαν οἰκοδομούμενος, καταβάλλω θεμελίους σαθρούς· πολλαὶ καὶ οὕτως ἔστησαν οἰκίαι· ὑπὲρ δὲ ψυχῆς βουλευόμενος, τοῖς σαθροτέροις ἐγχειρεῖς, τὸ ἴσως, καὶ πολλάκις, καὶ ἐνίοτε τιθείς, καὶ τοῖς ἀδήλοις ἐπιτρέπεις σαυτόν; οὐ τῷ ἀδήλῳ, φησίν, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ· φιλάνθρωπος γὰρ ὁ Θεός. οἶδα κἀγώ. ἀλλ' ὁ φιλάνθρωπος οὗτος κἀκείνους οὓς εἶπον ἀνήρπασε. τί δὲ ἂν καὶ χρόνον λαβὼν ὅμοιος μένῃς; ὁ γὰρ τοιοῦτος, καὶ ἐν γήρᾳ ῥᾴθυμος ἔσται. οὔ, φησιν. ὁ γὰρ λογισμός ἐστι, καὶ μετὰ τὰ ὀγδοήκοντα ἔτη, ἐνενήκοντα ἐπιζητεῖ, καὶ μετὰ τὰ ἐνενήκοντα, ἑκατόν, καὶ μετὰ τὰ ἑκατόν, ἀργότερος ἔσται. καὶ οὕτως ὁ βίος ἅπας ἀναλωθήσεται μάτην, καὶ συμβήσεται τὰ περὶ τῶν Ἰουδαίων εἰρημένα καὶ ἐπὶ σοί· Ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν. Ψαλμ. οζ. λζ. καὶ εἴθε ἐν ματαιότητι μόνον, ἀλλὰ μὴ καὶ ἐπὶ κακῷ. ὅταν γὰρ ἀπέλθωμεν ἐκεῖ τὸ βαρὺ τῶν ἁμαρτημάτων φορτίον φέροντες (τοῦτο γάρ ἐστιν, ἐπὶ κακῷ) τροφὴν ἀποισόμεθα τῷ πυρί, καὶ πολλὴν τῷ σκώληκι τράπεζαν. διὸ δέομαι καὶ ἀντιβολῶ στῆναί ποτε λοιπόν, καὶ ἀποστῆναι κακίας, ἵνα καὶ τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κγ. 1 ΟΦΕΛΟΝ ΗΝΕΙΧΕΣΘΕ ΜΟΥ ΜΙΚΡΟΝ ΤΗ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου. κεφ. ια.

Μέλλων ἐμβαίνειν εἰς τοὺς οἰκείους ἐπαίνους, πολλῇ κέχρηται τῇ προδιορθώσει. καὶ οὐχ ἅπαξ, οὐδὲ δεύτερον τοῦτο ποιεῖ· καίτοιγε ἰσχυρὰ ἦν ἡ ἀνάγκη τῆς ὑποθέσεως ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ, καὶ τὰ πολλάκις εἰρημένα αὐτῷ. ὁ γὰρ ἁμαρτημάτων μεμνημένος, ὧν ὁ Θεὸς οὐκ ἐμέμνητο, καὶ διὰ τοῦτο λέγων ἀνάξιος εἶναι καὶ τῆς προσηγορίας αὐτῆς τῶν ἀποστόλων, καὶ τοῖς σφόδρα ἀνεπαισθήτοις εὔδηλός ἐστιν οὐ διὰ δόξαν ταῦτα λέγων, ἃ μέλλει νῦν ἐρεῖν. καὶ γὰρ εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν,

εἰς δόξαν αὐτὸν μάλιστα τῶν προβέβληται, ὃ περὶ ἑαυτοῦ τι λέγειν· ὃ προσίσταται τοῖς πολλοῖς. ἀλλ᾽ ὅμως οὐδὲν τούτων παρεῖδε, ἀλλ᾽ εἰς ἓν εἶδε, τὴν τῶν ἀκουόντων σωτηρίαν. ὥστε ἀξιοῦν μηδὲ βλάψαι τοῦτο τοὺς ἀκούοντας, τὸ μεγάλα περὶ ἑαυτοῦ εἰπεῖν, ἐκ περιουσίας κέχρηται ταῖς πολλαῖς ταύταις προδιορθώσεσι, καί φησιν, Εἴθε ἀνείχεσθέ μου μικρά τινα ἀνοηταίνοντος· μᾶλλον δὲ καὶ ἀνέχεσθε. Εἶδες σύνεσιν; τὸ μὲν γὰρ εἰπεῖν, εἴθε, κυρίους αὐτοὺς ποιοῦντός ἐστι· τὸ δὲ καὶ ἀποφήνασθαι, σφόδρα θαρροῦντος αὐτῶν ἐστι τῇ ἀγάπῃ, καὶ ἐνδεικνυμένου ὅτι καὶ φιλεῖ καὶ φιλεῖται· μᾶλλον δὲ οὐκ ἀπὸ ἀγάπης φιλῆς ἁπλῶς, ἀλλ᾽ ἀπό τινος ἔρωτος θερμοῦ καὶ μανικοῦ φησι δεῖν αὐτοὺς ἀνέχεσθαι καὶ ἀνοηταίνοντος. διὸ καὶ ἐπήγαγε,

2 Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. Οὐκ εἶπεν, ἀγαπῶ γὰρ ὑμᾶς, ἀλλ᾽ ὃ πολλῷ τούτου σφοδρότερον ἦν, τέθεικε. ζηλότυποι γὰρ εἰσιν αἱ ψυχαὶ αἱ σφόδρα τῶν ἐρωμένων περιεχόμεναι· καὶ οὐκ ἔστιν ἄλλως τεχθῆναι ζηλοτυπίαν, ἀλλ᾽ ἢ ἀπὸ σφοδρᾶς φιλίας. εἶτα ἵνα μὴ νομίσωσιν ὅτι δυναστείας ἕνεκεν, ἢ τιμῆς, ἢ χρημάτων, ἢ ἄλλου τινὸς τοιούτου, τῆς φιλίας αὐτῶν ἐφίεται, προσέθηκε, Θεοῦ ζήλῳ. καὶ γὰρ ὁ Θεὸς λέγεται ζηλοῦν, οὐχ ἵνα πάθος ὑποπτεύσῃ τις (καὶ γὰρ ἀπαθὲς τὸ θεῖον) ἀλλ᾽ ἵνα μάθωσιν ἅπαντες, ὅτι δι᾽ οὐδὲν ἕτερον, ἀλλ᾽ ἢ δι᾽ αὐτοὺς τοὺς ζηλοτυπουμένους πάντα ποιεῖ· οὐχ ἵνα αὐτός τι κερδάνῃ, ἀλλ᾽ ἵνα ἐκείνους διασώσῃ. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οὐχ οὕτως ὁ ζῆλος γίνεται, ἀλλὰ διὰ τὴν οἰκείαν ἀνάπαυσιν· οὐ διὰ τὸ καθυβρίζεσθαι τοὺς ἐρωμένους, ἀλλὰ διὰ τὸ μὴ πλήττεσθαι τοὺς φιλοῦντας, καὶ παρευδοκιμεῖσθαι, καὶ ἔλαττον ἔχειν παρὰ τοῖς ἐρωμένοις. ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ τούτου μοι μέλει, φησί, μὴ ἔλαττον σχῶ παρ᾽ ὑμῖν, ἀλλὰ μὴ ὑμᾶς ἴδω διαφθαρέντας. τοιοῦτος γὰρ ὁ τοῦ Θεοῦ ζῆλος, τοιοῦτος καὶ ὁ ἐμός, σφοδρὸς ὁμοῦ καὶ καθαρός. εἶτα καὶ ἡ αἰτία ἀναγκαία. Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν. Οὐκοῦν οὐκ ἐμαυτοῦ, ἀλλ᾽ ἐκείνῳ ζηλῶ, ᾧ ἡρμοσάμην. μνηστείας γὰρ ἐστι καιρὸς ὁ παρὼν καιρός· ὁ δὲ τῶν παστάδων, ἕτερος, ὅταν λέγωσιν, Ἀνέστη ὁ νυμφίος. ὢ καινῶν πραγμάτων. ἐπὶ τοῦ κόσμου παρθένοι μένουσι πρὸ τοῦ γάμου, μετὰ δὲ τὸν γάμον οὐκέτι. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ κἂν μὴ ὦσι παρθένοι πρὸ τοῦ γάμου τούτου, μετὰ τὸν γάμον παρθένοι γίνονται). οὕτω πᾶσα ἡ ἐκκλησία παρθένος ἐστί. καὶ γὰρ πρὸς πάντας διαλεγόμενος ταῦτά φησι, καὶ τοὺς γεγαμηκότας, καὶ τὰς γεγαμημένας. ἀλλ᾽ ἴδωμεν τί φέρων, ἡμᾶς ἡρμόσατο, ποῖα ἕδνα. οὐ χρυσόν, οὐκ ἄργυρον, ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν. διὸ καὶ ἔλεγεν,

β. Κορ. ε. κ. Ὑπὲρ Χριστοῦ πρεσβεύομεν· καὶ παρακαλεῖ, ὅτε τὴν νύμφην ἔμελλε λαμβάνειν. τούτου τύπος ἦν τὰ ἐπὶ τοῦ Ἀβραάμ. καὶ γὰρ ἐκεῖνος τὸν παῖδα τὸν πιστὸν ἔπεμψε μνηστευσάμενον κόρην ἐθνικήν. καὶ ἐνταῦθα ἔπεμψεν ὁ Θεὸς τοὺς οἰκέτας τοὺς ἑαυτοῦ μνηστευ-

Ψαλμ. μδ. ιβ. σαμένους τῷ παιδὶ τὴν ἐκκλησίαν, καὶ προφήτας ἄνωθεν ταῦτα λέγοντας· Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. εἶδες καὶ τὸν προφήτην ἁρμοζόμενον· εἶδες καὶ τὸν ἀπόστολον μετὰ πολλῆς τῆς παρρησίας τοῦτο τὸ ῥῆμα φθεγγόμενον, καὶ λέγοντα, ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι Τῷ Χριστῷ·

Εἶδες πάλιν σύνεσιν. εἰπὼν γὰρ ὅτι ὀφείλετέ μου ἀνέχεσθαι, οὐκ εἶπε, διδάσκαλος γὰρ ὑμῶν εἰμι, καὶ οὐ δι᾽ ἐμαυτὸν λέγω· ἀλλ᾽ ὃ μάλιστα τούτοις ἔφερεν ἀξίωμα, τοῦτο τέθεικεν, ἑαυτὸν μὲν ἐν χώρᾳ τῆς προμνηστρίας, ἐκείνους δὲ ἐν τάξει τῆς νύμφης στήσας, καὶ ἐπάγει λέγων,

3 Φοβοῦμαι δὲ μήπως, ὡς ὄφις Εὔαν ἠπάτησε διὰ τῆς πανουργίας αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. Εἰ γὰρ καὶ ἡ ἀπώλεια ὑμετέρα, ἀλλ᾽ ἡ ἀθυμία κοινή. καὶ σκόπει τὴν σύνεσιν. οὐ γὰρ αὐτοῖς ἀποφαίνεται (καί-

χ. ἐμελλεν

χ. φαίνεται

τοι

τοὺς ἤδη διεφθαρμένους, καὶ τοῦτο δηλῶν ἔλεγεν, Ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή, καὶ πείθουσι πολλοὺς τῶν προημαρτηκότων) ἀλλ' ὅμως οὐκ ἀφίησιν αὐτοὺς ἀναισχυντῆσαι· διό φησι, μήπως. οὔτε γὰρ καταδικάζει, οὔτε σιγᾷ. οὐδέτερον γὰρ ἀσφαλὲς, οὔτε εἰπεῖν φανερῶς, οὔτε κρύψαι διόλου. διὰ τοῦτο μέσον ἔθηκε λέγων, μήπως. τοῦτο γὰρ οὐδὲ σφόδρα κατεγνωκότος, οὐδὲ σφόδρα θαῤῥοῦντος, ἀλλ' ἐν τῷ μέσῳ τούτων ἑκατέρων ἑστῶτος. οὕτω μὲν οὖν παρεμυθήσατο· τῇ δὲ μνήμῃ τῆς ἱστορίας, εἰς φόβον ἅπαντας ἐνέβαλε, καὶ πάσης ἀπεστέρησε συγγνώμης αὐτούς. εἰ γὰρ καὶ ὁ ὄφις πανοῦργος, κἀκείνη ἀνόητος, ἀλλ' ὅμως οὐδὲν τούτων ἐξήρπασε τὴν γυναῖκα. ὁρᾶτε οὖν μὴ ταῦτα πάθητε, φησὶ, καὶ οὐδὲν ὑμῖν προσέσται. καὶ γὰρ κἀκεῖνος μείζονα ἐπαγγειλάμενος, οὕτως ἠπάτησεν. ὅθεν δῆλον ὅτι καὶ οὗτοι κομπάζοντες, φυσῶντες ἑαυτοὺς, ἐξηπάτων. καὶ τοῦτο οὐκ ἐντεῦθεν μόνον ἐστὶ στοχάσασθαι, ἀλλὰ καὶ ἐξ ὧν μετὰ ταῦτα λέγει ὅτι,

4 Εἰ μὲν ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε.

Καὶ οὐ λέγει, μή πως ὡς ὁ Ἀδὰμ ἠπατήθη, ἀλλὰ δείκνυσι γυναῖκας ὄντας τοὺς ταῦτα πάσχοντας. γυναικῶν γὰρ τὸ ἀπατᾶσθαι. καὶ οὐκ εἶπεν, οὕτω καὶ ὑμεῖς ἀπατηθῆτε· ἀλλ' ἐπιμένων τῇ μεταφορᾷ, φησὶ, μή πως φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν· ἀπὸ τῆς ἀφελείας, οὐκ ἀπὸ τῆς κακουργίας λέγω· οὔτε ἐκ κακουργίας, οὔτε ἐκ τοῦ μὴ πιστεύειν ὑμᾶς, ἀλλ' ἐξ ἀφελείας. ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν συγγνώμης ἄξιοι οἱ ἀπατώμενοι· καὶ ἐδήλωσεν ἡ Εὔα. εἰ δὲ τοῦτο οὐ συγγνώμης ἄξιον, πολλῷ μᾶλλον, ὅταν διὰ κενοδοξίαν τις τοῦτο πάθῃ. εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν. αἰνίττεται ἐντεῦθεν οὐχὶ διαφθειρομένους Κορινθίους ἐξ αὐτῶν, ἀλλ' ἑτέρωθεν αὐτοῖς ὄντας τοὺς ἀπατῶντας. διό φησιν, ὁ ἐρχόμενος. εἰ πνεῦμα ἕτερον λαμβάνετε, εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε. τί λέγεις; ὁ Γαλάταις εἰπὼν, Ἐάν τις εὐαγγελίζηται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, νῦν λέγεις, καλῶς ἠνείχεσθε; καὶ μήτοι διὰ τοῦτο οὐκ ἔδει ἀνέχεσθαι, ἀλλ' ἀποπηδᾷν. εἰ δὲ τὰ αὐτὰ λέγουσι, δεῖ ἀνέχεσθαι. πῶς οὖν λέγεις, ὅτι εἰ τὰ αὐτὰ λέγουσιν, οὐ δεῖ ἀνέχεσθαι; εἰ γὰρ ἄλλα ἔλεγον, φησὶν, ἔδει ἀνέχεσθαι. προσέχωμεν τοίνυν. καὶ γὰρ μέγας ὁ κίνδυνος, καὶ βαθὺς ὁ κρημνὸς, ἂν ἁπλῶς αὐτὸ παραδράμωμεν, καὶ πάσαις ταῖς αἱρέσεσι πρόσοδον δίδωσι τὸ εἰρημένον. τί οὖν ἐστι τὸ νόημα τῶν ῥημάτων τούτων; οὗτοι ἐκόμπαζον ἐκεῖνοι, ὡς ἁπλῶς τῶν ἀποστόλων διδαξάντων, ὡς αὐτῶν πλεῖόν τι εἰσφερόντων. εἰκὸς γὰρ αὐτοὺς πολλὰ φλυαροῦντας, φορτικὸν ἐπεισάγειν διὰ τοῦτο τοῖς δόγμασι τούτοις. διὸ καὶ τοῦ ὄφεως, καὶ τῆς Εὔας ἀνεμνήσθη, οὕτως ἀπατηθείσης τῇ τοῦ πλείονος προσδοκίᾳ. τοῦτο καὶ ἐν τῇ προτέρᾳ αἰνιττόμενος ἔλεγεν, Ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· πάλιν, Ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ. ἐπεὶ οὖν πολλὰ εἰκὸς αὐτοὺς φλυαρεῖν τῇ ἔξωθεν σοφίᾳ κεχρημένους, τοῦτό φησιν· ὅτι, εἰ μέν τι περιττὸν ἔλεγον οὗτοι, καὶ ἕτερον ἐκήρυττον Χριστὸν, ὃν οὐ κηρυχθῆναι ἔδει, ἡμεῖς δὲ παρελίπομεν, καλῶς ἠνείχεσθε. διὰ γὰρ τοῦτο προσέθηκεν, ὃν οὐκ ἐκηρύξαμεν. εἰ δὲ τὰ αὐτὰ κεφάλαια τῆς πίστεως, τί τὸ πλεονάζον; οὐδὲν γὰρ ἂν εἴποιεν, οὐδὲν πλέον ἐροῦσιν ὧν ἡμεῖς εἰρήκαμεν. καὶ ὅρα πῶς αὐτὸ ἀκριβῶς τέθεικεν. οὐ γὰρ εἶπεν, εἰ μὲν ὁ ἐρχόμενος πλεῖόν τι λέγει. ἔλεγον γάρ τι πλέον, μετὰ πλείονος δημηγοροῦντες ἐξουσίας, καὶ πολλοῦ τοῦ κάλλους τῶν ῥημάτων. διόπερ οὐκ εἶπε τοῦτο· ἀλλὰ τί; ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει (ὅπερ οὐ χρείαν εἶχε τῆς διὰ τῶν λόγων κατασκευῆς) ἢ πνεῦμα ἕτερον λαμβάνετε (οὐδὲ γὰρ ἐνταῦθα λόγων ἔδει χρεία) τουτέστι, πλουσιωτέρους ὑμᾶς ποιεῖ τῆς χάριτος, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε (οὐδὲ τοῦτο λόγων ἐδεῖτο πάλιν) καλῶς ἠνείχεσθε. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τῷ διορισμῷ κέχρηται), τῷ δηλῶσαι ὅτι οὐδὲν περιττὸν, οὐ-

δὲν

β. Κορ. ι. ς. κα.

ἴσ. αὐτοῦ

ἴσ. ἐπιμένων

γ. αἰνίττεται ἐντεῦθεν οὐχὶ Κορινθίους ὄντας, ἀλλ' ἑτέρωθεν ἀφιγμένους αὐτοῖς ἀπατῶντας.

γ. ἐλάβετε,

Γαλατ. α. θ.

α. Κορ. δ. η. καὶ ι.

ἴσ. ἂν κηρ.

δὲν πλέον ἢ παρ' αὐτῶν εἰσενηνέχθαι. Εἰπὼν γὰρ ὅτι, εἰ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ἐπήγαγεν, ὃν οὐκ ἐκηρύξαμεν· καὶ πνεῦμα ἕτερον λαμβάνετε, προσέθηκεν, ὃ οὐκ ἐλάβετε· ἢ εὐαγγέλιον ἕτερον, ἐπήγαγεν, ὃ οὐκ ἐδέξασθε· διὰ πάντων δηλῶν, ὅτι οὐχ ἁπλῶς, εἰ πλέον τι λέγουσι, προσέχειν δεῖ, ἀλλ' εἰ τι πλέον λέγουσιν ὃ λεχθῆναι ἔδει, καὶ παρ' ἡμῶν παρελείφθη. εἰ δὲ οὐδὲ ἔδει, διὸ οὐδὲ παρ' ἡμῶν εἴρηται, ἵνα τί πρὸς αὐτοὺς κεχήνατε; καίτοι εἰ τὰ αὐτὰ λέγουσι, φησι, τίνος ἕνεκεν αὐτοὺς κωλύεις; ὅτι ἐν τῇ προσκρίσει κεχρημένοι, ἕτερα εἰσάγουσι δόγματα. ἀλλὰ τοῦτο μὲν τέως οὐ λέγει, ἀλλ' ὕστερον αὐτὸ τίθησιν ὅταν λέγῃ, μετασχηματίζονται εἰς ἀποστόλους Χριστοῦ· τέως δὲ ἐκ τῶν ἀνεπαχθεστέρων ἀπάγει τῆς αὐθεντίας αὐτῶν τοὺς μαθητὰς καὶ οὐκ ἐκείνοις βασκαίνων, ἀλλὰ τούτους ἀσφαλιζόμενος. ἐπεὶ τὸν Ἀπολλὼ διὰ τί οὐ κωλύει, καίτοι σφόδρα λόγιον ὄντα, καὶ δυνατὸν ἐν ταῖς γραφαῖς, ἀλλὰ καὶ παρακαλεῖ, καὶ ἐπαγγέλλεται πέμψειν αὐτόν; ὅτι μετὰ τῆς παιδεύσεως ἐκεῖνος καὶ τὴν τῶν δογμάτων ὀρθότητα διετήρει. οὗτοι δὲ τοὐναντίον. διόπερ αὐτοῖς πολεμεῖ, καὶ τοῖς μαθηταῖς ἐγκαλεῖ πρὸς αὐτοὺς κεχηνόσι, λέγων, ὅτι εἰ μέν τι τῶν ὀφειλόντων λεχθῆναι παρελίπομεν ἡμεῖς, ἐπλήρωσαν δὲ ἐκεῖνοι, οὐ κωλύομεν προσέχειν. εἰ δὲ πάντα ἀπήρτισται παρ' ἡμῶν, καὶ οὐδὲν λέλειπται, πόθεν ὑμᾶς εἷλον ἐκεῖνοι; διὸ καὶ ἐπάγει λέγων,

5 Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστόλων. Οὐκέτι πρὸς ἐκείνους, ἀλλὰ πρὸς τοὺς περὶ Πέτρον ποιούμενος τὴν σύγκρισιν. ὥστε εἰ ἐμοῦ τι πλέον ἴσασι, κἀκείνων. καὶ ὅρα πῶς κἀνταῦθα μετριάζει. οὐ γὰρ εἶπεν, ὅτι οὐδὲν μου πλέον εἶπον οἱ ἀπόστολοι· ἀλλὰ πῶς; λογίζομαι· οὕτω νομίζω, ὅτι οὐδὲν ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων. ἐπειδὴ γὰρ καὶ τοῦτο ἐλάττωμα αὐτοῦ ἐδόκει εἶναι τὸ προλαβόντας ἐκείνους ὄνομα ἔχειν πλέον, καὶ μείζων περὶ ἐκείνους ἦν ἡ δόξα, καὶ ἔμελλον οὗτοι παρεισάγειν ἑαυτούς, διὰ τοῦτο πρὸς αὐτοὺς ποιεῖται τὴν σύγκρισιν μετὰ τοῦ προσήκοντος αὐτῷ σχήματος. διὸ καὶ μετ' ἐγκωμίων αὐτῶν μέμνηται, οὐχ ἁπλῶς τῶν ἀποστόλων εἰπών, ἀλλὰ τῶν ὑπὲρ λίαν, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην δηλῶν.

6 Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. Ἐπειδὴ γὰρ τούτῳ ἐκεῖνοι ἐπλεονέκτουν τῶν διαφθείροντες Κορινθίους, τῷ μὴ εἶναι ἰδιῶται, καὶ τοῦτο τίθησι, δεικνὺς ὅτι οὐκ ἐπαισχύνεται τούτῳ, ἀλλὰ καὶ ἐγκαλλωπίζεται. καὶ οὐκ εἶπεν, εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλὰ κἀκεῖνοι. τοῦτο γὰρ ἐδόκει διαβάλλοντος εἶναι κἀκείνους, καὶ τούτους ἐπαίροντος. ἀλλ' αὐτὸ καθαιρεῖ τὸ πρᾶγμα τὸ τῆς ἔξω σοφίας. καὶ ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ καὶ σφόδρα ἀγωνίζεται περὶ τούτου λέγων, ὅτι οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τὸ κήρυγμα τοῦτο, ἀλλὰ καὶ α. Κορ. β. α. ἐπισκιάζει τῇ δόξῃ τοῦ σταυροῦ. Ἦλθον γάρ, φησιν, οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας πρὸς ὑμᾶς, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. καὶ ἕτερα πολλὰ τοιαῦτα· ὅτι τῇ γνώσει ἰδιώτης ἦν, ἥπερ καὶ ἐσχάτη ἐστὶν ἰδιωτεία. ὅτε μὲν οὖν ἐν τοῖς μεγάλοις ἔδει συγκρίνειν, τοῖς ἀποστόλοις ἑαυτὸν συγκρίνει· ὅτε δὲ δεῖξαι τὸ δοκοῦν ἐλάττωμα εἶναι, οὐκέτι, ἀλλ' αὐτῷ συμπλέκεται τῷ πράγματι, καὶ δείκνυσι πλεονέκτημα τοῦτο γινόμενον· καὶ ὅτε μὲν οὐδεμία ἀνάγκη κατήπειγε, καὶ ἐλάχιστόν φησι τῶν ἀποστόλων εἶναι, καὶ οὐδὲ τῆς προσηγορίας ἄξιον. ἐνταῦθα δὲ πάλιν, ὅτε καιρὸς ἐκάλει, φησὶ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστόλων. ᾔδει γὰρ τοῦτο μάλιστα ὠφελῆσον τοὺς μαθητάς. διὸ καὶ ἐπάγει λέγων,

Ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. Καὶ γὰρ ἐνταῦθα πάλιν διαβάλλει τοὺς ψευδαποστόλους, ὡς ἐν πανουργίᾳ περιπατοῦντας. ταῦτα δὲ καὶ ἔμπροσθεν περὶ ἑαυτοῦ ἔλεγεν, ὅτι οὐ κατὰ πρόσωπον ἔζη, οὐδὲ δολῶν καὶ καπηλεύων τὸν λόγον ἐκήρυττεν. ἐκεῖνοι δὲ ἕτεροι μὲν ἦσαν, ἕτεροι δὲ ἐφαίνοντο, ἀλλ' οὐκ αὐτός. διὸ καὶ πανταχοῦ μέγα φρονεῖ ἐπὶ τῷ μηδὲν πρὸς ἀνθρώπων δόξαν ποιεῖν, μηδὲ ἀποκρύπτεσθαι τὰ καθ' ἑαυτόν. β. Κορ. δ. β. ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς

πρὸς

κ. ὑμῖν καὶ καθ᾽ ἡμῖν, καὶ σφόδρα θαρροῦντες ἐκείνοις οὖσι καὶ μετ᾽ ἀληθ. ἀπ. καταγγέλλομεν. διὸ

πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων. καὶ νῦν δέ φησιν, ἐν παντὶ φανερωθέντες εἰς ὑμᾶς. τί δὲ τοῦτό ἐστιν; ἰδιῶται, φησίν, ἐσμεν, καὶ οὐκ ἀποκρυπτόμεθα. λαμβάνομεν παρά τινων, καὶ οὐ σιγῶμεν. περὶ ὑμῶν οὕτω λαμβάνομεν, καὶ οὐχὶ προσποιούμεθα μὴ λαμβάνειν, καθάπερ οὗτοι λαμβάνοντες, ἀλλὰ πάντα ποιοῦμεν φανερὰ ὑμῖν. καὶ σφόδρα θαρροῦντος ἐκείνοις ἦν καὶ μετ᾽ ἀληθείας ἅπαντα καταγγέλλοντος. διὸ καὶ μάρτυρας αὐτοὺς καλεῖ, καὶ νῦν εἰπὼν, ἐν πᾶσιν εἰς ὑμᾶς, καὶ ἔμπροσθεν λέγων, Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ᾽ ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. (β. Κορ. α. ιγ.) εἶτα ἐπειδὴ ὑπὲρ τῶν καθ᾽ ἑαυτὸν ἀπελογήσατο, βαρέως δὲ ἐξῆς ἐπάγει λέγων,

7 Ἢ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν ταπεινῶν, ἵνα ὑμεῖς ὑψωθῆτε;

Καὶ ἑρμηνεύων αὐτὸ, φησιν,

8 Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον, πρὸς τὴν ὑμετέραν διακονίαν.

Ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐν στενοχωρίᾳ διήγαγον. τοῦτο γάρ ἐστι τὸ, ταπεινῶν ἐμαυτόν. τοῦτο οὖν μοι ἔχετε ἐγκαλεῖν, καὶ διὰ τοῦτο κατεπαίρεσθέ μου, ἐπειδὴ ἐταπείνωσα ἐμαυτὸν προσαιτῶν, στενοχωρούμενος, λιμώττων, ἵνα ὑμεῖς ὑψωθῆτε; καὶ πῶς ὑψοῦντο οὗτοι, τούτου ὄντος ἐν στενοχωρίᾳ; μᾶλλον ᾠκοδομοῦντο, καὶ οὐκ ἐσκανδαλίζοντο· ὃ καὶ μεγίστη αὐτῶν ἂν εἴη κατηγορία, καὶ τῆς ἀσθενείας αὐτῶν ἔγκλημα, ὅτι οὐκ ἦν αὐτοὺς ἄλλως ἐνάγειν, ἢ πρότερον ταπεινωθέντα. ἐγκαλεῖτέ μοι οὖν ὅτι ταπεινὸς γέγονα; ἀλλὰ διὰ τοῦτο ὑμεῖς ὑψώθητε. ἐπειδὴ γὰρ καὶ δεύτερον ἔλεγον, ὅτι διέβαλλον αὐτὸν, ὅτι παρὼν μὲν ταπεινὸς, ἀπὼν δὲ θαρρεῖ, ἀπολογούμενος πλήττει πάλιν αὐτοὺς ἐνταῦθα λέγων, ὅτι καὶ τοῦτο δι᾽ ὑμᾶς. ἄλλας ἐκκλησίας ἐσύλησα. ἐνταῦθα λοιπὸν ὀνειδιστικῶς. ἀλλὰ τὰ πρότερον οὐκ ἀφίησιν ἐπαχθῆ ταῦτα φανῆναι. εἶπε γὰρ, ἀνέχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· καὶ περὶ τῶν ἄλλων αὐτοῦ κατορθωμάτων, ἐν τούτῳ πρώτῳ καυχᾶται. τοῦτο γὰρ μάλιστα ζητοῦσιν οἱ βιωτικοί, καὶ ἐν τούτῳ κἀκεῖνοι, οἱ δι᾽ ἐνδυτίας μέγα ἐφρόνουν. διὰ τοῦτο οὐ πρότερον εἰς τὸν τῶν κινδύνων ἐμβάλλει λόγον, οὐδὲ εἰς τὸν τῶν σημείων, ἀλλ᾽ εἰς τὸν τῆς τῶν χρημάτων ὑπεροψίας, ἐπειδὴ ἐν τούτῳ ἐφρόνουν. ὁμοῦ δὲ αὐτοὺς καὶ αἰνίττεται πλουτοῦντας. ὃ δὲ θαυμαστὸν αὐτοῦ τοῦτό ἐστιν· ὅτι ἔχων εἰπεῖν ὅτι καὶ ἀπὸ τῶν χειρῶν ἐτρέφετο, οὐκ εἶπε τοῦτο, ἀλλ᾽ ὃ μάλιστα αὐτοὺς ἐνέτρεπε, καὶ οὐδὲ αὐτοῦ ἐγκώμιον ἦν, τοῦτο λέγει, ὅτι παρὰ ἄλλων ἔλαβον. καὶ οὐκ εἶπεν, ἔλαβον, ἀλλὰ, ἐσύλησα· τουτέστιν, ἐγύμνωσα, καὶ πένητας αὐτοὺς ἐποίησα. καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ εἰς περιουσίαν, ἀλλὰ εἰς τὴν τῶν ἀναγκαίων χρείαν. ὅταν γὰρ εἴπῃ, ὀψώνια, τὴν ἀναγκαίαν λέγει τροφήν. καὶ τὸ χαλεπώτερον, εἰς τὴν ὑμῶν διακονίαν ὑμῖν κηρύττομεν· καὶ παρ᾽ ὑμῶν ὀφείλων τρέφεσθαι, παρὰ ἑτέρων τούτων ἀπήλαυον. διπλοῦν τὸ ἔγκλημα, μᾶλλον δὲ τριπλοῦν· ὅτι καὶ παρ᾽ αὐτοῖς ὢν, καὶ αὐτοῖς διακονούμενος, καὶ τὴν ἀναγκαίαν ζητῶν τροφὴν, ἑτέρους εἶχε τοὺς χορηγοῦντας. καὶ πολλὴ τούτων ὑπερβολὴ πρὸς ἐκείνους. οἱ μὲν γὰρ ἐν ῥᾳθυμίᾳ, οἱ δὲ ἐν σπουδῇ· οἱ μὲν καὶ μακρὰν ὄντι ἔπεμπον, οἱ δὲ οὐδὲ παρόντα ἔτρεφον. εἶτα ἐπειδὴ σφοδρῶς αὐτῶν καθήψατο, ἠρέμα πάλιν χαλᾷ τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως, λέγων, Καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατενάρκησα οὐδενός. Οὐ γὰρ εἶπεν, οὐ δεδώκατέ μοι, ἀλλ᾽, ἐγὼ οὐκ ἔλαβον. φείδεται γὰρ αὐτῶν ἔτι. ἀλλ᾽ ὅμως καὶ ἐν τῇ ὑφέσει τοῦ λόγου, λανθανόντως πάλιν πλήττει. τὸ γὰρ παρὼν, σφόδρα ἐμφαντικὸν, καὶ τὸ, ὑστερηθείς. ἵνα γὰρ μὴ λέγωσι, τί οὖν, εἰ εἶχες; ἐπήγαγε, καὶ ὑστερηθεὶς οὐ κατενάρκησα ὑμῶν. ἐνταῦθα πάλιν μετρίως αὐτοὺς πλήττει, ὡς ὀκνηρῶς τὴν τοιαύτην τιθέντας φορὰν, ὡς βαρυνομένους. εἶτα καὶ ἡ αἰτία, κατηγορίας μεστὴ, καὶ ζηλοτυπίας γέμουσα. διὸ καὶ τέθεικεν αὐτὴν οὐ προηγουμένως, ἀλλ᾽ ὡς διδάσκων πόθεν, καὶ παρά τινων ἐτράφη, ὥστε ἀνυποστόλως διεγείρειν πάλιν εἰς τὸν τῆς ἐλεημοσύνης λόγον.

κ. δ

9 Τὸ γὰρ ὑστέρημά μου, φησί, προσανεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας. Εἶδες πῶς προξενεῖ πάλιν, εἰς μέσον ἄγων τοὺς διακονησαμένους; προέτρεψε γὰρ εἰς ἐπιθυμίαν αὐτοὺς ἄγων τοῦ μαθεῖν τίνες ἂν εἶεν οὗτοι, ὅτι ἔλεγεν, ἄλλας ἐκκλησίας ἐσύλησα, τότε καὶ ὀνόματι αὐτοὺς τίθησιν· ὅπερ καὶ εἰς ἐλεημοσύνην αὐτοὺς προσέτρεπε. τοὺς γὰρ ἐπιληθέντας ἐν τῷ [μὴ] θρέψαι τὸν ἀπόστολον, πείθει καὶ ἐν τῇ τῶν πενήτων μὴ ἐπιλαθέσθαι βοηθείᾳ. τοῦτο δὲ καὶ αὐτοῖς Μακεδόσιν ἐπιστέλλων λέγει, Ὅτι ἐν ταῖς χρείαις μου ἐπέμψατέ μοι, καὶ ἅπαξ, καὶ δίς, καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου. ὅπερ καὶ ἐγκώμιον μέγιστον αὐτῶν ἦν, ὅτι ἐξ αὐτῶν τὴν προοιμίων ἔλαμψεν. ἀλλ' ὅρα πανταχοῦ τὴν χρείαν αὐτοῦ τιθέντα, καὶ οὐδαμοῦ προσεσίαν. πρὸ μὲν οὖν εἰπεῖν, ὅτι παρὼν καὶ ὑστερηθείς, ἔδειξεν ὅτι παρὰ Κορινθίων ἔδει τραφῆναι. ὅταν δὲ εἴπῃ, ὅτι τὸ ὑστέρημά μου προσανεπλήρωσαν, δείκνυσιν, ὅτι οὐδὲ ᾔτησε. καὶ αἰτίαν τίθησιν οὐκ οὖσαν. ποίαν δὴ ταύτην; τὸ παρ' ἑτέρων λαβεῖν. Τὸ γὰρ ὑστέρημά μου, φησί, προσανεπλήρωσαν οἱ ἐλθόντες. διὰ τοῦτό, φησιν, οὐ κατενάρκησα, οὐ διὰ τὸ μὴ θαρρεῖν. καὶ μὴν διὰ τοῦτο, αὐτὸ ποιεῖ καὶ δείκνυσι διὰ τῶν ἑξῆς. ἀλλ' οὐ λέγει αὐτὸ σαφῶς, ἀλλὰ συσκιάζει, ἀφεὶς τῷ συνειδότι τῶν ἀκροωμένων. καὶ λανθανόντως αὐτὸ ἐνδείκνυται διὰ τῶν ἑξῆς, λέγων, Καὶ ἐν παντὶ ἀβαρῆ ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω. Μὴ γὰρ νομίσητε, φησί, ταῦτα λέγειν με ἵνα λάβω. τὸ δὲ, τηρήσω, βαρύτερον, εἰ μηδ' ἐπ' αὐτοῖς θαρρεῖ, ἀλλὰ καθάπαξ ἀπέγνω τι λαβεῖν παρ' αὐτῶν. δείκνυσι δὲ ὅτι καὶ βάρος ἐνόμιζον εἶναι τοῦτο. διὸ ἔλεγεν, ἀβαρῆ ἐτήρησα, καὶ τηρήσω. τοῦτο καὶ ἐν τῇ προτέρᾳ λέγει, Οὐκ ἔγραψα, ἵνα οὕτω γένηται ἐν ἐμοί. καλὸν γάρ μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. καὶ ἐνταῦθα πάλιν, ἀβαρῆ ὑμῖν ἑαυτὸν ἐτήρησα, καὶ ἔτι τηρήσω. εἶτα ἵνα μὴ δόξῃ ὑπὲρ τοῦ μᾶλλον ἐπισπάσασθαι αὐτοὺς ταῦτα λέγειν, φησίν,

10 Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί. Μὴ νομίσητε ὅτι διὰ τοῦτο εἶπον, ἵνα λάβω, ἵνα μᾶλλον ἐφελκύσωμαι. ἔστι γάρ, φησιν, ἀλήθεια ἐν ἐμοί, Ὅτι ἡ καύχησίς μου αὕτη οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. Ἵνα γὰρ μή τις αὐτὸν νομίσῃ πάλιν ἀλγεῖν ἐπὶ τούτῳ, ἢ ὀργιζόμενον ταῦτα λέγειν, καὶ καύχησιν τὸ πρᾶγμα καλεῖ. καὶ ἐν τῇ προτέρᾳ δὲ ὁμοίως αὐτὸ κατεσκεύαζεν. ὥστε γὰρ μηδὲ ἐκεῖ πλῆξαι αὐτούς, φησι, Τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. καὶ ὥσπερ ἐκεῖ μισθόν, οὕτως ἐνταῦθα καύχημα καλεῖ, ἵνα μὴ σφόδρα αἰσχύνωνται τοῖς λεγομένοις, ὡς αἰτοῦντι μὴ παρέχοντες. τί γὰρ ἂν καὶ ὑμεῖς δῶτε, φησιν; ἀλλ' ἐγὼ οὐ δέχομαι. καὶ τὸ, οὐ φραγήσεται, ἀπὸ μεταφορᾶς τῶν ποταμῶν, τῆς αὐτοῦ φήμης ὡς πανταχοῦ ῥεούσης ὅτι οὐ λαμβάνει. οὐκ ἐμφράσσετε τῷ δόγματι τὴν παρρησίαν τὴν ἐμήν. ἀλλ' οὐκ εἶπεν, οὐκ ἐμφράσσετε (ὅπερ πληκτικώτερον) ἀλλ' οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. τοῦτο πάλιν χαρίεν διδόντος ἦν, καὶ σφόδρα ἱκανὸν αὐτοὺς καθελεῖν καὶ λυπῆσαι, εἴγε μόνους αὐτοὺς παρῃτεῖτο. εἰ γὰρ ἐκαυχᾶτο, πανταχοῦ ἔδει καυχᾶσθαι· εἰ δὲ ἐν ὑμῖν μόνοις, διὰ τὴν ἀσθένειαν ἴσως τὴν ὑμῶν. ἵν' οὖν μὴ ταῦτα λογιζόμενοι ἀθυμῶσιν, ὅρα πῶς αὐτὸ διορθοῦται·

11 Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ Θεὸς οἶδε·

Ταχέως τὴν λύσιν ἐπαγαγών, καὶ εὐαπαλλάκτως. ἀλλ' ὅμως οὐδὲ οὕτως ἀπήλλαξεν αὐτοὺς τῶν ἐγκλημάτων. οὐδὲ γὰρ εἶπεν, ὅτι οὐκ ἐστὲ ἀσθενεῖς, οὐδ' ὅτι ἐστὲ ἰσχυροί, ἀλλ' ὅτι ἀγαπῶ ὑμᾶς. ὃ μάλιστα ἐπέτεινεν αὐτῶν τὴν κατηγορίαν. τοῦ γὰρ μάλιστα φιλεῖν αὐτοὺς ἦν, τὸ μὴ λαμβάνειν παρ' αὐτῶν, ἐπειδὴ σφόδρα ἐπλήττοντο. ὥστε ἐναντία ἐποίει ἀπὸ τοῦ φιλεῖν, καὶ ἐλάμβανε, καὶ οὐκ ἐλάμβανεν. ἡ δὲ ἐναντιότης, παρὰ τὴν τῶν διδόντων ἕξιν. καὶ οὐκ εἶπε μέν, διὰ τοῦτο οὐ λαμβάνω, ἐπειδὴ σφόδρα ὑμᾶς ἀγαπῶ, ἐπεὶ κατηγορίαν αὐτῶν εἶχε τῆς ἀσθενείας, καὶ εἰς ἀπορίαν ἐνέβαλλεν, ἀλλ' ἔστρεψεν εἰς ἑτέραν αἰτίαν τὸν λόγον.

Margin notes: φιλιπ. δ. ιε. — α. Κορ. θ. ιε. — α. Κορ. θ. ιη. — γρ. ὀνόματι. — γρ. ἀπορίαν. — γρ. ὅπως αὐτούς. — γρ. τοῦτο. — γρ. ἢ τῆς. — ἴσ. ἐμῶν. — ἴσ. ἡμῶν. — γρ. τοῦ.

λέγει. ποίαν δὴ ταύτην; 12 Ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.

Ἐπειδὴ γὰρ τοῦτο ἐσπούδαζον, λαβεῖν ἵνα εὕρωσι, καὶ ταύτην ἀναιρεῖ διὰ τοῦτο. τοῦτο γάρ ἐστι τὸ σημαινόμενον. ἵνα τοίνυν μηδὲν πλέον ἔχωσι, καὶ τοῦτο διηρτῆσθαι ἔδει. ἐν γὰρ τοῖς (γ. αὐτὸ) ἄλλοις ἠλαττωμένοι ἦσαν. οὐδὲ γὰρ (ὅπερ ἔφην) οὕτως οἰκοδομεῖ τοὺς βιωτικοὺς, ὡς τὸ μὴ λαμβάνειν. πονηρὸς δὲ ὢν ὁ διάβολος, τοῦτο μάλιστα τὸ δέλεαρ κατέθηκε, βουλόμενος αὐτοὺς εἰς ὄνειδος περιβαλεῖν. δοκεῖ δέ μοι καὶ τοῦτο ὑποκρίσεως εἶναι. διόπερ οὐδὲ εἶπεν, ἐν ᾧ κατορθοῦσιν, ἀλλὰ τί; ἐν ᾧ καυχῶνται. ὅ ἐστιν ἀλαζονείαν σκώπτοντος ἦν. ἐκαυχῶντο γὰρ καὶ τοῦτο ὃ οὐκ ἦσαν. οἱ δὲ δίκαιοι ἄνδρα οὐ μόνον ἐφ' οἷς οὐκ εἶχε καυχᾶσθαι οὐ δεῖ, ἀλλ' οὐδὲ ἐν οἷς κέκτηνται. καθάπερ ὁ μακάριος οὗτος ἐποίει, καθάπερ ὁ πατριάρχης Ἀβραὰμ, λέγων, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἐπειδὴ γὰρ οὐκ εἶχεν εἰπεῖν ἁμαρτήματα, ἀλλ' ἔλαμπεν ἀπὸ κατορθωμάτων, πανταχοῦ περιδραμὼν, καὶ μὴ εὑρὼν τινα (γ. ἀνελθὼν) καθ' ἑαυτοῦ μεγίστην λαβεῖν, ἐπὶ τὴν φύσιν καταφεύγει. καὶ ἐπειδὴ τὸ τῆς γῆς ὄνομα (Γεν. ιη. κζ.) ὑπὸ δήποτε σεμνὸν, καὶ τὸ τῆς σποδοῦ προσέθηκε. διὸ ἑτερός τις ἔλεγε, Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; (Σειρ. ι. θ.)

ΗΘΙΚΟΝ

Μὴ γάρ μοι τὸ ἄνθος εἴπῃς τῆς ὄψεως, μηδὲ τῶν ἀναπεπταμένων αὐχένα, μηδὲ τὴν χλανίδα, καὶ τὸν ἵππον, καὶ τοὺς ἀκολούθους, ἀλλὰ ποῦ τελευτᾷ ταῦτα πάντα λογίζου καὶ πρόσεχε. ἐὰν δὲ τὰ φαινόμενα λέγῃς, καὶ ἐγώ σοι τὰ ἐν ταῖς γραφαῖς ἐρῶ, τὰ πολλῷ τούτων λαμπρότερα. ἀλλ' ὥσπερ ἐκεῖνα διὰ τὴν ὄψιν οὐ θαυμάζομεν, τὴν οὐσίαν αὐτῶν ὁρῶντες ὅτι πηλός ἐστι, τὸ πᾶν οὕτω μηδὲ ταῦτα. καὶ γὰρ καὶ ταῦτα πηλός. μᾶλλον δὲ, καὶ πρὶν διαλυθῆναι, καὶ γενέσθαι κόνιν, δεῖξόν μοι τοῦτον τὸν ἀναπεπταμένον πυρέττοντα, ψυχορραγοῦντα· καὶ τότε σοι διαλέξομαι, καὶ ἐρήσομαι τί γέγονεν ὁ πολὺς κόσμος ἐκεῖνος, ποῦ δὲ οἴχεται ἡ πολλὴ κολακεία, καὶ ἡ θεραπεία τῶν δούλων, καὶ ἡ περιουσία τῶν χρημάτων, τῶν κτημάτων, ποῖος ἄνεμος ἐπεισελθὼν διεφύσησε πάντα. ἀλλ' ὁρᾷς, ὅτι καὶ ἐπὶ τῆς κλίνης κείμενος φέρει τοῦ πλούτου καὶ τοῦ τύφου τὰ σύμβολα, ἐσθῆτας λαμπρὰς ἐπικειμένης, παίδων καὶ πλουσίων περιεστώτων, δήμων εὐφημούντων. μάλιστα μὲν καὶ ταῦτα καταγέλως. πλὴν ἀλλὰ καὶ ταῦτα εὐθέως ἐλέγχεται ὥσπερ ἄνθος διαρρέοντα. ὅταν γὰρ τὸν οὐδὲν προσέχοντα τῶν τῆς πόλεως πυλῶν, * καὶ τοῖς σκώληξι παραδόντες τὸ σῶμα ὑποστρέφωμεν, πάλιν σε ἐρήσομαι, ποῦ πορεύει ὁ πολὺς ὄχλος ἐκεῖνος; τί γέγονεν ἡ κραυγὴ, καὶ ὁ θόρυβος; ποῦ δὲ αἱ λαμπάδες; ποῦ δὲ οἱ χοροὶ τῶν γυναικῶν; ἆρα μὴ ὄναρ ταῦτα ἐστί; ποῦ δὲ καὶ ἐξῆλθον αἱ βοαί; ποῦ τὰ στόματα τὰ πολλὰ ἐκεῖνα τὰ κεκραγότα, καὶ παρακελευόμενα θαρρεῖν, ὅτι οὐδεὶς ἀθάνατος; οὐ νῦν ταῦτα ἔδει λέγεσθαι τῷ μὴ ἀκούοντι, ἀλλ' ὅτε ἥρπαζεν, ὅτε ἐπλεονέκτει, ὅτε μικρὸν παραλλάξαι τὰς ἔδει λέγειν, οὐ δεῖ θαρρεῖν, οὐδεὶς ἀθάνατος, ἐπίσχες τῆς μανίας, σβέσον τὴν ἐπιθυμίαν, μηδὲ θαρρεῖ τῷ ἀδικουμένῳ. ἐπεὶ τούτῳ γε τὸ τὰ ὑπόδημα πῶς λέγειν, καὶ φειδομένων ἐστὶ καὶ εἰρωνευομένων. οὐ γὰρ διὰ τοῦτο αὐτοὶ χρὴ θαρρεῖν λοιπὸν, ἀλλὰ δεδοικέναι καὶ τρέμειν. ἀλλ' εἰ καὶ ἐκεῖνος ταῦτα ἀνόητα λοιπὸν ἐξελθόντι τὸ στάδιον, πάντες τὰ αὐτὰ νοσοῦντες τῷ τελευτήσαντι, καὶ ἐπὶ τὸ σῆμα ἀκολουθοῦντες, ἀκουέτωσαν. ἐπειδὴ γὰρ ἔμπροσθεν ὑπὸ τῆς μέθης τῶν χρημάτων οὐδὲν τοιοῦτον ἐνοοῦσιν, ἀλλ' ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε καὶ ἡ ὄψις τοῦ κειμένου πείθεται τὸ λεγόμενον, σωφρονισθῶσαν, παιδευθῶσαν, ἐννοοῦντες ὅτι μικρὸν ὕστερον καὶ αὐτοὺς ἥξουσι τὸ ἅπαντες ἐπὶ τὰς φοβερὰς ἐκείνας εὐθύνας, καὶ τὸ δοῦναι δίκην ὧν ἥρπασαν, ὧν ἐπλεονέκτησαν. καὶ τί ταῦτα πρὸς σὲ τὸν πένητα, φησί; μάλιστα μὲν πολλοῖς καὶ τοῦτο ἡδὺ, τὸ ἰδεῖν κολαζόμενον τὸν ἀδικήσαντα. ἀλλ' ἡμῖν οὐχ ἡδὺ, ἀλλὰ τὸ μὴ παθεῖν κακῶς. ἐπαινῶ σφόδρα ὑμᾶς καὶ ἀποδέχομαι, ταῖς ἀλλοτρίαις οὐκ ἐφηδόμενοι συμφοραῖς, ἀλλὰ τὴν οἰκείαν

οἰκείαν ζητοῦντας ἀσφάλειαν. φέρε οὖν καὶ ταύτην ὑμῖν ἐπιλύσομαι. ἂν γὰρ παρὰ ἀν-
θρώπων πάσχωμεν κακῶς, ὑποτεμνόμεθα τοῦ χρέους οὐκ ὀλίγον, φέροντες γενναίως τὰ
γινόμενα. οὐκ ἄρα ἀδικούμεθα. λογίζεται γὰρ εἰς τὸ ὄφλημα ἡμῖν τὴν ἐπήρειαν ὁ Θεός,
οὐ κατὰ τὸν τοῦ δικαίου λόγον, ἀλλὰ κατὰ τὸν τῆς φιλανθρωπίας. διὰ τοῦτο καὶ ἄνωθεν οὐκ ἤμυ- γ. κἂν
νε παθόντι κακῶς. πόθεν τοῦτο δῆλον, φησίν; ἔπαθον ὑπὸ τῶν Βαβυλωνίων οἱ Ἰουδαῖοί πο-
τε κακῶς· καὶ ὁ Θεὸς οὐκ ἐκώλυσεν, ἀλλ' ἀπήγοντο παῖδες καὶ γυναῖκες. ἀλλὰ μετὰ ταῦτα
ἡ αἰχμαλωσία αὕτη κατὰ ἀναλογίαν τῶν ἁμαρτημάτων αὐτοῖς γέγονε παραμυθία. διὰ τοῦ-
Ησ. μ. α. το τῷ Ἠσαΐᾳ φησί, Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, ἱερεῖς, λαλήσατε ἐπὶ τὴν γ. ἱκαν
καρδίαν Ἱερουσαλήμ, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. καὶ γ. αὐτῆς.
Ησ. κϛ. ιβ. πάλιν, Δὸς ἡμῖν εἰρήνην· πάντα γὰρ ἀπέδωκας ἡμῖν. καὶ ὁ Δαβὶδ φησίν, Ἴδε τοὺς ἐχθρούς μου,
Ψαλ. κδ. ιθ. ὅτι ἐπληθύνθησαν, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. καὶ ἡνίκα τὸν Σεμεεὶ καταρώμε-
β. Βασ. ις. ιβ. νον ἔφερε, λέγει, Ἄφες αὐτόν, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀνταποδῷ μοι ἀντὶ
τῆς ἡμέρας ταύτης. ὅταν γὰρ μὴ ἀμύνῃ ἀδικουμένοις, τότε μάλιστα ὠφελούμεθα. * λο- γ. ἀμυνώμεθα ἀδικούμενοι,
γίζεται γὰρ ἡμῖν εἰς ἁμαρτήματα, ἂν εὐχαρίστως ἐνέγκωμεν. ὥστε ὅταν ἴδῃς πλούσιον * ἢ
ἁρπάζοντα πένητα, ἀφεὶς τὸν ἐπηρεαζόμενον, δάκρυσον τὸν ἁρπάζοντα. ὁ μὲν γὰρ ἀπο-
τίθεται ῥύπον, ὁ δὲ περιβάλλεται ῥύπον. οὕτω καὶ ὁ τοῦ Ἐλισσαίου παῖς ἔπαθεν ἐπὶ τοῦ Νεε-
μάν. εἰ γὰρ καὶ μὴ ἥρπασεν, ἀλλὰ τὸ ἐν ἀπάτῃ λαβεῖν, ἀδικία. τί οὖν γέγονεν; ἔλα- γ. ἀλλ' ἠδίκησεν, ἀπατήσας αὐτόν.
βε μετὰ τῆς ἀδικίας καὶ τὴν λέπραν· καὶ ὁ μὲν ἀδικηθείς, ὠφελεῖτο· ὁ δὲ ἀδικήσας, τὰ μέγι-
στα * βλάπτεται. τοῦτο καὶ νῦν ἐπὶ τῆς ψυχῆς γίνεται· καὶ τοσοῦτόν ἐστιν, ὅτι τοῦτο μόνον πολλάκις * βλάπ
ἵλεων τὸν Θεὸν ἐποίησε. κἂν ὁ πάσχων κακῶς ἀνάξιος ᾖ βοηθείας, ὅταν μετὰ ὑπερβολῆς
τοῦτο πάθῃ, καὶ εἰς τὴν ἑαυτοῦ συγγνώμην τὸν Θεὸν ἐπισπᾶται, καὶ εἰς τὴν ἄμυναν τοῦ
Ζαχ. α. ιε. ποιοῦντος ἐντεῦθεν * μόνον. διὸ καὶ τοῖς βαρβάροις ἔλεγεν ὁ Θεὸς ἄνωθεν, Ἐγὼ μὲν παρέ- * [illegible]
δωκα αὐτοὺς εἰς ὀλίγα· αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. διὰ τοῦτο τὰ ἀνήκεστα πείσον-
ται. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν τὸν Θεὸν οὕτω παροξῦνον, ὡς τὸ ἁρπάζειν, καὶ βιάζεσθαι, καὶ
πλεονεκτεῖν. τί δήποτε; ὅτι σφόδρα εὔκολον ταύτης ἀπέχεσθαι τῆς ἁμαρτίας. οὐ γὰρ
ἐστι φυσικὴ ἐνοχλοῦσα ἐπιθυμία, ἀλλὰ ἀπὸ ῥαθυμίας γίνεται. πῶς οὖν ῥίζαν κακῶν αὐ- γ. ἐπέχ
τὴν ὁ ἀπόστολος καλεῖ; καὶ γὰρ καὶ ἐγὼ τοῦτο λέγω· ἀλλὰ παρ' ἡμᾶς ἡ ῥίζα αὕτη, οὐ παρὰ
τὴν φύσιν τοῦ πράγματος. καί, εἰ βούλεσθε, ποιησώμεθα σύγκρισιν, καὶ ἴδωμεν ποῖον τυ- γ. [illegible]
ραννικώτερον, χρημάτων, ἢ σωμάτων ἐπιθυμία. ὃ γὰρ ἂν εὑρεθείη μεγάλους ἄνδρας κα-
ταβεβληκός, τοῦτό ἐστι τὸ χαλεπώτερον. οὐκοῦν ἴδωμεν τίνα μέγαν κατέσχε χρημάτων
ἐπιθυμία. οὐδένα· ἀλλὰ οἰκέτας σφόδρα, καὶ ἀπερριμμένους, τὸν Γιεζῆ, τὸν Ἀχαάβ, τὸν Ἰού-
δαν, τοὺς ἱερεῖς τοὺς Ἰουδαϊκούς· ἐπιθυμία δὲ σωμάτων, τοῦ μεγάλου προφήτου περιεγένε-
το τοῦ Δαβίδ. καὶ ταῦτα λέγω, οὐ συγγνώμην διδοὺς τοῖς ὑπὸ ἐπιθυμίας τοιαύτης ἁλισκο-
μένοις, ἀλλὰ μᾶλλον αὐτοὺς νήφειν παρασκευάζων. ὅταν γὰρ δείξω μέγα τὸ πάθος, τότε
μάλιστα αὐτοὺς δείκνυμι συγγνώμης ἁπάσης ἀπεστερημένους. εἰ μὲν γὰρ ἠγνόεις τὸ θηρίον,
εἶχες εἰς αὐτὸ τοῦτο καταφυγεῖν· νυνὶ δὲ εἰδὼς καὶ ἐμπίπτων, οὐκ ἂν ἔχοις ἀπολογίαν γ. ἐμπίπτεις,
τινά. μετὰ τοῦτον, τὸν τούτου παῖδα μετὰ πλείονος εἷλεν ὑπερβολῆς. καίτοι σοφώτερος ἐ-
κείνου οὐδεὶς γέγονε, καὶ πᾶσαν δὲ τὴν ἄλλην ἐπῆλθεν ἀρετήν· ἀλλ' ὅμως ὑπὸ τούτου οὕ-
τω σφοδρῶς ἑάλω, ὡς καὶ ἐν τοῖς καιρίοις δέξασθαι τὴν πληγήν. καὶ ὁ μὲν πατὴρ ἀνέστη, καὶ
ἀνεμαχέσατο τὴν πάλην, καὶ πάλιν ἐστεφανώθη· οὗτος δὲ οὐδὲν τοιοῦτον ἐπεδείξατο. διὰ γ. ἀνεμαχέσατο τὴν πάλην.
α. Κορ. ζ. θ. τοῦτο καὶ Παῦλος ἔλεγε, Κρεῖσσόν ἐστι γαμῆσαι, ἢ πυροῦσθαι· καὶ ὁ Χριστός, Ὁ δυνάμενος
Ματθ. ιθ. ιβ. χωρεῖν, χωρείτω. περὶ δὲ χρημάτων οὐχ οὕτως· ἀλλ', ὃς ἀφῆκε τὰ ὑπάρχοντα αὐτοῦ, ἑ-
Ματθ. ιθ. κθ. κατονταπλασίονα λήψεται. πῶς οὖν, φησί, περὶ τῶν πλουτούντων εἶπεν, Ὅτι δυσκό-
λως ἐπιτεύξονται τῆς βασιλείας; πάλιν τὴν βλακείαν αὐτῶν αἰνιττόμενος, οὐ τὴν τυ-

ἐλπίδα τῶν χρημάτων, ἀλλὰ πολὺ σφοδρὰν αὐτῶν δουλείαν. καὶ τοῦτο καὶ ἐξ ὧν ὁ Παῦλος συνεβούλευσε δῆλον. ἐκείνης μὲν γὰρ ἀπάγει τῆς ἐπιθυμίας λέγων, Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν· ἐπὶ δὲ ταύτης οὐκέτι, ἀλλὰ πρὸς καιρὸν μόνον διαλύσας, καὶ τούτῳ συμφώνως, πάλιν ἐπὶ τὸ συνέρχεσθαι συμβουλεύει. δέδοικε γὰρ τὰ κύματα τῆς ἐπιθυμίας, μήποτε ναυάγιον ἐργάσηται χαλεπόν. τοῦτο καὶ ὀργῆς εὐτονώτερον πάθος. ὀργίζεσθαι μὲν γὰρ οὐκ ἔνι, μηδενὸς ὄντος τοῦ παροξύνοντος· ἐπιθυμεῖν δὲ ἀνάγκη, καὶ τῆς ὄψεως τῆς εἰς τοῦτο κινούσης, μὴ φαινομένης. διὰ ταύτην μὲν οὐκ ἐξέκοψε καθάπαξ, ἀλλὰ τὸ, εἰκῆ, προσέθηκεν· οὐτ᾽ αὐτὴν ἐπιθυμίαν ἀνεῖλεν, ἀλλὰ τὴν ἄδικον. Διὰ γὰρ τὰς ἐπιθυμίας, φησὶν, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. θησαυρίζειν δὲ οὔτε εἰκῆ, οὔτε μὴ εἰκῆ συνεχώρησε. ταῦτα μὲν γὰρ τὰ πάθη, χρείας ἕνεκεν ἡμῖν ἐνεφυτεύθη· ὑπὲρ μὲν παιδοποιίας, ἐπιθυμία, ὑπὲρ δὲ βοηθείας τῶν ἀδικουμένων, ὀργή· ἐπιθυμία δὲ χρημάτων, οὐδαμῶς. οὐκοῦν οὐδὲ ἔστι φυσικὸν τὸ πάθος. ὥστε ὅταν ὑπὸ τούτου ἁλῷς, τοσούτῳ μᾶλλον τὰ αἴσχιστα πείσῃ. διὰ δὴ τοῦτο καὶ δεύτερον ἐπιτρέπων γάμον ὁ Παῦλος, ἐπὶ χρημάτων πολλὴν ἀπαιτεῖ τὴν ἀκρίβειαν, λέγων, Διὰ τί οὐ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐ μᾶλλον ἀποστερεῖσθε; καὶ περὶ μὲν παρθενίας διαλεγόμενός, φησιν, Ἐπιταγὴν Κυρίου οὐκ ἔχω· καὶ, Πρὸς τὸ συμφέρον ὑμῖν λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. ὅταν δὲ περὶ χρημάτων ὁ λόγος αὐτῷ, Ἔχοντες, φησὶ, σκεπάσματα καὶ διατροφὴν, τούτοις ἀρκεσθησόμεθα. πῶς οὖν, φησὶ, τούτῳ μᾶλλον ἁλίσκονται πολλοί; ὅτι οὐχ οὕτως εἰσὶ πρὸς αὐτὴν παρατεταγμένοι, ὡς πρὸς ἀσέλγειαν καὶ πορνείαν. ὡς εἴγε ὁμοίως ἐδόκει εἶναι δεινὸν, οὐκ ἂν ταχέως ἑάλωσαν. οὕτω καὶ αἱ ἄθλιαι παρθένοι ἐκεῖναι τοῦ νυμφῶνος ἐξεβλήθησαν, ἐπειδὴ τὴν μείζονα ἀνταγωνιστὴν καταβαλοῦσαι, ὑπὸ τοῦ ἀσθενεστέρου καὶ μηδὲν ὄντος ἐβλήθησαν. μετὰ τούτου καὶ ἕτερόν ἐστιν εἰπεῖν, ὅτι εἴ τις ἐπιθυμίας κρατῶν, ὑπὸ χρημάτων νικᾶται· οὐδὲ ἐπιθυμίας πολλάκις κρατεῖ, ἀλλὰ ἀπὸ φύσεως ἔλαχε τὸ μὴ σφόδρα ἐνοχλεῖσθαι ἐντεῦθεν. οὐ γὰρ πάντες ὁμοίως εἰσὶ καταφερεῖς. ταῦτ᾽ οὖν εἰδότες, καὶ τὸ ὑπόδειγμα τῶν παρθένων συνεχῶς παρ᾽ ἑαυτοῖς στρέφοντες, φεύγωμεν τὸ πονηρὸν τοῦτο θηρίον. εἰ γὰρ παρθενία οὐδὲν ὤνησεν, ἀλλ᾽ ἀπώλοντο μετὰ μυρίους πόνους καὶ ἱδρῶτας ἐκεῖναι διὰ τὴν φιλαργυρίαν· τίς ἡμᾶς ἐξαιρήσεται, εἰ τούτῳ περιπέσωμεν τῷ πάθει; διὸ παρακαλῶ πάντα ποιεῖν μήτε ἁλῶναι, μήτε ἁλόντας ἐναπομεῖναι, ἀλλὰ καὶ διαρρῆξαι τὰ χαλεπὰ ταῦτα δεσμά. οὕτω γὰρ δυνησόμεθα πρὸς τῶν οὐρανῶν στῆναι, καὶ τῶν μυρίων ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

α Τιμ. ϛ. θ.
α. Κορ. ζ. ε.
γρ. ἰωτε
Ματθ. κε.
α. Κορ. ζ. β.
α. Κορ. ϛ. ζ.
α Κορ. ζ. κε. καὶ λε.
α. Τιμ. ϛ. η.
γρ. ἀπώλοντο
γρ. ἀναπομεῖναι

Λογ. κδʹ. 13 ΟΙ ΓΑΡ ΤΟΙΟΥΤΟΙ ΨΕΥΔΑΠΟΣΤΟΛΟΙ, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ.

Τι λέγεις; οἱ Χριστὸν κηρύττοντες, οἱ χρήματα μὴ λαμβάνοντες, οἱ εὐαγγέλιον ἕτερον μὴ ἐπεισάγοντες, ψευδαπόστολοι; ναὶ, φησὶ, καὶ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο μάλιστα, ὅτι ταῦτα ὑποκρίνονται πάντα, ἵνα ἀπατήσωσιν. ἐργάται δόλιοι. ἐργάζονται μὲν γὰρ, ἀλλ᾽ ἀνασπῶσι τὰ πεφυτευμένα. ἐπειδὴ γὰρ ἴσασιν ὅτι ἑτέρως οὐκ ἂν γένοιντο εὐπαράδεκτοι, τὸ προσωπεῖον λαβόντες τῆς ἀληθείας, οὕτω τὸ δρᾶμα τῆς πλάνης ὑποκρίνονται. καὶ μέντοι χρήματα, φησὶν, οὐ λαμβάνουσιν, ἵνα πλείονα λάβωσιν, ἵνα ψυχὴν ἀπολέσωσι· μᾶλλον δὲ καὶ τοῦτο ψεῦδος· καὶ ἐλάμβανον, ἀλλ᾽ ἐλάνθανον. καὶ τοῦτο δείκνυσιν ἐν τοῖς ἑξῆς. καὶ ἤδη μὲν γὰρ ἠνίξατο αὐτὸ εἰπὼν, ἵνα ἐν ᾧ καυχῶνται,

χῶνται, εὑρεθῶσιν ὡς καὶ ἡμεῖς. πλὴν ἀλλ' ὕστερον αὐτὸ σαφέστερον ᾐνίξατο εἰπών· ὅτι εἴ τις ὑμᾶς κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, τούτου ἀνέχεσθε· νῦν δὲ ἑτέρωθεν αὐτοὺς διαβάλλει λέγων, μετασχηματιζόμενοι. σχῆμα μόνον αὐτοῖς, ἡ δορὰ τοῦ προβάτου ἐπίκειται.

14 Καὶ οὐδὲν θαυμαστόν. εἰ γὰρ αὐτὸς ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός,

15 Τί μέγα, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης;

Ὥστε εἰ δεῖ θαυμάζειν, τοῦτο δεῖ θαυμάζειν· τὸ δὲ τούτων, οὐκέτι. ὅταν γὰρ ὁ διδάσκαλος αὐτῶν πάντα τολμᾷ, οὐδὲν θαυμαστὸν καὶ τοὺς μαθητὰς ἕπεσθαι. τί δέ ἐστιν, ἄγγελον φωτός; τὸν παῤῥησίαν ἔχοντα λέγειν, τὸν τῷ Θεῷ παρεστῶτα. εἰσὶ γὰρ καὶ ἄγγελοι σκότους, [οὗτοι] οἱ τοῦ διαβόλου, οἱ σκοτεινοὶ καὶ ἄγριοι. καὶ πολλοὺς ὁ διάβολος οὕτως ἠπάτησε, μετασχηματιζόμενος, οὐ γινόμενος ἄγγελος φωτός. οὕτω καὶ οὗτοι σχῆμα ἀποστόλου περιφέρουσιν, οὐκ αὐτὴν τὴν δύναμιν. οὐδὲ γὰρ ἰσχύουσιν. οὐδὲν δὲ οὕτω διαβολικόν, ὡς τὸ πρὸς ἐπίδειξίν τι ποιεῖν. τί δέ ἐστι διακονία δικαιοσύνης; ὅπερ ἡμεῖς ἐσμεν, εὐαγγέλιον κηρύσσοντες ὑμῖν δικαιοσύνην ἔχον. ἢ γὰρ τοῦτό φησιν, ἢ ὅτι δικαίων ἀνδρῶν ἑαυτοῖς περιτιθέασι δόξαν. πῶς οὖν αὐτοὺς ἐπιγνωσόμεθα; ἀπὸ τῶν ἔργων αὐτῶν, καθὼς ὁ Χριστὸς εἶπε. διὸ ἀναγκάζεται τὰ ἑαυτοῦ εἰπεῖν κατορθώματα καὶ τὴν ἐκείνων κακίαν παράλληλα, ἵνα ἀπὸ τῆς συγκρίσεως φανῶσιν οἱ νόθοι. καὶ μέλλων πάλιν ἐμβαίνειν εἰς τὰ ἐγκώμια τὰ ἑαυτοῦ, κατηγορεῖ πρότερον ἐκείνων, ἵνα δείξῃ ἀναγκαίαν οὖσαν αὐτοῦ τὴν ὑπόθεσιν, ἵνα μή τις ἐγκαλέσῃ ὡς περὶ ἑαυτοῦ λέγοντι, καί φησι,

16 Πάλιν λέγω. Καὶ γὰρ ἤδη πολλῇ προδιορθώσει ἐχρήσατο· ἀλλ' ὅμως οὐκ ἀρκούμενος τοῖς εἰρημένοις, ἀλλὰ καὶ πάλιν λέγω, Μή τίς με δόξῃ ἄφρονα εἶναι.

Τοῦτο γὰρ ἐκείνων ἦν ἔργον, τὸ, αἰτίας μὴ οὔσης, καυχᾶσθαι. σὺ δέ μοι σκόπει εὐθὺς ὁσάκις ἐμβαίνειν μέλλει εἰς τοὺς οἰκείους ἐπαίνους, προσανακρούεται. τὸ μὲν γὰρ πρᾶγμα ἀφροσύνης ἐστί, φησι, τὸ καυχᾶσθαι. ἐγὼ δὲ οὐχ ὡς αὐθεντῶν αὐτὸ ποιῶ, ἀλλὰ ἀναγκαζόμενος. εἰ δὲ οὐ πείθεσθε, ἀλλὰ καὶ ἀνάγκην οὖσαν ὁρῶντες, καταγνώσεσθε· οὐδὲ οὕτω παραιτήσομαι. εἶδες πῶς ἔδειξε πολλὴν οὖσαν τὴν ἀνάγκην τοῦ λέγειν. ὁ γὰρ μηδὲ ταύτην ὑποστελλόμενος τὴν ὑποψίαν, ἐννόησον ὅσην βίαν ὑπέμεινεν εἰς τὸ λέγειν, καὶ πῶς ὤδινε καὶ ἐβιάζετο εἰπεῖν. ἀλλ' ὅμως καὶ οὕτω μετρίως τῷ πράγματι κέχρηται. οὐ γὰρ εἶπεν, ἵνα καυχήσωμαι. καὶ μικρὸν μέλλων καυχᾶσθαι, πάλιν καὶ ἑτέρᾳ κέχρηται παραιτήσει λέγων,

17 Ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει

Λουκ. ιζ. ι. τῆς καυχήσεως. Ὁρᾷς πῶς τὸ καυχᾶσθαι οὐκ ἔστι κατὰ Κύριον; Ὅταν γὰρ πάντα ποιήσητε, φησί, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἀλλ' αὐτὸ μὲν καθ' ἑαυτὸ οὐκ ἔστι κατὰ Κύριον· ἀπὸ δὲ τῆς διανοίας τοῦτο γίνεται. διὰ τοῦτο εἶπεν, ὃ λαλῶ· οὐ τὴν αἰτίαν διαβάλλων, ἀλλὰ τὰ ῥήματα. ἐπεὶ ὁ σκοπὸς οὕτω θαυμαστός, ὡς καὶ τὰ ῥήματα σεμνύνειν. ὥσπερ γὰρ ὁ φόνος τῶν σφόδρα κεκωλυμένων ὤν, ἀπὸ διανοίας πολλάκις ηὐδοκίμησε, καὶ τὸ περιτέμνεσθαι οὐκ ὂν κατὰ Κύριον, ἀπὸ τῆς διανοίας τοῦτο γέγονεν· οὕτω καὶ τὸ καυχᾶσθαι. καὶ τί δήποτε οὐ κέχρηται ἀκριβολογίᾳ τοσαύτῃ; ὅτι πρὸς ἑτέρους ἐπείγεται, καὶ ἐκ περιουσίας καὶ τοῖς ἐπιλαμβάνεσθαι βουλομένοις χαρίζεται μόνον, ἵνα εἴπῃ τὰ ὠφελοῦντα. καὶ γὰρ ἱκανὰ ἦν πᾶσαν ἀνελεῖν τὴν ὑποψίαν λεχθέντα. ἀλλ' ὡς ἐν ἀφροσύνῃ. πρότερον φησιν, ὄφελον ἠνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· νυνὶ δέ, ὡς ἐν ἀφροσύνῃ. ὅσῳ γὰρ πρόεισι, τοσούτῳ μᾶλλον ἐκκαθαίρει τὸν λόγον. εἶτα ἵνα μὴ νομίσῃς πανταχοῦ αἰνίττεσθαι αὐτόν, προσέθηκεν, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. κατὰ τοῦτο τὸ μέρος, φησίν· ὥσπερ καὶ ἀλλαχοῦ ἔλεγεν

λέγων, ἵνα μὴ καταισχυνθῶμεν τὸ πρόσωπον, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. καὶ ἀλλαχοῦ πάλιν εἰπὼν, Ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ; καὶ δείξας, ὅτι οὐ δύναται πανταχοῦ ἅπερ ἐπαγγέλλεται πληροῦν, ἐπειδὴ οὐ κατὰ σάρκα βουλεύεται, ἵνα μὴ τὴν ὑπόνοιαν ταύτην καὶ ἐπὶ τοῦ δόγματος ἑλκύσωσί τινές, φησι, Πιστὸς δὲ ὁ Θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ. καὶ ὅρα πόσα ἐμπροσθεν εἰπὼν, πάλιν καὶ ἑτέρας τίθησιν ἀπολογίας, προστιθεὶς οὕτω, καὶ λέγων, β. Κορ. α. ιζ. ιη. γ. σεμνυνθεὶς

18 Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. Τί ἐστι, κατὰ σάρκα; ἀπὸ τῶν ἔξωθεν, ἀπὸ εὐγενείας, ἀπὸ πλούτου, ἀπὸ σοφίας, ἀπὸ τοῦ περιτομὴν ἔχειν καὶ προγόνους Ἑβραίους, ἀπὸ τῆς τῶν πολλῶν δόξης. καὶ θέα σύνεσιν. ἐκεῖνα τίθησιν ἅπερ οὐδένα δείκνυσι, καὶ τότε καὶ ἀφροσύνην. εἰ γὰρ τὸ ἐπὶ τοῖς ὄντως ἀγαθοῖς καυχᾶσθαι ἀφροσύνη, πολλῷ μᾶλλον ἐπὶ τοῖς μηδὲν οὖσι. καὶ τοῦτό ἐστιν ὅπερ, οὐ κατὰ Κύριον, καλεῖ. οὐ γὰρ ὄφελος Ἑβραῖον εἶναι, καὶ ὅσα τοιαῦτα. μὴ τοίνυν νομίσητε, ὅτι ὡς ἀρετὴν αὐτὰ τίθημι· ἀλλ' ἐπειδὴ ἐκεῖνοι καυχῶνται, ἀναγκάζομαι κἀγὼ ἐντεῦθεν τὴν σύγκρισιν ποιήσασθαι. ὅπερ καὶ ἀλλαχοῦ ποιεῖ λέγων, Εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον· καὶ ἐκεῖ, διὰ τοὺς πεποιθότας ἐπὶ τούτῳ. ὥσπερ ἂν εἴ τις γένους λαμπροῦ ὢν, καὶ φιλόσοφον ἑλόμενος βίον, ἴδοι μέγα φρονοῦντας ἑτέρους ἐπὶ εὐγενείᾳ, καὶ βουλόμενος καθελεῖν αὐτῶν τὸ φύσημα, ἀναγκασθῇ τὴν οἰκείαν περιφάνειαν εἰπεῖν, οὐχὶ καλλωπιζόμενος, ἀλλὰ ἐκείνους ταπεινῶν. τοῦτο δὴ καὶ ὁ Παῦλος ποιεῖ. εἶτα ἀποστὰς ἐκείνων, ἐπὶ Κορινθίους ὁλόκληρον τὴν αἰτίαν κενοῖ, λέγων, Φιλιπ. γ. δ.

19 Ἡδέως ἀνέχεσθε τῶν ἀφρόνων. Ὥστε ὑμεῖς αἴτιοι τούτων, καὶ μᾶλλον, ἢ ἐκεῖνοι. εἰ γὰρ μὴ ὑμεῖς αὐτῶν ἠνείχεσθε καὶ περιεβλέπεσθε τό γε ἐκείνων μέρος, οὐδὲν ἐφθεγξάμην· ἀλλὰ τῆς ὑμετέρας κήδομαι σωτηρίας, καὶ συγκαταβαίνω. καὶ ὅρα πῶς καὶ τὴν ἐπιτίμησιν μετ' ἐγκωμίου τίθησιν. εἰπὼν γὰρ, ἡδέως ἀνέχεσθε τῶν ἀφρόνων, ἐπήγαγε, Φρόνιμοι ὄντες. Ἀφροσύνης γὰρ τὸ καυχᾶσθαι καὶ ἐπὶ τοιούτοις. καίτοι ἐχρῆν ἐπιτιμῆσαι, καὶ εἰπεῖν, μὴ ἀνέχεσθε τῶν ἀνοήτων· ἀλλὰ μετὰ πλείονος αὐτὸ ποιεῖ περιουσίας. ἐκείνως μὲν γὰρ ἔδοξεν ἂν ὡς ἀπεστερημένος αὐτῶν ἐπιτιμᾶν· νυνὶ δὲ δείξας ἑαυτὸν καὶ ἐν τούτοις κρατοῦντα, καὶ οὐδὲν εἶναι ταῦτα νομίζοντα, μειζόνως αὐτοὺς διορθοῦται. πῶς δὲ πρὶν ἢ εἰς τὰ ἐγκώμια ἐμβάλλειν καὶ τὴν σύγκρισιν, καὶ τὴν πολλὴν Κορινθίων δουλοπρέπειαν ὀνειδίζει αὐτοῖς, ὅτι μεθ' ὑπερβολῆς αὐτοῖς καθυπεκλίνοντο· καὶ σκόπει πῶς κωμῳδεῖ. γ. κηδόμενος γ. συγκαταβαίνων.

20 Ἀνέχεσθε γὰρ, φησιν, εἴ τις ὑμᾶς καταδουλοῖ. Πῶς οὖν ἔλεγες, ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς; ὁρᾷς ὅτι δείκνυσιν αὐτοὺς λαμβάνοντας, καὶ οὐχ ἁπλῶς λαμβάνοντας, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς; τὸ γὰρ κατεσθίειν, τοῦτο δηλοῖ. Εἴ τις ὑμᾶς καταδουλοῖ. Καὶ τὰ χρήματα ὑμῶν, φησι, καὶ τὰ σώματα, καὶ τὴν ἐλευθερίαν ἐξεδώκατε. τοῦτο γὰρ μεῖζον τοῦ λαβεῖν, τὸ μὴ μόνον τῶν χρημάτων, ἀλλὰ καὶ ὑμῶν αὐτῶν κυρίους εἶναι. ὃ καὶ ἔμπροσθεν δηλοῖ λέγων, Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς; εἶτα τὸ χαλεπώτερον προστίθησι λέγων, Εἴ τις ἐπαίρεται. Οὐδὲ γὰρ σύμμετρος ὑμῶν ἡ δουλεία, οὐδὲ ἥμεροι οἱ δεσπόται, ἀλλὰ φορτικοὶ καὶ ἐπαχθεῖς. α. Κορ. θ. ιβ. γ. συμμέτρως

Εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει. Εἶδες πάλιν ἐπίτασιν τυραννίδος; ταῦτα δὲ ἔλεγεν, οὐχ ὅτι εἰς ὄψιν ἐτύπτοντο, ἀλλ' ὅτι διέπτυον αὐτοὺς καὶ ἠτίμαζον. διὸ προσέθηκε,

21 Κατὰ ἀτιμίαν λέγω. Τῶν γὰρ εἰς ὄψιν τυπτομένων οὐκ ἐλάττονι πάσχετε. τί τοίνυν τούτου γένοιτ' ἂν ἰσχυρότερον; ποία δὲ ταύτης τῆς δεσποτείας πικροτέρα, ὅταν καὶ

τὰ χρήματα ὑμῶν, καὶ τὴν ἐλευθερίαν, καὶ τὴν τιμὴν ἀφελόμενοι, μηδὲ οὕτως ὥστε ἥμεροι, μηδὲ ἐν τάξει δούλων ἐῶσιν ὑμᾶς μένειν, ἀλλὰ καὶ παντὸς ἀργυρωνήτου ὑβριστικώτερον ὥστε ὑμῖν κεχρημένοι; Ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν.

Ἀσαφὲς τὸ εἰρημένον. ἐπειδὴ γὰρ φορτικὸν ἦν, διὰ τοῦτο οὕτως αὐτὸ τέθεικεν, ἵνα κλέψῃ τὴν ἐπαχθειαν τῇ ἀσαφείᾳ. ὃ γὰρ βούλεται εἰπεῖν, τοῦτό ἐστι· μὴ γὰρ οὐ δυνάμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν; ἀλλ' οὐ ποιοῦμεν· τίνος οὖν ἕνεκεν αὐτῶν ἀνέχεσθε, ὡς ἡμῶν μὴ δυναμένων ταῦτα ποιεῖν; ἔγκλημα μὲν οὖν καὶ τὸ μωραινόντων ἀνέχεσθαι· τὸ δὲ καὶ οὕτω καταφρονούντων ὑμῶν, ἁρπαζόντων, ἐπαιρομένων, τυπτόντων, οὐδὲ ἂν ἀπολογίαν ἔχοι, οὐδὲ ἂν λόγον τινά. καινὸν γὰρ τοῦτο τὸ τῆς ἀπάτης εἶδος. οἱ μὲν γὰρ ἀπατῶντες καὶ παρέχουσι, καὶ κολακεύουσιν· οὗτοι δὲ καὶ ἀπατῶσι, καὶ λαμβάνουσι, καὶ ὑβρίζουσιν. ὅθεν οὐδὲ σκιὰν ἂν ἔχοιτε συγγνώμης, ὅτι τοὺς μὲν ταπεινοῦντας ἑαυτοὺς δι' ὑμᾶς, ἵνα ὑμεῖς ὑψωθῆτε, διαπτύετε, τοὺς δὲ ὑψοῦντας ἑαυτοὺς, ἵνα ὑμεῖς ταπεινωθῆτε, θαυμάζετε. μὴ γὰρ καὶ ἡμεῖς οὐκ ἠδυνάμεθα ταῦτα ποιεῖν; ἀλλ' οὐ βουλόμεθα, τὸ συμφέρον ὑμῶν σκοποῦντες. ἐκεῖνοι μὲν γὰρ τὰ ὑμέτερα καθαιροῦντες, τὰ ἑαυτῶν σκοποῦσιν. χ. ἡμ. ὁρᾷς πανταχοῦ, ἐξ ὧν παρρησιάζεται πρὸς χ. ὑμῶν ζη-τοῦσι. αὐτοὺς, ἐκ τούτων αὐτοὺς καὶ φοβεῖ; εἰ γὰρ διὰ τοῦτο αὐτοὺς τιμᾶτε, φησὶν, ἐπειδὴ τύπτουσιν, ὑβρίζουσι· δυνάμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν, δουλοῦσθαι, τύπτειν, ἐπαίρεσθαι καθ' ὑμῶν. εἶδες πῶς ὅλην ἐπ' αὐτοὺς ἄγει τὴν αἰτίαν, καὶ τῆς ἐκείνων ἀπονοίας, καὶ τῆς δοκούσης εἶναι ἀφροσύνης ἑαυτοῦ; οὐ γὰρ ἵνα ἐμαυτὸν δείξω λαμπρότερον, ἀλλ' ἵνα ὑμᾶς ἀπαλλάξω ταύτης τῆς πικρᾶς δουλείας, ἀναγκάζομαι μικρόν τι καυχήσασθαι. δεῖ δὲ οὐχ ἁπλῶς τὰ λεγόμενα ἐξετάζειν, ἀλλὰ καὶ τὴν αἰτίαν προστιθέναι. ἐπεὶ καὶ Σαμουὴλ ἐγκώμιον ὑπὲρ ἑ-

α. Βασ. ιβ. γ. αυτοῦ συνέθηκε μέγα, ὅτε τὸν Σαοὺλ ἔχριε, λέγων, Ὄνον τινὸς ὑμῶν εἴληφα, ἢ μόσχον, ἢ χ. λέγων. ὑπόδημα; ἢ ἐξεπίασά τινα ὑμῶν; ἀλλ' ὅμως οὐδεὶς ἐγκαλεῖ. τὸ δὲ αἴτιον, οὐ καλλωπίζων ἑαυτὸν ἔλεγεν, ἀλλ' ἐπειδὴ βασιλέα καθιστᾶν ἔμελλεν, ἐν ἀπολογίας τάξει βουλόμενος παιδεῦσαι ἐκεῖνον πρᾶον καὶ ἥμερον εἶναι. καὶ σκόπει σύνεσιν προφήτου· μᾶλλον δὲ, Θεοῦ φιλανθρωπίαν. ὅτι μὲν γὰρ ἀποστρέψαι αὐτοὺς ἐβούλετο, πολλὰ φορτικὰ συναγαγὼν, ἔλεγε περὶ τοῦ μέλλοντος βασιλεύειν οἷον, ὅτι μυλωθρίδας τὰς γυναῖκας αὐτῶν ποιήσει, ποιμένας τοὺς ἄνδρας, ἡμιόνων ἐπιστάτας. καὶ γὰρ μετὰ ἀκριβείας ἐπεξῄει τὴν τῆς βασιλείας θεραπείαν. ἴσ. ἐπειδὴ δὲ εἶδεν ἐπειδὴ εἶδεν οὐδενὶ τούτων κωλυομένους, ἀλλὰ ἀνίατα νοσοῦντας, καὶ οὕτως αὐτῶν φειδόμενος, καὶ ῥυθμίζει τὸν βασιλέα πρᾶον εἶναι. διὰ τοῦτο καὶ αὐτὸν παράγει μάρτυρα. οὐ γὰρ δὴ ἐδικάζετό τις πρὸς αὐτὸν τότε, οὐδὲ ἐνεκάλει ἵνα ἀπολογήσηται· ἀλλ' ἵνα ἐκεῖνον

α. Βασ. ιβ. ιδ. καὶ ιε. ποιήσῃ βελτίονα, ταῦτα ἔλεγε. διὸ καὶ ἐπήγαγε καθαιρῶν αὐτοῦ τὸ φύσημα, Ἐὰν ἀκούσητε ὑμεῖς, καὶ ὁ βασιλεὺς ὑμῶν, τὰ καὶ τὰ ἔσται ὑμῖν ἀγαθά· ἐὰν δὲ μὴ ἀκούσητε, τὰ ἐναντία

Αμ. ζ. ιδ. καὶ ιε. ἅπαντα. καὶ Ἀμμὼς δὲ ἔλεγεν, Οὐκ ἤμην προφήτης, οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην συκάμινα κνίζων. καὶ ἀνέλαβέ με ὁ Θεός. οὐκ ἐπαίρων δὲ ἑαυτὸν ἔλεγεν, ἀλλὰ ἐπιστομίζων τοὺς ὑποπτεύοντας αὐτὸν οὐχ ὡς προφήτην, καὶ ἵνα δείξῃ ὅτι οὐκ ἀπατᾷ, οὐδὲ

Μιχ. γ. η. οἴκοθεν λέγει ταῦτα ἃ λέγει. καὶ ἕτερος δὲ πάλιν τὸ αὐτὸ τοῦτο ἐμφαίνων, ἔλεγεν, Ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος Κυρίου, ἐν πνεύματι καὶ δυναστείᾳ. καὶ ὁ Δαβὶδ δὲ, ὅτε τὰ κατὰ τὴν ἄρκτον καὶ τὸν λέοντα διηγεῖτο, οὐχὶ καλλωπιζόμενος, ἀλλ' οἰκοδομῶν τι μέγα καὶ θαυμαστὸν, ἔλεγεν. ἐπειδὴ γὰρ ἠπίστει ὅτι περιέσται τοῦ βαρβάρου γυμνὸς, ὁ μηδὲ ὅπλα ἐνεγκεῖν δυνάμενος, ἠναγκάσθη παραγαγεῖν ἀποδείξεις τῆς οἰκείας ἀνδρείας. καὶ τὸ κράσπεδον ὅτε ἀφεῖλε τοῦ Σαοὺλ, οὐκ ἐπιδεικνύμενος ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ τὴν πονηρὰν διακρουόμενος ὑποψίαν, ἣν κατεσκέδασαν αὐτοῦ λέγοντες, ὅτι ἀνελεῖν αὐτὸν ἤθελε. δεῖ τοίνυν πανταχοῦ τὴν αἰτίαν ζητεῖν. ὁ γὰρ πρὸς τὸ συμφέρον τῶν ἀκουόντων ὁρῶν, κἂν ἐγκωμιάζῃ ἑαυτὸν, οὐ μόνον οὐκ ἐγκαλεῖσθαι ἄξιος, ἀλλὰ καὶ στεφανοῦσθαι· κἂν σιγᾷ τότε, ἐγκαλεῖ- χ. σιγῶν

σθαι

γρ. ἀνάγκη. γρ. τότε γρ. φοῖς. καίτοι γε καὶ παρ' αὐτοῖς ἠπιστήθη, καὶ διὰ τὸ βασιλεῖ. οὐ ὁ φθόνος

θαι ἄξιος. ἐπεὶ καὶ ὁ Δαβὶδ τότε εὐδοκίμησεν ἐπὶ τοῦ Γολιάθ, οὐκ ἂν εἴασεν αὐτὸν ἐξελθεῖν ἐπὶ τὴν παράταξιν, οὐδὲ τὸ λαμπρότερον ἐκεῖνο ἔστησε τρόπαιον. διὰ δὴ τοῦτο λέγει ἀναγκασθεὶς, καὶ οὐχὶ τοῖς ἀδελφοῖς, ἀλλὰ τῷ βασιλεῖ. ἢ γὰρ ἂν παρ' αὐτοῖς ἠπιστήθη. ὁ γὰρ φθόνος ἐνέφραττεν αὐτῶν τὰς ἀκοάς. διόπερ ἐκείνους ἀφεὶς, τῷ μηδέπω βασκαίνοντι διαλέγεται.

ΗΘΙΚΟΝ

Δεινὸν γὰρ ἡ βασκανία, δεινὸν καὶ τῆς οἰκείας ἀναπείθει καταφρονεῖν σωτηρίας. οὕτω καὶ Κάϊν ἑαυτὸν ἀπώλεσε, καὶ πρὸ τούτου πάλιν ὁ τούτου πατὴρ ἀνελὼν διάβολος. οὕτως ὁ Σαοὺλ δαίμονα πονηρὸν ἐκάλεσε κατὰ τῆς ἑαυτοῦ ψυχῆς· καὶ καλέσας, τὸν ἰατρὸν πάλιν ἐβάσκαινε. τοιοῦτον γὰρ ὁ φθόνος. ᾔδει ὅτι ἐσώθη, καὶ ἀπολέσθαι μᾶλλον ἤθελεν, ἢ τὸν σώσαντα εὐδοκιμοῦντα ἰδεῖν. τί τούτου χαλεπώτερον γένοιτ' ἂν τοῦ πάθους; οὐκ ἄν τις ἁμάρτοι διαβόλου γέννημα τοῦτο εἰπών· καὶ ὁ μὲν ἐκείνῳ κενοδοξίας καρπὸς, μᾶλλον δὲ καὶ ῥίζα. ἀμφότερα γὰρ ταυτὶ τὰ κακὰ, ἑαυτὰ συγκατασκευάζειν εἴωθεν. οὕτω δὴ καὶ τότε ἐβάσκαινεν ὁ Σαοὺλ, ἐπειδὴ εἶπον, Ἐπάταξε Δαβὶδ ἐν μυριάσιν. (γρ. μὲν ἐκείνου) οὗ τί γένοιτ' ἂν ἀλογώτερον; τί γὰρ, εἰπέ μοι, φθονεῖς; ὅτι ἐπῄνεσεν ὁ δεῖνα; καὶ μὴν τότε χαίρειν ἔδει. ἄλλως δὲ, οὐδὲ οἶδας, εἰ ἀληθὴς ὁ ἔπαινος ἦν. [καὶ] διὰ τοῦτο πενθεῖς, ὅτι οὐκ ὢν θαυμαστὸς ἐπῃνέθη; καὶ μὴν ἐλεεῖν χρή. (γρ. μὴ) καὶ γὰρ εἰ μὲν ἀγαθός ἐστιν, οὐδεὶς φθονεῖ ἐπαινουμένου, ἀλλ' ἐπαινεῖ μετὰ τῶν εὐφημούντων· εἰ δὲ μὴ τοιοῦτος, τί δάκνῃ; τί κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς; ὅτι θαυμαστὸς τοῖς ἀνθρώποις; ἀλλὰ ἀνθρώποις τοῖς σήμερον οὖσι, καὶ αὔριον οὐκ οὖσιν. ἀλλ' ὅτι δόξης ἀπολαύει; ποίας, εἰπέ μοι; περὶ ἧς ὁ προφήτης φησὶν, Ὅτι ἄνθος ἐστὶ χόρτου. (Ησ. μ.) διὰ τοῦτο οὖν βασκαίνεις, ὅτι οὐκ ἀχθοφορεῖς, οὐδὲ χόρτου περιφέρεις φορτία τοιαῦτα; εἰ δὲ αὐτός σοι ζηλωτὸς εἶναι δοκεῖ διὰ τοῦτο, τί μὴ καὶ δρυτόμοι καθ' ἑκάστην ἀχθοφοροῦντες ἡμέραν, καὶ ἐν τῇ πόλει εἰσιόντες; οὐδὲν γὰρ τούτου ἄμεινον τοῦτο τὸ φορτίον, ἀλλὰ καὶ χεῖρον. ἐκεῖνο μὲν γὰρ τὸ σῶμα πιέζει μόνον· τοῦτο δὲ καὶ τὴν ψυχὴν πολλάκις παρέβλαψε, καὶ μείζονα παρέχει τὴν ἀγωνίαν τῆς ἡδονῆς. κἂν γὰρ λέγων εὐδοκιμῇ, μείζονα ἔχει τὸν φόβον τῆς εὐφημίας· μᾶλλον δὲ, τὴν μὲν βραχεῖαν, τὸν δὲ διηνεκῆ. ἀλλὰ παρὰ ἄρχουσιν εὐδοκιμεῖ; κἀκεῖ πάλιν φθόνος καὶ κίνδυνος. ὃ γὰρ σὺ περὶ αὐτὸν πάσχεις, τοῦτο καὶ ἕτεροι πλείους. ἀλλ' ἐπαίρεται συνεχῶς; τοῦτο δουλείαν ποιεῖ πικράν. οὐ γὰρ τολμήσει τι πρᾶξαι ἀδεῶς τῶν κατὰ γνώμην, ἵνα μὴ προσκρούσῃ τοῖς δοξάζουσιν αὐτόν. δεσμὰ γὰρ αὐτῷ χαλεπὰ ἡ περιφάνεια. ὥστε ὅσῳ ἂν πλείοσι γνώριμος ᾖ, τοσούτῳ πλείους ἔχει δεσπότας, καὶ ἐπιτείνεται τὰ τῆς δουλείας αὐτῷ, τῶν κυρίων αὐτοῦ πανταχοῦ φαινομένων. καὶ ὁ μὲν οἰκέτης, ὅταν ἀπαλλαγῇ τῆς ὄψεως τοῦ δεσπότου, καὶ ἀναπνεῖ, καὶ μετ' ἐλευθερίας ἐστὶν ἁπάσης· οὗτος δὲ πανταχοῦ δεσπόταις περιτυγχάνει. πάντων γὰρ δοῦλός ἐστι τῶν ἐν ἀγορᾷ φαινομένων. κἂν κατεπείγῃ τι τῶν ἀναγκαίων, οὐ τολμᾷ εἰς ἀγορὰν ἐμβαλεῖν, εἰ μὴ καὶ τῶν οἰκετῶν ἑπομένων, καὶ τοῦ ἵππου, καὶ τῆς ἄλλης φαντασίας συγκεκροτημένης, ἵνα μὴ τοὺς δεσπότας καταγνῶσι. κἂν φίλον ἴδῃ τινὰ τῶν γνησίων, οὐ θαρρεῖ μετὰ ἰσοτιμίας αὐτῷ διαλεχθῆναι. δέδοικε γὰρ τοὺς δεσπότας, μὴ καθέλωσιν αὐτὸν ἀπὸ τῆς δόξης. ὥστε ὅσῳ περιφανέστερός ἐστι, τοσούτῳ μᾶλλον δεδούλωται. κἂν πάθῃ τι τῶν ἀηδῶν, ἡ ὕβρις χαλεπωτέρα, ὅσῳ καὶ πλείους ἔχει τοὺς μάρτυρας, καὶ παρὰ ἀξίαν τὸ πρᾶγμα εἶναι δοκεῖ. οὐ μόνον δὲ ἡ ὕβρις, ἀλλὰ καὶ ἡ συμφορά. καὶ γὰρ πολλοὺς ἔχει τοὺς ἐφηδομένους· ὥσπερ οὖν κἂν ἀγαθοῦ τινος ἀπολαύσῃ, πλείους τοὺς φθονοῦντας, καὶ βασκαίνοντας, καὶ καθελεῖν ἐσπουδακότας. τοῦτο οὖν ἀγαθὸν, εἰπέ μοι; τοῦτο δόξα; οὐδαμῶς· ἀλλὰ ἀδοξία, καὶ δουλεία, καὶ δεσμὰ, καὶ πᾶν ὅπερ ἂν εἴποι τις φορτικόν. εἰ δὲ καὶ οὕτως ἐπέραστόν σοι ἡ παρὰ ἀνθρώπων δόξα, καὶ πάνυ σε θορυβεῖ παρὰ πολλῶν κροτούμενος ὁ δεῖνα· ὅταν ἴδῃς ἀπολαύοντα τῶν κρότων, πρὸς τὸν μέλλοντα αἰῶνα διάβηθι τῷ λογισμῷ, καὶ τὴν ἐκεῖ δόξαν. καὶ ὥσπερ θηρίον ἐπιὸν αὐτοῦ-

δαι διαφυγεῖν, εἰς οἰκίσκον εἰσελθὼν ἀποκλείσας τὰς θύρας· οὕτω καὶ νῦν ἐπὶ τὴν μέλλουσαν ζωὴν καταφύγε, καὶ τὴν ἀπόῤῥητον δόξαν ἐκείνην. οὕτω γὰρ καὶ ταύτην καταπατήσεις, καὶ ἐκείνης ἐπιλήψῃ ῥᾳδίως, καὶ τῆς ἀληθοῦς ἐλευθερίας ἀπολαύσεις, καὶ τῶν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κε. ΕΝ Ω Δ' ΑΝ ΤΙΣ ΤΟΛΜΑ (ΕΝ ΑΦΡΟΣΥΝΗ ΛΕΓΩ) τολμῶ κἀγώ.

Ὅρα πάλιν αὐτὸν ἀναδυόμενον, καὶ παραιτήσει χρώμενον, καὶ προδιορθοῦντα, καίτοι καὶ ἤδη πολλὰ τοιαῦτα εἴρηκεν· Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ. καὶ πάλιν, Μή τίς με δόξῃ ἄφρονα εἶναι. εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθε. Ὃ λαλῶ, οὐ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ. Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. καὶ ἐνταῦθα πάλιν, ἐν ᾧ δ' ἄν τις τολμᾷ (ἐν ἀφροσύνῃ λέγω) τολμῶ κἀγώ. τόλμαν καὶ ἀφροσύνην καλεῖ τὸ περὶ ἑαυτοῦ μέγα τι λέγειν, καὶ ταῦτα ἀνάγκης οὔσης, παιδεύων ἡμᾶς ἐκ περιουσίας τὸ τοιοῦτον φεύγειν. εἰ γὰρ μετὰ τὸ πάντα ποιῆσαι, ἀχρείους δεῖ καλεῖν ἑαυτούς· οὐδεμιᾶς κατεπειγούσης αἰτίας, τίνος ἂν εἴη συγγνώμης ἄξιος * ἐπαίρων [τις] ἑαυτὸν καὶ κομπάζων; διὰ τοῦτο καὶ ὁ Φαρισαῖος ἔπαθεν ἅπερ ἔπαθε, καὶ ἐν λιμένι ναυάγιον ὑπέμεινεν, ὅτι τούτῳ προσέῤῥηξε τῷ σκοπέλῳ. διὰ τοῦτο καὶ ὁ Παῦλος μυρίαν ἀνάγκην ὁρῶν, ὅμως ἀναδύεται, καὶ συνεχῶς ἀναμιμνήσκει ὅτι ἀφροσύνης τὸ τοιοῦτόν ἐστι, καὶ τότε λοιπὸν κατατολμᾷ, τὴν ἀπὸ τῆς ἀνάγκης ἀπολογίαν προβαλλόμενος, καί φησι,

Λουκ. ιζ. ι.

* ὁ

22 Ἑβραῖοί εἰσι; κἀγώ. Ἰσραηλῖταί εἰσι; κἀγώ. Οὐ γὰρ δὴ πάντας τοὺς Ἑβραίους Ἰσραηλίτας εἶναι· ἐπεὶ καὶ Ἀμμανῖται, καὶ Μωαβῖται τοῦτο ἦσαν. διὸ ἐπήγαγεν ἐκκαθαίρων τὴν εὐγένειαν, καί φησι, Σπέρμα Ἀβραάμ εἰσι; κἀγώ*.

* τὸ δὲ Ἰουδαί. λέγων;

13 Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ.

Οὐκ ἠρκέσθη τῇ προτέρᾳ παραιτήσει, ἀλλὰ καὶ ἐντεῦθεν πάλιν αὐτῇ κέχρηται· παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. κρείττων αὐτῶν ἐγώ, καὶ βελτίων. καίτοι τὰς ἀποδείξεις εἶχε σαφεῖς τῆς ὑπεροχῆς· ἀλλ' ὅμως παραφροσύνην καὶ τοῦτο τὸ πρᾶγμα καλεῖ. καὶ μὴν εἰ ψευδαπόστολοι ἦσαν, οὐκ ἔδει κατὰ σύγκρισιν εἰσάγειν τὴν ὑπεροχὴν, ἀλλὰ ἀνελεῖν τὸ εἶναι αὐτοὺς διακόνους. ἀνωτέρω μὲν οὖν αὐτὸς εἰπὼν, ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. νῦν δὲ αὐτὸ οὐ ποιεῖ οὕτως. εἰς γὰρ ἐξέτασιν ἔμελλεν ὁ λόγος προβαίνειν. οὐδεὶς δὲ, ἐξετάσεως οὐκ οὔσης, ἁπλῶς ἀποφαίνεται· ἀλλὰ πρότερον κατὰ σύγκρισιν θεὶς τὴν διὰ τῶν πραγμάτων αἵρεσιν, ἐπιδείκνυται τὴν καὶ πολὺ πόῤῥω οὖσαν. ἄλλως δὲ, γνώμην αὐτῶν ἐκείνων τίθησιν, οὐκ αὐτοῦ ἀπόφασιν, λέγων, διάκονοι Χριστοῦ εἰσι. καὶ εἰπὼν, ὑπὲρ ἐγώ, προάγει τὴν σύγκρισιν, καὶ δείκνυσι πῶς οὐκ ἀποφαινόμενος, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων ἐπίδειξιν ἐπάγων, τὸν χαρακτῆρα τοῦ ἀποστόλου διατηρεῖ. καὶ ἀφεὶς τὰ σημεῖα πάντα, ἀπὸ τῶν πειρασμῶν ἄρχεται, οὕτω λέγων·

γ. ἀπόδ.

Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως. Τοῦτο ἐκείνου μεῖζον, τὸ καὶ πλήττεσθαι καὶ μαστίζεσθαι. Ἐν φυλακαῖς περισσοτέρως. Καὶ ἐνταῦθα πάλιν ἐπίτασις. Ἐν θανάτοις πολλάκις. Καθ' ἡμέραν γάρ, φησιν, ἀποθνήσκω· ἐνταῦθα δὲ καὶ ἔργῳ. πολλάκις γὰρ εἰς κινδύνους παρεδόθη θάνατον ἔχοντας.

α. Κορ. ιε. λα.

24 Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ Ἰουδαίων.

Δια

Διὰ τί παρὰ μίαν; νόμος ἦν παλαιός, τὸν πλέον τῶν τεσσαράκοντα λαβόντα, ἄτιμον εἶναι παρ' αὐτοῖς. ἵνα οὖν μὴ ἡ τοῦ τύπτοντος ῥύμη καὶ ὁρμὴ πλέον ἐπενεγκοῦσα τοῦ ἀριθμοῦ ἄτιμον ποιήσῃ, ἐκέλευε παρὰ μίαν τύπτεσθαι· ἵνα κἂν πλεονάσῃ ὁ τύπτων, μὴ ὑπὲρ τὰ τεσσαράκοντα ἐκπέσῃ, ἀλλ' εἴσω τοῦ ἀριθμοῦ τοῦ νενομισμένου μείνας, μὴ ἀτιμάσῃ τὸν τυπτόμενον.

25 Τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα.

Καὶ τί τοῦτο πρὸς τὸ εὐαγγέλιον; ὅτι μακρὰς ὁδοὺς ἐστέλλετο καὶ διαποντίους.

Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. Οἱ μὲν ἐν μέσῳ πελάγει φασὶ τοῦτο εἶναι, ὡς νηχόμενος· ὅπερ καὶ ἀληθέστερον εἰπεῖν. ἐκεῖνό γε οὔτε θαύματος ἄξιον, οὐδὲ ἦν ὡς τῶν ναυαγίων μεῖζον τέθεικε.

γ. ὑπονηχόμενος·

26 Κινδύνοις ποταμῶν. Ἠναγκάζετο γὰρ καὶ διαπορθμεύειν ποταμούς.

Κινδύνοις λῃστῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ. Πανταχοῦ μοι τὰ ἆθλα προὔκειτο, ἐν τόποις, ἐν χώραις, ἐν πόλεσιν, ἐν ἐρημίαις. Κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις. Ὁρᾷ ἕτερον εἶδος πολέμου. οὐ γὰρ οἱ ἐχθροὶ μόνον, ἀλλὰ καὶ οἱ ὑποκρινόμενοι τὴν ἀδελφότητα, ἔβαλλον· καὶ πολλῆς ἐδεῖτο τῆς εὐτονίας, καὶ πολλῆς τῆς συνέσεως.

27 Ἐν κόπῳ καὶ μόχθῳ. Κίνδυνοι πόνους, πόνοι κινδύνους διεδέχοντο ἐπάλληλοι καὶ συνεχεῖς, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι συνεχώρουν. Ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι. 28 Χωρὶς τῶν παρεκτός.

Πλείονα τὰ παραλειφθέντα τῶν ἀπαριθμηθέντων μᾶλλον δὲ οὐδὲ αὐτὰ τὰ ἀπαριθμηθέντα ὅσα, ἔστιν εἰπεῖν· οὐδὲ γὰρ κατ' εἶδος αὐτὰ τέθεικεν· ἀλλ' ὧν μὲν εὐαρίθμητος ἦν ὁ ἀριθμὸς καὶ βραχύς, ἐμνήσθη τούτων, τρὶς καὶ τρίς, λέγων, καὶ ἅπαξ· τῶν δὲ ἄλλων οὐκέτι οὕτω, ἀλλὰ δὲ πολλάκις ὑπομεμενηκέναι. καὶ οὐ λέγει τὰ ἐξ αὐτοῦ κατορθώματα, οἷον ὅτι τοσούσδε καὶ τοσούσδε ἐπέστρεψεν· ἀλλ' ἃ ἔπαθε μόνον ὑπὲρ τοῦ κηρύγματος, ὁμοῦ μὲν μετριάζων, ὁμοῦ δὲ δεικνύς, ὅτι κἂν μηδὲν ἀνύηται, ἔστι τι πλέον πονουμένῳ. οὕτω γὰρ τὰ τῶν μισθῶν ἐστὶ πεπληρωμένα. Ἡ ἐπισύστασίς μου καθημέραν. Οἱ θόρυβοι, αἱ ταραχαί, αἱ πολιορκίαι τῶν δήμων, καὶ τῶν πόλεων ἔφοδοι. τοῦτον γὰρ μάλιστα πάντων ἐπολέμουν οἱ Ἰουδαῖοι, ἐπειδὴ μάλιστα πάντων αὐτῶν συνέχεε, καὶ μέγιστος τῆς μανίας ἔλεγχος ἦν, μεταταξάμενος ἀθρόον. καὶ πολὺς ὁ πόλεμος ἔπνει κατ' αὐτοῦ, παρὰ τῶν οἰκείων, παρὰ τῶν ἀλλοτρίων, παρὰ τῶν ὑποκρινομένων. καὶ πανταχοῦ κύματα καὶ κρημνοί, ἐν τῇ οἰκουμένῃ, ἐν τῇ ἀοικήτῳ, ἐν τῇ γῇ, ἐν τῇ θαλάσσῃ, ἔξωθεν, ἔσωθεν. καὶ οὐδὲ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, οὐδὲ ψιλῆς περιβολῆς, ἀλλ' ὁ τῆς οἰκουμένης ἀγωνιστής, γυμνὸς ἠγωνίζετο, καὶ λιμώττων ἐπύκτευε· τοσοῦτον ἀπεῖχε τοῦ χρηματίζεσθαι· καὶ οὐκ ἐδυσχέραινεν, ἀλλὰ χάριτας ᾔδει τούτων τῷ ἀγωνοθέτῃ. Ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν.

γ. ποιοῦντας
ἢ ποιοῦντ.

Τοῦτο δὲ κεφάλαιον ἁπάντων, ὅτι καὶ ἡ ψυχὴ διεσπᾶτο, καὶ ἡ διάνοια διετέμνετο. εἰ γὰρ καὶ μηδὲν ἔξωθεν προσέβαλεν, ἱκανὸς ὁ ἔνδον πόλεμος, τὰ κύματα τὰ ἐπάλληλα, αἱ νιφάδες τῶν φροντίδων, ὁ πόλεμος τῶν λογισμῶν. εἰ γὰρ οἰκίας τις μιᾶς προεστὼς, καὶ οἰκέτας ἔχων, καὶ ἐπιτρόπους, καὶ οἰκονόμους, οὐδὲ ἀναπνεῖ πολλάκις ὑπὸ τῶν φροντίδων, οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος· ὁ οὐκ οἰκίας μιᾶς, ἀλλὰ καὶ πόλεων, καὶ δήμων, καὶ ἐθνῶν, καὶ ὁλοκλήρου τῆς οἰκουμένης τὴν φροντίδα ἔχων, καὶ ὑπὲρ τηλικούτων πραγμάτων, καὶ τοσούτων ὄντων τῶν ἐπηρεαζόντων, καὶ μόνος ὤν, καὶ τοσαῦτα πάσχων, καὶ οὕτω κηδόμενος, ὡς οὐδὲ πατὴρ παίδων, ἐννόησον τί ὑπέμενεν. ἵνα γὰρ μὴ λέγῃς, τί γὰρ εἰ ἐμεριμνα μέν, ἐμεριμνα δὲ ἁπλῶς; ἐπήγαγε καὶ τὴν ἐπίτασιν τῆς φροντίδος, λέγων,

λ. ἐπεὶ οὐκ

29 Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Οὐκ εἶπεν, οὐ κοινωνῶ τῇ ἀθυμίᾳ· ἀλλ' ὡς εἰ αὐτῷ

αὐτὸς ὢν τὰ πάθη, ὡς ἐν αὐτῇ ὢν τῇ ἀῤῥωστίᾳ, οὕτω θορυβοῦμαι καὶ ταράσσομαι. Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Ὅρα πάλιν τὴν ὑπερβολὴν τῆς ὀδύνης, πῶς πάρεστιν ἐν τῇ τῆς πυρώσεως προσηγορίᾳ. ἐμπίπραμαι, καίομαι, φησίν· ὃ δὴ πάντων μεῖζον ἦν. ἐκεῖνα μὲν γὰρ εἰ καὶ σφοδρὰ, ἀλλὰ καὶ παροδεύεται ταχέως, καὶ τὴν ἡδονὴν εἶχεν ἀμύθητον· τοῦτο δὲ ἦν τὸ θλῖβον αὐτὸν, καὶ στενοχωροῦν, καὶ διατιτρῶσκον αὐτοῦ τὴν διάνοιαν, τὸ καθ᾽ ἕκαστον τῶν ἀσθενούντων τοιαῦτα πάσχειν, εἰ καὶ ὁστισοῦν ἦν. οὐδὲ γὰρ ὑπὲρ τῶν μειζόνων μὲν ἤλγει, τῶν δὲ ἐλαττόνων κατεφρόνει· ἀλλὰ καὶ τῶν ἀπερριμμένων ἐν τοῖς ἀναγκαίοις ἐτίθετο. διὸ καὶ ἔλεγε, τίς ἀσθενεῖ; δηλονότι ὅστις ἂν ᾖ. καὶ καθάπερ αὐτὸς ὢν ἡ ἐκκλησία ἡ κατὰ τὴν οἰκουμένην, οὕτω καθ᾽ ἕκαστον ὠδυνᾶτο μέλος.

30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.

Ὁρᾷς ὅτι οὐδαμοῦ ἀπὸ σημείων, ἀλλ᾽ ἀπὸ τῶν διωγμῶν καυχᾶται, καὶ τῶν πειρασμῶν; τοῦτο γὰρ, φησὶν, ἀσθενείας. καὶ ποικίλον τὸν πόλεμον δείκνυσι. καὶ γὰρ οἱ Ἰουδαῖοι αὐτῷ ἐπολέμουν, καὶ τὰ ἔθνη πρὸς αὐτὸν ἵσατο, καὶ οἱ ψευδάδελφοι αὐτῷ ἐπήκτευον, καὶ οἱ ἀδελφοὶ αὐτὸν ἐλύπουν ἀσθενοῦντες καὶ σκανδαλιζόμενοι. πάντοθεν αὐτῷ θόρυβος καὶ ταραχὴ, ἀπὸ τῶν οἰκείων, ἀπὸ τῶν ἀλλοτρίων. οὗτος ἀποστολικὸς χαρακτὴρ· διὰ τούτων ὑφαίνεται εὐαγγέλιον.

31 Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου Ἰησοῦ οἶδεν, ὅτι οὐ ψεύδομαι.

32 Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. Τί δήποτε ἐνταῦθα διαβεβαιοῦται καὶ πιστοῦται, ἐπ᾽ οὐδενὸς τῶν προτέρων τοῦτο ποιήσας; ὅτι ἴσως τοῦτο ἀρχαιότερον ἦν καὶ ἀδηλότερον· ἐκεῖνα δὲ καὶ αὐτοῖς γνώριμα, ἡ μέριμνα τῶν ἐκκλησιῶν, καὶ τὰ ἄλλα πάντα. θέα τοίνυν τὸν πόλεμον ὅσος, εἴγε δι᾽ αὐτὸν τὴν πόλιν ἐφρούρει. ὅταν δὲ τὸν πόλεμον εἴπω, τὸν ζῆλον λέγω τοῦ Παύλου. εἰ γὰρ μὴ σφοδρὸς ἔπνει, οὐκ ἂν εἰς τοσαύτην ἀνῆψε τὸν ἐθνάρχην μανίαν. ταῦτα ψυχῆς ἀποστολικῆς, τὸ πάσχειν τοσαῦτα, καὶ μηδαμοῦ παραιτεῖσθαι, ἀλλὰ φέρειν γενναίως τὰ ἐμπίπτοντα, καὶ μὴ ὁμόσε χωρεῖν τοῖς κινδύνοις, μηδὲ ἐπιπηδᾷν. ὅρα γοῦν ἐνταῦθα πῶς ἠνέχετο διαφυγεῖν τὴν πολιορκίαν, Διὰ θυρίδος χαλασθεὶς ἐν σαργάνῃ.

Εἰ γὰρ καὶ ἐπεθύμει τῆς ἐντεῦθεν ἀποδημίας, ἀλλ᾽ ὅμως καὶ τῆς τῶν ἀνθρώπων ἤρα σωτηρίας. διὸ πολλάκις καὶ τοιαῦτα ἐμηχανᾶτο, τηρῶν ἑαυτὸν τῷ κηρύγματι· καὶ οὐ παρῃτεῖτο οὐδὲ ἀνθρωπίνοις χρήσασθαι μηχανήμασιν, ἡνίκα ἀπῄτει καιρός· οὕτως ἦν νήφων καὶ ἐγρηγορώς. ἔνθα μὲν γὰρ ἄφυκτα ἦν κακὰ, τῆς χάριτος ἔδει μόνης· ἔνθα δὲ σύμμετρος ὁ πειρασμὸς, πολλὰ καὶ οἴκοθεν ἐπινοεῖ· καὶ ἐνταῦθα πάλιν τῷ Θεῷ τὸ πᾶν λογιζόμενος. καὶ καθάπερ τις σπινθὴρ πυρὸς ἀσβέστου εἰς πέλαγος ἐμπεσὼν, κυμάτων πολλῶν ἐπιόντων βαπτίζοιτο, καὶ πάλιν ἀνέρχοιτο λαμπρός· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος, νῦν μὲν ἐχώννυτο κινδυνεύων, νῦν δὲ αὐτοὺς διαδὺς, φαιδρότερος ἀνῄει, τῷ πάσχειν κακῶς περιγινόμενος.

ΗΘΙΚΟΝ Αὕτη γὰρ ἡ λαμπρὰ νίκη, τοῦτο τῆς ἐκκλησίας τὸ τρόπαιον, οὕτως ὁ διάβολος βάλλεται, πασχόντων ἡμῶν κακῶς. ἡμῶν γὰρ πασχόντων ἁλίσκεται, καὶ πάσχει κακῶς, ὅταν ἡμᾶς ποιεῖν βούληται. ὅπερ καὶ ἐπὶ Παύλου συνέβαινε· καὶ ὅσῳ μείζονα ἐπῆγε τοὺς κινδύνους, τοσούτῳ μᾶλλον ἡττᾶτο. οὐδὲ γὰρ ἓν εἶδος κατεσκεύαζε πειρασμῶν, ἀλλὰ ποικίλον καὶ διάφορον. τὰ μὲν γὰρ πόνον εἶχε, τὰ δὲ ἀθυμίαν, τὰ δὲ φόβον, τὰ δὲ ὀδύνην, τὰ δὲ φροντίδα, τὰ δὲ αἰσχύνην, τὰ δὲ πάντα ὁμοῦ. ἀλλ᾽ ὅμως ἐν πᾶσιν ἐκράτει. καὶ καθάπερ στρατιώτης εἰς τὴν οἰκουμένην πολεμοῦσαν ἔχων ἅπασαν, ἐν μέσοις στρέφοιτο τοῖς τάγμασι τῶν πολεμίων, καὶ μηδὲν πάσχοι δεινόν· οὕτω καὶ ὁ Παῦλος μόνος ἐν βαρβάροις, ἐν Ἕλλησι, πανταχοῦ γῆς, πανταχοῦ θαλάσσης φαινόμενος, ἀχείρωτος ἔμενε. καὶ ὥσπερ τις σπινθὴρ

εἰς καλάμην καὶ χόρτον ἐμπίπτων, πρὸς τὴν ἑαυτοῦ φύσιν μετατίθησι τὰ καιόμενα· οὕτω καὶ οὗτος ἅπασιν ἐπιών, πάντα μεθίστα πρὸς τὴν ἀλήθειαν, χειμάῤῥου δίκην πάντα ἐπιών, καὶ ἀνατρέπων τὰ κωλύματα. καὶ καθάπερ τις ἀθλητὴς αὐτὸς παλαίων, τρέχων, πυκτεύων, ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν, ναυμαχῶν, οὕτω πᾶν εἶδος μετήει μάχης, καὶ πῦρ ἔπνει, καὶ πᾶσιν ἀπρόσιτος ἦν, ἑνὶ σώματι καταλαμβάνων τὴν οἰκουμένην, μιᾷ γλώττῃ πάντας περιϊστάμενος. οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐνέπιπτον τοῖς λίθοις τῆς τῶν Ἱεριχουντίων πόλεως, καὶ καθῄρουν αὐτούς, ὡς ἡ τούτου φωνὴ ἠχοῦσα τὰ ὀχυρώματα τὰ διαβολικὰ καὶ ἔῤῥιπτει χαμαί, καὶ τοὺς ἐναντίους πρὸς αὐτὸν μεθίστησι. καὶ ἡνίκα συνέλεξεν αἰχμαλώτων πλῆθος, αὐτὸς τούτους ὁπλίσας, οἰκεῖον στρατόπεδον πάλιν ἐποίει, καὶ δι' αὐτῶν ἐκράτει θαυμαστῶς. Δαβὶδ τὸν Γολιὰθ καταφέρει ἀπὸ λίθου μόνου ἑνός· ἀλλ' εἰ τὰ Παύλου κατορθώματα ἐξετάσεις, παιδὸς ἔργον ἐκεῖνο, καὶ ὅσον ποιμένος καὶ στρατηγοῦ τὸ μέσον, τοσοῦτον ὄψει τὸ διάφορον. οὗτος γὰρ οὐ λίθον ῥίπτων κατέφερε τὸν Γολιάθ, ἀλλὰ φθεγγόμενος μόνον ἅπασαν τοῦ διαβόλου κατέλυε τὴν φλόγα· καὶ καθάπερ λέων βρυχώμενος, καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιείς, οὕτω πᾶσιν ἀφόρητος, καὶ πανταχοῦ μετεπήδα συνεχῶς. ἔδραμεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους, μετέστη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους, ἀνέμου ταχύτερον ἐπιών, καὶ καθάπερ μίαν οἰκίαν, ἢ πλοῖον ἕν, τὴν οἰκουμένην ἅπασαν κυβερνῶν, τοὺς μὲν βαπτιζομένους ἀνέλκων, τοὺς δὲ ἰλιγγιῶντας στηρίζων, τοῖς ναύταις διακελευόμενος, ἐπὶ τῶν αὐχένων καθήμενος, τὴν πρῴραν περισκοπῶν, σχοινία τείνων, κώπην μεταχειρίζων, ἱστίον ἕλκων, πρὸς τὸν οὐρανὸν βλέπων, πάντα αὐτὸς ὤν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεύς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ πάντα πάσχων, ἵνα τὰ ἑτέρων λύσῃ κακά. σκόπει δέ· ὑπέστη ναυάγιον, ἵνα τὸ ναυάγιον παύσῃ τῆς οἰκουμένης. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκεν, ἵνα τοῦ βυθοῦ τῆς πλάνης ἀνιμήσηται. ἐν κόπῳ γέγονεν, ἵνα τοὺς κοπιῶντας ἀναπαύσῃ. πληγὰς ὑπέμεινεν, ἵνα τοὺς ὑπὸ τοῦ διαβόλου πληγέντας ἰάσηται. ἐν φυλακαῖς διέτριψεν, ἵνα τοὺς ἐν φυλακῇ καὶ σκότῳ καθημένους εἰς φῶς ἐξαγάγῃ. ἐν θανάτοις πολλάκις, ἵνα θανάτων ἀπαλλάξῃ χαλεπῶν. πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβεν, ἵνα αὐτοὺς τοὺς ταῦτα ποιοῦντας ἐλευθερώσῃ τῆς τοῦ διαβόλου μάστιγος. ἐῤῥαβδίσθη, ἵνα ὑπὸ τὴν ῥάβδον καὶ τὴν βακτηρίαν ἀγάγῃ τοῦ Χριστοῦ. ἐλιθάσθη, ἵνα ἀπαλλάξῃ τῶν ἀναισθήτων λίθων. ἐν ἐρημίᾳ γέγονεν, ἵνα τῆς ἐρημίας ἐξέληται. ἐν ὁδοιπορίαις, ἵνα στήσῃ πλανωμένους, καὶ τὴν εἰς τὸν οὐρανὸν φέρουσαν ὁδὸν ἀνοίξῃ. ἐν πόλεσιν ἐκινδύνευσεν, ἵνα τὴν ἄνω πόλιν ὑποδείξῃ. ἐν λιμῷ καὶ δίψει, ἵνα ἀφέληται τοῦ χαλεπωτέρου λιμοῦ. ἐν γυμνότητι, ἵνα ἀσχημονοῦντας ἐνδύσῃ τὴν στολὴν τοῦ Χριστοῦ. ἐν ἐπισυστάσει ὄχλου, ἵνα τῆς περιστάσεως τῶν δαιμόνων ἀπαγάγῃ. ἐπυρώθη, ἵνα σβέσῃ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου. διὰ θυρίδος ἀπὸ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἄνω διαπέμψῃ τοὺς ἐῤῥιμμένους χαμαί. ἔτι οὖν φθεγγόμεθα, οὐδὲ εἰδότες ἅπερ ἔπαθε Παῦλος; ἔτι χρημάτων μνησθησόμεθα; ἔτι γυναικός, καὶ πόλεως, καὶ ἐλευθερίας, ἐκεῖνον αὐτῆς τῆς ζωῆς μυριάκις καταφρονοῦντα ἰδόντες; ὁ μάρτυς ἅπαξ ἀποθνήσκει· ὁ δὲ μακάριος ἐκεῖνος, ἑνὶ σώματι καὶ μιᾷ ψυχῇ τοσούτους κινδύνους ὑπέμεινεν, ὅσοι καὶ ἀδαμάντινον ἱκανοὶ θορυβῆσαι ψυχήν. καὶ ἅπερ ἅπαντες ἐν τοσούτοις σώμασιν οἱ ἅγιοι ἔπαθον, ταῦτα αὐτὸς ἐν ἑνὶ πάντα ὑπήνεγκε· καθάπερ εἰς στάδιον τὴν οἰκουμένην εἰσελθών, καὶ πρὸς πάντας ἀποδυσάμενος, οὕτως ἵστατο γενναίως. καὶ γὰρ ᾔδει τοὺς πυκτεύοντας αὐτῷ δαίμονας· διὸ καὶ λαμπρὸς εὐθέως ἐκ προοιμίων ἐφάνη. ἐξ αὐτῆς τῆς βαλβῖδος καὶ μέχρι τέλους ὅμοιος διέμεινε· μᾶλλον δὲ καὶ ἐπέτεινε τὸν διωγμόν, ἐγγὺς τοῦ βραβείου γενόμενος. καὶ τὸ δὴ θαυμαστόν, ὅτι τοσαῦτα πάσχων καὶ ποιῶν, σφόδρα μετριάζειν ᾔδει. καὶ γὰρ εἰς ἀνάγκην ἐμπεσὼν τῆς διηγήσεως τῶν οἰκείων κατορθωμάτων, ταχέως ἅπαντα παρέδραμε. καίτοιγε μυρίας βίβλους ἐνέπλησεν

αἰ,

γ. ἐπιτίθησι
γ. αἰχμαλώτων
γ. καταφέρων
γ. πεπληγότας
γ. αὐτοῦ
γ. εἶδες;
γ. κινδυνεύματα
γ. ἱκανῶς
γ. πάντα

ἂν, εἰ τῶν εἰρημένων ἕκαστον ἐξαπλῶσαι ἠβούλετο, καὶ τὰς ἐκκλησίας εἶπεν ἃς ἐμερίμνα, εἰ τὰς φυλακὰς καὶ τὰ ἐν αὐταῖς κατορθώματα, εἰ τῶν ἄλλων καθεκάστην τὰς περιστάσεις, τὰς ἐφόδους. ἀλλ' οὐκ ἠθέλησε. ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, καὶ μετριάζειν μάθωμεν, καὶ μηδέποτε ἐν πλούτῳ καυχᾶσθαι, μηδὲ ἐν τοῖς ἄλλοις βιωτικοῖς, ἀλλ' ἐπὶ ταῖς ὕβρεσι ταῖς διὰ τὸν Χριστόν, καὶ ἐπὶ ταύταις, ὅταν ἀνάγκη γένηται. ὡς εἰ μηδὲν εἴη τὸ κατεπεῖγον, μηδὲ τούτων μνημονεύωμεν, ἵνα μὴ ἐπαιρώμεθα, ἀλλὰ ἁμαρτημάτων μόνων. οὕτω γὰρ ἀπαλλαγησόμεθα αὐτῶν ῥᾳδίως, καὶ τὸν Θεὸν ἵλεων ἕξομεν, καὶ τῆς μελλούσης ἐπιτευξόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

κεφ. ιβ. Λογ. κϛ. 1 ΚΑΥΧΑΣΘΑΙ ΔΗ ΟΥ ΣΥΜΦΕΡΕΙ ΜΟΙ. ΕΛΕΥσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.

Τί τοῦτο; ὁ τοσαῦτα εἰπών, φησι, καυχᾶσθαι δὴ οὐ συμφέρει μοί φησιν, ὡς οὐδὲν εἰρηκώς; οὐχ ὡς οὐδὲν εἰρηκώς, ἀλλ' ἐπειδὴ μέλλει μεταβαίνειν εἰς ἕτερον εἶδος καυχήσεως, ὃ μισθὸν μὲν οὐκ ἔχει τοσοῦτον, λαμπρότερον δὲ δοκεῖ δεικνύναι τοῖς πολλοῖς, οὐ τοῖς ἀκριβῶς ἐξετάζουσι, φησι, καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. τὰ γὰρ μεγάλα καυχήματα, ταῦτα ἅπερ ἀπηριθμήσατο, τὰ τῶν πειρασμῶν. ἔχει δὲ καὶ ἕτερα λέγειν, τὰ τῶν ἀποκαλύψεων, τὰ τῶν ἀπορρήτων μυστηρίων. καὶ τίνος ἕνεκεν φησιν, οὐ συμφέρει μοι; ἵνα μή με εἰς ἀπόνοιαν ἐπάρῃ, φησί. τί λέγεις; ἂν γὰρ μὴ εἴπῃς αὐτά, οὐκ οἶδας αὐτά; ἀλλ' οὐχ ὁμοίως ἐπαιρόμεθα αὐτοὶ εἰδότες αὐτά, καὶ εἰς ἄλλους ἐκφέροντες. οὐ γὰρ ἡ τῶν κατορθωμάτων φύσις ἐπαίρειν εἴωθεν, ἀλλ' ἡ τῶν πολλῶν μαρτυρία καὶ γνῶσις. διὰ τοῦτο οὖν φησιν, οὐ συμφέρει μοι, καὶ ἵνα μὴ μείζονα ἐνθῶ περὶ ἐμοῦ ἔννοιαν τοῖς ἀκούουσιν. ἐκεῖνοι μὲν γὰρ οἱ ψευδαπόστολοι, καὶ τὰ οὐκ ὄντα περὶ ἑαυτῶν ἔλεγον· οὗτος δὲ καὶ τὰ ὄντα ἀποκρύπτεται, καὶ ταῦτα ἀνάγκης τοσαύτης ἐπικειμένης. καί φησιν, οὐ συμφέρει μοι, παιδεύων ἅπαντας ἐκ πολλῆς περιουσίας τὸ τοιοῦτον φεύγειν. οὐδὲν γὰρ ἔχει τὸ πρᾶγμα κέρδος, ἀλλὰ καὶ βλάβην, πλὴν ἐὰν μὴ ἀναγκαία τις ἡ πρόφασις καὶ ὠφέλιμος ἡ εἰς τοῦτο ἐνάγουσα. εἰπὼν τοίνυν τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰς ἐπιβουλάς, τὰς ἀθυμίας, τὰ ναυάγια, ἐφ' ἕτερον μεθίσταται καυχήσεως εἶδος, λέγων,

2 Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ.

3 Καὶ οἶδα ὅτι ἡρπάγη εἰς τὸν παράδεισον (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα)

4 Καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

5 Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι. Μεγάλη μὲν αὕτη ἡ ἀποκάλυψις. οὐκ αὕτη δὲ γέγονε μόνη, ἀλλὰ καὶ ἕτεραι πλείους· αὐτὸς δὲ μίαν ἐκ πολλῶν τίθησιν. ὅτι γὰρ πολλαὶ ἦσαν, ἄκουσον τί φησι· τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι. καὶ μὴν εἴποι τις ἄν, εἰ κρύψαι ἤθελε, παντελῶς ἔδει μὴ δοῦναι αἴνιγμα, μηδὲ εἰπεῖν τι τοιοῦτον· εἰ δὲ εἰπεῖν ἤθελε, σαφῶς εἰπεῖν. τίνος οὖν ἕνεκεν οὔτε σαφῶς εἶπεν, οὔτε ἐσίγησεν; ἵνα κἀνταῦθα δείξῃ ὅτι ἄκων ἐπὶ τὸ πρᾶγμα ἔρχεται. διὰ τοῦτο καὶ τὸν χρόνον ἔθηκε τῶν δεκατεσσάρων ἐτῶν. οὐδὲ γὰρ ἁπλῶς αὐτοῦ

μέμνηται

μεμένηκεν, ἀλλὰ δείκνυσιν ὅτι οὐκ ἂν ὁ τοσοῦτον καρτερήσας χρόνον, νῦν ἂν ἐξεῖπεν, εἰ μὴ πολλὴ ἦν ἡ ἀνάγκη· ἀλλ' ὅμως ἐσίγησεν ἄν, εἰ μὴ τοὺς ἀδελφοὺς ἀπολλυμένους ἑώρα. Εἰ δὲ ἐκ προοιμίων τοιοῦτος ἦν ὁ Παῦλος, ὥστε τοιαύτης καταξιωθῆναι ἀποκαλύψεως ὅτε οὔπω τοιαῦτα κατορθώματα εἶχεν, ἐννόησον ἡλίκος ἐν τεσσαρεσκαίδεκα ἔτεσι γέγονεν. Ὅρα δὲ πῶς καὶ ἐν αὐτῷ τούτῳ μετριάζει, τὰ μὲν εἰπεῖν, τὰ δὲ ὁμολογεῖν ἠγνοηκέναι. Ὅτι μὲν γὰρ ἡρπάγη, εἶπεν· εἴτε δὲ ἐν σώματι, εἴτε οὐκ ἐν σώματι, οὐκέτι φησὶν εἰδέναι. Καίτοιγε ἐξήρκει τὴν ἁρπαγὴν εἰπόντι, σιγῆσαι· νυνὶ δὲ μετριάζων, καὶ τοῦτο προστίθησι. Τί οὖν; ὁ νοῦς ἡρπάγη καὶ ἡ ψυχή, τὸ δὲ σῶμα νεκρὸν ἔμεινεν; ἀλλ' ἆρα τὸ σῶμα ἡρπάγη; ἀλλ' οὐκ ἔστιν εἰπεῖν. Εἰ γὰρ ὁ Παῦλος ἠγνόει ὁ ἁρπαγείς, καὶ τοιούτων καὶ τοσούτων τυχὼν ἀπορρήτων, πολλῷ μᾶλλον ἡμεῖς. Ὅτι μὲν γὰρ ἐν παραδείσῳ ἦν, ᾔδει, καὶ ὅτι ἐν τῷ τρίτῳ ἦν οὐρανῷ, οὐκ ἠγνόει· τὸν δὲ τρόπον οὐκ ᾔδει σαφῶς. Σκόπει δὲ καὶ ἑτέρωθεν αὐτοῦ τὸ ἄτυφον. Ἐπὶ μὲν γὰρ τῆς Δαμασκηνῶν πόλεως πιστοῦται τὸν λόγον· ἐνταῦθα δὲ οὐκέτι. Οὐδὲ γὰρ σφόδρα αὐτὸ κατασκευάσαι ἐβούλετο, ἀλλ' εἰπεῖν καὶ ἀπαλλαγῆναι μόνον. Διὸ καὶ ἐπάγει λέγων, Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, οὐ τοῦτο δηλῶν, ὅτι ἕτερός τις ἦν ὁ ἁρπαγείς· ἀλλ' ὡς ἐνεχώρει καὶ δυνατὸν ἦν καὶ εἰπεῖν, καὶ διακρούσασθαι τὸ περὶ αὑτοῦ εἰπεῖν φανερῶς, οὕτω σχηματίζει τὸν λόγον. Ποία γὰρ ἀκολουθία ἦν, περὶ ἑαυτοῦ διαλεγόμενον, ἄλλον παραγαγεῖν εἰς μέσον; τίνος οὖν ἕνεκεν οὕτως αὐτὸ τέθεικεν; Οὐκ ἦν ἴσον εἰπεῖν, ἡρπάγην, καὶ οἶδα ἁρπαγέντα· καὶ καυχῶμαι ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. Εἰ δὲ λέγοι τις, καὶ πῶς ἔνι χωρὶς σώματος ἁρπαγῆναι; ἐρήσομαι αὐτόν, πῶς δὲ ἔνι μετὰ σώματος ἁρπαγῆναι; καὶ γὰρ καὶ τοῦτο ἐκείνου ἀπορώτερον, ἐὰν λογισμοῖς ἐξετάζῃς, καὶ μὴ τῇ πίστει παραχωρῇς. Τίνος δὲ ἕνεκεν καὶ ἡρπάγη; Ὑπὲρ τοῦ μὴ δοκεῖν αὐτόν, ὡς ἔγωγε οἶμαι, ἔλαττον ἔχειν τῶν λοιπῶν ἀποστόλων. Ἐπειδὴ γὰρ ἐκεῖνοι συνεγένοντο τῷ Χριστῷ, οὗτος δὲ οὐδαμῶς, διὰ τοῦτο εἰς δόξαν ἥρπασε καὶ τοῦτον εἰς τὸν παράδεισον. Πολὺ γὰρ ὄνομα τοῦ χωρίου τούτου, καὶ πανταχοῦ ᾔδετο. Διὸ καὶ ὁ Χριστὸς ἔλεγε, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Λουκ. κγ. μγ. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. Τίνος ἕνεκεν; εἰ γὰρ ἄλλος ἡρπάγη, σὺ τί καυχᾷ; ὅθεν δῆλον, ὅτι περὶ ἑαυτοῦ ταῦτα ἔλεγεν. Εἰ δὲ ἐπήγαγεν, Ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι, ἀνάγκης οὐκ οὔσης, οὐδὲν ἐρῶ τοιοῦτον ἁπλῶς καὶ εἰκῆ· ἢ συσκιάζων πάλιν τὸ εἰρημένον, ὡς ἐνεχώρει. Ὅτι γὰρ περὶ ἑαυτοῦ πᾶς ὁ λόγος ἦν, καὶ τὰ ἑξῆς δηλοῖ. Ἐπήγαγε γοῦν λέγων,

6 Ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων. ἀλήθειαν γὰρ ἐρῶ.

Πῶς οὖν ἔμπροσθεν ἔλεγες, Ὄφελον ἠνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ, καί, Ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ὡς ἐν ἀφροσύνῃ· ἐνταῦθα δέ, ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων; Οὐ κατὰ τὸ καυχᾶσθαι, ἀλλὰ κατὰ τὸ ψεύδεσθαι. Εἰ γὰρ τὸ καυχᾶσθαι ἀφροσύνης, πόσῳ μᾶλλον τὸ ψεύδεσθαι; κατὰ τοῦτο οὖν, φησίν, οὐκ ἔσομαι ἄφρων. Διὸ καὶ ἐπήγαγεν, ἀλήθειαν γὰρ ἐρῶ. Φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Αὕτη ἐστὶν ἡ ὡμολογημένη αἰτία. Καὶ γὰρ καὶ θεοὺς αὐτοὺς ἐνόμισαν διὰ τὸ μέγεθος τῶν σημείων. Καθάπερ οὖν ἐπὶ τῶν στοιχείων ἀμφότερα πεποίηκεν ὁ Θεός, καὶ ἀσθενῆ, καὶ λαμπρότερα κατεσκεύασε, τὸ μέν, ἵνα κηρύξῃ τὴν αὐτοῦ δύναμιν, τὸ δέ, ἵνα κωλύσῃ τῶν ἀνθρώπων τὴν πλάνην· οὕτω δὴ καὶ ἐνταῦθα καὶ θαυμαστοὶ ἦσαν, καὶ ἀσθενεῖς, ὥστε διὰ τῶν ἔργων παιδεύεσθαι τοὺς ἀπίστους. Εἰ γὰρ μένοντες θαυμαστοὶ μόνον, καὶ μηδὲν ἀσθενείας δεῖγμα φέροντες, λόγῳ τοὺς πολλοὺς ἀπῆγον τοῦ μείζονα περὶ αὐτῶν ὑποπτεύειν τῆς ἀληθείας, οὐ μόνον οὐδὲν ἂν ἤνυσαν, ἀλλὰ καὶ τὰ ἐναντία ἂν κατεσκεύασαν. Αἱ γὰρ διὰ τῶν λόγων γινόμεναι παραιτήσεις, ταπεινοφροσύνης ἂν ἔδοξαν εἶναι μᾶλλον, καὶ πλεῖον αὐτοὺς θαυμασθῆναι παρεσκεύασαν. Διὰ τοῦτο, ἔργῳ καὶ

πράγμασι

β. Κορ. ια. α. καὶ ιζ.

πράγμασιν ἡ ἀσθένεια αὐτῶν ἐξεκαλύπτετο. καὶ τοῦτο ἴδοι τις ἂν ἐπὶ τῶν ἐν τῇ παλαιᾷ γενομένων ἀνθρώπων. καὶ γὰρ ὁ Ἠλίας θαυμαστὸς ἦν, ἀλλ᾽ ἠλέγχθη ποτὲ ὑπὸ δειλίας. καὶ ὁ Μωϋσῆς μέγας· ἀλλὰ καὶ οὗτος δι᾽ αὐτὸ τοῦτο τὸ πάθος ἐδραπέτευσε. ταῦτα δὲ ἔπασχον, τοῦ Θεοῦ ἀφιστῶντος, καὶ συγχωροῦντος ἐλεγχθῆναι τὴν ἀνθρωπίνην φύσιν. εἰ γὰρ, ἐπειδὴ ἐξήγαγεν αὐτούς, λέγουσι, Ποῦ ἐστι Μωϋσῆς; εἰ καὶ εἰσήγαγε, τί οὐκ ἂν εἶπον; διὰ τοῦτο καὶ αὐτός φησι, Φείδομαι μή τις εἰς ἐμὲ λογίσηται. οὐκ εἶπεν, εἴπῃ, ἀλλ᾽, ἵνα μηδὲ λογίσηταί τι μεῖζον τῆς ἀξίας τῆς ἐμῆς. ὥστε κἀντεῦθεν δῆλον, ὅτι περὶ αὐτοῦ πᾶς ὁ λόγος. διὸ καὶ ἀρχόμενος ἔλεγε, καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. οὐκ ἂν, εἰ περὶ ἑτέρου ἔμελλεν ἐρεῖν ἅπερ εἶπε, τοῦτο εἶπε. τίνος γὰρ ἕνεκεν οὐ συμφέρει περὶ ἑτέρου καυχᾶσθαι; ἀλλ᾽ αὐτὸς ἦν ὁ τούτων ἀξιωθείς· διὸ καὶ ἐπάγει λέγων,

7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν ἵνα με κολαφίζῃ. Τί λέγεις; ὁ τὴν βασιλείαν οὐδὲν εἶναι νομίζων, οὐδὲ τὴν γέενναν πρὸς τὸν πόθον τοῦ Χριστοῦ, τὴν παρὰ τῶν πολλῶν ἐνόμιζέ τι εἶναι τιμήν, ὥστε καὶ ἐπαρθῆναι, καὶ διηνεκοῦς δεῖσθαι τοῦ χαλινοῦ; οὐ γὰρ εἶπεν, ἵνα κολαφίσῃ, ἀλλ᾽ ἵνα κολαφίζῃ. καὶ τίς ἂν τοῦτο εἴποι; τί οὖν ἐστι τὸ λεγόμενον; ὅταν ἀνακαλύψωμεν τίς ποτέ ἐστιν ὁ σκόλοψ, καὶ τίς ὁ ἄγγελος τοῦ Σατᾶν, τότε καὶ τοῦτο ἐροῦμεν. τινὲς μὲν οὖν κεφαλαλγίαν τινὰ ἔφασαν αὐτὸν λέγειν ὑπὸ τοῦ διαβόλου γινομένην. ἀλλὰ μὴ γένοιτο. οὐ γὰρ ἂν τὸ σῶμα τοῦ Παύλου ταῖς τοῦ διαβόλου χερσὶν ἐξεδόθη, ὅπουγε αὐτὸς ὁ διάβολος ἐπιτάγματι μόνον εἶκεν αὐτῷ τῷ Παύλῳ· καὶ νόμους αὐτῷ καὶ ὅρους ἐτίθει, ὅτε τὸν πορνεύοντα παρέδωκεν εἰς ὄλεθρον τῆς σαρκός· καὶ ὑπερβῆναι τούτους οὐκ ἐτόλμησεν ἐκεῖνος. τί οὖν ἐστι τὸ λεγόμενον; Σατᾶν ὁ ἀντικείμενος λέγεται τῇ τῶν Ἑβραίων φωνῇ. καὶ ἐν τῇ τρίτῃ τῶν βασιλειῶν, τοὺς ἀντικειμένους οὕτως ἐκάλεσεν ἡ γραφή. καὶ περὶ τοῦ Σολομῶντος διηγουμένη φησίν, Οὐκ ἦν Σατᾶν ἐν ταῖς ἡμέραις αὐτοῦ· τουτέστιν, ἀντικείμενος, πολεμῶν, ἢ ἐνοχλῶν. (γ. Βασ. ε. δ.) ὃ τοίνυν λέγει τοῦτό ἐστιν· οὐκ εἴασεν ὁ Θεὸς προχωρῆσαι τὸ κήρυγμα, τὸ φρόνημα καταστέλλων ἡμῶν· ἀλλὰ συνεχώρησε τοῖς ἀντικειμένοις ἐπιτίθεσθαι ἡμῖν. τοῦτο μὲν γὰρ ἱκανὸν ἦν καταστεῖλαι τὸ φρόνημα· ἐκεῖνο δὲ οὐκέτι, τὸ τῆς κεφαλαλγίας. ἀγγέλους τοίνυν Σατᾶν λέγει Ἀλέξανδρον τὸν χαλκέα, τοὺς περὶ Ὑμέναιον καὶ Φιλητόν, πάντας τοὺς ἀντικειμένους τῷ λόγῳ, τοὺς φιλονεικοῦντας αὐτῷ καὶ πολεμοῦντας, τοὺς ἐμβάλλοντας εἰς δεσμωτήριον, τοὺς δέροντας, τοὺς ἀπάγοντας· ἐπειδὴ τὰ τοῦ Σατανᾶ ἔπραττον. ὥσπερ οὖν υἱοὺς διαβόλου καλεῖ τοὺς Ἰουδαίους τοὺς ἐκείνου ζηλοῦντας, οὕτω καὶ ἀγγέλους Σατᾶν ἅπαντας τοὺς ἀντιπίπτοντας. τοῦτο οὖν, φησιν, ἐδόθη μοι σκόλοψ, ἵνα με κολαφίζῃ. οὐχ ὡς τοῦ Θεοῦ τοὺς τοιούτους ὁπλίζοντος (μὴ γένοιτο) οὐ κολάζοντος, οὐδὲ τιμωρουμένου, ἀλλὰ συγχωροῦντος καὶ ἀφιέντος τέως.

8 Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα. Τουτέστι, πολλάκις. καὶ τοῦτο πολλῆς ταπεινοφροσύνης, τὸ μὴ κρύψαι ὅτι οὐκ ἔφερε τὰς ἐπιβουλάς, ὅτι ἔκαμνε, καὶ δεήσεως ἐδεῖτο ὑπὲρ ἀπαλλαγῆς.

9 Καὶ εἶπέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Τουτέστιν, ἀρκεῖ σοι ὅτι νεκροὺς ἐγείρεις, ὅτι τυφλοὺς θεραπεύεις, ὅτι λεπροὺς καθαίρεις, ὅτι τὰ ἄλλα θαυματουργεῖς. μὴ ζήτει καὶ τὸ ἀκίνδυνον, καὶ τὸ ἀδεές, καὶ τὸ χωρὶς πραγμάτων κηρύττειν. ἀλλὰ ἀλγεῖς, καὶ ἀθυμεῖς; μὴ δόξῃ τοῦτο ἀσθενείας εἶναι ἐμῆς, τὸ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας, καὶ δέροντάς σε, καὶ ἐλαύνοντας, καὶ μαστίζοντας. τοῦτο μὲν οὖν αὐτὸ δείκνυσί μου τὴν δύναμιν. ἡ γὰρ δύναμίς μου, φησιν, ἐν ἀσθενείᾳ τελειοῦται, ὅταν διωκόμενοι τῶν διωκόντων περιγένησθε, ὅταν ἐλαυνόμενοι τῶν ἐλαυνόντων κρατῆτε, ὅταν δεσμούμενοι τοὺς δεσμοῦντας τρέπησθε. μὴ τοίνυν ζήτει τὰ περιττά. ὁρᾷς πῶς ἄλλην μὲν αἰ-

τίαν

πλὴν αὐτὸς ἐτίθησιν, ἄλλην δὲ ὁ Θεός· αὐτὸς μὲν γάρ λέγει, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί· τὸν δὲ Θεὸν εἰρηκέναι φησίν, ὑπὲρ τοῦ δεῖξαι τὴν δύναμιν αὐτοῦ, τοῦτο συγχωρεῖν. οὐ τοίνυν περιττὸν μόνον ζητεῖς, ἀλλὰ καὶ ἐπισκοτοῦν τῇ τῆς δυνάμεώς μου δόξῃ πρᾶγμα. τὸ γάρ, ἀρκεῖ σοι, τοῦτο δηλοῦντός ἐστιν, ὡς οὐκ ὀφείλοντος προστεθῆναι ἑτέρου τινός, ἀλλ' ὡς τοῦ παντὸς ἀπηρτισμένου. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ κεφαλαλγίας φησίν. οὐ γὰρ δὴ νοσοῦντες ἐκήρυττον (οὐ γὰρ ἠδύναντο κηρύττειν ἀσθενοῦντες) ἀλλ' ὅτι ἐλαυνόμενοι, διωκόμενοι πάντων περιεγίνοντο. ἐπεὶ οὖν ταῦτα ἤκουσα, φησίν,

Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. Ἵνα γὰρ μὴ καταπέσωσιν, ἐκείνων τῶν ψευδαποστόλων ἐπὶ τοῖς ἐναντίοις καυχωμένων, καὶ τούτων ὄντων ἐν διωγμοῖς, δείκνυσιν, ὅτι διὰ τοῦτο λαμπρότερος γίνεται, καὶ οὕτω μᾶλλον ἡ δύναμις τοῦ Θεοῦ διαλάμπει, καὶ καυχήσεως ἄξια τὰ γινόμενα. διό φησιν, ἥδιστα οὖν καυχήσομαι. οὐχὶ λυπούμενος ταῦτα εἶπον ἅπερ ἀπηριθμησάμην, ἢ τοῦτο ὅπερ εἴρηκα νῦν, ὅτι ἐδόθη μοι σκόλοψ, ἀλλ' ἐγκαλλωπιζόμενος καὶ πλείονα δύναμιν ἐφελκόμενος. διὸ καὶ ἐπάγει,

Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. Ἐνταῦθα καὶ ἑτέραν τινὰ αἰνίττεται· ὅτι ὅσῳ τὰ τῶν πειρασμῶν ἐπετείνετο, τοσούτῳ τὰ τῆς χάριτος ηὔξετο καὶ ἐπέμενε.

γρ. συμβῆναι
γρ. ἐπεγίνετο,

10 Διὸ εὐδοκῶ ἐν ἀσθενείαις πολλαῖς. Ποίαις, εἰπέ μοι; Ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις. Εἶδες πῶς αὐτὴν νῦν ἀπεκάλυψε σαφέστατα; λέγων γὰρ τῆς ἀσθενείας τὸ εἶδος, οὐκ εἶπε πυρετούς, ἢ περίοδόν τινα τοιαύτην, ἢ ἄλλην ἀρρωστίαν σωματικήν, ἀλλὰ ὕβρεις, διωγμούς, στενοχωρίας. Εἶδες ψυχὴν εὐγνώμονα; ἐπιθυμεῖ ἀπαλλαγῆναι τῶν δεινῶν. ὅτε δὲ ἤκουσε παρὰ τοῦ Θεοῦ, ὅτι οὐ δεῖ τοῦτο γίνεσθαι, οὐ μόνον οὐκ ἠθύμησεν ἀποτυχὼν τῆς εὐχῆς, ἀλλὰ καὶ ηὐφράνθη. διὸ ἔλεγεν, εὐδοκῶ, χαίρω, ἐπιθυμῶ ὑβρίζεσθαι, διώκεσθαι, στενοχωρεῖσθαι ὑπὲρ Χριστοῦ. ταῦτα δὲ ἔλεγε, κἀκείνους καταστέλλων, καὶ τούτων ἐπαίρων τὰ φρονήματα, ἵνα μὴ αἰσχύνωνται τοῖς Παύλου παθήμασιν. ἀρκεῖ γὰρ ἡ ὑπόθεσις πάντων ποιῆσαι λαμπροτέρους. Εἶτα καὶ ἄλλην αἰτίαν τίθησιν. Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

γρ. ἐπιδοῦναι ἀπαλλαγὴν

Τί θαυμάζεις, εἰ τοῦ Θεοῦ ἡ δύναμις τότε διαδείκνυται; καὶ ἐγὼ τότε δυνατός εἰμι. τότε γὰρ μάλιστα ἡ χάρις ἐπῄει. καθὼς γὰρ περισσεύει τὰ παθήματα αὐτοῦ, περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.

Ὅπου θλίψις, ἐκεῖ καὶ παράκλησις· ὅπου παράκλησις, ἐκεῖ καὶ χάρις. ὅτε γοῦν ἐνέπεσεν εἰς τὸ δεσμωτήριον, τότε τὰ θαυμαστὰ ἐποίησεν ἐκεῖνα· ὅτε ἐναυάγησε καὶ εἰς τὴν βάρβαρον ἐξωρίσθη χώραν, τότε μάλιστα ἐδοξάσθη· ὅτε εἰς τὸ δικαστήριον εἰσῆλθε δεδεμένος, τότε καὶ τὸν δικαστοῦ περιεγένετο. οὕτω καὶ ἐν τῇ παλαιᾷ συνέβαινεν· ἐν τοῖς πειρασμοῖς ἤνθουν οἱ δίκαιοι. οὕτως οἱ τρεῖς παῖδες, οὕτως ὁ Δανιήλ, καὶ Μωϋσῆς, καὶ Ἰωσήφ· πάντες ἐντεῦθεν λαμπροί, καὶ μεγάλων κατηξιώθησαν στεφάνων. τότε γὰρ καὶ ἡ ψυχὴ καθαίρεται, ὅτε διὰ τὸν Θεὸν θλίβεται· τότε μείζονος ἀπολαύει βοηθείας, πλείονος δεομένη συμμαχίας, καὶ πλείονος ἀξία χάριτος. καὶ πρὸ τοῦ μισθοῦ δὲ τοῦ παρὰ τοῦ Θεοῦ κειμένου, μεγάλα καρποῦται ἀγαθὰ φιλόσοφος γινομένη. καὶ γὰρ τὸν τῦφον περιαιρεῖ, καὶ τὴν ῥᾳθυμίαν ἐκκόπτει πᾶσαν ἡ θλίψις, καὶ πρὸς ὑπομονὴν ἀλείφει· ἐκκαλύπτει τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν, καὶ πολλὴν εἰσάγει φιλοσοφίαν. πάντα γὰρ αὐτῇ παραχωρεῖ τὰ πάθη, βασκανία, ζῆλος, ἐπιθυμία, δυναστεία χρημάτων, ἔρως σωμάτων, ἀλαζονεία, τῦφος, θυμός, ἅπας ὁ λοιπὸς τῶν νοσημάτων τούτων ἑσμός. καὶ εἰ βούλει ἐπ' αὐτῶν τῶν πραγμάτων ἰδεῖν, καὶ ἄνδρα ἰδίᾳ, καὶ δῆμον ὁλόκληρον, δυνήσομαί σοι δεῖξαι, καὶ ἐν θλίψει γινομένους, καὶ ἐν ἀνέσει, καὶ διδάξαι πόσον ἐντεῦθεν τὸ κέρδος, καὶ πόση ἐκεῖθεν ἡ ῥᾳθυμία. καὶ γὰρ ὁ τῶν Ἑβραίων δῆμος, ὅτε

ΗΘΙΚΟΝ

μὴ ἐνεκαλοῦντο καὶ ἠλαύνοντο, ἔστενον, καὶ τὸν Θεὸν παρεκάλουν, καὶ πολλὴν ἄνωθεν ἐπεσπῶντο τὴν ῥοπήν· ὅτε δὲ ἐλιπάνθησαν, ἀπεσκίρτησαν. οἱ Νινευῖται πάλιν, ὅτε μὲν ἀδείας ἀπήλαυον, οὕτω τὸν Θεὸν παρώξυνον, ὡς ὁλόκληρον ἀπειλῆσαι τὴν πόλιν ἐκ βάθρων ἀνασπᾶν· ὅτε δὲ ὑπὸ τοῦ κηρύγματος ἐταπεινώθησαν ἐκείνου, πᾶσαν ἐπεδείξαντο φιλοσοφίαν. εἰ δὲ καὶ ἄνδρα καθ' ἑαυτὸν ἰδεῖν ἐθέλεις, ἐννόησόν μοι τὸν Σολομῶντα. καὶ γὰρ οὗτος ὅτε μὲν ἦν ἐν φροντίσι καὶ ταραχῇ περὶ τῆς ἀρχῆς τοῦ ἔθνους ἐκείνου βουλευόμενος, τῆς ὄψεως ἠξιώθη ἐκείνης· ὅτε δὲ ἐν τρυφῇ γέγονεν, εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον ἐξωλίσθησε. τί δὲ ὁ τούτου πατήρ; πότε θαυμαστὸς ἦν καὶ παράδοξος; οὐχ ὅτε ἐν πειρασμοῖς ἦν; ὁ δὲ Ἀβεσσαλὼμ οὐχ, ἕως μὲν ἔφευγεν, ἐσωφρόνει, ἐπειδὴ δὲ ἐπανῆλθε, καὶ τυραννικὸς καὶ πατραλοίας ἐγένετο; τί δὲ ὁ Ἰώβ; ἦν μὲν γὰρ λαμπρὸς μὲν ἦν καὶ ἐν ἀνέσει· λαμπρότερος δὲ μετὰ τὴν θλίψιν ἐφάνη. καὶ τί δεῖ λέγειν τὰ ἀρχαῖα καὶ παλαιά; ἂν γάρ τὰ ἡμέτερά τις ἐξετάσῃ τὰ νῦν, ὄψεται ἡλίκον τῆς θλίψεως τὸ κέρδος. νῦν μὲν γὰρ εἰρήνης ἀπολαύοντες, διαπεπτώκαμεν, καὶ διερρύημεν, καὶ μυρίων τὴν ἐκκλησίαν ἐνεπλήσαμεν κακῶν· ὅτε δὲ ἠλαυνόμεθα, καὶ σωφρονέστεροι, καὶ ἐπιεικέστεροι, καὶ σπουδαιότεροι, καὶ περὶ τοὺς συλλόγους τούτους ἦμεν προθυμότεροι, καὶ περὶ τὴν ἀκρόασιν. ὅπερ γὰρ τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο ἡ θλίψις ταῖς ψυχαῖς, τὸν ῥύπον ἀποσμήχουσα, καθαροὺς ἐργαζομένη, λαμπροὺς κατασκευάζουσα, καὶ φαιδρούς. αὕτη εἰς βασιλείαν εἰσάγει, ἐκείνη δὲ εἰς γέενναν. διὸ ἡ μὲν ὁδός ἐστιν εὐρύχωρος, ἡ δὲ στενή. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ὡς μέγα τι καταβάλλων ἡμῖν ἀγαθόν. εἰ τοίνυν μαθητὴς εἶ, τὴν στενὴν καὶ τεθλιμμένην ὅδευε, μηδὲ δυσχέραινε, μηδὲ ἀποδυσπέτει. κἂν γὰρ οὕτω μὴ θλιβῇς, ἀνάγκη θλιβῆναι πάντως ἐξ ἑτέρας ὑποθέσεως ἀκερδοῦς. καὶ γὰρ ὁ βάσκανος, καὶ ὁ χρημάτων ἐρῶν, καὶ ὁ πόρνης περικαιόμενος, καὶ ὁ κενόδοξος, καὶ τῶν ἄλλων ἕκαστος τῶν τὰ πονηρὰ ἐπιόντων πολλὰς ἀθυμίας ὑπομένει καὶ θλίψεις, καὶ τῶν πενθούντων οὐκ ἔλαττον θλίβεται. εἰ δὲ μὴ δακρύει, μηδὲ πενθεῖ, δι' αἰσχύνην καὶ ἀναισθησίαν. ὡς εἴγε τὴν ψυχὴν αὐτοῦ καταμάθοις, μυρίων ὄψει κυμάτων γέμουσαν. ὅταν οὖν καὶ οὗτοι καὶ ἐκεῖνοι μετιόντες τὸν βίον ἀνάγκη θλίβεσθαι, διὰ τί μὴ τοῦτον αἱρούμεθα τὸν μετὰ θλίψεως μυρίους φέροντα στεφάνους; καὶ γὰρ τοὺς ἀγίους ἀποστόλους οὕτως ἤγαγεν ὁ Θεὸς διὰ θλίψεως καὶ στενοχωρίας, ὁμοῦ μὲν ἐκείνους ὠφελῶν, ὁμοῦ δὲ τοὺς λοιποὺς ἀσφαλιζόμενος, ὥστε μὴ μείζονα τῆς ἀξίας περὶ αὐτῶν δόξαν ἔχειν. οὕτω γὰρ καὶ εἰδωλολατρείας τὴν ἀρχὴν ἐκράτησαν, τῶν ἀνθρώπων ὑπὲρ τὴν ἀξίαν θαυμαζομένων· οὕτως Ἀλέξανδρον τρισκαιδέκατον ἐνόμισεν εἶναι θεὸν ἡ σύγκλητος Ῥωμαίων. καὶ γὰρ αὕτη ταύτην εἶχε τὴν ἀξίαν χειροτονεῖν καὶ ἐγκρίνειν θεούς. ὅτε γοῦν τὰ κατὰ Χριστὸν ἀπηγγέλη πάντα, ἔπεμψεν ὁ τοῦ ἔθνους ἄρχων πυνθανόμενος, εἰ δοκεῖ αὐτοῖς καὶ αὐτὸν χειροτονῆσαι Θεόν. οἱ δὲ οὐκ ἐπένευσαν, ὀργιζόμενοι καὶ ἀγανακτοῦντες, ὅτι παρὰ τῆς αὐτῶν ψήφου καὶ γνώμης, ἡ δύναμις τοῦ σταυρωθέντος ἐκλάμψασα, εἰς τὸ οἰκεῖον ἐπεσπάσατο σέβας τὴν οἰκουμένην ἅπασαν. τοῦτο δὲ ᾠκονομεῖτο καὶ ἀκόντων αὐτῶν, ὥστε μὴ ἐξ ἀνθρωπίνης ψήφου τὴν θεότητα ἀνακηρυχθῆναι τοῦ Χριστοῦ, μηδὲ ἕνα τῶν πολλῶν αὐτὸν εἶναι νομισθῆναι τῶν ὑπ' ἐκείνων χειροτονηθέντων. καὶ γὰρ καὶ πύκτας θεοὺς ἐνόμισαν, καὶ τὰ παιδικὰ τὰ Ἀδριανοῦ· ὅθεν καὶ ἡ πόλις Ἀντίνοος λέγεται. ἐπειδὴ γὰρ θάνατος καταμαρτυρεῖ τῆς θνητῆς φύσεως, ἐφεῦρεν ὁ διάβολος ἑτέραν ὁδόν, τὴν τῆς ψυχῆς ἀθανασίαν, ᾗ τὴν ὑπερβάλλουσαν κολακείαν ἀναμίξας, εἰς ἀσέβειαν πολλοὺς ἐξήγαγε. καὶ θέα κακουργίαν. ὅταν μὲν ἡμεῖς εἰς δέον αὐτὴν παράγωμεν, ἀνατρέπει τὸν λόγον· ὅταν δὲ εἰς βλάβην αὐτὸς κατασκευάζειν βούληται, μετὰ πολλῆς αὐτὴν ἵστησι τῆς σπουδῆς. κἂν εἴποι τις, πόθεν θεὸς Ἀλέξανδρος; οὐχὶ τέθνηκε καὶ ἀθλίως; ἀλλ' ἀθάνατος ἡ ψυχή, φησί. νῦν ὑπὲρ ἀθανασίας ποιῇ τὸν λόγον, καὶ φιλοσοφεῖς, ἵνα ἀποστήσῃς τοῦ ἐπὶ

πάντων

Margin notes: χ. περ… | χ. …οὺς ἐργάζε(ται), λαμπρούς | Ἰωαν. ις. λγ. | χ. …δράς | χ. κατελαμβάνον ἡμᾶς | χ. ἐξουσίαν

πάντων Θεοῦ. ὅταν δὲ ἡμεῖς λέγωμεν τοῦτο μέγιστον τοῦ Θεοῦ τὸ δῶρον, σὺ ταπεινούς, καὶ χαμαιπετεῖς, καὶ τῶν ἀλόγων οὐδὲν ἄμεινον διακειμένους, ὡς ἠπατημένους πείθεις. κἂν εἴπωμεν, ὅτι ὁ ἐσταυρωμένος ζῇ, γέλως εὐθέως, καίτοι τῆς οἰκουμένης βοώσης ἁπάσης, καὶ πάλαι, καὶ νῦν· τότε μὲν ἀπὸ τῶν σημείων, νῦν δὲ ἀπὸ τῶν ἐπιστρεψάντων. οὐ γὰρ δὴ νεκροῦ ταῦτα τὰ κατορθώματα. ἂν δ' εἴποι τις, ὅτι Ἀλέξανδρος ζῇ, πιστεύεις καίτοιγε οὐδὲν ἔχων σημεῖον εἰπεῖν. ναί, φησι. πολλὰ γὰρ καὶ μεγάλα κατώρθωσε ζῶν. καὶ γὰρ καὶ ἔθνη καὶ πόλεις ὑπέταξε, καὶ πολέμους πολλοὺς καὶ μάχας ἐνίκησε, καὶ τρόπαια ἔστησεν. ἐὰν οὖν ἐγὼ δείξω, ὅπερ ἐκεῖνος ζῶν οὐκ ἐνενόησεν, οὐκ αὐτός, οὐκ ἄλλος τις τῶν πώποτε γενομένων ἀνθρώπων, ποίαν ἑτέραν ζητεῖς ἀναστάσεως ἀπόδειξιν; τὸ μὲν γὰρ ζῶντα κατορθοῦν πολέμους καὶ νίκας βασιλέα ὄντα, καὶ στρατόπεδα ἔχοντα, θαυμαστὸν οὐδέν, οὐδὲ παράδοξον καὶ καινόν· τὸ δὲ μετὰ σταυρὸν καὶ τάφον τοσαῦτα ἐργάσασθαι πανταχοῦ γῆς καὶ θαλάττης, τοῦτό ἐστι τὸ μάλιστα πολλῆς ἐκπλήξεως γέμον, καὶ τὴν θείαν καὶ ἀπόρρητον ἀνακηρύττον δύναμιν. καὶ ὁ μὲν Ἀλέξανδρος μετὰ τὴν τελευτὴν αὐτοῦ, διασπασθεῖσαν τὴν ἀρχὴν αὐτοῦ καὶ πάλαι ἀφανισθεῖσαν οὐκ ἐπανήγαγε. πῶς γὰρ ἔμελλεν ὁ νεκρός; ὁ δὲ Χριστὸς τότε αὐτὴν μάλιστα ἔστησεν, ὅτε ἐτελεύτησε. καὶ τί λέγω περὶ τοῦ Χριστοῦ, ὅπου γε καὶ τοῖς μαθηταῖς αὐτοῦ, μετὰ τὸ τελευτῆσαι, λάμψαι ἔδωκε; ποῦ γάρ, εἰπέ μοι, τὸ σῆμα Ἀλεξάνδρου; δεῖξόν μοι, καὶ εἰπὲ τὴν ἡμέραν καθ' ἣν ἐτελεύτησε. τῶν δὲ δούλων τοῦ Χριστοῦ καὶ τὰ σήματα λαμπρά, τὴν βασιλικωτάτην καταλαβόντα πόλιν· καὶ ἡμέραι καταφανεῖς, ἑορτὴν τῇ οἰκουμένῃ ποιοῦσαι. καὶ τὸ μὲν ἐκείνου καὶ οἱ οἰκεῖοι ἀγνοοῦσι, τὸ δὲ τούτου καὶ οἱ βάρβαροι ἐπίστανται. καὶ οἱ τάφοι τῶν δούλων τοῦ σταυρωθέντος λαμπρότεροι τῶν βασιλικῶν εἰσιν αὐλῶν, οὐ τῷ μεγέθει καὶ τῷ κάλλει τῶν οἰκοδομημάτων μόνον (καὶ τούτῳ μὲν γὰρ κρατοῦσιν) ἀλλ', ὃ πολλῷ πλέον ἐστί, τῇ σπουδῇ τῶν συνιόντων. καὶ γὰρ αὐτὸς ὁ τὴν ἁλουργίδα περικείμενος ἀπέρχεται τὰ σήματα ἐκεῖνα περιπτυξόμενος, καὶ τὸν τῦφον ἀποθέμενος ἕστηκε δεόμενος τῶν ἁγίων, ὥστε αὐτοῦ προστῆναι παρὰ τῷ Θεῷ, καὶ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως προστατῶν καὶ τετελευτηκότων δεῖται ὁ τὸ διάδημα ἔχων. τολμήσεις οὖν, εἰπέ μοι, τὸν τούτων δεσπότην νεκρὸν εἰπεῖν, οὗ οἱ οἰκέται καὶ τετελευτηκότες, προστάται τῶν τῆς οἰκουμένης βασιλέων εἰσί; καὶ τοῦτο οὐκ ἐν τῇ Ῥώμῃ ἴδοι τις ἂν γινόμενον μόνον, ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει. καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταντῖνον τὸν μέγαν μεγάλῃ τιμῇ τιμᾶν ἐνόμισεν ὁ παῖς, εἰ τοῖς προθύροις καταθοῖτο τοῦ ἁλιέως· καὶ ὅπερ εἰσὶν οἱ πυλωροὶ τοῖς βασιλεῦσιν ἐν τοῖς βασιλείοις, τοῦτο ἐν τῷ σήματι οἱ βασιλεῖς τοῖς ἁλιεῦσι. καὶ οἱ μέν, ὥσπερ δεσπόται τοῦ τόπου τὰ ἔνδον κατέχουσιν, οἱ δέ, ὡς πάροικοι καὶ γείτονες ἠγάπησαν τὰς αὐλείους αὐτοῖς ἀφορισθῆναι θύρας, ἀπὸ τῶν ἐνταῦθα καὶ τοῖς ἀπίστοις ἐπιδεικνύντες, ὅτι πλείων ἐν τῇ ἀναστάσει ἡ ὑπεροχὴ ἔσται τοῖς ἁλιεῦσιν. εἰ γὰρ ἐνταῦθα οὕτως ἐν τοῖς τάφοις, πολλῷ μᾶλλον ἐν τῇ ἀναστάσει. καὶ ἀντήλλακται ἡ τάξις· οἱ μὲν βασιλεῖς οἰκετῶν καὶ ὑπηρετῶν, οἱ δὲ ἀρχόμενοι βασιλέων τὴν ἀξίαν περίκεινται, μᾶλλον δὲ καὶ λαμπροτέραν. καὶ ὅτι οὐ κολακεία τὸ πρᾶγμα, αὐτὴ δείκνυσιν ἡ ἀλήθεια. ἀπὸ γὰρ ἐκείνων καὶ οὗτοι λαμπρότεροι γεγόνασι. πολὺ γὰρ τῶν ἄλλων τάφων τῶν βασιλικῶν τὰ σήματα ταῦτα σεμνότερα. ἐκεῖ μὲν γὰρ πολλὴ ἡ ἐρημία, ἐνταῦθα δὲ πολλὴ ἡ πανήγυρις. εἰ δὲ βούλει καὶ ταῖς βασιλικαῖς παραβαλεῖν αὐλαῖς τοὺς τάφους τούτους, πάλιν ἐνταῦθα τὰ νικητήρια. ἐκεῖ μὲν γὰρ πολλοὶ οἱ σοβοῦντες, ἐνταῦθα δὲ πολλοὶ οἱ καλοῦντες καὶ ἐπισπώμενοι πλουσίους, πένητας, ἄνδρας, γυναῖκας, δούλους, ἐλευθέρους· ἐκεῖ πολὺς ὁ φόβος, ἐνταῦθα ἄφατος ἡ ἡδονή. ἀλλὰ γλυκὺ θέαμα χρυσοφοροῦντα βασιλέα καὶ ἐστεφανωμένον ἰδεῖν, καὶ παρεστῶτας στρατηγούς, ἄρχοντας, ταξιάρχους, φυλάρχους, ὑπάρχους. ἀλλὰ τὰ ἐνταῦθα τοσούτῳ σεμνότερα καὶ φρικωδέστερα, ὡς ἐκεῖνα

γρ. πτο
γρ. πτοιῦς.

γρ. πρὸς ἔνδον
μένουσιν.
γρ. αὐλείαν

σκηνὴν εἶναι καὶ παιδιὰν νομίσαι πρὸς ταῦτα. ἅμα γὰρ ἐπέβης τῶν οὐδῶν, καὶ πρὸς τὸν οὐρανὸν ὁ τόπος τὴν διάνοιαν παρέπεμψε, πρὸς τὸν ἄνω βασιλέα, πρὸς τὸ στρατόπεδον τῶν ἀγγέλων, πρὸς τὸν θρόνον τὸν ὑψηλὸν, πρὸς τὴν δόξαν τὴν ἀπόρρητον. καὶ ἐνταῦθα μὲν ἐπέταξεν ἄρχων τῶν ὑποκειμένων τὸν μὲν λῦσαι, τὸν δὲ δῆσαι· τὰ δὲ ὀστᾶ τῶν ἁγίων οὐ ταύτην ἔχει τὴν ἐξουσίαν τὴν οἰκτρὰν καὶ ταπεινὴν, ἀλλ' ἐκείνην τὴν πολλῷ μείζονα. δαίμονας γὰρ παρίστησι, καὶ βασανίζει, καὶ τῶν δεσμῶν ἐκείνων τῶν πικροτάτων ἀπολύει τοὺς δεδεμένους. τί φοβερώτερον τοῦ δικαστηρίου τούτου; οὐδενὸς ὁρωμένου, οὐδενὸς ἐπικειμένου ταῖς πλευραῖς τοῦ δαίμονος, φωναὶ καὶ σπαραγμοὶ, μάστιγες, βάσανοι, γλῶσσαι ἐμπιπράμεναι, τοῦ δαίμονος οὐ φέροντος τὴν θαυμαστὴν δύναμιν ἐκείνην. καὶ οἱ τὰ σώματα φορέσαντες, τῶν ἀσωμάτων κρατοῦσι δυνάμεων· ἡ κόνις, καὶ τὰ ὀστᾶ, καὶ ἡ τέφρα τὰς ἀοράτους ἐκείνας διαξαίνει φύσεις. διὰ δὴ τοῦτο, ὑπὲρ μὲν τοῦ βασιλικὰς ἰδεῖν αὐλὰς οὐδεὶς ἄν ποτε ἀποδημήσειε· βασιλεῖς δὲ πολλοὶ πολλάκις ἀποδεδημήκασι ταύτης ἕνεκεν τῆς θεωρίας. τῆς γὰρ μελλούσης κρίσεως εἰκόνα καὶ σύμβολα τὰ μαρτύρια τῶν ἁγίων παρέχεται, δαιμόνων μαστιζομένων, ἀνθρώπων κολαζομένων καὶ ἐλευθερουμένων. εἶδες τῶν ἁγίων τὴν δύναμιν καὶ τετελευτηκότων; εἶδες τῶν ἁμαρτωλῶν τὴν ἀσθένειαν καὶ ζώντων; φεῦγε τοίνυν τὴν κακίαν, ἵνα κρατῇς τῶν τοιούτων, καὶ δίωκε μετὰ σπουδῆς ἁπάσης τὴν ἀρετήν. εἰ γὰρ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον ἡλίκα τὰ μέλλοντα· καὶ τῷ ἔρωτι τούτῳ διηνεκῶς κατεχόμενος, ἐπιλαμβάνου τῆς αἰωνίου ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ. *χ. ἐπιλαβοῦ*

Λογ. κζ. ια ΓΕΓΟΝΑ ΑΦΡΩΝ ΚΑΥΧΩΜΕΝΟΣ· ΥΜΕΙΣ με ἠναγκάσατε. ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι.

Απαρτήσας τὸν περὶ τῶν οἰκείων ἐγκωμίων λόγον, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ ἀπολογεῖται πάλιν, καὶ συγγνώμην ὑπὲρ τῶν εἰρημένων αἰτεῖ, ἀνάγκης εἶναι λέγων τὸ πρᾶγμα, οὐ προαιρέσεως. ἀλλ' ὅμως καὶ ἀνάγκης οὔσης, ἄφρονα ἑαυτὸν καλεῖ. ἀρχόμενος [μὲν] οὖν ἔλεγεν, ὡς ἄφρονα δέξασθέ με, καὶ ὡς ἐν ἀφροσύνῃ· νυνὶ δὲ, ὡς ἀνελὼν, ἄφρονα ἑαυτὸν καλεῖ. μετὰ γὰρ τὸ κατασκευάσαι διὰ τῶν εἰρημένων ἅπερ ἤθελε, θαρρῶν λοιπὸν, καὶ ἀφειδῶς ἐπιλαμβάνεται τοῦ τοιούτου ἐγκλήματος, παιδεύων ἅπαντας, μηδέποτε ἀνάγκης οὐκ οὔσης, ἑαυτόν τινα ἐγκωμιάζειν, ὅπουγε καὶ αἰτίας ὑποκειμένης, ἄφρονα ἑαυτὸν ὁ Παῦλος ὠνόμασεν. εἶτα καὶ τὴν αἰτίαν τῶν εἰρημένων, οὐκ ἐπὶ τοὺς ψευδαποστόλους, ἀλλ' ἐπὶ τοὺς μαθητὰς ἅπασαν περιτρέπει. ὑμεῖς γάρ, φησιν, ἠναγκάσατε. εἰ μὲν γὰρ ἐκαυχῶντο, καὶ μὴ μετὰ τῆς ὑμετέρας τοῦτο ἐποίουν ἀπάτης, μηδ' ὑμᾶς ἀπώλλυον, οὐκ ἂν οὕτω προεπήδησα εἰς τοὺς ἐμαυτὸν καθεῖναι τοὺς λόγους. ἐπειδὴ δὲ ὁλόκληρον ἐκκλησίαν διέφθειρον, πρὸς τὸ συμφέρον ὑμῖν ὁρῶν, ἠναγκάσθην ἄφρων γενέσθαι. καὶ οὐκ εἶπεν, ἔδεισα γὰρ μὴ τὰ πρωτεῖα παρ' ὑμῖν ἐνεγκάμενοι, τὰ περὶ ἑαυτοῦ καταστείρωσιν· ἀλλὰ τοῦτο μὲν ἀνωτέρω τέθεικεν εἰπὼν, Φοβοῦμαι μήπως, ὡς ὁ ὄφις
β Κορ. ια. γ.
Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ αὐθεντικώτερον, καὶ μετὰ πλείονος ἐξουσίας, ἔχων ἐκ τῶν εἰρημένων τὴν παρρησίαν· ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι. *χ. αὐθεντικῶς* εἶτα καὶ τὴν αἰτίαν τίθησι· καὶ οὐ λέγει πάλιν τὰς ἀποκαλύψεις, οὐδὲ τὰ σημεῖα μόνον, ἀλλὰ καὶ τοὺς πειρασμούς. Οὐδὲ γὰρ ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων. *χ. εἶτα* Ὅρα πῶς πάλιν καὶ ἐνταῦθα ἐξουσιαστικώτερον φθέγγεται. ἐν προοιμίοις μὲν γὰρ ἔλεγε, λογίζομαι μηδὲν ὑστερηκέναι· ἐνταῦθα δὲ ἀποφαντικῶς οὕτως, ὅπερ εἶπον, *χ. ὑστερηκέναι*

πον, μετὰ τὰς ἀποδείξεις, θαῤῥῶν φθέγγεται λοιπόν· οὐ μὴν δὲ οὕτως ἀφίσταται τοῦ μέτρου, οὐδὲ τοῦ οἰκείου ἤθους. ὥσπερ γὰρ μέγα τι εἰρηκὼς, καὶ τὴν ἀξίαν ὑπερβαίνον τὴν ἑαυτοῦ, ὅτι μετὰ τῶν ἀποστόλων ἑαυτὸν ἠρίθμησεν, οὕτω μετριάζει πάλιν, καὶ ἐπάγει λέγων, [γρ. αὐτόν·]

Εἰ καὶ οὐδέν εἰμι,

12 Τὰ σημεῖα * τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν. [* γρ. ὑμῶν] Μὴ τοῦτο ἴδης, φησὶν, εἰ εὐτελὴς ἐγὼ καὶ μικρὸς, ἀλλ' εἰ μὴ τούτων ἀπηλαύσατε, ὧν παρὰ ἀποστόλου ἀπολαῦσαι ἐχρῆν. καὶ οὐκ εἶπεν, εὐτελὴς, ἀλλ' ὃ κατώτερον ἦν, οὐδέν. τί γὰρ ὄφελος μέγαν εἶναι, καὶ μηδένα ὠφελεῖν; ὥσπερ οὖν οὐδὲ ἰατροῦ κέρδος ἐμπείρου, μηδένα τῶν καμνόντων ἰωμένου. μὴ τοίνυν, φησὶ, τοῦτο ἐξέταζε, ὅτι οὐδὲν ἐγὼ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἐν οἷς ὑμᾶς εὖ παθεῖν ἔδει, οὐδὲν ὑστέρησα, ἀλλ' ἐγὼ τὴν πεῖραν ἔδωκα τῆς ἐμῆς ἀποστολῆς. οὐ τοίνυν ἔδει λόγων τῶν περὶ ἐμοῦ. ταῦτα δὲ ἔλεγεν, οὐ τοῦ συνίστασθαι χρῄζων (πῶς γὰρ, ὁ καὶ τὸν οὐρανὸν μικρὸν ἡγούμενος πρὸς τὸν τοῦ Χριστοῦ πόθον;) ἀλλὰ τῆς σωτηρίας τῆς ἐκείνων ἐφιέμενος. εἶτα ἵνα μὴ λέγωσι, καὶ τί πρὸς ἡμᾶς, εἰ καὶ μηδὲν ὑστέρησας τῶν ὑπερλίαν ἀποστόλων; διὰ τοῦτο ἐπήγαγεν, ὅτι ἐν ὑμῖν κατειργάσθη τὰ σημεῖα τοῦ ἀποστόλου

Ἐν πάσῃ ὑπομονῇ, καὶ σημείοις, καὶ τέρασι. Βαβαὶ πηλίκον πέλαγος κατορθωμάτων ἐν ὀλίγοις ῥήμασι παρέδραμε. καὶ θέα ποῖον προέθηκε τὴν ὑπομονήν. τοῦτο γὰρ ἀποστόλου δεῖγμα, ὃ φέρειν πάντα γενναίως. τοῦτο μὲν γὰρ ἐν βραχεῖ, διὰ μιᾶς λέξεως· ὃ δὲ τῶν σημείων, ἅπερ οὐκ ἦν αὐτοῦ κατορθώματα, διὰ πλειόνων. ἐννόησον γὰρ πόσα δεσμωτήρια, πόσας πληγὰς, πόσους κινδύνους, πόσας ἐπιβουλὰς, πόσας νιφάδας πειρασμῶν ἐν τούτῳ ᾐνίξατο, πόσους πολέμους ἐμφυλίους, ἐξωτικοὺς, πόσας ὀδύνας, πόσας προσβολὰς διὰ τοῦ ὀνόματος τῆς ὑπομονῆς· διὰ τῶν σημείων πάλιν, πόσους νεκροὺς ἐγερθέντας, πόσους τυφλοὺς θεραπευθέντας, πόσους λεπροὺς καθαρισθέντας, πόσους δαίμονας ἐλαθέντας. ταῦτα ἀκούοντες, μανθάνωμεν, εἰ εἰς ἀνάγκην ἐμπέσοιμεν τοιούτων διηγημάτων, συντέμνειν ἡμῶν τὰ κατορθώματα· ὃ καὶ αὐτὸς ἐποίησεν. εἶτα ἵνα μὴ λέγωσί τινες, εἰ γὰρ καὶ μέγας, καὶ πολλὰ εἰργάσω, ἀλλ' οὐ τοσαῦτα, ὅσα ἐν ταῖς λοιπαῖς ἐκκλησίαις οἱ ἀπόστολοι, ἐπήγαγε,

13 Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; Οὐκ ἐλάττονος, φησι, μετέσχετε χάριτος τῶν λοιπῶν. [γρ. πολλῶν.] ἀλλ' ἴσως εἴποι τις ἄν, τί δήποτε πρὸς τοὺς ἀποστόλους τρέπει τὸν λόγον, τὴν πρὸς τοὺς ψευδαποστόλους μάχην ἀφείς; ἐκ περιουσίας ἀνασπάσαι βουλόμενος αὐτῶν τὰ φρονήματα, καὶ δεῖξαι, ὅτι οὐ μόνον ἐκείνων βελτίων, ἀλλ' οὐδὲ τῶν μεγάλων ἀποστόλων ἐλάττων. διά τοι τοῦτο, ὅταν μὲν περὶ ἐκείνων διαλέγηται, φησὶν, ὑπὲρ ἐγώ· ὅταν δὲ πρὸς τοὺς ἀποστόλους ἑαυτὸν παραβάλλῃ, ἀγαπητὸν εἶναι φησὶ τὸ μὴ ὑστερηκέναι, καίτοιγε πλέον αὐτῶν κοπιάσας. δείκνυσι δὲ ἐντεῦθεν, ὅτι κἀκείνους ὑβρίζουσιν, ὅταν τὸν ἴσον αὐτῶν ἐν δευτέροις τούτων ἔχωσιν. Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν.

Μετὰ πολλῆς πάλιν βαρύτητος ἔθηκε τὴν ἐπιτίμησιν. καὶ τὸ ἑξῆς, φορτικώτερον· Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. Ἀλλ' ὅμως ἡ βαρύτης καὶ ἀγάπης ῥήματα, καὶ ἐγκώμιον ἐκείνων ἔχει· εἴγε ἀδικίας [οἰκείαν] εἶναι νομίζουσι τὸ μὴ καταδέξασθαι τὸν ἀπόστολον λαβεῖν τι παρ' αὐτῶν, μηδὲ θαῤῥῆσαι τραφῆναι ἐκεῖθεν. εἰ τοῦτο, φησιν, ἐγκαλεῖτε (οὐκ εἶπεν, ὅτι κακῶς ἐγκαλεῖτε, ἀλλὰ μετὰ πολλῆς τῆς γλυκύτητος) συγγνώμην αἰτῶ, χαρίσασθέ μοι τοῦτο τὸ ἁμάρτημα. καὶ θέα τὴν σύνεσιν. ἐπεὶ γὰρ συνεχῶς τοῦτο στρεφόμενον ὄνειδος αὐτοῖς ἔφερε, συνεχῶς αὐτὸ παραμυθεῖται. ἀνωτέρω μὲν γὰρ λέγων, ὅτι Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται, [γρ. ἔστι] εἶπε πάλιν, Ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; οἶδεν ὁ Θεός· ἀλλ' ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμὴν, καὶ ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. [β. Κορ. ια. ι. κεφ. ιϛ.] καὶ ἐν τῇ προτέρᾳ Τίς οὖν μοί ἐστιν ὁ μισθός; [α. Κορ. θ. ιη.]

ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον. καὶ ἐνταῦθα, χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. πανταχοῦ γὰρ φεύγει τὸ δεῖξαι, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν οὐ λαμβάνει· * διὸ καὶ ἐνταῦθα οὕτω φησίν, εἰ τοῦτο πλημμέλημά ἐστιν ἡγεῖσθε, συγγνώμην αἰτῶ. ταῦτα δὲ ἔλεγε, καὶ πλήττων, καὶ θεραπεύων. μὴ γὰρ δὴ τοῦτο εἴπῃς, εἰ πλῆξαι θέλεις, τί ἀπολογῇ; εἰ θεραπεύειν, τί πλήττεις; τοῦτο γὰρ συνέσεώς ἐστι, καὶ κατατέμνειν, καὶ ἐπιδεσμεῖν τὸ ἕλκος. εἶτα, ἵνα μὴ δόξῃ (ὅπερ καὶ ἔμπροσθεν ἔλεγον) συνεχῶς αὐτοὺς στρέφειν ὑπὲρ τοῦ λαβεῖν, θεραπεύει μὲν αὐτοὺς καὶ ἐν τῇ προτέρᾳ λέγων, Οὐκ ἔγραψα δέ, ἵνα οὕτω γένηται ἐν ἐμοί (καλὸν γάρ μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ) γλυκύτερον δὲ ἐνταῦθα καὶ προσηνέστερον. πῶς καὶ τίνι τρόπῳ;

* καὶ ἐπειδὴ μὴ ἔλαβε.

χ. ἔλεγε

α. Κορ. θ. 15.

14 Ἰδού, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν. οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ᾽ ὑμᾶς. οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ᾽ οἱ γονεῖς τοῖς τέκνοις. Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐκ ἐπειδὴ μὴ λαμβάνω, διὰ τοῦτο οὐ παραγίνομαι· ἀλλὰ καὶ δεύτερον παρεγενόμην, καὶ τρίτον τοῦτο παρεσκεύασμαι ἐλθεῖν, καὶ οὐ καταναρκήσω ὑμῶν. καὶ ἡ αἰτία σεμνή. οὐ γὰρ εἶπεν, ἐπειδὴ μικρολογεῖ, ἐπειδὴ πλήττεσθε, ἐπειδὴ ἀσθενεῖτε· ἀλλὰ τί; οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ᾽ ὑμᾶς. μείζονα ἐπιζητῶ, ψυχὰς ἀντὶ χρημάτων, σωτηρίαν ἀντὶ χρυσίου. εἶτα, ἐπειδὴ ὑποψίαν εἶχεν ἔτι τὸ πρᾶγμα, ὡς ἀλγοῦντος αὐτοῦ πρὸς αὐτούς, διὰ τοῦτο καὶ λογισμὸν τίθησιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν εἰπεῖν αὐτούς, οὐ γὰρ ἔξεστι καὶ ἡμᾶς ἔχειν καὶ τὰ ἡμῶν; ἐπάγει μετὰ πολλῆς τῆς χάριτος τὴν ἀπολογίαν * λέγων, οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ᾽ οἱ γονεῖς τοῖς τέκνοις· ἀντὶ τῶν διδασκάλων καὶ τῶν μαθητῶν, τοὺς γονέας καὶ τὰ τέκνα τιθείς, καὶ δείξας ὅτι ὀφειλῆς πρᾶγμα ποιεῖ, ὅπερ οὐκ ἦν ὀφειλῆς. οὐ γὰρ οὕτω προσέταξεν ὁ Χριστός· ἀλλ᾽ ἐκείνων φειδόμενος, ταῦτα λέγει. διὸ καὶ πλέον τι προστίθησιν. οὐ γὰρ εἶπε μόνον, ὅτι οὐκ ὀφείλει τὰ τέκνα θησαυρίζειν, ἀλλ᾽ ὅτι καὶ ὀφείλουσιν οἱ γονεῖς τοῦτο ποιεῖν. οὐκοῦν ἐπειδὴ δοῦναι δεῖ,

* αὐτῶν

χ. μετὰ διδασκάλων,

15 Ἐγὼ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν.

Τοὺς μὲν γὰρ γονέας θησαυρίζειν ἐκέλευσε τοῖς τέκνοις ὁ νόμος τῆς φύσεως· ἐγὼ δὲ οὐ τοῦτο ποιῶ μόνον, ἀλλὰ καὶ ἐμαυτὸν προσδίδωμι. καὶ αὕτη ἡ ὑπερβολή, τὸ μὴ μόνον μὴ λαμβάνειν, ἀλλὰ καὶ προσδιδόναι, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς φιλοτιμίας, καὶ ἐκ τοῦ ὑστερήματος. τὸ γὰρ ἐκδαπανηθήσομαι, τοῦτό ἐστιν αἰνιττομένου. κἂν γὰρ αὐτὴν δέῃ τὴν σάρκα ἀναλῶσαι, οὐ φείδομαι διὰ τὴν σωτηρίαν ὑμῶν. καὶ τὸ ἐπαγόμενον, μετ᾽ ἐγκλήματος ὁμοῦ καὶ ἀγάπης· Εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι.

χ. ὑμῶν

Καὶ ταῦτα ποιῶ, φησιν, ὑπὲρ τῶν φιλουμένων, καὶ οὐ φιλούντων ὁμοίως. σκόπει τοίνυν λοιπὸν πόσους ἔχει τὸ πρᾶγμα βαθμούς. ἔδει λαμβάνειν, αὐτὸς δὲ οὐκ ἐλάμβανεν. ἰδοὺ πρῶτον κατόρθωμα. καὶ ὑστερούμενος, δεύτερον. καὶ αὐτοῖς κηρύττων, τρίτον. καὶ προσδίδωσι, τέταρτον. καὶ οὐχ ἁπλῶς προσδίδωσιν, ἀλλὰ καὶ μετ᾽ ἐπιτάσεως, πέμπτον. καὶ οὐ χρήματα μόνον, ἀλλὰ καὶ ἑαυτόν, ἕκτον. καὶ ὑπὲρ τῶν μὴ σφόδρα φιλούντων αὐτόν, ἕβδομον. καὶ ὑπὲρ τῶν σφόδρα φιλουμένων, ὄγδοον.

ΗΘΙΚΟΝ

Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν. μέγα μὲν γὰρ ἔγκλημα, [καὶ τὸ φθονεῖν] καὶ τὸ μὴ φιλεῖν· μεῖζον δὲ τοῦτο, ὅταν καὶ φιλούμενός τις μὴ φιλῇ. εἰ γὰρ ὁ τὸν φιλοῦντα φιλῶν, οὐδὲν πλέον ἔχει τῶν τελωνῶν· ὁ μὴ τοῦτο ἔχων, καὶ τῶν θηρίων ἐλάττων ἂν εἴη. τί λέγεις, ἄνθρωπε; οὐ φιλεῖς τὸν φιλοῦντα; καὶ τίνος ἕνεκεν ζῇς; ποῦ δὲ χρήσιμος ἔσῃ λοιπόν; ἐν ποίοις πράγμασιν; ἐν πολιτικοῖς; ἐν ἰδιωτικοῖς; οὐδαμῶς. οὐδὲν γὰρ ἀχρηστότερον ἀνδρὸς οὐκ εἰδότος φιλεῖν. τοῦτον καὶ λῃσταὶ πολλάκις τὸν νόμον ᾐδέσθησαν, καὶ ἀνδροφόνοι, καὶ τοιχωρύχοι, καὶ ἁλῶν κοινωνήσαντες μόνον, μετετάξαντο, τῇ τραπέζῃ τὸν τρόπον μεταβαλόντες

χ. ἐλαττοῦνται. ἀλλὰ μετὰ θηρίων ἐστί, μᾶλλον δὲ τούτων ἐλάττων,

χ. ᾐδέσθησαν,

σύ

σὺ δὲ οὐχὶ ἄλλων μόνον, ἀλλὰ καὶ ῥημάτων, καὶ πραγμάτων κοινωνεῖ, καὶ εἰσόδων, καὶ ἐξόδων, οὐ φιλεῖς; ἀλλ' οἱ μὲν αἰσχρῶς ἐρῶντες, καὶ ὁλοκλήρους δαπανῶσιν οὐσίας εἰς τὰς πορνευομένας γυναῖκας· σὺ δὲ σεμνὸν ἔχων ἔρωτα, οὕτως εἶ ψυχρὸς, καὶ ἀσθενὴς, καὶ ἄνανδρος, ὡς μηδὲ χωρὶς δαπάνης καταδέχεσθαι φιλεῖν; καὶ τίς, φησὶν, οὕτως ἐστὶν ἄθλιος, τίς δὲ οὕτω θηρίον, ὡς τὸν φιλοῦντα ἀποστρέφεσθαι καὶ μισεῖν; σὺ μὲν καλῶς ποιεῖς ἀπιστῶν διὰ τὴν τοῦ πράγματος ἀτοπίαν· ἐγὼ δὲ ἂν δείξω πολλοὺς ὄντας τοιούτους, πῶς οἰσόμεθα λοιπὸν τὴν αἰσχύνην; ὅταν γὰρ κακῶς ἀγορεύῃς τὸν φιλούμενον, ὅταν ἀκούων κακῶς ἑτέρου λέγοντος μὴ ἀμύνῃς, ὅταν εὐδοκιμοῦντι φθονῇς, ποία αὕτη ἀγάπη; καίτοιγε φιλίαν οὐδὲ τοῦτο ἀρκεῖ δεῖξαι, τὸ μὴ φθονεῖν, ὥσπερ οὖν οὐδὲ τὸ μὴ ἐχθραίνειν, οὐδὲ τὸ μὴ πολεμεῖν· ἀλλὰ καὶ συγκροτεῖν, καὶ αὔξειν τὸν φιλοῦντα. ὅταν δὲ πάντα ποιῇ καὶ λέγῃ, ὥστε καὶ καθελεῖν τὸν πλησίον, τί ταύτης ἀθλιώτερον τῆς ψυχῆς; χθὲς καὶ πρῴην φίλος, καὶ λόγων ἐκοινώνεις, καὶ τραπέζης· εἶτα ἄφνω, ἐπειδὴ εὐδοκιμοῦντα εἶδες τὸ μέλος τὸ σὸν, ῥίψας τὸ τῆς φιλίας προσωπεῖον, τὸ τῆς ἔχθρας ὑπέδυς, μᾶλλον δὲ τὸ τῆς μανίας. μανία γὰρ περιφανὴς, τοῖς τῶν πλησίον δάκνεσθαι καλοῖς· τοῦτο γὰρ μαινομένων ἐστὶ, καὶ λυττώντων κυνῶν. κατὰ γὰρ ἐκείνους, εἰς τὰς ἁπάντων πηδῶσιν ὄψεις καὶ οὗτοι, τῇ βασκανίᾳ προξενούμενοι. βέλτιον ὄφιν ἔχειν τοῖς σπλάγχνοις ἐγκαλινδούμενον, ἢ βασκανίαν ἔνδον συρομένην. ἐκεῖνον γὰρ καὶ ἐμέσαι πολλάκις ἔνι διὰ φαρμάκων, καὶ διὰ τροφῆς παραμυθήσασθαι· ὁ δὲ φθόνος οὐκ ἐν σπλάγχνοις καλινδεῖται, ἀλλὰ τῷ κόλπῳ στρέφεται τῆς ψυχῆς, καὶ δυσεξάλειπτόν ἐστι πάθος. καὶ ὁ μὲν ὄφις ἔνδον ὢν, οὐκ ἂν ἅψαιτο σωμάτων ἀνθρωπίνων, τροφῆς παρακειμένης· ὁ δὲ φθόνος, κἂν μυρίαν παραθῇς αὐτῷ τράπεζαν, αὐτὴν κατεσθίει τὴν ψυχὴν, δάκνων πάντοθεν, σπαράττων, ἕλκων· καὶ οὐκ ἔστιν αὐτῷ τινα παραμυθίαν εὑρεῖν, δι' ἧς ἀποστήσεται τῆς μανίας, ἀλλ' ἢ μίαν μόνον, τὴν τοῦ εὐημεροῦντος δυσπραγίαν. οὕτως ἀνίεται· μᾶλλον δὲ, οὐδὲ οὕτω. κἂν γὰρ οὗτος πάθῃ κακῶς, ἕτερον ὁρῶν εὐημεροῦντα, ταῖς αὐταῖς ὀδύναις ἐνέχεται· καὶ πανταχοῦ τραύματα, καὶ πανταχοῦ πληγαί. οὐδὲ γάρ ἐστι στρεφόμενον ἐπὶ γῆς, μὴ ὁρᾷν εὐδοκιμοῦντας. καὶ τοσαύτη τοῦ νοσήματος ἡ ὑπερβολὴ, ὅτι κἂν οἴκοι τις αὐτὸν κατακλείσῃ, τοῖς παλαιοῖς ἀνδράσι φθονεῖ τοῖς τετελευτηκόσι. καὶ τὸ μὲν βιωτικοὺς ἀνθρώπους ταῦτα πάσχειν, χαλεπὸν μὲν, πλὴν οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ τοὺς τῶν ἐν μέσῳ θορύβων ἀπηλλαγμένους ἔχεσθαι τοῦ νοσήματος τούτου, [αὐτὸ] τοῦτο πάντων χαλεπώτερον. καὶ ἐβουλόμην μὲν σιγᾷν. ἀλλ' εἰ μὲν ἡ σιγὴ καὶ τὴν ἀπὸ τῶν πραγμάτων αἰσχύνην ἀφῄρει, κέρδος ἦν τὸ μηδὲν εἰπεῖν· εἰ δὲ κἂν ἐγὼ σιωπήσω, τὰ πράγματα βοήσεται σφοδρότερον τῆς ἐμῆς γλώττης, βλάβη μὲν οὐδεμία ἀπὸ τῶν ἐμῶν ἔσται ῥημάτων, ὡς ἐκπομπευομένων δὲ ἡμῖν τῶν κακῶν, κέρδος * ἴσως καὶ ὠφέλειά τις. τουτὶ γὰρ τὸ νόσημα καὶ τῆς ἐκκλησίας ἥψατο, [καὶ] τοῦτο πάντα ἄνω καὶ κάτω πεποίηκε, καὶ τοῦ σώματος διέσχισε τὴν ἀκολουθίαν, καὶ κατ' ἀλλήλων ἱστάμεθα, τοῦ φθόνου καθοπλίζοντος ἡμᾶς. διὰ τοῦτο πολλὴ ἡ διαστροφή. εἰ γὰρ πάντων οἰκοδομούντων ἀγαπητὸν στῆναι τοὺς διδασκομένους, ὅταν ἅπαντες καθαιρῶμεν, τί ἔσται τὸ πέρας; τί ποιεῖς, ἄνθρωπε; συμφέρειν νομίζεις τὰ τοῦ πλησίον καθαιρεῖν· πρὸ δὲ ἐκείνου τὰ σαυτοῦ καθαιρεῖς. οὐχ ὁρᾷς τοὺς φυτοκόμους, τοὺς γηπόνους, πῶς ἅπαντες εἰς ἓν τρέχουσιν; ὁ μὲν διέσκαψεν, ὁ δὲ ἐφύτευσεν, ὁ δὲ περιέστειλε τὴν ῥίζαν, ἄλλος ἀρδεύει τὸ φυτευθὲν, ἄλλος περιφράττει καὶ τειχίζει, ἄλλος ἀποσοβεῖ τὰ θρέμματα· καὶ πάντες εἰς ἓν βλέπουσι, τοῦ φυτοῦ τὴν σωτηρίαν. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ φυτεύω μὲν ἐγὼ, σαλεύει δὲ ἄλλος καὶ διασείει. ἔασον κἂν παγῆναι καλῶς, ἵνα ἰσχυρότερον γένηται τῆς ἐπιβουλῆς. οὐ τὸ ἐμὸν ἀναιρεῖς ἔργον, ἀλλὰ τὸ σὸν καταλύεις. ἐγὼ ἐφύτευσα, σὲ ἔδει ποτίσαι. ἂν τοίνυν σαλεύσῃς, τὴν ῥίζαν ἀνέσπασας, καὶ οὐκ ἔχεις οὗ τὴν ἀρδείαν ἐπιδείξῃ. ἀλλ' ὁρᾷς εὐδοκιμοῦντα τὸν φυτεύοντα; μὴ φοβοῦ·

ὅτι

γ. φιλίας·
γ. μηδὲ τὸ πολ.
γ. -νοι
γ. δεινὸν, ὡς τοὺς ἐκ μέσου θορύβων ἀπηλλ. ἔχ. τοῦ νοσ. τούτου τοῦτο
* δὲ
γ. τοῦτο
γ. κέρδος·
γ. οἰκοδόμους
γ. περίρριζον

οὔτε ἐγώ τί εἰμι, οὔτε σύ. Οὔτε γὰρ ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι· ἑκάστου ἐστὶ τὸ ἔργον, τοῦ α. Κορ. γ. ζ. Θεοῦ. ὥστε ἐκείνῳ μάχῃ καὶ πολεμεῖς, τὰ φυτευθέντα ἀνασπῶν. ἀνανήψωμεν τοίνυν ποτέ, γρηγορήσωμεν. οὐ δέδοικα τὸν ἔξω πόλεμον, ὡς τὴν ἔνδον μάχην· ἐπεὶ καὶ ῥίζα, ὅταν ᾖ καλῶς ἡρμοσμένη τῇ γῇ, οὐδὲν πείσεται ἀπὸ τῶν ἀνέμων· ἂν δὲ αὐτὴ σαλεύηται, σκώληκας διατρώγοντας αὐτὴν ἔνδοθεν, καὶ μηδενὸς ἐνοχλοῦντος πεσεῖται. μέχρι τίνος διατρώγομεν τῆς ἐκκλησίας τὴν ῥίζαν σκωλήκων δίκην; καὶ γὰρ ἀπὸ γῆς αἱ τοιαῦται τίκτονται διάνοιαι· μᾶλλον δὲ οὐδὲ ἀπὸ γῆς, ἀλλ' ἀπὸ κόπρου, τὴν σηπεδόνα μητέρα ἔχουσαι· καὶ οὐκ ἀφίσανται τῆς καταπτύστου θεραπείας τῆς παρὰ τῶν γυναικῶν. γενώμεθά ποτε ἄνδρες γενναῖοι, γενώμεθα ἀθληταὶ φιλοσοφίας, ἀπελάσωμεν τὴν πολλὴν τῶν κακῶν τούτων φοράν. καὶ γὰρ ὥσπερ σῶμα νεκρόν, τῆς ἐκκλησίας ὁρῶ τὸ πλῆθος ἐρριμμένον νῦν. καὶ καθάπερ ἐν σώματι νεκρωθέντι προσφάτως, ἔνι μὲν ὀφθαλμοὺς ἰδεῖν, ἔνι δὲ χεῖρας καὶ πόδας καὶ τράχηλον καὶ κεφαλήν, οὐδὲν δὲ τῶν μελῶν τὰ ἑαυτοῦ ποιοῦν· οὕτω δὴ καὶ ἐνταῦθα, πάντες πιστοὶ οἱ παρόντες, ἀλλ' οὐκ ἔστιν ἡ πίστις ἐνεργής. τὴν γὰρ θερμότητα ἐσβέσαμεν, καὶ τοῦ Χριστοῦ τὸ σῶμα νεκρὸν εἰργασάμεθα. εἰ δὲ φρικτὸν τὸ εἰρημένον· πολλῷ φρικωδέστερον, ὅταν ἐπὶ τῶν ἔργων φαίνηται. τὰ μὲν γὰρ ὀνόματα ἀδελφῶν ἔχομεν, τὰ δὲ πράγματα πολεμίων· καὶ μέλη καλούμενοι πάντες, καθάπερ θηρία διεστήκαμεν. ταῦτα, οὐκ ἐμπομπεῦσαι βουλόμενος τὰ ἡμέτερα, εἶπον, ἀλλ' ἐντρέψαι καὶ ἀποστῆσαι. ὁ δεῖνα εἰσῆλθεν εἰς οἰκίαν, ἀπήλαυσε τιμῆς· δέον εὐχαριστεῖν τῷ Θεῷ, ὅτι τὸ μέλος τιμᾶται τὸ σόν, καὶ ὁ Θεὸς δοξάζεται· σὺ δὲ τοὐναντίον ποιεῖς· λέγεις κακῶς πρὸς τὸν τετιμηκότα, ὥστε ἀμφοτέρους ὑποσκελίσαι, καὶ σεαυτὸν προσκαταισχῦναι. τίνος ἕνεκεν, ἄθλιε καὶ ταλαίπωρε, ἤκουσας ἀδελφοῦ ἐγκωμιαζομένου, ἢ παρὰ ἀνδράσιν, ἢ παρὰ γυναιξί, καὶ ἐλυπήθης; πρόσθες τοῖς ἐπαίνοις, οὕτω καὶ σαυτὸν ἐπαινέσῃ. ἐὰν δὲ καθέλῃς τὸν ἔπαινον, πρότερον σαυτὸν κακῶς εἴρηκας, πονηρὰν δόξαν λαβών, κἀκεῖνον ἐπῇρας μειζόνως. ὅταν ἀκούσῃς ἐπαινούμενον, γίνου τῶν λεγομένων κοινωνός, εἰ καὶ μὴ τῷ βίῳ καὶ τῇ ἀρετῇ, ἀλλὰ τῷ χαίρειν τοῖς ἐκείνου καλοῖς. ἐπῄνεσεν ὁ δεῖνα, θαύμασον καὶ σύ· οὕτω σε ἐπαινέσεται ἐκεῖνος, ὡς χρηστὸν καὶ ἐπιεικῆ. μὴ φοβηθῇς, ὡς τὰ σαυτοῦ καθαιρῶν ἐν τοῖς ἐγκωμίοις τοῖς ἑτέρου. τοῦτο γὰρ ἐν ταῖς κατηγορίαις γίνεται. φιλόνεικον γὰρ τὸ γένος τῶν ἀνθρώπων· καὶ ὅταν ἴδῃ σε κακῶς λέγοντα, ἐπιτείνει τὰ ἐγκώμια, ταύτῃ δάκνειν βουλόμενος, τὸν δὲ κατήγορον μέμφεσθαι καθ' ἑαυτοῦ, καὶ πρὸς ἑτέρους διαβάλλειν. εἶδες πόσης ἀσχημοσύνης ἑαυτοῖς γινόμεθα αἴτιοι, πῶς ἀπόλλυμεν τὸ ποίμνιον καὶ διασπῶμεν; γενώμεθα μέλη ποτέ, γενώμεθα σῶμα ἕν. καὶ ὁ μὲν ἐγκωμιαζόμενος, διακρουέσθω τοὺς ἐπαίνους, καὶ ἐπὶ τὸν ἀδελφὸν μεταγέτω τὰ ἐγκώμια· ὁ δὲ ἑτέρου ἀκούων ἐπαινουμένου, συνηδέσθω. ἂν οὕτως ἑαυτοὺς συνάγωμεν, καὶ τὴν κεφαλὴν πρὸς ἑαυτοὺς ἐπισπασόμεθα· ἐὰν δὲ διῳκισμένοι πρὸς ἑαυτοὺς ὦμεν, καὶ τῆς ἐκεῖθεν ἀποστησόμεθα βοηθείας. ἐκείνης δὲ ἀποστάσης, πολλὴν τὸ σῶμα δέξεται λύμην, οὐ σφιγγόμενον ἄνωθεν. ἵν' οὖν μὴ τοῦτο γένηται, βασκανίαν καὶ φθόνον ἀπελάσαντες, καὶ τῆς τῶν πολλῶν ὑπεριδόντες δόξης, ἀγάπην καὶ ὁμόνοιαν ἀσπαζώμεθα. οὕτω γὰρ καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

ἴσ. ἐκπ.

χ. βουλόμενος τοὺς κατηγόρους, ὥστε ἔχειν καὶ καθ' ἑαυτ. μέμφεσθαι καὶ πρὸς

Λογ. κη. 16 ΕΣΤΩ ΔΕ, ΑΥΤΟΣ ΕΓΩ ΟΥ ΚΑΤΕΝΑΡΚΗ-
σα ὑμῶν, ἀλλ' ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον. 17 Μή
τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; 18 Παρε-
κάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς
Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι;

Ἀσαφῶς

Ἀσαφῶς σφόδρα εἴρηται ταυτὶ τῷ Παύλῳ τὰ ῥήματα, ἀλλ' οὐ μάτην οὐδὲ εἰκῆ. ἐπειδὴ γὰρ περὶ χρημάτων ὁ λόγος, καὶ ἀπολογίας τῆς ὑπὲρ τούτων, εἰκότως συνεσκίασε τὰ εἰρημένα. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; εἶπεν, ὅτι οὐκ ἔλαβον, ἀλλ' ἕτοιμός εἰμι καὶ προσδοῦναι, καὶ δαπανῆσαι. καὶ πολλὰ περὶ τούτου καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν ταύτῃ διελέχθη τῇ ἐπιστολῇ. νῦν δὲ ἕτερόν τι λέγει, ὥσπερ ἐξ ἀντιθέσεως εἰσάγων τὸν λόγον, καὶ λύων προηγουμένως. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐγὼ μὲν ὑμᾶς οὐκ ἐπλεονέκτησα. ἔχει δέ τις ἴσως εἰπεῖν, ὅτι αὐτὸς μὲν οὐκ ἔλαβον, πανοῦργος δὲ ὢν παρεσκεύασα τοὺς ὑπ' ἐμοῦ ἀποσταλέντας εἰς οἰκεῖον πρόσωπον αἰτῆσαί τι παρ' ὑμῶν, καὶ δι' ἐκείνων αὐτὸς ἐδεξάμην, τοῦ δοκεῖν εἰληφέναι ἐμαυτὸν ἔξω τιθεὶς, δι' ἑτέρων λαμβάνων. ἀλλ' οὐδὲ τοῦτο ἔχοι τις ἂν εἰπεῖν· καὶ μάρτυρες ὑμεῖς. διὸ καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον λέγων, παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐχ ὁμοίως καὶ αὐτὸς ἐμοὶ περιεπάτησε; τουτέστιν, οὐδὲ αὐτὸς ἔλαβεν; εἶδες πόση ἐπίτασις ἀκριβείας, τὸ μὴ μόνον ἑαυτὸν καθαρὸν τηρεῖν τοῦ λήμματος, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτοῦ πεμπομένους οὕτω ῥυθμίζειν, ἵνα μηδὲ μικρὰν δῶσι πρόφασιν τοῖς ἐπιλαμβάνεσθαι βουλομένοις; τοῦτο γὰρ πολλῷ μεῖζον οὗ πεποίηκεν ὁ πατριάρχης. ἐκεῖνος μὲν ἀπὸ τῆς νίκης ἐπανελθὼν, τοῦ βασιλέως διδόντος λάφυρα, οὐκ ἔφη λήψεσθαι, πλὴν ὧν ἔφαγον ἐκεῖνοι. οὗτος δὲ οὔτε τῆς ἀναγκαίας τροφῆς οὔτε αὐτὸς ἀπήλαυσεν, οὔτε τοὺς κοινωνοὺς ἀφῆκε μεταλαβεῖν, ἐκ πολλοῦ τοῦ περιόντος ἐπιστομίζων τῶν ἀναισχύντων τὰ στόματα. διὰ τοῦτο οὐδὲ ἀποφαίνεται, οὐδὲ λέγει ὅτι οὐδὲ ἐκεῖνοι ἔλαβον, ἀλλ' ὃ πολλῷ τούτου μεῖζόν ἐστιν, αὐτοὺς παράγει μάρτυρας τοὺς Κορινθίους τοῦ μηδὲν αὐτοὺς εἰληφέναι, ἵνα μὴ * ἐξ οἰκείου προσώπου δοκῇ μαρτυρεῖν, ἀλλ' ἀπὸ τῆς ἐκείνων ψήφου. ὅπερ εἰώθαμεν ἐπὶ τῶν σφόδρα ὡμολογημένων, καὶ ὑπὲρ ὧν θαρροῦμεν, ποιεῖν. εἴπατε γάρ, φησι, μή τις τῶν παρ' ἡμῶν ἀποσταλέντων ἐπλεονέκτησεν ὑμᾶς; οὐκ εἶπε, μή τις ἔλαβέ τι παρ' ὑμῶν, ἀλλὰ πλεονεξίαν τὸ πρᾶγμα καλεῖ, καθαπτόμενος αὐτῶν, καὶ σφόδρα ἐντρέπων, καὶ δεικνὺς ὅτι τὸ παρὰ ἀκόντων λαβεῖν, πλεονεξία. καὶ οὐκ εἶπε, μὴ Τίτος, ἀλλά, μή τις; οὐδὲ γὰρ τοῦτο ἂν ἔχοιτε εἰπεῖν, φησιν, ὅτι ὁ δεῖνα μὲν οὐκ ἔλαβεν, ἕτερος δὲ ἔλαβεν. οὐδὲ εἷς τῶν ἀφικομένων. παρεκάλεσα Τίτον· καὶ τοῦτο πληκτικῶς. οὐ γὰρ εἶπεν, ἔπεμψα Τίτον, ἀλλά, παρεκάλεσα, δεικνὺς ὅτι καὶ εἰ ἔλαβε, δικαίως ἂν ἔλαβεν, ἀλλ' ὅμως καὶ οὕτω καθαρὸς ἔμεινε. διὸ πάλιν αὐτοὺς ἐρωτᾷ λέγων, μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; τί ἐστι, τῷ αὐτῷ πνεύματι; τῇ χάριτι τὸ πᾶν ἀνατίθησι· καὶ δείκνυσιν, ὅτι ὅλον τὸ ἐγκώμιον τοῦτο, οὐ τῶν ἡμετέρων πόνων, ἀλλὰ τῆς τοῦ πνεύματος δωρεᾶς κατόρθωμά ἐστι, καὶ τῆς χάριτος. καὶ γὰρ χάρις ἐστὶ μεγίστη, τὸ καὶ ὑστερουμένους καὶ λιμώττοντας μὴ λαμβάνειν διὰ τὴν τῶν μαθητευομένων οἰκοδομήν. οὐ τοῖς αὐτοῖς ἴχνεσιν; τουτέστιν, οὐδὲ μικρὸν παρήλλαξαν ἐκεῖνοι ταύτην τὴν ἀκρίβειαν, ἀλλὰ τὸν αὐτὸν κανόνα διετήρησαν.

χ. ὡς

* ἢ

χ. ..ξίαν. χ. τινας;

19 Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; Εἶδες πῶς πανταχοῦ δέδοικε μὴ κολακείας δόξαν λάβῃ; εἶδες φρόνησιν ἀποστολικήν, πῶς συνεχῶς αὐτὸ τίθησι; καὶ γὰρ ἔμπροσθεν ἔλεγεν, Οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς, Μὴ χρῄζομεν συστατικῶν ἐπιστολῶν; Κορ. ε. ιβ. γ. α.

Τὰ δὲ πάντα ὑπὲρ τῆς οἰκοδομῆς ὑμῶν. Πάλιν αὐτοὺς θεραπεύει. καὶ οὐδὲ ἐνταῦθα σαφῶς φησιν, ὅτι διὰ τοῦτο οὐ λαμβάνομεν, διὰ τὴν ἀσθένειαν ὑμῶν, ἀλλ' ἵνα οἰκοδομήσωμεν ὑμᾶς· σαφέστερον μὲν ἢ πρότερον εἰπών, καὶ ἐκκαλύψας ὅπερ ὤδινεν,

δίνει, οὐ μὴν πληκτικῶς. οὐ γὰρ εἶπε, διὰ τὴν ἀσθένειαν ὑμῶν, ἀλλ' ἵνα οἰκοδομηθῆτε.

20 Φοβοῦμαι γὰρ μήπως ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε.

Μέλλει μέγα τι καὶ φορτικὸν λέγειν. διὰ τοῦτο καὶ τὴν ἀπολογίαν τίθησι, τῷ τε εἰπεῖν, ὅτι πάντα ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς, καὶ τῷ προσθεῖναι, ὅτι φοβοῦμαι, τὸ τραχὺ καταστέλλων τῶν μελλόντων λεχθήσεσθαι. τοῦτο γὰρ οὐκ ἔστι αὐθαδείας ἦν, οὐδὲ ἐξουσίας διδασκαλικῆς, ἀλλὰ κηδεμονίας πατρικῆς, ὅταν τῶν ἡμαρτηκότων μᾶλλον φοβῆται, καὶ τρέμῃ ὃ μέλλοι αὐτοὺς διορθοῦν. ἀλλ' οὐδὲ οὕτως αὐτῶν καταπέχει, οὐδὲ ἀποφαίνεται, ἀλλ' ἐνδοιάζων φησὶ, μήπως ἐλθὼν οὐχ οἵους θέλω. οὐκ εἶπεν, ἐναρέτους, ἀλλ', οὐχ οἵους θέλω, διὰ πάντων τὰ τῆς φιλίας ἐνδεικνύμενος ὀνόματα. καὶ τὸ, εὕρω, δὲ τὸ παρὰ προσδοκίαν δηλοῦντός ἐστιν, ὥσπερ οὖν καὶ τὸ, εὑρεθῶ ὑμῖν. οὐ γὰρ προαιρέσεως τὸ πρᾶγμα, ἀλλὰ ἀνάγκης τὴν αἰτίαν παρ' ὑμῶν λαμβανούσης. διό φησιν, εὑρεθῶ οἷον οὐ θέλετε. ἐνταῦθα οὐκ εἶπεν, οἷον οὐ θέλω, ἀλλὰ πληκτικώτερον, οἷον οὐ βούλεσθε. λοιπὸν γὰρ αὐτοῦ βούλημα ἦν, οὐχὶ προηγούμενον μὲν, βούλημα δ' οὖν ὅμως. ἠδύνατο μὲν γὰρ πάλιν εἰπεῖν, οἷον οὐ θέλω, καὶ οὕτω δεῖξαι τὴν ἀγάπην· ἀλλ' οὐ βούλεται ἐκλῦσαι τὸν ἀκροατὴν. μᾶλλον δὲ καὶ τραχύτερος ὁ λόγος οὕτως ἐγίνετο. νῦν δὲ καὶ ἔπληξε μειζόνως, καὶ ἡμερώτερον ἑαυτὸν ἔδειξε. τοῦτο γὰρ αὐτοῦ τῆς σοφίας ἐστὶν ἴδιον, τὸ βαθύτερον τέμνοντα, ἡμερώτερον πλήττειν. εἶτα ἐπειδὴ ἀσαφῶς εἶπεν, ἐκκαλύπτει αὐτὸ λέγων, — γ. γὰρ — γ. αὐτὸν

Μήπως ἔρεις, ζῆλοι, θυμοὶ, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώσεις.

Καὶ ὃ πρότερον ἔμελλε τιθέναι, τοῦτο ὕστερον τίθησι. κατ' αὐτοῦ γὰρ ἀπετείνοντο. ἵνα οὖν μὴ δόξῃ προηγουμένως τὸ ἑαυτοῦ ζητεῖν, τὸ κοινὸν λέγει πρότερον. ταῦτα γὰρ πάντα ἀπὸ βασκανίας ἐτίκτετο, αἱ διαβολαὶ, αἱ κατηγορίαι, αἱ διαστάσεις. ὥσπερ γάρ τις ῥίζα πονηρὰ ἡ βασκανία τὸν θυμὸν, τὴν κατηγορίαν, τὴν ἀπόνοιαν, τὰ ἄλλα πάντα ἔτικτε, καὶ παρ' αὐτῶν ηὔξετο μειζόνως. — γ. θυμὸν τῆς κατηγορίας

21 Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς.

Καὶ τὸ, πάλιν, πλήττοντος ἦν. ἀρκεῖ γὰρ τὰ πρότερα, φησίν· ὃ καὶ ἀρχόμενος ἔλεγεν, Ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον εἰς Κόρινθον. (β. Κορ. α. 23.) Εἶδες πῶς καὶ ἀγανάκτησιν δείκνυσι, καὶ φιλοστοργίαν; τί δέ ἐστι, ταπεινώσῃ; καίτοι μὲν δόξα αὕτη ἐστὶ, τὸ ἐγκαλεῖν, τὸ τιμωρεῖσθαι, τὸ εὐθύνας ἀπαιτεῖν, τὸ ἐν τάξει δικαστοῦ καθέζεσθαι. ἀλλ' ὅμως ταπείνωσιν αὐτὸ καλεῖ. (β. Κορ. ι. 10.) τοσοῦτον ἀπεῖχε ἀμύνεσθαι τῇ ταπεινώσει ἐκείνῃ, ὅτι ἡ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος, ὅτι καὶ διηνεκῶς ἐβούλετο ἐν τούτῳ εἶναι, καὶ τοὐναντίον ἀπηύχετο. καὶ λέγει αὐτὸ προϊὼν σαφέστερον· καὶ ταπείνωσιν τοῦτο μάλιστα ἡγεῖται, τὸ εἰς τοιαύτην ἐμπεσεῖν ἀνάγκην τοῦ κολάζειν, τοῦ τιμωρεῖσθαι. καὶ τίνος ἕνεκεν οὐκ εἶπε, μὴ ἐλθὼν ταπεινωθῶ, ἀλλὰ, μὴ ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου; ὅτι εἰ μὴ δι' αὐτὸν, οὐκ ἂν ἐπεστράφην, οὐκ ἂν ἐφρόντισα. οὐδὲ γὰρ ὡς ἐξουσίαν ἔχων καὶ αὐθαδιζόμενος ἀπαιτεῖ δίκην, ἀλλὰ διὰ τὸ αὐτοῦ ἐπίταγμα. λυπηρότερον μὲν οὖν αὐτὸ τίθησι λέγων, εὑρεθῶ οἷον οὐ θέλετε· ἐνταῦθα δὲ καθυφίησι, καὶ ἡμερώτερον καὶ πρᾳότερον φθέγγεται λέγων, — γ. ἀποστρέφω

Πενθήσω πολλοὺς τῶν ἡμαρτηκότων. Οὐχ ἁπλῶς ἡμαρτηκότων,

Ἀλλὰ τῶν μὴ μετανοησάντων. Καὶ οὐκ εἶπε, πάντας, ἀλλὰ, πολλούς· καὶ οὐδὲ τούτους ποιεῖ φανερούς, διδοὺς κἀντεῦθεν ῥᾳδίαν αὐτοῖς τὴν πρὸς τὴν μετάνοιαν ἐπάνοδον· καὶ δῆλον ποιῶν, ὅτι δύναται μετάνοια τὰ πεπλημμελημένα διορθῶσαι, οὓς μὴ μετανοοῦντας πενθεῖ, ὡς τὰ ἀνίατα νοσοῦντας, ὡς ἐν τῷ τραύματι μένοντας. ἐννόησον τοίνυν ἀποστολικὴν ἀρετὴν, ὅταν μηδὲν ἑαυτῷ συνειδὼς πονηρὸν, ὑπὲρ ἀλλοτρίων θρηνῇ κακῶν, καὶ ὑπὲρ τῶν ἑτέροις πεπλημμελημένων ταπεινῶται. τοῦτο γὰρ μάλιστα

τοῦ

τοῦ διδασκάλου, τὸ οὕτω συναλγεῖν ταῖς τῶν μαθητῶν συμφοραῖς, τὸ κόπτεσθαι καὶ πενθεῖν ἐπὶ τοῖς τραύμασι τῶν ἀρχομένων. Εἶτα λέγει καὶ τὸ εἶδος τῆς ἁμαρτίας·

Ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. Καὶ αὐτὸς μὲν ἐνταῦθα πορνείαν αἰνίττεται. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἅπαν εἶδος ἁμαρτίας τούτῳ δύναται καλεῖσθαι τῷ ὀνόματι. Εἰ γὰρ καὶ κατ' ἐξοχὴν ὁ πόρνος καὶ ὁ μοιχὸς λέγεται ἀκάθαρτος, ἀλλ' ὅμως καὶ τὰ ἄλλα ἁμαρτήματα ἀκαθαρσίαν ἐμποιεῖ τῇ ψυχῇ. Διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς ἀκαθάρτους καλεῖ τοὺς Ἰουδαίους, οὐχὶ πορνείαν αὐτοῖς ἐγκαλῶν μόνον, ἀλλὰ καὶ πονηρίαν ἑτέραν. διὸ καὶ φησι, "ποίησαι καὶ τὸ ἔξω καθαρόν· καί, ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα· καὶ ἀλλαχοῦ εἴρηται), Ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. Ματθ. κγ. κε. ιε. ια.

γ. ποίησον

ΗΘΙΚΟΝ

Καὶ εἰκότως. οὐδὲν γὰρ ἀρετῆς καθαρώτερον, οὐδὲν κακίας ἀκαθαρτότερον. ἡ μὲν γὰρ ἡλίου λαμπροτέρα ἐστίν, ἡ δὲ βορβόρου δυσωδεστέρα. καὶ ταῦτα μαρτυρήσαιεν ἂν καὶ αὐτοὶ οἱ ἐν τῷ βορβόρῳ κυλινδούμενοι, καὶ οἱ ἐν τῷ σκότῳ διάγοντες, ὅταν μικρὸν ἕτερός τις αὐτοὺς διαβλέψαι παρασκευάζῃ. ἕως μὲν γὰρ ἂν καθ' ἑαυτοὺς ὦσι, καὶ μεθύωσι τῷ πάθει, καθάπερ ἐν σκότῳ "διατρίβοντες ἀσχημόνως κεῖνται μετὰ πολλῆς τῆς ἀδεότητος, αἰσθανόμενοι μὲν καὶ τότε ἔνθα εἰσίν, οὐκ ἀκριβῶς δέ. ἐπειδὰν δὲ ἴδωσί τινα αὐτοὺς ἐλέγχοντα τῶν ἐν ἀρετῇ βιούντων, ἢ καὶ φανέντα μόνον, τότε σαφέστερον αὐτῶν διαγινώσκουσι τὴν ἀθλιότητα, καὶ ὥσπερ ἀκτῖνος ἀφεθείσης, οὕτω περιστέλλουσι τὴν οἰκείαν ἀσχημοσύνην, καὶ τοὺς συνειδότας ἐρυθριῶσι, κἂν ὁ μὲν δοῦλος, ὁ δὲ ἐλεύθερος ᾖ, καὶ ὁ μὲν βασιλεύς, ὁ δὲ ἀρχόμενος. οὕτως ἰδὼν τὸν Ἠλίαν ὁ Ἀχαὰβ ἠσχύνετο, καὶ μηδέπω μηδὲν εἰρηκότος ἐκείνου, ἀπὸ τῆς ὄψεως αὐτοῦ μόνης ἁλούς· καὶ σιγῶντος τοῦ κατηγόρου, τὴν καταδικάζουσαν αὐτὸν ἔφερε ψῆφον, τὰ τῶν ἐληλωκότων φθεγγόμενος, καὶ λέγων, Εὕρηκάς με ὁ ἐχθρός μου; οὕτως αὐτὸς ὁ Ἠλίας τῷ τυράννῳ τότε ἐκείνῳ μετὰ πολλῆς διελέγετο τῆς παρρησίας. οὕτως ὁ Ἡρώδης, οὐ φέρων τὴν ἀπὸ τῶν ἐλέγχων αἰσχύνην ("καὶ γὰρ ἔδειξε σαφέστερον, λάμψασα μέγα καὶ διαυγὲς ἡ τῆς προφητικῆς γλώττης φωνή) ἐνέβαλεν εἰς τὸ δεσμωτήριον τὸν Ἰωάννην· καθάπερ γυμνὸς ὤν, καὶ τὸν λύχνον σβέσαι ἐπιχειρῶν, ἵνα πάλιν ἐν τῷ σκότῳ ᾖ. μᾶλλον δὲ αὐτὸς οὐκ ἐτόλμησε σβέσαι, ἀλλ' ὥσπερ ὑπὸ τὸν μόδιον εἰς τὸ οἴκημα τέθεικεν· ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη τοῦτο γενέσθαι κατηνάγκασεν. ἀλλ' οὐδὲ οὕτω καλύψαι ἴσχυσαν τὸν ἔλεγχον, ἀλλὰ μειζόνως ἀνῆψαν. οἵ τε γὰρ ἐρωτῶντες, διὰ τί Ἰωάννης εἰς τὸ δεσμωτήριον οἰκεῖ, τὴν αἰτίαν ἐμάνθανον, οἵ τε μετὰ ταῦτα γῆν καὶ θάλατταν οἰκοῦντες ἅπαντες, οἵ τε τότε γενόμενοι, οἵ τε νῦν, οἵ τε αὖθις ἐσόμενοι, "σαφῶς ἔγνωσάν τε καὶ εἴσονται τὰ πονηρὰ ταῦτα δράματα, "τά τε τῆς ἀσελγείας, "τά τε τῆς μιαιφονίας αὐτῶν· καὶ χρόνος οὐδεὶς τὴν μνήμην τούτων ἐξαλεῖψαι δυνήσεται. τοσοῦτόν ἐστιν ἀρετή, οὕτως ἀθάνατον ἔχει τὴν μνήμην, οὕτω καὶ ἀπὸ ῥημάτων μόνων καταπλήττει τοὺς ἀντικειμένους αὐτῇ. τίνος γὰρ ἕνεκεν ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον; διὰ τί μὴ κατεφρόνησε; μὴ γὰρ εἰς δικαστήριον αὐτὸν ἔμελλεν ἕλκειν; μὴ γὰρ δίκην ἀπῄτησε τῆς μοιχείας; οὐχὶ ἔλεγχος ἦν τέως τὰ λεγόμενα μόνον; τί τοίνυν δέδοικε καὶ τρέμει; οὐχὶ ῥήματα ἦν καὶ λόγος ψιλός; ἀλλὰ μᾶλλον πραγμάτων ἔδακνεν. οὐκ ἤγαγεν εἰς δικαστήριον, ἀλλ' εἰς ἕτερον τοῦ συνειδότος εἷλκεν αὐτὸν κριτήριον, καὶ πάντας ἐκάθισεν αὐτῷ δικαστὰς τοὺς μετ' ἐξουσίας κατὰ διάνοιαν τότε τὰς ψήφους φέροντας. διὰ τοῦτο ἔτρεμεν ὁ τύραννος, τῆς ἀρετῆς τὴν λαμπηδόνα οὐ φέρων. εἶδες ἡλίκον φιλοσοφία; δεσμώτην τυράννου λαμπρότερον ἐποίησε, καὶ τοῦτον ἐκεῖνος δέδοικε καὶ τρέμει. ἀλλ' αὐτὸς μὲν ἔδησε μόνον· ἡ δὲ μιαρὰ ἐκείνη καὶ ἐπὶ τὴν σφαγὴν ὥρμησε. καίτοιγε ἐπὶ τούτοις τὸ ἔγκλημα μᾶλλον ἔφερεν. οὐδὲ γὰρ ἐκείνῃ τότε ἀπαντήσας εἶπε, τί συνοικεῖς τῷ τυράννῳ; οὐκ ἐπειδὴ ἀλόγιστος ἦν (πῶς γάρ;) ἀλλ' ἐντεῦθεν τὸ πᾶν διορθῶσαι ἐβούλετο. διὸ τοῦτον ἐμέμψατο· καὶ οὐδὲ

γ. διάγοντες

γ. μέγα καὶ λαμψὲς καὶ διαυγές

γ. παρέσεσθαι

γ. πότε

γ. πῶ τε

τοῦτον

τούτοις σφοδρῶς. οὐδὲ γὰρ εἶπεν, ὦ μιαρὲ, καὶ παμμίαρε, καὶ παράνομε, καὶ βέβηλε, καταπατήσας τοῦ Θεοῦ τὸν νόμον, καταφρονήσας τῶν ἐπιταχθέντων, τὴν ἰδίαν τὴν ἡδονὴν νόμον ἐποίησας. οὐδὲν τούτων, ἀλλὰ καὶ ἐν τοῖς ἐλέγχοις πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, πολλὴ ἡ πραότης. οὐκ ἔξεστί σοι γὰρ ἔχειν, φησὶ, τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. διδάσκοντος μᾶλλον τὸ ῥῆμα, ἢ ἐλέγχοντος, παιδεύοντος, ἢ κολάζοντος, ῥυθμίζοντος, ἢ ἐκπομπεύοντος, διορθοῦντος, ἢ ἐπεμβαίνοντος. ἀλλ' (ὅπερ ἔφην) ἐχθρὸν τῷ κλέπτῃ τὸ φῶς, ἐπαχθὴς ὁ δίκαιος τοῖς ἁμαρτάνουσι καὶ φαινόμενος ἁπλῶς. βαρὺς γάρ ἐστιν ἡμῖν καὶ βλεπόμενος. οὐ γὰρ φέρουσιν αὐτοῦ τὰς ἀκτῖνας, καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες, τὰς ἡλιακάς. πολλοῖς δὲ τῶν πονηρῶν οὐ φαινόμενος μόνον, ἀλλὰ καὶ ἀκουόμενος, βαρύς. διά τοι τοῦτο καὶ ἡ μιαρὰ καὶ παμμίαρος ἐκείνη, ἡ παραγωγὸς τοῦ θυγατρίου, μᾶλλον δὲ ἡ παιδοκτόνος, καίτοι οὐδὲ ἰδοῦσα αὐτὸν, οὐδὲ ἀκούσασα αὐτοῦ τῆς φωνῆς, ἐπὶ τὴν σφαγὴν ὥρμησε· καὶ παρασκευάζει ἣν ἀσελγῶς ἔθρεψε, ταύτην καὶ εἰς φόνον ἐλθεῖν· οὕτως ἐκ περιουσίας αὐτὸν ἐδεδοίκει.

Ματθ. ιδ. η. καὶ τί φησι; Δός μοι ἐπὶ πίνακι ὧδε τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. ποῖ φέρῃ κατὰ κρημνῶν, ἀθλία καὶ ταλαίπωρε; μὴ γὰρ πάρεστιν ὁ κατήγορος; μὴ γὰρ ὁρᾶται καὶ ἐνοχλεῖ; ἕτεροι ἔλεγον, βαρὺς ἡμῖν ἐστι καὶ βλεπόμενος· ταύτῃ δὲ (ὅπερ εἶπον) καὶ ἀκουόμενος. διό φησι, δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου. καὶ μὴν δεσμωτήριον οἰκεῖ διά σε, καὶ ἅλυσιν περίκειται, καὶ ἔξεστί σοι ἐναβρύνεσθαι ἐπὶ τῷ ἔρωτι, καὶ λέγειν οὕτως, ἐκράτησα τοῦ βασιλέως, ὅτι οὐδὲ δημοσίᾳ ἐγκληθεὶς καθυφῆκεν, οὐδὲ ἀπέστη τοῦ ἔρωτος, οὐδὲ διέσπασέ μου τὴν μοιχείαν, ἀλλὰ καὶ τὸν ἐγκαλέσαντα ἔδησε. τί μαίνῃ καὶ λυσσᾷς, ἔχουσα καὶ μετὰ τὸν ἔλεγχον τῆς ἁμαρτίας τὸν νυμφίον; τί τράπεζαν ἐρινύων ἐπιζητεῖς, καὶ δαιμόνων ἀλαστόρων συμπόσιον κατασκευάζεις; εἶδες πῶς οὐδαμινὸν, πῶς δειλὸν, πῶς ἄνανδρον ἡ κακία, πῶς ὅτε μάλιστα κρατήσει, τότε γίνεται ἀσθενεστέρα; καὶ γὰρ αὕτη οὐχ οὕτως ἐθορυβεῖτο πρὶν εἰς δεσμωτήριον ἐμβληθῆναι τὸν Ἰωάννην, ὡς ταράττεται δεθέντος αὐτοῦ, καὶ ἐπείγει λέγουσα, δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου. καὶ διὰ τί ὧδε; δέδοικα μὴ συσκιασθῇ, φησιν, ὁ φόνος, μὴ ἐξέλωσιν αὐτὸν τινὲς τοῦ κινδύνου. καὶ διὰ τί μὴ ὅλον τὸν νεκρὸν ἐπιζητεῖς, ἀλλὰ τὴν κεφαλήν; τὴν λυπήσασάν, φησι, γλῶτταν, ταύτην ἐπιθυμῶ σιγῶσαν ἰδεῖν. ἀλλὰ τοὐναντίον ἐστὶν (ὅπερ οὖν καὶ γέγονεν) ἀθλία καὶ ταλαίπωρε, λαμπρότερον βοήσεται μετὰ ταῦτα ἀποτμηθεῖσα. τότε μὲν γὰρ ἐν Ἰουδαίᾳ μόνον ἐβόα, νῦν δὲ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἀφίξεται· καὶ ὅπουπερ ἂν εἰσέλθῃς εἰς ἐκκλησίαν, κἂν ἐν τῇ Μαύρων, κἂν ἐν τῇ Περσῶν, κἂν πρὸς αὐτὰς τὰς Βρεταννικὰς νήσους, ἀκούεις βοῶντος Ἰωάννου, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. ἀλλ' οὐδὲν εἰδυῖα αὕτη φιλοσοφεῖν, κατεπείγει καὶ ἄγχει καὶ ὠθεῖ τὸν ἀνόητον τύραννον ἐπὶ τὸν φόνον, δεδοικυῖα μήποτε μεταβάληται. σὺ δὲ μάθε πάλιν κἀντεῦθεν τῆς ἀρετῆς τὴν ἰσχύν. οὐδὲ ἐγκεκλεισμένον, οὐδὲ δεδεμένον καὶ σιγῶντα φέρει τὸν δίκαιον. εἶδες πῶς ἀσθενὴς ἡ κακία, πῶς ἀκάθαρτον; ἀντὶ γὰρ ἐδεσμάτων, ἀνθρωπίνην κεφαλὴν ἐπὶ πίνακος εἰσάγει. τί μιαρώτερον, τί δὲ ἐναγέστερον, τί δὲ ἀναιδέστερον τῆς κόρης ἐκείνης; οἵαν ἀφῆκε φωνὴν ἐν τῷ θεάτρῳ τοῦ διαβόλου, καὶ τῷ συμποσίῳ τῶν δαιμόνων; εἶδες γλῶτταν καὶ γλῶτταν, τὴν μὲν φάρμακα φέρουσαν σωτήρια, τὴν δὲ δηλητήριον ἔχουσαν, καὶ τραπεζοποιὸν γινομένην ἑστιάσεως διαβολικῆς. ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐκέλευσεν ἔνδον ἐν τῷ συμποσίῳ αὐτὸν κατασφαγῆναι, ἔνθα πλείων ἦν αὐτῇ ἡδονή; ἐδεδοίκει μὴ παραγυμνούμενος καὶ ὀφθεὶς, ἅπαντας μεταβάλῃ διὰ τῆς ὄψεως, διὰ τῆς παρρησίας. διά τοι τοῦτο τὴν κεφαλὴν ἐπιζητεῖ, τρόπαιον πορνείας λαμπρὸν στῆσαι βουλομένη· καὶ ἔδωκε τῇ μητρὶ αὐτῆς. εἶδες τῆς ὀρχήσεως τὰ ἐπίχειρα, εἶδες τὰ λάφυρα τῆς διαβολικῆς ἐπιβουλῆς· οὐ τὴν κεφαλὴν Ἰωάννου λέγω, ἀλλ' αὐτὸν τὸν συνοικοῦντα. εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, κατὰ τοῦ βασιλέως ἐστὶ τὸ τρόπαιον, καὶ ἡ νικήσασα ἡττᾶτο, καὶ ὁ

ἀποτμηθεὶς

γρ. μὴ συσκιασθῇ, φησὶν, ὁ φόνος, μὴ ἐξέλωσιν

ἰσ. νῦν

γρ. τὴν δὲ

γρ. Πει…

 χξζ. ιγ.

ἀποτμηθεὶς ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο, καὶ μετὰ τὴν τελευτὴν σφοδρότερον κατασείων τῶν ἡμαρτηκότων τὴν διάνοιαν. καὶ ὅτι οὐ κόμπος τὰ εἰρημένα, αὐτὸν ἐρώτησον τὸν Ἡρώδην· ὃς, ἐπειδὴ τοῦ Χριστοῦ τὰ σημεῖα ἤκουσεν, ἔλεγεν, Οὗτός ἐστιν Ἰωάννης· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν, Ματθ. ιδ. β. καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. οὕτως ἀκμάζοντα εἶχε τὸν φόβον καὶ διηνεκῆ τὴν ἀγωνίαν· καὶ οὐδεὶς ἀποβαλεῖν τὸ δέος τοῦ συνειδότος ἴσχυσεν, ἀλλ᾽ ἔμενεν ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος ἄγχων αὐτὸν, καὶ καθημέραν δίκην ἀπαιτῶν τῆς σφαγῆς. Ταῦτ᾽ οὖν εἰδότες, μὴ φοβώμεθα τὸ κακῶς παθεῖν, ἀλλὰ τὸ δρᾶσαι κακῶς. τοῦτο μὲν γὰρ νίκη, ἐκεῖνο δὲ ἧττα. διὸ καὶ ὁ Παῦλος ἔλεγε, Διατί οὐ μᾶλλον ἀδικεῖσθε; ἀλλ᾽ ὑμεῖς ἀδικεῖτε καὶ α. Κορ. ς. ζ. ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. ἐν γὰρ τῷ πάσχειν κακῶς, οἱ στέφανοι, καὶ τὰ βραβεῖα, καὶ ἡ ἀνακήρυξις. καὶ τοῦτο ἐπὶ πάντων ἔστι τῶν ἁγίων ἰδεῖν. ἐπεὶ οὖν ἅπαντες ἐστεφανώθησαν οὕτως, ἀνεκηρύχθησαν οὕτω, καὶ ἡμεῖς ταύτην ὁδεύωμεν τὴν ὁδόν. καὶ εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰ δὲ παραγένοιτο, μετὰ πολλῆς ἱστάμενοι τῆς ἀνδρείας, τὴν προσήκουσαν ἐπιδειξώμεθα προθυμίαν· ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κθ. 1 ΤΡΙΤΟΝ ΤΟΥΤΟ ΕΡΧΟΜΑΙ ΠΡΟΣ ΥΜΑΣ. Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. χξζ. ιγ.

Πολλαχόθεν μὲν καὶ ἄλλοθεν, μάλιστα δὲ *ἐκ τούτου, τοῦ Παύλου τὴν φιλοσοφίαν ἔστιν ἰδεῖν, καὶ τὴν πολλὴν φιλοστοργίαν· πῶς πολὺς μὲν ἐν ταῖς παραγγελίαις καὶ σφοδρὸς, ὀκνηρὸς δὲ καὶ μελλητὴς ἐν ταῖς τιμωρίαις. οὐ γὰρ εὐθέως ἁμαρτάνοντας ἐκόλασεν, ἀλλὰ προηπείλησεν ἅπαξ καὶ δεύτερον· καὶ οὐδὲ οὕτω παρακούσαντας τιμωρεῖται, ἀλλὰ πάλιν παραγγέλλει λέγων, Τρίτον ἔρχομαι τοῦτο πρὸς ὑμᾶς, καὶ πρὶν ἢ παραγένωμαι, γράφω πάλιν. Εἶτα ἵνα μὴ ἡ μέλλησις ῥαθυμίαν ἐργάσηται, ὅρα πῶς καὶ τὸ ἐντεῦθεν διορθοῦται, συνεχῶς ἀπειλῶν, καὶ ἐπιτεινόμενος τὴν πληγὴν, καὶ λέγων, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι· καὶ, μήπως ἐλθὼν πενθήσω πολλούς. Ταῦτα δὲ ποιεῖ καὶ λέγει, καὶ ταύτῃ τὸν δεσπότην τῶν ἁπάντων μιμούμενος· ἐπεὶ καὶ ὁ Θεὸς συνεχῶς μὲν ἀπειλεῖ, καὶ πολλάκις παραγγέλλει, οὐ πολλάκις δὲ κολάζει καὶ τιμωρεῖται. τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ. καὶ διὰ τοῦτο καὶ ἔμπροσθεν ἔλεγεν, Ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον. β. Κορ. α. κγ. τί ἐστι, φειδόμενος ὑμῶν; ἵνα μὴ εὑρὼν ἡμαρτηκότας καὶ ἀδιορθώτους μείναντας, ἐπάγω κόλασιν καὶ τιμωρίαν. καὶ ἐνταῦθα (Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα) ἄγραφον ἐγγράφῳ συνάπτει. ὃ καὶ ἀλλαχοῦ πεποίηκεν εἰπὼν, Ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν· ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς α. Κορ. ς. ις. σάρκα μίαν. καίτοιγε ἐπὶ νομίμου τοῦτο εἴρηται γάμου· ἀλλ᾽ ἀπεχρήσατο αὐτῷ εἰς τὸ συμφερόντως, ὥστε φοβῆσαι μειζόνως. οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, ἀντὶ μαρτυριῶν τὰς παρουσίας αὐτοῦ τιθεὶς καὶ τὰς παραγγελίας. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἅπαξ εἶπον καὶ δεύτερον, ὅτε παρεγενόμην· λέγω καὶ νῦν διὰ γραμμάτων*. καὶ μὲν ἐὰν ἀκούσητέ μου, ὅπερ ἐπιθυμῶ γέγονεν· ἐὰν δὲ παρακούσητε, ἀνάγκη λοιπὸν στῆσαι τὰ εἰρημένα, καὶ ἐπαγαγεῖν τὴν τιμωρίαν. διό φησι,

* ἢ

ἢ. Πεἰν ἐ-ιμη

2 Προείρηκα, καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι.

Εἰ γὰρ ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα, παραγενόμενος δεύτερον καὶ εἶπον, λέγω δὲ καὶ νῦν διὰ τῆς ἐπιστολῆς, ἀνάγκη με λοιπὸν ἀληθεῦσαι. μὴ

γὰρ δὴ νομίσητε ἔλαττον ἔχειν τὰ γράμματα τῆς παρουσίας. ὥσπερ γὰρ παρὼν ἔλεγον, οὕτω καὶ ἀπὼν νῦν γράφω. Εἶδες κηδεμονίαν πατρικήν; εἶδες διδασκαλίας καὶ πρέπουσαν προσήνοιαν; οὔτε ἐσίγησεν, οὔτε ἐκόλασεν, ἀλλὰ καὶ προλέγει πολλάκις, καὶ μέλλει διηνεκῶς ἀπειλῶν, καὶ ἀναβάλλεται τὴν τιμωρίαν· καὶ εἰ μένοιεν ἀδιόρθωτοι, τότε ἀπειλεῖ τὴν πεῖραν ἐπαγαγεῖν. τί δὲ προείρηκας παρὼν, καὶ ἀπὼν νῦν γράφεις; Ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. Δείξας πρότερον ὅτι οὐ δύναται, ἂν μὴ ἀναγκασθῇ, τοῦτο * ποιῆσαι, καὶ πάθος τὸ πρᾶγμα καλέσας καὶ ταπείνωσιν (μήπως γάρ, φησιν, ἐλθόντα με ὁ Θεός μου ταπεινώσῃ πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων) καὶ ἀπολογησάμενος αὐτοῖς, ὅτι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον προεῖπε, καὶ ὅτι πάντα ποιεῖ καὶ μηχανᾶται, ὥστε ἀνακρούσασθαι τὴν τιμωρίαν, καὶ τῷ φόβῳ τῶν ῥημάτων βελτίους ποιῆσαι, τότε τὸ φορτικὸν τοῦτο καὶ φοβερὸν ἔθηκε, λέγων, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. Οὐκ εἶπε, τιμωρήσομαι καὶ κολάσω καὶ ἀπαιτήσω δίκην, ἀλλὰ πάλιν πατρικοῖς ῥήμασι καὶ αὐτὴν τὴν τιμωρίαν τίθησι, δεικνὺς αὐτοῦ τὰ σπλάγχνα καὶ τὴν συνηγοροῦσαν αὐτοῖς διάνοιαν, διότι ἀεὶ φειδόμενος, ἀνεβάλλετο. Εἶτα, ἵνα μὴ καὶ νῦν νομίσωσιν, ὅτι πάλιν ἀναβολὴ καὶ ἁπλῶς ἀπειλὴ ῥημάτων, διὰ τοῦτο καὶ ἔμπροσθεν εἴρηκεν, Ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, καὶ, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκέτι ἀναβαλοῦμαι, εἰ ἀδιορθώτους εὕροιμι (ὃ μὴ γένοιτο) ἀλλὰ ἐπάξω πάντως, καὶ στήσω ὅπερ εἴρηκα. Εἶτα μετὰ πολλοῦ τοῦ θυμοῦ καὶ σφοδρᾶς τῆς ἀγανακτήσεως πρὸς τοὺς κωμῳδοῦντας αὐτὸν ὡς ἀσθενῆ, καὶ τὴν παρουσίαν αὐτοῦ χλευάζοντας, καὶ λέγοντας, ἡ παρουσία ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος, ὡς πρὸς τούτους γοῦν ἀποτεινόμενος, φησίν·

3 Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ.

Τοῦτο γὰρ ὁμοῦ μὲν πλήττων, ὁμοῦ δὲ κἀκείνων καθαπτόμενος εἴρηκεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐπειδὴ βούλεσθε δοκιμάζειν εἰ ἐν ἐμοὶ ὁ Χριστὸς οἰκεῖ, καὶ εὐθύνας ἀπαιτεῖτε, καὶ διὰ τοῦτό με κωμῳδεῖτε, ὡς εὐτελῆ καὶ εὐκαταφρόνητον, ἅτε ἔρημον ὄντα τῆς δυνάμεως ἐκείνης· εἴσεσθε ὅτι οὐκ ἐσμὲν ἔρημοι, εἰ παράσχοιτε πρόφασιν, ὃ μὴ γένοιτο. Τί οὖν, εἰπέ μοι; διὰ τοῦτο κολάζεις, ἐπειδὴ δοκιμὴν ζητοῦσιν; οὐχί, φησιν. εἰ γὰρ τοῦτο ἐζήτουν, ἐκ προτέρας ἂν ἐκόλασα ἁμαρτάνοντας, καὶ οὐκ ἀνεβαλόμην. ὅτι δὲ οὐ τοῦτο ζητεῖ, προϊὼν τοῦτο σαφέστερον ἔδειξεν, εἰπών, Εὔχομαι δὲ μηδὲν ποιῆσαι ὑμᾶς κακόν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλὰ ὑμεῖς δόκιμοι ἦτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. οὐ τοίνυν ἀπολογητικῶς αὐτὸ τίθησιν, ἀλλὰ μᾶλλον ἀγανακτῶν, μᾶλλον καθαπτόμενος τῶν καταφρονούντων αὐτοῦ. ἐγὼ μὲν * οὐ βούλομαι, φησί, δοῦναι πεῖραν ὑμῖν τοιαύτην. εἰ δὲ αὐτοὶ παρέχετε τὴν αἰτίαν, καὶ βουληθείητέ με ἐκκαλέσασθαι, εἴσεσθε διὰ τῶν ἔργων αὐτῶν. καὶ ὅρα πῶς φορτικὸν ποιεῖ τὸν λόγον. οὐ γὰρ εἶπεν, ἐπειδὴ δοκιμὴν ζητεῖτε ἐμοῦ, ἀλλά, τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, δεικνὺς ὅτι εἰς ἐκεῖνον ἡμαρτάνουσι. καὶ οὐχ ἁπλῶς εἶπε, τοῦ ἐνοικοῦντος, ἀλλά, τοῦ λαλοῦντος, δεικνὺς πνευματικὰ ὄντα τὰ ῥήματα. εἰ δὲ οὐκ ἐνδείκνυται αὐτοῦ τὴν ἰσχύν, οὐδὲ κολάζει (λοιπὸν γὰρ ἀφ' ἑαυτοῦ τὸν λόγον ἐκεῖ μετήγαγε, φοβερωτέραν ποιῶν τὴν ἀπειλήν) οὐ δι' ἀσθένειαν (δύναται γάρ) ἀλλὰ διὰ μακροθυμίαν. μὴ τοίνυν τὴν ἀνοχὴν αὐτοῦ ἀσθένειάν τις λογιζέσθω. τί γὰρ θαυμάζεις, εἰ οὐκ ἐπεξέρχεται νῦν ἁμαρτάνουσιν, οὐδὲ ἀπαιτεῖ δίκην ἀνεχόμενος καὶ μακροθυμῶν, ὅπουγε καὶ σταυρωθῆναι αὐτὸς ὑπέμεινε, καὶ τοιαῦτα πάσχων οὐκ ἐκόλαζε; διὸ καὶ ἐπήγαγεν, Ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν.

4 Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.

Πολλὴν ἀσάφειαν ἔχει τὰ ῥήματα, καὶ τοῖς ἀσθενεστέροις θόρυβον ἐντίθησι. διόπερ ἀναγ-

καῖον

χαῖον αὐτὰ ἀναπλῶσαι σαφέστερον, καὶ τῆς λέξεως ταύτης εἰπεῖν τὰ σημαινόμενα, περὶ ἣν ἡ ἀσάφεια, ἵνα μηδεὶς σκανδαλίζηται μηδὲ τῶν ἀφελεστέρων. τί ποτ᾽ οὖν ἐστὶ τὸ εἰρημένον, καὶ τί δηλοῖ τὸ τῆς ἀσθενείας ὄνομα, καὶ κατὰ ποῖον σημαινόμενον εἴρηται, ἀναγκαῖον μαθεῖν. μία μὲν γὰρ ἡ λέξις, πολλὰ δὲ τὰ ἐξ αὐτῆς δηλούμενα. καὶ γὰρ ἀσθένεια λέγεται, ἡ τοῦ σώματος ἀρρωστία. διὸ καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται, Ἰδὲ ὃν φιλεῖς ἀσθενεῖ, [Ιωαν. ια. γ. δ.] περὶ τοῦ Λαζάρου· καὶ αὐτὸς ἔλεγεν, Ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον. καὶ περὶ τοῦ Ἐπαφροδίτου ὁ Παῦλος· Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ᾽ ὁ Θεὸς αὐτὸν ἠλέησε. [Φιλιπ. β. κζ.] καὶ περὶ τοῦ Τιμοθέου, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. [α. Τιμ. ε. κγ.] ταῦτα γὰρ ἅπαντα σωματικὴν ἀρρωστίαν δηλοῖ. λέγεται πάλιν ἀσθένεια, τὸ μὴ πεπηγέναι ἐν τῇ πίστει ἁπλῶς, μηδὲ τέλειον εἶναι καὶ ἀπηρτισμένον. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε, Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν· καὶ [Ρω. ιδ. α.] πάλιν, Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει, τὸν ἐν τῇ πίστει ἀσθενοῦντα δηλῶν. ἰδοὺ δύο σημαινόμενα ἐκ τῆς ἀσθενείας ἐστί· καὶ τρίτον ἕτερον, ὃ καλεῖται ἀσθένεια. ποῖον δὴ τοῦτο; οἱ διωγμοί, αἱ ἐπιβουλαί, αἱ ἐπήρειαι, οἱ πειρασμοί, αἱ ἐπαγωγαί. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν, Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ [β. Κορ. ιβ. η. θ.] σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τί ἐστιν, ἐν ἀσθενείᾳ; ἐν διωγμοῖς, ἐν κινδύνοις, ἐν πειρασμοῖς, ἐν ἐπιβουλαῖς, ἐν θανάτοις. καὶ τοῦτο δηλῶν ἔλεγε, Διὸ εὐδοκῶ [β. Κορ. ιβ. ι.] ἐν ἀσθενείᾳ. εἶτα δεικνὺς ποίαν λέγει ἀσθένειαν, οὐ πυρετὸν εἶπεν, οὐκ ἀμφιβολίαν τὴν περὶ τὴν πίστιν, ἀλλὰ τί; ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι, τουτέστιν, ὅταν διώκωμαι, ὅταν ἐλαύνωμαι, ὅταν ἐπιβουλεύωμαι, τότε δυνατός εἰμι, τότε μᾶλλον κρατῶ καὶ περιγίνομαι τῶν ἐπιβουλευόντων, τῆς χάριτος δαψιλέστερον ἐνιζανούσης ἐν ἐμοί. κατὰ δὴ τοῦτο τὸ τρίτον, τὴν ἀσθένειαν τέθεικεν ὁ Παῦλος. καὶ ὃ λέγει τοῦτό ἐστι· πρὸς ἐκεῖνο πάλιν ἀποτεινόμενος, ὃ καὶ ἔμπροσθεν εἶπον, ὅτι εὐτελὴς αὐτοῖς ἐδόκει εἶναι καὶ εὐκαταφρόνητος. οὐ γὰρ δὴ ἐβούλετο κομπάζειν, οὐδὲ ὅπερ ἦν, εἶναι δοκεῖν αὐτὸν, οὐδὲ τὴν δύναμιν ἐνδείκνυσθαι, ἣν εἶχεν εἰς τὸ κολάζειν καὶ τιμωρεῖσθαι· ὅθεν καὶ ἐνομίζετο εὐτελὴς εἶναι. ἐπεὶ οὖν τοῦτο νομίζοντες ἐν πολλῇ ῥαθυμίᾳ ἦσαν καὶ ἀναισθησίᾳ, καὶ οὐ μετεβάλλοντο ἐκ τῶν ἁμαρτημάτων, καιρὸν ἐπιτήδειον λαβὼν, καὶ περὶ τούτων εὐτόνως σφόδρα διαλέγεται, δεικνὺς ὅτι οὐ δι᾽ ἀσθένειαν οὐδὲν ἐποίει, ἀλλὰ διὰ μακροθυμίαν. εἶτα (ὅπερ ἔφην) ἀφ᾽ ἑαυτοῦ τὸν λόγον ἐπὶ τὸν Χριστὸν μεταγαγὼν, ἐπιτείνει τὸν φόβον, αὔξει τὴν ἀπειλήν. ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ γὰρ, καὶ ἐὰν ποιήσω τι καὶ κολάσω καὶ τιμωρήσωμαι τοὺς ἡμαρτηκότας, ἐγώ εἰμι ὁ κολάζων καὶ τιμωρούμενος; ἔστιν ὁ ἐν ἐμοὶ οἰκῶν, αὐτὸς ὁ Χριστός. εἰ δὲ οὐ πιστεύετε τοῦτο, ἀλλὰ βούλεσθε λαβεῖν δοκιμὴν, διὰ τῶν ἔργων τοῦ ἐνοικοῦντος ἐν ἐμοὶ εἴσεσθε ταχέως. οὐδὲ γὰρ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ καὶ δυνατός ἐστι. καὶ διατί προσέθηκεν, εἰς ὑμᾶς, καίτοι πανταχοῦ δυνατός ἐστι; κἂν γὰρ ἀπίστους βουληθῇ κολάσαι, δύναται· κἂν δαίμονας, κἂν ὁποιουσοῦν. τί οὖν βούλεται ἡ προσθήκη; σφόδρα ἐντρέποντος αὐτούς ἐστι τὸ ῥῆμα, ἀφ᾽ ὧν ἤδη πεῖραν εἰλήφασιν, ἢ τοῦτο δηλοῦντος, ὅτι τέως ἐν ὑμῖν τὴν δύναμιν ἐπιδείκνυται τοῖς ὀφείλουσι διορθωθῆναι. ὃ καὶ ἀλλαχοῦ ἔλεγε, Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; [α. Κορ. ε. ιβ.] τοὺς μὲν γὰρ ἔξω, φησί, τότε ἀπαιτήσει δίκην κατὰ τὴν ἡμέραν τῆς κρίσεως· ὑμᾶς δὲ καὶ νῦν, ὥστε ἐκείνης ἐξελέσθαι τῆς τιμωρίας. ἀλλ᾽ ὅμως καὶ τὸ κηδεμονικὸν τοῦτο, καὶ διὰ φιλοστοργίαν γινόμενον, ὅρα πῶς μετὰ φόβου τίθησι καὶ πολλοῦ τοῦ θυμοῦ, λέγων, ὡς οὐκ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ δύναται ἐν ὑμῖν. καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ. τί ἐστιν, εἰ ἐσταυρώθη ἐξ ἀσθενείας; καὶ γὰρ εἰ εἵλετο, φησι, πρᾶγμα ὑπομεῖναι δοκοῦν ἀσθενείας ἔχειν ὑπόληψιν, ἀλλ᾽ οὐδὲν τοῦτο τὴν δύναμιν αὐτοῦ διακόπτει. μανθάνει

γὰρ αὕτη ἀμάχος οὖσα, καὶ οὐδὲν τὸ πρᾶγμα τὸ δοκοῦν ἀσθενείας εἶναι ταύτην παρέβλαψεν, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοῦ δείκνυσι τὴν ἰσχὺν, ὅτι καὶ τοιοῦτον πρᾶγμα ὑπέμεινε, καὶ τὰ τῆς δυνάμεως αὐτοῦ οὐκ ἠκρωτηριάσθη. μὴ τοίνυν σε θορυβείτω ἡ λέξις τῆς ἀ-

α. Κορ. α. κε. σθενείας. καὶ γὰρ καὶ ἀλλαχοῦ φησι, Τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. καίτοι οὔτε μωρὸν, οὔτε ἀσθενὲς οὐδὲν ὁ Θεὸς ἔχει· ἀλλὰ τὸν σταυρὸν οὕτως ἐκάλεσε, τὴν τῶν ἀπίστων ὑπόνοιαν περὶ αὐτοῦ ἐξη-

α. Κορ. α. ιη. γούμενος. ἄκουσον γοῦν αὐτοῦ ἑαυτὸν ἑρμηνεύοντος. Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀ-

α. Κορ. α. κγ. πολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστί. καὶ πάλιν, Ἡμεῖς δὲ κηρύσσομεν Θεὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ″ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλη- χ. ἔθνεσι

α. Κορ. β. ιδ. τοῖς Ἰουδαίοις τε καὶ ἕλλησι Χριστὸν, Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν. καὶ πάλιν, Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν. ὅρα πῶς πανταχοῦ τῶν ἀπίστων τὴν ὑπόνοιαν ἑρμηνεύει, μωρίαν καὶ ἀσθένειαν τὸν σταυρὸν νομιζόντων. οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τὴν οὖσαν ἀσθένειαν λέγει, ἀλλὰ τὴν ὑποπτευομένην παρὰ τοῖς ἀπίστοις. οὐ τοῦτο οὖν φησιν, ὅτι ἀσθενὴς ὢν ἐσταυρώθη, ἄπαγε. ὅτι γὰρ ἠδύνατο μὴ σταυρωθῆναι, διὰ πάντων ἔδειξε, νῦν μὲν ὑπτίους ῥίψας, νῦν δὲ τὰς ἀκτῖνας ἀποστρέψας, καὶ σκηνὴν ξηράνας, καὶ τὰς ὄψεις τῶν ἐλθόντων ἐπ' αὐτὸν πηρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος. τί οὖν ἐστιν ὃ φησιν, ἐξ ἀσθενείας; ὅτι εἰ καὶ ἐσταυρώθη κίνδυνον ὑπομείνας καὶ ἐπιβουλὴν (″ἐδείξαμεν γὰρ τὴν ἀσθένειαν κίνδυνον καλουμένην καὶ ἐπιβουλὴν) ἀλλ' ὅμως οὐδὲν παρεβλάβη. χ. ἐδείξαμεν ταῦτα δὲ ἔλεγεν, εἰς τὰ καθ' ἑαυτὸν ἕλκων τὸ ὑπόδειγμα. ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς διωκομένους, ἐλαυνομένους, καταφρονουμένους, καὶ οὐκ ἀμυνομένους, οὐδὲ ἐπεξιόντας, διδάσκων αὐτοὺς, ὅτι οὐδὲ αὐτοὶ παρὰ ἀτονίαν ταῦτα πάσχουσιν, οὐδὲ παρὰ τὸ μὴ δύνασθαι ἐπεξιέναι, ἀνάγει τὸν λόγον ἐπὶ τὸν δεσπότην· ἐπεὶ καὶ αὐτὸς, φησιν, ἐσταυροῦτο, ἐδεσμεῖτο, μυρία ἔπασχε, καὶ οὐκ ἐπεξῄει, ἀλλ' ἔμενε, τὰ δοκοῦντα τῆς ἀσθενείας εἶναι ὑπομένων πράγματα, καὶ ταύτῃ τὴν δύναμιν ἐπιδεικνύμενος τὴν αὐτοῦ, ὅτι καὶ μὴ ἐπεξιὼν, μηδὲ ἀμυνόμενος, οὐδὲν ὅλως παρεβλάπτετο. τὴν γοῦν ζωὴν οὐ διέκοψεν ὁ σταυρὸς, οὐδὲ ἐνεπόδισε τὴν ἀνάστασιν, ἀλλὰ καὶ ἀνέστη καὶ ζῇ. ὅταν δὲ ἀκούσῃς σταυρὸν καὶ ζωὴν, τὸν περὶ τῆς οἰκονομίας ἐκδέχου λόγον. περὶ γὰρ ταύτην ὁ πᾶς ἐστὶ λόγος. εἰ δὲ φησιν, ἐκ δυνάμεως Θεοῦ· οὐχ ὡς αὐτοῦ ἀτονοῦντος ζωογονῆσαι τὴν σάρκα, ἀλλὰ ἀδιάφορον αὐτῷ* λέγει, καὶ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ. εἰπὼν γὰρ, ἐκ δυνάμεως Θεοῦ, ἐκ δυνάμεως τῆς αὐτοῦ εἴρηκεν. ὅτι γὰρ καὶ αὐτὸς αὐτὴν ἀνέστησε καὶ διεχειρίσατο, ἄκουσον αὐτοῦ λέγοντος, * τὸ

Ἰωαν. β. ιθ. Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἰ δὲ, ὅπερ αὐτοῦ ἐστι, τοῦτο

Ἰωαν. ις. ιε. τοῦ πατρὸς εἶναι λέγει, μὴ θορυβηθῇς. Πάντα γὰρ τὰ τοῦ πατρός μου, ἐμά ἐστι, φησί· καὶ πά-

ιζ. ι. λιν, Πάντα τὰ ἐμὰ, σά ἐστι, καὶ τὰ σὰ ἐμά. ὥσπερ οὖν ἐκεῖνος ὁ σταυρωθεὶς οὐδὲν παρεβλάβη, φησὶν, οὕτως οὐδὲ ἡμεῖς διωκόμενοι, πολεμούμενοι. διὸ καὶ ἐπάγει,

Καὶ γὰρ καὶ ἡμεῖς * ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα ἐν αὐτῷ ἐκ δυνάμεως Θεοῦ. * ἡ.. Τί ἐστιν, ἀσθενοῦμεν ἐν αὐτῷ; διωκόμεθα, ἐλαυνόμεθα, τὰ ἔσχατα πάσχομεν. ἀλλὰ τί ἐστιν, ἐν αὐτῷ; διὰ τὸ κήρυγμα, φησι, καὶ τὴν πίστιν τὴν εἰς αὐτόν. εἰ δὲ τὰ σκυθρωπὰ καὶ φορτικὰ ὑπομένομεν δι' αὐτὸν, εὔδηλον ὅτι καὶ τὰ φαιδρά. διὸ καὶ ἐπήγαγεν, ἀλλὰ σωζόμεθα″ ἐν αὐτῷ ἐκ δυνάμεως Θεοῦ. χ. ἰσ... χ. σώ...

5 Ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Χριστὸς ἐν ὑμῖν ἐστιν, εἰ μήτι * ἀδόκιμοί ἐστε; * ἄρα

6 Ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. Ἐπειδὴ γὰρ διὰ τῶν εἰρημένων ἔδειξεν, ὅτι εἰ καὶ μὴ ἐπεξέρχεται, οὐχ ὡς οὐκ ἔχων τὸν Χριστὸν ἐν ἑαυτῷ, ἀλλ' ὡς τὴν μακροθυμίαν τὴν ἐκείνου μιμούμενος τοῦ σταυρουμένου, καὶ μὴ ἀμυνομένου, πά-

λη ἑτέρως δὲ αὐτὸ τοῦτο ἐργάζεται, καὶ ἐκ πλείονος ἀξιοπιστίας, ἀπὸ τῶν μαθητῶν κατασκευάζων ὃ λέγει. τί γὰρ λέγω περὶ ἐμοῦ τοῦ διδασκάλου, φησὶ, καὶ τοσαύτην ἔχοντος φροντίδα, καὶ τὴν οἰκουμένην ἅπασαν ἐμπεπιστευμένου, καὶ τοσαῦτα σημεῖα πεποιηκότος; ὑμᾶς γὰρ αὐτοὺς ἐὰν βουληθῆτε ἐξετάσαι τοὺς ἐν τάξει μαθητῶν ὄντας, εὑρήσετε ὅτι καὶ ἐν ὑμῖν ὁ Χριστός. εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. εἰ γὰρ τὴν πίστιν ἔχετε, καὶ ἐν ὑμῖν ὁ Χριστός. καὶ περὶ τῶν πιστευόντων τότε αὐτὸ εἴρηται θαύματα ἐργαζομένων. οἱ γὰρ πιστεύοντες τότε, ἐθαυματούργουν. διὸ καὶ ἐπήγαγεν, ἑαυτοὺς πειράζετε, ἑαυτοὺς δοκιμάζετε, εἰ ἐστὲ ἐν τῇ πίστει. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Χριστὸς ἐν ὑμῖν, εἰ μή τι ἀδόκιμοί ἐστε; εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. ἐμοὶ δὲ δοκεῖ πίστιν ἐνταῦθα λέγειν καὶ τὴν τῶν σημείων. εἰ γὰρ ἔχετε τὴν πίστιν ἐκείνην, φησὶν, ὁ Χριστὸς ἐν ὑμῖν ἐστιν, εἰ μή τι * ἀδόκιμοι γεγόνατε. [* ἐστε.] εἶδες πῶς πάλιν φοβεῖ, καὶ ἐκ περιουσίας δείκνυσι περὶ αὐτοῦ ὄντα τὸν Χριστόν; ἐνταῦθα γάρ μοι δοκεῖ καὶ εἰς βίον αὐτοὺς αἰνίττεσθαι. ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ ἡ πίστις εἰς τὸ ἐπισπάσασθαι τὴν ἐνέργειαν τὴν πνευματικὴν, εἰπὼν δὲ, ὅτι εἰ ἐστὲ ἐν τῇ πίστει, τὸν Χριστὸν ἔχετε ἐν ἑαυτοῖς, (συνέβαινε δὲ πολλοὺς εἶναι) ταύτης τῆς ἐνεργείας ἐρήμους πίστιν ἔχοντας, λύων τὴν ἀπορίαν φησὶν, εἰ μή τι ἀδόκιμοί ἐστε, εἰ μὴ βίον διεφθαρμένον ἔχετε. ἐλπίζω δὲ, ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. τὸ ἀκόλουθον ἦν εἰπεῖν, εἰ δὲ ὑμεῖς ἀδόκιμοι γεγόνατε, ἀλλ' οὐχ ἡμεῖς. ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ πλήξῃ, ἀμυδρῶς δὲ αὐτὸ αἰνίττεται, οὔτε ἀποφαινόμενος καὶ λέγων, ὅτι ἀδόκιμοί ἐστε, οὔτε κατ' ἐρώτησιν προσάγων καὶ λέγων, εἰ δὲ ὑμεῖς ἀδόκιμοι, ἀλλὰ τοῦτο παραλιπὼν, αἰνιγματωδῶς αὐτὸ ἐνδείκνυται, ἐπάγων, ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. [χ. δι᾽ αὐτὸ τοῦτο τὸ κατ᾽ ἐρώτησιν παρελ. καὶ αἰνιγμ.] πάλιν κἀνταῦθα πολλὴ ἡ ἀπειλὴ, μέγας ὁ φόβος. ἐπειδὴ γὰρ ἐντεῦθεν βούλεσθε, φησι, διὰ τῆς εἰς ὑμᾶς κολάσεως τὴν δοκιμὴν λαβεῖν, οὐκ ἀπορήσομεν τοῦ δοῦναι ὑμῖν τὴν ἀπόδειξιν. ἀλλ' οὕτω μὲν οὐ λέγει, μετὰ πλείονος δὲ τοῦ βάρους καὶ τῆς ἀσφαλείας· ἐλπίζω δὲ, ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. ἔδει μὲν γὰρ καὶ χωρὶς τούτου εἰδέναι ὑμᾶς, φησι, τὰ ἡμέτερα, καὶ ὅτι Χριστὸν ἔχομεν ἐν ἑαυτοῖς λαλοῦντα καὶ ἐνεργοῦντα· ἐπειδὴ δὲ καὶ διὰ τῶν ἔργων βούλεσθε λαβεῖν τὴν πεῖραν, εἴσεσθε ὅτι οὐκ ἐσμὲν ἀδόκιμοι. εἶτα ἐπειδὴ τὴν ἀπειλὴν ἐπηυξήσατο, καὶ τὴν κόλασιν λοιπὸν ἐπὶ θύραις ἤγαγε, καὶ ἐν τρόμῳ κατέστησεν αὐτοὺς, καὶ προσδοκᾶν ἐποίησε τιμωρίαν, ὅρα πῶς πάλιν καταγλυκαίνει τὸν λόγον, καὶ παραμυθεῖται τὸν φόβον, καὶ δείκνυσιν αὐτοῦ τὸ φιλάνθρωπον, τὸ πρὸς τοὺς μαθητὰς κηδεμονικὸν, τὸ φιλόσοφον τῆς γνώμης, τὸ ὑψηλὸν καὶ ἀκενόδοξον. ταῦτα γὰρ ἅπαντα δείκνυσι δι' ὧν ἐπάγει λέγων,

7 Εὔχομαι δὲ πρὸς τὸν Θεὸν, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.

8 Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας.

9 Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. τοῦτο γὰρ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν. Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ψυχῆς; κατεφρονεῖτο, διεσύρετο, ἐκωμῳδεῖτο, ἐχλευάζετο, ὡς εὐτελὴς, ὡς εὐκαταφρόνητος, ὡς ἀλαζὼν, ὡς κομπάζων μὲν διὰ τῶν ῥημάτων, ἐπὶ δὲ τῶν πραγμάτων οὐδὲ μικρόν τι δεῖξαι ἔχων τὴν ἑαυτοῦ ἰσχύν· καὶ οὐ μόνον ἀναβάλλεται, οὐδὲ μόνον ἀναδύεται, ἀλλὰ καὶ εὔχεται μὴ ἐμπεσεῖν εἰς τοιαύτην ὑπόθεσιν. εὐχόμεθα γὰρ, φησι, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδὲν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. τί ἐστιν ὃ λέγει; παρακαλῶ τὸν Θεὸν, φησιν, ἱκετεύω μηδένα εὑρεῖν ἀδιόρθωτον, μηδένα εὑρεῖν ἀμετανοούντων· μᾶλλον δὲ οὐδὲ τοῦτο μόνον, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἁμαρτεῖν (μὴ ποιῆσαι γὰρ ὑμᾶς, φησι, μηδέν) εἰ δὲ καὶ ἄρα ἁμάρτητε, μεταβάλλεσθαι, καὶ προλαβόντας διορθώσασθαι,

καὶ πᾶσαν ἀποκρούσασθαι ὀργήν. οὐδὲ γὰρ τοῦτο σπουδάζω, ἵνα οὕτω δόκιμοι ὦμεν, ἀλλὰ τοὐναντίον ἅπαν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν. Εἰ γὰρ μένετε, φησὶν, ἀμετανόητα ἁμαρτάνοντες, ἀνάγκη ἡμᾶς κολάζειν, τιμωρεῖσθαι, πηροῦν ὑμῶν τὰ σώματα· ὅπερ ἐπὶ Σαπφείρας καὶ ἐπὶ τοῦ μάγου γέγονε. καὶ ἐδώκαμεν δοκιμὴν τῆς δυνάμεως. ἀλλ' οὐκ εὐχόμεθα τοῦτο, ἀλλὰ τοὐναντίον, ἵνα μήτε ἡμεῖς οὕτω δόκιμοι φανῶμεν· τουτέστιν, ἵνα μὴ οὕτω τὴν δοκιμὴν ἐπιδειξώμεθα τῆς δυνάμεως τῆς ἐν ἡμῖν, διὰ τοῦ κολάζειν ὑμᾶς καὶ τιμωρεῖσθαι ἁμαρτάνοντας καὶ ἀνίατα νοσοῦντας. ἀλλὰ τί; ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, τοῦτο εὐχόμεθα, ἵνα αἰεὶ ἐν ἀρετῇ, ἀεὶ ἐν διορθώσει, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν, οὐκ ἐπιδεικνύμενοι ἡμῶν τὴν τιμωρητικὴν δύναμιν. καὶ οὐκ εἶπεν, ἀδόκιμοι. οὐ γὰρ ἔμελλεν εἶναι ἀδόκιμος, εἰ καὶ μὴ ἐκόλασεν, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο δόκιμος. ἀλλ' εἰ καί τινες ὑποτοπεύουσιν ἡμᾶς, φησὶ, μὴ ἐπιδεικνυμένους τὴν ἰσχὺν ἡμῶν, εὐκαταφρονήτους εἶναι καὶ ἀπερριμμένους, οὐδὲν ἡμῖν μέλει τούτου. βέλτιον ἡμᾶς τοῦτο νομίζεσθαι παρ' ἐκείνοις, ἢ ἐν ταῖς πληγαῖς καὶ τοῦ ἀδιορθώτου τῆς γνώμης, τὴν δύναμιν, ἣν δέδωκεν ἡμῖν ὁ Θεὸς, ἐπιδείκνυσθαι. οὐ γὰρ δυνάμεθα κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας. ἵνα γὰρ μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι (τοῦτο γάρ ἐστιν ἀκενοδόξου γνώμης) ἀλλ' ὅπερ ἡ τοῦ πράγματος ἀπαιτεῖ φύσις, τοῦτο ποιῇ, τοῦτο ἐπήγαγε λέγων, οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας. ἂν γὰρ εὕρωμεν, φησὶν, ὑμᾶς εὐδοκιμοῦντας, ἀποκρουσαμένους τὰ ἁμαρτήματα διὰ τῆς μετανοίας, παρρησίαν πρὸς τὸν Θεὸν ἐσχηκότας· οὐδὲ δυνησόμεθα, κἂν βουληθῶμεν, κολάσαι λοιπόν, ἀλλὰ κἂν ἐπιχειρήσωμεν, οὐ συμπράξει ὁ Θεός. Εἰς τοῦτο γὰρ ἡμῖν ἔδωκε τὴν δύναμιν, ὥστε ἀληθῆ φέρειν τὴν ψῆφον καὶ δικαίαν, καὶ οὐχ ὑπεναντίαν τῇ ἀληθείᾳ. Εἶδες πῶς πανταχόθεν ἀνεπαχθῆ ποιεῖ τὸν λόγον, καὶ παραμυθεῖται τῆς ἀπειλῆς τὸ τραχύ; πλὴν ἀλλ' ὥσπερ τοῦτο ἐσπούδακεν, οὕτω βούλεται καὶ τὴν αὐτοῦ δεῖξαι γνώμην οἰκτειρουμένην αὐτούς. διὸ καὶ ἐπήγαγε, χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν. μάλιστα μὲν γὰρ, φησὶν, οὔτε δυνάμεθά τι κατὰ τῆς ἀληθείας, τουτέστιν, εὐαρεστοῦντας ὑμᾶς κολάσαι. πλὴν ἐπειδὴ οὐ δυνάμεθα, διὰ τοῦτο οὐ βουλόμεθα, καὶ τοὐναντίον ἐπιθυμοῦμεν. ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα χαίρομεν, ὅταν μὴ εὕρωμεν ὑμᾶς ἀφορμὴν ἡμῖν παρέχοντας τοῦ δεῖξαι ἡμῶν τὴν δύναμιν τὴν ἐπὶ τῇ κολάσει. Εἰ γὰρ καὶ τὸ τὰ τοιαῦτα ποιεῖν λαμπροὺς δείκνυσι καὶ δοκίμους καὶ ἰσχυρούς, ἀλλ' ἡμεῖς τὸ ἐναντίον βουλόμεθα, ὑμᾶς δοκίμους εἶναι καὶ ἀλήπτους, καὶ ἡμᾶς μηδέποτε τὴν ἐντεῦθεν καρποῦσθαι δόξαν. διό φησι, χαίρομεν γὰρ, ὅταν ἡμεῖς ἀσθενῶμεν. τί ἐστιν, ἀσθενῶμεν; ὅταν νομιζώμεθα ἀσθενεῖς· οὐχ ὅτι ἐσμὲν ἀσθενεῖς, ἀλλ' ὅτε νομιζόμεθα ἀσθενεῖς. τοῦτο γὰρ ἐνομίζοντο παρὰ τοῖς ἐχθροῖς, οὐκέτι δεικνύμενοι τὴν τιμωρητικὴν αὐτῶν δύναμιν. ἀλλ' ὅμως χαίρομεν, ὅταν οὕτως ἀναστραφῆτε, ὥστε μὴ παρασχεῖν ἡμῖν πρόφασιν τοῦ τιμωρεῖσθαι ὑμᾶς. καὶ ἡμῖν τοῦτο ἡδὺ, ὅταν οὕτω νομιζώμεθα ἀσθενεῖς, μόνον ὑμεῖς ἵνα ἄληπτοι ἦτε. διὸ ἐπάγει, ὑμεῖς δὲ δυνατοὶ ἦτε· τουτέστι δόκιμοι, ἐνάρετοι. καὶ οὐ μόνον βουλόμεθα ταῦτα, ἀλλὰ εὐχόμεθα ταῦτα, ἀλήπτους ὑμᾶς εἶναι, τετελειωμένους, μηδεμίαν παρέχοντας λαβὴν ἡμῖν.

χ. μένετε, χ. ὑμᾶς, χ. ποιεῖ, χ. φειδομένην, χ. τοῦτο

ΗΘΙΚΟΝ

Τοῦτο σπλάγχνου πατρικοῦ, τῆς οἰκείας εὐδοκιμήσεως τὴν σωτηρίαν προτιμᾷν τῶν μαθητῶν· τοῦτο ψυχῆς ἀκενοδόξου· τοῦτο μάλιστα ἀπαλλάττει τῶν συνδέσμων τοῦ σώματος, καὶ μετεωρίζεσθαι ποιεῖ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν, τὸ τῆς δόξης εἶναι τῆς κενῆς καθαρόν· ὥσπερ οὖν τὸ ἐναντίον εἰς πολλὰ ἄγει τὰ ἁμαρτήματα. οὐ γάρ ἐστι μὴ καθαρεύοντα δόξης κενῆς, ὑψηλὸν γενέσθαι καὶ μέγαν καὶ γενναῖον, ἀλλ' ἀνάγκη χαμαὶ σύρεσθαι, καὶ πολλὰ διαφθείρειν, δουλεύοντα μιαρᾷ δεσποίνῃ καὶ βαρβάρου παντὸς ἀπηνεστέρᾳ. τί γὰρ αὐτῆς ἀγελαιότερον γένοιτ' ἂν, ἢ ὅταν μάλιστα θεραπεύηται, τότε

χ. σπλάγχνου πατρικοῦ

μάλιστα

μάλιστα ἀγριοῦται; καίτοιγε τοῦτο οὐδὲ τὰ θηρία ἔχει, ἀλλὰ τῇ πολλῇ τιθασσεύεται θεραπείᾳ. ἡ δὲ κενοδοξία τουναντίον ἅπαν· καταφρονουμένη μὲν ἡμεροῦται, τιμωμένη δὲ ἀγριοῦται καὶ ὁπλίζεται κατὰ τοῦ τιμῶντος. ταύτην τιμήσαντες οἱ Ἰουδαῖοι, μετὰ πολλῆς τῆς σφοδρότητος ἐκολάσθησαν· ταύτην ἀτιμάσαντες οἱ μαθηταὶ ἐστεφανώθησαν. καὶ τί λέγω κολάσεσι καὶ στεφάνοις; εἰς γὰρ αὐτὸ ὃ φιλοῦσι, λαμπροτέρους μάλιστα ὃ διαφεύγει αὐτὴν ζητοῦντας. καὶ ὅπερ καὶ ἐνταῦθα τοὺς μὲν τιμῶντας αὐτήν, παραβλαπτομένους· τοὺς δὲ ἀτιμάζοντας, ὠφελουμένους. οἱ μὲν γὰρ ἀτιμάσαντες αὐτὴν μαθηταί (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ πάλιν χρήσασθαι ὑποδείγματι) καὶ τὰ τοῦ Θεοῦ προτιμήσαντες, ὑπὲρ τὸν ἥλιον λάμπουσιν, ἀθάνατον κτησάμενοι μνήμην καὶ μετὰ τελευτήν· οἱ δὲ ὑποκατακλιθέντες αὐτῇ Ἰουδαῖοι, ἄπολιδες, ἀνέστιοι, ἄτιμοι, φυγάδες, ἀνάστατοι γεγόνασιν, εὐτελεῖς, εὐκαταφρόνητοι. καὶ σὺ τοίνυν, εἰ βούλει δόξαν λαβεῖν, διάκρουσαι δόξαν· εἰ δὲ διώκεις δόξαν, ἐκπέσῃς δόξης. καί, εἰ βούλεσθε, τοῦτο καὶ ἐν τοῖς βιωτικοῖς τῶν λόγων γυμνάσωμεν. τίνας γὰρ σκώπτομεν ἐν τοῖς σκώμμασιν; οὐχὶ τοὺς ἐφιεμένους αὐτῆς; ἐκεῖνοι μάλιστα οὗτοί εἰσιν οἱ ταύτης ἀπεστερημένοι, μυρίους ἔχοντες κατηγόρους, καὶ παρὰ πάντων ἀτιμαζόμενοι. τίνας δὲ θαυμάζομεν, εἰπέ μοι; οὐ τοὺς καταφρονοῦντας αὐτῆς; ἐκεῖνοι οὗτοί εἰσιν οἱ δοξαζόμενοι. ὥσπερ γὰρ πλούσιος, οὐχ ὁ πολλῶν δεόμενος, ἀλλ᾽ ὁ μηδενός· ″οὕτως ἔνδοξος, οὐχ ὁ δόξης ἐρῶν, ἀλλ᾽ ὁ ταύτης ὑπερορῶν. σκιὰ γὰρ δόξης ἐστὶν αὕτη ἡ δόξα. οὐδεὶς ἄρτον ἰδὼν ἐζωγραφημένον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς γραφῆς ἅψεται. μὴ τοίνυν μηδὲ σὺ δίωκε τὰς σκιάς. σκιὰ γὰρ δόξης τοῦτο, οὐ δόξα. καὶ ἵνα μάθῃς, ὅτι τοῦτο τοιοῦτον ἔχει τὸν τρόπον,* ἐκεῖνο λογίζου· ὅταν διαβάλληται παρὰ ἀνθρώποις τὸ πρᾶγμα, ὅταν φευκτὸν εἶναι δοκῇ τοῖς πᾶσι, καὶ αὐτοῖς τοῖς ἐπιθυμοῦσιν αὐτοῦ, ὅταν αἰσχύνηται καλούμενος ἐντεῦθεν ὁ ἔχων, ἢ ὁ ἐφιέμενος αὐτῆς. πόθεν οὖν ἡ ἐπιθυμία, φησίν, αὕτη, καὶ πῶς γέγονε τὸ πάθος; ἀπὸ μικροψυχίας (οὐ γὰρ δεῖ κατηγορεῖν μόνον, ἀλλὰ καὶ διορθοῦσθαι) ἀπὸ ἀτελοῦς διανοίας, ἀπὸ παιδικῆς γνώμης. παυσώμεθα τοίνυν παῖδες ὄντες, καὶ γενώμεθα ἄνδρες, καὶ πανταχοῦ τὴν ἀλήθειαν, μὴ τὰς σκιὰς διώκωμεν, καὶ ἐν πλούτῳ, καὶ ἐν ἡδονῇ, καὶ ἐν τρυφῇ, καὶ ἐν δόξῃ, καὶ ἐν δυνάμει· καὶ παύσεται τὸ νόσημα τοῦτο καὶ ἕτερα πλείονα. τὸ γὰρ σκιὰς διώκειν, μαινομένου. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε. α. Κορ. ιε. λδ. ἔστι γὰρ καὶ ἑτέρα μανία, χαλεπωτέρα ἐκείνης τῆς ἀπὸ τῶν δαιμόνων, τῆς ἀπὸ τῆς ″φρενίτιδος. ἡ μὲν γὰρ ἔχει συγγνώμην, αὕτη δὲ ἀπολογίας ″ἐστέρηται, ὅταν αὐτὴ ἡ ψυχὴ διεφθαρμένη ᾖ, καὶ μὴ ὀρθὴ ἡ κρίσις αὐτῆς, ἀλλ᾽ ἀπολωλυῖα. καὶ τὸ μὲν τῆς ″φρενίτιδος [ὄργανον] ἐστὶ σωματικὸν πάθος· αὕτη δὲ ἡ μανία, τοῦ τεχνίτου νοῦ. ὥσπερ οὖν τῶν πυρετῶν ἐκεῖνοι χαλεπώτεροι καὶ ἀνίατοι, οἱ τῶν στερεῶν ἁπτόμενοι σωμάτων, καὶ τοῖς νεύροις ″ἐνδομυχοῦντες, καὶ ταῖς φλεψὶν ἐναποκεκρυμμένοι· οὕτω δὴ καὶ αὕτη ἡ μανία, ἐπειδὴ αὐτῇ τῇ διανοίᾳ ″ἐνδομυχεῖ, διαστρέφουσα αὐτὴν καὶ λυμαινομένη. πῶς γὰρ οὐ μανία λαμπρὰ καὶ σαφής, καὶ μανίας ἁπάσης χαλεπώτερον πάθος, τῶν μὲν μενόντων διηνεκῶς καταφρονεῖν, τῶν δὲ ἀπολλυμένων ἔχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς; εἰπὲ γάρ μοι, εἴ τις ἀνέμους ἐδίωκεν, ἢ κρατεῖν ἐπεχείρει, οὐκ ἂν ἔφαμεν αὐτὸν μαίνεσθαι; ″εἴ τις σκιὰς κατεῖχε, τὴν ἀλήθειαν ἀμελῶν, καὶ τὴν μὲν γυναῖκα ἐμίσει τὴν ἑαυτοῦ, περιεπλέκετο δὲ αὐτῆς ″τῇ σκιᾷ, ἢ τὸν μὲν υἱὸν ἀπεστρέφετο, τὴν δὲ τούτου σκιὰν πάλιν ἐφίλει, ἆρα ἂν ἕτερον ἐζήτησας σημεῖον τούτου σαφέστερον εἰς ἀπόδειξιν μανίας; τοιοῦτοί τινές εἰσι καὶ οὗτοι οἱ πρὸς τὰ παρόντα κεχηνότες. καὶ γὰρ πάντα σκιά, κἂν δόξαν εἴπῃς, κἂν δυναστείαν, κἂν εὐδοκίμησιν, κἂν πλοῦτον, κἂν τρυφήν, κἂν ὁποιονοῦν ἕτερον βιωτικόν. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης ἔλεγε, Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος· πλὴν μάτην ταράσσεται. Ψαλμ. λη. ϛ. καὶ πάλιν, Αἱ ἡμέραι ἡμῶν, ὡς σκιὰ ἐκλίθησαν. ρα. ιβ. καὶ ἀλλαχοῦ κα-

πνὸν

* καὶ σκιὰ τοῦτο ἐστίν,

γρ. φρενίτιδος.

γρ. πῶς; ἡ μὲν ψυχῆς διεφθαρμένης, ἡ δὲ φρενὸς ἀπολωλυίας καὶ κρίσεως οὐκ ὀρθῆς [illegible]

γρ. φρενίτιδος

γρ. ἔνδον σμύχοντες

γρ. ἔνδον σμύχει

γρ. εἴ τις τὴν

γρ. ἐμ.

γρ. τῇ σκιᾷ

πνὸν καὶ ἄνθος χόρτου καλεῖ τὰ ἀνθρώπινα. οὐ τὰ χρηστὰ δὲ* σκιὰ μόνον, ἀλλὰ καὶ τὰ λυπηρά, κἂν θάνατον εἴπῃς, κἂν πενίαν, κἂν ἀρρωστίαν, κἂν ὁποιονοῦν ἕτερον. ποῖα οὖν τὰ μένοντα, καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρά; ἡ βασιλεία ἡ αἰώνιος, καὶ ἡ γέεννα ἡ διηνεκής. οὔτε γὰρ
Μαρκ. θ. μδ. ὁ σκώληξ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται· καί, Ἀναστήσονται οὗτοι εἰς ζωὴν αἰώνιον,
Ματθ. κε. μϛ. καὶ οὗτοι εἰς κόλασιν αἰώνιον. ἵν' οὖν ταύτην μὲν φύγωμεν, τῆς δὲ ἀπολαύσωμεν, ἀφέμενοι τῆς σκιᾶς, ἐχώμεθα τῶν ἀληθινῶν πραγμάτων μετὰ σπουδῆς ἁπάσης. οὕτω γὰρ ἐπιτευξόμεθα τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λ. 10 ΔΙΑ ΤΟΥΤΟ ΤΑΥΤΑ ΑΠΩΝ ΓΡΑΦΩ, ΙΝΑ παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ Κύριος εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν.

Ἤσθετο αὐτοῦ σφοδρότερον διαλεχθέντος, καὶ μάλιστα πρὸς τῷ τέλει τῆς ἐπιστολῆς. (β. Κορ. ι. α. β.) καὶ γὰρ ἔμπροσθεν ἔλεγεν, Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ· ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς κατὰ σάρκα περιπατοῦντας. καί, ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. καί, φοβοῦμαι μήπως ἐλθὼν, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε. καὶ πάλιν, μήπως ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. καὶ μετὰ (β. Κορ. ιγ. β.) ταῦτα, Προείρηκα καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι· ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. ἐπεὶ οὖν ταῦτά τε καὶ ἕτερα πλείονα εἴρηκε, φοβῶν, ἐντρέπων, ὀνειδίζων, καθαπτόμενος, ἀπολογούμενος ὑπὲρ ἁπάντων, φησί, διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα μὴ παρὼν ἀποτόμως χρήσωμαι. βούλομαι γὰρ ἐν τοῖς γράμμασι κεῖσθαι τὴν ἀποτομίαν, ἀλλὰ μὴ ἐν τοῖς πράγμασι· βούλομαι σφοδρὰς εἶναι τὰς ἐπιστολάς, ἵνα μείνωσιν ἀπειλαί, καὶ μὴ εἰς ἔργον ἐξέλθωσι. πάλιν καὶ ἐν ταύτῃ τῇ ἀπολογίᾳ φοβερώτερον ποιεῖ τὸν λόγον, καὶ δείκνυσιν ὅτι οὐκ αὐτός ἐστιν ὁ μέλλων κολάζειν, ἀλλ' ὁ Θεός (ἐπήγαγε γάρ, κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέ μοι ὁ Κύριος) καὶ πάλιν δείκνυσιν ὅτι οὐκ ἐπιθυμεῖ τῇ ἐξουσίᾳ εἰς τὴν ἐκείνων ἀποχρήσασθαι τιμωρίαν. προσέθηκε γάρ, οὐκ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν. καὶ ἠνίξατο μὲν τοῦτο νῦν, ὅπερ ἔφην· ἀλλὰ κατέλιπεν αὐτοῖς ἀναλογίσασθαι, ὅτι ἐὰν ἀδιόρθωτοι μείνωσι, καὶ τοῦτο πάλιν οἰκοδομή ἐστι, τὸ τοὺς οὕτω διακειμένους κολάζειν. καὶ γὰρ ὅπως ἔχει, καὶ αὐτὸς τοῦτο οἶδε, καὶ διὰ τῶν ἔργων ἔδειξε.

11 Τὸ λοιπόν, ἀδελφοί, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. Τί ἐστι, τὸ λοιπόν, ἀδελφοί, χαίρετε; ἐλύπησας, ἐφόβησας, εἰς ἀγωνίαν ἐνέβαλες, τρέμειν ἐποίησας καὶ δεδοικέναι, καὶ πῶς κελεύεις χαίρειν; διὰ αὐτὸ μὲν οὖν τοῦτο κελεύω χαίρειν. εἰ γὰρ τὰ παρ' ὑμῶν, φησίν, ἀκολουθήσειε τοῖς παρ' ἐμοῦ, οὐδὲν ἔσται τὸ κωλῦον τὴν χαράν. τὰ μὲν γὰρ ἐμὰ ἅπαντα γέγονεν· ἐμακροθύμησα, ἀνεβαλόμην, οὐκ ἐξέκοψα, παρεκάλεσα, συνεβούλευσα, ἐφόβησα, ἠπείλησα, ὥστε πανταχόθεν ὑμᾶς συναγαγεῖν εἰς τὸν τῆς μετανοίας καρπόν. δεῖ δὲ λοιπὸν γενέσθαι τὰ παρ' ὑμῶν· καὶ οὕτως ἀμάραντος ὑμῖν ἡ χαρά. καταρτίζεσθε. τί ἐστι, καταρτίζεσθε; τέλει-

οι γίνεσθε, ἀναπληροῦντες τὰ λείποντα. Παρακαλεῖσθε. ἐπειδὴ γὰρ πολλοὶ ἦσαν οἱ πειρασμοί, καὶ μεγάλοι οἱ κίνδυνοι, φησί· παρακαλεῖσθε, καὶ ὑπ' ἀλλήλων, καὶ ὑφ' ἡμῶν, καὶ ὑπὸ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. Εἰ γὰρ ἀπὸ τοῦ συνειδότος γένοιτο χαρά, καὶ τέλειοι καταστῆτε, οὐδὲν λείπει εἰς εὐθυμίαν ὑμῖν καὶ παράκλησιν. οὐδὲν γὰρ οὕτω ποιεῖ παράκλησιν, ὡς καθαρὸν συνειδός, κἂν μυρίοι περιχέωνται πειρασμοί. τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐκ προοιμίων ᾔτησεν. ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ εἰρηνεύειν, ὅταν ἐν τοῖς δόγμασι συμβαίνωσί τινες, ἐν δὲ τοῖς πρὸς ἀλλήλους διαστασιάζωσιν. ἀλλὰ ἀμφότερα ὁ Παῦλος ἀπαιτεῖ. καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. οὐ γὰρ δὴ μόνον παραινεῖ καὶ συμβουλεύει, ἀλλὰ καὶ ἐπεύχεται. ἢ γὰρ ἐπευχόμενος τοῦτο, ἢ προλέγει τὸ ἐσόμενον· μᾶλλον δὲ ἀμφότερα. ἐὰν γὰρ ταῦτα ποιῆτε, φησίν, οἷον, ἐὰν τὸ αὐτὸ φρονῆτε καὶ εἰρηνεύητε, ἔσται καὶ ὁ Θεὸς μεθ' ὑμῶν. ἀγάπης γὰρ ἐστιν ὁ Θεὸς καὶ εἰρήνης, καὶ τούτοις χαίρει, τούτοις εὐφραίνεται. ἐντεῦθεν " ὑμῖν καὶ εἰρήνη ἀπὸ τῆς ἀγάπης αὐτοῦ· ἐντεῦθεν τῶν κακῶν ἡ ἀναίρεσις ἁπάντων. αὕτη τὴν οἰκουμένην ἔσωσεν, αὕτη τὸν χρόνιον πόλεμον κατέλυσεν, αὕτη τῷ οὐρανῷ τὴν γῆν ἀνέμιξεν, αὕτη τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. ταύτην τοίνυν καὶ ἡμεῖς " ἀγαπήσωμεν. μυρίων γὰρ ἀγαθῶν μήτηρ ἡ ἀγάπη. διὰ ταύτης ἐσώθημεν, διὰ ταύτης ἡμῖν τὰ ἀπόρρητα ἀγαθὰ ἅπαντα. Εἶτα ἐνάγων αὐτοὺς εἰς ταύτην, φησίν,

χ. ἡμῶν

χ. μεταποιώμεθα.

12 Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Τί ἐστιν, ἁγίῳ; μὴ ὑπούλῳ, μὴ δολερῷ, καθάπερ ὁ Ἰούδας τὸν Χριστὸν ἐφίλησε. διὰ γὰρ τοῦτο τὸ φίλημα δέδοται, ἵνα ἐμπύρευμα τῆς ἀγάπης γένηται, ἵνα ἀνακαίῃ τὴν διάθεσιν, ἵνα οὕτως ἀλλήλους φιλῶμεν, ὡς ἀδελφοὺς ἀδελφοί, ὡς παῖδες πατέρας, ὡς πατέρες παῖδας· μᾶλλον δὲ καὶ πολλῷ πλέον. ἐκεῖνα μὲν γὰρ φύσεως*, ταῦτα δὲ χάριτος*. οὕτως αἱ ψυχαὶ ἀλλήλαις συνδέονται. διὰ τοῦτο καὶ ἐξ ἀποδημίας ἐπανιόντες ἀλλήλους φιλοῦμεν, τῶν ψυχῶν ἐπειγομένων εἰς τὴν πρὸς ἀλλήλους συνουσίαν. τοῦτο γὰρ μάλιστά ἐστι τὸ μέλος τὸ τῆς ψυχῆς κηρύττον ἡμῖν τὸ φίλτρον. ἔστι δὲ τοῦ φιλήματος τούτου τοῦ ἁγίου ἐστὶ καὶ ἑτέραν λέγειν εἰσφοράν. ποῖον δὴ τοῦτον; ναός ἐσμεν τοῦ Χριστοῦ· τὰ τοίνυν πρόθυρα φιλοῦμεν τοῦ ναοῦ καὶ τὴν εἴσοδον, ἀλλήλους φιλοῦντες. ἢ οὐχ ὁρᾶτε ὅσοι καὶ τὰ πρόθυρα τοῦ ναοῦ τούτου φιλοῦσιν, οἱ μὲν κύψαντες, οἱ δὲ τῇ χειρὶ κατέχοντες, καὶ τῷ στόματι τὴν χεῖρα προσάγοντες; καὶ διὰ τούτων τῶν πυλῶν καὶ τῶν θυρῶν καὶ εἰσῆλθε καὶ εἰσέρχεται πρὸς ἡμᾶς ὁ Χριστός, ἡνίκα ἂν κοινωνῶμεν. ἴστε οἱ τῶν μυστηρίων μετέχοντες τὸ λεγόμενον. καὶ γὰρ οὐχ ὡς ἔτυχε τὸ στόμα ἡμῶν τετίμηται δεχόμενον τὸ σῶμα τὸ δεσποτικόν. διὰ τοῦτο μάλιστα ἐνταῦθα φιλοῦμεν. ἀκουέτωσαν οἱ αἰσχρὰ φθεγγόμενοι, οἱ λοιδορίας ἐξάγοντες, καὶ φριττέτωσαν οἷον καταισχύνουσι στόμα. ἀκουέτωσαν οἱ αἰσχρῶς φιλοῦντες. ἄκουσον οἷα ἐχρήσατο διὰ τοῦ στόματός σου ὁ Θεός, καὶ φύλαξον αὐτὸ ἀκηλίδωτον. περὶ τῆς μελλούσης ζωῆς διελέχθη, περὶ ἀναστάσεως, περὶ ἀθανασίας, ὅτι ὁ θάνατος οὐ θάνατος, τὰ ἄλλα μυρία ἀπόρρητα. ὥσπερ γὰρ εἰς χρηστήριον παραγίνεται πρὸς τὸ στόμα τοῦ ἱερέως ὁ μυσταγωγεῖσθαι μέλλων. ἀκούσωμεν ὅσαπερ ἐστὶ φρικῆς μεστά. καὶ γὰρ ἀπώλεσεν αὐτοῦ τὴν ζωὴν ἐκ προγόνων, καὶ ἔρχεται αὐτὴν ἀναζητήσων, καὶ ἐρωτήσων πῶς ἂν αὐτὴν εὕροι καὶ ἀνακαλέσαιτο. Εἶτα αὐτῷ ὁ Θεὸς χρᾷ πῶς ἂν εὑρεθείη, καὶ γίνεται τοῦ ἱλαστηρίου τὸ στόμα τοῦτο φρικωδέστερον. ἐκεῖνο μὲν γὰρ τὸ ἱλαστήριον οὐδαμοῦ τοιαύτην ἠφίει φωνήν, ἀλλὰ πολὺ περὶ ἐλαττόνων διελέγετο πραγμάτων, περὶ πολέμων καὶ εἰρήνης τῆς κάτω. ταῦτα δὲ ἅπαντα περὶ οὐρανοῦ, καὶ τῆς μελλούσης ζωῆς, καὶ πραγμάτων καινῶν καὶ διάνοιαν ὑπερβαινόντων. Εἰπὼν δέ, ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ, ἐπήγαγεν, Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες· Κἀντεῦθεν διδοὺς αὐτοῖς χρηστὰς ἐλπίδας. τοῦτο " προέγραψεν ἀντὶ τοῦ φιλήματος,

* διάζευξις, * πνευματικῆς.

ἐπισυνήχατε

ματος, διὰ τῆς προσρήσεως αὐτοὺς συνάπτων. ἀπὸ γὰρ τοῦ αὐτοῦ στόματος, καὶ τὸ φίλημα, πρόσεισι καὶ τὰ ῥήματα. Εἶδες πῶς ἅπαντας συνῆψε, καὶ τοὺς πόῤῥωθεν διεστῶτας τοῖς σώμασι, καὶ τοὺς πλησίον, τοὺς μὲν διὰ τοῦ φιλήματος, τοὺς δὲ διὰ τῶν γραμμάτων;

13 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν, ἀμήν. Ἐπειδὴ συνῆψεν αὐτοὺς ἀλλήλοις διὰ τῶν ἀσπασμῶν καὶ τῶν φιλημάτων, πάλιν εἰς εὐχὴν καταλύει τὸν λόγον, μετὰ πολλῆς τῆς ἀκριβείας συνάπτων αὐτοὺς καὶ τῷ Θεῷ. ποῦ νῦν εἰσὶν οἱ λέγοντες, ἐπειδὴ οὐκ ἐντέτακται τὸ πνεῦμα τὸ ἅγιον ἐν τοῖς προοιμίοις τῶν ἐπιστολῶν, οὐκ ἔστι τῆς αὐτῆς οὐσίας; ἰδοὺ γὰρ νῦν μετὰ τοῦ πατρὸς αὐτὸ κατέλεξε καὶ τοῦ υἱοῦ. χωρὶς δὲ τούτου, κἀκεῖνό ἐστιν εἰπεῖν

Κολοσ. α. β. ὅτι Κολοσσαεῦσιν ἐπιστέλλων, καὶ εἰπὼν, Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, τὸν υἱὸν ἐσίγησε, καὶ οὐ προσέθηκεν, ὡς ἐν πάσαις ταῖς ἐπιστολαῖς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. ἆρα οὖν οὐδὲ υἱὸς ἔσται τῆς αὐτῆς οὐσίας διὰ τοῦτο; ἀλλὰ ἐσχάτης ταῦτα ἀνοίας. ἓν γὰρ αὐτὸ τοῦτο μάλιστα δείκνυσι τῆς αὐτῆς οὐσίας ὄντα αὐτοὺς, τὸ διαφόρως κεχρῆσθαι τὸν Παῦλον τούτοις. καὶ ὅτι οὐ σχεδιασμὸς τὸ εἰρημένον, ἄκουσον πῶς υἱοῦ καὶ πνεύματος μέμνηται, καὶ τὸν

α. Κο. ς. ια. πατέρα ἀποσιγᾷ. Κορινθίοις γὰρ γράφων φησὶν, Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. τί οὖν, εἰπέ μοι, οὐκ ἐβαπτίσθησαν εἰς πατέρα οὗτοι; οὐκοῦν οὐδὲ ἀπελούσαντο, οὐδὲ ἡγιάσθησαν. ἀλλὰ ἐβαπτίσαντο· ὥσπερ οὖν καὶ ἐβαπτίσαντο. πῶς οὖν οὐκ εἶπεν, ὅτι ἀπελούσασθε ἐν τῷ ὀνόματι τοῦ πατρὸς; ὅτι ἀδιάφορον αὐτῷ, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης μεμνῆσθαι τῆς ὑποστάσεως· καὶ εὕροις ἂν τοῦτο πολλαχοῦ τῶν ἐπιστολῶν τὸ ἔθος. καὶ

Ρω. ιβ. α. γὰρ Ῥωμαίοις γράφων, φησὶ, Παρακαλῶ οὖν ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ· καίτοι καὶ τοῦ υἱοῦ εἰσὶν οἱ οἰκτιρμοί. καὶ, παρακαλῶ δὲ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ πνεύματος· καίτοι καὶ τοῦ πατρός ἐστιν ἡ ἀγάπη. τίνος οὖν ἕνεκεν οὐκ ἐμνήσθη ἐν τοῖς οἰκτιρμοῖς, τοῦ υἱοῦ, οὐδὲ ἐν τῇ ἀγάπῃ, τοῦ πατρός; ὅτι ὡς δῆλα καὶ * ὡμολογημένα ἐσίγησεν. εὑρήσεις δὲ καὶ τὰ δῶρα αὐτὰ πάλιν ἀντιστρόφως τιθείς. Εἰπὼν γὰρ, ἡ χάρις τοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, ἀλλαχοῦ τὴν κοινωνίαν τοῦ υἱοῦ, καὶ τὴν ἀγάπην τοῦ πνεύματός φησι. παρακαλῶ γὰρ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ

α. Κορ. α. θ. πνεύματος, φησι. καὶ ἐν τῇ πρὸς Κορινθίους, Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. οὕτω τὰ τῆς τριάδος, ἀδιαίρετα· καὶ οὗ τοῦ πνεύματός ἐστιν ἡ κοινωνία, εὑρέθη καὶ τοῦ υἱοῦ· καὶ οὗ τοῦ υἱοῦ ἐστὶν ἡ χάρις, καὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. χάρις γὰρ ὑμῖν, φησιν, ἀπὸ Θεοῦ πατρός. καὶ ἀλλαχοῦ πολλὰ αὐτῆς εἴδη καταλέξας, ἐπή-

α. Κορ. ιβ. ια. γαγε, Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. καὶ ταῦτα λέγω, οὐ συναλείφων τὰς ὑποστάσεις, ἄπαγε, ἀλλὰ εἰδὼς καὶ τὸ τούτων ἰδιάζον καὶ διῃρημένον, καὶ τῆς οὐσίας τὴν ἑνότητα.

ΗΘΙΚΟΝ

Μένωμεν τοίνυν καὶ τῶν δογμάτων τούτων τὴν ἀκρίβειαν ἔχοντες, καὶ τοῦ Θεοῦ τὴν ἀγάπην ἐπισπώμενοι. πρότερον μὲν γὰρ μισοῦντας ἠγάπησε, καὶ ἐχθροὺς ὄντας κατήλλαξε· λοιπὸν δὲ ἀγαπῶντας ἀγαπᾶν βούλεται. μένωμεν τοίνυν ἀγαπῶντες αὐτὸν, ὥστε καὶ παρ' αὐτοῦ ἀγαπᾶσθαι. εἰ γὰρ παρὰ ἀνθρώπων δυνατῶν ἀγαπώμενοι, φοβεροὶ πᾶσίν ἐσμεν· πολλῷ μᾶλλον παρὰ τοῦ Θεοῦ. κἂν χρήματα δέῃ, κἂν σώματα, κἂν αὐτὴν τὴν ψυχὴν ὑπὲρ ταύτης δοῦναι τῆς ἀγάπης, μὴ φεισώμεθα. οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων λέγειν, ὅτι ἀγαπῶμεν· ἀλλὰ χρὴ καὶ τὴν τῶν πραγμάτων παρέχειν ἀπόδειξιν. οὐδὲ γὰρ αὐτὸς διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀγάπην. δεῖξον τοίνυν καὶ σὺ διὰ τῶν ἔργων τοῦτο, καὶ ποίει τὰ δοκοῦντα αὐτῷ. οὕτω γὰρ αὐτὸς καρπώσῃ τὸ κέρδος πάλιν. ἐκεῖνος γὰρ οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν· ὃ καὶ μάλιστα γνησίας ἀγάπης, τὸ μὴ δεόμενον, μη-

δὲ

δι᾽ ἐν χρείᾳ καθεστῶτα, πάντα ποιεῖ ὑπὲρ τοῦ φιλεῖσθαι παρ᾽ ἡμῶν. διὸ καὶ Μωϋσῆς ἔλεγε, τί γὰρ ζητεῖ Κύριος ὁ Θεὸς παρ᾽ ὑμῶν, ἀλλ᾽ ἢ ἀγαπᾶν αὐτὸν, καὶ ἕτοιμον εἶναί σε τοῦ πορεύεσθαι ὀπίσω αὐτοῦ; ὥστε, ὅταν αὐτὸν κελεύῃ φιλεῖν, τότε μάλιστα δείκνυσιν ὅτι σε φιλεῖ. οὐδὲν γὰρ οὕτω συγκροτεῖ τὴν σωτηρίαν τὴν ἡμετέραν, ὡς τὸ αὐτὸν ἀγαπᾶν. ὅρα γοῦν ὅτι καὶ τὰ ἐπιτάγματα αὐτοῦ πάντα, εἰς τὴν ἡμετέραν ἀνάπαυσιν καὶ σωτηρίαν καὶ εὐδοκίμησιν συντείνει. καὶ γὰρ ὅταν εἴπῃ, Μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ καθαροὶ τῇ

Ματθ. ε.

καρδίᾳ, μακάριοι οἱ πραεῖς, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ εἰρηνοποιοί, αὐτὸς μὲν οὐδὲν ἐντεῦθεν καρποῦται, ἡμᾶς δὲ καλλωπίζων καὶ ῥυθμίζων ταῦτα ἐπιτάττει. καὶ ὅταν λέγῃ, ἐπείνασα· οὐ δεόμενος τῆς παρ᾽ ἡμῶν διακονίας, ἀλλὰ σε ἀλείφων

γ. ἡμῖν

εἰς φιλανθρωπίαν. ἠδύνατο γὰρ καὶ χωρὶς σοῦ τὸν πένητα τρέφειν· ἀλλὰ θησαυρόν σοι χαριζόμενος μέγιστον, ταῦτα ἐπέταξεν. εἰ γὰρ ὁ ἥλιος, κτίσμα ὢν, οὐδὲ δεῖται τῶν ἡμετέρων ὀφθαλμῶν (μένει γὰρ τὴν οἰκείαν φαιδρότητα ἔχων, κἂν μηδεὶς εἰς αὐτὸν ἐμβλέπῃ) οἱ δὲ κερδαίνοντες ἡμεῖς ἐσμεν, ὅταν αὐτοῦ τῆς ἀκτῖνος ἀπολαύσωμεν· πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο συμβαίνει. ἵνα δὲ καὶ ἑτέρωθεν τοῦτο μάθῃς, ἄκουε. πόσον εἶναι βούλει τὸ μέσον τοῦ Θεοῦ καὶ ἡμῶν; ἆρα ὅσον κωνώπων καὶ ἡμῶν; πολλῷ πλέον. εὔδηλον ὅτι πολλῷ πλέον, καὶ ἄπειρον. εἰ τοίνυν ἡμεῖς οἱ κενόδοξοι τῆς παρὰ τῶν κωνώπων οὐ δεόμεθα βοηθείας, ἢ δόξης, πολλῷ μᾶλλον τὸ θεῖον, καὶ ἀπαθὲς ὂν καὶ ἀνενδεές.

γ. διακονίας

τοσοῦτον ἡμῶν τοίνυν ἀπολαύει, ὅσον εὐεργετούμεθα, ὅσον ἐντρυφᾷ ἡμῶν τῇ σωτηρίᾳ. διὰ τοῦτο καὶ πολλαχοῦ τὰ αὐτοῦ ἀφιεὶς, τὰ σὰ ζητεῖ. Εἴ τις γάρ, φησι, γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτοῦ, μὴ ἀφιέτω αὐτήν.

α Κορ. ζ. ιϛ.

Ὁ δὲ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχεύεσθαι.

Ματθ. ε. λϛ.

εἶδες ἄφατον ἀγαθότητα; ἐὰν ᾖ πόρνη ἡ γυνή, φησιν, οὐκ ἀναγκάζω συνοικεῖν· ἐὰν δὲ ἄπιστος, οὐ κωλύω. πάλιν, ἐὰν λυπῇ πρός τινα, κελεύω ἀφεῖναί μου τὴν προσφορὰν, καὶ προσδραμεῖν πρὸς τὸν λελυπηκότα.

γ. πρὸς σὲ δραμεῖν τὸν

Ἐὰν γὰρ προσφέρῃς τὸ δῶρόν σου, φησι, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.

Ματθ. ε. κγ.

τί δέ, ἡ παραβολὴ τοῦ πάντα κατεδηδοκότος οὐ τοῦτο ἐνδείκνυται; ὅτε μὲν γὰρ τὰ μυρία τάλαντα κατέφαγεν, ἠλέησεν αὐτὸν, καὶ ἀφῆκεν· ὅτε δὲ ἑκατὸν δηνάρια ἀπῄτει τὸν σύνδουλον, καὶ πονηρὸν ἐκάλεσε, καὶ τῇ κολάσει παρέδωκεν. οὕτω πολὺς αὐτῷ λόγος ἐστὶ τῆς ἀναπαύσεως τῆς σῆς. εἰς τὴν γυναῖκα τοῦ δικαίου ἔμελλεν ἁμαρτάνειν ὁ βάρβαρος, καί φησιν, Ἐφεισάμην σου τοῦ ἁμαρτῆσαι εἰς ἐμέ.

Γεν. κ. ϛ.

τοὺς ἀποστόλους ἐδίωκεν ὁ Παῦλος, καὶ λέγει πρὸς αὐτόν· Τί με διώκεις;

Πραξ. θ. δ.

ἄλλοι πεινῶσι, καὶ λέγει αὐτὸς πεινᾶν, καὶ γυμνὸς περιϊέναι, καὶ ξένος, βουλόμενός σε ἐντρέπειν, καὶ ταύτῃ εἰς τὸν τῆς ἐλεημοσύνης λόγον ἐμβαλεῖν. ἐννοοῦντες τοίνυν τὴν ἀγάπην, ὅσην διὰ πάντων ἐπεδείξατο καὶ ἐπιδείκνυται, γνωρίσαι τε ἡμῖν ἑαυτὸν καταξιώσας (ὅπερ μέγιστόν ἐστι κεφάλαιον τῶν ἀγαθῶν, καὶ φῶς διανοίας, καὶ διδασκαλία ἀρετῆς) καὶ βίον ἄριστον νομοθετήσας,

γ. διανοίας καὶ διδασκαλίαν

καὶ πάντα δι᾽ ἡμᾶς ἐργασάμενος, καὶ τὸν υἱὸν δεδωκὼς, καὶ βασιλείαν ἐπαγγειλάμενος, καὶ ἐπὶ τὰ ἀπόρρητα ἡμᾶς καλῶν ἀγαθὰ, καὶ μακαριωτάτην ζωὴν παρασκευάσας ἡμῖν, ἅπαντα ποιῶμεν καὶ λέγωμεν, ὥστε καὶ τῆς ἀγάπης ἄξιοι φανῆναι τῆς αὐτοῦ, καὶ ἐπιτυχεῖν τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ᾽ οὗ, τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. -πῶσι

γ. ἀπολαῦσαι

γ. ἀπολαῦσαι

Του

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ Γαλάτας ἐπιστολήν.

ΚΕΦΑΛΑΙΟΝ α.

1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ (ΟΥΚ ΑΠ' ΑΝΘΡΩΠΩΝ,
οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος
αὐτὸν ἐκ νεκρῶν) 2 Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς Ἐκκλησίαις τῆς
Γαλατίας, 3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ
Χριστοῦ.

γ. μαθητὰς

Ὅλον τὸ προοίμιον γέμει θυμοῦ καὶ μεγάλου φρονήματος· οὐ τὸ προοίμιον δὲ μόνον, ἀλλὰ καὶ πᾶσα, ὡς εἰπεῖν, ἡ ἐπιστολή. Τὸ γὰρ μετ' ἐπιεικείας ἀεὶ τοῖς μαθητευομένοις διαλέγεσθαι, κἂν σφοδρότητος δέωνται, οὐ διδασκάλου, ἀλλὰ λυμεῶνος ἂν εἴη καὶ πολεμίου. Διὰ τοῦτο καὶ ὁ Κύριος πολλὰ προσηνῶς τοῖς μαθηταῖς διαλεχθεὶς, ἔστιν ὅπου καὶ αὐστηροτέρῳ κέχρηται τῷ λόγῳ, καὶ νῦν μὲν μακαρίζει, νῦν δὲ ἐπιτιμᾷ. Τῷ γοῦν Πέτρῳ εἰπὼν, Μακάριος εἶ Σίμων Ματθ. ιϛ. ιζ.
Βὰρ Ἰωνᾶ, καὶ ἐπαγγειλάμενος τὰ θεμέλια τῆς ἐκκλησίας ἐπὶ τῆς ὁμολογίας αὐτοῦ καταθήσεσθαι, μετ' οὐ πολὺ τῶν λόγων τούτων φησίν· Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν Ματθ. ιϛ. κγ.
μου εἶ. καὶ πάλιν ἀλλαχοῦ, Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; καὶ τοσοῦτον αὐτοῖς φόβον Ἰωαν. δ. κζ.
ἐνέθηκεν, ὡς καὶ τὸν Ἰωάννην εἰπεῖν, ὅτι ὁρῶντες αὐτὸν μετὰ γυναικὸς Σαμαρείτιδος λαλοῦντα περὶ μὲν τῆς τροφῆς ὑπεμίμνησαν, οὐδεὶς δὲ ἐτόλμησεν εἰπεῖν, τί λαλεῖς, ἢ τί ζητεῖς μετ' αὐτῆς; ταῦτα μαθὼν ὁ Παῦλος, ὁ καὶ ἴχνος τοῦ διδασκάλου βαίνων, ἐποίκιλε τὸν λόγον πρὸς τὴν τῶν μαθητευομένων χρείαν, νῦν μὲν καίων καὶ τέμνων, νῦν δὲ προσηνῆ φάρμακα ἐπιτιθείς. καὶ Κορινθίοις μὲν ἔλεγε· Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, α. Κορ. δ. κα.
ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος; Γαλάταις δὲ, Ὦ ἀνόητοι Γαλάται. Καὶ οὐχ ἅπαξ, ἀλ- Γαλ. γ. α.
λὰ καὶ δεύτερον κέχρηται ταύτῃ τῇ ἐπιτιμήσει. Καὶ πρὸς τὸ τέλος δὲ καταπαλαιόμενος αὐτοὺς ἔλεγε, Κόπους μοι μηδεὶς παρεχέτω. Καὶ θεραπεύει δὲ πάλιν, ὡς ὅταν λέγῃ, Τεκνία μου, Γαλ. ϛ. ιζ. δ. ιθ.
οὓς πάλιν ὠδίνω· καὶ ἕτερα πολλὰ τοιαῦτα. ἀλλ' ὅτι μὲν θυμοῦ ἡ ἐπιστολὴ γέμει, παντί που δῆλον καὶ ἐκ πρώτης ἀναγνώσεως· δεῖ δὲ εἰπεῖν τί τὸ παροξῦναν αὐτὸν κατὰ τῶν μαθητῶν. οὐ γὰρ μικρὸν τοῦτο, οὐδὲ εὐτελὲς, ἐπεὶ οὐδὲ αὐτὸς τοσαύτῃ ἂν ἐχρήσατο τῇ καταφορᾷ. τὸ γὰρ ἐπὶ τοῖς τυχοῦσι παρ-

ὀξύνεσθαι, μικροψύχων ἀνδρῶν καὶ σκληρῶν καὶ ταλαιπώρων· ὥσπερ οὖν τὸ ἐπὶ τοῖς μεγάλοις ἀναπίπτειν, γενναιοτέρων καὶ ὑψηλοτέρων. ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος. τί οὖν τὸ κινῆσαν τὴν αὐτοῦ ἁμάρτημα; μέγα καὶ ὑπέρογκον, καὶ ὃ τοὺς Χριστοῦ πάντας αὐτοὺς ἠλλοτρίου, ὡς καὶ αὐτὸς προϊὼν ἔλεγεν· (Γαλ. ε. β. καὶ δ.) Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. καὶ πάλιν, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. τί ποτ' οὖν τοῦτ' ἐστί; δεῖ γὰρ αὐτὸ σαφέστερον ἀναπλῶσαι. τινὲς τῶν ἐξ Ἰουδαίων πιστευσάντων, ὁμοῦ μὲν τῇ προλήψει τοῦ Ἰουδαϊσμοῦ κατεχόμενοι, ὁμοῦ δὲ κενοδοξίᾳ μεθύοντες, καὶ βουλόμενοι ἀξίωμα διδασκάλων ἑαυτοῖς περιθεῖναι, ἐλθόντες εἰς τὸ Γαλατῶν ἔθνος ἐδίδασκον, ὅτι δεῖ περιτέμνεσθαι, καὶ σάββατα καὶ νουμηνίας τηρεῖν, καὶ μὴ ἀνέχεσθαι Παύλου ταῦτα ἀναιροῦντος. οἱ γὰρ περὶ Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην ταῦτα, φησὶν, οὐ κωλύουσιν, οἱ πρῶτοι τῶν ἀποστόλων, οἱ μετὰ Χριστοῦ γενόμενοι. καὶ ἀληθῶς οὐκ ἐκώλυον· ἀλλ' οὐ δογματίζοντες τοῦτο ἐποίουν, ἀλλὰ τῇ ἀσθενείᾳ συγκαταβαίνοντες τῶν ἐξ Ἰουδαίων πιστευόντων. ὁ δὲ Παῦλος εἰς τὰ ἔθνη κηρύττων, οὐ χρείαν εἶχε τῆς συγκαταβάσεως ταύτης. ὅτε οὖν ἐν Ἰουδαίᾳ γέγονε, καὶ αὐτὸς τῇ συγκαταβάσει ἐχρήσατο ταύτῃ. ἀλλ' οἱ ἀπατῶντες, οὐ λέγοντες τὰς αἰτίας, δι' ἃς καὶ οὗτος καὶ ἐκεῖνοι συγκατέβαινον, παρελογίζοντο τοὺς ἀφελεστέρους λέγοντες, ὅτι οὐ δεῖ Παύλου ἀνέχεσθαι. οὗτος γὰρ χθὲς καὶ σήμερον ἐφάνη, ἐκεῖνοι δὲ πρῶτοι οἱ περὶ Πέτρον· καὶ οὗτος μὲν μαθητὴς τῶν ἀποστόλων γέγονεν, ἐκεῖνοι δὲ τοῦ Χριστοῦ· καὶ οὗτος μὲν μόνος, ἐκεῖνοι δὲ πολλοὶ, καὶ στῦλοι τῆς ἐκκλησίας. καὶ εἰς ὑπόκρισιν δὲ αὐτὸν διέβαλλον λέγοντες, ὅτι καὶ αὐτὸς οὗτος ὁ ἀναιρῶν περιτομὴν, φαίνεται καὶ τούτοις χρησάμενος ἀλλαχοῦ, καὶ ἑτέρως μὲν ὑμῖν, ἑτέρως δὲ ἄλλοις κηρύττων. ἐπεὶ οὖν ἐμπρησθὲν εἶδεν ἔθνος ὁλόκληρον, καὶ πυρὰν χαλεπὴν κατὰ τῆς Γαλατῶν ἁφθεῖσαν ἐκκλησίας, καὶ τὴν οἰκοδομὴν σαλευομένην καὶ κινδυνεύουσαν καταπεσεῖν, τοῦτο μὲν ὑπὸ θυμοῦ δικαίου, τοῦτο δὲ (Γαλατ. δ. κ.) ὑπὸ ἀθυμίας κατεχόμενος (καὶ γὰρ καὶ τοῦτο ἐδήλωσεν εἰπὼν, ὅτι Ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου) γράφει τὴν ἐπιστολὴν, πρὸς ἅπαντα ταῦτα ἀπολογούμενος. καὶ ἐκ προοιμίων εὐθέως πρὸς ἐκεῖνο ἀποτείνεται, ὃ διαθρυλλοῦντες αὐτοῦ τὴν ὑπόληψιν ἔλεγον, ὅτι οἱ μὲν ἄλλοι τοῦ Χριστοῦ, αὐτὸς δὲ τῶν ἀποστόλων γέγονε μαθητής. διὸ καὶ οὕτως ἤρξατο· Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων. ἔλεγον γὰρ, ὅπερ ἔφθην εἰπὼν, οἱ ἀπατεῶνες ἐκεῖνοι, ὅτι τῶν ἀποστόλων ἁπάντων ἔσχατος οὗτός ἐστι, καὶ παρ' ἐκείνων ἐδιδάχθη. Πέτρος γὰρ καὶ Ἰάκωβος καὶ Ἰωάννης, καὶ ἐκλήθησαν πρῶτοι, καὶ κορυφαῖοι τῶν μαθητῶν εἰσι, καὶ τὰ δόγματα ἐδέξαντο παρὰ τοῦ Χριστοῦ, καὶ χρὴ μᾶλλον ἐκείνοις πείθεσθαι, ἢ τούτῳ· ἐκεῖνοι δὲ οὐ κωλύουσι περιτέμνεσθαι, οὐδὲ νόμον μὴ τηρεῖν. καὶ ταῦτα, καὶ τὰ τοιαῦτα λέγοντες, καὶ τοῦτον μὲν καθαιροῦντες, ἐκείνων δὲ τὴν δόξαν ἐπαίροντες, οὐχ ἵνα ἐκείνους ἐγκωμιάσωσιν, ἀλλ' ἵνα Γαλάτας ἀπατήσωσιν, ἔπειθον ἀκαίρως τῷ νόμῳ προσέχειν. εἰκότως οὖν οὕτως ἤρξατο. ἐπεὶ γὰρ τὴν μὲν αὐτοῦ διδασκαλίαν ἐξηυτέλιζον, παρὰ ἀνθρώπων αὐτὴν λέγοντες εἶναι, τὴν δὲ Πέτρου παρὰ τοῦ Χριστοῦ, ἐκ προοιμίων εὐθέως πρὸς τοῦτο ἵσταται λέγων ἀπόστολος εἶναι, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων. ἐβάπτισε μὲν γὰρ αὐτὸν Ἀνανίας, ἀλλ' οὐκ ἐκεῖνος τῆς πλάνης ἀπήλλαξεν, οὐδὲ πρὸς τὴν πίστιν ἤγαγεν· ἀλλ' αὐτὸς ἄνωθεν ὁ Χριστὸς τὴν θαυμαστὴν ἐκείνην πρὸς αὐτὸν ἀφῆκε φωνὴν, δι' ἧς αὐτὸν ἐσαγήνευσε. τὸν μὲν γὰρ Πέτρον, καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ Ἰωάννην, καὶ ἀδελφὸν τὸν ἐκείνου, περιπατῶν παρὰ τὴν θάλασσαν ἐκάλεσε, τὸν δὲ Παῦλον εἰς οὐρανοὺς ἀνελθών. καὶ ὥσπερ οὐκ ἐδεήθησαν ἐκεῖνοι δευτέρας φωνῆς, ἀλλ' εὐθέως ἀφέντες τὰ δίκτυα καὶ πάντα τὰ ἄλλα, ἠκολούθησαν αὐτῷ· οὕτω καὶ οὗτος ἀπὸ τῆς πρώτης κλήσεως πρὸς ἄκραν ἀνέβη κορυφὴν, ὁμοῦ τε βαπτισάμενος, καὶ πόλεμον ἄσπονδον πρὸς (α. Κορ. ιε. ι.) Ἰουδαίους ἀράμενος, καὶ ταύτῃ μάλιστα τῶν ἀποστόλων πλεονεκτήσας. Περισσότερον γὰρ

αὐτῶν

αὐτὸ ἐκοπίασα, φησίν. ἀλλὰ πῶς οὐ κατασκευάζει τοῦτο, ἀλλ' ἀγαπᾷ τὰ ἴσα φέρων. ὃ γὰρ σπουδαζόμενον ἦν αὐτῷ, οὐ δεῖξαι ἑαυτὸν ἐκείνων ὑπερέχοντα, ἀλλὰ τὴν τῆς πλάνης καταλῦσαι τὴν ὑπόθεσιν. τὸ μὲν οὖν, οὐκ ἀπ' ἀνθρώπων, κοινὸν ἁπάντων ἦν (ἄνωθεν γὰρ τὴν ἀρχὴν καὶ τὴν ῥίζαν ἔχει τὸ κήρυγμα) τὸ δὲ, οὐδὲ δι' ἀνθρώπων, ἴδιον τῶν ἀποστόλων. οὐ γὰρ δι' ἀνθρώπων ἐκάλεσεν αὐτοὺς, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ. διὰ τί δὲ μὴ τῆς κλήσεως ἐμνημόνευσε καὶ εἶπε, Παῦλος κλητὸς οὐκ ἀπ' ἀνθρώπων, ἀλλὰ τῆς ἀποστολῆς; ὅτι περὶ τούτου πᾶς ἦν ὁ λόγος. ἔλεγον γὰρ ὑπὸ ἀνθρώπων τῶν ἀποστόλων ἐγκεχειρίσθαι τὴν διδασκαλίαν ταύτην, καὶ δεῖν ἐκείνοις αὐτὸν ἕπεσθαι. ὅτι δὲ οὐχ ὑπὸ ἀνθρώπων ἐνεχειρίσθη, ὁ Λουκᾶς ἐδήλωσεν, εἰπών· Λειτουργούντων δὲ αὐτῶν καὶ νηστευόντων τῷ Κυρίῳ, εἶπε τὸ πνεῦμα (Πραξ. ιγ. α. β.) τὸ ἅγιον, ἀφορίσατε δή μοι τόν τε Παῦλον καὶ τὸν Βαρνάβαν. ὅθεν δῆλον, ὅτι μία ἐξουσία υἱοῦ, καὶ πνεύματος. ἀποσταλεὶς γὰρ ὑπὸ τοῦ πνεύματος, ὑπὸ τοῦ Χριστοῦ φησιν ἀπεστάλθαι. τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, τὰ τοῦ Θεοῦ τῷ πνεύματι λογιζόμενος. τοῖς γὰρ Μιλησίων (ἰν. Ἐφεσίων) διαλεγόμενος πρεσβυτέροις, Προσέχετε ἑαυτοῖς, φησί, καὶ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο ὑμᾶς τὸ (Πραξ. κ. κη.) πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους· καίτοιγε ἐν ἄλλῃ φησὶν ἐπιστολῇ, Οὓς μὲν ἔθετο ὁ (α. Κορ. ιβ. κη.) Θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, εἶτα ποιμένας καὶ διδασκάλους. οὕτως ἀδιαφόρως κέχρηται τῷ λόγῳ, τὰ τοῦ πνεύματος, τοῦ Θεοῦ λέγων εἶναι, καὶ τὰ τοῦ Θεοῦ, τοῦ πνεύματος. ἐμφράττει δὲ καὶ ἄλλως τῶν αἱρετικῶν τὰ στόματα, λέγων, διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρός. ἐπειδὴ γὰρ τὴν λέξιν ταύτην ὡς ἐλάττονα οὖσαν προσερρίφθαι τῷ υἱῷ φασιν, ὅρα τί ποιεῖ· ἐπὶ τοῦ πατρὸς αὐτὴν τίθησιν, ἡμᾶς διδάσκων μὴ νομοθετεῖν τῇ ἀρρήτῳ φύσει, μηδὲ μέτρα θεότητος ὁρίζειν μέσον υἱοῦ καὶ πατρός. (κ. μέσους υἱοῦ καὶ πατρὸς γενομένους.) εἰπὼν γὰρ, διὰ Ἰησοῦ Χριστοῦ, ἐπήγαγε, καὶ Θεοῦ πατρός. εἰ μὲν γὰρ καθ' ἑαυτὸ τοῦ πατρὸς μνημονεύσας εἶπε τὸ, δι' οὗ, ἴσως ἂν καὶ ἐσοφίσαντο, λέγοντες ἁρμόζειν τῷ πατρὶ τὸ, δι' οὗ, τῷ τὰ ἔργα τοῦ υἱοῦ εἰς αὐτὸν ἀναφέρεσθαι· νῦν δὲ τοῦ υἱοῦ μνημονεύσας ὁμοῦ καὶ τοῦ πατρὸς, καὶ κοινῇ θεὶς τὴν λέξιν, οὐκέτι τῷ λόγῳ τούτῳ χώραν ἀφίησιν ἔχειν. οὐ γὰρ, ὡς τὰ τοῦ υἱοῦ νῦν ἀνατιθεὶς τῷ πατρὶ, τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς ὅτι οὐδεμίαν αὕτη ἡ λέξις οὐσίας διαφορὰν εἰσάγει. τί δὲ καὶ οἱ ἀπὸ τοῦ βαπτίσματος ἐπινοοῦντές τινα ἐλάττωσιν, διὰ τὸ εἰς ὄνομα πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος βαπτίζεσθαι, ἐνταῦθα ἂν εἴποιεν; εἰ γὰρ καταδεέστερος ὁ υἱὸς διὰ τὸ μετὰ πατέρα κεῖσθαι, ἐπειδὴ ἐνταῦθα ἀπὸ τοῦ Χριστοῦ ἀρξάμενος ὁ ἀπόστολος, ἐπὶ τὸν πατέρα ἔρχεται, τί ἂν εἴποιεν; ἀλλ' οὐδὲν ἂν εἴποιμεν βλάσφημον. οὐ γὰρ χρὴ φιλονεικοῦντας ἐκείνοις τῆς ἀληθείας ἐξίστασθαι, ἀλλὰ, κἂν μυριάκις μαίνωνται, τὰ μέτρα τῆς εὐσεβείας ἡμᾶς διατηρεῖν ἀναγκαῖον. ὥσπερ οὖν οὐκ ἂν εἴποιμεν ἡμεῖς μείζονα τοῦ πατρὸς τὸν υἱὸν, ἐπειδὴ τοῦ Χριστοῦ πρῶτον ἐμνημόνευσεν (ἐσχάτης γὰρ τοῦτο μανίας, καὶ ἀσεβείας ὑπερβολὴ πάσης) οὕτως οὐδὲ ἐκεῖ διὰ τὸ μετὰ τὸν πατέρα κεῖσθαι τὸν υἱὸν, ἐλάττονα χρὴ νομίζειν ἡμᾶς εἶναι τοῦ πατρὸς τὸν υἱόν. τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. τί ποιεῖς, ὦ Παῦλε, Ἰουδαΐζοντας ἀνθρώπους ἐνάγειν εἰς πίστιν θέλων; οὐδὲν τῶν μεγάλων ἐκείνων καὶ λαμπρῶν ἄγεις εἰς μέσον, οἷον ὅτε πρὸς Φιλιππησίους ἔγραφες, λέγων, ὅτι Ἐν μορφῇ Θεοῦ (Φιλιπ. β. ς.) ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ὃ μετὰ ταῦτα ἐπιστέλλων Ἑβραίοις ἀνεβόησας, ὅτι Ἀπαύγασμά ἐστι τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· (Ἑβ. α. γ.) ὃ ἐκ προοιμίων ὁ τῆς βροντῆς υἱὸς ἀνεφώνησεν, ὅτι Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν (Ἰωαν. α. α.) Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· ὃ πρὸς Ἰουδαίους πολλάκις αὐτὸς Ἰησοῦς φθεγγόμενος ἔλεγεν, Ὅτι τὰ αὐτὰ δύναται τῷ πατρὶ, καὶ τὴν αὐτὴν ἐξουσίαν ἔχει. τούτων οὐδὲν λέγεις; ἀλλὰ ταῦτα πάντα ἀφεὶς, τῆς κατὰ σάρκα οἰκονομίας μέμνησαι, σταυρὸν εἰς μέσον φέρων καὶ νέκρωσιν; ναί, φησιν. εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ λόγος ἦν μηδὲν μέγα περὶ τοῦ Χριστοῦ φανταζομένους, καλῶς εἶχεν ἐκεῖνα λέγειν. ἐπειδὴ δὲ ὡς μέλλοντες τιμωρεῖσθαι, εἰ ἀπο-

στασιάζει τῷ νόμῳ, στασιάζουσι πρὸς ἡμᾶς, διὰ τοῦτο τοῦ πράγματος μέμνηται, δι' οὗ πᾶσαν ἐκβάλλει τοῦ νόμου τὴν χρείαν, λέγω δὴ τὴν ἐκ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως εὐεργεσίαν εἰς γινομένην ἅπασι. Τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὅτι ἐν μορφῇ Θεοῦ ὑπῆρχε, καὶ ὅτι ἴσον ἑαυτὸν ἐποίει τῷ Θεῷ, καὶ ὅσα τοιαῦτα, δεικνύντος μὲν ἦν τὴν τοῦ Λόγου θεότητα· οὐδὲν δὲ τοιοῦτον εἰς τὸ προκείμενον συμβαλλομένου. Τὸ δὲ εἰπεῖν, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, ἀναμιμνήσκοντος ἦν τῆς ὑπὲρ ἡμῶν εὐεργεσίας τὸ κεφάλαιον, ὅπερ οὐ μικρὸν εἰς τὸ προκείμενον αὐτῷ συνετέλει. Καὶ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τοῖς τὴν τοῦ Θεοῦ μεγαλωσύνην περιϊστῶσι προσέχειν λόγοις, ὡς τοῖς τὴν εἰς ἀνθρώπους εὐεργεσίαν ἐνδεικνυμένοις. Διόπερ ἀφεὶς ἐκεῖνα εἰπεῖν, περὶ τῆς εἰς ἡμᾶς εὐεργεσίας γεγενημένης ποιεῖται τὸν λόγον. Ἀλλ' ἐπιπηδῶσιν οἱ αἱρετικοὶ λέγοντες, ἰδοὺ ὁ πατὴρ ἐγείρει τὸν υἱόν. Ἐπειδὴ γὰρ ἅπαξ ἐνενοσήκασι, πρὸς μὲν τὰ ὑψηλὰ τῶν δογμάτων ἐθελοκωφοῦσι, τὰ δὲ ταπεινὰ, καὶ ἢ τῆς σαρκὸς ἕνεκεν εἰρημένα οὕτως, ἢ διὰ τὴν εἰς τὸν πατέρα τιμὴν, ἢ δι' ἄλλην τινὰ οἰκονομίαν, ταῦτα ἐκλέγουσι, καὶ καθ' ἑαυτὰ ἐξετάζοντες, ἐπηρεάζουσιν ἑαυτοῖς (οὐ γὰρ ἂν εἴποιμι τῇ γραφῇ) ὡς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ταῦτα λέγουσιν; ἆρα ἀσθενῆ τὸν υἱὸν ἐπιδεῖξαι βουλόμενοι, καὶ οὐκ ἰσχύοντα πρὸς ἑνὸς ἀνάστασιν σώματος; καὶ μὴν ἡ εἰς αὐτὸν πίστις καὶ τὰς σκιὰς τῶν εἰς αὐτὸν πιστευόντων ἀνιστᾶν ἐποίησε νεκρούς. Εἶτα οἱ μὲν εἰς αὐτὸν πιστεύοντες ἄνθρωποι, θνητοὶ μὲν ὄντες, ἔτι ἀπὸ σκιᾶς μόνης τῶν πηλίνων σωμάτων ἐκείνων, καὶ ἱματίων τοῖς σώμασι τούτοις περικειμένων, νεκροὺς ἤγειραν, αὐτὸς δὲ ἑαυτὸν ἀναστῆσαι οὐκ ἴσχυσε; καὶ πῶς οὐ φανερὰ αὕτη μανία, καὶ παρανοίας ἐπίτασις; οὐκ ἤκουσας αὐτοῦ λέγοντος, ὅτι λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν; καὶ πάλιν, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν; τίνος οὖν ἕνεκεν ὁ πατὴρ αὐτὸν ἐγηγερκέναι λέγεται; ὥσπερ καὶ τὰ ἄλλα ποιεῖν, ἅπερ αὐτὸς ποιεῖ. Καὶ γὰρ καὶ εἰς τὸν πατέρα τιμῆς ἕνεκεν εἴρηται τοῦτο, καὶ τῆς τῶν ἀκροατῶν ἀσθενείας. Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί. Τί δήποτε οὐδαμοῦ τοῦτο προσέθηκεν ἐπιστέλλων; ἢ γὰρ τὸ αὐτοῦ ὄνομα τίθησι μόνον, ἢ δύο καὶ τριῶν ἑτέρων ὀνομαστί· ἐνταῦθα δὲ πλῆθος ὁλόκληρον ἔθηκε. Διόπερ οὐδὲ ὀνομαστί τινος ἐμνημόνευσε. Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; διέβαλλον αὐτὸν ὡς μόνον ταῦτα κηρύττοντα, καὶ καινοτομίαν τινὰ τοῖς δόγμασιν ἐπεισάγοντα. Θέλων οὖν ἀνελεῖν αὐτῶν τὴν ὑποψίαν, καὶ δεῖξαι ὅτι πολλοὺς ἔχει τῆς γνώμης κοινωνούς, συνέταξε τοὺς ἀδελφούς, δηλῶν ὅτι ἅπερ γράφει, καὶ ἀπὸ τῆς ἐκείνων γράφει γνώμης. Ταῖς ἐκκλησίαις τῆς Γαλατίας. Οὐ γὰρ μίαν πόλιν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τῶν Γαλατῶν τὸ ἔθνος αὕτη τῆς πλάνης ἐπενέμετο ἡ πυρά. Θέα δέ μοι καὶ ἐνταῦθα τὴν πολλὴν ἀγανάκτησιν. Οὐ γὰρ εἶπε, τοῖς ἀγαπητοῖς, οὐδὲ, τοῖς ἡγιασμένοις, ἀλλὰ, ταῖς ἐκκλησίαις τῆς Γαλατίας. Τοῦτο δὲ ἦν σφόδρα βαρυθυμοῦντος, καὶ τὴν ὀδύνην ἐνδεικνυμένου, τὸ μηδὲ ἀπὸ τῆς ἀγάπης, μηδὲ ἀπὸ τῆς τιμῆς τῶν ὀνομάτων αὐτοὺς καλέσαι, ἀλλ' ἀπὸ τῆς συνόδου μόνης· καὶ μηδὲ προσθεῖναι ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ἀλλ' ἁπλῶς ταῖς ἐκκλησίαις τῆς Γαλατίας. Ἄλλως δὲ, καὶ συνάψαι ἐκ προοιμίων τὸ στασιάζον ἐπείγεται. Διὸ καὶ τὸ ὄνομα τῆς ἐκκλησίας τέθηκεν, ἐντρέπων αὐτούς, καὶ συνάγων εἰς ἕν. Οἱ γὰρ εἰς πολλὰ διῃρημένοι μέρη, οὐκ ἂν δύναιντο ταύτῃ καλεῖσθαι τῇ προσηγορίᾳ. Τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα, συμφωνίας ὄνομα καὶ ὁμονοίας ἐστί. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Πανταχοῦ μὲν ἀναγκαίως τοῦτο τίθησι, μάλιστα δὲ Γαλάταις ἐπιστέλλων νῦν. Ἐπειδὴ γὰρ τῆς χάριτος ἐκινδύνευον ἐκπεσεῖν, ἐπεύχεται αὐτοῖς ταύτην ἀνακτήσασθαι πάλιν. Ἐπειδὴ γὰρ πρὸς τὸν Θεὸν ἑαυτοὺς ἐξεπολέμωσαν, παρακαλεῖ τὸν Θεὸν πρὸς τὴν αὐτὴν αὐτοὺς ἐπαναγαγεῖν εἰρήνην. Θεοῦ πατρός. Κἀντεῦθεν πάλιν ῥᾳδίως ἁλίσκονται οἱ αἱρετικοί. Ἐπειδὴ γάρ φασι τὸν Ἰωάννην ἐν προοιμίῳ τῶν εὐαγγελίων

Ιωαν. β. ιθ.
Ιωαν. ι. ιη.

λέγοντα,

λέγοντα, καὶ Θεὸς ἦν ὁ λόγος, διὰ τοῦτο χωρὶς ἄρθρου τεθεικέναι τοῦτο, ὡς ἐλάττονα εἰσάγοντα τὴν θεότητα τοῦ υἱοῦ· καὶ πάλιν τὸν Παῦλον ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν υἱὸν λέγοντα, οὐ περὶ τοῦ πατρὸς εἰρηκέναι, διὰ τὸ χωρὶς ἄρθρου καὶ αὐτὸ κεῖσθαι, τί ἂν εἴποιεν ἐνταῦθα, τοῦ Παύλου λέγοντος, οὐκ, ἀπὸ τοῦ Θεοῦ, ἀλλ', ἀπὸ Θεοῦ πατρός; πατέρα δὲ ἐνταῦθα τὸν Θεὸν καλεῖ, οὐ κολακεύων αὐτούς, ἀλλὰ καὶ σφόδρα καθαπτόμενος, καὶ ὑπομιμνήσκων τὴν αἰτίαν δι' ἧς ἐγένοντο υἱοί. οὐ γὰρ διὰ νόμου, ἀλλὰ διὰ λουτροῦ παλιγγενεσίας ταύτης ἠξιώθησαν τῆς τιμῆς. διὰ τοῦτο πανταχοῦ καὶ ἐν προοιμίοις καταπασπείρει τὰ ἴχνη τῆς εὐεργεσίας τοῦ Θεοῦ, μονονουχὶ λέγων· οἱ δοῦλοι, καὶ οἱ ἐχθροί, καὶ οἱ ἠλλοτριωμένοι, πόθεν ἐξαίφνης πατέρα καλεῖτε τὸν Θεόν; μὴ ὁ νόμος ὑμῖν ταύτην ἐχαρίσατο τὴν συγγένειαν; τί τοίνυν καταλιπόντες τὸν εἰς ταύτην ὑμᾶς τὴν ἐγγύτητα ἀγαγόντα, προστρέχετε πάλιν τῷ παιδαγωγῷ; οὐκ ἐπὶ τοῦ πατρὸς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ υἱοῦ ἱκανὰ τὰ ὀνόματα αὐτοῖς ταῦτα τὴν εὐεργεσίαν ἐνδείξασθαι. τὸ γὰρ Κυρίου Ἰησοῦ Χριστοῦ ὄνομα μετὰ ἀκριβείας ἐξεταζόμενον, τὴν εὐεργεσίαν πᾶσαν ἐνδείκνυται. καὶ γὰρ Ἰησοῦς διὰ τοῦτο κληθήσεται, φησίν, ὅτι Ματθ. α. κα.
αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ ἡ τοῦ Χριστοῦ δὲ προσηγορία τῆς τοῦ πνεύματος ἀνέμνησε χρίσεως.

4 Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Ὁρᾷς ὅτι οὐ δουλικὴν ὑπέμεινε διακονίαν, οὐδὲ ἠναγκασμένην, οὐδὲ ἐξεδόθη παρά τινος, ἀλλ' ἑαυτὸν ἔδωκεν; ὥστε, ὅταν ἀκούσῃς Ἰωάννου λέγοντος, Ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ Ιωαν. γ. ις.
ἔδωκεν ὑπὲρ ἡμῶν ὁ πατήρ, μὴ ἐλαττώσῃς τὴν ἀξίαν τοῦ μονογενοῦς διὰ τοῦτο, μηδὲ ἀνθρώπινόν τι ὑποπτεύσῃς. κἂν γὰρ ὁ πατὴρ λέγηται δεδωκέναι, οὐχ ἵνα δουλικὴν διακονίαν ἐννοήσῃς, τοῦτο λέγεται, ἀλλ' ἵνα μάθῃς, ὅτι καὶ τῷ πατρὶ τοῦτο δοκοῦν ἦν, ὅπερ οὖν καὶ ἐνταῦθα ὁ Παῦλος ἐδήλωσεν εἰπών, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν· οὐ κατ' ἐπιταγήν, ἀλλὰ κατὰ τὸ θέλημα. ἐπειδὴ γὰρ ἓν θέλημα πατρὸς καὶ υἱοῦ, ἅπερ ὁ υἱὸς ἐβούλετο, ταῦτα καὶ ὁ πατὴρ ἤθελεν. ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. μυρίοις, φησίν, ἑαυτοὺς περιεπείραμεν κακοῖς, καὶ τῆς ἐσχάτης ἦμεν ὑπεύθυνοι κολάσεως. καὶ ὁ μὲν νόμος οὐ μόνον οὐκ ἀπήλλαξεν, ἀλλὰ καὶ κατεδίκασε, τὸ μὲν ἁμάρτημα φανερώτερον καθιστάς, ἐλευθερῶσαι δὲ οὐκ ἰσχύων, οὐδὲ παῦσαι τοῦ Θεοῦ τὴν ὀργήν· ὁ δὲ υἱὸς τοῦ Θεοῦ καὶ τὸ ἀδύνατον τοῦτο, δυνατὸν ἐποίησε, τάς τε ἁμαρτίας λύσας, καὶ τοὺς ἐχθροὺς ἐν τάξει φίλων καταστήσας, καὶ μυρία ἕτερα χαρισάμενος ἀγαθά. εἶτά φησιν· Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ. Πάλιν περὶ ταύτης τῆς λέξεως ἐπιλαμβάνονται αἱρετικοί, τὸν παρόντα βίον διαβάλλοντες, καὶ τὴν Παύλου μαρτυρίαν παρέλκοντες. ἰδοὺ γάρ, φασί, τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν εἴρηκε. καὶ τί ποτέ ἐστιν αἰών, εἰπέ μοι; χρόνος ἐν ἡμέραις καὶ ὥραις. τί οὖν; τὸ διάστημα τῶν ἡμερῶν πονηρόν, καὶ ὁ τοῦ ἡλίου δρόμος; ἀλλ' οὐδεὶς ἂν εἴποι τοῦτό ποτε, κἂν εἰς ἐσχάτην ἀλογίαν κατενεχθείη. ἀλλ' οὐ τὸν χρόνον εἶπε, φησίν, ἀλλὰ τὴν παροῦσαν ζωὴν πονηρὰν ἐκάλεσε. καὶ μὴν τὰ ῥήματα οὐ τοῦτό φησιν, ἀλλ' οὐχ ἵστασαι ἐπὶ τῶν ῥημάτων, ἀφ' ὧν τὴν κατηγορίαν ἔπλεξας, ἀλλὰ σαυτῷ τέμνεις ἑρμηνείας ὁδόν. οὐκοῦν καὶ ἡμῖν συγχωρήσεις ἑρμηνεῦσαι τὰ εἰρημένα, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ εὐσεβῆ τὰ ἡμέτερα, καὶ λόγον ἔχοντα. τί οὖν ἂν εἴποιμεν; ὅτι οὐδὲν τῶν κακῶν γένοιτ' ἂν αἴτιόν ποτε τῶν καλῶν, τῶν δὲ μυρίων στεφάνων καὶ τοσούτων μισθῶν ὁ παρὼν βίος αἴτιός ἐστιν. αὐτὸς γοῦν οὗτος ὁ μακάριος Παῦλος ἐπαινεῖ μεθ' ὑπερβολῆς αὐτόν, λέγων οὕτως· Εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. καὶ Φιλιπ. α. κβ.
αἵρεσιν δὲ * προθεὶς τοῦ ζῆν ἐνταῦθα, καὶ τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, προτιμᾷ τὴν ἐνταῦθα διαγωγήν. εἰ δὲ πονηρὸς ἦν, οὔτ' ἂν ἐκεῖνος ταῦτα περὶ αὐτοῦ εἶπεν, οὔτ' ἂν ἄλλος τις εἰς ἀρετὴν αὐτῷ καταχρήσασθαι ἠδυνήθη, εἰ καὶ σφόδρα ἐσπούδαζε. κακίᾳ γὰρ οὐκ ἄν ποτε εἰς ἀγαθόν τι χρήσαιτο, οὐ πορνείᾳ εἰς σωφροσύνην, οὐ φθόνῳ εἰς φιλοφροσύνην.

* ἑαυτῷ

Ρω. η. ζ. σιωὴν. καὶ γὰρ ὅταν λέγῃ Παῦλος περὶ τοῦ φρονήματος τῆς σαρκὸς, ὅτι τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται, τοῦτο λέγει, ὅτι ἡ κακία μένουσα κακία οὐ δύναται εἶναι ἀρετή. ὥστε ὅταν ἀκούσῃς πονηρὸν αἰῶνα, τὰς πράξεις τὰς πονηρὰς, τὴν προαίρεσιν τὴν διεφθαρμένην. οὐδὲ γὰρ ἵνα ἀποκτείνῃ ἡμᾶς, καὶ ἐξαγάγῃ τῆς παρούσης ζωῆς, ἦλθεν ὁ Χριστὸς, ἀλλ' ἵνα ἀφεὶς ἐν τῷ κόσμῳ, παρασκευάσῃ τῆς ἐν τοῖς οὐρανοῖς διαγωγῆς γενέσθαι ἀξίους. Ἰωάν. ιζ. ια. διὰ τοῦτο καὶ τῷ πατρὶ διαλεγόμενος ἔλεγε· Καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ, τουτέστιν, ἀπὸ τῆς κακίας. εἰ δὲ οὐκ ἀνέχῃ τούτων, ἀλλ' ἔτι πονηρὰν τὴν παροῦσαν ζωὴν εἶναι φῂς, μὴ ἐγκάλει τοῖς ἑαυτοὺς ἀναιροῦσιν. ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑπεξάγων, οὐκ ἐγκλήματος, ἀλλὰ καὶ στεφάνων ἄξιος· οὕτω καὶ ὁ βιαίῳ θανάτῳ, καὶ δι' ἀγχόνης, ἢ δι' ἄλλων τινῶν καταλύων τὸ ζῆν, οὐκ ἂν εἴη δίκαιος ἐγκαλεῖσθαι καθ' ὑμᾶς. νῦν δὲ καὶ ὁ Θεὸς τοὺς τοιούτους κολάζει τῶν ἀνδροφόνων μᾶλλον, καὶ πάντες βδελυττόμεθα, καὶ εἰκότως. εἰ γὰρ ἑτέρους ἀνελεῖν οὐ καλὸν, πολλῷ μᾶλλον ἑαυτόν. εἰ δὲ πονηρὰ ἡ παροῦσα ζωὴ, τοὺς ἀνδροφόνους στεφανοῦν ἔδει, ὅτι τῆς πονηρίας ἡμᾶς ἀπαλλάττουσι. χωρὶς δὲ τούτων, καὶ ἐξ ὧν αὐτοὶ λέγουσιν, ἑαυτοῖς περιπίπτουσι. τὸν γὰρ ἥλιον Θεὸν εἶναι φάσκοντες, καὶ μετ' ἐκεῖνον τὴν σελήνην, καὶ προσκυνοῦντες, ὡς τῶν πολλῶν ἀγαθῶν αἰτίους, ἑαυτοῖς μαχόμενοι λέγουσιν. ἡ γὰρ τούτων χρεία καὶ τῶν λοιπῶν ἄστρων, πρὸς ἕτερον μὲν οὐδὲν, εἰς δὲ τὴν παροῦσαν ἡμῖν συντελεῖ ζωὴν, τὴν, ὡς αὐτοί φασι, πονηρὰν, σώματα τρέφουσά τε, καὶ καταυγάζουσα, καὶ καρποὺς εἰς ἀκμὴν ἄγουσα. πῶς οὖν πρὸς τὴν σύστασιν τοῦ πονηροῦ βίου ταύτην εἰσάγουσι λειτουργίαν οὗτοι οἱ καθ' ὑμᾶς θεοί; ἀλλ' οὔτε τὰ ἄστρα θεοὶ (μὴ γένοιτο) ἀλλ' ἔργα Θεοῦ πρὸς τὴν ἡμετέραν πεποιημένα χρείαν, οὔτε ὁ κόσμος πονηρός. εἰ δὲ λέγεις μοι τοὺς ἀνδροφόνους, καὶ τοὺς μοιχοὺς, καὶ τοὺς τυμβωρύχους, οὐδὲν ταῦτα πρὸς τὸν παρόντα βίον. οὐδὲ γὰρ τῆς ἐν σαρκὶ ζωῆς ταῦτα ἁμαρτήματα, ἀλλὰ τῆς διεφθαρμένης προαιρέσεως. εἰ γὰρ τῆς παρούσης ζωῆς ἦν ταῦτα, ὡς πάντως αὐτῇ συγκεκληρωμένα, οὐδεὶς ἂν ἐλεύθερος ἦν, οὐδὲ καθαρός. ὅρα γοῦν τῆς ἐν σαρκὶ ζωῆς τὰ ἰδιώματα οὐδένα δυνάμενον διαφυγεῖν. τίνα δὲ ταῦτά ἐστι; τὸ ἐσθίειν, τὸ πίνειν, τὸ καθεύδειν, τὸ αὔξεσθαι, τὸ πεινῆν, τὸ διψῆν, τὸ γεννᾶσθαι, τὸ τελευτᾶν, καὶ τὰ τούτοις ἐοικότα ἅπαντα. καὶ τούτων οὐδεὶς ἂν περιγένοιτο, οὐχ ἁμαρτωλὸς, οὐ δίκαιος, οὐ βασιλεὺς, οὐκ ἰδιώτης, ἀλλὰ πάντες ὑποκείμεθα τῇ τῆς φύσεως ἀνάγκῃ. οὕτω καὶ τὸ φαῦλα πράττειν, εἰ τῇ φύσει τῆς ζωῆς ἦν συγκεκληρωμένον, οὐδεὶς ἂν αὐτὰ διέφυγεν, ὥσπερ οὐδὲ ἐκεῖνα. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι σπάνιοι οἱ κατορθοῦντες. τὴν γὰρ φυσικὴν ἀνάγκην οὐδένα εὑρήσεις περιγενόμενον ποτέ. ὥστε ἕως ἂν εὑρίσκηται καὶ εἷς κατωρθωκὼς ἀρετὴν, οὐδὲν ὁ λόγος παραβλαβήσεται. τί φῂς, ἄθλιε καὶ ταλαίπωρε; πονηρὰ ἡ παροῦσα ζωὴ, ἐν ᾗ τὸν Θεὸν ἐπέγνωμεν; ἐν ᾗ περὶ τῶν μελλόντων φιλοσοφοῦμεν; ἐν ᾗ γεγόναμεν ἐξ ἀνθρώπων ἄγγελοι, καὶ ταῖς ἄνω συγχορεύομεν δυνάμεσι; καὶ ποίαν ἑτέραν ζητήσομεν τῆς πονηρᾶς ὑμῶν γνώμης καὶ διεστραμμένης ἀπόδειξιν; τίνος οὖν ἕνεκεν ὁ Παῦλος εἶπε, φησὶν, αἰῶνα πονηρὸν τὸν ἐνεστῶτα; τῇ κοινῇ κεχρημένος συνηθείᾳ. καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, κακὴν ἔχομεν ἡμέραν, οὐ τὸν καιρὸν, ἀλλὰ τὴν πρᾶξιν, ἢ τὴν περίστασιν διαβάλλοντες. οὕτω καὶ Παῦλος τὰς πονηρὰς διαβάλλων προαιρέσεις, τῇ συνηθείᾳ κέχρηται· καὶ δείκνυσιν, ὅτι καὶ τῶν προτέρων ἡμᾶς ἀπήλλαξεν ὁ Χριστὸς ἁμαρτημάτων, καὶ πρὸς τὸ μέλλον ἠσφαλίσατο. τῷ μὲν γὰρ εἰπεῖν, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἐκεῖνο ἐδήλωσε· τῷ δὲ προσθεῖναι, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν ἐνέφηνεν. ὁ μὲν γὰρ νόμος καὶ πρὸς τὸ ἓν ἠσθένει, ἡ δὲ χάρις πρὸς ἀμφότερα δυνατὴ γέγονε. Κατὰ τὸ θέλημα τοῦ Θεοῦ, καὶ

πατρὸς

πατρὸς ἡμῶν. Ἐπειδὴ γὰρ ἐνόμιζον ἐκεῖνοι τοῦ Θεοῦ παρακούειν, ὡς δεδωκότος τὸν νόμον, καὶ ἐδεδοίκεσαν, εἰ τὴν παλαιὰν ἀφέντες προσέλθοιεν τῇ καινῇ· καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ὑπόνοιαν λέγων, ὅτι καὶ τῷ πατρὶ ταῦτα δοκεῖ, καὶ οὐχ ἁπλῶς εἶπε, πατρὸς, ἀλλὰ, πατρὸς ἡμῶν, καὶ συνεχῶς αὐτὸ τίθησιν ἐντρέπων αὐτοὺς τῇ διακονίᾳ, ὅτι πατέρα ἡμῶν τὸν αὐτοῦ πατέρα πεποίηκεν ὁ Χριστός.

5 Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. Καὶ τοῦτο καινὸν καὶ παρηλλαγμένον. τὸ γὰρ, ἀμήν, οὐδαμοῦ ἐν ἀρχῇ καὶ προοιμίοις ἐπιστολῆς εὑρίσκομεν κείμενον, ἀλλὰ μετὰ πολλά. ἐνταῦθα δὲ δεικνὺς ὅτι καὶ τὰ εἰρημένα ἱκανὴν εἶχον κατηγορίαν Γαλατῶν, καὶ ὅτι ὁ λόγος ἀπηρτισμένος ἐστὶ, τὸ προοίμιον τοῦτο τέθεικε. τὰ γὰρ φανερὰ τῶν ἐγκλημάτων οὐ πολλῆς δεῖται κατασκευῆς. ἀναμνήσας γὰρ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως, τῆς τῶν ἁμαρτημάτων λυτρώσεως, τῆς πρὸς τὸ μέλλον ἀσφαλείας, τῆς τοῦ πατρὸς γνώμης, τῆς τοῦ υἱοῦ βουλῆς, τῆς χάριτος, τῆς εἰρήνης, πάσης αὐτοῦ τῆς δωρεᾶς, εἰς δοξολογίαν τὸν λόγον κατέκλεισεν. οὐ διὰ τοῦτο δὲ μόνον τοῦτο πεποίηκεν, ἀλλὰ καὶ διὰ τὸ μετὰ ὑπερβολῆς ἐκπλήττεσθαι τῆς δωρεᾶς τὸ μέγεθος, τῆς χάριτος τὴν ὑπερβολὴν, καὶ ἐννοεῖν τίνας ὄντας τί εἰργάσατο ὁ Θεὸς ἀθρόον καὶ ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ· ἅπερ τῷ λόγῳ παραστῆσαι μὴ δυνάμενος, εἰς δοξολογίαν κατέλυσεν, οὐ τὴν ἀξίαν, ἀλλὰ τὴν αὐτῷ δυνατὴν εὐφημίαν ὑπὲρ τῆς οἰκουμένης ἀναπέμπων ἁπάσης. διὰ τοῦτο καὶ σφοδροτέρῳ τῷ μετὰ ταῦτα κέχρηται λόγῳ, καθάπερ πυρωθεὶς σφοδρῶς ὑπὸ τῆς ἐννοίας τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. εἰπὼν γὰρ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν, ἀπὸ σφοδροτέρας ἄρχεται ἐπιπλήξεως, οὕτω λέγων·

6 Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον. Ἐπειδὴ γὰρ διὰ τῆς τοῦ νόμου φυλακῆς ὑπώπτευον ἀρέσκειν τῷ πατρὶ, καθάπερ καὶ Ἰουδαῖοι τὸν Χριστὸν διώκοντες, τοῦτο πρῶτον ἐνδείκνυται, ὅτι οὐ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα παροξύνουσι τοῦτο πράττοντες. οὐ γὰρ ἀπὸ τοῦ Χριστοῦ, φησὶν, ἀλλὰ καὶ ἀπὸ τοῦ πατρὸς μεθίστασθε τοῦτο ποιοῦντες. ὥσπερ γὰρ ἡ παλαιὰ οὐ τοῦ πατρὸς μόνον, ἀλλὰ καὶ τοῦ υἱοῦ, οὕτω καὶ ἡ χάρις οὐ τοῦ υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ πατρὸς, καὶ πάντα κοινά. Πάντα γὰρ τὰ τοῦ πατρός μου, ἐμά ἐστιν. εἰπὼν τοίνυν, ὅτι καὶ τοῦ πατρὸς ἀφίστανται, δύο ἐγκλήματα τίθησι, καὶ τὴν μετάθεσιν, καὶ τὴν ταχίστην μετάθεσιν. Ιωαν. ιϛ. ιε. καὶ μὴν τὸ ἐναντίον κατηγορίας ἄξιον, τὸ μετὰ πολὺν ἀποστῆναι χρόνον· ἀλλ' ἐνταῦθα περὶ ἀπάτης ὁ λόγος. ἄξιος μὲν γὰρ ἐγκλημάτων καὶ ὁ μετὰ πολὺν χρόνον· ὁ δὲ ἐκ πρώτης προσβολῆς, καὶ ἐν αὐτοῖς τοῖς ἀκροβολισμοῖς καταπεσὼν, ἐσχάτης ἀσθενείας ἐξήνεγκεν ὑπόδειγμα, ὃ καὶ τούτοις ἐγκαλεῖ λέγων· τί τοῦτο, ὅτι οὐδὲ χρόνου δέονται οἱ ἀπατῶντες ὑμᾶς, ἀλλ' ἐκ πρώτης προσαγωγῆς ἀρκεῖ πάντως ὑμᾶς καταστρέψασθαι καὶ ἑλεῖν; καὶ ποίαν ἂν σχοίητε συγγνώμην; εἰ γὰρ ἐπὶ φίλων τοῦτο γινόμενον, ἔγκλημα, καὶ ὁ τοὺς προτέρους καὶ χρησίμους τῶν ἐπιτηδείων ἀφεὶς καταγνώσεως ἄξιος, ὁ Θεοῦ καλοῦντος ἀποπηδῶν, ἐννόησον ὅσης ἂν εἴη τιμωρίας ὑπεύθυνος. ὅταν δὲ εἴπῃ, θαυμάζω, οὐ μόνον ἐντρέπων αὐτοὺς λέγει, ὅτι μετὰ τοσαύτην δωρεὰν, μετὰ τοσαύτην ἁμαρτημάτων συγχώρησιν καὶ φιλανθρωπίας ὑπερβολὴν, εἰς ζυγὸν δουλείας ηὐτομόλησαν· ὁμοῦ δὲ καὶ δεικνὺς, οἵαν εἶχε περὶ αὐτῶν ὑπόνοιαν, ὅτι μεγάλην τινὰ, καὶ ἐσπουδασμένην. οὐδὲ γὰρ ἂν εἰ τῶν τυχόντων ἐνόμιζεν αὐτοὺς εἶναι καὶ εὐεξαπατήτων, ἐθαύμασεν ἂν ἐπὶ τῷ γινομένῳ, ἀλλ' ἐπειδὴ τῶν γνησίων, φησὶ, καὶ πολλὰ πεποιηκότων ὑμεῖς, διὰ τοῦτο θαυμάζω· ὅπερ ἱκανὸν ἦν αὐτοὺς ἀνακαλέσασθαι, καὶ πρὸς τὰ πρότερα ἐπαναγαγεῖν. ὃ καὶ ἐν μέσῃ τῇ ἐπιστολῇ δηλῶν ἔλεγε· Τοσαῦτα ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ. μετατίθεσθε. οὐκ εἶπε, μετέθεσθε, Γαλατ. γ. δ. ἀλλὰ μετατίθεσθε, τουτέστιν, οὐδέπω πιστεύω, οὐδὲ ἡγοῦμαι ἀπηρτισμένην εἶναι τὴν ἀπάτην,

Marginal notes: χ. κατηγορίαν — χ. ἡ πρώτη συναγωγή — χ. ἀπηυτομόλησαν.

πω, ὃ καὶ αὐτὸ πάλιν ἐστὶν ἀνακλωμένου. τοῦτο οὖν σαφέστερον παριστῶν, λέγει· ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε, ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ. ἡ μὲν κλῆσις ἐστὶ τοῦ πατρὸς· τῆς δὲ κλήσεως ἡ αἰτία, τοῦ υἱοῦ. αὐτὸς γάρ ἐστιν ὁ καταλλάξας καὶ δωρεὰν δούς. οὐ γὰρ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἐσώθημεν. μᾶλλον δὲ καὶ ταῦτα

Ιωαν. ιζ. ι.

ἐκείνου, καὶ ἐκεῖνα τούτου. Τὰ γὰρ ἐμὰ σά, φησι, καὶ τὰ σὰ ἐμά. καὶ οὐκ εἶπεν, ἀπὸ τοῦ εὐαγγελίου μετατίθεσθε, ἀλλ' ἀπὸ τοῦ καλέσαντος ὑμᾶς Θεοῦ. ὁ γὰρ ἦν φρικωδέστερον, καὶ μᾶλλον ἱκανὸν αὐτοὺς καταπλῆξαι, τοῦτο τέθεικεν. οἱ γὰρ ἀπατῶντες αὐτοὺς βουλόμενοι, οὐκ ἀθρόως τοῦτο ἐποίουν, ἀλλ' ἠρέμα αὐτοὺς τῶν πραγμάτων μεθιστῶντες, τῶν ὀνομάτων οὐ μεθιστῶν. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου πλάνη, μὴ γυμνὰ προτιθέναι τὰ θήρατρα. εἰ μὲν γὰρ εἶπον, ἀπόστητε ἀπὸ τοῦ Χριστοῦ, ὡς πλάνους ἂν καὶ λυμεῶνας ἐφυλάξαντο. νῦν δὲ ἀφέντες αὐτοὺς ἐν τῇ πίστει τέως, καὶ τῇ πλάνῃ εὐαγγελίου ἐπιτιθέντες ὄνομα, μετὰ πολλῆς τῆς ἀδείας διώρυττον τὴν οἰκοδομήν, τῶν εἰρημένων, καθάπερ τινῶν παραπετασμάτων, διὰ τῶν ὀνομάτων τούτων κρυπτόντων τοὺς τοιχωρύχους. ἐπεὶ οὖν εὐαγγέλιον ἐκάλουν τὴν ἑαυτῶν ἀπάτην, καλῶς αὐτὸς καὶ πρὸς τὸ ὄνομα μάχεται, καὶ παρρησιάζεται λέγων· Εἰς ἕτερον εὐαγγέλιον,

7 Ὃ οὐκ ἔστιν ἄλλο. Ἀλλ' ὅμως ὅπερ πάσχουσιν οἱ νοσοῦντες ἐκ τῶν ὑγιεινῶν βλαπτόμενοι σιτίων, τοῦτο καὶ Μαρκίωνες ἐνταῦθα ἔπαθον. ἐπελάβοντο γὰρ τῶν εἰρημένων εἰπών, ὅτι ἰδοὺ καὶ Παῦλος εἶπεν, οὐκ ἔστιν ἕτερον εὐαγγέλιον. οὐδὲ γὰρ παραδέχονται τοὺς εὐαγγελιστὰς ἅπαντας, ἀλλ' ἕνα μόνον, καὶ αὐτὸν περικόψαντες καὶ συγχέαντες, ὡς ἐβούλοντο. τί οὖν ὅταν αὐτὸς λέγῃ, κατὰ τὸ εὐαγγέλιόν μου, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ; ἔστι μὲν οὖν πολλοῦ γέλωτος τὰ εἰρημένα παρ' αὐτῶν· πλὴν καὶ καταγέλαστα ᾖ, ἀναγκαῖον διελέγχειν αὐτὰ διὰ τοὺς εὐκόλως ἀπατωμένους. τί οὖν ἐροῦμεν; ὅτι κἂν μυρίοι γράφωσιν εὐαγγέλια, τὰ δὲ αὐτὰ γράφωσιν, ἕν ἐστι τὰ πολλά, καὶ οὐδὲν ἀπὸ τοῦ τῶν γραφόντων πλήθους εἰς τὸ ἓν εἶναι παραβλάπτεται· ὥσπερ οὖν κἂν εἷς ᾖ πάλιν ὁ γράφων, καὶ ἐναντία λέγῃ, οὐκ ἔστιν ἓν τὰ γραφόμενα. τὸ γὰρ ἕν, καὶ οὐχ ἕν, οὐ τῷ τῶν γραφόντων ἀριθμῷ, ἀλλὰ τῇ ταυτότητι καὶ ἑτερότητι τῶν λεγομένων κρίνεται. ὅθεν δῆλον, ὅτι καὶ τὰ τεττάρων εὐαγγέλια, ἕν ἐστιν εὐαγγέλιον. ὅταν γὰρ οἱ τέσσαρες τὰ αὐτὰ λέγωσιν, οὐκ ἔστιν ἄλλο καὶ ἄλλο διὰ τὴν τῶν προσώπων διαφοράν, ἀλλ' ἓν διὰ τὴν τῶν εἰρημένων συμφωνίαν. οὐδὲ γὰρ ὁ Παῦλος περὶ ἀριθμοῦ λέγει νῦν, ἀλλὰ περὶ διαφωνίας τῶν εἰρημένων. εἰ μὲν οὖν ἄλλο τὸ Ματθαίου, καὶ τὸ Λουκᾶ ἕτερον κατὰ τὴν δύναμιν τῶν ἐγγεγραμμένων καὶ τὴν τῶν δογμάτων ἀκρίβειαν, καλῶς ἐπιλαμβάνονται τοῦ λόγου· εἰ δὲ ἓν καὶ τὸ αὐτό, παυσάσθωσαν ἀνοηταίνοντες, καὶ ταῦτα προσποιούμενοι ἀγνοεῖν, ἃ καὶ τοῖς ἄγαν παισὶν ἐστὶ κατάδηλα.

Εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

Τουτέστιν, ἕως ἂν ὑγιαίνητε τὸν νοῦν, οὐκ ἐπιγνώσεσθε ἕτερον εὐαγγέλιον, ἕως ἂν ὀρθὰ (χ. ἐπιγνώσεσθε) βλέπητε, καὶ μὴ διεστραμμένα, τὰ μὴ ὄντα φανταζόμενοι. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς διαταραχθεὶς ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ· οὕτω καὶ νοῦς τῇ τῶν πονηρῶν συγχύσει θολούμενος λογισμῶν τὸ αὐτὸ τοῦτο πάσχειν εἴωθε. διὰ γὰρ τοῦτο καὶ οἱ μαινόμενοι ἕτερα ἀνθ' ἑτέρων φαντάζονται. ἀλλ' αὕτη χαλεπωτέρα ἐκείνης ἡ μανία, οὐκ ἐν τοῖς αἰσθητοῖς, ἀλλ' ἐν τοῖς νοητοῖς τὴν βλάβην ἐργαζομένη, οὐκ ἐν τῇ κόρῃ τῶν τοῦ σώματος ὀμμάτων, ἀλλ' ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας τὴν καταστροφὴν κατασκευάζουσα. καὶ θέλοντες ἀναστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. καίτοι μίαν μόνην, ἢ δευτέραν ἐπεισῆγον ἐντολήν, τὴν τῆς περιτομῆς, καὶ τὴν τῶν ἡμερῶν μόνον καινοτομοῦντες· (ἰσ. μόνον) ἀλλὰ δεικνὺς ὅτι μικρὸν παραποιηθὲν τὸ ὅλον λυμαίνεται, εἶπε τὸ εὐαγγέλιον ἀνατρέπεσθαι. καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν ὁ μικρὸν τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο· οὕτω

καὶ

καὶ ὅτι τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχύτατον διαστρέψας, τὸ πᾶν ἐλυμήνατο, ἐπὶ τὰ χείρονα παρεισιὼν ἀπὸ τῆς ἀρχῆς. ποῦ τοίνυν εἰσὶν οἱ φιλονεικίας ἡμᾶς κρίνοντες ἕνεκεν τῆς πρὸς τοὺς αἱρετικοὺς διαστάσεως; ποῦ νῦν εἰσὶν οἱ λέγοντες οὐδὲν μέσον εἶναι ἡμῶν, κἀκείνων, ἀλλ' ἀπὸ φιλαρχίας τὴν διαφορὰν γίνεσθαι; ἀκουέτωσαν τί φησιν ὁ Παῦλος, ὅτι τὸ εὐαγγέλιον ἀνέτρεψαν οἱ καὶ μικρόν τι καινοτομοῦντες. (χ. εἰ δὲ ἦσαν, τοὺς) οὗτοι δὲ οὔ τι μικρόν. πῶς γάρ, οἱ τὸν υἱὸν τοῦ Θεοῦ κτίσμα λέγοντες; οὐκ ἤκουσας ὅτι καὶ ἐν τῇ παλαιᾷ ἐν σαββάτῳ ξύλα τις συλλέξας, καὶ μίαν ἐντολὴν παραβάς, καὶ οὐδὲ ταύτην μεγίστην, ἐσχάτην ἔδωκε δίκην; καὶ Ὀζᾶ (χ. Ὀζᾶν) τὴν κιβωτὸν μέλλουσαν περιτρέπεσθαι στηρίξας παραχρῆμα ἀπέθανεν, ὅτι μὴ προσηκούσης αὐτῷ διακονίας ἥψατο; εἰ τοίνυν σαββάτου μὲν ἡ παράβασις, καὶ τὸ τῆς κιβωτοῦ καταπιπτούσης ἅψασθαι εἰς τοσαύτην ἤγαγε τὸν Θεὸν ἀγανάκτησιν, ὥστε μηδὲ βραχείας τυχεῖν συγγνώμης τοὺς ταῦτα τολμήσαντας, ὁ τὰ δόγματα φρικτὰ καὶ ἀπόρρητα λυμαινόμενος, ποίας ἀπολογίας τεύξεται καὶ συγγνώμης; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀλλὰ καὶ αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ καὶ ὑπὲρ τῶν μικρῶν τούτων ἀγανακτεῖν. διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισῆλθεν, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. καὶ καθάπερ ἐν τοῖς σώμασιν οἱ τῶν τραυμάτων καταφρονήσαντες, πυρετοὺς ἔτεκον καὶ σηπεδόνας καὶ θάνατον· οὕτω καὶ ἐπὶ τῶν ψυχῶν οἱ τῶν μικρῶν ὑπερορῶντες, τὰ μείζονα ἐπεισάγουσιν. ὁ δεῖνα, φησί, περὶ τὴν νηστείαν σφάλλεται, καὶ οὐδὲν μέγα ἐστίν· ἕτερος τῇ πίστει μὲν ἔρρωται τῇ ὀρθῇ, ὑποκρινόμενος δὲ διὰ τὸν καιρόν, τὴν παρρησίαν προδέδωκεν· οὐδὲ τοῦτο τι μέγα δεινόν. ἄλλος προσκρουσθείς, ἠπείλησεν ἀποστήσεσθαι τῆς ὀρθῆς πίστεως· ἀλλ' οὐδὲ τοῦτο ἄξιον τιμωρίας. ὀργῇ γὰρ ἥμαρτε, φησί, καὶ θυμῷ. καὶ μυρία τις ἂν εὕροι τοιαῦτα καθ' ἑκάστην ἡμέραν ἁμαρτήματα ἐπεισαγόμενα ταῖς ἐκκλησίαις. διὰ τοῦτο καὶ καταγέλαστοι γεγόναμεν καὶ Ἰουδαίοις, καὶ ἕλλησιν, εἰς μυρία τῆς ἐκκλησίας σχιζομένης. εἰ γὰρ οἱ παρὰ τὴν ἀρχὴν ἀποπηδᾶν τῶν θείων θεσμῶν ἐπιχειροῦντες καὶ μικρόν τι παρακινεῖν, τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκ ἂν ὁ παρὼν ἐπέσκηψε λοιμός, καὶ τοσοῦτος χειμὼν τὰς ἐκκλησίας κατέλαβεν. ὅρα γοῦν ὁ Παῦλος πῶς τὴν περιτομήν, ἀνατροπὴν τοῦ εὐαγγελίου καλεῖ. νῦν δὲ εἰσὶ πολλοὶ παρ' ἡμῖν καὶ τὴν αὐτὴν Ἰουδαίοις νηστεύοντες ἡμέραν, καὶ σάββατα τηροῦντες ὁμοίως· καὶ φέρομεν γενναίως, μᾶλλον δὲ ταλαιπώρως. καὶ τί λέγω τὰ Ἰουδαίων; καὶ γὰρ ἑλλήνων ἔθη πολλὰ παρά τισι τῶν ἡμετέρων φυλάττεται, κληδονισμοί, καὶ οἰωνισμοί, καὶ σύμβολα, καὶ ἡμερῶν παρατηρήσεις, καὶ ἡ περὶ τὴν γένεσιν σπουδή, καὶ τὰ πάσης ἀσεβείας γέμοντα γραμματεῖα, ἃ τικτομένων τῶν παιδίων εὐθέως ἐπὶ κακῷ τῆς ἑαυτῶν συντιθέασι κεφαλῆς, ἐκ προοιμίων παιδεύοντες καταλύειν τοὺς ὑπὲρ ἀρετῆς πόνους, καὶ ὑπὸ τὴν πεπλανημένην τυραννίδα τῆς εἱμαρμένης τό γε αὐτῶν ἄγοντες μέρος. εἰ δὲ τοὺς περιτεμνομένους οὐδὲν ὁ Χριστὸς ὠφελεῖ, τοὺς τοσαῦτα ἐπισυρομένους κακὰ τί τοσοῦτον ἡ πίστις εἰς σωτηρίαν ὠφελήσει λοιπόν; καίτοι ἡ περιτομὴ παρὰ Θεοῦ δεδομένη ἦν, ἀλλ' ὅμως ἐπειδὴ ἐλυμαίνετο τῷ εὐαγγελίῳ οὐκ ἐν καιρῷ τελουμένη, πάντα ἐποίησεν ὁ Παῦλος, ὥστε αὐτὴν περικόψαι. εἶτα ὁ μὲν Παῦλος ὑπὲρ ἐθῶν Ἰουδαϊκῶν τοσαύτην ἐποιεῖτο σπουδήν, ἐπειδὴ ἀκαίρως ἐφυλάττετο, ἡμεῖς δὲ οὐδὲ τὴν ἑλληνικὴν περικόπτομεν συνήθειαν; καὶ ποίαν ἕξομεν ἀπολογίαν; διὰ ταῦτα ἐν ταραχαῖς καὶ θορύβοις νῦν τὰ ἡμέτερα, καὶ οἱ μαθητευόμενοι φρονήματος ἐμπλησθέντες πολλοῦ τὴν τάξιν ἀνέτρεψαν, καὶ τὰ ἄνω κάτω γέγονεν. κἂν μικρόν τις ἐγκαλέσῃ, διαβάλλουσι τοὺς ἄρχοντας, ἐπειδὴ κακῶς ἡμεῖς αὐτοὺς ἐπαιδοτριβήσαμεν. καίτοιγε εἰ καὶ μοχθηρότεροι, καὶ μυρίων ἦσαν κακῶν γέμοντες οἱ προεστῶτες, οὐδὲ οὕτω τὸν μαθητὴν ἡμῖν ἦν παρακούειν. εἰ γὰρ περὶ τῶν Ἰουδαίων διδασκάλων φησίν, ὅτι ἐπειδὴ ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν, ἀκούεσθαι δίκαιοι παρὰ Ματθ. κγ. ε.

τῶν

τῶν μαθητευομένων ἂν εἶεν, καίτοιγε ἔργα εἶχον οὕτω πονηρὰ, ὡς τοὺς μαθητὰς κελεῦσαι μὴ ζηλοῦν, μηδὲ μιμεῖσθαι ἐκεῖνα, πῶς ἂν εἶεν συγγνώμης ἄξιοι οἱ τοὺς ἐκκλησίας προέδρους τοὺς τῇ χάριτι τοῦ Θεοῦ μετ' ἐπιεικείας ζῶντας διαβάλλοντες καὶ καταπατοῦντες; εἰ γὰρ ἀλλήλους κρίνειν οὐ θέμις, πολλῷ μᾶλλον τοὺς διδασκάλους.

8 Ἀλλὰ καὶ ἐγὼ, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Ὅρα σύνεσιν ἀποστολικήν. ἵνα γὰρ μή τις λέγῃ, ὅτι κενοδοξίας ἕνεκεν τὰ ἴδια συγκροτεῖ δόγματα, καὶ ἑαυτὸν ἀναθεματίζει. ἐπειδὴ δὲ καὶ εἰς ἀξιώματα κατέφυγον, Ἰάκωβον καὶ Ἰωάννην, διὰ τοῦτο καὶ ἀγγέλων ἐμνήσθη. μὴ γάρ μοι Ἰάκωβον εἴπῃς, φησὶ, καὶ Ἰωάννην. κἂν γὰρ τῶν πρώτων ἀγγέλων ἦ τις τῶν ἐξ οὐρανοῦ διαφθείρων τὸ κήρυγμα, ἀνάθεμα ἔστω. καὶ οὐχ ἁπλῶς εἶπεν, ἐξ οὐρανοῦ, ἀλλ' ἐπειδὴ καὶ οἱ ἱερεῖς ἄγγελοι ἐκαλοῦντο (Χείλη γὰρ ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν) ἵνα μὴ τούτους νομίσῃς ἀγγέλους λέγεσθαι νῦν, τῇ τοῦ οὐρανοῦ προσθήκῃ τὰς ἄνω δυνάμεις ᾐνίξατο. καὶ οὐκ εἶπεν, ἐὰν ἐναντία καταγγέλλωσιν, ἢ ἀνατρέπωσι τὸ πᾶν, ἀλλὰ, κἂν μικρόν τι εὐαγγελίζωνται παρ' ὃ εὐηγγελισάμεθα, κἂν τὸ τυχὸν παρακινήσωσιν, ἀνάθεμα ἔστωσαν.

γρ. συγκροτεῖ

Μαλαχ. β. ζ.

9 Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω. Ἵνα γὰρ μὴ νομίσῃς θυμοῦ τὰ ῥήματα εἶναι, ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ κατὰ συναρπαγήν τινα, δεύτερον τὰ αὐτὰ πάλιν τίθησιν. ὁ μὲν γὰρ θυμῷ τι προαχθεὶς εἰπεῖν, κἂν μεταγνοίη ταχέως· ὁ δὲ δεύτερον τὰ αὐτὰ λέγων, δείκνυσιν ὅτι κρίνας οὕτως εἶπε, καὶ πρότερον ἐν τῇ γνώμῃ κυρώσας, οὕτως ἐξήνεγκε τὸ λεχθέν. ὁ μὲν οὖν Ἀβραὰμ ἀξιούμενος πέμψαι τὸν Λάζαρον ἔλεγεν, Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἐὰν μὴ ἐκείνων ἀκούσωσιν, οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσονται. ταῦτα δὲ αὐτὸν εἰσάγει λέγοντα ὁ Χριστὸς, δεικνὺς ὅτι καὶ νεκρῶν ἐγειρομένων ἀξιοπιστοτέρας εἶναι βούλεται τὰς γραφάς. ὁ δὲ Παῦλος (ὅταν δὲ Παῦλον εἴπω, τὸν Χριστὸν πάλιν λέγω· αὐτὸς γὰρ ἦν ὁ κινῶν αὐτοῦ τὴν ψυχὴν) καὶ ἀγγέλων ἐξ οὐρανοῦ καταβαινόντων αὐτὰς προτίθησι· καὶ μάλα εἰκότως. οἱ γὰρ ἄγγελοι, κἂν μεγάλοι, ἀλλὰ δοῦλοι καὶ λειτουργοὶ τυγχάνουσιν ὄντες· αἱ δὲ γραφαὶ πᾶσαι, οὐ παρὰ δούλων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων Θεοῦ δεσπότου γραφεῖσαι ἐπέμφθησαν. διὰ τοῦτό φησιν, Ἐάν τις ὑμᾶς εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν. Καὶ οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, συνετῶς σφόδρα καὶ ἀνεπαχθῶς. τί γὰρ ἔδει λοιπὸν ὀνομαστὶ μνημονεύειν τὸν τοσαύτῃ χρησάμενον ὑπερβολῇ, ὡς καὶ ἅπαντας, καὶ τοὺς ἄνω, καὶ τοὺς κάτω περιλαβεῖν; διὰ μὲν γὰρ τοῦ τοὺς εὐαγγελιστὰς καὶ ἀγγέλους ἀναθεματίσαι, πᾶν ἀξίωμα περιέγραψε· διὰ δὲ τοῦ ἑαυτὸν, πᾶσαν οἰκειότητα καὶ γνησιότητα. μὴ γάρ μοι εἴπῃς, ὅτι οἱ συναπόστολοί σου καὶ ἑταῖροι ταῦτα λέγουσιν· οὐδὲ γὰρ ἐμαυτοῦ φείδομαι τοιαῦτα κηρύττοντος. ταῦτα δὲ οὐχ ὡς καταγινώσκων τῶν ἀποστόλων φησὶν, οὐδὲ ὡς παραβαινόντων τὸ κήρυγμα, ἄπαγε (εἴτε γὰρ ἡμεῖς, εἴτε ἐκεῖνοι, φησὶν, οὕτω κηρύσσομεν) ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι ἀξίωμα προσώπων οὐ προσίεται, ὅταν περὶ ἀληθείας ὁ λόγος ᾖ.

Λουκ. ις. λ.

γρ. ὑπουργοί

10 Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. Εἰ γὰρ καὶ ὑμᾶς ἠπάτων, φησὶ, ταῦτα λέγων, μὴ τὸν Θεὸν δύναμαι παραλογίσασθαι τὸν τὰ ἀπόρρητα τῆς διανοίας εἰδότα, καὶ ᾧ πᾶσά μοι σπουδὴ διὰ παντὸς ἀρέσκειν; Εἶδες φρόνημα ἀποστολικόν; εἶδες ὕψος εὐαγγελικόν; τὰ αὐτὰ δὲ ταῦτα καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγεν, Οὐχ ὑμῖν ἀπολογούμεθα, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος. καὶ πάλιν, Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας. ἐπειδὴ γὰρ μαθηταῖς διδάσκαλος ὢν ἀναγκάζεται ἀπολογεῖσθαι, ὑπομένει μὲν αὐτὸ, δυσανασχετεῖ δὲ, οὐ δι' ἀπόνοιαν (μὴ γένοιτο) ἀλλὰ

β. Κορ. ε. ιβ.
α. Κορ. δ. γ.

ἀλλὰ διὰ τὴν εὐκολίαν τῆς τῶν ἀπατωμένων γνώμης, καὶ τὸ μὴ σφόδρα περὶ αὐτοῖς πιστεύεσθαι. διὸ καὶ ταῦτα εἴρηκε μονονουχὶ λέγων· μὴ γὰρ πρὸς ὑμᾶς μοι ὁ λόγος ἐστί; μὴ γὰρ ἄνθρωποί μοι δικάζειν μέλλουσι; πρὸς τὸν Θεὸν ἡμῖν ὁ λόγος ἐστί, καὶ ὑπὲρ τῶν εὐθυνῶν τῶν ἐκεῖ ἅπαντα πραττόμεθα, καὶ οὐκ ἂν εἰς τοσοῦτον ἤλθομεν ἀθλιότητος, ὡς μέλλοντες ἀπολογεῖσθαι τῷ πάντων δεσπότῃ ὑπὲρ ὧν κηρύττομεν, διαφθείρειν τὰ δόγματα· ὥστε ὁμοῦ μὲν ἀπολογούμενος, ὁμοῦ δὲ αὐτῶν κατεξανιστάμενος, ταῦτα τέθεικε. τοὺς γὰρ μαθητευομένους οὐ δικάζειν τοῖς διδασκάλοις, ἀλλὰ πιστεύειν προσήκειν. ἐπειδὴ δὲ ἀντεστράφη ἡ τάξις, καὶ κριταὶ καθέζεσθε, φησί, μάθετε ὅτι τῆς μὲν πρὸς ὑμᾶς ἀπολογίας οὐ πολύς μοι λόγος. τὸ δὲ πᾶν διὰ τὸν Θεὸν πράττομεν, καὶ ὥστε ἐκείνῳ περὶ δογμάτων ἀπολογήσασθαι τούτων. ὁ μὲν γὰρ ἀνθρώποις θέλων πεῖσαι, πολλὰ ὕπουλα ποιεῖ, καὶ διεστραμμένα, καὶ ἀπάτῃ κέχρηται καὶ ψεύδει, ὥστε πεῖσαι καὶ ἑλεῖν τὴν τῶν ἀκουόντων γνώμην. ὁ δὲ Θεὸν πείθων, καὶ ἀρέσκειν ἐκείνῳ σπουδάζων, ἁπλῆς δεῖται διανοίας καὶ καθαρᾶς· ἀνεξαπάτητον γὰρ τὸ θεῖον. ὅθεν δῆλον, ὅτι καὶ ἡμεῖς, φησίν, οὐ φιλαρχίας ἕνεκεν, οὐδὲ ὥστε μαθητὰς ἔχειν, οὐδὲ τῆς παρ' ὑμῶν ἐφιέμενοι δόξης ταῦτα γράφομεν. οὐ γὰρ ἀνθρώποις ἀρέσαι ἐσπουδάκαμεν, ἀλλὰ Θεῷ. εἰ γὰρ ἤθελον ἀνθρώποις ἀρέσκειν, ἔτι μετὰ Ἰουδαίων ἂν ἤμην, ἔτι τὴν ἐκκλησίαν ἐδίωκον. ὁ δὲ ἔθνους ὁλοκλήρου, καὶ οἰκείων, καὶ φίλων, καὶ συγγενῶν, καὶ δόξης τοσαύτης καταφρονήσας, καὶ ἀνταλλαξάμενος τούτων διωγμούς, καὶ ἔχθρας, καὶ πολέμους, καὶ θανάτους καθημερινούς, εὔδηλον ὅτι καὶ ταῦτα, ἃ λέγω νῦν, οὐ τῆς τῶν ἀνθρώπων δόξης ἐφιέμενος λέγω. τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ μέλλει καὶ τὸν πρότερον αὐτοῦ διηγεῖσθαι βίον, καὶ τὴν ἀθρόαν μεταβολήν, καὶ δεικνύναι δι' ἐναργῶν ἀποδείξεων, ὅτι μετ' ἀληθείας μετέστη, ἵνα μὴ νομίσωσιν, ὅτι αὐτοῖς ἀπολογούμενος ταῦτα ποιεῖ, καὶ ἐπήρθη θᾶσσον. διὰ τοῦτο προσέθηκεν· ἄρτι γὰρ ἀνθρώπους πείθω; οἶδε γὰρ εἰς καιρὸν τὰ προσήκοντα πρὸς τὴν τῶν μαθητευομένων διόρθωσιν καὶ ὑψηλὸν καὶ μέγα τι φθέγγεσθαι· καίτοιγε ἦν ἑτέρωθεν τὰς ἀποδείξεις ποιήσασθαι τοῦ μετ' ἀληθείας κηρύττειν, ἀπὸ τῶν σημείων, ἀπὸ τῶν θαυμάτων, ἀπὸ τῶν κινδύνων, ἀπὸ τῶν δεσμωτηρίων, ἀπὸ τῶν καθημερινῶν θανάτων, ἀπὸ τοῦ λιμοῦ καὶ τοῦ δίψους καὶ τῆς γυμνότητος, ἀπὸ τῶν ἄλλων τῶν τοιούτων. ἀλλ' ἐπειδὴ οὐ πρὸς τοὺς ψευδαποστόλους, ἀλλὰ πρὸς τοὺς ἀποστόλους ὁ λόγος ἦν αὐτῷ νῦν, ἐκεῖνοι δὲ καὶ τούτων ἦσαν κεκοινωνηκότες, τῶν κινδύνων λέγω, ἑτέρωθεν μεθοδεύει τὸν λόγον. ἐπεί, ὅτε πρὸς τοὺς ψευδαποστόλους ἀπετείνατο, οὕτω προσάγει τὴν σύγκρισιν, τὴν ἐν τοῖς κινδύνοις ὑπομονὴν εἰς μέσον φέρων καὶ λέγων· Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· νῦν μέντοι τὴν προτέραν ἀναστροφὴν λέγει, καί φησι· 2. Κορ. ια. κγ.

11 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον.

12 Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. Ὁρᾷ πῶς ἄνω καὶ κάτω τοῦτο διϊσχυρίζεται, ὅτι τοῦ Χριστοῦ γέγονε μαθητής, οὐκ ἀνθρώπου μεσιτεύοντος, ἀλλ' αὐτοῦ δι' ἑαυτοῦ καταξιώσαντος ἀποκαλύψαι τὴν γνῶσιν αὐτῷ πᾶσαν. καὶ ποία τοῖς ἀπιστοῦσιν ἀπόδειξις γένοιτ' ἂν τοῦ τὸν Θεὸν ἀποκαλύψαι σοι δι' ἑαυτοῦ, καὶ μὴ διὰ μέσου τινὸς τὰ ἀπόρρητα ἐκεῖνα μυστήρια; ἡ προτέρα ἀναστροφή, φησίν. οὐ γὰρ ἄν, εἰ μὴ Θεὸς ἦν ὁ ἐκκαλύπτων, οὕτως ἀθρόαν ἔσχον μεταβολήν. οἱ μὲν γὰρ ὑπὸ ἀνθρώπων διδασκόμενοι, ὅταν σφοδροὶ καὶ διακαεῖς ὦσιν ἐν τοῖς ἐναντίοις, χρόνου δέονται καὶ πολλῆς τῆς μηχανῆς πρὸς τὸ πεισθῆναι· ὁ δὲ οὕτως ἀθρόον μεταστάς, καὶ ἐν αὐτῇ τῇ τῆς μανίας ἀκμῇ καθαρὰς ἅψας, εὔδηλον ὅτι θείας τυχὼν ὄψεως καὶ διδασκαλίας, ἀθρόον πρὸς τὴν καθαρὰν ἐπανῆλθεν ὑγιείαν. διὰ τοῦτο ἀναγκάζεται

πρὸ

γρ. τοῖς διδασκάλοις.

ἴσ. πρὸς ἐκ.

ἴσ. ὑμῶν

περὶ τῆς προτέρας αὐτοῦ διηγήσασθαι ἀναστροφῆς, καὶ μάρτυρας αὐτοὺς καλεῖ τῶν γινομένων. ὅτι μὲν γὰρ κατηξίωσεν ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς δι' ἑαυτοῦ με καλέσαι ἐκ τῶν οὐρανῶν, ὑμεῖς οὐκ ἴστε (πῶς γὰρ, τότε μὴ παρόντες;) ὅτι δὲ διώκτης ἦμην, σφόδρα ἴστε. καὶ γὰρ μέχρις ὑμῶν ἡ σφοδρότης ἡ ἐμὴ διεδόθη· καίτοι πολὺ τὸ διάστημα Παλαιστινῶν καὶ Γαλατῶν· ὥστε οὐκ ἂν τοσοῦτον διέβη ἡ φήμη, εἰ μὴ πολλὴ τῶν γινομένων ὑπερβολὴ ἦν, καὶ πᾶσιν ἀφόρητος. διὸ καί φησιν·

13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. Ὁρᾷς πῶς ἕκαστον μετ' ἐπιτάσεως τίθησι, καὶ οὐκ αἰσχύνεται; οὐ γὰρ ἁπλῶς ἐδίωκεν, ἀλλὰ μεθ' ὑπερβολῆς ἁπάσης, καὶ οὐκ ἐδίωκε μόνον, ἀλλὰ καὶ ἐπόρθει, τουτέστι, σβέσαι ἐπεχείρει τὴν ἐκκλησίαν, καταστρέψαι, καθελεῖν, ἀφανίσαι. τοῦτο γὰρ πορθοῦντος ἔργον.

14 Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.

Ἵνα γὰρ μὴ νομίσῃς, ὅτι θυμοῦ τὸ πρᾶγμα ἦν, δείκνυσιν ὅτι ζήλῳ τὸ πᾶν ἐποίει, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν, οὐκ ἀπὸ κενοδοξίας, οὐδὲ ἔχθρας ἐκδιώκων, ἀλλὰ καὶ ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ὃ δέ φησι, τοῦτό ἐστιν· εἰ τὰ κατὰ τῆς ἐκκλησίας οὐ δι' ἀνθρώπινον ἔπραττον, ἀλλὰ διὰ ζῆλον θεῖον, ἐσφαλμένον μὲν, ζῆλον δὲ ὅμως, πῶς νῦν ὑπὲρ τῆς ἐκκλησίας τρέχων, καὶ τὴν ἀλήθειαν ἐπιγνοὺς, διὰ κενοδοξίαν ταῦτα πράττω; εἰ γὰρ ἐν τῷ σφάλλεσθαι οὐκ ἐκράτει μου πάθος τοιοῦτον, ἀλλ' ὁ τοῦ Θεοῦ ζῆλος ἐπὶ τοῦτό με ἦγαγε, πολλῷ μᾶλλον, ὅτε τὴν ἀλήθειαν ἐπέγνων, πάσης ἀπηλλάχθαι τοιαύτης δίκαιος ἂν εἴην ὑπονοίας. ὁμοῦ τε γὰρ μετέστην πρὸς τὰ τῆς ἐκκλησίας δόγματα, καὶ πᾶσαν ἀπεδυσάμην πρόληψιν Ἰουδαϊκήν, πολλῷ πλείονα ζῆλον ἐνταῦθα ἐπιδειξάμενος· ὅπερ ἐστὶ σημεῖον τοῦ μετ' ἀληθείας μεταστῆναι, καὶ ζήλῳ κατεχόμενον θείῳ. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί ἦν ἕτερον, εἰπέ μοι, τὸ παρασκευάζον γενέσθαι τοσαύτην μεταβολήν, καὶ ὕβρει τιμῆς, καὶ κινδύνους ἀνέσεως, καὶ ταλαιπωρίαν ἀδείας ἀλλάξασθαι; οὐκ ἔστιν οὐδέν, ἀλλ' ὁ τῆς ἀληθείας ἔρως μόνος.

15 Ὅτε δὲ εὐδόκησεν ὁ Θεός, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ,

16 Ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίσωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. Ὅρα τί σπουδάζει ἐνταῦθα δεῖξαι, ὅτι καὶ τὸν χρόνον, ὃν ἐγκατελείφθη, διά τινα οἰκονομίαν ἀπόρρητον ἀφείθη. εἰ γὰρ ἐκ κοιλίας μητρὸς ἀφώριστο γενέσθαι ἀπόστολος, καὶ κληθῆναι πρὸς τὴν διακονίαν ταύτην, ἐκλήθη δὲ τότε, καὶ ἅμα κληθεὶς ὑπήκουσε, δῆλον ὅτι ὁ Θεὸς δι' ἀπόρρητόν τινα αἰτίαν ἀνεβάλλετο τέως. τίς οὖν αὕτη ἡ οἰκονομία; τάχα παρ' ἐμοῦ προοίμιον ἀκοῦσαι κεχήνατε, τί δήποτε οὐ μετὰ τῶν δώδεκα αὐτὸν ἐκάλεσεν· ἀλλ' ἵνα μὴ τοῦ κατεπείγοντος ἀποστὰς, μακρότερον ποιήσω τὸν λόγον, παρακαλῶ καὶ ἐγὼ τὴν ὑμετέραν ἀγάπην μὴ πάντα παρ' ἐμοῦ μανθάνειν, ἀλλὰ καὶ ἐξ ἑαυτῶν ζητεῖν, καὶ τὸν Θεὸν παρακαλεῖν ἀποκαλύπτειν. καὶ ἡμῖν δὲ εἴρηταί πως ὑπὲρ τούτου λόγος, ὅτε περὶ τῆς μεταθέσεως αὐτοῦ τῆς προσηγορίας πρὸς ὑμᾶς διελεγόμεθα, καὶ τίνος ἕνεκεν Σαῦλον αὐτὸν καλούμενον, Παῦλον ἐκάλεσεν. εἰ δὲ ἐπιλέλησθε, ἐντυχόντες ἐκείνῳ τῷ βιβλίῳ, πάντα εἴσεσθε ταῦτα. τέως δὲ τῆς ἀκολουθίας ἐχώμεθα, καὶ σκοπῶμεν πῶς πάλιν δείκνυσιν οὐδὲν ἀνθρώπινον περὶ αὐτοῦ γεγενημένον, ἀλλὰ πάντα τὸν Θεὸν τὰ κατ' αὐτὸν μετὰ πολλῆς οἰκονομοῦντα προνοίας. καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ. ὁ μὲν Θεός φησι, διὰ τὴν ἀρετὴν αὐτοῦ κεκληκέναι αὐτόν
Πραξ. θ. 15. (Σκεῦος γὰρ ἐκλογῆς μοί ἐστι, πρὸς τὸν Ἀνανίαν ἔλεγε, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν,

ἐθνῶν, καὶ βασιλέων, τουτέστιν, ἱκανὸς διακονῆσαι, καὶ ἔργον ἐπιδεῖξαι μέγα) καὶ ταύτην τὴν αἰτίαν τῆς κλήσεως τέθεικεν· αὐτὸς δὲ πανταχοῦ τῆς χάριτος εἶναί φησι τὸ πᾶν καὶ τῆς φιλανθρωπίας αὐτοῦ τῆς ἀφάτου, οὕτω λέγων· Ἀλλ' ἠλεήθην, οὐχ ὅτι ἱκανὸς ἤμην, οὐδὲ ὅτι ἐπιτήδειος, ἀλλ' ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. [α. Τιμ. α. ις.] Εἶδες ταπεινοφροσύνης ὑπερβολήν; διὰ τοῦτο ἐγώ, φησιν, ἠλεήθην, ἵνα μηδεὶς ἀπογνῷ, ὡς τοῦ πάντων ἀνθρώπων κακίστου φιλανθρωπίας ἀπολελαυκότος. τοῦτο γὰρ δηλοῖ ἐν τῷ εἰπεῖν, ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ. ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί. ἀλλαχοῦ δέ φησιν ὁ Χριστός, Οὐδεὶς γινώσκει τὸν υἱόν, [Λουκ. ι. κβ.] εἰ μὴ ὁ πατήρ, καὶ οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Εἶδες ὅτι καὶ ὁ πατὴρ υἱόν, καὶ ὁ υἱὸς πατέρα ἀποκαλύπτει; οὕτω καὶ ἐπὶ τῆς δόξης, καὶ ὁ υἱὸς δοξάζει πατέρα, καὶ ὁ πατὴρ υἱόν. Δόξασόν με, φησιν, ἵνα δοξάσω σε· καί, Καθὼς σὲ ἐγὼ ἐδόξασα. [Ἰωάν. ιζ. α. καὶ δ.] διὰ τί δὲ μὴ εἶπεν, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐμοί, ἀλλ', ἐν ἐμοί; δεικνὺς ὅτι οὐ διὰ ῥημάτων μόνον ἤκουσε τὰ περὶ τῆς πίστεως, ἀλλὰ καὶ πολλοῦ πνεύματος ἐπληρώθη, τῆς ἀποκαλύψεως καταλαμπούσης αὐτοῦ τὴν ψυχήν, καὶ τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα. ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν. οὐ γὰρ τὸ πιστεῦσαι μόνον, ἀλλὰ καὶ τὸ χειροτονηθῆναι αὐτὸν παρὰ Θεοῦ γέγονεν. οὕτω γάρ μοι αὐτὸν ἀπεκάλυψεν, οὐχ ἵνα ἴδω μόνον αὐτόν, ἀλλ' ἵνα καὶ εἰς ἄλλους ἐξενέγκω. καὶ οὐκ εἶπεν ἄλλους ἁπλῶς, ἀλλ', ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, ἐντεῦθεν ἤδη προαναχρουόμενος οὐ μικρὸν τῆς ἀπολογίας κεφάλαιον, ἀπὸ τοῦ τῶν μαθητῶν προσώπου. οὐ γὰρ ὁμοίως Ἰουδαίοις, καὶ τοῖς ἔθνεσι κηρύττειν ἀναγκαῖον ἦν. εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. τοὺς ἀποστόλους ἐνταῦθα αἰνίττεται, ἀπὸ τῆς φύσεως αὐτοὺς καλῶν. εἰ δὲ καὶ περὶ πάντων ἀνθρώπων τοῦτό φησιν, οὐδὲ ἡμεῖς ἀντεροῦμεν.

17 Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους.

Ταῦτα εἰ μέν τις αὐτὰ καθ' ἑαυτὰ ἐξετάσειε τὰ ῥήματα, δόξει πολλῆς μεγαληγορίας γέμειν, καὶ πόῤῥω τοῦ φρονήματος εἶναι τοῦ ἀποστολικοῦ. τὸ γὰρ ἑαυτῷ ψηφίζεσθαι, καὶ μηδένα λαμβάνειν κοινωνὸν τῆς γνώμης, ἀνοίας εἶναι δοκεῖ. Εἶδον γάρ, φησιν, ἄνθρωπον φρόνιμον δόξαντα εἶναι παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον αὐτοῦ ὁ ἄφρων. [Παροιμ. κϛ. ιβ.] καί, Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. [Ἡσ. ε. κα.] καὶ αὐτὸς πάλιν, Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. [Ρωμ. ιβ. ις.] οὐκ ἂν οὖν ὁ τοσαῦτα παρ' ἑτέρων ἀκούσας, καὶ αὐτὸς τὰ αὐτὰ παραινῶν ἑτέροις, τούτοις περιέπεσεν, οὐχ ὅτι Παῦλος, ἀλλ' οὐδὲ ὁ τυχὼν ἄνθρωπος. ἀλλ', ὅπερ ἔφην, γυμνὴ μὲν αὕτη ἐξεταζομένη ἡ ῥῆσις καὶ ὑφορμεῖν καὶ προσίστασθαι δύναταί τισι τῶν ἀκροατῶν. ἂν δὲ τὴν αἰτίαν προσθῶμεν δι' ἣν ταῦτα ἔλεγε, καὶ κροτήσουσι καὶ θαυμάσονται πάντες * τὸν εἰρηκότα. [* ἡμαρτηκότως] τοῦτο τοίνυν ποιῶμεν. οὐδὲ γὰρ δεῖ τὰ ῥήματα γυμνὰ ἐξετάζειν, ἐπεὶ πολλὰ ἕψεται τὰ ἁμαρτήματα, οὐδὲ τὴν λέξιν καθ' ἑαυτὴν βασανίζειν, ἀλλὰ τῇ διανοίᾳ προσέχειν τοῦ γράφοντος. καὶ γὰρ ἐν ταῖς ἡμετέραις διαλέξεσιν, ἂν μὴ τούτῳ ὦμεν κεχρημένοι τῷ τρόπῳ, καὶ τὴν γνώμην ἐξετάζωμεν τοῦ λέγοντος, πολλὰς ὑποστησόμεθα τὰς ἀπεχθείας, καὶ πάντα ἀνατραπήσεται. καὶ τί δεῖ λέγειν ἐπὶ ῥημάτων, ὅπου καὶ ἐπὶ πραγμάτων ἂν μή τις τὸν κανόνα τοῦτον φυλάττῃ, πάντα ἄνω καὶ κάτω γενήσεται; καὶ γὰρ καὶ ἰατροὶ καὶ τέμνουσι καὶ διακλῶσί τινα τῶν ὀστέων, καὶ λῃσταὶ ταῦτα ποιοῦσι πολλάκις. πόσης οὖν ἀθλιότητος ἂν εἴη, ὅταν λῃστὴν καὶ ἰατρὸν μὴ δυνηθῶμεν διελεῖν; πάλιν ἀνδροφόνοι, καὶ μάρτυρες τὰς αὐτὰς ὑπομένουσιν ὀδύνας βασανιζόμενοι· ἀλλὰ πολὺ τὸ μέσον ἑκατέρων. κἂν μὴ τοῦτον διατηρῶμεν τὸν κανόνα, οὐ δυνησόμεθα εἰδέναι ταῦτα, ἀλλὰ καὶ τὸν Ἠλίαν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Σαμουήλ, καὶ τὸν Φινεές, τὸν δὲ Ἀβραὰμ καὶ παιδοκτόνον, εἰ τὰ πράγματα μέλλοιμεν ἐξε-

τάζειν γυμνὰ, μὴ προστιθέντες αὐτοῖς τὴν τῶν ποιούντων γνώμην. Ἐξετάσωμεν τοίνυν καὶ τοῦ Παύλου τὴν διάνοιαν, ἀφ' ἧς ταῦτα ἔγραφεν· ἴδωμεν αὐτοῦ τὸν σκοπὸν, καὶ τίς ἦν ἡ διάθεσις περὶ τοὺς ἀποστόλους, καὶ τότε εἰσόμεθα ταῦτα ἐκ ποίας ἐλέγετο γνώμης. Οὐδὲ γὰρ ἐξευτελίζων ἐκείνους, οὔτε ἑαυτὸν ἐπαινῶν, οὔτε ταῦτα εἴρηκεν, οὔτε τὰ πρότερα (πῶς γὰρ, ὅπου καὶ ἑαυτὸν ἀνεθεμάτισεν;) ἀλλὰ πανταχοῦ τοῦ εὐαγγελίου τὴν ἀσφάλειαν διατηρῶν. Ἐπειδὴ γὰρ ἔλεγον οἱ τὴν ἐκκλησίαν πορθοῦντες, ὅτι τοῖς ἀποστόλοις ἕπεσθαι δεῖ τοῖς μὴ κωλύουσι ταῦτα, οὐχὶ τῷ Παύλῳ τῷ κωλύοντι, κἀντεῦθεν δὲ κατὰ μικρὸν ἡ Ἰουδαϊκὴ πλάνη εἰσήγετο, ἀναγκάζεται εἶναι πρὸς ταῦτα γενναίως, οὐ τοὺς ἀποστόλους εἰπεῖν κακῶς βουλόμενος, ἀλλὰ τῶν οὐκ ὀρθῶς ἐπαιρόντων ἑαυτοὺς τὴν ἄνοιαν καταστεῖλαι βουλόμενος. Διὰ τοῦτό φησιν, οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. Καὶ γὰρ ἦν ἀτοπίας ἐσχάτης τὸν παρὰ τοῦ Θεοῦ μαθόντα, ἀνθρώποις ἀνατίθεσθαι λοιπόν. Ὁ μὲν γὰρ παρὰ ἀνθρώπων μανθάνων, εἰκότως ἀνθρώποις λαμβάνει κοινωνοὺς πάλιν· ὁ δὲ τῆς θείας ἐκείνης καὶ μακαρίας ἀξιωθεὶς φωνῆς, καὶ παρ' αὐτοῦ τοῦ τὸν θησαυρὸν ἔχοντος τῆς σοφίας πάντα διδαχθεὶς, τίνος ἕνεκεν λοιπὸν ἀνθρώποις ἀνετίθετο; ὁ γὰρ τοιοῦτος οὐ μανθάνειν παρὰ ἀνθρώπων, ἀλλὰ διδάσκειν ἀνθρώπους δίκαιος ἂν εἴη. Οὐ τοίνυν ἀπονοίας ἕνεκεν ταῦτα ἔλεγεν, ἀλλ' ὥστε δεῖξαι τοῦ οἰκείου κηρύγματος τὸ ἀξίωμα. Οὐδὲ ἀνῆλθον, φησὶ, πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔλεγον, ὅτι πρὸ αὐτοῦ ἦσαν ἐκεῖνοι, πρὸ αὐτοῦ ἐκλήθησαν, οὐκ ἀνῆλθον πρὸς ἐκείνους, φησίν. Εἰ δὲ ἐχρῆν αὐτοῖς κοινώσασθαι, ὁ ἀποκαλύψας αὐτῷ τὸ κήρυγμα, καὶ τοῦτο ἂν αὐτῷ ἐκέλευσε. Τί οὖν, οὐκ ἀνῆλθεν ἐκεῖ; καὶ μὴν ἀνῆλθε, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μαθησόμενός τι παρ' αὐτῶν. Πότε; ὅτε ἐν τῇ πόλει τῶν Ἀντιοχέων, τῇ τὸν πολὺν ζῆλον ἄνωθεν ἐπιδειξαμένῃ ἐκκλησίᾳ, *** γέγονε περὶ αὐτοῦ τούτου τοῦ νῦν προκειμένου, καὶ ἐζήτουν πότερον χρὴ περιτέμνειν τοὺς ἐξ ἐθνῶν πιστεύοντας, ἢ μηδὲν τοιοῦτον ἀναγκάζειν αὐτοὺς ὑπομένειν, τότε ἀνῆλθεν αὐτὸς οὗτος ὁ Παῦλος καὶ Σίλας. Πῶς οὖν φησιν, οὐκ ἀνῆλθον, οὐδὲ ἀνεθέμην; ὅτι πρότερον μὲν οὐκ αὐτὸς ἀνῆλθεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων· δεύτερον δὲ οὐ μαθησόμενος παρεγένετο, ἀλλ' ἑτέρους πείθων. Αὐτὸς μὲν γὰρ ἐξ ἀρχῆς ταύτης εἴχετο τῆς γνώμης, ἣν καὶ οἱ ἀπόστολοι μετὰ ταῦτα ἐκύρωσαν, τὸ μὴ δεῖν περιτέμνεσθαι. Ἐπειδὴ δὲ αὐτοῖς οὐκ ἐδόκει τέως ἀξιόπιστος εἶναι, ἀλλὰ τοῖς ἐν Ἱεροσολύμοις προσεῖχον, ἀνῆλθεν, οὐκ αὐτός τι εἰσόμενος πλέον, ἀλλὰ πείσων τοὺς ἀντιλέγοντας, ὅτι καὶ οἱ ἐν Ἱεροσολύμοις τούτοις ψηφίζονται. Οὕτω καὶ ἐξ ἀρχῆς τὰ δέοντα συνεώρα, καὶ οὐδενὸς ἐδεῖτο διδασκάλου, ἀλλ' ἃ μετὰ πολλὴν διάκρισιν ἔμελλον οἱ ἀπόστολοι κυροῦν, ταῦτα αὐτὸς πρὸ τῆς διακρίσεως ἄνωθεν εἶχεν ἀκίνητα παρ' ἑαυτῷ. Καὶ ταῦτα ὁ Λουκᾶς δηλῶν, ἔλεγεν, ὅτι πολὺν καὶ μακρὸν λόγον ὑπὲρ τούτων ἀπέτεινε πρὸς αὐτοὺς ὁ Παῦλος καὶ πρὶν εἰς Ἱεροσόλυμα ἐλθεῖν. Ἐπειδὴ δὲ τοῖς ἀδελφοῖς ἔδοξε καὶ περὶ ἐκείνων μαθεῖν, ἀνῆλθεν ὑπὲρ ἐκείνων, οὐχ ὑπὲρ ἑαυτοῦ. Εἰ δὲ λέγει, οὐκ ἀνῆλθον, ἐστὶ κἀκεῖνο εἰπεῖν, ὅτι οὔτε ἐν προοιμίοις τοῦ κηρύγματος ἀνῆλθεν, οὔτε ἡνίκα ἀνῆλθεν, ἐπὶ τῷ μαθεῖν ἀνῆλθε. Καὶ γὰρ καὶ ταῦτα ἀμφότερα ἐπισημαίνεται, λέγων· εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. Οὐκ εἶπεν ἁπλῶς, οὐ προσανεθέμην, ἀλλ', εὐθέως. Εἰ δὲ μετὰ ταῦτα ἀνῆλθεν, οὐχ ὑπὲρ τοῦ τι προσλαβεῖν.

Πραξ. 15. c.

ἴσ. λείπει. ζήτησις, ἢ πίστις τι

Ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν. Ὅρα ζέουσαν ψυχήν· τοὺς τόπους ἐσπούδαζε καταλαμβάνειν τοὺς οὐδέπω γεωργηθέντας, ἀλλ' ἀγριωτέρους ἔτι διακειμένους. Εἰ γὰρ μετὰ τῶν ἀποστόλων ἀνέμενεν, οὐδὲν ἔχων μανθάνειν, τὸ κήρυγμα ἂν ἐνεποδίσθη. Ἔδει γὰρ αὐτοὺς πανταχοῦ τὸν λόγον διασπεῖραι. Διὰ τοῦτο ὁ μακάριος οὗτος, καὶ ζέων τῷ πνεύματι, τῆς διδασκαλίας εὐθέως ἥπτετο, ἀνθρώπων βαρβάρων καὶ ἀγρίων βίον ἐναγώνιον αἱρούμενος, καὶ πολὺν ἔχοντα τὸν πόνον. Καὶ θέα μοι τὴν ταπεινοφροσύνην. Εἰπὼν γὰρ, ἀπῆλθον εἰς Ἀραβίαν, ἐπήγαγε·

ἐπήγαγε· Καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. Οὐ λέγει τὰ κατορθώματα αὐτοῦ, οὐδὲ τίνας κατήχησε, καὶ πόσους, καίτοιγε ἅμα τῷ βαπτισθῆναι τοσοῦτον ἐπεδείξατο ζῆλον, ὡς συγχέειν Ἰουδαίους, καὶ εἰς τοσοῦτον ἤγαγε παροξυσμόν, ὡς ἐφεδρεύειν καὶ βούλεσθαι αὐτὸν ἀνελεῖν καὶ αὐτοὺς καὶ τοὺς Ἕλληνας· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ πολλὴν ἐποίησε τοῖς πιστεύουσι τὴν προσθήκην. ἐπειδὴ γὰρ ἡττῶντο τῇ διδασκαλίᾳ, λοιπὸν ἐπὶ φόνον ἐτρέποντο, ὅπερ τῆς τοῦ Παύλου νίκης σημεῖον καθαρὸν ἦν. ἀλλ' οὐκ εἴασεν αὐτὸν ὁ Χριστὸς ἀποθανεῖν, τηρῶν αὐτὸν τῷ κηρύγματι. ἀλλ' ὅμως οὐδέν φησι τῶν κατορθωμάτων τούτων. οὕτως ἅπερ λέγει πάντα, οὐ φιλοτιμίας ἕνεκεν λέγει, οὐδὲ παρὰ τὸ νομισθῆναι τῶν ἀποστόλων μείζων, οὐδὲ δακνόμενος ἐπὶ τῷ ἐξευτελίζεσθαι, ἀλλὰ δεδοικὼς μή τι λυμήνηται τῷ κηρύγματι βλάβος ἐντεῦθεν. καὶ γὰρ ἔκτρωμα ἑαυτὸν καλεῖ, καὶ πρῶτον τῶν ἁμαρτωλῶν, καὶ ἔσχατον τῶν ἀποστόλων, καὶ τῆς προσηγορίας τῆς τοιαύτης ἀνάξιον· καὶ ταῦτα ἔλεγεν ὁ πλέον πάντων κοπιάσας, ὅπερ μάλιστά ἐστι ταπεινοφροσύνης. ὁ μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς ἀγαθόν, ταπεινὰ δὲ περὶ ἑαυτοῦ λέγων, εὐγνώμων, οὐ ταπεινόφρων ἐστίν· ὁ δὲ μετὰ τοσούτους στεφάνους τοιαῦτα φθεγγόμενος, οὗτος ἐστὶν ὁ μετριάζειν εἰδώς. Καὶ πάλιν ὑπέστρεψα, φησιν, εἰς Δαμασκόν. καίτοι πόσα αὐτὸν ἐκεῖ εἰργάσθαι εἰκὸς ἦν; περὶ γὰρ τῆς πόλεως φησι ταύτης, ὅτι Πᾶσαν αὐτὴν ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφύλαττε, τὸν μακάριον συλλαβεῖν βουλόμενος· ὅπερ σημεῖον μέγιστον ἦν τοῦ σφόδρα κατὰ Χριστὸν ἐλαύνειν αὐτὸν τοὺς Ἰουδαίους. ἀλλ' οὐδὲν τούτων ἐνταῦθα λέγει, οὐδ' ἂν ἐκεῖ αὐτὰ τότε τέθεικεν, εἰ μὴ τότε τὸν καιρὸν εἶδεν ἐκεῖνον ἀπαιτοῦντα τὴν ἱστορίαν, ἀλλ' ἐσίγησεν ἄν· ὥσπερ οὖν καὶ ἐνταῦθα, ὅτι ἦλθε καὶ ἀπῆλθε λέγων, οὐκέτι προστίθησι τὰ ἐντεῦθεν γενόμενα.

γρ. πολλοὺς

β. Κορ. ια. λβ.

18 Ἔπειτα μετὰ τρία ἔτη ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον.

Τί ταύτης ταπεινοφρονέστερον γένοιτ' ἂν τῆς ψυχῆς; μετὰ τοσαῦτα καὶ τοιαῦτα κατορθώματα μηδὲν Πέτρου δεόμενος, μηδὲ τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσότιμος ὢν αὐτῷ (πλέον γὰρ οὐδὲν ἐρῶ τέως) ὅμως ἀνέρχεται, ὡς πρὸς μείζονα καὶ πρεσβύτερον· καὶ τῆς ἀποδημίας αὐτῷ τῆς ἐκεῖ γίνεται αἰτία, ἡ ἱστορία Πέτρου μόνη. ὁρᾷς πῶς τὴν προσήκουσαν αὐτοῖς ἀπονέμει τιμήν, καὶ οὐ μόνον ἀμείνω, ἀλλ' οὐδὲ ἴσον ἑαυτὸν ἐκείνῳ εἶναι νομίζει; καὶ τοῦτο ἐκ τῆς ἀποδημίας ταύτης δῆλον. καθάπερ γὰρ νῦν πολλοὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων πρὸς ἁγίους ἄνδρας ἀποδημοῦσιν, οὕτω καὶ Παῦλος πρὸς Πέτρον τότε διακείμενος ἀπῄει, μᾶλλον δὲ καὶ πολλῷ ταπεινότερον. οἱ μὲν γὰρ νῦν ὠφελείας ἕνεκεν ἀποδημοῦσιν· ὁ δὲ μακάριος τότε ἐκεῖνος, οὐχ ὡς μαθησόμενός τι παρ' αὐτοῦ, οὐδὲ ὡς διόρθωσίν τινα δεξόμενος, ἀλλὰ διὰ τοῦτο μόνον, ὥστε ἰδεῖν αὐτόν, καὶ τιμῆσαι τῇ παρουσίᾳ. ἱστορῆσαι γάρ φησι Πέτρον, καὶ οὐκ εἶπεν ἰδεῖν Πέτρον, ἀλλ' ἱστορῆσαι Πέτρον, ὅπερ οἱ τὰς μεγάλας πόλεις καὶ λαμπρὰς καταμανθάνοντες λέγουσιν. οὕτω πολλῆς ἄξιον ἡγεῖτο σπουδῆς εἶναι καὶ τὸ μόνον ἰδεῖν τὸν ἄνδρα. τοῦτο δὲ καὶ ἀπὸ τῶν πράξεων δῆλον. ὅτε γὰρ ἦλθεν εἰς Ἱεροσόλυμα, πολλοὺς τῶν ἐθνῶν ἐπιστρέψας, καὶ τοσαῦτα ἐργασάμενος, ὅσα τῶν ἑτέρων οὐδείς, τὴν Παμφυλίαν, τὴν Λυκαονίαν, τὸ Κιλίκων ἔθνος, πάντας τοὺς κατὰ τὸ μέρος ἐκεῖνο τῆς οἰκουμένης διορθωσάμενος καὶ τῷ Χριστῷ προσαγαγών, πρῶτον μὲν εἰσέρχεται πρὸς Ἰάκωβον μετὰ πολλῆς τῆς ταπεινοφροσύνης, ὡς πρὸς μείζονα καὶ τιμιώτερον. ἔπειτα συμβουλεύοντος ἀνέχεται, καὶ συμβουλεύοντος ἐναντία τῶν νῦν. Ὁρᾷς γάρ, φησιν, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; ἀλλὰ ξύρησαι, καὶ ἁγνίσθητι. καὶ ἐξυρήσατο, καὶ τὰ Ἰουδαϊκὰ πάντα ἐπετέλεσεν. ἔνθα μὲν γὰρ οὐκ ἐβλάπτετο τὸ εὐαγγέλιον, πάντων ταπεινότερος ἦν· ἔνθα δὲ ἐκ τῆς ταπεινοφροσύνης ἔμελλέ τινας ἀδικεῖσθαι, οὐκέτι ἐχρῆτο τῷ πλεονεκτήματι. τοῦτο γὰρ οὐκ ἦν λοιπὸν ταπεινοφρονεῖν, ἀλλὰ λυμαίνεσθαι καὶ διαφθείρειν τοὺς μαθητευομένους. Καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Τὸ μὲν οὖν, δι'

Πραξ. κα. κ.

αὐτὸν ἀποδημῆσαι, τιμῆς ἦν πολλῆς· τὸ δὲ καὶ τοσαύτας ἐπιμεῖναι ἡμέρας, φιλίας καὶ σφοδροτάτης ἀγάπης.

19 Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

Ὅρα πῶς πρὸς τὸν Πέτρον μείζονα τὴν φιλίαν ἔχει. καὶ γὰρ δι᾽ αὐτὸν ἀπεδήμησε, καὶ πρὸς αὐτὸν ἔμεινε. ταῦτα δὲ καὶ λέγω συνεχῶς, καὶ ἀξιῶ φυλάττειν, ἵν᾽ ὅταν ἀκούσητε, ἃ κατὰ Πέτρου δοκεῖ εἰρηκέναι, μηδεὶς ὑποπτεύσῃ τὸν ἀπόστολον. διὰ γὰρ τοῦτο καὶ αὐτὸς τοῦτο προδιορθούμενος ταῦτά φησιν, ἵνα ὅταν λέγῃ, ὅτι ἀντέστην Πέτρῳ, μηδεὶς ἔχθρας καὶ φιλονεικίας ταῦτα εἶναι νομίσῃ τὰ ῥήματα. καὶ γὰρ τιμᾷ τὸν ἄνδρα, καὶ φιλεῖ μᾶλλον πάντων. δι᾽ οὐδένα γὰρ τῶν ἀποστόλων ἀνεληλυθέναι φησὶν, ἀλλ᾽ ἢ δι᾽ αὐτὸν μόνον. ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, φησὶν, εἰ μὴ Ἰάκωβον. εἶδον, οὐκ ἐδιδάχθην, φησὶ, παρ᾽ αὐτοῦ οὐδέν. ἀλλ᾽ ὅρα καὶ τοῦτον μεθ᾽ ὅσης τιμῆς ὠνόμασεν. οὐ γὰρ εἶπεν ἁπλῶς, Ἰάκωβον, ἀλλὰ καὶ τὸ σεμνολόγημα προσέθηκεν. οὕτω βασκανίας ἁπάσης ἀπηλλαγμένος ἦν. εἰ γὰρ σημᾶναι ὃν ἔλεγεν ἤθελεν, ἐνῆν καὶ ἐξ ἑτέρου γνωρίσματος τοῦτο ποιῆσαι δῆλον, καὶ εἰπεῖν τὸν τοῦ Κλωπᾶ, ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν. ἀλλ᾽ οὐκ εἶπεν οὕτως· ἀλλ᾽ ἐπειδὴ τὰ τῶν ἀποστόλων σεμνολογήματα ἴδια εἶναι ἐνόμιζεν, ὡς ἑαυτὸν ἐπαίρων, οὕτω σεμνύνει κἀκεῖνον. οὐ γὰρ ἐκάλεσεν αὐτὸν οὕτως, ὡς εἶπον, ἀλλὰ πῶς; τὸν ἀδελφὸν τοῦ Κυρίου. καίτοιγε οὐδὲ κατὰ σάρκα ἀδελφὸς ἦν τοῦ Κυρίου, ἀλλ᾽ οὕτως ἐνομίζετο, ἀλλ᾽ ὅμως οὐδὲ οὕτως ἀπεστράφη τὸ ἀξίωμα δοῦναι τοῦ ἀνδρὸς, καὶ πολλαχόθεν ἄλλοθεν δείκνυται, ὅτι διέκειτο πρὸς τοὺς ἀποστόλους πάντας οὕτω γνησίως, ὡς αὐτῷ πρέπον ἦν. χ. ἐπαινῶν,

20 Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι.

Εἶδες διὰ πάντων ὁμοίως ἐκλάμπουσαν τῆς ἁγίας ταύτης ψυχῆς τὴν ταπεινοφροσύνην; καθάπερ γὰρ ἐν δικαστηρίῳ ἀγωνιζόμενος, καὶ μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἐσπούδακεν ἀπολογήσασθαι.

21 Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ Κιλικίας·

Μετὰ τὸ Πέτρον ἰδεῖν. πάλιν ἄρχεται τοῦ λόγου καὶ τοῦ ἀγῶνος τοῦ προκειμένου, τῆς μὲν Ἰουδαίας οὐχ ἁπτόμενος, διά τε τὸ πρὸς τὰ ἔθνη ἀπεστάλθαι, καὶ διὰ τὸ μὴ αἱρεῖσθαι ἐπ᾽ ἀλλότριον θεμέλιον οἰκοδομεῖν. διόπερ οὐδὲ κατὰ ψιλὴν αὐτοῖς συντυχίαν εἶδε. καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον.

22 Ἤμην γὰρ, φησιν, ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας·

23. Μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει. Τί ταύτης τῆς ψυχῆς μετριώτερον γένοιτ᾽ ἄν; ὅτε μὲν γὰρ τὰ φέροντα αὐτῷ κατηγορίαν διελέγετο, οἷον ὅτι ἐδίωκε τὴν ἐκκλησίαν, καὶ ἐπόρθει αὐτὴν, μετὰ πολλῆς αὐτὰ τέθεικε τῆς ὑπερβολῆς, ἐκπομπεύων αὐτοῦ τὸν βίον τὸν πρότερον· τὰ δὲ μέλλοντα αὐτὸν δεικνύναι λαμπρὸν, ταῦτα παρατρέχει. καὶ δυνάμενος, εἴπερ ἐβούλετο, τὰ κατορθώματα αὐτοῦ πάντα εἰπεῖν, οὐδὲν αὐτῶν τίθησιν, ἀλλ᾽ ἑνὶ ῥήματι πέλαγος παρελθὼν ἄφατον, καὶ εἰπὼν, ὅτι ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας, καὶ ὅτι ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει, οὐδὲν πλέον προσέθηκε. τί δὲ αὐτῷ βούλεται τὸ λέγειν, ὅτι ἀγνοούμενος ἤμην ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας; ἵνα μάθῃς, ὅτι τοσοῦτον ἀπεῖχε τοῦ κηρύξαι αὐτοῖς περιτομὴν, ὅτι οὐδὲ ἀπὸ ὄψεως γνώριμος ἦν αὐτοῖς.

24 Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν. Σκόπει καὶ ἐνταῦθα τὸν κανόνα αὐτοῦ τῆς ταπεινοφροσύνης, πῶς αὐτὸν διατηρεῖ μετὰ ἀκριβείας. οὐ γὰρ εἶπεν, ὅτι ἐθαύμαζόν με, ἐπῄνουν με, ἐξεπλήττοντο, ἀλλὰ τὸ πᾶν τῆς χάριτος ἔδειξεν ὄν. τὸν γὰρ Θεὸν ἐδόξαζον, φησιν, ἐν ἐμοί.

ΚΕΦΑΛΑΙΟΝ β.

ΚΕΦΑΛΑΙΟΝ β.

1 ΕΠΕΙΤΑ ΔΕ ΔΙΑ ΔΕΚΑΤΕΣΣΑΡΩΝ ΕΤΩΝ ΑΝΕβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον· 2 Ἀνέβην δὲ κατὰ ἀποκάλυψιν.

Τῆς μὲν προτέρας ἀναβάσεως τὴν αἰτίαν Πέτρον εἶναί φησι, καὶ τὸ ἱστορῆσαι ἐκεῖνον· τῆς δὲ δευτέρας, τὴν ἀποκάλυψιν τὴν τοῦ πνεύματος. Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. Τί φῄς, ὦ Παῦλε; ὁ παρὰ τὴν ἀρχὴν μὴ ἑλόμενος ἀναθέσθαι, μηδὲ μετὰ ἔτη τρία, δεκατεσσάρων παρελθόντων ἐτῶν, τότε ἀνατίθης, μήπως εἰς κενὸν τρέχῃς; καὶ πόσῳ βέλτιον ἦν εὐθέως ἀρξάμενον τοῦτο ποιῆσαι, ἢ μετὰ ἔτη τοσαῦτα; τί δὲ καὶ ἔτρεχες, εἰ μὴ πεπεισμένος ἦς, ὅτι οὐκ εἰς κενὸν ἔτρεχες; τίς οὕτως ἀνόητος, ὡς ἔτη τοσαῦτα κηρύττειν, οὐκ εἰδὼς ὅτι κηρύττει καλῶς; καὶ τὸ πολὺ τούτου πάλιν ἀπορώτερον, ὅτι κατὰ ἀποκάλυψιν φησὶν ἀνεληλυθέναι. τοῦτο γὰρ ἀπορώτερον μὲν, ὥσπερ ἔφθην εἰπὼν, τοῦ προτέρου, ἱκανὸν δὲ κἀκείνου τὴν λύσιν ἡμῖν παρασχεῖν. εἰ μὲν γὰρ ἀφ' ἑαυτοῦ ἀνῆλθε, μάλιστα μὲν οὐδὲ τοῦτο ἂν ἔχοι λόγον. οὐ γὰρ ἦν τῆς μακαρίας ἐκείνης ψυχῆς εἰς τοσαύτην ἄνοιαν ἐμπεσεῖν. αὐτὸς γάρ ἐστιν ὁ λέγων, Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. α. Κορ. θ. κς. Εἰ τοίνυν οὐκ ἀδήλως, πῶς λέγεις, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον; ὅθεν δῆλον, ὅτι εἰ καὶ χωρὶς ἀποκαλύψεως ἀνῆλθεν, ἔπαθεν ἂν τὰ τῶν ἀνοήτων. πλὴν ἀλλ' οὐχ ὁμοίως ἄτοπον ἦν τὸ γινόμενον. ὅταν δὲ καὶ ἡ τοῦ πνεύματος αὐτὸν ἕλκῃ χάρις, τίς τολμήσει τὸ τοιοῦτον ὑποπτεῦσαι λοιπόν; διὰ γὰρ τοῦτο προσέθηκε καὶ αὐτὸς, τὸ κατὰ ἀποκάλυψιν, ἵνα μηδὲ πρὸ τῆς λύσεως τοῦ ζητήματος καταγνῷς αὐτοῦ τινα ἄγνοιαν, εἰδὼς ὅτι οὐκ ἀνθρώπινον ἦν τὸ γινόμενον, ἀλλὰ θεία τις οἰκονομία πολλὰ προορωμένη, καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων. τί ποτ' οὖν ἐστι τὸ αἴτιον τῆς ἀποδημίας ταύτης; ὥσπερ ὅτε πρότερον ἐξ Ἀντιοχείας εἰς Ἱεροσόλυμα ἀνῆλθεν, οὐ δι' ἑαυτὸν ἀνῆλθεν (αὐτὸς γὰρ ᾔδει σαφῶς, ὅτι χρὴ καθαρῶς ἕπεσθαι τοῖς τοῦ Χριστοῦ δόγμασιν) ἀλλὰ τοὺς μαχομένους συναγαγεῖν βουλόμενος· οὕτω καὶ νῦν οὐκ αὐτὸς ἐδεῖτο μαθεῖν, ὅτι οὐκ εἰς κενὸν ἔτρεχεν, ἀλλ' ἵνα οἱ ἐγκαλοῦντες πληροφορηθῶσιν. ἐπειδὴ γὰρ μείζονα τοῦ Πέτρου καὶ Ἰωάννου δόξαν εἶχον, καὶ διεστασίαζον αὐτοῖς, ᾤοντο, διὰ τὸ τοῦτον μὲν αὐτὴν περιτομὴν κηρύττειν, ἐκείνους δὲ ταύτην συγχωρεῖν, καὶ παράνομα πράττειν αὐτὸν ᾤοντο, καὶ εἰς κενὸν τρέχειν, ἀνῆλθον, φησὶ, καὶ ἐκοινωσάμην αὐτοῖς τὸ εὐαγγέλιον, οὐχ ἵνα αὐτὸς τι μάθω, ὃ καὶ προϊὼν σαφέστερον λέγει, ἀλλ' ἵνα διδάξω τοὺς ταῦτα ὑποπτεύοντας, ὅτι οὐκ εἰς κενὸν τρέχω. τὸ γὰρ πνεῦμα τὴν τοιαύτην προορώμενον φιλονεικίαν, παρεσκεύασεν αὐτὸν ἀνελθεῖν καὶ κοινώσασθαι. διὰ τοῦτό φησι, κατὰ ἀποκάλυψιν ἀνέβην, καὶ Βαρνάβαν καὶ Τίτον ἔλαβε μάρτυρας ἐσομένους τοῦ κηρύγματος, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύττω ἐν τοῖς ἔθνεσι, τουτέστι, τὸ χωρὶς περιτομῆς. κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι. τί βούλεται, κατ' ἰδίαν; καίτοιγε ὁ δόγματα καινὰ διορθοῦν σπουδάζων, οὐ κατ' ἰδίαν, ἀλλὰ κοινῇ ταῦτα προτίθησιν. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως. οὐ γὰρ μαθεῖν τι καὶ διορθώσασθαι ἐβούλετο, ἀλλὰ τῶν βουλομένων ἀπατᾶν τὴν πρόφασιν ἀνελεῖν. ἐπειδὴ γὰρ ἐν τοῖς Ἱεροσολύμοις πάντες ἐσκανδαλίζοντο, εἴ τις παραβαίη τὸν νόμον, εἴ τις κωλύοι χρήσασθαι τῇ περιτομῇ (διὸ καὶ ἔλεγε, Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων; καὶ Πραξ. κ. κα.

οὗτοι πάντες εἰσὶ κατηχημένοι περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις) ἐπειδὴ οὖν ἐσκανδαλίζοντο, παρρησίᾳ μὲν προελθεῖν καὶ τὸ κήρυγμα ἀποκαλύψαι τὸ ἑαυτοῦ οὐκ ἠνείχετο· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσιν ἀνέθετο ἐπὶ Βαρνάβα καὶ Τίτου, ἵνα οὗτοι μάρτυρες ἀξιόπιστοι γένωνται πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι οὐδὲ τοῖς ἀποστόλοις ἔδοξεν ἐναντίον εἶναι, ἀλλὰ βεβαιοῦσι τὸ κήρυγμα τὸ τοιοῦτον. ὅταν δὲ λέγῃ, τοῖς δοκοῦσιν, οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοὺς με-
α. Κορ. ζ. μ. γάλους τοῦτο λέγει. ἐπεὶ καὶ περὶ ἑαυτοῦ φησι, Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν, ὅπερ ἐστὶ μετριάζοντος, οὐκ ἀναιροῦντος τὸ ἔχειν. οὕτω καὶ ἐνταῦθα τοῖς δοκοῦσί φησι, μετὰ τῆς ἑαυτοῦ καὶ τὴν κοινὴν ἁπάντων λέγων ψῆφον.

3 Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, ἕλλην ὢν, ἠναγκάσθη περιτμηθῆναι.

Τί ἐστιν, ἕλλην ὤν; ἐξ ἐλλήνων ἦν, φησι, καὶ ἀκρόβυστος. οὐ μόνον γὰρ ἐγὼ οὕτως ἐκήρυττον, ἀλλὰ καὶ Τίτος οὕτως ἔπραττε, καὶ ἀκρόβυστον ὄντα οὐκ ἠνάγκασαν περιτμηθῆναι οἱ ἀπόστολοι. ὅπερ ἀπόδειξις ἦν μεγίστη, τοῦ μὴ καταγινώσκειν τῶν ὑπὸ τοῦ Παύλου λεγομένων, ἢ πραττομένων. καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι οὐδὲ ἐπικειμένων τῶν ἐναντιουμένων, καὶ ταῦτα εἰδότων, ἠναγκάσθησαν οἱ ἀπόστολοι τοῦτο κελεῦσαι. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε·

4 Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους. Τίνες εἰσὶν οὗτοι οἱ ψευδάδελφοι; καὶ γὰρ οὐ μικρὸν ἐνταῦθα ζήτημα. εἰ γὰρ οἱ ἀπόστολοι συνεχώρησαν ἐνταῦθα περιτέμνεσθαι, διατί νῦν ψευδαδέλφους καλεῖ τοὺς κατὰ τὴν τῶν ἀποστόλων γνώμην καὶ αὐτοὺς κελεύοντας τοῦτο ποιεῖν; ὅτι πρῶτον μὲν οὐκ ἔστι ταυτὸν, κελεύειν γίνεσθαι, καὶ γινόμενον συγχωρεῖν. ὁ μὲν γὰρ προστάττων, μετὰ σπουδῆς, ὡς ἀναγκαῖον καὶ προηγούμενον, ποιεῖ· ὁ δὲ αὐτὸς μὲν μὴ κελεύων, τὸν δὲ βουλόμενον μὴ κωλύων, οὐχ ὡς δέον γενέσθαι συγχωρεῖ, ἀλλ' οἰκονομίαν τινὰ πληρῶν. οἷόν τι λέγω· Κορινθίοις ἔγραφεν ὁ Παῦλος, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι γυναιξὶ καὶ ἀνδράσι διακελευόμενος. εἶτα ἵνα μὴ νομίσῃς, ὅτι νομο-
α. Κορ. ζ. ε. θετῶν αὐτοῖς τοῦτο ἔλεγεν, ἐπήγαγε· Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. οὐ γὰρ τῆς αὐτοῦ αὐθεντίας κρίσις ἦν προηγουμένη, ἀλλὰ τῆς ἐκείνων ἀκρασίας συγγνώμη. διό φησι· διὰ τὴν ἀκρασίαν ὑμῶν. εἰ γὰρ τὴν Παύλου γνώμην θέλεις μαθεῖν, ἄκουσον τί φησι. Θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτὸν, ἐν ἐγκρατείᾳ. οὕτω καὶ ἐνταῦθα, οἱ μὲν ἀπόστολοι, οὐχ ὡς νόμον ἐκδικοῦντες, συνεχώρησαν, ἀλλὰ τῇ ἀσθενείᾳ τῇ Ἰουδαϊκῇ συγκαταβαίνοντες. εἰ γὰρ νόμον ἐξεδίκουν, οὐκ ἂν Ἰουδαίοις μὲν οὕτως, ἔθνεσι δὲ ἑτέρως ἐκήρυξαν. καὶ γὰρ εἰ ὑπὸ τῶν ἀπίστων τὸ πρᾶγμα γενέσθαι ἀναγκαῖον ἦν, καὶ ὑπὸ πάντων εὔδηλον ὅτι τῶν πιστῶν. εἰ δὲ τοῖς ἔθνεσιν ἐνομοθέτουν μὴ παρενοχλεῖν τούτων ἕνεκεν, ἔδειξαν ὅτι καὶ Ἰουδαίοις συγκαταβαίνοντες ἐπέτρεπον. οἱ δὲ ψευδάδελφοι οὐχ οὕτως, ἀλλ' ὥστε τῆς χάριτος αὐτοὺς ἐκβαλεῖν, καὶ πάλιν ὑπὸ τὸν τῆς δουλείας ζυγὸν ἀγαγεῖν. πρώτη μὲν οὖν αὕτη ἡ διαφορὰ, πολὺ τὸ μέσον ἔχουσα. δευτέρα δὲ, ὅτι οἱ μὲν ἀπόστολοι ἐν Ἰουδαίᾳ τοῦτο ἐποίουν, ἔνθα καὶ ὁ νόμος ἐκράτει· οἱ δὲ ψευδάδελφοι πανταχοῦ. καὶ γὰρ Γαλατῶν ἥψαντο πάντων. ὅθεν δῆλον ὅτι οὐχὶ οἰκοδομῆς ἕνεκεν τὸ πρᾶγμα ἐγίνετο, ἀλλὰ καταστροφῆς ὁλοκλήρου· καὶ ἑτέρως μὲν παρὰ τῶν ἀποστόλων συνεχωρεῖτο, ἑτέρως δὲ παρὰ τῶν ψευδαδέλφων ἐσπουδάζετο. Οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ. Ὁρᾷς πῶς καὶ τῇ τῶν κατασκόπων προσηγορίᾳ ἐδήλωσε τὸν πόλεμον ἐκείνων; οἱ γὰρ κατάσκοποι δι' οὐδὲν εἰσέρχονται, ἀλλ' ἵνα καταμαθόντες τὰ τῶν ἐναντίων, πρὸς τὸ πορθῆσαι καὶ καθελεῖν πολλὴν ἑαυτοῖς παρασκευάσωσι τὴν εὐκολίαν· καθάπερ καὶ οὗτοι τότε ἐποίουν, ὑπὸ τὴν δουλείαν αὐτοὺς τὴν παλαιὰν εἰσαγαγεῖν βουλόμενοι. ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐχ ἡ αὐτὴ προαίρεσις τῶν ἀποστόλων, καὶ τούτων, ἀλλὰ καὶ σφόδρα ἐναντία. ἐκεῖνοι μὲν γὰρ συνεχώρησαν, ἵνα κατὰ μικρὸν ἐξαγάγωσι

τῆς δουλείας· οὗτοι δὲ κατεσκεύαζον, ἵνα μειζόνως ὑποβάλωσι τῇ δουλείᾳ. διὸ παρετήρουν περισκοποῦντες ἀκριβῶς, καὶ περιεργαζόμενοι τίνες ἀκροβυστοῦσι· καθὼς καὶ Παῦλος τοῦτο δηλῶν ἔλεγε, παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, οὐ τῷ τῶν κατασκόπων ὀνόματι μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς λαθραίας εἰσόδου καὶ παρεισδύσεως τὴν ἐπιβουλὴν αὐτῶν ἐνδεικνύμενος.

5 Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ.

Ὅρα λέξεως εὐγένειαν καὶ ἔμφασιν. οὐ γὰρ εἶπε, τῷ λόγῳ, ἀλλὰ, τῇ ὑποταγῇ. οὐ γὰρ ἵνα τι διδάξωσι χρήσιμον, ταῦτα ἐποίουν, ἀλλ᾽ ἵνα ὑποτάξωσι καὶ δουλώσωνται. διὰ τοῦτο τοῖς μὲν ἀποστόλοις εἴξαμεν, τούτοις δὲ οὐκέτι. Ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς. Ἵν᾽, ὅπερ ἔφθημεν, φησιν, εἰπόντες, τοῦτο διὰ τῶν ἔργων βεβαιώσωμεν, ὅτι τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε καινὰ τὰ πάντα, καὶ ὅτι εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις, καὶ ὅτι ὑμᾶς περιτεμνομένους Χριστὸς οὐδὲν ὠφελήσει, ταύτην τὴν ἀλήθειαν βεβαιοῦντες, οὐδὲ πρὸς ὥραν εἴξαμεν. Εἶτα ἐπειδὴ εὐθέως ἀντέπιπτεν αὐτῷ τὰ παρὰ τῶν ἀποστόλων, καὶ εἰκὸς ἦν τινας λέγειν, πῶς οὖν ταῦτα ἐκεῖνοι προσέταττον; ὅρα πῶς λύει σοφῶς τὴν ἀντίθεσιν. οὐ γὰρ λέγει τὴν οὖσαν αἰτίαν, οἷον ὅτι συγκαταβάσεως ἕνεκεν καὶ οἰκονομίας τοῦτο ἐποίουν οἱ ἀπόστολοι· ἢ γὰρ ἂν ἐβλάβησαν οἱ ἀκούοντες. δεῖ γὰρ τῆς οἰκονομίας ἀγνοεῖν τὴν διάνοιαν τοὺς μέλλοντάς τι καρποῦσθαι παρ᾽ αὐτῆς χρήσιμον. εἰ γὰρ φανείη τῶν γινομένων ἡ πρόφασις, τὸ πᾶν οἰχήσεται. διὰ τοῦτο τοὺς μὲν ἐργαζομένους αὐτὴν, εἰδέναι χρὴ τὴν αἰτίαν τῶν γινομένων· τοὺς δὲ μέλλοντάς τι κερδαίνειν παρ᾽ αὐτῆς, ἀγνοεῖν. καὶ ἵνα σαφέστερον ὃ λέγω ποιήσω, ἐπ᾽ αὐτῆς τῆς ταύτης ὑποθέσεως χρήσομαι τῷ ὑποδείγματι. τοῦτο αὐτὸς ὁ μακάριος Παῦλος ὁ περιτομὴν ἀναιρεῖν μέλλων, ποτὲ τὸν Τιμόθεον Ἰουδαίοις πέμπων διδάσκαλον, περιέτεμεν αὐτὸν πρότερον οὕτως ἔπεμψεν. ἐποίησε δὲ τοῦτο, ἵνα εὐπαράδεκτος γένηται τοῖς ἀκροαταῖς, καὶ εἰσέλθῃ μετὰ τῆς περιτομῆς, ἵνα καταλύσῃ τὴν περιτομήν. ἀλλὰ τὴν αἰτίαν αὐτὸς μὲν ἠπίστατο καὶ Τιμόθεος, τοῖς δὲ μαθηταῖς οὐκ εἶπεν. εἰ γὰρ ἔγνωσαν, ὅτι διὰ τοῦτο περιέτεμεν, ἵνα λύσῃ τὴν περιτομήν, οὐδ᾽ ἂν τὴν ἀρχὴν ἤκουσαν αὐτοῦ δημηγοροῦντος, καὶ τὸ πᾶν ἂν διερρύη κέρδος· νυνὶ δὲ ἡ ἄγνοια τὰ μέγιστα αὐτοὺς ὠφέλησε. νομίζοντες γὰρ αὐτὸν, ὡς νομοφύλακα, τοῦτο ποιεῖν, καὶ εὐμενῶς ἐδέξαντο καὶ προσηνῶς καὶ αὐτὸν καὶ τὴν ἐκείνου διδασκαλίαν· δεξάμενοι δὲ κατὰ μικρὸν, καὶ παιδευθέντες, ἀπέστησαν τῶν παλαιῶν· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ παρὰ τὴν ἀρχὴν τὴν αἰτίαν ᾔδεσαν. μαθόντες γὰρ ἂν αὐτὸν ἀπεστράφησαν, ἀποστραφέντες δὲ οὐκ ἂν ἤκουσαν, μὴ ἀκούσαντες δὲ ἔμειναν ἂν ἐπὶ τῆς πλάνης τῆς προτέρας· ὅπερ ἵνα μὴ γένηται, οὐκ ἐξεκάλυψε τὴν αἰτίαν. διὰ τοῦτο καὶ ἐνταῦθα οὐ λέγει τῆς οἰκονομίας τὴν πρόφασιν, ἀλλ᾽ ἑτέρως μεθοδεύει τὸν λόγον, οὕτω λέγων·

6 Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι (ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον ἀνθρώπου ὁ Θεὸς οὐ λαμβάνει) Ἐνταῦθα οὐ μόνον οὐκ ἀπολογεῖται ὑπὲρ τῶν ἀποστόλων, ἀλλὰ καὶ σφόδρα βαρὺς τοῖς ἁγίοις, ἵνα ὠφελήσῃ τοὺς ἀσθενοῦντας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ καὶ ἐπιτρέπουσιν ἐκεῖνοι περιτέμνεσθαι, τὸν λόγον αὐτοὶ τῷ Θεῷ δώσουσιν. οὐ γὰρ ἐπειδὴ μεγάλοι εἰσὶ καὶ ἔξαρχοι, ὁ Θεὸς πρόσωπον αὐτῶν λήψεται. ἀλλ᾽ οὕτω μὲν σαφῶς οὐκ εἶπε, πεφεισμένως δέ. οὐ γὰρ εἶπεν, εἰ δὲ ἐκεῖνοι θολοῦσι τὸ κήρυγμα, καὶ παρὰ τὰ προστεταγμένα κηρύττουσι, δώσουσι τὴν ἐσχάτην δίκην καὶ τιμωρίαν ὑποστήσονται. τούτων μὲν οὐδὲν εἶπε· σεμνοτέρως δὲ αὐτῶν δοκεῖ καθάπτεσθαι, οὕτω λέγων· ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν. καὶ οὐκ εἶπεν, ὁποῖοί ποτέ εἰσιν, ἀλλ᾽, ἦσαν, δεικνὺς ὅτι καὶ αὐτοὶ λοιπὸν ἦσαν παυσάμενοι τοῦ οὕτω κηρύσσειν, ἅτε τοῦ κηρύγματος πανταχοῦ διαλάμψαντος. τὸ δὲ, ὁποῖοί ποτε ἦσαν, εἰ οὕτω, φησὶν, ἐκήρυττον αὐτοὶ, τὸν λόγον δώσουσιν. οὐ γὰρ ἀνθρώποις,

ἀνθρώποις, ἀλλὰ Θεῷ μέλλουσιν ἀπολογεῖσθαι. Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀμφιβάλλων, οὐδ᾽ ὡς ἀγνοῶν τὰ ἐκείνων, ἀλλ᾽, ὅπερ ἔφθην εἰπὼν, οὕτω συμφέρειν νομίζων μεθοδεῦσαι τὸν λόγον. Εἶτα ἵνα μὴ δόξῃ ὡς τὴν ἐναντίαν ἔχων τάξιν κατηγορεῖν αὐτῶν, καὶ ἀπὸ τούτου κατασκευάσῃ μάχης ὑπόνοιαν, ἐπήγαγεν εὐθέως τὴν διόρθωσιν, εἰπών·

Ὅτι ἐμοὶ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο. Τί δὲ τοῦτό ἐστιν; εἰ μὲν ὑμεῖς λέγετε, φησὶν, οὐκ οἶδα· ἐκεῖνο μέντοι οἶδα σαφῶς, ὅτι ἐμοὶ οὐκ ἠναντιώθησαν, ἀλλὰ καὶ συνέπνευσαν καὶ συνεφώνησαν. Τὸ γὰρ δεξιὰς ἔδωκαν, τοῦτό ἐστι δηλοῦντος· ἀλλὰ τέως οὐ λέγει τοῦτο, ἀλλ᾽ ὅτι οὐκ ἐδίδαξαν, οὐ διώρθωσαν, οὐ πλέον τι προσέθηκαν ὧν ᾔδειν. Ἐμοὶ γὰρ οἱ δοκοῦντες, φησὶν, οὐδὲν προσανέθεντο, τουτέστι, μαθόντες τὰ ἐμὰ, οὐδὲν προσέθηκαν, οὐδὲν διώρθωσαν, καὶ ταῦτα εἰδότες ὅτι διὰ τοῦτο παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι· καὶ κατ᾽ ἀποκάλυψιν πνεύματος παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι, καὶ Τίτον ἀκρόβυστον εἶχον μεθ᾽ ἑαυτοῦ, οὔτε ἐμοί τι πλέον εἶπον ὧν ᾔδειν, οὔτε ἐκεῖνον περιέτεμον·

7 Ἀλλὰ τοὐναντίον. Τί δέ ἐστι, τοὐναντίον; τινὲς μέν φασι τοῦτο αὐτὸν λέγειν, ὅτι οὐ μόνον αὐτὸν οὐκ ἐδίδαξαν, ἀλλὰ καὶ ἐδιδάχθησαν παρ᾽ αὐτοῦ. Ἐγὼ δὲ οὐκ ἂν εἴποιμι τοῦτο. Τί γὰρ ἔμελλον παρ᾽ αὐτοῦ μανθάνειν πλέον; καὶ γὰρ ἕκαστος αὐτῶν ἀπηρτισμένος ἦν. Οὐ τοίνυν τοῦτο βούλεται εἰπεῖν, τοὐναντίον λέγων, ἀλλ᾽ ὅτι μόνον οὐκ ἐπετίμησαν, ἀλλὰ καὶ τοσοῦτον ἀπέσχον τοῦ μέμψασθαι, ὅτι καὶ ἐπήνεσαν. Τὸ γὰρ ἐναντίον τοῦ μέμψασθαι, τὸ ἐπαινέσαι. Εἶτα ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς εἰπεῖν τινας, εἰ ἐπήνεσαν, πῶς οὖν τὴν περιτομὴν οὐκ ἀνεῖλον; εἰ γὰρ ἐπήνεσαν, ἐχρῆν ἀνελεῖν· εἰπεῖν μὲν ὅτι ἀνεῖλον, λίαν ἀναίσχυντον εἶναι ἐνόμιζε, καὶ πρὸς τὰ ὡμολογημένα φανερὰν μάχην εἰσάγειν· πάλιν ὁμολογοῦντα τὴν τῆς περιτομῆς συγχώρησιν, εἰς ἑτέραν ἀντίθεσιν ἐμπεσεῖν ἀνάγκην οὖσαν ἑώρα. Εἰ γὰρ ἐπήνεσαν τὸ κήρυγμα τὸ σὸν, φησὶ, καὶ αὐτοὶ πάλιν ἐπέτρεπον περιτομὴν, ἑαυτοῖς ἐμάχοντο. Τίς οὖν ἡ τούτου λύσις; ἦν εἰπεῖν, ὅτι συγκαταβάσεως Ἰουδαϊκῆς ἕνεκεν ταῦτα ἐποίουν· ἀλλὰ τοῦτο εἰπὼν, ὅλον τῆς οἰκονομίας τὸν θεμέλιον διεσάλευσεν ἄν. Διὸ τοῦτο μὲν οὐ λέγει, ἀφίησι δὲ αὐτὸ ἐν ἀπορίᾳ καὶ μετεώρῳ, εἰπών· Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, οὐδέν μοι διαφέρει· ὡσανεὶ ἔλεγεν, οὐ κατηγορῶ, οὐδὲ διαβάλλω τοὺς ἁγίους ἐκείνους. Ἴσασιν αὐτοὶ τί ἔπραττον. Καὶ γὰρ τῷ Θεῷ μέλλουσιν ἀποδιδόναι λόγον. Τὸ δὲ σπουδαζόμενον ἐμοὶ δεῖξαι, ὅτι τὰ ἐμὰ οὐ καθεῖλον, οὐδὲ διώρθωσαν, οὐδὲ προσέθηκαν ὡς ἐνδεῶς ἔχουσιν αὐτοῖς, ἀλλὰ καὶ ἐπήνεσαν καὶ συνήνεσαν, καὶ τούτων μάρτυρας ἔχω καὶ Τίτον καὶ Βαρνάβαν. Διόπερ ἐπάγει λέγων· Ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς· Περιτομὴν καὶ ἀκροβυστίαν, οὐ τὰ πράγματα λέγων αὐτὰ, ἀλλὰ τὰ ἀπὸ τούτων γνωριζόμενα ἔθνη. Ἐπήγαγε γοῦν·

8 Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη. Ὥσπερ οὖν τὴν ἀκροβυστίαν τὰ ἔθνη καλεῖ, οὕτω καὶ περιτομὴν Ἰουδαίους. Καὶ δείκνυσιν αὐτοῖς ὁμότιμον ὄντα λοιπὸν, καὶ οὐ τοῖς ἄλλοις ἑαυτὸν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει, δεικνὺς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπήλαυσεν ἀξίας. Ἐπειδὴ γὰρ τὴν περὶ τῆς ὁμονοίας αὐτῶν κατεσκεύασεν ἀπόδειξιν, θαρρῶν λοιπὸν μετὰ παρρησίας διαλέγεται, καὶ οὐκέτι ἵσταται μέχρι τῶν ἀποστόλων μόνων, ἀλλ᾽ ἐπὶ τὸν Χριστὸν ἀνάγει τὸν λόγον, καὶ τὴν ὑπ᾽ ἐκείνου χάριν δοθεῖσαν αὐτῷ· καὶ μάρτυρας τούτων τοὺς ἀποστόλους καλεῖ, καί φησιν·

9 Ὅτι γνόντες τὴν χάριν τοῦ Κυρίου τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. Καὶ οὐκ εἶπεν, ὅτι ἀκούσαντες, ἀλλὰ, γνόντες, τουτέστι, καταμαθόντες δι᾽ αὐτῶν τῶν πραγμάτων, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. Εἶδες πῶς κατὰ μικρὸν ἔδειξε καὶ τῷ Χριστῷ

τοῦτο

τῶν δοκούντων, καὶ τοῖς ἀποστόλοις; οὐδὲ γὰρ ἂν ἐδόθη, οὐδὲ ἐνήργησεν ἡ χάρις, εἰ μὴ ἐδόκουν αὐτῷ τὸ τοιοῦτον κήρυγμα εἶναι. καὶ ὅπου μὲν συγκεῖναι ἑαυτὸν ἔδει, Πέτρου μέμνηται μόνου· ὅπου δὲ μαρτυρίας καλέσαι, τῶν τριῶν ὁμοῦ, καὶ μετ' ἐγκωμίου, Κηφᾶς, λέγων, καὶ Ἰάκωβος, καὶ Ἰωάννης οἱ δοκοῦντες στύλοι εἶναι. καὶ πάλιν οὐ τὸ τῆς ἀναιρῶν, τοὺς δοκοῦντάς φησιν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων παραλαμβάνων γνώμην, καὶ λέγων, ὅτι οἱ μεγάλοι, καὶ ἐξαίρετοι, καὶ οὓς πάντες πανταχοῦ περιφέρουσιν, οὗτοι μάρτυρές εἰσι τῶν λεγομένων, ὅτι καὶ τῷ Χριστῷ ταῦτα δοκεῖ, καὶ διὰ τῶν πραγμάτων ταῦτα ἔμαθον, καὶ δι' αὐτῆς τῆς πείρας ἐπιστώθησαν. διὸ καὶ δεξιὰς ἔδωκαν ἐμοί, καὶ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῷ Βαρνάβᾳ. Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν.

Ὢ συνέσεως ὑπερβολή, καὶ συμφωνίας ἀπόδειξις ἀναντίρρητος. δείκνυσι γὰρ καὶ τὰ ἐκείνων αὐτοῦ, καὶ τὰ αὐτοῦ ἐκείνων. ταῦτα γὰρ ἑκατέροις ἐδόκει, καὶ ἐκείνους Ἰουδαίοις κηρύττειν οὕτω, καὶ τοῦτον τοῖς ἔθνεσι. διὸ καὶ ἐπήγαγεν· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. ὁρᾷς πῶς περιτομὴν ἐνταῦθα οὐχὶ τὸ πρᾶγμα καλεῖ, ἀλλὰ τοὺς Ἰουδαίους; ὅταν μὲν γὰρ αὐτὸ τὸ πρᾶγμα λέγῃ καὶ ἀντιδιαστέλλῃ αὐτῇ, τὴν ἀκροβυστίαν τίθησιν, ὡς ὅταν λέγῃ, Περιτομὴ μὲν ὠφελεῖ, ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε. καὶ πάλιν, Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία. ὅταν δὲ Ἰουδαίους οὕτω καλῇ, καὶ μὴ τὸ πρᾶγμα, ἀλλὰ τὸν λαὸν δηλῶσαι βούληται, οὐ τὴν ἀκροβυστίαν, ἀλλὰ τὰ ἔθνη ἀντιτίθησιν. ἀντιδιαστέλλονται μὲν γὰρ ἔθνεσιν Ἰουδαῖοι, περιτομῇ δὲ ἀκροβυστία· ὡς ὅταν λέγῃ καὶ ἀνωτέρω, Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. καὶ ἐνταῦθα πάλιν, ὅτι ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, οὐ τὸ πρᾶγμα αὐτό φησιν, ἀλλὰ τὸν τῶν Ἰουδαίων λαὸν οὕτω καλεῖ, ἀντιδιαστέλλων αὐτὸν τοῖς ἔθνεσι.

Ρωμ. β. κε.

Γαλ. ε. ς.

10 Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

Τί ποτε τοῦτό ἐστιν, ὅ φησι; ἐν μὲν τῷ κηρύγματι, φησί, διειλόμεθα τὴν οἰκουμένην, κἀγὼ μὲν τὰ τῶν ἐθνῶν, ἐκεῖνοι δὲ τοὺς Ἰουδαίους ἔλαβον κατὰ τὸ τῷ Θεῷ δοκοῦν· εἰς δὲ τὴν τῶν πτωχῶν ἐπιμέλειαν τῶν παρὰ Ἰουδαίοις ἐγὼ τὰ παρ' ἐμαυτοῦ συνεισήνεγκα ἐκείνοις. εἰ δὲ πόλεμος ἦν καὶ μάχη, οὐκ ἂν τοῦτο κατεδέξαντο ἐκεῖνοι. τίνες δὲ εἰσὶν οὗτοι οἱ πτωχοί; πολλοὶ τῶν Ἰουδαίων πιστεύσαντες ἐν Παλαιστίνῃ τὰ ὄντα ἀφῃρέθησαν ἅπαντα, καὶ πανταχόθεν ἠλαύνοντο. καὶ τοῦτο δηλοῖ μὲν ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ λέγων· Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. δηλοῖ δὲ Θεσσαλονικεῦσι γράφων, καὶ ἀνακηρύττων τὴν ἀνδρείαν ἐκείνων, Ὑμεῖς γάρ, φησι, μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. καὶ διὰ πάντων δείκνυσιν, ὅτι οὐχ οὕτως οἱ ἐξ Ἑλλήνων πιστεύσαντες, ὑπὸ τῶν μενόντων Ἑλλήνων ἐπολεμοῦντο, ὡς οἱ ἀπὸ Ἰουδαίων πιστεύσαντες, ὑπὸ τῶν ὁμοφύλων ἠλαύνοντο. τραχύτερον γὰρ τοῦτο πάντων τὸ ἔθνος. διὰ ταῦτα πολλὴν ''ποιοῦνται σπουδήν, ὥστε πάσης αὐτοῖς ἀπολαύειν ἐπιμελείας, καὶ Ῥωμαίοις ἐπιστέλλων καὶ Κορινθίοις. καὶ οὐ μόνον συνάγει χρήματα, ἀλλὰ καὶ αὐτὸς αὐτὰ διακομίζει, καὶ λέγει· Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. καὶ γὰρ ἀναγκαίας ἠπόρουν τροφῆς. τοῦτο οὖν καὶ ἐνταῦθα δηλῶν ἔλεγεν, ὅτι ἐν τούτῳ μοι βοηθεῖν αὐτοῖς ἔδοξε, καὶ κατεδεξάμην, καὶ οὐκ ἐνέλιπον. καὶ διὰ τούτων δείξας τὴν πρὸς αὐτοὺς ὁμόνοιαν καὶ συμφωνίαν, ἀναγκάζεται λοιπὸν καὶ τῆς πρὸς Πέτρον αὐτῷ γενομένης ἐν Ἀντιοχείᾳ διαλέξεως μνημονεῦσαι, καί φησιν·

Εβρ. ι. λδ.

α. Θεσ. β. ιδ.

ἴσ. ποιεῖται

11 Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον ''αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν.

γρ. αὐτῷ

12 Πρὸ

12 Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς.

Πολλοὶ τῶν ἁπλῶς ἀναγινωσκόντων τουτὶ τὸ ῥητὸν τῆς ἐπιστολῆς, νομίζουσι τοῦ Πέτρου τὸν Παῦλον κατηγορεῖν ὑπόκρισιν· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἄπαγε. πολλὴν γὰρ π. χρείαν εὑρήσομεν καὶ τοῦ Πέτρου καὶ τοῦ Παύλου τὴν σύνεσιν ἐγκεκρυμμένην ἐνταῦθα πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν. πρότερον δὲ ἀναγκαῖον περὶ τῆς τοῦ Πέτρου παρρησίας εἰπεῖν, καὶ πῶς ἀεὶ πάντων αὐτὸς κατεπήδα τῶν μαθητῶν. καὶ γὰρ τὴν προσηγορίαν ἐντεῦθεν ἔλαβε διὰ τὸ ἀκλινὲς καὶ ἀπερίτρεπτον τῆς πίστεως· καὶ ὅτε κοινῇ πάντες ἠρωτῶντο, τῶν ἄλ- ἴσ. φωνὴν
Ματθ. ις. ις. λων προπηδήσας, φησί· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ὅτε καὶ τὰς κλεῖς τῶν οὐρανῶν ἐνεπιστεύθη, καὶ ἐν τῷ ὄρει μόνος φαίνεται φθεγγόμενος, καὶ ὅτε περὶ σταυροῦ διελέγε-
Ματθ. ις. κβ. το, τῶν ἄλλων σιγώντων, αὐτός φησιν, Ἵλεώς σοι. ταῦτα δὲ τὰ ῥήματα εἰ καὶ μὴ διεσκεμμένης γνώμης ἦν, ἀλλ' ὅμως ζεούσης ἀγάπης. καὶ πανταχοῦ δὲ τῶν ἄλλων ὁρῶμεν αὐτὸν θερμότερον ὄντα, καὶ προβαλλόμενον ἐν τοῖς κινδύνοις. καὶ ὅτε ὤφθη ἐν τῷ αἰγιαλῷ, τῶν ἄλλων τὸ πλοῖον ἑλκόντων, αὐτὸς οὐκ ἠνέσχετο τῷ πλοίῳ παραγενέσθαι. καὶ μετὰ τὴν ἀνάστασιν δὲ φονώντων Ἰουδαίων, καὶ μαινομένων, καὶ ζητούντων αὐτοὺς διασπάσαι, πρῶτος παρελθὼν ἐτόλμησε ῥῆξαι φωνὴν καὶ εἰπεῖν, ὅτι ὁ σταυρωθεὶς ἀνελήφθη, καὶ ἐν τοῖς οὐρανοῖς ἐστιν. οὐκ ἔστι δὲ ἴσον κεκλεισμένην ἀνοῖξαι θύραν καὶ ἀρχὴν δοῦναι πράγματι, καὶ μετὰ ταῦτα παρρησιάσασθαι. ὁ τοίνυν τὴν ἑαυτοῦ ψυχὴν ἐκδοὺς δήμῳ τοσούτῳ, πῶς ἂν ὑπεκρίθη ποτέ; ὁ μαστιχθείς, καὶ δεθείς, καὶ μηδὲν τῆς παρρησίας ἑλόμενος καθυφεῖναι, καὶ ταῦτα ἐν ἀρχῇ τοῦ κηρύγματος, ἐν μέσῃ τῇ μητροπόλει, ἔνθα τοσοῦτος κίνδυνος ἦν, πῶς ἂν μετὰ τοσοῦτον χρόνον ἐν Ἀντιοχείᾳ, ἔνθα οὔτε κίνδυνος ἦν, καὶ πολὺ λαμπρότερος αὐτὸς ἐγεγόνει, τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν ἔχων, τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας ἔδεισεν ἄν; ὁ γὰρ αὐτοὺς Ἰουδαίους μὴ φοβηθεὶς καὶ ἐν ἀρχῇ, καὶ ἐν τῇ μητροπόλει, πῶς ἂν μετὰ χρόνον τοσοῦτον ἐν ἀλλοτρίᾳ ὤν, τοὺς ἐξ ἐκείνων μεταστάντας ἐφοβήθη; οὐ τοίνυν κατὰ Πέτρου ταῦτά φησιν ὁ Παῦλος, ἀλλ' ἀπὸ τῆς γνώμης ἧς εἶπεν, Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει, ἀπὸ τῆς αὐτῆς καὶ ταῦτα φθέγγεται. ἀλλ' ἵνα μὴ ἐπὶ πλέον διαπορῶμεν ὑπὲρ τούτων, ἀναγκαῖον τῶν λεγομένων ἀναπτύξαι τὴν αἰτίαν. οἱ γὰρ ἀπόστολοι, καθὼς ἔφθην εἰπών, ἐν Ἱεροσολύμοις μὲν συνεχώρουν περιτέμνεσθαι. οὐ γὰρ ἦν ἀθρόως ἀποσπάσαι τοῦ νόμου. ἐν Ἀντιοχείᾳ δὲ ἐλθόντες, οὐδὲν τοιοῦτον παρετήρουν λοιπόν, ἀλλὰ μετὰ τῶν ἐξ ἐθνῶν πιστευόντων ἀδιαφόρως ἔζων, ὃ δὴ καὶ Πέτρος ἐποίει τότε. ἐπειδὴ δὲ ἦλθόν τινες ἀπὸ Ἱεροσολύμων οἱ ἰδόντες αὐτὸν ἐκεῖ οὕτω κηρύττοντα, οὐκέτι ἐποίει τοῦτο, φοβούμενος πλῆξαι ἐκείνους, ἀλλὰ μετετίθετο, δύο ταῦτα οἰκονομῶν, καὶ τὸ μὴ σκανδαλίσαι τοὺς ἐξ Ἰουδαίων, καὶ τὸ παρασχεῖν τῷ Παύλῳ εὔλογον τῆς ἐπιτιμήσεως πρόφασιν. εἰ γὰρ αὐτὸς ὁ ἐν τοῖς Ἱεροσολύμοις κηρύξας μετὰ περιτομῆς, μετέθετο ἐν Ἀντιοχείᾳ, ἔδοξεν ἂν τοῖς ἐξ Ἰουδαίων διὰ τὸν τοῦ Παύλου φόβον τοῦτο ποιεῖν, καὶ κατέγνωσαν ἂν αὐτοῦ πολλὴν τὴν εὐκολίαν οἱ μαθηταί. οὐ μικρὸν δὲ τοῦτο σκάνδαλον ἔμελλε γίνεσθαι. τῷ μέντοι Παύλῳ πάντα σαφῶς εἰδότι μεταστάς, οὐκ ἂν τοιαύτην παρέσχεν ὑπόνοιαν. καὶ γὰρ ᾔδει τὴν γνώμην μεθ' ἧς ἐγίνετο ταῦτα. διὸ καὶ Παῦλος ἐπιπλήττει, καὶ Πέτρος ἀνέχεται, ἵνα ἐγκαλουμένου τοῦ διδασκάλου καὶ σιγῶντος, εὐκολώτερον οἱ μαθηταὶ μεταθῶνται. εἰ γάρ, μηδενὸς γενομένου τοιούτου, παρῄνεσεν ὁ Παῦλος, οὐδὲν ἂν εἰργάσατο μέγα· νῦν δὲ ἀφορμὴν λαβὼν ἐπιτιμήσεως σφοδροτέρας, πλείονα τοῖς μαθηταῖς Πέτρου τὸν φόβον ἐνέθηκε. καὶ γὰρ εἰ μὲν ἀκούων ταῦτα Πέτρος ἀντέλεγε, καλῶς ἄν τις ἐμέμψατο, ὡς τῆς οἰκονομίας ἀνατρεπομένης· νυνὶ δέ, ἐκείνου μὲν ἐπιτιμῶντος, τούτου δὲ σιγῶντος, πολὺς τοῖς ἐξ Ἰουδαίων φόβος ἐγίνετο. διὸ καὶ σφοδρῶς κέχρηται τῷ Πέτρῳ. καὶ σκόπει μεθ' ὅσης ἀκριβείας κέχρηται τῷ λόγῳ, διδοὺς

τοῖς

τοῖς συνετοῖς ἰσχύει, ὅτι οὐ μάχης ἦν τὰ ῥήματα, ἀλλ' οἰκονομίας. Ὅτε γὰρ ἦλθε Πέτρος, φησὶν, εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν.

Οὐκ εἶπεν, ὑπ' ἐμοῦ, ἀλλ', ὑπὸ τῶν ἄλλων. εἰ δὲ αὐτὸς κατεγίνωσκεν, οὐκ ἂν παρῃτήσατο καὶ τοῦτο εἰπεῖν. καὶ τὸ, κατὰ πρόσωπον δὲ αὐτῷ ἀντέστην, σχῆμα ἦν. εἰ γὰρ ὄντως ἐμάχοντο, οὐκ ἂν ἐπὶ τῶν μαθητῶν ἀλλήλοις ἐπετίμησαν. σφόδρα γὰρ ἂν αὐτοὺς ἐσκανδάλισαν. νυνὶ δὲ λυσιτελοῦσα ἦν ἡ ἐν τῷ φανερῷ μάχη. καὶ ὥσπερ ὁ Παῦλος εἶξεν αὐτοῖς ἐν Ἱεροσολύμοις, οὕτω καὶ αὐτοὶ ἐν Ἀντιοχείᾳ. τίς οὖν ἡ κατάγνωσις; πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου (αὐτὸς γὰρ ἦν ὁ διδάσκαλος ἐν Ἱεροσολύμοις) μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς· οὐ τοῦτο φοβούμενος, μὴ κινδυνεύσῃ (ὁ γὰρ ἐν ἀρχῇ μὴ φοβηθεὶς, πολλῷ μᾶλλον τότε) ἀλλ' ἵνα μὴ ἀποστῶσιν. ἐπεὶ καὶ αὐτὸς λέγει Γαλάταις, Φοβοῦμαι ὑμᾶς, μήπως εἰκῆ κεκοπίακα. Γαλ. δ. ια. καὶ πάλιν, Φοβοῦμαι, μήπως, ὡς ὄφις Εὔαν ἐξηπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. β. Κορ. ια. γ. ὁ μὲν γὰρ τοῦ θανάτου φόβος, οὐδὲν ἦν αὐτοῖς· ὁ δὲ τῆς ἀπωλείας τῶν μαθητῶν, σφόδρα αὐτῶν κατέσειε τὴν ψυχήν.

13 Ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. Μὴ θαυμάσῃς, εἰ τὸ πρᾶγμα ὑπόκρισιν καλεῖ. οὐ γὰρ βούλεται, ὅπερ ἔφθην εἰπὼν, ἐκκαλύψαι τὴν γνώμην, ἵνα ἐκεῖνοι κατορθωθῶσιν. ἐπειδὴ γὰρ σφοδρῶς ἀντείχοντο τοῦ νόμου, διὰ τοῦτο καὶ ὑπόκρισιν καλεῖ τὸ γινόμενον, καὶ σφόδρα ἐπιπλήττει, ὥστε προρρίζους αὐτῶν ἀνελεῖν τὴν πρόληψιν· καὶ ἀκούων ταῦτα Πέτρος συνυποκρίνεται, ὡς ἁμαρτάνων, ἵνα ἐν τῇ πρὸς αὐτὸν ἐπιτιμήσει διορθωθῶσιν. εἰ μὲν γὰρ τοῖς ἐξ Ἰουδαίων ὁ Παῦλος ἐπέπληξεν, ἠγανάκτησαν ἂν καὶ διέπτυσαν (οὐ γὰρ πολλὴν περὶ αὐτοῦ δόξαν εἶχον) νυνὶ δὲ τὸν διδάσκαλον ὁρῶντες ἐπιτιμώμενον καὶ σιγῶντα, οὔτε καταφρονῆσαι, οὔτε ἀντειπεῖν τοῖς λεγομένοις εἶχον.

14 Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου.

Μηδὲ αὕτη ὑμᾶς θορυβείτω ἡ λέξις. οὐ γὰρ Πέτρου καταγινώσκων ταῦτα λέγει, ἀλλ' οὕτω χαρακτηρίζει τὴν λέξιν, ὡς συμφέρειν ἦν ἀκοῦσαι τοὺς διὰ τῆς ἐπιτιμήσεως Πέτρου μέλλοντας βελτίους γίνεσθαι. Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων.

Εἶδες πῶς τοὺς ἄλλους διορθοῦται; διὰ γὰρ τοῦτο ἔμπροσθεν, ἵνα καὶ ἀκούσαντες φοβηθῶσι. τί εἶπες, εἰπέ. Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; Καίτοι οὐ τὰ ἔθνη συναπήχθη, ἀλλ' Ἰουδαῖοι. τί οὖν ἐγκαλεῖς, ὃ μὴ γέγονε; τί δὲ μὴ τρέπεις τὸν λόγον ἐπὶ τοὺς ὑποκρινομένους τοὺς ἐξ Ἰουδαίων, ἀλλ' ἐπὶ τὰ ἔθνη; διὰ τί δὲ καὶ Πέτρῳ μόνῳ ἐγκαλεῖς, εἰ καὶ οἱ λοιποὶ αὐτῷ συνυπεκρίθησαν; ἴδωμεν δὲ καὶ τί ἐγκαλεῖ. Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; καὶ μὴν αὐτὸς ὑπέστελλε μόνος. τί οὖν ἐστιν ὃ κατασκευάσαι βούλεται; ἀνύποπτον ποιῆσαι τὴν ἐπιτίμησιν. εἰ μὲν γὰρ εἶπε, καλῶς ποιεῖς τὸν νόμον τηρῶν, ἐπετίμησαν ἂν οἱ ἐξ Ἰουδαίων αὐτῷ, ὡς θρασυνομένῳ κατὰ τοῦ διδασκάλου. νυνὶ δὲ ὑπὲρ τῶν οἰκείων ἐγκαλῶν αὐτῷ μαθητῶν, τῶν ἐξ ἐθνῶν λέγω, εὐπαράδεκτον ποιεῖ ταύτῃ τὸν λόγον· καὶ οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ πάντων ἀποστῆσαι τὴν ἐπιτίμησιν, τῷ ἀποστόλῳ περιστῆσαι πᾶσαν αὐτήν. εἰ γὰρ σὺ, φησὶν, Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, μονονουχὶ διαῤῥήδην λέγων, ὅτι μιμήσασθε τὸν διδάσκαλον, ὅτι καὶ αὐτὸς Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇ. ἀλλ' οὕτω μὲν οὐ λέγει (οὐ γὰρ ἂν ἐδέξαντο τὴν παραίνεσιν) προσχήματι δὲ ἐπιτιμήσεως τῆς ὑπὲρ τῶν ἐθνῶν ἐκκαλύπτει τοῦ Πέτρου τὴν γνώμην. πάλιν εἰ εἶπε, διὰ τί τοὺς ἐξ Ἰουδαίων ἀναγκάζεις Ἰουδαΐζειν, σφοδρότερος ὁ λόγος ἂν ἐγένετο· νῦν δὲ οὐχ ὡς τῶν Ἰουδαίων μαθητῶν ἀντεχόμενος, ἀλλὰ τῶν ἐξ ἐθνῶν, οὕτω

διορθοῦται

διορθοῦνται ἐκεῖνοι. καὶ γὰρ αἱ ἐπιπλήξεις, ὅταν μὴ σφόδρα φορτικαὶ ὦσι, τότε μάλιστα δύνανται εὐπαράδεκτοι γίνεσθαι. οὐδὲ γὰρ τῶν ἐξ ἐθνῶν τις ἠδύνατο ἐγκαλέσαι τῷ Παύλῳ, ὑπὲρ τῶν Ἰουδαίων ποιουμένῳ τὸν λόγον. τοῦτο ὅλον κατορθῶσαι σιγήσας καὶ καταδεξάμενος ὑποκρίσεως δόξαν ὁ Πέτρος, ἵνα ἀληθοῦς ὑποκρίσεως ἀπαλλάξῃ τοὺς Ἰουδαίους. τὸ μὲν οὖν πρῶτον, εἰς τὸ Πέτρου πρόσωπον περιέστησε τὸν λόγον, εἰπὼν, εἰ σὺ Ἰουδαῖος ὑπάρχων· περιϊὼν δὲ κοινοποιεῖ τὰ λεγόμενα, καὶ ἑαυτὸν παραλαβὼν, καὶ οὕτω λέγων·

15 Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί. Καὶ τὰ μὲν λεγόμενα, παραίνεσίς ἐστι, σχῆμα δὲ ἐπιπλήξεως αὐτῇ περίκειται διὰ τοὺς ἐξ Ἰουδαίων. ποιεῖ δὲ τοῦτο καὶ ἀλλαχοῦ. δοκῶν γὰρ ἕτερα λέγειν, ἄλλο κατασκευάζει· ὡς ὅταν Ῥωμαίοις ἐπιστέλλων λέγῃ, Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. οὐ γὰρ τοῦτο ἐβούλετο εἰπεῖν, καὶ διδάξαι αὐτοὺς ἁπλῶς, τίνος ἕνεκεν εἰς Ἱεροσόλυμα ἐπορεύετο, ἀλλ' εἰς ζῆλον ἀγαγεῖν ἐλεημοσύνης. εἰ μὲν γὰρ τὴν αἰτίαν ἠθέλησεν εἰπεῖν, ἤρκει τοῦτο εἰπεῖν, ὅτι πορεύομαι διακονῶν τοῖς ἁγίοις. νυνὶ δὲ ὅρα πόσα συνάπτει. Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσι. καὶ πάλιν, Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. ὅρα τοίνυν καὶ ἐνταῦθα πῶς τὰ τῶν Ἰουδαίων καταστέλλει φρονήματα, ἄλλο δι' ἄλλου κατασκευάζων. καὶ μετ' ἐξουσίας κέχρηται τῷ λόγῳ, ἡμεῖς φύσει Ἰουδαῖοι, λέγων, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί. τί δέ ἐστι, φύσει Ἰουδαῖοι; οὐ προσήλυτοι, ἀλλ' ἐκ πρώτης ἡλικίας ἐντραφέντες τῷ νόμῳ, τὴν σύντροφον ἀφέντες πολιτείαν, κατεφύγομεν εἰς πίστιν τὴν εἰς Χριστόν.

Ρωμ. ιε. κε. κϛ. κζ.

16 Εἰδότες ὅτι οὐ δικαιωθήσεται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν ἐπιστεύσαμεν. Ὅρα καὶ ἐνταῦθα πῶς μετ' ἀσφαλείας πάντα φθέγγεται. οὐ γὰρ ὡς πονηρὸν, ἀλλ' ὡς ἀσθενῆ, φησὶν, αὐτὸν εἰάσαμεν. εἰ τοίνυν οὐ παρέχει δικαιοσύνην ὁ νόμος, ἄρα περιττὸν καὶ τῆς περιτομῆς. ἀλλὰ νῦν μὲν οὕτω· προϊὼν δὲ δείκνυσιν, ὅτι οὐ μόνον περιττὰ, ἀλλὰ καὶ ἐπικίνδυνοι. ὅπερ καὶ μάλιστα παρατηρητέον, πῶς παρὰ μὲν τὴν ἀρχὴν φησὶν, οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, προβαίνων δὲ καὶ φορτικώτερον φθέγγεται.

17 Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ, ἄρα Χριστὸς ἁμαρτίας διάκονος. Εἰ γὰρ οὐκ ἴσχυσε, φησὶν, ἡ εἰς αὐτὸν πίστις δικαιῶσαι, ἀλλ' ἀνάγκη τοῦ νόμου πάλιν ἔχεσθαι, ὅτι τὸν νόμον ἀφέντες διὰ τὸν Χριστὸν, καὶ οὐ δικαιούμενοι ἐκ τῆς ἀφέσεως, ἀλλὰ κατακρινόμενοι, τῆς κατακρίσεως εὑρήσομεν αὐτὸν αἴτιον γινόμενον, δι' ὃν τὸν νόμον ἀφέντες, αὐτῷ ηὐτομολήσαμεν. εἶδες εἰς ὅσην ἀνάγκην περιέστησεν ἀτοπίας τὸν λόγον, καὶ πῶς ἰσχυρῶς ἠγωνίσατο; εἰ γὰρ οὐ δεῖ τὸν νόμον ἀφεῖναι, φησὶν, ἀφήκαμεν δὲ διὰ τὸν Χριστὸν, μέλλομεν κρίνεσθαι; τί οὖν Πέτρῳ ταῦτα λέγεις καὶ παραινεῖς, τῷ πάντων ἀκριβέστερον ταῦτα εἰδότι; οὐκ αὐτῷ ἔδειξεν ὁ Θεὸς, ὅτι οὐ δεῖ κρίνειν ἄνθρωπον ἀκροβυστίᾳ ἢ περιτομῇ; οὐχὶ Ἰουδαίοις διαλεγόμενος περὶ τούτων γενναίως ἀπὸ τῆς ὄψεως ταύτης ἀντέστη; οὐχὶ δόγματα περὶ τούτων ἐξ Ἱεροσολύμων πάλιν ἔπεμπε; οὐ τοίνυν Πέτρον διορθούμενος ταῦτα λέγει· ἀλλ' ἔδει μὲν πρὸς ἐκεῖνον ὁ λόγος ἀποτείνεσθαι, πρὸς δὲ τοὺς μαθητὰς ἔλεγε. ταῦτα δὲ οὐ πρὸς Γαλάτας, ἀλλὰ καὶ πρὸς τοὺς τὰ αὐτὰ νοσοῦντας ἐκείνοις. εἰ γὰρ καὶ μὴ περιτέμνονται πολλοὶ νῦν, νηστεύουσι δὲ, καὶ τὸ σάββατον τηροῦσι μετ' ἐκείνων, ταῦτα πράττουσιν, ἐξωθοῦντες ἑαυτοὺς τῆς χάριτος. εἰ γὰρ τοὺς περιτομὴν μόνον κεχειρισμένους ὁ Χριστὸς οὐδὲν ὠφελεῖ, ὅταν καὶ νηστεία καὶ σάββατον προστεθῇ, καὶ ἀντὶ μιᾶς δύο τηρῶνται ἐντολαὶ, ὅρα τὸν κίνδυνον καὶ ἀπὸ τοῦ χρόνου γινόμενον χαλεπώτερον. ἐκεῖ-

νοι μὲν γὰρ ἐν ἀρχῇ ταῦτα ἐποίουν, ἔτι τῆς πόλεως οὔσης, καὶ τοῦ ναοῦ, καὶ τῶν ἄλλων ἁπάντων· οὗτοι δὲ καὶ τὴν τιμωρίαν ὁρῶντες, ἣν ἔδοσαν Ἰουδαῖοι, καὶ τὸν τῆς πόλεως ἀφανισμὸν, καὶ πλείονα παρατηροῦντες, ποίαν ἕξοιεν ἂν ἀπολογίαν, τότε τὸν νόμον φυλάττοντες ὅτε αὐτοὶ οἱ Ἰουδαῖοι ὄντες, καὶ σφόδρα βουλόμενοι, οὐ δύνανται ταῦτα διατηρεῖν; τὸν Χριστὸν ἐνεδύσω, καὶ μέλος ἐγένου τοῦ δεσπότου, καὶ εἰς τὴν ἄνω πόλιν ἐνεγράφης, καὶ ἔτι περὶ τὸν νόμον ἕρπεις; καὶ πῶς ἔνι σοι τῆς βασιλείας ἐπιτυχεῖν; ἄκουσον τοῦ Παύλου λέγοντος, ὅτι τὸ εὐαγγέλιον ἀνατρέπεται διὰ τῆς παρατηρήσεως τοῦ νόμου. καὶ, εἰ βούλει, καὶ τὸν τρόπον μάθε, καὶ φρίξον, καὶ φύγε τὸ βάραθρον. διὰ τί γὰρ τηρεῖς τὸ σάββατον, καὶ νηστεύεις μετ' ἐκείνων; ὡς δεδοικὼς δηλονότι τὸν νόμον, καὶ τὸ ἀφεῖναι τὰ γράμματα ἐκεῖνα. οὐκ ἂν δὲ ἐφοβήθης ἀφεῖναι τὸν νόμον, εἰ μὴ τῆς πίστεως κατέγνως, ὡς ἀσθενοῦς καὶ οὐκ ἰσχυούσης καθ' ἑαυτὴν σῶσαι. εἰ γὰρ τὸ μὴ τηρῆσαι τὸ σάββατον φοβῇ, εὔδηλον ὅτι δέδοικας τὸν νόμον ὡς ἔτι κύριον ὄντα. εἰ δὲ χρεία νόμου πάλιν, οὐ μέρους, οὐδὲ μιᾶς ἐντολῆς, ἀλλὰ παντὸς δῆλον ὅτι χρεία τοῦ νόμου· εἰ δὲ παντὸς, ἐξεβλήθη κατὰ μικρὸν ἡ διὰ τῆς πίστεως δικαιοσύνη. εἰ γὰρ σάββατα τηρεῖς, διὰ τί μὴ καὶ περιτέμνῃ; εἰ δὲ περιτέμνῃ, διὰ τί μὴ καὶ περιθύεις; εἰ γὰρ φυλάττειν χρὴ, ὅλον τὸν νόμον χρὴ φυλάττειν· εἰ δὲ ὅλον οὐ χρὴ, οὐδὲ μέρος. εἰ δὲ γὰρ τοῦ μέρους φείδεις, μὴ παραβάσεως κριθῇς, ἄλλως καὶ γὰρ πάντως ἀνάγκη φοβεῖσθαι· εἰ δὲ ὅλος παραβαινόμενος οὐ κολάζει, δῆλον ὅτι οὐδὲ μέρος· εἰ δὲ μέρος, πολλῷ μᾶλλον ὅλος· εἰ δὲ ὅλον ἀνάγκη φυλάξαι, ἀνάγκη παρακοῦσαι τοῦ Χριστοῦ, ἢ ἀκούοντας τοῦ Χριστοῦ παραβάτας γενέσθαι τοῦ νόμου. εἰ γὰρ δεῖ φυλάττειν αὐτὸν, οἱ μὴ φυλάττοντες αὐτὸν, παραβάται, καὶ τῆς παραβάσεως ταύτης εὑρεθήσεται αἴτιος ἡμῖν ὁ Χριστός. αὐτὸς γὰρ τὸν νόμον ἔλυσε τὸν περὶ αὐτῶν, καὶ λύειν ἐκέλευσεν. ὁρᾷς τί κατασκευάζουσιν οἱ Ἰουδαΐζοντες; τὸν Χριστὸν τὸν τῆς δικαιοσύνης ἡμῖν αἴτιον, τοῦτον καὶ ἁμαρτίας ἀποφαίνουσιν αἴτιον, καθὼς καὶ Παῦλός φησιν· ἄρα Χριστὸς ἁμαρτίας διάκονος. εἶτα εἰς ἄτοπον τὸν λόγον ἀναγαγὼν, οὐδὲ ἐδεήθη λοιπὸν ἀνασκευῆς πρὸς τὴν ἀνατροπὴν, ἀλλ' ἠρκέσθη τῇ ἀπαγορεύσει, μόνον εἰπὼν,

γρ. δηλονότι

γρ. κατασκευῆς

Μὴ γένοιτο. Πρὸς γὰρ τὰ λίαν ἀναίσχυντα καὶ ἀναιδῆ, οὐδὲ κατασκευαστικῶν δεῖ λόγων, ἀλλ' ἀρκεῖ καὶ ἀπαγορεῦσαι μόνον.

18 Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.

Ὅρα τοῦ Παύλου σύνεσιν. ἐκεῖνοι δεῖξαι ἐβούλοντο, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον, παραβάτης· οὗτος δὲ εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον, δεικνὺς ὅτι ὁ τηρῶν τὸν νόμον, παραβάτης, οὐ τῆς πίστεως, ἀλλὰ καὶ αὐτοῦ τοῦ νόμου. ἃ γὰρ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, τὸν νόμον φησίν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πέπαυται ὁ νόμος, καὶ τοῦτο ὡμολογήσαμεν, δι' ὧν ἀφέντες αὐτὸν, κατεφύγομεν ἐπὶ τὴν ἐκ πίστεως σωτηρίαν. ἂν τοίνυν φιλονεικήσωμεν στῆσαι αὐτὸν, αὐτῷ τούτῳ παραβάται γινόμεθα, τὰ παρὰ τοῦ Θεοῦ λυθέντα φιλονεικοῦντες τηρεῖν. εἶτα καὶ πῶς κατελύθη, δείκνυσιν.

19 Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον. Διπλῆν ἔχει τοῦτο τὴν θεωρίαν. ἢ γὰρ νόμου τοῦ τῆς χάριτός φησιν (οἶδε γὰρ καὶ τοῦτον νόμον καλεῖν, ὡς ὅταν λέγῃ· Ὁ δὲ νόμος τοῦ πνεύ- Ρωμ. η. β.
ματος τῆς ζωῆς ἠλευθέρωσέ με) ἢ τὸν νόμον ἐνταῦθα τὸν παλαιὸν λέγει, δεικνὺς ὅτι δι' αὐτοῦ τοῦ νόμου τῷ νόμῳ ἀπέθανε· τουτέστιν, αὐτός με ὁ νόμος ἐνήγαγεν εἰς τὸ μηκέτι προσέχειν αὐτῷ. εἰ τοίνυν μέλλοιμι αὐτῷ προσέχειν, καὶ αὐτὸν παραβαίνω. πῶς καὶ τίνι τρόπῳ; Μωϋσῆς φησι, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμὲ, αὐτοῦ ἀκού- Δευτ. ιη. ιε.
σεσθε, περὶ τοῦ Χριστοῦ λέγων. ὥστε οἱ μὴ τούτῳ πειθόμενοι, παραβαίνουσι τὸν νόμον. καὶ ἑτέρως δὲ πάλιν τοῦτο νοητέον ἡμῖν, τὸ, διὰ νόμου νόμῳ ἀπέθανον. ὁ γὰρ νόμος πάντα κελεύει ποιεῖν τὰ ἐγγεγραμμένα, καὶ τὸν μὴ ποιοῦντα κολάζει. οὐκοῦν ἅπαντες αὐτῷ τετελευτήκαμεν. οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. καὶ ὅρα πῶς καὶ ἐνταῦθα μεμετρημένως ποιεῖται τὴν πρὸς

αὐτὸν μᾶλλον. οὐ γὰρ εἶπεν, ὁ νόμος μοι ἀπέθανεν, ἀλλ᾽, ἐγὼ τῷ νόμῳ ἀπέθανον. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὥσπερ τὸν νεκρὸν καὶ τεθνεῶτα οὐκ ἔστιν ὑπακούειν ταῖς ἐντολαῖς τοῦ νόμου, οὕτως οὐδὲ ἐμὲ τὸν ἐκ τῆς ἀρᾶς τῆς ἐκείνου τελευτήσαντα· τῷ γὰρ ἐκείνου λόγῳ ἀπέθανον. μὴ τοίνυν ἐπιτασσέτω τῷ τεθνεῶτι, ὃν καὶ αὐτὸς ἀνεῖλε, καὶ θάνατον, οὐ τὸν σωματικὸν μόνον, ἀλλὰ καὶ τὸν ψυχικόν, δι᾽ οὗ καὶ τὸν σωματικόν, ἐπήγαγεν. ὅτι γὰρ τοῦτο λέγει, διὰ τῶν ἑξῆς ἐδήλωσεν. Ἵνα γὰρ Θεῷ ζήσω, φησί,

20 Χριστῷ συνεσταύρωμαι. Ἐπειδὴ γὰρ εἶπεν, ἀπέθανον, ἵνα μή τις εἴπῃ, πῶς οὖν ζῇς; ἐπήγαγε καὶ τὴν αἰτίαν τῆς ζωῆς, καὶ ἔδειξεν, ὅτι ὁ μὲν νόμος ζῶντα ἀπέκτεινεν, ὁ δὲ Χριστὸς νεκρὸν λαβών, διὰ θανάτου ἐζωοποίησε· καὶ διπλοῦν τὸ θαῦμα δείκνυσιν, ὅτι καὶ τὸν νεκρὸν ἐζωοποίησε, καὶ διὰ θανάτου τὴν ζωὴν ἐχαρίσατο. ζωὴν δὲ λέγει νῦν, τὸν θάνατον. τοῦτο γάρ ἐστιν, ἵνα Θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι. καὶ πῶς ὁ ζῶν καὶ ἐμπνέων συνεσταυρώθη, φησίν; ὅτι μὲν γὰρ ὁ Χριστὸς ἐσταυρώθη, δῆλον· σὺ δὲ πῶς ἐσταύρωσαι, καὶ ζῇς; ὅρα πῶς καὶ αὐτὸ ἑρμηνεύει, λέγων·

Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Τῷ μὲν γὰρ εἰπεῖν, Χριστῷ συνεσταύρωμαι, τὸ βάπτισμα ᾐνίξατο· τῷ δὲ εἰπεῖν, ζῶ δὲ οὐκέτι ἐγώ, τὴν μετὰ ταῦτα πολιτείαν, δι᾽ ἧς νεκροῦται ἡμῶν τὰ μέλη. τί δέ ἐστι, ζῇ δὲ ἐν ἐμοὶ Χριστός; οὐδὲν γίνεται, φησίν, ὑπ᾽ ἐμοῦ, ὧν ὁ Χριστὸς οὐ βούλεται. ὥσπερ γὰρ θάνατον λέγει, οὐ τοῦτον τὸν κοινόν, ἀλλὰ τὸν ἐκ τῆς ἁμαρτίας, οὕτω καὶ ζωήν, τὴν ἐκείνων ἀπαλλαγήν. Θεῷ γὰρ οὐκ ἔστιν ἄλλως ζῆν, ἀλλ᾽ ἢ νεκρωθέντα τῇ ἁμαρτίᾳ. ὥσπερ οὖν ὁ Χριστὸς τὸν σωματικὸν ὑπέστη θάνατον, οὕτως ἐγὼ τὸν κατὰ τῆς ἁμαρτίας. Νεκρώσατε γὰρ τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, ἅτινά ἐστι πορνεία, ἀκαθαρσία, μοιχεία. καὶ πάλιν λέγει, Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη· ὅπερ ἐν τῷ λουτρῷ γέγονε. μετὰ δὲ ταῦτα ἐὰν μείνῃς νεκρὸς τῇ ἁμαρτίᾳ, ζῇς τῷ Θεῷ· ἂν δὲ πάλιν αὐτὴν ἀναστήσῃς, ἐλυμήνω τῇ τοιαύτῃ ζωῇ. ἀλλ᾽ οὐχ ὁ Παῦλος τοιοῦτος, ἀλλ᾽ ἔμεινε διόλου νεκρός. εἰ τοίνυν ζῶ τῷ Θεῷ, φησίν, ἑτέραν παρὰ τὴν ἐν τῷ νόμῳ ζωήν, καὶ νεκρὸς ἐγενόμην τῷ νόμῳ, οὐδὲν τοῦ νόμου φυλάττειν δύναμαι. καὶ ὅρα τὴν ἀκρίβειαν τῆς πολιτείας, ● θαύμασον μετὰ ὑπερβολῆς τὴν μακαρίαν ἐκείνην ψυχήν. οὐ γὰρ εἶπε, ζῶ ἐγώ, ἀλλά, ζῇ ἐν ἐμοὶ Χριστός. τίς ταύτην τολμήσειε ῥῆξαι τὴν φωνήν; ἐπειδὴ γὰρ εὐήνιον ἑαυτὸν τῷ Χριστῷ κατεσκεύασε, καὶ ἅπαντα ἐξέβαλε τὰ βιωτικά, καὶ πρὸς τὸ θέλημα τὸ ἐκείνου πάντα ἔπραττεν, οὐκ εἶπε, ζῶ τῷ Χριστῷ, ἀλλ᾽ ὃ πολλῷ πλέον ἦν, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὥσπερ γὰρ ἡ ἁμαρτία, ὅταν κρατήσῃ, αὐτή ἐστιν ἡ ζῶσα, πρὸς ἃ βούλεται τὴν ψυχὴν ἄγουσα· οὕτως εἰ ἐκείνης νεκρωθείσης τὰ τῷ Χριστῷ δοκοῦντα πράττει, οὐδὲ ἀνθρωπίνη λοιπόν ἐστιν ἡ τοιαύτη ζωή, ἀλλ᾽ αὐτοῦ τοῦ ζῶντος ἐν ἡμῖν, τουτέστιν, ἐνεργοῦντος, κρατοῦντος. ἐπειδὴ δὲ ἔλεγε, συνεσταύρωμαι, καὶ οὐκέτι ζῶ, ἀλλ᾽ ἀπέθανον, καὶ ἐδόκει πολλοῖς ἀπίθανον λέγειν, ἐπήγαγεν·

Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ. Τὰ μὲν εἰρημένα μοι, φησί, περὶ τῆς νοερᾶς ζωῆς· εἰ δέ τις ἐξετάζοι καὶ ταύτην τὴν αἰσθητήν, καὶ αὕτη διὰ τὴν εἰς Χριστόν μοι πίστιν γέγονεν. ὅσον γὰρ εἰς τὴν παλαιὰν πολιτείαν καὶ τὸν νόμον, ἐσχάτης κολάσεως ἄξιος ἤμην, καὶ πάλαι ἂν ἀπωλώλειν. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, καὶ ὑπὸ τὴν ἀπόφασιν ἡμᾶς κειμένους ἠλευθέρωσεν ὁ Χριστός (καὶ γὰρ ἅπαντες ἀπεθάνομεν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ ἀποφάσει) καὶ τὴν πληγὴν ἐκδεχομένους ἀπήλλαξεν. ἐπειδὴ καὶ ὁ νόμος κατηγόρησε, καὶ ὁ Θεὸς ἀπεφήνατο, ἐλθὼν ὁ Χριστὸς καὶ εἰς θάνατον ἑαυτὸν ἐκδούς, πάντας ἡμᾶς ἐξήρπασε τοῦ θανάτου. ὥστε ὃ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἐκώλυσε πάντας ἀφανισθῆναι, ὃ καὶ ἐπὶ τοῦ κατακλυσμοῦ γέγονεν. ἀλλ᾽ ἡ τοῦ Χριστοῦ παρουσία ἔστησε τοῦ Θεοῦ τὴν ὀργήν, διὰ τῆς πίστεως ζῆν ἡμᾶς ἐποίησεν. ὅτι γὰρ τοῦτό φησιν, ἄκουσον τῶν ἑξῆς. εἰπὼν γάρ, ὅτι ὃ δὲ νῦν ζῶ ἐν σαρ-

Κολασ. γ. ε.
Ρωμ. ς. ς.

κι,

κὶ, ἐν πίστει ζῶ, ἐπήγαγε· Τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

Τί ποιεῖς, ὦ Παῦλε, τὰ κοινὰ σφετεριζόμενος, καὶ τὰ ὑπὲρ τῆς οἰκουμένης γενόμενα ἰδιοποιούμενος; οὐ γὰρ εἶπε, τοῦ ἀγαπήσαντος ἡμᾶς, ἀλλὰ, τοῦ ἀγαπήσαντός με. καίτοι ὁ εὐαγγελιστής φησιν, Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον· (Ιωαν. γ. ις.) καὶ σὺ δὲ αὐτὸς λέγεις, Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ἔδωκεν αὐτὸν, οὐχ ὑπὲρ σοῦ, ἀλλ' ὑπὲρ πάντων. (Ρωμ. η. λϐ.) καὶ πάλιν, Ἵνα περιποιήσηται ἑαυτῷ λαὸν περιούσιον. (Τιτ. ϐ. ιδ.) τί οὖν ἐστιν ἐνταῦθα ὃ λέγει; ἐννοήσας τὴν ἀπόγνωσιν τῆς ἀνθρωπίνης φύσεως, καὶ τὴν ἄφατον τοῦ Χριστοῦ κηδεμονίαν, καὶ τίνων ἀπήλλαξε, καὶ τίνα ἐχαρίσατο, καὶ πυρωθεὶς ὑπὸ τοῦ περὶ αὐτὸν πόθου, οὕτω φθέγγεται (ἐπεὶ καὶ οἱ προφῆται τὸν κοινὸν Θεὸν ἰδιοποιοῦνται πολλάκις, οὕτω λέγοντες, Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω) (Ψαλμ. ξϐ. α.) καὶ χωρὶς δὲ τούτων δεικνὺς, ὅτι ἕκαστον ἡμῶν τοσαύτην δίκαιον ὀφείλειν τῷ Χριστῷ χάριν, ὅσην ἂν εἰ καὶ δι' αὐτὸν μόνον ἦλθεν. οὐ γὰρ ἂν παρῃτήσατο καὶ ὑπὲρ ἑνὸς τοσαύτην οἰκονομίαν ἐπιδείξασθαι· οὕτως ἕκαστον ἄνθρωπον τῷ αὐτῷ ἀγάπης μέτρῳ φιλεῖ, ὅσῳ τὴν οἰκουμένην ἅπασαν. ἡ μὲν οὖν θυσία ὑπὲρ πάσης προσηνέχθη τῆς φύσεως, καὶ ἱκανὴ ἦν πάντας σῶσαι· οἱ δὲ τῇ εὐεργεσίᾳ χρησάμενοι, οἱ πιστεύοντές εἰσι μόνοι. ἀλλ' ὅμως οὐκ ἀπέστησεν αὐτὸν τῆς τοιαύτης οἰκονομίας τὸ μὴ πάντας προσελθεῖν, ἀλλ' ὅμως τὸ ἄριστον τὸ ἐν τῷ εὐαγγελίῳ πᾶσι μὲν ηὐτρέπιστο, (Λουκ. ιδ. ιϛ.) ἐπειδὴ δὲ οὐκ ἠθέλησαν ἐλθεῖν οἱ κληθέντες, οὐ συνέστειλε τὰ παρακείμενα, ἀλλ' ἑτέρους ἐκάλεσεν· οὕτω καὶ ἐνταῦθα πεποίηκε. καὶ γὰρ καὶ τὸ πρόβατον τὸ τῶν ἐνενηκονταεννέα ἀποσπασθὲν, ἓν ἦν, ἀλλ' ὅμως οὐδὲ αὐτοῦ κατεφρόνησε. (Ματθ. ιη. ιβ.) τοῦτο δὲ αὐτὸ οὕτω πως καὶ περὶ Ἰουδαίων διαλεγόμενος ὁ Παῦλος αἰνίττεται λέγων· Τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; μὴ γένοιτο. (Ρωμ. γ. γ.) γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης. Εἶτα αὐτὸς μὲν οὕτω σε ἠγάπησεν, ὡς καὶ ἑαυτὸν παραδοῦναι, καὶ οὐκ ἔχοντα σωτηρίας ἐλπίδα εἰς τοσαύτην καὶ τοιαύτην ζωὴν ἀγαγεῖν, σὺ δὲ μετὰ τοσαῦτα ἀγαθὰ πρὸς τὰ παλαιὰ παλινδρομεῖς; ἐπειδὴ τοίνυν τὰ ἀπὸ τῶν λογισμῶν ἐνέθηκεν ἀκριβῶς, λοιπὸν ἐν ἀποφάσει σφοδρῶς ἀνακηρύττει λέγων·

21 Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ. Ἀκουέτωσαν οἱ ἔτι καὶ νῦν Ἰουδαΐζοντες, καὶ τῷ νόμῳ προσέχοντες· καὶ γὰρ πρὸς ἐκείνους ταῦτα λέγεται. Εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε. Τί ταύτης τῆς ἁμαρτίας χαλεπώτερον; ἢ τῶν ῥημάτων τούτων ἐντρεπτικώτερον; εἰ γὰρ ἀπέθανεν ὁ Χριστὸς, εὔδηλον ὅτι διὰ τὸ μὴ ἰσχύειν τὸν νόμον ἡμᾶς δικαιοῦν· εἰ δὲ ὁ νόμος δικαιοῖ, περιττὸς ὁ τοῦ Χριστοῦ θάνατος. καὶ πῶς ἂν ἔχοι λόγον πρᾶγμα τοσοῦτον, τοσαύτης γέμον φρίκης, καὶ λογισμὸν ἀνθρώπινον ὑπερβαῖνον, καὶ μυστήριον οὕτως ἀπόρρητον, ὃ προφῆται μὲν ὤδινον, πατριάρχαι δὲ προύλεγον, ἄγγελοι δὲ ἐξεπλήττοντο βλέποντες, κεφάλαιον δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας παρὰ πᾶσιν ὁμολογητέον, τοῦτο εἰκῆ καὶ μάτην γεγενῆσθαι λέγειν; ἐννοήσας τὴν ὑπερβολὴν τῆς ἀτοπίας, εἰ τοσοῦτον πρᾶγμα καὶ τηλικοῦτον περιττῶς λέγοιεν γεγενῆσθαι (τοῦτο γὰρ ἀφ' ὧν ἐποίουν συνίστατο) καὶ ὕβρει κατ' αὐτῶν κέχρηται, λέγων οὕτως·

ΚΕΦΑΛΑΙΟΝ γ.

1 Ω ΑΝΟΗΤΟΙ ΓΑΛΑΤΑΙ, ΤΙΣ ΥΜΑΣ ΕΒΑΣΚΑΝΕΝ, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος;

Ἐνταῦθα λοιπὸν ἐφ' ἕτερον μεταβαίνει κεφάλαιον. ἐν μὲν γὰρ τοῖς προτέροις ἔδειξεν, ὅτι οὐκ ἀπ' ἀνθρώπων ἦν ἀπόστολος, οὐδὲ δι' ἀνθρώπων, οὐδὲ ἐδεήθη τῆς τῶν ἀποστόλων διδασκαλίας· ἐνταῦθα δὲ λοιπὸν ἀξιόπιστον καταστήσας ἑαυτὸν διδάσκαλον, μετὰ πλείονος τῆς αὐθεντίας διαλέγεται, πίστεως καὶ νόμου σύγκρισιν ποιούμενος.
Γαλ. α. ϛ. ἀρχόμενος μὲν οὖν φησι, Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε· ἐνταῦθα δὲ, ὦ ἀνόητοι Γαλάται. τότε μὲν γὰρ ὤδινε τὴν ἀγανάκτησιν· ἐπειδὴ δὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπελογήσατο, εἰς μέσον αὐτὴν ἀπορρήξας, ἐξήνεγκε μετὰ τὴν ἀπόδειξιν. εἰ
Ματθ. ε. κβ. δὲ ἀνοήτους καλεῖ, μὴ θαυμάσῃς. οὐ γὰρ παραβαίνων τοῦ Χριστοῦ τὸν νόμον τὸν λέγοντα, μὴ λέγειν μωρὸν τὸν ἀδελφὸν αὐτοῦ, ἀλλὰ καὶ σφόδρα αὐτὸν τηρῶν, τοῦτο ποιεῖ. οὐ γὰρ ἁπλῶς εἴρηται, ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν, ἀλλ', ὁ εἰκῆ καλῶν. τίνες δὲ τούτων δικαιότερον ἂν ἔτυχον ταύτης τῆς προσηγορίας, τῶν μετὰ τοσαῦτα καὶ τηλικαῦτα, ὡς οὐδενὸς γενομένων, τῶν προτέρων ἐχομένων; εἰ δὲ διὰ τοῦτο ὑβρεις ἦν καλεῖ τὸν Παῦλον, καὶ διὰ τὴν Σαπφείραν καὶ τὸν Ἀνανίαν ἀνδροφόνον ἐρεῖς τὸν Πέτρον. εἰ δὲ ἐκεῖνα μανίας εἰπεῖν, πολλῷ μᾶλλον καὶ ταῦτα. σὺ δέ μοι σκόπει, πῶς οὐκ ἀπὸ προοιμίων ταύτῃ κέχρηται τῇ σφοδρότητι, ἀλλὰ μετὰ τοὺς ἐλέγχους, καὶ τὰς ἀποδείξεις, ὅτε λοιπὸν οὐ παρ' ἐκείνου, ἀλλὰ παρ' αὐτῶν τῶν ἐλέγχων τὴν ἐπιτίμησιν ἐδέχοντο. ὅτε γὰρ ἔδειξε τὴν πίστιν ἐξωθουμένους, καὶ τὸν θάνατον τοῦ Χριστοῦ περιττὸν ἀποφαίνοντας, τότε ἐπάγει τὴν ἐπιτίμησιν, καὶ οὐδὲ τότε κατ' ἀξίαν. καὶ γὰρ πολλῷ χαλεπωτέρων ἦσαν ἄξιοι ῥημάτων. θέα δέ μοι πῶς εὐθέως καὶ καθυφίησι πλήξας. οὐ γὰρ εἶπε, τίς ὑμᾶς ἠπάτησε, τίς ὑμῶν ἀπεχειρήσατο, τίς ὑμᾶς παρελογίσατο, ἀλλὰ, τίς ὑμᾶς ἐβάσκηνεν, οὐκ ἀμοιρον ἐγκωμίων τὴν ἐπίπληξιν θείς. τοῦτο γὰρ δεικνύντος ἐστὶν, ὅτι φθόνου ἄξια ἔπραττον πρότερον, καὶ δαίμονος ἐπήρεια τὸ γινόμενον ἦν, σφοδρὸν κατὰ τῆς εὐημερίας αὐτῶν πνεύσαντος.
Ματθ ϛ. κγ. ὅταν δὲ φθόνον ἀκούσῃς ἐνταῦθα, καὶ ἐν τῷ εὐαγγελίῳ ὀφθαλμὸν πονηρὸν τὸ αὐτὸ δηλοῦντα, μὴ τοῦτο νομίσῃς, ὅτι ἡ τῶν ὀφθαλμῶν βολὴ τοὺς ὁρῶντας βλάπτειν πέφυκεν (ὀφθαλμὸς γὰρ οὐκ ἂν εἴη πονηρὸς, αὐτὸ τὸ μέλος) ἀλλ' ἐνταῦθα ὁ Χριστὸς οὕτω τὸν φθόνον λέγει. ὀφθαλμῶν μὲν γὰρ τὸ ἁπλῶς ὁρᾶν μόνον, τὸ δὲ πονηρῶς ὁρᾶν τῆς ἔνδον διεστραμμένης γίγνεται γνώμης. ἐπειδὴ γὰρ διὰ τῆς αἰσθήσεως ταύτης εἰς τὴν ψυχὴν ἡμῶν εἰσέρχεται τῶν ὁρωμένων ἡ θεωρία, καὶ ὡς ἐπὶ πολὺ ἐν πλούτῳ μάλιστα ὁ φθόνος τίκτεται, ὁ δὲ πλοῦτος ἀπὸ ὀφθαλμῶν ὁρᾶται, καὶ αἱ δυναστεῖαι, καὶ αἱ δορυφορίαι, διὰ τοῦτο πονηρὸν ὀφθαλμὸν ἐκάλεσεν, οὐ τὸν ὁρῶντα, ἀλλὰ τὸν μετὰ βασκανίας ὁρῶντα ἀπὸ τῆς κατὰ ψυχὴν πονηρίας. εἰπὼν δὲ, τίς ὑμᾶς ἐβάσκηνε, δείκνυσιν ὅτι οὐχ ὡς κηδεμόνες, οὐδὲ ὡς τὸ λεῖπον ἀναπληροῦντες, ἀλλὰ καὶ τὸ ὂν ἀκρωτηριάζοντες, τοῦτο ποιοῦσι. φθόνου γὰρ ἐστὶν, οὐ τὸ λεῖπον προσθεῖναι, ἀλλὰ καὶ τῶν πεπληρωμένων ὑφελέσθαι τι, καὶ λυμήνασθαι τῷ παντί. ταῦτα δὲ λέγει, οὐχ ὡς τοῦ φθόνου καθ' ἑαυτὸν ἰσχὺν ἔχοντος, ἀλλ' ὡς τῶν ταῦτα διδασκόντων διὰ βασκανίαν ἐπὶ τοῦτο ἐλθόντων. οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος. καίτοι οὐκ ἐν τῇ Γαλατῶν χώρᾳ, ἀλλ' ἐν Ἱεροσολύμοις ἐσταυρώθη. πῶς οὖν φησιν, ἐν ὑμῖν; τῆς πίστεως δεικνὺς τὴν ἰσχὺν καὶ τὰ πόρρωθεν δυναμένης ὁρᾶν. καὶ οὐκ εἶπεν, ἐσταυρώθη, ἀλλὰ, προεγράφη ἐσταυρωμένος, δηλῶν ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἀκριβέστερον ἐθεώρησαν τῶν παρόντων ἐνίων καὶ τὰ γινόμενα θεωμένων. ἐκείνων μὲν γὰρ πολλοὶ θεασάμενοι, οὐδὲν ἀπώναντο· οὗτοι δὲ ὀφθαλμοφανῶς μὲν οὐκ εἶδον, διὰ δὲ τῆς πίστεως ἀκριβέστερον εἶδον. ταῦτα δὲ λέγει ὁμοῦ καὶ καθαπτόμενος αὐτῶν, καὶ ἐπαινῶν ἐπαινῶν μὲν, ὅτι μετὰ τοσαύτης πληροφορίας ἐδέξαντο τὸ γεγενημένον· καθαπτόμενος δὲ, ὅτι ὃν εἶδον ὑπὲρ αὐτῶν γυμνωθέντα, διεσκολοπισμένον, προσηλωμένον,

μενον, ἐμπτυόμενον, κωμῳδούμενον, ποτιζόμενον ὄξος, κατηγορούμενον ὑπὸ λῃστῶν, λόγχῃ νυττόμενον (ταῦτα γὰρ τὸ εἰπεῖν, προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος, ταῦτα πάντα ἐδήλωσε) τοῦτον ἀφέντες ἐπὶ τὸν νόμον ἐδράμετε, οὐδὲν αἰδεσθέντες τῶν παθημάτων ἐκείνων. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἄλλα πάντα ἀφεὶς, τὴν δύναμιν ἐκήρυττε τοῦ Χριστοῦ, τὸν σταυρὸν περιφέρων. τοῦτο γὰρ μάλιστα κεφάλαιον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ἦν.

2 Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; Ἐπειδὴ γὰρ τοῖς μακροῖς οὐ παρηκολουθεῖτε λόγοις, φησὶν, οὐδὲ τῆς οἰκονομίας τὸ μέγεθος κατοπτεῦσαι βούλεσθε, διὰ συντόμου λόγου καὶ ταχίστης ἀποδείξεως ὑμᾶς πεῖσαι βούλομαι, τὴν ἐσχάτην ὁρῶν ἀγνωμοσύνην. ἀνωτέρω μὲν γὰρ ἐκ τῶν πρὸς τὸν Πέτρον αὐτῷ λεχθέντων ἔπειθεν, ἐνταῦθα δὲ λοιπὸν πρὸς αὐτοὺς ἀποδύεται, οὐκ ἐκ τῶν ἀλλαχοῦ συμβάντων, ἀλλ' ἐκ τῶν ἐν αὐτοῖς γινομένων κατασκευάζων ἅπαντα, καὶ οὐκέτι μόνον ἀπὸ τῶν κοινῇ δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν αὐτοῖς ἰδίᾳ δεδωρημένων πίστιν ποιούμενος τὴν ἀπόδειξιν. διό φησι· τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; ἐλάβετε πνεῦμα ἅγιον, φησὶν, εἰργάσασθε δυνάμεις πολλὰς, ἐπετελέσατε σημεῖα νεκροὺς ἐγείροντες, λεπροὺς καθαίροντες, προφητεύοντες, γλώσσαις λαλοῦντες. ταύτην οὖν τὴν τοσαύτην ἰσχὺν ἔδωκεν ὑμῖν ὁ νόμος; καὶ μὴν οὐδὲν πρότερον ἐποιεῖτε τοιοῦτον. ἀλλ' ἡ πίστις; πῶς οὖν οὐκ ἐσχάτης μανίας τοσαῦτα παρὰ τῆς πίστεως εὐεργετηθέντας, ταύτην μὲν ἀφεῖναι, πρὸς δὲ τὸν οὐδὲν τοιοῦτον παρασχόντα νόμον αὐτομολῆσαι πάλιν;

3 Οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;

Πάλιν εὐκαίρως τὴν ὕβριν ἐπήγαγε. δέον γὰρ, φησὶ, προσθήκην ποιῆσαι τοῦ χρόνου προϊόντος, οὐ μόνον οὐκ ἐπεδώκατε, ἀλλὰ καὶ εἰς τοὐπίσω κατηνέχθητε πάλιν. οἱ μὲν γὰρ ἀπὸ τῶν μικρῶν ἀρχόμενοι, προϊόντες ἐπὶ τὰ μείζονα ἀναβαίνουσιν· ὑμεῖς δὲ ἀπὸ τῶν μεγάλων ἀρξάμενοι, πρὸς τὰ ἐναντία κατηνέχθητε. εἰ γὰρ καὶ ἀπὸ σαρκικῶν ἤρξασθε, ἔδει εἰς τὰ πνευματικὰ προκόψαι· νῦν δὲ ἀπὸ πνευματικῶν ἀρξάμενοι, εἰς τὰ σαρκικὰ κατελύσατε. τὸ μὲν γὰρ σημεῖα ποιεῖν, πνευματικόν· τὸ δὲ περιτέμνεσθαι, σαρκικόν. ὑμεῖς δὲ μετὰ τὰ σημεῖα ἐπὶ τὴν περιτομὴν ἤλθετε, μετὰ τὸ δράξασθαι τῆς ἀληθείας ἐπὶ τοὺς τύπους κατεπέσετε, μετὰ τὸ κατοπτεῦσαι τὸν ἥλιον τὸν λύχνον ἐπιζητεῖτε, μετὰ τὴν στερεὰν
χ. πλεῦτε, τροφὴν ἐπὶ τὸ γάλα τρέχετε. καὶ οὐκ εἶπε, σαρκὶ τελεῖσθε, ἀλλὰ, σαρκὶ ἐπιτελεῖσθε, δεικνὺς ὅτι δίκην θρεμμάτων ἀλόγων, λαβόντες αὐτοὺς ἐκεῖνοι κατέκοπτον, τούτων ἑαυτοὺς ἐκδιδόντων εἰς τὸ πάσχειν ἅπερ ἐβούλοντο ἐκεῖνοι, ὥσπερ ἂν εἴ τις ἀπὸ στρατηγῶν καὶ ἀρχόντων μετὰ μυρία τρόπαια καὶ νίκας εἰς τὴν τῶν λιποτακτῶν δοὺς ἑαυτὸν ἀτιμίαν, κατασφάζειν παρέχει τοῖς βουλομένοις τὸ σῶμα.

4 Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. Τοῦτο τοῦ προτέρου πολὺ πληκτικώτερον. οὐ γὰρ οὕτως ἠδύνατο τῶν σημείων ἀνάμνησις, ὡς ἡ τῶν ἀγώνων ἐπίδειξις καὶ ἡ τῶν παθῶν ὑπομονὴ τῶν διὰ Χριστόν. πάντα γὰρ ἐκεῖνα, φησὶν, ἅπερ ὑπεμείνατε, ζημιῶσαι ὑμᾶς οὗτοι βούλονται, καὶ τὸν στέφανον ὑμῶν ἁρπάσαι. εἶτα, ἵνα μὴ κατασείσῃ αὐτῶν τὴν ψυχὴν, καὶ ἐκλύσῃ τὰ νεῦρα, οὐκ ἔμεινεν ἕως τῆς ἀποφάσεως, ἀλλ' ἐπήγαγεν, εἴγε καὶ εἰκῇ. εἰ γὰρ βουληθείητε, φησὶν, ἀνανῆψαι καὶ ἀνακαλέσασθαι ἑαυτοὺς, οὐκ εἰκῇ. ποῦ νῦν εἰσὶν οἱ τὴν μετάνοιαν ἐκκόπτοντες; ἰδοὺ γὰρ οὗτοι καὶ πνεῦμα ἔλαβον, καὶ σημεῖα εἰργάσαντο, καὶ ὁμολογηταὶ ἐγένοντο, μυρία διὰ τὸν Χριστὸν ὑπομείναντες κινδύνους καὶ διωγμούς, καὶ μετὰ τοσαῦτα κατορθώματα τῆς χάριτος ἐξέπεσον. ἀλλ' ὅμως, φησὶν, ἐὰν βούλησθε, δύνασθε ἑαυτοὺς ἀνακαλέσασθαι.

5 Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως; Τοσαύτης, φησὶν, ἠξιώθητε δωρεᾶς, καὶ θαύματα ἐπετελέσατε τοσαῦτα, ὅτι νόμον ἐφυλάξατε, ἢ ὅτι πίστιν ἐτηρήσατε; δῆλον ὅτι διὰ τὴν πίστιν. ἐπειδὴ γὰρ αὐτοὶ καὶ κάτω τοῦτο ἔστρεφον καὶ περιέφερον ἐκεῖνοι λέγοντες, ὅτι οὐκ ἔχει ἡ πίστις ἰσχὺν, τοῦ νόμου μὴ προσκειμένου, δείκνυσι τὸ ἐναντίον, ὅτι τῶν ἐντολῶν προστεθεισῶν οὐδὲν ἡ πίστις ὠφελήσει λοιπόν. ἡ γὰρ πίστις τότε ἰσχύει, ὅταν μὴ προστεθῇ ἀπὸ τοῦ νόμου. Ὅσοι γὰρ ἐν νόμῳ δικαιοῦσθε, φησὶ, τῆς χάριτος ἐξεπέσετε. ἀλλὰ τοῦτο μὲν προϊὼν φησιν, ὅτι καὶ μείζονι κέχρηται παρρησίᾳ, ἀπὸ τῶν ἤδη κατεσκευασμένων τὴν ἀφορμὴν λαμβάνων· πῶς δὲ ἀπὸ τῶν προελθόντων τὴν ἀφορμὴν κατασκευάζει. ὅτε γὰρ, φησιν, οὐ προσείχετε τῷ νόμῳ, ἀλλὰ τῇ πίστει, τότε τὸ πνεῦμα ἐλάβετε, καὶ τὰ σημεῖα ἐπετελέσατε. Εἶτα ἐπειδὴ περὶ νόμου ὁ λόγος ἦν, καὶ ἕτερον ἐκίνει τόπον ἀγωνιστικώτατον, τὸν Ἀβραὰμ εἰς μέσον ἄγων, καὶ σφόδρα εὐκαίρως, καὶ μετὰ πολλῆς τῆς περιουσίας, οὕτω λέγων·

Γαλ. ε. δ.

6 Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Δηλοῖ μὲν γὰρ, φησι, τῆς πίστεως τὴν δύναμιν καὶ τὰ ὑφ' ἡμῶν γινόμενα θαύματα· εἰ δὲ βούλεσθε, καὶ ἐκ παλαιῶν ὑμᾶς πείσαιμι διηγημάτων. ἐπειδὴ γὰρ πολὺς τοῦ πατριάρχου λόγος ἦν παρ' αὐτοῖς, ἄγει καὶ αὐτὸν εἰς μέσον, καὶ δείκνυσι καὶ αὐτὸν οὕτω δικαιωθέντα. εἰ δὲ ὁ πρὸ τῆς χάριτος ἀπὸ πίστεως ἐδικαιώθη, καίτοιγε καὶ ἐν ἔργοις κομῶν, πολλῷ μᾶλλον ὑμεῖς. τί γὰρ ἐκεῖνος ἐβλάβη μὴ γενόμενος ὑπὸ νόμον; οὐδὲν, ἀλλ' ἤρκεσεν ἡ πίστις εἰς δικαιοσύνην αὐτῷ. οὐδὲ γὰρ ἦν νόμος τότε, φησίν. οὐδὲ γὰρ νῦν ἐστὶ νόμος, ὥσπερ οὐδὲ τότε. διὰ γὰρ τοῦτο ἀνελὼν τοῦ νόμου τὴν χρείαν, τότε τὸν πρὸ τοῦ νόμου δικαιωθέντα εἰσήγαγεν, ἵνα μὴ ταύτην δέξηται τὴν ἀνάθεσιν. ὥσπερ γὰρ τότε οὐδέπω δοθεὶς ἦν, οὕτω καὶ νῦν δοθεὶς πέπαυται. εἶτα ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ ἐξ Ἀβραὰμ γεγενῆσθαι, καὶ ἐδεδοίκεισαν, μὴ τὸν νόμον ἀφέντες, ἀλλοτριωθῶσι τῆς ἐκείνου συγγενείας, καὶ τοῦτο πάλιν εἰς τὸ ἐναντίον περιτρέπει, καὶ λύει τὸν φόβον ὁ Παῦλος, δεικνὺς ὅτι τὴν πρὸς ἐκεῖνον ἀγχιστείαν μάλιστα ἡ πίστις ἐργάζεται. καὶ τοῦτο σαφέστερον μὲν ἐν τῇ πρὸς Ῥωμαίους κατεσκεύασεν, οὐχ ἧττον δὲ αὐτὸ καὶ ἐνταῦθα ἐργάζεται, λέγων οὕτω·

7 Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοι υἱοί εἰσιν Ἀβραάμ. Εἶτα καὶ αὐτὸ τοῦτο ἀπὸ μαρτυρίας συνίστησι παλαιᾶς.

8 Προϊδοῦσα γὰρ, φησιν, ἡ γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραὰμ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη. Εἰ τοίνυν οὐχ οἱ τὴν φυσικὴν ἔχοντες πρὸς αὐτὸν συγγένειαν, οὗτοί εἰσιν υἱοί, ἀλλ' οἱ τὴν πίστιν ἐκείνου μιμησάμενοι (τοῦτο γάρ ἐστιν, ἐν σοὶ τὰ ἔθνη) δῆλον ὅτι εἰς ταύτην εἰσάγεται τὴν συγγένειαν. διὰ δὴ τούτων καὶ ἕτερον δείκνυται μέγα. ἐπειδὴ γὰρ αὐτοὺς ἐθορύβει τὸ τὸν νόμον ἀρχαιότερον εἶναι, τὴν δὲ πίστιν μετὰ τὸν νόμον, καὶ ταύτην αὐτῶν ἀναιρεῖ τὴν ὑπόληψιν, δεικνὺς ὅτι τοῦ νόμου πρεσβυτέρα ἡ πίστις, καὶ τοῦτο δῆλον ἀπὸ τοῦ Ἀβραάμ. πρὶν ἢ γὰρ φανῆναι τὸν νόμον, ἐκεῖνος ἐδικαιώθη. δείκνυσι δὲ ὅτι καὶ τὰ νῦν γινόμενα, κατὰ προφητείαν ἐγένετο. προϊδοῦσα γὰρ, φησιν, ἡ γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, οὐκ ἐκ τοῦ νόμου, προευηγγελίσατο τῷ Ἀβραάμ. τί δὲ τοῦτό ἐστιν; αὐτὸς ὁ τὸν νόμον δεδωκὼς, φησὶ, καὶ πρὶν ἢ τὸν νόμον τοῦτον δοῦναι, τοῦτο ἦν ὁρίσας, ἐκ πίστεως δικαιωθῆναι τὰ ἔθνη. καὶ οὐκ εἶπεν, ἀπεκάλυψεν, ἀλλ' εὐηγγελίσατο, ἵνα μάθῃς, ὅτι καὶ ὁ πατριάρχης τούτῳ τῷ τρόπῳ τῆς δικαιοσύνης ἔχαιρε, καὶ σφόδρα ἐπόθει τοῦτο γενέσθαι. ἐπειδὴ δὲ εἶχε φόβος καὶ ἄλλος ἕτερος (γέγραπται γὰρ, Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτά) καὶ τοῦτο διαλύει τὸ δέος, σοφῶς καὶ συνετῶς πάλιν εἰς τὸ ἐναντίον αὐτὸ περιτρέπων, καὶ δεικνὺς, ὅτι οὐ μόνον οὐκ εἰσὶν ἐπικατάρατοι οἱ τὸν νόμον ἀφέντες, ἀλλὰ καὶ εὐλογημένοι

Γεν. ιβ. γ.

Δευτ. κζ. κς.

μένοι

μένοι τῷ δὲ κατέχοντες, οὐ μόνον οὐκ εὐλογημένοι, ἀλλὰ καὶ ἐπικατάρατοι. ἐκεῖνοι μὲν γὰρ ἔλεγον, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον ἐπικατάρατος· οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τηρῶν ἐπικατάρατος, ὁ δὲ μὴ τηρῶν εὐλογημένος. ἐκεῖνοι πάλιν ἔλεγον, ὅτι ὁ τῇ πίστει μόνῃ προσέχων, ἐπικατάρατος· οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τῇ πίστει προσέχων μόνῃ, εὐλογημένος. πόσῳ οὖν ταῦτα πάντα δείκνυσιν; οὐ γὰρ τὸ τυχὸν ἐπηγγείλατο ἅμα. διὸ χρὴ καὶ μετὰ ἀκριβείας προσέχειν τοῖς ἑξῆς. ἔδειξε μὲν γὰρ ἤδη προελθὼν τοῦτο εἰπών, ὅτι ἡ γραφὴ εἶπε τῷ πατριάρχῃ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη. τότε δὲ νόμος οὐκ ἦν, ἀλλὰ πίστις. διὸ καὶ συλλογιζόμενος, ἐπήγαγεν·

9 Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.

Ἵνα δὲ μὴ τοῦτο εἰς ἀντίθεσιν λάβωσι, καὶ εἴπωσιν, εἰκότως ἀπὸ πίστεως ἐδικαιώθη (οὔπω γὰρ ἦν νόμος) σὺ δέ μοι δεῖξον μετὰ τὴν τοῦ νόμου θέσιν τὴν πίστιν δικαιοῦσαν· ἐπὶ τοῦτο ἔρχεται, καὶ πλέον ὧν ζητοῦσιν ἐπιδείκνυσιν, οὐχὶ δικαιοῦσαν μόνον τὴν πίστιν, ἀλλὰ καὶ τὸν νόμον ἐπικαταράτους τοὺς χρωμένους αὐτῷ ποιοῦντα. καὶ ἵνα ταῦτα μάθῃς, αὐτῶν ἄκουσον τῶν ἀποστολικῶν ῥημάτων.

10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν. Ἀλλὰ τοῦτο ἀπόφασις, οὐδέπω τὴν ἀπόδειξιν ἔχουσα. τίς οὖν ἡ ἀπόδειξις; ἐξ αὐτοῦ τοῦ νόμου.

Ἐπικατάρατος γὰρ πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτά.

11 Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται, παντί που δῆλον. Πάντες γὰρ ἥμαρτον, καὶ ὑπὸ κατάραν εἰσίν. ἀλλ᾽ οὕτω μὲν οὐ λέγει, ἵνα μὴ δόξῃ αὐτὸς ἀποφαίνεσθαι, πάλιν δὲ ἀπὸ μαρτυρίας αὐτὸ συνίστησιν ἀμφότερα ἐχούσης ἐν βραχεῖ, καὶ ὅτι νόμον οὐδεὶς ἐπλήρωσε (διὸ καὶ ἐπικατάρατοι ἦσαν) καὶ ὅτι ἡ πίστις δικαιοῖ. τίς οὖν ἡ μαρτυρία; ἀπὸ τοῦ προφήτου Ἀββακοὺμ οὕτω λέγοντος· Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Ἀββακ. c. β.

Τοῦτο γὰρ οὐ τὴν ἐκ πίστεως δείκνυσι δικαιοσύνην μόνον, ἀλλ᾽ ὅτι καὶ διὰ νόμου σωθῆναι οὐκ ἦν. ἐπεὶ γὰρ νόμον, φησίν, οὐδεὶς ἐτήρησεν, ἀλλὰ πάντες ἦσαν ὑπὸ τὴν ἀρὰν διὰ τὴν παράβασιν, ἐπενοήθη ῥᾳδία τις ὁδός, ἡ ἀπὸ τῆς πίστεως· ὅπερ καὶ σημεῖον μέγιστόν ἐστι τοῦ μηδένα δυνηθῆναι δικαιωθῆναι ἐκ τοῦ νόμου. οὐ γὰρ εἶπεν ὁ προφήτης, ὁ δὲ δίκαιος ἐκ νόμου ζήσεται, ἀλλ᾽, ἐκ πίστεως.

12 Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ᾽ ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς.

Οὐ γὰρ πίστιν ἐπιζητεῖ μόνον ὁ νόμος, φησίν, ἀλλὰ καὶ ἔργα· ἡ δὲ χάρις ἀπὸ πίστεως σώζει καὶ δικαιοῖ. Εἶδες πῶς ἔδειξεν, ὅτι οἱ τῷ νόμῳ προσέχοντες, διὰ τὸ ἀδύνατον εἶναι πληρωθῆναι, ὑπὸ κατάραν εἰσίν; πῶς δὲ καὶ ἡ πίστις ταύτην ἔχει τὴν ἰσχὺν τὴν τοῦ δικαιοῦν; ταῦτα γὰρ ἔμελλε προσθήσειν ἐπηγγείλατο, καὶ μετὰ πολλῆς αὐτὰ περιέστησε τῆς ἰσχύος. ἐπεὶ γὰρ ἠσθένει πρὸς δικαιοσύνην ὁ νόμος τὸν ἄνδρα ἀγαγεῖν, εὑρέθη φάρμακον οὐ μικρὸν ἡ πίστις, τὸ ἀδύνατον τοῦ νόμου ποιοῦσα δυνατὸν δι᾽ αὐτῆς. Εἰ τοίνυν καὶ ἡ γραφὴ λέγει, ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, ἀπογινώσκουσα τὴν διὰ τοῦ νόμου σωτηρίας, καὶ ὁ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη, δῆλον ὅτι τῆς πίστεως πολλὴ ἡ ἰσχύς. ἀλλ᾽ ὅτι μὲν ὁ μὴ ἐμμένων τῷ νόμῳ ἐπικατάρατος, καὶ ὅτι ὁ τῇ πίστει προσέχων δίκαιος, δῆλον· ὅτι δὲ οὐκ ἔστι νῦν ἔτι ἐκείνη ἡ κατάρα, πόθεν ἔχεις ἀποδεῖξαι ἡμῖν, φησί; ὁ μὲν γὰρ Ἀβραὰμ πρὸ τοῦ νόμου ἦν· ἡμεῖς δὲ ἅπαξ ὑπὸ τὸν ζυγὸν γενόμενοι τῆς δουλείας, ὑπευθύνους ἑαυτοὺς κατεστήσαμεν τῇ κατάρᾳ. τίς οὖν ὁ τὴν κατάραν λύσας ἐκείνην; πρὸς τοῦτο ὅρα πῶς ἅπαντα ταχέως. ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα· ὁ γὰρ δικαιωθεὶς ἅπαξ, ἀπέθανε τῷ νόμῳ, καὶ ζωῆς ἐπιλαβόμενος ξένης, πῶς ἂν ὑπεύθυνος εἴη τῇ ἀρᾷ; πλὴν ἀλλ᾽ οὐκ ἀρκεῖται τούτοις, ἀλλὰ καὶ ἑτέρως ἀγωνίζεται, γράφων·

13 Χριστὸς

13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα (γέγραπται γὰρ, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου)

Δευτ. κα. κγ. Δευτ. κζ. κϛ. Καὶ μὴν ἑτέρα κατάρα ὁ λαὸς ὑπεύθυνος ἦν τῇ λεγούσῃ, Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου. καὶ τί τοῦτο; ὁ μὲν γὰρ λαὸς ὑπεύθυνος ἦν (οὐ γὰρ ἐνέμεινεν, οὐδὲ ἦν τις ὁ πεπληρωκὼς τὸν νόμον ἅπαντα) ὁ δὲ Χριστὸς ἑτέραν κατάραν ταύτης ἠλλάξατο τὴν λέγουσαν, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. ἐπεὶ οὖν καὶ ὁ κρεμάμενος ἐπὶ ξύλου ἐπικατάρατος, καὶ ὁ τὸν νόμον παραβαίνων ἐπικατάρατος, μέλλοντα δὲ ἐκείνην λύειν τὴν κατάραν ὑπεύθυνον οὐκ ἔδει γενέσθαι αὐτῆς, δεῖ δὲ δέξασθαι κατάραν ἀντ' ἐκείνης, τοιαύτην ἐδέξατο, καὶ δι' αὐτῆς ἐκείνην ἔλυσε. καὶ καθάπερ τινὸς καταδικασθέντος ἀποθανεῖν, ἕτερος ἀνεύθυνος ἑλόμενος θανεῖν ὑπὲρ ἐκείνου, ἐξαρπάζει τῆς τιμωρίας αὐτόν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐπειδὴ γὰρ οὐχ ὑπέκειτο κατάρᾳ τῇ τῆς παραβάσεως, ἀνεδέξατο ὁ Χριστὸς ἀντ' ἐκείνης ταύτην, ἵνα λύσῃ τὴν ἐκείνων.

Ἡσ. νγ. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὥσπερ οὖν ἀποθανὼν τοὺς ἀποθνήσκειν μέλλοντας ἐξείλετο θανάτου, οὕτω καὶ κατάραν δεξάμενος, τῆς κατάρας ἀπήλλαξεν.

14 Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται.

Γεν. ιϛ. γ. Πῶς εἰς τὰ ἔθνη; ἐν τῷ σπέρματί σου, φησὶν, εὐλογηθήσονται πάντα τὰ ἔθνη, τουτέστιν, ἐν τῷ Χριστῷ. εἰ δὲ περὶ Ἰουδαίων τοῦτο ἐλέγετο, πῶς ἂν ἔχοι λόγον τοὺς ὑπευθύνους ὄντας τῇ κατάρᾳ διὰ τὴν παράβασιν, τούτους ἑτέροις εὐλογίας αἰτίους γενέσθαι; οὐδεὶς γὰρ τῶν κατηραμένων ἑτέρῳ μεταδίδωσιν εὐλογίας, ἧς αὐτὸς ἀπεστέρηται. ὅθεν δῆλον ὅτι περὶ τοῦ Χριστοῦ τὸ πᾶν εἴρηται. αὐτὸς γὰρ ἦν σπέρμα τοῦ Ἀβραὰμ, καὶ δι' αὐτοῦ τὰ ἔθνη εὐλόγηνται, καὶ οὕτω προσέστιν ἡ τοῦ πνεύματος ἐπαγγελία. ὅπερ καὶ αὐτὸς δηλῶν ἔλεγεν·

Ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωσι διὰ τῆς πίστεως.

Ἐπειδὴ γὰρ οὐκ ἦν τὴν χάριν τοῦ πνεύματος εἰς ἀχάριστον καὶ προσκεκρουκότα ἐλθεῖν, εὐλογοῦνται πρῶτον τῆς κατάρας ἀφαιρεθείσης· εἶτα διὰ τῆς πίστεως δικαιωθέντες, ἐπισπῶνται τοῦ πνεύματος τὴν χάριν. ὥστε ὁ μὲν σταυρὸς τὴν κατάραν ἔλυσεν· ἡ δὲ πίστις τὴν δικαιοσύνην εἰσήγαγεν· ἡ δὲ δικαιοσύνη, τοῦ πνεύματος τὴν χάριν ἐπεσπάσατο.

15 Ἀδελφοὶ (κατὰ ἄνθρωπον λέγω) ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται. Τί ἐστι, κατὰ ἄνθρωπον λέγω; ἐξ ἀνθρωπίνων παραδειγμάτων. ἐπειδὴ γὰρ καὶ ἀπὸ γραφῶν, καὶ ἀπὸ τῶν παρ' αὐτοῖς γινομένων θαυμάτων, καὶ ἀφ' ὧν ὁ Χριστὸς ἔπαθε τὸν λόγον συνέστησε, καὶ ἀπὸ τοῦ πατριάρχου, καὶ εἰς τὴν κοινὴν λοιπὸν ἐκβαίνει συνήθειαν. ἔθος γὰρ αὐτῷ ἀεὶ τοῦτο ποιεῖν, ὥστε καὶ καταγλυκαίνειν τὸν λόγον, καὶ εὐπαράδεκτόν τι καὶ εὐμαθέστερον τοῖς παχυτέροις ποιεῖν.

α. Κορ. θ. ζ. οὕτω καὶ Κορινθίοις διαλεγόμενός φησιν· Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;

Ἑβρ. θ. ιζ. καὶ Ἑβραίοις πάλιν· Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μήποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος. καὶ πολλαχοῦ δὲ ἄν τις εὕροι τοῖς αὐτοῖς ἐμφιλοχωροῦντα τοῖς λογισμοῖς. καὶ γὰρ ὁ

Ἡσ. μθ. ιε. Ὠσ. α. α. Ἱερ. ιη. Θεὸς ἐν τῇ παλαιᾷ συνεχῶς αὐτὸ ποιεῖ, οὕτω λέγων· Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; καὶ πάλιν, Μὴ ἐρεῖ τὸ πλάσμα τῷ κεραμεῖ, τί ποιεῖς; καὶ ἐν τῷ Ὠσηὲ ἄνδρα μιμεῖται καταφρονούμενον ὑπὸ τῆς γυναικός. καὶ ἐν τοῖς τύποις δὲ πολὺ τὸ τῶν ἀνθρωπίνων παραδειγμάτων ἴδοι τις ἄν, ὡς ὅταν τὸ περίζωμα ὁ προφήτης λαμβάνῃ, καὶ εἰς τὸ οἰκίσκοι τοῦ κεραμέως κατίῃ. τί οὖν αὐτῷ τὸ ὑπόδειγμα βούλεται; ὅτι ἡ μὲν πίστις ἀρχαιοτέρα ἦν, ὁ δὲ νόμος νεώτερός τι καὶ πρόσκαιρος, καὶ διὰ τοῦτο δεδομένος, ἵνα προοδοποιήσῃ

ἀποποιήσῃ τῇ πίστει. ὅρα φησὶν ἀδελφοί, κατὰ ἄνθρωπον λέγω. ἀνωτέρω ἀνοήτους εἰπὼν, ἐνταῦθα ἀδελφοὺς καλεῖ, ἐπιστρέφων τε ὁμοῦ, καὶ παραμυθούμενος. ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην. ἐὰν ἄνθρωπος, φησὶ, διάθηται, μὴ τολμᾷ τις ἀνατρέψαι μετὰ ταῦτα ἐλθὼν, ἢ προσθεῖναί τι· (τοῦτο γάρ ἐστιν, ἢ ἐπιδιατάσσεται) οὐκοῦν πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. καὶ πρὸς τίνα διέθετο ὁ Θεός;

χ. προκεκυρωμένην

16 Τῷ Ἀβραὰμ, φησὶν, ἐῤῥήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει, καὶ τοῖς σπέρμασιν αὐτοῦ, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅ ἐστι Χριστός.

χ. ὅς

17 Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.

18 Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκ ἔτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός. Ἰδοὺ τοίνυν καὶ ὁ Θεὸς διέθετο τῷ Ἀβραὰμ, διαλεγόμενος εἰς τὰ ἔθνη, ἐν τῷ σπέρματι αὐτοῦ ἥξειν τὰς εὐλογίας. πῶς οὖν ὁ νόμος ἀνατρέψαι δύναται ταύτας; ἐπεὶ δὲ τὸ παράδειγμα ἅπαν οὐκ ἴσχυσεν ἑλκύσαι πρὸς τὸ ὑποκείμενον, καὶ διὰ τοῦτο προσέθηκε, κατὰ ἄνθρωπον λέγω, μηδὲν ἀπὸ τοῦ παραδείγματος εἰς τὴν τοῦ Θεοῦ μεγαλοπρέπειαν λάβῃς. σκόπει δὲ ἄνωθεν τὸ ὑπόδειγμα. ἐπηγγείλατο τῷ Ἀβραὰμ διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογεῖσθαι τὰ ἔθνη. σπέρμα δὲ αὐτοῦ κατὰ σάρκα ἐστὶν ὁ Χριστός. ἦλθε μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ὁ νόμος. εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας, καὶ τὴν ζωὴν, καὶ τὴν δικαιοσύνην, ἡ ἐπαγγελία ἐκείνη ἄκυρός ἐστιν. εἶτα ἀνθρώπου μὲν οὐδεὶς ἀκυροῖ διαθήκην, τοῦ δὲ Θεοῦ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ἀκυροῦται ἡ διαθήκη; εἰ γὰρ ἃ ἐπηγγείλατο ἐκείνη, οὐκ ἐκείνη δὲ δίδωσιν, ἀλλ' ἕτερος ἀντ' ἐκείνης, ἐκβέβληται ἐκείνη. καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον;

χ. ἐπαγγελίας

19 Τίνος οὖν ἕνεκεν τὸν νόμον ἔδωκε, φησί; τῶν παραβάσεων χάριν.

χ. ὅπως

Οὐδὲ γὰρ οὐδὲ τοῦτό ἐστι περιττός. ὁρᾷς πῶς πάντα συνορᾷ; πῶς μυρίοις κέχρηται ὀφθαλμοῖς; ἐπειδὴ γὰρ τὴν πίστιν ἐπῇρε, καὶ πρεσβυτέραν ἔδειξεν, ἵνα μή τις νομίσῃ περιττὸν τὸν νόμον, καὶ τοῦτο διορθοῦται τὸ μέρος, δεικνὺς ὅτι οὐκ εἰκῆ, ἀλλὰ πάνυ χρησίμως ἐδόθη τῶν παραβάσεων χάριν, τουτέστιν, ἵνα μὴ ἐξῇ Ἰουδαίοις ἀδεῶς ζῆν, καὶ εἰς ἔσχατον ἐξολισθαίνειν κακίας, ἀλλ' ἀντὶ χαλινοῦ ὁ νόμος αὐτοῖς ἐπικείμενος ᾖ, παιδεύων, ῥυθμίζων, κωλύων παραβαίνειν, εἰ καὶ μὴ πάσας, ἀλλ' ὅμως κἂν ἐκ μιᾶς τῶν ἐντολῶν. ὥστε οὐ μικρὸν τὸ κέρδος τοῦ νόμου. ἀλλ' ἄχρι τίνος; Ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται.

χ. ᾧ

Περὶ Χριστοῦ λέγων. εἰ τοίνυν μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας δέδοται, τί περαιτέρω καὶ παρὰ καιρὸν αὐτὸν ἕλκεις; Διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου.

Ἢ τοὺς ἱερέας ἀγγέλους καλεῖ, ἢ καὶ αὐτοὺς τοὺς ἀγγέλους ὑπηρετῆσαι φησὶ τῇ νομοθεσίᾳ. μεσίτην δὲ ἐνταῦθα τὸν Χριστόν φησι, δεικνὺς ὅτι πρὸ αὐτοῦ ἦν, καὶ τὸν νόμον αὐτὸς ἔδωκεν.

20 Ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν· ὁ δὲ Θεὸς, εἷς ἐστι.

Τί ἂν ἐνταῦθα εἴποιεν αἱρετικοί; εἰ γὰρ τὸ, μόνος ἀληθινὸς, οὐκ ἀφίησι τὸν υἱὸν εἶναι Θεὸν ἀληθινὸν, οὐκ ἄρα οὐδὲ Θεὸν, διὰ τὸ λέγεσθαι, ὁ δὲ Θεὸς εἷς ἐστιν. εἰ δὲ ἑνὸς λεγομένου Θεοῦ τοῦ πατρὸς, ἔστι Θεὸς καὶ ὁ υἱὸς, εὔδηλον ὅτι καὶ ἀληθινοῦ λεγομένου τοῦ πατρὸς, ἀληθινὸς καὶ ὁ υἱός. ὁ δὲ μεσίτης, φησὶ, δύο τινῶν μεσίτης. τίνος οὖν μεσίτης ἦν ὁ Χριστός; ἢ δῆλον, ὅτι Θεοῦ καὶ ἀνθρώπων. ὁρᾷς πῶς δείκνυσιν, ὅτι καὶ τὸν νόμον αὐτὸς ἔδωκεν; εἰ τοίνυν αὐτὸς ἔδωκε, κύριος ἂν εἴη καὶ λῦσαι πάλιν.

21 Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; Εἰ γὰρ ἐν τῷ σπέρματι τοῦ Ἀ-

βραὰμ

βραὰμ αἱ εὐλογίαι δέδονται, ὁ δὲ νόμος κατάραν εἰσάγει, ἄρα κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ. πῶς οὖν λύει τὴν ἀντίθεσιν; πρῶτον μὲν ἀπαγορεύει, εἰπών·

Μὴ γένοιτο. Ἔπειτα καὶ κατασκευάζει, οὕτω λέγων·

Εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη.

Ὃ δὲ λέγει τοῦτό ἐστιν· Εἰ μὲν ἐν αὐτῷ, φησί, τὴν ἐλπίδα τῆς ζωῆς εἴχομεν, καὶ αὐτὸς ἦν ὁ τὸ κῦρος ἔχων τῆς ἡμετέρας σωτηρίας, ἴσως ταῦτα καλῶς ἔλεγες· εἰ δὲ ἀπὸ πίστεως σώζει, κἂν ἐπικαταράτους ποιῇ, οὐδὲν ἐβλάβης ἐρχομένης ἐκείνης καὶ πάντα λυούσης. εἰ μὲν γὰρ δι' ἐκείνου ἡ ἐπαγγελία, εἰκότως ἐδεδοίκεις μὴ τῆς δικαιοσύνης ἐκπέσῃς, ἐκπίπτων τοῦ νόμου. εἰ δὲ διὰ τοῦτο ἐδόθη, ἵνα συγκλείσῃ πάντας, τουτέστιν, ἵνα ἐλέγξῃ, καὶ δείξῃ τὰ οἰκεῖα αὐτῶν πλημμελήματα, οὐ μόνον οὐ κωλύει σε τοῦ τυχεῖν τῆς ἐπαγγελίας, ἀλλὰ καὶ συμπράττει πρὸς τὸ τυχεῖν. τοῦτο γοῦν δηλῶν ἔλεγεν·

22 Ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. Ἐπειδὴ γὰρ Ἰουδαῖοι οὐδὲ τῶν ἁμαρτημάτων ᾐσθάνοντο τῶν οἰκείων, τὸ δὲ μὴ αἰσθανόμενοι, οὐδὲ ἀφέσεως ἐπεθύμουν, ἔδωκε τὸν νόμον ἐλέγχοντα τὰ τραύματα, ἵνα ποθήσωσι τὸν ἰατρόν. τὸ γάρ, συνέκλεισεν, ἤλεγξέν ἐστι, καὶ ἐλέγξας κατεῖχεν ἐν φόβῳ. Εἶδες ὅτι οὐ μόνον κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ οὐκ ἔστιν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐπαγγελιῶν ἐδόθη; εἰ μὲν γὰρ ἑαυτῷ τὸ πρᾶγμα ἐξεδίκει καὶ τὴν αὐθεντίαν ὁ νόμος, καλῶς ταῦτα ἐλέγετο· εἰ δὲ ἑτέρῳ τρέχει, καὶ δι' ἐκεῖνον πάντα ἔπραττε, πῶς κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; εἰ γὰρ μὴ νόμος ἐδόθη, πάντες εἰς κακίαν ἐξώκειλαν, καὶ οὐδεὶς ἔμελλεν Ἰουδαίων ἔσεσθαι ὁ ἀκουσόμενος τοῦ Χριστοῦ· νυνὶ δὲ δοθεὶς δύο ταῦτα κατώρθωσεν, ἀρετὴν σύμμετρον παιδεύσας αὐτοὺς προσέχοντας, καὶ πείσας εἰδέναι τὰ οἰκεῖα ἁμαρτήματα, ὃ μάλιστα αὐτοὺς ἐποίει προθυμοτέρους πρὸς τὸ ζητεῖν τὸν υἱόν. τὸ γοῦν μὴ πιστεύσαντες αὐτῷ, ἐκ τοῦ μὴ καταγνῶναι τῶν οἰκείων ἁμαρτημάτων οὐκ ἐπίστευσαν. καὶ τοῦτο δηλῶν ἔλεγεν· Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

Ῥωμ. ι. γ.

23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Εἶδες πῶς σαφῶς ἅπερ εἰρήκαμεν παρέστησε; τὸ γάρ, ἐφρουρούμεθα, καὶ συγκεκλεισμένοι, οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ τὴν ἐκ τῶν ἐντολῶν τοῦ νόμου γινομένην ἀσφάλειαν. ὥσπερ γὰρ ἐν τειχίῳ τινὶ τῷ φόβῳ κατέχων αὐτοὺς καὶ τῷ βίῳ τῷ κατ' αὐτὸν ὁ νόμος ἐτήρει τῇ πίστει.

24 Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν.

Ὁ δὲ παιδαγωγὸς οὐκ ἐναντιοῦται τῷ διδασκάλῳ, ἀλλὰ καὶ συμπράττει, πάσης κακίας ἀπαλλάττων τὸν νέον, καὶ μετὰ πάσης σχολῆς τὰ μαθήματα παρὰ τοῦ διδασκάλου δέχεσθαι παρασκευάζων· ἀλλ' ὅταν ἐν ἕξει γένηται, ἀφίσταται λοιπὸν ὁ παιδαγωγός. διὰ τοῦτό φησιν·

25 Ἐλθούσης δὲ τῆς πίστεως τῆς εἰς τὸν τέλειον ἄνδρα ἀγούσης, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν.

26 Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Εἰ τοίνυν ὁ νόμος παιδαγωγός, καὶ ὑπ' αὐτὸν ἐφρουρούμεθα συγκεκλεισμένοι, οὐκ ἐναντίος τῆς χάριτος, ἀλλὰ καὶ συνεργός· εἰ δὲ ἐλθούσης τῆς χάριτος ἐπιμένοι κατέχων, τότε ἐναντίος. ἂν γὰρ ὀφείλοντας ἐξελθεῖν πρὸς αὐτὴν συγκλείει, τότε τὴν ἡμετέραν λυμαίνεται σωτηρίαν. ὥσπερ γὰρ ὁ λύχνος ἐν τῇ νυκτὶ φωτίσας, ἐὰν γενομένης ἡμέρας ἀναγκάζῃ μὴ καθορᾶν τὸν ἥλιον, οὐ μόνον οὐκ ἐπηρκέσατο, ἀλλὰ καὶ ἐλυμήνατο· οὕτω καὶ ὁ νόμος, ἂν πρὸς τὰ μείζονα κώλυμα γίνηται. οἱ τοίνυν αὐτὸν τηροῦντες νῦν, οὗτοι μάλιστα αὐτὸν διαβάλλουσι. καὶ

γὰρ

γὰρ ὁ παιδαγωγὸς τότε καταγέλαστον ποιεῖ τὸν νέον, ὅταν χρεὼν καλοῦντος αὐτὸν ἀποστῆναι, παρ' ἑαυτῷ κατέχῃ. διὸ καὶ ὁ Παῦλός φησιν, ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐστε. ὥστε οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε. βαβαί, πόση τῆς πίστεως ἡ δύναμις, καὶ πῶς αὐτὴν ἐκκαλύπτει προϊών; πρότερον μὲν γὰρ ἔδειξεν, ὅτι υἱοὺς ἐποίει τοῦ πατριάρχου (γινώσκετε γάρ, φησιν, ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ) νῦν δὲ ἀποφαίνει, ὅτι καὶ τοῦ Θεοῦ. πάντες γὰρ υἱοὶ Θεοῦ, φησίν, ἐστε διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. διὰ τῆς πίστεως, οὐ διὰ τοῦ νόμου. εἶτα ἐπειδὴ μέγα εἶπε καὶ θαυμαστόν, λέγει καὶ τὸν τρόπον τῆς υἱοθεσίας.

27 Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, ἐκ τοῦ Θεοῦ ἐγεννήθητε; (ὃ γὰρ ἀκόλουθον τοῦ δεῖξαι υἱοὺς τοῦτο ἦν) ὅτι πολὺ φρικωδέστερον αὐτὸ τίθησιν. εἰ γὰρ ὁ Χριστὸς υἱὸς τοῦ Θεοῦ, σὺ δὲ αὐτὸν ἐνδέδυσαι, τὸν υἱὸν ἔχων ἐν ἑαυτῷ καὶ πρὸς αὐτὸν ἀφομοιωθείς, εἰς μίαν συγγένειαν καὶ μίαν ἰδέαν ἤχθης.

28 Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἶδες ψυχὴν ἀκόρεστον; εἰπὼν γάρ, ὅτι υἱοὶ τοῦ Θεοῦ γεγόναμεν διὰ τῆς πίστεως, οὐχ ἵσταται μέχρι τούτου, ἀλλ' ἐπιζητεῖ τι πλέον εὑρεῖν, ὃ δυνάμενον σαφέστερον παραστῆσαι τὴν ἐγγυτέραν πρὸς τὸν Χριστὸν ἕνωσιν. καὶ εἰπών, ὅτι αὐτὸν ἐνεδύσασθε, οὐδὲ ταύτῃ ἀρκεῖται τῇ λέξει, ἀλλ' ἑρμηνεύων αὐτήν, ἐνδοτέρω πρόεισι τῆς τοιαύτης συναφείας, καί φησιν· ὅτι πάντες εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, μίαν μορφήν, ἕνα τύπον ἔχετε πάντες τὸν τοῦ Χριστοῦ. τί τούτων γένοιτ' ἂν φρικωδέστερον τῶν ῥημάτων; ὁ Ἕλλην καὶ ὁ Ἰουδαῖος καὶ ὁ δοῦλος πρότερον, οὐκ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, ἀλλ' αὐτοῦ τοῦ πάντων δεσπότου τὴν μορφὴν ἔχων περιέρχεται, καὶ ἐν αὐτῷ δείκνυσι τὸν Χριστόν.

29 Εἰ δὲ ὑμεῖς τοῦ Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Εἶδες πῶς, ὅπερ ἔμπροσθεν ἔλεγεν, ἀπέδειξε νῦν τὸ περὶ τοῦ σπέρματος, ὅτι αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ αἱ εὐλογίαι εἰσὶ δεδομέναι;

ΚΕΦΑΛΑΙΟΝ δ.

1 ΛΕΓΩ ΔΕ ΕΦ' ΟΣΟΝ ΧΡΟΝΟΝ Ο ΚΛΗΡΟΝΟΜΟΣ νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, 2 Ἀλλ' ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. 3 Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι.

Νήπιον ἐνταῦθα οὐ τὴν ἡλικίαν φησίν, ἀλλὰ τὴν γνώμην, δεικνὺς ὅτι ὁ μὲν Θεὸς ἐξ ἀρχῆς ἐβούλετο ταῦτα χαρίσασθαι· ἐπειδὴ δὲ ἔτι νηπιωδέστερον διέκειντο, ἀφῆκεν ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου εἶναι, τουτέστι, νεομηνίας καὶ σάββατα. αὗται γὰρ ἡμῖν αἱ ἡμέραι ἀπὸ δρόμου σελήνης καὶ ἡλίου γίνονται. εἰ τοίνυν καὶ νῦν ὑμᾶς ὑπὸ νόμον ἄγουσιν, οὐδὲν ἕτερον ποιοῦσιν, ἀλλ' ἢ καὶ ἐν τῷ χρόνῳ τῆς τελείας ἡλικίας εἰς τοὐπίσω πάλιν ὑμᾶς ἀπάγουσιν. ὁρᾷς ὅσον ἐστὶ παρατήρησις ἡμερῶν; τὸν κύριον, τὸν οἰκοδεσπότην, τὸν πάντων κρατοῦντα ἐν ὑπηρέτου καθίστησι τάξει.

4 Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον,

5 Ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Δύο τίθησιν ἐνταῦθα αἰτίας καὶ κατορθώματα τῆς σαρκώσεως, καὶ κακῶν ἀπαλλαγὴν, καὶ ἀγαθῶν χορηγίαν· ἅπερ οὐδενὶ δυνατὸν ἦν, ἢ αὐτῷ κατορθῶσαι μόνῳ. τίνα δὲ ταῦτα ἦν; ἀπαλλαγῆναι τῆς ἀρᾶς τοῦ νόμου, καὶ εἰς υἱοθεσίαν ἀξιωθῆναι. ἵνα γὰρ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, φησὶ, καὶ ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. καλῶς εἶπεν, ἀπολάβωμεν, δεικνὺς ὀφειλομένην. ἄνωθεν γὰρ ἐπηγγείλατο, καθὼς διὰ πολλῶν καὶ αὐτὸς ἔδειξε πρὸς τὸν Ἀβραὰμ ὑπὲρ τούτων ἐπαγγελίας γινομένας. καὶ πόθεν δῆλον ὅτι γεγόναμεν υἱοί, φησι; εἶπε τρόπον ἕνα, ὅτι τὸν Χριστὸν ἐνεδυσάμεθα τὸν ὄντα υἱόν. λέγει καὶ δεύτερον, ὅτι τὸ πνεῦμα τῆς υἱοθεσίας ἐλάβομεν.

6 Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον, ἀββᾶ ὁ πατήρ.

7 Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Οὐ γὰρ ἂν ἠδυνήθημεν καλέσαι πατέρα, εἰ μὴ πρότερον υἱοὶ κατέστημεν. εἰ τοίνυν ἀντὶ δούλων ἐλευθέρους, ἀντὶ νηπίων τελείους, ἀντὶ ἀλλοτρίων κληρονόμους ἐποίησε καὶ υἱοὺς ἡ χάρις, πῶς οὐκ ἄτοπον καὶ ἐσχάτης ἀγνωμοσύνης ἀφιέναι μὲν ταύτην, ὑποστρέψαι δὲ εἰς τοὐπίσω;

8 Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς·

9 Νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; Ἐνταῦθα πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἀποτεινόμενός φησιν, ὅτι καὶ εἰδωλολατρεία τὸ τοιοῦτόν ἐστιν, ἡ τῆς τῶν ἡμερῶν παρατηρήσεως φυλακὴ, καὶ ὅτι μείζονα φέρει τὴν κόλασιν νῦν. διὸ καὶ θεοὺς οὐ φύσει, τὰ στοιχεῖα ἐκάλεσε, ταῦτα αὐτὰ κατασκευάσαι βουλόμενος, καὶ εἰς μείζονα ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τότε μὲν ἐσκοτισμένοι καὶ ἐν τῇ πλάνῃ διάγοντες χαμαὶ ἐσύρεσθε· νῦν δὲ, ὅτε ἔγνωτε τὸν Θεὸν, μᾶλλον δὲ ἐγνώσθητε παρ᾽ αὐτοῦ, πῶς οὐ μείζονα καὶ χαλεπωτέραν ἐπισπάσεσθε κόλασιν, μετὰ τοσαύτην ἐπιμέλειαν τὰ αὐτὰ νοσοῦντες πάλιν; οὐδὲ γὰρ ὑμεῖς κάμνοντες εὕρετε τὸν Θεὸν, ἀλλ᾽ ὑμεῖς μὲν ἐν τῇ πλάνῃ διετρίβετε, αὐτὸς δὲ ὑμᾶς ἐπεσπάσατο. ἀσθενῆ δὲ στοιχεῖα καλεῖ καὶ πτωχὰ, τῷ μηδεμίαν δύναμιν ἔχειν εἰς τὰ προκείμενα ἀγαθά.

10 Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς.

Ἐκ τούτων δῆλον, ὅτι οὐ μόνον περιτομὴν αὐτοῖς ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ καὶ τὰς ἑορτὰς καὶ τὰς νουμηνίας.

11 Φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Εἶδες σπλάγχνα ἀποστολικά; ἐκεῖνοι ἐσαλεύοντο, καὶ οὗτος τρέμει καὶ δέδοικε. διὸ καὶ σφόδρα ἐντρεπτικῶς αὐτὸ τέθεικεν εἰπὼν, κεκοπίακα εἰς ὑμᾶς· ὡς ἂν εἰ ἔλεγε, μὴ κενώσητέ μου τοὺς τοσούτους ἱδρῶτας. εἰπὼν δὲ, φοβοῦμαι, καὶ τὸ, μήπως, προσθεὶς, καὶ εἰς ἀγῶνα αὐτοὺς ἐνέβαλε, καὶ εἰς ἐλπίδας ἤγαγε χρηστάς. οὐ γὰρ εἶπεν, εἰκῇ ἐκοπίασα, ἀλλὰ, μήπως. οὐδέπω, φησὶ, τοῦτο ἐξέβη τὸ ναυάγιον, ἀλλ᾽ ἔτι τὸν χειμῶνα τοῦτο ὠδίνοντα βλέπω. διὰ τοῦτο δέδοικα, οὐ μὴν ἀπέγνωκα. κύριοι γὰρ ὑμεῖς τὸ πᾶν διορθῶσαι, καὶ εἰς τὴν προτέραν ἐπανελθεῖν γαλήνην. εἶτα, ὥσπερ χειμαζομένοις, χεῖρα ὀρέγων, ἑαυτὸν εἰς μέσον ἄγει, λέγων·

12 Γίνεσθε ὡς ἐγὼ, ὅτι κἀγὼ ὡς ὑμεῖς. Ταῦτα πρὸς τοὺς ἐξ Ἰουδαίων. διὸ καὶ ἑαυτὸν εἰς μέσον ἄγει, πείθων κἀντεῦθεν αὐτοὺς ἀποστῆναι τῶν παλαιῶν. εἰ γὰρ καὶ μηδένα ἕτερον εἴχετε εἰς ὑπόδειγμα, ἤρκει εἰς ἐμὲ μόνον ἰδεῖν ταύτης ἕνεκεν τῆς μεταβολῆς, καὶ θαρρῆσαι ῥᾳδίως. διαβλέψατε τοίνυν. καὶ γὰρ ταῦτα κἀγὼ ἔπασχον πάλαι, καὶ

σφόδρα

σφόδρα καὶ περιεχόμενον τοῦ νόμου, ἀλλ᾽ ὅμως ὕστερον οὐκ ἐφοβήθην ἀφεῖναι τὸν νόμον, οὐδὲ μεταστῆναι τῆς πολιτείας ἐκείνης. καὶ ταῦτα ὑμεῖς ἴστε σαφῶς, πῶς μὲν μετὰ προβολῆς πολλῆς ἀντειχόμην τοῦ Ἰουδαϊσμοῦ, καὶ πῶς μετὰ μείζονος αὐτὸν σφοδρότητος εἴασα μετὰ ταῦτα. καὶ καλῶς αὐτὸ τέθεικεν ὕστερον. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων, κἂν μυρίους εὕρωσι λογισμοὺς καὶ δικαίους, ἀπὸ τοῦ ὁμογλώσσου μᾶλλον ἐφέλκονται, καὶ ὅταν ἴδωσι τὰ αὐτὰ πεπονθότα, μᾶλλον ἔχονται τῶν αὐτῶν. Ἀδελφοί, δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε.

Ὅρα πῶς πάλιν τῷ τῆς τιμῆς ὀνόματι προσαγορεύει, ὃ δὴ αὐτοὺς καὶ τῆς χάριτος ὑπόμνησις ἦν. ἐπειδὴ γὰρ σφόδρα καθήψατο αὐτῶν, καὶ πανταχόθεν συνέκρινε τὰ πράγματα, καὶ ἔδειξε παραβαινομένους, καὶ πολλαχόθεν αὐτοὺς ἔβαλε, πάλιν ἀνίησι καὶ θεραπεύει, προσηνεστέροις κεχρημένος λόγοις. ὥσπερ γὰρ τὸ διαπαντὸς θεραπεύειν ἐκλύει, οὕτω τὸ συνεστραμμένως ἀεὶ διελέγχεσθαι, τραχυτέρους ποιεῖ. διὰ τοῦτο πανταχοῦ τῇ συμμετρίᾳ κεχρῆσθαι καλόν. ὅρα τοίνυν πῶς αὐτοῖς ὑπὲρ τῶν εἰρημένων ἀπολογεῖται, δεικνὺς ὡς οὐχ ἁπλῶς ἀπεχθανόμενος αὐτοῖς, ἀλλὰ κηδόμενος εἰρήκει ἅπερ εἰρήκει. ἐπειδὴ γὰρ βαθυτέραν ἔδωκε τὴν τομὴν, ὥσπερ ἔλαιον λοιπὸν τὴν παράκλησιν ταύτην ἐπιτίθησι. καὶ δηλῶν ὅτι οὐ μίσους, οὐδὲ ἔχθρας ἦν τὰ εἰρημένα, ἀναμιμνήσκει τῆς ἀγάπης αὐτοὺς, ἣν ἐνεδείξατο περὶ [γ. αὐτὸν] αὐτοὺς, καὶ μετ᾽ ἐγκωμίων τὴν ἀπολογίαν τίθησι. εἶτά φησι· Δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε.

13 Οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκός μου εὐηγγελισάμην ὑμῖν,

14 Καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε.

Ἀλλ᾽ οὔπω τοῦτο μέγα τὸ μὴ ἀδικῆσαι. καίτοιγε οὐδὲ ὁ τυχὼν ἄνθρωπος τὸν οὐκ ἀδικήσαντα βλάψαι ἠθέλησεν ἂν, καὶ εἰκῇ λυπῆσαι καὶ μάτην. ὑμεῖς δὲ οὐ μόνον οὐκ ἠδικήσατε, ἀλλὰ καὶ πολλὴν καὶ ἄφατον ἐπεδείξασθε εὔνοιαν· καὶ οὐχ οἷόν τε τὸν τοιαύτης ἀπολαύσαντα θεραπείας, ἐκ κακονοίας [γ. τοιαῦτα] ταῦτα λέγειν. οὐ τοίνυν δι᾽ ἀπέχθειαν ταῦτα λέγω· λείπεται διὰ φιλοστοργίαν καὶ κηδεμονίαν. δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε. οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκός μου εὐηγγελισάμην ὑμῖν. οὐδὲν προσηνέστερον τῆς ἁγίας ἐκείνης ψυχῆς, οὐδὲν γλυκύτερον καὶ φιλοστοργότερον. οὐ τοίνυν οὐδὲ τὰ πρότερα ἀλόγου θυμοῦ, οὐδὲ πάθους ψυχῆς ἦν, ἀλλὰ κηδεμονίας πολλῆς. καὶ τί λέγω, οὐκ ἠδικήσατε; πολλὴν μὲν οὖν καὶ γνησίαν σπουδὴν περὶ ἡμᾶς ἐπεδείξατε. οἴδατε γάρ, φησιν, ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν, καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ διεπτύσατε. τί ποτέ ἐστιν ὃ λέγει; ἠλαυνόμην, φησὶν, ἐμαστιζόμην, μυρίους θανάτους ὑπομένων ἐκήρυττον ὑμῖν, καὶ οὐδὲ οὕτω κατεφρονήσατέ μου. τοῦτο γάρ ἐστι τὸ, τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ διεπτύσατε. εἶδες σύνεσιν πνευματικήν; καὶ γὰρ ἐν τάξει ἀπολογίας πάλιν αὐτοὺς ἐντρέπει, δεικνὺς ὅσα ἔπαθε δι᾽ αὐτοὺς, ἀλλ᾽ ὅμως οὐδὲν τοῦτο ὑμᾶς ἐσκανδάλισε, φησιν, οὐδὲ διεπτύσατέ με [γ. μου] διὰ τὰ πάθη, καὶ τοὺς διωγμούς. ἀσθένειαν γὰρ καὶ πειρασμὸν ταῦτα καλεῖ. Ἀλλ᾽ ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με. Πῶς οὖν οὐκ ἄτοπον διωκόμενον μὲν καὶ ἐλαυνόμενον, ὡς ἄγγελον Θεοῦ δέχεσθαι, παραινοῦντα δὲ τὰ δέοντα μὴ δέχεσθαι;

15 Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατε ἐμοί.

16 Ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν; Ἐνταῦθα διαπορεῖ, καὶ ἐκπλήττεται, καὶ παρ᾽ αὐτῶν ζητεῖ τὴν αἰτίαν τῆς μεταβολῆς μαθεῖν. τίς γὰρ ὑμᾶς ἐξηπάτησε, φησι, καὶ ἔπεισεν ἑτέρως διατεθῆναι πρὸς ἡμᾶς; οὐχ ὑμεῖς ἐστε οἱ περιέποντες, καὶ θεραπεύοντες, καὶ τῶν ὀφθαλμῶν τιμιώτερον ἄγοντες; τί τοίνυν γέγονε; πόθεν ἡ ἔχθρα; πόθεν ἡ ὑποψία; ὅτι τἀληθῆ πρὸς ὑμᾶς εἶπον; διὰ τοῦτο μὲν οὖν μειζόνως ἐχρῆν τιμᾶν καὶ

θεραπεύειν· νυνὶ δὲ ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν. ἐγὼ γάρ, φησιν, οὐκ οἶδα ἄλλην αἰτίαν, ἢ τὸ ἀληθῆ λέγειν ὑμῖν. καὶ ὅρα μεθ' ὅσης ἀπολογεῖται ταπεινοφροσύνης. οὐ γὰρ ἀφ' ὧν περὶ αὐτοὺς ἐπεδείξατο, ἀλλ' ἀφ' ὧν αὐτοὶ περὶ αὐτόν, δείκνυσιν ἀδύνατον εἶναι ἐκ κακονοίας ταῦτα λέγεσθαι. οὐδὲ γὰρ εἶπεν οὕτω, καὶ πῶς ἐγχωρεῖ τὸν μαστιζόμενον, τὸν ἐλαυνόμενον, τὸν μυρία παθόντα δι' ὑμᾶς νῦν ἐπιβουλεύειν ὑμῖν; ἀλλ' ἀφ' ὧν εἶχον ἐναβρύνεσθαι ἐκεῖνοι, ἀπὸ τούτων συλλογίζεται λέγων· πῶς ἐγχωρεῖ τὸν τιμηθέντα παρ' ὑμῶν, τὸν ὡς ἄγγελον δεχθέντα τοῖς ἐναντίοις ἀμείψασθαι;

17 Ζηλοῦσιν ὑμᾶς οὐκ ἀληθῶς, ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.

Ἔστι γὰρ καὶ ζῆλος ἀγαθός, ὅταν τις οὕτω ζηλοῖ, ὥστε μιμήσασθαι τὴν ἀρετήν· ἔστι καὶ ζῆλος πονηρός, ὥστε ἐκβάλλειν τῆς ἀρετῆς τὸν κατορθοῦντα. ὃ δὴ καὶ αὐτοὶ νῦν ἐπιχειροῦσι, τῆς μὲν τελείας γνώσεως ἐκβάλλειν θέλοντες, εἰς δὲ τὴν ἠκρωτηριασμένην καὶ νόθον ἀγαγεῖν, δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα αὐτοὶ μὲν ἐν τάξει κάθωνται διδασκάλων, ὑμᾶς δὲ τοὺς νῦν ὑψηλοτέρους αὐτῶν ὄντας ἐν τάξει καταστήσωσι μαθητῶν. τοῦτο γὰρ ἐδήλωσεν εἰπών, ἵνα αὐτοὺς ζηλοῦτε. ἐγὼ δὲ τοὐναντίον βούλομαι, φησιν, ὑμᾶς αὐτῶν καλλίονας, καὶ ὑπόδειγμα γίνεσθαι τῶν τελειοτέρων. ὃ δὴ καὶ ἐγένετο, ὅτε πρὸς ὑμᾶς ἤμην. διὸ καὶ ἐπάγει λέγων·

18 Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς.

Ἐνταῦθα γὰρ αἰνίττεται, ὅτι ἡ ἀπουσία αὐτοῦ ταῦτα εἰργάσατο, καὶ ὅτι τὸ μὲν μακάριον, τουτέστι, μὴ παρόντος τοῦ διδασκάλου μόνον τοὺς μαθητὰς τὴν δέουσαν ἔχειν γνώμην, ἀλλὰ καὶ ἀπόντος. ἐπεὶ δὲ ἐκεῖνοι οὐδέπω ἦσαν πρὸς τοῦτο τελειότητος ἀφιγμένοι, πάντα ποιεῖ, ὥστε εἰς τοῦτο αὐτοὺς ἐμβιβάσαι.

19 Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

Ὅρα ταραττόμενον, ὅρα θορυβούμενον. ἀδελφοί μου, δέομαι ὑμῶν· τεκνία μου, οὓς πάλιν ὠδίνω. μητέρα μιμεῖται περιτρέμουσαν τοῖς παιδίοις. ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. εἶδες σπλάγχνα πατρικά; εἶδες ἀθυμίαν ἀποστόλῳ πρέπουσαν; εἶδες οἵαν ἀφῆκεν ὀλολυγὴν πολὺ τῶν τικτουσῶν πικροτέραν; διεφθείρατε, φησι, τὴν εἰκόνα, ἀπωλέσατε τὴν συγγένειαν, τὴν μορφὴν ἠλλοιώσατε· ἀναγεννήσεως ἑτέρας ὑμῖν δεῖ, καὶ ἀναπλάσεως. ἀλλ' ὅμως ἔτι τεκνία καλῶ τὰ ἀμβλωθρίδια, τὰ ἐκτρώματα. ἀλλ' οὕτω μὲν οὐ λέγει, ἑτέρως δέ. φείδεται γάρ, καὶ οὐ βούλεται πλῆξαι, οὐδὲ τραύματα ἐπιθεῖναι τραύμασιν. ἀλλ' ὥσπερ οἱ σοφοὶ τῶν ἰατρῶν τοὺς εἰς μακρὰν καταπεσόντας νόσον, οὐχ ὑφ' ἓν θεραπεύουσιν, ἀλλὰ διαλιμπάνοντες, ὥστε μὴ ὀλιγοψυχοῦντας ἀπολέσθαι, οὕτως ὁ μακάριος ποιεῖ. καὶ γὰρ αἱ ὠδῖνες αὗται τῶν σωματικῶν δριμύτεραι, ὅσῳ καὶ ἡ φιλοστοργία μείζων, καὶ τὸ ἁμάρτημα οὐ τὸ τυχὸν ἦν. ὅπερ γὰρ ἀεὶ λέγω, καὶ λέγων οὐ παύσομαι, καὶ τὸ μικρὸν παραβαθὲν ὁλόκληρον τὴν ὄψιν ἠφάνισε, καὶ τὴν μορφὴν ἐλυμήνατο.

20 Ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου.

Σκόπει μοι τὸ ἀκαρτέρητον, τὸ θερμόν, τὸ οὐ δυνάμενον στέγειν τὰ τοιαῦτα. τοιοῦτον γὰρ ἡ ἀγάπη. οὐκ ἀρκεῖται τοῖς ῥήμασιν, ἀλλ' ἐπιζητεῖ καὶ τὴν παρουσίαν. ὥστε ἀλλάξαι τὴν φωνήν μου, φησι, τουτέστιν, ἀλλάξαι εἰς ὀλοφυρμόν, ποιῆσαι καὶ δάκρυα, καὶ πάντα εἰς θρῆνον ἐπισπάσασθαι. διὰ γὰρ ἐπιστολῆς οὐκ ἐνῆν δάκρυα δεῖξαι, οὐδὲ ὀλολυγμόν. διὸ καίεται τὴν παρουσίαν ἐπιζητῶν. Ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

Οὐκ ἔχω γάρ, φησι, τί εἴπω, οὐκ ἔχω τί λογίσωμαι, πόθεν οἱ πρὸς αὐτὴν ἀναβάντες τῶν οὐρανῶν τὴν κορυφήν, καὶ διὰ τῶν κινδύνων, οὓς ὑπεμείνατε ὑπὲρ τῆς πίστεως, καὶ διὰ τῶν σημείων, ὧν ἐπεδείξασθε διὰ τῆς πίστεως, νῦν ἀθρόον οὕτως εἰς τοσαύτην εὐτέλειαν κατηνέχθητε, ὡς εἰς περιτομήν, καὶ σάββατα σύρεσθαι, καὶ τῶν Ἰουδαϊζόντων ἐκκρέμασθαι. γρ. Ἰουδαίων

κρέμασθαι. διὰ ταῦτα καὶ ἀρχόμενος ἔλεγε, Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε. Γαλ. α. ς. καὶ ἐνταῦθα, ἀπορούμενος ἐν ὑμῖν, ὡς ἂν εἰ ἔλεγε· τί εἴπω, τί λαλήσω, τί ἐννοήσω, ἀπορῶ. διὸ καὶ ὀλολύζειν ἀνάγκη, ὅπερ ἐν ταῖς ἀπορίαις ποιοῦσι καὶ οἱ προφῆται. εἶδος δὲ καὶ τοῦτο θεραπείας οὐ μικρὸν, τὸ μὴ μόνον συμβουλεύειν, ἀλλὰ καὶ θρηνεῖν. τοῦτο γὰρ καὶ Μιλησίοις διαλεγόμενος ἔλεγε· Τριετίαν μετὰ δακρύων νουθετῶν ὑμᾶς οὐ διέλιπον. Πραξ. κ. λα. τοῦτο καὶ ἐνταῦθά φησι λέγων, ἀλλάξαι τὴν φωνήν μου. καὶ γὰρ ἐν ταῖς ἀπορίαις, καὶ ταῖς ἀμηχανίαις ταῖς παρ' ἐλπίδα συμβαινούσαις νικώμενοι, λοιπὸν ἐπὶ τὰ δάκρυα καταφερόμεθα. ἐπεὶ τοίνυν ἐπέπληξε, καὶ ἐνέτεινε, καὶ ἐθεράπευσε πάλιν, εἶτα ὠλοφύρατο. ὁ δὲ ὀλοφυρμὸς οὐκ ἐπιπλήξεως μόνης, καὶ κολακείας ἐστίν. οὔτε γὰρ παχύνει, ὥσπερ ἐπίπληξις, οὔτε χαλᾷ, καθάπερ ἡ θεραπεία, ἀλλ' ἔστι μεμιγμένον φάρμακον, καὶ πολλὴν ἔχει τὴν ἰσχὺν πρὸς τὸ διορθοῦν. ἐπεὶ οὖν ὠλοφύρατο καὶ ἐμάλαξεν αὐτῶν τὴν διάνοιαν, καὶ ἐπεσπάσατο μειζόνως, πάλιν εἰς τοὺς ἀγῶνας ἐμβαίνει κεφάλαιον τιθεὶς μεῖζον, δεικνὺς ὅτι αὐτὸς ὁ νόμος οὐ βούλεται ἑαυτὸν φυλάττεσθαι. ποτὲ μὲν οὖν ἐκ τοῦ Ἀβραὰμ τὸ παράδειγμα εἰσήγαγε, νῦν δὲ αὐτὸν εἰσάγει τὸν νόμον παραινοῦντα μὴ φυλάττειν αὐτὸν, ἀλλὰ ἀναχωρεῖν, ὅπερ ἦν ἰσχυρότερον. ὥστε εἰ βούλεσθε πείθεσθαι τῷ νόμῳ, φησὶν, ἀπόστητε αὐτοῦ. τοῦτο γὰρ αὐτὸς βούλεται. ἀλλ' οὕτω μὲν οὐ λέγει· ἑτέρως δὲ αὐτὸ κατασκευάζει, καὶ ἰσοῤῥοπεῖν δυναμένως.

ἴσως οὐκ ἐπιπλήξεως μόνον, ἀλλὰ καὶ

21 Λέγετε γάρ μοι, φησὶν, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;

Καλῶς εἶπεν, οἱ θέλοντες. οὐ γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας, ἀλλὰ τῆς ἐκείνων ἀκαίρου φιλονεικίας τὸ πρᾶγμα ἦν. νόμον δὲ ἐνταῦθα, τὸ βιβλίον τῆς κτίσεως καλεῖ, ὅπερ πολλάκις ποιεῖ, τὴν παλαιὰν ἅπασαν οὕτως ὀνομάζων.

22 Γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Πάλιν ἐπὶ τὸν Ἀβραὰμ ἄγει, οὐ ταυτολογῶν, ἀλλ' ἐπειδὴ πολλὴ τοῦ πατριάρχου παρὰ τοῖς Ἰουδαίοις ἡ δόξα ἦν, δείκνυσιν ὅτι ἐκεῖθεν οἱ τύποι τὴν ἀρχὴν ἔλαβον, καὶ τὰ παρόντα ἐν αὐτῷ προεζωγραφεῖτο. καὶ πρῶτον δείξας υἱοὺς ὄντας τοῦ Ἀβραὰμ, ἐπειδὴ οὐ τῆς αὐτῆς ἀξίας ἦσαν οἱ υἱοὶ τοῦ πατριάρχου, ἀλλ' ὁ μὲν ἐκ τῆς δούλης, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, δείκνυσι λοιπὸν, ὅτι οὐ μόνον υἱοὶ, ἀλλὰ καὶ οὕτως υἱοὶ, ὡς ὁ ἐλεύθερος καὶ εὐγενής. τοσαύτη τῆς πίστεως ἡ δύναμις.

23 Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, κατ' ἐπαγγελίαν. Τί ἐστι, κατὰ σάρκα; ἐπειδὴ ἔλεγεν ὅτι ἡ πίστις ἡμᾶς συνάπτει τῷ Ἀβραὰμ, καὶ ἐδόκει τοῖς ἀκούουσιν ἄπιστον εἶναι, εἰ οἱ μὴ γεννώμενοι ἐξ ἐκείνου, τούτους φησὶν υἱοὺς εἶναι ἐκείνου, δείκνυσιν ὅτι τὸ παράδοξον τοῦτο ἄνωθεν γέγονεν. ὁ γὰρ Ἰσαὰκ οὐ κατὰ φύσεως ἀκολουθίαν, οὐδὲ κατὰ γάμων νόμον, οὐδὲ κατὰ σαρκὸς δύναμιν γεγενημένος, καὶ υἱὸς γνήσιος ἦν, ἀπὸ νεκρῶν σωμάτων φύς, καὶ ἀπὸ τῆς μήτρας ἐκείνης. οὐ γὰρ ἡ σὰρξ τὴν κύησιν, οὐδὲ τὸ σπέρμα τὸν τόκον εἰργάσαντο (νεκρὰ γὰρ ἡ μήτρα, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν πήρωσιν) ἀλλ' ὁ τοῦ Θεοῦ λόγος αὐτὸν ἔπλασεν. ἐπὶ δὲ τοῦ δούλου οὐχ οὕτως, ἀλλ' ἐκεῖνος τοῖς τῆς φύσεως δεσμοῖς, καὶ τῇ τοῦ γάμου συνηθείᾳ τίκτεται. ἀλλ' ὅμως ὁ μὴ κατὰ σάρκα τοῦ κατὰ σάρκα γεννηθέντος τιμιώτερος ἦν. μὴ θορυβεῖσθε τοίνυν ὑμεῖς τὸ μὴ κατὰ σάρκα γεγεννῆσθαι. διὰ γὰρ τοῦτο μάλιστα αὐτοῦ συγγενεῖς ὑμεῖς, ὅτι οὐ κατὰ σάρκα ἐγεννήθητε. οὐ γὰρ τιμιωτέρους τοῦτο τὸ κατὰ σάρκα, ἀλλὰ καὶ ἀτιμοτέρους ἐργάζεται. θαυμαστότερος γὰρ ὁ τόκος ὁ μὴ κατὰ σάρκα, καὶ πνευματικώτερος. καὶ δῆλον ἐκ τῶν ἄνωθεν τεχθέντων. ἐτέχθη γὰρ κατὰ σάρκα ὁ Ἰσμαὴλ, ἀλλὰ δοῦλος ἦν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐξεβάλλετο τῆς πατρῴας οἰκίας· ὁ δὲ κατ' ἐπαγγελίαν τεχθεὶς ὁ Ἰσαὰκ, ἅτε υἱὸς ὢν καὶ ἐλεύθερος κύριος ἦν πάντων.

24 Ἅτινά ἐστιν ἀλληγορούμενα. Καταχρηστικῶς τὸν τύπον ἀλληγορίαν ἐκάλεσεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ μὲν ἱστορία αὕτη οὐ τοῦτο μόνον παραδηλοῖ, ὅπερ φαίνεται, ἀλλὰ

καὶ ἄλλα τινὰ ἀναγορεύει· διὸ καὶ ἀλληγορία κέκληται. τί δὲ ἀναγορεύσει; οὐδὲν ἕτερον, ἢ τὰ παρόντα πάντα. Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι, φησί, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. Αὗται· τίνες; τῶν παιδίων ἐκείνων αἱ μητέρες, ἡ Σάρρα, καὶ ἡ Ἄγαρ. τί εἰσι; δύο διαθῆκαι, δύο νόμοι. ἀλλ' ἐπὶ γυναικῶν ὀνόματα μὲν ἐν τῇ ἱστορίᾳ, ἐνέμεινεν ἐν τῇ προσηγορίᾳ τοῦ γένους, καὶ ἀπὸ τῶν ὀνομάτων πολλὴν δεικνὺς τὴν ἀκολουθίαν. πῶς δὲ ἀπὸ τῶν ὀνομάτων;

25 Τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστί, φησιν, ἐν τῇ Ἀραβίᾳ. Ἄγαρ ἐλέγετο ἡ δούλη· τὸ δὲ Σινᾶ ὄρος οὕτω μεθερμηνεύεται τῇ ἐπιχωρίῳ αὐτῶν γλώττῃ. ὥστε οἱ ἐκ τῆς παλαιᾶς τικτόμενοι πάντως ἀνάγκη δούλους εἶναι. τὸ γὰρ ὄρος ἐκεῖνο, ἔνθα ἡ παλαιὰ διαθήκη ἐδόθη, ὁμώνυμον ὂν τῇ δούλῃ παραλαμβάνει καὶ τὴν Ἱερουσαλήμ. τοῦτο γάρ ἐστι,

Συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ· Τουτέστι, γειτνιάζει, ἅπτεται. Δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. Τί οὖν ἀπὸ τούτου; ὅτι οὐ μόνον ἐκείνη δούλη ἦν, καὶ δούλους ἔτικτεν, ἀλλὰ καὶ αὕτη, τουτέστιν, ἡ διαθήκη, ἧς τύπος ἡ δούλη. καὶ γὰρ ἡ Ἱερουσαλὴμ ἐκ γειτόνων κεῖται τῷ ὄρει τῷ ὁμωνύμῳ τῇ δούλῃ· ἐν τούτῳ δὲ τῷ ὄρει καὶ ἡ διαθήκη δέδοται. ποῦ οὖν καὶ τῆς Σάρρας ὁ τύπος;

26 Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν· Οὐκοῦν καὶ οἱ ἐξ αὐτῆς τικτόμενοι, οὐ δοῦλοι. τῆς μὲν Ἱερουσαλὴμ τῆς κάτω τύπος ἦν Ἄγαρ, καὶ δῆλον ἐκ τοῦ ὄρους τοῦ οὕτω καλουμένου, τῆς δὲ ἄνω ἡ ἐκκλησία. ἀλλ' ὅμως οὐκ ἀρκεῖται τοῖς τύποις, ἀλλὰ καὶ τὸν Ἡσαΐαν παράγει μαρτυροῦντα τοῖς εἰρημένοις. εἰπὼν γάρ, ἡ ἄνω Ἱερουσαλὴμ μήτηρ ἡμῶν ἐστί, καὶ τὴν ἐκκλησίαν οὕτω καλέσας, παρεισάγει τὸν προφήτην τὰ αὐτὰ αὐτῷ ψηφιζόμενον. χ. [illegible]

Ησ. νδ. α. 27 Εὐφράνθητι γάρ, φησί, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Τίς οὖν ἡ στεῖρα, καὶ τίς ἡ ἔρημος πρὸ τούτου; οὐκ εὔδηλον ὅτι ἡ ἐξ ἐθνῶν ἐκκλησία, τῆς τοῦ Θεοῦ γνώσεως ἀπεστερημένη; τίς δὲ ἡ τὸν ἄνδρα ἔχουσα; οὐκ εὔδηλον ὅτι ἡ συναγωγή; ἀλλ' ὅμως ἐνίκησεν αὐτὴν τῇ πολυπαιδίᾳ ἡ στεῖρα. ἐκείνη μὲν γὰρ ἓν ἔθνος ἔχει· τὰ δὲ τῆς ἐκκλησίας τέκνα τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν γῆν, τὴν θάλατταν, τὴν οἰκουμένην ἅπασαν ἐνέπλησεν. εἶδες πῶς διὰ μὲν πραγμάτων ἡ Σάρρα, διὰ δὲ ῥημάτων ὁ προφήτης τὰ μέλλοντα ἡμῖν ὑπέγραψαν; σκόπει δέ. στεῖραν ἐκάλεσεν ὁ Ἡσαΐας, καὶ ταύτην ἔδειξε πολύπαιδα γενομένην. τοῦτο τυπικῶς καὶ ἐπὶ τῆς Σάρρας συνέβη. καὶ γὰρ καὶ αὕτη στεῖρα οὖσα, πλήθους ἐθνῶν ἐγένετο μήτηρ. τῷ Παύλῳ δὲ οὐδὲ ταῦτα ἀπήρκεσεν, ἀλλὰ καὶ πῶς ἐγένετο μήτηρ ἡ στεῖρα περιεργάζεται, ἵνα καὶ ἐντεῦθεν τῇ ἀληθείᾳ προσαγάγῃ τοὺς τύπους. διὸ καὶ ἐπάγει λέγων·

28 Ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν.

Οὐ γὰρ μόνον στεῖρα ἦν ἡ ἐκκλησία, ὥσπερ ἡ Σάρρα, οὐδὲ μόνον πολύπαις ἐγένετο, ὥσπερ ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν, ὥσπερ ἡ Σάρρα. καθάπερ γὰρ ἐκείνην μητέρα οὐχ ἡ φύσις εἰργάσατο, ἀλλ' ἡ ἐπαγγελία τοῦ Θεοῦ (ὁ γὰρ εἰρηκώς, Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός, οὗτος εἰσελθὼν εἰς τὴν νηδύν, τὸ βρέφος διέπλασεν) οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναγεννήσεως τῆς ἡμετέρας φύσις μὲν οὐδεμία, τὰ δὲ ῥήματα τοῦ Θεοῦ διὰ τοῦ ἱερέως λεγόμενα, ἅπερ ἴσασιν οἱ πιστοί, ταῦτα ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων, καθάπερ ἐν νηδύϊ τινί, διαπλάττει καὶ ἀναγεννᾷ τὸν βαπτιζόμενον. οὐκοῦν εἰ τῆς στείρας ἐσμὲν παῖδες, καὶ ἐλεύθεροί ἐσμεν. καὶ ποία αὕτη ἐλευθερία, εἴποι τις ἄν, ὅταν οἱ μὲν Ἰουδαῖοι κατέχωσι καὶ μαστίζωσιν οὓς ἂν βούλωνται, οἱ δὲ δοκοῦντες ἐλεύθεροι εἶναι διώκωνται; ταῦτα γὰρ τότε συνέβαινε, τῶν πιστῶν διωκομένων. ἀλλὰ μηδὲ τοῦτο ὑμᾶς θορυβείτω, φησί. καὶ γὰρ καὶ τοῦτο προέλαβεν ἐν τῷ τύπῳ. ὅτε γὰρ Ἰσαὰκ ἐλεύθερος ὤν, ὑπὸ τοῦ δούλου Ἰσμαὴλ ἐδιώκετο.

ἐδίωκεν. Διὸ καὶ ἐπάγει λέγων· 29 Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτω καὶ νῦν.

30 Ἀλλὰ τί λέγει ἡ γραφή; ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.

Τί οὖν; αὕτη ἡ παράκλησις πᾶσα τὸ διηγήσασθαι τὸν ἐλεύθερον ὑπὸ τοῦ δούλου διώκεσθαι; οὐχί, φησίν. οὐδὲ γὰρ ἐνταῦθα ἵσταμαι, ἀλλ' ἄκουσον καὶ τὴν ἑξῆς, καὶ τότε λήψῃ παραμυθίαν ἱκανήν, οὐ μικροψυχῶν τοῖς διωγμοῖς. Τίνα οὖν τὰ ἑξῆς; ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· οὐ γὰρ μὴ κληρονομήσει μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. Εἶδες τὰ ἐπίχειρα τῆς προσκαίρου τυραννίδος, καὶ τῆς ἀπονοίας τῆς ἀκαίρου; ἐκπίπτει τῶν πατρῴων ὁ παῖς, καὶ τὰς φυγάς, καὶ ἔπλανος μετὰ τῆς μητρός. σὺ δέ μοι σκόπει τὴν σοφίαν τῶν εἰρημένων. οὐ γὰρ εἶπεν, ἐπειδὴ ἐδίωκε, διὰ τοῦτο ἐξεβάλλετο μόνον, ἀλλ', ἵνα μὴ κληρονομήσῃ. οὐ γὰρ τοῦ προσκαίρου διωγμοῦ τιμωρίαν αὐτὸν ἀπῄτει ταύτην (τοῦτο γὰρ μικρόν, καὶ οὐδὲν πρὸς ἐκεῖνο) ἀλλ' οὐκ ἀφῆκε γενέσθαι κοινωνὸν τῶν ἡτοιμασμένων τῷ παιδί, δεικνὺς ὅτι καὶ τοῦ διωγμοῦ χωρὶς τοῦτο ἄνωθεν αὐτῷ διατετυπωμένον ἦν, οὐκ ἀπὸ τοῦ διωγμοῦ τὴν ἀρχὴν λαβόν, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ γνώμης. καὶ οὐκ εἶπεν, οὐ μὴ κληρονομήσει ὁ υἱὸς τοῦ Ἀβραάμ, ἀλλ', ὁ υἱὸς τῆς παιδίσκης, ἀπὸ τοῦ φαυλοτέρου γένους αὐτὸν καλῶν. ἀλλ' ἡ Σάρρα στεῖρα ἦν. καὶ γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία, τοιαύτη. ὁρᾷς διὰ πάντων τοὺς τύπους τηρουμένους; ὥσπερ γὰρ ἐν ὅλοις τοῖς ἔμπροσθεν ἔτεσιν ἐκείνη μὴ τίκτουσα, πρὸς ἐσχάτῳ γήρᾳ γέγονε μήτηρ· οὕτω καὶ αὕτη, ὅτε ἦλθε τὸ πλήρωμα, ἔτεκε. τοῦτο γὰρ καὶ προφῆται προανεφώνουν λέγοντες, Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα· τὴν ἐκκλησίαν οὕτω καλοῦντες. οὐ γὰρ ἦν ἐπεγνωκυῖα τὸν Θεόν· ἀλλ' ὅμως ἐπιγνοῦσα, τὴν πολύπαιδα ἐνίκησε συναγωγήν. Ησ. νδ. α.

31 Ἄρα, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

Ταῦτα πάντα κινεῖ καὶ στρέφει, δεῖξαι βουλόμενος, ὅτι τὸ γινόμενον οὐ πρόσφατον ἦν, ἀλλ' ἄνωθεν καὶ πρὸ πολλῶν διετυποῦτο χρόνων. πῶς οὖν οὐκ ἄτοπον παρὰ τοσούτων χρόνων ἀφορισθέντας καὶ ἐλευθερίας τυχόντας, ἑκόντας ἑαυτοὺς εἰς τὸν τῆς δουλείας ὑπάγειν ζυγόν; εἶτα καὶ ἄλλην αἰτίαν τίθησι τὴν πείθουσαν αὐτοὺς ἐπὶ τῶν δογμάτων μένειν.

ΚΕΦΑΛΑΙΟΝ ε.

1 ΤΗ ΓΑΡ ΕΛΕΥΘΕΡΙΑ, ΦΗΣΙΝ, Η ΧΡΙΣΤΟΣ ΥΜΑΣ ἐξηγόρασε, στήκετε.

Μὴ γὰρ ἑαυτοὺς ἠλευθερώσατε, ὅτι πάλιν ἐπὶ προτέραν τρέχετε δεσποτείαν; ἀλλ' αὐτός ἐστιν ὁ ὑμᾶς ἐξηγορακώς, ἄλλος ὁ τὴν τιμὴν δοὺς ὑπὲρ ὑμῶν. ὁρᾷς δι' ὅσων αὐτοὺς ἀπάγει τῆς Ἰουδαϊκῆς πλάνης; πρῶτον, δεικνὺς, ὅτι ἐσχάτης ἀνοίας ἐλευθέρους ἀντὶ δούλων γενομένους, δούλους ἀντ' ἐλευθέρων ἐπιθυμεῖν εἶναι. δεύτερον, ὅτι περὶ τὸν εὐεργέτην ἀγνώμονες καὶ ἀχάριστοι δειχθήσονται, τοῦ μὲν ἐλευθερώσαντος καταφρονοῦντες, τὸν δὲ δουλωσάμενον στέργοντες. τρίτον, ὅτι οὐ δυνατὸν τοῦτο. οὐ γὰρ ἔχει τὴν δεσποτείαν ὁ νόμος, ἅπαξ ἑτέρου τοῦ ὑπὲρ αὐτοῦ πάντας ἡμᾶς πριαμένου. στήκετε δέ, εἰπών, τὸν σάλον ἔδειξε. Καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

Τῷ μὲν τοῦ ζυγοῦ ὀνόματι, τὸ βαρὺ τοῦ πράγματος αὐτοῖς ἐνδείκνυται· τῷ δέ, πάλιν,

εἰπεῖν, πολλὴν αὐτῶν δείκνυσι τὴν ἀναισθησίαν. εἰ μὲν γὰρ ἄπειροι ἦτε τοῦ βάρους ἐκείνου, οὐ τοσούτων ἦτε ἐγκλημάτων ἄξιοι· ὅτε δὲ τῇ πείρᾳ μαθόντες τὸ φορτικὸν τοῦ ζυγοῦ, εἶτα ὑποτιθέντες ἑαυτοὺς ἐκείνῳ πάλιν, ποίας ἂν εἴητε δίκαιοι τυχεῖν συγγνώμης;

2 Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

Ὅρα πόση ἀπειλή. εἰκότως ἄρα καὶ ἀγγέλους ἀνεθεμάτιζε. πῶς δὲ Χριστὸς αὐτοὺς οὐδὲν ὠφελήσει; αὐτὸς μὲν γὰρ τοῦτο οὐ κατεσκεύασεν, ἀλλ᾽ ἀπεφήνατο, ὡς τῆς τοῦ προσώπου ἀξιοπιστίας ἀρκούσης ἀντὶ πάσης ἀποδείξεως λοιπόν. διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν· ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅπερ ἦν θαρροῦντος οἷς λέγει· ἡμεῖς δὲ ὡς ἂν οἷοί τε ὦμεν παρ᾽ ἑαυτῶν προσθήσομεν. πῶς οὐδὲν ὠφελήσει τὸν περιτεμνόμενον ὁ Χριστός; ὁ περιτεμνόμενος, ὡς τὸν νόμον δεδοικὼς, περιτέμνεται· ὁ δὲ δεδοικὼς, ἀπιστεῖ τῇ δυνάμει τῆς χάριτος· ὁ δὲ ἀπιστῶν, οὐδὲν κερδαίνει παρὰ τῆς ἀπιστουμένης. πάλιν ἑτέρως, ὁ περιτεμνόμενος τὸν νόμον κύριον ποιεῖ· κύριον δὲ εἶναι νομίζων, ἐκ τοῦ μείζονος αὐτὸν παραβαίνων μέρους, ἐκ δὲ τοῦ ἐλάττονος τηρῶν, πάλιν ὑπὸ τὴν ἀρὰν ἑαυτὸν τίθησιν· ὑποβάλλων δὲ ἑαυτὸν τῇ ἀρᾷ, καὶ διακρουσάμενος τὴν ἀπὸ τῆς πίστεως ἐλευθερίαν, πῶς δύναται σωθῆναι; εἰ γὰρ χρή τι καὶ παράδοξον εἰπεῖν, οὐδὲν οὔτε ἐν Χριστῷ, οὔτε τῷ νόμῳ πιστεύει, ἀλλ᾽ ἐν μέσῳ ἕστηκε, κἀκεῖθεν καὶ ἔνθεν βουλόμενος κερδαίνειν. διόπερ οὐδαμόθεν οὐδὲν καρπώσεται. εἶτα εἰπὼν, ὅτι οὐδὲν ὠφελήσει, αἰνιγματωδῶς διὰ βραχέων τὴν ἀπόδειξιν τίθησιν, οὕτω λέγων·

3 Μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι.

Ἵνα γὰρ μὴ νομίσῃς κατ᾽ ἔχθραν ταῦτα λέγεσθαι, οὐχ ὑμῖν λέγω μόνον, φησὶν, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. ἀλλήλων γὰρ ἔχεται τὰ νόμιμα· καὶ καθάπερ ὁ ἀπογραψάμενος εἶναι δοῦλος ἀντὶ ἐλευθέρου, οὐκέτι ποιεῖ, ὃ βούλεται, ἀλλὰ πᾶσι τοῖς τῆς δουλείας κατέχεται νόμοις· οὕτω καὶ ἐπὶ τοῦ νόμου, ὅταν ἀναδέξῃ μικρόν τι τοῦ νόμου, καὶ ὑπαγάγῃς σεαυτὸν τῷ ζυγῷ, ὅλην ἐφελκύσω τὴν δεσποτείαν. οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν κληρονομίας, ὁ μὲν μηδενὸς ἁψάμενος, πάντων ἀπήλλακται τῶν ἀπαιτουμένων τῷ κλήρῳ τοῦ τετελευτηκότος πραγμάτων· ἂν δὲ μικρόν τι χειρίσῃ, καὶ μὴ πάντα λάβῃ, πᾶσιν ἑαυτὸν ὑπεύθυνον κατέστησε διὰ τοῦ μέρους. τοῦτο καὶ ἐπὶ τοῦ νόμου συμβαίνει. οὐ διὰ τοῦτο δὲ μόνον ὃν εἴρηκα τρόπον, ἀλλὰ καὶ δι᾽ ἕτερον. ἀλλήλων γὰρ τὰ νόμιμα ἔχεται. οἷόν τι λέγω· ἡ περιτομὴ θυσίαν ἔχει συνεζευγμένην καὶ ἡμερῶν παρατήρησιν, ἡ θυσία πάλιν καὶ ἡμέρας καὶ τόπου φυλακὴν, ὁ τόπος μυρίων καθαρμῶν τρόπους, οἱ καθαρμοὶ ἐσμὸν ἅπαντα παρατηρήσεων εἰσάγουσι ποικίλων. οὐ γὰρ ἀκάθαρτον οὐ θύειν, οὐχ ἱερῶν ἐπιβαίνειν ἀδύτων, οὐκ ἄλλο τι τῶν τοιούτων ποιεῖν θέμις. διὰ καὶ πολλὰ ἐφέλκεται καὶ διὰ τῆς μιᾶς ἐντολῆς ὁ νόμος. ἂν τοίνυν περιτμηθῇς, μὴ ἐν τῇ ὀγδόῃ δὲ ἡμέρᾳ· ἢ ἐν τῇ ὀγδόῃ μὲν, μὴ οὔσης δὲ θυσίας· θυσίας δὲ οὔσης, μὴ ἐν τῷ ὡρισμένῳ δὲ τόπῳ· μὴ τὰ νενομισμένα δὲ· ἢ τὰ νενομισμένα μὲν, μὴ καθαρὸς δὲ ὤν· ἢ καθαρὸς μὲν ὤν, οὐ τοῖς προσήκουσι δὲ θεσμοῖς καθαρθεὶς, πάντα οἴχεται ἐκεῖνα. διὰ τοῦτό φησιν, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. *** μὴ μέρος πληρώσῃς, ἀλλὰ τὸ πᾶν· εἰ δὲ οὐκ ἔστι κύριος, μηδὲ τὸ μέρος.

4 Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε· τῆς χάριτος ἐξεπέσατε.

Ἐπειδὴ γὰρ κατεσκεύασεν, ἀποφαίνεται λοιπὸν, καὶ περὶ τῶν ἐσχάτων χρηματίζει κινδύνων. ὅταν γὰρ ὁ τῷ νόμῳ προστρέχων, μὴ ἐκεῖθεν δύνηται σώζεσθαι, καὶ τῆς χάριτος ἐκπίπτῃ, τί λοιπὸν, ἀλλ᾽ ἢ κόλασις ἀπαραίτητος, τοῦ μὲν ἀτονοῦντος, τῆς δὲ οὐ προσιεμένης αὐτόν; αὐξήσας τοίνυν αὐτοῖς οὕτω τὸν φόβον, καὶ κατασείσας αὐτῶν τὴν διάνοιαν, καὶ δείξας τὸ ἀναγκαῖον, ὃ μέλλουσιν ὑπομένειν, πάντα, εὐθέως ἀνοίγει αὖθις τῆς χάριτος τὸν λιμένα·

πανταχοῦ ποιεῖ, εὐκαταγωνιστοτέραν τε καὶ ἀσφαλεστέραν ἐντεῦθεν ἀποφαίνων τὴν συμβουλήν. διὸ καὶ ἐπάγει λέγων·

5 Ἡμεῖς γὰρ διὰ πίστεως ἐν πνεύματι ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.

Οὐδενὸς ἐκείνων τῶν νομίμων δεόμεθα, φησίν. ἀρκεῖ γὰρ ἡ πίστις ἡμῖν πνεῦμα παρασχεῖν, καὶ δι' αὐτοῦ δικαιοσύνην, καὶ τὰ πολλὰ καὶ μεγάλα ἀγαθά.

6 Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τί ἐστιν, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. Ὁρᾷς πῶς λοιπὸν μετὰ πλείονος ἀποδύεται παρρησίας; ὁ γὰρ τὸν Χριστὸν ἐνδυσάμενος, μηκέτι ταῦτα περιεργαζέσθω, φησί. καὶ μὴν ἔλεγεν, ὅτι βλαβερὸν ἡ περιτομή· πῶς οὖν ἀδιάφορον αὐτὴν τίθησιν; ἀδιάφορον ἐπὶ τῶν ἤδη πρὸ τῆς πίστεως εἰληφότων, οὐκ ἐπὶ τῶν μετὰ τὴν πίστιν περιτεμνομένων. ὅρα δὲ πῶς αὐτὴν ἐξέβαλε, μετὰ ἀκροβυστίας στήσας αὐτήν. τὸ γὰρ ποιοῦν τὴν διαφορὰν, ἡ πίστις ἐστίν. ὥσπερ οὖν ἂν ἀθλητάς τις καταλέγῃ, ἄν τε γρυπεῖς, ἄν τε σιμοὶ, ἄν τε μέλανες, ἄν τε λευκοὶ, οὐδὲν διαφέρει πρὸς τὴν δοκιμασίαν ταῦτα, ἀλλ' ἵνα ἰσχυροὶ καὶ ἐπιστήμονες ὦσι μόνον τοῦτο δεῖ ζητεῖν· οὕτω καὶ τὸν μέλλοντα ἀπογράφεσθαι εἰς τὴν καινὴν διαθήκην, οὐδὲν ἐμβλάπτει τὰ σωματικὰ ταῦτα ἅπαντα, ὥσπερ οὖν οὔτε ὀνίνησιν αὖ πάλιν. τί δέ ἐστι, δι' ἀγάπης ἐνεργουμένη; μεγάλην ἐνταῦθα πληγὴν αὐτοῖς ἐπέπληξεν, ἐμφαίνων ὅτι ἐκ τοῦ τὴν πρὸς Χριστὸν ἀγάπην μὴ ῥιζωθῆναι αὐτοῖς, ἡ παρείσδυσις γέγονεν. οὐ γὰρ τὸ πιστεῦσαί ἐστι τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ τὸ μένειν ἀγαπῶντας. ὡς ἂν εἰ ἔλεγεν, εἰ ἠγαπᾶτε τὸν Χριστὸν ὡς ἐχρῆν, οὐκ ἂν ηὐτομολήσατε πρὸς τὴν δουλείαν, οὐκ ἂν τὸν ἐξαγοράσαντα ὑμᾶς ἀφήκατε, οὐκ ἂν ὑβρίσατε τὸν ἐλευθερώσαντα. αἰνίττεται δὲ ἐνταῦθα καὶ τοὺς ἐπιβουλεύοντας αὐτοῖς, δεικνὺς ὅτι καὶ ἐκεῖνοι, εἰ ἀγάπην εἶχον πρὸς αὐτοὺς, οὐκ ἂν ἐτόλμησαν ταῦτα ποιεῖν. βούλεται δὲ καὶ τὸν βίον αὐτοῖς διορθοῦν ἀπὸ τοῦ ῥήματος τούτου.

7 Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν; Οὐκ ἐρωτῶντός ἐστι τοῦτο, ἀλλ' ἀποροῦντος καὶ ὀλοφυρομένου, πῶς ὁ τοσοῦτος ἐνεκόπη δρόμος, τίς ὁ τοσοῦτον ἰσχύσας. ὃ πάντων αἴσχιον, καὶ ἐν τάξει διδασκάλων ὄντες, οὐδὲ ἐν τάξει μαθητῶν ἐμείνατε. τί γέγονε; τίς τοσοῦτον ἴσχυσε; ταῦτα ἀποροῦντός ἐστι καὶ θρηνοῦντος μᾶλλον, ὥσπερ καὶ ἔμπροσθεν ἔλεγε, τίς ὑμᾶς ἐβάσκανε;

8 Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. Οὐκ ἐπὶ τούτοις ἐκάλεσεν ὑμᾶς ὁ καλῶν, ὥστε οὕτω σαλεύεσθαι· οὐ ταῦτα ἐνομοθέτησεν, ὥστε Ἰουδαΐζειν. εἶτα ἵνα μή τις λέγῃ, τί οὕτω τὸ πρᾶγμα ἐπαίρεις καὶ δεινοῖς τῷ λόγῳ; μίαν ἐντολὴν τοῦ νόμου ἐφυλάξαμεν μόνον, καὶ τοσαῦτα θορυβεῖς; ἄκουσον πῶς φοβεῖ οὐκ ἀπὸ τῶν παρόντων, ἀλλ' ἀπὸ τῶν μελλόντων, λέγων οὕτω·

9 Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Οὕτω καὶ ὑμᾶς ἰσχύει, φησὶ, τὸ μικρὸν τοῦτο σφάλμα, μὴ διορθωθὲν, καὶ εἰς τέλειον Ἰουδαϊσμὸν ἀγαγεῖν, ὥσπερ ἡ ζύμη τὸ φύραμα.

10 Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Χριστῷ, ὅτι οὐδὲν ἄλλο φρονήσετε.

Οὐκ εἶπεν, ὅτι οὐ φρονεῖτε, ἀλλ', οὐ φρονήσετε, τουτέστιν, ὅτι διορθωθήσεσθε. πόθεν οἶδας τοῦτο; οὐκ εἶπεν, οἶδα, ἀλλὰ, πιστεύω τῷ Θεῷ, φησὶ, καὶ τὴν ἐκείνου καλῶ συμμαχίαν πρὸς τὴν ὑμετέραν διόρθωσιν θαρρῶν. καὶ οὐχ ἁπλῶς εἶπε, πέποιθα εἰς ὑμᾶς, ἀλλ', ἐν Κυρίῳ. πανταχοῦ γὰρ μετ' ἐγκωμίων πλέκει τὰς κατηγορίας, ὡς ἂν εἰ ἔλεγεν, οἶδα τοὺς ἐμοὺς μαθητὰς, οἶδα τὸ ὑμῶν εὐδιόρθωτον· θαρρῶ τοῦτο μετὰ τοῦ Κυρίου, τὸ οὐκ ἐῶντα ἀπόλεσθαι οὐδὲ τὸ τυχὸν τοῦτο, καὶ δι' ὑμᾶς τοὺς δυναμένους ταχέως ἑαυτοὺς ἀνακαλέσασθαι. ἅμα δὲ καὶ παρασκευάζει τὴν παρ' ἑαυτῶν σπουδὴν εἰσενεγκεῖν, ὡς οὐκ ἐνὸν τῶν παρὰ τοῦ Θεοῦ τυχεῖν, ἂν μὴ καὶ τὰ παρ' ἡμῶν εἰσφέρωμεν.

Ὁ

Ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. Ἑκατέρωθεν αὐτοὺς ἀλείφει, καὶ ἐξ ὧν παρεθάῤῥυνε, καὶ ἐξ ὧν ἐκείνοις ἐπηρεάσατο, ἢ προσεφήτευσε. σὺ δέ μοι σκόπει πῶς οὐδαμοῦ ὄνομα τίθησι τῶν ἐπιβουλευόντων, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἐπειδὴ ὑμεῖς οὐδὲν ἄλλο φρονήσετε, διὰ τοῦτο οἱ τῆς ἀπάτης αἴτιοι ἀπηλλαγμένοι τῆς κολάσεώς εἰσιν· ἀλλὰ δώσουσι δίκην. οὐδὲ γὰρ προσήκει τὴν ἑτέρων σπουδὴν τῆς ἄλλων κακοηθείας γενέσθαι παραμυθίαν. γέγονε δὲ τοῦτο, ἵνα μὴ καὶ ἑτέροις πάλιν ἐπιθῶνται. καὶ οὐχ ἁπλῶς εἶπεν, οἱ ταράσσοντες, ἀλλὰ καὶ ἐπῆρε τὸν λόγον εἰπὼν, ὅστις ἂν ᾖ.

11 Ἐγὼ δὲ, ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύττω, τί ἔτι διώκομαι;

Ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν ὡς πολλαχοῦ Ἰουδαΐζοντα, καὶ ὑποκρινόμενον τὸ κήρυγμα, ὅρα πῶς εὐκαθάρως ἐξεδύσατο, μάρτυρας αὐτοὺς καλῶν. οἴδατε γὰρ, φησὶ, καὶ ὑμεῖς, ὅτι τῶν διωγμῶν μου πρόφασις τοῦτό ἐστιν, ὅτι κελεύω ἀπέχεσθαι τοῦ νόμου. εἰ δὲ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι; οὐδὲν γὰρ ἕτερον ἔγκλημα ἔχουσί μοι οἱ ἐξ Ἰουδαίων, ἢ τοῦτο μόνον. καὶ γὰρ εἰ συνεχώρουν αὐτοῖς μετὰ τῶν πατρῴων ἐθῶν πιστεύειν, οὐκ ἂν οὔτε οἱ πιστεύσαντες, οὔτε οἱ ἀπιστήσαντες ἐπεβούλευσαν, τῷ μηδὲν τῶν οἰκείων παρασαλεύεσθαι. τί οὖν; οὐκ ἐκήρυξε περιτομήν; οὐ περιέτεμε τὸν Τιμόθεον; περιέτεμε μέν. πῶς οὖν φησιν, οὐ κηρύσσω; καὶ ἐνταῦθα αὐτοῦ μάθε τὴν ἀκρίβειαν. οὐ γὰρ εἶπεν, ὅτι περιτομὴν οὐκ ἐργάζομαι, ἀλλὰ, οὐ κηρύσσω, τουτέστιν, οὐχ οὕτω κελεύω πιστεύειν. μὴ γὰρ εἰς δόγματος λόγους βεβαίωσιν. περιέτεμον μὲν γὰρ, οὐκ ἐκήρυξα δὲ περιτομήν.

Ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. Τουτέστι, τὸ ἐμπόδιον, τὸ κώλυμα ἀνῄρηται, εἰ τοῦτό ἐστιν ὅ φατε. οὐδὲ γὰρ οὕτως ὁ σταυρὸς ἦν σκάνδαλον τοῖς Ἰουδαίοις, ὡς τὸ, μὴ δεῖν πείθεσθαι τοῖς πατρῴοις νόμοις. καὶ γὰρ τὸν Στέφανον προσενεγκόντες, οὐκ εἶπον, ὅτι τοῦτον τὸν ἐσταυρωμένον προσκυνεῖ, ἀλλ' ὅτι κατὰ τοῦ τόπου καὶ τοῦ νόμου λέγει τοῦ ἁγίου. καὶ τῷ Ἰησοῦ τοῦτο ἐνεκάλουν, ὅτι τὸν νόμον παραλύει. διό φησιν ὁ Παῦλος, εἰ συγκεχώρηται περιτέμνεσθαι, λέλυται ἡ φιλονεικία ἡ πρὸς ὑμᾶς· οὐδεμία λοιπὸν ἔχθρα γενήσεται πρὸς τὸν σταυρὸν καὶ τὸ κήρυγμα. εἰ δὲ καθ' ἑκάστην ἡμέραν φονῶσι καθ' ἡμῶν, πῶς τοῦτο ἐγκαλοῦσιν ἡμῖν; ἐμοὶ γοῦν διὰ τοῦτο ἐπέθεντο, ὅτι εἰσήνεγκα ἀκρόβυστον εἰς τὸν ναόν. ἆρ' οὖν οὕτως ἀνόητός εἰμι, φησὶν, ὡς συγκεχωρημένης περιτομῆς, εἰκῇ καὶ μάτην τοσαύτην ἀναδέξασθαι βλάβην; τοσοῦτον σκάνδαλον θεῖναι τῷ σταυρῷ; ὁρᾶτε γὰρ ὅτι δι' οὐδὲν ἡμῖν πολεμοῦσιν οὕτως, ὡς διὰ τὴν περιτομήν. οὕτως οὖν ἀνόητος ἦμην, ὡς ὑπὲρ τοῦ μηδενὸς θλίβεσθαι, καὶ σκανδαλίζειν ἑτέρους; σταυροῦ δὲ σκάνδαλον ἐκάλεσεν, ἐπειδὴ καὶ ὁ τοῦ σταυροῦ λόγος τοῦτο ἐπέταττε, καὶ τοῦτο μάλιστα ἦν ὃ σκανδαλίζοι Ἰουδαίους, καὶ κωλύοι τὸν σταυρὸν ἀναδέξασθαι, τὸ κελεύεσθαι τῶν πατρῴων ἀφίστασθαι ἐθῶν.

12 Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. Ὅρα πῶς ἐστι πικρὸς ἐνταῦθα κατὰ τῶν ἠπατηκότων. παρὰ μὲν γὰρ τὴν ἀρχὴν ἐπὶ τοὺς ἠπατημένους τὴν κατηγορίαν ἔτρεπεν, ἀνοήτους καλῶν, καὶ ἅπαξ, καὶ δεύτερον· ἐπειδὴ δὲ καλῶς αὐτοὺς ἐπαίδευσε καὶ διώρθωσε, πρὸς τοὺς ἠπατηκότας τρέπεται λοιπόν. δεῖ δὲ ἡμᾶς συνιδεῖν καὶ ἐντεῦθεν αὐτοῦ τὴν σοφίαν, πῶς τούτους μὲν, ὡς παῖδας οἰκείους, καὶ δυναμένους λαβεῖν διόρθωσιν, νουθετεῖ καὶ σωφρονίζει· τοὺς δὲ ἠπατηκότας, ὡς ἀλλοτρίους καὶ ἀνίατα νοσοῦντας, ἐκκόπτει· τοῦτο μὲν λέγων, βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ, τοῦτο δὲ ἐπαρώμενος αὐτοῖς, καὶ λέγων, ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. καὶ καλῶς εἶπεν, ἀναστατοῦντες. τὴν γὰρ οἰκείαν πατρίδα, καὶ τὴν ἐλευθερίαν, καὶ τὴν συγγένειαν ἀφέντες τὴν ἄνω, τὴν ἀλλοτρίαν καὶ ξένην μεταδιώκειν ἠνάγκασαν, ἀπὸ μὲν τῆς ἄνω Ἱερουσαλὴμ καὶ τῆς ἐλευθέρας ἐκβάλλοντες, βιαζόμενοι δὲ καθάπερ αἰχμαλώτους καὶ μετανάστας πλανᾶσθαι.

διόπερ

διόπερ αὐτοῖς ἐπαρᾶται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδέν μοι μέλει περὶ ἐκείνων. Αἱρετικὸν γὰρ ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. Εἰ βούλονται, μὴ περιτεμνέσθωσαν μόνον, ἀλλὰ καὶ περικοπτέσθωσαν. ποῦ τοίνυν εἰσὶν οἱ τολμῶντες ἀποκόπτειν ἑαυτοὺς, καὶ τὴν ἀρὰν ἐπισπώμενοι, καὶ τὴν τοῦ Θεοῦ δημιουργίαν διαβάλλοντες, καὶ τοῖς Μανιχαίοις συμπράττοντες; ἐκεῖνοι μὲν γὰρ φασὶ τὸ σῶμα ἐπίβουλον εἶναι, καὶ ὕλης τῆς πονηρᾶς· οὗτοι δὲ διὰ τῶν ἔργων τοῖς χαλεποῖς δόγμασι τούτοις διδόασιν ἀφορμήν. ὡς γὰρ ἐχθρὸν καὶ ἐπίβουλον ἀποκόπτουσι τὸ μέλος. οὐκοῦν πολλῷ μᾶλλον τοὺς ὀφθαλμοὺς πηρῶσαι ἐχρῆν. διὰ γὰρ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν κάτεισιν ἡ ἐπιθυμία· ἀλλὰ οὔτε ὀφθαλμὸς, οὔτε τι ἄλλο μέλος αἴτιον, ἀλλ' ἡ πονηρὰ προαίρεσις μόνον. εἰ δὲ οὐκ ἀνέχῃ, διά τι μὴ καὶ γλῶτταν διὰ τὴν βλασφημίαν, καὶ χεῖρας διὰ τὴν ἁρπαγὴν, καὶ πόδας διὰ τοὺς ἐπὶ πονηρίαν δρόμους, καὶ πᾶν, ὡς εἰπεῖν, τὸ σῶμα κατακόπτεις; καὶ γὰρ ἀκοὴ καταυλουμένη πολλάκις κατεμάλαξε τὴν ψυχὴν, καὶ ῥῖνες ὀσμὴν ἡδεῖαν δεξάμεναι κατεγοήτευσαν τὴν διάνοιαν, καὶ πρὸς ἡδονὴν ἐξεβάκχευσαν. οὐκοῦν πάντα περικόψωμεν, καὶ ὦτα, καὶ χεῖρας, καὶ ῥῖνας. ἀλλ' ἐσχάτης ταῦτα παρανομίας, καὶ σατανικῆς παραπληξίας. δέον γὰρ διορθῶσαι μόνον τὴν ἄτακτον τῆς ψυχῆς ὁρμὴν, ὡς τοῦ τεχνίτου διαμαρτάνοντος, τὸ ὄργανον συντέμνειν ἀνέπεισεν ὁ πονηρὸς δαίμων καὶ φόνοις χαίρων διηνεκῶς. πῶς οὖν, τοῦ σώματος πιαινομένου, φησὶν, ἐκχεῖται ἐπιθυμία; ἰδοὺ πάλιν τὸ ἁμάρτημα τῆς ψυχῆς. τὸ γὰρ πιαίνειν τὴν σάρκα, οὐ τῆς σαρκός ἐστιν, ἀλλὰ τῆς ψυχῆς. εἰ γὰρ βούλοιτο κατατήκειν, αὐτὴ τὴν ἐξουσίαν ἅπασαν ἔχει. σὺ δὲ παραπλήσιον ποιεῖς, ὥσπερ ἂν εἴ τις ὁρῶν τινα πῦρ καίοντα, καὶ ἐπιτιθέντα ξύλα, καὶ οἰκίαν ἐμπιπρῶντα, ἀφεὶς τὸν ἅψαντα τὴν πυρὰν, ἐγκαλέσειε τῇ πυρᾷ, ὅτι πολλῶν ἐπιλαβομένη ξύλων εἰς ὕψος ἤρθη. ἀλλ' οὐκ ἔστι τὸ ἔγκλημα τοῦ πυρὸς, ἀλλὰ τοῦ ἅψαντος τὸ πῦρ. τοῦτο γὰρ πρὸς ἕψησιν, πρὸς φωτισμὸν, πρὸς ἄλλας τοιαύτας ἐδόθη διακονίας, οὐχ ἵνα καίῃ τὰς οἰκίας. ὥσπερ οὖν καὶ ἡ ἐπιθυμία εἰς παιδοποιΐαν καὶ βίου σύστασιν, οὐ πρὸς μοιχείαν, καὶ πορνείαν, καὶ ἀσέλγειαν· ἵνα πατὴρ γένῃ, οὐχ ἵνα μοιχός· ἵνα νομίμως ὁμιλήσῃς γυναικὶ, οὐχ ἵνα παρανόμως διαφθείρῃς· ἵνα καταλίπῃς σπέρμα, οὐχ ἵνα τὸ ἑτέρου λυμήνῃ. τὸ γὰρ μοιχεύειν, οὐ τῆς ἐπιθυμίας ἐστὶ τῆς φυσικῆς, ἀλλὰ τῆς ὕβρεως τῆς παρὰ φύσιν. ἡ γὰρ ἐπιθυμία μίξιν ἐπιζητεῖ μόνον, οὐ τοίανδε μίξιν. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται νῦν, ἀλλὰ προαναμαχούμεθά τινας ἀγῶνας, καὶ προακροβολιζόμεθα πρὸς τοὺς λέγοντας τοῦ Θεοῦ τὴν δημιουργίαν πονηρὰν εἶναι, καὶ τῆς μὲν ψυχῆς τὴν ῥαθυμίαν ἐῶντας, κατὰ δὲ τοῦ σώματος μαινομένους, καὶ τὴν σάρκα ἡμῖν διαβάλλοντας, περὶ ὧν καὶ μετὰ ταῦτα ὁ Ἀπόστολος Παῦλος διαλέγεται, οὐ τῆς σαρκὸς κατηγορῶν, ἀλλὰ τῶν διαβολικῶν λογισμῶν.

13 Ὑμεῖς δὲ, ἀδελφοὶ, ἐπ' ἐλευθερίᾳ ἐκλήθητε· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί. Ἐνταῦθα λοιπὸν δοκεῖ μὲν εἰς τὸν ἠθικὸν ἐμβαίνειν λόγον, παρὰ δέ τι καινὸν, καὶ ὅπερ οὐδὲ ἐν μιᾷ τῶν ἄλλων ἔπαθεν ἐπιστολῶν. πάσας γὰρ διαλαμβάνων εἰς μέρη δύο, καὶ τὰ μὲν πρότερα περὶ δογμάτων, τὰ δὲ ἔσχατα περὶ βίου διαλεγόμενος, ἐνταῦθα εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, πάλιν ἀναμίγνυσι τὸ δογματικόν. καὶ γὰρ τοῦτο ἐκείνου πάλιν ἔχεται ἐν τῇ πρὸς Μανιχαίους μάχῃ. τί δέ ἐστι, μόνον μὴ τὴν ἐλευθερίαν τῇ σαρκὶ εἰς ἀφορμήν; ἀπήλλαξεν ὑμᾶς, φησὶν, ὁ Χριστὸς τοῦ ζυγοῦ τῆς δουλείας, κυρίους ἀφῆκε τοῦ πράττειν ὅ,τι βούλεσθε, οὐχ ἵνα τῇ ἐξουσίᾳ πρὸς κακίαν χρησώμεθα, ἀλλ' ἵνα μείζονος λάβωμεν μισθοῦ πρόφασιν, ἐπὶ φιλοσοφίαν μείζονα ἀνιόντες. ἐπεὶ γὰρ ἄνω καὶ κάτω ζυγὸν δουλείας καλεῖ τὸν νόμον, καὶ *** καλαρὰς ἀπαλλαγὴν, ἵνα μή τις ὑποτοπήσῃ, ὅτι διὰ τοῦτο κελεύει τοῦ νόμου ἀποστῆναι, ἵνα ἐξῇ παρανόμως ζῆν, διορθοῦται τὴν ὑπόνοιαν λέγων, οὐχ ἵνα παράνομος γένηται ἡ πολιτεία, ἀλλ' ἵνα ὑπὲρ τὸν νόμον ἡ φιλοσοφία. ἐλύθη γὰρ τοῦ νόμου

τὰ

Margin notes: Τιτ. γ. ι. — γ. ἀποκοπτέσθωσαν. — γ. τούτων — γ. καταυλιζομένη — γ. ἀσελγείας. — γ. ἐπιθυμεῖ — χαλεπαίνειν — ἴσ. λείπει, τὴν χάριν

τὸ δόγμα. καὶ ἐγὼ ταῦτα λέγω, οὐχ ἵνα ταπεινότεροι, ἀλλ' ἵνα ὑψηλότεροι γενώμεθα. καὶ γὰρ ὁ πορνεύων, καὶ ὁ παρθενεύων, ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν, ἀλλ' οὐκ ἐπὶ τοῖς αὐτοῖς· ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθεὶς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς· ὁ μὲν παραβὰς, ὁ δὲ ὑπερβὰς τὸν νόμον. τοῦτ' οὖν φησιν ὁ Παῦλος, ὅτι ἔλυσε τὸν ζυγὸν ἀφ' ὑμῶν, οὐχ ἵνα σκιρτήσητε, οὐδ' ἵνα λακτίσητε, ἀλλ' ἵνα χωρὶς ζυγοῦ βαδίζητε εὔρυθμα. Εἶτα καὶ δείκνυσι τρόπον, δι' οὗ ῥᾳδίως ἂν τὸ τοιοῦτον κατορθωθείη. τίς οὖν ὁ τρόπος;

Διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις, φησί. Πάλιν ἐν τούτοις αἰνίττεται ὅτι φιλονεικία, καὶ στάσις, καὶ φιλαρχία, καὶ ἀπόνοια, ταύτης τῆς πλάνης αἴτιαι αὐτοῖς ἐγένοντο. ἡ γὰρ τῶν αἱρέσεων μήτηρ, ἡ τῆς φιλαρχίας ἐστὶν ἐπιθυμία. Εἰπὼν γὰρ, ὅτι δουλεύετε ἀλλήλοις, ἔδειξεν ὅτι ἐξ ἀπονοίας καὶ τύφου τοῦτο ἔλαβεν ἀρχὴν τὸ κακόν· διὸ κατάλληλον ἐπεισάγει φάρμακον. ἐπειδὴ γὰρ ἀλλήλων ἄρχειν βουλόμενοι διεστάθητε, δουλεύσατε ἀλλήλοις· οὕτω γὰρ συναχθήσεσθε πάλιν. ἀλλὰ φανερῶς μὲν οὐ λέγει τὸ ἁμάρτημα, φανερῶς δὲ τίθησι τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς κἀκεῖνο μάθωσιν· ὡς ἂν εἴ τις πρὸς ἀσελγαίνοντα, ὅτι μὲν ἀσελγαίνει, μὴ λέγοι, παραινοίη δὲ συνεχῶς σωφρονεῖν. ὁ γὰρ ἀγαπῶν, ὡς χρὴ, τὸν πλησίον, οὐ παραιτεῖται δουλεύειν αὐτῷ παντὸς δούλου ταπεινότερον. καθάπερ γὰρ πῦρ ὁμιλῆσαν κηρῷ, μαλάσσει ῥᾳδίως αὐτόν· οὕτω καὶ ἡ τῆς ἀγάπης θερμότης πάντα τῦφον καὶ ἀπόνοιαν πυρὸς σφοδρότερον διαλύει. διὰ τοῦτο οὐκ εἶπεν, ἀγαπᾶτε ἀλλήλους, ἁπλῶς, ἀλλὰ, δουλεύετε, τὴν ἐπιτεταμένην δηλῶν φιλίαν. ἐπειδὴ γὰρ τοῦ νόμου τὸν ζυγὸν ἀφεῖλεν, ἵνα μὴ ἀποσκιρτήσωσιν, ἕτερον αὐτοῖς ἐπιτίθησι ζυγὸν τὸν τῆς ἀγάπης, ἰσχυρότερον μὲν ἐκείνου, κουφότερον δὲ καὶ ἡδίω πολλῷ. Εἶτα δεικνὺς αὐτοῦ τὸ κατόρθωμα, φησίν·

14 Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου, ὡς ἑαυτόν. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τὸν νόμον ἔστρεφον, εἰ βούλει αὐτὸν, φησὶ, πληρῶσαι, μὴ περιτέμνου· οὐ γὰρ ἐν τῇ περιτομῇ, ἀλλ' ἐν τῇ ἀγάπῃ πληροῦται. ὅρα τῆς ὀδύνης πῶς οὐκ ἐπιλανθάνεται τῆς ἑαυτοῦ, ἀλλὰ τὸ ποιοῦν κινεῖ συνεχῶς, καὶ εἰς τὸν ἠθικὸν ἐξελθὼν λόγον.

15 Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε.

Οὐκ ἀποφαίνεται, ἵνα μὴ βαρήσῃ, ἀλλ' οἶδε μὲν αὐτὸ γινόμενον, λέγει δὲ αὐτὸ μετὰ ἀμφιβολίας. οὐ γὰρ εἶπεν, ἐπειδὴ ἀλλήλους δάκνετε, καὶ τὸ ἑξῆς ὁμοίως. οὐδὲ γὰρ ἐκεῖ πάλιν ἀπεφήνατο, ὅτι ὑπὸ ἀλλήλων ἀνηλώθητε, ὅπερ ἐστὶ φοβοῦντος καὶ ἀσφαλιζομένου, οὐ καταδικάζοντος. καὶ ταῖς λέξεσι δὲ ἐμφαντικῶς ἐχρήσατο. οὐ γὰρ εἶπε, δάκνετε, μόνον, ὅπερ ἐστὶ θυμουμένου, ἀλλὰ καὶ κατεσθίετε, ὅπερ ἐστὶν ἐμμένοντος τῇ πονηρίᾳ. ὁ μὲν γὰρ δάκνων, ὀργῆς ἐπλήρωσε πάθος· ὁ δὲ κατεσθίων, θηριωδίας ἐσχάτης παρέχει ἀπόδειξιν. δήγματα δὲ καὶ βρώσεις, οὐ τὰς σωματικάς φησιν, ἀλλὰ τὰς πολὺ χαλεπωτέρας. οὐ γὰρ οὕτως ὁ ἀνθρωπίνης ἀπογευσάμενος σαρκὸς ἔβλαψεν, ὡς ὁ δήγματα εἰς τὴν ψυχὴν πηγνύς. ὅσῳ γὰρ ψυχὴ τιμιωτέρα σώματος, τοσούτῳ χαλεπωτέρα ἡ ταύτης βλάβη. Βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε. ἐπειδὴ γὰρ ὡς ἀδικοῦντες, καὶ ἐπιβουλεύοντες, ὡς ἄλλους ἀναλίσκοντες, ἐπὶ τοῦτο ἔρχονται, διὰ τοῦτό φησι, σκοπεῖτε μὴ εἰς ὑμᾶς τὸ πρᾶγμα περιτραπῇ. ἡ γὰρ διάστασις καὶ ἡ μάχη, φθοροποιὸν καὶ ἀναλωτικὸν καὶ τῶν δεχομένων αὐτὴν, καὶ τῶν εἰσαγόντων, καὶ σητὸς μᾶλλον ἅπαντα διαφθείρει.

16 Λέγω δὲ, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

Ἰδοὺ καὶ ἑτέραν δείκνυσιν ὁδὸν εὔκολον ποιοῦσαν τὴν ἀρετὴν, καὶ κατορθοῦσαν τὰ εἰρημένα, ὁδὸν τίκτουσαν ἀγάπην, καὶ σφιγγομένην ὑπὸ τῆς ἀγάπης. οὐδὲν γὰρ, οὐδὲν οὕτως ἀγαπητικοὺς ποιεῖ, ὡς τὸ πνευματικοὺς εἶναι· καὶ οὐδὲν οὕτω πείθει παραμένειν ἡμῖν

τὸ

τὸ πνεῦμα, ὡς ἡ τῆς ἀγάπης ἰσχύς. διό φησι, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἐπειδὴ γὰρ εἶπε τὸ ποιοῦν τὴν νόσον, λέγει καὶ τὸ τὴν ὑγείαν χαριζόμενον φάρμακον. ποῖον δὲ τοῦτό ἐστι, καὶ τίς ἡ δύναμις τῶν εἰρημένων κακῶν, ἢ τὸ πνεύματι ζῆν; διό φησι· Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. [margin: …κακῶν; ἢ τὸ πνεύματι]

17 Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. Ἐνταῦθα δὲ ἐπιπηδῶσί τινες λέγοντες, ὅτι διεῖλεν εἰς δύο τὸν ἄνθρωπον ὁ ἀπόστολος, ὥσπερ ἐξ ἐναντίας οὐσίας κατεσκευασμένον εἰσάγων, καὶ μάχην τῷ σώματι πρὸς τὴν ψυχὴν δεικνὺς οὖσαν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. σάρκα γὰρ ἐνταῦθα, οὐ τὸ σῶμα καλεῖ. εἰ γὰρ τοῦτό φησι, πῶς ἔχει λόγον τὸ ἑξῆς εἰρημένον; ἐπιθυμεῖ γάρ, φησι, κατὰ τοῦ πνεύματος. καίτοι μὲν τοῦτο οὐ τῶν κινούντων, ἀλλὰ τῶν κινουμένων ἐστίν, οὐ τῶν ἐνεργούντων, ἀλλὰ τῶν ἐνεργουμένων. πῶς οὖν ἐπιθυμεῖ; ἡ γὰρ ἐπιθυμία οὐ σαρκός, ἀλλὰ ψυχῆς. καὶ γὰρ ἀλλαχοῦ φησι, Κατεπιθυμός ἐστιν ἡ ψυχή μου. [margin: Ψαλμ. πγ. ϛ.] καί, Τί ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ ποιήσω σοι; καί, Μὴ πορεύου κατὰ τὴν [margin: α. Βασ. κ. δ.] ἐπιθυμίαν τῆς ψυχῆς σου. καὶ πάλιν, Οὕτως ἐπιποθεῖ ἡ ψυχή μου. [margin: Σειρ. ιη. λ.] πῶς οὖν Παῦλός φησιν, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος; [margin: Ψαλμ. μα. α.] οἶδε σάρκα καλεῖν, οὐ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ τὴν πονηρὰν προαίρεσιν, ὡς ὅταν λέγῃ, Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι. [margin: Ρωμ. η. θ. καὶ η.] καὶ πάλιν, Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. τί οὖν, ἀνελεῖν δεῖ τὴν σάρκα; αὐτὸς δὲ ὁ ταῦτα λέγων, οὐ σάρκα περιέκειτο; οὐ τῆς σαρκός, ἀλλὰ τοῦ διαβόλου ταῦτα τὰ διδάγματα. [margin: γ. δόγματα] ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. τί οὖν φησι; σάρκα ἐνταῦθα τὸν λογισμὸν καλεῖ τὸν γεώδη, τὸν ῥάθυμον καὶ ἠμελημένον. τοῦτο δὲ οὐ σώματος κατηγορία, ἀλλὰ ῥαθύμου ψυχῆς ἔγκλημα. ὄργανον γάρ ἐστιν ἡ σάρξ, τὸ δὲ ὄργανον οὐδεὶς ἀποστρέφεται καὶ μισεῖ, ἀλλὰ τὸν τὸ ὄργανον κακῶς μεταχειριζόμενον. καὶ γὰρ οὐ τὸν σίδηρον, ἀλλὰ τὸν ἀνδροφόνον καὶ μισοῦμεν, καὶ κολάζομεν. ἀλλὰ καὶ αὐτὸ τοῦτο, φησί, κατηγορία τοῦ σώματος, τὸ τὰ ἁμαρτήματα τῆς ψυχῆς τῷ τῆς σαρκὸς ὀνόματι καλεῖσθαι. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐλάττονα εἶναι τῆς ψυχῆς τὴν σάρκα, καὶ αὐτὴν δὲ καλήν. τὸ γὰρ ἔλαττον τοῦ καλοῦ, καὶ αὐτὸ καλόν· τὸ δὲ κακόν, οὐκ ἔλαττον τοῦ καλοῦ, ἀλλ' ἐναντίον. σὺ δέ, εἴ μοι ἔχεις δεῖξαι ἀπὸ τοῦ σώματος κατασκευαζομένην τὴν κακίαν, κατηγόρει τῆς σαρκός· εἰ δὲ ἀπὸ τῆς προσηγορίας διαβάλλειν ἐπιχειρεῖς, ὥρα σοι καὶ τῆς ψυχῆς κατηγορεῖν. καὶ γὰρ ψυχικὸς ἄνθρωπος λέγεται, [margin: α. Κορ. β. ιδ.] ὁ τῆς ἀληθείας ἐστερημένος, καὶ πνεύματα πονηρίας λέγεται, τὰ τῶν δαιμόνων πλήθη. τῷ δὲ τῆς σαρκὸς ὀνόματι πάλιν καὶ τὰ μυστήρια καλεῖν εἴωθεν ἡ γραφή, καὶ τὴν ἐκκλησίαν ἅπασαν, σῶμα λέγουσα εἶναι τοῦ Χριστοῦ. εἰ δὲ βούλει καὶ κατορθώματα καλεῖν τὰ δι' αὐτῆς γινόμενα, σβέσον τῷ λόγῳ τὰς αἰσθήσεις, καὶ ἔρημον ὄψει τὴν ψυχὴν γνώσεως ἁπάσης, καὶ οὐδὲν εἰδυῖαν ὧν οἶδεν. εἰ γὰρ ἡ δύναμις τοῦ Θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοουμένη καθορᾶται, πῶς ἂν ἴδοιμεν χωρὶς ὀφθαλμῶν; εἰ δὲ καὶ ἡ πίστις ἐξ ἀκοῆς, πῶς ἀκουσόμεθα χωρὶς ὤτων; καὶ τὸ κηρύξαι δὲ καὶ τὸ προσελθεῖν, διὰ γλώττης καὶ ποδῶν. πῶς γὰρ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καὶ τὸ γράψαι, διὰ χειρῶν. ὁρᾷς ὅτι μυρίων ἡμῖν ἀγαθῶν ἐστιν αἰτία τῆς σαρκὸς ἡ διακονία; εἰ δὲ λέγει, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, περὶ δύο φησὶ λογισμῶν. οὗτοι γὰρ ἀλλήλοις ἀντίκεινται, ἡ ἀρετή, καὶ ἡ κακία, οὐχ ἡ ψυχή, καὶ τὸ σῶμα. εἰ γὰρ ταῦτα ἀντίκειται, ἀλλήλων ἐστὶν ἀναιρετικά, ὡς τὸ πῦρ τοῦ ὕδατος, ὡς τὸ σκότος τοῦ φωτός. εἰ δὲ ἐπιμελεῖται σώματος ψυχή, καὶ πολλὴν αὐτοῦ ποιεῖ πρόνοιαν, καὶ μυρία πάσχει, ὥστε αὐτὸ μὴ καταλιπεῖν, καὶ ἀπορρηγνυμένη κωλύει, καὶ τὸ σῶμα αὐτῇ διακονεῖται, καὶ πολλὴν εἰσάγει γνῶσιν αὐτῇ, καὶ πρὸς τὴν ἐκείνης ἐνέργειαν τοῦτο κατεσκεύασται, πῶς ἂν ἐναντία ταῦτα εἴη καὶ μαχόμενα ἀλλήλοις; ἐγὼ γὰρ

οὐ

οὐ μόνον οὐκ ἐναντία, ἀλλὰ καὶ σφόδρα ὁμονοοῦντα, καὶ ἀλλήλων ἀντεχόμενα διὰ τῶν ἔργων ὁρᾷς. οὐ τοίνυν περὶ τούτων, φησὶν, ὅτι ἀντίκειται ἀλλήλοις, ἀλλὰ λογισμῶν πονηρῶν, καὶ ἀγαθῶν μάχην εἰσάγει. τὸ γὰρ θέλειν, καὶ μὴ θέλειν, τῆς ψυχῆς. διὰ τοῦτό φησι, ταῦτα δὲ ἀντίκειται, ἵνα μὴ συγχωρῇς τῇ ψυχῇ πορεύεσθαι ἐν ταῖς ἐπιθυμίαις αὐτῆς ταῖς πονηραῖς. καθάπερ γάρ τις παιδαγωγὸς καὶ διδάσκαλος φοβῶν, ταῦτα ἐφθέγξατο.

18 Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. Ποία αὕτη ἀκολουθία; μεγίστη μὲν καὶ σαφής. ὁ γὰρ πνεῦμα ἔχων, ὡς χρὴ, σβέννυσι διὰ τούτου πονηρὰν ἐπιθυμίαν ἅπασαν· ὁ δὲ τούτων ἀπαλλαγεὶς, οὐ δεῖται τῆς ἀπὸ τοῦ νόμου βοηθείας, ὑψηλότερος πολλῷ τῆς ἐκείνου παραγγελίας γενόμενος. ὁ γὰρ μὴ ὀργιζόμενος, πῶς δεῖται ἀκούειν, οὐ φονεύσεις; ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, πῶς χρῄζει τοῦ παιδεύοντος μὴ μοιχεύειν; τίς γὰρ διαλέγεται περὶ τοῦ καρποῦ τῆς κακίας τῷ τὴν ῥίζαν αὐτὴν ἀνασπάσαντι; ῥίζα γὰρ φόνου θυμὸς, καὶ μοιχείας ἡ περίεργος θεωρία τῶν ὄψεων. διὰ τοῦτό φησιν, εἰ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐγκώμιον τοῦ νόμου εἰρηκέναι μέγα καὶ θαυμαστόν. εἰ δὲ ἐν τάξει τοῦ πνεύματος ὁ νόμος ἦν κατὰ δύναμιν τὴν ἑαυτοῦ περὶ τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως, οὐ μὴν διὰ τοῦτο ἐναπομένειν χρὴ τῷ παιδαγωγῷ. τότε μὲν εἰκότως ὑπὸ νόμον ἦμεν, ἵνα τῷ δέει κολάζωμεν τὰς ἐπιθυμίας, οὔπω τοῦ πνεύματος φανέντος· νῦν δὲ τῆς χάριτος δεδομένης τῆς οὐ κελευούσης μόνον αὐτῶν ἀπέχεσθαι, ἀλλὰ καὶ μαραινούσης αὐτὰς, καὶ πρὸς μείζονα πολιτείαν ἀναγούσης, τίς χρεία νόμου; τῷ γὰρ οἴκοθεν κατορθοῦντι τὰ μείζω, ποῦ χρεία παιδαγωγοῦ; οὐδὲ γὰρ γραμματιστοῦ τις δεῖται φιλόσοφος ὤν. τί τοίνυν ἑαυτοὺς ἐξευτελίζετε, οἱ πνεύματι προσέχειν ἑαυτοὺς ἐκδόντες, καὶ νῦν προσκαθήμενοι τῷ νόμῳ;

19 Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια,

20 Φαρμακεία, εἰδωλολατρεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις,

21 Φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς προεῖπον, ὅτι τὰ τοιαῦτα πράσσοντες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Ἐνταῦθα λοιπὸν ὁ τῆς σαρκὸς σου κατήγορος, εἰπέ μοι, καὶ νομίζων ὡς περὶ ἐχθρᾶς καὶ πολεμίας ταῦτα εἰρῆσθαι (ἔστω γὰρ ἡ μοιχεία καὶ ἡ πορνεία τῆς σαρκὸς καθ' ὑμᾶς) αἱ ἔχθραι, καὶ αἱ ἔρεις, καὶ οἱ ζῆλοι, καὶ αἱ ἐριθεῖαι, καὶ αἱ αἱρέσεις, καὶ αἱ φαρμακεῖαι (προαιρέσεως γὰρ ταῦτα διεφθαρμένης μόνον, ὥσπερ οὖν καὶ τὰ ἄλλα) πῶς ἂν εἶεν σαρκός; ὁρᾷς ὅτι οὐ φησὶ τὴν σάρκα ἐνταῦθα, ἀλλὰ τοὺς γεώδεις λογισμοὺς, καὶ χαμαὶ συρομένους; διὸ καὶ φοβεῖ λέγων, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείας Θεοῦ οὐ κληρονομήσουσιν. εἰ δὲ φύσεως ταῦτα πονηρᾶς, καὶ οὐ προαιρέσεως μοχθηρᾶς, περιττῶς εἶπε, πράσσουσιν, ἀλλὰ, πάσχουσι. τίνος δὲ ἕνεκεν καὶ βασιλείας ἐκπίπτουσιν; οὐδὲ γὰρ τῆς ἐν φύσει, ἀλλὰ τῆς ἐν προαιρέσει καὶ οἱ στέφανοι καὶ αἱ κολάσεις. διὸ καὶ ταῦτα ἠπείλησεν ὁ Παῦλος.

22 Ὁ δὲ καρπὸς τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη. Οὐκ εἶπε, τὰ ἔργα τοῦ πνεύματος, ἀλλ' ὁ καρπός. οὐκοῦν ἡ ψυχὴ περιττή; εἰ γὰρ περὶ σαρκὸς καὶ πνεύματος ὁ λόγος, ποῦ ἡ ψυχή; ἆρα περὶ ἀψύχων διαλέγεται; ὅταν γὰρ τὰ μὲν πονηρὰ τῆς σαρκὸς, τὰ δὲ χρήσιμα τοῦ πνεύματος ᾖ, περιττὴ ἡ ψυχή. οὐδαμῶς. καὶ γὰρ ἡ ἐγκράτεια τῶν παθῶν ταύτης, καὶ περὶ αὐτῆς. καὶ ἐν μέσῳ κειμένης κακίας καὶ ἀρετῆς, ἂν μὲν εἰς δέον χρήσηται τῷ σώματι, πνευματικὸν αὐτὸ κατειργάσατο· ἂν δὲ ἀποστῇ μὲν τοῦ πνεύματος, ἐκδῷ δὲ αὐτὴν ταῖς πονηραῖς ἐπιθυμίαις, γεωδεστέραν αὐτὴν κατεσκεύασεν. ὁρᾷς πανταχόθεν πῶς οὐ περὶ οὐσίας αὐτῆς τῆς σαρκὸς νῦν ὁ λόγος, ἀλλὰ περὶ προαιρέσεως μοχθηρᾶς, καὶ οὐ τοιαύτης;

Διὰ τί δὲ καρπὸν καλεῖ τοῦ πνεύματος; ὅτι τὰ μὲν πονηρὰ ἔργα ἐξ ἡμῶν γίνεται μόνων, διὸ καὶ ἔργα καλεῖ· τὰ δὲ καλὰ, οὐ τῆς ἡμετέρας ἐπιμελείας δεῖται μόνον, ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. εἶτα μέλλων αὐτὰ διηγεῖσθαι, τὴν ῥίζαν τίθησι πρῶτον τῶν ἀγαθῶν, οὕτω λέγων· Ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθοεργία, πίστις, πραότης, ἐγκράτεια.

γ. ἀγαθωσύνη,

23 Κατὰ τῶν τοιούτων, οὐκ ἔστι νόμος. Τίς γὰρ ἂν ἐπιτάξειε τοῖς πάντα ἔχουσι παρ' ἑαυτῶν, καὶ διδασκάλων ἀπηρτισμένην τῆς φιλοσοφίας τὴν ἀγάπην; ὥσπερ γὰρ οἱ τῶν ἵππων εὐήνιοι καὶ ἀφ' ἑαυτῶν ἅπαντα περιέποντες, οὐκ ἂν δεηθεῖεν μάστιγος· οὕτω καὶ ψυχὴ κατορθοῦσα τὴν ἀρετὴν ἀπὸ πνεύματος, οὐ δεῖται τοῦ νουθετοῦντος νόμου. πάνυ δὲ καὶ ἐνταῦθα τὸν νόμον θαυμαστῶς ἐξέβαλεν, οὐχ ὡς φαῦλον, ἀλλ' ὡς ἐλάττονα τῆς διδομένης παρὰ τοῦ πνεύματος φιλοσοφίας.

24 Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἵνα γὰρ μὴ λέγωσι, καὶ τίς ἐστι τοιοῦτος, δείκνυσιν ἐπὶ τῶν ἔργων τοὺς τὰ τοιαῦτα κατορθοῦντας, σάρκα πάλιν ἐνταῦθα τὰς πονηρὰς πράξεις καλῶν. οὐ γὰρ δὴ τὴν σάρκα ἀνεῖλον· ἐπεὶ πῶς ἔμελλον ζῆν; τὸ γὰρ ἐσταυρωμένον, νεκρόν ἐστι καὶ ἀνενέργητον, ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν δηλοῖ. καὶ γὰρ αἱ ἐπιθυμίαι, κἂν ἐνοχλῶσι, κενὰ λυσσῶσιν. ἐπεὶ οὖν τοσαύτη τοῦ πνεύματος ἡ ἰσχὺς, ἐκείνῳ ζῶμεν, ἐκείνῳ ἀρκούμεθα· ὃ καὶ αὐτὸς ἐπάγει λέγων·

γ. καύμεθα·

25 Ζῶμεν οὖν ἐν πνεύματι, καὶ πνεύματι στοιχῶμεν, Κατὰ τοὺς ἐκείνου νόμους πολιτευόμενοι. τοῦτο γάρ ἐστι τὸ στοιχ[illegible]ν, ἀρκεσθῶμεν τῇ τοῦ πνεύματος δυνάμει, καὶ μὴ ἐπιζητῶμεν τὴν ἀπὸ τοῦ νόμου προσθήκην. Εἶτα δεικνὺς ἐκείνους τοὺς ἐπεισάγοντας τὴν περιτομὴν διὰ φιλοτιμίαν τοῦτο ποιοῦντας, φησί·

26 Μὴ γινώμεθα κενόδοξοι· (Ὁ πάντων ἐστὶν αἴτιον τῶν κακῶν) Ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀπὸ γὰρ κενοδοξίας ὁ φθόνος, καὶ ἀπὸ φθόνου τὰ μυρία ταῦτα κακά.

ΚΕΦΑΛΑΙΟΝ ς.

1 ΑΔΕΛΦΟΙ, ΕΑΝ ΚΑΙ ΠΡΟΛΗΦΘΗ ΑΝΘΡΩΠΟΣ.

Ἐπειδὴ γὰρ ἐπιτιμήσεως προσχήματι τὰ οἰκεῖα ἐξεδίκουν πάθη, καὶ ἐδόκουν μὲν ἁμαρτημάτων ἕνεκεν τοῦτο ποιεῖν, τὴν δὲ αὐτῶν φιλαρχίαν στῆσαι ἐβούλοντο, φησίν· Ἀδελφοί, ἐὰν καὶ προληφθῇ. οὐκ εἶπεν, ἐὰν πράξῃ, ἀλλ' ἐὰν προληφθῇ, τουτέστιν, ἐὰν συναρπαγῇ.

Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον.

Οὐκ εἶπε, κολάζετε, οὐδὲ, καταδικάζετε, ἀλλὰ, διορθοῦσθε· καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεικνὺς, ὅτι σφόδρα αὐτοὺς ἠπίους εἶναι δεῖ τοῖς ὑποσκελιζομένοις, οὕτως ἐπήγαγεν· Ἐν πνεύματι πραότητος. Οὐκ εἶπεν, ἐν πραότητι, ἀλλ', ἐν πνεύματι πραότητος, δηλῶν ὅτι καὶ τῷ πνεύματι ταῦτα δοκεῖ, καὶ τὸ δύνασθαι μετ' ἐπιεικείας διορθοῦν τοὺς ἁμαρτάνοντας, χαρίσματός ἐστι πνευματικοῦ. Εἶτα, ἵνα μὴ ἐπαρθῇ ὁ διορθῶν ἕτερον, καὶ αὐτὸν ὑπὸ τὸν αὐτὸν φόβον ἔθηκεν, οὕτως εἰπών· Σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Ὥσπερ γὰρ οἱ πλουτοῦντες ἐράνους τοῖς δεομένοις εἰσφέρουσιν, ἵν', εἴποτε καὶ αὐτοὶ περιπέσοιεν πενίᾳ, τῶν αὐτῶν ἐπιτύχωσιν· οὕτω δὴ καὶ ἡμᾶς ποιεῖν χρή. διὸ καὶ αἰτίαν ἀναγκαίαν τίθησι, λέγων οὕτω· σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς.

καὶ ἀπολογεῖται ὑπὲρ τοῦ ἡμαρτηκότος, πρότερον μὲν εἰπὼν, ἐὰν καὶ προληφθῇ, δεύτερον δὲ τῆς πολλῆς ἀσθενείας ὄνομα, εἶτα ἵνα μὴ καὶ σὺ πειρασθῇς, δαίμονος ἐπήρειαν μᾶλλον, ἢ ψυχῆς ῥᾳθυμίαν αἰτιώμενος.

2 Ἀλλήλων τὰ βάρη βαστάζετε. Ἐπειδὴ γὰρ οὐκ ἔστιν ἄνθρωπον ὄντα χωρὶς ἐλαττώματος εἶναι, παραινεῖ μὴ ἀκριβῶς ἐξετάσαι τὰ τῶν ἑτέρων πεπλημμελημένα, ἀλλὰ καὶ φέρειν τὰ τῶν πλησίον ἐλαττώματα, ἵνα καὶ τὰ αὐτοῦ φέρηται παρ' ἑτέρων. καθάπερ γὰρ ἐπὶ τῆς οἰκοδομῆς, οὐ τὴν αὐτὴν ἅπαντες ἕδραν ἔχουσιν οἱ λίθοι, ἀλλ' ὁ μὲν πρὸς γωνίαν ἐπιτήδειος, οὐκέτι δὲ πρὸς θεμελίους, ὁ δὲ πρὸς θεμελίους μὲν, οὐκέτι δὲ πρὸς γωνίαν· οὕτω καὶ ἐπὶ τοῦ σώματος τῆς ἐκκλησίας. καὶ ἐπὶ τῆς σαρκὸς δὲ τῆς ἡμετέρας τοῦτο αὐτὸ ἴδοι τις ἄν, ἀλλ' ὅμως θατέρου θάτερον ἀνέχεται, καὶ οὐ παρὰ πάντων πάντα ζητεῖται. ὁ γὰρ ἐκ τοῦ κοποῦ γινόμενος ἔρανος καὶ σῶμα καὶ οἰκοδομὴν συνίστησι. Καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Οὐκ εἶπε, πληρώσατε, ἀλλ', ἀναπληρώσατε, τουτέστι, κοινῇ πάντες πληρώσατε, δι' ἀλλήλους φέροντες· οἷον, ὁ δεῖνά ἐστιν ὀργίλος, σὺ δὲ ὕπτιος· φέρε τοίνυν τὴν ὁρμὴν αὐτοῦ τὴν σφοδρὰν, ἵνα καὶ αὐτός σου τὴν νωθείαν· καὶ οὕτως οὔτε ἐκεῖνος ἁμαρτήσεται ὑπὸ σοῦ βασταζόμενος, οὔτε σὺ πλημμελεῖς ἐν οἷς εἶ βαρὺς, ἀνεχομένου σου τοῦ ἀδελφοῦ σου. οὕτω δὲ ἀλλήλοις χεῖρα ὀρέγοντες ἐν οἷς μέλλετε καταπίπτειν, δι' ἀλλήλων κοινῇ πληρώσατε τὸν νόμον, τὸ λεῖπον τῷ πλησίον ἀναπληρῶν ἕκαστος διὰ τῆς οἰκείας ὑπομονῆς. ἐὰν δὲ μὴ οὕτω ποιῆτε, ἀλλ' ἕκαστος ἐπεξιέναι μέλλῃ τοῖς τοῦ πλησίον, οὐδέποτε οὐδὲν τῶν δεόντων ἔσται ἡμῖν. ὥσπερ γὰρ ἐν τῷ σώματι εἰ τὴν αὐτὴν τις ἀπαιτοίη παρὰ πάντων χρείαν, οὐδέποτε τὸ σῶμα στήσεται· οὕτω καὶ ἐπὶ τῶν ἀδελφῶν πολὺς ἔσται πόλεμος, εἰ παρὰ πάντων πάντα ἐπιζητοῦμεν. χ. ἐπιζητοῖμεν.

3 Εἰ γάρ τις δοκεῖ εἶναί τι, μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν. Πάλιν ἐνταῦθα τὴν ἀπόνοιαν κατασκοπεῖ. ὁ γὰρ δοκῶν εἶναί τι, οὐδέν ἐστι, πρῶτον τῆς εὐτελείας αὐτοῦ δεῖγμα ἐκφέρων τὴν τοιαύτην ἑρμηνείαν.

4 Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος. Ἐνταῦθα δείκνυσιν ὅτι δεῖ βίου ἐξετάσεις εἶναι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἀκριβείας δοκιμάζειν τὰ πεπραγμένα ἡμῖν. οἷον, ἐποίησάς τι καλόν; σκόπησον μήποτε διὰ κενοδοξίαν, μὴ δι' ἀνάγκην, μὴ πρὸς ἀπέχθειαν, μὴ ὑποκρίσει, μὴ δι' ἄλλην τινὰ αἰτίαν ἀνθρωπίνην. καθάπερ γὰρ τὸ χρυσίον δοκεῖ μὲν εἶναι λαμπρὸν πρὸ τοῦ χωνευτηρίου, ὅταν δὲ αὐτὸ παραδοθῇ τῷ πυρὶ, τότε ἀκριβῶς διαδείκνυται, τοῦ νόθου παντὸς ἀπὸ τοῦ γνησίου χωριζομένου· οὕτω καὶ τὰ ἡμέτερα ἔργα, ὅταν μετ' ἀκριβείας ἐξετάζωμεν, τότε σαφῶς ἐκκαλυφθήσεται, καὶ πολλῶν ὀψόμεθα ἑαυτοὺς ὄντας ὑπευθύνους ἐγκλημάτων. χ. λάμπειν. Καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. Ταῦτα οὐ νομοθετῶν φησιν, ἀλλὰ συγκαταβαίνων· ὡς ἂν εἰ ἔλεγεν· ἄτοπον μὲν τὸ καυχᾶσθαι· εἰ δ' ἄρα βούλει, μὴ κατὰ τοῦ πλησίον, ὡς ὁ Φαρισαῖος. ὁ γὰρ οὕτω παιδευθεὶς, καὶ ἐκείνου ἀποστήσεται ταχέως. διὸ καὶ τοῦτο συνεχώρησεν, ἵνα τὸ ὅλον κατὰ μικρὸν ἐξέλῃ. ὁ γὰρ συνεθισθεὶς εἰς ἑαυτὸν μόνον καυχᾶσθαι, καὶ μὴ κατ' ἄλλων, ταχέως καὶ τοῦτο διορθώσεται τὸ ἐλάττωμα. ὁ γὰρ μὴ νομίσας τῶν ἄλλων ἑαυτὸν εἶναι βελτίονα (τοῦτο γάρ ἐστιν, οὐκ εἰς τὸν ἕτερον) ἀλλ' αὐτὸν καθ' ἑαυτὸν ἐξετάζων ἀκριβῶς, "παύσεται καὶ τοῦτο ποιῶν ὕστερον. χ. παύεται. καὶ ἵνα μάθῃς ὅτι τοῦτο βούλεται κατασκευάσαι, ὅρα πῶς αὐτὸν συστέλλει τῷ φόβῳ, ἀνωτέρω μὲν εἰπὼν, δοκιμαζέτω τὸ ἔργον αὐτοῦ, ἐνταῦθα δὲ ἐπαγαγών·

5 Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. Δοκεῖ μὲν γὰρ τιθέναι λογισμὸν κωλύοντα καθ' ἑτέρου καυχᾶσθαι· διορθοῦται δὲ τὸν καυχώμενον, ὥστε μηδὲ ἑαυτῷ μέγα φρονεῖν,

εἰς

εἰς ἔννοιαν ἄγων αὐτὸν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τοῖς ὀνόμασι τοῦ φορτίου καὶ τῆς ἀχθοφορίας πιέζων αὐτοῦ τὸ συνειδός.

6 Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.

Ἐνταῦθα περὶ τῶν διδασκάλων λοιπὸν ὁ λόγος αὐτῷ, ὥστε πολλῆς ἀπολαύειν παρὰ τῶν μαθητευομένων θεραπείας. καὶ τίνος ἕνεκεν οὕτως ὁ Χριστὸς ἐνομοθέτησε; καὶ γὰρ ἐν τῇ χάριτι τοῦτο κεῖται νόμος, ὥστε τοὺς τὸ εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ εὐαγγελίου ζῆν· καὶ ἐν τῇ παλαιᾷ δὲ ὁμοίως πολλαὶ τοῖς Λευίταις παρὰ τῶν ἀρχομένων ἦσαν αἱ πρόσοδοι. (α. Κορ. θ. ιδ) τίνος οὖν ἕνεκεν ταῦτα διέταξαν; ταπεινοφροσύνης καὶ ἀγάπης ὑπόθεσιν προαποτιθέμενος. ἐπειδὴ γὰρ τὸ διδασκαλικὸν ἀξίωμα πολλάκις φυσᾷ τὸν ἔχοντα, καταστέλλων αὐτοῦ τὸ φρόνημα, εἰς ἀνάγκην κατέστησε τοῦ δεῖσθαι τῶν μαθητευομένων· κἀκείνοις πάλιν εἰς ἀφορμὴν ἤγαγε τοῦ πρὸς εὔνοιαν εὐκολωτέρους γίνεσθαι, γυμνάζων αὐτοὺς ἐν τῇ περὶ τοὺς διδασκάλους εὐνοίᾳ καὶ περὶ τοὺς ἄλλους ἡμέρους εἶναι· ὅπερ καὶ ἀγάπην οὐ μικρὰν ἐργάζεται ἐν ἑκατέρῳ τῷ μέρει. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ὅπερ εἶπον, τίνος ἕνεκεν τοὺς Ἰουδαίους τοὺς ἀγνώμονας ἀπὸ τοῦ μάννα τρέφων, τοὺς ἀποστόλους εἰς τὴν τῶν προσαιτούντων κατέστησεν ἀνάγκην; οὐκ εὔδηλον ὅτι τὰ μεγάλα ἐκ τούτου κατασκευάζων ἀγαθά, ταπεινοφροσύνην καὶ ἀγάπην, καὶ ὥστε τοὺς μαθητευομένους μὴ αἰσχύνεσθαι ἐπὶ τοῖς δοκοῦσιν ἐπονειδίστοις εἶναι; τὸ γὰρ ἐπαιτεῖν, αἰσχύνης εἶναι δοκεῖ. ἀλλ' οὐκ ἐδόκει λοιπόν, τῶν διδασκάλων αὐτὸ μετιόντων μετὰ παρρησίας ἁπάσης· ὥστε οὐ μικρὰ κἀντεῦθεν ἐκέρδαινον οἱ μαθηταί, πάσης δόξης παιδευόμενοι διὰ τούτων ὑπεροράν. διὰ τοῦτό φησι, κοινωνείτω δὲ ὁ κατηχούμενος τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς· τουτέστι, πᾶσαν ἐπιδεικνύσθω περὶ αὐτὸν δαψίλειαν. τοῦτο γὰρ αἰνιττόμενος ἔλεγεν, ἐν πᾶσιν ἀγαθοῖς. μηδὲν γὰρ ἔστω τοῦ μαθητοῦ, φησίν, ἴδιον, ἀλλὰ πάντα κοινά. μείζονα γὰρ λαμβάνει, ἢ δίδωσι, καὶ τοσούτῳ μείζω, ὅσῳ τῶν γηΐνων τὰ ἐπουράνια ἀμείνω· ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγεν, Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς (α. Κορ. θ. ια) ὑμῶν τὰ σαρκικὰ θερίσομεν; διὰ τοῦτο καὶ κοινωνίαν τὸ πρᾶγμα καλεῖ, δεικνὺς ἀντίδοσιν γινομένην. ἐκ τούτου δὲ καὶ τὰ τῆς ἀγάπης ἐγίνετο θερμότερα πολλῷ καὶ βεβαιότερα. ἀλλ' οὐ μὴν οὖν τὴν αὐτάρκειαν ὁ διδάσκαλος ζητεῖ, μένει καὶ λαμβάνων ἐπὶ τῆς οἰκείας ἀξίας. καὶ γὰρ καὶ τοῦτο ἔπαινος τὸ οὕτω προσεδρεύειν τῷ λόγῳ, ὡς ἑτέρων δεῖσθαι, καὶ ἐν πενίᾳ μυρίᾳ εἶναι, καὶ τῶν βιωτικῶν ὑπεροράν ἁπάντων. ἀλλ' ὅταν δὲ ὑπερβαίνῃ τὸ μέτρον, ἐλυμήνατο τὴν ἀξίαν, οὐ τῷ λαμβάνειν, ἀλλὰ τῷ ἀμέτρῳ. εἶτα ἵνα μὴ ἡ πονηρία τοῦ διδασκάλου ὀκνηροτέρους περὶ ταῦτα ποιῇ τοὺς μαθητάς, καὶ πένητα ὄντα πολλάκις παρακατέχῃ διὰ τὸν τρόπον, προϊὼν μέν φησι· τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν· ἐνταῦθα δὲ τὸ μέσον τῆς τοιαύτης, καὶ τῆς ἐν τοῖς βιωτικοῖς φιλοτιμίας δείκνυσιν, οὕτω λέγων·

7 Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει·

8 Ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.

Ὥσπερ γὰρ ἐπὶ τῶν σπερμάτων οὐκ ἔνι σπείραντα ὀρόβους σῖτον ἀμῆσαι (δεῖ γὰρ τοῦ αὐτοῦ γένους καὶ τὸν σπόρον εἶναι, καὶ τὸν ἀμητόν) οὕτω καὶ ἐν τοῖς ἔργοις ὁ καταβαλὼν εἰς τὴν σάρκα τρυφήν, μέθην, ἐπιθυμίαν ἄτοπον, τὰ ἐκ τούτων ἀμήσει. τίνα δὲ ἐστι ταῦτα; κόλασιν, (γ. ἐδεσμάτων) τιμωρίαν, αἰσχύνην, γέλωτα, φθοράν. τῶν γὰρ πολυτελῶν τραπεζῶν, καὶ τῶν ἐδεσμάτων οὐδὲν ἕτερον τὸ τέλος, ἢ φθορά. καὶ γὰρ αὐτὰ φθείρεται, καὶ συμφθείρει τὸ σῶμα. τὰ δὲ τοῦ πνεύματος, οὐ τοιαῦτα, ἀλλ' ἀπεναντίας ἅπαντα τούτοις. σκόπει δέ. ἔσπειρας ἐλεημοσύνην, ἀναμένουσί σε οἱ τῶν οὐρανῶν θησαυροὶ καὶ δόξα αἰώνιος· ἔσπειρας σωφροσύνην, τιμὴ καὶ βραβεῖον καὶ αἱ παρὰ ἀγγέλων εὐφημίαι καὶ οἱ παρὰ τοῦ ἀγωνοθέτου στέφανοι.

9 Τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν. καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι.

10 Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ καλὸν πρὸς πάντας, μάλιστα πρὸς τοὺς οἰκείους τῆς πίστεως.

Ἵνα γὰρ μή τις νομίσῃ ὅτι διδασκάλων μὲν ἐπιμελεῖσθαι δεῖ, καὶ τρέφειν αὐτοὺς, τῶν δὲ ἄλλων ἀμελεῖν, εἰς κοινὸν ἐξάγει τὸν λόγον, καὶ πᾶσι τὴν θύραν τῆς τοιαύτης ἀνοίγει φιλοτιμίας, καὶ τοσαύτην ποιεῖται τὴν περιβολὴν, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας ἐλεεῖν κελεύειν, μετὰ τῆς προσηκούσης μὲν τάξεως, ἐλεεῖν δὲ ὅμως. Τίς δὲ ἡ τάξις; τὸ πλείονα περὶ τοὺς πιστοὺς ἐνδείκνυσθαι τὴν πρόνοιαν. καὶ ὅπερ καὶ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, οὐ περὶ τοῦ ἐλεεῖν διαλεγόμενος μόνον, ἀλλὰ καὶ περὶ τοῦ φιλοτίμως καὶ διηνεκῶς. τὸ γὰρ τοῦ σπόρου ὄνομα, καὶ τὸ μηδὲν ἐκκακεῖν, τοῦτο αἰνίττεται. Εἶτα ἐπειδὴ μέγα ἀπήτησε, καὶ τὸ ἔπαθλον ἐπὶ θύραις τίθησιν, ἅμα τοῦ μεμνημένος καινοῦ τινος, καὶ παραδόξου. ἐπὶ μὲν γὰρ τῶν γηπόνων οὐχ ὁ σπείρων μόνον, ἀλλὰ καὶ ὁ θερίζων πολλὴν ὑπομένει τὸν πόνον, αὐχμῷ καὶ κονιορτῷ καὶ πολλῇ μαχόμενος ταλαιπωρίᾳ· τότε δὲ οὐδὲν τούτων ἔνι, φησὶν, ἃ καὶ παραδηλῶν ἔλεγε· καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. καὶ ἐντεῦθεν μὲν αὐτοὺς προτρέπει καὶ ἐφέλκεται· ἑτέρωθεν δὲ κατεπείγει καὶ συνωθεῖ, λέγων· ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθόν. ὥσπερ γὰρ οὐκ ἀεὶ τοῦ σπείρειν ἐσμὲν κύριοι, οὕτως οὐδὲ τοῦ ἐλεεῖν. ὅταν γὰρ ἐντεῦθεν ἀπενεχθῶμεν, κἂν μυριάκις βουληθῶμεν, οὐδὲν περανοῦμεν πλέον. καὶ μαρτυροῦσιν ἡμῖν αἱ παρθένοι τῷ λόγῳ, αἱ μυρία προθυμηθεῖσαι, ἐπειδὴ δαψιλῆ τὴν ἐλεημοσύνην οὐκ ἀπῆλθον ἔχουσαι, ἀπεκλείσθησαν τοῦ νυμφῶνος, καὶ ὁ τὸν Λάζαρον παριδὼν πλούσιος. καὶ γὰρ κἀκεῖνος, ἐπειδὴ ταύτης ἔρημος ἦν τῆς συμμαχίας, καὶ ὀλοφυρόμενος καὶ ἱκετεύσας πολλὰ, οὐ παρὰ τοῦ πατριάρχου, οὐ παρὰ ἄλλου τινὸς ἠλεεῖτο, ἀλλ' ἔμενε διηνεκῶς ἀποτηγανιζόμενος χωρὶς συγγνώμης ἁπάσης. διὰ ταῦτά φησιν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, καὶ ταύτῃ μάλιστα ἀπαλλάττων τῆς Ἰουδαϊκῆς ταπεινότητος. ἐκείνοις μὲν γὰρ τὰ τῆς φιλανθρωπίας ἅπαντα πρὸς τοὺς ὁμοφύλους ἦν· ἡ δὲ τῆς χάριτος φιλοσοφία, γῆν ὁμοῦ καὶ θάλατταν ἐπὶ τὴν τῆς ἐλεημοσύνης καλεῖ τράπεζαν, εἰ καὶ πλείονα περὶ τοὺς οἰκείους τὴν σπουδὴν ἐπιδείκνυται.

χ. ἐνδείκνυσθαι

11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί.

12 Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι.

Ἐννόησον, ὅση κατέχει τὴν μακαρίαν ἐκείνην ψυχὴν ὀδύνη. καθάπερ γὰρ οἱ πένθει τινὶ περιπεσόντες, καί τινα τῶν γνησίων ἀποβαλόντες, καί τινα τῶν ἀδοκήτων ὑπομείναντες, οὔτε νύκτωρ ἡσυχάζουσιν, οὔτε μεθ' ἡμέραν, τοῦ πένθους αὐτοῖς τὴν ψυχὴν πολιορκοῦντος· οὕτω καὶ ὁ μακάριος Παῦλος εἰπὼν ὀλίγα περὶ τῶν ἠθῶν, πάλιν ἐπὶ τὰ πρότερα ἐπανέρχεται, ἃ μάλιστα αὐτοῦ τὴν ψυχὴν διετάραττε, λέγων οὕτως· ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. ἐνταῦθα οὐδὲν ἄλλο αἰνίττεται, ἀλλ' ὅτι αὐτὸς ἔγραψε τὴν ἐπιστολὴν ἅπασαν, ὃ πολλῆς γνησιότητος σημεῖον ἦν. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὑπηγόρευε μὲν αὐτὸς, ἔγραφε δὲ ἕτερος (καὶ τοῦτο δῆλον ἀπὸ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς· πρὸς γὰρ τῷ τέλει φησὶν, Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν) ἐνταῦθα δὲ αὐτὸς ἔγραψε πᾶσαν. ἐποίησε δὲ τοῦτο ἐνταῦθα καὶ ἀναγκαίως, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὴν τῆς πονηρᾶς ὑπονοίας ἀναίρεσιν. ἐπειδὴ γὰρ διεβάλλετο ἐπὶ πράγμασιν οἷς οὐδὲν ἐκοινώνει, καὶ ἐλέγετο περιτομὴν καταγγέλλειν καὶ ὑποκρίνεσθαι, ὡς οὐ καταγγέλλων, διὰ τοῦτο ἠναγκάσθη ἰδιόγραφον ποιήσασθαι τὴν ἐπιστολὴν, μαρτυρίαν ἔγγραφον προαποτιθέμενος. τὸ δὲ, πηλίκοις, ἐμοὶ δοκεῖ οὐ τὸ μέγεθος, ἀλλὰ τὴν ἀμορφίαν τῶν γραμμάτων ἐμφαίνων λέγειν, μονονουχὶ λέγων· ὅτι οὔτε ἄριστα γράφειν εἰδὼς, ὅμως ἠναγκάσθην δι' ἐμαυτοῦ γράψαι, ὥστε τῶν συκοφαντῶν ἐμφράξαι τὸ στόμα. Ὅσοι θέ-

Ρωμ. ις. κβ.

λουσιν

λοιπὸν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον, ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται.

χ. οὐ 13 Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάττουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. Ἐνταῦθα δείκνυσιν οὐχ ἑκόντας αὐτοὺς τοῦτο ποιοῦντας, ἀλλ' ἀναγκαζομένους, παρέχων αὐτοῖς ἀφορμὴν ἀναχωρήσεως, καὶ σχεδὸν ὑπὲρ αὐτῶν ἀπολογούμενος, καὶ προτρέπων ἀποπηδῆσαι ταχέως. τί δέ ἐστιν, εὐπροσωπεῖν ἐν σαρκί; εὐδοκιμεῖν παρὰ τοῖς ἀνθρώποις. ἐπειδὴ γὰρ ὠνειδίζοντο παρὰ τοῖς Ἰουδαίοις, ὡς τῶν πατρίων ἀποστάντες ἐθῶν, ἵνα μὴ ταῦτα ἐγκαλῶνται, φησι, βούλονται ὑμῖν λυμήνασθαι, διὰ τῆς ὑμετέρας σαρκὸς ἐκείνοις ἀπολογούμενοι. ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ διὰ τὸν Θεὸν ταῦτα ἐποίουν. ὡς ἂν εἰ ἔλεγεν, οὐκ ἔστιν εὐσεβείας ἡ ὑπόθεσις τὸ γινόμενον· ὡς δὲ ἀνθρωπίνην φιλοτιμίαν ταῦτα πάντα γίνεται· ὑπὲρ θρησκείας τῶν ἀπίστων (ὅτι πιστοὶ καταφέρονται) καὶ αἱροῦνται Θεῷ προσκροῦσαι, ἵνα ἀνθρώποις ἀρέσωσι. τοῦτο γάρ ἐστιν, ἐν σαρκὶ εὐπροσωπῆσαι. εἶτα δεικνὺς ὅτι καὶ ἑτέρωθεν συγγνώμης εἰσὶν ἀπεστερημένοι, διελέγχει πάλιν αὐτούς, οὐ διὰ τὴν εἰς ἑτέρους ἀρέσκειαν μόνον, ἀλλὰ καὶ δι' οἰκείαν κενοδοξίαν ταῦτα ἐπιτάττοντας. διὸ καὶ ἐπήγαγεν ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται, ὡς μαθητὰς ἔχοντες, καὶ ὄντες διδάσκαλοι. καὶ τίς ἡ τούτων ἀπόδειξις; οὐδὲ γὰρ αὐτοὶ νόμον φυλάττουσι, φησι. μάλιστα μὲν γάρ, εἰ καὶ ἐφύλαττον, καὶ οὕτως ἄξιοι κατηγορίας· νυνὶ δὲ καὶ ὁ σκοπὸς αὐτῶν διεφθαρμένος ἐστίν.

14 Ἐμοὶ δέ, φησι, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καίτοι τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δοκεῖ, ἀλλ' ἐν τῷ κόσμῳ, καὶ παρὰ τοῖς ἀπίστοις· ἐν δὲ οὐρανοῖς, καὶ παρὰ τοῖς πιστοῖς δόξα μεγίστη. καὶ γὰρ πενία ἐπονείδιστον, ἀλλ' ἡμῖν καύχημα· καὶ τὸ ἐξευτελίζεσθαι παρὰ πολλοῖς γέλως, ἀλλ' ἡμεῖς ἀβρυνόμεθα τούτῳ. οὕτω καὶ ὁ σταυρὸς ἡμῖν καύχημα. καὶ οὐκ εἶπεν, ἐγὼ δὲ οὐ καυχῶμαι, ἤ, ἐγὼ δὲ οὐ βούλομαι καυχᾶσθαι, ἀλλ', ἐμοὶ δὲ μὴ γένοιτο, ὡς περὶ τῶν ἀτόπων ἀπευξάμενος, καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν καλέσας εἰς τὸ κατορθῶσαι τοῦτο. καὶ τί ἐστι τὸ καύχημα τοῦ σταυροῦ; ὅτι ὁ Χριστὸς δι' ἐμὲ δούλου μορφὴν ἀνέλαβε, καὶ ἔπαθεν, ἅπερ ἔπαθε, δι' ἐμὲ τὸν δοῦλον, τὸν ἐχθρόν, τὸν ἀγνώμονα· ἀλλ' οὕτω με ἠγάπησεν, ὡς καὶ ἑαυτὸν ἐκδοῦναι. ἆρα τούτου γένοιτ' ἄν τι ἴσον; εἰ γὰρ οἰκέται, ἂν μόνον ἐπαινῶνται παρὰ τῶν δεσποτῶν, καὶ ταῦτα ὁμογενῶν ὄντων, μέγα φρονοῦσι, πῶς οὐ καυχᾶσθαι χρή, ὅταν ὁ δεσπότης ὁ ἀληθὴς Θεὸς μὴ ἐπαισχύνηται τὸν ὑπὲρ ἡμῶν σταυρόν; μηδὲ ἡμεῖς τοίνυν ἐπαισχυνώμεθα τὴν ἄφατον αὐτοῦ κηδεμονίαν. αὐτὸς οὐκ ἐπῃσχύνθη σταυρωθῆναι διὰ σέ, καὶ σὺ ἐπαισχύνῃ ὁμολογῆσαι αὐτοῦ τὴν ἄπειρον κηδεμονίαν; ὥσπερ ἂν εἴ τις δεσμώτης μὴ ἐπαισχυνόμενος τὸν βασιλέα, ἐπειδὴ ἐπιστὰς τῷ δεσμωτηρίῳ καὶ τὰ δεσμὰ ἔλυσε δι' ἑαυτοῦ, διὰ τοῦτο αὐτὸν ἐπαισχύνηται. ἀλλ' ἐσχάτης ταῦτα παραπληξίας. δι' αὐτὸ γὰρ τοῦτο μάλιστα ἐναβρύνεσθαι δεῖ.

Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Τὸν κόσμον φησὶ νῦν, οὐ τὸν οὐρανόν, οὐδὲ τὴν γῆν, ἀλλὰ τὰ βιωτικὰ πράγματα, τὸν ἔπαινον τὸν παρὰ τῶν ἀνθρώπων, τὴν δορυφορίαν, τὴν δόξαν, τὸν πλοῦτον, τὰ τοιαῦτα ἅπαντα τὰ δοκοῦντα εἶναι λαμπρά. ταῦτα γάρ μοι νεκρὰ γέγονε. τοιοῦτον εἶναι χρὴ τὸν χριστιανόν, ταύτην ἀεὶ τὴν φωνὴν περιφέρειν. οὐδὲ γὰρ ἠρκέσθη μόνον τῷ προτέρῳ τῆς νεκρώσεως τρόπῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν, εἰπών· κἀγὼ τῷ κόσμῳ, διπλῆν τὴν νέκρωσιν ἀριθμούμενος, καὶ λέγων, ὅτι κἀκεῖνα ἐμοὶ νεκρά, καὶ ἐγὼ ἐκείνοις, καὶ οὔτε αὐτὰ ἑλεῖν με δύναται καὶ χειρώσασθαι (νεκρὰ γάρ ἐστιν ἅπαξ) οὔτε ἐγὼ ἐπιθυμῆσαι αὐτῶν. νεκρὸς γὰρ αὐτοῖς εἰμι καὶ ἐγώ. οὐδὲν τῆς νεκρώσεως ταύτης μακαριώτερον· αὕτη γάρ ἐστι τῆς μακαρίας ζωῆς ἡ ὑπόθεσις.

15 Οὔτε γὰρ περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις·

16 Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. (γρ. στοιχήσουσι)

Εἶδες σταυροῦ δύναμιν, εἰς ὅσον αὐτὸν ὕψος ἀνήγαγεν; οὐ γὰρ δὴ μόνον τὰ τοῦ κόσμου πράγματα ἐνέκρωσεν αὐτῷ πάντα, ἀλλὰ καὶ τῆς πολιτείας τῆς παλαιᾶς ἀνώτερον πολλῷ κατέστησε. τί ταύτης τῆς ἰσχύος ἴσον; τὸν γὰρ ὑπὲρ ταύτης τῆς περιτομῆς σφαττόμενον, καὶ ἑτέρους ἀποσφάττοντα, τοῦτον ἔπεισεν ὁ σταυρὸς ἐν ἴσῳ τῇ ἀκροβυστίᾳ αὐτὴν ἀφέντα, ξένα τινὰ καὶ παράδοξα καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς ἐπιζητεῖν πράγματα. καινὴν γὰρ κτίσιν ταύτην καλεῖ, τὴν καθ᾽ ἡμᾶς πολιτείαν, διά τε τὰ γεγενημένα, διά τε τὰ ἐσόμενα· τὰ γεγενημένα μὲν, ὅτι ἡ ψυχὴ ἡμῶν παλαιωθεῖσα ἐν γήρᾳ τῆς ἁμαρτίας, ἀθρόως διὰ τοῦ βαπτίσματος ἀνενεώθη, ὡσανεὶ ἀνακτισθεῖσα πάλιν, διὸ καινὴν καὶ οὐρανίαν ἀπαιτούμεθα πολιτείαν· διὰ τὰ ἐσόμενα δὲ, ὅτι καὶ ὁ οὐρανὸς, καὶ ἡ γῆ, καὶ πᾶσα ἡ κτίσις εἰς ἀφθαρσίαν μεταστήσεται μετὰ τῶν σωμάτων τῶν ἡμετέρων. μὴ τοίνυν μοι λέγε, φησὶ, περιτομὴν τὴν οὐδὲν δυναμένην λοιπόν (πῶς γὰρ αὕτη φανεῖται, πάντων ἐπὶ τοσοῦτον μεταβεβλημένων;) ἀλλὰ τὰ καινὰ ζήτει πράγματα τῆς χάριτος. οἱ γὰρ ταῦτα διώκοντες, οὗτοι καὶ εἰρήνης καὶ φιλανθρωπίας ἀπολαύσονται, καὶ τῷ τοῦ Ἰσραὴλ ὀνόματι κυρίως ἂν καλοῖντο· ὡς οἵ γε τὰ ἐναντία φρονοῦντες, κἂν ἐξ ἐκείνου γεγενημένοι εἶεν, καὶ τὴν προσηγορίαν αὐτοῦ περιφέροιεν, πάντων ἐκπεπτώκασι τούτων, καὶ τῆς συγγενείας, καὶ τῆς ἐπωνυμίας αὐτῆς. οἱ γὰρ κυρίως Ἰσραηλῖται εἶναι δυνάμενοι, οἱ τὸν κανόνα τοῦτον διατηροῦντές εἰσιν, οἱ τῶν παλαιῶν ἀπεχόμενοι, καὶ τὰ τῆς χάριτος διώκοντες.

17 Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω. (γρ. ἐκλυθείς)

Ἐνταῦθα οὐχ ὡς καμὼν, οὐδ᾽ ὡς προεκκακήσας ταῦτα φθέγγεται. ὁ γὰρ πάντα καὶ ποιῶν, καὶ πάσχων ὑπὲρ τῶν μαθητῶν ἀγρυπνῶν, πῶς ἂν ἐξελύθη καὶ ἀπέπεσε νῦν; ὁ λέγων, Ἐπίστηθι εὐκαίρως, ἀκαίρως; ὁ λέγων, Μήποτε δῷ αὐτοῖς ὁ Θεὸς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος; (β. Τιμ. β. ϛ. καὶ κε.) τίνος οὖν ἕνεκεν ταῦτά φησιν; ἀνασέλλων αὐτῶν τὴν ῥᾴθυμον γνώμην, καὶ εἰς φόβον πλείονα ἐμβάλλων, καὶ πηγνὺς τοὺς παρ᾽ αὐτοῦ τεθέντας νόμους, καὶ οὐ συγχωρῶν ἀεὶ κινεῖν αὐτούς.

Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῷ σώματί μου βαστάζω.

Οὐκ εἶπεν, ἔχω, ἀλλὰ, βαστάζω, ὥσπερ τις ἐπὶ τροπαίοις μέγα φρονῶν, ἢ σημείοις βασιλικοῖς· εἰ καὶ τοῦτο πάλιν ὄνειδος εἶναι δοκεῖ. ἀλλ᾽ οὗτος ἐπὶ τοῖς τραύμασιν ἐναβρύνεται, καὶ καθάπερ οἱ σημειοφόροι τῶν στρατιωτῶν, οὕτω καὶ οὗτος ἀγαλλιάζεται τραύματα περιφέρων. (γρ. ἀγάλλεται) διὰ τί δὲ τοῦτο λέγει; πάντος λόγου, πάσης φωνῆς λαμπρότερον διὰ τούτων ἀπολογοῦμαι, φησι. ταῦτα γὰρ φωνὴν σάλπιγγος ὑψηλοτέραν ἀφίησι πρὸς τοὺς ἀντιλέγοντας, καὶ λέγοντας ὑποκρίνεσθαί με τὸ δόγμα, καὶ πρὸς ἀνθρώπων ἀρέσκειάν τι λέγειν. οὐδὲ γὰρ εἴ τις στρατιώτην εἶδεν ἐκ παρατάξεως ᾑμαγμένον ἐξελθόντα, καὶ μυρία τραύματα ἔχοντα, δειλίας κρίνειν αὐτὸν καὶ προδοσίας ἠνείχετο, ἐπὶ τοῦ σώματος τῆς ἀνδραγαθίας φέροντα τὴν ἀπόδειξιν. καὶ ἐπ᾽ ἐμοῦ τοίνυν οὕτω ψηφίζεσθαι δεῖ, φησι. καὶ εἴ τις ἀκοῦσαι βούλεται τῆς ἐμῆς ἀπολογίας, καὶ τὴν γνώμην μου καταμαθεῖν, βλεπέτω τὰ τραύματα, τῶν ῥημάτων τούτων καὶ τῶν γραμμάτων πλείονα παρεχόμενα τὴν ἀπόδειξιν. ἀρχόμενος μὲν τῆς ἐπιστολῆς, ἀπὸ τῆς ἀθρόας αὐτοῦ μεταβολῆς τὸ ἀνυπόκριτον αὐτοῦ ἔδειξε· τελευτῶν δὲ, ἀπὸ τῶν κινδύνων. ἵνα μὴ τις λέγῃ, ὅτι μετέστη μὲν ἀπὸ διανοίας ὀρθῆς, οὐκ ἔμεινε δὲ ἐπὶ τῆς αὐτῆς προαιρέσεως, ὅτι καὶ ἔμεινε, μάρτυρας παράγει τοὺς πόνους, τοὺς κινδύνους, τὰς πληγάς. (γρ. παρεισφέρει) εἶτα ἀπολογησάμενος διὰ πάντων σαφῶς, καὶ δείξας, ὡς οὐδὲν εἶπε τῶν εἰρημένων θυμῷ καὶ ἀπεχθείᾳ, ἀλλ᾽ ἀκίνητον ἔχει τὴν πρὸς αὐτοὺς φιλοστοργίαν, πάλιν αὐτὸ τοῦτο κατασκευάζει, εὐχὴν μυρίων γέμουσαν ἀγαθῶν καταλείπων τὸν λόγον, καὶ οὕτω λέγων· (γρ. ἔχων)

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. ἀμήν.

Τῷ ἐσχάτῳ ῥήματι τούτῳ πάντα τὰ ἔμπροσθεν ἐπεσφράγισεν. οὐ γὰρ ἁπλῶς μεθ' ἡμῶν, ὡς ἐπὶ τῶν ἄλλων, ἀλλά, μετὰ τοῦ πνεύματος ὑμῶν, ἀπάγων αὐτοὺς τῶν σαρκικῶν, καὶ πανταχοῦ δεικνὺς τοῦ Θεοῦ τὴν εὐεργεσίαν, καὶ ἀναμιμνήσκων τῆς χάριτος ἧς ἀπήλαυσαν, δι' ἧς πάσης αὐτοὺς ἱκανὸς ἦν Ἰουδαϊκῆς πλάνης ἀπαγαγεῖν. τό τε γὰρ πνεῦμα λαβεῖν, οὐ τῆς νομικῆς ἦν ταλωχείας, ἀλλὰ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης· τό τε καταχεῖν λαβόντας, οὐκ ἀπὸ τῆς περιτομῆς, ἀλλ' ἀπὸ τῆς χάριτος ἐγένετο. πάλιν διὰ τοῦτο τὴν παραίνεσιν εὐχῇ κατέκλεισε, καὶ χάριτος καὶ πνεύματος ἀναμνήσας, ὁμοῦ καὶ ἀδελφοὺς προσειπών, καὶ παρακαλέσας τὸν Θεὸν τούτων αὐτοὺς διηνεκῶς ἀπολαύειν, καὶ διπλῷ τοὺς ἀνθρώπους ἀσφαλισάμενος τείχει. ὃ γὰρ αὐτό, καὶ εὐχή, καὶ διδασκαλία * ὁλόκληρος ἀντὶ τείχους αὐτοῖς διπλοῦ γινομένη. ἥ τε γὰρ διδασκαλία ἀναμιμνήσκουσα αὐτοὺς ὅσων ἀπήλαυσαν ἀγαθῶν, μᾶλλον κατεῖχεν ἐν τοῖς τῆς ἐκκλησίας δόγμασιν· ἥ τε εὐχὴ καλοῦσα τὴν χάριν, καὶ παραμένειν αὐτοῖς πείθουσα, οὐκ ἠφίει τὸ πνεῦμα αὐτῶν ἀποστῆναι. τούτου δὲ ἐν αὐτοῖς ὄντος, πᾶσα, ὥσπερ κόνις, ἀπεσοβεῖτο τῶν τοιούτων δογμάτων ἡ ἀπάτη, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ισ. ὑμῶν

* ἦν τῇ σε- ρισμένων

χ. τοῖς αὐτοῖς

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου Ερμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολήν.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ Ἐπιστολῆς.

Η Ἔφεσός ἐστι μὲν τῆς Ἀσίας μητρόπολις, ἐπελέγετο δὲ τῇ Ἀρτέμιδι, καὶ μάλιστα ταύτην ἐκεῖ ἔσεβον ὡς μείζονα θεόν. καὶ τοσαύτῃ δεισιδαιμονίᾳ περὶ ταύτην ὑμνοῦντες ἐκέχρηντο, ὡς μηδὲ τοὔνομα τοῦ τὸν ναὸν αὐτῆς ἐμπρήσαντος ποιῆσαι φανερόν. ἐνεπρήσθη γάρ. καὶ ὁ μακάριος δὲ Ἰωάννης ὁ εὐαγγελιστὴς τὰ πολλὰ ἐνδιέτριψεν ἐκεῖ. καὶ γὰρ καὶ ἐξωρίσθη ἐκεῖ, καὶ ἐτελεύτησε. καὶ τὸν Τιμόθεον δὲ ἐκεῖ κατέλιπεν ὁ Παῦλος, καθὼς γράφων πρὸς αὐτόν φησι· Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ. καὶ τῶν φιλοσόφων

χ. ἱερῶν

α. Τιμ. α. γ.

λοσόφων γὰρ πολλοὶ, καὶ μάλιστα γὰρ ἀνθήσαντες περὶ τὴν Ἀσίαν, ἦσαν ἐκεῖ. λέγεται δὲ καὶ
Πυθαγόρας ἐκεῖθεν εἶναι. καὶ γὰρ ἡ Σάμος, ὅθεν ἦν, Ἰωνική ἐστι νῆσος. τοῦτο δὲ περὶ Παρ-
μενίδην καὶ Ζήνωνα καὶ Δημόκριτον, καὶ πολλοὺς ἔτι καὶ νῦν εὕροι τις ἂν φιλοσόφους ἐκεῖ. ταῦ-
τα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε δεῖξαι, ὅτι πολλῆς ἔδει τῷ Παύλῳ σπουδῆς πρὸς
ἐκείνους γράφοντι. λέγεται δὲ καὶ τὰ βαθύτερα τῶν νοημάτων αὐτοῖς ἐμπιστεῦσαι, ἅτε ἤδη
κατηχημένοις. ἔστι δὲ νοημάτων μεστὴ ἡ ἐπιστολὴ ὑψηλῶν, καὶ δογμάτων. γράφει δὲ τὴν ἐπι-
Εφεσ.ϛ.ιθ. στολὴν ἀπὸ Ῥώμης δεδεμένος, καθὼς καὶ αὐτός φησι· Προσεύχεσθε ὑπὲρ ἐμοῦ, ἵνα μοι χ. δεῖ
δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,
ὑπὲρ οὗ ἐγὼ πρεσβεύω ἐν ἁλύσει. καὶ ὑψηλῶν σφόδρα γέμει τῶν νοημάτων καὶ ὑπερόγ-
Εφεσ.γ.ι. κων. ἃ γὰρ μηδαμοῦ σχεδὸν ἐφθέγξατο, ταῦτα ἐνταῦθα δηλοῖ, ὡς ὅταν λέγῃ· Ἵνα γνω- χ. ποιη.
β.ϛ. ρισθῇ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποί-
γ.ε. κιλος σοφία τοῦ Θεοῦ. καὶ πάλιν· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις. καὶ,
Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, νῦν ἀπεκαλύφθη τοῖς ἀποστόλοις τοῖς ἁγίοις αὐτοῦ καὶ προ-
φήταις ἐν τῷ πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς κλη-
ρονομίας αὐτοῦ ἐν τῷ Χριστῷ.

ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

Λογ. α. 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· 2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἰδοὺ τὸ, διὰ, τῷ πατρὶ δέδωκε. τί οὖν; ἐλάττονα αὐτοῦ ἐσόμεθα; μηδαμῶς. τοῖς ἁγίοις, φησὶ, τοῖς οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ. ἰδοὺ, ἁγίους καλεῖ ἄνδρας ἔχοντας καὶ παιδία, καὶ γυναῖκας, καὶ οἰκέτας. ὅτι δὲ τούτους οὕτω καλεῖ, δῆλον ἀπὸ τοῦ τέλους τῆς ἐπιστολῆς, ὡς ὅταν λέγῃ·
Εφεσ.ε.κβ. Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε. καὶ πάλιν, Τὰ τέκνα ὑπακούετε τοῖς πατράσιν ὑμῶν· καὶ, Οἱ δοῦλοι ὑπακούετε τοῖς δεσπόταις. ἐννοήσωμεν ὅση κατέχει νῦν* ἡ ῥᾳθυμία, καὶ πῶς σπανίζει τὰ τῆς ἀρετῆς, καὶ ὅση τότε ἡ φορὰ ἦν

* πόνου

τῶν

τῶν ἐναρέτων, ὡς καὶ τοὺς κοσμικοὺς, ἁγίους καὶ πιστοὺς λέγεσθαι. Χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εἶπε χάριν, καὶ πατέρα τὸν Θεὸν ἐκά-
λεσε. τῆς χάριτος γὰρ ἐκείνης τεκμήριον τοῦτο. πῶς; ἄκουσον αὐτοῦ ἑτέρωθι λέγοντος· Ὅτι Γαλατ. δ. ς.
δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον, ἀββᾶ ὁ
χ. ὥσπερ πατήρ. καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. δι' ἡμᾶς γὰρ Χριστὸς γέγονε, καὶ ἐν σαρκὶ " γέγονεν.

3 Εὐλογητὸς ὁ Θεὸς, φησὶ, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἰδοὺ, Θεὸς τοῦ σαρκωθέντος· εἰ δὲ μὴ βούλει, ἀλλὰ τοῦ Θεοῦ Λόγου πατήρ.

Ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χρι-
* οὐ στῷ. * Τὴν Ἰουδαϊκὴν ἐνταῦθα αἰνίττεται. εὐλογία μὲν γὰρ ἦν κἀκείνη, ἀλλ' οὐ
χ. οὖν πνευματική. " τί γὰρ ἔλεγεν; Εὐλογήσαι σε ὁ Θεὸς, εὐλογήσει τὰ ἔκγονα τῆς κοιλίας σου, καὶ Δευτ. ζ. ιγ.
εὐλογήσει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τί; ἐν πάσῃ
εὐλογίᾳ πνευματικῇ. τί γὰρ ἔτι σοι λείπει; γέγονας ἀθάνατος, γέγονας ἐλεύθερος, γέ-
γονας υἱὸς, γέγονας δίκαιος, γέγονας ἀδελφὸς, γέγονας συγκληρονόμος, συμβασιλεύεις, συν-
δοξάζῃ, πάντα σοι κεχάρισται. Πῶς οὐχὶ καὶ σὺν αὐτῷ, φησὶ, τὰ πάντα ἡμῖν χαρίσεται; Ρωμ. η. λβ.
ἡ ἀπαρχή σου ὑπὸ ἀγγέλων προσκυνεῖται, ὑπὸ τῶν χερουβὶμ, ὑπὸ τῶν σεραφίμ. τί ἔτι
λείπει; ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ. οὐδὲν σαρκικὸν ἐνταῦθα. διὰ τοῦτο πάντα ἐξέβαλεν
ἐκεῖνα εἰπὼν, Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ, πρὸς ταῦτα ἡμᾶς ἀνάγων. ὥσπερ γὰρ οἱ τὰ Ιωαν. ις. λγ.
σαρκικὰ ἔχοντες, τῶν πνευματικῶν ἀκοῦσαι οὐκ ἠδύναντο· οὕτως οἱ τῶν πνευματικῶν
τυγχάνοντες, οὐ δύνανται αὐτῶν ἐπιτυγχάνειν, ἂν μὴ πρότερον τῶν σαρκικῶν ἀποστῶσι. τί
* πᾶσα ἐστιν, * εὐλογία πνευματικὴ ἐν τοῖς ἐπουρανίοις; οὐκ ἐν τῇ γῇ, φησὶ, καθάπερ παρὰ Ιου-
* τότε μὲν γὰρ ἤκουον ἐκεῖνοι, δαίοις, * Τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, εἰς γῆν ῥέουσαν μέλι καὶ γάλα, εὐλογήσει ὁ Θεὸς Δευτ. ιγ. λη.
τὴν γῆν σου. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ τί; Ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τη- Ιωαν. ιδ. κγ.
ρήσει, καὶ ἐγὼ, καὶ ὁ πατὴρ ἐλευσόμεθα πρὸς αὐτὸν, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὁ ἀκούων Ματθ. η. κδ.
μου τοὺς λόγους τούτους, καὶ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰ-
κίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ προσέῤῥηξαν
τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. ἡ δὲ πέτρα ποία ἐστὶν,
ἀλλ' ἢ τὰ οὐράνια πράγματα, τὰ πάσης μεταβολῆς ἀνώτερα; Ὅστις γὰρ ἂν ὁμολογήσῃ Ματθ. ι. λβ.
με, φησὶν, ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου
τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ, Ὅστις ἀπαρνήσεταί με, ἀρνήσομαι αὐτὸν κἀγώ. καὶ πάλιν, Μακάριοι Ματθ. ε. η.
οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. καὶ πάλιν, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύ- Ματθ. ε. γ.
ματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ πάλιν, Μακάριοί ἐστε οἱ δεδιωγμένοι ἕνε- Ματθ. ε. ι.
κεν δικαιοσύνης, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ὁρᾷς πανταχοῦ τοὺς οὐρανοὺς, οὐ-
δαμοῦ γῆν, οὐδὲ τὰ ἐν τῇ γῇ; καὶ πάλιν, Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ Φιλιπ. γ. κ.
οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν. καὶ πάλιν, Μὴ τὰ ἐπίγεια φρονοῦντες, ἀλλὰ τὰ
ἐν τοῖς οὐρανοῖς. ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, διὰ Χριστοῦ Ἰησοῦ, οὐ διὰ Μωϋσέως ἦν αὕ-
τη ἡ εὐλογία. ὥστε οὐ μόνον τῇ ποιότητι, ἀλλὰ καὶ τῷ μεσίτῃ διαφέρομεν ἡμεῖς, ὥσπερ
καὶ ἐν τῇ πρὸς Ἑβραίους φησί· Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θε- Εβρ. γ. ε.
ράπων εἰς μαρτύριον τῶν λαληθησομένων, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός
ἐσμεν ἡμεῖς.

4 Καθὼς καὶ ἐξελέξατο ἡμᾶς, φησὶν, ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ
ἀμώμους κατενώπιον αὐτοῦ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δι' οὗ εὐλόγησεν ἡμᾶς, διὰ
τούτου καὶ ἐξελέξατο. αὐτὸς τοίνυν ἡμῖν ἐκεῖ δώσει ἐκεῖνα πάντα, αὐτός ἐστιν ὁ κριτὴς, καὶ ἐρεῖ·
Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν Ματθ. κε. λδ.
ἀπὸ καταβολῆς κόσμου. καὶ πάλιν, Ὅπου εἰμὶ ἐγὼ, θέλω ἵνα καὶ οὗτοι ὦσι. καὶ ἐν πάσαις Ιωαν. ιζ. κδ.

σχεδὸν

σχεδὸν ταῖς ἐπιστολαῖς τοῦτο σπουδάζει δεικνύναι, ὅτι οὐ νεώτερα τὰ καθ' ἡμᾶς, ἀλλ' ἄνωθεν οὕτω τετύπωτο, οὐδ' ἐκ μεταμελείας, ἀλλ' οὕτως ᾠκονόμητο καὶ προώριστο, καὶ τοῦτο δὲ κηδεμονίας πολλῆς. τί ἐστιν, ἐν αὐτῷ ἐξελέξατο; διὰ τῆς εἰς αὐτὸν πίστεως ὁ Χριστός, φησι, τοῦτο κατώρθωσε, πρὶν ἢ γενέσθαι ἡμᾶς, μᾶλλον δὲ πρὶν ἢ τὸν κόσμον καταβληθῆναι. καὶ καλῶς καταβολὴν εἶπεν, ὡς ἀπό τινος ὕψους καταβεβλημένον μεγάλου αὐτὸν δεικνύς. καὶ γὰρ μέγα καὶ ἄφατον τὸ ὕψος τοῦ Θεοῦ, οὐ τῷ τόπῳ, ἀλλὰ τῷ ἀνακεχωρηκότι τῆς φύσεως, καὶ πολὺ τὸ μέσον κτίσματος καὶ κτιστοῦ. αἰσχυνέσθωσαν οἱ αἱρετικοὶ ταῦτα ἀκούοντες. τί δὲ ἐξελέξατο; ὥστε εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ. ἵνα τοίνυν μὴ, ἀκούσας, ὅτι ἐξελέξατο, τὴν πίστιν ἀρκεῖν νομίσῃς μόνον, καὶ τὸν βίον προστίθησι. [χ. ἵνα μὴ τοίνυν,] διὰ τοῦτο ἐξελέξατό, φησι, καὶ ἐπὶ τούτῳ, ἵνα ἅγιοι ὦμεν καὶ ἄμωμοι. ἐξελέξατο καὶ Ἰουδαίους ποτέ. πῶς; ἔθνος τοῦτό, φησιν, ἐξελέξατο ἐκ τῶν ἐθνῶν. εἰ δὲ ἄνθρωποι ἐκλεγόμενοι, τὰ κάλλιστα ἐκλέγειν εἰώθασι, πολλῷ μᾶλλον ὁ Θεός. καὶ τὸ, ἐκλεγῆναι δὲ, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τεκμήριον, καὶ τῆς αὐτῶν ἀρετῆς. πάντως γὰρ ἂν τοὺς δοκίμους ἐξελέξατο. ἐποίησε* ἡμᾶς αὐτὸς ἁγίους, ἀλλὰ δεῖ μένειν ἁγίους. [* γρ.] ἅγιός ἐστιν ὁ τῆς πίστεως μετέχων, ἄμωμος ὁ ἀνεπίληπτον βίον" μετιών. ἀλλ' ἁγιότητα καὶ τὸ ἀνεπίληπτον οὐχ ἁπλῶς" ἐπιζητεῖ, ἀλλὰ τὸ ἐνώπιον αὐτοῦ τοιούτους φαίνεσθαι. [χ. ἔχων. χ. ζητεῖ] εἰσὶ γὰρ ἅγιοι καὶ ἄμωμοι, ἀλλ' ἐν ἀνθρώποις οὕτω νομιζόμενοι, οἱ τάφοις ἐοικότες κεκονιασμένοις, καὶ ὡς οἱ τὰς δορὰς τῶν προβάτων ἔχοντες. ἀλλ' οὐ τοιούτους ζητεῖ, ἀλλ' οἵους ὁ προφήτης φησί, Καὶ κατὰ τὴν καθαρότητα τῶν χειρῶν μου. ποίαν; τὴν ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ ἁγιωσύνην ζητεῖ, ἣν ὁ τοῦ Θεοῦ ὀφθαλμὸς ὁρᾷ. εἰπὼν καὶ τούτων τὰ κατορθώματα, καὶ πάλιν ἐπὶ τὴν χάριν ἄνεισι, καί φησιν· Ἐν ἀγάπῃ,

Ψαλμ. ιζ. κδ.

5 Προορίσας ἡμᾶς. Οὐ γὰρ ἀπὸ πόνων, οὐδὲ κατορθωμάτων τοῦτο γέγονεν, ἀλλ' ἀπὸ ἀγάπης, οὔτε ἀπὸ ἀγάπης μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἡμετέρας ἀρετῆς. εἰ γὰρ δὴ ἀπὸ ἀγάπης μόνης, ἐχρῆν ἅπαντας σωθῆναι· εἰ δὲ ἀπὸ τῆς ἡμετέρας ἀρετῆς πάλιν μόνης, περιττὴ ἡ παρουσία αὐτοῦ, καὶ πάντα τὰ οἰκονομηθέντα. ἀλλ' οὔτε ἀπὸ ἀγάπης μόνης, οὔτε ἀπὸ τῆς ἡμετέρας ἀρετῆς, ἀλλ' ἐξ ἀμφοτέρων. ἐξελέξατο γὰρ ἡμᾶς, φησιν· ὁ δὲ ἐκλεγόμενος, οἶδεν ὅπερ ἐκλέγεται. ἐν ἀγάπῃ, φησί, προορίσας ἡμᾶς. οὐδένα γὰρ ἂν ἔσωσεν ἡ ἀρετή, τῆς ἀγάπης μὴ οὔσης. εἰπὲ γάρ μοι, τί Παῦλος ἂν ὠφελήθη, " τί δ' ἂν ἐπεδείξατο, εἰ μὴ καὶ ἄνωθεν αὐτὸν ἐκάλεσε, καὶ ἀγαπήσας εἵλκυσε πρὸς ἑαυτόν; [χ. ποῦ δ'] ἄλλως δὲ, καὶ τὸ τοσούτων ἀξιῶσαι, ἀγάπης ἦν, οὐ τῆς ἡμετέρας ἀρετῆς. τὸ γὰρ ἐναρέτους γενέσθαι, καὶ πιστεῦσαι, καὶ προσελθεῖν, καὶ τοῦτο μὲν αὐτοῦ ἦν τοῦ καλέσαντος, πλὴν ἀλλὰ καὶ ἡμέτερον. τὸ δὲ προσελθόντας τοσούτων ἀξιῶσαι τιμῶν, ὥστε εὐθέως ἀπὸ ἔχθρας εἰς υἱοθεσίαν ἀγαγεῖν, ὑπερβαλλούσης ὄντως ἀγάπης. Ἐν ἀγάπῃ, φησί, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν. Ὁρᾷς πῶς οὐδὲν ἄνευ Χριστοῦ; πῶς οὐδὲν ἄνευ τοῦ πατρός; ἐκεῖνος προώρισεν, οὗτος προσήγαγε. καὶ ταῦτα τίθησιν ἐπαίρων τὰ γεγενημένα, καθάπερ καὶ ἑτέρωθί φησιν· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μεγάλα μὲν γὰρ τὰ δοθέντα, πολλῷ δὲ μείζονα γέγονε τῷ διὰ τοῦ Χριστοῦ δοθῆναι· ὅτι οὐκ ἔπεμψέ τινα τῶν δούλων πρὸς τοὺς δούλους, ἀλλ' αὐτὸν τὸν μονογενῆ.

Ρωμ. γ. ια.

Κατὰ τὴν εὐδοκίαν, φησί, τοῦ θελήματος αὐτοῦ· Τουτέστι, διὰ τὸ σφοδρῶς θελῆσαι· ἡ ἐπιθυμία αὐτοῦ, ὡς ἄν τις εἴποι, αὕτη ἐστί. πανταχοῦ γὰρ εὐδοκία, τὸ θέλημά ἐστι τὸ προηγούμενον. ἔστι γὰρ καὶ ἄλλο θέλημα· οἷον, θέλημα πρῶτον, τὸ μὴ ἀπολέσθαι ἡμαρτηκότας· θέλημα δεύτερον, τὸ γενομένους κακοὺς ἀπολέσθαι. οὐ γὰρ δὴ ἀνάγκη αὐτοὺς κολάζει, ἀλλὰ θέλημα. τοιοῦτον καὶ ἐπὶ Παύλου ἐστὶν ἰδεῖν, οἷον ὡς ὅταν λέγῃ· Θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν. καὶ πάλιν, Θέλω νεωτέρας γαμεῖν, τεκνογονεῖν. εὐδοκίαν οὖν τὸ πρῶτον θέλημά φησι, τὸ σφοδρὸν θέλημα, τὸ μετ' ἐπιθυμίας θέλημα, τὸ πεῖσμα.

α. Κορ. ζ. ζ.
α. Τιμ. ε ιδ.

πεῖσμα. οὐ γὰρ παραιτήσομαι καὶ κοπωδεστέρα λέξει χρήσασθαι σαφηνείας ἕνεκεν τῶν ἀφελεστέρων. οὕτω γὰρ καὶ ἡμεῖς τὴν ἐπίτασιν τοῦ θελήματος δηλοῦντες, τὸ πεῖσμα ἡμῶν λέγομεν. ὃ οὖν λέγει, τοῦτό ἐστι· σφόδρα ἐφίεται, σφόδρα ἐπιθυμεῖ τῆς σωτηρίας τῆς ἡμετέρας. τίνος οὖν ἕνεκεν οὕτως ἡμᾶς ἀγαπᾷ, καὶ πόθεν οὕτω φιλεῖ; ἀπὸ ἀγαθότητος μόνης. ἡ γὰρ χάρις, ἀγαθότητός ἐστι. διὰ τοῦτο, φησιν, εἰς υἱοθεσίαν ἡμᾶς προώρισε θέλων, καὶ σφόδρα τοῦτο βουλόμενος, ἵνα ἡ τῆς χάριτος αὐτοῦ δόξα δειχθῇ. Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, φησιν,

[χ. τίνος ἕνεκεν οὕτω φιλεῖ]

6 Εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ.

Ἵνα ἡ τῆς χάριτος αὐτοῦ δόξα δειχθῇ, φησιν, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ. οὐκοῦν εἰ εἰς τοῦτο ἐχαρίτωσεν, εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, καὶ ἵνα δείξῃ τὴν χάριν αὐτοῦ, μείνωμεν ἐν αὐτῇ. Εἰς ἔπαινον δόξης. τί ἐστι τοῦτο; ἵνα τίς αὐτὸν ἐπαινέσῃ; ἵνα τίς αὐτὸν δοξάσῃ; ἡμεῖς; ἄγγελοι; ἀρχάγγελοι; ἀλλὰ πᾶσα ἡ κτίσις; καὶ τί τοῦτο; οὐδέν. ἀνενδεὲς γὰρ τὸ θεῖον. τίνος οὖν ἕνεκεν βούλεται ἐπαινεῖσθαι καὶ δοξάζεσθαι παρ' ἡμῶν; ὥστε τὴν πρὸς αὐτὸν ἀγάπην θερμοτέραν ἡμῖν ἐγγενέσθαι. οὐδενὸς γὰρ ἐφίεται τῶν παρ' ἡμῶν, ἀλλ' ἢ τῆς σωτηρίας μόνης, οὐ διακονίας, οὐ δόξης, οὐκ ἄλλου οὐδενός, καὶ πάντα διὰ τοῦτο ποιεῖ. ὁ γὰρ ἐπαινῶν καὶ θαυμάζων τὴν εἰς αὐτὸν χάριν γεγενημένην, προσεκτικώτερος ἔσται καὶ σπουδαιότερος. ἧς ἐχαρίτωσεν ἡμᾶς, φησιν. οὐκ εἶπεν, ἧς ἐχαρίσατο, ἀλλ', ἐχαρίτωσεν ἡμᾶς· τουτέστιν, οὐ μόνον ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ ἐπεράστους ἐποίησε. καθάπερ ἂν εἴ τις λαβὼν ψωραλέον τινά, καὶ λιμῷ καὶ νόσῳ διεφθαρμένον, καὶ γήρᾳ, καὶ πενίᾳ, καὶ λιμῷ, εὐθέως εὔμορφον νεανίσκον ἐργάσαιτο, πάντας ἀνθρώπους νικῶντα τῷ κάλλει, σφοδρὰν μὲν τὴν αἴγλην ἀφιέντα ἀπὸ τῶν παρειῶν, καὶ τὰς μαρμαρυγὰς τὰς ἡλιακὰς ἀποκρύπτοντα ταῖς τῶν ὀφθαλμῶν βολαῖς, εἶτα ἐν αὐτῷ καταστήσειε τῷ τῆς ἡλικίας ἄνθει, καὶ μετὰ τοῦτο ἁλουργίδα περιβάλοι καὶ διάδημα καὶ πάντα τὸν κόσμον τὸν βασιλικόν· οὕτως ἐξήσκησε τὴν ψυχὴν ἡμῶν, καὶ καλὴν καὶ ποθεινὴν καὶ ἐπέραστον ἐποίησεν. ἐπιθυμοῦσι γὰρ ἄγγελοι παρακύψαι πρὸς τὴν τοιαύτην ψυχήν, ἀρχάγγελοι, καὶ πᾶσαι αἱ ἄλλαι δυνάμεις. οὕτως ἡμᾶς καὶ ἐπιχαρίτας ἐποίησε, καὶ ἑαυτῷ ποθεινούς. Ἐπιθυμήσει γάρ, φησιν, ὁ βασιλεὺς τοῦ κάλλους σου. ὅρα γὰρ οἷα πρὸ τούτου ἐπιβλαβῆ φθεγγόμενοι, οἷα κεχαριτωμένα ῥήματα φθεγγόμεθα νῦν. οὐκέτι πλοῦτον θαυμάζομεν, οὐκ ἐκεῖνα τὰ ἐνταῦθα, ἀλλὰ τὰ οὐράνια, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. οὐχὶ χαρίεν ἐκεῖνο τὸ παιδίον εἶναι φαμέν, ὅπερ ἂν μετὰ τῆς τοῦ σώματος ὥρας καὶ πολλὴν ἔχῃ τὴν ἐν τοῖς ῥήμασι χάριν; τοιοῦτοι εἰσὶν οἱ πιστοί. ὅρα οἷα φθέγγονται οἱ μεμυημένοι. τί γὰρ χαριέστερον ἐκείνου τοῦ στόματος γένοιτ' ἄν, τοῦ τὰ θαυμαστὰ ῥήματα ἀφιέντος, καὶ καθαρᾷ καρδίᾳ καὶ καθαροῖς χείλεσι μεταλαμβάνοντος τραπέζης μυστικῆς τοιαύτης μετὰ πολλῆς τῆς λαμπρότητος καὶ τῆς παρρησίας; τί χαριέστερον τῶν ῥημάτων, δι' ὧν ἀποτασσόμεθα τῷ διαβόλῳ; δι' ὧν συντασσόμεθα τῷ Χριστῷ; τῆς ὁμολογίας ἐκείνης τῆς πρὸ τοῦ λουτροῦ; τῆς μετὰ τὸ λουτρόν; ἐννοήσωμεν ὅσοι διεφθείραμεν τὸ βάπτισμα, καὶ στενάξωμεν, ἵνα δυνηθῶμεν αὐτὸ πάλιν ἀναλαβεῖν. Διὰ τοῦ ἠγαπημένου, φησίν,

[χ. μένων] [χ. γῆρ] [χ. πάντες ἄγγελοι] [χ. ἐπιχαρίτους] [Ψαλμ. με. ιβ.]

7 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ. Πῶς; οὐ μόνον ὅτι τὸν υἱὸν ἔδωκε θαυμαστόν, ἀλλ' ὅτι καὶ τούτῳ τῷ τρόπῳ, ὥστε σφαγιάσαι αὐτὸν τὸν ἀγαπώμενον. πολλὴ ἡ ὑπερβολή. τὸν ἀγαπώμενον ὑπὲρ τῶν μισουμένων ἔδωκεν. ὅρα πόσου ἡμᾶς τιμᾶται. εἰ, ὅτε αὐτὸν ἐμισοῦμεν καὶ ἐχθροὶ ἦμεν, τὸν ἀγαπώμενον ἔδωκε, τί οὐ ποιήσει λοιπόν, ὅταν τούτῳ καταλλαγῶμεν διὰ τῆς χάριτος; Τὴν ἄφεσιν, φησί, τῶν παραπτωμάτων. Ἄνωθεν κάτω κατιών· πρότερον υἱοθεσίαν εἰπών, καὶ ἁγιασμόν, καὶ ἀμώμους, καὶ τότε τὸ πάθος, οὐ μειῶν, οὐδὲ ἀπὸ τῶν μεγάλων ἐπὶ τὰ μικρὰ καταγαγὼν τὸν λόγον, ἀλλ' ἀπὸ τῶν μικρῶν ἐπὶ τὰ μεγάλα ἀνιών. οὐδὲν γὰρ οὕτω μέγα, ὡς τὸ αἷμα ἐκχυθῆναι τοῦ

[Ἰωάν. γ.] [χ. σφαγῆναι] [χ. ἐξίδωκε]

Θεοῦ

Θεοῦ πατρὸς ἡμῶν. καὶ τῆς υἱοθεσίας, καὶ τῶν ἄλλων δωρεῶν τοῦτο μεῖζον, τὸ μηδὲ τοῦ υἱοῦ φείσασθαι. μὴ γὰρ τὸ ἀφεθῆναι τῶν ἁμαρτημάτων, ἀλλὰ τὸ μεῖζον, τὸ διὰ τοῦ αἵματος τοῦ δεσποτικοῦ. ὅτι γὰρ τοῦτο πολλῷ μεῖζον ἁπάντων, ὅρα πῶς καὶ ἐνταῦθα αἰνίττεται λέγων· Κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ,

8 Ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς. Πλοῦτος μὲν γὰρ καὶ ἐκεῖνος, πολλῷ δὲ πλέον οὗτος. ἧς ἐπερίσσευσε, φησὶν, εἰς ἡμᾶς. καὶ πλοῦτος, καὶ ἐπερίσσευσε, τουτέστιν, ἀφάτως ἐξεχύθη. οὐκ ἔνεστι λόγῳ παραστῆσαι, ὧν διὰ τῶν ἔργων ἐπειράθημεν. πλοῦτος γάρ ἐστι, πλοῦτος περισσεύων, πλοῦτος οὐκ ἀνθρώπων, ἀλλὰ Θεοῦ, ὥστε πανταχόθεν ἀμήχανον αὐτὸν λεχθῆναι. δείκνυς δὲ πῶς εἰς περιουσίαν ἔδωκεν, Ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, φησὶ,

9 Γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ· Τουτέστι, σοφοὺς καὶ φρονίμους ποιήσας τὴν ὄντως σοφίαν, τὴν ὄντως φρόνησιν. βαβαὶ, πόση φιλία; τὰ γὰρ μυστήρια αὐτοῦ ἡμῖν λέγει. τοῦ θελήματος αὐτοῦ, φησὶν, ὡς ἂν εἴποι τις, τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ ἡμῖν ἐγνώρισε. τοῦτο γάρ ἐστι τὸ μυστήριον τὸ πάσης σοφίας γέμον καὶ φρονήσεως. τί γὰρ ταύτης τῆς σοφίας ἴσον ἐρεῖς; τοὺς οὐδενὸς ἀξίους ὄντας, τούτους εὗρεν ὅπως εἰς πλοῦτον ἀναγάγῃ. τί ταύτης τῆς εὐμηχανίας ἴσον; ὁ ἐχθρὸς, ὁ μεμισημένος, οὗτος ἐξαίφνης ἄνω γέγονε. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν τούτῳ τῷ καιρῷ, καὶ τοῦτο σοφίας ἦν, καὶ τὸ διὰ σταυροῦ. μακρὸς ἐνταῦθα δεῖξαι ὁ λόγος, πῶς σοφίας ἦν τοῦτο, καὶ πῶς σοφοὺς ἡμᾶς εἰργάσατο. διὸ πάλιν, Κατὰ τὴν εὐδοκίαν αὐτοῦ, φησὶν, ἣν προέθετο ἐν αὐτῷ·

Τουτέστι, τοῦτο ἐπεθύμει, τοῦτο ὤδινεν, ὡς ἂν εἴποι, ἐξειπεῖν ἡμῖν τὸ μυστήριον. ποῖον δὴ τοῦτο; ὅτι ἄνθρωπον ἄνω καθίσαι βούλεται. τοῦτο δὲ γέγονεν.

10 Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς

11 Ἐν αὐτῷ. Ἀπέρριπτο, φησὶ, τὰ ἐπουράνια τῶν ἐπιγείων, οὐκ εἶχε μίαν κεφαλήν. κατὰ μὲν γὰρ τὸν τῆς δημιουργίας λόγον εἷς Θεὸς ἦν· κατὰ δὲ τὸν τῆς οἰκειώσεως οὐκέτι, τῆς ἑλληνικῆς πλάνης κεχυμένης, ἀλλ' ἀπεσχισμένοι ἦσαν τῆς ὑποταγῆς αὐτοῦ. Εἰς οἰκονομίαν, φησὶ, τοῦ πληρώματος τῶν καιρῶν. πλήρωμα τῶν καιρῶν αὐτὸς ἐκάλεσεν. ὅρα πῶς ἀκριβῶς φθέγγεται. καὶ τὴν μὲν ἀρχὴν ἀπὸ τοῦ πατρὸς δείξας, τὴν πρόθεσιν, τὴν βουλὴν, τὴν προτέραν ὁρμὴν, τὴν δὲ διὰ τῶν ἔργων ἐκπλήρωσιν διὰ τοῦ Χριστοῦ, οὐδαμοῦ διάκονον αὐτὸν ὀνομάζει. ἐξελέξατο ἡμᾶς, φησὶν, ἐν αὐτῷ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Χριστοῦ Ἰησοῦ εἰς αὐτὸν, καὶ εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ. καὶ οὐδαμοῦ διάκονον αὐτὸν εἶπεν. εἰ δὲ τὸ, ἐν, καὶ τὸ, διὰ, διακόνου ἐστὶν, ὅρα ποῦ τρέπει τὸ πρᾶγμα. ἀρχόμενος γὰρ εὐθέως τῆς ἐπιστολῆς, διὰ τοῦ θελήματος, εἶπε, τοῦ πατρός. ὁ πατὴρ ἠθέλησε, φησὶν, ὁ υἱὸς ἐνήργησεν. ἀλλ' οὔτε ἐπειδὴ ὁ πατὴρ ἠθέλησε, τῆς ἐνεργείας ἐκτός ἐστιν ὁ υἱός· οὔτε ἐπειδὴ ὁ υἱὸς ἐνήργησε, τοῦ θελήματος ἀπεστέρηται ὁ πατὴρ, ἀλλὰ κοινὰ πατρὸς

Ιωαν. ιζ. ι. καὶ υἱοῦ πάντα. Πάντα γὰρ τὰ ἐμὰ, σά ἐστι, φησὶ, καὶ τὰ σὰ, ἐμά. πλήρωμα δὲ τῶν καιρῶν ἡ παρουσία αὐτοῦ ἦν. ἐπεὶ οὖν πάντα ἔπραξε καὶ δι' ἀγγέλων, καὶ διὰ προφητῶν, καὶ διὰ νόμου, καὶ οὐδὲν πλέον ἐγένετο, ἀλλ' ἐκινδύνευεν εἰκῆ γεγενῆσθαι ἄνθρωπος, εἰκῆ παρῆχθαι, μᾶλλον δὲ καὶ ἐπὶ κακῷ, πάντων ἀπολλυμένων ἁπλῶς, καὶ μειζόνως ἢ ἐπὶ τοῦ κατακλυσμοῦ, εὗρε ταύτην τὴν οἰκονομίαν τὴν διὰ τῆς χάριτος, ὥστε μὴ εἰκῆ, μηδὲ μάτην αὐτὸν γενέσθαι. τὸ πλήρωμα τῶν καιρῶν τοῦτο λέγει, καὶ σοφίαν. πῶς; ὅτι ὅτε μάλιστα ἔμελλον ἀπόλλυσθαι, τότε διεσώθησαν. ἀνακεφαλαιώσασθαι, φησίν. τί ἐστιν, ἀνακεφαλαιώσασθαι; συνάψαι *. πλὴν ἀλλὰ σπουδάσωμεν ἐγγὺς αὐτῆς γενέσθαι τῆς ἀληθείας. παρ' ἡμῖν μὲν

γὰρ

γὰρ ἡμῖν, καὶ ἐν τῇ συνηθείᾳ ἀνακεφαλαίωσις λέγεται), τὸ τὰ διὰ μακρῶν λεγόμενα εἰς βραχέσιν εἶναι, καὶ πάντα τὰ διὰ πολλῶν λεγόμενα συντόμως εἰπεῖν. ἔστι μὲν γὰρ καὶ τοῦτο. τὰ γὰρ διὰ μακροῦ χρόνου οἰκονομούμενα ἀνεκεφαλαιώσατο ἐν ἑαυτῷ, τουτέστι, συνέτεμε. λόγον γὰρ συντελῶν, καὶ συντέμνων ἐν δικαιοσύνῃ, καὶ ἐκεῖνα περιέλαβε, καὶ ἕτερα Ρωμ. θ. κη. προσέθηκε. τοῦτο ἔστιν ἀνακεφαλαίωσις. ἔστι καὶ ἕτερόν τι δηλούμενον. ποῖον τοῦτο; μίαν κεφαλὴν ἅπασιν ἐπέθηκε τὸν κατὰ σάρκα Χριστὸν, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις, τουτέστι, καὶ ἀγγέλοις μίαν ἀρχὴν ἔδωκεν, καὶ ἀνθρώποις, τοῖς μὲν τὸν κατὰ σάρκα, τοῖς δὲ τὸν Θεὸν Λόγον, ὡς ἂν περὶ οἰκίας τις εἴποι τὰ μὲν σαθρὰ, τὰ δὲ ἰσχυρὰ ἐχούσης, ἀνῳκοδόμησε τὴν οἰκίαν, τουτέστιν, ἰσχυροτέραν εἰργάσατο, ἰσχυροτέραν κρηπῖδα ὑπέθηκεν. οὕτω καὶ ἐνταῦθα πάντας ὑπὸ μίαν ἤγαγε κεφαλήν*. οὕτω γὰρ ἂν γένοιτο ἕνωσις, οὕτως [ἂν γένοιτο] ἀκριβὴς συνάφεια, ὅταν ὑπὸ μίαν ἅπαντα ἀχθείη κεφαλὴν, συνδεσμόν τινα ἀναγκαῖον ἄνωθεν * ἔχοντα.

γρ. ἔδωκε. ἴσ. τὸν. ἴσ. τὸν. γρ. ἐπέθηκεν. * φησίν. * ἐπικείμενον.

Τοσαύτης τοίνυν ἀξιωθέντες δωρεᾶς, τοσαύτης τιμῆς, τοσαύτης φιλανθρωπίας, μὴ καταισχύνωμεν τὸν εὐεργετήσαντα, μὴ εἰς κενὸν τὴν τοσαύτην χάριν ποιήσωμεν, ἀγγελικὸν βίον ἐπιδειξώμεθα, ἀγγελικὴν ἀρετὴν, καὶ πολιτείαν, καὶ δέομαι καὶ ἀντιβολῶ, ἵνα μὴ εἰς κρίμα, μηδὲ εἰς κατάκριμα γένηται ταῦτα πάντα ἡμῖν, ἀλλ' εἰς ἀπόλαυσιν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. β. ΕΝ Ω ΚΑΙ ΕΚΛΗΡΩΘΗΜΕΝ ΠΡΟΟΡΙΣΘΕΝτες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, 12 Εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ. 13 Ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, 14 Ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

γρ. ὁ

Πανταχοῦ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ἐσπούδασεν ὁ Παῦλος τὴν περὶ ἡμᾶς δεῖξαι, ὡς αὐτῷ δυνατόν. ὅτι γὰρ μετ' ἀκριβείας οὐχ οἷόν τε, ἄκουσον τί φησιν αὐτός· Ὦ βάθος πλούτου, Ρωμ. ια. λγ. καὶ σοφίας, καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; πλὴν ἀλλ', ὡς οἷόν τε ἐστὶ, δείκνυσι. τί οὖν ἐστιν ὃ λέγει; ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες. εἶπεν, ἐξελέξατο ὑμᾶς, ἀνωτέρω, ἐνταῦθά φησιν, ἐκληρώθημεν. ἀλλ' ἐπειδὴ ὁ κλῆρος συντυχίας πρᾶγμά ἐστιν, οὐ προαιρέσεως, οὐδὲ ἀρετῆς (ἀγνοίας γὰρ καὶ ἀποτυχίας ἔχει), καὶ τοὺς ἐναρέτους πολλάκις ἀφεὶς, τοὺς οὐδενὸς ἀξίους λόγου, τούτοις εἰς μέσον προήγαγεν) ὅρα πῶς αὐτὸ διορθοῦται. προορισθέντες, φησὶ, κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος. τουτέστιν, οὐχ ἁπλῶς ἐκληρώθημεν, ὥσπερ οὐδὲ ἁπλῶς ἐξελέγημεν (Θεὸς γὰρ ὁ ἐκλεξάμενος)* οὐδὲ ἁπλῶς ἐκληρώθημεν (Θεὸς γὰρ ὁ κληρωσάμενος) ἀλλὰ κατὰ πρόθεσιν. τοῦτο καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ γράφων φησί· Τοῖς Ρωμ. η. λ. κατὰ πρόθεσιν κλητοῖς οὖσιν. οὓς καὶ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. πρότερον εἰπὼν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν, ὁμοῦ καὶ τὸ ἐξαίρετον τὸ πρὸς τοὺς ἄλλους δηλῶσαι βουλόμενος, καὶ κλῆρον εἶπεν, ὥστε τὸ αὐτεξούσιον μὴ ἀφελεῖν. ὅπερ ἐστὶ τοίνυν μακαριότητος μᾶλλον, αὐτὸ τίθησιν· ὁ γὰρ κλῆρος οὐκ ἀρετῆς ἐστιν, ἀλλὰ, ὡς ἄν τις εἴποι, συντυχίας. ὡς ἂν εἰ ἔλεγε, κλήρου γενομένου ἡμᾶς ἐξελέξατο. τὸ δὲ ὅλον ἀπὸ τῆς προαιρέσεως προορισθέντας, τουτέστιν, ἑαυτῷ ἐκλεξάμενος ἀφώρισεν· οἶδε, ἑώρα ἡμᾶς

γρ. ἀρετῆ. * ἀλλ'

πρὶν ἢ γενέσθαι κεκληρωμένους. θαυμαστὴ γὰρ ἡ τοῦ Θεοῦ πρόγνωσις, καὶ πάντα εἰδυῖα
πρὶν γενέσεως αὐτῶν. σὺ δὲ θέα πῶς πανταχοῦ σπουδὴν ποιεῖται δεῖξαι, ὅτι οὐκ ἐκ μετα-
νοίας, ἀλλ' ἄνωθεν τὰ πράγματα οὕτω τετύπωτο, ὥστε μηδὲν ἡμᾶς ἔχειν τῶν Ἰουδαίων ἔ-
Ματθ. ιε. κδ. λαττον κατὰ τοῦτο, καὶ διὰ τοῦτο πάντα ὑπὲρ τούτου ποιεῖ. πῶς οὖν φησιν αὐτὸς ὁ Χριστός, Οὐκ
ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ; καὶ πάλιν τοῖς μαθη- γρ. ἀπεστάλη
Ματθ. ι ε. ταῖς ἔλεγεν, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· καὶ
Πραξ. ιγ. λς. αὐτὸς δὲ πάλιν ὁ Παῦλος ἔλεγεν· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ
Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρε-
φόμεθα εἰς τὰ ἔθνη. διὰ γὰρ τοῦτο ταῦτα λέγεται, ἵνα μὴ ὡς ἐκ παρέργου νομίσῃ τις τοῦτο
γεγενῆσθαι. κατὰ πρόθεσιν, φησί, τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελή-
ματος αὐτοῦ, τουτέστιν, οὐδὲν μετὰ ταῦτα ἐνήργησε, πάντα ἄνωθεν διατυπώσας. οὕτως αὐ-
τὸς ἐπάγει τὸ τέλος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ. ὥστε οὐκ ἐπειδὴ Ἰουδαῖοι οὐ
προσεῖχον, διὰ τοῦτο τὰ ἔθνη ἐκάλεσεν, οὐδὲ ἀναγκασθείς, οὐδὲ ἐξ ἐκείνων ὁρμηθείς.
Εἰς τὸ εἶναι ἡμᾶς, φησίν, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ·
ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, τουτέστι,
δι' οὗ. ὅρα πανταχοῦ αἴτιον πάντων γενόμενον τὸν Χριστόν, καὶ οὐδαμοῦ τὸ τοῦ δημιουργοῦ γρ. δημιουργοῦ
Εβρ. α. α. ὄνομα, οὐδὲ τὸ τοῦ διακόνου· ὥσπερ καὶ ἀλλαχοῦ φησιν Ἑβραίοις γράφων· Ὅτι πάλαι λαλή-
σας τοῖς πατράσιν ἡμῶν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν
υἱῷ, τουτέστι, διὰ υἱοῦ. τὸν λόγον φησὶ τῆς ἀληθείας, οὐκέτι τὸν τοῦ τύπου, οὐδὲ τὸν τῆς εἰ-
κόνος. τὸ εὐαγγέλιον τῆς σωτηρίας ἡμῶν. καὶ καλῶς εὐαγγέλιον αὐτὸ σωτηρίας καλεῖ, ὁ μὲν
πρὸς τὸν νόμον αἰνιττόμενος, ὁ δὲ πρὸς τὴν μέλλουσαν κόλασιν. οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ
κήρυγμα, ἀλλ' ἢ σωτηρίας εὐαγγέλιον, ὅ, τι τοὺς ἀξίους ἀπόλλυσθαι οὐκέτι ἀπόλλυσιν. Ἐν
ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε ἐν τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅς ἐστιν ἀρραβὼν
τῆς κληρονομίας ἡμῶν. πάλιν πολλῆς προνοίας δεῖγμα τὸ σφραγισθῆναι· οὐ τὸ ἀφο-
ρισθῆναι, οὐδὲ τὸ κληρωθῆναι μόνον, ἀλλὰ καὶ τὸ σφραγισθῆναι. καθάπερ γὰρ εἴ τις
τοὺς λαχόντας αὐτῷ δήλους ποιήσειεν, οὕτω καὶ ὁ Θεὸς ἀφώρισεν εἰς τὸ πιστεῦσαι, ἐσφρά-
γισεν εἰς τὸ κληρονομῆσαι τὰ μέλλοντα. ὁρᾷς πῶς, προϊόντος τοῦ χρόνου, θαυμαστοὺς αὐτοὺς
ποιεῖ; ἕως μὲν γὰρ ἦσαν ἐν τῇ προγνώσει, οὐδενὶ ἦσαν δῆλοι· ἐπειδὴ δὲ ἐσφραγίσθησαν, δῆλοι
γεγόνασιν, ἀλλ' οὐχ ὡς ἡμεῖς. ἔσονται γὰρ πλὴν ὀλίγων δῆλοι. ἐσφραγίσθησαν καὶ οἱ γρ. ὑμεῖς
Ἰσραηλῖται, ἀλλὰ περιτομῇ, καθάπερ καὶ τὰ βοσκήματα καὶ τὰ ἄλογα. ἐσφραγίσθημεν
καὶ ἡμεῖς, ἀλλ' ὡς υἱοί, πνεύματι. τί ἐστι, πνεύματι ἐπαγγελίας; ἤτοι ὅτι κατ' ἐπαγγελίαν αὐ-
τὸ ἐλάβομεν. δύο γάρ εἰσιν ἐπαγγελίαι, μία μὲν διὰ τῶν προφητῶν, ἑτέρα δὲ ἀπὸ τοῦ γρ. υἱοῦ
Ιωηλ. β. κη. υἱοῦ. διὰ τῶν προφητῶν· ἄκουε τοῦ Ἰωὴλ λέγοντος, Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ
πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁρά-
σεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. ἄκουε δὲ πάλιν τοῦ Χρι-
Πραξ. α. η. στοῦ λέγοντος· Καὶ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ
μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.
καίτοι ἔδει, φησίν, αὐτὸν ὡς Θεὸν πιστευθῆναι. ἀλλ' οὐκ ἀπὸ τούτου διισχυρίζεται, ἀλλ' ὡς
Εβρ. ς. ιη. περὶ ἀνθρώπου ἐξετάζει, ὥσπερ ἐν τῇ πρὸς Ἑβραίους, λέγων· Ἵνα διὰ δύο πραγμάτων
ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν· οὕτω καὶ ἐν-
ταῦθα τεκμήριον ποιεῖται τῆς τῶν μελλόντων ἐπαγγελίας, τὰ ἤδη δεδομένα. διὰ τοῦτο καὶ ἀρ-
ραβῶνα καλεῖ. ὁ γὰρ ἀρραβὼν, μέρος ἐστὶ τοῦ παντός. ἠγόρασε τὰ ὑπὲρ ἡμῶν τὴν σωτηρί-
αν τὴν ἡμετέραν, καὶ ἔδωκεν ἡμῖν ἀρραβῶνα τέως. διὰ τί οὖν μὴ τὸ ὅλον εὐθέως ἔδωκεν; ἐπειδὴ
μηδὲ ἡμεῖς τὸ ὅλον εἰργασάμεθα. ἐπιστεύσαμεν· τοῦτο ἀρχή· ἔδωκε καὶ αὐτὸς ἀρραβῶνα.

ὅταν

ὅταν τὴν πίστιν διὰ τῶν ἔργων δείξωμεν, τότε τὸ πᾶν προστίθησι· μᾶλλον δὲ καὶ ἄλλην ἔδωκεν ἡμῖν, τὸ ἴδιον αἷμα, καὶ πάλιν ἄλλην ὑπέσχετο. καθάπερ εἰ πόλεμος εἴη, ἔθνεσι πρὸς ἔθνη διδόασιν ὁμήρους· οὕτω καὶ ὁ Θεὸς ἔδωκε τὸν υἱὸν αὐτοῦ, τῆς εἰρήνης καὶ τῶν σπονδῶν ἐνέχυρον, καὶ τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐξ αὐτοῦ. οἱ γὰρ ὄντως πνεύματος μετέχοντες, ἴσασιν ὅτι ἀρραβὼν τῆς κληρονομίας ἡμῶν ἐστί. τοιοῦτος ὁ Παῦλος ὤν, ἐπεπήδα ἤδη τῶν ἐκεῖ γεγευμένος. διὸ καὶ ἠπείγετο, καὶ ὤδινε τὰ ἐνταῦθα ἀφεῖναι, καὶ ἔστενεν. ἑτέροις γὰρ ὀφθαλμοῖς ἑώρα, πάντα τὸν νοῦν μεταστήσας ἐκεῖ. οὐ μετέχεις τῶν πραγμάτων· ἀλλὰ τούτου καὶ τῶν ῥημάτων ἐκπίπτεις. εἰ μετείχομεν πάντες πνεύματος, ὡς μετέχειν ἔδει, καὶ τοὺς οὐρανοὺς ἑωρῶμεν, καὶ τὴν ἐκεῖ κατάστασιν. ἀρραβὼν δὲ τίνος ἐστί; τῆς ἀπολυτρώσεως, τῆς περιποιήσεως. ἡ γὰρ καθαρὰ ἀπολύτρωσις τότε ἔσται. νῦν μὲν γὰρ καὶ ἐν κόσμῳ διαστρεφόμεθα, καὶ πολλὰ ἡμῖν ἀνθρώπινα συμπίπτει, καὶ μετὰ ἀσεβῶν ἐσμεν· ἡ δὲ καθαρὰ ἀπολύτρωσις, ὅταν μήτε ἁμαρτήματα ᾖ, μήτε πάθη ἀνθρώπινα, μήτε ἀνάμιξ μετὰ πάντων ὦμεν, τότε ἐστί. νῦν δὲ ἀρραβών. καὶ γὰρ καὶ νῦν αὐτῶν ἀπέσχημεν. οὐ γάρ ἐστι τὸ πολίτευμα ἡμῶν ἐπὶ τῆς γῆς. καὶ νῦν ἐκτός ἐσμεν τῶν ἐνταῦθα· πάροικοι γάρ ἐσμεν καὶ νῦν. [γ. ἱκανὸν ὄν] εἰς ἔπαινον τῆς δόξης αὐτοῦ. συνεχῶς τοῦτο τίθησι. τί δήποτε; ὅτι ἱκανοὶ πληροφορῆσαι τοὺς ἀκούοντας. εἰ μὲν γὰρ ἡμῶν ἕνεκεν, φησι, ταῦτα ἐποίει, οὐκ ἂν ἦν ἀναμφίβολον· εἰ δὲ [γ. μαρτυρίας] δι' αὐτόν, καὶ ὥστε τὴν ἀγαθωσύνην αὐτοῦ δεῖξαι, ὥσπερ τινὰ μαρτυρίαν, αἰτίαν τίθησι τοῦ μὴ ἂν ἄλλως ταῦτα γενέσθαι· ἅπερ καὶ ἐπὶ τῶν Ἰσραηλιτῶν ἄνω καὶ κάτω ὁρῶμεν λεγόμενα. Ποίησον ἡμῖν διὰ τὸ ὄνομά σου· καὶ πάλιν αὐτὸς ὁ Θεὸς ἔλεγε, Ποιῶ ἕνεκεν ἐμοῦ. [Ψαλμ. ρυ. κα.] καὶ ὁ Μωϋσῆς, Ποίησον ἡμῖν διὰ τὸ ὄνομά σου, εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου. [Ἡσ. μη. ια.] πληροφορεῖ γὰρ τοῦτο τοὺς ἀκούοντας καὶ ἀνίησι, μαθόντας ὅτι διὰ τὴν οἰκείαν ἀγαθότητα πάντως ποιήσει, ἅπερ ἐπαγγέλλεται.

[ΗΘΙΚΟΝ] Ἀλλὰ μὴ ῥαθυμῶμεν ἀκούοντες. εἰ γὰρ καὶ δι' ἑαυτὸν ποιεῖ, ἀλλ' ὅμως καὶ τὰ παρ' ἡμῶν ἀπαιτεῖ. εἰ γὰρ τοὺς δοξάζοντάς με δοξάσω, φησί, καὶ οἱ ἐξουθενοῦντές με ἐξουθενηθήσονται, [α. Βασ. β. λ.] ἐννοήσωμεν, ὅτι καὶ τὰ παρ' ἡμῶν ἐπιζητεῖ. ἔπαινός ἐστι τῆς δόξης αὐτοῦ, τὸ τοὺς ἐχθροὺς σῶσαι, ἀλλ' ἐκείνοις τοῖς, μετὰ τὸ γενέσθαι φίλους, μείνασι φίλοις· ὡς εἰ πάλιν ἐπὶ τὴν προτέραν ἔχθραν ἐπανέλθοιεν, πάντα εἰκῆ καὶ μάτην. ἕτερον γὰρ οὐκ ἔστι λουτρόν, οὐδὲ καταλλαγὴ πάλιν δευτέρα, ἀλλὰ φοβερά τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν [Ἑβρ. ι. κζ.] μέλλοντος τοὺς ὑπεναντίους. [γ. μέλλων] εἰ γὰρ μέλλοιμεν ἀεὶ ἐχθραίνοντες αὐτῷ ἀξιοῦσθαι παρ' αὐτοῦ συγγνώμης, οὐ παυσόμεθα ἐχθραίνοντες, καὶ θρυπτόμενοι, καὶ χείρους γινόμενοι, καὶ πεπηρωμένοι τοῦ ἡλίου τῆς δικαιοσύνης περιλαμπομένου. βούλει λαβεῖν τὴν ἀκτῖνα ἀνοίγουσαν σου τοὺς ὀφθαλμούς; καλοὺς αὐτοὺς ἐργάσασθαι, ὑγιεῖς, ὀξυδερκεῖς. ἔδειξέ σοι τὸ φῶς τὸ ἀληθινόν. ἂν πάλιν αὐτὸ φύγῃς, πρὸς σκότος προσδράμῃς, τίς ἔσται ἀπολογία; ποία συγγνώμη; οὐδεμία λοιπόν. μίσους γὰρ ἐστιν ἀρρήτου τοῦτο σημεῖον. ὅτε μὲν γὰρ οὐκ ᾔδεις τὸν Θεόν, ἐχθραίνων αὐτῷ, ὁπωσδήποτέ τινα συγγνώμην εἶχες· ἐπειδὴ δὲ ἐγεύσω τῆς χρηστότητος καὶ τοῦ μέλιτος, ἂν πάλιν ἀφεὶς, ἐπὶ τὸν ἔμετον ἔλθῃς τὸν σαυτοῦ, οὐδὲν ἕτερον, ἀλλ' ἢ μεγάλου μίσους καὶ καταφρονήσεως ἐκφέρεις σημεῖα. οὔ, φησιν, ἀλλ' ὑπὸ τῆς φύσεως ἀναγκάζομαι. φιλῶ μὲν οὖν τὸν Χριστόν, ἀναγκάζομαι δὲ ὑπὸ τῆς φύσεως. εἰ ἀνάγκην καὶ βίαν ὑπομένεις, ἕξεις συγγνώμην· εἰ δὲ ἀπὸ ῥαθυμίας καταπίπτεις, οὐκέτι. φέρε οὖν, αὐτὸ δὴ τοῦτο ἐξετάσωμεν, πότερον ἐξ ἀνάγκης καὶ βίας τὰ ἁμαρτήματα γίνεται, ἢ ἀπὸ ῥαθυμίας καὶ ὀλιγωρίας πολλῆς. οὐ φονεύσεις, φησί. ποία τοῦτο ἀνάγκη, ποία βία; βία μὲν οὖν ἐστι τὸ φονεύειν. τίς γὰρ ἂν ἡμῶν ἕλοιτο βαπτίσαι ξίφος εἰς τὸν λαιμὸν τοῦ πλησίον, καὶ αἱμάξαι τὴν δεξιάν; [γ. πῶς] οὐδὲ εἷς. ὁρᾷς ὅτι τοὐναντίον, ἀνάγκη τὸ ἁμαρτάνειν μᾶλλόν ἐστι καὶ βία; ἐνέθηκε γὰρ ὁ Θεὸς φίλτρον τῇ φύσει τῇ ἡμετέρᾳ, ὥστε ἀλλήλους ἀγαπᾷν. Πᾶν γάρ, φησι, ζῶον ἀγα- [Σειρ. ιγ.]

παρὰ τὸ ὅμοιον αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. ὁρᾷς ὅτι πρὸς τὴν ἀρετὴν ἔχομεν ἀπὸ τῆς φύσεως σπέρματα; τὰ δὲ τῆς κακίας παρὰ φύσιν ἐστί; εἰ δὲ ταῦτα μᾶλλον κρατεῖ, τῆς πολλῆς ἡμῶν νωθείας τοῦτο τεκμήριον. τί δὲ τὸ μοιχεύειν; ποία ἀνάγκη ἐπὶ τοῦτο ἄγει; ναί, φησιν, ἡ τῆς ἐπιθυμίας τυραννίς. διατί, εἰπέ μοι; οὐ γὰρ ἔνεστι τῇ οἰκείᾳ κεχρῆσθαι γυναικί, καὶ παῦσαι τὴν τυραννίδα; ἀλλ' ἔρως με τις λαμβάνει τῆς τοῦ πλησίον, φησί, γυναικός. οὐκέτι τοῦτο ἀνάγκης. ἔρως γὰρ οὐκ ἔστιν ἀνάγκης. οὐδεὶς ἀνάγκῃ φιλεῖ, ἀλλὰ προαιρέσει καὶ ἑκόντι. τὸ μὲν γὰρ μίγνυσθαι, ἀνάγκη ἴσως· τὸ δὲ τήνδε φιλεῖν, ἢ τήνδε, οὐκ ἀνάγκης· οὐδὲ ἐπιθυμία μίξεως τὸ πρᾶγμά ἐστιν, ἀλλὰ κενοδοξία, καὶ ὕβρις, καὶ πέρα τοῦ μέτρου τρυφή. ποῖον γάρ, εἰπέ μοι, κατὰ λόγον ἐστί; τὴν κατεγγυηθεῖσαν, τὴν "κοινωνὸν οὖσαν παιδοποιίας ταύτην ἔχειν, ἢ τὴν οὐκ ἐγνωσμένην; οὐκ ἴστε, ὅτι αἱ συνήθειαι τὰς φιλίας τίκτουσιν; ὥστε οὐ τῆς φύσεώς ἐστι. μὴ αἰτιῶ τὴν ἐπιθυμίαν. ἡ γὰρ ἐπιθυμία διὰ γάμον ἐδόθη, διὰ παιδοποιίαν παρεσχέθη, οὐ διὰ μοιχείαν, οὐδὲ διαφθοράν. ἴσασι καὶ οἱ νόμοι τοῖς ἐξ ἀνάγκης συγγινώσκειν ἁμαρτήμασι· μᾶλλον δὲ οὐδέν ἐστιν ἁμάρτημα ἐξ ἀνάγκης γινόμενον, ἀλλὰ πάντα ἀπὸ ὕβρεως. οὐ γὰρ οὕτως ὁ Θεὸς τὴν φύσιν ἐδημιούργησεν, ὡς ἀνάγκην ἔχειν ἁμαρτάνειν· ἐπεὶ εἰ τοῦτο ἦν, κόλασις οὐκ ἦν. τῶν γὰρ κατὰ ἀνάγκην καὶ βίαν οὐδὲ ἡμεῖς ἀπαιτοῦμεν λόγον, μήτιγε ὁ Θεὸς ὁ οὕτω φιλάνθρωπος καὶ ἀγαθός. ἀλλὰ τί, τὸ κλέπτειν, ἀνάγκης ἐστί; ναί, φησιν. ἡ γὰρ πενία τοῦτο ποιεῖ. ἡ πενία ἐργάζεσθαι μᾶλλον ἀναγκάζει, οὐ κλέπτειν. ἡ πενία τοίνυν τοὐναντίον ποιεῖ. τὸ γὰρ κλέπτειν, ἀργίας ἐστίν· ἡ δὲ πενία οὐκ ἀργίαν, ἀλλὰ "φιλοπτωχίαν τίκτειν εἴωθεν. ὥστε καὶ τοῦτο ῥᾳθυμίας ἐστί. καὶ ὧδε μάθῃς. τί γάρ, εἰπέ μοι, δυσκολώτερον, τί δὲ ἀηδέστερον, τὰς νύκτας ἀγρυπνοῦντα περιιέναι, καὶ τοίχους διορύττειν, καὶ ἐν σκότει βαδίζειν, καὶ τὴν ψυχὴν ἔχειν ἐν χερσί, καὶ πρὸς φόνον παρατετάχθαι, καὶ τρέμειν, καὶ τεθνηκέναι τῷ δέει, ἢ πόνοις προσέχειν καθημερινοῖς, καὶ ἀσφαλείας ἀπολαύειν μετὰ ἀδείας; τοῦτο εὔκολον· καὶ ὅτι τοῦτο εὔκολον, οἱ πλείους τοῦτο πράττουσιν, ἢ ἐκεῖνο. ὁρᾷς ὅτι κατὰ φύσιν μὲν ἡ ἀρετή, παρὰ φύσιν δὲ ἡ κακία, καθάπερ ἡ νόσος καὶ ἡ ὑγεία; τί δὲ τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν, ποίαν ἂν ἔχοι ἀνάγκην; οὐδεμίαν, οὐδὲ βίαν, ἀλλ' ἑκόντες ἐπὶ τοῦτο ἐρχόμεθα. ἀπιστούμεθα, φησιν. ἀπιστούμεθα, ἐπειδὴ βουλόμεθα. ἐχρῆν γὰρ ἀπὸ τοῦ τρόπου πιστεύεσθαι μᾶλλον ἡμᾶς, ἢ ἀπὸ τῶν ὅρκων. διατί γάρ, εἰπέ μοι, τοῖς μὲν οὐδὲ ὀμνύουσι πιστεύομεν, τοὺς δὲ καὶ χωρὶς ὅρκων πιστοὺς ἡγούμεθα; ὁρᾷς ὅτι οὐδαμοῦ χρεία ὅρκων; ἂν ὁ δεῖνα εἴπῃ, φησί, καὶ χωρὶς ὅρκων πιστεύω· σοὶ δὲ οὐδὲ μετὰ ὅρκων. ἄρα περιττὸν ὁ ὅρκος, καὶ τοῦτο μᾶλλον ἀπιστίας, ἢ πίστεως τεκμήριον. τὸ γὰρ εὔκολον εἶναι πρὸς τὸ ὀμόσαι, οὐκ ἀφίησι * δόξαν εὐλαβείας ἔχειν. ὥστε ὁ μάλιστα συνεχῶς τῷ ὅρκῳ κεχρημένος, οὗτος οὐδαμοῦ τοῦ ὅρκου τὴν χρείαν ἔχει ἀναγκαίαν· ὁ δὲ μηδαμοῦ κεχρημένος, "αὐτὸς αὐτοῦ τῆς χρείας ἀπολαύει. χρεία ὅρκου πρὸς τὸ πιστεύεσθαι λοιπὸν οὐδαμῶς. ὁρῶμεν γάρ, ὅτι οἱ μὴ ὀμνύοντες, οὗτοι μᾶλλον πιστεύονται. ἀλλὰ τί, τὸ ὑβριστὴν εἶναι, ἀνάγκης ἐστί; ναί, φησιν. ὁ γὰρ θυμὸς ἐξάγει, καὶ φλέγει, καὶ οὐκ ἀφίησι τὴν ψυχὴν ἠρεμεῖν. οὐ τοῦ θυμοῦ ἐστιν, ἄνθρωπε, ἀλλὰ τῆς μικροψυχίας τὸ ὑβρίζειν. εἰ δὲ θυμοῦ ἦν, πάντες ἄνθρωποι ὀργιζόμενοι, οὐκ ἂν διέλειπον ὑβρίζοντες. θυμὸν ἔχομεν, οὐχ ἵνα ὑβρίζωμεν τοὺς πλησίον, ἀλλ' ἵνα τοὺς ἁμαρτάνοντας ἐπιστρέφωμεν, ἵνα διανιστώμεθα, ἵνα μὴ νωθεῖς ὦμεν. ὥσπερ τι κέντρον ἔγκειται ἡμῖν ὁ θυμός, ἵνα κατὰ τοῦ διαβόλου βρύχωμεν τοὺς ὀδόντας, ἵνα σφοδροὶ ὦμεν πρὸς αὐτόν, οὐχ ἵνα κατ' ἀλλήλων "στῶμεν. ὅπλα ἔχομεν, οὐχ ἵνα ἡμᾶς αὐτοὺς πολεμῶμεν, ἀλλ' ἵνα κατὰ τοῦ πολεμίου χρώμεθα τῇ παντευχίᾳ. ὀργίλος εἶ; ἔσο κατὰ τῶν ἁμαρτημάτων τῶν σαυτοῦ τοιοῦτος, ἐπίπληττε" τῇ ψυχῇ, μάστιζε τὸ συνειδός, σφοδρὸς ἔσο κριτὴς καὶ πικρὸς δικαστὴς * τοῖς οἰκείοις ἁμαρτήμασι. τοῦτο τῆς ὀργῆς τὸ κέρδος· διὰ τοῦτο ἡμῖν αὐτὴν ἐνέθηκεν ὁ Θεός.

ἀλλ'

χ. κοινωνοῦσαν

ἴσ. φιλοπονίαν

* αὐτοῦ

χ. αὐτοῦ

χ. ἱστώμεθα.

χ. τὴν ψυχήν,

* ἐπὶ

ἀλλ' ἡ ἁρπαγὴ ἐξ ἀνάγκης ἐστίν; οὐδαμῶς. ποία γὰρ ἀνάγκη τὸ ἁρπάζειν, εἰπέ μοι; ποία βία; πενία, φησί, ποιεῖ, καὶ τὸ δέος τῶν ἀναγκαίων. διὰ τοῦτο μὲν οὖν οὐκ ὀφείλεις ἁρπάζειν. οὐ γὰρ ἀσφαλὴς ὁ τοιοῦτος πλοῦτος. σὺ δὲ ταὐτὸν ποιεῖς, ὥσπερ ἂν εἴ τις ἐρωτηθεὶς, τί δήποτε εἰς ἄμμον τὰ θεμέλια τῆς οἰκίας καταβάλλοι, εἴποι ὅτι διὰ τὸν κρυμὸν, διὰ τὸν ὑετόν· διὰ τοῦτο μὲν οὖν εἰς ἄμμον οὐκ ἐχρῆν καταβάλλειν· ἀναστρέφει γὰρ αὐτὰ ταχέως καὶ ὑετὸς καὶ πνεύματα καὶ ἄνεμος. ὥστε εἰ πλουτεῖν θέλεις, μὴ πλεονέκτει· εἰ παισὶ βούλει παραδοῦναι πλοῦτον, δίκαιον κτῆσαι, εἴγε τίς ἐστι τοιοῦτος. οὗτος γὰρ μένει, καὶ βέβαιος ἕστηκεν· ὁ δὲ μὴ τοιοῦτος, ταχέως ἀπόλλυται καὶ διαφθείρεται. πλουτεῖν θέλεις, εἰπέ μοι, καὶ τὰ τῶν ἄλλων λαμβάνεις; καὶ μὴν τοῦτο οὐκ ἔστι πλοῦτος, ἀλλὰ τὸ τὰ ἴδια κατέχειν. ὁ δὲ τὰ ἀλλότρια ἔχων, οὐκ ἂν εἴη πλούσιος· ἐπεὶ οὕτω γε ἂν καὶ οἱ τὰ σηρικὰ πωλοῦντες, ἱμάτιον παρ' ἑτέρων λαμβανόμενοι, καὶ εὐπορώτεροι καὶ πλουσιώτεροι πάντων λέγοιντο ἄν· καίτοιγε αὐτῶν ἐστι πῶς· ἀλλ' ὅμως αὐτοὺς οὐ καλοῦμεν πλουσίους. τί δήποτε; ὅτι τὰ ἀλλότρια ἔχουσιν. εἰ γὰρ καὶ τὰ ἱμάτια αὐτῶν τυγχάνει, ἀλλ' ἡ τιμὴ οὐκ αὐτῶν· εἰ δὲ καὶ ἡ τιμὴ αὐτῶν, ἀλλ' οὐ πλοῦτος οὐκ ἔστιν. εἰ δὲ τὰ συμβόλαια διδόμενα οὐ ποιεῖ πλουσίους, διὰ τὸ ταχέως ἡμᾶς αὐτῶν ἀφίστασθαι, τὰ ἐξ ἁρπαγῆς πῶς ποιεῖ πλουσίους; εἰ δὲ καὶ ὅλως ἐπιθυμεῖς πλουτεῖν (οὐ γὰρ ἀνάγκης τὸ πρᾶγμα) τίνος ἀπολαῦσαι βουλόμενος πλείονος; ἄρα ζωῆς μακροτέρας; καὶ μὴν οἱ τοιοῦτοι [ταχέως] ὀλιγοχρόνιοι γίνονται. πολλάκις γὰρ δίκην διδόασι τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας, οἱ ἄωροι θάνατοι, καὶ οὐδὲ τῶν κτημάτων μὴ ἀπολαῦσαι, ἀλλὰ μικρὸν καὶ τὴν γέενναν ἀπελθεῖν λαβόντας· πολλάκις δὲ καὶ ἀπὸ τῆς τρυφῆς, καὶ ἀπὸ τῶν πόνων, καὶ ἀπὸ τῶν φροντίδων νόσους τεκόντες ἀπώλοντο. ἐβουλόμην μαθεῖν τίνος ἕνεκεν ὁ πλοῦτος διεσπούδασται τοῖς ἀνθρώποις. καίτοι ὁ Θεὸς διὰ τοῦτο τῇ φύσει μέτρον καὶ ὅριον ἔθηκεν, ἵνα μηδεμίαν ἔχωμεν ἀνάγκην τοῦ τὸν πλοῦτον ἐπιζητεῖν, ὅτι ἐνὶ ἱματίῳ, ἢ καὶ δευτέρῳ περιβάλλεσθαι τὸ σῶμα ἐκέλευσε, καὶ περιττοῦ οὐ χρεία πρὸς τὴν σκέπην. τίνος ἕνεκεν τὰ μυρία ἱμάτια, καὶ τὰ σητόβρωτα; μέτρον ὡρισμένον ἐστὶ τῆς γαστρὸς, καὶ πέρα τούτου δοθὲν ἐξ ἀνάγκης διέφθειρε τὸ πᾶν ζῶον. τίνος ἕνεκεν αἱ ἀγέλαι, καὶ τὰ ποίμνια, καὶ αἱ τῶν κρεῶν κατακοπαί; μιᾶς στέγης χρήζομεν. τίνος ἕνεκεν οἱ περίβολοι, καὶ τὰ πολυτελῆ τῶν οἰκημάτων; ἵνα γῦπες καὶ κολοιοὶ κατοικῶσι, τοὺς πένητας ἀποδύεις; καὶ πόσης οὐκ ἄξια ταῦτα γεέννης; πολλοὶ πολλάκις εἰς τόπους, οὓς οὐδὲ εἶδον, κίοσι καὶ λίθοις πολυτίμοις καὶ οἰκοδομήματα ἐξαστράπτοντα κατεργάζονται. τί γὰρ οὐκ ἐμηχανήσαντο; καὶ οὐδὲ αὐτοὶ ἀπέλαυσαν, οὐδὲ ἄλλοι τινές. ἡ γὰρ ἐρημία οὐκ ἀφίησιν αὐτοὺς ἀπελθεῖν· καὶ οὐδὲ οὕτως ἀφίστανται. ὁρᾷς ὅτι οὐδὲ χρηματισμοῦ ἕνεκεν ταῦτα γίνεται; ἀλλὰ πάντων τούτων, ἄνοια καὶ ἀλογία καὶ κενοδοξία, αἰτία; ἴνα, παρακαλῶ, φύγωμεν, ἵνα καὶ τὰ ἄλλα φυγεῖν δυνηθῶμεν κακὰ, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

γ. ἱμάτια

γ. τῶν

γ. νόσοις περιέπεσον τες

γ. καὶ εἰς τόπους πολλάκις, οὓς ἰδεῖν, κίονας καὶ λίθους πολυτίμους, καὶ

γ. φυγεῖν,

Λογ. γ. 15 ΔΙΑ ΤΟΥΤΟ ΚΑ'ΓΩ ΑΚΟΥΣΑΣ ΤΗΝ ΚΑΘ' ὑμᾶς πίστιν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, 16 Οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, 17 Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ· 18 Πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, 19 Ἡ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ

κράτους τῆς ἰσχύος αὐτοῦ, 20 Ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν.

Οὐδὲν ἦν ἴσον τῶν σπλάγχνων τῶν ἀποστολικῶν, οὐδὲν ὅμοιον τῆς συμπαθείας καὶ τῆς φιλοστοργίας ἐγένετο τῆς τοῦ μακαρίου Παύλου, ὃς πάσας αὐτοῦ τὰς εὐχὰς ὑπὲρ πόλεων ὁλοκλήρων ἐποιεῖτο καὶ δήμων. καὶ πᾶσι τοῦτο γράφει, ὅτι εὐχαριστῶ τῷ Θεῷ ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου. ἐννοήσατε ὅσους εἶχεν ἐν τῇ διανοίᾳ, ὧν καὶ μνησθῆναι ἔργον ἦν· ὅσων ἐμέμνητο ἐν ταῖς εὐχαῖς, ὑπὲρ ἁπάντων εὐχαριστῶν τῷ Θεῷ, ὡς αὐτὸς τὰ μέγιστα εὐεργετούμενος. διὰ τοῦτό, φησι, τουτέστι, διὰ τὸ μέλλον, καὶ τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ὀρθῶς πιστεύουσι καὶ βιοῦσιν. ἄξιον μὲν οὖν εὐχαριστεῖν τῷ Θεῷ καὶ ὑπὲρ πάντων τῶν ὑπηργμένων παρ' αὐτοῦ τῷ τῶν ἀνθρώπων γένει, καὶ περὶ τούτου, καὶ μετὰ ταῦτα· ἄξιον δὲ εὐχαριστεῖν αὐτῷ καὶ ὑπὲρ τῆς πίστεως τῶν πιστευόντων. ἀκούσας, φησί, τὴν πίστιν τὴν καθ' ὑμᾶς διὰ τοῦ Χριστοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους. πανταχοῦ συνάπτει καὶ συγκολλᾷ τὴν πίστιν καὶ τὴν ἀγάπην, θαυμαστήν τινα ξυνωρίδα. οὐ τοὺς ἐπιχωρίους φησὶ μόνον, ἀλλὰ καὶ πάντας. οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου. τί δέῃ, καὶ τί παρακαλεῖς; ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως. δύο ἄξιοι αὐτοὺς μαθεῖν, ὡς χρὴ μαθεῖν, ἐπὶ τίσιν ἐκλήθησαν, καὶ πῶς ἀπηλλάγησαν τῶν προτέρων. φησὶ δὲ αὐτὸς αὐτὰ τρία εἶναι. πῶς οὖν ἐστι τρία; * περὶ τῶν μελλόντων ἂν μάθωμεν. [* ἢ] ἀπὸ μὲν γὰρ τῶν ἀποκειμένων ἀγαθῶν τὸν ἄρρητον καὶ ὑπερφυῆ πλοῦτον αὐτοῦ εἰσόμεθα· [χ. ἵνα] ἀπὸ δὲ τοῦ μαθεῖν τίνες ὄντες πῶς ἐπιστεύσαμεν, τὴν δύναμιν αὐτοῦ καὶ τὴν αὐθεντίαν τοῦ τοὺς ἐπὶ τοσούτῳ χρόνῳ ἀλλοτριωθέντας ἐπιστρέψαι. [χ. πίω] τὸ γὰρ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. ἀπὸ γὰρ τῆς αὐτῆς δυνάμεως, ἀφ' ἧς τὸν Χριστὸν ἤγειρε, καὶ ἡμᾶς εἵλκυσε πρὸς ἑαυτόν. καὶ οὐ μέχρι τῆς ἀναστάσεως ἡ δύναμις, ἀλλὰ καὶ πολλῷ πλέον· Καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ,

21 Ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου·

22 Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ,

23 Ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

Μεγάλων ὄντως μυστηρίων καὶ ἀπορρήτων ἡμᾶς ἐποίησε κοινωνούς. καὶ ταῦτα ἄλλως οὐκ ἔνι μαθεῖν, * ἢ πνεύματος μετέχοντας ἁγίου, καὶ πολλῆς ἀπολαύοντας χάριτος. [* ἀλλ'] διὰ τοῦτο καὶ Παῦλος οὕτως εὔχεται· ὁ πατὴρ τῆς δόξης, φησί, τουτέστιν, ὁ μεγάλα ἡμῖν δεδωκὼς ἀγαθά. [β. Κορ. α. γ.] ἀπὸ γὰρ τῶν ὑποκειμένων ἀεὶ αὐτὸν καλεῖ, ὡς ὅταν λέγῃ· Ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς [Ψαλμ. ιζ. α.] πάσης παρακλήσεως. καὶ πάλιν ὁ προφήτης, Κύριος ἰσχύς μου, καὶ βοηθός μου. ὁ πατὴρ τῆς δόξης. οὐκ ἔχει ἐπ' ὀνόματος αὐτὰ παραστῆσαι, καὶ πανταχοῦ δόξαν καλεῖ, ὅπερ πάσης ἐστὶ λαμπρότητος παρ' ἡμῖν ὄνομα καὶ προσηγορία. ἰδοὺ τῆς δόξης, φησί, πατήρ, τοῦ δὲ Χριστοῦ, Θεός. τί οὖν; ἐλάττων τῆς δόξης ὁ υἱός; ἀλλ' οὐδεὶς οὐδὲ ἂν μαινόμενος εἴποι τοῦτο. δῴη ὑμῖν, τουτέστιν, ἐμβάλῃ τὴν διάνοιαν ὑμῶν καὶ ἀναπληρώσαι. οὐ γάρ ἐστιν ἄλλως ταῦτα [α. Κορ. β. ιδ.] μαθεῖν. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν. ἄρα πνευματικῆς δεῖ σοφίας, ἵνα τὰ πνευματικὰ νοήσωμεν, ἵνα τὰ κρυπτόμενα ἴδωμεν. αὐτὸ τὰ πάντα ἀποκαλύπτει, μυστήρια μέλλει διηγεῖσθαι Θεοῦ. τῶν δὲ μυστηρίων τοῦ Θεοῦ τὴν γνῶ- [α. Κορ. β. ι.] σιν τὸ πνεῦμα οἶδε μόνον, τὸ καὶ τὰ βάθη αὐτοῦ ἐρευνῶν. οὐκ ἀγγέλους, οὐκ ἀρχαγγέλους, οὐκ

ἀλλά τις κυρία δύναμις ζωῆς, τουτέστι, χάρισμα ὑμῖν παρέχει. εἰ δὲ ἀποκαλύψεως ὑπό ἐστι, περιττὴ λοιπὸν τῶν λογισμῶν ἡ εὕρεσις. ὁ γὰρ τὸν Θεὸν μαθὼν, καὶ τὸν Θεὸν γνοὺς, οὐκέτι περὶ οὐδενὸς ἀμφισβητήσει· οὐκ ἐρεῖ τόδε ἀδύνατον, καὶ τόδε δυνατὸν, καὶ πῶς τόδε ἐγένετο. ἂν τὸν Θεὸν μάθωμεν, ὡς εἰδέναι χρὴ, ἂν τὸν Θεὸν μάθωμεν παρ' οὗ μαθεῖν δεῖ, παρ' αὐτοῦ τοῦ πνεύματος, οὐκέτι περὶ οὐδενὸς ἀμφισβητήσομεν. διὰ τοῦτό φησιν, ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν. ὁ μαθὼν τί ἐστι Θεὸς, οὐχ ὑπὲρ τῶν ἐπαγγελιῶν ἀμφισβητήσει, οὐχ ὑπὲρ τῶν ἤδη γενομένων ἀπιστήσει. εὔχεται μὲν δοθῆναι αὐτοῖς πνεῦμα σοφίας καὶ ἀποκαλύψεως. πλὴν καὶ αὐτὸς ἀπὸ λογισμῶν, ὅσα δύναται, κατασκευάζει, καὶ ἀπὸ τῶν ἤδη ὑπαρξάντων. ἐπειδὴ γὰρ τὰ μὲν ἤδη γενόμενα ἔμελλε λέγειν, τὰ δὲ οὔπω συμβάντα ἀπὸ τῶν γενομένων τὰ μὴ γενόμενα πιστοῦται. διὸ τί λέγω· Εἰς τὸ εἰδέναι ὑμᾶς, φησὶ, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ. ἔτι ἄδηλος ἐστὶ, φησὶν, ἀλλ' οὐ τοῖς πιστοῖς. καὶ τίς ὁ πλοῦτος τῆς δόξης αὐτοῦ τῆς κληρονομίας ἐν τοῖς ἁγίοις. ἔτι καὶ τοῦτο ἄδηλον. τί δὲ δῆλον; ἐπειδὴ ἰσχύσαμεν ἀπὸ τῆς δυνάμεως τῆς αὐτοῦ, ὅτι ἤγειρε τὸν Χριστόν. τοῦ γὰρ ἀναστῆσαι νεκρὸν πολλῷ θαυμασιώτερον τὸ πεῖσαι ψυχάς. καὶ πῶς; ἐγὼ τοῦτο πειράσομαι ποιῆσαι φανερόν. ἄκουε γάρ. εἶπεν ὁ Χριστὸς τῷ τεθνεῶτι, Λάζαρε, δεῦρο ἔξω, καὶ εὐθέως ὑπήκουσεν. εἶπεν ὁ Πέτρος Ταβιθᾶ, ἀνάστηθι, καὶ οὐκ ἀντεῖπεν. ἐρεῖ αὐτὸς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ, καὶ πάντες ἀναστήσονται, καὶ μετὰ τοσούτου τάχους, ὡς τοὺς ἔτι ζῶντας μὴ φθάσαι τοὺς κοιμηθέντας, ὡς ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ πάντα γενέσθαι καὶ συνδραμεῖν. ἐπὶ δὲ τοῦ πιστεῦσαι, οὐχ οὕτως. ἀλλὰ πῶς; ἄκουε αὐτοῦ πάλιν λέγοντος, Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε; ὁρᾷς ὅτι τοῦτο δυσκολώτερον; ὥστε ἀπὸ τούτου τὸ πᾶν κατασκευάζει. πολλῷ γάρ ἐστι λογισμοὺς ἀνθρωπίνους δυσκολώτερον προαίρεσιν πεῖσαι τοῦ φύσιν ἐργάσασθαι. τὸ δὲ αἴτιον, ἐπειδὴ αὐτὸς οὕτω βούλεται ἑκόντας ἡμᾶς γενέσθαι ἀγαθούς. οὕτως εἰκότως εἶπε τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας. ὅτι γὰρ προφῆται οὐδὲν ἤνυσαν, ὅτι ἄγγελοι καὶ ἀρχάγγελοι, ὅτε πᾶσα κτίσις ἡ ὁρατὴ, καὶ ἀόρατος, [ὁρατὴ μὲν εἰς μέσον προεκειμένη, καὶ μὴ ἰσχύουσα χειραγωγῆσαι, ἀόρατος δὲ πολλὴ,] ὑπομιμνήσκει τὴν αὐτοῦ παρουσίαν τότε, δεικνὺς ὅτι θείας ἐχρῆζε τὸ πρᾶγμα δυνάμεως. πλοῦτον δόξης. τουτέστιν, ἄφατον δόξαν. ποῖος γὰρ λόγος τὴν δόξαν ἐκείνην παραστῆσαι δυνήσεται, ἧς οἱ ἅγιοι τότε μεθέξουσιν; οὐδείς· ἀλλὰ χάριτος ὄντως δεῖ πρὸς τὸ τὴν διάνοιαν μαθεῖν καὶ ὅλως ἀκτῖνα μικρὰν γνῶναι, ἵνα δέξασθαι. ἵνα μὲν γὰρ ᾔδεσαν καὶ πρότερον, ἐβούλετο δὲ νῦν πλέον αὐτοὺς μαθεῖν καὶ σαφέστερον γνῶναι. ὁρᾷς ὅσα εἰργάσατο; ἤγειρε τὸν Χριστόν. μικρὸν τοῦτο; ἀλλ' ὅρα καὶ πάλιν. ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ. ἆρα τίς λόγος τοῦτο παραστῆσαι δυνήσεται; τὸν ἀπὸ τῆς γῆς, τὸν τῶν ἰχθύων ἀφωνότερον, τὸ παίγνιον τῶν δαιμόνων γενόμενον εἰς ὕψος εὐθέως ἀνήγαγεν. ὄντως ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ. καὶ ποῦ ἀνήγαγεν. ἐν τοῖς ἐπουρανίοις πάσης κτίσεως ἀνώτερον ἐποίησεν, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας. ὑπεράνω πάσης ἀρχῆς, φησίν. ὄντως πνεύματος χρεία, παρρησίας σοφῆς. ἐν τῇ ἐπιγνώσει αὐτοῦ. ὄντως ἀποκαλύψεως χρεία. ἐννόησον ὅσον ἐστὶν ἀνθρώπου καὶ Θεοῦ φύσεως τὸ μέσον. ἀπὸ ταύτης τῆς εὐτελείας εἰς ἐκείνην αὐτὸν ἀνήγαγε τὴν τιμήν. οὐχ ἕνα βαθμὸν ὑπερέβη, καὶ δεύτερον, καὶ τρίτον. βαβαὶ, οὐχ ἁπλῶς εἶπεν, ἄνω, ἀλλ', ὑπεράνω. τῶν γὰρ ἄνω δυνάμεων ἀνώτερός ἐστιν ὁ Θεός. ὥστε ἐκεῖ αὐτὸν ἀνήγαγε, τὸν ἐξ ἡμῶν, ἀπὸ τῆς ἐσχάτης ὑφέσεως εἰς τὴν ἐσχάτην ἤγαγεν ἀρχὴν, μεθ' ἣν οὐκ ἔστιν ἑτέρα τιμή. πάσης ἀρχῆς, φησίν. οὐ τῆς μὲν, τῆς δὲ οὒ, ἀλλὰ πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου. εἴ τί ἐστιν ἐν τῷ οὐρανῷ, πάντων ἀνώτερος γέγονε. τοῦτο περὶ τοῦ ἐκ νεκρῶν ἐγερθέντος, ὅπερ ἄξιον θαυμάσαι. περὶ γὰρ τοῦ Θεοῦ

Marginal notes (left): χ. αὐτῶν — χ. αὐτῇ — χ. ὄντας — χ. ἀνώτερον — χ. ἀνώτερος

Marginal notes (right): Ιωαν. ια. μγ. — Πραξ. θ. μ. — Λουκ. ιγ. λδ.

Λόγου,

Λόγου, οὐδαμῶς. ὅπερ γάρ εἰσι κώνωπες πρὸς ἀνθρώπους, τοῦτο πᾶσα ἡ κτίσις πρὸς τὸν Θεόν. καὶ τί λέγω, κώνωπες; εἰ πάντες ἄνθρωποι ὡς σίελος λογισθήσονται, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, θὲς τὰς ἀοράτους δυνάμεις ὡς κώνωπας. οὐ τοίνυν περὶ τοῦ Θεοῦ Λόγου οὕτως εἶπεν, ἀλλὰ περὶ τοῦ ἐξ ἡμῶν. τοῦτο μέγα ὄντως καὶ θαυμαστόν. ἀπὸ γὰρ τῶν κατωτάτων τῆς γῆς αὐτὸν ἀνήγαγεν. εἰ πάντα τὰ ἔθνη ὡς σταγών, εἷς ἄνθρωπος πόσον ἄρα μέρος τῆς σταγόνος; ἀλλὰ τοῦτον πάντων ἀνώτερον ἐποίησεν. οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. ἄρα ἐστὶ δυνάμεών τινων ὀνόματα ἡμῖν ἄσημα, καὶ οὐ γνωριζόμενα. καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. οὐχ ἁπλῶς ἀνώτερον ἐποίησεν, ὡς προτιμᾶσθαι αὐτῶν, οὐδὲ κατὰ σύγκρισιν, ἀλλ' ὡς δούλων προτιμᾶσθαι. βαβαί, φρικτὰ ὄντως τὰ πράγματα, ἀνθρώπου γένους δούλη πᾶσα ἡ κτιστὴ δύναμις διὰ τὸν ἐνοικοῦντα Θεὸν Λόγον. ἔστι γάρ τινα ἐπάνω εἶναι οὐκ ἔχοντα ὑπακούοντας, ἀλλὰ προτιμώμενον. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ οὐχ ἁπλῶς ὑπέταξεν, ἀλλὰ τὴν ἐσχάτην ὑποταγήν, καὶ μεθ' ἣν ἑτέρα οὐκ ἔστι. διὰ τοῦτο εἶπεν, ὑπὸ τοὺς πόδας. καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ. βαβαί, ποῦ πάλιν καὶ τὴν ἐκκλησίαν ἀνήγαγεν; ὥσπερ διά τινος ἕλκων μηχανῆς, εἰς ὕψος αὐτὴν ἀνήγαγε μέγα, καὶ αὐτὴν ἐκάθισεν εἰς ἐκεῖνον τὸν θρόνον. ἔνθα γὰρ ἡ κεφαλή, ἐκεῖ καὶ τὸ σῶμα. οὐδενὶ γὰρ μέσῳ διείργεται ἡ κεφαλή, καὶ τὸ σῶμα. εἰ γὰρ διείργετο, οὐκ ἂν εἴη σῶμα, οὐκ ἂν εἴη κεφαλή. ὑπὲρ πάντα, φησί. τί ἐστιν, ὑπὲρ πάντα; [ἢ τὸν ὄντα ὑπὲρ πάντα τὰ ὁρώμενα, καὶ τὰ νοούμενα Χριστόν· ἢ ὑπὲρ πάντα τὰ ἀγαθὰ τοῦτο πεποίηκε, τὸ τὸν υἱὸν δοῦναι κεφαλήν.] οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον, οὐκ ἄλλον οὐδένα ἀφῆκεν ἀνώτερον. οὐ ταύτῃ δὲ μόνον ἡμᾶς ἐτίμησε, τὸ ἐξ ἡμῶν ἀναγαγών, ἀλλ' ὅτι καὶ τὸ κοινὸν γένος ἅπαν ἐκείνῳ ἐπεσθαι παρεσκεύασεν, ἐκείνου ἔχεσθαι, ἐκείνῳ ἀκολουθεῖν. ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ. ἵνα [γὰρ] μὴ ἀκούσας κεφαλήν, τὴν ἀρχὴν μόνον νομίσῃς, ἀλλὰ καὶ τὴν βεβαιότητα, μηδὲ ὡς ἄρχοντα μόνον, ἀλλ' ὡς σώματος ἰδίας κεφαλήν, τὸ πλήρωμα, φησί, τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. ὡς οὐκ ἀρκοῦντος τούτου δεῖξαι τὴν συγγένειαν καὶ τὴν ἐγγύτητα, τί φησι; τὸ πλήρωμα τοῦ Χριστοῦ ἡ ἐκκλησία. καὶ γὰρ πλήρωμα κεφαλῆς, σῶμα, καὶ πλήρωμα σώματος, κεφαλή. ὅρα πόσῃ τάξει κέχρηται Παῦλος, πῶς οὐδενὸς φείδεται ῥήματος, ὥστε παραστῆσαι τοῦ Θεοῦ τὴν δόξαν. πλήρωμά φησι, τουτέστιν, οἷον κεφαλὴ πληροῦται παρὰ τοῦ σώματος. διὰ γὰρ πάντων μερῶν τὸ σῶμα συνέστηκε, καὶ ἑνὸς ἑκάστου χρῄζει. ὅρα πῶς αὐτὸν κοινῇ πάντων χρῄζοντα εἰσάγει. ἂν γὰρ μὴ ὦμεν πολλοί, καὶ ὁ μὲν χείρ, ὁ δὲ πούς, ὁ δὲ ἄλλο τι μέρος, οὐ πληροῦται ὅλον τὸ σῶμα. διὰ πάντων οὖν πληροῦται τὸ σῶμα αὐτοῦ. τότε πληροῦται ἡ κεφαλή, τότε τέλειον σῶμα γίνεται, ὅταν ὁμοῦ πάντες ὦμεν συνημμένοι καὶ συγκεκολλημένοι. εἶδες πλοῦτον δόξης κληρονομίας; εἶδες ὑπερβάλλον μέγεθος δυνάμεως εἰς τοὺς πιστεύοντας; εἶδες ἐλπίδα κλήσεως;

ΗΘΙΚΟΝ Αἰδεσθῶμεν ἡμῶν τὴν κεφαλήν, ἐννοήσωμεν τίνος ἐσμὲν σῶμα κεφαλῆς, ᾗ πάντα ὑποτέτακται. καὶ τῶν ἀγγέλων κατὰ τοῦτο τὸ ὑπόδειγμα βελτίους ἡμᾶς εἶναι χρή, καὶ τῶν ἀρχαγγέλων μείζους, ὡς πάντων αὐτῶν προτετιμημένους. οὐκ ἀγγέλων ἐπελάβετο ὁ Θεός, καθὼς γράφων Ἑβραίοις φησίν, ἀλλὰ σπέρματος Ἀβραάμ· (Εβρ. β. ις.) οὐκ ἀρχῆς, οὐδὲ ἐξουσίας, οὐδὲ κυριότητος, οὐδὲ ἄλλης οὐδεμιᾶς δυνάμεως, ἀλλὰ τὴν ἡμετέραν φύσιν ἀνέλαβε, καὶ ἐκάθισεν ἄνω. καὶ τί λέγω, ἐκάθισεν; ἱμάτιον αὐτοῦ ἐποίησεν, καὶ οὐχ ἁπλῶς, ἀλλ' ὑπὸ τοὺς πόδας αὐτοῦ πάντα ὑπέταξε. πόσους βούλει θεῖναι θανάτους; πόσας ψυχάς; μυρίους καὶ πολλαπλασίους; ἀλλ' οὐδὲν ἴσον ἔργοις. δύο γὰρ τὰ μέγιστα πεποίηκεν, αὐτός τε εἰς ἔσχατον ταπεινότητος ἦλθε, καὶ τὸν ἄνθρωπον εἰς μέγα ὑψηλότητος ἀνήγαγε*. εἶπεν ἐκεῖνο πρότερον, ὅτι ἑαυτὸν ἐταπείνωσε τοσοῦτον· λέγει τὸ τούτου ὑψηλότερον νῦν, τὸ μέγα ὄντως, καὶ τὸ κεφάλαιον. καίτοι εἰ καὶ μηδενὸς ἠξιώθημεν,

* ἐκάθισεν γὰρ αὐτόν, φησίν, ἐν δεξιᾷ αὐτοῦ.

ἠξιώθημεν, ἤρκει· ἢ καὶ τούτου εἰ ἠξιώθημεν, χωρὶς τοῦ σφάξαι ἤρκει. ὅταν δὲ τὰ δύο ᾖ, τίνα οὐκ ἂν ὑπερβολὴν λόγου νικήσειε καὶ ὑπερβαίη; οὐ μέγα ἡ ἀνάστασις, ὅταν ταῦτα λογίσωμαι. περὶ τούτου φησὶν ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐ περὶ τοῦ Θεοῦ Λόγου. αἰδεσθῶμεν τὴν ἐγγύτητα τῆς συγγενείας, φοβηθῶμεν μή τις ἀποκοπῇ τοῦ σώματος τούτου, μή τις ἐκπέσῃ, μή τις ἀνάξιος φανῇ. εἰ διάδημά τις ἡμῶν περιέθηκε τῇ κεφαλῇ, στέφανον χρυσοῦν, ἆρα οὐκ ἂν πάντα ἐπεπράξαμεν, ὥστε τῶν ἀψύχων λίθων ἐφθῆναι ἄξιοι; νῦν δὲ οὐ διάδημα ἡμῶν περίκειται τῇ κεφαλῇ, ἀλλὰ κεφαλὴ ἡμῶν γέγονεν ὁ Χριστὸς, ὅπερ ἐστὶ μεῖζον, καὶ οὐδένα λόγον ποιούμεθα. ἄγγελοι μὲν αὐτὴν αἰδοῦνται, καὶ ἀρχάγγελοι, καὶ πᾶσαι ἐκεῖναι αἱ δυνάμεις· ἡμεῖς δὲ, τὸ σῶμα αὐτοῦ ὄντες, οὔτε διὰ τοῦτο, οὔτε δι' ἐκεῖνο αἰδεσθησόμεθα; καὶ τίς ἡμῖν ἔσται σωτηρίας ἐλπίς; ἐννόει τὸν θρόνον τὸν βασιλικὸν, ἐννόει τῆς τιμῆς τὴν ὑπερβολήν. τοῦτο καὶ γεέννης, εἴγε βουλοίμεθα, μᾶλλον ἡμᾶς φοβῆσαι δυνήσεται. εἰ γὰρ μὴ γέεννα ἦν, τὸ τιμῆς τυχεῖν τοσαύτης τιμῆς, ἀναξίους εὑρεθῆναι καὶ κακοὺς, ἵνα οὐκ ἂν ἔχοι κόλασιν; τίνα τιμωρίαν; ἐννόησον τίνος ἐστὶν ἡ κεφαλὴ σου καθῆσθαι (τοῦτο μόνον καὶ ἀπόχρη πρὸς τὴν ὁποιανοῦν) τίνος ἐν δεξιᾷ ἵδρυται. ἀλλ' αὕτη μὲν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως· τὸ δὲ ταύτης σῶμα καὶ ὑπὸ δαιμόνων πατεῖται. ἀλλὰ μὴ γένοιτο. εἰ γὰρ γένοιτο, οὐκ ἂν εἴη τὸ τοιοῦτον σῶμα λοιπόν. τὴν κεφαλήν σου καὶ οἱ εὐδοκιμοῦντες τῶν δούλων τετιμήκασι, καὶ τὸ σῶμα τοῖς προσκεκρουκόσιν ὑποβάλλεις; καὶ πόσης οὐκ ἔσῃ κολάσεως ἄξιος; εἴ τις τοὺς πόδας τοῦ βασιλέως κλοιοῖς περιβάλοι καὶ πέδαις, ἆρα οὐχὶ τῆς ἐσχάτης δίκης ὑπεύθυνος ἔσται; σὺ ὅλον τὸ σῶμα θηρίοις παραβάλλεις χαλεποῖς, καὶ οὐ φρίττεις; ἀλλ' ἐπειδὴ περὶ σώματος Κυριακοῦ ὁ λόγος, φέρε, καὶ περὶ ἐκείνου μνημονεύσωμεν, τοῦ σταυρωθέντος, τοῦ προσηλωθέντος, τοῦ θυομένου. εἰ σῶμα εἶ τοῦ Χριστοῦ, φέρε τὸν σταυρὸν (καὶ γὰρ ἐκεῖνος ἤνεγκε) φέρε ἐμπτύσματα, φέρε ῥαπίσματα, φέρε ἥλους. τοιοῦτον ἐκεῖνο τὸ σῶμα ἦν, τὸ σῶμα ἐκεῖνο ἀναμάρτητον ἦν. Ἁμαρτίαν γὰρ, φησὶν, οὐκ ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ εὑρέθη. αἱ χεῖρες αὐτοῦ πρὸς εὐεργεσίαν ἅπαντα ἔπραττον τῶν δεομένων· οὐδὲν τὸ στόμα ἐξέβαλε τῶν οὐ προσηκόντων. Δαιμόνιον ἔχεις, ἤκουσε, καὶ οὐδὲν ἀντεῖπεν. ἐπειδὴ δὲ περὶ σώματος ἡμῖν ὁ λόγος, ὅσοι μετέχομεν τοῦ σώματος, ὅσοι τοῦ αἵματος ἀπογευόμεθα τούτου, ἐννοεῖτε ὅτι τοῦ μηδὲν ἐκείνου διαφέροντος, οὐδὲ διεστῶτος μετέχομεν [πρὸς μετοχήν], ὅτι ἐκείνου τοῦ ἄνω καθημένου, τοῦ προσκυνουμένου παρὰ ἀγγέλων, τοῦ τῆς ἀκηράτου δυνάμεως ἐγγὺς, τούτου ἀπογευόμεθα. οἴμοι, πόσαι πρὸς σωτηρίαν ἡμῖν ὁδοί; σῶμα ἡμᾶς ἑαυτοῦ ἐποίησε, σῶμα ἡμῖν τὸ ἑαυτοῦ μετέδωκε, καὶ οὐδὲν τούτων ἡμᾶς ἀποτρέπει τῶν κακῶν. ὢ τοῦ σκότους, καὶ τοῦ βυθοῦ τοῦ πολλοῦ, ὢ τῆς ἀναλγησίας. Τὰ ἄνω, φησὶ, φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· καὶ μετὰ ταῦτα χρημάτων φροντίζουσί τινες, ἕτεροι ὑπὸ τῶν παθῶν ἁλίσκονται. οὐχ ὁρᾶτε, ὅτι καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ, ὅσα μὲν ἂν ᾖ περιττὰ καὶ ἄχρηστα, ἀποτέμνεται, (περιττὰ δὲ) καὶ οὐδὲν κέρδος, ὅτι γέγονε τοῦ σώματος, ὅταν πεπηρωμένον ᾖ, ὅταν νενεκρωμένον, ὅταν σεσηπὸς, ὅταν καὶ τὸ λοιπὸν λυμαίνηται; μὴ τοίνυν θαρρῶμεν, ὅτι γεγόναμεν ἅπαξ τοῦ σώματος. εἰ δὲ τὸ σῶμα τοῦτο φυσικὸν ὂν, ὅμως ἀποτέμνεται, τὰ τῆς προαιρέσεως ἂν μὴ μένῃ, τί οὐ πείσεται δεινόν; ὅταν μὴ μετέχῃ τῆς τροφῆς ταύτης τὸ σῶμα, ὅταν οἱ πόροι ἐμφραγῶσι, τότε νεκροῦται· ὅταν οἱ ὀχετοὶ, τότε πηροῦται· οὕτω καὶ ἡμεῖς, ὅταν ἀποφράξωμεν τὰς ἀκοὰς, πηροῦται ἡμῶν ἡ ψυχή· ὅταν μὴ μετέχωμεν τῆς πνευματικῆς τροφῆς, ὅταν πονηρίαι τινὲς αὐτὴν χυμῶν διεφθαρμένων ἡμᾶς λυμαίνωνται, πάντα ταῦτα τίκτει τὴν νόσον, νόσον χαλεπὴν, νόσον ~~τηκεδόνα ἐργαζομένην~~· καὶ δεήσεται τοῦ πυρὸς ἐκείνου λοιπὸν, δεήσεται τοῦ διχοτομηθῆναι. οὐ γὰρ ἀνέχεται μετὰ τοιούτου σώματος εἰσελθεῖν εἰς τὸν νυμφῶνα ὁ Χριστός. εἰ τὸν ἱμάτια ῥυπαρὰ ἐνδεδυμένον ἀπήγαγε καὶ ἐξέβαλε, τὸν τῷ σώματι

Ησ. νγ. θ.

Ιωαν. ζ. κ.

γρ. κακοῦ

Κολασ. γ. α.

γρ. σηπεδόνα

ματι ῥύπον προστιθέντα τί οὐκ ἐργάσεται; τί οὖν διαθήσει; πολλοὺς ὁρῶ τοῦ σώματος τοῦ Χριστοῦ μετέχοντας ἁπλῶς, καὶ ὡς ἔτυχε, καὶ συνηθείᾳ μᾶλλον καὶ νόμῳ, ἢ λογισμῷ καὶ διανοίᾳ. ἂν ἐπιστῇ, φησὶν, ὁ τῆς ἁγίας τεσσαρακοστῆς καιρὸς, οἷος ἂν ᾖ τις, μετέχει τῶν μυστηρίων, ἂν ἐπιστῇ τῶν ἐπιφανίων ἡμέρα. καίτοι καιρὸς οὐ τοῦτο προσόδου. οὐ γὰρ ἐπιφάνια, οὐδὲ τεσσαρακοστὴ ποιεῖ ἀξίους τοῦ προσιέναι, ἀλλὰ ψυχῆς εἰλικρίνεια, καὶ καθαρότης. μετὰ ταύτης ἀεὶ πρόσιθι, χωρὶς ταύτης μηδέποτε. Ὁσάκις γὰρ, φησὶ, τοῦτο ποιεῖτε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, τουτέστιν, ἀνάμνησιν ποιεῖτε τῆς σωτηρίας τῆς ὑπὲρ ὑμῶν, τῆς εὐεργεσίας τῆς ἐμῆς. ἐννόησον, οἱ τῆς θυσίας μετέχοντες τῆς παλαιᾶς πόσῃ ἐκέχρηντο τῇ φειδοῖ. τί γὰρ οὐκ ἔπραττον; τί δὲ οὐκ ἐποίουν; πάντοτε ἐκαθαίροντο. σὺ δὲ θυσίᾳ προσιὼν, ἣν καὶ ἄγγελοι φρίττουσι, χρόνων περιόδοις τὸ πρᾶγμα ὁρίζεις; καὶ πῶς παραστήσῃ τῷ βήματι τοῦ Χριστοῦ, μιαραῖς χερσὶ καὶ χείλεσι κατατολμῶν αὐτοῦ τοῦ σώματος; καὶ βασιλέα μὲν οὐκ ἂν ἕλοιο καταφιλῆσαι, ὀδωδότος σου τοῦ στόματος, τὸν δὲ βασιλέα τοῦ οὐρανοῦ ψυχῇ καταφιλεῖς ὀδωδυίᾳ; ὕβρις τὸ πρᾶγμά ἐστιν. Εἰπέ μοι, ἆρα ἂν ἕλοιο χερσὶν ἀνίπτοις τῇ θυσίᾳ προσελθεῖν; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐθέλοις ἂν μηδὲ ὅλως προσελθεῖν, ἢ ῥυπαραῖς χερσίν. εἶτα ἐν τῷ μικρῷ οὕτως ὢν εὐλαβὴς, ψυχὴν ἔχων ῥυπαρὰν προσέρχῃ, καὶ ἅπτεσθαι τολμᾷς; καίτοι ὑπὸ μὲν τῶν χειρῶν πρὸς καιρὸν κατέχεται, εἰς δὲ ἐκείνην ὁλόκληρος ἀναλύεται. τί δὲ, οὐχ ὁρᾷς τὰ σκεύη οὕτω περικλυζόμενα; οὕτως ἀπολάμποντα; τούτων καθαρωτέρας ἡμῖν εἶναι δεῖ τὰς ψυχὰς, τούτων ἁγιωτέρας καὶ λαμπροτέρας. τί δήποτε; ὅτι ἐκεῖνα δι' ἡμᾶς τοιαῦτα γίνεται. ἐκεῖνα οὐ μετέχει τοῦ ἐνόντος, οὐκ αἰσθάνεται· ἡμεῖς δὲ, ναί. νῦν δὲ, ῥυπαρῷ μὲν οὐκ ἂν ἕλοιο χρήσασθαι σκεύει, ῥυπαρᾷ δὲ ψυχῇ προσέρχῃ*; πολλὴν ὁρῶ τοῦ πράγματος τὴν ἀνωμαλίαν. ἐν μὲν τοῖς ἄλλοις καιροῖς οὐδὲ καθαροὶ πολλάκις ὄντες προσέρχεσθε, ἐν δὲ τῷ πάσχα, κἂν ᾖ τι τετολμημένον ὑμῖν, πρόσιτε. ὢ τῆς συνηθείας, ὢ τῆς προλήψεως, εἰκῇ θυσία καθημερινὴ, εἰκῇ παρεστήκαμεν τῷ θυσιαστηρίῳ, οὐδεὶς ὁ μετέχων. ταῦτα οὐχ ἵνα ἁπλῶς μετέχητε, λέγω, ἀλλ' ἵνα ἀξίους ἑαυτοὺς κατασκευάζητε. οὐκ εἶ τῆς θυσίας ἄξιος, οὐδὲ τῆς μεταλήψεως; οὐκοῦν οὐδὲ τῆς εὐχῆς. ἀκούεις ἑστῶτος τοῦ κήρυκος, καὶ λέγοντος, ὅσοι ἐν μετανοίᾳ, ἀπέλθετε πάντες. ὅσοι μὴ μετέχουσιν, ἐν μετανοίᾳ εἰσίν. * εἰ τῶν ἐν μετανοίᾳ εἶ, μεταλαβεῖν οὐκ ὀφείλεις. ὁ γὰρ μὴ μετέχων, τῶν ἐν μετανοίᾳ ἐστί. τίνος οὖν ἕνεκεν λέγει, ἀπέλθετε οἱ μὴ δυνάμενοι δεηθῆναι; σὺ δὲ ἕστηκας ἰταμῶς; ἀλλ' οὐκ εἶ τούτων, ἀλλὰ τῶν δυναμένων μετέχειν, καὶ * οὐδὲν φροντίζεις, οὐδὲν ἡγῇ τὸ πρᾶγμα. σκόπει, παρακαλῶ· τράπεζα πάρεστι βασιλικὴ, ἄγγελοι διακονούμενοι τῇ τραπέζῃ, αὐτὸς πάρεστιν ὁ βασιλεὺς, καὶ σὺ ἕστηκας χασμώμενος; ῥυπαρά σοι τὰ ἱμάτια, καὶ οὐδείς σοι λόγος; ἀλλὰ καθαρά ἐστιν; οὐκοῦν ἀνάπεσον, καὶ μέτεχε. ἔρχεται καθ' ἑκάστην ἰδεῖν τοὺς ἀνακειμένους, πᾶσι διαλέγεται· καὶ νῦν ἐν τῷ συνειδότι ἐρεῖ, ἑταῖροι, πῶς ἑστήκατε ὧδε, μὴ ἔχοντες ἔνδυμα γάμου; οὐκ εἶπε, διὰ τί ἀνέπεσες, ἀλλὰ πρὸ τῆς κατακλίσεως καὶ τῆς εἰσόδου ἀνάξιον αὐτὸν εἶναί φησιν. οὐ γὰρ εἶπε, διὰ τί κατεκλίθης, ἀλλὰ, τί εἰσῆλθες; ταῦτα καὶ νῦν πρὸς ἅπαντας ἡμᾶς διαλέγεται τοὺς ἀναισχύντως καὶ ἰταμῶς ἑστῶτας. πᾶς γὰρ ὁ μὴ μετέχων τῶν μυστηρίων, ἀναίσχυντος καὶ ἰταμῶς ἑστηκώς. διὰ τοῦτο πρότεροι ἐκβάλλονται οἱ ἐν ἁμαρτήμασι. καθάπερ γὰρ ἐπὶ τραπέζης παραγινομένου τοῦ δεσπότου οὐ δεῖ τοὺς προσκεκρουκότας τῶν οἰκετῶν παρεῖναι, ἀλλ' ἐκποδὼν γίνονται· οὕτω δὴ καὶ ἐνταῦθα, ἐκφερομένης τῆς θυσίας, καὶ τοῦ Χριστοῦ τεθυμένου, καὶ τοῦ προβάτου τοῦ δεσποτικοῦ, ὅταν ἀκούσῃς, δεηθῶμεν πάντες κοινῇ, ὅταν ἴδῃς ἀνελκόμενα τὰ ἀμφίθυρα, τότε νόμισον διαστέλλεσθαι τὸν οὐρανὸν ἄνωθεν, καὶ κατιέναι τοὺς ἀγγέλους. ὥσπερ τοίνυν τῶν ἀμυήτων οὐδένα χρὴ παρεῖναι, οὕτως οὐδὲ τῶν μεμυημένων καὶ ῥυπαρῶν. Εἰπέ μοι, εἴ τις εἰς ἑστίασιν κληθεὶς, τὰς χεῖρας νίψαιτο, καὶ κατακλιθείη, καὶ ἑτοι-

μος

Marginal notes: α. Κορ. ια. κϛ. — χ. ἐπιφανίων — χ. ἡμῶν — χ. ἀλλ' ἐκείνῃ — * τῷ σώματι τοῦ Χριστοῦ; — χ. ἀπέλθετε πάντες — * τί οὖν; — * οὗτος — χ. διακονοῦνται — χ. ἑστῶτες — χ. ὁμοῦ

μος γένοιτο παρὰ τὴν τράπεζαν, εἶτα μὴ μετέχοι, οὐχ ὑβρίζει τὸν καλέσαντα; οὐ βέλτιον τὸν τοιοῦτον μηδὲ παραγενέσθαι; οὕτω δὴ καὶ σὺ παραγέγονας· τὸν ὕμνον ᾖσας μετὰ πάντων, ὡμολόγησας εἶναι τῶν ἀξίων τῷ μὴ μετὰ τῶν ἀναξίων ἀναχωρῆσαι· πῶς ἔμεινας, καὶ οὐ μετέχεις τῆς τραπέζης; ἀνάξιός εἰμι, φησίν. οὐκοῦν καὶ τῆς κοινωνίας ἐκείνης τῆς ἐν ταῖς εὐχαῖς. οὐ γὰρ διὰ τῶν προκειμένων μόνον, ἀλλὰ καὶ διὰ τῶν ᾠδῶν ἐκείνων τὸ πνεῦμα πάντοθεν κάτεισιν. οὐχ ὁρᾷς τοὺς ἡμετέρους οἰκέτας τῇ σπογγιᾷ τὴν τράπεζαν περιπλύνοντας, καὶ τὴν οἰκίαν καθαίροντας, καὶ οὕτω τοὺς πίνακας τιθέντας; τοῦτο γάρ ἐστι διὰ τῶν εὐχῶν, διὰ τῆς βοῆς τοῦ κήρυκος. ὥσπερ σπογγιᾷ περιπλυνόμεθα τὴν ἐκκλησίαν, ἵνα ἐν καθαρᾷ τῇ ἐκκλησίᾳ πάντα προτεθῇ, ἵνα μηδεὶς ᾖ σπίλος, μηδὲ ῥυτίς. ἀνάξιοι καὶ ὀφθαλμοὶ τῶν θεαμάτων τούτων, ἀνάξιαι καὶ ἀκοαί. Κἂν θηρίον, φησί, θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται. *Ἐξοδ. ιθ. ιγ.* οὕτως οὐδὲ τῆς ἐπιβάσεως ἄξιοι ἦσαν, καίτοιγε μετὰ ταῦτα καὶ προσῆλθον, καὶ εἶδον ποῦ ἑστήκει ὁ Θεός. ἔξεστι μετὰ ταῦτα προσελθεῖν, καὶ ἰδεῖν· ὅταν μέντοι παρῇ, ἄπιθι. οὐκ ἔξεστί σοι μᾶλλον, ἢ τῷ κατηχουμένῳ. οὐ γάρ ἐστιν ἴσον μηδέπω τυχεῖν μυστηρίων, καὶ μετὰ τὸ τυχεῖν προσκρούσαντα καταφρονεῖν, καὶ ἀνάξιον ἑαυτὸν καταστῆσαι τοῦ πράγματος. ἐνῆν καὶ πλείονα λέγειν, καὶ φοβερώτερα, ἀλλ' ὥστε μὴ βαρῆσαι τὴν διάνοιαν ὑμῶν, ἀρκεῖ καὶ ταῦτα. οἱ γὰρ μὴ τούτοις σωφρονιζόμενοι, οὐδὲ τοῖς πλείοσιν. ἵν' οὖν μὴ μεῖζον ὑμῖν τὸ κρίμα ἐργασώμεθα, παρακαλοῦμεν ὑμᾶς, οὐχ ἵνα μὴ παραγίνησθε, ἀλλ' ἵνα καὶ τῆς παρουσίας, καὶ τῆς προσόδου ἀξίους ἑαυτοὺς καταστήσητε. εἰπέ μοι, εἰ βασιλεύς τις ἐπέταξε, καὶ εἶπεν, εἴ τις τόδε πράττει, τῆς τραπέζης ἀπεχέτω τῆς ἐμῆς, ἆρα οὐ παρ' τοῦτο οὐκ ἂν πάντα ἐπράξατε; εἰς τοὺς οὐρανοὺς ἡμᾶς ἐκάλεσεν, εἰς τὴν τράπεζαν τοῦ βασιλέως τοῦ μεγάλου καὶ θαυμαστοῦ, καὶ ἀναδυόμεθα καὶ μέλλομεν καὶ οὐ σπεύδομεν, οὐδὲ ἐπιτρέχομεν τῷ πράγματι; καὶ τίς ἡμῖν ἔστιν ἐλπὶς σωτηρίας; οὐκ ἔστιν αἰτιάσασθαι ἀσθένειαν, *χ. ἔστιν* οὐκ ἔστιν αἰτιάσασθαι φύσιν· ῥαθυμία μόνον ἀναξίους ἡμᾶς καθίστησι. ταῦτα μὲν παρ' ἡμῶν εἴρηται· ὁ δὲ κατανύσσων καρδίας, ὁ διδοὺς πνεῦμα κατανύξεως, κατανύξῃ τὰς καρδίας ὑμῶν, καὶ ἐνθῇ εἰς βάθος τὰ σπέρματα, ὥστε ἀπὸ τοῦ φόβου αὐτοῦ λαβεῖν ἐν γαστρὶ, καὶ τεκεῖν πνεῦμα σωτηρίας, καὶ μετὰ παρρησίας παραγίνεσθαι. Οἱ υἱοί σου γάρ, φησιν, ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. *Ψαλμ. ρκζ. γ.* μηδὲν τοίνυν ἔστω παλαιόν, μηδὲν ἄγριον, μηδὲν ἀνήμερον, μηδὲν ὠμόν. τοιαῦτα γὰρ τὰ νεόφυτα πρὸς καρπόν ἐστιν ἐπιτήδεια, καρπὸν δὲ τὸν θαυμαστόν, τὸν τῆς ἐλαίας λέγω, [καὶ ἰσχυρά] ὥστε πάντας γίνεσθαι κύκλῳ τῆς τραπέζης, καὶ *χ. πάντα* μὴ εἰκῆ, μηδὲ ὡς ἔτυχεν, ἐνταῦθα συνέρχεσθαι, ἀλλὰ μετὰ φόβου καὶ δέους. οὕτω γὰρ καὶ αὐτὸν ὄψεσθε ἐκεῖ τὸν Χριστὸν μετὰ παρρησίας, καὶ τῆς οὐρανίου ἀξιωθήσεσθε βασιλείας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. δ. 1 ΚΑΙ ΥΜΑΣ ΟΝΤΑΣ ΝΕΚΡΟΥΣ ΤΟΙΣ ΠΑ- κεφ. β.
ραπτώμασι, καὶ ταῖς ἁμαρτίαις, 2 Ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας,
3 Ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί.

Εἰ

Ἔστι μὲν νέκρωσις σωματική, ἔστι δὲ καὶ ψυχική. ἀλλ᾽ ἐκείνης μὲν οὔτε ἔγκλημα μετέχειν, οὔτε κίνδυνος. φύσεως γὰρ, οὐ προαιρέσεως τὸ πρᾶγμά ἐστι. γέγονε μὲν γὰρ ἀπὸ τῆς τοῦ πρωτοπλάστου παραβάσεως, λοιπὸν δὲ εἰς φύσιν τὸ πρᾶγμα ἐξέβη, ἄλλως δὲ καὶ ταχέως λυθήσεται. (γ. ἐξίτηλον) αὕτη δὲ ἡ νέκρωσις ἡ ψυχική, προαιρέσεως οὖσα, ἔγκλημα ἔχει, καὶ λύσιν οὐδεμίαν. ὅρα τοίνυν πῶς μέγα σφόδρα ὁ Παῦλος δείξας ἤδη, ὅτι τοὺς νεκροὺς ἀναστῆσαι, τὸ ψυχὴν νενεκρωμένην ἰάσασθαι πολλῷ μεῖζόν ἐστι, καὶ νῦν, ὥσπερ μέγα, οὕτως αὐτὸ τίθησι. καὶ ὑμᾶς ὄντας, φησί, νεκροὺς τοῖς παραπτώμασι, καὶ ταῖς ἁμαρτίαις, ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας. ὁρᾷς τὸ προσηνὲς τοῦ Παύλου, καὶ πῶς πανταχοῦ παραμυθεῖται τὸν ἀκροατὴν, οὐ βαρῶν αὐτόν; ἐπειδὴ γὰρ εἶπεν, ὅτι εἰς ἔσχατον κακίας ἠλάσατε (τοῦτο γάρ ἐστι νεκρωθῆναι) ὥστε μὴ σφόδρα βαρῦναι αὐτοὺς (αἰσχύνονται γὰρ οἱ ἄνθρωποι τὴν προτέρων κακῶν εἰς μέσον φερομένων, κἂν ἀπολλύμενα ᾖ καὶ κίνδυνον οὐκ ἔχοντα) δίδωσιν αὐτοῖς συνεργὸν, (ἴσ. ἀπολλυμένα) ὥστε μὴ νομισθῆναι τὸ πᾶν αὐτῶν εἶναι, καὶ συνεργὸν ἰσχυρόν. τίνα δὴ τοῦτον; τὸν διάβολον. οὕτω δὴ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ. εἰπὼν γὰρ, Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, καὶ τὰ λοιπὰ ἅπαντα καταλέξας, καὶ ἐπαγαγὼν, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, τότε φησί· Καὶ ταῦτά τινες ἦτε. οὐκ εἶπεν ἁπλῶς ἦτε, ἀλλά, τινες ἦτε· τουτέστιν, οὕτω πως ἦτε. ἐνταῦθα σφόδρα ἡμῖν ἐπιφύονται οἱ αἱρετικοί. περὶ γὰρ τοῦ Θεοῦ ταῦτα εἰρῆσθαι λέγουσι, καὶ τὴν ἀχαλίνωτον γλῶτταν ἐπὶ πολὺ ἐξάγοντες, ταῦτα ἁρμόζουσι τῷ Θεῷ, ἃ τοῦ διαβόλου μόνου ἐστί. πῶς οὖν αὐτοὺς ἐπιστομίσομεν; ἀπ᾽ αὐτῶν τῶν ῥημάτων. εἰ γὰρ δίκαιός (γ. πάλιν) ἐστιν, ὥσπερ καὶ ὑμεῖς φατε, ταῦτα δὲ ἔπραξεν, οὐκ ἔτι δικαίου τοῦτο, ἀλλὰ καὶ σφόδρα ἀδίκου καὶ μιαροῦ τὸ πρᾶγμα. μιαρὸς δὲ Θεὸς οὐκ ἂν εἴη ποτέ. διατί δὲ αὐτὸν ἄρχοντα τοῦ αἰῶνος * τούτου φησίν; ἐπειδὴ πᾶσα σχεδὸν ἡ ἀνθρωπίνη φύσις ἐκείνῳ δέδωκεν ἑαυτὴν, καὶ (τοῦ κόσμου) πάντες αὐτῷ δουλεύουσιν ἑκόντες, καὶ προαιρούμενοι. καὶ τῷ μὲν Χριστῷ μυρία ἐπαγγελλομένῳ ἀγαθὰ οὐδὲ προσέχει τις· ἐκείνῳ δὲ οὐδὲν ὑπισχνουμένῳ τοιοῦτον, ἀλλ᾽ εἰς γέενναν παραπέμποντι, πάντες ὑπείκουσι. καὶ ἡ ἀρχὴ ἐν τῷ αἰῶνι τούτῳ, καὶ πλείους οὗτος ἔχει τοῦ Θεοῦ, καὶ μᾶλλον (γ. ἀλλ᾽) αὐτῷ εἴκοντας, ἢ τῷ Θεῷ, πλὴν ὀλίγων, διὰ τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν. κατὰ τὴν ἐξουσίαν, φησί, τοῦ ἀέρος, τοῦ πνεύματος. τοῦτο πάλιν φησίν *, ὅτι τὸν ὑπουράνιον ἔχει τόπον, (ὅτι δείξῃ) καὶ πνεύματα [πάλιν] ἀέρια αἱ ἀσώματοι δυνάμεις εἰσὶν αὐτοῦ ἐνεργοῦντος. ὅτι γὰρ αἰώνιος αὐτοῦ ἡ ἀρχή, τουτέστι, τῷ παρόντι αἰῶνι συγκαταλυομένη, ἄκουσον ἐν τῷ τέλει τῆς ἐπιστολῆς λέγοντος αὐτοῦ· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα, καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. ἵνα γὰρ μὴ κοσμοκράτορας ἀκούσας, καὶ ἄκτιστον αὐτὸν εἶναι φῇς, τοῦ σκότους τοῦ αἰῶνος προστίθησι. καὶ ἀλλαχοῦ αἰῶνα πονηρὸν καλεῖ τὸν καιρὸν τὸν διεστραμμένον, οὐ περὶ τῶν κτισμάτων λέγων. ἐμοὶ γὰρ δοκεῖ γινόμενος ἄρχων ὑπὸ τὸν οὐρανὸν μὴ μεταπεπτωκέναι τῆς ἀρχῆς, καὶ μετὰ τὴν παράβασιν. τοῦ νῦν ἐνεργοῦντός φησιν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας. ὁρᾷς ὅτι οὐ βίᾳ, οὐδὲ τυραννίδι, ἀλλὰ πειθοῖ προσάγεται; ἀπείθειαν γὰρ εἶπεν, ὡς ἄν τις εἴποι, ἀπάτῃ καὶ πειθοῖ τοὺς πάντας ἐφέλκεται. (γ. ἀπαιτῶν. ἀπάτῃ γὰρ καὶ) καὶ οὐ τούτῳ δὲ μόνον αὐτοὺς παραμυθεῖται τῷ δοῦναι κοινωνὸν, ἀλλὰ καὶ τῷ ἑαυτὸν τάξαι μετ᾽ ἐκείνων, ἐν οἷς φησι· καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε. πάντες, οὐκ ἔνι γὰρ εἰπεῖν, ὅτι ἐξῄρητό τις. ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποὶ (γ. τῆς σαρκὸς διαβόλου) πάντες· τουτέστιν, οὐδὲν πνευματικὸν φρονοῦντες. ἀλλ᾽ ἵνα μὴ ταῦτα λέγειν ὑποπτευθῇ

ἐπὶ

α. Κορ. ϛ. θ.

Ἐφεσ. ϛ. ιϐ.

Γαλατ. α. δ.

ἐπὶ διαβολῇ τῆς σαρκός, μηδὲ μέγα νομίσῃ τις εἶναι τὸ πλημμέλημα, ὅρα πῶς ἀσφαλίζεται. τὰ θελήματα τῆς σαρκὸς ἡμῶν, φησί, καὶ τῶν διανοιῶν ποιοῦντες, τουτέστι, τὰ τῆς ἡδονῆς πάθη. παροξύνοντες, φησί, τὸν Θεόν, καὶ παροργίσαντες, τουτέστιν, ὀργὴ ἦμεν, καὶ οὐδὲν ἕτερον. ὥσπερ γὰρ ὁ ἄνθρωπος ἐν τέκνοις φύσει ἄνθρωπός ἐστιν, οὕτω καὶ ἡμεῖς ὀργῆς τέκνα ἦμεν, ὡς καὶ οἱ λοιποί· τουτέστιν, οὐδεὶς ἦν ἐλεύθερος, ἀλλὰ πάντες ἐπράττομεν ἄξια ὀργῆς.

4 Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει. Οὐχ ἁπλῶς ἐλεήμων, ἀλλὰ πλούσιος, καθάπερ καὶ ἐν ἑτέρῳ φησίν· Ἐν τῷ πλήθει τοῦ ἐλέους σου· καὶ πάλιν, Ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου. (Ψαλ. ξη. ιζ. Ψαλ. ν. α.) Διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς. Δείκνυσι πόθεν ἡμᾶς ἠγάπησε. ταῦτα γὰρ οὐκ ἀγάπης ἄξια, ἀλλ᾽ ὀργῆς καὶ τιμωρίας τῆς ἐσχάτης. καὶ τοῦτο οὖν ἀπὸ πολλοῦ ἐλέους.

5 Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησεν ἐν τῷ Χριστῷ.

Πάλιν ὁ Χριστὸς μέσος, καὶ τὸ πρᾶγμα ἀξιόπιστον. εἰ γὰρ ἡ ἀπαρχὴ ζῇ, καὶ ἡμεῖς· ἐζωοποίησε κἀκεῖνον, καὶ ἡμᾶς. ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα πάντα εἴρηται; εἶδες τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας; τοὺς νεκρούς, τοὺς υἱοὺς ὀργῆς, τούτους ἐζωοποίησεν. εἶδες τὴν ἐλπίδα τῆς κλήσεως;

6 Συνήγειρε καὶ συνεκάθισεν. Εἶδες τὴν δόξαν τῆς κληρονομίας αὐτοῦ; καί, φησίν, ἀλλὰ τὸ μὲν συνήγειρε, δῆλον· τὸ δέ, Συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, πῶς ἔστηκεν; ὡς τὸ συνήγειρεν. οὐδέπω γὰρ οὐδείς ἐστιν ἐγηγερμένος, εἰ μὴ ὅτι τῆς κεφαλῆς ἀναστάσης καὶ ἡμεῖς ἠγέρθημεν, * ὡς καὶ ἐκεῖ τοῦ Ἰακὼβ προσκυνήσαντος, καὶ ἡ γυνὴ προσεκύνησε τῷ Ἰωσήφ. οὐκοῦν οὕτω καὶ συνεκάθισε. τῆς γὰρ κεφαλῆς καθεζομένης καὶ τὸ σῶμα συγκάθηται. διὰ τοῦτο ἐπήγαγεν, ἐν Χριστῷ Ἰησοῦ. εἰ μὴ τοῦτο, ἀλλὰ συνήγειρε διὰ τοῦ λουτροῦ, πῶς οὖν συνεκάθισεν; εἰ γὰρ ὑπομένομεν, φησί, καὶ συμβασιλεύσομεν· εἰ ἀποθνήσκομεν, καὶ συζήσομεν. (β. Τιμ. β. ιβ.) ὄντως πνεύματος χρεία καὶ ἀποκαλύψεως, ὥστε τὸ βάθος νοῆσαι τῶν μυστηρίων τούτων. εἶτα, ἵνα μὴ ἀπιστήσῃς, ὅρα τί ἐπάγει.

* τοι-πῶς λέγεις;

7 Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. Ἐπειδὴ γὰρ εἶπε τὰ περὶ τοῦ Χριστοῦ, ταῦτα δὲ οὐδὲν ἦν πρὸς ἡμᾶς (τί γάρ, φησί, πρὸς ἡμᾶς, εἰ ἐκεῖνος ἀνέστη) ἔδειξε μετὰ τοῦτο ὅτι καὶ πρὸς ἡμᾶς, εἴ γε τούτῳ ἡμῖν ἥνωται· πλὴν ὅτι καὶ τὰ ἡμῶν καινότερα φησίν. ὄντας γὰρ ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνήγειρε καὶ συνεκάθισεν. ὥστε, ὅπερ ἔφην, μὴ ἀπιστῇ ἀπό τε τῶν προτέρων, ἀπό τε τῆς κεφαλῆς, ἀπό τε τοῦ βούλεσθαι ἐνδείκνυσθαι αὐτὸν τὴν ἀγαθότητα, λαβὼν τὴν ἀπόδειξιν. πῶς γὰρ ἐνδείξεται, ἂν τοῦτο μὴ γένηται; καὶ ἐνδείξεται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις. τί; ὅτι καὶ μεγάλα τὰ ἀγαθὰ ἦν, καὶ πάντων πιστότερα. νῦν μὲν γὰρ λῆρος εἶναι δοκεῖ τοῖς ἀπίστοις τὰ λεγόμενα, τότε δὲ πάντες εἴσονται. βούλει μαθεῖν, καὶ πῶς συνεκάθισεν; ἄκουε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· Καθίσεσθε ἐπὶ δώδεκα θρόνοις, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. (Ματθ. ιθ. κη.) καὶ πάλιν, Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται παρὰ τοῦ πατρός. (Ματθ. κ. κγ.) ὥστε ἡτοίμασται. καὶ καλῶς εἶπεν, ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. τὸ γὰρ καθίσαι ἐκ δεξιῶν, τιμῆς ἐστι τῆς ὑπὲρ πᾶσαν τιμήν, καὶ μεθ᾽ ἣν ἑτέρα οὐκ ἔστι. τοῦτ᾽ οὖν λέγει, ὅτι καὶ ἡμεῖς καθεδούμεθα. [ὄντως ὑπερβάλλων πλοῦτος,] ὄντως ὑπερβάλλον τὸ μέγεθος τῆς δυνάμεως αὐτοῦ, μετὰ Χριστοῦ καθίσαι. κἂν μυρίας ψυχὰς εἶχες, οὐκ ἀπώλλυες αὐτὰς ἕνεκεν αὐτοῦ; εἰ γὰρ εἰς πῦρ ἐμβῆναι ἔδει, τοῦτο οὐκ ἔχειν ἦν ἑτοίμως ὑπομεῖναι; καὶ αὐτὸς δὲ πάλιν φησί· Θέλω, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ οἱ διάκονοι ὦσιν οἱ ἐμοί. (Ἰωαν. ιζ. κδ.) εἰ γὰρ κατα-

κόπτεσθαι ἔδει καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τούτων οὐκ ἐχρῆν προθύμως καταδέχεσθαι; ἐνόησον ποῦ ἐκάθισεν ἐκεῖνος. ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας. καὶ τίνι συνεκάθισαν; ἐκείνῳ. τίς ὤν; νεκρός, φύσει τέκνον ὀργῆς. καὶ τί κατορθώσας; οὐδέν. ὄντως νῦν εὔκαιρον ἀ-
Ρωμ. ια. λγ. ναβοῆσαι, Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ.

8 Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι, φησίν. Ἵνα γὰρ μὴ τὸ μέγεθος τῶν εὐεργεσιῶν ἐπάρῃ σε, ὅρα πῶς σε καταστέλλει. τῇ χάριτί ἐστε σεσωσμένοι, φησί. Διὰ πίστεως.

Εἶτα ἵνα μὴ πάλιν τὸ αὐτεξούσιον λυμήνηται, ἔθηκε καὶ τὰ ἡμέτερα· καὶ πάλιν αὐτὸ ἀνεῖλε, καί φησι· Καὶ τοῦτο οὐκ ἐξ ἡμῶν. Οὐδὲ ἡ πίστις, φησίν, ἐξ ἡμῶν. εἰ γὰρ μὴ ἦλ-
Ρωμ. ι. ιδ. θεν, εἰ γὰρ μὴ ἐκάλεσε, πῶς ἠδυνάμεθα πιστεῦσαι; Πῶς γάρ, φησι, πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσιν; ὥστε οὐδὲ τὸ τῆς πίστεως, ἡμέτερον, Θεοῦ, φησι, τὸ δῶρον, οὐκ ἐξ ἔργων. μὴ γὰρ ἤρκει ἡ πίστις σῶσαι, φησιν; ἀλλ' ἵνα μὴ κενούς, μηδὲ ἀργοὺς σώσῃ, ταύτην ἐζήτησεν ὁ Θεός, φησιν. Εἶπεν, ὅτι ἡ πίστις σώζει, ἀλλὰ διὰ Θεοῦ. ἐπειδὴ γὰρ ὁ Θεὸς ἠθέλησεν, ἡ πίστις ἔσωσεν. ἐπεὶ πῶς σώζει ἡ πίστις, εἰπέ μοι, ἄνευ ἔργων; τοῦτο αὐτὸ Θεοῦ δῶρόν ἐστιν,

9 Ἵνα μή τις καυχήσηται, Ἵνα εὐγνώμονας περὶ τὴν χάριν ποιήσῃ. τί οὖν, φησιν, αὐτὸς ἐκώλυσεν ἐξ ἔργων δικαιωθῆναι; οὐδαμῶς. ἀλλ' οὐδείς, φησιν, ἐξ ἔργων ἐδικαιώθη, ἵνα δειχθῇ τοῦ Θεοῦ ἡ χάρις καὶ ἡ φιλανθρωπία. οὐχὶ ἔχοντας ἔργα ἀπώσατο, ἀλλὰ προδεδομένους ἀπὸ τῶν ἔργων, χάριτι ἔσωσεν, ὥστε μηδένα λοιπὸν ἔχειν καυχᾶσθαι. Εἶτα ἵνα μὴ ἀκούσας, ὅτι οὐκ ἐξ ἔργων, ἀλλὰ πίστει τὸ πᾶν κατωρθώθη, ἀργὸς γένῃ, ὅρα τί ἐπήγαγεν·

10 Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Ὅρα αὐτὸν τί φησι· τὴν ἀναγέννησιν ἐνταῦθα αἰνίττεται. ὄντως κτίσις ἑτέρα ἐστίν. ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθημεν· ὅπερ ἦμεν πρότερον, ἀπεθάνομεν, τουτέστιν, ὁ παλαιὸς ἄνθρωπος· ὅπερ οὐκ ἦμεν πρότερον, ἐγενόμεθα· ἄρα κτίσις τὸ πρᾶγμά ἐστι, καὶ τῆς ἑτέρας τιμιωτέρα. ἐξ ἐκείνης μὲν γὰρ τὸ ζῆν, ἐκ δὲ ταύτης τὸ καλῶς ζῆν ἡμῖν περιγέγονεν. ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν, οὐχ ἵνα ἀρξώμεθα, ἀλλ' ἵνα περιπατήσωμεν. διαρκοῦς γὰρ ἡμῖν χρεία τῆς ἀρετῆς καὶ ἐκτεταμένης εἰς τὴν τελευτὴν τὴν ἡμετέραν. (χ. ἄχρι τελευτῆς παρεκτεινομένης τῆς ἡμετέρας.) οὐδὲ γάρ, εἰ βαδίζειν ὁδὸν ἔδει εἰς πόλιν φέρουσαν βασιλικήν, εἶτα τὸ πλέον αὐτῆς ἀνύσαντες, περὶ τὸ τέλος αὐτὸ μαλακισθέντες ἐκαθίσαμεν, ὤνησεν ἂν ἡμᾶς τὸ βαδίσαι· οὕτως οὐδὲ ἡ ἐλπὶς τῆς κλήσεως ὀνήσειεν ἄν τι τοὺς κεκλημένους τὸ πρᾶγμα, ἂν μὴ ἀξίως περιπατήσωμεν τοῦ καλέσαντος.

ΗΘΙΚΟΝ

Κληθέντες οὖν ἐπ' ἔργοις ἀγαθοῖς, μένωμεν ἅπαντα ἐργαζόμενοι. διὰ τοῦτο γὰρ ἐκλήθημεν, οὐχ ἵνα ἓν ἔργον ἐργασώμεθα, ἀλλ' ἵνα πάντα. ὥσπερ γὰρ αἰσθήσεις ἡμῖν πέντε εἰσί, καὶ πάσαις εἰς δέον κεχρῆσθαι δεῖ, οὕτω καὶ πάσαις ταῖς ἀρεταῖς. εἰ δέ τις σωφρονοίη μέν, ἀνελεήμων δὲ εἴη, ἢ ἐλεήμων μὲν εἴη, πλεονέκτης δέ, ἢ ἀπέχοιτο μὲν τῶν ἀλλοτρίων, τὰ δὲ αὑτοῦ μὴ μεταδιδοίη, πάντα εἰκῆ γέγονεν. οὐ γὰρ ἀρκεῖ μία μόνον ἀρετὴ παραστῆσαι τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας ἡμᾶς, ἀλλὰ πολλῆς ἡμῖν δεῖ [καὶ ποικί-
Ματθ. κη. ιθ. λης] καὶ παντοδαπῆς, καὶ πάσης αὐτῆς. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην
Ματθ. ε. ιθ. ὑμῖν. καὶ πάλιν, Ἂν λύσῃ τις μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, τουτέστιν, ἐν τῇ ἀναστάσει. οὐ γὰρ δὴ εἰς βασιλείαν εἰσελεύσεται. οἶδε γὰρ καὶ αὐτὸς τὸν καιρὸν τῆς ἀναστάσεως, βασιλείαν καλεῖν. μίαν ἐὰν λύσῃ, φησίν, ἐλάχιστος κληθήσεται· ὥστε πασῶν ἡμῖν δεῖ. καὶ ὅρα πῶς οὐκ ἔνι χωρὶς ἐλεημο-

γ. ἐλλείπῃ

σιωύης εἰσελθεῖν, ἀλλὰ καὶ αὐτὴ μόνη ἐλλίπῃ, εἰς τὸ πῦρ ἀπελευσόμεθα. Ἀπέλθετε γάρ, φησιν, οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. τίνος ἕνεκεν, καὶ διὰ τί; ὅτι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. Εἶδες πῶς οὐδὲν ἕτερον ἐγκληθέντες, διὰ τοῦτο μόνον ἀπώλοντο; καὶ αἱ παρθένοι διὰ τοῦτο μόνον ἐξεβλήθησαν τοῦ νυμφῶνος, καίτοιγε σωφροσύνην εἶχον· ἀλλ' ἐπειδὴ τῆς ἀπὸ ἐλεημοσύνης ἦσαν ἔρημοι βοηθείας, τῷ νυμφίῳ οὐ συνεισῆλθον. Εἰρήνην, φησὶ, μετὰ πάντων διώκετε, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἐννόησον τοίνυν, ὅτι χωρὶς μὲν σωφροσύνης οὐκ ἔνι ἰδεῖν τὸν Κύριον· οὐ πάντως δὲ μετὰ σωφροσύνης δυνατὸν ἰδεῖν. πολλάκις γὰρ ἕτεροι ἐνεπόδισαν. πάλιν ἂν πάντα κατορθώσωμεν, τὸν δὲ πλησίον οὐδὲν ὠφελήσωμεν, οὐδὲ οὕτως εἰσελευσόμεθα εἰς τὴν βασιλείαν. πόθεν δῆλον; ἀπὸ τῶν τὰ τάλαντα πιστευθέντων οἰκετῶν. οὐδὲ γὰρ πᾶσα ἡ ἀρετὴ ἀκέραιος ἦν, καὶ οὐδὲν ἐλέλειπτο· ἀλλ' ἐπειδὴ περὶ τὴν ἐργασίαν ὀκνηρὸς γέγονεν, εἰκότως ἐξεβάλλετο. ἔστι καὶ ἀπὸ λοιδορίας μόνης εἰς γέενναν ἐμπεσεῖν. Ὁ γὰρ λέγων, φησὶ, τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. κἂν ἅπαντά τις κατορθώσῃ, ὑβριστὴς δὲ ᾖ, οὐκ εἰσελεύσεται. καὶ μή τις ὠμότητα καταγινωσκέτω τοῦ Θεοῦ, εἰ τὸν τοῦτο ἐπταικότας ἐκβάλλει τῆς βασιλείας τῶν οὐρανῶν. καὶ γὰρ ἐπ' ἀνθρώπων, κἂν ὁποιονοῦν τῶν παρανόμων ἐργάσηταί τις, ἐξέπεσε τοῦ βασιλέως ὅμως· κἂν νόμον ἕνα τῶν κειμένων παραβῇ, κἂν συκοφαντήσῃ κατηγορῶν, ἀπώλεσε τὴν ἀρχήν· κἂν μοιχεύσῃ, καὶ ἁλῷ, ἀνάξιος γέγονε· κἂν μυρία ᾖ κατωρθωκὼς, ἀπόλλυται· κἂν φόνον ἐργάσηται, καὶ δειχθῇ, καὶ τοῦτο ἱκανὸν αὐτὸν διαφθεῖραι. εἰ δὲ οἱ τῶν ἀνθρώπων νόμοι τοσαύτης ἀπολαύουσι τῆς φυλακῆς, πόσῳ μᾶλλον οἱ τοῦ Θεοῦ. ἀλλ' ἀγαθός ἐστι, φησι. μέχρι τίνος τὸν μωρὸν τοῦτον λόγον φθεγγόμεθα; μωρὸν δὲ εἶπον, οὐχ ὅτι οὐκ ἀγαθός ἐστιν, ἀλλ' ὅτι τὴν ἀγαθότητα αὐτοῦ νομίζομεν εἰς ταῦτα χρησίμην ἡμῖν εἶναι, καίτοι μυρία πολλάκις διαλεχθέντων ἡμῶν περὶ τούτου. ἄκουε γὰρ τῆς γραφῆς λεγούσης, Μὴ εἴπῃς, ὅτι ὁ οἰκτιρμὸς αὐτοῦ ὁ πολὺς τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται. οὐχὶ κωλύει λέγειν ἡμᾶς, ὁ οἰκτιρμὸς αὐτοῦ πολύς (μὴ γένοιτο) οὐ τοῦτο παραινεῖ, ἀλλὰ βούλεται ἡμᾶς καὶ συνεχῶς τοῦτο λέγειν, καὶ διὰ τοῦτο πάντα κινεῖ Παῦλος, ἀλλὰ διὰ τὰ ἑξῆς. μὴ ἐπὶ τούτῳ, φησὶ, θαύμαζε τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἐπὶ τῷ ἁμαρτάνειν, καὶ λέγειν, οἰκτιρμὸς αὐτοῦ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται. διὰ γὰρ τοῦτο τοσαῦτα καὶ ἡμεῖς περὶ ἀγαθότητος διαλεγόμεθα, οὐχ ἵνα ταύτῃ θαρροῦντες πάντα πράττωμεν, ἐπεὶ ἡ ἀγαθότης ἐπὶ λύμῃ τῆς ἡμετέρας ἔσται σωτηρίας, ἀλλ' ἵνα μὴ ἀπογινώσκωμεν ἐν τοῖς ἁμαρτήμασιν, ἀλλὰ μετανοῶμεν. τὸ γὰρ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει, οὐκ εἰς πλείονα κακίαν. εἰ δὲ μοχθηρὸς γένῃ διὰ τὴν χρηστότητα, σὺ διαβάλλεις μᾶλλον αὐτὴν παρὰ τοῖς ἀνθρώποις. πολλοὺς γὰρ ὁρῶ κατηγοροῦντας τῆς μακροθυμίας τοῦ Θεοῦ. ὥστε δίκην δώσεις, οὐκ εἰς δέον αὐτῇ χρησάμενος. φιλάνθρωπος ὁ Θεός; ἀλλὰ καὶ δίκαιος κριτής· ἁμαρτίας συγχωρεῖ; ἀλλὰ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ὑπερβαίνει ἀδικίας, ἐξαιρεῖ ἀνομίας; ἀλλὰ καὶ ἐξέτασιν ποιεῖται. πῶς οὖν οὐκ ἐναντία ταῦτα; οὐκ ἐναντία, ἂν τοῖς χρόνοις αὐτὰ διέλωμεν. ἐξαιρεῖ ἀνομίας ἐνταῦθα καὶ διὰ λουτροῦ καὶ διὰ μετανοίας· ἐξέτασιν ποιεῖται τῶν πεπραγμένων ἐκεῖ διὰ πυρὸς καὶ βασάνων. ἂν τοίνυν ἐργασάμενος ὦ, φησιν, ὀλίγα κακὰ, καὶ δι' ἐν αὐτῶν ἐκβαλλώμεθα, καὶ τῆς βασιλείας ἐκπίπτω, τίνος ἕνεκεν οὐκ ἐργαζόμεθα πάντα κακά; ἀγνώμονος οἰκέτου ὁ λόγος, πλὴν ἀλλ' ὅμως καὶ τοῦτον ἐπιλυσόμεθα τὸν λόγον. μὴ ἐργάζου τὰ κακὰ, ἵνα σαυτὸν ὠφελήσῃς. βασιλείας μὲν γὰρ πάντες ὁμοίως ἐκπεσούμεθα, ἐν δὲ γεέννῃ οὐ τὴν αὐτὴν δώσομεν δίκην πάντες, ἀλλ' ὁ μὲν μείζονα, ὁ δὲ ἡμερωτέραν. εἰ μὲν γὰρ σὺ, κἀκεῖνος κατεφρονήσατε, καὶ ὁ τὰ πολλὰ, καὶ ὁ τὰ ὀλίγα, ὁμοίως ἐκπεσεῖσθε τῆς βασιλείας. εἰ δὲ οὐχ ὁμοίως κατεφρονήσατε, ἀλλ' ὁ

Ματθ. κε. μα.

Ἑβρ. ιβ. ιδ.

Ματθ. ε. κβ.

Σειρ. ε. ς.

μὲν μεῖζον, ὁ δὲ ἔλαττον, ἐν τῇ γεέννῃ τῆς διαφορᾶς αἰσθήσεσθε. τί οὖν, φησιν, ἀπειλεῖ τοῖς ἐλεημοσύνην μὴ δεδωκόσιν, εἰς τὸ πῦρ ἀπελεύσεσθαι, καὶ οὐχ ἁπλῶς εἰς τὸ πῦρ, ἀλλ' εἰς τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ; τίνος ἕνεκεν, εἰπὲ διὰ τί; ὅτι οὐδὲν οὕτω τὸν Θεὸν παροξύνει, ὡς τοὺς φίλους ἀδικεῖν. εἰ γὰρ τοὺς ἐχθροὺς φιλεῖν δεῖ, ὁ καὶ τοὺς φιλοῦντας ἀποστρεφόμενος, καὶ τῶν ἐθνικῶν κατὰ τοῦτο χείρων ὤν, τίνος οὐκ ἔσται κολάσεως ἄξιος; ὥστε ἐνταῦθα τὸ μέγεθος τοῦ ἁμαρτήματος, μετὰ τοῦ διαβόλου τὸν τοιοῦτον εἰκότως ἐποίησεν ἀπελθεῖν. Οὐαὶ γὰρ τῷ ἐλεημοσύνην, φησί, μὴ ἐργαζομένῳ. εἰ δὲ ἐπὶ τῆς παλαιᾶς τοῦτο ἦν, πολλῷ μᾶλλον ἐπὶ τῆς καινῆς. εἰ ἔνθα συγκεχώρητο χρημάτων κτῆσις, καὶ ἀπόλαυσις, καὶ ἐπιμέλεια, τοσαύτη πρόνοια ἐγένετο τῆς εἰς τοὺς πένητας βοηθείας, πόσῳ μᾶλλον, ἔνθα κελευόμεθα πάντα ῥῖψαι; τί γὰρ οὐκ ἐποίουν ἐκεῖνοι; δεκάτας, καὶ πάλιν δεκάτας ἑτέρας παρεῖχον ὀρφανοῖς, χήραις, προσηλύτοις ἐπήρκουν. ἀλλὰ ἐμοί τις θαυμάζων ἔλεγε· δεκάτας δίδωσιν ὁ δεῖνα. πόσης αἰσχύνης τοῦτο γέμει, εἰ ὃ ἐπὶ τῶν Ἰουδαίων οὐκ ἦν θαυμασμοῦ, τοῦτο ἐπὶ τῶν χριστιανῶν θαυμαστὸν γέγονεν. εἰ τότε κίνδυνος ἦν, τὸ δεκάτας ἀπολιπεῖν, ἐννόησον ὅσον ἐστὶ νῦν. ἡ μέθη πάλιν οὐ κληρονομεῖ τὴν βασιλείαν. ἀλλὰ τίς ὁ τῶν πολλῶν λόγος; οὐκοῦν εἰ κἀγώ, κἀκεῖνος ἐν τοῖς αὐτοῖς, οὐ μικρὰ παραμυθία. τί οὖν ἂν εἴποιμεν; μάλιστα μὲν, οὐ τῆς αὐτῆς σὺ κἀκεῖνος ἀπολαύσεις τιμωρίας, ἄλλως δὲ, οὐδὲ παραμυθία τοῦτό ἐστι. τότε γὰρ ἡ κοινωνία τῶν παθῶν ἔχει παραμυθίαν, ὅταν σύμμετρα ᾖ τὰ δεινά· ὅταν δὲ ὑπερβαίνῃ, καὶ ἐν ἐκστάσει ἡμᾶς ποιῇ, οὐκέτι ἀφίησι λοιπὸν ἔχειν παραμυθίαν. εἰπὲ γάρ μοι τῷ καταικιζομένῳ καὶ εἰς τὴν πυρὰν ἐμβεβηκότι, ὅτι καὶ ὁ δεῖνα τοῦτο πάσχει, ἀλλ' οὐδὲ αἰσθήσεται τῆς παραμυθίας. οὐχὶ πάντες ὁμοῦ ἀπώλοντο οἱ Ἰσραηλῖται; ποίαν τοῦτο αὐτοῖς παραμυθίαν ἔφερεν; οὐχὶ μᾶλλον αὐτὸ τοῦτο αὐτοὺς ἐλύπει; διὸ καὶ ἔλεγον, ἀπολώλαμεν, [ἐξολώλαμεν,] παραναλώμεθα. ποία τοίνυν αὕτη παραμυθία; μάτην ἑαυτοὺς παραμυθούμεθα ταύταις ταῖς ἐλπίσι. μία μόνη παραμυθία ἐστὶ, τὸ μὴ ἐμπεσεῖν εἰς τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον· ἐμπεσόντα δὲ οὐκ ἔνι παραμυθίας τυχεῖν, ἔνθα ὁ βρυγμὸς τῶν ὀδόντων, ἔνθα ὁ κλαυθμός, ἔνθα σκώληξ ἀτελεύτητος, ἔνθα πῦρ ἄσβεστον. ἐννοήσεις γὰρ ὅλως τινά, εἰπέ μοι, παραμυθίαν, ἐν τοσαύτῃ θλίψει καὶ στενοχωρίᾳ ὤν; ἐν σαυτῷ γὰρ ἔσῃ λοιπόν; μὴ, δέομαι καὶ παρακαλῶ, μὴ ἑαυτοὺς εἰκῇ ἀπατῶμεν, καὶ τούτοις τοῖς λόγοις παραμυθώμεθα, ἀλλὰ ταῦτα πράττωμεν, ἅπερ ἡμᾶς σῶσαι δυνήσεται. συγκαθίσαι τῷ Χριστῷ πρόκειται, καὶ σὺ περὶ τούτων ἀκριβολογῇ; εἰ γὰρ μηδὲν ἕτερον ἦν ἁμάρτημα, ὑπὲρ τῶν ῥημάτων τούτων πόσην κόλασιν ἡμᾶς ἐχρῆν ὑποστῆναι, ὅτι οὕτω νωθεῖς, ὅτι οὕτω ταλαίπωροι καὶ ῥάθυμοί ἐσμεν, ὡς καὶ τοσαύτης προκειμένης τιμῆς ταῦτα λέγειν; ὦ πόσα στενάξεις, ὅταν ἀκούσῃς τότε τοὺς κατωρθωκότας καλουμένους ἐπὶ βασιλείαν, καὶ τιμωμένους; ὅταν ἴδῃς ἀπὸ δούλων καὶ ἀπὸ δυστήνων ὀλίγα καμόντας ἐνταῦθα, τοῦ θρόνου μετέχοντας ἐκεῖ τοῦ βασιλικοῦ διὰ παντός; οὐχὶ τῆς κολάσεώς σοι ταῦτα χείρονα ἔσται; εἰ γὰρ νῦν ὁρῶν εὐδοκιμοῦντάς τινας, καὶ οὐδὲν πάσχων κακὸν, πάσης τιμωρίας χεῖρον τοῦτο νομίζεις, καὶ ὑπὸ τούτου μόνου διαφθείρῃ, καὶ πενθεῖς σαυτὸν, καὶ δακρύεις, καὶ μυρίων εἶναι θανάτων κρίνεις ἄξιον, τί τότε ὑποστήσῃ; εἰ γὰρ μὴ γέεννα ἦν, αὐτὴ ἡ ἔννοια τῆς βασιλείας, οὐκ ἦν ἱκανὴ ἀπολέσαι, καὶ διαφθεῖραι; καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἴσμεν ἀπὸ τῆς πείρας τῶν πραγμάτων μαθεῖν. μὴ τοίνυν εἰκῇ ψυχαγωγῶμεν ἑαυτοὺς τοῖς τοιούτοις ῥήμασιν, ἀλλὰ προσέχωμεν, καὶ φροντίζωμεν τῆς ἑαυτῶν σωτηρίας, καὶ ἀρετῆς ἐπιμελώμεθα, καὶ πρὸς τὴν τῶν καλῶν ἐργασίαν ἑαυτοὺς διεγείρωμεν, ἵνα καταξιωθῶμεν τυχεῖν τῆς τοσαύτης δόξης ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ματθ. κε. μα.

χ. φίλους ἀδικεῖν.

χ. ἐν ἐκστάσει ἡ.

χ. καταικιζομένῳ

χ. ὑποστῆναι σε ἀνάγκη;

χ. ἵνα καὶ τῆς ὑπερτίμου δόξης καταξιωθῶμεν τυχεῖν, ἧς γένοιτο πάντας ἡμᾶς

Λογ. ε.

Λογ. ε. 11 ΔΙΟ ΜΝΗΜΟΝΕΥΕΤΕ, ΟΤΙ ΥΜΕΙΣ ΠΟΤΕ τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου. 12 Ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ.

Πολλαχοῦ δείκνυσι τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς φιλανθρωπίαν. πρῶτον, ὅτι δι' ἑαυτοῦ ἔσωσε, καὶ δι' ἑαυτοῦ τρόπῳ τοιούτῳ. δεύτερον, ὅτι τίνας ὄντας ἔσωσε. τρίτον, ὅτι ποῦ ἀνήγαγε. ταῦτα γὰρ πάντα καὶ καθ' ἑαυτὰ μεγίστην ἔχει τὴν ἀπόδειξιν τῆς φιλανθρωπίας αὐτοῦ, καὶ ταῦτα πάντα κινεῖ νῦν γράφων ὁ Παῦλος. Εἶπεν, ὅτι νεκροὺς ὄντας τοῖς παραπτώμασι, καὶ τέκνα ὀργῆς, ἔσωσε. νῦν λέγει καὶ τίνων ἐποίησεν ἴσους. διὸ φησί· μνημονεύετε. ἔθος γὰρ ἡμῖν ἅπασιν, ὅταν ἐκ τῆς πολλῆς εὐτελείας εἰς ἀντίρροπον, ἢ καὶ μείζονα τιμὴν ἀναχθῶμεν, μηδὲ μεμνῆσθαι τῶν προτέρων, ἐντρεφομένοις ἐκείνῃ τῇ δόξῃ. διὰ τοῦτό φησι, διὸ μνημονεύετε. διὸ, ποῖον; ὅτι ἐκτίσθημεν ἐπ' ἔργοις ἀγαθοῖς. τοῦτο δὲ ἱκανὸν ἡμᾶς πεῖσαι τῆς ἀρετῆς ἐπιμελεῖσθαι. μνημονεύετε. ἱκανὴ γὰρ ἡ μνήμη ἐκείνη εὐγνώμονας περὶ τὸν εὐεργέτην ποιῆσαι. ὅτι ὑμεῖς ποτε τὰ ἔθνη. ὅρα πῶς τὰ πλεονεκτήματα τὰ Ἰουδαϊκὰ καθαιρεῖ, καὶ τὰ ἐλαττώματα τῶν ἐθνῶν θαυμάζει, ἅπερ οὐκ ἦν ἐλαττώματα· ἀλλ' ἀπὸ τοῦ τρόπου, καὶ τοῦ βίου ἑκάτερος πείθει. οἱ λεγόμενοι. ἐν ῥήμασιν ἦν ἡ τιμὴ, ἐν σαρκὶ δὲ περίτμημα. οὐδὲν γάρ ἐστιν ἡ ἀκροβυστία, οὐδὲν ἡ περιτομή. ὑπὸ τῆς λεγομένης, φησὶ, περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ. ὑμεῖς οἱ ὑπὸ Ἰουδαίων τοῦτο, φησι, καλούμενοι. τί δήποτε δὲ μέλλων δεικνύναι τὴν εὐεργεσίαν αὐτῶν ἐν τούτῳ γενομένην, ἐν τῷ κοινωνῆσαι αὐτοὺς τῷ Ἰσραὴλ, πάλιν τὸ ἀξίωμα τὸ Ἰσραηλιτικὸν οὐ καθαιρεῖ, ἀλλ' ἐν τούτοις ἐπαίρει αὐτό; ἐν τοῖς ἀναγκαίοις ἐπαίρει, ἐν τούτοις δὲ καθαιρεῖ ἐν οἷς οὐκ ἐκοινώνησαν. περὶ ὧν γάρ φησι· συμπολῖται τῶν ἁγίων ἐστὲ, καὶ οἰκεῖοι τοῦ Θεοῦ. ὅρα πῶς οὐ καθαιρεῖ. ταῦτα, φησιν, ἀδιάφορά ἐστι. μὴ νομίσητε, φησιν, ὅτι περιτομῆς οὐκ ἐτύχετε, καὶ ἐν ἀκροβυστίᾳ ἐστὲ, διαφοράν τινα εἶναι. τὸ γὰρ χαλεπὸν τοῦτο ἦν, τὸ χωρὶς τοῦ Χριστοῦ εἶναι, τὸ τῆς πολιτείας ἀπηλλοτριῶσθαι τοῦ Ἰσραήλ. τοῦτο δὲ οὐ πολιτείᾳ. τὸ δὲ ξένους εἶναι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, τὸ μὴ ἔχειν ἐλπίδα τὴν μέλλουσαν, τὸ ἀθέους εἶναι ἐν τῷ κόσμῳ τούτῳ, ταῦτα πάντα ἐκείνων ἦν. Εἶπε περὶ τῶν οὐρανίων πραγμάτων· λέγει καὶ περὶ τῶν ἐπὶ γῆς, ἐπειδὴ μεγάλην δόξαν εἶχον περὶ αὐτῶν οἱ Ἰουδαῖοι. οὕτω καὶ ὁ Χριστὸς παραμυθούμενος τοὺς μαθητὰς, μετὰ τὸ εἰπεῖν, Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, τὸ ἔλαττον τίθησιν. οὕτω γάρ, φησιν, ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. τοῦτο γὰρ πρὸς μὲν τὸ μέγεθος*, ἔλαττόν ἐστι· πρὸς δὲ τὸ ἐργὲς εἶναι, καὶ πιστεῦσαι, μέγα καὶ ἱκανὸν, καὶ πολλὴν ἔχει τὴν ἰσχύν. ἄρα τοῦτο ἦν τὸ πολιτεύεσθαι. οὐκ εἶπε, κεχωρισμένοι, ἀλλ', ἀπηλλοτριωμένοι τῆς πολιτείας. οὐκ εἶπεν, οὐ προσέχοντες, ἀλλ', οὐδὲ μετέχοντες, καὶ ξένοι. πολλὴ τῶν ῥημάτων ἡ ἔμφασις, πολὺν δηλοῦσα τὸν χωρισμόν. ἐπεὶ καὶ Ἰσραηλῖται τῆς πολιτείας ἦσαν ἐκτὸς, ἀλλ' οὐχ ὡς ἀλλότριοι, ἀλλ' ὡς ῥᾴθυμοι, καὶ τῶν διαθηκῶν ἐξέπεσον, ἀλλ' οὐχ ὡς ξένοι. τίνες δὲ ἦσαν αἱ διαθῆκαι τῆς ἐπαγγελίας; Σοὶ καὶ τῷ σπέρματί σου δώσω, φησὶ, τὴν γῆν ταύτην, καὶ ὅσα ἕτερα ἐπηγγείλατο. ἐλπίδα, φησὶ, μὴ ἔχοντες, καὶ ἄθεοι. καίτοι θεοὺς

Margin: χ. ἐπίδειξιν — χ. τῶν τύπων — κ. τῆ — * ἐκεῖνο — Matth. 5. — Gen. 17.

προσκυνοῦσιν, ἀλλ' οὐκ ἦσαν. οὐ γάρ ἐστί τι εἴδωλον.

13 Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας,

15 Τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. Τοῦτο οὖν ἐστι μέγα, φησί, [τὸ] ὅτι εἰς τὴν τῶν Ἰουδαίων πολιτείαν ἤλθομεν; τί λέγεις; ἀνεκεφαλαιώσατο τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, καὶ νῦν περὶ Ἰσραηλιτῶν λέγεις; ναί, φησιν. ἐκεῖνα μὲν γὰρ τῇ πίστει χρὴ παραλαμβάνειν, ταῦτα δὲ καὶ τοῖς ἔργοις αὐτοῖς. νυνὶ δέ, φησιν, ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε πρὸς τὴν πολιτείαν. τὸ γὰρ μακρὰν, καὶ τὸ ἐγγύς, προαιρέσεώς ἐστι μόνης. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν. τί ἐστι, τὰ ἀμφότερα ἕν; οὐ τοῦτο λέγει, ὅτι εἰς ἐκείνην τὴν εὐγένειαν ἡμᾶς ἤγαγεν, ἀλλ' ὅτι καὶ ἡμᾶς, κἀκείνους εἰς μείζονα· πλὴν ἡμῶν μείζων ἡ εὐεργεσία. τοῖς μὲν γὰρ καὶ ἐπήγγελτο, καὶ ἐγγύτεροι ἦσαν, ἡμῖν δὲ οὐδὲ ἐπήγγελτο, καὶ πορρωτέρω ἦμεν. διό φησι, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. ἐπηγγείλατο μὲν γὰρ τοῖς Ἰσραηλίταις, ἀλλ' ἀνάξιοι ἦσαν· ἡμῖν δὲ οὐδὲν ἐπηγγείλατο, ἀλλὰ καὶ ξένοι ἦμεν, οὐδὲν κοινὸν εἴχομεν πρὸς αὐτούς, καὶ ἐποίησεν ἡμᾶς ἕν, οὐχ ἡμᾶς ἐκείνοις συνάψας, ἀλλὰ καὶ ἐκείνους καὶ ἡμᾶς εἰς ἓν συνάψας. ὑπόδειγμα δὲ ἐρῶ*. ὑποθώμεθα εἶναι ἀνδριάντας δύο, τὸν μὲν ἐξ ἀργύρου, τὸν δὲ ἐκ μολίβδου, εἶτα ἀμφοτέρους καταχωνευθέντας, ἀνελθεῖν χρυσοῦς τοὺς δύο. ἰδοὺ τοὺς δύο ἓν ἐποίησεν. ἢ καὶ ἑτέρως. ἔστω ὁ μὲν δοῦλος, ὁ δὲ υἱοποίητος· ἀμφότεροι δὲ αὐτὸν προσκεκρούκεισαν, ὁ μὲν ἀποκήρυκτος ὢν παῖς, ὁ δὲ δραπέτης, καὶ οὐδὲ ἐγνωκὼς τὸν πατέρα. εἶτα ἀμφότεροι γενέσθωσαν κληρονόμοι, καὶ γνήσιοι παῖδες. ἰδοὺ εἰς μίαν ἤχθησαν τιμήν, οἱ δύο γεγόνασιν ἕν, ὁ μὲν πόρρωθεν ἐλθών, ὁ δὲ ἐγγύθεν, καὶ μᾶλλον ἢ πρὶν ἢ προσκρούσαι γνησιώτεροι. τὸ μεσότοιχον, φησί, τοῦ φραγμοῦ λύσας. ποῖόν ἐστι τὸ μεσότοιχον ἑρμηνεύει, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ λέγων. Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας.

Τινὲς μέν φασιν, ὅτι ὁ νόμος μεσότοιχον. διὰ τοῦτο τὸν νόμον εἶπεν, ὅτι οὐκ ἠφίει τοὺς Ἰουδαίους πρὸς τοὺς Ἕλληνας ἀναμίγνυσθαι. ἐμοὶ δὲ οὐ τοῦτο δοκεῖ, ἀλλὰ τὴν ἔχθραν ἐν τῇ σαρκὶ μεσότοιχον λέγει, τὸ κοινὸν εἶναι διάφραγμα ἀπὸ Θεοῦ διατειχίζον ἡμᾶς, καθὼς ὁ προφήτης φησίν· Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν, καὶ ἐμοῦ; καὶ εἰκότως. ὡς μεσότοιχον γὰρ ἦν ἡ ἔχθρα, ἣν καὶ πρὸς Ἰουδαίους εἶχε, καὶ πρὸς Ἕλληνας. τοῦ δὲ νόμου ὄντος, οὐ μόνον οὐκ ἐλύετο, ἀλλὰ καὶ ηὔξετο. Ὁ γὰρ νόμος, φησίν, ὀργὴν κατεργάζεται. ὥσπερ οὖν ἐκεῖ λέγων, ὁ νόμος ὀργὴν κατεργάζεται, οὐκ αὐτῷ τὸ πᾶν ἐπιγράφει, ἀλλ', ἐπειδὴ παρέβημεν, προσυπακούεται· οὕτω καὶ ἐνταῦθα μεσότοιχον αὐτόν φησιν, ἐπειδὴ παρακουόμενος ἔχθραν ἐποίει. Φραγμὸς ὁ νόμος ἦν, ἀλλ' οὗτος ἐγένετο μὲν ἀσφαλείας ἕνεκεν, διὸ καὶ φραγμὸς ὠνόμασται, ἵνα περιφράττῃ. ἄκουε γὰρ πάλιν τοῦ προφήτου λέγοντος· Καὶ φραγμὸν αὐτῷ περιέθηκα. καὶ πάλιν, Καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν· οὐκοῦν τὴν ἀσφάλειάν φησι. καὶ πάλιν, Καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. καὶ πάλιν, Νόμον εἰς βοήθειαν ἔδωκε. καὶ πάλιν, Ποιῶν ἐλεημοσύνην, καὶ κρίσιν ὁ Κύριος, ἐγνώρισε τὰ δικαιώματα αὐτοῦ τῷ Ἰσραήλ. γέγονε δὲ μεσότοιχον, οὐκέτι αὐτοὺς ἐν ἀσφαλείᾳ καθιστῶν, ἀλλὰ χωρίζον αὐτοὺς ἀπὸ τοῦ Θεοῦ. τοιοῦτον γὰρ τὸ μεσότοιχον τὸ ἀπὸ τοῦ φραγμοῦ. ποῖον δὲ τοῦτο δηλῶν, ἐπάγει, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. τὸν νόμον τῶν ἐντολῶν καταργήσας. πῶς; σφραγίσας, καὶ λύσας ἐκεῖ τὴν ἔχθραν. οὐ τοῦτο δὲ μόνον ἔλυσεν, ἀλλὰ καὶ τῷ φυλάξαι αὐτόν. τί οὖν, εἰ τῆς προτέρας παραβάσεως ἀπηλλάγμεθα, πάλιν δὲ αὐτὸν ἀναγκαζόμεθα φυλάττειν;

Ησ. νθ. β.
Ρωμ. δ. ιε.
Ησ. ε. β.
Ψαλμ. οθ. ιγ.
Ησ. ε. ε.
Ησ. η. κ.
Ψαλμ. ϛβ.

χ. πολιτεία ἡμᾶς, κἀκείνους ... ἡμᾶς εἰς μείζονα δῆλος ὅτι ἡμῶν
χ. ἐγγύτεροι
* σαφηνείας ἕνεκεν
χ. καταχωνευθέντας
ἴσ. τὸ αὐτόν
χ. ... Ἰουδαίους πρὸς τοὺς Ἕλληνας, ὅτι ... αὐτοῦ
χ. ὑπακούεται
χ. ... ἀλλὰ καὶ

οὐχ * πάλιν τὸ αὐτὸ ἦν, ἀλλὰ καὶ αὐτὸν ἔλυσε.

Τὸν νόμον γὰρ τῶν ἐντολῶν, φησὶν, ἐν δόγμασι καταργήσας.

Βαβαὶ τῆς φιλανθρωπίας. ἔδωκεν ἡμῖν νόμον, ἵνα φυλάττωμεν· ἐπεὶ δὲ οὐκ ἐφυλάξαμεν, δέον κολασθῆναι, ὁ δὲ καὶ τὸν νόμον κατέλυσεν· ὡς ἂν εἴ τις παιδίον παραδοὺς παιδαγωγῷ, ἐπειδὴ μὴ ὑπακούοι, καὶ τοῦ παιδαγωγοῦ ἐλεύθερον ποιήσειε, καὶ ἀπαγάγοι. πόσης τοῦτο φιλανθρωπίας; τί ἐστιν, ἐν δόγμασι καταργήσας; πολλὴν [γὰρ] ἐνταῦθα διαφορὰν φησὶν ἐντολῆς καὶ δόγματος. ἢ τὴν πίστιν οὖν φησι, δόγμα αὐτὴν καλῶν (ἀπὸ γὰρ πίστεως μόνης ἔσωσεν) ἢ τὴν παραγγελίαν, καθὼς ἔλεγεν ὁ Χριστός· Ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ (Ματθ. ε.) ὀργισθῆναι ὅλως· τουτέστιν, ἐὰν πιστεύσῃς, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. καὶ πάλιν, Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. μὴ εἴπῃς, τίς ἀναβή- (Ρωμ. ι.) σεται εἰς τὸν οὐρανὸν, ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον, ἢ τίς αὐτὸν ἀνήγαγεν ἐκ νεκρῶν; ἀντὶ βίου, πίστιν εἰσήγαγεν. ἵνα γὰρ μὴ εἰκῆ σώσῃ, καὶ αὐτὸς ἐκολάσθη, καὶ ἀπῄτησεν αὐτοὺς τὴν πίστιν διὰ δογμάτων. Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον.

Ὁρᾷς οὐχὶ τὸν Ἕλληνα γενόμενον Ἰουδαῖον, ἀλλὰ καὶ τοῦτον, κἀκεῖνον εἰς ἑτέραν κατάστασιν ἥκοντας; οὐχ ἵνα τοῦτον ἕτερον ἐργάσηται, τὸν νόμον κατήργησεν, ἀλλ᾽ ἵνα τοὺς δύο κτίσῃ. καὶ καλῶς πανταχοῦ τῷ ὀνόματι κέχρηται, τῷ κτίσῃ. (χ. ῥήματι) καὶ οὐκ εἶπε, μεταβάλῃ, ἵνα δείξῃ τὸ ἐνεργὲς τοῦ γινομένου, καὶ ὅτι εἰ καὶ ἀόρατος ἡ κτίσις, ἀλλ᾽ ἐκείνης οὐκ ἐλάττων, καὶ ὅτι [ὡς] ἀπὸ φυσικῶν πραγμάτων ἀποπηδᾶν ἡμᾶς οὐ χρὴ λοιπόν. ἵνα τοὺς δύο, φησὶ, κτίσῃ ἐν ἑαυτῷ, τουτέστι, δι᾽ ἑαυτοῦ. οὐκ ἄλλῳ τοῦτο ἐπέταξεν, ἀλλὰ αὐτὸς δι᾽ ἑαυτοῦ, καὶ τοῦτον, κἀκεῖνον χωνεύσας, ἕνα ἀνήνεγκε θαυμαστὸν, αὐτὸς τοῦτο πρῶτον γενόμενος, ὅπερ τῆς προτέρας κτίσεώς ἐστι μεῖζον. τοῦτο γάρ ἐστιν, ἐν ἑαυτῷ, αὐτὸς πρῶτος τύπον παρασχὼν, καὶ ὑπόδειγμα. (χ. ἔνθα) ἔνθεν γὰρ τὸν Ἰουδαῖον καταλαβὼν, κἀκεῖθεν τὸν Ἕλληνα, καὶ μέσος αὐτὸς γενόμενος, καὶ συμμίξας αὐτοὺς, καὶ πᾶν αὐτῶν τὸ ἀπηλλοτριωμένον ἀφανίσας, ἀνέπλασεν ἄνωθεν διὰ πυρὸς καὶ ὕδατος, οὐκέτι δι᾽ ὕδατος καὶ γῆς, ἀλλὰ δι᾽ ὕδατος καὶ πυρός. γέγονεν Ἰουδαῖος περιτμηθεὶς, γέγονεν ἐπικατάρατος, γέγονεν Ἕλλην ἐκτὸς νόμου, καὶ ὑπὲρ Ἕλληνας, καὶ Ἰουδαίους. Εἰς ἕνα καινὸν ἄνθρωπον, φησὶ, Ποιῶν εἰρήνην· Αὐτοῖς πρὸς τὸν Θεὸν, καὶ πρὸς ἀλλήλους. οὐ γὰρ ἂν μένοντες καὶ Ἰουδαῖοι καὶ Ἕλληνες κατηλλάγησαν ἄν. μὴ ἀπαλλαγέντες δὲ τῆς οἰκείας καταστάσεως ἕκαστος, πῶς ἂν εἰς ἑτέραν μείζονα ἦλθον; ὁ γὰρ Ἰουδαῖος τότε τῷ Ἕλληνι συνάπτεται, ὅταν πιστὸς γένηται. ὡς ἂν εἴ τινες, δύο οἰκημάτων ὄντων κάτωθεν, καὶ ἄνωθεν ἑνὸς θαυμαστοῦ καὶ μεγάλου, οὐκ ἂν δυνηθεῖεν ἀλλήλους ἰδεῖν, ἕως ἂν ἄνω γένωνται. ποιῶν εἰρήνην μᾶλλον πρὸς τὸν Θεόν. τὸ γὰρ ἑξῆς τοῦτο δηλοῖ. τί γάρ φησι;

16 Καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ.

Οὐκ εἶπε, καταλλάξῃ, ἀλλ᾽, ἀποκαταλλάξῃ, δεικνὺς ὅτι πρὸ τούτου ἡ ἀνθρωπίνη φύσις εὐκατάλλακτος ἦν, οἷον ἐπὶ τῶν ἁγίων καὶ πρὸ τοῦ νόμου. ἐν ἑνὶ σώματι, φησὶ, τῷ αὐτοῦ. τῷ Θεῷ. πῶς τοῦτο γέγονε; τὴν ὀφειλομένην δίκην αὐτὸς, φησὶν, ὑποστὰς διὰ τοῦ σταυροῦ.

Ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. Οὐδὲν κυριώτερον τούτων τῶν λέξεων, οὐδὲν ἐμφαντικώτερον. ὁ θάνατος αὐτοῦ, φησὶ, τὴν ἔχθραν ἀπέκτεινεν, ἔτρωσε, καὶ ἀπώλεσεν, οὐχ ἑτέρῳ ἐπιτάξας, οὐδὲ ἐνεργήσας μόνον, ἀλλὰ καὶ παθών. οὐκ εἶπε, λύσας, οὐκ εἶπεν, ἀνελὼν, ἀλλ᾽, ὃ πάντων σφοδρότερον ἦν, ἀποκτείνας, ὥστε μηκέτι αὐτὴν ἀναστῆναι. πῶς οὖν (χ. ἀθυμίας) ἀνίσταται; ἀπὸ τῆς πολλῆς ἡμῶν κακίας. ἕως γὰρ ἂν μένωμεν ἐν τῷ σώματι τοῦ Χριστοῦ, ἕως ἂν ὦμεν ἡνωμένοι, οὐκ ἀνίσταται, ἀλλὰ κεῖται νεκρά, μᾶλλον δὲ ἐκείνη οὐδέποτε ἀνίσταται. ἂν δὲ ἑτέραν τέκωμεν, οὐκέτι παρὰ τὸν τὴν προτέραν ἀνελόντα καὶ ἀπολέσαντα· σὺ δὴ ὠδίνεις ἑτέραν. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, φησὶν, ἔχθρα εἰς Θεόν. ἂν μηδὲν φρονῶμεν σαρκικὸν, (Ρω. η. ε.) οὐ τεχθήσεται ἑτέρα, ἀλλὰ μενεῖ ἡ εἰρήνη ἐκείνη.

Ἐπόησον

ΗΘΙΚΟΝ

Ἐννόησον γὰρ ὅσον ἐστὶ κακόν, τοσαῦτα τοῦ Θεοῦ πραγματευσαμένου, ἵνα καταλλαγῶμεν, καὶ ἀνύσαντος, πάλιν ἡμᾶς εἰς ἔχθραν ἐπανελθεῖν. Τούτων οὐκέτι λύσις, ἀλλ' ἡ γέεννα μένει· οὐκέτι ἄφεσις, ἀλλ' ἐξέτασις. Φρόνημα τῆς σαρκός, τρυφή, σπατάλη· φρόνημα τῆς σαρκός, πλεονεξία, καὶ πᾶσα ἁμαρτία. Διὰ τί φρόνημα σαρκὸς εἴρηται; καίτοιγε οὐδὲν ἄνευ ψυχῆς εἰργάσατο ἄν. Οὐ διαβάλλων τὴν σάρκα λέγει, ἐπεὶ καὶ ὅταν λέγῃ, ψυχικὸς ἄνθρωπος, οὐ διαβάλλων τὴν ψυχὴν τοῦτό φησιν, ἀλλ' ὅτι οὐκ ἀρκεῖ οὔτε σῶμα, οὔτε ψυχὴ καθ' ἑαυτήν, μὴ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύουσα, ποιῆσαί τι γενναῖον καὶ μέγα. Διὰ τοῦτο ψυχικὰ ἐκεῖνα καλεῖ, ἃ καθ' ἑαυτὴν ἡ ψυχὴ ἐργάζεται· καὶ σαρκικὰ ἐκεῖνα καλεῖ, ἃ καθ' ἑαυτὸ τὸ σῶμα· οὐκ ἐπειδὴ ταῦτα φυσικά, ἀλλ' ἐπειδὴ μὴ ἀπολαύσαντα τῆς ἐργασίας τῆς ἐκεῖθεν, ἀπόλλυται. ἐπεὶ καὶ οἱ ὀφθαλμοί, καλοί, ἀλλ' ἄνευ φωτός, μυρία ἐργάζονται κακά· τοῦτο δὲ τῆς ἀσθενείας αὐτῶν ἐστιν, οὐ τῆς φύσεως. Εἰ δὲ φυσικὰ ἦν τὰ κακά, οὐκ ἂν αὐτοῖς ποτε εἰς δέον ἐχρησάμεθα. Οὐδὲν γάρ ἐστι φυσικόν, κακόν. Τί οὖν ἐστι σαρκικὰ φρονήματα; αἱ ἁμαρτίαι. ὅταν γὰρ αὐτὴ κρατήσῃ τοῦ ἡνιόχου μετεωρισθεῖσα, μυρία τίκτει δεινά. Ἀρετὴ γὰρ σαρκός, τὸ ὑποτετάχθαι τῇ ψυχῇ· κακία δέ, τὸ ἄρχειν ψυχῆς. Ὥσπερ οὖν ὁ ἵππος καλὸς μὲν καὶ εὐσκελής, ἀλλ' οὐκ ἄνευ ἡνιόχου τοῦτο δείκνυται, οὕτω καὶ ἡ σὰρξ τότε ἔσται καλή, ὅταν αὐτῆς τὰ σκιρτήματα περικόπτωμεν. ἀλλ' οὐδὲ ἡνίοχος δείκνυται ἄνευ ἐπιστήμης. καὶ γὰρ καὶ αὐτὸς ἐκείνων δεινότερα ἄνευ ἐπιστήμης ἐργάζεται. ὥστε πανταχόθεν ἐφεστάναι χρὴ τὸ πνεῦμα, τοῦτο ἐφεστὼς τὸν ἡνίοχον ἰσχυρότερον ποιεῖ· τοῦτο καὶ τὴν ψυχήν, καὶ τὸ σῶμα καλλωπίζει. Καθάπερ γὰρ ἡ ψυχὴ ἐνοῦσα μὲν αὐτῷ, καλὸν αὐτὸ δείκνυσιν· ὅταν δὲ αὐτὸ ἐρημώσῃ τῆς οἰκείας ἐνεργείας καὶ ἀποστῇ, καθάπερ ζωγράφου τινὸς τὰ χρώματα συγχέοντος, εἰδεχθεία γίνεται πολλή, παρὰ τὴν φθορὰν ἐπειγομένου τῶν μερῶν ἑκάστου, καὶ τὴν ἀνάλυσιν· οὕτω καὶ τὸ πνεῦμα, ὅταν ἔρημον καταλίπῃ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν, χείρων γίνεται καὶ μείζων ἡ εἰδεχθεία. Μὴ τοίνυν ἐπειδὴ τῆς ψυχῆς ἔλαττον τὸ σῶμα, κάκιζε τοῦτο. οὐδὲ γὰρ ἐγὼ τὴν ψυχὴν κακίζειν ἀνέχομαι, ἐπειδὴ τοῦ πνεύματος οὐδὲν ἰσχύει χωρίς. Εἰ δὲ χρή τι εἰπεῖν, μείζονός ἐστι κατηγορίας ἀξία ἡ ψυχή. τὸ μὲν γὰρ σῶμα, οὐδὲν ἄνευ τῆς ψυχῆς ἐργάσαιτο ἂν δεινόν, ἡ δὲ ψυχὴ πολλὰ χωρὶς τοῦ σώματος. καὶ γὰρ καὶ τηκομένου τούτου, καὶ οὐ σκιρτῶντος, πολλὰ ἐργάζεται ἐκείνη· καθάπερ οἱ γόητες ἐκεῖνοι, οἱ μάγοι, οἱ φθονοῦντες, οἱ φαρμακοί, μάλιστα τήκουσιν αὐτό. Ἄλλως δέ, οὐδὲ ἡ τρυφή, τῆς τοῦ σώματος ἀνάγκης ἐστίν, ἀλλὰ τῆς ἀπροσεξίας τῆς ψυχῆς. ἡ γὰρ τροφή, οὐχὶ ἡ τρυφή, τῆς τοῦ σώματος ἀνάγκης. Ἐὰν γὰρ θελήσω σφοδρὸν καθεῖναι τὸν χαλινόν, ἐπεστόμισα τὸν ἵππον. τὸ δὲ σῶμα τὴν ψυχὴν καταστέλλειν οὐ δύναται ἐν τοῖς αὐτῆς κακοῖς. Τίνος οὖν ἕνεκεν φρόνημα αὐτὸ σαρκὸς καλεῖ; ὅτι τῆς σαρκὸς ὅλον γίνεται. ὅταν γὰρ αὐτὴ κρατήσῃ, τότε ἡμάρτεν, ὅταν ἀφέληται τὸν νοῦν καὶ τὴν ἀρχὴν τῆς ψυχῆς. Οὐκοῦν ἐν τούτῳ ἡ ἀρετὴ τοῦ σώματος, ἐν τῷ εἴκειν τῇ ψυχῇ, ἐπεὶ καθ' ἑαυτήν, οὔτε καλή, οὔτε κακή. Τί γὰρ ἂν ἐργάσαιτο τὸ σῶμα καθ' ἑαυτό; ὥστε τῇ συναφείᾳ καλὸν τὸ σῶμα, καλὸν διὰ τὴν ὑποταγήν, ἐπεὶ καθ' ἑαυτὸ οὔτε καλόν, οὔτε κακόν, καὶ πρὸς τοῦτο δέ, καὶ πρὸς ἐκεῖνο ἐπιτήδειον, εἰς ἑκάτερα τὴν ῥοπὴν ἔχον. Τὸ σῶμα ἐπιθυμεῖ, ἀλλ' οὐ πορνείας, οὐδὲ μοιχείας, ἀλλὰ * μίξεως. τὸ σῶμα ἐπιθυμεῖ, οὐ τρυφῆς, ἀλλὰ τροφῆς, οὐ μέθης, ἀλλὰ ποτοῦ. Ὅτι γὰρ οὐχ ἡ μέθη τοῦ σώματός ἐστιν ἐπιθυμία, σκόπει πῶς οὐκ ἀντέχει λοιπόν, ὅταν ὑπερβῇς τὸ μέτρον, ὅταν τὰ ὅρια νικήσῃς τὰ τοῦ σώματος· ἐπεὶ τὰ ἄλλα πάντα τῆς ψυχῆς ἐστιν, οἷον ὅταν εἰς σαρκικὰ καταφέρηται, ὅταν παχεῖα γίνηται. Εἰ γὰρ καὶ καλὸν τὸ σῶμα, ἀλλὰ σφόδρα ἧττον τῆς ψυχῆς. Ὥσπερ οὖν ἥττων ὁ μόλυβδος χρυσοῦ, ἀλλ' ὅμως δεῖται καὶ τοῦ μολίβδου τοῦ συγκολλῶντος, οὕτω δεῖ καὶ τοῦ σώματος τῇ ψυχῇ· ἢ ὥσπερ παιδίον ἐστὶν εὐγενὲς παιδαγωγοῦ δεόμενον, οὕτω καὶ ἡ ψυχὴ δεῖται τοῦ σώματος. Καὶ μὴ θαυμάσῃς, εἰ τοιαῦτα παρήγαγον παραδείγματα.

α. Κορ. β. ιδ.

γρ. ἀπολαύσαντα.

γρ. εἰργάσατο

* ἁπλῶς

ὥσπερ

ὥσπερ γὰρ παιδικὰ πράγματα λέγομεν, οὐ τὴν ἡλικίαν διαβάλλοντες, ἀλλὰ τὰ κατ' αὐτήν· οὕτω καὶ περὶ τοῦ σώματος. ἀλλ' ἔνεστι μὴ εἶναι ἐν σαρκὶ, ἂν θέλωμεν, ὥσπερ οὐδὲ ἐν τῇ γῇ, ἀλλ' ἐν οὐρανοῖς, καὶ ἐν πνεύματι. τὸ γὰρ εἶναί που, οὐχ οὕτω τῇ θέσει τῇ ἐν τῷ τόπῳ λέγεται, ὡς τῇ διαθέσει. πολλοὺς γοῦν ὄντας που, λέγομεν μὴ εἶναι, λέγοντες, οὐκ ἔνθα ἐν ταῦθα. τί λέγω ταῦτα; πολλάκις λέγομεν, οὐκ εἶ ἐν σαυτῷ, οὐκ εἰμὶ ἐν ἐμαυτῷ, καίτοι τί σωματικώτερον τούτου, ὅταν αὐτὸς ἑαυτῷ πλησιάζῃ; ἀλλ' ὅμως οὐ φαμὲν αὐτὸν εἶναι ἐν ἑαυτῷ. γενώμεθα τοίνυν ἐν ἑαυτοῖς, ἐν τῷ οὐρανῷ, ἐν τῷ πνεύματι· μείνωμεν ἐπὶ τῆς εἰρήνης, καὶ τῆς χάριτος τοῦ Θεοῦ, ἵνα πάντων τῶν σαρκικῶν ἀπαλλαγέντες, δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ϛ'. 17 ΚΑΙ ΕΛΘΩΝ ΕΥΗΓΓΕΛΙΣΑΤΟ ΕΙΡΗΝΗΝ
ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς, 18 Ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσα-
γωγὴν ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. 19 Ἄρα οὖν
οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ,
20 Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος
ἀκρογωνιαίου λίθου αὐτοῦ Χριστοῦ, 21 Ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρ-
μολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, 22 Ἐν ᾧ καὶ ὑμεῖς συνοι-
κοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι.

Οὐ δι' ἑτέρου, φησὶν, ἔπεμψεν, οὐδὲ δι' ἄλλου τινὸς ταῦτα ἐμήνυσεν ἡμῖν, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ. οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον ἀπέστειλεν, ἐπειδὴ τὸ διορθῶσαι τὰ τοσαῦτα κακὰ οὐδενὸς ἑτέρου ἦν, ἀλλὰ τῆς αὐτοῦ προνοίας, [καὶ τὸ ἀπαγγεῖλαι τὰ γινόμενα]. ὑπηρέτου καὶ σχεδὸν διακόνου τάξιν ἀνεδέξατο ὁ δεσπότης, καὶ ἦλθε, καὶ εὐηγγελίσατο εἰρήνην ὑμῖν, φησι, τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. τοῖς Ἰουδαίοις, φησὶν, ἐγγύς, ὡς πρὸς ἡμᾶς. ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. εἰρήνην τὴν πρὸς τὸν Θεὸν, φησι. ὁ γὰρ κατήλλαξεν ἡμᾶς. ἄλλως δὲ καὶ αὐτός φησιν, Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ πάλιν, Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον, καὶ ὅτι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, λήψεσθε. καὶ πάλιν, Οὐκ ὁ πατὴρ ὑμᾶς φιλεῖ. ταῦτα τῆς εἰρήνης τεκμήρια, καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους. πρὸς τούτους πῶς; ὅτι δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν ἀμφότεροι ἐν ἑνὶ πνεύματι, οὐχ ὑμεῖς ἔλαττον, ἐκεῖνοι δὲ πλέον, ἀλλὰ μιᾷ χάριτι*. τὴν μὲν γὰρ ὀργὴν ἔλυσε τοῦ θανάτου, ἐπεράστους δὲ ἡμᾶς ἐποίησε τῷ πατρὶ διὰ τοῦ πνεύματος. ἰδοὺ πάλιν, τὸ, ἐν, διὰ, ἐστί. δι' ἑαυτοῦ καὶ πνεύματος προσήγαγεν αὐτῷ. ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων. ὁρᾷς ὅτι οὐχ ἁπλῶς τῶν Ἰουδαίων, ἀλλὰ τῶν ἁγίων καὶ μεγάλων ἐκείνων ἀνδρῶν τῶν περὶ Ἀβραὰμ, καὶ Μωϋσῆν, καὶ Ἠλίαν εἰς τὴν αὐτὴν πόλιν ἀπεγράφημεν, εἰς ἐκείνην ἐμφανιζόμεθα; Οἱ γὰρ τοιαῦτα λέγοντές, φησιν, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσιν. οὐκέτι ξένοι τῶν ἁγίων, οὐδὲ πάροικοι. οἱ γὰρ μὴ μέλλοντες ἐπιτεύξεσθαι τῶν οὐρανίων, πάροικοί εἰσιν. Ὁ γὰρ υἱὸς, φησι, μένει εἰς τὸν αἰῶνα. καὶ οἰκεῖοι, φησι, τοῦ Θεοῦ. ὅπερ ἔχον ἐξ ἀρχῆς ἐκεῖνοι διὰ πολλῶν πόνων, τοῦτο ὑμῖν διὰ τῆς τοῦ Θεοῦ χάριτος κατωρθώθη. ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων, καὶ προφητῶν. ἰδοὺ ἡ ἐλπὶς τῆς κλήσεως. ὅρα πῶς πάντα φύρει

Margin notes: χ. ὑμῖν — * πάντες ἠξιώθησαν. — Ιωαν. ιδ. κζ. — Ιωαν. ιϛ. λγ. — Ιωαν. ιδ. ιδ. — Ιωαν. ιϛ. κζ. — Εβρ. ια. ιδ. — Ιωαν. η. λε.

τοὺς Ἕλληνας, τοὺς Ἰουδαίους, τοὺς ἀποστόλους, τοὺς προφήτας, τὸν Χριστόν· καὶ ποτὲ μὲν ἀπὸ
τοῦ σώματος, ποτὲ δὲ ἀπὸ τῆς οἰκοδομῆς τὴν συνάφειαν δείκνυσιν. ἐποικοδομηθέντες, φη-
σὶν, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· τουτέστι, θεμέλιος οἱ ἀπόστολοι, καὶ οἱ
προφῆται. καὶ πρότερον τίθησι τοὺς ἀποστόλους ἐσχάτους ὄντας τοῖς χρόνοις, ἤτοι τοῦτο δεικνὺς
καὶ λέγων, ὅτι θεμέλιός εἰσι καὶ οὗτοι κἀκεῖνοι, καὶ μία οἰκοδομὴ τὸ πᾶν, καὶ ῥίζα μία. ἐπόη-
σεν τοὺς Ἕλληνας θεμέλιον ἔχοντας τοὺς πατριάρχας. ἐνταῦθα μᾶλλον αὐτὸ τὸ κυριώτε-
ρον λέγει, ἢ ὅταν ἐγκεντρισμὸν λέγῃ· μᾶλλον ἐκεῖ καθάπτεται. εἶτα ἐπάγει, ὄντος ἀ-
κρογωνιαίου Ἰησοῦ Χριστοῦ, δηλῶν ὅτι τὸ πᾶν συνέχων ἐστὶν ὁ Χριστός. ὁ γὰρ λίθος ὁ ἀκρο-
γωνιαῖος καὶ τοὺς τοίχους συνέχει, καὶ τοὺς θεμελίους. ἐν ᾧ πᾶσα οἰκοδομή. ὅρα πῶς αὐτὸ
συνῆψε. καὶ δείκνυσι ποτὲ μὲν ἄνωθεν κατέχοντα τὸ πᾶν σῶμα καὶ συγκροτοῦντα, ποτὲ δὲ κά-
Εφ. β. ιε. τωθεν διαβαστάζοντα τὴν οἰκοδομὴν, καὶ ῥίζαν ὄντα. τὸ δὲ, Ἔκτισεν ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄν-
θρωπον, εἰπὼν, διὰ τούτου ἐδήλωσεν, ὅτι δι᾽ ἑαυτοῦ συνῆψεν ἑκατέρους τοὺς τοίχους, καὶ πάλιν ὅτι
Κολοσ. α. ιε. ἐν αὐτῷ ἐκτίσθη. καὶ, Πρωτότοκός, φησι, πάσης κτίσεως· τουτέστι, πάντα αὐτὸς διαβαστάζει.
Ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη. κἂν τὸν ὄροφον εἴπῃς, κἂν τοὺς τοίχους, κἂν
α. Κορ. γ. ια. ὁποιονοῦν ἕτερον, τὸ πᾶν διαβαστάζει αὐτός. ἀλλαχοῦ δὲ αὐτὸν θεμέλιον καλεῖ. Θεμέλιον γὰρ
ἄλλον, φησὶν, οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. ἐν ᾧ πᾶσα
οἰκοδομὴ, φησι, συναρμολογουμένη. ἐνταῦθα τὸ ἀκριβὲς ἐμφαίνει, καὶ δείκνυσιν, ὅτι οὐκ ἔνι
ἄλλως τεθῆναι, μὴ μετὰ πολλῆς τῆς ἀκριβείας βιώσαντα. αὔξει γάρ, φησιν, εἰς ναὸν ἅ-
γιον ἐν Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς, φησι, συνοικοδομεῖσθε. συνεχέστερον αὐτὸ λέγει, εἰς ναὸν ἅ-
γιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. τί δὴ βούλεται ἡ οἰκοδομή; ὥστε τὸν Θεὸν
ἐνοικῆσαι ἐν τῷ ναῷ τούτῳ. ἕκαστος γὰρ ὑμῶν ναός ἐστι, καὶ κοινῇ πάντες, καὶ ὡς ἐν σώματι Χρι-
στοῦ οἰκεῖ, καὶ ὡς ἐν ναῷ πνευματικῷ οἰκεῖ. διὰ τοῦτο οὐκ εἶπε, πρόσοδον, ἀλλὰ, προσα-
Ιωαν. ιδ. ς. γωγήν. οὐ γὰρ ἀφ᾽ ἑαυτῶν προσήλθομεν, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ προσήχθημεν. Οὐδεὶς γὰρ,
φησιν, ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι᾽ ἐμοῦ. καὶ πάλιν, Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια,
καὶ ἡ ζωή. εἰς ναὸν ἅγιον συνοικοδομεῖσθε. πάλιν ἐπὶ τὸ πρότερον ἄνεισιν ὑπόδειγμα, καὶ
συνάπτει αὐτοὺς τοῖς ἁγίοις, οὐδαμοῦ ἀφεὶς ἀπηρτῆσθαι τοῦ Χριστοῦ. ἆρα μέχρι τῆς παρουσίας
α. Κορ. γ. ι. ἡ οἰκοδομὴ αὕτη. ἆρα διὰ τοῦτο Παῦλος ἔλεγεν, Ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα. καὶ
πάλιν ἐνταῦθα, θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός. ὁρᾷς ὅτι
τὰ παραδείγματα πρὸς τὰ ὑποκείμενα, ἀλλ᾽ οὐχ ἁπλῶς ἐκλαμβάνειν χρή. ἀπὸ
παραδειγμάτων τοῦτο εἶπεν, ὡς ὅταν ὁ Χριστὸς γεωργὸν λέγῃ τὸν πατέρα, καὶ ῥίζαν ἑαυτόν.

κεφ. γ. 1 Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος Ἰησοῦ Χριστοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν.

Εἶπε τοῦ Χριστοῦ τὴν κηδεμονίαν τὴν πολλὴν, ἐκβαίνει λοιπὸν καὶ ἐπὶ τὴν ἑαυτοῦ, μι-
κρὰν μὲν οὖσαν, καὶ σφόδρα οὐδὲν πρὸς ἐκείνην, ἱκανὴν δὲ καὶ ταύτην ἐπισπάσασθαι. διὰ
τοῦτο καὶ ἐγὼ δέδεμαι, φησιν. εἰ γὰρ ὁ δεσπότης ὁ ἐμὸς ἐσταυρώθη δι᾽ ὑμᾶς, πολλῷ μᾶλλον ἐ-
γὼ δέδεμαι. οὐ μόνον αὐτὸς ἐδέθη, ἀλλὰ καὶ τοὺς αὐτοῦ δούλους δεσμεῖσθαι συγχωρεῖ. ὑπὲρ
ὑμῶν τῶν ἐθνῶν. πολλὴ ἡ ἔμφασις, οὐ μόνον ὑμᾶς οὐ βδελυττόμεθα λοιπὸν, ἀλλὰ καὶ δεσμεύ-
μεθα δι᾽ ὑμᾶς, φησι, καὶ ἐγὼ τοσαύτης ἀπέλαυσα χάριτος.

2 Εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς.

Τὴν πρόρρησιν αἰνίττεται τὴν πρὸς τὸν Ἀνανίαν ῥηθεῖσαν περὶ αὐτοῦ ἐν Δαμασκῷ, ἡ-
Πραξ. θ. ιε. νίκα ἔλεγε· Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον
ἐθνῶν, καὶ βασιλέων. οἰκονομίαν χάριτος φησὶ τὴν ἀποκάλυψιν. τοῦτό ἐστιν, οὐ παρὰ ἀν-
θρώπου ἔμαθον· κατηξίωσε καὶ ἐμοὶ ἑνὶ ὄντι ἀποκαλύψαι δι᾽ ὑμᾶς. αὐτὸς γάρ μοι εἶπε,
Πραξ. κβ. κα. φησὶ· Πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. τὴν οἰκονομίαν καλῶς οὕτως εἶ-
πεν. οἰκονομία γὰρ ἦν μεγάλη, τὸ μηδαμόθεν πειθόμενον ἄνωθεν καλέσαι, καὶ εἰπεῖν·

Σαῦλε,

Σαῦλε, Σαῦλε, τί με διώκεις; καὶ τὸ πηρῶσαι τῷ φωτὶ ἐκείνῳ τῷ ἀπορρήτῳ. Εἴγε ἠκούσατε, φησὶ, τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, Πραξ. θ. δ.

3 Ὅτι κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ.

γ. ἐγνωρίσθη μοι
γ. διὰ πολλῆς ἔγραφε.

Ἴσως διά τινων ἐδήλωσεν, ἢ οὐ παρὰ πολλοῦ γεγραφὼς ἦν. Διηγεῖται ἐνταῦθα, ὅτι τὸ πᾶν τοῦ Θεοῦ ἐστιν, ὅτι οὐδὲν εἰσηνέγκαμεν. Τί γάρ, εἰπέ μοι; Παῦλος αὐτὸς ὁ μέγας καὶ θαυμαστὸς, ὁ νομομαθὴς, ὁ ὑπὸ τοὺς πόδας Γαμαλιὴλ κατὰ ἀκρίβειαν παιδευθεὶς, οὐχὶ χάριτι ἐσώθη; Τὸ μυστήριον εἰκότως καλεῖ. μυστήριον γάρ ἐστι τὸ τὰ ἔθνη ἐξαίφνης εἰς μείζονα τῶν Ἰουδαίων εὐγένειαν ἀναγαγεῖν. καθὼς προέγραψα, φησὶν, ἐν ὀλίγῳ, διὰ βραχέων.

4 Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι. Βαβαὶ ὥστε οὐ τὸ πᾶν ἔγραφεν, οὐδὲ ὅσα γράψαι εἶχεν. ἀλλ' ἐνταῦθα μὲν ἡ φύσις τοῦ πράγματος τοῦτο ἐποίει, ἀλλαχοῦ δὲ ἡ κακία, ὡς πρὸς Ἑβραίους, ὡς παρὰ Κορινθίοις. Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου, φησὶν, ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ·

Τουτέστι, πῶς συνῆκα, πῶς ἐνόησα, ἢ τοιαῦτα, ἃ εἶπεν ὁ Θεός, ἢ ὅτι κάθηται ἐκ δεξιῶν. εἶτα καὶ τὸ ἀξίωμα, ὅτι οὐκ ἐποίησεν οὕτως ὁ Θεὸς παντὶ ἔθνει. καὶ ποῖον ἔθνος τοῦτο, ᾧ ἐποίησεν οὕτως ὁ Θεὸς δηλῶν, ἐπάγει· Ψαλμ. ρμζ. θ.

5 Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν τῷ πνεύματι. Τί οὖν, εἰπέ μοι, οὐκ ᾔδεσαν οἱ προφῆται; πῶς οὖν φησιν ὁ Χριστός, Ὅτι Μωϋσῆς καὶ οἱ προφῆται ταῦτα περὶ ἐμοῦ ἔγραψαν· καὶ πάλιν· Εἰ ἐπιστεύσατε Μωϋσῇ, ἐπιστεύσατε ἂν ἐμοί. καὶ πάλιν· Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, κἀκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. Ιωαν. ε. μ. καὶ μς. τοῦτό φησιν, ἢ ὅτι πᾶσιν ἀνθρώποις οὐκ ἀπεκαλύφθη (προσέθηκε γὰρ, ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη) ἢ ὅτι οὕτως οὐκ ἐγνωρίσθη διὰ πραγμάτων αὐτῶν, καὶ ἔργων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ, καὶ προφήταις ἐν πνεύματι. ἐννόησον γάρ. ὁ Πέτρος, εἰ μὴ παρὰ τοῦ πνεύματος ἤκουσεν, οὐκ ἂν ἐπορεύθη εἰς τὰ ἔθνη. ἄκουσον γὰρ τί φησιν· Ἄρα ἔδωκεν ὁ Θεὸς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, ὡς καὶ ἡμῖν. Πραξ. ι. μζ. τοῦτό ἐστιν ὅ φησιν, ἐν πνεύματι, ὅτι διὰ πνεύματος ἠξίωσεν ὁ Θεὸς λαβεῖν αὐτοὺς τὴν χάριν. ἔλεγον μὲν οὖν οἱ προφῆται, οὕτω δὲ ἀκριβῶς οὐκ ᾔδεσαν, ὅπου γε οὐδὲ οἱ ἀπόστολοι μετὰ τὸ ἀκοῦσαι. πολὺ γὰρ ὑπερέβαινεν ἀνθρώπινον λογισμὸν, καὶ ἐλπίδα κοινήν.

γ. διότι
γ. τουτέστιν, ἐν πνεύματι ἐξελέξατο ὁ Θεὸς λαβεῖν

6 Εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα.

γ. κληθήσονται

Τί ἐστι, συγκληρονόμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας, καὶ σύσσωμα; τοῦτο ἐστὶ τὸ μέγα, τὸ ἓν σῶμα εἶναι, ἡ ἐγγύτης ἡ πολλή. ὅτι μὲν γὰρ κληθήσεται, ᾔδεσαν, ὅτι δὲ ἐπὶ τούτοις, οὐκέτι. τοῦτο τοίνυν καλεῖ μυστήριον τῆς ἐπαγγελίας. μετεῖχον οἱ Ἰσραηλῖται, συμμετέχουσι δὲ καὶ τὰ ἔθνη τῆς ἐπαγγελίας τοῦ Θεοῦ. Ἐν τῷ Χριστῷ διὰ τοῦ εὐαγγελίου, Τουτέστι, τῷ πεμφθῆναι καὶ πρὸς αὐτοὺς, καὶ τῷ πιστεῦσαι. οὐ γὰρ ἁπλῶς, ἀλλὰ διὰ τοῦ εὐαγγελίου. ἀλλὰ τοῦτο μὲν οὐδὲν μέγα (μικρὸν γὰρ) καὶ ἄλλο μεῖζον ἡμῖν ἀποκαλύπτει, ὅτι οὐ μόνον ἄνθρωποι, ἀλλ' οὐδὲ ἄγγελοι, οὐδὲ ἀρχάγγελοι, οὐδὲ ἄλλη τις κτιστὴ δύναμις ᾔδει τοῦτο. μυστήριον γὰρ ἦν τοῦτο, καὶ οὐκ ἀπεκαλύφθη τινί. τὴν σύνεσίν μου, φησὶ, νοῆσαι. τοῦτο αἰνίττεται ἴσως τὸ ἐν ταῖς πράξεσιν εἶπεν αὐτοῖς, ὅτι τίς ἡ σύνεσις αὐτοῦ, ὅτι καὶ τὰ ἔθνη προσκαλεῖται· ταύτην ἑαυτοῦ λέγει σύνεσιν τὴν τοῦ μυστηρίου, ὃ εἶπεν, ὅτι ἐν ἑαυτῷ κτίσει εἰς ἕνα καινὸν ἄνθρωπον. ἀπὸ γὰρ ἀποκαλύψεως ἔμαθεν, ὅτι οὐ δεῖ βδελύττεσθαι τὰ ἔθνη, καὶ οὗτος, καὶ Πέτρος. καὶ τοῦτο ἐν τῇ ἀπολογίᾳ αὐτοῦ φησιν.

7 Οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ. Εἶπεν, ὅτι δέσμιός εἰμι, ἀλλὰ πάλιν τὸ ὅλον

αὐτοῦ

αὐτοῦ εἶναί φησι, κατὰ τὴν δωρεὰν τῆς χάριτος αὐτοῦ λέγων. κατὰ δύναμιν γὰρ δωρεᾶς γέγονε τὸ ἀξίωμα τῆς τιμῆς ταύτης· ἀλλ᾽ οὐκ ἤρκει ἡ δωρεά, εἰ μὴ καὶ δύναμιν ἐνέθηκεν.

ΗΘΙΚΟΝ

Ὄντως γὰρ δυνάμεως μεγάλης, * καὶ οὐκ ἤρκει ἀνθρωπίνη σπουδή. τρία γὰρ εἰσήνεγκεν εἰς τὸ κήρυγμα, προθυμίαν [illegible]ουσαν καὶ παράβολον, ψυχὴν πᾶν ὁτιοῦν ὑπομεῖναι ἕτοιμον, καὶ σύνεσιν καὶ σοφίαν· οὐ γὰρ ἤρκει τὸ φιλοκίνδυνον, ὁ βίος ἄληπτος, εἰ μὴ καὶ δύναμιν πνεύματος ἔλαβε. καὶ θέα ἀπ᾽ αὐτοῦ τούτου, μᾶλλον δὲ ἄκουε αὐτοῦ γράφοντος· Ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν. καὶ πάλιν, Ἡ γὰρ παράκλησις ἡμῶν, οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν λόγῳ κολακείας, οὔτε ἐν προφάσει πλεονεξίας. εἶδες τὸ ἄμωμον; καὶ πάλιν, Προνοούμενοι καλά, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. εἶτα μετὰ ταῦτα, Καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ. καὶ πάλιν, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμός; καὶ πάλιν, Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς. εἶτα ἡ οἰκονομία αὐτοῦ· Γέγονα τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις, ὡς ἄνομος, τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον· καὶ ξυρᾶται, καὶ μυρία ποιεῖ. τὸ δὲ πάντων κεφάλαιον, ἐν δυνάμει πνεύματος ἁγίου. Οὐ γὰρ τολμήσω λαλῆσαί τι, φησίν, ὧν οὐ κατειργάσατο Χριστὸς δι᾽ ἐμοῦ. καὶ πάλιν, Τί γάρ ἐστιν, ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; καὶ πάλιν, Οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι. τούτων γὰρ ἄνευ οὐ δυνατόν. οὐ διὰ τὰ σημεῖα δὲ μόνον αὐτοῦ ἐγένοντο πιστοί. οὐ γὰρ τὰ σημεῖα τοῦτο ἐποίει, οὐδὲ ἀπὸ τούτων ἠξίου μέγα φρονεῖν, ἀλλ᾽ ἀπὸ τῶν ἄλλων. δεῖ γὰρ καὶ ἄληπτον εἶναι, καὶ οἰκονομικόν, καὶ ῥιψοκίνδυνον, καὶ διδακτικόν. τούτοις δὲ πλέον * κατώρθου. εἰ ταῦτα ἦν *, οὐδὲν ἔδει σημείων. ὁρῶμεν γοῦν αὐτὸν καὶ χωρὶς τῶν σημείων μυρία τοιαῦτα κατωρθωκότα. νῦν δὲ οὐδὲν τούτων ἔχοντες ἡμεῖς, βουλόμεθα πάντων κρατεῖν. θάτερον γὰρ ἄνευ διασπασθὲν θατέρου, τὸ λοιπὸν ἄχρηστον γίνεται. Τί γὰρ ὄφελος ῥιψοκίνδυνον εἶναι, βίου ὄντα ἐπιλήψιμον; Εἰ γὰρ τὸ φῶς τὸ ἐν σοὶ σκότος, φησί, τὸ σκότος πόσον; τί δὲ ὄφελος βίου εἶναι ἀλήπτου, νωθρὸν ὄντα καὶ ὑπνηλόν; Ἐὰν γὰρ μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, φησί, καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. καί, Ἐὰν μή τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων. τί δὲ ὄφελος εἶναι ταῦτα ἀμφότερα, καὶ μὴ εἶναι οἰκονομικόν, ὥστε εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνασθαι; Εἰ καὶ τὰ σημεῖα οὐκ ἐν ἡμῖν, ταῦτα ἀμφότερα ἐν ἡμῖν. ἀλλ᾽ ὅμως τοσαῦτα εἰσφέρων παρ᾽ ἑαυτοῦ, τὸ πᾶν ἐλογίζετο τῇ χάριτι. οὕτως εὐγνώμονος οἰκέτου. καὶ οὐδ᾽ ἂν ἐμάθομεν αὐτοῦ ποτε τὰ κατορθώματα, εἰ μὴ εἰς ἀνάγκην κατέστη τοῦ πράγματος. ἆρα ἄξιοί ἐσμεν κἂν μεμνῆσθαι Παύλου; ἐκεῖνος καὶ τὴν χάριν ἔχων βοηθοῦσαν, οὐκ ἠρκεῖτο, ἀλλὰ μυρίους εἰσέφερε κινδύνους. ἡμεῖς δὲ ἀπεστερημένοι τῆς παρρησίας ἐκείνης, πόθεν, εἰπέ μοι, προσδοκῶμεν ἢ τοὺς ἐγχειρισθέντας φυλάξαι, ἢ τοὺς οὐδέπω προσελθόντας προσλαβεῖν, ἄνθρωποι τρυφᾶν μεμελετηκότες καὶ ἀνάπαυσιν πανταχοῦ ζητοῦντες, καὶ κινδύνους οὐδὲ ὄναρ ἐνεγκεῖν δυνάμενοι, μᾶλλον δὲ οὐ θέλοντες, τῆς δὲ σοφίας ἐκείνου τοσοῦτον ἀπέχοντες, ὅσον ὁ οὐρανὸς τῆς γῆς; διὰ τοῦτο καὶ οἱ ὑφ᾽ ἡμῖν πολὺ τῶν τότε ἀφεστήκασιν, ἐπειδὴ καὶ οἱ τότε μαθηταὶ τῶν νῦν διδασκάλων κρείττους ἦσαν, ἐν μέσοις δήμοις καὶ τυράννοις ἀπειλημμένοι, καὶ πάντας πανταχόθεν ἔχοντες πολεμίους, καὶ οὐδὲ πρὸς βραχὺ καθελκόμενοι καὶ ἐπικαμπτόμενοι. ἄκουε γοῦν τί φησι Φιλιππησίοις· Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Θεσσαλονικεῦσι δὲ πάλιν, Ὅτι μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν ἐν τῇ Ἰουδαίᾳ. καὶ Ἑβραίοις δὲ γράφων ἔλεγε· Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. καὶ Κολασσαεῦσι δὲ μαρτυρεῖ λέγων· Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν Χριστῷ ἐν τῷ Θεῷ· καὶ αὐτοῖς δὲ τούτοις πολλοὺς κινδύνους μαρτυρεῖ. καὶ Γαλάταις δὲ γράφων

Margin references: β.Κορ.ϛ.γ. — α.Θεσ.β.γ. — Ρωμ.ιβ.ιζ. — α.Κορ.ιε.λα. — Ρωμ.η.λε. — β.Κορ.ϛ.δ. — α.Κορ.θ.κ. — Ρωμ.ιε.ιη. — β.Κορ.ιβ.ιγ. — β.Κορ.ια.ε. — Ματθ.ϛ.κγ. — Ματθ.ι.λη. — Ιωαν.ι.ια. — Φιλιπ.α.κθ. — α.Θεσ.β.ιδ. — Εβρ.ι.λδ. — Κολασ.γ.γ.

Margin variants: * [illegible] — χ. ὑμετ. — * [illegible] — * ἐξ ἀρχῆς — χ. [illegible] αὐτοῦ. — χ. τὸ — χ. ἀπ[illegible] — χ. ὑφ᾽ ἡμῶν διδασκάλων

φων λέγει· Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. καὶ ὁρᾷς αὐτοὺς περὶ εὐποιίας πάντας ἐσχολακότας. [γρ. ἐλεημοσύνην] [Γαλ. γ. δ.] διὰ τοῦτο καὶ ἡ χάρις ἐνήργει τότε, διὰ τοῦτο καὶ ἐν χαρίσμασιν ἔζων. ἄκουε δὲ καὶ Κορινθίοις ἃ γράφει, οἷς μυρία ἐγκαλεῖ. οὐχὶ καὶ αὐτοῖς μαρτυρεῖ, λέγων, Ἀλλὰ τὸν ζῆλον ὑμῶν, ἀλλὰ τὴν ἐπιπόθησιν; [β. Κορ. ζ. ια.] καὶ πάλιν περὶ τούτου ὅσα αὐτοῖς μαρτυρεῖ; [γρ. λέγων·] ταῦτα οὐδὲ ἐν διδασκάλοις ἴδοι τις ἂν γινόμενα νῦν· ὥστε πάντα οἴχεται καὶ ἀπόλωλε. τὸ δὲ αἴτιον, τὸ τὴν ἀγάπην ἐψῦχθαι, τὸ τοὺς ἁμαρτάνοντας μὴ κολάζεσθαι. (ἄκουε γὰρ αὐτοῦ γράφοντος τῷ Τιμοθέῳ, καὶ λέγοντος· Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε) [α. Τιμ. ε. κ.] τὸ τοὺς ἄρχοντας νοσεῖν· τῆς γὰρ κεφαλῆς οὐχ ὑγιαινούσης, πῶς ἂν τὸ λοιπὸν σῶμα εὐρωστῆ μένοι; ὅρα γοῦν ἀνωμαλίαν νῦν ὅση. οἱ μὲν γὰρ ὀρθῶς βιοῦντες, καὶ ὁπωσδήποτε παῤῥησίαν ἔχοντες, τὰς κορυφὰς τῶν ὀρέων κατειλήφασι, καὶ ἐκ μέσου γεγόνασιν, ὥσπερ πολεμίου καὶ ἀλλοτρίου, ἀλλ' οὐχὶ οἰκείου σώματος ἀποσπώμενοι· φαῦλοι δὲ καὶ μυρίων γέμοντες κακῶν εἰσεπήδησαν εἰς τὰς ἐκκλησίας. ὠνηταὶ γεγόνασιν αἱ ἀρχαί. μυρία ἐντεῦθεν τίκτεται κακά, καὶ οὐδεὶς ὁ διορθούμενος, οὐδεὶς ὁ ἐπιτιμῶν· ἀλλ' ὁδόν τινα καὶ ἀκολουθίαν ἔλαβεν ἡ ἀταξία. ἡμάρτηκέ τις, καὶ ἐνεκλήθη; οὐ πρὸς τὸ δεῖξαι ἑαυτὸν ἀθῷον σπουδάζει, ἀλλὰ πρὸς τὸ δυνηθῆναι κοινωνοὺς τῶν ἐγκλημάτων εὑρεῖν. τί πάθω; ὅτι γέεννα ἠπείληται, πιστεύσατέ μοι· ὡς εἰ μὴ ἐκεῖ τεταμίευτο τὴν κόλασιν ἡμῖν ὁ Θεός, τῶν Ἰουδαϊκῶν συμφορῶν μείζους ἂν εἴδετε καθ' ἑκάστην ἡμέραν τραγῳδίας. τί γάρ; ἀλλὰ μὴ ὀργιζέσθω μηδείς· οὐ γὰρ ὀνομαστὶ ἐρῶ. εἴ τις παραγινόμενος εἰς τὴν ἐκκλησίαν, ὑμᾶς τοὺς νῦν ὄντας ἐνταῦθα παρεστῶτας, τοὺς μεθ' ἡμῶν ὄντας, ἐξέτασιν ἐποιεῖτο· μᾶλλον δὲ οὐ νῦν, ἀλλ' εἰς αὐτὴν τὴν ἡμέραν τοῦ πάσχα πάντας τοὺς προσιόντας, καὶ λουομένους, μετὰ τὸ προσελθεῖν τοῖς μυστηρίοις ἐξήτασε σὺν ἀκριβείᾳ, πνεῦμα τοιοῦτον λαβών, ὥστε εἰδέναι τὰ πεπραγμένα αὐτοῖς μετ' ἀκριβείας, πολλὰ ἂν εὑρέθη βαρύτερα τῶν Ἰουδαϊκῶν κακῶν. καὶ γὰρ οἰωνιζομένους, καὶ φαρμακείαις καὶ κληδονισμοῖς καὶ ἐπῳδαῖς κεχρημένους, καὶ πεπορνευκότας, καὶ μοιχεύσαντας, καὶ μεθύσους, καὶ λοιδόρους εὗρεν ἄν. πλεονέκτας δὲ οὐ βούλομαι λέγειν, μὴ καί τινων ἅψωμαι τῶν ἐνταῦθα ἑστώτων. [γρ. καὶ μεθ' ἡμῶν παρόντας, γρ. λελουμ. γρ. μετ' ἀκριβείας,] τί δέ, εἴ τις τοὺς ἐν τῇ οἰκουμένῃ προεστῶτας ἅπαντας ἠρεύνησε, ποῖον οὐκ ἂν εὗρε πλημμέλημα; τί δὲ τοὺς ἄρχοντας, οὐχὶ χρημάτων ἐφιεμένους; οὐχὶ ἀρχὰς ὠνουμένους; οὐχὶ φθονεροὺς; οὐχὶ βασκαίνοντας; οὐχὶ κενοδόξους; οὐχὶ λαιμάργους, καὶ χρημάτων δούλους; τοσαύτης οὖν ἀσεβείας γινομένης, τί οὐχὶ προσδοκῆσαι χρὴ δεινόν; καὶ ἵνα μάθητε ὅση τιμωρία ὑπεύθυνοί εἰσιν οἱ τούτοις ἁλισκόμενοι τοῖς ἁμαρτήμασιν, ἐννοεῖτε τὰ παλαιά. εἷς ἔκλεψεν ἱερὰ χρήματα στρατιώτης ἄνθρωπος, καὶ πάντες ἀπώλοντο. [γρ. ἀπώλλυντο.] ἆρα ἴστε τὴν ἱστορίαν; περὶ τοῦ Χαρμὶ λέγω τοῦ τὸ ἀνάθημα κλέψαντος· καὶ τότε μὲν ὁ προφήτης ἔλεγεν, ὅτι ἐνεπλήσθη [Ἰησ. ζ.] ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων. [Ἡσ. β. ς.] νῦν δὲ μυρία γέμει πανταχοῦ κακά, καὶ οὐδεὶς δέδοικε. φοβηθῶμεν λοιπόν. οἶδεν ὁ Θεὸς καὶ δικαίους μετὰ ἀσεβῶν τιμωρεῖσθαι, οἷον γέγονεν ἐπὶ τοῦ Δανιήλ, ἐπὶ τῶν τριῶν παίδων, οἷον ἐπὶ μυρίων ἑτέρων, οἷον ἐπὶ τῶν πολέμων τῶν ἔτι καὶ νῦν συμβαινόντων. οὗτοι μὲν γὰρ καὶ αὐτοὶ ὅσοι ἔχουσιν ἁμαρτημάτων βάρος, διὰ τοῦτο ἀπολοῦνται· ἐκεῖνοι δὲ οὔ. διὰ ταῦτα πάντα προσέχωμεν ἑαυτοῖς. οὐχ ὁρᾶτε τοὺς πολέμους; οὐκ ἀκούετε τὰς συμφοράς; οὐ παιδεύεσθε τούτοις; ἔθνη καὶ πόλεις ὁλόκληροι κατεποντίσθησαν καὶ ἀπώλοντο, μυριάδες τοσαῦται παρὰ τοῖς βαρβάροις δουλεύουσιν. ἂν μὴ τῇ γεέννῃ σωφρονιζώμεθα, κἂν τούτοις. μὴ καὶ ταῦτα ἀπειλαί εἰσι, καὶ οὐχὶ πράγματα ἐκβεβηκότα; μεγάλην ἐκεῖνοι τὴν δίκην ἔδωκαν, ἀλλὰ μείζονα δώσομεν ἡμεῖς, οἱ μηδὲ ταῖς ἐκείνων σωφρονιζόμενοι συμφοραῖς. φορτικὸς ὁ λόγος; οἶδα κἀγώ, ἀλλ' ἐὰν αὐτῷ προσέχωμεν, κέρδος ἔχει. [γρ. κέρδος οὐ μικρὸν δύναται προξενοῦν.] οὐ γὰρ ἔχει τὰ πρὸς χάριν ὁμιλεῖν, μᾶλλον δὲ οὐδέποτε, ἀλλ' ἀεὶ τὰ δυνάμενα συστεῖλαι καὶ σωφρονίσαι τὴν ψυχήν. ταῦτα γὰρ αἴτια ἡμῖν ἔσται τῶν μελλόντων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ζ. 8 ΕΜΟΙ ΤΩ ΕΛΑΧΙΣΤΟΤΕΡΩ ΠΑΝΤΩΝ ἉΓΙΩΝ ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, 9 Καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, 10 Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ,
11 Κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Τοὺς εἰς ἰατρεῖον ἐρχομένους οὐχ ἁπλῶς ἐκεῖ δεῖ πορεύεσθαι, ἀλλ' ὥστε μανθάνειν θεραπεύεσθαι, καὶ φάρμακα ἐπιτιθέναι· καὶ ἡμᾶς τοίνυν ἐνταῦθα παραγινομένους, οὐχ ἁπλῶς δεῖ τοῦτο ποιεῖν, ἀλλὰ μανθάνειν τῆς ταπεινοφροσύνης Παύλου τὴν ὑπερβολήν. τί γάρ; ἐπειδὴ ἔμελλε λέγειν τὸ μέγεθος τῆς χάριτος τοῦ Θεοῦ, ἄκουσον τί φησιν· ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη. ἦν μὲν ταπεινοφροσύνης καὶ τὸ ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι, καίτοι ἐξηλειμμένοις οὖσι, καὶ μεμνῆσθαι αὐτῶν, καὶ μετριάζειν, ὡς ὅταν λέγῃ βλάσφημον ἑαυτὸν, καὶ διώκτην, καὶ ὑβριστήν· ἀλλ' οὐδὲν ἴσον τούτου. πρότερον γάρ φησι, τοιοῦτος ἤμην, καὶ ἔκτρωμα δὲ ἑαυτὸν καλεῖ· τὸ δὲ μετὰ τοσαῦτα κατορθώματα καὶ ἐπὶ τοῦ παρόντος μετριάζειν, καὶ πάντων ἑαυτὸν λέγειν ἐλαχιστότερον, πολλῆς καὶ ὑπερβαλλούσης ἐστὶ μετριότητος. ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων. οὐκ εἶπε, τῶν ἀποστόλων· ὥστε κἀκεῖνο τούτου ἔλαττον. ἐκεῖ εἶπεν, Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος· ἐνταῦθα δὲ καὶ τῶν ἁγίων πάντων ἐλαχιστότερον * εἶναί φησιν. ἐμοί, φησι, τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη. ποία; εὐαγγελίσασθαι τοῖς ἔθνεσι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. ἔσω, ἀνθρώποις οὐκ ἀπεκαλύφθη· καὶ ἀγγέλους, καὶ ἀρχαγγέλους φωτίζεις, καὶ ἀρχάς, καὶ ἐξουσίας; ναί, φησιν. ἐν γὰρ τῷ Θεῷ κέκρυπτο, καὶ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ. καὶ τολμᾷς τοῦτο εἰπεῖν; ναί, φησιν. ἀλλὰ πόθεν τοῦτο δῆλον τοῖς ἀγγέλοις γέγονε; διὰ τῆς ἐκκλησίας. καὶ οὐδὲ ἁπλῶς εἶπεν, ἡ ποικίλη σοφία τοῦ Θεοῦ, ἀλλ', ἡ πολυποίκιλος. τί οὖν ἐστι τοῦτο; οὐκ ᾔδεσαν ἄγγελοι; οὐδαμῶς. εἰ γὰρ ἀρχαὶ οὐκ ᾔδεσαν, πολλῷ μᾶλλον ἄγγελοι οὐκ ᾔδεσαν ἄν. τί οὖν; οὐδὲ ἀρχάγγελοι ᾔδεσαν; οὐδὲ ἐκεῖνοι. πόθεν δὲ καὶ ἔμελλον εἴσεσθαι; τίνος ἀποκαλύπτοντος; ὅτε ἡμεῖς ἐμάθομεν, τότε κἀκεῖνοι δι' ἡμῶν. ἄκουε γὰρ τοῦ ἀγγέλου λέγοντος πρὸς τὸν Ἰωσήφ· Καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. αὐτὸς ἀπεστάλη εἰς τὰ ἔθνη, ἐκεῖνοι δὲ εἰς τὴν περιτομήν. ὥστε τὸ θαυμασιώτερον καὶ ἔκπληκτον ἐμοί, φησιν, ἐδόθη τῷ ἐλαχιστοτέρῳ. καὶ τοῦτο δὲ χάριτος ἦν, τὸ τὸν μικρὸν τὰ μείζονα ἐγχειρισθῆναι, τὸ γενέσθαι τούτων εὐαγγελιστήν. ὁ γὰρ τῶν μειζόνων γενόμενος εὐαγγελιστής, οὗτος μέγας ἐστίν. εὐαγγελίσασθαι ἐν τοῖς ἔθνεσι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ. εἰ ὁ πλοῦτος αὐτοῦ ἀνεξιχνίαστος, καὶ μετὰ τὸ φανῆναι, πολλῷ μᾶλλον ἡ οὐσία. εἰ μυστήριον ἔτι ἐστί, πολλῷ μᾶλλον πρὸ τοῦ γνωρισθῆναι. μυστήριον γὰρ αὐτὸ διὰ τοῦτο καλεῖ, ἐπειδὴ μηδὲ ἄγγελοι ᾔδεσαν, μηδὲ ἑτέρῳ τινὶ δῆλον ἦν. καὶ φωτίσαι πάντας, φησί, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ. ἄγγελοι τοῦτο μόνον ᾔδεσαν, ὅτι ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ.

α. Κορ. ιε. η.
α Κορ. ιε. θ.
Ματθ. α. κα.
Δευτ. λβ. θ.

* εἶναι

τοῦ. καὶ πάλιν, Ὁ ἄρχων τῶν Περσῶν, φησιν, ἀντέστη μοι. ὥστε οὐδὲν θαυμαστὸν, εἰ καὶ τοῦτο ἠγνόουν. εἰ γὰρ τὰ τῆς ἐπιδημίας ἠγνόουν, πολλῷ μᾶλλον ταῦτα. καὶ γὰρ βασίλειοι τοῦτό ἐστι. Ὅστις, φησὶ, σώσει τὸν λαὸν αὐτοῦ τὸν Ἰσραήλ. οὐδὲν περὶ τῶν ἐθνῶν. ἀλλὰ περὶ τῶν ἐθνῶν τὸ πνεῦμα ἀποκαλύπτει. ὅτι μὲν οὖν ἐκλήθησαν, ἤδεσαν, ὅτι δὲ ἐπὶ τοῖς αὐτοῖς, καὶ ὥστε εἰς τὸν θρόνον καθίσαι τὸν τοῦ Θεοῦ, τοῦτο τίς ἂν προσεδόκησε; τίς ἂν ἐπίστευσε; τοῦ ἀποκεκρυμμένου, φησὶν, ἐν τῷ Θεῷ. ταύτην δὲ τὴν οἰκονομίαν σαφέστερον ἐν τῇ πρὸς Ῥωμαίους ἀποκαλύπτει. ἐν τῷ Θεῷ, φησι, τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ. καὶ καλῶς ἐμνημόνευσε κτίσεως, εἰπὼν, διὰ Ἰησοῦ Χριστοῦ. ὁ γὰρ πάντα δι' αὐτοῦ κτίσας, καὶ τοῦτο δι' αὐτοῦ ἀποκαλύπτει. οὐδὲν γὰρ χωρὶς αὐτοῦ πεποίηκε. Χωρὶς γὰρ αὐτοῦ, φησιν, ἐγένετο οὐδέν. εἰπὼν ἀρχὰς, καὶ ἐξουσίας, καὶ τὰς ἄνω, καὶ τὰς κάτω εἶπε. κατὰ πρόθεσιν τῶν αἰώνων. νῦν μὲν, φησι, γέγονεν, οὐ νῦν δὲ ὥριστο, ἀλλ' ἄνωθεν προετετύπωτο. κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· τουτέστι, κατὰ πρόγνωσιν τῶν αἰώνων,* προειδὼς τὰ μέλλοντα,* τοὺς μέλλοντας αἰῶνας φησιν. ἤδει γὰρ τὰ ἐσόμενα, καὶ οὕτως ὥρισε, κατὰ πρόθεσιν τῶν αἰώνων· ἴσως τούτων ὧν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ, ὅτι δὲ διὰ τοῦ Χριστοῦ γέγονεν ἅπαν.

Δαν. ι. ιγ. — Ματθ. α. κα. — χωρὶς ἦν. — Ἰωαν. α. γ. — χ. προδιετυπῶτο. — * ἤπει — * ἢ

12 Ἐν ᾧ ἔχομεν, φησι, τὴν παῤῥησίαν, καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ. Οὐχ ὡς αἰχμάλωτοι, φησι, προσήχθημεν, οὐδ' ὡς συγγνώμης ἀξιούμενοι, οὐδὲ ὡς ἡμαρτηκότες. καὶ τὴν παῤῥησίαν γὰρ, φησιν, ἔχομεν ἐν πεποιθήσει, τουτέστι, μετὰ τοῦ θαῤῥεῖν. πόθεν; διὰ τῆς πίστεως αὐτοῦ.

13 Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν. Πῶς ἐστιν ὑπὲρ αὐτῶν; πῶς ἐστὶ δόξα αὐτῶν; ὅτι οὕτως αὐτοὺς ἠγάπησεν ὁ Θεὸς, ὥστε καὶ τὸν υἱὸν ὑπὲρ αὐτῶν δοῦναι, καὶ τοὺς δούλους * κακοῦν. ἵνα γὰρ οὗτοι τύχωσι τοσούτων ἀγαθῶν, Παῦλος ἐδεσμεῖτο. ἄρα τοῦτο τῆς πολλῆς τοῦ Θεοῦ περὶ αὐτοὺς ἀγάπης· ὅπερ καὶ περὶ τῶν προφητῶν φησιν ὁ Θεός· Ἀπέκτεινον αὐτοὺς ἐν ῥήματι στόματός μου. πῶς δ' ἐξεκάκουν, ἄλλου θλιβομένου; τουτέστιν, ἐθορυβοῦντο, ἐταράττοντο. ταῦτα καὶ Θεσσαλονικεῦσι γράφων λέγει, Ὥστε μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. οὐ μόνον γὰρ οὐκ ἀλγεῖν, ἀλλὰ καὶ χαίρειν χρή. εἰ γὰρ ἀπὸ τῆς προῤῥήσεως παραμυθεῖσθε, προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι ἐνταῦθα. τί δήποτε; ὅτι οὕτως ὁ δεσπότης προσέταξε.

* συγχωρῆσαι — Ὠσ. ς. ε. — α. Θεσ. γ. γ.

14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

15 Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς, καὶ ἐπὶ γῆς ὀνομάζεται. Τὴν διάθεσιν τῆς εὐχῆς τῆς ὑπὲρ αὐτῶν δείκνυσιν. οὐκ εἶπεν ἁπλῶς, εὔχομαι, ἀλλὰ τὴν κατανενυγμένην δέησιν διὰ τοῦ κάμπτειν τὰ γόνατα ἐδήλωσεν. ἐξ οὗ πᾶσα πατριά. οὐκέτι κατὰ ἀριθμὸν ἀγγέλων, φησὶν, ἀλλὰ καὶ τὰς ἄνω, καὶ τὰς κάτω ποιήσαντα φυλὰς, οὐχ οἷαι αἱ Ἰουδαϊκαί. Δευτ. λβ. η.

15 Ἵνα δῷη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον,

17 Κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν.

ἴσ. παραφέρ.

Ὅρα μεθ' ὅσης ἀπληστίας ἐπεύχεται αὐτοῖς τὰ ἀγαθὰ, ὥστε μὴ περιφέρεσθαι. πῶς δ' ἔσται τοῦτο; διὰ πνεύματος ἁγίου εἰς τὸν ἔσω ὑμῶν ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις. πῶς;

18 Ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος,

19 Γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ.

Ὅπερ ἀρχόμενος ηὔξατο, τοῦτο καὶ νῦν. Οὐ γὰρ καὶ ἔλεγεν ἐν ἀρχῇ· ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν εἰς τὸ εἰδέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας. καὶ νῦν τὸ αὐτό φησιν· ἵνα ἰσχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος· τουτέστι, τὸ μυστήριον τὸ ὑπὲρ ἡμῶν οἰκονομηθὲν μετὰ ἀκριβείας εἰδέναι. τοῦτο γὰρ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος· τουτέστι, τὸ μέγεθος τῆς ἀγάπης τοῦ Θεοῦ γνῶναι, πῶς πανταχοῦ ἐκτέταται. * καὶ σωματικοῖς αὐτὴν ὑπογραφεῖ σχήμασι [δεικνὺς τὸν ἄνθρωπον]. περιέλαβε τὰ ἄνω, τὰ κάτω, τὰ ἐκ πλαγίων. Εἴπομεν γάρ, φησιν, οὐκ ἔστι δὲ τῶν ἐμῶν λόγων ταῦτα διδάξαι, ἀλλὰ τοῦ πνεύματος τοῦ ἁγίου. τούτου τῇ δυνάμει, φησί, κραταιωθῆναι πρὸς τοὺς πειρασμούς, καὶ τὸ μὴ διαφέρεσθαι. ὥστε οὐκ ἔστιν ἄλλως κραταιωθῆναι, ἀλλ᾽ ἢ διὰ πνεύματος, καὶ πειρασμῶν. πῶς δὲ ὁ Χριστὸς κατοικεῖ ἐν ταῖς καρδίαις, ἄκουε αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· Ἐλευσόμεθα ἐγώ, καὶ ὁ πατήρ, καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν. κατοικεῖ δὲ οὐχ ἁπλῶς, ἀλλ᾽ ἐν ταῖς καρδίαις ταῖς πισταῖς, ταῖς ἐρριζωμέναις ἐν τῇ ἀγάπῃ αὐτοῦ, ταῖς μὴ διαφερομέναις. ἵνα ἐξισχύσητε, φησιν. ὥστε ἰσχύος πολλῆς δεῖ. ποῦ δὲ ταύτης ἡμῖν χρεία δηλαδή, ἐπάγει· καταλαβέσθαι σὺν πᾶσιν ἁγίοις, τί τὸ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ. Ἵνα πληρωθῶμεν εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ.

Ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ καὶ ὑπέρκειται πάσης γνώσεως ἀνθρωπίνης ἡ ἀγάπη τοῦ Χριστοῦ, ὅμως ὑμεῖς γνώσεσθε, εἰ τὸν Χριστὸν ἔχοιτε ἐνοικοῦντα· οὐ μόνον δὲ γνώσεσθε δι᾽ αὐτοῦ τοῦτο, ἀλλὰ καὶ πληρωθήσεσθε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ· πλήρωμα Θεοῦ λέγων, ἢ τὸ γνῶναι, ὡς ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ προσκυνεῖται ὁ Θεός, ἢ προτρέπων ἅπαν σπουδάζειν, ὥστε πληροῦσθαι πάσης ἀρετῆς, ἧς πλήρης ἐστὶν ὁ Θεός.

20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν. Καλῶς κατὰ τὴν δύναμιν εἶπε. δυνάμεως γὰρ τὸ λαβεῖν, ἃ μηδὲ ἠλπίσαμέν πώποτε. ὅτι δὲ ἐκπερισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν ἐποίησε, δῆλον ἐξ ὧν ἔγραφεν αὐτός. ἐγὼ μὲν γάρ, φησιν, εὔχομαι. αὐτὸς δὲ καὶ χωρὶς τῆς ἐμῆς εὐχῆς, μείζονα ἐργάσεται τῶν ἡμετέρων αἰτήσεων, οὐχ ἁπλῶς μείζονα, ἢ ἐκπερισσοῦ, ἀλλ᾽ ὑπερεκπερισσοῦ, τὸ μέγεθος ἐμφαίνων τῆς δωρεᾶς. πόθεν δὲ δῆλον τοῦτο; ἐκ τῆς δυνάμεως τῆς ἐνεργουμένης, φησίν, ἐν ἡμῖν. οὔτε γὰρ ᾐτήσαμέν ποτε ταῦτα, οὔτε προσεδοκήσαμεν.

21 Αὐτῷ ἡ δόξα, φησίν, ἐν τῇ ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. ἀμήν. Καλῶς εἰς εὐχὴν καὶ δοξολογίαν τὸν λόγον κατέκλεισεν. ἔδει γὰρ τὸν τοσαῦτα παρέχοντα ἡμῖν δοξασθῆναι καὶ εὐλογηθῆναι. ὥστε καὶ τοῦτο μέρος ἐστὶ θαυμασμοῦ, τὸ δοξάζειν ἕνεκα τῶν ὑπηργμένων ἡμῖν διὰ τοῦ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ. ἡ δόξα αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ. καλῶς οὕτως εἶπεν. αὕτη γὰρ οἶδε μόνη μένειν εἰς τὸ διηνεκές. ἐπεὶ δὲ αὕτη διὰ παντὸς ἕστηκε, βούλεται αὐτὸν καὶ δοξάζεσθαι ὑφ᾽ ἡμῶν μέχρι τῆς συντελείας. τοῦτο γὰρ ἐδήλωσεν εἰπών, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος. Τί ἐστιν, αἱ πατριαί, ἀναγκαῖον εἰπεῖν. ἐνταῦθα μὲν γὰρ πατριαί εἰσι, τὰ γένη· ἐν δὲ οὐρανῷ πῶς, ἔνθα οὐδεὶς ἐξ οὐδενὸς γέγονεν; ἢ ἐκεῖ τὰ συστήματά φησι πατριάς, καθάπερ καὶ ἐν τῇ γραφῇ ἐστιν εὑρεῖν κείμενον, πατριὰ Ἀματταρεί, ἀφ᾽ οὗ καὶ πατέρες καλοῦνται. οὐ παρὰ τοῦ Θεοῦ δὲ τὸ πᾶν ἀπαιτεῖ, ἀλλὰ καὶ παρ᾽ αὐτῶν τὴν πίστιν καὶ τὴν ἀγάπην, καὶ οὐχ ἁπλῶς τὴν ἀγάπην, ἀλλ᾽ ἐρριζωμένην καὶ τεθεμελιωμένην, ὥστε μήτε πνεύματα αὐτὴν σαλεύειν, μήτε ἄλλο μηδὲν αὐτὴν καταβάλλειν.

Ιωαν.ιδ.κγ.

γρ. ἐξισχύσητε

* δεικνὺς γὰρ μέγεθος ὅσον τῆς ἀγάπης.

γρ. ἡ δὲ χαρὰ ἐπὶ τούτῳ:

καταβάλλειν. εἶπεν, ὅτι δόξα εἰσὶν αἱ θλίψεις*. Εἰ δὲ αἱ ἐμαὶ, πολλῷ μᾶλλον αἱ ὑμέτεραι. ὥστε οὐκ ἐγκαταλιμπανομένων ἐστὶ τὸ θλίβεσθαι. οὐ γὰρ ἂν ὁ τοσαῦτα ἐργασάμενος, τοῦτο ἐποίησεν. Εἰ δὲ τοῦ Θεοῦ τὴν ἀγάπην ὥστε μαθεῖν τῆς εὐχῆς Παύλου δεῖ, καὶ πνεύματος χρεία ἐνιδρύσεως, τοῦ Χριστοῦ τὴν οὐσίαν τίς εἴσεται λογισμοῖς κατακολουθῶν; καίτοι τί δύσκολον πρᾶγμα μαθεῖν, ὅτι φιλεῖ ἡμᾶς ὁ Θεός; σφόδρα δύσκολον, ἀγαπητέ. τινὲς μὲν γὰρ καὶ τοῦτο ἀγνοοῦσιν, ὅθεν καί φασι μυρία κακὰ εἰς τὸν κόσμον γίνεσθαι· τινὲς δὲ τὸ πόσον ἀγνοοῦσι. καὶ ὁ Παῦλος δὲ οὐ τὸ πόσον, οὐδὲ ὥστε μετρῆσαι ζητεῖ· πῶς γάρ; ἀλλ' ὅτι ὑπερβάλλον καὶ μέγα ἐστὶν αὐτὸ, τοῦτο μαθεῖν. καί φησιν, ὅτι αὐτὸ τοῦτο ἱκανός ἐστι δεῖξαι καὶ ἀπὸ τῆς γνώσεως, ἧς ἡμεῖς κατηξιώθημεν. καίτοι τί περιττόν ἐστι τοῦ κραταιοῦσθαι; τὸ δυνάμει, ὥσπερ τὸν Χριστὸν ἔχειν ἁπλῶς, τὸ ἔνδον ἐστὶ περιττόν. μεγάλα τὰ αἰτηθέντα, φησίν, ἀλλ' οἶδε καὶ ὑπὲρ αὐτὰ ποιεῖν, ὥστε μὴ μόνον ἀγαπᾶν, ἀλλὰ καὶ σφόδρα τοῦτο ποιεῖν. μεριμνήσωμεν τοίνυν, ἀγαπητοὶ, ὥστε τοῦ Θεοῦ τὴν ἀγάπην μαθεῖν. μέγα τοῦτο ἐστιν, οὐδὲν οὕτως ἡμᾶς ὠφελεῖ, οὐδὲν οὕτως ἡμᾶς κατανύσσει. τοῦ φόβου τῆς γεέννης ἱκανὸν τοῦτο μᾶλλον ἑλεῖν τὰς ἡμετέρας ψυχάς. πόθεν οὖν εἰσόμεθα; ἔκ τε τῶν εἰρημένων, ἔκ τε τῶν καθ' ἑκάστην ἡμέραν συμβαινόντων. τίνος γὰρ ἕνεκεν ταῦτα γεγένηται; ποίας χρείας τῆς αὐτοῦ; οὐδεμιᾶς. ἄνω καὶ κάτω τὴν ἀγάπην τίθησιν αἰτίαν. μάλιστα δὲ ἐκείνη ἀγάπη ἐστὶν, ὅταν εὐεργετῶνται ἄνθρωποι μηδενὸς προϋπάρξαντος παρ' αὐτῶν.

γρ. ἐκείνης ἀγάπης

γρ. μιμούμενοι,

ΗΘΙΚΟΝ

Τοῦτον τοίνυν καὶ ἡμεῖς μιμώμεθα, τοὺς ἐχθροὺς εὖ ποιοῦντες, τοὺς μισοῦντας ἡμᾶς, τοὺς ἀποστρεφομένους περισπώμεθα. τοῦτο ὁμοιοῖ ἡμᾶς τῷ Θεῷ. Ἂν γὰρ τὸν φίλον, φησὶν, ἀγαπήσῃς, τί τὸ κέρδος; τοῦτο καὶ οἱ ἐθνικοὶ ποιοῦσιν. (Ματθ. ε. μς.) ἀλλὰ τί τῆς ἀγάπης τεκμήριον; τὸ μισοῦντα ἀγαπᾶν. βούλομαί τι ὑπόδειγμα εἰπεῖν (σύγγνωτέ μοι) καὶ οὐχ εὑρίσκω ἐν τοῖς πνευματικοῖς· διὸ ἀπὸ τῶν ἔξωθεν ἐρῶ. οὐχ ὁρᾶτε τοὺς ἐρῶντας τούτους; πόσα ὑβριζόμενοι παρὰ τῶν ἐρωμένων, πόσα ἐπιβουλευόμενοι, πόσα ζημιούμενοι, προσηλῶνται καὶ ἐκκαίονται, καὶ τῆς ἑαυτῶν ψυχῆς μᾶλλον αὐτὰς ἀγαπῶσι, διανυκτερεύοντες ἐν τοῖς ἐκείνων προθύροις; ἐκεῖθεν λάβωμεν τὸ ὑπόδειγμα, οὐχ ὥστε τοιαύτας φιλεῖν, πόρνας λέγω γυναῖκας, ἀλλ' ὥστε οὕτω φιλεῖν τοὺς ἐχθρούς. εἰπὲ γάρ μοι, οὐχὶ πάντων ἐχθρῶν ὑβριστικώτεραι αὐτοῖς κέχρηνται, καὶ τὴν οὐσίαν διαρπάζουσι, καὶ τὴν ὄψιν ὑβρίζουσι, καὶ τῶν διακονουμένων αὐταῖς δουλικώτερα ἐπιτάττουσι; ἀλλ' ὅμως οὐκ ἀφίστανται. καίτοι οὐδεὶς οὐδένα ἔχει τοιοῦτον ἐχθρὸν, οἷον ὁ φιλῶν τὴν φιλουμένην. καὶ γὰρ θρύπτεται, καὶ ἀκκίζεται, καὶ ἀποκέχρηται αὐτῷ πολλάκις ἡ φιλουμένη, καὶ ὅσῳ ἂν φιλῆται, τοσούτῳ καταφρονεῖ. καίτοι τί τῆς οὕτω διακειμένης ψυχῆς θηριωδέστερον; ἀλλ' ὅμως φιλοῦσιν ἐκεῖνοι. ἀλλὰ τάχα καὶ ἀπὸ τῶν πνευματικῶν εὑρήσομεν τοιαύτην ἀγάπην, οὐ τῶν νῦν (ἔψυγη γὰρ) ἀλλὰ τῶν πάλαι μεγάλων καὶ θαυμαστῶν ἐκείνων ἀνδρῶν. ὁ Μωϋσῆς ὁ μακάριος καὶ τούτους αὐτοὺς ὑπερέβαλε τοὺς ἔρωτι φιλοῦντας. πῶς καὶ τίνι τρόπῳ; πρῶτον μὲν τὰ βασίλεια ἀφεὶς, καὶ τὴν ἐκεῖ τρυφὴν, καὶ τὴν θεραπείαν, καὶ τὸ δοξάζεσθαι, εἵλετο εἶναι μετὰ τῶν Ισραηλιτῶν. καίτοι οὐ μόνον οὐκ ἄν τις ἄλλος εἰργάσατο τοῦτο, ἀλλὰ κἂν ἐπῃσχύνθη ἐλέγχοντος ἑτέρου φανῆναι συγγενὴς οὐ μόνον δούλων, ἀλλὰ καὶ μιαρῶν εἶναι νομιζομένων· ὁ δὲ οὐ μόνον τὴν συγγένειαν οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ παντὶ θυμῷ ἤμυνε, καὶ εἰς κινδύνους ἑαυτὸν ἔρριψεν ὑπὲρ ἐκείνων. πῶς; ὁρᾶν, φησὶ, τινὰ ἀδικοῦντα, ἤμυνε τῷ ἀδικουμένῳ, καὶ ἀπέκτεινε τὸν ἀδικοῦντα. (Ἐξοδ. β. ιγ.) ἀλλ' οὔπω ταῦτα ὑπὲρ ἐχθρῶν. μεγάλα μὲν οὖν καὶ αὐτὰ, οὐχ οὕτω δὲ, ὡς τὰ μετὰ ταῦτα. τῇ οὖν ἐπιούσῃ ἡμέρᾳ τὸ αὐτὸ εἶδε γενόμενον, κἀκεῖνον τὸν ἤμυνεν ὁρῶν ἀδικοῦντα, παρῄνει παύσασθαι τῆς ἀδικίας· ὁ δέ φησι, πολλῇ ἀγνωμοσύνῃ κεχρημένος, τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; τίνα οὐκ ἂν ἐνέπρησε τὰ ῥήματα ταῦτα; εἰ τοίνυν θυμὸς τὸ πρότερον ἐγένετο καὶ μανία, καὶ τοῦτον ἂν πλή-

ξας ἀνέβλεψεν (οὐ γὰρ δὴ ἐκεῖνος, ὑπὲρ οὗ τοῦτο ἐγένετο, κατεμήνυσεν αὐτόν) ἀλλ' ὅτι συγγενεῖς ἦσαν, φησὶ, ταῦτα εἶπεν. ὅτε ἠδικεῖτο, οὐδὲν τοιοῦτον ἐφθέγξατο, Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; διατί μὴ χθὲς εἶπες τοῦτο; ἡ ἀδικία ἡ σὴ καὶ ἡ ὠμότης, φησὶν, αὕτη με κατέστησεν ἄρχοντα καὶ δικαστήν. ἀλλὰ νῦν ὅρα ὅτι καὶ τῷ Θεῷ ταῦτα λέγουσί τινες. ἐν οἷς μὲν γὰρ ἀδικοῦνται, βούλονται αὐτὸν εἶναι σφοδρὸν, καὶ τῆς μακροθυμίας αὐτοῦ κατηγοροῦσιν· ὅταν δὲ ἀδικῶσιν, οὐκέτι. τί τούτων πικρότερον τῶν ῥημάτων; ἀλλ' ὅμως μετὰ ταῦτα πρὸς τοὺς ἀγνώμονας, πρὸς τοὺς ἀχαρίστους πεμπόμενος, ἤρχετο, καὶ οὐκ ἀνεδύετο. ἀλλὰ καὶ μετὰ τὰ σημεῖα ἐκεῖνα, καὶ μετὰ τὰ θαύματα τὰ δι' αὐτοῦ γενόμενα, καταλεῦσαι αὐτὸν πολλάκις ἐπεχείρησαν,* καὶ ἐξέφυγε τὰς χεῖρας αὐτῶν. καὶ κατεγόγγυζον συνεχῶς, ἀλλ' ὅμως αὐτοὺς οὕτως ἐφίλει [ἔρωτι], ὡς εἰπεῖν πρὸς τὸν Θεὸν, ἡνίκα τὴν ἁμαρτίαν ἐκείνην τὴν χαλεπὴν εἰργάσαντο, Εἰ μὲν ἀφῆς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. βούλομαι μετ' ἐκείνων ἀπολέσθαι, φησὶν, ἢ χωρὶς ἐκείνων σώζεσθαι. ὄντως μανία, ὄντως ἔρως μέγας. τί λέγεις; τοῦ οὐρανοῦ καταφρονεῖς; ναί, φησι. φιλῶ γὰρ τοὺς ἠδικηκότας. ἐξαλειφθῆναι αἰτεῖς; καὶ τί πάθω, φησίν; ἔρως γάρ ἐστι. τί δὲ τὰ μετὰ ταῦτα; ἄκουσον τί φησιν ἑτέρωθι ἡ γραφή· Καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς. ποσάκις ὕβρισαν; ποσάκις ἀπεχειροτόνησαν αὐτὸν, καὶ τὸν ἀδελφόν; εἰς Αἴγυπτον ποσάκις μεταναστῆναι ἐζήτησαν; καὶ* μετὰ ταῦτα πάντα ἐξεκαίετο καὶ ἐμεμήνει, καὶ ὑπὲρ αὐτῶν πάλιν ἕτοιμος ἦν. οὕτω δεῖ φιλεῖν τοὺς ἐχθροὺς, κοπτόμενοι καὶ ταλαιπωρούμενοι καὶ πάντα ποιοῦντα [καὶ χωριζόμενοι] ἐφίεσθαι τῆς σωτηρίας αὐτῶν. τί δὲ ὁ Παῦλος, εἰπέ μοι, οὐχὶ καὶ γέενναν ᾔτησεν ἀντ' αὐτῶν; ἀλλ' ἀπὸ τοῦ δεσπότου τὸ παράδειγμα ἀναγκαῖον ἀγαγεῖν. οὕτω γὰρ καὶ αὐτὸς ποιεῖ, λέγων· Ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, ἀπὸ τοῦ πατρὸς αὐτοῦ φέρων τὸ παράδειγμα, ἡμεῖς δὲ ἀπ' αὐτοῦ τοῦ Χριστοῦ. ἦλθε πρὸς αὐτοὺς, κατὰ τὴν οἰκονομίαν λέγω, δοῦλος ἐγένετο δι' αὐτοὺς, ἐταπείνωσεν ἑαυτὸν, ἐκένωσε, μορφὴν δούλου ἔλαβε. καὶ παραγενόμενος, οὔτε αὐτὸς εἰς ὁδὸν ἐθνῶν ἀπήρχετο, καὶ τοῖς μαθηταῖς τοῦτο ἐπέταττε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ περιῆγε θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. τί οὖν; τῶν μὲν ἄλλοι πάντες ἐξεπλήσσοντο, καὶ ἐθαύμαζον, καὶ ἔλεγον, πόθεν τούτῳ ταῦτα· οὗτοι δὲ εὐεργετούμενοι ἔλεγον, δαιμόνιον ἔχει καὶ βλασφημεῖ, καὶ μαίνεται, καὶ πλάνος ἐστίν. ἆρ' οὖν ἀπώσατο αὐτούς; οὐδαμῶς, ἀλλὰ καὶ μειζόνως εὐηργέτει ταῦτα ἀκούων, καὶ ἀπῄει πρὸς τοὺς μέλλοντας αὐτὸν σταυροῦν, ἵνα μόνον αὐτοὺς διασώσῃ. καὶ μετὰ τὸ σταυρωθῆναι, τί φησι; Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. καὶ πρὸ τούτου κακῶς παθὼν, καὶ μετὰ ταῦτα κακῶς παθὼν, μέχρις ἐσχάτης ἀναπνοῆς περὶ αὐτῶν πάντα ἔπραττεν, ὑπὲρ αὐτῶν ἐδεῖτο. καὶ μετὰ τὸν σταυρὸν τί οὐκ ἐποίησε δι' αὐτούς; οὐχὶ ἀποστόλους ἀπέστελλεν; οὐχὶ σημεῖα εἰργάσατο, οὐχὶ πόλιν ὅλην ἐκίνησεν; οὕτω δεῖ φιλεῖν τοὺς ἐχθροὺς, οὕτω μιμεῖσθαι τὸν Χριστόν. οὕτω Παῦλος ἐποίησε λιθαζόμενος, μυρία πάσχων, ὑπὲρ αὐτῶν ἅπαντα ἔπραττεν. ἄκουε αὐτοῦ λέγοντος, Ἡ εὐδοκία μου καὶ ἡ δέησις ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν. καὶ πάλιν, Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσι. καὶ πάλιν, Εἰ σὺ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης, πόσῳ μᾶλλον οὗτοι ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; ἀπὸ πόσης φιλοστοργίας οἴει ταῦτα λέγεσθαι τὰ ῥήματα; ἀπὸ πόσης εὐνοίας; οὐκ ἔστιν εἰπεῖν, οὐκ ἔστι. οὕτω δεῖ φιλεῖν τοὺς ἐχθρούς. τοῦτο τὸν Θεόν ἐστι φιλεῖν, τὸν ἐπιτάξαντα, τὸν νομοθετήσαντα· τὸ μιμεῖσθαι ἐκεῖνον, τὸ φιλεῖν τὸν ἐχθρόν ἐστιν. ἐννόησον ὅτι οὐ τὸν ἐχθρὸν εὐεργετεῖς, ἀλλὰ σαυτὸν, οὐκ ἐκεῖνον φιλεῖς, ἀλλὰ τῷ Θεῷ ὑπακούεις. ταῦτα οὖν εἰδότες, κυρώσωμεν εἰς ἀλλήλους τὴν ἀγάπην, ἵνα μετὰ ἀκριβείας ταύτην κατορθώσαντες, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἐξοδ. λβ. λβ.
Ψαλμ. ρε. λβ.
Ματθ. ε. μδ.
Λουκ. κγ. λδ.
Ρωμ. ι. α.
Ρωμ. ια. ιζ.

* ἢ
* ἐμαί

Λογ. η. 1 ΠΑΡΑΚΑΛΩ ΟΥΝ ΥΜΑΣ ΕΓΩ, Ο ΔΕΣΜΙΟΣ ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳότητος.

Διδασκάλου ἐστὶν ἀρετὴ μὴ τιμὴν, μηδὲ δόξαν ζητεῖν παρὰ τῶν ἀρχομένων, ἀλλὰ τὴν σωτηρίαν αὐτῶν, καὶ πάντα ὑπὲρ τούτου ποιεῖν· ὡς ὅ γε ἐκεῖνο ζητῶν, οὐκ ἂν εἴη διδάσκαλος, ἀλλὰ τύραννος. οὐ γὰρ διὰ τοῦτό σε ἐπέστησεν ὁ Θεὸς αὐτοῖς, ἵνα σὺ πλείονος ἀπολαύσῃς θεραπείας, ἀλλ' ἵνα τὰ μὲν σὰ ἀμεληθῇ, πάντα δὲ τὰ ἐκείνων οἰκοδομῆται. τοῦτο ἐστὶ διδασκάλου. τοιοῦτος ὁ μακάριος Παῦλος ἦν, ὃς τύφου μὲν ἀπήλλακτο παντός, οὕτω δὲ διέκειτο, ὡς εἷς τῶν πολλῶν, μᾶλλον δὲ καὶ αὐτῶν ἐλάχιστος. διὰ τοῦτο καὶ δοῦλον αὐτῶν ἑαυτὸν καλεῖ, καὶ τὰ πλείονα ἐν ἱκετηρίας τάξει φθέγγεται. ὅρα γοῦν καὶ νῦν οὐδὲν ἐπιτακτικὸν γράφοντα, οὐδὲν αὐθεντικὸν, ἀλλὰ συνεσταλμένον καὶ καθυφειμένον. παρακαλῶ οὖν ἐγὼ, φησιν, ὑμᾶς ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε. τί παρακαλεῖς, εἰπέ μοι; ἵνα τινὸς τύχῃς αὐτός; οὐδαμῶς, φησιν, ἀλλ' ἵνα ἄλλους σώσω. καίτοιγε οἱ παρακαλοῦντες, ὑπὲρ τῶν αὐτοῖς διαφερόντων παρακαλοῦσι. καὶ ἐμοὶ τοῦτο διαφέρει, φησὶ, καθὼς καὶ ἑτέρωθι γράφων ἔλεγε· Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. σφόδρα γὰρ ἀεὶ τῆς σωτηρίας τῶν μαθητευομένων ἐφίετο. ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. μέγα ἀξίωμα καὶ σφοδρὸν, καὶ βασιλείας καὶ ὑπατείας, καὶ πάντων μεῖζον. ὅπερ δὴ καὶ πρὸς Φιλήμονα γράφων φησίν· ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ. οὐδὲν γὰρ οὕτω λαμπρὸν, ὡς δεσμὸς διὰ Χριστὸν, ὡς αἱ ἁλύσεις αἱ περικείμεναι ταῖς ὁσίαις χερσὶν ἐκείναις. τοῦ ἀπόστολον εἶναι, τοῦ διδάσκαλον εἶναι, τοῦ εὐαγγελιστὴν εἶναι, τοῦτο λαμπρότερον, τὸ δέσμιον εἶναι διὰ τὸν Χριστόν. εἴ τις φιλεῖ τὸν Χριστὸν, ἔγνω τὸ λεγόμενον· εἴ τις μέμηνε καὶ περικαίεται τοῦ δεσπότου, οἶδε τὴν δύναμιν τῶν δεσμῶν. ὁ τοιοῦτος ἕλοιτο ἂν δέσμιος εἶναι διὰ Χριστὸν, ἢ τοὺς οὐρανοὺς οἰκεῖν. πάντος χρυσοῦ λαμπροτέρας αὐτοῖς ἐδείκνυ τὰς χεῖρας, παντὸς διαδήματος βασιλικοῦ. οὐ γὰρ οὕτω ποιεῖ λαμπρὰν κεφαλὴν ταινία λιθοκόλλητος περικειμένη, ὡς ἅλυσις σιδηρᾶ διὰ Χριστόν. τότε τῶν βασιλείων λαμπρότερον τὸ δεσμωτήριον ἦν. τί λέγω βασιλείων; καὶ αὐτοῦ δὲ τοῦ οὐρανοῦ. δέσμιον γὰρ εἶχε Χριστοῦ. εἴ τις φιλεῖ τὸν Χριστὸν, οἶδε τοῦτο τὸ ἀξίωμα, οἶδε ταύτην τὴν ἀρετὴν, οἶδεν ὅσα εἰργάσατο περὶ τὸ τῶν ἀνθρώπων γένος τὸ δεθῆναι δι' αὐτόν. τάχα τοῦ καθίσαι ἐκ δεξιῶν αὐτοῦ τοῦτο λαμπρότερον, τοῦ καθίσαι ἐπὶ δώδεκα θρόνων τοῦτο σεμνότερον, τὸ δεθῆναι δι' αὐτόν. καὶ τί λέγω περὶ τῶν ἀνθρωπίνων; αἰσχύνομαι συγκρίνων πλοῦτον καὶ κόσμον χρυσοῦν δεσμοῖς. ἀλλ' ἀφεὶς εἰπεῖν περὶ τῶν μεγάλων ἐκείνων, κἂν μηδένα μισθὸν εἶχε τὸ πρᾶγμα, τοῦτο μόνον μέγας μισθὸς, τοῦτο ἀντίδοσις ἱκανὴ, τὸ διὰ τὸν φιλούμενον ταῦτα παθεῖν τὰ δεινά. ἴσασιν οἱ φιλοῦντες, εἰ καὶ μὴ τὸν Θεὸν, ἀλλ' ἀνθρώπους, ὃ λεγόμενον, οἳ ἥδονται κακῶς πάσχοντες μᾶλλον, ἢ τιμώμενοι παρὰ τῶν ἐρωμένων. τοῦ ἁγίου χοροῦ τὸ ταῦτα συνιδεῖν μόνον, τῶν ἀποστόλων λέγω. ἄκουε γὰρ τοῦ μακαρίου Λουκᾶ λέγοντος· Ὅτι ὑπέστρεφον χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι. τοῖς μὲν δὴ ἄλλοις δοκεῖ γέλως εἶναι, εἰ τὸ ἀτιμασθῆναι, καταξιωθῆναί ἐστιν, εἰ τὸ ἀτιμασθῆναι, χαίρειν ἐστί· τοῖς δὲ ἐπισταμένοις τοῦ Χριστοῦ τὸν πόθον, τοῦτο πάντων μακαριώτερον γενόμιστ' αι. εἰ τις ἐμοὶ τὸν οὐρανὸν ἐχαρίζετο [πάντα], ἢ τὴν ἅλυσιν ἐκείνην, ἐκείνην ἂν ἐγὼ προετίμησα. εἴ τις με μετὰ τῶν ἀγγέλων ἵστη ἄνω, ἢ μετὰ Παύλου δεδεμένου, τὸ δεσμωτήριον ἂν εἱλόμην. εἴ τις με ἐκείνων ἵνα ἐποίει τῶν δυνάμεων

Margin notes: γ. ἀπήλλακτο δὲ — α. Θεσσ. γ. η. — Φιλημ. θ. — γ. αὐτῷ — γ. ἀλλὰ — Πραξ. ε. μα. — γ. ἴσα

δυνάμεων τῶν περὶ τὸν οὐρανὸν, τὴν περὶ τὸν θρόνον, ἢ δεσμώτην τοιοῦτον, τοιοῦτος ἂν εἱλόμην γενέσθαι δεσμώτης. Εἰκότως. οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον. ἐβουλόμην ἐν τοῖς τόποις γενέσθαι νῦν ἐκείνοις (λέγεται γὰρ ἔτι μένειν τὰ δεσμὰ) καὶ ἰδεῖν καὶ θαυμάσαι τοὺς ἄνδρας ἐκείνους τοῦ πόθου τοῦ Χριστοῦ. ἐβουλόμην ἰδεῖν τὰς ἁλύσεις, ἃς δεδοίκασι μὲν δαίμονες καὶ φρίττουσιν, αἰδοῦνται δὲ ἄγγελοι. οὐδὲν βέλτιον τοῦ κακῶς παθεῖν τι διὰ Χριστόν. οὐχ οὕτω μακαρίζω Παῦλον, ὅτι εἰς παράδεισον ἡρπάγη, ὡς ὅτι εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι ἤκουσεν ἄρρητα ῥήματα, ὡς ὅτι ὑπέμεινε τὰ δεσμά. οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι ἡρπάγη εἰς τρίτον οὐρανὸν, ὡς μακαρίζω διὰ τὰ δεσμά. ὅτι γὰρ ταῦτα ἐκείνων μείζονα, ἄκουσον καὶ αὐτὸς πῶς τοῦτο οἶδεν. [γρ. αὐτ. πῶς οἶδεν.] οὐδὲ γὰρ εἶπε, παρακαλῶ ὑμᾶς ἐγὼ ὁ ῥήματα ἄρρητα ἀκούσας, ἀλλὰ τί; παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. Εἰ δὲ μὴ πάσαις τοῦτο προσγράφει ταῖς ἐπιστολαῖς, οὐ θαυμαστόν. οὐδὲ γὰρ πάντοτε ἐδέδετο, ἀλλ' ἐν χρόνοις τισίν. αἱρετώτερόν ἐστιν ἐμοὶ παθεῖν κακῶς ὑπὲρ τοῦ Χριστοῦ, ἢ τιμᾶσθαι παρὰ τοῦ Χριστοῦ. τοῦτο μεγάλη τιμὴ, τοῦτο δόξα ἡ πάντα ὑπερβάλλουσα. Εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτως ἡγεῖτο ἐν δόξῃ εἶναι, ὡς

Ιωαν. ιζ. α.

ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ, τί ἐμὲ παθεῖν οὐ δεῖ; ἄκουε γὰρ αὐτοῦ λέγοντος· Δόξασόν με σὺ, πάτερ. τί λέγεις; ἐπὶ σταυρὸν ἄγῃ μετὰ λῃστῶν καὶ τυμβωρύχων τὸν τῶν ἐπαράτων ὑφίστασθαι θάνατον, [γρ. σταυρὸν] ἐμπτύεσθαι μέλλεις καὶ ῥαπίζεσθαι, καὶ ταῦτα δόξαν καλεῖς; ναὶ, φησίν. ὑπὲρ γὰρ τῶν φιλουμένων ἐγὼ πάσχω ταῦτα, καὶ τοίνυν δόξαν αὐτὰ ἡγοῦμαι. Εἰ ὁ τοὺς οἰκτροὺς καὶ ταλαιπώρους φιλήσας, δόξαν τὸ πρᾶγμα καλεῖ, οὐ τὸ ἐν τῷ θρόνῳ εἶναι τῷ πατρικῷ, οὐδὲ τὸ ἐν τῇ δόξῃ, ἀλλὰ τὸ ἐν ἀτιμίᾳ δόξα ἦν, καὶ τοῦτο ἐκείνου προετίθει· πολλῷ μᾶλλον ἐγὼ ταῦτα ὀφείλω δόξαν ἡγεῖσθαι. ὢ τῶν μακαρίων δεσμῶν, ὢ τῶν μακαρίων χειρῶν, ἃς ἐκόσμησεν ἡ ἅλυσις ἐκείνη. οὐκ ἦσαν οὕτω τίμιαι αἱ χεῖρες Παύλου τὸν χωλὸν τὸν ἐν Λύστροις ἀναστήσασαι καὶ ἐγείρασαι, ὡς τὰ δεσμὰ περικείμεναι. Εἰ κατ' ἐκείνους τοὺς χρόνους ἦν ἐγὼ, τότε ἂν μάλιστα αὐτὰς περιεπτυξάμην, καὶ ἐπὶ τὰς κόρας ἔθηκα τὰς ἐμάς. οὐκ ἂν ἐπαυσάμην καταφιλῶν χεῖρας καταξιωθείσας ὑπὲρ τοῦ δεσπότου δεθῆναι τοῦ ἐμοῦ. θαυμάζεις Παῦλον, ὅτι καθῆψεν αὐτοῦ ἡ ἔχις τῆς χειρὸς, καὶ οὐδὲν ἐποίησε; μὴ θαυμάσῃς. ᾐδέσθη γὰρ τὴν ἅλυσιν. καὶ θάλαττα δὲ ὁλόκληρος ταύτην ᾐδεῖτο. τότε γὰρ ἐδέδετο. Εἴ τις μοι νεκροὺς ἔδωκεν ἀναστῆσαι νῦν, οὐκ ἂν τοῦτο εἱλόμην, ἀλλὰ τὴν ἅλυσιν. Εἰ τῶν ἐκκλησιαστικῶν φροντίδων ἐκτὸς ἤμην, καὶ τὸ σῶμα εὔρωστον εἶχον, οὐκ ἂν παρῃτησάμην ἀποδημίαν τοσαύτην ποιήσασθαι ὑπὲρ τοῦ τὰς ἁλύσεις μόνον ἰδεῖν, ὑπὲρ τοῦ τὸ δεσμωτήριον ἔνθα ἐδέδετο. καίτοι καὶ τῶν θαυμάτων αὐτοῦ πολλὰ πολλαχοῦ σημεῖα τυγχάνει, ἀλλ' οὐχ οὕτως ἐστὶ ποθεινὰ, ὡς τὰ τῶν στιγμάτων. καὶ ἐν ταῖς γραφαῖς δὲ οὐχ οὕτω με εὐφραίνει θαύματα ἐργαζόμενος, ὡς πάσχων κακῶς, μαστιζόμενος, συρόμενος. ὄντως θαυμαστὰ καὶ τὰ τοῦ χρωτὸς σουδάρια καὶ τὰ σιμικίνθια, παράδοξα ἐργαζόμενα· ἀλλ' οὐ τοιαῦτα οἷα ἐκεῖνα,

Πραξ. ις. κγ.

Δείραντες αὐτὸν, φησὶ, καὶ ἐπιθέντες πολλὰς πληγὰς, ἔβαλον εἰς φυλακήν.

Πραξ. ις. κε.

καὶ πάλιν, Δεδεμένοι ὕμνουν τὸν Θεόν. καὶ πάλιν, Λιθάσαντες αὐτὸν, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνηκέναι.

Πραξ. ιδ. ιθ.

Ματθ. ε. ια.

βούλεσθε μαθεῖν ὅσον ἐστὶν ἅλυσις σιδηρᾶ διὰ Χριστὸν περικειμένη σώματι δουλικῷ; ἀκούσατε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, Μακάριοί ἐστε. τί; ὅταν νεκροὺς ἀναστήσητε; οὐχί. ἀλλὰ τί; ὅταν τυφλοὺς θεραπεύσητε; οὐδαμῶς· ἀλλὰ τί; Ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα, ψευδόμενοι καθ' ὑμῶν ἕνεκεν ἐμοῦ. Εἰ δὲ τὸ κακῶς ἀκοῦσαι, οὕτω ποιεῖ μακαρίους, τὸ κακῶς παθεῖν, τί οὐκ ἂν εἰργάσατο; [γρ. εἰργάσατο;]

β. Τιμ. δ. η.

ἄκουε αὐτοῦ τοῦ μακαρίου τούτου λέγοντος ἀλλαχοῦ· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. ἀλλὰ τοῦ στεφάνου τούτου λαμπρότερος ὁ δεσμός· τούτου με καταξιώσει, φησὶ, καὶ οὐδὲν ὑπὲρ ἐκείνων ἀκριβολογοῦμαι. ἀρκεῖ μοι πρὸς πᾶσαν ἀντίδοσιν

τὸ

τὸ παθεῖν κακῶς διὰ τὸν Χριστόν. οὕτω μοι φθέγξασθαι ἐκεῖνο, ὅτι Ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, καὶ οὐδενὸς δέομαι. Κολασ. α. κδ. κατηξιώθη καὶ Πέτρος ταύτης τῆς ἁλύσεως. Πραξ. ιϛ. ἦν γάρ, φησι, δεδεμένος, καὶ παραδεδομένος στρατιώταις, καὶ ἐκάθευδεν. οὕτως ἔχαιρε, καὶ οὐκ ἤλγει, ὡς καὶ καθεύδειν. οὐκ ἂν δὲ αὐτὸν βαθὺς ὕπνος εἶχεν, εἴγε ἐν φροντίδι ἦν πολλῇ. ἐκάθευδε μεταξὺ στρατιωτῶν ὤν· καὶ ἄγγελος ἦλθε πρὸς αὐτόν, καὶ πατάξας αὐτοῦ τὴν πλευράν, ἤγειρεν. εἴ τις τοίνυν εἶπέ μοι, τί ἐβούλου; ἄγγελος εἶναι ὁ Πέτρον νύξας, ἢ Πέτρος ὁ διασωθείς; Πέτρος ἂν εἱλόμην γενέσθαι, δι' ὃν καὶ ὁ ἄγγελος ἦλθεν. ἐγὼ τῶν δεσμῶν ὀναίμην ἐκείνων. καὶ πῶς, φησιν, ὡς μεγάλων κακῶν ἀπαλλαγῆς εὔχεται; μὴ θαυμάσῃς. εὔχεται γάρ, δεδοικὼς μὴ ἀποθάνῃ· τὸ δὲ ἀποθανεῖν ἐδεδοίκει, διὰ τὸ ἐπιβουλεύεσθαι αὐτὸν τὴν ζωὴν εἶναι ὑπόθεσιν τῶν παθῶν. γρ. ἀγώνων. ἄκουσον γοῦν καὶ αὐτὸς ὁ μακάριος Παῦλος τί φησι. Τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον, τὸ δὲ παραμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Φιλιπ. α. κδ. γρ. ἐπιμεῖναι. τοῦτο καὶ χάριν ἐκάλεσε γράφων· Ἐχαρίσθη γὰρ ὑμῖν, φησιν, ἀπὸ τοῦ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Φιλιπ. α. κθ. ὥστε τοῦτο ἐκείνου μεῖζόν ἐστιν· ἐχαρίσατο γάρ. ὄντως ἐστὶ χάρις μεγίστη, καὶ πασῶν τούτων μείζων, τοῦ τὸν ἥλιον στῆσαι καὶ τὴν σελήνην, τοῦ τὸν κόσμον κινῆσαι. τοῦτο μεῖζον τοῦ δαιμόνων κρατῆσαι, ἢ ἀπελάσαι δαίμονας. οὐχ οὕτως ἀλγοῦσιν ἐκεῖνοι πίστει τῇ παρ' ἡμῶν ἐλαυνόμενοι, ὡς ὅταν ἡμᾶς ἴδωσι κακόν τι πάσχοντας διὰ τὸν Χριστόν, καὶ δεσμουμένους. μείζονα γὰρ τοῦτο ποιεῖ τὴν παρρησίαν. οὐ διὰ τοῦτο καλὸν τὸ δεδέσθαι, ὅτι βασιλείαν προξενεῖ τὸ πρᾶγμα, ἀλλ' ὅτι διὰ τὸν Χριστὸν γίνεται. οὐ διὰ τοῦτο μακαρίζω τοὺς δεσμούς, ὅτι εἰς τὸν οὐρανὸν παραπέμπουσιν, ἀλλ' ὅτι διὰ τὸν δεσπότην τοῦ οὐρανοῦ γίνονται. γρ. ἀναπέμπ. πόσον καύχημα εἰδέναι, ὅτι διὰ τὸν Χριστὸν ἐδέθη; πόση ἡδονή; πόση τιμή; πόση λαμπρότης; ἐβουλόμην διαπαντὸς ταῦτα φθέγγεσθαι· ἐβουλόμην ἔχεσθαι τῆς ἁλύσεως· ἐβουλόμην, εἰ καὶ τῷ πράγματι ἀπεστέρημαι, ἀλλὰ τῷ λόγῳ περιθεῖναι τὴν ἅλυσιν τῇ ψυχῇ διὰ τῆς διηγήσεως. Ἐσείσθη, φησί, τὸ δεσμωτήριον δεδεμένου Παύλου, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. Πραξ. ιϛ. κϛ. εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ ἀναλύουσαν; ὥσπερ γὰρ ὁ τοῦ Κυρίου θάνατος τὸν θάνατον ἐθανάτωσεν, οὕτω καὶ τὰ Παύλου δεσμά, τοὺς δεσμώτας ἔλυσε, τὸ δεσμωτήριον ἔσεισε, τὰς θύρας ἀνέῳξε· καίτοι οὐχ αὕτη τῶν δεσμῶν ἡ φύσις ἐστίν, ἀλλ' ἡ ἐναντία, κατέχειν ἐν ἀσφαλείᾳ τὸν δεδεμένον, οὐχὶ τοὺς τοίχους ἀνοίγειν αὐτῷ. ἀλλὰ τῶν μὲν δεσμῶν ἁπλῶς φύσις οὐκ ἔστιν αὕτη, δεσμῶν δὲ τῶν διὰ Χριστόν, αὕτη. προσέπεσεν ὁ δεσμοφύλαξ τῷ Παύλῳ, καὶ τῷ Σίλᾳ. ἀλλ' οὐδὲ τοῦτο ποιεῖ δεσμὰ ἁπλῶς, τοὺς δήσαντας εἰς τοὺς πόδας ἄγειν τῶν δεδεμένων, ἀλλὰ τοὐναντίον ὑποχειρίους τούτους ἐκείνοις ποιεῖν. ἦν δὲ ὁ λελυμένος ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου· ὁ δήσας ἠξίου τὸν δεθέντα λυθῆναι τοῦ φόβου. οὐχὶ σὺ ἔδησας, εἰπέ μοι; οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακήν; οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις; τί θορυβῇ; τί δακρύεις; τί τὸ ξίφος ἐσπάσω; οὐδὲν τοιοῦτον ἔδησα, φησιν· ἴσ. ἔδησα. οὐκ ᾔδειν, ὅτι τοσαύτη τῶν τοῦ Χριστοῦ δεσμίων ἡ δύναμις. τί λέγεις; οὐρανοὺς ἔλαβον ἐξουσίαν ἀνοίγειν, καὶ δεσμωτήριον οὐκ ἔμελλον ἀνοίγειν; τοὺς ὑπὸ δαιμόνων δεδεμένους ἔλυον, καὶ σιδήρειον ἔμελλεν αὐτῶν περιέσεσθαι; οὐκ οἶδας τοὺς ἄνδρας· διὰ τοῦτο καὶ συγγνώμης ἔτυχες. Παῦλός ὁ δεδεμένος ἐστίν, ὃν ἄγγελοι πάντες ᾐδέσθησαν. Παῦλός ἐστιν, οὗ καὶ τὰ σουδάρια, καὶ τὰ σιμικίνθια δαίμονας ἤλαυνε, καὶ νόσους ἐφυγάδευε, καίτοι πολλῷ σιδήρου [ἀδαμάντινος, καὶ] ἀρραγέστερος ὁ παρὰ τοῦ δαίμονος δεσμός. οὗτος μὲν γὰρ ψυχήν, ἐκεῖνος δὲ σῶμα δεσμεῖ. ὁ ψυχὰς τοίνυν δεδεμένας λύων, τὸ σῶμα τὸ αὐτοῦ οὐκ ἂν ἴσχυσε λῦσαι; ὁ δαιμόνων δεσμὰ διαρρηγνύς, σιδήρου δέσιν οὐκ ἂν ἔλυσεν; ὁ διὰ τῶν ἱματίων αὐτοῦ τοὺς δεσμώτας ἐκείνους λύων, καὶ τῶν δαιμόνων ἀπαλλάττων, αὐτὸς δι' ἑαυτοῦ ἑαυτὸν οὐκ ἂν ἔλυσε; διὰ τοῦτο πρότερον ἐδέθη, καὶ τότε τοὺς δεδεμένους ἔλυσεν, ἵνα μάθῃς, ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι δεδεμένοι,

μένοι, πολλῷ τῶν λελυμένων μείζονα ἔχουσι τὴν ἰσχύν. εἰ λελυμένος τοῦτο εἰργάσατο, οὐκ ἦν οὕτω θαυμαστόν· ὥστε οὐκ ἀσθενείας ὁ δεσμὸς ἦν, ἀλλὰ μείζονος δυνάμεως. οὕτω γὰρ λαμπροτέρα ἡ ἰσχὺς τοῦ ἁγίου δείκνυται, ὅταν καὶ δεδεμένος τῶν λελυμένων κρατῇ, ὅταν ὁ δεδεμένος μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς δεδεμένους λύῃ. τί τῶν τοίχων τὸ ὄφελος; τί τὸ πλέον ἀπὸ τοῦ εἰς τὴν ἐσωτέραν φυλακὴν βαλεῖν αὐτόν, ὅπουγε καὶ τὴν ἐξωτέραν ἀνέῳξε; διατί δὲ καὶ ἐν νυκτί, καὶ μετὰ σεισμοῦ* γέγονεν; ἔνδοτέ μοι μικρόν, καὶ παραχωρήσατε τῶν ἀποστολικῶν ἀποσχομένῳ ῥημάτων, καὶ ἐντρυφήσαντι τοῖς ἀποστολικοῖς πράγμασιν, ἑστιαθῆναι ἐν τῇ ἁλύσει Παύλου. δότε μοι ἐπιπλέον ἐνδιατρῖψαι. ἐπελαβόμην* τοῦ δεσμοῦ, οὐδείς με ἀφίστησιν. ἀσφαλέστερον ἐγὼ δέδεμαι νῦν τῷ πόθῳ, ἢ ἐκεῖνος τότε τῷ ξύλῳ. τοῦτον οὐδεὶς λύει τὸν δεσμόν. ἀπὸ γὰρ τοῦ πόθου ἐστὶ τοῦ Χριστοῦ. τοῦτον οὐδὲ οἱ ἄγγελοι, οὐδὲ βασιλεία οὐρανῶν ἰσχύει λῦσαι. αὐτοῦ Παύλου ἐστὶν ἀκοῦσαι λέγοντος, Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος" δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. τίνος οὖν ἕνεκεν" μέσον νυκτῶν τὸ πρᾶγμα γέγονε; τίνος ἕνεκεν καὶ μετὰ σεισμοῦ; ἀκούσατε Θεοῦ οἰκονομίαν, καὶ θαυμάσατε. πάντων τὰ δεσμὰ ἐλύθη, καὶ αἱ θύραι" ἀνεῴγησαν. ἀλλὰ τοῦτο μόνον διὰ τὸν δεσμοφύλακα γέγονεν, οὐ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν. ὅτι γὰρ οὐκ ᾔδεσαν οἱ δεσμῶται ὅτι λελυμένοι εἰσίν, δῆλον ἀπὸ τῆς φωνῆς Παύλου. τί γάρ φησιν; Ἐφώνησε δὲ φωνῇ μεγάλῃ λέγων, μηδὲν πράξῃς" σεαυτῷ κακόν· πάντες γάρ ἐσμεν ἐνθάδε. οὐκ ἂν δὲ πάντες ἦσαν ἔνδον, εἰ εἶδον τὰς θύρας ἀνεῳγμένας, καὶ ἑαυτοὺς λελυμένους. οἱ γὰρ τοίχους διατέμνοντες, καὶ ὀρόφους, καὶ θριγκία ὑπερβαίνοντες, καὶ πάντα τολμῶντες μετὰ δεσμῶν, οὐκ ἂν ἐκαρτέρησαν, καὶ τῶν δεσμῶν λελυμένων καὶ τῶν θυρῶν ἀνεῳγμένων, ἔνδον μένειν, καὶ τοῦ δεσμοφύλακος καθεύδοντος αὐτοῦ. ἀλλ' ἀντὶ δεσμῶν σιδηρῶν ἦν αὐτοῖς ὁ δεσμὸς τοῦ ὕπνου. διὰ τοῦτο οὕτως ᾠκονομήθη, ὥστε καὶ τὸ πρᾶγμα γενέσθαι, καὶ μηδεμίαν ἀπὸ τοῦ θαύματος ζημίαν συμβῆναι τῷ μέλλοντι σώζεσθαι δεσμοφύλακι. καὶ ἑτέρως δὲ μάλιστα οἱ δεδεμένοι ἐν νυκτὶ δεσμοῦνται, οὐκ ἐν ἡμέρᾳ. μετὰ πολλῆς οὖν σπουδῆς ἦν ἰδεῖν δεδεμένους πάλιν, καὶ καθεύδοντας. εἰ δὲ ἐν ἡμέρᾳ ἐγένετο ταῦτα, πολὺς ἂν ἐγένετο θόρυβος. τίνος οὖν ἕνεκεν καὶ ἐσείσθη τὸ οἴκημα; ὥστε διαναστῆναι τὸν δεσμοφύλακα ἐπὶ τὴν τοῦ πράγματος θέαν. οὗτος γὰρ ἦν ἄξιος τῆς σωτηρίας μόνος. σὺ δέ μοι θέα τῆς τοῦ Χριστοῦ χάριτος τὴν ὑπερβολήν. μεταξὺ γὰρ τῶν Παύλου δεσμῶν καὶ τῆς τοῦ Χριστοῦ χάριτος μεμνῆσθαι καλόν, μᾶλλον δὲ καὶ ταῦτα τῆς τοῦ Θεοῦ χάριτός ἐστιν. εἰσί τινες ἐγκαλοῦντες ὅτι διεσώθη ὁ δεσμοφύλαξ, καὶ ὑπὲρ ὧν θαυμάζειν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐχρῆν, ἀπὸ τούτων ψέγοντες. καὶ οὐδὲν θαυμαστόν. οἱ γὰρ ἀσθενεῖς τοιοῦτοί εἰσιν, οἳ καὶ τὴν τρέφουσαν τροφὴν κακίζουσιν, ἣν θαυμάζειν ἐχρῆν, καὶ τὸ μέλι πικρὸν εἶναί φασι. καὶ οἱ τυφλώττοντες, ἀφ' οὗ ὤφειλον φωτίζεσθαι, ἀπὸ τούτου σκοτίζονται, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν τούτων συμβαινόντων, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν εἰς δέον αὐτοῖς κεχρῆσθαι μὴ δυναμένων. τί οὖν ἔλεγον; δέον θαυμάσαι, ὅτι τὸν εἰς ἐσχάτην κακίαν ἐμπεσόντα, τοῦτον εἷλε, καὶ βελτίω εἰργάσατο, λέγουσι· πῶς γὰρ οὐκ ἐνόμισε τὸ πρᾶγμα γοητείας εἶναι, καὶ μαγγανείας, καὶ μᾶλλον αὐτοὺς κατέσχε, καὶ ἀνωλόλυξε; πολλὰ πρὸς τοῦτο συνεβάλλετο. πρῶτον μέν, ὅτι ἤκουσεν ὑμνούντων τὸν Θεόν· οὐκ ἂν δὲ γόητες τοιούτους ὕμνους ᾖδον. ἤκουσε γὰρ αὐτῶν, φησίν, ὑμνούντων τὸν Θεόν. δεύτερον, ὅτι αὐτοὶ οὐκ ἀπέφυγον, ἀλλὰ καὶ αὐτὸν ἐκώλυσαν σφάξαι ἑαυτόν. οὐκ ἂν δέ, εἰ ἑαυτῶν ἕνεκεν ἐποίουν, ἔνδον ἔμενον, ἀλλὰ προτέρους ἂν ἑαυτοὺς ἐξεῖλον. πολλὴ δὲ αὐτῶν καὶ ἡ φιλανθρωπία. ἐκώλυσαν αὐτὸν σφάξαι ἑαυτόν, τὸν δήσαντα αὐτούς, μονονουχὶ πρὸς αὐτὸν λέγοντες· μετὰ πολλῆς τῆς ἀσφαλείας ἠσφαλίσω εἰς τὴν ἐσωτέραν βαλὼν φυλακήν, καὶ πικρῶς ἡμᾶς ἔδησας, ἵνα λυθῇς

Margin: Ρω. η. λθ. — Πραξ. ις. κη.

Margin notes: * τὸ πρᾶγμα — * ἅπαξ — γρ. δυνήσεται — γρ. μέσων — γρ. ἀνεῴχθησαν — γρ. ἑαυτῷ

θῆς αὐτὸς τῶν πικροτάτων δεσμῶν. σειραῖς γὰρ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. ἐκεῖνα μὲν γὰρ ἐπίκτητα τὰ δεσμά, ταῦτα δὲ μακάρια, καὶ πολλῆς εὐχῆς ἄξια. ὅτι γὰρ λύει τὰ δεσμὰ ἐκεῖνα ταῦτα, ἔδειξεν ἀπὸ τῶν αἰσθητῶν. εἶδες τοὺς τῷ σιδήρῳ δεδεμένους λυθέντας; ὅρα καὶ σαυτὸν ἐξ ἑτέρων δεσμῶν λυθέντα χαλεπῶν. ταῦτα τὰ δεσμά, τὰ τῶν δεσμωτῶν λέγω, οὐ τὰ Παύλου, ἐκεῖνα τὰ δεσμὰ ποιεῖ, τὰ τῶν ἁμαρτιῶν. διπλῆ ἦσαν δεσμῶται τότε εἶδον, καὶ αὐτὸς δεσμώτης ἦν ὁ δεσμοφύλαξ. ἐκεῖνοι μὲν γὰρ σιδήρῳ ἐδέδεντο, καὶ ἁμαρτίαις, οὗτος δὲ ἁμαρτίαις μόναις. ἔλυσεν ἐκείνους ὁ Παῦλος εἰς πληροφορίαν τούτου. καὶ γὰρ ἦν ὁρατὰ τὰ δεσμά. οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, μᾶλλον δὲ ἀντιστρόφως. ἐκεῖ διπλῆ παράλυσις ἦν. ποία δὲ αὕτη; ἡ τῶν ἁμαρτιῶν, καὶ ἡ τοῦ σώματος. τί οὖν ποιεῖ; Θάρσει, φησί, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι. πρότερον τὴν ὄντως παράλυσιν ἔλυσεν, Ματθ. θ. ς. εἶτα ἐπὶ ταύτην ἔρχεται. ὅτε γὰρ εἶπόν τινες τῶν γραμματέων ἐν ἑαυτοῖς, οὗτος βλασφημεῖ, εἰδὼς ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· ἵνα τί ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. ἐβεβαίου τὸ νοητὸν ἀπὸ τοῦ αἰσθητοῦ, ἀπὸ τοῦ σωματικοῦ τὸ κατὰ ψυχὴν ἐργασάμενος. διὰ τί δὲ τοῦτο ἐποίησεν; ἵνα πληρωθῇ τὸ εἰρημένον· Δοῦλε πονηρέ, ἐκ τοῦ στόματός σου κρινῶ σε. τί δὲ ἐκεῖνοι; οὐδεὶς δύναται ἀφιέναι Λουκ. ιθ. κς. ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός. οὐκ ἄγγελος ἄρα λοιπόν, οὐκ ἀρχάγγελος, οὐδὲ ἄλλη κτιστὴ δύναμις. ὑμεῖς τοῦτο ὡμολογήσατε. τί οὖν ἐχρῆν εἰπεῖν; ἂν δειχθῶ ἀφιεὶς ἁμαρτίας, εὔδηλον ὅτι Θεός εἰμι. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, τότε λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. ὅταν οὖν, φησί, τὸ δυσκολώτερον ἐργάσωμαι, εὔδηλον ὅτι οὐδεμία περὶ τοῦ εὐκόλου καταλείπεται πρόφασις, οὐδὲ ἀντιλογία. διὰ τοῦτο τὸ νοητὸν ἐκεῖνος ἐποίησε πρότερον, ἐπειδὴ πολλοὶ ἦσαν οἱ ἀντιλέγοντες· ἐνταῦθα δὲ ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὸ αἰσθητὸν αὐτὸν ἤγαγεν. ἄρα οὐκ ἦν κουφότητος ἡ πίστις. εἶδε τοὺς δεσμώτας, καὶ οὐδὲν εἶδεν, οὐδὲ ἤκουσε φαῦλον. εἶδεν οὐ μαγγανείᾳ τι γεγενημένον (ὕμνουν γὰρ τὸν Θεόν) εἶδεν ἀπὸ φιλανθρωπίας πολλῆς πάντα γινόμενα. οὐ γὰρ ἠμύναντο αὐτόν, καίτοι δυνάμενοι. ἐνῆν γὰρ καὶ ἑαυτούς, καὶ τοὺς δεδεμένους ἐξελόντας ἀπελθεῖν· εἰ δὲ μὴ τοὺς δεδεμένους, ἀλλ' ἑαυτούς. ἀλλ' οὐκ εἰργάσαντο τοῦτο. ὥστε οὐκ ἀπὸ τοῦ θαύματος μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τρόπου αὐτὸν κατήδεσαν. πῶς ἐφώνησε; μεγάλῃ φωνῇ λέγων, μηδὲν ποιήσῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε. ὁρᾷς καὶ τὸ ἀκενόδοξον, καὶ τὸ ἄτυφον, καὶ τὸ φιλόστοργον; οὐκ εἶπεν, ὅτι δι' ἡμᾶς ταῦτα γέγονεν, ἀλλ' ὡσανεὶ τῶν δεσμωτῶν εἷς, φησί· πάντες γάρ ἐσμεν ἐνθάδε. καίτοι εἰ καὶ μὴ παρὰ τοῦτο, μηδὲ διὰ τοῦ θαύματος ἔλυσαν ἑαυτούς, ἀλλ' ἐνῆν αὐτοὺς σιγῆσαι, καὶ πάντας ἀπολέσαι καὶ δεδεμένους. εἰ γὰρ ἐσίγησαν, κἀκείνου καὶ μὴ διὰ τῆς μεγάλης φωνῆς κατέσχον αὐτοῦ τὰς χεῖρας, ὤθησεν ἂν διὰ τοῦ λαιμοῦ τὸ ξίφος. διὰ τοῦτο καὶ ἐβόησεν, ἐπειδὴ εἰς τὴν ἐνδοτέραν φυλακὴν ἦν βεβλημένος. κατὰ σαυτοῦ τοῦτο πεποίηκας, φησίν, ἐνδοτέρω βαλὼν τοὺς μέλλοντάς σε ἐλευθεροῦν τοῦ κινδύνου. ἀλλ' οὐκ ἐμιμήσαντο τὰ παρ' ἐκείνου γινόμενα. ἐκείνου δὲ ἀποθανόντος, πάντες ἂν ἐξέφυγον. εἶδες ὅτι εἵλοντο δεδέσθαι μᾶλλον, ἢ ἐκεῖνον περιιδεῖν ἀπολλύμενον. διὰ τοῦτο καὶ ἐνενόησε πρὸς ἑαυτόν, εἰ γόητες ἦσαν, πάντως ἂν ἐκείνους ἀπέλυσαν, καὶ ἑαυτοὺς ἐλευθερῶσαι τῶν δεσμῶν. εἰκὸς γὰρ πολλοὺς καὶ τοιούτους ἐμβεβλῆσθαι. ἄλλως δέ, πολλάκις δεξάμενος γόητας, καὶ οὐδὲν ἰδὼν τοιοῦτον γινόμενον, ἐθαύμασεν. ὁ γόης οὐκ ἂν ἔσεισε τὰ θεμέλια ὥστε διυπνίσαι τὸν δεσμοφύλακα, καὶ δυσκολωτέραν ἑαυτῷ ποιῆσαι τὴν φυγήν. ἀλλ' ἴδωμεν λοιπὸν τοῦ δεσμοφύλακος τὴν πίστιν. αἰτήσας, φησί, φῶτα, εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρ-

χῶν, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, φησί· κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ; πῦρ ἐκράτει καὶ ξίφος, καὶ ἔλεγε· κύριοι τί με δεῖ ποιεῖν ἵνα σωθῶ; οἱ δὲ εἶπον· πίστευσον εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ, καὶ ὁ οἶκός σου. τοῦτο οὐχὶ γνώμην ἐστὶ, φησι, * δόγμα τοιοῦτον παραδοῦναι. οὐδαμοῦ δαίμονος ἐνταῦθα μνήμη. ὁρᾷς (* ὡς) πῶς ἄξιος τοῦ σωθῆναι ἐκεῖνος; ἰδὼν γὰρ τὸ θαῦμα, καὶ τοῦ φόβου ἀπαλλαγεὶς, οὐκ ἐπελάθετο τῶν συμφερόντων, ἀλλ' ἐν τοσούτῳ κινδύνῳ περὶ τῆς σωτηρίας ἐφρόντιζε τῆς (χ. πάντα) κατὰ ψυχὴν, καὶ ὡς ἐχρῆν διδασκάλοις προσελθεῖν, οὕτω προσῆλθε· καὶ πρὸς τοὺς πόδας αὐτῶν ἔπεσε. καὶ ἐλάλησαν αὐτῷ, φησι, τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ νυκτὶ, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. ὁρᾷς θερμότητα ἀνδρός; οὐκ ἀνέβαλεν, οὐκ εἶπεν, ἡμέρα γενέσθω, ἴδωμεν, σκεψώμεθα· ἀλλὰ μετὰ πολλῆς τῆς θερμότητος καὶ αὐτὸς, καὶ ἡ οἰκία αὐτοῦ πᾶσα ἐβαπτίσθη· ἀλλ' οὐχ ὡς νῦν οἱ πλείους (χ. οἱ νῦν ἔ-τες, ἀλλὰ) περιορῶσι καὶ δούλους καὶ γυναῖκας καὶ παῖδας ἀμυήτους τυγχάνοντας. γίνεσθε, παρακαλῶ, κατὰ τὸν δεσμοφύλακα. οὐ τὴν ἀξίαν λέγω, ἀλλὰ τὴν προαίρεσιν. τί γὰρ ὄφελος ἀξιώματος, ὅταν ἡ προαίρεσις ἀσθενής; βαβαὶ, ὁ ὠμὸς, ὁ ἀπηνὴς, ὁ μυρίοις συζῶν κακοῖς, ὁ τοῦτο μελετῶν ἀεὶ, οὕτω φιλάνθρωπος, οὕτω κηδεμονικὸς ἀθρόως γέγονεν. ἔλουσεν αὐτοὺς, φησιν, ἀπὸ τῶν πληγῶν. ὅρα πάλιν καὶ τοῦ Παύλου τὴν θερμότητα. δεδεμένος, μεμαστιγωμένος, οὕτως εὐηγγελίζετο. ὦ τῆς μακαρίας ἁλύσεως, οἵας ὠδῖνας ὤδινε κατὰ τὴν νύκτα ἐκείνην, οἷα ἀπέτεκε παιδία;

Φιλημ. α. καὶ περὶ τούτων ἐστὶν εἰπεῖν, Οὓς ἐγέννησα ἐν τοῖς δεσμοῖς μου. ὁρᾷς πῶς ἀγάλλεται, καὶ τὰ τεχθέντα παιδία ἀπὸ τούτου λαμπρότερα βούλεται εἶναι; ὁρᾷς πόση περιουσία δόξης τῶν δεσμῶν, ὅπου γε οὐ μόνον τὸν περικείμενον, ἀλλὰ καὶ τοὺς ἐν ἐκείνῳ τῷ καιρῷ τεχθέντας ὑπ' αὐτοῦ, λαμπροὺς ποιεῖ; ἔχουσί τι πλέον οἱ ἐν τοῖς Παύλου δεσμοῖς τεχθέντες, οὐ κατὰ τὴν χάριν λέγω (ἡ γὰρ αὐτὴ χάρις) οὐδὲ κατὰ τὴν ἄφεσιν (ἡ γὰρ αὐτὴ πάντων ἄφεσις) ἀλλ' ὅτι ἐκ προοιμίων παιδεύονται χαίρειν καὶ ἀγάλλεσθαι τοῖς τοιούτοις πράγμασιν. αὐτῇ τῇ ὥρᾳ τῆς νυκτὸς, φησι, παραλαβὼν αὐτοὺς, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη. καὶ ὅρα λοιπὸν τὸν καρπόν. ἀπέδωκεν εὐθέως τὰ [illegible]. ἀναγαγὼν αὐτοὺς εἰς τὸν οἶκον, εὐθέως παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ. τί γὰρ οὐκ ἔμελλεν, ἀνοιγομένου αὐτῷ τοῦ οὐρανοῦ διὰ τῆς ἀνοίξεως τῶν τοῦ δεσμωτηρίου θυρῶν; ἔλουσε τοὺς διδασκάλους, τράπεζαν παρέθηκε, καὶ ἠγαλλιάσατο. εἰσῆλθεν εἰς δεσμωτήριον ἡ Παύλου ἅλυσις, καὶ ἐκκλησίαν εἰργάσατο πάντα τὰ ἐκεῖ, καὶ σῶμα Χριστοῦ πάντας ἐποίησε, (χ. ἐργασάμενοι) καὶ τράπεζαν ἔθηκε τὴν πνευματικὴν, καὶ ὠδῖνας ἔτεκεν, ἐφ' αἷς ἄγγελοι χαίρουσι. (χ. ἐποίει) μήτι εἰκῇ ἔλεγον τὸ δεσμωτήριον τοῦ οὐρανοῦ λαμπρότερον; τῆς γὰρ ἐκεῖ χαρᾶς τοῦτο γέγονεν αἴτιον.

Λουκ. ιε. ζ. Ματθ. ιη. κ. εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ ἐν οὐρανοῖς, εἰ ὅπου δύο εἰσὶ συνηγμένοι εἰς τὸ ὄνομα αὐτοῦ, ἐκεῖ ἐν μέσῳ αὐτῶν ἐστιν ὁ Χριστὸς, ὅπου Σίλας καὶ Παῦλος καὶ ὁ δεσμοφύλαξ καὶ ἡ οἰκία αὐτοῦ ὅλη καὶ πίστις τοσαύτη, πόσῳ μᾶλλον; ὅρα τὴν σφοδρότητα τῆς πίστεως. ἀλλὰ τὸ δεσμωτήριον τοῦτο ἑτέρου με ὑπέμνησε δεσμωτηρίου.

Πραξ. ιβ. γ. ποίου δὴ τούτου; ἔνθα Πέτρος ἦν. ἀλλὰ τοιοῦτον οὐδὲν ἐγένετο ἐκεῖ. ἀλλ' ἦν παραδεδομένος τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν, καὶ οὐχ ὕμνει, οὐδὲ ἠγρύπνει, ἀλλ' ἐκάθευδε, καὶ οὐδὲ μεμαστιγωμένος ἦν· ἀλλὰ μείζων ὁ κίνδυνος. ἐνταῦθα μὲν γὰρ ἤδη τὸ πᾶν εἴργαστο, καὶ δίκην ἦσαν δεδωκότες· ἐκεῖ δὲ οὐδέπω. ὥστε εἰ καὶ μὴ πληγαὶ ἐδύνων, ἀλλ' ἡ προσδοκία τοῦ μέλλοντος ἐθορύβει. ὅρα καὶ ἐκεῖ τὸ θαῦμα. ἰδοὺ ἄγγελος Κυρίου, φησὶν, ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων· Ἀνάστα ἐν τάχει. καὶ εὐθέως ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν, ὥστε μὴ νομίσαι τὸ πρᾶγμα τοῦ φωτὸς μόνον εἶναι, καὶ τὸν Πέτρον ἔνυξεν. οὐδεὶς δὲ τὸ φῶς ἑώρα, ἀλλὰ

μόνος αὐτός, καὶ ἐδόκει ὅτι ὅραμά ἐστιν. οὕτως οὐκ ἐπαισθάνονται οἱ καθεύδοντες τῶν τοῦ Θεοῦ εὐεργεσιῶν. Εἶπε δέ, φησιν, ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου, καὶ ἐποίησεν οὕτω. καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. καὶ ἐξελθὼν ἠκολούθησεν αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς. καὶ εἰσελθόντες, προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ὁ ἄγγελος ἀπ' αὐτοῦ ἀπέστη. Διὰ τί μὴ τοῦτο γέγονεν ἐνταῦθα, ὅπερ ἐπὶ τοῦ Παύλου καὶ Σίλα; ὅτι ἐκεῖ μὲν ἔμελλον ἀπολύειν αὐτούς. διὰ τοῦτο οὐκ ἠθέλησεν οὕτως ἀπολυθῆναι αὐτούς. ἐπὶ δὲ τοῦ μακαρίου Πέτρου, εἰς φόνον αὐτὸν ἔμελλον ἐξάγειν. τί οὖν, οὐ πολλῷ θαυμασιώτερον ἦν, φησιν, ἐξαχθέντα καὶ παραδοθέντα ταῖς τοῦ βασιλέως χερσί, τότε ἐκ μέσων αὐτὸν ἐξαρπασθῆναι τῶν κινδύνων, καὶ μηδὲν παθεῖν; οὕτω γὰρ ἂν οὐδὲ οἱ στρατιῶται ἀπώλοντο. μέγα ἐνταῦθα κεκίνηται ζήτημα. ὁ Θεὸς τὸν αὐτοῦ δοῦλον, φησι, μετὰ τῆς ἑτέρων ἔσωσε τιμωρίας; μετὰ τῆς ἑτέρων ἀπωλείας; τί οὖν ἐροῦμεν; πρῶτον μὲν οὖν, ὅτι οὐ μετὰ τῆς ἑτέρων ἀπωλείας. δεύτερον, ὅτι οὐ τῆς τοῦ πράγματος οἰκονομίας τοῦτο γέγονεν, ἀλλὰ τῆς τοῦ δικαστοῦ πικρίας. πῶς; ὁ μὲν Θεὸς οὕτως ᾠκονόμησεν, ὡς μὴ μόνον τούτους μὴ ἀπολέσθαι, ἀλλὰ καὶ ἐκείνους σωθῆναι, καθάπερ δὴ καὶ ἐνταῦθα ἐπὶ τοῦ δεσμοφύλακος· ἐκεῖνος δὲ οὐκ ἐχρήσατο τῇ δωρεᾷ εἰς δέον. γενομένης δὲ ἡμέρας, φησίν, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. Εἶτα τί; ἐξέτασιν τοῦ πράγματος ποιεῖται ὁ Ἡρώδης, καὶ ἀνακρίνας αὐτούς, ἐκέλευσεν ἀπαχθῆναι. Εἰ μὲν γὰρ μὴ ἀνέκρινεν, ἦν ἄν τις ἀπολογία. νῦν δὲ παρέστησεν, ἀνέκρινεν, ἔμαθεν ὅτι ἐδέδετο, ὅτι τὸ δεσμωτήριον ἠσφάλιστο, ὅτι οἱ φύλακες ἦσαν πρὸ τῆς θύρας. οὐ τοῖχος διωρώρυκτο, οὐ θύρα ἀνέῳκτο, οὐδὲν ἄλλο κακουργίας τεκμήριον. ἐχρῆν αὐτὸν ἀπὸ τούτων θαυμάσαι τοῦ Θεοῦ τὴν δύναμιν, ἥτις καὶ ἐκ μέσων αὐτὸν ἀνήρπασε τῶν κινδύνων, καὶ προσκυνῆσαι τὸν τοσαῦτα δυνηθέντα· ὁ δὲ ἐκείνους ἀπήγαγε. πῶς οὖν ἐνταῦθα ὁ Θεὸς αἴτιος; Εἰ μὲν γὰρ τοῖχον διαρραγῆναι ἐποίησε, καὶ οὕτως ἐξέβαινεν, ἴσως ἂν ἐνομίσθη τῆς ἐκείνων ῥᾳθυμίας τὸ πρᾶγμα. Εἰ δὲ οὕτως ᾠκονόμησεν, ὥστε δειχθῆναι ὅτι οὐκ ἀνθρωπίνης κακουργίας, ἀλλὰ θείας θαυματουργίας τὸ πρᾶγμα ἦν, τί δὴ τοῦτο ἐποίησεν; Εἰ γὰρ ἔμελλε φεύγειν, οὕτως, ὡς εἶχε τὰς ἁλύσεις, ἔφυγεν ἄν. Εἰ ἔμελλε φεύγειν, τεθορυβημένος οὐκ ἂν τοσαύτην ἐποιήσατο πρόνοιαν, ὥστε καὶ τὰ σανδάλια λαβεῖν, ἀλλ' εἴασεν ἄν. νῦν δὲ διὰ τοῦτό φησιν ὁ ἄγγελος πρὸς αὐτόν, ὑπόδησαι τὰ σανδάλιά σου, ἵνα μάθωσιν ὅτι οὐ φυγών, ἀλλὰ μετὰ πολλῆς ἀνέσεως τὸ πρᾶγμα εἰργάσατο. δεδεμένος γὰρ καὶ μεταξὺ τῶν δύο ἀνδρῶν στρατιωτῶν, οὐκ ἂν τοσαύτην ἐποιήσατο σχολήν, ὥστε καὶ τὰς ἁλύσεις λῦσαι, καὶ ταῦτα εἰς τὴν ἐσωτέραν ὢν καὶ αὐτὸς φυλακήν. ὥστε τῆς ἀδικίας τοῦ δικαστοῦ γέγονεν ἡ κόλασις τῶν φυλάκων. διὰ τί γὰρ Ἰουδαῖοι μὴ τοῦτο ἐποίησαν; καὶ γὰρ ἑτέρου δεσμωτηρίου μέμνημαι, ἐκείνου μὲν τοῦ προτέρου τοῦ ἐν Ῥώμῃ, τούτου δὲ τοῦ ἐν Καισαρείᾳ, νῦν δὲ τοῦ ἐν Ἱεροσολύμοις. ἀκούσαντες γὰρ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι παρὰ τῶν ἀποσταλέντων παρ' αὐτῶν εἰς τὸ δεσμωτήριον, ὥστε ἐξαγαγεῖν τὸν Πέτρον, ὅτι ἔσω οὐδένα εὕρομεν, ἀλλὰ καὶ κεκλεισμένας τὰς θύρας καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν, διὰ τί μὴ τοὺς φύλακας ἀνεῖλον, ἀλλὰ διηπόρουν περὶ αὐτῶν λέγοντες, τί ἂν γένοιτο τοῦτο; Εἰ δὲ σφόδρα κατ' αὐτῶν φονῶντες οὐδὲν τοιοῦτον ἐνενόησαν, πολλῷ μᾶλλον σὺ ὁ πρὸς ἐκείνων χάριν πάντα ποιῶν. διὰ τοῦτο μετῆλθεν αὐτὸν ἡ δίκη ταχέως. Εἰ δὲ τοῦτο ἐγκαλεῖς, ἐγκάλει καὶ περὶ τῶν ἐν ταῖς ὁδοῖς σφαττομένων, καὶ περὶ τῶν ἀδίκως ἀναιρουμένων μυρίων ἑτέρων, καὶ ἔτι περὶ τῶν παίδων τῶν ἐπὶ τοῦ Χριστοῦ διαιρεθέντων. καὶ γὰρ καὶ ἐκείνοις, ὡς σὺ λέγεις, ὁ Χριστὸς ἐγένετο αἴτιος· μᾶλλον οὐχ ὁ Χριστός, ἀλλ' ἡ μανία καὶ ἡ τυραννὶς τοῦ πατρὸς τοῦ Ἡρώδου.

γ. ἐξελθ.
γ. κ. γεῖται
γ. μανίας
Πράξ. ε.
γ. περὶ
γ. πάππου

Εἰ δὲ λέγοις, διὰ τί μὴ ἐκ τῶν χειρῶν αὐτὸν ἥρπασε τοῦ Ἡρώδου; καὶ τοῦτο ἠδύνατο ποιῆσαι, ἀλλ' οὐδὲν ἐκερδαίνομεν ἂν ἀπὸ τούτου. ποσάκις γοῦν ὁ Χριστὸς ἐκ μέσου αὐτῶν ἐξῆλθε τῶν χειρῶν; τί οὖν τοὺς ὠφέλησε τοὺς ἀγνώμονας; ἐνταῦθα μέντοιγε καὶ πολλὴ τοῖς πιστοῖς ὠφέλεια γέγονεν ἀπὸ τῶν γεγενημένων. ὑπομνήματος γὰρ γενομένου, καὶ τῶν ἐχθρῶν αὐτῶν μαρτυρησάντων τοῖς περατιομένοις, ἀνύποπτος ἦν ἡ μαρτυρία. ὥσπερ οὖν κἀκεῖ οὐδαμόθεν ἄλλοθεν ἐπεστομίσθησαν, ἀλλ' ἢ ἐκ τοῦ αὐτοὺς ἐλθόντας ὁμολογεῖν τὰ γεγενημένα, οὕτω δὴ καὶ ἐνταῦθα. διὰ τί γὰρ ὁ δεσμοφύλαξ οὐδὲν τοιοῦτον ἐποίησε; καίτοιγε οὐδὲν ἐλάττονα τὴν τούτου παρὰ Ἡρώδου ἦν. τοῦ γὰρ ἰδεῖν ἀνεῳγμένας τὰς θύρας, ἴσον εἰς ἐκπλήξεως λόγον, οὐδὲν ἔλαττον τὸ μαθεῖν ὅτι κεκλεισμένων αὐτῶν ἐξῆλθεν ὁ δεδεμένος. καίτοι ταῦτα καὶ φαντασία ἔδοξεν ἂν εἶναι μᾶλλον, ἐκεῖνο δὲ οὐκέτι, μετὰ ἀκριβείας ἀπαγγελλόμενον. ὥστε εἰ καὶ οὗτος οὕτως ἦν πονηρὸς, ἔσφαξεν ἂν τὸν Παῦλον, καθάπερ ἐκεῖνος τοὺς στρατιώτας. ἀλλ' οὐκ ἦν. Εἰ δὲ πρὸς τοὺς λέγοντας, διὰ τί καὶ τὰ παιδία συνεχώρησεν ὁ Θεὸς ἀναιρεθῆναι, βουληθείημεν ἀπολογήσασθαι, τάχα εἰς μακρότερον ἐμπεσούμεθα λόγον, ὃν ἐν προοιμίοις ἔδει λέγεσθαι πρὸς ὑμᾶς. τέως δὲ πολλὰ τὴν Παύλου εὐεργετήσαντες ἅλυσιν, καταπαύσωμεν τὸν λόγον, ὅτι τοσούτων ἡμῖν ἀγαθῶν αἰτία γέγονε, παρακαλέσαντες ὑμᾶς μὴ μόνον μὴ δυσχεραίνειν, εἴ τι διὰ Χριστὸν πάθοιτε, ἀλλὰ καὶ χαίρειν ὡς οἱ ἀπόστολοι, καὶ καυχᾶσθαι ὡς Παῦλος ἔλεγεν· Ἥδιστα καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. διὰ γὰρ τοῦτο καὶ ἤκουσεν, Ἀρκεῖ σοι ἡ χάρις μου. Παῦλος ἐπὶ δεσμοῖς καυχᾶται, καὶ σὺ ἐπὶ πλούτῳ μέγα φρονεῖς; οἱ ἀπόστολοι ἔχαιρον, ὅτι κατηξιώθησαν μαστιγωθῆναι, καὶ σὺ ἄνεσιν ζητεῖς καὶ τρυφήν; πῶς οὖν θέλεις τῶν αὐτῶν ἐκείνοις τυχεῖν, ἀπεναντίας αὐτοῖς ὁδεύων ἐνταῦθα; Καὶ νῦν, φησὶ, πορεύομαι εἰς Ἱεροσόλυμα δεδεμένος τῷ πνεύματι, τὰ ἐν αὐτοῖς συναντήσοντά μοι μὴ εἰδὼς, πλὴν ὅτι τὸ πνεῦμά μοι κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσι. τί οὖν ἀπέρχῃ, εἰ δεσμά σε καὶ θλίψεις μένουσι; διὰ τοῦτο αὐτὸ, φησὶν, ἵνα δεσμευθῶ διὰ Χριστὸν, ἵνα ἀποθάνω δι' αὐτόν. οὐ γὰρ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΗΘΙΚΟΝ

Οὐδὲν τῆς ψυχῆς ἐκείνης μακαριώτερον. ἐν τίσι καυχᾶται; ἐν δεσμοῖς, ἐν θλίψεσιν, ἐν ἁλύσει, ἐν στίγμασιν. Ἐγὼ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, φησὶν, ἐν τῷ σώματί μου βαστάζω, καθάπερ τρόπαιόν τι μέγα. καὶ πάλιν, Ἕνεκεν τοῦ Ἰσραὴλ, φησὶ, τὴν ἅλυσιν ταύτην περίκειμαι. καὶ πάλιν, Ἐν ᾗ πρεσβεύω ἐν ἁλύσει. τί ἐστι τοῦτο; οὐκ αἰσχύνῃ; οὐ δέδοικας τὴν οἰκουμένην δεσμώτης περιιών; οὐ φοβῇ μή τις ἀσθένειαν τοῦ Θεοῦ σου καταγνῷ; μή τις διὰ τοῦτο οὐ μὴ προσέλθῃ; οὐ τοιαῦτά μου, φησὶ, τὰ δεσμά· οἶδε καὶ ἐν βασιλείοις λάμπειν. Ὥστε τοὺς δεσμούς μου, φησὶ, φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως λαλεῖν τὸν λόγον. ὁρᾷς δεσμῶν ἰσχὺν μᾶλλον, ἢ νεκρῶν ἀναστάσεως; δεδεμένον με εἶδον, καὶ μᾶλλον θαρροῦσιν. ὅπου γὰρ δεσμὰ, ἀνάγκη καὶ μέγα τι γενέσθαι ἐκεῖ. ὅπου θλίψις, πάντως ἐκεῖ καὶ σωτηρία, πάντως ἐκεῖ ἀνέσεις, πάντως ἐκεῖ μεγάλα κατορθώματα. ὁ γὰρ διάβολος ὅταν λακτίσῃ, τότε πλήττεται· ὅταν δήσῃ τοὺς τοῦ Θεοῦ δούλους, τότε μάλιστα ὁ λόγος ἐπιδίδωσι. καὶ θέα πανταχοῦ τοῦτο γινόμενον. ἐδεσμεύθη, καὶ ἐν τῷ δεσμωτηρίῳ ταῦτα εἰργάσατο. ἐν αὐτοῖς γάρ, φησι, τοῖς δεσμοῖς μου. ἐδεσμεύθη ἐν Ῥώμῃ, καὶ πλείονας ἐπηγάγετο. οὐ γὰρ αὐτὸς μόνος ἐθάρρει, ἀλλὰ καὶ ἄλλοι πολλοὶ δι' αὐτοῦ. ἐδεσμεύθη ἐν Ἱεροσολύμοις, καὶ δεδεμένος δημηγορῶν τὸν βασιλέα κατέπληξε, καὶ τὸν ἄρχοντα εἰς φόβον ἤγαγεν. ἔμφοβος γὰρ γενόμενος, φησιν, ἀπέλυσεν αὐτόν, καὶ οὐκ ἠμύνετο παρὰ τοῦ δεδεμένου μανθάνων περὶ τῶν μελλόντων ὁ δήσας αὐτόν· δεδεμένος ἔπλει, καὶ ναυάγιον ἔλυσε, καὶ τὸ χεῖμα ἐπέδησεν. ἐν δεσμοῖς ὄντος αὐτοῦ τὸ θηρίον ἐκεῖνο καθήψατο, καὶ μηδὲν λυ-

μηνάμενον

Marginal notes: β. Κορ. ιβ. θ. — Πραξ. κ. κβ. — Γαλατ. ς. ιζ. — Πραξ. κη. κ. — Εφεσ. ς. κ. — Φιλιπ. α. ιγ. — χ. περι… — χ. αὐτῶ.

μένων ἀμήχανον ἐξέπεσεν. ἐδέθη ἐν Ῥώμῃ, καὶ δεδεμένος διηνεκῶς μυρίους ἐπεσπάσατο, διότι πάντων τοῦτο αὐτὸ προεθυμούμενος, τὴν ἅλυσιν λέγω. ἀλλ' οὐκ ἔστιν ἁλύσει δεθῆναι νῦν. ἀλλ' ἔστιν ἑτέρα ἅλυσις, ἂν ἐθέλωμεν. ποία δὴ αὕτη; τὸ τῆς χειρὸς κρατεῖν, τὸ μὴ πρὸς πλεονεξίαν ἕτοιμον εἶναι. ταύτῃ τῇ ἁλύσει δήσωμεν ἑαυτούς. διότι σιδηρείου γινέσθω ἡμῖν ὁ τοῦ Θεοῦ φόβος. λύσωμεν τοὺς δεδεμένους ὑπὸ πενίας, ὑπὸ θλίψεως. οὐκ ἔστιν ἴσον δεσμωτηρίου θύρας ἀνοῖξαι, καὶ ψυχὴν συγκεκλεισμένην ἀφεῖναι. οὐκ ἔστιν ἴσον λῦσαι δεσμὰ δεσμωτῶν δεδεμένων, καὶ τεθραυσμένους ἀπολῦσαι ἐν ἀφέσει. τοῦτο ἐκείνου μεῖζόν ἐστιν. ἐκείνου μὲν γὰρ οὐδεὶς κεῖται μισθός, τούτου δὲ μυρίοι. μακρὰ ἡ τοῦ Παύλου γέγονεν ἅλυσις, καὶ ἐπὶ πολὺ κατέχει ἡμᾶς. καὶ γάρ ἐστιν ὄντως μακρὰ καὶ πάσης σειρᾶς χρυσῆς κοσμιωτέρα. αὕτη τοὺς δεδεμένους, καθάπερ διά τινος μηχανῆς, ἕλκει πρὸς τὸν οὐρανόν, καὶ ὥσπερ χρυσῆ σειρὰ ἐξαρτηθεῖσα, ἀνέλκει πρὸς αὐτὸν τὸν οὐρανόν· καὶ τὸ δὴ θαυμαστόν, κάτω δεθεῖσα, τοὺς δεδεμένους ἄνω ἕλκει. καίτοι οὐχ αὕτη τῶν πραγμάτων ἡ φύσις. ἀλλ' ὅταν Θεὸς οἰκονομῇ, μὴ ζήτει πραγμάτων φύσιν, μηδὲ ἀκολουθίαν, [ἀλλὰ τὰ ὑπὲρ φύσιν καὶ ἀκολουθίαν.] μάθωμεν μηδὲ ἐν ταῖς θλίψεσι καταπίπτειν, μηδὲ δυσχεραίνειν. ὁρᾷ γὰρ τὸν μακάριον τοῦτον. μεμαστίγωται, [καὶ μεμαστίγωται] ἰσχυρῶς (Πολλὰς γὰρ αὐτοῖς, φησίν, ἐπιθέντες πληγάς) καὶ ἐδέδετο, καὶ τοῦτο πάλιν ἰσχυρῶς. εἰς γὰρ τὴν ἐσωτέραν φυλακὴν ἐνέβαλεν αὐτόν, καὶ μετὰ πλείονος ἀσφαλείας. καὶ ἐν τοσούτοις ὢν κατὰ τὸ μεσονύκτιον, ὅτε καὶ οἱ σφόδρα ἐγρηγορμένοι καθεύδουσιν, ἑτέρου δεσμοῦ χαλεπωτέρου, τοῦ ὕπνου, ἐπικειμένου, ᾖδον καὶ ὕμνουν τὸν Κύριον. τί τούτων γένοιτ' ἂν τῶν ψυχῶν ἀδαμαντινώτερον; ἐνενόουν ὅτι καὶ οἱ παῖδες ἐν πυρὶ ᾖδον καὶ ἐν καμίνῳ. ἴσως ἐλογίζοντο, ὅτι ἡμεῖς οὐδὲν τοιοῦτον οὐδέπω πεπόνθαμεν. ἀλλὰ καλῶς ποιῶν ὁ λόγος εἰς ἑτέρους ἡμᾶς πάλιν ἐξήνεγκε δεσμούς, καὶ δεσμωτήριον ἕτερον. τί πάθω; βούλομαι σιγῆσαι, ἀλλ' οὐ δύναμαι. ἕτερον δεσμωτήριον ἀνέῳγεν ἐκείνου πολλῷ θαυμασιώτερον, καὶ ἐκπληκτικώτερον. ἀλλά μοι διαναστῆτε, ὡς νῦν ἀρχομένου τοῦ λόγου, καὶ ἀκμαζούσαις προσέλθετε ταῖς διανοίαις. βούλομαι διακόψαι τὸν λόγον, καὶ οὐκ ἀνέχομαι. καθάπερ γάρ τις μεταξὺ πίνων οὐκ ἂν ἀνάσχοιτο διακόψαι, κἂν ὁπωσοῦν τις ἐπαγγέλληται· οὕτω κἀγὼ τῆς κύλικος ἐπιλαβόμενος τῆς θαυμαστῆς τοῦ δεσμωτηρίου τῶν διὰ Χριστὸν δεδεμένων, οὐ δύναμαι παύσασθαι, οὐ δύναμαι σιγῆσαι. εἰ γὰρ αὐτὸς ἐν δεσμωτηρίῳ, καὶ ἐν νυκτὶ οὐκ ἐσίγησεν, οὐδὲ ἐν μάστιξιν, ἐγὼ σιγήσομαι καθήμενος ἡμέρας οὔσης, μετὰ πολλῆς τῆς ἀδείας φθεγγόμενος, τῶν δεδεμένων, τῶν μεμαστιγωμένων, τῶν ἐν μέσῃ νυκτὶ τοῦτο μὴ παθόντων; οἱ παῖδες οὐκ ἐσίγων ἐν καμίνῳ καὶ ἐν πυρί· καὶ ἡμεῖς οὐκ αἰσχυνόμεθα σιγῶντες; ἴδωμεν οὖν καὶ τοῦτο τὸ δεσμωτήριον. ἐδέθησαν καὶ ἐνταῦθα, ἀλλ' εὐθέως καὶ ἐκ προοιμίων ἐδείκνυτο, ὅτι οὐκ ἔμελλον καίεσθαι, ἀλλ' ὡς εἰς δεσμωτήριον εἰσιέναι. τί γὰρ δεσμεῖς τοὺς μέλλοντας φλογίζεσθαι; ἐδέθησαν, καθὼς Παῦλος, καὶ πόδας καὶ χεῖρας, ἐδέθησαν μετὰ τοσούτου θυμοῦ. καὶ γὰρ ἐκεῖνος εἰς τὴν ἐσωτέραν ἔβαλε φυλακήν, καὶ οὗτος ἐπὶ πολὺ καῆναι τὴν κάμινον ἐκέλευσεν. ἀλλ' ἴδωμεν τὰ μετὰ ταῦτα. ὑμνούντων ἐκείνων ἐσείετο τὸ δεσμωτήριον, καὶ ἀνεῴχθησαν αἱ θύραι· καὶ τούτων ὑμνούντων ἐλύθη τὰ δεσμά· καὶ τῶν ποδῶν καὶ τῶν χειρῶν. ἀνεῴχθη τὸ δεσμωτήριον, καὶ ἀνεῴχθησαν αἱ θύραι τῆς καμίνου. δρόσος γὰρ πνεύματος διεσύριζεν. ἀλλ' ὅμως πολλά με περιρρεῖ. οὐκ οἶδα ποῖον εἴπω πρότερον, ποῖον δὲ δεύτερον. διὸ παρακαλῶ, μή με τάξιν τις ἀπαιτείτω. πολλὴ γὰρ ἡ συγγένεια τῶν πραγμάτων. ἐλύθησαν οἱ συνδεδεμένοι αὐτοῖς, καὶ ὅμως ἐκάθευδον. ἐνταῦθα δὲ ἀντὶ τούτου γέγονεν ἕτερόν τι. κατεκάησαν οἱ ἐμβαλόντες αὐτούς. ἀλλ', ὅπερ ἐβουλόμην εἰπεῖν, εἶδε λελυμένους, καὶ προσέπεσεν αὐτοῖς ὁ βασιλεύς· ἤκουσεν ὑμνούντων, καὶ τέσσαρας εἶδε περιπατοῦντας, καὶ ἐκάλεσεν αὐτούς. καθάπερ οὖν ὁ Παῦλος οὐκ ἐξῆλθε, καίτοι δυνάμενος, ἕως ὁ ἐμβα-

Margin: γρ. ἐξαρτηθεῖσα,

Margin: Πράξ. ις. κγ.

Margin: γρ. ἀνειμένοι σφόδρα ἀνειμένως

Margin: γρ. ἀνεξόμεθα σιγᾶν, ἐν αὐτοῖς ὑπάρχοντες;

Margin: Δαν. γ.

Margin: γρ. ἡ κάμινος ἐδροσίζετο. δρόσος γὰρ αὐτῇ πνεύματος διεσύριζε. πολλά με τὰ θαύματα ἐνταῦθα περιρρεῖ.

λῶν ἐκάλεσεν αὐτοὺς, καὶ ἐξήγαγεν, οὕτως οὐδὲ οἱ τρεῖς παῖδες ἐξῆλθον, ἕως οὗ ὁ ἐμβαλὼν ἐξελθεῖν ἐκέλευσε. τί ἀπὸ τούτου παιδευόμεθα; μὴ ἀποδύειν ἐν ταῖς ἐπαγωγαῖς, μηδὲ ἐπείγεσθαι ἐν ταῖς θλίψεσι, μήτε πάλιν λυόντων ἐμμένειν. ἀλλ' οὗτος μὲν προσέπεσε (καὶ γὰρ εἰσελθεῖν ἠδύνατο, ἔνθα ἦσαν οἱ ἅγιοι) ἐκεῖνος δὲ πρὸς τὴν θύραν ἐλθὼν, ἔστη. οὐ γὰρ ἐτόλμα προσελθεῖν εἰς τὸ δεσμωτήριον τὸ ἔνδον, ὅπερ αὐτοῖς διὰ τοῦ πυρὸς κατεσκεύασε. καὶ θέα μοι τὰ ῥήματα. οὗτος φησὶ, Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ; ἐκεῖνος οὐ μετὰ τοσαύτης μὲν ταπεινοφροσύνης, οὐκ ἔλαττον δὲ φωνὴν ἡδίω ἀφῆκε· Σεδρὰχ, Μισὰκ, Ἀβδεναγὼ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε. μεγάλη τιμή· οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε. πῶς ἐξέλθωσιν, ὦ βασιλεῦ; δεδεμένους ἐνέβαλες τῷ πυρὶ, τοσοῦτον ἐνεχρόνισαν τῷ πυρὶ χρόνον. εἰ γὰρ ἀδαμάντινοι ἦσαν, εἰ γὰρ ὕλαι μεταλλικαὶ, τὸν ὕμνον λέγοντες ἐκεῖνον ἅπαντα οὐκ ἂν ἀπώλοντο; διὰ τοῦτο μὲν οὖν ἐσώθησαν, ὅτι ὕμνουν. ἠδέσθη τὴν προθυμίαν αὐτῶν τὸ πῦρ, ἠδέσθη δὲ τὴν ᾠδὴν τὴν θαυμαστὴν ἐκείνην καὶ τοὺς ὕμνους. πῶς αὐτοὺς καλεῖ; προλαβὼν εἶπον, Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου. τοῖς γὰρ τοῦ Θεοῦ δούλοις πάντα δυνατά. εἰ γὰρ ἀνθρώπων εἰσὶ δοῦλοί τινες, καὶ ἐν τοῖς ἐκείνων οὐχ ἧττον ἰσχύουσι καὶ κρατοῦσι καὶ διαπράττονται, πολλῷ μᾶλλον οἱ τοῦ Θεοῦ δοῦλοι. τὴν ἡδίστην φωνὴν ἐκάλεσεν. ᾔδει τούτῳ μάλιστα κολακεύων αὐτούς. καὶ γὰρ ἵνα δοῦλοι τοῦ Θεοῦ μείνωσιν, εἰς πῦρ ἐνέβησαν. οὐκ ἦν αὐτοῖς ἑτέρα φωνὴ ταύτης ἡδίων. οὐκ ἂν, εἰ βασιλεῖς αὐτοὺς ἐκάλεσεν, οὐκ ἂν, εἰ τῆς οἰκουμένης δεσπότας, οὕτως ἂν αὐτοὺς ηὔφρανεν, ὡς ὅτε εἶπεν, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου. καὶ τί θαυμάζεις; τῇ γὰρ μεγάλῃ πόλει, τῇ κρατούσῃ τῆς οἰκουμένης, καὶ μέγα φρονούσῃ ἐπ' ἀξιώμασιν, ὡς ἀντίρροπον πρὸς ἀξίαν, μᾶλλον δὲ πολλῷ μεῖζον, καὶ ἀσυγκρίτως μεῖζον καὶ ὑπατείας καὶ βασιλείας καὶ τῆς ἀρχῆς τῆς οἰκουμένης, ὁ Παῦλος τοῦτο τέθεικε γράφων· Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ. οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου. εἰ γὰρ τοσαύτην, φησὶ, ποιοῦνται σπουδὴν, ὥστε δοῦλοι εἶναι, πάντως τούτῳ πείσομεν αὐτούς. ὅρα τοίνυν καὶ τὴν εὐλάβειαν τῶν παίδων. οὐκ ἠγανάκτησαν, οὐδὲ ὠργίσθησαν, οὐδὲ ἀντεῖπον, ἀλλ' ἐξῆλθον. εἰ γὰρ τιμωρίαν τὸ πρᾶγμα ἐνόμιζον, τὸ ἐμπεσεῖν εἰς τὴν κάμινον, κἂν ἤλγησαν πρὸς τὸν ἐμβαλόντα. νῦν δὲ οὐδὲν τούτων*, ἀλλ' ὡς ἐξ αὐτοῦ προϊόντες τοῦ οὐρανοῦ, οὕτω προῄεσαν. καὶ ὃ περὶ τοῦ ἡλίου φησὶν ὁ προφήτης, Ὅτι ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, τοῦτο καὶ περὶ τούτων εἰπών τις οὐκ ἂν ἁμάρτοι. πῶς; ὅτι τούτου δὴ τοῦ οὕτως ἐκπορευομένου ἐκεῖνοι τότε λαμπρότεροι ἐξεπορεύοντο. οὗτος μὲν γὰρ ἐξεπορεύετο τὴν οἰκουμένην φωτίζων τῷ αἰσθητῷ φωτὶ, ἐκεῖνοι δὲ τὴν οἰκουμένην φωτίζοντες ἑτέρως, νοητῶς λέγω. διὰ γὰρ αὐτοὺς εὐθέως διάταγμα ἔπεμπεν ὁ βασιλεὺς ταῦτα ἔχον τὰ ῥήματα· Ἤρεσεν ἐναντίον ἐμοῦ τὰ σημεῖα καὶ τὰ τέρατα, ἃ ἐποίησεν ὁ Θεὸς δηλῶσαι ἡμῖν, ὡς μεγάλα καὶ ἰσχυρά. ὥστε λαμπρότεραι ἐξήεσαν ἀφιέντες ἀκτῖνα, φαιδρὰν μὲν οὖσαν καὶ ἐν αὐτοῖς τοῖς χωρίοις, μάλιστα δὲ πανταχοῦ ἐκταθῆναι δυναμένην διὰ τῶν γραμμάτων τῶν βασιλικῶν, καὶ λῦσαι τὸ πανταχοῦ τεταμένον σκότος. ἐξέλθετε, καὶ δεῦτε. οὐκ ἐκέλευσε σβέσαι τὴν κάμινον· ἀλλὰ καὶ τούτῳ μάλιστα αὐτοὺς ἐτίμησε, τῷ πιστεῦσαι, ὅτι δυνήσονται μὴ μόνον ἔνδον περιπατεῖν, ἀλλὰ καὶ καιομένης αὐτῆς ἐξελθεῖν. ἴδωμεν δὲ, εἰ δοκεῖ, καὶ τοῦ δεσμοφύλακος τὰ ῥήματα. Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; τί ταύτης τῆς φωνῆς ἥδιον; αὕτη σκιρτᾶν καὶ ἀγγέλους ποιεῖ. ἵνα ταύτην ἀκούσῃ τὴν φωνὴν, καὶ δοῦλος ἐγένετο ὁ τοῦ Θεοῦ μονογενής. ταύτην πρὸς Πέτρον ἔλεγον τὴν φωνὴν οἱ παρὰ τὴν ἀρχὴν πιστεύσαντες. Τί ποιήσομεν, ἵνα σωθῶμεν; καὶ τί φησιν αὐτός; Πιστεύσατε, καὶ βαπτίσθητε. ἡδέως ἂν καὶ εἰς γέενναν ἐνέπεσεν ὁ Παῦλος, ὥστε ταύτην ἀκοῦσαι τὴν φωνὴν παρὰ Ἰουδαίων, δι' ἐπιθυμίαν σωτηρίας καὶ ὑπακοῆς αὐτῶν. ὅρα δέ· τὸ πᾶν αὐτοῖς ἐπιτρέπει, οὐδὲν περιεργάζεται. ἀλλ' ἴδωμεν τὰ μετὰ ταῦτα. οὗτος οὐ λέγει, ἵνα σωθῶ, ἀλλὰ τρανοτέρα πάσης φωνῆς αὐτῷ ἡ διδασκαλία γέγονε.

Margin notes (left): Ρωμ. α. α. — Ψαλ. ιη. ε. — Δαν. γ. — Πραξ. ις. λ. — Πραξ. β. λζ.

Margin notes (right): γ. εἰς τὴν κάμινον, — γ. ἡ — * πυνθάνει — γ. ὑμῖν — γ. κεχυμένον — γ. ἐτόλμησε

γέγονε. καὶ γὰρ εὐθέως γέγονε κῆρυξ. οὐ δεῖται κατηχηθῆναι, καθάπερ ὁ δεσμοφύλαξ. ἀλλὰ τί; ἀνακηρύττει τὸν Θεόν, καὶ ὁμολογεῖ τὴν δύναμιν. Επ' ἀληθείας οἶδα, ὅτι ὁ Θεὸς ὑμῶν, αὐτός ἐστι τῶν θεῶν Θεός, καὶ Κύριος τῶν κυρίων· ὃς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐρρύσατο ὑμᾶς ἀπὸ τῆς καμίνου. καὶ τί μετὰ ταῦτα; οὐχ εἷς δεσμοφύλαξ, ἀλλὰ πολλοὶ κατηχοῦνται διὰ τῶν γραμμάτων τῶν βασιλικῶν, διὰ τῆς θέας τῶν πραγμάτων. ὅτι γὰρ οὐκ ἂν ἐψεύσατο ὁ βασιλεὺς, παντί που δῆλον. οὐ γὰρ ἂν ἠθέλησε τοιαῦτα τοῖς αἰχμαλωτισθεῖσι μαρτυρῆσαι, οὐδὲ τὰ αὐτοῦ καταβαλεῖν. οὐκ ἂν ἠθέλησε τοσαύτης ἀνοίας δόξαν λαβεῖν. ὥστε εἰ μὴ πολλὴ τῆς ἀληθείας ἡ περιφάνεια, οὐκ ἂν τοιαῦτα ἔγραψε καὶ τοσούτων παρόντων. ὁρᾶτε πόση τῶν δεσμῶν ἡ δύναμις; πόση τῆς ὑμνῳδίας τῆς ἐν θλίψει ἡ ἰσχύς; οὐκ ἀπηγόρευσαν, οὐδὲ ἀνέπεσον, ἀλλὰ τότε μᾶλλον ἦσαν σφοδροί, τότε πλείων ἡ προθυμία, εἰκότως, ταῦτα ἐννοοῦσιν. ἔτι εἶς ὑπολείπεται. διὰ τί ἐν μὲν τῷ δεσμωτηρίῳ οἱ δεδεμένοι ἐλύθησαν, ἐν δὲ τῇ καμίνῳ οἱ ἐμβαλόντες κατεκάησαν; καίτοιγε ἐχρῆν τὸν βασιλέα τοῦτο παθεῖν. οὐ γὰρ οἱ δεσμοῦντες, οὐδὲ οἱ ἐμβάλλοντες τοσοῦτοι ἁμαρτοί, ὅσοι ὁ κελεύων τοῦτο γενέσθαι. τίνος οὖν ἕνεκεν ἐκεῖνοι ἀπώλοντο; ἐνταῦθα οὐ πολλή τις χρεία τῆς ἀκριβολογίας. ἀσεβεῖς γὰρ ἦσαν. διὰ τοῦτο ᾠκονόμηται, ἵνα δειχθῇ τοῦ πυρὸς ἡ ἰσχύς, καὶ μεῖζον τὸ θαῦμα γένηται. εἰ γὰρ τοὺς ἔξω οὕτω κατέφαγεν, οὓς ἔνδον εἶχε, πῶς ἀπαθεῖς ἐδείκνυ; ἵνα δήλη γένηται ἡ τοῦ Θεοῦ δύναμις. καὶ μηδεὶς θαυμαζέτω, εἰ τὸν βασιλέα ἐν τάξει τοῦ δεσμοφύλακος ἔθηκα· τὸ γὰρ αὐτὸ εἰργάσατο. οὐδὲν γὰρ ἔστιν ἐκείνου λαμπρότερος ἦν. ἀπώλοντο γὰρ ἀμφότεροι. ἀλλ', ὅπερ ἔφην, ὅτι ἐν ταῖς θλίψεσιν ὄντες οἱ δίκαιοι, τότε μάλιστά εἰσι σφοδρότεροι, ὅταν ἐν δεσμοῖς ὦσι. τὸ γὰρ διὰ Χριστὸν τι παθεῖν, πάσης παραμυθίας ἥδιον. βούλεσθε ὑπομνήσω ὑμᾶς καὶ ἑτέρου δεσμωτηρίου; ἀναγκαῖον ἀπὸ τῆς ἀλύσεως ταύτης ἐφ' ἕτερον ἐλθεῖν δεσμωτήριον. τὸ ποῖον βούλεσθε; τὸ τοῦ Ιερεμίου; ἢ τὸ τοῦ Ιωσήφ; ἢ τὸ Ιωάννου; χάρις τῇ Παύλου ἀλύσει. πόσα ἀνέῳξε τῷ λόγῳ δεσμωτήρια; τὸ Ιωάννου βούλεσθε; ἐδέθη καὶ οὗτός ποτε διὰ τὸν Χριστὸν καὶ τὸν τοῦ Θεοῦ νόμον. τί οὖν; ἆρα ἤργει ἐν τῷ δεσμωτηρίῳ ὤν; οὐχὶ δὲ ἐκεῖθεν πέμψας ἐκ τοῦ δεσμωτηρίου ἔλεγε τοῖς μαθηταῖς αὐτοῦ, Πορευθέντες εἴπατε τῷ Χριστῷ, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ ἐκεῖ ὢν ἄρα ἐδίδασκεν. οὐ γὰρ δὴ ἠμέλει. ἀλλ' Ιερεμίας οὐχὶ προεφήτευσε περὶ τοῦ Βαβυλωνίου, πάντα τὰ αὐτοῦ καὶ ἐκεῖ ποιῶν; τί δὲ ὁ Ιωσήφ; οὐχὶ τρεισκαίδεκα ἔτη ἐδέδετο; ἀλλ' ὅμως οὐδὲ ἐκεῖ τῆς ἀρετῆς ἐπελάθετο. ἔτι ἑνὸς εἰπόντες δεσμούς, καταπαύσομεν τὸν λόγον. ἐδέθη καὶ ὁ δεσπότης ὁ ἡμέτερος, ὁ τὴν οἰκουμένην λύσας τῶν ἁμαρτημάτων· ἐδέθησαν χεῖρες αἱ μυρία ἐργασάμεναι καλά. Δήσαντες γὰρ αὐτόν, φησιν, ἤγαγον πρὸς Καϊάφαν, καὶ ἐδέδετο ὁ τοσαῦτα θαυματουργήματα ἐργασάμενος. ταῦτα ἐννοοῦντες, μηδέποτε δυσχεραίνωμεν, ἀλλὰ καὶ δεθῶμεν, χαίρωμεν· κἂν μὴ ἐν τοῖς δεσμοῖς ὦμεν, ὡς συνδεδεμένοι διακείμεθα. ὁρᾷς ὅσον ἀγαθὸν ὁ δεσμός; ταῦτα πάντα εἰδότες, χάριν ἀναπέμπωμεν ὑπὲρ πάντων τῷ Θεῷ, ἐν Χριστῷ Ιησοῦ τῷ Κυρίῳ ἡμῶν.

Πρᾶξ. κε. κδ.

β. Βασ. ιε. θ.

Ματθ. ια. γ.

Ματθ. κς. ξζ.

Λογ. θ. 1 ΠΑΡΑΚΑΛΩ ΟΥΝ ΥΜΑΣ ΕΓΩ, Ο ΔΕΣΜΙΟΣ ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, 2 Μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, 3 Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. κεφ. δ.

Ἀπεδείχθη τῆς ἁλύσεως τοῦ Παύλου ἡ ἰσχὺς καὶ μεγάλη καὶ σημείων λαμπροτέρα. οὐ μάτην δὲ ἐνταῦθα, ὡς ἔοικε, ταύτην προβάλλεται, οὐδὲ εἰκῆ, ἀλλ' ὡς μάλιστα δι' αὐτῆς δυσωπῆσαι. καὶ τί φησι; παρακαλῶ οὖν ὑμᾶς ἐγὼ, ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε. πῶς; μετὰ πάσης ταπεινοφροσύνης, μετὰ πρᾳότητος καὶ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ. οὐχ ἁπλῶς τὸ δέσμιον εἶναι, καλὸν, ἀλλὰ τὸ διὰ Χριστόν. διὰ τοῦτό φησιν, ὁ δέσμιος ἐν Κυρίῳ, τουτέστι, διὰ Χριστόν. οὐδὲν τούτου ἴσον. ἀλλὰ μᾶλλον ἡμᾶς ἀποσύρει τῶν προκειμένων ἡ ἅλυσις καὶ τὰ θαύματα, καὶ ἀποπηδῆσαι οὐχ ὑπομένομεν, ἀλλ' ἑλκόμεθα καὶ ἄκοντες, μᾶλλον δὲ καὶ βουλόμενοι καὶ εὐχόμενοι. καὶ εἴθε ἀεὶ περὶ τῆς ἁλύσεως Παύλου διαλέγεσθαι ἦν. ἀλλὰ μὴ ναρκήσητε. ἐπὶ γὰρ ἐκεῖνο εἰπεῖν βούλομαι, ὃ πολλοὶ ζητοῦντές φασι· καὶ εἰ καλὸν αἱ θλίψεις, πῶς αὐτὸς ἀπολογούμενος πρὸς τὸν

Πραξ. κϛ. κθ. Ἀγρίππαν ἔλεγεν, Εὐξαίμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ, καὶ ἐν πολλῷ οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, ὁποῖος καὶ ἐγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων; οὐχ ὡς ἀπευκτὸν τὸ πρᾶγμα νομίζων, ταῦτα ἔλεγε (μὴ γένοιτο) οὐ γὰρ ἂν, εἴγε ἀπευκτὸν ἦν, ἐκαυχᾶτο ἐπὶ τοῖς δεσμοῖς, ἐπὶ τῇ φυλακῇ, ἐπὶ ταῖς ἄλλαις θλίψεσιν· οὐδ' ἂν γράφων ἔλεγεν,

β. Κορ. ιβ. θ. Ἥδιστα καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. ἀλλὰ τί; τοῦτο αὐτὸ

α. Κορ. γ. β. τεκμήριον ἦν τοῦ μεγάλα ἡγεῖσθαι τὰ δεσμά. ὥσπερ γὰρ Κορινθίοις γράφων ἔλεγε, Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα (οὔπω γὰρ ἐδύνασθε) οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ ἠδύναντο ἀκοῦσαι τὸ κάλλος, οὐδὲ τὸν κόσμον, οὐδὲ τὴν ὠφέλειαν τῶν δεσμῶν. διὰ τοῦτό φησιν,

Εβρ. ιγ. γ. ἐκτὸς τῶν δεσμῶν τούτων. τοῖς μέντοι Ἑβραίοις οὐχ οὕτως, ἀλλὰ παρῄνει συνδεδέσθαι τοῖς δεδεμένοις. διὰ τοῦτο καὶ αὐτὸς ἔχαιρεν ἐπὶ τοῖς δεσμοῖς, καὶ ἐδεσμεῖτο, καὶ μετὰ τῶν δεσμωτῶν ἀπήγετο εἰς φυλακήν. μεγάλη τῆς ἁλύσεως Παύλου ἡ ἰσχύς. ὁρᾷς αὐτὴ πόσον τοῦτο τὸ θαῦμα, δεδεμένον ἰδεῖν Παῦλον καὶ ἐξαγόμενον ἀπὸ τοῦ δεσμωτηρίου. δεδεμένον ἰδεῖν καὶ ἔνδον καθήμενον, ποίας ἡδονῆς τοῦτο οὐ μεῖζον; τίνος οὐκ ἂν τιμήσαιμι τὸ πρᾶγμα; οὐχ ὁρᾶτε τοὺς βασιλέας, τοὺς ὑπάτους ἐπὶ ζεύγεσι φερομένους, καὶ χρυσοφοροῦντας, καὶ τοὺς δορυφοροῦντας πάντα ἔχοντας χρυσᾶ; χρυσᾶ τὰ δόρατα; χρυσᾶς τὰς ἀσπίδας; χρυσᾶ τὰ ἱμάτια; ἵππους χρυσοφόρους; πόσον τῆς θέας ἐκείνης τοῦτο τερπνότερον; ἅπαξ ἂν ηὐξάμην Παῦλον ἰδεῖν ἐκ τοῦ δεσμωτηρίου μετὰ τῶν δεσμωτῶν ἐξιόντα, ἢ μυριάκις ἐκείνους μετὰ τῆς δορυφορίας ἐκείνης παραπεμπομένους. πόσους οἴεσθε ἀγγέλους προηγεῖσθαι αὐτοῦ, ὅτε ἐξήγετο οὕτω; καὶ ὅτι οὐ ψεύδομαι, ἀπό τινος παλαιᾶς ἱστορίας τὸ πρᾶγμα ὑμῖν ποιήσω φανερόν. Ἐλισσαῖος ὁ προφήτης, ἴστε δὲ ἴσως τὸν ἄνδρα, τοῦ βασιλέως Συρίας ἐκπο-

δ. Βασ. ϛ. η. πολεμουμένου πρὸς τὸν τοῦ Ἰσραὴλ βασιλέα, καθήμενος παρ' ἑαυτῷ, ἅπαντα, ἅπερ ἐκεῖνος ἐν τοῖς ταμείοις μετὰ τῶν κοινωνούντων αὐτῷ τῆς γνώμης ἐβουλεύετο, εἰς μέσον ἐξέφερε, καὶ ἀκύρους ἐποίει τοῦ βασιλέως τὰς βουλὰς, τὰ ἀπόρρητα προλέγων, καὶ οὐκ ἀφιεὶς εἰς τὰς παγίδας, ἃς ἐκεῖνος ἐτίθει, ἐμπεσεῖν. ἐλύπει τοῦτο τὸν βασιλέα, καὶ ἀθυμῶν, ἐν ἀπορίᾳ πολλῇ καθειστήκει, οὐκ ἔχων μαθεῖν τὸν ἐκφέροντα ἅπερ αὐτὸς ἐπιβουλεύοιτο, καὶ τὰς μηχανὰς ἀκυροῦντα τὰς τούτου. ἀπορῶν τοίνυν αὐτὸς, καὶ τὴν αἰτίαν ζητοῦντι εἶπέ τις τῶν ὑπασπιστῶν, ὅτι δὴ προφήτης εἴη τις Ἐλισσαῖος ἐν Σαμαρείᾳ καθήμενος, οὐκ ἐῶν ἐσταναι τὴν τοῦ βασιλέως γνώμην, ἀλλὰ πάντα ἐκφέρων. ἐκεῖνος * ἐνόμισεν εὑρηκέναι τὸ πᾶν. οὐδὲν δὲ ἄρα αὐτοῦ ἀθλιώτερον. ὅρα γάρ· δέον τιμῆσαι τὸν ἄνδρα, θαυμάσαι, ἐκπλαγῆναι, εἰ δὴ τοσαύτην ἔχει τὴν ἰσχὺν, ὡς ἀπὸ τοσούτων σταδίων καθήμενον, πάντα τὰ ἐν τῷ ταμείῳ τοῦ βασιλέως, οὐδενὸς ἀπαγγέλλοντος, εἰδέναι· τοῦτο μὲν οὐκ ἐποίησε, πα-

γρ. ἐκάλει
γρ. ...
γρ. αὐτῷ
* ἄνοιαν

ἐξαγριωθεὶς δὲ, καὶ τῆς ὀργῆς γενόμενος μόνης, ἱππέας καὶ ὁπλίτας συντάξας, πέμπει τὸν διαρπά-
σοντα τὸν προφήτην. ἦν δὲ τῷ Ἐλισσαίῳ μαθητὴς ἐν προπυλαίοις ἔτι τῆς προφητείας,
τῆς τοιούτων ἀποκαλύψεων μήπω κρινόμενος ἀξιοῦσθαι. ἐπέστησαν οἱ στρατιῶται τοῦ
βασιλέως, ὡς δήσοντες τὸν ἄνδρα, μᾶλλον δὲ τὸν προφήτην. πάλιν εἰς δεσμοὺς ἐμπί-
πτομεν, καὶ τί πάθω; πολλαχόθεν [illegible] ὁ λόγος οὕτως ὑφαίνεται. καὶ ἰδὼν ὁ μαθητὴς τῶν στρατιω-
τῶν τὸ πλῆθος, ἐξέστη, καὶ περιδεὴς καὶ ἔντρομος προσδραμὼν τῷ διδασκάλῳ, τὴν συμφο-
ράν, ὡς ᾤετο, ἀπήγγειλε, καὶ τὸν ἄφυκτον ἐμήνυσε κίνδυνον. κατεγέλασεν ὁ προφήτης, ὅτι τὰ
οὐκ ἄξια δέους ἐδεδοίκει, καὶ παρῄνει θαρρεῖν. ἐκεῖνος δὲ ἀπλῆς ἔτι ὤν, οὐκ ἐπείθετο, ἀλλ'
ἔτι ὑπὸ τῆς ὄψεως ἐκπληττόμενος, συνείχετο τῷ φόβῳ. τί οὖν ὁ προφήτης; Κύριε, διάνοι- δ. Βασ. ϛ. ιζ.
ξον, φησί, τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου τούτου, καὶ ἰδέτω ὅτι πλείους οἱ μεθ' ἡμῶν ὑπὲρ τοὺς
μετ' αὐτῶν. καὶ ἄφνω τὸ ὄρος ὅλον ὁρᾷ, ὅπερ ὁ προφήτης ᾤκει τότε, ἵππων πυρίνων, καὶ
ἁρμάτων τοιούτων ἐμπεπλησμένον. τοῦτο δὲ οὐδὲν ἕτερον ἦν, εἰ μὴ ἀγγέλων παράταξις.
εἰ δὲ Ἐλισσαίῳ ὑπὲρ τούτου μόνου τοσαύτη περιεῖπε τάξις ἀγγέλων, τί Παύλῳ; τοῦτο καὶ
ὁ προφήτης Δαβὶδ ἔλεγε· Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐ- Ψαλμ. λγ. η.
τόν. καὶ πάλιν· Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. καὶ Ψαλμ. ϟ. ιβ.
τί λέγω ἀγγέλους; αὐτὸς ὁ δεσπότης τότε μετ' αὐτοῦ ἦν ἐξιόντος. οὐ γὰρ δήπου τῷ μὲν Α-
βραὰμ συνεγίνετο, μετὰ δὲ τούτου οὐκ ἦν. αὐτὸς γὰρ ἐπηγγείλατο λέγων· Ἐγώ εἰμι μεθ' Ματθ. κη. κ.
ὑμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ πάλιν ὀφθεὶς αὐτῷ, ἔλεγε·
Μὴ φοβοῦ, ἀλλὰ λάλει, ὅτι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε. καὶ Πραξ. ιη. θ.
κατ' ὄναρ δὲ αὐτῷ ἐπιστὰς λέγων· Θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσα- Πραξ. κγ. ια.
λήμ, οὕτω σε δεῖ καὶ ἐν Ῥώμῃ μαρτυρῆσαι. ἀεὶ μὲν οὖν οἱ ἅγιοι θαυμαστοί, καὶ πολλῆς γέ-
μουσι χάριτος, μάλιστα δὲ ὅταν διὰ Χριστὸν κινδυνεύωσιν, ὅταν δέσμιοι γίνωνται. καθάπερ
γὰρ στρατιώτης γενναῖος ἀεὶ μὲν καὶ ἁπλῶς ἡδὺ θέαμα τοῖς ὁρῶσι γίνεται, μάλιστα δὲ ὅταν ἑστή-
κῃ καὶ παρατάττηται πρὸς αὐτὸν τὸν βασιλέα· οὕτω δὴ καὶ Παῦλον ἐννόησον, ὅσον ἦν ἰδεῖν μετὰ τῶν
δεσμῶν αὐτὸν διδάσκοντα. εἴπω τι μεταξὺ νῦν ὑπελθόν με νόημα. ὁ μακάριος μάρτυς
Βαβύλας ἐδέθη, καὶ αὐτὸς ἀπὸ τῆς αὐτῆς αἰτίας, ἀφ' ἧς καὶ Ἰωάννης, βασιλέα παρανομοῦντα
ἐλέγξας. ἐπεὶ τελευτῶν ἐπέσκηψε τὰ δεσμὰ τεθῆναι μετὰ τοῦ σώματος, καὶ τὸ σῶμα δεδε-
μένον ταφῆναι, καὶ νῦν αἱ πέδαι κεῖνται μετὰ τῆς τέφρας. τοσοῦτος ἦν αὐτῷ πόθος τῶν διὰ
Χριστὸν δεσμῶν. Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, ὁ προφήτης φησὶ περὶ τοῦ Ἰωσήφ. ἤδη Ψαλμ. ρδ. ιη.
δὲ καὶ γυναῖκες τούτων ἔλαβον πεῖραν τῶν δεσμῶν· ἀλλ' ἡμεῖς οὐ δεσμούμεθα. οὐδὲ τοῦτο
παραινῶ, καιροῦ νῦν οὐκ ὄντος. ἀλλὰ σὺ μὴ δήσῃς τὰς χεῖρας, ἀλλὰ δῆσον τὴν παράνοιαν. ἔστι
καὶ ἄλλα δεσμά. οἱ ταῦτα μὴ φέροντες, ἐκεῖνα οἴσουσιν. ἄκουε τοῦ Χριστοῦ λέγοντος·
Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας. ἀλλὰ μὴ γένοιτο πεῖραν ἐκείνων λαβεῖν, τούτων δὲ τῶν δε- Ματθ. κβ. ιγ.
σμῶν καὶ ἐμπλησθῆναι γένοιτο. διὰ ταῦτα ἔλεγεν· ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ παρακα-
λῶ ὑμᾶς ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε. καὶ πάλιν, κεφάλαιον ἔχομεν τὸν
Χριστόν. συνήγειρε γὰρ καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐχθροὺς ὄντας, καὶ μυρία
ἐργασαμένους κακά. μεγάλη ἡ κλῆσις, καὶ ἐπὶ μεγάλοις· οὐχ ὅτι ἀπ' ἐκείνων μόνον, ἀλλ'
ὅτι καὶ ἐπὶ τοιαῦτα, καὶ τοιοῦτον τρόπον. πῶς δὲ ἔστιν ἀξίως περιπατῆσαι; μετὰ πάσης τα-
πεινοφροσύνης. ὁ τοιοῦτος ἀξίως περιπατεῖ. τοῦτο ἀρετῆς πάσης ὑπόθεσις. ἂν ταπει-
νὸς ᾖς, καὶ ἐννοήσῃς τίς ὢν πῶς ἐσώθης, ἀφορμὴν πρὸς ἀρετὴν λαμβάνεις τὴν μνήμην,
οὔτε τοῖς δεσμοῖς ἐπαίρῃ, οὔτε ἄλλοις τούτοις οἷς εἶπον, ἀλλ' εἰδὼς ὅτι τὸ πᾶν τῆς χάριτος
ἐστί, συστελεῖς σαυτόν. ὁ ταπεινόφρων, καὶ εὐγνώμων δύναται εἶναι καὶ εὐχάριστος οἰκέτης.
Τί γὰρ ἔχεις, φησίν, ὃ οὐκ ἔλαβες; ἄκουε δὲ πάλιν αὐτοῦ λέγοντος· Περισσότερον αὐτῶν πάν- α. Κορ. δ. ζ.
των ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. μετὰ πάσης, φησί, ταπει- α. Κορ. ιε. ι.

νοφροσύνης,

νοφροσύνης, μὴ τῆς ἐν ῥήμασι, μηδὲ ἐν πράγμασι μόνοις, ἀλλὰ καὶ ἐν σχήματι καὶ ἐν φθέγματι· μὴ πρὸς τοῦτον μὲν ταπεινός, πρὸς δὲ ἐκεῖνον θρασύς· πρὸς πάντας ἔσο ταπεινός, κἂν φίλος ᾖ, κἂν ἐχθρός, κἂν μέγας, κἂν μικρός. τοῦτο ταπεινοφροσύνη. καὶ ἐν τοῖς κατορθώμασιν ἔσο ταπεινός. Matth. ε. γ. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, καὶ τοῦτο πρῶτον τιθέντος. διὰ τοῦτο καὶ αὐτός φησι· μετὰ πάσης ταπεινοφροσύνης, καὶ πρᾳότητος, καὶ μακροθυμίας. ἔστι γὰρ ταπεινὸν μὲν εἶναι, ὀξὺν δὲ καὶ ὀργίλον, ἀλλ' οὐδὲν ὄφελος. πολλάκις γὰρ ὑπὸ τῆς ὀργῆς κατεχόμενος, πάντα ἀπώλεσεν. ἀνεχόμενοι, φησίν, ἀλλήλων ἐν ἀγάπῃ. πῶς ἀνέχεσθαι δυνατόν, ἂν ὀργίλος ᾖ, ἂν κατήγορος; εἶπε καὶ τὸν τρόπον. ἐν ἀγάπῃ φησίν. εἰ τοῦ πλησίον, φησίν, οὐκ ἀνέχῃ, πῶς σου ἀνέξεται ὁ Θεός; εἰ αὐτὸς τὸν ὁμόδουλον οὐ φέρεις, πῶς σε οἴσει ὁ δεσπότης; ἔνθα ἂν ᾖ ἀγάπη, πάντα οἰστά ἐστι. σπουδάζοντες, φησί, τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. δῆσον αὐτοῦ τὰς χεῖρας τῇ ἐπιεικείᾳ. πάλιν δὲ καλὸν ὄνομα ἐνέθησεν ὁ δεσμός. ἀφήκαμεν αὐτόν, καὶ αὐτὸς ἡμῖν πάλιν ἐπέδραμε. καλὸς ἐκεῖνος ὁ δεσμός, καλὸς καὶ οὗτος· καὶ ἐκεῖνος ἀπὸ τούτου πλέκεται. σύνδησον σαυτὸν τῷ ἀδελφῷ. οἱ τοῦτον ἅπαντα κούφως φέρουσιν οἱ συνδεδεμένοι τῇ ἀγάπῃ. σαυτὸν ἐκείνῳ πρόσδησον, κἀκεῖνον σοί. ἀμφοτέρων σὺ κύριος. ὃν γὰρ ἂν βουλησώμεθα ποιῆσαι φίλον, δυνησόμεθα μετ' εὐκολίας. σπουδάζοντες. δείκνυσιν οὐχ ἁπλῶς, οὐδὲ τοῦ τυχόντος δὲ πρᾶγμα εἶναι. σπουδάζοντες, φησί, τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος. τί ἐστιν ἑνότης πνεύματος; καθάπερ ἐν σώματι πνεῦμά ἐστι τὸ πάντα συνέχον, καὶ ἕν τι ποιοῦν τὸ ἐν διαφόροις ὂν μέλεσιν· οὕτω δὴ καὶ ἐνταῦθα. διὰ γὰρ τοῦτο τὸ πνεῦμα ἐδόθη, ἵνα τοὺς γένει καὶ τρόποις διαφόροις διεστηκότας ἑνώσῃ. ὁ γὰρ γέρων καὶ ὁ νέος, ὁ πένης καὶ ὁ πλούσιος, ὁ παῖς, ὁ ἔφηβος καὶ ὁ ἀνήρ, ἡ γυνὴ καὶ ὁ ἀνήρ, καὶ πᾶσα ψυχὴ ἕν τι γίνεται, καὶ μᾶλλον ἢ εἰ σῶμα ἓν ἦν. ταύτης γὰρ τῆς συγγενείας πολλῷ μείζων ἐκείνη, καὶ πλείων ἡ ἀκρίβεια τῆς ἑνώσεως. ἡ γὰρ τῆς ψυχῆς συνάφεια ἀκριβεστέρα ἐστίν, ὅσῳ καὶ ἁπλῆ καὶ μονοειδής ἐστι. πῶς δὲ αὕτη φυλάττεται; ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. οὐκ ἔστιν ἐν ἔχθρᾳ καὶ διαστάσει ταύτην εἶναι. α. Κορ. γ. γ. Ὅπου γὰρ ἔριδες ἐν ὑμῖν, φησί, καὶ ζῆλοι, καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; καθάπερ γὰρ τὸ πῦρ, ὅταν μὲν ξηρὰ εὕρῃ ξύλα, μίαν τὰ πάντα ἐργάζεται πυράν, ὅταν δὲ ὑγρά, οὐδὲ ἐνεργεῖ, οὐδὲ συγκολλᾶται· οὕτω καὶ ἐνταῦθα. οὐδὲν τὴν ψυχρὰν αὐτὴν συσφίγξαι δύναται, ἕκαστον δὲ ὡς ἐπὶ τὸ πολὺ τῶν θερμῶν. ἀπὸ τούτου γινώσκε ἡ θερμότης τῆς ἀγάπης τίκτεται. ἀπὸ τοῦ συνδέσμου τῆς εἰρήνης βούλεται συνδῆσαι πάντας ἡμᾶς. καθάπερ γάρ, φησίν, ἐὰν θέλῃς σαυτὸν ἑτέρῳ προσδῆσαι, ἄλλως οὐ δυνήσῃ, ἀλλ' ἢ διὰ τοῦ κἀκεῖνον σαυτῷ προσδῆσαι, καὶ εἰ ἐθέλοις διπλοῦν ποιῆσαι τὸν δεσμόν, χρὴ κἀκεῖνόν σοι προσδεθῆναι· οὕτω καὶ ἐνταῦθα ἀλλήλοις προσδεδέσθαι βούλεται, οὐχ ἁπλῶς εἰρηνεύειν, οὐδὲ ἁπλῶς φιλεῖν, ἀλλ' ἐν πᾶσιν εἶναι μίαν ψυχήν. καλὸς οὗτος ὁ δεσμός. τούτῳ τῷ δεσμῷ καὶ ἀλλήλοις καὶ πρὸς τὸν Θεὸν συνδήσωμεν ἑαυτούς. οὐ θλίβει, οὐ πιέζει τὰς δεδεμένας χεῖρας οὗτος ὁ δεσμός, ἀλλ' ἀνίησι, καὶ ἐν εὐρυχωρίᾳ καθίστησι πολλῇ, καὶ τῶν λελυμένων μᾶλλον εὐθυμεῖσθαι ποιεῖ. ὁ ἰσχυρὸς καὶ δεδεμένος μετὰ τοῦ ἀσθενοῦς διαβαστάζει τε ἐκεῖνον, καὶ οὐκ ἀφίησιν ἀπολέσθαι· κἂν μετὰ τοῦ ῥαθύμου προσδεθῇ, διεγείρει μᾶλλον αὐτόν. Παροιμ. ιη. ιθ. Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, φησίν, ὡς πόλις ὀχυρά. ταύτην τὴν ἅλυσιν οὐχ ὁδῶν διάστημα κωλῦσαι δύναται, οὐκ οὐρανός, οὐ γῆ, οὐ θάνατος, οὐκ ἄλλο οὐδέν, ἀλλὰ πάντων ἐστὶ κρείττων καὶ ἰσχυροτέρα. αὕτη καὶ ἀπὸ μιᾶς τεχθεῖσα ψυχῆς, δύναται ὁμοῦ πολλοὺς περιλαβεῖν. ἄκουε γὰρ Παύλου λέγοντος· β. Κορ. ς. ιβ. Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. πλατύνθητε καὶ ὑμεῖς. τί δὴ οὖν τοῦτον λυμαίνεται τὸν δεσμόν; χρημάτων ἔρως, φιλαρχίας, δόξης, καὶ τῶν ἄλλων τῶν τοιούτων, χαύνους αὐτοὺς ποιεῖ, καὶ διακόπτει. πῶς οὖν, ἵνα μὴ διακόπτωσιν; ἐὰν

ταῦτα

ταῦτα ἐκποδὼν γίνηται, καὶ μηδὲν παρενοχλῇ τῶν διαφθειρόντων τὴν ἀγάπην. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ματθ. κδ. ιϐ. οὐδὲν οὕτως ἐναντίον ἀγάπῃ, ὡς ἁμαρτία, καὶ οὐ λέγω τῇ πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ τῇ πρὸς τὸν πλησίον. πῶς οὖν καὶ λῃσταὶ εἰρηνεύουσι, φησί; πότε, εἰπέ μοι; πάντως ὅταν οὐ λῃστρικῶς ἔτι πρὸς ἀλλήλους χρήσωνται. ἂν γὰρ ἐν αὐτοῖς, οἷς ἂν διανέμωνται, μὴ τοὺς νόμους φυλάξωσι τοὺς (χ. φυλάττωσι) τοῦ δικαίου, καὶ ἑκάστῳ ἀπονείμωσι τὸ δίκαιον, εὑρήσεις αὐτοὺς κἀκείνους ἐν πολέμοις καὶ μάχαις. ὥστε οὐδὲ ἐν τοῖς κακοῖς τὴν εἰρήνην ἐστὶν εὑρεῖν. πανταχοῦ δὲ ταύτην ἐστὶν εὑρεῖν, ὅπου ἂν μετὰ δικαιοσύνης καὶ ἀρετῆς βιῶσιν. ἀλλὰ τί; ἀντεραστεῖ εἰρηνεύουσιν; οὐδαμῶς. ἀλλὰ τίνα βούλει εἴπω; πλεονέκτης μετὰ πλεονέκτου οὐκ ἄν εἰρηνεύσειέ ποτε. ὡς εἴ γε μὴ ἦσαν δίκαιοι καὶ ἐπιεικεῖς, καὶ ἀδικούμενοι μεταξὺ αὐτῶν, καὶ διεσπάσθη ἂν ὁ δῆμος. (ἰσ. ἐπιεικεῖς, ἀδικούμενοι) καθάπερ γὰρ δύο θηρίων σφόδρα πεινώντων, ἂν μή τι γένοιτο μέσον τὸ δυνάμενον ὑπ' αὐτῶν ἀναλωθῆναι, ἑαυτὰ κατεσθίουσιν· οὕτω καὶ ἐπὶ τῶν πλεονεκτῶν, καὶ τῶν κακῶν ἐγένετο ἄν. ὥστε οὐκ ἔνι εἰρήνην εἶναι, μὴ προτέρου ἀρετῆς κατορθωθείσης. κατασκευάσωμεν δὲ καὶ πόλιν, εἰ βούλει, πάντων πλεονεκτῶν, καὶ ἰσοτίμων, καὶ μηδεὶς φερέτω ψῆφον τοῦ ἀδικεῖσθαι, ἀλλὰ πάντες ἀδικείτωσαν. μὴ δύναται συστῆναι ἡ πόλις ἐκείνη; οὐδαμῶς. ἀλλὰ μοιχῶν ἐστιν εἰρήνη; ἀλλ' οὐχ εὑρήσεις οὐδὲ δύο ὁμονοοῦντας. ὥστε οὐδὲν τούτου αἴτιον πάλιν, ἢ τὸ τὴν ἀγάπην ψυγῆναι. τοῦ δὲ τὴν ἀγάπην ψυγῆναι αἴτιον, τὸ πληθυνθῆναι τὴν ἀνομίαν. εἰς γὰρ φιλαυτίαν ἄγει τοῦτο, καὶ διαιρεῖ καὶ σχίζει τὸ σῶμα, καὶ σχίζονται καὶ διασπᾶται. ἔνθα δὲ ἀρετὴ, τὸ ἐναντίον ποιεῖ. ὁ μὲν γὰρ ἐνάρετος, καὶ χρημάτων κρείττων. ὥστε κἂν μυρίοι ὦσιν ἐν πενίᾳ, δύναιντ' ἂν εἶεν εἰρηνικοί. (χ. γίνεται) ὁ δὲ πλεονέκτης, κἂν δύο ὦσιν, οὐδέποτε δύναιντ' ἂν εἰρήνην εἶναι. ὥστε ἐὰν ἡμᾶς ὦμεν ἐνάρετοι, ἡ ἀγάπη οὐκ ἀπολεῖται. ἀπὸ γὰρ ἀγάπης ἡ ἀρετὴ, καὶ ἀπὸ ἀρετῆς ἡ ἀγάπη. καὶ πῶς, ἐγὼ λέγω. ὁ ἐνάρετος οὐ προτιμᾷ χρήματα φιλίας, οὐδὲ μνησίκακός ἐστιν, οὐδὲ ἀδικεῖ τὸν πλησίον, οὐχ ὑβρίζει, φέρει πάντα γενναίως. ἀπὸ τούτων ἡ ἀγάπη συνίσταται. πάλιν ὁ ἀγαπῶν, πάντα ταῦτα ὑφίσταται. οὕτως ἀλλήλων ἐστὶ κατασκευαστικά. καὶ τοῦτο μὲν ἐντεῦθεν δείκνυται, ὅτι ἀπὸ ἀρετῆς ἡ ἀγάπη. τῷ γὰρ εἰπεῖν, ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη, τοῦτο ἐδήλωσεν. ὅτι δὲ ἀπὸ ἀγάπης ἡ ἀρετὴ, Ὁ ἀγαπῶν τὸν πλησίον, νόμον ἐπλήρωσε, φησίν. Ρωμ. ιγ. η. ὥστε ἐν τῶν δύο εἶναι χρὴ, ἢ σφόδρα φιλικὸν καὶ ἐρῶμενον, ἢ σφόδρα ἐνάρετον. ὁ γὰρ τὸ ἓν ἔχων, ἐξ ἀνάγκης καὶ τὸ ἕτερον κέκτηται· καὶ τοὐναντίον, ὁ μὴ εἰδὼς φιλεῖν, καὶ πονηρὰ ἐργάσεται, ὁ πονηρὰ ἐργαζόμενος, οὐδὲ φιλεῖν οἶδε.

Μεταδιώξωμεν τοίνυν τὴν ἀγάπην. φεύγειν γάρ ἐστι πρὸς τὸ μηδὲν συγχωρῆσαι ἡμᾶς παθεῖν κακόν. συνδήσωμεν ἑαυτοὺς, μηδὲν ὀλεθρὸν ἔσω παρ' ἡμῖν, μηδὲν ὕπουλον. οὐδὲν γὰρ εὑρίσκεται τοιοῦτον, ἔνθα ἂν ἡ φιλία. εἶπε δὲ τοῦτο καὶ ἄλλος σοφός τις ἀνήρ· Ἐπὶ φίλον ἐὰν καὶ σπάσῃς ῥομφαίαν, μὴ ἀπελπίσῃς· ἔστι γὰρ ἐπάνοδος. ἐπὶ φίλον ἐὰν ἀνοίξῃς τὸ στόμα, μὴ ἀπογνῷς· ἔστι γὰρ διαλλαγὴ ἄνευ ὀνειδισμοῦ, καὶ μυστηρίων ἀποκαλύψεως, καὶ πληγῆς δολίας. Σειρ. κϐ. κε. ἐν τούτοις ἀποφεύξῃ φίλος, ἐν ἀποκαλύψει, φησί, μυστηρίων. ἂν πάντες τοίνυν ὦμεν φίλοι, οὐδὲ μυστηρίων δεῖ. ὥσπερ γὰρ αὐτός τις πρὸς ἑαυτὸν οὐδὲν ἔχει μυστήριον, οὐδὲ αὐτὸς ἑαυτὸν κρύπτειν δυνήσεται· οὕτως οὐδὲ τοὺς φίλους. οὐκ ὄντων οὖν μυστηρίων, ἀδύνατος ἡ ἐκ τούτου διακοπή. δι' οὐδὲν γὰρ ἔχομεν μυστήρια, ἢ διὰ τὸ μὴ πᾶσι θαρρεῖν. ὥστε ὁ ψυγμὸς τῆς ἀγάπης πεποίηκε μυστήρια. τί γὰρ ἔχεις μυστήριον; ἀδικῆσαι τὸν πλησίον βούλει; ἢ κωλύεις ἀγαθοῦ τινος μετέχειν, καὶ διὰ τοῦτο κρύπτεις; ἀλλ' οὐδὲν τούτων. ἀλλ' αἰσχύνη; οὐκοῦν τὸ μὴ θαρρεῖν τούτῳ τεκμήριον. ἂν μὲν οὖν ἀγάπη ᾖ, οὐκ ἔσται μυστηρίων ἀποκάλυψις, ἀλλ' οὐδὲ ὀνειδισμός. τίς γὰρ ἄν, εἰπέ μοι, καὶ πότε τῇ ἑαυτοῦ ψυχῇ ὀνειδίσειεν; εἰ δὲ καὶ γένοιτο, ἐπὶ κέρδει. ἐπεὶ καὶ παισὶν ὀνειδίζομεν, δακεῖν αὐτοὺς βουλόμενοι.

ΗΘΙΚΟΝ

βουλόμενοι. καὶ ὁ Χριστὸς δὲ τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, λέγων, Οὐαί σοι Χοραζίν, οὐ-
Λουκ. ι. ιγ. αί σοι Βηθσαϊδά, ἵνα ὀνειδισμῶν ἀπαλλάξῃ. οὐδὲν γὰρ οὕτω δύναται καθάψασθαι διανοίας, καὶ διαναστῆσαι μᾶλλον αὐτήν, καὶ προκειμένην ἀνορθῶσαι. μὴ δὴ ὀνειδίζωμεν ἁπλῶς ἀλλήλους. τί γάρ; ἐπὶ χρήμασιν αὐτὸν ὀνειδίσεις; μηδαμῶς, εἴγε κοινὰ τὰ ὄντα κέκτησαι. ἀλλ' ἐπὶ ἁμαρτήμασιν; ἀλλ' οὐδὲ τοῦτο, ἀλλὰ μᾶλλον διορθώσεις. καὶ πληγῆς, φησι, δουλείας. τίς ποτε ἑαυτὸν ἀναιρήσει; τίς δὲ πλήξει; οὐδὲ εἷς. διώκωμεν τοίνυν τὴν ἀγάπην. οὐκ εἶπεν ἁπλῶς, ἀγαπῶμεν, ἀλλὰ, διώκωμεν. πολλῆς δεῖ τῆς σπουδῆς. ταχέως ἀφανίζεται, ὀξεῖα πρὸς ἀναχώρησίν ἐστι· τοσαῦτα ἐν τῷ βίῳ τῷ πράγματι τούτῳ λυμαίνεται. (χ. πολλὰ) ἂν διώκωμεν αὐτήν, οὐ φθάσει ἀπελθεῖν, ἀλλὰ ταχέως αὐτὴν ἐξελκύσομεν. (χ. ἐπισ[illegible]μεν) ἡ ἀγάπη τοῦ Θεοῦ τῷ οὐρανῷ συνῆψε τὴν γῆν· ἡ ἀγάπη τοῦ Θεοῦ τὸν ἄνθρωπον ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν ἐκάθισεν· ἡ ἀγάπη τοῦ Θεοῦ τὸν Θεὸν ἔδειξεν ἐπὶ τῆς γῆς· ἡ ἀγάπη τοῦ Θεοῦ τὸν δεσπότην δοῦλον ἐποίησεν· ἡ ἀγάπη τοῦ Θεοῦ ὑπὲρ τῶν ἐχθρῶν τὸν ἀγαπητόν, ὑπὲρ τῶν μισούντων τὸν υἱόν, ὑπὲρ τῶν δούλων τὸν δεσπότην, ὑπὲρ τῶν ἀνθρώπων τὸν Θεόν, ὑπὲρ οἰκετῶν τὸν ἐλεύθερον ἐκδοθῆναι ἐποίησε. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπὶ μείζονα ἡμᾶς ἐκάλεσεν. οὐ γὰρ μόνον ἀπήλλαξεν ἡμᾶς τῶν προτέρων κακῶν, ἀλλὰ καὶ πολλῷ μείζονα δώσειν ἕτερα ἐπηγγείλατο. ὑπὲρ δὴ τούτων εὐχαριστήσαντες τῷ Θεῷ, πᾶσαν ἀρετὴν μετέλθωμεν, καὶ πρὸ πάντων τὴν ἀγάπην μετὰ ἀκριβείας κατορθώσωμεν, (χ. πρὸς πάντας) ἵνα καταξιωθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ι. 4 ΕΝ ΣΩΜΑ, ΚΑΙ ΕΝ ΠΝΕΥΜΑ, ΚΑΘΩΣ ΚΑΙ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

ΟΤαν ἐπί τι μεῖζον παρακαλῇ ὁ μακάριος Παῦλος, συνετὸς ὢν σφόδρα καὶ πνευματικός, ἀπὸ τῶν ἐν τοῖς οὐρανοῖς ποιεῖται τὴν παράκλησιν, τοῦτο δὲ αὐτὸ παρὰ τοῦ Κυρίου μεμαθηκώς. καθὼς καὶ ἀλλαχοῦ
Εφεσ. ε. α. β. φησι· Περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ
Φιλιπ. β. ε. παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν· καὶ πάλιν· Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τοῦτο δὲ καὶ ἐνταῦθα ποιεῖ. ὅταν γὰρ ᾖ τὰ ὑποδείγματα τὰ προκείμενα μεγάλα, σφοδρός ἐστιν ὁ ζῆλος καὶ ὁ πόθος. (χ. ἐστὶν ὁ ζῆλος καὶ ὁ πόθος) τί οὖν φησιν, εἰς ἑνότητα προτρέπων ἡμᾶς; ἓν σῶμα, καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

5 Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Τί δέ ἐστιν ἓν σῶμα; οἱ πανταχοῦ τῆς οἰκουμένης πιστοί, καὶ ὄντες, καὶ γενόμενοι, καὶ ἐσόμενοι, πάλιν καὶ οἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσί-
Ιωαν. η. νϛ. ας εὐηρεστηκότες, ἓν σῶμά εἰσι. πῶς; ὅτι κἀκεῖνοι τὸν Χριστὸν ᾔδεσαν. πόθεν δῆλον; Ἀβραὰμ ὁ πατὴρ ὑμῶν, φησιν, ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐ-
Ιωαν. ε. μϛ. χάρη. καὶ πάλιν· Εἰ ἐπιστεύσατε, φησι, Μωϋσῇ, ἐπιστεύσατε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. καὶ οἱ προφῆται οὐκ ἂν δὲ ἔγραψαν περὶ οὗ ἠγνόουν ἃ ἔλεγον. εἰδότες δὲ αὐτόν, καὶ προσεκύνουν. ὥστε κἀκεῖνοι, ἓν σῶμα. οὐ διέστηκε σῶμα πνεύματος, ἐπεὶ οὐκ ἂν εἴη σῶμα. οὕτω καὶ ἡμῖν ἔθος ἐπὶ τῶν ἡνωμένων, καὶ πολλὴν τὴν ἀκολουθίαν ἐχόντων λέγειν, ἓν σῶμά ἐστιν. οὕτω καὶ ἐπὶ τῆς ἑνώσεως, τὸ σῶμα λαμβάνομεν μιᾶς κεφαλῆς. (χ. μία κεφαλή) εἰ δὲ μία κεφαλή, καὶ ἓν σῶμα. τὸ σῶμα ἐξ ἐντίμων καὶ ἀτίμων συγκεῖται μελῶν· πλὴν ἀλλ' ὑπὸ τοῦ φαυλοτάτου τὸ μεῖζον κατεξουθένισται, οὔτε τοῦτο ἐκείνῳ διαφθονεῖται. (χ. τούτῳ [illegible]) καίτοιγε οὐ τὴν

τὴν αὐτὴν συντέλειαν τὰ πάντα εἰσφέρει, ἀλλὰ κατὰ τὸν τῆς ἀνάγκης λόγον. καὶ ὅτι πάντα ἀναγκαίως τετίμηται, καὶ εἰς χρείας διαφέρει, πάντα ὁμότιμα. ἔστι δὲ τὰ μὲν κυριώτατα, τὰ δὲ ἧττον ὄντα, ἡ κεφαλὴ, παντὸς τοῦ σώματός ἐστι κυριωτέρα, τάς τε αἰσθήσεις πάσας ἐν ἑαυτῇ ἔχουσα, καὶ τὸ τῆς ψυχῆς ἡγεμονικόν. καὶ κεφαλῆς ἄνευ ζῆσαι οὐκ ἔνι, ποδῶν δὲ ἐκκοπέντων πολλοὶ πολὺν χρόνον ἐβίωσαν. ὥστε οὐ τῇ θέσει μόνον αὕτη βελτίων ἐκείνων, ἀλλὰ καὶ αὐτῇ τῇ ἐνεργείᾳ καὶ τάξει. τί δὴ τοῦτο λέγω; εἰσὶν ἐν τῇ ἐκκλησίᾳ πολλοὶ, εἰσὶν εἰς ὕψος ἀνωρθωμένοι, καθάπερ ἡ κεφαλὴ, τὰ οὐράνια περισκοποῦντες, καθάπερ οἱ ὀφθαλμοὶ οἱ ἐν τῇ κεφαλῇ, πολὺ τῆς γῆς ἀφεστηκότες, οὐδὲν ἔχοντες κοινὸν πρὸς αὐτήν. ἄλλοι δὲ ποδῶν τάξιν ἐπέχουσι, τὴν γῆν πατοῦντες, ποδῶν μέντοι ὑγιαινόντων. (γ. πατέντων,) οὐ γὰρ τὸ τὴν γῆν πατεῖν ἔγκλημα ποδῶν, ἀλλὰ τὸ εἰς πονηρίαν τρέχειν. Οἱ πόδες γὰρ αὐτῶν, φησὶν, εἰς πονηρίαν τρέχουσι. μήτε δὴ οὗτοι, φησὶ, μέγα φρονείτωσαν κατὰ τῶν ποδῶν, μηδὲ ἐκεῖνοι τούτοις βασκαινέτωσαν. ἐπεὶ τὸ οἰκεῖον ἑκάστου κάλλος ἀνήρηται, καὶ ἡ χρεία ἡ αὐτοτελὴς ἐμπεπόδισται. καὶ εἰκότως. ὁ γὰρ τῷ πλησίον ἐπιβουλεύων, ἑαυτῷ πρότερον ἐπεβούλευσεν. ἄν τε οὖν οἱ πόδες μὴ βουληθῶσι κομίσαι ποτὲ τὴν κεφαλὴν εἰς ἔξοδον ἀναγκαίαν, καὶ ἑαυτοὺς ἐλυμήναντο διὰ τῆς ἀκινησίας καὶ τοῦ ὄκνου· ἄν τε ἡ κεφαλὴ μηδεμίαν βουληθῇ τῶν ποδῶν ποιήσασθαι τὴν πρόνοιαν, αὐτὴ πρώτη τὴν βλάβην ἐδέξατο. ἀλλ' ἐκεῖνα μὲν εἰκότως ἀλλήλων οὐ κατεξανίσταται (φυσικῶς γὰρ οὕτω τέτακται) ἄνθρωποι δὲ πῶς δυνατὸν ἀνθρώπου μὴ κατεξαναστῆναι; οὐδὲ γὰρ ἀγγέλων τις κατεξανίσταται· ἐπεὶ οὔτε ἐκεῖνοι τῶν ἀρχαγγέλων. οὐδὲ ἐμοῦ πάλιν τὰ ἄλογα μεῖζόν τι φρονῆσαι δύναται. ἔνθα δὲ ὁμότιμος ἡ φύσις καὶ μία ἡ δωρεὰ, καὶ οὐδὲν οὗτος ἐκείνου πλέον ἔσχηκε, πῶς οὐ μὴ κατεξαναστῇ; εἰ μὲν διὰ ταῦτα κατεξαναστῆναι οὐκ ὀφείλεις κατὰ τοῦ πλησίον. εἰ γὰρ πάντα κοινὰ, καὶ οὐδὲν ἕτερος ἑτέρου πλέον ἔχει, πόθεν ἡ ἀπόνοια; φύσεως μετέχομεν τῆς αὐτῆς, ψυχῆς καὶ σώματος ὁμοίως, τὸν αὐτὸν ἀναπνέομεν ἀέρα, ταῖς αὐταῖς κεχρήμεθα τροφαῖς· πόθεν ἡ ἐξανάστασις; καὶ μὴν τὸ δύνασθαι διὰ τὴν ἀρετὴν τῶν ἀσωμάτων περιγίνεσθαι δυναμένων, ἱκανὸν εἰς ἀλαζονείαν ἀγαγεῖν· μᾶλλον δὲ οὐκ ἂν εἴη τοῦτο ἀλαζονεία. ἐγὼ γὰρ εἰκότως κατὰ τοῦ δαίμονος μέγα φρονῶ, καὶ σφόδρα μέγα. καὶ ὅρα καὶ Παῦλος πῶς μέγα ἐφρόνει κατὰ τοῦ δαίμονος. ὅτε γὰρ μεγάλα περὶ αὐτοῦ ἔλεγε καὶ θαυμαστὰ ὁ δαίμων, ἐπεστόμισεν αὐτὸν, οὐδὲ κολακεύοντος ἀνασχόμενος. λεγούσης γὰρ ἐκείνης τῆς παιδίσκης τῆς τὸ πνεῦμα τοῦ πύθωνος ἐχούσης, Οὗτοι οἱ ἄνθρωποι (Πραξ. ις. ιζ.) δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας, ἐπιτιμήσας σφοδρῶς ἐπεστόμισεν αὐτοῦ τὴν ἀναίσχυντον γλῶσσαν. καὶ πάλιν ἀλλαχοῦ γράφει λέγων· Συντρίψει ὁ Θεὸς τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. (Ρωμ. ις. κ.) μή τι τὸ τῆς φύσεως * παρηλλαγμένον ἐποίησεν; (* διάφορον) ὁρᾷς ὅτι οὐδὲν ποιεῖ τὸ τῶν φύσεων μέσον, ἀλλὰ τὸ τῆς προαιρέσεως; διὰ τὴν προαίρεσιν τοίνυν πολὺ χείρους ἁπάντων εἰσίν. ἀλλ' ἀγγέλου οὐ κατεξανίσταμαι, φησί. πολὺ γὰρ τὸ μέσον ἐμοῦ κἀκείνου. καὶ μὴν ἀνθρώπου κατεξανίστασθαι οὐκ ὀφείλεις, οὐ μᾶλλον ἢ ἀγγέλου. ὁ μὲν γὰρ ἄγγελος τῇ φύσει σου διέστηκεν, ὅπερ οὔτε ἐγκώμιον ἐκείνου, οὔτε κακία γένοιτο· ἄνθρωπος δὲ ἀνθρώπου οὐκέτι φύσει, ἀλλὰ προαιρέσει διέστηκε. καὶ ἔστι καὶ ἐν ἀνθρώποις ἄγγελος. ὥστε εἰ κατ' ἀγγέλων μὴ κατεξανίστασαι, πολλῷ μᾶλλον κατὰ ἀνθρώπων, τῶν ἐν τῇ φύσει ταύτῃ γενομένων ἀγγέλων. εἰ γὰρ γένοιτο ἐν ἀνθρώποις ἐνάρετος οὕτως ὡς ἄγγελος, πολὺ σοῦ μᾶλλον οὗτός ἐστι μείζων, ἢ ἐκεῖνός ἐστι. τί δήποτε; ὅτι ὅπερ ἀπὸ φύσεως ἔχει ἐκεῖνος, τοῦτο κατώρθωσεν ἀπὸ προαιρέσεως αὐτός· καὶ ὅτι ἀπῴκισταί σου ὁ ἄγγελος καὶ τῷ τόπῳ, καὶ τὸν οὐρανὸν οἰκεῖ· οὗτος δὲ ἀναστρέφεται μετὰ σοῦ, καὶ δίδωσί σοι τοῦ ζήλου ῥοπήν. καὶ μὴν καὶ οὗτος ἀπῴκισται μᾶλλον, ἢ ἐκεῖνος. Ἡμῶν γὰρ, φησὶ, τὸ πολίτευμα ἐν οὐρανοῖς. ὅτι δὲ μᾶλλον οὗτος (Φιλιπ. γ. κ.)

ἀπῴκισται,

ἀπῳκίσθαι, ἄκουσον πῶς αὐτοῦ καθῆπται ἡ κεφαλή, εἰς τὸν θρόνον, φησί, τὸν βασιλικόν. ὅσῳ δὲ πόῤῥω ἡμῶν ὁ θρόνος, τοσούτῳ καὶ ἐγγύς. ἀλλ' ὁρῶ ὑμᾶς ἀπολαύοντας, φησι, καὶ εἰς ζηλοτυπίαν ἄγομαι. τοῦτο γάρ ἐστιν ὃ πάντα ἄνω καὶ κάτω πεποίηκε, καὶ οὐ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἐκκλησίαν μυρίων ἐνέπλησε θορύβων. καὶ καθάπερ εἰς λιμένα γαληνὸν πνεύματα ἄγρια ἐξ ἐναντίας ἐμπεσόντα πάσης σπιλάδος καὶ παντὸς πορθμοῦ ἐπισφαλέστερον αὐτὸν καθίστησιν· οὕτω δὴ καὶ ὁ τῆς δόξης ἔρως ἐπεισελθὼν πάντα ἀνέτρεψε καὶ συνέχεε. παραγεγόνατε πολλάκις ἐμπρησμῷ οἰκιῶν μεγάλων· εἴδετε πῶς ἀνέθει εἰς τὸν οὐρανὸν ὁ καπνός, καὶ μηδενὸς προσιόντος σβέσαι τὸ κακόν, ἀλλὰ τὰ καθ' ἑαυτὸν ἑκάστου σκοπουμένου, μετὰ πολλῆς τῆς ἡσυχίας τὸ πῦρ ἅπαντα ἐπινέμεται; καὶ περιέστηκε μὲν πολλάκις κύκλῳ πᾶσα ἡ πόλις, περιεστήκασι δὲ θεαταὶ κακῶν, οὐ σύμμαχοι οὐδὲ βοηθοί. καὶ ἔστιν ἰδεῖν οὐδὲν ποιοῦντας ἅπαντας τοὺς περιεστῶτας, ἀλλ' ἕκαστον αὐτῶν τὴν χεῖρα ἐκτείνοντα, καὶ τῷ προσφάτως ἐλθόντι πρὸς τὸν τόπον ἐπιδεικνύντα ἢ διὰ θυρίδος λαμπάδα ἐξαγομένην συνεχῶς, ἢ δοκοὺς καταῤῥιπτομένους, ἢ περίβολον ὁλόκληρον τῶν ἐρεισμάτων ἀποσπασθέντα καὶ πρὸς τὴν γῆν ἐπειγόμενον. εἰσὶ δὲ πολλοὶ τῶν τολμηρῶν καὶ ῥιψοκινδύνων, οἳ καὶ πλησίον αὐτῶν γενέσθαι τῶν καιομένων οἰκοδομημάτων κατετόλμησαν, οὐχ ὥστε χεῖρα ὀρέξαι αὐτοῖς καὶ σβέσαι τὸ κακόν, ἀλλ' ὥστε ἡδυτέραν γενέσθαι τὴν θέαν, ἐκ τοῦ συνεγγὺς πάντα δυναμένων αὐτῶν περισκοπεῖν, ἃ τοὺς ἔξωθεν πολλάκις ἔλαθεν. εἰ δὲ καὶ λαμπρὰ καὶ μεγάλη τύχοι οὖσα ἡ οἰκία, ἐλεεινὸν θέαμα καὶ πολλῶν αὐτοῖς δακρύων ἄξιον εἶναι δοκεῖ. καὶ ἔστιν ἀληθῶς ἰδεῖν θέαμα ἐλεεινόν, κιόνων κεφαλὰς κόνιν γινομένας, πολλοὺς δὲ καὶ αὐτοὺς διακεκλασμένους, τοὺς μὲν τοῦ πυρὸς κατεργαζομένου, τοὺς δὲ πολλάκις τῶν οἰκοδομησάντων αὐτοὺς χερσὶν ὠθουσῶν, ὥστε μὴ πλείονα τροφὴν γενέσθαι τῷ πυρί. ἔστι δὲ ἰδεῖν ἀγάλματα, ἃ μετὰ πολλοῦ τοῦ κόσμου, τῆς ὀροφῆς ἐπικειμένης, εἱστήκει, ἀνακαλυφθέντα, τῆς στέγης ἀφαιρεθείσης, καὶ ἐν αἰθρίῳ μετὰ πολλῆς τῆς ἀμορφίας ἑστηκότα. τί δὲ τὸν πλοῦτον τῶν ἔνδον ἐναποκείμενον τις διηγήσαιτο; τὰ ἱμάτια τὰ χρυσᾶ, καὶ τὰ σκεύη τὰ ἀργυρᾶ; καὶ γὰρ ἔνθα μόνος ὁ δεσπότης εἰσῄει μετὰ τῆς ἑαυτοῦ συζύγου, ἔνθα τῶν πολλῶν ἱματίων καὶ ἀρωμάτων τὸ ταμεῖον ἦν, τῶν λίθων τῶν πολυτελῶν τὰ δοχεῖα, μιᾶς πυρᾶς γενομένης, καὶ βαλανευταὶ καὶ κοπρίαι καὶ δραπέται καὶ πάντες λοιπὸν ἔνδον, καὶ πάντα τὰ ἔνδον ὕδωρ καὶ πῦρ καὶ πηλὸς καὶ κόνις καὶ ξύλα ἡμίκαυστα. τί δὲ τὴν εἰκόνα ταύτην ἐπιπλέον ἐξέτεινα, οὐχ ἁπλῶς οἰκίας ἐμπρησμὸν ὑπογράψαι βουλόμενος (τί γάρ μοι τούτου μέλει;) ἀλλὰ παραστῆσαι βουλόμενος τοῖς ὑμετέροις ὀφθαλμοῖς, ὡς οἷόν τε, τὰ τῆς ἐκκλησίας κακά; καθάπερ γὰρ ἐμπρησμὸς ὄντως, ἢ σκηπτός τις ἄνωθεν φερόμενος, οὕτως εἰς αὐτὸν κατηνέχθη τῆς ἐκκλησίας τὸν ὄροφον, καὶ οὐδένα διανίστησιν· ἀλλὰ τῆς οἰκίας τῆς πατρῴας καιομένης, καθεύδομεν ὕπνον τινὰ βαθὺν καὶ ἀναίσθητον. τίνος γὰρ οὐχ ἥψατο τοῦτο τὸ πῦρ; ποίων ἀγαλμάτων τῶν ἐν τῇ ἐκκλησίᾳ ἑστώτων; ἐκκλησία γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ διὰ τῶν ἡμετέρων ψυχῶν ᾠκοδομημένη οἰκία. ἡ δὲ οἰκία αὕτη οὐκ ἔστιν ἰσότιμος ἅπασα, ἀλλὰ τῶν εἰς αὐτὴν συντιθέντων λίθων οἱ μέν εἰσι λαμπροὶ καὶ φαιδροί, οἱ δὲ ἐκείνων μὲν ἐλάττους καὶ ἀμαυρότεροι, πολλῷ δὲ ἄλλων βελτίους. ἔστιν ἰδεῖν ἐνταῦθα πολλοὺς καὶ χρυσοῦ τάξιν ἐπέχοντας, χρυσοῦ τοῦ κοσμοῦντος τὸν ὄροφον· ἔστιν ἰδεῖν καὶ τὸν ἀπὸ ἀγαλμάτων κόσμον ἄλλους παρεχομένους· πολλοὺς ἐστὶν ἰδεῖν * ὡς στύλους ἑστῶτας. οἶδε γὰρ καὶ ἀνθρώπους στύλους καλεῖν, οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τῷ κάλλει πολὺν παρέχοντας κόσμον, κεφαλὰς ἔχοντας κεχρυσωμένας. ἔστι * πλῆθος ἰδεῖν, ὡς ἐπὶ πολὺ τὸ διάστημα καὶ τὴν εὐρυχωρίαν τῶν περιβόλων εἶναι. τὸ γὰρ πολὺ πλῆθος τὴν τάξιν ἐπέχει τῶν λίθων τῶν τοὺς τοίχους οἰκοδομούντων. μᾶλλον δὲ ἐπὶ λαμπροτέραν ἐλθεῖν εἰκόνα δεῖ. αὕτη ἡ ἐκκλησία, οὐκ ἀπὸ τῶν λίθων τούτων ᾠκοδόμηται, ἀλλ' ἀπὸ τοῦ χρυσοῦ, καὶ τοῦ ἀργύρου, καὶ τῶν λίθων τῶν τιμίων, καὶ πολὺς πανταχοῦ

διέσπαρται

* καὶ

* οἱ

διέσπαρται ὁ χρυσός. ἀλλ' ὢ τῶν πικρῶν δακρύων. πάντα γὰρ ταῦτα κατέφλεξε τῆς κενοδοξίας ἡ τυραννίς, ἡ παμφάγος αὕτη φλόξ, καὶ οὐδεὶς αἰσθάνεται τοῦ πράγματος γίνεται, ἀλλ' ἑστήκαμεν τὴν μὲν φλόγα θαυμάζοντες, σβέσαι δὲ τὸ κακὸν οὐκέτι δυνάμενοι. καὶ σβέσωμεν δὲ πρὸς βραχὺν καιρὸν, ἀλλὰ πάλιν μετὰ δύο καὶ τρεῖς ἡμέρας, ὥσπερ ἀπό τινος σποδιᾶς ἀνῆφθη ἐντυφόμενος ἀνέτρεψεν ἅπαντα, καὶ ὅσα τοῖς προτέροις οὐ κατειργάσατο, οὕτω δὴ καὶ ἐνταῦθα γέγονε. καὶ γὰρ καὶ ἐπὶ τῆς πυρκαϊᾶς τοῦτο συμβαίνειν ἔθος ἐστί. τὸ δὲ αἴτιον, τῶν ξύλων αὐτῶν τῆς ἐκκλησίας τὰ ἐρείσματα διέφυγεν ἡμᾶς, ὧν οἱ ὄροφοι ἀνέχονται καὶ πρότεροι πᾶσαν συγκεκροτοῦνται τὴν οἰκοδομὴν περιέβαλε τῷ πυρί. διὰ τοῦτο καὶ εἰς τοὺς λοιποὺς τοίχους εὔκολος γίνεται ἡ διαδρομή. καὶ γὰρ ἐπὶ τῶν οἰκοδομημάτων, ὅταν μὲν ξύλων ἐπιλάβηται, μᾶλλον ὁπλίζεται κατὰ τῶν λίθων· ὅταν δὲ τοὺς ξύλους κατενέγκῃ καὶ ῥίψῃ χαμαὶ, οὐδὲν δεῖται λοιπὸν πρὸς τὸ τὰ λοιπὰ τῇ φλογὶ κατεργάσασθαι (τῶν γὰρ ἐρειδόντων καὶ ὑποστηριζόντων τὰ ἄνω καταπιπτόντων, αὐτόματα κἀκεῖνα μετὰ πολλῆς τῆς ἑτοιμότητος τούτοις ἕπεται) οὕτω δὴ καὶ νῦν γέγονεν ἐπὶ τῆς ἐκκλησίας· πάντων τὸ πῦρ ἐπελάβετο. ἡμᾶς τὰς παρὰ ἀνθρώπων ζητοῦμεν, καὶ ἀεὶ τὴν δόξαν ἐκκρεμάμεθα, καὶ οὐκ ἀκούομεν τοῦ Ἰὼβ λέγοντος· Εἰ καὶ ἁμαρτὼν ἀκουσίως, διέτρεψα τὴν πολυοχλίαν. εἶδες ψυχὴν ἐνάρετον; οὐκ ἠσχύνθην, φησὶν, ἐνώπιον τοῦ πλήθους πάντας εἰπεῖν τὰ ἀκούσια ἁμαρτήματα. εἰ δὲ ἐκεῖνος οὐκ ᾐσχύνετο, πολλῷ μᾶλλον ἡμᾶς ἐχρῆν τοῦτο ποιεῖν. Λέγε γὰρ σύ, φησι, τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. πολλὴ γέγονεν ἡ σφοδρότης τούτου τοῦ κακοῦ, πάντα ἀνατέτραπται καὶ ἠφάνισται. τιμῆς δοῦλοι γεγόναμεν, ἀφέντες τὸν Θεόν. οὐκέτι τοῖς ἀρχομένοις ἐπιπλῆξαι δυνάμεθα, τῷ αὐτῷ καὶ αὐτοὶ κατεχόμενοι πυρετῷ· καὶ αὐτοὶ δὲ δεόμεθα ἰατρείας, οἱ ταχθέντες εἰς τὸ θεραπεύειν τοὺς ἄλλους ὑπὸ τοῦ Θεοῦ. ποία λοιπὸν ἐλπὶς σωτηρίας ὑπολείπεται, τῶν ἰατρευόντων καὶ αὐτῶν τῆς ἑτέρων δεομένων χειρός; ταῦτα οὐχ ἁπλῶς εἶπον, οὐδὲ μάτην ὀδύρομαι, ἀλλ' ἵνα κοινῇ πάντες μετὰ γυναικῶν καὶ παίδων σποδὸν καταπασάμενοι, καὶ σάκκον περιζωσάμενοι, νηστείαν ἐπιτείνωμεν, τὸν Θεὸν παρακαλέσωμεν αὐτὸν ἡμῖν χεῖρα ὀρέξαι, καὶ σβέσαι τὸ δεινόν. τῆς γὰρ ἐκείνου χειρὸς ὄντως χρεία, τῆς μεγάλης, τῆς θαυμαστῆς. μείζονα τῶν Νινευϊτῶν γενέσθαι δεῖ περὶ ἡμῶν. Ἔτι τρεῖς ἡμέραι, φησὶ, καὶ Νινευὶ καταστραφήσεται. φοβερὸν τὸ κήρυγμα, καὶ πολλῆς γέμον τῆς ἀπειλῆς. πῶς γὰρ οὔ, μετὰ τρεῖς ἡμέρας προσδοκᾷν τὴν πόλιν αὐτοῖς ἔσεσθαι τάφον, καὶ μιᾷ τιμωρίας ἰδέᾳ πάντας ἀπολέσθαι; εἰ γὰρ ὅταν συμβῇ κατὰ τὸν αὐτὸν καιρὸν ἐν οἰκίᾳ μιᾷ δύο παῖδας ἀπολέσθαι, ἀφόρητον εἶναι τὸ δεινὸν, καὶ εἰ τῷ Ἰὼβ τοῦτο μάλιστα πάντων ἔδοξεν εἶναι ἀφόρητον, ὅτι πᾶσιν αὐτοῦ τοῖς παισὶν ἔπεσεν ὁ ὄροφος, καὶ οὕτως ἀνῃρέθησαν· τί ἂν ἰδεῖν, οὐ μίαν οἰκίαν, οὐδὲ δύο παῖδας, ἀλλ' ἔθνος δώδεκα μυριάδων ὑπὸ τῶν ὀρόφων καταχωννύμενον; ἴστε ἡλίκον τὸ δεινόν. καὶ γὰρ καὶ ἡμῖν παρ' ὀλίγον αὕτη γέγονεν ἡ ἀπειλή, οὐ προφήτου τινὸς φωνὴν ἀφιέντος (οὐ γὰρ ἄξιοι ἡμεῖς τοιαύτης ἀκοῦσαι φωνῆς) ἀλλὰ πάσης σάλπιγγος εὐσημότερον τῆς ἄνωθεν ἀπειλῆς ἀνακραγούσης. ἀλλ', ὅπερ ἔφην, ἔτι τρεῖς ἡμέραι, φησὶ, καὶ Νινευὶ καταστραφήσεται. φοβερὰ ὄντως ἡ ἀπειλὴ, ἀλλ' οὐδὲν τοιοῦτόν ἐστι νῦν. οὐ γὰρ ἔτι τρεῖς ἡμέραι, οὐδὲ Νινευὶ καταστραφήσεται, ἀλλὰ πολλαὶ ἡμέραι ἐξ οὗ τῆς οἰκουμένης ἡ ἐκκλησία κατέστραπται καὶ εἰς ἔδαφος κεῖται, πάντων ἐξίσης τῷ κακῷ κατεχομένων, μᾶλλον δὲ τῶν ἐν ἀρχαῖς ὄντων τοῖς αὐτοῖς ὑποβληθέντων· ὅθεν καὶ τὸ κακὸν χεῖρον, ὅσῳ καὶ πλείων αὐτοῖς ἡ ἀνάγκη. μὴ τοίνυν θαυμάσητε διὰ τί μείζονα παρῄνεσα ποιεῖν τῶν Νινευϊτῶν. μᾶλλον δὲ οὐ νηστείαν κηρύττω νῦν μόνον, ἀλλὰ τὸ φάρμακον ἐκεῖνο ὑποδείκνυμι, ὃ καὶ τὴν πόλιν ἐκείνην πίπτουσαν ἀνέστησε. ποῖον δὴ τοῦτο; Εἶδε Κύριος, φησὶν, ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῶν ὁδῶν αὐτοῦ τῶν πονηρῶν, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς. τοῦτο πράττωμεν καὶ ἡμεῖς, καὶ ὑμεῖς· ἀποστῶμεν τοῦ τῶν χρημάτων ἔρωτος, τοῦ τῆς δόξης, παρακαλοῦντες

Marginal notes (left): γ. παροῦσαν δόξαν ἐκκρεμάμεθα, γ. ἑκουσίως — γ. τὸ ἀρχομένους
Marginal notes (right): Ἰὼβ λα. λδ. — Ἡσ. μγ. κϛ. — Ἰων. γ. δ. — Ἰων. γ. ι.

καλοῦντες τὸν Θεὸν χεῖρα ὀρέξαι, καὶ διαναστῆσαι τὰ πεπτωκότα μέλη. οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ὁ φόβος. τότε μὲν γὰρ λίθοι, καὶ ξύλα καταπίπτειν ἔμελλον, καὶ σώματα ἀναιρεῖσθαι· νῦν δὲ τούτων οὐδὲν, ἀλλὰ ψυχαὶ τῷ τῆς γεέννης μέλλουσι παραδίδοσθαι πυρί. παρακαλέσωμεν, ἐξομολογησώμεθα, ὑπὲρ τῶν προτέρων αὐτῷ χάριν ὁμολογήσωμεν, ὑπὲρ τῶν μελλόντων αἰτῶμεν, ἵνα καταξιωθῶμεν, τοῦ θηρίου τούτου τοῦ χαλεποῦ καὶ δεινοτάτου ἀπαλλαγέντες, χάριν ἀναπέμψαι τῷ φιλανθρώπῳ Θεῷ καὶ πατρὶ, μεθ' οὗ τῷ υἱῷ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ια. 4 ΕΝ ΣΩΜΑ, ΚΑΙ ΕΝ ΠΝΕΥΜΑ, ΚΑΘΩΣ καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν. 5 Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, 6 Εἷς Θεὸς πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν*. 7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

*ὑμῖν χ. ὑμῶν

Ἀγάπην ζητεῖ παρ' ἡμῶν ὁ Παῦλος οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν συγκολλῶσαν ἡμᾶς καὶ ἀδιασπάστως ἔχειν πρὸς ἀλλήλους ποιοῦσαν, καὶ τοσαύτην ἕνωσιν καὶ οὕτως ἀκριβῆ παρεχομένην, ὡσανεὶ μέλη πρὸς μέλη. αὕτη γάρ ἐστιν ἡ τὰ μεγάλα ἐργαζομένη καλά. διὰ τοῦτό φησιν, ἓν σῶμα, καὶ "τῇ συμπαθείᾳ, καὶ τῷ μὴ" βάλλεσθαι τοῖς ἑτέρων ἀγαθοῖς, καὶ τῷ συγχαίρειν. καὶ πάντα ὁμοῦ διὰ τούτου δείξας, καὶ ἓν πνεῦμα καλῶς εἶπε, δεικνὺς ὅτι ἀπὸ τοῦ ἑνὸς σώματος ἓν πνεῦμα ἔσται, ἢ ὅτι ἔστι μὲν σῶμα εἶναι ἓν, οὐχ ἓν δὲ πνεῦμα, ὡς ἂν εἴ τις καὶ αἱρετικῶν φίλος εἴη· ἢ ἀπὸ τούτου πρὸς ὁμόνοιαν δυσωπεῖ, τοιοῦτό τι λέγων, οἱ ἓν πνεῦμα λαβόντες, καὶ ἐκ μιᾶς ποτισθέντες πηγῆς, οὐκ ὀφείλετε διχονοεῖν· ἢ πνεῦμα ἐνταῦθα τὴν προθυμίαν φησίν. εἶτα ἐπάγει, καθὼς ἐκλήθητέ, φησιν, ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· τουτέστιν, ὁ Θεὸς ὑμᾶς ἐπὶ τοῖς αὐτοῖς ἐκάλεσεν· οὐδὲν ἑτέρῳ πλέον ἀπένειμε τοῦ ἑτέρου· πᾶσιν ἀθανασίαν, πᾶσι ζωὴν αἰώνιον, πᾶσι δόξαν ἀθάνατον, πᾶσιν ἀδελφότητα, πᾶσι κληρονομίαν ἐχαρίσατο. "κοινὴ πάντων ἐγένετο κεφαλὴ, πάντας συνήγειρε, καὶ συνεκάθισεν. οἱ τοίνυν ἐν τοῖς πνευματικοῖς τοσαύτην ἔχοντες ἰσοτιμίαν, πόθεν μέγα φρονεῖτε; ὅτι ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα ἰσχυρός; καὶ πῶς οὐκ ἂν εἴη τοῦτο γέλως. εἰπὲ γάρ μοι, εἰ ὁ βασιλεὺς ποτε λαβὼν ὀνόματα δέκα, πάντας ἁλουργίδα ἐνέδυσε, καὶ ἐπὶ τοῦ θρόνου ἐκάθισε τοῦ βασιλικοῦ, καὶ πᾶσιν ἔδωκε τὴν αὐτὴν τιμὴν, ἄρα ἂν τούτων ἐτόλμησέ τις ὀνειδίσαι τὸν ἕτερον, ὡς πλουσιώτερος ὢν, ἢ ὡς λαμπρότερος; οὐδαμῶς. καὶ οὔπω τὸ πᾶν εἴρηκα. οὐ γὰρ τοσοῦτον τὸ "μέσον. ἐν οὖν τοῖς οὐρανοῖς ἴσοι, καὶ κάτω διεστήκαμεν; εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. ἰδοὺ ἡ ἐλπὶς τῆς κλήσεως· εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν αὐτός. μὴ γάρ σοι μὲν ὁ "μείζων, ἐκείνῳ δὲ ὁ ἐλάττων ἐπεκλήθη; μὴ γὰρ σὺ μὲν ἀπὸ πίστεως, ἐκεῖνος δὲ ἀπὸ ἔργων ἐσώθη; μὴ γάρ σοι μὲν ἀφείθη διὰ τοῦ βαπτίσματος, ἐκείνῳ δὲ οὔ; ἄπαγε, εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν "ὑμῖν. ὁ ἐπὶ πάντων, τουτέστιν, ὁ ἐπάνω πάντων. καὶ διὰ πάντων, τουτέστι, προνοῶν, διοικῶν. καὶ ἐν πᾶσιν ὑμῖν, τουτέστιν, ὁ ἐν πᾶσιν οἰκῶν. καίτοι τοῦ υἱοῦ τοῦτο εἶναι φασιν, ὥστε εἰ ἐλαττώσεως ἦν, οὐκ ἂν περὶ τοῦ πατρὸς ἐρρήθη. ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις. τί οὖν, φησι, καὶ πόθεν τὰ χαρίσματα διάφορα; τοῦτο γὰρ ἀεὶ καὶ αὐτοὺς, καὶ Κορινθίους, καὶ πολλοὺς ἑτέρους, τοὺς μὲν εἰς ἀπόνοιαν, τοὺς δὲ εἰς ἀθυμίαν καὶ φθόνον "ἄγει. διὰ τοῦτο πανταχοῦ τὸ τοῦ σώματος ὑπόδειγμα παραλαμβάνει· διὰ τοῦτο καὶ νῦν οὕτω τέθεικεν, ἐπειδὴ ἔμελλε διαφόρων

χ. τῷ συμπάσχειν, χ. δείκνυσιν

χ. κοινὴ

χ. μέσον ἐν τοῖς οὐρανοῖς, κάτω δὲ οὐ

χ. μείζων, ἐκείνῳ δὲ ἐλάττων ἐκλήθη;

χ. ἡμῖν

χ. ἤγαγεν

χαρισμάτων μνημονεύειν. ἀκριβέστερον μὲν οὖν αὐτὸ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ἐπεξεργάζεται· ἐπειδὴ καὶ ἐκεῖ μάλιστα τὸ νόσημα τοῦτο ἐτυράννει. νῦν δὲ ἐνταῦθα μόνον ᾐνίξατο. καὶ ὅρα τί φησιν. οὐκ εἶπε, κατὰ τὴν ἑκάστου πίστιν, ἵνα μὴ εἰς ἀθυμίαν ἐμβάλῃ ἐκείνους, τοὺς μεγάλων μὴ τετυχηκότας. ἀλλὰ τί; κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. τὰ μὲν πάντων κεφαλαιωδέστερα, φησί, κοινὰ πάντων ἐστί, τὸ βάπτισμα, τὸ διὰ πίστεως σωθῆναι, τὸ τὸν Θεὸν ἔχειν πατέρα, τὸ τοῦ αὐτοῦ πνεύματος ἅπαντας μετέχειν. εἰ δέ τι πλέον ὁ δεῖνα ἔχει ἐν τῷ χαρίσματι, μὴ ἄλγει, ἐπεὶ καὶ ὁ πόνος αὐτῷ πλείων ἐστί· καὶ ὁ τὰ πέντε τάλαντα λαβὼν, πέντε ἀπῃτεῖτο, ὁ δὲ τὰ δύο, δύο μόνον προσήνεγκε, καὶ οὐδὲν ἔλαττον ἔσχεν ἐκείνου. διὰ τοῦτο καὶ ἐνταῦθα ἀπὸ τῆς αὐτῆς αἰτίας παραμυθεῖται τὸν ἀκούοντα. Πρὸς καταρτισμὸν τῶν ἁγίων, φησίν, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν, Οὐαί μοι, ἐὰν μὴ εὐαγγελίζωμαι. ὅτι, ἀποστολῆς ἔλαβες χάρισμα. ἀλλὰ διὰ τοῦτο αὐτῷ οὐαὶ, ἐπειδὴ ἔλαβε. σὺ δὲ τοῦ κινδύνου ἀπήλλαξαι. κατὰ τὸ μέτρον. τί ἐστι, κατὰ τὸ μέτρον; τουτέστιν, οὐ πρὸς τὴν ἡμετέραν ἀξίαν· ἐπεὶ οὐδεὶς ἂν ἔλαβεν· οὐδεὶς ἃ ἔλαβεν· ἀλλὰ πάντες ἀπὸ τῆς δωρεᾶς ἐλάβομεν. καὶ διὰ τί ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον; οὐδὲν τοῦτο ποιεῖ, φησιν, ἀλλ' ἀδιάφορον τὸ πρᾶγμά ἐστιν· ἕκαστος γὰρ πρὸς τὴν οἰκοδομὴν συντελεῖ. καὶ διὰ τούτου δείκνυσιν, ὅτι οὐκ ἀπὸ τῆς οἰκείας ἀξίας ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον ἔλαβεν, ἀλλὰ δι' ἑτέρους. ὡς αὐτὸς ἐμέτρησεν. ἐπεὶ καὶ ἀλλαχοῦ λέγει· Τὰ δὲ μέλη ἔθετο ἓν ἕκαστον αὐτῶν, καθὼς αὐτὸς ἠθέλησε. καὶ οὐ λέγει τὸν λόγον, ἵνα μὴ καταβάλῃ τὰ φρονήματα τῶν ἀκουόντων.

8 Διὸ λέγει, ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. Ὡσεὶ ἔλεγε, τί μέγα φρονεῖς; τοῦ Θεοῦ τὸ πᾶν γέγονεν. ὁ μὲν προφήτης φησὶν ἐν τῷ ψαλμῷ, Ἔλαβες δόματα ἐν ἀνθρώποις· αὐτὸς δέ φησιν, ἔδωκε δόματα ἐν ἀνθρώποις. τοῦτο ταὐτόν ἐστιν ἐκείνῳ. τοιοῦτόν ἐστι καὶ,

9 Τὸ δὲ ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς;

10 Ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. Ταῦτα ἀκούων, μὴ μετάβασιν νόμιζε. ὅπερ γὰρ ἐν τῇ πρὸς Φιλιππησίους ἐπιστολῇ κατασκευάζει, τοῦτο καὶ ἐνταῦθα. καθάπερ ἐκεῖ περὶ ταπεινοφροσύνης παραινῶν παράγει τὸν Χριστὸν, οὕτω δὴ καὶ ἐνταῦθα, λέγων, εἰς τὰ κατώτερα μέρη κατέβη τῆς γῆς. εἰ γὰρ μὴ τοῦτο ἦν, περιττὸς ἐστὶν ὁ λόγος ὅνπερ λέγει, ὑπήκοος γενόμενος μέχρι θανάτου. ἀπὸ δὲ τοῦ ἀναβῆναι, τὴν κατάβασιν αἰνίττεται. τὰ δὲ κάτω μέρη τῆς γῆς, τὸν θάνατόν φησιν, ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπονοίας, καθάπερ καὶ ὁ Ἰακὼβ ἔλεγε· Κατάξετέ μου τὸ γῆρας μετ' ὀδύνης εἰς ᾅδου. καὶ πάλιν ἐν τῷ ψαλμῷ, Ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον, τουτέστι, τοῖς ἀποθανοῦσι. διὰ τί τοῦτο τὸ χωρίον ἐπεξεργάζεται ἐνταῦθα; καὶ ποίαν αἰχμαλωσίαν φησί; τὴν τοῦ διαβόλου. αἰχμάλωτον γὰρ τὸν τύραννον ἔλαβε, τὸν διάβολον λέγω καὶ τὸν θάνατον, καὶ τὴν ἀρὰν, καὶ τὴν ἁμαρτίαν. ὁρᾷς σκῦλα καὶ λάφυρα; τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη; τοῦτο πρὸς τὸν Παύλου τοῦ Σαμοσατέως. ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. εἰς τὰ κατώτερα, φησί, μέρη κατέβη τῆς γῆς, μεθ' ἃ οὐκ ἔστιν ἕτερα. καὶ ἀνέβη ὑπεράνω πάντων, μεθ' ὃ οὐκ ἔστιν ἕτερόν τι· τουτέστι τῆς ἐνεργείας αὐτοῦ, καὶ τῆς δεσποτείας. καὶ γὰρ καὶ πάλαι πάντα πεπλήρωτο.

11 Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν, ἀποστόλους, τοὺς δὲ, προφήτας, τοὺς δὲ, εὐαγγελιστὰς, τοὺς δὲ, ποιμένας καὶ διδασκάλους,

12 Πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ. Ὅπερ λέγει ἀλλαχοῦ, Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, τοῦτο καὶ

Marginal notes (left): γ. πλέον — γ. ἔλαβε — γ. ἑτέρως, — γ. παντὸν ἐστι. ποῖον πάντες;

Marginal notes (right): α. Κορ. θ. ις. — α. Κορ. ιϛ. ιη. — Ψαλμ. ξζ. ιθ. — Φιλιπ. β. η. — Γεν. μδ. κθ. — Ψαλμ. ρμϛ. ζ. — Φιλιπ. β. θ.

Φιλιπ. β. θ. ἐνταῦθα λέγει· Ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβάς. οὐδὲν αὐτὸν ἔβλαψε τὸ εἰς τὰ κατώτερα μέρη τῆς γῆς κατελθεῖν, οὐδὲ ἐμπόδιον πρὸς τὸ ἀνωτέρω γενέσθαι τῶν οὐρανῶν. ὥστε ὅσῳ ἄν τις ταπεινωθῇ, τοσούτῳ μᾶλλον ὑψοῦται. καθάπερ γὰρ ἐπὶ τοῦ ὕδατος ὅσῳ ἄν τις τοῦτο εἰς τὸ κάτω κατενέγκῃ, τοσούτῳ μᾶλλον αὐτὸ πρὸς ὕψος ἀνάγει, καὶ ὅσῳ ἄν τις ἐκ διαστήματος ἀκοντίσῃ, τοσούτῳ ἐπιτυγχάνει· οὕτω καὶ ἐπὶ τῆς ταπεινοφροσύνης. ἀλλ' ὅταν περὶ Θεοῦ λέγωμεν τὰς ἀναβάσεις, ἀνάγκη πρότερον κατάβασιν ἐννοεῖν· ὅταν δὲ περὶ ἀνθρώπου, ἐκείνην. Εἶτα καὶ τὴν πρόνοιαν αὐτοῦ δείκνυσι, καὶ τὴν σοφίαν, καί φησιν, ὁ τοιαῦτα ἐργασάμενος, καὶ τοσαῦτα ἰσχύσας, καὶ μέχρι τῶν κατωτέρων μερῶν μὴ παραιτησάμενος κατελθεῖν δι' ἡμᾶς, οὐχ ἁπλῶς τὰς διανομὰς τῶν χαρισμάτων ἐποίησεν. Πραξ. κ. κη. ἀλλαχοῦ δέ φησιν, ὅτι τὸ πνεῦμα τοῦτο εἰργάσατο, οὕτω λέγων· Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Κυρίου. καὶ ἐνταῦθα μέν φησιν, ὅτι ὁ υἱός, ἀλλαχοῦ δὲ, ὅτι ὁ Θεός· καὶ πάλιν, Αὐτὸς ἔδωκε τῇ ἐκκλησίᾳ, τοὺς μὲν ἀποστόλους, α. Κορ. ιβ. κη. τοὺς δὲ προφήτας. ἐν δὲ τῇ πρὸς Κορινθίους φησίν· Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, α. Κορ. γ. ϛ. ἀλλ' ὁ Θεὸς ηὔξανε. καὶ πάλιν, Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων, ἕν εἰσιν· ἕκαστος δὲ τὸν ἴδιον καὶ η. μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. οὕτω καὶ ἐνταῦθα. τί γὰρ εἰ ἔλαττον εἰσφέρεις; τοσοῦτον ἔλαβες. πρῶτον ἀποστόλους. πάντα γὰρ εἶχον οὗτοι. δεύτερον προφήτας. ἦσαν γάρ τινες, οἳ ἀπόστολοι μὲν οὐκ ἦσαν, προφῆται δὲ, ὥσπερ Ἄγαβος. τρίτον εὐαγγελιστάς· οἱ μὴ περιϊόντες πανταχοῦ, ἀλλ' εὐαγγελιζόμενοι μόνον, ὡς Πρίσκιλλα καὶ Ἀκύλας. ποιμένας καὶ διδασκάλους, τοὺς ὁλόκληρον ἐμπεπιστευμένους ἔθνος. τί οὖν; οἱ ποιμένες καὶ οἱ διδάσκαλοι ἐλάττους; καὶ πάνυ, τῶν περιϊόντων καὶ εὐαγγελιζομένων οἱ καθήμενοι καὶ περὶ ἕνα τόπον ἠσχολημένοι, οἷον Τιμόθεος, Τίτος. ἄλλως δὲ, οὐ δυνατὸν ἐντεῦθεν ποιήσασθαι τὴν ὑποταγὴν, καὶ τὴν προτίμησιν, ἀλλ' ἀπὸ ἑτέρας ἐπιστολῆς. αὐτὸς ἔδωκέ, φησι· μηδὲν ἀντείπῃς. ἢ εὐαγγελιστάς φησι, τοὺς τὸ εὐαγγέλιον γράψαντας. πρὸς καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ. ὁρᾷς τὸ ἀξίωμα; ἕκαστος οἰκοδομεῖ, ἕκαστος καταρτίζει, ἕκαστος διακονεῖ.

13 Μέχρι καταντήσωμεν, φησιν, οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Ἡλικίαν ἐνταῦθά φησι τὴν τελείαν ἐπίγνωσιν. καθάπερ γὰρ ὁ ἀνὴρ ἕστηκε βεβαίως, οἱ δὲ παῖδες τὰς φρένας περιφέρονται, οὕτω καὶ ἐπὶ τῶν πιστῶν. εἰς τὴν ἑνότητά, φησι, τῆς πίστεως· τουτέστιν, ἕως ἂν δειχθῶμεν πάντες μίαν πίστιν ἔχοντες. τοῦτο γάρ ἐστιν ἑνότης πίστεως, ὅταν πάντες ἓν ὦμεν, ὅταν πάντες ὁμοίως τὸν σύνδεσμον ἐπιγινώσκωμεν. μέχρι τότε ἐργάζεσθαι χρή, εἰ διὰ τοῦτο χάρισμα ἔλαβες, ἵνα ἄλλους οἰκοδομῇς. βλέπε μὴ σαυτὸν καταστρέψῃς, ἑτέρῳ φθονῶν. ἐτίμησέ σε ὁ Θεός, καὶ ἔταξεν, ὥστε καταρτίζειν ἕτερον. καὶ γὰρ καὶ ὁ ἀπόστολος πρὸς τοῦτο ἦν, καὶ ὁ προφήτης πρὸς τοῦτο ἦν προφητεύων καὶ πείθων, καὶ ὁ εὐαγγελιστὴς εὐαγγελιζόμενος, καὶ ὁ ποιμὴν καὶ ὁ διδάσκαλος, πάντες ἓν ἔργον ἦσαν ἀναδεδεγμένοι. μὴ γάρ μοι τὴν διαφορὰν τῶν χαρισμάτων εἴπῃς· πάντες ἓν ἔργον εἶχον. ὅταν δὲ πάντες ὁμοίως πιστεύωμεν, τότε ἑνότης ἐστίν. ὅτι γὰρ τοῦτο λέγει ἄνδρα τέλειον, δῆλον. καὶ μὴν ἀλλαχοῦ νηπίους ἡμᾶς φησι, καὶ ὅταν τέλειοι ὦμεν, ἀλλὰ πρὸς ἕτερα ὁ- Γαλ. δ. γ. ρῶν. ἐκεῖ μὲν γὰρ πρὸς τὴν μέλλουσαν γνῶσιν, νηπίους ἐκάλεσεν. εἰπὼν γάρ, Ἐκ μέρους α. Κορ. ιγ. θ. γινώσκομεν, ἐπήγαγε, καὶ τὸ δι' αἰνίγματος, καὶ ὅσα τοιαῦτα. ἐνταῦθα δὲ πρὸς ἕτερον εἶπε, Ἑβρ. ε. ιδ. πρὸς τὸ ἀμετάπτωτον· ὥσπερ καὶ ἀλλαχοῦ φησι· Τελείων δὲ ἡ στερεὰ τροφή. ὁρᾷς κἀκεῖ τελείους πῶς φησιν; ὅρα καὶ πῶς ἐκάλεσε τελείους ἐνταῦθα διὰ τῶν ἐπαγομένων, εἰπὼν, ἵνα μηκέτι ὦμεν νήπιοι. αὐτό φησι τὸ μέτρον τὸ ὀλίγον ὅπερ ἐλάβομεν, ἵνα κατέχωμεν μετὰ πάσης σπουδῆς, μετὰ στερρότητος καὶ βεβαιώσεως.

14 Ἵνα

14 Ἵνα μηκέτι. Τὸ μηκέτι, δείκνυσι πάλαι τοῦτο παθόντας, καὶ τίθησι καὶ ἑαυτὸν ἐν τάξει διορθώσεως, καὶ διορθοῦται. διὰ τοῦτό φησι, τέκτονες τοσοῦτοι γεγόνασιν, ἵνα ἡ οἰκοδομὴ μὴ σαλεύηται, ἵνα μὴ περιφέρηται, ἵνα πεπηγότες ὦσιν οἱ λίθοι. ἐκείνων γάρ τοῦτο ἐστι τὸ κλυδωνίζεσθαι, τὸ περιφέρεσθαι καὶ σαλεύεσθαι. Ἵνα μηκέτι ὦμεν, φησι, νήπιοι, κλυδωνιζόμενοι, καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης. Καὶ περιφερόμενοί, φησι, παντὶ ἀνέμῳ. ἐπεξῆλθε τῇ ῥοπῇ, δεικνὺς τὰς διστάζουσας ψυχὰς ἐν οἵῳ κινδύνῳ εἰσί. παντὶ ἀνέμῳ, φησὶν, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης. κυβευταὶ λέγονται, οἱ τοῖς πεττοῖς κεχρημένοι. τοιοῦτοί εἰσιν οἱ πανοῦργοι, ἐπειδὰν ἀφελεστέρους τινὰς λάβωσι. καὶ γὰρ ἐκεῖνοι μετατιθέασι καὶ μεταφέρουσιν ἅπαντα. ἐνταῦθα καὶ βίου ἥψατο.

15 Ἀληθεύοντες δέ, φησιν, ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ ὁ Χριστὸς,

16 Ἐξ οὗ πᾶν τὸ σῶμα, Ἀπὸ τοῦ Χριστοῦ, φησι, Συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέλους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται, εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

Σφόδρα ἀσαφῶς ἡρμήνευσε, τῷ πάντα ὁμοῦ θελῆσαι εἰπεῖν. ὃ δέ φησι τοῦτό ἐστι· καθάπερ τὸ πνεῦμα τὸ ἀπὸ τοῦ ἐγκεφάλου καταβαῖνον, τὸ διὰ τῶν νεύρων τὸ αἰσθητικὸν οὐχ ἁπλῶς δίδωσι πᾶσιν, ἀλλὰ κατὰ ἀναλογίαν ἑκάστου μέλους, τῷ μὲν δυναμένῳ πλέον δέξασθαι, πλέον, τῷ δὲ ἐλάττω, ἐλάττον (τοῦτο γάρ ἐστιν ἡ ῥίζα, τὸ πνεῦμα) οὕτω καὶ ὁ Χριστός. καθάπερ γὰρ μελῶν, τῶν ψυχῶν εἰς αὐτὸν ἀνηρτημένων, ἡ πρόνοια αὐτοῦ καὶ ἡ χορηγία τῶν χαρισμάτων κατὰ ἀναλογίαν ἐν μέτρῳ τὴν ἑνὸς ἑκάστου μέλους αὔξησιν ποιεῖται. τί δέ ἐστι, διὰ τῆς ἁφῆς τῆς ἐπιχορηγίας; τουτέστι, διὰ τῆς αἰσθήσεως. τὸ γὰρ πνεῦμα ἐκεῖνο τὸ ἐπιχορηγούμενον τοῖς μέλεσιν ἀπὸ τῆς κεφαλῆς, ἑκάστου μέλους ἁπτόμενον οὕτως ἐνεργεῖ. ὡς ἂν τις εἴποι, τὸ σῶμα ἀντιλαμβανόμενον τῆς ἐπιχορηγίας, κατὰ ἀναλογίαν τῶν ἐν αὐτῷ μελῶν, οὕτω ποιεῖται τὴν αὔξησιν. ἢ ἑτέρως· τὰ μέλη κατὰ τὴν ἀναλογίαν τοῦ οἰκείου μέτρου δεχόμενα τὴν ἐπιχορηγίαν, οὕτως αὔξεται. ἢ καὶ ἑτέρως· τὸ πνεῦμα ἄνωθεν ἐπιρρεόμενον ἀφθόνως, καὶ πάντων ἁπτόμενον τῶν μελῶν, καὶ χορηγούμενον, ὡς ἕκαστον δύναται δέξασθαι, οὕτως αὔξεται. τίνος δὲ ἕνεκεν προσέθηκεν, ἐν ἀγάπῃ; οὐ γὰρ ἄλλως ἔνι κατελθεῖν ἐκεῖνο τὸ πνεῦμα. καθάπερ γὰρ, εἰ τύχοι χεὶρ ἀποσπασθεῖσα τοῦ σώματος, τὸ πνεῦμα τὸ ἀπὸ τοῦ ἐγκεφάλου τὴν συνέχειαν ζητοῦν, καὶ μὴ εὑρὸν οὐκ ἐξάλλεται τοῦ σώματος, καὶ διαπτῆσαν πρὸς τὴν χεῖρα ἔρχεται, ἀλλ' ἂν μὴ εὕρῃ κείμενον, οὐχ ἅπτεται· οὕτω καὶ ἐνταῦθα, ἐὰν μὴ ὦμεν τῇ ἀγάπῃ συνδεδεμένοι. ταῦτα δὴ πάντα πρὸς ταπεινοφροσύνην αὐτῷ εἴρηται. τί γάρ, φησιν, εἰ πλέον λαμβάνει ὁ δεῖνα; τὸ αὐτὸ πνεῦμα ἔλαβεν, ἀπὸ τῆς αὐτῆς κεφαλῆς ἐκπεμπόμενον, ὁμοίως ἐνεργοῦν, ὁμοίως ἁπτόμενον. Συναρμολογούμενον καὶ συμβιβαζόμενον, τουτέστι, πολλῆς ἀπολαῦον τῆς ἐπιμελείας. οὐ γὰρ ἁπλῶς, ἀλλὰ σφόδρα τεχνικῶς δεῖ κεῖσθαι τὸ σῶμα, ὡς, ἐὰν τῶν τόπων ἐκβῇ, οὐκέτι κεῖται. ὥστε οὐχ ἑνῶσθαι τῷ σώματι δεῖ μόνον, ἀλλὰ καὶ τὸν οἰκεῖον τόπον ἐπέχειν, ὡς ἐὰν ὑπερβῇς, οὐχ ἡνώσαι, οὐδὲ δέχῃ τὸ πνεῦμα. ἢ οὐχ ὁρᾷς ἐν ταῖς τῶν ὀστῶν μεταθέσεσι ταῖς κατὰ ἶνα παρείσασιν συμβαινούσαις, ὅταν τὸν οἰκεῖον τόπον ὑπερβὰν, τὸν ἑτέρου κατέχῃ, πῶς τῷ παντὶ σώματι λυμαίνεται, καὶ θάνατον πολλάκις εἰργάσατο, ἔστι δὲ ὅτε καὶ ἀνάξιον εὑρέθη λοιπὸν τοῦ κατέχεσθαι; πολλοὶ γὰρ πολλάκις αὐτὸ ἐκκόψαντες, διάκενον τὸν τόπον ἐποίησαν. πανταχοῦ γὰρ ἡ πλεονεξία, κακόν. καὶ ἐπὶ τῶν στοιχείων δὲ, ὅταν τὴν οἰκείαν ἀφέντα συμμετρίαν πλεονάσῃ, τὸ πᾶν λυμαίνεται· τοῦτό ἐστι τὸ συναρ-

ἴσ. [illegible]

χ. ἐπασαν.

μολογούμενον, καὶ συμβιβαζόμενον. ὥστε ἕκαστον ἐπὶ τῆς οἰκείας μένειν χώρας, καὶ μὴ τῆς ἑτέρας καὶ μηδὲν αὐτῷ προσηκούσης ἐπιβαίνειν, ἐννόησον ὅσον ἐστί. σὺ τὰ μέλη συντιθεὶς, ἐκεῖνος ἄνωθεν ἐπιχορηγεῖ. καθάπερ γὰρ ἐπὶ τοῦ σώματός ἐστιν ὄργανα τοιαῦτα δεκτικὰ, οὕτως ἐστὶ καὶ ἐπὶ τοῦ πνεύματος, τῆς ῥίζης ἄνωθεν οὔσης πάσης· οἷον ἡ καρδία, τοῦ πνεύματος· τὸ ἧπαρ, τοῦ αἵματος· ὁ σπλὴν, τῆς χολῆς· καὶ ἄλλα, ἄλλου· πάντα δὲ ταῦτα ἀπὸ τοῦ ἐγκεφάλου τὴν αἰτίαν ἔχει· οὕτω καὶ ὁ Θεὸς ἐποίησε τῶν ἀνθρώπων σφόδρα τιμῶν, καὶ οὐ βουλόμενος αὐτοὺς ἀπέχειν, τὴν μὲν αἰτίαν αὐτὸς ἀναρτησάμενος, συνεργοὺς δὲ ἑαυτῷ καταστήσας· καὶ τῶν μὲν ἔθηκεν εἰς τοῦτο, τῶν δὲ εἰς ἐκεῖνο. οἷον ἀπόστολος, ἀγγεῖον τοῦ σώματός ἐστι τὸ καιριώτερον, δεχόμενος παρ' αὐτοῦ τὰ πάντα· ὥστε ὥσπερ διὰ φλεβῶν καὶ ἀρτηριῶν τοῦ λόγου λέγω, εἰς πάντας διατρέχειν ποιεῖ τὴν ζωὴν τὴν αἰώνιον. ὁ προφήτης προλέγει τὰ μέλλοντα, καὶ αὐτὸς τὰ αὐτὰ κατασκευάζει. καὶ ἐκεῖνος μὲν συντίθησι τὰ ὀστᾶ, αὐτὸς δὲ αὐτοῖς ζωὴν χορηγεῖ, πρὸς καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας. ἡ ἀγάπη ἀνοικοδομεῖ, καὶ τὸ συγκολλᾶσθαι ἀλλήλοις, καὶ συμπήγνυσθαι, καὶ ἁρμόζεσθαι, τοῦτο ποιεῖ.

ΗΘΙΚΟΝ

Εἰ τοίνυν βουλόμεθα τοῦ πνεύματος ἀπολαύειν τοῦ ἀπὸ τῆς κεφαλῆς, ἀλλήλων ἐχώμεθα. δύο γάρ εἰσι διαιρέσεις ἀπὸ τοῦ σώματος τοῦ ἐκκλησιαστικοῦ. μία μὲν, ὅταν ψύξωμεν τὴν ἀγάπην· δευτέρα δὲ, ὅταν ἀνάξια τοῦ τελεῖν εἰς ἐκεῖνο τὸ σῶμα τολμήσωμεν. ἑκατέρως γὰρ χωρίζομεν ἑαυτοὺς τοῦ πληρώματος. Εἰ δὲ καὶ ἄλλους εἰς τὸ οἰκοδομεῖν τετάγμεθα, οἱ μὴ οἰκοδομοῦντες, ἀλλὰ καὶ πρότερον σχίζοντες, τί οὐκ ἂν πάθοιεν; οὐδὲν οὕτως ἐκκλησίαν δυνήσεται διαιρεῖν, ὡς φιλαρχία· οὐδὲν οὕτω παροξύνει τὸν Θεὸν, ὡς τὸ ἐκκλησίαν διαιρεθῆναι. κἂν μυρία ὦμεν ἐργασάμενοι καλὰ, τῶν τὸ σῶμα αὐτοῦ διατεμνόντων οὐκ ἐλάττονα δώσομεν δίκην οἱ τὸ πλήρωμα κατατέμνοντες τὸ ἐκκλησιαστικόν. ἐκεῖνο μὲν γὰρ ἐπὶ κέρδει τῆς οἰκουμένης ἐγένετο, εἰ καὶ μὴ ἀπὸ διανοίας τοιαύτης· τοῦτο δὲ οὐδὲν οὐδαμοῦ τὸ χρήσιμον ἔχει, ἀλλὰ πολλὴ ἡ βλάβη. ταῦτά μοι οὐχὶ πρὸς τοὺς ἄρχοντας εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχομένους. ἀνὴρ δέ τις ἅγιος εἶπε τι δοκοῦν εἶναι τολμηρὸν, πλὴν ἀλλ' ὅμως ἐφθέγξατο. τί δὴ τοῦτό ἐστιν; οὐδὲ μαρτυρίου αἷμα ταύτην δύνασθαι ἐξαλείφειν τὴν ἁμαρτίαν ἔφησεν. εἰπὲ γάρ μοι, τίνος ἕνεκεν μαρτυρεῖς; οὐ διὰ τὴν δόξαν τοῦ Χριστοῦ; ὁ τοίνυν τὴν ψυχὴν προϊέμενος ὑπὲρ τοῦ Χριστοῦ, πῶς τὴν ἐκκλησίαν πορθεῖς, ὑπὲρ ἧς τὴν ψυχὴν προήκατο ὁ Χριστός; ἄκουε τοῦ

α. Κορ. ιε. θ.

Παύλου λέγοντος, ὅτι Οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. οὐκ ἔστιν αὕτη ἐλάττων ἡ βλάβη τῆς παρὰ ἐχθρῶν, ἀλλὰ πολὺ μείζων. ἐκείνη μὲν γὰρ καὶ λαμπροτέραν αὐτὴν ἐργάζεται, αὕτη δὲ αὐτὴν καὶ παρὰ τοῖς ἐχθροῖς καταισχύνει, ὅταν ὑπὸ τῶν ἰδίων τέκνων πολεμῆται. μέγα γὰρ δεῖγμα ἀπάτης εἶναι δοκεῖ παρ' αὐτοῖς, τὸ τοὺς γεννηθέντας ἐν αὐτῇ, καὶ τραφέντας, καὶ τὰ ἀπόρρητα αὐτῆς μεμαθηκότας ἀκριβῶς, τούτους μεταβαλλομένους ἐξαίφνης τὰ τῶν ἐχθρῶν αὐτὴν διατιθέναι. Ταῦτά μοι εἰρήσθω πρὸς τοὺς ἀδιαφόρως διδόντας ἑαυτοὺς τοῖς σχίζουσι τὴν ἐκκλησίαν. Εἰ μὲν γὰρ καὶ δόγματα ἔχουσιν ἐναντία, καὶ διὰ τοῦτο οὐ προσήκει ἐκείνοις ἀναμίγνυσθαι· εἰ δὲ τὰ αὐτὰ φρονοῦσι, πολλῷ μᾶλλον. τί δήποτε; ὅτι φιλαρχίας ἐστὶν ἡ νόσος. οὐκ ἴστε τί πεπόνθασιν οἱ περὶ Κορὲ, καὶ Δαθὰν, καὶ Ἀβειρών; ἆρα αὐτοὶ μόνοι; οὐχὶ δὲ καὶ οἱ μετ' αὐτῶν; τί λέγεις; ἡ αὐτὴ πίστις ἐστὶν, ὀρθόδοξοί εἰσι κἀκεῖνοι. τίνος οὖν ἕνεκεν οὐκ εἰσὶ μεθ' ἡμῶν; Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. εἰ τὰ ἐκείνων καλῶς ἔχει, τὰ ἡμέτερα κακῶς· εἰ δὲ τὰ ἡμέτερα καλῶς, τὰ ἐκείνων κακῶς. Νήπιοί, φησι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ. ἀρκεῖν τοῦτο ἡγεῖσθε, εἰπέ μοι, τὸ λέγειν, ὅτι ὀρθόδοξοί εἰσι; τὰ τῆς χειροτονίας δὲ οἴχεται καὶ ἀπόλωλε; καὶ τί τὸ ὄφελος τῶν ἄλλων, ταύτης οὐκ ἠκριβωμένης; ὥσπερ

γάρ

γὰρ ὑπὲρ τῆς πίστεως, οὕτω καὶ ὑπὲρ ταύτης μάχεσθαι χρή. ἐπεί, εἰ παντὶ ἔξεστι πληροῦν τὰς χεῖρας αὐτοῦ κατὰ τοὺς παλαιούς, καὶ ἱερεῖς γίνεσθαι, παρέλθωσαν πάντες, εἰκῆ τὸ θυσιαστήριον ᾠκοδόμηται τοῦτο, εἰκῆ τὸ πλήρωμα τῆς ἐκκλησίας, εἰκῆ τῶν ἱερέων ὁ ἀριθμός. ἀνέλωμεν αὐτά, καὶ διαφθείρωμεν. μὴ γένοιτο, φησίν. ὑμεῖς αὐτὰ ποιεῖτε, καὶ φατέ, μὴ γένοιτο; πῶς λέγεις, μὴ γένοιτο, γινομένων αὐτῶν; ἐγὼ λέγω καὶ μαρτύρομαι, οὐ τὸ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὴν ἡμετέραν σωτηρίαν. εἰ δέ τις ἀδιαφορεῖ, αὐτὸς ἂν εἰδείη. εἰ δέ τινι τούτων οὐ μέλει, ἀλλ' ἡμῖν μέλει. Ἐγὼ ἐφύτευσα, φησίν, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε. πῶς οἴσομεν τὸν παρὰ τῶν Ἑλλήνων γέλωτα; εἰ γὰρ ὑπὲρ τῶν αἱρέσεων ἐγκαλοῦσιν ἡμῖν, ὑπὲρ τούτων τί οὐκ ἐροῦσιν; εἰ τὰ αὐτὰ δόγματα, εἰ τὰ αὐτὰ μυστήρια, τίνος ἕνεκεν ἕτερος ἄρχων ἑτέρᾳ ἐκκλησίᾳ ἐπιπηδᾷ; ὁρᾶτε, φησίν, ὅτι πάντα κενοδοξίας πεπλήρωται τὰ χριστιανῶν; καὶ φιλαρχία παρ' αὐτοῖς, καὶ ἀπάτη; γυμνώσουσιν αὐτοὺς τοῦ πλήθους, φησί, τὴν νόσον ἔκκοψον, τοῦ ὄχλου τὴν διαφθοράν, καὶ οὐδέν εἰσι. βούλεσθε εἴπω ἃ περὶ τῆς πόλεως λέγουσι τῆς ἡμετέρας; πῶς ἡμᾶς εἰς εὐκολίαν διαβάλλουσιν; ἔξεστι, φησί, παντὶ τῷ βουλομένῳ εὑρεῖν τοὺς πειθομένους, καὶ οὐκ ἄν ποτε ἀπορήσειε τούτων. ὢ τοῦ γέλωτος. ταῦτα πόσης αἰσχύνης; ἀλλὰ καὶ ἕτερος γέλως, ἑτέρα αἰσχύνη. ἄν τινες ἁλόντες παρ' ἡμῖν ἐπὶ τοῖς αἰσχίστοις, μέλλωσιν ἐπιτιμίου τυγχάνειν τινός, πολὺς ὁ δῆμος, πολὺς ὁ φόβος πανταχόθεν, μὴ ἀποπηδήσῃ, φησί, μὴ μεθ' ἐκείνων ᾖ. ἀποπηδησάτω μὲν γὰρ μυριάκις ὁ τοιοῦτος, καὶ ἔστω μετ' ἐκείνων. οὐχὶ τῶν ἡμαρτηκότων λέγω. ἀλλ' εἴ τις ἀναμάρτητος ὢν τυγχάνοι, καὶ βούλεται μεταθέσθαι, μεταθέσθω. ἀλγῶ μὲν γὰρ καὶ κόπτομαι, καὶ ὀδύρομαι, καὶ διαπρίομαι τὰ σπλάγχνα, ὡς οἰκείου μέλους ἀποστερούμενος. πλὴν ἀλλ' οὐχ οὕτως ἀλγῶ, ὡς ἀναγκάζεσθαί τι διὰ τὸν φόβον τοῦτον τῶν μὴ προσηκόντων ποιεῖν. οὐ κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀγαπητοί, οὐδὲ δεσποτικῶς ταῦτα ἐπιτάττομεν. εἰς διδασκαλίαν λόγου προεχειρίσθημεν, οὐκ εἰς ἀρχήν, οὐδὲ εἰς αὐθεντίαν· συμβούλων τάξιν ἐπέχομεν παραινούντων. ὁ συμβουλεύων λέγει τὰ παρ' ἑαυτοῦ, οὐκ ἀναγκάζων τὸν ἀκροατήν, ἀλλ' αὐτὸν ἀφίησι τῆς τῶν λεγομένων αἱρέσεως κύριον. ἐν τούτοις ἐστὶν ὑπεύθυνος μόνον, ἂν τὰ προσήκοντα μὴ εἴποι. διὰ τοῦτο καὶ ἡμεῖς ταῦτά φαμεν, ταῦτα λέγομεν, ἵνα ὑμῖν μὴ ἐξῇ κατ' ἐκείνην τὴν ἡμέραν λέγειν, οὐδεὶς ἡμῖν εἶπεν, οὐδεὶς διεστείλατο, ἠγνοήσαμεν, οὐδὲν ἡγούμεθα τὸ ἁμάρτημα εἶναι. διὰ τοῦτο λέγω καὶ διαμαρτύρομαι, ὅτι τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν τὸ τὴν ἐκκλησίαν σχίσαι οὐκ ἔλαττόν ἐστι κακόν. εἰπέ μοι, εἴ τις ὑπὸ βασιλεῖ τινι τυγχάνων, ἑτέρῳ μὲν βασιλεῖ μὴ προσέθοιτο, μηδὲ δῷ ἑαυτὸν ἄλλῳ, αὐτοῦ δὲ ἐκείνου τὴν ἁλουργίδα λαβὼν καὶ κατασχών, ἀπὸ τῆς περόνης κατήνεγκεν ἅπασαν, καὶ διέρρηξεν εἰς πολλὰ ῥήγματα, ἆρα ἧττον ἂν τῶν ἑτέρῳ προσθεμένων ἐκολάσθη; τί δέ, εἰ μετὰ τούτου αὐτὸν τὸν βασιλέα ἀπὸ τοῦ λαιμοῦ κατασχὼν ἔσφαττε, κατὰ μέλος διαξαίνων αὐτοῦ τὸ σῶμα, ποίαν ἂν δίκην δοίη, τὴν ἀξίαν ἔδωκεν; εἰ δὲ εἰς βασιλέα τὸν ὁμόδουλον τοῦτο ἐργασάμενος, πάσης ἂν μείζονα δίκης εἰργάσατο, ὁ τὸν Χριστὸν σφάττων καὶ διαξαίνων κατὰ μέλος, ποίας γεέννης οὐκ ἔσται ἄξιος; ἆρα ταύτης τῆς ἀπειλουμένης; οὐκ ἔγωγε οἶμαι, ἀλλ' ἑτέρας πολλῷ χαλεπωτέρας. εἴπατε ὅσαι πάρεστε (ὡς γὰρ ἐπὶ τὸ πολὺ γυναικῶν τοῦτο τὸ ἐλάττωμα) ταῖς ἀπούσαις διηγήσασθε [τοῦτο] τὸ ὑπόδειγμα, φοβήσατε. εἴ τινες ἡμᾶς λυπεῖν, καὶ ἀμύνασθαι τοῦτο νομίζουσιν, εὖ εἰδέτωσαν, ὅτι ταῦτα μάταιον ποιοῦσιν. εἰ γὰρ ἡμᾶς ἀμύνασθαι βούλει, ἐγώ σοι δίδωμι τρόπον, καθ' ὃν χωρὶς τῆς σῆς βλάβης ἀμύνασθαι δυνήσῃ. μᾶλλον δὲ οὐκ ἔστι χωρὶς βλάβης ἀμύνασθαι, πλὴν ἀλλὰ μετ' ἐλάττονος βλάβης. ῥάπισον, ἔμπτυσον ἐντυχοῦσα δημοσίᾳ, καὶ πληγὰς ἔντεινον. φρίττεις ταῦτα ἀκούουσα; ἂν ἐμέ, εἴπω, ῥάπισον, φρίττεις· καὶ τὸν δεσπότην σου σπαράττεις, καὶ οὐ φρίττεις; τὰ μέλη τὰ δεσποτικὰ διαξαίνεις, καὶ οὐ τρέμεις; οἶκός ἐστιν ἡ ἐκκλησία πατρικός· ἓν σῶμα, καὶ ἓν πνεῦμα.

χ. οἴδεν.
α. Κορ. γ. ς.
χ. ἐπιτιμίου προβάλλεσθαι
χ. -σει
χ. διαπυροῦμαι
χ. γενομένων
χ. προλέγω

πνεῦμα. ἀλλὰ βούλει με ἀμύνασθαι; μέχρις ἐμοῦ ἔστη. τί αὐτὸ ἐμοῦ τὸν Χριστὸν ἀμύνῃ; μᾶλλον δὲ τί κατὰ τῶν ἥλων λακτίζεις; οὐδαμοῦ μὲν οὖν τὸ ἀμύνασθαι καλόν· τὸ δὲ ἑτέρου ἀδικοῦντος ἕτερον ὑβρίζειν, πολλῷ χαλεπώτερον. τί ὑμᾶς ἠδίκησαν; τί τὸν οὐκ ἠδικηκότα λυπεῖς; τοῦτο μανίας ἐσχάτης. οὐκ εἰρωνευόμενος ὃ μέλλω λέγειν φημί, οὐδὲ ἁπλῶς, ἀλλ' ὡς ἔχω, καὶ ὡς διάκειμαι. ἕκαστον τῶν σὺν ὑμῖν λυπουμένων πρὸς ἡμᾶς, καὶ διὰ ταύτην τὴν λύπην βλαπτόντων ἑαυτούς, καὶ ἀλλαχοῦ πορευομένων, ἐβουλόμην πληγὰς ἐντείνειν ἡμῖν εἰς τὴν ὄψιν αὐτήν, καὶ γυμνοὺς ἀποδύσαντα αἰκίζεσθαι μάστιξιν (εἴτε δικαίως, εἴτε ἀδίκως ἐγκαλοίη) καὶ μᾶλλον εἰς ἡμᾶς ἀφιέναι τὴν ὀργήν, ἢ ταῦτα τολμᾶν, ἃ νῦν τολμῶσιν. εἰ τοῦτο γέγονεν, οὐδὲν ἂν ἦν, * οὐδαμινὸν ἄνθρωπον καὶ οὐδενὸς ἄξιον λόγου τοιαῦτα παθεῖν. ἄλλως δέ, ἂν καὶ παρεκάλεσα ὁ ἠδικημένος καὶ ὑβρισμένος ἐγὼ τὸν Θεόν, καὶ ἀφῆκεν ὑμῖν τὰ ἁμαρτήματα· * οὐκ ἐπειδὴ παρρησίαν ἔχω τοσαύτην, ἀλλ' ἐπειδὴ ὁ ἠδικημένος, ὅταν ὑπὲρ τοῦ ἠδικηκότος παρακαλῇ, πολλὴν κέκτηται τὴν παρρησίαν. Ἂν εἰς ἄνθρωπόν τις ἁμάρτῃ, φησί, προσεύξονται περὶ αὐτοῦ. εἰ δὲ μὴ ἠδυνάμην ἐγώ, ἑτέρους ἂν ἁγίους ἐζήτησα, καὶ παρεκάλεσα, καὶ τοῦτο ἂν εἰργάσαντο. νῦν δὲ ἵνα καὶ παρακαλέσωμεν τὸν Θεὸν ὑπὲρ ″ ἡμῶν ὑβριζομένους; ὁρᾶτε ἀνωμαλίαν. τῶν γὰρ εἰς τὴν ἐκκλησίαν ταύτην τελούντων οἱ μὲν οὐδέποτε προσίασιν, ἢ τοῦ ἐνιαυτοῦ ἅπαξ, καὶ τότε εἰκῇ, καὶ ὡς ἔτυχεν· οἱ δὲ συνεχέστερον μέν, καὶ αὐτοὶ δὲ εἰκῇ, καὶ ἁπλῶς διαλεγόμενοι, καὶ ἐρεσχελοῦντες ὑπὲρ τοῦ μηδενός· οἱ δὲ δῆθεν σπουδάζειν δοκοῦντες, οὗτοί εἰσιν οἱ τὴν συμφορὰν ταύτην ἐργαζόμενοι. εἰ γὰρ νῦν τούτων ἕνεκεν σπουδάζετε, βέλτιον καὶ ὑμᾶς μετὰ τῶν ἀμελούντων τετάχθαι· μᾶλλον δὲ τὸ βέλτιον ἦν, μήτε ἐκείνους εἶναι ἀμελεῖς, μήτε τοιούτους ὑμᾶς. οὐχ ὑμᾶς λέγω τοὺς παρόντας, ἀλλ' ἐκείνους τοὺς ἀποπηδῶντας. μοιχεία τὸ πρᾶγμά ἐστιν. εἰ δὲ οὐ δέχῃ περὶ ἐκείνων ταῦτα ἀκούειν, οὐκοῦν οὐδὲ περὶ ἡμῶν. τῶν γὰρ δύο τὸ ἕτερον παρανόμως γεγενῆσθαι δεῖ. εἰ μὲν οὖν περὶ ἡμῶν ταῦτα ὑποπτεύετε, ἕτοιμοι παραχωρῆσαι τῆς ἀρχῆς ὅτῳπερ ἂν βούλοισθε· μόνον ἐκκλησία ἔστω μία. εἰ δὲ ἡμεῖς ἐννόμως γεγενήμεθα, πείσατε καταθέσθαι τοὺς παρανόμους ἐπὶ τὸν θρόνον ἀναβεβηκότας. ταῦτα εἶπον, οὐχ ὡς ἐπιτάττων, ἀλλ' ὑμᾶς ἀσφαλιζόμενος καὶ φρουρῶν. ἐπειδὴ ἕκαστος ἡλικίαν ἔχει, καὶ τῶν αὐτῷ πεπραγμένων δώσει τὰς ″ δίκας, παρακαλῶ μὴ τὸ πᾶν ἐφ' ἡμᾶς ῥίψαντας, νομίζειν ἀνευθύνους εἶναι ὑμᾶς αὐτούς, ἵνα μὴ μάτην ἀπατῶντες ἑαυτοὺς κόπτητε. λόγον μὲν γὰρ δώσομεν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ἀλλ' ὅταν τὰ παρ' ἡμῶν ″ ἐλλείπῃ, ὅταν μὴ παρακαλέσωμεν, ὅταν μὴ νουθετήσωμεν, ὅταν μὴ διαμαρτυρώμεθα. μετὰ δὲ ταῦτα, δότε καὶ ἐμοὶ εἰπεῖν, καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων, ″ καί, ὅτι τὴν ψυχήν μου ῥύσεται ὁ Θεός. εἴπατε ὃ βούλεσθε, καὶ αἰτίαν δικαίαν δι' ἣν ἄπιτε, καὶ ἀπολογήσομαι. ἀλλ' οὐκ ἐρεῖτε. διὸ παρακαλῶ, σπουδάσατε καὶ ὑμᾶς αὐτοὺς ἐντεῦθεν ἤδη στῆσαι βεβαίως, καὶ τοὺς μεταπεσόντας ἐπαναγαγεῖν, ἵνα ὁμοθυμαδὸν ἀναπέμψωμεν εὐχαριστίαν τῷ Θεῷ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Margin: α. Βασ. ϛ. κε. — * τι — * τοῦ πλη-γω — γ. ὑμῶν — γ. ἀθῷοι — γ. ἐλλίπωμεν — γ. καὶ ὅτι

Λογ. ιϛ. 17 ΤΟΥΤΟ ΟΥΝ ΛΕΓΩ ΚΑΙ ΜΑΡΤΥΡΟΜΑΙ ΕΝ Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ.

χ. καταρτίζειν χ. μαθητῶν Τὸν διδάσκαλον, οὐ μόνον συμβουλεύοντα, καὶ διδάσκοντα δεῖ καταρτίζειν καὶ ὀρθοῦν τὰς τῶν μαθητευομένων ψυχάς, ἀλλὰ καὶ φοβοῦντα, καὶ τῷ Θεῷ παραδιδόντα. ἐπειδὴ γὰρ τὰ παρὰ τῶν ἀνθρώπων λεγόμενα, ὡς παρὰ ὁμοδούλων, οὐχ ἱκανὰ καθάψασθαι ψυχῆς, ἀναγκαῖον τῷ Κυρίῳ παραδιδόναι λοιπόν. τοῦτο οὖν καὶ ὁ Παῦλος ποιεῖ. περὶ ταπεινοφροσύνης γὰρ καὶ ἑνώσεως διαλεχθείς, καὶ τοῦ μὴ δεῖν ἕτερον κατεξανίστασθαι τοῦ ἑτέρου, ἄκουσον τί φησι. Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ. οὐκ εἶπε, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς περιπατεῖτε (πληκτικώτερος γὰρ ὁ λόγος) ἀλλὰ τὸ αὐτὸ μὲν ἐδήλωσεν, ἀπὸ δὲ ἑτέρων τὸ παράδειγμα ἤγαγε. καὶ πρὸς Θεσσαλονικέας δὲ γράφων, τὸ αὐτὸ τοῦτο ποιεῖ, λέγων· Μὴ ἐν πάθει ἐπιθυμίας, καθὼς καὶ τὰ λοιπὰ ἔθνη. α. Θεσ. δ. α. διεστήκατε, φησι, τοῖς δόγμασιν αὐτῶν, ἀλλὰ τὸ ὅλον γέγονε τοῦ Θεοῦ· ἐγὼ δὲ ζητῶ τὰ περὶ ὑμῶν, τὸν βίον, καὶ τὸν περίπατον τὸν κατὰ τὸν Θεόν. τοῦτο ὑμέτερόν ἐστι. μάρτυρα δὲ τὸν Κύριον καλῶ τῶν εἰρημένων ἐμοί, ὅτι οὐχ ὑπεστειλάμην, ἀλλ' εἶπον πῶς δεῖ περιπατεῖν. ἐν ματαιότητι, φησι, τοῦ νοὸς αὐτῶν. χ. ἀσχολεῖσθαι. τί ἐστι νοὸς ματαιότης; τὸ περὶ τὰ μάταια ἠσχολῆσθαι. τίνα δέ ἐστι μάταια, ἀλλ' ἢ τὰ παρόντα ἅπαντα; περὶ ὧν φησιν ὁ Ἐκκλησιαστής, Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Ἐκκλησ. α. β. ἀλλ' ἐρεῖ τις· εἰ μάταια, καὶ ματαιότης, τίνος ἕνεκεν γέγονεν; εἰ τοῦ Θεοῦ ἔργα, πῶς μάταια; καὶ πολὺς περὶ τούτων ὁ λόγος. ἀλλ' ἄκουε, ἀγαπητέ. οὐ τὰ τοῦ Θεοῦ ἔργα εἶπε μάταια (μὴ γένοιτο) οὐκ οὐρανὸς μάταιος, οὐδὲ γῆ ματαία (μὴ γένοιτο) οὐχ ἥλιος, οὐδὲ σελήνη, καὶ ἄστρα, οὐδὲ τὸ σῶμα τὸ ἡμέτερον. πάντα γὰρ ταῦτα καλὰ λίαν. ἀλλὰ τί μάταιον; ἀκούσωμεν αὐτοῦ λέγοντος τοῦ Ἐκκλησιαστοῦ· Ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι Ἐκκλησ. β. δ. ᾄδοντας καὶ ᾀδούσας, ἐποίησά μοι κολυμβήθρας ὑδάτων· ἐγένετό μοι ποίμνια, καὶ βουκόλια· συνήγαγον χρυσίον καὶ ἀργύριον· καὶ εἶδον ὅτι πάντα ματαιότης. καὶ πάλιν, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. ἄκουε καὶ τοῦ προφήτου λέγοντος· Θησαυρίζει, καὶ Ψαλ. λη. ζ. οὐ γινώσκει τίνι συνάξει αὐτά. κατὰ τοῦτο ματαιότης ματαιοτήτων, αἱ λαμπραὶ οἰκοδομαί, ὁ πολὺς καὶ περιρρέων χρυσός, τῶν ἀνδραπόδων αἱ ἀγέλαι κατὰ τὴν ἀγορὰν σοβοῦσαι, ὁ τῦφος, καὶ ἡ κενοδοξία, τὰ φρονήματα, καὶ ὁ κόμπος. ταῦτα γὰρ πάντα μάταια. οὐ γὰρ παρὰ Θεοῦ γεγένηται, ἀλλὰ παρ' ἡμῶν δεδημιούργηται. τί δήποτε δὲ μάταια; ὅτι οὐδὲν ἔχει τέλος χρηστόν. τὰ χρήματα μάταια, ὅταν εἰς τρυφὴν ἀναλίσκηται· οὐ μάταια δέ γε, ὅταν εἰς πένητας σκορπίζηται. ὅταν δὲ εἰς τρυφὴν ἀναλώσῃς, ἴδωμεν αὐτῶν τὸ τέλος τί ποτέ ἐστι. λιπασμὸς σώματος, ἐρυγαί, πνεύματα, κόπρου πλῆθος, καρηβαρία, μαλακία σαρκός, καὶ θερμότης, καὶ ἔκλυσις. ὡς γὰρ ἂν εἴ τις εἰς τετρημένον πίθον ἐπαντλῶν ματαιοπονεῖ, οὕτω καὶ ὁ τρυφῶν, εἰς πίθον τετρημένον ἀντλεῖ. ἄλλως δέ, μάταιον λέγεται τὸ προσδοκηθὲν μὲν ἔχειν τιμήν, μὴ ἐσχηκὸς δέ· ὅπερ καὶ κενὸν λέγουσι, καὶ κενὰς ἐλπίδας, καὶ τὸ εἰκῆ· καὶ ἁπλῶς δὲ μάταιον λέγεται τὸ πρὸς μηδὲν χρήσιμον. ἴδωμεν οὖν, εἰ μὴ τοιαῦτα τὰ ἀνθρώπινα. Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. τί οὖν τὸ τέλος, εἰπέ μοι; φθορά. ἐνδυσώμεθα καὶ περιβαλώμεθα. καὶ τί τὸ πέρας; οὐδέν. τοιαῦτά τινες τῶν Ἑλλήνων ἐφιλοσόφησαν, ἀλλὰ μάτην τὸν σκληρὸν βίον ἐπεδείξαντο, ἀλλ' ἁπλῶς, οὐ πρός τι τέλος χρήσιμον ὁρῶντες, ἀλλὰ πρὸς κενοδοξίαν, καὶ τὴν παρὰ τῶν πολλῶν τιμήν. τί δὲ ἡ παρὰ τῶν πολλῶν τιμή; οὐδέν. εἰ γὰρ αὐτοὶ τὴν τιμὴν παρεχόμενοι ἀπόλλυνται, πολλῷ μᾶλλον ἡ τιμή. ὁ τιμὴν παρέχων ἑτέρῳ, ἑαυτῷ πρότερον ὀφείλει παρασχεῖν. εἰ δὲ μὴ παρέχοι ἑαυτῷ, πῶς ἂν ἑτέρῳ παρέξοι; νῦν δὲ καὶ τὰς τιμὰς ζητοῦμεν ἐξ εὐτελῶν καὶ εὐκαταφρονήτων ἀνδρῶν, ἀτίμων ὄντων καὶ ἐπονειδίστων. ποία οὖν αὕτη τιμή; ὁρᾷς ὅτι ματαιότης ματαιοτήτων τὰ πάντα;

πάντα; διὰ τοῦτο ἔλεγεν, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν. ἀλλ' ἡ θρησκεία αὐτῶν οὐ τοιαύτη; τί δαί; ἆρα οὐ ξύλα καὶ λίθοι τὰ προσκυνούμενα; ἥλιον φαίνειν ἡμῖν ἐποίησεν διὰ τί λύχνου. τίς τὸν λύχνον τὸν ἑαυτοῦ προσκυνεῖ; ἥλιος παρέχει τὸ φῶς. ἀλλ' ὅταν ἐκεῖνος μὴ δύνηται, λύχνος δύναται. τί τοίνυν οὐ προσκυνεῖς τὸν λύχνον; ναί, φησι· προσκυνῶ τὸ πῦρ. ὢ τοῦ γέλωτος. τοσαύτη ὑβρεις, καὶ οὐκ αἰσχύνῃ; ὅρα δὲ καὶ ἑτέραν πάλιν. τὸ προσκυνούμενον τί σβεννύεις; τί ἀπολλύεις, τί ἀναιρεῖς σου τὸν Θεόν; διὰ τί μὴ συγχωρεῖς τὴν οἰκίαν ἐμπεπλῆσθαι αὐτοῦ; εἰ γὰρ Θεός ἐστι τὸ πῦρ, ἐπινεμέσθω σου τὸ σῶμα, μὴ ὑποθερμαινόμενος τῆς χύτρας καὶ τοῦ λέβητος τὸν Θεὸν ὑποβάλῃς. εἴσαγε εἰς τὰ ταμεῖα, εἴσαγε εἰς τὰ σηρικὰ ἱμάτια. σὺ δὲ οὐ μόνον οὐκ εἰσάγεις, ἀλλὰ κἂν διὰ περιπέτειάν τινος ἐπεισέλθῃ, πάντοθεν ἐλαύνεις, πάντας συγκαλεῖς, καὶ ὥσπερ θηρίου τινὸς ἐπεισελθόντος, ὀδύρῃ καὶ στένεις, καὶ συμφορὰν τὸ πρᾶγμα καλεῖς ὑποβάλλουσαν τὸν Θεόν σου παρρησίᾳ. ἔχω ἐγὼ Θεόν, καὶ πάντα ποιῶ, ὥστε αὐτὸν ἐνστερνίσασθαι, καὶ μακαριότητα ἐμαυτοῦ ἡγοῦμαι, οὐχ ὅταν τὴν οἰκίαν ἐπισκέπτηται τὴν ἐμήν, ἀλλ' ὅταν εἰς τὴν καρδίαν αὐτὸν ἑλκύσω τὴν ἐμήν. ἕλκυσον καὶ σὺ τὸ πῦρ εἰς τὴν καρδίαν τὴν σήν. γέλως ταῦτα, καὶ ματαιότης. καλὸν τὸ πῦρ εἰς χρῆσιν, οὐκ εἰς προσκύνησιν· εἰς διακονίαν, εἰς ὑπηρεσίαν, εἰς τὸ δουλεύειν ἐμοί, οὐκ εἰς τὸ κρατεῖν ἐμοῦ. ἐκεῖνο δι' ἐμὲ γέγονεν, οὐκ ἐγὼ δι' αὐτό. εἰ προσκυνεῖς τὸ πῦρ, τί αὐτὸς μὲν ἐπὶ τῆς κλίνης κατάκεισαι, μαγείρῳ δὲ κελεύεις παρεστάναι σου τῷ Θεῷ; αὐτὸς ἀνάδεξαι τὴν μαγειρικήν, ἢ ἀρτοκόπος γενοῦ, εἰ βούλει, ἢ χαλκεύς. οὐδὲν γὰρ τούτων τῶν τεχνῶν τιμιώτερον, ἐπειδὴ ταῦτα ὁ σὸς ἐπισκέπτεται Θεός. τί ὕβριν ἡγῇ τὴν τέχνην, ἔνθα σου πολεῖ ὁ Θεός; τί τοῖς δούλοις ἐπιτάττεις, αὐτὸς δὲ οὐ καταξιοῖς; καλὸν τὸ πῦρ, ἐπειδὴ καλοῦ δημιουργοῦ, ἀλλ' οὐ Θεός. ἔργον γὰρ Θεοῦ, οὐ Θεὸς [ἐκλήθη]. οὐχ ὁρᾷς αὐτοῦ τὸ ἄτακτον; πῶς ὅταν ἐπιλάβηται οἰκίας, οὐδαμοῦ ἵσταται; ἀλλ' ἐὰν σχῇ συνεχῆ τινα, πάντα καθαιρεῖ, κἂν μὴ τεκτόνων χεῖρες, ἢ καὶ ἄλλων τινῶν σβέσωσιν αὐτοῦ τὴν μανίαν; οὐ φίλους οἶδεν, οὐ πολεμίους, ἀλλ' ὁμοίως πᾶσι κέχρηται. τοῦτο οὖν Θεός, καὶ οὐκ αἰσχύνεσθε; οὕτως καλῶς εἶπεν, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν. ἀλλ' ὁ ἥλιος, φησι, Θεός. [τοῦτο γὰρ] εἰπέ μοι, πόθεν, καὶ διὰ τί; ὅτι φῶς ἀφίησι πολύ; ἀλλ' οὐχ ὁρᾷς αὐτὸν νικώμενον ὑπὸ τῶν νεφῶν, καὶ ἀνάγκῃ δουλεύοντα φύσεως, καὶ ἐκλείποντα, καὶ ὑπὸ σελήνης ἢ νέφους κρυπτόμενον; καίτοιγε νέφος ἀσθενέστερον ἡλίου, ἀλλ' ὅμως πολλαχοῦ κρατεῖ. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστίν. ὁ Θεὸς παναρκὴς εἶναι ὀφείλει, οὗτος δὲ πολλῶν ἐστιν ἐνδεής. τοῦτο δὲ οὐκ ἔστι Θεοῦ. δεῖται γὰρ ἀέρος πρὸς τὸ φαίνειν, καὶ ἀέρος λεπτοῦ· ὡς ὅγε σφόδρα πυκνωθεὶς οὐκ ἀφίησι τὴν ἀκτῖνα διαδῦναι. δεῖται καὶ ὕδατος, ἢ ἑτέρου τοῦ ἐπέχοντος, ὥστε μὴ καταφλέξαι. εἰ γὰρ μὴ πηγαί, καὶ λίμναι, ἢ ποταμοί, καὶ θάλασσαι, ἵνα ὑγρότητα διὰ τῆς τῶν ἀτμῶν συνέστησαν ἀναδόσεως, οὐδὲν ἂν ἐκώλυσεν ἐκπυρωθῆναι τὰ πάντα. ὁρᾷς οὖν, φησιν, ὅτι Θεός; ὢ τῆς μανίας, ὢ τοῦ γέλωτος. ἐπειδή, φησι, βλάψαι δύναται, Θεός. καὶ μὴν διὰ τοῦτο οὐ Θεός, ὅτι ἐν οἷς μὲν βλάπτει, οὐδενὸς δεῖται· ἐν οἷς δὲ ὠφελεῖ, πολλῶν ἑτέρων χρήζει. Θεοῦ δὲ τὸ μὲν βλάπτειν, πόρρω· τὸ δὲ ὠφελεῖν, οἰκεῖον. ὅταν οὖν τὸ ἐναντίον ᾖ, πῶς Θεός; οὐχ ὁρᾷς, ὅτι τὰ δηλητήρια φάρμακα καταβλάπτει, ἢ οὐδενὸς δεῖται; ὅταν δὲ ὠφελῇ, πολλῶν; διὰ σὲ τοίνυν ἐστὶ τοιοῦτος, καὶ καλός, καὶ ἀσθενής· καλὸς μέν, ἵνα ἐπιγνώσκῃς τὸν δεσπότην· ἀσθενὴς δέ, ἵνα μὴ δεσπότην αὐτὸν εἶναι λέγῃς. ἀλλὰ τρέφει, φησί, τὰ φυτά, καὶ τὰ σπέρματα. τί οὖν, μὴ παρὰ τοῦτο ἡ κόπρος Θεός; καὶ γὰρ καὶ ἐκείνη τρέφει. τί, μὴ παρὰ τοῦτο καὶ τὸ δρέπανον, καὶ αἱ τοῦ γεωργοῦ χεῖρες; δεῖξόν μοι μόνον τρέφοντα τὸν ἥλιον, ἢ μηδενὸς δεόμενον, μήτε γῆς, μήτε ὕδατος, μήτε γεωργίας· ἀλλὰ βαλέσθω τὰ σπέρματα, καὶ τὴν ἀκτῖνα ἀφεὶς δεικνύτω τοὺς ἀστάχυας. εἰ δὲ οὐκ αὐτοῦ μόνου, ἀλλὰ καὶ τῶν ὑετῶν ἐστι, διὰ τί μὴ καὶ τὸ ὕδωρ Θεός; ἀλλὰ μήπω περὶ τούτου. διὰ τί μὴ καὶ ἡ γῆ Θεός;

γρ. πάντας συγκαλεῖς

γρ. ὅπου

γρ. συνέχῃ

γρ. φαίνειν

γρ. ὅπου ὠφέλει

γρ. ἀλλ' ἐρεῖ σὺ

γρ. μάκελλα· ὁ
γρ. ληρείας.

Θεός; διὰ τί μὴ καὶ ἡ κόπρος, καὶ ἡ δίκελλα; πάντα οὖν, εἰπέ μοι, προσκυνήσομεν; ὢ τῆς ληρῳδίας. καίτοι μᾶλλον ἄνευ ἡλίου γένοιτο ἄσταχυς, ἢ ἄνευ γῆς καὶ ὕδατος, καὶ φυτά, καὶ τὰ ἄλλα ἅπαντα. γῆς μὲν οὖν οὐκ οὔσης, οὐκ ἄν ποτε τούτων τι φανείη. εἰ δέ τις ἐν κεραμίῳ, οἷα τὰ παιδία ποιοῦσι καὶ αἱ γυναῖκες, γῆν ἐναποθέμενος, ὑπὸ τὸν ὄροφον καταθεῖτο, κέραμον ἐμπλήσας κόπρου πολλῆς, ἀναθείη μὲν, ἀναδίδοται δὲ ὅμως τὰ φυτά. ὥστε πλείων ἡ παρὰ τῆς γῆς καὶ τῆς κόπρου συντέλεια, καὶ ταῦτα μᾶλλον ἐκείνου ἔδει προσκυνεῖν. οὐρανοῦ δεῖται, ἀέρος δεῖται, ὑδάτων δεῖται τούτων ὥστε μὴ βλάπτειν, καθάπερ χαλινῶν κατεχόντων αὐτοῦ τὴν τῆς δυνάμεως ἀγριότητα, καὶ οὐκ ἐώντων ἐπαφεῖναι πανταχοῦ τὴν ἀκτῖνα, ὥσπερ τινὰ ἵππον ἄγριον. εἰπὲ δή μοι, ποῦ ἡμῖν ἐστιν οὗτος κατὰ τὴν νύκτα; ποῦ ὁ Θεὸς ἀποδεδήμηκεν; οὐ γὰρ Θεοῦ τοῦτο τὸ περικλείεσθαι, καὶ περατοῦσθαι. σωμάτων γὰρ ὄντως τοῦτο μόνον. ἀλλὰ καὶ δύναμίς τίς ἐστιν ἐν αὐτῷ, φησί, καὶ κινεῖται. αὕτη οὖν ἡ δύναμις, εἰπέ μοι, Θεός; τί οὖν αὕτη δεῖται, καὶ μὴ κατέχει τὸ πῦρ; πάλιν γὰρ ὁ αὐτός μοι λόγος. τί δὲ ἡ δύναμις ἐκείνη; φωτιστική τίς ἐστιν, ἢ διὰ τοῦτο φωτίζει, αὐτὴ μετέχουσα τούτων μηδενός; οὐκοῦν μείζων αὐτῆς ὁ ἥλιος. μέχρι τίνος ἀνελίπομεν ληρούμενοι; τί δὲ τὸ ὕδωρ; οὐχὶ καὶ αὐτὸ Θεός, φασί; τοῦτο ὄντως γέλωτος πάλιν φιλονεικία. οὐχὶ Θεός, φησίν, ᾧ περὶ οὗ τοσαῦτα κεχρήμεθα; καὶ περὶ τῆς γῆς πάλιν ὁμοίως. ὄντως ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ. ἀλλὰ περὶ βίου ταῦτά φησι νῦν. πορνεύουσι καὶ

γρ. εἰκότως

μοιχεύουσιν Ἕλληνες. εἰκότως. οἱ γὰρ τοιούτους ὑπογράφοντες ἑαυτοῖς θεούς, πάντα ἀκολούθως ἐργάζονται. καὶ γὰρ τοὺς τῶν ἀνθρώπων δυνηθῶσι λαθεῖν ὀφθαλμούς, οὐδεὶς ὁ κατέχων αὐτούς. τί γὰρ δυνήσεται ὁ περὶ ἀναστάσεως λόγος, μῦθος αὐτοῖς εἶναι δοκῶν; ἀλλὰ περὶ τῶν ἐν ᾅδου; ἀλλὰ καὶ ταῦτα μῦθοι. καὶ θέα τὴν σατανικὴν ἔννοιαν. ὅταν μὲν λέγωσιν αὐτοῖς θεοὺς πόρνους, οὔ φασιν εἶναι μύθους, ἀλλὰ πείθονται. ὅταν δὲ περὶ κολάσεως διαλέγωνται, ποιηταί (φασιν) εἰσί, καὶ πάντα μυθολογοῦσιν, ἵνα πάντοθεν ἀνατρέπηται τῆς ἀξίας ἡ κατάστασις. ἀλλ' οἱ φιλόσοφοι[, φησίν,] ἐφεῦρόν τι σεμνὸν πάντως, καὶ τούτων κρεῖττον. πῶς; οἱ τὴν εἱμαρμένην ἐπεισάγοντες, καὶ ἀπερινόητα εἶναι λέγοντες τὰ πάντα, καὶ μη-

ἴσ. μέλειν

δενὶ μέλλειν μηδενός, ἀλλ' ἐξ ἀτόμων συνεστάναι; ἀλλ' ἕτεροι οἱ σῶμα τὸν Θεὸν εἰπόντες; ἀλλὰ τίνες, εἰπέ μοι; οἱ τὰς ἀνθρωπίνας ψυχὰς κυνείας ποιοῦντες, καὶ τοὺς ἀνθρώπους πείθοντες, ὅτι καὶ κύων ἐγένετό ποτέ τις, καὶ λέων, καὶ ἰχθύς; μέχρι τίνος οὐ παύεσθε ληροῦντες, ἐσκοτισμένοι τῇ διανοίᾳ; καθάπερ γὰρ ὄντως ἐν σκότῳ πάντα καὶ λέγουσι, καὶ

γρ. αὐτῷ

πράττουσι, καὶ τὰ περὶ δογμάτων, καὶ τὰ περὶ βίου. οὐδεὶς γὰρ ὁρᾷ τὸν ἐν μέσῳ κείμενον, ὃς ἐστιν ἐσκοτισμένος, ἀλλὰ σχοινίον πολλάκις ἰδών, ὄφιν ἐνόμισεν αὐτόματον· ὑπὸ φραγμοῦ πάλιν κατασχεθείς, ἐνόμισεν ἄνθρωπόν τινα, ἢ δαίμονα κατέχειν αὐτόν. καὶ πολὺς ὁ θόρυβος, πολλὴ ἡ ταραχή. τοιαῦτα ἵνα φοβοῦνται. ἐφοβήθησαν, φησί, φόβον, οὗ οὐκ ἦν φόβος· τὰ δὲ ἄξια φόβου, οὐ δεδοίκασιν. ἀλλὰ καθάπερ τὰ παιδία τῷ μὲν πυρὶ τὰς χεῖρας ἀπερινοήτως, καὶ τῷ λύχνῳ τολμηρῶς ἐπαφιᾶσιν ὑπὸ τὴν τιτθὴν βασταζόμενα, σάκκον δὲ ἄνδρα ἐνδεδυμένον φοβοῦνται· οὕτω δὴ καὶ οὗτοι οἱ Ἕλληνες, καθάπερ ὄντως ἀεὶ παιδία (ὥς καί τις τῶν παρ' αὐτοῖς εἶπεν, Ἕλληνες ἀεὶ παῖδες) τὰ μὲν οὐκ ὄντα ἁμαρτήματα δεδοίκασιν, οἷον ῥύπον σώματος, κῆδος, λέχος, καὶ ἡμερῶν παρατηρήσεις, καὶ ὅσα τοιαῦτα. ἃ

Ψαλμ. ιγ. ε.
Πλατ. ἐν Τιμαίῳ

γρ. ὠδῖνα

δέ ἐστιν ὄντως ἁμαρτήματα, παιδεραστία, μοιχεία, πορνεία, τούτων οὐδὲ λόγον ἔχουσιν. ἀλλ' ἴδοις ἂν αὐτοὺς ἀπὸ μὲν νεκροῦ λουομένους, ἀπὸ δὲ νεκρῶν ἔργων, οὐκέτι· καὶ χρημάτων μὲν ἕνεκεν πολλὴν ποιουμένους σπουδήν, ἐπὶ δὲ ἀλεκτρυόνι τὸν πόνον διαλελύσθαι νομίζοντα. οὕτως ἐσκοτισμένοι εἰσὶ τῇ διανοίᾳ. πολλῶν δειμάτων αὐτοῖς ἡ ψυχὴ μεστή· οἷον, ὁ δεῖνά μοι πρῶτος ἐνέτυχε, φησίν, ἐξιόντι τῆς οἰκίας· πάντως μυρία δεῖ κακὰ συμπεσεῖν· νῦν ὁ οἰκέτης ὁ μιαρὸς τὰ ὑποδήματα ἐπιδιδούς, πρότερον ὤρεξε τὸ ἀριστερόν. συμφορὰ δεινά, καὶ ὕβρις.

βρεις. ἐγὼ αὐτὸς ἐξιὼν, τῷ ἀριστερῷ προσέπταισα τῷ ποδί. καὶ τοῦτο συμφορᾶς σημεῖον. καὶ ταῦτα μὲν περὶ τὴν οἰκίαν τὰ κακά. ἔξω δὲ ἐξελθόντι, ὁ ὀφθαλμός μοι ὁ δεξιὸς κάτωθεν ἀνεπήδα. δακρύων τοῦτο τεκμήριον. καὶ αἱ γυναῖκες δὲ ὅταν τῷ ἱστοποδί προσαρασσόμενοι κροτῶσιν οἱ κάλαμοι, ἢ ὅταν αὐταὶ τῇ κλειῒ ἀναπαθῶσι, σημεῖον καὶ τοῦτο ποιοῦνται. πάλιν ὅταν τὴν κρόκην τῇ κλειῒ καταχροῦσι, καὶ σφοδρότερον τοῦτο ἐργάζονται. εἶτα οἱ ἄνωθεν κάλαμοι ὑπὸ τῆς ἐντόνου πληγῆς κροτῶσι προσαρασσόμενοι τῷ ἱστοποδί, σημεῖον τοῦτο ποιοῦνται, καὶ μυρία ἕτερα γέλωτος ἄξια. κἂν ὄνος ἀνακράξῃ, κἂν ἀλεκτρυὼν, κἂν πταρῇ τις, κἂν ὁτιοῦν συμβῇ, καθάπερ μυρίοις δεδεμένοι δεσμοῖς, ὅπερ ἔφην, καθάπερ ἐν σκότῳ κατεχόμενοι, πάντα ὑποπτεύουσι, καὶ μυρίων εἰσὶν ἀνδραπόδων δουλικώτεροι. ἀλλὰ μὴ καὶ ἡμεῖς, ἀλλὰ πάντων τούτων καταγελάσαντες, ἅτε ἐν φωτὶ ζῶντες, καὶ ἐν οὐρανῷ πολιτευόμενοι, καὶ πρὸς τὴν γῆν οὐδὲν ἔχοντες κοινὸν, ἓν μόνον ἡγώμεθα εἶναι φοβερὸν τὴν ἁμαρτίαν, καὶ τὸ προσκροῦσαι Θεῷ. τούτου δὲ οὐκ ὄντος, πάντων καταγελάσωμεν τῶν ἄλλων, καὶ τοῦ ταῦτα εἰσενεγκόντος διαβόλου. ὑπὲρ δὴ τούτων εὐχαριστῶμεν τῷ Θεῷ· σπουδάσωμεν μηδέποτε, μήτε αὐτοὶ ταύτῃ ἁλῶναι τῇ δουλείᾳ, καὶ εἴ τις ἡμῖν τῶν φίλων ἑάλωκε, διαρρήξωμεν αὐτοῦ τὰ δεσμά, ἀποδύσωμεν αὐτὸν τῆς χαλεπωτάτης καὶ καταγελάστου ταύτης εἱρκτῆς, εὔλυτον αὐτὸν ἐργασώμεθα πρὸς τὸν δρόμον τὸν εἰς τὸν οὐρανόν, τὰ πτερὰ βαρούμενα ἀνορθώσωμεν, καὶ βίου καὶ δόγματος ἕνεκεν διδάσκωμεν φιλοσοφεῖν. εὐχαριστῶμεν τῷ Θεῷ πάντων ἕνεκεν, παρακαλῶμεν αὐτὸν, μὴ ἀναξίους ἡμᾶς ″ἀποφῆναι τῆς δοθείσης δωρεᾶς· καὶ αὐτοὶ μετὰ τούτων σπουδάζωμεν τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, ἵνα μὴ μόνον λέγοντες, ἀλλὰ καὶ ποιοῦντες, διδάσκωμεν. οὕτω γὰρ δυνησόμεθα τῶν ″μυρίων ἀγαθῶν ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. ὑστερῆσαι

γρ. αἰωνίων

Λογ. ιγ. 17 ΤΟΥΤΟ ΟΥΝ ΛΕΓΩ ΚΑΙ ΜΑΡΤΥΡΟΜΑΙ ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, 18 Ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, 19 Οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

ΟΥ πρὸς Ἐφεσίους ταῦτα εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς ὑμᾶς νῦν λέγεται, καὶ οὐ παρ' ἡμῶν, ἀλλὰ καὶ παρὰ Παύλου, μᾶλλον δὲ οὔτε παρ' ἡμῶν, οὔτε παρὰ Παύλου, ἀλλὰ παρὰ τῆς τοῦ πνεύματος χάριτος. ὡς οὖν αὐτῆς ταῦτα φθεγγομένης, οὕτω διακεῖσθαι χρή. ἄκουε δὲ καὶ τί φθέγγεται· τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν. εἰ οὖν ἄγνοιά ἐστιν, εἰ πώρωσίς ἐστι, τί ἐγκαλεῖς; τὸν γὰρ ἀγνοοῦντα, οὐ κακῶς πάσχειν, οὐδὲ ἐγκαλεῖσθαι, ἀλλὰ μανθάνειν δίκαιόν ἐστιν ἅπερ ἀγνοεῖ. ἀλλ' ὅρα πῶς αὐτοὺς εὐθέως ἀφαιρεῖται τῆς συγγνώμης. οἵτινες, φησιν, ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, καὶ τῇ ἐργασίᾳ τῆς ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν. Δεί-

κνυσιν

ἀκοσιν ἐνταῦθα, ὅτι τῆς πωρώσεως ὁ βίος γέγονεν αὐτοῖς αἴτιος. ὁ δὲ βίος ἐκ τῆς οἰκείας γέγονε ῥᾳθυμίας καὶ ἀναλγησίας. οἵτινες, φησὶν, ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν. ὅταν οὖν ἀκούσῃς, ὅτι Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, τούτου μέμνησο τοῦ ῥήματος, ὅτι ἑαυτοὺς παρέδωκαν. Εἰ οὖν ἑαυτοὺς παρέδωκαν, πῶς ὁ Θεὸς παρέδωκε; εἰ δὲ ὁ Θεὸς αὐτοὺς παρέδωκε, πῶς ἑαυτοὺς παρέδωκαν; ὁρᾷς τὴν δοκοῦσαν ἐναντίωσιν; τὸ οὖν, παρέδωκε, τοῦτό ἐστι, συγκεχώρηκεν*. ὁρᾷς ὅτι οὐ μικρὰ καθαρὸς βίος, καὶ δογμάτων τοιούτων ἐστὶ κατάθεσις; Πᾶς, φησὶν, ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. πῶς γὰρ ἂν δύναιτο μιαρὸς ἀνὴρ, καὶ μᾶλλον τῶν ἐγκαλινδουμένων βορβόρῳ χοίρων τοῖς ἁπασῶν τῶν γυναικῶν σώμασιν ἐμφυρόμενος, καὶ χρημάτων ἐρῶν, καὶ οὐδ' ὅλως σωφροσύνης ἐφιέμενος, τοῦτον ἀναδέξασθαι τὸν βίον; ἐργασίαν, φησὶν, ἔθεντο τὸ πρᾶγμα. ἀπὸ τούτου ἡ πώρωσις, ἀπὸ τούτου ἡ σκοτωμένη τῆς διανοίας. ἔστι καὶ φωτὸς λάμψαντος ἐσκοτῶσθαι, ὅταν οἱ ὀφθαλμοὶ ἀσθενεῖς ὦσιν· ἀσθενεῖς δὲ γίνονται, ἢ χυμῶν ἐπιρροῇ πονηρῶν, ἢ ῥεύματος πλημμύρᾳ. οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ἡ πολλὴ ῥύμη τῶν βιωτικῶν πραγμάτων τὸ διορατικὸν ἡμῶν ἐπικλύσῃ τῆς διανοίας, ἐν σκοτώσει γίνεται. καὶ καθάπερ ἐν ὕδατι κατὰ βάθους κείμενοι, τὸν ἥλιον οὐκ ἂν δυνηθείημεν ὁρᾷν, ὥσπερ τινὸς διαφράγματος, τοῦ πολλοῦ ἄνωθεν ἐπικειμένου ὕδατος· οὕτω δὴ καὶ ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας γίνεται πώρωσις τῆς καρδίας,* ὅταν μηδεὶς τὴν ψυχὴν κατασείῃ φόβος. Οὐκ ἔστι φόβος Θεοῦ, φησὶν, ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ πάλιν, Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. πώρωσις δὲ οὐδαμόθεν γίνεται, ἀλλ' ἢ ἀπὸ ἀναισθησίας. τοῦτο διαφράττει τοὺς πόρους. ὅταν γὰρ ῥεῦμα πεπηγὸς εἰς ἕνα συνάγηται τόπον, νεκρὸν γίνεται τὸ μέλος καὶ ἀναίσθητον· κἂν καύσῃς, κἂν τέμῃς, κἂν ὁτιοῦν ποιῇς, οὐκ αἰσθάνεται. οὕτω καὶ ἐκεῖνοι ἅπαξ ἑαυτοὺς δόντες τῇ ἀσελγείᾳ, κἂν πυρὸς δίκην, κἂν σιδήρου, ἐπαγάγῃς αὐτοῖς τὸν λόγον, οὐδὲν καθάπτεται, οὐδὲν καθικνεῖται αὐτῶν. νενέκρωται γὰρ αὐτῶν ἅπαξ τὸ μέλος. κἂν μὴ τὴν ἀναισθησίαν ἀνέλῃς, ὥστε ὑγιαινόντων ἅψασθαι μελῶν, πάντα εἰκῆ ποιεῖς. ἐν πλεονεξίᾳ, φησίν. ἐνταῦθα μάλιστα αὐτῶν τὴν ἀπολογίαν ἀφείλετο. ἐξῆν γὰρ αὐτοῖς, εἴγε ἐβούλοντο, μήτε πλεονεκτεῖν, μήτε ἀσελγαίνειν, μήτε γαστρίζεσθαι, καὶ τὴν ἐπιθυμίαν ἀπολαύειν· ἐξῆν καὶ χρημάτων, ἐξῆν καὶ ἡδονῆς καὶ τρυφῆς μετέχειν μετὰ συμμετρίας. ἀλλ' ἐπειδὴ ἀμέτρως ἐχρήσαντο τῷ πράγματι, πάντα διέφθειραν. Εἰς ἐργασίαν ἀκαθαρσίας, φησίν. ὁρᾷς πῶς αὐτοὺς ἀποστερεῖ συγγνώμης, ἐργασίαν ἀκαθαρσίας εἰπών; οὐ παραπεσόντες, φησὶν, ἥμαρτον, ἀλλ' εἰργάζοντο αὐτὰ τὰ δεινά, καὶ μελέτῃ τῷ πράγματι ἐκέχρηντο. Ἐν πάσῃ ἀκαθαρσίᾳ. Ἀκαθαρσία, πᾶσα μοιχεία, πορνεία, παιδεραστία, φθόνος, πᾶσα ἀκολασία καὶ ἀσέλγεια.

20 Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, φησίν,

21 Εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ.

Τὸ, Εἴγε αὐτὸν ἠκούσατε, οὐκ ἀμφιβάλλοντός ἐστιν, ἀλλὰ καὶ σφόδρα διαβεβαιουμένου, καθάπερ καὶ ἀλλαχοῦ φησιν· Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν· τουτέστιν, οὐκ ἐπὶ τούτοις ἐμάθετε τὸν Χριστὸν, εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν Χριστῷ Ἰησοῦ.

22 Ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον.

Ἄρα καὶ τοῦτο μαθεῖν ἐστι τὸν Χριστὸν, τὸ ὀρθῶς βιοῦν. ὁ γὰρ πονηρῶς βιῶν ἀγνοεῖ τὸν Θεὸν, καὶ ἀγνοεῖται παρ' αὐτοῦ. ἄκουε γὰρ αὐτοῦ ἀλλαχοῦ λέγοντος· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον· τουτέστιν, οὐκ ἐπὶ τούτοις ζῶντες. οὐ γὰρ ματαιότης τὰ παρ' ἡμῖν, ἀλλ' ἀλήθεια. ὥσπερ τὰ δόγματα ἀληθῆ, οὕτω καὶ ὁ βίος. ματαιότης γὰρ ἡ ἁμαρτία ἐστὶ καὶ ψεῦδος· ὁ δὲ βίος ὁ ὀρθὸς, ἀλήθεια. ἔχει γὰρ τὸ τέλος μέγα· ἡ

Marginalia: ἀπηγνωκότες ἑαυτοὺς. — Ῥωμ. α. κη. — ἰαμν. — Ἰωάν. γ. κ. — γρ. βάθος. — * τυφλὴν ἀγνοίᾳ. — Ψαλ. ιγ. ϛ. — ἢ α. — β. Θεσ. α. ϛ. — Τιτ. α. ιϛ.

ἡ δὲ ἀκολασία, εἰς οὐδὲν τελευτᾷ. Τὸν φθειρόμενον, φησὶ, κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης αὐτοῦ. Ὥσπερ αἱ ἐπιθυμίαι αὐτοῦ φθείρονται, οὕτω καὶ αὐτός. πῶς ἄρα αἱ ἐπιθυμίαι αὐτοῦ φθείρονται; τῷ θανάτῳ πάντα λύεται. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος,
Ψαλμ. ρμε. δ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. καὶ οὐ τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ ἄλλοις πολλοῖς· οἷον τὸ κάλλος, καὶ νόσου καὶ γήρως ἐπελθόντος, ὑπεξέστη καὶ ἀπέθανε καὶ ἐφθάρη· ἡ ῥώμη τοῦ σώματος τοῖς αὐτοῖς πάλιν ἁλίσκεται· ἡ τρυφὴ οὐδὲ αὐτὴ τὴν αὐτὴν ἔχει ἐν γήρᾳ ἡδονήν. καὶ δηλοῖ ἡμῖν τοῦτο, ὁ ἀπὸ τοῦ Βερζελλῆ. ἴστε πάντως τὴν ἱστορίαν. ἢ ἑτέρως πάλιν τοῦτον αὐτὸν φθείρει καὶ ἀπόλλυσιν ἡ ἐπιθυμία. καθάπερ γὰρ τὸ ἔριον, ἀφ' ὧν τίκτεται, ὑπὸ τούτων καὶ ἀπόλλυται· οὕτω καὶ ὁ παλαιὸς ἄνθρωπος. καὶ γὰρ δόξης ἔρως ἀπόλλυσι, καὶ ἡδοναὶ πολλάκις ἀπώλεσαν, καὶ ἐπιθυμία ἐξηπάτησεν. οὐ γάρ ἐστιν ὄντως ἡδονὴ, ἀλλὰ πικρία, καὶ ἀπάτη τὸ πρᾶγμα, ὑπόκρισις καὶ σκηνή. καὶ τὸ μὲν πρόσωπον λαμπρὸν τοῦ πράγματος, αὐτὰ δὲ τὰ πράγματα, οὐδὲν ἕτερον, ἢ ταλαιπωρίας καὶ πολλῆς πτωχείας γέμοντα, καὶ ἀηδίας, καὶ πολλῆς τῆς πενίας. κἂν ἀφέλῃς τὸ προσωπεῖον, καὶ γυμνώσῃς τὴν ὄψιν, ὄψει τὴν ἀπάτην. ἀπάτη γὰρ τοῦτό ἐστιν, ὅταν ὅπερ τί ἐστι, μὴ φαίνηται, ἀλλ', ὅπερ μὴ ἐστι, δείκνυται. οὕτω καὶ οἱ παραλογισμοὶ γίνονται. τέσσαρας δὲ ἡμῖν ἀνθρώπους ἐνταῦθα ὑπογράφει. καὶ, εἰ βούλεσθε, τούτων ἤδη τὴν ἀπόδειξιν παρέχω. ἐνταῦθα μὲν δύο, οὕτω λέγων, ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, ἀνανεοῦσθαι τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον· ἐν δὲ τῇ πρὸς
Ρωμ. ζ. κγ. Ῥωμαίους, ἄλλους δύο, ὡς ὅταν λέγῃ· Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. καὶ οὗτοι πρὸς ἐκείνους ἔχουσι τὴν συγγένειαν, πρὸς μὲν τὸν ἔσω ὁ καινὸς, πρὸς δὲ τὸν ἔξω ὁ παλαιός. ἀλλ' ὅμως οἱ τρεῖς διεφθάρησαν. μᾶλλον δὲ τρεῖς εἰσι καὶ νῦν, καινὸς, καὶ παλαιὸς, καὶ οὗτος ὁ οὐσιώδης καὶ φυσικός.

23 Ἀνανεοῦσθε δὲ, φησὶ, τῷ πνεύματι τοῦ νοὸς ὑμῶν. Ἵνα μή τις νομίσῃ, ὅτι ἐπεισάγει ἀνθρώπους ἑτέρους, εἰπὼν παλαιὸν καὶ καινὸν, ὅρα τί φησιν· ἀνανεοῦσθε. ἀνανεοῦσθαι ἐστιν, ὅταν αὐτὸ τὸ γεγηρακὸς ἀνανεῶται, ἄλλο ἐξ ἄλλου γινόμενον. ὥστε τὸ μὲν ὑποκείμενον τὸ αὐτὸ, ἡ δὲ μεταβολὴ περὶ τὸ συμβεβηκός. καθάπερ τὸ μὲν σῶμά ἐστι τὸ αὐτὸ, ἡ δὲ μεταβολὴ περὶ τὸ συμβεβηκός, οὕτω δὴ καὶ ἐνταῦθα. πῶς δ' ἂν γένοιτο ἡ ἀνανέωσις; ἐν τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, φησίν· ὃς ἐὰν αὐτὸ ἔχῃ πρᾶγμα παλαιὸν, οὐδὲν ἐργάσεται. οὐ γὰρ ἀνέξεται τὸ πνεῦμα παλαιῶν πράξεων. τῷ πνεύματι, φησὶ, τοῦ νοὸς ὑμῶν· τουτέστι, τῷ πνεύματι τῷ ἐν τῷ νῷ.

καὶ καθάπερ τὸ μὲν ὑποκείμενον σῶμά ἐστιν, ἡ δὲ μεταβολὴ συμβεβηκὸς, κατ' ἀνάγκην

24 Καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον. Ὁρᾷς ὅτι τὸ μὲν ὑποκείμενον ἕν ἐστι, τὰ δὲ ἐνδύματα δύο, τό τε ἐκδυόμενον, καὶ τὸ ἐνδυόμενον;

Τὸν καινὸν ἄνθρωπον, φησὶ, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. Διατί δὲ ἄνθρωπον καλεῖ τὴν ἀρετήν; καὶ διατί ἄνθρωπον τὴν κακίαν; ὅτι χωρὶς ἐνεργείας οὐκ ἂν δειχθείη ἄνθρωπος. ὥστε οὐχ ἧττον τῆς φύσεως ταῦτα ἄνθρωπον δείκνυσιν, εἴτε καλὸν, εἴτε πονηρόν. ὥσπερ δὲ τὸ ἀποδύσασθαι, δύσκολον, οὕτω καὶ ἐπὶ ἀρετῆς καὶ κακίας ἐστὶν ἰδεῖν. ὁ νέος ἰσχυρός ἐστιν. οὐκοῦν καὶ ἡμεῖς ἰσχυροὶ γενώμεθα πρὸς τὴν ἐνέργειαν τῶν ἀγαθῶν πράξεων. ὁ νέος ῥυτίδα οὐκ ἔχει. οὐκοῦν μηδὲ ἡμεῖς. ὁ νέος οὐ περιφέρεται, οὐδέ ἐστιν εὐάλωτος τοῖς νοσήμασιν. οὐκοῦν μηδὲ ἡμεῖς. Τὸν κτισθέντα. ὅρα ἐνταῦθα πῶς κτίσιν καλεῖ τὴν οἰκείωσιν τῆς ἀρετῆς, τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραχθεῖσαν. τί δέ; ἐκείνη οὐ κατὰ Θεὸν ἡ κτίσις; οὐδαμῶς, ἀλλὰ κατὰ τὸν διάβολον. αὐτὸς δημιουργὸς τῆς ἁμαρτίας. πῶς; ὁ γὰρ ἄνθρωπος οὐκ ἀπὸ ὕδατος, οὐδὲ ἀπὸ γῆς ἐκτίσθη λοιπὸν, ἀλλ' ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. τί ἐστι τοῦτο; υἱὸν εὐθέως, φησὶν, αὐτὸν ἔκτισε. τοῦτο γὰρ ἀπὸ τοῦ βαπτίσματος

βαπτίσματος γὰρ αὕτη ἐστὶν ἡ ὁσία. καθὼς εἶπεν, ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. ἦν ποτε δικαιοσύνη, ἦν καὶ ὁσιότης ἐπὶ Ἰουδαίων, ἀλλ' οὐ τῆς ἀληθείας, ἀλλὰ τοῦ τύπου ἡ δικαιοσύνη ἐκείνη. τὸ γὰρ καθαρὸν εἶναι σώματι, τύπος καθαρότητος ἦν, οὐχὶ ἀλήθεια καθαρότητος· τύπος δικαιοσύνης ἦν, οὐχὶ ἀλήθεια δικαιοσύνης. ἐν ὁσιότητι, φησὶ, καὶ δικαιοσύνῃ τῆς ἀληθείας. τάχα δὲ πρὸς τὸ ψευδὲς εἴρηται τοῦτο· ὅτι εἰσὶ πολλοὶ παρὰ τοῖς ἔξωθεν δοκοῦντες εἶναι δίκαιοι, ἀλλὰ ψευδεῖς. δικαιοσύνη δὲ ἡ καθολικὴ ἀρετὴ λέγεται. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν· Δίκαιος λέγεται, ὁ μηδεμίαν ἔχων λαβήν. ἐπεὶ καὶ ἐν τοῖς δικαστηρίοις ἐκείνους φαμὲν δικαίους, τοὺς ἀδικηθέντας, καὶ μὴ ἀντιδικήσαντας. ἂν τοίνυν καὶ ἡμεῖς ἐπὶ τοῦ φρικτοῦ δικαστηρίου δυνηθῶμεν δίκαιοι πρὸς ἀλλήλους ὀφθῆναι, δυνησόμεθα φιλανθρωπίας τινὸς τυχεῖν. πρὸς μὲν γὰρ τὸν Θεὸν ἀδύνατον, ὅσα ἂν ἐπιδειξώμεθα. πανταχοῦ γὰρ αὐτὸς τοῖς δικαίοις νικᾷ, καθὼς καὶ ὁ προφήτης λέγει· Καὶ νικήσεις ἐν τῷ κρίνεσθαί σε. ἀλλὰ τὰ πρὸς ἀλλήλους δίκαια ἂν μὴ διαφθείρωμεν, τότε ἐσόμεθα δίκαιοι· ἂν δυνηθῶμεν δεῖξαι, ὅτι ἠδικήθημεν, τότε ἐσόμεθα δίκαιοι. πῶς ἐνδεδυμένους αὐτοὺς πάλιν λέγει, ἐνδύσασθε; ἀπὸ τοῦ βίου νῦν φησι καὶ τῶν ἔργων. τότε γὰρ ἦν ἀπὸ τοῦ βαπτίσματος τὸ ἔνδυμα· νῦν δὲ ἀπὸ τῆς πολιτείας καὶ τῶν ἔργων, οὐκέτι κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀλλὰ κατὰ τὸν Θεόν. τὸ δὲ ὅσιον, τί ἐστι; τὸ καθαρὸν, τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμὲν τουτέστιν, οὐδὲν ὀφείλω αὐτοῖς λοιπὸν, οὐκ εἰμὶ ὑπεύθυνος. οὕτως ἔθος ἡμῖν λέγειν, καὶ τὸ, ἀφωσιωσάμην, καὶ ὅσα τοιαῦτα, τουτέστι, τὸ μηδὲν ὀφείλω.

Ματθ. ε. κ.
α. Ιωαν. γ. θ.
Ψαλμ. ν. ε.

Ἡμῶν τοίνυν ἐστὶ μὴ ἀποδύσασθαι τὸ τῆς δικαιοσύνης ἱμάτιον, ὃ καὶ ὁ προφήτης ἱμάτιον σωτηρίου καλεῖ, ἵνα τῷ Θεῷ ὁμοιωθῶμεν. καὶ γὰρ αὐτὸς δικαιοσύνην ἐνδέδυται. τοῦτο ἐνδυσώμεθα τὸ ἱμάτιον. τὸ δὲ, ἐνδύσασθαι, οὐδὲν ἄλλο δηλοῖ, ἢ τὸ μηδέποτε ἀποθέσθαι. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ ἥξει αὐτῷ. καὶ πάλιν, Ὁ περιβαλλόμενος φῶς, ὡς ἱμάτιον. καὶ πάλιν ἡμῖν ἔθος λέγειν ἐπὶ τῶν ἀνθρώπων, ὁ δεῖνα τὸν δεῖνα ἐνεδύσατο. ὥστε οὐ μίαν ἡμέραν, οὐδὲ δευτέραν, οὐδὲ τρίτην, ἀλλὰ διαπαντὸς ἡμᾶς βούλεται εἶναι ἐν ἀρετῇ, καὶ μηδέποτε γυμνοὺς εἶναι τοῦ ἱματίου τούτου. οὐ γὰρ οὕτως ἄνθρωπος ἀσχήμων γυμνὸς ὢν τὸ σῶμα, ὡς γυμνὸς ὢν τὴν ἀρετήν. ἐνταῦθα αὐτὸν οἱ ὁμόδουλοι βλέπουσιν ἀσχημονοῦντα, ἐκεῖ δὲ ὁ δεσπότης καὶ οἱ ἄγγελοι. ἂν οὖν ἴνα ἴδῃς, εἰπέ μοι, γυμνὸν διὰ τῆς ἀγορᾶς περιιόντα, οὐχὶ ἀλγεῖς; ὅταν οὖν σὺ γυμνὸς τοῦ ἱματίου τούτου τρέχῃς, τί ἐροῦμεν; οὐχ ὁρᾷς τούτους τοὺς προσαιτοῦντας, οὓς λωποδύτας ἡμῖν ἔθος καλεῖν; πῶς περιίασι, πῶς καὶ αὐτοὺς ἐλεοῦμεν; ἀλλ' ὅμως τούτοις οὐδὲ συγγνώμη τίς ἐστιν. οὐδὲ γὰρ συγγινώσκομεν αὐτοῖς, ὅταν κυβεύοντες ἑαυτῶν τὰ ἱμάτια ἀπολλύωσι. πῶς οὖν ἡμῖν ὁ Θεὸς συγγνώσεται τὸ ἱμάτιον τοῦτο ἀπολέσασι; ὅταν γὰρ ὁ διάβολος ἴδῃ γυμνὸν ἄνθρωπόν τινα, εὐθέως δὲ ἀσβολοῖ καὶ ἀμαυροῖ τὸ πρόσωπον, καὶ τιτρώσκει, καὶ ἀναγκάζει μεγάλα. γυμνοὶ γινώμεθα χρημάτων, ἵνα μὴ γυμνωθῶμεν ἀπὸ δικαιοσύνης. ἡ τῶν χρημάτων περιβολὴ τοῦτο λυμαίνεται τὸ ἱμάτιον. ἀκανθώδης ἐστὶ περιβολή. τοιαῦταί εἰσιν αἱ ἄκανθαι. καὶ ὅσῳ ἂν πλείονας περιβαλώμεθα, τοσούτῳ μᾶλλον γυμνούμεθα. ἡ ἀσέλγεια γυμνοῖ τοῦ ἱματίου τούτου. πῦρ γάρ ἐστι, τὸ δὲ πῦρ ἀναλωτικὸν τοῦ ἱματίου τούτου. σής ἐστιν ὁ πλοῦτος. καθάπερ ὁ σὴς πάντα διατρώγει, καὶ οὐδὲ τῶν σηρικῶν φείδεται, οὕτω καὶ οὗτος. πάντα τοίνυν ταῦτα ἀποθώμεθα, ἵνα γινώμεθα δίκαιοι, ἵνα ἐνδυσώμεθα τὸν καινὸν ἄνθρωπον. μηδὲν παλαιὸν, μηδὲν φαινόμενον, μηδὲν φθειρόμενον κατέχωμεν. οὐκ ἔστιν ἡ ἀρετὴ ἐπίπονος, οὐκ ἔστι δυσκατόρθωτος. οὐχ ὁρᾷς τοὺς ἐν τοῖς ὄρεσιν; ἐκεῖνοι καὶ οἰκίας ἀφιᾶσι, καὶ γυναῖκας, καὶ παῖδας, καὶ προστασίαν ἅπασαν, καὶ ἐκτὸς ἑαυτοὺς τοῦ κόσμου ποιησάμενοι, σάκκον περικείμενοι, σπο-

ΗΘΙΚΟΝ
Ψαλμ. ρη. ιη.
Ψαλμ. ργ. β.

δὸν ἀποστρωσάμενοι, κλοιὰ τῶν τραχήλων ἐξαρτήσαντες, ἐν οἰκίσκῳ μακρῷ κατακλείσαντες ἑαυτούς, οὐδὲ μέχρι τούτων ἵστανται, ἀλλὰ καὶ νηστείαις καὶ λιμῷ διηνεκεῖ κατατείνουσιν ἑαυτούς. εἰ τοιαῦτα ἐπέταττον νῦν ἐγώ, οὐκ ἂν ἅπαντες ἀπεπηδήσατε; οὐκ ἂν εἴπατε τὸ πρᾶγμα φορτικόν; οὐδὲν τοιοῦτόν φημι δεῖν ποιεῖν. βούλομαι μὲν γάρ, πλὴν οὐ νομοθετῶ. ἀλλὰ τί; καὶ λουτροῖς κέχρησο, καὶ τὸ σῶμα θεράπευε, καὶ εἰς ἀγορὰν ἔμβαλλε, καὶ οἰκίαν ἔχε, καὶ διακόνοις διακονοῦ, καὶ χρῶ σιτίοις καὶ ποτοῖς· πανταχοῦ τὴν πλεονεξίαν ἔκβαλλε. ἐκείνη γάρ ἐστιν ἡ τὴν ἁμαρτίαν ποιοῦσα, καὶ τὸ αὐτὸ πρᾶγμα πλεονάζον ἁμαρτία γέγονεν. ὥστε οὐδὲν ἕτερόν ἐστιν ἡ πλεονεξία, ἢ ἁμαρτία. καὶ ὅρα· ὁ θυμὸς ὅταν πλέον τοῦ δέοντος κινηθῇ, τότε ἐκπηδῶν λοιδορεῖται, τότε ἀδίκως πάντα ποιεῖ· ὁ τῶν σωμάτων ἔρως, ὁ τῶν χρημάτων, ὁ τῆς δόξης, ὁ τῶν ἄλλων ἁπάντων. καὶ μή μοι εἴπῃς, ὅτι ἐκεῖνοι ἠδυνήθησαν. πολλοὶ γὰρ πολλῷ ἀσθενέστεροί σου καὶ πλουσιώτεροι καὶ τρυφερώτεροι τὸν σκληρὸν ἐκεῖνον καὶ τραχὺν ἀνεδέξαντο βίον. καὶ τί λέγω ἄνδρας; κόραι εἰκοστὸν ἔτος οὔπω γενόμεναι, ἐν θαλάμοις, καὶ ἐν σκιατροφίᾳ τὸν ἅπαντα διατελέσασαι χρόνον, θαλάμοις μύρων γέμουσι καὶ θυμιαμάτων, ἐπὶ στρωμνῆς ἁπαλῆς κατακείμεναι, ἁπαλαὶ καὶ αὗται τὴν φύσιν, καὶ τῇ πολλῇ θεραπείᾳ μαλακώτεραι γινόμεναι, διὰ τῆς ἡμέρας πάσης οὐδὲν ἕτερον ἔργον ἔχουσαι, ἢ τὸ καλλωπίζεσθαι, καὶ χρυσοφορεῖν, καὶ τρυφῆς ἀπολαύειν πολλῆς, οὐδὲ ἑαυταῖς διακονούμεναι, ἀλλὰ πολλὰς ἔχουσαι τὰς θεραπαινίδας τὰς παρεστηκυίας, ἱμάτια ἔχουσαι μαλακὰ τοῦ σώματος μαλακώτερα, λεπτὰς ὀθόνας καὶ τρυφεράς, ἐν ῥόδοις καὶ ταῖς τοιαύταις εὐωδίαις διηνεκῶς ἀσχολούμεναι, αὗται δὲ ἐξαίφνης ὑπὸ τοῦ πυρὸς ληφθεῖσαι τοῦ Χριστοῦ, πᾶσαν ἐκείνην ἀποδυσάμεναι τὴν βλακείαν καὶ "τὸν τῦφον, καὶ τρυφῆς καὶ ἡλικίας ἐπιλαθόμεναι, καθάπερ τινὲς ἀθληταὶ γενναῖοι, τὰ μαλακὰ ἐκεῖνα" ἀποδυσάμεναι, εἰς μέσους ἐνέβησαν τοὺς ἀγῶνας. καὶ ἴσως μὲν ἄπιστα δόξω ἐρεῖν, πλὴν ἀλλ' ἀληθῆ. ταύτας δὴ τὰς οὕτως ἁπαλὰς κόρας ἤκουσα ἐγώ, ὅτι εἰς τοσαύτην σκληραγωγίαν ἑαυτὰς ἤγαγον, ὡς τὰ τραχύτερα τῶν "τριχίνων περιτίθεσθαι" ἑαυτῶν τοῖς σώμασι γεγυμνωμένοις, καὶ ἀνυποδέτους εἶναι τὰς ἁπαλὰς πτέρνας ἐκείνας, καὶ ἐπὶ στιβάδος κατακεῖσθαι· μᾶλλον δὲ τὸ πλέον ἐγρηγορέναι τῆς νυκτός, καὶ οὔτε μύρου, οὔτε ἄλλου τινὸς τῶν παλαιῶν πρόνοιαν ποιεῖσθαι, ἀλλὰ καὶ τὴν οὕτω θεραπευομένην κεφαλὴν ἀτημέλητον ἔχειν, ἁπλῶς καὶ εἰκῇ τὰς τρίχας ἐνδεδεμένην, ὥστε μὴ εἰς ἀσχημοσύνην ἐμπεσεῖν. τράπεζα δὲ αὐταῖς ἐστιν ἑσπερινὴ μόνη, τράπεζα, οὐδὲ λαχάνου, οὐδὲ ἄρτου, ἀλλὰ σεμίδαλις, καὶ κύαμος, καὶ ἐρέβινθος, καὶ ἐλαῖαι, καὶ σῦκα, καὶ ταλασιουργία διηνεκής, καὶ τῶν οἴκοι θεραπαινίδων ἔργα πολλῷ χαλεπώτερα. τί γάρ; τὰς καμνούσας τὸ σῶμα θεραπεύειν ἀνεδέξαντο, τὰς κλίνας βαστάζουσαι, τοὺς πόδας νίπτουσαι. πολλαὶ δὲ αὐτῶν καὶ μαγειρεύουσι. τοσαῦτα δύναται τοῦ Χριστοῦ τὸ πῦρ. οὕτω καὶ φύσεως ἀνωτέρα ἡ προθυμία. πλὴν ἀλλ' οὐδὲν τοιοῦτον ἐγὼ ὑμᾶς ἀπαιτῶ, ἐπειδὴ βούλεσθε παρελαύνεσθαι παρὰ γυναικῶν. κἂν γοῦν ὅσα μὴ φορτικά, ταῦτα πράττετε, χειρὸς κρατεῖτε, καὶ ἀκολάστων ὀφθαλμῶν. τί δύσκολον, εἰπέ μοι; τί δυσχερές; δίκαια πράττετε, μηδένα ἀδικεῖτε, μήτε ὁ πένης, μήτε ὁ πλούσιος, μήτε ὁ ἀγοραῖος, μήτε ὁ μισθωτός. ἔστι γὰρ καὶ μέχρι πενήτων ἀδικίαν διελθεῖν. ἢ οὐχ ὁρᾶτε πόσας οὗτοι μάχας ποιοῦσι, καὶ πάντα ἀνατρέπουσι; κέχρησο γάμῳ, ἔχε παῖδας· καὶ Παῦλος τοιούτοις ἐπέταττε, τοιούτοις ἔγραφε. μέγας ἐκεῖνος ὁ ἀγών, καὶ ὑψηλὸς ὁ σκόπελος, καὶ ἐγγὺς τοῦ οὐρανοῦ ἡ κορυφή, καὶ οὐ δύνασαι φθάσαι πρὸς τὸ μέγα; οὐκοῦν κἂν τῶν ἐλαττόνων ἔχου, καὶ τῶν κατωτέρων ἐφίεσο. οὐ δύνασαι κενῶσαι τὰ χρήματα; κἂν τὰ τῶν ἄλλων μὴ ἅρπαζε, μηδὲ ἀδίκει. οὐ δύνασαι νηστεῦσαι; κἂν μὴ εἰς τρυφὴν σαυτὸν ἐξαγάγῃς. οὐ δύνασαι ἐπὶ στιβάδος κατακλιθῆναι; μή μοι κλίνας ἀργυρενδέτους κατασκεύαζε, ἀλλὰ κέ-

χρησο

γρ. τὴν στύαν,
γρ. ἀποδῦσαι
γρ. τρυχίνων
γρ. ἐπὶ γυμνοῦ τοῦ σώματος,

χρυσοῦ κλίνῃ, καὶ στρώμασι μὴ πρὸς ἐπίδειξιν πεποιημένοις, ἀλλὰ πρὸς ἀνάπαυσιν, μηδὲ ἐλεφαντίνας κλίνας. σύστειλον σαυτόν. τί μυρίων ἀγωγίμων πληροῖς τὴν ὁλκάδα; ἀφ' ἧς εὐσταλής, οὐδὲν δέος, οὐ φθόνον, οὐ λῃστάς, οὐκ ἐπιβούλους. οὐδὲ γὰρ οὕτω τοῖς χρήμασιν, ὡς ταῖς φροντίσι πλουτοῦσιν· οὐχ οὕτως εὐποροῦσιν ἐν τοῖς κτήμασιν, ὡς ταῖς ἀγωνίαις καὶ τοῖς κινδύνοις. Οἵτινες βούλονται πλουτεῖν, φησὶ, πειρασμοῖς καὶ ἐπιθυμίαις βλαβεραῖς ἑαυτοῖς ἐπισάγουσι. ταῦτα ὑπομένουσιν οἱ πολλὰ κεκτῆσθαι βουλόμενοι. οὐ λέγω, διακόνησον τῷ κάμνοντι, κἂν τῷ παιδὶ κέλευσον τοῦτο ποιεῖν. ὁρᾷς πῶς φορτικὸν οὐκ ἔστι; πῶς γὰρ, ἔνθα κόραι ἁπαλαὶ ἐκ πολλοῦ τοῦ διαστήματος ἡμᾶς παρελαύνουσι; αἰσχυνθῶμεν, παρακαλῶ, ὅτι ἐν μὲν τοῖς κοσμικοῖς οὐδαμοῦ παραχωροῦμεν αὐταῖς, οὐκ ἐν πολέμοις, οὐκ ἐν ἄθλοις· ἐν δὲ τοῖς πνευματικοῖς ἀγῶσι πλέον ἡμῶν φέρονται, καὶ πρότεραι τὸ βραβεῖον ἁρπάζουσι, καὶ ὑψηλότερα πέτονται, καθάπερ ἀετοί τινες. ἡμεῖς δὲ, καθάπερ κολοιοί, κάτω περὶ τὴν κνίσαν καὶ τὸν καπνὸν ἀεὶ στρεφόμεθα. κολοιῶν γὰρ οὕτως, τραπεζοποιοὺς καὶ μαγείρους ἐπινοεῖν, καὶ κυνῶν λίχνων. ἄκουσον τῶν παλαιῶν γυναικῶν. μεγάλαι γὰρ ἐγένοντο, μεγάλαι γυναῖκες καὶ θαυμασταί, οἷον, ἡ Σάῤῥα, ἡ Ῥεβέκκα, ἡ Ῥαχὴλ, ἡ Δεβώρα, ἡ Ἄννα, καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ ἦσαν τοιαῦται. ἀλλ' οὐδαμοῦ ἄνδρας παρήλασαν, ἀλλὰ τὴν ὑστέραν τάξιν ἐπεῖχον. νῦν δὲ τοὐναντίον, γυναῖκες ἡμᾶς παρελαύνουσι καὶ ἀποκρύπτουσι. ὢ πόσος ὁ γέλως; τίς ἡ αἰσχύνη; ἡμεῖς τῆς κεφαλῆς τὴν τάξιν ἐπέχομεν, καὶ ὑπὸ τοῦ σώματος νικώμεθα; ἄρχειν αὐτῶν ἐτάχθημεν, οὐχ ἵνα μόνον ἄρχωμεν, ἀλλ' ἵνα καὶ ἐν ἀρετῇ ἄρχωμεν. ὁ γὰρ ἄρχων, τούτῳ μάλιστα ἄρχειν ὀφείλει, τῷ τῇ ἀρετῇ νικᾷν. εἰ δὲ νικᾶται, οὐκέτι ἄρχων ἐστίν. Εἴδετε πόση τῆς τοῦ Χριστοῦ παρουσίας ἡ δύναμις; πῶς ἔλυσε τὴν κατάραν; καὶ γὰρ πλείους αἱ παρθένοι παρὰ γυναιξὶ, πλείων ἡ σωφροσύνη παρ' ἐκείναις, αἱ χηρεῖαι πλείους. οὐδὲν ἂν αἰσχρὸν ταχέως γυνὴ προοῖτο ῥῆμα. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, αἰσχρολογεῖς σύ; μὴ γάρ μοι τὰς ἀπεγνωσμένας εἴπῃς. φιλόκοσμόν πως τὸ γένος ἐστὶ, καὶ τοῦτο ἔχει τὸ ἐλάττωμα. ἀλλὰ καὶ τοῦτο νικᾶτε ὑμεῖς οἱ ἄνδρες, οἱ καὶ ἐπ' ἐκείναις, ὡς ἐπ' οἰκείῳ κόσμῳ, ἐναβρυνόμενοι. οὐ γὰρ οὕτως οἶμαι τοῖς ἑαυτῆς χρυσίοις τὴν γυναῖκα καλλωπίζεσθαι, ὡς τὸν ἄνδρα τοῖς τῆς γυναικός· οὐχ οὕτως ἐπὶ τῇ ζώνῃ φρονεῖ τῇ χρυσῇ, ὡς ἐπὶ τῷ τὴν γυναῖκα χρυσοφορεῖν. ὥστε καὶ τούτου ὑμεῖς αἴτιοι οἱ τὸν σπινθῆρα ἐκκαίοντες, καὶ τὴν φλόγα ἀνάπτοντες. ἄλλως δὲ, οὐ τοσοῦτον ἁμάρτημά ἐστιν ἐπὶ γυναικὸς, ὅσον ἐπὶ ἀνδρός. σὺ ἐτάχθης ἐκείνην ῥυθμίζειν· πανταχοῦ τῶν πρωτείων ἀξιοῖς τυγχάνειν. οὐκοῦν καὶ ἐν τούτῳ δεῖξον, ὅτι σοι τῆς πολυτελείας οὐδεὶς λόγος ἐκείνης, ἀπὸ τῆς σαυτοῦ. γυναικὶ μᾶλλον ἐπιτήδειον τὸ κοσμεῖσθαι, ἢ ἀνδρί. ὅταν οὖν σὺ αὐτὸς μὴ διαφύγῃς, πῶς ἐκείνη διαφεύξεται; ἔχουσιν ἐκεῖναί τι καὶ κενόδοξοι. ἀλλὰ τοῦτο κοινὸν καὶ ἀνδρῶν. ὀργίλαι πως εἰσί. καὶ τοῦτο κοινόν. ἐν οἷς δὲ πλεονεκτοῦσιν, οὐκέτι κοινά· τὴν σεμνότητα λέγω, τὴν θερμότητα, τὴν εὐλάβειαν, τὴν περὶ τὸν Χριστὸν ἀγάπην. διὰ τί οὖν ἀπεῖρξεν αὐτὰς τοῦ θρόνου τοῦ διδασκαλικοῦ, φησί; καὶ τοῦτο σημεῖον τοῦ πολὺ τὸ μέσον εἶναι τῶν ἀνδρῶν, καὶ μεγάλας εἶναι τὰς τότε. Παύλου γὰρ διδάσκοντος, εἰπέ μοι, καὶ Πέτρου, καὶ τῶν ἁγίων ἐκείνων, γυναῖκα τῷ πράγματι ἐπιπηδᾶν ἐχρῆν; νυνὶ δὲ εἰς τοῦτο κακίας ἠλάσαμεν, ὡς καὶ ζητήματος ἄξιον εἶναι, διατί γυναῖκες οὐ διδάσκουσιν. οὕτως εἰς τὴν αὐτὴν αὐταῖς ἀσθένειαν ἤλθομεν. ταῦτα οὐκ ἐκείνας ἐπαίρειν βουλόμενος εἶπον, ἀλλ' ἡμᾶς αὐτοὺς ἐντρέψαι, καὶ παιδεῦσαι, καὶ νουθετῆσαι, ὥστε τὴν προσήκουσαν ἡμῖν ἀρχὴν ἀναλαβεῖν, μὴ κατὰ τὸ μεῖζον, ἀλλὰ κατὰ τὴν πρόνοιαν, καὶ τὴν προστασίαν, καὶ τὴν ἀρετήν. οὕτω γὰρ καὶ τὸ σῶμα ἐν τάξει ἔσται τῇ προσηκούσῃ, ὅταν ἀρίστου τοῦ ἄρχοντος ἐπιτύχῃ. γένοιτο δὲ καὶ τὰς γυναῖκας, καὶ τοὺς ἄνδρας κατὰ τὸ τῷ Θεῷ δοκοῦν ἅπαντας βιοῦν, ἵνα καταξιωθῶμεν ἅπαντες ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ τῆς φιλανθρωπί-

γρ. πίνακας κλίνας οὐ...

α. Τιμ. ς. θ.

γρ. πόσος

αι ἀπολαῦσαι τοῦ δεσπότου, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ιδ. 25 ΔΙΟ ΑΠΟΘΕΜΕΝΟΙ ΤΟ ΨΕΥΔΟΣ, ΛΑΛΕΙΤΕ ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. 26 Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, 27 Μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ.

Εἰπὼν τὸν παλαιὸν ἄνθρωπον καθολικῶς, λοιπὸν αὐτὸν καὶ ὑπογράφει κατὰ μέρος. αὕτη γὰρ εὐμαθεστέρα ἡ διδασκαλία, ὅταν καὶ κατὰ μέρος μανθάνωμεν. καὶ τί φησι; διὸ ἀποθέμενοι τὸ ψεῦδος. ποῖον ψεῦδος; τὰ εἴδωλα ἆρα, φησιν; οὐδαμῶς. ψεῦδος μὲν γὰρ καὶ ταῦτα. ἀλλὰ νῦν οὐ περὶ τούτων (οὐδὲν γὰρ αὐτοῖς κοινὸν πρὸς αὐτά) ἀλλὰ τὸ πρὸς ἀλλήλους φησί, τουτέστι, τὸ δολερὸν καὶ ὕπουλον. λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ. εἶτα καὶ τὸ ἐντρεπτικώτερον, ὅτι ἐσμὲν ἀλλήλων μέλη, μηδεὶς ἀπατάτω τὸν πλησίον· ὅ φησιν ὁ ψαλμῳδὸς ἄνω καὶ κάτω· Ψαλμ. κζ. γ. Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν οὕτως ἔχθραν ποιοῦν, ὡς τὸ ἀπατᾶν καὶ παραλογίζεσθαι. ὅρα πῶς πανταχοῦ αὐτοὺς δυσωπεῖ διὰ τοῦ σώματος. μὴ ψευδέσθω, φησὶν, ὁ ὀφθαλμὸς τὸν πόδα, μηδὲ ὁ ποὺς τὸν ὀφθαλμόν. οἷον, ἐὰν βαθὺ ὄρυγμα ᾖ, εἶτα ἄνωθεν ἐπὶ τῆς γῆς καλάμων διακειμένων καὶ ὑπὸ τῆς γῆς κεκαλυμμένων, ἐν τῇ ἐπιφανείᾳ στερεᾶς γῆς παρέχῃ δόξαν τοῖς ὀφθαλμοῖς, οὐχὶ τῷ ποδὶ χρήσεται, καὶ εἴσεται πότερον εἰκῇ, καὶ διάκενόν ἐστι κάτω, ἢ ἀντερείδει, καὶ ἀντιτυπεῖ; μὴ ψεύδεται ὁ ποὺς, ἀλλ' οὐχ ὅπερ ἐστὶν ἀπαγγέλλει; τί δὲ, εἰ ὄφιν ἴδοι ὁ ὀφθαλμὸς, ἢ θηρίον, μὴ ψεύδεται τὸν πόδα; οὐκ εὐθέως ἀπαγγέλλει, κἀκεῖνος παρ' αὐτοῦ μαθὼν, οὐκέτι ἐπέρχεται; τί δὲ, ὅταν μήτε ὁ ὀφθαλμὸς, μήτε ὁ ποὺς εὕρῃ διαγνῶναι, ἀλλὰ τὸ πᾶν τῆς ὀσφρήσεως ᾖ, οἷον πότερον δηλητήριον φάρμακον, ἢ οὔ, μὴ ψεύδεται ἡ ὄσφρησις τὸ στόμα; οὐδαμῶς. διὰ τί; ὅτι γὰρ καὶ ἑαυτὴν προσαπόλλυσιν. ἀλλ' ὅπερ αὐτὴ πέπεισται, λέγει. τί δὲ, ἡ γλῶσσα μὴ ψεύδεται τὸν στόμαχον; οὐκ ἔνθα μὲν πικρὸν ᾖ, οὕτω ῥιπτεῖ; ἂν δὲ γλυκὺ, παραπέμπει; ὅρα διακονίαν καὶ δουλείας ἀντίδοσιν. ὅρα περὶ ἐννοίας ἐξ ἀληθείας γενομένην, καὶ ἐνθύμως, ὡς ἄν τις εἴποι. οὕτω δὴ καὶ ἡμεῖς μὴ ψευδώμεθα, εἰ ἀλλήλων μέλη ἐσμέν. τοῦτο φιλίας τεκμήριον, τὸ δὲ ἐναντίον, ἔχθρας. τί οὖν ἂν ἐπιβουλεύῃ, φησί; τὸ ἀληθὲς μάθε. ἂν γὰρ ἐπιβουλεύῃ, οὐκ ἔστι μέλος. εἶπε δὲ, μὴ ψεύδεσθε πρὸς τὰ μέλη. ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ὅρα σύνεσιν· καὶ λέγει ὅπως μὴ ἁμαρτήσωμεν, καὶ παρακούσαντας πάλιν οὐκ ἐγκαταλιμπάνει. οὐ γὰρ ἀφίησιν αὐτοῦ τὰ σπλάγχνα τὰ πνευματικά. καθάπερ γὰρ ὁ ἰατρὸς διαγορεύει μὲν τὰ πρακτέα τῷ κάμνοντι, καὶ μὴ διαμαρτάνοντος δὲ ὅμως οὐ καταφρονεῖ, ἀλλὰ τὴν ἐκ τῆς πείρας εἰσάγων συμβουλὴν, θεραπεύει πάλιν, οὕτω καὶ ὁ Παῦλος. ὁ μὲν γὰρ ἐκεῖνο ποιῶν, τὴν δόξαν μόνον ζητεῖ, καὶ ὅτι κατεφρονήθη, δάκνεται· ὁ δὲ πανταχοῦ τὴν ὑγείαν τοῦ κάμνοντος ἐπιζητῶν, πρὸς ἓν τοῦτο μόνον ὁρᾷ, ὅπως ἀναστήσῃ τὸν κείμενον. τοῦτο καὶ ὁ Παῦλος ποιεῖ. εἶπε, μὴ ψεύδεσθε. εἰ δέ ποτε γένοιτο ἀπὸ ψεύδους ὀργὴ, καὶ τοῦτο θεραπεύει πάλιν. τί γάρ φησιν; ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. καλὸν μὲν γὰρ τὸ μὴ ὀργίζεσθαι. εἰ δέ τις ἐμπέσοι ποτὲ εἰς τὸ πάθος, ἀλλὰ μὴ εἰς τοσοῦτον. ὁ ἥλιος γάρ, φησι, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. βούλει τῆς ὀργῆς ἐμπλησθῆναι; ἀρκεῖ σοι μία ὥρα, καὶ δευτέρα, καὶ τρίτη· μὴ καταλιπὼν ἐχθροὺς ὑμᾶς ὁ ἥλιος ἀπέλθοι. ἀπὸ ἀγαθότητος ἀνέτειλε, μὴ ἀπερχέσθω εἰς ἀναξίους λάμψας.

ψας. Εἰ γὰρ ὁ δεσπότης αὐτὸν ἀπὸ πολλῆς ἀγαθότητος ἔπεμψε, καὶ αὐτὸς μὲν ἀφῆκέ σοι τὰ ἁμαρτήματα, σὺ δὲ τῷ πλησίον οὐκ ἀφίης, ὁρᾷς πόσον τὸ κακόν. καὶ ἄλλο δὲ μετὰ τούτου. δέδοικε τὴν νύκτα ὁ μακάριος Παῦλος, μὴ λαβοῦσα ἐπ' ἐρημίας τὸν ἠδικημένον ἔτι φλεγμαίνοντα, ἀνακαύσῃ τὸ πῦρ. ἕως μὲν γὰρ ἂν πολλὰ ἐκκρούῃ, τῆς ἡμέρας οὔσης, ἔξεστί σοι ἐμφορεῖσθαι· ὅταν δὲ μέλλοι ἑσπέρα γίνεσθαι, καταλλάττου, καὶ πρόσφατον σβέσον τὸ κακόν. ἂν γὰρ νὺξ ἐπιλάβηται, οὐκ ἀρκέσει ἡ μετὰ ταῦτα ἡμέρα τὸ συναχθὲν ἐν τῇ νυκτὶ σβέσαι κακόν. ἀλλὰ κἂν τὸ πλέον ἀποτέμῃς, τὸ δὲ ὅλον μὴ δυνηθῇς, πάλιν δίδωσιν ἀπὸ τοῦ ὑπολειφθέντος τῇ ἐπιούσῃ νυκτὶ σφοδροτέραν ἐργάσασθαι τὴν πυράν. καὶ καθάπερ ὁ ἥλιος, ἂν τὸ νεφωθὲν καὶ πυκνωθὲν τοῦ ἀέρος διὰ τῆς νυκτὸς μὴ ἀρκέσῃ τῇ καθημερινῇ μαλάξαι καὶ διασκεδάσαι θέρμῃ, ὑπόθεσιν χειμῶνος παρέχεται, τῆς νυκτὸς ἐπιλαβομένης τοῦ λειψάνου, καὶ πάλιν αὐτὸ τρεφούσης ἑτέροις ἀτμοῖς· οὕτω καὶ ἐπὶ τῆς ὀργῆς. μήτε δίδοτε τόπον τῷ διαβόλῳ. ὥστε τὸ ἀλλήλοις πολεμεῖν, τόπον ἐστὶ δοῦναι τῷ διαβόλῳ. δέον γὰρ πάντας συμπεφράχθαι, καὶ κατ' ἐκείνου ἵστασθαι, ἐκλύσαντες ἡμᾶς τῆς πρὸς ἐκεῖνον ἔχθρας, ἐπ' ἀλλήλους κελευόμεθα τρέπεσθαι. οὐδέποτε γὰρ * οὕτως ἔχει τόπον ὁ διάβολος, ὡς ἐν ταῖς ἔχθραις. τὰ μυρία ἐντεῦθεν κακὰ τίκτεται. καὶ καθάπερ ἕως μὲν ἂν ὦσιν ἡρμοσμένοι λίθοι, καὶ μηδὲν διάκενον ἔχοντες, ἑστήκασιν ἀρραγεῖς, ἂν δὲ βελόνης μόνης διάτρησιν διαμπὰξ γεγυμνωμένην, ἢ ῥαγάδα τινὸς ἐπέχουσαν τόπον συμβῇ γενέσθαι, τοῦτο πάντα καταλύει καὶ ἀπόλλυσιν· οὕτω καὶ ἐπὶ τοῦ διαβόλου. ἕως μὲν ἂν ὦμεν πεπυκνωμένοι, καὶ συνηρμοσμένοι, οὐδὲν ὅλως ἐπεισάγει τῶν αὐτοῦ· ἐπειδὰν δὲ μικρὸν ἡμᾶς διαχαυνώσῃ, καθάπερ τις χείμαρρος ἐπιχέεται. πανταχοῦ γὰρ ἀρχῆς αὐτῷ χρεία μόνης, καὶ τοῦτό ἐστι τὸ δυσκατόρθωτον· τούτου δὲ γενομένου, αὐτὸς ἑαυτῷ τὰ πάντα εὐρύνει. λοιπὸν γὰρ διαβολαῖς τὰ ὦτα ἀνέῳγε, καὶ οἱ τὰ ψευδῆ λέγοντες, πιστότεροι. τὴν γὰρ ἔχθραν ἔχουσι δικάζουσαν, οὐ τὴν ἀλήθειαν κρίνουσαν. καὶ ὥσπερ φιλίας οὔσης, καὶ τὰ ἀληθῆ ψευδῆ φαίνεται τῶν κακῶν· οὕτως ἔχθρας οὔσης, καὶ τὰ ψευδῆ ἀληθῆ. ἕτερος νοῦς, ἕτερον δικαστήριον, οὐκ ἐξ ἴσης ἀκοῦον, ἀλλὰ μετὰ πολλῆς τῆς προσκλίσεως καὶ ἐπιρρεπείας. καθάπερ γὰρ ἐν ζυγῷ μόλυβδος προστεθεὶς τὸ πᾶν εἵλκυσεν, οὕτω καὶ ἐνταῦθα, τὸ τῆς ἔχθρας βάρος μολύβδου χαλεπώτερον ὄν. διό, παρακαλῶ, πάντα πράττωμεν, ὥστε πρὸ τοῦ ἡλίου σβεννύναι τὰς ἔχθρας. ἂν γὰρ τῇ ἡμέρᾳ τῇ πρώτῃ μὴ κρατήσῃς, καὶ τῇ ἑξῆς, πολλάκις καὶ εἰς ἐνιαυτὸν αὐτὴν διέτεινας, καὶ αὐτὴ ἑαυτὴν ηὔξησε λοιπὸν ἡ ἔχθρα, καὶ οὐ δεῖταί τινος. καὶ ῥήματα γὰρ ἑτέρως λεγόμενα, ἑτέρως ὑποπτεύειν ποιοῦσα, καὶ σχήματα, καὶ πᾶν ὁπωσοῦν, ἐκθηριοῖ καὶ ἐξαγριοῖ, καὶ τῶν μαινομένων χεῖρον διατίθησιν, οὔτε τὸ ὄνομα εἰπεῖν, οὔτε ἀκοῦσαι ἀνεχομένην, ἀλλ' ἀπὸ τῶν λοιδοριῶν ἅπαντα φθεγγομένην. πῶς οὖν μαλάξομεν τὸν θυμόν; πῶς σβέσομεν τὴν φλόγα; ἂν τὰ ἑαυτῶν ἁμαρτήματα ἐννοήσωμεν, καὶ ὅσοι ἐσμὲν ὑπεύθυνοι τῷ Θεῷ· ἂν ἐννοήσωμεν, ὅτι οὐ τὸν ἐχθρὸν ἀμυνόμεθα, ἀλλ' ἡμᾶς αὐτοὺς· ἂν ἐννοήσωμεν, ὅτι τὸν διάβολον εὐφραίνομεν, ὅτι τὸν ἐχθρὸν τὸν ἡμέτερον, τὸν ὄντως ἐχθρόν, δι' ὃν τὸ μέλος τὸ ἡμέτερον ἀδικοῦμεν*. βούλει εἶναι μνησίκακος καὶ ἐχθρός; ἐχθρὸς ἔσο, ἀλλὰ τοῦ διαβόλου, μὴ τοῦ μέλους τοῦ σοῦ. διὰ τοῦτο ἡμᾶς ὥπλισε τῷ θυμῷ ὁ Θεός, οὐχ ἵνα τὸ ξίφος κατὰ τῶν ἡμετέρων ὠθῶμεν σωμάτων, ἀλλ' ἵνα ὁλόκληρον τὴν μάχαιραν εἰς τὸ τοῦ διαβόλου στῆθος βαπτίζωμεν. ἐκεῖ τὸ ξίφος ἔγκλεισον μέχρι τῆς λαβῆς· εἰ βούλει, καὶ τὴν λαβὴν αὐτήν, καὶ μηδέποτε ἐκσπάσῃς, ἀλλὰ καὶ ἕτερον προσθές. τοῦτο δὲ ἔσται, ὅταν ἡμῶν αὐτῶν φειδώμεθα, ὅταν εἰρηνικῶς πρὸς ἀλλήλους διακείμεθα. ἐρρέτω χρήματα, ἐρρέτω δόξα καὶ εὐδοκίμησις· πάντων τὸ μέλος τὸ ἐμὸν ἐμοὶ τιμιώτερον. ταῦτα λέγωμεν πρὸς ἑαυτούς· μὴ τὴν φύσιν ἀδικῶμεν τὴν ἡμετέραν, ἵνα χρήματα κτησώμεθα, ἵνα δόξης ἐπιτύχωμεν.

28 Ὁ κλέπτων, μηκέτι κλεπτέτω, φησίν.

Ὁρᾷς

γρ. ἀνακαύσητε

γρ. τέμῃ

γρ. δή

* ἄλλοτε

γρ. ἔπον

* αὐξόμεν.

γρ. γίνεται,

Ὁρᾷς ἵνα τὰ μέλη τοῦ παλαιοῦ ἀνθρώπου; ψεῦδος, μνησικακία, κλοπή. διατί μὴ εἶπεν, ὁ κλέπτων κολαζέσθω, βασανιζέσθω, στρεβλούσθω, ἀλλὰ, μηκέτι κλεπτέτω;

Μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Ποῦ οἱ καθαροὶ λεγόμενοι, οἱ πάντοτε ῥύπου γέμοντες, καὶ τοῦτο ἑαυτοὺς ὀνομάζειν τολμῶντες; ἔστι γὰρ, ἔστιν ἀποδύσασθαι τὸ ἔγκλημα, οὐ τῷ στῆναι μόνον τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ τῷ ἀγαθόν τι ἐργάσασθαι. ὁρᾶτε πῶς ἀπολύεσθαι τὰ ἁμαρτήματα δεῖ; ἔκλεψεν. τοῦτ᾽ ἔστι τὸ ἁμάρτημα πρᾶξαι. οὐκ ἔκλεψας. τοῦτο οὐκ ἔστι τὸ ἁμάρτημα λῦσαι, ἀλλὰ πῶς; εἰ ἐκοπίασαν, καὶ ἑτέροις μετέδωκαν, οὕτως ἔλυσαν τὸ ἁμάρτημα. οὐχ ἁπλῶς ἡμᾶς ἐργάζεσθαι βούλεται, ἀλλ᾽ ὥστε κοπιᾷν, ὥστε ἑτέροις μεταδιδόναι. καὶ γὰρ ὁ κλέπτων ἐργάζεται, ἀλλὰ κακόν.

29 Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω.

Τίς ἐστι σαπρός; ὃν φησιν ἀλλαχοῦ καὶ ἀργὸν, καταλαλιὰ, αἰσχρολογία, εὐτραπελία, μωρολογία. ὁρᾷς πῶς τὰς ῥίζας ἐκκόπτει τῆς ὀργῆς; τὸ ψεῦδος; τὴν κλοπήν; τὴν ἄκαιρον διάλεξιν; τὸ δὲ, μηκέτι κλεπτέτω, οὐκ ἐκείνοις συγγινώσκων τοσοῦτόν φησιν, ὅσον τοὺς ἠδικημένους πράους καθιστῶν, καὶ τῷ μηκέτι τὰ αὐτὰ παθεῖν ἀρκεῖσθαι παραινῶν. καλῶς δὲ καὶ περὶ λόγων διδάσκει. οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ῥημάτων τινόμεθα δίκας.

Ἀλλ᾽ εἴ τις ἀγαθὸς, φησὶ, πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι·

Τουτέστιν, ὅπερ οἰκοδομεῖ τὸν πλησίον, τοῦτο φθέγγου μόνον, περιττὸν δὲ μηδέν. διὰ τοῦτο γάρ σοι στόμα καὶ γλῶτταν ἔδωκεν ὁ Θεὸς, ἵνα εὐχαριστῇς αὐτῷ, ἵνα οἰκοδομῇς τὸν πλησίον. ὡς ἐὰν καθαιρῇς τὴν οἰκοδομὴν, βέλτιον σιγᾷν, καὶ μηδέποτε φθέγγεσθαι. καὶ γὰρ χεῖρες τεχνίτου, αἳ τοῦ τοὺς τοίχους ὑφαίνειν, μαθοῦσαι καθαιρεῖν, ἐκκόπτεσθαι δίκαιαι ἂν εἶεν.

Ψαλμ. ια. γ. καὶ γὰρ ὁ ψαλμῳδὸς τοῦτό φησιν· Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια. τοῦτο πάντων αἴτιον τῶν κακῶν, τὸ στόμα· μᾶλλον δὲ οὐ τὸ στόμα, ἀλλ᾽ οἱ κακῶς αὐτῷ χρώμενοι. ἐντεῦθεν ὕβρεις, λοιδορίαι, βλασφημίαι, ἐκκαύματα τῶν ἡδονῶν, φόνοι, μοιχεῖαι, κλοπαὶ, πάντα ἀπὸ τούτου τίκτεται. καὶ πῶς, φησὶ, φόνοι; ἀπὸ ὕβρεως εἰς ὀργὴν, ἀπὸ ὀργῆς εἰς πληγὰς, ἀπὸ πληγῶν εἰς φόνον ἐξέβης. πῶς μοιχεία; ἡ δεῖνά σε φιλεῖ, φησὶν, ἐφθέγξατό τι περὶ σοῦ χρηστὸν, ἐχάλασέ σου τὸν τόνον, εἶτα καί σοι οὕτως ἀνάπτεται τὰ τῆς ἐπιθυμίας. διὰ τοῦτο ὁ Παῦλος ἔλεγεν, εἴ τις ἀγαθός. ἐπεὶ οὖν πολὺ τὸ χύμα τῶν λόγων, εἰκότως ἀδιορίστως εἶπεν, ἐκεῖνα φθέγγεσθαι κελεύσας, καὶ τύπον δοὺς ὁμιλίας. ποῖον δὴ τοῦτον; εἴ τις οἰκοδομεῖ, εἰπών. ἢ τοῦτό φησιν, ἵνα χάριν σοι εἰδῇ ὁ ἀκούων. οἷον, ἐπόρνευσεν ὁ ἀδελφός· μὴ ἐκπόμπευε τὴν ὕβριν, μηδὲ ἐντρύφα. οὐδὲν ὠφέλησας τὸν ἀκούοντα, ἀλλὰ καὶ ἔβλαψας εἰκότως, πληγὴν αὐτῷ δούς. ἂν μέντοι τὰ πρακτέα παραινῇς, πολλὴν αὐτῷ δίδως τὴν χάριν. ἂν παιδεύσῃς εὔφημον ἔχειν στόμα, ἂν διδάξῃς μηδένα κακηγορεῖν, μάλιστα αὐτὸν ἐπαίδευσας, καὶ χάριν αὐτῷ δέδωκας. ἂν περὶ κατανύξεως, ἂν περὶ εὐλαβείας, ἂν περὶ ἐλεημοσύνης διαλεχθῇς, πάντα ταῦτα μαλάττει αὐτοῦ τὴν ψυχὴν, ὑπὲρ τούτων πάντων χάριν ὁμολογήσει. ἂν μέντοι γέλωτα κινήσῃς, ἂν αἰσχρὸν φθέγξῃ, μᾶλλον διέστρεψας· ἂν ἐπαινέσῃς τὴν πονηρίαν, κατέβαλες καὶ ἀπώλεσας. τοῦτο οὖν ἐστιν εἰπεῖν· ἢ ἵνα κεχαρισμένους αὐτοὺς ἐργάσηται, οὕτως εἶπε. καθάπερ γὰρ τὸ μύρον χάριν δίδωσι τοῖς μεταλαμβάνουσιν, οὕτω καὶ λόγος ἀγαθός·

Ἀσμ. α. β. διὰ τοῦτο καί τις ἔλεγε, Μύρον ἐκκενωθὲν ὄνομά σου· ἀποπνεῖν αὐτοὺς ἐποίει ἀπὸ τῆς εὐωδίας ἐκείνης. ὁρᾷς ὅτι ὅπερ ἀεὶ παραινεῖ, τοῦτο καὶ νῦν λέγει, ἕκαστος ὡς οἰκοδομεῖν τὸν πλησίον ἐπιτρέπων κατὰ δύναμιν τὴν ἑαυτοῦ; ὁ ἑτέροις οὖν τοιαῦτα παραινῶν, πολλῷ μᾶλλον σαυτῷ.

30 Καὶ μὴ λυπεῖτε, φησι, τὸ πνεῦμα τὸ ἅγιον. Φρικωδέστερον καὶ φοβερώτερον τοῦτο, ὅπερ καὶ ἐν τῇ πρὸς Θεσσαλονικέας ἐπιστολῇ φησι. καὶ γὰρ ἐκεῖ τοιοῦτόν τι λέγει·

Ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν. οὕτω καὶ ἐνταῦθα· ἂν εἴπῃς ὑβριστικὸν ῥῆμα, ἂν πλήξῃς τὸν ἀδελφόν, οὐκ ἐκεῖνον ἔπληξας, ἀλλὰ τὸ πνεῦμα ἐλύπησας. εἶτα καὶ ἡ προσθήκη τῆς εὐεργεσίας, ἵνα μείζων γένηται ἡ κατηγορία. α. Θεσσ. δ. η.

Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, φησιν, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Τοῦτο ἡμᾶς ἔδειξεν ἀγέλην βασιλικήν, τοῦτο ἡμᾶς πάντων τῶν προτέρων ἀπέστησε, τοῦτο οὐκ ἀφῆκε κεῖσθαι μετὰ τῶν ὑπευθύνων τῆς ὀργῆς τοῦ Θεοῦ, καὶ σὺ αὐτὸ λυπεῖς; ὅρα πῶς ἐκεῖ μὲν φοβερῶς· ὁ γὰρ ἀθετῶν, φησιν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν· ἐνταῦθα δὲ ἐντρεπτικῶς, μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, φησιν, ἐν ᾧ ἐσφραγίσθητε.

ΗΘΙΚΟΝ

Ἡ σφραγὶς αὕτη ἐπὶ τοῦ στόματος κείσθω, μὴ διέλῃς τὰ σήμαντρα. στόμα πνευματικὸν οὐδὲν τοιοῦτον φθέγγεται. μὴ εἴπῃς, οὐδέν ἐστιν, ἂν αἰσχρὸν εἴπω, ἂν τὸν δεῖνα ὑβρίσω. διὰ τοῦτο μέγα ἐστὶ κακόν, ἐπειδὴ οὐδὲν εἶναι δοκεῖ. τὰ γὰρ μηδὲν εἶναι δοκοῦντα εὐκόλως καὶ καταφρονεῖται, τὰ δὲ καταφρονούμενα καὶ αὔξεται, τὰ δὲ αὐξόμενα καὶ ἀνίατα γίνεται. στόμα ἔχεις πνευματικόν. ἐννόησον τίνα ἐφθέγξω εὐθέως ῥῆμα τεχθείς, ποία ἀξία τοῦ στόματός σου. πατέρα καλεῖς τὸν Θεόν, καὶ τὸν ἀδελφὸν εὐθέως ὑβρίζεις; ἐννόησον πόθεν πατέρα καλεῖς τὸν Θεόν. ἀπὸ φύσεως; ἀλλ' οὐκ ἂν ἔχοις*. ἀπὸ ἀρετῆς; ἀλλ' οὐδὲ τοῦτο. ἀλλὰ πόθεν; ἀπὸ φιλανθρωπίας μόνης, ἀπὸ εὐσπλαγχνίας, ἀπὸ ἐλέου πολλοῦ. ὅταν οὖν πατέρα καλῇς τὸν Θεόν, μὴ τοῦτο μόνον ἐννόει, ὅτι ἀνάξια τῆς εὐγενείας ἐκείνης πράττεις ὑβρίζων, ἀλλ' ὅτι καὶ ἀπὸ φιλανθρωπίας ἔχεις τὴν εὐγένειαν. μὴ τοίνυν αὐτὴν καταισχύνῃς, ἀπὸ μὲν φιλανθρωπίας λαβών, ὠμότητι δὲ κεχρημένος πρὸς τοὺς ἀδελφούς. πατέρα καλεῖς τὸν Θεόν, καὶ ὑβρίζεις; ἀλλ' οὐ ταῦτα τοῦ υἱοῦ τοῦ Θεοῦ. τὸ ἔργον τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῖς ἐχθροῖς ἀφιέναι, ὑπὲρ τῶν σταυρούντων εὔχεσθαι, ὑπὲρ τῶν μισούντων τὸ αἷμα ἐκχέειν. ταῦτά ἐστιν ἄξια τοῦ υἱοῦ τοῦ Θεοῦ, τοὺς ἐχθρούς, τοὺς ἀγνώμονας, τοὺς κλέπτας, τοὺς ἰταμούς, τοὺς ἐπιβουλεύοντας, τούτους ἀδελφοὺς ποιεῖσθαι καὶ κληρονόμους, οὐχὶ τοὺς ἀδελφοὺς γενομένους, τούτους ὡς ἀνδράποδα ὑβρίζειν. ἐννόησον τίνα ἐφθέγξατο ῥήματα τὸ στόμα τὸ σόν, ποίας ἀξία τραπέζης· ἐννόησον τίνων ἅπτεται, τίνων γεύεται, ποίας ἀπολαύει τροφῆς. οὐδὲν ἡγῇ ποιεῖν δεινὸν τὸν ἀδελφὸν κακηγορῶν; πῶς οὖν καλεῖς ἀδελφόν; εἰ δὲ οὐκ ἔστιν ἀδελφός, πῶς λέγεις, πάτερ ἡμῶν; τὸ γὰρ ἡμῶν, πολλῶν ἐστι προσώπων σημαντικόν. ἐννόησον μετὰ τίνων ἕστηκας κατὰ τὸν καιρὸν τῶν μυστηρίων, μετὰ τῶν χερουβίμ, μετὰ τῶν σεραφίμ. τὰ σεραφὶμ οὐχ ὑβρίζει, ἀλλὰ μίαν αὐτοῖς χρείαν μόνον τὸ στόμα πληροῖ, τὸ δοξολογεῖν, τὸ δοξάζειν τὸν Θεόν. πῶς οὖν δυνήσῃ σὺ μετ' ἐκείνων λέγειν, ἅγιος, ἅγιος, ἅγιος, εἰς ὕβριν τῷ στόματι κεχρημένος; εἰπὲ δή μοι. εἰ σκεῦος εἴη βασιλικόν, καὶ ἀεὶ ἐδεσμάτων ἔμπλεων βασιλικῶν, καὶ εἰς τοῦτο ἀποτεταγμένον, εἶτά τις αὐτῷ τῶν οἰκετῶν χρήσαιτο εἰς κόπρον, ἆρα τολμήσει πάλιν μετ' ἐκείνων τῶν σκευῶν τῶν εἰς ἐκεῖνα ἀποτεταγμένων αὐτὸ ἀποτίθεσθαι τῆς κόπρου ἐμπεπλησμένον; οὐδαμῶς. τοιοῦτόν τί ἐστιν ἡ κατηγορία, τοιοῦτόν ἐστιν ἡ ὕβρις. πάτερ ἡμῶν. καὶ τί, τοῦτο μόνον; ἄκουε καὶ τῶν ἑξῆς· ὁ ἐν τοῖς οὐρανοῖς. εὐθέως εἶπες, πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ ἀνέστησέ σε τὸ ῥῆμα, ἐπτέρωσέ σου τὴν διάνοιαν, ἔδειξεν ὅτι πατέρα ἔχεις ἐν τοῖς οὐρανοῖς. μηδὲν πράττε, μηδὲν λέγε τῶν ἐπὶ γῆς. εἰς ἐκείνην σε τὴν τάξιν ἔστησε τὴν ἄνω, ἐκείνῳ σε ἐνέκρινε τῷ χορῷ. τί σαυτὸν κάτω καθέλκεις; παρὰ τὸν θρόνον ἕστηκας τὸν βασιλικόν, καὶ ὑβρίζεις; οὐ δέδοικας μὴ ὕβριν τὸ πρᾶγμα ἡγήσηται ὁ βασιλεύς; ἀλλ' ἂν μὲν οἰκέτης ἐφ' ἡμῶν τὸν ὁμόδουλον τύπτῃ, ἢ ὑβρίζῃ, κἂν δικαίως τοῦτο ποιῇ, εὐθέως ἐπιτιμῶμεν, ὕβριν τὸ πρᾶγμα ἡγούμενοι· σὺ δὲ μετὰ τῶν χερουβὶμ ἑστὼς παρὰ τὸν θρόνον τοῦ βασιλέως, ὑβρίζεις τὸν ἀδελφόν; οὐχ ὁρᾷς τὰ ἅγια ταῦτα σκεύη; οὐχὶ πρὸς ἓν ἔστιν αὐτῶν

διαπαντός

γρ. τίνα ἐφθέγξω ῥήματα χθές,
* εἰπεῖν.

γρ. ἁγιάζειν
γρ. πρὸς βασιλικῶν ἐδεσμάτων ἀφωρισμένον ὑποδοχήν,
ἴσ. κακηγορίας,

διαπαντός ἡ χρεία; μή τις τολμᾷ πρὸς ἄλλο τι χρήσασθαι αὐτοῖς; σὺ τῶν σκευῶν ἁγιώτερος εἶ τούτων, καὶ πολλῷ ἁγιώτερος. τί τοίνυν ῥυπαίνεις σαυτὸν καὶ μολύνεις; ἐν τοῖς οὐρανίοις ἕστηκας, καὶ ὑβρίζεις; μετὰ ἀγγέλων πολιτεύῃ, καὶ ὑβρίζεις; φιλήματος ἠξίωσαι δεσποτικοῦ, καὶ ὑβρίζεις; τοσούτοις σου τὸ στόμα ἐκόσμησεν ὁ Θεός, ὕμνοις ἀγγελικοῖς, τροφῇ οὐκέτι ἀγγελικῇ, ἀλλ' ὑπὲρ ἀγγελικήν, φιλήματι τῷ αὐτοῦ, περιπλοκαῖς ταῖς πρὸς αὐτόν, καὶ ὑβρίζεις; μή, παρακαλῶ. μεγάλων τὸ πρᾶγμα αἴτιον κακῶν, πόρρω ψυχῆς χριστιανῆς. οὐ πείθομέν σε λέγοντες, οὐδὲ ἐντρέπομεν; οὐκ οἶμαι ἄξιον φοβῆσαι λοιπόν. ἄκουε γὰρ τοῦ

Ματθ. ε. κβ. Χριστοῦ λέγοντος· Ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. εἰ δὲ τὸ κουφότερον πάντων γέενναν προξενεῖ, ὁ τὰ τολμηρὰ λέγων, τίνος οὐκ ἔσται ἄξιος; παιδεύσωμεν ἡμῶν πρὸς εὐφημίαν τὸ στόμα. μέγα ἀπὸ τούτου κέρδος, μεγάλη ἀπὸ τῆς ὕβρεως ἡ βλάβη. οὐκ ἔστιν ἐνταῦθα χρήματα δαπανῆσαι. ἐπιθῶμεν θύραν καὶ μοχλόν, κατεσθίωμεν ἑαυτούς, ἐὰν ῥῆμά ποτε φορτικὸν ἐκπηδήσῃ τῶν ὀδόντων· παρακαλῶμεν τὸν Θεόν, παρακαλῶμεν τὸν ὑβρισμένον, μὴ ἀπαξιοπαθῶμεν. ἑαυτοὺς ἐπλήξαμεν, οὐκ ἐκεῖνον*. ἐπιθῶμεν τὸ φάρμακον, τὴν εὐχὴν καὶ τὴν πρὸς τὸν ὑβρισμένον καταλλαγήν. ἂν ἐν τοῖς ῥήμασι τοσαύτην ποιώμεθα πρόνοιαν, πολλῷ μᾶλλον ἐν τοῖς πράγμασι νόμους τιθῶμεν ἑαυτοῖς. κἂν φίλους ἔχωμεν, κἂν οὑστινασοῦν, καὶ εἴποιεν κακῶς τινα, ἢ ὑβρίσαιεν, ἀπαίτησον αὐτοὺς καὶ εἰσπρᾶξαι δίκην. μανθάνωμεν ὅλως, ὅτι κἂν ἁμάρτημα τὸ τοιοῦτόν ἐστιν. ἂν γὰρ μάθωμεν, ταχέως ἀποστησόμεθα. ὁ δὲ Θεὸς τῆς εἰρήνης φυλάξοι ὑμῶν καὶ τὸν νοῦν, καὶ τὴν γλῶτταν, καὶ τειχίσοι ἀσφαλεῖ τείχει τῷ αὐτοῦ φόβῳ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι.

* ἑαυτούς, ἴσ. ἐπλήξαμεν, ἢ ἐκεῖνον.

Λογ. ιε. 31 ΠΑΣΑ ΠΙΚΡΙΑ ΚΑΙ ΘΥΜΟΣ ΚΑΙ ΟΡγὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

Ὥσπερ εἰς σκεῦος ἀκάθαρτον οὐκ ἄν ποτε ἑαυτὰς καθεῖεν αἱ μέλισσαι (διὰ γὰρ τοῦτο καὶ θυμιάμασι, καὶ μύροις, καὶ εὐωδίαις τὸν τόπον καταῤῥαίνουσιν οἱ περὶ ταῦτα δεινοί, οἴνοις τε εὐώδεσι, καὶ τοῖς ἄλλοις ἅπασι τοὺς καλαθίσκους, ἐν οἷς ἂν μέλλωσιν ἄρτι τῶν σμηνῶν ἐξιοῦσαι ἐνιζάνειν, ὥστε μὴ τὴν ἀηδῆ ὀσμὴν λυπῆσαι αὐτὰς καὶ ἀποστῆσαι πάλιν) οὕτω δὴ καὶ ἐπὶ τοῦ πνεύματός ἐστι τοῦ ἁγίου. ἀγγεῖόν τί ἐστιν ἡ ἡμετέρα ψυχή, καὶ καλαθίσκος, τὰ σμήνη τῶν χαρισμάτων τῶν πνευματικῶν ὑποδέξασθαι δυναμένη. ἀλλ' ἐὰν ᾖ ἔνδον χολὴ καὶ πικρία καὶ θυμός, τὰ σμήνη ἀφίπταται. διὰ τοῦτο ὁ μακάριος οὗτος καὶ σοφὸς γεωργὸς διακαθαίρει καλῶς ἡμῶν τὰ σκεύη, οὐ δρέπανον, οὐδέ τι ἄλλο σκεῦος σιδηροῦν κατέχων· καὶ καλεῖ ἡμᾶς ἐπὶ τὸ πνευματικὸν τοῦτο σμῆνος, καὶ συνάγων αὐτὸ διακαθαίρει εὐχαῖς, καὶ πόνοις, καὶ τοῖς ἄλλοις ἅπασιν. ὅρα οὖν πῶς ἡμῶν ἐκκαθαίρει τὴν καρδίαν. ἀπήλασε τὸ ψεῦδος, ἀπήλασε τὴν ὀργήν. δείκνυσι πάλιν πῶς ἂν μᾶλλον πρόῤῥιζον ἀνασπασθείη τὸ κακόν*. ἂν μὴ ὦμεν, φησί, πικροὶ τὴν διάνοιαν. καθάπερ γὰρ ἐπὶ τῆς χολῆς συμβαίνειν εἴωθε τῆς ἡμετέρας, ἂν μὲν ὀλίγη τύχῃ τις οὖσα, ὀλίγη καὶ ἡ κίνησις γίνεται ἐκραγέντος τοῦ ταμιείου· ὅταν δὲ πλεονάσῃ τὸ σφοδρὸν τῆς τοιαύτης ποιότητος καὶ δηκτικόν, οὐκέτι στέγει τὸ φέρον αὐτὴν πρότερον ἀγγεῖον, ἀλλὰ καθάπερ πυρὸς σφοδροῦ διαβρωθὲν οὐκέτι οἷόν τέ ἐστι στέγειν αὐτὴν καὶ κατέχειν ἐν τοῖς ὡρισμένοις ὅροις, ἀλλὰ διασπασθὲν ὑπὸ τῆς ἀμέτρου δριμύτητος ἀφίησιν ἐξελθοῦσαν παντὶ τῷ σώματι λυμαίνεσθαι. καὶ καθάπερ εἰς πόλιν ἐνεχθὲν θηρίον χαλεπώτατον καὶ ἀφόρητον, ἕως μὲν ἂν ἔνδον ἐν ταῖς πεποιημέναις εἱρκταῖς κατέχηται, οὐδέν, κἂν ἀγριαίνῃ,

κἂν

γρ. αὐτῶν μελιττῶν καθιεῖεν τὸ σμῆνος
γρ. τὸν τόπον εὐωδιάζουσι
γρ. οἴνῳ τε εὐώδει
γρ. γίνεται
γρ. μυστ.
γρ. ἀνακαθαίρει
γρ. ἀποσμήχει
* τίνι τρόπῳ ποιοῦντες ἂν μηδὲ αἰσθανοίμεθα;

καὶ κράζῃ, οὐδένα βλάψαι δυνήσεται· ὅταν δὲ τῷ θυμῷ κρατηθῇ, καὶ διακλάσαι τοὺς διαμέσου βεβλημένους χιτῶνας ἐκπηδῆσαι δυνηθῇ, πάντως θορύβου τὴν πόλιν ἐμπίπλησι καὶ ταραχῆς, καὶ πάντας ἀπελαύνει· οὕτω δὴ καὶ ἡ τῆς χολῆς φύσις. ἕως μὲν ἂν ἐν τοῖς οἰκείοις ὅροις κατέχηται, οὐδὲν μέγα ἡμᾶς ἐργάζεται κακόν. ἐπειδὰν δὲ ἐκραγέντος τοῦ περιέχοντος αὐτὴν ὑμένος, οὐδὲν ἦν τὸ κωλῦον λοιπὸν εἰς πᾶσαν διαχυθῆναι τὴν φύσιν, τότε δή, τότε, καίτοι οὕτω σφόδρα μικρὸν ὂν τῇ ποσότητι, διὰ τὴν ὑπερβάλλουσαν ἐν τῇ ποιότητι δύναμιν πάντα τὰ ἄλλα στοιχεῖα τῆς οἰκείας ἀναχρώννυσι κακίας. τό, τε γὰρ δὴ αἷμα εὑροῦσα πλησίον τῷ τε τόπῳ καὶ τῇ ποιότητι, καὶ τὴν ἐν ἐκείνῳ θερμότητα δριμυτέραν ἐργαζομένη, καὶ τὸ ἐντεῦθεν πᾶν ὅπερ ἐστὶν, ἀπὸ τῆς κατὰ τὴν ὑγρότητα συμμετρίας παραβαῖνον τοὺς ὅρους καὶ χολὰς ἐργαζόμενον, μετὰ τούτου λοιπὸν καὶ τοῖς ἄλλοις ἐπιστρατεύεται μέλεσι, καὶ οὕτω πάντα εἰς τὴν οἰκείαν ἐνθεῖσα πονηρίαν, ἄφωνον ἐργάζεται τὸν ἄνθρωπον, καὶ ἀποπνεῖν ποιεῖ, τὴν ψυχὴν ἀπελαύνουσα. τί δὴ ταῦτα ἡμῖν ἅπαντα οὕτω μετ᾽ ἀκριβείας εἴρηται; ἵνα ἀπὸ τῆς πικρίας τῆς αἰσθητῆς, τῆς πικρίας τῆς νοητῆς τὴν ἀφόρητον αἰσθόμενοι κακίαν, καὶ ὡς ὁλόκληρον τὴν τίκτουσαν ψυχὴν πρότερον λυμαίνεται, πάντα ἄνω καὶ κάτω ποιοῦσα, φύγωμεν αὐτῆς τὴν πεῖραν. καθάπερ γὰρ αὕτη τὸ στοιχεῖον ὅλον, οὕτως ἐκείνη τοὺς λογισμοὺς ἐμπρήσασα, εἰς τὸ τῆς γεέννης ἀπάγει βάραθρον τὸν ἁλόντα. ἵν᾽ οὖν ταῦτα ἀκριβῶς διερευνώμενοι, τοῦτο φύγωμεν τὸ κακὸν, καὶ χαλινώσωμεν τὸ θηρίον, μᾶλλον δὲ πρόρριζον ἀνασπάσωμεν, τῷ Παύλῳ πειθώμεθα λέγοντι, πᾶσα πικρία, οὐχὶ καθαιρείσθω, ἀλλὰ ἀρθήτω ἀφ᾽ ὑμῶν. τί γάρ μοι δεῖ πραγμάτων καὶ ταραχῆς; τί δὲ χρὴ φυλάττειν θηρίον, δέον ἀποικίσαι τῆς ψυχῆς, καὶ μεταστῆσαι, καὶ εἰς ὑπερορίαν τινὰ ἀπαγαγεῖν; πειθώμεθα τοίνυν τῷ Παύλῳ λέγοντι· πᾶσα πικρία ἀρθήτω ἀφ᾽ ὑμῶν. ἀλλ᾽ οἴμοι τῆς κατεχούσης ἡμᾶς διαστροφῆς. δέον ἅπαντα ἐπὶ τούτῳ ποιεῖν, οὕτω τινές εἰσιν οὕτως ἀνόητοι, ὥστε καὶ ἑαυτοὺς ἐν τούτῳ μακαρίζειν, καὶ ἐναβρύνεσθαι τῷ κακῷ, καὶ ἐγκαλλωπίζεσθαι, καὶ παρὰ ἑτέρων ζηλοῦσθαι. πικρός, φησιν, ἄνθρωπος ὁ δεῖνα, σκορπίος ἐστὶν, ὄφις ἐστὶν, ἔχις· φοβερὸν νομίζουσιν αὐτόν. τί δέδοικας τὸν πικρὸν ἄνθρωπον; μὴ βλάψῃ, φησί, μὴ λυμήνηται. ἄπειρος ἐγὼ τῆς ἐκείνου κακίας εἰμί. δέδοικα μή με λαβὼν ἁπλοῦν ἄνθρωπον, καὶ οὐδὲν τῶν αὐτοῦ προορώμενον, εἰς τὰς πάγας ἐμβάλῃ τὰς αὐτοῦ, καὶ τοῖς δικτύοις ἡμᾶς συμποδίσῃ τοῖς ἡτοιμασμένοις αὐτῷ πρὸς ἡμετέραν ἀπάτην. γελῶ νῦν. τί δήποτε; ὅτι παίδων ἐστὶ ταῦτα τὰ ῥήματα, τὰ μὴ φοβερὰ φοβουμένων. οὐδενὸς μὲν οὖν οὕτω δεῖ καταφρονεῖν, οὐδενὸς οὕτω καταγελᾶν, ὡς ἀνθρώπου πικροῦ καὶ πονηροῦ. οὐδὲν γὰρ οὕτως ἀσθενὲς, ὡς πικρία· μωροὺς ποιεῖ καὶ ἀνοήτους. ἢ οὐχ ὁρᾶτε ὅτι τυφλὸν ἡ κακία; ἢ οὐκ ἠκούσατε, ὅτι ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἑαυτῷ ὀρύσσει; πῶς οὖν οὐ χρὴ φοβεῖσθαι ψυχὴν ταραχῆς ἐμπεπλησμένην; εἰ μὲν οὖν ὡς δαίμονας καὶ μαινομένους, χρὴ καὶ τοὺς πικροὺς φοβεῖσθαι, καὶ ὡς τοὺς μωροὺς (καὶ γὰρ ἐκεῖνοι ἁπλῶς ἅπαντα ποιοῦσι) φημὶ κἀγώ· εἰ δὲ ὡς δεινοὺς πράγμασι χρῆσθαι, τοῦτο οὐκέτι. οὐδὲν γὰρ οὕτω πρὸς πραγμάτων οἰκονομίαν ἐπιτήδειον, ὡς σύνεσις· οὐδὲν οὕτω συνέσεως ἐμπόδιον, ὡς πονηρία, καὶ κακία, καὶ τὸ ὕπουλον. οὐχ ὁρᾶτε τὰ σώματα τὰ χολερικά; πῶς ἐστιν ἀηδῆ, πάντως ἄνθους μαρανθέντος ἐν αὐτοῖς; πῶς ἐστιν ἀσθενῆ, καὶ λεπτά, καὶ πρὸς πάντα ἀνεπιτήδεια; τοιαῦται εἰσὶ καὶ αἱ ψυχαὶ αἱ τοιαῦται. ἴκτερος γὰρ ψυχῆς οὐδὲν ἕτερόν ἐστιν, ἀλλ᾽ ἢ πονηρία. οὐκ ἔστιν οὖν ἰσχυρὸν ἡ πονηρία, οὐκ ἔστι. βούλεσθε πάλιν καὶ ἐπὶ ὑποδειγμάτων, ὃ λέγω, ποιήσω φανερόν, κακούργου καὶ ἀπλάστου παραγαγὼν ὑμῖν εἰκόνας; κακοῦργος ἦν ὁ Ἀβεσσαλὼμ, καὶ πάντας ἰδιοποιεῖτο. ὅρα οὖν ὅση ἦν ἡ κακουργία. περιιὼν, φησιν, ἔλεγε. Μή ἐστί σοι κρίσις; οἰκειώσασθαι ἕκαστον βουλόμενος. ὁ δὲ Δαβὶδ ἄπλαστος. τί οὖν; ὅρα ἀμφοτέρων τὸ τέλος, ὅρα πόσης ἐγέμεν ἐκεῖνος ἀνοίας. ἐπειδὴ γὰρ πρὸς τὴν βλάβην ἑώρα μόνην

Margin notes: γ. καθαιρέσθω. — χάνδι, — β. Βασιλ. ιε.

Παροιμ. ι. θ. νην τοῦ παιδὸς, ἐν τοῖς ἄλλοις τετύφλωτο πᾶσιν. ἀλλ' οὐχ ὁ Δαβίδ. Ὁ πορευόμενος γὰρ ἁπλῶς, πορεύεται πεποιθώς, τουτέστιν, ὁ μηδὲν περιεργαζόμενος, ὁ μηδὲν κατασκευάζων κακόν. πειθώμεθα τοίνυν τῷ μακαρίῳ Παύλῳ, καὶ ἐλεῶμεν, καὶ δακρύωμεν τοὺς πικροὺς, καὶ πάντα πράττωμεν καὶ ποιῶμεν, ὥστε αὐτῶν ἀπὸ τῆς ψυχῆς ἐξαντλῆσαι τὴν πονηρίαν. πῶς γὰρ οὐκ ἄτοπον, χολῆς μὲν ἡμῖν ἐνούσης (καίτοιγε χρήσιμον τοῦτο τὸ στοιχεῖον. χωρὶς γὰρ χολῆς ἄνθρωπον εἶναι οὐ δυνατὸν, ταύτης δὴ λέγω τῆς στοιχειώδους) πῶς οὖν οὐκ ἄτοπον ταύτην μὲν κενοῦν κατὰ δύναμιν, καίτοι μεγάλα παρ' αὐτῆς ὠφελουμένους· τὴν δὲ ἐν τῇ ψυχῇ μηδὲν ποιεῖν μηδὲ σπουδάζειν ὥστε κενοῦν, οὐδαμοῦ χρήσιμον οὖσαν, ἀλλὰ καὶ τὰ μέγιστα ἀδικοῦσαν; α. Κορ. γ. ιη. Ὁ βουλόμενος, φησὶν, εἶναι σοφὸς ἐν ὑμῖν, γενέσθω μωρὸς, ἵνα γένηται σοφός. Πραξ. β. μϛ. ἄκουε πάλιν καὶ τοῦ Λουκᾶ λέγοντος· Μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. ἢ οὐχ ὁρῶμεν καὶ νῦν τοὺς ἀφελεῖς καὶ ἀπλάστους κοινῆς τιμῆς παρὰ πάντων ἀπολαύοντας; οὐδεὶς τῷ τοιούτῳ φθονεῖ εὐπραγοῦντι, οὐδεὶς ἐπεμβαίνει δυσπραγοῦντι· ἀλλὰ πάντες καὶ καλῶς πράττοντι συγχαίρουσι, καὶ πταίσαντι συναλγοῦσιν. ἂν δὲ πικρὸς ἄνθρωπος εὐημερήσῃ ποτὲ, ὡς κακοῦ τινος συμβάντος, ἅπαντες στένουσι· κἂν δυσπραγήσῃ πάλιν, ἅπαντες χαίρουσιν. ἐλεῶμεν οὖν αὐτούς. ἔχουσι γὰρ κοινοὺς ἐχθροὺς πανταχοῦ περιιόντας. ὁ Ἰακὼβ ἄπλαστος ἦν, ἀλλὰ τὸν κακοῦργον Ἡσαῦ ἐνίκησεν. Σοφ. α. γ. Εἰς κακότεχνον γὰρ ψυχὴν οὐκ εἰσελεύσεται σοφία. πᾶσα πικρία ἀρθήτω ἀφ' ὑμῶν. μηδὲ λείψανον μενέτω. οἶδε γὰρ τοῦτο κινηθὲν, καθάπερ ἀπὸ σπινθῆρος τινος, ὁλόκληρον ἔνδον ποιῆσαι πυράν. τί τοίνυν ἐστὶν ἡ πικρία, κατανοήσωμεν ἀκριβῶς· οἶδεν ὁ ὕπουλος ἀνὴρ, ὁ δολερὸς, ὁ πρὸς τὸ κακοποιεῖν παρεσκευασμένος, ὁ κακότροπος. ἀπὸ δὴ τούτου ἀεὶ θυμὸς καὶ ὀργὴ τίκτεται. οὐ γάρ ἐστιν ἐν γαλήνῃ τὴν τοιαύτην εἶναι ψυχήν. ῥίζα γὰρ θυμοῦ καὶ ὀργῆς, πικρία. ὁ τοιοῦτος δὲ βαρύθυμός ἐστι, καὶ οὐδέποτε ἀνίησι τὴν ψυχὴν, ἀεὶ συννοὺς ὢν, ἀεὶ σκυθρωπός. ὅπερ γὰρ ἔφην, αὐτοὶ πρῶτοι καρποῦνται τὰ ἑαυτῶν κακά. καὶ κραυγή, φησι. τί δήποτε, καὶ κραυγὴν ἀναιρεῖς; τὸν γὰρ ἤπιον, τοιοῦτον εἶναι χρή. ἵππος γάρ ἐστιν ἀναβάτην φέρων ἡ κραυγὴ τὴν ὀργήν. συμπόδισον τὸν ἵππον, καὶ κατέστρεψας τὸν ἐπιβάτην.

ΗΘΙΚΟΝ

Ἀκουέτωσαν ταῦτα μάλιστα γυναῖκες, αἱ ἐν παντὶ πράγματι κράζουσαι καὶ βοῶσαι. ἐν ἑνὶ χρήσιμον τὸ κράζειν μόνον, ἐν τῷ κηρύττειν καὶ διδάσκειν, ἀλλαχοῦ δὲ οὐδαμοῦ, ἀλλ' οὔτε ἐν εὐχῇ. καὶ εἰ βούλει μαθεῖν διὰ τῶν πραγμάτων, μηδέποτε κράζῃς, καὶ οὐδέποτε ὀργισθήσῃ. ἰδοὺ τρόπος ἀοργησίας. ὥσπερ γὰρ οὐκ ἔνι τὸν μὴ κράζοντα ὀργισθῆναι, οὕτως οὐκ ἔνι τὸν κράζοντα μὴ ὀργισθῆναι. μὴ γάρ μοι τὴν βαρυμηνίαν εἴπῃς, καὶ μνησικακίαν, καὶ αὐτοπικρίαν, καὶ τὴν αὐτοχολίαν. ἡμεῖς περὶ τῆς τοῦ πάθους συναρπαγῆς διαλεγόμεθα νῦν. ὅτι οὐ μικρὸν πρὸς τοῦτο συμβάλλεται τὸ παιδεῦσαι τὴν ψυχὴν μηδέποτε κράζειν καὶ βοᾷν. τὰ πτερὰ περικόπτεις τῆς ὀργῆς, τὴν κραυγὴν περιαιρῶν, τὸ οἴδημα καταστέλλεις τῆς καρδίας. ὥσπερ γὰρ οὐκ ἔστι τὰς χεῖρας μὴ ἀντάραντα παλαίειν, οὕτως οὐκ ἔνι μὴ κράζοντα συμποδίζεσθαι. δῆσον τοῦ πυκτεύοντος τὰς χεῖρας, καὶ κέλευσον πυκτεύειν, ἀλλ' οὐ δυνήσεται· οὕτως οὐδὲ ὁ θυμός. ἡ δὲ κραυγὴ καὶ τὸν οὐκ ὄντα ἐξαίρει. καὶ μάλιστα ἐντεῦθεν ταχέως ἁλίσκεται τὸ τῶν γυναικῶν γένος, αἳ, ὅταν ὀργίζωνται ταῖς θεραπαινίσι, τὴν οἰκίαν ἅπασαν τῆς κραυγῆς πληροῦσι τῆς ἑαυτῶν· πολλάκις δὲ καὶ εἰ παρὰ στενωπὸν τυγχάνοι ᾠκοδομημένη ἡ οἰκία, καὶ οἱ παριόντες ἅπαντες ἀκούουσιν αὐτῆς βοώσης, καὶ τῆς θεραπαινίδος ὀλολυζούσης. τί τούτου γένοιτ' ἂν ἀσχημονέστερον ποτὲ τοῦ κακῶς ἀκούειν; πᾶσαι γὰρ εὐθέως διακύψασαι, τί δὴ γέγονεν, ἐρωτῶσιν, ἐκεῖ; ἡ δεῖνα, φησι, τὴν δούλην τύπτει τὴν αὐτῆς. τί τούτου γένοιτ' ἂν ἀναισχυντότερον; τί οὖν, οὐ χρὴ τύπτειν; οὐ τοῦτο λέγω (δεῖ μὲν γὰρ) ἀλλὰ μήτε συνεχῶς, μήτε ἀμέτρως, μήτε ὑπὲρ τῶν οἰκείων ἀδικημάτων,

ὅπερ

ὅπερ ἀεί φημι, μήτε τῆς ὑπηρεσίας αὐτὴν ἐλλείπῃ· ἀλλ' εἴ τινα ἑαυτῆς βλάπτει ψυχήν· ἂν ὑπὲρ τοιαύτης τύπτῃς αἰτίας, ἐπαινέσονται πάντες, καὶ ὁ ἐγκαλέσων οὐδείς· ἂν δὲ ὑπὲρ τῶν σῶν, ὠμότητα πάντες καταγνώσονται καὶ ἀπήνειαν. καὶ τὸ δὴ πάντων αἰσχρότερον, εἰσὶν οὕτως ἄγριαι καὶ ἀπηνεῖς, ὡς ἐπὶ τοσοῦτον μαστίζειν, ὡς μηδὲ αὐθημερὸν τοὺς μώλωπας σβέννυσθαι. γυμνώσασαι γὰρ τὰς κόρας, καὶ τὸν ἄνδρα ἐπὶ τοῦτο καλέσασαι, δεσμοῦσι πολλάκις πρὸς τοῖς σκίμποσιν. οἴμοι, οὐκ ἐπεισέρχεταί σοι ἐν ἐκείνῳ τῷ καιρῷ τῆς γεέννης, εἰπέ μοι, μνήμη; ἀλλὰ γυμνοῖς τὴν παιδίσκην, καὶ δεικνύεις τῷ ἀνδρί; καὶ οὐκ αἰσχύνῃ μή σου καταγνῷ; καὶ ἐπὶ πλέον αὐτὸν παροξύνεις, καὶ ἀπειλεῖς δήσειν, μυρία πρότερον λοιδορησαμένη τῇ ἀθλίᾳ καὶ ταλαιπώρῳ, Θετταλίδα, δραπέτιν, προεστῶσαν καλοῦσα; ὁ γὰρ θυμὸς οὐδὲ τοῦ οἰκείου ἀφίησι στόματος φείδεσθαι, ἀλλ' εἰς ἓν μόνον ὁρᾷ, πῶς ἐκείνην ἀμύνηται, κἂν ἑαυτὴν καταισχύνῃ. καὶ μετὰ ταῦτα δὴ πάντα, προκάθηται καθάπερ τις τύραννος, καὶ καλεῖ παῖδας, καὶ παρασπασαμένη τὸν ἀνόητον ἄνδρα, καθάπερ δημίῳ αὐτῷ κέχρηται. ταῦτα ἐν χριστιανῶν οἰκίαις γίνεσθαι ἔδει; ἀλλὰ πονηρὸν τὸ γένος, φησί, καὶ ἰταμὸν, καὶ ἀναίσχυντον, καὶ ἀδιόρθωτον. οἶδα κἀγώ. ἀλλ' ἔστιν ἑτέρως ῥυθμίσαι, φόβοις, ἀπειλαῖς, ῥήμασι, κἀκείνην μειζόνως δυναμένοις δακεῖν, καὶ σὲ τῆς αἰσχύνης ἀπαλλάξαι. αἰσχρὰ ἐφθέγξω ῥήματα ἐλευθέρα οὖσα, καὶ οὐ μᾶλλον ἐκείνην, ἢ σαυτὴν καταισχύνεις. εἶτα ἐν βαλανείῳ ἐὰν δέῃ προσελθεῖν, μώλωπες κατὰ τῶν νώτων γυμνουμένης αὐτῆς, καὶ τεκμήρια περιφέρει τῆς ὠμότητος. ἀλλ' ἀφόρητον, φησίν, ἀνέσεως τυχὸν τὸ δουλικὸν γένος. οἶδα κἀγώ. ἀλλ' ἑτέρως, ὅπερ ἔφην, ἐπίστρεφε, μὴ μάστιξι μόνον, μηδὲ φόβῳ, ἀλλὰ καὶ κολακείᾳ, καὶ τῷ εὖ ποιεῖν. ἀδελφή σου γέγονεν, ἂν ᾖ πιστή. ἐννόησον ὅτι σὺ δέσποινα, κἀκείνη σοι διακονεῖται. ἂν ᾖ μέθυσος, περίελε τῆς μέθης τὰς ὑποθέσεις, τὸν ἄνδρα κάλεσον, καὶ παραίνεσον. ἢ οὐχ ὁρᾷς πῶς αἰσχρὸν πρᾶγμα γυναῖκα τύπτεσθαι; οἱ γοῦν μυρία κατὰ ἀνδρῶν νομοθετήσαντες, καὶ καύσεις, καὶ βασάνους, οὐδαμιάκις γυναῖκα ἀνήρτησαν, ἀλλὰ μέχρι τοῦ ῥαπίσαι τὸν θυμὸν ἱστῶσι. τοσαύτῃ δὲ κέχρηνται πρὸς τὴν φύσιν ταύτην αἰδοῖ, ὅτι οὐδὲ ἀναγκαίας χρείας οὔσης ἀνήρτησαν, καὶ μάλιστα ὅταν κύουσα τύχῃ. αἰσχύνη γὰρ ἀνδρὶ γυναῖκα τύπτειν· εἰ δὲ ἀνδρί, πολλῷ μᾶλλον τῇ ὁμοφύλῳ. ἀπὸ τούτων καὶ τοῖς ἀνδράσι γίνονται μισηταὶ αἱ γυναῖκες. τί οὖν, φησίν, ὅταν πορνεύῃ; ζεῦξον ἀνδρί, περίελε τῆς πορνείας τὰς ὑποθέσεις, μὴ συγχώρει ὑπερμαζᾶν. τί οὖν ἂν κλέπτῃ; φύλαττε καὶ παρατήρει. ὢ τῆς ὑπερβολῆς· ἐγὼ ἔσομαι φύλαξ, φησίν; ὢ τῆς ἀνοίας· διὰ τί, παρακαλῶ, οὐκ ἔσῃ φύλαξ; οὐχὶ τῆς αὐτῆς σοι μετέχει ψυχῆς; οὐχὶ τῶν αὐτῶν ἠξίωται παρὰ τοῦ Θεοῦ; οὐ τῆς αὐτῆς ἀπολαύει τραπέζης; οὐ τῆς αὐτῆς σοι κοινωνεῖ εὐγενείας; τί οὖν ἂν ᾖ, φησί, λοίδορος, καὶ λάλος, καὶ μέθυσος; πόσαι δὲ εἰσὶν ἐλεύθεραι τοιαῦται; πάντα δὲ τὰ ἐλαττώματα τῶν γυναικῶν φέρειν τοὺς ἄνδρας προσέταξεν ὁ Θεός· μόνον μὴ ἔστω, φησί, πόρνη ἡ γυνή, καὶ πάντα τὰ λοιπὰ φέρε ἐλαττώματα. κἂν μέθυσος ᾖ, κἂν λοίδορος, κἂν λάλος, κἂν βάσκανος, κἂν πολυτελής, κἂν ἀναλοῦσα τὴν οὐσίαν, κοινωνεῖ ἐκείνης βίου ῥυθμίζειν ἀνάγκην ἔχεις. διὰ τοῦτο κεφαλὴ εἶ σύ. οὐκοῦν ῥύθμιζε, τὸ σαυτοῦ ποίει. κἂν ἀδιόρθωτος μένῃ, κἂν κλέπτῃ, φύλαττε τὰ σά· μὴ ἐκείνην τοσοῦτον τιμωροῦ· κἂν λάλος ᾖ, ἐπιστόμιζε. τοῦτο φιλοσοφίας ἐστὶ τῆς ἀνωτάτω. νυνὶ δὲ εἰς τοσοῦτό τινες ἀτοπίας ἥκουσιν, ὡς ἀποκαλύπτειν τὴν κεφαλήν, καὶ ἀπὸ τριχῶν σύρειν τὰς θεραπαινίδας. τί ἠρυθριάσατε πᾶσαι; οὐ πρὸς πάσας ἡμῖν ὁ λόγος, ἀλλὰ πρὸς τὰς εἰς τὴν θηριωδίαν ἐξελκομένας ταύτην. γυνὴ ἀκατακάλυπτος μὴ ἔστω, φησὶν ὁ Παῦλος· σὺ δὲ ὅλως τὸ κρήδεμνον περιαιρεῖς; ὁρᾷς πῶς σαυτὴν ὑβρίζεις; ἂν μὲν οὖν γυμνῇ φανῇ σοι τῇ κεφαλῇ ἐκείνη, ὕβριν τὸ πρᾶγμα λέγεις· σὺ δὲ αὐτὴν γυμνοῦσα οὐδὲν δεινὸν εἶναι φῄς; εἶτά φησι, τί ἂν μὴ διορθῶται; ῥάβδῳ καὶ πληγαῖς σωφρόνισον. πόσα δὲ καὶ σὺ ἔχεις ἐλαττώματα, καὶ

χ. ἀνασύρειν

χ. εἰπέ μοι, ἱμᾶς;

χ. ὁρᾷς;

οὐ διορθοῦσαι; Ταῦτα ἡμῖν νῦν οὐχ ὑπὲρ ἐκείνων εἴρηται, ἀλλ' ὑπὲρ ὑμῶν τῶν ἐλευθέρων, ὥστε μηδὲν ἄσημον, μηδὲν αἰσχρὸν ποιεῖν, ὥστε μὴ βλάπτειν ἑαυτάς. ἐὰν ἐν οἰκίᾳ ταῦτα παιδευθῇς ἐπὶ τῆς θεραπαινίδος, καὶ πρᾳότης ἦς, καὶ μὴ χαλεπή, πολλῷ μᾶλλον ἐπὶ τοῦ ἀνδρὸς ἔσῃ τοιαύτη. εἰ γὰρ ἐξουσίας οὔσης μηδὲν τοιοῦτον ἐργαζομένη δειχθῇς, πολλῷ μᾶλλον, ἔνθα τὸ κωλῦον ἐστίν, οὐδὲν ἐργάσῃ τοιοῦτον. ὥστε ἡ περὶ τὰς θεραπαινίδας φιλοσοφία, μέγιστα ὑμᾶς εἰς τὴν τῶν ἀνδρῶν εὔνοιαν ὠφελεῖ. Ὧ γὰρ μέτρῳ μετρεῖτε, φησίν, ἀντιμετρηθήσεται ὑμῖν. θὲς τῷ στόματι χαλινόν. κἂν ἐγυμνάσθης θεραπαινίδα χαλεπαίνουσαν φέρειν γενναίως, πρὸς τὴν ὁμότιμον οὐδὲ ὑβρίζουσαν δυσχεραίνουσαν μὴ δυσχεραίνουσα δέ, τὴν ἄκραν φιλοσοφίαν κατώρθωσας. Εἰσὶ δέ τινες, αἳ καὶ ὅρκους προστιθέασιν· οὐδὲν δὲ αἰσχρότερον τῆς οὕτω θυμουμένης. τί οὖν, ἂν καλλωπίζηται, φησί; τοῦτο κώλυσον, καὶ ἐγὼ σύμφημι. κώλυσον δέ, ἀπὸ σαυτῆς ἀρξαμένη, μὴ φόβῳ τοσοῦτον, ὅσον ὑποδείγματι. ἔσο ἐν πᾶσιν ἀρχέτυπος εἰκών. Καὶ βλασφημία, φησίν, ἀρθήτω ἀφ' ὑμῶν. ὅρα πῶς πρόεισι τὸ κακόν. ἡ πικρία τὸν θυμὸν ἔτεκεν, ὁ θυμὸς τὴν ὀργήν, ἡ ὀργὴ τὴν κραυγήν, ἡ κραυγὴ τὴν βλασφημίαν, τουτέστι, τὰς λοιδορίας, ἡ βλασφημία λοιπὸν πληγάς, αἱ πληγαὶ τραύματα, τὰ τραύματα θάνατον. ἀλλ' οὐδὲν τούτων ἠθέλησε φθέγξασθαι Παῦλος, ἀλλ' ἢ οὕτω μόνον, ἀρθήτω σὺν πάσῃ κακίᾳ. τί ἐστι, σὺν πάσῃ κακίᾳ; πᾶσα γὰρ κακία εἰς τοῦτο τελευτᾷ. εἰσὶ γάρ τινες καθάπερ οἱ λαθροδῆκται τῶν κυνῶν, οἳ τοὺς μὲν προσιόντας οὐδὲν ὑλακτοῦσιν, οὐδὲ δυσχεραίνουσι· σαίνοντες δὲ καὶ πρᾳεῖς ἐπιδεικνύμενοι σχῆμα, ἀφυλάκτους λαβόντες, τοὺς ὀδόντας ἐνέπηξαν· οὗτοι χαλεπώτεροι τῶν ἐκ φανεροῦ τὴν ἔχθραν ἀναδεχομένων. ἐπεὶ οὖν καὶ ἄνθρωποί εἰσι κύνες, καὶ οὔτε κράζοντες, οὔτε ὀργιζόμενοι, οὔτε δυσχεραίνοντες ἀπειλοῦσι, λάθρα δὲ ῥάπτοντες δόλους, καὶ κατασκευάζοντες μυρία κακά, καὶ δι' ἔργων ἀμυνόμενοι, καὶ τούτους ᾐνίξατο. Ἀρθήτω ἀφ' ὑμῶν, φησί, σὺν πάσῃ κακίᾳ. μὴ ῥημάτων μὲν φείδου, διὰ δὲ τῶν ἔργων ἀμύνου. ἐγὼ διὰ τοῦτο τὴν γλῶσσαν ἐκόλασα, καὶ τὴν κραυγὴν αὐτῆς περιέκοψα, ἵνα μὴ τὴν πυρὰν ἀνάψῃ σφοδροτέραν. Εἰ δὲ καὶ χωρὶς κραυγῆς τὰ αὐτὰ ποιεῖς, καὶ ἔνδον τρέφεις τὴν πυρὰν καὶ τοὺς ἄνθρακας, τί τὸ ὄφελος τῆς σιγῆς; ἢ οὐκ οἶδας, ὅτι αἱ πυρκαϊαὶ μάλιστά εἰσι χαλεπώταται, αἵπερ ἂν ἔνδον τρεφόμεναι μὴ φαίνωνται τοῖς περιεστηκόσιν ἐκτός; καὶ τραύματα, ἅπερ ἂν μὴ εἰς τὴν ἐπιφάνειαν ἐξανθήσῃ; καὶ πυρετοὶ ὅσοι τὰ ἐντόσθια καίουσιν; οὕτω καὶ ὀργὴ αὕτη χαλεπωτέρα ἡ τὴν ψυχὴν ἐπινεμομένη. ἀλλὰ καὶ αὕτη ἀρθήτω, φησί, σὺν πάσῃ κακίᾳ, καὶ μικρᾷ, καὶ μεγάλῃ. πειθώμεθα τοίνυν αὐτῷ, καὶ πᾶσαν πικρίαν, καὶ πᾶσαν κακίαν ἐξαίρωμεν, ἵνα μὴ λυπῶμεν τὸ πνεῦμα τὸ ἅγιον. ἀνέλωμεν πρόρριζον τὴν πικρίαν, ἐκτέμωμεν αὐτήν. οὐδὲν ἀγαθὸν ἀπὸ πικρᾶς γένοιτ' ἂν ψυχῆς, οὐδὲν ὑγιές, πάντα συμφοραί, πάντα δάκρυα, πάντα θρῆνοι, καὶ οἰμωγαί. οὐχ ὁρᾶτε καὶ τῶν θηρίων ὅσα ἂν κράζῃ, πῶς ἀποστρεφόμεθα; οἷον τὸν λέοντα, τὴν ἄρκτον, ἀλλ' οὐχὶ τὸ πρόβατον. οὐ γάρ ἐστιν ἐκεῖ κραυγή, ἀλλὰ πρᾳότης τις φωνῆς. καὶ τῶν ὀργάνων δὲ τῶν μουσικῶν, ὅσα μὲν ἂν κράζῃ, ἀηδέστερά ἐστι πρὸς τὸν φθόγγον, οἷον τύμπανα, σάλπιγγες· τὰ δὲ μὴ οὕτως, ἀλλὰ μαλάττοντα, ταῦτα ἡδέα, οἷον αὐλός, καὶ κιθάρα, καὶ σύριγγες. οὕτως οὖν ἡμῶν τὴν ψυχὴν καταστήσωμεν, ὥστε μὴ κράζειν· καὶ οὕτω δυνησόμεθα καὶ τῆς ὀργῆς περιγενέσθαι· ταύτην δὲ ἐκκόψαντες, αὐτοὶ πρῶτοι τῆς γαλήνης ἀπολαυσόμεθα, καὶ εἰς τὸν εὔδιον πλευσόμεθα λιμένα, οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ματθ. ζ. ϛ.

χ. ἐν θεραπαινίσι

χ. γυμνασθῇς

χ. ἀπειλῇς

χ. συμφημί μοι.

χ. κάοντες;

χ. ἐκεῖ ἡ

Λογ. ιϛ'.

31 ΠΑΣΑ ΠΙΚΡΙΑ, ΚΑΙ ΘΥΜΟΣ, ΚΑΙ ΟΡΓΗ, καὶ κραυγή, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

32 Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐχαρίσατο ὑμῖν.

Οὐκ

Οὐκ ἀρκεῖ κακίας ἀπαλλαγῆναι, εἰ δεῖ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, ἀλλὰ δεῖ καὶ πολλῆς τῆς τῆς ″ἀρετῆς ἐργασίας. ἵνα μὲν γὰρ γεέννης ἀπαλλαγῶμεν, ἀπέχεσθαι δεῖ πονηρίας· ἵνα δὲ βασιλείας ἐπιτύχωμεν, ἀντέχεσθαι τῆς ἀρετῆς. ἢ οὐκ ἴστε, ὅτι καὶ ἐν τοῖς ἔξωθεν δικαστηρίοις, ὅταν ἐξέτασις ᾖ τῶν εἰργασμένων*, καὶ ἐκκλησιάζῃ πᾶσα ἡ πόλις, οὕτω γίνεται; καὶ γὰρ ἐπὶ τῶν ἔξωθεν ἔθος ἦν παλαιὸν, χρυσῷ στεφανοῦσθαι στεφάνῳ, οὐ τὸν μηδὲν κακὸν ″ἐργασάμενον τὴν πόλιν (τοῦτο γὰρ αὐτὸ πρὸς τὸ μὴ δοῦναι δίκην ἀπήρκει μόνον) ἀλλὰ τὸν μεγάλας εὐεργεσίας ἐπιδειξάμενον· οὕτως ἐπὶ ταύτην ἐχρῆν ἄγεσθαι τὴν τιμήν. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς μικροῦ δεῖν με παρέλαθεν ὃ μάλιστα πρὸς ὑμᾶς ἀναγκαῖον ἦν εἰπεῖν. τῆς γὰρ διαιρέσεως ταύτης τὸ πρότερον ἀνατίθεμαι μέρος, μικρᾷ τινι ἐπιδιορθώσει χρησάμενος. ἐπειδὴ γὰρ ἔφην, πρὸς τὸ μὴ ἐμπεσεῖν γεέννῃ, ὅτι τῶν κακῶν ἡμῖν ἡ ἀναχώρησις ἀρκεῖ, μεταξύ με λέγοντα ὑπεισῆλθέ τις ἀπειλὴ φοβερὰ, οὐ τοῖς κακόν τι τολμήσασι τὴν τιμωρίαν ἐπάγουσα, ἀλλὰ τοὺς ἐλλειπόντας τι τῶν ἀγαθῶν κολάζουσα. τίς δὴ οὖν αὕτη ἐστί; τῆς ἡμέρας, φησὶν, ἐπιστάσης τῆς φοβερᾶς, καὶ παραγινομένης τῆς κρίσεως, καθεσθεὶς ἐπὶ τοῦ βήματος ὁ κριτὴς, καὶ τὰ μὲν πρόβατα στήσας ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ ἀριστερῶν, πρὸς μὲν ″τὰ πρόβατα ἔλεγε· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν. τοῦτο καλῶς. ἔδει γὰρ αὐτοὺς τῆς τοσαύτης φιλανθρωπίας ταύτην λαβεῖν τὴν ἀντίδοσιν. τὸ μέντοι τοὺς μὴ μεταδόντας τοῖς δεομένοις ἐξ ὧν εἶχον αὐτοὶ, μὴ μέχρι τῆς τῶν ἀγαθῶν στερήσεως κολάζεσθαι, ἀλλὰ καὶ τῷ τῆς γεέννης παραπέμπεσθαι πυρὶ, ποῖον ἂν ἔχοι λόγον τοῦτο δή; μάλιστα μὲν οὖν καὶ τοῦτο εὐπρόσωπον ″ἔχοι λόγον, οὐχ ἧττον ἢ ἐκεῖνο τὸ πρότερον. διὰ γὰρ τούτου παιδευόμεθα, ὅτι οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, τῶν ἐν τοῖς οὐρανοῖς ἀπολαύσονται ″ἀγαθῶν· οἱ δὲ ἐγκληθέντες μὲν οὐδὲν ἔχοντες κακὸν, ἐλλελοιπότες δέ τι τῶν ἀγαθῶν, μετὰ τῶν τὰ κακὰ ἐργασαμένων εἰς τὸ τῆς γεέννης ἀπαχθήσονται πῦρ. εἰ μή τις ἐκεῖνο λέγοι, ὅτι καὶ τὸ ἀγαθὸν μὴ ποιῆσαι, κακίας μέρος ἐστίν. ἀργίας γὰρ τοῦτο ἐστιν· ἀργία δὲ κακίας μέρος· μᾶλλον δὲ οὐ μέρος, ἀλλὰ ὑπόθεσις καὶ ῥίζα πονηρίας. πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία. μὴ τοίνυν ἀνοήτως ταύτας τὰς ἐρωτήσεις ἐρωτῶμεν, οἷον, ὁ μηδὲν πεποιηκὼς κακὸν, μηδὲ ἀγαθὸν, ποῖον δέξεται τόπον; τὸ γὰρ μὴ ποιῆσαι ἀγαθὸν, τοῦτο ποιῆσαί ἐστι κακόν. εἰπὲ γάρ μοι, εἴ τινα οἰκέτην ἔχοις, μήτε κλέπτοντα, μήτε ὑβρίζοντα, μήτε ἀντιλέγοντα, ἀλλὰ καὶ μέθης κρατοῦντα, καὶ τῶν ἄλλων ἀτοπημάτων, καθήμενον δὲ διαπαντὸς ἀργὸν, καὶ οὐδὲν τῶν ὀφειλόντων παρὰ οἰκέτου δεσπότῃ πληροῦσθαι ποιοῦντα, οὐ μαστιγώσεις, οὐ στρεβλώσεις αὐτόν; ναί, φησι· καὶ μὴν οὐδὲν εἰργάσατο κακόν. αὐτὸ μὲν οὖν τοῦτο ἐστὶ κακόν. ἀλλ᾽, εἰ δοκεῖ, ἀγάγωμεν καὶ ἐπὶ τὸν λοιπὸν βίον τὸν λόγον. ἔστω τις γεωργὸς, καὶ μηδὲν λυμαινέσθω τοῖς ἡμετέροις ὑπάρχουσι, μήτε ἐπιβουλευέτω, μήτε κλεπτέτω, μόνον δὲ τὰς αὐτοῦ χεῖρας δήσας, οἴκοι καθεζέσθω, μήτε σπείρων, μήτε αὔλακα τέμνων, μήτε βοῦς ὑποζευγνὺς, μήτε ἄμπελον θεραπεύων, μήτε ἄλλο τι τῶν περὶ τὴν γῆν πόνων. ἆρα οὐ κολάσομεν τὸν τοιοῦτον; καίτοι γε οὐδὲν ἠδίκησεν, οὐδὲ ἔχομεν ἐγκαλεῖν αὐτῷ τι. ἀλλ᾽ αὐτῷ μὲν οὖν τούτῳ ἠδίκησεν· ἀδικεῖ γὰρ κοινῷ λόγῳ, τὴν παρ᾽ ἑαυτοῦ συντέλειαν μὴ παρεχόμενος. τί δὲ, εἰπέ μοι, εἰ τῶν δημιουργῶν ἕκαστος καὶ χειροτεχνῶν, τὸν μὲν ἑτερότεχνοι, ἀλλὰ μηδὲ τὸν ὁμότεχνον βλάπτῃ μηδὲν, ἀργῇ δὲ μόνον, οὐχὶ ἀπόλωλεν ἅπας ἡμῖν ὁ βίος οὕτω καὶ διέφθαρται; βούλει καὶ ἐπὶ τοῦ σώματος τὸν λόγον ″ἑλκύσωμεν; οὐκοῦν ἡ χεὶρ μὴ πληττέτω τὴν κεφαλὴν, μηδὲ ἐκκοπτέτω τὴν γλῶτταν, μηδὲ ἐξορυττέτω τὸν ὀφθαλμὸν, μηδὲ ἄλλο τι τοιοῦτον ἐργαζέσθω

γ. ἀγαθῶν

ὁ ἐξέσω

γ. εἰργασμένον τῇ πόλει

γ. τοὺς ἐκ δεξιῶν

Matth. 25.

γ. ἔχει

γ. κακῶν

γ. μεταβιβάσομεν;

ζέσθω κακόν· μόνον δὲ ἀργὴ μενέτω, καὶ τὴν παρ' ἑαυτῆς λειτουργίαν μὴ πληρούτω [τῷ παντὶ σώματι]. ἆρα οὐκ ἄξιον ἐκκόψαι αὐτήν, ἢ περιφέρειν ἀργοῦσαν, καὶ παντὶ λυμαινομένην τῷ σώματι; τί δέ, ἂν τὸ στόμα μὴ κατεσθίῃ τὴν χεῖρα, μηδὲ δάκνῃ τὸ στῆθος, τὰ δὲ παρ' ἑαυτοῦ πάντα ἐλλείπῃ, οὐ βέλτιον ἐμπεφράχθαι μᾶλλον; εἰ τοίνυν καὶ ἐπὶ τῶν οἰκετῶν, καὶ ἐπὶ τῶν δημιουργῶν, καὶ ἐπὶ τοῦ σώματος παντὸς ἀδικία μεγάλη, οὐ μόνον τὸ κακόν τι πρᾶξαι, ἀλλὰ καὶ ἡ τῶν ἀγαθῶν ἔλλειψις, πολλῷ μᾶλλον ἐπὶ τοῦ σώματος τοῦ Χριστοῦ τοῦτο γένοιτ' ἄν. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀπάγων ἡμᾶς τῆς πονηρίας, ἄγει πρὸς τὴν ἀρετήν.

ΗΘΙΚΟΝ

Τί γὰρ ὄφελος, εἰπέ μοι, τὰς ἀκάνθας ἐκκοπῆναι πάσας, ἂν τὰ χρηστὰ μὴ καταβάληται σπέρματα; εἰς γὰρ τὴν αὐτὴν περιστήσεται πάλιν ζημίαν ἡμῖν ὁ πόνος μείνας ἀτελής. διά τοι τοῦτο καὶ ὁ Παῦλος σφόδρα κηδόμενος ἡμῶν, οὐ μέχρι τῆς τῶν κακῶν ἐκκοπῆς καὶ ἀναιρέσεως ἵστησι τὰ παραγγέλματα, ἀλλὰ καὶ ταχὺ τῶν ἀγαθῶν τὴν καταφύτευσιν ἐπιδείκνυσθαι προτρέπει. εἰπὼν γάρ, πᾶσα πικρία, καὶ θυμός, καὶ ὀργή, καὶ κραυγή, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ, ἐπήγαγε· γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς. ἕξεις γάρ εἰσιν αὗται, καὶ διαθέσεις. καὶ οὐκ ἀρκεῖ ἡ τῆς ἑτέρας ἀπαλλαγὴ εἰς τὴν τῆς ἑτέρας ἡμᾶς ἕξιν καταστῆσαι πάλιν, ἀλλὰ δεῖ πάλιν κινήσεώς τινος, καὶ ὁρμῆς οὐκ ἐλάττονος τῆς ἐν τῇ φυγῇ τῶν κακῶν, ὥστε γενέσθαι ἐν τῇ κτήσει τῶν ἀγαθῶν. καὶ γὰρ ἐπὶ τοῦ σώματος, ὁ μέλας ἂν ἀπαλλαγῇ τῆς ποιότητος ταύτης, οὐκ εὐθέως γέγονε λευκός. μᾶλλον δὲ μὴ ἐπὶ τῶν φυσικῶν τὸν λόγον γυμνάσωμεν, ἀλλ' ἐπὶ τῶν κατὰ προαίρεσιν τὸ παράδειγμα παραγάγωμεν. ὁ μὴ ἐχθρός, οὐ πάντως φίλος ἐστίν· ἀλλ' ἔστι τι μέσον, ὃ μήτε ἔχθρας, μήτε φιλίας ἐστίν, ἐν ᾧ μάλιστα οἱ πλείους τῶν ἀνθρώπων καθεστήκασι πρὸς ἡμᾶς. ὁ μὴ δακρύων, οὐ πάντως καὶ γελᾷ, ἀλλ' ἔστι μέση κατάστασις. οὕτω δὴ καὶ ἐνταῦθα. οὐχ ὁ μὴ πικρός, πάντως χρηστός, οὐδὲ ὁ μὴ θυμώδης, πάντως εὔσπλαγχνος· ἀλλὰ δεῖ πάλιν ἑτέρας σπουδῆς, ὥστε κτήσασθαι τοῦτο τὸ καλόν. καὶ θέα πῶς κατὰ νόμον ἀρίστης γεωργίας ὁ μακάριος Παῦλος τὴν ἐμπιστευθεῖσαν αὐτῷ γῆν παρὰ τοῦ γεωργοῦ διακαθαίρει τε καὶ ἐργάζεται. ἀνέσπασε τὰ νόθα σπέρματα, παρακαλεῖ λοιπόν, ὥστε καταθεῖναι τὰ γνήσια φυτά. γίνεσθε χρηστοί, φησιν. αἱ γὰρ τῶν ἀκανθῶν ἀνασπασθεισῶν μένουσα ἡ χώρα ἀργοῦσα, ἀνονήτους πάλιν οἴσει βοτάνας. διὰ τὴν σχολὴν αὐτῆς καὶ τὴν ἀργίαν προκαταλαμβάνειν δεῖ τῇ τῶν ἀγαθῶν σπερμάτων τε καὶ φυτῶν καταβολῇ. ἀνέσπασεν ὀργήν, ἔθηκε χρηστότητα· ἀνέσπασε πικρίαν, ἔθηκεν εὐσπλαγχνίαν· ἐξέτεμε κακίαν καὶ βλασφημίαν, ἐφύτευσε συγγνώμην. τὸ γάρ, χαριζόμενοι ἑαυτοῖς, τοῦτό ἐστι, συγγνωμονικοί, φησι, γίνεσθε. μείζων γὰρ αὕτη ἡ χάρις τῆς ἐν τοῖς χρήμασιν. ὁ μὲν γὰρ χρήματα ἀφιεὶς τῷ δανεισαμένῳ παρ' αὐτοῦ, καλὸν μὲν ἐργάζεται ἔργον καὶ θαυμαστόν, πλὴν ἀλλὰ μέχρι τοῦ σώματος ἡ χάρις, εἰ καὶ ἑαυτῷ τὴν ἀμοιβὴν ἐν τοῖς πνευματικοῖς καὶ τοῖς κατὰ ψυχὴν ἀποδίδωσι δωρεαῖς· ὁ δὲ ἁμαρτήματα χαρισάμενος, τήν τε ψυχὴν ὠφέλησε τὴν ἑαυτοῦ, καὶ τὴν ἐκείνου τοῦ τῆς συγγνώμης * τυχόντος. οὐ γὰρ ἑαυτὸν μόνον τούτῳ τῷ τρόπῳ, ἀλλὰ κἀκεῖνον ἐπιεικέστερον ἐποίησεν. οὐ γὰρ οὕτως ἐπεξερχόμενοι τοῖς ἠδικηκόσιν ἡμᾶς, ὡς συγχωροῦντες δάκνομεν αὐτῶν τὰς ψυχάς, ἐντρέποντες καὶ δυσωποῦντες. ἐκείνως μὲν γὰρ οὔτε ἡμᾶς αὐτούς, οὔτε ἐκείνους ὠνήσαμεν, ἀλλ' ἀμφοτέρους ἐβλάψαμεν, αὐτοί τε τὸ ἀνταπόδομα διώξαντες κατὰ τοὺς παρὰ Ἰουδαίοις ἀρχαίους, καὶ τὸν ἐν ἐκείνοις ἐκκαύσαντες θυμόν. ἂν δὲ ἐπιεικείᾳ τὴν ἀδικίαν ἀμειψώμεθα, πᾶσαν αὐτοῦ τὴν ὀργὴν ἐκλύσαντες, ἐκαθίσαμεν παρ' αὐτῷ δικαστήριον ἡμῖν φέρον τὰς ψήφους, καταδικάζον αὐτὸν χαλεπώτερον, ἢ ἡμεῖς. καταγνώσεται γὰρ αὐτοῦ, καὶ καταψηφιεῖται, καὶ πᾶσαν ζητήσει πρόφασιν, δι' ἧς ἀποτίσει τὸ δανεισθὲν τῆς μακροθυμίας μέρος μετὰ πλείονος τοῦ μέτρου, εἰδὼς

ὅτι ἂν μὲν τὸ ἴσον ἀποδῷ, καὶ οὕτως ἠλάττωται, τῷ μὴ αὐτὸς ἄρξασθαι, ἀλλὰ τῷ παρ' ἡμῶν τὸ ὑπόδειγμα λαβεῖν ἔλαττον φέρων. σπουδάσει τοίνυν ὑπερβαλέσθαι τῷ μέτρῳ, ἵνα τὴν ἐλάττωσιν, ἣν ἐκ τοῦ δεύτερος ἐλθεῖν ἐπὶ τὴν ἀνταπόδοσιν ὑπέμεινε, τῇ τῆς ἀντιδόσεως ὑπερβολῇ κατακρύψῃ, καὶ τὴν ἀπὸ τοῦ χρόνου γινομένην αὐτῷ ἐλάττωσιν τοῦ πρότερον παθόντος κακῶς, ταύτην ἀπὸ τῆς καθ' ὑπερβολὴν ἐπιεικείας κοινὴν ἐργάσηται. οἱ γὰρ ἄνθρωποι, ὅταν εὐγνώμονες ὦσιν, οὐχ οὕτως ἐπὶ τοῖς κακοῖς, ὡς ἐπὶ τοῖς ἀγαθοῖς, οἷς ἂν εὖ πάσχωσι παρὰ τῶν ἠδικημένων, στένουσι. τὸ μὲν γὰρ, κακίας, τὸ δὲ, καὶ ὀνείδους καὶ γέλωτος μεστὸν, τὸ εὖ παθόντα μὴ ἀντευποιεῖν. τοῦτο μὲν γὰρ ἔπαινον ἔχει καὶ κρότους παρὰ πάντων καὶ εὐφημίας, τὸ κακῶς παθόντα, μὴ ἀντεπεξελθεῖν. διὰ τοῦτο μάλιστα τούτῳ δάκνονται. ὥστε, εἰ βούλει ἀμύνασθαι, τούτῳ ἀμύνου τῷ τρόπῳ· κακοῖς ἀγαθὰ ἀνταπόδος, ἵνα αὐτὸν καὶ ὀφειλέτην καταστήσῃς, καὶ νικήσῃς νίκην θαυμαστήν. ἔπαθες κακῶς; ποίησον καλῶς, οὕτως ἀμύνου τὸν ἐχθρόν. ἂν μὲν γὰρ ἐπεξέλθῃς, ὁμοίως καὶ σὲ, κἀκεῖνον ἅπαντες μέμψονται· ἂν δὲ ἐνέγκῃς, ἑτέρως σὲ μὲν κροτήσουσι καὶ θαυμάσονται, ἐκεῖνον δὲ κατηγορήσουσι. τί δὲ ἐχθρῷ γένοιτο ἂν μεῖζον τοῦ τὸν ἐχθρὸν ἰδεῖν παρὰ πάντων θαυμαζόμενον καὶ κροτούμενον; τί ἐχθρῷ πικρότερον τοῦ ἑαυτὸν θεάσασθαι παρὰ πάντων ὑβριζόμενον ἐπ' ὄψεσι τοῦ ἐχθροῦ; ἐὰν αὐτὸν ἀμύνῃ, καὶ κατεγνώσθης ἴσως, καὶ σὺ μόνος ἠμύνω. ἂν δὲ ἀφῇς, ἀντὶ σοῦ πάντες ἀμυνοῦνται αὐτόν· ὅπερ τοῦ παθεῖν κακῶς χαλεπώτερον, τὸ τὸν ἐχθρὸν τοσούτους τοὺς ἀμυνομένους ἔχειν. ἂν ἀνοίξῃς σὺ τὸ στόμα, ἐκεῖνοι σιγήσονται· ἂν δὲ σὺ σιγήσῃς, οὐκέτι ἑνὶ στόματι, ἀλλὰ μυρίοις τοῖς τῶν ἄλλων αὐτὸν βάλλεις, καὶ μᾶλλον ἀμύνῃ. καὶ σοὶ μὲν ὑβρίζοντι πολλοὶ καὶ ἐγκαλοῦσιν (ἐροῦσι γὰρ τοῦ πάθους εἶναι τὰ ῥήματα) ὅταν δὲ ὁ μηδὲν ἠδικημένος οὕτως αὐτὸν πλήξῃ ταῖς ὕβρεσι, τότε μάλιστα καθαρὰ πάσης ὑποψίας ἡ ἄμυνα. ὅταν γὰρ οἱ μηδὲν παθόντες δεινὸν, διὰ τὴν ὑπερβολὴν τῆς σῆς ἐπιεικείας, ὡς ἠδικημένοι συναλγῶσι καὶ συμπάσχωσι, πάσης ὑποψίας καθαρὰ αὕτη ἡ ἐκδικία. τί οὖν, ἂν μηδεὶς ἀμύνηται, φησίν; οὐκ ἔστιν εἶναι λιθίνους ἀνθρώπους, ὡς τοσαύτην φιλοσοφίαν ὁρῶντας μὴ θαυμάσαι. κἂν μὴ τότε ἀμύνωσιν, ὕστερον ὅμως ἐν καταστάσει γενόμενοι, τοῦτο ἐργάσονται, σκώπτοντες ἐκεῖνον καὶ λοιδοροῦντες. κἂν ἕτερος δὲ μηδεὶς θαυμάσῃ, αὐτός σε ἐκεῖνος πάντως θαυμάσεται, κἂν μὴ λέγῃ. ἡ γὰρ τοῦ καλοῦ κρίσις ἡμῖν, κἂν εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον ἔλθωμεν, ἀδέκαστος καθέστηκεν, οὐ παρακλινομένη. ἢ διὰ τί τὸν Κύριον ἡμῶν οἴει τὸν Χριστὸν ταῦτα λέγειν, Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην; οὐκ ἐπειδὴ ὅσῳ ἐάν τις μακρόθυμος γένηται, τοσούτῳ μᾶλλον καὶ ἑαυτὸν κἀκεῖνον ὠφελήσει ὠφέλειαν τὴν μεγίστην; διὰ τοῦτο στρέφειν καὶ τὴν ἄλλην προσέταξεν, ἵνα ἐμπλήσῃ τὴν ἐπιθυμίαν τοῦ θυμουμένου. τίς γὰρ οὕτω θηρίον ἐστὶν, ὡς μὴ ἐντραπῆναι λοιπόν; οἱ κύνες λέγονται τοῦτο ποιεῖν. κἂν γὰρ ὑλακτήσωσι, καὶ ἐπέλθωσί τινι, ὁ δὲ ὕπτιον ῥίψας ἑαυτὸν μηδὲν ἐργάσηται, τὸν θυμὸν ἅπαντα ἔσβεσεν. εἰ τοίνυν ἐκεῖνοι τὸν παθεῖν πρὸς αὐτοὺς κακῶς ἕτοιμον δυσωποῦνται, πολλῷ μᾶλλον τὸ τῶν ἀνθρώπων γένος λογικώτερον. ἀλλὰ γὰρ ἄξιον τὸ μικρὸν ἔμπροσθεν εἰς μνήμην ἐλθὸν, καὶ εἰς μαρτυρίαν ἑλκυσθὲν, μὴ παρελθεῖν. τί δὴ τοῦτό ἐστιν; ἐλέγομεν περὶ τῶν Ἰουδαίων, καὶ τῶν ἀρχόντων τῶν πρὸς αὐτοὺς, ὅτι ἐνεκαλοῦντο, ὡς διώκοντες ἀνταπόδομα· καίτοι τοῦτο ὁ νόμος αὐτοῖς ἐπέτρεπεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. ἀλλ' οὐχ ἵνα τοὺς ἀλλήλων ἐξορύττωσιν ὀφθαλμοὺς, ἀλλ' ἵνα φόβῳ τοῦ παθεῖν τὴν τοῦ ποιεῖν ἄδειαν ἐπισχόντες, μήτε ἐργάζωνταί τι κακὸν ἑτέρους, μήτε πάσχωσιν αὐτοὶ παρὰ ἑτέρων. διὰ τοῦτο εἶπεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἵνα τὰς ἐκείνου δήσῃ χεῖρας, οὐχ ἵνα τὰς σὰς ἀντεξαγάγῃ, οὐχ ἵνα τῶν σῶν ὀφθαλμῶν ἀπείρξῃ τὴν βλάβην μόνον, ἀλλ' ἵνα καὶ τοὺς ἐκείνου διατηρήσῃ σώους. ἀλλ' ὅπερ ἐζήτουν, τίνος ἕνεκεν συγκεχωρημένης ἀμύνης ἐνεκαλοῦντο οἱ τῷ προστάγματι κεχρημένοι; τί ποτε τοῦτό ἐστι; τὸ

χ. αὐτοῖς

χ. βάλλεις

Ματθ. ε. λθ.

χ. πόσῳ

Λευϊτ. κδ. κ.

χ. ἐπιεικ.

μνησίκακον ἐνταῦθά φησιν. εὐθέως μὲν γὰρ τὸν παθόντα δρᾶσαι συγχωρεῖ, ὅπερ ἔφην, κατέχων ἐκεῖνον· μνησικακεῖν δὲ οὐκέτι ἀφίησιν. οὐκέτι γάρ τὸ πρᾶγμά ἐστι τοῦ θυμοῦ, οὐδὲ τῆς ζεούσης ὀργῆς, ἀλλὰ πονηρίας μεμελετημένης. συγγινώσκει δὲ ὁ Θεὸς τοῖς ἀπὸ τῆς ἐπηρείας ἴσως συναρπαγεῖσι, καὶ ἐπὶ τὴν ἄμυναν ὡρμηκόσι. (χ. ἀμῦν.) διὸ λέγει, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ· καὶ πάλιν, Ὁδοὶ μνησικάκων εἰς θάνατον. εἰ δὲ ἔνθα ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ πηρῶσαι ἐξῆν, τοσαύτη κεῖται ζημία τοῖς μνησικάκοις, πόσῳ μᾶλλον τοῖς καὶ προέχουσιν ἑαυτῶν πρὸς τὸ παθεῖν κακῶς κελευσθεῖσι; μὴ τοίνυν ὦμεν μνησίκακοι, (Ματθ. ζ. c.) ἀλλὰ σβέσωμεν τὴν ὀργὴν, ἵνα τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν. Ὧ γὰρ μέτρῳ μετρεῖτε, φησιν, ἀντιμετρηθήσεται ὑμῖν, καὶ ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε. γινώμεθα οὖν περὶ τοὺς ὁμοδούλους φιλάνθρωποι, συμπαθεῖς, ὅπως ἂν καὶ τὰς ἐν τῷ παρόντι βίῳ διαφύγωμεν παγίδας, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν τῆς παρ' αὐτοῦ τύχωμεν συγγνώμης, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιζ. 32 ΓΙΝΕΣΘΕ ΔΕ ΕΙΣ ΑΛΛΗΛΟΥΣ ΧΡΗΣΤΟΙ,
εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.
(κεφ. ε.) 1 Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά,
2 Καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας.

Τὰ παρελθόντα τῶν λεγομένων πλείονα ἔχει τὴν ἰσχὺν, καὶ δοκεῖ θαυμαστότερα εἶναι καὶ πιστότερα. διὸ καὶ ὁ Παῦλος ἀπὸ τῶν ὑπηργμένων ἤδη ποιεῖται τὴν παράκλησιν. ἐκεῖνα μὲν γὰρ τοῦ Χριστοῦ ἕνεκεν μείζονα ἔχει τὴν ἰσχύν. τὸ γὰρ εἰπεῖν, ἄφες, καὶ ἀφεθήσεταί σοι, κἂν μὴ ἀφῆτε, οὐ μὴ ἀφεθήσεται ὑμῖν, πρὸς μὲν φιλοσόφους ἄνδρας λεγόμενον καὶ τοῖς μέλλουσι πιστεύοντας, μέγα δύναται· ὁ δὲ Παῦλος οὐκ ἀπὸ τούτων ἐντρέπει μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ὑπηργμένων. "ἐκείνῳ μὲν γάρ ἐστι κόλασιν φυγεῖν," τούτῳ δὲ ἀγαθοῦ τινος μεταλαχεῖν. (χ. ἐκείνη. χ. τοῦτο) τὸν Χριστόν, φησι, μιμοῦ. (Ματθ. ε. μ.) ἀρκεῖ τοῦτο μόνον εἰς παράκλησιν ἀρετῆς, τὸ τὸν Θεὸν μιμεῖσθαι. τοῦτο μεῖζον ἐκείνου, ὅτι ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. οὐ γάρ ἁπλῶς, ὅτι τὸν Θεὸν μιμούμεθα, εἶπεν, ἀλλ' ὅτι ἐν οἷς αὐτοὶ εὖ πάσχομεν, πατέρων σπλάγχνα πρὸς ἀλλήλους ἡμᾶς ἔχειν βούλεται. σπλάγχνα γὰρ ταῦτα λέγεται ἡ φιλανθρωπία, καὶ τοὺς οἰκτιρμούς. ἐπειδὴ γάρ οὐκ ἔνι ἀνθρώπους ὄντας μήτε λυπεῖν, μήτε λυπεῖσθαι, διόρθωσιν εὗρε φάρμακον, ὥστε ἀλλήλοις χαρίζεσθαι. χαριζόμενοι, φησιν, ἑαυτοῖς. καίτοι οὐδὲν ἴσον. σὺ μὲν γὰρ ἂν νῦν χαρίσῃ, πάλιν σοι χαρίζεται ἐκεῖνος, Θεῷ δὲ οὐδὲν ἐχαρίσω. καὶ σὺ μὲν τῷ ὁμοδούλῳ· ὁ δὲ Θεὸς τῷ δούλῳ, καὶ τῷ ἐχθρῷ, καὶ τῷ μισοῦντι αὐτόν. καθὼς καὶ ὁ Θεός, φησιν, ἐν Χριστῷ ἐχαρίσατο ἡμῖν. μέγα καὶ τοῦτο ἔχει αἴνιγμα. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐχ ἁπλῶς ἀκινδύνως ἐχαρίσατό, φησιν, ἀλλὰ μετὰ τοῦ κινδύνου τοῦ υἱοῦ. ἵνα γάρ σοι συγγνῷ, τὸν υἱὸν ἔθυσε· σὺ δὲ πολλάκις καὶ ἀκίνδυνον καὶ ἀδάπανον ὁρῶν τὴν συγχώρησιν, οὐ ποιεῖς. γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. ἵνα μὴ νομίσῃς ἀνάγκης εἶναι τὸ πρᾶγμα, ἄκουσον πῶς οὐχ ἁπλῶς, ἀλλ', ὅτι ἑαυτὸν παρέδωκεν, εἶπεν· ὡσεὶ ἔλεγεν, ἐχθρὸν ὄντα σε ὁ δεσπότης ἠγάπησεν, ἀγάπησον σὺ τὸν φίλον. μᾶλλον δὲ οὐδὲ οὕτω δυνήσῃ· πλὴν ἀλλ' ὡς δύνασαι. βαβαί· τί ταύτης τῆς φωνῆς μακαριώτερον γένοιτ' ἄν; κἂν βασιλείαν εἴπῃς,

κἂν

κἂν ὁμοίως, οὐδὲν ἴσον. τὸν Θεὸν μιμῇ, τῷ Θεῷ ἐξομοιοῦσαι, ὅταν συγχωρήσῃς ἐκείνῳ. μᾶλλον ἁμαρτήματα δεῖ συγχωρεῖν, ἢ χρήματα. χρήματα μὲν γὰρ ἐὰν συγχωρήσῃς, οὐκ ἐμιμήσω τὸν Θεόν· ἁμαρτήματα δὲ ἐὰν συγχωρήσῃς, τὸν Θεὸν μιμῇ. πλὴν πῶς δυνήσῃ λέγειν, πένης εἰμὶ, καὶ οὐ δύναμαι συγχωρῆσαι, ὅταν καὶ ἃ δύνασαι συγχωρῆσαι, μὴ συγχωρήσῃς; καὶ ἐνταῦθα ζημίαν ἡγῇ, οὐχὶ πλοῦτον μᾶλλον, οὐχὶ ἀξιοπιστίαν, οὐχὶ εὐπορίαν; γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ. ἰδοὺ καὶ ἄλλη παράκλησις εὐγενεστέρα. ὡς τέκνα ἀγαπητά, φησιν. ἔχετε καὶ ἄλλην ἀνάγκην τοῦ μιμεῖσθαι αὐτὸν, οὐ τῷ παθεῖν εὖ μόνον, ἀλλὰ καὶ τὸ τέκνα γενέσθαι. ὡς τέκνα ἀγαπητά. ἐπειδὴ γὰρ οὐ πάντες υἱοὶ τοὺς πατέρας μιμοῦνται, ἀλλ' οἱ ἀγαπητοὶ, διὰ τοῦτό φησιν, ὡς τέκνα ἀγαπητά. περιπατεῖτε ἐν ἀγάπῃ. ἰδοὺ πάντων ἡ ὑπόθεσις. οὐκοῦν ταύτης οὔσης, οὐ θυμὸς, οὐκ ὀργὴ, οὐ κραυγὴ, οὐ βλασφημία, ἀλλὰ πάντα ἀνῄρηται. διὸ ὕστερον τὸ κεφάλαιον τίθησι. πόθεν ἐγένου τέκνον; ἐπειδὴ συνεχωρήθη σοι. ἀπὸ τῆς υἱοθεσίας, ἀφ' ἧς τοσαύτης ἠξιώθης τιμῆς, ἀπὸ τῆς αὐτῆς καὶ τῷ πλησίον συγχώρησον. εἰπὲ δή μοι, εἴ τίς σε δεσμώτην ὄντα, καὶ μυρίων ὑπεύθυνον κακῶν ἤγαγεν ἐπὶ τὰ βασίλεια. μᾶλλον δὲ τοῦτο ἀφῶμεν. εἴ τίς σε πυρέττοντα καὶ ψυχορραγοῦντα ὠφέλησε φαρμάκῳ τινὶ, ἆρα οὐκ ἂν αὐτὸν πάντων προετίμησας, καὶ αὐτὸ ποιούμενα τοῦ φαρμάκου; εἰ γὰρ καιροὺς καὶ τόπους, δι' ὧν ὠφελούμεθα, οὕτως ἔχομεν, ὡς τὰς ἑαυτῶν ψυχάς, πολλῷ μᾶλλον αὐτὰ τὰ πράγματα. ἐραστὴς ἔσο τῆς ἀγάπης. δι' αὐτῆς γὰρ ἐσώθης, δι' αὐτῆς υἱὸς γέγονας. κἂν ἕτερον δυνηθῇς σῶσαι, οὐχὶ τῷ αὐτῷ χρήσῃ φαρμάκῳ, καὶ παραινέσεις πᾶσι τὸ, ἄφετε, ἵνα ἀφεθῇ ὑμῖν; ἀγνωμόνων ψυχῶν τοῦτο, τὸ οὕτω περιτετράφθαι, καὶ ἐλευθέρων καὶ εὐγενῶν. καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, φησι. σὺ τῶν φίλων φείδῃ, ἐκεῖνος τῶν ἐχθρῶν. οὐκοῦν πολλῷ μεῖζον τὸ παρὰ τοῦ δεσπότου γενόμενον. τὸ γὰρ καθὼς, πῶς σώζεται; ἢ δῆλον ὅτι, ἐὰν τοὺς ἐχθροὺς εὖ ποιῶμεν. καὶ παρέδωκεν ἑαυτὸν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. ὁρᾷς τὸ ὑπὲρ ἐχθρῶν παθεῖν, ὅτι ὀσμὴ εὐωδίας ἐστὶ, καὶ θυσία εὐπρόσδεκτος; κἂν ἀποθάνῃς, τότε ἔσῃ θυσία· τοῦτο μιμήσασθαί ἐστι τὸν Θεόν.

3 Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις. Εἰπὼν περὶ τοῦ πικροῦ πάθους τοῦ θυμοῦ, ἦλθεν ἐπὶ τὸ ἧττον κακόν. ὅτι γὰρ ἧττον κακὸν ἡ ἐπιθυμία, ἄκουε καὶ ἐν τῷ νόμῳ Μωϋσέως λέγοντος πρῶτον, Οὐ φονεύσεις, ὅπερ ἐστὶ τοῦ θυμοῦ, καὶ τότε, οὐ μοιχεύσεις; ὅπερ ἐστὶ τῆς ἐπιθυμίας. καθάπερ γὰρ ἡ πικρία καὶ ἡ κραυγὴ καὶ πᾶσα κακία καὶ βλασφημία, καὶ ὅσα τοιαῦτα, τοῦ θυμοῦ εἴδη ἐστίν· οὕτω καὶ τοῦ ἐπιθυμητικοῦ πορνεία, ἀκαθαρσία, πλεονεξία. τὸ γὰρ αὐτὸ χρημάτων ἐρᾶσθαι, καὶ σωμάτων. ἀλλ' ὥσπερ ἐκεῖ τὴν κραυγὴν περιεῖλεν ὄχημα οὖσαν τῆς ὀργῆς, οὕτω νῦν τὴν αἰσχρολογίαν καὶ εὐτραπελίαν ὄχημα οὖσαν τῆς πορνείας.

4 Καὶ αἰσχρότης γὰρ, φησὶ, καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία. Μὴ εἴπῃς ἀστεῖα, μηδ' αἰσχρὰ, μηδὲ πράξῃς, καὶ κατασβέσεις τὴν φλόγα. μηδὲ ὀνομαζέσθω, φησὶν, ἐν ὑμῖν· τουτέστι, μηδαμοῦ μηδὲ φαινέσθω. τοῦτο καὶ Κορινθίοις γράφων ἔλεγεν· Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία· τουτέστι, πάντες καθαροὶ γίνεσθε. οἱ γὰρ λόγοι, τῶν πραγμάτων εἰσὶν ὁδοί. εἶτα ἵνα μὴ δόξῃ φορτικός τις εἶναι καὶ βαρὺς, καὶ εὐτραπελίας ἐκκόπτων, ἐπήγαγε καὶ τὴν αἰτίαν, εἰπὼν, τὰ μὴ ἀνήκοντα, τὰ οὐδὲν πρὸς ἡμᾶς, φησιν. ἀλλὰ μᾶλλον εὐχαριστία. τί ὠφελεῖ δὲ, ἀστεῖον εἰπεῖν; γέλωτα ἐκίνησας μόνον. εἰπέ μοι, ὁ σκυτοτόμος ἐργάσεταί τι ποτὲ τῶν οὐκ ἀνηκόντων εἰς τὴν αὐτοῦ τέχνην, ἢ κτήσεταί τι τοιοῦτον ὄργανον; οὐδαμῶς. τὰ γὰρ οὐκ ἐν χρείᾳ, οὐδὲν πρὸς ἡμᾶς. α. Κορ. ε. α.

ΗΘΙΚΟΝ

Μηδεὶς ἔστω λόγος ἀργός. ἀπὸ γὰρ τοῦ ἀργοῦ καὶ εἰς ἀτόπους καταπίπτομεν. οὐ

διαχύσεως

διαχύσεως ὁ παρὼν καιρὸς, ἀλλὰ πένθους, θλίψεων καὶ ὀδυρμῶν· σὺ δὲ εὐτραπελεύῃ; τίς ἀθλητὴς εἰς τὸ στάδιον εἰσελθὼν, καὶ τὴν ἀγωνίαν ἀφεὶς τὴν πρὸς τὸν ἀντίδικον, ἀστεῖα φθέγγεται; ἐφέστηκεν ὁ διάβολος, περιέρχεται ὠρυόμενος τοῦ ἁρπάσαι, πάντα κινεῖ καὶ πάντα στρέφει κατὰ τῆς σῆς κεφαλῆς, καὶ μηχανᾶται τῆς καλιᾶς σε ἐκβαλεῖν, πρίζει τοὺς ὀδόντας, βρυχᾶται, πῦρ πνεῖ κατὰ τῆς σωτηρίας τῆς σῆς· καὶ σὺ κάθησαι ἀστεῖα λέγων, καὶ μωρολογῶν, καὶ τὰ μὴ ἀνήκοντα φθεγγόμενος; οὐκ οὖν καλῶς αὐτοῦ περιγενέσθαι δυνήσῃ. παίζομεν, ἀγαπητοί. [Πραξ. κ. λα.] βούλει μαθεῖν τῶν ἁγίων τὴν διαγωγήν; ἄκουε Παύλου λέγοντος· Τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. εἰ δὲ ὑπὲρ Μιλησίων καὶ Ἐφεσίων τοσαύτην ἐπεδείξατο σπουδὴν, οὐχὶ ἀστεῖα λέγων, ἀλλὰ μετὰ δακρύων τὴν νουθεσίαν εἰσφέρων, τί περὶ τῶν ἄλλων εἴποι τις ἄν; [β. Κορ. β. δ.] ἄκουε δὲ καὶ Κορινθίοις τί φησιν· Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. [β. Κορ. ια. κθ.] καὶ πάλιν, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ἄκουε δὲ αὐτοῦ καὶ ἀλλαχοῦ λέγοντος, [β. Κορ. ε. δ.] καὶ καθ' ἑκάστην ἡμέραν, ὡς εἰπεῖν, ἐξελθεῖν ἐκ τοῦ κόσμου ἐπιθυμοῦντος· Καὶ γὰρ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν. σὺ δὲ γελᾷς καὶ παίζεις; πόλεμος ὁ καιρὸς, καὶ σὺ τὰ τῶν χορευόντων μεταχειρίζῃ; οὐχ ὁρᾷς τῶν πολεμούντων τὰ πρόσωπα, πῶς εἰσὶ σκυθρωπὰ, πῶς συνεσταλμένα; ὀφρὺς γὰρ ἐπὶ τῶν αὐτοῖς φοβερὰ, καὶ φρίκης γέμουσα. ὁρᾷς ὄμμα αὐστηρὸν, καρδίαν διεγηγερμένην καὶ πηδῶσαν καὶ ἀλλοιουμένην, συνεσταλμένον νοῦν, τρέμοντα καὶ ἀγωνιῶντα· πολλὴν τὴν εὐταξίαν, πολλὴν τὴν εὐρυθμίαν, πολλὴν τὴν σιγὴν ἐν τοῖς στρατοπέδοις· οὐ λέγω, ὥστε αἰσχρὸν ῥῆμα μὴ εἰπεῖν, ἀλλὰ μηδὲ ἁπλῶς φθέγξασθαι. εἰ γὰρ πρὸς αἰσθητοὺς ἔχοντες πολεμίους ἐκεῖνοι, καὶ οὐδὲν ἀπὸ λόγων βλαπτόμενοι, τοσαύτῃ κέχρηνται σιγῇ, σὺ ὁ καὶ ἐν λόγοις ἔχων τὸν πόλεμον, καὶ τὸ πλέον τοῦ πολέμου, ὑπό σοι τὸ μέρος ἐᾷς γυμνόν; ἢ ἀγνοεῖς, ὅτι τὰ πλείονα ἐντεῦθεν ἐπιβουλευόμεθα; παίζεις καὶ τρυφᾷς, καὶ ἀστεῖα λέγεις, καὶ γέλωτα κινεῖς, καὶ οὐδὲν ἡγῇ τὸ πρᾶγμα; πόσαι ἀπὸ ἀστειολογίας ἐπιορκίαι, πόσαι βλάβαι, πόσαι αἰσχρολογίαι; [γρ. ἀστεῖον] ἀλλ' οὐ τοιαῦτά ἐστι τὰ ἀστεῖα, φησίν. ἀλλ' ἄκουε ὅτι πᾶσαν εὐτραπελίαν ἐξέβαλε. πολέμου καιρός ἐστι καὶ μάχης, ἀγρυπνίας καὶ φυλακῆς, ὁπλίσεως καὶ παρατάξεως. οὐδένα τόπον ἐνταῦθα ὁ τοῦ γέλωτος ἂν ἔχοι καιρός· τοῦ γὰρ κόσμου οὗτός ἐστιν. ἄκουσον τοῦ Χριστοῦ λέγοντος· [Ιωαν. ις. κ.] Ὁ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε. ὁ Χριστὸς ἐσταυρώθη διὰ τὰ σὰ κακὰ, σὺ δὲ γελᾷς; ἐκεῖνος ἐρραπίσθη, καὶ τοσαῦτα ἔπαθε διὰ τὴν σὴν συμφορὰν καὶ τὸν καταλαβόντα σε κλύδωνα· σὺ δὲ τρυφᾷς; καὶ πῶς οὐ μᾶλλον αὐτὸν παροξύνεις; ἀλλ' ἐπειδή που ἀδιάφορον εἶναι τὸ πρᾶγμα δοκεῖ, ὃ καὶ δυσφύλακτόν ἐστι, φέρε, μικρὰ περὶ τούτου διαλεχθῶμεν, ὅσον ἐστὶ κακὸν διδάξαντες. [γρ. καὶ ὅσον κακόν ἐστι, διδάξωμεν.] καὶ γὰρ τοῦτο τοῦ διαβόλου ἔργον ἐστὶ, τὸ ποιεῖν τῶν ἀδιαφόρων καταφρονεῖν. πρῶτον μὲν οὖν εἰ καὶ ἀδιάφορον ἦν, οὐδὲ οὕτως ἐχρῆν αὐτῶν καταφρονεῖν, εἰδότα ὅτι τὰ μεγάλα ἀπὸ τούτων τίκτεται κακὰ καὶ αὔξεται, καὶ εἰς πορνείαν τελευτᾷ πολλάκις. ὅτι δὲ οὐδὲ ἀδιάφορόν ἐστιν, ἐκεῖθεν δῆλον. ἴδωμεν οὖν πόθεν τίκτεται· μᾶλλον δὲ ἴδωμεν ὁποῖον εἶναι δεῖ τὸν ἅγιον. ἥμερον, πρᾶον, πενθοῦντα, θρηνοῦντα, τεθλιμμένον. ὁ τοίνυν τὰ εὐτράπελα λέγων, οὐχ ἅγιος· κἂν Ἕλλην ᾖ, καταγέλαστος ὁ τοιοῦτος. τοῖς ἐν τῇ σκηνῇ ταῦτα ἐφεῖται μόνοις. ἔνθα αἰσχρότης, ἐκεῖ καὶ εὐτραπελία· ἔνθα γέλως ἄκαιρος, ἐκεῖ καὶ εὐτραπελία. [Ψαλμ. β. ια.] ἄκουε τοῦ προφήτου λέγοντος· Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. ἡ εὐτραπελία μαλακὴν ποιεῖ τὴν ψυχὴν, ῥᾴθυμον, ἀναπεπτωκυῖαν· αὕτη καὶ ὕβρεις πολλάκις ὤδινε, καὶ πολέμους ποιεῖ. [γρ. καὶ ἀπεπλήρου] [γρ. ὅλος] τί δὲ; ὅλως οὐχὶ ἐν ἀνδράσι γέγονας; οὐκ οὖν κατάργησον τὰ τοῦ νηπίου. ἀλλὰ τὸν μὲν οἰκέτην τὸν σὸν ἐν ἀγορᾷ οὐκ ἀξιοῖς εἰπεῖν τι τῶν ἀσυμφόρων· σὺ δὲ τοῦ Θεοῦ λέγων οἰκέτης εἶναι, ἐν ἀγορᾷ ἀστεῖα φθέγγῃ; ἀγαπητὸν τὴν νήφουσαν ψυχὴν μὴ κλαπῆναι· τὴν δὲ διακεχυμένην τίς οὐχ αἱρήσει; αὐτὴ ἑαυτῇ περιπέσεται, καὶ οὐ δεήσεται τῆς τοῦ διαβόλου ἐπιβουλῆς

βουλῆς καὶ ἐπηρείας. ἵνα δὲ καὶ μάθῃς, ὅρα καὶ αὐτὸ τοὔνομα. εὐτράπελος λέγεται, ὁ ποικίλος, ὁ παντοδαπός, ὁ ἄστατος, ὁ εὔκολος, ὁ πάντα γινόμενος. τοῦτο δὲ πόρρω τῶν τῇ πέτρᾳ δουλευόντων. ταχέως τρέπεται ὁ τοιοῦτος, καὶ μεθίσταται. δεῖ γὰρ αὐτὸν καὶ σχῆμα, καὶ ῥῆμα, καὶ γέλωτα, καὶ βάδισιν, καὶ πάντα μιμεῖσθαι, καὶ σκώμματα δὲ ἐπινοεῖν χρὴ τὸν τοιοῦτον. δεῖ γὰρ αὐτῷ καὶ τούτου. πόρρω δὲ τοῦτο χριστιανοῦ, τὸ κωμῳδεῖν. καὶ ἀνάγκη τὸν εὐτραπελευόμενον ἔχθρας ἀναδέχεσθαι περιττὰς* τῶν εἰκῇ σκωπτομένων, ἄν τε παρῶσιν, ἄν τε ἀπόντες ἀκούσωσιν. εἰ καλὸν τὸ πρᾶγμα, τί τοῖς μίμοις ἀφίεται; μῖμος γίνῃ, καὶ οὐκ αἰσχύνῃ; διὰ τί ταῖς ἐλευθέραις ὑμῶν οὐκ ἐπιτρέπετε τοῦτο ποιεῖν; οὐχὶ ἤθους ἴστε ἀσέμνου, καὶ οὐ σώφρονος τὸ πρᾶγμα; μεγάλα κακὰ ἐν ψυχῇ εὐτραπελευομένῃ οἰκεῖ, μεγάλη διάχυσις καὶ ἐρημία. κέχηνεν ἡ ἁρμονία, σεσάθρωται ἡ οἰκοδομή, ὁ φόβος ἐξώρισται, εὐλάβεια ἀπέστη. γλῶσσαν ἔχεις, οὐχ ἵνα ἕτερον κωμῳδήσῃς, ἀλλ' ἵνα εὐχαριστήσῃς τῷ Θεῷ. οὐχ ὁρᾷς τοὺς λεγομένους γελωτοποιούς, τοὺς κόρδακας; οὗτοί εἰσιν οἱ εὐτράπελοι. ἐξορίσατε, παρακαλῶ, τῶν ὑμετέρων ψυχῶν τὴν ἄσεμνον ταύτην χάριν. παρασίτων τὸ πρᾶγμα, μίμων, ὀρχηστῶν, γυναικῶν πορνῶν, πόρρω ψυχῆς ἐλευθέρας, πόρρω εὐγενοῦς, καὶ δούλων πόρρω. εἴ τις ἄτιμος, εἴ τις αἰσχρός, οὗτος καὶ εὐτράπελος. πολλοῖς δὲ καὶ ἀρετὴ τὸ πρᾶγμα εἶναι δοκεῖ. καὶ γὰρ τοῦτο πένθους ἄξιον. ὥσπερ ἡ ἐπιθυμία κατὰ μικρὸν εἰς πορνείαν ἐξώκειλεν, οὕτω καὶ τὸ εὐτράπελον, ἐπίχαρι εἶναι δοκεῖ· οὐδὲν δὲ τούτου ἄχαρι μᾶλλον. ἄκουε γὰρ τῆς γραφῆς λεγούσης· Πρὸ βροντῆς κατασπεύδει ἀστραπή, καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις. (Σειρ. λβ. ιδ.) οὐδὲν δὲ τοῦ εὐτραπέλου ἀναισχυντότερον. ὥστε οὐ χάριτος αὐτοῦ γέμει τὸ στόμα, ἀλλ' ὀδύνης. ἐξορίσωμεν τοῦτο τὸ ἔθος τῶν τραπεζῶν. εἰσὶ δέ τινες, οἳ καὶ τοὺς πένητας τοῦτο διδάσκουσιν. ὢ τῆς ἀτοπίας· τοὺς ἐν θλίψεσιν εὐτραπελεύεσθαι ποιοῦσι; ποῦ γὰρ οὐκ ἔστι τοῦτο τὸ νόσημα λοιπόν; ἤδη καὶ ἐν τῇ ἐκκλησίᾳ εἰσῆκται, ἤδη καὶ τῶν γραφῶν ἥψατο. εἴπω τι ἵνα δείξω τὴν ὑπερβολὴν τοῦ κακοῦ; αἰσχύνομαι μέν, πλὴν ἀλλ' ὅμως ἐρῶ. βούλομαι γὰρ δεῖξαι οἷ προῆλθε τὸ κακόν, ἵνα μὴ δόξω μικρολογεῖν, καὶ περὶ μικροῦ τινος ὑμῖν διαλέγεσθαι, ἵνα κἂν οὕτως ἀποστῆσαι δυνηθῶ τῆς πλάνης ὑμᾶς. καὶ μή με τις οἰέσθω πλάττειν, ἀλλ' ἅπερ ἤκουσα ἐρῶ. ἔτυχέ τις ὢν παρά τινι τῶν ἐπὶ γνώσει μέγα φρονούντων· καὶ οἶδα μὲν γέλωτα κινήσων, πλὴν ἀλλ' ὅμως ἐρῶ· καὶ τοῦ πίνακος παρατεθέντος, ἔλεγε· δράξασθε παιδία, μήποτε ὀργισθῇ κοιλία. καὶ πάλιν ἕτεροί φασιν· οὐαί σοι μαμμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε. καὶ πολλὰ τοιαῦτα ἄτοπα ἡ εὐτραπελία ἐπεισήγαγεν, ὡς ὅταν λέγωσιν· ἄρτι οὐκ ἔστι γένεσις; καὶ τοῦτο λέγω τοῦ αἰσχροῦ ἤθους δεικνὺς τὴν ἀτοπίαν. ψυχῆς γὰρ ἐρήμου εὐλαβείας ταυτὶ τὰ ῥήματα. ἆρ' οὐχὶ σκηπτῶν ἄξια ταῦτα; καὶ πολλὰ ἀπὸ τούτων καὶ ἕτερα τοιαῦτα λεγόμενα εὕροι τις ἄν. διό, παρακαλῶ, πάντοθεν τοῦτο ἐξορίσαντες τὸ ἔθος, ἐκεῖνα φθεγγώμεθα, ἃ ἡμῖν ἁρμόττει· καὶ μὴ τὰ ἅγια στόματα τὰ τῶν ἀτίμων καὶ αἰσχρῶν φθεγγέσθω ῥήματα. τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἀγαπητὸν γὰρ πάντων τῶν ἀτόπων ἑαυτοὺς ἀποστήσαντας, δυνηθῆναι τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, μήτιγε τοσαῦτα ἐπισυρομένους, καὶ τὸ ἀκριβὲς τῆς διανοίας διὰ τῶν τοσούτων λυμαινομένους. ὁ γὰρ εὐτραπελευόμενος, κακήγορος ἔσται ταχέως· ὁ δὲ κακήγορος, καὶ μυρία ἑαυτῷ ἐπισωρεύει ἕτερα κακά. ταῦτα δὴ οὖν τὰ δύο τῆς ψυχῆς εἴδη ῥυθμίσαντες, καὶ ὑποζεύξαντες τῷ λογισμῷ, καθάπερ ἵππους εὐηνίους, τήν τε ἐπιθυμίαν καὶ τὸν θυμόν, οὕτως ἐπιστήσωμεν τὸν νοῦν ἡνίοχον, ἵνα καὶ τὸ βραβεῖον λάβωμεν τῆς ἄνω κλήσεως, οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Margin notes: * παρὰ — γρ. ἐξώκισται, — γρ. σαμβαδίκας; — γρ. ἡ πορνεία ἐπιθυμία πρὶν ἔδοξεν εἶναι ἀκόλυτος, — γρ. μήτοιγε

Λογ. ιη. 5 ΤΟΥΤΟ ΓΑΡ ἼΣΤΕ ΓΙΝΩΣΚΟΝΤΕΣ, ΟΤΙ πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει [χ. ἐστι] κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. 6 Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

[Ιεζεκ. ιγ. ιθ.] Ἦσαν, ὡς ἔοικε, τινὲς καὶ ἐπὶ τῶν προτέρων τῶν ἡμετέρων ἢ τὰς χεῖρας ἐκλύοντες τοῦ λαοῦ, καὶ τὸ παρὰ τοῦ Ἰεζεκιὴλ εἰρημένον εἰς ἔργον ἄγοντες, μᾶλλον δὲ τὰ τῶν ψευδοπροφητῶν ποιοῦντες, ἢ δρακὸς κριθῶν ἐκφαυλίζοντες τὸν Θεὸν ἐνώπιον τοῦ λαοῦ αὐτοῦ· ὃ δὴ καὶ νῦν οἶμαι παρά τινων γίνεσθαι. ὅταν οὖν εἴπωμεν, ὅτι ὁ μωρὸν καλέσας τὸν ἀδελφὸν, εἰς γέενναν ἀπέρχεται, ἄλλοι φασί· ναὶ, ὁ μωρὸν καλέσας τὸν ἀδελφὸν εἰς γέενναν ἀπέρχεται; οὐχί, φησι. καὶ ὅταν εἴπωμεν, ὅτι ὁ πλεονέκτης εἰδωλολάτρης ἐστὶ, καὶ τοῦτο πάλιν ἐκφαυλίζουσι, λέγοντες ὑπερβολῆς εἶναι τὸ ῥῆμα· καὶ πάσας οὕτω τὰς ἐντολὰς ἐξευτελίζουσι. τούτους οὖν αἰνιττόμενος ὁ μακάριος Παῦλος, καὶ τότε ἔγραφεν Ἐφεσίοις, οὕτω λέγων· [χ. ἐξολομ] τοῦτο γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. εἶτα ἐπάγει, μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις. κενοί εἰσιν οὗτοι οἱ λόγοι, οἱ πρὸς καιρὸν γέλων ἔχοντες, καὶ οὐδαμῶς ἐπὶ τῶν ἔργων δεικνύμενοι. ἀπάτη γὰρ τὸ πρᾶγμά ἐστι.

Διὰ ταῦτα ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. [χ. τῶν]

Διὰ τὴν πορνείαν, φησὶ, διὰ τὴν πλεονεξίαν, διὰ τὴν ἀκαθαρσίαν, ἢ καὶ διὰ ταῦτα καὶ διὰ τὴν ἀπάτην, ἐπειδὴ εἰσιν ἀπατεῶνες. υἱοὺς ἀπειθείας, τοὺς σφόδρα ἀπειθεῖς, τοὺς αὐτῷ ἀπειθοῦντας καλῶς.

7 Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν.

8 Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ. Ὅρα πῶς συνετῶς προτρέπει· πρῶτον ἀπὸ τοῦ Χριστοῦ, ὅτι ἀγαπᾶτε ἀλλήλους, καὶ μηδένα ἀδικεῖτε· εἶτα πάλιν ἀπὸ τῆς κολάσεως καὶ τῆς γεέννης. ἦτε γάρ ποτε σκότος, φησὶ, νῦν δὲ φῶς ἐν Κυρίῳ. ὅπερ λέγει καὶ [Ρωμ. ϛ. κα.] ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ· Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; καὶ ἀναμιμνήσκει αὐτοὺς τῆς προτέρας κακίας· τουτέστιν, ἐννοήσαντες τί ἦτε ποτε ὑμεῖς, καὶ τί γεγόνατε νῦν, μὴ παλινδρομῆτε πρὸς τὴν προτέραν κακίαν, μηδὲ ἐνυβρίζητε τοῦ [χ. πάλιν δράμητε] Θεοῦ τὴν χάριν. ἦτέ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ, οὐκ ἀπὸ τῆς ὑμετέρας, φησίν, ἀρετῆς, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ χάριτος τοῦτο ὑμῖν ὑπῆρξε· τουτέστι, καὶ ὑμεῖς τῆς αὐτῆς ἄξιοι ἦτε ποτέ, ἀλλ' οὐκέτι. Ὡς τέκνα τοίνυν φωτὸς περιπατεῖτε.

Τί δέ ἐστι τέκνα φωτὸς, ἐπάγει ἑξῆς.

9 Ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ δικαιοσύνῃ, καὶ ἀγαθωσύνῃ, καὶ ἀληθείᾳ.

10 Δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Ἐν πάσῃ, φησὶν, ἀγαθωσύνῃ. τοῦτο πρὸς τοὺς ὀργιζομένους, πρὸς τοὺς πικρούς. καὶ δικαιοσύνῃ. τοῦτο πρὸς τοὺς πλεονεκτοῦντας. καὶ ἀληθείᾳ. τοῦτο πρὸς τὴν ψευδῆ ἡδονήν. οὐκ ἐκεῖνα εἶπον, φησιν, ἀλλὰ τὰ ἐναντία. ἐν πάσῃ. τουτέστι, καρπὸν δεῖ πνευματικὸν ἐπιδείκνυσθαι ἐν πᾶσι. δοκιμάζοντες τί ἐστι τὸ εὐάρεστον τῷ Κυρίῳ. ἄρα παιδικῆς ἐκεῖνα διανοίας καὶ ἀτελοῦς.

11 Καὶ

11 Καὶ μὴ συγκοινωνεῖτε, φησὶ, τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους· μᾶλλον δὲ καὶ ἐλέγχετε.

12 Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν.

13 Τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται.

Εἶπεν, ὅτι φῶς ἐστε. τὸ δὲ φῶς ἐλέγχει τὰ ἐν σκότει γινόμενα. ὥστε ἂν ἦτε ὑμεῖς, φησὶν, ἐνάρετοι καὶ θαυμαστοὶ, λαθεῖν οὐ δυνήσονται οἱ πονηροί. καθάπερ γὰρ λύχνου καιομένου ἅπαντες φωτίζονται, καὶ ὁ ληστὴς οὐκ ἂν ἐπεισέλθοι· οὕτω, τοῦ φωτὸς ὑμῶν λάμποντος, ἁλώσονται οἱ πονηροὶ ἐλεγχόμενοι. [χ. πάντα χ. ἐλέγχεις] ἄρα διελέγχειν δεῖ. πῶς οὖν φησι, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε; [Matth. ζ. α.] ἐλέγχειν εἶπεν, οὐ κατακρίνειν, τουτέστι, παιδεύειν. καὶ μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, περὶ τῶν ἐλαχίστων ἁμαρτημάτων εἶπεν. ἀμέλει καὶ ἐπήγαγε, Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; [Matth. ζ. γ.] ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ τὸ τραῦμα, ἕως ἂν ἐμφωλεύῃ καλυπτόμενον ἄνωθεν, καὶ διὰ βάθους τρέχῃ, οὐδεμιᾶς ἀπολαύει τῆς ἐπιμελείας· οὕτω καὶ ἁμαρτία, ἕως μὲν ἂν κρύπτηται, καθάπερ ἐν σκότῳ μετ᾽ ἀδείας τολμᾶται πολλῆς· ἐπειδὰν δὲ φανερωθῇ, γίνεται φῶς· οὐχὶ αὐτὴ ἡ ἁμαρτία (πῶς γάρ;) ἀλλ᾽ ὁ ἐργασάμενος. ὅταν γὰρ εἰς μέσον ἐνεχθῇ, ὅταν νουθετηθῇ, ὅταν μετανοήσῃ, ὅταν ἀφέσεως τύχῃ, οὐχὶ ἐξεκάθαρας αὐτοῦ τὸ σκότος; οὐχὶ τότε ἐθεράπευσας αὐτοῦ τὸ τραῦμα; οὐχὶ τὴν ἀκαρπίαν ἐξεκαλέσω πρὸς καρπόν; ἢ τοῦτό φησιν, ἢ ἐκεῖνο, ὅτι ὁ μὲν ὑμέτερος βίος φανερὸς ὢν, φῶς ἐστιν· οὐδεὶς γὰρ τῶν ἀλήπτων κρύπτει τὸν βίον. τὰ δὲ κρυπτόμενα, διὰ τὸ ἐσκοτίσθαι κρύπτεται.

14 Διὸ λέγει, ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Καθεύδοντα καὶ νεκρὸν, τὸν ἐν ἁμαρτίαις φησί. καὶ γὰρ δυσωδίας πνεῖ, ὡς ὁ νεκρὸς, καὶ ἀνενέργητός ἐστιν, ὡς ὁ καθεύδων, καὶ οὐδὲν ὁρᾷ, ὡς ἐκεῖνος, ἀλλ᾽ ὀνειρώττει καὶ φαντάζεται. τινὲς μὲν ἐπιψαύσεις φασὶ τοῦ Χριστοῦ· οἱ δὲ, ἐπιφαύσει σοι ὁ Χριστός· μᾶλλον δὲ τοῦτό ἐστι. ἀποστὰς τῆς ἁμαρτίας, καὶ δυνήσῃ τὸν Χριστὸν ἰδεῖν. Ὁ γὰρ τὰ φαῦλα πράττων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς· [Ioan. γ. κ.] ὁ τοίνυν μὴ πράττων, ἔρχεται. ἀλλ᾽ οὐ περὶ τῶν ἀπίστων τοῦτο μόνον φησί. πολλοὶ γὰρ τῶν πιστῶν, οὐδὲν ἧττον τῶν ἀπίστων, τῆς κακίας ἔχονται, εἰσὶ δὲ, οἱ καὶ πολλῷ μᾶλλον. διὸ καὶ πρὸς τούτους ἀναγκαῖον εἰπεῖν, ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. πρὸς τούτους ἁρμόζει καὶ τοῦτο εἰπεῖν· Ὁ Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων. [Mar. ιβ. κζ.] εἰ τοίνυν οὐκ ἐστὶ νεκρῶν, ζήσωμεν. πῶς δὲ ὑπερβολὴν εἶναί φασι τὸ, ὁ πλεονέκτης εἰδωλολάτρης ἐστίν. ἀλλ᾽ οὐκ ἔστιν ὑπερβολῆς τὸ ῥῆμα, ἀλλ᾽ ἀληθείας. πῶς καὶ τίνι τρόπῳ; ὅτι ἀφίσταται ἀπὸ τοῦ Θεοῦ ὁ πλεονέκτης, καθάπερ ὁ εἰδωλολάτρης. [χ. εἶναι τὸ ῥῆμα,] καὶ ἵνα μὴ νομίσῃς ἁπλῶς εἰρῆσθαι, ἀπόφασίς ἐστι τοῦ Χριστοῦ λέγουσα· Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμμωνᾷ. [Matth. ς. κδ.] οἱ μαμμωνᾷ δουλεύοντες, ἐξέβαλον ἑαυτοὺς τῆς τοῦ Θεοῦ δουλείας· οἱ δὲ ἀρνησάμενοι αὐτοῦ τὴν δεσποτείαν, καὶ χρυσῷ δουλεύοντες ἀψύχῳ, εὔδηλον ὅτι εἰδωλολάτραι εἰσίν. ἀλλ᾽ οὐκ ἐποίησα, φησὶν, εἴδωλον, οὐδὲ ἔστησα βωμὸν, οὐδὲ κατέθυσα πρόβατα, οὐδὲ οἶνον ἐπέσπεισα, ἀλλ᾽ εἰς ἐκκλησίαν εἰσῆλθον, καὶ χεῖρας ἀνέτεινα τῷ μονογενεῖ τοῦ Θεοῦ παιδὶ, καὶ μυστηρίων μετέχω, καὶ εὐχῆς κοινωνῶ, καὶ τῶν ἄλλων ἁπάντων, ὧν προσήκει τὸν χριστιανόν. πῶς οὖν, φησὶν, εἴδωλα προσκυνῶ; τοῦτο μὲν οὖν αὐτὸ καὶ τὸ θαυμαστότατόν ἐστιν, ὅτι πεῖραν λαβὼν καὶ γευσάμενος τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ ἰδὼν ὅτι χρηστὸς ὁ Κύριος, τὸν μὲν χρηστὸν εἴασας, τὸν δὲ ὠμὸν τύραννον κατεδέξω, καὶ προσποιῇ μὲν τύπῳ δουλεύειν, τῇ δὲ ἀληθείᾳ τῷ σκληρῷ ζυγῷ καὶ χαλεπῷ τῆς φιλαργυρίας σαυτὸν ὑπέβαλες. οὔπω μοι σὺ εἶπας κατόρθωμα, ἀλλὰ τὰ δῶρα τοῦ δεσπότου. εἰπὲ γάρ μοι, παρακαλῶ, τὸν στρατιώτην πόθεν κρίνομεν; ὅταν δορυφορῇ τὸν βασιλέα καὶ παρ᾽ αὐτοῦ τρέφηται καὶ καλῆται αὐτοῦ, ἢ ὅταν τὰ ἐκείνου οὐ φορῇ, ἀλ-

λὰ

λὰ προσποιῆται μὲν εἶναι μετ' ἐκείνου, καὶ τὰ ἐκείνου θεραπεύει, τὰ δὲ τῶν πολεμίων πράγματα αἴρῃ; εὔδηλον ὅτι τὸν βασιλέα δορυφορῶν. διὰ τοῦτο καὶ χαλεπωτέρας κολάσεως ἄξιος ὁ τῆς τοῦ βασιλέως δουλείας ἑαυτὸν ἀπορρήξας, καὶ τοῖς ἐχθροῖς προστεθείς. καὶ σὺ τοίνυν ὑβρίζεις τὸν Θεὸν καθάπερ εἰδωλολάτρης, οὐχ ἐν στόματι τῷ σῷ, ἀλλὰ μυρίοις τοῖς ἠδικημένοις. ἀλλ' εἰδωλολάτρης, φησὶν, οὐκ ἔστι. ὅταν οὖν λέγωσιν οἱ Ἕλληνες, ὁ Χριστιανὸς, ὁ πλεονέκτης, τότε οὐκ αὐτὸς μόνος ὑβρίζει δι' ὧν πράττει, ἀλλὰ καὶ τοὺς ἠδικημένους ἀναγκάζει πολλάκις τοῦτο λέγειν. εἰ δὲ μὴ λέγουσι, τοῦτο τῆς ἐκείνων εὐλαβείας λογίζου. ἢ οὐχ ὁρᾶτε τὰ πράγματα οὕτω γινόμενα; ὁ εἰδωλολάτρης, τί ἄλλο; ἢ οὐχὶ καὶ αὐτὸς πάθη προσκυνεῖ πολλάκις, μὴ τῶν παθῶν κρατῶν; οἶδα τί λέγω· ὅταν εἴπωμεν, ὅτι εἴδωλα προσκυνεῖ, οὔ, φησιν, ἀλλὰ τὴν Ἀφροδίτην, ἀλλὰ τὸν Ἄρην. κἂν εἴπωμεν, τίς αὕτη ἡ Ἀφροδίτη; οἱ σεμνότεροι αὐτῶν φασιν, ἡ ἡδονή. καὶ τίς ὁ Ἄρης; ὁ θυμός. οὕτω καὶ σὺ τὸν μαμμωνᾶν. ἂν εἴπωμεν, τίς ὁ μαμμωνᾶς; ἡ πλεονεξία, καὶ σὺ ταύτην προσκυνεῖς. οὐ προσκυνῶ, φησί. διὰ τί; ὅτι οὐ κάμπτεις σαυτόν; ἀλλὰ νῦν πολλῷ μᾶλλον προσκυνεῖς διὰ τῶν ἔργων καὶ τῶν πραγμάτων· αὕτη γὰρ μείζων ἡ προσκύνησις. καὶ ἵνα μάθῃς, ἴδε ἐπὶ τοῦ Θεοῦ, τίνες μᾶλλον αὐτὸν προσκυνοῦσιν, οἱ ἁπλῶς ἑστῶτες ἐν ταῖς προσευχαῖς, ἢ οἱ τὸ θέλημα αὐτοῦ ποιοῦντες; εὔδηλον ὅτι οὗτοι. οὕτω καὶ οἱ ἐπὶ τοῦ μαμμωνᾶ, οἱ τὸ θέλημα αὐτοῦ ποιοῦντες, μᾶλλον αὐτὸν προσκυνοῦσι. καίτοι ἐκεῖνοι τὰ πάθη προσκυνοῦντες, πολλάκις ἐκτός εἰσι τῶν παθῶν. ἴδοι γὰρ ἄν τις τὸν τοῦ Ἄρεος θεραπευτὴν, τοῦ θυμοῦ κρατοῦντα πολλάκις· ἐπὶ δὲ σοῦ οὐκ ἔστι τοῦτο, ἀλλὰ τῷ πάθει καταδουλοῖς σαυτόν. ἀλλ' οὐ σφάζεις πρόβατα; ἀλλ' ἀνθρώπους, καὶ ψυχὰς λογικάς, τὰς μὲν λιμῷ, τὰς δὲ βλασφημίαις. οὐδὲν ταύτης τῆς θυσίας βακχικώτερον. τίς εἶδε ψυχὰς σφαζομένας ποτέ; ἔμπρατος ὁ τῆς πλεονεξίας βωμός. παρὰ γάρ τοι τὸν τῶν εἰδώλων ἂν ἔλθῃς βωμὸν, ὀσμῆς αἰγείων καὶ βοείων αἱμάτων ὄζοντα· παρὰ δὲ τὸν τῆς πλεονεξίας βωμὸν ἂν ἔλθῃς, αἱμάτων ἀνθρωπίνων ὀσμὴν χαλεπὴν ἀποπνέοντα. ἂν παρέλθῃς ἐνταῦθα, οὐ θεάσῃ πτερὰ καιόμενα ὀρνίθων, οὐδὲ κνίσσαν καὶ καπνὸν ἀναδιδόμενον, ἀλλὰ "σώματα ἀνθρώπων" ἀπολλύμενα. οἱ μὲν γὰρ εἰς κρημνοὺς ἑαυτοὺς ἔρριψαν, οἱ δὲ βρόχοις" ἧψαι, οἱ δὲ ξίφος διήλασαν διὰ τοῦ λαιμοῦ. εἶδες θυσίας ὠμὰς καὶ ἀπανθρώπους; βούλει τούτων χαλεπωτέρας ἰδεῖν; ἐγώ σοι δείξω, οὐκ ἔτι σώματα ἀνθρώπων, ἀλλὰ καὶ ψυχὰς ἀνθρώπων κατασφαττομένας ἐκεῖ. καὶ γάρ ἐστι ψυχὴν σφάττεσθαι σφαγὴ τῇ προσηκούσῃ ψυχῇ. ὥσπερ γάρ ἐστι σώματος θάνατος, οὕτω καὶ ψυχῆς. ψυχὴ γὰρ ἡ ἁμαρτάνουσα, φησιν, αὐτὴ καὶ ἀποθανεῖται. οὐ τοιοῦτος, οἷος ὁ τοῦ σώματος θάνατος, ἀλλὰ πολλῷ χαλεπώτερος ὁ τῆς ψυχῆς. ἐκεῖ μὲν γὰρ ὁ σωματικὸς θάνατος διαλύσας ἀπ' ἀλλήλων τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸ μὲν πολλῶν φροντίδων καὶ πόνων ἀνέπαυσε, τὴν δὲ εἰς φανερὸν χῶρον παρέπεμψεν. εἶτα τῷ χρόνῳ διαλυθὲν καὶ ἀπορρυὲν, πάλιν συνίσταται μετ' ἀφθαρσίας, καὶ τὴν οἰκείαν ἀπολαμβάνει ψυχήν. ἐκεῖ μὲν οὖν τοιοῦτος· ὁ δὲ τῆς ψυχῆς, φρικτὸς καὶ φοβερός. οὐ γὰρ ἐᾷ διαλυθῆναι, καθάπερ τὸ σῶμα αὐτὴν παραπέμπει, ἀλλὰ καταδεθεῖσαν πάλιν ἀφθάρτῳ σώματι, εἰς τὸ πῦρ ἐμβιβάζει τὸ ἄσβεστον. οὗτος τοίνυν ἐστὶν ὁ τῆς ψυχῆς θάνατος. ὥσπερ οὖν ἐστι ψυχῆς θάνατος, οὕτω καὶ σφαγὴ ψυχῆς. τί σώματος σφαγή; τὸ νεκρωθῆναι, καὶ τῆς ἐνεργείας ἀπορραγῆναι τῆς κατὰ ψυχήν. τί ἐστι ψυχῆς σφαγή; καὶ αὐτὸ νέκρωσις. τί δὲ νέκρωσις ψυχῆς; ὥσπερ γὰρ τὸ σῶμα τότε νεκροῦται, ὅταν ἔρημον αὐτὸ καταλίπῃ τῆς οἰκείας ἐνεργείας ἡ ψυχή, οὕτω καὶ ἡ ψυχὴ τότε νεκροῦται, ὅταν ἔρημον αὐτὴν καταλίπῃ τῆς οἰκείας ἐνεργείας τὸ πνεῦμα τὸ ἅγιον. αὗται μάλιστα αἱ σφαγαὶ παρὰ τῷ βωμῷ τῆς πλεονεξίας εἰσίν. οὐ κορέννυται, οὐδὲ ἵσταται μέχρι τοῦ αἵματος τῶν ἀνθρώπων, ἀλλ' ἂν μὴ καὶ τὴν ψυχὴν αὐτὴν καταθύσῃ, οὐκ ἐμπίπλαται ὁ τῆς πλεονεξίας βωμός,

Ιεζεκ. ιη. δ.

χ. σῶμα
χ. ἀπολλύμενον
χ. ἧψαν

βωμός, ἂν μὴ ἀμφοτέρων τὰς ψυχὰς δέξηται, τοῦ τε θύοντος, τοῦ τε θυομένου. τὸν γὰρ θύοντα πρότερον ἀνάγκη τεθνάναι, καὶ οὕτω θύει, καὶ ὁ νεκρὸς θύει τὸν πρὸς ζῶντα. ὅταν γὰρ εἴπῃ βλάσφημα, ὅταν λοιδορῆται, ὅταν δυσχεραίνῃ, οὐχὶ αἱ πληγαὶ αὗται τῆς ψυχῆς εἰσιν ἀνίατοι; εἶδες ὅτι οὐχ ὑπερβολῆς τὸ ῥῆμά ἐστι; βούλει καὶ ἑτέρωθεν ἀκοῦσαι, καὶ μαθεῖν πῶς εἰδωλολατρεία ἡ πλεονεξία, καὶ χαλεπωτέρα εἰδωλολατρείας; οἱ εἰδωλολάτραι τοῖς τοῦ Θεοῦ κτίσμασι προσκυνοῦσι (Καὶ ἐσεβάσθησαν γάρ, φησι, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα) σὺ δὲ τῷ κτίσματι τῷ σαυτοῦ προσκυνεῖς. ὁ γὰρ Θεὸς πλεονεξίαν οὐκ ἐδημιούργησεν, ἀλλ' ἡ τῆς σῆς ἀπληστίας ἐπεξεῦρεν ἀμετρία. καὶ θέα μανίαν καὶ γέλωτα. οἱ τὰ εἴδωλα προσκυνοῦντες, καὶ τιμῶσιν αὐτὰ ἃ προσκυνοῦσι· κἂν εἴπῃ τις κακῶς, κἂν λοιδορήσηται, προΐστανται. σὺ δὲ καθάπερ ὑπό τινος μέθης πρᾶγμα προσκυνεῖς, ὃ οὐ μόνον κατηγορίας οὐκ ἀπήλλακται, ἀλλὰ καὶ ἀσεβείας ἐστὶ μεστόν. ὥστε μᾶλλον αὐτῶν χείριστος εἶ. οὐ γὰρ ἂν ἔχοις ἀπολογίαν εἰπεῖν, ὅτι οὐ κακόν. εἰ καὶ τὰ μάλιστα κακοῦργοί εἰσιν ἀναπολόγητοι, ἀλλὰ σὺ πολλῷ μᾶλλον, μυριάκις πλεονεξίας κατηγορῶν, καὶ τοὺς θεραπεύοντας αὐτήν, καὶ δουλεύοντας, καὶ πειθομένους ἅπαντας κακίζων.

Εἰ δὲ βούλεσθε, ἐξετάσωμεν πόθεν ἐπεισῆλθεν ἡ εἰδωλολατρεία. λέγει τις σοφὸς ἀνήρ, Ὅτι πλούσιός τις ἄνθρωπος ἀώρῳ πένθει τρυχόμενος υἱοῦ, καὶ παραμυθίαν οὐδεμίαν ἔχων τοῦ πένθους, ταύτῃ παραμυθούμενος τὸ πάθος, εἰκόνα ἄψυχον τοῦ τετελευτηκότος ποιήσας, καὶ διὰ παντὸς εἰς αὐτὴν ἐνορῶν, ἐδόκει τὸν ἀπελθόντα ἔχειν διὰ τῆς εἰκόνος. κόλακες δέ τινες ἄνθρωποι, ὧν ὁ Θεὸς ἡ κοιλία, θεραπεύοντες εἰς τὴν ἐκείνου τιμὴν τὴν εἰκόνα, τὸ ἔθος εἰς εἰδωλολατρείαν προήγαγον. οὐκοῦν ἀπὸ ἀσθενείας ἐπεισῆλθε ψυχῆς, ἀπὸ συνηθείας ἀλόγου, ἀπὸ ἀμετρίας. ἡ δὲ πλεονεξία οὐχ οὕτως. ἀπὸ ἀσθενείας μὲν γὰρ καὶ αὕτη ψυχῆς, πλὴν ἀλλ' ἀπὸ χείρονος. οὐκ ἀπέθανέ τις υἱός, οὐδὲ πένθους παραμυθίαν ζητῶν, οὐδὲ ὑπὸ κολάκων ἐξελκόμενος· ἀλλὰ πῶς; ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. ὁ Κάϊν τὸν Θεὸν ἐπλεονέκτησεν. ἃ γὰρ ἐκείνῳ δοθῆναι ἐχρῆν, περὶ ἑαυτὸν κατασχών, ἅπερ αὐτοῦ ἔχειν ἔδει, ταῦτα ἐκείνῳ προσήνεγκε, καὶ τὸ κακὸν ἀπὸ τοῦ Θεοῦ ἤρξατο. εἰ γὰρ ἡμεῖς τοῦ Θεοῦ ἐσμεν, πολλῷ μᾶλλον τὰ πρωτεῖα τῶν κτημάτων τῶν ἡμετέρων. πάλιν εἰς γυναῖκας ἀπὸ πλεονεξίας ἡ ὁρμὴ γέγονεν. Εἶδον τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐξεκυλίσθησαν πρὸς τὴν ἐπιθυμίαν· ἀπὸ τούτων πάλιν εἰς χρήματα. τὸ γὰρ πλέον ἔχειν θέλειν τοῦ πλησίον ἐν τοῖς βιωτικοῖς, οὐδαμόθεν ἄλλοθεν γίνεται, ἀλλ' ἢ ἐκ τοῦ ψυγῆναι τὴν ἀγάπην· τὸ πλέον ἔχειν θέλειν οὐκ ἀλλαχόθεν γίνεται, ἀλλ' ἢ ἐξ ἀπονοίας, καὶ μισανθρωπίας, καὶ ὑπεροψίας. οὐχ ὁρᾷς τὴν γῆν ὅση ἐστί; πῶς πολλῷ μείζων τῆς χρείας ἐστὶν ὁ ἀήρ, ὁ οὐρανός; ἵνα γὰρ σου τὴν πλεονεξίαν σβέσῃ ὁ Θεός, εἰς τοσοῦτον μέτρον τὰ κτίσματα ἐξήγαγε· σὺ δὲ ἁρπάζεις καὶ οὕτω, καὶ ἀκούεις ὅτι εἰδωλολατρεία ἡ πλεονεξία, καὶ οὐδὲ οὕτω φρίττεις; κληρονομῆσαι τὴν γῆν θέλεις; ἀλλ' οὐκ ἔχεις ἐν τῷ οὐρανῷ κληρονομίαν. ἑτέροις καταλιπεῖν σπουδάζεις κληρονομίαν, ἵνα σεαυτὸν ἀποστερήσῃς; εἰπέ μοι, εἴ τίς σοι παρέχοι ἐξουσίαν λαβεῖν ἅπαντα, ἆρα οὐκ ἂν ἠθέλησας; ἔνεστι νῦν, ἐὰν βούλῃ. καίτοι τινές φασιν, ὅτι ἀλγοῦσιν, ὅταν εἰς ἑτέρους τὸν κλῆρον παραπέμπωσι, καὶ ἐβούλοντο εἶναι κατεδηδοκότες αὐτοὶ μᾶλλον, ἢ ἑτέρους ὁρᾶν κυρίους γινομένους. οὐδὲ ἐγώ σε ταύτης ἀπαλλάττω τῆς ἀσθενείας. ἀσθενοῦς μὲν γὰρ καὶ τοῦτο ψυχῆς. πλὴν ἀλλ' ὅμως καὶ τοῦτο γινέσθω. ἐν ταῖς διαθήκαις τὸν Χριστὸν κατάλιπε κληρονόμον. ἔδει μὲν γὰρ ζῶντα (τοῦτο γὰρ προαιρέσεως ὀρθῆς ἦν) ἀλλ' ὅμως κἂν ὑπὸ τῆς ἀνάγκης γενοῦ φιλοτιμότερος. καὶ γὰρ ὁ Χριστὸς διὰ τοῦτο προσέταξε διδόναι πένησιν, ἵνα ταύτῃ ἡμᾶς φιλοσόφους ἐργάσηται, ἵνα πείσῃ χρημάτων καταφρονεῖν, ἵνα ὑπεροψίαν διδάξῃ τῶν γηΐνων. τοῦτο οὐκ ἔστι χρημάτων ὑπεροψία, τὸ τελευτῶντα καὶ οὐκ ὄντα κύριον τῷ δεῖνι παρέχειν, καὶ τῷ

Marginalia: χρῆ εἰ. — θύειν — Ῥωμ. α. κε. — κακοῦργος — κατηγορῶν — Σοφ. ιδ. ιε. — κατηγορῶν — Γεν. ς. β. — χ. ἦν

δεῖν. οὐκ ἐκ τῆς σῶν δίδως λοιπόν, ἀλλ' ἐξ αὐτῆς τῆς ἀνάγκης. τῷ θανάτῳ χάρις, οὐ σοί. τοῦτο οὐκ ἔστι φιλοστοργίας, ἀλλ' ἐπηρείας. πλὴν κἂν οὕτω γενέσθω, κἂν τότε λῦσον τὸ πάθος.

ΗΘΙΚΟΝ

Ἐννόησον ὅσα ἥρπασας, ὅσα ἐπλεονέκτησας· πάντα ἀπόδος τετραπλάσια, οὕτως ἀπολόγησαι τῷ Θεῷ. ἀλλ' εἰσί τινες εἰς τοῦτο μανίας ἥκοντες καὶ πηρώσεως, οἳ οὐδὲ τότε συνορῶσι τὸ δέον· ἀλλ' ὥσπερ σπουδάζοντες χαλεπώτερον ἑαυτοῖς ἐργάσασθαι τοῦ Θεοῦ τὸ κρίμα, οὕτως ἅπαντα περιέπλουσι. διὰ τοῦτο ὁ μακάριος Παῦλος ἔλεγε γράφων· ὡς τέκνα φωτὸς περιπατεῖτε. ὁ δὲ πλεονέκτης μάλιστα ἐν σκότῳ ζῇ, καὶ σκότος πολὺ κατασκεδάζει πάντων. καὶ μὴ συγκοινωνεῖτε, φησί, τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανεροῦται. ἀκούσατε, παρακαλῶ, πάντες ὅσοι οὐ βούλεσθε εἰκῆ μισεῖσθαι. ἁρπάζει, καὶ οὐκ ἐλέγχεις, ἀλλὰ δέδοικας τὸ μῖσος; καίτοι οὐκ ἔστιν εἰκῆ μισεῖσθαι τοῦτο, ἀλλὰ δικαίως. ἐλέγχεις, καὶ δέδοικας τὸ μῖσος; ἔλεγξον τὸν ἀδελφόν, ἀνάδεξαι ἔχθραν διὰ τὴν ἀγάπην τὴν εἰς τὸν Χριστόν, διὰ τὴν ἀγάπην τὴν εἰς αὐτόν· κώλυσον αὐτὸν εἰς βάραθρον ἀπερχόμενον. τὸ γὰρ τραπέζης κοινωνῆσαι, καὶ ῥημάτων χρηστῶν, καὶ περιστρήσεως, καὶ τρυφῆς, οὐ σφόδρα φιλίας ἐστί. τοιαῦτα τοῖς φίλοις ἡμῶν χαριζώμεθα δῶρα, ἵνα τὴν ψυχὴν αὐτῶν ἐξέλκωμεν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ. εἰς τὴν κάμινον κειμένους αὐτοὺς ὁρῶντες τῆς κακίας, ἀνασπάσωμεν. ἀλλ' οὐ διορθοῦται, φησίν. ἀλλὰ σὺ τὸ σαυτοῦ πρᾶξον, καὶ ἀπολογήσω τῷ Θεῷ. μὴ κρύψῃς τὸ τάλαντον. διὰ τοῦτο λόγον ἔχεις, διὰ τοῦτο γλῶτταν καὶ στόμα, ἵνα διορθοῖς τὸν πλησίον. τὰ ἄλογα μόνα οὐ φροντίζει τοῦ πλησίον, οὐδὲ λόγον ἔχει τινὰ τῶν ἄλλων. σὺ δὲ πατέρα καλῶν τὸν Θεόν, καὶ ἀδελφὸν τὸν πλησίον, ὁρῶν αὐτὸν μυρία ποιοῦντα κακά, τὴν χάριν τὴν παρ' ἐκείνου τῆς ὠφελείας αὐτοῦ προτιθεῖς; μή, παρακαλῶ. οὐδὲν οὕτω φιλίας τεκμήριον, ὡς τὸ μὴ περιορᾶν ἁμαρτάνοντας τοὺς ἀδελφούς. εἶδες ἐχθραίνοντας; διάλυσον· εἶδες πλεονεκτοῦντας; κώλυσον· εἶδες ἀδικουμένους; παράστηθι. οὐκ ἐκείνοις, ἀλλὰ σαυτῷ προτέρῳ χαρίσω. διὰ τοῦτο φίλοι ἐσμέν, ἵνα ἀλλήλους ὠφελῶμεν. ἄλλως ἀκούσεται παρὰ τοῦ φίλου, καὶ ἄλλως παρὰ τοῦ τυχόντος. τὸν τυχόντα ὑποπτεύουσιν ἴσως, καὶ τοὺς διδασκάλους ὁμοίως, τὸν δὲ φίλον οὐκέτι. τὰ γὰρ κρυφῇ γινόμενα, αἰσχρόν ἐστι, φησί, καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανεροῦται. τί βούλεται ἐνταῦθα εἰπεῖν; τοῦτο λέγει, ὅτι τὰ μὲν τῶν ἁμαρτημάτων ἐνταῦθα λάθρα γέγονε, τὰ δὲ καὶ φανερῶς. ἐκεῖ δὲ οὐχ οὕτως ἔσται. οὐδεὶς γάρ ἐστιν ὁ μὴ συνειδὼς ἑαυτῷ ἐπὶ ἁμαρτήματι. διὰ τοῦτο, φησί, τὰ δὲ πάντα ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανεροῦται. τί οὖν; οὐ περὶ εἰδωλολατρείας, φησί, καὶ ἐνταῦθα τοῦτο εἴρηται; οὐχί, ἀλλὰ περὶ βίου καὶ ἁμαρτημάτων ἐστὶν ὁ λόγος. πᾶν γὰρ τὸ φανερούμενον, φησί, φῶς ἐστι. διό, παρακαλῶ, μήτε ὑμεῖς ὀκνεῖτε ἐλέγχειν, μήτε δυσχεραίνετε ἐλεγχόμενοι. ἕως μὲν γὰρ ἂν ἐν σκότει περιπίπτῃ τι, μετὰ πλείονος περιπίπτεται τῆς ἀδείας· ἐπειδὰν δὲ πολλοὺς ἔχῃ τοὺς μαρτυροῦντας τοῖς γινομένοις, φωτίζεται. διὸ μάλιστα πάντα περιέπλωμεν, ὥστε τὴν νέκρωσιν τῶν ἀδελφῶν τῶν ἡμετέρων ἀποσοβεῖν, ὥστε τὸ σκότος σκεδάζειν, ὥστε τὸν ἥλιον ἐπισπάσασθαι τῆς δικαιοσύνης. ἂν γὰρ πολλοὶ ὦσιν οἱ φωστῆρες, αὐτόθι τε εὔκολος ἔσται τῆς ἀρετῆς ἡ ὁδός, καὶ οἱ ἐν σκότει μᾶλλον ἁλώσονται, τοῦ φωτὸς ἐπιπεμπομένου κἀκεῖνο ἀφανίζοντος. ἂν δὲ τοὐναντίον, δέος μὴ καὶ οὗτοι σβεσθῶσι, τῆς παχύτητος τῆς ἀπὸ τοῦ σκότους καὶ τῶν ἁμαρτημάτων κρατούσης τοῦ φωτός, καὶ ἀποσοβούσης αὐτοῦ τὸ εἶδος. ὡς οὖν ἑαυτοὺς ὠφελοῦντες, οὕτω διακείμεθα, ἵνα διὰ πάντων δόξαν ἀναπέμψωμεν τῷ φιλανθρώπῳ Θεῷ, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. τινὰ

γρ. ἐχθρ. ὄντας

Λογ. ιθ.

Λογ. ιθ. 15 ΒΛΕΠΕΤΕ ΟΥΝ "ΑΚΡΙΒΩΣ ΠΩΣ ΠΕΡΙΠΑΤΕΙΤΕ, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, 16 Ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. 17 Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ "συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.

γ. πῶς ἀκριβῶς

γ. συνίετε

γ. ἐκκαθαίρει

ΕΤι τὴν τῆς πικρίας "ἐκκαθαίρει ῥίζαν, ἔτι τὴν ὑπόθεσιν τῆς ὀργῆς ἐκκόπτει. τί γάρ φησι; βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε. ἤδη τὸν διδάσκαλον αὐτοῦ, ὅτι πέμπων τοὺς μαθητάς, ὡς πρόβατα ἐν μέσῳ λύκων, ἔτι ἐκέλευεν αὐτοὺς καὶ ὡς περιστερὰς εἶναι. Καὶ ἀκέραιοι γάρ, φησιν, ἔσεσθε, ὥσπερ αἱ περιστεραί. ἐπεὶ οὖν καὶ μεταξὺ λύκων ἦσαν, καὶ ἔτι προστεταγμένοι μὴ ἀμύνεσθαι, ἀλλὰ πάσχειν κακῶς, διὰ τοῦτο τῆς τοιαύτης ἐδέοντο παραινέσεως. καίτοιγε καὶ τὸ πρότερον ἱκανὸν ἦν αὐτοὺς εὐαγεστέρους ποιῆσαι. ὅταν δὲ καὶ ἡ τῶν δύο προσθήκη ᾖ, ἐννόησον τὴν ὑπερβολήν. ὅρα γοῦν καὶ πῶς αὐτοὺς ἐπιμελῶς ἀσφαλίζεται, λέγων· βλέπετε πῶς περιπατεῖτε. ὁλόκληροι πόλεις πρὸς αὐτοὺς πόλεμον εἶχον, ἐπεισῆλθε καὶ εἰς τὰς οἰκίας αὐτῶν ὁ πόλεμος. πατὴρ κατὰ υἱοῦ, υἱὸς κατὰ πατρός, μήτηρ κατὰ θυγατρός, θυγάτηρ κατὰ μητρὸς ἦσαν διεσπαρμένοι. τί οὖν; πόθεν αἱ διαιρέσεις αὗται; ἤκουσαν τοῦ Χριστοῦ λέγοντος· Ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. ἵν' οὖν μὴ νομίσωσιν, ὅτι ἁπλῶς πολέμους εἰσάγει καὶ μάχας, ἐπεὶ ἔμελλε μεγάλη τίκτεσθαι ὀργή, εἰ καὶ αὐτοὶ ἔμελλον ἐπεξιέναι, τούτου χάριν λέγει· βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε· τουτέστι, πλὴν τοῦ κηρύγματος, μηδαμόθεν ἄλλοθεν δῶτε λαβὴν τῆς ἔχθρας τῆς καθ' ὑμῶν· αὕτη μόνη τῆς ἔχθρας ὑπόθεσις ἔστω. μηδεὶς ὑμῖν ἕτερόν τι ἐγκαλείτω· ἀλλὰ τὸ τιμὴν καὶ ὑπακοὴν πᾶσαν ἐπιδείκνυσθε, ὅταν μηδὲν βλάπτῃ τὸ κήρυγμα, ὅταν μηδὲν ἐμποδίζῃ" τὴν εὐσέβειαν. Ἀπόδοτε γάρ, φησι, πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον, τῷ τὸ τέλος, τὸ τέλος. ὅταν γὰρ ἐν τοῖς ἄλλοις ἴδωσιν ἡμᾶς ἐπιεικεῖς, ἐντραπήσονται. μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν. οὐχὶ ποικίλους ἡμᾶς καὶ παντοδαποὺς εἶναι βουλόμενος ταῦτα παραινεῖ· ἀλλὰ τοῦτό ἐστιν ὅ φησιν· οὐκ ἔστιν ὑμέτερος ὁ καιρός· νῦν πάροικοί ἐστε, καὶ παρεπίδημοι, καὶ ξένοι, καὶ ἀλλότριοι. μὴ ζητεῖτε τιμάς, μὴ ζητεῖτε δόξαν, μὴ ζητεῖτε δυναστείαν, μηδὲ ἐκδίκησιν, πάντα φέρετε, καὶ τούτῳ τὸν καιρὸν ἐξαγοράζεσθε, πολλὰ καταβάλλεσθε, πᾶν ὅ, τι ἂν θέλωσιν. ἀσαφὲς τὸ εἰρημένον. φέρε οὖν ἐπὶ ὑποδείγματος ποιήσω αὐτὸ φανερόν. ἐννόησόν μοί τινα οἰκίαν ἔχοντα λαμπράν, εἶτά τινας ἐπεισερχομένους, ὥστε αὐτὸν ἀνελεῖν, κἀκεῖνον πολλὰ διδόντα, καὶ ἐξαιρούμενον ἑαυτόν· τότε λέγομεν, ὅτι ἐξηγόρασεν ἑαυτόν. οὕτω καὶ σὺ οἰκίαν ἔχεις μεγάλην, καὶ πίστιν ἀληθῆ. "ἐὰν ἔρχονται ὥστε λαβεῖν πάντα· δὸς ὅπουπερ ἂν ἀπαιτήσῃ τις, μόνον τὸ κεφάλαιον διάσωσον, τὴν πίστιν λέγω. αἱ γὰρ ἡμέραι, φησί, πονηραί εἰσι. τί πονηρία τῆς ἡμέρας; πονηρία τῆς ἡμέρας περὶ τὴν ἡμέραν ὀφείλει εἶναι. ἂν τί ἐστιν ἕκαστον τῶν ἐν ἡμῖν πονηρὸν μάθῃς, γνώσῃ καὶ τί ἐστι πονηρία ἡμέρας. τί ἐστι πονηρία σώματος; νόσος. τί δὲ πονηρία ψυχῆς; κακία. τί ἐστι πονηρία ὕδατος; πικρία. τὸ ἑκάστου ἡ πονηρία, ἡ φαυλότης ἐστὶ περὶ ἐκείνην τὴν φύσιν, ἧς ἐστι πονηρία. εἰ τοίνυν ἡ πονηρία περὶ τὴν ἡμέραν ἐστί, περὶ αὐτὴν τὴν ἡμέραν χρὴ εἶναι, περὶ τὰς ὥρας, περὶ τὸ φῶς. ὅπου καὶ ὁ Χριστός φησιν· Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς· ἀπὸ τούτου κἀκεῖνο γνωσόμεθα. πῶς οὖν ἡμέρας καλεῖ πονηράς; πῶς καιρὸν πονηρόν; οὐ τὴν οὐσίαν, οὐδὲ τὰ κτίσματα, ἀλλὰ διὰ τὰ ἐν αὐτοῖς γινόμενα. καθάπερ καὶ ἡμῖν ἔθος λέγειν, χαλεπὴν ἡμέραν διήγαγον καὶ κακήν. καίτοι πῶς ἂν γένοιτο χαλεπή, ἀλλ' ἢ ἀπὸ τῶν ἐν αὐτῇ συμβαινόντων; τὰ δὲ ἐν αὐτῇ συμβαίνοντά ἐστιν ἀγαθά

Ματθ. ι. ε.

Ματθ. ι. λζ.

γ. τὴν δ' εὐσέβειαν

Ρωμ. ιγ. ζ.

γ. ἦχον

Ματθ. ϛ. λδ.

μὲν, παρὰ Θεοῦ· κακὰ δὲ, παρὰ ἀνθρώπων πονηρῶν. ἆρα τῶν ἐν τοῖς καιροῖς συμβαινόντων πονηρῶν οἱ ἄνθρωποι δημιουργοὶ, καὶ διὰ τοῦτο καιροὺς πονηροὺς λέγεσθαι. οὕτω καὶ ἡμέρας καιροὺς πονηροὺς καλοῦμεν. διὰ τοῦτό φησι, μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ Κυρίου.

18 Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. Καὶ τοῦτο γὰρ ἡ ἀμετρία θυμώδεις ποιεῖ καὶ θρασεῖς καὶ ἀκροσφαλεῖς, ὀργίλους καὶ χαλεπούς. εἰς εὐφροσύνην ὁ οἶνος δέδοται, οὐκ εἰς μέθην· νῦν δὲ τὸ πρᾶγμα καὶ ἀνανδρίας εἶναι δοκεῖ καὶ γέλωτος, τὸ μὴ μεθύσκεσθαι. ποία τοίνυν ἐλπὶς σωτηρίας; γέλως, εἰπέ μοι, τὸ μὴ μεθύσκεσθαι, ἔνθα μάλιστα πάντων τὸ μεθύσκεσθαι γέλως ὤφειλεν εἶναι; μάλιστα μὲν γὰρ καὶ τῶν ἰδιωτῶν πόῤῥω μέθης εἶναι καλόν· πολλῷ δὲ πλέον τὸν στρατιώτην, τὸν ἐν ξίφεσι στρεφόμενον, τῶν ἐν αἵμασι, τῶν ἐν σφαγαῖς· πολλῷ μᾶλλον τῶν στρατιωτῶν, ὅταν καὶ ἐπίρρωθεν ὁ θυμὸς ᾖ, ἀπὸ τῆς ἐξουσίας, ἀπὸ τῆς δυναστείας, ἀπὸ τοῦ συνεχῶς ἐν ἐπιβουλαῖς καὶ μάχαις εἶναι. βούλει μαθεῖν ποῦ καλὸς ὁ οἶνος; ἄκουε τῆς γραφῆς λεγούσης· Δότε οἶνον τοῖς ἐν λύπῃ, καὶ μέθην τοῖς ἐν ὀδύνῃ. Εἰκότως. τὸ γὰρ τραχὺ καὶ σκυθρωπὸν οἶδε μαλάττειν, καὶ τὸ συνεφὲς ἀπάγειν. Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, φησί. πῶς οὖν ἐκ τοῦ οἴνου ἡ μέθη; οὐ γὰρ ἔνι τὸν αὐτὸν τὰ ἐναντία ἐργάζεσθαι ἑαυτῷ. οὐκ ἄρα ἐκ τοῦ οἴνου ἡ μέθη, ἀλλ' ἐκ τῆς ἀμετρίας. ὁ οἶνος δι' οὐδὲν ἕτερον ἡμῖν δέδοται, ἢ δι' ὑγίειαν σώματος. ἀλλὰ καὶ πρὸς τοῦτο ἐμποδίζει ἡ ἀμετρία. ἄκουε δὲ καὶ τοῦ μακαρίου τοῦτο γράφοντος, καὶ λέγοντος τῷ Τιμοθέῳ· Ὀλίγῳ οἴνῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. διὰ γὰρ τοῦτο ὁ Θεὸς ἐποίησεν ἡμῶν τὰ σώματα σύμμετρα, καὶ ἀπὸ ὀλίγων κορέννυσθαι, ἐντεῦθεν ἤδη παιδεύων ἡμᾶς, ὅτι πρὸς ἑτέραν ἡμᾶς ζωὴν ἐποίησεν ἐπιτηδείους. καὶ ἐβούλετο μὲν καὶ ἐξ ἀρχῆς ἐκείνην δοῦναι, ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς κατεστήσαμεν, ἀνεβάλετο· καὶ ἐν τῷ χρόνῳ ᾧ ἀνεβάλετο, οὐδὲ ἐν αὐτῷ ἀφίησιν ἡμᾶς ἀπολαύειν ἀμέτρως. οἴνου γὰρ κοτύλη καὶ ἄρτος εἷς ἀρκεῖ γαστέρα ἐμπλῆσαι ἀνθρώπου. καὶ τὸν πάντων τῶν ἀλόγων κρατοῦντα, ὀλιγοδεέστερον αὐτὸν κατὰ τὴν ἀναλογίαν ἐποίησε, καὶ τὸ σῶμα βραχὺ, οὐδὲν ἕτερον, ἢ τοῦτο δηλῶν, ὅτι πρὸς ἑτέραν ζωὴν ἐπειγόμεθα. μὴ μεθύσκεσθε οἴνῳ, φησὶν, ἐν ᾧ ἐστιν ἀσωτία. οὐ γὰρ σώζει, ἀλλ' ἀπόλλυσιν, οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχήν. Ἀλλὰ πληροῦσθε ἐν πνεύματι,

Παροιμ. λα. ς.

Ψαλμ. ργ. ιε.

α. Τιμ. ε. κγ.

γ. ξίφει

γ. βραχὺ

19 Λαλοῦντες ἑαυτοῖς [ἐν] ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ,

20 Εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ πατρὶ,

21 Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ. Βούλει, φησὶν, εὐφραίνεσθαι; βούλει τὴν ἡμέραν ἀναλίσκειν; ἐγώ σοι δίδωμι πότον πνευματικόν. ἡ γὰρ μέθη καὶ τὴν εὔσημον ἐκκόπτει φωνὴν τῆς γλώττης τῆς ἡμετέρας, ψελλίζειν παρασκευάζουσα, καὶ ὀφθαλμοὺς καὶ πάντα ἁπλῶς διαστρέφουσα. μάθε ψάλλειν, καὶ ὄψει τοῦ πράγματος τὴν ἡδονήν. οἱ ψάλλοντες γὰρ πνεύματος πληροῦνται ἁγίου, ὥσπερ οἱ ᾄδοντες τὰς σατανικὰς ᾠδὰς, πνεύματος ἀκαθάρτου. τί ἐστιν, ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ; τουτέστι, μετὰ συνέσεως προσέχοντες. οἱ γὰρ οὐ προσέχοντες, ἁπλῶς ψάλλουσι, τὰ ῥήματα φθεγγόμενοι, τῆς καρδίας ῥεμβομένης ἑτέρωθι. πάντοτε, φησὶν, ὑπὲρ ἁπάντων εὐχαριστοῦντες ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ πατρὶ, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ· τουτέστι, τὰ αἰτήματα ὑμῶν μετ' εὐχαριστίας γνωριζέσθω πρὸς τὸν Θεόν. οὐδὲν γὰρ οὕτως εὐφραίνει τὸν Θεὸν, ὡς ὅταν ᾖ τις εὐχάριστος. μάλιστα δὲ δυνάμεθα εὐχαριστεῖν, ἀπάγοντες τῶν προειρημένων τὴν ψυχὴν τὴν ἡμετέραν, διακα-

γ. Θεῷ

γ. ψάλ

γ. φη

θαίροντες αὐτὸν τούτοις οἷς εἶπεν. ἀλλὰ πληροῦσθε, φησὶ, πνεύματι. ἆρα ἐν ἡμῖν τοῦτο; καὶ γὰρ ἐν ἡμῖν. ὅταν γὰρ ψεῦδος, ὅταν πικρίαν, ὅταν πορνείαν, ὅταν ἀκαθαρσίαν, ὅταν πλεονεξίαν ἀποσβέσωμεν τῆς ψυχῆς τῆς ἡμετέρας, ὅταν γινώμεθα χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, ὅταν εὐτραπελία μὴ παρῇ, ὅταν ἑαυτοὺς ἀξίους κατασκευάσωμεν, τί τὸ κωλῦον τὸ πνεῦμα τὸ ἅγιον ἐπελθεῖν καὶ ἐπιπτῆναι; καὶ οὐχ ἁπλῶς ἐπελεύσεται, ἀλλὰ πληρώσει τὴν καρδίαν ἡμῶν. τοσούτου δὲ ἔνδοθεν ὄντος φωτὸς, οὐδὲ δυσκατόρθωτος ἡμῖν λοιπὸν ἔσται ἡ ἀρετὴ, ἀλλὰ ῥᾳδία καὶ εὔκολος. πάντοτε εὐχαριστοῦντες, φησὶν, ὑπὲρ πάντων. τί δαί; ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ τῶν συμβαινόντων; ναί· κἂν νόσος ᾖ, κἂν πενία. εἰ γὰρ ἐν τῇ παλαιᾷ παρῄνει σοφός τις λέγων· Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι ἀσμένως, καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον, πολλῷ μᾶλλον ἐν τῇ καινῇ γίνεσθαι χρή. κἂν τὸν λόγον τοίνυν μὴ εἰδῇς, εὐχαρίστει. τοῦτο γάρ ἐστιν εὐχαριστία. ἂν δὲ εὖ παθὼν, καὶ εὐθηνούμενος, καὶ εὐπραγῶν, καὶ ἐν εὐημερίαις ὢν εὐχαριστῇς, οὐδὲν μέγα, οὐδὲν θαυμαστόν· τὸ δὲ ζητούμενον, ἐν θλίψεσιν ὄντα εὐχαριστεῖν, ἐν ὀδύναις, ἐν ἀθυμίαις. μηδὲν παρὰ τοῦ ῥήματος τούτου φθέγξου, εὐχαριστῶ σοι, δέσποτα. καὶ τί λέγω ὑπὲρ τῶν ἐνταῦθα θλίψεων; ὑπὲρ τῆς γεέννης αὐτῆς εὐχαριστεῖν δεῖ τῷ Θεῷ, ὑπὲρ τῶν κολάσεων τῶν ἐκεῖ, ὑπὲρ τῶν τιμωριῶν. πάνυ γὰρ τὸ πρᾶγμα ἡμᾶς ὠφελήσει τοὺς προσέχοντας, ἀντὶ χαλινοῦ τὸν τῆς γεέννης φόβον ταῖς καρδίαις ἡμῶν ἐπιτιθέντος. μὴ τοίνυν ὑπὲρ τῶν φανερῶν εὐεργεσιῶν[*], ἀλλὰ καὶ ὑπὲρ τῶν ἀφανῶν, καὶ ὑπὲρ ὧν ἄκοντες εὐεργετούμεθα, εὐχαριστῶμεν. πολλὰ γὰρ καὶ μὴ βουλομένους ἡμᾶς εὐεργετεῖ, καὶ μὴ εἰδότας. εἰ δὲ ἀπιστεῖτε, ἤδη ὑμῖν τὸ πρᾶγμα ποιήσω φανερόν. ἐννόησον γάρ μοι. οἱ μιαροὶ καὶ ἄπιστοι Ἕλληνες οὐχὶ τῷ ἡλίῳ τὸ πᾶν ἐπιγράφουσι, καὶ τοῖς εἰδώλοις αὐτῶν; τί δαί; οὐχὶ εὐεργετεῖ καὶ αὐτούς; οὐχὶ τῆς ἐκείνου προνοίας ἐστὶ, καὶ τὸ ζῆν, καὶ τὸ ὑγιαίνειν αὐτούς, καὶ παιδοποιεῖν, καὶ ὅσα τοιαῦτα; τί δὲ οἱ Μαρκιωνισταὶ λεγόμενοι, τί δὲ οἱ Μανιχαῖοι, οὐχὶ καὶ βλασφημοῦσιν αὐτὸν ἐπὶ τούτων; οὐχὶ εὐεργετεῖ αὐτοὺς καθ' ἑκάστην ἡμέραν; εἰ δὲ ἐκείνους οὐ ταῦτα οὐκ εἰδότας εὐεργετεῖ, πολλῷ μᾶλλον ἡμᾶς. τί γὰρ ἄλλο ἔργον Θεοῦ, ἢ τοῦτο, τὸ εὐεργετεῖν τὸ τῶν ἀνθρώπων γένος, καὶ διὰ κολάσεων, καὶ δι' ἀνέσεων; μὴ μόνον τοίνυν ἐν εὐπραγίαις ὄντες εὐχαριστῶμεν· οὐδὲν γὰρ μέγα. καὶ τοῦτο οἶδε καὶ ὁ διάβολος· διὸ καὶ ἔλεγε· Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; οὐχὶ σὺ περιέφραξας τὰ ἔσω αὐτοῦ, καὶ τὰ ἔξω; περιελε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. ἀλλ' οὐδὲν αὐτῷ πλέον ἐγένετο τῷ μιαρῷ, μηδὲ γένοιτο μηδὲ παρὰ ἡμῶν γενέσθαι τι πλέον αὐτῷ. ἀλλὰ καὶ ὅταν ἐν πενίᾳ ὦμεν, καὶ ὅταν ἐν νόσοις, καὶ ὅταν ἐν ἐπηρείαις, τότε ἐπιτείνωμεν τὴν εὐχαριστίαν. εὐχαριστίαν δὲ λέγω, μὴ ῥήμασι, μηδὲ γλώσσῃ, ἀλλὰ πράγμασι, καὶ ἔργοις, καὶ διανοίᾳ, καὶ καρδίᾳ. ἐκ πάσης ψυχῆς εὐχαριστῶμεν αὐτῷ· μᾶλλον γὰρ τῶν γεννησαμένων ἡμᾶς φιλεῖ. καὶ ὅσον πονηρίας καὶ ἀγαθότητος τὸ μέσον, τοσοῦτον ἡ τῆς ἀγάπης τοῦ Θεοῦ πρὸς τὴν τῶν ἡμετέρων πατέρων διαφορά. καὶ ταῦτα οὐκ ἐμά ἐστι τὰ ῥήματα, ἀλλ' αὐτοῦ τοῦ φιλοῦντος ἡμᾶς Χριστοῦ. καὶ ἄκουε αὐτοῦ λέγοντος· Τίς ἐξ ὑμῶν ἐστιν ἄνθρωπος, ὃς, ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; καὶ πάλιν ἄκουε καὶ ἑτέρωθι λέγοντος· Μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. εἰ γὰρ μὴ φιλεῖ, τίνος ἕνεκεν ἡμᾶς ἐποίησε; μὴ γὰρ ἀνάγκην εἶχε; μὴ γὰρ χρείαν αὐτῷ καὶ διακονίαν πληροῦμεν; μὴ γὰρ δεῖταί τινος τῶν παρ' ἡμῶν; ἄκουε τοῦ προφήτου λέγοντος· Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. ἀλλ' οἱ ἀγνώμονες καὶ ἀναίσθητοι τοῦτό φασιν ἀγαθότητος Θεοῦ, τὸ ἰσοτιμίαν εἶναι παρὰ πᾶσιν; εἰπέ μοι, ἀγνῶμον ἄνθρωπε, ποίαν

Σηρ. β. δ. · Ἰωβ α. θ. · Ματθ. ζ. · Ἡσ. μθ. · Ψαλμ. ιε. β.

λέγῃς μὴ εἶναι ἀγαθότητος Θεοῦ, καὶ ἵνα λέγῃς ἰσοτιμίαν; ὁ δεῖνα, φησί, πεπήρωται ἐκ παίδων, ἕτερος μαίνεται καὶ δαιμονᾷ, ἄλλος εἰς ἔσχατον γῆρας ἐλάσας ἐν πενίᾳ τὸν ἅπαντα βίον διήγαγεν, ἄλλος ἐν νόσοις χαλεπωτάταις. ταῦτα προνοίας ἐστὶν ἔργα; ὁ μὲν ἐστὶ κωφός, ὁ δὲ ἄλαλος, ὁ δὲ πένης, ἕτερος μιαρὸς καὶ παμμίαρος καὶ μυρίων γέμων κακῶν χρημάτων ἀπολαύει, καὶ πόρνας τρέφει, καὶ παρασίτους, καὶ λαμπρὰν οἰκίαν κέκτηται, καὶ βίον ἀπράγμονα ζῇ· καὶ πολλὰ τοιαῦτα συνείροντες, μακρὸν ὑφαίνοντες κατηγορίας λόγον κατὰ τῆς τοῦ Θεοῦ προνοίας. τί οὖν; ἀπρονόητά ἐστι; τί οὖν ἂν εἴποιμεν πρὸς αὐτούς; εἰ μὲν Ἕλληνες εἶεν, καὶ λέγοιεν ἡμῖν ὑπό τινος τὸν κόσμον διοικεῖσθαι, πάλιν καὶ ἡμεῖς τὰ αὐτὰ ἐροῦμεν πρὸς αὐτούς· τί οὖν, ἀπρονόητά ἐστιν; οὐκοῦν πῶς ὑμεῖς σέβεσθε θεούς, καὶ προσκυνεῖτε δαίμονας καὶ ἥρωας; εἰ γὰρ πρόνοιά ἐστιν, ἐφέστηκέ τις τοῖς πᾶσιν. εἰ δέ τινες εἶεν ἀποδυσπετοῦντες, [ἢ] χριστιανοὶ [ἢ καὶ Ἕλληνες] καὶ παρασαλευόμενοι, τί πρὸς αὐτοὺς ἐροῦμεν; τοσαῦτα δέ, εἰπέ μοι, ἀπὸ ταὐτομάτου γένοιτο ἂν ἀγαθά; τὸ φῶς τὸ καθημερινόν; ἡ εὐταξία ἡ ἐν τοῖς οὖσι; τῶν ἄστρων ἡ χορεία; ὁ ἰσοστάσιος νυκτῶν καὶ ἡμερῶν δρόμος; ἡ τῆς φύσεως ἀκολουθία, καὶ ἐν φυτοῖς, καὶ ἐν ζώοις, καὶ ἐν ἀνθρώποις; τίς, εἰπέ μοι, ὁ ταῦτα διοικῶν; εἰ μηδεὶς ἐφεστὼς ἦν, ἀλλ' ἀπὸ ταὐτομάτου πάντα συνειστήκει, τίς τὴν καμάραν ταύτην τὴν οὕτω καλήν, τὴν οὕτω μεγάλην, τὸν οὐρανὸν λέγω, περιδινήσας ἐπὶ τῆς γῆς ἔστησεν, ἢ καὶ ἐπὶ ὑδάτων; τίς ὁ τοὺς χειμερινοὺς τοὺς καρποφόρους διδούς; τίς τοσαύτην ἔθετο ἐν σπέρμασι καὶ φυτοῖς δύναμιν; τὸ γὰρ ἀπὸ ταὐτομάτου, ἄτακτον πάντως· τὸ δὲ εὔτακτον, μετὰ τέχνης γίνεται. τί γάρ, εἰπέ μοι, τῶν παρ' ἡμῖν τῶν ἀπὸ ταὐτομάτου οὐ πολλῆς γέμει τῆς ἀταξίας, καὶ πολλοῦ τοῦ θορύβου καὶ τῆς ταραχῆς; καὶ οὐ λέγω ἀπὸ ταὐτομάτου, ἀλλὰ μετά τινος ποιοῦντος, ἀτέχνως δὲ ποιοῦντος. οἷον, ἔστω ξύλα καὶ λίθοι, ἔστω δὲ καὶ ἄσβεστος· καὶ λαβὼν ἂν ἄνθρωπος οἰκοδομίας ἄπειρος, οἰκοδομείτω καὶ ἐνεργείτω. ἆρα οὐ πάντα ἂν ἀπώλεσε καὶ διέφθειρε; πάλιν, ἔστω πλοῖον κυβερνήτου χωρίς, πάντα ἔχον, ἅπερ ἔχειν δεῖ πλοῖον ἀπὸ τεχνίτου, οὐ λέγω ἀκατασκεύαστον, ἀλλὰ κατασκευασθέν. μὴ πλεῦσαι δυνήσεται; καὶ τοσαύτη γῆ ἐπὶ ὕδατος ἑστῶσα, ἄνευ τινὸς συγκρατούσης δυνάμεως ἠδύνατο, εἰπέ μοι, οὕτω παγίως ἐπὶ χρόνον στῆναι τοσοῦτον; καὶ ταῦτα λόγον ἂν ἔχοι; καὶ οὐ μυριάκις γέλωτος ἄξιον τὸ ταῦτα ἐννοεῖν; καὶ εἰ μὲν βαστάζοι καὶ τὸν οὐρανόν, ἰδοὺ καὶ ἕτερον ἄχθος· εἰ δὲ καὶ οὐρανὸς ἐν ὕδατι φέροιτο, πάλιν ἕτερον ζήτημα. ἀλλὰ πάντα τῆς προνοίας ἔργον. τὰ γὰρ ἐπὶ τῶν ὑδάτων φερόμενα, οὐ κυρτοῦσθαι δεῖ, ἀλλὰ κοιλαίνεσθαι. τί δήποτε; ὅτι τοῦ μὲν κοίλου τὸ σῶμα ὅλον βαστάζεται ἐπὶ τῶν ὑδάτων, καθάπερ ἐπὶ τοῦ πλοίου· τοῦ δὲ κεκυρτωμένου τὸ μὲν σῶμα ὅλον ἐστὶν ἄνωθεν, τὰ δὲ ἄκρα ἐπίκειται μόνον. οὐκοῦν αὐτῷ δεῖ σώματος ἀντιτύπου, καὶ σκληροῦ, καὶ στέγειν δυναμένου, ὥστε φέρειν τὸ ἐπικείμενον ἄχθος. ἀλλ' ἀὴρ φέρει τὸν οὐρανόν; ἀλλ' οὗτος πολλῷ τοῦ ὕδατος μαλακώτερος, καὶ χαυνότερος, καὶ οὐδὲν στέγειν δυνάμενος, οὐδὲ τῶν λεπτοτάτων, μήτιγε ὄγκον τοσοῦτον. ὅλως δὲ εἰ βουλοίμεθα τὸν τῆς προνοίας τὸν λόγον ἐπεξιέναι, καὶ καθολικῶς, καὶ κατακερματίζοντες, ὅλος ὁ αἰὼν ἡμᾶς ἐλλείψει. ἐρησόμεθα γὰρ τὸν ἐκεῖνα ζητοῦντα νῦν, ταῦτα προνοίας ἐστίν, ἢ ἀπρονοησίας; κἂν εἴποι, ὅτι οὐκ ἔστι προνοίας, καὶ πάλιν ἐρησόμεθα· πῶς οὖν γέγονεν; ἀλλ' οὐκ ἂν ἔχοι λέγειν τινὰ εἰπεῖν.* οὐκοῦν πολλῷ μᾶλλον περὶ τῶν ἀνθρωπίνων πραγμάτων ζητεῖν οὐκ ὀφείλεις, οὐδὲ περιεργάζεσθαι. τί δήποτε; ὅτι τούτων πάντων ἄνθρωπος τιμιώτερος, καὶ ταῦτα δι' ἐκεῖνον γέγονεν, οὐκ ἐκεῖνος διὰ ταῦτα. εἰ τοίνυν τὴν ἐπὶ τῆς προνοίας αὐτοῦ μόνον σοφίαν, καὶ τὴν οἰκονομίαν οὐκ οἶδας, πῶς δυνήσῃ τοὺς λόγους εἰδέναι τοὺς κατ' αὐτόν; εἰπὲ δή μοι, τί δήποτε οὕτω μακρὸν αὐτὸν εἰργάσατο, καὶ τοσοῦτον ἀπέχοντα τοῦ ὕψους τοῦ οὐρανοῦ, ὡς καὶ ἀμφιβάλλειν περὶ τῶν ἄνω φαινομένων; τίνος δὲ ἕνεκεν τὰ βόρεια ἀοίκητά ἐστι, καὶ τὰ νότια; [εἰπὲ δή μοι] διατί γέγονεν ἡ νὺξ χειμῶνος μὲν μακροτέρα, θέρους δὲ ἐ-

* ἀλλ' οὐκ ὀφείλεις;

λάττων; διὰ τί ψῦχος τοσοῦτον, διὰ τί καῦμα, διὰ τί σῶμα θνητόν; καὶ μυρία σε ἕτερα ἐρωτῶ, καὶ ἐὰν θέλῃς, οὐ παύσομαί σε ἐρωτῶν· καὶ σὺ ἅπασί μοι διαπορήσεις. ὥστε τοῦτο μάλιστα προνοίας ἐστὶ, τὸ τοὺς λόγους ἡμῖν ἀπορρήτους εἶναι. ἢ γὰρ ἂν καὶ ἄνθρωποί ποτ' αἴτιον τῆς ἐνόμισαν τοῦ παντὸς, εἰ μὴ τοῦτο ἡμῶν κατέστελλε τὴν ἀπόνοιαν. ἀλλ' ὁ δεῖνα, φησὶ, πένης, καὶ κακὴ ἡ πενία. τί δὲ ἡ νόσος, τί δὲ ἡ πήρωσις; οὐδέν ἐστι ταῦτα, ἄνθρωπε. ἓν μόνον ἐστὶ κακὸν, τὸ ἁμαρτάνειν, καὶ τοῦτο μόνον ἐξετάζειν ὀφειλόμεθα. ἀλλ' ἀφέντες τῶν οὕτως κακῶν τὰς αἰτίας ἐρευνᾶν, ἕτερα πολυπραγμονοῦμεν. διὰ τί μηδεὶς ἡμῶν μηδέποτε ἐξετάζει, διὰ τί ἥμαρτεν; ἆρα ἐν ἐμοὶ τὸ ἁμαρτάνειν; ἆρα οὐκ ἐν ἐμοί; καὶ τί με δεῖ πολλοὺς περιελίττειν λόγους; ἐν ἐμαυτῷ τὸ πρᾶγμα ζητήσω· ἆρα ἐκράτησά ποτε θυμοῦ; ἆρα ἐκράτησά ποτε ὀργῆς, ἢ δι' αἰσχύνην, ἢ διὰ φόβον ἀνθρώπινον; εἶτα ἐπειδὰν εὕρω τοῦτο γινόμενον, εὑρήσω ὅτι ἐν ἐμοὶ τὸ ἁμαρτάνειν. οὐδεὶς ταῦτα ἐξετάζει, οὐδεὶς ταῦτα πολυπραγμονεῖ· ἀλλ' ἁπλῶς κατὰ τῶν ἰὼ, βεστὸς δὲ ἄλλως ῥίπτεται λόγος. τί γάρ σοι τοῦτο μέλει, εἰ ὁ δεῖνα τυφλὸς, καὶ ὁ δεῖνα πένης; οὐ τοῦτο ἐπέταξέ σοι ὁ Θεὸς σκοπεῖν, ἀλλὰ τί δήποτε σὺ παραπίπτεις. εἰ μὲν γὰρ ἀμφιβάλλεις, ὅτι ἐφέστηκέ τις τῷ κόσμῳ δύναμις, πάντων ἀνοητότερος εἶ. εἰ δὲ πέπεισαι περὶ τούτου, τί ἀμφιβάλλεις, ὅτι ἀρέσαι δεῖ τῷ Θεῷ; πάντοτε, φησὶ, ὑπὲρ ἁπάντων εὐχαριστοῦντες τῷ Θεῷ. ἄπελθε εἰς ἰατρεῖον, καὶ ὄψει, ὅταν εὑρεθῇ τις τραῦμα ἔχων, ἐκεῖνον αὐτὸν τέμνοντα καὶ καίοντα. ἐπὶ δὲ σοῦ οὐ τοῦτο λέγω, ἀλλὰ ἄπελθε εἰς τεκτονεῖον. καὶ οὐκ ἐξετάζεις τὸν λόγον, καίτοιγε οὐδὲ οἶδας τῶν γινομένων ἐκεῖ. καὶ πολλὰ ἄπορα εἶναί σοι δοκεῖ εἶναι, ὅταν τορεύῃ τὸ ξύλον, ὅταν μετασχηματίζῃ. μᾶλλον δὲ εἰς εὐπορωτέραν σε τέχνην ἀνάγω, εἰς τὴν τῶν ζωγράφων, καὶ ἐκεῖ ἰλιγγιάσεις. εἰπὲ γάρ μοι, οὐχὶ ἁπλῶς σοι δοκεῖ ποιεῖν, ἃ ποιεῖ; τί γὰρ αὐτῷ βούλονται αἱ γραμμαὶ, καὶ αἱ περιαγωγαὶ τῶν γραμμῶν; ἀλλ' ἂν ἐπιθῇ τὰ χρώματα, τότε σοι φαίνεται ἡ τέχνη καλή, καὶ ὅμως οὐδὲ οὕτως ἀκριβῶς οὐδὲν δυνήσῃ καταμαθεῖν. τί δὲ ἐπὶ τεκτόνων λέγω καὶ ζωγράφων, τῶν ὁμοδούλων; ἡ μέλιττα πῶς ἐργάζεται τοὺς σίμβλους, εἰπέ μοι, καὶ τότε καὶ περὶ Θεοῦ ἐρεῖς. τὴν μυρμήκων τὴν ἐργασίαν κατάμαθε, τοῦ ἀράχνου, τῆς χελιδόνος, καὶ τότε ἐρεῖς καὶ περὶ Θεοῦ. ἂν ᾖς σοφὸς, εἰπέ μοι ταῦτα. ἀλλ' οὐκ ἂν ἔχοις. οὐ παύσῃ οὖν, ἄνθρωπε, τὰ περιττὰ ζητῶν; περιττὰ γὰρ ὄντως ταῦτα. οὐ παύσῃ εἰκῇ πολυπραγμονῶν; οὐδὲν τῆς ἀμαθίας ταύτης σοφώτερόν ἐστιν, ἐν οἷς τῶν μὲν ἐπαγγελλόμενοι μηδὲν εἰδέναι, σοφώτατοι πάντων εἰσὶν, τῶν δὲ περιεργαζόμενοι, ἀνοητότεροι πάντων εἰσίν. ὥστε οὐ πανταχοῦ τὸ ἐπαγγέλλεσθαι εἰδέναι, σοφίας, ἀλλ' ἔστιν ὅπου καὶ μωρίας ἐστίν. εἰπὲ γάρ μοι, εἰ δύο τινῶν ἀνθρώπων ὁ μὲν ἐπαγγέλλοιτο τὸν ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν ἀέρα διατείνοντα μετρεῖν, χοίνικας ἐκτείνας, ὁ δὲ καταγελῴη καὶ μὴ εἰδέναι φαίη, τίνα γελασόμεθα, εἰπέ μοι; τὸν εἰδέναι λέγοντα, ἢ τὸν ἀγνοοῦντα; δῆλον ὅτι τὸν λέγοντα εἰδέναι. οὐκοῦν ὁ ἀγνοῶν, τοῦ ὑπισχνουμένου εἰδέναι σοφώτερος. τί δὲ, εἴ τις ἐπαγγέλλοιτο λέγειν ὅσους ἔχει κυάθους ἡ θάλασσα, ἕτερος δὲ ἀγνοεῖν, οὐ πολλῷ ἡ ἄγνοια τῆς εἰδήσεώς ἐστι σοφωτέρα; σφόδρα γε. τί δήποτε; ἐπειδὴ κἀκείνη ἄγνοιά ἐστιν ἐπιτεταμένη. ὁ μὲν γὰρ λέγων ἀγνοεῖν, οἶδέ τι μέρος. ποῖον δὴ τοῦτο; ὅτι ἀκατάληπτοι ἀνθρώπῳ. καὶ γὰρ οὐ μικρὸν τοῦτο. ὁ δὲ λέγων εἰδέναι, ἐκεῖνος μάλιστα οὐκ οἶδεν ὃ λέγει εἰδέναι, καὶ διὰ τοῦτο αὐτὸς ἐστι καταγέλαστος.

ΗΘΙΚΟΝ

Οἴμοι, πόσοις παιδευόμεθα τὴν πολυπραγμοσύνην τὴν ἄκαιρον, καὶ τὴν περιεργίαν χαλινοῦν, καὶ οὐκ αἰσχυνόμεθα, ἀλλὰ τοὺς ἑτέρων περιεργαζόμεθα βίους, διὰ τί ὁ δεῖνα πυρός, διὰ τί πένης ὁ δεῖνα; οὐκοῦν πρὸς λόγον τοῦτο, καὶ εἰς ἕτερον ἐκπεσούμεθα λῆρον, διὰ τί ἡ δεῖνα γυνή, καὶ μὴ πάντες ἄνδρες; διὰ τί ὄνος, διὰ τί βοῦς, διὰ τί κύων, διὰ τί λύκος, διὰ τί λίθος, διὰ τί ξύλον, καὶ εἰς ἄπειρον ἐκπεσεῖται μῆκος ὁ λόγος. διά τοι τοῦτο ὁ Θεὸς μέτρα

τῆς

χ. ἐ δὲ διὰ τί τὰ τοιαῦτα οὐκ ἐσκόπεις ζητήσει σε, ἀλλὰ διὰ τί ταῦτα ἐπράττες.

χ. εὐχαριστεῖν

χ. τὸ ὀρχῆς

τῆς γνώσεως ἡμῖν ἀφώρισε, καὶ ἐν τῇ φύσει κατεβάλετο. καὶ θέα μοι τὴν πολυπραγμοσύνην τῶν πολλῶν· ὅτι τοσοῦτον ὕψος ὁρῶντες ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν, καὶ οὐδὲν πάσχοντες, ὅταν εἰς πύργον ἀνελθόντες ὑψηλὸν θελήσωμεν κατιδεῖν ὑποκάτω μικρὸν καταχύψαντες, ἰλιγγιῶμεν εὐθέως καὶ σκοτοδινίαν λαμβάνομεν. εἰπέ μοι δὴ τούτου τὴν αἰτίαν. ἀλλ' οὐκ ἂν εὕροις. διὰ τί μείζονα ὀφθαλμὸς ἔχει τὴν ἰσχὺν, καὶ ἀπὸ τοῦ πορρωτέρω κατέχεται; καὶ ἐπὶ τῆς ἀκοῆς ὁμοίως αὐτὸ ἴδοι τις ἄν. οὐ γὰρ ἄν τις οὔτε βοῆσαι δυνήσεται τοσοῦτον, ὥστε ἐμπλῆσαι τὸν ἀέρα, ὅσον δυνήσεται ὁ ὀφθαλμὸς καταλαβεῖν, οὔτε ἀκοῦσαι ἐκ διαστήματος τοσούτου. διὰ τί μὴ πάντα τὰ μέλη ἰσότιμά ἐστι; διὰ τί μὴ μίαν ἔλαβε χρείαν, μηδὲ χώραν; καὶ Παῦλος ταῦτα ἠπόρησε, μᾶλλον δὲ οὐκ ἠρεύνησε (σοφὸς γὰρ ἦν) ἀλλ' εἰς τοῦτο ἐμπεσὼν τὸ χωρίον, φησίν· Ἕκαστον αὐτῶν, καθὼς ἠθέλησε τῷ θελήματι αὐτοῦ τὸ πᾶν ἐπέτρεψεν. οὐκοῦν καὶ ἡμεῖς ζητεῖν ταῦτα ἀφέντες, μόνον εὐαρεστῶμεν ὑπὲρ ἁπάντων. διὰ τοῦτο, φησὶν, εὐχαριστεῖτε ὑπὲρ ἁπάντων. τοῦτο εὐγνώμονος οἰκέτου, τοῦτο σοφοῦ, τοῦτο συνετοῦ, ἐκεῖνο δὲ λάλου, καὶ ἀργοῦ, καὶ περιέργου. οὐχ ὁρᾷς ἐν τοῖς οἰκέταις, ὅτι οἱ μὲν κατάπλυσοι τῶν οἰκετῶν καὶ οὐδαμοῦ χρήσιμοι, λάλοι τε εἰσὶ καὶ φλύαροι, καὶ τὰ τῶν δεσποτῶν περιεργάζονται, ἅπερ ἐκεῖνοι κρύπτειν ἐθέλουσιν· οἱ δὲ συνετοὶ καὶ εὐγνώμονες πρὸς ἓν μόνον ὁρῶσιν, ὅπως αὐτῶν τὴν διακονίαν πληρῶσιν; ὁ πολλὰ φθεγγόμενος, οὐδὲν ἐργάζεται· ὥσπερ ὁ πολλὰ ἐργαζόμενος, οὐδὲν φθέγγεται ἀκαίρως. διὰ τοῦτο ὁ Παῦλος ἔλεγε περὶ χηρῶν γράφων· Οὐ μόνον δὲ ἀργαὶ μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι. εἰπὲ δή μοι, ποῖόν ἐστι πλέον τὸ μέσον, τὸ τῆς ἡμετέρας ἡλικίας πρὸς τὴν τῶν παίδων, ἢ τὸ τοῦ Θεοῦ πρὸς τὴν τῶν ἀνθρώπων; τὸ ἡμέτερον πρὸς κώνωπας, ἢ τὸ τοῦ Θεοῦ πρὸς ἡμᾶς; εὔδηλον ὅτι τὸ τοῦ Θεοῦ πρὸς ἡμᾶς. τί οὖν σὺ τοσοῦτον περιεργάζῃ; εὐχαρίστει ὑπὲρ ἁπάντων. τί οὖν ἂν Ἕλλην ἔρηται, φησὶ, πῶς ἀποκρινοῦμαι; βούλεται μαθεῖν παρ' ἐμοῦ, εἰ ἔστι πρόνοια. αὐτὸς γὰρ οὔ φησιν εἶναί τινα τὸν προνοοῦντα. οὐκοῦν μεταστρέψας, ἐρώτησον αὐτὸν καὶ σύ. ἀλλ' οὔ φησιν εἶναι πρόνοιαν. ὅτι μὲν ἔστι πρόνοια, ἐξ ὧν εἶπας, δῆλον· ὅτι δὲ ἀληπτος, ἐξ ὧν οὐχ εὑρίσκομεν τὸν λόγον. εἰ γὰρ ἐν οἷς διοικοῦσιν ἄνθρωποι, οὐκ ἴσμεν τὸν τρόπον τῆς διοικήσεως πολλάκις, καίτοι ἐξ αὐτῶν πολλὰ ἡμῖν εἶναι δοκεῖ καὶ ἄτοπα, καὶ παραχωροῦμεν, πόσῳ μᾶλλον ἐπὶ Θεοῦ. ἀλλ' οὐδὲν ἐπὶ Θεοῦ ἄτοπον οὔτε ἐστὶν, οὔτε δοκεῖ τοῖς πιστοῖς. διὸ ὑπὲρ ἁπάντων εὐχαριστῶμεν, ὑπὲρ ἁπάντων δοξάζωμεν αὐτόν. ὑποτασσόμενοι ἀλλήλοις, φησὶν, ἐν φόβῳ Θεοῦ. εἰ γὰρ δι' ἄρχοντα ὑποτάττῃ, ἢ διὰ χρήματα, ἢ δι' αἰδῶ, πολλῷ μᾶλλον διὰ τὸν τοῦ Θεοῦ φόβον ἔστω δουλείας καὶ ὑποταγῆς ἀντίδοσις. οὕτω γὰρ οὐκ ἔσται δουλεία. μὴ ὁ μὲν ἐν τάξει καθεζέσθω ἐλευθέρου, ὁ δὲ ἐν τάξει δούλου, ἀλλὰ καὶ δεσπότας καὶ δούλους ἀλλήλοις δουλεύειν βέλτιον. πολλῷ βέλτιον οὕτως εἶναι δοῦλον, ἢ ἑτέρως ἐλεύθερον. καὶ δῆλον ἐκεῖθεν· ἔστω τις οἰκέτας ἔχων ἑκατὸν, καὶ μηδεὶς ἐν αὐτοῖς διακονείτω· ἕτεροι δέ τινες ἔστωσαν ἑκατὸν φίλοι, ἀλλήλοις διακονούμενοι. τίνες ἄμεινον βιώσονται; τίνες μετὰ πλείονος ἡδονῆς, μετὰ πλείονος εὐφροσύνης; οὐκ ἔστιν ἐκεῖ ὀργὴ, οὐδὲ παροξυσμὸς, οὐδὲ θυμὸς, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν· ὧδε φόβος καὶ δειλία, κἀκεῖ μὲν ἀνάγκης, ἐνταῦθα δὲ προαιρέσεως τὸ πᾶν· κἀκεῖ μὲν βιαζόμενοι, ἐνταῦθα δὲ χάριν ἔχοντες ἀλλήλοις δουλεύουσιν. οὕτω βούλεται ὁ Θεός. διὰ τοῦτο ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. μᾶλλον δὲ, εἰ θέλεις ἀκριβῶς ἐξετάσαι, καὶ ἐπὶ δεσποτῶν ἀντίδοσίς ἐστι δουλείας. τί γὰρ, εἰ ὁ τῦφος οὐκ ἀφίησι φανῆναι τὴν ἀντίδοσιν; ὅταν γὰρ οὗτος μὲν τὴν σωματικὴν διακονίαν παρέχῃ· σὺ δὲ τὸ σῶμα τρέφῃς, καὶ θεραπεύῃς καὶ τροφαῖς, καὶ ἐνδύμασι, καὶ ὑποδήμασι, καὶ οὗτος δουλείας ἐστὶ τρόπος· ὅτι ἐὰν μὴ παρέχῃς καὶ σὺ τὴν σὴν διακονίαν, οὐδὲ ἐκεῖνος τὴν ἑαυτοῦ, ἀλλ' ἔσται ἐλεύθερος, καὶ οὐδεὶς αὐτὸν ἀναγκάσει νόμος καὶ μὴ τρεφόμενον τοῦτο ποιεῖν. εἰ τοίνυν καὶ ἐπὶ δούλων τοῦτό ἐστι, τί ἄτοπον, ἐὰν καὶ ἐπὶ ἐλευθέρων τοῦτο γίνηται; ἐν

φόβῳ,

α. Κορ. ιβ. ιη.

α. Τιμ. ε. ιγ.

χ. αἰτίαν αὐτῆς ἔχει. χ. κωλύεται;

χ. ὅτι οὐδὲ πάντα τὰ ὀφθαλμοῦ τὰ μακρὰ ὁρᾶ.

φόβῳ, φησὶ, Χριστοῦ ὑποτασσόμενοι. πόσην ἡ χάρις, ὅταν καὶ μισθὸν ἔχωμεν; ἀλλ' οὐ βούλεταί σοι ὑποταγῆναι; ἀλλὰ σὺ ὑποτάγηθι· μὴ ἁπλῶς ὑπακούσῃς, ἀλλ' ὑποτάγηθι. ὡς πρὸς δεσπότας ἅπαντας, οὕτω διάκεισο. οὕτω γὰρ αὐτοὺς δούλους ἕξεις ταχέως τῇ τυραννικωτάτῃ τῆς δουλείας δυνάμει δεδουλωμένους. μᾶλλον γὰρ αὐτοὺς αἱρήσεις, ὅταν ἐκεῖνος τῶν παρ' αὐτῶν τυγχάνων, αὐτὸς τὰ παρὰ σαυτοῦ παρέχῃς. τοῦτό ἐστιν, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ· ἵνα πάντων κρατῶμεν τῶν παθῶν; ἵνα τῷ Θεῷ δουλεύωμεν, ἵνα τὴν πρὸς ἀλλήλους ἀγάπην διασώζωμεν. καὶ τότε δυνησόμεθα καὶ τῆς παρὰ Θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς.

Λογ. κ. 22 ΑΙ ΓΥΝΑΙΚΕΣ ΤΟΙΣ ΙΔΙΟΙΣ ΑΝΔΡΑΣΙΝ
ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ, 23 Ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναι-
κὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώ-
χ. ὡς ματος. 24 Ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτω καὶ
αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.

ΣΟφός τις ἀνὴρ ἐν τάξει μακαρισμοῦ πολλὰ θεὶς, εἰς καὶ τοῦτο τέθεικεν ἐν τάξει μακαρισμοῦ· Καὶ γυνὴ, φησὶν, ἀνδρὶ συμπεριφερομένη. (Σειρ. κε. ϛ.) καὶ πάλιν ἀλλαχοῦ μετὰ τῶν μακαρισμῶν αὐτὸ τίθησι, τὸ γυναῖκα ἀνδρὶ μετὰ ὁμονοίας συνεῖναι. καὶ ἐξ ἀρχῆς δὲ πολλὴν ὁ Θεὸς φαίνεται πρόνοιαν πεποιημένος τῆς συζυγίας ταύτης. καὶ ὡς περὶ ἑνὸς, περὶ ἀμφοτέρων διαλεγόμενος, οὕτως ἔλεγεν· Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. (Γεν. α. κζ.) καὶ πάλιν· Οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. οὐ γάρ ἐστιν ἀνδρὸς πρὸς ἄνδρα τοσαύτη οἰκειότης, ὅση γυναικὸς πρὸς ἄνδρα, ἂν ᾖ τις, ὡς χρὴ, συνεζευγμένος. διὰ τοῦτο καί τις τὴν ὑπερβάλλουσαν ἀγάπην δηλῶν μακάριος ἀνὴρ, καὶ ἵνα τὸν αὐτοῦ φίλον καὶ ὁμόψυχον πενθῶν, οὐ πατέρα εἶπεν, οὐ μητέρα, οὐ τέκνον, οὐκ ἀδελφὸν, οὐ φίλον, ἀλλὰ τί; Ἔπεσεν (Β. Βασ. α. κϛ.) ἐπ' ἐμὲ ἡ ἀγάπησίς σου, φησὶν, ὡς ἀγάπησις τῶν γυναικῶν. ὄντως γὰρ, ὄντως πάσης τυραννίδος αὕτη ἡ ἀγάπη τυραννικωτέρα. αἱ μὲν γὰρ ἄλλαι, σφοδραί· αὕτη δὲ ἡ ἐπιθυμία ἔχει καὶ τὸ σφοδρὸν, καὶ τὸ ἀμάραντον. ἔνεστι γάρ τις ἔρως ἐμφωλεύων τῇ φύσει, καὶ λανθάνων ἡμᾶς συμπλέκει ταῦτα τὰ σώματα. διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ἀπὸ ἀνδρὸς ἡ γυνὴ, καὶ μετὰ ταῦτα ἀπὸ ἀνδρὸς καὶ γυναικὸς ἀνὴρ καὶ γυνή. ὁρᾷς συνδεσμὸν καὶ συμπλοκήν; καὶ πῶς οὐκ ἀφῆκεν ἑτέραν ἐπεισελθεῖν οὐσίαν ἔξωθεν; καὶ ὅρα πόσα οἰκονομεῖ. τὴν ἀδελφὴν ἠνέσχετο γαμῆσαι αὐτὸν τὴν αὐτοῦ, μᾶλλον δὲ οὐ τὴν ἀδελφὴν, ἀλλὰ τὴν θυγατέρα, μᾶλλον δὲ οὐ τὴν θυγατέρα, ἀλλά τι πλέον θυγατρὸς, τὴν σάρκα τὴν αὐτοῦ. τὸ δὲ ὅλον ἐποίησεν ἄνωθεν, ὥσπερ ἐπὶ τῶν λίθων, εἰς ἓν αὐτοὺς συνάγων. οὔτε γὰρ ἔξωθεν αὐτὴν εἰργάσατο, ἵνα μὴ ὡς ἀλλοτρίᾳ προσέχῃ· οὔτε πάλιν μέχρις αὐτῆς τὸν γάμον ἔστησεν, ἵνα μὴ (χ. συστέλλων ἑαυτὸν καὶ συνάγων) συστέλλων ἑαυτὸν καὶ συνάγων, τὸν λοιπὸν χωρίζῃ). καὶ καθάπερ ἐπὶ τῶν φυτῶν ἐκεῖνα μάλιστά ἐστιν ἄριστα, ἅπερ ἂν καὶ ἓν πρέμνον ἔχῃ, καὶ εἰς πολλοὺς κλάδους ἐκτείνῃ (ὡς ἐὰν περὶ τὴν ῥίζαν συστρέφηται μόνον, πάντα εἰκῆ καὶ πολλὰς ἔχῃ τὰς ῥίζας, οὐκ ἔτι θαυμαστὸν τὸ δένδρον) οὕτω δὴ καὶ ἐν τούτοις, ἐξ ἑνὸς τοῦ Ἀδὰμ τὸ πᾶν ἐποίησε φυτευθῆναι γένος, τοῦ μὴ διασπᾶσθαι καὶ χωρίζεσθαι κατασκευάσας εἰς ἀνάγκην μεγάλην, καὶ μᾶλλον συστέλλων, οὐκ ἔτι ἐποίησεν ἀδελφὰς γαμεῖσθαι, καὶ θυγατέρας, ἵνα μὴ πάλιν τὴν ἀγάπην εἰς τὸ ἓν συστέλλωμεν, καὶ ἑτέρως ἑαυτῶν χωρίζωμεν. διὰ τοῦτο ἔλεγεν· Ὁ ποιήσας ἐξ (Ματθ. ιθ. δ.) ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. μεγάλα γὰρ ἀπὸ τούτου κακὰ τίκτεται, καὶ μεγάλα καλά,

καλά, καὶ οἰκίας, καὶ πόλεσιν. οὐδὲν γὰρ οὕτως ἡμῶν συγκροτεῖ τὸν βίον, ὡς ἔρως ἀνδρὸς καὶ
γυναικός. ὑπὲρ τούτου καὶ ὅπλα πολλοὶ τίθενται, ὑπὲρ τούτου καὶ τὴν ψυχὴν προδιδόασιν.
οὐ γὰρ ἂν ἁπλῶς, οὐδὲ εἰκῆ πολλὴν ὑπὲρ τούτου τοῦ πράγματος ἐποιήσατο τὴν σπου-
δὴν Παῦλος, λέγων, Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ. τί
δήποτε; ὅτι ἐὰν ἐν ὁμονοίᾳ ὦσιν οὗτοι, καὶ παῖδες τρέφονται καλῶς, καὶ οἰκέται εὐτακτοῦσι, καὶ
γείτονες ἀπολαύουσι τῆς εὐωδίας, καὶ φίλοι καὶ συγγενεῖς· ἐὰν δὲ τοὐναντίον, πάντα ἀνατέ- γ. εὐδίας
τραπται καὶ συγκέχυται. καὶ καθάπερ τῶν στρατηγῶν πρὸς ἀλλήλους εἰρηνευόντων, πάντα
ἐν ἀκολουθίᾳ ἐστί, καὶ ταραττομένων πάλιν ἐκείνων, πάντα ἄνω καὶ κάτω γέγονεν· οὕτω δὴ καὶ
νῦν. διό· αἱ γυναῖκες, φησί, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ. βαβαί,
Λουκ. ιδ. κγ. πῶς οὖν ἀλλαχοῦ λέγει, Ἐὰν μή τις ἀποτάξηται καὶ γυναικὶ καὶ ἀνδρί, οὐ δύναταί μοι ἀκο- γ. πάντως
λουθῆσαι; εἰ γὰρ ὡς τῷ Κυρίῳ ὑποτάσσεσθαι χρή, πῶς λέγει διὰ τὸν Κύριον ἀφί-
στασθαι; καὶ σφόδρα μὲν οὖν χρή. ἀλλὰ τό, ὡς, οὐ πάντως πανταχοῦ ἰσοτιμίας ἐστίν. ἢ τοῦτό
Κολοσ. γ. ιη. φησιν, ὡς εἰδυῖαι ὅτι τῷ Κυρίῳ δουλεύετε (ὅπερ καὶ ἀλλαχοῦ φησιν, ὅτι εἰ καὶ μὴ διὰ
τὸν ἄνδρα, ἀλλὰ προηγουμένως διὰ τὸν Κύριον) ἢ ὅταν ὑπείκῃς τῷ ἀνδρί, ὡς τῷ Κυρίῳ
δουλεύουσα ἡγοῦ πείθεσθαι. εἰ γὰρ ὁ ταῖς ἀρχαῖς ταύταις ταῖς ἔξωθεν ταῖς πολιτικαῖς ἀντι-
τασσόμενος, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκε, πολλῷ μᾶλλον ἡ τῷ ἀνδρὶ μὴ ὑποτασσομένη.
Ρωμ. ιγ. ς. οὕτως ἐξ ἀρχῆς ἠθέλησε, φησίν, ὁ Θεός. ὑποθώμεθα οὖν τὸν μὲν ἄνδρα ἐν τάξει κεῖσθαι κε-
φαλῆς, τὴν δὲ γυναῖκα ἐν τάξει σώματος. εἶτα καὶ ἀπὸ λογισμῶν δεικνύς, ὅτι ὁ ἀνὴρ κε-
φαλή ἐστι τῆς γυναικός, φησί· καθὼς καὶ ὁ Χριστὸς τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ
τοῦ σώματος. ἀλλ' ὡς ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς
ἰδίοις ἀνδράσιν ἐν παντί. εἶτα ὁ ἀνήρ ἐστιν, εἰπών, κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ
Χριστὸς τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ ἐπάγει τοῦ σώματος. καὶ γὰρ ἡ κεφαλὴ τοῦ
σώματος σωτηρία ἐστίν. ἤδη προκατεβάλετο τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ τῆς ἀγάπης τὴν
ὑπόθεσιν καὶ τὴν πρόνοιαν, ἑκάστῳ τὴν προσήκουσαν ἀπονέμων χώραν, τούτῳ μὲν τὴν
ἀρχικὴν καὶ προνοητικήν, ἐκείνῃ δὲ τὴν ὑποτακτικήν. ὡς οὖν ἡ ἐκκλησία ὑποτάσ-
σεται τῷ Χριστῷ, τουτέστιν, ἄνδρες καὶ γυναῖκες, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἀνδράσιν, ὡς τῷ
Θεῷ ὑποτάσσεσθε.

25 Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκ-
κλησίαν. Ἤκουσας τῆς ὑποταγῆς τὴν ὑπερβολήν· ἐπῄνεσας καὶ ἐθαύμασας τὸν
Παῦλον, ἅτε συγκροτοῦντα τὸν βίον ἡμῶν, ὡς θαυμαστόν τινα καὶ πνευματικὸν ἄνδρα· κα-
λῶς. ἀλλ' ἄκουσον, ἃ καὶ παρὰ σοῦ ἀπαιτεῖ· πάλιν γὰρ τῷ αὐτῷ κέχρηται ὑποδείγματι.
οἱ ἄνδρες ἀγαπᾶτε, φησί, τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκ-
κλησίαν. εἶδες μέτρον ὑπακοῆς, ἄκουσον καὶ μέτρον ἀγάπης. βούλει σοι τὴν γυναῖκα
ὑπακούειν, ὡς τῷ Χριστῷ τὴν ἐκκλησίαν; προνόει καὶ αὐτὸς αὐτῆς, ὡς ὁ Χριστὸς τῆς ἐκ-
κλησίας. κἂν τὴν ψυχὴν ὑπὲρ αὐτῆς δοῦναι δέῃ, κἂν κατακοπῆναι μυριάκις, κἂν ὁτι-
οῦν ὑπομεῖναι καὶ παθεῖν, μὴ παραιτήσῃ. κἂν ταῦτα πάθῃς, οὐδὲν οὐδέπω πεποίηκας, οἷον
ὁ Χριστός. σὺ μὲν γὰρ ἤδη συναφθεὶς ταῦτα ποιεῖς, ἐκεῖνος δὲ ὑπὲρ ἀποστρεφομένης αὐ-
τὸν καὶ μισούσης. ὥσπερ οὖν αὐτὸς τὴν ἀποστρεφομένην αὐτὸν καὶ μισοῦσαν καὶ διαπτύουσαν
καὶ θρυπτομένην πρὸς τοὺς πόδας αὐτοῦ τῇ πολλῇ ἤγαγε κηδεμονίᾳ, οὐκ ἀπειλαῖς, οὐδὲ
ὕβρεσιν, οὐδὲ φόβῳ, οὐδὲ ἑτέρῳ τινὶ τοιούτῳ· οὕτω καὶ σὺ πρὸς τὴν γυναῖκα ἔχε τὴν σήν. κἂν
ὑπερορῶσαν, κἂν θρυπτομένην, κἂν καταφρονοῦσαν ἴδῃς, δυνήσῃ αὐτὴν ὑπὸ τοὺς
πόδας ἀγαγεῖν τοὺς σοὺς τῇ πολλῇ περὶ αὐτὴν προνοίᾳ, τῇ ἀγάπῃ, τῇ φιλίᾳ. οὐδὲν
γὰρ τούτων τυραννικώτερον τῶν δεσμῶν, καὶ μάλιστα ἀνδρὶ καὶ γυναικί. οἰκέτην μὲν γὰρ φό-
βῳ τις ἂν καταδῆσαι δυνήσεται, μᾶλλον δὲ οὐδὲ ἐκεῖνον· ταχέως γὰρ ἀποπηδήσας, οἰχή-
σεται,

σεται· τὴν δὲ τοῦ βίου κοινωνὸν, τὴν παίδων μητέρα, τὴν πάσης εὐφροσύνης ὑπόθεσιν, οὐ φόβῳ καὶ ἀπειλαῖς δεῖ καταδεσμεῖν, ἀλλ᾽ ἀγάπῃ καὶ διαθέσει. ποία γὰρ συζυγία, ὅταν ἡ γυνὴ τὸν ἄνδρα τρέμῃ; ποίας δὲ αὐτὸς ὁ ἀνὴρ ἀπολαύσεται ἡδονῆς, ὡς δούλῃ συνοικῶν τῇ γυναικὶ, καὶ οὐχ ὡς ἐλευθέρᾳ; κἂν πάθῃς τι ὑπὲρ αὐτῆς, μὴ ὀνειδίσῃς. οὐδὲ γὰρ ὁ Χριστὸς τοῦτο ἐποίησε. Καὶ ἑαυτὸν, φησὶ, παρέδωκεν ὑπὲρ αὐτῆς,

26 Ἵνα αὐτὴν καθαρίσας ἁγιάσῃ. Ἄρα ἀκάθαρτος ἦν, ἄρα μῶμον εἶχεν, ἄρα ἄμορφος ἦν, ἄρα εὐτελής. οἵαν ἂν λάβῃς γυναῖκα, οὐ τοιαύτην λήψῃ νυμφίαν, οἵαν ὁ Χριστὸς τὴν ἐκκλησίαν, οὐδὲ τοσοῦτόν σου ἀπέχουσαν, ὅσον ἡ ἐκκλησία τοῦ Χριστοῦ. ἀλλ᾽ ὅμως οὐκ ἐβδελύξατο, οὐδὲ ἐμίσησε διὰ τὴν ὑπερβολὴν τῆς ἀμορφίας. βούλει ἀκοῦσαι αὐτῆς τὴν ἀμορφίαν; ἄκουε Παύλου λέγοντος· Ἦτε γάρ ποτε σκότος. εἶδες αὐτῆς τὸ μέλαν; τί σκότους μελανώτερον; ἀλλ᾽ ὅρα καὶ τὸ θρασύ. ἐν κακίᾳ, φησὶ, καὶ φθόνῳ διάγοντες. ὅρα καὶ τὸ ἀκάθαρτον. ἀπειθεῖς, ἀνόητοι. τί δὲ λέγω; καὶ μωρὰ ἦν, καὶ βλάσφημος. ἀλλ᾽ ὅμως τοσούτων ὄντων, ὡς ὑπὲρ ὡραίας, ὡς ὑπὲρ ἀγαπωμένης, ὡς ὑπὲρ θαυμαστῆς, οὕτως ἑαυτὸν ἐξέδωκεν ὑπὲρ τῆς ἀμόρφου. καὶ τοῦτο θαυμάζων ὁ Παῦλος ἔλεγε· Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· καὶ πάλιν, Εἰ ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. καὶ τοιαύτην λαβὼν, καλλωπίζει αὐτὴν, καὶ λούει, καὶ οὐδὲ τοῦτο παραιτεῖται. Ἵνα αὐτὴν ἁγιάσῃ, φησὶ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι,

27 Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Τῷ λουτρῷ λούει αὐτῆς τὴν ἀκαθαρσίαν. ἐν ῥήματί, φησι. ποίῳ; ἐν ὀνόματι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. καὶ οὐχ ἁπλῶς αὐτὴν ἐκόσμησεν, ἀλλ᾽ ἔνδοξον ἐποίησε, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. καὶ ἡμεῖς τοίνυν τοῦτο ἐπιζητῶμεν τὸ κάλλος, καὶ δυνησόμεθα αὐτοὶ γενέσθαι δημιουργοί. μὴ ζήτει σὺ παρὰ τῆς γυναικὸς, ἃ μὴ ἔστιν αὐτῆς. ὁρᾷς ὅτι πάντα παρὰ τοῦ δεσπότου εἶχεν ἡ ἐκκλησία; παρ᾽ αὐτοῦ γέγονεν ἔνδοξος; παρ᾽ αὐτοῦ ἄμωμος; μὴ ἀποστραφῇς διὰ ἀμορφίαν τὴν γυναῖκα. ἄκουε τῆς γραφῆς λεγούσης· Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. Θεοῦ πλάσμα ἐστίν· οὐκ ἐκείνην ὑβρίζεις, ἀλλὰ τὸν ἐργασάμενον. τί πάθῃ ἡ γυνή; μὴ ἐπαινέσῃς αὐτὴν διὰ εὐμορφίαν. ἀκολάστων ψυχῶν καὶ ὁ ἔπαινος, καὶ τὸ μῖσος ἐκεῖνο, καὶ αὐτὴ ἡ ἀγάπη, ψυχῆς ἐπιζήτει κάλλος. τὸν νυμφίον τῆς ἐκκλησίας μιμοῦ. τὸ ἔξωθεν κάλλος ἀλαζονείας καὶ ἀπονοίας γέμει πολλῆς, καὶ εἰς ζηλοτυπίαν ἐμβάλλει, καὶ ὑποπτεύειν σε πολλάκις ποιεῖ τὸ πρᾶγμα ἄτοπα. ἀλλὰ ἡδονὴν ἔχει; μέχρι τοῦ πρώτου μηνὸς, καὶ τοῦ δευτέρου, ἢ τὸ πολὺ, τοῦ ἐνιαυτοῦ· λοιπὸν δὲ οὐκέτι, ἀλλ᾽ ὑπὸ τῆς συνηθείας τὸ θαῦμα μαραίνεται. τὰ δὲ ἀπὸ τοῦ κάλλους παραμένει κακὰ, ἐναπομένει, ὁ τῦφος, ἡ ἀπόνοια, καὶ ἡ ὑπεροψία· ἐπὶ δὲ τῆς μὴ τοιαύτης, οὐδὲν τοιοῦτον. ἀλλ᾽ εἰκότως ἀρξάμενος ὁ ἔρως παραμένει σφοδρὸς, ἐπεὶ κάλλους ἐστὶ ψυχῆς, καὶ οὐ σώματος. τί βέλτιον τοῦ οὐρανοῦ, εἰπέ μοι; τί βέλτιον τῶν ἄστρων; ὅσον ἂν εἴποις σῶμα, οὐκ ἔστιν οὕτω λευκόν· οἵους ἂν εἴποις ὀφθαλμοὺς, οὐκ εἰσὶν οὕτω φαιδροί. τούτων δὲ γενομένων καὶ οἱ ἄγγελοι ἐθαύμασαν, καὶ ἡμεῖς νῦν θαυμάζομεν, ἀλλ᾽ οὐχ ὁμοίως, ὡς παρὰ τὴν ἀρχήν. τοιοῦτον γὰρ ἡ συνήθεια. οὐχ ὁμοίως ἐκπλήττει. πόσῳ μᾶλλον ἐπὶ γυναικός; ἂν δὲ καὶ νόσος ἐπέλθῃ, εὐθέως ἀπέπτη τὸ πᾶν. εὔνοιαν ζητῶμεν παρὰ γυναικὸς, μετριοφροσύνην, ἐπιείκειαν. ταῦτα τοῦ κάλλους τὰ γνωρίσματα. σώματος μέντοι ὥραν μὴ ζητῶμεν, μηδὲ ἐγκαλῶμεν αὐτῇ περὶ τούτων, ὧν οὐκ ἔστι κυρία, μᾶλλον δὲ μηδὲ ὅλως ἐγκαλῶμεν (τολμηρὸν γὰρ) μηδὲ ἀποδυσπετῶμεν, μηδὲ δυσχεραίνωμεν. ἢ οὐχ ὁρᾶτε πόσοι γυναιξὶν ὡραίαις συνοικήσαντες, ἐλεεινῶς τὸν βίον κατέστρεψαν;

Ἐφεσ. ε. η.
γρ. ταῦτα
Ῥωμ. ε. ζ.
Σειρ. ια. γ.
γρ. παραγενό- γρ. παραμένει.

καλά, καὶ οἰκίαις, καὶ πόλεσιν. οὐδὲν γὰρ οὕτως ἡμῶν συγκροτεῖ τὸν βίον, ὡς ἔρως ἀνδρὸς καὶ γυναικός. ὑπὲρ τούτου καὶ ὅπλα πολλοὶ τίθενται, ὑπὲρ τούτου καὶ τὴν ψυχὴν προδιδόασιν. οὐ γὰρ ἂν ἁπλῶς, οὐδὲ εἰκῆ πολλὴν ὑπὲρ τούτου τοῦ πράγματος ἐποιήσατο τὴν σπουδὴν Παῦλος, λέγων, Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ. τί δήποτε; ὅτι ἐὰν ἐν ὁμονοίᾳ ὦσιν οὗτοι, καὶ παῖδες τρέφονται καλῶς, καὶ οἰκέται εὐτακτοῦσι, καὶ γείτονες ἀπολαύουσι τῆς εὐωδίας, καὶ φίλοι καὶ συγγενεῖς· ἐὰν δὲ τοὐναντίον, πάντα ἀνατέτραπται καὶ συγκέχυται. (γρ. ἄλλοι) καὶ καθάπερ τῶν στρατηγῶν πρὸς ἀλλήλους εἰρηνευόντων, πάντα ἐν ἀκολουθίᾳ ἐστί, καὶ ταραττομένων πάλιν ἐκείνων, πάντα ἄνω καὶ κάτω γέγονεν· οὕτω δὴ καὶ νῦν. διὸ αἱ γυναῖκες, φησί, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ. βαβαί, πῶς οὖν ἀλλαχοῦ λέγει, (Λουκ. ιδ. κϛ.) Ἐὰν μή τις ἀποτάξηται καὶ γυναικὶ καὶ ἀνδρί, οὐ δύναταί μοι ἀκολουθῆσαι; (γρ. τινες) εἰ γὰρ ὡς τῷ Κυρίῳ ὑποτάσσεσθαι χρή, πῶς λέγει διὰ τὸν Κύριον ἀφίστασθαι; καὶ σφόδρα μὲν οὖν χρή. ἀλλὰ τὸ, ὡς, οὐ πάντως πανταχοῦ ἰσοτιμίας ἐστίν. ἢ τοῦτό φησιν, (Κολοσ. γ. ιη.) ὡς εἰδυῖαι ὅτι τῷ Κυρίῳ δουλεύετε (ὅπερ καὶ ἀλλαχοῦ φησιν, ὅτι εἰ καὶ μὴ διὰ τὸν ἄνδρα, ἀλλὰ προηγουμένως διὰ τὸν Κύριον) ἢ ὅταν ὑπείκῃς τῷ ἀνδρί, ὡς τῷ Κυρίῳ δουλεύουσα ἡγοῦ πείθεσθαι. εἰ γὰρ ὁ ταῖς ἀρχαῖς ταύταις ταῖς ἔξωθεν ταῖς πολιτικαῖς ἀντιτασσόμενος, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκε, πολλῷ μᾶλλον ἡ τῷ ἀνδρὶ μὴ ὑποτασσομένη. (Ρωμ. ιγ. β.) οὕτως ἐξ ἀρχῆς ἠθέλησε, φησίν, ὁ Θεός. ὑποθώμεθα οὖν τὸν μὲν ἄνδρα ἐν τάξει κεῖσθαι κεφαλῆς, τὴν δὲ γυναῖκα ἐν τάξει σώματος. εἶτα καὶ ἀπὸ λογισμῶν δεικνὺς, ὅτι ὁ ἀνὴρ κεφαλή ἐστι τῆς γυναικός, φησί· καθὼς καὶ ὁ Χριστὸς τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. ἀλλ᾽ ὡς ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Εἶτα ὁ ἀνήρ ἐστιν, εἰπὼν, κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ ἐπάγει τοῦ σώματος. καὶ γὰρ ἡ κεφαλὴ, τοῦ σώματος σωτηρία ἐστίν. ἤδη προκατεβάλετο τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ τῆς ἀγάπης τὴν ὑπόθεσιν καὶ τὴν πρόνοιαν, ἑκάστῳ τὴν προσήκουσαν ἀπονέμων χώραν, τούτῳ μὲν τὴν ἀρχικὴν καὶ προνοητικὴν, ἐκείνῃ δὲ τὴν ὑποτακτικήν. ὡς οὖν ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, τουτέστιν, ἄνδρες καὶ γυναῖκες, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἀνδράσιν, ὡς τῷ Θεῷ ὑποτάσσεσθε.

25 Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν. Ἤκουσας τῆς ὑποταγῆς τὴν ὑπερβολήν· ἐπῄνεσας καὶ ἐθαύμασας τὸν Παῦλον, ἅτε συγκροτοῦντα τὸν βίον ἡμῶν, ὡς θαυμαστόν τινα καὶ πνευματικὸν ἄνδρα· καλῶς. ἀλλ᾽ ἄκουσον, ἃ καὶ παρὰ σοῦ ἀπαιτεῖ· πάλιν γὰρ τῷ αὐτῷ κέχρηται ὑποδείγματι. Οἱ ἄνδρες ἀγαπᾶτε, φησί, τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν. Εἶδες μέτρον ὑπακοῆς, ἄκουσον καὶ μέτρον ἀγάπης. βούλει σοι τὴν γυναῖκα ὑπακούειν, ὡς τῷ Χριστῷ τὴν ἐκκλησίαν; προνόει καὶ αὐτὸς αὐτῆς, ὡς ὁ Χριστὸς τῆς ἐκκλησίας. κἂν τὴν ψυχὴν ὑπὲρ αὐτῆς δοῦναι δέῃ, κἂν κατακοπῆναι μυριάκις, κἂν ὁτιοῦν ὑπομεῖναι καὶ παθεῖν, μὴ παραιτήσῃ. κἂν ταῦτα πάθῃς, οὐδὲν οὐδέπω πεποίηκας, οἷον ὁ Χριστός. σὺ μὲν γὰρ ἤδη συναφθεὶς ταῦτα ποιεῖς, ἐκεῖνος δὲ ὑπὲρ ἀποστρεφομένης αὐτὸν καὶ μισούσης. ὥσπερ οὖν αὐτὸς τὴν ἀποστρεφομένην αὐτὸν καὶ μισοῦσαν καὶ διαπτύουσαν καὶ θρυπτομένην πρὸς τοὺς πόδας αὐτοῦ τῇ πολλῇ ἤγαγε κηδεμονίᾳ, οὐκ ἀπειλαῖς, οὐδὲ ὕβρεσιν, οὐδὲ φόβῳ, οὐδὲ ἑτέρῳ τινὶ τοιούτῳ· οὕτω καὶ σὺ πρὸς τὴν γυναῖκα ἔχε τὴν σήν. κἂν ὑπερορῶσαν, κἂν θρυπτομένην, κἂν καταφρονοῦσαν ἴδῃς, δυνήσῃ αὐτὴν ὑπὸ τοὺς πόδας ἀγαγεῖν τοὺς σοὺς τῇ πολλῇ περὶ αὐτὴν προνοίᾳ, τῇ ἀγάπῃ, τῇ φιλίᾳ. οὐδὲν γὰρ τούτων τυραννικώτερον τῶν δεσμῶν, καὶ μάλιστα ἀνδρὶ καὶ γυναικί. οἰκέτην μὲν γὰρ φόβῳ τις ἂν καταδῆσαι δυνήσεται, μᾶλλον δὲ οὐδὲ ἐκεῖνον· ταχέως γὰρ ἀποπηδήσας, οἰχήσεται,

σεται· τὴν δὲ τοῦ βίου κοινωνόν, τὴν παίδων μητέρα, τὴν πάσης εὐφροσύνης ὑπόθεσιν, οὐ φόβῳ καὶ ἀπειλαῖς δεῖ καταδεσμεῖν, ἀλλ' ἀγάπῃ καὶ διαθέσει. ποία γὰρ συζυγία, ὅταν ἡ γυνὴ τὸν ἄνδρα τρέμῃ; ποίας δὲ αὐτὸς ὁ ἀνὴρ ἀπολαύσεται ἡδονῆς, ὡς δούλῃ συνοικῶν τῇ γυναικί, καὶ οὐχ ὡς ἐλευθέρᾳ; κἂν πάθῃς τι ὑπὲρ αὐτῆς, μὴ ὀνειδίσῃς. οὐδὲ γὰρ ὁ Χριστὸς τοῦτο ἐποίησε. Καὶ ἑαυτόν, φησί, παρέδωκεν ὑπὲρ αὐτῆς,

26 Ἵνα αὐτὴν καθαρίσας ἁγιάσῃ. Ἄρα ἀκάθαρτος ἦν, ἄρα μώμους εἶχεν, ἄρα ἄμορφος ἦν, ἄρα εὐτελής. οἵαν ἂν λάβῃς γυναῖκα, οὐ τοιαύτην λήψῃ νύμφην, οἵαν ὁ Χριστὸς τὴν ἐκκλησίαν, οὐδὲ τοσοῦτόν σου ἀπέχουσαν, ὅσον ἡ ἐκκλησία τοῦ Χριστοῦ. ἀλλ' ὅμως οὐκ ἐβδελύξατο, οὐδὲ ἐμίσησε διὰ τὴν ὑπερβολὴν τῆς ἀμορφίας. βούλει ἀκοῦσαι αὐτῆς τὴν ἀμορφίαν; ἄκουε Παύλου λέγοντος· Ἦτε γάρ ποτε σκότος. εἶδες αὐτῆς τὸ μέλαν; τί σκότους μελανώτερον; ἀλλ' ὅρα καὶ τὸ θράσος. ἐν κακίᾳ, φησί, καὶ φθόνῳ διάγοντες. ὅρα καὶ τὸ ἀκάθαρτον. ἀπειθεῖς, ἀνόητοι. τί δὲ λέγω; καὶ μωρὰ ἦν, καὶ βλάσφημος. ἀλλ' ὅμως τοσούτων ὄντων, ὡς ὑπὲρ ὡραίας, ὡς ὑπὲρ ἀγαπωμένης, ὡς ὑπὲρ θαυμαστῆς, οὕτως ἑαυτὸν ἐξέδωκεν ὑπὲρ τῆς ἀμόρφου. καὶ τοῦτο θαυμάζων ὁ Παῦλος ἔλεγε· Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· καὶ πάλιν, Εἰ ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε· καὶ τοιαύτην λαβὼν, καλλωπίζει αὐτήν, καὶ λούει, καὶ οὐδὲ τοῦτο παραιτεῖται. Ἵνα αὐτὴν ἁγιάσῃ, φησί, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι,

27 Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Τῷ λουτρῷ λούει αὐτῆς τὴν ἀκαθαρσίαν. ἐν ῥήματι, φησί. ποίῳ; ἐν ὀνόματι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. καὶ οὐχ ἁπλῶς αὐτὴν ἐκόσμησεν, ἀλλ' ἔνδοξον ἐποίησε, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. καὶ ἡμεῖς τοίνυν τοῦτο ἐπιζητῶμεν τὸ κάλλος, καὶ δυνησόμεθα αὐτοῦ γενέσθαι δημιουργοί. μὴ ζήτει σὺ παρὰ τῆς γυναικὸς, ἃ μὴ ἔστιν αὐτῆς. ὁρᾷς ὅτι πάντα παρὰ τοῦ δεσπότου εἶχεν ἡ ἐκκλησία; παρ' αὐτοῦ γέγονεν ἔνδοξος; παρ' αὐτοῦ ἄμωμος; μὴ ἀποστραφῇς δι' ἀμορφίαν τὴν γυναῖκα. ἄκουε τῆς γραφῆς λεγούσης· Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. Θεοῦ πλάσμα ἐστίν· οὐκ ἐκείνην ὑβρίζεις, ἀλλὰ τὸν ἐργασάμενον. τί πάθῃ ἡ γυνή; μὴ ἐπαινέσῃς αὐτὴν δι' εὐμορφίαν. ἀκολάστων ψυχῶν καὶ ὁ ἔπαινος, καὶ τὸ μῖσος ἐκεῖνο, καὶ αὐτὴ ἡ ἀγάπη. ψυχῆς ἐπιζήτει κάλλος. τὸν νυμφίον τῆς ἐκκλησίας μιμοῦ. τὸ ἔξωθεν κάλλος ἀλαζονείας καὶ ἀπονοίας γέμει πολλῆς, καὶ εἰς ζηλοτυπίαν ἐμβάλλει, καὶ ὑποπτεύειν σε πολλάκις ποιεῖ τὸ πρᾶγμα ἄτοπα. ἀλλὰ ἡδονὴν ἔχει; μέχρι τοῦ πρώτου μηνὸς, καὶ τοῦ δευτέρου, ἢ τὸ πολὺ, τοῦ ἐνιαυτοῦ· λοιπὸν δὲ οὐκέτι, ἀλλ' ὑπὸ τῆς συνηθείας τὸ θαῦμα μαραίνεται. τὰ μέντοι διὰ τὸ κάλλος προσγινόμενα κακὰ ἐναπομένει, ὁ τῦφος, ἡ ἀπόνοια, καὶ ἡ ὑπεροψία· ἐπὶ δὲ τῆς μὴ τοιαύτης, οὐδὲν τοιοῦτον. ἀλλ' εἰκότως ἀρξάμενος ὁ ἔρως παραμένει σφοδρὸς, ἐπειδὴ κάλλους ἐστὶ ψυχῆς, καὶ οὐ σώματος. τί βέλτιον τοῦ οὐρανοῦ, εἰπέ μοι; τί βέλτιον τῶν ἄστρων; ὅσον ἂν εἴποις σῶμα, οὐκ ἔστιν οὕτω λευκόν· οἵους ἂν εἴποις ὀφθαλμούς, οὐκ εἰσὶν οὕτω φαιδροί. τούτων δὲ γινομένων καὶ οἱ ἄγγελοι ἐθαύμασαν, καὶ ἡμεῖς νῦν θαυμάζομεν, ἀλλ' οὐχ ὁμοίως, ὡς παρὰ τὴν ἀρχήν. τοιοῦτον γὰρ ἡ συνήθεια· οὐχ ὁμοίως ἐκπλήττει. πόσῳ μᾶλλον ἐπὶ γυναικός; ἂν δὲ καὶ νόσος ἐπιγένηται, εὐθέως ἀπέπτη τὸ πᾶν. εὔνοιαν ζητῶμεν παρὰ γυναικὸς, μετριοφροσύνην, ἐπιείκειαν. ταῦτα τοῦ κάλλους τὰ γνωρίσματα. σώματος μέντοι ὥραν μὴ ζητῶμεν, μηδὲ ἐγκαλῶμεν αὐτῇ περὶ τούτων, ὧν οὐκ ἔστι κυρία, μᾶλλον δὲ μηδὲ ὅλως ἐγκαλῶμεν (τολμηρὸν γάρ) μηδὲ ἀποδυσπετῶμεν, μηδὲ δυσχεραίνωμεν. ἢ οὐχ ὁρᾶτε πόσοι γυναιξὶν ὡραίαις συνοικήσαντες, ἐλεεινῶς τὸν βίον κατέστρεψαν;

[Margin notes: γ. [illegible] — γ. ταῦτα — Ἐφεσ. ε.η. — Ρωμ. ε.ζ. — Σειρ. ια.γ. — γ. προσγινό- — γ. προσμένει.]

ψάμενοι; πόσοι δὲ οὐ σφόδρα εὐμόρφοις μετὰ πολλῆς ἡδονῆς εἰς ἔσχατον γῆρας ἤλασαν; τὰ ῥύπη τὰ ἔσωθεν ἀποσμήχωμεν, τὰς ῥυτίδας τὰς ἔνδον ἐκπλύνωμεν, τοὺς μώμους τοὺς ἐπὶ τῆς ψυχῆς ἀνέλωμεν. τοιοῦτον ὁ Θεὸς ἐπιζητεῖ κάλλος. τῷ Θεῷ, μὴ ἡμῖν καλὴν αὐτὴν κατασκευάζωμεν. μὴ χρήματα ζητῶμεν, μηδὲ εὐγένειαν τὴν ἔξωθεν, ἀλλ' εὐγένειαν τὴν ἐν ψυχῇ. μηδεὶς ἀπὸ γυναικὸς ἀναμενέτω πλουτεῖν (αἰσχρὸς γὰρ καὶ ἐπονείδιστος ἐστὶν ὁ πλοῦτος) μηδὲ ὅλως ζητείτω τις ἐντεῦθεν πλουτεῖν.

ε. Τιμ. ς. θ. Οἱ γὰρ βουλόμενοι πλουτεῖν, φησὶν, ἐμπίπτουσιν εἰς πειρασμὸν, καὶ ἐπιθυμίας ἀνοήτους καὶ βλαβερὰς, καὶ εἰς παγίδας, καὶ ὄλεθρον καὶ ἀπώλειαν. ἀπὸ γυναικὸς τοίνυν μὴ ζήτει χρημάτων περιουσίαν, καὶ πάντα εὑρήσεις τὰ ἄλλα εὐκόλως. τίς, εἰπέ μοι, τὰ κυριώτερα ἀφεὶς, τῶν ἐλαττόνων ἐπιμελήσεται; ἀλλ' οἴμοι, πανταχοῦ τοῦτο πάσχομεν. κἂν παῖδα κτησώμεθα, οὐ σπουδάζομεν ὅπως γένηται ἀγαθὸς, ἀλλ' ὅπως πλουσίαν αὐτῷ γυναῖκα λάβωμεν· οὐχ ὅπως εὔτροπος, ἀλλ' ὅπως εὔπορος· κἂν ἐπιτήδευμα μετίωμεν, οὐχ ὅπως ἁμαρτημάτων ἀπηλλαγμένον ᾖ, ἀλλ' ὅπως ἡμῖν κέρδος προσοίσῃ μέγα. καὶ πάντα γέγονε χρήματα. διὰ τοῦτο πάντα διέφθαρται, ὅτι ἐκεῖνος ἡμᾶς κατέχει ὁ ἔρως.

28 Οὕτως ὀφείλουσι, φησὶν, οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα. Τί δὴ τοῦτό ἐστιν; ὡς εἰς μείζονα εἰκόνα, καὶ σφοδρότερον ἦλθεν ὑπόδειγμα. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ὡς ἐγγύτερον, καὶ σαφέστερον, καὶ δικαίωμα ἕτερον. ἐκεῖνο μὲν γὰρ οὐκ ἦν πολλῆς ἀνάγκης. ἵνα γὰρ μή τις εἴπῃ, ἐκεῖνος Χριστὸς ἦν, καὶ Θεὸς ἦν, καὶ ἑαυτὸν παρέδωκεν, ἑτέρωθεν αὐτὸ μεθοδεύει λοιπὸν, λέγων· οὕτως ὀφείλουσιν. οὐ γὰρ χάρις ἐστὶ τὸ πρᾶγμα, ἀλλ' ὀφειλή. εἰπὼν, ὡς τὰ ἑαυτῶν σώματα, ἐπήγαγεν·

29 Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν.

Γεν. β. κγ. Τουτέστι, θεραπεύει μετὰ πολλῆς τῆς ἐπιμελείας. καὶ πῶς αὐτοῦ ἐστὶ σάρξ; ἄκουε· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, φησὶ, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἔσονται, φησὶν εἰς σάρκα μίαν. Καθὼς καὶ ὁ Χριστὸς [ἠγάπησε] τὴν ἐκκλησίαν. Ἐπὶ τὸ πρότερον ὑπόδειγμα ἦλθεν.

30 Ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ. Πῶς; ἀπὸ γὰρ τῆς ἡμετέρας γέγονεν ὕλης, ὥσπερ καὶ ἡ Εὔα σὰρξ ἀπὸ τῆς σαρκὸς τοῦ Ἀδάμ. καλῶς δὲ ὀστῶν καὶ σαρκὸς ἐμνημόνευσε. ταῦτα γάρ ἐστιν ἐν ἡμῖν τὰ κυριώτερα, σάρκες καὶ ὀστᾶ· τὰ μὲν ὥσπερ τις τάξις ὑποκείμενα, τὰ δὲ ὥσπερ οἰκοδομία. ἀλλ' ἐκεῖ μὲν δῆλον· τοῦτο δὲ πῶς; ὥσπερ ἐκεῖ τοσαύτη ἐγγύτης ἐστὶν, οὕτω, φησὶ, καὶ ἐνταῦθα. τί ἐστιν, ἐκ τῆς σαρκὸς αὐτοῦ; τουτέστι, γνησίως ἐξ αὐτοῦ*. καὶ πῶς τοῦ Χριστοῦ μέλη οὕτως ἐσμέν; ὅτι κατ' αὐτὸν γεγενήμεθα*. καὶ πῶς ἐκ τῆς σαρκός; ἴστε ὅσοι μετέχετε μυστηρίων. ἐκ τούτου γὰρ εὐθέως ἀναπλαττόμεθα. καὶ πῶς; πάλιν ἄκουε τοῦ μακαρίου τούτου λέγοντος*. ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν. ἀλλ' ἐνταῦθα αὐτὸς ἡμῖν ἐκοινώνησεν, οὐχ ἡμεῖς αὐτῷ. πῶς οὖν ἐκ τῆς σαρκὸς αὐτοῦ ἐσμὲν, καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ; τινὲς δὲ αἷμά φασι καὶ τὸ ὕδωρ, οὐκ ἔστι δέ. ἀλλ' ὅπερ δηλοῦν βούλεται, τοῦτό ἐστιν, ὅτι ὥσπερ ἄνευ συνουσίας ἐκεῖνος γεγέννηται ἐκ πνεύματος ἁγίου, οὕτω καὶ ἡμεῖς γεννώμεθα ἐν τῷ λουτρῷ. ὅρα πόσα ὑποδείγματα, ὥστε πιστευθῆναι τὴν γέννησιν ἐκείνην. ὢ τῆς ἀνοίας τῶν αἱρετικῶν. τὸ ἤδη τεχθὲν ἐξ ὕδατος ὅ, τι τίκτεται, γέννημα ἀληθινὸν ὁμολογοῦσιν· ὅτι δὲ γινόμεθα, αὐτοῦ σῶμα, οὐ λέγουσιν. ἀλλ' ἐὰν τοῦτο μὴ γινώμεθα, πῶς ἁρμόσει τὸ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ λεγόμενον; σκόπει δέ. ἐπλάσθη ὁ Ἀδὰμ, ἐτέχθη ὁ Χριστός. ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ εἰσῆλθε φθορά· ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐπήγασεν ἡ ζωή· ἐν παραδείσῳ ἐβλάστησε θάνατος, ἐν τῷ σταυρῷ αὐτοῦ ἡ ἀναίρεσις γέγονεν. ὡς οὖν ὁ υἱὸς τοῦ Θεοῦ τῆς ἡμετέρας

* καὶ ἐξ ἀνακλήσεως τῆς ὑπ' αὐτοῦ.
* τοῦ βαπτίσματος.
* ἀλλαχοῦ, καὶ τὸ πῶς παρ᾽ [illegible] ἐπιδηλοῦται.
ἴσ. ἵνα δὲ γινόμεθα αὐτοῦ σῶμα, οὐ δέχονται.
ἴσ. ἐξῆλθε.

πέρας φύσεως, οὕτως ἡμᾶς τῆς οὐσίας αὐτοῦ· καὶ ὡς ἡμᾶς ἐκεῖνος ἔχει ἐν ἑαυτῷ, οὕτω καὶ ἡμεῖς αὐτὸν ἔχομεν ἐν ἡμῖν.

31 Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

Ἰδοὺ καὶ τρίτον δικαίωμα. δείκνυσι γάρ, ὅτι τοὺς γεννησαμένους τις ἀφείς, καὶ ἐξ ὧν ἔφυ, ἐκείνῃ συμπλέκεται. καὶ λοιπὸν ἡ σάρξ, ὁ πατήρ, καὶ ἡ μήτηρ, καὶ ὁ παῖς ἐστιν, ἐκ τῆς ἑκατέρου συνουσίας συγκραθεῖσα. καὶ γὰρ μιχθέντων τῶν σπερμάτων, τίκτεται ὁ παῖς, ὥστε* τοὺς τρεῖς εἶναι μίαν σάρκα. οὕτως οὖν ἡμεῖς πρὸς τὸν Χριστὸν γινόμεθα μία σάρξ διὰ μετουσίας· καὶ πολλῷ μᾶλλον ἡμεῖς, ἢ τὸ παιδίον. τί δήποτε; ὅτι ἐξ ἀρχῆς οὕτω γέγονε. μή μοι λέγε, ὅτι τοιάδε ἐστί, καὶ τοιάδε ἐστίν. οὐχ ὁρᾷς, ὅτι καὶ ἐν τῇ σαρκὶ πολλὰ ἔχομεν ἐλαττώματα; ὁ μὲν γάρ ἐστι χωλός, ὁ δὲ διεστραμμένους ἔχει τοὺς πόδας, ἕτερος χεῖρας ξηράς, ἄλλος ἄλλο τι μέλος ἀσθενές. καὶ ὅμως οὐκ ἀλγεῖ, οὐδὲ ἐκκόπτει, ἀλλὰ καὶ προτίθησιν αὐτὸ πολλάκις τοῦ ἄλλου. εἰκότως. αὐτοῦ γάρ ἐστιν. ὅσην τοίνυν ἕκαστος πρὸς ἑαυτὸν ἀγάπην ἔχει, τοσαύτην πρὸς τὴν γυναῖκα ἡμᾶς βούλεται ἔχειν· οὐχ ὅτι φύσεως μιᾶς κοινωνοῦμεν, ἀλλὰ πλέον τούτου ἡμῖν τὸ δικαίωμα τὸ πρὸς τὴν γυναῖκα. διότι οὐκέτι δύο εἰσὶ σώματα, ἀλλ' ἕν, ὁ μὲν κεφαλὴ ὤν, ἡ δέ, σῶμα. καὶ πῶς φησιν ἀλλαχοῦ, Κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός; α. Κορ. ια. γ. τοῦτο καὶ ἐγώ φημι, ὅτι ὥσπερ ἓν σῶμα ἡμεῖς, οὕτω καὶ ὁ Χριστὸς καὶ ὁ πατὴρ ἕν. εὑρίσκεται ἄρα καὶ ὁ πατὴρ κεφαλὴ ἡμῶν ὤν. δύο τίθησιν ὑποδείγματα, τὸ τοῦ σώματος, καὶ τὸ τοῦ Χριστοῦ. διὸ καὶ ἐπάγει·

ἑκατέρων [συ]γχυθεῖσα. ... συμβαίνει ... ἀλλὰ πά[λιν] γίνεται μία σὰρξ διὰ τῆς συνουσίας. ἀραβεῖται πάλιν, καὶ πολλῷ μᾶλλον αὐτῆ[ς] ... γρ.

32 Τὸ μυστήριον τοῦτο μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς Χριστόν, καὶ εἰς τὴν ἐκκλησίαν.

Τί ἐστι τοῦτο; μέγα μυστήριον αὐτό φησιν, ὅτι μέγα τι καὶ θαυμαστὸν ᾐνίξατο ὁ μακάριος Μωϋσῆς, μᾶλλον δὲ ὁ Θεός. πλὴν μέντοι εἰς Χριστόν, φησι, λέγω, ὅτι καὶ αὐτὸς τὸν πατέρα ἀφεὶς κατῆλθε, καὶ ἦλθε πρὸς τὴν νύμφην, καὶ ἐγένετο εἰς πνεῦμα ἕν. Ὁ κολλώμενος γὰρ τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι. α. Κορ. ς. ιζ. καὶ καλῶς εἶπε, μέγα μυστήριόν ἐστιν· ὡς ἂν εἰ ἔλεγε, πλὴν ἀλλ' οὐχ ἡ ἀλληγορία ἀνατρέπει τὴν ἀγάπην.

33 Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. Ὄντως γάρ, ὄντως μυστήριόν ἐστι, καὶ μέγα μυστήριον, ὅτι τὸν φύντα, τὸν γεννησάμενον, τὸν ἀναθρεψάμενον, τὴν ὠδινήσασαν, τὴν ταλαιπωρηθεῖσαν ἀφείς, τοὺς τὰ τοσαῦτα εὐεργετήσαντας, τοὺς ἐν συνηθείᾳ γενομένους, τῇ μηδὲ ὀφθείσῃ, μηδὲ κοινόν τι ἐχούσῃ πρὸς αὐτὸν προσκολλᾶται, καὶ πάντων αὐτὴν προτιμᾷ. [μυστήριον ὄντως ἐστί.] καὶ οἱ γονεῖς τούτων γινομένων οὐκ ἄχθονται, ἀλλὰ μὴ γινομένων μᾶλλον· καὶ χρημάτων ἀναλισκομένων, καὶ δαπάνης γινομένης, ἥδονται. ὄντως μέγα μυστήριον, ἀπόρρητόν τινα σοφίαν ἔχον. τοῦτο ἄνωθεν προφητεύων ἐδήλου Μωϋσῆς· τοῦτο καὶ νῦν ὁ Παῦλος βοᾷ λέγων, εἰς Χριστόν, καὶ εἰς τὴν ἐκκλησίαν. πλὴν οὐ δι' αὐτὸν εἴρηται μόνον οὕτως, ἀλλὰ καὶ διὰ τὴν γυναῖκα· ἵνα ὡς τὴν ἰδίαν σάρκα αὐτὴν θάλπῃ, ὡς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. οὐκέτι τὰ τῆς ἀγάπης τίθησι μόνον, ἀλλὰ τί; ἵνα φοβῆται τὸν ἄνδρα. ἀρχὴ δευτέρα ἐστὶν ἡ γυνή. μήτε οὖν αὕτη τὴν ἰσοτιμίαν ἀπαιτείτω (ὑπὸ γὰρ τὴν κεφαλήν ἐστι) μήτε ἐκεῖνος ὡς ὑποτεταγμένης καταφρονείτω· σῶμα γάρ ἐστι. κἂν καταφρονῇ τοῦ σώματος ἡ κεφαλή, καὶ αὐτὴ προσαπολεῖται. ἀλλ' ἀντίρροπον τῆς ὑπακοῆς εἰσαγέτω τὴν ἀγάπην, ὥσπερ ἡ κεφαλὴ καὶ τὸ σῶμα. τὸ μὲν αὐτῇ πρὸς διακονίαν παρέχοι τὰς χεῖρας, τοὺς πόδας, τὰ λοιπὰ πάντα μέλη· ἐκείνη δὲ αὐτοῦ προνοουμένη, πᾶσαν ἐν ἑαυτῇ αἴσθησιν ἔχουσα. οὐδὲν ταύτης ἄμεινον τῆς συζυγίας. καὶ πῶς ἂν γένοιτο ἀγάπη, φησί, φόβου ὄντος; μάλιστα τότε ἂν γένοιτο. ἡ γὰρ φοβουμένη καὶ ἀγαπᾷ, ἡ ἀγαπῶσα φοβεῖται ὡς κεφαλήν, καὶ ἀγαπᾷ ὡς μέλος, ἐπεὶ καὶ ἡ κεφαλὴ

μέλος τοῦ παντός ἐστι σώματος. διὰ τοῦτο τὴν μὲν ὑπέταξε, τὸν δὲ ἐπέστησεν, ἵνα εἰ-
ρήνη ᾖ. ἔνθα γὰρ ἰσοτιμία, εἰρήνη οὐκ ἄν ποτε γένοιτο, οὔτε δημοκρατουμένης οἰκίας,
οὔτε πάντων ἀρχόντων, ἀλλὰ ἀνάγκη μίαν εἶναι τὴν ἀρχήν. καὶ ταῦτα πανταχοῦ ἐπὶ
Πραξ. δ. λβ. τῶν σωματικῶν. ἐπεὶ ἐὰν ὦσιν ἄνδρες πνευματικοί, ἔσται εἰρήνη. πεντακισχίλιαι ἦσαν
ψυχαί, καὶ οὐδείς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ὑπετάσσοντο ἀλλήλοις. τοῦ-
το δεῖγμα συνέσεως καὶ φόβου Θεοῦ. τὸν μὲν οὖν τῆς ἀγάπης τύπον ἔδειξε, τὸν δὲ τοῦ φόβου,
οὐκέτι. καὶ ὅρα τὸν μὲν τῆς ἀγάπης πλατύνοντα, τὰ κατὰ Χριστὸν διηγούμενον, τὰ κατὰ τὴν
σάρκα τὴν ἰδίαν, τό, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὴν μητέρα αὐτοῦ καὶ τὸν πατέρα·
τὰ δὲ τοῦ φόβου, οὐκέτι πλατύνει. τί δήποτε; ὅτι τοῦτο μᾶλλον βούλεται κρατεῖν, τὸ τῆς
ἀγάπης. ταύτης γὰρ οὔσης, πάντα ἕπεται τὰ ἄλλα· ἐκείνου δὲ ὄντος, οὐ πάντως. ὁ μὲν
γὰρ ἀγαπῶν τὴν γυναῖκα, κἂν μὴ σφόδρα ἔχῃ πειθηνίαν, πάντα ὅμως ἀποστήσεται.
οὕτω δύσκολον καὶ χαλεπὸν ἡ ὁμόνοια, ὅταν μὴ τῇ τῆς τυραννίδος ἀγάπῃ ὦσι συνδεδεμέ-
νοι. ὁ μέντοι φόβος οὐ πάντως τοῦτο κατορθώσει. διὰ τοῦτο ἐνδιατρίβει τούτῳ πλέον,
ὅπερ ἐστὶν ἰσχυρόν. καὶ δοκοῦσα πλεονεκτεῖσθαι ἡ γυνή, ὅτι φοβεῖσθαι προσετάγη, πλεονεκτεῖ.
τὸ γὰρ κυριώτερον ὁ ἀνὴρ προστέτακται, τὸ ἀγαπᾷν. τί οὖν ἂν μὴ φοβῆται, φησίν, ἡ γυνή;
σὺ ἀγάπα, τὸ σαυτοῦ πλήρου. καὶ γὰρ ἂν τὰ παρὰ τῶν ἄλλων μὴ ἕπηται, τὰ παρ' ἡμῶν ἕπεσθαι
δεῖ. οἷόν τι λέγω· ὑποτασσόμενοι, φησίν, ἀλλήλοις ἐν φόβῳ Χριστοῦ. τί οὖν ἂν ὁ ἕτερος
μὴ ὑποτάσσηται; σὺ πείθου τῷ νόμῳ τοῦ Θεοῦ. οὕτω δὴ καὶ ἐνταῦθα. ἡ γοῦν γυνὴ κἂν
μὴ ἀγαπᾶται, ὅμως φοβείσθω, ἵνα μηδὲν ᾖ παρ' αὐτῇ γεγονός· ὅ τε ἀνήρ, ἂν μὴ φοβῆ- γ. αὐτῆς
ται ἡ γυνή, ὅμως ἀγαπάτω, ἵνα μηδὲν αὐτὸς ὑστερῇ. ἕκαστος γὰρ τὸ ἴδιον ἀπέλαβεν. ἄρα
γάμος ἐστὶν οὗτος γινόμενος κατὰ Χριστόν, γάμος πνευματικὸς καὶ γέννησις πνευματική, οὐκ ἐξ
Γεν. ιη. ια. αἱμάτων, οὐκ ἐξ ὠδίνων. τοιαύτη καὶ ἡ τοῦ Ἰσαάκ. ἄκουε τῆς γραφῆς λεγούσης· Καὶ ἐξ-
έλιπε παραγίνεσθαι Σάρρα τὰ γυναικεῖα αὐτῆς. καὶ ὁ γάμος οὐκ ἀπὸ πάθους, οὐδὲ σω-
μάτων, ἀλλὰ πνευματικὸς ὅλος, ψυχῆς πρὸς Θεὸν συναπτομένης συνάφειαν ἄρρητον, καὶ ἣν
α. Κορ. ϛ. ιζ. μόνος οἶδεν αὐτός. διὰ τοῦτό φησιν· Ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστιν. ὅρα πῶς σπου-
δάζει καὶ τὴν σάρκα ἑνῶσαι τῇ σαρκί, καὶ τὸ πνεῦμα τῷ πνεύματι. ποῦ οἱ αἱρετικοί; οὐκ ἂν εἰ τὸ δια-
βεβλημένον ὁ γάμος ἦν, νύμφην καὶ νυμφίον ἐκάλεσεν· οὐκ ἂν προτρέπων ἐκεῖνο προήγαγε
τό, καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα. καὶ πάλιν ἐπήγαγεν, ὅτι εἰς τὸν Χριστὸν
Ψαλμ. μδ. ια. εἴρηται, καὶ τὴν ἐκκλησίαν. περὶ γὰρ ταύτης καὶ ὁ ψαλμῳδός φησιν· Ἄκουσον θύγατερ, καὶ ἴδε,
καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασι-
Ἰωαν. ις. κη. λεὺς τοῦ κάλλους σου. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· Ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον, καὶ
ἥκω. ἀλλ' ὅταν εἴπω, ὅτι τὸν πατέρα κατέλιπε, μὴ τοιοῦτον νομίσῃς, οἷον ἐπ' ἀνθρώ-
πων, τόπων μετάβασιν. ὥσπερ γὰρ ἐκβεβηκέναι λέγεται, οὐκ ἐπειδὴ ἐξῆλθεν, ἀλλὰ διὰ τὴν
σάρκα, οὕτω καὶ τό, κατέλιπε τὸν πατέρα. διὰ τί οὖν μὴ καὶ περὶ τῆς γυναικὸς εἶπε, προσ-
κολληθήσεται πρὸς τὸν ἄνδρα αὐτῆς; τί δήποτε; ὅτι περὶ ἀγάπης διελέγετο, καὶ τῷ ἀνδρὶ
διελέγετο. ἐκείνῃ μὲν γὰρ περὶ φόβου διαλεγόμενός φησιν· ἀνήρ ἐστι κεφαλὴ τῆς γυναι-
κός· καὶ πάλιν, ὅτι καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας. περὶ δὲ ἀγάπης αὐτῷ διαλέ-
γεται, καὶ αὐτῷ τὰ ταύτης ἐνεχείρισε, καὶ τὰ περὶ τῆς ἀγάπης πρὸς αὐτὸν ἐφθέγ-
ξατο, συσφίγγων αὐτὸν καὶ συγκολλῶν. ὁ γὰρ τὸν πατέρα διὰ τὴν γυναῖκα ἀφείς, καὶ αὐ-
τὴν δὲ ταύτην πάλιν ἀφεὶς καὶ καταλιμπάνων, ποίας ἂν εἴη ἄξιος συγγνώμης; οὐχ ὁρᾷς
πόσης αὐτὴν ἀπολαύειν βούλεται τιμῆς ὁ Θεός, ὅς σε τοῦ πατρὸς ἀπαγαγών, ταύτῃ προσ-
α. Κορ. ζ. ιε. ήλωσε; τί οὖν ἂν τὰ παρ' ἡμῶν γένηται, φησίν, ἐκείνη δὲ μὴ ἀκολουθῇ; Εἰ δὲ ὁ ἄπιστος χω-
ρίζεται, χωριζέσθω. οὐ δεδούλωται ὁ ἀδελφός, ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις. ἀλλ' ὅταν ἀ-
κούσῃς φόβον, ἐλευθέρᾳ πρέποντα φόβον ἀπαίτει, μὴ καθάπερ παρὰ δούλης. σῶμα γάρ

ἐστί σοι. ἂν γὰρ τοῦτο ποιήσῃς, σαυτὸν καθυβρίζεις, τὸ σῶμα ἀτιμάζων τὸ σόν. Ποῖος δὲ ἐστὶν ὁ φόβος; ὥστε μὴ ἀντιλέγειν, ὥστε μὴ ἐπανίστασθαι, ὥστε μὴ τῶν πρωτείων ἐρᾷν. Ἀρκεῖ μέχρι τούτων ἑστάναι τὸν φόβον. Ἂν δὲ ἀγαπᾷς, ὡς ἐκέλευσεν, καὶ μείζονα ἐργάσῃ· μᾶλλον δὲ οὐκέτι φόβῳ τοῦτο ἐργάσῃ, ἀλλὰ καὶ αὐτὴ ἡ ἀγάπη ἐργάζεταί τι. Ἀσθενέστερόν πως τὸ γένος ἐστὶ, πολλῆς δεόμενον τῆς βοηθείας, πολλῆς τῆς συγκαταβάσεως. Τί δὲ ἂν εἴποιεν οἱ δευτέροις συναπτόμενοι γάμοις; οὐχὶ κατακρίνων λέγω, μὴ γένοιτο (καὶ γὰρ ὁ Ἀπόστολος συνεχώρησεν) ἀλλὰ τὸ σφόδρα συγκαταβαίνων. Πάντα αὐτῇ πάρεχε· πάντα ὑπὲρ ἐκείνης πράττε, καὶ ταλαιπωροῦ. ἀνάγκη σοι ἐπίκειται. Ἐνταῦθα οὐκ ἀξιοῖ ἀπὸ τῶν ἔξωθεν παραδειγμάτων εἰσάγειν τὴν συμβουλὴν, ὅπερ πολλαχοῦ ποιεῖ. Ἤρκει γὰρ μέγα καὶ σφοδρὸν ὂν, τὸ τοῦ Χριστοῦ μᾶλλον δὲ καὶ εἰς ὑποταγῆς λόγον. Καταλείψει, φησὶ, τὸν πατέρα καὶ τὴν μητέρα. Ἰδοὺ τοῦτο ἔξωθεν. Ἀλλ' οὐκ εἶπε, τὸ, συνοικήσει, ἀλλὰ, προσκολληθήσεται, τὴν ἀκριβῆ ἕνωσιν, τὴν μετὰ σφοδρότητος ἀγάπην δηλῶν. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ τῇ ἐπαγωγῇ ἔδειξε τὴν ὑποταγὴν οὕτως, ὡς μηκέτι τοὺς δύο φαίνεσθαι δύο. Οὐκ εἶπεν, εἰς πνεῦμα, οὐκ εἶπεν, εἰς ψυχήν (ἐκεῖνο μὲν γὰρ δῆλον, καὶ παντὶ δυνατόν) ἀλλ' οὕτως, ὡς εἰς σάρκα μίαν εἶναι. Δευτέρα ἐστὶν ἀρχὴ αὕτη, ἀρχὴν ἔχουσα καὶ πολλὴν τὴν ὁμοτιμίαν· ἀλλ' ὅμως ἔχει τι πλέον ὁ ἀνήρ. Τοῦτο σωτηρία μεγίστη οἰκίας. Ἐκεῖνο μὲν γὰρ τὸ τοῦ Χριστοῦ παρέλαβεν, οὐκ εἰς τὸ δεῖν ἀγαπᾷν μόνον, ἀλλὰ καὶ ῥυθμίζειν. Ἵνα ᾖ, φησὶν, ἁγία, καὶ ἄμωμος. Τὸ δὲ, τῆς σαρκὸς, εἰς τὸ ἀγαπᾷν, τὸ δὲ προσκολληθήσεται, ὁμοίως εἰς τὸ ἀγαπᾷν. Ἂν γὰρ αὐτὴν κατασκευάσῃς ἁγίαν καὶ ἄμωμον, πάντα ἕπεται. Ζήτει τὰ τοῦ Θεοῦ, καὶ τὰ ἀνθρώπινα ἀκολουθήσει μετὰ πολλῆς τῆς εὐκολίας. Ῥύθμιζε τὴν γυναῖκα, καὶ οὕτω συγκροτεῖται ἡ οἰκία. Ἄκουε τοῦ Παύλου λέγοντος· Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. *α. Κορ. ιδ. λε.* Ἂν οὕτω τὰς οἰκίας διοικῶμεν τὰς ἑαυτῶν, καὶ πρὸς ἐκκλησίας ἐπιστασίαν ἐσόμεθα ἐπιτήδειοι. Καὶ γὰρ ἡ οἰκία ἐκκλησία ἐστὶ μικρά. Οὕτως ἔνι ἄνδρας καὶ γυναῖκας γινομένους ἀγαθοὺς, πάντας ὑπερβαλέσθαι. Ἐννόησον τὸν Ἀβραάμ, τὴν Σάρραν, τὸν Ἰσαὰκ, τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς· πῶς πᾶσα ἡ οἰκία συγκεκρότητο, πῶς ἅπασα εὐλαβείας ἔγεμεν. Ἐκείνη καὶ τὸ ἀποστολικὸν ἐπλήρου παράγγελμα, καὶ τὸν ἄνδρα ἐφοβεῖτο (ἄκουε γὰρ αὐτῆς λεγούσης· Οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν, ὁ δὲ κύριός μου *Γεν. ιη. ιβ.* πρεσβύτερος) κἀκεῖνος αὐτὴν οὕτως ἠγάπα, ὡς πάντα κελευούσῃ πείθεσθαι. Καὶ τὸ παιδίον ἐνάρετον ἦν, καὶ τὰ οἰκογενῆ καὶ αὐτοὶ θαυμαστοὶ, οἵ γε καὶ κινδυνεῦσαι μετὰ τοῦ δεσπότου οὐκ ὤκνησαν, οὐκ ἀνεβάλοντο, οὐδὲ τὴν αἰτίαν ἐζήτησαν· ἀλλ' εἷς αὐτῶν ὁ προεστηκὼς οὕτω θαυμαστὸς ἦν, ὡς καὶ γάμον ἐμπιστευθῆναι τοῦ μονογενοῦς παιδὸς, καὶ ἀποδημίαν ὑπερόριον. Καθάπερ γὰρ ἐπὶ στρατηγοῦ, ὅταν καὶ τὸ στρατιωτικὸν ᾖ συγκεκροτημένον, οὐδαμόθεν ὁ πολέμιος ἐπεισέρχεται· οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ἀνὴρ, καὶ γυνὴ, καὶ παιδία, καὶ οἰκέται ὦσι τῶν αὐτῶν ἐπιμελούμενοι, πολλὴ τῆς οἰκίας ἡ ὁμόνοια· ἐπεὶ, ἐὰν μὴ οὕτως ᾖ, πολλάκις δι' ἑνὸς οἰκέτου φαύλου τὸ πᾶν ἀνατρέπεται καὶ καταλύεται· καὶ ὁ εἷς πολλάκις τὸ πᾶν ἠφάνισε καὶ διέφθειρε.

Πολλὴν οὖν πρόνοιαν ποιώμεθα καὶ γυναικῶν καὶ παίδων καὶ δούλων, εἰδότες ὅτι τὴν ἀρχὴν ἡμῖν αὐτοῖς εὔκολον κατασκευάσομεν, καὶ ὅτι τὰς εὐθύνας ὑπὲρ αὐτῶν ἐπιεικεῖς ἕξομεν, καὶ ἐροῦμεν, Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. *ΗΘΙΚΟΝ* *Ησ. η. ιη.* Ἐὰν ὁ ἀνὴρ θαυμαστὸς, καὶ ἡ κεφαλὴ καλὴ, καὶ τὸ λοιπὸν σῶμα οὐδεμίαν ὑποστήσεται βλάβην. Τὰ μὲν οὖν κατὰ τὴν γυναῖκα πῶς ἂν καλῶς διατιθείη, καὶ τὸν ἄνδρα, ἀκριβῶς εἶπε, τὴν μὲν φοβεῖσθαι παραινέσας, ὡς κεφαλὴν, τὸν δὲ ἀγαπᾷν, ὡς γυναῖκα. Πῶς δ' ἂν ταῦτα γένοιτο*, φησίν; ὅτι μὲν γὰρ δεῖ, ἔδειξε· τὸ δὲ πῶς, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. Ἂν χρημάτων καταφρονῶμεν, ἂν πρὸς ἓν ὁρῶμεν μόνον, ψυχῆς ἀρετὴν, ἂν τὸν τοῦ Θεοῦ φόβον ἔχωμεν πρὸ ὀφθαλμῶν. Ὅπερ γὰρ ἐν τοῖς

πρὸς τὸν δοῦλον διαλεγόμενος ἔλεγε, ὅ, τι ἂν ποιήσῃ ἕκαστος ἀγαθὸν, ἢ κακὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, τοῦτο καὶ ἐνταῦθα. μὴ δι' ἐκεῖνον τοίνυν τοσοῦτον, ὅσον διὰ τὸν Χριστὸν αὐτὴν ἀγαπᾶν. τοῦτο γοῦν καὶ ᾐνίξατο εἰπὼν, ὡς τῷ Κυρίῳ. ὡς τῷ Κυρίῳ τοίνυν πειθόμενος, καὶ δι' αὐτὸν πάντα ποιῶν, οὕτω πάντα πρᾶττε. τοῦτο ἱκανὸν ἐναγαγεῖν καὶ πεῖσαι, καὶ μὴ ἀφεῖναι ἐρεσχελίαν τινὰ καὶ διχόνοιαν εἶναι. μηδεὶς ἔστω πιστὸς συκοφαντῶν ἐπὶ τῆς γυναικὸς τὸν ἄνδρα, ἀλλὰ μηδὲ ὁ ἀνὴρ ἁπλῶς πιστευέτω κατὰ τῆς γυναικὸς, μηδὲ ἡ γυνὴ περιεργαζέσθω εἰσόδους, καὶ ἐξόδους ἁπλῶς. μηδὲ μὴν, μηδὲ ὁ ἀνὴρ ἄξιον παρεχέτω ἑαυτὸν τινὸς ὑποψίας. τί γὰρ, εἰπέ μοι, πᾶσαν τὴν ἡμέραν τοῖς φίλοις δίδως σαυτὸν, τῇ δὲ γυναικὶ τὴν ἑσπέραν, καὶ οὐδὲ οὕτως αὐτὴν δυνῇ πληροφορῆσαι, καὶ ἐκτὸς ὑποψίας ποιῆσαι; κἂν ἐγκαλῇ ἡ γυνὴ, μὴ δυσχέραινε. [φιλίας ἐστὶν, οὐκ ἀπονοίας] φιλίας ἐστὶ ζεούσης τὰ ἐγκλήματα, καὶ διαθέσεως πεπυρωμένης, καὶ φόβου. δέδοικε γὰρ μή τις αὐτῆς ἔκλεψε τὴν εὐνὴν, μή τις αὐτὴν περὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἐζημίωσε, μή τις αὐτῆς τὴν κεφαλὴν ἀφείλετο, μή τις διώρυξε τὴν εὐνήν. ἔστι καὶ ἄλλη μακροψυχίας ὑπόθεσις. μηδεὶς πέρα τοῦ μέτρου τῶν οἰκετῶν λυπείσθω, μήτε τῆς κόρης ὁ ἀνὴρ, μήτε τοῦ οἰκέτου ἡ γυνή. καὶ γὰρ ταῦτα ἱκανὰ τεκεῖν ὑποψίας. ἐννόησον γάρ μοι τοὺς δικαίους ἐκείνους. αὐτὴ ἡ Σάρρα ἐκέλευσε τῷ πατριάρχῃ λαβεῖν τὴν Ἄγαρ. αὐτὴ προσέταξεν, οὐδεὶς ἠνάγκασεν, οὐδὲ ἐπῆλθεν ὁ ἀνήρ. ἀλλὰ καίτοι μακρὸν χρόνον ἑλκύσας ἐν ἀπαιδίᾳ, εἵλετο μηδέποτε γενέσθαι πατὴρ, ἢ τὴν γυναῖκα λυπῆσαι. ἀλλ' ὅμως μετὰ

Γεν. ιε. 5. ταῦτα πάντα, τί φησιν ἡ Σάρρα; Κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ, καὶ σοῦ. ἆρα εἴ τις ἦν τῶν ἄλλων, οὐκ ἂν εἰς ὀργὴν ἐκινήθη; οὐκ ἂν καὶ χεῖρας ἐξέτεινε, μονονουχὶ φάσκων, τί λέγεις; οὐκ ἐβουλόμην ἐγὼ συγγενέσθαι τῇ γυναικὶ, σὺ τὸ πᾶν γέγονε, καὶ πάλιν ἐγκαλεῖς; ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν ἐκεῖνος. ἀλλὰ τί; Ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ, ὡς ἄν σοι ἀρεστὸν ᾖ. τὴν κοινωνὸν τῆς εὐνῆς ἐξέδωκεν, ἵνα μὴ λυπήσῃ τὴν Σάῤῥαν. καίτοι τοῦτο μεῖζον εἰς εὐνοίας λόγον ἐστίν. εἰ γὰρ τὸ τραπέζης κοινωνῆσαι καὶ λῃσταῖς

Ψαλ. νδ. 15. ὁμοψυχίαν ποιεῖ πρὸς τοὺς ἐναντίους, καὶ ὁ ψαλμῳδός φησιν, Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα· τὸ μίαν σάρκα γενέσθαι λοιπὸν (τοῦτο γάρ ἐστι κοινωνῆσαι τῆς εὐνῆς) πολλῷ μᾶλλον ἱκανὸν ἐπισπάσασθαι. ἀλλ' οὐδὲν τούτων ἴσχυσε τὸν δίκαιον ἑλεῖν· ἀλλ' ἐξέδωκε τῇ γυναικὶ, δεικνὺς ὅτι οὐ παρὰ τὴν αὐτοῦ αἰτίαν ταῦτα γεγένηται. καὶ τὸ δὴ μεῖζον, κύουσαν ἐξέπεμψεν αὐτήν. τίς οὐκ ἂν ἠλέησε κύουσαν ἐξ αὐτοῦ παιδίον; ἀλλ' οὐχ ὁ δίκαιος ἐπεκάμφθη. πάντων γὰρ τὴν ἀγάπην προὐτίθει τὴν πρὸς τὴν γυναῖκα. τοῦτον μιμώμεθα καὶ ἡμεῖς. μηδεὶς ὀνειδιζέτω πενίαν τῷ πλησίον, μηδεὶς χρημάτων ἐράτω, καὶ πάντα λέλυται. μηδὲ λεγέτω γυνὴ πρὸς τὸν ἄνδρα· ἄνανδρε καὶ δειλὲ, ὄκνου γέμων, καὶ νωθείας, καὶ ὕπνου πολλοῦ, ὁ δεῖνα ταπεινὸς, καὶ ἐκ ταπεινῶν, κινδύνους ὑπομένων, καὶ ἀποδημίας στελλόμενος, πολλὴν τὴν οὐσίαν ἐποίησε, καὶ ἡ γυνὴ χρυσοφορεῖ, καὶ ἐπὶ ζεύγους λευκῶν ἡμιόνων πρόεισι, περιφέρεται πανταχοῦ, οἰκετῶν ἀγέλας ἔχει καὶ εὐνούχων ἑσμόν· σὺ δὲ κατέπτηχας, καὶ εἰκῆ ζῇς. μὴ λεγέτω ταῦτα γυνὴ, καὶ τὰ τούτοις ὅμοια. σῶμα γάρ ἐστιν, οὐχ ἵνα διατάττῃ τῇ κεφαλῇ, ἀλλ' ἵνα πείθηται καὶ ὑπακούῃ. πῶς οὖν οἴσει, φησὶ, τὴν πενίαν; πόθεν εὑρήσει παραμυθίαν; ἐκλεγέσθω τὰς ἑαυτῆς πενεστέρας· ἀναλογιζέσθω πόσαι πάλιν εὐγενεῖς, καὶ ἐξ εὐγενῶν κόραι, οὐ μόνον ἐξ ἀνδρῶν οὐδὲν προσέλαβον, ἀλλὰ καὶ προσέδωκαν, καὶ τὰ αὐτῶν ἅπαντα ἀνάλωσαν. ἐννοείτω τοὺς ἐκ τοιούτων πλούτων κινδύνους, καὶ τὸν ἀπράγμονα ἀσπάσεται βίον. καὶ ὅλως εἰ φιλοστόργως πρὸς τὸν ἄνδρα διακέοιτο, οὐδὲν τοιοῦτον ἐρεῖ· ἀλλ' αἱρήσεται πλησίον αὐτὸν ἔχειν αὐτῆς μηδὲν πορίζοντα, ἢ μυρία τάλαντα χρυσοῦ μετὰ μερίμνης καὶ φροντίδος τῆς ἐκ τῶν ἀποδημιῶν ταῖς γυναιξὶν ἐγγινομένης ἀεί. ἀλλὰ μηδὲ ὁ ἀνὴρ ταῦτα ἀκούων, ὡς ἀρχὴν ἔχων, ἐπὶ ὕβρεις

ἴσ. πίσιν δὲ πσ.

γρ. βέλη

γρ. ἀφείλετο,

γρ. τοῦτον ἴσχυσεν αὐτόν

γρ. κύουσαν

γρ. ἑαυτῆς

πρεπέσθω καὶ πληγάς, ἀλλὰ παραινείτω, νουθετείτω, ὡς ἀτελεστέραν, λογισμοῖς ἀναπειθέτω, χεῖρας μηδέποτε ἐκτεινέτω (πόρρω ἐλευθέρας ψυχῆς ταῦτα) ἀλλὰ μηδὲ ὕβρεις, μηδὲ ὀνείδη, μηδὲ λοιδορίας· ἀλλ' ὡς ἀνοητοτέραν διακειμένην, ῥυθμιζέτω. πόθεν δὲ τοῦτο ἔσται; ἐὰν τὸν ἀληθῆ πλοῦτον μανθάνῃ, ἐὰν τὴν ἄνω φιλοσοφίαν, οὐδὲν ἐγκαλέσει τῶν τοιούτων. διδασκέτω αὐτὴν, ὅτι πενία κακὸν οὐδέν. διδασκέτω, μὴ δι' ὧν λέγει μόνον, ἀλλὰ καὶ δι' ὧν ποιεῖ. διδασκέτω δόξης καταφρονεῖν, καὶ οὐδὲν τοιοῦτον ἡ γυνὴ οὔτε ἐρεῖ, οὔτε ἐπιθυμήσει. καθάπερ ἄγαλμα δεχόμενος, οὕτως ἀπὸ τῆς ἑσπέρας ἐκείνης, ἧς ἂν αὐτὴν εἰς τὸν θάλαμον δέχηται, διδασκέτω σωφροσύνην, ἐπιείκειαν, ὅπως βιώσηται σεμνῶς, ἐκ προοιμίων εὐθέως καὶ ἐξ αὐτῶν τῶν προθύρων καταβάλλων τῶν χρημάτων τὸν ἔρωτα. τῇ φιλοσοφίᾳ παιδευέτω, καὶ παραινείτω ὅπως μὴ εἴη χρυσία κρεμάμενα ἐπὶ τῶν ὤτων, καὶ κατὰ τῶν παρειῶν, καὶ ἐπὶ τοῦ τραχήλου περικείμενα, μήτε κατακείμενα περὶ τὸν θάλαμον, μήτε ἱμάτια χρυσᾶ καὶ πολυτελῆ ἀποκείμενα. ἀλλ' ἔστω μὲν φαιδρὸς ὁ κόσμος, μὴ μὴν εἰς ὕβριν ἡ φαιδρότης ἐκπιπτέτω· ἀλλὰ ταῦτα ἀφεὶς τοῖς ἐπὶ τῆς σκηνῆς, αὐτὸς μετὰ πολλῆς τῆς κοσμιότητος καλλώπιζε τὸν οἶκον, σωφροσύνης πνέοντα μᾶλλον, ἢ ἄλλης τινὸς εὐωδίας. δύο γὰρ ἐκ τούτου ἔσται, καὶ τρία τὰ καλά. πρῶτον μὲν, οὐκ ἀλγήσει ἡ νύμφη, λυθεισῶν τῶν παστάδων, καὶ ἀποπεμπομένων ἑκάστῳ καὶ τῶν ἱματίων, καὶ τῶν χρυσίων, καὶ τῶν σκευῶν τῶν ἀργυρῶν. δεύτερον, οὐ φροντίσει ὁ νυμφίος ὑπὲρ τῆς ἀπωλείας, καὶ τῆς φυλακῆς τῶν συμπορισθέντων. τρίτον πάλιν πρὸς τούτοις, τὸ κεφάλαιον τῶν ἀγαθῶν, ἐξ αὐτῶν τούτων ἐνδείξεται τὴν αὐτοῦ γνώμην, ὅτι διὰ τούτων οὐδενὶ χαίρει, καὶ ὅτι καὶ τὰ λοιπὰ πάντα καταλύσει, καὶ μήτε ὀρχήματα, μήτε ἀσέμνους ᾠδὰς γενέσθαι συγχωρήσει ποτέ. καὶ οἶδα μὲν ὅτι δοκῶ καταγέλαστος εἶναι ἴσως τισὶ, τὰ τοιαῦτα νομοθετῶν· πλὴν ἀλλ' ἐὰν πεισθῆτέ μοι, τοῦ χρόνου προϊόντος, καὶ τῆς ἀπὸ τοῦ πράγματος ἀπολαύοντες ὠφελείας, τότε τὸ κέρδος εἴσεσθε. καὶ ὁ μὲν γέλως ῥυήσεται, καὶ καταγελάσεσθε τοῦ νῦν ἔθους, καὶ εἴσεσθε ὅτι ὄντως παίδων ἀνοήτων, καὶ ἀνδρῶν μεθυόντων ἐστὶ τὰ γινόμενα νῦν· τὰ δὲ παρ' ἐμοῦ, σωφροσύνης καὶ φιλοσοφίας, καὶ τῆς ἀνωτάτω πολιτείας ἐστί. τί οὖν φημι δεῖν; πάντα τὰ ᾄσματα τὰ αἰσχρὰ, τὰ σατανικὰ, τὰς ἀσέμνους ᾠδὰς, τὰς συνδρομὰς τῶν ἀκολάστων νέων περιελὲ τοῦ γάμου, καὶ ταῦτα τὴν νύμφην σωφρονίσαι δυνήσεται. εὐθέως γὰρ πρὸς ἑαυτὴν λογιεῖται, βαβαὶ, ποῖος οὗτος ὁ ἀνήρ; φιλόσοφός ἐστιν, οὐδὲν τὸν παρόντα ἡγεῖται βίον, ἐπὶ παιδοποιΐαν καὶ παιδοτροφίαν με ἤγαγεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, ἐπὶ οἰκονομίαν. ἀλλ' ἀηδῆ ταῦτα τῇ νύμφῃ; μέχρι τῆς πρώτης ἡμέρας, καὶ τῆς δευτέρας· λοιπὸν δὲ οὐκ, ἀλλὰ καὶ μεγίστην καρπώσεται τὴν ἡδονὴν, πάσης ἑαυτὴν ὑποψίας ἀπαλλάττουσα. ὁ γὰρ μήτε αὐλῶν, μήτε ὀρχουμένων, μήτε ᾀσμάτων κεκλασμένων ἀνασχόμενος, καὶ ταῦτα παρὰ τὸν τοῦ γάμου καιρὸν, σχολῇ γ' ἂν οὗτος ἀνέξεταί ποτε πρᾶξαι ἢ εἰπεῖν τι αἰσχρόν. μετὰ δὲ τοῦτο, ὅταν πάντα περιέλῃς ταῦτα τοῦ γάμου, παραλαβὼν αὐτὴν, πλάττε καλῶς, τὸ μὲν αἰσχυντηλὸν ἐπὶ πολὺ τοῦ χρόνου ἐξάγων, καὶ μὴ διαλύων ταχέως. κἂν γὰρ αἰσχυντοτέρα ᾖ ἡ κόρη, μέχρι καιροῦ σιγᾷν οἶδεν, αἰδουμένη τὸν ἄνδρα, καὶ ξενιζομένη πρὸς τὰ πράγματα. σὺ τοίνυν τοῦτο τὸ αἰσχυντηλὸν μὴ διαλύσῃς ταχέως, ὅπερ οἱ ἀκόλαστοι ποιοῦσι τῶν ἀνδρῶν, ἀλλ' ἐπεξάγαγε ἐπὶ πολὺν χρόνον. μέγα γάρ σοι τοῦτο ἔσται κέρδος. οὐκ ἐγκαλέσει τέως, οὐ μέμψεται ἐφ' οἷς ἂν διατυπώσῃς. πάντα τοίνυν κατ' ἐκεῖνον νομοθέτει τὸν χρόνον, καθ' ὃν ἡ αἰσχύνη, καθάπερ τις χαλινὸς ἐπικείμενος τῇ ψυχῇ, οὐκ ἀφίησιν οὐδὲν μέμφεσθαι, οὐδὲ ἐγκαλεῖν τοῖς γινομένοις. ὅταν γὰρ παρρησίας ἐπιλάβηται, μετὰ πολλῆς τῆς ἀδείας πάντα ἀνατρέπει καὶ συγχεῖ. πότε τοίνυν ἔστιν ἕτερος οὕτω καιρὸς ἐπιτήδειος πρὸς τὸ πλάττειν γυναῖκα, ὡς ἐκεῖνος, καθ' ὃν αἰδεῖται τὸν ἄνδρα, καὶ δέδοικεν ἔτι, καὶ δυσωπεῖται; τότε αὐτῇ τίθει τοὺς νόμους ἅπαντας, καὶ πάντως πεισθήσεται, καὶ ἑκοῦσα, καὶ ἄκουσα. πῶς δὲ τὴν αἰσχύνην

> γ. τῇ

> γ. ἐνδείκνυται

> γ. ἀκαθάρτων

> γ. αὐτῆς

οὐ λύσεις; ὅταν φανῇ καὶ αὐτὸς οὐδὲν ἧττον ἐκείνης αἰσχυνόμενος, ὀλίγα μὲν προσδιαλεγόμενος, καὶ αὐτὰ δὲ μετὰ πολλῆς τῆς εὐλαβείας καὶ τῆς συστροφῆς. Ἔστω αὐτῇ τοὺς περὶ φιλοσοφίας καταθὲς λόγους. Δέχεται γὰρ ἡ ψυχή. Εἰς τὴν καλλίστην ἕξει αὐτὴν κατάστασιν, τὴν αἰσχύνην λέγω. Εἰ βούλεσθε, καὶ ὑποδείγματος ἕνεκεν ἐρῶ, ἵνα πρὸς αὐτὴν διαλέγεσθαι χρή. Εἰ γὰρ Παῦλος οὐ παρῃτήσατο εἰπεῖν, Μὴ ἀποστερεῖτε ἀλλήλους, καὶ νυμφευτρίας ἐφθέγξατο ῥήματα, μᾶλλον δὲ οὐ νυμφευτρίας, ἀλλὰ πνευματικῆς ψυχῆς, πολλῷ μᾶλλον ἡμεῖς οὐ παραιτησόμεθα εἰπεῖν. Τί τοίνυν αὐτῇ διαλέγεσθαι χρή; μετὰ πολλῆς μετά τινος χάριτος λέγειν πρὸς αὐτὴν ἡμᾶς, ὦ παιδίον, τοῦ βίου σε κοινωνὸν ἐλάβομεν, καὶ εἰσηγάγομεν ἐν τοῖς τιμιωτέροις καὶ ἀναγκαιοτέροις ἡμῖν κοινωνήσουσαν, ἐν παιδοποιΐᾳ, καὶ οἰκίας προστασίᾳ. Τί οὖν δή σε παρακαλοῦμεν*; μᾶλλον δὲ περὶ τούτου τῆς ἀγάπης διαλέγου. Οὐδὲν γὰρ οὕτω συμβάλλεται πρὸς τὸ πεῖσαι τὸν ἀκούοντα δέξασθαι τὰ λεγόμενα, ὡς τὸ μαθεῖν, ὅτι μετὰ πολλῆς τῆς ἀγάπης λέγεται. Πῶς οὖν δείξεις τὴν ἀγάπην; ἂν εἴπῃς ὅτι πολλὰς ἐνὸν λαβεῖν, καὶ εὐπορωτέρας, καὶ γένους λαμπροῦ, οὐχ εἱλόμην, ἀλλὰ σὲ καὶ τῆς σῆς ἠράσθην'' ἀναστροφῆς, τῆς κοσμιότητος, τῆς ἐπιεικείας, τῆς σωφροσύνης. Εἶτα ἀπὸ τούτων εὐθὺς παρασκεύασον ὁδὸν τῷ λόγῳ τῷ περὶ φιλοσοφίας, καὶ κατηγόρει τοῦ πλούτου μετά τινος'' περιόδου. Ἁπλῶς μὲν γὰρ ἐὰν κατατείνῃς λόγον κατὰ πλούτου, φορτικὸς ἔσῃ· ἂν δὲ ὑποθέσεως λαβόμενος, πάντα λύσεις. Δόξεις γὰρ ἐν τάξει ἀπολογίας τὸ πρᾶγμα ποιεῖν, οὐχ ὡς αὐστηρός τις, καὶ ἄχαρις, καὶ μικρολόγος. Ἀλλ' ὅταν ἐκ τῶν αὐτῆς τὴν ὑπόθεσιν λάβῃς, καὶ ἡσθήσεται. Ἐρεῖς οὖν (πάλιν γὰρ τὸν λόγον ἀναλαβεῖν ἀναγκαῖον) ὅτι παρὸν πλουσίαν γῆμαι καὶ εὔπορον, οὐκ ἠνεσχόμην. Τί δήποτε; οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ, ἀλλ' ἐπαιδεύθην ἐγὼ καλῶς, ὅτι πλοῦτος οὐδὲν κτῆμά ἐστιν, ἀλλὰ πρᾶγμα εὐκαταφρόνητον, καὶ λῃσταῖς προσὸν, καὶ πόρναις γυναιξὶ, καὶ τυμβωρύχοις. Διὸ ταῦτα ἀφεὶς, ἐπὶ τὴν τῆς σῆς ἀρετὴν ἦλθον ψυχῆς, ἣν παντὸς προτιμῶ χρυσίου. Συνετὴ γὰρ καὶ ἐλευθέρα κόρη νέα, καὶ εὐλαβείας ἐπιμελουμένη, πάσης τῆς οἰκουμένης ἐστὶν ἀνταξία. Διὰ δὴ ταῦτά σε καὶ ἠσπασάμην, καὶ φιλῶ, καὶ τῆς ἐμαυτοῦ προτίθημι ψυχῆς. Οὐδὲν γὰρ ὁ παρὼν βίος ἐστί. Καὶ εὔχομαι, καὶ παρακαλῶ, καὶ πάντα ποιῶ, ὥστε ἡμᾶς οὕτω καταξιωθῆναι τὸν παρόντα ζῆσαι βίον, ὥστε δυνηθῆναι καὶ ἐκεῖ ἐν τῷ μέλλοντι αἰῶνι μετὰ πολλῆς τῆς ἀδείας ἀλλήλοις συνεῖναι. Ὁ μὲν γὰρ χρόνος οὗτος βραχὺς καὶ ἐπίκηρος· εἰ δὲ καταξιωθείημεν εὐαρεστήσαντες τῷ Θεῷ οὕτω τὸν βίον'' μεταλλάξαι τοῦτον, ἀεὶ καὶ μετὰ τοῦ Χριστοῦ, καὶ μετ' ἀλλήλων ἐσόμεθα μετὰ πλείονος τῆς ἡδονῆς. Ἐγὼ πάντων τὴν σὴν ἀγάπην προτίθημι, καὶ οὐδέν μοι οὕτω δύσκολον, οὐδὲ ἐπαχθὲς, ὡς τό ποτε διενεχθῆναι πρὸς σέ. Κἂν πάντα ἀπολέσαι δέῃ, κἂν Ἴρου πενέστερον γενέσθαι, κἂν κινδύνοις ὑποστῆναι τοῖς ἐσχάτοις, κἂν ὁτιοῦν παθεῖν, ἐμοὶ πάντα οἰστὰ καὶ φορητὰ, ἕως ἂν τὰ πρὸς σὲ εὖ μοι διακέηται· καὶ τὰ παιδία μοι ποθεινὰ τότε ἔσται, ἕως ἂν εὐνοϊκῶς πρὸς ἡμᾶς διακειμένη ᾖς. Δεήσει δὲ καὶ σὲ ταῦτα ποιεῖν. Εἶτα παράμιγνυε καὶ τὰ ἀποστολικὰ ῥήματα, ὅτι οὕτως ὁ Θεὸς βούλεται τὴν εὔνοιαν ἡμῖν συγκεκροτῆσθαι. Ἄκουε γὰρ τῆς Γραφῆς λεγούσης· Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ. Μηδεμία μικροψυχίας ἔστω πρόφασις ἡμῖν· ἐρρέτω χρήματα, καὶ ἀνδραπόδων πλῆθος, καὶ τιμαὶ αἱ τῶν ἔξωθεν. Ἐμοὶ πάντων τοῦτο προτιμότερον. Πόσου χρυσίου, πόσων θησαυρῶν οὐχὶ ποθεινότερα ταῦτα τὰ ῥήματα ἔσται τῇ γυναικί; Μὴ φοβηθῇς μήποτε ἀπονοηθῇ διὰ τὸ φιλεῖσθαι· ἀλλ' ὅτι φιλεῖς, ὁμολόγει. Αἱ μὲν γὰρ ἑταῖραι νῦν μὲν τούτῳ, νῦν δὲ ἐκείνῳ προσαπλεκόμεναι, εἰκότως ἂν ἐπαίροιντο διὰ τῶν ἐραστῶν, ὅταν τοιαῦτα ἀκούοιεν ῥήματα· ἐλευθέρα δὲ γυνὴ καὶ κόρη εὐγενὴς οὐκ ἄν ποτε τούτοις ἐπαρθείη τοῖς ῥήμασιν, ἀλλὰ πολλῷ μᾶλλον καὶ κατακάμπτεται. Ἐνδείκνυσο δὲ τὴν πρὸς αὐτὴν

α. Κορ. ζ. ε.

* ὥστε ταῦτα εἰδέναι, ὥστε χάριν ἔχειν τῷ νομοθετήσαντι τὰ τοιαῦτα Θεῷ.

χ. ἀναστροφῆς,

χ. περινοίας.

χ. μεταστῆναι

συνουσίαν

συνοικεῖν πολλοῦ τιθέμενος, καὶ μᾶλλον ἐπὶ τῆς οἰκίας εἶναι βουλόμενος δι' αὐτὴν, ἢ ἐπὶ τῆς ἀγορᾶς· καὶ πάντων τῶν φίλων προτίμα, καὶ παίδων τῶν ἐξ αὐτῆς, καὶ αὐτὰ δὲ διὰ ταύτην φιλείσθω παρὰ σοῦ. ἂν ἀγαθόν τι πράξῃ, ἐπαίνει καὶ θαύμαζε· ἂν ἄτοπόν τι καὶ οἷα νεαῖς συμβαίνει, παραίνει καὶ ὑπομίμνησκε. ἄνω καὶ κάτω χρημάτων καταγέλα καὶ πολυτελείας, καὶ ὑποδείκνυε τὸν κόσμον τὸν ἀπὸ τῆς κοσμιότητος, τὸν ἀπὸ τῆς σεμνότητος, καὶ δίδασκε διηνεκῶς τὰ συμφέροντα. εὐχαὶ γινέσθωσαν ὑμῖν κοιναί· ἕκαστος εἰς τὴν ἐκκλησίαν προΐτω, καὶ τῶν λεγομένων καὶ τῶν ἀναγινωσκομένων ἐκεῖ καὶ ὁ ἀνὴρ τὴν γυναῖκα ἀπαιτείτω ἐπὶ τῆς οἰκίας τὸ μέρος, κἀκείνη τὸν ἄνδρα. εἰ πενία τις κατέχοι, παράγαγε εἰς μέσον τοὺς ἁγίους ἄνδρας, τὸν Παῦλον, τὸν Πέτρον, οἳ πάντων μᾶλλον καὶ βασιλέων καὶ πλουσίων εὐδοκίμησαν, καὶ πῶς δὲ καὶ ἐν λιμῷ καὶ ἐν δίψῃ τὸν βίον διήγαγον· παίδευε αὐτὴν, ὅτι οὐδὲν φοβερὸν τῶν ἐν τῷ βίῳ, ἢ μόνον τὸ προσκεκρουκέναι τῷ Θεῷ. ἂν οὕτω τις γήμῃ, ἂν ἐπὶ τούτοις, τῶν μοναζόντων οὐκ ἔσται πολλῷ ἐλάττων, οὐδὲ τῶν μὴ γεγαμηκότων ὁ γεγαμηκώς. εἰ βούλει καὶ ἄριστα ποιεῖν καὶ ἑστιάσεις ἐπιτελεῖν, μηδένα ἄσεμνον, μηδένα ἄκοσμον, ἀλλ' εἴ τινα ἅγιον πένητα εὕροις δυνάμενον ″ ὑμῖν εὐλογῆσαι τὴν οἰκίαν, δυνάμενον μετὰ

γ. ἡμῶν

τῆς τῶν ποδῶν ἐπιβάσεως πᾶσαν εἰσενεγκεῖν τοῦ Θεοῦ τὴν εὐλογίαν, τοῦτον κάλει. εἴπω δὲ καὶ ἕτερον. μηδεὶς ὑμῶν σπουδαζέτω εὐπορωτέραν γαμεῖν, ἀλλὰ πολλῷ μᾶλλον πενεστέραν. οὐ γὰρ τοσαύτην ἀπὸ τῶν χρημάτων εἰσελεύσεται εἰσφέρουσα ἀφορμὴν ἡδονῆς, ὅσην ἀηδίαν ἀπὸ τῶν ὀνειδῶν, ἀπὸ τοῦ πλείονα ἀπαιτεῖν ὧν εἰσήγαγεν, ἀπὸ τῶν ὕβρεων, ἀπὸ τῆς πολυτελείας, ἀπὸ τῶν φορτικῶν ῥημάτων. ἐρεῖ γὰρ ἴσως· οὐδέπω τῶν σῶν ἀνάλωσα οὐδὲν, ἔτι τὰ ἐμὰ περίκειμαι, ἐξ ὧν οἱ γονεῖς μοι δεδωρήκασι. τί λέγεις, ὦ γύναι; ἔτι τὰ σὰ περίκεισαι; καὶ τί τούτου τοῦ ῥήματος γένοιτ' ἂν ἀθλιώτερον; σῶμα οὐκέτι ἔχεις ἴδιον, καὶ χρήματα ἔχεις ἴδια; οὐκέτι δύο ἐστὲ σάρκες μετὰ τὸν γάμον, ἀλλ' ἐγένεσθε εἰς μίαν, καὶ αἱ οὐσίαι δύο, καὶ οὐ μία; ὢ τοῦ τῶν χρημάτων ἔρωτος. εἷς ἄνθρωπος, ἓν ζῶον ἀμφότεροι γεγόνατε, καὶ ἔτι λέγεις τὰ ἐμά; ἐπάρατον τοῦτο τὸ ῥῆμα καὶ μιαρὸν ἀπὸ τοῦ διαβόλου εἰσενήνεκται. πάντα ἡμῖν κοινὰ ἐποίησεν ὁ Θεὸς τὰ τούτων ἀναγκαιότερα, καὶ ταῦτα οὐ κοινά; οὐκ ἔστιν εἰπεῖν τὸ ἐμὸν φῶς, ὁ ἐμὸς ἥλιος, τὸ ἐμὸν ὕδωρ. πάντα ἡμῖν κοινὰ τὰ μείζονα, τὰ δὲ χρήματα οὐ κοινά; ἀπολλύσθω τὰ χρήματα μυριάκις, μᾶλλον δὲ μὴ τὰ χρήματα, ἀλλ' αἱ προαιρέσεις αἱ μὴ εἰδυῖαι χρήμασι χρήσασθαι, ἀλλὰ πάντων αὐτὰ προτιμῶσαι. καὶ ταῦτα μετὰ τῶν ἄλλων δίδασκε, ἀλλὰ μετὰ πολλῆς τῆς χάριτος. ἐπειδὴ γὰρ αὐτὴ καθ' ἑαυτὴν τῆς ἀρετῆς ἡ παραίνεσις πολὺ τὸ σκυθρωπὸν ἔχει, καὶ μάλιστα πρὸς κόρην ἁπαλὴν καὶ νέαν, ὅταν περὶ φιλοσοφίας λέγωνται λόγοι, πολλὴν ἐπινόει τὴν χάριν, καὶ τοῦτο μάλιστα ἀπὸ τῆς ψυχῆς ἐξόρισον ἐκείνης, τὸ ἐμὸν, καὶ τὸ σόν. ἂν εἴπῃ τὰ ἐμά, εἰπὲ αὐτῇ, ποῖα λέγεις σά; οὐδὲ γὰρ οἶδα· οὐδὲν ἔχω ἐγὼ ἴδιον. πῶς οὖν λέγεις τὰ ἐμά, πάντων ὄντων σῶν; χάρισαι αὐτῇ τὸ ῥῆμα. οὐχ ὁρᾷς ἐπὶ τῶν παιδίων ὅτι τοῦτο ποιοῦμεν; ὅταν ἡμῶν κατέχοντι τι ἁρπάσῃ, καὶ τὸ ἕτερον πάλιν βούληται λαβεῖν, συγχωροῦμεν καὶ λέγομεν· ναὶ, καὶ τοῦτο σόν ἐστι, κἀκεῖνο. τοῦτο καὶ ἐπὶ τῆς γυναικὸς ποιῶμεν· παιδικωτέρα γὰρ αὐτῆς ἡ διάνοιά ἐστι. κἂν λέγῃ τὰ ἐμά, εἰπέ, πάντα σά ἐστι, καὶ ἐγὼ σός. οὐκ ἔστι κολακείας τὸ ῥῆμα, ἀλλὰ πολλῆς συνέσεως. οὕτως αὐτῆς ″ δυνήσῃ χαλάσαι τὸν θυμὸν, καὶ τὴν ἀθυμίαν σβέσαι. κολακεία γάρ ἐστιν, ὅταν τις ἀγεννές τι πράξῃ κακοῦ ἕνεκεν· τοῦτο δὲ φιλοσοφία μεγίστη. λέγε οὖν, καὶ ἐγὼ σὸς, ὦ παιδίον·

γ. δυνάσαι

τοῦτό μοι Παῦλος παρῄνεσεν εἰπών· ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. α. Κορ. ζ. δ. εἰ τοῦ σώματος μου οὐκ ἔχω ἐξουσίαν, ἀλλὰ σὺ, πολλῷ μᾶλλον τῶν χρημάτων. ἀνέπαυσας αὐτὴν ταῦτα φθεγξάμενος, ἔσβεσας τὴν πυρὰν, κατῄσχυνας τὸν διάβολον, δούλην ἐποίησας μᾶλλον ″ ἀργυρωνήτου, τοῖς ῥήμασι τούτοις κατέδησας αὐτήν. ὥστε ἀφ' ὧν σὺ

ἴσ. ἀργυρωνήτου,

φθέγξῃ,

φθέγξῃ, δίδαξον αὐτὴν μηδέποτε λέγειν ἐμὸν, καὶ σόν. καὶ μηδέποτε ἁπλῶς αὐτὴν κάλει, ἀλλὰ μετὰ κολακείας, μετὰ τιμῆς, μετὰ πολλῆς ἀγάπης. τίμα αὐτὴν, καὶ οὐ δεήσεται τῆς παρ' ἑτέρων τιμῆς, οὐ δεήσεται τῆς παρ' ἑτέρων δόξης, ἂν ἀπολαύῃ τῆς παρὰ σοῦ. πάντων αὐτὴν προτίθει, πάντων ἕνεκεν, καὶ κάλλους, καὶ συνέσεως, καὶ ἐγκωμίαζε· οὕτως αὐτὴν πείσεις μηδενὶ προσέχειν τῶν ἔξωθεν, ἀλλὰ πάντων τῶν ἄλλων καταγελᾶν. δίδασκε τὸν τοῦ Θεοῦ φόβον, καὶ πάντα ὥσπερ ἀπὸ πηγῆς ἐπιρρεύσει, καὶ μυρίων ἔσται ἡ οἰκία τῶν ἀγαθῶν γέμουσα. ἂν τὰ ἄφθαρτα ζητῶμεν, καὶ ταῦτα ἐπελεύσεται τὰ φθαρτά. Ζητεῖτε γάρ, φησι, πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. (Ματθ. ς. λγ.) οἵους εἶναι χρὴ νομίζειν τοὺς παῖδας τῶν τοιούτων πατέρων; οἵους τοὺς οἰκέτας τῶν τοιούτων δεσποτῶν; οἵους τοὺς ἄλλους ἅπαντας τοὺς πλησιάζοντας; ἆρα οὐχὶ μυρίων τῶν ἀγαθῶν καὶ αὐτοὺς γέμειν συμβήσεται; ὡς γὰρ τὰ πολλὰ πρὸς τοὺς κρατοῦντας καὶ οἱ δοῦλοι τὰ ἤθη ῥυθμίζονται, καὶ ταῖς ἐκείνων ἐξομοιοῦνται ἐπιθυμίαις, τῶν αὐτῶν ἐρῶσιν, ἅπερ ἂν καὶ διδαχθῶσι, τὰ αὐτὰ φθέγγονται, ἐν τοῖς αὐτοῖς συναναστρέφονται. (χ. γνώμαις) ἐὰν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν, καὶ ταῖς γραφαῖς προσέχωμεν, τὰ πλείονα παρ' ἐκείνων παιδευθησόμεθα. καὶ οὕτω δυνησόμεθα ἀρέσαι τῷ Θεῷ, καὶ τὸν παρόντα βίον ἅπαντα μετ' ἀρετῆς διεξελθεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ.

κεφ. ς. Λογ. κα.
1 ΤΑ ΤΕΚΝΑ ΥΠΑΚΟΥΕΤΕ ΤΟΙΣ ΓΟΝΕΥΣΙΝ
ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον. 2 Τίμα τὸν πατέρα σου καὶ τὴν
μητέρα (ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ) 3 Ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ
μακροχρόνιος ἐπὶ τῆς γῆς.

Καθάπερ τις σῶμα πλάττων, πρῶτον μὲν τὴν κεφαλὴν, ἔπειτα τὸν αὐχένα, εἶτα τοὺς πόδας τίθησιν, οὕτω καὶ ὁ μακάριος Παῦλος τῷ λόγῳ πρόεισιν. (χ. ὁ — χ. ἐργάζεται — χ. ποιεῖ) εἶπε περὶ τοῦ ἀνδρὸς, εἶπε περὶ τῆς γυναικὸς, τῆς δευτέρας ἀρχῆς. χωρεῖ λοιπὸν ὁδῷ βαδίζων ἐπὶ τὴν τρίτην. αὕτη δέ ἐστιν ἡ τῶν παίδων. τῆς μὲν γὰρ γυναικὸς ἄρχει ὁ ἀνήρ, τῶν δὲ παίδων ὁ ἀνὴρ καὶ ἡ γυνή. ὅρα οὖν τί φησι· Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ. αὕτη γάρ ἐστιν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις. οὐδὲν ἐνταῦθα περὶ τοῦ Χριστοῦ διαλέγεται, οὐδὲν περὶ τῶν ὑψηλῶν. ἔτι γὰρ πρὸς ἁπαλὰς διαλέγεται διανοίας. διὸ καὶ βραχεῖαν ποιεῖται τὴν παραίνεσιν, ἅτε οὐ δυναμένων τῶν παίδων μακρῷ παρακολουθῆσαι λόγῳ. διὰ τοῦτο οὐδὲ περὶ βασιλείας τι διαλέγεται (οὐ γάρ ἐστι τῆς ἡλικίας ἐκείνης ταῦτα ἀκούειν) ἀλλ' ἃ μάλιστα ψυχὴ νηπιώδης ἀκοῦσαι ποθεῖ, ταῦτά φησιν, ὅτι μακροχρόνιος ἔσται. εἰ γάρ τις ἐξετάζοι, διατί μὴ περὶ βασιλείας διελέχθη, ἀλλὰ τὴν ἐν τῷ νόμῳ κειμένην ἐντολὴν αὐτοῖς ἔθηκεν, ἐροῦμεν, ὅτι ὡς νηπιωδεστέροις οὖσι, καὶ μάλα εἰδὼς ὅτι, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς οὕτω διακειμένων κατὰ τὸν νόμον ὃν ἔθηκεν, οὐ πολλοῦ καμάτου ἐστὶ τὰ παιδία ὑποτάξαι. ὅταν γὰρ πρᾶγμα τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν λάβῃ καλὴν καὶ ἰσχυρὰν καὶ κοσμίαν, ὁδῷ πάντα καὶ νόμῳ προβαίνει λοιπὸν μετὰ πολλῆς τῆς εὐκολίας. ὃ γὰρ χαλεπώτερον, τὸ θεμέλιον θέσθαι, καὶ τὴν κρηπῖδα ὑποβαλεῖν. Τὰ τέκνα ὑπακούετε, φησι, τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τουτέστι, κατὰ Κύριον. ὁ Θεός, φησιν, οὕτω προσέταξε. τί οὖν ἂν ἄτοπα προστάττωσι; μάλιστα μὲν οὐδέποτε ἐπιτάττει πατὴρ ἄτοπα, κἂν αὐτὸς ἄτοπος ᾖ. πλὴν ἀλλ' ὅμως καὶ οὕτως ἠσφαλίσατο, εἰπὼν, ἐν Κυρίῳ· τουτέστιν, ἐν οἷς ἂν μὴ προσκρούσῃς Θεῷ. ὡς ἐὰν Ἕλλην ᾖ, ἢ αἱρετικὸς, οὐκέτι πεί-

πεσθαι

γρ. πρόσταγμα.

θεῖσθαι δεῖ. οὐ γάρ ἐστιν ἐν Κυρίῳ τὸ πρᾶγμα. πῶς δέ φησιν, ἥτις ἐστὶν ἐντολὴ πρώτη; πρώτη γάρ ἐστι, τὸ οὐ μοιχεύσεις, τὸ, οὐ φονεύσεις. οὐ τῇ τάξει εἶπεν αὐτὴν πρώτην, ἀλλὰ τῇ ἐπαγγελίᾳ. ἐκείναις μὲν γὰρ οὐ κεῖται μισθὸς, ἅτε περὶ κακῶν διατεταγμέναις καὶ τῆς τῶν κακῶν ἀναχωρήσεως· ἐν δὲ ταύταις, ἅτε ἀγαθῶν ἐργασίας οὔσης, καὶ ἐπαγγελία κεῖται. καὶ ὅρα πῶς θαυμαστὴν κρηπῖδα ἔθηκε τῇ τῆς ἀρετῆς ὁδῷ, τὴν εἰς τοὺς γονέας τιμὴν καὶ αἰδῶ. καὶ εἰκότως. ἀπαγαγὼν τῶν πονηρῶν πράξεων, καὶ μέλλων εἰς τὰ ἀγαθὰ ἐμβαίνειν, τοῦτο πρῶτον ἐπέταξε, τὴν εἰς τοὺς γονέας λέγω τιμὴν, ἐπειδὴ καὶ πρὸ πάντων τοῦ ζῆν μετὰ τὸν Θεὸν αὐτοὶ γεγόνασιν αἴτιοι. ὥστε εἰκότως ἂν πρῶτοι τῶν ἡμετέρων ἀπολαύσειαν καλῶν, καὶ τότε οἱ ἄλλοι ἅπαντες ἄνθρωποι. ἂν γὰρ μὴ τοῦτό τις ἔχῃ, οὐδέποτε περὶ τοὺς ἔξωθεν ἔσται ἐπιεικής. παραινέσας τοίνυν ἅπερ ἐχρῆν τοῖς παισὶ, μεταβαίνει ἐπὶ τοὺς πατέρας, καί φησι

γρ. δίκαιον ἂν εἶεν πρῶτοι αὐτοὶ τῶν ἡμετέρων ἀπολαῦσαι καρπῶν, καὶ τότε τοὺς ἄλλους ἅπαντας ἀνθρώπους.

4 Καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Οὐκ εἶπεν, ἀγαπᾶτε αὐτά· τοῦτο γὰρ καὶ ἀκόντων αὐτῶν ἡ φύσις ἐπισπᾶται, καὶ περιττὸν ἦν περὶ τῶν τοιούτων νόμον τιθέναι. ἀλλὰ τί φησι; μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ὅπερ οἱ πολλοὶ ποιοῦσιν, ἀποκληρονόμους ἐργαζόμενοι, καὶ ἀποκηρύκτους ποιοῦντες, καὶ φορτικῶς ἐπικείμενοι, οὐχ ὡς ἐλευθέροις, ἀλλ' ὡς ἀνδραπόδοις*. διὰ τοῦτό φησι, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν. εἶτα τὸ κεφάλαιον πάντων, πῶς ἂν ὑπακούσαιεν, δείκνυσιν, εἰς τὴν κεφαλὴν καὶ τὴν ἀρχὴν τὴν αἰτίαν ἅπασαν ἀγαγών. καὶ καθάπερ ἔδειξε τὴν γυναῖκα ὑπακούειν αἴτιον τὸν ἄνδρα γινόμενον (διὸ καὶ τὰ πλείονα αὐτῷ διαλέγεται), τῇ τῆς ἀγάπης τυραννίδι παρακαλῶν αὐτὴν ἐπισπᾶσθαι) οὕτω δὴ καὶ ἐνταῦθα πάλιν εἰς αὐτὸν τὴν αἰτίαν ἀνάγει λέγων· ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. ὁρᾷς ὅτι τῶν πνευματικῶν ὄντων καὶ τὰ σαρκικὰ ἕπεται; βούλει εἶναι τὸν υἱὸν πειθήνιον; ἐξ ἀρχῆς αὐτὸν ἔκτρεφε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· μὴ νομίσῃς εἶναι περιττὸν τὸ τῶν θείων γραφῶν αὐτὸν ἐπακούειν. ἐκεῖ γὰρ τοῦτο πρῶτον ἀκούσεται, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. ὥστε ὑπὲρ σοῦ τοῦτο γίνεται. μὴ εἴπῃς, τοῦτο μοναζόντων ἐστί. μὴ γὰρ μονάζοντα αὐτὸν ποιῶ; οὐκ ἔστιν ἀνάγκη γενέσθαι αὐτὸν μονάζοντα. τί δέδοικας εἶδος πολλοῦ κέρδους ἀνάμεστον; χριστιανὸν αὐτὸν ποίησον. μάλιστα γὰρ τοῖς κοσμικοῖς ἀναγκαῖον τὰ ἐντεῦθεν εἰδέναι διδάγματα, μάλιστα τοῖς παισί. πολλὴ γὰρ ἡ ἄνοια ἐν ἐκείνῃ τῇ ἡλικίᾳ. τῇ δὲ ἀνοίᾳ προστίθεται καὶ τὰ παρὰ τῶν ἔξωθεν λόγων, ὅταν μάθωσιν ἐκεῖ τοὺς παρ' αὐτοῖς θαυμαζομένους ἥρωας, παθῶν δούλους ὄντας καὶ δειλοὺς πρὸς θάνατον· οἷον ὁ Ἀχιλλεὺς ὅταν μεταμελῆται, ὅταν ὑπὲρ παλλακίδος ἀποθνήσκῃ, ὅταν ἕτερος μεθύῃ, καὶ ἕτερα πολλὰ τοιαῦτα. δεῖ τοίνυν αὐτῷ τῶν φαρμάκων τούτων. πῶς γὰρ οὐκ ἄτοπον εἰς τέχνας μὲν ἐκπέμπειν, καὶ εἰς διδασκαλεῖον, καὶ πάντα πράττειν ὑπὲρ τούτου· ἐν δὲ παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου μὴ ἐκτρέφειν τὰ παιδία; διά τοι τοῦτο πρῶτοι τῶν καρπῶν ἡμεῖς ἀπολαύομεν, θρασεῖς, ἀκολάστους, ἀπειθεῖς, βαναύσους ἐκτρέφοντες τοὺς παῖδας. μὴ τοίνυν τοῦτο ποιῶμεν, ἀλλὰ πειθώμεθα τῷ μακαρίῳ τούτῳ παραινοῦντι. ἐκτρέφωμεν αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. δῶμεν αὐτοῖς ὑπόδειγμα, ἐκ πρώτης ἡλικίας τῇ τῶν γραφῶν ἀναγνώσει ποιοῦντες αὐτοὺς ἐνσχολάζειν. οἴμοι, ὅτι συνεχῶς ταῦτα λέγων, ληρεῖν νομίζομαι· πλὴν ἀλλ' ὅμως οὐ παύσομαι τὸ ἐμαυτοῦ ποιῶν. τίνος ἕνεκεν, εἰπέ μοι, οὐ μιμεῖσθε τοὺς παλαιούς; μάλιστα ὑμεῖς αἱ γυναῖκες τὰς θαυμαστὰς ἐκείνας γυναῖκας ζηλώσατε. ἐτέχθη τὸ παιδίον; μίμησαι τὴν Ἄνναν, κατάμαθε τί πεποίηκεν ἐκείνη· ἀνήγαγεν αὐτὸν εὐθέως εἰς τὸν ναόν. τίς ὑμῶν οὐκ ἂν ἐθελήσειε Σαμουὴλ τὸν υἱὸν τὸν ἑαυτῆς ἅπαξ γενέσθαι, ἢ μυριάκις βασιλέα τῆς οἰκουμένης ἁπάσης; καὶ πῶς δυνατὸν, φησι, γενέσθαι τοιοῦτον; διὰ τί μὴ δυνατόν; ὅτι οὐ θέλεις, οὐδὲ παραδίδως τοῖς δυναμένοις αὐτὸν ποιῆσαι τοιοῦτον. καὶ τίς τοιοῦτός ἐστι, φησί; ὁ

* αὐτοῖς χρώμενοι.

γρ. ἕπεται;

γρ. ἐσχολακέναι.

γρ. πλάσαι.

Θεός;

Θεός· ἐπεὶ κἀκείνη αὐτῷ αὐτὸν ἐνεχείρισεν. οὐδὲ γὰρ ὁ Ἠλεὶ τὸν σφόδρα δυναμένων αὐτὸν πλάσαι ἦν (πῶς γὰρ, ὁ μηδὲ τοὺς υἱοὺς δυνηθεὶς τοὺς ἑαυτοῦ;) ἀλλ' ἡ πίστις τῆς γυναικὸς καὶ ἡ προθυμία τὸ πᾶν εἰργάσατο. πρῶτον ἔτεκε, καὶ μόνον, καὶ οὐδὲ ᾔδει, εἰ καὶ ἑτέρους τέξεται. καὶ οὐκ εἶπεν, ἀναμείνω αὐξηθῆναι τὸ παιδίον, ἵνα πράγμασι χρήσηται βιωτικοῖς, συγχωρήσω αὐτὸν μικρὸν ἐνδιατρῖψαι τῇ παιδικῇ ἡλικίᾳ· ἀλλὰ πάντα ταῦτα ἡ γυνὴ παρωσαμένη, ἑνὸς μόνου ἐγένετο, πῶς ἐκ προοιμίων τὸ ἄγαλμα τὸ πνευματικὸν ἀναθῇ τῷ Θεῷ. αἰσχυνθῶμεν οἱ ἄνδρες τῆς γυναικὸς τὴν φιλοσοφίαν. ἀπήνεγκεν αὐτὸν τῷ Θεῷ, καὶ ἐκεῖ εἴασε. διὰ τοῦτο καὶ ὁ γάμος ἐγένετο λαμπρότερος, ἐπειδὴ πρότερον τὰ πνευματικὰ ἐζήτησεν, ἐπειδὴ τὴν ἀπαρχὴν ἀνέθηκε· διὰ τοῦτο εὔφορος αὐτῆς γέγονεν ἡ γαστὴρ, καὶ ἑτέρους ἐκτήσατο παῖδας· διὰ τοῦτο καὶ ἐν τῷ κόσμῳ εἶδεν εὐδοκιμοῦντα. εἰ γὰρ ἄνθρωποι τιμώμενοι ἀντιτιμῶσιν, οὐ πολλῷ μᾶλλον ὁ Θεὸς, ὁ καὶ χωρὶς τοῦ τιμηθῆναι τοῦτο ποιῶν; μέχρι τίνος ἐσμὲν σάρκες; μέχρι τίνος ἐπὶ τῆς γῆς κυπτόμεθα; πάντα ἡμῖν δεύτερα ἔστω τῆς προνοίας τῶν παίδων, καὶ τοῦ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου αὐτὰ ἐκτρέφεσθαι. ἂν μάθῃ φιλόσοφος εἶναι ἐκ προοιμίων, πλοῦτον ἐκτήσατο πάντων πλούτων μείζονα, καὶ δόξαν δυνατωτέραν. οὐδὲν τοσοῦτον ἐργάσῃ τέχνην διδάσκων αὐτὸν καὶ παιδείαν τὴν ἔξωθεν, δι' ἧς χρήματα κτήσεται, ὅσον ἐὰν διδάξῃς αὐτὸν τέχνην, δι' ἧς χρημάτων καταφρονήσει. εἰ βούλει ποιῆσαι αὐτὸν πλούσιον, οὕτω ποίησον. πλούσιος γὰρ οὐχ ὁ πολλῶν χρημάτων δεόμενος, καὶ πολλὰ περιβεβλημένος, ἀλλ' ὁ μηδενὸς χρείαν ἔχων. τοῦτο παίδευσον τὸν υἱὸν, τοῦτο δίδαξον· τοῦτό ἐστι μέγιστος πλοῦτος. μὴ ζήτει πῶς εὐδόκιμον ἐργάσῃ ἐν διδάγμασι τοῖς ἔξωθεν, καὶ ἐπίδοξον ποιήσεις, ἀλλὰ φρόντισον πῶς αὐτὸν διδάξεις καταφρονεῖν τῆς δόξης τῆς ἐν τῷ βίῳ τούτῳ. ἐκεῖθεν λαμπρότερος καὶ ἐνδοξότερος γένοιτο ἄν. ταῦτα καὶ τῷ πένητι, καὶ τῷ πλουσίῳ δυνατὸν ποιεῖν. ταῦτα οὐκ ἐκ διδασκάλου μανθάνει τις, οὐδὲ διὰ τέχνης, ἀλλὰ διὰ τῶν θείων λογίων. μὴ ζήτει ὅπως μακρὸν ὧδε ζήσεται βίον, ἀλλ' ὅπως ἐκεῖ ἄπειρον καὶ ἀτελεύτητον. τὰ μεγάλα αὐτῷ χάριζου, μὴ τὰ μικρά. ἄκουε Παύλου λέγοντος· ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. μὴ ῥήτορα αὐτὸν σπούδαζε ποιῆσαι, ἀλλὰ φιλοσοφεῖν παίδευε. ἐκείνου μὲν γὰρ οὐκ ὄντος, οὐδὲν ἔσται βλάβος· τούτου δὲ ἀπόντος, οὐδὲν ἔσται κέρδος μυρίας ῥητορείας. τρόπων χρεία, οὐ λόγων, ἤθους, οὐ δεινότητος, ἔργων, οὐ ῥημάτων. ταῦτα προξενεῖ τὴν βασιλείαν, ταῦτα χαρίζεται καὶ τὰ ὄντως ἀγαθά. μὴ τὴν γλῶτταν ἀκονήσῃς, ἀλλὰ τὴν ψυχὴν ἐκκάθαιρε. οὐ κωλύων παιδεύειν ταῦτα λέγω, ἀλλὰ κωλύων ἐκείνοις μόνοις προσέχειν. μὴ νομίσῃς ὅτι τῷ μονάζοντι μόνῳ τούτων δεῖ τῶν παιδευμάτων τῶν ἀπὸ τῶν γραφῶν. μάλιστα γὰρ τούτων δεῖ τοῖς παισὶ τοῖς μέλλουσιν εἰς τὸν βίον τοῦτον ἥκειν. ὥσπερ γὰρ τῆς ἀπὸ τοῦ πλοίου κατασκευῆς, καὶ κυβερνήτου, καὶ πληρώματος τῶν ναυτῶν οὐχ ὁ ἑστὼς δεῖται ὁ διαπαντὸς ἐπὶ λιμένος ἑστὼς, ἀλλ' ὁ θαλαττεύων ἀεί· οὕτω καὶ ὁ κοσμικὸς, καὶ ὁ μονάζων. ὁ μὲν γὰρ, καθάπερ εἰς λιμένα ἐστὶν ἀκύμαντον, βίον ἀπράγμονα ζῶν, καὶ πάσης ἀπηλλαγμένον καταιγίδος· οὗτος δὲ διαπαντὸς πελάγιός ἐστι, καὶ θαλαττεύει ἐν μέσῳ πελάγει πολλαῖς τρικυμίαις μαχόμενος. κἂν αὐτὸς μὴ δέηται, ἀλλὰ παρεσκευασμένον εἶναι δεῖ, ὥστε τὰς ἑτέρων ἐμφράξαι γλώττας. ὥστε ὅσῳ ἂν εὐδόκιμος γένηται ἐν τῷ βίῳ τῷ παρόντι, τοσούτῳ αὐτῷ δεῖ τῆς παιδεύσεως ταύτης. ἂν τε γὰρ ἐν βασιλείοις τρέφηται, πολλοὶ καὶ Ἕλληνες ἐκεῖ καὶ φιλόσοφοι καὶ οἱ πεφυσημένοι ἐπὶ τῇ παρούσῃ δόξῃ, καθάπερ τόπος τις ὑδέρου ἐμπεπλησμένος. τοιοῦτόν τί ἐστι τὰ βασίλεια. πάντες εἰσὶ πεφυσημένοι καὶ φλεγμαίνοντες· οἱ δὲ οὐκ ὄντες, σπουδάζουσι τοῦτο γενέσθαι. ἐννόησον οὖν ὅσον ἐστὶ τὸν υἱὸν τὸν σὸν εἰσελθόντα ἐκεῖ, καθάπερ ἰατρὸν ἄριστον, μετὰ τῶν ὀργάνων εἰσιέναι τῶν δυναμένων καταστέλλειν τὴν ἑκάστου φλεγμονὴν, καὶ προσιέναι ἑκάστῳ, καὶ διαλέγεσθαι, καὶ ὑγιὲς τὸ κάμνον σῶμα ποιεῖν,

γρ. αὐτῷ

γρ. ἀπηλλαγμένος

γρ. ἐν πελαγίοις

φάρμακα ἐπιτιθέντα τὰ ἀπὸ τῶν γραφῶν, καὶ τοὺς περὶ φιλοσοφίας ἐκχέοντα λόγους. ὁ γὰρ μονάζων τίνι διαλέξεται; τῷ τοίχῳ, καὶ τῷ ὀρόφῳ; ἀλλὰ τῇ ἐρημίᾳ, καὶ ταῖς νάπαις; ἢ τοῖς ὄρνισι, καὶ τοῖς δένδροις; οὐκ ἔχει τοίνυν πολλὴν ἀνάγκην ἐκεῖνος τῆς τοιαύτης διδασκαλίας· ἀλλ' ὅμως ἔρχεται τοῦτο κατορθῶσαι, οὐχ ὥστε ἑτέρους τοσοῦτον παιδεῦσαι, ἀλλ' ὥστε ἑαυτόν. πολλῆς δὲ χρεία μάλιστα τοῖς ἐν τῷ βίῳ τούτῳ στρεφομένοις τῆς τοιαύτης διδασκαλίας. καὶ γὰρ τοῦ ἁμαρτάνειν πλείονα οὗτος ἀνάγκην ἔχει, ἢ ἐκεῖνος. εἰ δὲ βούλει γνῶναι, καὶ ἐν τῷ κόσμῳ αὐτὸς ἐπιτηδειότερος ἔσται. πάντες γὰρ αὐτὸν αἰδεσθήσονται ἀπὸ τῶν ῥημάτων ἐκείνων, ὅταν ὁρῶσιν αὐτὸν ἐν πυρὶ μὴ καιόμενον, μηδὲ ἀρχῆς ἐπιθυμοῦντα. τότε καὶ τεύξεται ταύτης, ὅταν μὴ ἐπιθυμῇ, καὶ βασιλεῦσιν αἰδεσιμώτερος ἔσται. οὐ γὰρ ἔνι τὸν τοιοῦτον λαθεῖν. ἐν μὲν γὰρ πολλοῖς ὑγιαίνουσι λήσεται ὑγιαίνων· ἐν δὲ πολλοῖς κάμνουσιν ὅταν εἷς ὑγιαίνων ᾖ, ταχέως καὶ εἰς τὰς βασιλικὰς ἀκοὰς ἡ φήμη διαδραμεῖται, καὶ πολλοῖς αὐτὸν ἐπιστήσει ἔθνεσι.

Ταῦτα οὖν εἰδότες, ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου τὰ τέκνα. ἀλλὰ πένης τίς ἐστι; πάλιν πένης. ἀλλὰ τοῦ ἐν βασιλείοις στρεφομένου οὐδὲν ἔσται εὐτελέστερος, ἐπειδὴ μὴ ἐν βασιλείοις ἐστὶν, ἀλλὰ* θαυμασθήσεται, καὶ ταχέως εἰς ἀρχὴν ἥξει τὴν ἑκούσιον, οὐ τὴν χειροτονητήν. εἰ γὰρ Ἕλληνες ἄνδρες περιβολιμαῖοί τινες καὶ κύνες, φιλοσοφίαν τοιαύτην ἀναδεξάμενοι περιβολιμαῖον (τοιαύτη γὰρ ἡ ἑλληνική) μᾶλλον δὲ οὐδὲ αὐτὴν, ἀλλ' ὄνομα αὐτῆς, καὶ τρίβωνα περικείμενοι, καὶ κόμην θρέψαντες, πολλοὺς δυσωποῦσι· πόσῳ μᾶλλον ὁ ὄντως φιλόσοφος; εἰ σχῆμα ψευδὲς, εἰ σκιὰ φιλοσοφίας φαινομένη οὕτως αἱρεῖ, τί ἐὰν τὴν ἀληθῆ φιλοσοφίαν ἀγαπήσωμεν καὶ τὴν εἰλικρινῆ; οὐχὶ πάντες θεραπεύσουσι; καὶ οἰκίας, καὶ γυναῖκας, καὶ παῖδας τοῖς τοιούτοις μετὰ πολλῆς τῆς ἀδείας ἐγχειρίσουσιν; ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστι τοιοῦτος φιλόσοφος νῦν. διὰ τοῦτο οὐδὲ τὸ ἀπόδειγμά ἐστιν εὑρεῖν. εἰσὶ μὲν γὰρ ἐν μονάζουσιν, ἐν δὲ κοσμικοῖς οὐκέτι. καὶ ὅτι ἐν μονάζουσιν εἰσὶ, δυνατὸν πολλοὺς παραγαγεῖν· ὅμως ἕνα ἀπὸ πλειόνων ἐρῶ. ἴστε δήπου, καὶ ἀκηκόατε, τινὲς δὲ καὶ ἐθεωρήσατε τὸν ἄνδρα, ὃν μέλλω νῦν ἐρεῖν. Ἰουλιανὸν λέγω τὸν θαυμάσιον. οὗτος ἦν ἀνὴρ ἄγροικος, ταπεινὸς, καὶ ἐκ ταπεινῶν, οὐδὲ ὅλως τῆς ἔξωθεν παιδείας ἔμπειρος, ἀλλὰ τῆς ἀπλάστου φιλοσοφίας πεπληρωμένος. τούτου εἰς τὰς πόλεις ἐμβάλλοντος (πολλάκις δὲ τοῦτο ἐγίνετο) οὔτε ῥητόρων, οὔτε σοφιστῶν, οὔτε ἄλλου τινὸς εἰσελαύνοντος, τοιαύτη τις ἐγίνετο συστροφή. τί δὲ λέγω; οὐχὶ πάντων βασιλέων καὶ τὸ ὄνομα αὐτοῦ λαμπρότερον ᾄδεται ἔτι καὶ νῦν; εἰ δὲ ἐν τῷ κόσμῳ τούτῳ ταῦτα, ἐν τῷ κόσμῳ, ἐν ᾧ μηδὲν ἡμῖν ἐπηγγείλατο ἀγαθὸν ὁ δεσπότης, ἐν ᾧ ξένους ἡμᾶς εἶπεν εἶναι, ἐννοήσωμεν ἐν τοῖς οὐρανοῖς πόσα ἔσται τὰ ἀποκείμενα ἀγαθά. εἰ ἔνθα πάροικοι ἦσαν, τοσαύτης ἀπέλαυον τιμῆς, ἔνθα αἱ πόλεις εἰσὶ, πόσης ἀπολαύσουσι δόξης; εἰ ἔνθα θλίψιν ἐπηγγείλατο, τοσαύτη θεραπεία, ἔνθα ὄντως τιμὰς ἐπαγγέλλεται, πόση ἔσται ἡ ἄνεσις; ἀλλὰ βούλεσθε καὶ κοσμικοὺς ἐπιδείξωμεν; νῦν μὲν γὰρ οὐκ ἔχομεν· πάλαι εἰσὶ μὲν ἴσως καὶ κοσμικοὶ ἐπίσημοι, ἀλλ' εἰς τὴν ἄκραν οὐχ ἥκοντες φιλοσοφίαν. διὸ ἀπὸ τῶν παλαιῶν καὶ ἁγίων ἐρῶ ὑμῖν τὰ ὑποδείγματα. πόσοι γυναῖκας ἔχοντες, καὶ παῖδας τρέφοντες, τῶν εἰρημένων οὐδὲν ἔλαττον, [οὐδὲν ἔλαττον] ἔσχον· ἀλλὰ νῦν οὐκέτι ἐστὶ διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, καθώς φησιν ὁ μακάριος Παῦλος. α. Κορ. ζ. κϛ. τίνα οὖν βούλεσθε εἴπω; τὸν Νῶε, ἢ τὸν Ἀβραάμ; ἢ τὸν τούτου παῖδα, ἢ τὸν ἐκείνου; ἀλλὰ τὸν Ἰωσήφ; ἀλλὰ βούλεσθε ἐπὶ τοὺς προφήτας ἔλθωμεν; τὸν Μωϋσέα λέγω, τὸν Ἡσαΐαν; ἀλλ', εἰ δοκεῖ, ἐπὶ τὸν Ἀβραὰμ τὸν λόγον ἑλκύσωμεν, ὃν μάλιστα πάντες προφέρουσιν ἡμῖν ἀεί. οὐχὶ γυναῖκα εἶχεν; οὐχὶ παῖδας; καὶ γὰρ καὶ ἐγὼ τοῦτο λέγω πρὸς ὑμᾶς, ὅπερ ὑμεῖς πρὸς ἡμᾶς. γυναῖκα εἶχεν, ἀλλ' οὐκ, ἐπειδὴ γυναῖκα εἶχε, θαυμαστὸς ἦν. χρήματα εἶχεν, ἀλλ' οὐκ, ἐπειδὴ χρήματα εἶχεν, ἤρεσε τῷ Θεῷ.

* καὶ πολλῷ γνωριμώτερος καὶ ἀξιοπρεπέστερος, ἢ ὁ γνήσιος ἐκεῖνος φιλόσοφος· ἀλλὰ

Θεῷ. παῖδας ἔτεκεν, ἀλλ' οὐκ ἐπὶ τῷ παῖδας ἔτεκεν, ἐμακαρίζετο. τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἐκέκτητο, ἀλλ' οὐ τούτου χάριν ἐθαυμάζετο. ἀλλὰ βούλει μαθεῖν πόθεν; ἀπὸ τῆς φιλοξενίας, ἀπὸ τῆς τῶν χρημάτων ὑπεροψίας, ἀπὸ τῆς κοσμιότητος. τί γάρ ἐστιν, εἰπέ μοι, φιλοσόφου; οὐχὶ καὶ χρημάτων καὶ δόξης καταφρονεῖν; καὶ φθόνου καὶ παντὸς πάθους ἀνώτερον εἶναι; φέρε οὖν, αὐτὸν εἰς μέσον ἀγαγόντες ἀποδύσωμεν, καὶ δείξωμεν ὑμῖν οἷος φιλόσοφος ἦν. Γεν. ιβ. α. οὐδὲν ἡγεῖτο πατρίδα φέρειν. Ἔξελθε γὰρ ἤκουσεν ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ εὐθέως ἐξῆλθεν. οὐ προσεδέδετο οἰκίᾳ (ἢ γὰρ ἂν οὐκ ἐξῆλθεν) οὐ συνηθείας φιλίᾳ, οὐκ ἄλλῳ οὐδενί. εἶτα δόξης μάλιστα πάντων ἐκεῖνος κατεφρόνησε καὶ χρημάτων. καὶ γὰρ πόλεμον ἀπωσάμενος, καὶ λάφυρα ἀξιούμενος λαβεῖν, κατέπαυσεν. ἀλλ' ὁ παῖς ὁ τούτου, οὐ διὰ τὰ χρήματα πάλιν ἐθαυμάζετο, ἀλλὰ διὰ τὴν φιλοξενίαν, οὐ διὰ τὰ παιδία, ἀλλὰ διὰ τὴν ὑπακοήν, οὐ διὰ τὴν γυναῖκα, ἀλλὰ διὰ τὴν στέρωσιν τὴν ἐπὶ τῇ γυναικί. οὐδὲν τὴν τρυφῶσαν ἠσπάζοντο ζωήν, οὐκ ἐχρηματίζοντο, ὑπερεώρων ἁπάντων. εἰπὲ γάρ μοι, ποῖα τῶν φυτῶν ἐστιν ἄριστα; οὐχ ἅπερ ἂν οἴκοθεν ἔχῃ τὴν ἰσχύν, καὶ μήτε ὄμβροις, μήτε χαλάζαις, μήτε ἀνέμων ῥύμαις, μήτε ἄλλῃ τινὶ τοιαύτῃ ἀνωμαλίᾳ βλάπτηται, ἀλλὰ γυμνὰ ἕστηκε πάντων καταφρονοῦντα, μήτε θριγκίων, μήτε φραγμῶν δεόμενα; τοιοῦτος ὁ φιλόσοφός ἐστι, τοιοῦτος ὁ πλοῦτος ἐκεῖνος. οὐδὲν ἔχει, καὶ πάντα ἔχει· πάντα ἔχει, καὶ οὐδὲν ἔχει. ὁ γὰρ τοῖχος οὐκ ἔνδον, ἀλλ' ἔξωθέν ἐστιν, ὁ θριγκὸς οὐ τῆς φύσεώς ἐστιν, ἀλλ' ἔξωθεν περιβαλλόμενος. τί δὲ, εἰπέ μοι, ποῖον σῶμα ἰσχυρόν ἐστιν; οὐχ ὅπερ ἂν ὑγιαῖνον ᾖ, καὶ μήτε λιμῷ, μήτε πλησμονῇ, μήτε ψύχει, μήτε καύματι ἁλίσκηται; ἢ τὸ πρὸς πάντα ταῦτα ὑποκείμενον, καὶ τραπεζοποιῶν, καὶ ὑφαντῶν, καὶ θηρευτῶν, καὶ ἰατρῶν δεόμενον, ἵνα ὑγιαίνῃ; ἐκεῖνός ἐστι πλούσιος, ὁ ὄντως φιλόσοφος, ὁ μηδενὸς τούτων δεόμενος. διὰ τοῦτο ὁ μακάριος οὗτος ἔλεγεν· ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. μὴ τοίνυν θριγκία ἔξωθεν περιβάλλετε. τοῦτο γὰρ ὁ πλοῦτος, τοῦτο ἡ δόξα. ὅταν γὰρ ταῦτα καταπέσῃ (καταπίπτει δὲ) γυμνὸν ἕστηκε καὶ εὐάλωτον τὸ φυτόν, οὐ μόνον οὐδὲν κερδᾶναν ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ βλαβέν. ἐκεῖνα γὰρ τὰ θριγκία τὰ κωλύοντα αὐτὸ ἐγγυμνάζεσθαι πρὸς τὰς τῶν ἀνέμων προσβολάς, νῦν ἀσθενὸν καταπεσοῦν παρεσκεύασεν. ὥστε βλάπτει μᾶλλον ὁ πλοῦτος, ἀμελετήτους παρασκευάζων πρὸς τὰς ἀνωμαλίας τοῦ βίου. τοιούτους τοίνυν παρασκευάζωμεν τοὺς παῖδας, ὥστε δύνασθαι πρὸς πάντα ἀντέχειν, καὶ μὴ ξενίζεσθαι τοῖς ἐπιοῦσιν, ἐκτρέφωμεν αὐτοὺς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· καὶ πολὺς ἡμῖν ὁ μισθὸς ἀποκείσεται. εἰ γὰρ ἄνθρωποι ἀγάλματα ποιοῦντες βασιλέων, καὶ εἰκόνας γράφοντες τοσαύτης ἀπολαύουσι τιμῆς· ἡμεῖς τὴν βασιλικὴν εἰκόνα καλλωπίζοντες (εἰκὼν γὰρ τοῦ Θεοῦ ὁ ἄνθρωπος) οὐ μυρίων ἀπολαύσομεν τῶν ἀγαθῶν, τὸ καθ' ὁμοίωσιν ἀποδιδόντες; τοῦτο γάρ ἐστιν ὅμοιον, ἡ τῆς ψυχῆς ἀρετή, ὅταν ἀγαθοὺς εἶναι παιδεύσωμεν τοὺς παῖδας, ὅταν ἀοργήτους, ὅταν ἀμνησικάκους (ταῦτα πάντα Θεοῦ ἴδια) ὅταν εὐεργετικούς, ὅταν φιλανθρώπους, ὅταν παιδεύσωμεν τὰ παρόντα μηδὲν ἡγεῖσθαι. τοῦτο τοίνυν ἡμῖν ἔργον ἔστω καὶ ἑαυτούς, κἀκείνους πλάττειν καὶ ῥυθμίζειν εἰς δέον· ἐπεὶ ποίᾳ παρρησίᾳ στησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ; εἰ γὰρ ἐπισκοπῆς ἀνάξιος ὁ παῖδας ἀνυποτάκτους ἔχων, πολλῷ μᾶλλον τῆς βασιλείας τῶν οὐρανῶν. τί λέγεις; κἂν γυναῖκα ἄτακτον ἔχωμεν, κἂν παῖδας, εὐθύνας ὑφέξομεν; ναί, ἐὰν μὴ μετ' ἀκριβείας τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν. χ. διδάξωμεν οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ οἰκεία ἀρετὴ πρὸς σωτηρίαν. εἰ γὰρ ὁ τὸ τάλαντον τὸ ἓν μὴ καταβαλόμενος, οὐδὲν ἐκέρδανεν, ἀλλὰ καὶ οὕτω κολάζεται· δῆλον ὅτι οὐκ ἀρκεῖ ἡ οἰκεία ἀρετὴ εἰς σωτηρίαν, ἀλλὰ δεῖ καὶ τῆς ἑτέρου. πολλὴν τοίνυν ποιώμεθα καὶ τῶν γυναικῶν φροντίδα, πολλὴν καὶ τῶν παίδων πρόνοιαν, καὶ τῶν οἰκετῶν, πολλὴν καὶ ἡμῶν αὐτῶν· καὶ ἐν τῷ

ἑαυτούς, καὶ ἐν τῷ ἐκείνους ῥυθμίζειν, τὸν Θεὸν παρακαλῶμεν, ὥστε συναντιλαβέσθαι ἡμῖν τοῦ ἔργου. ἂν ἴδῃ ἡμᾶς τοῦτο μεμεριμνηκότας, τοῦτο φροντίζοντας, συναντιλήψεται· ἂν δὲ μηδένα ποιουμένους λόγον, οὐ δώσει χεῖρα. οὐ γὰρ καθεύδουσιν ἡμῖν χορηγεῖ τὴν βοήθειαν ὁ Θεὸς, ἀλλὰ πονουμένοις καὶ αὐτοῖς. ὁ γὰρ βοηθὸς, οὐ τοῦ ἀργοῦντός ἐστι βοηθὸς, ἀλλὰ τοῦ καὶ αὐτοῦ ἐργαζομένου. δυνατὸς δὲ ὁ ἀγαθὸς Θεὸς δι' ἑαυτοῦ τὸ ἔργον εἰς τέλος ἀγαγεῖν, ἵνα ἀξιωθῶμεν πάντες ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κβ. 5 ΟΙ ΔΟΥΛΟΙ, ΥΠΑΚΟΥΕΤΕ ΤΟΙΣ ΚΥΡΙΟΙΣ κατὰ σάρκα μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ, 6 Μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, 7 Μετ' εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, 8 Εἰδότες ὅτι ἐάν τι ἄνθρωπος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

Ὅτι οὐκ ἀνὴρ μόνον, οὔτε γυνὴ, οὔτε παιδία, ἀλλὰ καὶ οἰκετῶν ἀρετὴ συντελεῖ εἰς σύστασιν καὶ ἀνάστασιν οἰκίας. διὰ τοῦτο ὁ μακάριος Παῦλος οὐδὲ τούτου τοῦ μέρους ἠμέλησεν· ἀλλ' ἔρχεται μὲν ἔσχατον ἐπ' αὐτὸ, ἐπειδὴ καὶ ἔσχατον κεῖται τῷ ἀξιώματι. πολλὰ δὲ καὶ πρὸς αὐτοὺς διαλέγεται, οὐκέτι ὡς τοῖς παισὶν, ἀλλὰ πολλῷ τελειότερον. οὐ γὰρ ἐνταῦθα δίδωσιν αὐτοῖς τὴν ὑπόσχεσιν, ἀλλ' ἐν τῷ μέλλοντι. Εἰδότες, φησὶν, ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν [ἢ κακὸν], τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου. καὶ φιλοσοφεῖν ἤδη διδάσκει. εἰ γὰρ καὶ τῷ ἀξιώματι τῶν παίδων εἰσὶν ἐλάττους, ἀλλὰ τῷ φρονήματι μείζους. Οἱ δοῦλοί, φησιν, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα. εὐθέως τὴν λελυπημένην ἀνέστησε ψυχὴν, εὐθέως παρεμυθήσατο. μὴ ἄλγει, φησὶν, ὅτι ἔλαττον ἔχεις καὶ τῆς γυναικὸς, καὶ τῶν παίδων. ὄνομα δουλείας ἐστὶ μόνον. κατὰ σάρκα ἐστὶν ἡ δεσποτεία, πρόσκαιρος καὶ βραχεῖα. ὅπερ γὰρ ἂν ᾖ σαρκικὸν, ἐπίκαιρόν ἐστι. Μετὰ φόβου, φησὶ, καὶ τρόμου. ὁρᾷς ὅτι οὐ τὸν αὐτὸν ἀπαιτεῖ παρὰ γυναικὸς καὶ δούλων φόβον; ἐκεῖ μὲν γὰρ ἁπλῶς εἶπεν, ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν ἄνδρα· ἐνταῦθα δὲ μετ' ἐπιτάσεως, Μετὰ φόβου, φησὶ, καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ. Συνεχῶς τοῦτο φησί. τί λέγεις, ὦ μακάριε Παῦλε; ἀδελφός ἐστι, τῶν αὐτῶν ἀπήλαυσεν, εἰς τὸ αὐτὸ σῶμα τελεῖ· μᾶλλον δὲ ἀδελφὸς ἐγένετο οὐ τοῦ κυρίου τοῦ ἑαυτοῦ, ἀλλὰ καὶ τοῦ υἱοῦ τοῦ Θεοῦ, τῶν αὐτῶν ἀπολαύει πάντων, καὶ λέγεις, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου; διὰ γὰρ τοῦτο, φησί, φημι. εἰ γὰρ οἱ ἐλεύθεροι ἀλλήλοις ὑποτάσσεσθαι κελεύονται διὰ τὸν τοῦ Θεοῦ φόβον, καθάπερ ἀνωτέρω ἔλεγεν, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ· εἰ γὰρ τὴν γυναῖκα προστάττει φοβεῖσθαι τὸν ἄνδρα, καίτοι αὕτη καὶ ὁμότιμός ἐστι· πολλῷ μᾶλλον τὸν οἰκέτην. οὐ γὰρ δυσγένεια τὸ πρᾶγμά ἐστιν, ἀλλ' ἡ πρώτη εὐγένεια, τὸ εἰδέναι ἐλαττοῦσθαι, καὶ μετριάζειν, καὶ εἴκειν τῷ πλησίον. καὶ ἐλεύθεροι ἐλευθέροις μετὰ πολλοῦ φόβου καὶ τρόμου ἐδούλευον. Ἐν ἁπλότητι, φησὶ, καρδίας. καλῶς εἶπεν, ἐπειδὴ ἔνι μετὰ φόβου καὶ τρόμου δουλεύειν, οὐκ ἐξ εὐνοίας δὲ, ἀλλ' ὡς ἂν ἐξῇ. λανθάνουσι γὰρ πολλοὶ πολλὰ κακουργοῦντες περὶ τοὺς δεσπότας τοὺς αὐτῶν. καὶ ταύτην γοῦν ἀναιρεῖ τὴν κακουργίαν, λέγων, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Κυρίῳ, μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ

θεῷ. παῖδας ἔτεκεν, ἀλλ' οὐκ ἐπειδὴ παῖδας ἔτεκεν, ἐμακαρίζετο. τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἐκέκτητο, ἀλλ' οὐ τούτου χάριν ἐθαυμάζετο. ἀλλὰ βούλει μαθεῖν πόθεν; ἀπὸ τῆς φιλοξενίας, ἀπὸ τῆς τῶν χρημάτων ὑπεροψίας, ἀπὸ τῆς κοσμιότητος. τί γάρ ἐστιν, εἰπέ μοι, φιλοσόφου; οὐχὶ καὶ χρημάτων καὶ δόξης καταφρονεῖν; καὶ φθόνου καὶ παντὸς πάθους ἀνώτερον εἶναι; φέρε δὴ, αὐτὸν εἰς μέσον ἀγαγόντες ἀποδύσωμεν, καὶ δείξωμεν ὑμῖν οἷος φιλόσοφος ἦν. Γεν. ιβ. α. οὐδὲν ἡγεῖτο πατρίδα πρὸ τούτου. ἔξελθε γὰρ ἤκουσεν ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ εὐθέως ἐξῆλθεν. οὐ προσεδέδετο οἰκίᾳ (οὐ γὰρ ἂν οὐκ ἐξῆλθεν) οὐ συνηθείας φιλίᾳ, οὐκ ἄλλῳ οὐδενί. εἶτα δόξης μάλιστα πάντων ἐκεῖνος κατεφρόνησε καὶ χρημάτων. καὶ γὰρ πόλεμον ἐπισπασάμενος, καὶ λάφυρα ἀξιούμενος λαβεῖν, κατέπαυσεν. ἀλλ' ὁ παῖς ὁ τούτου, οὐ διὰ τὰ χρήματα πάλιν ἐθαυμάζετο, ἀλλὰ διὰ τὴν φιλοξενίαν, οὐ διὰ τὰ παιδία, ἀλλὰ διὰ τὴν ὑπακοήν, οὐ διὰ τὴν γυναῖκα, ἀλλὰ διὰ τὴν στέρωσιν τὴν ἐπὶ τῇ γυναικί. οὐδὲν τὴν τρυφῶσαν ἡγοῦντο ζωήν, οὐκ ἐχρηματίζοντο, ὑπερεώρων ἁπάντων. εἰπὲ γάρ μοι, ποῖα τῶν φυτῶν ἐστιν ἄριστα; οὐχ ἅπερ ἂν οἴκοθεν ἔχῃ τὴν ἰσχὺν, καὶ μήτε ὄμβροις, μήτε χαλάζαις, μήτε ἀνέμων ῥύμαις, μήτε ἄλλῃ τινὶ τοιαύτῃ ἀνωμαλίᾳ βλάπτηται, ἀλλὰ γυμνὰ ἕστηκε πάντων καταφρονοῦντα, μήτε θριγκίων, μήτε φραγμῶν δεόμενα; τοιοῦτος ὁ φιλόσοφός ἐστι, τοιοῦτος ὁ πλοῦτος ἐκεῖνος. οὐδὲν ἔχει, καὶ πάντα ἔχει· πάντα ἔχει, καὶ οὐδὲν ἔχει. ὁ γὰρ τοῖχος οὐκ ἔνδον, ἀλλ' ἔξωθέν ἐστιν, ὁ θριγκὸς οὐ τῆς φύσεώς ἐστιν, ἀλλ' ἔξωθεν περιβαλλόμενος. τί δέ, εἰπέ μοι, ποῖον σῶμα ἰσχυρόν ἐστιν; οὐχ ὅπερ ἂν ὑγιαῖνον ᾖ, καὶ μήτε λιμῷ, μήτε πλησμονῇ, μήτε ψύχει, μήτε καύματι ἁλίσκηται; ἢ τὸ πρὸς πάντα ταῦτα ὑποκείμενον, καὶ τραπεζοποιῶν, καὶ ὑφαντῶν, καὶ θηρευτῶν, καὶ ἰατρῶν δεόμενον, ἵνα ὑγιαίνῃ; ἐκεῖνός ἐστι πλούσιος, ὁ ὄντως φιλόσοφος, ὁ μηδενὸς τούτων δεόμενος. διὰ τοῦτο ὁ μακάριος οὗτος ἔλεγεν· ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. μὴ τοίνυν θριγκία ἔξωθεν περιβάλλετε. τοῦτο γὰρ ὁ πλοῦτος, τοῦτο ἡ δόξα. ὅταν γὰρ ταῦτα καταπέσῃ (καταπίπτει δὲ) γυμνὸν ἕστηκε καὶ εὐάλωτον τὸ φυτόν, οὐ μόνον οὐδὲν κερδᾶναν ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ βλαβέν. ἐκεῖνα γὰρ τὰ θριγκία τὰ κωλύοντα αὐτὸ ἐγγυμνάζεσθαι πρὸς τὰς τῶν ἀνέμων προσβολάς, νῦν ἀσθενὲς καταπεσεῖν παρεσκεύασεν. ὥστε βλάπτει μᾶλλον ὁ πλοῦτος, ἀμελετήτους παρασκευάζων πρὸς τὰς ἀνωμαλίας τοῦ βίου. τοιούτους τοίνυν παρασκευάζωμεν τοὺς παῖδας, ὥστε δύνασθαι πρὸς πάντα ἀντέχειν, καὶ μὴ ξενίζεσθαι τοῖς ἐπιοῦσιν, ἐκτρέφωμεν αὐτοὺς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· καὶ πολὺς ἡμῖν ὁ μισθὸς ἀποκείσεται. εἰ γὰρ ἄνθρωποι ἀγάλματα ποιοῦντες βασιλέων, καὶ εἰκόνας γράφοντες τοσαύτης ἀπολαύουσι τιμῆς· ἡμεῖς τὴν βασιλικὴν εἰκόνα καλλωπίζοντες (εἰκὼν γὰρ τοῦ Θεοῦ ὁ ἄνθρωπος) οὐ μυρίων ἀπολαύσομεν τῶν ἀγαθῶν, τὸ καθ' ὁμοίωσιν ἀποδιδόντες; τοῦτο γάρ ἐστιν ὅμοιον, ἡ τῆς ψυχῆς ἀρετή, ὅταν ἀγαθοὺς εἶναι παιδεύσωμεν τοὺς παῖδας, ὅταν ἀοργήτους, ὅταν ἀμνησικάκους (ταῦτα πάντα Θεοῦ ἴδια) ὅταν εὐεργετικούς, ὅταν φιλανθρώπους, ὅταν ῎παιδεύσωμεν τὰ παρόντα μηδὲν ἡγεῖσθαι. τοῦτο τοίνυν ἡμῖν ἔργον ἔστω καὶ ἑαυτοὺς, κἀκείνους πλάττειν καὶ ῥυθμίζειν εἰς δέον· ἐπεὶ ποίᾳ παρρησίᾳ στησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ; εἰ γὰρ ἐπισκοπῆς ἀνάξιος ὁ παῖδας ἀνυποτάκτους ἔχων, πολλῷ μᾶλλον τῆς βασιλείας τῶν οὐρανῶν. τί λέγεις; κἂν γυναῖκα ἄτακτον ἔχωμεν, κἂν παῖδας, εὐθύνας ὑφέξομεν; ναί, ἐὰν μὴ μετ' ἀκριβείας τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν. οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ οἰκεία ἀρετὴ πρὸς σωτηρίαν. εἰ γὰρ ὁ τὸ τάλαντον τὸ ἓν μὴ καταβαλόμενος, οὐδὲν ἐκέρδανεν, ἀλλὰ καὶ οὕτω κολάζεται· δῆλον ὅτι οὐκ ἀρκεῖ ἡ οἰκεία ἀρετὴ εἰς σωτηρίαν, ἀλλὰ δεῖ καὶ τῆς ἑτέρου. πολλὴν τοίνυν ποιώμεθα καὶ τῶν γυναικῶν φροντίδα, πολλὴν καὶ τῶν παίδων πρόνοιαν, καὶ τῶν οἰκετῶν, πολλὴν καὶ ἡμῶν αὐτῶν· καὶ ἐν τῷ

γρ. διδάξωμεν

ἑαυτοὺς,

ἑαυτοὺς, καὶ ἐν τῷ ἐκείνους ῥυθμίζειν, τὸν Θεὸν παρακαλῶμεν, ὥστε συναντιλαβέσθαι ἡμῖν τοῦ ἔργου. ἂν ἴδῃ ἡμᾶς τοῦτο μεμεριμνηκότας, τούτου φροντίζοντας, συναντιλήψεται· ἂν δὲ μηδένα ποιουμένους λόγον, οὐ δώσει χεῖρα. οὐ γὰρ καθεύδουσιν ἡμῖν χορηγεῖ τὴν βοήθειαν ὁ Θεὸς, ἀλλὰ πονουμένοις καὶ αὐτοῖς. ὁ γὰρ βοηθὸς, οὐ τοῦ ἀργοῦντός ἐστι βοηθὸς, ἀλλὰ τοῦ καὶ αὐτοῦ ἐργαζομένου. δυνατὸς δὲ ὁ ἀγαθὸς Θεὸς δι' ἑαυτοῦ τὸ ἔργον εἰς τέλος ἀγαγεῖν, ἵνα ἀξιωθῶμεν πάντες ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κϐ. 5 ΟΙ ΔΟΥΛΟΙ, ΥΠΑΚΟΥΕΤΕ ΤΟΙΣ ΚΥΡΙΟΙΣ κατὰ σάρκα μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ, 6 Μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, 7 Μετ' εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, 8 Εἰδότες ὅτι ἐάν τι ἄνθρωπος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

Ὅτι οὐκ ἀνὴρ μόνον, οὔτε γυνὴ, οὔτε παιδία, ἀλλὰ καὶ οἰκετῶν ἀρετὴ συντελεῖ εἰς σύστασιν καὶ παράστασιν οἰκίας, δῆλον. διὰ τοῦτο ὁ μακάριος Παῦλος οὐδὲ τούτου τοῦ μέρους ἠμέλησεν· ἀλλ' ἔρχεται μὲν ἔσχατον ἐπ' αὐτὸ, ἐπεὶ καὶ ἔσχατον κεῖται τῷ ἀξιώματι. πολλὰ δὲ καὶ πρὸς αὐτοὺς διαλέγεται, οὐκέτι ὡς τοῖς παισὶν, ἀλλὰ πολλῷ τελειότερον. οὐ γὰρ ἐνταῦθα δίδωσιν αὐτοῖς τὴν ὑπόσχεσιν, ἀλλ' ἐν τῷ μέλλοντι. Εἰδότες, φησὶν, ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν [ἢ κακὸν], τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου. καὶ φιλοσοφεῖν ἤδη διδάσκει. εἰ γὰρ καὶ τῷ ἀξιώματι τῶν παίδων εἰσὶν ἐλάττους, ἀλλὰ τῷ φρονήματι μείζους. Οἱ δοῦλοι, φησὶν, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα. εὐθέως τὴν λελυπημένην ἀνέστησε ψυχὴν, εὐθέως παρεμυθήσατο. μὴ ἄλγει, φησὶν, ὅτι ἔλαττον ἔχεις καὶ τῆς γυναικὸς, καὶ τῶν παίδων. ὄνομα δουλείας ἐστὶ μόνον. κατὰ σάρκα ἐστὶν ἡ δεσποτεία, πρόσκαιρος καὶ βραχεῖα. ὅπερ γὰρ ἂν ᾖ σαρκικὸν, ἐπίκηρόν ἐστι. μετὰ φόβου, φησὶ, καὶ τρόμου. ὁρᾷς ὅτι οὐ τὸν αὐτὸν ἀπαιτεῖ παρὰ γυναικὸς καὶ δούλων φόβον; ἐκεῖ μὲν γὰρ ἁπλῶς εἶπεν, ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν ἄνδρα· ἐνταῦθα δὲ μετ' ἐπιτάσεως, μετὰ φόβου, φησὶ, καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ. συνεχῶς τοῦτό φησι. τί λέγεις, ὦ μακάριε Παῦλε; ἀδελφός ἐστι, τῶν αὐτῶν ἀπέλαυσεν, εἰς τὸ αὐτὸ σῶμα τελεῖ· μᾶλλον δὲ ἀδελφὸς ἐγένετο οὐ τοῦ Κυρίου τοῦ ἑαυτοῦ, ἀλλὰ καὶ τοῦ υἱοῦ τοῦ Θεοῦ, τῶν αὐτῶν ἀπολαύει πάντων, καὶ λέγεις, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου; διὰ γὰρ τοῦτο, φησὶ, φημί. εἰ γὰρ τοὺς ἐλευθέρους ἀλλήλοις ὑποτάσσεσθαι κελεύω διὰ τὸν τοῦ Θεοῦ φόβον, καθάπερ ἀνωτέρω ἔλεγον, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ· εἰ γὰρ τὴν γυναῖκα προστάττω φοβεῖσθαι τὸν ἄνδρα, καίτοι αὕτη ὁμότιμός ἐστι· πολλῷ μᾶλλον τὸν οἰκέτην. οὐ γὰρ δυσγενείας τὸ πρᾶγμά ἐστιν, ἀλλ' ἡ ἀρίστη εὐγένεια, τὸ εἰδέναι ἐλαττοῦσθαι, καὶ μετριάζειν, καὶ εἴκειν τῷ πλησίον. καὶ ἐλεύθεροι ἐλευθέροις μετὰ πολλοῦ φόβου καὶ τρόμου ἐδούλευον. ἐν ἁπλότητι, φησὶ, καρδίας. καλῶς εἶπεν, ἐπειδὴ ἔνι μετὰ φόβου καὶ τρόμου δουλεύειν, οὐκ ἐξ εὐνοίας δὲ, ἀλλ' ὡς ἂν ἔχῃ. λανθάνουσι γὰρ πολλοὶ πολλὰ κακουργοῦντες περὶ τοὺς δεσπότας τοὺς αὐτῶν. καὶ ταύτην γοῦν ἀναιρεῖ τὴν κακουργίαν, λέγων, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Κυρίῳ, μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ

ἐκ ψυχῆς, μετ' εὐνοίας δουλεύοντες, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις. ὁρᾷς πόσων ἐδεήθη, ὥστε τοῦτο ἐμφυτεῦσαι τὸ καλὸν, τὸ μετ' εὐνοίας λέγω, τὸ ἐκ ψυχῆς; ἐκεῖνο μὲν γὰρ πολλοὺς ὁρῶμεν τοῖς δεσπόταις παρέχοντας, τὸ τοῦ φόβου καὶ τὸ τοῦ τρόμου λέγω· καὶ πρὸς ἐκεῖνο ἡ τοῦ δεσπότου ἀπειλὴ πολλὰ ἀνύει. ἀλλὰ δεῖξον, φησιν, ὅτι ὡς Χριστοῦ δοῦλος δουλεύεις, οὐχ ὡς ἀνθρώπου. ποίησον ἔστι σὸν τὸ κατόρθωμα, μὴ τῆς ἀνάγκης. ὥσπερ τὸν παρ' ἑτέρου κακῶς πάσχοντα πείθει καὶ διδάσκει διὰ τῆς ἕξεως, αὐτοῦ ποιῆσαι τὸ κατόρθωμα καὶ τῆς αὐτοῦ προαιρέσεως· οὕτω καὶ τοῦτον. ἐπειδὴ γὰρ ὁ πλήξας τὴν σιαγόνα, οὐκ ἀπὸ τῆς διανοίας τῆς τοῦ πληγέντος εἰς τοῦτο ἦλθεν, ἀλλ' ἀπὸ τῆς οἰκείας κακίας, τί φησι;
Ματθ. ε. λς.
Στρέψον αὐτῷ καὶ τὴν ἄλλην, ἵνα δείξῃς ὅτι καὶ ταύτην οὐκ ἄκων ὑπέστης. ὁ γὰρ ἐπιδαψιλευσάμενος τῷ παθεῖν κακῶς, καὶ ὅπερ οὐκ ἦν αὐτοῦ, ἐποίησεν ἑαυτοῦ τῷ ῥαπισθῆναι καὶ τὴν ἄλλην σιαγόνα, μὴ τῷ μόνον ἐλεγχθῆν. τοῦτο μὲν γὰρ ἴσως δόξει καὶ φόβου εἶναι, ἐκεῖνο δὲ φιλοσοφίας πολλῆς. οὐκοῦν ἔδειξας, ὅτι καὶ τοῦτο διὰ φιλοσοφίαν ἤνεγκας. ὥστε καὶ νῦν δεῖξον ἐνταῦθα, ὅτι καὶ ταύτην ἑκόντι φέρεις τὴν δουλείαν, καὶ οὐχ ὡς ἀνθρωπάρεσκος. ὁ ἄρα τοιοῦτος, οὐ δοῦλος τοῦ Χριστοῦ· ὁ δὲ δοῦλος τοῦ Χριστοῦ, οὐκ ἀνθρωπάρεσκος.
χ. οἱ
τίς γὰρ Θεοῦ δοῦλος ὢν, ἀνθρώποις ἀρέσκειν βούλεται; τίς δὲ ἀνθρώποις ἀρέσκων, Θεοῦ δύναται εἶναι δοῦλος; ἐκ ψυχῆς, φησι, μετ' εὐνοίας δουλεύοντες. καλῶς οὕτως εἶπεν. ἐπειδὴ γὰρ ἔνι καὶ ἐν ἁπλότητι δουλεύειν, καὶ μὴ κακούργως, μὴ μὴν πάσῃ δυνάμει, ἀλλὰ τὸ ὀφειλόμενον μόνον πληροῦν,
χ. μετ' εὐνοίας,
διὰ τοῦτό φησιν, ἀπὸ προθυμίας, μὴ ἀπὸ ἀνάγκης, ἀπὸ προαιρέσεως, μὴ ἀπὸ βίας. ἂν οὕτω δουλεύσῃς, οὐκ εἶ δοῦλος, ἂν ἐκ προαιρέσεως, ἂν μετ' εὐνοίας, ἂν ἀπὸ ψυχῆς, ἂν διὰ τὸν Χριστόν.
χ. διὰ τοῦτο καὶ αὐτὸ διορθοῦται, καὶ λέγει,
ταύτην γὰρ τὴν δουλείαν καὶ Παῦλος δουλεύει ὁ ἐλεύθερος, καὶ βοᾷ λέγων·
β. Κορ. δ. ε.
Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. ὅρα πῶς ἀφαιρεῖταί σου τὴν δυσγένειαν τῆς δουλείας. ὥσπερ γὰρ ὁ χρήματα ἀφῃρημένος, ἂν καὶ ἕτερα προσδῷ τῷ λαβόντι, οὐκ ἐν τοῖς ἀφῃρημένοις, ἀλλ' ἐν τοῖς φιλοτίμοις κεῖται, οὐκ ἐν τοῖς πάσχουσι κακῶς, ἀλλ' ἐν τοῖς ποιοῦσι καλῶς, καὶ μᾶλλον ὀνείδει περιέβαλε τῷ χαρίσασθαι, ἢ περιεβλήθη τῷ ἀφαιρεθῆναι· οὕτω δὴ ἐνταῦθα, τῇ δαψιλείᾳ καὶ μεγαλοψυχότερος φαίνεται, καὶ δείκνυσιν ὅτι οὐκ ᾔσθετο τῆς ἁρπαγῆς, ἐντρέψας ἐκεῖνον. οὐκοῦν διὰ τὸν Χριστὸν δουλεύωμεν τοῖς δεσπόταις. Εἰδότες, φησὶν, ὅτι ὃ ἄν τι ἄνθρωπος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.
χ. ἕκαστος
ἐπειδὴ γὰρ εἰκὸς ἦν πολλοὺς τῶν δεσποτῶν ἀπίστους ὄντας μὴ αἰσχύνεσθαι, μηδὲ ἀμείβεσθαι τοὺς οἰκέτας τῆς ὑπακοῆς, ὅρα πῶς αὐτοὺς παρεμυθήσατο, ὥστε μὴ ὑποπτεύειν τὴν ἀνταπόδοσιν, ἀλλὰ σφόδρα θαρρεῖν περὶ τῆς ἀμοιβῆς. καθάπερ γὰρ οἱ καλῶς πάσχοντες, ὅταν μὴ ἀμείβωνται τοὺς εὐεργέτας, τὸν Θεὸν αὐτοῖς ὀφειλέτην ποιοῦσιν· οὕτω δὴ καὶ οἱ δεσπόται, ἂν παθόντες εὖ παρὰ σοῦ μὴ ἀμείψωνταί σε, μᾶλλον ἠμείψαντο, τὸν Θεὸν ὀφειλέτην σοι καταστήσαντες.

9 Καὶ οἱ κύριοι, φησὶ, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς. Τὰ αὐτὰ ποῖα; μετ' εὐνοίας δουλεύετε. ἀλλ' οὐκ εἶπε, δουλεύετε, καίτοιγε εἰπὼν τὰ αὐτὰ, τοῦτο ἐδήλωσε. δουλεύει γὰρ καὶ ὁ δεσπότης. μὴ ὡς ἀνθρωπάρεσκοι, φησι, μετὰ φόβου καὶ τρόμου, τουτέστι, τοῦ πρὸς τὸν Θεὸν, δεδοικότες μήποτε ὑμῖν ἐγκαλέσῃ ὑπὲρ τῆς εἰς τοὺς δούλους ἀμελείας. Ἀνιέντες τὴν ἀπειλήν. Μὴ φορτικοί, φησι, μηδὲ ἐπαχθεῖς γίνεσθε. Εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς.

Ματθ. ζ. β.
Ματθ. ιη. λβ.
Βαβαὶ, ἡλίκον ᾐνίξατο; πῶς ἐφόβησε; τουτέστι, Τῷ μέτρῳ, ᾧ μετρεῖς, ἀντιμετρηθήσεταί σοι. μὴ ἀκούσῃς, Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι.

Καὶ προσωποληψία, φησὶν, οὐκ ἔστι παρ' αὐτῷ. Μὴ νομίσῃς, φησὶν, ὅτι τὰ εἰς τὸν δοῦλον, ὡς εἰς δοῦλον γινόμενα, οὕτως ἀφήσει. οἱ μὲν γὰρ ἔξωθεν νόμοι διαφορὰν ἴσασι

σασι τούτων τῶν γνωμῶν, ἅτε δὴ ἀνθρώπων ὄντες νόμοι· ὁ δὲ νόμος ὁ τοῦ κοινοῦ δεσπότου, οὐδεμίαν οἶδε διαφορὰν, ἅτε κοινὴ πάντας εὐποιῶν, καὶ πᾶσι τῶν αὐτῶν μεταδιδούς. Εἰ δέ τις ἔροιτο πόθεν ἡ δουλεία, καὶ διατί εἰς τὸν βίον εἰσῆλθε τὸν ἀνθρώπινον (καὶ γὰρ οἶδα πολλοὺς καὶ ἐρωτῶντας τὰ τοιαῦτα ἡδέως, καὶ μαθεῖν βουλομένους) ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. ἡ πλεονεξία τὴν δουλείαν ἔτεκεν, [ἡ βασκανία,] ἡ ἀπληστία· ἐπεὶ Νῶε δούλους οὐκ εἶχεν, οὐδὲ Ἄβελ, οὐδὲ Σὴθ, ἀλλ' οὐδὲ οἱ μετὰ ταῦτα. ἁμαρτία τοῦτο τὸ πρᾶγμα ἔτεκεν, ἡ εἰς τοὺς πατέρας ὕβρις. ἀκουέτωσαν οἱ παῖδες, ὅτι ἄξιοί εἰσι δοῦλοι εἶναι, ὅταν εἰς τοὺς πατέρας ἀγνώμονες ὦσιν. ἀφείλετο ἑαυτοῦ ὁ τοιοῦτος τὴν εὐγένειαν. ὁ γὰρ ὑβρίζων τὸν πατέρα, οὐκ ἔστιν ἔτι υἱός. εἰ δὲ ὁ πατέρα ὑβρίζων, οὐκ ἔστιν υἱός, ὁ τὸν ὄντως ἡμῶν πατέρα ὑβρίζων, πῶς ἔσται υἱός; ἐξῆλθεν ἀπὸ τῆς εὐγενείας, ἐξύβρισεν εἰς τὴν φύσιν. Εἶτα καὶ πόλεμοι, καὶ μάχαι αἰχμαλώτους ἔλαβον. ἀλλ' ὁ Ἀβραὰμ εἶχεν οἰκέτας, φησίν. ἀλλ' οὐχ ὡς οἰκέταις ἐκέχρητο. ὅρα πῶς πάντα εἰς τὴν κεφαλὴν ἀναρτᾷ· τὴν γυναῖκα, ἵνα, φησὶν, ἀγαπᾷ ταύτην· τὰ παιδία, ἵνα ἐκτρέφῃ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· τοὺς δούλους, εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς. οὕτω, φησὶ, καὶ αὐτοὶ, ὡς δοῦλοι ὄντες, φιλάνθρωποι γίνεσθε καὶ συγγνωμονικοί. εἰ δὲ βούλεσθε ἀκοῦσαι, τὰ αὐτὰ ἐροῦμεν περὶ τῶν οἰκετῶν, ἃ καὶ πρότερον περὶ τῶν παίδων. διδάσκετε αὐτοὺς εἶναι εὐλαβεῖς, καὶ πάντως πάντα ἕψεται. νῦν δὲ εἰς μὲν θέατρον ἀνιών, καὶ εἰς βαλανεῖον ἀπιών τις, πάντας ἐπισύρεται τοὺς παῖδας· εἰς δὲ ἐκκλησίαν, οὐκέτι, οὐδὲ ἀναγκάζει παρεῖναι καὶ ἀκούειν. πῶς δὲ ὁ οἰκέτης ἀκούσεται, σοῦ τοῦ δεσπότου ἑτέροις προσέχοντος; ἠγόρασας, ἐπρίω τὸν δοῦλον; ἐπίταττε πρότερον αὐτῷ τὰ κατὰ Θεὸν, ὥστε πρὸς τοὺς συνδούλους εἶναι ἤπιον, ἀρετῆς πολλὴν ποιεῖσθαι λόγον. πόλις ἐστὶν ἡ ἑκάστου οἰκία, ἄρχων ἐστὶν ἕκαστος τῆς ἑαυτοῦ οἰκίας. καὶ ὅτι μὲν τοιαύτη ἡ τῶν πλουσιωτέρων, εὔδηλον, ἔνθα καὶ ἀγροὶ, καὶ ἐπίτροποι, καὶ ἄρχοντες ἐπὶ ἄρχουσιν. ἐγὼ δὲ καὶ τὴν τῶν πενήτων οἰκίαν φημὶ πόλιν εἶναι. καὶ γὰρ καὶ ἐνταῦθά εἰσιν ἀρχαί· οἷον, κρατεῖ τῆς γυναικὸς ὁ ἀνὴρ, ἡ γυνὴ τῶν οἰκετῶν, οἱ οἰκέται τῶν ἰδίων γυναικῶν· πάλιν αἱ γυναῖκες καὶ οἱ ἄνδρες τῶν παίδων. ἆρα οὐ δοκεῖ σοι, καθάπερ τις βασιλεὺς εἶναι, τοσούτους ἔχων ἄρχοντας ὑποτεταγμένους ἑαυτῷ; καὶ πάντων προσήκειν αὐτὸν οἰκονομικώτερον εἶναι, καὶ πολιτικώτερον; ὁ γὰρ εἰδὼς διαφόρως κεχρῆσθαι τούτοις, οἶδε τοὺς ἐπιτηδείους ἄρχοντας αἱρεῖσθαι, καὶ αἱρήσεταί γε λαμπρούς. οὐκοῦν ἔσται βασιλεὺς ἕτερος ἡ γυνὴ ἐν οἰκίᾳ χωρὶς τοῦ διαδήματος, καὶ ὁ εἰδὼς τὸν βασιλέα τοῦτον αἱρεῖσθαι, πάντα τὰ ἄλλα καλῶς διαθήσει.

10 Τὸ λοιπὸν, ἀδελφοί μου, φησὶν, ἐνδυναμοῦσθε ἐν Κυρίῳ.

Ὅταν μέλλῃ τελευτᾷν ὁ λόγος, ἀεὶ τούτῳ κέχρηται τῷ τρόπῳ. οὐχὶ καλῶς ἔλεγον ἐξ ἀρχῆς, ὅτι στρατόπεδόν ἐστιν ὁλόκληρον ἡ ἑκάστου οἰκία; ἰδοὺ γὰρ διατάξας πάσας τὰς ἀρχὰς, λοιπὸν αὐτοὺς καθοπλίζει, καὶ ἐπὶ πόλεμον ἐξάγει. ἐὰν γὰρ μηδεὶς τὴν ἀρχὴν ἁρπάζῃ τὴν τοῦ ἑτέρου, ἀλλὰ κατὰ χώραν ἕκαστος μένῃ, πάντα εὖ διακείσεται. Ἐνδυναμοῦσθέ, φησιν, ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· Τουτέστιν, ἐν τῇ ἐλπίδι τῇ εἰς αὐτὸν διὰ τῆς αὐτοῦ βοηθείας. ἐπειδὴ γὰρ πολλὰ ἐπέταξεν ἅπερ ἔδει γενέσθαι, μὴ δείσητέ, φησιν, ἐπιρρίψατε τὴν ἐλπίδα ἐπὶ τὸν Κύριον, καὶ πάντα εὐκολυνθήσεται.

γρ. θαῤ-ῥεῖν λοιπὸν ὑπομένειν

11 Καὶ ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Οὐκ εἶπε, πρὸς τὰς μάχας, οὐδὲ πρὸς τοὺς πολέμους, ἀλλὰ πρὸς τὰς μεθοδείας. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ φανερῶς ἡμῖν ὁ ἐχθρὸς πολεμεῖ, ἀλλὰ μεθοδείᾳ. τί ἐστι μεθοδεία; μεθοδεῦσαί ἐστι τὸ ἀπατῆσαι, καὶ διὰ μηχανῆς ἑλεῖν, ὅπερ καὶ ἐπὶ τῶν τεχνῶν γίνεται, καὶ ἐν λόγοις, καὶ ἐν ἔργοις, καὶ ἐν παλαίσμασιν ἐπὶ τῶν παραγόντων ἡμᾶς. οἷόν τι λέγω. οὐδέποτε φανερὰ προτίθησι τὰ ἁμαρτήματα, εἰδωλολατρείαν

γρ. ἤπται.

γρ. συντόμως

πείαν οὐ λέγει, ἀλλ᾿ ἑτέρως αὐτὸ κατασκευάζει μεθοδειῶν, τουτέστι, πιθανὸν κατασκευάζων τὸν λόγον, ἐπικαλύμμασι κεχρημένος. ἤδη μὲν οὖν καὶ τούτῳ διήγειρε τοὺς στρατιώτας, καὶ νήφειν ἐποίησε, παρὰ τὸ πεῖσαι καὶ διδάξαι, ὅτι πρὸς ἐμπείρους τῶν πολεμικῶν ἡμῖν ἡ μάχη, καὶ οὐχ ἁπλῶς, οὐδὲ φανερῶς πολεμοῦντα, ἀλλὰ μετὰ πολλῆς τῆς μεθοδείας. καὶ πρῶτον μὲν ἀπὸ τῆς τέχνης αὐτοῦ, δεύτερον δὲ ἀπὸ τῆς φύσεως, καὶ τοῦ πλήθους τοὺς μαθητὰς ἐπαίρει. οὐχὶ καταβαλεῖν βουλόμενος τοὺς ὑπ᾿ αὐτὸν ἑστῶτας στρατιώτας, ἀλλ᾿ ἐπᾶραι καὶ διεγεῖραι. εἶπε τὰ σοφίσματα, καὶ παρεσκεύασε νήφειν. εἰ μὲν γὰρ μόνον διηγησάμενος αὐτῶν τὴν δύναμιν μέχρι τούτου τὸν λόγον ἔστησε, κἂν κατέβαλεν αὐτούς. εἰ δὲ καὶ περὶ τούτου, καὶ μετὰ τοῦ δεικνύναι δυνατοὺς εἶναι τὸν τοιοῦτον ἑλεῖν, μᾶλλον αὐτοὺς ἐπαίρει. ἡ γὰρ τῶν ἐναντίων ἰσχὺς ὅσῳ ἂν σαφέστερον παρ᾿ ἡμῶν ἀπαγγέλληται [πρὸς τοὺς οἰκείους], τοσούτῳ σπουδαιοτέρους ποιεῖ τοὺς ἡμετέρους.

γρ. ἀφελῶς

12 Ὅτι οὐκ ἔστιν ἡμῖν, φησὶν, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Προστρέψας ἀπὸ τοῦ εἴδους τῆς μάχης, λοιπὸν καὶ ἀπὸ τῶν ἐπάθλων τῶν κειμένων αὐτοὺς διεγείρει. τί γάρ; εἰπὼν ὅτι σφοδροὶ οἱ ἐχθροὶ, ἐπήγαγεν, ὅτι καὶ μεγάλα ἡμᾶς ἀποστεροῦσι. ποῖα; ἐν τοῖς ἐπουρανίοις ἡ μάχη κεῖται. οὐ περὶ χρημάτων, οὐ περὶ δόξης, ἀλλ᾿ ὑπὲρ ἀνδραποδισμοῦ ὁ ἀγών. ὥστε ἀκατάλλακτος ἡ ἔχθρα. γίνεται σφοδροτέρα ἡ φιλονεικία καὶ ἡ μάχη, ὅταν ὑπὲρ μεγάλων ᾖ. τὸ γὰρ ἐν τοῖς ἐπουρανίοις, ἀντὶ τοῦ ὑπὲρ τῶν ἐπουρανίων ἐστίν· οὐχ ἵνα αὐτοί τινος τύχωσι νικήσαντες, ἀλλ᾿ ἵνα ἡμᾶς ἀποστερήσωσιν. ὡς ἂν εἰ ἔλεγεν, ἡ συνθήκη ἐν τίνι κεῖται *. τὸ ἐν, ὑπέρ ἐστι, καὶ τὸ ἐν, διά ἐστιν. ὅρα πῶς ἡμᾶς διεγείρει ἡ δύναμις τοῦ ἐχθροῦ, καὶ νήφειν ποιεῖ τὸ εἰδέναι ὅτι ὑπὲρ μεγάλων ὄντα τὸν κίνδυνον, καὶ ὑπὲρ μεγάλων τὴν νίκην. τοῦ γὰρ οὐρανοῦ ἡμᾶς ἐκβάλλειν σπουδάζει. ἀρχάς τινάς φησι, καὶ ἐξουσίας, καὶ κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. ποίου σκότους; ἆρα τῆς νυκτός; οὐδαμῶς, ἀλλὰ τῆς πονηρίας. Ἦτε γάρ, φησι, σκότος ποτὲ, οὕτω τὴν πονηρίαν λέγων τὴν ἐν τῷ παρόντι βίῳ. οὐ γὰρ ἕξει περαιτέρω χώραν, οὐκ ἐν οὐρανῷ, οὐκ ἐν τῷ μετὰ ταῦτα αἰῶνι. κοσμοκράτορας δὲ αὐτούς φησιν, οὐχ ὡς τοῦ κόσμου κρατοῦντας, ἀλλ᾿ ὡς τῶν πονηρῶν ἔργων ὄντας αἰτίους. οἶδε γὰρ κόσμον καλεῖν ἡ γραφὴ τὰς πονηρὰς πράξεις· ὡς ὅταν λέγῃ ὁ Χριστός· Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου, ὥσπερ ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. ἆρα γὰρ οὐκ ἦσαν ἐκ τοῦ κόσμου; οὐχὶ σάρκα περιέκειντο; οὐ τῶν ἐν κόσμῳ ἦσαν; καὶ πάλιν· Ὁ κόσμος ἐμὲ μισεῖ, ὑμᾶς δὲ οὐ δύναται μισεῖν, πάλιν τὰς πονηρὰς πράξεις λέγων οὕτως· ἢ κόσμον ἐνταῦθα τοὺς πονηροὺς ἀνθρώπους λέγει. οἱ γὰρ δαίμονες μᾶλλον τούτων κρατοῦσι. πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικά, φησι, τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. ἀρχὰς καὶ ἐξουσίας φησὶ, καθάπερ καὶ ἐπὶ τῶν ἐπουρανίων εἰσὶ θρόνοι, κυριότητες, ἀρχαὶ, ἐξουσίαι.

γρ. οὐρανίων
* ἐν Χριστῷ·
γρ. τὸ γὰρ ἐν,
γρ. τῶν
γρ. περὶ
Ἐφεσ. ε. η.
Ἰωαν. ιζ. ιδ.
Ἰωαν. ζ. ζ.

13 Διὰ τοῦτο, φησὶν, ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι.

Ἡμέραν πονηρὰν, τὸν παρόντα βίον, καὶ αἰῶνα δὲ πονηρὸν τοῦτον καλεῖ, ἀπὸ τῶν ἐν αὐτῷ γινομένων κακῶν. τουτέστιν, ἀεὶ ὁπλίζεσθε. καὶ ἅπαντα, φησι, κατεργασάμενοι· τουτέστι, καὶ πάθη, καὶ ἐπιθυμίας ἀτόπους, καὶ τὰ ἐνοχλοῦντα ἡμῖν ἅπαντα. οὐχ ἁπλῶς ἐργάσασθαι εἶπεν, ἀλλὰ κατεργάσασθαι, ὥστε οὐκ ἀνελεῖν μόνον, ἀλλὰ καὶ στῆναι μετὰ τὸ ἀνελεῖν. πολλοὶ γὰρ τὴν νίκην ταύτην νικήσαντες, πάλιν ἔπεσον. ἅπαντα, φησὶ, κατεργασάμενοι, οὐ τὸ μὲν ναὶ, τὸ δὲ οὔ. δεῖ γὰρ καὶ μετὰ τὴν νίκην, στάσεως. ἐβλήθη ποτὲ, ἀλλὰ πάλιν ἀνάζῃ τὰ βδελύγματα· ἂν μὴ στῶμεν, ἤδη καὶ πεσόντα ἀνίσταται. ἕως ἂν στήκωμεν, πέπτωκεν· ἕως ἂν μὴ περιφερώμεθα, ἐκεῖνος οὐκ ἀνίσταται. ἐνδυσώμεθα τὴν πανοπλίαν τοῦ Θεοῦ. ὁρᾷς πῶς

τὸν φόβον ἐξέβαλεν; Εἰ γὰρ δυνατὸν κατεργάσασθαι, καὶ στῆναι, ἵνα ἀποφεύγῃς τὴν μάχην· στῆθι κατεργασάμενος, καὶ νενίκηκας· καὶ μὴ θαυμάσῃς ὅτι τοσαῦτα περὶ τῆς τῶν ἐχθρῶν δυνάμεως διεξέρχεται. ὁ γὰρ ταῦτα διεξιέναι οὐ δειλίαν ἐμποιεῖ καὶ φόβον, ἀλλὰ τὴν ῥαθυμίαν ἀποτινάσσει. ἵνα δυνηθῆτε, φησὶν, ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ. καὶ ἀπὸ τοῦ χρόνου παραμυθεῖται. βραχὺς, φησὶν, ὁ καιρὸς, ὥστε χρὴ ἑστάναι. μὴ κάμνητε μετὰ τὴν σφαγήν.

Εἰ τοίνυν πόλεμός ἐστιν, εἰ τοιαῦται αἱ παρατάξεις εἰσὶν, εἰ ἀσώματοι αἱ ἀρχαὶ, εἰ κοσμοκράτορες, εἰ πνεύματα πονηρὰ τῆς πονηρίας, πῶς τρυφᾷς, εἰπέ μοι; πῶς διακεχυμένος εἶ; πῶς ἀφωπλισμένοι περιελεύσεσθαι δυνησόμεθα; ταῦτα ἕκαστος ἑαυτῷ λεγέτω καθ' ἑκάστην ἡμέραν, ὅταν ὑπὸ τοῦ θυμοῦ κρατῆται, ὅταν ὑπὸ ἐπιθυμίας, ὅταν τὸν ὑγρὸν τοῦτον βίον καὶ εἰκῆ ἐπιζητῇ. ἀκουέτω τοῦ μακαρίου Παύλου λέγοντος· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας. χαλεπώτερος τούτου ὁ πόλεμος τοῦ αἰσθητοῦ, σφοδροτέρα ἡ μάχη. ἐννόησον ὅσον τοῦτο παλαίει χρόνον, ὑπὲρ τίνος κινδυνεύει, καὶ γενοῦ σεαυτοῦ ἀσφαλέστερος. ναὶ φησὶν, ἀλλ' ἔδει ὄντα διάβολον ἐκ μέσου γενέσθαι, καὶ πάντες ἂν ἐσώζοντο. ταῦτά τινες τῶν ῥαθύμων προφασιζόμενοι φθέγγονται. δέον σε εὐχαριστεῖν, ἂν στέρξῃς, ὅτι τοιούτου περιγένῃ, ἂν ἐθέλῃς, ἐκ τῶν ἐναντίων καὶ ἀγανακτεῖς, νῦν δὲ ὥσπερ τινὸς καὶ ὑπὲρ ἀνδρὸς στρατιώτου φθεγγόμενος ῥήματα. οἶδας τὰς λαβὰς, ἂν ἐθέλῃς. περισκόπει πανταχόθεν σαυτὸν, τείχιζε. οὐχὶ πρὸς τὸν διάβολόν ἐστιν ἡ μάχη μόνον, ἀλλὰ καὶ πρὸς τὰς ἐκείνου δυνάμεις. πῶς οὖν παλαίσομεν τῷ σκότῳ, φησί; φῶς γενόμενοι. πῶς τοῖς πνευματικοῖς τῆς πονηρίας; ἀγαθοὶ γενόμενοι. ἀγαθῷ γὰρ ἐναντίον ἡ πονηρία, καὶ φῶς ἀπελαύνει σκότος. ἂν δὲ καὶ αὐτοὶ ὦμεν σκότος, ἁλωσόμεθα πάντως. πῶς οὖν αὐτῶν περιεσόμεθα; ἂν ὅπερ εἰσὶν ἀπὸ φύσεως ἐκεῖνοι, τοῦτο γενώμεθα ἀπὸ προαιρέσεως ἡμεῖς, σαρκὸς ἐκτὸς καὶ αἵματος· οὕτως αὐτοὺς αἱρήσομεν. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὑπὸ πολλῶν ἐλαύνεσθαι, μὴ νομίσητε, φησὶν, ὅτι αὐτοὶ πολεμοῦσιν ἡμῖν. οἱ ἐνεργοῦντες ἐν αὐτοῖς δαίμονές εἰσιν, οἱ πολεμοῦντες· πρὸς ἐκείνους ἡμῖν ἡ μάχη. δύο δὲ ἀπὸ τούτων κατασκευάζει, αὐτούς τε προθυμοτέρους ποιῶν πρὸς τὸ πολεμοῦντας αὐτοὺς, καὶ πρὸς ἐκείνους τὸν θυμὸν ἐγείρων. καὶ τίνος ἕνεκεν πρὸς τούτους ἡμῖν ἡ μάχη γεγένηται; ἐπειδὴ καὶ σύμμαχον ἔχομεν ἄμαχον, τοῦ πνεύματος τὴν χάριν. τέχνην ἐδιδάχθημεν τοιαύτην, ὥστε μὴ πρὸς ἀνθρώπους δύνασθαι παλαίειν, ἀλλὰ πρὸς δαίμονας. ἂν δὲ ἐθέλωμεν, οὐδὲ παλαίσομεν (ἐπειδὴ γὰρ βουλόμεθα, πάλη ἐστίν) ἐπεὶ τοσαύτη ἡ δύναμις τοῦ ἐνοικοῦντος ἐν ἡμῖν, ὡς λέγει, Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. πᾶσαν ἡμῖν δέδωκεν ἐξουσίαν καὶ τοῦ παλαίειν, καὶ τοῦ μὴ παλαίειν. ἐπειδὴ δὲ ἡμεῖς νωθεῖς ἐσμεν, παλαίομεν αὐτοῖς· ἐπεὶ ὅτι Παῦλος οὐκ ἐπάλαισεν, ἄκουσον αὐτοῦ λέγοντος· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος· Ὁ Θεὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. εἶχε γὰρ αὐτὸν ὑποτεταγμένον. διὸ καὶ ἔλεγε· Παραγγέλλω σοι ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ ἐξελθεῖν ἀπ' αὐτῆς. οὔπω δὲ οὐκ ἔστι παλαίοντος. ὁ γὰρ παλαίων οὐδέπω ἐνίκησεν, ὁ δὲ νικήσας οὐκέτι παλαίει. ὑπέταξεν αὐτὸν, ᾐχμαλώτισε. καὶ Πέτρος δὲ οὐκ ἐπάλαιε τῷ διαβόλῳ· ἀλλ' ὃ τοῦ παλαῖσαι βέλτιον ἦν, τοῦτο εἰργάζετο. ἐν τοῖς πιστοῖς, ἐν τοῖς παρακούουσιν, ἐν τοῖς κατηχουμένοις ἐκ πολλοῦ τοῦ περιόντος ἐκράτουν αὐτοῦ*. διὸ καὶ ἔλεγεν ὁ μακάριος Παῦλος· Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ὅθεν καὶ μάλιστα αὐτοῦ περιεγένετο. καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος· Οὐ θαυμαστὸν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται, ὡς διάκονοι δικαιοσύνης. οὕτως ᾔδει πᾶσαν τὴν μάχην, καὶ οὐδὲν αὐτὸν ἐλάνθανε. Καὶ τὸ μυστήριον γὰρ, φησὶν, ἤδη ἐνεργεῖται τῆς ἀνομίας. ἀλλὰ

ΗΘΙΚΟΝ

Λουκ. ι. ιθ.

Ρωμ. η. λη.

Ρωμ. ιϛ. κ.

Πραξ. ιϛ. ιη.

β. Κορ. β. ια. καὶ ιδ.

β. Θεσ. β. ζ.

καὶ αὐτοὺς προθυμοτέρους ποιῶν· καὶ τὸν πρὸς ἐκείνους θυμὸν χαλῶν τοῦ πολεμοῦντος αὐτοῖς.

* καὶ τὰς δυνάμεις αὐτοῦ.

Ρωμ. η. λθ. παρ᾽ εἰς ἡμᾶς; ἢ πάλιν ἐστίν. ἐπεὶ ἄκουε πάλιν αὐτοῦ λέγοντος· Πέπεισμαι ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε ἐξουσίαι, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. οὐκ εἶπεν ἁπλῶς, ἀπὸ τοῦ Χριστοῦ, ἀλλ᾽, ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. πολλοὶ γὰρ εἶναι νομιζόμενοι διὰ τὸν Χριστὸν, οὐκ ἀγαπῶντες δὲ αὐτόν. οὐ μόνον, φησὶν, ἀρνήσασθαί με οὐ πείσεις, ἀλλ᾽ οὐδὲ ἧττον αὐτὸν ἀγαπῆσαι. εἰ δὲ αἱ ἄνω δυνάμεις οὐκ ἂν τοῦτο ἴσχυσαν, τίς ἕτερος αὐτὸν μεταπείσει; οὐχ ὡς δὲ ἐκείνων ἐπιχειρουσῶν, ταῦτά φησιν, ἀλλὰ καθ᾽ ὑπόθεσιν. διὸ καὶ ἔλεγε, πέπεισμαι. οὐκοῦν οὐκ ἐπάλαιεν, ἀλλ᾽ ὅμως φοβεῖται αὐτοῦ τὰς πανουργίας. ἄκουε γὰρ αὐτοῦ

β. Κορ. ια. γ. λέγοντος· Φοβοῦμαι, μή πως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. καί φησιν· ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ τῷ ῥήματι κέχρηται, λέγων· Φοβοῦμαι γὰρ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκι-

α. Κορ. θ. κζ. μος γένωμαι. πόθεν οὖν πέπεισαι, ὅτι οὐδείς σε χωρίσει; ὁρᾷς ὅλῃ ταπεινοφροσύνης τὸ ῥῆμα ἐστὶ καὶ μετριότητος; ἤδη γὰρ ἐκεῖνος ᾤκει τὸν οὐρανόν. διὸ καὶ ἔλεγεν· Οὐδὲν γὰρ ἐμαυ-

α. Κορ. δ. δ.
β. Τιμ. δ. ζ. τῷ σύνοιδα. καὶ πάλιν· Τὸν δρόμον τετέλεκα. ὥστε οὐκ εἰς ταῦτα ἐνεπόδιζεν αὐτῷ ὁ διάβολος, ἀλλ᾽ εἰς τὰ τῶν μαθητῶν. τί δήποτε; ἐπειδὴ τούτων οὐκ αὐτὸς ἦν κύριος μόνον, ἀλλὰ καὶ ἡ ἐκείνων προαίρεσις. ἐκεῖ ἐστὶν ὅπου ἐκράτει· μᾶλλον δὲ οὐδὲ ἐκεῖ αὐτοῦ ἐκράτει, ἀλλὰ τῆς ῥαθυμίας τῶν μὴ προσεχόντων. εἰ μὲν γὰρ τὰ παρ᾽ αὐτοῦ μὴ ἐπλήρου, ἢ διὰ νωθείαν, ἢ δι᾽ ἄλλο τι τοιοῦτον, αὐτοῦ ἐκράτει. εἰ δὲ αὐτὸς μὲν πάντα ἐπλήρωσεν, ἐκεῖνοι δὲ οὐκ ἐπείθοντο, οὐκ αὐτοῦ ἐκράτει, ἀλλὰ τῆς ἐκείνων ἀπειθείας· καὶ τὸ νόσημα οὐ τοῦ ἰατροῦ ἐκράτει, ἀλλὰ τῆς ἀταξίας τοῦ κάμνοντος. ὅταν γὰρ αὐτὸς μὲν πάντα παρασκευάσηται, ἐκεῖνος δὲ πάντα διαφθείρῃ, ἐκεῖνος ἥττηται, οὐχ οὗτος. ὥστε οὐδαμοῦ ἐκράτησε τοῦ Παύλου. πλὴν ἀλλ᾽ ἐφ᾽ ἡμῶν, ἀγαπητοὶ, τὸ καὶ δύνασθαι παλαίειν. Ῥωμαίοις μὲν οὖν τοῦτο ἐ-

Ρωμ. ιϛ. κ. παγγέλλεται, ἀλλὰ τί; Συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. καὶ τού-

Ἐφεσ. γ. κ. τοις οὕτως ἐπαγγέλλεται· Τῷ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ, ὧν αἰτούμεθα, ἢ νοοῦμεν. ὁ παλαίων, ἐπικατέχεται. πλὴν ἀλλ᾽ ἀγαπητοὶ καὶ τὸ μὴ πεσεῖν. τίς ἡ νίκη λαμπροτέρα γάρ, ὅταν ἐξέλθωμεν ἐντεῦθεν. οἷον, ἔστω τις ἐπιθυμία πονηρά· τὸ μὲν παραδέξασθαι, μηδὲ δέχεσθαι ταύτην, ἀλλὰ σβεννύναι. εἰ δὲ τοῦτο οὐ δυνατόν, κἂν παλαίωμεν, καὶ διαπαντὸς κατέχωμεν· ἂν παλαίοντες ἐξέλθωμεν, νενικήκαμεν. οὐ γὰρ ὡς ἐπὶ τῶν ἀθλητῶν, οὕτω καὶ ἐνταῦθα. ἐκεῖ μὲν γὰρ ἂν μὴ καταβάλῃς, οὐ νενίκηκας· ἐνταῦθα δὲ ἂν μὴ καταβληθῇς, νενίκηκας· ἂν μὴ καταβληθῇς, κατέβαλες. εἰκότως. ἐκεῖ μὲν γὰρ ἀμφότεροι ὑπὲρ νίκης σπουδάζουσι, κἂν ὁ ἕτερος καταβληθῇ, ὁ ἕτερος στεφανοῦται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ᾽ ὁ διάβολος ὑπὲρ τῆς ἡμετέρας ἥττης σπουδάζει. ὅταν οὖν αὐτὸν ἀφέλωμαι τοῦτο ὑπὲρ οὗ σπουδάζει, ἐνίκησα. οὐ γὰρ ὥστε καταβάλλειν, ἀλλ᾽ ὥστε συγκαταβάλλειν ἐπείγεται. ἤδη οὖν νενίκηκα. αὐτὸς γὰρ ἤδη βέβληται, καὶ ἐν τῇ ἀπωλείᾳ ἐστίν. ἡ δὲ νίκη αὐτοῦ, οὐκ ἐν τῷ στεφανωθῆναι, ἀλλ᾽ ἐν τῷ ἐμὲ ἀπολέσαι. ὥστε ἂν μὴ καταβάλω, μὴ καταβληθῶ δὲ, νενίκηκα. τίς οὖν ἐστι λαμπροτέρα νίκη; τὸ ἐκ περιουσίας καταπατεῖν αὐτὸν, οἷον ὁ Παῦλος ἐποίει, οὐδὲν ἡγούμενος εἶναι τὰ παρόντα πράγματα. τοῦτον δὲ ἡμεῖς μιμώμεθα, καὶ σπουδάζωμεν ἀνώτεροι γενέσθαι, καὶ μηδαμόθεν παρέχειν αὐτῷ λαβήν. ὁ πλοῦτος δίδωσιν αὐτῷ λαβὴν, τὰ χρήματα, ἡ κενοδοξία· καὶ πολλάκις μὲν αὐτὸν ἀνέστησε, πολλάκις δὲ ἤγειρεν. ἀλλὰ τίς χρεία πάλης; τίς χρεία συμπλοκῆς; ὁ συμπλεκόμενος ἄδηλον ἔχει τὸ τέλος, πότερον μὴ ἡττηθείη καὶ αὐτὸς, καὶ ἁλώσεται· ὁ δὲ καταπατῶν, δήλην ἔχει τὴν νίκην. οὐκοῦν καταπατήσωμεν τοῦ διαβόλου τὴν δύναμιν, καταπατήσωμεν τὰς ἁμαρτίας, πάντα λέγω τὰ βιωτικὰ, θυμὸν, ἐπιθυμίαν, ἀλαζονείαν, πάντα τὰ πάθη· ἵνα ἀπελθόντες ἐκεῖ, τὴν ἐξουσίαν, ἣν ἔδωκεν ἡμῖν ὁ Θεὸς, μὴ εὑρεθῶμεν προδιδόν-

γρ. ἐπιθυμίᾳ πονηρᾷ παλαίων. γρ. αὐτήν.

τις. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα. Εἰ δὲ περὶ τοῦτο γενόμεθα κακοί, τίς ἡμῖν ἐγχειριεῖ τὰ μείζονα; Εἰ γὰρ τὸν προσκεκρουκότα, τὸν ἠτιμωκότα, τὸν κατεπιφερόμενον, τὸν ὑπὸ τοὺς πόδας κείμενον πατῆσαι οὐκ ἠδυνήθημεν, πῶς ἡμῖν δώσει τὰ πατρῷα ὁ πατήρ; Εἰ τοῦ οὕτως ἀσθενοῦς περιγενέσθαι οὐ περιεγενόμεθα, ποίαν ἕξομεν παρρησίαν εἰς τὴν πατρῴαν εἰσελθεῖν οἰκίαν; Εἰπὲ γάρ μοι εἴ τινα υἱὸν ἔχεις, ἐκεῖνος δὲ ἀφεὶς τοὺς ἀγωνιζομένους πρὸς τὸν οἰκέτην, συναγωνίζηται τοῖς σε λελυπηκόσι, τοῖς ἐκπεπτωκόσι τῆς πατρῴας οἰκίας, τοῖς περὶ τὸ σῶμα ἠμελημένοις, καὶ μέχρι τέλους τοῦτο ποιῇ, οὐχὶ ἀποκληρονόμος ἔσται αὐτῷ ἀδήλως ὅτι. οὕτω καὶ ἡμεῖς, ἂν ἀφέντες τοὺς ὑπηρετοῦντας καὶ τοὺς ἐπιτεταγμένους ἡμῖν ἀγγέλους, ἀναστρεφώμεθα μετὰ τοῦ διαβόλου, πάντως ἀποκληρονόμοι ἐσόμεθα. Ἀλλὰ μὴ γένοιτο τοῦτο μηδένα παθεῖν ἡμῶν, ἀλλὰ τὸν πόλεμον ἀναδεξαμένους τὸν πρὸς αὐτὸν, καὶ νικήσαντας μετὰ τῆς ἄνωθεν συμμαχίας, κληρονόμους γενέσθαι τῆς βασιλείας τῶν οὐρανῶν. Εἴ τις ἔχθραν ἔχει, εἴ τις παρ' αὐτοῦ ἠδίκηται, εἴ τις ἀγανακτεῖ, πᾶσαν τὴν ὀργὴν ἐκείνου, πᾶσαν τὴν χαλεπότητα συναγαγὼν κένου ταῦτα κατὰ τῆς τοῦ διαβόλου κεφαλῆς. ἐνταῦθα ὁ θυμὸς καλόν, ἐνταῦθα ἡ ὀργὴ χρήσιμον, ἐνταῦθα ἡ μνησικακία ἐπαινετόν. ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν τοῦτο τὸ μνησικακεῖν κακόν, οὕτως ἐνταῦθα τὸ μνησικακεῖν ἀγαθόν. ὥστε εἰ ἐλαττώματα ἔχεις, ἐνταῦθα αὐτὰ ἀποσκεύαζε. Εἰ δὲ μὴ δυνάσαι αὐτὸς ἀποθέσθαι, κἂν μετὰ τῶν μελλόντων σοῦ. ἔπληξέ σέ τις; μνησικάκησον τῷ διαβόλῳ, καὶ μηδέποτε καταλύσῃς τὴν ἔχθραν τὴν πρὸς αὐτόν. ἀλλ' οὐκ ἔπληξε; καὶ οὕτω μνησικάκει, ὅτι τὸν δεσπότην ὕβρισε τὸν σόν, ὅτι προσέκρουσεν, ὅτι τοὺς ἀδελφοὺς λυμαίνεται καὶ πολεμεῖ. ἀεὶ ἐχθρὸς ἔστω, ἀεὶ πικρός, ἀεὶ δυσμενής. οὕτω τὸ ἐπίφθονος ἔσται ἐκεῖνος, οὕτως εὐκαταφρόνητος, οὕτως εὐχείρωτος. ἂν ἡμεῖς ἀγανακτῶμεν πρὸς αὐτόν, ἐκεῖνος οὐκ ἔσται ἡμῖν ἄγριος· ἂν ἡμεῖς ὦμεν ἐπιεικεῖς, τότε ἐκεῖνος ἄγριος ἔσται. οὐχ ὡς ἐπὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων. ἐχθρός ἐστι καὶ πολέμιος καὶ τῆς ζωῆς καὶ τῆς σωτηρίας, καὶ τῆς ὑμετέρας, καὶ τῆς αὐτοῦ. Εἰ ἑαυτὸν οὐ φιλεῖ, πῶς ἡμᾶς φιλῆσαι δυνήσεται; παρατασσώμεθα τοίνυν καὶ βάλλωμεν αὐτόν, ἔχοντες σύμμαχον μέγαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃς δυνήσεται καὶ ἡμᾶς ἀχειρώτους ποιῆσαι ταῖς ἐκείνου πάγαις, καὶ τῶν μελλόντων ἀξιῶσαι ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κγ. 14 ΣΤΗΤΕ ΟΥΝ ΠΕΡΙΖΩΣΑΜΕΝΟΙ ΤΗΝ ΟΣΦΥΝ ὑμῶν ἐν ἀληθείᾳ.

Συντάξας τὸ στρατόπεδον τοῦτο, καὶ διεγείρας αὐτῶν τὴν προθυμίαν (ἀμφοτέρων γὰρ ἔδει, καὶ τοῦ συντεταγμένους εἶναι, καὶ τὸν θυμὸν αὐτῶν διεγερθῆναι) καὶ παραθαρσύνας αὐτοὺς (καὶ γὰρ καὶ τούτου ἔδει) λοιπὸν αὐτοὺς καὶ καθοπλίζει. οὐδὲν γὰρ τῶν ὅπλων ὄφελος, ἐκείνων προτέρων μὴ διατεταγμένων, μηδὲ τοῦ θυμοῦ διεγηγερμένου τῆς τοῦ στρατιώτου ψυχῆς. δεῖ γὰρ πρότερον αὐτὸν ἔνδοθεν ὁπλίζεσθαι, καὶ τότε ἔξωθεν. Εἰ δὲ ἐπὶ τῶν αἰσθητῶν τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τῶν νοητῶν στρατιωτῶν· μᾶλλον δὲ ἐπὶ τούτων οὐδέ ἐστιν ἔξωθεν ὁπλίσασθαι, ἀλλὰ πάντα ἔνδοθεν. διήγειρε τὸν θυμόν, καὶ ἀνέκαυσε· προσέθηκε τὸ θάρσος· ἔστησεν αὐτοὺς εὐτάκτως· λοιπὸν καθοπλίζει. ἀλλ' ὅρα πῶς καὶ περιτίθησι τὰ ὅπλα. Στῆτε οὖν, φησί. πρῶτον τὸ τακτικὸν εἶδος, τὸ εἰδέναι ἑστάναι καλῶς, καὶ πολλὰ παρὰ τοῦτο γένοιτο ἄν. διὰ τοῦτο πολλὰ περὶ τοῦ στῆναι διαλέγεται, καὶ ἑτέρωθι λέγων, Στῆτε, γρηγορεῖτε. καὶ πάλιν, Οὕτω στήκετε ἐν Κυρίῳ. καὶ πάλιν, Ὁ δο- α. Κορ. ις. ιγ. Φιλιπ. δ. α. α. Κορ. ι. ιβ.

κῶν

γ. γύμναζε.

Ἐφεσ. ς. ιγ. κότων ἑστάναι, βλεπέτω μὴ πέσῃ. καὶ πάλιν, Ἵνα δυνηθῆτε πάντα κατεργασάμενοι στῆναι. οὐκ ἄρα ἁπλῶς τινα στάσιν φησίν, ἀλλ' εὔτακτον. καὶ ὅσοι πολέμων εἰσὶν ἔμπειροι, ἴσασιν ὅσον ἐστὶ τὸ εἰδέναι ἑστάναι. εἰ γὰρ ἐπὶ τῶν πυκτευόντων, καὶ παλαιόντων τοῦτο πρὸ τῶν ἄλλων ὁ παιδοτρίβης παραινεῖ, τὸ ἑστάναι, πολλῷ μᾶλλον ἐν τοῖς πολέμοις, καὶ τοῖς στρατιωτικοῖς πράγμασιν. ὁ ἑστὼς ὀρθὸς ἕστηκεν, οὐ διακεχυμένος, οὐκ ἐπικλινόμενός τινι. ἡ ἀκριβὴς ὀρθότης ἐν τῇ στάσει φαίνεται. ὥστε οἱ οὕτως ὀρθοί, οὗτοι ἑστήκασιν· οἱ δὲ μὴ ἑστῶτες, οὐκ ἂν εἶεν ὀρθοί, ἀλλὰ διαλελυμένοι καὶ διακεχυμένοι. ὁ τρυφῶν οὐχ ἕστηκεν ὀρθός, ἀλλὰ κέκλιται, ὁ λάγνος, ὁ φιλοχρήματος. ὁ ἑστάναι εἰδώς, ἀπ' αὐτῆς τῆς στάσεως, ὥσπερ ἀπό τινος θεμελίου πάντα εὐμαρῆ ἕξει τὰ τῆς πάλης. στῆτε οὖν, φησί, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. οὐ περὶ αἰσθητῆς ζώνης φησί. πάντα γὰρ τὰ ἐν τῷ χωρίῳ τούτῳ νοητῶς λέγει. καὶ ὅρα πῶς ὅλον περιέβαλεν. πρῶτον ἀναζώννυσι τὸν στρατιώτην. τί δὴ τοῦτό ἐστι; τὸν διαρρέοντα καὶ διακεχυμένον ταῖς ἐπιθυμίαις, καὶ χαμαὶ τοὺς λογισμοὺς ἔχοντα συρομένους ἀναστέλλει διὰ τῆς ζώνης, οὐκ ἐῶν αὐτὸν ἐμποδίζεσθαι ὑπὸ τῶν ἱματίων συμπλεκομένων τῶν κνημῶν, ἀλλ' εὐλύτοις τοῖς ποσὶν ἀφεὶς τρέχειν. στῆτε οὖν περιζωσάμενοι, φησί, τὴν ὀσφὺν ὑμῶν. ὀσφὺν δὲ ἐνταῦθά φησι, καθάπερ ἐπὶ τῶν νεῶν ἡ τρόπις, οὕτω καὶ ἐφ' ἡμῶν ἡ ὑπόθεσις παντὸς τοῦ σώματος ἡ ὀσφῦς ἐστίν. ὥσπερ γὰρ θεμέλιόν ἐστι, καὶ ἐπ' αὐτῇ τὸ πᾶν οἰκοδομεῖται, καθάπερ ἰατρῶν παῖδές φασι. τὴν τοίνυν ψυχὴν ἡμῶν συσφίγγει, ζωννύων τὴν ὀσφύν. οὐ γὰρ δὴ ταύτην τὴν ὀσφὺν φησίν, ἀλλὰ νοητῶς διαλέγεται. καὶ ὥσπερ τῶν κάτω, καὶ τῶν ἄνω ἡ ὀσφῦς θεμέλιός ἐστιν, οὕτω καὶ ἐπὶ τῆς νοητῆς ὀσφύος. οἱ γοῦν πολλάκις ἀποκαμόντες, καθάπερ εἴς τινα θεμέλιον ἐκεῖ τὰς χεῖρας θέντες, οὕτως ἑαυτοὺς διαβαστάζουσι. καὶ ἡ ζώνη διὰ τοῦτο τῶν ἐν τοῖς πολέμοις, ἵνα συγκρατῇ καὶ συνέχῃ τὸν θεμέλιον τὸν ἐν ἡμῖν. διὰ τοῦτο καὶ τρέχοντες ζωννύμεθα. ἐκεῖνο ἀσφαλίζεται τὸ ἐν ἡμῖν ἰσχυρόν. τοῦτο τοίνυν, φησί, καὶ ἐπὶ τῆς ψυχῆς γινέσθω, καὶ πᾶν ὁτιοῦν ποιοῦντες, ἰσχυροὶ ἐσόμεθα. μάλιστα γὰρ τοῖς στρατιώταις τὸ πρᾶγμα πρέπον ἐστί. ναί, φησίν, ἀλλὰ ταύτην τὴν ὀσφὺν ἱμάντι δερματίνῳ ζωννύμεθα· ἡμεῖς δὲ τίνι; τῷ κεφαλαίῳ τῶν λογισμῶν ἡμῶν, λέγω δὲ τῇ ἀληθείᾳ. περιεζωσμένοι, φησί, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. οὐκοῦν μηδὲν ψεῦδος ἀγαπῶμεν, πάντα τὰ πράγματα μετίωμεν * ἐν ἀληθείᾳ, μὴ ψευδώμεθα εἰς ἀλλήλους. κἂν δόξα ᾖ, τὸ ἀληθὲς ζητῶμεν· κἂν βίος ᾖ, τὸν ἀληθῆ. ἂν οὕτω ἑαυτοὺς περισφίγξωμεν, ἂν τῇ ἀληθείᾳ ζωσώμεθα, οὐδεὶς ἡμῶν περιέσται. ὁ δόγμα ἀληθείας ζητῶν, οὐ καταπεσεῖται εἰς τὴν γῆν. ὅτι γὰρ τὰ μὴ ἀληθῆ ἀπὸ τῆς γῆς ἐστι, δῆλον ἐξ ὧν τοῖς πάθεσι δουλεύουσι πάντες οἱ ἔξωθεν, τοῖς οἰκείοις λογισμοῖς κατακολουθοῦντες. διὸ ἐὰν νήφωμεν, ἐν τοῖς τῶν ἑλλήνων λόγοις οὐ διδασκαλίας δεησόμεθα. ὁρᾷς πῶς εἰσὶν ἐκεῖνοι μαλακοὶ καὶ χαῦνοι, οὐδὲν αὐστηρόν, οὐδὲν ὑπὲρ τὸν ἀνθρώπινον λογισμὸν περὶ Θεοῦ δέξασθαι δυνάμενοι; οὐ γάρ εἰσιν ἐζωσμένοι ἐν ἀληθείᾳ. διόπερ αὐτῶν ἡ ὀσφῦς ἐκλέλυται, τὸ δεκτικὸν τῶν γεννητικῶν σπερμάτων, καὶ τῶν λογισμῶν τὸ ἰσχυρόν. οὐδὲν οὖν τούτων ἀσθενέστερον. Μανιχαίους δὲ ὁρᾷς πάλιν, πῶς πάντα ἀπὸ τῶν οἰκείων λογισμῶν τολμῶσι φθέγγεσθαι; οὐκ ἠδύνατο, φησίν, ὁ Θεὸς ἄνευ ὕλης ποιῆσαι τὸν κόσμον. πόθεν τοῦτο δῆλον; χαμόθεν ταῦτα λέγουσι, καὶ ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τῶν παρ' ἡμῖν. ὅτι ἄνθρωπος, φησίν, οὐ δύναται ἑτέρως ποιῆσαι. πάλιν Μαρκίων ὅρα τί φησιν. οὐκ ἠδύνατο ὁ Θεὸς σάρκα ἀναλαβὼν μεῖναι καθαρός. πόθεν τοῦτο δῆλον; ὅτι οὐδὲ οἱ ἄνθρωποι, φησί. καίτοι ἄνθρωποι δύνανται. Οὐαλεντῖνος πάλιν χαμαὶ συρομένους ἔχων τοὺς λογισμούς, ἀπὸ τῆς γῆς φθέγγεται, ὁμοίως καὶ Παῦλος ὁ Σαμοσατεύς, καὶ Ἄρειος. τί γάρ φησιν; οὐκ ἠδύνατο ὁ Θεὸς γεννῶν, γεννῆσαι ἀπαθῶς. πόθεν τοῦτο τολμᾷς λέγειν, ὦ Ἄρειε; ἀπὸ τῶν παρ' ἡμῖν.

γρ. διακεχαλασμένον

γρ. [illegible]

γρ. ἀρχῶν

* τὰ

ὑμῖν. ὁρᾷς πάντων χαμαὶ συρομένους τοὺς λογισμούς, πάντων κεχηνασμένους, τῆς γῆς πνέοντας· καὶ δογμάτων μὲν ἕνεκα, οὕτω· βίου δὲ πάλιν, οἱ πόρνοι, οἱ χρημάτων ἐρῶντες, οἱ δόξης, οἱ τῶν ἄλλων ἁπάντων, χαμαὶ σύρονται. οὐκ ἔχουσιν ἐσφιγμένην αὐτὴν τὴν ὀσφῦν, ὥστε κάμνοντες ἐπαναπαύεσθαι. ἀλλ' ἐὰν κάμωσιν, οὐ τιθέασι τὴν χεῖρα, καὶ ἑστήκασιν, ἀλλὰ διαλύονται. ὁ μέντοι ἐζωσμένος τῇ ἀληθείᾳ, πρῶτον μὲν οὐδέποτε κάμνεται· δεύτερον δὲ, κἂν κάμῃ, εἰς αὐτὴν ἐπαναπαύσεται τὴν ἀλήθειαν. τί γάρ, εἰπέ μοι, πενία αὐτὸν καμεῖν ποιήσει; οὐδαμῶς. ἐπαναπαύεται γὰρ ἐπὶ τὸν ὄντως πλοῦτον, καὶ διὰ τῆς πενίας εἴσεται τὴν ὄντως πενίαν. ἀλλὰ δουλεία ποιήσει αὐτὸν καμεῖν; οὐδαμῶς. οἶδε γὰρ τὴν ὄντως δουλείαν. ἀλλὰ νόσος; ἀλλ' οὐδὲ τοῦτο. Αἱ ὀσφύες ὑμῶν, [Λουκ. ιβ. λε.] φησὶν ὁ Χριστός, ἔστωσαν ἐζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, ὥστε τὸ φῶς ἔχειν ἄσβεστον. τοῦτο καὶ οἱ ἐξ Αἰγύπτου ἐξιόντες ποιεῖν ἐπετάττοντο, καὶ ἐζωσμένοι τὸ πάσχα ἤσθιον. καὶ τίνος ἕνεκεν, φησίν, οὕτως ἤσθιον; βούλει μαθεῖν τὴν ὑπόθεσιν ἅπασαν καθ' ἱστορίαν, κατὰ ἀναγωγήν; ἐγὼ μὲν οὖν ἀμφότερα ἐρῶ· ὑμεῖς δὲ κατέχετε. οὐ γὰρ ἁπλῶς, ἵνα μόνον εἴπω τὴν λύσιν, ποιοῦμαι, ἀλλ' ἵνα καὶ ἔργῳ ἐν ὑμῖν γένηται τὰ ἡμέτερα ῥήματα. Ἦσαν, φησίν, ἐζωσμένοι, καὶ αἱ βακτηρίαι αὐτῶν ἐν ταῖς χερσί, καὶ τὰ [Ἐξοδ. ιβ. ια.] ὑποδήματα ἐν τοῖς ποσί, καὶ οὕτως ἤσθιον τὸ πάσχα. φρικτὰ καὶ φοβερὰ τὰ μυστήρια, καὶ πολὺ τὸ βάθος ἔχοντα. εἰ δὲ ἐν τοῖς τύποις οὕτω φοβερά, πολλῷ μᾶλλον ἐν τῇ ἀληθείᾳ. ἐξ Αἰγύπτου ἐξέρχονται, τὸ πάσχα ἐσθίουσι. προσέσχες; τὸ σχῆμα ὁδοιπορούντων ἐστί. τὸ γὰρ ὑποδήματα ἔχειν, καὶ ῥάβδους ἐν ταῖς χερσί, καὶ ἑστῶτας ἐσθίειν, οὐδὲν ἕτερον, ἢ τοῦτο δηλοῖ. βούλεσθε τὴν ἱστορίαν ἀκοῦσαι πρότερον, ἢ τὴν ἀναγωγήν; τὴν ἱστορίαν ἄμεινον. τί οὖν ἡ ἱστορία βούλεται; ἀγνώμονες ἦσαν οἱ Ἰουδαῖοι, καὶ συνεχῶς τοῦ Θεοῦ ἐπελανθάνοντο τῶν εὐεργεσιῶν. βουλόμενος οὖν καὶ ἄκοντας εἰς μνήμην αὐτῶν ἔρχεσθαι, τὸν τρόπον τῆς βρώσεως τοῦ πάσχα τοῦτον νομοθετεῖ. τί δήποτε; ἵνα καθ' ἕκαστον χρόνον ἔχοντες ἀνάγκην τὴν νομοθεσίαν τηρεῖν, μνημονεύωσιν ἀναγκαίως καὶ τοῦ αὐτοὺς ἐξαγαγόντος Θεοῦ. οὐκ ἄρα οὖν τῷ χρόνῳ μόνον κατέδησεν αὐτοῖς τὰς εὐεργεσίας ὁ Θεός, ἀλλὰ καὶ τῷ σχήματι τῶν ἐσθιόντων. διὰ τοῦτο γὰρ ἐζωσμένοι καὶ ὑποδεδεμένοι ἐσθίουσιν, ἵνα ἐρωτώμενοι λέγωσιν, ὅτι πρὸς ὁδοιπορίαν ἦμεν ἕτοιμοι, καὶ ὅτι ἐμέλλομεν ἐξιέναι ἐκ τῆς Αἰγύπτου ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας. τοῦτο μὲν ὁ καθ' ἱστορίαν τύπος· ἡ δὲ ἀλήθεια, αὕτη. καὶ ἡμεῖς ἐσθίομεν πάσχα, τὸν Χριστόν. Τὸ γὰρ πάσχα ἡμῶν ἐτύθη [α. Κορ. ε. ζ.] Χριστός, φησίν. ἄρα καὶ ἡμεῖς πάσχα ἐσθίομεν πολὺ τοῦ νομικοῦ κρεῖττον. οὐκοῦν καὶ ὑποδεδεμένοι καὶ ἐζωσμένοι ὀφείλομεν ἐσθίειν. διὰ τί; ἵνα καὶ ἡμεῖς ἕτοιμοι ὦμεν πρὸς τὴν ἔξοδον, πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν.

κ. ὅτι ἐπιλήσμονες ἦσαν οἱ Ἰουδαῖοι τῶν εὐεργετημάτων τοῦ Θεοῦ. καὶ ἀεί

Μηδεὶς τῶν τὸ πάσχα τοῦτο ἐσθιόντων πρὸς Αἴγυπτον βλεπέτω, ἀλλὰ πρὸς τὸν οὐρανόν, [ΗΘΙΚΟΝ] πρὸς τὴν ἄνω Ἱερουσαλήμ. διὰ τοῦτο ἐζωσμένος, διὰ τοῦτο ὑποδεδεμένος ἐσθίεις, ἵνα μάθῃς ὅτι ἅμα τῷ ἄρξασθαι ἐσθίειν τὸ πάσχα, ἀποδημεῖν ὀφείλεις καὶ ὁδεύειν. δύο δὲ αἰνίττεται· καὶ τὸ δεῖν ἐξιέναι ἀπὸ Αἰγύπτου, καὶ τὸ μένοντας, ὡς εἰς ἀλλοτρίαν λοιπὸν μένειν. (Ἡμῶν γάρ, φησί, τὸ πολίτευμα ἐν οὐρανοῖς) [Φιλιπ. γ. κ.] καὶ τὸ πάντα τὸν βίον ἀεὶ ἐμπαρασκεύους εἶναι, ὥστε κληθέντας μὴ ἀναβάλλεσθαι, ἀλλὰ λέγειν, ἑτοίμη ἡ καρδία ἡμῶν. ἀλλὰ τοῦτο μὲν Παῦλος [Ψαλ. ρζ. α.] ἠδύνατο λέγειν, ὁ μηδὲν ἑαυτῷ συνειδώς· ἐγὼ δὲ ὁ πολλοῦ χρόνου δεόμενος εἰς μετάνοιαν, οὐ δύναμαι εἰπεῖν. ὅτι δὲ τὸ ἐζῶσθαι γρηγορούσης ψυχῆς, ἄκουε τοῦ Θεοῦ λέγοντος τῷ δικαίῳ ἐκείνῳ· Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφῦν σου. ἐρωτήσω [Ἰὼβ λη. γ.] δέ σε, σὺ δέ μοι ἀποκρίθητι. τοῦτο καὶ πρὸς πάντας ἁγίους φησί, τοῦτο δὲ καὶ πρὸς τὸν Μωϋσέα. καὶ αὐτὸς δὲ φαίνεται ἐζωσμένος ἐν τῷ Ἰεζεκιήλ· μᾶλλον δὲ καὶ οἱ ἄγγελοι ἡμῖν ἐζωσμένοι φαίνονται, ἅτε στρατιῶται ὄντες. ἀπὸ τοῦ περιζώσασθαι, τὸ

στῆναι

στῆναι γίνεται γυναικῶς, ὥσπερ ἀπὸ τοῦ στῆναι, τὸ ζώσασθαι. οὐκοῦν καὶ ἑαυτοὺς περιζώσωμεν. καὶ γὰρ καὶ ἡμεῖς ἐξιέναι μέλλομεν, καὶ πολλὰ μεταξὺ τὰ χαλεπά. ὅταν τὸ πεδίον τοῦτο διέλθωμεν, ὁ διάβολος ἐφέστηκεν εὐθέως, πάντα ποιῶν καὶ μηχανώμενος, ὥστε τοὺς ἐξ Αἰγύπτου σωθέντας, ὥστε τοὺς τὴν ἐρυθρὰν θάλασσαν διαβάντας, τοὺς ἀπὸ τῶν δαιμόνων καὶ τῶν μυρίων πληγῶν ἅμα ἀπολυομένους, τούτους λαβὼν ἀπολέσαι. ἀλλ', ἐὰν νήφωμεν, ἔχομεν καὶ ἡμεῖς στύλον πυρὸς, τὴν τοῦ πνεύματος χάριν. ὁ αὐτὸς καὶ φωτίζει, καὶ σκιάζει. ἔχομεν μάννα· μᾶλλον δὲ οὐ μάννα, ἀλλὰ πολλῷ πλέον τοῦ μάννα ἔχομεν. πόμα πνευματικὸν, οὐχ ὕδωρ ἀπὸ πέτρας ἔξεισιν. ἔχομεν καὶ παρεμβολὴν, τὴν ἔρημον οἰκοῦντες καὶ νῦν. ὄντως γὰρ, ὄντως ἔρημος καὶ νῦν τῆς ἀρετῆς ἡ γῆ γέγονε, καὶ μᾶλλον ἢ ἐκείνη. διατί ἐκείνη ἡ ἔρημος φρικτὴ ἦν; ἆρ' οὐχ ὅτι σκορπίους εἶχεν ἐν ἑαυτῇ καὶ ἔχεις; Ἐν ᾗ, φησιν, οὐ διῆλθεν ἄνθρωπος. ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν οὕτως ἄφορος ἐκείνη καρπῶν, ὡς ἡ ἀνθρωπίνη φύσις. νῦν πόσοι σκορπίοι, πόσοι ἔχεις κατὰ τὴν ἔρημον ταύτην, πόσοι ὄφεις, πόσοι γεννήματα ἐχιδνῶν οὗτοι, οὓς νῦν διήλθομεν; ἀλλὰ μὴ φοβηθῶμεν. τῆς γὰρ ἐξόδου ταύτης στρατηγεῖ, οὐ Μωϋσῆς, ἀλλὰ Ἰησοῦς. πῶς οὖν; μὴ τὰ αὐτὰ πάθωμεν, μὴ τὰ αὐτὰ δράσωμεν, καὶ οὐ πεισόμεθα τὰ αὐτά. ἐκεῖνοι ἐγόγγυζον, ἐκεῖνοι ἀγνώμονες ἦσαν· μὴ τοίνυν ταῦτα "πάθωμεν ἡμεῖς. [γρ. ποιήσωμεν] πῶς ἔπεσον ἐκεῖνοι πάντες; ἐξουθένησαν τὴν γῆν τὴν ἐπιθυμητήν. πῶς ἐξουθένησαν; καὶ μὴν ἐθαύμαζον. τῷ μαλακισθῆναι, καὶ μὴ θελῆσαι πόνους ὑπὲρ αὐτῆς ἀναδέξασθαι. μὴ τοίνυν ἡμεῖς ἐξουθενήσωμεν τὸν οὐρανόν*, τοῦτο ἐξουθένησίς ἐστιν. [* οὐδὲν δὲ λέγοντες,] ἤνεγκε καὶ παρ' ἡμῖν καρπὸς ἀπὸ τοῦ οὐρανοῦ, οὐκ ἐν ἀμφορεῦσι βασταζόμενος βότρυς, ἀλλ' ὁ ἀρραβὼν τοῦ πνεύματος, τὸ πολίτευμα τὸ ἐν τοῖς οὐρανοῖς, ὁ Παῦλος ἐπαίδευσεν, ὁ πᾶς τῶν ἀποστόλων χορὸς, οἱ θαυμάσιοι γεωργοί. οὐ Χάλεβ ὁ τοῦ Ἰεφονῆ, οὐδὲ Ἰησοῦς ὁ τοῦ Ναυῆ τοὺς καρποὺς ἤνεγκε τούτους, ἀλλ' ὁ Ἰησοῦς ὁ τοῦ πατρὸς τῶν οἰκτιρμῶν, ὁ τοῦ ὄντως Θεοῦ υἱὸς, ἤνεγκε πᾶσαν τὴν ἀρετὴν, πάντας τοὺς ἐκεῖθεν καρποὺς ἡμῖν κατήνεγκε, τοὺς ὕμνους λέγω τοὺς ἐπουρανίους. ἃ γὰρ τὰ χερουβὶμ ἄνω λέγει, ταῦτα καὶ ἡμῖν προσέταξε λέγειν, ἅγιος, ἅγιος, ἅγιος. ἤνεγκεν ἡμῖν τῶν ἀγγέλων τὴν "πολιτείαν· οὐ γαμοῦσιν, οὐδὲ γαμίζονται οἱ ἄγγελοι· τοῦτο καὶ ἐνταῦθα ἐφύτευσε τὸ καλόν. [γρ. ἀρετήν.] χρημάτων οὐκ ἐρῶσιν, οὐδὲ τῶν ἄλλων ἐκεῖνοι· καὶ τοῦτο ἡμῖν ἐγκατέσπειρεν. οὐκ ἀποθνήσκουσιν ἐκεῖνοι· τοῦτο καὶ ἡμῖν ἐχαρίσατο· οὐκέτι γὰρ θάνατος ὁ θάνατος, ἀλλ' ὕπνος. [Ιωαν. ια. ια.] ἄκουε γὰρ αὐτοῦ λέγοντος· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. εἶδες τοὺς καρποὺς τῆς ἄνω Ἱερουσαλήμ; καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὔπω ὁ πόλεμος ἐκρίθη, "ἀλλὰ πρὸ τῆς ἐπαγγελίας πάντα ταῦτα ἡμῖν δεδώρηται. [γρ. καὶ πάντα τὰ τῆς ἐπαγγελίας ἡμῖν δεδώρηται πρὸ τοῦ τέλους.] ἐκεῖνοι μὲν γὰρ καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἐλθόντες, ἐπόνουν· μᾶλλον δὲ οὐκ ἐπόνουν. εἰ γὰρ ἐβούλοντο πείθεσθαι τῷ Θεῷ, χωρὶς ὅπλων καὶ παρατάξεως πάσας ἂν εἷλον τὰς πόλεις. τὴν γοῦν Ἱεριχὼ, χορευόντων μᾶλλον, ἢ πολεμούντων τὸ σχῆμα ἔχοντες, ἐχειρώσαντο. ἡμεῖς δὲ οὐ πολεμοῦμεν μετὰ τὸ εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τουτέστιν, εἰς τὸν οὐρανόν, ἀλλ' ἕως ἂν ὦμεν ἐν τῇ ἐρήμῳ, τουτέστιν, ἐν τῷ παρόντι βίῳ. [Εβρ. δ. ι.] Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. [Γαλατ. ϛ. θ.] Μὴ τοίνυν ἀποκάμωμεν τὸ καλὸν ποιοῦντες. καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι. ὁρᾷς πῶς καθάπερ ἐκείνους ἤγαγεν, οὕτω καὶ ἡμᾶς; ἐκεῖ ἐπὶ τοῦ μάννα καὶ τῆς ἐρήμου, φησὶν, [Εξοδ. ιϛ. ιη.] Ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε. [Ματθ. ϛ. ιθ.] καὶ ἡμεῖς τοῦτο προστετάγμεθα, μὴ θησαυρίζειν ἐπὶ τῆς γῆς. ἂν δὲ θησαυρίζωμεν, οὐκέτι σκώληξ ὁ αἰσθητὸς λυμαίνεται, καθάπερ ἐπὶ τοῦ μάννα, ἀλλ' ὁ τῷ πυρὶ συνδιαιωνίζων. πάντα οὖν κατεργασώμεθα, ἵνα μὴ τῷ σκώληκι τροφὴν εὐτρεπίσωμεν. Ὁ τὸ πολὺ γὰρ, φησιν, οὐκ ἐπλεόνασε. καὶ τοῦτο γὰρ καὶ ἐφ' ἡμῖν γίνεται ἐφ' ἑκάστης.

ἑκάστης. πάντες γὰρ τὸ αὐτὸ μέλλομεν πληροῦμεν τῆς γαστρός· ὃ δὲ περιττὸν, περιθήκη φροντίδων ἀνοήτων ἐστί. ὅπερ γὰρ ἔλεγε μετὰ ταῦτα παραδιδοὺς, λέγων, Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, τοῦτο ἄνωθεν ἤδη ἐπαίδευσε, καὶ οὐδὲ οὕτως ἐδέξαντο. ἀλλ' ἡμεῖς μὴ ἄπληστοι ὦμεν, μὴ ἀγνώμονες, μὴ οἰκίας ζητῶμεν λαμπρὰς· ὁδεύομεν γὰρ, οὐκ οἰκοδομοῦμεν. ὥστε εἴ τις οἶδεν, ὅτι ὁ παρὼν βίος ὁδός τίς ἐστι καὶ στρατεία, καὶ ὡς ἄν εἴποι τις τὸ λεγόμενον παρ' αὐτοῖς φοσσάτον, οὐ ζητήσει οἰκοδομὰς λαμπράς. τίς γὰρ, εἰπέ μοι, κἂν σφόδρα εὔπορος ᾖ, αἱρήσεται ἐπὶ τοῦ λεγομένου φοσσάτου οἰκοδομεῖν οἰκίας λαμπράς; οὐδὲ εἷς (καταγέλως γὰρ ἔσται, καὶ τοῖς ἐχθροῖς οἰκοδομήσει, καὶ μᾶλλον αὐτοὺς ἐπισπάσεται) ὥστε ἐὰν νήφωμεν, οὐδὲ ἡμεῖς. οὐδὲν στρατείας καὶ φοσσάτου ὁ παρὼν βίος διενήνοχε. διὸ, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μηδὲν ἐνταῦθα θησαυρίζειν. ἂν γὰρ ἔλθη ὁ κλέπτων, ταχέως ἀπομαστισόμεθα. Γρηγορεῖτε, φησὶν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, τὸν θάνατον οὕτω καλῶν. πρὶν ἢ τοίνυν ἔλθῃ, πάντα ἀποπέμπωμεν εἰς τὴν πατρίδα τὴν ἡμετέραν· ὧδε δὲ εὔζωνοι ὦμεν, ἵνα δυνηθῶμεν περιλαβέσθαι τὴν ἔξοδον, ὧν γένοιτο περιγενομένους ἡμᾶς κατὰ τὴν ἡμέραν τῶν στεφάνων τῆς ἀφθάρτου δόξης ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ.

Ματθ. ϛ. λδ.

χ. στρατιᾶς

Ματθ. κδ. μβ.

χ. ἰνδοὺς

χ. περιγενέσθαι ἡμᾶς,

Λογ. κδ. 14 ΣΤΗΤΕ ΟΥΝ ΠΕΡΙΖΩΣΑΜΕΝΟΙ ΤΗΝ ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, 15 Καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, 16 Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, 17 Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

Περιζωσάμενοι, φησὶ, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. τί ποτε τοῦτό ἐστιν; εἴρηται ἡμῖν ἐν τῇ περὶ ταύτης διαλέξει, ὅτι δεῖ οὕτως εὐσταλεῖς εἶναι, ὡς μηδὲν ἐμπόδιον εἶναι πρὸς τὸ τρέχειν. καὶ ἐνδυσάμενοι, φησὶ, τὸν θώρακα τῆς δικαιοσύνης. καθάπερ ὁ θώραξ ἄτρωτός ἐστιν, οὕτω καὶ ἡ δικαιοσύνη. δικαιοσύνην δὲ ἐνταῦθα, τὸν καθόλου καὶ ἐνάρετόν φησι βίον. τὸν τοιοῦτον οὐδεὶς οὐδέποτε δυνήσεται καταβαλεῖν, ἀλλὰ τιτρώσκουσι μὲν πολλοὶ, διακόπτει δὲ οὐδεὶς, οὐκ αὐτὸς ὁ διάβολος· ὡς ἂν εἴποι τις, ἐνεργησάμενοι τὰ δίκαια πράγματα. περὶ τούτων φησὶν ὁ Χριστός· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ὁ ταύτην ἐνεργησάμενος οὕτως ἐστὶν ἰσχυρὸς, ὡς θώραξ· ὁ τοιοῦτος οὐδέποτε ὀργισθήσεται. καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. ἀσαφέστερον πως τοῦτο εἴρηται. τί οὖν ἐστι; καλὰς ἡμῖν τὰς κνημῖδας περιέθηκε, τὴν τοῦ εὐαγγελίου ἑτοιμασίαν. ἢ τοῦτο λέγει φησὶν, ὥστε ἑτοίμους εἶναι πρὸς τὸ εὐαγγέλιον, καὶ πρὸς τοῦτο τοῖς ποσὶ κεχρῆσθαι, καὶ προπαρασκευάζειν αὐτῷ ὁδὸν, καὶ προετοιμάζειν· ἢ εἰ μὴ τοῦτο, ἀλλ' ὥστε αὐτοὺς ἑτοίμους εἶναι πρὸς τὴν ἔξοδον. ἡ τοίνυν ἑτοιμασία τοῦ εὐαγγελίου οὐκ ἄλλο τί ἐστιν, ἀλλ' ἢ βίος ἄριστος. ὅπερ ἔλεγεν ὁ προφήτης, Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου, τουτέστι, τὸ ἐμπαρασκευον. τοῦ εὐαγγελίου, φησὶ, τῆς εἰρήνης, εἰκότως. ἐπειδὴ γὰρ πολέμου ἐμνήσθη καὶ μάχης, δείκνυσιν ὅτι τὴν

Ματθ. ε. ϛ.

χ. ἄτρωτον περὶ τὸ περιβαλλόμενον

Ψαλμ. ι. ιζ.

τὴν μάχην πρὸς τοὺς δαίμονας ἔχειν δεῖ. ὃ γὰρ εὐαγγέλιον, εἰρήνης ἐστίν. ἐκεῖνος ὁ πόλεμος ἕτερον καταλύει πόλεμον τὸν πρὸς τὸν Θεόν. ἂν τῷ διαβόλῳ πολεμῶμεν, εἰρηνεύομεν τῷ Θεῷ. μὴ δείσῃς τοίνυν, ἀγαπητέ, εὐαγγέλιόν ἐστιν. ἤδη ἡ νίκη γεγένηται. ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως. πίστιν ἐνταῦθα, οὐ τὴν γνῶσίν φησιν (οὐ γὰρ ἂν αὐτὴν ὕστερον ἔταξεν) ἀλλὰ τὴν χάριν, δι᾽ ἧς τὰ σημεῖα γίνεται. καὶ εἰκότως τὴν πίστιν ὀνομάζει θυρεόν. καθάπερ γὰρ ἐκεῖνος προβέβληται τοῦ παντὸς σώματος, ὥσπερ τεῖχος ὤν, οὕτω δὴ καὶ ἡ πίστις. πάντα γὰρ αὐτῇ εἴκει. ἐν ᾧ δυνήσεσθε, φησί, πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. οὐδὲν γὰρ δύναται τοῦτον τὸν θυρεὸν διακόψαι. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος πρὸς τοὺς μαθητάς· Ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται. πῶς δὲ ἕξομεν τὴν πίστιν; ὅταν ἐκεῖνα κατορθώσωμεν. βέλη δὲ τοῦ πονηροῦ, καὶ τοὺς πειρασμούς φησι, καὶ τὰς ἐπιθυμίας τὰς ἀτόπους. καλῶς δὲ προσέθηκε τὰ πεπυρωμένα. τοιαῦται γάρ εἰσιν αἱ ἐπιθυμίαι. εἰ δὲ δαίμοσιν ἐπέταξεν ἡ πίστις, πολλῷ μᾶλλον καὶ τοῖς πάθεσι τῆς ψυχῆς. καὶ τὴν περικεφαλαίαν, φησί, τοῦ σωτηρίου δέξασθε· τουτέστι, τῆς σωτηρίας ὑμῶν. περιφράττει γὰρ αὐτούς, ὡς εἰς πόλεμον ἐξάγων. καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. ἤτοι τὸ πνεῦμά φησιν, ἤτοι ἐν τῇ πνευματικῇ μαχαίρᾳ. διὰ γὰρ ταύτης πάντα τέμνεται, διὰ ταύτης πάντα κόπτεται, καὶ τὴν κεφαλὴν τοῦ δράκοντος ἀποτέμνομεν διὰ ταύτης.

18 Διὰ πάσης προσευχῆς καὶ δεήσεως, φησί, προσευχόμενοι ἐν παντὶ καιρῷ, ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων,

19 Καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,

20 Ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.

Καθάπερ τὸ ῥῆμα τοῦ Θεοῦ πάντα ἰσχύει, οὕτω καὶ ὁ τὸ χάρισμα ἔχων τὸ πνευματικόν. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, φησί, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. ὅρα δὲ τὴν σύνεσιν τοῦ μακαρίου τούτου. καθώπλισεν αὐτοὺς μετὰ πάσης ἀσφαλείας· λοιπὸν πῶς δεῖ τὸν βασιλέα καλεῖν, ὥστε ὀρέξαι χεῖρα, διδάσκει. διὰ πάσης προσευχῆς, φησί, καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ, ἐν πνεύματι. ἔστι γὰρ μὴ ἐν πνεύματι προσεύχεσθαι, ὅταν τις βαττολογῇ. καὶ εἰς αὐτό, φησίν, ἀγρυπνοῦντες, τουτέστι, νήφοντες. τοιοῦτον γὰρ εἶναι χρὴ τὸν καθωπλισμένον, τὸν παρὰ τὸν βασιλέα ἑστῶτα, ἄγρυπνον καὶ νηφάλιον. ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου. τί λέγεις, ὦ μακάριε Παῦλε; τῶν μαθητῶν χρείαν ἔχεις; καὶ καλῶς εἶπεν ἐν ἀνοίξει τοῦ στόματός μου. οὐκ ἄρα ἐμελέτα ἅπερ ἔλεγεν, ἀλλὰ καθὼς εἶπεν ὁ Χριστός· Ὅταν παραδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε. οὕτω πάντα πίστει ἔπραττε, πάντα χάριτι. ἐν παρρησίᾳ, φησί, γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου· τουτέστιν, ἵνα ἀπολογήσωμαι, ὡς χρή. ἁλύσει περίκεισαι, καὶ ἑτέρων* χρῄζεις; ναί, φησίν· ἐπεὶ καὶ Πέτρος ἁλύσει περιέκειτο, ἀλλ᾽ ὅμως εὐχὴ ἦν ἐκτενὴς ὑπὲρ αὐτοῦ γινομένη. ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι· τουτέστι, μετὰ παρρησίας, μετὰ ἀνδρείας, μετὰ συνέσεως πολλῆς ἵνα ἀποκρίνωμαι.

Margin notes: Ματθ. ιζ. κ. — γρ. τῷ θυρεῷ τούτῳ ἀντιπεσεῖν. — γρ. τὸ χάρισμα τὸ πνευματικόν· διὰ γὰρ πνευματικῆς μαχαίρας — γρ. διακοπ. — Ἑβρ. δ. ιβ. — γρ. περὶ — Ματθ. ι. ιθ. — * εἰς δέησιν

21 Ἵνα

21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος ἐν Κυρίῳ.

Ἐπειδὴ δεσμῶν ἐμνήσθη, ἀφίησί τι καὶ ἑτέρῳ Τυχικῷ περὶ ἑαυτοῦ διαλεχθῆναι. ἃ μὲν γὰρ ἦν δογμάτων καὶ παρακλήσεως, ταῦτα διὰ τῆς ἐπιστολῆς ἐδήλου· ἃ δὲ ἀπαγγελίας ψιλῆς, ταῦτα τῷ κομίζοντι τὴν ἐπιστολὴν ἐπέτρεπε. διὸ καὶ ἐπήγαγεν, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, τουτέστιν, ἵνα μάθητε. τοῦτο καὶ αὐτοῦ τὴν ἀγάπην ἐδήλου τὴν πρὸς αὐτοὺς, καὶ τὴν ἐκείνων πρὸς αὐτόν.

22 Ὃν ἔπεμψα, φησὶ, πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

Οὐχ ἁπλῶς τοῦτό φησιν, ἀλλ' ὥσπερ εἰπὼν, ἐνδυσάμενοι, καὶ περιζωσάμενοι, ὅπερ τοῦ ἀεὶ παρεστάναι καὶ ἀδιαλείπτως ἐστὶ τεκμήριον. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Γενηθήτω αὐτῷ, ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται. καὶ τὸν Θεὸν δὲ ὁ προφήτης φησὶ θώρακα δικαιοσύνης περιβεβλῆσθαι, διὰ τούτου παιδεύων ἡμᾶς, ὅτι ἀεὶ, καὶ οὐ πρὸς καιρὸν βραχὺν δεῖ ταῦτα ἔχειν. ἀεὶ γὰρ πολέμου χρεία. καὶ ἄλλος ἀλλαχοῦ, Δίκαιος γὰρ, φησὶν, ὡς λέων πέποιθε. τὸν γὰρ οὕτω τεθωρακισμένον οὐκ ἔνι φοβηθῆναι τὴν παράταξιν, ἀλλ' εἰς μέσους ἅλλεσθαι τοὺς πολεμίους. καὶ ὁ Ἡσαΐας, Ὡραῖοι, φησὶν, οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. τίς οὐκ ἂν δράμοι, τίς οὐκ ἂν διακονήσειε τοιούτῳ πράγματι, ὥστε εἰρήνην εὐαγγελίζεσθαι, καὶ εἰρήνην Θεοῦ πρὸς ἀνθρώπους, εἰρήνην οὐδὲν καμόντων ἀνθρώπων, ἀλλὰ τοῦ Θεοῦ τὸ πᾶν ἐργασαμένου; τί δέ ἐστιν ἡ ἑτοιμασία τοῦ εὐαγγελίου, ἀκούσωμεν Ἰωάννου λέγοντος· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ἀλλὰ ταῦτα μὲν ἐκεῖνος πρὸ τοῦ βαπτίσματος. ἐπεὶ δὲ καὶ ἄλλης ἑτοιμασίας μετὰ τὸ βάπτισμα δεῖ, ταύτην δείκνυσιν οὗτος, καὶ λέγει· ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, αἰνιττόμενος διὰ τούτου, ὥστε μηδὲν ἀνάξιον πράττειν [τῆς εἰρήνης]. ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ οἱ πόδες εἰσὶ τοῦ βίου σύμβολον, διὸ τὴν συνεχῶς παραινῶν λέγει· Βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε, περὶ τοῦ βίου λέγων. οὐκοῦν ἀξίως πολιτευώμεθα τοῦ εὐαγγελίου, καὶ βίον καὶ πράξεις καθαρὰς ἐπιδεικνυώμεθα διὰ πάσης ἡμῶν τῆς ζωῆς. Εἰρήνη εὐηγγελίσθη, δότε τοῖς εὐαγγελίοις τούτοις ἕτοιμοι ὁδόν. ὡς ἐὰν πάλιν ἐχθροὶ γένησθε, οὐκέτι ἐστὶν ἑτοιμασία τῆς εἰρήνης. ἕτοιμοί ἐστε, μὴ ἀναβάλλεσθε πρὸς τὴν εἰρήνην. καθάπερ ἕτοιμοι ἐγένεσθε πρὸς τὴν εἰρήνην καὶ τὴν πίστιν, οὕτω καὶ ἐπιμείνατε. θυρεός ἐστιν ἡ πίστις, πρῶτος δεχόμενος τὰς τῶν ἐναντίων προσβολὰς, καὶ τὰ ὅπλα τηρῶν ἄτρωτα. ἐὰν οὖν πίστις ὀρθὴ ᾖ καὶ βίος ὀρθὸς, τὰ ὅπλα ἄτρωτα μένει. πολλὰ δὲ περὶ πίστεως καὶ ἀλλαχοῦ διαλέγεται, μάλιστα δὲ πρὸς Ἑβραίους γράφων, καὶ περὶ τῆς ἐλπίδος. πιστεύετε, φησὶ, τοῖς μέλλουσιν ἀγαθοῖς, καὶ οὐδὲν τούτων τρωθήσεται. ἐν γὰρ τοῖς δεινοῖς, ἐν τοῖς πόνοις τὴν ἐλπίδα προβαλλόμενος καὶ τὴν πίστιν, ἄτρωτα ἐκεῖνα διατηρήσεις. πιστεῦσαι δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστὶ, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. ἡ πίστις θυρεός ἐστι σκέπων τοὺς ἀπεριέργως πιστεύοντας. ἐὰν δὲ σοφίσματα ᾖ, καὶ λογισμοὶ, καὶ εὐθῦναι, οὐκ ἔτι ἐστὶ θυρεὸς, ἀλλὰ συμποδίζει ἡμᾶς. τοιαύτη ἔστω ἡ πίστις, ὥστε συγκαλύπτειν καὶ συσκιάζειν τὸ πᾶν. μὴ τοίνυν ἔστω βραχεῖα, ὥστε γυμνοὺς τοὺς πόδας, ἢ ἄλλο τι μέρος ἐᾶν, ἀλλ' ἔστω σύμμετρος ὁ θυρεός. πεπυρωμένα· πολλοὶ γὰρ διαλογισμοὶ τὴν ψυχὴν καίοντες, πολλαὶ ἀπορίαι, πολλαὶ ἀμηχανίαι, ἀλλὰ πάντα ταῦτα ὄντως ἡ πίστις ἀναπαύει. πολλὰ ἐνίησιν ὁ διάβολος, ἐμπυρίζων ἡμῶν τὴν ψυχὴν, καὶ εἰς ἀμφιβολίαν ἄγων, ὡς ὅταν λέγωσί τινες· ἆρα ἀνάστασίς ἐστιν; ἆρα κρίσις; ἆρα ἀνταπόδοσις; ἀλλ' ἐὰν τὸν θυρεὸν τῆς πίστεως ἔχῃς, σβέσεις ἐν αὐτῷ τὰ βέλη τοῦ διαβόλου.

Ψαλ. ρη. ιη.
Παροιμ. κη. α.
Ησ. νβ. ζ.
Ματθ. γ. γ.
Εβρ. ια. ς.

γρ. παρεσιμασίς. γρ. ὅτι.
γρ. ὅπως εἰρήνην εὐαγγελίζηται.
γρ. διὰ τοῦτο, φησιν, ἄξια τοῦ εὐαγγελίου πράττωμεν, καὶ ἐπιδεικνυώμεθα, τουτέστι, βίον, καὶ πρᾶξεις καθαράς.
γρ. συσκέπειν
γρ. πεπυρωμένα.
γρ. ἐκμοχλεύοντες,

βόλου. ἐπῆλθεν ἄτοπός τις ἐν σοὶ ἐπιθυμία, ἀνήφθη πῦρ ἔνδον πονηρῶν λογισμῶν; προβαλοῦ τὴν πίστιν τῶν μελλόντων ἀγαθῶν, καὶ οὐδὲ φαίνεται, ἀλλ' ἀπόλλυται. πάντα τὰ βέλη, οὐ τὰ μὲν ναί, τὰ δὲ οὔ. Ῥωμ. η. ιη. ἄκουε τοῦ Παύλου λέγοντος· Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ὁρᾷς πόσα βέλη τότε ἔσβεσαν οἱ δίκαιοι; ἢ οὐ δοκεῖ σοι βέλος εἶναι πεπυρωμένον τὸ κελεύεσθαι τὸν πατριάρχην τῷ ἔνδον πυρὶ τὸν υἱὸν προσφέροντα; καὶ ἄλλοι δὲ δίκαιοι πάντα αὐτοῦ τὰ βέλη κατέσβεσαν. ἄν τε οὖν λογισμοὶ ἐπιστρατεύωνται, ταύτην προβαλώμεθα· ἄν τε ἐπιθυμίαι ἄτοποι, ταύτῃ χρώμεθα· ἄν τε πόνοι καὶ ταλαιπωρίαι, ἐπὶ ταύτην ἀναπαυώμεθα. πάντων τῶν ὅπλων αὕτη ἐστὶ φυλακτήριον. ἂν μὴ ταύτην ἔχωμεν, κἀκεῖνα ταχέως τρωθήσεται. ἐπὶ πᾶσι, φησὶν, ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως. τί ἐστιν, ἐπὶ πᾶσι; καὶ ἐν τῇ ἀληθείᾳ, καὶ ἐν τῇ δικαιοσύνῃ, καὶ ἐν τῇ ἑτοιμασίᾳ τοῦ εὐαγγελίου· τουτέστι, ταύτης πάντα ταῦτα χρῄζει. διὰ τοῦτο ἐπήγαγε, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε· τουτέστιν, ἐν ἀσφαλείᾳ λοιπὸν γενέσθαι διὰ ταύτης δυνήσεσθε, καὶ πάντα κίνδυνον ἐκφυγεῖν. καθάπερ γὰρ ἡ περικεφαλαία πάντοθεν ἀκριβῶς καλύπτουσα τὴν κεφαλὴν, οὐκ ἀφίησί τι δεινὸν παθεῖν, ἀλλὰ σώζει· οὕτω καὶ ἡ πίστις ἀντὶ θυρεοῦ γίνεται, καὶ ἀντὶ περικεφαλαίας σωτηρίου. ἂν σβέσωμεν αὐτοῦ τὰ βέλη, ταχέως καὶ τοὺς σώζοντας λογισμοὺς δεξόμεθα, καὶ τὸ ἡγεμονικὸν ἡμῶν οὐκ ἐάσει τί παθεῖν. ἐὰν γὰρ οὗτοι σβεννύωνται οἱ λογισμοὶ οἱ ἐνάντιοι, ταχέως οἱ μὴ τοιοῦτοι, ἀλλὰ σώζοντες ἡμᾶς καὶ εὐέλπιδας ποιοῦντες, ἐν ἡμῖν τεχθήσονται, καὶ καθάπερ περικεφαλαία τῇ κεφαλῇ, * τῷ ἡγεμονικῷ ἡμῶν ἐγκαθίσονται *. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν μάχαιραν δεξόμεθα τοῦ πνεύματος, ὥστε μηκέτι ἀσφαλίζεσθαι μόνον τὰ πεμπόμενα, ἀλλὰ καὶ αὐτὸν πλήττειν τὸν διάβολον. ψυχὴ γὰρ μὴ ἀπογνοῦσα ἑαυτῆς, μηδὲ δεχομένη τὰ πεπυρωμένα βέλη, μετὰ πολλῆς τῆς προθυμίας στήσεται κατὰ τοῦ ἐχθροῦ, διαρρήξει αὐτοῦ τὸν θώρακα τῇ μαχαίρᾳ ταύτῃ, δι' ἧς ἀνέρρηξε καὶ τὰ νοήματα αὐτοῦ ᾐχμαλώτευσε Παῦλος· ἀποτεμεῖ καὶ καρατομήσει τὸν δράκοντα. ὅ ἐστι ῥῆμα Θεοῦ. ῥῆμα Θεοῦ ἤτοι τὸ πρόσταγμά φησιν ἐνταῦθα, ἢ τὸ κέλευσμα· ὅπερ καὶ οἱ ἀπόστολοι θαυματουργοῦντες πανταχοῦ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔλεγον. μόνον καὶ ἡμεῖς ἐν πᾶσι τὰ προστάγματα τοῦ Θεοῦ διατηρῶμεν. ἐὰν γὰρ ποιῶμεν αὐτὰ, διὰ τούτων αὐτὸν ἀνελοῦμεν καὶ κτενοῦμεν τὸν δράκοντα, τὸν ὄφιν τὸν σκολιόν. καὶ σκόπει μοι σύνεσιν ἐνταῦθα τοῦ Παύλου. ἐπειδὴ γὰρ εἶπε, δυνήσεσθε τὰ βέλη τοῦ διαβόλου τὰ πεπυρωμένα σβέσαι, ἵνα μὴ αὐτοὺς φυσήσῃ, δείκνυσι μάλιστα πάντων πρὸς τοῦτο τοῦ Θεοῦ δεομένους. τί γάρ φησι; διὰ πάσης προσευχῆς καὶ δεήσεως. ὡσεὶ ἔλεγε, ταῦτα ἔσται, καὶ κατορθώσετε τὸ πᾶν προσευχόμενοι· μηδέποτε δὲ προσιὼν, ὑπὲρ σαυτοῦ μόνου ἀξίου, καὶ οὕτω τὸν Θεὸν ἵλεων ἕξεις. διὰ πάσης, φησὶ, προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ, ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων. μή μοι καιροὺς ὅριζε τῆς ἡμέρας. ἄκουε γὰρ τί φησιν· ἐν παντὶ καιρῷ πρόσιθι, ἀδιαλείπτως, φησὶ, προσευχόμενοι. οὐκ ἤκουσας τῆς χήρας ἐκείνης; πῶς τῇ προσεδρείᾳ περιεγένετο; οὐκ ἤκουσας τοῦ φίλου ἐκείνου τοῦ μέσων νυκτῶν τῇ εὐτονίᾳ δυσωπήσαντος; οὐκ ἤκουσας περὶ τῆς Συροφοινίσσης; πῶς τῇ συνεχείᾳ τῆς ἐντεύξεως τὸν δεσπότην ἐξεκαλέσατο; οὗτοι πάντες τῇ προσεδρείᾳ ἤνυσαν. προσευχόμενοι, φησὶν, ἐν παντὶ καιρῷ, ἐν πνεύματι, τουτέστι, τὰ κατὰ Θεὸν ζητοῦμεν, μηδὲν κοσμικὸν, μηδὲν βιωτικόν. οὐ τοίνυν τοῦ ἀδιαλείπτως προσεύχεσθαι χρεία μόνον, ἀλλὰ καὶ ἀγρυπνοῦντας. καὶ εἰς αὐτὸ, φησὶν, ἀγρυπνοῦντες. εἴτε πανυχίδας ἐνταῦθα λέγει, εἴτε τὴν νῆψιν τῆς ψυχῆς,

γρ. τἀκεῖνα.

* ὕπω
* οὗτοι.
ἴσ. σκεπόμενα

γρ. ἤνυσεν ὃ ἐσπούδαζεν.
γρ. καρτερίᾳ.
γρ. περιεγένοντο.

ψυχῆς, ἀμφότερα δεχόμενα. ὁρᾷς πῶς ἠγρύπνει ἐκείνη ἡ Χαναναία; ὅτι καὶ τοῦ Κυρίου μὴ ἀποστρεφομένου, ἀλλὰ καὶ ἀποσιωπωμένου, καὶ κυνάριον αὐτὴν καλέσαντος, ἐκείνη ἔλεγε, ναὶ, Κύριε, καὶ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. καὶ οὐκ ἀφίστατο, ἕως ἐπέτυχε τῆς αἰτήσεως. πῶς δὲ ἡ χήρα ἐκείνη ἐκέκραζε, καὶ μέχρι τοσούτου ἐπέμενεν, ἕως ὅτου τὸν ἄρχοντα, τὸν μήτε τὸν Θεὸν φοβούμενον, μήτε ἀνθρώπους αἰδούμενον ἠδυνήθη δυσωπῆσαι; πῶς δὲ ὁ φίλος ἐπέμενεν ἀωρὶ τῶν νυκτῶν παραμένων, ἕως ὅτου ἐγερθῆναι παρεσκεύασε, δυσωπήσας ἐκ φίλου τῇ προσεδρείᾳ; τοῦτό ἐστιν ἀγρυπνεῖν. βούλει μαθεῖν ἀγρυπνίαν ψυχῆς; ἄπιθι πρὸς τὴν Ἄνναν, ἄκουσον αὐτῶν τῶν ῥημάτων αὐτῆς· ΑΔΩΝΑΙ, ΕΛΩΙ ΣΑΒΑΩΘ· μᾶλλον δὲ τὰ πρὸ τῶν ῥημάτων ἄκουσον. Ἀνέστησαν, φησὶ, πάντες ἀπὸ τῆς τραπέζης, καὶ ἐκείνη εὐθέως οὐ πρὸς ὕπνον ἐτρέπετο, οὐ πρὸς ἀνάπαυσιν· ὅθεν μοι δοκεῖ καὶ ἐπὶ τῆς τραπέζης καθημένη, (κούφη τις ἦν), καὶ μὴ βεβαρῆσθαι σιτίοις ποσίν. οὐ γὰρ ἂν τοσαῦτα ἠφίει δάκρυα. εἰ γὰρ ἡμεῖς νῆστις ὄντες καὶ ἄσιτοι, μόλις οὕτως εὐχόμεθα, μᾶλλον δὲ οὐδέποτε οὕτως εὐχόμεθα, πολλῷ μᾶλλον ἐκείνη μετὰ τράπεζαν οὐκ ἂν οὕτως ηὔξατο, εἰ μὴ καὶ ἐν τῇ τραπέζῃ τοῖς ἀσίτοις ἐῴκει. αἰσχυνθῶμεν οἱ ἄνδρες τὴν γυναῖκα, αἰσχυνθῶμεν οἱ ὑπὲρ βασιλείας ἱκετεύοντες καὶ χασμώμενοι, τὴν ὑπὲρ παιδίου δεομένην καὶ δακρύουσαν. καὶ κατέστη, φησὶν, ἐνώπιον Κυρίου, καὶ τί φησιν; ΑΔΩΝΑΙ ΚΥΡΙΕ, ΕΛΩΙ ΣΑΒΑΩΘ. τοῦτο δὲ ἑρμηνευόμενόν ἐστι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων. προέτρεχε τῆς γλώττης τὰ δάκρυα, τούτοις ἐπικάμψειν τὸν Θεὸν ἤλπιζεν. ἔνθα δάκρυα, πάντως ἐκεῖ καὶ θλῖψις· ἔνθα θλῖψις, καὶ φιλοσοφία πολλὴ καὶ προσοχή. Ἐὰν ἀκούων εἰσακούσῃ, φησὶ, τῆς προσευχῆς τῆς δούλης σου, καὶ δῷς μοι υἱὸν, δώσω αὐτὸν δοτὸν τῷ Κυρίῳ πάντα τὸν χρόνον. οὐκ εἶπεν, ἐνιαυτὸν μόνον, ἢ δύο, καθάπερ ἡμεῖς, οὐδὲ εἶπεν, ἐὰν δῷς μοι παιδίον, δίδωμι χρήματα· ἀλλ' ὁλόκληρον αὐτὸ τὸ δῶρον ἀντιδίδωμι, τὸν πρωτότοκον, τὸν τῆς εὐχῆς υἱόν. αὕτη θυγάτηρ ἦν τοῦ Ἀβραάμ. ἐκεῖνος αἰτηθεὶς, ἔδωκεν· αὕτη δὲ καὶ πρὸ τῆς αἰτήσεως δίδωσιν. ἀλλ' ὅρα καὶ ἐντεῦθεν αὐτῆς τὴν εὐλάβειαν. Φωνὴ αὐτῆς, φησὶν, οὐκ ἠκούετο, τὰ δὲ χείλη αὐτῆς ἐκινεῖτο. οὕτως ὁ βουλόμενος ἀνύσαι προσέρχεται τῷ Θεῷ, οὐ μαλακιζόμενος, οὐδὲ χασμώμενος, οὐδὲ ἐκλελυμένος, οὐδὲ κνώμενος, οὐδὲ ἀκηδιῶν. μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς καὶ χωρὶς εὐχῆς δοῦναι; μὴ γὰρ οὐκ ᾔδει καὶ πρὸ τῆς αἰτήσεως τὴν ἐπιθυμίαν τῆς γυναικός; ἀλλ' εἰ ἔδωκε πρὸ τῆς αἰτήσεως, οὐκ ἂν ἐφάνη τῆς γυναικὸς ἡ προθυμία, οὐκ ἂν γέγονεν ἡ ἀρετὴ αὐτῆς δήλη, οὐκ ἂν τοσοῦτον ἐκτήσατο μισθόν. ὥστε ἡ ἀναβολὴ, οὐχὶ φθόνου ἐστὶν, οὐδὲ βασκανίας, ἀλλὰ κηδεμονίας. ὅταν οὖν ἀκούσῃς τῆς γραφῆς λεγούσης, ὅτι ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς, καὶ ὅτι παρώργιζεν αὐτὴν ἡ ἀντίζηλος αὐτῆς, ἐννόησον ὅτι τὴν φιλοσοφίαν δεῖξαι βούλεται τῆς γυναικός. σκόπει γάρ. εἶχε τὸν ἄνδρα δεδουλωμένον. ἔλεγε γὰρ πρὸς αὐτήν· οὐκ ἀγαθός σοι ἐγὼ ὑπὲρ δέκα τέκνα; καὶ παρώργιζεν αὐτὴν, φησὶν, ἡ ἀντίζηλος αὐτῆς, τουτέστιν, ὠνείδιζεν, ἐφύβριζεν· καὶ οὐδέποτε αὐτὴν ἠμύνατο, οὐδὲ κατηύξατο αὐτῆς, οὐδὲ εἶπεν· ἐπειδὴ ὀνειδίζει μοι ἡ ἀντίζηλος, ἐκδίκησόν με. εἶχεν ἐκείνη παιδία, ἀλλ' εἶχεν αὕτη τὴν ἀγάπην τὴν τοῦ ἀνδρὸς ἀντίρροπον. τούτῳ γοῦν αὐτὴν καὶ παρεμυθήσατο λέγων, οὐκ ἀγαθός σοι ἐγὼ ὑπὲρ δέκα τέκνα; ἀλλὰ πάλιν ἴδωμεν τῆς γυναικὸς τὴν φιλοσοφίαν. καὶ ἐλογίσατο αὐτὴν, φησὶν, Ἠλεὶ εἰς μεθύουσαν. ἀλλ' ὅρα καὶ πρὸς αὐτὸν τί φησι. μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λοιμῆς, ὅτι ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ἕως τοῦ νῦν. τοῦτο ἀληθῶς καρ-

Ματθ. ιε. κζ.

α. Βασ. α. ια.

δίας συντετριμμένης, ὅταν πρὸς τοὺς ὑβρίζοντας μὴ χαλεπαίνωμεν, ὅταν μὴ δυσχεραίνωμεν, ὅταν ἀπαλγώμεθα. οὐδὲν οὕτω ποιεῖ καρδίαν φιλόσοφον, ὡς θλῖψις· οὐδὲν οὕτω πρᾶγμα ἡδύ, ὡς πένθος τὸ κατὰ Θεόν. ἐκ πλήθους, φησὶν, ἀδολεσχίας μου ἐκτέτακα ἕως τοῦ νῦν. ταύτην μιμώμεθα ἅπαντες. ἀκουέτωσαν ὅσαι στεῖραι, ἀκουέτωσαν ὅσαι παίδων ἐρᾶτε, ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες. καὶ γὰρ καὶ ἄνδρες συνεβάλ-
Γεν. κε. κα. λοντο πολλάκις. ἄκουε γὰρ τῆς γραφῆς λεγούσης· Καὶ ἐδεῖτο Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. μεγάλα γὰρ δύναται ἡ εὐχή. ἐν πάσῃ, φησὶ, προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ, ἑαυτὸν ἔσχατον τιθείς. τί ποιεῖς, ὦ μακάριε Παῦλε, ἑαυτὸν ἔσχατον τιθείς; καί φησιν, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει. ποῦ πρεσβεύεις; πρὸς ἀνθρώπους φησί. βαβαὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ· ἔπεμψε πρεσβεύοντας ἐκ τῶν οὐρανῶν [ὑπὲρ αὐτοῦ,] ὑπὲρ εἰρήνης, καὶ λαβόντες ἔδησαν αὐτοὺς οἱ ἄνθρωποι, καὶ οὐδὲ τὸν κοινὸν νόμον ᾐδέσθησαν, ὅτι ὁ πρεσβεύων οὐδέποτε πάσχει τι κακόν. ἀλλ' ὅμως ἐγὼ πρεσβεύω ἐν ἁλύσει. ἡ ἅλυσις ἐπίκειται τὴν παρρησίαν ἐπιστομίζουσα, ἀλλ' ἡ εὐχὴ ἡ ὑμετέρα ἀνοίγει μου τὸ στόμα. ἵνα ἐν αὐτῷ παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι· τουτέστιν, ἵνα πάντα ἃ ἐπέμφθην εἰπεῖν, εἴπω. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ. εἰ πιστός, οὐδὲν ψεύσεται, ἀλλὰ πάντα ἀληθεύσει. ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. βαβαὶ, πόση ἡ ἀγάπη· ἵνα μὴ ἔξῃ, φησὶ, τοῖς βουλομένοις πλανῆσαι ὑμᾶς. εἰκὸς γὰρ αὐτοὺς ἐν δεινοῖς εἶναι. τὸ γὰρ, παρακαλέσῃ τὰς καρδίας ὑμῶν, τοῦτο αἰνίττεται, ἵνα μὴ ἀφῇ, φησί, καταπεσεῖν.

23 Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐπεύχεται αὐτοῖς εἰρήνην καὶ ἀγάπην μετὰ πίστεως. καλῶς εἶπε. βούλεται γὰρ μὴ ἁπλῶς ἔχειν τὸν τῆς ἀγάπης λόγον, καὶ τοῖς ἑτεροπίστοις ἑαυτοὺς ἀναμιγνύναι. ἢ τοῦτο, ἢ ἐκεῖνό φησιν, ὥστε καὶ πίστιν αὐτοὺς ἔχειν, ὥστε θαῤῥεῖν καὶ περὶ τῶν μελλόντων. ἡ εἰρήνη πρὸς τὸν Θεόν, καὶ ἡ ἀγάπη. ἐὰν γὰρ εἰρήνη ᾖ, καὶ ἀγάπη ἔσται· ἂν ἀγάπη, καὶ εἰρήνη ἔσται. μετὰ πίστεως. οὐδὲν γὰρ ὄφελος ἀγάπης, πίστεως χωρίς· μᾶλλον δὲ οὐδὲ ἂν γένοιτο ἀγάπη ἑτέρως.

24 Καὶ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ, Ἀμήν.

Ἐνταῦθα διεῖλε, τὴν εἰρήνην κατ' ἰδίαν θεὶς, καὶ τὴν χάριν. ἐν ἀφθαρσίᾳ, φησὶν, Ἀμήν. τί ἐστιν, ἐν ἀφθαρσίᾳ; ἤτοι ἐν κοσμιότητι, ἢ ὑπὲρ τῶν ἀφθάρτων· οἷον μὴ ἐν πλούτῳ, μηδὲ ἐν δόξῃ, ἀλλ' ἐν ἐκείνοις τοῖς ἀφθάρτοις. τὸ ἐν, διά ἐστι. διὰ ἀφθαρσίας, φησί, τουτέστι, δι' ἀρετῆς. πᾶσα γὰρ ἁμαρτία, φθορά. καὶ καθάπερ τὴν παρθένον φθεί-
Β. Κορ. ια. γ. ρεσθαι λέγομεν, οὕτω καὶ τὴν ψυχήν. διὰ τοῦτο Παῦλος ἔλεγε· Μήπως φθαρῇ
Τιτ. β. ζ. τὰ νοήματα ὑμῶν. καὶ πάλιν ἀλλαχοῦ, Ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν φησί. τί γὰρ, εἰπέ μοι, φθορὰ σώματος; οὐχὶ διάλυσις τοῦ παντὸς, καὶ τῆς συνθέσεως αὐτῆς; τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς γίνεται, τῆς ἁμαρτίας εἰσελθούσης. κάλλος γὰρ ψυχῆς, σωφροσύνη, δικαιοσύνη. ὑγίεια ψυχῆς, ἀνδρεία, φρόνησις. ὅ τε γὰρ αἰσχρός, δυσειδής, ὅ τε πλεονέκτης, ὅ τε τοῖς πονηροῖς πράγμασιν ἑαυτὸν ἐκδιδοὺς, ὅ τε δειλὸς, ἄνανδρος καὶ ἀσθενὴς καχέκτης. ὅτι δὲ αἱ ἁμαρτίαι φθορὰν ἐργάζονται, ἐντεῦθεν δῆ-

λιν. καὶ γὰρ αἰσχροὺς ποιοῦσι καὶ ἀσθενεῖς, καὶ κάμνειν παρασκευάζουσι. Φθαρῆναι γὰρ τὴν παρθένον καὶ διὰ τοῦτο κυρίως λέγομεν, οὐχ ὅτι τὸ σῶμα φθείρεται μόνον, ἀλλὰ διὰ τὴν παρανομίαν. τὸ γὰρ γινόμενον, μίξις ἐστίν. εἰ δὲ τοῦτο ἦν ἡ φθορά, ἦν ἂν καὶ γάμος φθορά. ὥστε οὐχ ἡ μίξις φθορά, ἀλλ' ἡ ἁμαρτία. ἤλλαξε γὰρ αὐτήν. σκόπει δὲ καὶ ἄλλως. φθορὰ οἰκίας τί γένοιτο ἄν, ἢ διάλυσις; καὶ πανταχοῦ ἡ φθορά, μεταβολή τίς ἐστιν ἐπὶ τὸ χεῖρον, ἐφ' ἑτέραν ἕξιν καὶ ἀφανισμὸν τοῦ προτέρου γινομένη. ἄκουε γὰρ τῆς γραφῆς λεγούσης· Κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς. [Γεν. ς. ιβ.] καὶ πάλιν, Ἐν καταφθορᾷ ἀνυπομονήτῳ. καὶ πάλιν, Ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν. [β. Τιμ. γ.] φθαρτὸν ἡμῖν τὸ σῶμά ἐστιν, ἀλλ' ἄφθαρτος ἡ ψυχή. μὴ δὴ οὖν καὶ αὐτὴν φθείρωμεν. τοῦτο ἡ ἁμαρτία εἰργάσατο ἡ προτέρα. ἡ δὲ μετὰ τὸ λουτρὸν καὶ τὴν ψυχὴν φθεῖραι δύναται, καὶ εὐάλωτον ποιῆσαι τῷ σκώληκι τῷ ἀθανάτῳ. οὐ γὰρ ἂν ἥψατο, εἰ μὴ φθαρτὴν εὗρε ψυχήν. ἀδάμαντος σκώληξ οὐχ ἅπτεται (κἂν ἅψηται), οὐδὲν εἰργάσατο. μὴ δὴ φθείρῃς τὴν ψυχήν. οἱ γὰρ φθειρόμενοι, δυσωδίας εἰσὶ μεστοί. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. [Ψαλμ. λζ. ε.] ἀλλ' αὕτη ἡ φθορὰ ἐνδύεται ἀφθαρσίαν, ἐκείνη δὲ οὐκέτι. ἔνθα γὰρ ἀφθαρσία, φθορὰ οὐκ ἔστιν. ὥστε φθορὰ ἄφθαρτός ἐστι, τέλος οὐκ ἔχουσα, θάνατος ἀθάνατος· ὅπερ ἔμελλε γίνεσθαι, εἰ τὸ σῶμα ἔμενεν ἀθάνατον. οὕτως ἂν φθορὰν ἔχοντες ἀπέλθωμεν ἐκεῖ, ἄφθαρτον καὶ ἀτελεύτητον ἕξομεν τὴν φθοράν. τὸ γὰρ καίεσθαι καὶ σκώληκι διηνεκῶς δαπανᾶσθαι, φθορά ἐστιν ἄφθαρτος· οἵαν ἦν καὶ ἐπὶ τοῦ μακαρίου Ἰώβ. [Ἰωβ β.] ἐφθείρετο, καὶ οὐκ ἀπώλλυτο, καὶ ταῦτα χρόνου πολλοῦ προβεβηκότος· ἀλλ' ἀεὶ ἔτηκε βώλακας γῆς ἀπὸ ἰχῶρος ξέων. τοιοῦτόν τι ἡ ψυχὴ πείσεται τότε, τῶν σκωλήκων αὐτῇ περιεστώτων, [γρ. αὐτὴν] καὶ διατρωγόντων, οὐκ ἐπὶ δύο ἔτεσιν, οὐδὲ ἐπὶ τρισίν, οὐδὲ ἐπὶ δέκα, οὐδὲ ἐπὶ ἑκατόν, οὐδὲ ἐπὶ μυρίοις, ἀλλ' ἐπὶ ἀτελευτήτοις. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησί. [Μαρκ. θ. μδ.]

ΗΘΙΚΟΝ

Φοβηθῶμεν τοίνυν, παρακαλῶ, δείσωμεν τὰ ῥήματα, ἵνα μὴ περιπέσωμεν τοῖς πράγμασι. φθορὰ ἡ πλεονεξία ἐστί, φθορὰ πασῶν χαλεπωτέρα, εἰς εἰδωλολατρείαν ἄγουσα. φύγωμεν τὴν φθοράν, ἑλώμεθα τὴν ἀφθαρσίαν. ἐπλεονέκτησας τὰ χρήματα; τὰ μὲν πλεονεκτηθέντα φθείρεται, ἡ δὲ πλεονεξία μένει· φθορὰ ἀφθαρσίας ὑπόθεσις γινομένη. ἡ μὲν ἀπόλαυσις παρέρχεται, ἄφθαρτος δὲ ἡ ἁμαρτία μένει. δεινὸν κακὸν μὴ ἐν τῷ παρόντι βίῳ ἅπαντα ἀποδύσασθαι· [γρ. ἀπολύσασθαι] μεγάλη συμφορὰ φορτία ἁμαρτημάτων ἔχοντας ἀπελθεῖν ἐκεῖ. Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι; [Ψαλ. ς. ς.] κριτήριόν ἐστιν ἐκεῖ, μετανοίας λοιπὸν οὐκέτι καιρός. πόσα ἀπωδύρετο ὁ πλούσιος τότε; ἀλλ' ὅμως οὐδὲν ὤνησε. πόσα εἶπον οἱ μὴ θρέψαντες τὸν Χριστόν; ἀλλ' ὅμως ἀπῆλθον εἰς τὸ πῦρ τὸ αἰώνιον. πόσα οἱ τὴν ἀνομίαν ἐργασάμενοι τότε εἶπον; Κύριε, οὐκ ἐν τῷ ὀνόματί σου προεφητεύσαμεν, καὶ ἐν τῷ ὀνόματί σου δαιμόνια ἐξεβάλομεν; [Ματθ. ζ. κβ.] ἀλλ' ὅμως οὐκ ἐγνωρίσθησαν. πάντα τότε μάτην γίνεται ταῦτα· οὐδεμία δὲ ὄνησις, ἐὰν μὴ νῦν γένηται. φοβηθῶμεν οὖν, μήποτε εἴπωμεν τότε· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ οὐκ ἐθρέψαμεν; [Ματθ. κε. λζ.] νῦν αὐτὸν θρέψωμεν, μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, μηδὲ τρίτην. Ἐλεημοσύναι γάρ, φησι, καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε. [Παροιμ. γ. γ.] οὐκ εἶπεν, ἅπαξ ποίησον, οὐδὲ δεύτερον· ἐπεὶ αἱ παρθένοι ἔλαιον εἶχον, ἀλλ' οὐ διαρκές. ὥστε πολλοῦ ἡμῖν δεῖ τοῦ ἐλαίου, καὶ ὡς ἐλαίαν ἡμᾶς εἶναι κατάκαρπον δεῖ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ἐννοήσωμεν οὖν ὅσα ἡμῶν ἕκαστος ἔχει φορτία ἁμαρτημάτων, καὶ ἀντιρρόπους

ποιήσωμεν

ποιήσωμεν τῆς φιλαδελφίας, μᾶλλον δὲ καὶ πολλῷ πλείους, ἵνα μὴ μόνον σβεσθῶσιν αἱ ἁμαρτίαι, ἀλλ' ἵνα καὶ εἰς δικαιοσύνην ἡμῖν λογισθῶσιν αἱ δικαιοσύναι. ἂν γὰρ μὴ τοσαῦτα ᾖ τὰ ἀγαθὰ, ὡς καὶ τὰ ἐγκλήματα ἀποδύσασθαι, καὶ ἐκ τῶν ὑπολειφθέντων εἰς δικαιοσύνην ἡμῖν λογισθῆναι, οὐδεὶς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως, ἧς γένοιτο πάντας ἡμᾶς ἀπαλλαγῆναι, χάριτι καὶ φιλανθρωπίᾳ.

ETONAE,
Excusum in Collegio Regali.
M DC X.

MVSEVM
BRITAN
NICVM

~~700. i. 4~~

~~390. i~~

~~3623. c~~

3675. h 2

~~361. b. 1.~~

~~12/11 g~~

Gal 10 L La

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
Πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ
εὑρισκομένων

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.

MVSEVM BRITANNICVM

ETONÆ, *in Collegio Regali.*
Excudebat IOANNES NORTON, in Græcis &c.
Regius Typographus.

ANNO CIↃ. IↃC. XII.

MVSEVM
BRITAN
NICVM

CATALOGVS TOMI QVARTI.

IN Epistolam ad Philippenses Præfatio. Pag. 1
In eandem Homiliæ xv. 5
In Epistolam ad Colossenses Homil. xij. 89
In priorem ad Thessalonicenses Hom. xj. 161
In posteriorem ad Thessal. Hom. v. 221
In priorem ad Timotheum Præfatio. 249
In eandem Homiliæ xviij. 250
In posteriorem Homiliæ x. 329
In Epistolam ad Titum Hom. vj. 381
In Epistolam ad Philemonem Præf. 411
In eandem Homiliæ iij. 413
In Epistolam ad Hebræos Præfatio. 427
In eandem Homiliæ xxxiiij. 431
In Acta Apostolorum Homiliæ lv. 607
Index Ethicorum locorum in hisce quatuor Tomis contentorum. 921

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Φιλιππησίους ἐπιστολήν.

ΥΠΟΘΕΣΙΣ.

Οἱ Φιλιππήσιοι ἀπὸ πόλεώς εἰσι τῆς Μακεδονίας Φιλίππων, οὕτω καλουμένης ἀπὸ τοῦ οἰκιστοῦ, πόλεως κολωνίας, καθὼς ὁ Λουκᾶς φησιν. ἐνταῦθα ἡ πορφυρόπωλις ἐπέστρεψεν, θαυμαστή τις γυνὴ σφόδρα, καὶ προσεκτική· ἐνταῦθα ὁ ἀρχισυνάγωγος ἐπίστευσεν· ἐνταῦθα ἐμαστίχθη ὁ Παῦλος μετὰ τοῦ Σίλα· ἐνταῦθα οἱ στρατηγοὶ ἠξίωσαν αὐτοὺς ἐξελθεῖν, καὶ ἐφοβήθησαν αὐτούς· καὶ λαμπρὰν εἶχε τὸ κήρυγμα τὴν ἀρχήν. μαρτυρεῖ δὲ αὐτοῖς καὶ αὐτὸς πολλὰ καὶ μεγάλα, στέφανον αὐτοῦ καλῶν αὐτούς, καὶ πολλὰ * πεπονθέναι λέγων. Ὑμῖν γὰρ ἐχαρίσθη, φησίν, ἀπὸ Θεοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. ὅτε δὲ ἔγραφε πρὸς αὐτούς, συνέβη αὐτὸν δεδέσθαι. διὰ τοῦτό φησιν, Ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ· πραιτώριον τὰ βασίλεια τοῦ Νέρωνος καλῶν. ἀλλ' ἐδέθη καὶ ἀφείθη, καὶ τοῦτο πρὸς Τιμόθεον ἐδήλωσε λέγων· Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με. τὰ οὖν δεσμά, ἐν οἷς ἦν, πρὸ τῆς ἀπολογίας ἐκείνης δείκνυσιν ὄντα. ὅτι γὰρ οὐ παρῆν Τιμόθεος τότε, δῆλον. Ἐν γὰρ τῇ πρώτῃ μου, φησίν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο. καὶ τοῦτο, οὕτω γράφων, ἐδήλου. οὐκ ἂν οὖν, εἰ ᾔδει τοῦτο, ἔγραψεν αὐτῷ. ὅτε δὲ τὴν ἐπιστολὴν ἔγραφε ταύτην, μετ' αὐτοῦ Τιμόθεος ἦν. καὶ δηλοῖ ἐξ ὧν φησιν· Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέως πέμψαι ὑμῖν· καὶ πάλιν· Τοῦτον μὲν * ἐλπίζω εὐθέως πέμψαι ὑμῖν, ὅταν ἀπίδω τὰ περὶ ἐμέ, ἐξ αὐτῆς. ἀφείθη γὰρ ἀπὸ τῶν δεσμῶν, καὶ πάλιν ἐδέθη μετὰ τὸ πρὸς αὐτοὺς ἐλθεῖν. εἰ δὲ λέγει, Ὅτι καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ, καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν,

Margin notes (left): γρ. μιᾶς ἐν Μακεδονίᾳ — γρ. εὐσεβής — γρ. ἐνταῦθα — * καὶ μεγάλα — γρ. τῷ λέγειν — * οὖν — γρ. εἰ δὲ

Margin notes (right): Πράξ. ις. ιϛ. ἐδ. κγ. — φιλιπ. α. κθ. — φιλιπ. α. ιγ. — β. Τιμ. δ. ις. — Φιλιπ. β. ιθ. κγ. — φιλιπ. β. ιζ.

οὐχ ὡς ἤδη τούτου ἡνυσμένου, ἀλλ' ὅτι, καὶ ὅταν τοῦτο συμβῇ, χαίρω, φησί, δεικνὺς τῶν αὐτοῦ ἀπὸ τῆς ἀθυμίας τῆς ἐπὶ τοῖς δεσμοῖς. ὅτι γὰρ οὐκ ἔμελλε τότε ἀποθανεῖσθαι, δῆλον ἐξ ὧν φησιν,
Φιλιπ. β. κδ. ὅτι Ἐλπίζω δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι πρὸς ὑμᾶς. καὶ πάλιν, Καὶ τοῦτο (γρ. πέποιθα)
Φιλιπ. α. κε. πεποιθὼς οἶδα, ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. ἦσαν δὲ πέμψαντες πρὸς αὐτὸν οἱ Φιλιππήσιοι τὸν Ἐπαφρόδιτον, χρήματα ἀποίσοντα αὐτῷ, καὶ εἰσόμενοι τὰ κατ' αὐτόν.
Φιλιπ. δ. ιη. διέκειντο γὰρ σφόδρα περὶ αὐτόν*. ὅτι γὰρ ἔπεμψαν, ἄκουε αὐτοῦ λέγοντος, Ἀπέχω πάντα, (* ἀγαπητικῶς) καὶ περισσεύω, πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν. ἐν ταὐτῷ γοῦν (γρ. δὲ) ἔπεμψαν καὶ παρακαλέσοντες, καὶ εἰσόμενοι. ὅτι γὰρ καὶ ἔπεμψαν εἰσόμενοι τὰ κατ' αὐτόν, (γρ. δὲ)
Φιλιπ. α. ιβ. δηλοῖ εὐθέως ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς τὰ κατ' αὐτὸν γράφων, καὶ λέγων· Γινώσκειν δὲ ὑ-
Φιλιπ. β. ιθ. μᾶς βούλομαι, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθε. καὶ πάλιν· Ἐλπίζω Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. τὸ, ἵνα κἀγὼ, δηλοῦντός ἐστιν, ὅτι ὥσπερ ὑμεῖς ὑπὸ πολλῆς πληροφορίας ἐπέμψατε εἰσόμενοι, (γρ. ὑπὸ) οὕτω καὶ ἐγὼ, ἵνα εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. ἐπειδὴ οὖν καὶ πολὺν χρόνον ἦσαν μὴ (γρ. περὶ)
Φιλιπ. δ. ι. πέμψαντες, ἀλλὰ τότε (τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, Ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν) καὶ τότε ἤκουον αὐτὸν ἐν δεσμοῖς εἶναι) (εἰ γὰρ περὶ Ἐπαφροδίτου ἀκοῦσαι, ὅτι ἠσθένησεν, οὐκ ὄντος σφόδρα ἐπισήμου, ὡς Παῦλος, πολλῷ μᾶλλον περὶ Παύλου καὶ εἰκὸς ἦν αὐτοὺς θορυβεῖσθαι) διὰ τοῦτο ἐν τοῖς προοιμίοις τῆς ἐπιστολῆς πολλὴν ποιεῖται παράκλησιν ὑπὲρ τῶν δεσμῶν, δεικνὺς ὅτι οὐ μόνον οὐ χρὴ θορυβεῖσθαι, ἀλλὰ καὶ χαίρειν. εἶτα καὶ περὶ ὁμονοίας συμβουλεύει καὶ ταπεινοφροσύνης, ταύτην εἶναι ἀσφάλειαν αὐτοῖς διδάσκων μεγίστην, καὶ οὕτω τῶν ἐχθρῶν αὐτοὺς εὐκόλως δύνασθαι περιγενέσθαι. οὐ γὰρ τὸ δεσμεῖσθαι λυπηρὸν τοῖς διδασκάλοις ὑμῶν, ἀλλὰ τὸ μὴ ὁμονοεῖν τοὺς μαθητάς. τοῦτο μὲν γὰρ καὶ ἐπίδοσιν τῷ εὐαγγελίῳ δίδωσιν, ἐκεῖνο δὲ διασπᾷ. (γρ. τοῦ διδασκάλους) παραινέσας τοίνυν αὐτοῖς ὁμονοεῖν, καὶ δείξας ὅτι ἀπὸ ταπεινοφροσύνης ἡ ὁμόνοια γίνεται, καὶ διατεινάμενος πρὸς τοὺς πανταχοῦ τῷ δόγματι λυμαινομένους Ἰουδαίους προσχήματι χριστιανισμοῦ, (γρ. -νάμενος) (γρ. πράγματι) κύνας τε αὐτοὺς καλέσας καὶ κακοὺς ἐργάτας, καὶ παραινέσας ἀπέχεσθαι αὐτῶν, καὶ πείσας τίσι δεῖ προσέχειν, καὶ περὶ ἠθικῶν πολλὰ διαλεχθεὶς, καὶ ῥυθμίσας αὐτοὺς, καὶ ἀνακτησάμενος διὰ τοῦ εἰπεῖν, Ὁ Κύριος (γρ. παρεγγυήσας)
Φιλιπ. δ. ε. ἐγγὺς, μέμνηται μετὰ τῆς προσηκούσης αὐτῷ συνέσεως καὶ τῶν πεμφθέντων, καὶ οὕτω πολλὴν τὴν παράκλησιν ποιεῖται. φαίνεται δὲ μετὰ πολλῆς αὐτοῖς μάλιστα γράφων τιμῆς, καὶ οὐδὲν [προστίθησι] ἐπιπληκτικὸν οὐδαμοῦ, ὅπερ ἦν τεκμήριον τῆς ἀρετῆς αὐτῶν, τὸ μηδεμίαν δοῦναι τῷ διδασκάλῳ λαβὴν, μηδὲ ἐν τάξει ἐπιτιμήσεως, ἀλλ' ἐν τάξει παραινέσεως πάντα πρὸς αὐτοὺς ἐπεσταλκέναι. ὅπερ δὲ ἔφην [καὶ] ἐξ ἀρχῆς, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι ἡ πόλις αὕτη πολλὴν ἐπεδείξατο εἰς τὴν πίστιν ἐπιτηδειότητα, εἴγε ὁ δεσμοφύλαξ (ἴσε δὲ, ὅτι πάσης τὸ πρᾶγμα κακίας μεστὸν) εὐθέως ἀπὸ ἑνὸς σημείου καὶ προσέδραμε, καὶ ἐβαπτίσθη μετὰ τοῦ οἴκου αὐτοῦ παντός. τὸ μὲν γὰρ γεγονὸς σημεῖον εἶδε μόνος αὐτός· τὸ δὲ κέρδος οὐ μόνος ἐκαρπώσατο, ἀλλὰ καὶ μετὰ τῆς γυναικὸς καὶ τοῦ οἴκου παντός. ἀλλὰ καὶ αὐτοὶ οἱ στρατηγοὶ οἱ μαστίξαντες αὐτοὺς εὑρίσκονται ἀπὸ συναρπαγῆς μᾶλλον, καὶ οὐ πονηρίας τοῦτο πεποιηκότες, τῷ τε εὐθέως πέμψαι καὶ ἀφεῖναι αὐτούς, καὶ τῷ φοβηθῆναι ὕστερον. μαρτυρεῖ δὲ αὐτοῖς
Φιλιπ. δ. ιε. καὶ α. οὐκ ἐν πίστει μόνον, οὐδὲ ἐν κινδύνοις, ἀλλὰ καὶ ἐν εὐποιΐᾳ, δι' ὧν φησιν, Ὅτι καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μου ἐπέμψατε, οὐδενὸς ἑτέρου τοῦτο πεποιηκότος. Οὐδεμία γάρ μοι, φησιν ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως· καὶ (γρ. ποιοῦντος) τὴν ἔλλειψιν δὲ ἀκηδείας εἶναι μᾶλλον, ἢ προαιρέσεως δείκνυσι λέγων· Οὐχ ὅτι οὐκ ἐφρονεῖτε, φησιν, ὑπὲρ ἐμοῦ, ἠκαιρεῖσθε δέ. τοῦτο δὲ πολὺ πρὸς αὐτοὺς φίλτρον ἔχει ἐμφαίνει. ὅτι
Φιλιπ. β. κ. α. ιζ. γὰρ ἐφίλει σφόδρα αὐτοὺς, δῆλον. Οὐδένα γὰρ ἔχω, φησιν, ἰσόψυχον, ὅστις γνησίως τὰ (γρ. δὲ) (γρ. ἐφιλοφρόνει)

περὶ ὑμῶν μεμνῆσθαι. καὶ πάλιν, Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου.

Ταῦτα οὖν εἰδότες καὶ ἡμεῖς, καὶ τοσούτους ἔχοντες τύπους ἀγάπης, ἑαυτοὺς παρέχωμεν ἀξίους τῶν τοιούτων ὑποδειγμάτων, περὶ τὸ πάσχειν ὑπὲρ Χριστοῦ ἕτοιμοι γινόμενοι. ἀλλὰ νῦν οὐκ ἔστιν ὁ διωγμός. οὐκοῦν κἂν μηδὲν ἕτερον, μιμώμεθα αὐτῶν τὴν εὐποιΐαν τὴν μετὰ σφοδρότητος, μηδέ, ἐὰν ἅπαξ δῶμεν καὶ δεύτερον, τὸ πᾶν ἡγώμεθα πεπληρωκέναι. διὰ παντὸς γὰρ τοῦ βίου τοῦτο χρὴ ποιεῖν. οὐ γὰρ ἅπαξ εὐαρεστεῖν δεῖ, ἀλλὰ * διηνεκῶς. καὶ γὰρ ὁ τρέχων, ἐὰν δέκα ‖ δολίχους δραμὼν, τὸν ὕστερον ἀφῇ, τὸ πᾶν ἀπώλεσε· καὶ ἡμεῖς, ἐὰν ἀρξάμενοι τῶν ἀγαθῶν ἔργων, ὕστερον ἐκλυθῶμεν, τὸ πᾶν ἀπωλέσαμεν, τὸ πᾶν διεφθείραμεν. ἄκουε τῆς ἐπωφελοῦς παραινέσεως λεγούσης· Ἐλεημοσύναι, φησί, καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε. οὐκ εἶπεν, ἅπαξ ποίησον, οὐδὲ ‖ δεύτερον, οὐδὲ ‖ τρίτον, οὐδὲ ‖ δέκατον, οὐδὲ ‖ ἑκατοστόν, ἀλλὰ διαπαντὸς μὴ ἐκλειπέτωσάν σε, φησί. καὶ οὐκ εἶπε, μὴ ‖ αὐτὸς ἐγκαταλείπῃς, ἀλλὰ αὗταί σε μὴ ἐγκαταλείπωσι. δεικνὺς ὅτι ἡμεῖς αὐτῶν δεόμεθα, οὐχ ‖ αὗται ἡμῶν, καὶ διδάσκων ὅτι πάντα πράττειν ὀφείλομεν, ὥστε αὐτὰς κατέχειν παρ' ἑαυτοῖς. Ἔφαψαι δὲ αὐτάς, φησιν, ἐπὶ σῷ τραχήλῳ. ὥσπερ γὰρ τὰ τῶν εὐπόρων παιδία κόσμον ἔχει χρυσοῦν περὶ τὸν τράχηλον, καὶ οὐδέποτε αὐτὸν ἀποτίθεται, ὡς τῆς εὐγενείας δεῖγμα ‖ φέροντα· οὕτω καὶ τὴν ἐλεημοσύνην ἀεὶ δεῖ ἑαυτοῖς περιτιθέναι, δεικνύντας ὅτι τοῦ οἰκτίρμονός ἐσμεν παῖδες, τοῦ τὸν ἥλιον ἀνατέλλοντος ἐπὶ πονηροὺς καὶ ἀγαθούς. ἀλλ' οὐ πιστεύουσιν οἱ ἄπιστοι; οὐκοῦν διὰ τούτων πιστεύσουσιν, ἐὰν ἡμεῖς ἐργαζώμεθα ταῦτα. ἐὰν γὰρ ἴδωσιν, ὅτι πάντας ἐλεοῦμεν, καὶ ἐκεῖνον ἐπιγραφόμεθα διδάσκαλον, εἴσονται ὅτι αὐτὸν μιμούμενοι τοῦτο πράττομεν. καὶ τοῦτο οὐχ ἁπλῶς ποιεῖν δεῖ, ἀλλὰ μετὰ προσοχῆς καὶ ἀσφαλείας. ἐλεημοσύνη γάρ, φησι, καὶ πίστις ἔστω σοι ἀληθής. καλῶς εἶπεν, ἀληθής. οὐ γὰρ ἐξ ἁρπαγῆς βούλεται, οὐδὲ ἀπὸ κλοπῆς. τοῦτο γὰρ οὐκ ἔστι πίστις. οὐκ ἔστιν ‖ ἀληθὴς ἐλεημοσύνη. καὶ γὰρ τὸν κλέπτοντα ψεύδεσθαι ἀνάγκη, καὶ ἐπιορκεῖν δεῖ. σὺ δὲ μὴ οὕτως, ἀλλὰ μετὰ τῆς ἐλεημοσύνης πίστιν ἔχε, φησί. περιθώμεθα τοῦτον τὸν κόσμον· μανιάκην ἐργασώμεθα τῇ ψυχῇ χρυσοῦν, τὴν ἐλεημοσύνην λέγω, ἕως ἂν ἐνταῦθα ὦμεν. ἐὰν γὰρ παρέλθῃ ἡ ἡλικία αὕτη, οὐκ ἔτι αὐτῇ χρησόμεθα. πῶς; οὐκ εἰσὶν ἐκεῖ πένητες, οὐκ ἔστιν ἐκεῖ χρήματα, οὐκ ἔστιν ἐκεῖ ‖ πτωχεία. ἕως ἐσμὲν παῖδες, μὴ ἀποστερήσωμεν ἑαυτοὺς τοῦ κόσμου τούτου. καθάπερ γὰρ ἐπὶ τῶν παίδων, ἐὰν ἄνδρες γένωνται, περιαιρεῖται ταῦτα, καὶ ἐφ' ἕτερον ἄγονται κόσμον· οὕτω καὶ ἐφ' ἡμῶν οὐκ ἔτι ἡ διὰ χρημάτων ἐλεημοσύνη ἐκεῖ ἔσται, ἀλλ' ἑτέρα τις πολὺ μείζων. ὥστε ταύτης ἑαυτοὺς μὴ ἀποστερήσωμεν, ποιήσωμεν καλὴν φαίνεσθαι τὴν ψυχήν. ‖ μέγα ἐλεημοσύνη, καλὸν καὶ τίμιον. δῶρόν ἐστι μέγα, μᾶλλον δὲ μέγα ἀγαθότης. ἐὰν μάθωμεν χρημάτων καταφρονεῖν, καὶ ἕτερα μαθησόμεθα. ὅσα γὰρ ἐντεῦθεν τίκτεται ἀγαθά. ὁ διδοὺς ἐλεημοσύνην, ὡς χρὴ διδόναι, μανθάνει [τῶν] χρημάτων καταφρονεῖν· ὁ μαθὼν χρημάτων καταφρονεῖν, τὴν ῥίζαν ἐξέκοψε τῶν κακῶν. ὥστε οὐκ εὖ ποιεῖ μᾶλλον, ἢ εὖ πάσχει, οὐ τῷ ὀφειλὴν καὶ ἀμοιβὴν κεῖσθαι μόνον τῇ ἐλεημοσύνῃ, ἀλλὰ καὶ τῷ τὴν ψυχὴν φιλόσοφον γίνεσθαι καὶ ὑψηλὴν καὶ πλουσίαν. ὁ διδοὺς ἐλεημοσύνην παιδεύεται μὴ θαυμάζειν χρήματα, μηδὲ χρυσόν. τοῦτο δὲ παιδευθεὶς τὴν διάνοιαν, ἀρχὴν ἔλαβε μεγίστην ἀνιέναι πρὸς τὸν οὐρανόν, καὶ μάχης καὶ ἔριδος καὶ φθόνου καὶ ἀθυμίας μυρίας ἐξέκοψε προφάσεις. ἴστε γάρ, ἴστε καὶ ὑμεῖς, ὅτι πάντα τὰ κακὰ διὰ τὰ χρήματα, ‖ καὶ μυρίοι πόλεμοι διὰ τὰ χρήματα. ὁ δὲ τούτων μαθὼν καταφρονεῖν, ἐν γαλήνῃ κατέστησεν ἑαυτόν, οὐκ ἔτι ζημίαν δέδοικε. τοῦτο γὰρ ἐπαίδευσεν αὐτὸν ἡ ἐλεημοσύνη. οὐκ ἔτι ἐπιθυμεῖ τῶν τοῦ πλησίον (πῶς γάρ, ὁ τὰ αὐτοῦ ἀποπεμπόμενος, καὶ διδούς;) οὐκ ἔτι βασκαίνει

ΗΘΙΚΟΝ

Παροιμ. γ.

* καὶ

γρ. διαύλους

γρ. δὶς

γρ. τρὶς

γρ. δέκα

γρ. ἑκατὸν

γρ. αὐτὰς

γρ. αὗται

γρ. περιφέροντα.

γρ. ἀλήθεια.

γρ. πενία.

γρ. καλὴν

γρ. ἐπεὶ

τὸν πλουτοῦντι (πῶς γάρ, ὁ βουλόμενος γενέσθαι πένης;) διακαθαίρει αὐτοῦ τὸ ὄμμα τῆς ψυχῆς. καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ οὐδέ ἐστιν εἰπεῖν, ὅσων ἐπιτεύξεται ἀγαθῶν. οὐ μενεῖ ἔξω μετὰ τῶν μωρῶν παρθένων, ἀλλὰ μετὰ τῶν φρονίμων εἰσελεύσεται, μετὰ τοῦ νυμφίου, τὰς λαμπάδας ἔχων λαμπράς· καὶ τὴν ἐν παρθενίᾳ ταλαιπωρηθεῖσαν, ὁ μηδὲ γευσάμενος τῶν πόνων ἐκείνων, ἀπὸ ταύτης ἔσται βελτίων. τοσαύτη ἡ τῆς ἐλεημοσύνης ἰσχύς. μετὰ πολλῆς εἰσάγει τῆς παρρησίας τοὺς αὐτῆς τροφίμους. γνωρίμη γάρ ἐστι τοῖς ἐν τῷ οὐρανῷ πυλωροῖς, τοῖς τὰς θύρας κατέχουσι τοῦ νυμφῶνος· οὐ μόνον δὲ γνωρίμη, ἀλλὰ καὶ αἰδέσιμος· καὶ οὓς ἂν ἐπιγνῷ τετιμηκότας αὐτήν, μετὰ πολλῆς εἰσάξει τῆς παρρησίας, καὶ οὐδεὶς ἀντερεῖ, ἀλλὰ πάντες ὑποχωροῦσιν. εἰ γὰρ τὸν Θεὸν εἰς τὴν γῆν κατήγαγε καὶ ἔπεισεν ἄνθρωπον γενέσθαι, πολλῷ μᾶλλον ἄνθρωπον εἰς τὸν οὐρανὸν ἀναγαγεῖν δυνήσεται. μεγάλη γὰρ αὐτῆς ἡ ἰσχύς. εἰ οὖν ἀπὸ ἐλέους καὶ φιλανθρωπίας ὁ Θεὸς ἄνθρωπος ἐγένετο, καὶ ἔπεισεν αὐτὸν δοῦλον γενέσθαι, πολλῷ μᾶλλον τοὺς δούλους εἰς τὴν οἰκίαν εἰσάξει τὴν αὐτοῦ. ταύτην ἀγαπήσωμεν, ταύτην στέρξωμεν, μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ διὰ παντὸς τοῦ χρόνου, ἵνα ἡμᾶς ἐπιγνῷ· ἂν αὐτὴ ἡμᾶς ἐπιγνῷ, καὶ ὁ κύριος ἐπιγνώσεται· ἂν αὐτὴ ἀγνοήσῃ, καὶ ὁ Κύριος ἀγνοήσει, καὶ ἐρεῖ, οὐκ οἶδα ὑμᾶς. ἀλλὰ μὴ γένοιτο ταύτης ἀκοῦσαι ἡμᾶς τῆς φωνῆς, ἀλλὰ τῆς μακαρίας ἐκείνης· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. φαιδράς

γ. αὐτῇ

γ. αὐτῇ

Ματθ. κε λδ.

ΧΡΥΣΟΣΤΟΜΟΥ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ
ΦΙΛΙΠΠΗΣΙΟΥΣ
ἐπιστολήν
Λόγ. α΄.

ΠΑΥΛΟΣ ΚΑΙ ΤΙΜΟΘΕΟΣ ΔΟΥΛΟΙ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις, συνεπισκόποις καὶ διακόνοις, κεφ. α.
2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐνταῦθα ἅτε πρὸς ὁμοτίμους ἐπιστέλλων, οὐ τίθησιν αὐτοῦ τὸ τῆς διδασκαλίας ἀξίωμα, ἀλλ' ἕτερον, καὶ αὐτὸ μέγα. ποῖον δὴ τοῦτο; δοῦλον ἑαυτόν φησι, καὶ οὐκ ἀπόστολον. μέγα γὰρ ὄντως καὶ τοῦτο ἀξίωμα, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, * δοῦλον εἶναι Χριστοῦ, καὶ μὴ ἁπλῶς λέγεσθαι. ὁ τοῦ Χριστοῦ δοῦλος, οὗτος ὄντως ἐλεύθερός ἐστι τῇ ἁμαρτίᾳ. καὶ γνήσιος ὢν δοῦλος, οὐδενὸς ἄλλου καταδέξεται δοῦλος γενέσθαι· ἐπεὶ οὐδ' ἂν οὕτω γένοιτο τοῦ Χριστοῦ [δοῦλος,] ἀλλ' ἐξ ἡμισείας. καὶ Ῥωμαίοις μὲν πάλιν ἐπιστέλλων λέγει· Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ· Κορινθίοις δὲ καὶ Τιμοθέῳ ἐπιστέλλων, ἀπόστολον ἑαυτὸν καλεῖ. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; οὐχ ὅτι Τιμοθέου αὐτοὶ κρείττους· ἄπαγε· ἀλλὰ μᾶλλον ὅτι αὐτοὺς τιμᾷ, καὶ θεραπεύει μάλιστα πάντων, οἷς ἐπέστελλε. καὶ γὰρ καὶ πολλὴν αὐτοῖς ἀρετὴν μαρτυρεῖ. ἄλλως δὲ, ἐκεῖ μὲν οὖν ἔμελλε πολλὰ διατάττεσθαι (διὰ τοῦτο προέλαβε τὸ τοῦ ἀποστόλου ἀξίωμα) ἐνταῦθα δὲ ἐπιτάττει μὲν αὐτοῖς οὐδὲν, πλὴν ὅσα καὶ ἀφ' ἑαυτῶν συνεώρων. Τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις. Ἐπειδὴ εἰκὸς ἦν καὶ Ἰουδαίους ἁγίους ἑαυτοὺς καλεῖν ἀπὸ τοῦ προτέρου χρησμοῦ, ἡνίκα ἐλέγοντο Λαὸς ἅγιος, περιούσιος, διὰ τοῦτο προσέθηκε, τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ. οὗτοι γὰρ μόνοι ἅγιοι, ἐκεῖνοι δὲ λοιπὸν βέβηλοι. Συνεπισκόποις καὶ διακόνοις. τί τοῦτο; μιᾶς πόλεως πολλοὶ ἐπίσκοποι ἦσαν; οὐδαμῶς· ἀλλὰ τοὺς πρεσβυτέρους οὕτως ἐκάλεσε. τότε γὰρ τέως ἐκοινώνουν τοῖς ὀνόμασι, καὶ διάκονος ὁ ἐπίσκοπος ἐλέγετο. διὰ τοῦτο γράφων καὶ Τιμοθέῳ ἔλεγε, Τὴν διακονίαν σου πληροφόρησον, ἐπισκόπῳ ὄντι. ὅτι γὰρ ἐπίσκοπος ἦν, φησὶ πρὸς αὐτόν, Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει· καὶ πάλιν, Ὃ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου· οὐκ ἂν δὲ πρεσβύτεροι ἐπίσκοπον ἐχειροτόνησαν. καὶ πάλιν πρὸς Τίτον

γρ. μέγα ὂν καὶ αὐτό.

* τὸ

Ῥωμ. α. α.

γρ. ἐκεῖ μὲν γάρ

γρ. μόνον

α Τιμ. δ. κε. καὶ δ. ιδ.

γράφων φησί, Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ· ἃ περὶ τοῦ ἐπισκόπου φησί. καὶ εἰπὼν ταῦτα, εὐθέως ἐπήγαγε· Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη. ὅπερ οὖν ἔφην, καὶ τοὺς πρεσβυτέρους τὸ παλαιὸν ἐκάλουν ἐπισκόπους καὶ διακόνους τοῦ Χριστοῦ, καὶ τοὺς ἐπισκόπους, πρεσβυτέρους· ὅθεν καὶ νῦν πολλοὶ συμπρεσβυτέρῳ ἐπίσκοποι γράφουσι, καὶ συνδιακόνῳ. λοιπὸν δὲ τὸ ἰδιάζον ἑκάστῳ ἀπονενέμηται ὄνομα, ὁ ἐπίσκοπος, καὶ ὁ πρεσβύτερος. Συνεπισκόποις, φησί, καὶ διακόνοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ἐνταῦθα ζητήσειεν ἄν τις εἰκότως, τί δήποτε οὐδαμοῦ τῷ κλήρῳ γράφων ἀλλαχοῦ, οὐκ ἐν Ῥώμῃ, οὐκ ἐν Κορίνθῳ, οὐκ ἐν Ἐφέσῳ, ἀλλὰ κοινῇ πᾶσι τοῖς ἁγίοις, ἢ τοῖς πιστοῖς, ἢ τοῖς ἠγαπημένοις, ἐνταῦθα τῷ κλήρῳ γράφει; ὅτι αὐτοὶ καὶ ἀπέστειλαν, καὶ ἐκαρποφόρησαν, καὶ αὐτοὶ ἔπεμψαν πρὸς αὐτὸν Ἐπαφρόδιτον.

Τιτ. α. ε. — γ. ὄντι — γ. ἀπονενέμηκεν

3 Εὐχαριστῶ τῷ Θεῷ μου, φησὶν, ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν πάντοτε. Εἶπεν ἀλλαχοῦ γράφων, Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. εἰ τοίνυν τὸ στενάζειν, κακίας τῶν μαθητῶν, τὸ μετὰ χαρᾶς τοῦτο ποιεῖν, προκοπῆς. τοῦτο οὖν ἐστιν ὃ λέγει· ὁσάκις ὑμῶν ἀναμνησθῶ, δοξάζω τὸν Θεόν. τοῦτο δὲ ποιεῖ ἐκ τοῦ πολλὰ αὐτοῖς συνειδέναι ἀγαθά. καὶ δοξάζω, φησί, καὶ δέομαι· οὐ μὴν ἐπειδὴ ἐπιδεδώκατε εἰς ἀρετὴν, παύομαι, ἀλλ' ἐπιμελῶς δεόμενος ὑπὲρ ὑμῶν. Εὐχαριστῶ, φησι, τῷ Θεῷ ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν,

γ. γὰρ

4 (Πάντοτε, ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος.) Πάντοτε, οὐχ ὅταν εὔχωμαι μόνον. καλῶς δὲ προσέθηκε, τὸ μετὰ χαρᾶς. ἔστι γὰρ καὶ μετὰ λύπης τοῦτο ποιῆσαι, ὡς ὅταν λέγῃ ἀλλαχοῦ· Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων.

β. Κορ. β. δ.

5 Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, φησιν, εἰς τὸ εὐαγγέλιον ἀπὸ πρώτης ἡμέρας μέχρι τοῦ νῦν. Μέγα αὐτοῖς ἐνταῦθα μαρτυρεῖ, οὐχ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα μέγα, καὶ ὅπερ ἄν τις ἐμαρτύρησεν ἀποστόλοις καὶ εὐαγγελισταῖς. οὐκ ἐπειδὴ γὰρ πόλιν ἐνεχειρίσθητε μίαν, φησὶν, ἐκείνης φροντίζετε μόνης, ἀλλὰ πάντα πράττετε, ὥστε μερισταὶ γίνεσθαι τῶν ἐμῶν πόνων, πανταχοῦ παρόντες, καὶ συμπράττοντες, καὶ συγκοινωνοῦντές μου τῷ κηρύγματι. οὐχ ἕνα χρόνον, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, ἀλλὰ πάντοτε, ἐξ οὗ ἐπιστεύσατε μέχρι τοῦ νῦν, ἀποστόλων ἀνειλήφατε προθυμίαν. ὅρα πῶς οἱ μὲν ἐν Ῥώμῃ οὕτως ἀπεστράφησαν αὐτόν. ἄκουε γὰρ αὐτοῦ λέγοντος, Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ· καὶ πάλιν, Δημᾶς με ἐγκατέλιπε· καὶ, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησὶν, οὐδείς μοι συμπαρεγένετο. οὗτοι δὲ καὶ ἀπόντες ἐκοινώνουν αὐτῷ τῶν θλίψεων, πέμποντές τε ἄνδρας πρὸς αὐτὸν, καὶ κατὰ δύναμιν ὑπηρετούμενοι, καὶ οὐδὲν ὅλως ἐλλιμπάνοντες. καὶ τοῦτο ποιεῖτε, οὐ νῦν μόνον, φησὶν, ἀλλ' ἀεὶ πάντοτε ἔργῳ συναντιλαμβανόμενοι. ἄρα τὸ συναντιλαμβάνεσθαι, κοινωνία ἐστὶν εἰς τὸ εὐαγγέλιον. ὅταν γὰρ ἐκεῖνος μὲν κηρύττῃ, σὺ δὲ θεραπεύῃς τὸν κηρύττοντα, κοινωνὸς αὐτῷ τῶν στεφάνων. ἐπεὶ καὶ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐ τοῦ ἀγωνιζομένου μόνου ἐστὶν ὁ στέφανος, ἀλλὰ καὶ τοῦ παιδοτρίβου, καὶ τοῦ θεραπεύοντος, καὶ πάντων ἁπλῶς τῶν ἀσκούντων τὸν ἀθλητήν. οἱ γὰρ ῥωννύντες αὐτὸν, καὶ ἀνακτώμενοι, οὗτοι καὶ τῆς νίκης εἰκότως ἂν εἶεν μερισταί. καὶ ἐν τοῖς πολέμοις δὲ, οὐχ ὁ ἀριστεὺς μόνος, ἀλλὰ καὶ πάντες οἱ θεραπεύοντες αὐτὸν εἰκότως ἂν μεταποιοῖντο τῶν τροπαίων, καὶ τῆς δόξης μετέχοιεν, ἅτε κοινωνήσαντες αὐτῷ τοῦ ἀγῶνος τῇ θεραπείᾳ. οὐ γὰρ μικρὸν δύναται τὸ θεραπεύειν ἁγίους, ἀλλὰ καὶ μέγα. κοινωνοὺς γὰρ ἡμᾶς ποιεῖ τῶν ἐκείνοις ἀποκειμένων μισθῶν. οἷον, ἔρριψέ τις

β. Τιμ. α. 15. — β. Τιμ. δ. 16. — γ. μόνον

πολλὰ

πολλὰ χρήματα διὰ τὸν Θεὸν, διαπρυτὸς ἀμάχειται τῷ Θεῷ, ἀρετὴν ἀσκεῖ μεγάλην, καὶ μέχρι ῥημάτων, καὶ μέχρις ἐννοιῶν, καὶ μέχρι πάντων πολλὴν ἀκρίβειαν φυλάττων· ἔνεστι καὶ σοὶ καὶ μὴ τοσαύτην ἀκρίβειαν ἐπιδειξαμένῳ, τὸν ἐπὶ τούτοις ἀποκείμενον αὐτῷ μισθὸν κοινωνῆσαι. πῶς; ἂν θεραπεύσῃς αὐτὸν καὶ λόγῳ, καὶ ἔργῳ, ἂν παρακαλέσῃς καὶ διὰ τῆς χορηγίας τὰ ἀναγκαῖα, καὶ διὰ τοῦ διακονεῖσθαι πᾶσαν διάχυσιν. ὁ γὰρ εὐκολωτέραν ποιῶν "τὴν τραχεῖαν ὁδὸν ἐκείνῳ, σὺ ἔσῃ. ὥστε εἰ θαυμάζετε τοὺς ἐν ταῖς ἐρήμοις, τοὺς τὸν ἀγγελικὸν ᾑρημένους βίον, τοὺς ἐν ταῖς ἐκκλησίαις τὰ αὐτὰ ἐκείνοις κατορθοῦντας· εἰ θαυμάζετε καὶ ἀλγεῖτε, ὅτι σφόδρα αὐτῶν ἀπολιμπάνεσθε, ἔνεστιν ὑμῖν ἑτέρως αὐτοῖς κοινωνῆσαι, τῷ διακονεῖν, τῷ θεραπεύειν. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστὶ, τὸ τοὺς ῥαθυμοτέρους, καὶ τὸν ἀπεσκληκότα βίον καὶ τραχὺν καὶ ἀκριβῆ μὴ δυναμένους ἀναδέξασθαι, καὶ τούτους δι᾽ ἑτέρας ὁδοῦ πάλιν εἰς τὴν αὐτὴν τούτοις τάξιν ἄγειν. καὶ τοῦτό φησιν ὁ Παῦλος κοινωνίαν. Κοινωνοῦσιν ἡμῖν, φησὶν, ἐν τοῖς σαρκικοῖς, κοινωνοῦμεν αὐτοῖς ἐν τοῖς πνευματικοῖς. Ῥωμ. ιε. κζ. εἰ γὰρ ὁ Θεὸς ἀντὶ μικρῶν καὶ "μηδαμινῶν βασιλείαν χαρίζεται, καὶ οἱ δοῦλοι αὐτοῦ ἀντὶ μικρῶν καὶ αἰσθητῶν πνευματικὰ μεταδιδόασι· μᾶλλον δὲ καὶ ταῦτα, κἀκεῖνα αὐτός ἐστιν ὁ διδοὺς διὰ τούτων. οὐ δύνασαι νηστεῦσαι, οὐδὲ μονωθῆναι, οὐδὲ χαμευνῆσαι, οὐδὲ παννυχίσαι; ἔνεστί σοι τούτων ἁπάντων μισθὸν λαβεῖν, ἂν ἑτέρως τὸ πρᾶγμα μετοδεύσῃς, τὸν ἐν τούτοις κάμνοντα θεραπεύων, καὶ ἀναπαύων, καὶ ἀλείφων συνεχῶς, καὶ τὸν ἀπὸ τούτων ἐπικουφίζων πόνον. αὐτὸς ἕστηκε μαχόμενος, [αὐτὸς] καὶ τραύματα λαμβάνων· σὺ θεράπευε ἀπὸ τοῦ ἀγῶνος ἐπανιόντα, δέχου ὑπτίαις χερσὶν, ἀπόψησον τὸν ἱδρῶτα, ἀνάπαυσον, παρακάλει, παραμυθοῦ, ἀνάκτω τὴν πεπονηκυῖαν ψυχήν. ἂν μετὰ τοσαύτης προθυμίας διακονώμεθα τοῖς ἁγίοις, μερισταὶ τῶν μισθῶν αὐτῶν ἐσόμεθα. τοῦτο καὶ ὁ Χριστός φησι· Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς. Λουκ. ιϛ. θ. ὁρᾷς πῶς οὗτοι κοινωνοὶ γεγόνασι; ἀπὸ πρώτης ἡμέρας, φησὶ, μέχρι τοῦ νῦν. διὰ τοῦτο χαίρω, φησὶν, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, καὶ χαίρω οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων. ἀπὸ γὰρ τῶν παρελθόντων κἀκεῖνα στοχάζομαι.

γρ. τὴν ὁδὸν τὴν τραχεῖαν ἐκείνην,
γρ. οὐδαμινῶν

6 Πεποιθὼς αὐτὸ τοῦτο, φησὶν, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ. Ὅρα πῶς αὐτοὺς καὶ μετριάζειν διδάσκει. ἐπειδὴ γὰρ μέγα αὐτοῖς ἐμαρτύρησε πρᾶγμα, ἵνα μή τι ἀνθρώπινον πάθωσιν, εὐθέως παιδεύει αὐτοὺς ἐπὶ τὸν Χριστὸν καὶ τὰ παρελθόντα καὶ τὰ μέλλοντα ἀνατιθέναι. πῶς; οὐ γὰρ εἶπε, πεποιθὼς, ὅτι ὡς ἐνήρξασθε, καὶ τελέσετε, ἀλλὰ τί; ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει. οὔτε ἀπεστέρησεν αὐτοὺς τοῦ κατορθώματος (εἶπε γὰρ, ὅτι τῇ κοινωνίᾳ ὑμῶν χαίρω, δηλονότι, ὡς αὐτῶν κατορθούντων) οὔτε εἶπεν αὐτῶν εἶναι τὰ κατορθώματα μόνον, ἀλλὰ προηγουμένως τοῦ Θεοῦ. θαῤῥῶ γὰρ, φησὶν, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ· τουτέστιν, ὁ Θεός. οὐ περὶ ὑμῶν δὲ, φησὶ, μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐξ ὑμῶν οὕτω διάκειμαι. καὶ τοῦτο γὰρ οὐ μικρὸν ἐγκώμιον, τὸ τὸν Θεὸν ἔν τινι ἐνεργεῖν. εἰ γὰρ μὴ προσωπολήπτης ἐστὶν, ὥσπερ οὖν οὐδέ ἐστιν, ἀλλὰ πρὸς τὴν πρόθεσιν ὁρῶν, συνεφάπτεται τῶν κατορθωμάτων ἡμῖν, δῆλον ὅτι τοῦ ἐπισπάσασθαι αὐτὸν ἡμεῖς "αἴτιοι· ὥστε οὐδὲ οὕτως ἀπεστέρησεν αὐτοὺς τῶν ἐγκωμίων. ἐπεὶ εἰ ἁπλῶς ἐνήργει, οὐδὲν ἂν ἐκώλυσε καὶ Ἕλληνας καὶ πάντας ἀνθρώπους ἐνεργεῖσθαι, εἰ ὡς ξύλα ἡμᾶς ἐκίνει καὶ λίθους, καὶ μὴ τὰ παρ᾽ ἡμῶν ἐζήτει. ὥστε τῷ εἰπεῖν, ὁ Θεὸς ἐπιτελέσει, καὶ τοῦτο πάλιν αὐτῶν ἐγκώμιόν ἐστι, τῶν ἐπισπασαμένων τοῦ Θεοῦ τὴν χάριν συμπαραστῆναι αὐτοῖς ἐν τῷ ὑπερβῆναι τὴν ἀνθρωπίνην φύσιν. καὶ ἑτέρως δὲ ἐγκώμιον, ὅτι τοιαῦτα τὰ κατορθώματα ὑμῶν ἐστιν, ὥστε μὴ εἶναι ἀνθρώπινα, ἀλλὰ τῆς τοῦ Θεοῦ δεῖσθαι ῥοπῆς. εἰ δὲ ὁ Θεὸς ἐπιτελέσει, οὐδὲ πολὺς ἔσται κάματος, ἀλλὰ δεῖ θαῤῥεῖν, ὡς εὐκόλως πάντα διανυόντων, ἅτε ὑπ᾽ ἐκείνου βοηθουμένων.

γρ. κρίσεις

7 Καθὼς

7 Καθώς ἐστι δίκαιον ἐμὲ τοῦτο φρονεῖν ὑπὲρ ἁπάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ μου, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. Πολλὴν τινὰ δείκνυσιν ἐνταῦθα αὐτοῦ τὸν πόθον, εἴγε ἐν καρδίᾳ αὐτοὺς εἶχε, καὶ ἐν αὐτῷ τῷ δεσμωτηρίῳ* δεδεμένος Φιλιππησίων ἐμέμνητο. οὐ μικρὸν δὲ τῶν ἀνδρῶν τὸ ἐγκώμιον, τὸ μεμνῆσθαι ὑπὸ τοῦ ἁγίου τούτου· ἐπειδὴ μηδέ ἐστι προσλήψεως ἡ τοῦ ἁγίου τούτου ἀγάπη, ἀλλὰ κρίσεως, καὶ λογισμῶν ὀρθῶν. ὥστε τὸ ἀγαπᾶσθαι παρὰ Παύλου οὕτω σφοδρῶς, τεκμήριόν ἐστι τινὰ εἶναι μέγαν καὶ θαυμαστόν. καὶ ἐν τῇ ἀπολογίᾳ, φησί, καὶ βεβαιώσει τοῦ εὐαγγελίου. καὶ τί θαυμαστὸν, εἰ ἐν τῷ δεσμωτηρίῳ εἶχεν αὐτούς; οὐδὲ γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν, φησί, καθ' ὃν εἰσῄειν εἰς τὸ δικαστήριον ἀπολογησόμενος, ἐξεπέσατέ μου τῆς μνήμης. οὕτω γάρ ἐστι τυραννικὸς ὁ ἔρως ὁ πνευματικὸς, ὡς μηδενὶ παραχωρεῖν καιρῷ, ἀλλ' ἀεὶ τῆς ψυχῆς ἔχεσθαι τοῦ φιλοῦντος, καὶ μηδεμίαν θλῖψιν ἢ ὀδύνην συγχωρεῖν περιγενέσθαι τῆς ψυχῆς. καθάπερ γὰρ ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, τοσαύτης αἰρομένης φλογὸς, δρόσος ἦν τοῖς μακαρίοις ἐκείνοις παισίν, οὕτω καὶ φιλία τοῦ ἀγαπῶντος καὶ ἀρέσκοντος Θεῷ τὴν ψυχὴν καταλαβοῦσα, πᾶσαν ἀποτινάσσει φλόγα, καὶ δρόσον ποιεῖ θαυμαστήν. καὶ βεβαιώσει τοῦ εὐαγγελίου, φησίν. ἄρα τὰ δεσμὰ βεβαίωσις τοῦ εὐαγγελίου ἦν, ἄρα ἀπολογία. καὶ πάνυ ὑγιῶς. ὅτι εἰ μὴ παρῃτήσατο τὰ δεσμὰ, ἔδοξεν ἂν εἶναι ἀπατεών· νῦν δὲ πάντα ὑπομένων, καὶ δεσμὰ, καὶ θλῖψιν, δηλοῖ ὡς οὐκ ἀνθρωπίνης τινὸς αἰτίας ἕνεκεν ταῦτα πάσχει, ἀλλὰ διὰ τὸν Θεὸν τὸν ἀνταποδιδόντα. οὐδεὶς γὰρ ἂν καὶ ἀποθανεῖν εἵλετο καὶ τοσούτους κινδύνους ἀναδέξασθαι, οὐδεὶς ἂν καὶ βασιλεῖ τοιούτῳ κατεδέξατο προσκροῦσαι, τῷ Νέρωνι λέγω, εἰ μὴ πρὸς ἕτερον ἑώρα βασιλέα πολλῷ μείζονα. ἄρα* βεβαίωσις τοῦ εὐαγγελίου ἦν τὰ δεσμά. ὅρα πῶς ἐκ περιουσίας εἰς τὸ ἐναντίον ἅπαντα περιέτρεψεν. ὃ γὰρ ἐνόμιζον εἶναι ἀσθένειαν καὶ κατήφειαν, τοῦτο βεβαίωσίν φησι. καὶ εἰ μὴ τοῦτο γέγονεν, ἐν ἀσθενείᾳ ἦν. εἶτα δείκνυσιν, ὅτι οὐ προσλήψεως ἡ ἀγάπη, ἀλλὰ κρίσεως. διὰ τί; ἔχω ὑμᾶς, φησιν, ἐν τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ διὰ τὸ συγκοινωνοὺς εἶναι τῆς χάριτος. τί ἐστι τοῦτο; ἡ χάρις τοῦ ἀποστόλου τοῦτο ἦν τὸ δεσμεῖσθαι; τὸ ἐλαύνεσθαι; τὸ μυρία πάσχειν δεινά; ναί. Ἀρκεῖ γάρ σοι, φησιν, ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Διὸ εὐδοκῶ, φησιν, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν. ἐπεὶ οὖν ὁρῶ ὑμᾶς διὰ τῶν ἔργων τὴν ἀρετὴν ἐπιδεικνυμένους, καὶ τῆς χάριτος ταύτης ὄντας κοινωνοὺς, καὶ μετὰ προθυμίας, εἰκότως ταῦτα στοχάζομαι. ὁ γὰρ πεῖραν ὑμῶν εἰληφὼς, καὶ μάλιστα πάντων ὑμᾶς εἰδὼς, καὶ τὰ ὑμέτερα κατορθώματα, ὅτι καὶ τοσοῦτον ἡμῶν ἀφεστηκότες βιάζεσθε μὴ ἀπολειφθῆναι ἡμῶν ἐν ταῖς θλίψεσιν, ἀλλὰ τῶν ὑπὲρ τοῦ εὐαγγελίου πειρασμῶν κοινωνῆσαι, καὶ μηδὲν ἔλαττον ἐμοῦ ἔχειν τοῦ εἰς τοὺς ἀγῶνας ἐμβεβηκότος, αὐτοὶ οἱ πόρρωθεν ὄντες, δίκαιός εἰμι ταῦτα μαρτυρεῖν. διὰ τί δὲ οὐκ εἶπε κοινωνοὺς, ἀλλὰ, συγκοινωνούς; καὶ αὐτὸς ἐγὼ, φησιν, ἑτέρῳ κοινωνῶ, ἵνα γένωμαι συγκοινωνὸς τοῦ εὐαγγελίου· τουτέστιν, ἵνα κοινωνήσω τῶν ἀποκειμένων ἀγαθῶν τῷ εὐαγγελίῳ. καὶ τὸ δὲ θαυμαστὸν, τὸ πάντας αὐτοὺς οὕτω διακεῖσθαι, ὥστε συγκοινωνοὺς Παύλου ἀκούειν. συγκοινωνούς μου γὰρ, φησι, τῆς χάριτος πάντας ὑμᾶς ὄντας. ἀπὸ τῶν προοιμίων τοίνυν τούτων πέποιθα, ὅτι τοιοῦτοι ἔσεσθε μέχρι τέλους. οὐ γὰρ ἔνι οὕτω λαμπρὰν ἀρχὴν σβεσθῆναι καὶ λῆξαι, ἀλλὰ μεγάλα δείκνυσι τὰ τέλη.

β. Κορ. ιβ. θ.

α. Κορ. θ. κγ.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἐστι κοινωνῆσαι καὶ ἑτέρως χάριτος, καὶ πειρασμῶν, καὶ θλίψεων, κοινωνῶμεν, παρακαλῶ, καὶ ἡμεῖς. πόσοι τῶν ἐνταῦθα ἑστώτων, μᾶλλον δὲ πάντες ἐβούλεσθε κοινωνῆσαι τῷ Παύλῳ τῶν ἀποκειμένων ἀγαθῶν. ἔνεστιν, εἰ βούλεσθε τοῖς τὴν διακονίαν ἀναδεδεγμένοις τὴν ἐκείνου, τοῖς πάσχουσί τι δεινὸν διὰ τὸν Χριστὸν συμμαχῆσαι, βοηθῆσαι. εἶδες ἐν πειρασμῷ τὸν ἀδελφόν; ὄρεξον χεῖρα. εἶδες τὸν διδάσκαλον ἀγωνιζόμενον; παράστηθι. ἐπ'

οὐδεὶς

χ. ἐμοὶ
* καὶ
χ. εἰς
χ. τῶν
χ. καὶ
χ. θλίψεις
* καὶ
χ. κοινωνὸς
χ. λῆξαι ἁπλῶς, εἰ μὴ μεγάλα δείξει καὶ τὰ τέλη.
ἴσ. ἑτέρους
χ. βουλ.
χ. εἰ τοίνυν βούλεσθε, ἔστι τοῦ διακόνου ποιεῖν. πῶς; ὅταν τοῖς
χ. συμμαχ[ῆσαι] προθύμως, βοηθῆς, χεῖρα ὀρέγῃς.
χ. παράστηθι

οὐδεὶς κατὰ Παῦλόν ἐστι, φησίν. εὐθέως ἀπόνοια, εὐθέως κρίνουσιν. οὐδεὶς κατὰ Παῦλόν ἐστι; κἀγὼ ὁμολογῶ. Ἀλλ' ὁ δεχόμενος, φησί, προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. (Ματθ. ι. μα.) μὴ γὰρ ἐκεῖνοι διὰ τοῦτο ἐθαυμάζοντο, ἐπειδὴ Παύλῳ συνέπραττον; οὐ διὰ τοῦτο, ἀλλ' ἐπειδὴ * ἀνεδέξαντο τὸ κήρυγμα. Παῦλος διὰ τοῦτο τίμιος ἦν, ἐπειδὴ ταῦτα ἔπασχε διὰ τὸν Χριστόν. κατὰ Παῦλον μὲν οὐδείς ἐστι. τί λέγω κατὰ Παῦλον; ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγὺς τοῦ μακαρίου ἐκείνου· τὸ δὲ κήρυγμα τὸ αὐτό ἐστιν, ὅπερ καὶ τότε. οὐκ ἐν δεσμοῖς δὲ ὅτι μόνοι ἐκοινώνουν αὐτῷ, ἀλλὰ καὶ ἐξ ἀρχῆς. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. (Φιλιπ. δ. ιε.) καὶ χωρὶς πειρασμῶν δὲ ἔχει πολλοὺς ὁ διδάσκαλος πόνους, ἀγρυπνίας, κόπους τοὺς ἐν λόγῳ, διδασκαλίας, μέμψεις, κατηγορίας, αἰτίας, βασκανίας. μικρὰ ταῦτα, * τὸ μυρίων ἀνέχεσθαι στομάτων, ἐξὸν τὰ αὐτοῦ μεριμνᾶν; οἴμοι, τί πάθω; ἐν μέσῳ δυοῖν ἐναπείλημμαι πραγμάτων ἀπόρων. βούλομαι μὲν γὰρ καὶ προτρέψαι ὑμᾶς, καὶ παρακαλέσαι πρὸς τὴν συμμαχίαν καὶ τὴν ἀντίληψιν τῶν ἁγίων τοῦ Θεοῦ· δέδοικα δὲ μή ποτέ τις ὑποπτεύσῃ, ὅτι οὐχ ὑμῶν ἕνεκεν, ἀλλ' ἐκείνων ταῦτα λέγω. ἴστε δὲ, ὅτι οὐκ ἐκείνων ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν. καὶ εἰ βούλεσθε προσέχειν, δι' αὐτῶν τῶν λόγων ὑμᾶς πείθω· οὐκ ἔστιν ἴσον ὑμῖν τὸ κέρδος, κἀκείνοις. ὑμεῖς μὲν γὰρ ἐὰν δῶτε, ταῦτα δώσετε, ὧν καὶ μικρὸν ὕστερον καὶ ἑκόντες καὶ ἄκοντες ἀποστήσεσθε, καὶ παραχωρήσετε ἑτέροις· ἃ δὲ λαμβάνετε, πολλῷ μεγάλα ἐστὶ καὶ μείζονα. ἢ οὐχ οὕτω διάκεισθε, ὅτι διδόντες λήψεσθε; εἰ γὰρ μὴ οὕτω διάκεισθε, οὐδὲ δοῦναι ὑμᾶς βούλομαι. οὕτως οὐ τὸν ὑπὲρ ἐκείνων ποιοῦμαι λόγον. εἰ μή τις οὕτω περὶ ἑαυτὸν διέθηκεν, ὡς λαμβάνων μᾶλλον ἢ διδούς, ὡς κερδαίνων μυρία, ὡς εὐεργετούμενος ἢ εὐεργετῶν, μὴ διδότω· εἰ ὡς χάριν παρέχων τῷ λαμβάνοντι, μὴ διδότω. οὐ γὰρ τοῦτό μοι περισπούδαστον, τοσοῦτον * τραφῆναι τοὺς ἁγίους. καὶ γὰρ σὺ μὴ δῷς, ἕτερος δώσει. ὥστε ὃ βούλομαι, τοῦτό ἐστιν, ὑμᾶς τῶν ὑμετέρων ἁμαρτημάτων παραμυθίαν ἔχειν. ὁ δὲ μὴ οὕτω διδοὺς, οὐχ ἕξει παραμυθίαν. οὐ γάρ ἐστι τὸ δοῦναι, τοῦτ' ἔστιν ἐλεημοσύνην ἐργάσασθαι, ἀλλὰ τὸ μετὰ προθυμίας, τὸ χαίροντα, τὸ χάριν εἰδότα τῷ λαμβάνοντι. Μὴ ἐκ λύπης γάρ, φησι, μηδὲ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. (β. Κορ. θ. ζ.) εἰ μή τις τοίνυν οὕτω δίδωσι, μὴ διδότω. ζημία γὰρ τοῦτ' ἔστιν, οὐκ ἐλεημοσύνη. εἰ τοίνυν ἴστε, ὅτι ὑμεῖς κερδαίνετε, οὐκ ἐκεῖνοι, ἴστε, ὅτι μεῖζον ὑμῖν τὸ κέρδος γίνεται. ἐκείνοις μὲν γὰρ τὸ σῶμα τρέφεται, ὑμῖν δὲ ἡ ψυχὴ εὐδοκιμεῖ· ἐκείνοις οὐδὲν ἀφίεται τῶν ἁμαρτημάτων, ὅταν λάβωσιν, ὑμῖν δὲ τὰ πολλὰ τῶν προσκρουσμάτων ὑποτέμνεται. κοινωνῶμεν τοίνυν αὐτοῖς τῶν ἄθλων τῶν μεγάλων. βασιλέας ἑαυτοὺς ποιοῦντές τινες, οὐχ ἡγοῦνται διδόναι μᾶλλον, ἢ λαμβάνειν. ἑαυτὸν ποίησαι σὺ τὸν Χριστόν, καὶ ἕξεις πολλὴν ἀσφάλειαν. βούλει καὶ Παύλῳ κοινωνῆσαι; * τί λέγω Παύλῳ, ὅπου γε Χριστός ἐστιν ὁ λαμβάνων; ἵνα δὲ εἰδῆτε ὅτι ὑμῶν ἕνεκεν πάντα καὶ λέγω, καὶ ποιῶ, οὐ τῆς ἑτέρων ἀναπαύσεως κηδόμενος, εἴ τις ἐστὶ τῶν προεστώτων ἐκκλησίας ἐν ἀφθονίᾳ ζῶν, καὶ μηδενὸς δεόμενος, κἂν ἅγιος ᾖ, μὴ δῷς, ἀλλὰ προτίμησον ἐκεῖνον τὸν ἐν ἐνδείᾳ ὄντα, κἂν μὴ οὕτως ᾖ θαυμαστός. τί δήποτε; ὅτι καὶ ὁ Χριστὸς οὕτω βούλεται, ὡς ὅταν λέγῃ· Ἐὰν ποιῇς δεῖπνον ἢ ἄριστον, μὴ καλέσῃς τοὺς φίλους σου, μηδὲ τοὺς συγγενεῖς, ἀλλὰ τοὺς ἀναπήρους, τοὺς χωλούς, τοὺς τυφλούς, τοὺς μὴ δυναμένους ἀνταποδοῦναί σοι. (Λουκ. ιδ. ιβ.) οὐ γὰρ ἁπλῶς δεῖ τὰς τοιαύτας δεξιώσεις ποιεῖν, ἀλλὰ τοῖς πεινῶσιν, ἀλλὰ τοῖς διψῶσιν, ἀλλὰ τοῖς γυμνητεύουσιν, ἀλλὰ τοῖς ξένοις *. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐτράφην, ἀλλ', ἐπείνων· Πεινῶντά με γάρ, φησιν, εἴδετε, καὶ ἐθρέψατε. (Ματθ. κε. λε.) διπλοῦν τὸ δικαίωμα *. εἰ δὲ τὸν ἁπλῶς πεινῶντα δεῖ τρέφειν, πολλῷ μᾶλλον, ὅταν καὶ ἅγιος ὁ πεινῶν ᾖ. ἂν τοίνυν ἅγιος μὲν ᾖ, μὴ δέηται δὲ, μὴ δῷς. οὐ γὰρ κέρδος τοῦτο. οὐδὲ γὰρ ἐπέταξεν ὁ Χριστός, μᾶλλον δὲ οὐδὲ ἅγιος ἐκεῖνος ὁ ἐν ἀφθονίᾳ ὢν, καὶ λαμβάνων.

Margin notes: * κοινωνὸν — * εἰπέ μοι, — * ὥστε — * προσκρουσμάτων — * ἢ μὴ πρότερα — * ἵνα καὶ τῆς ἀνάγκης κοινωνήσωσιν ἄθλων. ἔστι — * κωλύω — * ἀλλὰ τοῖς πλοῦτε... ὅπου ὄντος ... πτωχοῦ.

ἀμοιβαῖον. ὁρᾷς, ὅτι οὐκ αἰσχροκερδείας ἕνεκεν ἡμῖν ταῦτα λέλεκται, ἀλλὰ τοῦ ὑμῖν λυσιτελοῦντος; θρέψον τὸν πεινῶντα, ἵνα μὴ θρέψῃς τὸ τῆς γεέννης πῦρ. ἐκεῖνος ἐσθίων ἀπὸ τῶν σῶν, καὶ τὰ λείψανα ἁγιάζει. ἐννόησον πῶς ἔτρεφε τὸν Ἠλίαν ἡ χήρα· οὐκ ἔθρεψε μᾶλλον, ἢ ἐτράφη· οὐκ ἔδωκε μᾶλλον, ἢ ἔλαβε. τοῦτο καὶ νῦν γίνεται, καὶ πολλῷ μεῖζον. οὐ γὰρ ὑδρία ἀλεύρου, οὐδὲ καμψάκης ἐλαίου, ἀλλὰ τί; ἑκατονταπλασίονα, καὶ ζωὴ αἰώνιος τοῖς τοιούτοις ἡ ἀμοιβή. ἔλεος ὁ τοῦ Θεοῦ, ἡ τροφὴ ἡ πνευματική. γίνεται ζύμη καθαρά. χήρα ἦν ἐκείνη, λιμὸς ἐπέκειτο, καὶ οὐδὲν τούτων αὐτὴν ἐκώλυσε. παῖδες ἦσαν αὐτῇ, καὶ οὐδὲ οὕτως ἐνεποδίσθη. αὕτη τῆς τὰ δύο καταβαλούσης λεπτὰ ἴση γέγονεν. οὐκ εἶπε πρὸς ἑαυτήν, τί ἀπὸ τούτου λήψομαι; αὐτὸς ἐμοῦ δεῖται· εἰ τινὰ ἰσχὺν εἶχεν, οὐκ ἂν ἐλίμωξεν, ἔλυσεν ἂν τὸν αὐχμὸν, οὐκ ἂν ἀπεχθῶς ἦν τοῖς αὐτοῖς· προσκεκρουκὼς ἴσως καὶ αὐτὸς τῷ Θεῷ. οὐδὲν τούτων ἐνενόησεν. ὁρᾷς πόσον ἀγαθόν ἐστι μετὰ ἁπλότητος εὖ ποιεῖν, καὶ μὴ σφόδρα περίεργον εἶναι περὶ τὸν εὖ πάσχοντα; εἰ ἤθελε πολυπραγμονῆσαι, ἐδίστασεν ἄν, οὐκ ἂν ἐπίστευσεν. οὕτω καὶ Ἀβραάμ, εἰ ἤθελε πολυπραγμονῆσαι, οὐκ ἂν ἐδέξατο ἀγγέλους. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ἐν τούτοις ἀκριβολογούμενον ἐπιτυχεῖν ἁγίου ποτέ· ἀλλ᾽ ὁ τοιοῦτος μάλιστα ἐμπίπτει εἰς ἐπιθέτας. καὶ πῶς, ἐγὼ λέγω. ὁ εὐλαβὴς οὐ βούλεται φαίνεσθαι εὐλαβής, καὶ οὐ περιτίθησιν ἑαυτῷ σχῆμα, κἂν μέλλῃ διαπολύεσθαι· ὁ δὲ ἐπιθέτης, ἅτε τέχνην τὸ πρᾶγμα ἔχων, πολλὴν εὐλάβειαν καὶ δυσφώρατον περιτίθεται. ὥστε ὁ μὲν καὶ τοῖς δοκοῦσιν ἀνευλαβέσιν εὖ ποιῶν, τοῖς εὐλαβέσι περιπεσεῖται· ὁ δὲ τοὺς νομιζομένους εὐλαβεῖς ἐπιζητῶν, ἀνευλαβέσιν ἐμπεσεῖται πολλάκις. διό, παρακαλῶ, ἐν ἁπλότητι πάντα πράττωμεν. θῶμεν γὰρ ὅτι καὶ ἐπιθέτης ἐστὶν ὁ προσιών· οὐκ ἐκελεύσθης ταῦτα περιεργάζεσθαι. Παντὶ γάρ, φησι, τῷ αἰτοῦντί σε δίδου, καὶ ἐκπορίζειν κτεινόμενον μὴ φείσῃ· καίτοι τοὺς πλείους τῶν ἀναιρουμένων ἐπὶ κακοῖς ἁλισκομένους τοῦτο ὑπομένουσιν, ἀλλὰ μὴ φείσῃ, φησίν. οὕτω γὰρ ὅμοιοι ἐσόμεθα τῷ Θεῷ, οὕτω θαυμασθησόμεθα, καὶ τῶν ἀθανάτων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. β. 8 ΜΑΡΤΥΣ ΓΑΡ ΜΟΙ ΕΣΤΙΝ Ο ΘΕΟΣ, ΩΣ ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ· 9 Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει· 10 Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, 11 Πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

ΟΥχ ὡς ἀπιστούμενος μάρτυρα καλεῖ τὸν Θεόν, ἀλλ᾽ ἐκ πολλῆς διαθέσεως τοῦτο ποιεῖ, καὶ τῷ σφόδρα πεπεῖσθαι καὶ θαρρεῖν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐκοινώνησαν αὐτῷ, ἵνα μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο αὐτὸ τοῦτο ποιεῖ, καὶ οὐχ ἁπλῶς ἐκείνων ἕνεκεν, διὰ τοῦτο ἐπήγαγεν, ὅτι ἐν σπλάγχνοις Χριστοῦ. τί ἐστι τοῦτο; ἀντὶ τοῦ, κατὰ Χριστόν· ἐπειδὴ πιστοί ἐστε, ἐπειδὴ φιλεῖτε τὸν Χριστόν, διὰ τὴν κατὰ Χριστὸν ἀγάπην. καὶ οὐκ εἶπεν ἀγάπην*, ἀλλ᾽, ὃ θερμότερον ἦν, σπλάγχνα Χριστοῦ, ὡσανεὶ πατὴρ ὑμῶν γεγονὼς διὰ τὴν συγγένειαν τὴν κατὰ Χριστόν. σπλάγχνα γὰρ ἡμῖν αὕτη χαρίζεται, σπλάγχνα θερμὰ καὶ διάπυρα. τοῖς γὰρ γνησίοις αὐτοῦ δούλοις σπλάγχνα χαρίζεται. ἐν ἐκείνοις, φησί, τοῖς σπλάγχνοις, ὡσανεί τις εἴποι, φιλῶ ὑμᾶς σπλάγχνοις οὐ φυσικοῖς, ἀλλὰ τοῖς θερμοτέροις, τοῖς τοῦ Χριστοῦ. ὡς ἐπιποθῶ, φησι, πάντας ὑμᾶς· ἐπιποθῶ πάντας, ἐπειδὴ καὶ πάντες τοιοῦτοί ἐστε. οὐ γὰρ δυνατὸν εἰπεῖν πῶς ἐπιποθῶ. οὐ γὰρ δύναμαι παραστῆσαι τῷ

λόγῳ

Παροιμ. κε. ι.

γ. ἐν πολλῷ μείζονι.

γ. ἔλεος ὁ τοῦ Θεοῦ ὑπὸ τροφὴ γίνεται πνευματική, ζύμη καθαρά.

γ. καὶ μέλλῃ

γ. τοῖς ἀνευλαβέσι

γ. συμφέροντα.

γ. πόθῳ ἐπί

* ἁπλῶς

λόγῳ ἢ πόθον. ἀλλὰ τῷ Θεῷ, τῷ τὰ ἀπόρρητα εἰδέναι, τῷ τὰς καρδίας ἐμβατεύοντι. οὐκ ἂν δὲ, εἰ ἐκολάκευεν αὐτοὺς, τὸν Θεὸν ἐκάλεσε μάρτυρα. οὐδὲ γὰρ ἀκίνδυνον τοῦτο. καὶ τοῦτο, φησὶ, προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ. καλῶς· ἀκόρεστον γὰρ ἀγαθὸν τοῦτο. ὅρα πῶς φιλούμενος ἔτι μᾶλλον ἐβούλετο φιλεῖσθαι. ὁ γὰρ οὕτω φιλῶν τὸν φιλούμενον, οὐδαμοῦ τῆς ἀγάπης βούλεται ἵστασθαι. οὐ γὰρ ἔνι μέτρον τούτου τοῦ καλοῦ· ὅθεν ἀεὶ αὐτὸ ὀφείλεσθαι βούλεται ὁ Παῦλος, Μηδενὶ, λέγων, μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους. μέτρον ἀγάπης, τὸ μηδαμοῦ ἵστασθαι. ἵνα ἡ ἀγάπη ὑμῶν, φησὶν, ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ. ὅρα τὴν διάθεσιν τῆς λέξεως· ἔτι μᾶλλον καὶ μᾶλλον, φησὶν, ἵνα περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει. οὐχ ἁπλῶς τὴν φιλίαν θαυμάζει, οὐδὲ ἁπλῶς τὴν ἀγάπην, ἀλλὰ τὴν ἐξ ἐπιγνώσεως· τουτέστιν, οὐχ ἵνα πρὸς ἅπαντας τῇ αὐτῇ χρήσησθε ἀγάπῃ. τοῦτο γὰρ οὐκ ἀγάπης, ἀλλὰ ψυχρότητος. τί ἐστιν, ἐν ἐπιγνώσει; τουτέστι, μετὰ κρίσεως, μετὰ λογισμοῦ, μετὰ τοῦ αἰσθάνεσθαι. εἰσὶ γάρ τινες ἀλόγως φιλοῦντες, ἁπλῶς καὶ ὡς ἔτυχεν. ὅθεν οὐδὲ σφοδρὰς εἶναι τὰς τοιαύτας φιλίας ἐστίν. ἐν ἐπιγνώσει, φησὶ, καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, τουτέστι, τὰ συμφέροντα. οὐκ ἐμοῦ ἕνεκεν ταῦτα λέγω, φησὶν, ἀλλ' ὑμῶν αὐτῶν. δέος γὰρ μή τις παραφθαρῇ ὑπὸ τῆς τῶν αἱρετικῶν ἀγάπης. τοῦτο γὰρ ὅλον αἰνίττεται διὰ τοῦ οὕτως εἰπεῖν. καὶ ὅρα πῶς αὐτὸ τίθησιν. οὐ δι' ἐμὲ, φησὶ, ταῦτα λέγω, ἀλλ' ἵνα ἦτε ὑμεῖς εἰλικρινεῖς· τουτέστιν, ἵνα μηδὲν νόθον δόγμα τῷ τῆς ἀγάπης προσχήματι παραδέχησθε. πῶς οὖν ἀλλαχοῦ φησιν, Εἰ δυνατὸν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε; εἰρηνεύετε, εἶπεν, οὐχ οὕτως ἀγαπᾶτε, ὥστε ὑπὸ τῆς φιλίας βλάπτεσθαι. (Εἰ γὰρ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, φησὶν, ἔκκοψον αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ) ἀλλ' ἵνα ἦτε εἰλικρινεῖς, τὸ κατὰ Θεὸν δηλονότι, καὶ ἀπρόσκοποι, τὸ κατὰ ἀνθρώπους. πολλοὺς γὰρ πολλάκις αἱ φιλίαι βλάπτουσιν. εἰ γὰρ καὶ σὲ οὐδὲν βλάπτει, φησὶν, ἀλλ' ἕτερος προσκόπτει. εἰς ἡμέραν Χριστοῦ· τουτέστιν, ἵνα τότε εὑρεθῆτε καθαροὶ, μηδένα σκανδαλίσαντες. πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ· τουτέστι μετὰ τῶν δογμάτων καὶ βίον ὀρθὸν ἔχοντες. οὐ γὰρ ἁπλῶς ὀρθὸν εἶναι χρὴ, ἀλλὰ πεπληρῶσθαι καρπῶν δικαιοσύνης. ἔστι γὰρ δικαιοσύνη, ἀλλ' οὐ κατὰ Χριστὸν, οἷον βίος ἁπλῶς ἐνάρετος· ἀλλὰ τῶν διὰ Ἰησοῦ Χριστοῦ, φησὶν, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ. ὁρᾷς ὅτι οὐ τὴν ἐμαυτοῦ δόξαν λέγω, ἀλλὰ τὴν τοῦ Θεοῦ δικαιοσύνην; πολλαχοῦ δὲ δικαιοσύνην καὶ τὴν ἐλεημοσύνην λέγει. μὴ παραβλαπτέτω ὑμᾶς, φησὶν, ἡ ἀγάπη πρὸς τὸ εἰδέναι τὰ συμφέροντα, μηδὲ, ὅτι ἐμὲ ἀξία φιλεῖς, καταπέσῃς. βούλομαι μὲν αὔξεσθαι τὴν ἀγάπην ὑμῶν, οὐχ οὕτω μέντοι, ὡς καὶ βλάπτεσθαι. καὶ οὐχ ἁπλῶς βούλομαι παραλῆψιν, ἀλλὰ δοκιμάσαντας, εἰ ἡμεῖς καλῶς λέγομεν. καὶ οὐκ εἶπεν, ἵνα τὰ ἡμέτερα αἱρῆσθε, ἀλλ', ἵνα δοκιμάζητε. καὶ οὐκ εἶπε φανερῶς, μὴ τοῖς ἔξω πλησιάζετε· ἀλλὰ, πρὸς τὸ συμφέρον βούλομαι ὑμῖν τὴν ἀγάπην γίνεσθαι, οὐχ ἵνα ἀνεπαισθήτως δέχησθε. ἀνόητον γὰρ, εἰ μὴ διὰ Χριστοῦ τὴν δικαιοσύνην ἐργάζεσθε, καὶ δι' αὐτοῦ. ἰδοὺ, τὸ δι' αὐτοῦ, πάλιν. ἆρα οὖν ὑπουργῷ κέχρηται τῷ Θεῷ; ἄπαγε· οὐχ ἵνα ἐγὼ, φησὶν, ἐπαινεθῶ, οὕτως εἶπον, ἀλλ' ἵνα ὁ Θεὸς δοξάζηται).

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν·

13 Ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσιν. Εἰκὸς ἦν ἀκούσαντας, ὅτι ἐδέδετο, ἀλγεῖν, καὶ νομίζειν ἐγκόπτεσθαι τὸ κήρυγμα. τί οὖν ποιεῖ; εὐθέως ταύτην ἀφαιρεῖ τὴν ὑποψίαν, καί φησι, τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθε. καὶ τοῦτο δὲ φιλοῦντος, τὸ τὰ καθ' ἑαυτὸν δηλοῦν αὐτοῖς, ἅτε μεριμνῶσι, τί λέγεις; ἐδέθης, ἐνεποδίσθης, καὶ πῶς τὸ εὐαγγέλιον ἐπιδίδωσιν;

Ρωμ. ιγ. η.
Ρωμ. ιβ. ιη.
Ματθ. ε. κθ.

ἄλ. χρῆσθε
ἄλ. συμβαίνει
ἄλ. ... δικαιοσύνην λέγω, ἀλλὰ τὴν τοῦ Θεοῦ δόξαν

ἀποδίδωσιν; ὥστε τοὺς δεσμούς μου, φησὶ, φανεροὺς γενέσθαι τοὺς ἐν Χριστῷ ἐν ὅλῳ τῷ πραιτωρίῳ. τοῦτο οὐ μόνον οὐκ ἐπεστόμισε τοὺς ἄλλους, οὐδὲ δειλοὺς ἐποίησεν, ἀλλ' αὐτὸ τοῦτο καὶ μᾶλλον παρεθάῤῥυνεν. Εἰ τοίνυν οἱ πλησίον ὄντες τῶν κινδύνων οὐ μόνον οὐδὲν ἐβλάβησαν, ἀλλὰ καὶ πλέον θάρσος ἔλαβον, πολλῷ μᾶλλον ὑμᾶς θαῤῥεῖν χρή. Εἰ μὲν γὰρ δεθεὶς ἀθλίως ἀπήνεγκα, καὶ ἐσίγησεν, εἰκὸς ἦν καὶ ἐκείνους τὸ αὐτὸ παθεῖν· εἰ δὲ δεθεὶς πλέον ἐπαῤῥησιάζετο, μᾶλλον αὐτοῖς θάρσος ἔδωκεν, ἢ εἰ μὴ ἐδέθη. πῶς δὲ εἰς προκοπὴν τοῦ εὐαγγελίου γέγονε τὰ δεσμά; ὁ Θεὸς τοῦτο ᾠκονόμησε, φησὶν, ὥστε μὴ λαθεῖν τοὺς ἐμοὺς δεσμοὺς, τοὺς δεσμοὺς τοὺς ἐν Χριστῷ, τοὺς διὰ Χριστὸν ἐν ὅλῳ τῷ πραιτωρίῳ. Ἕως γὰρ οὕτως ἐκάλουν τὰ βασίλεια. οὐδὲ ἐν τῷ πραιτωρίῳ μόνον, ἀλλὰ καὶ ἐν τῇ πόλει, φησὶ, πάσῃ. γρ. τὸ πραιτώριον οὕτως ἐκάλουν

14 Καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν ἀφόβως τὸν * λόγον λαλεῖν. Δείκνυσι τοῦτο, ὅτι καὶ πρότερον ἐθάῤῥουν, καὶ μετὰ παῤῥησίας διελέγοντο, νῦν δὲ πολλῷ πλέον. Εἰ ἄλλοι τοίνυν, φησὶ, διὰ τοὺς ἐμοὺς δεσμοὺς θαῤῥοῦσι, πολλῷ μᾶλλον ἐγώ· εἰ ἄλλοις εἰμὶ αἴτιος θάρσους, πολλῷ μᾶλλον ἐμαυτῷ. καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ. ἐπειδὴ μέγα ἦν τὸ εἰπεῖν, ὅτι οἱ ἐμοὶ δεσμοὶ θάρσος αὐτοῖς παρέχουσι, διὰ τοῦτο προσλαβὼν εἶπεν, ἐν Κυρίῳ. ὁρᾷς πῶς καὶ ἀναγκαίως ἔχων τοῦ μεγαληγορεῖν, τὸ μετριάζειν οὐκ ἀφίσταται; περισσοτέρως τολμᾷν, φησὶν, ἀφόβως τὸν λόγον λαλεῖν. τὸ, περισσοτέρως, δεικνύντος ἐστὶν, ὅτι ἤδη ἤρξαντο.

* τοῦ Θεοῦ

γρ. ὁρῶν

15 Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσι.

Τί δὲ τοῦτό ἐστιν, ἄξιον μαθεῖν. ἐπειδὴ κατεσχέθη ὁ Παῦλος, τὸν πόλεμον ἐγεῖραι βουλόμενοι σφοδρὸν τὸν παρὰ τοῦ βασιλέως πολλοὶ τῶν ἀπίστων, καὶ αὐτοὶ τὸν Χριστὸν ἐκήρυττον, ὥστε μείζονα γενέσθαι τοῦ βασιλέως τὴν ὀργὴν, ἅτε τοῦ κηρύγματος διασπειρομένου, καὶ εἰς τὴν τοῦ Παύλου κεφαλὴν τὸ πᾶν ἐλθεῖν τοῦ θυμοῦ. δύο τοίνυν προφάσεων γεγόνασιν οἱ δεσμοὶ αἴτιοι. τοῖς μὲν γὰρ θάρσος παρέσχον πολὺ, τοὺς δὲ εἰς ἐλπίδα ἄγοντες τῆς ἐμῆς ἀπωλείας, παρεσκεύασαν κηρύττειν τὸν Χριστόν. τινὲς μὲν διὰ φθόνον· τουτέστι, φθονοῦντες τῇ δόξῃ τῇ ἐμῇ καὶ τῇ ἐνστάσει, καὶ βουλόμενοί με ἀπολέσθαι καὶ ἐρίζοντές μοι, συμπεριέπουσιν ἐμοί· ἢ ὥστε καὶ αὐτοὶ τιμᾶσθαι, καὶ οἰόμενοι ἀφαρπάσαι τι τῆς δόξης τῆς ἐμῆς. τινὲς δὲ καὶ δι' εὐδοκίαν· τουτέστι, χωρὶς ὑποκρίσεως, ἀπὸ προθυμίας ἁπάσης.

16 Οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς. Τουτέστιν, οὐκ εἰλικρινῶς, οὐδὲ δι' αὐτὸ τὸ πρᾶγμα, ἀλλὰ διὰ τί; Οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου. Νομίζοντες γὰρ οὕτω με εἰς μείζονα ἐμπεσεῖσθαι κίνδυνον, θλῖψιν ἐπάγουσιν ἐπὶ θλίψει. ὢ τῆς ὠμότητος, ὢ τῆς διαβολικῆς ἐνεργείας. δεδεμένον ἑώρων καὶ ἐμβεβλημένον εἰς δεσμωτήριον, καὶ ἔτι ἐφθόνουν· αὔξειν αὐτοῦ τὰ τῆς συμφορᾶς ἤθελον, καὶ μείζονος ὀργῆς ὑπεύθυνον καθιστᾶν. καὶ καλῶς εἶπε τὸ, οἰόμενοι· οὐ γὰρ οὕτως ἐξέβαινεν. ἐκεῖνοι μὲν γὰρ ἐνόμιζόν με τούτῳ λυπεῖν, ἐγὼ δὲ ἔχαιρον ὅτι τὸ κήρυγμα ἐπεδίδου. οὕτως ἔστιν ἔργον ποιῆσαι ἀγαθὸν, οὐκ ἀπὸ προαιρέσεως ἀγαθῆς· καὶ οὐ μόνον οὐ κεῖται μισθὸς ὑπὲρ τούτου, ἀλλὰ καὶ κόλασις. ἐπειδὴ γὰρ μείζοσι κινδύνοις περιβαλεῖν τὸν τοῦ Χριστοῦ κήρυκα βουλόμενοι, τὸν Χριστὸν ἐκήρυττον, οὐ μόνον οὐ λήψονται μισθὸν, ἀλλὰ καὶ τιμωρίας ἔσονται ὑπεύθυνοι, καὶ κολάσεως.

17 Οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.

Τί ἐστιν, ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι; τουτέστι, τὰς εὐθύνας μοι ὑποτέμνοντες τὰς πρὸς τὸν Θεὸν, καὶ συναντιλαμβανόμενοί τι εἰς ἀπολογίαν. ὃ λέγει τοῦτό ἐστι· προσετάγην κηρύξαι· μέλλω διδόναι εὐθύνας, καὶ ἀπολογεῖσθαι ὑπὲρ τοῦ ἔργου, οὗ προσεστάλην. ὥστε οὗτοί μοι τὴν ἀπολογίαν γενέσθαι εὔκολον, συναντιλαμ-

γρ. [illegible]άζοντες

γρ. προστέ- γμαι

βάνονται

ἐκβήσονταί μοι. ἐὰν γὰρ εὑρεθῶσι πολλοὶ τῶν κατηχηθέντες καὶ πιστεύσαντες, εὔκολός μοι ἡ ἀπολογία ἔσται.

18 Τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται.

Ὅρα τὸ φιλόσοφον τοῦ ἀνδρός. οὐ σφόδρα αὐτῶν κατηγόρησεν, ἀλλ᾽ εἶπε τὸ γινόμενον. τί γάρ, φησιν, ἐμοὶ διαφέρει, εἴτε οὕτως, εἴτε ἐκείνως; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται. οὐκ εἶπε, καταγγελλέσθω, ὡς νομοθετῶν, ἀλλὰ τὸ μὲν τὸ συμβαῖνον ἀπήγγειλε. διὰ τοῦτο δὲ, εἰ καὶ νομοθετῶν ἔλεγεν, οὐδ᾽ οὕτω τὰς αἱρέσεις εἰσῆγεν. ἐξετάσωμεν γάρ, εἰ δοκεῖ, τὸ πρᾶγμα, καὶ εὑρήσομεν ὅτι, εἰ καὶ οὕτως ἐπέτρεπε κηρύττειν, ὡς ἐκεῖνοι, οὐδ᾽ οὕτω τὰς αἱρέσεις εἰσῆγε. πῶς; ὅτι ἐκεῖνοι ὑγιῶς μὲν ἐκήρυττον, ὁ σκοπὸς δὲ καὶ ἡ διάνοια, μεθ᾽ ἧς ἐποίουν τοῦτο, διέφθαρτο, οὐ τὸ κήρυγμα ἐνήλλακτο. καὶ πολλὴν εἶχον ἀνάγκην οὕτω κηρύττειν. διὰ τί; ὅτι εἰ ἑτέρως ἐκήρυξαν, οὐχ ὡς Παῦλος, εἰ ἑτέρως ἐδίδαξαν, οὐχ ὡς ἐκεῖνος, οὐκ ἂν τὴν τοῦ βασιλέως ὀργὴν ηὔξησαν. νῦν δὲ παρὰ τὸ κήρυγμα αὐτοῦ αὔξειν, καὶ ὁμοίως διδάσκειν, καὶ ἴσους αὐτῷ μαθητὰς ποιεῖν, ἴσχυσαν ἐκπολεμῶσαι τὸν βασιλέα, ἅτε πολλοῦ τοῦ πλήθους τῶν μαθητῶν φαινομένου. ἀλλὰ τίς μιαρὸς καὶ ἀναίσθητος ἐπιλαβόμενος τοῦ χωρίου τούτου, φησί· καὶ μὴν τὸ ἐναντίον εἰργάσαντο ἄν, τοὺς ἤδη πεπιστευκότας ἀπήλασαν, οὐχὶ τοὺς πιστοὺς ἐπιδιδόναι ἐποίησαν ἄν, εἴγε λυπεῖν αὐτὸν ἐβούλοντο. τί οὖν ἐροῦμεν; ὅτι πρὸς ἓν τοῦτο ἑώρων ἐκεῖνοι, τὸ κινδύνοις αὐτὸν περιβαλεῖν τοῖς προσοῦσι, τὸ μὴ ἀφεῖναι διαφυγεῖν· καὶ τούτῳ μᾶλλον ᾤοντο αὐτὸν λυπεῖν, καὶ τὸ κήρυγμα σβεννύναι, ἢ ἐκείνως. ἑτέρως μὲν γὰρ ἂν καὶ ἔσβεσαν τοῦ βασιλέως τὴν ὀργήν, καὶ ἀφῆκαν ἂν ἐξελθεῖν, καὶ πάλιν κηρύξαι· οὕτω δὲ δι᾽ αὐτῶν τὸ πᾶν εἶναι ἐνόμιζον, ἀμελῶς αὐτοί. καὶ τοῦτο οὐκ ἦν τῶν πολλῶν συνιδεῖν, ἀλλὰ πικρῶν ὄντων καὶ σφόδρα μοχθηρῶν.

Εἶτα καὶ ἐν τούτῳ, φησί, χαίρω, ἀλλὰ καὶ χαρήσομαι. Τί ἐστιν, ἀλλὰ καὶ χαρήσομαι; καὶ ἐπὶ πλέον λυπεῖται, φησιν. ἐμοὶ γὰρ συμπράττουσι καὶ ἄκοντες, καὶ τὴν αὐτοῖς πεποιημένων ἐκεῖνοι μὲν κόλασιν, ἐγὼ δέ, ὁ μηδὲν συμβαλόμενος, μισθὸν λήψομαι. ἆρά ἐστί τι τοῦ διαβόλου μιαρώτερον, τοῦ κήρυγμα ἐπινοήσαντος ἀναδέξασθαι κόλασιν τοῖς πειθομένοις περιξενοῦν; ὁρᾷς πόσοις κακοῖς τοὺς ἑαυτοῦ περιπείρει; κόλασιν καὶ τιμωρίας αὐτοῖς ἐκ τοῦ κηρύγματος καὶ τῶν πόνων ἐπινοεῖ τούτων. καὶ ποῖος ἂν ἄλλος ἐχθρὸς καὶ πολέμιος τῆς ἐκείνων σωτηρίας τὸ πᾶν οὕτω διέθηκεν; ὁρᾷς ὅτι ὁ τὴν ἀλήθειαν πολεμῶν οὐ τοὺς ἰδίους, ἀλλ᾽ ἑαυτὸν πλήττει μᾶλλον, ὡς ὁ πρὸς κέντρα λακτίζων;

19 Οἶδα γάρ, φησιν, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ. Οὐδὲν τοῦ διαβόλου μιαρώτερον. οὕτω πανταχοῦ πόνοις ἀνονήτοις τοὺς ἑαυτοῦ περιβάλλει καὶ διαπαρά. καὶ οὐ μόνον τῶν ἐπάθλων οὐκ ἀφίησι τυχεῖν, ἀλλὰ καὶ κολάσεως ὑπευθύνους ποιεῖ οἷόν. οὐ γὰρ μόνον κήρυγμα, ἀλλὰ καὶ νηστείαν τοιαύτην, καὶ παρθενίαν αὐτοῖς νομοθετεῖ, ἣ οὐ μόνον μισθῶν ἀποστερήσει, ἀλλὰ καὶ μέγα κακὸν ἐπάξει τοῖς αὐτὴν μετιοῦσι· περὶ ὧν φησι καὶ ἀλλαχοῦ, Κεκαυτηριασμένοι τὴν ἰδίαν συνείδησιν. α. Τιμ. δ. β.

Διό, παρακαλῶ, ὑπὲρ πάντων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι ἡμῖν καὶ τοὺς πόνους ἐπικούφισε, καὶ τοὺς μισθοὺς ηὔξησεν. οἱ γὰρ τῶν περὶ ἡμῖν γαμοῦντες σωφρόνως ἀπολαύουσι μισθῶν, οὐκ ἀπολαύουσι τῶν παρθενευόντες παρ᾽ αὐτοῖς, ἀλλὰ τῆς τῶν πορνευόντων οἱ παρθενεύοντες παρὰ τοῖς αἱρετικοῖς δίκην γενήσονται ὑπεύθυνοι. ὃ δὲ πᾶν ἐκ τοῦ μὴ ὀρθῷ σκοπῷ τι ποιεῖν, ἀλλ᾽ ἐπὶ διαβολῇ τῶν τοῦ Θεοῦ κτισμάτων, καὶ τῆς ἀπορρήτου σοφίας αὐτοῦ. μὴ δὴ ῥαθυμῶμεν· ἔδωκεν ἡμῖν ὁ Θεὸς συμμέτρους ἀγῶνας, οὐδένα πόνον ἔχοντας· ἀλλὰ μὴ καταφρονῶμεν διὰ τοῦτο. εἰ γὰρ τῶν αἱρετικοὶ κατατείνουσιν ἑαυτοὺς πόνοις ἀνονήτοις, τίς ἡμῖν ἔσται ἀπολογία μηδὲ τοὺς ἐλάττονας *, καὶ πλείονα μισθὸν ἔχοντας βουλομένοις ἐνεγκεῖν; τί

Margin: γρ. εἰσῆγε τὰς αἱρέσεις — γρ. ἀναίσχυντος — γρ. ἀφῆκεν — γρ. αὐτῶν — γρ. ἐπὶ πλέον — γρ. τοῦ κηρύγματος κόλασιν, καὶ τῶν πόνων τιμωρίαν ἐπινοή-σαντος; γρ. -των — γρ. πῶς; ἐκ — γρ. ταπεινούμενος — ΗΘΙΚΟΝ

γὰρ φορτικόν, τί δὲ ἐπαχθὲς τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ; οὐ δύνασαι παρθενεύειν; ἔξεστί σοι γαμεῖν. οὐ δύνασαι πάντων ἑαυτὸν ἀποστερῆσαι τῶν σῶν; "ἔξεστί σοι ἀπὸ τῶν ὄντων χορηγεῖν· [χ. ἔνεστι] [β. Κορ. η. ιδ.] Τὸ ὑμῶν περίσσευμα, φησίν, εἰς τὸ ἐκείνων ὑστέρημα. ταῦτα γὰρ εἶναι δοκεῖ φορτικά, χρημάτων λέγω καταφρονεῖν, καὶ ἐπιθυμίας σωματικῆς περιγενέσθαι*· [* σπουδάζειν] τὰ δὲ ἄλλα οὐδεμιᾶς δεῖται δαπάνης, οὐδεμιᾶς βίας. ποία γάρ, εἰπέ μοι, βία τὸ μὴ κακῶς εἰπεῖν, μηδὲ διαβάλλειν ἁπλῶς; ποία δὲ βία τὸ μὴ βασκαίνειν τοῖς ἑτέρων ἀγαθοῖς; ἢ ποία βία τὸ μὴ δόξῃ ἁλῶναι; τὸ βασανίζεσθαι, τὸ φέρειν, καρτερίας ἐστί· καρτερίας, τὸ φιλοσοφίαν ἀσκεῖν· καρτερίας, τὸ πενίαν διενεγκεῖν· καρτερίας, τὸ λιμῷ προσπαλαῖσαι καὶ δίψῃ. ὅταν δὲ μηδὲν τούτων ᾖ, ἀλλ' ἔξεστιν ἀπολαύοντα τῶν ὄντων, ὡς χρειώδης προσῆκε, μὴ φθονεῖν τοῖς ἑτέρων, ποία βία; οὐδαμόθεν ἄλλοθεν ὁ φθόνος, ἀλλ' ἐκ τοῦ προστετηκέναι τοῖς παροῦσι, μᾶλλον δὲ πάντα τὰ κακά. εἰ γὰρ μηδὲν ἐνόμιζες εἶναι τὰ χρήματα, καὶ τὴν δόξαν τοῦ κόσμου τούτου, οὐκ ἂν τοῖς ἔχουσιν ἐβάσκηνας. ἀλλ' ἐπειδὴ κέχηνας, καὶ θαυμάζεις αὐτὰ καὶ ἐπτόησαι, διὰ τοῦτό σοι καὶ τὰ τῆς βασκανίας ἐνοχλεῖ, διὰ τοῦτο καὶ τὰ τῆς κενοδοξίας· καὶ πάντα ἀπὸ τούτου γίνεται, ἀπὸ τοῦ θαυμάζειν τὰ τοῦ παρόντος βίου. βασκαίνεις, ὅτι ὁ δεῖνα πλουτεῖ; καὶ μὴν ἐλέους καὶ δακρύων ἄξιος ὁ τοιοῦτος. ἀλλ' ἐρεῖς εὐθέως γελῶν, ἐγὼ δακρύων ἄξιος, οὐκ ἐκεῖνος. δακρύων ἄξιος καὶ σύ· οὐχ ὅτι πένῃ, ἀλλὰ διὰ τὸ σεαυτὸν ἐλεεινὸν εἶναι νομίζειν. τοὺς γὰρ οὐδὲν ἔχοντας κακὸν καὶ δυσφοροῦντας δακρύομεν, οὐχ ὅτι κακόν τι ἔχουσιν, ἀλλ' ὅτι μὴ ἔχοντες, ἔχειν νομίζουσιν. εἰπὲ γάρ μοι, εἴ τις πυρετοῦ ἀπηλλαγμένος, ἀλύει καὶ περιστρέφεται, ὑγιαίνων ἐπὶ τῆς κλίνης κείμενος, ἆρα τῶν πυρεττόντων μᾶλλον οὐχὶ δακρύων ἄξιος ὁ τοιοῦτος, οὐκ ἐπειδὴ πυρέττει (οὐδὲ γὰρ πυρέττει) ἀλλ' ἐπειδὴ μηδὲν ἔχων δεινόν, ἔχειν τι νομίζει; καὶ σὺ δακρύων ἄξιος διὰ τοῦτο, ὅτι σεαυτὸν ἐλεεινὸν νομίζεις, οὐ διὰ τὴν πενίαν. τῆς γὰρ πενίας ἕνεκεν καὶ μακάριος. τί φθονεῖς τῷ πλουσίῳ; ὅτι φροντίδων ἑαυτὸν ὑπεύθυνον κατέστησε πλειόνων; ὅτι δουλείαν χαλεπωτέραν; ὅτι μυρίαις ἁλύσεσι, καθάπερ τις κύων, τοῖς αὐτοῦ δέδεται χρήμασι; κατέλαβεν ἑσπέρα, κατέλαβε νύξ, καὶ ὁ καιρὸς τῆς ἀναπαύσεως καιρὸν αὐτῷ θορύβου καιρὸν καὶ ἀηδίας καὶ λύπης ἔχει καὶ μερίμνης. ψόφος ἐγένετο· εὐθέως ἀνεπήδησεν. ὁ δεῖνα ἐσυλήθη; μᾶλλον ἐκείνου φροντίζει τοῦ ἀπολωλεκότος ὁ μὴ ἀπολωλεκώς. ἐκεῖνος μὲν γὰρ ἅπαξ ἀπώλεσε, καὶ λυπηθεὶς ἀπέθετο τὴν φροντίδα· οὗτος δὲ αὐτὴν ἔχει διηνεκῶς. κατέλαβε νύξ, ὁ λιμὴν τῶν ἡμετέρων καμάτων, τὸ παραμύθιον τῶν ἡμετέρων συμφορῶν, τὸ φάρμακον τῶν τραυμάτων. καὶ γὰρ οἱ περιωδυνίᾳ τινὶ κατεχόμενοι, τοῖς φίλοις μὲν καὶ συγγενέσι καὶ οἰκείοις, πολλάκις δὲ καὶ πατράσι παραμυθουμένοις οὐκ εἶξαν, οὐδὲ ὑπεχώρησαν, ἀλλὰ καὶ πρὸς τὰ ῥήματα αὐτὰ ἠγανάκτησαν (πάντως γὰρ καύματος μᾶλλον τὸ πικρὸν τῆς ὀδύνης τὰς ἡμετέρας θλίβει ψυχάς) τῷ δὲ ὕπνῳ κελεύοντι παύεσθαι οὐδὲ ἀντιβλέψαι ἴσχυσαν. καθάπερ οὖν σῶμα διακαές, καὶ θερμοτέρᾳ "προσαπολαῦσαν ἀκτῖνι κατατρυχόμενον, ὥσπερ τινὶ καταγωγίῳ πολλὰς ἔχοντι πηγὰς καὶ τὴν ἀπὸ τῆς λεπτῆς αὔρας παραμυθίαν, οὕτως ἡ νὺξ τῷ ὕπνῳ παραδίδωσιν ἡμῶν τὴν ψυχήν· [χ. -απολαύ…] μᾶλλον δὲ οὐχ ἡ νύξ, οὐδὲ ὁ ὕπνος τοῦτο ἐργάζεται, ἀλλ' ὁ Θεὸς εἰδὼς τὸ ταλαίπωρον τοῦ γένους, ἅπαντα ταῦτα εἰργάσατο. ἀλλ' ἡμεῖς οὐκ ἐλεοῦμεν ἑαυτούς, ἀλλ' ἐπενοήσαμεν, καθάπερ ἐχθροὶ ὄντες ἑαυτῶν, τῆς φυσικῆς ἀνάγκης τῆς ἀναπαύσεως μείζονα τυραννίδα, τὴν ἀπὸ τοῦ πλούτου ἀγρυπνίαν. [Σειρ. λα. α.] Μέριμνα γάρ, φησι, πλούτου, ἀφιστᾷ ὕπνον. καὶ ὅρα πόση τοῦ Θεοῦ ἡ κηδεμονία. οὐκ ἐπέτρεψε τῇ προθέσει τὴν ἀνάπαυσιν, οὐδὲ προαιρέσει τινὶ τὴν χρείαν τοῦ ὕπνου, ἀλλὰ φυσικῇ αὐτὴν ἀνάγκῃ κατέδησεν, ἵνα καὶ ἄκοντες εὐεργετώμεθα. τὸ γὰρ καθεύδειν, τῆς φύσεως. ἡμεῖς δὲ ὡς σφόδρα ἑαυτοὺς μισοῦντες, ὡς "ἑτέρους πολεμοῦντες καὶ θλίβοντες, τῆς φυσικῆς ταύτης ἀνάγκης μείζονα [χ. ἑτέρους] τὴν ἀπὸ τῶν χρημάτων ἐπενοήσαμεν τυραννίδα. ἡμέρα γέγονε; καὶ δέδοικεν ὁ τοιοῦτος τοὺς συκοφάντας. ἡ νὺξ κατέλαβε; τρέμει λῃστάς. θάνατος ἐπέστη; τοῦ θανάτου μᾶλλον δάκνεται,

ὅτι

ὅτι ἑτέρων ἐκεῖνα ἦν. παιδίον εἶχε; πλείων ἡ ἐπιθυμία· καὶ τότε δοκεῖ πένης εἶναι. οὐκ εἶχε; μᾶλλον ὀδυνᾶται. τοῦτον οὖν μακαρίζεις τὸν οὐδαμόθεν ἀναπνεῦσαι δυνάμενον; τοῦτον φθονεῖς τὸν κλυδωνιζόμενον, ὁ ἐν λιμένι γαλήνης τῇ πενίᾳ ἑστηκώς; οὕτως καὶ τοῦτο ἐλάττωμα τῆς ἀνθρωπίνης φύσεως, τὸ μὴ φέρειν τὰ ἀγαθὰ γενναίως, ἀλλ' εἰς τὰς ὑπερηφανίας ἐξυβρίζειν. καὶ ταῦτα μὲν ἐνταῦθα. ὅταν δὲ ἀπέλθωμεν ἐκεῖ, ἄκουσον τί φησιν ὁ πλούσιος, ὁ μυρίων ἀγαθῶν κύριος, ὥσπερ σὺ λέγεις (οὐ γὰρ ἂν ἔγωγε ταῦτα εἴποιμι ἀγαθά, ἀλλ' ἀδιάφορα) οὗτος τοίνυν ὁ μυρίων ἀγαθῶν κύριος, ἄκουσον τί φησι, καὶ τίνος ἐν χρείᾳ καθέστηκε· Πάτερ, φησὶν, Ἀβραὰμ, πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ ἐπιστάξῃ μου τὴν γλῶτταν, ὅτι ἀποτηγανίζομαι. Λουκ. ις. κδ. εἰ γὰρ μηδὲν ὧν εἶπον ἔπαθεν ὁ πλούσιος ἐκεῖνος, εἰ γὰρ ἐν ἀδείᾳ καὶ φροντίδος χωρὶς τὸν ἅπαντα βίον διήγαγε· τί λέγω τὸν ἅπαντα βίον; τὴν μίαν ῥοπὴν ἐκείνην (ῥοπὴ γάρ ἐστιν. ὡς μία γὰρ ῥοπή, φησιν, ὁ πᾶς ἡμῶν αἰὼν πρὸς τὸν αἰῶνα τὸν ἄπειρον) εἰ τοίνυν πάντα αὐτῷ κατὰ γνώμην προεκεχωρήκει, ἆρα οὐκ ἐλεεινός ἐστι τούτων τῶν ῥημάτων, μᾶλλον δὲ τούτων τῶν πραγμάτων; οὐχὶ οἴνῳ περιεκλύζετό σου ἡ τράπεζα; νῦν δὲ οὐδὲ σταγόνος ὕδατος εἶ κύριος, καὶ ταῦτα ἐν χρείᾳ πολλῇ καθεστηκώς. οὐχ ἡλκωμένον ὑπερεώρας τὸν πένητα; νῦν δὲ ἀξιοῖς αὐτὸν ἰδεῖν, καὶ οὐδεὶς δίδωσι. παρὰ τὸν πυλῶνα ἦν τὸν σόν· νῦν δὲ ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ. ὑπὸ τὰς μεγάλας σὺ κατέκεισο ὀροφάς· νῦν δὲ ἐν τῷ πυρὶ τῆς γεέννης. ἀκουέτωσαν ταῦτα οἱ πλούσιοι· μᾶλλον δὲ οὐχ οἱ πλούσιοι, ἀλλ' οἱ ἀνελεήμονες. οὐ γὰρ, ἐπειδὴ πλούσιος ἦν, * ἐκολάζετο, ἀλλ' ἐπειδὴ οὐκ ἠλέησεν. ἔνεστι γὰρ πλουτοῦντα καὶ ἐλεοῦντα τυχεῖν πάντων τῶν ἀγαθῶν. καὶ διὰ τοῦτο οὐδένα ἄλλον ὁρᾷ, ἀλλ' ἢ ἐκεῖνον τὸν δεόμενον αὐτοῦ, ἵνα μάθῃ, ὅτι δικαίως ταῦτα ἔπαθεν, εἰς ὑπόμνησιν ἐλθὼν ὧν ἔπραξε. μὴ γὰρ οὐκ ἦσαν μυρίοι πένητες δίκαιοι; ἀλλ' ὁ πρὸς τῷ πυλῶνι αὐτοῦ κείμενος, οὗτος αὐτῷ φαίνεται, παιδεύων αὐτὸν καὶ ἡμᾶς, ὅσον ἐστὶν ἀγαθὸν μὴ πεποιθέναι ἐπὶ χρήμασιν. οὐδὲν ἐκεῖνον ἔβλαψεν ἡ πενία πρὸς τὸ βασιλείας τυχεῖν· οὐδὲν τοῦτον ὠφέλησεν ὁ πλοῦτος πρὸς τὸ γέενναν ἐκφυγεῖν. μέχρι ποτὲ πένητες; μέχρι ποτὲ πτωχοί; οὐκ ἔστιν, οὐκ ἔστι πένης ὁ μηδὲν ἔχων, ἀλλ' ὁ πολλῶν ἐπιθυμῶν· οὐκ ἔστι πλούσιος ὁ πολλὰ κεκτημένος ἀλλ' ὁ μηδενὸς δεόμενος. τί γὰρ ὄφελος πᾶσαν μὲν κεκτῆσθαι τὴν οἰκουμένην, τοῦ δὲ μηδὲν ἔχοντος μᾶλλον ἐν ἀθυμίᾳ διάγειν; αἱ προαιρέσεις καὶ πλουτοῦντας, καὶ πενομένους ἐργάζονται, οὐχ ἡ τῶν χρημάτων περιουσία, οὐδὲ ἡ ἔνδεια. βούλει γενέσθαι πλούσιος σὺ ὁ πένης; ἔξεστί σοι βουλομένῳ, καὶ ὁ κωλύων οὐδείς. καταφρόνησον τῶν τοῦ κόσμου χρημάτων· νόμισον εἶναι μηδὲν, ὥσπερ οὖν οὐδέ ἐστιν· ἔκβαλε τὴν ἐπιθυμίαν τοῦ πλούτου, καὶ ἐπλούτησας. οὗτός ἐστιν ὁ πλουτῶν, ὁ μὴ θέλων πλουτεῖν· ὁ μὴ θέλων πένεσθαι, οὗτός ἐστιν ὁ πενόμενος. καθάπερ ἐκεῖνος νοσῶν, ὁ καὶ ἐν ὑγείᾳ ἀλύων, οὐκ ἐκεῖνος ὁ πάσης ὑγείας εὐκολώτερον τὴν νόσον φέρων· οὕτω καὶ ἐνταῦθα πένης ἐστὶν, ὁ μὴ δυνάμενος πενίαν ἐνεγκεῖν, ἀλλ' ἐν πλούτῳ τῶν πενομένων μᾶλλον ἡγούμενος εἶναι πένης, οὐκ ἐκεῖνος ὁ τῶν πλουτούντων μᾶλλον τὴν πενίαν εὐκολώτερον φέρων. οὗτος γάρ ἐστι μᾶλλον ὁ πλουσιώτερος. εἰπὲ γάρ μοι, τὴν πενίαν διὰ τί δέδοικας; διὰ τί τρέμεις; οὐχὶ διὰ λιμόν; οὐχὶ διὰ δίψος; οὐχὶ διὰ ψῦχος; ἢ οὐ διὰ ταῦτα; ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν οὐδεὶς ὁ τούτων ἀπορήσας ποτέ. Ἐμβλέψατε γὰρ εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε· τίς ἐπίστευσε τῷ Κυρίῳ, καὶ ἐγκατελείφθη; ἢ τίς ἤλπισεν ἐπ' αὐτὸν, καὶ κατῃσχύνθη; Σειρ. β. ια. καὶ πάλιν, Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Ματθ. ς. κς. οὐδένα δὲ ἔχοι τις ἡμῖν δεῖξαι [τινα] ταχέως διὰ λιμὸν καὶ ψῦχος ἀπολωλότα. τίνος οὖν ἕνεκεν τρέμεις τὴν πενίαν; οὐκ ἔχεις εἰπεῖν. εἰ γὰρ εὐπορεῖς τῶν ἀναγκαίων, τί δήποτε τρέμεις αὐτήν; ὅτι πλῆθος οὐκ ἔστι σοι οἰκετῶν; τοῦτο δεσποτῶν ἐστιν ἀπαλλαγῆναι, τοῦτο μακαριότης

διηνεκής, τοῦτο φροντίδος ἐλευθερία. ἀλλ' ὅτι καὶ σκεύη, καὶ κλίναι, καὶ ἔπιπλα οὐκ ἔστιν ἐξ ἀργυρίου κατεσκευασμένα σοι; τί γὰρ σὺ πλέον ἔχεις κατὰ τὴν ἀπόλαυσιν ὁ ταῦτα κεκτημένος; οὐδέν. τὰ γὰρ τῆς χρήσεως ἴσα, οὔτε ἀπὸ ταύτης, οὔτε ἀπ' ἐκείνης τῆς ὕλης ᾖ. ἀλλ' ὅτι φοβερὸς οὐκ εἶ τοῖς πολλοῖς; μηδὲ γένοιό ποτε. ποία γὰρ ἡδονὴ τρέμειν καὶ δεδοικέναι σέ τινας; ἀλλ' ὅτι ἑτέρους φοβῇ; ἀλλ' οὐκ ἔστι φοβηθῆναι. θέλεις γὰρ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. ἀλλ' ὅτι εὐκαταφρόνητοί ἐσμεν, φησί, καὶ πρὸς τὸ παθεῖν ἕτοιμοι κακῶς; μάλιστα μὲν οὐχ ἡ πενία τοῦτο ποιεῖ, ἀλλ' ἡ κακία, ἐπεὶ πολλοὶ πένητες ἀπραγμόνως τὸν πάντα βίον διαγόντων, ἄρχοντες, πλουτοῦντες καὶ δυνάσται πάντων κακούργων καὶ λῃστῶν καὶ τυμβωρύχων ἀθλιώτεροι ἀπήλλαξαν. ὅπερ γὰρ ἐπὶ σοῦ ἡ πενία, τοῦτο ἐπ' ἐκείνου ὁ πλοῦτος ἔχει. ὥσπερ γάρ σε διὰ τὸ καταφρονεῖσθαι ἐνταῦθα ποιοῦσι κακῶς τινες κακοῦν βουλόμενοι· οὕτως ἐκείνους διὰ τὸ φθονεῖν καὶ βασκαίνειν, καὶ μᾶλλον οὗτοι, ἢ ἐκεῖνοι· μᾶλλον αὕτη ἡ ἀνάγκη ἰσχυροτέρα τοῦ κακῶς ποιεῖν. ὁ μὲν γὰρ φθονῶν, ἰσχύϊ πάσῃ καὶ δυνάμει πάντα πράττει, ὁ δὲ καταφρονῶν πολλάκις καὶ ἠλέησε τὸν καταφρονούμενον· καὶ τοῦτο αὐτὸ γέγονεν αὐτῷ αἴτιον ἀπαλλαγῆς, τὸ πένητα εἶναι, τὸ μὴ δύνασθαι ἔχειν ἰσχύν. μεγάλα τὰ κατορθώσεις, λέγοντες πρὸς αὐτόν, ἐὰν τὸν ἄθλιον ἀνέλῃς, ἐὰν ἀποκτείνῃς ἕνα πένητα, πόσον οὐκ ἀπολαύσῃ μισθόν, καὶ οὕτως αὐτοῦ τὸν θυμὸν χαλῶμεν. ἐπὶ δὲ τῶν πλουτούντων ὁ φθόνος ἐφέστηκεν, οὐ πρότερον λήγων, ἕως ἂν ὅπερ βούλεται ἐργάσηται, καὶ τὸν ἰὸν ἐκχέῃ τὸν αὐτοῦ. ὁρᾷς ὅτι οὐχ ἡ πενία, οὐδὲ ὁ πλοῦτος ἀγαθόν, ἀλλ' ἡ ἡμετέρα προαίρεσις; οὐκοῦν ταύτην ῥυθμίζωμεν, ταύτην παιδεύωμεν φιλοσοφεῖν. ἂν αὕτη καλῶς ᾖ διακειμένη, οὔτε πλοῦτος ἡμᾶς ἐκβαλεῖ τῆς βασιλείας δυνήσεται, οὔτε πενία ποιήσει ἔλαττον ἔχειν· ἀλλὰ πράως τὴν πενίαν οἴσομεν, οὐδὲν εἰς τὴν τῶν μελλόντων ἀγαθῶν ἀπόλαυσιν παραβλαπτόμενοι, οὐδὲ ἐνταῦθα· ἀλλὰ καὶ τούτων ἀπολαύσομεν, καὶ τῶν ἐν οὐρανοῖς ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Ρωμ. ιγ. γ.

γρ. ἥδοιτο

γρ. κατορθώσεις

γρ. -λαύσῃς

γρ. ἀγαθῶν

Λογ. γ. 18 ΚΑΙ ΕΝ ΤΟΥΤΩ ΧΑΙΡΩ, ΑΛΛΑ ΚΑΙ
χαρήσομαι. 19 Οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν
διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ,
20 Κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου.

ΤΗν μεγάλην καὶ φιλόσοφον ψυχὴν οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δακεῖν, οὐκ ἔχθραι, οὐ κατηγορίαι, οὐ διαβολαί, οὐ κίνδυνοι, οὐκ ἐπιβουλαί. ὥσπερ γὰρ εἰς μεγάλην τινὰ ἀκρώρειαν καταφυγοῦσα, ἄληπτος πᾶσίν ἐστι τοῖς κάτωθεν ἀνιοῦσιν ἀπὸ τῆς γῆς. τοιαύτη ἦν ἡ τοῦ Παύλου ψυχή, πάσης ἀκρωρείας ὑψηλότερον τόπον τὸν τῆς φιλοσοφίας καταλαβοῦσα τῆς πνευματικῆς, τῆς ὄντως φιλοσοφίας. τὰ γὰρ τῶν ἔξωθεν, ῥήματά μόνον ἐστὶ καὶ παίδων ἀθύρματα. ἀλλ' οὐ περὶ τούτων λόγος νῦν, τὰ δὲ Παύλου φθεγγόμεθα τέως. ὁ μακάριος ἐκεῖνος καὶ τὸν βασιλέα ἔχων πολεμοῦντα αὐτῷ, πρὸς τούτῳ εἶχε καὶ ἑτέρους ἐχθροὺς διαφόρως αὐτὸν λυποῦντας, καὶ μετὰ πικρᾶς διαβολῆς. καὶ τί φησιν; οὐ μόνον οὐκ ἀλγῶ τούτοις, οὐδὲ καταπίπτω, ἀλλὰ καὶ χαίρω, καὶ χαρήσομαι· οὐ πρὸς καιρόν, φησιν, ἀλλ' ἀεὶ διὰ τοῦτον χαρήσομαι. οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν τὴν μέλλουσαν. πῶς γὰρ οὐκ ἀποβήσεται, ὅταν καὶ ἡ
ἔχθρα

γρ. ἐχθροῦ

γρ. φθέγματα

ἔχθρα μου τὸ κήρυγμα ὠφελεῖ καὶ ὁ πρὸς ἐμὲ ζῆλος; Διὰ τῆς ὑμῶν δεήσεως, φησὶ, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου. Ὅρα τὴν ταπεινοφροσύνην τοῦ μακαρίου τούτου. Ἐν τοῖς ἄθλοις ὢν ἀγωνιζόμενος, μυρία κατωρθώκει, πρὸς αὐτῷ τῷ στεφάνῳ λοιπὸν ἔκειτο. Παῦλος γὰρ ὢν (τί γὰρ ἄν τις εἴποι πλέον;) καὶ Φιλιππησίοις γράφει, ὅτι διὰ τῆς ὑμῶν δεήσεως δύναμαι σωθῆναι, ὁ ἀπὸ μυρίων κατορθωμάτων κεκτημένος τὴν σωτηρίαν. Καὶ ἐπιχορηγίας, φησὶ, τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ. Τί ἐστιν, ἐπιχορηγίας; ἂν διὰ τῶν ὑμετέρων εὐχῶν, φησὶ, καταξιωθῶ τῆς χάριτος. Τὸ γὰρ, ἐπιχορηγίας, τοῦτό ἐστιν, ἂν ἐπιχορηγηθῇ, ἂν πλέον ἐπιδοθῇ μοι πνεῦμα εἰς σωτηρίαν, τουτέστι, τὴν ἀπαλλαγὴν, καὶ τὸν παρόντα διαφεύξομαι, ὡς τὸν πρότερον κίνδυνον. Περὶ τούτου γάρ φησιν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο· μὴ αὐτοῖς λογισθείη· ἀλλ᾽ ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με. Τὸ γοῦν καὶ νῦν ἤδη προφητεύει, διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, λέγων κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου. Οὕτω γάρ, φησιν, ἐλπίζω. Ἵνα γὰρ πάλιν ἡμεῖς μὴ τὸ ὅλον ταῖς ἐκείνων ἐπιτρέπωμεν εὐχαῖς, αὐτοὶ μηδὲν εἰσφέροντες, ὅρα πῶς ᾔτησε τὸ αὐτοῦ, τὴν ἐλπίδα, τὴν πάντων αἰτίαν τῶν ἀγαθῶν, καθάπερ ὁ προφήτης φησί· Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί· καθάπερ καὶ ἑτέρωθί φησιν, Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε· τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη; καὶ πάλιν ὁ μακάριος οὗτος φησιν, Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Κατὰ τὴν ἀποκαραδοκίαν, φησὶ, καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι. [αὕτη ἡ τοῦ Παύλου ἐλπὶς, τὸ ἐλπίζειν, ὅτι οὐδαμοῦ αἰσχυνθήσομαι.] Ὁρᾷς ὅσον ἐστὶν ἐλπίζειν ἐπὶ τὸν Θεόν; κἂν ὁτιοῦν γένηται, φησιν, οὐκ αἰσχυνθήσομαι· τουτέστιν, οὐ περιέσονται οὗτοι, ἀλλ᾽ ἐν πάσῃ παρρησίᾳ, καθὼς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου. Προσεδόκων ἐκεῖνοι διὰ τῆς παγίδος ταύτης δυνατὸν ἑλεῖν μὲν τὸν Παῦλον, σβέννυσθαι δὲ τὸ κήρυγμα, ὡς τοῦ δόλου τοῦ αὐτῶν ἰσχύοντος. Τοῦτο οὖν φησιν, ὅτι οὐκ ἔσται τοῦτο, οὐ νῦν ἀποθανοῦμαι· ἀλλ᾽ ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου. Πῶς; πολλάκις εἰς κινδύνους ἐνέπεσον, ἐν οἷς πάντες ἡμᾶς ἀπηγόρευσαν, μᾶλλον δὲ καὶ ἡμεῖς ἑαυτούς (Ἐν ἑαυτοῖς γὰρ τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν) ἀλλ᾽ ἐκ πάντων ἡμᾶς ἐρρύσατο ὁ Κύριος. Οὕτω καὶ νῦν μεγαλυνθήσεται ἐν τῷ σώματί μου. Ἵνα δὲ μή τις νομίσῃ καὶ εἴπῃ, ἂν σὺ ἀποθάνῃς, οὐ μεγαλυνθήσεται; ναί, φησιν, οἶδα. ἀλλ᾽ οὐ διὰ τοῦτο οὕτως εἶπον, ὅτι ἡ ζωὴ μόνη μεγαλυνεῖ αὐτὸν, ἀλλὰ καὶ ὁ θάνατος. Πῶς δὲ διὰ ζωῆς φησιν, οὐκ ἀναιροῦσί με, ἀλλὰ καὶ εἰ εἷλόν με, καὶ οὕτω μεγαλυνθήσεται ὁ Χριστός. Πῶς; διὰ μὲν ζωῆς, ὅτι ἐξείλετο· διὰ θανάτου δὲ, ὅτι οὐδὲ θάνατος ἔπεισέ με ἀρνήσασθαι αὐτὸν, ὅτι μοι τοσαύτην προθυμίαν ἐχαρίσατο, καὶ θανάτου ἐποίησεν ἰσχυρότερον· ἐκεῖ μὲν, ὅτι με ἀπήλλαξε κινδύνων, ἐνταῦθα δὲ, ὅτι με οὐκ εἴασε φοβηθῆναι τοῦ θανάτου τὴν τυραννίδα. Οὕτω μεγαλυνθήσεται διὰ ζωῆς καὶ θανάτου. Ταῦτα δὲ λέγει, οὐχ ὡς μέλλων ἀποθανεῖσθαι, ἀλλ᾽ ὅταν ἀποθάνῃ, ἵνα μηδὲν ἀνθρώπινον πάθωσιν. Ὅτι γὰρ οὐχ ὡς μέλλων ἀποθανεῖσθαι, ὃ μάλιστα αὐτοὺς ἐλύπει, ταῦτα ἔλεγεν, ὅρα πῶς αὐτοὺς παραμυθεῖται, μονονουχὶ λέγων· ταῦτα δὲ λέγω, φησὶν, οὐχ ὡς ἀποθανούμενος. Διὸ τοῦτο ἐπήγαγε προϊών· Καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. Τὸ δὲ, ἐν οὐδενὶ αἰσχυνθήσομαι, τοῦτό ἐστιν, οὐ φέρει μοι αἰσχύνην τὸ ἀποθανεῖν, ἀλλὰ καὶ μέγα κέρδος. Διὰ τί; οὐ γὰρ ἀθάνατός εἰμι, ἀλλὰ καὶ λαμπρότερος ἔσομαι, ἢ εἰ καὶ ἀθάνατος ἤμην. Οὐ γάρ ἐστιν ἴσον ἀθάνατον ὄντα καταφρονεῖν θανάτου, καὶ θνητόν. Ὥστε οὐδὲ τοῦτο αἰσχύνη, τὸ νῦν ἀποθανεῖν· πλὴν οὐκ ἀποθανοῦμαι. Ἐν οὐδενὶ αἰσχυνθήσομαι, οὔτε ἐν τῷ ζῆν, οὔτε ἐν τῷ ἀποθανεῖν, φησίν· ἀμφότερα γὰρ γενναίως ἐποίησα, εἴτε ζῆν, εἴτε ἀποθανεῖν. Καλῶς. Τοῦτο χριστιανῆς ψυχῆς. Ἀλλ᾽ ἐν πάσῃ, φησὶ, παρρησίᾳ. Ὁρᾷς, πῶς οὐκ αἰσχύνομαι; εἰ μὲν γὰρ ὁ τοῦ θανάτου

γρ. φησὶν

β. Τιμ. δ. 16.

Ψαλ. λβ.

Σειρ. β. ι.

Ρωμ. ε. ε.

γρ. αἰσχυνόμενοι.

β. Κορ. α. 9.

Φιλιπ. α. κε.

φόβος περιέκοπτέ μου τὴν παῤῥησίαν, αἰσχύνης ἄξιον τὸ ἀποθανεῖν. εἰ δὲ οὐδεὶς αὐτὸν ἐπελθὼν ἐφόβησεν, οὐκ αἰσχύνη τοῦτο· ἀλλ' εἴτε ζῶ, διὰ τοῦ ζῆν οὐκ αἰσχυνθήσομαι (κηρύττω γὰρ τὸ κήρυγμα) εἴτε ἀποθάνω, διὰ τοῦ ἀποθανεῖν οὐκ αἰσχυνθήσομαι. οὐ κατέσχε με γὰρ φόβος. τὴν γὰρ αὐτὴν παῤῥησίαν ἐπιδείκνυμαι. μὴ γὰρ, ἐπειδὴ δεσμὰ εἶπεν, αἰσχύνην τὸ πρᾶγμα νομίσητε. τοσούτων ἀγαθῶν αἴτιόν μοι γέγονεν, ὅτι καὶ ἑτέροις ἔδωκε θαῤῥεῖν. οὐ γὰρ τὸ δεθῆναι διὰ Χριστὸν, ἀλλὰ τὸ φοβηθέντα τὰ δεσμὰ προδοῦναί τι τῶν τοῦ Χριστοῦ, τοῦτο αἰσχύνη. ὡς ἂν τοῦτο μὴ ᾖ, καὶ παῤῥησίας προξενεῖ τὰ δεσμά. μὴ ἐπειδὴ πολλάκις διέφυγον κινδύνους (καὶ ἐγὼ ἐπὶ τούτοις καυχᾶσθαι πρὸς τοὺς ἀπίστους) ἂν μὴ συμβῇ τι τοιοῦτον, ἤδη νομίζητε αἰσχύνεσθαι. καὶ γὰρ καὶ τοῦτο οὐχ ἧττον ἐκείνου δίδωσιν ὑμῖν τὴν παῤῥησίαν. ὅρα πῶς ἐπὶ τοῦ οἰκείου προσώπου αὐτὸ προάγει· ὅπερ πολλαχοῦ ποιεῖ καὶ ἀλλαχοῦ, καθάπερ ἐπὶ Ῥωμαίων, Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον, φησί· καθάπερ ἐπὶ Κορινθίων. Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν, καὶ Ἀπολλώ. εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. οὐχ ὡς ἀγνοῶν δὲ τὸ φησι (οἶδε μὲν γὰρ ὅτι οὐκ ἀποθανεῖται τότε, ἀλλὰ μετὰ ταῦτα) πλὴν αὐτὴν προπαρασκευάζει τὴν ψυχὴν ἤδη.

[margin: κ. κατέσχε με] [margin: κ. ζῶ] [margin: Ῥωμ. α. ις. α Κορ. δ. ς.]

21 Ἐμοὶ γὰρ, φησὶ, τὸ ζῆν, Χριστὸς, καὶ τὸ ἀποθανεῖν, κέρδος. Καὶ γὰρ ἀποθανὼν, φησιν, οὐ τεθνήξομαι, τὴν ζωὴν ἔχων ἐν ἐμαυτῷ. τότε με ἀνεῖλον ἂν, εἰ ἴσχυσαν διὰ τοῦ φόβου τὴν πίστιν ἐκβαλεῖν τῆς ἐμῆς ψυχῆς· ἕως δ' ἂν Χριστὸς ᾖ μετ' ἐμοῦ, κἂν θάνατος ἐπέλθῃ, ζῶ. καὶ ἐν τῇ ζωῇ δὲ ταύτῃ, οὐ τοῦτό ἐστι μὲν τὸ ζῆν, ἀλλὰ ὁ Χριστός. εἰ τοίνυν οὐδὲ ἐν τῇ ζωῇ ταύτῃ τοῦτό ἐστιν· Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, τοῦτο κἀκεῖ λέγω. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. τοιοῦτον χρὴ εἶναι τὸν χριστιανόν. οὐ ζῶ, φησι, τὴν κοινὴν ζωήν. πῶς οὖν ζῇς, ὦ μακάριε Παῦλε; οὐχὶ τὸν ἥλιον ὁρᾷς; οὐχὶ τὸν κοινὸν ἀέρα ἀναπνεῖς; οὐχὶ ταύταις ταῖς ἁπάντων τρέφῃ τροφαῖς; οὐχὶ τὴν γῆν πατεῖς, ὥσπερ ἡμεῖς; οὐχὶ ὕπνου δέῃ; οὐχὶ ἐνδυμάτων; οὐχὶ ὑποδημάτων; τί λέγεις, οὐ ζῶ; πῶς οὐ ζῇς; τί μεγαλαυχεῖς; οὐκ ἔστι μεγαληγορία ταῦτα. εἰ μὲν γὰρ μὴ τὰ πράγματα ἐμαρτύρει, εἰκότως ἄν τις εἴποι μεγαληγορίαν εἶναι. εἰ δὲ τὰ πράγματα μαρτυρεῖ, ποία μεγαληγορία; πῶς οὖν οὐ ζῇ, μάθωμεν. καὶ γὰρ ἀλλαχοῦ φησιν· Ἐμοὶ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ἐμοὶ ὁ κόσμος. πῶς οὖν φησιν, οὐκέτι ζῶ, καὶ πῶς πάλιν, ἐμοὶ τὸ ζῆν Χριστός, ἀκούσατε. τὸ τῆς ζωῆς ὄνομα πολυσήμαντόν ἐστιν, ἀγαπητοί, [τουτέστι, πολλὰ σημαίνει,] ὥσπερ καὶ τὸ τοῦ θανάτου. ἔστι ζωὴ αὕτη ἡ τοῦ σώματος, καὶ ἔστι ζωὴ ἡ τῆς ἁμαρτίας καθώς φησιν αὐτὸς ἀλλαχοῦ· Εἰ δὲ ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; ἆρα ἔστι ζῆν τὴν τῆς ἁμαρτίας ζωήν. προσέχετε ἀκριβῶς, παρακαλῶ, ἵνα μὴ εἰκῇ κοπτώμεθα. ἔστι ζωὴ ἡ ἀΐδιος καὶ ἀθάνατος, μετὰ δὲ ταύτης ἡ οὐράνιος. Ἡμῶν γὰρ, φησι, τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ἔστι ζωὴ ἡ τοῦ σώματος, ἣν φησι, Δι' αὐτοῦ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. οὐ τὴν φυσικὴν οὖν φησι μὴ ζῆν ζωὴν, ἀλλὰ ταύτην τὴν τῶν ἁμαρτημάτων, ἣν ἅπαντες ἄνθρωποι ζῶσιν. εἰκότως. ὁ γὰρ μὴ ἐπιθυμῶν τῆς παρούσης ζωῆς, πῶς ταύτην ζῇ; ὁ πρὸς ἑτέραν σπεύδων, πῶς ταύτην ζῇ; ὁ θανάτου καταφρονῶν, πῶς ταύτην ζῇ; ὁ μηδενὸς τῶν ἐνταῦθα ἐπιθυμῶν, πῶς ταύτην ζῇ; ὥσπερ γὰρ ὁ ἐξ ἀδάμαντος συγκείμενος, κἂν μυριάκις πλήττηται, οὐκ ἂν ἐπιστραφείη ποτέ, οὕτως οὐδὲ ὁ Παῦλος. ζῶ δέ, φησιν, οὐκέτι ἐγώ, τουτέστιν, ὁ παλαιὸς ἄνθρωπος. καὶ πάλιν ἀλλαχοῦ, Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; οὕτως ὁ μηδὲν διὰ τροφὴν ποιῶν, ὁ μηδὲ δι' ἔνδυμα, ὁ μηδὲ διά τι τῶν παρόντων, πῶς οὗτος ζῇ; οὗτος οὐδὲ τὴν φυσικὴν ζωὴν ζῇ. ὁ μηδενὸς φροντίζων τῶν βιωτικῶν, οὐ ζῇ. ἡμεῖς ζῶμεν τοῦτον τὸν βίον, οἷς πάντα ὑπὲρ τούτου πράττονται. ἐκεῖνος δὲ οὐκ ἔζη· οὐδὲν γὰρ ἐπραγματεύετο τῶν ἐνταῦθα. πῶς οὖν ἔζη; οὕτω καὶ ἡμεῖς ἐπί τινων λέγομεν· ἐμοὶ ὁ δεῖνα οὐ πάρεστιν, ὅταν μηδὲν πράττῃ τῶν ἀνηκόντων εἰς ἐμέ.

[margin: Γαλ. β. κ.] [margin: Γαλ. ς. ιδ.] [margin: Ῥωμ. ς. β.] [margin: Φιλιπ. γ. κ. Πράξ. ιζ. κη.] [margin: κ. ἐρῶν τῶν ἐν κόσμῳ] [margin: Ῥωμ. ζ. κδ.]

ἐμοὶ

ἐμοὶ ὁ δεῖνα οὐ ζῇ. πάλιν ὁμοίως. ὅτι γὰρ οὐ τὴν φυσικὴν παραιτεῖται ζωὴν, φησὶν ἀλλαχοῦ· Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ Γαλ. β. κ.
παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ, τουτέστι, καινὴν τινὰ ζωὴν ζῶ, ἐξηλλαγμένην. Ταῦτα δὲ πάντα πρὸς παραμυθίαν τῶν Φιλιππησίων λέγει. μὴ νομίσητε, φησὶν, ὅτι τῆς ζωῆς ἀποστερούμαι ταύτης· οὐδὲ ἐπεὶ μηδὲ ζῶν, ταύτην ἔζων τὴν ζωὴν, ἀλλ' ἐκείνην, ἣν ὁ Χριστὸς ἐβούλετο. Εἰπὲ γάρ μοι· ὁ χρημάτων καταφρονῶν, ὁ τρυφῆς, ὁ λιμοῦ καὶ δίψης, ὁ κινδύνων, ὁ ὑγείας, ὁ σωτηρίας, ταύτην ζῇ τὴν ζωήν; ὁ μηδὲν ἐνταῦθα ἔχων, ὁ πολλάκις αὐτὴν ῥῖψαι βουλόμενος, ἀνάγκης οὔσης, καὶ μὴ ἀντιποιηθεὶς, ταύτην ζῇ τὴν ζωήν; οὐδαμῶς. ὡς ἐπὶ ὑποδείγματος δὲ ὑμῖν χρὴ τοῦτο ποιῆσαι φανερόν. οἷον, ἔστω τις ἐν πλούτῳ πολλῷ, καὶ οἰκέτας ἐχέτω, καὶ χρυσίον, καὶ μηδενὶ τούτων κεχρήσθω. ἆρα ἐστὶ πλουτεῖν τὸν πλοῦτον ἐκεῖνον; οὐδαμῶς. ὁράτω δὲ καὶ διασπαθίζοντας τὰ ὑπάρχοντα τοὺς παῖδας, εἰκῇ ῥεμβομένους, καὶ μηδενὸς αὐτῶν φροντιζέτω· εἰ βούλει δὲ, καὶ τυπτόμενος μὴ ἀλγείτω· ἆρα φήσομεν αὐτὸν εἶναι ἐν πλούτῳ; οὐδαμῶς· καίτοιγε αὐτοῦ ἐστιν. οὕτω καὶ Παῦλος, ἐμοί, φησι, τὸ ζῆν, Χριστός. εἰ βούλει τὴν ζωὴν ἐξετάσαι τὴν ἐμὴν, ἐκεῖνός ἐστι, καὶ τὸ ἀποθανεῖν, κέρδος. διὰ τί; ὅτι σαφέστερον αὐτῷ συνέσομαι μᾶλλον· ὥστε μᾶλλόν ἐστι ζῆσαι τὸ ἀποθανεῖν. οὐδὲν δεινὸν ἐργάσονταί με οἱ ἀποκτινοῦντές με, τῇ ζωῇ παραπέμποντες τῇ ἐμῇ, καὶ ταύτης τῆς οὐ προσηκούσης ἀπαλλάττοντες. τί οὖν; ἐνταῦθα ὢν, οὐκ ἦς τοῦ Χριστοῦ; καὶ σφόδρα.

22 Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω.

Ἵνα μή τις εἴποι, εἰ τοίνυν ἐκείνη ζωὴ, τίνος ἕνεκεν ὁ Χριστὸς εἴασέ σε ἐνταῦθα; καρπὸς ἔργου, φησὶν, ἐστίν. ὥστε ἔνεστι καὶ τῇ παρούσῃ ζωῇ εἰς δέον χρήσασθαι, μὴ ζῶντας αὐτὴν, ὡς οἱ πολλοί. τοῦτό φησιν, ἵνα μὴ νομίσῃς διαβεβλῆσθαι τὴν ζωὴν, μηδὲ εἴπῃς· εἰ γὰρ οὐδὲν χρησιμεύομεν ἐνταῦθα, τίνος ἕνεκεν οὐκ ἀναιρούμεν ἑαυτοὺς, οὐδὲ ἀποκτείνομεν; μηδαμῶς, φησίν· ἔνεστι καὶ ἐνταῦθα ὄντα κερδαίνειν, ἐὰν μὴ ζῶμεν τὴν ζωὴν ταύτην, ἀλλ' ἑτέραν. ἀλλ' ἴσως ἐρεῖ τις, τοῦτο καρπόν σοι φέρει; ναί, φησι. ποῦ νῦν οἱ αἱρετικοί; ἰδοὺ νῦν τὸ ζῆν ἐν σαρκὶ, τοῦτό φησι καρπὸν ἔργου. καὶ γὰρ ἔργου. πῶς καρπὸς ἔργου; Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ. διὰ τοῦτο καρπὸς ἔργου. καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. βαβαὶ, πόση ἦν ἡ φιλοσοφία; πῶς καὶ τὴν ἐπιθυμίαν ἐξέβαλε τῆς παρούσης ζωῆς, καὶ οὐ διέβαλεν αὐτήν; ὅτε μὲν γὰρ εἴρηκεν, ὅτι τὸ ἀποθανεῖν κέρδος, τούτῳ τὴν ἐπιθυμίαν ἐξέβαλε· τῷ δὲ εἰπεῖν, ὅτι τὸ ζῆν ἐν σαρκὶ, καρπὸς ἔργου, τούτῳ ἔδειξε καὶ τὴν παροῦσαν ἀναγκαίαν ζωήν. πῶς; ἐὰν εἰς δέον αὐτῇ χρώμεθα, ἐὰν καρποφορῶμεν· ὡς ἐὰν ἄκαρπος ᾖ, οὐκ ἔστιν ἔτι ζωή. καὶ γὰρ τῶν δένδρων τὰ μὴ φέροντα καρπὸν, ὁμοίως τῶν ξηρῶν ἀποστρεφόμεθα, καὶ πυρὶ παραδίδομεν. τὸ γὰρ ζῆν, πάλιν τῶν μέσων ἐστὶ καὶ ἀδιαφόρων· τὸ δὲ καλῶς, ἢ κακῶς, ἐν ἡμῖν ἐστιν. ὥστε οὐ μισοῦμεν τὸ ζῆν· ἔνεστι γὰρ ζῆν καὶ καλῶς. ὡς ἐὰν κακῶς αὐτῷ χρησαίμεθα, οὐδὲ οὕτω διαβάλλομεν αὐτό. διὰ τί; ὅτι οὐκ αὐτὸ αἴτιον γέγονεν, ἀλλ' ἡ προαίρεσις τῶν κακῶς χρωμένων αὐτῷ. ὁ μὲν γὰρ Θεός σε ἐποίησε ζῆν, ἵνα αὐτῷ ζῇς· σὺ δὲ ἀπὸ τῆς κακίας τῇ ἁμαρτίᾳ ζήσας, ὑπεύθυνον σαυτὸν πάσης αἰτίας ποιεῖς. τί λέγεις, εἰπέ μοι, ὦ Παῦλε; οὐ γνωρίζεις, τί αἱρήσῃ; ἐν ταῦθα μέγα ἀπεκάλυψε μυστήριον, ὅτι κύριος ἦν οὐκ ἀπελθεῖν. ὅταν γὰρ αἵρεσις ᾖ, κύριοί ἐσμεν. τί αἱρήσομαι, φησιν, οὐ γνωρίζω. ἐν σοὶ οὖν ἐστι; ναί, φησιν· εἰ βουλοίμην αἰτῆσαι τὸν Θεὸν χάριν.

23 Συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων. Ὅρα τὴν φιλοστοργίαν τοῦ μακαρίου τούτου· καὶ ταύτῃ αὐτοὺς παραμυθεῖται, ὅταν ἴδωσιν, ὅτι αὐτὸς κύριός ἐστι τῆς αἱρέσεως, ὅτι οὐκ ἀνθρωπίνη πονηρία τοῦτο γέγονε, ἀλλὰ Θεοῦ οἰκονομία *. τί τοίνυν ἀλγεῖτε, φησιν, ἐπὶ τῷ θανάτῳ; πολλῷ κρεῖττον ἦν πάλαι ἀπελθεῖν. Τὸ ἀναλῦσαι γάρ, φησι, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον·

γρ. ἐπειδὴ

γρ. διασκορπίζοντας ἀλ. διασπαθίζοντας

γρ. κτείνουσι.

γρ. τὸ γρ. τοῦτο γρ. τὸ γρ. τοῦτο

γρ. μισοῦμεν γρ. οὐ

γρ. μυστήριον. ἰδὲ γὰρ τοῦτο ὅτι κύριος ἦν τοῦ ἀπελθεῖν δείκνυσιν.

* οὐκ ἐν χρόνῳ ... πρὸς παραμυθίαν ... φορμιῶ.

24 Τὸ

φόβος περιέκοπτε μὲν τὴν παῤῥησίαν, αἰσχύνης ἄξιον τὸ ἀποθανεῖν. Εἰ δὲ οὐδεὶς οὐδέποτε ἐπελθὼν ἐφόβησεν, οὐκ αἰσχύνη τοῦτο· ἀλλ' εἴτε ζῶ, διὰ τὸ ζῆν οὐκ αἰσχυνθήσομαι (κηρύττω γὰρ τὸ κήρυγμα) εἴτε ἀποθάνω, διὰ τὸ ἀποθανεῖν οὐκ αἰσχυνθήσομαι. οὐ κατέχει με γὰρ φόβος. τὴν γὰρ αὐτὴν παῤῥησίαν ἐπιδείκνυμαι. μὴ γὰρ, ἐπειδὴ δεσμά εἰσιν, αἰσχύνην τὸ πρᾶγμα νομίσητε. πάντων ἀγαθῶν αἴτιόν μοι γέγονεν, ὅτι καὶ ἑτέροις ἔδωκε θαῤῥεῖν. οὐ γὰρ τὸ δεθῆναι διὰ Χριστὸν, ἀλλὰ τὸ φοβηθέντα τὰ δεσμὰ προδοῦναί τι τῶν τοῦ Χριστοῦ, τοῦτο αἰσχύνη. ὡς ἂν τοῦτο μὴ ᾖ, καὶ παῤῥησίας παρέξενα τὰ δεσμά. μὴ ἐπειδὴ πολλάκις διέφυγον κινδύνους (καὶ ἔχω ἐπὶ τούτοις καυχᾶσθαι πρὸς τοὺς ἀπίστους) ἂν μὴ συμβῇ τι τοιοῦτον, ἤδη νομίζητε αἰσχύνεσθαι. καὶ γὰρ καὶ τοῦτο οὐχ ἧττον ἐκείνου δίδωσιν ὑμῖν τὴν παῤῥησίαν. ὅρα πῶς ἐπὶ τοῦ οἰκείου προσώπου αὐτὸ προσάγει· ὅπερ πολλαχοῦ ποιεῖ καὶ ἀλλαχοῦ, καθάπερ ἐπὶ Ῥωμαίων, Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον, φησί· καθάπερ ἐπὶ Κορινθίων, Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν, καὶ Ἀπολλώ. Εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. οὐχ ὡς ἀγνοῶν τὸ τί φησιν (οἶδε μὲν γὰρ ὅτι οὐκ ἀποθανεῖται τότε, ἀλλὰ μετὰ ταῦτα) πλὴν αὐτὴν παρασκευάζει τὴν ψυχὴν ἤδη.

Ῥωμ. α. ις.
α Κορ. δ. ς.
κ. κατέχει με
κ. ζῆν

21 Ἐμοὶ γὰρ, φησὶ, τὸ ζῆν, Χριστὸς, καὶ τὸ ἀποθανεῖν, κέρδος. Καὶ γὰρ ἀποθανὼν, φησὶν, οὐ τεθνήξομαι, τὴν ζωὴν ἔχων ἐν ἐμαυτῷ. τότε με ἀνεῖλον ἂν, εἰ ἴσχυσαν διὰ τοῦ φόβου τὴν πίστιν ἐκβαλεῖν τῆς ἐμῆς ψυχῆς· ἕως δ' ἂν Χριστὸς ᾖ μετ' ἐμοῦ, κἂν θάνατος ἐπέλθῃ, ζῶ. καὶ ἐν τῇ ζωῇ δὲ ταύτῃ, οὐ τοῦτό ἐστι μὲν τὸ ζῆν, ἀλλὰ ὁ Χριστός. εἰ τοίνυν οὐδὲ ἐν τῇ ζωῇ ταύτῃ τοῦτο ἐστίν· Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, τοῦτο κἀκεῖ λέγω. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. τοιοῦτον χρὴ εἶναι τὸν χριστιανόν. οὐ ζῶ, φησὶ, τὴν κοινὴν ζωήν. πῶς οὖν ζῇς, ὦ μακάριε Παῦλε; οὐχὶ τὸν ἥλιον ὁρᾷς; οὐχὶ τὸν κοινὸν ἀέρα ἀναπνεῖς; οὐχὶ ταύταις ταῖς ἁπάντων τρέφῃ τροφαῖς; οὐχὶ τὴν γῆν πατεῖς, ὥσπερ ἡμεῖς; οὐχὶ ὕπνου δέῃ; οὐχὶ ἐνδυμάτων; οὐχὶ ὑποδημάτων; τί λέγεις, οὐ ζῶ; πῶς οὐ ζῇς; τί μεγαλαυχεῖς; οὐκ ἔστι μεγαληγορία ταῦτα. εἰ μὲν γὰρ μὴ τὰ πράγματα ἐμαρτύρει, εἰκότως ἄν τις εἴποι μεγαληγορίαν εἶναι· εἰ δὲ τὰ πράγματα μαρτυρεῖ, ποία μεγαληγορία; πῶς οὖν οὐ ζῇ, μάθωμεν. καὶ γὰρ ἀλλαχοῦ φησιν· Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ἐμοὶ ὁ κόσμος. πῶς οὖν φησιν, οὐκέτι ζῶ, καὶ πῶς πάλιν, ἐμοὶ τὸ ζῆν Χριστός, ἀκούσατε. τὸ τῆς ζωῆς ὄνομα πολυσήμαντόν ἐστιν, ἀγαπητοί, [τουτέστι, πολλὰ σημαίνει,] ὥσπερ καὶ τὸ τοῦ θανάτου. ἔστι ζωὴ αὕτη ἡ τοῦ σώματος, καὶ ἔστι ζωὴ ἡ τῆς ἁμαρτίας· καθώς φησιν αὐτὸς ἀλλαχοῦ· Εἰ δὲ ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; ἄρα ἔστι ζῆν τὴν τῆς ἁμαρτίας ζωήν. προσέχετε ἀκριβῶς, παρακαλῶ, ἵνα μὴ εἰκῇ κοπιῶμεν. ἔστι ζωὴ ἡ ἀΐδιος καὶ ἀθάνατος, μετὰ δὲ ταύτης ἡ οὐράνιος. Ἡμῶν γὰρ, φησὶ, τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ἔστι ζωὴ ἡ τοῦ σώματος, ἥν φησι, Δι' αὐτοῦ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. οὐ τὴν φυσικὴν οὖν φησι μὴ ζῆν ζωὴν, ἀλλὰ ταύτην τὴν τῶν ἁμαρτημάτων, ἣν ἅπαντες ἄνθρωποι ζῶσιν. εἰκότως· ὁ γὰρ μὴ ἐπιθυμῶν τῆς παρούσης ζωῆς, πῶς ταύτην ζῇ; ὁ πρὸς ἑτέραν σπεύδων, πῶς ταύτην ζῇ; ὁ τοῦ θανάτου καταφρονῶν, πῶς ταύτην ζῇ; ὁ μηδενὸς τῶν ἐνταῦθα ἐπιθυμῶν, πῶς ταύτην ζῇ; ὥσπερ γὰρ ὁ ἐξ ἀδάμαντος συγκείμενος, κἂν μυριάκις πλήττοιτο, οὐκ ἂν ἐπιγραφείη ποτὲ, οὕτως οὐδὲ ὁ Παῦλος. ζῶ δέ, φησιν, οὐκέτι ἐγὼ, τουτέστιν, ὁ παλαιὸς ἄνθρωπος. καὶ πάλιν ἀλλαχοῦ, Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; οὕτως ὁ μηδὲν διὰ τὴν τροφὴν ποιῶν, ὁ μηδὲν δι' ἔνδυμα, ὁ μηδὲν διά τι τῶν παρόντων, πῶς οὗτος ζῇ; οὗτος οὐδὲ τὴν φυσικὴν ζωὴν ζῇ. ὁ μηδενὸς φροντίζων τῶν βιωτικῶν, οὐ ζῇ. ἡμεῖς ζῶμεν τοῦτον τὸν βίον, οἱ πάντα ὑπὲρ τούτου πράττοντες· ἐκεῖνος δὲ οὐκ ἔζη· οὐδὲν γὰρ ἐπραγματεύετο τῶν ἐνταῦθα. πῶς οὖν ἔζη; οὕτω καὶ ἡμεῖς ἐπί τινων λέγομεν· ἐμοὶ ὁ δεῖνα οὐ πάρεστιν, ὅταν μηδὲν πράττῃ τῶν ἀνηκόντων εἰς ἐμέ·

Γαλ. β. κ.
Γαλ. ς. ιδ.
Ῥωμ. ς. β.
Φιλιπ. γ. κ.
Πράξ. ιζ. κη.
κ. ἐρῶν τῶν ἐν κόσμῳ
Ῥωμ. ζ. κδ.

ἐμοὶ

ἐμοὶ ὁ δεῖνα οὐ ζῇ, πάλιν ὁμοίως. ὅτι γὰρ οὐ τὴν φυσικὴν παραιτεῖται ζωὴν, φησὶν ἀλλαχοῦ· Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ, τουτέστι, καινὴν τινα ζωὴν ζῶ, ἐξηλλαγμένην. Ταῦτα δὲ πάντα πρὸς παραμυθίαν τῶν Φιλιππησίων λέγει. μὴ νομίσητε, φησὶν, ὅτι τῆς ζωῆς ἀποστεροῦμαι ταύτης· ἐπεὶ μηδὲ ζῶν, ταύτην ἔζων τὴν ζωὴν, ἀλλ᾽ ἐκείνην, ἣν ὁ Χριστὸς ἐβούλετο. Εἰπὲ γάρ μοι· ὁ χρημάτων καταφρονῶν, ὁ τρυφῆς, ὁ λιμοῦ καὶ δίψης, ὁ κινδύνων, ὁ ὑγείας, ὁ σωτηρίας, ταύτην ζῇ τὴν ζωήν; ὁ μηδὲν ἐνταῦθα ἔχων, ὁ πολλάκις αὐτὴν ῥίψαι βουλόμενος, ἀνάγκης οὔσης, καὶ μὴ ἀντιποιηθεὶς, ταύτην ζῇ τὴν ζωήν; οὐδαμῶς. ὡς ἐπὶ ὑποδείγματος δὲ ὑμῖν χρὴ τοῦτο ποιῆσαι φανερόν. οἷον, ἔστω τις ἐν πλούτῳ πολλῷ, καὶ οἰκέτας ἐχέτω, καὶ χρυσίον, καὶ μηδενὶ τούτων κεχρήσθω. ἆρα διὰ τὸν πλοῦτον ἐστὶ πλούσιος ἐκεῖνος; οὐδαμῶς. ὁράτω δὲ καὶ διασπαθίζοντας τὰ ὑπάρχοντα τοὺς παῖδας, εἰκῇ ῥεμβομένους, καὶ μηδενὸς αὐτῶν φροντιζέτω· εἰ βούλει δὲ, καὶ τυπτόμενος μὴ ἀλγείτω· ἆρα φήσομεν αὐτὸν εἶναι ἐν πλούτῳ; οὐδαμῶς· καίτοιγε αὐτοῦ ἐστιν. οὕτω καὶ Παῦλος, ἐμοί, φησι, τὸ ζῆν, Χριστός. Εἰ βούλει τὴν ζωὴν ἐξετάσαι τὴν ἐμὴν, ἐκεῖνός ἐστι, καὶ τὸ ἀποθανεῖν, κέρδος. διατί; ὅτι σαφέστερον αὐτῷ συνέσομαι μᾶλλον· ὥστε μᾶλλόν ἐστι ζῆσαι τὸ ἀποθανεῖν. οὐδὲν δεινὸν ἐργάσονταί με οἱ ἀποκτείνοντές με, τῇ ζωῇ παραπέμποντες τῇ ἐμῇ, καὶ ταύτης τῆς οὐ προσηκούσης ἀπαλλάττοντες. τί οὖν; ἐνταῦθα ὢν, οὐκ ἦς τοῦ Χριστοῦ; καὶ σφόδρα.

22 Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω.

Ἵνα μή τις εἴποι, εἰ τοίνυν ἐκεῖνο ζωὴ, τίνος ἕνεκεν ὁ Χριστὸς εἴασέ σε ἐνταῦθα; καρπὸς ἔργου, φησὶν, ἐστίν. ὥστε ἔνεστι καὶ τῇ παρούσῃ ζωῇ εἰς δέον χρήσασθαι, μὴ ζῶντας αὐτὴν, ὡς οἱ πολλοί. τοῦτό φησιν, ἵνα μὴ νομίσῃς διαβεβλῆσθαι τὴν ζωὴν, μηδὲ εἴπῃς· εἰ γὰρ οὐδὲν χρησιμευόμεθα ἐνταῦθα, τίνος ἕνεκεν οὐκ ἀναιρεθῶμεν ἑαυτοὺς, οὐδὲ ἀποκτείνομεν; μηδαμῶς, φησίν· ἔνεστι καὶ ἐνταῦθα ὄντα κερδαίνειν, ἐὰν μὴ ζῶμεν τὴν ζωὴν ταύτην, ἀλλ᾽ ἑτέραν. ἀλλ᾽ ἴσως ἐρεῖ τις, τοῦτο καρπόν σοι φέρει; ναί, φησι. ποῦ νῦν οἱ αἱρετικοί; ἰδοὺ νῦν τὸ ζῆν ἐν σαρκὶ, τοῦτό φησι καρπὸν ἔργου. καὶ γὰρ ἔργου. πῶς καρπὸς ἔργου; Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ. διὰ τοῦτο καρπὸς ἔργου. καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. βαβαὶ, πόση τίς ἡ φιλοσοφία; πῶς καὶ τὴν ἐπιθυμίαν ἐξέβαλε τῆς παρούσης ζωῆς, καὶ οὐ διέβαλεν αὐτήν; τῷ μὲν γὰρ εἰπεῖν, ὅτι τὸ ἀποθανεῖν κέρδος, τούτῳ τὴν ἐπιθυμίαν ἐξέβαλε· τῷ δὲ εἰπεῖν, ὅτι τὸ ζῆν ἐν σαρκὶ, καρπὸς ἔργου, τούτῳ ἔδειξε καὶ τὴν παροῦσαν ἀναγκαίαν ζωήν. πῶς; ἐὰν εἰς δέον αὐτῇ χρώμεθα, ἐὰν καρποφορῶμεν· ὡς ἐὰν ἄκαρπος ᾖ, οὐκ ἔστιν ἔτι ζωή. καὶ γὰρ τῶν δένδρων τὰ μὴ φέροντα καρπὸν, ὁμοίως τῶν ξηρῶν ἀποστρεφόμεθα, καὶ πυρὶ παραδίδομεν. τὸ γὰρ ζῆν, πάλιν τῶν μέσων ἐστὶ καὶ ἀδιαφόρων· τὸ δὲ καλῶς, ἢ κακῶς, ἐν ἡμῖν ἐστιν. ὥστε οὐ μισοῦμεν τὸ ζῆν· ἔνεστι γὰρ ζῆν καὶ καλῶς. ὡς ἐὰν κακῶς αὐτῷ χρησαίμεθα, οὐδὲ οὕτω διαβαλοῦμεν αὐτό. διατί; ὅτι οὐκ αὐτὸ αἴτιον γέγονεν, ἀλλ᾽ ἡ προαίρεσις τῶν κακῶς χρωμένων αὐτῷ. ὁ μὲν γὰρ Θεός σε ἐποίησε ζῆν, ἵνα αὐτῷ ζῇς· σὺ δὲ ὑπὸ τῆς κακίας τῇ ἁμαρτίᾳ ζήσας, ὑπεύθυνον σαυτὸν πάσης αἰτίας ποιεῖς. τί λέγεις, εἰπέ μοι, ὦ Παῦλε; οὐ γνωρίζεις, τί αἱρήσῃ; ἐνταῦθα μέγα ἀποκάλυψε μυστήριον, ὅτι κύριος ἦν τοῦ ἀπελθεῖν. ὅταν γὰρ αἵρεσις ᾖ, κύριοί ἐσμεν. τί αἱρήσομαι, φησιν, οὐ γνωρίζω. ἐν σοὶ οὖν ἐστι; ναί, φησιν· εἰ βουλοίμην αἰτῆσαι τὸν Θεὸν χάριν.

23 Συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων. Ὅρα τὴν φιλοστοργίαν τοῦ μακαρίου τούτου· καὶ ταύτῃ αὐτοὺς παραμυθεῖται, ὅταν ἴδωσιν, ὅτι αὐτὸς κύριός ἐστι τῆς αἱρέσεως, ὅτι οὐκ ἀνθρωπίνη πονηρία τοῦτο γίνεται, ἀλλὰ Θεοῦ οἰκονομία *. τί τοίνυν ἀλγεῖτε, φησιν, ἐπὶ τῷ θανάτῳ; πολλῷ κρεῖττον ἦν πάλαι ἀπελθεῖν. Τὸ ἀναλῦσαι γάρ, φησι, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον·

Γαλ. β. κ.

* ἐμοὶ τὸ ... προφάσει ... παραμυθίαν ... μορμόνων.

24 Τὸ

24 Τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Ταῦτα προπαρασκευαστικὰ τῆς μελλούσης αὐτοῦ τελευτῆς, ἵνα φέρωσιν αὐτὴν γενναίως· ταῦτα φιλοσοφίας διδασκαλικά. καλὸν, φησι, τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι. καὶ γὰρ ὁ θάνατος, τῶν ἀδιαφόρων ἐστίν. οὐ γὰρ κακὸν ὁ θάνατος, ἀλλὰ κακὸν τὸ ἀποθανόντα κολάζεσθαι· οὐδὲ καλὸν ὁ θάνατος, ἀλλὰ καλὸν τὸ ἀπελθόντα σὺν Χριστῷ εἶναι. * τὰ μετὰ θάνατον, ἢ καλὰ, ἢ κακά. [* ἀεὶ]

[ΗΘΙΚΟΝ] Μὴ τοίνυν ἐπὶ τοῖς ἀποθνήσκουσι πενθῶμεν ἁπλῶς, μηδὲ ἐπὶ τοῖς ζῶσι χαίρωμεν ἁπλῶς, ἀλλὰ τί; πενθῶμεν τοὺς ἁμαρτωλοὺς μὴ ἀποθνήσκοντας μόνον, ἀλλὰ καὶ ζῶντας· χαίρωμεν δὲ ἐπὶ τοῖς δικαίοις, μὴ ζῶσι μόνον, ἀλλὰ καὶ τετελευτηκόσιν. ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες τεθνήκασιν· οὗτοι δὲ καὶ ἀποθανόντες, ζῶσιν. ἐκεῖνοι καὶ ἐνταῦθα ὄντες, ἐλεεινοὶ πᾶσί εἰσιν, ἐπεὶ Θεῷ προσκρούουσιν· οὗτοι καὶ ἐκεῖ μεταστάντες, μακάριοι, ὅτι πρὸς τὸν Χριστὸν ἀπῆλθον. [α. Κορ. ιγ 16.] οἱ ἁμαρτωλοὶ, ὅπου ἂν ὦσι, πόρρω τοῦ βασιλέως εἰσί· διὰ τοῦτο δακρύων ἄξιοι· οἱ δὲ δίκαιοι, ἄν τε ἐνταῦθα, ἄν τε ἐκεῖ, μετὰ τοῦ βασιλέως εἰσί, κἀκεῖ μᾶλλον καὶ ἐγγύτερον, οὐ * διὰ εἰσόδου, οὐ διὰ πίστεως, ἀλλὰ πρόσωπον, φησὶ, πρὸς πρόσωπον. [* γὰρ] [ἴσ. εἰσόπτρου] μὴ τοίνυν ἁπλῶς κλαίωμεν τοὺς ἀποθανόντας, ἀλλὰ τοὺς ἐν ἁμαρτίαις. οὗτοι θρηνῶν ἄξιοι, οὗτοι κοπετῶν καὶ δακρύων. [χ. ἀπελθόντ.] ποία γὰρ ἐλπίς, εἰπέ μοι, μετὰ ἁμαρτημάτων ἀπελθεῖν, ἔνθα οὐκ ἔστιν ἁμαρτήματα ἀποδύσασθαι; ἕως μὲν γὰρ ἦσαν ἐνταῦθα, ἴσως ἦν προσδοκία πολλή, ὅτι μεταβαλοῦνται, ὅτι βελτίους ἔσονται· ἂν δὲ ἀπέλθωσιν εἰς τὸν ᾅδην, ἔνθα οὐκ ἔστιν ἀπὸ μετανοίας κερδᾶναί τι (Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι;) [Ψαλ. ς.] πῶς οὐ θρηνῶν ἄξιοι; κλαίωμεν τοὺς οὕτως ἀπερχομένους, οὐ κωλύω, κλαίωμεν, ἀλλὰ μὴ ἀσχημόνως, μὴ τρίχας τίλλοντες, μὴ βραχίονας γυμνοῦντες, μὴ ὄψιν σπαράττοντες, μὴ μελανειμονοῦντες, [χ. ὄψεις] ἀλλὰ μόνον κατὰ ψυχὴν ἠρέμα δάκρυον ἀφιέντες πικρόν. ἔνεστι γὰρ καὶ ταύτης χωρὶς τῆς πομπῆς κλαῦσαι πικρῶς, καὶ μὴ παῖξαι μόνον. παιγνίων γὰρ οὐδὲν διενήνοχε τὰ ὑπὸ πολλῶν γινόμενα. καὶ γὰρ οὐ συμπαθείας ἐκεῖνοι οἱ κοπετοὶ οἱ ἐπ' ἀγορᾶς, ἀλλ' ἐπιδείξεως καὶ φιλοτιμίας καὶ κενοδοξίας εἰσί. πολλαὶ διὰ τέχνην τοῦτο ποιοῦσι. κλαῦσον πικρὸν, στέναξον κατ' οἰκίαν, μηδενὸς ὁρῶντος. τοῦτο συμπαθείας ἐστί, τοῦτο καὶ σὲ ὠφελεῖ. ὁ γὰρ ἐκεῖνον πενθῶν οὕτω, πολλῷ μᾶλλον αὐτὸς σπουδάσει μηδέποτε τοῖς αὐτοῖς περιπεσεῖν· φοβερά σοι ἔσται ἡ ἁμαρτία λοιπόν. κλαῦσον τοὺς ἀπίστους, κλαῦσον τοὺς οὐδὲν ἐκείνων ἀπέχοντας, τοὺς χωρὶς φωτίσματος ἀπερχομένους, τοὺς χωρὶς σφραγῖδος. οὗτοι ὄντως θρηνῶν ἄξιοι, οὗτοι ὀδυρμῶν· ἔξω τῶν βασιλείων εἰσὶ μετὰ τῶν καταδίκων, μετὰ τῶν κατεγνωσμένων. [Ιωαν. γ. 5.] Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. κλαῦσον τοὺς ἐν πλούτῳ τετελευτηκότας, καὶ μηδεμίαν ἀπὸ τοῦ πλούτου παραμυθίαν ταῖς ἑαυτῶν ψυχαῖς ἐπινοήσαντας, τοὺς λαβόντας ἐξουσίαν ἀπολούσασθαι αὐτῶν τὰ ἁμαρτήματα, καὶ μὴ βουληθέντας. τούτους κλαίωμεν καὶ ἰδίᾳ, καὶ κοινῇ πάντες, ἀλλὰ μετὰ κοσμιότητος, ἀλλὰ μετὰ σεμνότητος, ἀλλὰ μὴ ὥστε παραδειγματίζειν ἑαυτούς. τούτους κλαίωμεν μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ τὸν πάντα βίον ἡμῶν. τοῦτο οὐκ ἔστι πάθους ἀλόγου τὸ δάκρυον, ἀλλὰ φιλοστοργίας· ἐκεῖνο δὲ πάθους ἀλόγου· διὰ τοῦτο καὶ ταχέως σβέννυται. ὅταν γὰρ διὰ τὸν τοῦ Θεοῦ φόβον γίνηται, ἀεὶ παραμένει. [χ. ἢ] κλαίωμεν οὖν τούτους, βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν, ἐπινοήσωμεν αὐτοῖς τινὰ βοήθειαν, μικρὰν μὲν, βοηθεῖν δὲ ὅμως δυναμένην. [χ. βοηθ.] [ἴσ. ὅμως] πῶς καὶ τίνι τρόπῳ; αὐτοί τε εὐχόμενοι, καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν διδόντες συνεχῶς. ἔχει τινὰ τὸ πρᾶγμα παραμυθίαν. [χ. ἀεὶ] [Δ. Βασ. κ. 5.] ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου. εἰ μνήμη μόνον δικαίου τοσοῦτον ἴσχυσεν, ὅταν καὶ ἔργα γένηται ὑπὲρ αὐτοῦ, πῶς οὐκ ἰσχύσει; οὐκ εἰκῇ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν ἀποστόλων, [χ. πόσον] τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων. ἴσασιν αὐτοῖς πολὺ κέρδος

δος γινόμενοι, πολλὴν τὴν ὠφέλειαν. ὅταν γὰρ ἑστήκῃ λαὸς ὁλόκληρος χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικὸν, καὶ πρόκειται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσομεν ὑπὲρ τούτων τὸν Θεὸν παρακαλοῦντες; ἀλλὰ τοῦτο μὲν περὶ τῶν ἐν πίστει προελθόντων· οἱ δὲ κατηχούμενοι οὐδὲ ταύτης καταξιοῦνται τῆς παραμυθίας, ἀλλ' ἀπεστέρηνται πάσης τῆς τοιαύτης βοηθείας, πλὴν μιᾶς τινος. ποίας δὴ ταύτης; ἔξεστι πένησιν ὑπὲρ αὐτῶν διδόναι· ποιεῖ τινα αὐτοῖς παραψυχὴν τὸ πρᾶγμα. καὶ γὰρ παρ' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βούλεται ὁ Θεός. διὰ τί γὰρ ὑπὲρ εἰρήνης, καὶ εὐσταθείας τοῦ κόσμου ἐκέλευσεν εὔχεσθαι; διὰ τί ὑπὲρ πάντων ἀνθρώπων; καίτοιγε ἐν τούτοις ἐν πᾶσιν εἰσὶ καὶ λῃσταὶ, καὶ τυμβωρύχοι, καὶ κλέπται, καὶ μυρίων κακῶν γέμοντες, ἀλλ' ὅμως ὑπὲρ πάντων εὐχόμεθα. ἴσως γὰρ ἔσται τις αὐτῶν ἐπιστροφή. ὥσπερ οὖν ὑπὲρ τῶν ζώντων εὐχόμεθα τῶν οὐδὲν διαφερόντων τῶν νεκρῶν, οὕτως ἔξεστι καὶ ὑπὲρ ἐκείνων εὔχεσθαι. ὁ Ἰὼβ ὑπὲρ τῶν παίδων ἐποίει θυσίας, καὶ ἀπήλλαττεν αὐτοὺς τῶν ἁμαρτημάτων· Μήποτε ἐνενόησαν, φησὶ, ἐν τῇ καρδίᾳ αὐτῶν. (Ἰωβ α. ε.) οὕτω τις προνοεῖται παίδων. οὐκ εἶπε, καθάπερ οἱ πολλοὶ τῶν νῦν ἀνθρώπων, καταλείπω αὐτοῖς ὑπάρχοντα· οὐκ εἶπε δῶ αὐτοῖς δόξαν· οὐκ εἶπεν, ἀρχὴν ὠνήσομαι· οὐκ εἶπεν, ἀγροὺς πρίωμαι. ἀλλὰ τί; μήποτε ἐνενόησαν ἐν τῇ καρδίᾳ αὐτῶν. τί γὰρ ὄφελος ἐκείνων τῶν πάντων ἐν τούτοις μενόντων; οὐδέν. ἡ βασιλεία πάντων ἵλεων ποίησον, φησὶν, αὐτοῖς, καὶ οὐδὲν αὐτοῖς λείπει λοιπόν. Κύριος γὰρ, φησὶ, ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. (Ψαλ κβ. α.) οὐδὲ πλοῦτος μέγας, οὐδὲ δυνάμεις. ἂν τὸν τοῦ Θεοῦ φόβον ἔχωμεν, οὐδενὸς ἡμῖν δεῖ· ἂν δὲ τοῦτο μὴ ἔχωμεν, κἂν τὴν βασιλείαν αὐτὴν ἔχωμεν, πάντων ἐσμὲν πενέστεροι. οὐδὲν ἴσον τῷ φοβουμένῳ τὸν Κύριον. Ὁ φόβος γὰρ, φησὶ, τοῦ Κυρίου πάντα ὑπέρκειται. (Σειρ κε. ιά.) τοῦτον κτησώμεθα, ὑπὲρ τούτου πάντα πράττωμεν. κἂν τὴν ψυχὴν ἀποδόσθαι δέῃ, μὴ φεισώμεθα, κἂν τὸ σῶμα κατακόψαι πάντα πράττωμεν, ἵνα τοῦ φόβου τούτου ἐπιτύχωμεν. οὕτω γὰρ ἐσόμεθα πάντων εὐπορώτεροι, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ.

γρ. ἀξιοῦνται

Λογ. δ. 22 ΚΑΙ ΤΙ ΑΙΡΗΣΟΜΑΙ, ΟΥ ΓΝΩΡΙΖΩ·

23 Συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· 24 Τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς. 25 Καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως· 26 Ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

Ὢ τῆς Παύλου ψυχῆς μακαριώτερον, ὅτι μηδὲ φιλοψυχότερον. ἀλλ' ὅπου τὸ ἐναντίον εὔχεσθαι εἶπεν ἀεὶ πάντων· οὐδὲν ἡμῶν ἀθλιώτερον, οὐδὲ ταλαιπωρότερον. διὰ τοῦτο πάντες πεφρίκαμεν τὸν θάνατον· οἱ μὲν διὰ τὸ τῶν ἁμαρτημάτων πλῆθος, ὧν καὶ αὐτὸς εἰμι· οἱ δὲ διὰ τὴν φιλοψυχίαν καὶ ταλαιπωρίαν, ἂν μήποτε τοιοῦτοι ὦμεν ἐγώ. ψυχικοὶ γὰρ οἱ τοῦτον δεδοικότες τὸν φόβον. τοῦτο τοίνυν, ὃ πάντες πεφρίκαμεν, ἐκεῖνος ποθεῖ, καὶ πρὸς ἐκεῖνο ἠπείγετο, τὸ ἀναλῦσαι λέγων πολλῷ μᾶλλον κρεῖσσον, καὶ τί αἱρήσομαι, οὐκ οἶδα. τί λέγεις μέλλων ἐντεῦθεν πρὸς τὸν οὐρανὸν μεθίστασθαι, καὶ μετὰ Χριστοῦ εἶναι, ἀγνοεῖς τίνα αἱρήσῃ; ἀλλὰ πόῤῥω τῆς Παύλου ταύτης ψυχῆς. ποῦ γὰρ εἴ τις εἶπε τοῦτο καὶ διεβεβαιώσατο, οὐκ ἂν εὐθέως ἥρπασε; ναὶ, φησίν. ἀλλ' ὥσπερ οὐκ ἐστὶν ἡμῖν τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, οὕτως οὐδὲ τὸ, παρὰ

τούτου

τούτου τυχεῖν, μέσαι ἐν τούτῳ ἡμῶν· ἀλλ' ἀμφότερα Παύλου, καὶ τῆς ἐκείνου ψυχῆς. τί λέγεις; οἶδας καὶ πέπεισαι, ὅτι μετὰ Χριστοῦ μέλλεις εἶναι, καὶ ἀμφιβάλλεις λέγων, οὐκ οἶδα τί αἱρήσομαι; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐνταῦθα αἱρῇ, τὸ ἐπιμεῖναι λέγω τῇ σαρκί; τί ποτε τοῦτό ἐστιν; οὐχὶ κατάπικρον ἔζης βίον; ἐν ἀγρυπνίαις, ἐν ναυαγίοις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι, ἐν μερίμναις, ἐν φροντίσι; μετὰ τῶν ἀσθενούντων ἠσθένεις, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦ· χ. πυρούμενοι

β. Κορ. ϛ. ε. Ἐν ὑπομονῇ πολλῇ, φησιν, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν ἁγνότητι; πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβες, τρὶς ἐρραβδίσθης, ἅπαξ ἐλιθάσθης, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκας· κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν ψευδαδέλφοις. οὐχὶ ὅτε τὸ Γαλατῶν ἅπαν ἔθνος ἐπὶ τὴν τοῦ νόμου παρατήρησιν ἐπανῆλθεν, ἐβόας λέγων,

Γαλ. ε. δ. Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε; πόσα τότε οὐκ ἐπένθησας, καὶ ἔτι μᾶλλον τοῦτον ποθεῖς τὸν ἐπίκηρον βίον; εἰ γὰρ μηδὲν σοι τούτων συμβεβήκει, ἀλλὰ ἅπαντα, ἅπερ κατώρθωκας, κατώρθωσας μετὰ ἀδείας, μετὰ τρυφῆς, οὐκ χ. πᾶν, ἐφ ἐχρῆν τὸ ἄδηλον τοῦ μέλλοντος δεδοικότα πρός τινα λιμένα σπεύδειν; τίς ἔμπορος, εἰπέ χ. φάγοις μοι, θησαυρῶν μυρίων πλήρη τὴν ὁλκάδα ἔχων, παρὸν εἰς λιμένα καταδραμεῖν καὶ ἀναπαύεσθαι, ἕλοιτο θαλαττεύειν ἔτι; τίς ἀγωνιστής, παρὸν στεφανωθῆναι, ἕλοιτο ἀγωνίζεσθαι; τίς πυκτεύων, παρὸν ἀναδήσασθαι τὸν στέφανον, ἕλοιτο πάλιν εἰς τὸν ἀγῶνα εἰσιέναι, καὶ κατακόπτειν τὴν ἑαυτοῦ κεφαλήν; ποῖος στρατηγός, ἐξὸν ἀπαλλαγῆναι τοῦ πολέμου μετὰ εὐδοξίας καὶ τροπαίων, καὶ μετὰ τοῦ βασιλέως ἐν τοῖς βασιλείοις ἀναπαύεσθαι, καταδέξαιτο ἂν ἔτι καὶ ἱδροῦν καὶ παρατάττεσθαι; πῶς οὖν τὸν οὕτω κατάπικρον ζῶν βίον, ἔτι ἐνταῦθα μένειν

α Κορ. θ. κζ. βούλει; οὐχὶ σὺ ἔλεγες, Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι; εἰ καὶ διὰ μηδὲν ἕτερον, διὰ τοῦτο γοῦν ἐχρῆν ἐπιθυμεῖν τῆς ἀπαλλαγῆς. εἰ μυρίων ἦν χ. τὴν ἀπαλλαγήν ἀγαθῶν μεστὰ τὰ παρόντα, διὰ γοῦν τὸν Χριστὸν τὸν ποθούμενον ἔδει ποθεῖν τὴν τούτων ἀπαλλαγήν. βαβαὶ τῆς τοῦ Παύλου ψυχῆς. οὐδὲν ἴσον ἐκείνης γέγονεν, οὐδὲ ἔσται. φοβῇ τὸ μέλλον, μυρίοις ἐνέχῃ δεινοῖς, καὶ οὐ βούλει εἶναι πρὸς τὸν Χριστόν; οὔ, φησι· καὶ τοῦτο διὰ τὸν Χριστόν, ἵνα οὓς εἰργασάμην αὐτῷ δούλους, εὐσεβεῖς καταστήσω· ἵνα ὅπερ ἐφύτευσα γεώρ-

α. Κορ ι. λγ. Ρωμ. θ. γ. γιον, καρποφορῆσαι ποιήσω. οὐκ ἤκουσάς μου, οὐχὶ τὸ ἐμαυτοῦ ζητοῦντος συμφέρον, ἀλλὰ χ. ἑαυτοῦ τὸ τῶν πλησίον; οὐκ ἤκουσας, ὅτι ἀνάθεμα ηὐχόμην γενέσθαι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τοῦ πολλοὺς αὐτῷ προσελθεῖν; ὁ ἐκεῖνο ἑλόμενος, οὐ πολλῷ μᾶλλον τοῦτο αἱρήσομαι, ἡδέως ἐμαυτὸν ζημιῶν διὰ τῆς ἀναβολῆς καὶ ὑπερθέσεως, ἵνα ἐκείνοις γένηταί τις σωτηρία; Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ὅτι Παῦλον οὐκ ἀφῆκας λαθεῖν, ὅτι ἔδειξας τῇ οἰκουμένῃ

Ιωβ. λη. ζ. τοιοῦτον ἄνδρα; Ἤνεσάν σε πάντες ἄγγελοι ὁμοθυμαδόν, ὅτε τὰ ἄστρα εἰργάσω, οὐκοῦν καὶ ὅτε τὸν ἥλιον· ἀλλ' οὐχ οὕτως, ὡς ὅτε τὸν Παῦλον ἔδειξας ἡμῖν καὶ τῇ οἰκουμένῃ πάσῃ. διὰ τοῦτο λαμπροτέρα γέγονεν ἡ γῆ τοῦ οὐρανοῦ, φαιδρότερος οὗτος τοῦ ἡλιακοῦ φωτός, ἀφῆκε λαμπροτέρας τὰς μαρμαρυγάς, φαιδρὰς τὰς ἀκτῖνας ἥπλωσεν. ἡλίκον ἡμῖν οὗτος ἔτικτε τὸν καρπόν, οὐκ ἀστάχυς πιαίνων, οὐδὲ ῥοιὰς τρέφων, ἀλλὰ τοὺς τῆς εὐσεβείας καρποὺς καὶ χ. ἐ ἀσχ. τίκτων, καὶ εἰς ἀκμὴν ἄγων, καὶ διαπίπτοντα συνεχῶς ἀνακτώμενος; εἰκότως. οὗτος μὲν γὰρ χ. ῥίζας ὁ ἥλιος τὸ ἅπαξ διαπεσὸν τῶν ἀκροδρύων οὐδὲν ὀνῆσαι δυνήσεται· Παῦλος δὲ οὗτος μυρίας χ. -τεσιν ἔχοντας σηπεδόνας, ἐξ ἁμαρτημάτων ἀνεκαλεῖτο· καὶ οὗτος μὲν παραχωρεῖ τῇ νυκτί, ἐκεῖνος δὲ τοῦ διαβόλου περιεγίνετο. οὐδὲν εἷλεν ἐκεῖνον, οὐδὲν ἐκράτησεν. ἐκεῖνος ἀφ' ὕψους φε- ισ. ἐφ ρόμενος, κάτω τὰς ἀκτῖνας ἀφίησιν· αὐτὸς δὲ κάτωθεν ἀνατέλλων, οὐχὶ τὸ μέσον οὐρανοῦ καὶ τῆς γῆς τοῦ φωτὸς ἐπλήρωσεν, ἀλλὰ ἅμα τὸ στόμα ἀνέῳξε, καὶ τοὺς ἀγγέλους ἐνέπλησε πολλῆς τῆς ἡδονῆς. πῶς; εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς

Λουκ. ιε. ι. οὐρανοῖς, αὐτὸς δὲ ἐκ πρώτης δημηγορίας πολλοὺς ἐθήρευσε, πῶς οὐκ ἐμπλήσει χα-

ρᾶς

πρὸς τὰς δύο δυνάμεις; καὶ τί λέγω; ἁπλῶς ἀρκεῖ Παῦλον φθέγξασθαι, καὶ τοὺς οὐρανίους ἐπὶ τούτῳ σκιρτᾶν καὶ εὐφραίνεσθαι. Εἰ γὰρ, ὅτε ἐξ Αἰγύπτου ἐξῆλθεν ὁ Ἰσραηλίτης, Ἐσκίρτησαν τὰ ὄρη, ὡς κριοὶ, ὅτε ἀπὸ γῆς εἰς οὐρανὸν μετέστησαν ἄνθρωποι, πόσην οἴει γεγενῆσθαι χαράν; Διὰ ταῦτα τὸ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Ψαλ. ριγ. δ.
Ποίαν ἕξομεν ἀπολογίαν λοιπὸν ἡμεῖς; πολλάκις γὰρ ἄνθρωπος κληροῦται πόλιν μικρὰν καὶ πτωχὴν, καὶ οὐχ αἱρεῖται ἀπελθεῖν ἑτέρωθι, τὴν οἰκείαν προκρίνων ἀνάπαυσιν· παρὰ τοῦ Χριστοῦ εἶχεν ἀπελθεῖν ὁ Παῦλος, καὶ οὐκ ἠθέλησε διὰ τὸν Χριστὸν (Χριστὸν, ὃν οὕτως ἐπόθει, ὡς δι' αὐτὸν καὶ γέενναν αἱρεῖσθαι) καὶ ἔμενεν ἔτι ἀγωνιζόμενος διὰ τοὺς ἀνθρώπους. Τίς ἔσται ἡμῖν ἀπολογία; ὅλως δὲ μεμνῆσθαι χρὴ Παύλου ἁπλῶς; ὅρα τί εἰργάσατο. Ἔδειξεν ὅτι κρεῖσσον τὸ ἀπελθεῖν, πείθων αὐτοὺς μὴ ἀλγεῖν. Ἔδειξεν ὅτι καὶ μένει, διὰ τοῦτο μένει, δι' ἐκείνους, ὅτι οὐκ ἀπὸ τῆς πονηρίας τῶν ἐπιβουλευόντων. Ἵνα τοίνυν ἀξιοπίστους αὐτοὺς ἐργάσηται, καὶ τὴν αἰτίαν ἔθηκεν. Εἰ γὰρ ἀναγκαῖον τοῦτό ἐστι, πάντως ὅτι μενῶ, καὶ οὐχ ἁπλῶς μενῶ, ἀλλὰ μεθ' ὑμῶν. Τοῦτο γάρ ἐστι τὸ, καὶ συμπαραμενῶ, τουτέστιν, ὄψομαι ὑμᾶς. Τίνος ἕνεκεν; Εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως. Ἐνταῦθα αὐτοὺς καὶ διανίστησιν, ὥστε προσέχειν ἑαυτοῖς. Εἰ γὰρ δι' ὑμᾶς, φησὶ, μενῶ, ὁρᾶτε μὴ καταισχύνητέ μου τὴν παραμονήν. Μέλλων Χριστὸν ὁρᾶν, εἱλόμην ἐπὶ τῇ ὑμετέρᾳ προκοπῇ μένειν. Ἐπειδὴ ἡ ἐμὴ παρουσία καὶ πρὸς πίστιν ὑμῖν συμβάλλεται, καὶ πρὸς χαρὰν, διὰ τοῦτο εἱλόμην μένειν. Τί οὖν; Φιλιππησίων ἕνεκεν ἔμενε μόνων; οὐκ ἐκείνων ἕνεκεν ἔμενε μόνων· λέγει δὲ τοῦτο, ἵνα αὐτοὺς θεραπεύσῃ. Πῶς δὲ ἦν τῇ πίστει προκόψαι; ὥστε στερεωθῆναι μᾶλλον ὑμᾶς, καθάπερ νεοττοὺς δεομένους τῆς μητρὸς, ἕως ἂν αὐτοῖς παγῇ τὰ πτερά. Πολλῆς ἀγάπης τοῦτο τεκμήριον. Οὕτω καὶ ἡμεῖς τινας διεγείρομεν, ὡς ὅταν εἴπωμεν· διὰ σὲ ἔμεινα, ἵνα σε ποιήσω χρηστόν. Ἵνα τὸ καύχημα ὑμῶν, φησὶ, περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς. Ὁρᾷς ὅτι τὸ, συμπαραμενῶ, τοῦτό ἐστιν; ὅρα τὴν ταπεινοφροσύνην. Ἐπειδὴ εἶπεν εἰς τὴν ὑμῶν προκοπὴν, δείκνυσιν ὅτι καὶ εἰς τὴν αὐτοῦ ὠφέλειαν. Ὅπερ καὶ πρὸς Ῥωμαίους γράφων ποιεῖ, λέγων· Τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν· Ῥωμ. α. ιβ.
εἰπὼν πρότερον, Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν. Τί δέ ἐστιν, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ; ὅπερ καὶ τὸ καύχημα ἦν, τὸ ἐστηρίχθαι ἐν τῇ πίστει. Τοῦτο γάρ ἐστι καύχημα ἐν Χριστῷ, τὸ ὀρθῶς βιοῦν. Τὸ ὑμῶν καύχημα ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς; ναὶ, φησί. Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς; Ὅτι καύχη- α. Θεσ. β. ιθ.
μα ἡμῶν ὑμεῖς ἐστε, καθάπερ καὶ ἡμεῖς ὑμῶν· τουτέστιν, ἵνα ἔχω καυχᾶσθαι ἐν ὑμῖν μειζό- β. Κορ. α. ιδ.
νως. Πῶς; ἵνα τέλειος ᾖ τὸ καύχημα ὑμῶν. Μειζόνως γὰρ ἔχω καυχᾶσθαι, ὑμῶν ἐπιδόντων. Διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς. Τί οὖν; ἦλθε πρὸς αὐτούς; τοῦτο ζητητέον. Εἰ ἦλθε.

27 Μόνον ἀξίως, φησὶ, τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε.

Ὁρᾷς ὅτι διὰ τοῦτο εἶπε πάντα, ἵνα εἰς τοῦτο αὐτοὺς προτρέψῃ ἐπιδοῦναι πρὸς ἀρετήν; μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε. Τί ἐστι τὸ, μόνον; τοῦτό ἐστι τὸ ζητούμενον μόνον, καὶ οὐδὲν ἄλλο. Ἂν τοῦτο ᾖ, οὐδὲν λυπηρὸν ἡμῖν συμβήσεται.

Ἵνα εἴτε ἐλθὼν, καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν.

Οὐχ ὡς μεταθέμενος, οὐδὲ ὡς οὐκέτι ἥξων, ταῦτα λέγει· ἀλλ' ἐὰν τοῦτο γένηται, φησὶ, καὶ ἀπὼν εὐφραίνεσθαι δύναμαι. Ἐὰν ἀκούσω, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, καὶ μιᾷ ψυχῇ. Τοῦτό ἐστιν ὃ μάλιστα συγκροτεῖ τοὺς πιστοὺς, καὶ τὴν ἀγάπην συνέχει. Διὰ τοῦτο, ἵνα ὦσιν ἕν, φησὶν ὁ Χριστός. Καὶ γὰρ βασιλεία μερισθεῖσα ἐφ' ἑαυτὴν, οὐ σταθήσεται. Διὰ τοῦ-
το πολλὴν ὑπὲρ ὁμονοίας ποιεῖται πανταχοῦ τὴν συμβουλὴν καὶ ὁ Παῦλος. Διὰ τοῦτο καὶ ὁ Ἰωάν. ιζ. ια. κα. κβ.
Χριστός φησιν, Ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μου ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλλήλους· Ματθ. ιβ. κε.
τουτέστι,

τυτέστι, μὴ εἰς τὴν προσδοκίαν τὴν ἐμὴν ἀφορῶντες καθεύδετε, ὅπερ προσδοκῶντες ἦξεν ἐλθεῖν. (Ιωαν. ιγ. λε.) ἵνα εἴτε ἐλθὼν ἴδω ὑμᾶς, εἴτε μὴ ἐρχόμενοι, ἐκλυθῆτε. καὶ γὰρ ἐξ ἀκοῆς εὐφρανθῆναι δύναμαι ὁμοίως. τί ἐστιν, ἐν ἑνὶ πνεύματι; τυτέστι, περὶ αὐτοῦ χαρίσματι, περὶ τῆς ὁμονοίας, περὶ τῆς προθυμίας. εἰ γάρ ἐστι τὸ πνεῦμα, καὶ δείκνυσι τοῦτο, ὃ πολλαχοῦ οὕτως εἴρηται. οὕτω γὰρ ἐστι καὶ ἐν μιᾷ ἐσηκέναι ψυχῇ, ὅταν ἓν πνεῦμα ἢ πάντες ἔχωμεν. ἰδοὺ τὸ, μιᾷ, ἐπὶ ὁμονοίας εἴρηται· (Πραξ. δ. λβ.) ἰδοὺ πολλαί, μία λέγονται. οὕτως καὶ ἐπὶ παλαιοῦ. Ην ἡ καρδία πάντων, φησί, καὶ ἡ ψυχὴ μία. Συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου. Ἄρα ὡς τῆς πίστεως ἀθλούσης, συναθλοῦντές φησιν ἀλλήλοις; πῶς ἂν ἔχοι λόγον; μὴ γὰρ πρὸς ἀλλήλους ἐπάλαιον; ἀλλὰ ὃ λέγει, τοῦτό ἐστι· συμπαραλαμβάνετε ἀλλήλους, φησὶν, ἐν τῇ ἀθλήσει τῇ πίστει τοῦ εὐαγγελίου.

28 Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις ἐστὶν αὐτοῖς μὲν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας. Πτυρόμενοι καλῶς εἶπε. τοιαῦτα γὰρ τὰ παρὰ τῶν ἐχθρῶν· μόνον πτύρεται. ἐν μηδενὶ οὖν, φησι, κἂν ὁτιοῦν ᾖ, κἂν κίνδυνοι, κἂν ἐπιβουλαί. τοῦτο γάρ ἐστι τῶν ὀρθῶς ἑστώτων. ἐκεῖνοι γὰρ οὐδὲν δύνανται, ἀλλὰ πτύρα μόνον. ἐπειδὴ εἰκὸς ἦν θορυβεῖσθαι αὐτοὺς, ἅτε τοῦ Παύλου μυρία πάσχοντος, οὐ λέγω, φησὶν, ὅτι μὴ σαλεύεσθε, ἀλλὰ μὴ πτύρεσθε, ἀλλὰ καὶ σφόδρα αὐτῶν καταφρονεῖτε. ἂν γὰρ οὕτω διακέησθε, ἐντεῦθεν ἤδη καὶ τὴν αὐτῶν ἀπώλειαν, καὶ τὴν ὑμετέραν σωτηρίαν δήλην ποιήσετε. ὅταν γὰρ ἴδωσιν, ὅτι μυρία πραγματεύονται, καὶ οὐδὲ πτύρειν ὑμᾶς δύνανται, τεκμήρια λήψονται τῆς ἑαυτῶν ἀπωλείας. ὅταν γὰρ οἱ διώκοντες τῶν διωκομένων μὴ περιγίνωνται, οἱ ἐπιβουλεύοντες τῶν ἐπιβουλευομένων, οἱ κρατοῦντες τῶν κρατουμένων, οὐκ αὐτόθεν ἔσται δῆλον αὐτοῖς, ὅτι ἀπολοῦνται; ὅτι οὐδὲν ἰσχύουσιν; ὅτι τὰ αὐτῶν ψευδῆ; ὅτι τὰ ἐκείνων ἀληθῆ; Καὶ τοῦτο ἀπὸ Θεοῦ, φησιν.

29 Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Πάλιν αὐτῶν παιδεύει τὸ φρόνημα μετεικάζει, τὸ πᾶν ἀναθεὶς περὶ Θεῷ, καὶ χάριν εἶναι λέγων, καὶ χάρισμα, καὶ δωρεὰν τὸ πάσχειν ὑπὲρ Χριστοῦ. ὥστε μὴ αἰσχύνεσθε χάρισμα. καὶ γάρ ἐστιν ὄντως τοῦ νεκροὺς ἀνιστᾶν πολλῷ καὶ σημεῖα ποιεῖν θαυμασιώτερον. ἐκεῖ μὲν γὰρ ὀφειλέτης εἰμί, ἐνταῦθα δὲ ὀφειλέτην ἔχω τὸν Χριστόν. ὥστε οὐ μόνον αἰσχύνεσθαι οὐ χρή, ἀλλὰ καὶ ἀγάλλεσθαι, ὡς χάρισμα ἔχοντας. τὰς ἀρετὰς χαρίσματά φησιν, οὐχ ὁμοίως μὲν τοι, ὡς καὶ τὰ ἄλλα. ἐκεῖνα μὲν γὰρ, ὁλόκληρα τοῦ Θεοῦ· ταῦτα δὲ καὶ ἡμῶν. ἀλλ' ἐπειδὴ καὶ ἐν ταῦθα τὸ πλέον τοῦ Θεοῦ ἐστι, διὰ τοῦτο ὅλον αὐτοῦ φησιν εἶναι, οὐ τὸ αὐτεξούσιον διαφθείρων, ἀλλὰ μετριόφρονας καὶ εὐγνώμονας κατασκευάζων.

30 Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοί. Τουτέστι, καὶ τὸ παράδειγμα ἔχετε. πάλιν αὐτοὺς ἐπαίρει ἐν ταῦθα. δείκνυσι γὰρ πανταχοῦ τὰ αὐτὰ ἀγωνιζομένους αὐτῷ, τὰ αὐτὰ ἀθλοῦντας, καὶ ἰδίᾳ καὶ καθ' ἑαυτοὺς περὶ συνδιαφέρειν αὐτῷ τοὺς πειρασμούς. οὐκ εἶπεν, ἀκηκόατε, ἀλλ', εἴδετε. καὶ γὰρ ἐκεῖ ἤθλησεν ἐν Φιλίπποις. ἄρα μεγάλη ἀρετή τοῦτό ἐστι. διὸ καὶ πρὸς Γαλάτας γράφων ἔλεγε, Τοσαῦτα ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ· (Γαλ. γ. δ. Εβρ. ι. λβ.) καὶ Ἑβραίοις πάλιν γράφων ἔλεγεν, Αναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ Μακεδόσι πάλιν, (α. Θεσσ. α. θ. καὶ β. α.) [τυτέστι, Θεσσαλονικεῦσι,] γράφων ἔλεγεν· Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. καὶ πάλιν· Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε. καὶ πᾶσιν ὁμοίως τὸ αὐτὸ μαρτυρεῖ, ἄθλους καὶ ἀγῶνας. ἀλλ' οὐ τινὰ τοῦτο εὑρήσετε παρ' ἡμῖν. νῦν γὰρ ἀγαπητοὶ τὸ κἂν ἐν χρήμασί τινά τι παθεῖν. (Εβρ. ι. λδ.) καὶ ἐν χρήμασι δὲ μεγάλα αὐτοῖς μαρτυρεῖ. τοῖς μὲν γάρ φησιν· Ὅτι τὴν ἁρπαγὴν

τῶν

Right-margin notes: χ. μὴ — ἴσ. πολλαὶ ψυχαὶ, μία — χ. ὁ σείων καταφρονητόν ἐστι — χ. τεκμήρια — χ. ἁρπαγήν

τὴν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε· τοῖς δέ φησιν, Ὅτι εὐδόκησε Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχούς· καὶ πάλιν, Ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. Ρωμ. ιε κς. β. Κορ. θ. β.

ΗΘΙΚΟΝ

Ὁρᾷς τὰ ἐγκώμια τῶν τότε ἀνδρῶν; ἡμεῖς δὲ οὐδὲ μέχρι ῥαπισμάτων, οὐδὲ μέχρι πληγῆς φερόμενοι, οὐδὲ ὕβριν, οὐδὲ χρημάτων ζημίαν ὑπομένομεν. ἐκεῖνοι ἤδη ζηλωταί, καὶ μάρτυρες πάντες ἦσαν ἀγωνιζόμενοι· ἡμεῖς δὲ τὴν ἀγάπην ἐψύξαμεν τὴν εἰς τὸν Χριστόν. πάλιν ἀναγκαζόμεθα κατηγορεῖν τῶν παρόντων πραγμάτων. καὶ τί πάθω; οὐκ ἐβουλόμην, ἀλλ' ἀναγκαζόμεθα. εἰ μὲν γὰρ ἦν σιγήσαντα, καὶ μηδὲν εἰπόντα τῶν γινομένων ἀφελῆσαι· διὰ τῆς σιγῆς ταῦτα γινόμενα, ἔδει σιγᾷν· εἰ δὲ τοὐναντίον γέγονε (οὐ γὰρ μόνον οὐκ ἀφανίζεται, ἡμῶν σιγώντων, ἀλλὰ καὶ χαλεπώτερα γέγονε) ἀναγκαῖον εἰπεῖν. ὁ γὰρ κατηγορῶν τῶν ἁμαρτανόντων, εἰ καὶ μηδὲν ἕτερον, οὐκ ἀφίησι περαιτέρω προελθεῖν. οὐδεμία γάρ ἐστιν οὕτως ἀναίσχυντος ψυχὴ καὶ ἰταμή, ὡς συνεχῶς ἀκούουσα κακιζόντων αὐτὴν τινῶν, μὴ ἐντρέπεσθαι, μηδὲ καθυφεῖναι τῆς κακίας τῆς πολλῆς. ἔνι γάρ, ἔνι καὶ τοῖς ἀναισχύντοις μικρόν τι αἰδοῦς. ὁ Θεὸς γὰρ ἐνέσπειρε τὴν αἰδῶ τῇ φύσει τῇ ἡμετέρᾳ. ἐπειδὴ γὰρ οὐκ ἤρκει ὁ φόβος ῥυθμίσαι ἡμᾶς, [καὶ] πολλὰς ἑτέρας κατεσκεύασεν ὁδοὺς τοῦ μὴ ἁμαρτάνειν· οἷον, τὸ κατηγορεῖσθαι παρὰ ἀνθρώπων, τὸ δεδοικέναι νόμους τοὺς κειμένους, τὸ δόξης ἐρᾷν, τὸ φιλίας ἀντιποιεῖσθαι. πᾶσαι γὰρ αὗται αἱ ὁδοὶ τοῦ μὴ ἁμαρτάνειν εἰσί. πολλάκις γὰρ ἃ διὰ τὸν Θεὸν οὐκ ἐγίνετο, δι' αἰδῶ γέγονε· καὶ ἃ διὰ τὸν Θεὸν οὐκ ἐγίνετο, διὰ φόβον ἀνθρώπων ἐγίνετο. τὸ γὰρ ζητούμενον τοῦτό ἐστι πρότερον, μὴ ἁμαρτάνειν μαθεῖν· εἶτα, τὸ διὰ τὸν Θεὸν τοῦτο ποιεῖν ὕστερον κατορθώσομεν. ἐπεὶ διὰ τί Παῦλος τοὺς μέλλοντας κρατεῖν τῶν ἐχθρῶν, οὐκ ἀπὸ τοῦ φόβου προτρέπεται τοῦ Θεοῦ, ἀλλὰ καὶ ἀπὸ τοῦ τὴν ἐκδικίαν ἀναμένειν; Τοῦτο γὰρ ποιῶν, φησιν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. πρῶτον γὰρ τοῦτο βούλεται, κατορθωθῆναι τὴν ἀρετήν. ὅπερ οὖν ἔλεγον, ἔνεστί τι αἰσχυντηρὸν ἐν ἡμῖν. πολλὰ γὰρ καὶ φυσικὰ ἀγαθὰ ἔχομεν πρὸς τὴν ἀρετήν, οἷον πρὸς τὸ ἐλεεῖν ἀπὸ φύσεως κινούμεθα πάντες ἄνθρωποι, καὶ οὐδὲν οὕτως ἀγαθὸν ἐν τῇ φύσει ἡμῶν ἐστιν ἄλλο, ὡς τοῦτο. ὅθεν ἄν τις εἰκότως καὶ ἐξετάσειε, διὰ τί τοῦτο μάλιστα τῇ φύσει ἡμῶν ἐνέσπαρται, τὸ κατακλᾶσθαι λέγω δάκρυσι, τὸ ἐπικάμπτεσθαι, τὸ ἑτοίμους εἶναι πρὸς ἔλεον. οὐδεὶς φύσει ἐστὶν ἀργός, οὐδεὶς φύσει ἐστὶν ἀκενόδοξος, οὐδεὶς φύσει ἐστὶ ζήλου κρείττων, ἀλλὰ τὸ ἐλεεῖν πᾶσιν ἔγκειται φύσει, κἂν ὠμός τις ᾖ, κἂν ἀπηνής. καὶ τί θαυμαστόν, εἰ ἐπὶ ἀνθρώπων τοῦτο ἐπιδεικνύμεθα; καὶ θηρία ἐλεοῦμεν· οὕτως ἐκ περιουσίας ἡμῖν ὁ ἔλεος ἔγκειται. κἂν σκύμνον ἴδωμεν λέοντος, πάσχομέν τι· ἐπὶ δὲ ὁμοφύλου πολλῷ πλέον. ὅρα πόσοι ἀνάπηροι, πολλάκις λέγομεν, εἰδότες ὅτι καὶ τοῦτο ἱκανὸν εἰς ἔλεον ἡμᾶς ἀγαγεῖν. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν, ὡς ἐλεημοσύνη. διὸ οἱ ἱερεῖς τούτῳ ἐχρίοντο, καὶ οἱ βασιλεῖς, καὶ οἱ προφῆται. τῆς γὰρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον, τὸ ἔλαιον. πάλιν ἐμάνθανον, ὅτι τὸν ἄρχοντα πλέον ἐλέου δεῖ ἔχειν. ἐδήλου ὅτι τὸ πνεῦμα εἰς ἄνθρωπον δι' ἔλεον μέλλει ἔρχεσθαι. ἐπειδὴ ὁ Θεὸς ἐλεεῖ τοὺς ἀνθρώπους, καὶ φιλανθρωπεύεται (Ἐλεεῖς γάρ, φησι, πάντας, ὅτι πάντα δύνασαι) διὰ τοῦτο ἐλαίῳ ἐχρίοντο. καὶ γὰρ καὶ τὴν ἱερωσύνην ἀπὸ ἐλέους ἐποίησε· καὶ οἱ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. κἂν ἄρχοντά τις ἐπαινῇ, οὐδὲν οὕτως αὐτῷ πρέπον ἐρεῖ, ὡς ἔλεος. τοῦτο γὰρ ἀρχῆς ἴδιον, τὸ ἐλεεῖν. ἐννόησον ὅτι δι' ἔλεον ὁ κόσμος συνεστάθη, καὶ αἰμήσαι τὸν δεσπότην. Σοφ. ια κδ. Σοφ. α. κδ. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα. πῶς ἐπὶ πᾶσαν σάρκα; κἂν ἁμαρτωλοὺς εἴπῃς, κἂν δικαίους εἴπῃς, πάντες τοῦ ἐλέους τοῦ Θεοῦ δεόμεθα· πάντες ἀπολαύομεν αὐτοῦ, κἂν αὐτὸς ᾖ Παῦλος, κἂν Πέτρος, κἂν Ἰωάννης. καὶ ἄκουσον αὐτῶν λεγόντων· οὐδὲν γὰρ δεῖ λόγων τῶν ἡμετέρων. τί γάρ φησιν ὁ μακάριος οὗτος; Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα. τί οὖν; μετὰ ταῦτα οὐκ ἐδεῖτο ἐλέους; ἄκουσον τί φησι πά- Σειρ. ιη. ιϛ. α Τιμ. α. ιγ.

[α. Κορ. ιε. ι.] λων· Περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. [Φιλιπ. β. κζ.] καὶ περὶ Ἐπαφροδίτου φησί· Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. [β. Κορ. α. η.] καὶ πάλιν, Ἐβαρήθημεν, φησιν, ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς, καὶ ῥύσεται. [β. Τιμ. δ. ιζ.] καὶ πάλιν, Ἐρρύσθην ἐκ στόματος λέοντος, καὶ * ῥύσεταί με ὁ Κύριος. καὶ πανταχοῦ εὑρήσομεν τοῦτο αὐτὸν καυχώμενον, ὅτι ἐλέῳ ἐσώθη. καὶ Πέτρος δὲ ἀπὸ τοῦ ἐλεηθῆναι τοιοῦτος ἦν. ἄκουε γὰρ τοῦ Χριστοῦ πρὸς αὐτὸν λέγοντος· [Λουκ. κβ. λα.] Πέτρε, Πέτρε, ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον, καὶ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. καὶ Ἰωάννης ἐλέῳ τοιοῦτος ἦν, καὶ πάντες δὲ ἁπλῶς οἱ ἀπόστολοι. [Ιωαν. ιε. ιϛ.] ἄκουε γὰρ τοῦ Χριστοῦ τοῦτο αἰνιττομένου καὶ λέγοντος· Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. πάντες γὰρ δεόμεθα τοῦ ἐλέους τοῦ Θεοῦ. Ἔλεος γὰρ Θεοῦ, φησιν, ἐπὶ πᾶσαν σάρκα. εἰ δὲ οὗτοι ἐδέοντο τοῦ ἐλέους τοῦ Θεοῦ, τί ἄν τις εἴποι περὶ τῶν λοιπῶν; πόθεν γάρ, εἰπέ μοι, τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηρούς, καὶ ἀγαθούς; τί δέ, εἰ μόνον ἐνιαυτὸν τὸν ὑετὸν ἐπέσχεν, οὐκ ἂν ἅπαντας ἀπώλεσε; τί δέ, εἰ κατακλυσμὸν εἰργάσατο; τί δέ, εἰ πῦρ ἔβρεξε; τί δέ, εἰ μυίας ἔπεμψεν; ἀλλὰ τί ταῦτα λέγω; εἰ σκότος ἐποίησεν, οὐδέ- [Ψαλμ. ε. η.] ποτε, οὐκ ἂν ἅπαντας ἀπώλεσεν; εἰ τὴν γῆν ἐτίναξεν, οὐκ ἂν ἅπαντες ἀπώλοντο; Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, εὔκαιρον εἰπεῖν νῦν. ἂν ἀπειλήσῃ τῇ γῇ μόνον, πάντες εἰς ἐγένοντο τάφος. [Ησ. μ. ιε.] Ὡς σταγὼν ὕδατος ἀπὸ κάδου, φησίν, οὕτω τὰ ἔθνη ἐνώπιον αὐτοῦ, ὡς σίελος λογισθήσονται, ὡς ῥοπὴ ζυγοῦ. ὡς εὔκολον ἡμῖν τὴν τευτλίων κινῆσαι, οὕτως αὐτῷ πάντα ἀπολέσαι, καὶ ποιῆσαι πάλιν. ὁ τοίνυν τοσαύτην ἔχων ἐξουσίαν ἡμῶν, καὶ ὁρῶν ἡμᾶς καθ' ἑκάστην ἁμαρτάνοντας, καὶ μὴ κολάζων, οὐχὶ ἐλέῳ διαβαστάζει; ἐπεὶ καὶ τὰ [Ψαλμ. λε. ζ.] κτήνη ἐλέῳ ἐστί τι καὶ σώζεται. Ἀνθρώπους γάρ, φησι, καὶ κτήνη σώσεις, Κύριε. εἶδον ἐπὶ τὴν γῆν, καὶ ἔπλησεν αὐτὴν ζώων. διὰ τί; διὰ σέ. σὲ δὲ διὰ τί ἐποίησεν; ἆρα οὐ δι' ἀγα- [Ησ. γ.] θότητα; οὐδὲν ἐλαίου χρηστόν. φωτός ἐστιν αἴτιον, καὶ ἐκεῖ * φωτὸς αἴτιον. Καὶ ἀνατελεῖ, φησιν ὁ προφήτης, πρώϊμον τὸ φῶς σου, ἐὰν ποιήσῃς ἔλεον εἰς τὸν πλησίον. καὶ εἰκότως. ὥσπερ τὸ ἔλαιον τοῦτο τὸ φῶς τρέφει τοῖς θαλαττεύουσιν, οὕτως ἡ ἐλεημοσύνη ἐκεῖ φῶς μέγα ἡμῖν παρέξεται καὶ θαυμάσιον. καὶ πολὺς τοῦ ἐλέου τούτου ὁ λόγος τῷ Παύλῳ ἦν. ἄκουε γὰρ αὐτοῦ [Γαλ. β. ι.] ποτὲ μὲν λέγοντος, Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν. ἄλλοτε δέ, Ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ [α. Κορ. ιϛ. δ.] πορεύεσθαι. καὶ πανταχοῦ ἄνω καὶ κάτω περὶ τούτου ὁρᾷς αὐτὸν μεριμνῶντα. καὶ πάλιν, Μαν- [Τιτ. γ. ιδ.] θανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι. καὶ πάλιν· Ταῦτα γάρ ἐστι καλά, [Τωβ. δ.] καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. ἄκουε δὲ καὶ ἄλλου τινὸς λέγοντος, Ἐλεημοσύνη ἐκ θανάτου [Ψαλμ. ρμβ.] ῥύεται. καὶ ἄλλου, Ἐὰν δὲ τὸν ἔλεον ἀφέλῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; καὶ, Ἐὰν εἰσέλθῃς, φησίν, [Παροιμ. κ.] εἰς κρίσιν μετὰ τοῦ δούλου σου. καὶ ἄλλος, Μέγα τι ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. τοῦτο γὰρ ἄνθρωπος, ἐλεήμων, μᾶλλον δὲ τοῦτο ὁ Θεός, τὸ ἐλεεῖν. ὁρᾷς ὅση τοῦ ἐλέους τοῦ Θεοῦ ἡ ἰσχύς; τοῦτο πάντα ἐποίησε, τοῦτο τὸν κόσμον εἰργάσατο, τοῦτο ἀγγέλους ἐποίησε, δι' ἀγαθότητα μόνον. διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα βασιλείας τύχωμεν· βασιλείας δὲ τυγχάνομεν δι' ἔλεον. διὰ τί γάρ, εἰπέ, μόνος ὢν ὁ Θεὸς τοσούτους ἐποίησεν; οὐ δι' ἀγαθότητα; οὐ διὰ φιλανθρωπίαν; ἂν ἐρωτήσῃς, διὰ τί τόδε καὶ τόδε, πανταχοῦ τὴν ἀγαθότητα εὑρήσεις. οὐκοῦν ἐλεήσωμεν τὸν πλησίον, ἵνα ἐλεηθῶμεν αὐτοί. οὐκ ἐκείνοις μᾶλλον, ἢ ἡμῖν αὐτοῖς συνάγομεν τὸν ἔλεον τοῦτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ὅταν σφοδρὰ ᾖ τοῦ πυρὸς ἡ φλόξ, τὸ ἔλεος τοῦτο τοῦ μὲν πυρός ἐστι σβεστικόν, ἡμῖν δὲ φωτὸς αἴτιον. οὕτω τοῦ πυρὸς τῆς γεέννης διὰ τούτου ἀπαλλαγησόμεθα· ἐπεὶ πόθεν σπλαγχνισθήσεται καὶ ἐλεήσει; ἀπὸ τῆς ἀγάπης ὁ ἔλεος γίνεται. οὐδὲν οὕτω παροξύνει τὸν Θεόν, ὡς τὸ ἀνελεήμονα εἶναι. προσηνέχθη αὐτῷ τις ὀφείλων μυρία τάλαντα, καὶ

σπλαγχνισθεὶς

[Margin notes: γ. τὸ δὲ ... τε * ἀλλαχοῦ; γ. ἅπαντες ἀπώλοντο; γ. μάστιγι; γ. ἐλαίου * καὶ ἐντεῦθεν; γ. ἐλαίου; γ. τὸν ἔλεον τοῦτο; γ. ἡμῖν δὲ διὰ τίνος]

σπλαγχνισθεὶς συνεχώρησεν· καὶ ἐκεῖνος ὀφείλετο παρὰ τοῦ συνδούλου ἑκατὸν δηνάρια, καὶ ἦγχεν αὐτόν· διὰ τοῦτο παρέδωκεν αὐτὸν ὁ Κύριος τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ταῦτα ἀκούσαντες, ἐλεήμονες ὦμεν περὶ τοὺς ὀφείλοντας ἐν χρήμασιν, ἐν ἁμαρτήμασι. μηδεὶς μνησίκακος ἔστω, εἴγε μὴ βούλοιτο ἑαυτὸν ἀδικεῖν. οὐ γὰρ ἐκεῖνον τοσοῦτον μὴ ἀφιεὶς λυπεῖς, ὅσον ἑαυτὸν ἀδικεῖς. ἐκεῖνον μὲν γὰρ, ἂν ἐπεξίῃς σὺ, οὐκ ἐπέξεισιν ὁ Θεός· σοῦ δὲ καταλιπόντος, ἢ ἐπέξεισιν αὐτῷ, ἢ τὰς ἁμαρτίας σοι ἀφίησι. πῶς δὲ μὴ ἀφιεὶς σὺ τὸν πλησίον, βασιλείαν ζητεῖς; ἵνα μὴ πάθωμεν, πᾶσιν ἀφῶμεν (ἑαυτοῖς γὰρ ἀφίεμεν) καὶ συγχωρήσωμεν, ἵνα ὁ Θεὸς συγχωρήσῃ ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, καὶ οὕτω τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. ϛ. ΕΙ ΤΙΣ ΟΥΝ ΠΑΡΑΚΛΗΣΙΣ ΕΝ ΧΡΙΣΤΩ, ΕΙ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, 2 Πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, 3 Μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. 4 Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος. κεφ. β.

Οὐδὲν ἄμεινον, οὐδὲν φιλοστοργότερον διδασκάλου πνευματικοῦ· οὐδὲ πάντος πατρὸς εὔνοιαν ὑπερέρχεται φυσικοῦ. ὅρα γοῦν, ὁ μακάριος οὗτος οἵαν ἐνταῦθα ἱκετηρίαν πρὸς Φιλιππησίους ὑπὲρ τῶν ἐκείνοις συμφερόντων. περὶ γὰρ ὁμονοίας παρακαλῶν, τοῦ πάντων αἰτίου τῶν καλῶν· ὅρα πῶς λιπαρῶς, πῶς σφοδρῶς, πῶς μετὰ συμπαθείας πολλῆς. Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, φησί· τουτέστιν, εἴ τινα ἔχετε παράκλησιν ἐν Χριστῷ. ὡς ἂν εἰ ἔλεγεν, εἴ τινά μου λόγον ἔχεις, εἴ τίς σοι φροντὶς ἐμοῦ, εἴ ποτε εὖ ἔπαθές τι παρ' ἐμοῦ, τόδε ποίησον. τούτῳ δὲ κεχρήμεθα τῆς ἀξιώσεως τῷ τρόπῳ, ὅταν ὑπὲρ πραγμάτων ἀξιῶμεν, ὃ πάντων προτιθέμεθα. οὐ γὰρ, εἰ μὴ πάντων αὐτὸ προετιθέμεθα, πάντων τὴν ἀμοιβὴν ἐν ἐκείνῳ λαβεῖν ἐβουλόμεθα, καὶ δι' ἐκείνου τὸ πᾶν ἐλέγομεν δείκνυσθαι. ἡμεῖς μὲν οὖν σαρκικῶν δικαιωμάτων ὑπομιμνήσκομεν· ὡς ἂν εἰ πατὴρ ἔλεγεν, εἴ τις οὖν σοι πατρὸς αἰδὼς, εἴ τις λόγος τροφῆς μνήμη, εἴ τις φιλοστοργίας τῆς πρὸς ἐμὲ, εἴ τις τιμῆς ἧς ἔτυχες παρ' ἐμοῦ, εἴ τις εὐνοίας, μὴ ἔσο τῷ ἀδελφῷ ἐχθρός· τουτέστιν, ἀντὶ πάντων ἐκείνων ταύτην αἰτῶ τὴν ἀμοιβήν. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, οὐδενὸς σαρκικοῦ ὑπομιμνήσκει, ἀλλὰ πάντων πνευματικῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἴ τινά μοι βούλεσθε παράκλησιν ἐν τοῖς πειρασμοῖς δοῦναι, καὶ παραμυθίαν ἐν Χριστῷ, εἴ τινα παραμυθίαν ἀγάπης, εἴ τινα κοινωνίαν δεῖξαι τὴν ἐν πνεύματι, εἴ τινα ἔχετε σπλάγχνα καὶ οἰκτιρμοὺς, πληρώσατέ μου τὴν χαράν. Εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί. οἰκτιρμοὺς φησὶν εἶναι τὴν μαθητῶν τὴν ὁμόνοιαν ὁ Παῦλος, δεικνὺς ὡς ἐν τοῖς ἐσχάτοις ὁ κίνδυνος, ἐὰν μὴ ὁμονοῶσιν. Εἰ ἔστι φησὶ, τυχεῖν παρακλήσεως παρ' ὑμῶν, εἰ ἔστι τυχεῖν ἀπὸ τῆς ἀγάπης ὑμῶν παραμυθίας τινὸς, εἰ ἔστιν ὑμῖν κοινωνῆσαι ἐν πνεύματι, εἰ ἔστι κοινωνῆσαι ὑμῖν ἐν Κυρίῳ, εἰ ἔστιν ἐλεηθῆναι παρ' ὑμῶν καὶ οἰκτιρηθῆναι, πάντων τούτων τὴν ἀπόδοσιν ἐν τῇ ἀγάπῃ δείξατε· πάντων τούτων ἔτυχον, ἐὰν ἀγαπᾶτε ἀλλήλους. πληρώσατέ μου τὴν χαράν. ὅρα, ἵνα μὴ δόξῃ ἡ παραίνεσις, ὡς πρὸς ἐλλείποντας ἐπιτεταγμένη, οὐκ εἶπε, ποιήσατέ μοι, ἀλλὰ, πληρώσατε· τουτέστιν, ἤρξασθε φυτεύειν ἐν ἐμοί· ἤδη μοι μετεδώκατε τὸ εἰρηνεύειν, ἀλλ' εἰς τέλος ἐπιθυμῶ ἐλθεῖν. τί βούλει, εἰπέ μοι; ἵνα σε κινδύνων ἀπαλλάξωμεν; ἵνα σοί τι χορηγήσωμεν; οὐδὲν τούτων φησίν· ἀλλ', ἵνα ὑμεῖς τὸ αὐτὸ

φρονῆτε τὴν αὐτὴν ἀγάπην ἔχοντες, ἐν ᾗ ἤρξασθε, σύμψυχοι, τὸ ἓν φρονοῦντες. βαβαὶ, ποσάκις τὸ αὐτὸ λέγει ἀπὸ διαθέσεως πολλῆς; ἵνα τὸ αὐτὸ φρονῆτε, φησί, μᾶλλον δὲ, ἵνα τὸ ἓν φρονῆτε. τοῦτο γὰρ φανερώτερον ἐδήλωσεν εἰπὼν, τὸ ἓν φρονοῦντες· ὅτι τὸ, τὸ αὐτὸ, μεῖζόν ἐστι. τὴν αὐτὴν ἀγάπην ἔχοντες· τουτέστι, μὴ ἁπλῶς τὰ τῆς πίστεως μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ ἀγάπην ἔχειν. τὴν αὐτὴν ἀγάπην ἔχοντες, τουτέστιν, ὁμοίως καὶ φιλεῖν, καὶ φιλεῖσθαι. μὴ σὺ μὲν ἀπόλαυε τῆς πολλῆς, ἐλάττονα δὲ τοῖς ἄλλοις παρέχε, ἵνα καὶ ἐν τούτῳ μὴ ᾖς πλεονέκτης. εἰ γὰρ ἴσως τοῦτο, ἀλλὰ σὺ μὴ ἀνέχου. σύμψυχοι, φησί· τουτέστι, μιᾷ ψυχῇ τὰ πάντων οἰκονομούμενοι σώματα, οὐ τῇ οὐσίᾳ (οὐ γάρ ἐστι δυνατὸν) ἀλλὰ τῇ προαιρέσει καὶ τῇ γνώμῃ· ὡς ἐκ μιᾶς ψυχῆς τὰ πάντα γίνεσθαι. τί ἐστι, σύμψυχοι; ἐδήλωσεν εἰπὼν, τὸ ἓν φρονοῦντες· ἓν ἔσω τὸ φρόνημα, ὥσπερ μιᾶς ψυχῆς. μηδὲν κατ' ἐρίθειαν. ἀξιοῖ λοιπὸν, καὶ τὸν τρόπον λέγει, πῶς ἂν τοῦτο γένοιτο· μηδὲν κατ' ἐρίθειαν, ἢ κενοδοξίαν, φησίν. ὅπερ ἀεὶ φημὶ, ὅτι πάντων αἴτιον τῶν κακῶν τοῦτ' ἐστιν. ἐντεῦθεν αἱ μάχαι καὶ αἱ ἔρεις· ἐντεῦθεν αἱ βασκανίαι, καὶ φιλονεικίαι· ἐντεῦθεν τῆς ἀγάπης ἡ ψύξις, ὅταν τῆς τῶν ἀνθρώπων δόξης ἐρῶμεν, ὅταν δοῦλοι τῆς τῶν πολλῶν ὦμεν τιμῆς. οὐ γὰρ ἔνι δόξης εἶναι δοῦλον, εἶναι καὶ Θεοῦ δοῦλον γνήσιον. πῶς οὖν τὴν κενοδοξίαν φύγωμεν, φησίν; οὐδέπω γὰρ εἶπας ὁδόν. ἄκουε τῶν ἐπαγομένων. ἀλλὰ τῇ ταπεινοφροσύνῃ, φησὶν, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. βαβαὶ, πῶς δόγμα φιλοσοφίας γέμον καὶ πάσης ἡμῖν τῆς σωτηρίας συγκρότημα ἐξέθηκεν; ἐὰν ὑπολάβῃς, φησὶν, ὅτι ὁ δεῖνά σου μείζων ἐστὶ, καὶ τοῦτο πείσῃς σαυτὸν, μᾶλλον δὲ οὐκ ἐὰν εἴπῃς μόνον, ἀλλὰ καὶ πληροφορηθῇς, ἀπονέμεις αὐτῷ καὶ τὴν τιμήν. εἰ δὲ σὺ ἀπονέμεις αὐτῷ τὴν τιμὴν, οὐκ ἀγανακτήσεις ὁρῶν αὐτὸν παρ' ἑτέρου τιμώμενον. μὴ τοίνυν ἁπλῶς νόμιζε μείζονά σου εἶναι, ἀλλὰ καὶ ὑπερέχειν (ὅπερ ἐστὶ σφοδρᾶς ὑπερβολῆς) καὶ οὐ ξενισθήσῃ τιμώμενον ὁρῶν, οὐδὲ ἀλγήσεις κἂν ὑβρίσῃ, οἴσεις γενναίως. μείζονα γάρ σου αὐτὸν νενόμικας. κἂν λοιδορῇ, πείθῃ· κἂν ποιήσῃ κακῶς, φέρεις σιγῇ. ὅταν γὰρ ἅπαξ πληροφορηθῇ ἡ ψυχὴ, ὅτι μείζων ἐστὶν, οὐκ εἰς ὀργὴν ἐμπίπτει ἐν οἷς ἂν παρ' αὐτοῦ πάθῃ κακῶς, οὐκ εἰς βασκανίαν. τοῖς γὰρ σφόδρα ὑπερέχουσιν οὐδεὶς ἂν φθονήσειε. τῆς γὰρ ὑπεροχῆς τὰ πολλὰ ἡγεῖται. ἐνταῦθα μὲν δύο τούτοις παιδεύει οὕτω διακεῖσθαι. ὅταν δὲ κἀκεῖνος ὁ τοσαύτης ἀπολαύων τιμῆς παρὰ σοῦ, φησὶν, οὕτω πρὸς σὲ διακέηται, ὁρᾷς ὅσον πῶς ταχύς ἐστι διπλοῦν ἐπιεικείας. ὅταν γὰρ σὺ τίμιος ἄξιον τιμῆς ἔχῃς, κἀκεῖνος οὕτως, οὐδεὶς οὐδέποτε ἔσται λυπηρόν. εἰ γὰρ παρὰ τοῦ ἑνὸς τοῦτο γινόμενον ἀρκεῖ λῦσαι πᾶσαν ἐργασίαν, ὅταν παρὰ ἀμφοτέρων ᾖ, τίς διακόψει ταύτην τὴν ἀσφάλειαν; οὐδὲ αὐτὸς ὁ διάβολος. τειχίπλοιον γάρ ἐστι, καὶ τετραπλοῦν, καὶ πολλαπλάσιον τὸ ὀχύρωμα. πάντων γὰρ τῶν ἀγαθῶν αἰτία ἡ ταπεινοφροσύνη. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος· Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις· θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. οὐχ ἁπλῶς δὲ ταπεινοφροσύνην ἀπαιτεῖ, ἀλλ' ἐπίτασιν ταπεινοφροσύνης. καθάπερ γὰρ ἐπὶ τῶν σωμάτων, τὸ συντετριμμένον οὐκ ἂν ἐπανασταίη ποτὲ τῷ στερρῷ, ἀλλ' ὅσα ἂν πάθῃ δεινὰ, πρότερον αὐτὸ ἀπόλλυται, ἢ ἑτέρῳ ἐπεξελεύσεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, αἱρήσεται μᾶλλον κακῶς πάσχουσα διαπαντὸς καὶ ἀποθανεῖν, ἢ ἐπεξελθεῖν καὶ ἀμύνασθαι.

Ψαλ. ν. ιη.

ΗΘΙΚΟΝ

Μέχρι τίνος φυσώμεθα φύσημα γέλωτος ἄξιον; ὥσπερ γὰρ τὰ παιδία ὅταν ὁρῶμεν ἀναπνεόμενα καὶ γαυρούμενα, γελῶμεν, ἢ καὶ λίθοι αἴρεται καὶ ῥιπτούμενα πάλιν γελῶμεν· οὕτως ἐστὶν ἡ ἀπόνοια ἡ ἀνθρωπίνη παιδικῆς ἐν διανοίας καὶ ἀτελοῦς φρενὸς γέννημα. τί γὰρ ὑπερηφανεύεται γῆ καὶ σποδός; μέγα φρονεῖς, ἄνθρωπε; διατί; τί τὸ κέρδος, εἰπέ μοι; πόθεν δὲ καὶ μέγα φρονεῖς κατὰ τῶν ὁμοφύλων; οὐχὶ τῆς αὐτῆς μετέχεις φύσεως; οὐχὶ τῆς

γρ. αὐτοῖς ἐδήλωσεν εἰπὼν

γρ. ἓν γὰρ ἔσω τὸ φρόνημα βούλεται πάντων, καὶ ὥσπερ μιᾶς ψυχῆς ἐξηρτῆσθαι.

γρ. ὑπεροχῆς.

γρ. ξενίζῃ.

γρ. οὐκ ἀγανακτήσεις κἂν ἀκούσῃς κακῶς, οἴσεις σιγῇ.

γρ. ἐστίν.

γρ. -φαίνῃ γῆ καὶ ... ἄρ, ...

αὐτῆς ψυχῆς; οὐχ ὁμοίως τετίμησαι παρὰ τοῦ Θεοῦ; ἀλλὰ σοφὸς εἶ; ἐκείνου εὐχαριστεῖν, οὐ φυσᾶσθαι ὀφείλεις. περιττὴ ἀχαριστία, ἀπόνοια. ἀφαιρεῖται γὰρ τῆς εὐεργεσίας τὸ δῶρον. ὁ γὰρ ἐπαιρόμενος, ὡς αὐτὸς κατορθώσας ἐπαίρεται· ὁ δὲ νομίζων κατορθωκέναι, ἀχάριστός ἐστι περὶ τὸν δεδωκότα τὴν τιμήν. ἔνεστί σοι τι ἀγαθόν; εὐχαρίστει τῷ δεδωκότι. ἄκουσον τί φησιν ὁ Ἰωσήφ, τί δὲ ὁ Δανιήλ. τοῦ γὰρ βασιλέως Αἰγύπτου μεταπεμψαμένου αὐτὸν ἀπὸ τοῦ δεσμωτηρίου, καὶ ἐπὶ πάσης τῆς στρατιᾶς πυνθανομένου ἐπὶ πράγματι, ἐφ' ᾧ πάντες παρεχώρησαν [γρ. φαίνεσθαι] Αἰγύπτιοι οἱ περὶ ταῦτα μάλιστα δεινοί, μέλλων αὐτὸς κατὰ πᾶν ὑπεραίρειν, καὶ σοφώτερος φανήσεσθαι τῶν ἀστρολόγων, τῶν μάντεων, τῶν γοήτων, τῶν μάγων, πάντων τῶν φιλοσόφων τῶν τότε, [ἀπὸ τῆς αἰχμαλωσίας καὶ δουλείας] παιδίον ὤν (καὶ γὰρ τότε μείζων ἡ δόξα. οὐ γάρ ἐστιν ἴσον φαινόμενον λάμπειν, καὶ παρὰ προσδοκίαν. ὥστε καὶ τὸ παρ' ἐλπίδας ἐποίει αὐτὸν θαυμαστότερον) τί οὖν οὗτος προσελθὼν εἶπε τῷ Φαραώ; ὅτι ναί, οἶδα; οὐχ οὕτως· ἀλλὰ τί; οὐδενὸς αὐτὸν ἐλέγχοντος, ἀπὸ πολλῆς τῆς εὐγνωμοσύνης τί φησιν; [γρ. ταπεινοφρονούσης] Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν; [Γεν. μ. η.] ὅρα· τὸν δεσπότην εὐθέως ἐδόξασε· διὰ τοῦτο καὶ αὐτὸς ἐδοξάσθη. οὐ μικρὸν δὲ τοῦτο εἰς δόξης λόγον. τοῦ γὰρ αὐτὸν κατορθωκέναι τὸ τὸν Θεὸν ἀποκαλύψαι μεῖζον πολλῷ. ἄλλως δὲ καὶ τὰ λεγόμενα ἐντεῦθεν ἀξιόπιστα ἔδειξε, καὶ τοῦτο τῆς οἰκειώσεως τοῦ Θεοῦ τεκμήριον μέγιστον. οὐδὲν γὰρ οὕτως ἀγαθόν, ὡς τὸ οἰκειοῦσθαι τῷ Θεῷ. Εἰ γὰρ ἐξ ἔργων [Ρωμ. δ. β.] ἐδικαιώθη, ἔχει καύχημα, φησιν, ἀλλ' οὐ πρὸς τὸν Θεόν. εἰ γὰρ ὁ χάριτος ἀξιωθεὶς καυχᾶται ἐπὶ τῷ Θεῷ, [γρ. δὲ ὁ ὄχλ...] ὅτι ἀγαπᾶται, ὅτι συνεχωρήθη αὐτῷ, καὶ ἔχει καύχημα ὁ ἐργαζόμενος, ἀλλ' οὐ πρὸς τὸν Θεόν, ὡς ἐκεῖνος (τῆς γὰρ πολλῆς ἀσθενείας τεκμήριον τοῦτο τῆς ἡμετέρας) ὁ καὶ σοφίαν λαβὼν παρὰ τοῦ Θεοῦ, πόσῳ μᾶλλον ἂν εἴη θαυμαστός; ἐδόξασε τὸν Θεόν, καὶ ἐδοξάσθη ὑπ' αὐτοῦ. Τοὺς δοξάζοντάς με γάρ, φησι, δοξάσω. [γρ. δοξάσαντ.] [α. Βασ. β. λβ.] πάλιν ὁ ἀπόγονος ὁ τούτου, οὗ σοφώτερος οὐδεὶς (μὴ γὰρ σοφώτερος εἶ, φησι, σὺ τοῦ Δανιήλ;) [Ιεζεκ. κη. γ.] ἐστὶ δὴ ὁ Δανιὴλ τῶν ἐν Βαβυλῶνι πάντων σοφῶν, καὶ αὐτῶν πάλιν ἀστρολόγων, μάντεων, μάγων, γοήτων, πάσης φιλοσοφίας οὐ μόνον ἐλεγχομένης, ἀλλὰ καὶ ἀναιρουμένης (τὸ γὰρ διαιρεῖσθαι τεκμήριον ἦν τοῦ καὶ πρότερον αὐτοὺς ἠπατηκέναι) προσελθὼν καὶ μέλλων ἐπιλύεσθαι τὸ ἐρώτημα, οὐδὲ αὐτὸς καλλωπίζεται, ἀλλὰ πρότερον ἀνατίθησι τῷ Θεῷ τὸ πᾶν, καί φησιν· Ἐμοὶ δὲ οὐκ ἐν [Δαν. β λ.] σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας ἀνθρώπους ἀπεκαλύφθη, ὦ βασιλεῦ. καὶ προσεκύνησεν αὐτῷ ὁ βασιλεύς, καὶ εἶπε μαννὰ σπεῖσαι. ὁρᾷς ταπεινοφροσύνην; ὁρᾷς εὐγνωμοσύνην; ὁρᾷς ἄτυφον ἦθος; ἄκουε καὶ τῶν ἀποστόλων λεγόντων, ποτὲ μέν, Τί ἡμῖν ἀτενίζετε, ὡς [Πραξ. γ. ιβ.] ἰδίᾳ δυνάμει, ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ποτὲ δὲ πάλιν, Ἡμεῖς ὁμοιοπαθεῖς [καὶ ιδ. ιε.] ὑμῖν ἐσμεν ἄνθρωποι. εἰ δὲ ἐκεῖνοι δεδομένας τιμὰς οὕτως ἀπεκρούοντο, ἄνθρωποι μείζονα τῶν Χριστοῦ διὰ τὴν τοῦ Χριστοῦ ταπεινοφροσύνην ἐργαζόμενοι, καὶ διὰ τὴν αὐτοῦ δύναμιν (Ὁ [Ιωαν. ιδ. ιβ.] γὰρ πιστεύων ἐμοί, φησι, μείζονα ποιήσει ὧν ἐγὼ ποιῶ) πῶς οὐκ ἄθλιοι, καὶ ταλαίπωροι, οἱ μηδὲ κώνωπας σβέσαι δυνάμενοι, μήτιγε δαίμονας, ἀλλ' μηδὲ ἕνα ἄνθρωπον ὠφελῆσαι ἰσχύοντες, μήτιγε τὴν οἰκουμένην ἅπασαν, καὶ τοσοῦτον φρονοῦντες, ὅσον οὐδὲ αὐτὸς ὁ διάβολος; οὐδὲν οὕτω ψυχῆς ἀλλότριον χριστιανῆς, ὡς ἀπόνοια. ἀπόνοιαν λέγω, οὐ παρρησίαν, οὐδὲ ἀνδρείαν. ἐκεῖνα γὰρ οἰκεῖα. ἕτερον γάρ τι τοῦτό ἐστι, καὶ ἕτερον ἐκεῖνο. ὥσπερ ἕτερον μὲν ταπεινοφροσύνη, ἕτερον δὲ ἀνελευθερία, καὶ κολακεία, καὶ θωπεία. καί, εἰ βούλεσθε, πάντων τούτων ὑμῖν τὰ ὑποδείγματα παρέξω. δοκεῖ γάρ πως παρυφεστάναι τὰ ἐναντία, ὥσπερ τῷ σίτῳ τὰ ζιζάνια, καὶ τῷ ῥόδῳ αἱ ἄκανθαι. ἀλλὰ παῖδες μὲν εὐκόλως ἂν ἀπατηθεῖεν, οἱ δὲ ὄντως [γρ. ὄντες] ἄνδρες, τῆς πνευματικῆς ὄντες γεωργίας ἔμπειροι, ἴσασι τὰ ὄντως ἀγαθὰ ἀποκρίνειν τῶν κακῶν. φέρε οὖν, ὑμῖν τὰ ὑποδείγματα αὐτῶν ἀπὸ τῶν γραφῶν παραστήσωμεν. τί ποτέ ἐστι κολακεία, καὶ ἀνελευθερία, καὶ θωπεία; ὁ Σιβὰ τὸν Δαβὶδ ἐκολάκευε παρὰ καιρόν, καὶ [β. Βασ. ις.] τὸν δεσπότην διέβαλε τὸν ἑαυτοῦ· μᾶλλον δὲ ὁ Ἀχιτόφελ τὸν Ἀβεσσαλώμ. ἀλλ' οὐχ ὁ Δαβὶδ

διώδης, ἀλλὰ ταπεινόφρων. κόλακες γάρ εἰσιν οἱ ὕπουλοι· οἷον, ὡς ὅταν λέγωσιν οἱ μά-
γοι, Βασιλεῦ, ζῆθι εἰς τοὺς αἰῶνας. καὶ ἐπὶ τοῦ Παύλου ἐν ταῖς πράξεσι πολλὰ τοιαῦτα
εὑρήσομεν, ὅταν Ἰουδαίοις διαλέγηται, οὐ κολακεύων, ἀλλὰ ταπεινοφρονῶν. οἶδε γὰρ καὶ παρρη-
Πραξ. κη. ιζ. σιάζεσθαι· ὡς ὅταν λέγῃ, Ἄνδρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς πατρῴ-
οις ἔθεσι, δέσμιος ἐξ Ἱερουσαλὴμ παρεδόθην. ὅτι γὰρ ταπεινοφροσύνης ἦν τὰ ῥήματα, ἄ-
κουσον πῶς αὖθις ἐπιτιμᾷ διὰ τῶν ἑξῆς οὕτω λέγων· Καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον, ἀκοῇ
ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. εἶδες ἀνδρείαν; ὅρα καὶ
Μαρκ. ϛ. ιη Ἰωάννου τοῦ βαπτιστοῦ τὴν ἀνδρείαν, ἣν πρὸς τὸν Ἡρώδην ἐχρήσατο λέγων, Οὐκ ἔξεστί σοι
ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. τοῦτο παρρησία, τοῦτο ἀνδρεία· ἀλλ' οὐκ ἐκεῖ-
β. Βασ. ιϛ. νο τὸ τοῦ Σεμεεί, ὅτε ἔλεγεν, Ἔξελθε ὁ ἀνὴρ τῶν αἱμάτων· καίτοι κἀκεῖνος ἐπαρρησιάσατο.
ἀλλ' οὐκ ἔστι τοῦτο ἀνδρεία, ἀλλὰ θρασύτης καὶ ὕβρις καὶ γλῶττα ἀκόλαστος. ὕβριζε καὶ Ἰεζά-
δ. Βασ. θ. βελ τὸν Ἰηοῦ λέγουσα, Ὁ φονεὺς τοῦ κυρίου αὐτοῦ· ἀλλὰ θρασύτης ἦν, οὐ παρρησία. ὕ-
γ Βασ. ιη. ιη. βριζε καὶ ὁ Ἠλίας, ἀλλὰ παρρησία καὶ ἀνδρεία ἦν. Οὐκ ἐγὼ γὰρ διαστρέφω τὸν λαόν, ἀλλὰ
καὶ ια. σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. ἐπαρρησιάσατο πάλιν πρὸς ὁλόκληρον δῆμον ὁ Ἠλίας λέγων·
Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; τοῦτο παρρησία καὶ ἀνδρεία. τὸ καθά-
ψασθαι τούτου καὶ οἱ προφῆται ἐποίουν, ἀλλ' ἐκεῖνο θρασύτητος ἦν. θέλεις ἰδεῖν καὶ ταπει-
α Κορ. δ. γ. νοφροσύνης καὶ κολακείας ῥήματα; ἄκουε Παύλου λέγοντος· Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, κ. ἐλαχισ
ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. οὐδὲν
γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. τοῦτο φρονήματος χριστιανῷ πρέ-
α Κορ. ϛ. α. ποντος. καὶ πάλιν, Τολμᾷ τις ὑμῶν πρὸς τὸν ἕτερον πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀ-
δίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; βούλει κολακείαν ἰδεῖν τῶν ἀνοήτων Ἰουδαίων; ἄκουε λεγόντων,
Ιωαν. ιθ. ιε. Ἡμεῖς οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. βούλει ταπεινοφροσύνην ἰδεῖν; ἄκουε πά-
β Κορ. δ. ε. λιν τοῦ Παύλου λέγοντος· Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ
α. Βασ. κε. δούλους ὑμῶν διὰ Ἰησοῦν. βούλει καὶ κολακείαν ἰδεῖν, καὶ θρασύτητα; θρασύτητα μὲν τὴν τοῦ Νάβαλ,
καὶ κγ. κολακείαν δὲ τὴν τῶν Ζιφαίων; καὶ πῶς ὁ μὲν ὠνείδιζεν, οἱ δὲ προεδεδώκασι τῇ γνώμῃ τὸν
Δαβίδ; βούλει φιλοσοφίαν, καὶ οὐ κολακείαν ἰδεῖν τὴν τοῦ Δαβίδ; πῶς εἷλε τὸν Σαοὺλ, καὶ
ἐφείσατο; βούλει κολακείαν ἰδεῖν τῶν ἀποκτεινάντων τὸν Μεμφιβοσθέ, οὓς καὶ ἀνεῖλεν ὁ Δα-
βίδ; ἁπλῶς δὲ, καὶ ὡς [ἐν ὑποτυπώσει,] ἐν κεφαλαίῳ εἰπεῖν, θρασύτης μέν ἐστιν, ὅταν
τις ὀργίζηται, καὶ ὑβρίζῃ ἐπὶ μηδενὶ προσήκοντι, ἢ ἑαυτὸν ἐκδικῶν, ἢ ἀδίκως πως θρασυνό-
μενος· παρρησία δὲ καὶ ἀνδρεία, ὅταν κινδύνων καὶ θανάτων κατατολμᾷ, καὶ φιλίας καὶ ἀπε-
χθείας ὑπερορᾷ ὑπὲρ τῶν δοκούντων τῷ Θεῷ. πάλιν κολακεία μέν ἐστι καὶ ἀνελευθερία,
ὅταν τις θεραπεύῃ τινὰς ἐπὶ μηδενὶ τῶν δεόντων, ἀλλὰ θηρώμενός τι τῶν βιωτικῶν· τα-
πεινοφροσύνη δὲ, ὅταν τις ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων τοῦτο ποιῇ, καὶ, ὥστε ἀνύσαι τι μέγα
καὶ θαυμαστὸν, ἀπὸ τοῦ ἀξιώματος καταβῇ τοῦ ἑαυτοῦ. ἂν ταῦτα εἰδῶμεν, μακάριοί ἐσμεν,
Ρωμ. β. ιγ. ἐὰν ποιῶμεν αὐτά. οὐ γὰρ ἀρκεῖ τὸ εἰδέναι. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, φησὶν, ἀλλ'
οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται· μᾶλλον δὲ καὶ κατακρίνει τὸ εἰδέναι, ὅταν χωρὶς τῆς πρά-
ξεως ᾖ καὶ τῶν κατορθωμάτων. ἵνα οὖν τὴν κατάκρισιν φύγωμεν, μετέλθωμεν τὴν πρᾶ- κ. τῆς αὐτ
ξιν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ.

Λογ. ϛ. 5 ΤΟΥΤΟ ΓΑΡ ΦΡΟΝΕΙΣΘΩ ΕΝ ΥΜΙΝ Ο
καὶ ἐν Χριστῷ Ἰησοῦ· 6 Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρ-
παγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, 7 Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν
δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, 8 Καὶ σχήματι
εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θα-
νάτου, θανάτου δὲ σταυροῦ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πρὸς τὰ μεγάλα προτρέπων τοὺς ἑαυτοῦ μαθητὰς, ἑαυτὸν ὑπόδειγμα τίθησι, καὶ τὸν πατέρα, καὶ τοὺς προφήτας, ὡς ὅταν λέγῃ· Οὕτω γὰρ ἐποίησαν τοῖς προφήταις τοῖς πρὸ ὑμῶν· (Ματθ. ε. ιβ.) καὶ πάλιν, Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι· (Ἰωαν. ιε. κ.) καὶ, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι· (Ματθ. ια. κθ.) καὶ πάλιν, Οἰκτίρμονες γίνεσθε, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. (Λουκ. ϛ. λϛ.) τοῦτο καὶ ὁ μακάριος Παῦλος ποιεῖ. (γρ. ἐποίησε) προτρέπων γὰρ αὐτοὺς εἰς ταπεινοφροσύνην, τὸν Χριστὸν εἰς μέσον παρήγαγε. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ὅτε περὶ φιλοπτωχίας διαλέγεται, οὕτω πως φησί· Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν. (β. Κορ. η. θ.) οὐδὲν γὰρ οὕτω τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν διανίστησι πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν, ὡς τὸ μαθεῖν, ὅτι τῷ Θεῷ κατὰ τοῦτο ὁμοιοῦται. τί γὰρ ἴσον τούτῳ εἰς προτροπήν; οὐδέν. ὃ δὴ καὶ Παῦλος εἰδὼς, προτρέπων αὐτοὺς εἰς ταπεινοφροσύνην, πρότερον μὲν παρεκάλεσεν, ἱκετείαν ἐθήκατο· εἶτα καὶ ἐντρεπτικῶς εἶπεν, Ὅτι ἐν ἑνὶ πνεύματι στήκετε· (Φιλ. α. κζ. κη.) εἶπεν, Ὅτι ἐκείνοις ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας. καὶ τοῦτο λοιπὸν τίθησι· τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. προσέχετε, παρακαλῶ, καὶ διανάστητε. καθάπερ γὰρ τις μάχαιρα ὀξεῖα ἑκατέρωθεν ἠκονημένη, ὅπουπερ ἂν ἐμπέσῃ, κἂν εἰς μυρίας φάλαγγας, εὐκόλως αὐτὰς διακόπτει καὶ ἀφανίζει, τῷ πάντοθεν ὀξεῖαν εἶναι, καὶ μηδὲν τὴν ἀκμὴν αὐτῆς φέρειν· οὕτω δὴ καὶ τὰ τοῦ πνεύματος ῥήματα. διὰ γὰρ τούτων τῶν ῥημάτων καὶ τὸν Ἀρείου τοῦ Ἀλεξανδρέως, καὶ τὸν Παύλου τοῦ Σαμοσατέως, καὶ τὸν Μαρκέλλου τοῦ Γαλάτου, καὶ τὸν Σαβελλίου τοῦ Λίβυος, καὶ τὸν Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ τὸν Οὐαλεντίνου, καὶ τὸν τοῦ Μάνεντος, καὶ τὸν τοῦ Λαοδικέως Ἀπολιναρίου, καὶ Φωτεινοῦ, καὶ Σωφρονίου, καὶ πάσας ἁπλῶς τὰς αἱρέσεις κατέβαλεν. ὡς οὖν τοιαύτην ἐχόμενοι θέαν, καὶ μιᾷ πληγῇ τοσαύτας φάλαγγας πιπτούσας, διεγέρθητε, ὥστε μὴ τοῦ θεάματος παραδραμεῖν ὑμᾶς τὴν τέρψιν. εἰ γὰρ ἐπὶ τῶν ἁμιλλητηρίων ἁρμάτων ἐν ταῖς τῶν ἵππων ἁμίλλαις οὐδὲν οὕτως ἐστὶ τερπνὸν, ὡς ὅταν ὁλόκληρα ἅρματα μετὰ τῶν ἡνιόχων κρούσας (γρ. τοὺς χρ.) τις καταβάλῃ, καὶ πολλὰ τέθριππα ὕπτια ῥίψας μετὰ τῶν ἐφεστώτων ἡνιόχων παρελάσῃ μόνος πρὸς τὴν νύσσαν καὶ τὸ τέρμα τοῦ ἀγῶνος, καὶ πολὺς πάντοθεν ὁ κρότος καὶ ἡ κραυγὴ πρὸς οὐρανὸν ἀνίῃ, ὁ δὲ, ὥσπερ πτηνὸς ὑπὸ τῆς χαρᾶς ἐκείνης καὶ τῶν κρότων, οὕτω τὸ στάδιον ἅπαν διατρέχῃ μετὰ τῶν ἵππων· πόσῳ μᾶλλον ἐνταῦθα οὐχὶ πλείων ἔσται ἡ ἡδονὴ, ὅταν ὁλοκλήρων αἱρέσεων συστήματα καὶ διαβολικὰ ἐργαστήρια μετὰ τῶν ἡνιόχων αὐτῶν καταβάλλωμεν τῇ τοῦ Θεοῦ χάριτι πάντα ἀθρόον καὶ ὁμοῦ; καὶ, εἰ δοκεῖ, προσεπιστήσωμεν τὰς αἱρέσεις αὐτὰς κατὰ τάξιν. βούλεσθε τὴν τῆς ἀσεβείας, ἢ τὴν τῶν χρόνων; ἀλλ' ἴδωμεν τὴν τῶν χρόνων. τὴν γὰρ τῆς ἀσεβείας δύσκολον συνιδεῖν. οὐκοῦν πρῶτος Σαβέλλιος ὁ Λίβυς παρελθέτω. τί οὖν οὗτος (γρ. αὐτός) φησιν; ὅτι ὁ πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, ὀνόματά ἐστι ψιλὰ καθ' ἑνὸς προσώπου κείμενα. Μαρκίων δὲ ὁ Ποντικός φησιν, ὅτι ὁ Θεὸς ὁ πάντα συ-

στησάμενος

γνωσάμενος οὐκ ἔστιν ἀγαθός, οὐδὲ πατὴρ τοῦ ἀγαθοῦ Χριστοῦ, ἀλλ' ἕτερός τις δίκαιος, καὶ σάρκα οὐκ ἀνέλαβεν ὑπὲρ ἡμῶν ὁ υἱός. Μάρκελλος δὲ καὶ Φωτεινός, καὶ Σωφρόνιος τὸν λόγον ἐνέργειαν εἶναί φασι, τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαβίδ, οὐκ οὐσίαν ἐνυπόστατον. Ἄρειος υἱὸν μὲν ὁμολογεῖ, ῥήματι δὲ μόνῳ· κτίσμα γὰρ αὐτὸν εἶναί φησι, καὶ τοῦ πατρὸς ἐλάττονα πολύ. ἕτεροι δὲ οὔ φασιν αὐτὸν ἔχειν ψυχήν. Εἶδες τὰ ἅρματα ἑστῶτα; θεώρει τοίνυν αὐτῶν καὶ τὰ πτώματα, πῶς ὁμοῦ πάντας κατακρούων βάλλει, καὶ μιᾷ πληγῇ καὶ ἀθρόον. πῶς οὖν καταβάλλει; τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, φησίν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἐντεῦθεν καὶ Παῦλος ὁ Σαμοσατεὺς ἔπεσε, καὶ Μάρκελλος, καὶ Σαβέλλιος. ἐν μορφῇ γάρ, φησι, Θεοῦ ὑπάρχων. (γ. ἐῤῥέθη) Εἰ ἐν μορφῇ, πῶς οὖν λέγεις, ὅτι ἀπὸ Μαρίας, ὦ μιαρέ, ἤρξατο, καὶ πρὸ τούτου οὐκ ἦν; πῶς δὲ πάλιν, ὅτι ἐνέργεια ἦν; ἐν μορφῇ γὰρ Θεοῦ, φησι, μορφὴν δούλου ἔλαβεν. (γ. οὐ λέγει) Εἰπὲ γάρ μοι, ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου ἐστίν, ἢ φύσις δούλου; πάντως δή που φύσις, ἐρεῖς, δούλου. οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ, Θεοῦ φύσις· οὐκ ἄρα ἐνέργεια. ἰδοὺ καὶ ὁ Μάρκελλος ὁ Γαλάτης, καὶ Σωφρόνιος, καὶ Φωτεινὸς κατέπεσον. ἰδοὺ καὶ Σαβέλλιος· οὐχ ἁρπαγμὸν ἡγήσατο, φησι, τὸ εἶναι ἴσα Θεῷ. ἴσον δὲ ἐπὶ ἑνὸς οὐ λέγεται προσώπου. τὸ γὰρ ἴσον, τινί ἐστιν ἴσον. ὁρᾷς δύο προσώπων ὑπόστασιν, οὐχὶ ὀνόματα ψιλὰ χωρὶς πραγμάτων λεγόμενα; ἤκουσας τὴν προαιώνιον ὕπαρξιν τοῦ μονογενοῦς; ἀλλὰ ταῦτα μὲν πρὸς ἐκείνους. (γ. δὲ) τί οὖν πρὸς Ἄρειον εἴποιμεν λοιπόν, τὸν λέγοντα ἑτέρας εἶναι οὐσίας τὸν υἱόν; Εἰπὲ δή μοι, τό, μορφὴν δούλου ἔλαβε, τί ἐστιν; ἄνθρωπος ἐγένετο, φησίν. οὐκοῦν καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, Θεὸς ἦν. μορφὴ γάρ, καὶ μορφὴ κεῖται. Εἰ τοῦτο ἀληθές, κἀκεῖνο. φύσει ἄνθρωπος, ἡ μορφὴ τοῦ δούλου· οὐκοῦν φύσει Θεός, καὶ ἡ μορφὴ τοῦ Θεοῦ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἴσον αὐτῷ μαρτυρεῖ, ὥσπερ οὖν καὶ Ἰωάννης. καὶ ὅτι οὐδὲν ἐλάττων ἐστὶ τοῦ πατρός, οὐχ ἁρπαγμὸν ἡγήσατο, φησι, τὸ εἶναι ἴσα Θεῷ. ἀλλὰ τίς ὁ σοφὸς αὐτῶν λόγος; καὶ μὴν τοὐναντίον δείκνυσι, φησίν. Εἶπε γάρ, ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ. καὶ μὴν εἰ ἦν Θεός, πῶς εἶχεν ἁρπάσαι; καὶ πῶς οὐκ ἀπερινόητον τοῦτο; τίς γὰρ ἂν εἴποι, ὅτι ὁ δεῖνα ἄνθρωπος ὤν, οὐχ ἥρπασε τὸ εἶναι ἄνθρωπος; πῶς γὰρ ἄν τις ὅπερ ἐστὶν ἁρπάσειεν; οὔ, φησίν· ἀλλ' ὅτι Θεὸς ὢν ἐλάττων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα τῷ Θεῷ τῷ μεγάλῳ καὶ μείζονι. καὶ μικρὸς καὶ μέγας Θεός ἐστι; καὶ τὰ ἑλληνικὰ τοῖς τῆς ἐκκλησίας δόγμασιν ἐπεισάγετε; μέγας μὲν γὰρ καὶ μικρὸς παρ' αὐτοῖς Θεός· εἰ δὲ καὶ παρ' ὑμῖν, οὐκ οἶδα. παρὰ μὲν γὰρ ταῖς γραφαῖς οὐδαμοῦ εὑρήσεις· ἀλλὰ μέγαν μὲν πανταχοῦ, μικρὸν δὲ οὐδαμοῦ. (γ. -μῶς) Εἰ γὰρ μικρός, πῶς [καὶ] Θεός; Εἰ μικρὸς οὐκ ἔστιν ἄνθρωπος καὶ μέγας, ἀλλὰ μία φύσις, καὶ εἴ τι οὐκ ἔστι τῆς φύσεως ταύτης τῆς μιᾶς, οὐκ ἄνθρωπος, πῶς ἂν εἴη μικρὸς Θεὸς καὶ μέγας ὁ μὴ ὢν ἐκείνης τῆς φύσεως; ὁ μικρὸς ὤν, οὐ Θεός. πανταχοῦ γὰρ μέγας λέγεται παρὰ τῇ γραφῇ· Μέγας Κύριος, φησὶν ὁ Δαβίδ, καὶ αἰνετὸς σφόδρα. (Ψαλ. μζ΄ α.) ἰδοὺ καὶ περὶ τοῦ υἱοῦ (πανταχοῦ γὰρ Κύριον αὐτὸν καλεῖ) καὶ πάλιν, Μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια· (Ψαλ. πε΄ θ.) σὺ εἶ ὁ Θεὸς μόνος. καὶ πάλιν, Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. (Ψαλ. ρμδ΄ γ.) ἀλλὰ ταῦτα περὶ τοῦ πατρός· ὁ δὲ υἱός, φησι, μικρός. ἀλλὰ σὺ οὐ τοῦτο λέγεις· ἡ δὲ γραφὴ τοὐναντίον· ὥσπερ περὶ τοῦ πατρός, οὕτω καὶ περὶ τοῦ υἱοῦ φησιν. ἄκουε γὰρ Παύλου λέγοντος, (Τιτ. β. ιγ.) Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ. ἀλλ' ἄρα μὴ περὶ τοῦ πατρὸς ἐπιφάνειαν εἶπεν; ἵνα δὲ καὶ μᾶλλον ὑμᾶς ἐλέγξῃ, κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ προσέθηκεν. ἄρα οὖν μὴ περὶ τοῦ πατρὸς εἴρηται; οὐδαμῶς. ἡ γὰρ ἐπαγωγὴ οὐκ ἀφίησι λέγουσα, Κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἰδοὺ καὶ ὁ υἱός, μέγας. πῶς οὖν λέγεις μικρόν, καὶ μέγαν; (Ἱερ. λβ. ιθ.) ἄκουε καὶ τοῦ προφήτου λέγοντος αὐτὸν μεγάλης βουλῆς ἄγγελον. Ο μεγά-

λης βουλῆς ἄγγελος, οὐ μέγας; ὁ ἰσχυρὸς Θεὸς, οὐ μέγας, ἀλλὰ μικρός; τί οὖν φασιν οἱ ἀναίσχυντοι καὶ ἰταμοὶ, ὅτι μικρὸς ὢν Θεός; λέγω, ἃ λέγουσι πολλάκις, ἵνα μᾶλλον αὐτοὺς φύγητε. Μικρὸς ὢν, φησὶ, Θεὸς, οὐχ ἥρπασε τὸ εἶναι ἴσα τῷ μεγάλῳ. Τί γὰρ, εἰπέ μοι (ἀλλὰ μὴ τομώτερα ἡγεῖσθε εἶναι τὰ ῥήματα) εἰ μικρὸς ἦν κατ' αὐτοὺς, καὶ πολὺ τῆς δυνάμεως ἀπολειπόμενος τοῦ πατρὸς, πῶς ἂν ἠδυνήθη ἁρπάσαι τὸ εἶναι ἴσα Θεῷ; φύσις γὰρ ἐλάττων οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ εἶναι ἴσα τῇ μεγάλῃ, οἷον ὁ ἄνθρωπος οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ εἶναι ἴσος ἀγγέλῳ κατὰ τὴν φύσιν, ὁ ἵππος οὐκ ἂν δύναιτο ἁρπάσαι, κἂν θέλῃ, τὸ εἶναι ἴσος ἀνθρώπῳ κατὰ τὴν φύσιν. Χωρὶς δὲ τούτου, κἀκεῖνο ἐρῶ. Τί βούλεται κατασκευάσαι ὁ Παῦλος διὰ τούτου τοῦ ὑποδείγματος; εἰς ταπεινοφροσύνην πάντως ἐνάγαγεῖν τοὺς Φιλιππησίους. Τί οὖν, εἰπέ μοι, τοῦτο ἂν παρήνεγκεν εἰς μέσον; οὐδεὶς γὰρ βουλόμενος προτρέψαι ταπεινοφρονεῖν, τοῦτό φησιν· ἔσο ταπεινὸς, καὶ ἔλαττον φρόνει τῶν ὁμοτίμων. Καὶ γὰρ ὁ δοῦλος ὁ δοῦλος οὐκ ἐπαινεῖται τῷ δεσπότῃ μιμούμενος ταπεινὸν ἐκεῖνον. Καὶ μὴν τοῦτο οὐκ ἔστι ταπεινοφροσύνης, εἴποι τις ἂν, ἀλλ' ἀπονοίας. Μάθετε τί ἐστι ταπεινοφροσύνη ὑμεῖς οἱ τῦφον ἔχοντες διαβολικόν. Τί οὖν ἐστι ταπεινοφροσύνη; τὸ ταπεινὰ φρονεῖν. Ταπεινὰ δὲ φρονεῖ, οὐχ ὁ ἀπὸ ἀνάγκης ὢν ταπεινὸς, ἀλλ' ὁ ἑαυτὸν ταπεινῶν. Οἷόν τι λέγω· προσέχετε δέ. Ὅταν τις ὑψηλὰ δυνάμενος φρονῆσαι ταπεινοφρονῇ, οὗτος ταπεινόφρων ἐστίν· ὅταν δὲ παρὰ τὸ μὴ δύνασθαι ταπεινοφρονῇ, οὐκ ἔτι ταπεινόφρων ἐστίν. Οἷον ὁ βασιλεὺς τῷ ὑπάρχῳ ἂν ὑποπίπτῃ, ταπεινόφρων ἐστὶν, ὅτι ἀπὸ τοῦ ὕψους κατέβη· ὁ μέντοι ὕπαρχος ἐὰν τοῦτο ποιῇ, οὐ ταπεινοφρονεῖ. Πῶς γάρ; οὐ γὰρ ἀπὸ τοῦ ὕψους ἐταπείνωσεν ἑαυτόν. Οὐκ ἔστι δὲ ἄλλως ταπεινοφρονῆσαι, εἰ μὴ ἐν ἐξουσίᾳ ὄντα. Εἰ γὰρ ἀνάγκη ἐστὶ ταπεινοῦσθαι τὸν ἄκοντα, οὐκέτι τῆς φρονήσεώς ἐστι τὸ κατόρθωμα, οὐδὲ τοῦ βουλήματος, ἀλλὰ τῆς ἀνάγκης. Ταπεινοφροσύνη δὲ διὰ τοῦτο λέγεται, ὅτι τοῦ φρονήματός ἐστι ταπείνωσις. Εἰπέ μοι, εἴ τις μὴ ἔχων ἐξουσίαν πλεονεκτεῖν, μένοι τὰ ἑαυτοῦ κεκτημένος, τοῦτον ἐπαινεσόμεθα ἐπὶ δικαιοσύνῃ; οὐδαμῶς. Διὰ τί; τῇ γὰρ ἀνάγκῃ τὸ τῆς προαιρέσεως ἐγκώμιον ἀφῄρηται. Εἰπέ μοι, εἴ τις μὴ δυνάμενος τυραννεῖν καὶ βασιλεύειν, μένοι ἰδιωτεύων, τοῦτον ἐπαινεσόμεθα, ὡς ἀπράγμονα; οὐδαμῶς. Οὐκοῦν οὐδὲ ἐνταῦθα. Ὁ γὰρ ἔπαινος, ὦ πάντων ὑμεῖς ἀμαθέστατοι, οὐκ ἐν τῇ τούτων ἀποχῇ, ἀλλ' ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ γίνεται. Ἐκεῖνο μὲν γὰρ ψόγου ἀπήλλακται, οὔπω δὲ τοῦ ἐπαίνου μετέχει· τὸ δὲ ἐγκωμίων ἄξιόν ἐστιν. Ὅρα γοῦν καὶ τὸν Χριστὸν οὕτως ἐπαινοῦντα, ὅταν λέγῃ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με. Οὐκ εἶπεν, ἐπειδὴ οὐκ ἐπλεονεκτήσατε, οὐδὲ ἐπειδὴ οὐχ ἡρπάσατε (μικρὰ γὰρ ταῦτα) ἀλλ' ἐπειδὴ πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. Καὶ τίς ἂν οὕτως ἐπῄνεσεν ἢ τοὺς φίλους, ἢ τοὺς ἐχθρούς; οὐκ ἂν οὐδὲ Παῦλον. Τί λέγω Παῦλον; οὐδὲ τὸν τυχόντα τις ἄνδρα, ὡς σὺ τὸν Χριστὸν ἐπαινεῖς, ἐπῄνεσεν, ὅτι μὴ προσήκουσαν ἀρχὴν οὐκ ἔλαβε. Τὸ γὰρ ἐπὶ τοιούτοις θαυμάζειν, πολλήν ἐστι κακίαν μαρτυρούντων. Πῶς; ὅτι ἐπ' ἐκείνων τὸ τοιοῦτον ἐπαινετόν ἐστιν, οἷον ὁ κλέπτων, ἐὰν μηκέτι κλέπτῃ· ἐπὶ δὲ τῶν ἀγαθῶν οὐκέτι. Οὐ γὰρ, ὅτι οὐχ ἥρπασε μὴ προσήκουσαν ἀρχὴν καὶ τιμὴν, ἐπαινετός. Τῆς ποίας ταῦτα ἀνοίας; ἄλλως δέ· ἀλλὰ προσέχετε, παρακαλῶ (μακρὸς γὰρ ὁ λόγος) τίς ἂν ἀπὸ τούτων εἰς ταπεινοφροσύνην προετρέψατο; τὰ γὰρ ὑποδείγματα πολλῷ μείζονα δεῖ εἶναι τῆς ὑποθέσεως, εἰς ἣν παρακαλοῦμεν. Οὐ γὰρ ἄν τις ἐξ ἀλλοτρίων προτραπείη. Οἷον, προετρέψατο ὁ Χριστὸς εὖ ποιεῖν τοὺς ἐχθρούς· ἤνεγκε παράδειγμα μέγα, τὸν ἑαυτοῦ πατέρα, ὅτι ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Προετρέψατο εἰς ἀνεξικακίαν· ἤνεγκε παράδειγμα ἑαυτόν. Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. Καὶ πάλιν, Εἰ ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ταῦτα ποιῶ, πόσῳ μᾶλ-

λον

Margin: γρ. φθάσαι; γρ. ταπεινὰ φρονεῖ. ἀπὸ ὕψους ἑαυτὸν ἐταπείνωσε. γρ. ταπεινοφρονεῖν.

Ματθ. κε. λδ.

Ματθ. ε. μς.

Ματθ. ια. κθ.

Ιωάν. ιγ. ιδ.

λοι ὑμᾶς; ὁρᾷς πῶς οὐκ ἀφέστηκε τὰ παραδείγματα; οὐδὲ γὰρ τοσοῦτον ἀφεστάναι δεῖ (καὶ γὰρ καὶ ἡμεῖς οὕτω ποιοῦμεν) ἄλλως δὲ, καὶ ἐνταῦθα οὐδὲ ἐγγύς ἐστι τὸ παράδειγμα. πῶς; ὅτι εἰ δοῦλός ἐστι, καὶ ἐλάττων ἐστὶ καὶ ὑπήκοος τῷ μείζονι. τοῦτο δὲ οὐ ταπεινοφροσύνη ἐστί. τοὐναντίον γὰρ ἔδει ποιῆσαι, μείζονά τινα τῷ ἐλάττονι ὑπακούσαντα δεῖξαι· ἀλλ᾽ ἐπειδὴ τοῦτο οὐχ εὗρεν ἐπὶ Θεοῦ, μείζονα λέγω καὶ ἐλάττονα, τὸ γοῦν ἴσον ἐποίησεν. εἰ δὲ ἐλάττων ἦν ὁ υἱός, οὐχ ἱκανὸν εἰς ταπεινοφροσύνην παραπέμψαι. διατί; ὅτι οὐκ ἔστι ταπεινοφροσύνη τὸ τὸν ἐλάττονα μὴ ἐπαναστῆναι τῷ μείζονι, τὸ μὴ ἁρπάσαι τὴν ἀρχήν, τὸ ὑπακοῦσαι μέχρι θανάτου. ἄλλως δὲ, ὅρα καὶ μετὰ τὸ ὑπόδειγμα τί φησι. τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. ἡγούμενοι, φησίν. ἐπειδὴ γὰρ καὶ κατὰ τὴν οὐσίαν ἕν ἐστι, καὶ κατὰ τὴν τιμὴν τὴν παρὰ τοῦ Θεοῦ, δεῖ λοιπὸν τῆς ὑπολήψεως εἶναι τὸ πρᾶγμα. ἐπὶ δὲ τῶν μειζόνων καὶ ἐλαττόνων οὐκ ἂν τοῦτο εἶπεν, ὅτι ἡγούμενοι, ἀλλὰ τιμᾶτε τοὺς ὑπερέχοντας ὑμῶν, καθὼς καὶ ἀλλαχοῦ φησι· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. ἐκεῖ τῆς φύσεως τοῦ πράγματός ἐστιν ἡ ὑποταγή· ἐνταῦθα τῆς κρίσεως δεῖ γενέσθαι τῆς ἡμετέρας. τῇ ταπεινοφροσύνῃ, φησίν, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, ὥσπερ καὶ ὁ Χριστὸς ἐποίησε. καὶ τὰ μὲν ἐκείνων οὕτως ἀνατέτραπται· τὰ δὲ ἡμέτερα λοιπὸν εἰπεῖν χρή, περιέχει ἐν κεφαλαίῳ τὰ ἐκείνων εἰπόντα, ὅτι εἰς ταπεινοφροσύνην παρακαλῶν οὐκ ἂν τὸν ἐλάττονα ὄντα καὶ τῷ μείζονι ὑπακούσαντα παρήγαγεν. εἰ μὲν γὰρ δούλους δεσπόταις παρεκάλει ὑπακούειν, εἰκότως· εἰ δὲ ἐλευθέρους ἐλευθέροις, τί τοῦ δούλου πρὸς τὸν δεσπότην ὑποταγὴν ἔφερε; τί τοῦ ἐλάττονος πρὸς τὸν μείζονα; μὴ γὰρ εἶπεν, οἱ ἐλάττονες τοῖς μείζοσιν ὑπακουέτωσαν, ἀλλ᾽ ἰσότιμοι ἀλλήλων ὄντες, ὑπακούετε, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. διατί δὲ μὴ παρήγαγε καὶ τὸ τῆς γυναικός; ὅτι ὥσπερ ἡ γυνὴ ὑπακούει τῷ ἀνδρί, οὕτω καὶ ὑμεῖς ὑπακούετε. εἰ δὲ ὅπου ἴσοι ἐστὶ καὶ ἐλεύθεροι, οὐ παρήγαγεν, ἐπειδὴ ὅλως μικρά τις ἦν ἡ ὑποταγή, πόσῳ μᾶλλον τὸ τοῦ δούλου οὐκ ἂν παρήγαγεν; εἶπον φθάσας, ὅτι οὐδεὶς οὕτως ἐπαινεῖ τινα ἀπὸ τῆς τῶν κακῶν ἀποχῆς, οὐδὲ ὅλως αὐτοῦ μέμνηται, οὐδεὶς σώφρονα βουλόμενος ἐπαινέσαι τις οὕτως ἐρεῖ, ὅτι οὐκ ἐμοίχευσεν, ἀλλ᾽ ὅτι καὶ τῆς ἰδίας ἀπέσχετο γυναικός. οὐδαμοῦ γὰρ τὴν τῶν κακῶν ἀποχὴν τίθεμεν· γέλως γὰρ τοῦτο. εἶπον ὅτι ἡ μορφὴ τοῦ δούλου ἀληθής, καὶ οὐδὲν ἐλάττων· οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ τελεία, καὶ οὐκ ἐλάττων. διατί μὴ εἶπεν, ἐν μορφῇ Θεοῦ γενόμενος, ἀλλ᾽, ὑπάρχων; ἴσον ἐστὶ τοῦτο τῷ εἰπεῖν, ἐγώ εἰμι ὁ ὤν. τὸ ἀπαράλλακτον ἡ μορφὴ δείκνυσι, καθώς ἐστι μορφή. οὐκ ἔστι δὲ ἄλλης οὐσίας ὄντα, τὴν ἄλλης μορφὴν ἔχειν· οἷον οὐδεὶς ἀνθρώπων ἀγγέλου ἔχει μορφήν· οὐδὲ ἄλογον ἀνθρώπου ἔχει μορφήν. πῶς οὖν ὁ υἱός; εἶτα ἐπὶ μὲν ἡμῶν, ἐπειδὴ σύνθετοί ἐσμεν, ἡ μορφὴ τοῦ σώματός ἐστιν· ἐπὶ δὲ τοῦ ἁπλοῦ καὶ ἀσυνθέτου πάντως, τῆς οὐσίας. εἰ δὲ τὸ χωρὶς ἄρθρου εἰρῆσθαι, λέγεις ὅτι οὐ δείκνυσι τὸν πατέρα, πολλαχοῦ τοῦτο δείκνυται χωρὶς ἄρθρου * εἰρημένον. καὶ τί λέγω πολλαχοῦ; ἐν γὰρ αὐτῷ εὐθέως τῷ χωρίῳ τούτῳ, οὐχ ἁρπαγμόν, φησιν, ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· καὶ οὐκ εἶπε μετὰ τοῦ ἄρθρου, περὶ τοῦ Θεοῦ τοῦ πατρὸς λέγων. βούλομαι καὶ τὰ ἡμέτερα παραθεῖναι, ἀλλὰ δέδοικα μὴ καταχώσωμεν ὑμῶν τὴν διάνοιαν. τέως δὲ τὰ εἰρημένα μέμνησθε πρὸς ἀνατροπὴν ἐκείνων· τέως τὰς ἀκάνθας ἐκτέμωμεν, καὶ τότε τὸν σπόρον καταβαλοῦμεν τὸν καλὸν μετὰ τὸ τὰς ἀκάνθας ἐκτμηθῆναι, καὶ μικρὸν ἀναπνεῦσαι τὴν γῆν· ἵνα πᾶσαν τὴν ἔχθραν ἀποθεμένη κακίαν, μετὰ πολλῆς τῆς ἀρετῆς δέχηται τὰ θεῖα σπέρματα.

Ἑβρ. ιγ. ιζ.

ΗΘΙΚΟΝ

Εὐχαριστήσωμεν ὑπὲρ τῶν εἰρημένων τῷ Θεῷ· ἀξιώσωμεν αὐτὸν δοῦναι φυλακὴν καὶ διατήρησιν αὐτῶν, ἵνα καὶ ἡμεῖς καὶ ὑμεῖς εὐφραινώμεθα, καὶ οἱ αἱρετικοὶ καταισχυνῶνται. παρακαλέσωμεν αὐτὸν καὶ εἰς τὸ ἑξῆς ἡμῖν ἀνοῖξαι στόμα, ὥστε καὶ τὰ ἡμέτερα μετὰ τῆς αὐτῆς

πάλιν

πάλιν σπουδῆς παρακαταθέσθαι. δεηθῶμεν αὐτοῦ, ὥστε καὶ τῆς πίστεως βίον ἄξιον ἡμῖν παρασχεῖν, ἵνα εἰς δόξαν αὐτοῦ ζῶμεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βλασφημῆται δι' ἡμᾶς. Οὐαὶ Ησ. νβ. θ. γὰρ ὑμῖν, φησὶ, δι' οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται. Ρωμ. β. κδ. Εἰ γὰρ υἱὸν ἔχοντες (καίτοι τί υἱοῦ γνησιώτερον;) εἰ υἱοὶ τοίνυν ἡμᾶς ἔχοντες, ὅταν δι' αὐτὸν βλασφημώμεθα, ἀποκηρύττομεν αὐτὸν, ἀποστρεφόμεθα, οὐ προσιέμεθα· πόσῳ μᾶλλον ὁ Θεὸς δούλους ἔχων ἀγνώμονας, βλασφημοῦντας αὐτὸν καὶ ὑβρίζοντας, οὐκ ἀποστραφήσεται καὶ μισήσει; ὃν δ' ἂν ὁ Θεὸς μισήσῃ καὶ ἀποστραφῇ, τίς προσλήψεται; οὐδεὶς, ἀλλ' ἢ ὁ διάβολος, ἀλλ' ἢ οἱ δαίμονες. ὃν δ' ἂν οἱ δαίμονες λάβωσι, ποίαν ἕξει σωτηρίας ἐλπίδα; ποίαν παραμυθίαν ζωῆς; ἕως ἂν ἐν τῇ χειρὶ ὦμεν τοῦ Θεοῦ, οὐδεὶς ἡμᾶς ἁρπάζειν δύναται· ἰσχυρὰ γάρ ἐστιν· ὅταν δὲ τῆς χειρὸς ἐκείνης ἐκπέσωμεν καὶ τῆς βοηθείας, ἀπολώλαμεν, πᾶσιν ἕτοιμοι προκείμεθα εἰς ἁρπαγὴν, πᾶσιν εἰς καταπάτημα, ὡς τοῖχος κεκλιμένος, καὶ φραγμὸς ὠσμένος. ὅταν γὰρ ᾖ ἀσθενὴς ὁ τοῖχος, εὐεπίβατος ἔσται πᾶσι. μὴ γὰρ ἐπὶ τῆς Ἱερουσαλὴμ οἴεσθε τοῦτο λέγεσθαι μόνον, ὃ μέλλω λέγειν, ἀλλὰ καὶ ἐπὶ παντὸς ἀνθρώπου. τί δὲ ἐπὶ τῆς Ἱερουσαλὴμ ἐλέγετο; Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου, τῷ ἀμπελῶνί μου. ἀμπελὼν ἐγενήθη Ησ. ε. α. τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι· καὶ φραγμὸν * περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον σωρὴχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. καὶ νῦν ἄνθρωπος τοῦ Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ· καὶ ἀναβήσονται εἰς αὐτὸν, ὡς εἰς χέρσον, ἄκανθαι· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. ἔμεινα ἵνα ποιήσῃ κρίσιν· ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. τοῦτο καὶ ἐφ' ἑκάστης λέγεται ψυχῆς. ὅταν γὰρ πάντα πληρώσῃ, ἃ ἐχρῆν, ὁ φιλάνθρωπος Θεὸς, εἶτα ποιήσῃ ἀκάνθας ἀντὶ σταφυλῆς, ἀφῆκε τὸν φραγμὸν, καὶ καθαιρεῖ τὸν τοῖχον, καὶ ἐσόμεθα εἰς διαρπαγήν. ἄκουε γὰρ πῶς καὶ ἕτερος προφήτης ὀδυρόμενος ἔλεγεν· Ἵνα Ψαλ. οθ. ιγ. τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. ἐκεῖ μὲν οὖν περὶ τοῦ Μήδου, καὶ τοῦ Βαβυλωνίου φησίν· ἐνταῦθα δὲ περὶ τούτου οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ὗς καὶ μονιὸς, ὁ διάβολός ἐστι, καὶ πᾶσα αὐτοῦ ἡ δύναμις. μονιὸν δὲ αὐτὸν εἴρηκε, τὸ ἄγριον καὶ ἀκάθαρτον αὐτοῦ παραστῆσαι βουλόμενος. ὅταν μὲν γὰρ αὐτοῦ τὸ ἁρπακτικὸν ἡ γραφὴ βούληται δηλῶσαι, φησίν· Ὡς λέων ὠρυόμενος περιέρχεται, ζητῶν τίνα καταπίῃ. ὅταν δὲ τὸ ἰοβόλον, α. Πετ. ε. η. καὶ θανάσιμον, καὶ ὀλέθριον, ὄφιν αὐτὸν καλεῖ καὶ σκορπίον. Πατεῖτε γὰρ, φησὶν, ἐπάνω ὄφεων, Λουκ. ι. ιθ. καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἀντικειμένου. ὅταν δὲ τὸ ἰσχυρὸν ὁμοῦ καὶ ἰοβόλον, δράκοντα αὐτὸν καλεῖ, ὡς ὅταν λέγῃ, Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. καὶ δρά- Ψαλ. ργ κϛ. κοντα, καὶ ὄφιν σκολιὸν, καὶ ἀσπίδα αὐτὸν καλεῖ πανταχοῦ. πολύπλοκον γὰρ τὸ θηρίον, καὶ ποικίλον, καὶ πολλὴν ἔχει τὴν ἰσχύν. πάντα κινεῖ, πάντα θορυβεῖ, πάντα ἄνω καὶ κάτω στρέφει. ἀλλὰ μὴ φοβηθῆτε, ἀλλὰ μὴ δείσητε· γρηγορεῖτε μόνον, καὶ ὡς στρουθίον ἔσται. Πατεῖτε Λουκ. ι. ιθ. γὰρ, φησὶν, ἐπάνω ὄφεων, καὶ σκορπίων. καταπάτημα αὐτὸν τῶν ἡμετέρων ἐποίησε ποδῶν, ἂν βουλώμεθα. ὅρα τοίνυν πόσος γέλως, πόση ἀθλιότης, ὃν ἐλάβομεν πατεῖν, τοῦτον ὁρᾶν ὑπὲρ κεφαλῆς ἑστῶτα τῆς ἡμετέρας. πῶς δὲ τοῦτο γίνεται; παρ' ἡμῶν· ἂν ἡμεῖς βουλώμεθα, μέγας ἐστίν· ἂν ἡμεῖς βουλώμεθα, γίνεται μικρός· ἐὰν προσέχωμεν ἑαυτοῖς, καὶ μετὰ τοῦ βασιλέως

σιλέως ὄντων τοῦ ἡμετέρου, συστέλλεται καὶ παιδίου μικροῦ οὐδὲν ἄμεινον διάκειται ἐν τῇ πρὸς ἡμᾶς μάχῃ. ὅταν ἀποστῶμεν αὐτοῦ, μεγάλα φυσᾷ, βρυχᾶται, τρίζει τοὺς ὀδόντας, ἅτε ἐρήμους ἡμᾶς τῆς μεγάλης συμμαχίας λαβών. οὐ γὰρ περιέσται, ἐὰν μὴ συγχωρήσῃ ὁ Θεός. εἰ γὰρ χοίρων ἀγέλαις οὐ κατετόλμησεν ἐπιβῆναι, μὴ τοῦ Θεοῦ συγχωρήσαντος, πολλῷ μᾶλλον ψυχαῖς ἀνθρώπων. συγχωρεῖ δὲ ὁ Θεός, ἢ παιδεύων, ἢ δίκην ἀπαιτῶν, ἢ δοκιμωτέρους ποιῶν, ὡς τὸν Ἰώβ. ὁρᾷς αὐτὸν μὴ προσερχόμενον, μηδὲ τολμῶντα ἀμέσως ἐλθεῖν, ἀλλὰ δεδοικότα καὶ τρέμοντα; καὶ τί λέγω περὶ τοῦ Ἰώβ; τοῦ γὰρ Ἰούδα ἐφαπτόμενος, οὐκ ἐτόλμησεν, ἕως αὐτὸν τοῦ ἱεροῦ χοροῦ ἀπέσχισεν ὁ Χριστός, λαβεῖν ὁλόκληρον, καὶ εἰσελθεῖν εἰς αὐτόν. τότε μὲν οὖν ἔξωθεν προσέβαλλεν, ἔνδον δὲ εἰσελθεῖν οὐκ ἐτόλμα. ἐπειδὴ δὲ εἶδεν ἀπορραγέντα τῆς ἱερᾶς ἀγέλης, πάντων λύκου σφοδρότερον ἐφήλατο, καὶ οὐ πρότερον ἀπέστη, ἕως αὐτὸν ἀνεῖλε θάνατον διπλοῦν. ταῦτα πρὸς νουθεσίαν ἡμῶν γέγραπται. ἐπεὶ ποῖον κέρδος τὸ γνῶναι, ὅτι εἷς τῶν δώδεκα προδέδωκε; ποία ὄνησις; ποία ὠφέλεια; μεγάλη. ὅταν γὰρ μάθωμεν πόθεν ἐκεῖνος ἐπὶ τὴν ὀλέθριον ἦλθε βουλὴν ταύτην, φυλαξόμεθα ἀπὸ ταύτης καὶ αὐτοὶ μὴ τὰ αὐτὰ παθεῖν. πόθεν οὖν ἦλθεν ἐπὶ τοῦτο; ἀπὸ φιλαργυρίας. κλέπτης ἦν. ἀπὸ ταύτης οὕτως ἐμέθυε τῷ πάθει, ὅτι τὸν τῆς οἰκουμένης δεσπότην τριάκοντα ἀργυρίων προέδωκε. τί τῆς μανίας ταύτης χεῖρον; ὃ οὐδὲν ἀντάξιον, οὐδὲ ἴσον, ᾧ τὰ ἔθνη εἰς οὐδὲν ἐλογίσθη, τοῦτον τριάκοντα ἀργυρίων προέδωκε. χαλεπὴ γὰρ τῆς φιλαργυρίας ἡ τυραννίς, δεινὴ ψυχὴν ἐκστῆσαι. οὐχ οὕτως τις ὑπὸ τῆς μέθης παραπλὴξ γίνεται, ὡς ὑπὸ φιλαργυρίας· οὐχ οὕτως ὑπὸ μανίας καὶ παραπληξίας, ὡς ὑπὸ φιλαργυρίας. διὰ τί γάρ, εἰπέ μοι, προδίδως; ἄσημον ὄντα σε καὶ ἀγνῶτα ἐκάλεσε, καὶ ἕνα τῶν δώδεκα ἐποίησε, διδασκαλίας σοι μετέδωκεν, ὑπέσχετο μυρία ἀγαθά, θαύματά σε ἐργάζεσθαι πεποίηκε, τραπέζης, ὁδῶν, ὁμιλίας, συνουσίας, πάντων ἐκοινώνησας, ὧν καὶ οἱ λοιποί. ταῦτα οὐκ ἦν ἱκανὰ κατασχεῖν; τίνος οὖν ἕνεκα προδέδωκας; τί ἔχων ἐγκαλεῖν, ὦ μιαρέ; τί δὲ οὐκ εὖ παθών; ἤδει σου τὴν διάνοιαν, οὐκ ἐπαύσατο τὰ παρ' ἑαυτοῦ εἰσφέρων. πολλάκις εἶπεν, Ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. πολλάκις ἔστιξε, καὶ ἐφείσατό σου, καὶ εἰδώς σε τοιοῦτον, οὐκ ἐξέβαλέ σε τοῦ χοροῦ· ἔτι ἐβάσταζεν, ἔτι ὡς γνήσιον καὶ ἕνα τῶν δώδεκα, οὕτως ἐτίμα, οὕτως ἐφίλει. τὸ τελευταῖον, ὦ τῆς μιαρίας, καὶ λέντιον λαβὼν ἔνιψε ταῖς ἀχράντοις ἐκείναις χερσὶ τοὺς μιαρούς σου πόδας, καὶ οὐδὲ τοῦτό σε κατέσχεν. ἔκλεπτες τὰ τῶν πενήτων· καὶ ἵνα μὴ προέλθῃς εἰς μεῖζον κακόν, καὶ τοῦτο ἔφερεν· ἀλλ' οὐδέν σε ἔπεισεν. εἰ γὰρ θηρίον ἦς, εἰ γὰρ λίθος, οὐ ταῖς εὐεργεσίαις [ταῖς εἰς σέ,] οὐ τοῖς θαύμασιν, οὐ ταῖς διδασκαλίαις ἔδει μεταβληθῆναι; ἀλλὰ καὶ οὕτως ἐκτεθηριωμένον ἐκάλει, καὶ διὰ τῶν θαυμασίων ἔργων ἐπήγετό σε τῶν λίθων ἀναισθητότερον. σὺ δὲ οὐδενὶ τούτων γέγονας βελτίων. θαυμάζετε ἴσως τὴν τοσαύτην ἄνοιαν τοῦ προδότου. οὐκοῦν φοβήθητε τὸ ἐκείνου τραῦμα· ἀπὸ φιλαργυρίας τοιοῦτος ἐγένετο, ἀπὸ τοῦ τῶν χρημάτων ἔρωτος. ἔκκοψον τὸ πάθος (τοιαῦτα γὰρ τίκτει νοσήματα· ἀσεβεῖς ποιεῖ, καὶ τὸν Θεὸν ἀγνοεῖν παρασκευάζει, κἂν μυριάκις εὐεργετηθῶμεν) ἔκκοψον, παρακαλῶ. οὐκ ἔστι τῶν τυχόντων· θανάτους οἶδε τίκτειν ὀλεθρίους μυρίους. εἴδομεν τὸ ἐκείνου πάθος· φοβηθῶμεν μὴ τοῖς αὐτοῖς αὐτοὶ περιπέσωμεν. διὰ τοῦτο γέγραπται, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν καὶ ἡμεῖς· διὰ τοῦτο πάντες οἱ εὐαγγελισταὶ τοῦτο διηγήσαντο, ἵνα ἡμᾶς σωφρονίσωσι πόρρωθεν φεύγειν. οὐκ ἔστι τοῦτο μόνον φιλαργυρία, τὸ πολλῶν ἐρᾶν, ἀλλὰ τὸ ὅλως χρημάτων ἐρᾶν. φιλαργυρία δεινή, τὸ πλέον τῆς χρείας αἰτεῖν. μὴ γὰρ τάλαντα χρυσοῦ ἦν τότε τὰ πείσαντα τὸν προδότην; τριάκοντα ἦσαν ἀργύρια· τριάκοντα ἀργυρίων προέδωκε τὸν δεσπότην. ἆρα μέμνησθε, ὅτι ἐλέγομεν περὶ τούτου, ὅτι οὐκ ἐν τῷ λαμβάνειν πολλὰ ἡ πλεονεξία δείκνυται, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ ὀλίγα; ἰδοὺ ὅσον κακὸν οὗτος εἰργάσατο δι' ὀλίγων χρυσίων· μᾶλλον δὲ οὐ διὰ χρυσίων, ἀλλὰ δι' ἀργύρια. οὐκ ἔστιν, οὐκ ἔστιν ἄνδρα φιλάρ-

Ματθ. κϛ. κα.

γυρον

γυμνὸν ἰδεῖν ποτὲ τοῦ Χριστοῦ τὸ πρόσωπον ἓν τῶν ἀδυνάτων τοῦτο. ῥίζα ἐστὶ τῶν κακῶν. Εἰ δὲ ἕν τις ἔχων κακὸν, ἐκπίπτει τῆς δόξης ἐκείνης, ὁ τὴν ῥίζαν ἐπιφερόμενος ποῦ στήσεται; οὐκ ἔστι τὸν χρημάτων ὄντα δοῦλον, δοῦλον εἶναι Χριστοῦ γνήσιον. αὐτὸς ὁ Χριστὸς ἀπεφήνατο, ὅτι τὸ πρᾶγμα ἀδύνατον. Οὐ δύνασθε, φησὶ, Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ, Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν.

Ματθ. ς. κδ.

ἐναντία γὰρ ἐπιτάττουσιν. ὁ Χριστὸς λέγει, φείδου τῶν πενομένων· ὁ μαμωνᾶς λέγει, ἀπόδυσον καὶ αὐτὰ ἃ ἔχουσιν. ὁ Χριστὸς λέγει, κένωσον ἅπερ ἔχεις· ὁ μαμωνᾶς λέγει, λάβε καὶ ἅπερ οὐκ ἔχεις. Εἶδες ἐναντίωσιν; Εἶδες πόλεμον; βούλεσθε δείξωμεν πῶς οὐ δύναταί τις ἀμφοτέρων ῥᾳδίως ὑπακούειν, ἀλλ' ἑνὸς δεῖ καταφρονῆσαι; ἢ οὐ δεῖ λόγου; πῶς; ἐν τοῖς ἔργοις οὐχ ὁρῶμεν τοῦτο, τὸν Χριστὸν μὲν καταφρονούμενον, τὸν δὲ μαμωνᾶν τιμώμενον; ὁρᾶτε πῶς καὶ τὰ ῥήματα φορτικά; πόσῳ μᾶλλον τὰ πράγματα; ἀλλ' ἐπὶ τῶν πραγμάτων οὐ φαίνεται φορτικὰ ὁμοίως, ἐπειδὴ τῷ πάθει κατεχόμεθα. νῦν μὲν γὰρ κἂν ὀλίγον [ἡ] καθαρεύουσα τοῦ πάθους ἡ ψυχὴ, ἕως ἂν ἐνταῦθα ἑστήκῃ, δύναται κρίνειν ὀρθῶς· ἐκεῖ δὲ ἀπαλλαχθεῖσα, καὶ κατασβεσθεῖσα τοῦ πυρετοῦ, καὶ ἐν τῇ ἡδονῇ τοῦ πράγματος γενομένη, οὐκ ἔχει καθαρὸν τὸ κριτήριον, οὐκ ἔχει τὸ δικαστήριον ἀδέκαστον. ὁ Χριστός φησιν, Ἐὰν μή τις ἀποτάξηται πᾶσι τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου μαθητής.

Λουκ. ιδ. λγ.

ὁ μαμωνᾶς φησι· λάβε ἀπὸ τοῦ πεινῶντος τὸν ἄρτον. ὁ Χριστὸς λέγει, περίβαλε τὸν γυμνόν· ἐκεῖνος λέγει, τὸν γυμνὸν ἀπόδυσον. ὁ Χριστὸς λέγει, Τοὺς οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει· ὁ μαμωνᾶς λέγει, οὐκ ἐλεήσεις οὐδὲ τοὺς οἰκείους τοῦ σπέρματός σου, ἀλλὰ κἂν μητέρα ἴδῃς, κἂν πατέρα, καταφρόνει.

Ησ. νη. ζ.

καὶ τί λέγω πατέρα καὶ μητέρα; καὶ τὴν σαυτοῦ ψυχὴν, καὶ ταύτην ἀπόλλυε· ἀλλ' ὅμως ἀκούεται. οἴμοι, ὅτι ὠμὰ καὶ ἀπηνῆ καὶ θηριώδη προστάττων ἀκούεται μᾶλλον τοῦ τὰ ἐπιεικῆ καὶ σωτήρια ἡμῖν κελεύοντος. διὰ τοῦτο γέεννα, διὰ τοῦτο πῦρ, διὰ τοῦτο ποταμὸς πυρὸς, διὰ τοῦτο σκώληξ ἀτελεύτητος. οἶδα ὅτι πολλοὶ ταῦτα οὐχ ἡδέως ἀκούουσιν ἡμῶν λεγόντων. οὐδὲ γὰρ ἐγὼ ἡδέως αὐτὰ λέγω. τίς γὰρ χρεία ταῦτα λέγειν; ἐβουλόμην τὰ περὶ βασιλείας ὑμῖν διηγεῖσθαι ἀεὶ, τὴν ἀνάπαυσιν, τὸ ὕδωρ τὸ τῆς ἀναπαύσεως, τὸν τόπον τῆς χλόης. Ἐπὶ ὕδατος γὰρ, φησὶν, ἀναπαύσεως ἐξέθρεψέ με, καὶ Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Ψαλ. κβ. α.

ἐβουλόμην περὶ τοῦ τόπου λέγειν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ἐβουλόμην διηγεῖσθαι τῆς τοῦ Χριστοῦ συνουσίας τὴν ἡδονήν· καίτοιγε πάντα ὑπερβαίνει λόγον, καὶ πάντα νοῦν· ἀλλ' ὅμως κατὰ δύναμιν ἐβουλόμην ταῦτα λέγειν. ἀλλὰ τί πάθω; οὐκ ἔνι τῷ πυρέττοντι καὶ κακῶς διακειμένῳ περὶ βασιλείας λέγειν· πῶς γὰρ περὶ ὑγιείας χρὴ διαλέγεσθαι. οὐκ ἔνι τῷ δίκης ὑπευθύνῳ περὶ τιμῆς διαλέγεσθαι· πῶς γὰρ τὸ ζητούμενον, δίκης ἀπαλλαγῆναι, καὶ τῆς κολάσεως, καὶ τῆς τιμωρίας. ἂν μὴ τοῦτο γένηται, πῶς ἐκεῖνο ἔσται; διὰ τοῦτο ταῦτα λέγω συνεχῶς, ἵνα ἐπ' ἐκεῖνα ἔλθωμεν ταχέως. καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο γέενναν ἠπείλησεν, ἵνα μηδεὶς εἰς γέενναν ἐμπέσῃ, ἵνα πάντες βασιλείας ἐπιτύχωμεν. καὶ ἡμεῖς διὰ τοῦτο συνεχῶς γεέννης μεμνήμεθα, ἵνα πρὸς τὴν βασιλείαν ὑμᾶς ὠθήσωμεν, ἵνα τῷ φόβῳ μαλάξαντες ὑμῶν τὴν διάνοιαν, παρασκευάσωμεν ἄξια τῆς βασιλείας ποιεῖν. μὴ τοίνυν δυσχεραίνετε πρὸς τὸ τῶν ῥημάτων βαρύ. τὸ γὰρ βαρὺ τῶν ῥημάτων κούφας ἡμῖν ἐργάζεται ἀπὸ τῶν ἁμαρτημάτων τὰς ψυχάς. ἐπεὶ καὶ ὁ σίδηρος βαρύς ἐστι, καὶ ἡ σφῦρα βαρεῖα, ἀλλὰ κατασκευάζει σκεύη εὔχρηστα χρυσᾶ καὶ ἀργυρᾶ, καὶ τὰ διεστραμμένα ὀρθοῖ· ὡς εἰ μὴ βαρεῖα ἦν, οὐκ ἂν ἴσχυσε διορθῶσαι τὴν διεστραμμένην ὕλην. οὕτω καὶ ὁ λόγος ἡμῶν ὁ βαρὺς ῥυθμίσαι τὴν ψυχὴν ἰσχύει. μὴ τοίνυν φεύγωμεν τὴν βαρύτητα τῶν ῥημάτων, μηδὲ τὰς ἀπὸ τούτων πληγάς. οὐχ ἵνα διακλάσῃ, οὐδ' ἵνα διαθρύψῃ τὴν ψυχὴν, καταφέρεται ἡ πληγὴ, ἀλλ' ἵνα διορθώσηται. οἴδαμεν πῶς πλήττομεν, πῶς ἐπάγομεν τὴν πληγὴν τῇ τοῦ Θεοῦ χάριτι, ὥστε μὴ συντρῖψαι τὸ σκεῦος, ἀλλ' ὥστε λεᾶναι, ὥστε ὀρθῶσαι, ὥστε ποιῆσαι εὔχρηστον τῷ δεσπότῃ, ὥστε αὐτὸ προσενεγκεῖν ἀποστίλβον τὴν ὑ-

γρ. καὶ τῆς σαυτοῦ ψυχῆς.

γρ. ἀπὸ τῶν ... ἐργάζεται ... τῶν ἁμαρτημάτων τὰς ψυχάς.

γρ. ἴσμεν

γείαν, καὶ καλῶς ἐκπεπορευμένοι κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν ὁ ποταμὸς τοῦ πυρὸς, ὥστε προσιέναι μὴ δεόμενοι τῆς ἐκεῖ πυρᾶς. ἐὰν γὰρ μὴ πυρώσωμεν ὑμᾶς ἐνταῦθα, ἀνάγκη πάντως πυρωθῆναι ἐκεῖ, καὶ οὐκ ἔτι ἄλλως. α. Κορ. γ. ιγ. Η γὰρ ἡμέρα Κυρίου ἐν πυρὶ ἀποκαλύπτεται. κρεῖσσον τοῖς ἡμετέροις λόγοις ὑμᾶς κατακαυθῆναι πρὸς βραχὺ, ἢ διηνεκῶς ἐκείνῃ τῇ φλογί. πάντως γὰρ ὅτι τοῦτο ἔσται, δῆλον, καὶ πολλάκις ὑμῖν εἶπον λογισμοὺς ἀναντιρρήτους. ἔδει μὲν γὰρ ἀπὸ τῶν γραφῶν πείθεσθαι μόνον· ἐπειδὴ δὲ φιλονείκως τινὲς διάκεινται, καὶ ἀπὸ τῶν λογισμῶν ἐκτεθείκαμεν πολλά· οὐδὲν δὲ κωλύει καὶ νῦν τοῦτο αὐτὸ εἰπεῖν. τίνες δὲ οὗτοι; δίκαιός ἐστιν ὁ Θεός. πάντες ὁμολογοῦμεν τοῦτο, καὶ Ἕλληνες, καὶ Ἰουδαῖοι, καὶ αἱρετικοὶ, καὶ χριστιανοί. ἀλλ' ἐνταῦθα πολλοὶ μὲν τῶν ἡμαρτηκότων ἀπῆλθον μὴ κολασθέντες· πολλοὶ δὲ καὶ τῶν κατορθωσάντων ἀπῆλθον μυρία παθόντες δεινά. εἰ τοίνυν δίκαιος ὁ Θεός, ποῦ τούτοις τὰ ἀγαθὰ ἀποδώσει, ποῦ ἐκείνοις τὰς τιμωρίας, εἰ γέεννα μὴ ἔστιν, εἰ ἀνάστασις μὴ ἔστι; τοῦτον οὖν ἀεὶ καὶ ἐκείνοις, καὶ ἑαυτοῖς τὸν λόγον κατεπᾴδετε, καὶ οὐκ ἀφήσει ὑμᾶς διαπιστῆσαι τῇ ἀναστάσει. ὁ δὲ μὴ ἀπιστῶν τῇ ἀναστάσει, σπουδάσει μετὰ πολλῆς ζῆν τῆς προσοχῆς, ὥστε τῶν αἰωνίων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. ζ. 5 ΤΟΥΤΟ ΓΑΡ ΦΡΟΝΕΙΣΘΩ ΕΝ ΥΜΙΝ Ο
καὶ ἐν Χριστῷ Ἰησοῦ, 6 Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν
ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· 7 Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου
λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, 8 Καὶ σχήματι εὑρεθεὶς, ὡς
ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου
δὲ σταυροῦ. 9 Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνο-
μα τὸ ὑπὲρ πᾶν ὄνομα, 10 Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμ-
ψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, 11 Καὶ πᾶσα γλῶσσα
ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.

Εἴρηται ἡμῖν τὰ [παρὰ] τῶν αἱρετικῶν ἅπαντα· δεῖ λοιπὸν καὶ τὰ ἡμέτερα εἰπεῖν. ἐκεῖνοι λέγουσιν, ὅτι τὸ, οὐχ ἁρπαγμὸν ἡγήσατο, ἁρπάσαι ἐστίν· ἡμεῖς ἐδείξαμεν, ὅτι πάντη ἕωλον καὶ ἄτοπον τοῦτο, ὅτι οὔτε εἰς ταπεινοφροσύνην τις ἐντεῦθεν παρακαλεῖ, οὔτε τὸν Θεὸν οὕτω θαυμάζει, ἀλλ' οὐδὲ ἄνθρωπον. τί οὖν ἐστιν, ἀγαπητοί; προσέχετε τοῖς λεγομένοις νῦν. ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων νομίζουσιν, ὅταν ταπεινόφρονες ὦσιν, ἀποστερεῖσθαι τοῦ οἰκείου ἀξιώματος καὶ ἐλαττοῦσθαι καὶ ταπεινοῦσθαι, τοῦτον ἐξαίρων τὸν φόβον, καὶ δεικνὺς ὅτι οὐ χρὴ τοῦτο διακεῖσθαι, περὶ τοῦ Θεοῦ φησιν, ὅτι ὁ Θεὸς, ὁ μονογενὴς υἱὸς τοῦ πατρὸς, ὁ ἐν μορφῇ Θεοῦ ὢν, ὁ μηδὲν ἔλαττον ἔχων τοῦ πατρὸς, ὁ ἴσος αὐτῷ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τί δὲ τοῦτό ἐστι, μάνθανε. ὅταν μὲν ἁρπάσῃ τις, καὶ παρὰ τὸ προσῆκον λάβῃ, τοῦτο ἀποθέσθαι οὐ τολμᾷ, δεδοικὼς μὴ ἀπόληται, μὴ ἐκπέσῃ, ἀλλὰ διηνεκῶς αὐτὸ κατέχει· ὁ μέν τοι φυσικὸν [τι] ἔχων ἀξίωμα, οὐ δέδοικε καὶ καταβῆναι ἀπ' ἐκείνου τοῦ ἀξιώματος, εἰδὼς ὅτι οὐδὲν τοιοῦτον πείσεται. οἷον ὡς ἐπὶ ὑποδείγματος ἵνα εἴπω. ὁ Ἀβεσσαλὼμ ἥρπασε τὴν τυραννίδα, καὶ ἀποθέσθαι ταύτην οὐκ ἐτόλμα λοιπόν. καὶ ἐπὶ ἄλλο δὲ ἐλευσόμεθα ὑπόδειγμα. ἂν δὲ μὴ ἰσχύῃ τὰ ὑποδείγματα τὸ πᾶν παραστῆσαι, μὴ δυσχεραίνετε. τὰ γὰρ ὑποδείγματα τοιαῦτά ἐστι· τὸ πλέον ἀφίασι τῇ διανοίᾳ λογίζεσθαι. ἐπανέστη τις βασιλεῖ, καὶ τὴν βασιλείαν ἥρπασεν. οὐκ ἀποθέσθαι καὶ κρύψαι τὸ πρᾶγμα οὐ τολμᾷ. ἂν γὰρ ἅπαξ κρύψῃ, εὐθέως ἀπώλεσεν. ἢ καὶ ἐπὶ ἄλλου [τινὸς] ἔλθωμεν ὑποδείγματος. οἷον, ἥρπασέ τις τι. τοῦτο κατέχει διηνεκῶς. ἂν γὰρ ἀποθῆται,

ται, εὐθέως ἀπώλεσε τὸ ὅλως· οἱ ἐξ ἁρπαγῆς ἔχοντές τι, δεδοίκασιν ἀποθέσθαι, καὶ κρύψαι, καὶ μὴ διαπίπτοντος εἶναι ἐν ἐκείνῳ, ἐν ᾧ εἰσιν. ἀλλ' οὐχ οἱ μὴ ἐξ ἁρπαγῆς ἔχοντες· οἷον ὁ ἄνθρωπος ἀξίωμα ἔχει τὸ εἶναι λογικός. οὐχ εὑρίσκω παράδειγμα. οὐ γάρ ἐστι παρ' ἡμῖν ἀρχὴ φυσική. οὐδὲν γάρ ἐστι τῶν ἀγαθῶν φυσικόν, ὅπερ τῷ Θεοῦ τῇ φύσει πάντα συγκεκλήρωται. τί οὖν φαμέν; ὅτι ὁ τοῦ Θεοῦ υἱὸς οὐκ ἐφοβήθη καταβῆναι ἀπὸ τοῦ ἀξιώματος. οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὴν θεότητα, οὐκ ἐδεδοίκει μή τις αὐτὸν ἀφέληται [τὴν φύσιν, ἢ] τὸ ἀξίωμα. διὸ καὶ ἀπέθετο αὐτό, θαρρῶν ὅτι αὐτὸ ἀναλήψεται· καὶ ἔκρυψεν, ἡγούμενος οὐδὲν ἐλαττοῦσθαι ἀπὸ τούτου. διὰ τοῦτο οὐκ εἶπεν, οὐχ ἥρπασεν, ἀλλ', οὐχ ἁρπαγμὸν ἡγήσατο· ὅτι οὐχ ἁρπάσας εἶχε τὴν ἀρχήν, ἀλλὰ φυσικήν, οὐ δεδομένην, ἀλλὰ μόνιμον καὶ ἀσφαλῆ. διὸ οὐ παραιτεῖται καὶ τὸ τῶν ὑπασπιστῶν ἀναλαβεῖν σχῆμα. ὁ τύραννος δέδοικεν ἐν πολέμῳ ἀποθέσθαι τὴν ἁλουργίδα, ὁ δὲ βασιλεὺς μετὰ πολλῆς αὐτὸ ποιεῖ τῆς ἀσφαλείας. διατί; ὅτι οὐχ ἁρπαγμὸν ἔχει τὴν ἀρχήν. οὐχ ὡς ἁρπάσας οὖν οὐκ ἀπετίθετο, ἀλλ' ὡς φυσικὴν ἔχων, καὶ οὐδέποτε ἀποστῆναι δυναμένην, ἔκρυψε. τοῦτο τὸ εἶναι ἴσα Θεῷ οὐχ ὡς ἁρπαγμὸν εἶχεν, ἀλλὰ φυσικόν. διὸ ἐκένωσεν ἑαυτόν. ποῦ οἱ λέγοντες, ὅτι ἀνάγκην ὑπέστη, ὅτι ὑπετάγη; ἑαυτόν, φησιν, ἐκένωσεν, ἑαυτὸν ἐταπείνωσεν, ὑπήκοος γενόμενος μέχρι θανάτου. πῶς ἐκένωσε; μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος. ἐνταῦθα πρὸς τὸ, Ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, τοῦτο εἶπε, τὸ ἑαυτὸν ἐκένωσεν· ἐπεὶ εἰ ὑπετάγη, οὐδὲ ταπεινοφροσύνης ἦν τὸ πρᾶγμα, εἰ μὴ οἴκοθεν τοῦτο εἵλετο, εἰ μὴ παρ' ἑαυτοῦ. εἰ γὰρ οὐκ ᾔδει, ὅτι δεῖ τοῦτο γενέσθαι, ἔσται ἀτελής· εἰ μὴ εἰδὼς περιέμενε τὸν καιρὸν τοῦ προστάγματος, ἔσται καιρὸν οὐκ εἰδώς· ἢ εἰ ᾔδει καὶ ὅτι δεῖ γενέσθαι, καὶ πότε γενέσθαι, τίνος ἕνεκεν ὑπὸ τὴν ἐπιταγὴν ὑπέμενεν; ἵνα δείξῃ τὴν τοῦ πατρὸς ὑπεροχήν; τοῦτο οὐ πατρός ἐστι δεῖξαι τὴν ὑπεροχήν, ἀλλ' οἰκείαν εὐτέλειαν. οὐ γὰρ ἱκανὸν τὸ τοῦ πατρὸς ὄνομα δεῖξαι τὰ πρεσβεῖα τοῦ πατρός; χωρὶς γὰρ τούτου πάντα τὰ αὐτά ἐστι τῷ παιδί. ἄλλως δέ, οὐδὲ ἰσχυρὰ αὕτη ἡ τιμὴ ἀπὸ τοῦ πατρὸς διαβῆναι πρὸς τὸν υἱόν. χωρὶς δὲ τούτου, πάντα τὰ τοῦ πατρὸς κοινά ἐστι τῷ παιδί. ἐνταῦθα ἐπιλαβόμενοι τοῦ ῥητοῦ οἱ ἀπὸ Μαρκίωνος, ἰδού, φασιν, οὐκ ἐγένετο ἄνθρωπος, ἀλλ' ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος. πῶς δέ ἐστιν ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι; σκιὰν περιβαλλόμενον. οὐκοῦν εἴδωλόν τί ἐστι, καὶ οὐκ ἔστιν ἀνθρώπου ὁμοίωμα. ἀνθρώπου γὰρ ὁμοίωμα, ἄνθρωπος ἕτερος. τί δὲ ἐρεῖς Ἰωάννῃ λέγοντι, Ὁ λόγος σὰρξ ἐγένετο; ἀλλὰ καὶ αὐτὸς οὗτός φησιν ὁ μακάριος ἀλλαχοῦ, Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας. Καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος. ἰδού, φησί, καὶ σχήματι, καὶ ὡς ἄνθρωπος. τοῦτο δὲ οὐκ ἔστιν ἄνθρωπος ἀληθῶς, τὸ ὡς ἄνθρωπον εἶναι, καὶ τὸ σχήματι εἶναι ἄνθρωπον. τὸ γὰρ σχήματι εἶναι ἄνθρωπον, οὐκ ἔστι φύσει ἄνθρωπον εἶναι. ὁρᾶτε μεθ' ὅσης ἐγὼ εὐγνωμοσύνης τὰ παρὰ τῶν ἐχθρῶν τίθημι; ἡ γὰρ λαμπρὰ νίκη, καὶ ἐκ περιουσίας γινομένη αὕτη ἐστίν, ὅταν τὰ δοκοῦντα αὐτῶν ἰσχυρὰ εἶναι οὐκ ἀποκρύπτωμεν. τὸ γὰρ ἀποκρύπτειν ἀπάτη ἐστὶ μᾶλλον, ἢ νίκη. τί οὖν φασι; πάλιν γὰρ αὐτὰ ἀναλάβωμεν· τὸ, σχήματι, οὐκ ἔστι φύσει, καὶ τὸ, ὡς ἄνθρωπον εἶναι, καὶ τὸ, ἐν ὁμοιώματι ἀνθρώπων εἶναι, οὐκ ἔστι τοῦτο ἄνθρωπον εἶναι. ἆρα καὶ τὸ μορφὴν δούλου λαβεῖν, οὐκ ἔστι μορφὴν δούλου λαβεῖν. οὐκοῦν μάχη ἐνταῦθα. καὶ διατί μὴ ἐκεῖνο σοῦ πρότερος λύεις; ὥσπερ γὰρ ταῦτα νομίζεις ἡμῖν ἀντικεῖσθαι, οὕτω καὶ ἡμεῖς φαμὲν ἐκεῖνό σοι ἀντικεῖσθαι. οὐ γὰρ εἶπεν, ὡς μορφὴ δούλου, οὐδέ, ἐν ὁμοιώματι μορφῆς δούλου, οὐδέ, ἐν σχήματι μορφῆς δούλου, ἀλλά, μορφὴν δούλου ἔλαβε. τί οὖν ἐστι; καὶ γὰρ μάχη ἐστίν. οὐδεμία μάχη (μὴ γένοιτο) ἀλλὰ τίς ὁ ψυχρὸς αὐτῶν λόγος, καὶ καταγέλαστος. μορφὴν δούλου, φησίν, ἔλαβεν, ὅτι τὸ λέντιον περιζωσάμενος ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. τοῦτο μορφὴ δούλου ἐστίν; ἀλλ' οὐκ ἔστι τοῦτο μορφὴ δούλου, ἀλλ' ἔργον δούλου. ἕτερον δέ ἐστιν ἔργον εἶναι δούλου, καὶ

Φιλιπ. β. γ.
Ιωαν. α. ιδ.
Ρωμ. η. γ.
Ιωαν. ιγ. δ.

ἔπρεπεν μορφὴν δούλου λαβεῖν. διὰ τί γὰρ οὐκ εἶπεν, ὅτι ἔργον ἐποίησε δούλου, ὃ σαφέστερον ἦν; οὐδαμοῦ δὲ ἐν τῇ γραφῇ μορφὴ ἀντὶ ἔργου εἴρηται. πολὺ γὰρ τὸ μέσον. τὸ μὲν γὰρ φύσεώς ἐστι, τὸ δὲ ἐνεργείας. καὶ ἐν τῇ συνηθείᾳ δὲ οὐδαμοῦ τὴν μορφὴν ἀντὶ ἔργου λέγοντες λαμβανόμεθα. ἄλλως δέ, οὐδὲ τὸ ἔργον ἐποίησε κατ᾽ ἐκείνους, οὐδὲ μὴν διεζώσατο. γ. ἔλαβε εἰ γὰρ φαντασία τὸ πρᾶγμα ἦν, οὐκ ἦν ἀλήθεια. εἰ μὴ χεῖρας εἶχε, πῶς ἔνιψεν; εἰ μὴ ὀσφὺν εἶχε, πῶς λέντιον διεζώσατο; ποῖα δὲ καὶ ἱμάτια ἔλαβεν; Ἔλαβε γὰρ τὰ ἱμάτια αὐτοῦ, φησιν. ὥσπερ οὖν οὐδὲ τὸ ἔργον ἐνταῦθα εὑρίσκεται γεγονός, ἀλλὰ ἀπάτη ἐστὶ μόνον, οὕτως οὐδὲ ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. εἰ γὰρ ἡ ἀσώματος φύσις οὐκ ἐφάνη, ἐν σώματι οὐκ ἦν. τίς οὖν τοὺς μαθητὰς ἔνιψε; τί οὖν πάλιν πρὸς Παῦλον τὸν Σαμοσατέα ἐροῦμεν; καὶ τί ἐκεῖνος εἶπε, φησιν; αὐτὸς τὸ αὐτό φησιν. ἀλλ᾽ οὐκ ἔστι τοῦτο κένωσις, τὸ φύσεως ὄντα ἀνθρωπίνης καὶ ἄνθρωπον ψιλόν, νίψαι τοὺς ὁμοδούλους. ἃ γὰρ εἴπομεν πρὸς Ἀρειανούς, ταῦτα καὶ πρὸς τούτους ῥητέον· οὐδὲν γὰρ ἀλλήλων διεστήκασιν, ἀλλ᾽ ἢ ὀλίγῳ χρόνῳ· καὶ γὰρ καὶ οὗτοι, κἀκεῖνοι κτίσμα τὸν υἱὸν τοῦ Θεοῦ φασι. τί οὖν ἐροῦμεν πρὸς αὐτούς; εἰ ἄνθρωπος ἀνθρώπους ἔνιψεν, οὐκ ἐκένωσεν, οὐκ ἐταπείνωσεν ἑαυτόν. εἰ ἄνθρωπος ὢν οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ, οὐκ ἐπαινετός. τὸ μὲν γὰρ Θεὸν ὄντα ἄνθρωπον γενέσθαι, πολλὴ ταπείνωσις, ἄφατος, ἀνεκδιήγητος· τὸ δὲ ἄνθρωπον ὄντα τὰ τῶν ἀνθρώπων ποιεῖν, ποία ταπείνωσις; ποῦ δὲ μορφὴ Θεοῦ ἔργον Θεοῦ λέγεται; εἰ γὰρ ἄνθρωπος ἦν ψιλός, καὶ διὰ τὰ ἔργα λέγεται μορφὴ Θεοῦ, διὰ τί μὴ καὶ ἐπὶ Πέτρου τὸ αὐτὸ λέγομεν; μείζονα γὰρ αὐτοῦ εἰργάσατο. διὰ τί μὴ καὶ ἐπὶ Παύλου λέγεις, ὅτι μορφὴν Θεοῦ εἶχε; διὰ τί μὴ καὶ περὶ ἑαυτοῦ τὸ ὑπόδειγμα β. Κορ. δ. ε. εἰσήνεγκε Παῦλος, ὁ μυρία πράξας δουλικά, καὶ μηδὲν παραιτησάμενος; λέγει γάρ· Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. γέλως ταῦτα, καὶ φλυαρία. ἐκένωσεν ἑαυτόν, φησι. πῶς ἐκένωσεν, εἰπέ, καὶ τί ἡ κένωσις, καὶ τί ἡ ταπείνωσις; ἢ ἐπεὶ θαύματα εἰργάσατο; ἀλλὰ τοῦτο ἐποίησε καὶ Παῦλος, καὶ Πέτρος, ὥστε οὐ τοῦ υἱοῦ τοῦτο ἐξαίρετον. τί οὖν ἐστιν ὅ φησιν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος; πολλὰ μὲν εἶχεν ἡμέτερα, πολλὰ δὲ οὐκ εἶχεν· οἷον ἀπὸ συνουσίας οὐκ ἐτέχθη, οἷον ἁμαρτίαν οὐκ ἐποίησε. ταῦτα ὑπῆρχεν αὐτῷ, ἃ μηδενὶ τῶν ἀνθρώπων. οὐκ ἦν τὸ φαινόμενον μόνον, ἀλλὰ καὶ Θεός. ἐφαίνετο μὲν γὰρ ἄνθρωπος, οὐκ ἦν δὲ τοῖς πολλοῖς ὅμοιος, εἰ καὶ τὴν σάρκα ὅμοιος ἦν. τοῦτο οὖν λέγει, ὅτι οὐκ ἦν ψιλὸς ἄνθρωπος· διὰ τοῦτό φησιν, ἐν ὁμοιώματι ἀνθρώπων. ἡμεῖς μὲν γὰρ ψυχὴ καὶ σῶμά ἐσμεν· ἐκεῖνος δὲ Θεός, καὶ ψυχή, καὶ σῶμα. διὰ τοῦτό φησιν, ἐν ὁμοιώματι. ἵνα γὰρ μὴ ἀκούσας, ὅτι ἐκένωσεν ἑαυτόν, μεταβολὴν νομίσῃς καὶ μετάπτωσιν καὶ ἀφανισμόν τινα, μένων, φησίν, ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν, καὶ σὰρξ γενόμενος ἔμεινε Θεὸς Λόγος ὤν. ὥστε κατὰ τοῦτο ὅμοιος ἀνθρώπῳ, καὶ διὰ τοῦτό φησι, καὶ σχήματι· οὐ τοῦτο λέγων, ὅτι ἡ φύσις μετέπεσεν, οὐδὲ σύγχυσίς τις ἐγένετο, ἀλλὰ σχήματι ἐγένετο. εἰπὼν γάρ, ὅτι μορφὴν δούλου ἔλαβεν, ἐθάρσησε λοιπὸν καὶ τοῦτο εἰπεῖν, ὡς ἐκείνου πάντας Ῥωμ. η. γ. ἐπιστομίζοντος. ἐπεὶ καὶ ὅταν λέγῃ, Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, οὐ τοῦτό φησιν, ὅτι σάρκα οὐκ εἶχεν, ἀλλ᾽ ὅτι ἡ σὰρξ ἐκείνη οὐχ ἥμαρτεν, ἀλλ᾽ ὁμοία ἦν τῇ ἁμαρτωλῷ. κατὰ τί ὁμοία; κατὰ τὴν φύσιν, οὐ κατὰ τὴν κακίαν. διὰ τοῦτο ὁμοία ἁμαρτωλοῦ ψυχῆς. ὥσπερ οὖν ἐκεῖ τὸ ὅμοιον διὰ τὸ μὴ πάντα εἶναι ἴσον, οὕτω γ. ἴσα, καὶ ἐνταῦθα ὁμοίωμα διὰ τὸ μὴ πάντα εἶναι ἴσα· οἷον τὸ μὴ ἐκ συνουσίας, τὸ χωρὶς ἁμαρτίας, τὸ μὴ ψιλὸν ἄνθρωπον. καὶ καλῶς εἶπεν, ὡς ἄνθρωπος. οὐ γάρ ἦν εἷς τῶν πολλῶν, ἀλλ᾽ ὡς εἷς τῶν πολλῶν. οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ Θεὸς Λόγος, οὐδὲ οὐσία μετεβλήθη, ἀλλ᾽ ὡς ἄνθρωπος ἐφάνη, οὐ φαντασιοκοπῶν ἡμᾶς, ἀλλὰ παιδεύων εἰς ταπεινοφροσύνην. ὅταν οὖν εἴπῃ, ὡς ἄνθρωπος, τοῦτό φησιν· ἐπεὶ καὶ ἀλλαχοῦ φησιν αὐτὸν ἄνθρωπον, ὅταν α. Τιμ. β. ε. λέγῃ· Εἷς Θεός, καὶ εἷς μεσίτης ἀνθρώπων Χριστὸς Ἰησοῦς. εἴρηται ἡμῖν καὶ τὰ πρὸς τούτους,

καὶ πρὸς τοὺς μὴ λέγοντας αὐτὸν ἀνειληφέναι ψυχὴν, ἀναγκαῖον εἰπεῖν. εἰ ἡ μορφὴ τοῦ Θεοῦ, τέλειος Θεὸς, καὶ ἡ μορφὴ τοῦ δούλου, τέλειος δοῦλος. πάλιν πρὸς Ἀρειανοὺς ὁ λόγος. μορφὴ Θεοῦ ὑπάρχων, φησὶν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἐνταῦθα περὶ τῆς θεότητος, οὐδαμοῦ τὸ, ἐγένετο, οὐδαμοῦ τὸ, ἔλαβεν. ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. ἐνταῦθα περὶ τῆς ἀνθρωπότητος, τὸ ἔλαβε, καὶ ἐγένετο. τοῦτο ἐγένετο, τοῦτο ἔλαβεν, ἐκεῖνο ὑπῆρχε. μὴ δὴ συγχεώμεθα, μηδὲ διϊστῶμεν. εἷς Θεὸς, εἷς Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ. τὸ δὲ, εἷς, ὅταν εἴπω, ἕνωσιν λέγω, οὐ σύγχυσιν, τῆς φύσεως ταύτης εἰς ἐκείνην μεταπιπτούσης, ἀλλὰ ἑνωμένης. ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἰδοὺ, φησιν, ὑπήκοος γέγονεν, οὐκ ἴσος ὢν ᾧ ὑπήκουσεν. οὐδὲν τοῦτο αὐτὸν ἐλαττοῖ, ὦ ἀγνώμονες, καὶ ἀνόητοι· ἐπεὶ καὶ φίλοις πολλάκις ὑπακούομεν ἡμεῖς, καὶ οὐδὲν τοῦτο ἡμᾶς ἐλάττους ποιεῖ. ὡς υἱὸς πατρὶ, ὑπήκουσεν ἑκὼν, οὐκ εἰς δουλικὸν ἀξίωμα καταπεσὼν, ἀλλὰ τούτῳ αὐτῷ μάλιστα φυλάττων τῆς γνησιότητος τὸ θαῦμα, τῇ πολλῇ περὶ τὸν πατέρα τιμῇ. ἐτίμησε τὸν πατέρα, οὐχ ἵνα σὺ αὐτὸν ἀτιμάσῃς, ἀλλ' ἵνα μᾶλλον θαυμάσῃς, ἵνα καὶ ἀπὸ τούτου μάθῃς, ὅτι γνήσιος υἱὸς, τῷ μάλιστα πάντων τὸν πατέρα τετιμηκέναι. οὐδεὶς οὕτως ἐτίμησε τὸν Θεόν. ὅσον εἶχε τὸ ὕψος, τοσαύτην ταπείνωσιν ὑπέστη ἀντίρροπον. ὥσπερ πάντων ἐστὶ μείζων, καὶ οὐδεὶς αὐτῷ ἴσος, οὕτω καὶ τῇ περὶ τὸν πατέρα τιμῇ πάντας ἐνίκησεν, οὐκ ἀναγκασθεὶς, οὐδὲ ἄκων. καὶ τοῦτο τῆς ἀρετῆς αὐτοῦ· ἢ οὐκ ἔχω πῶς εἴπω. βαβαὶ, μέγα καὶ τὸ δοῦλον γενέσθαι, καὶ σφόδρα ἄρρητον· τὸ δὲ καὶ θάνατον ὑποστῆναι, πάλιν πολλῷ πλέον. ἀλλ' ἔστι καὶ ἕτερόν τι τούτου μεῖζον καὶ παραδοξότερον. ποῖον δὲ τοῦτο; ὅτι οὐχ ἅπας θάνατος ὅμοιος. οὗτος γὰρ πάντων ἐπονειδιστικώτερος εἶναι ἐδόκει, οὗτος ὁ αἰσχύνης γέμων, οὗτος ὁ ἐπάρατος. Ἐπικατάρατος γὰρ, φησὶ, πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. διὰ τοῦτο καὶ Ἰουδαῖοι τούτῳ ἐσπούδασαν αὐτὸν ἀνελεῖν, ὥστε καὶ ἐπονείδιστον ἐργάσασθαι, ἵνα εἰ καὶ τῷ ἀναιρεθῆναι μηδεὶς ἀπέχηται αὐτοῦ, ἀλλὰ τῷ οὕτως ἀναιρεθῆναι. διὰ τοῦτο καὶ λῃσταὶ δύο μεταξὺ αὐτοῦ ἐσταυρώθησαν, ἵνα κοινωνήσῃ τῆς δόξης αὐτοῖς, καὶ πληρωθῇ τὸ εἰρημένον, Καὶ μετὰ ἀνόμων ἐλογίσθη. ἀλλὰ τοσούτῳ μᾶλλον ἡ ἀλήθεια λάμπει, τοσούτῳ φαιδροτέρα γίνεται. ὅταν γὰρ τοσαῦτα ᾖ μηχανήματα παρὰ τῶν ἐχθρῶν κατὰ τῆς δόξης αὐτοῦ γινόμενα, διαλάμπῃ δὲ, μᾶλλον τὸ θαῦμα μεῖζον δείκνυται. οὐ γὰρ τῷ ἁπλῶς ἀποκτεῖναι, ἀλλὰ καὶ τῷ οὕτως ἀποκτεῖναι ᾤοντο βδελυκτὸν αὐτὸν ἐργάσασθαι, καὶ πάντων ἀποφαίνειν βδελυκτότερον· καὶ οὐδὲν ἴσχυσαν. οὕτω δὲ μιαροί τινες ἦσαν ἀμφότεροι οἱ λῃσταί (ὕστερον γὰρ ὁ εἷς μετεβάλετο) ὅτι καὶ ἐν σταυρῷ ὄντες, ὠνείδιζον αὐτῷ· καὶ οὔτε τὸ συνειδὸς τῶν ἰδίων ἁμαρτημάτων, οὔτε τὸ ἐν κολάσει εἶναι, οὔτε τὸ καὶ αὐτὸν τὰ αὐτὰ πάσχειν, κατέσχεν αὐτῶν τὴν μανίαν· ὅπερ οὖν καὶ ὁ εἷς τῷ ἑνὶ εἶπε, καὶ ἐπεστόμισε λέγων· Οὐδὲ φοβῇ τὸν Θεὸν σύ, ὅτι ἐν τῷ αὐτῷ κρίματι ἐσμέν; τοσαύτην εἶχον τὴν κακίαν. ἀλλ' οὐδὲν πρὸς τὴν οἰκείαν δόξαν παρεβλάβη ἐντεῦθεν. διό φησι, Καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ὅταν τῆς σαρκὸς ἐπιλάβηται ὁ μακάριος Παῦλος, πάντα λοιπὸν τὰ ταπεινὰ μετὰ ἀδείας φθέγγεται. ἕως μὲν γὰρ οὐκ ἔλεγεν, ὅτι μορφὴν δούλου ἔλαβεν, ἀλλὰ περὶ τῆς θεότητος διελέγετο, ὅρα πῶς ὑψηλῶς· ὑψηλῶς λέγω κατὰ τὴν δύναμιν. κατὰ γὰρ τὴν αὐτοῦ ἀξίαν οὐ φθέγγεται· οὐδὲ γὰρ δύναται. ἐν μορφῇ, φησι, Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἐπειδὴ δὲ εἶπεν, ὅτι ἐνηνθρώπησεν, ἀδεῶς λοιπὸν τὰ ταπεινὰ φθέγγεται, θαῤῥῶν ὡς οὐδὲν βλάπτει τὴν θεότητα τὸ ταπεινὰ λέγεσθαι, τῆς σαρκὸς αὐτοῦ δεχομένης ταῦτα. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν

Δευτ. κα. κγ. Γαλ. γ. ιγ. Ησ. νγ. ιβ.

γρ. τοσούτῳ μείζων

γρ. δὲ

Θεοῦ πατρός. Εἴπωμεν πρὸς τοὺς αἱρετικούς, εἰ περὶ τοῦ μὴ σαρκωθέντος ταῦτα λέγεται, εἰ περὶ τοῦ Θεοῦ λόγου, πῶς αὐτὸν ὑπερύψωσεν, ὡς πλέον τι δεδωκώς; οὐκοῦν ἀτελὴς ἦν κατὰ τοῦτο, καὶ δι' ἡμᾶς ἐγένετο τέλειος. Εἰ γὰρ μὴ ἡμᾶς εὐηργέτησεν, οὐκ ἂν ἔτυχε τῆς τιμῆς. καὶ ἐχαρίσατο, φησίν, ὄνομα. ἰδού, οὐδὲ ὄνομα εἶχε καθ' ὑμᾶς. πῶς δέ, εἰ ὀφειλὴν ἔλαβεν, εὑρίσκεται χάριτι καὶ δωρεᾷ λαβών, καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ποῖον δὲ ἴδωμεν [καὶ] ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, φησί, πᾶν γόνυ κάμψῃ. ὄνομα αὐτοῦ τὴν δόξαν λέγουσιν. αὕτη γοῦν ἡ δόξα ὑπὲρ πᾶσαν δόξαν ἐστί. δόξα δὲ ὅλως ἐστί, τὸ προσκυνεῖν αὐτῷ; πόρρω ἀπέχετε τῆς τοῦ Θεοῦ μεγαλειότητος ὑμεῖς, οἱ νομίζοντες εἰδέναι Θεόν, ὡς αὐτὸς οἶδεν ἑαυτόν. καὶ ἀπὸ τούτου μὲν δῆλον, ὅσον ἀπέχετε τῆς ἐννοίας τῆς περὶ Θεοῦ. *γ. ἐννοίας* δῆλον δὲ καὶ ἐκ τούτου. αὕτη δόξα ἐστίν, εἰπέ μοι; οὐκοῦν πρὶν ἢ τοὺς ἀνθρώπους γενέσθαι, πρὶν ἢ τοὺς ἀγγέλους, πρὶν ἢ τοὺς ἀρχαγγέλους, οὐκ ἦν ἐν δόξῃ. εἰ γὰρ αὕτη ἐστὶν ἡ δόξα, ἡ ὑπὲρ πᾶσαν δόξαν (τοῦτο γάρ ἐστι, τὸ ὑπὲρ πᾶν ὄνομα) *γ. αὐτὴ* εἰ δὲ ἐν δόξῃ ἦν, ἀλλ' ἐν ἐλάττονι ταύτης. οὐκοῦν τοῦτο τὰ ὄντα ἐποίησε, καὶ διὰ τοῦτο, ἵνα ἐν δόξῃ γένηται, οὐκ ἐπὶ ἀγαθότητι, ἀλλὰ δεόμενος τῆς παρ' ἡμῶν δόξης. ὁρᾶτε τὴν ἄνοιαν; ὁρᾶτε τὴν ἀσέβειαν; ἂν μὲν οὖν περὶ τοῦ σαρκωθέντος ταῦτα ἔλεγον, εἶχε λόγον. αἰνεῖται γὰρ ὁ Θεοῦ λόγος περὶ τῆς σαρκὸς ταῦτα λέγεσθαι. οὐ γὰρ τῆς φύσεως ἅπτεται, ἀλλὰ περὶ τὴν οἰκονομίαν τὸ πᾶν ἵσταται. νῦν δὲ περὶ τὴν θεότητα ταῦτα λεγόμενα, οὐδεμία συγγνώμη τοῖς κακουργοῦσι καταλιμπάνεται. ὥστε ὅταν εἴπωμεν, ἐποίησεν ἀνθρώπους ἀθανάτους ὁ Θεός, κἂν περὶ τοῦ ὅλου εἴπω, οἶδα ὃ λέγω. τί δέ ἐστιν, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων; τουτέστιν, ὁ κόσμος πᾶς, καὶ ἄγγελοι, καὶ ἄνθρωποι, καὶ δαίμονες· ἢ ὅτι καὶ οἱ δίκαιοι, καὶ οἱ ἁμαρτωλοί. καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ πατρός. τουτέστιν, ἵνα πάντες τοῦτο εἴπωσι. τοῦτο δὲ δόξα τοῦ πατρός. ὁρᾷς πανταχοῦ, ὅταν ὁ υἱὸς δοξάζηται, τὸν πατέρα δοξαζόμενον; οὕτω καὶ ὅταν ἀτιμάζηται ὁ υἱός, ὁ πατὴρ ἀτιμάζεται. εἰ γὰρ ἐφ' ἡμῶν τοῦτο, ἔνθα πολὺ τοῖς πατράσι πρὸς τοὺς υἱοὺς τὸ μέσον, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ, ἔνθα μέσον οὐδέν, εἰς αὐτὸν διαβαίνει καὶ ἡ τιμή, καὶ ἡ ἀτιμία. ἡ μὲν γὰρ ἡ οἰκουμένη ὑποταγῇ τῷ υἱῷ, φησί, τοῦτο πατρός ἐστι δόξα. οὐκοῦν καὶ ὅταν λέγωμεν, ὅτι τέλειός ἐστιν, ἀνενδεής, ὅτι οὐκ ἐλάττων τοῦ πατρός, τοῦτο δόξα τοῦ πατρός. τοῦτο καὶ τῆς δυνάμεως αὐτοῦ τεκμήριον μέγα, καὶ τῆς ἀγαθότητος, καὶ τῆς σοφίας, ὅτι υἱὸν τοιοῦτον ἐγέννησεν, ὅτι οὐδὲν ἐλάττονα, οὔτε κατὰ τὴν ἀγαθότητα, οὔτε κατὰ τὴν σοφίαν. ὅταν εἴπω, ὅτι σοφός ἐστιν, ὡς ὁ πατήρ, καὶ οὐδὲν ἐλάττων, τοῦτο τῆς πολλῆς τοῦ πατρὸς σοφίας τεκμήριον. ὅταν εἴπω, ὅτι δυνατός ἐστιν, ὡς ὁ πατήρ, τοῦτο τῆς δυνάμεως αὐτοῦ τεκμήριον. ὅταν εἴπω, ὅτι ἀγαθός ἐστιν, ὡς ὁ πατήρ, τοῦτο τῆς ἀγαθότητος αὐτοῦ δεῖγμα μέγιστον, ὅτι τοιοῦτον ἐγέννησεν οὐδὲν αὐτοῦ λειπόμενον, οὐδὲ ὑποδέοντα. ὅταν εἴπω, ὅτι οὐκ ἐλάττονα κατὰ τὴν οὐσίαν, ἀλλ' ἴσον, οὐδὲ ἑτέρας οὐσίας, καὶ ἐν τούτῳ πάλιν τὸν Θεὸν θαυμάζω, καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τὴν ἀγαθότητα, καὶ τὴν σοφίαν, ὅτι ἄλλον ὑμῖν τοιοῦτον ἔδειξεν ἐξ αὐτοῦ, πλὴν τοῦ πατέρα εἶναι. ὥστε ὅσα ἂν εἴπω μεγάλα περὶ τοῦ υἱοῦ, ταῦτα εἰς τὸν πατέρα διαβαίνει. εἰ γὰρ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς (μικρὸν γάρ ἐστι πρὸς τὴν τοῦ Θεοῦ δόξαν τὸ τὴν οἰκουμένην αὐτῷ προσκυνῆσαι) εἰς δόξαν Θεοῦ γίνεται, πόσῳ μᾶλλον τὰ ἄλλα πάντα;

ΗΘΙΚΟΝ

Πιστεύωμεν τοίνυν εἰς δόξαν αὐτοῦ, καὶ βιῶμεν εἰς δόξαν αὐτοῦ· ἐπεὶ οὐδὲν ὄφελος θατέρου. ὥστε ὅταν δοξάζωμεν καλῶς, μὴ βιῶμεν δὲ καλῶς, *γ. ζῶμεν* τότε μάλιστα ὑβρίζομεν αὐτόν, ὅτι ἐπιγραφόμενοι αὐτὸν δεσπότην καὶ διδάσκαλον, καταφρονοῦμεν αὐτοῦ, καὶ οὐ δεδοίκαμεν τὸ φοβερὸν αὐτοῦ κριτήριον. τὸ μὲν γὰρ Ἕλληνας ἀκαθάρτως βιοῦν, *γ. ἐκείνων* θαυμαστὸν οὐδέν, οὐδὲ τοσαύτης καταγνώσεως ἄξιον· τὸ δὲ Χριστιανοὺς τοσούτων μετέχοντας μυστηρίων,

ων, τοσαύτης ἀπολαύσει τῆς δόξης, οὕτως ἀκαθάρτως βιοὺς; τοῦτο ἐστὶ τὸ πάντων χεῖριστον, καὶ ἀφόρητον. εἰπὲ γάρ μοι· ὑπήκουσε τὴν ἐσχάτην ὑπακοήν, διὰ τοῦτο ἔλαβε τὴν ἄνω τιμήν· δοῦλος ἐγένετο, διὰ τοῦτο δεσπότης ἐστὶ πάντων, καὶ ἀγγέλων, καὶ τῶν ἄλλων ἁπάντων. ὥστε καὶ ἡμεῖς μὴ νομίζωμεν κατέρχεσθαι ἀπὸ τοῦ ἀξιώματος, ὅταν ταπεινώσωμεν ἑαυτούς. τότε γὰρ μᾶλλόν ἐστιν ὑψωθῆναι· εἰκότως· τότε μάλιστά ἐστι θαυμασθῆναι. ὅτι γὰρ ὁ ὑψηλὸς ταπεινός ἐστιν, ὁ δὲ ταπεινὸς ὑψηλός, ἀρκεῖ μὲν καὶ ἡ τοῦ Χριστοῦ ἀπόφασις τοῦτο λέγουσα. πλὴν ἀλλὰ καὶ αὐτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. τί ἐστι ταπεινωθῆναι; οὐ τὸ ψέγεσθαι, οὐ τὸ κατηγορεῖσθαι καὶ διαβάλλεσθαι; τί δὲ ὑψωθῆναι; οὐ τὸ τιμᾶσθαι, τὸ ἐπαινεῖσθαι, τὸ δοξάζεσθαι; καλῶς. ἴδωμεν οὖν πῶς τοῦτο γίνεται. ἄγγελος ἦν ὁ Σατανᾶς, ὕψωσεν ἑαυτόν. τί οὖν; οὐχὶ πάντων μᾶλλον ἐταπεινώθη; οὐχὶ χώραν ἔχει τὴν γῆν; οὐχὶ ὑπὸ πάντων κατηγορεῖται, καὶ διαβάλλεται; ἄνθρωπος ὢν ὁ Παῦλος, ἐταπείνωσεν ἑαυτόν. τί οὖν; οὐχὶ θαυμάζεται; οὐχὶ ἐπαινεῖται; οὐχὶ ἐγκωμιάζεται; οὐχὶ φίλος ἐστὶ τοῦ Χριστοῦ; οὐχὶ μείζονα εἰργάσατο, ὧν ὁ Χριστὸς ἐποίησεν; οὐχ ὡς ἀνδραπόδῳ πολλάκις ἐπέταξε τῷ διαβόλῳ; οὐχὶ ὡς δήμιον περιέφερεν; οὐχὶ ἔπαιξεν ἐν αὐτῷ; οὐχὶ συντετριμμένην αὐτοῦ τὴν κεφαλὴν εἶχεν ὑπὸ τοὺς πόδας τοὺς αὐτοῦ; οὐχὶ καὶ ἑτέροις μετὰ πολλῆς τῆς παρρησίας τοῦτο ἐπηύχετο; τί λέγω ταῦτα; ἐπῆρεν ἑαυτὸν ὁ Ἀβεσσαλώμ, ἐταπείνωσεν ἑαυτὸν ὁ Δαβίδ. ποῖος οὖν ὑψηλὸς ἐγένετο; τίς ἐπίδοξος; τί γὰρ ταπεινότερον τῶν ῥημάτων τούτων, ὧν ἐπὶ τοῦ Σεμεεὶ ἐφθέγγετο ὁ μακάριος οὗτος προφήτης, λέγων· Ἄφετε αὐτὸν καταρᾶσθαί με· Κύριος γὰρ ἐνετείλατο αὐτῷ; [καὶ ἐπ' αὐτῶν δὲ τῶν πραγμάτων ἐξετάσωμεν, εἰ δοκεῖ.] ἐταπείνωσεν ἑαυτὸν ὁ τελώνης, καίτοιγε οὐδὲ ταπεινοφροσύνη τὸ πρᾶγμα ἦν· ἀλλὰ εὐγνωμόνως πως ἔλεγεν, ἅπερ ἔλεγεν. ὕψωσεν ἑαυτὸν ὁ Φαρισαῖος. ἀλλ' εἰ δοκεῖ, ἀφέντες τὰ πρόσωπα, ἐξετάσωμεν τὰ πράγματα. ἔστωσαν δύο τινές, ἀμφότεροι καὶ πλουτοῦντες, καὶ μετέχοντες πολλῆς τιμῆς, καὶ ἐπὶ σοφίᾳ, καὶ δυναστείᾳ, καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς κοσμικοῖς πλεονεκτήμασι μεγαλοφρονοῦντες. εἶτα ὁ μὲν αὐτῶν ζητείτω τὰς παρὰ πάντων τιμάς, καὶ μὴ λαμβάνων ὀργιζέσθω, καὶ πλέον, ἢ δεῖ, ἀπαιτείτω, καὶ ὑψούτω ἑαυτόν· ὁ δὲ καταφρονείτω τοῦ πράγματος, καὶ πρὸς μηδένα ὑπὲρ τούτου δυσχεραινέτω, καὶ διδομένην τὴν τιμὴν διακρουέσθω. τίς οὖν μείζων; ὁ μὴ λαμβάνων καὶ ζητῶν, ἢ ὁ καὶ διδόντων καταφρονῶν; εὔδηλον ὅτι οὗτος εἰκότως. δόξης γὰρ οὐκ ἔστιν ἄλλως ἐπιτυχεῖν, ἀλλ' ἢ ἐν τῷ δόξαν φεύγειν. ἕως μὲν γὰρ αὐτὴν διώκωμεν, φεύγει ἡμᾶς· ὅταν δὲ αὐτὴν φεύγωμεν, διώκει ἡμᾶς. εἰ βούλει ἔνδοξος εἶναι, μὴ ἐπιθύμει δόξης· εἰ βούλει ὑψηλὸς εἶναι, μὴ γίνου ὑψηλός. καὶ ἄλλως δέ, τοὺς μὲν μὴ ἐφιεμένους τιμῆς πάντες τιμῶσι· τοὺς δὲ ἐπιζητοῦντας διαπτύουσι. πέφυκε γάρ πως φιλόνεικον εἶναι τὸ τῶν ἀνθρώπων γένος, καὶ ἀντιπαθές. καταφρονῶμεν τοίνυν δόξης· οὕτω γὰρ δυνησόμεθα γενέσθαι ταπεινοί, μᾶλλον δὲ ὑψηλοί. μὴ ὕψου σεαυτόν, ἵνα παρ' ἑτέρου ὑψωθῇς. ὁ παρ' ἑαυτοῦ ὑψούμενος, παρ' ἑτέρων οὐχ ὑψοῦται· ὁ παρ' ἑαυτοῦ ταπεινούμενος, παρ' ἑτέρων οὐ ταπεινοῦται. μέγα ἀπόνοια κακόν· μωρὸν εἶναι κρεῖττον, ἢ ἀπονενοημένον. ἐκεῖ μὲν γὰρ ἡ μωρία μόνον ἀνοίας ἐστίν· ἐνταῦθα δὲ χεῖρον. μωρία γὰρ ἐστι μετὰ μανίας. ὁ ἀνόητος ἑαυτῷ κακόν, ὁ δὲ ἀπονενοημένος καὶ ἑτέροις λύμη. ἀπὸ ἀνοίας τοῦτο τὸ πάθος τίκτεται. οὐκ ἔστιν ὑψηλόφρονα εἶναι μὴ ὄντα μωρόν· ὁ δὲ μωρίας ἔμπλεως, ἐστὶν ἀπονενοημένος. ἄκουε σοφοῦ τινος λέγοντος, Εἶδον ἄνθρωπον δοκοῦντα φρόνιμον εἶναι παρ' ἑαυτῷ· ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. ὁρᾷς ὅτι οὐκ εἰκῇ ἔλεγον, ὅτι χεῖρον μωρίας τὸ κακόν; ἐλπίδα γάρ, φησι, μᾶλλον ἔχει ἄφρων αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε, Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. ἐπὶ τῶν σωμάτων, εἰπέ μοι, ποῖα φαμὲν ὑγιαίνειν; τὰ ὄγκον ἔχοντα πολύν, καὶ πολλοῦ πνεύματος ἔνδοθεν γέμοντα καὶ ὕδατος, ἢ τὰ κατεσταλμένα, καὶ τεταπεινωμένην ἔχοντα τὴν

β. Βασ. ις. ια.

Παροιμ. κς. ιβ.

Ρωμ. ιβ. ιϛ.

τὴν ἐπιφάνειαν; δῆλον ὅτι ταῦτα. οὐκοῦν καὶ ἐπὶ τῆς ψυχῆς, ἡ μὲν φλεγμαίνουσα ὑστέρου χεῖρον ἔχει νόσημα· ἡ δὲ κατεσταλμένη πάντων ἀπήλλακται παθῶν. πόσα οὖν τίκτει ἡμῖν ἀγαθὰ ἡ ταπεινοφροσύνη; τί βούλει; τὸ ἀνεξίκακον; τὸ ἀόργητον; τὸ φιλάνθρωπον; τὸ νηφαλικόν; τὸ προσεκτικόν; πάντα ταῦτα ἀπὸ ταπεινοφροσύνης τὰ καλά, καὶ τὰ ἐναντία ἀπὸ τῆς ἀπονοίας. ἀνάγκη γὰρ τὸν τοιοῦτον καὶ ὑβριστὴν εἶναι, καὶ πλήκτην, καὶ ὀργίλον, καὶ πικρὸν, καὶ ἀμειδῆ, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπον. ἰσχυρὸς εἶ, καὶ μέγα φρονεῖς; οὐκοῦν διὰ τοῦτο μᾶλλον ὀφείλεις ταπεινοῦσθαι. διὰ τί ἐπὶ πράγματι μέγα φρονεῖς οὐδαμινῷ; καὶ γὰρ καὶ λέων σου θρασύτερος, καὶ σῦς ἰσχυρότερος, καὶ οὐδὲ κώνωψ εἶ πρὸς αὐτούς· καὶ λῃσταὶ δὲ καὶ τυμβωρύχοι καὶ μονομάχοι καὶ οἱ οἰκέται οἱ σοί, καὶ ἴσως οἱ ἀγνωμονέστεροι, ἰσχυρότεροί σου. τοῦτο οὖν ἄξιον ἐπαίνου; καὶ οὐ κατορύττεις σαυτὸν, ἐπὶ τούτῳ μέγα φρονῶν; ἀλλὰ καλὸς εἶ, καὶ ὡραῖος; κορωνῶν τὸ καύχημα. οὐκ εἶ τοῦ ταῶ καλλίων, οὐδὲ ἄνθους ἕνεκεν, οὐδὲ πτερῶν. ἐν τοῖς πτεροῖς τοῦ ὄρνιθος ἡ νίκη, πολύ σε παρελαύνει τῇ κόμῃ, τῷ ἄνθει. καὶ ὁ κύκνος δὲ σφόδρα ἐστὶ καλός, καὶ πολλοὶ τῶν ὀρνίθων ἕτεροι, πρὸς οὓς εἰ παραβληθείης, οὐδὲν ὄψει σαυτόν. πολλάκις δὲ καὶ παιδία εὐτελῆ, καὶ κόραι ἀπειρόγαμοι, καὶ πόρναι γυναῖκες, καὶ ἄνδρες μαλακοὶ τοῦτο ἔχουσι τὸ καύχημα. τοῦτο οὖν ἄξιον ἀπονοίας. ἀλλὰ πλουτεῖς; πόθεν; τί κεκτημένος; χρυσόν, ἄργυρον, λίθους τιμίους; τοῦτο καὶ λῃστῶν ἐστι, καὶ ἀνδραφόνων τὸ καύχημα, καὶ τῶν τὰ μέταλλα ἐργαζομένων. ὁ τῶν καταδίκων πόνος τοῦτό σοι καύχημα. ἀλλὰ κοσμῇ, καὶ καλλωπίζῃ; καὶ ἵππους ἐστὶν ἰδεῖν καλλωπιζομένους· παρὰ δὲ τοῖς Πέρσαις καὶ καμήλους ἴδοι τις ἂν καλλωπιζομένας· ἐπὶ δὲ τῶν ἀνθρώπων, οὐδὲ ἐπὶ σκηνῆς ἀπολύεται. οὐκ αἰσχύνῃ οὖν ἐπὶ τούτοις μέγα φρονῶν, ἐν οἷς τὰ ἄλογά σοι κοινωνεῖ, καὶ δοῦλοι, καὶ ἀνδροφόνοι, καὶ μαλακοί, καὶ λῃσταί, καὶ τυμβωρύχοι; ἀλλ' οἰκίας οἰκοδομεῖς λαμπράς; καὶ τί τοῦτο; πολλοὶ κολοιοὶ λαμπροτέρας οἰκοῦσι, καὶ σεμνότερα ἔχουσι καταγώγια. ἢ οὐχ ὁρᾷς τούτους τοὺς περὶ τὰ χρήματα μαινομένους, οἳ ἐν ἀγροῖς καὶ ἐν ἐρήμοις τόποις ᾠκοδόμησαν οἴκους, κολοιῶν καταγώγια; ἀλλὰ φωνῆς ἕνεκα μέγα φρονεῖς; τοῦ κύκνου, καὶ τῆς ἀηδόνος οὐδέποτε σὺ δυνήσῃ ᾆσαι λιγυρώτερον. ἀλλ' ἐπὶ ποικιλίᾳ τέχνης; καὶ τί τῆς μελίττης ἐν τούτῳ σοφώτερον; ποῖος ποικιλτής, τίς ζωγράφος, ἢ τίς γεωμέτρης τὰ ταύτης ἔργα μιμήσασθαι δυνήσεται; ἀλλ' ἐπὶ λεπτότητι ἐσθῆτος; ἀλλ' ἐνταῦθά σε ἀράχναι νικῶσιν. ἀλλ' ἐπὶ ταχύτητι ποδῶν; πάλιν τὰ πρωτεῖα παρὰ τοῖς ἀλόγοις, λαγωῷ καὶ δορκάδι, καὶ ὅσα τῶν κτηνῶν οὐκ ἀπολείπεται τῇ ταχύτητι τῶν ποδῶν. ἀλλ' ἀποδημεῖς; ἀλλ' οὐ μᾶλλον τῶν πτηνῶν. ταῦτα γὰρ εὐκολώτερον τὴν ἀποδημίαν ποιεῖται. οὐκ ἐφοδίων δεῖται, οὐδ' ὑποζυγίων, ἀλλ' ἀρκεῖ πρὸς πάντα αὐτοῖς τὸ πτερόν. τοῦτο καὶ ναῦς, τοῦτο καὶ ὑποζύγιον, τοῦτο καὶ ὄχημα, τοῦτο καὶ ἄνεμος, καὶ πᾶν ὅ,τι ἂν εἴποις. ἀλλ' ὀξὺ βλέπεις; ἀλλ' οὐχ ὡς δορκάς, οὐδὲ ὡς ἀετός. ἀλλ' ὀξὺ ἀκούεις; ἀλλ' ὁ ὄνος ὀξύτερον. ἀλλ' ὀσφραίνῃ; ἀλλ' ὁ κύων οὐκ ἀφίησί σε αὐτὸν παρελθεῖν. ἀλλὰ ποριστικὸς εἶ; ἀλλὰ τοῦ μύρμηκος ἀπολείπῃ. ἀλλὰ χρυσοφορεῖς; ἀλλ' οὐχ οὕτως, ὡς οἱ Ἰνδικοὶ μύρμηκες. ὑγείας δὲ ἕνεκεν; πολλῷ βελτίω ἡμῶν τὰ ἄλογα, καὶ εὐεξίας, καὶ τοῦ εὐπορεῖν· οὐ δέδοικεν ἔνδεια πενίαν. Ἐμβλέψατε γάρ, φησιν, εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας. οὐκοῦν, φησιν, ἡμῶν τὰ ἄλογα κρείττονα ἐδημιούργησεν ὁ Θεός; ὁρᾷς πόσον ἐστὶ τὸ ἀπερίσκεπτον; ὁρᾷς τὸ ἀνεξέταστον; ὁρᾷς, ἡ τῶν πραγμάτων ἐξέτασις ὅσον ἡμῖν χαρίζεται; ὁ πάντων ἀνθρώπων μεῖζον φρονῶν, εὑρέθη καὶ τῶν ἀλόγων ταπεινότερος. ἀλλὰ φεισώμεθα αὐτοῦ, καὶ οὐ μιμησώμεθα αὐτόν, οὐδὲ ὑπὲρ τῆς ἡμετέρας φύσεως μεῖζον ἐφρόνησε, καταγαγόντες αὐτὸν ἐπὶ τὴν τῶν ἀλόγων τάξιν ἀφήσωμεν, ἀλλ' ἀναστήσωμεν αὐτὸν ἐκεῖθεν, οὐ δι' αὐτὸν (αὐτὸς μὲν γὰρ ἄξιος τοιαῦτα παθεῖν) ἀλλ' ἵνα ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ ἡ εἰς ἡμᾶς δειχθῇ τιμή. ἔστι γάρ, ἔστιν ἐν οἷς οὐδὲν ἡμῖν κοινωνεῖ τὰ ἄλογα. ποῖα δὴ ταῦτα; εὐσέβεια, καὶ ἡ κατ' ἀρετὴν

Ματθ. ς. κς.

τὸν βίον. ἐνταῦθα οὐκ ἔχεις πόρνας εἰπεῖν, οὐδὲ μαλακοὺς, οὐδὲ ἀνδροφόνους· ἀπεσχίσμεθα γὰρ αὐτῶν. τί δὴ τοῦτό ἐστι; τὸν Θεὸν ἴσμεν, τὴν παρθένον ἐπιγινώσκομεν τὴν αὐτὴν, περὶ ἀθανασίας φιλοσοφοῦμεν. παραχωρείτω ἐνταῦθα τὰ ἄλογα. οὐκ ἀμφισβητήσει περὶ τούτων. σωφρονοῦμεν. ἐνταῦθα οὐδὲν τὰ ἄλογα κοινὸν ἔχει. πολλῶν γὰρ αὐτῶν λειπόμενοι, κρατοῦμεν αὐτῶν. ἐν τούτῳ γὰρ μείζων ἡ ἀρχὴ, ὅτι λειπόμενοι αὐτῶν, βασιλεύομεν αὐτῶν· ἵνα μάθῃς, ὅτι οὐ σὺ τούτων αἴτιος, ἀλλ' ὁ ποιήσας σε Θεὸς, καὶ λόγον χαρισάμενος. δίκτυα, θήρατρα αὐτοῖς τίθεμεν, καὶ ἐμβάλλομεν αὐτὰ, καὶ χειρούμεθα. σωφροσύνη παρ' ἡμῖν, ἐπιείκεια, πρᾳότης, χρημάτων ὑπεροψία. ἀλλ' ἐπειδὴ σὺ τῶν ἀπονενοημένων τις ὢν οὐδὲν τούτων ἔχεις, εἰκότως οὔτε τῶν ἀνθρώπων μεῖζον φρονεῖς, οὔτε καὶ τῶν ἀλόγων ταπεινότερον. τοιαύτη γὰρ ἡ ἀπόνοια, καὶ ἡ θρασύτης· ἢ ἐπαίρεται πέρα τοῦ δέοντος, ἢ ταπεινοῦται πάλιν ὁμοίως, οὐδαμοῦ τὴν συμμετρίαν φυλάττουσα. ἀγγέλων ἐσμὲν ἴσοι κατὰ τοῦτο. βασιλεία ἡμῖν ἐπήγγελται, ἡ μετὰ Χριστοῦ χορεία. ἄνθρωπος μαστίζεται, καὶ οὐχ ὑποπίπτει· ἄνθρωπος θανάτου καταφρονεῖ, οὐ τρέμει, οὐ δέδοικεν, οὐκ ἐφίεται τοῦ πλείονος. ὥστε ὅσοι μὴ τοιοῦτοί εἰσι, τῶν ἀλόγων εἰσὶ χείρους. ὅταν γὰρ ἐν μὲν τοῖς σωματικοῖς πλεονεκτῇ, τὰ δὲ ψυχικὰ πλεονεκτήματα μὴ ἔχῃς, πῶς οὐχὶ τῶν ἀλόγων εἶ χείρων; ἄγε γὰρ εἰς μέσον τινὰ τῶν ἐν κακίᾳ ἀλογωτέρων, τῶν ἐν τρυφῇ ζώντων καὶ πλεονεξίᾳ. ὁ ἵππος αὐτοῦ πολεμικώτερος, ὁ ὗς ἰσχυρότερος, ὁ λαγωὸς ταχύτερος, ὁ ταὼς ὡραιότερος, ὁ κύκνος εὐφωνότερος, ὁ ἐλέφας μείζων, ὁ ἀετὸς ὀξυδερκέστερος, πολλοὶ τῶν ὀρνίθων πλουσιώτεροι. πόθεν οὖν ἄξιος εἶ κρατεῖν τῶν ἀλόγων; ἀπὸ τοῦ λόγου; ἀλλ' οὐκ ἔστιν. ὅταν γὰρ μὴ εἰς δέον αὐτῷ κέχρησαι, πάλιν ἐκείνων χείρων εἶ. ὅταν γὰρ λόγον ἔχων ἀλογώτερος ἐκείνων ᾖς, κρεῖττον ἦν εἰ μηδὲ τὴν ἀρχὴν ἐγένου λογικός. οὐ γάρ ἐστιν ἴσον λαβόντα ἀρχὴν παραδοῦναι, καὶ παρὰ γ' ἀρχὴν μὴ λαβεῖν. ὁ βασιλεύων, καὶ τῶν δορυφόρων χείρων ὢν, κρεῖττον ἦν, εἰ μηδὲ τὴν ἁλουργίδα περιέκειτο. οὕτω δὴ καὶ ἐνταῦθα. εἰδότες οὖν, ὅτι καὶ τῶν ἀλόγων χείρους ἐσμὲν τῆς ἀρετῆς χωρὶς, ταύτην ἀσκῶμεν, ἵνα ἄνθρωποι γενώμεθα, μᾶλλον δὲ ἄγγελοι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαύσωμεν.

Λογ. η. 12 ΩΣΤΕ, ΑΓΑΠΗΤΟΙ ΜΟΥ, ΚΑΘΩΣ ΠΑΝ-
ΤΟΤΕ ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ [καὶ] νῦν πολ-
λῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν
κατεργάζεσθε. 13 Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ
τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. 14 Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ
διαλογισμῶν, 15 Ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώ-
μητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε, ὡς φω-
στῆρες ἐν κόσμῳ, 16 Λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς
ἡμέραν Χριστοῦ.

ΤΑς παραινέσεις μετὰ ἐγκωμίων δεῖ ποιεῖσθαι. οὕτω γὰρ καὶ εὐπαράδεκτοι γίνονται, ὅταν πρὸς τὸν οἰκεῖον ζῆλον καλῶμεν τοὺς παραινουμένους· ὃ δὴ καὶ Παῦλος ἐνταῦθα ἐποίησε. καὶ θέα πῶς συνετῶς. ὥστε, ἀγαπητοί μου, φησίν. οὐκ εἶπεν ἁπλῶς, ὅτι ὑπακούετε, ἀλλὰ πρότερον ἐπαινέσας καὶ εἰπὼν, καθὼς πάντοτε ὑπηκούσατε· τουτέστι, μιμεῖσθαι παρακαλῶ οὐχ ἑτέρους, ἀλλ' ὑμᾶς ἑαυτούς. μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου. διατί πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου; τότε μὲν ἴσως ἐδοκεῖτε διὰ τὴν εἰς ἐμὲ τιμὴν καὶ τὴν

αἰδῶ

αἰδοῖ πάντα ποιεῖ, νυνὶ δὲ οὐκ ἔτι. ἐὰν οὕτω δειχθῇ, ὅτι νῦν ἐπιτείνατε, δείκνυται ὅτι καὶ τότε οὐ δι᾽ ἐμέ, ἀλλὰ διὰ τὸν Θεόν. τί βούλει; εἰπέ. οὐχ ἵνα ἐμοῦ ἀκούσητε, ἀλλ᾽ ἵνα μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζησθε. οὐ γάρ ἐνι τὸν χωρὶς φόβου ζῶντα γενναῖόν τι καὶ θαυμαστὸν ἐπιδείξασθαι. καὶ οὐχ ἁπλῶς εἶπε, φόβου, ἀλλὰ προσέθηκε, καὶ τρόμου, ὅστις ἐπίτασίς ἐστι τοῦ φόβου, προσεκτικωτέρους ποιῆσαι βουλόμενος. τοῦτον
α. Κορ. θ. κζ.
εἶχε τὸν φόβον ὁ Παῦλος. διὰ τοῦτο καὶ ἔλεγε, Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. εἰ γὰρ τὰ βιωτικὰ κατορθῶσαι φόβου χωρὶς οὐκ ἔνι, πόσῳ μᾶλλον τὰ πνευματικά; εἰπὲ γάρ μοι· τίς γράμματα ἔμαθε φόβου χωρίς; τίς τέχνης ἔμπειρος γέγονε φόβου χωρίς; εἰ δὲ ἔνθα οὐκ ἐφεδρεύει ὁ διάβολος, ἀλλὰ ῥᾳθυμία μόνον ἐνοχλεῖ, τοσούτου φόβου ἡμῖν ἐδέησεν, ὥστε ῥᾳθυμίαν ἐπιστρέψαι φυσικὴν μόνον· ἔνθα τοσοῦτος ὁ πόλεμος, τοσαῦτα κωλύματα, πῶς ἔνι φόβου χωρὶς διασωθῆναί ποτε; πῶς δ᾽ ἂν ἐντεῦθεν γένοιτο ὁ φόβος; ἂν ἐννοήσωμεν, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός, ὅτι πάντα ἀκούει, ὅτι πάντα ὁρᾷ, οὐ τὰ πραττόμενα μόνον καὶ λεγόμενα, ἀλλὰ καὶ τὰ ἐν καρδίαις ἅπαντα, καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας. κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. ἂν οὕτω διαθῶμεν ἑαυτούς, οὐδὲν πονηρὸν πράξομεν, οὐδὲν ἐροῦμεν, οὐδὲν ἐννοήσομεν. εἰπὲ γάρ μοι, εἰ διαπαντὸς τοῦ ἄρχοντος πλησίον εἱστήκεις, οὐ μετὰ φόβου ἂν εἱστήκεις; καὶ πῶς Θεῷ σὺ παρεστὼς γελᾷς, καὶ ἀναπίπτεις, καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις; μὴ διὰ τῆς ἀνοχῆς αὐτοῦ καταφρόνει· πρὸς γὰρ μετάνοιάν σε ἄγων μακροθυμεῖ· μηδὲ ποιῶν τι, ἀλλὰ τοῦ νομίζειν ἐν πᾶσι παρεῖναι τὸν Θεόν, πράττειν ἀνέχου· πάρεστι γάρ. κἂν τοίνυν ἐσθίῃς, κἂν μέλλῃς καθεύδειν, κἂν ὀργίζῃ, κἂν ἁρπάζῃς, κἂν τρυφῇς, κἂν ὁτιοῦν ποιῇς, νόμιζε παρεστάναι τὸν Θεόν, καὶ οὐδέποτε εἰς γέλωτα ἐμπεσῇ, οὐδέποτε εἰς ὀργὴν ἐξαφθήσῃ. ἂν τοῦτον ἔχῃς διαπαντὸς τὸν λογισμόν, διαπαντὸς ἐν φόβῳ ἔσῃ καὶ τρόμῳ, ἅτε τοῦ βασιλέως πλησίον ἑστώς. ὁ οἰκοδόμος, κἂν ἔμπειρος ᾖ, κἂν σφόδρα ᾖ τεχνίτης, μετὰ φόβου καὶ τρόμου ἕστηκε, δεδοικὼς μὴ καταπέσῃ ἐκ τῆς οἰκοδομῆς. καὶ σὺ ἐπίστευσας, ἔπραξας ἀγαθὰ πολλά, ἀνῆλθες εἰς ὕψος· ἐν ἀσφαλείᾳ κάτεχε σαυτόν, καὶ φοβοῦ ἑστώς, καὶ τὸ ὄμμα ἔχε διεγηγερμένον, μὴ καταπέσῃς ἐκεῖθεν. πολλὰ γὰρ τὰ πνευματικὰ τῆς πονηρίας, τὰ βουλόμενά σε καθελεῖν.
Ψαλ. β. ια.
Δουλεύσατε, φησί, τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. καὶ πῶς ἔνι ἀγαλλίασις μετὰ τρόμου; αὕτη μὲν οὖν ἐστι μόνη ἀγαλλίασις. ὅταν γάρ τι ἀγαθὸν ἐργασώμεθα, καὶ τοιοῦτον, οἷον εἰκὸς τοὺς ἐν τρόμῳ τι ποιοῦντας, τότε χαίρομεν μόνον. μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. οὐκ εἶπεν, ἐργάζεσθε, ἀλλά, κατεργάζεσθε, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς, μετὰ πολλῆς τῆς ἐπιμελείας. ἐπειδὴ δὲ εἶπε, μετὰ φόβου καὶ τρόμου, καὶ ἐναγωνίους ἐποίησεν, ὅρα πῶς παραμυθεῖται τὴν ἀγωνίαν. τί γάρ φησιν; ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν. μὴ φοβοῦ, ὅτι εἶπον μετὰ φόβου καὶ τρόμου. οὐ διὰ τοῦτο εἶπον, ἵνα ἀπαγορεύσῃς, ἵνα δυσέφικτόν τι εἶναι νομίσῃς τὴν ἀρετήν, ἀλλ᾽ ἵνα προσέχῃς, ἵνα μὴ διαχέῃς σαυτόν. ἂν τοῦτο ᾖ, ὁ Θεὸς πάντα ἐργάσεται· σὺ θάρσει. ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν. εἰ τοίνυν αὐτὸς ἐνεργεῖ, ἡμᾶς δεῖ τὴν προαίρεσιν παρέχειν συγκεκροτημένην διαπαντός, ἐσφιγμένην, ἀδιάχυτον. ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν. εἰ τὸ θέλειν αὐτὸς ἡμῖν ἐνεργεῖ, πῶς ἡμῖν παρακελεύει; εἰ γὰρ καὶ τὸ θέλειν αὐτὸς ποιεῖ, εἰκῇ ἡμῖν λέγεις, ὅτι ὑπηκούσατε (οὐ γὰρ ὑπακούομεν) εἰκῇ λέγεις ἐν φόβῳ καὶ ἐν τρόμῳ. Θεοῦ γὰρ τὸ ὅλον ἐστίν. οὐ διὰ τοῦτο εἶπον, αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν, ἀλλ᾽ ἐκλῦσαι τὴν ἀγωνίαν ὑμῶν βουλόμενος. ἂν θελήσῃς, τότε ἐνεργήσει τὸ θέλειν. μὴ φοβηθῇς, καὶ οὐδὲν κάμνῃς· καὶ προθυμίαν αὐτὸς ἡμῖν δίδωσι καὶ ἐργασίαν. ὅταν γὰρ θελήσωμεν, αὔξει τὸ θέλειν ἡμῶν λοιπόν· οἷον, βούλομαι ἀγαθόν τι ἐργάσασθαι· ἐνήργησεν αὐτὸ τὸ ἀγαθόν, ἐνήργησε δὲ αὐτοῦ καὶ τὸ θέλειν. ἢ ἀπὸ πολλῆς εὐλαβείας τοῦτό φησιν. ὥσπερ ὅταν τὰ κατορθώματα

τὰ

τὰ ἡμέτερα κατορθώματα εἶναι λέγῃ. ὥσπερ οὖν λέγων αὐτὰ χαρίσματα, οὐκ ἐξωθεῖ ἡμᾶς τοῦ αὐτεξουσίου, ἀλλ' ἀφίησιν ἐν ἡμῖν τὸ αὐτεξούσιον· οὕτως ὅταν λέγῃ ἐνεργεῖν ἐν ἡμῖν τὸ θέλειν, οὐκ ἀφαιρεῖται ἡμᾶς τὸ αὐτεξούσιον, ἀλλὰ δείκνυσιν, ὅτι ἀπὸ τοῦ κατορθοῦν πολλὴν εἰς τὸ θέλειν λαμβάνομεν προθυμίαν. καθάπερ γὰρ τὸ ποιεῖν ἐκ τοῦ ποιεῖν γίνεται· οὕτως ἐκ τοῦ μὴ ποιεῖν τὸ μὴ ποιεῖν. ἔδωκας ἐλεημοσύνην; μᾶλλον παρεσκευάσθης δοῦναι. οὐκ ἔδωκας δέ; μᾶλλον ἤργησας. ἐσωφρόνησας μίαν ἡμέραν; ἔχεις προτροπὴν καὶ εἰς τὴν ἑσπέραν. ἐρραθύμησας; ἐπέτεινας τὴν ῥαθυμίαν. Ἀσεβὴς γάρ, φησιν, ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ. ὥσπερ οὖν ὅταν ἔλθῃ εἰς βάθος κακῶν καταφρονεῖ, οὕτως ὅταν ἔλθῃ εἰς βάθος ἀγαθῶν, σπουδάζει. καθάπερ γὰρ ἐκεῖνος ἀπογνοὺς ῥαθυμότερος γίνεται· οὕτως οὗτος ἰδὼν τὸ πλῆθος τῶν ἀγαθῶν, σπουδαιότερος γίνεται, δεδοικὼς μὴ τὸ πᾶν ἀπολέσῃ. Ὑπὲρ τῆς εὐδοκίας, φησί· τουτέστι, διὰ τὴν ἀγάπην, διὰ τὴν ἀρέσκειαν αὐτοῦ, ἵνα τὰ δοκοῦντα αὐτῷ γένηται, ἵνα κατὰ τὴν θέλησιν αὐτοῦ. ἐνταῦθα δείκνυσι, καὶ ποιεῖ θαῤῥεῖν, ὅτι πάντως ἐνεργεῖ. θέλει γὰρ ἡμᾶς, ὡς αὐτὸς βούλεται, ζῆν. εἰ δὲ βούλεται, πρὸς δὲ τοῦτο αὐτὸς ἐνεργεῖ, καὶ τοῦτο πάντως ἐνεργήσει. θέλει γὰρ ἡμᾶς ὀρθῶς ζῆν. ὁρᾷς πῶς οὐκ ἀφαιρεῖται τὸ αὐτεξούσιον; Πάντα ποιεῖτε, φησι, χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. ὁ διάβολος ἐπειδὰν μὴ δυνηθῇ ἡμᾶς ἀπαγαγεῖν τοῦ καλῶς ποιεῖν, ἑτέρως βούλεται ἡμᾶς κενῶσαι τῶν μισθῶν. ἢ γὰρ κενοδοξίαν, ἢ ἀπόνοιαν ἐπεισάγει, ἤ, εἰ μὴ τοῦτο, γογγυσμόν, ἤ, εἰ μηδὲν τοῦτο, διάκρισιν. ὅρα τοίνυν πῶς αὐτὰ ἐκκαθαίρει ὁ Παῦλος. εἶπε περὶ τῆς ταπεινοφροσύνης ὅσα εἶπεν, ἀναιρῶν ἀπόνοιαν· εἶπε περὶ τῆς κενοδοξίας, καταστέλλων τὸ φύσημα· καὶ ἀλλαχοῦ μὲν μὴ ἐν τῇ παρουσίᾳ μου μόνον· λέγει δὲ ἐνταῦθα περὶ τοῦ γογγυσμοῦ καὶ τοῦ διακριτικοῦ. τί δήποτε δὲ ἐπὶ μὲν τῶν Κορινθίων τοῦτο τὸ πάθος ἀναιρῶν, ἐμνημόνευσε καὶ τῶν Ἰσραηλιτῶν, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ' ἁπλῶς ἐπέταξεν; ὅτι ἐκεῖ μὲν γινόμενοι ἤδη τοῦτο ἦσαν (διὸ καὶ σφοδροτέρας ἐδέησεν αὐτῷ τῆς πληγῆς, καὶ μείζονος τῆς ἐπιτιμήσεως) ἐνταῦθα δέ, ὥστε μὴ γενέσθαι, παραινεῖ. ἐπεὶ οὖν οὐδέπω ἡμαρτηκότας, περιττὸν ἦν πλεονεκτικώτερον ἀσφαλίζεσθαι· ἐπεὶ καὶ εἰς ταπεινοφροσύνην ἐνάγων οὐ προέθηκεν ὑπόδειγμα τὸ ἐν τῷ εὐαγγελίῳ, ἔνθα οἱ ἀλαζόνες ἐκολάσθησαν, ἀλλ' ἀπὸ τοῦ Θεοῦ τὴν παραίνεσιν εἰσήγαγε, καὶ ὡς ἐλευθέροις αὐτοῖς διαλέγεται, ὡς τέκνοις γνησίοις, οὐχ ὡς οἰκέταις. ἐν γὰρ τοῖς ἀγαθοῖς ὁ μὲν εὐγνώμων καὶ εὐγενὴς ἀπὸ τῶν κατορθούντων ἐνάγεται, ὁ δὲ ἀγνώμων οὐκ ἀπὸ τούτων, ἀλλ' ἀπὸ τῶν τιμωρουμένων· ἐκεῖνος ἀπὸ τῆς τιμῆς, οὗτος ἀπὸ τῆς κολάσεως. διὰ τοῦτο καὶ Ἑβραίοις γράφων ἔλεγε, τὸν Ἡσαῦ εἰς μέσον παραγαγών, Ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια· καὶ πάλιν, Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. καὶ ἐν τοῖς Κορινθίοις δὲ πολλοὶ ἦσαν οἱ πορνεύσαντες. διὰ τοῦτο ἔλεγε, Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν. ἵνα γένησθε, φησιν, ἄμεμπτοι καὶ ἀκέραιοι, τουτέστιν, ἄληπτοι, εἰλικρινεῖς. οὐ μικρὰν γὰρ προσάπτει κηλῖδα ὁ γογγυσμός. τί δέ ἐστι, χωρὶς διαλογισμῶν; ἆρα καλόν, ἆρα οὐ καλόν; μὴ διαλογίζεσθε, φησι, κἂν πόνος ᾖ, κἂν κάματος ᾖ, κἂν ὁτιοῦν. οὐκ εἶπεν, ἵνα μὴ κολασθῆτε (κόλασις γὰρ ἀπόκειται τῷ πράγματι· καὶ τοῦτο ἐν τῇ πρὸς Κορινθίους ἐδήλωσεν ἐπιστολῇ) ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ' ἵνα γένησθε, φησιν, ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε, ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ.

Παροιμ. ιη. γ. — α. Κορ. ι. ι. — Ἑβρ. ιβ. ιϛ. καὶ ι. λη. — β. Κορ. ιβ. κα.

ΗΘΙΚΟΝ

Ὁρᾷς ὅτι παιδεύει τούτους μὴ γογγύζειν; ὥστε δούλων ἀγνωμόνων καὶ ἀμαθῶν ἐστι τὸ γογγύζειν. ποῖος γάρ, εἰπέ μοι, υἱὸς ἐν τοῖς τοῦ πατρὸς ποιῶν, καὶ ἑαυτῷ ποιῶν γογγύζει; ἐννό-

ησον,

νοσόν, φησιν, ὅτι σαυτῷ πονεῖς, ὅτι σαυτῷ συνάγεις. ἐκεῖνον ἴδωμεν δὲ γογγύζειν ἐστὶν, ὅταν ἑ-
τέροις πονῶσιν, ὅταν ἑτέροις κάμνωσιν· ὁ δὲ ἑαυτῷ συλλέγων, τίνος ἕνεκεν γογγύζει; ὅτι ὁ
πλοῦτος αὐτοῦ οὐκ αὔξεται; ἀλλ' οὐκ ἔστι τοῦτο. ὁ ἑκόντι καὶ μὴ κατ' ἀνάγκην ποιῶν, τίνος
ἕνεκεν γογγύζει; βέλτιον μηδὲν ἐργάσασθαι, ἢ μετὰ γογγυσμοῦ. ἀπόλλυται γὰρ καὶ αὐτὸ τὸ
γινόμενον. ἢ οὐχ ὁρᾷς, ὅτι καὶ ἐν ταῖς οἰκίαις ταῖς ἡμετέραις ταῦτα λέγομεν ἀεὶ, βέλτιον
ταῦτα μὴ γενέσθαι, ἢ μετὰ γογγυσμοῦ; καὶ πολλάκις εἱλόμεθα τῆς διακονίας ἀποστερηθῆναι
τῆς ἡμετέρας, ἢ γογγύζοντος ἀνασχέσθαι. δεινὸν γάρ, δεινὸν ὁ γογγυσμός· ἐγγὺς βλασφημί-
ας ἐστίν. ἐπεὶ τίνος ἕνεκεν τοσαύτην ἐκεῖνοι ἔδωκαν δίκην; ἀχαριστία δὲ τὸ πρᾶγμά ἐστιν. ὁ
γογγύζων ἀχαριστεῖ τῷ Θεῷ· ὁ δὲ ἀχαριστῶν τῷ Θεῷ, ἄρα βλάσφημος. μάλιστα μὲν
γὰρ τότε πειρασμοὶ συνεχεῖς ἦσαν, καὶ ἐπάλληλοι κίνδυνοι, οὐδεμία ἀνάπαυσις, οὐδεμία
λύσις, μυρία πάντοθεν ἐπέρρει δεινά· νῦν δὲ εἰρήνη βαθεῖα, νῦν εὐθυμία. τίνος οὖν ἕνεκεν
γογγύζεις; ὅτι πένῃ; ἀλλ' ἐννόει τὸν Ἰώβ. ἀλλ' ὅτι νοσεῖς; τί οὖν, εἰ τοσαῦτα συνειδὼς
ἀγαθὰ σαυτῷ καὶ κατορθώματα, ὅσα ὁ ἅγιος ἐκεῖνος, ἐνόσησας; ἐννόει πάλιν ἐκεῖνον, ὅτι ἐκεῖ-
νος ἐπὶ πολὺν χρόνον σκώληκας βρύων, καὶ ἐπὶ τῆς κοπρίας καθήμενος, καὶ τὸν ἰχῶρα ξέων
διετέλει. Χρόνου γάρ, φησι, πολλοῦ προβεβηκότος, εἶπε πρὸς αὐτὸν ἡ γυνή· μέχρι τί-
Ιωβ. β. θ. νος καρτερήσεις, λέγων, ἀναμένω χρόνον ἔτι μικρόν; εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τε-
λεύτα. ἀλλὰ παῖς σου ἀπέθανε; τί οὖν, εἰ πάντας ἀπέβαλες, καὶ θανάτῳ πονηρῷ, ὥσπερ
ἐκεῖνος; ἴσως γάρ, ἴσως ὅτι πολλὴν ἔχει παραμυθίαν τὸ παρακαθῆσθαι νοσοῦντι, τὸ συμβαλεῖν
στόμα, τὸ μῦσαι ὀφθαλμούς, τὸ ἅψασθαι γενειάδος, τὸ τὰ τελευταῖα ἀκοῦσαι ῥήματα. ἀλλ'
οὐδενὸς τούτων ἠξιώθη ὁ δίκαιος, ἀλλὰ πάντες ὁμοῦ κατεχώσθησαν. καὶ τί ταῦτα λέγω; εἰ
προσετάγης αὐτὸς σφάξαι τὸν υἱόν σου καὶ καταθῦσαι, καὶ καυθέντα ἰδεῖν, καθάπερ ὁ μακά-
ριος ἐκεῖνος ὁ πατριάρχης, τί ἂν ἐποίησας; ἐκεῖνος δὲ τίς ἄρα ἦν τὸ θυσιαστήριον οἰκοδομῶν,
τὰ ξύλα ἐπιτιθείς, συμποδίζων τὸ παιδίον; ἀλλ' ὀνειδίζουσί σέ τινες; τίς ἂν οὖν ἧς, εἰ
παρὰ φίλων ἐπὶ παραμυθίαν ἡκόντων ἤκουες ταῦτα; νῦν μὲν γὰρ ἁμαρτήματα ἔχομεν
πολλά, καὶ ὀνειδιζόμεθα εἰκότως· τότε δὲ ἐκεῖνος ὁ ἀληθινός, ὁ δίκαιος, ὁ θεοσεβής, ὁ ἀπε-
χόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, τὰ ἐναντία τούτων ἤκουε παρὰ τῶν φίλων. τί
Ιωβ. β. θ. δέ, εἰπέ μοι, εἰ τῆς γυναικὸς ὀνειδιζούσης ἤκουες λεγούσης, Ἐγὼ πλανῆτις καὶ λάτρις, τό-
πον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας περιερχομένη, προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ ἀνα-
παύσομαι τῶν περιεχουσῶν με ὀδυνῶν; τίνος ἕνεκεν ταῦτα λέγεις, ὦ ἀνόητε; μὴ γὰρ ὁ ἀνήρ
σοι τούτων αἴτιος; οὐχ οὗτος, ἀλλ' ὁ διάβολος. εἰπόν τι ῥῆμα πρὸς Κύριον, φησί, καὶ τελεύ-
τα. εἶτα ἂν ὁ κείμενος εἴπῃ καὶ τελευτήσῃ, σὺ ῥάων γέγονας; οὐκ ἔστι νόσος ἐκείνης χα-
λεπωτέρα, κἂν μυριάκις εἴπῃς. τοιαύτη ἦν, ὡς μηδὲ ἐν οἰκίᾳ, καὶ ὑπωρόφιον εἶναι
δύνασθαι· τοιαύτη ἦν, ὡς πάντας ἀπαγορεύειν. οὐ γὰρ δή, εἰ μὴ ἀνίατα ἐνόσησεν, ἔξω τῆς
πόλεως ἐκάθητο, τῶν ἐλεφαντιῶντι κατεχομένων χείρων ὤν. οὗτοι μὲν γὰρ καὶ εἰς οἰκίας εἰσί-
ασι, καὶ συναγελάζονται ἀλλήλοις· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἐπὶ τῆς κοπρίας γυ-
μνός, οὐδὲ ἱμάτιον περιβαλέσθαι ἠδύνατο. πῶς γάρ; ἴσως δὲ καὶ προσετίθη ἄλγος
Ιωβ. ζ. ε. ταῖς ἀλγηδόσι. Τήκω γὰρ βώλακας γῆς, φησίν, ἀπὸ ἰχῶρος ξέων. ἰχῶρας αὐτοῦ αἱ σάρκες
καὶ σκώληκας ἔτικτον, καὶ τοῦτο διηνεκῶς. ὁρᾷς πῶς ἕκαστος ὑμῶν ναρκᾷ ταῦτα ἀκούων;
εἰ δὲ ἀκοῦσαι οὐκ ἀνεκτὰ ταῦτα, ἰδεῖν ἀνεκτά; εἰ δὲ ἰδεῖν οὐκ ἀνεκτά, πολλῷ μᾶλλον
παθεῖν. ἀλλ' ὅμως ἔπαθεν ὁ δίκαιος, καὶ οὐκ ἐπὶ δύο ἡμέρας, ἢ τρεῖς, ἀλλ' ἐπὶ χρόνῳ πολλῷ,
καὶ οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ. ποίαν ἔχεις μοι τοιαύτην νόσον εἰπεῖν, ὀδύνας
ἐχούσας πολλάς; πηρώσεως γὰρ οὐ χεῖρον τοῦτο ἦν; Βρόμον γὰρ ὁρῶ, φησί, τὰ σῖτά μου. καὶ
Ιωβ. ς. ζ. οὐδὲ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὃ τοῖς ἄλλοις ἀνάπαυσίς ἐστιν ἡ νὺξ καὶ ὁ ὕπνος, τοῦτο ἐκείνῳ
παραμυθίαν τινὰ ἔφερεν, ἀλλὰ χαλεπωτέρα ἦν πάσης βασάνου. καὶ ἄκουε αὐτοῦ λέγοντος·

Ἵνα τί με φοβεῖς ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις; ἐὰν ἥμαρτον περὶ σέ, λέγω, πάντε ἑκούσια; καὶ τοιαῦτα πάσχων οὐκ ἐγόγγυσεν. οὐ τοῦτο δὲ μόνον ἦν τὸ δεινόν, ἀλλὰ καὶ ἡ παρὰ τῶν πολλῶν πονηρὰ δόξα. ὡς γὰρ μυρίων ἔνοχον κακῶν εἶχον λοιπόν, ἀφ' ὧν ἔπασχε. ταῦτα γοῦν καὶ οἱ φίλοι αὐτοῦ ἔλεγον, οὐκ ἄξια ὧν ἥμαρτες μεμαστίγωσαι. διὸ καὶ αὐτὸς ἔλεγε· Καὶ νουθετοῦσί με ἐλάχιστοι, οὓς οὐκ ἀξίους ἡγησάμην κυνῶν τῶν ἐμῶν νομάδων. πόσων τοῦτο θανάτων οὐ χεῖρον; ἀλλὰ τοσούτῳ κλύδωνι πάντοθεν βαλλόμενος, καὶ πάντοθεν ἀνερριμμένου τοῦ χειμῶνος χαλεποῦ, συννεφείας, ζάλης, σκηπτῶν, ἰλίγγων, στροβίλων, ἔμενεν αὐτὸς ἀκλινής, καθάπερ ἐν γαλήνῃ καθήμενος τῷ κλύδωνι ἐν τοσούτῳ, τῷ οὕτω χαλεπῷ, καὶ οὐκ ἐγόγγυσε. καὶ ταῦτα πρὸ τῆς χάριτος, πρὶν ἢ περὶ ἀναστάσεώς τι λεχθῆναι, πρὶν ἢ περὶ γεέννης καὶ κολάσεως καὶ τιμωρίας. ἡμεῖς δὲ καὶ προφητῶν, καὶ ἀποστόλων, καὶ εὐαγγελιστῶν ἀκούοντες, τὰ μυρία ὁρῶντες παραδείγματα, καὶ τὸν περὶ ἀναστάσεως μαθόντες λόγον, ἀσχαλλόμεθα ἔτι, καίτοι οὐδεὶς ἂν ἔχοι λέγειν ἑαυτῷ τοσαῦτα συμπεπτωκότα. Εἰ γὰρ τὰ χρήματά τις ἀπώλεσεν, ἀλλ' οὐ παῖδας καὶ θυγατέρας τοσαύτας, καὶ εἰ ἀπώλεσεν, ἴσως ἀμέμπτων· ἐκεῖνος δὲ ἐξαίφνης ἐν μέσαις ταῖς θυσίαις, ἐν μέσῃ τῇ θεραπείᾳ τῇ πρὸς τὸν Θεόν. καὶ εἰ παῖδας καὶ χρήματα ὁμοῦ τοσαῦτα, ὅπερ ἀδύνατον, ἀλλ' οὐχὶ καὶ ἡλκωμένον διὰ παντός, καὶ ἰχῶρας ἔζεεν. εἰ δὲ καὶ τοῦτο, ἀλλ' οὐχὶ τοὺς ἐπεμβαίνοντας εἶχε καὶ ὀνειδίζοντας· ὅπερ μάλιστα πάντων δάκνειν ἡμᾶς εἴωθεν, ἢ αἱ συμφοραί. εἰ γὰρ τοὺς παρακαλοῦντας ἔχοντες ἐν τοῖς κακοῖς καὶ παραμυθουμένους καὶ ἐλπίδας ἡμῖν ὑποτείνοντας χρηστάς, οὕτως ἀλγοῦμεν, ἐννόησον τί ἦν ὀνειδίζοντας ἔχειν. Εἰ δὲ, Ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ Ψαλ. ξη κα.
ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον, ἄδικον καὶ ἀφόρητον, τὸ ἀντὶ τῶν παρακαλούντων ὀνειδίζοντας εὑρεῖν πόσον κακόν; Παρακλήτορες, φησί, κακῶν πάντες. Ιωβ ις β.
εἰ ταῦτα διαπαντὸς ἐστρεφόμεθα, εἰ ταῦτα ἐλογιζόμεθα, οὐκ ἂν ἡμᾶς ἐλύπησέ τι τῶν παρόντων, εἰς ἐκεῖνον ὁρῶντας τὸν ἀθλητήν, εἰς τὴν ἀδαμαντίνην ψυχήν, εἰς τὴν ἄρραγῆ καὶ χάλκεον διάνοιαν. ὥσπερ γὰρ χαλκοῦ ἢ λίθου περικείμενος σῶμα, αὐτὸς ἅπαντα ἔφερε γενναίως καὶ καρτερικῶς. ταῦτα ἐννοοῦντες, πάντα ποιῶμεν χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. ποιεῖς τι ἀγαθόν, καὶ γογγύζεις; διὰ τί; ἀνάγκη γάρ σοι ἐπίκειται; οἶδα, φησίν, ὅτι πολλοὶ πλησίον ἀναγκάζουσιν ὑμᾶς γογγύζειν. τοῦτο γὰρ ἠνίξατο εἰπών, τό, Ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης. ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστόν, τὸ καὶ παροξυνόμενον μηδὲν πάσχειν τοιοῦτον. καὶ γὰρ οἱ ἀστέρες ἐν νυκτὶ λάμπουσιν, ἐν σκότῳ φαίνουσι, καὶ οὐδὲν εἰς τὸ οἰκεῖον παραβλάπτονται κάλλος, ἀλλὰ καὶ λαμπρότεροι φαίνονται· ὅταν δὲ φῶς ᾖ, οὐχ οὕτω φαίνονται· οὕτω καὶ σύ, ὅταν μετὰ σκολιῶν ᾖς, εὐθὺς ὤν, μᾶλλον ἐκλάμπεις· τὸ θαυμαστὸν τοῦτό ἐστι, τὸ ἀμέμπτους γενέσθαι. ἵνα γὰρ μὴ τοῦτο λέγωσι, προλαβὼν αὐτὸς τοῦτο τέθεικε. Τί ἐστι, λόγον ζωῆς ἐπέχοντες; τουτέστι, μέλλοντες ζῆσαι, τῶν σωζομένων ὄντες. ὅρα πῶς εὐθέως τίθησι τὰ ἔπαθλα. οἱ φωστῆρες, φησί, λόγον φωτὸς ἐπέχουσιν· ὑμεῖς λόγον ζωῆς. Τί ἐστι, λόγον ζωῆς; σπέρμα ζωῆς ἔχοντες, τουτέστιν, ἐνέχυρα ζωῆς ἔχοντες, αὐτὴν κατέχοντες τὴν ζωήν, τουτέστι, σπέρμα ζωῆς ἐν ὑμῖν ἔχοντες, τοῦτο λέγει λόγον ζωῆς. ἄρα οὖν οἱ ἄλλοι πάντες νεκροί. τοῦτο γὰρ εἰπὼν οὕτως ἐδήλωσεν. ἢ γὰρ ἂν καὶ οἱ ἄλλοι λόγον ζωῆς ἐπεῖχον. Εἰς καύχημα ἐμοί, φησί. Τί ἐστι τοῦτο; καὶ ἐγὼ κοινωνῶ, φησί, τῶν ὑμετέρων ἀγαθῶν. τοσαύτη ὑμῶν ἡ ἀρετή, ὡς μὴ ὑμᾶς σώζειν μόνον, ἀλλὰ καὶ ἐμὲ λαμπρὸν ποιεῖν. ποῖον καύχημα, ὦ μακάριε Παῦλε; μαστίζῃ, ἐλαύνῃ, ὑβρίζῃ δι' ἡμᾶς. διὰ τοῦτό φησιν, Εἰς ἡμέραν Χριστοῦ, Ὅτι οὐκ εἰς κενόν, φησίν, ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα·

Ἀλλ' ἀεὶ ἔχω καυχᾶσθαι, φησίν, ὅτι οὐ μάτην ἔδραμον.

17 Ἀλλ' εἰ καὶ σπένδομαι. Οὐκ εἶπεν, ἀλλ' εἰ καὶ ἀποθνήσκω, ὥσπερ οὐδὲ Τιμοθέῳ γράφων. καὶ γὰρ τὸ ἐκεῖ τῷ αὐτῷ κέχρηται λόγῳ λέγων, Ἐγὼ γὰρ ἤδη σπένδο- β. Τιμ. δ. ς.

Ιωβ ζ ιδ. · Ιωβ ια. · Ιωβ λ. α.

μένη. καὶ παραμυθούμενος αὐτοὺς ἐπὶ τῇ οἰκείᾳ τελευτῇ, καὶ παιδεύων ἀσμένως φέρειν τὸν ὑπὲρ Χριστοῦ θάνατον, ὥσπερ σπονδὴ καὶ θυσία, φησί, γινομένη. ὢ μακαρίας ψυχῆς, θυσίαν καλεῖ τὴν προσαγωγὴν αὐτῶν. ἄρα πολλῷ βέλτιον τοῦ βοῦς προσενεγκεῖν τὸ ψυχὴν προσενεγκεῖν. αἰ τοίνυν πρὸς τῇ προσφορᾷ ταύτῃ καὶ ἐμαυτὸν ἐπιδῶ, φησίν, ὥσπερ σπονδήν, χαίρω, φησί, τῷ θανάτῳ τῷ ἐμῷ. τοῦτο γὰρ αἰνίττεται λέγων· Ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως χαίρω, καὶ συγχαίρω πᾶσιν ὑμῖν.

18 Τὸ αὐτὸ δὲ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. Τί συγχαίρεις; ὁρᾷς πῶς δείκνυσιν ὅτι δεῖ χαίρειν αὐτούς; χαίρω μὲν οὖν, φησίν, ὅτι σπονδὴ γίνομαι· συγχαίρω δέ, ὅτι θυσίαν προσενεγκών. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετε, ὅτι προσηνέχθην. συγχαίρετέ μοι, φησί, χαίροντι ἐπὶ τῷ ἐμῷ θανάτῳ. οὐκ ἄρα δακρύων ἀξία ἡ τελευτὴ τῶν δικαίων, ἀλλὰ χαρᾶς. εἰ αὐτοὶ χαίρουσι, συγχαίρειν αὐτοῖς δεῖ. καὶ γὰρ ἄτοπον, ἐκείνων χαιρόντων, κλαίειν ἡμᾶς. ἀλλὰ τὴν συνήθειαν ἐπιζητοῦμεν, φησί. σκῆψις ταῦτα, καὶ πρόφασις. ὅρα γοῦν τί παραγγέλλει Φιλιππησίοις, συγχαίρετέ μοι καὶ χαίρετε· καὶ σὺ συνήθειαν ἐπιζητεῖς; εἰ μὲν ἔμελλες αὐτὸς ἐνταῦθα μένειν, εἰκότως λέγεις· εἰ δὲ μικρὸν ὕστερον καταλήψῃ τὸν ἀπελθόντα, ποίαν συνήθειαν ζητεῖς; συνήθειαν γὰρ ἐπιζητεῖ τις, ὅταν διαπαντὸς ᾖ τις διεσπασμένος. εἰ δὲ τὴν αὐτὴν ὁδόν σοι πορεύσεται, ποίαν συνήθειαν ἐπιζητεῖς; τοῦτο ἐν ἀποδημίας οὖσι διατί μὴ δακρύομεν; οὐχὶ μικρὸν δακρύσαντες, εὐθέως μετὰ τὴν πρώτην ἢ δευτέραν παυόμεθα; εἰ συνήθειαν ἐπιζητεῖς, τοσοῦτον κλαῦσον μόνον, ὅσον ἐπιδεῖξαι τὴν φύσιν. τὸ δὲ μετὰ τοῦτο χαῖρε, καθάπερ λέγων ὁ Παῦλος, οὐδὲν πάσχω δεινόν, ἀλλὰ καὶ χαίρω πρὸς τὸν Χριστὸν ἀπερχόμενος· καὶ ὑμεῖς χαίρετε. συγχαίρετέ μοι, φησί. χαίρωμεν τοιγαροῦν καὶ ἡμεῖς, ὅταν ἴδωμεν δικαίους τελειωθέντας, μᾶλλον δὲ καὶ ὅταν τινὰ τῶν ἁπηγορευμένων. ὁ μὲν γὰρ ἀπέδοθη μισθὸν ἀπολήψόμενος τῶν πόνων, ὁ δὲ ἐξέκοψέ τι τῶν ἁμαρτημάτων αὐτοῦ. ἀλλ' ἴσως ἄν, φησί, μετεβάλετο ζῶν. ἀλλ' οὐκ ἂν αὐτὸν ἔλαβεν ὁ Θεός, εἴγε μεταβαλέσθαι ἔμελλεν. ὁ γὰρ πάντα ὑπὲρ σωτηρίας ἡμῶν οἰκονομῶν, τίνος ἕνεκεν αὐτὸν οὐκ εἴασι μέλλοντα εὐαρεστεῖν; εἰ τοὺς μὴ μεταβαλλομένους ἀφίησι, πολλῷ μᾶλλον τοὺς μεταβαλλομένους. πανταχόθεν οὖν ἡμῖν ὁ κοπετὸς ἐκκεκόφθω, πανταχόθεν ὁ θρῆνος λυέσθω· ἐπὶ πᾶσιν εὐχαριστῶμεν τῷ Θεῷ, χωρὶς γογγυσμῶν πάντα ποιῶμεν· εὐφραινώμεθα, εὐάρεστοι ἐν πᾶσιν αὐτῷ γινώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. θ. 19 ΕΛΠΙΖΩ ΔΕ ΕΝ ΚΥΡΙΩ ΙΗΣΟΥ ΤΙΜΟΘΕΟΝ ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. 20 Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. 21 Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ.

Φιλιπ. α. ιϛ. καὶ β. ιζ. Εἶπεν, ὅτι τὰ κατ' ἐμὲ εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ· εἶπεν, ὅτι εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν· ἐπέδειξεν αὐτοὺς διὰ τούτων. ἴσως ἂν ὑπώπτευσαν τὰ πρότερα παραμυθίας ἕνεκεν εἰρῆσθαι. τί οὖν ποιεῖ, καὶ πῶς λύει τὴν ὑποψίαν; Τιμόθεον πέμπω πρὸς ὑμᾶς, φησί. καὶ γὰρ ἐπόθουν πάντα ἀκοῦσαι τὰ κατ' αὐτόν. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἵνα γνῶτε τὰ περὶ ἐμοῦ, ἀλλ', ἵνα γνῶ τὰ ὑμέτερα; τὰ μὲν γὰρ αὐτοῦ Ἐπαφρόδιτος ἔμελλεν ἀπαγγέλλειν. διὸ

Φιλιπ. β. κε. πρότερόν φησιν, Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν πέμψαι πρὸς ὑμᾶς. τὰ δὲ

ὑμέτερα

ὑμέτερα βούλομαι, φησὶ, μαθεῖν. πολὺν γὰρ εἰκὸς αὐτὸν πεποιηκέναι χρόνον παρὰ τῷ Παύλῳ διὰ τὴν ἀσθένειαν τὴν σωματικήν. ὥστε ἀναγκαίως βούλομαι, φησὶ, μαθεῖν τὰ καθ' ὑμᾶς. ὅρα πῶς πάντα ἀνατίθησι τῷ Χριστῷ, καὶ τὴν ἀποστολὴν τοῦ Τιμοθέου, λέγων, Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, τουτέστι, θαῤῥῶ, ὅτι ἐξευμαρίσει μοι ὁ Θεὸς τοῦτο, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. ὥσπερ ὑμᾶς, φησὶν, ἀνεκτησάμην ταῦτα ἀκούσαντας, ἅπερ ηὔχεσθε περὶ ἐμοῦ, ὅτι τὸ εὐαγγέλιον ἐπιδίδωκεν, ὅτι κατῃσχύνθησαν ἐκεῖνοι, ὅτι δι' ὧν ἐνόμιζον βλάπτειν, διὰ τούτων εὐφραίνω· οὕτω βούλομαι καὶ τὰ καθ' ὑμᾶς μαθεῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. δεικνύει ἐνταῦθα, ὅτι ἐκείνους χαίρειν ἔδει ἐπὶ τοῖς δεσμοῖς, καὶ τούτοις κατακολουθεῖν. πολλὴν γὰρ ἔτικτον αὐτῷ τὴν ἡδονήν. τὸ γὰρ, ἵνα κἀγὼ εὐψυχῶ, τοῦτό ἐστιν, ὥσπερ ὑμεῖς. βαβαὶ, πόσον εἶχε τῆς Μακεδονίας πόθον; καὶ Θεσσαλονικεῦσι δὲ αὐτὸ μαρτυρεῖ, ὡς ὅταν λέγῃ, Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν α. Θεσ. ϐ. ιζ.
πρὸς καιρὸν ὥρας· καὶ ἐνταῦθα, Ἐλπίζω, φησὶ, πέμψαι Τιμόθεον, ἵνα γνῶ τὰ περὶ ὑμῶν, ὃ κηδεμονίας ἦν μεγίστης. ὅτε γὰρ αὐτὸς οὐκ ἐδύνατο παραγενέσθαι, τοὺς μαθητὰς ἔπεμπε, μὴ καρτερῶν μηδὲ ὀλίγον χρόνον ἀγνοεῖν τὰ κατ' αὐτούς. οὐ γὰρ δὴ τῷ πνεύματι πάντα ἐμάνθανε· καὶ τοῦτο δὲ εἰκότως ἐγίνετο. εἰ γὰρ τοῦτο ἐπείσθησαν οἱ μαθηταὶ, ἀναίσχυντοι ἂν ἐγένοντο· νῦν δὲ προσδοκῶντες λανθάνειν, κἂν ἐπηνωρθώσαντο. καὶ τούτῳ αὐτοὺς μάλιστα ἐπέστρεψε, τῷ εἰπεῖν, ἵνα κἀγὼ εὐψυχῶ, καὶ σπουδαιοτέρους αὐτοὺς ἐποίησεν, ὥστε μὴ ἐλθόντα Τιμόθεον ἄλλα τινὰ εὑρεῖν, καὶ ἀπαγγεῖλαι αὐτῷ. φαίνεται δὲ καὶ αὐτὸς τούτῳ κεχρημένος τῷ τρόπῳ, καὶ ἀναβαλλόμενος αὐτοῦ τὴν παρουσίαν, ὥστε μεταβαλέσθαι Κορινθίους. διὰ τοῦτο καὶ ἔγραφε· Φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον. οὐ γὰρ τούτῳ μόνον ἡ ἀγάπη δείκνυται, τῷ τὰ οἰκεῖα ἀπαγγέλλειν, ἀλλὰ καὶ τῷ τὰ ἐκείνων ζητεῖν μαθεῖν. μεριμνώσης γὰρ τοῦτο ψυχῆς καὶ πεφροντισμένης καὶ ἀεὶ ἐναγωνίου οὔσης. ἅμα δὲ καὶ τιμᾷ αὐτοὺς, Τιμόθεον πέμπων. τί λέγεις; Τιμόθεον πέμπεις; τί δήποτε; ναὶ, φησίν. οὐδένα γὰρ ἔχω ἰσόψυχον, τουτέστι, τὸν ὁμοίως μοι μεριμνῶντα, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. οὐδένα οὖν οὐκ εἶχε τῶν μετ' αὐτοῦ ἰσόψυχον; οὐδένα. τί δὲ τοῦτό ἐστι; αὐτὶ τοῦ, ὁμοίως ἐμοὶ κηδόμενον ὑμῶν καὶ φροντίζοντα. οὐκ ἂν τις εὐκόλως ἕλοιτο, φησὶ, ταύτης ἕνεκεν τῆς αἰτίας ὁδοιπορίαν τοσαύτην ποιήσασθαι. ὁ φιλῶν ὑμᾶς μετ' ἐμοῦ, Τιμόθεός ἐστιν. ἐνῆν μὲν γὰρ καὶ ἄλλους πέμψαι, ἀλλ' οὐδεὶς τοιοῦτός ἐστιν. ἄρα τοῦτο ἰσοψύχου ἐστὶ, τὸ τοὺς μαθητευομένους αὐτῷ ὁμοίως φιλεῖν. ὅστις, φησὶ, γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· τουτέστι, πατρικῶς. οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ· τουτέστι, τὴν οἰκείαν ἀνάπαυσιν καὶ τὸ ἐν ἀσφαλείᾳ εἶναι. τοῦτο καὶ Τιμοθέῳ γράφων λέγει. τί δήποτε δὲ ἀποδύρεται ταῦτα; παιδεύων ἡμᾶς τοὺς ἀκούοντας μὴ τοῖς αὐτοῖς περιπεσεῖν, παιδεύων τοὺς ἀκούοντας μὴ ζητεῖν ἄνεσιν. ὁ γὰρ ἄνεσιν ζητῶν, οὐ ζητεῖ τὰ Χριστοῦ, ἀλλὰ τὰ ἑαυτοῦ. δεῖ γὰρ παρεσκευάσθαι πρὸς πάντα πόνον, πρὸς πᾶσαν ταλαιπωρίαν.

22 Τὴν δὲ δοκιμὴν αὐτοῦ, φησὶ, γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. Καὶ ὅτι οὐχ ἁπλῶς λέγω, ὑμεῖς, φησὶν, αὐτοὶ ἐπίστασθε, ὅτι, ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. παρατίθεται ἐνταῦθα τὸν Τιμόθεον, εἰκότως, ὥστε πολλῆς ἀπολαῦσαι παρ' αὐτῶν τιμῆς. τοῦτο καὶ πρὸς Κορινθίους ἐπιστέλλων ποιεῖ λέγων, Μή τις αὐτὸν καταφρονήσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς καὶ ἐγώ· οὐκ ἐκείνου κηδόμενος, ἀλλὰ τῶν δεχομένων αὐτὸν, ὥστε πολὺν ἀπενέγκασθαι τὸν μισθόν. α. Κορ. ις. ι.

23 Τοῦτον μὲν οὖν, φησὶν, ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ, ἐξ αὐτῆς. Τουτέστιν, ὅταν ἴδω ἐν τίνι ἕστηκα, καὶ ποῖον ἕξει τέλος τὰ κατ' ἐμέ.

24 Πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι πρὸς ὑμᾶς. Οὐ διὰ τοῦτο πέμπω αὐτὸν, ὡς μὴ ἐλευσόμενος, ἀλλ' ἵνα εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν, ἵνα μηδὲ τὸν ἐν

τὸν μεταξὺ χρόνον ὦσιν ἐν ἀγωνίᾳ. πέποιθα δὲ ἐν Κυρίῳ, φησί· τουτέστιν, ἐὰν ὁ Θεὸς βούληται. ὅρα πῶς πάντα ἐξαρτᾷ τοῦ Θεοῦ, καὶ οὐδὲν ἐξ οἰκείας φθέγγεται διανοίας.

25 Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου.

Καὶ τοῦτον πάλιν μετ᾽ ἐγκωμίων τῶν αὐτῶν, ὧν καὶ τὸν Τιμόθεον, ἀποστέλλει. ἐκεῖνον γὰρ ἀπὸ δύο τούτων συνέστησεν, ὅτι τε αὐτὸν ἀγαπᾷ, εἰπὼν, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει, καὶ ὅτι ἐν τῷ εὐαγγελίῳ ηὐδοκίμησε· καὶ τοῦτον ἀπὸ τῶν αὐτῶν πάλιν διὰ τὴν αὐτὴν αἰτίαν, ἣν καὶ ἐκεῖνον, ἐπῄνεσε. πῶς; τὸ γὰρ εἰπεῖν ἀδελφὸν, καὶ συνεργὸν, καὶ μὴ μέχρι τούτου μόνον στῆναι, ἀλλὰ καὶ συστρατιώτην προσθεῖναι, δεικνύντος ἐστὶ τὴν πολλὴν αὐτοῦ κοινωνίαν τὴν ἐν τοῖς κινδύνοις, καὶ τὰ αὐτὰ αὐτῷ μαρτυροῦντος, ἅπερ καὶ ἑαυτῷ. τὸ δὲ συστρατιώτην, πλέον ἐστὶ τοῦ, συνεργόν. ἴσως γάρ τις ἐν μὲν ψιλοῖς πράγμασι συνήργησεν, ἐν δὲ πολέμῳ καὶ κινδύνοις οὐκέτι. διὸ εἰπεῖν, συστρατιώτην, καὶ τοῦτο ἐδήλωσεν. Ὑμῶν δέ, φησιν, ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου πέμψαι πρὸς ὑμᾶς. Τουτέστι, τὰ ἡμέτερα ὑμῖν ἀπαγγέλλοντα, ἤτοι τὸν ὑμέτερον ὑμῖν πεμπόμενον, ἢ τὸν ὑμᾶς διδάσκοντα. πάλιν πολλὰ περὶ τῆς ἀγάπης αὐτοῦ προστίθησι λέγων·

26 Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε, ὅτι ἠσθένησε.

27 Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου· ἀλλ᾽ ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. Ἐνταῦθα δὲ καὶ ἕτερον κατασκευάζει, δηλῶν ὅτι καὶ αὐτὸς σφόδρα οἶδε, φησιν, ὅτι ἀγαπᾶται παρ᾽ ὑμῶν. οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ φίλτρον ἐπισπάσασθαι. πῶς; ἠσθένησέ, φησι, καὶ ἤλγησεν· ὑγίανε, καὶ ἀπήλλαξεν ἡμᾶς τῆς λύπης, ἣν εἴχετε διὰ τὴν ἀσθένειαν αὐτοῦ. οὐ μὴν οὐδὲ οὕτως ἔξω λύπης ἦν, ἀλλ᾽ ἤλγει, διότι ὑγιάνας οὐκ εἶδεν ὑμᾶς. ἐνταῦθα καὶ ἄλλο κατασκευάζει ἀπολογούμενος ὅτι διὰ χρόνου πέμπει πρὸς αὐτὸν, οὐ διὰ ῥαθυμίαν, φησίν, ἀλλὰ τὸν μὲν Τιμόθεον, διὰ τὸ μηδένα ἔχειν, καθὼς εἶχον (οὐκ ἔχω γάρ, φησιν, ἰσόψυχον) τὸν δὲ Ἐπαφρόδιτον διὰ τὴν ἀσθένειαν. εἶτα δείκνυσιν, ὅτι μακρὰ αὐτὴ γέγονε, καὶ πολὺν χρόνον ἀνάλωσε, φησι· καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου. ὁρᾷς ὅσην ποιεῖται Παῦλος σπουδὴν ὑπὲρ τοῦ πᾶσαν ῥαθυμίας καὶ ὀλιγωρίας πρόφασιν ἐκκόψαι ἐκ τῆς τῶν μαθητῶν διανοίας, καὶ μὴ ὑποπτευθῆναι, ὅτι καταφρονῶν αὐτῶν οὐκ ἦλθεν; οὐδὲν γὰρ οὕτω τὸν μαθητὴν ἐπαγαγέσθαι δυνήσεται, ὡς τὸ πεπεῖσθαι καὶ ὅτι φροντίζει αὐτοῦ ὁ προεστὼς, καὶ ὅτι ἀδημονεῖ ὑπὲρ αὐτοῦ, ὅπερ ὑπερβαλλούσης ἀγάπης ἐστίν. ἠκούσατέ, φησιν, ὅτι ἠσθένησε. καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου. καὶ ὅτι οὐ προφασίζομαι, ἀκούσατε. ἀλλ᾽ ὁ Θεὸς αὐτὸν ἠλέησε. τί λέγεις, ὦ αἱρετικέ; ἐνταῦθα ἔλεόν φησι τοῦ Θεοῦ εἶναι, τὸ τὸν μέλλοντα ἀπιέναι κατέχειν καὶ * ὑποστρέψαι πάλιν. καὶ μὴν εἰ πονηρὸς ὁ κόσμος, οὐκ ἔλεος τοσοῦτον ἐστὶ τὸ ἐν τῷ πονηρῷ ἀφιέναι. ἀλλὰ πρὸς μὲν τὸν αἱρετικὸν εὔκολον εἰπεῖν, πρὸς δὲ τὸν χρήσιμόν τι ἐρόμενον; καὶ γὰρ ὁ αὐτὸς ἀμφισβητήσειεν ἴσως, καὶ ἐρεῖ, εἰ τὸ ἀναλῦσαι σὺν Χριστῷ, πολλῷ μᾶλλον κρεῖσσον, τίνος ἕνεκεν φησιν αὐτὸν ἐλεεῖσθαι; ἐγὼ δὲ μᾶλλον ἐρήσομαι, τίνος ἕνεκεν ὁ αὐτός φησιν ἀναγκαιότερον εἶναι τὸ ἐπιμεῖναι δι᾽ ὑμᾶς; ὥσπερ γὰρ αὐτῷ ἀναγκαῖον ἦν ἐκεῖνο, οὕτω καὶ τοῦτο μετὰ πλείονος πλούτου καὶ μείζονος παρρησίας μέλλοντι πρὸς τὸν Θεὸν ἀπιέναι. ἐκεῖνο μὲν γὰρ κἂν μὴ νῦν ἐγένετο, ὕστερον ἔμελλε· τὸ δὲ κερδῆσαι ψυχὰς οὐκ ἔνι λοιπὸν ἀπελθόντας ἐκεῖ. τὰ πολλὰ καὶ κατὰ τὴν κοινὴν συνήθειαν τῶν ἀκουόντων ὁ Παῦλος φθέγγεται, καὶ οὐ πανταχοῦ φιλοσοφεῖ. πρὸς γὰρ ἀνθρώπους κοσμικοὺς ὁ λόγος ἦν αὐτῷ, δεδοικότας ἔτι τὸν θάνατον. εἶτα δείκνυσιν ἐν ὅσῳ λόγῳ ἐστὶν αὐτῷ ὁ Ἐπαφρόδιτος, καὶ ἀπὸ τούτου αἰδέσιμον αὐτὸν ποιῶν, εἴγε τὴν ἐκείνου σωτηρίαν οὕτω χρησίμην ἑαυτῷ φησιν εἶναι, ὡς ἠλεῆσθαι καὶ αὐτὸν δι᾽ ἐκείνου. ἄλλως δὲ, καὶ χωρὶς τούτου καλὸν ἡ παροῦσα ζωή· ἐπεὶ εἰ μὴ καλὸν, διατί ἐν τάξει τιμωρίας τίθησι τοὺς

α. Κορ. ια λ. ἀώρους θανάτους; ὡς ὅταν λέγῃ, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί.

ἰσχυροί. ἡ μὲν γὰρ μέλλουσα ζωὴ οὐχὶ πονηροῦ κρείττων (ἐπεὶ οὐκ ἀγαθή) ἀλλὰ καλοῦ κρείττων. ἵνα μὴ λύπην, φησὶν, ἐπὶ λύπῃ σχῶ, τὴν ἀπὸ τῆς τελευτῆς ἐπὶ τῇ διὰ τὴν ἀρρωστίαν γενομένῃ αὐτῷ. διὰ τούτων δείκνυσιν, ὅσου τιμᾶται τὸν Ἐπαφρόδιτον.

28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν. Τί ἐστι, σπουδαιοτέρως; τουτέστιν, ἀνυπερθέτως, χωρὶς μελλήσεως, μετὰ πολλοῦ τοῦ τάχους, κελεύσας πάντα ὑπερθέμενον ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τῆς ἀδημονίας ἀπαλλαγῆτε. οὐ γὰρ οὕτω τοὺς ποθουμένους ἀκούοντες ἐν ὑγείᾳ ὄντας χαίρομεν, ὡς ὅταν ἴδωμεν, καὶ μάλιστα, ὅταν παρὰ τὰς ἐλπίδας ἐκβῇ τὸ πρᾶγμα· ὅπερ ἐπὶ Ἐπαφροδίτου τότε γέγονε.

28 Σπουδαιοτέρως οὖν, φησιν, ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ. Πῶς ἀλυπότερος; ὅτι ἐὰν ὑμεῖς χαίρητε, κἀγὼ χαίρω, καὶ τοῦτο χαίρω ἐπὶ τοιαύτῃ ἡδονῇ, καὶ ἐγὼ ἀλυπότερος ἔσομαι. καὶ οὐκ εἶπεν, ἄλυπος, ἀλλ', ἀλυπότερος, δεικνὺς ὅτι οὐδέποτε ἡ ψυχὴ αὐτοῦ ἦν λύπης ἐκτός. ὁ γὰρ λέγων, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; [β. Κορ. ια. κθ.] τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; πότε λύπης ἐκτὸς ἦν; ὥσπερ ἔλεγε, ταύτην ἀποτίθεμαι τὴν ἀθυμίαν.

29 Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς. Ἐν Κυρίῳ, ὅ ἐστι, πνευματικῶς, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς· μᾶλλον δὲ τὸ, ἐν Κυρίῳ, τοῦτό ἐστι, τοῦ Θεοῦ θέλοντος. ἀξίως τῶν ἁγίων ὑποδέξασθε, καὶ ὥσπερ τοὺς ἁγίους ὑποδέχεσθαι προσήκει, μετὰ πάσης, φησὶ, χαρᾶς. ταῦτα πάντα ποιεῖ ὑπὲρ αὐτῶν ἐκείνων, οὐχ ὑπὲρ τῶν τιμωμένων. μεῖζον γὰρ τὸ κέρδος τῷ ποιοῦντι, ἢ τῷ πάσχοντι εὖ. Καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε. Τουτέστι, προσδέχεσθε αὐτὸν ἀξίως τῶν ἁγίων.

30 Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. Οὗτος κοινῇ παρὰ τῆς πόλεως ἦν ἀπεσταλμένος τῆς Φιλιππησίων, ὥστε τῷ Παύλῳ διακονεῖν, ἢ καὶ ἴσως τι ἀποκομίζων αὐτῷ ἐληλύθει. ὅτι γὰρ καὶ χρήματα ἐκόμισε, δείκνυσι πρὸς τῷ τέλει λέγων· Δεξάμενος γὰρ παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν. [Φιλιπ. δ. ιη.] Εἰκὸς οὖν αὐτὸν ἐπιστάντα τῇ πόλει Ῥωμαίων, ἐν οὕτω πολλῷ τὸν Παῦλον κινδύνῳ καταλαβεῖν, καὶ σφοδρῷ, ὡς μηδὲ τοὺς πλησιάζοντας αὐτῷ μετὰ ἀσφαλείας δύνασθαι τοῦτο ποιεῖν, ἀλλὰ καὶ αὐτοὺς ἐπισφαλῶς προσιέναι· ὅπερ εἴωθε γίνεσθαι μάλιστα ἐν τοῖς κινδύνοις τοῖς μεγάλοις, καὶ ταῖς ὀργαῖς τῶν βασιλέων ταῖς ὑπερζεούσαις (ὅταν γάρ τις βασιλεῖ προσκεκρουκὼς εἰς δεσμωτήριον ἐμβληθῇ, καὶ ἐν πολλῇ γένηται φυλακῇ, τότε καὶ τοῖς οἰκέταις ἡ πρόσοδος ἀποτετείχισται, ὅπερ εἰκὸς τὸν Παῦλον τότε πάσχειν) τὸν δὲ Ἐπαφρόδιτον ἄνδρα γενναῖον ὄντα, πάντως καταφρονῆσαι κινδύνου, ὥστε προσελθεῖν καὶ ὑπηρετήσασθαι, καὶ πάντα πρᾶξαι, ἅπερ ἐχρῆν. δύο τοίνυν τίθησιν, ἀφ' ὧν ποιεῖ αὐτὸν αἰδέσιμον· ἓν μὲν, ὅτι μέχρι θανάτου ἐκινδύνευσε, φησὶ, δι' ἐμέ· δεύτερον δὲ, ὅτι τὸ πρόσωπον τῆς πόλεως περικείμενος ταῦτα ἔπαθεν, ὡς ἐν τῷ κινδύνῳ ἐκείνῳ τοῖς πέμψασι λογίσασθαι τὸν μισθὸν, ὡς ἂν ἡ πόλις πρεσβευτὴν ἔπεμψεν. ὥστε τὸ μετὰ θεραπείας ὑποδέξασθαι, καὶ ὑπὲρ τῶν γεγενημένων εὐχαριστῆσαι, μᾶλλόν ἐστι κοινωνῆσαι τοῖς τετολμημένοις. Καὶ οὐκ εἶπε, δι' ἐμὲ, ἀλλ' ἀξιοπιστότερον αὐτὸν ποιεῖ λέγων, ὅτι διὰ τὸ ἔργον τοῦ Θεοῦ. οὐδὲ γὰρ δι' ἐμὲ ποιεῖ, ἀλλὰ διὰ τὸν Θεὸν ἤγγισε μέχρι θανάτου. τί γάρ; εἰ μὴ ἀπέθανε, τοῦ Θεοῦ οἰκονομήσαντος, ἀλλ' αὐτός γε παρεβουλεύσατο, καὶ ἐξέδωκεν ἑαυτὸν, ὡς καὶ ὁτιοῦν δεῖ παθεῖν, οὐκ ἀποστησόμενος τῆς πρός με θεραπείας. Εἰ δὲ ὑπὲρ τοῦ Παῦλον θεραπεῦσαι εἰς θάνατον ἑαυτὸν ἐξέδωκε, πολλῷ μᾶλλον ὑπὲρ τοῦ κηρύγματος τοῦτο ἂν ἔπαθε· μᾶλλον δὲ καὶ τοῦτο ὑπὲρ τοῦ κηρύγματος ἦν, τὸ ὑπὲρ ἐκείνου ἀποθανεῖν. οὐ γὰρ μόνον ὑπὲρ τοῦ μὴ θῦσαι μαρτυρίου στέφανον ἔστιν ἀναδήσασθαι, ἀλλὰ καὶ αἱ τοιαῦται προφάσεις μάρτυρας ποιοῦσι· καὶ εἰ δεῖ τι θαυμαστὸν εἰπεῖν, πολλῷ μᾶλ-

λευ αἱ τοιαῦται, ἢ ἐκεῖναι. ὁ γὰρ ὑπὲρ τοῦ ἐλάττονος κατατολμῶν τοῦ θανάτου, πολλῷ μᾶλλον ὑπὲρ τοῦ μείζονος. ὥστε καὶ ἡμεῖς, ὅταν ἴδωμεν ἁγίους ἐν κινδύνοις, παραβουλευώμεθα. οὐ γὰρ ἔνι μὴ τολμῶντα, γενναῖόν τι πρᾶξαί ποτε, ἀλλ' ἀνάγκη τὸν τῆς ἐνταῦθα ἀσφαλείας προνοούμενον ἐκπεσεῖν τῆς μελλούσης. ἵνα ἀναπληρώσῃ, φησί, τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. τί ἐστι τοῦτο; οὐ παρῆν ἡ πόλις, ἀλλ' ἐλειτούργησέ μοι δι' ἐκείνου πᾶσαν λειτουργίαν τῷ ἐκεῖνον πέμψαι. τὸ οὖν ὑστέρημα τῆς ὑμετέρας λειτουργίας αὐτὸς ἀνεπλήρωσεν, ὥστε καὶ κατὰ τοῦτο δίκαιος ἂν εἴη ἀπολαῦσαι τιμῆς πολλῆς, ὅτι ὅπερ ἐχρῆν πάντας ποιῆσαι, τοῦτο ἔπραξεν αὐτὸς ὑπὲρ ὑμῶν. καὶ δείκνυσι καὶ προτέραν οὖσαν λειτουργίαν παρὰ τὴν ἐν ἀσφαλείᾳ τοῖς κινδυνεύουσι. τὸ γὰρ ὑστέρημα τῆς λειτουργίας οὕτως εἴρηται, ὡς πρὸς ἐκείνην. ὁρᾷς φρόνημα ἀποστολικόν; τοῦτο οὐκ ἐξ ἀπονοίας γέγονεν, ἀλλ' ἀπὸ πολλῆς κηδεμονίας. ἵνα γὰρ μὴ ἐπαίρωνται, ἀλλὰ μετριάζωσι, μηδὲ μέγα τι περιεργηκέναι νομίζωσιν, ἀλλὰ ταπεινῶνται, λειτουργίαν τὸ πρᾶγμα καλεῖ καὶ ὑστέρημα.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν μηδὲ ἡμεῖς μέγα φρονῶμεν, τοῖς ἁγίοις παρέχοντες, μηδὲ χαρίζεσθαι αὐτοῖς ἐν τούτῳ νομίζωμεν. καὶ γὰρ ὀφείλεται τοῖς ἁγίοις παρ' ἡμῶν τὸ πρᾶγμα, καὶ οὐδὲν αὐτοῖς χαριζόμεθα. ὥσπερ γὰρ τοῖς ἐν στρατοπέδῳ ἑστῶσι καὶ πολεμοῦσι παρὰ τῶν ἐν εἰρήνῃ ὄντων καὶ μὴ πολεμούντων ὀφείλεται τὰ τελέσματα (ὑπὲρ γὰρ ἐκείνων ἑστήκασιν οὗτοι) οὕτω καὶ ἐνταῦθα. εἰ μὴ γὰρ ἐδίδασκεν ὁ Παῦλος, τίς ἂν αὐτὸν τότε ἐνέβαλεν εἰς δεσμωτήριον; ὥστε λειτουργεῖν χρὴ τοῖς ἁγίοις. πῶς γὰρ οὐκ ἄτοπον τῷ μὲν στρατευομένῳ βασιλεῖ τῷ ἐπιγείῳ πάντα εἰσφέρειν, καὶ ἐνδύματα, καὶ τροφάς, οὐ κατὰ τὴν χρείαν μόνον, ἀλλὰ καὶ κατὰ τὴν περιουσίαν, τῷ δὲ στρατευομένῳ βασιλεῖ τῷ ἐπουρανίῳ, καὶ παραταττομένῳ πρὸς πολλῷ χαλεπωτέρους (Ἡ πάλη γάρ, φησιν, οὐ πρὸς αἷμα καὶ σάρκα) μηδὲ τὴν ἀναγκαίαν χρείαν χορηγεῖν; πόσης ἀγνωμοσύνης; πόσης τοῦτο ἀγροικίας; πόσης μικρολογίας; ἀλλ', ὡς ἔοικε, πλέον ὁ τῶν ἀνθρώπων ἰσχύει φόβος παρ' ἡμῖν τῆς γεέννης καὶ τῶν μελλουσῶν κολάσεων. διὰ δὴ τοῦτο πάντα ἀνατέτραπται, ὅτι τὰ μὲν πολιτικὰ πράγματα μετὰ πολλῆς τῆς ἐντρεχείας καθ' ἑκάστην ἡμέραν ἀνύεται, καὶ ἐλλειφθῆναι οὐκ ἔνι· τῶν δὲ πνευματικῶν οὐδεὶς οὐδαμοῦ λόγος· ἀλλὰ τὰ μὲν μετ' ἀνάγκης ἀπαιτούμενα καὶ βασάνων, καὶ ὡς παρὰ δούλων καὶ ἀκόντων, κατατίθεται μετὰ πολλῆς τῆς εὐγνωμοσύνης· τὰ δὲ παρὰ ἑκόντων, καὶ ὡς παρὰ ἐλευθέρων, πάντα ἐλλιμπάνεται. οὐ κατὰ πάντων λέγω, ἀλλὰ κατὰ τῶν τὰ τελέσματα ταῦτα ἐγκαταλιμπανόντων. μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς ἀνάγκῃ ταῦτα ποιεῖν; ἀλλ' οὐ βούλεται. ὑμῶν γὰρ φείδεται μᾶλλον, ἢ τῶν τρεφομένων. διὰ τοῦτο ὑμᾶς οὐκ ἀνάγκῃ βούλεται καταθεῖναι, ἐπεὶ * οὐκ ἔστι μισθός. καὶ ὅμως πολλοὶ τῶν ἐνταῦθα, τῶν Ἰουδαίων εἰσὶ ταπεινότεροι. ἐννόησον ὅσα Ἰουδαῖοι ἐδίδοσαν, δεκάτας, ἀπαρχάς· πάλιν δεκάτας, καὶ πάλιν ἄλλας δεκάτας, καὶ πάλιν ἑτέρας τρισκαιδεκάτας, καὶ τὸ σίκλον· καὶ οὐδεὶς ἔλεγεν, ὅτι πολλὰ κατατιθέασιν. ὅσῳ γὰρ ἂν πλείονα λάβωσι, τοσούτῳ καὶ πλείων ὁ μισθός. οὐκ ἔλεγον, πολλὰ λαμβάνουσι, γαστρίζονται, ἃ νῦν ἀκούω λεγόντων τινῶν. καὶ οἱ μὲν οἰκοδομοῦντες οἰκίας, καὶ ἀγροὺς ὠνούμενοι, οὐδὲν ἡγοῦνται ἔχειν· ἂν δέ τις τῶν ἱερέων λαμπρότερον ἱμάτιον περιβάλῃ), ἢ τῆς ἀναγκαίας εὐπορήσῃ τροφῆς, ἢ τὸν διακονούμενον ἔχῃ, ἵνα μὴ ἀναγκάζηται) αὐτὸς ἀσχημονεῖν, πλοῦτον τὸ πρᾶγμα τίθενται). ὄντως πλουτοῦμεν καὶ ἐν τούτοις, καὶ ἄκοντες ὁμολογοῦσιν. ἡμεῖς μὲν γὰρ κἂν μικρὰ ἔχωμεν, πλουτοῦμεν· ἐκεῖνοι δὲ κἂν πάντα περιβάλλωνται, πένονται. μέχρι τίνος ἀνοηταίνομεν; οὐκ ἀρκεῖ, τὸ μηδὲν ποιεῖν, εἰς κόλασιν ὑμῖν, ἀλλὰ χρὴ καὶ τὴν ἀπὸ τῆς κακηγορίας προσθεῖναι ζημίαν; εἰ μὲν γὰρ αὐτὸς ἔδωκας αὐτῷ ἅπερ κέκτηται, τὸν μισθὸν ἀπώλεσας ὑπὲρ ὧν ἔδωκας ἐγκαλῶν. ὅλως δὲ εἰ σὺ ἔδωκας, τί ἐγκαλεῖς; πρότερον μὲν οὖν αὐτῷ πενίαν ἐμαρτύρεις, λέγων ἅπερ ἔχει δεδωκέναι αὐτός. τί τοίνυν ἐγκαλεῖς; οὐκ ἐχρῆν δοῦναι, εἴποι ἔμελ-

Εφ. 5. 16.

λες

λες ἐγκαλεῖν. ἀλλ' ἑτέρου ὄντος ταῦτα λέγεις; χαλεπώτερον τὸ πρᾶγμα, ὅτι οὐδὲ αἰδῇ
ἐγκαλεῖς ὑπὲρ ὧν ἕτερος ποιεῖ σύ. πόσον οἴει τοὺς ταῦτα ἀκούοντας μισθὸν ἔχειν; διὰ γὰρ
τὸν Θεὸν ταῦτα πάσχουσι. πῶς καὶ διὰ τί; ἐξῆν, εἴγε ἐβούλοντο, καπηλικὸν ἀναδέξασθαι
βίον, εἰ καὶ μὴ ἀπὸ προγόνων εἶχον. καὶ γὰρ ἀκούω καὶ ταῦτα πολλῶν λεγόντων ἰταμῶς,
ὅταν εἴπωμεν, ὅτι ὁ δεῖνα πένεται. εἰ γὰρ ἐβούλετο, φησίν, ἠδύνατο πλουτεῖν. εἶτα
ὑβριστικῶς, ὁ πρόγονος αὐτοῦ, καὶ ὁ πάππος αὐτοῦ, καὶ ὁ δεῖνα, τοιόσδε ἦν· νῦν δὲ τοιαύτην ἐσθῆτα
περιβέβληται. ἀλλὰ τί; εἰπέ μοι, γυμνὸν αὐτὸν ἐχρῆν περιιέναι; σὺ μὲν οὖν ὑπὲρ τούτων
ἀκριβολογῇ· ὅρα δὲ μὴ κατὰ σαυτοῦ ταῦτα λέγῃς. ἀλλ' ἄκουε τῆς παραινέσεως τοῦ Χριστοῦ
τῆς λεγούσης, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ἀλλ' ἐξῆν, εἴγε ἐβούλετο, καπηλικὸν καὶ Ματθ. ζ. α.
ἐμπορικὸν βίον ζῆν, καὶ πάντως οὐκ ἂν ἠπόρησεν· ἀλλ' οὐκ ἠθέλησε. τί οὖν ἐντεῦθεν κερ-
δαίνει, εἰπέ μοι; σηρικὰ ἱμάτια περίκειται; πλῆθος ἀκολούθων ἔχων σοβεῖ κατὰ τὴν ἀγο-
ράν; ἐπὶ ἵππου φέρεται; οἰκίας οἰκοδομεῖ, ἔχων ὅπου καταμένῃ; ἂν ταῦτα ποιῇ, καὶ ἐγὼ
κατηγορῶ, καὶ οὐ φείδομαι, ἀλλ' ἀνάξιον αὐτὸν εἶναι τῆς ἱερωσύνης φημί. πῶς γὰρ ἑτέροις
δυνήσεται παραινεῖν μὴ περὶ τὰ περιττὰ ταῦτα ἀσχολεῖσθαι, αὐτὸς ἑαυτῷ παραινέσαι μὴ
δυνάμενος; εἰ δὲ ὅτι τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, διὰ τοῦτο ἀδικεῖ, ἀλλὰ περιιέναι ἐ-
χρῆν αὐτόν, καὶ προσαιτεῖν; καὶ οὐκ ἂν σὺ κατῃσχύνθης, εἰπέ μοι, ὁ μαθητής; ἀλλ' ὁ μὲν
πατὴρ ὁ σαρκικὸς ἂν τοῦτο ποιῇ, αἰσχύνην τὸ πρᾶγμα ἡγῇ· ἂν δὲ ὁ πνευματικὸς ἀναγκά-
ζηται τοῦτο ποιεῖν, οὐκ ἐγκαλύπτῃ; οὐ μᾶλλον οὐδὲ ἡγήσῃ ἄξιον καταδύεσθαι; Ἀδοξία, φησί, Σειρ. γ. ι.
πατρός, ὄνειδος τέκνων. ἀλλὰ τί; τῷ λιμῷ φθείρεσθαι ἔδει; ἀλλ' οὐδὲ τοῦτο εὐσεβές. οὐ γὰρ
βούλεται ὁ Θεός. ἀλλ' ὅταν εἴπωμεν πρὸς αὐτοὺς ταῦτα, εὐθέως φιλοσοφοῦσι. γέ-
γραπται, φησί, Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ χαλκὸν εἰς Ματθ. ι. θ.
τὰς ζώνας ὑμῶν, μὴ ῥάβδον. οὗτοι δὲ καὶ τρία καὶ τέσσαρα ἱμάτια ἔχουσι, καὶ κλίνας ἐστρωμέ-
νας. ἐπῆλθέ μοι στενάξαι πικρὸν νῦν. εἰ δὲ μὴ ἀσχημονεῖν ἔμελλον, κἂν ἐδάκρυσα. τί δή-
ποτε; ὅτι περὶ μὲν τὰ τῶν ἄλλων κάρφη οὕτως ἐσμὲν ἀκριβεῖς ἐξεταστάι, τὰς δὲ δοκοὺς ἔχον-
τες αὐτοὶ ἐν τοῖς ὀφθαλμοῖς οὐδὲ αἰσθανόμεθα. εἰπέ μοι, διὰ τί γὰρ σαυτῷ τοῦτο μὴ λέ-
γεις; ὅτι τοῖς διδασκάλοις προστέτακται μόνον, φησίν. ὅταν οὖν ὁ Παῦλος λέγῃ, Ἔχοντες α. Τιμ. ϛ. η.
διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, πρὸς τοὺς διδασκάλους λέγει μόνους;
οὐδαμῶς, ἀλλὰ πρὸς πάντας ἀνθρώπους. καὶ δῆλον ἄνωθεν τὸ χωρίον διεξιοῦσιν. εἰπὼν γάρ,
Πορισμὸς μέγας ἐστὶν ἡ εὐσέβεια μετὰ αὐταρκείας· εἶτα, Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κό- α. Τιμ. ϛ. ϛ.
σμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα, εὐθέως ἐπήγαγεν· Ἔχοντες δὲ διατρο-
φὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς
πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς. εἶδες ὅτι πρὸς πάν-
τας ὁ λόγος εἴρηται; τί δέ, ὅταν λέγῃ πάλιν, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυ- Ρωμ. ιγ. ιδ.
μίας, οὐχὶ πᾶσιν ἁπλῶς διαλέγεται; τί δέ, ὅταν λέγῃ, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοι- α. Κορ. ϛ. ιγ.
λία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει; τί δέ, ὅταν λέγῃ, Ἡ δὲ σπα- α. Τιμ. ε. ϛ.
ταλῶσα ζῶσα τέθνηκε, περὶ χήρας διαλεγόμενος; μὴ καὶ ἡ χήρα διδάσκαλός ἐστιν; οὐχὶ
αὐτὸς εἶπεν, ὅτι Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός; εἰ δὲ ἡ χήρα, ἔν- α. Τιμ. β. ιβ.
θα καὶ ἡ ἡλικία γεγηρακυῖα (τὸ γὰρ γῆρας πολλῆς δεῖται θεραπείας) καὶ αὐτὴ ἡ φύσις (τὸ γὰρ
τῶν γυναικῶν γένος πλείονος δεῖται ἀναπαύσεως, ἅτε ἀσθενὲς ὄν) εἰ τοίνυν, ἔνθα καὶ ἡ ἡλι-
κία καὶ ἡ φύσις κώλυμα, οὐκ ἀφίεται αὐτὴν σπαταλᾶν, ἀλλὰ καὶ τεθνηκέναι αὐτήν φησιν
(οὐ γὰρ ἁπλῶς εἶπε μὴ σπαταλᾶν, ἀλλ', ἡ σπαταλῶσα ζῶσα τέθνηκε) καὶ ἐξέκοψεν αὐ-
τήν (ἡ γὰρ τεθνηκυῖα ἐκκέκοπται) ποίαν ἕξει συγγνώμην ἄνθρωπος ταῦτα ποιῶν, ἐφ'
οἷς ἡ γυνὴ ἡ γεγηρακυῖα κολάζεται; ἀλλὰ ταῦτα οὐδεὶς οὐδὲ εἰς ἔννοιαν λαμβάνει, ταῦτα
οὐδεὶς ἐξετάζει. ἐγὼ δὲ νῦν ταῦτα εἰπεῖν ἠναγκάσθην, οὐχὶ τοὺς ἱερέας ἀπαλλάξαι ἐγκλη-

μετὰ βουλόμενος, ἀλλ' ὑμῶν φειδόμενος. ἐκεῖνοι μὲν οὖν, ἂν μὲν προσηκόντως καὶ δικαίως
ταῦτα ἀκούωσιν, ἅτε χρηματιζόμενοι, οὐδὲν παρ' ὑμῶν βλάπτονται· ἀλλ' ἄν τε εἴπητε,
ἄν τε μὴ εἴπητε, λόγον τῷ δικαστῇ διδόασιν ἐκεῖ. ὥστε οὐδὲν αὐτοὺς τὰ ὑμέτερα βλάπτει
ῥήματα. ἂν δὲ καὶ ψευδῆ ᾖ τὰ παρ' ὑμῶν λεγόμενα, ἐκεῖνοι μὲν οὖν ἐκέρδανον συκοφαντού- χ.
μενοι εἰκῇ, ὑμεῖς δὲ ἑαυτοὺς ἐντεῦθεν βλάπτετε. ἐπεὶ δὲ ὑμῶν οὐχ οὕτως ἐστίν· ἀλλ' ἄν τε ἀ-
ληθῆ ᾖ, ἄν τε ψευδῆ τὰ κατ' αὐτῶν, λέγοντες αὐτοὺς κακῶς, βλάπτεσθε. τί δήποτε; ἄν τε χ. αἰ
γὰρ ἀληθῆ ᾖ, καὶ οὕτω βλάπτεσθε, κρίνοντες τοὺς διδασκάλους, καὶ τὴν τάξιν ἀνατρέποντες. εἰ
γὰρ ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον διδάσκαλον. ἂν δὲ ψευδῆ, ἀφόρητος ἡ κόλασις
Ματθ. ιβ. λς. καὶ ἡ τιμωρία. Παντὸς γὰρ ῥήματος ἀργοῦ δώσετε λόγον. ὥστε ὑμῶν ἕνεκεν πάντα ποιοῦ-
μεν καὶ κάμνομεν. ὅπερ δὲ ἔφην, οὐδεὶς ταῦτα ἐξετάζει, οὐδεὶς ταῦτα πολυπραγμονεῖ,
οὐδεὶς λέγει πρὸς ἑαυτὸν τούτων οὐδέν. βούλεσθε καὶ ἕτερα προσθῶ; Ἐὰν μή τις ἀποτάξη-
Μαρκ. ι. μς. Ματθ. ιθ. κγ. ται, φησὶν ὁ Χριστὸς, πᾶσι τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος. τί δὲ ὅταν λέγῃ, Δύ-
Λυκ. ι. κδ. σκολον πλουσίους εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; τί δὲ ὅταν λέγῃ, Οὐαὶ ὑμῖν
τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν; οὐδεὶς τοῦτο ἐξετάζει, οὐδεὶς τοῦτο ἐν- χ. οἰπ
νοεῖ, οὐδεὶς πρὸς ἑαυτὸν διαλέγεται, ἀλλ' ἐν τοῖς ἑτέρων σφοδροὶ κάθηνται πάντες ἐξετα-
σταί. ἀλλὰ τοῦτο μέν ἐστι κοινωνοὺς ποιῆσαι τῶν ἐγκλημάτων. ἵνα δὲ καὶ αὐτῶν, ὧν φατε τοὺς ἱε-
ρεῖς ὑπευθύνους εἶναι, ἀπαλλάξω δι' ὑμᾶς ἀκούσατε. τὸ γὰρ περὶ τούτων πεπεῖσθαι,
ὡς παραβαινόντων τὸν νόμον τοῦ Θεοῦ, πολλὴ πρὸς τὸ κακόν ἐστι ῥοπή. φέρε οὖν κἀκεῖνα χ.
Ματθ. ι. θ. ἐξετάσωμεν. Εἶπεν ὁ Χριστὸς, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας,
μηδὲ ὑποδήματα, μὴ ζώνην, μὴ ῥάβδον. τί οὖν, εἰπέ μοι; Πέτρος παρὰ τὸ πρόσ-
ταγμα ἐποίει; πῶς γὰρ οὔ, ὁ καὶ ζώνην ἔχων καὶ ἱμάτιον καὶ ὑποδήματα; ὅτι γὰρ εἶχεν, ἄκουε
Πραξ. ιβ. η. τοῦ ἀγγέλου λέγοντος πρὸς αὐτὸν, Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου· καίτοι οὐ χ.
τοσαύτη χρεία [τούτων] τῶν ὑποδημάτων ἦν. ἔνεσι γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ἀνυπό- χ. τίπ
δετον εἶναι· ἡ δὲ πολλὴ χρεία ἐν τῷ χειμῶνί ἐστιν· ἀλλ' ὅμως εἶχε. τί δὲ ὁ Παῦλος, ὅταν λέ-
β. Τιμ. δ. κα. γῃ Τιμοθέῳ γράφων, Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν· εἶτα παραγγέλλει καὶ λέγει· Τὸν
ιγ. φελώνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα χ. αὐτῷ
τὰς μεμβράνας; ἰδοὺ φελώνην εἶπε· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὅτι καὶ ἕτερον οὐκ εἶχεν,
ὃν ἐφόρει. εἰ μὲν γὰρ μηδὲ ὅλως ἐφόρει, περιττῶς ἐκέλευσε τοῦτον ἀπενεχθῆναι· εἰ
δὲ οὐκ ἐκείνην μὴ φορεῖν, δῆλον ὅτι ἕτερον εἶχε. τί δὲ, ὅτι διετίαν ὅλην ἐν οἰκείῳ μισθώμα-
Γαλ. β. κ. τι ἔμενεν; ἆρα παρήκουσε τοῦ Χριστοῦ τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ λέγων, Ζῶ δὲ οὐκέτι ἐγὼ,
Πραξ. θ. ιε. ζῇ δὲ ἐν ἐμοὶ Χριστός· περὶ οὗ ὁ Χριστὸς ἐμαρτύρησε λέγων, ὅτι Σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος;
ἔδει ταύτην ἀφεῖναι τὴν ἀμφιβολίαν παρ' ὑμῖν, καὶ μηδεμίαν ἐπαγαγεῖν τῷ ζητήματι λύ-
σιν, ἀλλὰ ταύτην ὑμᾶς δίκην εἰσπράξασθαι τῆς περὶ τὰς γραφὰς ὀλιγωρίας. πάν-
τα γὰρ ταῦτα ἐκ τούτου γίνεται. διὰ τοῦτο καὶ ἐν τοῖς ἑτέρων ἁμαρτήμασίν ἐσμεν πικροὶ ἐξε-
ταστὰι, καὶ τῶν ἡμετέρων οὐδένα λόγον ποιούμεθα, ὅτι τὰς γραφὰς οὐκ ἴσμεν, ὅτι τοὺς θείους οὐ
παιδευόμεθα νόμους. ἔδει μὲν οὖν ταύτην ὑμᾶς εἰσπράξασθαι τὴν δίκην. ἀλλὰ τί
πάθω; πατήρ εἰμι· πολλὰ καὶ πέρα τοῦ δέοντος οἱ πατέρες χαρίζονται τοῖς παισί. τῶν σπλάγ-
χνων αὐτοῖς διαθερμαινομένων ἐκείνοις τῶν πατρικῶν, κἂν ἴδωσι τὸ παιδίον κατηφιάσαν, τη- χ. κατηφ
κόμενον, αὐτοὶ μᾶλλον ἐκείνου δάκνονται, καὶ οὐ παύονται, ἕως ἂν τῆς ἀθυμίας τὴν ὑπό-
θεσιν ἀνέλωσι. πλὴν κἂν τοῦτο γινέσθω, κἂν κατηφιάσατε ἐπὶ τῷ μὴ λαβεῖν, ἵνα λά- χ. τί
βητε καλῶς. τί οὖν ἐστιν εἰπεῖν; οὐκ [illegible], μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα ἠκο-
λούθησαν τοῖς ἐπιτάγμασι τοῦ Χριστοῦ. τὰ γὰρ ἐπιτάγματα ἐκεῖνα πρόσκαιρα ἦν, καὶ χ. σο
οὐ διαπαντός. καὶ τοῦτο οὐ στοχαζόμενος λέγω, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν. πῶς; φησὶν
Λουκ. κβ. λε. ὁ Λουκᾶς εἰρηκέναι τὸν Χριστὸν τοῖς μαθηταῖς, Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ
πήρας

πήρας καὶ ζώνης καὶ ὑποδημάτων, μή τι ὑστέρησεν ὑμῖν; λέγουσιν αὐτῷ, οὐ. οὐκοῦν λοιπὸν κτήσασθε. ἀλλὰ τί ἔδει, εἰπέ μοι; ἕνα χιτῶνα ἔχειν; τί οὖν; εἰ πλυνέσθαι τοῦτον ἔδει, γυμνὸν ἔχρην οἴκοι καθέζεσθαι; ἢ γυμνὸν περιϊέναι καὶ ἀσχημονεῖν, χρείας καλούσης; ἐννόησον οἷον ἦν Παῦλον τὸν ἐπὶ τοσούτοις κατορθώμασι περιϊόντα τὴν οἰκουμένην διὰ ἱμάτιον ἔνδειαν οἴκοι καθῆσθαι, καὶ τηλικούτοις πράγμασιν ἐμποδίζειν. τί δὲ, εἰ κρυμὸς ἐπετέθη σφοδρὸς, καὶ κατέβρεξεν, ἢ καὶ ἐπάγωσε, πῶς ξηραίνεσθαι ἐχρῆν; πάλιν γυμνὸν ἔχρην καθῆσθαι; τί δὲ, εἰ ψῦχος κατέτηξε τὸ σῶμα; ἐπήχεσθαι ἔδει, καὶ μὴ φθείρεσθαι; ὅτι γὰρ οὐκ ἀδαμάντινα σώματα αὐτοῖς κατεσκεύαστο, ἄκουσον τί φησι περὶ Τιμοθέου· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας· καὶ πάλιν περὶ ἑτέρου, Ἀναγκαῖον ἡγησάμην ἀποστεῖλαι ὑμῖν τὸν ὑμῶν ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου. καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ. ὥστε ἁλώσιμοι πᾶσιν ἦσαν τοῖς πάθεσι. τί οὖν; ἀπόλλυσθαι ἐχρῆν; οὐδαμῶς. τίνος οὖν ἕνεκεν τότε τοῦτο ἐπέταξε; τὴν δύναμιν αὐτοῦ θέλων δεῖξαι, ὅτι καὶ μετὰ ταῦτα ἐδύνατο οὕτω ποιῆσαι, ἀλλ' οὐκ ἐποίησε. τίνος οὖν ἕνεκεν οὐκ ἐποίησε; πολλῷ τῶν Ἰσραηλιτῶν ἦσαν οὗτοι θαυμασιώτεροι, ὧν τὰ ὑποδήματα οὐ κατετρίβετο, οὐδὲ τὰ ἱμάτια, καὶ ταῦτα ἐκείνην τὴν ἔρημον διοδεύοντων, ἔνθα θερμοτέρα ἐπιπίπτουσα ἡ ἀκτὶς ἡ ἡλιακὴ καὶ λίθους αὐτοὺς καταφρύγειν δύναται. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε; διὰ σέ. ἐπειδὴ γὰρ οὐκ ἔμελλες ὑγιαίνειν, ἀλλὰ τραυματίζεσθαι, τῶν φαρμάκων σοι τὴν ὑπόθεσιν παρέσχε. καὶ τοῦτο δῆλον ἐκεῖθεν. εἰπὲ γάρ μοι, οὐκ ἠδύνατο αὐτὸς αὐτοὺς θρέψαι; εἰ σοὶ τῷ προσκεκρουκότι ἔδωκεν, οὐ πολλῷ μᾶλλον Παύλῳ ἂν ἔδωκεν; ὁ τοῖς Ἰσραηλίταις διδοὺς τοῖς γογγύσασι, τοῖς πόρνοις, τοῖς εἰδωλολάτραις, οὐ πολλῷ μᾶλλον ἂν Πέτρῳ τῷ καταλείψαντι ἅπαντα δι' αὐτὸν [ἀφῆκεν]; ὁ μυριάδας ἀφεὶς ἔχειν ἄνδρας, οὐ πολλῷ μᾶλλον ἂν Ἰωάννῃ ἐχαρίσατο, τῷ καὶ τὸν πατέρα δι' αὐτὸν καταλείποντι; ἀλλ' οὐκ ἠθέλησεν· ἀλλὰ διά σου αὐτοὺς τρέφει, ἵνα σὺ ἀγαθυνθῇς. καὶ θέα μοι τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας. εἵλετο τοὺς αὐτοῦ μαθητὰς ἐλαττωθῆναι, ἵνα σὺ μικρὸν ἀναπνεύσῃς. ἀλλ' εἰ ἐποίησεν αὐτοὺς ἀνενδεεῖς, φησὶ, πολλῷ θαυμασιώτεροι ἂν ἦσαν, πολλῷ ἐπιδοξότεροι. ἀλλὰ σοῦ ἡ σωτηρία διεκέκοπτο. οὐχ εἵλετο τοίνυν ἐκείνους γενέσθαι θαυμαστοὺς, ἀλλ' ἐλαττοῦσθαι μᾶλλον, ἵνα σὺ σωθῇς· καὶ ἐλαττωθῆναι ἐκείνους συνεχώρησεν, ἵνα σὺ δυνηθῇς σωθῆναι. οὐ γὰρ ὁμοίως αἰδέσιμός ἐστι διδάσκαλος λαμβάνων, ἐπεὶ ἐκεῖνος μάλιστα τιμᾶται ὁ μὴ λαμβάνων· ἀλλ' ὁ μαθητὴς οὐκ ὠφελεῖται, ἀλλὰ τὸν καρπὸν ἐγκόπτεται. ὁρᾷς τὴν σοφίαν τοῦ φιλανθρώπου Θεοῦ; ὥσπερ γὰρ αὐτὸς οὐχὶ τὴν ἰδίαν δόξαν ἐζήτησεν, οὐδὲ τὸ ἑαυτοῦ ἐσκόπησεν, ἀλλὰ ἐν δόξῃ ὢν εἵλετο ἀτιμασθῆναι διὰ σὲ, οὕτω καὶ ἐπὶ τῶν διδασκάλων. δυνάμενος αὐτοὺς ποιῆσαι αἰδεσίμους, εἵλετο εἶναι εὐκαταφρονήτους διὰ σὲ, ἵνα σὺ ἔχῃς κερδαίνειν, ἵνα σὺ ἔχῃς πλουτεῖν. ἵνα γὰρ σὺ εὐπορῇς ἐν τοῖς πνευματικοῖς, διὰ τοῦτο ἐκεῖνος ἀπορεῖ ἐν τοῖς βιωτικοῖς. ὅτι τοίνυν ἐδύνατο ποιῆσαι αὐτοὺς ἀνενδεεῖς, ἔδειξε διὰ πολλῶν· ὅτι δὲ διὰ σὲ ἀφίησιν αὐτοὺς ἐν ἐνδείᾳ εἶναι, καὶ τοῦτο δήλωται ὁμοίως. ταῦτα οὖν εἰδότες, μὴ πρὸς κατηγορίας, ἀλλὰ πρὸς εὐποιΐας τραπώμεθα· μὴ τὰ ἑτέρων κακὰ περιεργαζώμεθα, ἀλλὰ τὰ ἡμέτερα αὐτῶν ἀναλογιζώμεθα· τὰ ἑτέρων κατορθώματα ἐννοῶμεν, τὰ δὲ ἡμέτερα ἁμαρτήματα ἀναλογιζώμεθα· καὶ οὕτως εὐαρεστήσομεν τῷ Θεῷ. ὁ μὲν γὰρ τὰ ἑτέρων ἁμαρτήματα ὁρῶν, καὶ τὰ αὐτοῦ κατορθώματα, διπλῇ βλάπτεται· ἀπό τε γὰρ τούτων εἰς ἀπόνοιαν αἴρεται, ἀπό τε ἐκείνων εἰς ῥαθυμίαν ἐμπίπτει. ὅταν γὰρ ἐννοήσῃ, ὅτι ὁ δεῖνα ἥμαρτεν, εὐκόλως ἁμαρτήσει καὶ αὐτός· ὅταν ἐννοήσῃ, ὅτι αὐτὸς κατώρθωσεν, εὐκόλως ἀπονοεῖται. ὁ δὲ τὰ μὲν αὐτοῦ κατορθώματα λήθῃ παραδιδοὺς, τὰ δὲ ἁμαρτήματα βλέπων μόνα, καὶ τὰ ἑτέρων ἁμαρτήματα μὴ περιεργαζόμενος, ἀλλὰ τὰ κατορθώματα, πολλὰ κερδαίνει. πῶς; ἄκουε. ὅταν ἴδῃ, ὅτι ὁ δεῖνα κατώρθωσε, πρὸς τὸ ἴσον

α. Τιμ. ε. κγ.
Φιλιπ. β. κε.

αἱρεῖται ζῆλον· ὅταν ἴδῃ, ὅτι αὐτὸς ἥμαρτε, ταπεινοφρονήσῃ καὶ μετριάσῃ. ἂν οὕτω ποιῶμεν, καὶ οὕτω τὰ καθ᾽ ἑαυτοὺς οἰκονομῶμεν, δυνησόμεθα τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν.

κεφ. γ.

Λογ. ι. 1 ΤΟ ΛΟΙΠΟΝ, ΑΔΕΛΦΟΙ ΜΟΥ, ΧΑΙΡΕΤΕ ΕΝ
Κυρίῳ. τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές.
2 Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατα-
τομήν. 3 Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ πνεύματι Θεῷ λατρεύ-
οντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες.

ΑΙ ἀθυμίαι καὶ αἱ φροντίδες, ὅταν πέρα τοῦ μέτρου τὴν ψυχὴν καταπίνωσι, τῆς οἰκείας αὐτὴν * ἀποστεροῦσιν ἰσχύος. διὰ τοῦτο καὶ ὁ Παῦλος τοὺς Φιλιππησίους ἐν πολλῇ ὄντας ἀθυμίᾳ ἀνίησιν. ἦσαν δὲ ἐν ἀθυμίᾳ, διὰ τὸ μὴ γινώσκειν τὰ κατὰ Παῦλον· ἦσαν ἐν ἀθυμίᾳ, διὰ τὸ νομίζειν αὐτὸν ἤδη τετελευτηκέναι, διὰ τὸ κήρυγμα, διὰ Ἐπαφρόδιτον. ὑπὲρ δὴ τούτων ἁπάντων πληροφορῶν αὐτοὺς ἐπάγει· τὸ λοιπὸν, ἀδελφοί μου, χαίρετε. οὐκ ἔχετε, φησὶ, λοιπὸν ἀθυμίας ὑπόθεσιν· ἔχετε Ἐπαφρόδιτον, δι᾽ ὃν ἠλγεῖτε· ἔχετε Τιμόθεον, ἔρχομαι κἀγὼ, τὸ εὐαγγέλιον ἐπιδίδωσι. τί ὑμῖν λείπει λοιπόν; χαίρετε. Γαλάτας μὲν οὕτω τέκνα καλεῖ, τούτους δὲ ἀδελφούς. ὅταν μὲν γὰρ ἢ διορθῶσαί τι βούληται, ἢ φιλοστοργίαν ἐνδείξασθαι, τέκνα καλεῖ· ὅταν δὲ μετὰ πλείονος τιμῆς διαλέγηται, ἀδελφούς. τὸ λοιπὸν, ἀδελφοί μου, φησὶ, χαίρετε ἐν Κυρίῳ. καλῶς εἶπεν, ἐν Κυρίῳ, * οὐ κατὰ τὸν κόσμον. οὐκ ἔστι γὰρ χαίρειν τοῦτο. αἱ θλίψεις αὗται, φησὶν, αἱ κατὰ Χριστὸν, ἔχουσι χαράν. τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. βλέπετε τοὺς κύνας. ὁρᾷς πῶς οὐκ ἐν ἀρχῇ τὴν παραίνεσιν εἰσάγει; ἀλλ᾽ ὅτε αὐτοὺς πολλὰ ἐπῄνεσεν, ὅτε ἐθαύμασε, τότε τοῦτο ποιεῖ, καὶ πάλιν ἐπαινεῖ. δοκεῖ γάρ πως οὗτος φορτικώτερος εἶναι ὁ λόγος· ὅθεν αὐτὸν πανταχόθεν συσκιάζει. τίνας δέ φησι κύνας; ἐνταῦθα ἦσάν τινες, οὓς ἐν πάσαις ταῖς ἐπιστολαῖς αἰνίττεται, Ἰουδαῖοι μιαροὶ καὶ κατάπτυστοι, αἰσχροκερδεῖς καὶ φίλαρχοι, οἱ βουλόμενοι τῶν πιστῶν πολλοὺς περισπάσαι, ἐκήρυττον καὶ τὸν Χριστιανισμὸν, καὶ τὸν Ἰουδαϊσμὸν, παραφθείροντες τὸ εὐαγγέλιον. ἐπεὶ οὖν ἦσαν δυσδιάγνωστοι, διὰ τοῦτό φησι, βλέπετε τοὺς κύνας. οὐκέτι τέκνα Ἰουδαῖοι. ποτὲ οἱ ἐθνικοὶ τοῦτο ἐκαλοῦντο, νῦν δὲ ἐκεῖνοι. διὰ τί; ὅτι ὥσπερ οἱ ἐθνικοὶ καὶ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ ἀλλότριοι ἦσαν, οὕτω καὶ οὗτοι γεγόνασι νῦν. καὶ τὸ ἀναιδὲς αὐτῶν καὶ τὸ ἰταμὸν ἐντεῦθεν παρίστησι, καὶ τὴν πολλὴν πρὸς τέκνα διάστασιν. ὅτι γὰρ οἱ ἐθνικοί ποτε κύνες ἐκαλοῦντο, ἄκουσον τῆς Χαναναίας, τί φησι. Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. ἵνα δὲ μηδὲ οὕτως ἔχωσιν, ἐπεὶ καὶ κύνες εἰσὶν ἐπιτραπέζιοι, ἐπάγει, ὅθεν αὐτοὺς καὶ ἀλλοτρίους, λέγων· βλέπετε τοὺς κακοὺς ἐργάτας. καὶ θαυμαστῶς εἶπε, βλέπετε τοὺς κακοὺς ἐργάτας. ἐργάζονται μὲν γάρ, φησιν, ἀλλ᾽ ἐπὶ κακῷ, καὶ ἀργίας πολλῷ χεῖρον ἔργον, ἀνασπῶντες τὰ καλῶς κείμενα. βλέπετε, φησι, τὴν κατατομήν. σεμνὸν ἦν παρὰ Ἰουδαίοις τὸ τῆς περιτομῆς, ἐπειδή γε καὶ ὁ νόμος αὐτῇ ὑπεξίστατο, καὶ τὸ σάββατον ἦν εὐτελέστερον αὐτῆς. ἵνα μὲν γὰρ περιτομὴ γένηται, ἐλύετο σάββατον· ἵνα δὲ σάββατον φυλαχθῇ, οὐδέποτε ἐλύετο ἡ περιτομή. καὶ θέα μοι τῆς τοῦ Θεοῦ οἰκονομίας. αὕτη ἡ τοῦ σαββάτου αἰδεσιμωτέρα εὑρίσκεται, ἔν τισι χρόνοις [μὴ] παραλειφθεῖσα. ὅταν οὖν αὕτη λύηται, πολλῷ μᾶλλον τὸ σάββατον. διὰ τοῦτο τὸ ὄνομα αὐτῆς ὁ Παῦλος κατατέμνει, καί φησι· βλέπετε τὴν κατατομήν. καὶ οὐκ εἶπεν, ὅτι κακὸν ἡ περιτομὴ, περιττὸν ἡ περιτομή, ἵνα μὴ πλήξῃ τοὺς ἄνδρας, ἀλλὰ σοφώτερον αὐτὸ οἰκονομεῖ,

Γαλ. δ. ιθ.

Ματθ. ιε. κζ.

τοῦ μὲν πράγματος ἀπάγων, τῷ δὲ ῥήματι χαριζόμενος, μᾶλλον δὲ καὶ τῷ πράγματι σπουδαιότερον. ἀλλ' οὐκ ἐπὶ Γαλατῶν οὕτως. ἐπειδὴ γὰρ πολλὴ ἡ νόσος ἦν ἐκεῖ, γυμνῇ τῇ κεφαλῇ λοιπὸν μετὰ πολλῆς τῆς αὐθεντίας ἐπάγει τὴν τομήν. ἐνταῦθα δὲ, ἐπειδὴ οὐδὲν τοιοῦτον εἰργάσαντο, αὖθις χαρίζεται τὴν ἀπὸ τῆς προσηγορίας ἡδονήν. κἀκείνους ἐκβάλλει, καὶ τούτους, καί φησι· βλέπετε τὴν κατατομήν. ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή. πῶς; οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες. οὐκ εἶπεν, ὅτι δοκιμάζομεν ἐκείνην τὴν περιτομὴν, καὶ ταύτην, τίς ἐστιν ἀμείνων, ἀλλ' οὐδὲ τοῦ ὀνόματος αὐτῇ μεταδέδωκεν. ἀλλὰ τί φησιν; ἡ περιτομὴ ἐκείνη, κατατομή ἐστι. διατί; οὐδὲν γὰρ ἄλλο ποιοῦσιν, ἢ τὴν σάρκα κατατέμνουσιν. ὅταν γὰρ μὴ ᾖ νόμιμον τὸ γινόμενον, οὐδὲν ἄλλο, ἢ σαρκὸς τομή ἐστι, καὶ κατατομή. ἢ διὰ τοῦτο οὕτως αὐτὴν εἶπεν, ἢ ὅτι τὴν ἐκκλησίαν ἐπειρῶντο κατατέμνειν. καὶ ἡμεῖς δὲ κατατομὴν λέγομεν, ἐπὶ τῶν εἰκῇ καὶ ἁπλῶς καὶ δίχα τέχνης τοῦτο ποιούντων. εἰ γὰρ δεῖ περιτομὴν ζητῆσαι, φησὶ, παρ' ἡμῖν ταύτην [ἂν] εὑρήσετε. οἱ πνεύματι Θεῷ λατρεύοντες, τουτέστιν, οἱ πνευματικῶς λατρεύοντες. εἰπὲ γάρ μοι, τί βέλτιον, ψυχὴ ἢ σῶμα; δῆλον ὅτι ψυχή. οὐκοῦν καὶ ἡ περιτομὴ ἐκείνη οὐ βελτίων, ἀλλ' αὕτη μόνη ἐστὶ περιτομή. ἕως μὲν γὰρ ὁ τύπος εἱστήκει, εἰκότως κατὰ σύγκρισιν προσῆγε, Τὸ περιτετμῆσθαι γράφων τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν. ὅπου καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ἀναιρεῖ αὐτὴν λέγων· Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι. λοιπὸν δὲ καὶ τοῦ ὀνόματος αὐτὴν ἀποστερεῖ, οὐδὲ ἐστὶ περιτομὴ, φησί. καὶ γὰρ ὁ τύπος, ἕως ἂν μέλλῃ ἔρχεσθαι ἡ ἀλήθεια, καλεῖται τοῦτο· ἐπειδὰν δὲ ἔλθῃ ἡ ἀλήθεια, οὐκέτι καλεῖται. οἷον ἐπὶ σκιαγραφίας· ὑπέγραψέ τις βασιλέα σκιαγραφῶν· ἕως μὲν οὐκ ἐπάγηται τὰ ἄνθη, οὐ λέγεται βασιλεύς· ἐπειδὰν δὲ ἐπιτεθῇ, κρύπτεται μὲν τῇ ἀληθείᾳ ὁ τύπος, καὶ οὐ φαίνεται· τότε δὲ καὶ λέγομεν, ἰδοὺ ὁ βασιλεύς. καὶ οὐκ εἶπεν, ἐν ἡμῖν γάρ ἐστιν ἡ περιτομὴ, ἀλλ', ἡμεῖς ἐσμεν· εἰκότως. τοῦτο γάρ ἐστιν ἄνθρωπος, ἡ περιτομὴ ἡ ἐνάρετος, τοῦτό ἐστιν ἀληθῶς ἄνθρωπος. ἐν ἐκείνοις δὲ οὐκ εἶπεν οὕτως, ἀλλὰ, βλέπετε τὴν κατατομήν. αὐτοὶ γὰρ λοιπὸν ἐν ἀπωλείᾳ ἦσαν, καὶ κακίᾳ. εἶτα δηλῶν, ὅτι οὐκέτι ἐν σώματι γίνεται ἡ περιτομὴ, ἀλλ' ἐν καρδίᾳ, φησί· Καὶ οὐκ ἐν σαρκὶ πεποιθότες,

Ιερ. δ. δ.
Ρωμ. β. κη.

4 Καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. Τί λέγει ἐνταῦθα πεποίθησιν, καὶ, ἐν σαρκί; καύχησιν, παῤῥησίαν, σεμνολόγημα. καὶ καλῶς τοῦτο προσέθηκεν. εἰ μὲν γὰρ ἐξ ἐθνῶν ὢν κατηγόρει τῆς περιτομῆς, οὐ τῆς περιτομῆς δὲ μόνον, ἀλλὰ καὶ τῶν ἀχαρίστως αὐτὴν μεταχειριζόντων, ἔδοξεν ἂν, ὡς ἀπεστερημένος τῆς τοῦ Ἰουδαϊσμοῦ εὐγενείας, κατατρέχειν αὐτῆς, ὡς οὐκ εἰδὼς τὰ σεμνὰ, οὐδὲ μετεσχηκὼς αὐτῶν. νῦν δὲ ὁ μετασχὼν καὶ κατηγορῶν, οὐ διὰ τοῦτο κατηγορεῖ, ὡς οὐ μετασχὼν, ἀλλ' ὡς καταγνωκὼς, οὐ δι' ἄγνοιαν, ἀλλὰ δι' ἐπίγνωσιν μάλιστα. ὅρα δὴ τί φησι καὶ ἐν τῇ πρὸς Γαλάτας, ἐμπεσὼν εἰς ἀνάγκην τοῦ μεγάλα περὶ ἑαυτοῦ εἰπεῖν, πῶς καὶ οὕτω τὴν ταπεινοφροσύνην ἐνδείκνυται. Ἠκούσατε γὰρ, φησι, τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ. καὶ πάλιν ἐνταῦθα· Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον. καὶ εὐθέως ἐπήγαγεν· Ἑβραῖος ἐξ Ἑβραίων. οὐκ εἶπε τοῦτο προηγουμένως, ἀλλὰ μετὰ τὸ εἰπεῖν, εἴ τις ἄλλος, δεικνὺς τὴν ἀνάγκην, δεικνὺς ὅτι δι' ἐκείνους ἔλεγεν. Εἰ πεποίθατε, φησι, κἀγὼ μᾶλλον. τοῦτο νῦν λέγω, ἐπεὶ ἐσιώπων. καὶ ὅρα τὸ ἀνεπαχθὲς τῶν ἐλέγχων. τὸ γὰρ μὴ ὀνομαστὶ τοῦτο ποιεῖν, κἀκείνοις ἐδίδου χώραν ἀναδραμεῖν. Εἴ τις δοκεῖ πεποιθέναι. καὶ καλῶς εἶπε, δοκεῖ, ἢ ὡς οὐκ ἐχόντων τοσαύτην πεποίθησιν, ἢ ὡς τῆς πεποιθήσεως ἐκείνης οὐκ ὄντως πεποιθήσεως οὔσης. πάντα γὰρ ἀνάγκης ἦν, οὐ προαιρέσεως.

Γαλ. α. ιγ.

5 Περιτομὴ ὀκταήμερος. Καὶ πρῶτον τίθησιν ὃ μάλιστα ηὔχουν, τὸ τῆς περιτομῆς,

μῆς. Εἶτα, ἐκ γένους Ἰσραήλ. Τὰ ἀμφότερα ἔδειξεν, ὅτι οὐ προσήλυτος, οὔτε ἐκ προσηλύτων. ἀπὸ μὲν γὰρ τοῦ ὀκταήμερος περιτμηθῆναι, οὐχὶ προσήλυτος· ἀπὸ δὲ τοῦ ἐκ γένους Ἰσραήλ, οὐδὲ προσηλύτων γονέων. ἀλλ' ἵνα μὴ νομίσῃς, ὅτι ἐκ γένους Ἰσραήλ, ἐκ τῶν δέκα φυλῶν, φησί, Φυλῆς Βενιαμίν. Ὥστε τοῦ δοκιμωτέρου μέρους. τὸ γὰρ τῶν ἱερέων ἐν τῷ κλήρῳ ταύτης ἦν τῆς φυλῆς. Ἑβραῖος ἐξ Ἑβραίων. Ἐντεῦθεν δείκνυσιν, ὅτι οὐχὶ προσήλυτος, ἀλλ' ἄνωθεν τῶν εὐδοκίμων Ἰουδαίων. ἦσαν μὲν γὰρ εἶναι τοῦ Ἰσραήλ, ἀλλ' οὐχ Ἑβραῖοι ἐξ Ἑβραίων. πολλοὶ γὰρ καὶ διέφθειρον ἤδη τὸ πρᾶγμα, καὶ τῆς γλώττης ἦσαν ἀμύητοι, ἑτέροις μιγνύμενοι ἔθνεσιν. ὁ τοίνυν οὕτως, ἢ τὴν πολλὴν εὐγένειαν δείκνυσιν ἐντεῦθεν. Κατὰ νόμον Φαρισαῖος. Ἔρχεται λοιπὸν εἰς τὰ τῆς αὐτοῦ προαιρέσεως. ἐκεῖνα γὰρ πάντα ἀπροαίρετα. τὸ γὰρ τὸ περιτμηθῆναι, οὐκ αὐτοῦ, καὶ τὸ, ἐκ γένους Ἰσραήλ, καὶ τὸ, ἐκ φυλῆς Βενιαμίν· ὥστε καὶ ἐκ τούτων μᾶλλον πλεονεκτεῖ. εἰ καὶ τὰ μάλιστα ἐκποιοῦσιν αὐτοῦ πολλοί. τί οὖν οὕτω τὸ μᾶλλον; μάλιστα μὲν καὶ ἐν τούτῳ τὸ μὴ προσηλύτους εἶναι, καὶ τῷ ἐκ τῆς δοκιμωτάτης φυλῆς, καὶ τὸ ἄνωθεν ἐκ προγόνων, ἅπερ οὐ πολλοὶ εἶχον· ἀλλ' ἐπειδὴ πάντα ἀπροαίρετα, ἔρχεται εἰς τὰ τῆς προαιρέσεως, ὅπου τὸ μᾶλλον ἐστί. Κατὰ νόμον Φαρισαῖος,

6 Κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν. Τοῦτό φησι, διότι οὐκ ἀρκεῖ δεῖξαι τὸ μᾶλλον μόνον ἐκεῖνο. ἔστι γὰρ καὶ Φαρισαῖον εἶναι, καὶ μὴ σφόδρα ζηλωτὴν κατὰ δικαιοσύνην· ἐπειδὴ οὐ μὴ ῥιψοκίνδυνοι εἶναι, ἢ φιλαρχίας ἕνεκεν τοῦτο ποιεῖν, ἀλλ' οὐ τῷ νόμῳ ζηλοῦντα. ὅπερ ἐποίουν οἱ ἀρχιερεῖς. ἀλλ' αὐτὸς οὐ τοιοῦτος· ἀλλά, Κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. Εἰ τοίνυν καὶ εὐγενείας ἕνεκεν, καὶ προθυμίας, καὶ τρόπου, καὶ βίου πάντων ἐκράτουν, τίνος ἕνεκεν τὰ σεμνὰ ἐκεῖνα εἴασα, φησίν, ἀλλ' ἢ διὰ τὸ μείζονα εὑρεῖν τὰ τοῦ Χριστοῦ, καὶ πολλῷ μείζονα. διὸ ἐπιφέρει·

7 Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν.

ΗΘΙΚΟΝ

Παῦλος μὲν πολιτείαν οὕτως περιβόητον, ἐκ πρώτης τῆς ἡλικίας ἀρξαμένην, τοσαύτην εὐγένειαν, τοσούτους κινδύνους, τοσαύτας ἐπιβουλάς, πόνους, σπουδὴν ἔρριψε, καὶ ζημίαν ἡγήσατο, πρότερον ὄντα κέρδη, ἵνα Χριστὸν κερδήσῃ· ἡμεῖς δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν, ἵνα Χριστὸν κερδήσωμεν, ἀλλ' αἱρούμεθα μᾶλλον ἐκπεσεῖν τῆς μελλούσης ζωῆς, ἢ τῶν παρόντων πραγμάτων· καίτοιγε οὐδὲν ἄλλο οὗτός ἐστιν, ἢ ζημία. εἰπὲ γάρ μοι, καθ' ἕκαστον ἐξετάσωμεν τῶν τοῦ πλούτου πραγμάτων, εἰ μὴ ζημία τίς ἐστι, πόνον μὲν ἄφατον ἔχουσα, κέρδος δὲ οὐδέν. τί γάρ, εἰπέ μοι, τὸ ὄφελος ἀπὸ τῶν πολλῶν τῶν ἱματίων καὶ πολυτελῶν; τί καρπούμεθα κέρδος, ὅταν αὐτὰ ὦμεν περικείμενοι; οὐδέν, ἀλλ' ἢ ζημιούμεθα μόνον. πῶς; ὅτι καὶ ὁ πένης εὐτελὲς καὶ ἐκτετριμμένον φορῶν, ἐν τῷ θάλπει οὐδέν σου χεῖρον φέρει τὸ καῦμα· μᾶλλον δὲ ἐκεῖνος εὐκολώτερον. τὰ γὰρ ἐκτετριμμένα τῶν ἱματίων καὶ μόνα περικείμενα, μᾶλλον ἀνίησι τὸ σῶμα· τὰ δὲ νεοκατασκεύαστα, κἂν ἀράχνης ᾖ λεπτότερα, οὐχ ὁμοίως. καὶ σὺ μὲν διὰ τὸν τῦφον τὸν περιττὸν καὶ χιτωνίσκους δύο, καὶ τρεῖς, πολλάκις καὶ χλαμύδα, καὶ ζώνην, καὶ ἀναξυρίδας ἔχεις· ἐκεῖνος δὲ οὐδεὶς ἐγκαλεῖ ἕνα περικείμενος χιτωνίσκον μόνον· ὥστε εὐκολώτερον φέρει τὸ καῦμα. ἀπὸ τούτου σὺ μὲν πλουτοῦντας ὁρῶμεν ἱδροῦντας, σὺ δὲ πένητας οὐδὲν τούτων πάσχοντας. ὅταν οὖν αὐτοῦ τὴν αὐτήν, ἢ καὶ κρείττονα παρέχηται χρείαν τὰ εὐτελῆ ἱμάτια καὶ τοῦ μηδενὸς πωλούμενα, ἐκεῖνα δὲ τὰ πολὺ καταβάλλειν ἀναγκάζοντα χρυσίον τὸ αὐτὸ ποιῇ, οὐχὶ ζημία τὸ πολὺ καὶ περιττόν; οὐδὲν γὰρ πλέον εἰσήνεγκε κατὰ τὸν τῆς χρείας λόγον καὶ τῆς διακονίας, ἀλλὰ πλέον μὲν χρυσίον κεκένωταί σοι· τὴν αὐτὴν δὲ χρείαν καὶ ὑπηρεσίαν ἔχει. καὶ σὺ μὲν ὁ πλουτῶν ἠγόρασας χρυσίων ἑκατὸν τυχόν, ἢ καὶ πλειόνων, ὁ δὲ πένης ἀργυρίου ὀλίγου. εἶδες τὴν ζημίαν; ἀλλ' ὁ τῦφος οὐκ ἀφίησιν ἰδεῖν. βούλει καὶ ἐπὶ τῶν χρυσίων, ὧν καὶ τοῖς ἵπποις καὶ ταῖς γυναιξὶ περιτιθέασι, τούτων ἐξετάσωμεν τὸν λόγον; μετὰ γὰρ

τὴν

τῶν ἄλλων καὶ διὸ ὄντως ποιεῖ τὸ πλουτεῖν. τοὺς γὰρ αὐτῆς τιμῆς ταῖς τε γυναῖκας ἀξιοῦσι, καὶ τοὺς ἵππους· καὶ εἷς ὁ καλλωπισμὸς ἀμφοτέρων· καὶ ἀπὸ τῶν αὐτῶν βούλονται φαίνεσθαι λαμπρότεραι, ἀφ' ὧν καὶ τὰ ζεύγη, ἀφ' ὧν καὶ τὰ δέρματα τῶν παραπετασμάτων, ἔνθα φέρονται. Εἰπὲ, τί τὸ κέρδος, ἡμίονοι ἢ ἵπποι τῷ χρυσῷ καταχρυσούμεναι; τί δὲ γυνὴ τοσοῦτον ὄγκον χρυσίου περικειμένη καὶ λίθων, τί τὸ πλέον ἔχει; ἀλλ' οὐκ ἐκπερίδεται τὰ χρυσία, φησί. μάλιστα μὲν καὶ τοῦτο πάσχει φασὶ τὸ περὶ ταῦτα δεινοί, ὅτι ἐν βαλανείοις, καὶ πολλαχοῦ καὶ λίθοι, καὶ χρυσία πολὺ τῆς τιμῆς ἀπόλλυται. πλὴν ἀλλ' ἔστω τοῦτο, καὶ μηδὲν βλαπτέσθω. τί τὸ κέρδος, εἰπέ μοι; τί δὲ, ὅταν ἐκπέσῃ, καὶ ἀπόληται, οὐχὶ ζημία; τί δὲ, ὅταν φθόνον ἐπισπάσηται καὶ ἐπιβουλὴν, οὐχὶ ζημία; ὅταν γὰρ ὠφελῇ μὲν μηδὲν τὴν περικειμένην, ἐκκαίῃ δὲ τοὺς τῶν φθονερῶν ὀφθαλμοὺς, καὶ τοὺς λῃστὰς διεγείρῃ μᾶλλον, οὐχὶ ζημία γίνεται; τί δὲ, εἰπέ μοι, ὅταν ἐξὸν τῷ ἀνδρὶ χρήσασθαι τούτοις εἰς πρᾶγμα κέρδος φέρον, μὴ δύνηται δὲ διὰ τὴν τῆς γυναικὸς πολυτέλειαν, ἀλλ' ἀναγκάζηται λιμώττειν καὶ στενοχωρεῖσθαι, κἀκείνην ὁρᾷ χρυσοφοροῦσαν, οὐχὶ ζημία τὸ πρᾶγμα; χρήματα γὰρ διὰ τοῦτο εἴρηται, οὐχ ἵνα οὕτω χρώμεθα αὐτοῖς, καθάπερ αἱ παραθῆκαι τῶν χρυσοχόων, ἀλλ' ἵνα ἐργαζώμεθά τι καλὸν ἐν αὐτοῖς. ὅταν οὖν ὁ τοῦ χρυσοῦ πόθος μὴ ἀφῇ, οὐχὶ ζημία ἐστὶ τὸ πᾶν; ὁ γὰρ μὴ τολμῶν αὐτοῖς χρήσασθαι, ὥσπερ ἀλλοτρίοις, οὐ κέχρηται· καὶ οὐκ ἔστι χρῆσις οὐδαμοῦ. τί δὲ, ὅταν οἰκίας οἰκοδομῶμεν λαμπρὰς καὶ μεγάλας, καὶ κίοσι καὶ μαρμάροις καὶ στοαῖς καὶ περιπάτοις καὶ παντοίως ταύτας κατακοσμῶμεν, εἴδωλα πανταχοῦ καὶ ξόανα ἱστῶντες; πολλοὶ μὲν οὖν ἀπὸ τούτων καὶ δαίμονας καλοῦσι. πλὴν ἀλλὰ μὴ ταῦτα ἐξετάσωμεν. τί βούλεται καὶ ὁ χρυσοῦς ὄροφος; οὐχὶ τὴν αὐτὴν τῷ μετὰ συμμετρίας οἰκίαν ἔχοντι παρέχεται τὴν χρῆσιν; ἀλλ' ἔχει, φησὶ, τέρψιν πολλήν. ἀλλὰ μέχρις ἡμέρας μιᾶς καὶ δευτέρας, λοιπὸν δὲ οὐκέτι *. Εἰ γὰρ ὁ ἥλιος ἡμᾶς οὐκ ἐκπλήττει διὰ τὸ ἐν συνηθείᾳ εἶναι, πολλῷ μᾶλλον τὰ ἔργα τῆς τέχνης· ἀλλ' ὁμοίως τοῖς πηλίνοις, αὐτοῖς προσέχομεν. τί γὰρ, εἰπέ μοι, εἰς ἀρίστην οἴκησιν κιόνων πλῆθος, καὶ ξοάνων κάλλη, καὶ χρυσὸς τοῖς τοίχοις διεσπαρμένος συμβάλλεται; οὐδὲν, ἀλλὰ βλακείας καὶ ὕβρεως καὶ τύφου περιττοῦ καὶ ἀνοίας ἐστί. πανταχοῦ δὲ ἡμᾶς τὴν ἀναγκαίων εἶναι χρὴ καὶ τὴν ἐν χρείᾳ, οὐ τὴν περιττῶν. ὁρᾷς ὅτι ζημία τὸ πρᾶγμα; ὁρᾷς ὅτι περιττὸν καὶ ἀνόητον ἐστίν; εἰ γὰρ μήτε χρείαν παρέχει πλείονα, μήτε τέρψιν (προσκορὴς γὰρ ὁ χρόνος γίνεται) οὐδὲν ἕτερον ἐστὶν, ἢ ζημία. ἀλλ' οὐκ ἀφίησι τοῦτο ὁρᾷν ἡ κενοδοξία κωλύουσα. Εἶτα ὁ μὲν Παῦλος ἅπερ ἐνόμιζεν εἶναι κέρδη, ταῦτα εἴασεν· ἡμεῖς δὲ οὐδὲ τὴν ζημίαν ἀφίεμεν διὰ τὸν Χριστόν; μέχρι ποτὲ τῇ γῇ προσηλώμεθα; μέχρι τίνος οὐκ ἀναβλέπομεν εἰς τὸν οὐρανόν; οὐχ ὁρᾶτε τοὺς γεγηρακότας, πῶς οὐδεμίαν τῶν παρελθόντων ἔχουσιν αἴσθησιν; οὐχ ὁρᾶτε τοὺς τελευτῶντας, τοὺς ἐν γήρᾳ, τοὺς ἐν νεότητι; οὐχ ὁρᾶτε τοὺς ἐν τῷ ζῆν ἀπεστερημένους αὐτῶν; τί τοῖς ἀστάτοις προσεστήκαμεν; τί προσδεδέμεθα τοῖς ἀβεβαίοις; μέχρι τίνος οὐκ ἀντιλαμβανόμεθα τῶν μενόντων; τί οὐκ ἂν ἔδωκαν οἱ γέροντες, εἴγε ἐνῆν ἀποξέσαι τὸ γῆρας; Εἶτα πόσης οὐκ ἔστιν ἀλογίας, βούλεσθαι μὲν ἐπὶ τὴν νεότητα τὴν περιττὴν ἐπιμελεῖσθαι, καὶ πάντα εὐκόλως ἂν καὶ τὰ παρ' τούτου δοῦναι, ὥστε γενέσθαι νεωτέραν, παρὸν δὲ νεότητα λαβεῖν οὐδέποτε γῆρας ἔχουσαν, καὶ νεότητα μετὰ πλούτου πολλοῦ πολὺ πνευματικωτέραν, μηδὲ μικρὸν βούλεσθαι πονεῖσθαι, ἀλλὰ κατέχειν τὰ μηδὲν εἰς τὸ παρὸν ὠφελοῦντα; θάνατον σε ἐξελέσθαι οὐ δύναται, νόσον ἀπελάσαι οὐκ ἰσχύει, γῆρας κωλῦσαι, οὐδὲν τούτων τῶν ἀναγκαίων καὶ κατὰ τὸν τῆς φύσεως νόμον γινομένων· καὶ ἔτι αὐτῶν ἔχει; τί τὸ κέρδος, εἰπέ μοι; ἐντεῦθεν μέθη, γαστριμαργία, ἡδοναὶ ἄτοποι καὶ παντοδαπαὶ, πικρῶν δεσποτῶν μᾶλλον ἡμᾶς καταστείνουσαι. ταῦτα ἀπὸ τοῦ πλούτου κερδαίνειν ἐστὶ μόνον, ἕτερον δὲ οὐδὲν, ἐπειδὴ οὐ βουλόμεθα· ἐπεὶ εἴγε ἠθέλομεν, τὸν οὐρανὸν ἂν αὐτὸν ἐκληρονομήσαμεν ἀπὸ πλούτου. Ἄκουσον καὶ ὁ πλού-

τός, φησι. οὐχ ὁ πλοῦτος τοῦτο ποιεῖ, ἀλλ' ἡ τοῦ κεκτημένου προαίρεσις. ὅτι γὰρ προαίρεσις τοῦτο ποιεῖ, σκόπει ἐντεῦθεν. ἔνεστι καὶ τὸν πάντα κατακληρονομῆσαι τὸν οὐρανόν. ὅπερ γὰρ πολλάκις εἶπον, οὐ τῷ μέτρῳ τῶν διδομένων ὁ Θεὸς προσέχει, ἀλλὰ τῇ προαιρέσει τῶν παρεχόντων. ἔνεστι καὶ ἐν πενίᾳ ὄντα, καὶ ὀλίγα δόντα, τὸ πᾶν ἀπενέγκασθαι. τὰ γὰρ κατὰ δύναμιν ὁ Θεὸς ἀπαιτεῖ. οὔτε πλοῦτος προξενεῖ τὸν οὐρανόν, οὔτε πενία τὴν γέενναν, ἀλλ' ἑκάτερα προαίρεσις ἀγαθὴ καὶ μοχθηρά. ταύτην οὖν διορθώσωμεν, ταύτην ἀνακτησώμεθα, ταύτην ῥυθμίσωμεν, καὶ πάντα ἡμῖν ἔσται εὔκολα. καθάπερ γὰρ ὁ τεχνίτης, ἄν τε σιδηροῦν, ἄν τε χρυσοῦν σκέπαρνον ἔχῃ, ὁμοίως ἐργάζεται τὰ ξύλα, μᾶλλον δὲ ἐν τῷ σιδηρῷ πλέον· οὕτω καὶ ἐνταῦθα, εὐκολώτερον μᾶλλον διὰ τῆς πενίας ἡ ἀρετὴ κατορθοῦται. περὶ μὲν γὰρ τοῦ πλούτου φησὶν ὁ Χριστός, Εὐκολώτερον κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· [Μαρκ. ι. κε.] περὶ δὲ τῆς πενίας οὐδὲν τοιοῦτον ἀπεφήνατο, ἀλλὰ καὶ τοὐναντίον. Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, [Ματθ. ιθ. κα.] ὡς ἐκ τῆς προαιρέσεως τῆς ἀκολουθήσεως οὔσης. μὴ τοίνυν φεύγωμεν τὴν πενίαν, ὡς πονηρόν (βασιλείας γάρ ἐστι πρόξενος) καὶ πάλιν μὴ διώκωμεν τὸν πλοῦτον ὡς ἀγαθόν (τοῦτο γὰρ μὴ προσέχοντας ἀπόλλυσι) ἀλλὰ πανταχοῦ τὸ ὄμμα πρὸς τὸν Θεὸν ἀνατείνοντες, χρώμεθα εἰς δέον τοῖς ὑπηργμένοις ἡμῖν παρ' αὐτοῦ, καὶ δυνάμει σώματος, καὶ περιουσίᾳ χρημάτων, καὶ τοῖς ἄλλοις ἅπασιν. ἄτοπον γὰρ ὑπ' αὐτοῦ γινομένους, ἑτέροις ταῦτα παρέχειν χρήσιμα, ἀλλὰ μὴ τῷ πεποιηκότι ἡμᾶς. ἐποίησέ σοι ὀφθαλμούς; τούτους αὐτῷ παρέχε χρησίμους, μὴ τῷ διαβόλῳ. πῶς δὲ αὐτῷ παρέξεις; τὰ κτίσματα αὐτοῦ θεωρῶν, καὶ δοξάζων* αὐτόν, καὶ ἀπάγων τῆς τῶν γυναικῶν ὄψεως. ἀλλ' ἐποίησέ σοι χεῖρας; ταύτας αὐτῷ κέκτησο, μὴ τῷ διαβόλῳ, μὴ εἰς ἁρπαγὰς καὶ πλεονεξίας, ἀλλ' εἰς ἐντολὰς καὶ εὐποιίας, καὶ εἰς εὐχὰς ἐκτενεῖς ἀνατείνων αὐτάς, εἰς δὲ τοῖς πεπτωκόσι ὀρέγειν χεῖρα. ἐποίησέ σοι ὦτα; ταῦτα αὐτῷ παρέχε, ἀλλὰ μὴ τοῖς διακεκλασμένοις μέλεσι, μηδὲ ταῖς αἰσχραῖς ἀκοαῖς· Πᾶσα γὰρ διήγησίς σου, φησίν, ἐν νόμῳ ὑψίστου ἔστω. [Σειρ. θ. κ.] καὶ πάλιν, Ἐν πλήθει, φησί, πρεσβυτέρων στῆθι, καὶ εἴ τις σοφός, αὐτῷ προσκολλήθητι. [Σειρ. ς. λδ.] ἐποίησέ σοι στόμα; τοῦτο μηδὲν ψαλτέτω τῶν μὴ δοκούντων αὐτῷ, ἀλλὰ ψαλμῳδίας, ὕμνους, ᾠδὰς πνευματικὰς ᾀδέτω· Ἵνα δῷ [Εφ. δ. κθ.] χάριν, φησί, τοῖς ἀκούουσιν εἰς οἰκοδομήν, καὶ μὴ εἰς καταστροφήν, εἰς εὐφημίαν, καὶ μὴ εἰς κακηγορίαν, μὴ εἰς ἐπιβουλάς, ἀλλὰ πᾶν τοὐναντίον. ἐποίησέ σοι πόδας, οὐχ ἵνα τρέχῃς ἐπὶ κακίαν, ἀλλ' ἐπὶ ἀγαθά. ἐποίησέ σοι γαστέρα, οὐχ ἵνα διαῤῥηγνύῃς αὐτήν, ἀλλ' ἵνα φιλοσοφῇς. ἔθηκεν ἐπιθυμίαν πρὸς παιδοποιίαν, ἀλλ' οὐ πρὸς πορνείαν, καὶ μοιχείαν. ἔδωκέ σοι νοῦν, οὐχ ἵνα [αὐτὸν] βλασφημῇς, οὐχ ἵνα λοίδορος ᾖς, ἀλλ' ἵνα εὐφημῇς. ἔδωκε καὶ χρήματα, ἵνα εἰς δέον αὐτοῖς χρώμεθα· καὶ ἰσχύν, ἵνα καὶ ταύτῃ εἰς δέον ὦμεν κεχρημένοι. ἐποίησε τέχνας, ἵνα βίος συνεστήκῃ, οὐχ ἵνα τῶν πνευματικῶν ἀποχωρήσωμεν ἑαυτῶν, οὐχ ἵνα ταῖς βαναύσοις προσέχωμεν τέχναις, ἀλλὰ ταῖς ἀναγκαίαις, ἵνα ἀλλήλοις ὑπηρετῶμεν, οὐχ ἵνα ἀλλήλοις ἐπιβουλεύωμεν. ἔδωκεν ὄροφον, ἵνα στέγῃ τὸν ὑετὸν [τοσοῦτον μόνον,] οὐχ ἵνα καλλωπίζηται τοῦτο μὲν τῷ χρυσῷ, ὁ δὲ πένης διαφθείρηται τῷ λιμῷ. ἔδωκεν ἱμάτια, ἵνα σκεπώμεθα, οὐχ ἵνα ἐπιδεικνυώμεθα, οὐχ ἵνα ταῦτα μὲν ᾖ πολὺ ἔχοντα χρυσίον, ὁ δὲ Χριστὸς γυμνὸς ἀπολλύηται. ἔδωκε στέγην, οὐχ ἵνα μόνος ἔχῃς, ἀλλ' ἵνα καὶ ἄλλοις παρέχῃς. ἔδωκε γῆν, οὐχ ἵνα σὺ τὸ πλέον αὐτῆς ἀποτεμνόμενος εἰς πόρνας, καὶ ὀρχηστάς, καὶ μίμους, καὶ αὐλητάς, καὶ κιθαρῳδοὺς ἀναλίσκῃς τὰ τοῦ Θεοῦ ἀγαθά, ἀλλ' εἰς πεινῶντας καὶ δεομένους. ἔδωκέ σοι θάλατταν, ἵνα πλέῃς, ἵνα μὴ κάμνῃς ὁδοιπορῶν, οὐχ ἵνα περιεργάζῃ αὐτῆς τὰ βάθη, καὶ λίθους, καὶ ὅσα τοιαῦτα ἐκεῖθεν ἀναφέρῃς, οὐδ' ἵνα ἔργον τοῦτο ποιῇ. τίνος οὖν ἕνεκεν, φησίν, οἱ λίθοι; εἰπὲ δή μοι μᾶλλον σύ, τίνος ἕνεκεν οἱ λίθοι, καὶ πῶς οὕτως εἰσὶν ἐκεῖνοι βαρύτιμοι; ἆρα τῇ δυνάμει; ἆρα τῇ χρήσει; μᾶλλον μὲν οὖν

τῶν μὴ τοιούτων, χρήσιμοι. τῶν μὲν γὰρ καὶ πρὸς οἰκοδομὴν συμβάλλονται, ἐκεῖνοι δὲ πρὸς οὐδέν· καὶ οὗτοι ἐκείνων ἰσχυρότεροι. ἀλλ' ἐκεῖνοι, φησὶ, κάλλος ἐργάζονται. πῶς; ὑπολήψεώς ἐστι τὸ ἔργον. λευκότεροί εἰσιν; ἀλλ' οὐκ εἰσὶ μαρμάρου τοῦ σφόδρα λευκοῦ λευκότεροι, ἀλλ' οὐδὲ ἴσοι. ἀλλ' ἰσχυρότεροι; ἀλλ' οὐδὲ τοῦτο ἔχοι τις ἂν εἰπεῖν. ἀλλὰ χρησιμώτεροι; ἀλλὰ μείζους; ἀλλ' οὐδὲ τοῦτο. πόθεν οὖν ἐθαυμάσθησαν; ἀλλ' οὐκ ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ ὑπολήψεως. εἰ γὰρ μήτε καλλίους εἰσὶν (εὑρήσομεν γὰρ αὐτῶν περιφανεστέρους, λευκοτέρους) μήτε χρήσιμοι, μήτε ἰσχυρότεροι, πόθεν οὕτως ἐθαυμάσθησαν; οὐχὶ ἀπὸ ὑπολήψεως μόνης; τίνος οὖν ἕνεκεν ἔδωκεν αὐτούς; οὐκ αὐτὸς ἔδωκεν, ἀλλὰ σὺ ἐνόμισας μέγα τι εἶναι. τί οὖν, φησὶν, ὅτι καὶ ἡ γραφὴ τούτους θαυμάζει; πρὸς τὴν ὑπόληψιν λοιπὸν διαλέγεται τὴν σήν. ἐπεὶ καὶ διδάσκαλος παιδίῳ διαλεγόμενος, τὰ αὐτὰ ἐκείνῳ πολλαχοῦ θαυμάζει, ὅταν αὐτὸ βούληται ἐπισπάσασθαι καὶ ὑπαγαγέσθαι. τί κάλλος ἐπιζητεῖς ἱματίων; ἱματίῳ σε περιέβαλε καὶ ὑποδήμασιν. ἀλλὰ [ταῦτα δὲ ποῦ λόγον ἂν ἔχοι;] ἐπιθυμητὰ ὁ Δαβὶδ ὑπὲρ χρυσίον φησὶ, καὶ λίθον τίμιον πολὺν τὰ κρίματα τοῦ Θεοῦ. τούτοις κοσμοῦ, ἐν τούτοις ἀρκοῦ. ταῦτα δὲ ποῦ λόγον ἂν ἔχοι; οὐκ ἔστι ταῦτα, ἀγαπητοὶ, χρήσιμα. εἰ χρήσιμα ἦν, οὐκ ἂν ἐκέλευσεν αὐτῶν καταφρονεῖν· ἀλλὰ πρὸς τὴν ὑπόληψιν τὴν ἡμετέραν φθέγγεται ἡ θεία γραφή. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τίνος οὖν ἕνεκεν ἔδωκε, φησὶ, πορφύραν, καὶ ὅσα τοιαῦτα; τῆς τοῦ Θεοῦ μεγαλειότητός ἐστιν ἔργον ταῦτα. καὶ γὰρ καὶ ἀπὸ ἑτέρων τὸν πλοῦτον ἠθέλησε δεῖξαι τὸν αὐτοῦ. ἐπεὶ καὶ σῖτον ἔδωκε μόνον· σὺ δὲ πολλὰ ἀπὸ τούτου κατασκευάζεις, πλακοῦντας, πέμματα διάφορα καὶ παντοδαπὰ, πολλὴν ἔχοντα τὴν ἡδονήν. ἄλλως δὲ, καὶ ἡ κενοδοξία πάντα ταῦτα ἐφεῦρεν. ἔδοξε γάρ σοι πάντων αὐτὰ προτιμᾶν. ἐπεὶ εἴ τις σοι ἔροιτο ξένος ἀνὴρ ἢ γεωργὸς καὶ ἄπειρος ὢν αὐτῶν, καὶ ἰδών σε θαυμάζοντα εἴποι, διατί ταῦτα θαυμάζεις, τί ἔχεις εἰπεῖν; ὅτι καλὸν ἰδεῖν; ἀλλ' οὐκ ἔστι. παυσώμεθα τοίνυν τῆς τοιαύτης ὑπολήψεως, καὶ τῶν ὄντως ἀληθινῶν ἀντεχώμεθα. ταῦτα γὰρ οὐκ ἔστιν, ἀλλ' ἁπλῶς παρέρχεται μόνον ποταμοῦ δίκην παραρρέοντα. διὸ, παρακαλῶ, ἐπὶ τῆς πέτρας ἑαυτοὺς στήσωμεν, ἵνα καὶ τὸ εὐκόλως περιτρέπεσθαι φύγωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Ψαλ. ιθ. ια.

χ. συμβάλλουσιν

Λογ. ια. 7 ΑΛΛ' ΑΤΙΝΑ ΗΝ ΜΟΙ ΚΕΡΔΗ, ΤΑΥΤΑ ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν· 8 Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι, διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, 9 Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην.

ΤΟῖς πρὸς τοὺς αἱρετικοὺς ἀγῶσιν ἀκμαζούσαις χρὴ προσβάλλειν ταῖς διανοίαις καὶ συνεχῶς. οὕτω γάρ ἐστι συγχεῖν αὐτῶν τὴν παράταξιν, καὶ ἐκ περιουσίας κρατεῖν, μηδεμίαν αὐτοῖς διδόντας σχολὴν ἀναπνεῖν. διὰ τοῦτο βουλόμενος ὑμᾶς ἀπὸ τῶν γραφῶν πρὸς τοὺς τοιούτους ἀγῶνας παρεσκευάσθαι, ἵνα καὶ ἐντεῦθεν ἐπιστομίζειν τοὺς ἀπλέγοντας δύνησθε, ἀπὸ τοῦ τέλους τῆς παρελθούσης διαλέξεως τὴν ἀρχὴν ταύτης τῆς μετὰ χεῖρας ποιοῦμαι. καὶ τί ἦν ἐκείνης τὸ τέλος, φησί; καταλέξας πάντα τὰ καυχήματα τὰ Ἰουδαϊκὰ, τὰ ἀπὸ φύσεως, τὰ ἀπὸ προαιρέσεως, ἐπή-

γαγών· ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι ζημίαν πάντα εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω. ἐπιπηδῶσιν ἐνταῦθα οἱ αἱρετικοί. τὸ [γὰρ καὶ] τοῦτο τῆς σοφίας ἐστὶ τοῦ πνεύματος, ἐλπίδας αὐτοῖς ὑποθέσθαι νίκης, ἵνα καταδέξωνται τὴν μάχην. εἰ γὰρ φανερῶς εἴρητο, ὅπερ ἐπὶ τῶν ἄλλων ἐποίησαν, ἐποίησαν ἂν καὶ ἐπὶ τούτων· ἐξήλειψαν ἂν τὰ γράμματα, περιῃτήσαντο τὴν γραφήν, οὐ δυνάμενοι ὅλως ταύτῃ ἀντιβλέπειν. ἀλλ' ὅπερ ἐπὶ τῶν ἰχθύων γίνεται, τὸ δυνάμενον αὐτοὺς ἑλεῖν κρύπτεται, ὥστε αὐτοὺς ἐπιδραμεῖν, τὸ οὐ περιδηλοῦν κεῖται· τοῦτο δὴ καὶ ἐνταῦθα συνέβη, τὴν ζημίαν τὸν νόμον παρὰ Παύλου εἰρῆσθαι. σκύβαλα εἴρηται ὁ νόμος, φησί, ζημία εἴρηται· οὐκ ἐνῆν Χριστὸν κερδῆσαι, εἰ μὴ τοῦτον ἐζημιώθην. ταῦτα πάντα ἐπεσπάσατο τοὺς αἱρετικοὺς δέξασθαι τὸ χωρίον, νομίζοντας ὑπὲρ αὐτῶν εἶναι. ἐπειδὴ δὲ ἐδέξαντο, τότε αὐτοὺς περιέβαλε τοῖς δικτύοις πάντοθεν. τί γάρ φασιν ἐπιπηδῶντες ἐκεῖνοι; ἰδοὺ ζημία ὁ νόμος, ἰδοὺ σκύβαλα εἴρηται. πῶς οὖν αὐτὸν Θεοῦ λέγετε εἶναι; αὐτὰ μὲν οὖν ταῦτα ὑπὲρ τοῦ νόμου ἐστί· καὶ πόθεν, ἐκεῖθεν δῆλον. προσέχωμεν ἀκριβῶς τοῖς λεγομένοις. οὐκ εἶπε, ζημία ἐστὶν ὁ νόμος, ἀλλ', ἥγημαι αὐτὸν ζημίαν. καὶ ὅτε μὲν περὶ κέρδους ἔλεγεν, οὐκ εἶπεν, ἥγημαι, ἀλλ', ἦν κέρδος· ὅτε δὲ περὶ ζημίας, εἶπεν, ἥγημαι, εἰκότως. ἐκεῖνο μὲν γὰρ ἦν φύσει, τοῦτο δὲ λοιπὸν γέγονεν ἀπὸ τῆς ἡμετέρας ὑπολήψεως. τί οὖν; οὐκ ἔστι, φησί, ζημία ὁ νόμος; ἔστιν· ἀλλὰ διὰ τὸν Χριστόν. ἀλλὰ νῦν κέρδος γέγονεν. οὐκ, ἐνομίζετο κέρδος, εἶπεν, ἀλλ' ἦν, μονονουχὶ λέγων· ἐννόησον ὅσον ἦν ἀνθρώποις ἐκτεθηριωμένοις τὴν φύσιν, εἰς τὸ τῶν ἀνθρώπων σχῆμα καταστῆσαι. εἰ μὴ ὁ νόμος ἦν, οὐδ' ἂν ἡ χάρις ἐδόθη. διατί; ὅτι καθάπερ τις γέφυρα γέγονεν. ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἀπὸ τῆς πολλῆς ταπεινώσεως εἰς τὸ ὕψος ἀνελθεῖν, γέγονε κλίμαξ. ἀλλὰ εἰ καὶ τῆς κλίμακος οὐκέτι δέεται ὁ ἀνελθών· ἀλλ' οὐ μὴν διὰ τοῦτο αὐτὴν ὑποφορᾷ, ἀλλὰ καὶ χάριν αὐτῇ οἶδεν. αὕτη γὰρ αὐτὸν εἰς τὸ μηκέτι δεῖσθαι αὐτῆς κατέστησε· καὶ ὅμως ὑπὲρ τούτου αὐτοῦ, ὅτι οὐ δεῖται αὐτῆς, αὐτῇ χάριν ὁμολογεῖν, φησί, δίκαιον. οὐ γὰρ ἂν ἀνέβη. οὕτω καὶ ἐπὶ τοῦ νόμου· ἀνήγαγεν ἡμᾶς εἰς ὕψος. οὐκοῦν κέρδος ἦν· ἀλλὰ λοιπὸν ζημίαν αὐτὸν νομίζομεν. πῶς; οὐκ ἐπειδὴ ζημία ἐστὶν, ἀλλ' ἐπειδὴ πολὺ μείζων ἡ χάρις. ὥσπερ γὰρ ὁ ἐν λιμῷ ὢν πένης, ἕως μὲν ἂν ἔχῃ ἀργύριον, διαφεύγει τὸν λιμόν· ἐπειδὰν δὲ χρυσὸν εὕρῃ, καὶ μὴ ἐξῇ ἀμφότερα κατασχεῖν, ζημίαν ἡγεῖται τὸ ἐκεῖνο κατέχειν, καὶ ἀφεὶς αὐτὸ, λαμβάνει τὸ χρυσίον, ἀφίησι δὲ, οὐκ ἐπειδὴ ζημία τὸ ἀργύριον (οὐ γάρ ἐστιν) ἀλλ' ἐπειδὴ οὐκ ἔνι ὁμοῦ τὰ δύο λαβεῖν, ἀλλ' ἀνάγκη τὸ ἓν καταλιπεῖν· οὕτω καὶ ἐνταῦθα. ζημία οὖν οὐχ ὁ νόμος ἐστὶν, ἀλλὰ τὸ τῷ νόμῳ προσκαθήμενον ἀφίστασθαι τοῦ Χριστοῦ. ὥστε, ὅταν ἀπάγῃ ἡμᾶς τοῦ Χριστοῦ, τότε ζημία· ἂν δὲ παραπέμπῃ, οὐκέτι. διὰ τοῦτό φησι ζημία, τουτέστι, διὰ τὸν Χριστόν. εἰ διὰ τὸν Χριστὸν, οὐ φύσει ζημία. διατί δὲ οὐκ ἀφίησι τῷ Χριστῷ προσελθεῖν ὁ νόμος; καὶ μὴν εἰς τοῦτό, φησιν, ἐδόθη, καὶ πλήρωμα νόμου Χριστός, καὶ τέλος νόμου Χριστός. ἀφίησιν, ἐὰν θέλωμεν πείθεσθαι. ὁ τῷ νόμῳ τοίνυν πειθόμενος, αὐτὸν ἀφίησι τὸν νόμον; ἀφίησιν, ἐὰν προσέχωμεν· ἂν μέντοι μὴ προσέχωμεν, οὐκ ἀφίησιν. ἀλλὰ μενοῦν καὶ ἥγημαι πάντα ζημίαν εἶναι. τί λέγω, φησί, τοῦτο περὶ τοῦ νόμου; οὐχὶ καλὸν ὁ κόσμος; οὐχὶ καλὸν ἡ παροῦσα ζωή; ἀλλ' ἐὰν με ἀπαγάγῃ τοῦ Χριστοῦ, ζημίαν ταῦτα τίθεμαι. διατί; διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου. τοῦ γὰρ ἡλίου φανέντος, προσκαθῆσθαι τῷ λύχνῳ ζημία· ὥστε ἀπὸ τῆς παραβολῆς ἡ ζημία γίνεται, ἀπὸ τοῦ ὑπερέχοντος. ὁρᾷς ὅτι σύγκρισιν ποιεῖται; διὰ τὸ ὑπερέχον, φησίν, οὐ διὰ τὸ ἀλλότριον. τὸ γὰρ ὑπερέχον, τοῦ ὁμογενοῦς ὑπερέχει. ὥστε ἀφ' ὧν ποιεῖται τὴν κατὰ σύγκρισιν ὑπεροχήν, ἀπὸ τούτων δείκνυσι τὴν οἰκείωσιν τῆς γνώσεως. δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω. σκύβαλα· οὔπω μὲν δῆλον, εἰ περὶ τοῦ νόμου φησὶ τὰ σκύβαλα. εἰκὸς γὰρ

Ῥωμ. ι. δ.

αὐτὸν

αὐτὸν περὶ κοσμικῶν πραγμάτων τοῦτο λέγειν. Εἰπὼν γάρ, ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν, [ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι, φησί, πάντα ζημίαν,] πάντα εἶπε, καὶ τὰ πάλαι, καὶ τὰ παρόντα. Εἰ δὲ βούλει καὶ τὸν νόμον, οὐδὲ οὕτως ὕβρισται. τὸ γὰρ σκύβαλον ἀπὸ τοῦ σίτου ἐστί, καὶ τὸ ἄχυρον τοῦ σίτου τὸ σκύβαλόν ἐστι, τὸ ἄχυρον λέγω. ὥστε πρὸ τούτου χρήσιμον τὸ σκύβαλον ἦν. μετὰ γὰρ τοῦ σίτου αὐτὸ ἐκλεγόμεθα, καὶ εἰ μὴ τὸ σκύβαλον ἦν, οὐκ ἂν ὁ σῖτος ἐφύετο· οὕτω καὶ ἐπὶ τοῦ νόμου. ὁρᾷς πῶς πανταχοῦ οὐκ αὐτὸ τὴν ζημίαν τὸ πρᾶγμα καλεῖ, ἀλλὰ διὰ τὸν Χριστόν; ἀλλὰ μὲν οὖν καὶ πάντα ἡγοῦμαι ζημίαν. διὰ τί; πάλιν διὰ τὸ ὑπερέχον τῆς γνώσεως, δι' ὃν τὰ πάντα ἐζημιώθην. Εἶτα ἐπάγει, διὸ καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι, ἵνα Χριστὸν κερδήσω. ὁρᾷς πῶς ἐπιλαμβάνεται πάντοθεν τοῦ ἐρείσματος τοῦ Χριστοῦ, καὶ οὐκ ἀφίησιν οὐδαμοῦ γυμνωθῆναι τὸν νόμον, οὐδὲ πληγὴν λαβεῖν, ἀλλὰ περιβάλλει πάντοθεν αὐτόν; καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου. Εἰ ὁ δικαιοσύνην ἔχων, διὰ τὸ μηδὲν αὐτὴν εἶναι, πρὸς ταύτην τὴν δικαιοσύνην ἔδραμεν, οἱ μὴ ἔχοντες πῶς οὐ πολλῷ μᾶλλον ὀφείλουσι προστρέχειν αὐτῷ; καὶ καλῶς εἶπε, μὴ ἔχων ἐμὴν δικαιοσύνην, οὐχ ἣν διὰ πόνων καὶ ἱδρώτων ἐκτησάμην, ἀλλὰ ἣν εὗρον ἀπὸ τῆς χάριτος, φησίν. Εἰ τοίνυν ὁ κατορθώσας ἀπὸ χάριτος σώζεται, πολλῷ μᾶλλον ὑμεῖς. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι μείζων αὕτη ἡ δικαιοσύνη ἡ διὰ πόνων, δείκνυσιν ὅτι σκύβαλον αὕτη ἐστὶ πρὸς ἐκείνην. οὐ γὰρ ἄν ποτε ἐγὼ κατορθώσας, αὐτὴν ῥίψας ταύτῃ προσέτρεχον. ποία δέ ἐστιν αὕτη; ἡ ἀπὸ πίστεως τοῦ Θεοῦ, τουτέστι, καὶ αὐτὴ παρὰ Θεοῦ δέδοται. Θεοῦ ἐστιν αὕτη ἡ δικαιοσύνη· δωρεά ἐστιν αὕτη ὁλόκληρος. τὰ δὲ τοῦ Θεοῦ δῶρα πολλῷ τῷ μέτρῳ ὑπερβαίνει τὴν εὐτέλειαν τῶν κατορθωμάτων τῶν διὰ τῆς ἡμετέρας σπουδῆς γινομένων. τί δέ ἐστιν ἡ πίστις; ἐπὶ τῇ πίστει, φησί, Τοῦ γνῶναι αὐτόν. Ἄρα διὰ πίστεως ἡ γνῶσις, καὶ πίστεως ἄνευ γνῶναι αὐτὸν οὐκ ἔστι. πῶς δέ; δι' αὐτῆς δεῖ γνῶναι τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. ποῖος γὰρ λογισμὸς τὴν ἀνάστασιν ἡμῖν παραστήσει; οὐδὲ εἷς, ἀλλὰ πίστις. Εἰ δὲ ἡ ἀνάστασις τοῦ κατὰ σάρκα Χριστοῦ πίστει γινώσκεται, πῶς ἡ γέννησις τοῦ Θεοῦ λόγου λογισμοῖς καταλαμβάνεται; τῆς γὰρ γεννήσεως ἐλάττων ἡ ἀνάστασις. διὰ τί; ὅτι ἐκείνης μὲν πολλὰ τὰ ὑποδείγματα γέγονε, ταύτης δὲ οὐδὲ ἕν. νεκροὶ μὲν γὰρ ἀνέστησαν πολλοὶ πρὸ τοῦ Χριστοῦ, εἰ καὶ ἐτελεύτησαν ἀναστάντες· ἀπὸ δὲ παρθένου οὐδεὶς ἐτέχθη ποτέ. εἰ τοίνυν ὃ καὶ τῆς κατὰ σάρκα γεννήσεως εὐτελέστερον, τοῦτο πίστει δεῖ παραλαμβάνειν, ὃ πολλῷ μεῖζον, καὶ ἀπείρως μεῖζον καὶ ἀσυγκρίτως, πῶς λογισμῷ καταλαμβάνεται; ταῦτα ποιεῖ τὴν δικαιοσύνην. τοῦτο γὰρ δεῖ πιστεῦσαι, ὅτι ἐδυνήθη· ὃ δὲ πῶς ἐδυνήθη, οὐκέτι ἐστὶ παραστῆσαι. ἀπὸ γὰρ πίστεως καὶ ἡ κοινωνία τῶν παθημάτων. πῶς; εἰ γὰρ μὴ ἐπιστεύομεν, οὐδ' ἂν ἐπάθομεν. Εἰ μὴ ἐπιστεύομεν, ὅτι συνυπομένοντες συμβασιλεύσομεν, οὐδ' ἂν ἐπάθομεν τὰ παθήματα. ἄρα πίστει καὶ ἡ γέννησις, καὶ ἡ ἀνάστασις καταλαμβάνεται. ὁρᾷς ὅτι οὐχ ἁπλῶς δεῖ τὴν πίστιν εἶναι, ἀλλὰ δι' ἔργων; οὗτος γὰρ μάλιστα πιστεύει, ὅτι ἀνέστη Χριστός, ὁ παραβόλως ἑαυτὸν τοῖς κινδύνοις ἐκδιδούς, ὁ κοινωνῶν αὐτῷ ἐν τοῖς παθήμασι. ὁ γὰρ ἀναστάντι κοινωνεῖ, ὁ ζῶντι. διὰ τοῦτο ἔλεγε·

9 Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει,

10 Τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ,

11 Εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν. Συμμορφούμενος, φησι, τῷ θανάτῳ αὐτοῦ, τουτέστι, κοινωνῶν. καθάπερ γὰρ ἐκεῖνος ὑπὸ τῶν ἀνθρώπων ἔπαθεν, οὕτω κἀγώ. διὰ τοῦτο εἶπε, συμμορφούμενος· καὶ ἀλλαχοῦ πάλιν, Ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, τουτέστιν, οἱ διωγμοὶ καὶ τὰ παθήμα- Κολασ. α. κδ

τὰ ταῦτα τὴν εἰκόνα δημιουργοῦσιν ἐκείνην τοῦ θανάτου. οὐ γὰρ τὸ ἑαυτοῦ ἐζήτει, ἀλλὰ
τὸ τῶν πολλῶν. ὥστε καὶ οἱ διωγμοὶ καὶ αἱ θλίψεις καὶ αἱ στενοχωρίαι οὐ μόνον ὑμᾶς οὐκ ὀφεί-
λουσι θορυβεῖν, ἀλλὰ καὶ εὐφραίνειν, ὅτι διὰ τούτων συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ· ὡς ἂν
β. Κορ. δ. ι. εἰ ἔλεγεν, ἐξακοντιζόμεθα· ὃ καὶ ἀλλαχοῦ λέγει γράφων, Τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν
τῷ σώματι περιφέροντες. καὶ τοῦτο δὲ ἀπὸ πίστεως πολλῆς ἐστιν. οὐ γὰρ, ὅτι ἀνέστη μόνον, πι-
στεύομεν, ἀλλ' ὅτι καὶ μετὰ τὴν ἀνάστασιν πολλὴν ἔχει τὴν ἰσχύν. διὰ τοῦτο τὴν αὐτὴν
ὁδὸν ὁδεύομεν, ἥνπερ ὥδευσε, τουτέστιν, ἀδελφοὶ γινόμεθα αὐτῷ καὶ κατὰ τοῦτο· ὡς ἂν εἰ ἔλε-
γε· χριστοὶ γινόμεθα κατὰ τοῦτο. βαβαί, πόσον τῶν παθῶν τὸ ἀξίωμα; πιστεύομεν ὅτι συμμορ-
φούμεθα τῷ θανάτῳ αὐτοῦ διὰ τῶν παθημάτων. ὥσπερ γὰρ ἐν τῷ βαπτίσματι συνετά-
φημεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, οὕτως ἐνταῦθα τῷ θανάτῳ συμμορφούμεθα αὐτοῦ.
ἐκεῖ εἰκότως εἶπε, τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. οὐ γὰρ ὅλοι τὸν θάνατον ἀπεθάνομεν.
οὐ γὰρ σώματι καὶ σαρκὶ ἀπεθάνομεν, ἀλλ' ἁμαρτίᾳ. ἐπεὶ οὖν θάνατος καὶ θάνατος λέγεται,
ἀλλ' ἐκεῖνος μὲν ἀπέθανε σώματι, ἡμεῖς δὲ ἁμαρτίᾳ, καὶ ἐκεῖ ὁ ἄνθρωπος ἀπέθανεν, ὃν ἀνέ-
λαβεν αὐτὸς ὁ ἐν σώματι ἡμῶν, ὧδε ὁ ἄνθρωπος τῆς ἁμαρτίας· διὰ τοῦτο ἐκεῖ μέν φησι, τῷ
ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἐνταῦθα δὲ, οὐκέτι ὁμοιώματι θανάτου, ἀλλ', αὐτῷ τῷ θανά-
τῳ. Παῦλος γὰρ οὐκέτι ἁμαρτίᾳ ἀπέθνησκεν ἐν τοῖς διωγμοῖς, ἀλλ' αὐτῷ τῷ σώματι· ὥστε
τὸν αὐτὸν ὑπέμεινε θάνατον. Εἴ πως καταντήσω, φησὶν, εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νε-
α. Κορ. ιε. να. κρῶν. τί λέγεις; καὶ μὴν πάντες αὐτῆς τεύξονται (Πάντες μὲν γὰρ οὐ κοιμηθησόμεθα,
φησι, πάντες δὲ ἀλλαγησόμεθα) καὶ οὐκ ἀναστάσεως μόνης, ἀλλὰ καὶ ἀφθαρσίας πάντες, οἱ
μὲν εἰς τιμὴν, οἱ δὲ εἰς ἐφόδιον κολάσεως. εἰ τοίνυν πάντες τῆς ἀναστάσεως τεύ-
ξονται, καὶ οὐ τῆς ἀναστάσεως μόνης, ἀλλὰ καὶ ἀφθαρσίας, πῶς ὡς μέλλων ἐξαιρέτου τινὸς τυγ-
χάνειν ἔλεγες, Εἴ πως καταντήσω; διὰ τοῦτο ταῦτα πάσχω, φησὶν, εἴ πως καταντήσω εἰς
τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν. εἰ γὰρ μὴ ἀπέθανες, οὐκ ἀνίστασο. τί οὖν ἐστι; δοκεῖ
μέγα τι ἐνταῦθα αἰνίττεσθαι. οὕτω γὰρ μέγα ἦν, ὅτι οὐδὲ ἐθάρρησεν ἀποφήνασθαι, ἀλλά
φησιν ἁπλῶς, Εἴ πως. ἐπίστευσα εἰς αὐτὸν καὶ τὴν αὐτοῦ ἀνάστασιν, ἀλλὰ καὶ πάσχω δι' αὐ-
τὸν, ἀλλ' οὔπω δύναμαι θαρρῆσαι περὶ τῆς ἀναστάσεως. ποίαν ἐνταῦθα ἀνάστασίν φησι;
τὴν πρὸς αὐτὸν ἄγουσαν τὸν Χριστόν. εἶπον ὅτι ἐπίστευσα αὐτῷ καὶ τῇ τῆς ἀναστάσεως αὐτοῦ
δυνάμει, καὶ ὅτι κοινωνός εἰμι τῶν παθημάτων αὐτοῦ, καὶ ὅτι συμμορφοῦμαι τῷ θανάτῳ
α. Κορ. ι. ιβ. καὶ θ. κζ. αὐτοῦ· ἀλλ' ὅμως μετὰ ταῦτα πάντα οὔπω θαρρῶ· ὅπερ ἀλλαχοῦ λέγει, Ὁ δοκῶν ἑστάναι, βλε-
πέτω μὴ πέσῃ. καὶ πάλιν, Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

12 Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατε-
λήφθην ὑπὸ Χριστοῦ Ἰησοῦ. Οὐχ ὅτι ἤδη ἔλαβον. τί ἐστιν, ἤδη ἔλαβον; τὸ βραβεῖον
φησιν. εἰ δὲ ὁ τοσαῦτα παθὼν, εἰ δὲ ὁ διωκόμενος, εἰ δὲ ὁ τὴν νέκρωσιν ἔχων, οὔπω ἐθάρρει
περὶ τῆς ἀναστάσεως ἐκείνης, τί ἂν εἴποιμεν ἡμεῖς; τί ἐστιν, εἰ καταλάβω; ὅπερ πρότερον
ἔλεγον, εἰ καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν. τὴν αὐτοῦ, φησιν, ἀνάστασιν εἰ
καταλάβω, τουτέστιν, ἐὰν δυνηθῶ τοσαῦτα παθεῖν, ἂν δυνηθῶ μιμήσασθαι αὐτὸν, ἂν δυ-
νηθῶ σύμμορφος αὐτῷ γενέσθαι. οἷον, πολλὰ ἔπαθεν ὁ Χριστὸς, ἐνεπτύσθη, ἐρραπίσθη, ἐμα-
στιγώθη, ὕστερον ἀπέθανε. τοῦτο στάδιόν ἐστι· διὰ πάντων τούτων δεῖ πρὸς τὴν ἀνάστασιν
αὐτοῦ φθάσαι πάντα τὰ ἆθλα ἐνεγκόντα. ἢ τοίνυν τοῦτό φησιν, ἢ ὅτι ἐὰν καταξιωθῶ
τῆς ἀναστάσεως τυχεῖν εὐδοκίμου, παρρησίαν ἐχούσης, εἰς τὴν ἐξανάστασιν φθάνω τὴν αὐτοῦ,
ἂν γὰρ δυνηθῶ τοὺς ἀγῶνας πάντας ἐνεγκεῖν, καὶ τὴν ἀνάστασιν αὐτοῦ δυνήσομαι τυχεῖν, καὶ μετὰ
δόξης ἀναστῆναι. οὐδέπω γὰρ, φησιν, ἄξιός εἰμι· διώκω δὲ, εἰ καὶ καταλάβω. ἔτι ἐνα-
γώνιός μοι ὁ βίος, ἔτι τοῦ τέλους εἰμὶ πόρρω, ἔτι τῶν βραβείων ἀφέστηκα, ἔτι τρέχω, ἔτι διώ-
κω. καὶ οὐκ εἶπε, τρέχω, ἀλλὰ, διώκω. εἰκότως. ὁ γὰρ διώκων ἴστε μεθ' ὅσου τόνου διώκει·

οὐδένα

οὐδένα ὁρᾷ, πάντας μετὰ πολλῆς τῆς ῥύμης τοὺς διακόπτοντας ἀπωθεῖται, καὶ διάνοιαν καὶ
ὄμμα καὶ ἰσχὺν καὶ ψυχὴν καὶ σῶμα συστρέφει, πρὸς ἕτερον μὲν οὐδὲν ὁρῶν, πρὸς δὲ τὸ βραβεῖον μόνον. Εἰ δὲ ὁ διώκων Παῦλος, ὁ τοσαῦτα παθὼν, ἔτι φησὶν, εἰ καὶ καταλάβω, τί ἂν
εἴποιμεν ἡμεῖς οἱ ἀναπεπτωκότες; εἶτα δεικνὺς, ὅτι ὀφειλῆς τὸ πρᾶγμά ἐστι, φησὶν,
ἐφ᾽ ᾧ καὶ κατελήφθην ὑπὸ Ἰησοῦ Χριστοῦ. τῶν ἀπολλυμένων ἤμην, φησὶν, ἐπνιγόμην,
ἔμελλον ἀπόλλυσθαι· κατέλαβέ με ὁ Θεός. καὶ γὰρ αὐτὸς ἡμᾶς ἐδίωκε φεύγοντας αὐτὸν μετὰ
πολλῆς τῆς σπουδῆς. διὰ τούτου ταῦτα πάντα παρείσησι. τὸ γὰρ εἰπεῖν, ὅτι κατελήφθην,
ἔδειξε καὶ τοῦ βουλομένου καταλαβεῖν τὴν σπουδὴν, καὶ ἡμῶν τὴν ἀποστροφὴν τὴν πολλὴν, καὶ
τὴν πλάνην, καὶ ὅτι αὐτοὶ ἐφεύγομεν.

Διὸ καὶ δακρύων ἄξιοι, ὅτι πάντων εἰς τὴν προτέραν κατάστασιν πάλιν ἐλθόντων, καὶ ὅτι ΗΘΙΚΟΝ
πολλῆς ὀφειλῆς ὄντες ἡμεῖς ὑπεύθυνοι, οὐδεὶς πενθεῖ, οὐδεὶς δακρύει, οὐδεὶς στενάζει. καὶ μὴ
καταγνῷς εἰρωνείαν τοῦ λόγου. ὥσπερ γὰρ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ τὸν Θεὸν ἐφεύ-
γομεν, οὕτω φεύγομεν αὐτὸν καὶ νῦν. φεύγειν γάρ ἐστι τὸν Θεὸν, οὐ τόπῳ (πανταχοῦ γάρ ἐστι)
ἀλλὰ τοῖς ἔργοις. καὶ ὅτι οὐκ ἔστι φεύγειν, ἄκουε τοῦ προφήτου λέγοντος, Ποῦ πορευθῶ ἀπὸ Ψαλ. ρλη. ε.
τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; πῶς δυνατόν ἐστι φυγεῖν τὸν Θεόν; ὡς
ἔστι πόῤῥω γενέσθαι τοῦ Θεοῦ, ὡς ἔστι μακρυνθῆναι· Οἱ γὰρ μακρύνοντες ἑαυτοὺς, φησὶν, ἀπὸ Ψαλ. οβ. κζ.
σοῦ, ἀπολοῦνται. καὶ πάλιν, Οὐχὶ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν; Ησ. νθ. β.
πῶς δυνατὸν γενέσθαι τὸ μακρυνθῆναι; πῶς γίνεται διάστασις; προαιρέσει καὶ ψυχῇ· τόπῳ γὰρ οὐκ
ἔνι. πῶς γὰρ ἄν τις τὸν πανταχοῦ παρόντα φεύγοι; ὁ τοίνυν ἁμαρτωλὸς φεύγει. τοῦτό ἐστιν ὅ
φησιν ἡ γραφή, Φεύγει ὁ ἀσεβὴς, μηδενὸς διώκοντος. σφόδρα φεύγομεν τὸν Θεὸν, καίτοι ἀεὶ Παροιμ. κη. α.
διώκοντα ἡμᾶς αὐτόν. ὁ ἀπόστολος ἐδίωκεν, ἵνα ἐγγὺς αὐτοῦ γένηται· ἡμεῖς διώκομεν, ἵνα πόῤῥω
γενώμεθα. ἆρα οὐκ ἄξια ταῦτα θρήνων; ἆρα οὐκ ἄξια δακρύων; ποῦ φεύγεις, ἄθλιε
καὶ ταλαίπωρε; ποῦ φεύγεις τὴν ζωὴν καὶ τὴν σωτηρίαν τὴν σήν; ἂν τὸν Θεὸν φύγῃς, πρὸς
τίνα καταφεύξῃ; ἂν τὸ φῶς φύγῃς, ποῦ διαβλέψεις; ἂν τὴν ζωὴν φύγῃς, πόθεν ζήσῃ
λοιπόν; φεύγομεν τὸν ἐχθρὸν τῆς σωτηρίας τῆς ἡμετέρας. ὅταν ἁμαρτάνωμεν, φεύγομεν
ἀπὸ τοῦ Θεοῦ, δραπετεύομεν, εἰς ἀλλοτρίαν ἀπερχόμεθα γῆν, καθάπερ ἐκεῖνος ὁ κατα-
φαγὼν τὰ ὑπάρχοντα τὰ πατρῷα, καὶ ἀπελθὼν εἰς ἀλλοτρίαν γῆν, ὁ καταναλώσας
πᾶσαν τὴν πατρικὴν οὐσίαν, καὶ ἐν λιμῷ ζῶν. ἔχομεν οὖν πατρικὴν οὐσίαν καὶ ἡμεῖς. ποίαν
δὴ ταύτην; ἀπήλλαξεν ἡμᾶς τῶν ἁμαρτημάτων, ἐχαρίσατο ἡμῖν δύναμιν, ἰσχὺν πρὸς
τὴν τῆς ἀρετῆς ἐργασίαν, ἐχαρίσατο ἡμῖν προθυμίαν, ὑπομονὴν, ἐν τῷ βαπτίσματι
ἐχαρίσατο ἡμῖν πνεῦμα ἅγιον. ἂν ταῦτα καταναλώσωμεν, ἐν λιμῷ λοιπὸν ἐσόμεθα.
καθάπερ γὰρ οἱ νοσοῦντες, ἕως μὲν ἂν πυρετοῖς ἐνοχλῶνται καὶ χυμῶν κακίᾳ, οὐδὲ δια-
στῆναι, οὐδὲ ἐργάσασθαι, οὐδὲ πρᾶξαί τι δύνανται· ἂν δέ τις αὐτοὺς ἀπαλλάξῃ, καὶ εἰς
ὑγείαν ἀγάγῃ, εἶτα μὴ ἐργάζωνται, παρὰ τὴν οἰκείαν αὐτῶν τοῦτο γίνεται ῥαθυμίαν· οὕτω
δὴ καὶ ἐφ᾽ ἡμῶν. ἐπέκειτο ἡμῖν νόσος χαλεπὴ καὶ πυρετὸς σφοδρός· καὶ ἐκείμεθα οὐκ ἐπὶ κλί-
νης, ἀλλ᾽ ἐπὶ τῆς κακίας αὐτῆς, καθάπερ ἐν κοπρίᾳ, τῇ πονηρίᾳ ἐῤῥιμμένοι, ἡλκωμένοι,
δυσωδίας ἀνάπλεῳ, αὐχμῶντες, κατεπτυσμένοι, εἴδωλα μᾶλλον ὄντες, ἢ ἄνθρωποι.
περιειστήκεισαν ἡμᾶς δαίμονες πονηροὶ, ὁ ἄρχων τοῦ κόσμου τούτου γελῶν, ἐπεμβαίνων. ἦλ-
θεν ὁ τοῦ Θεοῦ μονογενὴς, ἀφῆκε τὰς ἀκτῖνας τῆς παρουσίας αὐτοῦ, καὶ τὸν ζόφον εὐθέως ἀπή-
λασεν. ἦλθε πρὸς ἡμᾶς ὁ βασιλεὺς ὁ ὢν ἐν τοῖς θρόνοις τοῖς πατρικοῖς, τὸν θρόνον ἀφεὶς
τὸν πατρικόν. ὅταν δὲ, ἀφεὶς, εἴπω, μὴ πάλιν μετάστασιν νομίσῃς (τὸν γὰρ οὐρανὸν καὶ τὴν
γῆν αὐτὸς πληροῖ) ἀλλὰ διὰ τὴν οἰκονομίαν τοῦτό φημι. ἦλθε πρὸς ἐχθροὺς τοὺς μισοῦντας
αὐτὸν, τοὺς ἀποστρεφομένους, τοὺς οὐδὲ ἰδεῖν αὐτὸν ἀνεχομένους, τοὺς καθ᾽ ἑκάστην αὐτὸν βλα-
σφημοῦντας τὴν ἡμέραν. εἶδεν ἐν κοπρίᾳ κειμένους, σκώληξιν ἡλκωμένους, πυρετοῖς, λι-

μῷ

μῶν κατειλημμένον, πᾶν εἶδος ἔχοντα νόσου. καὶ γὰρ ὁ πυρετὸς ἠνώχλει (τοῦτο γὰρ ἐπιθυμία πονηρά) καὶ φλεγμοναὶ ἐπέκειντο (τοῦτο γὰρ ἡ ἀπόνοια) καὶ ἡ βουλιμία τις [ἡ λεγομένη] κατεῖχε (τοῦτο γὰρ ἡ πλεονεξία) καὶ σηπεδόνες πανταχόθεν (τοῦτο γὰρ ἡ πορνεία) καὶ πήρωσις ὀφθαλμῶν (τοῦτο γὰρ εἰδωλολατρεία) καὶ κώφωσις, καὶ παραπληξία (τοῦτο γὰρ τὸ προσκυνεῖν λίθοις, καὶ ξύλοις, καὶ ἐκείνοις προσφθέγγεσθαι) καὶ δυσειδεία πολλή· τοῦτο γὰρ ἡ κακία, ἀηδής τι, καὶ νόσος χαλεπωτάτη. εἶδε χθὲς πάλιν τῶν μαινομένων φθεγγομένους ἡμᾶς, τὸ ξύλον Θεὸν καλοῦντας, καὶ τὸν λίθον ὁμοίως· εἶδεν ἐν τοσαύτῃ κακίᾳ, καὶ οὐκ ἐβδελύξατο, οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεστράφη, οὐκ ἐμίσησε. δεσπότης γάρ ἐστι, καὶ τὸ ἴδιον πλάσμα οὐκ ἂν ἐμίσησεν. ἀλλὰ τί ποιεῖ; καθάπερ ἄριστος ἰατρὸς κατασκευάζει φάρμακα πολλοῦ ἄξια, καὶ πρῶτος αὐτὸς ἀπογεύεται. τὴν γὰρ ἀρετὴν αὐτὸς πρῶτος μετῆλθε, καὶ οὕτως ἡμῖν ἔδωκε. καὶ πρῶτον καθάπερ ἀντίδοτόν τι φάρμακον ἔδωκε, τὸ λουτρὸν, καὶ οὕτω πᾶσαν ἠμέσαμεν κακίαν, καὶ πάντα ἐφυγαδεύθη ἀθρόον, καὶ ἡ φλεγμονὴ ἐπαύσατο, καὶ ὁ πυρετὸς ἐσβέσθη, καὶ αἱ σηπεδόνες ἐκαύθησαν. πάντα γὰρ καὶ τὰ ἀπὸ πλεονεξίας, καὶ τὰ ἀπὸ θυμοῦ, καὶ τὰ ἄλλα κακὰ ἐκενώθη διὰ τοῦ πνεύματος. ἀνεῴχθησαν οἱ ὀφθαλμοί, ἀνεῴγη τὰ ὦτα, ἐλάλησεν εὔφημον φωνὴν ἡ γλῶσσα, ἔλαβεν ἰσχὺν ἡ ψυχή, ἔλαβε κάλλος καὶ ἄνθος τὸ σῶμα τοιοῦτον, οἷον εἰκὸς υἱὸν Θεοῦ τεχθέντα κάλλος ἔχειν ἀπὸ τῆς τοῦ πνεύματος χάριτος, οἵαν εἰκὸς δόξαν ἔχειν υἱὸν ἄρτι τεχθέντα βασιλεῖ, καὶ ἐν ἁλουργίδι τρεφόμενον. οἴμοι, πόσην εὐγένειαν ἡμῖν ἐχαρίσατο; ἡμεῖς δὲ περὶ τὸν οὕτως ἡμᾶς φιλήσαντα ἀχάριστοι γινόμεθα. ἐτέχθημεν, ἐτράφημεν, εὐεργετήθημεν. τί πάλιν φθεγγόμεθα τὸν εὐεργέτην; ὁ τοίνυν ταῦτα πάντα ποιήσας, καὶ ἰσχὺν δίδωσιν. οὐ γὰρ ἐνῆν κατεχομένους τῷ νοσήματι ἐνεγκεῖν, εἰ μὴ αὐτὸς ἡμῖν ἔδωκε τὴν ἰσχύν. ἔδωκε τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ἠθετήσαμεν τὴν δωρεάν· ἔδωκεν ἡμῖν πλοῦτον, ἐσκορπίσαμεν αὐτὸν, κατεφάγομεν ἅπαντα· ἔδωκεν ἡμῖν ἰσχὺν, ἀνηλώσαμεν αὐτήν· ἔδωκεν ἡμῖν χάρισμα, ἐσβέσαμεν αὐτό. πῶς; ἀνηλώσαμεν εἰς οὐδὲν δέον, ἐχρησάμεθα ἐν οὐδενὶ χρησίμῳ. ταῦτα ἡμᾶς ἀπώλεσε, καὶ τὸ πάντων δεινότερον, ὅτι ἐν ἀλλοτρίᾳ ὄντες, καὶ κεράτια ἐσθίοντες, οὐ λέγομεν, ἐπιστρέψωμεν πρὸς τὸν πατέρα, καὶ εἴπωμεν, ἡμάρτομεν εἰς τὸν οὐρανὸν, καὶ εἰς σέ. καὶ πατέρα οὕτως ἔχοντες φιλόστοργον, σφόδρα ποθοῦντα ἡμῶν τὴν ἐπάνοδον. ὡς ἂν μόνον ἀποστῶμεν τῆς κακίας, ἂν πρὸς αὐτὸν ἐπανέλθωμεν μόνον, οὐδὲ ἐγκαλέσαι λοιπὸν ὑπὲρ τῶν προτέρων ἀνέχεται· μόνον ἀποστῶμεν. ἱκανὴ γὰρ ἀπολογία, τὸ ἐπανελθεῖν. τί λέγω, ἐγκαλέσαι οὐκ ἀνέχεται; οὐ μόνον αὐτὸς οὐκ ἐγκαλεῖ, ἀλλὰ κἂν ἕτερος ἐγκαλῇ, ἐπιστομίζεται, κἂν εὐδοκιμηκὼς ᾖ ὁ ἐγκαλῶν. οὐκοῦν ἐπανέλθωμεν· μέχρι τίνος ἀφιστάμεθα; λάβωμεν αἴσθησιν τῆς ἀτιμίας, λάβωμεν αἴσθησιν τῆς εὐτελείας· ἡ κακία χοίρους εἶναι ποιεῖ, ἡ κακία λιμὸν φέρει τῇ ψυχῇ. ἀνακτησώμεθα ἑαυτοὺς, καὶ ἀνανήψωμεν, καὶ ἐπανέλθωμεν ἐπὶ τὴν προτέραν εὐγένειαν, ἵνα τύχωμεν τῶν μελλόντων ἀγαθῶν.

Λουκ. 15. 17.

Λογ. ιβ. 13 ΑΔΕΛΦΟΙ, ΕΓΩ ΕΜΑΥΤΟΝ ΟΥ ΛΟΓΙΖΟμαι κατειληφέναι. 14 Ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ.

Οὐδὲν

Οὐδὲν οὕτω κενοῖ κατορθώματα καὶ ἀποφυσᾷ, ὡς μνήμη τῶν εἰργασμένων ἡμῖν ἀγαθῶν. δύο γὰρ τίκτει κακὰ, ῥαθυμοτέρους τε ἐργάζεται, καὶ εἰς ἀπόνοιαν αἴρει. διὸ καὶ ὁ Παῦλος, ἐπειδὴ οἶδεν ὀξύῤῥοπον οὖσαν τὴν ἡμετέραν φύσιν πρὸς ῥαθυμίαν, καὶ πολλὰ δὲ τοὺς Φιλιππησίους ἐπῄνεσεν, ὅρα πῶς αὐτῶν καταστέλλει τὸ φρόνημα, διὰ πολλῶν μὲν καὶ ἑτέρων ἀνωτέρω, μάλιστα δὲ διὰ τῶν παρόντος. τί λέγων; ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι. εἰ δὲ Παῦλος οὐδέπω κατέλαβεν, οὐδὲ θαῤῥεῖ περὶ τῆς ἀναστάσεως, οὐδὲ περὶ τῶν μελλόντων, σχολῇ γ' ἂν ἐκεῖνοι μηδὲ τὸ πολλοστὸν αὐτοῦ μέρος κατωρθωκότες τοῦτο ἂν ἐπράξαν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐδέπω κατειληφέναι τὴν ἀρετὴν ἅπασαν ἡγοῦμαι, οὕτως εἰπὼν, ὡς ἂν εἰ ἐπὶ δρομέως εἴποι τις, οὔπω κατέλαβεν. οὐδέπω τὸ πᾶν ἤνυσα, φησίν. εἰ δὲ λέγει ἀλλαχοῦ, Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, καὶ ἐνταῦθα, οὐδέπω λογίζομαι κατειληφέναι, ἀναγνούς τις ἀμφότερα εἴσεται καλῶς τὴν αἰτίαν καὶ ἐκείνων, καὶ τούτων τῶν ῥημάτων. οὐ γὰρ δεῖ συνεχῶς τὰ αὐτὰ στρέφειν, καὶ ἡμᾶς πάντα διδάσκειν. καὶ ὅτι ταῦτα πολὺ πρότερον ἔλεγεν, ἐκεῖνα δὲ πρὸς τῷ τέλει. οὔπω λογίζομαι κατειληφέναι φησίν, ἀλλ' ἑνὸς εἰμὶ μόνου, τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. τοῦτο γάρ ἐστιν ὅ φησιν, ἓν, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ὅρα πῶς εἰπὼν τοῦτο, ἐδήλωσε τί ἦν ὃ ἐποίει αὐτὸν τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. ὁ μὲν οὖν ἤδη τετελειῶσθαι νομίζων, καὶ μηδὲν αὐτῷ λείπειν πρὸς ἀρετῆς κατόρθωσιν, κἂν ἐπαύσατο τρέχων, ὡς τὸ πᾶν κατειληφώς· ὁ δὲ ἀφεστάναι τοῦ τέρματος ἔτι νομίζων, οὐδέποτε παύσεται τρέχων. τοῦτο οὖν ἡμᾶς ἀεὶ δεῖ λογίζεσθαι, κἂν μυρία κατορθώσωμεν ἀγαθά. εἰ γὰρ Παῦλος μετὰ μυρίους θανάτους, μετὰ τοσούτους κινδύνους τοῦτο ἐλογίζετο, πολλῷ μᾶλλον ἡμεῖς. οὐ μὴν ἀνέπεσον, φησὶν, ἐπειδὴ τοσοῦτον δραμεῖν οὐκ ἴσχυσα, οὐδὲ ἀπέγνων· ἀλλ' ἔτι τρέχω, ἔτι ἀγωνίζομαι. τοῦτο μόνον σκοπῶ, ὅπως μὴ προκόπτοιμι. οὕτω καὶ ἡμᾶς χρὴ ποιεῖν, ἐπιλανθάνεσθαι τῶν κατορθωμάτων, καὶ ἀφιέναι αὐτὰ ὀπίσω. καὶ γὰρ ὁ δρομεὺς οὐχ ὅσους ἤνυσεν ἀναλογίζεται * διαύλους, ἀλλ' ὅσους λείπεται. καὶ ἡμεῖς μὴ ὅσον ἠνύσαμεν τῆς ἀρετῆς ἀναλογιζώμεθα, ἀλλ' ὅσον ἡμῖν λείπει. τί γὰρ ἡμᾶς ὠφελεῖ τὸ ἀνυσθὲν, ὅταν τὸ λειπόμενον μὴ προστεθῇ; καὶ οὐκ εἶπεν, ὅτι οὐκ ἀναλογίζομαι, οὐδὲ μέμνημαι, ἀλλ' ἐπιλανθανόμενος, ἡμᾶς προσεκτικωτέρους ποιῶν. οὕτω γὰρ σφοδροὶ γινόμεθα, ὅταν πᾶσαν προθυμίαν εἰς τὸ λοιπὸν ἀναλάβωμεν, ὅταν ἐκεῖνα λήθῃ παραδῶμεν. ἐπεκτεινόμενοί, φησι. πρὶν ἢ παραγενέσθαι, λαβεῖν σπουδάζομεν. ὁ γὰρ ἐπεκτεινόμενος, οὗτός ἐστιν, ὁ τοὺς πόδας καίτοι τρέχοντας τῷ λοιπῷ σώματι προλαβεῖν σπουδάζων, ἐπεκτείνων ἑαυτὸν εἰς τὸ ἔμπροσθεν, καὶ τὰς χεῖρας ἐκτείνων, ἵνα καὶ τοῦ δρόμου πλέον τι ἐργάσηται. τοῦτο δὲ ἀπὸ πολλῆς προθυμίας γίνεται, ἀπὸ πολλῆς θερμότητος. οὕτω δεῖ τρέχειν τὸν τρέχοντα, μετὰ τοσαύτης σπουδῆς, μετὰ τοσαύτης προθυμίας, οὐκ ἀναπεπτωκότα. ὅσον δὲ τοῦ οὕτω τρέχοντος καὶ τοῦ ὑπτίου κειμένου τὸ μέσον, τοσοῦτον τοῦ Παύλου καὶ ἡμῶν. καθ' ἡμέραν ἀπέθνησκεν ἐκεῖνος, καθ' ἡμέραν εὐδοκίμει. οὐκ ἦν καιρὸς, οὐκ ἦν χρόνος, ἐν ᾧ οὐκ ηὔξετο αὐτῷ ὁ δρόμος. οὐ λαβεῖν ἠθέλησεν, ἀλλ' ἁρπάσαι τὸ βραβεῖον. οὕτω γάρ ἐστι λαβεῖν. ἄνω ὁ τὸ βραβεῖον διδοὺς ἕστηκεν, ἄνω κεῖται τὸ βραβεῖον. ὅρα πόσον τὸ διάστημα τοῦτο * διαδραμεῖν· ὅρα πόσον τὸ ὕψος. ἐκεῖ δεῖ πτερωθῆναι τοῖς τοῦ πνεύματος πτεροῖς. ἑτέρως γὰρ οὐκ ἔνι τὸ ὕψος τοῦτο τεμεῖν. μετὰ τοῦ σώματος ἐκεῖ δεῖ βαδίσαι· ἔξεστι γάρ. Ἡμῶν γὰρ τὸ πολίτευμα, φησὶν, ἐν οὐρανῷ, ἐκεῖ τὸ βραβεῖόν ἐστιν. ὁρᾷς τοὺς τρέχοντας πῶς νόμῳ ζῶσι; πῶς οὐδὲν τῶν ἐκλυόντων τὴν ἰσχὺν προσίενται; πῶς ἀγωνίζονται καθ' ἑκάστην ἡμέραν ἐν παλαίστρᾳ

β. Τιμ. δ. ζ.

Φιλιπ. γ. ι.

λαίστρα ὑπὸ παιδοτρίβῃ καὶ νόμῳ; μίμησαι τούτους καὶ σύ, μᾶλλον δὲ καὶ πλείονα ἐπιδεῖξαι προθυμίαν. οὐ γὰρ ἴσον τὸ βραβεῖον· πολλοὶ οἱ κωλύοντες. νόμῳ ζῆθι· πολλά ἐστι τὰ ἐκλύοντα τὴν ἰσχύν. εὔσκελῆ ποίησον αὐτὴν τῷ ποδί. ἔνεστι γάρ. οὐ γὰρ φύσεώς ἐστιν, ἀλλὰ προαιρέσεως. κούφην αὐτὴν ἐργασώμεθα, ἵνα μὴ τῇ βαρύτητι τῶν ποδῶν τὸ λοιπὸν ἄχθος ἐμποδίζῃ. δίδαξον εἶναι σοῦ πόδας ἀσφαλεῖς. πολλοὶ γάρ εἰσιν ὀλισθοι· κἂν καταπέσῃς, πολλὰ ἀπώλεσας. πλὴν κἂν καταπέσῃς, διανάστηθι. ἔνι καὶ οὕτω νικῆσαι. μηδέποτε τοῖς ὀλισθηροῖς ἐπιχείρει πράγμασι, καὶ οὐ καταπίπτεις. ἐπὶ τὰ βεβηκότα τρέχε· ἄνω τὴν κεφαλὴν, ἄνω τὸ ὄμμα. τοῦτο καὶ τοῖς τρέχουσιν οἱ παιδοτρίβαι παρακελεύονται· οὕτω διαβαστάζει ἰσχύς. ἂν δὲ κάτω νεύσῃς, κατέπεσες, ἐξελύθης. ἄνω βλέπε, ὅπου τὸ βραβεῖόν ἐστιν. αὐτὴ τοῦ βραβείου ἡ ὄψις μείζονα ποιεῖ τὴν προαίρεσιν. οὐκ ἀφίησιν αἰσθέσθαι τῶν πόνων ἡ τῆς θλίψεως ἐλπίς, τὸ μῆκος μικρὸν ποιεῖ φαίνεσθαι. τί ἐστι τὸ βραβεῖον; οὐ κλάδος φοίνικος, ἀλλὰ τί; βασιλεία οὐρανῶν, ἀνάπαυσις αἰώνιος, δόξα μετὰ Χριστοῦ, κληρονομία, ἀδελφότης, μυρία ἀγαθά, ἃ οὐκ ἔνι εἰπεῖν. οὐκ ἔνι ἐκείνου τοῦ βραβείου τὸ κάλλος διηγήσασθαι· ὁ κρατῶν αὐτὸ οἶδε μόνος, καὶ ὁ μέλλων αὐτὸ λαμβάνειν. οὐκ ἔστι χρυσοῦν, οὐκ ἔστι διάλιθον· πολλῷ τούτων τιμιώτερον. ὁ χρυσὸς βόρβορος πρὸς ἐκεῖνο τὸ βραβεῖόν ἐστι· λίθοι τίμιοι, πλίνθος πρὸς τὸ κάλλος ἐκεῖνο τοῦ βραβείου. ἂν ἐκεῖνο ἔχων ἀπέλθῃς εἰς τὸν οὐρανόν, μετὰ πολλῆς τῆς τιμῆς ἐκεῖ βαδίζειν δυνήσῃ, καὶ ἄγγελοί σε αἰδεσθήσονται τοῦτο φέροντα τὸ βραβεῖον· πᾶσι μετὰ παρρησίας προσελεύσῃ πολλῆς. ἐν Χριστῷ Ἰησοῦ. ὅρα τὴν εὐγνώμονα. ἐν Χριστῷ Ἰησοῦ τοῦτο ποιῶ, φησιν. οὐ γὰρ ἔνι χωρὶς τῆς ἐκείνου ῥοπῆς τοσοῦτον διελθεῖν διάστημα· πολλῆς δεῖ τῆς βοηθείας, πολλῆς τῆς συμμαχίας. κάτω μέν σε ἀγωνίζεσθαι ἐβουλήθη, ἄνω δὲ στεφανοῖ· οὐχ ὡς ἐνταῦθα, ἔνθα ὁ ἀγών, ἐκεῖ καὶ ὁ στέφανος, ἀλλ' ἐν τῷ λαμπρῷ χωρίῳ ὁ στέφανός ἐστιν. οὐχ ὁρᾶτε καὶ ἐνταῦθα, ὅτι τοὺς μάλιστα τιμωμένους καὶ τῶν ἀθλητῶν, καὶ τῶν ἡνιόχων οὐ στεφανοῦσιν ἐν τῷ σταδίῳ κάτω, ἀλλ' ἄνω καλέσας ὁ βασιλεὺς ἐκεῖ στεφανοῖ; οὕτω καὶ ἐνταῦθα, εἰς τὸν οὐρανὸν * λαμβάνεις τὸ βραβεῖον.

15 Ὅσοι οὖν τέλειοι, φησι, τοῦτο φρονῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. Ποῖον τοῦτο; ὅτι δεῖ τῶν ὄπισθεν ἐπιλανθάνεσθαι; ὥστε τελείου, τὸ μὴ νομίζειν ἑαυτὸν τέλειον εἶναι. πῶς τοίνυν λέγεις, ὅσοι τέλειοι; εἰπὲ γάρ μοι, τοῦτο φρονοῦμεν ὃ σὺ φρονεῖς; εἰ γὰρ μὴ ἔλαβες, μηδὲ τετελείωσαι, πῶς τοὺς τελείους τοῦτο κελεύεις φρονεῖν, ὃ καὶ αὐτὸς φρονεῖς οὐδέπω τέλειος ὤν; τοῦτο γάρ ἐστι, φησι, τελειότης. καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει· τουτέστιν, εἰ δέ τις νομίζει τὸ πᾶν κατωρθωκέναι. ἀσφαλίζεται αὐτούς, ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. ὅρα πῶς συνεσταλμένως τοῦτό φησιν. ὁ Θεὸς ὑμᾶς διδάξει, τουτέστιν, ὁ Θεὸς ὑμᾶς πείσει, οὐχὶ διδάξει ἁπλῶς. ἐδίδασκε μὲν γὰρ ὁ Παῦλος, ἀλλ' ὁ Θεὸς ἐνῆγε. καὶ οὐκ εἶπεν, ἐνάξει, ἀλλ', ἀποκαλύψει, ἵνα δόξῃ μᾶλλον ἀγνοίας εἶναι τὸ πρᾶγμα. οὐ περὶ δογμάτων ταῦτα εἴρηται, ἀλλὰ περὶ βίου τελειότητος, καὶ τοῦ μὴ νομίζειν ἑαυτοὺς τελείους εἶναι· ὡς ὅ γε νομίζων τὸ πᾶν κατειληφέναι, οὐδὲν ἔχει.

16 Πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.

Πλὴν εἰς ὃ ἐφθάσαμεν, τί ἐστι; τέως, φησίν, ὃ κατωρθώσαμεν, κατέχωμεν, τὸ τῆς ἀγάπης, τὸ τῆς ὁμονοίας, τὸ τῆς εἰρήνης. τοῦτο ἡμῖν κατώρθωται. εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. εἰς ὃ ἐφθάσαμεν, τουτέστι, τοῦτο ἡμῖν ἤδη κατώρθωται. ὁρᾷς ὅτι κανόνι βούλεται εἶναι τὰ παραγγέλματα; ὁ κανὼν οὔτε πρόσθεσιν, οὔτε ἀφαίρεσιν δέχεται (ἐπεὶ τὸ κανὼν εἶναι ἀπόλλυσι) τῷ αὐτῷ κανόνι, τουτέστι, τῇ αὐτῇ πίστει, τῷ αὐτῷ ὅρῳ.

17 Μιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας, καθὼς ἔχετε

Φιλιπ. γ. ς. τύπον ἡμᾶς. Εἶπεν ἀνωτέρω, Βλέπετε τοὺς κύνας, ἀπήγαγεν αὐτοὺς ἐκείνων· προσάγει

* βλέπ.

ἀλλὰ τούτοις, οὓς δεῖ μιμεῖσθαι λοιπόν. εἴ τις ἡμᾶς μιμεῖσθαι βούλεται, φησίν, εἴ τις τὴν αὐτὴν βαδίζειν ὁδόν, ἐκείνοις προσεχέτω· εἰ καὶ ἐγὼ μὴ πάρειμι, ἀλλ' ἴστε τῆς ἐμῆς βαδίσεως τὸν τρόπον, τουτέστι, τῆς ἀναστροφῆς τοῦ βίου. οὐ γὰρ διὰ ῥημάτων μόνον ἐδίδασκεν, ἀλλὰ καὶ διὰ πραγμάτων· καθάπερ ἐν χορῷ καὶ στρατοπέδῳ τὸν χορηγὸν καὶ στρατηγὸν δεῖ μιμεῖσθαι τοὺς λοιπούς, καὶ οὕτω βαδίζειν εὐτάκτως. ἔνι γὰρ καὶ ἀπὸ στάσεως διαλυθῆναι τὴν τάξιν.

Ἄρα τύπος ἦσαν οἱ ἀπόστολοι, ἀρχέτυπόν τινα εἰκόνα διασώζοντες. ἐννοήσατε πῶς αὐτοῖς ὁ βίος ἀπηκριβωμένος ἦν, ὡς ἀρχέτυπον αὐτὸν καὶ παράδειγμα κεῖσθαι, καὶ νόμους ἐμψύχους. ὅπερ γὰρ τὰ γράμματα λέγει, ταῦτα διὰ τῶν πραγμάτων πᾶσιν ἐδήλουν οὗτοι. τοῦτό ἐστι διδασκαλία ἀρίστη· οὕτω τὸν μαθητὴν ἀνάγειν ὁ διδάσκαλος δυνήσεται. ἂν δὲ αὐτὸς μὲν λέγῃ καὶ φιλοσοφῇ, τοῖς δὲ ἔργοις τἀναντία ποιῇ, οὔπω διδάσκαλος. τοῦτο γὰρ καὶ τῷ μαθητῇ κοῦφον ἐν λόγοις φιλοσοφεῖν· ἀλλὰ δεῖ τῆς διὰ τῶν ἔργων ὑποθεσίας, καὶ τῆς ἀγωγῆς. αὕτη γὰρ καὶ διδάσκαλον αἰδέσιμον ποιεῖ, καὶ μαθητὴν εἴκειν παρασκευάζει. πῶς; ὅταν μὲν γὰρ ἴδῃ ἐν λόγοις φιλοσοφοῦντα, ἐρεῖ, ὅτι ἀδύνατα ἐπιτάξει· ὅτι δὲ ἀδύνατα, πρῶτος αὐτὸς δείκνυσιν ὁ διδάσκαλος μὴ πράττων. ἂν δὲ ἴδῃ διὰ τῶν ἔργων τὴν ἀρετὴν τετελειωμένην, οὐκ ἔχει ταῦτα λέγειν. πλὴν ἀλλὰ κἂν ἠμελημένος ὁ τοῦ διδασκάλου βίος ᾖ, ἡμεῖς ἑαυτοῖς προσέχωμεν, καὶ ἀκούωμεν τοῦ προφήτου λέγοντος, Ὅτι ἔσονται πάντες διδακτοὶ Θεοῦ, καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγοντες, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. Ησ. νδ. ιγ. Ιωαν. ϛ. με. οὐκ ἔχεις ἐνάρετον διδάσκαλον; ἀλλ' ἔχεις τὸν ὄντως διδάσκαλον, ὃν καὶ μόνον διδάσκαλον χρὴ καλεῖν. ἀπ' ἐκείνου μάνθανε. ἐκεῖνος ἔφησε, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι. Ματθ. ια. κθ. μὴ δὴ πρόσεχε τῷ* διδασκάλῳ, ἀλλ' ἐκείνῳ καὶ τοῖς ἐκείνου μαθήμασιν. ἐκεῖθεν λάβε τὸν τύπον· ἔχεις εἰκόνα ἀρίστην· πρὸς ἐκείνην ῥύθμισον σαυτόν. μυρίαι εἰσὶν αἱ εἰκόνες ἐν ταῖς γραφαῖς κείμεναι βίων ἐναρέτων. οἷον, ἐὰν θέλῃς, ἐλθὲ καὶ μετὰ τὸν διδάσκαλον ἐν τοῖς μαθηταῖς· ὁ μὲν δι' ἀκτημοσύνης ἔλαμψεν, ὁ δὲ διὰ χρημάτων· οἷον ὁ Ἠλίας δι' ἀκτημοσύνης, ὁ Ἀβραὰμ διὰ χρημάτων. οἵαν νομίζεις κουφοτέραν, καὶ εὐεπιτηδειοτέραν, ταύτην ἐλθέ. πάλιν ὁ μὲν διὰ γάμου, ὁ δὲ διὰ παρθενίας. ὁ Ἀβραὰμ διὰ γάμου, ἐκεῖνος διὰ παρθενίας. ἣν θέλεις, βάδισον. ἑκάτερα γὰρ φέρει πρὸς τὸν οὐρανόν. ὁ μὲν διὰ νηστείας ὁ Ἰωάννης, ὁ δὲ χωρὶς νηστείας, ὁ Ἰώβ. πάλιν αὐτὸς οὗτος καὶ γυναικὸς φροντίζων, καὶ παίδων, καὶ θυγατέρων, καὶ οἰκίας, καὶ πολὺν ἔχων πλοῦτον· ὁ δὲ ἄλλος οὐδὲν ἐκέκτητο, πλὴν τοῦ ἱματίου τοῦ τριχίνου. καὶ τί λέγω οἰκίαν, καὶ πλοῦτον, καὶ χρήματα, ὅπουγε καὶ ἐν βασιλείᾳ ὄντα δυνατὸν τῆς ἀρετῆς ἐπιλαβέσθαι; πάσης γὰρ οἰκίας ἰδιωτικῆς ἂν εὑρεθείη πολυπραγμονέστερος ὁ οἶκος ὁ βασιλικός. ὁ τοίνυν Δαβὶδ ἔλαμψεν ἐν βασιλείᾳ, καὶ οὐδὲν αὐτὸν ἐξέλυσεν ἡ ἁλουργὶς καὶ τὸ διάδημα. ἄλλος ὁλοκλήρου δήμου προστασίαν ἐμπεπιστευμένος, ὁ Μωϋσῆς λέγω, ὅπερ καὶ δυσκολώτερον τυγχάνει. ἐνταῦθα γὰρ μείζων ἡ ἐξουσία ἦν, ὅθεν καὶ πλείων ἡ δυσκολία ἐγίνετο. εἶδες ἐν πλούτῳ εὐδοκιμηκότας, εἶδες καὶ ἐν πενίᾳ, εἶδες ἐν γάμῳ, εἶδες καὶ ἐν παρθενίᾳ. θέα τοὐναντίον πάλιν καὶ ἐν γάμῳ καὶ ἐν παρθενίᾳ ἀπολωλότας, καὶ ἐν πλούτῳ, καὶ ἐν πενίᾳ· οἷον ἐν γάμῳ μὲν πολλοὶ τῶν ἀνθρώπων ἀπώλοντο, οἷον Σαμψών, ἀλλ' οὐκ ἀπὸ τοῦ γάμου, ἀλλ' ἀπὸ τῆς ἰδίας προαιρέσεως· ἐν παρθενίᾳ δέ, οἷον αἱ πέντε παρθένοι· ἐν πλούτῳ, ὁ πλούσιος ὁ τὸν Λάζαρον παρορῶν· ἐν πενίᾳ, μυρίοι ἔτι καὶ νῦν πένητες ἀπόλλυνται. ἐν βασιλείᾳ δείκνυμι πολλοὺς ἀπολωλότας, ἐν δημαγωγίᾳ. θέλεις δὲ καὶ ἐν στρατιωτικῇ τάξει ἰδεῖν σωζομένους; ὅρα τὸν Κορνήλιον. καὶ ἐν προστασίᾳ οἰκίας; βλέπε τὸν εὐνοῦχον τῆς Αἰθιοπίσσης. οὕτω πάντοθεν ἐὰν εἰς δέον τῷ πλούτῳ χρώμεθα, οὐδὲν ἡμᾶς ἀπολεῖ· ἐὰν δὲ μή, ἅπαντα ἀπολεῖ, καὶ βασιλεία, καὶ πενία, καὶ πλοῦτος. τὸν μέντοι νήφοντα οὐδὲν βλάψαι δυνήσεται. Εἰ

ΗΘΙΚΟΝ

γὰρ

γάρ μοι, αἰχμαλωσία τί ἔβλαψεν; οὐδέν. ἐννόει γάρ μοι τὸν Ἰωσὴφ δοῦλον γενόμενον, καὶ τὴν ἀρετὴν διασώζοντα. ἐννόει μοι τὸν Δανιήλ, καὶ τοὺς τρεῖς παῖδας αἰχμαλώτους γενομένους, καὶ πῶς πολλῷ μᾶλλον ἔλαμψαν. πανταχοῦ γὰρ ἡ ἀρετὴ λάμπει, καὶ ἀκαταγώνιστός ἐστι, καὶ οὐδεὶς ταύτην ἐμποδίσαι δύναται. τί λέγω πενίαν, καὶ αἰχμαλωσίαν, καὶ δουλείαν; οὔτε λιμός, οὔτε ἕλκωσις, οὔτε νόσος δύναται βλάψαι. δουλείας γὰρ νόσος χαλεπώτερον. τοιοῦτος ἦν ὁ Λάζαρος, τοιοῦτος ἦν ὁ Ἰώβ, τοιοῦτος ἦν καὶ ὁ Τιμόθεος πυκναῖς ἀσθενείαις συνεχόμενος. ὁρᾷς ὅτι τῆς ἀρετῆς οὐδὲν δύναται περιγενέσθαι; οὐ πλοῦτος, οὐ πενία, οὐκ ἀρχή, οὐ τὸ ἄρχεσθαι, οὐ τὸ τῶν πραγμάτων περιΐστασθαι, οὐ νόσος, οὐκ ἀδοξία, οὐ τὸ ἀπερρίφθαι· ἀλλὰ ταῦτα πάντα κάτω καὶ ἐπὶ γῆς ἀφεῖσα, φθάνει πρὸς τὸν οὐρανόν. μόνον ἔστω γενναία ψυχή, καὶ τὸ κωλῦον οὐδὲν εἶναι ἐνάρετον. ὅταν γὰρ ὁ ἐργάτης ἐρρῶται, οὐδὲν τῶν ἔξωθεν ἐμποδίζει. καὶ γὰρ καὶ ἐπὶ τῶν τεχνῶν, ὅταν ὁ τεχνίτης ἔμπειρος ᾖ καὶ καρτερικὸς καὶ πᾶσαν τὴν τέχνην ἐπιστάμενος, κἂν νόσος ἐπέλθῃ, ἔχει αὐτήν, κἂν πένηται, ἔχει αὐτήν, κἂν ἔχῃ τὸ ὄργανον μετὰ χεῖρας, κἂν μὴ ἔχῃ, κἂν ἐργάζηται, κἂν μὴ ἐργάζηται, οὐδὲν ἠλάττωται. ἡ γὰρ ἐπιστήμη ἔνεστιν ἐν αὐτῷ. οὕτω καὶ ὁ ἐνάρετος καὶ Θεῷ ἀνακείμενος, κἂν εἰς πλοῦτον αὐτὸν ἐμβάλῃς, ἐπιδείκνυται τὴν ἀρετήν, κἂν εἰς πενίαν ὁμοίως, κἂν εἰς νόσον, κἂν εἰς ὑγείαν, κἂν εἰς δόξαν, κἂν εἰς ἀδοξίαν. οὐχὶ διὰ πάντων ἦλθον οἱ ἀπόστολοι; Διὰ δόξης, φησί, καὶ ἀτιμίας, διὰ δυσφημίας, καὶ εὐφημίας. τοῦτό ἐστι τὸ ποιοῦν ἀθλητήν, τὸ
β. Κορ. ς. η.
πρὸς πάντα εἶναι ἐπιτήδειον. τοιαύτη γὰρ καὶ ἡ τῆς ἀρετῆς φύσις. ἂν δὲ εἴπῃς, ὅτι οὐ δύναμαι περιεστάναι πολλῶν, μονάζειν ὀφείλω, ὕβρισας τὴν ἀρετήν. αὕτη γὰρ πᾶσι κεχρῆσθαι δύναται, καὶ διαφαίνειν· μόνον ἔστω ἐν τῇ ψυχῇ. λιμός ἐστι; πλησμονή ἐστι; αὕτη τὴν ἰσχὺν ἐπιδείκνυται τὴν αὐτῆς, καθὼς Παῦλός φησιν, Οἶδα καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι.
Φιλιπ. δ. ιϛ.
Πραξ. κη. λ.
ἔδει ἐργάζεσθαι; οὐκ ἐπῃσχύνθη, ἀλλὰ δύο ἔτη εἰργάζετο. ἔδει λιμῶξαι; οὐκ ἐτάκη, οὐδὲ ἐδίστασεν. ἔδει ἀποθανεῖν; οὐκ ἐγένετο ταπεινός, ἀλλὰ πάντων τὸ φρόνημα τὸ γενναῖον καὶ τὴν τέχνην ἐπεδείξατο. τοῦτον οὖν ζηλώσωμεν, καὶ οὐκ ἔσται λύπης ἡμῖν ὑπόθεσις. τί γάρ, εἰπέ μοι, λυπῆσαι δυνήσεται τὸν τοιοῦτον; οὐδέν. ἕως ἂν μὴ ταύτην ἡμᾶς ἀφέληταί τις, πάντων ἀνθρώπων μακαριώτεροι ἐσόμεθα, καὶ ἐνταῦθα, οὐχὶ ἐκεῖ μόνον. ἔστω γὰρ ὁ ἐνάρετος καὶ γυναῖκα ἔχων, καὶ παιδία, καὶ χρήματα, καὶ δόξαν πολλήν. πρὸς ταῦτα πάντα ὁμοίως ἐνάρετος μένει. ἄφελε αὐτά, καὶ πάλιν ὁμοίως ἐνάρετος ἔσται, οὔτε ὑπὸ τῶν θλίψεων καταβαπτιζόμενος, οὔτε ὑπὸ τῆς εὐπραγίας ὀγκούμενος. ἀλλ' ὥσπερ πέτρα, καὶ κυμαινούσης τῆς θαλάσσης, καὶ γαλήνης οὔσης, ὁμοίως ἕστηκεν ἀπαθής, οὔτε ὑπὸ τῶν κυμάτων θρυπτομένη, οὔτε ὑπὸ τῆς γαλήνης ἄλλο τι πάσχουσα· οὕτω καὶ ἡ ψυχὴ ἡ στερρὰ ἕστηκε βεβαία καὶ ἐν γαλήνῃ, καὶ ἐν κύμασι. καὶ καθάπερ τὰ μὲν παιδία ἐν πλοίῳ πλέοντα θορυβεῖται, ὁ δὲ κυβερνήτης κάθηται γελῶν καὶ ἀκλινὴς ὤν, τὸν θόρυβον ἐκείνων ὁρῶν, καὶ τερπόμενος· οὕτω καὶ ψυχὴ φιλόσοφος, πάντων τῶν ἄλλων θορυβουμένων, καὶ γελώντων πάλιν ἀκαίρως ἐν ταῖς τῶν πραγμάτων μεταβολαῖς, αὐτὸς ὥσπερ ἐπί τινος [αὐχένος καὶ] οἴακος * τῆς εὐλαβείας κάθηται ἀκλινής. τί γάρ, εἰπέ μοι, ταράξαι δύναται ψυχὴν εὐλαβῆ; θάνατος; ἀλλὰ τοῦτο ζωῆς βελτίονος ἀρχὴν οἶδεν. ἀλλὰ πενία; ἀλλὰ τοῦτο συμπράττει αὐτῇ πρὸς ἀρετήν. ἀλλὰ νόσος; ἀλλ' οὐδὲν ἡγεῖται αὐτὴν πρόσοδον. τί λέγω νόσον; οὐδὲ τὴν ἄνεσιν, οὐδὲ τὴν θλῖψιν. προλαβοῦσα γὰρ ἑαυτὴν ἔθλιψεν. ἀλλ' ἀδοξία; ἀλλ' ὅλος ὁ κόσμος αὐτῇ ἐσταύρωται. ἀλλὰ παίδων ἀποβολή; ἀλλ' οὐ δέδοικεν. ὅταν γὰρ περὶ ἀναστάσεως ᾖ πεπληροφορημένη, τί αὐτὴν ἑλεῖν δύναται; οὐδὲν τῶν πάντων. ἀλλὰ πλοῦτος ἐπαίρει; οὐδαμῶς. οἶδε γὰρ ὅτι οὐδὲν τὰ χρήματα. ἀλλὰ δόξα;
Ησ. μ. ϛ.
ἀλλὰ πεπαίδευται, ὅτι πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἀλλὰ τρυφή; ἀλλ' ἤκουσε
α. Τιμ. ε. ϛ.
Παύλου λέγοντος, ὅτι Ἡ σπαταλῶσα ζῶσα τέθνηκεν. ὅταν οὖν μήτε φλεγμαίνῃ, μήτε συστέλληται,

συστέλλεται), τί τῆς ὑγείας ταύτης ἴσον ἂν εἴη; ἀλλ' οὐχ αἱ ἄλλαι ψυχαὶ τοιαῦται, ἀλλὰ τῆς θαλάττης καὶ τοῦ χαμαιλέοντος πυκνότερον τρέπονται· ὥστε πολὺν εἶναι γέλωτα, ὅταν ἴδῃς τὸν αὐτὸν νῦν μὲν γελῶντα, νῦν δὲ κλαίοντα, νῦν δὲ φροντίζοντα, νῦν δὲ ὑπὲρ τὸ μέτρον ἐκκεχυμένον. Καίτοι ὁ Παῦλος οὐ δι' ἄλλο τί φησι, Μὴ συσχηματίζεσθαι τῷ αἰῶνι τούτῳ, Ρωμ. ιβ. β. ἀλλ' ἢ ὅτι ἐν τῷ οὐρανῷ πολιτευόμεθα, ἔνθα οὐκ ἔστι τροπή. ἐπήγγελται ἡμῖν ἔπαθλα οὐ τερπόμενα· κοινῇ οὖν τοιαύτην πολιτείαν ἐπιδειξώμεθα, ἐντεῦθεν ἤδη λάβωμεν τὰ ἀγαθά. τί εἰς εὔριπον ἑαυτοὺς ῥιπτοῦμεν, καὶ εἰς κλυδώνιον, καὶ εἰς χειμῶνα; καὶ εἰς ζάλην; γενώμεθα ἐν γαλήνῃ. οὐ παρὰ τὸν πλοῦτόν ἐστιν, οὐ παρὰ τὴν πενίαν, οὐ παρὰ τὴν δόξαν, οὐ παρὰ τὴν ἀδοξίαν, οὐ παρὰ τὴν νόσον, οὐ παρὰ τὴν ὑγείαν, οὐ παρὰ τὴν ἀσθένειαν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ταῦτα πάντα ψυχήν. ἂν αὕτη στεῤῥὰ ᾖ καὶ καλῶς ᾖ πεπαιδευμένη τὴν τῆς ἀρετῆς ἐπιστήμην, πάντα εὔκολα αὐτῇ ἔσται. καὶ ἐντεῦθεν ἤδη τὴν ἀνάπαυσιν ὄψεται, καὶ τὸν λιμένα τὸν εὔδιον, καὶ μυρίων ἀπολαύουσα τῶν ἀγαθῶν ἐπιτεύξεται· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. ιγ. 18 ΠΟΛΛΟΙ ΓΑΡ ΠΕΡΙΠΑΤΟΥΣΙΝ, ΟΥΣ
πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ
Χριστοῦ· ὧν τὸ τέλος ἀπώλεια,
19 Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα
ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες.
20 Ἡμῶν γὰρ τὸ
πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν,
21 Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Οὐδὲν οὕτως ἀνάρμοστον καὶ ἀλλότριον χριστιανοῦ, ὡς ἄνεσιν καὶ ἀνάπαυσιν ζητεῖν· οὐδὲν οὕτω τῆς ἐπαγγελίας καὶ στρατολογίας ἀλλότριον, ὡς τὸ τῷ παρόντι προστετηκέναι βίῳ. ὁ δεσπότης σου ἐσταυρώθη, καὶ σὺ ἄνεσιν ζητεῖς; ὁ δεσπότης σου προσηλώθη, καὶ σὺ τρυφᾷς; καὶ ποῦ ταῦτα στρατιώτου γενναίου; διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, πολλοὶ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ. ἐπειδὴ τινὲς ἦσαν ὑποκρινόμενοι κατὰ τὸν χριστιανισμόν, ἐν ἀνέσει δὲ ζῶντες καὶ τρυφῇ· τοῦτο δὲ ἐναντίον τῷ σταυρῷ· διὰ τοῦτο ταῦτα οὕτως ἔλεγεν. ὁ γὰρ σταυρὸς, ψυχῆς ἐστι παρατεταγμένης, θανατιώσης, οὐδὲν ἄνετον ἐπιζητούσης. ἐκεῖνοι δὲ ἀπεναντίας πολιτεύονται. ὥστε κἂν λέγωσιν εἶναι τοῦ Χριστοῦ, ἀλλ' [ὡς] ἐχθροί εἰσι τοῦ σταυροῦ. ἦ γὰρ ἄν, εἰ τὸν σταυρὸν ἐφίλουν, ἐσπούδαζον τὸν ἐσταυρωμένον βίον ζῆν. οὐκ ἀνεσκολοπίσθη σου ὁ δεσπότης; μίμησαι σὺ ἄλλως αὐτόν, εἰ μὴ τὸν ἐκείνου δύνασαι τρόπον. σταύρωσον ἑαυτόν, κἂν μηδείς σε σταυρώσῃ. σταύρωσόν σε αὐτὸν λέγω, οὐχ ἵνα σεαυτὸν ἀνέλῃς, μὴ γένοιτο (τοῦτο γὰρ ἀσεβές) ἀλλ' ὡς Παῦλος ἔλεγεν· Ἐμοὶ γάρ, φησι, κόσμος ἐσταύρωται, Γαλ. ϛ. ιδ. κἀγὼ τῷ κόσμῳ. εἰ φιλεῖς τὸν δεσπότην σου, τὸν θάνατον ἀπόθανε τὸν ἐκείνου. μάθε πόση τοῦ σταυροῦ ἡ ἰσχύς, πόσα κατώρθωσε, πόσα κατορθοῖ, πῶς ἐστιν ἀσφάλεια τοῦ βίου. διὰ τούτου πάντα τελεῖται· βάπτισμα διὰ τοῦ σταυροῦ (δεῖ γὰρ ἀναλαβεῖν τὴν σφραγῖδα) χειροτονία διὰ τοῦ σταυροῦ· κἂν ἐν ὁδοῖς ὦμεν, κἂν ἐν οἰκίᾳ, κἂν ὅπου ἄν ποτε, * μέγα ἀγαθὸν ὁ σταυρὸς, σωτήριον ὅπλον, ἀσπὶς ἄμαχος, τῷ διαβόλῳ ἀντίπαλος. τοῦτον οὖν ἐχθραίνων βαστάζεις τὸν σταυρόν, μὴ ἁπλῶς σφραγιζόμενος, ἀλλὰ καὶ τοῦ σταυροῦ πάσχων. οἶδε σταυ-

ρὸν ὁ Χριστὸς τὰ πάθη λέγει, ὡς ὅταν λέγῃ· Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι, τουτέστιν, ἐὰν μή τις ᾖ παρεσκευασμένος πρὸς θάνατον. οὗτοι δὲ ἄλλως ὄντες, καὶ φιλόζωοι καὶ φιλοσώματοι, ἐχθροὶ τοῦ σταυροῦ τυγχάνουσι· καὶ πᾶς, ὃς ἂν ᾖ τῆς τρυφῆς φίλος, καὶ τῆς ἐνταῦθα ἀσφαλείας, ἐχθρός ἐστι τοῦ σταυροῦ, ἐν ᾧ Παῦλος καυχᾶται, καὶ περιπλέκεται, ᾧ σπουδάζει συσταυρωθῆναι, ὡς ὅταν λέγῃ· Ἐγὼ ἐσταύρωμαι τῷ κόσμῳ, καὶ ὁ κόσμος ἐμοί. νῦν δέ φησι, καὶ κλαίων λέγω. διὰ τί; ὅτι ἐπέτεινε τὸ κακόν, ὅτι δακρύων ἄξιοι οἱ τοιοῦτοι. ὄντως δακρύων ἄξιοι οἱ τρυφῶντες, τὸ περιβόλαιον, τουτέστι, τὸ σῶμα λιπαίνοντες, τῆς δὲ μελλούσης εὐθύνας διδόναι οὐδένα ποιούμενοι λόγον. ἰδοὺ τρυφᾷς, ἰδοὺ μεθύεις, σήμερον καὶ αὔριον, καὶ δέκα ἔτη, καὶ εἴκοσι, καὶ τριάκοντα, καὶ πεντήκοντα, καὶ ἑκατόν, ὅπερ ἀδύνατον· πλὴν ἀλλ', εἰ βούλει, θῶμεν· τί τὸ πέρας; τί τὸ κέρδος; οὐδέν. τί οὖν; τοιοῦτον βίον ζῆν οὐ δακρύων ἄξιον καὶ θρήνων; ἤγαγεν ἡμᾶς εἰς τὸ στάδιον τοῦτο ὁ Θεός, ἵνα στεφανώσῃ, καὶ ἡμεῖς ἄπιμεν μηδὲν ἐργασάμενοι γενναῖον. κλαίει τοίνυν ὁ Παῦλος, ἐφ' οἷς ἕτεροι γελῶσι καὶ σπαταλῶσιν. οὕτως ἐστὶ συμπαθητικός, οὕτω φροντίζει πάντων ἀνθρώπων. ὧν ὁ Θεός, φησιν, ἡ κοιλία. διὰ τοῦτο ἐστὶ Θεὸς αὐτοῖς. τοῦτό ἐστι, Φάγωμεν καὶ πίωμεν. ὁρᾷς ὅσον ἡ τρυφὴ κακόν; τοῖς μὲν τὰ χρήματα, τοῖς δὲ ἡ κοιλία ὁ Θεός. οὐχὶ εἰδωλολάτραι καὶ οὗτοι, καὶ ἐκείνων χείρους; καὶ ἡ δόξα, φησίν, ἐν τῇ αἰσχύνῃ αὐτῶν. τινὲς τὴν περιτομήν φασι δηλοῦν διὰ τούτου· ἐγὼ δὲ οὐ τοῦτό φημι, ἀλλὰ τοῦτό ἐστιν· ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἐπὶ τούτοις σεμνύνονται. τοῦτό ἐστιν ὅ φησιν ἀλλαχοῦ· Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν, τὸ δὲ πράττοντα αἰσχύνεσθαι, ἐξ ἡμισείας ἐστὶ δεινόν. ὅταν μέντοι τις καὶ ἐγκαλλωπίζηται, ὑπερβολὴ ἀναισθησίας. ἆρα περὶ ἐκείνων μόνον ταῦτα εἴρηται, οἱ δὲ παρόντες ἡμῖν ἐνταῦθα διέφυγον τὸ ἔγκλημα, καὶ οὐδείς ἐστιν ὑπεύθυνος τούτῳ; οὐδὲ Θεὸν ἔχει τὴν κοιλίαν; οὐδὲ τὴν δόξαν ἐν τῇ αἰσχύνῃ; βούλομαι, καὶ σφόδρα βούλομαι μηδὲν τούτων εἶναι πρὸς ἡμᾶς, μηδὲ εἰδέναι τινὰ ἐνόχους τοῖς λεγομένοις· δέδοικα δὲ μὴ πρὸς ἡμᾶς μᾶλλον, ἢ τοὺς τότε λέγηται. ὅταν γὰρ πάντα τὸν βίον ἐν πότοις καὶ κώμοις ἀναλίσκῃ τις, καὶ εἰς μὲν πένητας ὀλίγα τινὰ δαπανᾷ, τὰ δὲ πλείονα ἀναλίσκῃ εἰς τὴν κοιλίαν, οὐκ εἰκότως καὶ περὶ αὐτοῦ λεχθήσεται; οὐδὲν ἐντρεπτικώτερον τῆς λέξεως, οὐδὲν πληκτικώτερον, ὧν ὁ Θεός, φησιν, ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. τίνες οὗτοί εἰσιν; οἱ τὰ ἐπίγεια φρονοῦντες, οἱ λέγοντες, οἰκοδομήσωμεν οἰκίας. ποῦ; ἐν τῇ γῇ, φησί· κτησώμεθα ἀγρούς, ἐν τῇ γῇ πάλιν· ἐπιτύχωμεν ἀρχῆς, πάλιν ἐν τῇ γῇ· τύχωμεν δόξης, πάλιν ἐν τῇ γῇ· πλουτήσωμεν, πάντα ἐν τῇ γῇ. οὗτοί εἰσιν ὧν ὁ Θεὸς ἡ κοιλία. οἱ γὰρ μηδὲν πνευματικὸν φρονοῦντες, ἀλλ' ἐνταῦθα πάντα κεκτημένοι, καὶ ταῦτα φρονοῦντες, εἰκότως τὴν κοιλίαν Θεὸν ἔχουσι, λέγοντες, Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. εἶτα σὺ μὲν περὶ τοῦ σώματος ἀλγεῖς, ὅτι γήϊνόν ἐστι, καίτοι τοῦτό σε οὐδὲν παραβλάπτει εἰς ἀρετῆς λόγον· τὴν δὲ ψυχὴν εἰς γῆν καταπατῶν τῇ τρυφῇ, καὶ μηδένα λόγον τούτου ποιῶν γελᾷς, εἰπέ μοι, καὶ διακέχυσαι; καὶ ποίας τεύξῃ συγγνώμης διακείμενος ἀναλγήτως, δέον καὶ τὸ σῶμα ποιῆσαι πνευματικόν; ἔξεστι γάρ, ἂν θέλῃς. κοιλίαν ἔλαβες, ἵνα τρέφῃς, οὐχ ἵνα διασπᾷς· ἵνα κρατῇς αὐτῆς, οὐχ ἵνα δέσποιναν ἔχῃς· ἵνα σοι ὑπηρετῇ πρὸς τὴν τῶν λοιπῶν μορίων διατροφήν, οὐχ ἵνα σὺ αὐτῇ ὑπηρετῇς, οὐχ ἵνα τοὺς ὅρους ἐκβαίνῃς. οὐ τοσαῦτα κακὰ ἐργάζεται ἡ θάλασσα τοὺς ὅρους ὑπερβαίνουσα, ὅσα ἡ γαστὴρ τὸ σῶμα τὸ ἡμέτερον μετὰ τῆς ψυχῆς. πᾶσαν ἐπικλύζει τὴν οἰκουμένην ἐκείνη, καὶ αὕτη ἅπαν τὸ σῶμα. θὲς αὐτῇ ὅρον τὴν αὐτάρκειαν, καθὼς Θεὸς ἔθετο τῇ θαλάσσῃ τὴν ἄμμον· κἂν κυμαίνῃ, κἂν ἀγριαίνῃ, ἐπιτίμα αὐτῇ τῇ δυνάμει τῇ οὔσῃ ἐν σοί. ὅρα πῶς λόγῳ σε ἐτίμησεν ὁ Θεός, ἵνα αὐτὸν μιμῇ· σὺ δὲ οὐ θέλεις, ἀλλ' ὁρᾷς αὐτὴν ὑπερβλύζουσαν, καὶ πᾶσαν διαφθείρουσαν τὴν φύσιν, καὶ λιμνάζουσαν, οὐ τολμᾷς καταχεῖν, οὐδὲ

σωφρονίσαι.

Margin notes: Ματθ. ις. κδ. — α. Κορ. ιε. λβ. — Ρωμ. ς. κα. — α. Κορ. ιε. λβ. — γρ. ποσοῦτ. — γρ. ἐμπλεκ... — γρ. ἀνοήτ... — γρ. γῆν οἰ... ἀνεχυθῆ... — γρ. ὑπερβλύ... ζουσαν

σωφρονοῦσαι. Ὧν ὁ Θεὸς, φησὶν, ἡ κοιλία. Ἴδωμεν πῶς Παῦλος ἐδούλευσε τῷ Θεῷ· ἴδωμεν πῶς καὶ οἱ γαστρίμαργοι τῇ κοιλίᾳ. Οὐχὶ μυρίοις ὑποκεῖνται οὗτοι θανάτοις; οὐχ, ἅπερ ἂν προστάττῃ, δεδοίκασι παρακοῦσαι; οὐχὶ τὰ ἀδύνατα διακονοῦνται αὐτῇ; οὐχὶ ἀνδραπόδων χείρους εἰσίν; ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος· διὸ καὶ ἔλεγεν, Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. Μὴ τοίνυν μηδὲ ἡμεῖς ἐν ταῦθα ζητῶμεν ἄνεσιν· ἐκεῖ θελήσωμεν γενέσθαι λαμπροὶ, ἔνθα καὶ πολιτευόμεθα. Ἐξ οὗ καὶ σωτῆρα, φησὶν, ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Κατὰ μικρὸν ἀνήγαγεν ἡμᾶς· ἀπ' οὐρανοῦ, φησὶν, ὁ ἡμέτερος σωτὴρ, ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ προσώπου τὸ σεμνὸν δεικνύς. Ὃς μετασχηματίσει τὸ σῶμα, φησὶ, τῆς ταπεινώσεως ἡμῶν. Πολλὰ πάσχει νῦν τὸ ἡμέτερον σῶμα, δεσμεῖται, μαστίζεται, μυρία πάσχει δεινά· ἀλλὰ καὶ τὸ τοῦ Χριστοῦ τοσαῦτα ἔπαθε. Τοῦτο γοῦν ἠνίξατο εἰπὼν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Ἄρα τὸ αὐτὸ μέν ἐστιν, ἐνδύεται δὲ ἀφθαρσίαν. Μετασχηματίσει, φησίν· ἄρα καὶ τὸ σχῆμα ἕτερον, ἢ τὴν μεταβολὴν οὕτω καταχρηστικῶς ἐκάλεσε. Σῶμα δὲ ταπεινώσεως ἡμῶν εἶπεν, ὅτι τεταπείνωται νῦν, ὅτι τῇ φθορᾷ ἐστιν ὑπεύθυνον, τῇ ἀλγηδόνι, ὅτι δοκεῖ εὐτελὲς εἶναι καὶ οὐδὲν τῶν λοιπῶν ἔχειν πλέον. Εἰς τὸ γενέσθαι αὐτὸ, φησὶ, σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Βαβαὶ, ἐκείνῳ τῷ καθημένῳ ἐν δεξιᾷ τοῦ πατρὸς σύμμορφον τοῦτο τὸ σῶμα γίνεται, ἐκείνῳ τῷ προσκυνουμένῳ ὑπὸ ἀγγέλων, ἐκείνῳ, ᾧ παρεστήκασιν αἱ ἀσώματοι δυνάμεις, ἐκείνῳ τῷ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, ἐκείνῳ σύμμορφον γίνεται; Ἆρα ἂν ἡ οἰκουμένη πᾶσα λαβοῦσα δάκρυα, τοὺς ταύτης τῆς ἐλπίδος ἐκπεπτωκότας δακρύῃ, ἀξίως δακρύσει; ὅτι ἐπαγγελίας ἡμῖν κειμένης ἐκείνῳ γενέσθαι σύμμορφοι, μετὰ τῶν δαιμόνων ἀπέρχεται; οὐ μέλει μοι γεέννης λοιπόν· ὅσα ἂν εἴπῃς, * οὐδὲν νομίζω πρὸς τὴν ἔκπτωσιν ταύτην. Τί λέγεις, ὦ Παῦλε; ἐκείνῳ σύμμορφον γίνεται; ναὶ, φησίν. Εἶτα, ἵνα μὴ ἀπιστήσῃς, καὶ λογισμὸν ἐπήγαγε· κατὰ τὴν ἐνέργειαν, φησὶ, τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. Δύναμιν ἔχει, φησὶν, ὥστε τὰ πάντα ὑποτάξαι· ὥστε καὶ τὴν φθορὰν καὶ τὸν θάνατον· μᾶλλον δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως καὶ τοῦτο ποιεῖ. Ποῖον γὰρ δυνάμεώς ἐστι μείζονος, εἰπέ μοι, δαίμονας καὶ ἀγγέλους καὶ ἀρχαγγέλους καὶ χερουβὶμ καὶ σεραφὶμ ὑποτάξαι, ἢ σῶμα ποιῆσαι ἄφθαρτον καὶ ἀθάνατον; πολλῷ δὴ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο. Ἔδειξε μείζονα ἔργα τῆς δυνάμεως αὐτοῦ, ἵνα καὶ τούτοις πιστεύσῃς. Ὥστε κἂν ὁρᾶτε τούτους χαίροντας, κἂν ὁρᾶτε δεδοξασμένους, στήκετε, μηδὲν παραβλάπτεσθε παρ' αὐτῶν, μηδὲν πτύρεσθε. Ἱκαναὶ αὗται αἱ ἐλπίδες καὶ τὸν σφόδρα νωθρὸν καὶ ὕπτιον ἀνορθῶσαι.

. ὑπεύθυνον

τὸ ταύτης δό-
ξης ἐκπεπτω-
κὸς, νῦν λοι-
πὸν γέενναν

. ἔχουσι

1 Ὥστε, ἀδελφοί μου, φησὶν, ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρά μου καὶ στέφανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί. κεφ. δ.

Οὕτω, πῶς; * ἀκλινεῖς. Ὅρα πῶς μετὰ τὴν παραίνεσιν τὰ ἐγκώμια. Χαρὰ καὶ στέφανός μου. Οὐχ ἁπλῶς χαρὰ, ἀλλὰ καὶ δόξα, οὐχ ἁπλῶς δόξα, ἀλλὰ καὶ στέφανος· ἧς δόξης οὐκ ἔστιν ἴσον, ὅταν Παύλου στέφανος ὦσιν. Οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοὶ, τουτέστιν, ἐν τῇ ἐλπίδι τοῦ Θεοῦ.

ἀνένδοτοι

2 Εὐωδίαν παρακαλῶ, καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ.

3 Καὶ ἐρωτῶ καὶ σὲ, σύζυγε γνήσιε, συναντιλαμβάνου αὐταῖς. Τινὲς τὴν γυναῖκα αὐτοῦ παρακαλεῖν ἐνταῦθά φασιν· ἀλλ' οὐκ ἔστιν· ἀλλ' ἤτινα γυναῖκα, ἢ καὶ ἄνδρα μιᾶς αὐτῶν. Συναντιλαμβάνου αὐταῖς, φησὶν, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

. ναὶ

. τιμᾷ

Ὁρᾷς ὅσην αὐταῖς ἀρετὴν μαρτυρεῖ; ὅπερ τοῖς ἀποστόλοις εἶπεν ὁ Χριστὸς, Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγεγραμμένα ἐν βίβλῳ ζωῆς, τοῦτο αὐταῖς μαρτυρεῖ καὶ οὗτος λέγων, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. Δοκοῦσι δέ μοι αὗται αἱ Λουκ. ι. κ.

γυναῖκες δὲ κεφάλαιον εἶναι τῆς ἐκκλησίας τῆς ἐκεῖ, καὶ παρατίθεται αὐτὰς ἀνδρὶ ἴσως θαυμαστῷ, ὃν καὶ σύζυγον καλεῖ· ᾧ ἴσως εἰώθει παρατιθέναι, ὡς συνεργῷ, καὶ συστρατιώτῃ, καὶ κοινωνῷ, καὶ ἀδελφῷ· ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ λέγων· Συνίστημι ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς. σύζυγε. ἢ ἀδελφόν τινα αὐτῆς, ἢ καὶ ἄνδρα ″ μιᾶς αὐτὴν οὕτω καλεῖ· ὡς ἂν εἰ ἔλεγε· νῦν ἀδελφὸς εἶ γνήσιος, νῦν ἀνὴρ γνήσιος, ὅτι μέλος γέγονας. αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι. οἴκοθεν ἡ προστασία, οὐκ ἀπὸ φιλίας, ἀλλ᾽ ἀπὸ κατορθωμάτων. συνήθλησάν μοι. τί λέγεις; γυναῖκες συνήθλησαν; ναί, φησιν. οὐ μικρὸν καὶ αὗται συνεβάλοντο μέρος· καίτοι γὰρ πολλῶν ὄντων τῶν συνεργούντων αὐτῷ, ὅμως ἐν πολλοῖς καὶ αὗται συνέπραττον. οὐ μικρῶς οὖν τότε συνεκροτοῦντο αἱ ἐκκλησίαι. τῷ γὰρ τοὺς εὐδοκίμους, ″ εἴτε ἄνδρας, ″ εἴτε γυναῖκας τοσαύτης παρὰ τῶν λοιπῶν ἀπολαύειν τιμῆς, πολλὰ ἐγίνετο τὰ καλά. πρῶτον μὲν γὰρ οἱ λοιποὶ πρὸς τὸν ἴσον ἤγοντο ζῆλον· δεύτερον δὲ καὶ ἐκέρδαινον διὰ τῆς τιμῆς· τρίτον καὶ αὐτοὺς ἐκείνους προθυμοτέρους ἐποίουν καὶ σφοδροτέρους. διὰ τοῦτο πανταχοῦ ὁρᾷς ἐπιμελούμενον τούτου τὸν Παῦλον, καὶ παρατιθέμενον τοὺς τοιούτους· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησίν, Οἵτινές εἰσιν ἀπαρχὴ τῆς Ἀχαΐας. τινὲς δέ φασιν ὄνομα ἐκεῖνο κύριον εἶναι τό, σύζυγε. πλὴν εἴτε τοῦτο, εἴτε ἐκεῖνο, οὐ σφόδρα ἀκριβολογεῖσθαι δεῖ, ἀλλ᾽ ὅτι πολλῆς κελεύει αὐτὰς προστασίας ἀπολαῦσαι, θαυμάζειν.

Ῥωμ. ις α.

α Κορ. ις ιε.

γρ. αὐτῆς

γρ. εἴτοι

γρ. εἴτε

ΗΘΙΚΟΝ

Πάντα ἡμῖν ἐν οὐρανοῖς ἐστι, καὶ σωτήρ, καὶ πόλις, καὶ ὅ,τι ἂν εἴποι τις· ἐξ οὗ φησι, καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν. καὶ τοῦτο τῆς φιλανθρωπίας αὐτοῦ. αὐτὸς πάλιν ἔρχεται πρὸς ἡμᾶς, οὐχ ἡμᾶς ἕλκει ἐκεῖ, καὶ οὕτω λαβὼν ἡμᾶς ἄπεισι· καὶ τοῦτο πολλῆς τῆς τιμῆς. εἰ γὰρ πρὸς ἐχθροὺς ὄντας ἦλθε, πολλῷ μᾶλλον πρὸς φίλους γενομένους. οὐκ ἐπιτρέπει τοῦτο ἀγγέλοις, οὐδὲ δούλοις, ἀλλ᾽ αὐτὸς ἐπὶ τῶν νεφελῶν ἔρχεται καλέσων ἡμᾶς εἰς τὰ βασίλεια αὐτοῦ. τάχα δὲ καὶ οἱ αὐτοῦ, τιμώμενοι ὑπ᾽ αὐτοῦ, ἀρθήσονται διὰ νεφελῶν. Καὶ ἡμεῖς γάρ, φησιν, ἐν νεφέλαις ἁρπαγησόμεθα οἱ ζῶντες αὐτοί, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. τίς ἄρα εὑρεθῇ ὁ πιστὸς δοῦλος, καὶ φρόνιμος; τίνες ἄρα οἱ καταξιούμενοι τῶν τοσούτων ἀγαθῶν; πῶς ἐλεεινοὶ οἱ ἀποπίπτοντες; εἰ γὰρ τὸν πάντα χρόνον ἐκλαιόμην τῆς βασιλείας ἀποτυχόντες, ἆρα τι ἄξιον ἐποιοῦμεν; εἰ γὰρ μυρίας γεέννας εἴπῃς, οὐδὲν ἴσον ἐρεῖς τῆς ὀδύνης ἐκείνης, ἣν ὑφίσταται τότε ἡ ψυχή, τῆς οἰκουμένης κλονουμένης ἁπάσης, τῶν σαλπίγγων ἠχουσῶν, τῶν ἀγγέλων προτρεχόντων, τῶν πρώτων, εἶτα δευτέρων, εἶτα τρίτων, εἶτα μυρίων ταγμάτων ″ ἐκχεομένων εἰς τὴν γῆν, εἶτα τῶν χερουβὶμ (πολλὰ δὲ ταῦτά ἐστι καὶ ἄπειρα) εἶτα τῶν σεραφίμ, αὐτοῦ ἐρχομένου ἐπὶ τῆς δόξης ἐκείνης τῆς ἀφράστου, ″ ἀπαντώντων τῶν ἀφικνουμένων τοὺς ἐκλεκτοὺς ″ ἄγει εἰς μέσον, εἶτα τῶν περὶ Παῦλον καὶ πάντων, ὅσοι εὐδοκίμησαν κατ᾽ αὐτόν, στεφανουμένων, ἀνακηρυττομένων, τιμωμένων παρὰ τοῦ βασιλέως ἐπὶ πάσης τῆς στρατιᾶς τῆς οὐρανίου. εἰ γὰρ μὴ γέεννα ″ ἦν, τὸ τούτων μὴ τιμᾶσθαι, ἐκείνους δὲ ἀτιμάζεσθαι, πόσον ἐστί; ἀφόρητος ἡ γέεννα, ὁμολογῶ, καὶ σφόδρα ἀφόρητος· πλὴν ἀφορητοτέρα αὐτῆς, τῆς βασιλείας ἡ ἔκπτωσις. ″ εἰπὲ γάρ μοι· εἴ τις βασιλεύς, ἢ υἱὸς βασιλέως ἀπελθών, καὶ πολέμους κατορθώσας μυρίους, καὶ θαυμασθείς, καὶ ἔχων στρατόπεδον ὁλόκληρον, ἐπιβαίνοι πόλεώς τινος μετὰ τοῦ ζεύγους, μετὰ τροπαίων, μετὰ μυρίων ταγμάτων πάντων χρυσοφορούντων, μετὰ τῶν δορυφόρων τῶν περὶ αὐτὸν ἁπάντων ἀσπίδας ἐχόντων χρυσᾶς, καὶ πᾶσα ἡ πόλις ἐστεφανωμένη εἴη, καὶ πάντες οἱ τῆς οἰκουμένης ἄρχοντες μετ᾽ αὐτοῦ, ἕποιτο δὲ αὐτῷ καὶ πᾶσα ἡλικία ὀπίσω ἀλλογλωσσῶν ἐθνῶν, δεσμωτῶν, ὑπάρχων, σατραπῶν, ὑπάτων, τυράννων, ἀρχόντων· εἶτα ἐπὶ ἁπάσης τῆς λαμπρότητος ἐκείνης, τοὺς ἀπαντῶντας τῶν πολιτῶν δέχοιτο, καὶ ″ καταφιλοίη, καὶ χεῖρα ὀρέγοι, καὶ πάσης μεταδιδοίη παρρησίας, ἢ καὶ πάντων ἐστώτων διαλέγοιτο, ὡς πρὸς φίλους, καὶ λέγοι

γρ. κατερχομένων

γρ. τὸν ἀπάντων

γρ. ἀγόντων

γρ. ἡγεῖτο

γρ. ἐστοιβάσατο

γρ. φιλοίη

λέγει πᾶσαν τὴν ὁδὸν ἐκείνην δι' αὐτοῦ πεποιῆσθαι, καὶ τοὺς μὲν εἰς τὰ βασίλεια ἄγει τὰ ἑαυτοῦ, τοὺς δὲ καταλιμπάνοι, πόσης κολάσεως τοῦτο οὐκ ἄξιον, εἰ καὶ μὴ κολάζοιντο; εἰ δὲ ἐστ' ἀνθρώποις οὕτω πικρὸν τὸ τῆς δόξης ταύτης ἀποπεσεῖν, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ, ὅταν αἱ ἄνω δυνάμεις πᾶσαι παρῶσι μετὰ τοῦ βασιλέως, ὅταν οἱ δαίμονες δεδεμένοι καὶ κάτω νεύοντες, καὶ ὁ διάβολος αὐτὸς δέσμιος ἄγηται, καὶ πᾶσα ἰσχὺς ἡ ἀντικειμένη, ὅταν αἱ δυνάμεις τῶν οὐρανῶν, ὅταν αὐτὸς ἔρχηται ἐπὶ τῶν νεφελῶν. πιστεύσατέ μοι, ἀπὸ τῆς ὀδύνης τῆς κατεχούσης μου τὴν ψυχὴν τῷ διηγήματι τούτῳ, οὐδὲ ἐξαρκοῦσαν τοῦ λέγειν δύναμιν. ἐννοήσωμεν πόσης ἀποστερούμεθα δόξης, ἄξιον μὴ ἀποστερηθῆναι. τὸ γὰρ δεινὸν τοῦτό ἐστιν, ὅτι κύριοι ὄντες τοῦ μὴ ταῦτα παθεῖν, πάσχομεν. ὅταν γὰρ τοὺς μὲν δέχηται καὶ ἀπάγῃ πρὸς τὸν πατέρα εἰς τοὺς οὐρανοὺς, τοὺς δὲ ἀφίησι, καὶ λαβόντες ἄγγελοί τινες ἕλκωσιν ἄκοντας καὶ δεδακρυμένους καὶ κάτω νεύοντας ἐπὶ τὸ τῆς γεέννης πῦρ, παραδειγματισθέντας ἐπὶ τῆς οἰκουμένης ἁπάσης, πόσην οἴει τὴν ὀδύνην εἶναι; ἀποδυσώμεθα ἕως ἔστι καιρὸς, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας τὴν φροντίδα ποιώμεθα. πόσα τοιαῦτα ἔχομεν εἰπεῖν οἷα ὁ πλούσιος; εἴ τις ἡμᾶς νῦν συνεχώρει, ἐξελυσάμεθα ἂν τι τῶν συμφερόντων· ἀλλ' οὐδεὶς ἀφίησι. τοῦτο ἐροῦμεν, οὐχὶ ἀπ' ἐκείνου μόνου δῆλον, ἀλλὰ καὶ ἀπὸ ἄλλων πολλῶν. καὶ ἵνα μάθῃς, πόσοι ἐν πυρετῷ ἐγένοντο, καὶ εἶπον, ἐὰν ἀνακτησώμεθα ἑαυτοὺς, οὐκέτι τοῖς αὐτοῖς περιπεσούμεθα; πολλὰ τοιαῦτα ἐροῦμεν τότε, ἀλλὰ ἀκουσόμεθα ἅπερ ὁ πλούσιος, ὅτι χάσμα ἐστὶν, ὅτι ἀπελάβομεν τὰ ἀγαθὰ ἐνταῦθα. στενάξωμεν οὖν, παρακαλῶ, πικρὸν· μᾶλλον δὲ μὴ μόνον στενάξωμεν, ἀλλὰ καὶ μεταβαλώμεθα τὴν ἀρετήν. πενθήσωμεν νῦν ἐπὶ σωτηρίᾳ, ἵνα μὴ τότε πενθήσωμεν εἰκῆ. κλαύσωμεν νῦν, καὶ μὴ τότε κλαύσωμεν ἐπὶ χρείᾳ. ἐστὶ ὁ κλαυθμὸς, ἀρετῆς· ἐκεῖνος, ἀνωφελοῦς διανοίας. θλίψωμεν ἑαυτοὺς νῦν, ἵνα μὴ τότε θλιβῶμεν. οὐκ ἔστιν ἴσον ἐνταῦθα θλιβῆναι, κἀκεῖ. ἐνταῦθα μὲν γὰρ πρὸς βραχὺν θλίβῃ χρόνον, μᾶλλον δὲ οὐδὲ αἴσθησιν λαμβάνεις τῆς θλίψεως, εἰδὼς ὅτι ἐπ' ἀγαθῷ θλίβῃ· ἐκεῖ δὲ χαλεπωτέρα ἡ θλίψις, ὅτι οὐκ ἐπ' ἐλπίδι, οὐδὲ ἐπί τινι διεξόδῳ, ἀλλὰ ἄπειρος καὶ διηνεκής ἐστι. γένοιτο δὲ πάντας ἡμᾶς ἀπαλλαγέντας τυχεῖν τῆς αἱρέσεως. ἀλλ' ἐπεὶ πρὸς τὸ μὴ ταύτης διαμαρτεῖν χρεία σπουδῆς καὶ ἀδιαλείπτων εὐχῶν, σπουδάζωμεν, παρακαλῶ. ἂν γὰρ σπουδάζωμεν, καὶ εὐχόμενοι αἰτῶμεν· ἐὰν εὐχώμεθα ἐκτενῶς, δίδωσιν ὁ Θεός. ἂν δὲ μήτε αἰτῶμεν αὐτὸν, μήτε ἐνεργῶμέν τι ποιοῦντες μηδὲ ἐργαζώμεθα, πῶς ἔνι κατορθῶσαί ποτε καθεύδοντας; οὐδαμῶς. ἀγαπητὸν γὰρ τρέχοντας καὶ ἐπεκτεινομένους καὶ συμμορφουμένους τῷ θανάτῳ αὐτοῦ, ὡς Παῦλος εἶπε, δυνηθῆναι ἐπιτυχεῖν, μήτοιγε δὴ καθεύδοντας. εἴ πως καταντήσω, φησίν. εἰ δὲ Παῦλος ἔλεγεν, εἴ πως καταντήσω, τί ἡμεῖς ἐροῦμεν; καθεύδοντας γὰρ οὐδὲ κοσμικὰ πράγματα ἔστιν αὐξῆσαί ποτε, μήτοιγε πνευματικά· καθεύδοντας οὐδὲ παρὰ τῶν φίλων ἔστι τι λαβεῖν ποτε, μήτοιγε παρὰ Θεοῦ· καθεύδοντας οὐδὲ πατέρες τιμῶσι, μήτοιγε ὁ Θεός. μικρὸν πονέσωμεν, ἵνα διηνεκῶς ἀναπαυσώμεθα. πάντως θλιβῆναι δεῖ· κἂν μὴ θλιβῶμεν ἐνταῦθα, ἐκεῖ τοῦτο μένει. διὰ τί μὴ αἱρούμεθα ἐνταῦθα θλιβῆναι, ἵνα ἐκεῖ ἀναπαυσώμεθα; γένοιτο δὲ πάντας ἡμᾶς ἀξίως πολιτευσαμένους Χριστοῦ, καὶ τῷ θανάτῳ αὐτοῦ συμμορφωθέντας, τῶν ἀπορρήτων τυχεῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ.

[Margin: γ. ἐκπ. — γ. ἡλικία — Λουκ. ις. κς.]

Λογ. ιδ. 4 ΧΑΙΡΕΤΕ ΕΝ ΚΥΡΙΩ ΠΑΝΤΟΤΕ, ΠΑΛΙΝ
ἐρῶ, χαίρετε. 5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ
Κύριος ἐγγύς. 6 Μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ
τῇ δεήσει μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν,
7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας
ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Ματθ. ε. δ. Λουκ. ς. κε. Μακάριοι οἱ πενθοῦντες, καὶ οὐαὶ τοῖς γελῶσι, φησὶν ὁ Χριστός. τί οὖν ὁ Παῦλός φησι, χαίρετε ἐν Κυρίῳ πάντοτε; οὐκ ἐναντιούμενος τῷ Χριστῷ· μὴ γένοιτο. οὐαὶ γὰρ τοῖς γελῶσιν, εἶπεν ὁ Χριστός, τὸν γέλωτα τὸν κόσμου τούτου αἰνιττόμενος, τὸν ἐπὶ τοῖς παροῦσι γινόμενον πράγμασι· καὶ τοὺς πενθοῦντας ἐμακάρισεν, οὐ τοὺς ἁπλῶς πενθοῦντας ἐπὶ ταῖς τῶν οἰκείων ἀποβολαῖς, ἀλλὰ τοὺς κατανενυγμένους, καὶ τὰ οἰκεῖα πενθοῦντας κακά, τοὺς τὰ ἑαυτῶν ἁμαρτήματα ὀδυρομένους, ἢ καὶ τὰ ἀλλότρια. οὐκ ἔστι δὲ αὕτη ἡ χαρὰ ἐναντία τῷ πένθει ἐκείνῳ· ἀλλὰ γὰρ ἀπ' ἐκείνου τοῦ πένθους καὶ αὕτη τίκτεται. ὁ γὰρ πενθῶν τὰ ἑαυτοῦ κακά, καὶ ἐξομολογούμενος, χαίρει. ἄλλως δέ, ἔνεστι πενθεῖν μὲν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, χαίρειν δὲ ἐπὶ τῷ Χριστῷ. ἐπειδὴ οὖν
Φιλιπ. α. κθ. συνεθλίβοντο δι' ὧν ἔπασχον (ἐχαρίσθη γὰρ ὑμῖν, φησιν, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν) διὰ τοῦτο λέγει, ἐν Κυρίῳ χαίρετε. τοῦτο γὰρ οὐδέν ἐστιν, ἢ ὅτι τοιοῦτον ἐπιδείκνυσθε βίον, ὥστε χαίρειν. ὅταν τοίνυν τὰ κατὰ Θεὸν ὑμῖν μὴ ᾖ ἐμπεποδισμένα, χαίρετε. ἢ τοίνυν τοῦτό φησιν, ἢ τό, εἰ, δι' αὐτὸν τοῦ, σύν, ἐστιν, ὥσπερ ἔλεγε, χαίρετε σὺν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε. τοῦτο θαρσοῦντός ἐστι καὶ νικῶντος, ὅτι ὁ ἐν Θεῷ ὤν, ἀεὶ χαίρει. κἂν τι θλίβηται, κἂν ὁτιοῦν πάσχῃ, ἀεὶ χαίρει ὁ τοιοῦτος. ἀκούσει γὰρ περὶ τῶν ἀποστόλων τοῦ Λουκᾶ λέγοντος, Ὅτι ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαστιγωθῆναι. εἰ μάστιγες, καὶ δεσμά, ἃ πάντων εἶναι δοκεῖ λυπηρότερα, χαρὰν τίκτει, τί τῶν ἄλλων δυνήσεται ἐμποιῆσαι λύπην ἡμῖν; πάλιν ἐρῶ, χαίρετε. καλῶς τὸν λόγον ἐδιπλασίασεν. ἐπειδὴ γὰρ τῶν πραγμάτων ἡ φύσις λύπην ἔτικτε, διὰ τοῦ διπλασιασμοῦ δείκνυσιν, ὅτι πάντως δεῖ χαίρειν. τὸ
Φιλιπ. γ. ιθ. ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. εἶπεν ἀνωτέρω, Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, καὶ ὅτι τὰ ἐπίγεια φρονοῦσιν. ἐπεὶ οὖν εἰκὸς αὐτοὺς πρὸς τοὺς πονηροὺς ἀπεχθῶς διακεῖσθαι, παραινεῖ τοίνυν αὐτοῖς μηδὲν ἔχειν πρὸς ἐκείνους κοινόν, ἀλλὰ μετὰ πολλῆς αὐτοῖς κεχρῆσθαι ἐπιεικείας, οὐ μόνον τοῖς ἀδελφοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἐχθροῖς καὶ τοῖς ἐναντίοις. ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἀλγεῖτε; ὅτι ἀλγοῦσι; ὅτι ὁρᾶτε τρυφῶντας αὐτούς; μηδὲν μεριμνᾶτε. ἤδη ἡ κρίσις ἐφέστηκεν· οὐκ εἰς μακρὰν δώσουσι λόγον τῶν πεπραγμένων αὐτοῖς. ἀλλ' ὑμεῖς ἐν θλίψει, ἐκεῖνοι δὲ ἐν τρυφαῖς; ἀλλ' ἤδη ταῦτα λήψεται τέλος. ἀλλ' ἐπιβουλεύουσι, καὶ ἀπειλοῦσιν; ἀλλ' οὐκ εἰς τέλος αὐτοῖς ταῦτα προχωρήσει. ἤδη ἐφέστηκεν ἡ κρίσις, ὅτε πάντων λύσις ἔσται, μηδὲν μεριμνᾶτε· ἤδη τὰ τῆς ἀνταποδόσεως ἐφέστηκε. καὶ ἐπιεικῶς προσενεχθῆτε τοῖς τὰ δεινὰ ὑμᾶς διατιθεῖσι, καὶ πενία, καὶ θάνατος, κἂν ὁτιοῦν ἄλλο δεινὸν ᾖ, πάντα οἰχήσεται. μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω
Ματθ. κη. κ. πρὸς τὸν Θεόν. μία μὲν οὖν ἐκείνη παραμυθία, τό, ὁ Κύριος ἐγγύς, καὶ ἐκεῖνο, τό, Ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἰδοὺ καὶ ἄλλη παραμυθία, καὶ λύπης καὶ φροντίδος καὶ πάντων τῶν ἀνιαρῶν λυτήριον φάρμακον. ποῖον δὴ τοῦτο; τὸ

εὔχεσθαι,

εὔχεσθαι, ὃ ἐν παντὶ εὐχαριστεῖν. ὥστε τὰς εὐχὰς, οὐ μόνον αἴτησιν εἶναι βούλεται, ἀλλὰ καὶ εὐχαριστίαν ὑπὲρ ὧν ἔχομεν. [γ. αὖ] πῶς γὰρ αἰτήσει τις τὰ μέλλοντα, ὁ τῶν προτέρων χάριν οὐκ εἰδώς; ἀλλ᾽ ἐν παντὶ, φησὶ, τουτέστι, πράγματι, τῇ προσευχῇ καὶ τῇ δεήσει. ὥστε ὑπὲρ ἁπάντων εὐχαριστεῖν δεῖ, καὶ τῶν δοκούντων εἶναι λυπηρῶν. [γ. πονηρῶν] τοῦτο γὰρ ὄντως εὐχαρίστου. [γ. εὐχαριστία] ἐκεῖνο μὲν γὰρ ἡ φύσις τῶν πραγμάτων ἀπαιτεῖ· τοῦτο δὲ ἀπὸ ψυχῆς γίνεται εὐγνώμονος, καὶ σφόδρα διακειμένης πρὸς τὸν Θεόν. ταύτας ἐπιγινώσκει τὰς εὐχὰς ὁ Θεὸς, τὰς δὲ ἄλλας οὐκ οἶδεν. οὕτω τοιαῦτα εὔχεσθε, ὥστε ἐπιγινώσκεσθαι. πάντα γὰρ ὑπὲρ τοῦ συμφέροντος οἰκονομεῖ, κἂν ἡμεῖς μὴ εἰδῶμεν. καὶ τοῦτο τοῦ σφόδρα συμφέρειν ἡμῖν ἐστι τεκμήριον, τὸ ἡμᾶς μὴ εἰδέναι. καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. τί ἐστι τοῦτο; ἡ εἰρήνη τοῦ Θεοῦ, φησὶν, ἣν πρὸς τοὺς ἀνθρώπους εἰργάσατο, πάντα νοῦν ὑπερέχει. [γ. ἃ] τίς γὰρ ἂν προσεδόκησε, τίς δ᾽ ἂν ἤλπισε τοσαῦτα ἔσεσθαι ἀγαθά; ἅπασαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, οὐχὶ λόγον μόνον· ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν μισούντων αὐτὸν, ὑπὲρ τῶν ἀποστρεφομένων, ὑπὲρ τούτων τὸν υἱὸν ἐκδοῦναι τὸν μονογενῆ οὐ παρῃτήσατο, ὥστε εἰρήνην ποιῆσαι πρὸς ἡμᾶς. αὕτη δὴ οὖν ἡ εἰρήνη, τουτέστιν, ἡ καταλλαγὴ, ἡ ἀγάπη τοῦ Θεοῦ φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν. τοῦτο διδασκάλου, μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ διὰ δεήσεως βοηθεῖν, ὥστε μήτε ὑπὸ πειρασμῶν καταβαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφέρεσθαι· ὡς ἂν εἰ ἔλεγεν, ὁ ῥυσάμενος ὑμᾶς οὕτως, ὡς οὐδὲ νοῦς καταλαβεῖν δύναται, αὐτὸς ὑμᾶς διαφυλάξειε, καὶ ἀσφαλίσαιτο, ὥστε μηδὲν παθεῖν. ἢ οὖν τοῦτο δηλοῖ, ἢ ὅτι ἡ εἰρήνη, ἣν φησὶν ὁ Χριστὸς, Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, αὕτη φρουρήσει ὑμᾶς. [Ιωαν. ιδ. κζ.] ἡ γὰρ εἰρήνη ὑπερέχει πάντα νοῦν ἀνθρώπινον. εἰ δὲ λέγεις, πῶς; ἄκουε. ὅταν λέγῃ πρὸς τοὺς ἐχθροὺς εἰρηνεύειν, πρὸς τοὺς ἀδικοῦντας, πρὸς τοὺς ἐκπεπολεμωμένους καὶ ἀπεχθῶς πρὸς ἡμᾶς ἔχοντας, πῶς οὐχ ὑπὲρ νοῦν ἐστιν ἀνθρώπινον τοῦτο; μᾶλλον δὲ τὸ πρότερον ἴδωμεν· ἡ εἰρήνη ὑπερέχει πάντα νοῦν. εἰ ἡ εἰρήνη, πολλῷ μᾶλλον αὐτὸς ὁ Θεὸς, ὁ τὴν εἰρήνην δοὺς, πάντα νοῦν, οὐ τὸν ἡμέτερον μόνον, ἀλλὰ καὶ τὸν τῶν ἀγγέλων, καὶ τῶν ἄνω δυνάμεων. τί δέ ἐστιν, ἐν Χριστῷ Ἰησοῦ; ἐν αὐτῷ φυλάξει, φησὶν, ὥστε μένειν, καὶ μὴ ἐκπεσεῖν αὐτοῦ τῆς πίστεως.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶ σεμνὰ, ὅσα ἀληθῆ, ὅσα δίκαια.

Τί ἐστι, τὸ λοιπόν; ἀντὶ τοῦ, πάντα ἡμῖν εἴρηται. ἐσπευσμένου δὲ ῥῆμά ἐστι, καὶ οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰ παρόντα. Λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε·

9 Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί. Τί ἐστιν, ὅσα προσφιλῆ; προσφιλῆ τοῖς πιστοῖς, προσφιλῆ τῷ Θεῷ. ὅσα ἐστὶν ἀληθῆ. ταῦτα γὰρ ὄντως ἀληθῆ, ἡ ἀρετὴ, ψεῦδος δὲ ἡ κακία. καὶ γὰρ ἡ ἡδονὴ αὐτῆς ψεῦδος, καὶ ἡ δόξα αὐτῆς ψεῦδος, καὶ πάντα τὰ τοῦ κόσμου ψεῦδος. ὅσα ἁγνὰ, πρὸς τὸ, τὰ ἐπίγεια φρονοῦντας. ὅσα σεμνά· πρὸς τὸ, ὧν Θεὸς ἡ κοιλία. ὅσα δίκαια, ὅσα εὔφημα, ταῦτά ἐστι, φησίν. εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος. ἐνταῦθα βούλεται αὐτοὺς καὶ τῶν πρὸς ἀνθρώπους προνοεῖν. ταῦτα λογίζεσθε, φησίν. ὁρᾷς ὅτι πᾶσαν ἔννοιαν βούλεται ἐξορίσαι πονηρὰν ἐκ τῶν ἡμετέρων ψυχῶν; ἀπὸ γὰρ ἐννοιῶν αἱ πράξεις αἱ πονηραὶ γίνονται. ἃ καὶ ἐμάθετε καὶ παρελάβετε. τοῦτο διδασκαλίας ἀρίστης, τὸ ἐν πάσαις ταῖς παραινέσεσιν ἑαυτὸν παρέχειν τύπον, καθὼς καὶ ἀλλαχοῦ φησι, Καθὼς ἔχετε τύπον ἡμᾶς. [Φιλιπ. γ. ιζ.] καὶ πάλιν ἐνταῦθα, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, τουτέστιν, ἐδιδάχθητε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, καὶ ῥημάτων ἕνεκεν, καὶ πράξεων, καὶ ἀναστροφῆς. ὁρᾷς ὅτι μέχρι παντὸς πράγματος ταῦτα διατείνεται; ἐπεὶ γὰρ οὐκ ἐνῆν ἀκριβολογεῖσθαι περὶ πάντων, καὶ εἰσόδων, καὶ ἐξόδων, καὶ ῥήματος,

ῥήματος, καὶ σχήματος, καὶ συνουσίας (πάντων γὰρ τούτων χρὴ προνοεῖν τὸν χειριζόμενον) συντόμως εἶπε, καὶ ὡς ἐν κεφαλαίῳ, ἐν ἐμοὶ ἠκούσατε καὶ εἴδετε· τουτέστι, περὶ ἐμοί, ὥσπερ ἔλεγε, καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ὑμᾶς ἐνῆγον. Ταῦτα πράσσετε.

"Μὴ λέγετε μόνον, ἀλλὰ καὶ πράττετε. Καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. γρ. Οἰχ...

Τουτέστιν, ἐὰν οὕτω φυλάττητε ταῦτα, καὶ πρὸς ἀλλήλους εἰρηνεύητε, ἐν γαλήνῃ ἔσεσθε, ἐν ἀσφαλείᾳ πολλῇ, οὐδὲν πείσεσθε λυπηρόν, οὐδὲ τῶν ἀβουλήτων. ὅταν γὰρ ἡμεῖς εἰρηνεύωμεν πρὸς αὐτόν (εἰρηνεύομεν δὲ διὰ τῆς ἀρετῆς) πολλῷ μᾶλλον αὐτὸς μεθ' ἡμῶν ἔσται. ὁ γὰρ οὕτως ἡμᾶς ἀγαπήσας, ὡς καὶ μὴ βουλομένους προσίεσθαι, ἂν ἴδῃ προστρέχοντας, οὐ πολλῷ πλέον αὐτὸς ἐπιδείξεται τὴν φιλίαν;

ΗΘΙΚΟΝ Οὐδὲν οὕτως ἐχθρὸν τῆς ἡμετέρας φύσεως, ὡς κακία. πῶς δὲ ἐχθρὸν ἡμῶν ἡ κακία, καὶ φίλον ἡ ἀρετή, πολλαχόθεν δῆλον. καί, εἰ βούλεσθε, σκοπήσωμεν τοῦτο πρότερον ἀπὸ τῶν ἐναντίων εἰδῶν, τῆς πορνείας. ἡ πορνεία ἐπονειδίστους καθίστησι, πένητας, καταγελάστους, εὐκαταφρονήτους πρὸς πάντας, ταῦτα διατιθεῖσα, ἅπερ ἐχθρῶν ἐστι διαθεῖναι· πολλάκις δὲ καὶ νόσοις καὶ κινδύνοις περιέβαλεν αὐτή. πολλοὶ δὲ καὶ ὑπὲρ τὴν πορνείαν ἀπώλοντο, καὶ τραύματα ἔλαβον. εἰ δὲ τὸ πορνεύειν ταῦτα πράξειεν, τὸ μοιχεύειν πολλῷ μᾶλλον. ἆρα οὖν καὶ ἡ ἐλεημοσύνη οὕτως; οὐδαμῶς· ἀλλ' ὡς μήτηρ φιλόστοργος ἐν κοσμιότητι πολλῇ τὸ παιδίον καθίστησιν, ἐν εὐταξίᾳ, ἐν χρηστῇ δόξῃ, περὶ τὴν τῶν ἀναγκαίων ποιεῖ σχολάζειν διατριβήν, οὐκ ἀφίησιν ἡμᾶς, οὐδὲ ἀπάγει τῶν ἀναγκαίων, ἀλλὰ καὶ τὴν ψυχὴν συνετωτέραν ἐργάζεται. οὐδὲν γὰρ πορνείας ἀσυνετώτερον. ἀλλὰ τί βούλει; τὴν πλεονεξίαν ἰδεῖν; καὶ αὕτη, ἅπερ ἂν ἐχθρὸς ἡμᾶς διέθηκε, διατίθησι. πῶς; μισεῖσθαι καὶ αὐτὴ ποιεῖ παρὰ πάντων. πάντας ἡμῖν κατεύχεσθαι παρασκευάζει, καὶ τοὺς ἠδικημένους, καὶ τοὺς οὐκ ἠδικημένους, ἐκείνοις μὲν συναλγοῦντας, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότας. ὡς ἐχθροὺς κοινοὺς πάντες ὁρῶσιν, ὡς θηρία, ὡς δαίμονας· μυρίαι πανταχοῦ κατηγορίαι, ἐπιβουλαί, φθόνοι, ἅπερ ἐστὶν ἐχθρῶν. ἡ δὲ δικαιοσύνη, τοὐναντίον. πάντας φίλους, πάντας συνήθεις, πάντας εὐνοϊκῶς διατίθησι πρὸς ἡμᾶς· παρὰ πάντων ὑπὲρ ἡμῶν εὐχαὶ γίνονται. ἐν ἀσφαλείᾳ πολλῇ ἐντεῦθεν τὰ καθ' ἡμᾶς, οὐδεὶς κίνδυνος, οὐδεμία ὑποψία, ἀλλὰ καὶ ὁ ὕπνος ἀδεῶς ἔπεισι μετὰ ἀσφαλείας, οὐδεμία φροντίς, οὐδεὶς κοπετός. ὁρᾷς ὅτι μᾶλλον αὕτη βελτίων; τί δέ, εἰπέ μοι, τὸ φθονεῖν, ἢ τὸ συνήδεσθαι βέλτιον; ταῦτα πάντα ἐξετάσωμεν, καὶ εὑρήσομεν, ὅτι ἡ μὲν ἀρετή, καθάπερ μήτηρ ὄντως φιλόστοργος, ἐν ἀσφαλείᾳ καθίστησιν· ἡ δὲ κακία ἐν κινδύνοις, πρᾶγμα ἐπισφαλὲς ὑπάρχον καὶ ἐπικίνδυνον. ἄκουε γὰρ τοῦ προφήτου

Ψαλ. κε. 14. λέγοντος, Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς. γρ. αὐτοῦ δηλῶσαι οὐδένα δέδοικεν ὁ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν· οὐδενὶ πάλιν θαρρεῖ ὁ ἐν κακίᾳ ζῶν, ἀλλὰ καὶ τοὺς οἰκέτας τρέμει, καὶ μεθ' ὑποψίας ὁρᾷ. τί δὲ λέγω τοὺς οἰκέτας; τοῦ συνειδότος οὐ φέρει τὸ δικαστήριον. οὐχ ὁ ἔξω μόνον, ἀλλὰ καὶ ὁ ἔνδον αὐτὸν κατακόπτουσι λογισμοί, οὐκ ἀφιέντες αὐτὸν ἠρεμεῖν. τί οὖν φησι; πρὸς ἐπαίνους προσέχοντα δεῖ ζῆν; οὐκ εἶπε, πρὸς ἔπαινον ὅρα, ἀλλὰ καὶ τὰ ἐπαινετὰ ποίει, μὴ πρὸς ἔπαινον μέντοι. ὅσα ἀληθῆ· ψευδῆ γὰρ ταῦτα. ὅσα σεμνά· τὸ σεμνόν, τῆς ἔξω ἐστὶ δυνάμεως· τὸ δὲ ἁγνόν, τῆς ψυχῆς. μὴ δίδοτε, φησι, πρόσκομμα, μηδὲ λαβήν. ἐπεὶ εἶπεν, ὅσα εὔφημα, ἵνα μὴ νομίσῃς, ὅτι τὰ παρὰ ἀνθρώποις ἁπλῶς φησιν, ἐπήγαγεν, εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ταῦτα πράττετε. διαπαντὸς βούλεται ἡμᾶς ἐν τούτοις εἶναι, ταῦτα μεριμνᾶν, ταῦτα ἐννοεῖν. εἰ γὰρ μέλλοιμεν πρὸς ἑαυτοὺς εἰρηνεύειν, καὶ ὁ Θεὸς ἔσται μεθ' ἡμῶν· ἂν δὲ πόλεμον ἐγείρωμεν, ὁ τῆς εἰρήνης Θεὸς οὐκ ἔσται μεθ' ἡμῶν. οὐδὲν γὰρ οὕτω πολέμιον τῇ ψυχῇ, ὡς κακία· καὶ οὐδὲν αὐτὴν ἐν ἀσφαλείᾳ καθίστησι πάλιν, ὡς ἡ εἰρήνη, καὶ ἡ ἀρετή· ὥστε τὰ παρ' ἡμῶν ἀρχέσθω δή, καὶ τότε τὸν Θεὸν ἐπισπασόμεθα.

οὐκ

Οὐκ ἔστιν ὁ Θεὸς πολέμου καὶ μάχης Θεός. Ἐκκόψον κατάλυσον καὶ τὸν πόλεμον, καὶ τὴν μάχην, καὶ τὴν πρὸς αὐτὸν, καὶ τὴν πρὸς τὸν πλησίον, εἰρηνικὸς ἔσο πρὸς πάντας. Ἐννόησον τίνας ὁ Θεὸς σώζει. Μακάριοι οἱ εἰρηνοποιοί, φησὶν, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Ματθ. ε. θ. διαπρέποντος τὸν υἱὸν τοῦ Θεοῦ μιμοῦνται οἱ τοιοῦτοι, καὶ μίμησαι καὶ σὺ αὐτόν· εἰρήνευσον. Ὅσῳ δ' ἂν σοι πολεμῇ ὁ ἀδελφὸς, τοσούτῳ μείζων ὁ μισθός. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Ψαλ. ρκθ. ς. Τοῦτο ἀρετὴ, τοῦτο μεῖζον ἢ ἀνθρωπίνου λογισμοῦ, τοῦτο Θεοῦ υἱεῖς εἶναι ποιεῖ. Οὐδὲν οὕτως εὐφραίνει τὸν Θεὸν, ὡς τὸ μὴ εἶναι μνησίκακον· τοῦτο ἀφίησί σοι τῶν ἁμαρτημάτων, τοῦτό σοι λύει τὰ ἐγκλήματα. Ἂν δὲ μαχώμεθα καὶ πυκτεύωμεν, μακρὰν γινόμεθα τοῦ Θεοῦ. Ἀπὸ μὲν γὰρ τῆς μάχης ἔχθραι τίκτονται· ἀπὸ δὲ τῆς ἔχθρας μνησικακία. Ἐκκόψωμεν τὴν ῥίζαν, καὶ οὐκ ἔσται ὁ καρπός· οὕτω μαθησόμεθα τῶν βιωτικῶν καταφρονεῖν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐν τοῖς πνευματικοῖς μάχη, ἀλλ' ὅπερ ἂν ἴδῃς γινόμενον, ἢ μάχας, ἢ φθόνον, ἢ ὅπερ ἂν εἴποι τις, βιωτικῶν ἕνεκεν ἐστί. Ἢ γὰρ πλεονεξίας, ἢ φθόνου, ἢ κενοδοξίας ἔχει τὴν ἀρχὴν πᾶσα μάχη. Ἂν τοίνυν εἰρηνεύσωμεν, μαθησόμεθα καὶ τῶν ἐν τῇ γῇ καταφρονεῖν. Ἥρπασέ τις τὰ χρήματα; ἀλλ' οὐδὲν ἠδίκησε, μόνον μὴ τὸν ἄνω πλοῦτον ἁρπάσῃ, φησίν. Ἐνεπόδισέ σου τῇ δόξῃ; ἀλλ' οὐ τῇ πρὸς Θεὸν, ἀλλὰ τῇ οὐδαμινῇ. Οὐδὲ γὰρ δόξα αὕτη ἐστὶν, ἀλλ' ὄνομα δόξης, μᾶλλον δὲ καὶ ἀδοξία. Ἥρπασέ σου τὴν τιμήν; ἀλλ' οὐχὶ τὴν σὴν, ἀλλὰ τὴν ἑαυτοῦ. Ὥσπερ γὰρ ὁ ἀδικῶν οὐκ ἀδικεῖ, ἀλλ' ἀδικεῖται, οὕτω καὶ ὁ τῷ πλησίον ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ πρότερον. Ὁ γὰρ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, εἰς αὐτὸν ἐμπίπτει. Μὴ τοίνυν ἐπιβουλεύωμεν ἑτέροις, ἵνα μὴ ἑαυτοὺς βλάπτωμεν. Ὅταν τὴν ἑτέρων δόξαν ὑποσκελίσωμεν, ἐννοήσωμεν ὅτι ἑαυτοὺς βλάπτομεν, ὅτι μᾶλλον ἑαυτοῖς ἐπιβουλεύομεν. Ἐκεῖνον μὲν γὰρ ἴσως, κἂν ἰσχύσωμεν, παρὰ τοῖς ἀνθρώποις βλάπτομεν· ἑαυτοὺς δὲ παρὰ τῷ Θεῷ ἀδικοῦμεν, παροξύνοντες αὐτόν. Μὴ δὴ βλάπτωμεν ἑαυτούς. Ὥσπερ γὰρ εἰ ἀδικοῦμεν τὸν πλησίον, ἑαυτοὺς ἀδικοῦμεν, οὕτως αὐτὸν εὖ ποιοῦντες, ἑαυτοὺς εὖ ποιοῦμεν. Ὅταν οὖν σε βλάψῃ ὁ ἐχθρὸς, ἐννοήσας, ὅτι εὐηργέτησέ σε, ἐὰν νήφῃς, μὴ μόνον τοῖς ἴσοις αὐτὸν μὴ ἀμύνῃ, ἀλλὰ καὶ εὐεργέτησον. Ἀλλ' ἡ πληγὴ μένει σφοδρά, φησί. Τοῦτο τοίνυν ἐννόησον *, ὅτι οὐκ ἐκεῖνον εὖ ποιεῖς, ἀλλ' ἐκεῖνον μὲν κολάζεις, σεαυτὸν δὲ εὖ ποιεῖς, καὶ ταχέως ἥξεις πρὸς τὸ εὖ ποιῆσαι. Τί οὖν; καὶ σκοπῷ, φησὶ, τοιούτῳ ποιεῖν δεῖ; οὐ δεῖ μὲν τούτῳ ποιεῖν τῷ σκοπῷ· ὅταν δὲ μὴ φέρῃ ἡ καρδία, κἂν τούτῳ, φησὶν, αὐτὴν ἐνάγαγε, καὶ ταχέως αὐτὴν πείσεις ἀφεῖναι τὴν ἔχθραν, καὶ ὡς φίλον εὐεργετήσεις λοιπὸν τὸν ἐχθρὸν, καὶ οὕτω τῶν μελλόντων ἀγαθῶν ἐπιτεύξῃ, ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν ἐν Χριστῷ Ἰησοῦ.

Λογ. ιε. 10 ΕΧΑΡΗΝ ΔΕ ΕΝ ΚΥΡΙΩ ΜΕΓΑΛΩΣ, ΟΤΙ ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. 11 Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης εἶναι. 12 Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι· 13 Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ, 14 Πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει.

Πολλάκις

Πολλάκις εἶπον, ὅτι ἡ ἐλεημοσύνη οὐ τῶν λαμβανόντων ἕνεκεν, ἀλλὰ τῶν διδόντων ἐπινενόηται. καὶ γὰρ ἐκεῖνοί εἰσιν οἱ τὰ μέγιστα κερδαίνοντες. τοῦτο καὶ ἐνταῦθα δείκνυσιν ὁ Παῦλος. πῶς; ἀπέστειλαν αὐτῷ ἵνα διὰ μακροῦ χρόνου Φιλιππήσιοι, αὐτὰ δὴ ταῦτα Ἐπαφροδίτῳ ἐγχειρίσαντες. μέλλων τοίνυν αὐτὸν πέμπειν τὴν ἐπιστολὴν ἀποκομίζοντα, ὅρα πῶς καὶ ἐπαινεῖ αὐτούς, καὶ δείκνυσιν ὅτι οὐ τῆς τῶν λαμβανόντων χρείας, ἀλλὰ τῆς τῶν διδόντων ἕνεκεν τοῦτο γεγένηται. τοῦτο δὲ ποιεῖ, ἵνα μήτε εἰς ἀπόνοιαν αἴρωνται οἱ εὖ ποιοῦντες, καὶ προθυμότεροι γίνωνται περὶ τὸ εὖ ποιεῖν, ἅτε ἑαυτοὺς μᾶλλον ὠφελοῦντες, οἵ τε λαμβάνοντες μὴ ἐπιτρέχωσιν ἀδεῶς τῷ λαμβάνειν, ἵνα μὴ κρίμα ἔχωσι. Πραξ. κ. λε. Μακάριον γάρ ἐστι, φησι, διδόναι [μᾶλλον], ἢ λαμβάνειν. τί δ' οὖν δηλοῖ λέγων, ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως; οὐ κοσμικῶς ἐχάρην, φησίν, οὐδὲ βιωτικῶς, ἀλλ' ἐν Κυρίῳ· οὐχ ὅτι ἀνάπαυσιν ἔσχον ἐγώ, ἀλλ' ὅτι ὑμεῖς προεκόψατε. ἡ γὰρ ἐμὴ ἀνάπαυσις, αὕτη ἐστί. διὰ τοῦτο καί φησι, μεγάλως· ἐπειδὴ οὐ σωματικὴ ἦν ἡ χαρὰ, οὐδὲ ὑπὲρ τῆς αὐτοῦ ἀναπαύσεως ἔχαιρεν, ἀλλ' ὑπὲρ τῆς ἐκείνων προκοπῆς. καὶ ὅρα πῶς ἠρέμα ἐπιτιμήσας ὑπὲρ τοῦ παρελθόντος χρόνου, ταχέως αὐτοὺς συνεσκίασε, παιδεύων συνεχῶς καὶ διαπαντὸς ἐν εὐποιΐᾳ εἶναι. ὅτι ἤδη ποτέ, φησι. τὸ, ἤδη ποτὲ, χρόνον δηλοῦντός ἐστι μακρόν. ἀνεθάλετε· ὡς ἐπὶ δένδρων βλαστησάντων, εἶτα ξηρανθέντων, καὶ πάλιν βλαστησάντων. τοῦτο δὲ δεικνύντος ἐστίν, ὅτι πρότερον ὄντες ἀνθηροὶ ἐμαράνθησαν· εἶτα μαρανθέντες, πάλιν ἐβλάστησαν· ὥστε καὶ ἐπιτίμησίς ἐστι καὶ ἔπαινος τὸ, ἀνεθάλετε. οὐ γάρ ἐστι μικρὸν, τὸ μαρανθέντα ἀναθῆλαι. καὶ τὸ πρὶν ἀπὸ ῥᾳθυμίας αὐτοὺς πεπονθότας δείκνυσιν. εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε. ἐνταῦθα δὲ δηλοῖ, ὅτι ἔθος εἶχον καὶ περὶ τοῦτο ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι. διὰ τοῦτο ἐπήγαγεν, εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε. καὶ ἵνα μὴ νομίσῃς καὶ ἐν τοῖς λοιποῖς προθυμοτέρους αὐτοὺς γεγενῆσθαι, καὶ μεμαράνθαι, ἀλλ' ἐν τούτῳ μόνῳ, ὅρα πῶς ἐπήγαγεν, ἤδη ποτὲ ἀνεθάλετε εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ὡσανεὶ ἔλεγεν, εἰς τοῦτό φημι μόνον τὸ ἤδη ποτέ· ἐν γὰρ τοῖς ἄλλοις οὐχ οὕτω. Πραξ. κ. λδ. ζητήσειε δ' ἄν τις ἐνταῦθα, πῶς λέγων, Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν, καὶ, Αἱ χεῖρές μου ὑπηρέτησαν ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, καὶ πάλιν πρὸς Κορινθίους α. Κορ. θ. ιε. γράφων ἔλεγε, Καλὸν γάρ μοι ἀποθανεῖν μᾶλλον, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ, νῦν περιορᾷ κενούμενον ἑαυτοῦ τὸ καύχημα. πῶς; λαβών. εἰ γὰρ τὸ καύχημα τοῦτο ἦν, τὸ μηδὲν λαβεῖν, πῶς νῦν ἀνέχεται; τί οὖν ἐστιν εἰπεῖν; ἐκεῖ εἰκότως οὐκ ἐλάμβανε διὰ τοὺς ψευ- β. Κορ. ια. ιβ. δαποστόλους, Ἵνα ἐν ᾧ καυχῶνται, φησιν, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. καὶ οὐκ εἶπεν, εἰσὶν, ἀλλά, καυχῶνται), δηλῶν ἐκ τούτου ὅτι ἐλάμβανον μὲν, λανθανόντως δέ. διὰ τοῦτο εἶπεν, ἐν ᾧ καυχῶνται). β. Κορ. ια. ι. ἐλάμβανε δὲ καὶ αὐτὸς, εἰ καὶ μὴ ἐκεῖ. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν· Οὐ φραγήσεται τὸ καύχημά μου. καὶ οὐχ ἁπλῶς εἶπεν, οὐ φραγήσεται, ἀλλὰ τί; Ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας· καὶ τὸ, Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν διακονίαν, δηλοῦντός ἐστιν, ὅτι ἐλάμβανεν. ἀλλὰ Παῦλος μὲν εἰκότως ἐλάμβανεν, ἔργον ἔχων τηλικοῦτον, εἴ που καὶ ἐλάμβανεν· οἱ δὲ μηδὲν ἐργαζόμενοι, πῶς ἂν δύναιντο λαμβάνειν; ἀλλ' εὔχομαι, φησι. ἀλλ' οὐκ ἔστι τοῦτο ἔργον. τοῦτο γάρ ἐστι καὶ μετὰ ἔργου ποιεῖν. ἀλλὰ νηστεύω. ἀλλ' οὐδὲ τοῦτο ἔργον. ἀλλ' ὅρα τοὺς μακαρίους τούτους πολλαχοῦ κηρύττοντας, καὶ ἐργαζομένους. ἠκαιρεῖσθε δέ, φησι. τί ἐστιν, ἠκαιρεῖσθε; οὐ τῆς ῥᾳθυμίας ὑμῶν, φησιν, ἀλλὰ τῆς ἀνάγκης. οὐκ εἴχετε ἐν χερσίν, οὐδὲ ἐν ἀφθονίᾳ ἦτε. τοῦτο γάρ ἐστιν, ἠκαιρεῖσθε δέ. ἀπὸ τῆς κοινῆς αὐτὸ συνηθείας ἔλαβεν. οὕτω γὰρ οἱ πλείους λέγουσιν, ὅταν αὐτοῖς μὴ μετὰ ἀφθονίας ἐπιρρέῃ τὰ βιωτικά, ἀλλ' ἐν στενοχωρίᾳ ᾖ. οὐχ ὅτι καθ' ὑστέρησιν λέγω. εἶπον, φησιν, ἤδη ποτὲ, καὶ ἐπετίμησα, οὐχὶ τὸ

ἐμαυτοῦ

χ. ἐπαινεῖ

χ. φησι

χ. ξηρανθέντων

χ. ὕστερον

χ. ῥᾳθυμοτ

χ. ἀλλ' ἐμ μερίδι καὶ τὸ, ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.

χ. πάντων,

ἐμαυτοῦ ζητήσας, οὐδὲ διὰ τοῦτο μεμψάμενος, ὡς ἐν ἐνδείᾳ ὤν. οὐδὲ γὰρ διὰ τοῦτο ἐζήτουν. πόθεν δῆλον, ὅτι οὐ κομπάζεις, ὦ Παῦλε; Κορινθίοις μὲν οὖν φησιν, Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. καὶ ἐπὶ τούτου δὲ οὐκ ἄν, ὥστε ἀλαζονεῦσαι, ἔλεγεν. οὐκ ἄν, εἴγε ἐκόμπαζε, ταῦτα εἶπε. οὐδὲ γὰρ εἰδόσιν ἔλεγε, καὶ πλείων ἦν ἡ αἰσχύνη ἀλαζονεῦσαι. ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμί, φησιν, αὐτάρκης εἶναι. ἄρα διδασκαλίας ἐστὶ τὸ πρᾶγμα, καὶ γυμνασίας, καὶ μελέτης. οὐ γὰρ εὐκατόρθωτόν ἐστιν, ἀλλὰ καὶ σφόδρα δύσκολον καὶ πόνον ἔχον πολύν. ἐν οἷς εἰμί, φησιν, αὐτάρκης εἶναι. οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν. ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, τουτέστι, καὶ ὀλίγοις κεχρῆσθαι οἶδα, καὶ λιμὸν φέρειν, καὶ ἔνδειαν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. ναί, φησιν· ἀλλὰ τοῦτο οὐκ ἔστιν ἐπιστήμης, ὥσπερ οὐδὲ ἀρετῆς τὸ περισσεύειν. καὶ σφόδρα ἀρετῆς, οὐχ ἧττον ἢ ἐκεῖνο. πῶς; ὅτι ὥσπερ ἡ στενοχωρία πολλὰ παρασκευάζει κακὰ ποιεῖν, οὕτω καὶ ἡ πλησμονή. πολλοὶ γὰρ πολλάκις ἐν ἀφθονίᾳ γενόμενοι, ῥαθυμότεροι ἐγένοντο, καὶ οὐκ ἔγνωσαν ἐνεγκεῖν τὴν εὐπραγίαν. πολλοὶ πολλάκις ἀφορμὴν ἔλαβον τοῦ μηκέτι ἐργάζεσθαι. ἀλλ' οὐχ ὁ Παῦλος. καὶ γὰρ λαμβάνων εἰς ἄλλους ἀνήλισκε, καὶ εἰς ἄλλους ἐκένου. τοῦτο δέ ἐστιν εἰδέναι καλῶς κεχρῆσθαι τῷ ἔχειν. οὐχὶ διεχεῖτο, οὐδὲ ἔχαιρεν ἐπὶ τῇ περιουσίᾳ αὐτοῦ, ἀλλ' ἴσος ἦν, ἔν τε ἐνδείᾳ, ἔν τε πλησμονῇ, οὔτε ἐκεῖθεν πιεζόμενος, οὔτε ἐντεῦθεν χαυνούμενος. καὶ χορτάζεσθαι, φησιν, οἶδα καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. πολλοὶ οὐκ ἴσασι χορτάζεσθαι, οἷον οἱ Ἰσραηλῖται· ἐκεῖνοι γὰρ ἔφαγον, καὶ ἀπελάκτισαν. ἀλλ' ἐπὶ τῆς αὐτῆς εὐταξίας ἐγὼ μένω. δείκνυσιν ὅτι οὔτε νῦν ἥσθη, οὔτε πρότερον ἐλυπεῖτο· εἰ δὲ καὶ ἐλυπεῖτο, οὐκ αὐτοῦ ἕνεκεν, ἀλλ' αὐτῶν. αὐτὸς γὰρ ὁμοίως διέκειτο. ἐν παντί, φησι, καὶ ἐν πᾶσι μεμύημαι· τουτέστι, πεῖραν ἔλαβον ἐν τῷ μακρῷ τούτῳ χρόνῳ πάντων, καὶ ταῦτά μοι πάντα κατώρθωται. ἀλλ' ἐπειδὴ μεγαληγορεία τὸ πρᾶγμα ἦν, ὅρα πῶς ἐπιλαμβάνεται ταχέως, καί φησι· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ, φησιν. οὐκ ἐμὸν τὸ κατόρθωμα, ἀλλὰ τοῦ τὴν ἰσχὺν δεδωκότος ἐστίν. ἀλλ' ἐπειδὴ πάλιν τοὺς εὖ ποιοῦντας, ὅταν ἴδωσιν οὐ δεηθέντα μὲν τὸν λαμβάνοντα, ἀλλὰ καταφρονοῦντα τῶν διδομένων, ῥαθυμότεροι γίνονται (αὐτοὶ γὰρ ὡς πιεζόμενοι διέκειντο, καὶ ἀναπαύοντες) ἵνα οὖν μὴ τοῦτο γένηται, μηδέ τις εἴπῃ, ὅτι ἐπεὶ καταφρονεῖ τῆς ἀναπαύσεως Παῦλος, ἀνάγκη τούτους ῥαθυμοτέρους γενέσθαι, ὅρα πῶς πάλιν καὶ τοῦτο ἰᾶται. διὰ μὲν γὰρ τῶν εἰρημένων τὸ φρόνημα αὐτοῦ κατέστησε, διὰ δὲ τῶν ἑξῆς τὴν προθυμίαν αὐτῶν ἀνάζην ποιεῖ, λέγων· πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. ὁρᾷς καὶ πῶς ἀπέστησεν ἑαυτόν, καὶ πῶς πάλιν λύει; τοῦτο γνησίας φιλίας ἐστὶ καὶ πνευματικῆς. μὴ γὰρ ἐπειδή φησιν, οὐ χρείαν οὐ κατέστηκα, νομίσητε μὴ δεῖσθαί με τοῦ πράγματος· δέομαι δι' ὑμᾶς. πῶς οὖν ἐκοινώνησαν αὐτοῦ τῇ θλίψει; διὰ τούτου ὅπερ καὶ δεσμούμενος ἔλεγε, Συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς. χάρις γάρ ἐστι τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, ὥσπερ καὶ αὐτός φησιν, Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ Θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. ἐπειδὴ γὰρ ἐκεῖνα καταμόνας λεγόμενα ἀλγῆσαι αὐτοὺς ἱκανὰ ἦν, διὰ τούτου θεραπεύει, καὶ ἀποδέχεται, καὶ ἐπαινεῖ πάλιν, καὶ τοῦτο μεμετρημένως. οὐ γὰρ εἶπε, δόντες, ἀλλά, συγκοινωνήσαντες, δεικνὺς αὐτοὺς καὶ κερδαίνοντας, εἴγε τῶν ἄθλων ἐγένοντο κοινωνοί. οὐκ εἶπεν, ἐπικουφίσαντές μου τὰς θλίψεις, ἀλλά, συγκοινωνήσαντές μου τῇ θλίψει, ὅπερ ἦν σεμνότερον. ὁρᾷς τὸ ταπεινὸν Παύλου; ὁρᾷς τὸ εὐγενές; ὅτι ἔδειξεν οὐδὲν δεόμενον τῶν παρ' ἐκείνων αὐτοῦ ἕνεκεν, τότε λοιπὸν ἀδεῶς καὶ ταπεινὰ φθέγγεται ῥήματα, καὶ ἅπερ οἱ προσαιτοῦντες λέγουσιν, ὡς ἔθος ἔχεις διδόναι. οὐδὲν γὰρ παραιτεῖται ὧν ποιεῖ, οὔτε λέγει, πρὸς τὸ μόνον, ὃ βούλεται, κατορθῶσαι. τί δὲ τοῦτό ἐστι; μὴ νομίσητε, φησιν, ἀναισχυντίας εἶναι τὰ ῥήματα τὸ ἐγκαλεῖν, καὶ λέγειν, ἤδη ποτὲ ἀνεθάλετε, καὶ τοῦ ἐν χρείᾳ εἶναι. οὐ γὰρ δεόμενος ταῦτα λέγω, ἀλλὰ τί; ἐκ τοῦ σφόδρα θαρρεῖν ὑμῖν· καὶ τούτου δὲ ὑμεῖς αἴτιοι. ὁρᾷς πῶς αὐ-

β. Κορ. α. ιγ.

Δευτ. λβ. ιε.

γ. τοῦτο
γ. αὐτὸ διορθοῦται

Φιλιπ. α. ζ.

τοὺς

τοῖς θεραπεύῃ, καὶ πῶς φησιν, ὑμεῖς ἄν ποι, περὶ τῶν ἄλλων ἐπιτηδεύσαντες τῷ πράγματι, καὶ παρρησίαν ἡμῖν δόντες ὑπὲρ τῶν τοιούτων ὑπομιμνήσκειν ὑμᾶς; καὶ θέα τὸ σεμνόν. μὴ πέμπουσι μὲν οὐκ ἐγκαλεῖ, ἵνα μὴ δόξῃ τὸ ἑαυτοῦ θεραπεύειν· ἐπειδὴ δὲ ἔπεμψαν, τότε ἐπιτίμησιν ὑπὲρ τοῦ παρελθόντος χρόνου, καὶ ἐπήνεγκεν. λοιπὸν γὰρ οὐκ ἂν ἔδοξε τὸ αὐτοῦ θεραπεύειν.

15 Οἴδατε, φησί, καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. Βαβαί, ἡλίκον τὸ ἐγκώμιον, εἴγε Κορίνθιοι μὲν ἐκ τῶν ἀρχῶν ἐκεῖθεν πρὸ αὐτῶν καὶ Ῥωμαῖοι προτετέρηνται, οὗτοι δὲ οὐδεμιᾶς ἐκκλησίας ἀρξαμένης; καὶ γὰρ ἐν ἀρχῇ τοῦ εὐαγγελίου φησί. τοσαύτην περὶ τὸν ἅγιον ἐπεδείξαντο σπουδήν, ὡς μηδὲ παράδειγμα ἔχοντες, αὐτοὶ πρῶτοι τῆς καρποφορίας ἄρξασθαι ταύτης. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι παραμένοντι αὐτῷ, οὐδὲ τῶν πρὸς αὐτοὺς ἕνεκεν ταῦτα ἐποίουν. ὅτε ἐξῆλθον γάρ, φησιν, ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. τί ἐστι, λήψεως; τί δὲ ἐστιν, ἐκοινώνησε; διατί μὴ εἶπεν, ὅτι οὐδεμία μοι ἐκκλησία ἔδωκεν, ἀλλ', ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως; κοινωνία γὰρ τὸ πρᾶγμά
α. Κορ. θ. ια. ἐστιν. Εἰ γὰρ ἡμεῖς τὰ πνευματικὰ ὑμῖν, φησιν, ἐσπείραμεν, τί μέγα, εἰ ἡμεῖς τὰ σαρκικὰ
β. Κορ. η. ιδ. ὑμῶν θερίσομεν; καὶ πάλιν, Τὸ ὑμῶν περίσσευμα ἵνα γένηται εἰς τὸ ἐκείνων ὑστέρημα. ὁρᾷς πῶς ἐκοινώνησαν; εἰς λόγον δόσεως τῶν σαρκικῶν, καὶ λήψεως τῶν πνευματικῶν. ὥσπερ γὰρ οἱ πωλοῦντες, καὶ ἀγοράζοντες κοινωνοῦσιν ἀλλήλοις, τὰ παρ' ἀλλήλων ἀντιδιδόντες (τοῦτο γάρ ἐστι κοινωνία) οὕτω δὴ καὶ ἐνταῦθα. οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης τῆς ἀγορασίας καὶ ἐμπορίας τι κερδαλεώτερον. γίνεται μὲν γὰρ ἐν τῇ γῇ, τελεῖται δὲ ἐν τῷ οὐρανῷ. οἱ μὲν ἀγοράζοντες, ἐν τῇ γῇ ἑστήκασιν· ἀγοράζουσι δὲ καὶ συμφωνοῦσι τὰ ἐν τοῖς οὐρανοῖς, ἡνίκα καταθέντες τὴν τιμήν. ἀλλὰ μὴ καταγνῷς· οὐ χρημάτων ἐστὶν ὠνητὰ τὰ οὐράνια, οὐ τὰ χρήματα αὐτὰ ἀγοράζει, ἀλλ' ἡ προαίρεσις τοῦ τὰ χρήματα καταβάλλοντος, ἡ φιλοσοφία, τὸ τῶν βιωτικῶν ἀνωτέρω εἶναι, ἡ φιλανθρωπία, ἡ ἐλεημοσύνη. ἐπεὶ εἰ τὸ ἀργύ-
Λουκ. κα. ριον ἠγόραζεν, ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα οὐδὲν ἂν ἔλαβε μέγα. ἐπειδὴ δὲ οὐ τὸ ἀργύριον, ἀλλ' ἡ προαίρεσις ἴσχυσεν, ἐκείνη πᾶσαν προαίρεσιν ἐπιδειξαμένη πάντα ἔλαβε. μὴ τοίνυν λέγωμεν, ὅτι ὠνητὴ χρημάτων ἐστὶν ἡ βασιλεία· οὐ χρημάτων, ἀλλὰ προαιρέσεως τῆς διὰ χρημάτων ἐπιδεικνυμένης. οὐκοῦν δεῖ χρημάτων, φησίν. οὐ δεῖ χρημάτων, ἀλλὰ προαιρέσεως. ἂν ταύτην ἔχῃς, δυνήσῃ καὶ διὰ δύο λεπτῶν ἀγοράσαι τὸν οὐρανόν· μὴ οὔσης δὲ ταύτης, οὐδὲ μυρία τάλαντα χρυσοῦ τοῦτο δυνήσεται, ὅπερ τὰ δύο λεπτά. διατί; ὅταν γὰρ πολλὰ ἔχων, ἐλάττονα καταβάλῃς, ἐποίησας μὲν ἐλεημοσύνην, οὐ τοσαύτην δέ, ὅσην ἡ χήρα. οὐ γὰρ μετὰ τοσαύτης προθυμίας κατέβαλες, μεθ' ὅσης ἐκείνη. πάντων γὰρ ἑαυτὴν ἀπεστέρησε· μᾶλλον δὲ οὐκ ἀπεστέρησεν, ἀλλὰ πάντα ἑαυτῇ ἐχαρίσατο. οὐ ταλάντων χρυσοῦ, ἀλλὰ ποτηρίου ψυχροῦ τὴν βασιλείαν ὑπέσχετο ὁ Θεός, ἀλλὰ προθυμίας οὐ θανάτου, ἀλλὰ προαιρέσεως· ἐπεὶ οὐδὲ μέγα τί ἐστι. τί γάρ ἐστι μίαν ψυχὴν δοῦναι; ἔδωκεν ἕνα ἄνθρωπον· εἷς δὲ ἄνθρωπος οὐκ ἔστιν ἀντάξιος.

16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὰς χρείας μοι ἐπέμψατε.

Πάλιν μέγα τὸ ἐγκώμιον, εἴγε ἐν τῇ μητροπόλει καθήμενος παρὰ τῆς μικρᾶς ἐτρέφετο πόλεως. καὶ ὅρα ἵνα μὴ διαπεπτωκὸς ἐξέλκων ἑαυτὸν τῆς χρείας, ὅπερ εἶπον πρότερον, ῥᾳθυμοτέρους ποιήσῃ, διὰ τοσούτων δείξας, ὅτι οὐ δεῖται, ἐνὶ μόνῳ τοῦτο δῆλον ἐποίησεν, εἰπών, εἰς τὰς χρείας· καὶ οὐκ εἶπε, τὰς ἐμάς, ἀλλ' ἁπλῶς, τοῦ σεμνοῦ ἐπιμελούμενος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς. ἐπειδὴ γὰρ συνεῖδε σφόδρα ταπεινὸν ὄν, πάλιν αὐτὸ τῇ ἐπιδιορθώσει ἀσφαλίζεται, λέγων·

γρ. -ται, ... τῆς ... γρ. ἄρχεσθαι

17 Οὐχ

17 Οὐχ ὅτι ἐπιζητῶ, λέγων, τὸ δόμα. Ὅπερ εἶπον ἄνω, Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω, τὸ αὐτὸ δηλῶν, εἰ καὶ ἐκεῖνο τούτου μεῖζόν ἐστιν. ἐκεῖ μὲν γάρ ἐστιν ὑστερουμένους μὴ ζητῆσαι, καὶ ἑτέροις ἐν ὑστερήσει ὄντας μηδὲ νομίζειν ὑστερεῖσθαι. Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, φησὶν, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. Οὐκ ἐμοῦ. ὁρᾷς ὅτι ὁ καρπὸς ἐκείνοις τίκτεται; δι' ὑμᾶς ταῦτα λέγω, φησὶν, οὐ δι' ἐμαυτὸν, εἰς τὴν ὑμετέραν σωτηρίαν. ἐγὼ γὰρ οὐδὲν κερδαίνω λαμβάνων, τῶν διδόντων ἐστὶν ἡ χάρις. τοῖς μὲν γὰρ διδοῦσιν ἐκεῖ φυλάττεται ἡ ἀμοιβή· τοῖς δὲ λαμβάνουσιν ἐνταῦθα ἀναλίσκεται τὰ διδόμενα. πάλιν μετ' ἐγκωμίου καὶ συμπαθείας, καὶ τὸ χρήζειν. ἐπειδὴ γὰρ εἶπεν, οὐ ζητῶ, ἵνα μὴ πάλιν ῥαθυμοτέρους ποιήσῃ, φησὶν,

18 Ἀπέχω δὲ πάντα, καὶ περισσεύω. Τουτέστι, διὰ ταύτης τῆς δόσεως καὶ τὰ παραλειφθέντα ἐπληρώσατε, ὥστε μάλιστα προθυμοτέρους αὐτοὺς ποιῆσαι. ἴσως γὰρ αὐτῶν οἱ φιλοσοφώτεροι, ζητοῦσι καὶ τὰς παρὰ τῶν εὖ παθόντων χάριτας τῶν εὖ ποιούντων. ἀπέχω πάντα, καὶ περισσεύω. τουτέστιν, οὐ μόνον ἀνεπληρώσατε τὰ ἐλλειφθέντα ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ ὑπερεβάλετε. Εἶτα ἵνα μὴ δόξῃ διὰ τοῦτο ἐγκαλεῖν, ὅρα πῶς ἐπισφραγίζεται. ἐπειδὴ γὰρ εἶπεν, οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, καὶ ὅτι, ἤδη ποτὲ, καὶ ἔδειξεν ὅτι ὀφειλή ἐστι τὸ πρᾶγμα (τοῦτο γάρ ἐστιν, ἀπέχω) πάλιν δείκνυσιν ὅτι ὑπὲρ ὀφειλὴν ἐπράξατε, καί φησιν, Ἀπέχω πάντα, καὶ περισσεύω, πεπλήρωμαι. Οὐχ ἁπλῶς, οὐδὲ ἀπὸ διαθέσεως ταῦτα λέγω, ἀλλὰ τί; Δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεστον τῷ Θεῷ. Βαβαὶ, ποῦ τὸ δῶρον αὐτῶν ἀνήγαγεν; οὐκ ἐγὼ, φησιν, ἔλαβον, ἀλλ' ὁ Θεὸς δι' ἐμοῦ. ὥστε, κἂν ἐγὼ μὴ χρήζω, μὴ μέλέτω ὑμῖν· ἐπεὶ οὐδὲ ὁ Θεὸς ἐχρῄζε, καὶ ὅμως ἀπεδέχετο οὕτως, ὡς μηδὲ παραιτεῖσθαι εἰπεῖν τὴν θείαν γραφὴν, Ὅτι ὠσφράνθη ὁ Θεὸς ὀσμὴν εὐωδίας, ὅπερ ἐστὶν εὐφράνθη. ἴστε γὰρ, ἴστε πῶς διατίθεται ἡμῶν ἡ ψυχὴ ἐπὶ ταῖς εὐωδίαις, πῶς εὐφραίνεται, πῶς χαίρει. οὐ παρῃτήσατο τοίνυν εἰπεῖν περὶ Θεοῦ ἀνθρώπινον οὕτω ῥῆμα καὶ ταπεινὸν ἡ γραφὴ, ἵνα τοῖς ἀνθρώποις δείξῃ, ὅτι δεκτὰ τὰ παρ' αὐτῶν δῶρα γέγονεν. οὐ γὰρ ἡ κνίσσα, οὐδὲ ὁ καπνὸς δεκτὰ ἐποίει, ἀλλ' ἡ προαίρεσις ἡ προσφέρουσα. ἐπεὶ εἰ τοῦτο ἦν, καὶ τὰ παρὰ τοῦ Κάϊν ἂν ἐδέξατο. Εἶπεν οὖν, ὅτι καὶ εὐφραίνεται, καὶ πῶς εὐφραίνεται. οὐ γὰρ ἂν ἄλλως ἔμαθον οἱ ἄνθρωποι. ὁ τοίνυν μὴ ἐν χρείᾳ καθεστὼς λέγει οὕτως εὐφραίνεσθαι, ἵνα μὴ διὰ τὸ ἀνενδεὲς ῥᾴθυμοι γίνωνται. καὶ ὅτε λοιπὸν τῆς ἄλλης ἀρετῆς ἠμελήσαντες, ταύταις ἐθάῤῥουν, ὅρα πῶς πάλιν διορθοῦται αὐτοὺς λέγων· Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; τοῦτο καὶ Παῦλός φησιν, οὐκ ἐπιζητῶ τὸ δόμα.

19 Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ. Ὅρα πῶς καὶ ἐπεύχεται, καθάπερ οἱ πένητες. Εἰ δὲ Παῦλος ἐπεύχεται τοῖς διδοῦσι, πολλῷ μᾶλλον ἡμᾶς μὴ αἰσχυνώμεθα λαμβάνοντες τοῦτο ποιεῖν. μὴ δὴ λαμβάνωμεν, ὡς αὐτοὶ χρήζοντες· μηδὲ χαίρωμεν ἡμῶν ἕνεκεν, ἀλλὰ τῶν διδόντων αὐτῶν. οὕτως ἡμῖν ἔσται μισθὸς τοῖς λαμβάνουσιν, ἂν δι' ἐκείνους χαίρωμεν. οὕτως οὐκ ἀγανακτήσομεν, μὴ διδόντων, μᾶλλον δὲ ἀλγήσομεν δι' αὐτούς. οὕτω καὶ προθυμοτέρους ἐργασόμεθα, ἂν διδάσκωμεν, ὅτι οὐχ ἡμῶν ἕνεκεν ταῦτα πράττωμεν. ὁ δὲ Θεός μου, φησὶ, πληρώσει πᾶσαν χρείαν ὑμῶν, ἢ πᾶσαν χάριν, ἢ πᾶσαν χαράν. ἀλλ' ἂν μὲν ᾖ, πᾶσαν χάριν, μὴ ταύτην μόνον φησὶ τὴν ἐπὶ γῆς ἐλεημοσύνην, ἀλλὰ πᾶν κατόρθωμα· ἂν δὲ, πᾶσαν χρείαν, ὅπερ οἶμαι καὶ μᾶλλον λέγεσθαι, τοῦτό ἐστιν ὃ δηλοῦν βούλεται. ἐπειδὴ ἔμπροσθεν εἶπεν, ἠκαιρεῖσθε, ἐπάγει ἐνταῦθα, ὅπερ ἐν τῇ πρὸς Κορινθίους φησὶ λέγων, Ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. ἐπεύχεται γὰρ αὐτοῖς, ὥστε εἶναι ἐν ἀφθονίᾳ, καὶ

Φιλιπ. δ. ια.

γρ. αὐτό.

Γεν. η. κα.

γρ. τῆς εὐωδίας.

Ψαλ. μθ. ιδ.

β. Κορ. θ. ι.

ἔχει ἀπείρως. καὶ ἐπάγεται οὐχ ἁπλῶς ἐν ἀφθονίᾳ εἶναι, ἀλλὰ κατὰ τὸν πλοῦτον αὐτοῦ· ὥστε καὶ τοῦτο συμμεμετρημένως. εἰ μὲν γὰρ κατ' αὐτοὺς ἦσαν καὶ οὕτω φιλόσοφοι, καὶ οὕτως ἐσταυρωμένοι, οὐκ ἂν τοῦτο ἐποίησεν. ἐπειδὴ δὲ ἄνδρες ἦσαν χρηστικοί, πένητες, γυναῖκας ἔχοντες, παῖδας τρέφοντες, οἰκίας προεστῶτες, καὶ ἀπὸ ὀλίγων καὶ ταῦτα ἔδοσαν, καί τινα εἶχον ἐπιθυμίαν καὶ τὴν πρόνοιαν, ἐπάγει συγκαταβατικῶς. τοῖς γὰρ οὕτω κεχρημένοις οὐδὲν ἄτοπον ἐπάγεσθαι τὴν αὐτάρκειαν καὶ τὴν ἀφθονίαν. ὅρα γοῦν τί καὶ ἐπάγεται. οὐκ εἶπεν, ὅτι ποιήσαι πλουσίους, καὶ εὐπόρους σφόδρα· ἀλλὰ τί; πληρώσαι πᾶσαν χρείαν ὑμῶν, ὥστε μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ τὰ πρὸς χρείαν ἔχειν. ἐπεὶ καὶ ὁ Χριστὸς ὅρον εὐχῆς ἡμῖν διδοὺς, τοῦτο τῇ εὐχῇ ἐνέθηκε, διδάσκων ἡμᾶς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον, λέγειν, δὸς ἡμῖν σήμερον. κατὰ τὸν πλοῦτον αὐτοῦ. τί ἐστι τοῦτο; κατὰ τὴν δωρεὰν αὐτοῦ, τουτέστιν, ὅτι εὔκολον αὐτῷ καὶ δυνατὸν καὶ ταχέως ποιῆσαι. καὶ ἐπειδὴ χρείαν εἶπεν, ἵνα μὴ νομίσωσιν, ὅτι στενοχωρήσει αὐτοὺς, διὰ τοῦτο ἐπήγαγε, κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ. οὕτω περισσεύσει ὑμῖν ἅπαντα, φησὶν, ὥστε ἐν δόξῃ αὐτοὺς ἔχειν. ἢ οὕτω τοῦτο λέγει, ὅτι οὐδενὸς ὑστερήσατε (Καὶ χάρις γὰρ μεγάλη, φησὶν, ἦν ἐπὶ πάντας αὐτούς· οὐδὲ γάρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς) ἢ περιττεύσει εἰς δόξαν αὐτοῦ πάντα ποιεῖν· ὥσπερ ἔλεγεν, ἵνα εἰς δόξαν αὐτοῦ χρῆσθε τῇ περιουσίᾳ.

20 Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Αὕτη δὲ ἡ δόξα οὐχὶ τοῦ υἱοῦ μόνου, ἀλλὰ καὶ τοῦ πατρὸς ἐστίν. ὅταν γὰρ ὁ υἱὸς δοξάζηται, τότε καὶ ὁ πατήρ. ἐπειδὴ γὰρ εἶπεν εἰς δόξαν Χριστοῦ τοῦτο γίνεσθαι, ἵνα μή τις νομίσῃ αὐτοῦ μόνου, ἐπήγαγε, τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα. αὕτη ἡ γινομένη δηλονότι τῷ υἱῷ.

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. Οὐ μικρὸν καὶ τοῦτο· πολλῆς γὰρ εὐμενείας καὶ τὸ διὰ γραμμάτων αὐτοὺς ἀσπάζεσθαι. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. Καὶ μὴν ἔλεγες, ὅτι οὐδένα ἔχεις ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. πῶς οὖν λέγεις νῦν, οἱ σὺν ἐμοὶ ἀδελφοί; ἢ τοὺς μετ' αὐτοῦ ἀδελφούς φησι, δηλῶν ὅτι οὐδένα τῶν μεθ' ἑαυτοῦ ἔχει ἰσόψυχον, οὐ περὶ τῶν ἐν τῇ πόλει λέγων (ποίαν γὰρ ἀνάγκην εἶχον ἐκεῖνοι τὰ τῶν ἀποστόλων ἀναδέχεσθαι πράγματα;) ἢ ὅτι οὐ παραιτεῖται καὶ τούτους ἀδελφοὺς καλεῖν.

22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

23 Η χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀνέστησεν αὐτοὺς καὶ ἀνέρρωσε, δείξας ὅτι καὶ τῆς βασιλικῆς οἰκίας τὸ κήρυγμα ἥψατο. εἰ γὰρ οἱ ἐν τοῖς βασιλείοις πάντων κατεφρόνησαν διὰ τὸν βασιλέα τῶν οὐρανῶν, πολλῷ μᾶλλον αὐτοὺς χρὴ τοῦτο ποιεῖν. καὶ τοῦτο δὲ τεκμήριον ἦν τῆς Παύλου ἀγάπης, ὅτι πολλὰ περὶ αὐτῶν διηγεῖται, καὶ μεγάλα λέγει. ὅθεν καὶ εἰς πόθον ἦγαγε τοὺς ἐν τοῖς βασιλείοις, ὥστε ἀσπάσασθαι αὐτοὺς τοὺς οὐχ ἑωρακότας. μάλιστα μὲν γὰρ, ἐπειδὴ ἐν θλίψει ἦσαν οἱ πιστοὶ τότε, πολλὴ ἦν ἡ ἀγάπη. πῶς; οἱ τε γὰρ ἀλλήλων διεστηκότες, ἀλλήλοις ἦσαν συγκεκολλημένοι· καὶ οἱ πόρρωθεν, ὡς ἐγγὺς ὄντες, ἀλλήλοις ἠσπάζοντο, καὶ ὡς περὶ μέλη οἰκεῖα, οὕτω πρὸς ἑαυτοὺς ἕκαστος διετίθετο. καὶ ὁ πένης γὰρ πρὸς τὸν πλούσιον ὁμοίως διέκειτο, καὶ ὁ πλούσιος πρὸς τὸν πένητα· καὶ οὐδεμία ἦν ὑπεροχὴ, τῷ πάντας ὁμοίως μισεῖσθαι καὶ ἐλαύνεσθαι, καὶ ἐπὶ τοῖς αὐτοῖς. ὥσπερ γὰρ οἱ ἐκ διαφόρων πόλεων αἰχμάλωτοί τινες ἀναστάντες, καὶ εἰς μίαν ἐλθόντες πόλιν, σφόδρα ἀλλήλοις συμπλέκονται, τοῦ κοινοῦ τῆς συμφορᾶς συγκολλῶντος αὐτούς· οὕτω δὴ καὶ τότε, τῆς κοινωνίας τῶν παθημάτων καὶ τῶν θλίψεων συναπτούσης αὐτοὺς, πολλὴν εἶχον πρὸς ἀλλήλους ἀγάπην.

ΗΘΙΚΟΝ

Δεσμὸς γάρ τίς ἐστιν ἡ θλίψις ἀρραγὴς, ἀγάπης αὔξησις, κατανύξεως καὶ εὐλαβείας ὑπόθεσις.

Ματθ. ϛ. ια.

Πραξ. δ. λδ.

Φιλιπ. β. κ.

γρ. μόνον

γρ. εἰς δόξαν

γρ. ἐπήρ.

γρ. θλίψεων

ὑπόθεσις. ἄκουε γὰρ τοῦ Δαβὶδ λέγοντος· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου· καὶ πάλιν ἑτέρου προφήτου λέγοντος, Ἀγαθὸν ἀνθρώπῳ, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ· καὶ πάλιν, Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε· καὶ ἑτέρου τινὸς λέγοντος, Μὴ ὀλιγώρει παιδείας Κυρίου· καὶ ἀλλαχοῦ, Εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. καὶ ὁ Χριστὸς δὲ πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἔλεγεν, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε· καὶ πάλιν, Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· καὶ πάλιν, Στενὴ καὶ τεθλιμμένη ἡ ὁδός. ὁρᾷς πανταχοῦ τὴν θλῖψιν ἐπαινουμένην; πανταχοῦ παραλαμβανομένην, ὡς ἀναγκαίαν οὖσαν ἡμῖν; εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐδεὶς ἂν ταύτης χωρὶς στέφανον λάβοι, εἰ καὶ μὴ πόνοις καὶ σιτίων παραιτήσει καὶ νόμῳ διαίτης καὶ ἀγρυπνίαις καὶ μυρίοις ἑτέροις ἑαυτὸν ὀχυρώσειε, πολλῷ μᾶλλον ἐνταῦθα. τίνα γὰρ βούλει; τὸν βασιλέα εἰπεῖν; ἀλλ' οὐδὲ ἐκεῖνος ἀμέριμνον ζῇ βίον, ἀλλὰ καὶ πολλῶν θλίψεων καὶ φροντίδων γέμοντα. μὴ γὰρ εἰς τὸ διάδημα ἴδῃς, ἀλλ' εἰς τὸ κλυδώνιον τῶν φροντίδων, δι' οὗ αὐτῷ ὁ θόρυβος τίκτεται· μηδὲ εἰς τὴν ἁλουργίδα βλέπε, ἀλλ' εἰς τὴν ψυχὴν τὴν μᾶλλον ἐκείνης τῆς ἁλουργίδος μελαινομένην. οὐχ οὕτως ὁ στέφανος δεσμεῖ τὴν κεφαλήν, ὡς τὴν ψυχὴν ἡ φροντίς. μηδὲ εἰς τὸ τῶν δορυφόρων πλῆθος ἴδῃς, ἀλλ' εἰς τὸ τῶν ἀθυμιῶν πλῆθος. οὐδὲ γάρ ἐστιν ἰδιωτικὴν οἰκίαν εὑρεῖν τοσούτων γέμουσαν φροντίδων, ὅσων τὰ βασίλεια. θάνατοι καθ' ἑκάστην ἡμέραν προσδοκώμενοι παρ' αὐτοῖς τούτοις, καὶ πρὸ τῆς τραπέζης τὸ αἷμα ὁρᾶται, καὶ πρὸ τοῦ ποτοῦ. ἐν δὲ ταῖς νυξὶν οὐδὲ εἰπεῖν ἐστιν ὁσάκις ἅλλονται, καὶ ἀναπηδῶσι φαντασιούμενοι. καὶ ταῦτα μὲν ἐν εἰρήνῃ· εἰ δὲ πόλεμος καταλάβοι, ἔτι τὰ τῶν φροντίδων ἐπιτείνεται. τί τοίνυν τοῦ βίου τούτου ἐλεεινότερον γένοιτ' ἄν; τὰ δὲ παρὰ τῶν οἰκείων ὅσα; τῶν ἀρχομένων λέγω. ἀμέλει καὶ συγγενικοῦ αἵματος ἀεὶ γέμει τὸ ἔδαφος τὸ βασιλικόν. καὶ, εἰ βούλεσθε, ἵνα τὰ διηγήσωμαι, τάχα ἐπιγνώσεσθε ὅτι οὕτως ἔχει· μάλιστα μὲν καὶ τὰ παλαιὰ ἐρῶ, πλὴν ἀλλ' ὅμως ἐπὶ τῇ μνήμῃ φυλαττόμενα, ἅτε καὶ ἐπὶ τῶν χρόνων γενόμενα τῶν ἡμετέρων. ὁ δεῖνα, φησί, τὴν γυναῖκα ὑποπτεύσας ἐπὶ μοιχείᾳ, γυμνὴν προσέδησεν ὄρεσι, καὶ θηρίοις ἐξέδωκεν, ἤδη μητέρα γενομένην αὐτῷ βασιλέων πολλῶν. οἵαν οἴεσθε ζωὴν ζῆν ἐκεῖνον; οὐ γὰρ ἄν, εἰ μὴ σφόδρα κατεπάχη τῷ πάθει, εἰς τοσαύτην ἐξέβη τιμωρίαν. ὁ αὐτὸς δὲ οὗτος τὸν υἱὸν ἀπέσφαξε τὸν αὐτοῦ· μᾶλλον δὲ ὁ τούτου ἀδελφὸς ἑαυτὸν μετὰ τῶν παίδων αὐτοῦ. λέγεται δὲ καὶ τὸν ἀδελφὸν οὗτος ἀνῃρηκέναι τὸν αὐτοῦ. καὶ ὁ μὲν ἑαυτὸν ἀνεῖλεν, ὑπὸ τυράννου καταληφθείς, ὁ δὲ τὸν ἀνεψιὸν τὸν αὐτοῦ κοινωνοῦντα τῆς βασιλείας αὐτῷ, ὃν αὐτὸς ἐνεχείρισεν. ἄλλος τὴν γυναῖκα εἶδεν ὑπὸ πυρῶν διαφθαρεῖσαν. ὡς γὰρ οὐκ ἔτικτε, γυνή τις ἀθλία καὶ ταλαίπωρος (ἀθλία γὰρ καὶ ταλαίπωρος, ἣ τὸ τοῦ Θεοῦ δῶρον ἤλπισε δι' οἰκείας παρέξειν σοφίας) πεσσοὺς δοῦσα, διέφθειρε τὴν βασιλίδα, καὶ συνδιεφθάρη καὶ αὐτή. ἕτερος πάλιν ὁ μετὰ τοῦτον ὑπὸ δηλητηρίων ἀνῄρηται φαρμάκων, καὶ τὸ ποτήριον τὸ αὐτοῦ λοιπὸν οὐκέτι πόμα, ἀλλὰ θάνατος· καὶ ὁ υἱὸς αὐτοῦ τοὺς ὀφθαλμοὺς ἐξωρύττετο φόβῳ τῶν μελλόντων, οὐδὲν ἠδικηκώς. ἄλλος, οὐδὲ εἰπεῖν καλόν, οὐδὲ ὅπως κατέλυσε τὸν βίον ἐλεεινῶς. τῶν δὲ μετὰ τούτους ὁ μὲν κατεκάη, καθάπερ τις ἄθλιος καὶ ταλαίπωρος μετὰ ἵππων, καὶ ἀνδρῶν, καὶ τῶν ἄλλων ἁπάντων, καὶ τὸ γνώριμον ἐν χρείᾳ. τὰς γὰρ ἐν τῷ ζῆν λύπας οὐδὲ εἰπεῖν ἔνι, ἃς, ὅτι [οὗτος] ἐπεδήμησεν, ἠναγκάζετο ἔχειν. οὗτος δὲ ὁ νῦν κρατῶν οὐχὶ ἐξ οὗ τὸ διάδημα περιέθετο, ἐν πόνοις, ἐν κινδύνοις, ἐν λύπαις, ἐν ἀθυμίαις, ἐν συμφοραῖς, ἐν ἐπιβουλαῖς; ἀλλ' οὐχ ἡ βασιλεία τοιαύτη τῶν οὐρανῶν· ἀλλὰ μετὰ τὸ λαβεῖν αὐτήν, εἰρήνη, ζωή, χαρά, εὐφροσύνη. ἀλλ', ὅπερ ἔλεγον, οὐκ ἔνι βίος ἀταλαιπώρητος. εἰ δὲ ἐν τοῖς βιωτικοῖς καὶ ὁ μάλιστα μακαριώτερος, ὁ ἐν βασιλείᾳ, τοσούτων γέμει συμφορῶν, τί οἴει ἐν τοῖς ἰδιωτικοῖς; καὶ πόσα ἕτερα κακά, οὐδὲ εἰπεῖν ἐστι. πόσοι πολλάκις καὶ μῦθοι ἀπὸ τούτων ἐπλάσθησαν; πᾶσαι σχεδὸν αἱ ἐπὶ τῆς

Ψαλ. ριη. οα. Θρήν. γ. κζ. Ψαλ. ϟγ. ιβ. Παροιμ. γ. ια. Σειρ. β. α. Ιωαν. ιϛ. λγ. κ. Ματθ. ζ. ιδ.

σκηνῆς τραγῳδίαι ἀπὸ τῶν βασιλέων ὑφαίνονται, καὶ οἱ μῦθοι. τὰ γὰρ πλείονα τῶν ἐν τοῖς μύθοις ἀπὸ τῶν γινομένων πέπλασται. οὕτω γοῦν ἔχει καὶ ἡ ἀηδόνιος ᾠδή, τὰ Θυέστεια δεῖπνα, καὶ ὡς πᾶσα ἐκείνη ἡ οἰκία διὰ συμφορῶν κατέστρεψεν. ἀλλὰ ταῦτα μὲν ἀπὸ τῶν παρὰ τῶν ἔξωθεν συντεθέντων ἴσμεν. εἰ δὲ βούλεσθε, καὶ ἀπὸ τῶν γραφῶν ἐροῦμεν. ὁ Σαούλ πρότερος ἐβασίλευσεν, ἀλλ' ἴστε πῶς καὶ οὗτος ἀπώλετο μυρίων πειραθεὶς κακῶν. μετ' ἐκεῖνον ὁ Δαβίδ, ὁ Σολομών, ὁ Ἀβιά, ὁ Ἐζεκίας, ὁ Ἰωσίας ὁμοίως. οὐ γάρ ἐστι θλίψεως χωρίς, οὐκ ἔστι πόνων χωρίς, οὐκ ἔστιν ἀθυμίας ἐκτὸς τὸν παρόντα βίον διελθεῖν. ἀλλ' ἡμεῖς ἀθυμῶμεν μὴ ὑπὲρ τῶν τοιούτων*, ὑπὲρ ὧν οἱ βασιλεῖς, ἀλλ' ὑπὲρ τοιούτων, ὑπὲρ ὧν [* πραγμάτων,] (β. Κορ ζ. ι.) καὶ κέρδος ἔχομεν μέγα. Ἡ γὰρ κατὰ Θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. ὑπὲρ τούτων χρὴ λυπεῖσθαι, ὑπὲρ τούτων ἀλγεῖν, ὑπὲρ τούτων δακρύεσθαι. (β. Κορ. β. δ.) οὕτως ἐλυπεῖτο Παῦλος ὑπὲρ τῶν ἁμαρτανόντων, οὕτως ἐδάκρυεν. Ἐκ γὰρ πολλῆς θλίψεως, φησί, καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. ἐπειδὴ γὰρ ὑπὲρ οἰκείων οὐκ εἶχε πενθεῖν, ὑπὲρ τῶν ἀλλοτρίων τοῦτο ἐποίει· μᾶλλον δὲ κἀκεῖνα οἰκεῖα ἡγεῖτο κατὰ τὸν τοῦ πάντας λόγον. ἕτεροι ἐσκανδαλίζοντο, καὶ αὐτὸς ἐπυροῦτο· ἕτεροι ἠσθένουν, καὶ αὐτὸς ἠσθένει. ἀγαθὸν ἡ τοιαύτη λύπη, πάσης κρείττων αὕτη χαρᾶς κοσμικῆς. τὸν οὕτω πενθοῦντα ἐγὼ πάντων τῶν ἀνθρώπων προκρίνω· μᾶλλον δὲ καὶ αὐτὸς τοὺς οὕτω πενθοῦντας μακαρίζει ὁ Κύριος, τοὺς συμπαθεῖς. οὐχ οὕτως αὐτὸν ἐπὶ τοῖς κινδύνοις θαυμάζω (μᾶλλον δὲ οὐχ ἧττον αὐτὸν τῶν κινδύνων θαυμάζω, ὑφ' ὧν καθ' ἑκάστην ἡμέραν ἀπέθνησκεν) ἀλλὰ τοῦτό με μᾶλλον αἱρεῖ. ἀπὸ γὰρ ψυχῆς φιλοθέου καὶ φιλοστόργου ἐγίνετο, ἀπὸ ἀγάπης, ἣν αὐτὸς ὁ Χριστὸς ἐζήτει, ἀπὸ συμπαθείας ἀδελφικῆς καὶ πατρικῆς, μᾶλλον δὲ καὶ τούτων ἀμφοτέρων μείζονος. οὕτω διακεῖσθαι χρή, οὕτω δακρύειν. τὰ τοιαῦτα δάκρυα πολλῆς ἐστιν εὐφροσύνης μεστά· τὸ τοιοῦτον πένθος ὑπόθεσις χαρᾶς ἐστι. καὶ μή μοι εἴπῃς, τί πλέον ἐκ τοῦ θρηνεῖν, ὑπὲρ ὧν τοῦτο ποιῶ; κἂν μηδὲν "ὀνήσωμεν τοὺς θρηνουμένους, ἀλλὰ πάντως ἡμᾶς αὐτοὺς ὠφελήσομεν. ὁ γὰρ ὑπὲρ τῶν [χ. ὠφελῶμεν] ἀλλοτρίων οὕτως ἀλγῶν, πολλῷ μᾶλλον ὑπὲρ τῶν "ἰδίων τοῦτο ποιήσει· [χ. οἰκείων] ὁ ἐπὶ τοῖς ἑτέρων οὕτω δακρύων, οὐκ ἀδάκρυτι τὰ οἰκεῖα παρελεύσεται πλημμελήματα· μᾶλλον δὲ οὐδὲ ἁμαρτήσει ταχέως. τὸ δὲ δεινόν, ὅτι κελευσθέντες οὕτως ἐπὶ τοῖς ἁμαρτάνουσι θρηνεῖν, οὐδὲ ἐπὶ τοῖς οἰκείοις ἵνα ἐπιδεικνύμεθα μετάνοιαν, ἀλλ' ἀδιηγήτως "πταίοντες διακείμεθα, καὶ πάν- [χ. παίοντες] των μᾶλλον φροντίζομεν, καὶ πάντα λογιζόμεθα μᾶλλον, ἢ τὰ οἰκεῖα ἁμαρτήματα. διὰ τοῦτο χαίρομεν χαρὰν τὴν ἀνόητον, τὴν τοῦ κόσμου, τὴν εὐθέως σβεννυμένην, τὴν μυρίας τίκτουσαν λύπας. λυπηθῶμεν τοίνυν λύπην χαρᾶς μητέρα, καὶ μὴ ἡσθῶμεν χαρὰν λύπην τίκτουσαν· ἀφῶμεν δάκρυα σπείροντα πολλὴν ἡδονήν, καὶ μὴ γελῶμεν γέλωτα βρυγμὸν ἡμῖν ὀδόντων τίκτοντα· θλιβῶμεν θλίψιν, ἀφ' ἧς ἄνεσις βλαστάνει, καὶ μὴ ζητῶμεν τρυφήν, ἀφ' ἧς πολλὴ θλίψις καὶ ὀδύνη τίκτεται· ἐπὶ τῆς γῆς μικρὸν πονέσωμεν, ἵνα τρυφήσωμεν διηνεκῶς ἐν τοῖς οὐρανοῖς· ἐν τῷ ἐπικήρῳ βίῳ θλίψωμεν ἑαυτούς, ἵνα ἐν τῷ ἀπείρῳ τύχωμεν ἀνέσεως· μὴ διαχυθῶμεν ἐν τῷ βραχεῖ τούτῳ, ἵνα μὴ στενάξωμεν ἐν τῷ ἀπείρῳ. οὐχ ὁρᾶτε πόσοι καὶ ἐν ταὐτῷ θλίβονται βιωτικῶν ἕνεκεν πραγμάτων; ἐννόησον ὅτι καὶ σὺ εἷς ἐξ ἐκείνων εἶ, καὶ φέρε τὴν θλίψιν καὶ τὴν ὀδύνην, τῇ ἐλπίδι τῶν μελλόντων τρεφόμενος. οὐκ εἶ σὺ τοῦ Παύλου βελτίων, οὐδὲ τοῦ Πέτρου, τῶν οὐδέποτε ἀνέσεως τυχόντων, τῶν ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι τὸν πάντα βίον διεξελθόντων. εἰ βούλει τῶν αὐτῶν ἐκείνοις τυχεῖν, τί τὴν ἐναντίαν ὁδεύεις ὁδόν; εἰ βούλει πρὸς τὴν πόλιν ἀπαντῆσαι ἐκείνην, ἧς ἐκεῖνοι κατηξιώθησαν, ἐκείνην βάδιζε τὴν ὁδὸν τὴν ἐκεῖ φέρουσαν. οὐ φέρει ἡ τῆς ἀνέσεως ὁδὸς ἐκεῖ, ἀλλ' ἡ τῆς θλίψεως· ἐκείνη εὐρύχωρος, αὕτη στενή. ταύτην βαδίζωμεν, ἵνα τύχωμεν τῆς αἰωνίου ζωῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολήν.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ κεφ. α.
διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς,
2 Τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

ΠΑσαι μὲν ἅγιαι αἱ ἐπιστολαὶ Παύλου· ἔχουσι δέ τι πλέον αἱ δεδεμένου αὐτοῦ πεμπόμεναι, οἷα ἐστὶν ἡ πρὸς Ἐφεσίους, οἷα ἡ πρὸς Φιλήμονα, οἷα ἡ πρὸς Τιμόθεον, οἷα ἡ πρὸς Φιλιππησίους, οἷα αὕτη ἡ προκειμένη. καὶ γὰρ καὶ αὕτη δεσμίου ὄντος ἐπέμπετο, καθὼς γράφων ἔλεγε· Διὸ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτὸ, ὡς δεῖ με λαλῆσαι. (Κολοσ. δ. γ.) ἀλλ' αὕτη μοι δοκεῖ τῆς πρὸς Ῥωμαίους ὑστέρα εἶναι. ἐκείνην μὲν γὰρ οὐδέπω ἰδὼν Ῥωμαίοις ἔγραφε, ταύτην δὲ ἤδη πρεσβύτερος, καὶ πρὸς τῷ τέλει τοῦ κηρύγματος ὤν. καὶ δῆλον ἐκεῖθεν, ἐν γὰρ τῇ ἐπιστολῇ φησι τῇ πρὸς Φιλήμονα, Τοιοῦτος ὢν, ὡς Παῦλος πρεσβύτης, καὶ ὑπὲρ Ὀνησίμου ἀξιοῖ· (Φιλημ. θ.) ἐν ταύτῃ δὲ αὐτὸν πέμπει τὸν Ὀνήσιμον, καθώς φησι, Σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, (Κολοσ. δ. θ.) πιστοὺς καὶ ἀγαπητοὺς καὶ ἀδελφοὺς αὐτοὺς καλῶν. διὸ καὶ θαῤῥούντως λέγει ἐν ταύτῃ τῇ ἐπιστολῇ, Ἀπὸ τῆς ἐλπίδος τοῦ (Κολοσ. α. κγ.) εὐαγγελίου, οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν. ἤδη γὰρ χρόνον εἶχε τὸ κήρυγμα. ταύτης δὲ ὑστέραν οἶμαι τὴν πρὸς Τιμόθεον εἶναι, καὶ πρὸς αὐτῇ τῇ τελευτῇ λοιπόν· ἐκεῖ γάρ φησιν, Ἐγὼ γὰρ ἤδη σπένδομαι. (β. Τιμ. δ. ς.) τῆς μὲν οὖν πρὸς Φιλιππησίους πρεσβυτέραν εἶναι· ἐν ἐκείνῃ γὰρ φαίνεται ἀρχὴν ἔχων τῶν δεσμῶν τῶν ἐν τῇ Ῥώμῃ. τίνος δὲ ἕνεκεν λέγω πλέον ἔχειν ταύτας τὰς ἐπιστολὰς ἐχεῖν; τοῦτο, ὅτι ἐν δεσμοῖς ὢν αὐτὰς γράφει· ὡς ἂν εἴ τις ἀριστεὺς σφαγὰς μεταξὺ, καὶ τρόπαια ἱστὰς ἐπιστέλλει, οὕτω δὴ ἐποίει. καὶ αὐτὸς δὲ οἶδε τοῦτο καὶ αὐτὸς τοῦτο μέγα ὄν. περὶ γὰρ Φιλήμονι γράφων φησὶν, Ὃν ἐγέννησα ἐν (Φιλημ. ι.) τοῖς δεσμοῖς μου. ταῦτα δὲ εἶπεν, ἵνα μὴ ἀγαλλώμεθα πρὸς τὰ δεινὰ, ἀλλὰ καὶ χαίρωμεν ἐπὶ ταῖς αὐτοῦ παιδὰς τούτοις Φιλήμων. καὶ γὰρ ἐκεῖ γράφων φησὶ, Καὶ Ἀρχίππῳ τῷ συ- (Φιλημ. β.) στρατιώτῃ ἡμῶν· καὶ ἐνταῦθα, Εἴπατε Ἀρχίππῳ. δοκεῖ μοι ἐκεῖνος ἐγκεχειρίσθαι τινὰ τῆς (Κολοσ. δ. ιζ.) ἐκκλησίας. ὅθεν εἰδὼς δὲ οὔτε τούτους, οὔτε Ῥωμαίους, οὔτε Ἑβραίους, ἡνίκα ἔγραφε πρὸς αὐτούς.

αὐτούς. καὶ περὶ μὲν ἐκείνων πολλαχοῦ δηλοῖ, περὶ δὲ τούτων ἄκουε αὐτοῦ λέγοντος, Καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί· καὶ πάλιν, Εἰ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι. οὕτως ᾔδει μέγα ὂν τὴν παρουσίαν αὐτοῦ πανταχοῦ, καὶ ἀεὶ ἑαυτὸν τοῖς ἀποῦσιν ἐφίστησι· καὶ ὅταν κολάζῃ τὸν πορνεύοντα, ὅρα πῶς ἑαυτὸν ἐφίστησι τῷ δικαστηρίῳ. Ἐγὼ μὲν γάρ, φησιν, ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρών· καὶ πάλιν, Ἐλεύσομαι πρὸς ὑμᾶς, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· καὶ πάλιν, Μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ ἀπεῖναί με. Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ. ἄξιον δὲ καὶ τὴν ὑπόθεσιν εἰπεῖν, ἣν ἐκ τῆς ἐπιστολῆς εὕρομεν. τίς οὖν ἐστιν αὕτη; δι' ἀγγέλων προσάγοιντο τῷ Θεῷ, παρατηρήσεις εἶχον πολλὰς καὶ Ἰουδαϊκὰς καὶ Ἑλληνικάς. ταῦτ' οὖν διορθοῦται. διὰ τοῦτο καὶ ἀρχόμενός φησι, διὰ θελήματος Θεοῦ. ἰδοὺ πάλιν τὸ, διά, τέθεικε. καὶ Τιμόθεος ὁ ἀδελφός, φησιν. οὐκοῦν καὶ αὐτὸς ἀπόστολος. εἰκὸς δὲ καὶ τοῦτον αὐτοῖς γνωρίζεσθαι. τοῖς ἐν Κολοσσαῖς ἁγίοις. ἡ πόλις τῆς Φρυγίας ἦν· καὶ δῆλον ἐκ τοῦ τὴν Λαοδίκειαν πλησίον εἶναι. καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ. πόθεν; φησίν, ἅγιος γέγονας, εἰπέ μοι; πόθεν πιστὸς κέκλησαι; οὐχ ὅτι διὰ τοῦ θανάτου ἡγιάσθης τοῦ Χριστοῦ; οὐχ ὅτι εἰς Χριστὸν πιστεύεις; πόθεν ἀδελφὸς γέγονας; οὐ γὰρ ἐν ἔργῳ, οὐδὲ ἐν λόγῳ, οὐδὲ ἐν κατορθώματι πιστὸς ἐφάνης. πόθεν τοσαῦτα ἐπιστεύθης, εἰπέ μοι, μυστήρια; οὐ διὰ Χριστόν; χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν. πόθεν ἡ χάρις ὑμῖν; πόθεν ἡ εἰρήνη; ἀπὸ Θεοῦ, φησι, πατρὸς ἡμῶν. καίτοι ἐν ταύτῃ τὸ τοῦ Χριστοῦ οὐ τέθεικεν ὄνομα. πρὸς τὸ πνεῦμα διαβάλλοντας ἐρῶ, πόθεν ὁ Θεὸς πατὴρ τῶν δούλων; ταῦτα τὰ μεγάλα τίς κατώρθωσε; τίς ἅγιόν σε ἐποίησε; τίς πιστόν; τίς υἱὸν τοῦ Θεοῦ; ὁ ποιήσας σε ἀξιόπιστον, αὐτὸς καὶ τοῦ πιστευθῆναί σε ἁπλῶς αἴτιος. πιστοὶ γὰρ οὐ διὰ τὸ πιστεύειν καλούμεθα μόνον, ἀλλὰ καὶ διὰ τὸ πιστευθῆναι παρὰ τοῦ Θεοῦ μυστήρια, ἅπερ οὐδὲ ἄγγελοι πρὸ ἡμῶν ᾔδεισαν. Ἀλλ' ἀδιάφορον τῷ Παύλῳ ὑπὸ ταῦτα ἤθεια.

3 Εὐχαριστοῦμεν τῷ Θεῷ τῷ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐμοὶ δοκεῖ πάντα ἐπὶ τὸν πατέρα ἀνατιθέναι, ὥστε μὴ εὐθέως αὐτοῖς προσθέσαι τὸν λόγον. Πάντοτε περὶ ὑμῶν προσευχόμενοι. Οὐ διὰ τῆς εὐχαριστίας μόνον, ἀλλὰ καὶ τῆς διηνεκοῦς εὐχῆς, τὴν ἀγάπην δείκνυσιν, ὅτι καὶ οὓς οὐχ ἑώρα, τούτους εἶχε διὰ παντὸς ἐν ἑαυτῷ.

[4 Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀνωτέρω, τοῦ Κυρίου ἡμῶν, εἰπών, ἐνταῦθα, Ἰησοῦ Χριστοῦ λέγει. αὐτός ἐστι Κύριος, φησι, οὐχ οἱ δοῦλοι Ἰησοῦ Χριστοῦ, καὶ ταῦτα σύμβολα τῆς εὐεργεσίας. Αὐτὸς γάρ, φησι, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.]

Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους. Ἤδη οἰκειοῦται αὐτούς. Ἐπαφρόδιτός ἐστιν ὁ ταῦτα ἀπαγγέλλων· πέμπει δὲ τὴν ἐπιστολὴν διὰ Τυχικοῦ, ἐκεῖνον παρ' ἑαυτῷ κατασχών. καὶ τὴν ἀγάπην, φησί, τὴν εἰς πάντας τοὺς ἁγίους· οὐκ εἰς τόνδε, καὶ εἰς τόνδε· οὐκοῦν καὶ εἰς ἡμᾶς.

5 Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς. Τὰ μέλλοντά φησιν ἀγαθά. τοῦτο πρὸς τοὺς πειρασμούς, ὥστε μὴ ἐνταῦθα ζητεῖν τὴν ἄνεσιν. ἵνα γὰρ μή τις εἴπῃ, καὶ τί τὸ κέρδος τῆς ἀγάπης τῆς εἰς τοὺς ἁγίους, κακουμένων αὐτῶν; χαίρομεν, φησιν, ὅτι μεγάλα ἑαυτοῖς προξενεῖτε ἐν τοῖς οὐρανοῖς. διὰ τὴν ἐλπίδα, φησί, τὴν ἀποκειμένην. τὸ ἀσφαλὲς ἔδειξεν. Ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας. Ἐνταῦθα πληροῦντος αὐτούς ἐστι τὸ ῥῆμα, ὅτι πολὺν χρόνον ἔχοντες μετέστησαν. ἣν προηκούσατε, φησιν, ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου. καὶ ἀλήθειαν μαρτυρεῖ τῷ λόγῳ· εἰκότως. οὐδὲν γὰρ ψεῦδος ἐν αὐτῷ. Τοῦ εὐαγγελίου. Οὐ λέγει, τοῦ κηρύγματος, ἀλλ' εὐαγγέλιον καλεῖ, συνεχῶς ἀναμιμνήσκων αὐτοὺς τῆς εὐεργεσίας τοῦ Θεοῦ. καὶ

προσῆπτο

Marginal notes: Κολασ. β. ε. — α. Κορ. ε. γ. καὶ δ. ιθ. — Γαλ. δ. ιη. — Ματθ. α. κα. — γρ. προσάγοιντο — γρ. ἰῶν — γρ. [illegible] — γρ. αὐτὸ ἀσφαλὲς

περὶ ὧν ἐπαινέσαι αὐτοὺς, οὕτω τούτων ἀναμιμνήσκει.

6 Τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ. Ἤδη αὔξεται αὐτοῖς. Παρόντος δὲ μεταφορικῶς εἶπεν. οὐ παρεγένετο, φησὶ, καὶ ἀπῆλθεν, ἀλλ' ἔμεινε καὶ ἔστιν ἐκεῖ. εἶτα, ἐπειδὴ μάλιστα οἱ πολλοὶ ἐκ τοῦ κοινωνοὺς ἔχειν πολλοὺς τῶν δογμάτων στηρίζονται, διὰ τοῦτο ἐπήγαγε, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ. πανταχοῦ, φησὶ, πάρεστι, πανταχοῦ κρατεῖ, πανταχοῦ ἕστηκε. Καί ἐστι καρποφορούμενον, Καὶ αὐξανόμενον, καθὼς καὶ ἐν ὑμῖν.

Καρποφορούμενον διὰ τὰ ἔργα, αὐξανόμενον τῷ πολλοὺς προσλαμβάνειν, τῷ μᾶλλον στηρίζεσθαι. καὶ γὰρ ἐν τοῖς φυτοῖς τότε πυκνὰ * γίνεται, ὅταν στηριχθῇ τὸ φυτόν. Καθὼς καὶ ἐν ὑμῖν. Προσλαμβάνει τὸν ἀκροατὴν τοῖς ἐπαίνοις, ὥστε μηδὲ ἄκοντα ἀποστῆναι. Ἀφ' ἧς ἡμέρας ἠκούσατε. Τὸ θαυμαστὸν, ὅτι ταχέως προσεληλύθατε καὶ ἐπιστεύσατε, καὶ εὐθέως ἐκ προοιμίων ἐπεδείξασθε τοὺς καρπούς. Ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ. Οὐκ ἐν λόγῳ, φησὶν, οὐδὲ ἐν ἀπάτῃ, ἀλλ' ἐν αὐτοῖς τοῖς ἔργοις. τοῦτο τοίνυν λέγει, καρποφορούμενον· ἤτοι τὰ σημεῖα καὶ τὰ θαύματα, ὅτι ἅμα ἐδέξασθε, ἅμα ἔγνωτε τὴν χάριν τοῦ Θεοῦ. οἱ τοίνυν οὕτως ἐπιδειξάμενοι τὴν οἰκείαν δύναμιν πῶς οὐ χαλεπὸν νῦν ἀπατᾶσθαι;

7 Καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν.

Τοῦτον εἰκὸς ἐκεῖ κεκηρυχέναι· ἐμάθετε τὸ εὐαγγέλιον. εἶτα τὸ ἀξιόπιστον δείκνυς τοῦ ἀνδρὸς, φησὶ, τοῦ συνδούλου ἡμῶν. Ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ,

8 Ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. Μὴ ἀμφιβάλλετε, φησὶ, περὶ τῆς μελλούσης ἐλπίδος. ὁρᾶτε τὴν οἰκουμένην ἐπιστρέφουσαν. καὶ τί δεῖ λέγειν τὰ ἐν τοῖς ἄλλοις; τὰ ἐν ὑμῖν αὐτοῖς καὶ χωρὶς τούτων πιστά. ἐπέγνωτε γὰρ τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ, τουτέστιν, ἐν τοῖς ἔργοις. ὥστε διὰ τῶν δύο τὰ μέλλοντα βεβαιοῦται, τό τε πάντας πιστεῦσαι, τό τε καὶ ὑμᾶς· καὶ οὐκ ἄλλα μὲν ἐγένετο, ἄλλα δὲ εἶπεν Ἐπαφρᾶς, ὅς ἐστι, φησὶ, πιστὸς, τουτέστιν, ἀληθής. πῶς δὲ ὑπὲρ ὑμῶν διάκονος; τῷ πρὸς αὐτὸν ἀπελθεῖν, καὶ δηλῶσαι ἡμῖν, φησὶ, τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι, τουτέστι, τὴν πνευματικὴν τὴν εἰς ἡμᾶς. εἰ δὲ ὑπὲρ τοῦ Χριστοῦ διάκονος, πῶς δι' ἀγγέλων λέγεται προσάγεσθαι; ὁ καὶ δηλώσας ἡμῖν, φησὶ, τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. αὕτη γὰρ θαυμαστὴ καὶ βεβαία ἡ ἀγάπη, ὡς αἵ γε ἄλλαι ὄνομα ἀγάπης ἔχουσι μόνον. εἰσὶ δὲ τίνες οὐ τοιαῦται. ἀλλ' ἡ φιλία ταύτη· διὸ καὶ ἀδιάλυτος γίνεται.

ΗΘΙΚΟΝ

Πολλαὶ προφάσεις εἰσὶν αἱ φιλίας ποιοῦσαι. καὶ τέως τὰς μὲν αἰσχρὰς παρῶμεν (οὐδεὶς γὰρ ἡμῖν λόγος ὑπὲρ ἐκείνων αὐτῶν, ὡς πονηρῶν οὐσῶν) ἀλλ', εἰ βούλεσθε, τὰς φυσικὰς καὶ τὰς βιωτικὰς εἰς μέσον παραγάγωμεν. βιωτικαὶ μὲν οὖν εἰσιν αὗται· ὅταν εὐεργετῆ τις, ὅταν προγόνων ἐκ τίνος τὸ φίλον, ἐκοινώνησε τραπέζης ἢ συνοδοιπορίας, ἢ γείτων ἐστί (καὶ ἀλλαὶ καὶ αὗται) ἢ ὁμότεχνος γένηται. αὕτη μὲν οὖν οὐκ ἔστιν εἰλικρινής· ἔχει γάρ τινα καὶ ζῆλον, καὶ βασκανίαν· αἱ δὲ φυσικαὶ, οἷον πατρὸς πρὸς υἱὸν, υἱοῦ πρὸς πατέρα, ἀδελφοῦ πρὸς ἀδελφὸν, προσέτι τοῦ πάππου, μητρὸς πρὸς τέκνα. εἰ δὲ βούλεσθε, προσθῶμεν καὶ τὴν τῆς γυναικὸς πρὸς ἄνδρα. καὶ γὰρ πᾶσαι αἱ γαμικαὶ, εἰσὶ βιωτικαὶ καὶ γήιναι. αὗται μὲν οὖν ἐκείνων εἶναι δοκοῦσι σφοδρότεραι. δοκοῦσι δὲ, εἶπον, διὰ τὸ πολλάκις καὶ ἐκείνων ἡττηθῆναι. καὶ γὰρ φίλοι πολλαχοῦ γνησιώτεροι ἐφάνησαν ἀδελφῶν διακείμενοι, καὶ υἱῶν πρὸς τοὺς πατέρας· καὶ ὁ μὲν ἠμύνθη, οὐκ ἐβοηθήθησαν· οἱ δὲ μὴ γνωρίζοντες αὐτοὺς, παρέστη καὶ ἐβοηθήθησαν. ἡ δὲ πνευματικὴ ἀγάπη πασῶν ἐστιν ἀνωτέρα, καθάπερ τις βασίλισσα τῶν ἰδίων κρατοῦσα, καὶ λαμπρὸν ἔχει τὸ σχῆμα. οὐδὲν γὰρ γήινον αὐτὴν τίκτει, καθάπερ ἐκείνην, οὐ συνήθεια, οὐκ εὐεργεσία, οὐ φύσις, οὐ χρόνος· ἀλλ' ἄνωθεν κάτεισιν ἐκ τοῦ οὐρανοῦ. καὶ τί θαυμάζεις, εἰ εὐεργεσίας οὐ δεῖται πρὸς τὸ συνεστάναι, ὅπου γε οὐδὲ τῷ κακῶς πάσχειν ἀναιρεῖται; ὅτι δὲ αὕτη

μείζων

μείζων ἐκείνης ἐστὶν, ἄκουσον Παύλου λέγοντος· Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου. τίς ἂν τοῦτο ηὔξατο πατὴρ, ὥστε ἐν κακοῖς εἶναι; καὶ πάλιν, Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμεῖναι ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι᾽ ὑμᾶς. ποία μήτηρ ταῦτα ἂν εἴποι, ὥστε τὰ αὐτῆς περιιδεῖν; καὶ πάλιν ἀκούει αὐτοῦ λέγοντος· Ἀπορφανισθέντες γὰρ ἀφ᾽ ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ. καὶ ἐνταῦθα μὲν ὁ πατὴρ ὑβρισθεὶς ἔλυσε τὴν φιλίαν, ἐκεῖ δὲ οὐκ ἔτι· ἀλλὰ πρὸς τοὺς λιθάζοντας ἀπῄει εὐεργετήσων αὐτούς. οὐδὲν γὰρ, οὐδὲν οὕτως ἰσχυρὸν, ὡς ὁ τοῦ πνεύματος δεσμός. ὁ μὲν γὰρ διὰ τὸ παθεῖν εὖ φίλος γενόμενος, ἂν μὴ διηνεκῶς τοῦτο γίνηται, ἔσται ἐχθρός· ὁ ἀπὸ συνηθείας ἀδιάσπαστος ὤν, πάλιν τῆς συνηθείας διακοπείσης, ἔσβεσε τὴν φιλίαν. ἡ γυνὴ πάλιν, ἂν μάχη γένηται, ἀφῆκε τὸν ἄνδρα, καὶ τὸν πόθον ἔλυσεν. ὁ υἱὸς, ἂν ἐπὶ πολὺ ζῶντα τὸν πατέρα ἴδοι, καὶ βαρύνεται. ἐπὶ δὲ τοῦ πνεύματος, τούτων οὐκ ἔστιν οὐδέν. οὐδενὶ γὰρ τούτων λύεται, ἐπειδὴ μηδὲ ἐκ τούτων συνέστη. οὔτε χρόνος, οὔτε μῆκος ὁδοῦ, οὔτε τὸ κακῶς παθεῖν, οὔτε τὸ κακῶς ἀκοῦσαι, οὐ θυμὸς, οὐχ ὕβρις, οὐκ ἄλλο οὐδὲν ἐπεισέρχεται, οὐδὲ δύναται αὐτὴν διαλῦσαι. καὶ ἵνα μάθῃς, ἐλιθάζετο ὁ Μωϋσῆς, καὶ ὑπὲρ αὐτῶν ἠξίου. τίς ἂν τοῦτο εἰργάσατο πατὴρ ὑπὲρ τοῦ λιθάσαντος; ἀλλ᾽ οὐχὶ καὶ αὐτὸν ἂν κατέλυσε; ταύτας δὴ μεταδιώκωμεν τὰς φιλίας τὰς ἀπὸ τοῦ πνεύματος (ἰσχυραὶ γάρ εἰσι καὶ δυσδιάλυτοι) μὴ τὰς ἀπὸ τῶν τραπεζῶν. ἐκεῖ γὰρ καὶ κωλυόμεθα ταύτας εἰσάγειν. ἄκουσον γὰρ τοῦ Χριστοῦ λέγοντος ἐν τῷ εὐαγγελίῳ· Μὴ καλέσῃς τοὺς φίλους σου, μηδὲ τοὺς γείτονάς σου, ἐὰν ποιῇς δοχὴν, ἀλλὰ τοὺς χωλοὺς, τοὺς ἀναπήρους. εἰκότως. πολὺς γὰρ ὁ ὑπὲρ τούτων μισθός. ἀλλ᾽ οὐ δύνασαι, οὐδὲ ἀνέχῃ μετὰ χωλῶν καὶ τυφλῶν ἑστιᾶσθαι, ἀλλὰ βαρὺ καὶ φορτικὸν ἡγῇ τοῦτο, καὶ παραιτῇ; μάλιστα μὲν οὐδὲ οὕτως ἔδει, πλὴν ἀλλ᾽ οὐκ ἔστιν ἀνάγκη. κἂν μὴ συγκαθίσῃς αὐτοὺς μετὰ σοῦ, τὰ ἐδέσματα αὐτοῖς ἀπόστειλον τὰ ἀπὸ τῆς τραπέζης. καὶ γὰρ ὁ φίλους καλῶν, οὐδὲν μέγα ἐποίησεν· ἀπέλαβε γὰρ ἐνταῦθα τὸν μισθόν· ὁ δὲ ἀναπήρους καλῶν καὶ πένητα, ἔχει τὸν Θεὸν ὀφειλέτην. μὴ τοίνυν ἀλγῶμεν, ὅταν μὴ ἐνταῦθα ἀπολάβωμεν, ἀλλ᾽ ὅταν ἐνταῦθα ἀπολάβωμεν. ἐκεῖ γὰρ οὐκ ἔτι ἀποληψόμεθα. ὁμοίως ἂν ἄνθρωπος ἀποδῷ, Θεὸς οὐκ ἀποδίδωσιν· ἂν δὲ οὗτος μὴ ἀποδῷ, τότε ἀποδώσει Θεός. μὴ τοίνυν ἐκείνους ζητῶμεν εὐεργετεῖν τοὺς ἀνταποδοῦναι ἡμῖν δυναμένους, μηδὲ ἐπὶ τοιαύταις αὐτοὺς ἐλπίσιν εὐεργετῶμεν. ψυχρὰ αὕτη ἡ διάνοια. τὸν φίλον ἂν καλέσῃς, μέχρι τῆς ἑσπέρας ἡ χάρις. διὰ τοῦτο τῶν καταβοσκομένων ταχύτερον, ἢ τῶν χαιρόντων, δαπανᾶται φιλία. τὸν δὲ τυφλὸν, πένητα καὶ ἀνάπηρον ἂν καλέσῃς, οὐδέποτε ἀπόλλυται ἡ χάρις. τὸν γὰρ πώποτε μνημονεύοντα Θεὸν, καὶ οὐδέποτε ἐπιλανθανόμενον, ἔχεις αὐτὸν ὀφειλέτην. πόσης δὲ καὶ βλακείας, εἰπέ μοι, τὸ μὴ δύνασθαι πένησι συγκαθέζεσθαι; τί λέγεις; ἀκάθαρτός ἐστι, φησὶ, καὶ ῥυπαρός; καὶ λοῦσον αὐτὸν, καὶ ἀνάγαγε ἐπὶ τράπεζαν τὴν σήν. ἀλλ᾽ ἱμάτια ἔχει ἐρρυπωμένα; καὶ ἄμειψον, καὶ δὸς καθαρὰν στολήν. οὐχ ὁρᾷς τὸ κέρδος ὅσον; ὁ Χριστὸς δι᾽ αὐτοῦ παραγίνεται, καὶ σὺ ὑπὲρ τούτου μικρολογῇ; τὸν βασιλέα καλῶν ἐπὶ τὴν τράπεζαν, ὑπὲρ τούτων δέδοικας; παρακείσθωσαν τράπεζαι δύο, καὶ ἡ μὲν ἐκ τούτων πεπληρώσθω, καὶ ἐχέτω τυφλοὺς, κυλλοὺς, χωλοὺς, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένους, ἀνυποδέτους, ἕνα περικειμένους χιτωνίσκον, καὶ τοῦτον ἐκτετριμμένον· ἡ δὲ ἑτέρα ἐχέτω δυνάστας, στρατηγοὺς, τοπάρχας, ἄρχοντας μεγάλους, ἐνδεδυμένους ἱμάτια πολυτελῆ καὶ ὀθόνας λεπτὰς, ἐζωσμένους χρυσᾶς ζώνας. πάλιν ἐνταῦθα ἐν τῇ τῶν πενήτων τραπέζῃ μήτε ἄργυρος ἔστω, μήτε οἶνος πολὺς, ἀλλ᾽ ὅσον ἀρκέσαι καὶ εὐφρᾶναι δυνάμενος· τὰ δὲ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη ἀπὸ ὑέλου κατεσκευάσθω μόνης· ἐκεῖ δὲ ἐν τῇ τῶν πλουσίων τραπέζῃ ἔστω μὲν σκεύη τὰ πάντα ἐξ ἀργύρου καὶ χρυσοῦ· ἔστω δὲ καὶ φιάλη ὑπόχρυσος σταθμὸν ἡμιτάλαντον ἕλκουσα, ὡς δύο νεανίας μόλις αὐτὴν κινεῖν· καὶ τὸν ἀμφορεῖς κείσθωσαν ἐφεξῆς πολλῷ λαμπρότεροι τοῦ ἀργύρου

Margin notes (left): Ρωμ. θ. γ. — Φιλιπ. α. κγ. — α. Θεσ. β. ιζ. — Εξοδ. ιζ. — Λουκ. ιδ. ιγ.

Margin notes (right, cut off at the page edge): γρ. τύπω — γρ. πώποτε — γρ. καὶ … γρ. καὶ … φερέτω … μικ… ἀλλὰ … … αἱ τι… σαι.

γύρωθεν ἀπολάμποντες τῷ χρυσῷ. ἔσω δὲ τὸ ἡμικύκλιον, ἁπαλῇ στρωμνῇ πάντοθεν ἐστορεσμένον. πάλιν ἐνταῦθα μὲν ἑστώσαν διάκονοι πολλοὶ τῶν ἀνακειμένων οὐχ ἧττον κεκοσμημένοι τοῖς ἱματίοις, καὶ ἐνδεδυμένοι λαμπρῶς, καὶ ἀναξυρίδας ἔχοντες, καλοὶ μὲν ἰδεῖν, αὐτὸ ἄγοντες τῆς ἡλικίας τὸ ἄνθος, σφριγῶντες, καὶ εὐσωματοῦντες. ἐκεῖ δὲ δύο μόνοι ἑστώσαν διάκονοι, πάντα τὸν τῦφον τοῦτον πεπατηκότες· καὶ ἔσω τοῖς μὲν τὰ ἐδέσματα πολυτελῆ, τοῖς δὲ τοσαῦτα ὅσα σβέσαι τὸν λιμὸν, καὶ εὐφροσύνης ἐμπλῆσαι. ἆρα εἶπον ἀρκούντως; καὶ μετὰ ἀκριβείας κατεσκευασμέναι εἰσὶν ἀμφότεραι αἱ τράπεζαι; μή τι ἐνδεῖ; ἐγὼ μὲν οὐκ οἶμαι. καὶ γὰρ τοὺς κεκλημένους ἐπῆλθον, καὶ τὴν πολυτέλειαν καὶ τὴν σκευὴν, καὶ τῶν στρωμάτων, καὶ τῶν ἐδεσμάτων, πλὴν ἀλλὰ, καὶ εἴ τι παρελίπομεν, ἐπεξαγαγόντες τὸν λόγον εὑρήσομεν. φέρε οὖν, ἐπειδὴ τὸ προσφορὸν καλῶς ὑμῖν ἀπέλαβε σχῆμα ἑκάστη τράπεζα, ἴδωμεν ποῦ ὑμεῖς κατακλιθήσεσθε. ἐγὼ μὲν γὰρ ἐπ᾽ ἐκείνην ἄπειμι τὴν τῶν τυφλῶν, τὴν τῶν χωλῶν· ὑμῶν δὲ τάχα οἱ πλείους ταύτην αἱρήσονται, τὴν τῶν στρατηγῶν, τὴν φαιδρὰν καὶ λαμπράν. ἴδωμεν οὖν ποία πλείονος γέμει τῆς ἡδονῆς. μήπω γὰρ τὰ μέλλοντα ἐξετάσωμεν· ἐν ἐκείνοις μὲν γὰρ αὕτη κρατεῖ ἡ ἐμή. διὰ τί; ὅτι αὕτη μὲν ἔχει τὸν Χριστὸν ἀνακείμενον, ἐκείνη δὲ ἄνθρωπον· αὕτη τὸν δεσπότην, ἐκείνη τοὺς δούλους. ἀλλὰ μήπω ταῦτα, ἀλλ᾽ ἴδωμεν ποία πλείονα ἔχει τὴν ἡδονὴν τὴν ἐν τῷ παρόντι. καὶ κατὰ τοῦτο μὲν οὖν πλείων αὕτη ἡ ἡδονή. ὁ γὰρ μετὰ βασιλέως ἀναπεσὼν, πλείονα φέρει τὴν ἡδονὴν τοῦ μετὰ τῶν οἰκετῶν. ἀλλὰ καὶ τοῦτο ὑπερεξέλθωμεν, αὐτὸ καθ᾽ ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. οὐκοῦν ἐγὼ, καὶ οἱ σὺν ἐμοὶ ταύτην ἑλόμενοι τὴν τράπεζαν μετὰ πολλῆς τῆς ἐλευθερίας καὶ τῆς θυμηδίας καὶ ἐροῦμεν ἅπαντα, καὶ ἀκουσόμεθα· ὑμεῖς δὲ τρέμοντες καὶ δεδοικότες, καὶ τοὺς ἀνακειμένους αἰδούμενοι, οὐδὲ ἐκτεῖναι χεῖρα τολμήσετε, καθάπερ εἰς παιδαγωγεῖον, ἀλλ᾽ οὐκ εἰς ἄριστον, εἰσελθόντες, καθάπερ δεσπότας δεινοὺς τρέμοντες. ἀλλ᾽ οὐκ ἐκεῖνοι οὕτως. ἀλλὰ τὰ τῆς τιμῆς, φησὶ, μεγάλα. καὶ μὴν ἐγὼ ἐν πλείονι εἰμὶ τιμῇ. ὑμῶν μὲν γὰρ ἡ εὐτέλεια μείζων φαίνεται, ὅταν καὶ τῆς αὐτῆς τραπέζης κοινωνοῦντες, δούλων προσβάλλησθε ῥήματα. καὶ γὰρ ὁ δοῦλος τότε μάλιστα φαίνεται, ὅταν μετὰ τοῦ δεσπότου κατακείμενος ᾖ. ἐκεῖνος μὲν γὰρ, ἔνθα μὴ πρόσεστιν αὐτῷ, δοκεῖ, οὐ τοσαύτην ἀπὸ τῆς οἰκειώσεως ἔχων σεμνότητα, ὅσην τὴν ταπείνωσιν. σφόδρα γὰρ τότε ταπεινοῦται. καὶ τοὺς δούλους ἴδοι τις ἂν λαμπροὺς ὄντας καθ᾽ ἑαυτοὺς, καὶ τοὺς πένητας λαμπροὺς ὄντας καθ᾽ ἑαυτοὺς, μὴ ὅταν μετὰ πλουσίου βαδίζῃ. τὸ γὰρ ταπεινὸν, ὅταν ἐγγὺς ᾖ τοῦ ὑψηλοῦ, τότε φαίνεται ταπεινὸν, καὶ ἡ παράθεσις τὸ ταπεινὸν ταπεινότερον δείκνυσιν, οὐχ ὑψηλότερον. οὕτω καὶ ὑμᾶς εὐτελεστέρους δείκνυσι τὸ μετ᾽ ἐκείνων ἀνακεῖσθαι, ἀλλ᾽ οὐχ ἡμᾶς. δύο μὲν οὖν τούτοις πλεονεκτοῦμεν, τῇ τε ἐλευθερίᾳ, καὶ τῇ τιμῇ, ὧν οὐδὲν ἴσον εἰς ἡδονῆς λόγον ἐστί. βουλοίμην γὰρ ἂν ἔγωγε ἄρτου μεταλαβεῖν μετ᾽ ἐλευθερίας, ἢ μυρίων ἐδεσμάτων μετὰ δουλείας. Κρείσσων γὰρ, φησὶ, ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ βοῦς ἀπὸ φάτνης μετ᾽ ἔχθρας. *Παροιμ. 15.17.* ὃ γὰρ ἂν εἴπωσιν ἐκεῖνοι, ἀνάγκη τοὺς παρόντας ἐπαινεῖν, ἢ προσκρούειν, παρασίτων τάξιν ἀναδεδεγμένους, μᾶλλον δὲ ἐκείνων χείρους ὄντας. τοῖς μὲν γὰρ εἰ καὶ μετ᾽ αἰσχύνης καὶ τοῦ ὑβρίζεσθαι, ὅμως μέτεστι παρρησίας· ὑμῖν δὲ οὐδὲ τούτου. ὅτι ἡ μὲν εὐτέλεια τοσαύτη (δεδοίκατε γὰρ καὶ κατεπλήχατε) ἡ δὲ τιμὴ, οὐκέτι. οὐκοῦν πάσης μὲν ἡδονῆς ἀπεστέρηται ἡ τράπεζα ἐκείνη, πάσης δὲ αὕτη γέμει θυμηδίας. ἀλλὰ καὶ αὐτὴν τῶν ἐδεσμάτων τὴν φύσιν ἐξετάσωμεν. ἐκεῖ μὲν γὰρ ἀνάγκη καὶ μὴ βουλομένους διαρρήγνυσθαι τῷ πολλῷ οἴνῳ, ἐνταῦθα δὲ οὐκ ἔνι μὴ βουλόμενον ἐσθίειν καὶ πίνειν. ὥστε ἐκεῖ μὲν τὴν ἐκ τῆς τῶν σιτίων ποιότητος ἡδονὴν ἥ τε περιλαβοῦσα ἀπεψία ἀφαιρεῖται, καὶ ἡ ἐκ τῆς πλησμονῆς ἀηδία. οὐ γὰρ ἧττον λιμοῦ τὰ σώματα ἡμῖν ἡ πλησμονὴ διαφθείρει καὶ ὀδυνᾷ, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον· καὶ ὃν ἂν θέλῃς μοι ὀδυνᾶσθαι, εὐκολώτερον αὐτὸν διαρρηγνύω τῇ πλησμονῇ, τοῦ λιμοῦ.

κατακεῖμ.

οὕτως

ὄντως γὰρ τοῦτο ἐκείνου φορητότερον· ὅτι λιμὸν μὲν ἄν τις καὶ εἴκοσιν ἡμέρας ἐνέγκοι, πλησμονὴν δὲ οὐδὲ δύο μόνας. καὶ τούτῳ μὲν προσπαλαίοντες διηνεκῶς οἱ ἐν τοῖς ἀγροῖς, ἐν ὑγείᾳ εἰσὶ καὶ οὐ δέονται ἰατρῶν· ταύτην δὲ, τὴν πλησμονὴν λέγω, οὐκ ἂν ἐνέγκοιεν μὴ συνεχῶς καλοῦντες ἰατρούς· μᾶλλον δὲ καὶ τὴν ἐκείνων βοήθειαν ἤλεγξε πολλάκις ἡ ταύτης τυραννίς. καὶ ἡδονῆς μὲν οὖν ἕνεκεν αὕτη τὰ πρῶτα ἔχει. εἰ γὰρ ἡ τιμὴ τοῦ ἀτιμάζεσθαι ἡδίων, καὶ τὸ ἐν ἐξουσίᾳ εἶναι τοῦ ἐπιτάττεσθαι, καὶ τὸ θαρρεῖν τοῦ τρέμειν καὶ δεδοικέναι, καὶ τὸ τῇ ἀρκούσῃ ἀπολαύειν τοῦ πέρα τοῦ μέτρου εἰς τὸ τῆς τρυφῆς καταποντίζεσθαι κλυδώνιον, βελτίων ἄρα αὕτη ἐκείνης ἡ τράπεζα καὶ ἡδονῆς ἕνεκεν· καὶ τὰ τῆς δαπάνης δὲ ἐνταῦθα βελτίονα. ἐκείνη γὰρ δαπανηρά, αὕτη δὲ οὐκέτι. ἀλλὰ τί; ἆρα τοῖς ἀνακειμένοις μόνον ἡδίων αὕτη ἡ τράπεζα, ἢ καὶ τῷ καλοῦντι πλείονα αὕτη φέρει τὴν ἡδονὴν ἐκείνης; τοῦτο γάρ ἐστι τὸ μᾶλλον ζητούμενον ἡμῖν. οὐκοῦν ὁ μὲν ἐκείνους καλῶν, πρὸ πλειόνων ἡμερῶν παρασκευάζεται, καὶ πράγματα ἔχειν ἀναγκάζεται καὶ φροντίδας καὶ μερίμνας, οὔτε τὰς νύκτας καθεύδων, οὔτε τὰς ἡμέρας ἡσυχάζων· ἀλλὰ ἀναπλάττων ἐν ἑαυτῷ πολλά, μαγείροις διαλεγόμενος, ὀψοποιοῖς, τραπεζοποιοῖς. εἶτα αὐτῆς τῆς ἡμέρας ἐπιστάσης ἴδοι τις ἂν αὐτὸν μᾶλλον δεδοικότα, ἢ τοὺς μέλλοντας πυκτεύειν, μή τι παρὰ λόγον γένηται, μὴ βασκανίᾳ βληθῇ, μὴ κατηγόρους ἐκεῖθεν λάβῃ πολλούς· οὗτος δὲ πάσης ταύτης ἀπήλλακται τῆς φροντίδος καὶ τῶν πραγμάτων, αὐτοσχεδιάζων τὴν τράπεζαν, καὶ οὐ πρὸ πολλῶν ἡμερῶν μεριμνῶν. καὶ μετὰ δὴ ταῦτα οὗτος μὲν εὐθέως τὴν χάριν ἀπώλεσεν, ἐκεῖνος δὲ ἔχει τὸν Θεὸν ὀφειλέτην· καὶ χρησταῖς τρέφεται ταῖς ἐλπίσι, καθ' ἑκάστην ἡμέραν εὐωχούμενος ἀπ' ἐκείνης τῆς τραπέζης. τὰ μὲν γὰρ σιτία ἀναλίσκεται, ἡ δὲ χάρις οὐκ ἀναλίσκεται, ἀλλὰ καθ' ἑκάστην ἡμέραν μᾶλλον χαίρει καὶ γάνυται ἐκείνων τῶν τὸν πολὺν οἶνον ἐμφορηθέντων. οὐδὲν γὰρ οὕτω τρέφει τὴν ψυχήν, ὡς ἐλπὶς ἀγαθὴ καὶ τὸ χρηστὰ προσδοκᾷν. ἀλλὰ δὴ τὰ μετὰ ταῦτα ἴδωμεν. ἐκεῖ μὲν αὐλοὶ καὶ κιθάραι καὶ σύριγγες, ἐνταῦθα δὲ οὐδὲν ἀπηχὲς μέλος· ἀλλὰ τί; ὕμνοι, ψαλμῳδίαι. ἐκεῖ μὲν οἱ δαίμονες ἀνυμνοῦνται, ἐνταῦθα δὲ ὁ πάντων δεσπότης Θεός. ὁρᾷς πόσης μὲν αὕτη χάριτος, πόσης δὲ ἀγνωμοσύνης ἐκείνη καὶ ἀναισθησίας γέμει; εἰπὲ γάρ μοι· ὁ Θεός σε ἔθρεψεν ἐκ τῶν ἀγαθῶν αὐτοῦ, καὶ δέον αὐτῷ εὐχαριστεῖν μετὰ τὸ τραφῆναι, σὺ δὲ τοὺς δαίμονας ἐπεισάγεις; τὰ γὰρ διὰ τῶν πηκτίδων οὐδὲν ἄλλο, ἢ δαιμόνων ᾄσματα. δέον εἰπεῖν, εὐλογητὸς εἶ, Κύριε, ὅτι ἔθρεψάς με ἐκ τῶν ἀγαθῶν σου, σὺ δέ, καθάπερ τις κύων ἄτιμος, οὐδὲ μέμνησαι, ἀλλὰ τοὺς δαίμονας ἐπεισάγεις; μᾶλλον δὲ οἱ μὲν κύνες λαβόντες, καὶ μὴ λαβόντες σαίνουσι τοὺς οἰκείους, σὺ δὲ οὐδὲ τοῦτο. ὁ κύων καὶ μὴ λαμβάνων σαίνει τὸν δεσπότην, σὺ δὲ καὶ λαβὼν ὑλακτεῖς κατ' αὐτοῦ. πάλιν ὁ κύων καὶ εὐεργετούμενος παρὰ τοῦ ἀλλοτρίου, οὐδὲ οὕτω καταλύει τὴν ἔχθραν τὴν πρὸς αὐτόν, οὐδὲ ἐπισπᾶται πρὸς φιλίαν· σὺ δὲ καὶ μυρία πάσχων κακὰ παρὰ τῶν δαιμόνων, ἐπ' ἄριστα αὐτοὺς εἰσάγεις· ὥστε διπλῇ τοῦ κυνὸς εἶ χείρων. καλῶς δὲ ἀνεμνήσθην νῦν τῶν κυνῶν πρὸς τοὺς τότε μόνον εὐχαριστοῦντας, ὅταν εὖ πάσχωσιν. αἰδέσθητε, παρακαλῶ, τοὺς κύνας, οἳ καὶ λιμώττοντες σαίνουσι τοὺς δεσπότας· σὺ δὲ ἂν ἀκούσῃς, ὅτι ὁ δαίμων τινὰ ἐθεράπευσεν, ἀφεὶς εὐθέως τὸν δεσπότην, ὦ κυνῶν ἀλογώτερε. ἀλλ' αἱ πόρναι, φησίν, ἡδονὴν ἔχουσιν ὁρώμεναι. ποίαν ἡδονήν; ποίαν δὲ οὐκ ἀτιμίαν; πορνεῖον γέγονέ σου ἡ οἰκία, μανία καὶ οἶστρος· καὶ οὐκ αἰσχύνῃ ταῦτα ἡδονὴν καλῶν; ἂν μὲν οὖν ἐξῇ χρήσασθαι πάσῃ ἡδονῇ, μείζων ἡ αἰσχύνη καὶ ἡ ἐκ ταύτης ἀηδία. πῶς δαὶ οὐ χαλεπὸν τὸ τὴν οἰκίαν πορνεῖον ποιεῖν, καὶ ἥδεσθαι καθάπερ χοίρους ἐγκαλινδουμένους βορβόρῳ; ἂν δὲ μέχρι τοῦ φανῆναι μόνον, ἰδοὺ πάλιν ὀδύνη μείζων. ἡ γὰρ ὄψις οὐχ ἡδονή, ὅταν ἡ χρῆσις μὴ ᾖ· ἀλλὰ καὶ μείζων ἡ ἐπιθυμία, καὶ σφοδροτέρα ἡ φλόξ. ἀλλὰ τὸ τέλος βούλει μαθεῖν; οἱ μὲν τοῖς μαινομένοις καὶ τοῖς παραπλῆξιν ἐοίκασιν ἀπὸ τῆς τραπέζης ἀνιστάμενοι, θρασεῖς, ὀργίλοι, καταγέλαστοι καὶ

τοῖς

τοῖς ἀνδραπόδοις· καὶ οἱ μὲν οἰκέται ἀναχωροῦσι νήφοντες, οὗτοι δὲ μεθύοντες. ὦ τῆς αἰσχύνης· ἐκεῖ δὲ τοιοῦτον οὐδέν, ἀλλ' εὐχαριστίᾳ τὴν τράπεζαν κατακλείσαντες, οὕτως ἀναχωροῦσιν οἴκαδε, ἡδόμενοι καθεύδοντες, ἡδόμενοι ἐγειρόμενοι, πάσης αἰσχύνης ἀπηλλαγμένοι καὶ κατηγορίας. εἰ βούλει καὶ αὐτοὺς τοὺς κεκλημένους ἰδεῖν, ὄψει τούτους μὲν τοιούτους ὄντας ἔνδον, ὅπερ οὗτοι ἔξω, τυφλούς, ἀναπήρους, χωλούς. καὶ οἷα τούτων τὰ σώματα, τοιαῦται ἐκείνων αἱ ψυχαί, ὑδέρῳ καὶ φλεγμονῇ κατεχόμεναι. τοιοῦτον γὰρ ἡ ἀπόνοια. μετὰ γὰρ τὴν τρυφὴν πήρωσις γίνεται. τοιοῦτον γὰρ ἡ πλησμονὴ καὶ ἡ μέθη, χωλοὺς καὶ κυλλοὺς ποιοῦσα. καὶ ὄψει καὶ τούτους τοιαύτας ἔχοντας ψυχάς, οἷα οὗτοι τὰ σώματα, λαμπράς, κεκοσμημένας. οἱ γὰρ ἐν εὐχαριστίᾳ ζῶντες, οἱ τῆς αὐταρκείας μηδὲν πλέον ἐπιζητοῦντες, οἱ φιλοσοφοῦντες οὕτως εἰσὶν ἐν πάσῃ φαιδρότητι. ἴδωμεν δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ τὸ τέλος. ἐκεῖ μὲν ἡδονὴ ἀκόλαστος, γέλως κεχυμένος, μέθη, εὐτραπελία, αἰσχρολογία (ἐπειδὴ γὰρ αὐτοὶ αἰδοῦνται αἰσχρὰ φθέγγεσθαι, διὰ τῶν πορνῶν τοῦτο γίνεται) ἐνταῦθα δέ, φιλανθρωπία, ἡμερότης. τὸ μὲν οὖν ἐκείνους καλοῦντι παρέσχηκε κενοδοξία ὁπλίζουσα αὐτόν· τὸ δὲ ἐνταῦθα φιλανθρωπία καὶ ἡμερότης. ἐκείνην μὲν γὰρ τὴν τράπεζαν φιλανθρωπία συνίστησι, ταύτην δὲ κενοδοξία καὶ ὠμότης ἐξ ἀδικίας καὶ πλεονεξίας. κἀκείνη μὲν καταλήγει εἰς ἅπερ εἶπον, εἰς ἀπόνοιαν, εἰς ἔκστασιν, εἰς μανίαν (τοιαύτη γὰρ ἡ τῆς κενοδοξίας βλάβη) αὕτη δὲ εἰς εὐχαριστίαν, καὶ δόξαν Θεοῦ. καὶ ὁ ἔπαινος δὲ ὁ παρὰ ἀνθρώπων, ταύτῃ πλείων. ἐκείνῳ μὲν γὰρ καὶ βασκαίνουσι, τοῦτον δὲ ὡς κοινὸν πατέρα πάντες ἔχουσι καὶ οἱ μὴ παθόντες εὖ. καὶ καθάπερ ἐπὶ τῶν ἠδικημένων καὶ οἱ μηδὲν ἠδικημένοι συναλγοῦσι, καὶ κοινῇ γίνονται πάντες ἐχθροί· οὕτω καὶ ἐπὶ τῶν πασχόντων εὖ, καὶ οἱ μὴ παθόντες εὖ, καθάπερ οἱ παθόντες, ἐπαινοῦσι καὶ θαυμάζουσι τὸν πεποιηκότα. κἀκεῖ μὲν πολὺς ὁ φθόνος, ἐνταῦθα δὲ πολλὴ ἡ κηδεμονία, πολλαὶ παρὰ πάντων εὐχαί. καὶ ἐνταῦθα μέν, ταῦτα· ἐκεῖ δέ, ὅταν ὁ Χριστὸς παραγένηται, (τοῦτο μὲν ἐστί) μετὰ πολλῆς τῆς παρρησίας, καὶ ἀκούσεται ἐπὶ πάσης τῆς οἰκουμένης, Πεινῶντά με εἶδες, καὶ ἔθρεψας, γυμνόν, καὶ ἐνέδυσας, ξένον, καὶ συνήγαγες, καὶ ὅσα τοιαῦτα· ἐκεῖνος δὲ τὰ ἐναντία ἀκούσεται, Πονηρὲ δοῦλε καὶ ὀκνηρέ· καὶ πάλιν, Οὐαὶ οἱ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι· ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. ταῦτα ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε μεταθεῖναι ὑμῶν τὴν γνώμην, καὶ μηδὲν ὑμᾶς ἀκερδὲς ποιεῖν. τί οὖν, φησί, κἂν ταῦτα, κἀκεῖνα ποιῶ; πολὺς ἐστὶν ὁ λόγος παρὰ πᾶσι· καὶ ποία ἀνάγκη, εἰπέ μοι, ἐξὸν πάντα χρησίμως ποιεῖν, διαιρεῖν, καὶ τὰ μὲν μὴ μόνον εἰς οὐδὲν δέον, ἀλλὰ καὶ εἰκῇ ἀναλίσκειν, τὰ δὲ χρησίμως; εἰπέ μοι, εἰ σπείρων τὰ μὲν εἰς πέτρας ἔρριπτες, τὰ δὲ εἰς γῆν ἀρόσιμον, ἆρα ἂν ἀπέχρησέ σοι τοῦτο, καὶ εἶπες ἄν, τί γὰρ βλάπτει, ἂν τὰ μὲν εἰκῇ, τὰ δὲ εἰς ἀρόσιμον γῆν ῥίψωμεν; διὰ τί γὰρ μὴ πάντα εἰς ἀρόσιμον; διὰ τί τὸ κέρδος ἐλαττοῖς; κἂν μὲν συνάγῃς δέον χρήματα, οὐκ ἐρεῖς τοῦτο, ἀλλὰ πάντοθεν συνάγεις, ἐκεῖ δὲ οὐκέτι. κἂν δαπανᾷν δέοι, οὐκ ἐρεῖς, διὰ τί τὰ μὲν τοῖς ἀπόροις, τὰ δὲ τοῖς εὐπόροις δώσομεν, ἀλλὰ πάντα ἐκείνοις· ἐνταῦθα δέ, ἔνθα τοσοῦτον κέρδος, διὰ τί οὐ λογίζῃ τοῦτο, καὶ παύσῃ ποτὲ τοῦ εἰκῇ δαπανᾶσθαι καὶ μάτην ἀναλίσκειν; ἀλλ' ἔχει καὶ τοῦτο κέρδος, φησί. ποῖον, εἰπέ μοι; τὰς φιλίας αὔξει. οὐδὲν ἀνθρώπων ψυχρότερον ἀπὸ τούτων φίλων γενομένων, ἀπὸ τῆς τραπέζης καὶ πλησμονῆς τῶν παρασίτων· οὐδὲν φιλίας ἀηδέστερον ἐντεῦθεν τὴν ἀρχὴν λαμβανούσης. μὴ ὑβρίσῃς πρᾶγμα οὕτω θαυμαστόν, τὴν ἀγάπην, μηδὲ ταύτην αὐτῆς εἶναι ῥίζαν φῇς. ὥσπερ ἂν εἴ τις δένδρου χρυσοῦς καὶ λίθους τιμίους φέροντος τὴν ῥίζαν οὐχὶ τοιαύτην ἔλεγεν εἶναι, ἀλλ' ἀπὸ σηπεδόνος τίκτεσθαι· τοῦτο καὶ σὺ ποιεῖς. κἂν γὰρ τεχθῇ φιλία ἐντεῦθεν, οὐδὲν αὐτῆς ψυχρότερον γένοιτ' ἄν. ἀλλ' ἐκεῖναι αἱ τράπεζαι φιλίαν ποιοῦσιν, οὐχὶ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεόν, καὶ ἐπιτεταμένην,

Ματθ. κε λε. λϛ.

Αμως. ϛ. δ.

ὅταν

ὅταν ἐπιτεταμένη γένηται. ὁ μὲν γὰρ τὰ μὲν ἐν ταῦθα, τὰ δὲ ἐκεῖ καταναλίσκων, κἂν πολλὰ διδῷ, οὐδὲν μέγα πεποίηκεν· ὁ δὲ πάντα ἐν ταύτῃ ἀναλίσκων, κἂν ὀλίγα δεδωκὼς ᾖ, τὸ πᾶν εἰργάσατο. τὸ γὰρ ζητούμενον οὐχὶ πολλὰ δοῦναι, ἢ ὀλίγα, ἀλλὰ τῆς οἰκείας δυνάμεως μὴ ἔλαττον. ἐννοῶμεν τὸν τὰ πέντε τάλαντα, καὶ τὸν τὰ δύο· ἐννοῶμεν τὴν τοὺς δύο ὀβολοὺς καταβαλοῦσαν· ἐννοῶμεν τὴν χήραν τὴν ἐπὶ τοῦ Ἠλία. οὐκ εἶπεν ἐκείνη ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα, τί γὰρ βλάπτω, ἂν τὸν μὲν ἕνα ὀβολὸν ἐμαυτῇ κατάσχω, τὸν δὲ ἕνα δῶ; ἀλλ᾽ ὅλον ἔδωκε τὸν βίον· σὺ δὲ ἐν τοσαύτῃ ἀφθονίᾳ ὤν, ἐκείνης φειδωλότερος εἶ. μὴ τοίνυν ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, ἀλλ᾽ ἐπιθώμεθα τῇ ἐλεημοσύνῃ. οὐδὲν γὰρ ταύτης βέλτιον. καὶ δείξει ὁ μέλλων χρόνος· τέως δὲ καὶ ὁ παρὼν ἔδειξεν. εἰς δόξαν τοίνυν τοῦ Θεοῦ ζήσωμεν, καὶ τὰ αὐτῷ δοκοῦντα πράττωμεν, ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν.

Λογ. ς. 9 ΔΙΑ ΤΟΥΤΟ ΚΑΙ ΗΜΕΙΣ ΑΦ᾽ ΗΣ ΗΜΕΡΑΣ ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ. 10 Περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ.

ΔΙα τοῦτο, ποῖον; ἐπειδὴ ἠκούσαμεν τὴν πίστιν ὑμῶν καὶ τὴν ἀγάπην· ἐπειδὴ χρηστὰς ἔχομεν ἐλπίδας, εὐέλπιδές ἐσμεν καὶ περὶ τῶν μελλόντων αὐτῶν. καθάπερ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους μάλιστα διεγείρομεν τοὺς ἐγγὺς ὄντας τῆς νίκης· οὕτω δὴ καὶ ὁ Παῦλος τούτους μάλιστα παρακαλεῖ τοὺς τὸ πλέον κατωρθωκότας. ἀφ᾽ ἧς ἡμέρας ἠκούσαμεν, φησιν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι. οὐ μίαν ἡμέραν ὑπερεύχόμεθα, οὐδὲ δύο, οὐ τρεῖς. ἐνταῦθα καὶ τὴν ἀγάπην δείκνυσι, καὶ ἠρέμα αὐτοὺς αἰνίττεται, ὡς οὐδέπω πρὸς τὸ τέλος ἐφθακότας. τὸ γὰρ, ἵνα πληρωθῆτε, τοῦτο δηλοῦντός ἐστιν. καὶ ὅρα μοι τὴν σύνεσιν τοῦ μακαρίου τούτου. οὐδαμοῦ τοῦ παντὸς αὐτοὺς ἀπεστερῆσθαί φησιν, ἀλλὰ λείπειν αὐτοὺς πανταχοῦ. τὸ, ἵνα πληρωθῆτε, τοῦτο δηλοῖ. καὶ πάλιν, Εἰς πᾶσαν ἀρέσκειαν ἐν παντὶ ἔργῳ ἀγαθῷ. καὶ πάλιν, ἐν πάσῃ δυνάμει δυναμούμενοι. καὶ πάλιν, Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν. τὸ γὰρ πᾶσαν, μαρτυροῦντός ἐστι καί τι τοῖς κατορθοῦσιν, εἰ καὶ μὴ τὸ πᾶν. καὶ ἵνα πληρωθῆτε, φησιν, οὐχ ἵνα λάβητε. ἔλαβον γάρ. ἀλλὰ τὸ λοιπὸν, ἵνα πληρωθῆτε. οὕτω καὶ ὁ ἔλεγχος ἀνεπαχθὴς ἐγένετο, καὶ τὸ ἐγκώμιον οὐκ ὑφίει αὐτοὺς καταπεσεῖν καὶ γενέσθαι ὑπτίους ὁλοκληρὲς γενόμενον. τί δέ ἐστιν, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ; τουτέστι, διὰ τοῦ υἱοῦ προσάγεσθαι ὑμᾶς αὐτῷ χρὴ, οὐκέτι δι᾽ ἀγγέλων. ὅτι μὲν οὖν δεῖ προσάγεσθαι, ἔγνωτε· λείπεται δὲ ὑμῖν ἔτι τοῦτο μαθεῖν καὶ διὰ τί τὸν υἱὸν ἔπεμψεν. εἰ γὰρ δι᾽ ἀγγέλων ἐνῆν σώζεσθαι, οὐκ ἂν τὸν υἱὸν ἔπεμψεν, οὐκ ἂν ἐξέδωκεν. ἐν πάσῃ σοφίᾳ, φησὶ, καὶ συνέσει πνευματικῇ. ἐπειδὴ γὰρ αὐτοὺς οἱ φιλόσοφοι ἠπάτων, βούλομαι ὑμᾶς ἐν πνευματικῇ, φησι, σοφίᾳ εἶναι, μὴ κατὰ τὴν σοφίαν τῶν ἀνθρώπων. εἰ δὲ ὥστε τὸ θέλημα Θεοῦ μαθεῖν πνευματικῆς δεῖ σοφίας, ὥστε τὴν οὐσίαν, τί ἐστιν, εὐχῶν διενεχθῶν. καὶ δείκνυσιν ἐνταῦθα, ὅτι διὰ ἐκείνου ὁ Παῦλος εὔχεται, καὶ οὐδέπω εἶδε, καὶ οὐκ ἀπέστη. τὸ γὰρ, ἀφ᾽ ἧς ἡμέρας ἠκούσαμεν, τοῦτο δηλοῖ. καταγνώσιν δὲ αὐτοῖς πολλὴν φέρει, εἰ διὰ ἐκείνου καὶ εὐχαῖς βοηθούμενοι μὴ ἀνέκτησαν ἑαυτούς. καὶ αἰτούμενοι, φησι,

φησί, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς. τοῦτο γὰρ δείκνυσι τὸ, ἔγνωτε. ἀλλὰ δεῖ τι καὶ ἐπιγνῶναι, εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου. ἐνταῦθα περὶ βίου καὶ τῶν ἔργων φησί. καὶ γὰρ καὶ τοῦτο πανταχοῦ ποιεῖ· ἀεὶ τῇ πίστει συζεύγνυσι τὴν πολιτείαν. Εἰς πᾶσαν ἀρέσκειαν. πῶς δὲ, παρὰ τίνος ἀρέσκειαν; ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ· ὥσπερ, φησὶν, ἀφθόνως ὑμῖν ἑαυτὸν ἀπεκάλυψε, καὶ ὥσπερ τηλικαύτην ἐλάβετε γνῶσιν, οὕτω καὶ πολιτείαν ἀξίαν ἐπιδείξασθε τῆς πίστεως. μεγάλης γὰρ αὕτη δεῖται πολιτείας, καὶ πολλῷ μείζονος, ἢ ἡ παλαιά. ὁ γὰρ τὸν Θεὸν εἰδὼς, καὶ τοῦ Θεοῦ δοῦλος εἶναι καταξιωθεὶς, μᾶλλον δὲ καὶ υἱὸς, ὅρα ὅσης δεῖται ἀρετῆς.

11 Ἐν πάσῃ δυνάμει δυναμούμενοι. Ἐνταῦθα περὶ τῶν πειρασμῶν καὶ τῶν διωγμῶν φησιν, εὐχόμεθα ἵνα πληρωθῆτε δυναμούμενοι, ὥστε μὴ ἀκηδιάσαι, μηδὲ ἀπογνῶναι. Κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ. Ἵνα, φησὶ, τοιαύτην ἀναλάβητε προθυμίαν, οἵα πρέπει τῇ ἰσχύϊ τῆς δόξης αὐτοῦ δοθῆναι. Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν. ὃ λέγει, τοιοῦτόν ἐστι. συντόμως εὐχόμεθα, φησὶν, ὥστε ἐνάρετον ὑμᾶς βίον ἔχειν καὶ τῆς πολιτείας ἄξιον, καὶ στῆναι βεβαίως, ὡς εἰκὸς τοὺς ἀπὸ Θεοῦ δυναμωθέντας. διὰ τοῦτο τέως οὐδέπω ἅπτεται δογμάτων, ἀλλ' ἐν τῷ βίῳ στρέφεται, ἔνθα οὐδὲν εἶχεν ἐγκαλέσαι. καὶ ἐπαινέσας ἐφ' οἷς ἐχρῆν, τότε καθίησιν εἰς κατηγορίαν. τοῦτο καὶ πανταχοῦ ποιεῖ· ὅταν γὰρ μέλλῃ τισὶ γράφειν, ἔχων μὲν τι ἐγκαλεῖν, ἔχων δὲ καί τι ἐπαινέσαι, πρότερον ἐπαινεῖ, καὶ τότε καθίησιν εἰς τὰ ἐγκλήματα. οἰκειοῦται γὰρ πρότερον τὸν ἀκροατὴν, καὶ τὴν κατηγορίαν ἀπαλλάττει πάσης ὑποψίας, καὶ δείκνυσιν ὅτι αὐτοὺς μὲν ἐβούλετο διόλου ἐγκωμιάζειν, ὑπὸ δὲ τῆς ἀνάγκης εἰς τούτους ἐμβιβάζεται τοὺς λόγους. τοῦτο καὶ ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ποιεῖ. ἐπαινέσας γὰρ αὐτοὺς μυρία ὡς ἀγαπῶντας αὐτὸν, καὶ ἀπὸ τοῦ πεπορνευκότος, τότε εἰς κατηγορίαν καθίησιν. α. Κορ. ε. ἐν δὲ τῇ πρὸς Γαλάτας, οὐκέτι, ἀλλὰ τοὐναντίον. Γαλ. α. μᾶλλον δὲ εἴ τις ἐξετάσειε, κἀκείνη ἐξ ἐπαίνου ἡ κατηγορία. ἐπεὶ γὰρ αὐτῶν οὐδὲν εἶχε κατόρθωμα τότε εἰπεῖν, καὶ σφοδρὸν τὸ ἔγκλημα ἦν, καὶ πάντας διεφθάρησαν, καὶ φέρειν ἠδύναντο ἰσχυροὶ ὄντες, ἀπὸ κατηγορίας ἄρχεται λέγων, Θαυμάζω. ὥστε καὶ τοῦτο ἐγκώμιόν ἐστιν. Γαλ. α. ς. ὕστερον δὲ αὐτοὺς ἐπαινεῖ, οὐκ ἐπὶ τοῖς παροῦσιν, ἀλλ' ἐπὶ τοῖς παρελθοῦσι, λέγων· ὅτι εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες, ἂν ἐδώκατέ μοι. Γαλ. δ. ιε. καρποφοροῦντες, φησί· τοῦτο περὶ ἔργων. δυναμούμενοι· περὶ πειρασμῶν τοῦτο. Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν. Μακροθυμίαν πρὸς ἀλλήλους, ὑπομονὴν πρὸς τοὺς ἔξω. μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, οὓς δυνατὸν καὶ ἀμύνασθαι· ὑπομένει δὲ οὓς οὐ δύναται ἀμύνασθαι. διὸ καὶ τοῦτο ἐπὶ μὲν Θεοῦ οὐδέποτε ὑπομονὴ λέγεται, μακροθυμία δὲ πολλαχοῦ (πανταχοῦ). καθὼς αὐτὸς ὁ μακάριός φησι γράφων ἀλλαχοῦ· Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς; Ρωμ. β δ. Εἰς πᾶσαν. μὴ νῦν μὲν, μετὰ ταῦτα δὲ μηκέτι. Ἐν πάσῃ, φησὶ, σοφίᾳ καὶ συνέσει πνευματικῇ. ἄλλως γὰρ οὐκ ἔνι τὸ θέλημα αὐτοῦ ἐπιγνῶναι. καίτοι γε ᾤοντο τὸ θέλημα αὐτοῦ ἔχειν, ἀλλ' οὐ πνευματικὴ ἦν ἡ σοφία. Εἰς τὸ περιπατῆσαι ὑμᾶς, φησὶν, ἀξίως τοῦ Κυρίου. τοῦτο γὰρ ὁδός ἐστι τῆς ἀρίστης πολιτείας. ὁ γὰρ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καταμαθὼν, καταμανθάνει δὲ, ἂν ἴδῃ τὸν υἱὸν ἐκδιδόμενον, μείζονα ἕξει προθυμίαν. καὶ ἄλλως δὲ οὐ τοῦτο εὐχόμεθα μόνον ἵνα μάθητε, ἀλλ' ἵνα καὶ ἐπὶ τῶν ἔργων ἐπιδείκνυσθε. ὁ γὰρ εἰδὼς χωρὶς τοῦ ποιεῖν, καὶ κολάζεσθαι μέλλει. Εἰς τὸ περιπατῆσαι ὑμᾶς, φησί· τουτέστιν, ἀεὶ, οὐχ ἅπαξ, ἀλλὰ διαπαντός, ὥσπερ τὸ περιπατεῖν ἀναγκαῖον ἡμῖν, οὕτω καὶ τὸ ὀρθῶς βιοῦν. καὶ ἀεὶ περιπατεῖν τὸ τοιοῦτον καλεῖ, εἰκότως, δεικνὺς ὅτι οὐδὲ ἡμῖν ὁ βίος ἐστὶν ὁ παρακείμενος, ἀλλ' οὐχ ὁ κοσμικὸς τοιοῦτος. καὶ πολὺ δὲ τὸ ἐγκώμιον. περιπατῆσαι ὑμᾶς, φησὶν, ἀξίως τοῦ Κυρίου, καὶ ἐν παντὶ ἔργῳ ἀγαθῷ, ὥστε ἀεὶ ἐπιδιδόναι,

καὶ μηδαμοῦ ἵστασθαι. καὶ μεταφορικῶς καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ, ἵνα οὕτω δυναμωθῆτε κατὰ τὴν ἰσχὺν τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν ἦν. διὰ τοῦ κράτους αὐτοῦ. πολλὴ ἡ παραμυθία. οὐκ εἶπε δύναμιν, ἀλλὰ κράτος, ὅπερ μεῖζόν ἐστι. διὰ τοῦ κράτους, φησὶ, τῆς δόξης αὐτοῦ· * ὅτι πανταχοῦ ἡ δόξα αὐτοῦ κρατεῖ. ἤδη παρεμυθήσατο τοὺς ἐν ὀνείδει ὄντας. καὶ πάλιν περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου. περὶ τοῦ υἱοῦ τοῦτό φησι, τὸ πανταχοῦ κρατεῖν αὐτὸν, καὶ ἐν οὐρανῷ, καὶ ἐν γῇ, ὅτι ἡ δόξα αὐτοῦ πανταχοῦ βασιλεύει. οὐχ ἁπλῶς φησι, δυναμοῦσθε, ἀλλ' ὡς εἰκὸς τοὺς οὕτως ἰσχυρῷ δεσπότῃ δουλεύοντας. ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. ἅμα καὶ παρίστησι τὸν τῆς γνώσεως λόγον. τοῦτο γὰρ πεπλανῆσθαί ἐστι, τὸ μὴ εἰδέναι, ὡς δεῖ, τὸν Θεόν. ἢ ὥστε ἐπιδοῦναι, φησι, ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. εἰ γὰρ ὁ τὸν υἱὸν οὐκ εἰδὼς, οὐδὲ τὸν πατέρα ἐπίσταται, εἰκότως δεῖ τῆς ἐπιγνώσεως. οὐδὲν γὰρ ὄφελος βίου ταύτης ἄνευ.

* [illegible]

Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν, φησὶ, μετὰ χαρᾶς

12 Εὐχαριστοῦντες τῷ Θεῷ. Εἶτα μέλλων αὐτοὺς παρακαλεῖν, οὐ μέμνηται
Κολοσ. α. ε. τῶν μελλόντων αὐτοῖς ἀποκεῖσθαι· ἀλλὰ τοῦτο μὲν ἤρξατο ἐν τῇ ἀρχῇ εἰπὼν, Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς· ἐνταῦθα δὲ τῶν ἤδη ὑπαρξάντων μέμνηται. ταῦτα γὰρ ἐκείνων αἴτια. καὶ πολλαχοῦ τοῦτο ποιεῖ. τὰ γὰρ ἤδη γεγονότα πλέον πιστοῦται καὶ μᾶλλον αἱρεῖ τὸν ἀκροατήν. μετὰ χαρᾶς, φησιν, εὐχαριστοῦντες τῷ Θεῷ. ἡ ἀκολουθία αὕτη ἐστίν. οὐ παυόμεθα εὐχόμενοι ὑπὲρ ὑμῶν, καὶ εὐχαριστοῦντες ἐπὶ τοῖς προτέροις. ὁρᾷς πῶς ἑαυτὸν ἐμβιβάζει εἰς τὸν περὶ τοῦ υἱοῦ λόγον; εἰ γὰρ εὐχαριστοῦμεν μετὰ χαρᾶς πολλῆς, μεγάλα τὰ λεγόμενα. ἔστι γὰρ εὐχαριστεῖν διὰ φόβον μόνον, ἔστιν εὐχαριστεῖν καὶ ἐν λύπῃ ὄντα, οἷον ὁ Ἰὼβ εὐχαριστεῖ μὲν, ὀδυνώμενος δέ· διὸ καὶ ἔλεγεν, Ὁ Κύριος
Ιωβ. α. κα. ἔδωκεν, ὁ Κύριος ἀφείλετο. μὴ γάρ τις λεγέτω, ὅτι οὐκ ἐλύπει αὐτὸν τὰ γινόμενα, οὐδὲ ἀθυμίαν παρεῖχε· μηδὲ τὸ μέγα ἐγκώμιον ἀφαιρείσθω τοῦ δικαίου. ὅταν δὲ τοιαῦτα ᾖ, οὐ διὰ τὸν φόβον, οὐδὲ διὰ δεσποτείαν μόνον, ἀλλὰ καὶ δι' αὐτὴν τὴν τῶν πραγμάτων φύσιν, εὐχαριστούμεθα.

χ. ἀμ.

Τῷ ἱκανώσαντι ὑμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. Μέγα ἐφθέγξατο. τοιαῦτά ἐστι τὰ διδόμενα, φησὶν, ὡς μὴ δοῦναι μόνον, ἀλλὰ καὶ ἰσχυροὺς ποιῆσαι πρὸς τὸ λαβεῖν. ὃ δὴ εἶπε, τῷ ἱκανώσαντι, πολὺ τὸ βάρος ἐφέλκει. οἷον ἐάν τις εὐτελὴς καὶ βασιλεὺς γένηται, δυνατὸν αὐτῷ ἐπὶ ὑπεροχότητα δοῦναι ὃ βούλεται· καὶ τοσοῦτον δυνάσται μόνον τὸ ἀξίωμα δοῦναι, ἀλλ' οὐχὶ καὶ ἐπιτήδειον ποιῆσαι πρὸς τὴν ἀρχήν. πολλάκις δὲ τὸν τοιοῦτον καὶ καταγέλαστον ἡ τιμὴ ποιεῖ. ἐὰν μέντοι καὶ τὸ ἀξίωμα δῷ, καὶ ἐπιτήδειον ποιήσῃ πρὸς τὴν τιμὴν, καὶ ἱκανὸν πρὸς τὴν οἰκονομίαν, τότε τιμὴ τὸ πρᾶγμά ἐστι. τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι οὐ μόνον ἡμῖν ἔδωκε τὴν τιμὴν, ἀλλὰ καὶ ἰσχυροὺς πρὸς τὸ λαβεῖν ἐποίησε. διπλῆ γὰρ αὕτη τιμὴ τὸ καὶ δοῦναι, καὶ ἐπιτηδείους κατασκευάσαι τῆς δωρεᾶς. οὐκ εἶπε, δόντι, ἁπλῶς, ἀλλ', ἱκανώσαντι εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· τουτέστι, τῷ καταταξαμένῳ ὑμᾶς μετὰ τῶν ἁγίων. ἀλλ' οὐχ ἁπλῶς εἶπε, καταταξάντι, ἀλλὰ, καὶ τῶν αὐτῶν ἀπολαῦσαι παρεσχηκότι. οὐ γὰρ μερὶς, ἐκεῖνό ἐστιν ὅπερ ἕκαστος λαμβάνει. ἔστι γὰρ καὶ ἐν τῇ αὐτῇ εἶναι πόλει, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν· τὴν δὲ αὐτὴν μερίδα ἔχειν, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν, οὐκ ἔστιν. ἔστιν ἐν τῷ αὐτῷ κλήρῳ εἶναι, καὶ μὴ τὴν αὐτὴν ἔχειν μερίδα· οἷον ἐν τῷ κλήρῳ πάντες ἐσμὲν, ἀλλ' οὐ τὴν αὐτὴν ἔχομεν πάντες μερίδα. ἐνταῦθα δὲ οὐ τοῦτό φησιν, ἀλλὰ καὶ τὴν μερίδα μετὰ τοῦ κλήρου. διὰ τί κλῆρον καλεῖ; δεικνὺς ὅτι οὐδεὶς ἀπὸ κατορθωμάτων οἰκείων βασιλείας τυγχάνει· ἀλλ' ὥσπερ ὁ κλῆρος ἐπιτυχίας μᾶλλόν ἐστιν, οὕτω δὴ καὶ ἐνταῦθα. οὐδεὶς γὰρ τοιαύτην ἐπιδείκνυται πολιτείαν ὥστε βασιλείας ἀξιωθῆναι, ἀλλὰ τῆς αὐτοῦ δωρεᾶς ἐστι τὸ πᾶν. διὰ τοῦτό φησιν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦ-

Ιε. ψ.

λοί ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί* τουτέστι, τῇ γνώσει. δοκεῖ δέ μοι καὶ περὶ τῶν παρόντων, καὶ περὶ τῶν μελλόντων ὁμοῦ λέγειν. Εἶτα δείκνυσιν ὧν ἠξιώθημεν. οὐ γὰρ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι βασιλείας ἀξιούμεθα, ἀλλὰ καὶ τίνες ὄντες, δεῖ προσθεῖναι (οὐ γάρ ἐστιν ἴσον) ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ λέγων· Μόλις γὰρ ὑπὲρ τοῦ δικαίου τις ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Ρωμ. ε. ζ.

13 Ὃς ἐρρύσατο ἡμᾶς, φησὶν, ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους. Αὐτοῦ τὸ πᾶν ἐστι, καὶ ταῦτα δοῦναι, κἀκεῖνα. οὐδαμοῦ γὰρ ἡμῶν κατόρθωμα. ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους, φησὶ, τουτέστι, τῆς πλάνης, τοῦ διαβόλου τῆς τυραννίδος. οὐκ εἶπεν ἁπλῶς, σκότους, ἀλλ', ἐξουσίας. πολλὴν γὰρ ἡμῶν εἶχε τὴν ἐξουσίαν, καὶ ἐκράτει ἡμῶν. χαλεπὸν μὲν γὰρ καὶ τὸ ἁπλῶς εἶναι ὑπὸ τῷ διαβόλῳ· τὸ δὲ καὶ μετ' ἐξουσίας, τοῦτο χαλεπώτερον.

Καὶ μετέστησε, φησὶν, εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

Οὐκ ἄρα εἰς τὴν ἀπαλλαγὴν τοῦ σκότους μόνον ἔδειξεν αὐτοῦ τὴν φιλανθρωπίαν. μέγα μὲν οὖν καὶ τὸ τοῦ σκότους ἀπαλλάξαι· τὸ δὲ καὶ εἰς βασιλείαν εἰσαγαγεῖν, πολλῷ μεῖζον. ὅρα οὖν πῶς πολύπλοκον γέγονε τὸ δῶρον, ὅτι ἐν τῷ πυθμένι κειμένους ἀπήλλαξεν ἡμᾶς, ὅτι οὐκ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ μετέθηκεν εἰς βασιλείαν. ὃς ἐρρύσατο ἡμᾶς. οὐκ εἶπεν, ἐξέβαλεν, ἀλλ', ἐρρύσατο, τὴν πολλὴν ταλαιπωρίαν δεικνὺς ἡμῶν, καὶ ἐκείνων τὴν αἰχμαλωσίαν. Εἶτα καὶ τὸ εὔκολον τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ μετέστησε, φησίν· ὥσπερ ἂν εἴ τις στρατιώτην ἀπὸ τόπου εἰς τόπον μεταγάγοι. καὶ οὐκ εἶπε, μετήγαγεν, οὐδὲ μετέθηκε (τὸ μὲν γὰρ ὅλον τοῦ μεταθέντος ἦν, οὐ τοῦ μετελθόντος) ἀλλὰ μετέστησεν, εἶπεν, ὥστε καὶ ἡμῶν, καὶ αὐτοῦ τοῦτο γενέσθαι. Εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ. οὐχ ἁπλῶς εἶπε, βασιλείαν οὐρανῶν, ἀλλὰ σεμνότερον εἰργάσατο τὸν λόγον, βασιλείαν υἱοῦ εἰπών. τούτου γὰρ οὐδὲν μεῖζον ἐγκώμιον· ὃ καὶ ἀλλαχοῦ φησιν· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. Β. Τιμ. β. ιβ. τῆς αὐτῆς ἠξίωσεν ἡμᾶς, φησὶ, τῷ υἱῷ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἐπίτασις, τῷ ἀγαπητῷ. οὐδὲ ἐχθρούς, οὐδὲ ἐσκοτισμένους, ἀλλὰ θέασαι ποῦ αὐτοὺς μετέστησεν, ἔνθα ὁ υἱός, εἰς τὴν αὐτὴν ἐκείνῳ τιμήν. καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνῳ· ἀλλ' ἵνα δείξῃ μέγα τὸ δῶρον, οὐκ ἠρκέσθη τῷ εἰπεῖν, βασιλείαν, ἀλλὰ καὶ τοῦ υἱοῦ προσέθηκε· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τοῦ ἀγαπητοῦ· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τὸ τῆς φύσεως εἴπομεν. τί γάρ φησιν; ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. ἀλλ' οὐκ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ἀλλὰ πρότερον ἔδειξε τὴν εὐεργεσίαν τὴν εἰς ἡμᾶς. ἵνα γὰρ μὴ ἀκούσῃς ὅτι τὸ πᾶν τοῦ πατρός ἐστι, νομίσῃς τὸν υἱὸν ἐκτὸς εἶναι, δίδωσι τὸ πᾶν καὶ τῷ υἱῷ, δίδωσι καὶ τῷ πατρί. ἐκεῖνος μὲν γὰρ μετέστησεν, ἀλλ' οὗτος τὴν αἰτίαν παρέσχε. ὃς γάρ φησιν, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους· ταὐτὸν δέ ἐστι.

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων.

Εἰ γὰρ μὴ ἀφείθημεν τῶν ἁμαρτημάτων, οὐκ ἂν μετέστημεν. ἰδοὺ πάλιν ἐνταῦθα τὸ ἐκεῖ. καὶ οὐκ εἶπε λύτρωσιν, ἀλλ', ἀπολύτρωσιν, ὥστε μηδὲ πεσεῖν λοιπὸν, μηδὲ γενέσθαι ὑπευθύνους.

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.

Εἰς ζήτημα ἐμπίπτομεν αἱρετικόν. ἀλλὰ σήμερον ἀναβαλούμεθα, αὔριον τοῦτο προσθήσομεν, ἵνα μὴ ἀκμαζούσαις ὑμῶν ταῖς ἀκοαῖς προσβάλλωμεν. Εἰ δὲ δεῖ τι πλέον εἰπεῖν, μεῖζον τὸ τοῦ υἱοῦ ἔργον. πῶς; ἐκεῖνος μὲν γὰρ ἐδυνάσευσε, τὸ δὲ τοὺς ἐν τοῖς ἁμαρτήμασιν ὄντας ἀξιῶσαι βασιλείας· τοῦτο δὲ εὐκολώτερον. ὥστε τῇ δωρεᾷ οὐδὲ πρέπον. τί λέγεις; τῶν ἁμαρτημάτων σὺ αὐτοὺς ἀφῆκας; οὐχ οὗτος αὐτοὺς προσήγαγεν. ἤδη προκατέβαλε τοῦ δόγματος τὴν ῥίζαν.

καὶ μηδαμοῦ ἵστασθαι. καὶ μεταφορικῶς καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ, ἵνα οὕτω δυναμωθῆτε κατὰ τὴν ἰσχὺν τοῦ Θεοῦ, ὡς ἂν ἀνθρώποις δυνατὸν ἦν. Διὰ τοῦ κράτους αὐτοῦ. πολλὴ ἡ παραμυθία. οὐκ εἶπε δύναμιν, ἀλλὰ κράτος, ὅπερ μεῖζόν ἐστι. διὰ τοῦ κράτους, φησὶ, τῆς δόξης αὐτοῦ· * ὅτι πανταχοῦ ἡ δόξα αὐτοῦ κρατεῖ. ἤδη παρεμυθήσατο τοὺς ἐν ἐνδείᾳ ὄντας. καὶ πάλιν περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου. περὶ τοῦ υἱοῦ τοῦτό φησι, τὸ πανταχοῦ κρατεῖν αὐτὸν, καὶ ἐν οὐρανῷ, καὶ ἐν γῇ, ὅτι ἡ δόξα αὐτοῦ πανταχοῦ βασιλεύει. οὐχ ἁπλῶς φησι, δυναμοῦσθε, ἀλλ' ὡς εἰκὸς τοὺς οὕτως ἰσχυρῷ δεσπότῃ δουλεύοντας. ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. ἅμα καὶ παρατείνεται τὸν τῆς γνώσεως λόγον. τοῦτο γὰρ πεπλανῆσθαί ἐστι, τὸ μὴ εἰδέναι, ὡς δεῖ, τὸν Θεόν. ἢ ὥστε ἐπιδιδόναι, φησὶν, ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. εἰ γὰρ ὁ τὸν υἱὸν οὐκ εἰδὼς, οὐδὲ τὸν πατέρα ἐπίσταται, εἰκότως δεῖ τῆς ἐπιγνώσεως. οὐδὲν γὰρ ὄφελος βίου ταύτης ἄνευ.

* λείπ. χ. [illegible]

Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν, φησὶ, μετὰ χαρᾶς·

12 Εὐχαριστοῦντες τῷ Θεῷ. Εἶτα μέλλων αὐτοὺς παρακαλεῖν, οὐ μέμνηται τῶν μελλόντων αὐτοῖς ἀποκεῖσθαι· ἀλλὰ τούτου μὲν ἠνίξατο ἐν τῇ ἀρχῇ εἰπὼν, Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς· ἐνταῦθα δὲ τῶν ἤδη ὑπαρξάντων μέμνηται. ταῦτα γὰρ ἐκείνων αἴτια. καὶ πολλαχοῦ τοῦτο ποιεῖ. τὰ γὰρ ἤδη γεγενότα πλέον πιστοῦται καὶ μᾶλλον αἴρει τὸν ἀκροατήν. μετὰ χαρᾶς, φησὶν, εὐχαριστοῦντες τῷ Θεῷ. ἡ ἀκολουθία αὕτη ἐστίν. οὐ παυόμεθα εὐχόμενοι ὑπὲρ ὑμῶν, καὶ εὐχαριστοῦντες ἐπὶ τοῖς προτέροις. ὁρᾷς πῶς ἑαυτὸν ἐμβιβάζει εἰς τὸν περὶ τοῦ υἱοῦ λόγον; εἰ γὰρ εὐχαριστοῦμεν μετὰ χαρᾶς πολλῆς, μεγάλα τὰ λεγόμενα. ἔστι γὰρ εὐχαριστεῖν διὰ φόβον μόνον, ἔστι εὐχαριστεῖν καὶ ἐν λύπῃ ὄντα, οἷον ὁ Ἰὼβ εὐχαριστεῖ μὲν, ὀδυνώμενος δέ· διὸ καὶ ἔλεγεν, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. μὴ γάρ τις λεγέτω, ὅτι οὐκ ἐλύπει αὐτὸν τὰ γινόμενα, οὐδὲ ἀθυμίαν περιέβαλε· μηδὲ τὸ μέγα ἐγκώμιον ἀφαιρείσθω τοῦ δικαίου. ὅταν δὲ τοιαῦτα ᾖ, οὐ διὰ τὸν φόβον, οὐδὲ διὰ δεσποτείαν μόνον, ἀλλὰ καὶ δι' αὐτὴν τὴν τῶν πραγμάτων φύσιν, εὐχαριστοῦμεν. Τῷ ἱκανώσαντι ὑμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. Μέγα ἐφθέγξατο. τοιαῦτά ἐστι τὰ δεδομένα, φησὶν, ὡς μὴ δοῦναι μόνον, ἀλλὰ καὶ ἰσχυροὺς ποιῆσαι πρὸς τὸ λαβεῖν. ὃ δ' οὖν εἶπε, τῷ ἱκανώσαντι, πολὺ τὸ βάρος ἔδειξεν. οἷον ἐὰν τις εὐτελὴς, καὶ βασιλεὺς γίνηται, δυνατὸν αὐτῷ ἐν ταχύτητι δοῦναι ὧν βούλεται· καὶ τοσοῦτον δύναται μόνον τὸ ἀξίωμα δοῦναι, ἀλλ' οὐχὶ καὶ ἐπιτηδείους ποιῆσαι πρὸς τὴν ἀρχήν. πολλάκις δὲ τὸν τοιοῦτον καὶ καταγέλαστον ἡ τιμὴ ποιεῖ. ἐὰν μέντοι καὶ τὸ ἀξίωμα δῷ, καὶ ἐπιτήδειον ποιήσῃ πρὸς τὴν τιμὴν, καὶ ἱκανὸν πρὸς τὴν οἰκονομίαν, τότε τιμὴ τὸ πρᾶγμά ἐστι. τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι οὐ μόνον ἡμῖν ἔδωκε τὴν τιμὴν, ἀλλὰ καὶ ἰσχυροὺς πρὸς τὸ λαβεῖν ἐποίησε. διπλῆ γὰρ αὕτη τιμὴ τὸ καὶ δοῦναι, καὶ ἐπιτηδείους κατασκευάσαι τῆς δωρεᾶς. οὐκ εἶπε, δόντι, ἁπλῶς, ἀλλ', ἱκανώσαντι εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· τουτέστι, τῷ κατατάξαντι ὑμᾶς μετὰ τῶν ἁγίων. ἀλλ' οὐχ ἁπλῶς εἶπε, κατατάξαντι, ἀλλὰ, καὶ τῶν αὐτῶν ἀπολαῦσαι παρεσχηκότι. οὐ γὰρ μερὶς, ἐκεῖνό ἐστιν ὅπερ ἕκαστος λαμβάνει. ἔστι γὰρ καὶ ἐν τῇ αὐτῇ εἶναι πόλει, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν· τὴν δὲ αὐτὴν μερίδα ἔχειν, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν, οὐκ ἔστιν. ἔστιν ἐν τῷ αὐτῷ κλήρῳ εἶναι, καὶ μὴ τὴν αὐτὴν ἔχειν μερίδα· οἷον ἐν τῷ κλήρῳ πάντες ἐσμὲν, ἀλλ' οὐ τὴν αὐτὴν ἔχομεν πάντες μερίδα. ἐνταῦθα δὲ οὐ τοῦτό φησιν, ἀλλὰ καὶ τὴν μερίδα μετὰ τοῦ κλήρου. διὰ τί κλῆρον καλεῖ; δεικνὺς ὅτι οὐδεὶς ἀπὸ κατορθωμάτων οἰκείων βασιλείας τυγχάνει· ἀλλ' ὥσπερ ὁ κλῆρος ἐπιτυχίας μᾶλλόν ἐστιν, οὕτω δὴ καὶ ἐνταῦθα. οὐδεὶς γὰρ τοιαύτην ἐπιδείκνυται πολιτείαν ὥστε βασιλείας ἀξιωθῆναι, ἀλλὰ τῆς αὐτοῦ δωρεᾶς ἐστι τὸ πᾶν. διὰ τοῦτό φησιν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦ-

Κολοσ. α. ϛ.

χ. ἄρα

Ἰώβ. α. κα.

ἴσ. ᾧ

λοί

λοί ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί* τουτέστι, τῇ γνώσει. δοκεῖ δέ μοι καὶ περὶ τῶν παρόντων, καὶ περὶ τῶν μελλόντων ὁμοῦ λέγειν. Εἶτα δείκνυσιν ὧν ἠξιώθημεν. οὐ γὰρ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι βασιλείας ἀξιούμεθα, ἀλλὰ καὶ τίνες ὄντες, δεῖ προσθεῖναι (οὐ γάρ ἐστιν ἴσον) ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ λέγων· Μόλις γὰρ ὑπὲρ τοῦ δικαίου τις ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Ῥωμ. ε. ζ.

13 Ὃς ἐρρύσατο ἡμᾶς, φησίν, ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους. Αὐτοῦ τὸ πᾶν ἐστι, καὶ τοῦτο δοῦναι, κἀκεῖνα. οὐδαμοῦ γὰρ ἡμῶν κατόρθωμα. ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους, φησί, τουτέστι, τῆς πλάνης, τοῦ διαβόλου τῆς τυραννίδος. οὐκ εἶπεν ἁπλῶς, σκότους, ἀλλ', ἐξουσίας. πολλὴν γὰρ ἡμῶν εἶχε τὴν ἐξουσίαν, καὶ ἐκράτει ἡμῶν. χαλεπὸν μὲν γὰρ καὶ τὸ ἁπλῶς εἶναι ὑπὸ τῷ διαβόλῳ· τὸ δὲ καὶ μετ' ἐξουσίας, τοῦτο χαλεπώτερον.

Καὶ μετέστησε, φησίν, εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

Οὐκ ἄρα εἰς τὴν ἀπαλλαγὴν τοῦ σκότους μόνον ἔδειξεν αὐτοῦ τὴν φιλανθρωπίαν. μέγα μὲν οὖν καὶ τὸ τοῦ σκότους ἀπαλλάξαι· τὸ δὲ καὶ εἰς βασιλείαν εἰσαγαγεῖν, πολλῷ μεῖζον. ὅρα οὖν πῶς πολύπλοκον γέγονε τὸ δῶρον, ὅτι ἐν τῷ πυθμένι κειμένους ἀπήλλαξεν ἡμᾶς, ὅτι οὐκ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ μετέθηκεν εἰς βασιλείαν. ὃς ἐρρύσατο ἡμᾶς. οὐκ εἶπεν, ἐξέβαλεν, ἀλλ', ἐρρύσατο, τὴν πολλὴν ταλαιπωρίαν δεικνὺς ἡμῶν, καὶ ἐκείνων τὴν αἰχμαλωσίαν. Εἶτα καὶ τὸ εὔκολον τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ μετέστησε, φησίν· ὥσπερ ἂν εἴ τις στρατιώτην ἀπὸ τόπου εἰς τόπον μεταγάγοι. καὶ οὐκ εἶπε, μετήγαγεν, οὐδὲ μετέθηκε (τὸ μὲν γὰρ ὅλον τοῦ μεταθέντος ἦν, οὐ τοῦ μετελθόντος) ἀλλὰ μετέστησεν, εἶπεν, ὥστε καὶ ἡμῶν, καὶ αὐτοῦ τοῦτο γενέσθαι. Εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ. οὐχ ἁπλῶς εἶπε, βασιλείαν οὐρανῶν, ἀλλὰ σεμνότερον εἰργάσατο τὸν λόγον, βασιλείαν υἱοῦ εἰπών. τούτου γὰρ οὐδὲν μεῖζον ἐγκώμιον, ὃ καὶ ἀλλαχοῦ φησιν· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. C. Τ. μ. β. ιβ. τῶν αὐτῶν ἠξίωσεν ἡμᾶς, φησί, τῷ υἱῷ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἐπίτασις, τοῦ ἀγαπητοῦ· οὐκ ἐχθρούς, οὐκ ἐσκοτισμένους, ἀλλὰ ὅθεν που αὐτοὺς μετέστησεν, ἔνθα ὁ υἱός, εἰς τὴν αὐτὴν ἐκείνῳ τιμήν. καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνῳ· ἀλλ' ἵνα δείξῃ μέγα τὸ δῶρον, οὐκ ἠρκέσθη τῷ εἰπεῖν, βασιλείαν, ἀλλὰ καὶ τοῦ υἱοῦ προσέθηκε· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τοῦ ἀγαπητοῦ· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τὸ τῆς φύσεως εἴρηκεν. τί γάρ φησιν; ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. ἀλλ' οὐκ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ἀλλὰ πρότερον ἔδειξε τὴν εὐεργεσίαν τὴν εἰς ἡμᾶς. ἵνα γὰρ μὴ ἀκούων ὅτι τὸ πᾶν τοῦ πατρός ἐστι, νομίσῃς τὸν υἱὸν ἐκτὸς εἶναι, δίδωσι τὸ πᾶν καὶ τῷ υἱῷ, δίδωσι καὶ τῷ πατρί. ἐκεῖνος μὲν γὰρ μετέθηκεν, ἀλλ' οὗτος τὴν αἰτίαν παρέσχε. τί γάρ φησιν; ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους. ταὐτὸν δέ ἐστι τοῦτο.

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων. Ἡβ. α. ιδ.

Εἰ γὰρ μὴ ἀφείθημεν τῶν ἁμαρτημάτων, οὐκ ἂν μετέστημεν. ἰδοὺ πάλιν ἐνταῦθα τὸ εὔκολον. καὶ οὐκ εἶπε λύτρωσιν, ἀλλ', ἀπολύτρωσιν, ὥστε μηδὲ πεσεῖν λοιπόν, μηδὲ γενέσθαι ὑπευθύνους.

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.

Εἰς ζήτημα ἐμπίπτομεν αἱρετικόν. [illegible] πρότερον ἀκολουθοῦντες [illegible] τῶν προσθέντων [illegible] ἀκμαζούσαις ὑμῶν ταῖς ἀκοαῖς προσβάλλοντας. Εἰ δὲ δεῖ τι πλέον εἰπεῖν, μεῖζον τοῦ υἱοῦ ἔργον. πῶς; ἐκεῖνο μὲν γὰρ οὐδεμίαν ἔχει [illegible]· τὸ δὲ ἐν τοῖς ἁμαρτήμασιν ὄντας δοῦναι βασιλείαν· τοῦτο δὲ εὐκολώτερον. ὥστε τῇ δωρεᾷ ὁ υἱὸς [illegible]. τί λέγεις; τῶν ἁμαρτημάτων σὺ αὐτὸς ἀφῆκας; οὐχ οὕτω καὶ αὐτὸς προσήγαγεν. ἤδη προκατέβαλε τοῦ δόγματος τὴν ῥίζαν.

ΗΘΙΚΟΝ

Τέως δὲ ἐκεῖνο εἰπόντας καταπαῦσαι τὸν λόγον ἀνάγκη. ποῖον δὴ τοῦτο; ὅτι τοσαύτης ἀπολαύσαντες εὐεργεσίας, ἀεὶ ταύτης μεμνῆσθαι ὀφείλομεν, καὶ στρέφειν διαπαντὸς ἐν ἑαυτοῖς τὴν τοῦ Θεοῦ δωρεάν, καὶ τίνων ἀπηλλάγημεν, καὶ τίνων ἐτύχομεν ἐννοεῖν· καὶ οὕτως ἐσόμεθα εὐχάριστοι, οὕτω τὴν ἀγάπην τὴν πρὸς αὐτὸν ἐπιτείνοιμεν. τί λέγεις, ἄνθρωπε; εἰς βασιλείαν κέκλησαι, εἰς βασιλείαν υἱοῦ τοῦ Θεοῦ, καὶ χάσμης πληροῦσαι, καὶ κνᾶσαι, καὶ ναρκᾷς; εἰ γὰρ εἰς μυρίους θανάτους πηδῆσαι ἑκάστης τῆς ἡμέρας ἔδει, οὐ πάντα ἐχρῆν ὑπομεῖναι; ἀλλ' ὑπὲρ μὲν ἀρχῆς πόσα οὐ ποιεῖς, τῆς δὲ βασιλείας μέλλων κοινωνεῖν τῆς τοῦ μονογενοῦς οὐ καθάλλῃ κατὰ μυρίων ξιφῶν; οὐκ ἐμπηδᾷς εἰς πῦρ; καὶ οὔπω τοῦτο δεινόν· ἀλλ' ὅτι καὶ μέλλων ἀπιέναι θρηνεῖς, καὶ ἐμφιλοχωρεῖς τοῖς ἐνταῦθα φιλοσώματος ὤν. τί δὴ τοῦτο; καὶ τὸν θάνατον φρικτὸν πρᾶγμα εἶναι νομίζεις; ἡ τρυφὴ τούτων αἰτία, ἡ ἄνεσις. ἐπεὶ ὅγε κατάπικρον βίον ζῶν, καὶ πληρωθῆναι ἕλοιτο ἂν καὶ ἀπαλλαγῆναι ἐντεῦθεν. νῦν δὲ ταὐτὸν πάσχομεν, οἷον οἱ νεοττοὶ μαλακισθέντες διαπαντὸς ἐπὶ τῆς καλιᾶς μένειν ἐθέλοντες. ἀλλ' ὅσῳπερ ἂν μένωμεν, τοσούτῳ ἐσόμεθα ἀσθενέστεροι. καλιὰ γὰρ ὁ παρὼν βίος ἐστίν, ἀπὸ καρφῶν καὶ πηλοῦ συγκεκολλημένος. κἂν τὰς μεγάλας μοι δείξῃς οἰκίας, κἂν αὐτὰ τὰ βασίλεια λάμποντα πολλῷ τῷ χρυσῷ καὶ τοῖς λίθοις, οὐδὲν οἴσομαι διαφέρειν καλιᾶς χελιδόνων. τοῦ γὰρ χειμῶνος ἐπιστάντος, αὐτόματα πάντα πεσεῖται. χειμῶνα δὲ τὴν ἡμέραν ἐκείνην λέγω· οὐχὶ πᾶσι χειμῶνα *· ἐπεὶ καὶ ὁ Θεὸς νύκτα τε ὁμοῦ καὶ ἡμέραν τὸν καιρὸν ἐκεῖνον καλεῖ, τὸ μὲν πρὸς τοὺς ἁμαρτωλούς, τὸ δὲ πρὸς τοὺς δικαίους. οὕτω καὶ ἐγὼ νῦν χειμῶνα αὐτὴν καλῶ. ἂν ἐν τῷ θέρει μὴ ἐκπτερωθῶμεν(?) καλῶς, ὥστε δύνασθαι ἵπτασθαι τοῦ χειμῶνος ἐπιστάντος, οὐ λήψονται ἡμᾶς αἱ μητέρες, ἀλλ' ἐάσουσι τῷ λιμῷ διαφθαρῆναι, ἢ τῆς καλιᾶς πεσούσης ἀπολέσθαι. καθάπερ γὰρ καλιάν, μᾶλλον δὲ καὶ εὐκολώτερον ταύτης, ἅπαντα καθαιρεῖ τότε ὁ Θεός, ἀνασκευάζων καὶ μεταρρυθμίζων ἅπαντα. οἱ δὲ ἄπτερες καὶ ἀποπτῆναι(?) αὐτῷ μὴ δυνάμενοι εἰς τὸν ἀέρα, ἀλλ' οὕτω βαναύσως τραφέντες, ὥσπερ καὶ ἔχει τὸ πλεῖον κοῦφοι, πίπτουσιν ἅπαντα ταῦτα, ἅπερ εἰκὸς οὕτω διακειμένους παθεῖν. ἡ μὲν οὖν τῶν χελιδόνων νεοττιά, ὅταν καταπέσῃ, ταχέως ἀπόλλυται· ἡμεῖς δὲ οὐχ ἀπολλύμεθα, ἀλλὰ κολαζόμεθα διηνεκῶς. χειμὼν ἔσται ὁ τότε καιρός, μᾶλλον δὲ χειμῶνος χαλεπώτερος. οὐ γὰρ χείμαρροι καταφέρονται ὕδατος, ἀλλὰ ποταμοὶ πυρός· οὐ σκότος ἀπὸ νεφῶν γίνεται(?), ἀλλὰ σκότος ἄλυτον καὶ ἀφεγγές, ὥστε μήτε τὸν οὐρανὸν ἰδεῖν, μήτε τὸν ἀέρα, ἀλλὰ τῇ εἰς γῆν κατωρυγμένων μᾶλλον στενοχωρεῖσθαι. πολλάκις ταῦτα λέγομεν· ἀλλ' οὐ πειθόμεθά τινας. καὶ οὐδὲν θαυμαστόν, εἴγε ἡμεῖς ἄνθρωποι ὄντες ταῦτα πάσχομεν ὑπὲρ τούτων διαλεγόμενοι, ὅπου γε καὶ οἱ προφῆται ἔπασχον ταῦτα, οὐχ ὑπὲρ τούτων μόνον πραγμάτων διαλεγόμενοι, ἀλλὰ καὶ ὑπὲρ πολέμου καὶ αἰχμαλωσίας. καὶ ὁ Σεδεκίας ὑπὸ Ἱερεμίου ἠλέγχετο, καὶ οὐκ ἠκούετο. διὰ τοῦτο ἔλεγον οἱ προφῆται, ἐνίοτε(?)

Ησ. ε. ιθ.

οἱ λέγοντες, ἐγγισάτω τὸ τάχος ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν. μὴ θαυμάζωμεν τοῦτο. οὐδὲ γὰρ οἱ ἐπὶ τοῦ κατακλυσμοῦ ἐπίστευον, ἀλλ' ἐπίστευσαν ὅτε τῆς πίστεως κέρδος ἦν οὐδέν. οὐδὲ οἱ ἐν Σοδόμοις προσεδόκησαν, ἀλλ' ἐπίστευσαν καὶ αὐτοί, ὅτε οὐδὲν πλέον αὐτοῖς γέγονε. καὶ τί λέγω τὰ μέλλοντα; οὐκ αὐτὰ ταῦτα προσεδόκησε τὰ νῦν γινόμενα κατὰ διαφόρους τόπους, οἷον σεισμοὺς τῶν πόλεων, τὰς ἀναιρέσεις; καίτοιγε ταῦτα ἐκείνων πιστότερα, τῆς κιβωτοῦ λέγω. πόθεν δῆλον; ὅτι ἐκεῖνοι μὲν οὐκ εἶχον εἰς ἄλλο παράδειγμα ἰδεῖν, οὐδὲ τῶν γραφῶν ἤκουσαν· ἐνταῦθα δὲ μυρία ὅσα γέγονε, καὶ ἐπὶ τῶν ἐτῶν τῶν ἡμετέρων, καὶ ἐπὶ τῶν προτέρων. ἀλλὰ πόθεν ἡ ἀπιστία τούτων; ἀπὸ μαλακῆς ψυχῆς. ἔπινον καὶ ἤσθιον, καὶ διὰ τοῦτο οὐκ ἐπίστευον. ἃ γὰρ βούλεταί τις, ταῦτα καὶ οἴεται, ταῦτα καὶ προσδοκᾷ. οἱ δὲ ταῦτα λέγοντες(?), λῆροί εἰσιν. ἀλλὰ μὴ πάθωμεν ταυτόν. οὐ γὰρ κατακλυσμὸς ἔσται λοιπόν, οὐδὲ μέχρι τελευτῆς ἡ κόλασις,

* ἀλλὰ τοῖς ῥᾳθύμοις

χειμαζόμεθα.

ἀλλ' ἀρχὴ τιμωρίας ὁ θάνατος ἀπιστούντων ὅτι ἐστὶ κρίσις. καὶ τίς ἐκεῖθεν ἦλθε, φησί, καὶ ταῦτα ἐφθέγξατο; εἰ μὲν παίζων ταῦτα λέγεις, οὐδὲ οὕτω καλῶς. οὐ γὰρ δεῖ ἐν τοῖς τοιούτοις παίζειν. οὐ γὰρ ἐν παιγνίοις, ἀλλ' ἐπικινδύνως παίζομεν. εἰ δὲ ὄντως οὕτως ἔχων, καὶ οὐκ οἴει εἶναί τι μετὰ ταῦτα, πῶς εἶναι φὴς χριστιανός; οὐδεὶς γάρ μοι τὴν ἔξω λέγει. διὰ τί λουτρὸν λαμβάνεις; διὰ τί τῆς ἐκκλησίας ἐπιβαίνεις; μὴ γὰρ ἀρχαῖς ὑπηρετούμεθα; πᾶσα ἡμῶν ἐλπὶς ἐν τοῖς μέλλουσι. τί τοίνυν προσέρχῃ, εἰ οὐ πιστεύεις ταῖς γραφαῖς, εἰ μὴ πιστεύεις τῷ Χριστῷ; οὐκ ἂν εἴποιμι τὸν τοιοῦτον χριστιανὸν εἶναι, μὴ γένοιτο, ἀλλὰ καὶ ἑλλήνων χείρω. κατὰ τί; κατὰ τοῦτο, ὅτι τὸν Χριστὸν νομίζων εἶναι Θεὸν, οὐ πιστεύεις ὡς Θεῷ. ἐκείνων μὲν γὰρ ἀκολουθίας ἔχεται ἡ ἀσέβεια. τὸν γὰρ μὴ νομίζοντα εἶναι Θεὸν τὸν Χριστὸν, ἀνάγκη μηδὲ πιστεύειν· αὕτη δὲ ἡ ἀσέβεια οὐδὲ ἀκολουθίαν ἔχει. Θεὸν ὁμολογεῖν, καὶ μὴ νομίζειν ἀξιόπιστον εἶναι περὶ ὧν ἔφη. τῆς μέθης ταῦτα τὰ ῥήματα, τῆς τρυφῆς, τῆς σπατάλης. Φάγωμεν, καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. οὐκ αὔριον, ἀλλ' ὅταν ταῦτα λέγητε, ἤδη τεθνήκατε. οὐδὲ οὕτω τῶν χοίρων διοίσομεν, οὐδὲ τῶν ὄνων, εἰπέ μοι; εἰ γὰρ μήτε κρίσις ἐστὶ, μήτε ἀντίδοσις, μήτε δικαστήριον, τίνος ἕνεκεν τοιούτῳ τετιμήμεθα δώρῳ, τῷ λόγῳ, καὶ πάντα ἔχομεν ὑποτεταγμένα; διὰ τί ἡμεῖς μὲν ἄρχομεν, ἐκεῖνα δὲ ἄρχονται; ὅρα πῶς πάντοθεν ὁ διάβολος ἐπείγεται ἡμᾶς πεῖσαι ἀγνοῆσαι τὴν δωρεὰν τοῦ Θεοῦ. τοὺς δούλους ἀναμιγνύει τοῖς δεσπόταις· καθάπερ τις ἀνδραποδιστὴς καὶ οἰκέτης ἀγνώμων, τὸν ἐλεύθερον εἰς τὴν αὐτὴν βιάζεται τῷ προσκεκρουκότι καταγαγεῖν εὐτέλειαν. καὶ δοκεῖ μὲν τὴν κρίσιν ἀναιρεῖν, ἀναιρεῖ δὲ τὸ εἶναι Θεόν. τοιοῦτος γὰρ ἀεὶ ὁ διάβολος. μεθοδείᾳ πάντα, καὶ οὐκ ἐξ εὐθείας προσβάλλει, ἵνα φυλαττώμεθα. εἰ κρίσις οὐκ ἔστιν, οὐκ ἔστι δίκαιος ὁ Θεός (κατὰ ἄνθρωπον λέγω) εἰ δίκαιος οὐκ ἔστιν ὁ Θεός, οὐδὲ Θεός ἐστιν· εἰ Θεὸς οὐκ ἔστιν, ἁπλῶς ἅπαντα φέρεται, οὐδὲν ἀρετὴ, οὐδὲν κακία. ἀλλ' οὐδὲν τούτων λέγει φανερῶς. εἶδες τοῦ σατανικοῦ ἐνθυμήματος τὴν διάνοιαν; πῶς ἐξ ἀνθρώπων ἄλογα βούλεται ποιῆσαι, μᾶλλον δὲ θηρία, μᾶλλον δὲ δαίμονας; μὴ τοίνυν πειθώμεθα. ἔστι γὰρ κρίσις, ἄθλιε καὶ ταλαίπωρε. οἶδα πόθεν ἔρχῃ ἐπὶ τούτους τοὺς λόγους. πολλά σοι ἡμάρτηται, προσκέκρουκας, παρρησίαν οὐκ ἔχεις· οἴει τοῖς σοῖς λόγοις ἀκολουθεῖν καὶ τὴν τῶν πραγμάτων φύσιν. τέως μὴ ὀδυνήσω, φησί, τὴν ψυχὴν τῇ προσδοκίᾳ τῆς γεέννης. καὶ ἡ γέεννα, πείσω αὐτὴν ὅτι οὐκ ἔστι· τέως ἐνταῦθα τρυφήσω. διὰ τί προστιθεῖς ἁμαρτήματα ἁμαρτήμασιν; ἂν ἁμαρτήσας πιστεύσῃς εἶναι γέενναν, ἀπολύσῃ τῶν ἁμαρτημάτων μόνων τὴν δίκην· ἂν δὲ καὶ τοῦτο προσθῇς τὸ ἀσέβημα, καὶ τῆς ἀσεβείας καὶ τοῦ λογισμοῦ τούτου δώσεις τὴν ἐσχάτην κόλασιν· καὶ ἡ ἐν βραχεῖ γινομένη σοι παραμυθία ψυχρὰ ἔσται σοι διπλασίονος κολάσεως ὑπόθεσις. ἔστω, ἥμαρτες. τί καὶ τοὺς ἄλλους ἁμαρτάνειν προτρέπεις, λέγων μὴ εἶναι γέενναν; τί ἀπατᾷς τοὺς ἀφελεστέρους; τί τὰς χεῖρας ἐκλύεις τοῦ λαοῦ; τὸ σὸν μέρος, ἅπαντα ἀνατέτραπται. οὔτε οἱ σπουδαῖοι σπουδαιότεροι ἔσονται, ἀλλὰ ῥᾴθυμοι, οὔτε οἱ κακοὶ ἀποστήσονται τῆς κακίας. μὴ γὰρ, ἂν ἑτέρους διαφθείρωμεν, συγγνώμην ἕξομεν τῶν ἁμαρτημάτων; οὐχ ὁρᾷς τὸν διάβολον πῶς ἐπεχείρησε κατενεγκεῖν τὸν Ἀδάμ; ἆρα τούτῳ συγγνώμη γέγονε; μείζονος μὲν οὖν κολάσεως ἀφορμή. ἵνα γὰρ μὴ ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων κολαζώμεθα, πάντα μηχανᾶται. μὴ νομίζωμεν τοίνυν τὸ ἑτέρους καταφέρειν εἰς τὴν αὐτὴν ἡμῖν ἀπώλειαν, ἡμερώτερον ἡμῖν τὸ δικαστήριον ἐργάζεσθαι· τοῦτο μὲν οὖν χαλεπώτερον αὐτὸ ποιήσει. τί ὠθοῦμεν ἑαυτοὺς, καὶ ἀπολλύμεθα; σατανικὸν τοῦτο ὅλον ἐστίν. ἄνθρωπε, ἥμαρτες; φιλάνθρωπον ἔχεις τὸν δεσπότην· παρακάλει, ἱκέτευε, δάκρυε, στέναξε, καὶ τοὺς ἄλλους φόβει καὶ ἀξίου μὴ τοῖς αὐτοῖς περιπεσεῖν. εἴ τις ἐν οἰκίᾳ δοῦλος ὢν τῶν προσκεκρουκότων λέγει πρὸς τὸν ἑαυτοῦ παῖδα· τέκνον, ἐγὼ προσκέκρουκα

Marginalia: γρ. ἐπὶ κινδύνοις — α Κορ. ιε. λβ. — γρ. ἐπίτας — γρ. καταφέρειν

τῷ δεσπότῃ· οὐ σπουδάσει ἀρέσαι, ἵνα μὴ τὰ αὐτὰ πάθῃς, οὐχ ἕξει τινὰ συγγνώμην, εἰπέ μοι; οὐκ ἐπικλάσει καὶ κατακάμψει τὸν δεσπότην; ἂν δὲ ταῦτα ἀφεὶς τὰ ῥήματα, λέγῃ ἐκεῖνα, οἷον, ὅτι δὲ κατ᾽ ἀξίαν ἑκάστῳ οὐκ ἀποδώσει, ὅτι ἁπλῶς πάντα ἀναμέμικται, καὶ τὰ καλὰ, καὶ τὰ κακὰ, ὅτι οὐκ ἔστιν εὐταξία ἐν τῷ οἴκῳ τούτῳ, τίνα νομίζεις τὸν δεσπότην γνώμην ἔχειν περὶ αὐτοῦ; ἆρα οὐχὶ τῶν οἰκείων ἁμαρτημάτων μείζονα δώσει δίκην; Εἰκότως. ἐκεῖνον μὲν γὰρ τὸ πάθος ἀπολογήσεται, εἰ δὲ ἀληθῶς ἐν ταύτῃ ᾖ οὐδέν. Εἰ μηδένα τοίνυν ἕτερον, τὸν γοῦν πλούσιον μίμησαι τὸν ἐν τῇ γεέννῃ, τὸν λέγοντα, Πάτερ Ἀβραὰμ, πέμψον Λάζαρον ἐπὶ τοῖς συγγενέσι μου, ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον, ἐπειδὴ αὐτὸς ἀπελθεῖν οὐκ ἠδύνατο, ὥστε μὴ τοῖς αὐτοῖς ἐκείνους περιπεσεῖν. ἀποστῶμεν τῶν ῥημάτων τούτων τῶν σατανικῶν. τί οὖν, ὅταν Ἕλληνες ἡμᾶς ἐρωτῶσι, φησίν; οὐκ ἐκείνους βούλει περιστῆσαι; ἀλλ᾽ εἰς ἀπορίαν ἐμβαλὼν τὸν χριστιανὸν περὶ σχήματι τοῦ τὸν Ἕλληνα θεραπεύειν, κυρῶσαι βούλει τὸ δόγμα τὸ σατανικόν. ἐπεὶ γὰρ αὐτὸς μόνῃ τῇ ψυχῇ διαλεγόμενος περὶ τούτων οὐ πείθῃ, ἑτέρους θέλεις παράγειν μάρτυρας. εἰ δὲ Ἕλληνι χρὴ διαλέγεσθαι, οὐκ ἐντεῦθεν ἡ ἀρχὴ τῆς διαλέξεως, ἀλλ᾽ εἰ Θεὸς ὁ Χριστὸς, καὶ Θεοῦ παῖς· εἰ δαίμονες οἱ παρ᾽ ἐκείνοις θεοί. ἐὰν ταῦτα κατασκευασθῇ, πάντα τὰ ἄλλα ἕπεται. πρὶν δὲ τὴν ἀρχὴν θέσθαι, μάταιοι περὶ τῆς τελευτῆς διαλέγεσθαι· πρὶν ἢ τὰ πρῶτα στοιχεῖα μαθεῖν, περιττὸν καὶ ἀδύνατον περὶ τὸ τέλος ἔρχεσθαι. ἀπιστεῖ ὁ Ἕλλην τῇ κρίσει, καὶ αὐτὸς τὸ αὐτό σοι πάσχει· ἐπεὶ ἔχει καὶ αὐτὸς πολλοὺς περὶ τούτων φιλοσοφήσαντας, εἰ καὶ τὸ σῶμα ἀποσχίσαντες τῆς ψυχῆς τοῦτο εἶπον. ἀλλ᾽ ὅμως δικαστήριον ἐκάθισαν. καὶ τοσαύτη ἐστὶ τοῦ πράγματος ἡ περιφάνεια, ὡς μηδένα σχεδὸν ἀγνοῆσαι τοῦτο, ἀλλὰ καὶ ποιητὰς, καὶ πάντας συμφωνῆσαι ἑαυτοῖς καὶ περὶ δικαστηρίου, καὶ περὶ κρίσεως. ὥστε κἀκεῖνος τοῖς οἰκείοις οὐκ ἀπιστεῖ, οὔτε Ἰουδαῖος ἀμφισβητεῖ περὶ τούτων, οὔτε τις ἁπλῶς ἄνθρωπος. τί τοίνυν ἀπατῶμεν ἑαυτούς; ἰδοὺ ταῦτα λέγεις πρὸς ἐμέ, τί πρὸς τὸν Θεὸν ἐρεῖς τὸν πλάσαντα καταμόνας τὰς καρδίας ἡμῶν; τὸν εἰδότα τὰ ἐν τῇ διανοίᾳ πάντα; τὸν ζῶντα καὶ ἐνεργοῦντα, καὶ τομώτατον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον; εἰπὲ γάρ μοι μετ᾽ ἀληθείας· σὺ οὐ καταγινώσκεις σαυτοῦ ἁμαρτάνοντος; [ἔστι δέ τις τῶν ἐν ἀνθρώποις, ὃς ἑαυτῷ οὐ μέμφεται ῥαθυμοῦντι;] καὶ πῶς ἂν ἀπὸ ταὐτομάτου τοσαύτη σοφία γέγονεν, ὥστε αὐτὸν τὸν ἁμαρτάνοντα καταγινώσκειν ἑαυτοῦ; τοῦτο γὰρ μεγάλης σοφίας ἐστί. σὺ σαυτοῦ καταγινώσκεις· ὁ δὲ τοιαύτην σοι δεδωκὼς διάνοιαν πάντα ἁπλῶς ἀφήσει φέρεσθαι; καὶ μὴν οὕτω τοῦτο ἔσται καθολικὸς, καὶ ὅρος. οὐδεὶς τῶν ἐν ἀρετῇ ζώντων διαπιστεῖ τῷ τῆς κρίσεως λόγῳ, κἂν Ἕλλην ᾖ, κἂν αἱρετικός. οὐδεὶς τῶν ἐν κακίᾳ ἀναστρεφομένων πολλῇ, πλὴν ὀλίγων, παραδέχεται τὸν τῆς ἀναστάσεως λόγον. καὶ τοῦτό φησιν ὁ ψαλμῳδός· Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. διὰ τί; Ὅτι βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. Φάγωμεν γάρ, φησι, καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. ὁρᾷς ὅτι ταπεινῶν ἐστι ταῦτα λέγειν; ἀπὸ τοῦ τρώγειν καὶ πίνειν ταῦτα τὰ ῥήματά ἐστι τὰ ἀναιρετικὰ τῆς ἀναστάσεως. οὐ φέρει γάρ, οὐ φέρει τὸ ἀπὸ τοῦ συνειδότος κριτήριον ἡ ψυχή. καὶ ταὐτὸν γίνεται, οἷον ὁ ἀνδροφόνος περιττότερον ὑποθεὶς ἑαυτῷ ὅτι οὐχ ἁλώσεται, οὕτω φονεύει· ἐπεὶ, τοῦ συνειδότος αὐτὸν κρίνοντος, οὐκ ἂν ταχέως ἦλθεν ἐπὶ τὸ τόλμημα. καὶ οἶδεν οὕτω, καὶ ἀγνοεῖν προσποιεῖται, ἵνα μὴ βασανίζηται τῷ συνειδότι καὶ τῷ φόβῳ· ἢ γὰρ ἄν, ἀσθενέστερος γένοιτο πρὸς τὸν φόνον. οὕτω δὴ καὶ οἱ ἁμαρτάνοντες ἴσασιν, ὅτι τὸ ἁμαρτάνειν, κακόν· καὶ καθ᾽ ἑκάστην ἐν τοῖς αὐτοῖς κακοῖς κυλινδούμενοι, οὐ θέλουσιν εἰδέναι, καίτοι τοῦ συνειδότος αὐτῶν ἐπιλαμβανομένου. ἀλλὰ μὴ ἐκείνοις προσέχωμεν. ἔσται γάρ, ἔσται πάντως κρίσις καὶ ἀνάστασις, καὶ οὐκ ἀφήσει εἰκῇ τοσαῦτα ἔργα ὁ Θεός. διό, παρακαλῶ, τῆς κακίας ἀποσχόμενοι, τῆς ἀρετῆς ἐχώμεθα, ἵνα τὸν ἀληθῆ λόγον παραδεχώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. καίτοι τί εὐκολώτερον, τὸν περὶ ἀναστάσεως δέξασθαι λόγον, ἢ τὸν περὶ τῆς εἱμαρμένης; ἐκεῖνος ἀ-

ψαλ. θ. κζ.

δικίας

ἀδικίας γέμει, ἐκεῖνος ἀλογίας, ἐκεῖνος ὠμότητος, ἐκεῖνος ἀπανθρωπίας· οὗτος δικαιοσύνης, τῆς κατ' ἀξίαν ἀπονεμητικός· καὶ ὅμως αὐτὸν οὐ προσδέχονται. Τὸ δὲ αἴτιον, ἡ ῥᾳθυμία. Ἐπεὶ οὐδεὶς τοιοῦτον ἔχων, ἐκεῖνον δέχεται. Καὶ γὰρ ἐν Ἕλλησι τὸν μὲν ἡδονὴν ὁριζόμενοι τέλος εἶναί φασιν, ἐκεῖνοι αὐτὸν ἐδέξαντο· τὸν δὲ τὴν ἀρετὴν ἀγαπήσαντες, οὐκέτι, ἀλλ' ἐξέβαλλον ὡς ἄλογον. Εἰ δὲ ἐν Ἕλλησι τοῦτο, πολλῷ μᾶλλον ἐστὶν ἐν τῷ περὶ τῆς διαστάσεως λόγῳ οὕτω. Θέα δέ μοι πῶς δύο ἐναντία κατασκευάζει ὁ διάβολος. Ἵνα γὰρ ἀμελῶμεν ἀρετῆς, καὶ ἵνα θεραπεύωμεν δαίμονας, τὴν ἀνάγκην εἰσήγαγε, καὶ δι' ἑκατέρων ἀμφότερα ἐποίει. Τίνα οὖν δυνήσεται λόγον δοῦναι ὁ διαπιστῶν πράγμασιν οὕτω θαυμαστοῖς, καὶ τοῖς ἐκεῖνα ληροῦσι πειθόμενος; Μὴ τοίνυν μηδὲ αὕτη σοι ἡ παραμυθία προφερέτω, ὡς τύχῃ συγγνώμης· ἀλλὰ συστρέψαντες ἑαυτοὺς, διεγείρωμεν πρὸς ἀρετὴν, καὶ ζήσωμεν ἀληθῶς τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. γ. 15 ΟΣ ΕΣΤΙΝ ΕΙΚΩΝ ΤΟΥ ΘΕΟΥ ΤΟΥ ΑΟΡΑΤΟΥ, πρωτότοκος πάσης κτίσεως· 16 Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, 17 Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· 18 Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας.

ΤΗμερον ἀποδοῦναι ἀναγκαῖον τὸ ὄφλημα, ὅπερ χθὲς ἀνεβαλόμην, ὥστε ἀκμαζούσαις ὑμῶν προσβαλεῖν ταῖς διανοίαις. Περὶ τῆς τοῦ υἱοῦ ἀξίας διαλεγόμενος ὁ Παῦλος, ταῦτά φησιν, ὥσπερ καὶ ἀπεδείξαμεν· Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. Τίνος οὖν αὐτὸν οὗτοι λέγουσιν εἰκόνα εἶναι; Εἰ μὲν τοῦ Θεοῦ, καλῶς. Θεὸς γὰρ καὶ Θεοῦ υἱός· Θεοῦ δὲ εἰκὼν τὸ ἀπαράλλακτον δείκνυσιν. Οὐκοῦν ἀπαράλλακτος κατὰ τοῦτο. Εἰ δὲ ἀνθρώπου, εἰπὲ, καὶ ὡς μαινομένου λοιπὸν ἀποστήσομαι. Διὰ τί δὲ μηδαμοῦ μήτε εἰκὼν, μήτε υἱὸς, ἄγγελος κέκληται, ἀλλ' ἄνθρωπος ἀμφότερα; Διὰ τί; ὅτι ἐκεῖ μὲν τὸ τῆς φύσεως ἀνῃρημένον ταχέως ἂν οὐδὲ πολλοὺς εἰς ταύτην τὴν ἀσέβειαν ἐνέβαλεν· ἐνταῦθα δὲ τὸ εὐτελὲς καὶ ταπεινὸν ἔλυσεν τὴν ἀσφάλειαν, καὶ οὐδὲ βουλομένους ἀφίησιν ὑποπτεῦσαί τι τοιοῦτον, καὶ καταγαγεῖν τὸν λόγον κάτω. Διὰ τοῦτο ἔνθα μὲν ἦν πολλὴ ταπεινότης, θαρρούντως ἡ γραφὴ τίθησι τὴν τιμήν· ἔνθα δὲ μείζων ἡ φύσις, οὐκέτι· ἀλλ' Εἰκὼν τοῦ ἀοράτου, φησίν. Οὐκοῦν εἰ ἐκεῖνος ἀόρατος, καὶ αὕτη ὁμοίως ἀόρατος· ἐπεὶ οὐδ' ἂν εἰκὼν εἴη. Τὴν γὰρ εἰκόνα, καθὸ ἐστὶν εἰκὼν, καὶ παρ' ἡμῖν ἀπαράλλακτον δεῖ εἶναι, οἷον τῶν χαρακτήρων, καὶ τῆς ὁμοιώσεως. Ἀλλ' ἐνταῦθα μὲν οὐδαμῶς τοῦτο δυνατόν. Τέχνη γάρ ἐστιν ἀνθρωπίνη ἡ πολλαχοῦ διαπίπτουσα, μᾶλλον δὲ πανταχοῦ, ἐὰν τὰ τῆς ἀκριβείας ζητῇς· ἔνθα δὲ ὁ Θεὸς, οὐδαμοῦ σφάλλεται, οὐδὲ διάπτωσίς τις γέγονε. Εἰ δὲ κτίσμα, πῶς εἰκὼν τοῦ κτίσαντος; Οὐδὲ γὰρ ἵππος ἀνθρώπου εἰκών. Εἰ μὴ ἔστιν ἀπαράλλακτον τοῦ ἀοράτου δηλοῖ ἡ εἰκὼν, τί κωλύει καὶ ἀγγέλους εἰκόνα εἶναι; Καὶ γὰρ καὶ αὐτοὶ ἀόρατοι, ἀλλ' οὐχ ἑαυτοῖς· καὶ ψυχὴ ἀόρατος· ἀλλ' ἐπειδὴ ἀόρατος ἁπλῶς, διὰ τοῦτο εἰκὼν, εἰ καὶ μὴ οὕτως, ὥσπερ αὐτός. Πρωτότοκος πάσης κτίσεως. Τί οὖν φησιν; ἰδοὺ ἔκτισται. Πόθεν, εἰπέ μοι; ἐπειδὴ πρωτότοκος εἶπε. Καὶ μὴν οὐ, πρωτόκτιστος, εἶπεν, ἀλλὰ, πρωτότοκος. Ἔπειτα εἰ διὰ τὸ πρωτότοκον λέγεσθαι, ἐκτίσθαι αὐτὸν φῂς, τί εἴπῃς, ὅταν ἀδελφὸν αὐτὸν ἀκούσῃ λεγόμενον; Καὶ γὰρ ἀδελφὸν αὐτὸν καλεῖ ἡ γραφὴ κατὰ πάντα ἡμῖν ὁμοιωθέντα. Ἆρα οὖν διὰ τοῦτο καὶ τὸ εἶναι αὐτὸν δημιουργὸν ἀφαιρήσομεν, καὶ οὕτω ἀξιώματι, οὔτε ἄλλῳ τινὶ

προέχειν

…ὥσπερ καὶ …λαχοῦ, οὕτω …ἐνταῦθα …σιν· …βούλει …τοῦ Θεοῦ; …κοῦν ἀπα- …ράλλακτος ὁ …ουργέτης. …μὲν γὰρ ὡς …θρώπου ε- …ὸν, εἰπὲ, καὶ …οιπὸν ὡς …αινομένου …ποστήσομαι. εἰ … ὡς Θεὸς καὶ Θεοῦ υἱὸς, Θεοῦ εἰκὼν τὸ ἀπαράλλα- κτον δείκνυσι. …ς αἰνιγμένον

προσέχει ἡμῶν ἀξιώσομεν; καὶ τίς ἂν τοῦτο νοῦν ἐχόντων εἴποι; τὸ γὰρ, πρωτότοκος, οὐχὶ ἀξίας καὶ τιμῆς, ἀλλὰ χρόνου μόνον ἐστὶ σημαντικόν. ἂν τοίνυν πλέον ἡμῶν οὐδὲν ἔχῃ, τάχα κατὰ τοῦτον τὸν λόγον πάντων ἐστὶ πρωτότοκος, καὶ ὁμοούσιος ἔσται ὁ Θεὸς λόγος καὶ λίθων καὶ ξύλων καὶ τῶν λοιπῶν. πρωτότοκος γὰρ, φησὶ, πάσης κτίσεως. ἀλλὰ πρωτότοκος εἴρηται, φησὶν, ὡς ἐκ τούτου ἐκτίσθαι. καλῶς, ἐὰν τοῦτο ᾖ, καὶ μὴ ἀδελφά τινα ἔχῃ καὶ ἄλλα, οἷόν ἐστι τὸ, Πρωτότοκος

Κολοσσ. α. ιη.
Ρωμ. η. κθ.

ἐκ νεκρῶν, Πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς. τὸ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ποῖος ἐστὶ δηλωτικὸν, εἰπέ μοι; οὐ γὰρ τοῦ, ὅτι πρῶτος ἀνέστη, ἐρεῖς. οὐ γὰρ εἶπεν ἁπλῶς νεκρῶν, ἀλλὰ πρωτότοκος ἐκ τῶν νεκρῶν· οὐδὲ ὅτι ἀπέθανε πρῶτος, ἀλλ᾽ ὅτι πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη. ὥστε οὐδὲν ἕτερον δηλοῖ, ἢ τοῦτο, ὅτι τῆς ἀναστάσεως ἀπαρχὴ γέγονεν. οὐκοῦν οὐδὲ ἐνταῦθα. εἶτα λοιπὸν ἐμβαίνει εἰς τὸ δόγμα αὐτό. ἵνα γὰρ μὴ νομίσωσι νεώτερον αὐτὸν εἶναι, διὰ τὸ πάλαι μὲν δι᾽ ἀγγέλων προσάγεσθαι, νῦν δὲ δι᾽ αὐτοῦ, δείκνυσι πρῶτον, ὅτι οὐδὲν ἴσχυσαν ἐκεῖνοι (οὐ γὰρ ἂν ἀπὸ σκότους οὗτος ἤγαγε) δεύτερον, ὅτι καὶ περὶ αὐτῶν ἐστί. καὶ σημεῖον ποιεῖται τοῦ περὶ αὐτῶν εἶναι, τὸ δι᾽ αὐτοῦ αὐτοὺς ἐκτίσθαι· ὅτι ἐν αὐτῷ, φησὶν, ἐκτίσθη τὰ πάντα. τί λέγουσιν ἐνταῦθα οἱ τὰ Παύλου τοῦ Σαμοσατέως φρονοῦντες; ὅτι τὰ πάντα ἐν αὐτῷ γέγονεν. ἰδοὺ γὰρ εἴρηται ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα· ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς εἶπεν. ὅπερ ἀμφισβητούμενον ἦν, πρῶτον τέθεικεν. εἶτα ἐπάγει, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἀόρατα τὴν ψυχὴν λέγων, ὁρατὰ πάντας ἀνθρώπους. καὶ τὸ μὲν ὁμολογούμενον ἀφίησι· τὸ δὲ ἀμφιβαλλόμενον τίθησιν. εἴτε, φησὶ, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι. τὸ, εἴτε, τοῦ παντὸς περιληπτικόν ἐστι· τὸ δὲ πνεῦμα οὐ μετὰ τῶν ἐξουσιῶν ἀριθμοῦντος, ἀλλὰ ἀπὸ τῶν μειζόνων καὶ τὰ ἐλάττω δηλοῦντός ἐστι. τὰ πάντα, φησὶ, δι᾽ αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται. ἰδοὺ τὸ, ἐν αὐτῷ, δι᾽ αὐτοῦ ἐστιν. εἰπὼν γὰρ, ἐν αὐτῷ, ἐπήγαγε, δι᾽ αὐτοῦ. τὸ δὲ, εἰς αὐτὸν, τί ἐστι; τουτέστιν, εἰς αὐτὸν κρέμαται ἡ πάντων ὑπόστασις. οὐ μόνον αὐτὸς αὐτὰ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν, ἀλλὰ καὶ αὐτὸς αὐτὰ συγκρατεῖ νῦν. ὥστε ἂν ἀποσπασθῇ τῆς αὐτοῦ προνοίας, ἀπώλετο καὶ διέφθαρται. [ἀλλ᾽] οὐκ εἶπε, διακρατεῖ, ὅπερ ἦν παχύτερον, ἀλλὰ τὸ λεπτότερον, ὅτι εἰς αὐτὸν κρέμαται. μόνον γὰρ τὸ πρὸς αὐτὸν νεύειν, ἱκανὸν διακρατῆσαι καὶ συσφίγξαι. οὕτω καὶ τὸ πρωτότοκος, ὡς θεμέλιος λέγεται. τοῦτο δὲ οὐ τὸ ὁμοούσιον τῶν κτισμάτων, ἀλλὰ τὸ δι᾽ αὐτοῦ πάντα εἶναι, καὶ ἐν αὐτῷ δηλοῖ. οὕτω καὶ ἀλλαχοῦ ὅταν λέγῃ, Θεμέλιον τέθεικα, οὐ περὶ τῆς οὐσίας φησὶν, ἀλλὰ τῆς ἐνεργείας.

α. Κορ. γ. ι.

ἵνα γὰρ μὴ νομίσῃς ὑπηρέτην εἶναι αὐτὸν, φησὶν αὐτὸν αὐτὰ διακρατεῖν, ὅπερ οὐχ ἧττον τοῦ ποιῆσαί ἐστι· καίτοι ἐφ᾽ ἡμῶν καὶ μεῖζον. ἐκεῖνο μὲν γὰρ ἡ τέχνη εἰσάγει· τοῦτο δὲ οὐκέτι. οὐδὲ γὰρ φθειρόμενον κατέχει. καὶ αὐτός ἐστι πρὸ πάντων, φησί. τοῦτο Θεῷ ἁρμόζον. ποῦ Παῦλος ὁ Σαμοσατεύς; καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, τουτέστιν, εἰς αὐτὸν ἔκτισται. συνεχῶς αὐτὰ στρέφει, τῇ συνεχείᾳ τῶν ῥημάτων, καθάπερ συχναῖς τισι πληγαῖς πρόρριζον ἀνασπῶν τὸ δόγμα τὸ ὀλέθριον. εἰ γὰρ καὶ τοσαῦτα εἴρηται, καὶ μετὰ τοσοῦτον χρόνον ἀνέφυ Παῦλος ὁ Σαμοσατεὺς, πόσῳ μᾶλλον, εἰ μὴ ταῦτα προείρητο. καὶ τὰ πάντα, φησὶν, ἐν αὐτῷ συνέστηκε. πῶς συνέστηκεν ἐν τῷ οὐκ ὄντι; ὥστε καὶ τὰ δι᾽ ἀγγέλων, αὐτοῦ ἐστι. καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας. εἰπὼν περὶ τῆς ἀξίας, λέγει λοιπὸν καὶ περὶ τῆς φιλανθρωπίας. αὐτός ἐστι, φησὶν, ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας. οὐκ εἶπε, τοῦ πληρώματος, αὐτὸ μὲν τοῦτο καὶ οὕτω δηλῶν, θέλων δὲ ἡμῖν οἰκειότερον δεῖξαι αὐτὸν, ὅτι ὁ οὕτως ἄνω καὶ πάντων ἀνώτερος, τοῖς κάτω ἑαυτὸν συνῆψε. πανταχοῦ γὰρ πρῶτος. ἄνω πρῶτος, ἐν τῇ ἐκκλησίᾳ πρῶτος (κεφαλὴ γάρ ἐστιν) ἐν τῇ ἀναστάσει πρῶτος. τοῦτο γάρ ἐστιν, ἵνα γένηται αὐτὸς πρωτεύων. ὥστε καὶ ἐν γενέσει πρῶτος. καὶ τοῦτο ἐστὶ μάλιστα τὸ σπουδαζόμενον τῷ Παύλῳ δεῖξαι. ἂν γὰρ τοῦτο κατασκευασθῇ, ὅτι πρὸ πάντων ἦν τῶν ἀγγέλων, καίτοι συνεισάγεται, ὅτι τὰ ἐκείνων αὐτὸς ἐποίει ἐπιτάττων. καὶ τὸ δὴ θαυμαστὸν,

γ. ἰσχύσαν

γ. τὰ ἐν τοῖς οὐρανοῖς, ἐπὶ ἀμφισβητούμενον ἦν. πρῶτον τέθ... κα, καὶ τὰ ... γῆς. ὁ ... τὰ ὁρατὰ ... τὰ ἀόρατα οἷον ψυχὰς ... ὁρατὰ, ... αἰσθητὰ ... Ἠλίας ... λος ... ροι.

γ. πυκναῖς

μαστόν, ἐν τῇ ὑστέρᾳ γενέσει ἐφιλονείκησε πρῶτον αὐτὸν δεῖξαι. καίτοι γε ἀλλαχοῦ πρῶτόν φησι τὸν Ἀδάμ, ὥσπερ οὖν καὶ ἔστιν· ἀλλὰ τὴν ἐκκλησίαν ἔλαβεν ἀντὶ τοῦ παντὸς ἀνθρώπων α. Κορ. ιε. με. γένους. τῆς γὰρ ἐκκλησίας πρῶτός ἐστι, καὶ τῶν μὲν ἀνθρώπων, καθάπερ τῆς κτίσεως, πρῶτος κατὰ σάρκα. καὶ διὰ τοῦτο ἐνταῦθα τὸ πρωτότοκον τέθεικε. τί ἐστιν ἐνταῦθα, ὁ πρωτότοκος; ὁ πρῶτος κτισθείς, ἢ ὁ πρὸ πάντων ἀναστάς, ὥσπερ καὶ ἐκεῖ, ὁ πρὸ πάντων ὤν. καὶ ἐνταῦθα μὲν ἀπαρχὴν τέθεικεν εἰπών· Ὅς ἐστιν ἀπαρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται αὐτὸς πρωτεύων· δεικνὺς ὅτι καὶ οἱ ἄλλοι τοιοῦτοι. ἐκεῖ δὲ οὐκ ἀπαρχὴ τῆς κτίσεως. καὶ ἐκεῖ μέν, Εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ τότε τό, πρωτότοκος.

19 Ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι,

20 Καὶ δι᾽ αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

Ὅσα τοῦ πατρός, φησί, ταῦτα καὶ τοῦ υἱοῦ, τὸ μετὰ πλείονος σπουδῆς, ὅτι καὶ νεκρὸς γέγονε, καὶ ἥνωσεν ἑαυτὸν ἡμῖν. ἀπαρχὴν δὲ εἶπε, καθάπερ ἐπὶ καρποῦ τινος. οὐκ εἶπεν, ἀνάστασις, ἀλλά, ἀπαρχή, δεικνὺς ὅτι πάντας ἡμᾶς ἡγίασε, καὶ ὥσπερ θυσίαν προσήνεγκε. τὸ πλήρωμα περὶ τῆς θεότητος εἴρηκε, καθάπερ ὁ Ἰωάννης ἔλεγεν· Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς Ιωαν. α. ιϛ. πάντες ἐλάβομεν· τουτέστιν, εἴτε ὁ υἱός, εἴτε ὁ λόγος, ἐκ φύσεως οὐχὶ ἐνέργειά τις, ἀλλ᾽ οὐσία. οὐκ ἔχει αὐτὴν εἰς χρείαν οὐδεμίαν, ἀλλὰ τὴν θέλησιν τοῦ Θεοῦ. τοῦτο γάρ ἐστιν, ὅτι ἐν αὐτῷ ηὐδόκησε. καὶ δι᾽ αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν. ἵνα μὴ νομίσῃς, ὅτι ὑπηρέτου τάξιν ἀνέλαβεν, εἰς ἑαυτόν φησι. καὶ μὴν ἀλλαχοῦ φησιν, ὅτι τῷ Θεῷ καταλλάττει, καθάπερ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγε. καὶ καλῶς εἶπε, δι᾽ αὐτοῦ ἀποκαταλλάξαι. β. Κορ. ε. ιη. ἤδη γὰρ ἦσαν κατηλλαγμένοι. ἀλλὰ τελείως ἔδει, καὶ ὥστε μηκέτι ἐχθραίνειν αὐτῷ. πῶς δὲ γέγονε τοῦτο, διασαφεῖ λοιπόν, οὐ μόνον τὴν καταλλαγήν, ἀλλὰ καὶ τὸν τρόπον τῆς καταλλαγῆς ἀπαγγέλλων. εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ. τὸ μὲν τὴν ἔχθραν δείκνυσι, τὸ καταλλάξαι· τὸ δὲ τὸν πόλεμον, τὸ εἰρηνοποιήσας. διὰ τοῦ αἵματος, φησί, τοῦ σταυροῦ αὐτοῦ δι᾽ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐπὶ τοῖς οὐρανοῖς. μέγα μὲν τὸ καταλλάξαι, τὸ δὲ καὶ δι᾽ αὐτοῦ, μεῖζον· καὶ τὸ τούτου μεῖζον, τὸ διὰ τοῦ αἵματος αὐτοῦ· καὶ οὐχ ἁπλῶς, αἵματος, ἀλλὰ τὸ τούτου μεῖζον, διὰ τοῦ σταυροῦ. ὥστε πέντε ἐστὶ τὰ θαυμαστά, τῷ Θεῷ κατήλλαξε, δι᾽ αὐτοῦ, διὰ θανάτου, διὰ σταυροῦ. βαβαί, πῶς ἀνέμιξε πάλιν; ἵνα γὰρ μὴ νομίσῃς ἓν εἶναι, μηδὲ τὸν σταυρὸν εἶναί τι καθ᾽ ἑαυτό, λέγει, δι᾽ ἑαυτοῦ. πῶς οἶδε μέγα τοῦτο ὄν; ὅτι οὐ ῥήματα εἰπών, ἀλλ᾽ ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῆς καταλλαγῆς, οὕτως ἅπαντα εἰργάσατο. τί δέ ἐστι, τὰ ἐν τοῖς οὐρανοῖς; τὰ μὲν γὰρ ἐπὶ τῆς γῆς, εἰκότως· ἔχθρας γὰρ ἐμπεπλῆστο, καὶ εἰς πολλὰ διῄρητο· καὶ πρὸς ἑαυτὸν ἕκαστος ἡμῶν διεστασίαζε, καὶ πρὸς τοὺς πολλούς. τὰ δὲ ἐν τοῖς οὐρανοῖς πῶς εἰρηνοποίησε; καὶ ἐκεῖ πόλεμος ἦν καὶ μάχη; καὶ πῶς εὐχόμεθα λέγοντες, Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς; τί οὖν ἐστιν εἰπεῖν; Ματθ. ϛ. ι. ἀπέσχιστο ἡ γῆ τοῦ οὐρανοῦ, ἐκπεπολεμωμένοι ἦσαν οἱ ἄγγελοι πρὸς τοὺς ἀνθρώπους, τὸν δεσπότην ὁρῶντες τὸν αὐτῶν ὑβριζόμενον. Ἀνακεφαλαιώσασθαι, φησί, τὰ πάντα ἐν Εφεσ. α. ι. τῷ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. πῶς; τὰ μὲν ἐν τοῖς οὐρανοῖς οὕτω. μετέστησεν ἐκεῖ τὸν ἄνθρωπον, ἀνήγαγεν αὐτοῖς τὸν ἐχθρόν, τὸν μισούμενον. οὐ μόνον τὰ ἐπὶ τῆς γῆς ἐποίησεν εἰρηνεύειν, ἀλλ᾽ ἀνήγαγεν αὐτὸν πρὸς αὐτούς, τὸν ἐχθρὸν καὶ πολέμιον. τοῦτο εἰρήνη βαθεῖα. ἄγγελοι πάλιν ἐπὶ γῆς ἐφαίνοντο λοιπόν, ἐπειδὴ καὶ ἄνθρωπος ἐν οὐρανῷ ἐφάνη. δοκεῖ δέ μοι καὶ ἡ ἁρπαγὴ τοῦ Παύλου, τούτου τι ἕνεκεν γεγενῆσθαι, καὶ τοῦ δεῖξαι ὅτι καὶ ὁ υἱὸς ἐκεῖ ἀνελήφθη. ἐν μὲν γὰρ τῇ γῇ διπλῆ ἡ εἰρήνη, καὶ πρὸς τὰ ἐπουράνια, καὶ πρὸς ἑαυτούς· ἐν δὲ τοῖς οὐρανοῖς ἁπλῆ. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν οἱ ἄγγελοι, πολλῷ μᾶλλον ἐπὶ τοσούτοις. ταῦτα πάντα ἡ τοῦ Θεοῦ ἰσχὺς κατώρθωσε. τί

οὖν

τοῖς ἀγγέλοις θαρρεῖτε, φησί; τοσοῦτον γὰρ ἀπέχουσιν ἐκεῖνοι περισπᾶν ὑμᾶς, ὅτι καὶ ἐκπολεμωθέντες ἦσάν ποτε· καὶ, εἰ μὴ ὁ Θεὸς αὐτοὺς ὑμᾶς ἐκείνοις κατήλλαξεν, οὐκ ἂν εἰρηνεύσατε. τί τοίνυν ἐκείνοις προστρέχετε; χ. εἰρηνεύσα-τε.

ΗΘΙΚΟΝ

Βούλει μαθεῖν τῶν ἀγγέλων τὸ μῖσος ὅσον εἶχον πρὸς ἡμᾶς; καὶ πῶς ἀπεστρέφοντο αὐτούς; εἰς τιμωρίαν ἐπέμποντο ἐπὶ τῶν Ἰσραηλιτῶν, ἐπὶ τοῦ Δαβίδ, ἐπὶ τῶν Σοδομιτῶν, ἐπὶ τῆς κοιλάδος τοῦ κλαυθμῶνος. ἀλλ' οὐ νῦν· ἀλλ' ἐξ ἐναντίας, ἐπὶ γῆς ἤδη σφόδρα χαίροντες· καὶ τούτους κατήγαγε πρὸς αὐτούς, καὶ τοὺς ἀνθρώπους ἀνήγαγεν ἐκεῖ. καὶ θαυμάσιον τὸ παράδοξον. τούτους πρῶτον κατήγαγεν ὧδε, καὶ τότε τοὺς ἀνθρώπους ἀνήγαγε πρὸς αὐτούς. οὐρανὸς ἡ γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν οὐρανὸς δέχεσθαι. Διὰ τοῦτο εὐαγγελιζοῦντες λέγοντες, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἰδού, φησί, καὶ ἄνθρωποι ἐφάνησαν εὐαρεστοῦντες λοιπόν. τί ἐστιν, εὐδοκία; καταλλαγή· οὐκέτι μεσότοιχόν ἐστιν ὁ οὐρανός. τὸ πρότερον κατὰ ἀριθμὸν ἐθνῶν ἦσαν οἱ ἄγγελοι· νῦν δὲ οὐ κατὰ ἀριθμὸν ἐθνῶν, ἀλλὰ κατὰ ἀριθμὸν πιστῶν. πόθεν δῆλον; ἄκουε τοῦ Χριστοῦ λέγοντος· Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. οἱ γὰρ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ἕκαστος γὰρ πιστὸς ἄγγελον ἔχει, ἐπεὶ καὶ ἐξ ἀρχῆς ἕκαστος αὐτῶν τῶν εὐδοκίμων ἄγγελον εἶχε· καθώς φησιν ὁ Ἰακώβ, Ὁ ἄγγελος ὁ τρέφων με, καὶ ὁ ῥυόμενός με ἐκ νεότητός μου. Εἰ τοίνυν ἀγγέλους ἔχομεν, νήφωμεν, καθάπερ παιδαγωγῶν τινων ἡμῖν παρόντων. πάρεστι γὰρ καὶ δαίμων. διὰ τοῦτο εὐχόμεθα, καὶ λέγομεν αἰτοῦντες τὸν ἄγγελον τῆς εἰρήνης· καὶ πανταχοῦ εἰρήνην αἰτούμεθα· οὐδὲν γὰρ ταύτης ἴσον. ἐν ταῖς ἐκκλησίαις εἰρήνην, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς λιταῖς, ἐν ταῖς προσρήσεσι· καὶ ἅπαξ, καὶ δίς, καὶ τρίς, καὶ πολλάκις αὐτὴν δίδωσιν ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ὑμῖν ἐπιλέγων. διὰ τί; ὅτι αὕτη μήτηρ πάντων τῶν ἀγαθῶν ἐστιν, αὕτη τῆς χαρᾶς ὑπόθεσις. Διὰ τοῦτο καὶ ὁ Χριστὸς εἰσιοῦσιν εἰς τὰς οἰκίας τοῖς ἀποστόλοις τοῦτο λέγειν προσέταξεν εὐθέως, καθάπερ τι σύμβολον τῶν ἀγαθῶν. Εἰσερχόμενοι γάρ, φησιν, εἰς τὰς οἰκίας, λέγετε, εἰρήνη ὑμῖν. ταύτης γὰρ οὐκ οὔσης, πάντα περιττά. καὶ πάλιν τοῖς μαθηταῖς ἔλεγεν, Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. αὕτη πρὸς ἀγάπην προοδοποιεῖ. καὶ οὐ λέγει ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ὑμῖν ἁπλῶς, ἀλλ', εἰρήνη πᾶσι. τί γὰρ ὄφελος ἂν μετὰ τοῦδε μὲν εἰρήνην ἔχωμεν, μετ' ἑτέρου δὲ πόλεμον καὶ μάχην; τί τὸ κέρδος; οὐδὲ γὰρ ἐν τῷ σώματι, ἂν τὰ μὲν ἡσυχάζῃ τῶν στοιχείων, τὰ δὲ διαστασιάζῃ, δυνατὸν ὑγιείαν συνεστάναι ποτέ, ἀλλὰ διὰ τῆς ἁπάντων εὐταξίας καὶ συμφωνίας καὶ εἰρήνης. κἂν μὴ πάντα ἡσυχάζῃ καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένῃ, πάντα διασπᾶται. καὶ ἐν τῇ διανοίᾳ δὲ τῇ ἡμετέρᾳ ἐὰν μὴ πάντες ἡσυχάζωσιν οἱ λογισμοί, εἰρήνη οὐκ ἔσται. τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ εἰρήνη, ὡς υἱοὺς Θεοῦ καλεῖσθαι τοὺς αὐτῆς ποιητὰς καὶ δημιουργούς. Εἰκότως· ἐπεὶ καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἐπὶ τοῦτο ἦλθεν εἰς τὴν γῆν, εἰρηνοποιῆσαι τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. Εἰ δὲ οἱ εἰρηνοποιοὶ υἱοὶ τοῦ Θεοῦ, οἱ νεωτεροποιοὶ υἱοὶ διαβόλου. τί λέγεις; ἔριδας καὶ μάχας ἐμβάλλεις; καὶ τίς οὕτως ἄθλιος, φησίν; εἰσὶ γὰρ πολλοὶ χαίροντες ἐπὶ τοῖς κακοῖς, καὶ τὸ σῶμα τοῦ Χριστοῦ διασπῶντες μᾶλλον ἢ οἱ στρατιῶται τῇ λόγχῃ διέτεμνον, ἢ οἱ Ἰουδαῖοι τοῖς ἥλοις διέκοψαν. ἐκεῖνο τοῦτο ἔλαττον τὸ κακόν. ἐκεῖνα διατμηθέντα τὰ μέλη πάλιν συνῆφθη· ταῦτα δὲ ἀποσπασθέντα, ἂν ἐνθάδε μὴ συναφθῇς, οὐκέτι συναφθήσεται, ἀλλὰ μένει τοῦ πληρώματος ἔξω. σὺ μὲν βούλῃ τὸν φίλον σου πολεμῆσαι, ἐννόησον ὅτι τοῖς μέλεσι τοῦ Χριστοῦ πολεμεῖς, καὶ παῦσαι τῆς μανίας. κἂν γάρ, εἰ ἀπερριμμένος ἐστίν, * εἰ εὐτελής; τί γάρ, εἰ εὐκαταφρόνητος; Οὕτως οὐκ ἔστι θέλημα, φησίν, ἔμπροσθεν τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων, καὶ πάλιν, Οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὁ Θεὸς

Side notes (left margin): Λουκ. β. ιδ. — Δαν. ι. κ. — Ματθ. ιη. ι. — Γεν. μη. ιϛ. — Ματθ. ι. ιβ. — Ἰωαν. ιδ. κζ. — Ματθ. ιη. ι.

Side notes (right margin, cut off): ἰσ. αὐτούς — χ. ἀγγέλων — χ. ὁ Χριστὸς — χ. ἐπεὶ εἰρηνοποιῆσαι — * τί γάρ

δι' αὐτὸν καὶ δοῦλος ἐγένετο, καὶ ἐσφάγη· σὺ δὲ οὐδὲ αὐτὸν ἄξιον νομίζεις; οὐκοῦν μάχῃ καὶ κατὰ τοῦτο τῷ Θεῷ, τὰς ἐναντίας αὐτῷ φέρων ψήφους. ὅταν εἰσέλθῃ ὁ τῆς ἐκκλησίας προεστὼς, εὐθέως λέγει· Εἰρήνη πᾶσιν· ὅταν ὁμιλῇ, Εἰρήνη πᾶσιν· ὅταν εὐλογῇ, Εἰρήνη πᾶσιν· ὅταν ἀσπάζεσθαι κελεύῃ, Εἰρήνη πᾶσιν· ὅταν ἡ θυσία τελεσθῇ, Εἰρήνη πᾶσι*. καὶ μεταξὺ πάλιν, χάρις ὑμῖν καὶ εἰρήνη. πῶς οὖν οὐκ ἄτοπον, εἰ τοσαυτάκις ἀκούοντες εἰρήνην ἔχειν, ἐκπολεμούμεθα πρὸς ἀλλήλους, καὶ λαμβάνοντες καὶ ἀντιδιδόντες, τῷ διδόντι τὴν εἰρήνην πολεμοῦμεν; λέγεις, καὶ τῷ πνεύματί σου, καὶ διαβάλλεις αὐτὸν ἔξω; οἴμοι, ὅτι τὰ σεμνὰ τῆς ἐκκλησίας, σχήματα γέγονε πραγμάτων μόνον, ἀλλ' οὐκ ἀλήθεια. οἴμοι, ὅτι μέχρι ῥημάτων τὰ σύμβολα μένει τοῦ στρατοπέδου τούτου. ὅθεν καὶ ἀγνοοῦντες διὰ τί λέγεται, Εἰρήνη πᾶσιν. ἀλλ' ἀκούετε τῶν ἑξῆς, τί φησιν ὁ Χριστός. Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, εἰσερχόμενοι εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. διὰ τοῦτο οὐκ ἴσμεν, ὅτι τύπον ῥημάτων νομίζομεν ταῦτα εἶναι, καὶ οὐ συνετιθέμεθα τῷ νῷ. μὴ γὰρ ἐγὼ δίδωμι τὴν εἰρήνην; ὁ Χριστὸς δι' ἡμῶν φθέγγεσθαι καταξιοῖ. εἰ καὶ τῶν ἄλλων ἁπάντων ἕνεκεν κενοὶ τῆς χάριτός ἐσμεν, ἀλλ' οὐ νῦν δι' ὑμᾶς. Ματθ. ι. ιϛ.

Εἰ γὰρ εἰς ὄνον ἐνήργησε καὶ εἰς μάντιν ἡ τοῦ Θεοῦ χάρις, διὰ οἰκονομίαν καὶ τὴν τῶν Ἰσραηλιτῶν ὠφέλειαν· εὔδηλον ὅτι οὐδὲ εἰς ἡμᾶς παραιτήσεται ἐνεργεῖν, ἀλλ' ἀνέξεται καὶ τοῦτο δι' ὑμᾶς. μηδεὶς τοίνυν εἴποι, ὅτι εὐτελὴς ἐγὼ, καὶ ταπεινὸς, καὶ οὐδενὸς ἄξιος λόγου· καὶ οὕτω μοι προσεχέτω. εἰμὶ γὰρ τοιοῦτος. ἀλλ' ἀεὶ ἔθος τῷ Θεῷ διὰ τῶν πολλῶν καὶ τοῖς τοιούτοις ἐφίστασθαι. καὶ ἵνα μάθητε, τὸν Κάϊν κατηξίωσε λαλῆσαι διὰ τὸν Ἄβελ, τὸν διάβολον διὰ τὸν Ἰὼβ, τὸν Φαραὼ διὰ τὸν Ἰωσὴφ, τὸν Ναβουχοδονόσορ διὰ τὸν Δανιὴλ, τὸν Βαλτάσαρ διὰ τὸν αὐτόν. καὶ μάγοι δὲ ἀποκαλύψεως ἔτυχον, καὶ Καϊάφας προεφήτευσε χριστοκτόνος ὢν καὶ ἀνάξιος, διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα. λέγεται καὶ Ἀαρὼν διὰ τοῦτο μὴ λεπρωθῆναι. διὰ τί γὰρ, εἰπέ μοι, ἀμφοτέρων καταλαλησάντων, ἐκείνη μόνη τὴν δίκην ἔδωκε; μὴ θαυμάσῃς. εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀξιώμασι, κἂν μυρία τις κατηγορῆται, οὐ πρότερον εἰς δικαστήριον ἄγεται, ἕως ἂν ἀπόθηται τὴν ἀρχὴν, ἵνα μὴ καὶ ἐκείνη μετ' αὐτοῦ ὑβρίζηται· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρχῆς τῆς πνευματικῆς, κἂν ὁστισοῦν ᾖ, ἐνεργεῖ ἡ τοῦ Θεοῦ χάρις· ἐπεὶ πάντα ἀπόλωλεν· ὅταν δὲ αὐτὴν ἀπόθηται, εἴτε ἀπήχθη, εἴτε καὶ* ἐν τάξει, τότε δὴ, τότε χαλεπωτέραν δώσει τὴν δίκην. μὴ δὴ νομίζετε περὶ ἡμῶν ταῦτα λέγεσθαι. ἡ τοῦ Θεοῦ χάρις ἐστὶν ἡ καὶ εἰς ἀνάξιον ἐνεργοῦσα, οὐ δι' ἡμᾶς, ἀλλὰ δι' ὑμᾶς. ἀκούσατε οὖν τί φησιν ὁ Χριστός. Ἐὰν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν. Ματθ. ι. ιγ. πῶς δὲ ἀξία ἔσται; ἐὰν δέξωνται ὑμᾶς, φησίν. Ἐὰν δὲ μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσι τῶν λόγων ὑμῶν, ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. τί οὖν ὄφελος, ὅτι δέχεσθε ἡμᾶς, καὶ οὐκ ἀκούετε τῶν παρ' ἡμῶν λεγομένων; τί δὲ κέρδος, ὅτι θεραπεύετε, καὶ οὐ προσέχετε τοῖς λεγομένοις ὑμῖν; ἐκείνη ἐστὶ τιμὴ ἡ μείζων, ἐκείνη θεραπεία θαυμαστὴ, ἢ καὶ ἡμᾶς ὠφελοῦσα καὶ ὑμᾶς, ἐὰν ἡμῶν ἀκούητε. ἀκούετε καὶ τοῦ Παύλου λέγοντος, Οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἀρχιερεύς ἐστιν. Πραξ. κγ. ϛ. ἄκουε καὶ τοῦ Χριστοῦ λέγοντος, Πάντα ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε. Ματθ. κγ. γ. οὐκ ἐμοῦ καταφρονεῖς, ἀλλὰ τῆς ἱερωσύνης. ἂν ἴδῃς ταύτης γυμνὸν, τότε καταφρόνει· τότε οὐδὲ ἐγὼ ἀνέχομαι ἐπιτάττειν. ἕως δ' ἂν ἐπὶ τοῦ θρόνου τούτου καθώμεθα, ἕως ἂν τὴν προεδρίαν ἔχωμεν, ἔχομεν καὶ τὴν ἀξίαν καὶ τὴν ἰσχὺν, εἰ καὶ ἀνάξιοί ἐσμεν. εἰ ὁ Μωϋσέως θρόνος οὕτως ἦν αἰδέσιμος, ὡς δι' ἐκεῖνον ἀκούεσθαι, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ θρόνος. ἐκεῖνον ἡμεῖς διεδεξάμεθα· ἀπὸ τούτου φθεγγόμεθα, ἀφ' οὗ καὶ ὁ Χριστὸς ἔθετο ἐν ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

λειτουργῆς. οἱ πρέσβεις, οἷοίπερ ἂν ὦσι, διὰ τὸ τῆς πρεσβείας ἀξίωμα πολλῆς ἀπολαύουσι τῆς τιμῆς. ὅρα γάρ. εἰς μέσους βαρβάρους ἔρχονται τὴν γῆν μόνοι, μεταξὺ τοσούτων πολεμίων. καὶ ἐπειδὴ μέγας ὁ τῆς πρεσβείας ἰσχύει νόμος, πάντες αὐτοὺς τιμῶσι, πάντες εἰς αὐτοὺς ἀποβλέπουσι, πάντες μετ' ἀσφαλείας ἐκπέμπουσι. καὶ ἡμεῖς τοίνυν πρεσβείας ἀνεδεξάμεθα λόγον, καὶ ἥκομεν παρὰ τοῦ Θεοῦ. τοῦτο γάρ ἐστι τὸ τῆς ἐπισκοπῆς ἀξίωμα. ἥκομεν πρὸς ὑμᾶς πρεσβεύοντες, ἀξιοῦντες καταλῦσαι τὸν πόλεμον, καὶ λέγομεν ἐπὶ τίσιν· οὐ πόλεις ἐπαγγελλόμενοι δώσειν, οὐδὲ σίτου μέτρα τόσα καὶ τόσα, οὐδὲ ἀνδράποδα, οὐδὲ χρυσίον, ἀλλὰ βασιλείαν οὐρανῶν, ζωὴν αἰώνιον, συνουσίαν τὴν μετὰ Χριστοῦ, τὰ ἄλλα ἀγαθά, ἃ μήτε εἰπεῖν δυνατὸν ἡμῖν, μήτε ὑμῖν ἀκοῦσαι, ἕως ἂν ἐν τῇ σαρκὶ ταύτῃ ὦμεν καὶ τῷ παρόντι βίῳ. πρεσβευόμεθα τοίνυν· ἀπολαύειν δὲ βουλόμεθα τιμῆς· οὐ δι' ἡμᾶς (μὴ γένοιτο. ἴσμεν γὰρ αὐτῆς τὸ εὐτελές) ἀλλὰ δι' ὑμᾶς· ἵνα ὑμεῖς μετὰ σπουδῆς τὰ παρ' ἡμῶν ἀκούητε, ἵνα ὑμεῖς ὠφεληθῆτε, ἵνα μὴ μετὰ ῥαθυμίας ἢ ἀπαρεσκείας προσέχητε τοῖς λεγομένοις. οὐχ ὁρᾶτε τοὺς πρέσβεις πῶς πάντες αὐτοὺς περιέπουσι; ἡμεῖς Θεοῦ πρέσβεις ἐσμὲν πρὸς ἀνθρώπους. εἰ δὲ προσίσταται ὑμῖν τοῦτο, οὐχ ἡμεῖς, ἀλλ' αὐτὴ ἡ ἐπισκοπή· οὐχ ὁ δεῖνα, ἀλλ' ὁ ἐπίσκοπος. μηδεὶς ἐμοῦ ἀκουέτω, ἀλλὰ τοῦ ἀξιώματος. πάντα τοίνυν ποιῶμεν κατὰ τὸ τῷ Θεῷ δοκοῦν, ἵνα εἰς δόξαν Θεοῦ ζήσωμεν, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. δ. 21 ΚΑΙ ΥΜΑΣ ΠΟΤΕ ΕΧΘΡΟΥΣ ΟΝΤΑΣ ΚΑΙ ἀπηλλοτριωμένους τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, 22 Νυνὶ δὲ ἀποκατήλλαξε τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ.

χ. ἐν, τῷ σωμ.

ΕΝταῦθα λοιπὸν δείκνυσιν, ὅτι καὶ ἀναξίους ὄντας κατηλλαγῆς κατήλλαξε. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ὑπὸ τὴν ἐξουσίαν τοῦ σκότους ἦσαν, δείκνυσι τὴν συμφοράν, ἐν ᾗ ἦσαν. ἀλλ' ἵνα μὴ ἀκούσας ἐξουσίαν σκότους, ἀνάγκην νομίσῃς εἶναι, ἐπάγει καὶ ὑμᾶς ὄντας ἀπηλλοτριωμένους· ὥστε δοκεῖ μὲν τὸ αὐτὸ λέγειν, οὐκ ἔστι δέ. οὐ γάρ ἐστιν ἴσον ἀνάγκῃ κακῶς παθόντα, καὶ ἑκόντα τοῦτο ὑπομείναντα ἀπαλλάξαι τῶν δεινῶν. ἐκεῖνος μὲν γὰρ ἐλεεῖσθαι ἄξιος, οὗτος δὲ μισεῖσθαι. ἀλλ' ὅμως ὑμᾶς, φησιν, οὐχ ἄκοντας, οὐδὲ ἀναγκαζομένους, ἀλλ' ἑκόντας καὶ μετὰ τοῦ βούλεσθαι ἀποπηδῶντας αὐτοῦ, καὶ ἀναξίους ὄντας ἀπήλλαξε. καὶ ἐπειδὴ τῶν ἐν τοῖς οὐρανοῖς ἐμνήσθη, δείκνυσιν ὅτι ἡ ἔχθρα πᾶσα ἐντεῦθεν εἶχε τὴν ἀρχήν, οὐκ ἐκεῖθεν. ἐκεῖνοι μὲν γὰρ πάλαι ἐβούλοντο, καὶ ὁ Θεός· ὑμεῖς δὲ οὐκ ἠθελήσατε. καὶ δῆλον δείκνυσι τοὺς ἀγγέλους μηδὲν ἰσχύσαντας ἐν τοῖς κάτω χρόνοις, εἴγε ἔμενον ἐχθροί, καὶ οὔτε πεῖσαι ἠδύναντο, οὔτε πεισθέντας ἀπαλλάξαι τοῦ διαβόλου. οὐδὲ γὰρ τὸ πεῖσαι εἶχέ τι κέρδος, τοῦ κατέχοντος μὴ λυθέντος· οὐδὲ τὸ λυθῆναι εἶχέ τι κέρδος, τῶν κατεχομένων μὴ βουλομένων ἐπιμεληθῆναι. ἀλλ' ἀμφότερα ἔδει, ὧν ἐκεῖνοι μὲν οὐδέν, ὁ Χριστὸς δὲ ἀμφότερα πεποίηκεν. ὥστε τοῦ τὸν θάνατον λῦσαι, θαυμασιώτερον τὸ πεῖσαι. ἐκεῖνο μὲν γὰρ ὅλον αὐτοῦ ἦν, καὶ αὐτὸς μόνος κύριος ἦν· τούτου δὲ οὐχὶ αὐτὸς μόνος, ἀλλὰ καὶ ἡμεῖς. δυσκολώτερον δὲ ταῦτα λύομεν, ὧν αὐτοὶ κύριοί ἐσμεν. ἅτε οὖν καὶ μεῖζον ὄν, ὕστερον αὐτὸ τίθησι. καὶ οὐχ ἁπλῶς εἶπεν, ἐχθραίνοντας, ἀλλά, ἀπηλλοτριωμένους, ὃ πολλῆς ἔχθρας ἐστίν· οὐδὲ ἀλλοτριουμένους, ἀλλὰ μηδὲ προσδοκῶντας ἐπιμεληθῆναι. καὶ ἐχθρούς, φησι, τῇ διανοίᾳ. διὰ τούτου δηλοῖ, ὅτι οὐχὶ μέχρι τῆς προαιρέσεως μόνον ἡ ἀλλοτρίωσις ἦν αὐτῶν, ἀλλὰ τί; καὶ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς. καὶ ἐχθροὶ ἦτε, φησι, καὶ τὰ τῶν ἐχθρῶν ἐπράττετε· νυνὶ δὲ ἀποκατήλλαξεν

κατήλλαξεν

κατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ. Ἐνταῦθα τίθησι καὶ τὸν τρόπον τῆς καταλλαγῆς, ὅτι ἐν τῷ σώματι, καὶ ὅτι οὐχ ἁπλῶς πληγεὶς, οὐδὲ μαστιγωθεὶς, [οὐδὲ πραθεὶς,] ἀλλὰ καὶ ἀποθανὼν τῷ αἰσχίστῳ θανάτῳ. Πάλιν τοῦ σταυροῦ μέμνηται, καὶ πάλιν ἑτέραν τίθησιν εὐεργεσίαν. Οὐ γὰρ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ * ὅ φησιν ἀνωτέρω, Τῷ ἱκανώσαντι ἡμᾶς, τοῦτο δὲ καὶ ἐνταῦθα αἰνίττεται. Διὰ τοῦ θανάτου αὐτοῦ, φησὶ, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ. Οὐ γὰρ δὴ μόνον τῶν ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ ἐν τοῖς εὐδοκιμηκόσι κατέστησεν. Οὐ γὰρ ἵνα καθ' ἡμᾶς ἀπαλλάξῃ μόνον τοσαῦτα ἔπαθεν, ἀλλ' ἵνα καὶ τῶν προφητῶν ἐπιτύχωμεν· ὥσπερ ἂν εἴ τις καταδίκον μὴ μόνον τῆς τιμωρίας ἐλευθερώσῃ, ἀλλὰ καὶ εἰς τιμὴν ἀναγάγῃ. Καὶ τοῖς οὐδὲν ἡμαρτηκόσιν ἐγκατέταξε· μᾶλλον δὲ οὐ τοῖς μὴ ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς κατωρθωκόσι τὰ μέγιστα. Καὶ τὸ δὴ μεῖζον, ὅτι ἁγιωσύνην τὴν κατενώπιον αὐτοῦ δέδωκε. Τὸ δὲ ἀνέγκλητον, ἐπίτασις τοῦ ἀμώμου. Ἀνέγκλητος γὰρ τότε λέγεται, ὅταν μηδὲ μέχρι καταγνώσεως, μηδὲ μέχρι ἐγκλήματος ᾖ τι πεπραγμένον ἡμῖν. Ἀλλ' ἐπειδὴ τὸ ὅλον αὐτῷ τέθεικεν εἰπὼν, ὅτι διὰ τοῦ θανάτου ταῦτα κατώρθωσεν, ἵνα μή τις εἴπῃ, οὐκοῦν οὐδενὸς χρῄζομεν, διὰ τοῦτο ἐπήγαγεν·

23 Εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου. Τὴν ῥαθυμίαν αὐτῶν ἐνταῦθα ἐπικόπτει· καὶ οὐχ ἁπλῶς εἶπεν, ἐπιμένετε. Ἔστι γὰρ ἐπιμένειν σαλευομένους, καὶ διχοστατοῦντα ἔστιν ἑστάναι καὶ μένειν περιφερόμενον. Εἴγε ἐπιμένετε, φησὶ, τεθεμελιωμένοι, καὶ ἑδραῖοι καὶ μὴ μετακινούμενοι. Βαβαὶ, ἡλίκῃ κέχρηται ἐμφάσει; οὐ μόνον μὴ σαλευόμενοι, φησὶν, ἀλλὰ μηδὲ κινούμενοι. Καὶ ὅρα· οὐδὲν φορτικὸν τέως τίθησιν, οὐδὲ ἐπίπονον, ἀλλὰ πίστιν καὶ ἐλπίδα τουτέστιν, ἐὰν ἴδητε παρόντες, ὅτι ἀληθὴς ἡ ἐλπὶς τῶν μελλόντων. Ἐνταῦθα μὲν γὰρ δυνατὸν· ἐπὶ δὲ τῆς ἀρετῆς οὐκ ἔνι μὴ μετασαλευθῆναι κἂν μικρόν. Οὕτως οὐκ ἔστιν ἐπαχθές. Ἀπὸ τῆς ἐλπίδος, φησὶ, τοῦ εὐαγγελίου, Οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν. Τίς δέ ἐστιν ἡ ἐλπὶς τοῦ εὐαγγελίου, ἀλλ' ἢ ὁ Χριστός; αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ πάντα ταῦτα ὁ ἐργασάμενος. Ὥστε ὁ ἑτέροις ἐπιγράφων, μεταπεκίνηται. Πάντα γὰρ ἀπώλεσεν, ἐὰν μὴ εἰς τὸν Χριστὸν πιστεύῃ. Ἠκούσατε, φησί. Πάλιν αὐτοὺς φέρει μάρτυρας, εἶτα τὴν οἰκουμένην ἅπασαν. Οὐ λέγει, τοῦ κηρυττομένου, ἀλλ', ἤδη πιστευθέντος καὶ κηρυχθέντος· ὅπερ καὶ ἀρχόμενος ἐποίησεν, ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας καὶ τούτους στῆσαι βουλόμενος.

Οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Καὶ τοῦτο εἰς τὸ ἀξιόπιστον συντελεῖ. Ἐγὼ, φησὶ, Παῦλος διάκονος. Μέγα γὰρ αὐτοῦ ἦν τὸ ἀξίωμα λοιπὸν πανταχοῦ ᾀδομένου, καὶ τῆς οἰκουμένης ὄντος διδασκάλου.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία.

Καὶ ποία αὕτη ἀκολουθία; δοκεῖ μὲν ἀπηρτῆσθαι, πολλὴν δὲ ἔχει τὴν ἀκολουθίαν. Καὶ διάκονός φησιν, ἀντὶ τοῦ, οὐδὲν παρ' ἐμαυτοῦ εἰσφέρων, ἀλλὰ τὰ ἑτέρου καταγγέλλων. Οὕτω δὲ πιστεύω, ὅτι καὶ πάσχω ὑπὲρ αὐτοῦ· καὶ οὐ πάσχω μόνον, ἀλλὰ καὶ χαίρω πάσχων, πρὸς τὴν ἐλπίδα τὴν μέλλουσαν ἀφορῶν. Καὶ πάσχω οὐχ ὑπὲρ ἐμαυτοῦ, ἀλλ' ὑπὲρ ὑμῶν. Καὶ ἀνταναπληρῶ, φησὶ, τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. Δοκεῖ μὲν μέγα εἶναι ὅπερ ἐφθέγξατο, ἀλλ' οὐκ ἔστιν ἀπονοίας (μὴ γένοιτο) ἀλλὰ καὶ πολλῆς φιλοστοργίας τῆς περὶ τὸν Χριστόν. Οὐ γὰρ βούλεται αὐτοῦ εἶναι, ἀλλ' ἐκείνου τὰ πάθη. Οὕτω δὲ εἶπε, τούτους οἰκειώσασθαι αὐτῷ βουλόμενος. Καὶ ἃ ἐγὼ πάσχω, δι' ἐκεῖνον πάσχω, φησίν. Ὥστε μὴ ἐμοὶ χάριν ὁμολογεῖτε, ἀλλ' ἐκείνῳ. Αὐτὸς γὰρ πάσχει ταῦτα. Ὥσπερ ἂν εἴ τις πεμφθεὶς πρός τινα, ἔπειτα ἀξιώσειε λέγων, παρακαλῶ σε, ὑπὲρ ἐμοῦ ἀπελθεῖν πρὸς τόνδε· εἶτα ἐκεῖνος

Κολοσ. α. ιβ.

λέγει ὅτι διὰ τοῦτο ταῦτα ποιεῖ. ὥστε οὐκ ἐπαισχύνεται καὶ ταῦτα αὐτοῦ παθήματα λέγειν. οὐ γὰρ μόνον ἀπέθανεν ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ μετὰ τὸ ἀποθανεῖν ἕτοιμός ἐστι θλιβῆναι δι' ἡμᾶς. ἐφιλονείκησε καὶ ἐβιάσατο δεῖξαι αὐτὸν καὶ νῦν κινδυνεύοντα ὑπὲρ τῆς ἐκκλησίας διὰ τοῦ ἰδίου σώματος. καὶ πρὸς ἐκεῖνο ἀποτείνεται, ὅτι οὐ δι' ἡμῶν προσεσπάσθε, ἀλλὰ δι' αὐτοῦ, κἂν ἡμεῖς ταῦτα ποιῶμεν. οὐ γὰρ οἰκεῖον ἔργον ἀνεδεξάμεθα, ἀλλὰ τὸ ἐκείνου. καὶ ταὐτόν ἐστιν, ὥσπερ ἂν" εἴ τις τάξις" λαχοῦσα στρατηγὸν τὸν ὑπερασπίζοντα αὐτῆς, καὶ ἐν τῷ πολέμῳ" στήκοι, εἶτα ἀπελθόντος ἐκείνου, ὁ ὑποστράτηγος τὰ ἐκείνου τραύματα ἀναδέξοιτο μέχρι τοῦ λυθῆναι τὸν πόλεμον. εἶτα ὅτι καὶ δι' αὐτὸν ταῦτα ποιεῖ, ἄκουσον. ὑπὲρ τοῦ σώματος αὐτοῦ, φησί· τοῦτο θέλων εἰπεῖν, ὅτι οὐχ ὑμῖν χαριζόμεθα, ἀλλὰ τῷ Χριστῷ. ἃ γὰρ ἐκεῖνον ἔδει παθεῖν, ἐγὼ πάσχω ἀντ' αὐτοῦ. ὅρα πόσα κατασκευάζει. δείκνυσι πολὺ τὸ

κ. ἔχουσα
κ. ἑστίκοι

β. Κορ. ε. ιη. κ. φίλτρον. ὥσπερ ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγεν, Εἰ ἡμῖν ἔθετο τὴν διακονίαν τῆς καταλλαγῆς· καὶ πάλιν, Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· τοῦτο καὶ ἐνταῦθά φησιν, ὑπὲρ αὐτοῦ πάσχω, ἵνα μᾶλλον αὐτὸν ἐπισπάσηται· τουτέστιν, εἰ καὶ ὁ ὀφείλων ὑμῖν ἀπῆλθεν, ἀλλ' ἐγὼ ἀποδίδωμι. διὰ γὰρ τοῦτο καὶ ὑστερήματα εἶπεν, ἵνα δείξῃ ὅτι οὐδὲ τὸ πᾶν ἡγεῖται οὐδέπω πεπονθέναι ὑπὲρ ὑμῶν· φησί, καὶ μετὰ θάνατον πάσχει, εἴ γε ἔτι ἐλλείμματα ἔμεινε. τοῦτο ἐν τῇ πρὸς Ῥωμαίους ἑτέρως ποιεῖ

Ῥωμ. η. λδ. λέγων, Ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, δεικνὺς ὅτι οὐκ ἠρκέσθη τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα μυρία ποιεῖ. οὐ τοίνυν ἑαυτὸν ἐπαίρων ταῦτα λέγει, ἀλλὰ τὸν Χριστὸν δεῖξαι βουλόμενος ἔτι καὶ νῦν ὑπὲρ αὐτῆς φροντίζοντα· καὶ τὸν λόγον ἀξιόπιστον δείκνυσι διὰ τὸ ἐπαγαγεῖν, ὑπὲρ τοῦ σώματος αὐτοῦ. ὅτι γὰρ οὕτως ἔχει, καὶ οὐδὲν ἀπεικός, δῆλον ἐκ τοῦ ὑπὲρ τοῦ σώματος αὐτοῦ ταῦτα γενέσθαι. ὅρα πῶς ἡμᾶς συνῆψεν ἑαυτῷ. τί τοίνυν ἐπεισάγετε διὰ μέσου ἀγγέλους; ἧς ἐγὼ ἐγενόμην, φησί, διάκονος. τί ἑτέρους ἐπεισάγετε ἀγγέλους; ἐγώ εἰμι διάκονος. εἶτα δείκνυσιν ὅτι οὐδὲν αὐτὸς ἐποίησεν εἴγε διάκονός ἐστι.

25 Ἧς ἐγενόμην ἐγώ, φησι, διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ. Οἰκονομίαν. ἤτοι τοῦτό φησιν, ὅτι οὕτως ἠθέλησεν, αὐτοῦ ἀπελθόντος, ἡμᾶς διαδέξασθαι τὴν οἰκονομίαν, ἵνα μὴ ὡς ἐγκαταλελειμμένοι διάκεισθε (αὐτὸς γάρ ἐστιν ὁ παθών, αὐτὸς ὁ πρεσβεύων) ἢ τοῦτό φησιν, ὅτι ἐμὲ τὸν μάλιστα πάντων διώκοντα τὴν διὰ τοῦτο εἴασε διῶξαι, ἵνα ἀξιόπιστος ὦ κηρύσσων· ἢ οἰκονομίαν φησίν, ὅτι οὐκ ἔργα ἐζήτησεν, οὐδὲ πράξεις, οὐδὲ κατορθώματα, ἀλλὰ πίστιν καὶ βάπτισμα. οὐ γὰρ ἂν ἑτέρως ἐδέξασθε τὸν λόγον. Εἰς ὑμᾶς, φησι, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ. περὶ τῶν ἐθνῶν * λέγει, δεικνὺς αὐτοὺς ἐπισαλευομένους τῷ εἰπεῖν, πληρῶσαι. τὸ γὰρ ἔθνη ἀπερριμμένα δυνηθῆναι τοσοῦτον ὕψος δογμάτων δέξασθαι, οὐχὶ Παύλου ἦν, ἀλλ' οἰκονομίας τῆς τοῦ Θεοῦ· ἐπεὶ ἐγὼ οὐκ ἂν ἴσχυσα, φησί. δείξας δὲ τὸ μεῖζον, τὰ αὐτοῦ παθήματα τοῦ Χριστοῦ ὄντα, τότε τὸ σαφέστερον ἐπάγει, ὅτι καὶ τοῦτο τοῦ Θεοῦ ἐστι, τὸ πληρῶσαι τὸν λόγον εἰς ὑμᾶς. καὶ δείκνυσιν ἐνταῦθα [οὐ] φανερῶς, ὅτι καὶ τοῦτο οἰκονομίας, τὸ νῦν λεχθῆναι ὅτι δύνασθε ἀκούειν. ἀλλ' οὐκ ἀμελείας, ἀλλ' ὥστε δεκτικοὺς γενέσθαι. ὁ γὰρ Θεὸς οὐκ ἀθρόως πάντα ποιεῖ, ἀλλὰ κέχρηται συγκαταβάσει διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν. καὶ τοῦτο αἴτιον τοῦ νῦν παραγενέσθαι τὸν Χριστόν, ἀλλὰ μὴ πάλαι. οὕτω καὶ δείκνυσιν ἐν τῷ εὐαγγελίῳ ὅτι διὰ τοῦτο τοὺς δούλους ἀπέστειλε προτέρους, ἵνα μὴ ἐπὶ τὸν φόνον ἔλθωσι τοῦ υἱοῦ. εἰ γὰρ οὐδὲ μετὰ τοὺς δούλους ἐλθόντα τὸν υἱὸν ᾐδέσθησαν, πολλῷ μᾶλλον πρὸ τούτου. εἰ τῶν ἐλαττόνων οὐκ ἤκουον προσταγμάτων, πῶς τῶν μειζόνων ἤκουσαν ἄν; τί οὖν φησιν; οὐκ εἰσὶν Ἰουδαῖοι καὶ νῦν, καὶ Ἕλληνες ἀτελέστεροι διακείμενοι; τοῦτο λοιπὸν ὑπερβολὴ ῥαθυμίας. τὸ γὰρ μετὰ τοσοῦτον χρόνον, μετὰ τοσαῦτα διδάγματα ἔτι μένειν ἀτελεῖς, πολλῆς νωθείας ἐστίν. ὅταν οὖν λέγωσιν Ἕλληνες, διὰ τί νῦν ἦλθεν ὁ Χριστός;

* τῶν

στός; μὴ τοῦτο ἀφῶμεν λέγειν αὐτοῖς, ἀλλ᾽, εἰ μὴ κατώρθωσεν, ἐρωτῶμεν. ὥσπερ γὰρ εἰ τὸν παρὰ τὴν ἀρχὴν ἦλθε καὶ μὴ κατώρθωσεν, οὐκ ἤρκει ἡμῖν πρὸς ἀπολογίαν ὁ καιρός· οὕτως, ἐπειδὴ κατώρθωσεν, οὐκ ἂν εἴημεν δίκαιοι τοῦ καιροῦ τὰς εὐθύνας ὑπέχειν. οὐδὲ γὰρ ἰατρόν τις τὴν νόσον λύσαντα καὶ ἐπὶ ὑγείαν ἀγαγόντα ἀπαιτεῖ τῆς ἰατρείας τὰς εὐθύνας, οὐδὲ στρατηγὸν νενικηκότα τις ἐξετάζει, διὰ τί τῷδε τῷ καιρῷ, καὶ διὰ τί ἐν τῷδε τῷ τόπῳ. ταῦτα γὰρ, μὴ κατορθώσαντος, ἦν ἐρωτᾷν· κατορθώσαντος δὲ, καὶ ἀποδέχεσθαι. τίς γὰρ, εἰπέ μοι, ἀξιοπιστότερος; ὁ σὸς λογισμὸς καὶ ἡ συκοφαντία, ἢ ἡ τοῦ πράγματος τελειότης; ἐνίκησεν, ἢ οὐκ ἐνίκησε; τοῦτο δεῖξον. ἐκράτησεν, ἢ οὐκ ἐκράτησεν; ἐξήγαγεν εἰς τέλος ἅπερ εἶπεν, ἢ οὔ; αὗταί εἰσιν αἱ εὐθύναι. εἰπὲ δή μοι· Θεὸν πάντως ὁμολογεῖς εἶναι, εἰ καὶ μὴ Χριστόν. ἐρωτῶ δή σε· ἄναρχος ὁ Θεός; πάντως ἐρεῖς. εἰπὲ δή μοι, διὰ τί μὴ πρὸ μυρίων ἐτῶν τοὺς ἀνθρώπους ἐποίησε; πλείονα γὰρ ἔμελλον ζήσεσθαι χρόνον. εἰ γὰρ καλὸν τὸ εἶναι, πολλῷ μᾶλλον τὸ ἐπιπλέον εἶναι. νῦν δὲ ἐζημιώθησαν, οἱ οὐκ ἐγένοντο χρόνον. ἀλλ᾽ οὐκ ἐζημιώθησαν. τὸ δὲ πῶς, αὐτὸς οἶδεν ὁ πεποιηκώς. πάλιν σε ἐρωτῶ, διὰ τί μὴ πάντας ἀθρόον ἐποίησεν, ἀλλ᾽ ἡ μὲν τοῦ δεῖνος ψυχὴ τοῦ πρώτου γενομένου τοσαῦτα ἔτη ἔχει οὖσα, ἡ δὲ ἑτέρα ἢ λέλυται ἢ μηδέπω γενομένη; διὰ τί τὸν μὲν πρότερον, τὸν δὲ ὕστερον ἐποίησεν εἰς τόνδε παραχθῆναι τὸν κόσμον; τὰ τοιαῦτα οὕτως ζητήσεως ἄξια, ἀλλ᾽ οὐ πολυπραγμοσύνης. τοῦτο γὰρ οὐδὲ ζητήσεως. ἐγὼ δὲ ἐρῶ τὴν αἰτίαν ἥνπερ εἶπον. ὑπόθου γάρ μοι τὴν ἀνθρωπίνην φύσιν ὥσπερ μίαν τινὰ ἡλικίαν, καὶ τοὺς μὲν προτέρους χρόνους μειρακίου τάξιν ἔχειν τὸ γένος τὸ ἡμέτερον, τοὺς δὲ μετ᾽ ἐκεῖνο νεανίσκου, τούτους δὲ τοὺς ἑξῆς τοῦ γήρως πρεσβύτου. λοιπὸν ὅταν ἡ ψυχὴ ἀκμάζῃ, τῶν τοῦ σώματος μελῶν χαλασθέντων, καὶ τοῦ πολέμου λυθέντος, τότε ἤχθημεν ἐπὶ τὴν φιλοσοφίαν. καὶ μὴν τοὐναντίον, φησί· μειράκια ὄντα ἐδιδασκόμεθα*, ἀλλ᾽ οὐ τὰ μεγάλα δόγματα, ἀλλὰ ῥητορείαν, ἀλλὰ δεινότητα λόγων· ταῦτα μὲν οὖν, ὅταν ἀκμάζοντα ᾖ. ὅρα καὶ τὸν Θεὸν ταῦτα ποιοῦντα ἐπὶ τῶν Ἰουδαίων. καθάπερ γὰρ παιδίοις τοῖς Ἰουδαίοις, γραμματιστὴν τὸν Μωϋσέα οὕτως αὐτοῖς ἐπέστησεν, καὶ ὡς παιδία, οὕτως αὐτοὺς ἀνήγαγεν ἐκεῖ πρὸς σκιαγραφίαν, καθάπερ ἡμᾶς τὰ στοιχεῖα. Σκιὰν γὰρ ἦν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων. Ἑβρ. ι. α. καθάπερ οὖν ἡμᾶς τοῖς παιδίοις καὶ πλακοῦντας ὠνούμεθα, καὶ ἀργύρια δίδομεν, ἐν μόνον παρ᾽ αὐτῶν ἀπαιτοῦντες, τὸ τέως βαδίζειν ἐπὶ τὸ διδασκαλεῖον· οὕτω καὶ ὁ Θεὸς τότε καὶ πλοῦτον ἔδωκε καὶ τρυφὴν, ἓν παρ᾽ αὐτῶν ὠνούμενος μόνον διὰ τῆς πολλῆς συγχωρήσεως, τὸ ἀκούειν Μωϋσέως. διὰ τοῦτο αὐτοὺς διδασκάλῳ παρέδωκεν, ἵνα μὴ αὐτοῦ καταφρονῶσιν, ἀλλὰ προσέχωνται καθάπερ παῖδες φιλοστόργου. ὅρα γάρ πως ἐκεῖνον μόνον ἐδεδοίκεσαν. οὐ γὰρ εἶπον, ποῦ ἐστιν ὁ Θεός; ἀλλὰ, ποῦ ἐστι Μωϋσῆς; καὶ παρ᾽ αὐτῶν μόνον φοβερὸς ἦν. ὅτι γοῦν κακῶς ἔπραξαν, ὅσα πως αὐτοὺς ἐκόλασεν. ὁ μὲν γὰρ Θεὸς αὐτοὺς ἀποκηρύξαι ἐβούλετο, αὐτὸς δὲ οὐκ ἀφίησι· μᾶλλον δὲ τὸ ὅλον τοῦ Θεοῦ γέγονε, καθάπερ παιδὸς ἀπειλοῦντος· ἐκείνου δὲ αὐτὸν οἱονεὶ διδασκάλου παραιτουμένου, καὶ λέγοντος· ὅτι ἐμοὶ συγχώρησον, καὶ ἐκ τοῦ νῦν ἀναδέχομαι. οὕτως ἐγένετο διδασκαλεῖον ἡ ἔρημος. καὶ καθάπερ παιδία χρονίσαντα ἐπὶ τῆς διατριβῆς ἀναχωρῆσαι βούλεται, οὕτω καὶ ἐκεῖνοι τότε συνεχῶς τὴν Αἴγυπτον ἐζήτουν, καὶ ἔκλαιον λέγοντες, Ἀπολώλαμεν, ἐξαπολώμεθα, παραπολώλαμεν. Ἐξοδ. 15. καὶ τὴν πινακίδα αὐτῶν συνέτριψεν ὁ Μωϋσῆς, ἐφ᾽ ἧς γράψας Ἀριθ. ιζ. 16. αὐτοῖς ἦν καθάπερ ὀνόματά τινα, ταὐτὸ ποιῶν, ὅπερ καὶ διδάσκαλος ποιήσειεν ἂν, τὴν δέλτον λαβὼν, καὶ ἰδὼν κακῶς γεγραμμένην, καὶ αὐτὴν ῥίπτει τὴν δέλτον, πολὺν τὸν θυμὸν ἐνδείξασθαι βουλόμενος. κἂν κατεάξῃ, ὁ πατὴρ οὐ χαλεπαίνει. αὐτὸς μὲν γὰρ ἐνέκειτο γράφων· ἐκεῖνοι δὲ οὐχ ὁρῶντες εἰς αὐτὸν, ἀλλ᾽ ἑτέρωθι ἐστραμμένοι ἠτάκτουν· καὶ καθάπερ ἐν τῇ διατριβῇ ἀλλήλους τύπτουσι τῶν παίδων, οὕτω καὶ τότε ἀλλήλους τύπτειν ἐκέλευσε καὶ ἀμύνεσθαι. καὶ πάλιν

καθάπερ μαθήματα διδούς, εἶτα ἀπαιτῶν, * καὶ οὐχ εὑρίσκων, ἐκόλαζεν. οἷόν τι λέγω· γράμματα τῆς δυνάμεως τοῦ Θεοῦ ἦσαν γνωριστικὰ τὰ ἐν Αἰγύπτῳ. ναί, φησιν· ἀλλὰ ταῦτα τὰ γράμματα τὰς πληγὰς ἐδήλου, καὶ ὅτι τοὺς ἐχθροὺς κολάζει, καὶ διδάσκαλον αὐτοῖς ἦν ἀκριβές. τί γὰρ ἦν ἄλλο ἡ κόλασις τῶν ἐχθρῶν, ἀλλ' ἡ ἡμετέρα εὐεργεσία; ἄλλως δὲ καὶ εὐηργέτει ἡμᾶς. καὶ τοῦτο γέγονεν, ὥσπερ ἂν εἴ τις λέγῃ μὲν εἰδέναι τὰ στοιχεῖα, ἀποράδην δὲ ἐρωτώμενος μὴ εὑρίσκοι, καὶ τύπτοιτο· οὕτω κἀκεῖνοι ἔλεγον μὲν εἰδέναι τὴν δύναμιν τοῦ Θεοῦ, ἀποράδην δὲ ἀπαιτούμενοι τὴν γνῶσιν, αὐτὴν οὐ παρεῖχον· διὸ καὶ ἐτύπτοντο. εἶδες ὕδωρ; ὀφείλεις ἀναμνησθῆναι τοῦ ὕδατος τοῦ ἐν Αἰγύπτῳ. ὁ γὰρ ἀπὸ ὕδατος αἷμα ποιήσας, δυνήσεται καὶ τοῦτο ποιῆσαι· ὥσπερ καὶ ἡμεῖς λέγομεν πολλάκις τοῖς παιδίοις, ὅταν ἴδῃς ἐν τῷ βιβλίῳ τὸ, α, στοιχεῖον, ἀναμνήσθητι ὅτι ἐν τῇ πινακίδι αὐτὸ εἶχες. εἶδες λιμόν; ἀναμνήσθητι ὅτι αὐτὸς ἦν ὁ τὰ γεννήματα ἀπολέσας. εἶδες πολέμους; ἀναμνήσθητι τοῦ καταποντισμοῦ. εἶδες ὅτι μεγάλοι εἰσὶ τὴν γῆν οἰκοῦντες; ἀλλ' οὐ τῶν Αἰγυπτίων μείζους. εἶτα ὁ ἐκ μέσου αὐτῶν σε λαβὼν, οὐ πολλῷ μᾶλλον ἔξωθεν ὄντα σώσειεν ἄν; ἀλλ' οὐκ ᾔδεσαν σκορπιστὰ ἐρωτᾶσθαι τὰ στοιχεῖα· διὰ τοῦτο ἐτύπτοντο. ἔφαγον καὶ ἔπιον, καὶ ἀπελάκτισαν. ἔδει ἐν τῷ μάννα μὴ ζητεῖν τρυφὴν, τὸ ἀπὸ ταύτης μαθόντας κακόν. καὶ ταυτὸ ἐποίουν, οἷον εἰ ἐλεύθερος παῖς εἰς διδασκαλεῖον πεμπόμενος, ἐπιζητοίη τὸ μετὰ τῶν δούλων ἄγεσθαι, καὶ ὑπηρετεῖν αὐτοῖς, καὶ τὴν ἀναγκαίαν καὶ ἐλευθέρῳ πρέπουσαν τροφὴν λαβὼν, καὶ ἐν τῇ τοῦ πατρὸς τραπέζῃ καθήμενος, τῶν οἰκετῶν ἀπολαύειν θέλοι τῆς δυσωδίας, τῆς ταραχῆς ἐμπεπλησμένης· οὕτω καὶ οὗτοι Αἰγύπτιοι ἐζήτουν, καὶ ἔλεγον τῷ Μωϋσῇ, Ναί, κύριε, πάντα, ὅσα ἂν εἴποις ποιήσομεν, καὶ ἀκουσόμεθα. (Εξοδ. ιδ.) καὶ ὅπερ ἐπὶ τῶν σφόδρα δυσδιορθώτων παίδων γίνεται, τοῦ πατρὸς αὐτὸν ἀνελεῖν βουλομένου ὁ διδάσκαλος παραιτεῖται, συνεχῶς τοῦτο καὶ τότε ἐγίνετο. τί δὴ ταῦτα ἡμῖν εἴρηται; ὅτι παίδων οὐδὲν διεφέρομεν. βούλει ἀκοῦσαι καὶ τὰ δόγματα αὐτῶν, πῶς παίδων ἐστίν; Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, φησι, καὶ ὀδόντα ἀντὶ ὀδόντος. (Δευτ. ιθ. κα.) εἰκότως. οὐδὲν γὰρ οὕτω πρὸς ἄμυναν ὥρμηται, ὡς παιδικὴ διάνοια. ἐπειδὴ γὰρ ἀλογίας ἐστὶ τὸ πάθος, πολλὴ δὲ ἡ ἀλογία, καὶ πολλὴ τοῦ λογισμοῦ ἡ ἐρημία ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, εἰκότως τυραννεῖται ὑπὸ θυμοῦ τὸ παιδίον· καὶ τοσαύτη ἡ τυραννὶς τοῦ θυμοῦ, ὥστε πολλάκις προσπταίσαντα καὶ διανασάντα, ἢ γόνυ τύπτειν ἀγανακτοῦντα, ἢ τὸ ὑποπόδιον ἀναστρέφειν, καὶ οὕτως ἀναπαύειν αὐτῶν τὴν ὀδύνην καὶ τὴν ὀργὴν σβεννύναι. τοιοῦτόν τι καὶ ὁ Θεὸς ἐποίησεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ δοὺς ἐκκόπτειν, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ Αἰγυπτίους ἀναιρῶν, καὶ Ἀμαληκίτας τοὺς λελυπηκότας αὐτούς. καὶ τοιαῦτα ἐπαγγέλλεται, ὥσπερ ἂν εἴποι τις, πάτερ, ὁ δεῖνά με ἐτύπτησεν· εἶτ' ἐρεῖ ὁ πατὴρ, κακὸς ἄνθρωπος ὁ δεῖνα, καὶ μισήσωμεν αὐτόν· οὕτω καὶ ὁ Θεὸς, Τοῖς ἐχθραίνουσί σοι, φησιν, ἐχθρεύσω, καὶ τοὺς μισοῦντάς σε μισήσω· (Εξοδ. κγ. κβ.) καὶ πάλιν, ὅτε ὁ Βαλαὰμ ηὔχετο, παιδικὴ ἦν ἡ συγκατάβασις ἡ γενομένη αὐτοῖς. καθάπερ γὰρ ἐπὶ τῶν παιδίων, ὅταν τι τῶν οὐ φοβερῶν ἴδωσιν, οἷον ἢ εἴδωλον, ἢ ἄλλο τι τοιοῦτον, ἐξαίφνης φοβοῦνται· ὥστε δὲ μὴ ἐναπομεῖναι αὐτοῖς τὸν φόβον, ἀγόμενοι ὑπὸ τὰς ἐκείνων χεῖρας αὐτὸ, καὶ πτῆθας ποιοῦμεν ὑποδακρύειν, οὕτω καὶ ὁ Θεὸς ἐποίησεν. ἐπειδὴ γὰρ φοβερὸς ἦν ὁ μάντις, ἔστρεψεν αὐτοῖς τὸν φόβον εἰς θάρσος. καὶ καθάπερ τὰ ἀπογαλακτιζόμενα τῶν παιδίων ἐν καλαθίσκοις πάντα ἔχουσιν, οὕτω κἀκείνοις πάντα ἐδίδου καὶ πολλὴν τὴν τρυφὴν ἐχορήγει. ἀλλὰ τὸ παιδίον τὴν θηλὴν ἐπιζητεῖ, οὕτω καὶ οὗτοι τὴν Αἴγυπτον, καὶ τὰ ἐκεῖ κρέα· ὥστε καὶ διδάσκαλον, καὶ τροφέα, καὶ παιδαγωγὸν οὐκ ἄν τις ἁμάρτοι τὸν Μωϋσέα προσειπών. πολλὴ γὰρ ἡ σοφία τοῦ ἀνδρός. οὐκ ἔστι δὲ ἴσον ἀνδρῶν ἤδη φιλοσοφεῖν δυναμένων ἡγεῖσθαι, καὶ παίδων ἀλογίστων ἄρχειν. καὶ, εἰ βούλεσθε, καὶ ἕτερόν τι ἀκούσετε. καθάπερ ἡ τροφὸς τῷ παιδίῳ λέγει, ὅταν ἀποπατῇς, ἀνάστειλόν σου τὰ ἱμάτια, καὶ μέχρι τοσούτου, ὅταν καθιζάνῃς· οὕτω καὶ ὁ Μωϋσῆς ἐποίει. καὶ ὥσπερ πάντα τὰ πάθη τυραννεῖ ἐν τοῖς παισὶν (οὐδέπω γὰρ ἔχει τὸν ἡνίοχον) κενοδοξία,

 κεφ. α.

νοδοξία, ἐπιθυμία, ἀλογία, θυμὸς, βασκανία· οὕτω καὶ ἐν τοῖς Ιουδαίοις πάντα ταῦτα ἐκράτει. ἐνέπλυον, ἔτυπτον τὸν Μωϋσέα. καὶ καθάπερ παιδίον λαμβάνει λίθον, καὶ πάντας βοᾶ λέγων, ὦ μὴ ῥίψῃς, οὕτω κἀκεῖνοι λίθους ἐλάμβανον κατὰ τοῦ πατρὸς, ὁ δὲ ἔφευγε. καὶ καθάπερ εἰ κόσμον τινὰ ἔχοι ὁ πατὴρ, τοῦτον δὲ παιδίον αἰτεῖ παρ' αὐτοῦ φιλόκοσμον ὂν, οὕτω δὴ οἱ περὶ Δαθὰν καὶ Αβειρὼν πεποιήκασι τὴν ἱερωσύνην ἐπιμαστεύοντες. καὶ βάσκανοι δὲ μάλιστα πάντων ἦσαν, καὶ μικρόψυχοι, καὶ κατὰ πάντα ἀτελεῖς. ὅτι οὖν ἔδει φανῆναι τὸν Χριστὸν, εἰπέ μοι; πότε τὰ διατάγματα ταῦτα δοῦναι τὰ φιλόσοφα, ὅτε ἐμαίνοντο ὑπὸ τῆς ἐπιθυμίας, ὅτε ἵπποι ἦσαν θηλυμανεῖς, ὅτε χρημάτων δοῦλοι, ὅτε γαστρός; ἀλλ' ἐξέχεεν ἂν τὰ τῆς φιλοσοφίας διδάγματα μυριάκις ὢν διαλεγόμενος· καὶ οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔμαθον ἄν. καὶ ὥσπερ ὁ περὶ τῶν στοιχείων ἀναγινώσκειν διδάσκων, οὐδέποτε οὐδὲ τὰ στοιχεῖα διδάξει, οὕτω δὴ καὶ τότε. ἀλλ' οὐ νῦν· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πολλὴ ἡ ἐπιείκεια, πολλὴ ἡ ἀρετὴ πανταχοῦ καταπεφύτευται. εὐχαριστῶμεν οὖν ὑπὲρ πάντων, καὶ μὴ πολυπραγμονῶμεν. τὸν γὰρ καιρὸν οὐχ ἡμεῖς ἴσμεν, ἀλλ' ὁ τοῦ καιροῦ ποιητὴς, καὶ τῶν αἰώνων δημιουργός. παραχωρῶμεν τοίνυν αὐτῷ. τοῦτο γάρ ἐστι δοξάζειν τὸν Θεὸν, τὸ μὴ ἀπαιτεῖν εὐθύνας ὧν ποιεῖ. οὕτω καὶ Αβραὰμ δόξαν ἔδωκε τῷ Θεῷ, Πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. ἐκεῖνος οὐδὲ τὸ μέλλον ἠρώτησεν· ἡμεῖς δὲ καὶ τῶν παρελθόντων ἐξετάζομεν τὸν λόγον. ὅρα πόση ἡ ἄνοια; πόση ἡ ἀγνωμοσύνη; ἀλλὰ παυσώμεθα λοιπόν. οὐδὲν γὰρ ἀπὸ τούτου κέρδος, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη. καὶ εὐγνωμόνως διατιθῶμεν περὶ τὸν ἡμέτερον δεσπότην, καὶ δόξαν ἀναπέμψωμεν τῷ Θεῷ· ἵνα ὑπὲρ ἁπάντων τὴν εὐχαριστίαν ἀναφέροντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ε. 26 ΤΟ ΜΥΣΤΗΡΙΟΝ ΤΟ ΑΠΟΚΕΚΡΥΜΜΕΝΟΝ
ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν· νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ,
27 Οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου
ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, 28 Ον ἡμεῖς
καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα
ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν
Χριστῷ Ιησοῦ.

EΙπὼν ὧν ἐτύχομεν, καὶ δείξας τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν πενίαν τῷ μεγέθει τῶν δοθέντων, πάλιν ἑτέραν ἐπίτασιν εἰσάγει, ὅτι οὐδὲ πρὸ ἡμῶν τις αὐτὸν ἔμαθεν· ὃ καὶ ἐν τῇ πρὸς Εφεσίους ποιεῖ λέγων, Οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε ἄλλη τις κτιστὴ δύναμις, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ υἱὸς ᾔδει. διὸ καὶ οὐχ ἁπλῶς κεκρυμμένον εἶπεν, φησὶν, ἀποκεκρυμμένον· καὶ ὅτι εἰ καὶ νῦν γέγονεν, ἀλλὰ παλαιόν ἐστι, καὶ ἄνωθεν ταῦτα ὁ Θεὸς ἐβούλετο, καὶ οὕτω διετετύπωτο· διὰ τί δέ. ἐκεῖνο λέγει. ἀπὸ τῶν αἰώνων, φησὶν, ἐξ ἀρχῆς. καὶ μυστήριον εἰκότως καλεῖ, ὃ οὐδεὶς ᾔδει πλὴν ὁ Θεός. καὶ ποῦ κεκρυμμένον; ἐν τῷ Χριστῷ, ὥσπερ ἐν τῇ πρὸς Εφεσίους λέγει· ἢ ὥσπερ ὅταν λέγῃ ὁ προφήτης, Απὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. νυνὶ δὲ ἐφανερώθη, φησὶ, τοῖς ἁγίοις αὐτοῦ. ὥστε τῆς τοῦ Θεοῦ οἰκονομίας ἐστὶ τὸ ὅλον. νυνὶ δέ, φησιν, ἐφανερώθη. οὐκ εἶπεν, ἐγένετο, ἀλλ' ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ. ὥστε καὶ νῦν ἐπικρύπτεται, εἴπερ τοῖς ἁγίοις ἐφανερώθη μόνοις. μὴ τοίνυν ὑμᾶς ἀπατάτωσαν ἐκεῖνοι. οὐ γὰρ ἴσασι, διὰ τὶ μόνοις. οἷς ἠθέλησε, φησιν. ὅρα πῶς πανταχοῦ ἐπιστομίζει τὰς ἐρωτήσεις αὐτῶν. οἷς ἠθέλησεν ὁ Θεὸς, φησὶ, γνωρίσαι. τὸ δὲ θέλειν αὐτοῦ, οὐκ ἄλογον. τοῦτο δὲ εἶπε χάριτος μᾶλλον ὑπευθύνους ποιῶν,

Marginal notes: διδάγματα · ζητεῖ δὲ · Ρωμ. δ. καὶ · Εφ γ. ι. · Εφεσ γ. θ. · Ψαλ. πθ. β.

καθάπερ μαθήματα διδούς, εἶτα ἀπαιτῶν, * καὶ οὐχ εὑρίσκων, ἐκόλαζεν. οἷόν τι λέγω· γράμματα τῆς δυνάμεως τοῦ Θεοῦ ἦσαν γνωριστικὰ τὰ ἐν Αἰγύπτῳ. ναί, φησίν· ἀλλὰ ταῦτα τὰ γράμματα τὰς πληγὰς ἐδήλου, καὶ οἷς τοὺς ἐχθροὺς κολάζει, καὶ διδασκαλεῖον αὐτοῖς ἦν ἀκριβές. τί γὰρ ἦν ἄλλο ἡ κόλασις τῶν ἐχθρῶν, ἀλλ' ἡ ἡμετέρα εὐεργεσία; ἄλλως δὲ καὶ εὐηργέτει ἡμᾶς. καὶ ταῦτ' ἐγίνετο, οἷον ἂν εἴ τις λέγῃ μὲν εἰδέναι τὰ στοιχεῖα, ἀποστάδην δὲ ἐρωτώμενος μὴ εὑρίσκοι, καὶ τύπτοιτο· οὕτω κἀκεῖνοι ἔλεγον μὲν εἰδέναι τὴν δύναμιν τοῦ Θεοῦ, ἀποστάδην δὲ ἀπαιτούμενοι τὴν γνῶσιν, αὐτὴν οὐ παρεῖχον· διὸ καὶ ἐτύπτοντο. εἶδες ὕδωρ; ὀφείλεις ἀναμνησθῆναι τοῦ ὕδατος τοῦ ἐν Αἰγύπτῳ. ὁ γὰρ ἀπὸ ὕδατος αἷμα ποιήσας, δυνήσεται καὶ τοῦτο ποιῆσαι· ὥσπερ καὶ ἡμεῖς λέγομεν πολλάκις τοῖς παιδίοις, ὅταν ἴδῃς ἐν τῷ βιβλίῳ τὸ, α, στοιχεῖον, ἀναμνήσθητι ὅτι ἐν τῇ πινακίδι αὐτὸ εἶχες. εἶδες λιμόν; ἀναμνήσθητι ὅτι αὐτὸς ἦν ὁ τὰ γεννήματα ἀπολέσας. εἶδες πολέμους; ἀναμνήσθητι τοῦ καταποντισμοῦ. εἶδες ὅτι μεγάλοι εἰσὶ τὴν γῆν οἰκοῦντες; ἀλλ' οὐ τῶν Αἰγυπτίων μείζους. εἶτα ὁ ἐκ μέσου αὐτῶν σε λαβών, οὐ πολλῷ μᾶλλον ἔξωθεν ὄντα σώσειεν ἄν; ἀλλ' οὐκ ᾔδεσαν σκορπιστὰ ἐρωτᾶσθαι τὰ στοιχεῖα· διὰ τοῦτο ἐτύπτοντο. ἔφαγον καὶ ἔπιον, καὶ ἀπελάκτισαν. ἔδει ἐν τῷ μάννα μὴ ζητεῖν τρυφήν, τὸ ἀπὸ ταύτης μαθόντας κακόν. καὶ ταῦτ' ἐποίουν, οἷον εἰ ἐλεύθερος παῖς εἰς διδασκαλεῖον πεμπόμενος, ἐπιζητοίη τὸ μετὰ τῶν δούλων ἄγεσθαι, καὶ ὑπηρετεῖν αὐτοῖς, καὶ τὴν ἀναγκαίαν καὶ ἐλευθέρῳ πρέπουσαν τροφὴν λαβών, καὶ ἐν τῇ τοῦ πατρὸς τραπέζῃ καθήμενος, τῶν οἰκετῶν ἀπολαύειν θέλοι τῆς δυσωδίας, τῆς ταραχῆς ἐμπε-
Ἐξοδ. λδ. πλησμένης· οὕτω καὶ οὗτοι Αἰγύπτιοι ἐζήτουν, καὶ ἔλεγον τῷ Μωϋσῇ, Ναί, κύριε, πάντα, ὅσα ἂν εἴποις ποιήσομεν, καὶ ἀκουσόμεθα. καὶ ὥσπερ ἐπὶ τῶν σφόδρα "δυσδιορθώτων παίδων γίνεται, τοῦ πατρὸς αὐτοῦ ἀνελεῖν βουλομένου ὁ διδάσκαλος παραιτεῖται, συνεχῶς τοῦτο καὶ τότε ἐγίνετο. τί δὴ ταῦτα ἡμῖν εἴρηται; ὅτι παίδων οὐδὲν διαφέρομεν. βούλει ἀκοῦσαι καὶ τὰ δόγματα αὐ-
Δευτ. ιθ. κα. τῶν, πῶς παίδων ἐστίν; Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, φησί, καὶ ὀδόντα ἀντὶ ὀδόντος. εἰκότως. οὐδὲν γὰρ οὕτω πρὸς ἄμυναν ὥρμηται, ὡς παιδικὴ διάνοια. ἐπειδὴ γὰρ ἀλογίας ἐστὶ τὸ πάθος, πολλὴ δὲ ἡ ἀλογία, καὶ πολλὴ τοῦ λογισμοῦ ἡ ἐρημία ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, εἰκότως τυραννεῖται ὑπὸ θυμοῦ τὸ παιδίον· καὶ τοσαύτη ἡ τυραννὶς τοῦ θυμοῦ, ὥστε πολλάκις "προσπταίσαντα καὶ διανιστάντα, ἢ γόνυ τύπτειν ἀγανακτοῦντα, ἢ τὸ ὑποπόδιον "ἀναστρέφειν, καὶ οὕτως ἀναπαύειν αὐτῶν τὴν ὀδύνην καὶ τὴν ὀργὴν σβεννύναι. τοιοῦτόν τι καὶ ὁ Θεὸς ἐποίησεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ δοὺς ἐκκόπτειν, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ Αἰγυπτίους ἀναιρῶν, καὶ Ἀμαληκίτας τοὺς λελυπηκότας αὐτούς. καὶ τοιαῦτα ἐπαγγέλλεται, ὥσπερ ἂν εἴποι τις, πάτερ, ὁ δεῖνά με ἐτύπτησεν· εἶτ' ἐρεῖ ὁ πατήρ, κακὸς ἄνθρωπος ὁ δεῖνα, καὶ μισήσωμεν αὐ-
Ἐξοδ. κγ. κβ. τόν· οὕτω καὶ ὁ Θεός, Τοῖς ἐχθραίνουσί σοι, φησίν, ἐχθρεύσω, καὶ τοὺς μισοῦντάς σε μισήσω· καὶ πάλιν, ὅτε ὁ Βαλαὰμ ηὔχετο, παιδικὴ ἦν ἡ συγκατάβασις ἡ γεγονυῖα αὐτοῖς. καθάπερ γὰρ ἐπὶ τῶν παιδίων, ὅταν τι τῶν οὐ φοβερῶν ἴδωσιν, οἷον ἢ ἔριον, ἢ ἄλλο τι τοιοῦτον, ἐξαίφνης φοβοῦνται· ὥστε δὲ μὴ ἐναπομεῖναι αὐτοῖς τὸν φόβον, ἄγομεν ὑπὸ τὰς ἐκείνων χεῖρας αὐτό, καὶ πιτθας ποιοῦμεν ὑποδεικνύειν, οὕτω καὶ ὁ Θεὸς ἐποίησεν. ἐπειδὴ γὰρ φοβεροὶ ἦσαν οἱ μάντεις, ἔστρεψεν αὐτοῖς τὸν φόβον εἰς θάρσος. καὶ καθάπερ τὰ ἀπογαλακτιζόμενα τῶν παιδίων ἐν καλαθίσκοις πάντα ἔχουσιν, οὕτω κἀκείνοις πάντα ἐδίδου, καὶ πολλὴν τὴν τρυφὴν ἐχορήγει. ἀλλὰ τὸ παιδίον τὴν θηλὴν ἐπιζητεῖ, οὕτω καὶ οὗτοι τὴν Αἴγυπτον, καὶ τὰ ἐκεῖ κρέα· ὥστε καὶ διδάσκαλον, καὶ τροφέα, καὶ παιδαγωγὸν οὐκ ἂν τις ἁμάρτοι τὸν Μωϋσέα προσειπών. πολλὴ γὰρ ἡ σοφία τοῦ ἀνδρός. οὐκ ἔστι δὲ ἴσον ἀνδρῶν ἤδη φιλοσοφεῖν δυναμένων ἡγεῖσθαι, καὶ παίδων ἀλογίστων ἄρχειν. καὶ, εἰ βούλεσθε, καὶ ἕτερόν τι ἀκούσατε. καθάπερ ἡ τροφὸς τῷ παιδίῳ λέγει, ὅταν ἀποπατῇς, ἀνάστειλόν σου τὰ ἱμάτια, καὶ μέχρι τοσούτου, ὅταν καθιζάνῃς· οὕτω καὶ ὁ Μωϋσῆς ἐποίει. καὶ ὥσπερ πολλὰ τὰ πάθη τυραννεῖ ἐν τοῖς παισὶν (οὐδέπω γὰρ ἔχει τὸν ἡνίοχον) κενοδοξία,

* πω. τὴν αἰσθησ...

χ. αἰ...

χ. προσ... οντα χ. καταστρέφειν,

νοδοξία, ἐπιθυμία, ἀλογία, θυμὸς, βασκανία· οὕτω καὶ ἐν τοῖς Ἰουδαίοις πάντα ταῦτα ἐκράτει. ἐσέπινον, ἐτύπτον τὸν Μωϋσέα. καὶ καθάπερ παιδίον λαμβάνει λίθον, καὶ πάντας βάλλει, ὧν μὴ ῥίψῃ, οὕτω κἀκεῖνοι λίθους ἐλάμβανον κατὰ τοῦ πατρός, ὁ δὲ ἔφευγε. καὶ καθάπερ εἰ κόσμον τινὰ ἔχοι ὁ πατὴρ, τοῦτον δὲ παιδίον αἰτεῖ παρ' αὐτοῦ φιλόκοσμον ὄν, οὕτω δὴ οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν πεποιήκασι τῇ ἱερωσύνῃ ἐπιμανέντες. καὶ βάσκανοι δὲ μάλιστα πάντων ἦσαν, καὶ μικρόψυχοι, καὶ κατὰ πάντα ἀτελεῖς. ὅτι δὲ οὐκ ἔδει φανῆναι τὸν Χριστὸν, εἰπέ μοι· τότε τὰ διατάγματα ταῦτα δοῦναι τὰ φιλόσοφα, ὅτι ἐμαίνοντο ὑπὸ τῆς ἐπιθυμίας, ὅτι ἵπποι ἦσαν θηλυμανεῖς, ὅτι χρημάτων δοῦλοι, ὅτι γαστρός; ἀλλ' ἐξέχεεν ἂν τὰ τῆς φιλοσοφίας διδάγματα ἀκούοντες οὐ διαλεγόμενος· καὶ οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔμαθον ἄν. καὶ ὥσπερ ὁ πρὸ τῶν στοιχείων ἀναγινώσκειν διδάσκων, οὐδέποτε οὐδὲ τὰ στοιχεῖα διδάξει, οὕτω δὴ καὶ τότε. ἀλλ' οὐ νῦν· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πολλὴ ἡ ἐπιείκεια, πολλὴ ἡ ἀρετὴ πανταχοῦ καταπεφύτευται. εὐχαριστῶμεν οὖν ὑπὲρ πάντων, καὶ μὴ πολυπραγμονῶμεν. τὸν γὰρ καιρὸν οὐχ ἡμεῖς ἴσμεν, ἀλλ' ὁ τοῦ καιροῦ ποιητὴς, καὶ τῶν αἰώνων δημιουργός. πρὸ πάντων τοίνυν αὐτῷ παραχωρῶμεν. τοῦτο γάρ ἐστι δοξάζειν τὸν Θεὸν, τὸ μὴ ἀπαιτεῖν εὐθύνας ὧν ποιεῖ. οὕτω καὶ Ἀβραὰμ δόξαν ἔδωκε τῷ Θεῷ, Πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. ἐκεῖνος οὐδὲ τὸ μέλλον ἠρώτησεν· ἡμεῖς δὲ καὶ τῶν παρελθόντων ἐξετάζομεν τοὺς λόγους. ὅρα πόση ἡ ἄνοια; πόση ἡ ἀγνωμοσύνη; ἀλλὰ παυσώμεθα λοιπόν. οὐδὲν γὰρ ἀπὸ τούτου κέρδος, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη. καὶ εὐγνωμόνως διαπιστῶμεν περὶ τὸν ἡμέτερον δεσπότην, καὶ δόξαν ἀναπέμψωμεν τῷ Θεῷ, ἵνα ὑπὲρ ἁπάντων τὴν εὐχαριστίαν ἀναφέροντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

[Margin: γρ. διδάγματα] [Margin: γρ. ζητοῦμεν] [Margin: Ῥωμ. δ. καὶ]

Λογ. ε. 26 ΤΟ ΜΥΣΤΗΡΙΟΝ ΤΟ ΑΠΟΚΕΚΡΥΜΜΕΝΟΝ
ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν· νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ,
27 Οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου
ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, 28 Ὃν ἡμεῖς
καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα
ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν
Χριστῷ Ἰησοῦ.

Εἰπὼν ὧν ἐτύχομεν, καὶ δείξας τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν πολλὴν τὴν μετέχειν τῶν δοθέντων, πάλιν ἑτέραν ἐπίτασιν εἰσάγει, ὅτι οὐδεὶς πρὸ ἡμῶν τις αὐτὸν ἔμαθεν· ὃ καὶ ἐν τῇ πρὸς Ἐφεσίους ποιεῖ λέγων, Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἄλλη τις κτιστὴ δύναμις, ἀλλὰ μόνος ὁ υἱὸς τοῦ Θεοῦ ᾔδει. διὸ καὶ οὐχ ἁπλῶς κεκρυμμένον εἶπεν, ἀλλ', ἀποκεκρυμμένον· καὶ ὅτι οὐ νῦν γέγονεν, ἀλλὰ παλαιόν ἐστι, καὶ ἄνωθεν ταῦτα ὁ Θεὸς ἐβούλετο, καὶ οὕτω διετετύπωτο· διατί δὲ, οὐκ ἔτι λέγει. ἀπὸ τῶν αἰώνων, φησὶν, ἐξ ἀρχῆς. καὶ μυστήριον εἰκότως καλεῖ, ὃ οὐδεὶς ᾔδει πλὴν ὁ Θεός. καὶ ποῦ κεκρυμμένον; ἐν τῷ Χριστῷ, ὥσπερ ἐν τῇ πρὸς Ἐφεσίους λέγει· ἢ ὥσπερ ὅταν λέγῃ ὁ προφήτης, Ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. νυνὶ δὲ ἐφανερώθη, φησὶ, τοῖς ἁγίοις αὐτοῦ. ὥστε τῆς τοῦ Θεοῦ οἰκονομίας ἐστὶ τὸ ὅλον. νυνὶ δὲ, φησὶν, ἐφανερώθη. οὐκ εἶπεν, ἐγένετο, ἀλλ' ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ. ὥστε καὶ νῦν ἔτι κρύπτεται, εἴπερ τοῖς ἁγίοις ἐφανερώθη μόνοις. μὴ τοίνυν ὑμᾶς ἀπατάτωσαν ἐκεῖνοι. οὐ γὰρ ἴσασι, ἀλλὰ μόνοις. οἷς ἠθέλησε, φησίν. ὅρα πῶς πανταχοῦ ἐπιστομίζει τὰς ἐρωτήσεις αὐτῶν. οἷς ἠθέλησεν ὁ Θεὸς, φησὶ, γνωρίσαι. τὸ δὲ θέλειν αὐτοῦ, οὐκ ἄλογον. τοῦτο δὲ εἶπε χάριτος μᾶλλον ὑπευθύνους

[Margin: Ἐφ. γ. ι.] [Margin: Ἐφεσ. γ. θ.] [Margin: Ψαλ. πθ. β.]

ποιῶν, ἢ ἀφιεὶς αὐτὸν ἐπὶ κατορθώματι μέγα φρονεῖν. τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι, σεμνῶς εἶπε, καὶ ὄγκον ἐπέθηκεν, ἀπὸ πολλῆς διαθέσεως ἐπιτάσεις ζητῶν ἐπιτάσεων. καὶ γὰρ καὶ τοῦτο ἐπιτάσεως, τὸ ἀορίστως εἰπεῖν, ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι. μάλιστα μὲν γὰρ ἐν τοῖς ἔθνεσι φαίνεται, καθὼς καὶ ἀλλαχοῦ φησι, Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν· φαίνεται δὲ καὶ ἐν ἑτέροις, πολλῷ δὲ πλέον ἐν τούτοις ἡ πολλὴ τοῦ μυστηρίου δόξα. τὸ γὰρ ἀθρόως ἀνθρώπους λίθων ἀναισθητοτέρους εἰς ἀγγέλων ἀγαγεῖν ἀξίωμα ἁπλῶς διὰ ψιλῶν ῥημάτων καὶ πίστεως μόνης χωρὶς ἐργασίας πάσης, ὄντως δόξα καὶ πλοῦτος μυστηρίου· ὥσπερ ἂν εἴ τις κύνα λιμῷ καὶ ψώρᾳ διεφθαρμένον, αἰσχρόν τινα καὶ δυσειδῆ, καὶ οὐδὲ κινεῖσθαι δυνάμενον, ἀλλ' ἐρριμμένον, ἐξαίφνης καὶ ἄνθρωπον ποιήσειε, καὶ ἐπὶ τοῦ θρόνου δείξειε τοῦ βασιλικοῦ. ὅρα γάρ. τοῖς λίθοις προσεκύνουν, καὶ τὴν γῆν. ἔμαθον ὅτι καὶ οὐρανοῦ καὶ ἡλίου ἀμείνους εἰσὶ, καὶ ὁ κόσμος ἅπας αὐτοῖς δουλεύει. αἰχμάλωτοι καὶ δεσμῶται ἦσαν τοῦ διαβόλου· ἀθρόον γεγόνασιν αὐτοῦ τῆς κεφαλῆς ἐπάνω, καὶ ἐπέταττον αὐτῷ, καὶ ἐμάστιζον αὐτόν. δαιμόνων ὄντες θεραπευταὶ καὶ δοῦλοι, τοῦ τῶν ἀγγέλων δεσπότου καὶ τῶν ἀρχαγγέλων γεγόνασι σῶμα. οὐδὲ τί ἐστι Θεὸς εἰδότες, γεγόνασιν ἐξαίφνης καὶ σύνθρονοι τοῦ Θεοῦ. βούλει μυρίους ἰδεῖν ἀναβαθμούς, οὓς ὑπερεπήδησε; ἔδει μαθεῖν πρότερον, ὅτι οἱ λίθοι οὐ θεοί· δεύτερον, ὅτι οὐ μόνον οὐ θεοί, ἀλλὰ καὶ ἀνθρώπων ἐλάττους· τρίτον, ὅτι καὶ ἀλόγων· τέταρτον, ὅτι καὶ φυτῶν· πέμπτον, ὅτι τὰ ἄκρα συνήγαγεν εἰς ταυτόν, διὰ οὐ μόνον λίθοι, ἀλλ' οὐδὲ γῆ, οὐδὲ ζῶα, οὐδὲ φυτά, οὐδὲ ἄνθρωπος, οὐδὲ οὐρανός, ἢ ἄνωθεν πάλιν, ὅτι οὐ λίθοι, οὐ ζῶα, οὐ φυτά, οὐ στοιχεῖα, οὐ τὰ ἄνω, οὐ τὰ κάτω, οὐκ ἄνθρωπος, οὐ δαίμονες, οὐκ ἄγγελοι, οὐκ ἀρχάγγελοι, οὐχ ἑτέρα τις τῶν ἄνω δυνάμεων ἐκείνων ὑπὸ τῆς ἀνθρωπίνης φύσεως θεραπεύεσθαι ὀφείλει. καθάπερ ἀπό τινος βυθοῦ ἀνιμωμένους ἔδει μαθεῖν, ὅτι ὁ πάντων δεσπότης οὗτος Θεός ἐστιν, ὅτι θεραπεύειν αὐτὸν μόνον χρή, ὅτι καλὴ ἡ θαυμαστὴ πολιτεία, ὅτι ὁ παρὼν θάνατος οὐ θάνατος, ὅτι ἡ ζωὴ οὐ ζωή, ὅτι τὸ σῶμα ἀνίσταται, διὰ ἄφθαρτον γίνεται, ὅτι εἰς οὐρανοὺς ἄνεισιν, ὅτι ἀθανασίας ἐπιτυγχάνει, ὅτι μετὰ ἀγγέλων ἕστηκεν, ὅτι ἀνθίσταται. ἀλλὰ τούτων τῶν ἐκεῖ κάτω, ταῦτα πάντα ὑπερπηδήσαντα, ἄνω ἐκάθισεν ἐπὶ τοῦ θρόνου, τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων καὶ τῶν θρόνων καὶ τῶν κυριοτήτων ποιήσας κυριωτέρους τοὺς ὑποκάτω λίθων ὄντας. οὕτως καλῶς εἶπε, τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου; ὥσπερ ἂν εἴ τις μωρόν τινα φιλόσοφον ἐξαίφνης δείξειε. μᾶλλον δὲ ὅσα ἂν εἴποι τις, οὐδὲν ἐρεῖ. καὶ γὰρ καὶ τὰ τοῦ Παύλου ἀόριστά ἐστι. τίς ὁ πλοῦτος, φησί, τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν; πάλιν ἔδει μαθεῖν, ὅτι ὁ πάντων αἴτιος, καὶ ὁ ἀγγέλων ἄρχων, καὶ τῶν ἄλλων ἁπασῶν δυνάμεων κρατῶν, κατέβη κάτω, καὶ ἄνθρωπος γέγονε, καὶ μυρία ἔπαθε, καὶ ἀνέστη, καὶ ἀνελήφθη. ταῦτα πάντα μυστήριά ἐστι, καὶ μετ' ἐγκωμίου τίθησι λέγων, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν. εἰ δὲ ἐν ὑμῖν ἐστι, τί ἀγγέλους ζητεῖτε διδασκάλους τοῦ μυστηρίου τούτου; ἔστι γὰρ καὶ ἄλλο μυστήριον. ἀλλὰ τοῦτο ὄντως μυστήριον, ὃ οὐδεὶς οἶδεν. ὅ ἐστι θαυμαστόν, ὃ παρὰ τὴν κοινὴν προσδοκίαν, ὃ ἐκρύπτετο, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, φησιν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν, ἄνωθεν αὐτὸν φέροντες. ὃν ἡμεῖς, οὐκ ἄγγελοι. διδάσκοντες καὶ νουθετοῦντες, οὐκ ἐπιτακτικῶς, οὐδὲ μετὰ ἀνάγκης. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ μὴ τυραννικῶς προσάγεσθαι. ἐπειδὴ δὲ, διδάσκοντες, μέγα ἐστὶν, ἐπήγαγε, νουθετοῦντες, ὅπερ ἐστὶ μᾶλλον πατρὸς, ἢ διδασκάλου. ὃν ἡμεῖς, φησὶ, καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ· τουτέστι, μετὰ πάσης σοφίας καὶ συνέσεως, ἢ πάντα ἐν σοφίᾳ λέγοντες. ὥστε σοφίας δεῖ πάσης. τὸ γὰρ τὰ τοιαῦτα δυνηθῆναι μαθεῖν, οὐ τῶν τυχόντων ἐστίν. ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ. τί λέγεις; πάντα ἄνθρωπον; ναί, φησι, τοῦτο σπουδάζομεν. τί γάρ; εἰ καὶ μὴ γένηται τοῦτο, ἔσπευδεν ὁ

μακάριος

Ῥωμ. ιε. θ.

γρ. ἀρχῶν

γρ. αἰχμάλωτοι

γρ. ὅτι

μακάριος Παῦλος τέλειον ποιῆσαι. ἆρα τοῦτο τελειότης, ἐκεῖνο δὲ ἀτελές. ὥστε καὶ μὴ πᾶσαν ἥν τις ἔχῃ τὴν σοφίαν, ἀτελής ἐστι. τέλειον ἐν Χριστῷ Ἰησοῦ, οὐκ ἐν νόμῳ, οὐδὲ ἐν ἀγγέλοις. ἐκεῖνο γὰρ οὐ τέλειον. ἐν Χριστῷ, τουτέστιν, ἐν τῇ γνώσει τοῦ Χριστοῦ. ὁ εἰδὼς ἃ ἐποίησεν ὁ Χριστὸς, μεῖζον φρονήσει ἀγγέλων. Ἐν Χριστῷ Ἰησοῦ. τέλειον

29 Εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος. Οὐχ ἁπλῶς σπουδάζω, φησὶν, οὐδὲ ὡς ἔτυχεν· ἀλλὰ κοπιῶ ἀγωνιζόμενος μετὰ πολλῆς τῆς σπουδῆς, τουτέστι, μετὰ πολλῆς τῆς ἀγρυπνίας. Εἰ ἐγὼ ὑπὲρ τῶν ὑμετέρων ἀγαθῶν οὕτως ἀγρυπνῶ, πολλῷ μᾶλλον ὑμᾶς ὀφείλετε. Εἶτα πάλιν δεικνὺς θεῖον ὄν, Κατὰ τὴν ἐνέργειαν αὐτοῦ, φησὶ, τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει. Δείκνυσιν ὅτι τοῦ Θεοῦ τοῦτο ἔργον ἐστίν. ὁ τοίνυν ἰσχυρόν με ποιῶν εἰς τοῦτο, δῆλον ὅτι τοῦτο βούλεται. διὸ καὶ ἀγωνιζόμενός φησι, Διὰ θελήματος Θεοῦ. ὥστε οὐ μόνον μαρτυρίᾳ(?) ζῶν αὐτὸ τέθεικεν, ἀλλὰ καὶ ἐπιδημεύων τῷ λόγῳ, καὶ ἀγωνιζόμενος. τοῦτο εἰπών, δείκνυσιν ὅτι πολλοὶ μάχονται πρὸς αὐτόν. εἶτα ἡ φιλοστοργία πολλή. Κολασ. α. α.

1 Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ. κεφ. β.

Εἶτα ἵνα μὴ δόξῃ τῆς αὐτῶν ἀσθενείας εἶναι τοῦτο, συνῆψε καὶ ἑτέρους, καὶ οὐδέπω κατέγνω. Καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί. Θείως δείκνυσιν ἐνταῦθα, * ὅτι ἑώρων συνεχῶς ἐν πνεύματι. μαρτυρεῖ δὲ αὐτοῖς ἀγάπην πολλήν. διὸ καὶ ἐπήγαγεν·

. ξένον τι λέγει γὰρ

2 Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ πατρὸς καὶ τοῦ Χριστοῦ,

3 Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.

Ἤδη λοιπὸν σπεύδει καὶ ὠδίνει ἐμβαλεῖν εἰς τὸ δόγμα, οὔτε κατηγορῶν, οὔτε ἀπαλλάττων αὐτοὺς τῆς κατηγορίας. ἀγῶνα, φησιν, ἔχω. ἵνα τί γένηται; ἵνα συμβιβασθῶσιν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἵνα ὦσι βέβαιοι ἐν τῇ πίστει. ἀλλ' οὐ τίθησιν οὕτως, ἀλλ' ὑποτέμνεται τὰ τῆς κατηγορίας. τουτέστιν, ἵνα ἑνωθῶσι μετὰ ἀγάπης· οὐδὲ μετὰ ἀνάγκης, οὐδὲ μετὰ βίας. ὅταν γὰρ εἴπῃ, ἀνεπαχθής ἐστιν ἀεὶ αὐτοῖς ἐπιτιμῶν, καὶ διὰ τοῦτό φησιν, ἀγωνιῶ, ἐπειδὴ μετὰ ἀγάπης, καὶ ἑκόντας βούλομαι. οὐ γὰρ ἁπλῶς τὴν συναγωγὴν βούλομαι γίνεσθαι, οὐχ ἁπλῶς τῷ σώματι, ἀλλ' ἵνα αἱ καρδίαι αὐτῶν παρακληθῶσι. συμβιβασθέντων ἐν ἀγάπῃ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως· τουτέστιν, ἵνα ὑπὲρ μηδενὸς ἀμφιβάλλωσιν, ἵν' ὑπὲρ πάντων πεπληροφορημένοι ὦσι. πληροφορίαν δὲ εἶπε τὴν διὰ πίστεως. ἔστι γὰρ πληροφορία καὶ ἡ διὰ λογισμῶν, ἀλλ' οὐδενὸς λόγου ἐκείνη ἀξία. οἶδα, φησιν, ὅτι πιστεύετε, ἀλλὰ πληροφορηθῆναι ὑμᾶς βούλομαι, οὐκ εἰς τὸν πλοῦτον μόνον, ἀλλ' εἰς πάντα τὸν πλοῦτον, ἵνα καὶ ἐν πᾶσι καὶ ἐπιτεταμένως πεπληροφορημένοι ἦτε. καὶ θέα τὴν σύνεσιν τοῦ μακαρίου τούτου. οὐκ εἶπεν, ὅτι κακῶς ποιεῖτε, ὅτι οὐ πεπληροφόρησθε, καὶ κατηγόρησεν· ἀλλ' οὐκ ἴστε πῶς σπουδάζω, ἵνα πληροφορηθῆτε μετὰ συνέσεως, καὶ οὐχ ἁπλῶς. ἐπειδὴ γὰρ εἶπε πίστιν, μὴ νομίσητε, φησιν, ὅτι ἁπλῶς καὶ ἀνοήτως εἶπον, ἀλλὰ μετὰ συνέσεως, μετὰ ἀγάπης. εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ πατρὸς, καὶ τοῦ Χριστοῦ. ὥστε τοῦ Θεοῦ τοῦτό ἐστι τὸ μυστήριον, τὸ διὰ τοῦ υἱοῦ προσάγεσθαι. καὶ τοῦ Χριστοῦ, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. εἰ δὲ ἐν αὐτῷ εἰσιν, ἄρα σοφῶς καὶ νῦν ἦλθε. τίνος οὖν ἕνεκεν ἐγκαλοῦσί τινες τῶν ἀνοήτων; ὅρα πῶς τοῖς ἀπλουστέροις διαλέγεται· ἐν ᾧ εἰσι πάντες οἱ θησαυροί. αὐτὸς πάντα οἶδεν. ἀπόκρυφοι. μὴ γὰρ δὴ νομίσητε ἤδη τὸ πᾶν ἔχειν· ἀπόκρυφοί εἰσι καὶ ἀπὸ ἀγγέλων, οὐκ ἀφ' ὑμῶν μόνον· ὥστε παρ' αὐτοῦ δεῖ πάντα αἰτεῖν. αὐτὸς δίδωσι σοφίαν, καὶ γνῶσιν. τῷ μὲν οὖν, θησαυροὶ, εἰπεῖν, τὸ πολὺ δείκνυσι· τῷ δὲ, πάντες, τὸ μηδὲν ἀγνοεῖν· τῷ δὲ, ἀπόκρυφοι, τὸ μόνος εἰδέναι.

4 Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ. Ὁρᾷς ὅτι διὰ

τοῦτο

τοῦτο εἶπεν, φησί, ταῦτα, ἵνα μὴ παρὰ ἀνθρώπων ζητῆτε. παραλογίζηται, φησίν, ἐν πιθανολογίᾳ. τί γάρ, εἰ πιθανῶς λέγει;

5 Εἰ γὰρ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι.

Τὸ ἀκόλουθον τοῦτο ἦν εἰπεῖν, εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλ' ὅμως οἶδα τὴν ἀπατεωνίας· νῦν δὲ εἰς ἐγκώμιον κατέληξε. Χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. Τὴν τάξιν, τὴν εὐταξίαν φησί. καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. ταῦτα ἐγκωμίων μᾶλλόν ἐστι. καὶ οὐκ εἶπε, τὴν πίστιν, ἀλλά, τὸ στερέωμα, καθάπερ περὶ στρατιώτας εὐτάκτως ἑστῶτας καὶ βεβαίως. τὸ στερρὸν οὐκ ἀπάτη, οὐ πειρασμὸς διασαλεύει. οὐ μόνον, φησίν, οὐ πεπλώκατε, ἀλλ' οὐδὲ τὴν τάξιν ὑμῶν συνέχεέ τις. ἐπέστησεν ἑαυτὸν αὐτοῖς, ἵνα ὡς παρόντα φοβῶνται. ἡ γὰρ τάξις ὑπὸ φυλάττεται. [ἀπὸ τοῦ στερεώματος τὸ πεπυκνωμένον.] ὅταν γὰρ ᾖ στερέωμα ὅτι πολλὰ συναγαγὼν συγκολλήσεις πυκνῶς καὶ ἀδιασπάστως, τότε στερέωμα γίνεται, οἷον ἐπὶ τοίχου. τοῦτο δὲ τῆς ἀγάπης ἔργον ἐστί. τοὺς γὰρ καθ' ἑαυτοὺς ὄντας, ὅταν ἀκριβῶς συγκολλήσῃ καὶ συναφῇ, στερροὺς ἐργάζεται. καὶ ἡ πίστις πάλιν τὸ αὐτὸ ποιεῖ, ὅταν μὴ ἀφῇ λογισμοὺς ἐπεισελθεῖν. ὥσπερ γὰρ οἱ λογισμοὶ διαιροῦσι καὶ σαλεύουσιν, οὕτως ἡ πίστις στερεοὺς καὶ παγίους ποιεῖ.

ΗΘΙΚΟΝ

Ἐπειδὴ γὰρ μείζονα, ἢ κατὰ ἀνθρώπινον λογισμὸν εὐηργέτησεν ἡμᾶς ὁ Θεός, εἰκότως τῇ πίστει ἐπισυνῆψεν. οὐκ ἔστι γὰρ εἶναι στερρὸν τὸν λογισμοὺς ἀπαιτοῦντα. ἰδοὺ γὰρ τὰ σεμνὰ ἡμῶν πάντα πῶς ἔρημα λογισμῶν, καὶ πίστεως ἔχεται μόνης. οὐκ ἔστιν οὐδαμοῦ ὁ Θεός, καὶ πανταχοῦ ἐστι. τί τούτου ἀλογώτερον; ἕκαστον καθ' ἑαυτὸ ἀπορίας γέμει. οὐ γὰρ δὴ ἐν τόπῳ ἐστίν, οὐδὲ τόπος ἐστὶν ἐν ᾧ ἐστιν. οὐκ ἐγένετο, οὐχ ἑαυτὸν ἐποίησεν, οὐκ ἤρξατο τοῦ εἶναι. ποῖος ταῦτα λογισμὸς καταδέξεται, ἂν μὴ πίστις ᾖ; ἢ οὐχὶ καταγέλως εἶναι δοκεῖ; καὶ αἰνίγματος μᾶλλον οὐκ ἔχει τέλος; τὸ μὲν οὖν ἄναρχον αὐτοῦ καὶ ἀγέννητον καὶ ἀπερίγραφον καὶ ἄπειρον, οὕτως ἄπορον· τὸ δὲ ἀσώματον ἴδωμεν, μήποτε λογισμῷ ἐξετάσαι δυνώμεθα. ἀσώματός ἐστιν ὁ Θεός. τί ἐστιν, ἀσώματος; ῥῆμα ψιλὸν μόνον. ἡ γὰρ ἔννοια οὐδὲν ἐδέξατο, οὐδὲ ἐνετύπωσεν ἑαυτῇ. κἂν γὰρ ἀνατυπώσῃ, εἰς φύσιν ἔρχεται, καὶ τὰ τοῦ σώματος ποιητικά· ὥστε λέγει μὲν τὸ σῶμα, οὐκ οἶδε δὲ ἡ διάνοια τί λέγει· ἢ οὐ μόνον, ὅτι οὐκ ἔστι σῶμα, τοῦτο μόνον οἶδε. καὶ τί λέγω ἐπὶ Θεοῦ; ἐπὶ γὰρ ψυχῆς, τί ἐστι τὸ ἀσώματον, τῆς γινομένης, τῆς ἐγκεκλεισμένης, τῆς περιγραφομένης εἰπέ, δεῖξον. ἀλλ' οὐκ ἂν ἔχοις. ἀήρ ἐστιν; ἀλλ' ὁ ἀὴρ σῶμα, εἰ καὶ μὴ ναστόν. καὶ πολλαχόθεν δῆλον ὅτι σῶμά ἐστι γινόμενον. πῦρ δέ; ἀλλὰ τὸ πῦρ σῶμά ἐστιν, ἡ δὲ ἐνέργεια τῆς ψυχῆς ἀσώματον. διατί; ὅτι πανταχοῦ δήκει. εἰ δὲ αὐτὴ σῶμα, ἔσται ἐν τόπῳ τὸ ἀσώματον· οὐκοῦν καὶ περιγράφεται· τὸ δὲ περιγραφόμενον, ἐν σχήματί ἐστι· τὰ δὲ σχήματα ἀπὸ γραμμῆς· αἱ δὲ γραμμαὶ σωμάτων. πάλιν τὸ ἀσχημάτιστον ποίαν ἔννοιαν ἔχει; οὐ σχῆμα ἔχει, οὐκ εἶδος, οὐ τύπον. ὁρᾷς πῶς ἰλιγγιᾷ ἡ διάνοια; πάλιν ἄδεκτος ἡ φύσις κακῶν ἐκείνη. ἀλλὰ καὶ ἑκὼν ἐστὶν ἀγαθός; οὐκοῦν δεκτική. ἀλλ' οὐκ ἔστι εἰπεῖν μὴ γένοιτο. πάλιν θέλων εἰς τὸ εἶναι παρήχθη, ἢ μὴ θέλων; ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. πάλιν περιγράφει τὴν οἰκουμένην, ἢ οὔ; εἰ μὲν γὰρ μὴ περιγράφει, αὐτὸς περιγράφεται· εἰ δὲ περιγράφει, ἄπειρός ἐστι τῇ φύσει. πάλιν ἑαυτὸν περιγράφει; ἀλλ' εἰ περιγράφει ἑαυτόν, ἄρα οὐκ ἄναρχος ἑαυτῷ, ἀλλ' ἡμῖν. οὐκοῦν οὐ φύσει ἄναρχος. πανταχοῦ τὰ ἐναντία δεῖ δοῦναι. ὁρᾷς τὸν ζόφον ὅσος, καὶ ὅτι πανταχοῦ πίστεως δεῖ; αὕτη ἐστὶν ἡ στερρά. ἀλλ', εἰ βούλεσθε, ἐπὶ τὰ τούτων ἐλάττω ἔλθωμεν. ἔχει ἐνέργειαν ἐκείνη ἡ οὐσία. καὶ τί ἐστιν ἐνέργεια ἐπ' αὐτοῦ; ἆρα κίνησίς τις; οὐκοῦν οὐκ ἄτρεπτος· τὸ γὰρ κινούμενον οὐκ ἄτρεπτον. ἐξ ἀκινησίας γὰρ κινεῖται· ἀλλ' ὅμως κινεῖται, καὶ οὐδέποτε ἵσταται. ποίαν δὲ κίνησιν, εἰπέ μοι; παρὰ γὰρ ἡμῖν ἑπτὰ τινές εἰσιν, ἡ κάτω, ἡ ἄνω, ἡ ἐντός, ἡ ἐκτός, ἡ δεξιά, ἡ ἀριστερά,

στροφὰ, ἢ κυκλοφορικῶς. ἢ εἰ μὴ τοῦτο, αὔξησις, μείωσις, γένεσις, φθορὰ, ἀλλοίωσις. ἀλλ᾽ οὐδεμίαν τούτων κινεῖται. ἀλλ᾽ οἵαν ὁ νοῦς κίνησιν κινεῖται; ἀλλ᾽ οὐδὲ τοῦτο. μὴ γένοιτο. πολλὰ γὰρ καὶ ἀτόπως ὁ νοῦς κινεῖται. τὸ θέλειν ἐστὶ τὸ ἐνεργεῖν; πολλάκις γὰρ ἄνθρωποι θέλουσι ἀγαθοὶ εἶναι καὶ σωθῆναι· πῶς οὖν γάρ; ἀλλ᾽ ἕτερον τὸ θέλειν, ἄλλο δὲ τὸ ἐνεργεῖν. οὐκοῦν οὐκ ἀρκεῖ πρὸς ἐνέργειαν τὸ θέλειν. πῶς οὖν λέγει ἡ γραφὴ, Πάντα, ὅσα ἠθέλησεν, ἐποίησε; καὶ πάλιν ὁ λεπρὸς φησὶ πρὸς Χριστὸν, Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι*. (Ψαλ. ριγ. ια. Ματθ. η. β.) βούλεσθε καὶ ἄλλο εἴπω; πῶς ἐξ οὐκ ὄντων τὰ ὄντα γέγονε; πῶς εἰς τὸ μηδὲν ἀναλύεται; τί ἀνώτερον τοῦ οὐρανοῦ; κἀκείνου δὲ πάλιν τί; κἀκείνου τί; καὶ μετ᾽ ἐκεῖνο τί; καὶ τοῦτο ἐπ᾽ ἄπειρον. τί κατώτερον τῆς γῆς; θάλαττα. καὶ μετὰ ταύτην τί; καὶ μετ᾽ ἐκεῖνο πάλιν τί; ἀλλ᾽ εἰς τὰ δεξιὰ, εἰς τὰ ἀριστερὰ, οὐχ ἡ αὐτὴ ἀπορία; ἀλλὰ ταῦτα μὲν ἀόρατα. βούλεσθε ἐπὶ τὴν ὁρωμένων ἀγάγω τὸν λόγον; ἐπὶ τὴν ἤδη συμβάντων; Εἰπέ μοι, πῶς ὁ θεῖος τὸν Ἰωνᾶν εἶχεν ἐν τῇ γαστρὶ, καὶ οὐκ ἀπώλλυτο; οὐχὶ ἄλογόν ἐστιν; οὐχὶ ἁπλῶς κινεῖται; πῶς ἐφείσατο τοῦ δικαίου; πῶς αὐτὸν οὐκ ἀπέπνιξεν ἡ θέρμη; πῶς οὐκ ἔσηψεν; εἰ γὰρ τὸ ἐν βυθῷ εἶναι μόνον ἄπορον, τὸ καὶ ἐν σπλάγχνοις καὶ τῇ θέρμῃ ἐκείνῃ, πολλῷ μᾶλλον ἀπορώτερον. πῶς γὰρ τὸν ἐκεῖθεν ἀέρα ἀνέπνει; πῶς ἤρκει δύο ζώοις ἡ ἀναπνοή; πῶς δὲ αὐτὸν καὶ ἤμεσεν ἀσινῆ; πῶς δὲ καὶ ἐφθέγγετο; πῶς δὲ καὶ ἐν ἑαυτῷ ἦν, καὶ προσηύχετο; ἆρα ταῦτα οὐκ ἄπιστα; ἂν λογισμῷ ἐξετάζωμεν, ἄπιστα· ἂν δὲ πίστει, σφόδρα πιστά. Εἴπω τί τούτου πλέον; ὁ σῖτος ἐν τῷ κόλπῳ τῆς γῆς φθείρεται, καὶ ἀνίσταται. ὅρα τὰ θαύματα ἐναντία, καὶ ἄλληλα νικῶντα. θαυμαστὸν τὸ μὴ σαπῆναι, θαυμαστὸν τὸ σαπέντα ἀναστῆναι. ποῦ εἰσὶν οἱ τῇ ἀναστάσει διαπιστοῦντες καὶ λέγοντες, τόδε τὸ ὀστοῦν πῶς τῷδε συγκολλᾶται, καὶ μυθώδη τοιαῦτα εἰσάγοντες; Εἰπέ μοι, πῶς ὁ Ἡλίας ἀνῆλθεν ἐν πυρὸς ἅρματι; τὸ πῦρ καίειν εἴωθεν, οὐκ ἀνάγειν. πῶς τοσοῦτον ζῇ χρόνον; ἐν τίνι τόπῳ ἐστί; διὰ τί τοῦτο γέγονε; ποῦ δὲ Ἐνὼχ μετετέθη; τροφῆς ἀπολαύει, οἵας καὶ ἡμεῖς; καὶ τί τὸ κωλύον ἐνταῦθα αὐτὸν εἶναι; ἀλλ᾽ οὐκ ἀπολαύει· καὶ διὰ τί μετετέθη; ὅρα τὸν Θεὸν κατὰ μικρὸν ἡμᾶς παιδαγωγοῦντα. μετέθηκε τὸν Ἐνώχ· οὐ πάνυ μέγα τοῦτο. ἐπαίδευσεν ἡμᾶς τοῦτο εἰς τὴν ἀναγωγὴν τοῦ Ἡλία. πάλιν ἐναπέκλεισε τὸν Νῶε τῇ κιβωτῷ. οὐ πάνυ μέγα οὐδὲ τοῦτο. ἐπαίδευσεν ἡμᾶς τοῦτο εἰς τὴν ἀπόκλεισιν τοῦ προφήτου τὴν ἐν τῷ κήτει. οὕτω καὶ τὰ παλαιὰ προδρόμων ἐδεήθη καὶ τύπων. καθάπερ γὰρ ἐπὶ κλίμακος ὁ πρῶτος βαθμὸς παραπέμπει τῷ δευτέρῳ, ἀπὸ δὲ τοῦ πρώτου οὐκ ἔνι ἐπὶ τὸν τέταρτον ἐλθεῖν, καὶ διὰ ἐκεῖνο, ἵνα ἐκεῖνος τούτῳ γένηται ὁδὸς, οὐδὲ πρὸ τοῦ πρώτου δυνατὸν ἐπὶ τὸν δεύτερον ἐλθεῖν· οὕτω καὶ ἐνταῦθα. καὶ θέα σημεῖα σημείων· καὶ ὄψει τοῦτο ἐπὶ τῆς κλίμακος, ἣν εἶδεν Ἰακώβ. (Γεν. κη. ιγ.) Ἄνω, φησὶν, ὁ Κύριος ἐπεστήρικτο, κάτω δὲ ἄγγελοι ἀνέβαινον καὶ κατέβαινον. προεφήτευεν ὅτι υἱὸν ἔχει ὁ πατήρ. ἔδει οὕτω πιστευθῆναι. πόθεν θέλεις αὐτοῦ τὰ σημεῖα δείξω; ἄνωθεν κάτω, ἢ κάτωθεν ἄνω; ἔδει γνωσθῆναι ὅτι ἀπαθῶς γεννᾷ; διὰ τοῦτο ἐγέννησε πρῶτον στεῖρα. μᾶλλον δὲ ἀνωτέρω ἀνάγωμεν τὸν λόγον. ἔδει πιστευθῆναι, ὅτι ἐξ αὐτοῦ. τί οὖν; γέγονε τοῦτο; ἀμυδρῶς μὲν, ἅτε ἐν τύπῳ καὶ σκιᾷ, πλὴν γέγονε. καὶ πρῶτον σαφέστερόν πως γέγονε. ἐξ ἀνθρώπου μόνου γυνή, καὶ μένει ἐκεῖνος ὁλόκληρος. πάλιν τῆς ἐκ παρθένου κυήσεως ἔδει γενέσθαι τεκμήριον. τίκτει στεῖρα οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον, καὶ τρίτον, καὶ πολλάκις. τῆς μὲν οὖν ἐκ παρθένου γεννήσεως τύπος, ἡ στεῖρα· καὶ αὕτη παραπέμπει τῇ πίστει τὴν διάνοιαν. πάλιν τοῦτο τύπος ἐγένετο τοῦ μόνον δύνασθαι γεννῆσαι τὸν Θεόν. εἰ γὰρ κυριώτερον ἄνθρωπος, καὶ χωρὶς τούτου τίκτονται, πολλῷ μᾶλλον ἐκ τοῦ κυριωτέρου γεννᾶται. ἔστι καὶ ἄλλη γέννησις τῆς ἀληθείας τύπος, ἡ ἡμετέρα ἡ ἐκ πνεύματος. ταύτης πάλιν ἡ στεῖρα τύπος, ὅτι οὐκ ἐξ αἱμάτων· αὕτη τῆς ἄνω γεννήσεως. ἡ μὲν οὖν αὐτῆς τὸ ἀπαθὲς δείκνυσιν, ἡ δὲ τὸ ἐκ μόνου δύνασθαι γεννᾶσθαι. ἔστι Χριστὸς ἄνω πάντων κρατῶν. ἔδει πιστευθῆναι τοῦτο. γέγονε τοῦτο ἐν τῇ γῇ ἐπὶ τοῦ ἀνθρώπου. Ποιήσωμεν γὰρ, φησὶν, ἄνθρωπον (Γεν. α. κς.)

κατ᾽

ἢ γὰρ μὴ τοῦ ... ἤματι εἰ ... τοῦτο, ὡς ... ὡς τοῦτο εἶπεν.

εἰ ἐκεῖθεν ἐδέχετο ἀνα... ... αὐτῷ

ἀλλ᾽ ἀδ... ἐπὶ τὸν ... τὸν προφ... καὶ ὅπως τὸν τέ... τον,

κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ καθίσταται ἐπὶ τῆς ἀρχῆς τῶν ἀλόγων πάντων. οὕτως οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ἡμᾶς ἐπαίδευσε. τὸ δὲ ἀνακεχωρηκὸς τῆς φύσεως ὁ παράδεισος ἐδήλου, καὶ τὸ πάντων εἶναι βελτιώτατον τὸν ἄνθρωπον. ἔμελλεν χ. βελτίω αὐξάνεσθαι ὁ Χριστός. ὅρα λοιπὸν πόσα τούτου τεκμήρια. ὁ Ἐνώχ, ὁ Ἠλίας, ὁ Ἰωνᾶς, τὰ ἐν τῇ καμίνῳ, τὸ ἐπὶ τοῦ Νῶε, τὸ βάπτισμα, τὰ σπέρματα, τὰ φυτά, ἡ γέννησις ἡ ἡμετέρα, ἡ τῶν ζώων πάντων. ἐπειδὴ γὰρ ἐν τούτῳ πάντα ἐκινδύνευεν, τοῦτο μάλιστα πάντων πολλοὺς ἔχει τοὺς τύπους. ὅτι οὐκ ἀπρονόητα τὰ πάντα ἐστίν, ἀπὸ τῶν παρ' ἡμῖν δυνατὸν στοχάσασθαι. οὐδὲν γὰρ ἀπρονόητον μένει, ἀλλὰ καὶ ἀγέλαι καὶ τὰ ἄλλα πάντα ἀρχῆς δεῖται. καὶ ὅτι οὐκ αὐτόματα γέγονε τὰ πάντα, δείκνυσιν ἡ γέεννα, ἔδειξε δὲ ὁ κατακλυσμὸς ὁ ἐπὶ Νῶε, τὸ πῦρ, ὁ καταποντισμὸς ὁ τῶν Αἰγυπτίων, τὰ ἐν τῇ ἐρήμῳ. ἔδει καὶ τοῦ βαπτίσματος πολλὰ προδιηγήσασθαι. γέγονεν, ὅσα ἐν ὕδατι, καὶ μυρία ἄλλα, οἷον τὰ ἐν τῇ παλαιᾷ, τὰ ἐν τῇ κολυμβήθρᾳ, τὸ τὸν μὴ ὑγιαίνοντα καθαίρεσθαι, αὐτὸς ὁ κατακλυσμός, τὸ βάπτισμα Ἰωάννου. ἔδει τις πιστεῦσαι ὅτι τὸν υἱὸν αὐτοῦ ἐκδίδωσιν ὁ Θεός. προλαβὼν ἐποίησε τοῦτο ἄνθρωπος. τίς οὗτος; Ἀβραὰμ ὁ πατριάρχης. πάντων οὕτω τούτων τύπους, ἂν θέλωμεν, εὑρήσομεν, ἂν ζητῶμεν ἐν τῇ γραφῇ. ἀλλὰ μὴ ἀποκάμωμεν, ἀλλ' ἐν τούτοις ῥυθμίζωμεν ἑαυτούς, στερρὰν ἔχωμεν τὴν πίστιν, καὶ ἀκρίβειαν πολιτείας ἐπιδειξώμεθα, ἵνα διὰ πάντων εὐαρεστήσαντες τῷ Θεῷ, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ς. 6 ΩΣ ΟΥΝ ΠΑΡΕΛΑΒΕΤΕ ΤΟΝ ΧΡΙΣΤΟΝ Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, 7 Ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

Πάλιν αὐτοὺς τῇ οἰκείᾳ προκαταλαμβάνει μαρτυρίᾳ λέγων, ὡς οὖν παρελάβετε. οὐδὲν ξένον, φησίν, ἐπεισάγομεν· οὐκοῦν μηδὲ ὑμεῖς. ἐν αὐτῷ περιπατεῖτε (αὐτὸς γάρ ἐστιν ἡ ὁδὸς ἡ προσάγουσα εἰς τὸν πατέρα) μὴ ἐν τοῖς ἀγγέλοις. οὐ φέρει αὕτη ἡ ὁδὸς ἐκεῖ. ἐρριζωμένοι· τουτέστι, πεπηγότες· μὴ ποτὲ μὲν ταύτην, ποτὲ δὲ ἐκείνην, ἀλλ' ἐρριζωμένοι. τὸ δὲ ἐρριζωμένον οὐκ ἄν ποτε μεταστ[αί]η. χ. τὸ ὅρα πῶς κυρίας τὰς λέξεις τίθησι. καὶ ἐποικοδομούμενοι, φησί· τουτέστι, τῇ διανοίᾳ φθάνοντες εἰς αὐτόν. καὶ βεβαιούμενοι ἐν αὐτῷ, τουτέστι, κατέχοντες αὐτόν, καὶ ὡς ἐπὶ θεμελίου οἰκοδομούμενοι. δείκνυσιν αὐτοὺς καταπεσόντας. τὸ γάρ, οἰκοδομούμενοι, τοῦτο δηλοῖ. οἰκοδομὴ γάρ ἐστιν ὄντως ἡ πίστις, καὶ δεῖται τοῦ θεμελίου ἰσχυροῦ, καὶ τῆς οἰκοδομίας ἀσφαλοῦς. χ. οἰκοδ ἄν τε γὰρ μὴ ἐπ' ἀσφαλείᾳ τις οἰκοδομήσῃ, σαλεύεται· ἄν τε ἐπ' ἀσφαλείας, καὶ μὴ ἑστήκοι, οὐκ ἔτι ἵσταται. καθὼς ἐδιδάχθητε. πάλιν τὸ, καθώς, δηλωτικόν ἐστι τοῦ μηδὲν καινόν τι λέγειν. περισσεύοντες, φησίν, ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. τοῦτο γὰρ εὐγνωμόνων· οὐ λέγω ἁπλῶς εὐχαριστεῖν, ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας, πλέον ἢ ἐμάθετε, εἰ οἷοί τε, μετὰ πολλῆς τῆς φιλοτιμίας.

8 Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν. Ὁρᾷς πῶς ἔδειξε κλέπτην ὄντα, καὶ ἀλλότριον, καὶ ἠρέμα ἐπεισιόντα; ἤδη γὰρ παρέστησεν αὐτὸν εἰσιόντα. καὶ καλῶς εἶπε, συλαγωγῶν. ὥσπερ ἄν τις χῶμα κάτωθεν διορύττων μὴ παρέχῃ αἴσθησιν, ὃ δὴ [illegible], οὕτω καὶ ἐκεῖνος ποιεῖ. βλέπετε οὖν. τοῦτο γὰρ ἔργον ἐκείνου τὸ μηδὲ αἴσθησιν παρέχειν. * [illegible]

* Διὰ τῆς φιλοσοφίας. Εἶτα ἐπειδὴ δοκεῖ σεμνὸν εἶναι τὸ τῆς φιλοσοφίας, προσέθηκε, Καὶ κενῆς ἀπάτης. Ἔστι γὰρ καὶ καλὴ ἀπάτη, οἵαν ἠπατήθησαν πολλοί,

ἣν οὐδὲ ἀπάτην δεῖ καλεῖν· περὶ ἧς φησιν ὁ Ἱερεμίας, Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην. Ἱερ. κ ζ. τὸ γὰρ τοιοῦτον, οὐδὲ ἀπάτην δεῖ καλεῖν. ἐπεὶ καὶ τὸν πατέρα ὑπάτησεν ὁ Ἰακώβ, ἀλλ' οὐκ ἀπάτη, ἀλλ' οἰκονομία ἦν. Διὰ τῆς φιλοσοφίας, φησί, καὶ κενῆς ἀπάτης. Κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν. Τέως τὸν ἔλεγχον ἀπλέκεται τῆς τῶν ἡμερῶν παρατηρήσεως, στοιχεῖα κόσμου, ἥλιον καὶ σελήνην λέγων, καθάπερ καὶ ἐν τῇ πρὸς Γαλάτας ἔλεγε. Πῶς πάλιν ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ Γαλ. δ. θ. στοιχεῖα; καὶ οὐκ εἶπεν ἡμερῶν παρατήρησις, ἀλλὰ τοῦ κόσμου τοῦ παρόντος, ἵνα τὸ εὐτελὲς δείξῃ. εἰ γὰρ ὁ κόσμος οὐδέν, πολλῷ μᾶλλον καὶ τὰ στοιχεῖα. δείξας οὖν πρότερον ὅσα εὐηργετήθησαν, ὅσα δὲ ἔπαθον, τότε ἐπάγει τὴν κατηγορίαν, ἵνα μείζονα δείξῃ, καὶ ἕλῃ αὐτοὺς αἰσχύνοντας. τοῦτο καὶ οἱ προφῆται ποιοῦσιν. ἀεὶ πρότερον τὰς εὐεργεσίας δεικνύουσι, καὶ τότε τὰς κατηγορίας αὔξουσι, καθάπερ ὁ Ἠσαΐας φησίν· Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἡσ. α β. καὶ πάλιν. Λαός μου, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; ἢ τί παρηνώχλησά σοι; καὶ ὁ Μιχ. ϛ. γ. Δαβὶδ, ὡς ὅταν λέγῃ· Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. Ψαλ. π. ϛ. ι. καὶ πάλιν, Ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό· καὶ πολλαχοῦ οὕτως εὑρήσεις. μάλιστα μὲν οὖν οὐδὲ εἰ μὴ ἔλεγον, πείθεσθαι ἔδει· νυνὶ δὲ καὶ χωρὶς τῶν εὐεργεσιῶν φθάνει ἐκεῖνα δεῖ, καὶ οὐ κατὰ Χριστόν, φησί. μάλιστα μὲν γάρ, εἰ καὶ οὕτως ἦν ἐξ ἡμισείας, ὥστε δύνασθαι καὶ τούτῳ κἀκείνῳ δουλεύειν, οὐδὲ οὕτως ἔδει· νυνὶ δὲ οὐκ ἀφίησιν ὑμᾶς εἶναι κατὰ Χριστόν· ἐκεῖθεν αὐτὰ φέρουσι. πρότερον διασαλεύσας τὰς ἑλληνικὰς παρατηρήσεις, τότε καὶ τὰς Ἰουδαϊκὰς ἀναιρεῖ. καὶ γὰρ Ἕλληνες, καὶ Ἰουδαῖοι παρετήρουν πολλά· ἀλλ' οἱ μὲν ἀπὸ φιλοσοφίας, οἱ δὲ ἀπὸ νόμου. πρότερον τοίνυν πρόσεισι τούτοις, ἔνθα μείζων ἡ κατηγορία. πῶς οὐ κατὰ Χριστόν; Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. ὅρα πῶς ἐν τῇ τούτων κατηγορίᾳ ἐκεῖνο διερεύνησε, πρότερον τιθεὶς τὴν λύσιν, καὶ τότε τὴν ἀντίθεσιν. ἀνύποπτος γὰρ ἡ τοιαύτη λύσις, καὶ μᾶλλον δέχεται ὁ ἀκροατής, ὡς οὐ τοῦτο σπουδάζοντος τοῦ λέγοντος. ἐκεῖ μὲν γὰρ καὶ φιλονεικεῖ μὴ πεισθῆναι, ἐνταῦθα δὲ οὔ.

[Left margin: .τὴν κατηγορίαν — .πλάτωνος — .πλείονα·]

9 Ὅτι ἐν αὐτῷ κατοικεῖ· Τουτέστιν, ὅτι ὁ Θεὸς ἐν αὐτῷ οἰκεῖ. ἀλλ' ἵνα μὴ νομίσῃς αὐτὸν συγκεκλεῖσθαι, ὡς ἐν σώματι, φησί· Πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,

10 Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι. Ἄλλοι φασὶν ὅτι τὴν ἐκκλησίαν λέγει πεπληρωμένην ὑπὸ τῆς θεότητος αὐτοῦ, καθὼς ἀλλαχοῦ φησι· Τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. Ἐφ. α. κγ. τὸ δὲ, σωματικῶς ἐνταῦθα, ὡς ἐν κεφαλῇ σῶμα. πῶς οὖν οὐκ ἐπήγαγεν, ἥτις ἐστὶν ἡ ἐκκλησία; ἔνιοι δὲ περὶ τοῦ πατρὸς φασὶ λέγειν, ὅτι τῆς θεότητος τὸ πλήρωμα ἐν αὐτῷ οἰκεῖ· ἀλλὰ κακῶς. πρῶτον μὲν, ὅτι τὸ οἰκεῖν, οὐ κυρίως λέγεται ἐπὶ Θεοῦ· δεύτερον, ὅτι τὸ πλήρωμα, οὐ τὸ δεδεγμένον ἐστί. Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Ψαλ. κγ. α. καὶ πάλιν ὁ ἀπόστολος, Ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ. Ῥωμ. ια. κε. τὸ ὅλον λέγεται πλήρωμα. ἔπειτα τὸ, σωματικῶς, τί βούλεται δηλοῦν; ὡς ἐν κεφαλῇ. τί δὲ πάλιν τὸ αὐτὸ λέγει; καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι. τί οὖν ἐστιν; ὅτι οὐδὲν ἔλαττον ἔχετε αὐτοῦ. ὥσπερ ἐν ἐκείνῳ ᾤκησεν, οὕτω καὶ ἐν ὑμῖν. βιάζεται γὰρ ἀεὶ Παῦλος ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ Χριστοῦ, ὡς ὅταν λέγῃ· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς· Ἐφ. β. ϛ. καὶ, Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· β. Τιμ. β ιβ. καὶ, Πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Ῥωμ. η. λβ. καὶ συγκληρονόμους καλεῖ. Ῥωμ. η. ιζ. Εἶτα περὶ τοῦ ἀξιώματος. Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. Πάντων ἀνώτερος, αἰτία, οὐχὶ ὁμοούσιος; Εἶτα τὸ τῆς εὐεργεσίας θαυμαστῶς πως ἐπήγαγε, καὶ πολλῷ τῆς πρὸς Ῥωμαίους θαυμαστότερον. ἐκεῖ μὲν γάρ φησι, Περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι· Ῥωμ. β. κθ. ἐνταῦθα δὲ, ἐν τῷ Χριστῷ.

11 Εἰ

11 Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. Ὅρα πῶς ἐπίτασιν γίνεται τοῦ πράγματος. ἐν τῇ ἀπεκδύσει, φησίν· οὐκ εἶπεν, ἐκδύσει. τοῦ σώματος τῶν ἁμαρτιῶν· τὸν παλαιὸν φησὶ βίον. συνεχῶς ταῦτα στρέφει καὶ διαφόρως, ὥσπερ καὶ ἄνω ἔλεγεν· Ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ ἀποκατήλλαξεν ἀπηλλοτριωμένους εἰς τὸ εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους. Οὐκέτι, φησὶν, ἐν μαχαίρᾳ ἡ περιτομὴ, ἀλλ᾽ ἐν αὐτῷ τῷ Χριστῷ. οὐ γὰρ χεὶρ ἐπάγει, καθὼς ἐκεῖ, τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ πνεῦμα· οὐ μέρος, ἀλλ᾽ ὅλον ἄνθρωπον περιτέμνει. σῶμα καὶ τοῦτο, σῶμα κἀκεῖνο· ἀλλὰ τὸ μὲν σαρκὶ, τὸ δὲ πνευματικῶς περιτέμνεται· ἀλλ᾽ οὐχ ὡς Ἰουδαῖοι. οὐ γὰρ σάρκα, ἀλλὰ ἁμαρτήματα ἀπεξεδύσασθε. πότε, καὶ ποῦ; ἐν τῷ βαπτίσματι. καὶ ὃ καλεῖ περιτομὴν, πάλιν ταφὴν καλεῖ. ὅρα πῶς πάλιν ἐπὶ τὰ δικαιώματα διαβαίνει. τῶν ἁμαρτιῶν, φησὶ, τῶν τῆς σαρκὸς, τουτέστιν, ἅπερ ἐν τῇ σαρκὶ ἐπράξατε. μείζονα τῆς περιτομῆς λέγει. οὐ γὰρ ἐρρίψατε τὸ περιτμηθὲν, ἀλλ᾽ ἀπώλεσαν, ἀλλ᾽ ἔφθειραν.

12 Συνταφέντες αὐτῷ, φησὶν, ἐν τῷ βαπτισμῷ, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.

Ἀλλ᾽ οὐ τάφος μόνον ἐστίν. ὅρα γὰρ τί φησιν. ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. καλῶς εἶπε. πίστεως γάρ ὅλον ἐστίν. ἐπιστεύσατε ὅτι δύναται ὁ Θεὸς ἐγεῖραι, καὶ οὕτως ἠγέρθητε. Εἶπε καὶ τὸ ἀξιόπιστον, τοῦ ἐγείραντος αὐτὸν, φησὶν, ἐκ νεκρῶν. ἤδη δείκνυσι τὴν ἀνάστασιν.

13 Καὶ ἡμᾶς ποτε ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν, συνεζωοποίησε σὺν αὐτῷ. Ὑπὸ γὰρ τὴν δίκην ἔκεισθε ἀποθανεῖν. εἰ δὲ καὶ ἀπεθάνετε, ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλὰ θάνατοι χρήσιμοι. ὅρα πῶς πάλιν δείκνυσι τίνων ἦσαν ἄξιοι, δι᾽ ὧν ἐπῆγε· Χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα,

14 Ἐξαλείψας τὸ καθ᾽ ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ,

15 Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Χαρισάμενος ἡμῖν, φησὶ, πάντα τὰ παραπτώματα. ποῖα; ἃ τὴν νεκρότητα ἐποίει. καὶ τί; ἆρα ἀφῆκε μεῖναι; οὐχὶ, ἀλλὰ καὶ ἐξήλειψεν. οὐκ ἐχάραξε μόνον, ἀλλ᾽ ἐξήλειψεν, ὥστε μηδὲ φαίνεσθαι. τοῖς δόγμασί, φησι. ποίοις δόγμασι; τῇ πίστει. ἐκείνων ἀρκεῖ πιστεῦσαι. οὐχὶ ἔργοις ἔργα, ἀλλὰ πίστει ἔργα περιέθηκε. καὶ τί μετὰ ταῦτα; ἐπίτασις τοῦ ἀφεῖναι τὸ ἐξαλεῖψαι πάλιν. καὶ αὐτὸ ἦρκε, φησιν, ἐκ τοῦ μέσου. καὶ οὐδὲ οὕτως ἐφύλαξεν, ἀλλὰ καὶ διέρρηξεν αὐτὸ προσηλώσας τῷ σταυρῷ. ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. οὐδαμοῦ οὕτω μεγαλοφώνως ἐφθέγξατο. ὁρᾷς σπουδὴν τοῦ ἀφανισθῆναι τὸ χειρόγραφον ὅσην ἐποιήσατο; οἷον πάντες ἦμεν ὑφ᾽ ἁμαρτίαν καὶ κόλασιν, αὐτὸς κολασθεὶς ἔλυσε καὶ τὴν ἁμαρτίαν καὶ τὴν κόλασιν· ἐκολάσθη δὲ ἐν τῷ σταυρῷ. ἐκεῖ τοίνυν αὐτὸ προσέπηξεν. εἶτα ὡς ἐξουσίαν ἔχων λοιπὸν διέρρηξε. ποῖον χειρόγραφον; ἢ τοῦτό φησιν, ὃ ἔλεγον πρὸς τὸν Μωϋσέα, Ὅτι πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιήσομεν, καὶ ἀκουσόμεθα· ἢ εἰ μὴ τοῦτο, ὅτι ὀφείλομεν τῷ Θεῷ ὑπακοήν· ἢ εἰ μὴ τοῦτο, ὅτι κατεῖχεν ὁ διάβολος τὸ χειρόγραφον, ὃ ἐποίησε πρὸς τὸν Ἀδὰμ ὁ Θεὸς εἰπών· Ἣ ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ξύλου, ἀποθανῇ. κατεῖχεν οὖν τὸ χειρόγραφον τοῦτο ὁ διάβολος· καὶ οὐκ ἔδωκεν ἡμῖν αὐτὸ ὁ Χριστὸς, ἀλλ᾽ αὐτὸς αὐτὸ ἔσχισεν, ὅπερ τοῦ μετὰ χαρᾶς ἀφιέντος ἐστίν. ἀπεκδυσάμενος τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας· τὰς διαβολικὰς δυνάμεις λέγει, ἢ ἐπειδὴ αὐτὰς ἡ ἀνθρωπίνη φύσις ἐνεδέδυτο, ἢ ἐπειδὴ αὐτὰς ὥσπερ λαβὴν εἶχον, ἄνθρωπος γενόμενος ἀπεδύσατο τὴν λαβήν. τοῦτο ἐστιν, ἐδειγμάτισε. καὶ

Κολασ. α. κα.

Εξοδ. κδ. γ.

Γεν. β. ιζ.

καλῶς

καλῶς εἶπε τοῦτο. οὐδέποτε γὰρ οὕτως ὁ διάβολος ἠσχημόνησε. προσδοκῶν γὰρ αὐτὸν ἔχειν, καὶ οὓς εἶχεν ἀπώλεσε, καὶ τοῦ σώματος προσηλωμένου, οἱ νεκροὶ ἀνέστησαν. ἐκεῖ τὴν πληγὴν ἔλαβεν ὁ διάβολος, ὑπὸ σώματος νεκροῦ τὴν καιρίαν λαβών. καὶ καθάπερ ἀθλητὴς νομίζων τὸν ἀντίπαλον βεβληκέναι, καιρίαν αὐτὸς ὑπ' αὐτοῦ λαμβάνει πληγήν· οὕτω δὴ καὶ ἐνταῦθα δείκνυσιν, ὅτι τὸ μετὰ παῤῥησίας ἀποθανεῖν, ἀσχημοσύνη ἐστὶ τοῦ διαβόλου. πάντα γὰρ ἂν ἐποίησεν ἐκεῖνος, εἴγε ᾔδει, ὥστε πεῖσαι τοὺς ἀνθρώπους, ἵνα οὐκ ἀποθάνῃ. ἐπειδὴ γὰρ τῆς μὲν ἀναστάσεως ὁ μετὰ ταῦτα πᾶς καιρὸς τεκμήριον ἦν, τοῦ δὲ θανάτου, εἰ μὴ ἐκεῖνος ἐγένετο, οὐκ ἂν ἐγένετο ἕτερος καιρός, διὰ τοῦτο ἀπέθανε μὲν δημοσίᾳ πάντων ὁρώντων, οὐκ ἀνέστη δὲ δημοσίᾳ, εἰδὼς τὸν μετὰ ταῦτα χρόνον μαρτυρήσοντα τῇ ἀληθείᾳ. τὸ γὰρ τοῦ κόσμου ὁρῶντος αὐτὸν ἐν τῷ ξύλῳ τὸν ὄφιν σφαγιασθῆναι, τοῦτό ἐστι τὸ θαυμαστόν. καὶ τί γὰρ οὐκ ἐποίησεν ὁ διάβολος, ὥστε λαθόντα αὐτὸν ἀποθανεῖν; ἄκουε τοῦ Πιλάτου λέγοντος· Ἄρατε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐδεμίαν αἰτίαν ἐν αὐτῷ εὑρίσκω. καὶ * πάλιν Ἰουδαῖοι ἔλεγον αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. λοιπὸν οὖν ἐπειδὴ καιρίαν ἔλαβε, καὶ οὐ κατέβη, διὰ τοῦτο καὶ ταφῇ παρεδόθη. ἐπεὶ δυνατὸν ἦν εὐθέως διαστῆναι, ἀλλ' ἵνα πιστωθῇ τὸ πρᾶγμα. καίτοι ἐν μὲν ταῖς ἰδιωτικαῖς τελευταῖς ἔνεστιν ὀλιγοψυχίαν αἰτιάσασθαι· ἐνταῦθα δὲ οὐδὲ τοῦτο. καὶ γὰρ καὶ οἱ στρατιῶται οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, καθάπερ τῶν ἄλλων, ἵνα φανερωθῇ ὅτι τέθνηκε. καὶ φανεροί εἰσιν οἱ τὸ σῶμα θάψαντες. διὰ τοῦτο καὶ αὐτοὶ σφραγίζονται οἱ Ἰουδαῖοι τὸν λίθον μετὰ τῶν στρατιωτῶν. τὸ γὰρ μάλιστα πάντων σπουδαζόμενον τοῦτο ἦν, τὸ μὴ πιστευθῆναι. καὶ οἱ μάρτυρες, παρὰ τῶν ἐχθρῶν, παρὰ τῶν Ἰουδαίων. ἄκουε αὐτῶν λεγόντων τῷ Πιλάτῳ· Εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν παρὰ τῶν στρατιωτῶν φυλαχθῆναι τὸν τάφον. κἀκείνων σφραγιζομένων τοῦτο ἐγένετο. ἄκουε δὲ αὐτῶν τοῦτο καὶ μετὰ ταῦτα λεγόντων τοῖς ἀποστόλοις, Βούλεσθε ἐπαγαγεῖν ἐφ' ὑμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. τὸν τρόπον αὐτοῦ τοῦ σταυροῦ οὐκ ἀφῆκεν αἰσχύνεσθαι. ἐπειδὴ γὰρ οἱ ἄγγελοι οὐδὲν τοιοῦτον πεπόνθασι, διὰ τοῦτο ὑπὲρ τούτου πάντα ποιεῖ, δεικνὺς ὅτι μέγα κατόρθωσεν ὁ θάνατος. ὥσπερ γὰρ μονομάχιον γέγονεν. ἔπληξε τὸν Χριστὸν ὁ θάνατος· ἀλλ' ὁ Χριστὸς πληγεὶς, ὕστερον αὐτὸν ἀνεῖλε. νεκρῷ σώματι κατελύετο ὁ δοκῶν ἀθάνατος εἶναι, καὶ τοῦτο ἡ οἰκουμένη ἑώρα. καὶ τὸ δὴ θαυμαστὸν, οὐκ ἐπέτρεψεν ἑτέρῳ τοῦτο. ἀλλὰ γέγονεν ἕτερον χειρόγραφον πάλιν, οὐ τοιοῦτον, διὰ τὸ πρότερον. ὁρᾶτε οὖν μὴ τοῦτο παραλάβωμεν, μετὰ τὸ εἰπεῖν Ἀποτασσόμεθά σοι Σατανᾶ, καὶ συντασσόμεθά σοι, Χριστέ. μᾶλλον δὲ οὐκ ἂν κληθείη τοῦτο χειρόγραφον, ἀλλὰ συνθήκη. χειρόγραφον γάρ ἐστιν, ὅταν τις ὀφλημάτων ὑπεύθυνος κατέχηται· τοῦτο δὲ συνθήκη ἐστίν. οὐκ ἔχει τιμωρίαν, οὐδὲ λέγει, ἐὰν τόδε, ἢ μὴ τόδε. ὁ δὲ αἷμα τῆς διαθήκης ῥαντίζων Μωϋσῆς εἶπεν οὕτω, καὶ ὁ Θεὸς ζωὴν αἰώνιον ἐπηγγείλατο. ταῦτα πάντα συνθήκη ἐστίν. ἐκεῖ δοῦλος πρὸς δεσπότην, ἐνταῦθα φίλος πρὸς φίλον. ἐκεῖ, Ἡ ἂν ἡμέρᾳ φάγῃ, φησὶν, ἀποθανῇ εὐθέως ἀπειλή· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. ἐνταῦθα γυμνότης, κἀκεῖ γυμνότης. ἀλλ' ἐκεῖ μὲν ἁμαρτήσας ἐγυμνώθη, ἐπειδὴ ἥμαρτεν· ἐνταῦθα δὲ, ἵνα ἀπαλλαγῇ, γυμνοῦται. ἀπεδύσατο τότε τὴν δόξαν, ἣν εἶχεν, ἐκεῖνος, ἀποδύεται νῦν τὸν παλαιὸν ἄνθρωπον οὗτος, καὶ πρὶν ἢ ἐπιβῆναι, οὕτως εὐκόλως ἀποδύεται, ὥσπερ τὰ ἱμάτια. ἀλείφεται, ὥσπερ οἱ ἀθληταὶ εἰς στάδιον ἐμβησόμενοι. ἅμα γὰρ τίκτεται, καὶ οὐ καθάπερ ἐκεῖνος ὁ πρῶτος κατὰ μικρόν, ἀλλ' εὐθέως. οὐ καθάπερ οἱ ἱερεῖς τὸ παλαιὸν τὴν κεφαλὴν μόνον, μᾶλλον δὲ μειζόνως. ἐκεῖνος μὲν γὰρ τὴν κεφαλὴν, τὸ οὖς τὸ δεξιὸν, τὴν χεῖρα, ἵνα καὶ πρὸς ὑπακοὴν καὶ ἔργα ἀγαθὰ αὐτὸν διεγείρῃ· οὗτος δὲ τὸ πᾶν. οὐ γὰρ διδαχθησόμενος ἔρχεται μόνον, ἀλλὰ καὶ ἀθλήσων καὶ γυμνασθησόμενος εἰς ἑτέραν ἀνάγεται κτίσιν. ὅταν γὰρ ὁμολογῇ εἰς

βαλεῖν

μυεία αἰτιαμένη

Ιων. ιθ. ε.

Ματθ. κζ. μβ.

Ματθ. κζ. ξγ.

Πραξ. ε. κη.

ἀποτάσσο-

συντάσσο-

Γεν. β. ιζ.

ὥσεί τις ... πον ἀπο- ... υτο.

Λευιτ. η. ιβ. κδ.

αὐτὸν

ζωὴν αἰώνιον, ὡμολόγησεν ἑτέραν κτίσιν. ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον· λοιπὸν δὲ οὐκέτι χοῦν, ἀλλὰ πνεῦμα ἅγιον. τούτῳ πλάττεται, τούτῳ ῥυθμίζεται, καθάπερ καὶ αὐτὸς ἐν τῇ μήτρᾳ τῆς παρθένου. οὐκ εἶπεν, ἐν παραδείσῳ, ἀλλ', ἐν οὐρανῷ. μὴ γὰρ, ἐπειδὴ γῆ ὑπόκειται, νομίσῃς εἶναι ἐν γῇ. μετοικίζει ἐκεῖ πρὸς τὸν οὐρανόν· ἐκεῖ ταῦτα γίνεται, μεταξὺ ἀγγέλων. ἄνω σου λαμβάνει τὴν ψυχὴν ὁ Θεὸς, ἄνω μεταρρυθμίζει, παρ' ὃ τὸν θρόνον ἴσασι τὸν βασιλικόν. πλάττεται ἐν τῷ ὕδατι, λαμβάνει δὲ ἀντὶ ψυχῆς πνεῦμα. μετὰ δὲ τὸ πλασθῆναι οὐκ ἄγει πρὸς αὐτὸν θηρία, ἀλλὰ δαίμονας καὶ τὸν ἀρχηγὸν αὐτῶν, καὶ λέγει, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων. οὐ λέγει, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, ἀλλὰ τί; Δίδωσιν αὐτοῖς υἱοῖς Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεοῦ, φησιν, ἐγεννήθησαν. Εἶτα ἵνα μὴ τοῦ ὄφεως ἀκούσῃς, εὐθέως διδάσκει λέγειν, ἀποτάσσομαί σοι, ἀντὶ τοῦ, ὅπερ ἂν εἴπῃς, οὐκ ἀκούσομαί σου. Εἶτα ἵνα μὴ δι' ἑτέρων σε ἕλῃ, φησὶ, καὶ τῇ πομπῇ σου, καὶ τῇ λατρείᾳ σου, καὶ τοῖς ἀγγέλοις σου. ἔθετο αὐτὸν οὐκέτι φυλάσσειν τὸν παράδεισον, ἀλλὰ πολιτεύεσθαι ἐν οὐρανῷ. εὐθέως γὰρ ἀνελθὼν, ταῦτα φθέγγεται τὰ ῥήματα· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. οὐκ ἔτ' ὄψιν πίπτει τὸ παιδίον. οὐ ξύλον ὁρᾷς, οὐδὲ πηγὴν, ἀλλ' αὐτὸν εὐθέως περιλαμβάνει τὸν δεσπότην, ἀνακεράννυται τῷ σώματι, ἀναφύρεται τῷ σώματι τῷ ἄνω κειμένῳ, ἔνθα προσελθεῖν οὐκ ἔνι τῷ διαβόλῳ. οὐκ ἔστι γυνὴ, ἵνα προσέλθῃ, καὶ ὡς ἀσθενεστέραν ἀπατήσῃ. Οὐκ ἔστι γὰρ, φησὶ, θῆλυ, οὐδὲ ἄρσεν. ἂν μὴ σὺ κατέλθῃς πρὸς αὐτὸν, οὐ δυνήσεται ἐπιβῆναι ἔνθα εἶ. εἰ γὰρ τῷ οὐρανῷ εἶ, ὁ δὲ οὐρανὸς ἄβατος τῷ διαβόλῳ. οὐκ ἔχει ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, ἀλλὰ τὸ ξύλον τῆς ζωῆς μόνον. οὐκέτι ἀπὸ τῆς πλευρᾶς σου γυνὴ, ἀλλὰ πάντες ἓν ἐσμὲν ἀπὸ τῆς πλευρᾶς τοῦ Χριστοῦ. Εἰ γὰρ οἱ ἠλειμμένοι ὑπὸ ἀνθρώπων οὐδὲν πάσχουσιν ὑπὸ ὄφεων, οὐδὲ σὺ πείσῃ τι, ἕως ἂν ᾖς ἠλειμμένος, ἵνα δυνηθῇς κατέχειν τὸν ὄφιν καὶ ἀποπνίγειν, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. ἀλλ' ὥσπερ μεγάλα τὰ δῶρα, οὕτω μεγάλη ἡμῖν καὶ ἡ τιμωρία. οὐκ ἔνι ἐκπεσόντα τοῦ παραδείσου ἀπέναντι οἰκῆσαι τοῦ παραδείσου, οὐδὲ ἐπιμεληθῆναι ὅθεν ἐξεπέσομεν. ἀλλὰ τί μετὰ ταῦτα; γέεννα, καὶ σκώληξ ἀτελεύτητος. ἀλλὰ μὴ γένοιτό τινα ἡμῶν ὑπεύθυνον γενέσθαι ταύτῃ τῇ τιμωρίᾳ· ἀλλ' ἐναρέτως ζῶντες σπουδάσωμεν τὰ αὐτῷ δοκοῦντα διαπράττεσθαι· εὐαρεστήσωμεν τῷ Θεῷ, ἵνα δυνηθῶμεν καὶ τῆς κολάσεως ἀπαλλαγῆναι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λου. ι. ιθ. Γεν. α. κϛ. Ιωαν. α. ιγ. Γαλ. γ. κη.

Λογ. ζ. 16 ΜΗ ΟΥΝ ΤΙΣ ΥΜΑΣ ΚΡΙΝΕΤΩ ΕΝ ΒΡΩΣΕΙ, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων, 17 Ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα Χριστοῦ· 18 Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ, καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, 19 Καὶ οὐ κρατῶν τὴν κεφαλὴν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

Πρόστη

Πρῶτον αἰνιγματωδῶς εἰπών, Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, καὶ πάλιν ἀνωτέρω, Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ, καὶ προκαταλαβὼν τὴν ψυχὴν καὶ μεμεριμνημένην ἐργασάμενος, εἶτα παρενθεὶς τὰς εὐεργεσίας, καὶ μειζόνως τοῦτο ποιήσας, τότε ἐπάγει τὸν ἔλεγχον ὕστερον, καί φησι· μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νεομηνίας, ἢ σαββάτων. Ὁρᾷς πῶς αὐτὰ καθαιρεῖ; εἰ τοιούτων τετυχήκατε, φησί, τί τοῖς μικροῖς ὑποβαθμοὺς ἑαυτοὺς ποιεῖτε; καὶ ἐξευτελίζει λέγων, ἢ ἐν μέρει ἑορτῆς. Οὐ γὰρ δὴ πάντα κατεῖχον τὰ πρότερα. Ἢ νουμηνίας, ἢ σαββάτων. Οὐκ εἶπε, μὴ τοίνυν φυλάττετε, ἀλλά, μή τις ὑμᾶς κρινέτω. Ἔδειξεν αὐτοὺς παραβαίνοντας καὶ λύοντας, ἐφ' ἑτέροις δὲ τὸ ἔγκλημα ἤνεγκε. Μὴ ἀνέχεσθε τῶν κρινόντων, φησίν. Ἀλλ' οὐδὲ τοῦτο· ἀλλ' ἐκείνοις διαλέγεται μόνον, οὐχὶ ἐπιστομίζων αὐτούς, ὅτι οὐκ ὀφείλετε ἀνακρίνειν. Ἀλλ' οὐκ αὖ τούτων καθήψατο. Οὐκ εἶπεν, ἐν καθαροῖς καὶ ἀκαθάρτοις, οὐδὲ εἶπεν, ἐν σκηνοπηγίαις, καὶ ἀζύμοις, καὶ πεντηκοστῇ, ἀλλ', ἐν μέρει ἑορτῆς. Οὐ γὰρ ἐτόλμων τὸ πᾶν φυλάττειν· καὶ εἰ ἐφύλαττον, οὐχ ὥστε ἑορτάζειν. Ἐν μέρει, φησί· δεικνὺς ὅτι τὸ πλέον λέλυται. Εἰ γὰρ καὶ ἐσαββάτιζον, ἀλλ' οὐκ ἀκριβῶς. Ἅ ἐστι σκιὰ τῶν μελλόντων· τῆς καινῆς, φησί, διαθήκης. Τὸ δὲ σῶμα Χριστοῦ. Τὸ μὲν οὖν τοῦτο σίζουσι, τὸ δὲ σῶμα, Χριστοῦ· ἡ δὲ ἀλήθεια ἐπὶ Χριστοῦ γέγονεν. Τὸ δέ, τὸ σῶμα Χριστοῦ, μηδεὶς ὑμᾶς καταβραβευέτω, τουτέστιν, ἐπηρεαζέτω. Καταβραβευθῆναι γάρ ἐστιν, ὅταν παρ' ἑτέρου μὲν ἡ νίκη ᾖ, παρ' ἑτέρου δὲ τὸ βραβεῖον, ὅταν ἐπηρεάζῃ ὁ νικήσας. Ἄνωθεν ἐνίκησας τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας· τί πάλιν ὑποβάλλεις σεαυτὸν τῇ ἁμαρτίᾳ; Διὰ τοῦτο ἔλεγεν, ὅτι Ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι· καὶ πάλιν, Εὑρέθη Χριστὸς ἁμαρτίας διάκονος, ὃ ἐν τῇ πρὸς Γαλάτας γράφων ἔλεγεν. Ὅτε τοίνυν αὐτοὺς ἐνέπλησε θυμοῦ διὰ τοῦ εἰπεῖν, καταβραβευέτω, τότε ἄρχεται· θέλων, φησίν, ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ. Πῶς ἐν ταπεινοφροσύνῃ; ἢ πῶς φυσιούμενος; δείκνυσι κενοδοξίας ὂν τὸ πᾶν. Τί δὲ ὅλως ἐστὶ τὸ λεγόμενον; ἦσάν τινες οἱ λέγοντες, οὐ δεῖ ἡμᾶς διὰ τοῦ Χριστοῦ προσάγεσθαι, ἀλλὰ διὰ τῶν ἀγγέλων. Ἐκεῖνο γὰρ μεῖζόν ἐστιν, ἢ καθ' ἡμᾶς. Διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει τὰ ὑπὲρ τοῦ Χριστοῦ λεχθέντα αὐτῷ, Διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ κατηλλάγημεν, Ὅτι ὑπὲρ ἡμῶν ἔπαθεν, Ὅτι ἠγάπησεν ἡμᾶς. Καὶ ἐν αὐτῷ δὲ τούτῳ ἐπιείροντο πάλιν. Καὶ οὐκ εἶπε προσαγωγήν, ἀλλὰ θρησκείαν. Ἃ μὴ ἑώρακεν, ἐμβατεύων. Οὐ γὰρ εἶδεν ἀγγέλους, καὶ οὕτω διάκειται ὡς ἰδών. Διὰ τοῦτό φησι, φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ εἰκῆ. Οὐδὲ γὰρ ἐπί τινι ἀληθεῖ πράγματι, ἐπὶ τῷ δόγματι πεφύσηται. Τὸ προβάλλεται ταπεινοφροσύνης σχῆμα· ὡσεὶ ἔλεγε, σαρκικῆς διανοίας, οὐ πνευματικῆς, ἀνθρώπινος ὁ λογισμός. Καὶ οὐ κρατῶν τὴν κεφαλήν, φησίν, ἐξ οὗ πᾶν τὸ σῶμα, τουτέστιν, ἐκεῖθεν ἔχει τὸ εἶναι, καὶ τὸ καλῶς εἶναι. Τί τοίνυν τὴν κεφαλὴν ἀφείς, ἔχῃ τῶν μελῶν; ἐὰν ἐκεῖθεν ἐκπέσῃς, ἀπόλωλας. Ἐξ οὗ πᾶν τὸ σῶμα. Ἴστε δὲ ἤ, φησιν, οὐ τὸ ζῆν, ἀλλὰ καὶ τὸ συντίθεσθαι ἐκεῖθεν αὐτῷ. Πᾶσα ἡ ἐκκλησία, ἕως ἂν ἔχῃ τὴν κεφαλήν, αὔξει. Ἐπεὶ οὐκέτι ἀπονοίας καὶ κενοδοξίας τὸ πάθος, ἀνθρωπίνης ἐννοίας τὸ εὕρημα. Ἰδοὺ τό, ἐξ οὗ, ἐπὶ τοῦ υἱοῦ. Διὰ τῶν ἁφῶν καὶ συνδέσμων, φησίν, ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ· Τὴν κατὰ Θεόν, φησι, τὴν ἀπὸ τῆς πολιτείας τῆς ἀρίστης.

20 Εἰ οὖν ἀπεθάνετε σὺν Χριστῷ. Μέσον ἐκεῖνο τίθησι, καὶ τὸ σφοδρότερον ἑκατέρωθεν. Εἰ ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν τοῦ κόσμου στοιχείων, φησί, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Οὐκ ἔχει ἀκολουθίαν. Ἔδει γὰρ εἰπεῖν, πῶς

Margin notes: Κολοσ. Κεφ. β. — γρ. ἐπιστομίζων — γρ. οὐ γὰρ αὖ ἔτω ἀνήψατο. — γρ. ἐπηρεασθῇ. — Γαλ. ε. γ. καὶ δ.

ὡς ζῶντες ὑπόκεισθε τοῖς στοιχείοις; ἀλλὰ τοῦτο ἀφεὶς, τί φησι;

21 Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς·

22 Ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων. Οὐκ ἐστὲ ἐν τῷ κόσμῳ, φησί· καὶ πῶς τοῖς στοιχείοις ὑπόκεισθε; πῶς τὰς τοῦ κόσμου παρατηρήσεις; καὶ ὅρα πῶς αὐτοὺς κωμῳδεῖ, μὴ θίγῃς, μὴ ἅψῃ, μὴ γεύσῃ, ὡς μεγάλων τινῶν ἀπεχομένους. ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει. καθεῖλε τὴν πολλὴν τὴν φυσίωσιν, καὶ ἐπήγαγε· κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων. τί λέγεις; καὶ τὸν νόμον εἴπῃς, λοιπὸν διδασκαλία ἐστὶν ἀνθρώπου μετὰ τὸν καιρόν. ἢ ὅτι παρεποίουν αὐτὸν οὕτως εἶπεν, ἢ τὰ τῶν Ἑλλήνων αἰνίττεται. ὅλον ἀνθρώπινον τὸ δόγμα ἐστί, φησιν.

23 Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. Λόγον, φησίν, οὐ δύναμιν· ἄρα οὐκ ἀλήθειαν. ὥστε κἂν λόγον ἔχῃ σοφίας, ἀποστρεφώμεθα. δοκεῖ γὰρ εὐλαβής τις εἶναι καὶ μέτριος καὶ τοῦ σώματος καταφρονεῖν· οὐκ ἔστι δέ. οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. ὁ Θεὸς γὰρ τιμὴν ἔδωκεν, αὐτοὶ δὲ οὐκ ἐν τιμῇ κέχρηνται. οὕτως ὅταν δόγμα ᾖ, οἶδεν αὐτὸ τιμὴν καλεῖν. ἀτιμάζουσι τὴν σάρκα, φησίν, ἀποστεροῦντες αὐτὴν, καὶ τὴν ἐξουσίαν ἀφαιρούμενοι, οὐχ "ἑκόντες κρατεῖν συγχωροῦντες. ὁ Θεὸς τὴν σάρκα ἐτίμησεν. γ. ἑκόντα

κεφ. γ.

1 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ. Συνάγει αὐτοὺς λοιπὸν ἄνω κατασκευάσαι ὅτι ἀπῆλθε. Διὰ τοῦτό φησιν, Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε. οὐκ ἔστιν ἐκεῖ παρατήρησις. Τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Βαβαί, ποῦ τὸν νοῦν ἀνήγαγε τὸν ἡμέτερον; πῶς φρονήματος αὐτοὺς ἐπλήρωσε μεγάλου; οὐκ ἤρκει τὰ ἄνω εἰπεῖν, οὐδὲ οὗ ὁ Χριστός ἐστιν, ἀλλὰ προσέθηκεν, ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. ἐκεῖθεν λοιπὸν οὐ τὴν γῆν ὁρᾶν παρεσκεύαζε.

2 Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

3 Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

4 Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Οὐκ ἔστιν αὕτη, φησὶν, ἡ ζωὴ ὑμῶν· ἡ ὑμετέρα ζωὴ ἑτέρα τίς ἐστιν. ἤδη βιάζεται μεταστῆσαι αὐτοὺς, καὶ φιλονεικεῖ δεῖξαι καθημένους ἄνω, καὶ νεκροὺς ὄντας, ἐξ ἑκατέρων κατασκευάζων μὴ ζητεῖν τὰ ἐνταῦθα. εἴτε γὰρ νεκροί ἐστε, οὐκ ὀφείλετε ζητεῖν· εἴτε ἄνω ἐστέ, οὐκ ὀφείλετε ζητεῖν. μὴ φαίνεται ὁ Χριστός· οὐκοῦν οὐδὲ ἡ ζωὴ ὑμῶν. ἐν τῷ Θεῷ ἄνω ἐστί. τί οὖν; πότε ζησόμεθα; ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ "ζωὴ ὑμῶν, τότε τὴν δόξαν ζητεῖτε, τότε τὴν ζωήν, τότε τὴν τρυφήν. Ταῦτα πάντα κατασκευάζει καὶ τοῦ τῆς τρυφῆς αὐτοὺς ἀπαγαγεῖν καὶ τῆς αἱρέσεως. τοιοῦτον ἔθος αὐτῷ ἄλλα κατασκευάζοντι εἰς ἄλλα μεταπηδᾶν· οἷον, ὥσπερ περὶ τῶν προλαμβανόντων εἰς τὰ δεῖπνα διαλεγόμενος, ἐνέπεσεν ἀθρόον εἰς τὴν τῶν μυστηρίων παρατήρησιν. "μέγα γὰρ ἔχει "ἔλεγχος, ὅταν ἀνυπόπτως γίνηται. κέκρυπται, φησιν, ἀφ' ὑμῶν. τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε· ὥστε νῦν οὐ φαίνεσθε.. ὅρα πῶς αὐτοὺς εἰς αὐτὸν τὸν οὐρανὸν μετέστησεν. ὅπερ γὰρ ἔφην, ἀεὶ φιλονεικεῖ δεῖξαι τὰ αὐτὰ ἔχοντας ἅπερ καὶ ὁ Χριστός, καὶ διὰ πασῶν αὐτοῦ τῶν ἐπιστολῶν τοῦτο ὁ λόγος ἐν πᾶσι κοινωνοῦντας αὐτῷ δεῖξαι. διὰ τοῦτο καὶ κεφαλὴν, καὶ σῶμα λέγει, καὶ πάντα ποιεῖ, ἵνα τοῦτο παραστήσῃ.

γ. δόξα · α. Κορ. ια. κα. · γ. μέγα · γ. ἔλεγχος

ΗΘΙΚΟΝ

Εἰ τοίνυν τότε φανερούμεθα, μὴ ἀλγῶμεν, ὅταν τιμῆς μὴ ἀπολαύωμεν. εἰ μή ἐστιν αὕτη ἡ ζωή, ζωή, ἀλλὰ κέκρυπται, ὡς νεκροὶ ζῆν ὀφείλομεν ταύτην τὴν ζωήν. τότε καὶ ὑμεῖς, φησι, σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. ἐν δόξῃ εἶπεν, οὐχ ἁπλῶς *. ἐπεὶ καὶ ὁ

* ἀλλ' ἡμ...

μεγαλείτης

μέχρι γὰρ εἴ τις κατορύττοιτο, ἕως ἂν ᾖ ἐν τῷ ὀστρέῳ. αὐτοῖς οὖν μὴ δακρύωμεν, μηδὲ ἀλγῶμεν, ἀλλὰ τὸ ὅμοιον πάσχωμεν. οὐ γάρ ἐστιν ἡμετέρα ζωὴ αὕτη ἡ ζωή. ξένοι γὰρ καὶ παρεπίδημοί ἐσμεν. ἀπέθανετε γάρ, φησί. τίς ἐστιν οὕτως ἀνόητος, ὡς τῷ νεκρῷ σώματι, ταφῆς δέον, ἢ οἰκέτας ἀγοράζειν, ἢ οἰκίας οἰκοδομεῖν, ἢ ἱμάτια κατασκευάζειν πολυτελῆ; οὐδείς. μὴ τοίνυν μηδὲ ὑμεῖς. ἀλλ᾽ ὥσπερ ἐν μόνον ζητοῦμεν, ὥστε μὴ γεγυμνῶσθαι, οὕτω καὶ ἐνταῦθα ἓν μόνον ζητῶμεν. ἐτάφη ἡμῶν ὁ πρότερος ἄνθρωπος· ἐτάφη οὐκ ἐν γῇ, ἀλλ᾽ ἐν ὕδατι, οὐ τοῦ θανάτου αὐτὸν καταλύοντος, ἀλλὰ τοῦ θάψαντος καὶ παλύσαντος θάψαντος αὐτὸν οὐ φύσεως νόμῳ, ἀλλ᾽ ἐπὶ τῆς φύσεως ἰσχυροτέρῳ προστάγματι τῆς δεσποτείας. τὰ μὲν γὰρ παρὰ φύσεως γινόμενα καὶ ἀναλύσεις τις, τὰ δὲ παρὰ τοῦ προστάγματος αὐτοῦ, οὐκέτι. οὐδὲν ταύτης μακαριώτερον τῆς ταφῆς, ἐφ᾽ ᾗ πάντες χαίρουσι, καὶ ἄγγελοι, καὶ ἄνθρωποι, καὶ ὁ τῶν ἀγγέλων δεσπότης. ταύτῃ τῇ ταφῇ οὐχ ἱματίων, οὐ λάρνακος, οὐκ ἄλλου τῶν τοιούτων οὐδενὸς χρεία. βούλει δὲ σύμβολον ἰδεῖν; δείξω σοι καλυμβήθραν, ἐν ᾗ ὁ μὲν ἐτάφη, ὁ δὲ ἀνέστη. ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ κατεποντίσθησαν Αἰγύπτιοι, ἀνῆλθον δὲ Ἰσραηλῖται· καὶ τὸ αὐτὸ πρᾶγμα τὸν μὲν θάπτει, τὸν δὲ γεννᾷ. μὴ θαυμάσῃς, εἰ γένεσις καὶ φθορὰ γίνεται ἐν τῷ βαπτίσματι. εἰπὲ μοι, τὸ λύειν τὸ συγκολλᾶν οὐκ ἐναντίον; παντί που δῆλον. τοῦτο τὸ πῦρ ποιεῖ. κηρὸν μὲν γὰρ διαλύει καὶ ἀπόλλυσι, γῆν δὲ μεταλλικὴν συγκολλᾷ καὶ χρυσὸν ἐργάζεται. οὕτω δὴ καὶ ἐνταῦθα τὸν κήρινον ἀνδριάντα ἀφανίζουσα ἡ τοῦ πυρὸς δύναμις, ἔδειξε χρυσοῦν ἀντ᾽ ἐκείνου. πήλινοι γὰρ ὄντως ἦμεν πρὸ τοῦ λουτροῦ, χρυσοῖ δὲ μετὰ τοῦτο. πόθεν δῆλον; ἄκουσον αὐτοῦ λέγοντος· Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ. α. Κορ. ιε μζ. ἐγὼ μὲν ὅσον πηλίνου πρὸς χρυσὸν τὸ μέσον εἶπον, ἔνεστι δὲ μείζονα διαφορὰν οὐρανίου καὶ γηΐνου. οὐ τοσοῦτον δὲ πηλίνου καὶ χρυσοῦ τὸ μέσον, ὅσον τῶν γηΐνων καὶ τῶν οὐρανίων. κήρινοι ἦμεν, καὶ πήλινοι. καὶ γὰρ ἡ τῆς ἐπιθυμίας ἡμᾶς ἔτηξε φλόξ πολλῷ μᾶλλον, ἢ τὸν κηρὸν τὸ πῦρ· καὶ ὁ τυχὼν ἡμᾶς συνέκλα πειρασμὸς πολλῷ μᾶλλον, ἢ τὸν πήλινον ὁ λίθος. καὶ εἰ βούλεσθε, ἀκριβῶς γράψωμεν τὸν παρόντα βίον, εἰ μὴ πάντα ἐστὶ γῆ καὶ ὕδωρ, καὶ τὸ μὲν εὐεπίφορον ἔχοντα, καὶ τὸ κονιορτόν, καὶ τὸ ἄστατον καὶ διαρρέον. καὶ εἰ βούλεσθε, μὴ τὰ παρέργα, ἀλλὰ τὰ προέχοντα ἐξετάσωμεν, εἰ μὴ κονιορτὸν καὶ ὕδωρ εὑρήσομεν πάντα τὰ ὄντα. τί γὰρ βούλεσθε; τὰς ἀρχὰς καὶ τὰς δυναστείας; τούτων γὰρ οὐδὲν δοκεῖ ζηλωτότερον εἶναι ἐν τῷ παρόντι βίῳ. ἀλλὰ τὸν κονιορτὸν εὕροις ἂν μᾶλλον ἐπὶ τοῦ ἀέρος ἱστάμενον, ἢ ταῦτα, μάλιστα νῦν. τίνι γὰρ οὐχ ὑποκέκλινται; τοῖς ἐρῶσιν αὐτῶν, τοῖς εὐνούχοις, τοῖς τῶν χρημάτων ἕνεκεν ἅπαντα πράττουσι, θυμῷ δήμων, ὀργαῖς τῶν δυνατωτέρων. ὁ χθὲς ἐπὶ τοῦ βήματος ὑψηλός, ὁ κήρυκας ἔχων λαμπρᾷ τῇ φωνῇ βοῶντας, καὶ πολλοὺς ἔμπροσθεν παρατρέχοντας καὶ συσβοῶντας κατὰ τὴν ἀγοράν, σήμερον εὐτελὴς καὶ ταπεινὸς καὶ πάντων ἐκείνων ἔρημος καὶ γυμνός, καθάπερ κονιορτὸς διαρριπισθείς, καθάπερ ῥεῦμα παρελθόν. καθάπερ δὲ ἡ κόνις ἀπὸ τῶν ποδῶν ἐξαίρεται τῶν ἡμετέρων, οὕτω δὴ καὶ αἱ ἀρχαὶ ἀπὸ τούτων τίκτονται τῶν περὶ τὰ χρήματα στρεφομένων, καὶ πόδων τάξιν ἐχόντων ἐν παντὶ τῷ βίῳ. καὶ καθάπερ ἡ κόνις, ὅταν μὲν αἴρηται, πολὺ μέρος κατέχει τοῦ ἀέρος, αὐτὴ δὲ ἐστιν ὀλίγη, οὕτω καὶ ἡ ἀρχή. καὶ καθάπερ ἡ κόνις τυφλοῖ τοὺς ὀφθαλμούς, οὕτω καὶ τῆς ἀρχῆς ὁ τῦφος πηροῖ τοὺς ὀφθαλμοὺς τῆς διανοίας. ἀλλὰ τί; βούλει τὸ πολυθρύλλητον πρᾶγμα ἐξετάσωμεν, τὸν πλοῦτον; φέρε κατὰ μέρος αὐτὸν ἐξετάσωμεν. ἔχει τρυφήν, ἔχει τιμάς, ἔχει τὸ δύνασθαι. πρῶτον οὖν, εἰ βούλει, τὴν τρυφὴν ἐξετάσωμεν. οὐχὶ κονιορτός ἐστι; μᾶλλον δὲ καὶ τούτου ἀτιμότερον· παρατρέχει; μέχρι γὰρ τῆς γλώττης ἡ ἡδονὴ τῆς τρυφῆς. ὅταν δὲ ἐμπλησθῇ ἡ γαστήρ, οὐδὲ μέχρι τῆς γλώττης. ἀλλ᾽ αὗται αἱ τιμαί, πρᾶγμα ἡδύ, φησί. καὶ τί τῆς τιμῆς ἐκείνης ἀηδέστερον, ὅταν διὰ χρημάτων γίνηται, ὅταν μὴ ἐκ προαιρέσεως, μηδὲ ἀπὸ προθυμίας τινός, οὐ σὺ καρποῦσαι τὴν τιμήν, ἀλλ᾽ ὁ πλοῦτος. ὥστε μάλιστα πάντων ἄτιμον ποιεῖ τὸν πλουτοῦντα τοῦτο αὐτό.

Εἰπὲ γάρ μοι· εἴ σε φίλοι ἔχοντες πάντες ἐτίμων, ὡμολόγουν δέ σε μηδενὸς ἄξιον εἶναι, ἀναγκάζεσθαι δὲ δι' ἐκείνους τιμᾷν, οὐχ ὅπως ἂν σε ἑτέρως ἠτίμασαν; ὥστε ἀτιμίας αἴτιος ὁ πλοῦτος ἡμῖν, αὐτῶν τῶν κεκτημένων τιμιώτερος ὤν, καὶ ἀσθενείας, ἢ δυναστείας τεκμήριον. πῶς οὖν οὐκ ἄτοπον γῆς καὶ σποδοῦ (τοῦτο γὰρ ὁ χρυσὸς) μὴ νομίζεσθαι ἡμᾶς ἀξίους εἶναι, ἀλλ' ἡμᾶς δι' ἐκεῖνον τιμᾶσθαι; εἰκότως. ἀλλ' οὐχ ὁ τοῦ πλούτου καταφρονῶν, οὕτω. κρεῖττον γὰρ μὴ τιμᾶσθαι, ἢ οὕτω τιμᾶσθαι. Εἰπὲ γάρ μοι· εἴ τις εἴποι σοι, ὅτι σε οὐδὲ μικρᾶς ἡγοῦμαι ἄξιον τιμῆς, διὰ δὲ τοὺς οἰκέτας σου τιμῶ σε, ἆρα τί ταύτης τῆς ἀτιμίας γένοιτ' ἂν χεῖρον; εἰ δὲ τὸ δι' οἰκέτας τιμᾶσθαι αἰσχρὸν τοὺς τῆς αὐτῆς ψυχῆς ἡμῖν κοινωνοῦντας καὶ φύσεως, πολλῷ μᾶλλον * διὰ τούτων, ἅπερ ἐστὶν εὐτελέστερα, τοίχους λέγω οἰκιῶν, καὶ αὐλάς, καὶ σκεύη χρυσᾶ, καὶ ἱμάτια. γέλως ὄντως καὶ αἰσχύνη ταῦτα. βέλτιον ἀποθανεῖν, ἢ οὕτω τιμηθῆναι. Εἰπὲ γάρ μοι, εἴ τις σε κινδυνεύοντα ἐν τῷ τύφῳ τούτῳ εὐτελὴς καὶ καταφρόνητος ἐξελέσθαι ἐθέλησε τοῦ κινδύνου, τί ἂν τούτου χεῖρον ἦν; ὅταν δὲ περὶ τῆς πόλεως πρὸς ἀλλήλους λέγετε, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. προσέκρουσε γάρ ποτε κρατοῦντι ἡ πόλις ἡ ἡμετέρα, καὶ πᾶσαν αὐτὴν ἐκέλευσεν ἄρδην ἀπολέσθαι μετὰ ἀνδρῶν καὶ παίδων καὶ οἰκημάτων. τοιοῦτοι γὰρ οἱ θυμοὶ οἱ βασιλικοὶ τῇ ἐξουσίᾳ ὅσον ἂν θέλωσι, χαρίζονται. τοσοῦτον ἡ ἐξουσία κακόν. ἦν οὖν ἐν κινδύνοις τοῖς ἐσχάτοις. ἡ τούτων πόλις, αὕτη ἡ ἐπιθαλάσσιος, ἐλθοῦσα παρεκάλεσε τὸν βασιλέα ὑπὲρ ἡμῶν. οἱ δὲ τὴν πόλιν οἰκοῦντες τὴν ἡμετέραν ἔλεγον τοῦτο χεῖρον εἶναι τοῦ κατασκαφῆναι τὴν πόλιν. οὕτω τοῦ ἀτιμασθῆναι τὸ οὕτω τιμᾶσθαι χεῖρόν ἐστιν. ὅρα γὰρ πόθεν ἔχει τὴν ῥίζαν ἡ τιμή. μαγείρων χεῖρες ποιοῦσιν ἡμᾶς τιμᾶσθαι, ὥστε ἐκείνοις ὀφείλομεν χάριν ἔχειν, καὶ σύνδουλοι παρέχοντες πλουσίαν τὴν τράπεζαν, καὶ ὑφάνται, καὶ ἔριθοι, καὶ οἱ μέταλλα ἐργαζόμενοι, καὶ πλακουντοποιοὶ, καὶ τραπεζοποιοί. τοῖς τοιούτοις τούτοις εἰδέναι χάριν τῆς τιμῆς οὐ βέλτιον τὸ μὴ τιμᾶσθαι; καὶ χωρὶς δὲ τούτου, ὅτι ἀτιμίας γέμει τὸ πλουτεῖν, ἐγὼ σαφῶς ἀποδεῖξαι πειράσομαι. τὴν ψυχὴν αἰσχρὰν ἐργάζεται. τί δὲ τούτου ἀτιμότερον; εἰπὲ γάρ μοι· εἰ τὸ σῶμα ὡραῖον ἦν, καὶ πάντας ἐνίκα τῷ κάλλει, ὁ δὲ πλοῦτος προσελθὼν ἐπηγγέλλετο ποιήσειν αἰσχρὸν, καὶ ἀντὶ μὲν ὑγιοῦς τοιοῦδε, αὐτὸ δὲ κατεσταλμένον φλεγμαῖνον, καὶ πάντα τὰ μέλη ὑδέρου πληρῶσαι· ἐξώγκωσε μὲν τὴν ὄψιν καὶ πανταχόθεν ἐποίησεν οἰδαίνειν, ἐξώγκωσε δὲ πόδας καὶ τὴν ὀσφὺν βαρυτέρους ἐποίησεν, ἐξώγκωσε δὲ γαστέρα καὶ πάντας πίθου μείζονα εἰργάσατο, καὶ μετὰ τοῦτο οὐδὲ τοῖς βουλομένοις θεραπεύειν ἐπηγγέλλετο συγχωρήσειν (τοῦτο γὰρ ἡ ἐξουσία) ἀλλὰ τοσαύτην δώσειν ἐλευθερίαν, ὥστε ἄν τις προσιὼν ἀπάγων τῶν βλαπτόντων κωλύσειν αὐτόν, ἆρα ἦν ἄν τι τούτου ὠμότερον, εἰπέ μοι; οὐκοῦν τὸ πλουτεῖν, ὅταν τὴν ψυχὴν ταῦτα ἐργάζηται, πῶς ἂν εἴη καλόν; ἀλλ' ἡ ἐξουσία αὐτῆς τῆς νόσου χαλεπωτέρα. τὸ γὰρ νοσοῦντα μηδενὶ ὅλως ἰατρῶν πείθεσθαι, τοῦ νοσεῖν χαλεπώτερον· ὅπερ ὁ πλοῦτος ἔχει, πανταχόθεν φλεγμαίνειν ποιῶν τὴν ψυχὴν, καὶ τὸν ἰασόμενον προσιέναι κωλύων. ὥστε διὰ τὴν ἐξουσίαν μὴ μακαρίζωμεν τούτους, ἀλλ' ἐλεῶμεν. οὐδὲ γὰρ ὑδεριῶντα ἰδὼν κατακείμενον, τὸν μηδένα κωλύοντα ἐμφορεῖσθαι πομάτων, ὅσωνπερ ἤθελε, καὶ κρεῶν τῶν βλαπτόντων, ἐμακάρισα ἂν αὐτὸν διὰ τὴν ἐξουσίαν. οὐ γὰρ πανταχοῦ ἡ ἐξουσία καλὸν, ὥσπερ οὖν οὐδὲ αἱ τιμαί. καὶ γὰρ καὶ αὗται φρονήματος πληροῦσι πολλοῦ. εἰ δὲ τὸ σῶμα οὐκ ἂν εἵλου μετὰ πλούτου ταύτην δέξασθαι τὴν νόσον, πῶς τὴν ψυχὴν προορᾷς οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέραν κόλασιν δεχομένην; καὶ γὰρ πυρετοῖς πανταχόθεν φλέγεται, καὶ φλεγμοναῖς. καὶ τοὺς πυρετοὺς ἐκείνους οὐδεὶς σβέσαι δύναται. οὐ γὰρ ἀφίησιν ὁ πλοῦτος, ἅπερ ἐστὶν ἐλαττώματα, ταῦτα πείσας εἶναι πλεονεκτήματα· οἷον, τὸ μηδενὸς ἀνέχεσθαι, καὶ ἐξουσίᾳ πάντα ποιεῖν. οὐ γὰρ εὑρήσει τις ἄλλην ψυχὴν τοσούτων γέμουσαν ἐπιθυμιῶν καὶ οὕτως ἀτόπων, ὡς τὰς τῶν βουλομένων πλουτεῖν. πόσας γὰρ ληρῳδίας οὐχ ὑπογράφουσιν ἑαυτοῖς;

τοῖς; μᾶλλον τὸν τοὺς ἱπποκενταύρους ἀναπλάττοντα, καὶ τὰς χιμαίρας, καὶ τοὺς δρακοντόποδας, καὶ τὰς σκύλλας, καὶ τὰ τέρατα, ἴδοι τις ἂν αὐτοὺς ἀναπλάττοντας. κἂν θελήσῃς αὐτῶν μίαν ἐπιθυμίαν ἀναπλάσαι, οὐδὲν ἔτι σκύλλα, οὔτε χίμαιρα, οὔτε ἱπποκένταυρος φανήσεται πρὸς τὴν τερατωδίαν ἐκείνην, ἀλλ' εὑρήσεις πάντα ὁμοῦ ἔχουσαν τὰ θηρία. καὶ τάχα μέ τις οἰήσεται ἐν πλούτῳ γεγενῆσθαι πολλῷ οὕτως ἐπαληθεύοντα τοῖς "γινομένοις. λέγεταί τις (παρεῖπον γὰρ ἀπὸ τῶν παρὰ τοῖς ἕλλησιν ᾀδομένων τὸν λόγον πιστώσομαι) λέγεταί τις πρὸ τούτων βασιλεὺς τοσαύτῃ ἐνσεβεῖσαι τῇ τρυφῇ, ὥστε πλάτανον ποιῆσαι χρυσῆν, καὶ οὐρανὸν ἄνωθεν, καὶ οὕτω καθίσαι, καὶ ταῦτα ἐπιστρατεύων ἀνθρώποις πολεμεῖν μεμαθηκόσιν. ἆρα οὐχ ἱπποκενταύρων αὕτη ἡ ἐπιθυμία; ἆρα οὐ σκύλλης; ἕτερος πάλιν εἰς βοῦν ξύλινον ἐνέβαλε τοὺς ἀνθρώπους. ἆρα οὐ σκύλλα τοῦτο; πῶς δὲ τὸν ἕτερον, ὃς ἐξ ἀνδρὸς γυναῖκα ἐποίησε τὸν βασιλέα· τὸν στρατιώτην ἀπὸ γυναικός, τί εἴπω; θηρίον ἄλογον. καὶ ἔτι τούτου χεῖρον. τὰ γὰρ θηρία, ὑπὸ δένδρων ἂν ᾖ, ἀνέχονται τῆς φύσεως, καὶ πλέον οὐδὲν ἐπιζητοῦσιν· οὗτοι δὲ καὶ τὴν θηρίων τὴν φύσιν ὑπερηκόντισαν. ἆρα τί γένοιτ' ἂν τῶν πλουτούντων ἀνοητότερον; τοῦτο δὲ ἀπὸ τῆς πλεονεξίας τῶν ἐπιθυμιῶν ἐστί. ἆρα οὐχὶ πολλοὶ θαυμάζουσιν αὐτόν; τοῖς γάρ τοι τοῦ γέλωτος κηπωροῦσιν αὐτῷ. τοῦτο οὐ τὸν πλοῦτον ἐδείκνυ, ἀλλὰ τὴν ἄνοιαν. πόσῳ τῆς χρυσῆς ἐκείνης πλατάνου ἡ τῆς γῆς βελτίων; τὰ γὰρ κατὰ φύσιν τῶν παρὰ φύσιν ἡδίω. τί δέ σοι ὁ χρυσοῦς οὐρανὸς ἐβούλετο, ἀνόητε; ὁρᾷς πῶς μαινομένους ὁ πλοῦτος ποιεῖ ὁ πολύς; πῶς φλεγμαίνειν; οἶμαι αὐτὸν καὶ τὴν θάλατταν ἀγνοεῖν, καὶ τάχα βαδίζειν βούλεσθαι ἐπ' αὐτῆς. ἆρα οὐ χίμαιρα ταῦτα; ἆρα οὐχ ἱπποκένταυροι; ἀλλ' εἰσὶ καὶ νῦν τινες τοῦ οὐδὲν ἐκείνου ἀποδέουσιν, ἀλλὰ πολλῷ ἀνοητότεροι τυγχάνουσιν ὄντες. τί γάρ, εἰπέ μοι, τῆς χρυσῆς πλατάνου διαφέρουσι κατὰ ἄνοιαν οἱ κεράμια ποιοῦντες χρυσᾶ, καὶ χύτρας, καὶ ἀλάβαστρα; τί δὲ αἱ γυναῖκες (αἰσχυνόμενος μὲν εἰπεῖν, πλὴν ἀναγκαῖον εἰπεῖν) ἀμίδας ἀργυρᾶς ποιοῦσαι; ὑμᾶς αἰσχύνεσθαι τὰς ταῦτα ποιούσας ἔδει. τοῦ Χριστοῦ λιμώττοντος, σὺ οὕτω τρυφᾷς; μᾶλλον δὲ ἀνοηταίνεις; ποίαν αὗται κόλασιν οὐ τίσουσιν; ἔτι εἰπεῖν ἐρωτᾷς, διὰ τί λῃσταί, διὰ τί ἀνδροφόνοι, διὰ τί τὰ κακά, οὕτως ὑμᾶς τοῦ διαβόλου "παρασύραντος; τὸ μὲν γὰρ πινάκια ἔχειν ἀργυρᾶ, οὐδὲ τοῦτο μὲν κατὰ φιλόσοφον ψυχήν, ἀλλὰ τρυφῆς τὸ πᾶν· τὸ δὲ καὶ σκεύη ἀκάθαρτα ποιεῖν ἐξ ἀργύρου, ἆρα τρυφῆς; ἀλλ' οὐκ ἂν εἴποιμι τρυφῆς, ἀλλ' ἀνοίας· ἀλλ' οὐδὲ τοῦτο, ἀλλὰ μανίας, μᾶλλον δὲ καὶ μανίας χεῖρον. οἶδα ὅτι πολλοί με κωμῳδοῦσιν ἐπὶ τούτῳ, ἀλλ' οὐκ ἐπιστρέφομαι. μόνον γενέσθω τι πλέον. ὄντως ἀνοήτους ποιεῖ τὸ πλουτεῖν, καὶ μαινομένους. εἰ τοσαύτη ἦν ἡ περιουσία, ἐβουλήθησαν ἂν καὶ τὴν γῆν εἶναι χρυσῆν καὶ τοίχους χρυσοῦς, τάχα καὶ τὸν οὐρανὸν καὶ τὸν ἀέρα ἀπὸ χρυσοῦ. τίς ἡ μανία; τίς ἡ παρανομία; τίς ὁ πυρετός; ἕτερος τῷ κρυμῷ διαφθείρεται ὁ κατ' εἰκόνα Θεοῦ, σὺ δὲ τοιαῦτα κατασκευάζεις; ὢ τοῦ τύφου. τί ἂν πλέον μαινόμενος ἐποίησε; τὰ ἀποπατήματα οὕτω τιμᾷς, ὥστε ἀργύρῳ ὑποδέχεσθαι; οἶδα ὅτι ναρκᾶτε ἀκούοντες, ἀλλ' αἱ ποιοῦσαι ναρκᾶν ὀφείλουσι, καὶ οἱ τοῖς τοιούτοις νοσήμασιν ἄνδρες ὑπηρετούμενοι. ἀσέλγεια γάρ ἐστι, καὶ ὠμότης, καὶ ἀπανθρωπία, καὶ θηριωδία, καὶ ἀσέλγεια τοῦτο. ποία σκύλλα, ποία χίμαιρα, ποῖος δράκων, μᾶλλον δὲ ποῖος δαίμων, ποῖος διάβολος ταῦτα ἂν ἐποίησε; τί τοῦ Χριστοῦ ὄφελος, τί δὲ τῆς πίστεως ὄφελος, ὅταν ἀνθρώπων ἀνέχηταί τις ἑλλήνων, μᾶλλον δὲ οὐχ ἑλλήνων, ἀλλὰ δαιμόνων; εἰ χρυσῷ καὶ μαργαρίταις τὴν κεφαλὴν κοσμεῖν οὐ δεῖ, ὁ τῷ ἀργύρῳ εἰς ἀκάθαρτον οὕτως ὑπηρεσίαν κεχρημένος, ποίας συγγνώμης τεύξεται; οὐκ ἀρκεῖ τὰ λοιπά; καίτοιγε οὐδὲ ἐκεῖνα ἀνεκτά, καθέδραι, καὶ ὑποπόδια ἐξ ἀργύρου πάντα. καίτοι καὶ ταῦτα ἀνοίας· ἀλλὰ πανταχοῦ ὁ τῦφος ὁ περιττός, πανταχοῦ ἡ κενοδοξία· οὐδαμοῦ τῆς χρείας, ἀλλὰ πανταχοῦ τὸ περιττόν. ἐγὼ δέδοικα μὴ ὑπὸ τῆς μανίας ταύτης προβαίνοι τὸ γυναι-

λεγομένοις

περισύραντος;

κεῖον

χεῖον γινόμενος τεράτων ἀναλάβῃ μορφήν. Εἰκὸς γὰρ αὐτὰς ἐπιθυμῆσαι καὶ τρίχας ἔχειν χρυ-
σᾶς. ἢ ὁμολογήσατε ὅτι οὐκ ἐπάθετέ τι πρὸς τὸ λεχθέν, καὶ διανέστητε, καὶ εἰς ἐπιθυμίαν ἐ-
νεπέσετε· καὶ εἰ μή γε ἡ αἰσχύνη κατεῖχεν, οὐκ ἂν παρῃτήσασθε. Εἰ γὰρ καὶ τὰ τούτων ἀτο-
πώτερα τολμᾶτε, πολλῷ μᾶλλον καὶ τρίχας ἔχειν οἶμαι ταύτας ἐπιθυμῆσαι χρυσᾶς, καὶ
τὰ χείλη, καὶ τὰς ὀφρῦς, καὶ πάντα χρυσοῖ κατατηκοῦσαι οὕτω περιχεῖν. Εἰ δὲ ἀπιστεῖτε,
καὶ νομίζετε γελῶντά με λέγειν, ἐγὼ διηγήσομαι ὅπερ ἤκουσα, μᾶλλον δὲ καὶ ἔστι νῦν. ὁ τῶν Περ-
σῶν βασιλεὺς χρυσοῦν ἔχει τὸ γένειον, τῶν περὶ ταῦτα δεινῶν, καθάπερ τῇ κρόκῃ, οὕτω καὶ τὰς
ἐκείνου θριξὶν ἐνειλούντων τὰ πέταλα τοῦ χρυσοῦ· καὶ ἀνάκειται, καθάπερ τέρας. δόξα σοι
Χριστέ, πόσων ἐνέπλησας ἀγαθῶν ἡμᾶς; πῶς ἡμᾶς ὑγιαίνειν παρεσκεύασας; πόσης περι-
τωσίας, πόσης ἀλογίας ἡμᾶς ἀπήλλαξας; ἰδοὺ προλέγω. οὐκέτι παραινῶ, ἀλλ' ἐπιτάττω
καὶ παραγγέλλω. ὁ βουλόμενος ἀκουέτω, ὁ δὲ μὴ βουλόμενος ἀπεχθείτω. ὅτι ἂν ἐπιμείνη-
τε ταῦτα ποιοῦσαι, οὐκ ἀνέξομαι, οὐδὲ δέξομαι ὑμᾶς, οὐδὲ ἀφήσω τὴν οὐδὸν ὑπερβῆ-
ναι τούτων. τί γάρ μοι δεῖ πλῆθος νοσούντων; τί δέ, εἰ παιδοτριβῶ ὑμᾶς οὐ κωλύω τὰ
μὴ πρέποντα· καίτοιγε ὧν Παῦλος ἐκώλυσε, καὶ χρυσόν, καὶ μαργαρίτας; γελώμεθα παρὰ τῶν
ἑλλήνων, μῦθος εἶναι δοκεῖ τὰ ἡμέτερα. καὶ τοῖς ἀνδράσι παραινῶ ταῦτα. εἰς διδασκαλεῖον
παραγίνῃ, παιδευόμενος φιλοσοφίαν πνευματικήν; περίελε τὸν τῦφον ἐκεῖνον. τοῦτο καὶ
ἀνδράσι παραινῶ καὶ γυναιξί. κἂν ἑτέρως τις ποιῇ, λοιπὸν οὐκ ἀνέχομαι. δώδεκα ἦσαν οἱ
Ιωαν. ϛ. ξζ. μαθηταί, καὶ ἄκουσον τί φησιν ὁ Χριστὸς πρὸς αὐτούς· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; δεῖ γὰρ
δῆλον κολακεύωμεν; πότε ἀνακτησόμεθα, πότε ὠφελήσομεν; ἀλλ' εἰσί, φησιν, αἱρέσεις ἕ-
τεραι, καὶ μετατίθενται. ψυχρὸς οὗτος ὁ λόγος. Κρεῖσσον εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυ-
ρίοι παρανόμοι. ἐπεὶ καὶ σὺ τί βούλει, εἰπέ μοι; μυρίους δραπέτας ἔχειν καὶ κλέπτας οἰκέ-
τας, ἢ ἕνα εὔνουν; ἰδοὺ παραινῶ, καὶ παρεγγυῶ τὸν καλλωπισμὸν τὸν περὶ τὴν ὄψιν, καὶ τὰ
σκεύη τὰ τοιαῦτα συντρίβειν, καὶ πένησι διδόναι, καὶ μὴ οὕτω μεμηνέναι. ὁ βουλόμενος ἀπο-
πηδάτω, ὁ βουλόμενος ἐγκαλείτω. οὐκ ἀνέχομαι οὐδενός. ὅταν μέλλω κρίνεσθαι ἐπὶ τοῦ
βήματος τοῦ Χριστοῦ, μακρὰν ὑμεῖς ἑστήκατε, καὶ ἡ παρ' ὑμῶν χάρις εἰς οὐδέν, ἐμοῦ τὰς εὐ-
θύνας παρέχοντος. ταῦτα τὰ ῥήματα τὰ πάντα διέφθειρεν. ἵνα ἀπέλθῃ, φησί, καὶ μετατε-
θῇ πρὸς ἑτέραν αἵρεσιν. ἀσθενής ἐστι, συγκατάβηθι. μέχρι τίνος; μέχρι πότε; ἅπαξ, καὶ
δίς, καὶ τρίς, μὴ διαπαντός. ἰδοὺ παρεγγυῶ πάλιν, καὶ διαμαρτύρομαι κατὰ τὸν μακάριον
β. Κορ. ιγ. β. Παῦλον, Ὅτι ἂν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ὅταν δὲ κατορθώσητε, τότε εἴσεσθε ὅσον
τὸ κέρδος, ὅση ἡ ὠφέλεια. ναί, παρακαλῶ, καὶ ἀντιβολῶ, καὶ τῶν γονάτων οὐκ ἂν παραιτη-
σαίμην ἅψασθαι, καὶ ἱκετηρίαν θεῖναι ὑπὲρ τούτου. τίς ἡ βλακεία; τίς ἡ τρυφή; τίς ἡ ὕ-
βρις; (οὐ τρυφὴ τοῦτο, ἀλλ' ὕβρις) τίς ἡ ἄνοια; τίς ἡ μανία; πένητες τοσοῦτοι τὴν ἐκκλη-
σίαν περιεστήκασι, καὶ τέκνα ἔχουσα τοσαῦτα ἡ ἐκκλησία οὕτω πλουτοῦντα οὐδενὶ πένητι ἐ-
παμῦναι δύναται· ἀλλ' ὁ μὲν πεινᾷ, ὁ δὲ μεθύει· ὁ μὲν καὶ ἐν ἀργύρῳ ἀποπατεῖ, ὁ δὲ οὐδὲ ἄρ-
του μετέχει. τίς ἡ μανία; τίς ἡ θηριωδία ἡ τοσαύτη; γένοιτο μὴ ἐλθεῖν ἡμᾶς εἰς τὴν πεῖ-
ραν τοῦ ἐπεξελθεῖν τοῖς ἀπειθοῦσι, μηδὲ εἰς ἀγανάκτησιν τοῦ ταῦτα ἐπιτρέψαι, ἀλλ' ἑκόν-
τας καὶ ἀνεχομένους ταῦτα πάντα περιστεῖλαι· ἵνα εἰς δόξαν τοῦ Θεοῦ ζήσωμεν, καὶ τῆς ἐκεῖ
κολάσεως ἀπαλλαγῶμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχω-
μεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. η. 5 ΝΕΚΡΩΣΑΤΕ ΤΑ ΜΕΛΗ ΥΜΩΝ ΤΑ ΕΠΙ
τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονε-
ξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, 6 Δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ
τοὺς υἱοὺς τῆς ἀπειθείας, 7 Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐ-
ζῆτε ἐν αὐτοῖς.

Οἶδα πολλοὺς ἀπεχθανομένους ἐν τῇ παρούσῃ ταύτῃ διαλέξει· ἀλλὰ τί πάθω; ἠκούσατε τί ἐπέταξεν ὁ δεσπότης; μὴ γὰρ ἐγὼ αἴτιος; τί ποιήσω; οὐχ ὁρᾶτε τοὺς ἀπαιτοῦντας, ὅταν ἀγνωμονῶσιν οἱ ὑπεύθυνοι, πῶς κλοιὰ τούτοις περιτιθέασι; ἠκούσατε τί σήμερον Παῦλος ἐβόα; νεκρώσατε, φησὶ, τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία. τί τῆς τοιαύτης πλεονεξίας χεῖρον; τοῦτο βαρύτερον, οὗπερ ἔλεγον. ἡ μανία, καὶ ἡ βλακεία ἡ περὶ ἀργύριον. καὶ τὴν πλεονεξίαν, φησὶν, ἥτις ἐστὶν εἰδωλολατρεία. ὁρᾶτε ποῦ τὸ κακὸν τελευτᾷ; μὴ δὴ δυσχεραίνητε. οὐ γὰρ ἑκὼν, οὐδὲ ἁπλῶς ἐχθροὺς ἔχειν θέλω, ἀλλ' ἐβουλόμην ὑμᾶς εἰς τοῦτο ἀρετῆς ἥκειν, ὡς ἐμὲ παρ' ὑμῶν ἀκούειν τὰ δέοντα. ὥστε οὐκ αὐθεντίας ἐστὶν, οὐδὲ ἀξιώματος, ἀλλ' ὀδύνης καὶ ἀλγηδόνος. σύγγνωτέ μοι, σύγγνωτε· οὐ θέλω ἀσχημονεῖν ὑπὲρ τοιούτων διαλεγόμενος, ἀλλ' ἀναγκάζομαι. οὐχ ὑπὲρ τῆς τῶν πενήτων ὀδύνης ταῦτα λέγω, ἀλλ' ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. ἀπολοῦνται γὰρ, ἀπολοῦνται καὶ μὴ θρέψαντες τὸν Χριστόν. τί γὰρ εἰ τρέφεις πένητα; ἀλλ' ἕως ἂν οὕτω σπαταλᾷς καὶ οὕτω τρυφᾷς, πάντα περιττά. οὐ γὰρ τὸ δοῦναι ζητεῖται πολλὰ, ἀλλὰ τὸ μὴ ἔλαττον τῆς οἰκείας οὐσίας. τοῦτο γὰρ παίζοντός ἐστι. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν, φησὶ, τὰ ἐπὶ τῆς γῆς. τί λέγεις; οὐ σὺ εἶπας, ὅτι ἐτάφητε; ὅτι συνετάφητε; ὅτι περιετμήθητε; ὅτι ἀπεξεδύσασθε τὸ σῶμα τῶν ἁμαρτιῶν τῆς σαρκός; πῶς οὖν πάλιν λέγεις, νεκρώσατε; μὴ παίζῃς. ὡς ὄντων αὐτῶν ἐν ἡμῖν οὕτω διαλέγῃ; οὐκ ἔστιν ἐναντιολογία. ἀλλ' ὥσπερ εἴ τις ἐρρυπωμένον ἀνδριάντα ἀποσμήξας, μᾶλλον δὲ ἀναχαλκεύσας, καὶ λαμπρὸν δείξας ἄνωθεν λέγει μὲν, ὅτι κατεπόθη ὁ ἰὸς καὶ ἀπώλετο, παραινοῖ δὲ πάλιν [σπουδάζειν] ἀποτίθεσθαι τὸν ἰὸν, οὐκ ἐναντιολογεῖ (οὐ γὰρ ὃν ἀπέσμηξεν ἰὸν, ἀλλὰ τὸν ἐπιγινόμενον μετὰ ταῦτα παραινεῖ ἀποθέσθαι) οὕτως οὐ τὴν προτέραν νέκρωσιν λέγει, οὐδὲ τὰς πορνείας ἐκείνας, ἀλλὰ τὰς ἐπιγινομένας ὕστερον. ἀλλ' ἰδοὺ, φασὶν αἱρετικοὶ, τὴν δημιουργίαν Παῦλος διαβάλλει. εἶπε γὰρ ἔμπροσθεν, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ γῆς. πάλιν φησὶ, νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ἀλλὰ τὰ ἐπὶ γῆς ἐνταῦθα δηλωτικόν ἐστιν ἁμαρτίας, οὐ δημιουργίας διαβολή. οὕτω γὰρ τὰ ἐπὶ γῆς αὐτὰ καλεῖ τὰ ἁμαρτήματα, ἢ τῷ ἀπὸ γεώδους λογισμοῦ καὶ ἐπὶ γῆς ἐνεργεῖσθαι, ἢ τῷ γηΐνους δεικνύειν τοὺς ἁμαρτάνοντας. πορνείαν, ἀκαθαρσίαν φησί. προσῆκε τὰ πράγματα, ἃ οὐδὲ εἰπεῖν καλὸν, καὶ διὰ τῆς ἀκαθαρσίας ἅπαντα ἐνέφηνε. πάθος, φησὶν, ἐπιθυμίαν κακήν. ἰδοὺ γενικῶς τὸ πᾶν εἶπε. πάντα γὰρ ἐπιθυμία κακὴ, βασκανία, ὀργὴ, λύπη. καὶ τὴν πλεονεξίαν, φησὶν, ἥτις ἐστὶν εἰδωλολατρεία. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. διὰ πολλῶν ἀπήγαγεν αὐτούς — διὰ τῶν εὐεργεσιῶν τῶν ὑπαρξασῶν, διὰ τῶν μελλόντων ἐξ ὧν ἀπηλλάγημεν κακῶν, τίνες ὄντες, καὶ διὰ τί. καὶ ὅλα ἐκεῖνα· οἶδε, τίνες ἦμεν, καὶ ἐν τίσιν, καὶ ὅτι ἀπηλλάγημεν αὐτῶν, πῶς καὶ τίνι τρόπῳ, καὶ ἐπὶ τίσι. ταῦτα ἱκανὰ ἀποστρέψαι· ἀλλὰ πάντων σφοδρότερον τοῦτο, ἀηδὲς μὲν εἰπεῖν, οὐ μὴν ἀνωφελὲς, ἀλλὰ καὶ ὠφέλιμον· δι' ἃ ἔρχεταί, φησιν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. οὐκ εἶπεν, ἐφ' ὑμᾶς,

μας, ἀλλ' ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας*. ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. ἐντρεπτικῶς, ὅτε ἐζῆτε, φησὶν, ἐν αὐτοῖς· καὶ μετ' ἐγκωμίου, ὡς νῦν οὐ ζώντων τοῦτο ἔξω.

8 Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα. Καὶ καθολικῶς ἀεὶ λέγει, καὶ ἰδικῶς. τοῦτο δέ ἐστι διαθέσεως. Ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν.

9 Μὴ ψεύδεσθε εἰς ἀλλήλους. Αἰσχρολογίαν, φησὶν, ἐκ τοῦ στόματος ὑμῶν ἐμφαντικῶς, ὅτι αὐτὸ ῥυποῖ. Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ,

10 Καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Ἄξιον ἐνταῦθα ζητῆσαι, τί δήποτε μέλη καὶ ἄνθρωπον καὶ σῶμα καλεῖ τὸν διεφθαρμένον βίον, καὶ τὸν ἐνάρετον πάλιν τὸ αὐτό. καὶ εἰ ὁ ἄνθρωπός εἰσιν αἱ ἁμαρτίαι, πῶς φησι, σὺν ταῖς πράξεσιν αὐτοῦ; ἅπαξ γὰρ εἰπὼν παλαιὸν ἄνθρωπον, δείξας ὅτι οὐ τοῦτό ἐστιν ἄνθρωπος, ἀλλ' ἐκεῖνο. τῆς οὐσίας γὰρ ἡ προαίρεσις κυριωτέρα, καὶ τοῦτο μᾶλλον ἄνθρωπος, ἢ ἐκεῖνο. οὐ γὰρ ἡ οὐσία ἐμβάλλει εἰς γέενναν, οὐδὲ εἰς βασιλείαν εἰσάγει, ἀλλ' αὐτὴ ἡ προαίρεσις. καὶ οὐδένα οὔτε φιλοῦμεν, οὔτε μισοῦμεν ᾗ ἄνθρωπος, ἀλλ' ᾗ τοιόσδε, ἢ τοιόσδε ἄνθρωπος. Εἰ τοίνυν ἡ μὲν οὐσία τὸ σῶμά ἐστιν, αὕτη δὲ ἀνυπεύθυνος ἐν ἑκατέροις, πῶς αὐτὸ κακὸν εἶναί φησι; τί δέ φησι, σὺν ταῖς πράξεσι; τὴν προαίρεσιν μετὰ τῶν ἔργων. παλαιὸν δὲ αὐτὸν καλεῖ, τὸ αἰσχρὸν αὐτοῦ βουλόμενος δεῖξαι καὶ τὸ δυσειδὲς καὶ τὸ ἠσθενηκός. καὶ νέον, ἀντὶ τοῦ, μὴ προσδοκήσητε, φησὶν, ὅτι καὶ τοῦτο τὸ αὐτὸ πείσεται, ἀλλὰ τοὐναντίον. ὅσῳ γὰρ ἂν προΐῃ, οὐ πρὸς γῆρας ἐπείγεται, ἀλλὰ πρὸς νεότητα μείζονα τῆς προτέρας. ὅταν γὰρ πλείονα λάβῃ τὴν γνῶσιν, καὶ μειζόνων ἀξιοῦται, καὶ μᾶλλον ἀκμάζει, μᾶλλον ἰσχύει, οὐκ ἀπὸ τῆς νεότητος μόνον, ἀλλὰ καὶ τοῦ εἴδους πρὸς ὅ ἐστιν. ἰδοὺ κτίσις ἡ ἀρίστη πολιτεία λέγεται. κατ' εἰκόνα Χριστοῦ. τοῦτο γάρ ἐστι κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἐπεὶ καὶ ὁ Χριστὸς οὐ πρὸς γῆρας ἐτελεύτησεν, ἀλλ' οὕτως ἦν καλὸς, ὡς μηδὲ ἔστιν εἰπεῖν.

11 Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός. Ἰδοὺ τρίτον ἐγκώμιον τοῦ ἀνδρὸς τούτου, ὅταν μήτε ἔθνους, μήτε ἀξιώματος, μήτε προγόνων διαφορὰ ἐπεισέρχηται, ὅταν ἔχῃ τῶν ἔξωθεν μηδὲν, μηδὲ δέηται τούτων. τοιαῦτα γὰρ πάντα τὰ ἔξωθεν. περιτομὴ καὶ ἀκροβυστία· δοῦλος, ἐλεύθερος, Ἕλλην, τουτέστι, προσήλυτος· καὶ Ἰουδαῖος, τουτέστιν, ἐκ προγόνων. ἂν τοῦτον ἔχῃς μόνον, τῶν αὐτῶν ἐπιτεύξῃ τοῖς ἄλλοις τοῖς ἔχουσιν. ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι, φησὶ, Χριστός· τουτέστι, πάντα ὑμῖν ὁ Χριστὸς ἔσται, καὶ ἀξίωμα, καὶ γένος, καὶ ἐν πᾶσιν ὑμῖν αὐτός. ἢ ἕτερόν τί φησιν, ὅτι πάντες Χριστὸς γεγόνατε, σῶμα αὐτοῦ ὄντες.

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι. Τὸ εὔκολον δείκνυσι τῆς ἀρετῆς, ὥστε καὶ διηνεκῶς αὐτὴν ἔχειν, καὶ ὥστε ὡς μεγίστῳ κόσμῳ κεχρῆσθαι. καὶ μετ' ἐγκωμίου ἡ παραίνεσις. τότε γὰρ μάλιστα ἰσχύει. ἐγένοντο γὰρ ἅγιοι, ἀλλ' οὐκ ἐκλεκτοί· νυνὶ δὲ καὶ ἐκλεκτοὶ καὶ ἅγιοι καὶ ἠγαπημένοι. Σπλάγχνα οἰκτιρμοῦ.

Οὐκ εἶπεν ἔλεον, ἀλλ' ἐμφαντικώτερον διὰ τῶν δύο. καὶ οὐκ εἶπεν, ὅτι ὡς ἀδελφοῖς οὕτω διακεῖσθαι δεῖ, ἀλλ' ὡς παισὶ πατέρες. μὴ γάρ μοι εἴπῃς, ὅτι ἥμαρτε· διὰ τοῦτο εἶπε σπλάγχνα. καὶ οὐκ εἶπεν, οἰκτιρμὸν, ἵνα μὴ ἐκείνους ἐξευτελίσῃ, ἀλλὰ, σπλάγχνα οἰκτιρμοῦ. Χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν.

13 Ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς. Πάλιν κατ' εἶδος λέγει. ἀπὸ

χρηστότητος

χρηστότητος γὰρ ταπεινοφροσύνη, ἐκ δὲ ταύτης μακροθυμία. ἀνεχόμενοι, φησὶν, ἀλλήλων, τουτέστι, παραπεμπόμενοι. καὶ ὅρα πῶς αὐτὸ οὐδὲν ἔδειξε, μομφὴν καλέσας. Εἶτα ἐπάγει· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν. μέγα τὸ ὑπόδειγμα· ὅπερ ἀεὶ ποιεῖ, ἀπὸ τοῦ Χριστοῦ προτρέπων αὐτούς. μομφὴν φησίν. ἐκεῖ μὲν μικρὸν αὐτὸ ἔδειξεν· ὅτι δὲ τὸ ὑπόδειγμα προσήγαγεν, ἔπεισεν ὅτι κἂν μεγάλα ἔχωμεν ἐγκλήματα, δεῖ χαρίζεσθαι. τὸ γὰρ, καθὼς ὁ Χριστὸς, τοῦτο σημαίνει· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἐξ ὅλης καρδίας· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ φιλεῖν δεῖ. ὁ γὰρ Χριστὸς εἰσαχθεὶς εἰς τὸ μέσον, πάντα εἰσάγει ταῦτα· καὶ ὅτι κἂν μεγάλα ᾖ, κἂν μὴ προηδικηκότες τυγχάνωμεν, κἂν ὑμεῖς μὲν μεγάλοι, ἐκεῖνοι δὲ μικροὶ, κἂν μέλλωσιν ὑβρίζειν ἡμᾶς καὶ μετὰ ταῦτα, καὶ ὅτι τὴν ψυχὴν δεῖ ὑπὲρ αὐτῶν θεῖναι. τὸ γὰρ, καθὼς, ταῦτα ἀπαιτεῖ. καὶ ἔτι οὐδὲ μέχρι θανάτου μόνον στῆναι δεῖ, ἀλλ', εἰ δυνατὸν, καὶ μετὰ ταῦτα.

14 Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. Ὁρᾷς ὅτι τοῦτο λέγει; ἐπειδὴ γὰρ ἔνι χαριζόμενον μὴ φιλεῖν, καὶ, φησὶ, καὶ φιλεῖν. καὶ ὁδὸν δείκνυσι, δι' ἧς δυνατὸν χαρίζεσθαι. ἔστι γὰρ καὶ χρηστὸν εἶναι, καὶ πρᾶον, καὶ ταπεινόφρονα, καὶ μακρόθυμον, καὶ μὴ ποθεῖν. διὸ ἀρξάμενος εἶπε, σπλάγχνα οἰκτιρμοῦ, καὶ ἀγάπην, καὶ ἔλεον. ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστιν· ὅτι οὐδὲν ἐκείνων ὄφελος (διαλύεται γὰρ πάντα ἐκεῖνα) ἂν μὴ μετὰ ἀγάπης γένηται. πάντα ἐκεῖνα αὕτη συσφίγγει· ὅπερ ἂν εἴποις ἀγαθὸν, ταύτης ἀπούσης, οὐδέν ἐστιν, ἀλλὰ διαρρεῖ. καὶ ὥσπερ ἐπὶ πλοίου, κἂν μεγάλα ᾖ τὰ σκεύη, καὶ τὰ ὑποζώματα μὴ ᾖ, οὐδὲν ὄφελος· καὶ ἐπὶ οἰκίας ἐὰν μὴ ὦσιν αἱ ἱμαντώσεις· καὶ ἐπὶ σώματος κἂν μεγάλα ᾖ τὰ ὀστᾶ, οἱ δὲ σύνδεσμοι μὴ ὦσιν, οὐδὲν ὄφελος. οἷα γὰρ ἐὰν τις ἔχῃ κατορθώματα, πάντα φροῦδα, ἀγάπης μὴ οὔσης. οὐκ εἶπεν, ὅτι κορυφή ἐστιν, ἀλλ' ὃ μεῖζόν ἐστι, σύνδεσμος. ἀναγκαιότερον τοῦτο, ἢ ἐκεῖνο. κορυφὴ μὲν γὰρ ἐπίτασις τελειότητος· σύνδεσμος δὲ συγκράτησις τῶν τὴν τελειότητα ποιούντων, ὥσπερ ἡ ῥίζα.

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε. Ἡ εἰρήνη τοῦ Θεοῦ ἡ πεπηγυῖα καὶ βεβαία αὕτη ἐστίν. ἂν μὲν δι' ἀνθρώπων ἔχῃς εἰρήνην, ταχέως διαλύεται· ἐὰν δὲ διὰ τὸν Θεὸν, οὐκέτι. καίτοι τὸ καθολικὸν εἶπε τὴν ἀγάπην, ἀλλὰ πάλιν ἐπὶ τὸ ἰδικὸν ἔρχεται. ἔστι γὰρ καὶ ἀμέτρως ἀγαπᾶν, οἷον, ὅταν ἀπὸ πολλῆς τις ἀγάπης ἐγκαλῇ εἰκῇ, καὶ μάχας ἔχῃ καὶ ἀποστρέφηται. οὐ, φησὶν, οὐ τοῦτο βούλομαι, ἀλλ' ὡς ἐποίησεν εἰρήνην πρὸς ὑμᾶς ὁ Θεὸς, οὕτω καὶ ὑμεῖς ποιεῖτε. πῶς δὲ ἐποίησεν; αὐτὸς θελήσας, οὐ παρ' ὑμῶν τι λαβών. τί ἐστιν, ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν; ἐὰν μάχωνται λογισμοὶ δύο, μὴ στήσῃς τὸν θυμὸν, μὴ στήσῃς τὴν ἐπήρειαν κατέχουσαν τὸ βραβεῖον, ἀλλὰ τὴν εἰρήνην. οἷον, ἔστω τις ὑβρισθεὶς ἀδίκως· ἀπὸ τῆς ὕβρεως ἐτέχθησαν λογισμοὶ δύο, ὁ μὲν κελεύων ἀμύνασθαι, ὁ δὲ ἐνεγκεῖν, καὶ παλαίουσιν ἀλλήλοις. ἐὰν ἡ εἰρήνη τοῦ Θεοῦ ἑστήκῃ βραβεύουσα, τῷ κελεύοντι φέρειν δίδωσι τὸ βραβεῖον, καὶ καταισχύνει ἐκεῖνον. πῶς; πείθουσα ὅτι ὁ Θεὸς εἰρήνη ἐστὶν, ὅτι εἰρήνευσεν ἡμῖν. οὐχ ἁπλῶς δείκνυσι πολλὴν τὴν ἀγωνίαν τοῦ πράγματος. μὴ θυμὸς, φησὶ, βραβευέτω, μὴ φιλονεικία, μὴ ἀνθρωπίνη εἰρήνη. ἡ γὰρ ἀνθρωπίνη εἰρήνη ἐκ τοῦ ἀμύνασθαι γίνεται, ἐκ τοῦ μηδὲν παθεῖν δεινόν. ἀλλ' οὐ ταύτην βούλομαι, φησὶν, ἀλλ' ἐκείνην, ἣν ὁ Χριστὸς ἀφῆκεν αὐτοῖς. στάδιον ἔνδον ἐποίησεν ἐν τοῖς λογισμοῖς, καὶ ἀγῶνα, καὶ ἄθλησιν, καὶ βραβευτήν. Εἶτα πάλιν προτρέπει. Εἰς ἣν ἐκλήθητε, φησί· τουτέστιν, ἐφ' ᾗ ἐκλήθητε. ἀνέμνησεν ὅσων ἀγαθῶν αἰτία ἡ εἰρήνη. διὰ ταύτην σε ἐκάλεσεν, ἐπὶ ταύτῃ ἐκάλεσεν, ὥστε ἀξιόπιστον ἀναδέξασθαι τὸ βραβεῖον. διὰ τί γὰρ ἓν σῶμα ἐποίησεν; οὐχ ἵνα αὐτὴ κρατῇ; οὐχ ἵνα ἀφορμὰς ἔχωμεν τοῦ εἰρηνεύειν; διὰ τί πάντες ἓν σῶμά ἐσμεν;

ἐσμεν; πῶς δὲ ἓν σῶμά ἐσμεν; διὰ τὴν εἰρήνην σῶμα ἕν ἐσμεν, καὶ διὰ τὸ σῶμα ἓν εἶναι εἰρηνεύομεν. διὰ τί δὲ οὐκ εἶπεν, ἡ εἰρήνη τοῦ Θεοῦ νικάτω, ἀλλά, βραβευέτω; ἀξιοπιστοτέραν αὐτὴν ἐποίησε. τὸν πονηρὸν λογισμὸν οὐκ ἀφῆκεν αὐτῇ προσπαλαίειν, ἀλλὰ κατωτέρω ἑστάναι. καὶ τὸ τοῦ βραβείου ὄνομα εἶπε, τὸν ἀκροατήν. ἂν γὰρ δῷ βραβεῖον τῷ ἀγαθῷ λογισμῷ, ὅσα ἂν ἀναισχυντῇ ἐκεῖνος, οὐδὲν ὄφελος λοιπόν. ἄλλως δὲ ἐκεῖνος εἰδὼς, ὅτι ὅσα ἂν ἐργάσηται, οὐ λήψεται τὸ βραβεῖον, ὅσα ἂν ποιήσῃ καὶ ἐπιχειρήσῃ σφοδρότερον προσβαλεῖν, ἅτε αἴσθησιν ποιῶν ἀποστήσεται. καὶ καλῶς προσέθηκε, καὶ εὐχάριστοι γίνεσθε. τοῦτο γάρ ἐστιν εὐχάριστον εἶναι καὶ σφόδρα εὐχαριστικῶς, τὸ ὁμοίως κεχρῆσθαι τοῖς ὁμοδούλοις, ὥσπερ αὐτῷ ὁ Θεός, τὸ εἴκειν τῷ δεσπότῃ, τὸ πείθεσθαι, τὸ ὑπὲρ πάντων χάριν ὁμολογεῖν, κἂν ὑβρίσῃ τις, κἂν πλήξῃ. οὐ γὰρ δὴ ὁ τῷ Θεῷ χάριν ὁμολογῶν, ὑπὲρ ὧν ἔπαθε, τὸν ποιήσαντα ἀμύνεται· ὡς ὅ γε ἀμυνόμενος οὐχ ὁμολογεῖ χάριν. ἀλλὰ μὴ κατ' ἐκεῖνον τὸν τὰ ἑκατὸν δηνάρια ὀφείλοντα γινώμεθα, ἵνα μὴ ἀκούσωμεν, Πονηρὲ δοῦλε.

Ματθ. ιη. λβ.

οὐδὲν γὰρ τῆς ἀχαριστίας τῆς χεῖρον. ὥστε ἀχάριστοι οἱ ἀμυνόμενοι. διὰ τί δὲ ἐπὶ τὴν πορνείαν πρώτην ἦλθε; εἰπὼν γάρ, νεκρώσατε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, εὐθύς φησι πορνείαν, καὶ τοῦτο σχεδὸν πανταχοῦ ποιεῖ, ὅτι μάλιστα τοῦτο κρατεῖ τὸ πάθος. καὶ γὰρ καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς γράφων, τοῦτο ἐποίησε. καὶ τί θαυμαστόν; ὅπου γε καὶ Τιμοθέῳ φησί, Σεαυτὸν ἁγνὸν τήρει· καὶ πάλιν ἀλλαχοῦ, Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. νεκρώσατε, φησί, τὰ μέλη ὑμῶν. τὸ νεκρὸν ἴσμεν

α. Τιμ. ε. κβ.
Εβρ. ιβ. ιδ.

ὅτι ἐστί, μισητόν, βδελυκτόν, διαρρέον. ἂν νεκρώσῃς, οὐ μένει νεκρόν, ἀλλὰ φθείρεται εὐθέως, καθάπερ τὸ σῶμα. σβέσον οὖν τὴν θερμότητα, καὶ οὐδὲν νεκρὸν μένει. δείκνυσιν αὐτοὺς τοῦτο ἐργαζομένους, ὅπερ ὁ Χριστὸς ἐπὶ τοῦ λουτροῦ. διὰ τοῦτο καὶ μέλη καλεῖ, καθάπερ ἀριστεία τινὰ εἰσάγων, καὶ εἰς μείζονα ἄγων ἔμφασιν. καὶ καλῶς εἶπε, τὰ ἐπὶ τῆς γῆς. ἐν ταῦτα γὰρ μένει, καὶ ἐν ταῦτα φθείρεται, πολλῷ μᾶλλον τῶν μελῶν τούτων. ὥστε οὐχ οὕτω τὸ σῶμά ἐστιν ἀπὸ γῆς, ὡς ἡ ἁμαρτία γηΐνη. τοῦτο μὲν γὰρ καὶ καλὸν φαίνεταί ποτε, ἐκεῖνα δὲ οὐδέποτε. καὶ πάντων τῶν ἐπὶ γῆς ἐπιθυμεῖ ταῦτα τὰ μέλη. ὁ ὀφθαλμὸς ὁ τοιοῦτος, οὐχ ὁρᾷ τὰ ἐν οὐρανοῖς· οὐδ' ἡ ἀκοή, οὐδὲ χείρ, οὐδ' ὅπερ ἂν εἴποις μέλος. ὀφθαλμὸς σώματα ὁρᾷ, καὶ κάλλη, καὶ χρήματα. ταῦτα τὰ ἀπὸ γῆς, τούτοις τέρπεται. ἡ ἀκοή, μέλη μαλθακά, κιθάρα, καὶ αὐλοί, καὶ αἰσχρολογία. ταῦτα δὲ περίγεια. ἐπειδὴ οὖν ἔστησεν αὐτοὺς ἄνω παρὰ τὸν Θεόν, τότε φησί, νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς. οὐ γὰρ ἔνι στῆναι ἄνω μετὰ τούτων τῶν μελῶν. οὐκ ἔνι γὰρ ἐκεῖ, εἰ ὁ ἐνεργεῖν δεῖ. καὶ οὐδὲ ὁ πηλὸς χείρων ἐκείνου. ἐκεῖνος μὲν γὰρ ὁ πηλὸς γίνεται χρυσὸς (Δεῖ γάρ, φησι, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν) ἐκεῖνα δὲ ὁ πηλὸς

α. Κορ. ιε νγ.

οὐκ ἐκεῖνο ἀναχωνευθῆναι δύναται. ὥστε ταῦτα μᾶλλον ἐπὶ τῆς γῆς, ἢ ἐκεῖνα. διὰ τοῦτο οὐκ εἶπεν, ἀπὸ γῆς, ἀλλά, τὰ ἐπὶ τῆς γῆς. ἔνι γὰρ ταῦτα μὴ εἶναι ἀπὸ γῆς. ταῦτα μὲν γὰρ ἀνάγκη ἐπὶ γῆς εἶναι, ἐκεῖνα δὲ οὐκ ἔνι ἀνάγκη. ὅταν γὰρ ἀκοὴ μηδὲν ἀκούῃ τῶν ἐνταῦθα, ἀλλὰ τῶν ἐν οὐρανοῖς λαλουμένων, ὅταν ὀφθαλμὸς μηδὲν ὁρᾷ τῶν ἐνταῦθα, ἀλλὰ τῶν ἄνω, οὐκ ἐπὶ γῆς ἐστιν. ὅταν τὸ στόμα μηδὲν φθέγγηται τῶν ἐνταῦθα, οὐκ ἐπὶ γῆς ἐστιν. ὅταν ἡ χεὶρ μηδὲν πράττῃ τῶν πονηρῶν, οὐκ ἔστι τῶν ἐπὶ γῆς, ἀλλὰ τῶν ἐν τοῖς οὐρανοῖς. τοῦτο καὶ ὁ Χριστός φησιν, Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, τουτέστιν, ἐὰν ἀκολάστως ὁρᾷς, ἔκκοψον αὐτόν· τουτέστι, τὸν λογισμὸν τὸν πονηρόν. εἰπὼν δὲ πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν, τοῦτο λέγει τὴν πορνείαν, διὰ πάντων τούτων ἀπάγων ἡμᾶς τῶν πραγμάτων. πάθος γὰρ ὄντως τοῦτό ἐστι. καὶ καθάπερ τὸ σῶμα πάσχει, ἢ πυρέττει, ἢ τραυματίζεται, οὕτω καὶ τοῦτο. καὶ οὐκ εἶπεν, ἐπίσχετε, ἀλλά, νεκρώσατε, ὥστε μηδὲ ἀναστῆναι λοιπόν. καὶ ἀποθανεῖν. τὸ νεκρούμενον ἀποτιθέμεθα. εἶτα, πάλιν μὲν ὥσπερ ἐν τῷ σώματι, τὸ σῶμα νεκρόν ἐστι, καὶ ἀποτιθέμεθα αὐτό. ἀλλ' ἐὰν μὴ ζῶν κόψῃς, ἀλγηδόνα παρέχει· ἂν δὲ νενεκρωμένοι, οὐδὲν

Ματθ. ε. κθ.

ἀλγυνόμεθα,

ἀλγυνόμεθα, οὕτω δὴ καὶ ἐπὶ τῶν παθῶν. ἀκάθαρτον ποιεῖ τὴν ψυχὴν, παθητὴν ποιεῖ τὴν ψυχὴν τὴν ἀθάνατον. πῶς εἰδωλολατρεία εἴρηται ἡ πλεονεξία, πολλάκις εἰρήκαμεν. τὰ τυραννοῦντα γὰρ μάλιστα τὸ τῶν ἀνθρώπων γένος, ταῦτά ἐστι, πλεονεξία, καὶ ἀκολασία, καὶ ἐπιθυμία κακή. Δι' ἃ ἔρχεται, φησὶν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. υἱοὺς ἀπειθείας λέγει, ἀποστερῶν αὐτοὺς συγγνώμης, καὶ δεικνὺς ὅτι παρὰ τὸ μὴ πεισθῆναι ἐν τούτοις εἰσίν. Ἐν οἷς καὶ ὑμεῖς, φησὶ, περιεπατήσατέ ποτε, καὶ ἐπείσθητε. δείκνυσιν αὐτοὺς ἔτι ἐν αὐτοῖς, καὶ ἐγκωμιάζει οὕτω λέγων· νυνὶ δὲ καὶ ὑμεῖς ἀπόθεσθε τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν. οὐκ ἐπ' αὐτῶν, ἀλλ' ἐφ' ἑτέρους περιάγει τὸν λόγον, ὥστε μὴ πλῆξαι. καὶ βλασφημίας δὲ τὰς λοιδορίας λέγει, καθάπερ θυμὸν τὴν πονηρίαν καλεῖ. ἀλλαχοῦ δὲ ἐντρεπτικῶς, Ὅτι ἀλλήλων ἐσμὲν μέλη. ὥσπερ δημιουργοὺς αὐτοὺς κατασκευάζει τῶν ἀνθρώπων, τὸν μὲν ῥιπτούντων, τὸν δὲ δεχομένων. Εἶπεν ἐκεῖ, τὰ μέλη, ἐνταῦθα πάντα φησὶ, τὴν καρδίαν, τὸν θυμὸν, τὸ στόμα, τὴν βλασφημίαν, τοὺς ὀφθαλμοὺς, τὴν πορνείαν, τὴν πλεονεξίαν, χεῖρας καὶ πόδας, ψεῦδος, τὴν διάνοιαν αὐτὴν, καὶ τὸν νοῦν τὸν παλαιόν. μίαν ἔχει μορφὴν βασιλικὴν τὴν τοῦ Χριστοῦ. δοκοῦσί μοι ἐξ ἐθνῶν εἶναι μᾶλλον οὗτοι, πρὸς οὓς καὶ ἀποτείνεται, δεικνὺς ὅτι μίαν ἔχει μορφὴν βασιλικὴν τὰ μέλη, κἂν ὁ μὲν μείζων ᾖ, ὁ δὲ ἐλάττων. καθάπερ γὰρ ἡ γῆ ψάμμος οὖσα τὴν οἰκείαν ἀπόλλυσα πρότερον μορφὴν, ὕστερον χρυσῆ γίνεται· καὶ καθάπερ τὰ ἔρια, οἷα ἂν ᾖ, ἑτέραν δέχεται ὄψιν, καὶ τὴν προτέραν ἔκρυψεν· οὕτω δὴ καὶ ὁ πιστός. ἀνεχόμενοι, φησὶν, ἀλλήλων. ἔδειξε τὸ δίκαιον· ἀνέχου σὺ ἐκείνου, καὶ ἐκεῖνός σου, ὅπερ ἐν τῇ πρὸς Γαλάτας φησὶν, Ἀλλήλων τὰ βάρη βαστάζετε. καὶ εὐχάριστοι, φησὶ, γίνεσθε. μάλιστα μὲν πανταχοῦ τοῦτο ζητεῖ. τὸ κεφάλαιον τῶν ἀγαθῶν γὰρ τοῦτό ἐστιν.

Εφ. δ. κε. Γαλ. ς. β.

ΗΘΙΚΟΝ

Εὐχαριστῶμεν τοίνυν ἐν πᾶσιν, ὅπερ ἂν γένηται. τοῦτο γὰρ εὐχαριστία. τὸ μὲν γὰρ ἐν τῇ εὐπραγίᾳ τοῦτο ποιεῖν, οὐ μέγα· αὐτὴ γὰρ τῶν πραγμάτων ἡ φύσις ἐπὶ τοῦτο ὠθεῖ. ὅταν δὲ ἐν τοῖς ἐσχάτοις ὄντες εὐχαριστῶμεν, τότε ἐστὶ θαυμαστόν. ὅταν γὰρ ἐφ' οἷς ἕτεροι βλασφημοῦσι καὶ ἀποδυσπετοῦσιν, ἡμεῖς εὐχαριστῶμεν, ὅρα πόση ἡ φιλοσοφία. πρῶτον, τὸν Θεὸν ηὔφρανας· δεύτερον, τὸν διάβολον κατῄσχυνας· τρίτον, καὶ τὸ γενόμενον οὐδὲν ἀπέφηνας. ὁμοῦ γὰρ σύ τε εὐχαριστεῖς, καὶ ὁ Θεὸς τὴν ὀδύνην ὑποτέμνεται, καὶ ὁ διάβολος ἀφίσταται. ἂν μὲν γὰρ ἀποδυσπετήσῃς, ἅτε ἀνύσας ὅπερ ἤθελεν, ἐφέστηκε· καὶ ὁ Θεὸς ἅτε βλασφημηθεὶς, ἐγκαταλιμπάνει, καὶ ἐπιτείνεται τὸ δεινόν. ἐὰν δὲ εὐχαριστήσῃς, ἅτε μηδὲν ὠφελῶν, ἀφίσταται· καὶ ὁ Θεὸς ἅτε τιμηθεὶς, ἀντιτιμᾷ μειζόνως. καὶ οὐκ ἔστιν ἄνθρωπον εὐχαριστοῦντα ἐπὶ τοῖς κακοῖς αἰσθέσθαι τῶν κακῶν. χαίρει γὰρ ἡ ψυχὴ ἅτε κατορθοῦσα. εὐθέως φαιδρὸν ἔχει τὸ συνειδὸς, γάνυται τοῖς ἐγκωμίοις τοῖς ἑαυτῆς· τὴν δὲ φαιδρὰν, οὐκ ἔνι σκυθρωπὴν εἶναι. ἐκεῖ δὲ μετὰ τῆς συμφορᾶς καὶ τὸ συνειδὸς ἐπιτίθεται μάστιξιν· ἐνταῦθα δὲ στέφανοι καὶ ἀνακηρύττει. οὐδὲν τῆς γλώττης ἐκείνης ἁγιώτερον τῆς ἐν τοῖς κακοῖς εὐχαριστούσης τῷ Θεῷ. ὄντως τῆς τῶν μαρτύρων οὐδὲν ἀποδεῖ. ὁμοίως καὶ αὕτη, κἀκεῖνος στεφανοῦται. καὶ γὰρ καὶ ταύτῃ ἐφέστηκε δήμιος ἀναγκάζων ἀρνήσασθαι τὸν Θεὸν διὰ τῆς βλασφημίας, ἐφέστηκεν ὁ διάβολος δημίοις λογισμοῖς καταξαίνων, ἀθυμίαις σκοτῶν. ἂν τοίνυν ἐνέγκῃ τὰς ἀλγηδόνας τις, καὶ εὐχαριστήσῃ, μαρτυρίου στέφανον ἔλαχεν. οἷον, τὸ παιδίον νοσεῖ, καὶ εὐχαριστεῖ τῷ Θεῷ; τοῦτο αὐτῇ στέφανος. πόσης βασάνου οὐ χείρων ἡ ἀθυμία; ἀλλ' οὐκ ἀναγκάζει ῥῆμα ἐκβαλεῖν πικρόν. ἀποθνήσκει· πάλιν ηὐχαρίστησε; γέγονε θυγάτηρ τοῦ Ἀβραάμ. εἰ γὰρ μὴ τῇ ἰδίᾳ ἔσφαξε χειρὶ, ἀλλ' ἐπὶ τῇ θυσίᾳ ἥσθη, ὅπερ ἴσον ἐστίν. οὐ γὰρ ἠγανάκτησε λαμβανομένου τοῦ δώρου. πάλιν ἐνόσησεν; οὐκ ἐποίησε περίαπτα· μαρτύριον αὐτῇ λογίζεται. κατέθυσε γὰρ τὸν υἱὸν τῇ γνώμῃ. τί γὰρ εἰ καὶ μηδὲν ὠφελεῖ ἐκεῖνα, ἀλλ' ἀπάτης ἐστὶ καὶ χλεύης; ἀλλ' ὅμως ἦσαν τινὲς πείθοντες ὅτι ὠφελεῖ· καὶ εἵλετο μᾶλλον νεκρὸν τὸ

παιδίον ἰδεῖν, ἢ εἰδωλολατρείας ἀνασχέσθαι. ὥσπερ οὖν αὕτη μάρτυς, ἄν τε ἐφ' ἑαυτῆς, ἄν τε ἐπὶ τοῦ παιδὸς ἐργάζηται τοῦτο, ἄν τε ἐπὶ τοῦ ἀνδρός, ἢ ἑτέρου τινὸς τῶν φιλτάτων, οὕτως ἡ ἑτέρα εἰδωλολατρεῖ. δῆλον γὰρ ὅτι ἔθυσεν ἄν, εἰ ἦν θῦσαι· μᾶλλον δὲ ἤδη ἐποίησε τὸ τῆς θυσίας. τὰ γὰρ περίαπτα, κἂν μυρία φιλοσοφῶσιν οἱ ἐκ τούτων χρηματιζόμενοι, λέγοντες ὅτι τὸν Θεὸν καλοῦμεν, καὶ οὐδὲν πλέον ποιοῦμεν, καὶ ὅσα τοιαῦτα, καὶ Χριστιανή ἐστιν ἡ γραῦς καὶ πιστή, εἰδωλολατρεία τὸ πρᾶγμά ἐστι. πιστὴ εἶ; σφράγισον, εἰπέ, τοῦτο ἔχω τὸ ὅπλον μόνον, τοῦτο τὸ φάρμακον· ἄλλο δὲ οὐκ οἶδα. εἰπέ μοι, ἐὰν προσέλθῃ ὁ ἰατρός, καὶ τὰ τῆς ἰατρικῆς φάρμακα ἀφεὶς, ἐπάδῃ, τοῦτον ἰατρὸν ἐροῦμεν; οὐδαμῶς. τὰ γὰρ τῆς ἰατρικῆς οὐχ ὁρῶμεν φάρμακα. οὕτως οὐδὲ ἐνταῦθα τὰ τοῦ Χριστιανισμοῦ. ἕτεραι δὲ πάλιν ποταμῶν ὀνόματα περιάπτουσι, καὶ μυρία τοιαῦτα τολμῶσιν. ἰδοὺ λέγω, καὶ προλέγω πᾶσιν ὑμῖν, ὅτι ἐάν τις ἁλῷ, οὐ φείσομαι πάλιν, ἄν τε περίαπτον, ἄν τε ἐπῳδήν, ἄν τε ἄλλο τι τῆς τέχνης τῆς τοιαύτης ποιῇ. τί οὖν, ἀποθάνῃ, φησί, τὸ παιδίον; ἂν οὕτω ζήσῃ, τότε ἀπέθανεν· ἂν δὲ ἄνευ ἐκείνων ἀποθάνῃ, τότε ἔζησε. νῦν δὲ ἂν μὲν πόρναις ἴδῃς προσέχοντα, εὔχῃ κατορυχθῆναι, καὶ λέγεις, τί γὰρ ὄφελος τοῦ ζῆν; ὑπὲρ δὲ σωτηρίας ὁρῶσα κινδυνεύοντα, βούλει ζῶντα ὁρᾶν;

Ματθ. κ. λθ. οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, Ὅτι ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ, εὑρήσει αὐτήν· ὁ δὲ εὑρὼν ἀπολέσει αὐτήν; πιστεύεις τοῖς εἰρημένοις, ἢ μῦθοί σοι δοκοῦσιν εἶναι; εἰπὲ δή μοι ἐὰν εἴπῃ τις, ὅτι ἀπάγαγε εἰς εἰδωλεῖον, καὶ ζήσεται, ἀνέξῃ; οὔ, φησι. διὰ τί; ὅτι εἰδωλολατρεῖν ἀναγκάζει· ἐνταῦθα δὲ οὐκ ἔστιν εἰδωλολατρεία, ἀλλ' ἁπλῶς ἐπῳδή, φησιν. αὕτη γὰρ ἡ Σατανικὴ ἔννοια, αὕτη ἡ μεθοδεία ἡ διαβολική, συγκαλύπτειν τὴν πλάνην, καὶ μέλιτι τὸ δηλητήριον διδόναι φάρμακον. ἐπειδὴ οἶδεν ἐκεῖθεν οὐ πείθων, ταύτην ἐβάδισε τὴν ὁδόν, εἰς ῥάμματα καὶ γραώδεις μύθους. καὶ ὁ μὲν σταυρὸς ἠτίμωται, τὰ δὲ γράμματα προτετίμηται· ὁ Χριστὸς ἐκβέβληται, καὶ εἰσάγεται μεθύουσα γραῦς καὶ ληροῦσα· τὸ μυστήριον πεπάτηται τὸ ἡμέτερον, καὶ ἡ πλάνη χορεύει τοῦ διαβόλου. τίνος οὖν ἕνεκεν οὐκ ἐλέγχει, φησίν, ὁ Θεὸς τὴν ἀπὸ τῶν τοιούτων βοήθειαν; πολλαχοῦ ἤλεγξε, καὶ οὐκ ἔπεισέ σε· λοιπὸν

Ρωμ. α. κη. ἀφίησι τῇ πλάνῃ. Παρέδωκε γὰρ αὐτούς, φησιν, ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. ταῦτα δὲ οὐδ' ἂν Ἕλλην νοῦν ἔχων ἀνάσχοιτο. λέγεταί τις δημαγωγός ποτε ἐν Ἀθήναις ταῦτα περιτεθῆναι· εἶτα φιλόσοφός τις ἐκείνου διδάσκαλος ἰδών, ἐπετίμησεν, ἐμέμψατο, ἔδακεν, ἐκωμῴδησεν· ἡμεῖς δὲ οὕτως ἀθλίως διακείμεθα, ὡς καὶ τούτοις πιστεύειν. καὶ διὰ τί μὴ εἰσὶ νῦν οἱ ἀνιστῶντες, φησί, νεκρούς, καὶ ἰάσεις ἐπιτελοῦντες; διὰ τί, τέως οὐ λέγω. διὰ τί δὲ μὴ εἰσὶ νῦν οἱ τῆς παρούσης καταφρονοῦντες ζωῆς; διὰ τί, ἐπὶ μισθῷ δουλεύομεν τῷ Θεῷ; ὅτε ἀσθενεστέρα διέκειτο ἡ φύσις ἡ ἀνθρωπίνη, ὅτε φυτευθῆναι τὴν πίστιν ἔδει, ἦσαν καὶ τοιοῦτοι πολλοί· νῦν δὲ οὐ βούλεται ἡμᾶς τούτων ἠρτῆσθαι τῶν σημείων, ἀλλ' ἑτοίμους εἶναι πρὸς θάνατον. τί τοίνυν τῆς παρούσης ἔχῃ ζωῆς; ἢ τὰ μέλλοντα οὐχ ὁρᾷς; καὶ ὑπὲρ μὲν ταύτης, καὶ εἰδωλολατρεῖν ἀνέχῃ· ὑπὲρ δὲ ἐκείνης, οὐδὲ ἀθυμίας καταχεῖν; διὰ ταῦτα οὐκ εἰσὶ νῦν τοιοῦτοι, ὅτι ἄτιμος ἡμῖν ἐφάνη ἐκείνη ἡ ζωή, εἴγε ὑπὲρ μὲν ἐκείνης οὐδὲν πράττομεν, ὑπὲρ δὲ ταύτης οὐδὲν παραιτούμεθα ὑπομένειν. τί δὲ καὶ ὁ ἄλλος γέλως; σποδὸς καὶ ἀσβόλη καὶ ἅλες, καὶ πάλιν τὸ γραΐδιον εἰς τὸ μέσον. γέλως ὄντως, καὶ αἰσχύνη. καὶ ὀφθαλμός, φησιν, ἥρπαζε τὸ παιδίον. μέχρι τίνος ταῦτα τὰ Σατανικά; πῶς οὐ γελάσονται Ἕλληνες; πῶς οὐ χλευάσουσιν; ὅταν αὐτοῖς λέγωμεν, μεγάλη ἡ δύναμις τοῦ σταυροῦ, πῶς πεισθήσονται ὅταν ὁρῶσι τούτων δεομένους, ὧν αὐτοὶ καταγελῶσι; διὰ τοῦτο ὁ Θεὸς ἰατροὺς ἔδωκε, καὶ φάρμακα; τί οὖν ἂν μὴ θεραπεύωσιν ἐκεῖνοι, ἀλλ' ἀπέρχηται τὸ παιδίον; ποῦ ἄπεισιν, εἰπέ μοι, ἄθλιε καὶ ταλαίπωρε; πρὸς τοὺς δαίμονας ἄπεισι; πρὸς τινὰ τύραννον ἄπεισιν; οὐχὶ πρὸς τὸν οὐρανὸν ἄπεισιν; οὐχὶ πρὸς τὸν οἰκεῖον δεσπότην; τί οὖν ἀλγεῖς; τί κλαίεις; τί πενθεῖς; τί τοῦ δεσπότου σου πλέον τὸ παιδίον φιλεῖς; οὐχὶ

δι' ἐκείνου ἔχεις καὶ τοῦτο; διὰ τί ἀχάριστος εἶ, τὸ δῶρον τοῦ δωρησαμένου πλέον ἀγαπῶν; ἀλλ' ἀσθενὴς εἰμί, φησί, καὶ οὐ φέρω τοῦ Θεοῦ τὸν φόβον. εἰ γὰρ ἐν τοῖς σωματικοῖς κακοῖς τὸ μεῖζον τὸ ἔλαττον κρύπτει, πολλῷ μᾶλλον ἐν τῇ ψυχῇ φόβος εἰ παρεστὶ, φόβος φόβον ἀπέλυσε, καὶ λύπη λύπην. καλὸν ἦν τὸ παιδίον; ἀλλ' οἶδ' ἂν ἦ, οὐκ ἔστιν ὡραιότερον τοῦ Ἰσαὰκ· μονογενὴς ἦν κἀκεῖνος. ἐν γήρᾳ σοι γέγονε; κἀκεῖνος. ἀλλ' ἀστεῖόν ἐστιν; ἀλλ' οἶδ' ἂν ἦ, οὐκ ἔστιν ὡραιότερον τοῦ Μωϋσέως, ὃ καὶ βάρβαρον ὄψιν ἐπεσπάσατο πρὸς πόθον, καὶ ταῦτα ἐν ἐκείνῳ τῆς ἡλικίας τῷ καιρῷ, ἔνθα οὐδέπω φαίνεται ἡ ὥρα· ἀλλ' ὅμως τὸ φιληθὲν τοῦτο ἐρρίπτετο εἰς ποταμόν τὸ γεννηθέν. σὺ μὲν καὶ ὁρᾷς κείμενον, καὶ ταφῇ παραδίδως, καὶ εἰς τὸ σῆμα ἄπει· ἐκεῖνοι δὲ οὐδὲ ᾔδεσαν πότερον ἰχθύσιν ἐστὶ βορά, πότερον κυσί, πότερον ἑτέρῳ θηρίῳ τῶν κατὰ τὴν θάλατταν βοσκομένων· καὶ ταῦτα ἐποίουν, οὐδέπω περὶ βασιλείας οὐδὲν εἰδότες, οὐδὲ ἀναστάσεως. ἀλλ' οὐκ ἔστι μονογενές, ἀλλὰ μετὰ πολλοὺς καὶ αὐτὸ ἀπῆλθεν; ἀλλ' οὐχ οὕτως ὡς ἐπὶ τοῦ Ἰὼβ ἀθρόα ἡ συμφορά, καὶ σκυθρωποτέρα· οὐ στέγης κατενεχθείσης, οὐκ ἀριστώντων μεταξύ, οὐ τὴν συμφορὰν προσαγγελθεῖσαν. ἀλλ' ἐφιλεῖτο παρὰ σοῦ; ἀλλ' οὐχὶ μᾶλλον τοῦ Ἰωσὴφ τοῦ θηριοβρώτου γενομένου, ἀλλ' ὅμως ἤνεγκε τὴν συμφορὰν, καὶ τὴν μετ' ἐκείνην, καὶ τὴν μετὰ ταύτην ὁ πατήρ. ἔκλαυσεν, ἀλλ' οὐκ ἠσέβησεν· ἐπένθησεν, ἀλλ' οὐκ ἀπεδυσπέτησεν, ἀλλὰ μέχρι τούτων ἔστη τῶν ῥημάτων, λέγων, Ἰωσὴφ οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶμ λήψεσθε; ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα; ὁρᾷς πῶς ἐκεῖνον λιμὸς τυραννὶς ἔπεισε καταφρονῆσαι τῶν παίδων, παρὰ δέ σοι οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόβος ὅσον ὁ λιμός; κλαῦσον, οὐ κωλύω, ἀλλὰ μηδὲν βλάσφημον μήτε εἴπῃς, μήτε πράξῃς. οἷος ἐὰν ᾖ ὁ παῖς, οὐκ ἔστι κατὰ τὸν Ἄβελ· ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν ὁ Ἀδάμ. καίτοι χαλεπὴ ἐκείνη ἡ συμφορά. τί γὰρ χαλεπώτερον τοῦ τὸν ἀδελφὸν ἀνῃρηκέναι; ἀλλὰ γὰρ καὶ ἀδελφοκτόνων οὐ χείρους ἄλλων ἀνεμνήσθην· οἶδ' ὅτι Ἀβεσσαλὼμ τὸν Ἀμνὼν ἀνεῖλε τὸν πρωτότοκον, καὶ Δαβὶδ ὁ βασιλεὺς ἠγάπα τὸ παιδίον. καὶ ἐν σάκκῳ μὲν ἐκάθητο καὶ σποδῷ, οὔτε δὲ μάντεις ἤγαγεν, οὔτε ἐπῳδούς (καίτοι ἦσαν τότε· καὶ δηλοῖ ὁ Σαούλ) ἀλλὰ τὸν Θεὸν ἱκέτευε. τοῦτο καὶ σὺ ποίει. ὅπερ ὁ δίκαιος ἐποίησε, ποίησον καὶ σύ. τὰ αὐτὰ εἰπὲ ῥήματα, ὅταν ἀποθάνῃ τὸ παιδίον. Ἐγὼ μὲν ἀπελεύσομαι πρὸς αὐτόν, αὐτὸς δὲ οὐχ ἥξει πρός με. τοῦτο φιλοσοφίας, τοῦτο φιλοστοργίας. ὡς ἂν φιλῇς τὸ παιδίον, οὐ φιλεῖς τοσοῦτον ὅσον ἐκεῖνος τότε. τῷ μακαρίῳ ἐκείνῳ ἤκμαζεν ὁ περὶ τὴν μητέρα πόθος, εἰ καὶ ἐκ μοιχείας ἦν. ἴστε δὲ ὅτι κοινωνεῖ τὰ ἰσχυρὰ τοῦ φίλτρου τῶν τικτόντων. καὶ τοσοῦτος ὁ ἔρως ἦν, ὡς καὶ κατήγορον αὐτὸν οὐ βούλεσθαι ζῆν· ἀλλ' ὅμως ηὐχαρίστησε τῷ Θεῷ. τί οἴει πάσχειν τὴν Ῥεβέκκαν, ὅτε ὁ ἀδελφὸς ἠπείλησε τῷ Ἰακώβ; οὐκ ἐλύπησε τὸν ἄνδρα, ἀλλ' ἐκέλευσεν ἀποπέμψαι. ἐννόησον τὰ τούτων χείρω, ὅταν τι δεινὸν πάθῃς, καὶ ἱκανὴν ἕξεις παραμυθίαν. καὶ λογίζου, τί δὲ εἰ ἐν πολέμῳ τεθνήκει; τί δὲ εἰ ἐν πυρί; καὶ ὧν ἐὰν πάθωμεν, τὰ δεινότερα ἐννοῶμεν, καὶ ἕξομεν ἀρκοῦσαν παραμυθίαν· καὶ εἰς τὰ δεινότερα πεπονθότας ἀεὶ περισκοπῶμεν, καὶ εἰ αὐτοὶ βαρύτερα ἐπάθομέν ποτε. οὕτω καὶ Παῦλος παρατρέπει, ὡς ὅταν λέγῃ· Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. καὶ πάλιν, Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος. ὧν ἐὰν ἂν πάθωμεν, τὰ χείρω περισκοπῶμεν (εὑρήσομεν γὰρ) καὶ οὕτως ἐσόμεθα εὐχάριστοι. πρὸ δὲ πάντων εὐχαριστῶμεν ἐπὶ πᾶσι διηνεκῶς. οὕτω γὰρ καὶ ταῦτα παύσεται, καὶ ἡμεῖς εἰς δόξαν Θεοῦ ζήσομεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτευξόμεθα, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

…πιτ.

Γεν. μϛ. λϛ.

β. Βασ. ιγ.

β. Βασ. ιβ. κγ.

Εβρ. ιβ. δ.

α. Κορ. ι. ιγ.

Λογ. θ. 16 Ο ΛΟΓΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΝΟΙΚΕΙΤΩ
ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς
ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι, ᾄδοντες ἐν ταῖς καρ-
δίαις ὑμῶν τῷ Κυρίῳ, 17 Καὶ πᾶν ὅ, τι ἂν ποιῆτε ἐν λόγῳ, ἢ ἐν
ἔργῳ, πάντα ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ
πατρὶ δι' αὐτοῦ.

Παραινέσας εὐχαρίστους εἶναι, καὶ τὴν ὁδὸν δείκνυσι. ποίαν δὴ ταύτην; ἣν πρώην ἡμεῖς διελέχθημεν πρὸς ὑμᾶς. τί λέγων; ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως· μᾶλλον δὲ οὐ ταύτην μόνον, ἀλλὰ καὶ ἑτέραν. ἐγὼ μὲν γὰρ εἶπον, ὅτι δεῖ καὶ τὰ δεινότερα πεπονθότας ἀναλέγειν, καὶ τὰ χαλεπώτερα ὧν ἐπάθομεν ὑπομείναντας ἀναλογίζεσθαι, καὶ εὐχαριστεῖν ὑπὲρ τοῦ μὴ συμβῆναι ἐκεῖνα. αὐτὸς δὲ τί φησιν; ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, τουτέστιν, ἡ διδασκαλία, τὰ δόγματα, ἡ παραίνεσις, ἐν αἷς οὐδὲν τὴν παροῦσαν ζωὴν εἶναι φησιν, οὐδὲ τὰ ταύτης ἀγαθά. ἐὰν γὰρ ταῦτα ἴδωμεν, οὐδενὶ τῶν δυσχερῶν εἴξομεν. ἐνοικείτω, φησὶν, ἐν ὑμῖν πλουσίως, μὴ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας. ἀκούσατε ὅσοι ἐστὲ κοσμικοὶ, καὶ γυναικὸς καὶ παίδων προΐστασθε, πῶς καὶ ὑμῖν ἐπιτρέπει μάλιστα τὰς γραφὰς ἀναγινώσκειν· καὶ οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. ὥσπερ γὰρ ὁ πλούσιος ἐν χρήμασι ζημίαν καὶ καταδίκην ἐνεγκεῖν δύναται, οὕτως ὁ πλουτῶν ἐν δόγμασι φιλοσοφίας οὐχὶ πενίαν μόνον, ἀλλὰ καὶ πάσας τὰς συμφορὰς εὐκόλως οἴσει, καὶ ἐκείνου εὐκολώτερον. ἐκεῖ μὲν γὰρ ἐν τῇ διαλύσει τῆς ζημίας ἀνάγκη τὸν ὄντα πλούσιον ἐλαττοῦσθαι καὶ ἐλέγχεσθαι· κἂν πολλάκις τοῦτο πάθῃ, οὐκέτι δυνήσεται ἐνεγκεῖν· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ δαπανῶμεν τοὺς ὑγιεῖς λογισμοὺς, ὅταν ἐνεγκεῖν τι δέῃ τῶν ἀβουλήτων, ἀλλὰ μένουσι διαπαντός. καὶ ὅρα τὴν σύνεσιν τοῦ μακαρίου τούτου. οὐκ εἶπεν, ὁ λόγος τοῦ Χριστοῦ ἐν ὑμῖν ἔστω ἁπλῶς, ἀλλὰ τί; ἐνοικείτω, καὶ πλουσίως. ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς. τὴν ἀρετὴν φησὶ σοφίαν. εἰκότως. καὶ ἡ ταπεινοφροσύνη γὰρ καὶ ἡ ἐλεημοσύνη, καὶ ὅσα τοιαῦτα, σοφία ἐστίν· ὥσπερ οὖν τἀναντία, ἄνοια. καὶ γὰρ ὠμότης ἐξ ἀνοίας. ὅθεν πολλαχοῦ τὴν πᾶσαν ἁμαρτίαν, ἀφροσύνην καλεῖ. Εἶπε, φησὶν, ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. καὶ πάλιν, Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. τί γὰρ ἀνοητότερον, εἰπέ μοι, τοῦ ἑαυτὸν μὲν ἱμάτια περιβάλλοντος, τοὺς δὲ ἀδελφοὺς τοὺς αὐτοῦ γυμνοὺς περιβλέποντος; τοῦ κύνας μὲν τρέφοντος, τὴν δὲ εἰκόνα τοῦ Θεοῦ περιορῶντος ἐν λιμῷ; τοῦ πεπεισμένου ἁπλῶς, ὅτι οὐδὲν τὰ ἀνθρώπινα πράγματα, καὶ ὥσπερ ἀθανάτοις αὐτοῖς προσεστηκότος; ὥσπερ οὖν οὐδὲν τοῦ τοιούτου ἀνοητότερον, οὕτως οὐδὲν σοφώτερον τοῦ τὴν ἀρετὴν κατορθοῦντος. ὅρα γὰρ, πῶς σοφός ἐστι, φησί. μεταδίδωσι τῶν ὄντων, ἐλεήμων ἐστὶ, φιλάνθρωπος· ἐπέγνω τὴν φύσιν, ὅτι κοινή· ἐπέγνω τὴν τῶν χρημάτων χρῆσιν, ὅτι οὐδενὸς ἀξία λόγου· ὅτι τῶν σωμάτων τῶν οἰκείων δεῖ φείδεσθαι μᾶλλον, ἢ τῶν χρημάτων. δόξης καταφρονεῖ καὶ φιλόσοφός ἐστιν· οἶδε γὰρ τὰ ἀνθρώπινα πράγματα· τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων γνῶσις, ἡ φιλοσοφία. οὐκοῦν οἶδε μὲν ποῖα θεῖα, ποῖα δὲ ἀνθρώπινα· καὶ τῶν μὲν ἀπέχεται, ταῦτα δὲ ἐργάζεται· οἶδε, καὶ εὐχαριστεῖ τῷ Θεῷ ἐν πᾶσιν· οὐδὲν εἶναι νομίζει τὸν παρόντα βίον· διὰ τοῦτο οὔτε ἥδεται τοῖς χρηστοῖς, οὔτε λυπεῖται τοῖς ἐναντίοις. μηδὲ περιμείνῃς ἕτερον διδάσκαλον· ἔχεις

Ψαλ. ιγ. α.
Ψαλ. λζ. ε.

τὰ

τὰ λόγια τοῦ Θεοῦ· οὐδείς σε διδάσκει ὡς ἐκεῖνα. Ἐπεὶ ἰδοὺ γὰρ πολλὰ καὶ διὰ κενοδοξίαν καὶ διὰ βασκανίαν ἐπικρύπτουσι πολλάκις. Ἀκούσατε, παρακαλῶ, πάντες οἱ βιωτικοὶ, καὶ κτᾶσθε βιβλία φάρμακα τῆς ψυχῆς. Εἰ μηδὲν ἕτερον βούλεσθε, τὴν γοῦν καινὴν κτήσασθε, τὸν Ἀπόστολον, τὰς Πράξεις, τὰ Εὐαγγέλια διδασκάλους διηνεκεῖς. Ἂν λύπη συμβῇ, ὥσπερ εἰς ἀποθήκην φαρμάκων ἔγκυψον· λάβε παραμυθίαν ἐκεῖθεν τοῦ δεινοῦ, ἂν ζημία, ἂν θάνατος, ἂν ἀποβολὴ οἰκείων. Μᾶλλον δὲ μὴ ἐγκύψῃς, ἀλλὰ ἀνάλαβε πάντα, ἔχε ἐπὶ τῆς διανοίας. Τοῦτο πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ εἰδέναι τὰς γραφάς. Χωρὶς ὅπλων εἰς πόλεμον βαδίζομεν· καὶ πῶς ἔδει σωθῆναι; ἀγαπητὸν μετὰ τούτων σωθῆναι, μήτιγε χωρὶς τούτων. Μὴ τὰ πάντα ἐφ' ἡμᾶς ῥίπτετε. Πρόβατά ἐστε· ἀλλ' οὐκ ἄλογα, ἀλλὰ λογικά. Πολλὰ καὶ ὑμῖν ὁ Παῦλος ἐπιτρέπει. Οἱ διδασκόμενοι οὐ διαπαντὸς ἐπὶ τὸ μαθεῖν διατελοῦσιν, ἐπεὶ οὐ διδάσκονται. Ἂν ἀεὶ μανθάνῃς, οὐδέποτε μαθήσῃ. Μὴ οὕτως ἔρχου, ὡς ἀεὶ μαθησόμενος (ἐπεὶ οὐδέποτε εἴσῃ) ἀλλ' ὡς καὶ ἀπομαθησόμενος, καὶ διδάξων ἑτέρους. Εἰπὲ δή μοι, οὐχὶ ὡρισμένους χρόνους παραμένουσιν ἅπαντες ἐν τοῖς μαθήμασι, καὶ ἐν πάσαις ἁπλῶς ταῖς τέχναις; οὕτως ἅπαντες ὁρίζομεν φανερὸν χρόνον. Ἂν δὲ ἀεὶ μανθάνῃ, τεκμήριόν ἐστι τοῦ μηδὲν μαθεῖν. Τοῦτο δὲ ὀνειδίζων τοῖς Ἰουδαίοις ὁ Θεὸς εἶπεν· Αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως. Εἰ μὴ ἀεὶ τοῦτο προσεδοκᾶτε, οὐκ ἂν οὕτως εἰς τοὐπίσω πάντα ἀπῄει. Εἰ ἐκείνους τοὺς ἰδοὺ ἤδη μεμαθηκότας, τοὺς δὲ μέλλοντας, προέκοψεν ἂν τὸ ἔργον ἡμῖν· προεχωρήσατε ἂν ἑτέροις, καὶ συναντιλαβέσθαι καὶ ἡμῖν. Εἰπέ μοι, εἰ πρὸς γραμματιστὴν ἅπαντες ἀπίοιεν, εἶτα μένοιεν ἀεὶ τὰ στοιχεῖα μανθάνοντες, οὐ πολλὴν τῷ διδασκάλῳ πόνον παρέξουσι; μέχρι τίνος ὑμῖν περὶ βίου διαλεγόμεθα; ἐπὶ τῶν ἀποστόλων οὕτως οὐκ ἦν· ἀλλὰ συνεχῶς μετεπήδων, τοὺς προτέρους μανθάνοντας διδασκάλους καθιστῶντες ἑτέρων ἤδη μαθητευομένων. Οὕτως ἠδυνήθησαν τὴν οἰκουμένην περιελθεῖν, τῷ μὴ προσδεῖσθαι τοῦ πρώτου. Πόσης οἴεσθε διδασκαλίας δεῖσθαι τοὺς ὑμετέρους ἀδελφοὺς τοὺς ἐπὶ τῶν ἀγρῶν, καὶ τοὺς ἐκείνων διδασκάλους; ἀλλ' ὑμᾶς μὲ κατέχετε προσηλώσαντες. Πρὶν ἢ γὰρ τὴν κεφαλὴν καλῶς διαρτισθῆναι, περιττὸν ἐπὶ τὸ λοιπὸν σῶμα ἰέναι. Πάντα ἡμῖν ἐπιρρίπτετε. Ὑμᾶς ἐχρῆν παρ' ἡμῶν μανθάνειν μόνον· τὰς δὲ γυναῖκας παρ' ὑμῶν, τὰ παιδία παρ' ὑμῶν. Ἀλλὰ πάντα ἡμῖν καταλιμπάνετε. Διὰ τοῦτο πολὺς ὁ κόπος. Διδάσκοντες, φησὶ, καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς. Ὅρα καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. Ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει πόνον, καὶ πολὺ τὸ φορτικὸν, οὐκ ἐφ' ἱστορίας ἤγαγεν, ἀλλ' ἐπὶ ψαλμοὺς, ἵνα ὁμοῦ καὶ τέρπῃς τὴν ψυχὴν ᾄδων, καὶ ὑποκλέπτῃς τὸν πόνον. Ὕμνοις, φησὶ, καὶ ᾠδαῖς πνευματικαῖς. Νῦν δὲ σατανικὰς μὲν ᾠδὰς καὶ ὀρχήσεις αἱροῦσιν οἱ παῖδες οἱ ἡμέτεροι, καθάπερ οἱ μάγειροι, καὶ οἱ ὀψῶναι, καὶ οἱ χορευταί· ψαλμὸν δὲ οὐδεὶς οὐδένα οἶδεν· ἀλλὰ καὶ αἰσχύνη τὸ πρᾶγμα δοκεῖ εἶναι, καὶ χλευασία, καὶ γέλως. Ἐκεῖθεν ἅπαντα τὰ κακὰ σώζεται. Ἐν οἵᾳ γὰρ ἂν ἑστήκοι γῇ τὸ φυτὸν, τοιοῦτον φέρει τὸν καρπόν. Ἂν ἐν ἀμμώδει καὶ ἁλμυρᾷ, τοιοῦτον· ἂν ἐν γλυκείᾳ καὶ λιπαρᾷ, πάλιν ὅμοιον. Οὕτω πηγή τίς ἐστι τὰ διδάγματα. Δίδαξον αὐτὸν ᾄδειν ψαλμοὺς ἐκείνους τοὺς φιλοσοφίας γέμοντας, οἷον περὶ σωφροσύνης εὐθέως· μᾶλλον δὲ πρὸ πάντων περὶ τοῦ μὴ συνεῖναι πονηροῖς, εὐθέως ἀπ' αὐτῆς τῆς ἀρχῆς τοῦ βιβλίου. Διὰ γὰρ τοῦτο καὶ ἐντεῦθεν ἤρξατο ὁ προφήτης λέγων, Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· καὶ πάλιν, Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος· καὶ πάλιν, Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος· τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει· περὶ τοῦ συνεῖναι ἀγαθοῖς (καὶ ταῦτα εὑρήσεις ἐκεῖ, καὶ ἄλλα πολλὰ) περὶ τοῦ γαστρὸς κρατεῖν, περὶ τοῦ χεῖρας κατέχειν, περὶ τοῦ μὴ πλεονεκτεῖν· ὅτι οὐδὲν τὰ χρήματα, οὐδὲ ἡ δόξα, καὶ

Ησ. μϛ.

Ψαλ. α α.
Ψαλ. κε δ.
Ψαλ. ιδ. δ.

ὅσα τοιαῦτα. ὅταν τούτοις ἐκ παιδὸς ἐνάξῃς αὐτὸν, κατὰ μικρὸν καὶ ἐπὶ τὰ ὑψηλότερα ἄξεις.
οἱ ψαλμοὶ πάντα ἔχουσιν, οἱ δὲ ὕμνοι πάλιν οὐδὲν ἀνθρώπινον. ὅταν ἐν τοῖς ψαλμοῖς
μάθῃ, τότε καὶ ὕμνους εἴσεται, ἅτε θειότερον πρᾶγμα. αἱ γὰρ ἄνω δυνάμεις ὑμνοῦ-
Σειρ. ιε θ. σιν, οὐ ψάλλουσιν. Οὐ γὰρ ὡραῖος ὕμνος ἐν στόματι, φησὶν, ἁμαρτωλοῦ· καὶ πάλιν, Οἱ ὀφθαλ-
Ψαλ. ρ. ς. ζ. μοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. καὶ πάλιν, Οὐ κατῴ-
κει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. καὶ πάλιν, Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗ-
τός μοι ἐλειτούργει. ὥστε μὴ μόνον φίλοις, ἀλλὰ μηδὲ οἰκέταις ἀναμίγνυσθαι ἑαυτοὺς
ἀσφαλίζεσθε. τὰ γὰρ μυρία κακὰ τοῖς ἐλευθέροις, ὅταν δούλους αὐτοῖς ἐπιστήσωμεν
διεφθαρμένους. Εἰ γὰρ παρ' ἡμῶν ἀπολαύοντες καὶ φιλοστοργίας καὶ φιλοσοφίας τοσαύτης, μό-
λις διασώζονται, ὅταν αὐτοὺς ἐκδῶμεν τῇ ἀφειδείᾳ τῶν οἰκετῶν, τίνες ἔσονται; καθάπερ
ἐχθροῖς αὐτοῖς κέχρηνται, νομίζοντες αὐτοῖς τὴν δεσποτείαν εἶναι ἡμερωτέραν, ἂν μωροὺς
αὐτοὺς ἀπεργάσωνται καὶ φαύλους καὶ οὐδενὸς λόγου ἀξίους. πρὸ τῶν ἄλλων οὖν ἁπάν-
των ταῦτα σπουδάζωμεν. Ηγάπησα, φησὶ, τοὺς ἀγαπῶντας τὸν νόμον σου. τούτους οὖν
καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τούτους ἀγαπῶμεν. ἵνα δὲ πάλιν σωφρονῶσιν οἱ παῖδες, ἀκου-
Ψαλ. λζ. ζ. έτωσαν τοῦ προφήτου λέγοντος· Οτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων· καὶ πάλιν, Εξο-
Ψαλ. οβ. κζ. λοθρεύσεις πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. καὶ ὅτι δεῖ κατέχειν γαστρὸς, ἀκουέτωσαν πά-
Ψαλ. οζ. λα. λιν· Καὶ ἀπέκτεινε, φησὶν, ἐν τοῖς πλείοσιν αὐτῶν, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στό-
Ψαλ. ξα. ι. ματι αὐτῶν. καὶ ὅτι δεῖ δώρων κρατεῖν, ἐντεῦθεν μαθήσονται. Πλοῦτος, φησὶν, ἐὰν ῥέῃ, μὴ
Ψαλ. μη. ιη. προστίθεσθε καρδίαν. καὶ ὅτι δόξης κρατεῖν καὶ τοῦτο εὑρήσουσιν· Οὐδὲ συγκαταβήσεται αὐτῷ
Ψαλ. λς. α. ὀπίσω αὐτοῦ ἡ δόξα αὐτοῦ. τοὺς πονηροὺς μὴ ζηλοῦν· Μὴ παραζήλου ἐν πονηρευομένοις. τὰς
Ψαλ. λς. λζ. δυναστείας ἡγεῖσθαι οὐδέν· Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους
Ψαλ. ρμγ. ιε. τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν. μηδὲν τὰ παρόντα ἡγεῖσθαι· Εμακάρισαν τὸν λαὸν,
ᾧ ταῦτά ἐστι. μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς βοηθὸς αὐτοῦ. ὅτι οὐχ ἁπλῶς ἁμαρτάνο-
Ψαλ. ξα. ιβ. μεν, ἀλλ' ἔστιν ἀνταπόδοσις· Οτι σὺ ἀποδώσεις, φησὶν, ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. διὰ τί δὲ οὐ
Ψαλ. ζ ιβ. καθημέραν ἀποδίδωσιν· Ο Θεὸς κριτὴς, φησὶ, δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. ὅτι ἡ ταπει-
Ψαλ. ρλ. α. νοφροσύνη καλόν· Κύριε, φησὶν, οὐχ ὑψώθη ἡ καρδία μου. ὅτι ὑπερηφανία κακόν· Διὰ τοῦ-
Ψαλ. οβ. ς. το, φησὶν, ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος. καὶ πάλιν, Κύριος ὑπερηφάνοις
Ψαλ. γ. λδ. Ψαλ. οβ. ζ. ἀντιτάσσεται. καὶ πάλιν, Εξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. ὅτι ἡ ἐλεημοσύνη κα-
Ψαλ. ρια. θ. λόν· Εσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὅτι τὸ ἐλεεῖν ἐ-
Ψαλ. ρια. ε. παινετόν· Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. καὶ πολλὰ τούτων πλείονα εὑρήσεις ἐκεῖ ἐμφι-
Ψαλ. ρ. ε. λόσοφα δόγματα, οἷον ὅτι κακῶς λέγειν οὐ δεῖ· Τὸν καταλαλοῦντα, φησὶ, λάθρα τὸν πλη-
σίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. τίς ὁ ὕμνος τῶν ἄνω, τί λέγει τὰ χερουβὶμ, ἴσασιν οἱ πιστοί.
Λουκ. β. ιδ. τί ἔλεγον οἱ ἄγγελοι κάτω; Δόξα ἐν ὑψίστοις Θεῷ. διὰ τοῦτο μετὰ τὴν ψαλμῳδίαν ὕμνοι,
ἅτε τελειότερόν τι πρᾶγμα. Ψαλμοῖς, φησὶν, ὕμνοις, ᾠδαῖς πνευματικαῖς ἐν τῇ χάριτι
ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ. ἢ τοῦτό φησιν, ὅτι διὰ χάριν ἡμῖν ταῦτα ἔδωκεν ὁ
Θεὸς, ἢ ταῖς ἐν τῇ χάριτι ᾠδαῖς, ἢ νουθετοῦντες ἑαυτοὺς καὶ διδάσκοντες ἐν χάριτι, ἢ ὅτι ἐν
χάριτι εἶχον ταῦτα τὰ χαρίσματα, ἢ ἐπεξήγησίς ἐστιν. ἀπὸ τῆς χάριτος τοῦ πνεύματος,
φησίν. ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ. μὴ ἁπλῶς φησι, τῷ στόματι, ἀλλὰ μετὰ
προσοχῆς. τοῦτο γάρ ἐστι τῷ Θεῷ ᾄδειν, ἐκεῖνο δὲ τῷ ἀέρι. διαχεῖται γὰρ ἁπλῶς ἡ φω-
νή. μὴ πρὸς ἐπίδειξιν, φησί. κἂν ἐν ἀγορᾷ ᾖς, δύνασαι συστρέψαι σεαυτὸν καὶ ᾄδειν τῷ
Εξοδ. ιδ. ιε. Θεῷ, μηδενὸς ἀκούοντος· ἐπεὶ καὶ Μωϋσῆς οὕτως ηὔχετο, καὶ ἠκούσθη. Φησὶ γὰρ, Τί βοᾷς πρός
με; καίτοι γε οὐδὲν εἶπεν, ἀλλ' ἐβόα κατὰ διάνοιαν μετὰ καρδίας συντετριμμένης. διὸ καὶ ὁ Θεὸς
ἤκουσε μόνος. οὐ κεκώλυται γὰρ καὶ περιπατοῦντα εὔχεσθαι κατὰ καρδίαν, καὶ ἄνω εἶναι. καὶ πόσω

ὅ,τι ἂν ποιῆτε, φησὶν, ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ. ἐὰν γὰρ οὕτω ποιῶμεν, οὐδὲν ἔσται μιαρὸν, οὐδὲν ἀκάθαρτον, ἔνθα ἂν ὁ Χριστὸς καλῆται. ἐὰν ἐσθίῃς, ἐὰν πίνῃς, ἐὰν γαμῇς, ἐὰν ἀποδημῇς, πάντα ἐν ὀνόματι τοῦ Θεοῦ πρᾶττε· τουτέστιν, αὐτὸν καλῶν βοηθὸν, ἐπὶ πάντων πρότερον αὐτῷ εὐχόμενος ἅπτου τῶν πραγμάτων. βούλει τι φθέγξασθαι; τοῦτον πρόταττε. διὰ τοῦτο καὶ ἡμεῖς τῶν ἐπιστολῶν προτάσσομεν τὸ ὄνομα Κυρίου. ἔνθα ἂν ᾖ τὸ ὄνομα Κυρίου, πάντα αἴσια. εἰ γὰρ ὑπάτων ὀνόματα ἀσφαλῆ τὰ γραμματεῖα ποιεῖ, πολλῷ μᾶλλον τοῦ Χριστοῦ τὸ ὄνομα. ἢ τοῦτό φησι, κατὰ Θεὸν πάντα καὶ λέγετε, καὶ πράττετε· μὴ τοὺς ἀγγέλους ἐπεισάγετε. ἐσθίεις; εὐχαρίστησον τῷ Θεῷ καὶ μέλλων, καὶ μετὰ ταῦτα. καθεύδεις; εὐχαρίστησον τῷ Θεῷ καὶ μέλλων, καὶ μετὰ ταῦτα. εἰς ἀγορὰν ἐμβάλλεις; ταὐτὸ ποίει. μηδὲν κοσμικὸν, μηδὲν βιωτικόν· πάντα ἐν ὀνόματι Κυρίου ποίει, καὶ πάντα σοι εὐοδωθήσεται. ὅπου ἂν ἐπιτεθῇ τὸ ὄνομα τοῦ Θεοῦ, πάντα αἴσια. εἰ δαίμονας ἐκβάλλει, εἰ νόσους ἀπελαύνει, πολλῷ μᾶλλον εὐκολίαν πραγμάτων ποιήσει. καὶ τί ἐστι ποιῆσαι ἐν λόγῳ, ἢ ἐν ἔργῳ; ἢ ἀξιοῦντα, ἢ ὁτιοῦν ποιοῦντα. ἄκουσον πῶς ὁ Ἀβραὰμ ἐν ὀνόματι Θεοῦ τὸν οἰκέτην ἀπέστειλεν, ὁ Δαβὶδ ἐν ὀνόματι Θεοῦ τὸν Γολιὰθ καθεῖλε. θαυμαστὸν τὸ ὄνομα αὐτοῦ καὶ μέγα. πάλιν ὁ Ἰακὼβ τοὺς υἱοὺς πέμπων φησίν· Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐνώπιον τοῦ ἀνθρώπου. ὁ γὰρ τοῦτο ποιῶν, ἔχει σύμμαχον τὸν Θεὸν, οὗ χωρὶς οὐδὲν ἐτόλμησε ποιῆσαι. ἅτε οὖν τιμηθεὶς τῷ κληθῆναι, ἀντιτιμήσει τῷ ἐξευμαρίσαι τὰ πράγματα. καλεῖ τὸν υἱὸν, εὐχαρίστει τῷ πατρί. καὶ γὰρ τοῦ υἱοῦ καλουμένου ὁ πατὴρ καλεῖται, καὶ πατρὸς εὐχαριστουμένου ὁ υἱὸς εὐχαριστεῖται. ταῦτα μανθάνωμεν μὴ μέχρι ῥημάτων, ἀλλὰ καὶ διὰ τῶν ἔργων πληρῶμεν. οὐδὲν τῷ ὀνόματι τούτῳ ἴσον. τοῦτο πανταχοῦ θαυμάσιον. Μύρον, φησὶν, ἐκκενωθὲν ὄνομά σου. ὁ τοῦτο εἰπὼν εὐθέως εὐωδίας ἐνεπλήσθη. Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, φησὶν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. τοῦτο τὸ ὄνομα τοσαῦτα ἐργάζεται. ἐὰν εἴπῃς, ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μετὰ πίστεως, πάντα ἤνυσας. ὅρα πόσα ἐποίησας. ἐδημιούργησας ἄνθρωπον, καὶ τὰ ἄλλα πάντα ἀπὸ τοῦ βαπτίσματος εἰργάσω. οὕτω ταῖς νόσοις ἐπικαλούμενον φοβερὸν τὸ ὄνομα. διὰ ταῦτα ὁ διάβολος τὰς τῶν ἀγγέλων ἐπεισήγαγε, βασκαίνων ἡμῖν τῆς τιμῆς. τῶν δαιμόνων τοιαῦται αἱ ἐπῳδαί. κἂν ἄγγελος ᾖ, κἂν ἀρχάγγελος, κἂν τὰ χερουβὶμ, μὴ ἀνέχου. ἐπεὶ οὐδὲ αὗται αἱ δυνάμεις καταδέξονται, ἀλλὰ καὶ ἀποσείσονται, ὅταν ἴδωσι τὸν δεσπότην ἀτιμαζόμενον. ἐγώ σε ἐτίμησα, φησὶ, καὶ εἶπον, ἐμὲ κάλει· καὶ σὺ ἀτιμάζεις αὐτόν; ἂν ταύτην ᾄδῃς τὴν ἐπῳδὴν μετὰ πίστεως, καὶ νόσους καὶ δαίμονας ἀπελάσεις. κἂν μὴ ἀπελάσῃς τὴν νόσον, οὐ παρὰ ἀσθένειαν, ἀλλὰ παρὰ τὸ συμφέρον. Κατὰ τὴν μεγαλωσύνην σου, φησὶν, οὕτω καὶ ἡ αἴνεσίς σου. διὰ τοῦ ὀνόματος τούτου ἡ οἰκουμένη ἐπεστράφη, ἡ τυραννὶς ἐλύθη, ὁ διάβολος ἐπατήθη, οἱ οὐρανοὶ ἀνεῴγησαν. καὶ τί λέγω, οἱ οὐρανοί; ἡμεῖς ἀνεγεννήθημεν διὰ τοῦ ὀνόματος τούτου. ἐὰν τοῦτο ἔχωμεν, λάμπομεν. τοῦτο καὶ μάρτυρας ποιεῖ, καὶ ὁμολογητάς. τοῦτο κατέχωμεν ὥσπερ μεγάλην δωρεὰν, ἵνα ἐν δόξῃ ζήσωμεν, καὶ εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ.

Γεν. μγ. ιδ.

Ασμ. α. γ.

α. Κορ. ιβ. γ.

Λογ. ι.

Λογ. ι. 18 ΑΙ ΓΥΝΑΙΚΕΣ, ΥΠΟΤΑΣΣΕΣΘΕ ΤΟΙΣ
ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. 19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. 20 Τὰ τέκνα, ὑπακούετε
τοῖς γονεῦσι κατὰ πάντα. τοῦτο γάρ ἐστιν εὐάρεστον Κυρίῳ. 21 Οἱ πα-
τέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. 22 Οἱ δοῦλοι,
ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ κατ' ὀφθαλμοδουλείαν,
ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν.
23 Πᾶν ὅ,τι ἂν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀν-
θρώποις, 24 Εἰδότες ὅτι παρὰ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν
τῆς κληρονομίας. τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε. 25 Ὁ δὲ ἀδι-
κῶν, κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ.

κεφ. δ. 1 Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ
ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς.

Διὰ τί μὴ πανταχοῦ καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς ταῦτα ἐπιτάττει, ἀλλ' ἐνταῦθα, καὶ τῇ πρὸς Ἐφεσίους, καὶ τῇ πρὸς Τιμόθεον, καὶ τῇ πρὸς Τίτον; ὅτι εἰκὸς ἐν ταύταις ταῖς πόλεσιν εἶναι τὰς διχοστασίας, ἢ εἰκὸς τὰ μὲν ἄλλα αὐταῖς κατορθῶσθαι, τούτων δὲ οὕτως ὑστερεῖν, ὥστε δεῖν εἶναι καὶ περὶ τούτων ἀκούειν. μᾶλλον δὲ ἃ πρὸς τούτους λέγει, πρὸς πάντας λέγει. πολλὴν δὲ ἐμφέρειαν ἔχει αὕτη ἡ ἐπιστολὴ τῇ πρὸς Ἐφεσίους. ἀλλαχοῦ δὲ τοῦτο οὐ ποιεῖ, ἢ ὅτι ἀνδράσι λοιπὸν εἰρηνεύουσιν, οὓς ἐχρῆν περὶ δογμάτων μανθάνειν ὑψηλῶν ἔτι ἐλλειπόντων αὐτοῖς, οὐκ ἐχρῆν περὶ τούτων γράφειν· ἢ ὅτι παρακληθέντας * ἐπὶ τοῖς πειρασμοῖς περιττὸν ἦν περὶ τούτων ἀκούειν. ὥστε στοχαζόμεθα εἰς τὸ λοιπὸν ἑδραίαν εἶναι τὴν ἐκκλησίαν, καὶ πρὸς τῷ τέλει ταῦτα λέγεσθαι. αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ· ἀντὶ τοῦ, ὑποτάσσεσθε διὰ τὸν Θεόν. ἐπεὶ τοῦτο ὑμᾶς κοσμεῖ, φησιν, οὐκ ἐκείνους. οὐ γὰρ δεσποτικὴν ὑποταγὴν, οὐδὲ τὴν ἀπὸ φύσεως μόνον, ἀλλὰ τὴν διὰ Θεόν φημι. οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. ὅρα πῶς πάλιν τὸ κατάλληλον παρῄνεσε. καθάπερ ἐκεῖ φόβον καὶ ἀγάπην τίθησιν, οὕτω καὶ ἐνταῦθα. ἔστι γὰρ καὶ ἀγαπῶντα πικραίνεσθαι. ὃ δὲ λέγει φησι, τοῦτό ἐστι· μὴ μάχεσθε. οὐδὲν γὰρ οὕτω τῆς μάχης ταύτης πικρότερον, ὅταν παρὰ ἀνδρὸς πρὸς γυναῖκα γίνηται. αἱ γὰρ πρὸς τὰ φιλούμενα πρόσωπα γινόμεναι μάχαι, αὗται πικραί. καὶ δείκνυσιν ὅτι ἀπὸ πολλῆς πικρίας τοῦτο γίνεται, ὅταν πρὸς τὸ μέλος αὐτοῦ, φησί, τις διαστασιάζῃ. τὸ μὲν οὖν ἀγαπᾶν, τῶν ἀνδρῶν ἐστι· τὸ δὲ εἴκειν, ἐκείνων. ἐὰν οὖν ἕκαστος τὸ ἑαυτοῦ εἰσενέγκῃ, ἕστηκε πάντα βέβαια. ἀπὸ μὲν γὰρ τοῦ ἀγαπᾶσθαι, γίνεται καὶ ἡ γυνὴ φιλική· ἀπὸ δὲ τοῦ ὑποτάσσεσθαι, ὁ ἀνὴρ ἐπιεικής. ὅρα δὲ ὅτι καὶ ἐν τῇ φύσει οὕτω κατεσκεύασται, ὥστε τὸν μὲν φιλεῖν, τὴν δὲ ὑπακούειν. ὅταν γὰρ ὁ ἄρχων τὸ ἀρχόμενον φιλῇ, τότε τὰ πάντα συνέστηκεν. οὐχ οὕτως ἡ παρὰ τοῦ ἀρχομένου ἀγάπη, ὡς ἡ παρὰ τοῦ ἄρχοντος ζητεῖται πρὸς τὸ ἀρχόμενον. παρ' ἐκείνου γὰρ ἡ ὑπακοή. τὸ γὰρ ἐν ὥρᾳ εἶναι τὴν γυναῖκα, τοῦτο δὲ εἰς ἐπιθυμίαν, οὐδὲν ἄλλο δείκνυσιν, ἀλλ' ἢ ὅτι διὰ τὴν ἀγάπην οὕτω γεγένηται. μὴ τοίνυν, ἐπειδὴ ὑποτέτακται ἡ γυνή, αὐθέντει· μηδὲ σύ, ἐπειδὴ ὁ ἀνὴρ ἀγαπᾷ, φυσιοῦ. μήτε ἡ τοῦ ἀνδρὸς φιλία τὴν γυναῖκα ἐπαιρέτω, μήτε ἡ τῆς γυναικὸς ὑποταγὴ φυσάτω τὸν ἄνδρα. διὰ τοῦτό σοι ὑπέταξεν αὐτήν, ἵνα μᾶλλον φιλῆται· διὰ τοῦτό σε φιλεῖσθαι ἐποίησεν, ὦ γύναι, ἵνα εὐκόλως φέρῃς τὸ ὑποτετάχθαι. μὴ φοβοῦ ὑποτασσομένη.

ὑποτασσομένη. Τὸ γὰρ φιλοῦντι ὑποτάσσεσθαι, οὐδεμίαν ἔχει δυσκολίαν. Μὴ φοβοῦ ἐρῶν· ἔχεις γὰρ αὐτὴν εἴκουσαν. Οὐκ ἂν ἄλλως οὕτως ἐγένετο σύνδεσμος. Ἀναγκαίαν τοίνυν ἔχεις ἀπὸ τῆς φύσεως τὴν ἀρχήν· ἔχε καὶ τὸν δεσμὸν τὸν ἀπὸ τῆς ἀγάπης. Τὴν γὰρ ἀσθενεστέραν ἀνεκτὴν εἴασε. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα. Τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ. Πάλιν, τὸ, ἐν Κυρίῳ, τέθεικε, καὶ νόμους οἶδεν ὑπακοῆς, καὶ ἐντρέπων, καὶ καταβάλλων. Τοῦτο γάρ, φησίν, ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Ὅρα πῶς οὐκ ἀπὸ τῆς φύσεως μόνης, ἀλλὰ πρὸ ταύτης ἀπὸ τῶν τῷ Θεῷ δοκούντων βούλεται ἡμᾶς ἅπαντα πράττειν, ἵνα καὶ μισθὸν ἔχωμεν. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Ἰδοὺ πάλιν καὶ ἐνταῦθα ὑποταγή, καὶ φίλτρον. Καὶ οὐκ εἶπεν, ἀγαπᾶτε τὰ τέκνα (περιττὸν γὰρ ἦν· αὐτὴ γὰρ ἡ φύσις καταναγκάζει) ἀλλ' ὅπερ ἔδει διώρθωσε, τὸ, καὶ τὸ φίλτρον ἐνταῦθα εἶναι σφοδρότερον, ἐπειδὴ καὶ ἡ ὑπακοὴ μείζων. Οὐδαμοῦ γὰρ τίθησιν ὑπόδειγμα τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικός, ἀλλὰ τί; ἄκουε τοῦ προφήτου λέγοντος· Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. [Ψαλ. ρβ. ιγ.] Καὶ πάλιν ὁ Χριστός φησι, Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; [Ματθ. ζ. θ.] καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Ὃ μάλιστα αὐτοὺς ἤδει δυνατὸν δακεῖν, τοῦτο τέθεικε, καὶ φιλικώτερον εἶπεν ἐπιτάττων αὐτοῖς. Καὶ οὐδαμοῦ τὸν Θεὸν τίθησιν. Ἐπέκλασε γὰρ τοὺς γονέας, καὶ κατέκαμψεν [κατακάμ-] αὐτῶν τὰ σπλάγχνα. Τὸ δέ, μὴ ἐρεθίζετε, τοῦτό ἐστι, μὴ φιλονεικοτέρους αὐτοὺς ποιεῖτε. Ἔστιν ὅπου καὶ συγχωρεῖν ὀφείλετε. Εἶτα ἐπὶ τρίτην ἦλθεν ἀρχήν, Οἱ δοῦλοι, λέγων, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις. Ἐνταῦθά ἐστι μέν τι καὶ φίλτρον, ἀλλ' οὐκέτι φυσικόν, καθάπερ ἄνω, ἀλλὰ συνηθείας, καὶ ἀπ' αὐτῆς τῆς ἀρχῆς, καὶ ἀπὸ τῶν ἔργων. Ἐπεὶ οὖν ἐνταῦθα τὸ μὲν τοῦ φίλτρου ὑποτέτμηται, τὸ δὲ τῆς ὑπακοῆς ἐπιτέταται, τούτῳ ἐνδιατρίβει, βουλόμενος, ὅπερ οἱ πρῶτοι ἔχουσιν ἀπὸ τῆς φύσεως, τοῦτο δοῦναι τούτοις ἀπὸ τῆς ὑπακοῆς. Ὥστε οὐχ ὑπὲρ τῶν δεσποτῶν τοῖς οἰκέταις μόνοις διαλέγεται, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν, ἵνα ποθεινοὺς ἑαυτοὺς ἐργάζωνται τοῖς δεσπόταις. Ἀλλ' οὐ τίθησι τοῦτο φανερῶς. Ἢ γὰρ ἂν ὑπτίους αὐτοὺς ἐποίησεν. Οἱ δοῦλοι, φησίν, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις. Καὶ ὅρα πῶς ἀεὶ τὰ ὀνόματα τίθησι, γυναῖκες, τὰ τέκνα, οἱ δοῦλοι, ὡς δικαίωμα τοῦ ὑπακούειν. Ἀλλ' ἵνα μὴ ἀλγήσῃ, ἐπήγαγε· τοῖς κατὰ σάρκα κυρίοις. Τὸ κρεῖττόν σου ἡ ψυχὴ ἠλευθέρωται, φησί· πρόσκαιρος ἡ δουλεία. Ἐκεῖνο τοίνυν ὑπόταξον, ἵνα μηκέτι ἀνάγκης ᾖ ἡ δουλεία. Μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπάρεσκοι. Ποίησον, φησί, τὴν ἀπὸ τοῦ νόμου δουλείαν ἀπὸ τοῦ φόβου γίνεσθαι τοῦ Χριστοῦ. Καὶ γὰρ μὴ ὁρῶντος ἐκείνου πράττῃς τὰ δέοντα καὶ τὰ πρὸς τιμὴν τοῦ δεσπότου, δηλονότι διὰ τὸν ἀκοίμητον ὀφθαλμὸν ποιεῖς. Μὴ κατ' ὀφθαλμοδουλείαν, φησίν, ὡς ἀνθρωπάρεσκοι. Ὥστε ὑμεῖς τὴν βλάβην ὑποστήσεσθε. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Διεσκόρπισε Κύριος ὀστᾶ ἀνθρωπαρέσκων. [Ψαλ. νβ. ζ.] Ὅρα τοίνυν πῶς αὐτῶν φείδεται, καὶ αὐτοὺς ῥυθμίζει. Ἀλλ' ἐν ἁπλότητι, φησί, καρδίας, φοβούμενοι τὸν Θεόν. Ἐκεῖνο γὰρ οὐχ ἁπλότης, ἀλλ' ὑπόκρισις, ἕτερον ἔχειν, καὶ ἕτερον ποιεῖν· ἄλλον μὲν παρόντος φαίνεσθαι τοῦ δεσπότου, ἄλλον δὲ ἀπόντος. Οὐκοῦν οὐχ ἁπλῶς εἶπεν, ἐν ἁπλότητι καρδίας, ἀλλά, φοβούμενοι τὸν Θεόν. Τοῦτο γάρ ἐστι φοβεῖσθαι τὸν Θεόν, ὅταν μηδενὸς ὁρῶντος, μηδὲν πράττωμεν πονηρόν. Ἂν δὲ πράττωμεν, οὐχὶ τὸν Θεόν, ἀλλὰ τοὺς ἀνθρώπους φοβούμεθα. Ὁρᾷς ὅτι ἐκείνους ῥυθμίζει; Πᾶν ὅ,τι ἂν ποιῆτε, φησίν, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις. Οὐ μόνον ὑποκρίσεως, ἀλλὰ καὶ ἀργίας αὐτοὺς ἀπαλλάξαι βούλεται. Ἐλευθέρους αὐτοὺς ἐποίησεν ἀντὶ δούλων, ὅταν μὴ δέωνται τῆς τῶν δεσποτῶν ἐπιστασίας. Τὸ γὰρ ἐκ ψυχῆς, τοῦτό ἐστι, τὸ μετ' εὐνοίας, μὴ μετὰ δουλικῆς ἀνάγκης, ἀλλὰ μετ' ἐλευθερί-

ας καὶ προαιρέσεως. καὶ τίς ὁ μισθός; Εἰδότες, φησὶν, ὅτι ἀπὸ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας ἡμῶν. Τῷ γὰρ Κυρίῳ δουλεύετε. ἐκ τούτου περὶ αὐτοῦ δῆλον ὅτι λήψεσθε τὸν μισθόν. καὶ ὅτι τῷ Κυρίῳ δουλεύετε, δῆλον ἐκ τούτου. ὁ δὲ ἀδικῶν, φησὶ, κομιεῖται ὃ ἠδίκησεν. ἐνταῦθα βεβαιοῖ τὸν προτέρον λόγον. ἵνα γὰρ μὴ δόξῃ κολακείας εἶναι τὰ ῥήματα, λήψεται, φησὶν, ὁ ἠδίκησε, τουτέστι, καὶ τιμωρίαν δίδωσιν. οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. τί γὰρ εἰ δοῦλος εἶ; οὐκ αἰσχύνη. καὶ μὴν τοῦτο πρὸς τοὺς δεσπότας ἔδει εἰπεῖν, ὥσπερ καὶ ἐν τῇ πρὸς Ἐφεσίους. ἀλλ' ἐνταῦθά μοι δοκεῖ τοὺς Ἕλληνας αἰνίττεσθαι δεσπότας. τί γὰρ εἰ ἐκεῖνος μὲν Ἕλλην, σὺ δὲ χριστιανός; οὐ τὰ πρόσωπα, ἀλλὰ τὰ πράγματα ἐξετάζεται. ὥστε καὶ οὕτω μετ' εὐνοίας καὶ ἐκ ψυχῆς δεῖ δουλεύειν. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε. τί δέ ἐστι τὸ δίκαιον; τί δέ ἐστιν ἰσότης; πάντων ἐν ἀφθονίᾳ καθιστᾶν, καὶ μὴ ἐᾶν ἑτέρων δεῖσθαι, ἀλλὰ ἀμείβεσθαι αὐτοὺς τῶν πόνων. μὴ γὰρ, ἐπειδὴ εἶπον, ὅτι παρὰ Θεοῦ ἔχουσι τὸν μισθὸν, διὰ τοῦτο σὺ ἀποστερήσῃς. ἑτέρωθι δέ φησιν, Ἀνιέντες τὴν ἀπειλὴν, ἡμερωτέρους ἐργάσασθαι βουλόμενος. τέλειοι γὰρ ἦσαν ἐκεῖνοι. τουτέστιν, ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. καὶ τὸ, οὐκ ἔστι προσωποληψία, πρὸς τούτους εἴρηται. κεῖται δὲ ἐπ' ἐκείνων, ἵνα οὗτοι δέξωνται. ὅταν γὰρ ἑτέρῳ ἁρμόζον πρὸς ἕτερον εἴπωμεν, οὐκ ἐκεῖνον τοσοῦτον, ὅσον τὸν ὑπεύθυνον κατορθώσαμεν. καὶ ὑμεῖς μετ' ἐκείνων, φησίν. ἐνταῦθα κοινὴν ἐποίησε τὴν δουλείαν· Εἰδότες γὰρ, φησὶν, ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς.

2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

Ἐπειδὴ γὰρ τὸ καρτερεῖν ἐν ταῖς εὐχαῖς ῥᾳθυμεῖν πολλάκις ποιεῖ, διὰ τοῦτό φησι, γρηγοροῦντες, τουτέστι, νήφοντες, μὴ ῥεμβόμενοι. οἶδε γὰρ, οἶδεν ὁ διάβολος ὅσον ἀγαθὸν εὐχή· διὸ βαρὺς ἔγκειται. οἶδε δὲ καὶ Παῦλος πῶς ἀκηδιῶσι πολλοὶ εὐχόμενοι. διό φησι, προσκαρτερεῖτε τῇ προσευχῇ, ὡς περί τινος ἐπιπόνου. γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. τοῦτο γὰρ, φησὶν, ἔργον ὑμῶν ἔστω, ἐν ταῖς εὐχαῖς εὐχαριστεῖν, καὶ ὑπὲρ τῶν φανερῶν, καὶ ὑπὲρ τῶν ἀφανῶν, καὶ ὑπὲρ ὧν ἑκόντας, καὶ ὑπὲρ ὧν ἄκοντας ἐποίησεν εὖ, καὶ ὑπὲρ βασιλείας, καὶ ὑπὲρ γεέννης, καὶ ὑπὲρ θλίψεως, καὶ ὑπὲρ ἀνέσεως. οὕτω γὰρ ἔθος τοῖς ἁγίοις εὔχεσθαι, καὶ ὑπὲρ τῶν κοινῶν εὐεργεσιῶν εὐχαριστεῖν. οἶδα ἐγώ τινα ἅγιον ἄνδρα οὕτως εὐχόμενον. οὐδὲν πρὸ τούτου τοῦ ῥήματος ἔλεγεν, ἀλλ' ὅτι· Εὐχαριστοῦμέν σοι ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου τῶν ἐκ πρώτης ἡμέρας μέχρι τῆς παρούσης εἰς ἡμᾶς τοὺς ἀναξίους ἐπιδεδειγμένων· ὑπὲρ ὧν ἴσμεν, καὶ οὐκ ἴσμεν· ὑπὲρ τῶν φανερῶν, ὑπὲρ τῶν ἀφανῶν· τῶν ἐν ἔργῳ γενομένων, τῶν ἐν λόγῳ· τῶν ἑκοντὶ, τῶν ἀκοντί· πασῶν τῶν εἰς τοὺς ἀναξίους ἡμᾶς γεγενημένων· ὑπὲρ θλίψεων, ὑπὲρ ἀνέσεων, ὑπὲρ τῆς γεέννης, ὑπὲρ τῆς κολάσεως, ὑπὲρ βασιλείας τῶν οὐρανῶν. παρακαλοῦμέν σε φυλάξαι τὴν ψυχὴν ἡμῶν ἁγίαν, καθαρὰν συνείδησιν ἔχουσαν, τέλος ἄξιον τῆς φιλανθρωπίας σου. ὁ ἀγαπήσας ἡμᾶς ὥστε τὸν μονογενῆ σου δοῦναι ὑπὲρ ἡμῶν, καταξίωσον ἀξίους γενέσθαι τῆς σῆς ἀγάπης· δὸς ἐν τῷ λόγῳ σου σοφίαν, καὶ ἐν τῷ φόβῳ σου, μονογενὲς Χριστὲ, ἔμπνευσον ἰσχὺν τὴν παρὰ σοῦ, ὁ τὸν μονογενῆ δοὺς ὑπὲρ ἡμῶν, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον ἐξαποστείλας εἰς ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν. εἴ τι ἑκόντες ἢ ἄκοντες ἡμάρτομεν, συγχώρησον καὶ μὴ λογίσῃ. μνήσθητι πάντων τῶν ἐπικαλουμένων τὸ ὄνομά σου ἐν ἀληθείᾳ· μνήσθητι πάντων τῶν εὖ, καὶ τἀναντία ἡμῖν θελόντων. πάντες γὰρ ἄνθρωποί ἐσμεν. εἶτα ἐπιθεὶς τὴν εὐχὴν τῶν πιστῶν, ἐνταῦθα ἔπαυσεν, ὡς κορωνίδα τινὰ καὶ σύνδεσμον ὑπὲρ πάντων τὴν εὐχὴν ποιησάμενος. πολλὰ γὰρ ἡμᾶς ὁ Θεὸς καὶ ἄκοντας εὖ ποιεῖ, πολλὰ καὶ οὐκ εἰδότας, καὶ μείζονα. ὅταν γὰρ τἀναντία εὐχόμεθα, αὐτὸς δὲ τἀναντία ποιῇ, δῆλον ὅτι καὶ οὐκ εἰδότας εὖ ποιεῖ.

3 Προσευχόμενοι

3 Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν. Ὅρα τὴν ταπεινοφροσύνην. μετ' ἐκείνους ἑαυτὸν τίθησιν. Ἵνα ὁ Θεὸς ἀνοίξῃ ὑμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ. Εἴσοδον φησὶ καὶ παῤῥησίαν. βαβαί, ὁ ἀθλητὴς ὁ τοσοῦτος οὐκ εἶπεν, ἵνα ἀπαλλαγῶ τῶν δεσμῶν· ἀλλὰ δέσμιος ὢν ἑτέρους παρεκάλει, καὶ παρεκάλει ἐπὶ πράγματι μεγάλῳ, ἵνα παῤῥησίαν λάβῃ. τὰ δύο μεγάλα, καὶ ἡ ποιότης τοῦ προσώπου, καὶ ἡ τοῦ πράγματος. βαβαί, ὅσον τὸ ἀξίωμα· τὸ μυστήριον, φησί, τοῦ Χριστοῦ. δείκνυσιν ὅτι οὐδὲν αὐτῷ τούτου ποθεινότερον, τοῦ λαλῆσαι. Δι' ὃ καὶ δέδεμαι.

4 Ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. Μετὰ πολλῆς φησὶ τῆς παῤῥησίας, καὶ μηδὲν ὑποστελλόμενοι. ὁρᾷς, τὰ δεσμὰ φανεροῖ αὐτόν, οὐ συσκιάζει. μετὰ πολλῆς φησὶ τῆς παῤῥησίας. εἰπέ μοι, σὺ δέδεσαι, καὶ ἄλλους παρακαλεῖς; ναί, φησί. μείζονά μοι παῤῥησίαν δίδωσι τὰ δεσμά. ἀλλὰ δέομαι τῆς τοῦ Θεοῦ ῥοπῆς. ἤκουσα γὰρ τοῦ Χριστοῦ λέγοντος· Ὅταν παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσετε πῶς, ἢ τί λαλήσετε. καὶ ὅρα πῶς μεταφορι- Ματθ. ι. ιθ.
κῶς εἶπεν· ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου. ὅρα πῶς ἄτυφός ἐστι· πῶς ἐν τοῖς δεσμοῖς ὢν ταπεινὰ φθέγγεται· τουτέστιν, ἵνα μαλάξῃ τὰς καρδίας αὐτῶν. καὶ οὐκ εἶπεν οὕτως· ἀλλ' ἵνα ἡμῖν παῤῥησίαν δῷ, ταπεινοφρονῶν οὕτως εἴρηκε, καὶ τοῦτο ὅπερ εἶχεν, ἀξιοῖ λαβεῖν. δείκνυσιν ἐν ταύτῃ τῇ ἐπιστολῇ διὰ τί τότε οὐκ ἦλθεν ὁ Χριστός, τοῦ σκιὰν ἐκεῖνα καλέσαι. τὸ δὲ σῶμα, φησί, τοῦ Χριστοῦ. ὥστε ἔδει ἐν τῇ σκιᾷ ἐνταθῆναι. ἅμα καὶ Κολοσ. β. ιζ.
τῆς ἀγάπης τῆς εἰς αὐτοὺς μέγιστον ἐμφαίνει τεκμήριον· ἵνα ὑμεῖς, φησίν, ἀκούσητε, ἐγὼ δέδεμαι.

Πάλιν τὸν δεσμὸν εἰς μέσον τίθησιν, ὃ σφόδρα ἐρῶ, ὃς διανίστησί μοι τὴν καρδίαν, καὶ ΗΘΙΚΟΝ
ἀεὶ εἰς ἐπιθυμίαν ἄγει τὸν Παῦλον δεδεμένον ἰδεῖν, καὶ ἐν δεσμοῖς γράφοντα, καὶ κηρύττοντα, καὶ βαπτίζοντα, καὶ κατηχοῦντα. ὑπὲρ τῶν ἐκκλησιῶν τῶν ἁπανταχοῦ εἰσεφέρετο αὐτὸς δεδεμένος, μυρία ᾠκοδόμει δεδεμένος. τότε εὔλυτος μᾶλλον ἦν. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν ἀφό- Φιλιπ. α. ιδ.
βως τὸν λόγον λαλεῖν. καὶ αὐτὸς δὲ πάλιν τοῦτο ὁμολογεῖ λέγων· Ὅταν γὰρ ἀσθενῶ, τότε β. Κορ. ιβ. ι.
δυνατός εἰμι. διὰ τοῦτο καὶ ἔλεγεν· Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. ἐδεσμεῖτο μετὰ τῶν β. Τιμ. β. θ.
κακούργων, μετὰ τῶν δεσμωτῶν, μετὰ τῶν ἀνδροφόνων ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ εἰς τρίτον ἀνελθὼν οὐρανόν, ὁ τὰ ἄῤῥητα ῥήματα ἀκούσας· ἐδέδετο, ἀλλὰ τότε ταχύτερος ὁ δρόμος ἦν. ὁ δεθεὶς ἐλέλυτο, καὶ ὁ μὴ δεδεμένος ἐδέδετο. οὗτος μὲν γάρ, ὅπερ ἤθελεν, ἔπραττεν· ἐκεῖνος δὲ αὐτὸν οὐκ ἐκώλυεν, οὐδὲ τὴν ἰδίαν ἐπλήρου προαίρεσιν. τί ποιεῖς, ὦ ἀνόητε; μὴ γὰρ σωματικός ἐστι δρομεύς; μὴ γὰρ ἐν σταδίῳ τῷ παρ' ἡμῖν ἀγωνίζεται; ἐν οὐρανῷ πολιτεύεται. τὸν ἐν οὐρανῷ τρέχοντα δῆσαι τὰ ἐπὶ γῆς οὐ δυνήσεται, οὐδὲ κατασχεῖν. οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον; περίβαλε δεσμὰ ταῖς ἀκτῖσι, στῆσον τοῦ δρόμου. ἀλλ' οὐ δυνήσῃ. οὐκοῦν οὐδὲ Παῦλον· καὶ πολλῷ μᾶλλον τοῦτον, ἢ ἐκεῖνον. πλείονος γὰρ οὗτος, ἢ ἐκεῖνος ἀπήλαυσε προνοίας, ἅτε φῶς φέρων οὐ τοιοῦτον ἡμῖν, ἀλλὰ τὸ ἀληθινὸν βαστάζων. ποῦ νῦν εἰσιν οἱ μηδὲν βουλόμενοι διὰ τὸν Χριστὸν πάσχειν; τί δὲ λέγω πάσχειν, ὅπου γε οὐδὲ χρήματα βούλονται προΐεσθαι; ἐδέσμει καὶ Παῦλός ποτε, καὶ ἐνέβαλλεν εἰς δεσμωτήριον· ἀλλ' ἐπειδὴ τοῦ Χριστοῦ γέγονε δοῦλος, οὐ τῷ ποιεῖν λοιπόν, ἀλλὰ τῷ πάσχειν σεμνύνεται. καὶ τοῦτο δὲ τοῦ κηρύγματος θαῦμα, ὅταν διὰ τῶν πασχόντων αὐτῶν, ἀλλ' οὐ τῶν ποιούντων κακῶς, οὕτως ἐγείρηται καὶ αὔξηται. ποῦ τις εἶδεν ἀγῶνας τοιούτους; ὁ πάσχων κακῶς, νικᾷ· καὶ ὁ ποιῶν κακῶς, ἡττᾶται. οὗτος ἐκείνου λαμπρότερος. διὰ δεσμῶν τὸ κήρυγμα εἰσῆλθεν. οὐκ αἰσχύνομαι, ἀλλὰ καὶ σεμνύνομαι, φησί, τὸν ἐσταυρωμένον κηρύττων. ἐννόησον γάρ μοι· ἡ οἰκουμένη πᾶσα τοὺς λελυμένους ἀφεῖσα, τοῖς δεδεμένοις προσέσχε· τοὺς δεσμοῦντας ἀποστραφεῖσα, τοὺς τὴν ἅλυσιν περικειμένους τιμᾷ· τοὺς σταυρώσαντας μισήσασα, τὸν ἐσταυρωμένον προσκυνεῖ.

προσκυνοῦν. οὐκ ἔστι μόνον θαυμαστόν, ὅτι ἁλιεῖς, ὅτι ἰδιῶται ἦσαν οἱ κήρυκες, ἀλλ' ὅτι καὶ ἕτερα κωλύματα, φύσει κωλύματα ἦσαν, καὶ πλείων γέγονεν ἡ ἐπίδοσις. οὐ μόνον οὐδὲν ἐκώλυσεν ἡ ἰδιωτεία, ἀλλὰ καὶ αὐτὸ τοῦτο φανερωθῆναι ἐποίησε τὸ κήρυγμα. ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος· Καὶ καταλαβόμενοι, φησίν, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον. οὐ μόνον οὐδὲν ἐκώλυεν ὁ δεσμός, ἀλλὰ καὶ αὐτὸ τοῦτο ἐποίησεν αὐτοὺς θαρσαλεωτέρους. οὐχ οὕτως ἐθάρρουν οἱ μαθηταί, λελυμένου τοῦ Παύλου, ὡς δεδεμένου. Περισσοτέρως γάρ, φησι, τολμᾶν ἀφόβως τὸν λόγον τοῦ Θεοῦ λαλεῖν. ποῦ οἱ ἀντιπερισπῶντες, ὅτι οὐ θεῖον τὸ κήρυγμα; ἡ ἰδιωτεία οὐκ ἦν ἱκανὴ ποιῆσαι καταγνωσθῆναι αὐτούς; οὐκοῦν ἔδει καὶ ταῦτα φοβῆσαι αὐτούς; ἴστε γὰρ ὅτι δύο πάθεσι τούτοις τὸ πλῆθος κατέχεται, κενοδοξίᾳ, καὶ δειλίᾳ. ἡ ἰδιωτεία οὐκ ἠφίει ἐπαισχύνεσθαι· οἱ κίνδυνοι εἰς δειλίαν ἐμβαλεῖν ὤφειλον; ἀλλὰ θαύματα, φησίν, ἐποίουν. πιστεύετε οὖν ὅτι ἐποίουν θαύματα; ἀλλ' οὐκ ἐποίουν· τοῦτο μεῖζον θαῦμα τοῦ ποιεῖν, εἰ χωρὶς θαυμάτων προσήγοντο. ἐδέθη καὶ Σωκράτης παρ' Ἕλλησι. τί οὖν; οὐκ εὐθέως ἔφυγον εἰς Μέγαρα οἱ μαθηταί; πολύ γε. οὐ γὰρ τοὺς περὶ ἀθανασίας ἐδέξαντο λόγους. ἀλλ' ὅρα ἐνταῦθα. ἐδέθη Παῦλος, καὶ μᾶλλον ἐθάρρουν οἱ μαθηταί. εἰκότως. ἑώρων γὰρ οὐκ ἐμποδιζόμενον τὸ κήρυγμα. μὴ γὰρ γλῶτταν δύνανται δῆσαι; ταύτῃ μάλιστα τρέχει. ὥσπερ γάρ, δρομέως ἂν μὴ δήσῃς τοὺς πόδας, οὐκ ἐκώλυσας τοῦ δρόμου, οὕτω καὶ εὐαγγελιστοῦ ἐὰν μὴ δήσῃς τὴν γλῶτταν, οὐκ ἐκώλυσας τοῦ δρόμου. καὶ ὥσπερ ἐκεῖνος, ἐὰν δήσῃς τὴν ὀσφῦν, μᾶλλον τρέχει καὶ διαβαστάζεται, οὕτω καὶ οὗτος μᾶλλον κηρύττει, καὶ μετὰ πλείονος τῆς παρρησίας. δειλίᾳ ὁ δέσμιος, ὅταν δεσμὸς ᾖ μόνον· ὁ δὲ τοῦ θανάτου καταφρονῶν πῶς ἂν ἐδέθη; ταῦτ' οἱ ἐποίουν, οἷς δὴ εἰ τὴν σκιὰν ἐδέσμουν Παύλου, καὶ τὸ σῶμα αὐτῆς ἐνέφραττον. σκιαμαχία γὰρ ἦν. τοῖς τε γὰρ οἰκείοις ποθεινότερος μᾶλλον ἦν, τοῖς τε ἐχθροῖς αἰδεσιμώτερος, ἅτε ἀνδρείας φέρων ἔπαθλον, τὸν δεσμόν. στέφανος κοσμεῖ κεφαλήν, ἀλλ' οὐκ αἰσχύνει, ἀλλὰ καὶ λαμπροτέραν ποιεῖ. ἄκοντες ἐστεφάνουν αὐτὸν τῇ ἁλύσει. εἰπὲ γάρ μοι, σίδηρον εἶχε δῆσαι ὁ τὰς ἀδαμαντίνους τοῦ θανάτου καταπολεμήσας πύλας; ἔλθωμεν εἰς ζῆλον, ἀγαπητοί, τῶν δεσμῶν τούτων. ὅσαι γυναῖκες χρυσία περίκεισθε, τὰ Παύλου δεσμὰ ποθήσατε. οὐχ οὕτως ὑμῖν περὶ τὸν τράχηλον τὸ περιδέραιον ἀπολάμπει, ὡς ἐκείνου περὶ τὴν ψυχὴν ὁ τῶν σιδηρῶν δεσμῶν ἔστιλβε κόσμος. εἴ τις ἐκεῖνα ποθεῖ, ταῦτα μισείτω. τίς γὰρ κοινωνία βλακείᾳ πρὸς ἀνδρείαν; καλλωπισμῷ σωματικῷ πρὸς φιλοσοφίαν; ἐκεῖνα τὰ δεσμὰ ἄγγελοι αἰδοῦνται, τούτων καὶ καταπαίζουσιν· ἐκεῖνα τὰ δεσμὰ πρὸς τὸν οὐρανὸν ἀπὸ τῆς γῆς ἕλκειν εἴωθε, ταῦτα δὲ τὰ δεσμὰ πρὸς τὴν γῆν ἀπὸ τοῦ οὐρανοῦ κατάγει. ὄντως γὰρ ταῦτα δεσμά, οὐκ ἐκεῖνα· ἐκεῖνα κόσμος, ταῦτα δεσμά. ταῦτα μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν θλίβει· ἐκεῖνα μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν κοσμεῖ. βούλει μαθεῖν ὅτι ἐκεῖνα κόσμος ἐστίν; εἰπέ μοι, τίς μᾶλλον ἐπεσπάσατο τοὺς ὁρῶντας, σύ, ἢ Παῦλος; καὶ τί λέγω, σύ; αὐτὴ ἡ βασιλὶς ἡ πάντα χρυσοῖ περικειμένη, οὐκ ἂν μᾶλλον ἐπεσπάσατο τοὺς ὁρῶντας. ἀλλ' εἰ συνέβη καὶ Παῦλον μετὰ τῶν αὐτοῦ χειρῶν δεδεμένον, καὶ τὴν βασιλίδα εἰς τὴν ἐκκλησίαν εἰσελθεῖν, πάντες ἂν ἀπ' ἐκείνης ἐπὶ τοῦτον μετήγαγον τοὺς ὀφθαλμούς. καὶ εἰκότως. τὸ γὰρ ὁρᾶν ἄνδρα τῆς φύσεως τῆς ἀνθρωπίνης μείζονα, καὶ οὐδὲν ἔχοντα ἀνθρώπινον, ἀλλ' ἄγγελον ἐπὶ γῆς, θαυμασιώτερον τοῦ ὁρᾶν γυναῖκα κεκαλλωπισμένην. ταῦτα μὲν γὰρ καὶ ἐν θεάτροις, καὶ ἐν πομπαῖς, καὶ ἐν βαλανείοις, καὶ πολλαχοῦ ἔστιν ἰδεῖν· ἄνθρωπον δὲ δεσμὰ περικείμενον, καὶ νομίζοντα τὸν μέγιστον κόσμον ἔχειν, καὶ οὐκ εἴκοντα τοῖς δεσμοῖς, οὐκ ἔστι γῆς θέαμα ἰδεῖν τοὺς ὁρῶντας, ἀλλ' οὐρανῶν ἄξιον τὸ θέαμα. ἡ ταῦτα περικειμένη ψυχὴ περισκοπεῖ, τίς εἶδε, τίς οὐκ εἶδε, τύφου πεπλήρωται, φροντίσι κατέχεται, μυρίοις ἑτέροις δέδεται πάθεσιν· ὁ δὲ ἐκεῖνα περικείμενος, ἄτυφος· ἡ ψυχὴ γαυροῦται, πάσης ἀπήλλακται φροντίδος, γέγηθε,

πρὸς

Κολασ. α. ιδ.

πρὸς τὸν οὐρανὸν βλέπουσα, ἐπτερωμένη. εἴ τίς μοι Παῦλον ἐδίδου ἀπὸ τοῦ οὐρανοῦ προκύπτοντα ἰδεῖν καὶ φωνὴν ἀφιέντα, ἢ ἐκ τοῦ δεσμωτηρίου, ἐκ τοῦ δεσμωτηρίου ἂν εἱλόμην. ὁ γὰρ ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτὸν ἔρχεται, ὅταν εἰς τὸ δεσμωτήριον ᾖ. ὁ σύνδεσμος τοῦ κηρύγματος, τὰ δεσμὰ Παύλου ὁ θεμέλιος, ἡ ἅλυσις ἐκείνη. ἐκεῖνα τὰ δεσμὰ ποθήσωμεν. καὶ πῶς, φησίν, εἰ; ἐὰν ταῦτα συντρίψωμεν καὶ διακλάσωμεν; οὐδὲν ἡμῖν ἀπὸ τούτων ὄφελος τῶν δεσμῶν, ἀλλὰ καὶ βλάβη. δεσμοῦσιν ἡμᾶς ἐκεῖ δεῖξει ταῦτα, τὰ δὲ Παύλου δεσμὰ λύσει ἐκεῖνα τὰ δεσμά. ἡ τούτοις ἐνταῦθα δεδεμένη, καὶ τοῖς ἀθανάτοις ἐκεῖ δεσμοῖς δεθήσεται χεῖρας καὶ πόδας· ἡ τοῖς Παύλου δεδεμένη ἕξει καθάπερ κόσμον περικείμενοι αὐτὰ τότε. λύσον καὶ σαυτὴν τοῦ δεσμοῦ, καὶ τὸν πένητα τοῦ λιμοῦ. τί τῶν

...ρωτᾶς / ...ς ἀκούει. ἁμαρτημάτων ταύτης μείζους ἐπισφίγγεις; πῶς φησιν; * ὅταν σὺ μὲν χρυσοφορῇς, ἕτερος δὲ ἀπόλλυται, ὅταν σὺ μὲν, ἵνα δόξης τύχης τῆς κενῆς, τοσούτοις λαμβάνῃς χρυσίοις, ἕτερος δὲ μὴ φαγεῖν ἔχῃ, οὐχὶ τὰς ἁμαρτίας ἐπισφίγξαις; περίθου τὸν Χριστὸν, καὶ μὴ τὸν χρυσόν. ἔνθα μαμμωνᾶς, ἐκεῖ Χριστὸς οὐκ ἔστιν· ὅπου Χριστὸς, ἐκεῖ μαμμωνᾶς οὐκ ἔστιν. οὐ βούλει τὸν βασιλέα αὐτὸν περικεῖσθαι τὸν πάντων; εἴ τίς σοι τὴν ἁλουργίδα καὶ τὸ διάδημα ἔδωκεν, οὐκ ἂν ἔδειξας αὐτὴν πάντως τοῦ χρυσίου; ἐγώ σοι οὐ τὸν κόσμον δίδωμι τὸν βασιλικὸν, ἀλλ' αὐτὸν περικεῖσθαι τὸν βασιλέα παρέχω. καὶ πῶς ἄν τις περικέοιτο τὸν Χριστὸν, φησίν; ἄκουσον τοῦ Παύλου λέγοντος· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. ἄκουσον Γαλ. γ. κζ.
τῆς παραινέσεως τῆς ἀποστολικῆς· Τῆς σαρκὸς, φησί, πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Ρωμ. ιγ. ιδ.
οὕτω τις ἐνδύεται τὸν Χριστὸν, μὴ προνοῶν τῆς σαρκὸς εἰς ἐπιθυμίας. ἂν τὸν Χριστὸν ἐνδύσῃ, καὶ δαίμονές σε φοβηθήσονται· ἂν δὲ τὸν χρυσὸν, καὶ ἄνθρωποι καταγελάσονται. ἐὰν ἐνδύσῃ τὸν Χριστὸν, καὶ ἄνθρωποί σε αἰδεσθήσονται. βούλει φαίνεσθαι καλὴ καὶ εὐπρεπής; ἀρκέσθητι τῷ δημιουργοῦ τῇ πλάσει. τί τὰ χρυσία ἐπεισάγεις, ὡς διορθωσομένη τοῦ

ἐπιτρέχεις, Θεοῦ τὸ πλάσμα; θέλεις εὐπρεπὴς φαίνεσθαι; περιβαλοῦ ἐλεημοσύνην, περιβαλοῦ φιλανθρωπίαν, περιβαλοῦ σωφροσύνην, ἀτυφίαν. ταῦτα πάντα χρυσοῦ τιμιώτερα. ταῦτα καὶ τὴν ὡραίαν, εὐπρεπεστέραν ποιεῖ· ταῦτα καὶ τὴν οὐκ εὔμορφον, εὔμορφον ἐργάζεται. ὅταν γάρ τις μετ' εὐνοίας ὄψιν ὁρᾷ, ἀπὸ ἀγάπης φέρει τὰς ψήφους· τὴν δὲ πονηρὰν οὐ δύναταί τις οὐδὲ καλὴν οὖσαν, καλὴν εἰπεῖν. πεπλημμένη γὰρ ἡ διάνοια οὐ φέρει τὴν ψῆφον ὀρθήν. ἐκοσμήθη ποτὲ ἡ Αἰγυπτία, ἐκοσμήθη καὶ ὁ Ἰωσήφ. τίς ἦν ὡραιότερος; οὐ λέγω ὅτι ἐν τοῖς βασιλείοις ἦν ἐκείνη, οὗτος δὲ ἐν τῷ δεσμωτηρίῳ. γυμνὸς ἦν οὗτος, ἀλλ' ἐνεδέδυτο τῆς σωφροσύνης τὰ ἱμάτια· ἐνδεδυμένη ἦν ἐκείνη, ἀλλὰ γυμνῆς ἦν αἰσχροτέρα. σωφροσύνην γὰρ οὐκ εἶχεν. ὅταν σφοδρῶς κοσμήσῃ, ὦ γύναι, τότε τῆς γυμνῆς αἰσχροτέρα γέγονας. ἀπέδυσας γὰρ τὴν εὐκοσμίαν. ἦν καὶ ἡ Εὔα γυμνή· ἀλλ' ὅτε ἐνεδύσατο, τότε ἦν αἰσχροτέρα. ὅτι μὲν γὰρ ἦν γυμνὴ, κεκόσμητο τῇ δόξῃ τοῦ Θεοῦ· ὅτε δὲ τὸ τῆς ἁμαρτίας ἱμάτιον ἐνεδύσατο, τότε ἦν αἰσχρά· καὶ σὺ τῆς φιλοκοσμίας ἐνδυομένη τὸ ἱμάτιον, τότε αἰσχροτέρα φαίνῃ. ὅτι γὰρ ἡ πολυτέλεια οὐκ ἀρκεῖ δεῖξαι εὔμορφον, ἀλλ' ἔστι καὶ ἐνδεδυμένην τῆς γυμνῆς μᾶλλον ἀσχημονεῖν, ἐγὼ ἐρῶ. εἴ ποτε αὐλητοῦ, ἢ χοραύλου σκευὴν ἐνεδύσω, ἆρα οὐκ ἦν ἀσχημοσύνη; καίτοιγε χρυσᾶ τὰ ἱμάτιά εἰσιν, ἀλλὰ διὰ τοῦτο ἀσχημοσύνη, ὅτι χρυσᾶ. ἡ γὰρ πολυτέλεια τῆς σκηνῆς ἁρμόζει τοῖς τραγῳδοῖς, τοῖς ὑποκριταῖς, τοῖς μίμοις, τοῖς ὀρχησταῖς, τοῖς πρὸς τὰ θεῖα μαινομέναις γυναιξί. πιστῇ ἕτερα δέδοται ἱμάτια παρὰ τοῦ Θεοῦ, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. Ὅσοι γὰρ, φησίν, εἰς Χριστὸν ἐβα- Γαλ. γ. κζ.
πτίσθητε, Χριστὸν ἐνεδύσασθε. εἰπέ μοι, εἴ τίς σοι βασιλικὸν ἔδωκεν ἱμάτιον, σὺ δὲ ἐπάνω

...ίκια ἐκείνου τὸ τοῦ εἵλωτος λαβοῦσα περιέθου, ἆρα οὐκ ἂν μετὰ τῆς ἀσχημοσύνης καὶ ἐκολάσθης; τὸν τοῦ οὐρανοῦ δεσπότην καὶ τῶν ἀγγέλων ἐνεδύσω, καὶ πρὸς τὴν γῆν ἔτι στρέφῃ; ταῦτά μοι εἴρηται, ὅτι μέγα μὲν καὶ καθ' ἑαυτὸ κακὸν ἡ φιλοκοσμία, καὶ μηδὲν ἦν ἕτερον ἐντεῦθεν

πικτόμενοι, ἀλλ' ἀξίως ἀκαλλωπίστως ἔχειν (εἰς γὰρ κενοδοξίαν ἀλείφει, καὶ τῦφον) νῦν δὲ καὶ ἕτερα πολλὰ τίκτεται ἐκ τοῦ καλλωπισμοῦ, ὑποψίαι φαῦλαι, δαπάναι ἄκαιροι, βλασφημίαι, πλεονεξιῶν ὑποθέσεις. τί γὰρ καλλωπίζῃ, εἰπέ μοι; ἵνα ἀρέσῃς τῷ ἀνδρί; οὐκοῦν ἐπὶ τῆς οἰκίας τοῦτο ποίει. ἐνταῦθα δὲ τοὐναντίον γίνεται. εἰ γὰρ τῷ οἰκείῳ ἀρέσαι θέλεις ἀνδρὶ, τοῖς ἄλλοις μὴ ἄρεσκε· εἰ δὲ τοῖς ἄλλοις ἀρέσκεις, οὐ δυνήσῃ ἀρέσκειν τῷ οἰκείῳ. ὥστε πάντα ἀποτίθεσθαι τὸν κόσμον ἔδει εἰς ἀγορὰν ἐμβάλλουσαν, εἰς ἐκκλησίαν εἰσιοῦσαν· ἄλλως δὲ, μὴ ἀπὸ τούτων ἄρεσκε τῷ ἀνδρὶ, ἀφ' ὧν καὶ αἱ πόρναι, ἀλλ' ἀπὸ τούτων μᾶλλον, ἀφ' ὧν αἱ γυναῖκες αἱ ἐλεύθεραι. τίνι γὰρ, εἰπέ μοι, διέστηκε γυνὴ πόρνης; ὅτι ἡ μὲν πρὸς ἓν μόνον ὁρᾷ, ὅπως τῷ κάλλει τοῦ σώματος ἐφελκύσηται τὸν ἐρώμενον· αὕτη δὲ καὶ οἰκίας προΐσταται, καὶ τέκνων κοινωνεῖ, καὶ τῶν ἄλλων ἁπάντων. θυγατέριον ἔχεις; ὅρα μὴ διαδέξηται τὴν βλάβην. φιλεῖ γάρ πως πρὸς τὰς διατροφὰς τὰ ἤθη ῥυθμίζεσθαι, καὶ μιμεῖσθαι τὰ τῶν μητέρων ἤθη. ἔσο ὑπόδειγμα τῇ θυγατρὶ σωφροσύνης· κόσμησαι τὸν κόσμον ἐκεῖνον, καὶ ὅρα πῶς τούτου καταφρονήσεις. οὕτως γὰρ ἐκεῖνα κόσμος ἐστὶ, ταῦτα δὲ ἀκοσμία. ἀρκεῖ τὰ εἰρημένα. ὁ δὲ Θεὸς ὁ τὸν κόσμον ποιήσας, καὶ δοὺς ἡμῖν τὸν τῆς ψυχῆς κόσμον, κοσμήσειεν ἡμᾶς, καὶ τῇ αὐτοῦ δόξῃ ἀμφιάσειεν· ἵνα πάντες ἐν ἀγαθοῖς ἔργοις διαλάμποντες, καὶ εἰς δόξαν αὐτοῦ ζῶντες, δόξαν ἀναπέμψωμεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι.

Λογ. ια. 5 ΕΝ ΣΟΦΙΑ ΠΕΡΙΠΑΤΕΙΤΕ ΠΡΟΣ ΤΟΥΣ
ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. 6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι,
ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Ματθ. ι. ις. Ὅπερ ὁ Χριστὸς πρὸς τοὺς μαθητὰς ἔλεγε, τοῦτο καὶ νῦν Παῦλος παραινεῖ. τί δὲ ὁ Χριστὸς ἔλεγεν; Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡσεὶ περιστεραί. τουτέστι, φυλακτικοὶ γίνεσθε, μηδεμίαν αὐτοῖς λαβὴν διδόντες καθ' ὑμῶν. διὰ γὰρ τοῦτο προσέθηκε, πρὸς τοὺς ἔξω· ἵνα μάθωμεν ὅτι πρὸς τὰ μέλη τὰ οἰκεῖα οὐ τοσαύτης ἡμῖν δεῖ ἀσφαλείας, ὅσης πρὸς τοὺς ἔξω. ἔνθα γὰρ ἀδελφοὶ, εἰσὶ καὶ συγγνῶμαι πολλαὶ, καὶ ἀγάπαι. δεῖ μὲν καὶ ἐνταῦθα ἀσφαλείας εἶναι, πολλῷ δὲ πλέον ἔξω. οὐ γάρ ἐστιν ἴσον μεταξὺ ἐχθρῶν καὶ πολεμίων εἶναι καὶ φίλων. εἶτ' ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς πάλιν θαρρύνει. Τὸν καιρὸν, φησὶν, ἐξαγοραζόμενοι· τουτέστι, βραχὺς ὁ παρὼν καιρός. ταῦτα δὲ ἔλεγεν, οὐ ποικίλους εἶναι βουλόμενος, οὐδὲ ὑποκριτάς. τοῦτο γὰρ οὐ σοφίας, ἀλλὰ ἀνοίας. ἀλλὰ τί; ἐν οἷς μὴ βλά- Ρωμ. ιγ. ζ. πτουσι, φησὶ, μηδεμίαν αὐτοῖς δίδοτε λαβήν· ὃ καὶ πρὸς Ῥωμαίους γράφων φησίν· Ἀπόδοτε πᾶσι τὰς ὀφειλὰς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὴν τιμὴν, τὴν τιμήν. διὰ τὸ κήρυγμα μόνον ἔστω σοι πόλεμος, φησί. μηδεμίαν ἑτέραν ὁ πόλεμος οὗτος ἀρχὴν λαμβανέτω. εἰ γὰρ μέλλοιεν ἡμῖν καὶ δι' ἕτερα ἀπεχθάνεσθαι, οὔτε μισθὸς ἡμῖν ἔσται, καὶ αὐτοὶ χείρους ἔσονται, καὶ δόξουσιν ὑμῖν δίκαια ἐγκαλεῖν· οἷον τὰ τελέσματα ἂν μὴ καταβάλλωμεν, τὰς τιμὰς τὰς προσηκούσας ἐὰν μὴ ἀποδιδῶμεν, ἂν μὴ ὦμεν ταπεινοί. οὐχ ὁρᾷς Παῦλον, ἔνθα μηδὲν ἔβλαπτε τὸ κήρυγμα, πῶς ἐστι καθυφιείς; ἄκουε γὰρ αὐτοῦ λέ- Πραξ. κϛ. β. γοντος πρὸς τὸν Ἀγρίππαν· Μακάριον ἐμαυτὸν ἥγημαι ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον, μάλιστα γνώστην σε ὄντα τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. εἰ δὲ ἐνόμιζε δεῖν ὑβρίζειν τὸν ἄρχοντα, πάντα ἂν διέτρεψεν. ἄκουε δὲ καὶ τῶν περὶ τὸν μακάριον Πέτρον, Πραξ. ε. κθ. πῶς ἐπιεικῶς ἀποκρίνονται τοῖς Ἰουδαίοις λέγοντες· Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις.

θεράπουσι· καίτοιγε οὐδὲ θεράπουσι τῆς ἑαυτῶν ψυχῆς ἀπεγνωκότες, καὶ ὑβρίζειν καὶ πᾶν ὁτιοῦν ποιεῖν ἤθελον. Ἀλλὰ διὰ τοῦτο ἀπήγχονται τῆς ψυχῆς, ἵνα μὴ κενοδοξῶσι (κενοδοξίας γὰρ τοῦτό ἐστιν) ἀλλ' ἵνα κηρύττωσι, καὶ ἵνα μετὰ παῤῥησίας πάντα φθέγγωνται· ἐκεῖνο δὲ ἀμετρίας ἐστίν. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος· τουτέστι, μὴ εἰς ἀδιαφορίαν τὸ χαρίεν ἐμπιπτέτω. Ἔνι γὰρ καὶ χαριεντίζεσθαι, ἔνι καὶ μετὰ τῆς προσηκούσης κοσμιότητος τοῦτο ποιεῖν. Εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Ὥστε οὐχ ὁμοίως πᾶσι διαλέγεσθαι χρὴ, Ἕλλησι λέγω, καὶ ἀδελφοῖς. Οὐδαμῶς· ἐπεὶ τοῦτο τῆς ἐσχάτης ἀνοίας ἐστί.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ. Βαβαὶ, ὅση σοφία Παύλου· πῶς οὐ πάντα ἐντίθησιν εἰς τὰς ἐπιστολὰς, ἀλλὰ τὰ ἀναγκαῖα, καὶ τὰ κατεπείγοντα; πρῶτον μὲν, οὐ βουλόμενος αὐτὰς εἰς μῆκος ἐκτείνειν· δεύτερον δὲ, καὶ τὸν ἀπερχόμενον αἰδεσιμώτερον ποιῶν, ἵνα ἔχῃ τι καὶ διηγεῖσθαι· τρίτον, δεικνὺς πῶς πρὸς αὐτὸν διάκειται. Οὐ γὰρ ἂν αὐτῷ ταῦτα ἐνεχείρισεν. Ἔπειτα ἦν, ἃ οὐκ ἔδει διὰ γραμμάτων δηλωθῆναι. Ὁ ἀγαπητὸς, φησὶν, ἀδελφός. Εἰ ἀγαπητὸς, πάντα οἶδε, καὶ οὐδὲν αὐτὸν ἀπέκρυψε. Καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ. Εἰ πιστὸς, οὐδὲν ψεύσεται· εἰ σύνδουλος, κεκοινώνηκε τῶν πειρασμῶν· ὥστε αὐτῷ πάντοθεν τὸ ἀξιόπιστον συνήγαγεν.

8 Ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο. Ἐνταῦθα τὴν ἀγάπην δείκνυσι τὴν πολλὴν, εἴγε καὶ διὰ τοῦτο αὐτὸν ἀπέσταλκε. Καὶ τῆς ἀποδημίας αἰτία αὕτη γέγονεν· ὃ καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγε, Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθή- a Θεσ. γ. α.
ναις μόνοι, καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν. Καὶ Ἐφεσίοις δὲ αὐτὸν τοῦτον πέμπει, Ἐφεσ. ς. κα.
καὶ ὑπὲρ τῆς αὐτῆς αἰτίας. Ἵνα γνῷ, φησὶ, τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. Ὅρα τί φησιν. Οὐχ ἵνα ὑμεῖς τὰ ἐμὰ μάθητε, ἀλλ' ἵνα ἐγὼ τὰ ὑμέτερα. Οὕτως οὐδαμοῦ τὸ αὑτοῦ τίθησι. Δείκνυσιν αὐτοὺς καὶ ἐν πειρασμοῖς ὄντας· ὡς εἶπεν, ἵνα παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

9 Σὺν Ὀνησίμῳ τῷ ἀγαπητῷ καὶ πιστῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν. Πάντα ὑμῖν γνωρίσουσι τὰ ὧδε. Ὀνήσιμος οὗτός ἐστι, περὶ οὗ γράφων τῷ Φιλήμονι ἔλεγεν, Ὃν ἐβουλό- Φιλημ. ιγ.
μην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι. Καὶ τὸ ἐγκώμιον δὲ προστίθησι τῆς πόλεως, ἵνα καὶ ἐγκαλλωπίζωνται, (μὴ μόνον ἐπαισχύνωνται), ὅς ἐστι, φησὶν, ἐξ ὑμῶν. Πάντα ὑμῖν γνωρίσουσι τὰ ὧδε.

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου. Οὐδὲν τούτου τοῦ ἐγκωμίου μεῖζον. Οὗτός ἐστιν ὁ ἀπὸ Ἱεροσολύμων ἀναχθεὶς μετ' αὐτοῦ. Μεῖζον εἶπε τῶν προφητῶν τοῦτο. Ἐκεῖνοι μὲν γὰρ ξένους καὶ παρεπιδήμους ἑαυτοὺς καλοῦσιν, οὗτος δὲ καὶ αἰχμάλωτον. Καθάπερ γὰρ αἰχμάλωτος, οὕτως ἤγετο καὶ ἐφέρετο, καὶ πᾶσιν εἰς τὸ κακῶς πάσχειν προὔκειτο, μᾶλλον δὲ καὶ ἐκείνων χεῖρον. Ἐκείνους μὲν γὰρ, ἐπειδὰν λάβωσιν οἱ πολέμιοι, ἐν πολλῇ θεραπείᾳ λοιπὸν ἔχουσιν, ἅτε ὡς οἰκείων κτημάτων ἐπιμελούμενοι· τοῦτον δὲ ὡς ἐχθρὸν καὶ πολέμιον πάντες ἦγον καὶ ἔφερον, δέροντες, μαστίζοντες, ὑβρίζοντες, συκοφαντοῦντες. Τοῦτο καὶ ἐκείνοις παράκλησις ἦν. Ὅταν γὰρ καὶ ὁ διδάσκαλος ἐν τοῖς τοιούτοις ᾖ, μᾶλλον παρακαλοῦνται οἱ μαθηταί. Καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα. Καὶ τοῦτον ἐνεκωμίασε τέως ἀπὸ τῆς συγγενείας. Μέγας γὰρ ἦν ἀνὴρ ὁ Βαρνάβας. Περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν. Τί γάρ; οὐκ ἐδέχοντο καὶ χωρὶς τούτου; ναί· ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς βούλομαι, φησί. Καὶ τοῦτο τὸν ἄνδρα δείκνυσι μέγαν. Πόθεν τὰς ἐντολὰς ἔλαβον, οὐ λέγει.

11 Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος. Ἴσως Κορίνθιος ἦν οὗτος. Εἶτα πᾶσι τὸ ἐγ-

κώμιον κοινὸν ἀποδίδωσιν, εἰπὼν δὲ ἰδιάζον ἑκάστου. Οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.

Ἐπειδὴ εἶπε, συναιχμάλωτος, ἵνα μὴ συγκατενέγκῃ τὴν ψυχὴν τῶν ἀκουόντων, ὅρα πῶς τοῦτο τίθησι, καὶ διανίστησιν αὐτούς. συνεργοί, φησιν, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ὥστε τῶν πειρασμῶν κοινωνοῦντες, τῆς βασιλείας κοινωνοῦσιν. οἵτινες ἐγενήθησάν μοι παρηγορία. ἐνίκησεν αὐτοὺς μεγάλους, εἴγε Παύλῳ παρηγορία γεγόνασιν. ἀλλ' ἴδωμεν τὴν σύνεσιν Παύλου.

5 Ἐν σοφίᾳ, φησί, περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.

Τουτέστιν, οὐκ ἔστιν ὑμέτερος ὁ καιρός, ἀλλ' ἐκείνων ἐστί. μὴ τοίνυν βούλεσθε αὐθεντεῖν, ἀλλ' ἐξαγοράζετε τὸν καιρόν. καὶ οὐκ εἶπεν ἁπλῶς, ἀγοράζετε, ἀλλ', ἐξαγοράζετε, δῆλον ὅτι οὕτω διατιθέμενοι, ὑμέτερον αὐτὸν ποιεῖτε ἑτέρως. ἀνοίας γὰρ περιττῆς, πολέμων καὶ ἀπεχθείας πρόφασιν ἐπινοεῖν. πρὸς γὰρ τοὺς κινδύνους περιττοὺς ὑπομένειν καὶ κέρδος οὐκ ἔχοντας, καὶ ἑτέρα γίνεται βλάβη, τὸ τοὺς Ἕλληνας μὴ προσιέναι ὑμῖν. ἐν γὰρ τοῖς ἀδελφοῖς ὅταν ᾖς, εἰκότως θαρρεῖς· ἔξω δὲ οὐχ οὕτω χρή. ὁρᾷς πῶς πολλαχοῦ τοὺς ἔξω, τοὺς Ἕλληνας λέγει. διὰ τοῦτο καὶ Τιμοθέῳ γράφων ἔλεγε· Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν [α Τιμ. γ. ζ] ἔξωθεν. καὶ πάλιν, [α Κορ. ε. ιβ] Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; ἐν σοφίᾳ, φησί, περιπατεῖτε πρὸς τοὺς ἔξω. ἔξω γάρ εἰσι, κἂν τὸν αὐτὸν κόσμον οἰκῶσιν ἡμῖν, τῆς βασιλείας ὄντες ἔξω καὶ τοῦ οἰκίσκου τοῦ πατρικοῦ. ἅμα καὶ παραμυθεῖται αὐτούς, ἔξω ἐκείνους καλῶν· ὅπερ ἔλεγεν ἀνωτέρω, [Κολασ. γ. γ] Ὅτι ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. τότε, φησί, δόξαν ζητεῖτε, τότε τιμάς, τότε τὰ ἄλλα πάντα· νῦν δὲ μή, ἀλλ' ἐκείνοις παρέχετε. εἶτα, ἵνα μὴ νομίσῃς χρήματα λέγειν αὐτόν, ἐπάγει,

6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι ὑμᾶς πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Ἵνα μὴ ὑποκρίσεως γέμῃ, φησί. τοῦτο γὰρ οὐ χάρις, οὐδὲ ἅλατι ἤρτυται. ὅταν, ἐὰν δέῃ θεραπεῦσαι ἀκινδύνως, μὴ παραιτήσῃ· ἂν καιρὸς ᾖ προσηνῶς διαλεχθῆναι, μὴ νομίσῃς τὸ πρᾶγμα κολακείαν. πάντα ποίει τὰ εἰς τιμὴν ἀνήκοντα, ἄνευ τοῦ βλάπτεσθαι τὴν εὐσέβειαν. οὐχ ὁρᾷς πῶς Δανιὴλ ἄνθρωπον ἀσεβῆ θεραπεύει; οὐχ ὁρᾷς τοὺς τρεῖς παῖδας, πῶς μετὰ σοφίας τῷ βασιλεῖ προσεφέροντο, καὶ ἀνδρείαν ἐπιδεικνύντες, καὶ παρρησίαν, καὶ οὐδὲν θρασύ, οὐδὲ ἀπεχθές; τοῦτο γὰρ οὐκέτι παρρησίας, ἀλλὰ κενοδοξίας. εἰδέναι, φησί, πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. ἑτέρως γὰρ τῷ ἄρχοντι, ἄλλως τῷ ἀρχομένῳ· ἄλλως τῷ πλουτοῦντι, ἄλλως τῷ πένητι. διὰ τί; ὅτι αἱ τῶν πλουτούντων καὶ ἀρχόντων ψυχαὶ ἀσθενέστεραι τυγχάνουσιν οὖσαι μᾶλλον, φλεγμαίνουσαι μᾶλλον, διαρρέουσαι, ὥστε ἐκεῖ συγκαταβατικὸν εἶναι δεῖ· αἱ δὲ τῶν πενήτων καὶ ἀρχομένων, στερρότεραι καὶ συνεστώτεραι· ὥστε ἐν ταύταις καὶ παρρησίᾳ χρὴ μείζονι κεχρῆσθαι, πρὸς ἓν ὁρῶντα, τὴν οἰκοδομήν. μὴ ἐπειδὴ ὁ μὲν πλούσιος, ὁ δὲ πένης, ὁ μὲν πλέον τιμάσθω, ὁ δὲ ἔλαττον· ἀλλὰ διὰ τὴν ἀσθένειαν ὁ μὲν διαβασταζέσθω, ὁ δὲ μὴ οὕτως. ὅταν, αἰτίας οὐκ οὔσης, μὴ κάλει τὸν Ἕλληνα μιαρόν, μηδὲ ἔσο ὑβριστής· ἀλλ' ἂν μὲν ἐρωτηθῇς περὶ τοῦ δόγματος, ἀπόκριναι ὅτι μιαρὸν καὶ ἀσεβές· οὐδενὸς δὲ ἐρωτῶντος οὐδὲ ἀναγκάζοντος λέγειν, οὐ προσήκει ἁπλῶς ἀπεχθείας ἀναδέχεσθαι. ποία γὰρ ἀνάγκη περιττὰς ἔχθρας κατασκευάζειν; πάλιν ἄν τινα κατηχῇς, λέγε δὲ ἐξ ὑποθέσεως ὑποκειμένης· ἐπεὶ σίγα. ἐὰν ᾖ ἅλατι ἠρτυμένος ὁ λόγος, κἂν εἰς διαρρέουσαν ἐμπέσῃ ψυχήν, ἐπισφίγξει τὴν χαύνην· κἂν εἰς τραχεῖαν, λεανεῖ τὸ σκληρόν. ἐπίχαρις ὤν, μήτε φορτικὸς ἔστω, μήτε πάλιν χαῦνος, ἀλλὰ καὶ τὸ σῶφρον ἐχέτω, καὶ τὸ μεθ' ἡδονῆς. ἄν τε γὰρ ἀμέτρως ἐπιστύφῃ, μᾶλλον ἔβλαψεν, ἢ ὠφέλησεν· ἐὰν δὲ ἀμέτρως χαριεντίσηται, μᾶλλον ἐλύπησεν, ἢ ὤνησεν· ὥστε πολλαχοῦ μέτρα δεῖ εἶναι. μήτε κατηφὴς ἔσο καὶ σκυθρωπός· ἀηδὲς γάρ· μήτε διακεχυμένος· εὐκαταφρόνητοι γὰρ καὶ πεπατημένοι.

μένον. ἀλλ' ἑκατέρου τὴν ἀρετὴν λαβεῖν, τὴν κακίαν φυγεῖν, καθάπερ ἡ μέλιττα, τοῦ μὲν τὸ φαιδρὸν, τοῦ δὲ τὸ σεμνόν. εἰ γὰρ ἰατρὸς οὐχ ὁμοίως πᾶσι χρήσεται τοῖς σώμασι, πολλῷ μᾶλλον διδάσκαλος. καίτοι μᾶλλον ἂν τὰ σώματα ἀκατάλληλα φάρμακα ἐνέγκοι, ἢ ψυχὴ λόγον. οἷον, προσέστησιν Ἕλλην, καὶ γέγονέ σοι φίλος; μηδὲν αὐτῷ περὶ τούτου διαλεχθῇς, ἕως ἂν γένηται πάνυ φίλος· καὶ ὅταν γένηται, ἠρέμα. ὅρα γὰρ καὶ ὁ Παῦλος ἡνίκα εἰς τὰς Ἀθήνας παρεγένετο, πῶς αὐτοῖς διελέγετο. οὐκ εἶπεν, ὦ μιαροὶ καὶ παμμίαροι, ἀλλὰ τί; Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. (Πραξ. ιζ. κβ.) πάλιν ὅτε ὑβρίσαι ἐχρῆν, οὐ παρῃτήσατο· ἀλλὰ μετὰ πολλῆς τῆς σφοδρότητος ἔλεγε τῷ Ἐλύμᾳ, Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης. (Πραξ. ιγ. ι.) ὥσπερ γὰρ ἐκείνους ὑβρίσαι ἀνοίας ἦν (ἀπαιδευ-), οὕτω τοῦτον μὴ ὑβρίσαι μαλακίας ἦν. πάλιν, εἰσάγεσθε πρὸς ἄρχοντα διὰ πρᾶγμα; τὴν προσήκουσαν ἀπονέμων τιμάς. Πάντα ὑμῖν, φησὶ, γνωρίσουσι τὰ ὧδε. Διατί μὴ συνῆλθον, φησί; τί δέ ἐστι, πάντα ὑμῖν γνωρίσουσι τὰ ὧδε; τουτέστι, τὰ δεσμὰ, καὶ τὰ ἄλλα πάντα τὰ κατέχοντά με. οὐκ ἂν δὲ ὁ προσευχόμενος αὐτοὺς ἰδεῖν, ὁ καὶ ἑτέρους ἀποστέλλων, αὐτὸς ὑστέρησα, μὴ μεγάλης με κατεχούσης ἀνάγκης. καὶ μὴν τοῦτο οὐκ ἦν ἐγκαλούντων, καὶ μὴν σφόδρα ἐγκαλούντων (σφοδρότη-). τὸ γὰρ μαθεῖν ὅτι καὶ πειρασμοῖς περιέπεσε, καὶ ἤνεγκε γενναίως, τοῦτο πιστουμένου ἦν τὸ πρᾶγμα, καὶ διορθοῦντος τὰς ἐκείνων ψυχάς.

9 Σὺν Ὀνησίμῳ, φησὶ, τῷ ἀγαπητῷ καὶ πιστῷ ἀδελφῷ. Ἀδελφὸν τὸν δοῦλον ὁ Παῦλος φησὶν (καλεῖ;) εἰκότως· ὅπουγε καὶ ἑαυτὸν δοῦλον ὀνομάζει τῶν πιστῶν. καταισχυνώμεθα πάντες τὸν τῦφον, καταπατήσωμεν τὴν ἀλαζονείαν. δοῦλον ὀνομάζει ἑαυτὸν Παῦλος, ὁ τῆς οἰκουμένης ἀντάξιος καὶ μυρίων οὐρανῶν, καὶ σὺ μέγα φρονεῖς; ὁ πάντα ἄγων καὶ φέρων ὡς ἤθελεν, ὁ τὰ πρωτεῖα ἔχων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁ ἐστεφανωμένος, ὁ εἰς τρίτον ἀνελθὼν οὐρανὸν, τοὺς δούλους ἀδελφοὺς καλεῖ, καὶ συνδούλους. ποῦ ἡ μανία; ποῦ ἡ ἀλαζονεία; οὕτως ἀξιόπιστος γέγονεν ὁ Ὀνήσιμος, ὥστε καὶ τοιαῦτα πιστεύεσθαι.

10 Καὶ Μάρκος, φησὶν, ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολὰς, δέξασθε αὐτόν. Ἴσως παρὰ Βαρνάβα ἐντολὰς ἔλαβον. Οἱ ὄντες ἐκ περιτομῆς.

Καταστέλλει τῶν Ἰουδαίων τὸ φύσημα· ἐπαίρει τούτων τὰς ψυχὰς, ὅτι ὀλίγοι μὲν ἐκ περιτομῆς· οἱ δὲ πλείους ἐκ τῶν ἐθνῶν. Οἵτινες ἐγενήθησάν μοι, φησὶ, παρηγορία.

Δείκνυσιν ἑαυτὸν ἐν πειρασμοῖς ὄντα μεγάλοις. ὥστε οὐδὲ τοῦτο μικρὸν, ὅταν τοὺς ἁγίους (Εβρ. ιγ. γ.) παρακαλῶμεν καὶ παρουσίᾳ καὶ λόγῳ καὶ προσεδρείᾳ, ὅταν συγκακουχώμεθα. τοῖς δεσμίοις γὰρ, φησὶν, ὡς συνδεδεμένοι· ὅταν τὰ ἐκείνων ἡμέτερα ποιώμεθα πάθη, καὶ ἐν τοῖς στεφάνοις κοινωνήσομεν. οὐχ εἱλκύσθης εἰς τὸ στάδιον; οὐ κατέβης εἰς τὸν ἀγῶνα; ἄλλος ἀπεδύσατο, ἄλλος παλαίει. ἀλλ' ἐὰν θέλῃς, κοινωνήσεις καὶ σύ. ἄλειψον ἐκεῖνον, γενοῦ αὐτοῦ φιλητὴς (-ισεις) καὶ σπουδαστὴς, ἔξωθεν ἐπιβόα μεγάλα, διέγειρε τὴν δύναμιν, ἀνάκτα τὴν ψυχήν· ταῦτα ἐπὶ τῶν ἄλλων ἁπάντων γίνεσθαι ἀκόλουθον. Παῦλος γὰρ οὐκ ἐδεῖτο, ἀλλ' ἐκείνους ἐπαίρων ἔλεγε ταῦτα. σὺ τοίνυν ἐπὶ τῶν ἄλλων ἁπάντων τοὺς βουλομένους κακίζειν ἐπιστόμιζε· κατασκεύαζε αὐτῷ ἐραστάς· ἀποδέξαι ἐξιόντα μετὰ πολλῆς τῆς θεραπείας. οὕτω κοινωνήσεις τῶν στεφάνων, οὕτω τῆς δόξης, κἂν μηδὲν ἕτερον ποιήσῃς, ἥσθητι δὲ ἐπὶ τοῖς γινομένοις, καὶ οὕτως ἐκοινώνησας, οὐχ ὡς ἔτυχεν. εἰσήνεγκας γὰρ ἀγάπην, τὸ πάντων κεφάλαιον τῶν ἀγαθῶν. εἰ γὰρ οἱ κλαίοντες δοκοῦσι τοῦ πένθους κοινωνεῖν, καὶ μεγάλα χαρίζονται τοῖς πενθοῦσι, καὶ τὸ πολὺ τῆς ὀδύνης ἀφαιροῦσι (-αιροῦσι), πολλῷ μᾶλλον καὶ οἱ χαίροντες μείζονα ποιοῦσι τὴν ἡδονήν. ὅσον γὰρ κακὸν τὸ μὴ ἔχειν τοὺς συλλυπουμένους, ἄκουε τοῦ προφήτου λέγοντος· Καὶ (Ψαλ. ξη. κα.) ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε. διὰ τοῦτο καὶ Παῦλός φησι, Χαίρειν μετὰ χαιρόντων, (Ρωμ. ιβ. ιε.) καὶ κλαίειν μετὰ κλαιόντων. αὔξησον τὴν ἡδονὴν, ἂν ἴδῃς τὸν ἀδελφὸν εὐδοκιμοῦντα.

μὴ εἴπῃς, ἐκείνου ἡ εὐδοκίμησις· ἐγὼ τίνος ἕνεκεν χαίρω; οὐκ ἀδελφοῦ ταῦτα τὰ ῥήματα, ἀλλὰ πολεμίου. ἂν θέλῃς, οὐκ ἐκείνου ἐστὶν, ἀλλὰ σόν. σὺ κύριος ποιῆσαι αὐτὴν μείζονα, ἂν μὴ κατηφὴς ᾖς, ἀλλ' ἡσθῇς, ἂν φαιδρὸς ᾖς, ἂν γεγανωμένος. καὶ ὅτι οὕτως ἔχει τὸ πρᾶγμα, ἐκεῖθεν δῆλον. οἱ φθονοῦντες οὐκ ἐκείνοις φθονοῦσι μόνοις τοῖς εὐδοκιμοῦσιν, ἀλλὰ καὶ τοῖς ταῖς ἐκείνων εὐδοκιμήσεσι χαίρουσιν. οὕτως ἴσασιν ὅτι καὶ οὗτοι ἐν τῇ εὐδοκιμήσει εἰσὶ, καὶ οὗτοι μάλιστά εἰσιν οἱ σεμνυνόμενοι. ἐκεῖνος μὲν γὰρ καὶ ἐρυθριᾷ σφόδρα ἐγκωμιαζόμενος, οὗτος δὲ μετὰ πολλῆς τῆς ἡδονῆς ἐγκαλλωπίζεται. οὐχ ὁρᾶτε ἐπὶ τῶν ἀθλητῶν πῶς ὁ μὲν στεφανοῦται, ὁ δὲ οὐ στεφανοῦται; ἡ δὲ ὀδύνη καὶ χαρὰ, τῶν ἐραστῶν ἐστι καὶ τῶν μισούντων· ἐκεῖνοι πηδῶσιν, ἐκεῖνοι σκιρτῶσιν. ὅρα πόσον ἐστὶ τὸ μὴ φθονεῖν. ἑτέρου ὁ πόνος, καὶ σοῦ ἡ ἡδονή· ἕτερος τὸν στέφανον περίκειται, καὶ σὺ σκιρτᾷς, σὺ ἐγκαλλωπίζῃ. εἰπὲ γάρ μοι, ἄλλος νενίκηκε, σὺ τί πηδᾷς; ἀλλ' ἴσασι κἀκεῖνοι καλῶς, ὅτι κοινοὶ τὸ γινόμενοι. διὰ τοῦτο τούτοις μὲν οὐκ ἐγκαλοῦσιν οἱ φθονοῦντες, πειρῶνται δὲ καταβάλλειν τὴν νίκην· καὶ ἀκούεις ῥήματα τοιαῦτα λεγόντων αὐτῶν, ἐξήλειψά σε, καὶ κατέβαλόν σε· καίτοι γε ἑτέρου τὸ ἔργον, ἀλλὰ τὸ ἐγκώμιον σόν. εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσοῦτον ἀγαθὸν τὸ μὴ φθονεῖν, ἀλλ' οἰκειοῦσθαι τὰ ἑτέρου ἀγαθὰ, πολλῷ μᾶλλον ἐπὶ τῇ νίκῃ τοῦ διαβόλου. τότε γὰρ καθ' ἡμῶν πλέον πνεῖ, δηλονότι ὡς πλέον ἡδομένων. καίτοι γε μιαρὸς ὢν οἶδεν ἀκριβῶς ὅτι μεγάλη αὕτη ἡ ἡδονή. θέλεις αὐτὸν λυπῆσαι; ἥσθητι, καὶ χάρηθι. θέλεις αὐτὸν εὐφρᾶναι; σκυθρωπὸς γενοῦ. τὴν ἐκ τῆς νίκης τοῦ ἀδελφοῦ γενομένην αὐτῷ λύπην ἐπικουφίζεις διὰ τῆς σῆς ἀθυμίας, μετ' ἐκείνου ἵστασαι ἀποσχισθεὶς τοῦ ἀδελφοῦ. μεῖζον ἢ ἐκεῖνος ποιεῖς κακόν. οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν ὄντα τὰ τῶν ἐχθρῶν ποιεῖν, καὶ φίλον ὄντα μετὰ τῶν ἐχθρῶν ἵστασθαι. οὗτος τῶν ἐχθρῶν μιαρώτερος. εἰ εὐδοκίμησεν ὁ ἀδελφὸς, ἢ λέγων, ἢ ἐπιδεικνύμενος, ἢ κατορθῶν, γενοῦ κοινωνὸς τῆς εὐδοκιμήσεως· δεῖξον ὅτι μέλος ἐστὶ σόν. καὶ πῶς, φησιν; ἐγὼ γὰρ οὐκ εὐδοκιμῶ. μὴ φθέγξῃ ποτὲ τὸ ῥῆμα τοῦτο· σύστελλε τὰ χείλη. εἴ γε πλησίον μου ἦς ὁ ταῦτα λέγων, ἐπέθηκα ἄν σου τὴν χεῖρα τοῖς χείλεσι, μή ποτε ἀκούσῃ ὁ ἐχθρός. πολλάκις πρὸς ἀλλήλους ἔχθρας ἔχομεν, καὶ τοῖς ἐχθροῖς οὐκ ἐπιδεικνύμεθα· τῷ διαβόλῳ οὖν ἐπιδείκνυσαι σύ. μὴ εἴπῃς τοῦτο, μὴ ἐννοήσῃς· ἀλλὰ καὶ τοὐναντίον, μέλος ἐστὶν ἐμόν. εἰς τὸ σῶμα διαβαίνει ἡ δόξα. τί οὖν φησιν, ὅτι οἱ ἔξωθεν οὐχ οὕτω διάκεινται; ὅτι σὺ αἴτιος. ὅταν ἴδωσί σε ἀλλοτριούμενον αὐτοῦ τὴν ἡδονὴν, καὶ αὐτοὶ ἀλλοτριοῦνται· ὡς ἂν ἴδωσί σε οἰκειούμενον, οὐ τολμῶσιν. ἀλλ' ὁμοίως εἶ καὶ σὺ λαμπρός. οὐκ ηὐδοκίμησας λέγων, ἀλλ' ηὐδοκίμησας συνηδόμενος μειζόνως, ἢ ἐκεῖνος. εἰ γὰρ ἡ ἀγάπη μέγα καὶ πάντων κεφάλαιον, σὺ τὸν ἐκ ταύτης ἔλαβες στέφανον· ἐκεῖνος τὸν ἐκ τῆς ῥητορείας, σὺ τὸν ἐκ τοῦ σφόδρα φιλεῖν· ἐκεῖνος ἐπεδείξατο ῥημάτων ἰσχὺν, σὺ διὰ τῶν ἔργων τὸν φθόνον κατέβαλες, ἐπάτησας τὴν βασκανίαν. ὥστε εἰκότως ἂν μᾶλλον ἐκείνου στεφανωθείης· λαμπρότερος ὁ σὸς ἀγών. οὐκ ἐπάτησας μόνον τὴν βασκανίαν, ἀλλὰ καὶ ἕτερόν τι πεποίηκας. ἐκεῖνος ἕνα ἔχει στέφανον μόνον, σὺ δὲ δύο, καὶ τοὺς δύο τοῦ ἑνὸς λαμπροτέρους. ποίους τούτους; ἕνα μὲν ὃν ἀνεῖλες κατὰ τοῦ φθόνου, δεύτερον δὲ ὃν ἀνεδήσω ἐκ τῆς ἀγάπης. οὐ γὰρ τοῦ καθαρὸν εἶναι φθόνου τεκμήριον μόνον τὸ συνήδεσθαι, ἀλλὰ καὶ τοῦ ἀγάπην ἔχειν ἐρριζωμένην. ἐκεῖνον πολλάκις καὶ ἀνθρώπινόν τι ἠνώχλησε πάθος, οἷον ἡ κενοδοξία· σὺ δὲ πάντων εἶ παθῶν καθαρός. οὐ γὰρ δὴ κενοδοξῶν χαίρεις ἐπὶ τοῖς ἑτέρου καλοῖς. ὤρθωσε τὴν ἐκκλησίαν ἐκεῖνος, εἰπέ μοι; ηὔξησε τὸν σύλλογον; ἐπαινέσονται πάλιν. ἔχεις διπλοῦς τοὺς στεφάνους· τὸν φθόνον κατέβαλες, τὴν ἀγάπην ἀνεδήσω. καὶ δέομαι, καὶ ἀντιβολῶ. βούλει καὶ τρίτον ἀκοῦσαι στέφανον; τοῦτον οἱ κάτω κροτοῦσιν ἄνθρωποι, σὲ οἱ ἄνω ἄγγελοι. οὐ γάρ ἐστιν ἴσον εὐτεχνίαν ἐπιδείκνυσθαι, καὶ παθῶν κρατεῖν. οὗτος ὁ ἔπαινος πρόσκαιρος· ἐκεῖνος αἰώνιος· οὗτος ἐξ ἀνθρώπων, ἐκεῖνος ἐκ Θεοῦ· οὗτος φαίνεται ἐστεφανωμένος, σὺ δὲ ἐν τῷ κρυπτῷ στεφανοῦσαι, ὅπου ὁ πατήρ σου ὁρᾷ. εἰ δὲ σῶμα ἀποσχίσαντα τὴν ἑκάστου ψυχὴν

ἣν

ἐκείνου σεμνότερον, μᾶλλον ἀποστίλβοντα. πατήσωμεν τὰ κέντρα τῆς βασκανίας. ἐὰν γὰρ ἐν τούτῳ τὸν ὠφελοῦμεν, ἀγαπητοὶ, αὐτοὶ ἀναδησόμεθα τὸν στέφανον. ὁ βασκαίνων τῷ Θεῷ μάχεται, οὐκ ἐκείνῳ. ὅταν γὰρ ἴδῃ χάριν ἔχοντα, καὶ ἀλγῇ, καὶ βούληται καθαιρεθῆναι τὴν ἐκκλησίαν, οὐκ ἐκείνῳ μάχεται, ἀλλὰ τῷ Θεῷ. εἰπὲ γάρ μοι· εἴ τις κόρην ἐκαλλώπιζε βασιλέως, καὶ εὐδοκίμει καλλωπίζων αὐτὴν καὶ σεμνὴν ἐργαζόμενος, ἕτερος δέ τις ἐβούλετο ταύτην ἀσχημονῆσαι, καὶ μὴ δυνηθῆναι καλλωπίσαι, τίνι ἂν ἐπεβούλευσε, τούτῳ, ἢ ἐκείνῃ, καὶ τῷ ταύτης πατρί; οὕτω καὶ νῦν σὺ ὁ βασκαίνων μάχῃ τῇ ἐκκλησίᾳ, τῷ Θεῷ πολεμεῖς. ἐπειδὴ γὰρ τῇ εὐδοκιμήσει τοῦ ἀδελφοῦ συμπέπλεκται καὶ ἡ τῆς ἐκκλησίας ὠφέλεια, ἀνάγκη, ταύτης καταλυθείσης, κἀκείνην καταλύεσθαι· ὥστε κατὰ τοῦτο, ἔργον Σατανικὸν ποιεῖς, ἐπιβουλεύων τῷ σώματι τοῦ Χριστοῦ. πρὸς τοῦτο ἀλγεῖς τὸν οὐδὲν ἠδικηκότα, πολλῷ δὲ μᾶλλον πρὸς τὸν Χριστόν. τί σε ἠδίκησεν, ὅτι οὐκ ἀφῆκε τὸ σῶμα αὐτοῦ καλλωπισθῆναι τῷ κάλλει; ὅτι οὐκ ἀφῆκε τὴν νύμφην κοσμηθῆναι; ἵνα δέ μοι τὴν τιμωρίαν, ὅση. τοὺς ἐχθροὺς εὐφραίνεις τοὺς σοὺς, καὶ αὐτὸν ἐκεῖνον τὸν εὐδοκιμοῦντα. ὃν βούλει λυπῆσαι φθονῶν, μᾶλλον αὐτὸν εὐφραίνεις, μᾶλλον δεικνύεις, ὅτι ηὐδοκίμησε βασκαίνων· οὐ γὰρ ἂν ἐβάσκαινες· μᾶλλον δεικνύεις ὅτι τιμωρῇ. ἀσχημονῶ μὲν εἰπεῖν ἀπὸ τῶν πρεπόντων πλὴν ἀλλ' ἐπειδὴ οὕτως ἀλγεινῶς διακείμεθα, καὶ ἀπὸ τούτων παιδευθέντες τοῦ ὀλεθρίου τούτου πάθους ἀπαλλαγῶμεν. ἀλγεῖς ὅτι ηὐδοκίμησε; τί οὖν τὴν εὐδοκίμησιν αὐτοῦ ἐπαίρεις φθονῶν; βούλει αὐτὸν τιμωρήσασθαι; ἵν' οὖν δεικνύῃς ὅτι ἀλγεῖς; τὴν τιμωρίαν σεαυτὸν ἀπαιτεῖς ἔμπροσθεν τούτου, ἢ βούλει μὴ εὐδοκιμεῖν; ἁπλῶς λοιπὸν ἔστω ἡ ἡδονὴ τούτῳ, καὶ σοὶ ἡ τιμωρία· οὐ μόνον ὅτι μέγαν δεικνύεις αὐτὸν, ἀλλ' ὅτι καὶ ἑτέραν αὐτῷ ἐντίκτεις ἡδονὴν τιμωρούμενος σεαυτόν, καὶ πάλιν ἐφ' ὧν ἀλγεῖς, ἐκεῖνος ἥδεται, σοῦ φθονοῦντος. ὁρᾷς πῶς πληγὰς χαλεπὰς ἑαυτοῖς δίδομεν, καὶ οὐκ αἰσθανόμεθα. ἀλλ' ἐχθρός ἐστι. καίτοιγε διὰ τί ἐχθρός; τί ἠδίκησεν; ἀλλ' ὅμως τὸν ἐχθρὸν λαμπρότερον ποιοῦμεν, καὶ ἡμᾶς αὐτοὺς πλέον κολάζομεν. τούτῳ πάλιν ἑαυτοὺς τιμωρούμεθα, οὐκ αἰσθανόμεθα ὅτι ἐγὼ ἐκεῖνος. ἴσως μὲν γὰρ ἐκεῖνος οὐχ ἥδεται· ἡμεῖς δὲ νομίζοντες ὅτι ἥδεται, πάλιν διὰ τοῦτο ἀλγοῦμεν. οὐκοῦν παύσασθε φθονοῦντες. τί τραύματα ἑαυτῷ περιέχεις; ταῦτα ἐννοήσωμεν, ἀγαπητοί, τὰς ἀσφαλείας τὰς διπλᾶς τῶν μὴ φθονούντων, τοὺς ἐπαίνους τοὺς παρὰ ἀνθρώπων, τοὺς παρὰ Θεοῦ, τὰ κακὰ τὰ ἀπὸ τῆς βασκανίας· καὶ οὕτω δυνησόμεθα ἀφεῖναι τὸ θηρίον, καὶ εὐδοκιμῆσαι ἔμπροσθεν τοῦ Θεοῦ, καὶ τῶν αὐτῶν τυχεῖν τοῖς εὐδοκιμοῦσι. τευξόμεθα γὰρ ἴσως κἂν μὴ τυγχάνωμεν, ἀλλὰ τοῦ συμφέροντος τευξόμεθα πλέον· καὶ οὕτω δυνησόμεθα εἰς δόξαν Θεοῦ ζήσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιβ. 12 ΑΣΠΑΖΕΤΑΙ ΥΜΑΣ ΕΠΑΦΡΑΣ Ο ΕΞ ὙΜῶΝ δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ.

13 Μαρτυρῶ γὰρ αὐτῷ, ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει.

Κολασ. α. η. ΚΑι ἀρχόμενος τῆς ἐπιστολῆς, συνίστησι τὸν ἄνδρα ἀπὸ ἀγάπης, ἀγάπην δὲ δείκνυσι καὶ τὸ ἐγκωμιάζειν· ὅπερ ἐξ ἀρχῆς εἶπεν, Ὁ δηλώσας ἡμῖν, φησὶ, τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. ἀγάπην δείκνυσι καὶ ποιεῖ φιλεῖσθαι, καὶ τὸ ὑπερεύχεσθαι. συνίστησι δὲ αὐτοῖς, ἀνοίγων θύραν τῷ λόγῳ αὐτοῦ (τὸ γὰρ αἰδέσιμον εἶναι τὸν διδάσκαλον, μαθητῶν ὠφέλεια) καὶ πάλιν τὸ εἰπεῖν, ἐξ ὑμῶν, ἵνα καὶ σεμνύνωνται ἐπὶ τῷ ἀνδρὶ, ἅτε τοιούτους φέροντες ἄνδρας. καὶ πάντοτε, φησιν, ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς. οὐχ ἁπλῶς εἶπεν, εὐχόμενος, ἀλλ', ἀγωνιζόμενος, τρέμων, καὶ δεδοικώς. μαρτυρῶ γὰρ αὐτῷ, φησιν, ὅτι ἔχει ζῆλον ὑπὲρ ὑμῶν. ἀξιόπιστος μάρτυς. ὅτι ἔχει, φησὶ, ζῆλον πολὺν ὑπὲρ ὑμῶν· τουτέστιν, ὅτι σφόδρα ὑμᾶς ἀγαπᾷ, καὶ ἐκκαίεται περὶ ὑμᾶς φίλτρῳ. καὶ τῶν ἐν Λαοδικείᾳ, φησὶ, καὶ τῶν ἐν Ἱεραπόλει. κἀκείνοις αὐτοὶ συνίστησιν. ἀλλὰ πόθεν τοῦτο ἔμελλον εἰδέναι; εἰκὸς μὲν οὖν αὐτοὺς ἀκοῦσαι· πλὴν καὶ τῆς
Κολασ. δ. ιϛ. ἐπιστολῆς ἀναγινωσκομένης, ἐμάνθανον. Ποιήσατε γὰρ, φησιν, ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ. ἵνα στῆτε, φησι, τέλειοι. ἅμα καὶ κατηγορεῖ αὐτῶν, καὶ ἀνεπαχθῶς παραινεῖ καὶ συμβουλεύει. ἔνι γὰρ καὶ τέλειον εἶναι, καὶ μὴ ἑστάναι, ὡς ἐάν τις πάντα μὲν εἰδῇ, σαλεύηται δὲ ἔτι· ἔνι καὶ μὴ τέλειον εἶναι, καὶ ἑστάναι, ὡς ἐάν τις μέρος μὲν εἰδῇ, ἕστηκε δὲ οὐ βεβαίως. γ. ἴσα ἀλλ' οὗτος ἀμφότερα εὔχεται, ἵνα στῆτε, φησὶ, τέλειοι. ὅρα πῶς πάλιν αὐτοὺς ὑπέμνησε τοῦ περὶ τῶν ἀγγέλων λόγου, καὶ περὶ τοῦ βίου. καὶ πεπληρωμένοι, φησὶν, ἐν παντὶ θελήματι τοῦ Θεοῦ. οὐ γὰρ ἁπλῶς ἀρκεῖ τὸ θέλημα ποιεῖν. ὁ πεπληρωμένος οὐκ ἀφίησιν ἄλλο θέλημα εἶναι ἐν αὐτῷ, ἐπεὶ οὐ πεπληροφόρηται. μαρτυρῶ γὰρ αὐτῷ, φησιν, ὅτι ἔχει ζῆλον πολύν· καὶ ζῆλον, καὶ πολύν· ἀμφότερα ἐπιτάσεως· ὥσπερ καὶ αὐτὸς φησὶ
β. Κορ. ια. ϛ. Κορινθίοις γράφων, Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός. Οὗτός ἐστιν ὁ εὐαγγελιστής. οὐ τοῦτον δὲ ταπεινῶν, ὕστερον τίθησιν, ἀλλ' ἐκεῖνον ἐπαίρει τὸν Ἐπαφρᾶν. Εἰκὸς εἶναι καὶ ἄλ- γ. Ἐπαφρᾶν.
λους καλουμένους τῷ ὀνόματι τούτῳ. Καὶ Δημᾶς. Εἰπὼν δὲ, ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς, προσέθηκεν, ὁ ἀγαπητός. ἐγκώμιον καὶ τοῦτο οὐ μικρὸν, ἀλλὰ καὶ σφόδρα μέγα, τὸ Παύλου εἶναι ἀγαπητόν.

15 Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν. Ὅρα πῶς αὐτοὺς συγκολλᾷ καὶ συνάπτει πρὸς ἑαυτοὺς, οὐ τῷ ἀσπάσασθαι μόνον, ἀλλὰ καὶ τῷ τὰς ἐπιστολὰς ἀντιδοῦναι. Εἶτα πάλιν χαρίζεται, κατ' ἰδίαν αὐτοὺς προσαγορεύων. ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ καὶ τοὺς ἄλλους εἰς τὸν αὐτὸν ἄγων ζῆλον. οὐδὲ γὰρ μικρόν ἐστιν, ὅταν μὴ μετὰ τῶν λοιπῶν ἀριθμῆται. ὅρα γοῦν πῶς δείκνυσι μέγαν τὸν ἄνδρα, εἴγε ἡ οἰκία αὐτοῦ ἐκκλησία ἦν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ. Ἐμοὶ δοκεῖ εἶναι τινὰ τῶν γραφέντων ἐκεῖ, ἃ καὶ τούτους ἐχρῆν ἀκοῦσαι. καὶ τούτοις μείζων ἦν ἡ ὠφέλεια, ὅταν ἑτέρων ἐγκαλουμένων, τὰ οἰκεῖα ἁμαρτήματα ἐπιγινώσκωσι. Καὶ τὴν ἐκ Λαοδικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

Τινὲς λέγουσιν ὅτι οὐχὶ τὴν Παύλου πρὸς αὐτοὺς ἀπεσταλμένην, ἀλλὰ τὴν παρ' αὐτῶν Παύλῳ. οὐ γὰρ εἶπε, τὴν πρὸς Λαοδικέας, ἀλλὰ, τὴν ἐκ Λαοδικείας φησὶ γραφεῖσαν.

17 Καὶ εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Τίνος ἕνεκεν οὐ γράφει πρὸς αὐτόν; ἴσως οὐκ ἐδεῖτο, ἀλλὰ ψιλῆς μόνης ὑπομνήσεως, ὥστε σπουδαιότερος εἶναι.

18 Ὁ

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Τοῦτο γνησιότητος καὶ φιλίας τεκμήριον, τὸ καὶ τὰ γράμματα ὁρᾶν, καὶ πάσχειν τι πρὸς ταῦτα. Μνημονεύετέ μου τῶν δεσμῶν. Βαβαί, πόση ἡ παράκλησις; τοῦτο γὰρ ἱκανὸν εἰς πάντα αὐτοὺς προτρέψαι, καὶ γενναιοτέρους ποιῆσαι πρὸς τοὺς ἀγῶνας, οὐ μόνον δὲ γενναιοτέρους, ἀλλὰ καὶ οἰκειοτέρους αὐτοὺς ἐποίει. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν. Μέγα ἐγκώμιον, καὶ μεῖζον τῶν ἄλλων ἁπάντων, τὸ λέγειν περὶ τοῦ Ἐπαφρᾶ, Ὁ ἐξ ὑμῶν δοῦλος Χριστοῦ. καὶ διάκονον αὐτὸν ὑπὲρ αὐτῶν φησιν, ὥσπερ καὶ ἑαυτὸν τῆς ἐκκλησίας λέγει διάκονον, ὡς ὅταν λέγῃ· Ἧς ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Εἰς τὸ αὐτὸ ἀξίωμα ἀναφέρει τὸν ἄνδρα, καὶ σύνδουλον ἀνωτέρω καλεῖ, καὶ ἐνταῦθα δοῦλον. ὁ ἐξ ὑμῶν, φησίν· ὡς πρὸς μητέρα διαλεγόμενος καὶ λέγων, ὁ ἐκ τῆς γαστρὸς τῆς σῆς. ἀλλὰ τοῦτο φθόνον ἂν ἔτικτε τὸ ἐγκώμιον. διὰ τοῦτο οὐκ ἀπὸ τούτων αὐτὸν συνίστησι μόνον, ἀλλὰ καὶ ἐκ τῶν περὶ αὐτούς. καὶ ἐκεῖ φθόνον λύει, καὶ ἐνταῦθα. πάντοτε, φησίν, ἀγωνιζόμενος ὑπὲρ ὑμῶν· οὐ νῦν μόνον παρ' ἡμῖν, ὥστε ἐπιδείξασθαι, οὐδὲ παρ' ὑμῖν μόνον, ὥστε ὑμῖν ἐπιδείξασθαι. μεγάλην προθυμίαν ἔδειξε τὸ εἰπεῖν, ἀγωνιζόμενος. εἶτα, ἵνα μὴ δόξῃ κολακεύειν αὐτούς, ἐπήγαγεν, ὅτι ζῆλον ἔχει πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει. καὶ τό, ἵνα στῆτε τέλειοι, καὶ τοῦτο οὐ κολακείας, ἀλλ' αἰδεσίμου διδασκάλου. καὶ πεπληρωμένοι, φησί, καὶ τέλειοι. τὸ μὲν ἔδωκε, τὸ δὲ εἶπεν ὑστερεῖν. καὶ οὐκ εἶπεν, ἵνα μὴ σαλευθῆτε, ἀλλ', ἵνα στῆτε. τὸ μέντοι παρὰ πολλῶν ἀσπάζεσθαι αὐτούς, ἀνακτᾶται αὐτούς, ὅταν μὴ μόνον οἱ οἰκεῖοι δὲ αὐτῶν, ἀλλὰ καὶ ἕτεροι αὐτῶν μνημονεύωσι. καί, Εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, μάλιστα αὐτοὺς αὐτῷ ὑποτάττει. οὐκέτι γὰρ ἂν ἔχοιεν ἐγκαλεῖν ἐκείνῳ ἐπιτιμῶντι αὐτοῖς, ὅταν αὐτοὶ ὦσιν ἀναδεδεγμένοι τὸ πᾶν· ἐπεὶ οὐκ εἶχε λόγον τοῖς μαθηταῖς περὶ τοῦ διδασκάλου λέγειν· ἀλλ' ἐπιστομίζων αὐτούς, ταῦτα γράφει. Εἴπατε, φησίν, Ἀρχίππῳ, βλέπε. φοβοῦντός ἐστι τοῦτο τὸ ῥῆμα πανταχοῦ, ὡς ὅταν λέγῃ, Βλέπετε τοὺς κύνας· Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν· Βλέπετε μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι. καὶ πανταχοῦ οὕτω φησίν ὅταν φοβῇ. βλέπε, φησί, τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. οὐδὲ ἀφίησιν αὐτὸν κύριον εἶναι, καθάπερ αὐτὸς ἔλεγεν· Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. ἵνα αὐτὴν πληροῖς διηνεκῶς κεχρημένος σπουδῇ. ἣν παρέλαβες ἐν Κυρίῳ. πάλιν τό, ἐν, διὰ Κυρίου, ἐστίν· αὐτός σοι ἔδωκεν, οὐχ ἡμεῖς. κἀκείνους ὑποτάττει αὐτῷ, τῷ δεικνύειν παρὰ Θεοῦ αὐτοῖς ἐγκεχειρισμένον. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν. τὸν φόβον ἔλυσεν. Εἰ γὰρ ὁ διδάσκαλος ἐν δεσμοῖς, ἀλλ' ἡ χάρις αὐτὸν λύει, καὶ τοῦτο τῆς χάριτος τὸ συγχωρῆσαι αὐτὸν δεθῆναι. ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος, Οἱ ὑπέστρεφον οἱ ἀπόστολοι ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καταξιωθῆναι γὰρ ὄντως ἐστί, καὶ τὸ ἀτιμασθῆναι, καὶ τὸ δεθῆναι. Εἰ γὰρ ἐρώμενόν τις ἔχων, κέρδος ἡγεῖται τὸ δι' ἐκεῖνόν τι παθεῖν, πολλῷ μᾶλλον τὸ διὰ τὸν Χριστόν.

Κολασ. α. κε.
Φιλιπ. γ. β.
Κολασ. β. η.
α Κορ. η. θ.
α. Κορ. θ. ιζ.
Πραξ. ε. μα.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἀσχάλλωμεν περὶ τὰς θλίψεις διὰ Χριστόν, ἀλλὰ μνημονεύωμεν τῶν δεσμῶν Παύλου καὶ ἡμεῖς, καὶ τοῦτο ἔστω ἡμῶν προτροπή. οἷον, παραινεῖς τισι, πένησι δοῦναι διὰ Χριστόν· ἀνάμνησον αὐτοὺς τῶν Παύλου δεσμῶν, καὶ σαυτὸν κἀκείνους ταλάνισον, εἰ ἐκεῖνος μὲν καὶ τὸ σῶμα ἐξέδωκε δεσμοῖς δι' αὐτούς, σὺ δὲ οὐδὲ τροφῆς μεταδίδως. ἐπήρθης ἐπὶ κατορθώμασι; μνημόνευσον τῶν Παύλου δεσμῶν, καὶ ὅτι οὐδὲν τοιοῦτον ἔπαθες, καὶ οὐκέτι ἐπαρθήσῃ. ἐπεθύμησας τῶν τοῦ πλησίον; μνημόνευσον τῶν Παύλου δεσμῶν, καὶ ὄψει πῶς ἄτοπον ἐκεῖνον μὲν ἐν κινδύνοις εἶναι, σὲ δὲ τρυφᾶν. ἐπεθύμησας πάλιν τρυφῆς; ἐν νῷ λάβε τὸ δεσμωτήριον Παύλου. ἐκείνου μαθητὴς εἶ, ἐκείνου στρατιώτης. πῶς ἔχει λόγον, τὸν μὲν συστρατιώτην ἐν δεσμοῖς εἶναι, σὲ δὲ ἐν τρυφῇ; ἐν θλίψει γέγονας, ἐνόμισας ἐγκαταλελεῖφθαι; ἄκουε

τῶν

τῶν Παύλου λόγων, καὶ ὅτι τὸ ἐν θλίψει εἶναι, οὐκ ἐγκαταλείψεώς ἐστι τεκμήριον. θέλεις σηρικὰ φορεῖν ἱμάτια; μνημόνευε τῶν Παύλου δεσμῶν, καὶ ταῦτά σοι φανεῖται τῶν ῥακίων ἀτιμότερα τῶν βεβορβορωμένων. θέλεις χρυσία περιθέσθαι; ἐν νῷ λάβε τὰ Παύλου δεσμὰ, καὶ σχοίνου παλαιᾶς οὐδὲν ἀμείνονα σοι δόξει ταῦτα διακεῖσθαι. θέλεις διαθεῖναι τὰς τρίχας, καὶ καλὴ φαίνεσθαι; ἐννόησον τὸν αὐχμὸν τοῦ Παύλου τὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἐκκαυθήσῃ πρὸς ἐκεῖνο τὸ κάλλος, καὶ τοῦτο ἐσχάτην ἡγήσῃ δυσειδίαν, καὶ στενάξεις πικρῶς ἐπιθυμοῦσα ἐκείνων τῶν δεσμῶν. θέλεις ἐπιτρίμματα καὶ ὑπογραφὰς ἑαυτῇ περιθεῖναι, καὶ ὅσα τοιαῦτα; ἐννόησον τὰ ἐκείνου δάκρυα. τριετίαν, νύκτα καὶ ἡμέραν οὐκ ἐπαύετο δακρύων. τούτῳ τῷ κόσμῳ καλλώπιζε τὴν παρειάν· ταῦτα τὰ δάκρυα λαμπρὰν αὐτὴν ἐργάζεται. οὐ λέγω, ἵνα ὑπὲρ τῶν ἄλλων δακρύῃς (βούλομαι μὲν [γὰρ] καὶ τοῦτο· ἀλλ' ἀνώτερόν τουτό ἐστι τοῦ νῦν) ἀλλ' ὑπὲρ τῶν σῶν ἁμαρτημάτων τοῦτο παραινῶ ποιεῖν. ἐκέλευσας δεσμευθῆναι παῖδα, καὶ ὠργίσθης, καὶ παρωξύνθης; μνημόνευε τῶν Παύλου δεσμῶν, καὶ εὐθέως ἔπαυσας τὴν ὀργήν. ἀναμνήσθητι ὅτι τῶν δεδεμένων ἡμεῖς, ἀλλ' οὐ τῶν δεόντων, τῶν συντετριμμένων τὴν καρδίαν, ἀλλ' οὐ τῶν συντριβόντων. διεχύθης, καὶ ἀνεκάγχασας μέγα; ἐννόησον λαβὲ τὸν ἐκείνου ὀδυρμὸν, καὶ στέναξε. πολλῷ σε λαμπροτέραν τὰ δάκρυα ταῦτα δείκνυσιν. εἶδες τρυφῶντας καὶ ὀρχουμένους; μνημόνευσον αὐτοῦ τῶν δακρύων. ποία πηγὴ

Πρᾶξ. κ. λα. τοσαῦτα ἀνέβλυσε νάματα, ὡς τῶν ὀφθαλμοὶ ἐκείνου τὰ δάκρυα; Μνημονεύετέ μου, φησὶ, τῶν δακρύων, ὥσπερ τῶν δεσμῶν ἐνταῦθα. καὶ εἰκότως ἐκείνοις ταῦτα εἶπεν, ἡνίκα ἀπὸ τῆς Ἐφέσου αὐτοὺς μετεστείλατο εἰς τὴν Μίλητον. διδασκάλοις γὰρ ἔλεγεν· ὥστε ἐκείνους μὲν καὶ τὸ συναλγεῖν ἀπαιτεῖ, τούτους δὲ τὸ κινδυνεύειν μόνον. ποίαν βούλει παραβάλω πηγὴν τοῖς δάκρυσι τούτοις; τὴν ἐν τῷ παραδείσῳ, τὴν ποτίζουσαν τὴν γῆν ἅπασαν; ἀλλ' οὐδὲν ἴσον ἐρεῖς. αὕτη γὰρ ἡ τῶν δακρύων πηγὴ ψυχὰς ἐπότιζεν, οὐ γῆν. εἴ τις ἡμῖν δεδακρυμένον ἔδειξε Παῦλον καὶ στενάζοντα, οὐ πολλῷ μὲν βέλτιον ἦν, ἢ χορεῖς μυρίους φαιδρῶς ἐστεφανωμένους; οὐ λέγω περὶ ὑμῶν, ἀλλ' εἴ τις ἀπὸ τοῦ θεάτρου καὶ τῆς σκηνῆς ἀποσπάσας τινὰ τῶν ἀκολάστων ἐκκαιομένων καὶ βακχευομένων διὰ τὸν σωμάτων ἔρωτα, ἐδείκνυ κόρην παρθένον ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τά τε ἄλλα νικῶσαν τὰς ὁμήλικας, καὶ τὴν ὄψιν ὑπὲρ τὰ λοιπὰ μέλη, ὀφθαλμοὺς ἔχουσαν ἁπαλοὺς καὶ μαλακοὺς ἐγκαθημένους [ἠρέμα,] περιστρεφομένους ἠρέμα, ὑγρούς, ἡμέρους, γαληνὸν μειδιῶντας, καὶ πολλὴν μὲν περιέχοντα λευκὸν τῇ αἰδοῖ, πολλὴν δὲ τὴν χάριν, βλεφαρίσι κυανοῖς κάτωθεν καὶ ἄνωθεν ἐστεφανωμένην, τὴν κόρην ἔμψυχον, ὡς εἰπεῖν, ἔχουσαν, λαμπρὸν τὸ μέτωπον, κάτωθεν πάλιν τὴν παρειὰν εἰς ἀκριβῆ ἐρυθρότητα ἀφικνουμένην, μαρμάρου δίκην λείαν ὑποκειμένην, ὁμαλήν· εἶτά μοι ἔδειξε Παῦλον δακρύοντα, ταύτην ἂν ἀφεὶς ἐπεπήδησα τῇ τούτου θέᾳ. κάλλος γὰρ ἀπέλαμπεν ἀπὸ τούτων τῶν ὀφθαλμῶν πνευματικόν. ἐκεῖνο μὲν γὰρ ποιεῖ ὀξίζεσθαι νέων ψυχὰς, ἐκκαίει, καὶ φλέγει· τοῦτο δὲ τοὐναντίον καταστέλλει. τούτου ἰδοὺ ὀφθαλμοὺς ὁ ὁρῶν ὡραιοτέρους τῶν τῆς ψυχῆς ἐργάσεται, καταπαύσει γαστέρα, φιλοσοφίας ἐμπίπλησι, συμπαθείας πολλῆς, καὶ ἀδαμαντίνην μαλάξαι δύναται ψυχήν· τούτοις ἄρδεται ἡ ἐκκλησία, τούτοις ψυχαὶ φυτεύονται τοῖς δάκρυσι. κἂν πῦρ ᾖ, ταῦτα τὰ δάκρυα σβέσαι δύναται, καὶ αἰσθητὸν καὶ σωματικόν. ταῦτα τὰ δάκρυα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέννυσι. μνημονεύωμεν τοίνυν τῶν δακρύων αὐτοῦ, καὶ πάντων καταγελασόμεθα τῶν παρόντων. ταῦτα ἐμακάριζεν ὁ Χριστὸς τὰ δάκρυα λέγων·

Λουκ. ς. κα. Ησ. κβ. δ. Ιερ. θ. α. Μακάριοι οἱ πενθοῦντες, καὶ μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ γελάσονται. τοιαῦτα καὶ Ἡσαΐας, καὶ Ἱερεμίας ἠφίει δάκρυα· καὶ ὁ μὲν ἔλεγεν, Ἄφετέ με, πικρῶς κλαύσομαι· ὁ δὲ ἔλεγε, Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, ὡς οὐκ ἀρκούσης τῆς φυσικῆς; οὐδὲν τῶν δακρύων τούτων ἥδιον. παντὸς γέλωτος ταῦτα ἡδύτερα. ἴσασιν οἱ πενθοῦντες, πόσην ἔχει τὸ πρᾶγμα παραμυθίαν. μὴ ἀπευκτὸν αὐτὸ εἶναι νομίζωμεν, ἀλλὰ καὶ σφόδρα εὐκτόν. οὐχ ὥστε

ἑτέρους

ἑτέρους ἁμαρτάνειν, ἀλλ' ὥστε ἁμαρτάνοντας αὐτοὺς ἡμᾶς κατακλᾶσθαι, τούτων μνημονεύωμεν τῶν δακρύων, τούτων τῶν δεσμῶν. ἄρα καὶ ἐπὶ τῷ δεσμῷ δάκρυα κατέβαλεν· οὐκ ὑφίει δὲ αὐτὸν τῆς ἀπὸ τῶν δεσμῶν ἡδονῆς αἰσθάνεσθαι τῶν ἀπολλυμένων ὁ θάνατος τῶν δεσμούντων. καὶ γὰρ κατ' ἐκεῖνον ἦλθε. μαθητὴς γάρ ἐστιν ἐκείνου τοῦ δακρύοντος τοὺς ἱερέας τῶν Ἰουδαίων, οὐχ ὅτι αὐτοὶ ἔμελλον σταυροῦν, ἀλλ' ὅτι αὐτοὶ ἀπώλλυντο. καὶ οὐκ αὐτὸς μόνος αὐτὸ ποιεῖ, ἀλλὰ καὶ τοὺς ἄλλους οὕτω παρακαλεῖ λέγων· Μὴ κλαίετε ἐπ' ἐμέ, θυγατέρες Ἱερουσαλήμ. (Λουκ. κγ. κη.) Εἶδον τὸν παραδόντα οὗτοι οἱ ὀφθαλμοί, εἶδον τὸν πρῶτον ἱερέα· ἀλλ' οὐ μακαρίζω αὐτοὺς τῆς θέας ταύτης ἕνεκεν οὕτως, ὡς τῶν δακρύων ἐκείνων, δι' ὧν εἶδον τὸν Χριστόν. μακάριον μὲν ὄντως τοῦτο. καὶ γὰρ καὶ αὐτὸς ἐπ' αὐτῷ σεμνύνεται λέγων, Οὐχὶ Ἰησοῦν (α Κορ. θ. α.) Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; ἀλλὰ μακαριώτερον τὸ δακρῦσαι οὕτως. ἐκείνου πολλοὶ κεκοινωνήκασι τοῦ θεάματος, καὶ τοὺς μὴ κοινωνήσαντας μακαρίζει πάλιν Χριστὸς λέγων, Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες· τούτου δὲ οὐ πολλοὶ ἐπέτυχον. (Ιωαν. κ. κθ.) Εἰ γὰρ τὸ μένειν διὰ Χριστὸν ἐνταῦθα τοῦ ἀναλῦσαι πρὸς αὐτὸν ἀναγκαιότερον διὰ τὴν σωτηρίαν τῶν ἄλλων, ἄρα καὶ τοῦ ἰδεῖν αὐτὸν τὸ δι' αὐτοὺς στενάξαι ἀναγκαιότερον. Εἰ γὰρ τοῦ σὺν αὐτῷ εἶναι τὸ δι' αὐτὸν εἰς γέενναν εἶναι ποθεινότερον, καὶ τοῦ στεφθῆναι αὐτῷ τὸ χωρίζεσθαι αὐτοῦ δι' αὐτὸν ποθεινότερον (τοῦτο γάρ ἐστιν ὅπερ ἔλεγεν, Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ Χριστοῦ) (Ρωμ. θ. γ.) πολλῷ μᾶλλον καὶ τὸ δακρύειν δι' αὐτόν. Οὐκ ἐπαυσάμην, φησί, μετὰ δακρύων νουθετῶν ἕνα (Πραξ. κ. λα.) ἕκαστον. διὰ τί; οὐχὶ τοὺς κινδύνους δεδοικώς· ἀλλ' ὥσπερ ἄν τις ἀσθενοῦντι παρακαθήμενος, καὶ μὴ εἰδὼς τὸ τέλος, δακρύοι διὰ πόθον, δεδοικὼς μὴ ἐκπέσῃ τῆς ζωῆς· οὕτω καὶ αὐτός, ὅταν εἶδεν ἀσθενοῦντα, καὶ ἐπιπλῆξαι οὐκ ἴσχυσεν, ἐδάκρυε λοιπόν. τοῦτο καὶ ὁ Χριστὸς ἐποίησεν, ἵνα κἂν τὰ δάκρυα αἰδεσθῶσιν. οἷον, ἡμάρτανέ τις, ἐπετίμα· κατέλυεν αὐτὸν ὁ ἐπιτιμώμενος, καὶ ἀπεπήδα· ἐδάκρυεν, ἵνα κἂν οὕτως ἐπισπάσηται. τούτων μνημονεύωμεν τῶν δακρύων· οὕτω τὰς θυγατέρας ἀναστρέφωμεν τὰς ἑαυτῶν, οὕτω τοὺς παῖδας, δακρύοντες ὅταν ἴδωμεν ἐν κακοῖς ὄντας. ὅσαι ἐρᾶσθαι βούλονται, μνημονευέτωσαν τῶν δακρύων Παύλου, καὶ στεναζέτωσαν. ὅσαι μακαρίζεσθε, ὅσαι ἐν θαλάμοις ἐστέ, ὅσαι ἐν ἡδονῇ, τούτων μνημονευέτω. ὅσοι ἐν πένθει, ἀλλ' ἄλλα τέλεσθε δάκρυα δακρύων. οὐ τοὺς τεθνεῶτας ἐκεῖνος ἐπένθει, ἀλλὰ τοὺς ἀπολλυμένους καὶ ζῶντας. εἴπω καὶ ἕτερα δάκρυα; καὶ Τιμόθεος ἔκλαιε· μαθητὴς γὰρ ἦν τούτου. διὸ καὶ γράφων αὐτῷ ἔλεγε· Μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ. (β. Τιμ. α. δ.) πολλοὶ καὶ ἐξ ἡδονῆς ὀδύρονται. οὕτω καὶ ἡδονῆς ἐστι τὸ πρᾶγμα, καὶ ἡδονῆς μάλιστα ἐπιτεταμένης. οὕτως οὐ φορτικὰ τὰ δάκρυα τὰ ἐξ ὀδύνης τοιαύτης, ἀλλὰ καὶ ἐκείνων πολλῷ βελτίονα τῶν δι' ἡδονὴν κοσμικήν. ἄκουε τοῦ προφήτου λέγοντος· Ἤκουσε (Ψαλ. ϛ. θ.) Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. ποῦ γὰρ οὐ χρήσιμον τὸ δάκρυον; ἐν εὐχαῖς, ἐν παραινέσεσιν; ἡμεῖς αὐτὰ διαβάλλομεν, οὐκ εἰς ἃ δέδοται κεχρημένοι. ὅταν ἀδελφοὶ παρακαλῶμεν ἁμαρτάνοντα, κλαίειν δεῖ· καταλλόμενοι καὶ στενάζοντα· ὅταν παραινῶμεν τινί, ὁ δὲ μὴ προσέχῃ, ἀλλ' ἀπολλύηται, κλαίειν δεῖ. ταῦτα φιλοσοφίας τὰ δάκρυα· ὅταν μέντοι πένης τις γένηται, ὅταν ἐν νόσῳ ᾖ σωματικῇ, ὅταν ἀποθάνῃ, οὐκέτι. ταῦτα γὰρ οὐ δακρύων ἄξια. ὥσπερ οὖν καὶ τὸν γέλωτα διαβάλλομεν, ἀκαίρως αὐτῷ κεχρημένοι, οὕτω καὶ τὰ δάκρυα, ἀκαίρως αὐτὰ μεταχειρίζοντες. ἡ γὰρ ἑκάστου ἀρετὴ τότε φαίνεται, ὅταν πρὸς τὸ ἐπιτήδειον ἔργον ἄγηται· ὅταν δὲ πρὸς τὸ ἀλλότριον, οὐκέτι. οἷον, ὁ οἶνος πρὸς εὐφροσύνην δέδοται, ἀλλ' οὐ πρὸς μέθην· ὁ ἄρτος πρὸς τροφήν· ἡ μῖξις πρὸς παιδοποιΐαν. ὥσπερ οὖν ταῦτα διαβέβληται παραχρώμενα, οὕτω καὶ τὰ δάκρυα. ἐπικείσθω νόμος, ἐν εὐχαῖς μόναις καὶ παραινέσεσι κεχρῆσθαι τούτοις, καὶ ὅρα πῶς καὶ ποθεινὸν ἔσται τὸ πρᾶγμα. οὐδὲν οὕτως ἀποσμήχει τὰ ἁμαρτήματα, ὡς δάκρυα. καὶ ταύτην τὴν σωματικὴν ὄψιν ὡραίαν δείκνυσι τὰ δάκρυα. πρὸς ἔλεον γὰρ ἐπισπᾶται τὸν ὁρῶντα, σεμνὴν ποιεῖ ἡμῖν αὐτήν.

τὴν. οὐδεὶς ἠδέσθη ὀφθαλμοὺς δεδακρυμένους. ὅτι γὰρ εὐθυμότεροι ἐν ἡμῖν μᾶλλον καὶ ὡραιότεροι καὶ τῆς ψυχῆς, τοῦτό ἐστιν. ἀπιδὼν [ὡς] αὐτὴν τὴν ψυχὴν ὁρῶντες ἀποδυρομένην, οὕτω καμπτόμεθα. Ταῦτα ὑμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε ὑμᾶς μὴ γάμοις, μὴ ὀρχήμασι, μὴ χοροῖς περιγίνεσθαι σατανικοῖς. ὅρα γὰρ τί εὑρεῖ ὁ διάβολος. ἐπειδὴ τῆς σκηνῆς καὶ τῶν ἀσέμνων τῶν ἐκεῖ ἡ φύσις αὐτὴ τὰς γυναῖκας ἀπήγαγεν, εἰς τὴν γυναικωνῖτιν εἰσήγαγε τὰ τοῦ θεάτρου, μαλακοὺς λέγω καὶ πόρνας. Ταύτην τὴν λύμην ὁ τῶν γάμων ἐπεισήγαγε νόμος· μᾶλλον δὲ οὐχ ὁ τοῦ γάμου (μὴ γένοιτο) ἀλλὰ τῆς ἡμετέρας βλακείας. τί ποιεῖς, ἄνθρωπε; οὐκ οἶδας τί πράττεις; γυναῖκα ἄγῃ ἐπὶ σωφροσύνῃ καὶ παιδοποιΐᾳ. τί δὲ αἱ πόρναι βούλονται; ἵνα ἡ εὐφροσύνη, φησί, γένηται μείζων. καὶ μὴν ταῦτα οὐκ ἀφροσύνης; ὑβρίζεις τὴν νύμφην, ὑβρίζεις τὰς κεκλημένας. εἰ γὰρ τοιούτοις τέρπονται, ὕβρεως δὲ πρᾶγμα. εἰ δὲ γυναῖκας πόρνας ὁρᾶν ἀσχημονούσας φέρει τινὰ φιλοτιμίαν, * διατί μὴ καὶ τὴν νύμφην ἕλκεις, ἵνα κἀκείνη θεωρῇ; πάντως ἄσχημον καὶ αἰσχρόν, μαλακοὺς ἄνδρας καὶ ὀρχουμένους, καὶ πᾶσαν τὴν πομπὴν τὴν σατανικὴν ἐπεισάγειν τῇ οἰκίᾳ. Μνημονεύετέ μου, φησί, τῶν δεσμῶν. δεσμός ἐστιν ὁ γάμος, δεσμὸς ὡρισμένος παρὰ θεοῦ· λύσις ἡ πόρνη, καὶ διάλυσις. ἔξεστιν ἑτέροις φαιδρῦναι τὸν γάμον, οἷον τραπέζαις πληθούσαις, ἱματίοις. οὐ περικόπτω ταῦτα, ἵνα μὴ δόξω σφόδρα εἶναι ἄγριος. καίτοι ἤρκεσε τῇ Ῥεβέκκᾳ θέριστρον μόνον· ἀλλ' οὐ περικόπτω. ἔξεστιν ἱματίοις φαιδρύνεσθαι, ἔξεστι παρουσίαις αἰδεσίμων ἀνδρῶν αἰδεσίμων γυναικῶν. τί τὰ ἐπιχάρματα ἐκεῖνα, τί τὰ τέρατα ἐπεισάγεις; εἰπὲ ἃ ἀκούεις παρ' αὐτῶν. ἀλλ' ἐρυθριᾷς εἰπεῖν; σὺ ἐρυθριᾷς, κἀκείνους ἀναγκάζεις ποιεῖν; εἰ καλόν, διατί μὴ καὶ αὐτὸς ποιεῖς; εἰ δὲ αἰσχρόν, διατί ἑτέρους ἀναγκάζεις; πάντα σωφροσύνης ἐμπεπλῆσθαι δεῖ, πάντα σεμνότητος, πάντα κοσμιότητος· νῦν δὲ τοὐναντίον ὁρῶ, σκιρτώσας ὡς αἱ κάμηλοι, ὡς αἱ ἡμίονοι. τῇ παρθένῳ θάλαμος ἐπιτήδειος μόνον. ἀλλὰ πενιχρά ἐστι, φησίν. ἐπειδὴ πενιχρά ἐστι, καὶ κόσμιος ὀφείλει εἶναι. ἐχέτω τὸν τρόπον ἀντὶ πλούτου. οὐκ ἔχει προῖκα ἐπιδοῦναι; τί αὐτὴν καὶ ἑτέρως εὐκαταφρόνητον ποιεῖς * ἀπὸ τῆς ἀναστροφῆς; ἐπαινῶ ὅτι παρθένοι παραγίνονται τὴν ὁμήλικα τιμῶσαι, ὅτι παραγίνονται γυναῖκες τὴν εἰς αὐτὰς καταχθεῖσαν τιμῶσαι. καλῶς τοῦτο ὥρισται. δύο γάρ εἰσιν οὗτοι χοροί, ὁ τῶν παρθένων, καὶ ὁ τῶν γεγαμημένων. αὗται παραδιδόασιν, ἐκεῖναι δέχονται· ἡ νύμφη μεταξύ τούτων ἐστίν, οὔτε παρθένος, οὔτε γυνή. ἐκεῖθεν μὲν γὰρ ἐξέρχεται, ταύτης δὲ ἐπιβαίνει τῆς συμμορίας. αἱ δὲ πόρναι, διατί; δέον αὐτὰς ἐγκαλύπτεσθαι, ὅταν γάμος ᾖ, δέον αὐτὰς κατορύττεσθαι. φθορὰ γὰρ γάμου πορνεία· ἡμεῖς δὲ ἄγομεν αὐτὰς εἰς γάμους. καὶ ὅταν μέν τι ποιῆτε, καὶ μέχρι ῥήματος οἰωνίζεσθε τὰ ἐναντία· οἷον, ὅταν ἀπειρῆς, ὅταν ἀπαντλῇς τῶν ὑπολειπομένων τὸν οἶνον, τὰ ὀξίνην σημαίνοντα οὐδ' ἂν ἀποκρίναιο· ἐνταῦθα δὲ σωφροσύνης γινομένης, ἐπεισάγετε τὴν ὀξίνην; τοῦτο γὰρ ἡ πόρνη. ὅταν μύρον κατασκευάζητε, οὐδὲν δυσῶδες ἀφίετε πλησιάζειν. μύρον ἐστὶν ὁ γάμος· τί τοίνυν τὴν τοῦ βορβόρου δυσωδίαν ἐπεισάγεις τῇ τοῦ μύρου κατασκευῇ; τί λέγεις; ὀρχεῖται ἡ παρθένος, καὶ οὐκ αἰσχύνεται τὴν ὁμήλικα; ταύτης γὰρ σεμνοτέραν αὐτὴν εἶναι δεῖ. ἐξ ἀγκάλης γε, οὐκ ἐκ παλαίστρας ἐξῆλθε. φαίνεσθαι γὰρ ὅλως ἐν γάμοις τὴν παρθένον οὐ δεῖ. οὐχ ὁρᾷς ἐν τοῖς βασιλείοις, ὅτι οἱ μὲν τετιμημένοι ἔνδον περὶ τὸν βασιλέα εἰσίν, οἱ δὲ ἄτιμοι ἔξω; καὶ σὺ ἔνδον ἔσο περὶ τὴν νύμφην· ἀλλὰ ἁγνὸς μένε ἐπὶ τῆς οἰκίας, μὴ ἐκπόμπευε τὴν παρθενίαν. παρέστηκεν ἑκάτερος ὁ χορός, ὁ μὲν οἷον διδόασι δεικνύς, ὁ δὲ ἵνα ταύτην φυλάττωσι. τί καταισχύνεις τὴν παρθενίαν; εἰ γὰρ σὺ τοιαύτη, τοιαῦτα καὶ περὶ ἐκείνης ὁ νύμφιος ὑποπτεύσει. εἰ σὺ ἐρᾶσθαι θέλεις, ποντοπώλιδος καὶ λαχανοπώλιδος καὶ δημιουργοῦ ταῦτα. οὐκ ἔστι ταῦτα αἰσχύνη; αἰσχύνη ἐστὶ τὸ ἀσχημονεῖν, κἂν βασιλέως θυγάτηρ ᾖ. μὴ γὰρ ἡ πενία κωλύει; μὴ γὰρ τὸ ἐπιτήδευμα; καὶ δούλη τις ἢ παρθένος,

παρθένος, ἐν σωφροσύνῃ μένουσα. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε δοῦλος, οὔτε ἐλεύθερος. ἀλλὰ γὰρ τί ἐστιν ὁ γάμος; μυστήριόν ἐστι, καὶ τύπος μεγάλου πράγματος. κἂν αὐτὸν μὴ αἰδῇ, αἰδέσθητι οὗ τύπος ἐστί. Τὸ μυστήριον τοῦτο, φησὶ, μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν. τῆς ἐκκλησίας τύπος ἐστὶ καὶ τοῦ Χριστοῦ, καὶ πόρνας εἰσάγεις; ἂν τοίνυν, φησὶ, μήτε παρθένοι ὀρχῶνται, μήτε γεγαμημέναι, τίς ὀρχήσεται; μηδείς. ποία γὰρ ὀρχήσεως ἀνάγκη; ἐν τοῖς τῶν Ἑλλήνων μυστηρίοις αἱ ὀρχήσεις, ἐν δὲ τοῖς ἡμετέροις σιγὴ καὶ εὐκοσμία, αἰδὼς καὶ καταστολή. μυστήριον τελεῖται μέγα· ἔξω αἱ πόρναι, ἔξω οἱ βέβηλοι. πῶς μυστήριόν ἐστι; συνέρχονται, καὶ ποιοῦσιν οἱ δύο ἕνα. διατί, ὅτε μὲν εἰσῄει, οὐκ ὄρχησις, οὐ κύμβαλα, ἀλλὰ πολλὴ σιγὴ, πολλὴ ἡσυχία· ὅταν δὲ συνίωσιν, οὐκ εἰκόνα ἄψυχον, οὐδὲ εἰκόνα τινὸς τῶν ἐπὶ γῆς, ἀλλ᾽ αὐτοῦ ποιοῦντες τοῦ Θεοῦ, τοσοῦτον ἐπεισάγεις θόρυβον, καὶ ταράττεις τοὺς ὄντας, καὶ αἰσχύνεις τὴν ψυχὴν, καὶ θορυβεῖς; ἔρχονται ἓν σῶμα γενησόμενοι. ἰδοὺ πάλιν ἀγάπης μυστήριον. ἂν οἱ δύο μὴ γένωνται ἕν, οὐκ ἐργάζονται πολλοὺς, ἕως ἂν δύο μένωσιν· ὅταν δὲ εἰς ἑνότητα ἔλθωσι, τότε ἐργάζονται. τί μανθάνομεν ἀπὸ τούτου; ὅτι πολλὴ τῆς ἑνώσεως ἡ ἰσχύς. τὸ εὐμήχανον τοῦ Θεοῦ τὸν ἕνα εἰς δύο διεῖλε κατὰ τὴν ἀρχὴν, καὶ θέλων δεῖξαι ὅτι μετὰ τὸ διαιρεθῆναι καὶ εἷς μένει, οὐκ ἀφῆκεν ἕνα ἀρκεῖν πρὸς τὴν γένεσιν. οὐ γὰρ ἔστιν εἷς ὁ οὐδέπω, ἀλλ᾽ ἥμισυ τοῦ ἑνός. καὶ δῆλον, ὅτι οὐ παιδοποιεῖ, καθάπερ καὶ πρότερον. εἶδες τοῦ γάμου τὸ μυστήριον; ἐποίησεν ἐξ ἑνὸς ἕνα, καὶ πάλιν τοὺς δύο τούτους ἕνα ποιήσας, οὕτω ποιεῖ ἕνα· ὥστε καὶ νῦν ἐξ ἑνὸς τίκτεται ἄνθρωπος. γυνὴ γὰρ καὶ ἀνὴρ οὐκ εἰσὶν ἄνθρωποι δύο, ἀλλ᾽ ἄνθρωπος εἷς. καὶ τοῦτο καὶ πολλαχόθεν αὐτὸ πιστώσασθαι, οἷον ἀπὸ τοῦ Ἰακώβου, ἀπὸ τῆς Μαρίας τῆς μητρὸς τοῦ Χριστοῦ, ἀπὸ τοῦ λέγειν, Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Γεν. α. κζ. εἰ ὁ μὲν κεφαλὴ, ἡ δὲ σῶμα, πῶς δύο; διὰ τοῦτο ἡ μὲν μαθητοῦ, ὁ δὲ διδασκάλου τάξιν ἐπέχει· ὁ μὲν ἄρχοντος, ἡ δὲ ἀρχομένης. καὶ ἀπὸ αὐτῆς δὲ τῆς τοῦ σώματος διαπλάσεως ἴδοι τις ἂν, ὅτι ἕν εἰσιν. ἀπὸ γὰρ τῆς πλευρᾶς γέγονε, καὶ ὥσπερ ἡμίτομα δύο εἰσί. διὰ τοῦτο καὶ βοηθὸν καλεῖ, ἵνα δείξῃ ὅτι ἕν εἰσι. διὰ τοῦτο καὶ πατρὸς καὶ μητρὸς προτιμᾷ τὴν συνοίκησιν, ἵνα δείξῃ ὅτι ἕν εἰσι. καὶ ὁ πατὴρ ὁμοίως χαίρει καὶ θυγατρὸς καὶ υἱοῦ γαμουμένων, ὡς πρὸς οἰκεῖον μέλος ἐπειγομένου τοῦ σώματος. καὶ τοσαύτη δαπάνη γίνεται καὶ χρημάτων ἐλάττωσις, καὶ ὅμως οὐκ ἀνέχεται ἄγαμον περιορᾶν. ὥσπερ γὰρ ἀπεσχισμένης αὐτῆς τῆς σαρκὸς, ἀτελὴς πρὸς παιδοποιΐαν ἑκάτερος, ἀτελής ἐστι πρὸς βίου σύστασιν τοῦ παρόντος ἑκάτερος. διὰ τοῦτο καὶ ὁ προφήτης φησὶν, Ὑπόλειμμα πνεύματός σου. Μαλαχ. β. ιε. πῶς δὲ καὶ γίνονται εἰς σάρκα μίαν; καθάπερ χρυσοῦ τὸ καθαρώτατον ἂν ἀφέλῃς καὶ ἑτέρῳ ἀναμίξῃς χρυσῷ, οὕτω δὴ καὶ ἐνταῦθα, τὸ πιότατον τῆς ἡδονῆς χωνευούσης ἡ γυνὴ δεξαμένη τρέφει καὶ θάλπει, καὶ τὰ παρ᾽ ἑαυτῆς συνεισενεγκαμένη ἄνδρα ἀποδίδωσι. καὶ γέφυρά τίς ἐστι τὸ παιδίον· ὥστε οἱ τρεῖς σὰρξ γίνονται μία, τοῦ παιδὸς ἑκατέρωθεν ἑκατέρους συνάπτοντος. ὥσπερ γὰρ εἰ δύο πόλεων οὐσῶν, καὶ ποταμοῦ δι᾽ ὅλου διαιροῦντος, μία γίνεται πόλις, γεφύρας ἑκατέρωθεν ἁπτομένης· οὕτως ἐστὶν ἐνταῦθα, καὶ πλέον. αὐτὴ γὰρ ἡ γέφυρα ἐκ τῆς ἑκατέρων οὐσίας. καὶ τῷ λόγῳ τούτῳ ἕν εἰσιν, ὡς τὸ σῶμα καὶ κεφαλὴ ἓν σῶμα. τῷ γὰρ τραχήλῳ διαιρεῖται· ἀλλ᾽ οὐ διαιρεῖται μᾶλλον, ἢ συνάπτεται. μέσος γὰρ ὢν ἑκατέρους συνάγει· καὶ ταὐτὸν γίνεται, ὥσπερ ἂν εἰ χορὸς διεσπασμένος τὸ μὲν ἓν αὐτοῦ μέρος ἐντεῦθεν λαβὼν, τὸ δὲ ἕτερον ἐκ τῆς δεξιᾶς ἕνα ποιήσειεν· ἢ ὥσπερ οἱ συνεσταλμένοι οὗτοι καὶ τὰς χεῖρας ἐκτείνοντες ἓν γίνονται. αἱ γὰρ χεῖρες ἐκταθεῖσαι, οὐκ ἀφιᾶσιν εἶναι δύο. διὰ τοῦτο οὖν καὶ ἀκριβῶς εἶπεν, οὐκ ἔσονται μία σάρξ, ἀλλ᾽, Εἰς σάρκα μίαν, τὴν τοῦ παιδὸς συναπτόμενοι δηλονότι. Γεν. β. κδ. τί οὖν, ὅταν παιδίον μὴ ᾖ, οὐκ ἔσονται δύο καὶ τότε; εὔδηλον. ἡ μίξις γὰρ τοῦτο ἐργάζεται, ἀναχέουσα καὶ ἀναμίξασα ἀμφοτέρων τὰ σώματα. καὶ ὥσπερ εἰς ἔλαιον μύρον ἐμβαλὼν, τὸ πᾶν ἐποίησεν ἕν, οὕτω δὴ καὶ ἐνταῦθα. οἶδα ὅτι πολλοὶ αἰσχύνονται τοῖς λεγομένοις· καὶ τούτου αἴτιον, ἡ ἀ-

Γαλ. γ. κη.
Εφεσ. ε. λβ.

σέλγεια καὶ ἡ ἀκολασία. τὸ οὕτω τοὺς γάμους γίνεσθαι [τὸ παραφθείρεσθαι] τὸ πρᾶγμα
διέβαλεν· ἐπεὶ Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. τί αἰσχύνῃ περὶ τὸ τίμιον; τί ἐρυθριᾷς
Ἑβρ. ιγ. κδ. ἐπὶ τῷ ἀμιάντῳ; ταῦτα αἱρετικῶν ἐστι *, ταῦτα τῶν τὰς πόρνας ἐπεισαγόντων. διὰ τοῦτο
αὐτὸ ἐκκαθαίρεσθαι βούλομαι, ὥστε ἐπὶ τὴν οἰκείαν εὐγένειαν ἀναγαγεῖν, ὥστε τῶν αἱρετικῶν ἐμ-
φράξαι τὰ στόματα. ὑβρίζεται τὸ τοῦ Θεοῦ δῶρον, ἡ ῥίζα τῆς ἡμετέρας γενέσεως. πολλὴ γὰρ
περὶ τὴν ῥίζαν ἡ κόπρος καὶ ὁ βόρβορος. τοῦτον οὖν ἐκκαθαίρωμεν τῷ λόγῳ. ἀνέχεσθε τοί-
νυν μικρόν, ἐπεὶ καὶ ὁ βόρβορον κατέχων δυσωδίας ἀνέχεται. βούλομαι δεῖξαι ὅτι οὐ χρὴ ἐπὶ
τούτοις αἰσχύνεσθαι, ἀλλὰ τούτοις οἷς ποιεῖτε· σὺ δὲ ἐπ' ἐκείνοις αἰσχύνεσθαι ἀφείς, τούτοις
αἰσχύνῃ· ἐκείνου τοῦ Θεοῦ καταγινώσκεις τοῦ οὕτω διατάξαντος. Εἴπω πῶς καὶ μυστήριον
τῆς ἐκκλησίας ἐστίν. ὁ Χριστὸς ἦλθε πρὸς τὴν ἐκκλησίαν, καὶ ἐξ αὐτῆς γέγονε, καὶ αὐτῇ
β. Κορ. ια. β. συνῆλθε συνουσίᾳ πνευματικῇ. Ἡρμοσάμην γὰρ ὑμᾶς, φησίν, ἑνὶ ἀνδρὶ παρθένον
ἁγνήν. ὅτι δὲ ἐξ αὐτοῦ ἐσμεν, ἄκουε πῶς φησιν· ἐκ τῶν μελῶν αὐτοῦ, καὶ ἐκ τῆς σαρκὸς
αὐτοῦ πάντες ἡμεῖς. ταῦτα δὴ πάντα ἐννοοῦντες, μὴ αἰσχύνωμεν τὸ τηλικοῦτον μυστήριον.
τύπος τῆς τοῦ Χριστοῦ παρουσίας ἐστὶν ὁ γάμος, σὺ δὲ μεθύεις; εἰπέ μοι, εἰ εἰκόνα εἶδες
τοῦ βασιλέως, ἆρα ἂν αὐτὴν ᾔσχυνες; οὐδαμῶς. οὐκ ἔστι μὲν οὖν ἀδιάφορα εἶναι τὰ περὶ
Ἐφ. ε. δ. τῶν γάμων γινόμενα, ἐστὶ δὲ μεγάλων αἴτια κακῶν. πάντα παρανομίας γέμει. Αἰσχρότης
καὶ μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω, φησίν, ἐκ τοῦ στόματος ὑμῶν· πάντα δὲ
ἐκεῖνα, αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία, οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἐπιτάσεως. τέ-
χνη γὰρ τὸ πρᾶγμά ἐστι, καὶ ἐγκώμια μεγάλα τοῖς αὐτὴν μετιοῦσι. τὰ ἁμαρτήματα τέ-
χνη γέγονεν. οὐχ ἁπλῶς αὐτὰ μετερχόμεθα, ἀλλὰ μετὰ σπουδῆς, μετ' ἐπιστήμης· καὶ στρα-
τηγεῖ λοιπὸν ὁ διάβολος τῶν αὐτοῦ ταγμάτων. ὅπου γὰρ μέθη, ἀκολασία· ὅπου αἰσχρολο-
γία, ὁ διάβολος πάρεστι τὰ παρ' ἑαυτοῦ εἰσφέρων. τούτοις ἑστιώμενος, εἰπέ μοι, μυστήριον
Χριστοῦ τελεῖς, καὶ τὸν διάβολον καλεῖς; τάχα με φορτικὸν εἶναι νομίζετε. καὶ γὰρ καὶ τοῦτο τῆς
διαστροφῆς τῆς πολλῆς, ὅτι καὶ ὁ ἐπιτιμῶν, * γέλωτα ὀφλισκάνει ὡς αὐστηρός. οὐκ ἀκού-
α. Κορ. ι. λα. ετε Παύλου λέγοντος, Πᾶν ὅ τι ἂν ποιῆτε, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα
εἰς δόξαν Θεοῦ ποιεῖτε; ὑμεῖς δὲ εἰς δυσφημίαν καὶ ἀδοξίαν. οὐκ ἀκούετε τοῦ προφήτου
Ψαλ. β. ια. λέγοντος, Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ; ὑμεῖς δὲ διαχεῖσθε.
μὴ γάρ, οὐκ ἔστι καὶ ἡσθῆναι, καὶ μετ' ἀσφαλείας; βούλει μελῶν ἀκοῦσαι καλῶν; μάλιστα μὲν οὐκ
ἔδει. πλὴν συγκαταβαίνω. εἰ βούλει, μὴ τῶν Σατανικῶν ἀκούσῃς, ἀλλὰ τῶν πνευ-
ματικῶν. βούλει χορεύοντας ἰδεῖν; ὅρα τῶν ἀγγέλων τὸν χορόν. καὶ πῶς δυνατόν, φησίν,
ἰδεῖν; ἐὰν ταῦτα ἀπελάσῃς, ἐλεύσεται καὶ ὁ Χριστὸς εἰς τοὺς τοιούτους γάμους· τοῦ δὲ Χριστοῦ
παρόντος, καὶ ὁ τῶν ἀγγέλων πάρεστι χορός. ἂν θέλῃς, καὶ νῦν θαύματα ἐργάσεται, καθά-
περ καὶ τότε. ποιήσει καὶ νῦν τὸ ὕδωρ οἶνον· καὶ πολλῷ θαυμασιώτερον, τὴν διαχεομένην ἐπι-
στρέψει τὴν διαρρέουσαν καὶ ψυχρὰν ἐπιθυμίαν, καὶ ἐπὶ τὴν πνευματικὴν μεταστήσει.
τοῦτό ἐστιν ἐξ ὕδατος οἶνον ποιῆσαι. ἔνθα αὐληταί, οὐδαμοῦ ὁ Χριστός· ἀλλὰ κἂν εἰσέλ-
θῃ, τὸ πρῶτον ἐκβάλλει τούτους, καὶ τότε θαυματουργεῖ. τί τῆς Σατανικῆς πομπῆς ἀηδέ-
στερον, ἔνθα ἄναρθρα πάντα, ἔνθα πάντα ἄσημα; ἂν δέ τι καὶ ἔναρθρον, πάλιν πάντα
αἰσχρά, πάντα ἀηδῆ. οὐδὲν τῆς ἀρετῆς ἥδιον, οὐδὲν κοσμιότητος γλυκύτερον, οὐδὲν σε-
μνότητος ποθεινότερον. ποιείτω τις γάμους, οἵους ἐγὼ λέγω, καὶ ὄψεται τὴν ἡδονήν. ποίους
δὲ γάμους, πρόσεχε. πρῶτον μὲν ἄνδρα ζήτει τῇ παρθένῳ ὄντως ἄνδρα καὶ προστάτην,
ὡς σώματι μέλλων ἐπιθήσειν κεφαλήν, ὡς οὐκ ἀνδράποδον, ἀλλὰ θυγατέρα αὐτῷ
μέλλων παραδώσειν· μὴ χρήματα ζήτει, μὴ γένους λαμπρότητα, μὴ πατρίδος μέγεθος,
πάντα ταῦτα περιττά· ἀλλὰ ψυχῆς εὐλάβειαν, ἐπιείκειαν, τὴν ἀληθῆ σύνεσιν, τοῦ Θεοῦ
τὸν φόβον, εἰ βούλει μεθ' ἡδονῆς τὸ θυγάτριον ζῆν. πλουσιώτερον γὰρ ζητοῦσα, οὐ μόνον
αὐτὴν

αὐτὴν οὐκ ὠφελήσεις, ἀλλὰ καὶ βλάψεις δούλην αὐτὴν ἐλευθέρας ποιοῦσα. οὐ τοσαύτην γὰρ ἀπὸ τῶν χρυσίων καρπώσεται τὴν ἡδονὴν, ὅσην ἀπὸ τοῦ δουλεύειν τὴν ἀηδίαν. ἀλλὰ μὴ ζήτει ταῦτα, ἀλλὰ μάλιστα μὲν ὁμότιμον· εἰ δὲ μὴ δυνατὸν, πενιχρότερον μᾶλλον, ἢ εὐπορώτερον, εἴγε μὴ ἀποδόσθαι δεσπότῃ, ἀλλ' ἐκδοῦναι ἀνδρὶ βούλει τὴν θυγατέρα. ὅταν ἀκριβῶς ἐξετάσῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν, καὶ μέλλῃς ἐκδιδόναι, παρακάλεσον τὸν Χριστὸν παραγενέσθαι. οὐ γὰρ ἐπαισχυνθήσεται. μυστήριόν ἐστι τῆς αὐτοῦ παρουσίας. μάλιστα μὲν οὖν καὶ τότε παρακάλει, ὥστε μνηστῆρα τοιοῦτον δοῦναι. μὴ γένῃ τοῦ παιδὸς τοῦ Ἀβραὰμ χείρων, ὃς εἰς τοσαύτην ἀποδημίαν πεμπόμενος, εἶδεν ἔνθα χρὴ καταφυγεῖν. διὸ καὶ πάντων ἐπέτυχεν. ὅταν περιεργάζῃ καὶ ζητῇς τὸν ἄνδρα, εὔχου. εἰπὲ τῷ Θεῷ, ὃν ἂν θέλῃς, σὺ οἰκονόμησον. ἐγχείρισον αὐτῷ τὸ πρᾶγμα, καὶ τιμηθεὶς ταύτῃ παρὰ σοῦ τῇ τιμῇ ἀμείψεταί σε. δύο δὴ ποιεῖν χρὴ, αὐτῷ τε ἐγχειρίζειν, καὶ τοιοῦτον ζητεῖν, οἷον ἂν αὐτὸς βούλεται, κόσμιον, σώφρονα. ὅταν οὖν τὸν γάμον ποιῇς, μὴ περιέλθῃς οἰκίας, κάτοπτρα καὶ ἱμάτια χρησόμενος. οὐ γὰρ πρὸς ἐπίδειξιν τὸ πρᾶγμά ἐστιν, οὐδὲ εἰς πομπὴν εἰσάγεις τὴν θυγατέρα· ἀλλὰ φαιδρύνουσα τὴν οἰκίαν τοῖς ἔνδον, κάλει γείτονας, καὶ φίλους, καὶ συγγενεῖς. ὅσους ἂν οἶδας ἐπιεικεῖς, τούτους κάλει· καὶ τοῖς οὖσιν ἀρκεῖσθαι παραινεῖ. μηδεὶς τῶν ἀπὸ τῆς ὀρχήστρας παρέστω. ἐκεῖ γὰρ δαπάνη περιττὴ καὶ ἄσχημος. κάλεσον τὸν Χριστὸν πρὸ τῶν ἄλλων ἁπάντων. οἶδας διὰ τίνος αὐτὸν καλέσεις; Ὃς ἂν ποιήσῃ, φησὶν, ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε. μὴ νομίσῃς τὸ πρᾶγμα δυσάρεστον εἶναι, τὸ πένητας καλεῖν διὰ τὸν Χριστόν. δυσάρεστον τὸ πόρνας καλεῖν. τὸ γὰρ πένητας καλεῖν, τοῦ ἀφορμὴ πλούτου, ἐκεῖνο δὲ ἀνατροπῆς. κόσμει τὴν νύμφην μὴ τούτοις τοῖς κοσμίοις τοῖς ἀπὸ τοῦ χρυσοῦ, ἀλλ' ἐπιεικείᾳ καὶ αἰδοῖ καὶ τοῖς συνήθεσιν ἱματίοις, ἀντὶ παντὸς κόσμου χρυσοῦ καὶ ἐμπλεγμάτων, τὸ ἐρυθριᾶν, τὸ αἰσχύνεσθαι περιθεῖσα, καὶ τὸ μὴ ζητεῖν ἐκεῖνα. μηδεὶς ἔστω θόρυβος, μηδεμία ταραχή. καλείσθω ὁ νυμφίος, δεχέσθω τὴν παρθένον. τὰ ἄριστα καὶ τὰ δεῖπνα μὴ μέθης ἔστω πλήρη, ἀλλὰ πνευματικῆς ἡδονῆς. μυρία γὰρ ἐκ τοῦ τοιούτου γάμου ἔσται τὰ καλά, καὶ τὰ τοῦ βίου ἐν ἀσφαλείᾳ· ἐκ δὲ τῶν νῦν γινομένων γάμων (εἴγε γάμους, ἀλλὰ μὴ πομπὰς αὐτὰ δεῖ καλεῖν) ὅσα τὰ κακά; διελύθησαν αἱ παστάδες, καὶ εὐθέως μέριμνα καὶ φόβος, μή τι παραπέσῃ τῶν κεχρημένων, καὶ διαδέχεται τὴν ἡδονὴν ἀθυμία ἀφόρητος. ἀλλ' αὕτη μὲν τῆς κηδεστρίας ἡ ἀγωνία, μᾶλλον δὲ οὐδὲ αὕτη ἀπήλλακται ἡ νύμφη· τὰ γινόμενα μετὰ ταῦτα αὐτῆς τῆς νύμφης ἐστὶν ἅπαντα. τὸ γὰρ ὁρᾶν καταλυόμενα ἅπαντα, ἀθυμίας ὑπόθεσις, τὸ ὁρᾶν ἔρημον τὴν οἰκίαν, κατηφείας ἀφορμή. ἐκεῖ ὁ Χριστὸς, ἐνταῦθα ὁ Σατανᾶς· ἐκεῖ θυμηδία, ἐνταῦθα φροντίς· ἐκεῖ ἡδονὴ, ἐνταῦθα λύπη· ἐκεῖ δαπάνη, ἐνταῦθα οὐδὲν τοιοῦτον· ἐκεῖ ἀσχημοσύνη, ἐνταῦθα εὐκοσμία· ἐκεῖ φθόνος, ἐνταῦθα ἀφθονία· ἐκεῖ μέθη, ἐνταῦθα νῆψις, ἐνταῦθα ὑγίεια, ἐνταῦθα σωφροσύνη. ταῦτα δὴ πάντα ἐννοοῦντες, στήσωμεν τὸ κακὸν μέχρι τούτου, ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ματθ. κε. μ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Θεσσαλονικεῖς ἐπιστολὴν, α.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΚΑΙ ΣΙΛΟΥΑΝΟΣ ΚΑΙ ΤΙΜΟΘΕΟΣ τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. κεφ. α.

2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, 3 Ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν.

ΤΙ δήποτε Ἐφεσίοις μὲν ἐπιστέλλων, καὶ τὸν Τιμόθεον ἔχων μεθ' ἑαυτοῦ, οὐχὶ συνέταξεν ἑαυτῷ, καίτοι γνωριζόμενον παρ' αὐτοῖς, καὶ θαυμαζόμενον; Τὴν γὰρ δοκιμὴν αὐτοῦ γινώσκετε, φησὶν, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσε. καὶ πάλιν, Οὐδένα ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. ἐνταῦθα δὲ συντάττει αὐτὸν ἑαυτῷ. ἐμοὶ δοκεῖ, ὅτι ἔμελλεν αὐτὸν πέμπειν εὐθέως, καὶ περιττὸν ἦν ἐπιστέλλειν τὰ γράμματα ὅσον οὔπω καταληψόμενον. Φησὶ γὰρ, Τοῦτον μὲν ἐλπίζω πέμψαι ἐξ αὐτῆς. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἐπανεληλυθὼς ἦν· ὥστε εἰκότως ἐπιστέλλει. Ἄρτι γὰρ ἐλθόντος Τιμοθέου, φησὶ, πρὸς ἡμᾶς ἀφ' ὑμῶν. Διὰ τί δὲ αὐτῷ προστίθησι τὸν Σιλουανόν, καίτοι μυρία αὐτῷ μαρτυρῶν ἀγαθά, καὶ πάντων αὐτὸν προτιθείς; ἴσως [μὲν] ἀξιοῦντος τοῦτο αὐτοῦ κατὰ πολλὴν ταπεινοφροσύνην, καὶ παρακαλοῦντος. ἐπειδὴ γὰρ τὸν διδάσκαλον ἑώρα οὕτω ταπεινοφρονοῦντα, ὡς τὸν μαθητὴν ἑαυτῷ συντάττειν, πολλῷ μᾶλλον τοῦτο αὐτὸς ἐζήτησεν ἄν. Παῦλος γὰρ, φησὶ, καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων. οὐδὲν ἐνταῦθα περὶ ἑαυτοῦ τίθησιν, οὐχ, ὁ ἀπόστολος, οὐχ, ὁ δοῦλος. ἐμοὶ δοκεῖ διὰ τὸ νεοκατηχήτους εἶναι τοὺς ἄνδρας, καὶ μηδέπω αὐτοῦ πεῖραν εἰληφέναι, οὐ τίθησι τὸ ἀξίωμα. ἄλλως δὲ καὶ ἀρχὴ τοῦ κηρύγματος ἔτι ἦν τοῦ πρὸς αὐτούς. τῇ ἐκκλησίᾳ, φησὶ, Θεσσαλονικέων. καλῶς. ἐπειδὴ γὰρ εἰκὸς ἦν ὀλίγους εἶναι καὶ οὐδέπω συνεστάναι, διὰ τοῦτο αὐτοὺς παραμυθεῖται διὰ τοῦ ὀνόματος τῆς ἐκκλησίας. ἔνθα γὰρ πολὺς παρελήλυθε χρόνος, καὶ τὸ τῆς ἐκκλησίας

Φιλιπ. β. κβ.

κ.

Φιλιπ. β κγ. α. Θεσ. γ. ϛ.

σύστημα πολὺ ἦν, οὐ τίθησι τοῦτο. ἐπειδὴ δὲ ὄνομα πλήθους ἐστὶν, ὡς τὰ πολλά, τὸ τῆς ἐκκλησίας ὄνομα, καὶ συστήματος ἤδη συγκεκροτημένου, διὰ τοῦτο αὐτοὺς οὕτω καλεῖ. ἐν Θεῷ, φησὶ, πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. τῇ ἐκκλησίᾳ, φησὶ, Θεσσαλονικέων τῇ ἐν Θεῷ. ἰδοὺ πάλιν τὸ, Θεὸς, ἐπὶ τοῦ πατρὸς, καὶ ἐπὶ τοῦ υἱοῦ. τὸ δὲ, ἐν Θεῷ, φησὶν, ἐπειδὴ πολλαὶ ἐκκλησίαι καὶ Ἰουδαϊκαὶ, καὶ ἑλληνικαὶ ἦσαν. μέγα τὸ ἀξίωμα, καὶ οὐκ ἴσον οὐδὲν, εἰ ἐν Θεῷ ἐστι. γένοιτο τοίνυν καὶ ταύτην τὴν ἐκκλησίαν οὕτω καλεῖσθαι. δέδοικα δὲ μὴ μακρὰν ᾖ τῆς προσηγορίας ταύτης. εἴ τις γὰρ ἁμαρτίας δοῦλος, οὐ δύναται λέγεσθαι ἐν Θεῷ. χάρις ὑμῖν καὶ εἰρήνη. εἶδες εὐθὺς ἀπὸ ἐγκωμίων τὸ προοίμιον τῆς ἐπιστολῆς; εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν. τὸ γὰρ εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ αὐτῶν, μαρτυροῦντός ἐστιν αὐτοῖς πολλὴν προκοπὴν, ὅταν μὴ μόνοι ἐπαινῶνται αὐτοὶ, ἀλλὰ καὶ Θεὸς εὐχαριστῆται, ὡς αὐτὸς ἐργασάμενος τὸ πᾶν. διδάσκει δὲ αὐτοὺς καὶ μετριάζειν, μονονουχὶ λέγων, ὅτι τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστι τὸ πᾶν. τὸ μὲν οὖν εὐχαριστεῖν, τῶν κατορθωμάτων ἕνεκεν τίθησι, τὸ δὲ μεμνῆσθαι αὐτῶν ἐπὶ τῶν προσευχῶν, τῆς ἀγάπης τῆς πρὸς αὐτούς. εἶτα δεικνὺς ὅτι οὐ μόνον ἐπὶ τῶν προσευχῶν μέμνηται, ἀλλὰ καὶ χωρὶς τῶν εὐχῶν. ὅπερ πολλάκις ποιεῖ, ἀδιαλείπτως, φησὶ, μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ὑμῶν. τί ἐστιν, ἀδιαλείπτως μνημονεύοντες; ἤτοι μνημονεύοντες ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς, ἢ τοῦ κόπου τῆς ἀγάπης μνημονεύοντες τοῦ ὄντος ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. οὐχ ἁπλῶς δὲ εἶπεν, ἀδιαλείπτως μνημονεύοντες, ἀλλ' ὑμῶν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς ἁπλῶς μηδὲ τὸ ὑμῶν εἰρῆσθαι, ἐπήγαγεν, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. ἐπειδὴ γὰρ οὐδεὶς ἐπῄνει τῶν ἀνθρώπων τὰ γινόμενα, οὐδεὶς μισθὸν ἀπεδίδου, καὶ τοῦτο προστίθησι, μονονουχὶ λέγων, θαῤῥεῖτε, ἔμπροσθεν τοῦ Θεοῦ κάμνετε. τί ἐστι, τοῦ ἔργου τῆς πίστεως; ὅτι οὐδὲν ὑμῶν παρέκλασε τὴν πίστιν. τοῦτο γὰρ ἔργον πίστεως. εἰ πιστεύεις, πάντα πάσχε· εἰ δὲ μὴ πάσχεις, οὐ πιστεύεις. μὴ γὰρ οὐ τοιαῦτά ἐστι τὰ ἐπηγγελμένα, ὡς καὶ μυρίους θανάτους πείσεσθαι τὸν πιστεύοντα ἀνελέσθαι; οὐρανῶν βασιλεία πρόκειται, καὶ ἀθανασία, καὶ ζωὴ αἰώνιος. ὁ τοίνυν πιστεύων, πάντα πείσεται. ἄρα ἡ πίστις διὰ τῶν ἔργων δείκνυται. εἰκότως οὖν οὕτως εἶπε δηλαδὴ, ὅτι οὐχ ἁπλῶς, ἀλλὰ διὰ τῶν ἔργων αὐτὴν ἐπεδείξασθε, διὰ τῆς ἐνστάσεως, διὰ τῆς προθυμίας. καὶ τοῦ κόπου τῆς ἀγάπης. ποῖος γὰρ κόπος τὸ φιλεῖν ἁπλῶς; οὐδείς. τὸ δὲ γνησίως φιλεῖν, κόπος πολύς. ὅταν γὰρ, εἰπέ μοι, μυρία κινῆται τῆς ἀγάπης ἡμᾶς ἀφελκῦσαι βουλόμενα, ἡμεῖς δὲ πρὸς πάντα ἀντιτείνωμεν, οὐχὶ κόπος ἐστί; τί γὰρ οὐκ ἔπαθον οὗτοι, ὥστε μὴ ἀποστῆναι τῆς ἀγάπης; οὐχὶ ἐπὶ τὴν ὑποδοχὴν Παύλου ἦλθον οἱ πολεμοῦντες τῷ κηρύ-

Πραξ. ιζ. ε. γματι, καὶ μὴ εὑρόντες αὐτὸν ἔσυρον τὸν Ἰάσονα ἐπὶ τοὺς πολιτάρχας; μικρὸς οὗτος ὁ κόπος, εἰπέ μοι, μηδέπω τῶν σπερμάτων παγέντων, τοσοῦτον χειμῶνα φέρειν, τοσούτους πειρα-

Πραξ. ιζ θ. ι. σμούς; καὶ ἱκανὰ αὐτὸν ἀπῄτησαν. καὶ ἱκανά, φησι, δοὺς, ἐξέπεμψε τὸν Παῦλον. μικρὸν τοῦτο, εἰπέ μοι; οὐχὶ καὶ ἑαυτὸν ἀντ' ἐκείνου τῷ κινδύνῳ ὑπέθηκε; τοῦτο κόπον φησὶν ἀγάπης, ὅτι οὕτω προσεδέθησαν. καὶ ὅρα· πρότερον ἐκείνων λέγει τὰ κατορθώματα, καὶ τότε τὰ ἑαυτοῦ, ἵνα μὴ δόξῃ μεγαληγορεῖν, μηδὲ προλήψει φιλεῖν αὐτούς. καὶ τῆς ὑπομονῆς, φησιν. οὐ γὰρ πρὸς ἕνα χρόνον ὁ διωγμὸς ἐκεῖνος γέγονεν, ἀλλὰ διαπαντὸς, οὐδὲ τῷ διδασκάλῳ μόνῳ Παύλῳ ἐπολέμουν, ἀλλὰ καὶ τοῖς μαθητευομένοις. εἰ γὰρ πρὸς ἐκείνους οὕτω διέκειντο τοὺς θαύματα ἐργαζομένους, τοὺς αἰδεσίμους, τί οἴει πρὸς τοὺς συνοικοῦντας αὐτοῖς, καὶ συμπολίτας, καὶ ἀθρόον ἀποστάντας; ὅπερ

α. Θεσ. β. ιδ. οὖν αὐτοῖς καὶ μαρτυρεῖ λέγων· Ὅτι μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. καὶ τῆς ἐλπίδος, φησὶ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ

πατρὸς

παρ' ἡμῶν. Καλῶς οὕτως εἶπε. Ταῦτα γὰρ πάντα τὰ αὐτὰ πίστεως ἦν καὶ ἐλπίδος. ὥστε οὐ τὴν ἀνδρείαν αὐτῶν μόνον ἐδήλου τὰ γενόμενα, ἀλλ' ὅτι καὶ μετὰ πληροφορίας ἐπίστευον τοῖς ἀποκειμένοις ἄθλοις. διὰ γὰρ τοῦτο συνεχώρει ὁ Θεὸς αὐτοὺς γενέσθαι πειρασμούς, ἵνα μή τις εἴπῃ, ὅτι ἁπλῶς καὶ κολακείᾳ τὸ κήρυγμα συνίστατο, καὶ ἵνα τὸ θερμὸν αὐτῶν δειχθῇ, καὶ ὅτι οὐ πεισμονὴ ἦν ἀνθρωπίνη, ἀλλὰ Θεοῦ δύναμις ἦν ἡ τὰς τῶν πιστευόντων ψυχὰς πείθουσα, ὥστε καὶ πρὸς θανάτους μυρίους παρεσκευάσθαι· ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ ἐνθέως κατὰ βάθους τὸ κήρυγμα ἐπεπήγει καὶ εἱστήκει ἀκλινές.

4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι, ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν,

5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς. Τί ἐστιν ὃ λέγει, οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν; ἐνταῦθα καὶ τῶν αὐτοῦ κατορθωμάτων ἅπτεται, ἀλλ' ἐπεσκιασμένως. βούλεται γὰρ προτρέψαι τοῖς ἐκείνων ἐγκωμίοις ἐπεξελθεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ᾔδειμεν ὅτι τῶν γενναίων ἐστὲ καὶ μεγάλων ἀνδρῶν, ὅτι τῶν ἐκλεκτῶν· διὰ τοῦτο καὶ ἡμεῖς πάντα ὑπεμένομεν δι' ὑμᾶς. τὸ γὰρ, οἷοι ἐγενήθημεν ἐν ὑμῖν, τοῦτό ἐστι δηλοῦντος, ὅτι μετὰ πολλῆς προθυμίας καὶ πολλῆς σφοδρότητος ἕτοιμοι ἐσμὲν τὰς ψυχὰς ἡμῶν ἐκδοῦναι δι' ὑμᾶς. καὶ τοῦτο δὲ οὐχ ἡμῖν χάρις, ἀλλ' ὑμῖν, ὅτι ἐκλεκτοί ἐστε. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· Καὶ ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς. β. Τιμ. β. ι. ὑπὲρ γὰρ τῶν τοῦ Θεοῦ ἀγαπητῶν τί οὐκ ἄν τις πάθοι; καὶ εἰπών, τὸ αὐτοῦ, μονονουχί φησιν· Εἰ γὰρ καὶ ἀγαπητοὶ καὶ ἐκλεκτοί, πάντα εἰκότως ὑπομένομεν. οὐ γὰρ διὰ τὸ ἐπαινέσαι αὐτοὺς ἐρρωμένους μόνον, ἀλλὰ καὶ τὸ ὑπομιμνήσκειν, ὅτι καὶ αὐτοὶ τῆς ἐκείνων προθυμίας ἀντίρροπον ἀνδρείαν ἐπεδείξαντο. φησὶ γοῦν·

6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. Βαβαί, πόσον τὸ ἐγκώμιον; οἱ μαθηταὶ ἐξαίφνης ἐγένοντο διδάσκαλοι. οὐκ ἤκουσαν μόνον τὸν λόγον, ἀλλὰ καὶ πρὸς τὴν αὐτὴν κορυφὴν τῷ Παύλῳ ἔφθασαν. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸ ἑξῆς. ὅρα γὰρ πῶς αὐτοὺς ἀνάγει λέγων, μιμηταὶ ἐγένεσθε τοῦ Κυρίου. πῶς; δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. οὐχ ἁπλῶς μετὰ θλίψεως, ἀλλὰ μετὰ πολλῆς. καὶ ἔνεστι τοῦτο ἀπὸ τῶν Πράξεων τῶν ἀποστολικῶν μαθεῖν, πῶς ἐπήγειραν τὸν διωγμὸν ἐπ' αὐτούς. Πραξ. ιζ. καὶ πάντας, φησί, τοὺς πολιτάρχας ἐτάραξαν, καὶ τὴν πόλιν ἀνεστάτωσαν κατ' αὐτῶν. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ἐθλίβητε μὲν καὶ ἐπιστεύσατε, ἀλγοῦντες δέ, ἀλλὰ καὶ χαίροντες σφόδρα· ὅπερ καὶ οἱ ἀπόστολοι ἐποίουν, Χαίροντες, φησίν, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. Πραξ. ε. μα. τὸ γὰρ θαυμαστόν, τοῦτό ἐστιν· εἰ καὶ οὐδὲ ἐκεῖνο μικρόν, τὸ φέρειν ὅπως δήποτε θλίψεις. τοῦτο δὲ ἤδη τῶν τὴν ἀνθρωπίνην φύσιν ὑπερβαινόντων ἦν, καὶ ὥσπερ ἀπαθὲς σῶμα ἐχόντων. πῶς δὲ μιμηταὶ τοῦ Κυρίου ἐγένοντο; ὅτι καὶ αὐτὸς πολλὰ παθήματα ὑπέμεινε, καὶ οὐκ ἤλγει, ἀλλ' ἔχαιρεν. ἑκὼν γὰρ ἐπὶ τοῦτο ἤρχετο. δι' ὑμᾶς ἑαυτὸν ἐκένωσεν. ἔμελλεν ἐμπτύεσθαι καὶ ῥαπίζεσθαι καὶ σταυροῦσθαι· καὶ οὕτως ἔχαιρε ταῦτα πάσχων, ὡς τῷ Πατρὶ λέγειν, Δόξασόν με. Ιωαν. ιζ. α. ε. μετὰ χαρᾶς, φησί, πνεύματος ἁγίου. ἵνα μή τις εἴπῃ, πῶς θλίψεως λέγεις; πῶς χαρᾶς; πῶς ἀμφότερα ἔνι συνελθεῖν; ἐπήγαγε· μετὰ χαρᾶς πνεύματος ἁγίου. ἡ θλίψις ἐν τοῖς σωματικοῖς, καὶ ἡ χαρὰ ἐν τοῖς πνευματικοῖς. πῶς; τὰ μὲν γινόμενα, λυπηρά· τὰ δὲ ἐξ αὐτῶν τικτόμενα, οὐκέτι. οὐ γὰρ ἀφίησι τὸ πνεῦμα. ὥστε ἔνεστι καὶ πάσχοντα μὴ χαίρειν, ὅταν ὑπὲρ ἁμαρτημάτων τις πάσχῃ· καὶ μαστιζόμενον ἥδεσθαι, ὅταν διὰ τὸν Χριστόν τις πάσχῃ. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χαρά· ἀντὶ τῶν δοκούντων εἶναι ἀνιαρῶν, ἐκφύει τὴν ἡδονήν. ἔθλιψαν ὑμᾶς, φησί, καὶ ἐδίωξαν, ἀλλ' οὐκ ἀφῆκεν ὑμᾶς τὸ πνεῦμα [οὐδὲ] ἐν ἐκείνοις· ἀλλ' ὥσπερ ἐν πυρὶ ἐδροσίζοντο οἱ παῖδες οἱ τρεῖς, οὕτω καὶ ὑμεῖς ἐν ταῖς θλίψεσιν. ὥσπερ δὲ

ἐκεῖ

ἐκεῖ οὐ τῆς τοῦ πυρὸς φύσεως τὸ δροσίζειν, ἀλλὰ τοῦ πνεύματος τοῦ διασυρίζοντος· οὕτω καὶ ἐνταῦθα, οὐ τῆς φύσεως τῆς θλίψεως τὸ τὴν χαρὰν τίκτειν, ἀλλὰ τοῦ διὰ τὸν Χριστὸν πάσχειν, καὶ τοῦ πνεύματος τοῦ δροσίζοντος, καὶ διὰ τῆς καμίνου τὸν πειρασμὸν ἐν ἀνέσει ποιοῦντος. μετὰ χαρᾶς φησιν, οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς. τοῦτο γάρ ἐστι πνεύματος ἁγίου.

7 Ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ.

Καίτοι μὲν ἐν ὑστέρῳ ἦλθε πρὸς αὐτούς. ἀλλ' οὕτως ἐλάμψατε, φησίν, ὡς τῶν προλαβόντων γενέσθαι διδάσκαλοι. καὶ τοῦτο ἀποστολικόν. οὐ γὰρ εἶπεν, ὥστε τύπους γενέσθαι πρὸς τὸ πιστεῦσαι, ἀλλὰ τοῖς ἤδη πιστεύουσι τύποι ἐγένεσθε, τουτέστι, πῶς δεῖ πιστεύειν εἰς Θεόν, ὑμεῖς ἐδιδάξατε, καὶ ἀπὸ προοιμίων εἰς τοὺς ἀγῶνας ἐμβάντες. καὶ ἐν τῇ Ἀχαΐᾳ, φησί, τουτέστι, τῇ Ἑλλάδι. ὁρᾷς ὅσον ἐστὶ προθυμία; ὅτι χρόνου οὐ δεῖται, οὐδὲ μελλήσεως, οὐδὲ ἀναβολῆς· ἀλλ' ἀρκεῖ προσάψασθαι μόνον ἑαυτῶν, καὶ πάντα ἀνύσαι. ὕστερον γοῦν καὶ οὗτοι ὕστερον προσελθόντες τῷ κηρύγματι, τῶν προτέρων ἐγένοντο διδάσκαλοι.

[ΗΘΙΚΟΝ] Μηδεὶς οὖν ἀπογινωσκέτω, κἂν πολλὴν ἀναλώσας χρόνον μηδὲν ἐργασάμενος ᾖ. ἔστιν αὐτῷ καὶ διὰ μικροῦ τοσοῦτον ἐργάσασθαι, ὅσον οὐδὲ ἐν τῷ ἔμπροσθεν χρόνῳ. εἰ γὰρ οἱ μηδέπω πιστεύσαντες τοσοῦτον ἔλαμψαν ἐν ἀρχῇ, πολλῷ μᾶλλον οἱ ἤδη πιστεύσαντες. μηδεὶς πάλιν τοῦτο ἐννοῶν ῥαθυμείτω, μαθὼν ὅτι ἔξεστιν ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀνακτήσασθαι. τὸ γὰρ μέλλον ἄδηλον, καὶ κλέπτης ἐστὶν ἡ ἡμέρα τοῦ Κυρίου, ἄφνω ἡμῖν καθεύδουσιν ἐπιτιθεμένη. ἀλλ' ἐὰν μὴ καθεύδωμεν, οὐχ ὡς κλέπτης ἡμῖν ἐπιθήσεται, οὐδὲ ἀπαρασκευάστους ἀπάξει. ἐὰν γὰρ γρηγορῶμεν καὶ νήφωμεν, οὐκ ἔτι ἡμῖν ὡς κλέπτης ἐπιθήσεται, ἀλλ' ὡς ἄγγελος βασιλικὸς καλῶν ἡμᾶς ἐπὶ τὰ ἡτοιμασμένα ἡμῖν ἀγαθά. ἐὰν δὲ καθεύδωμεν, ὡς κλέπτης ἐφίσταται. μηδεὶς τοίνυν καθευδέτω, μηδεὶς ἀργὸς ἔστω πρὸς ἀρετήν. τοῦτο γάρ ἐστιν ὕπνος. οὐκ ἴστε, ὅταν καθεύδωμεν, πῶς οὐκ ἔστιν ἐν ἀσφαλεῖ τὰ ἡμέτερα; πῶς εὐεπιβούλευτα; ὅταν δὲ γρηγορῶμεν, οὐ δεῖ τοσαύτης ἡμῖν φυλακῆς. ὅταν καθεύδωμεν, καὶ μετὰ πολλῆς φυλακῆς ἀπολλύμεθα πολλάκις· καὶ θύραι, καὶ μοχλοί, καὶ φύλακες, καὶ προφύλακες, καὶ ὅμως ἐπεισῆλθεν ὁ κλέπτης. τί δὴ ταῦτα λέγω; ὅτι ἂν γρηγορῶμεν, οὐ δεησόμεθα τῆς ἑτέρων βοηθείας· ἂν δὲ καθεύδωμεν, οὐδὲν ἡμᾶς ἡ ἑτέρων ὀνήσει βοήθεια· ἀλλὰ καὶ μετ' ἐκείνης * ἀπολλύμεθα. καλὸν εὐχῆς ἀπολαύειν τῆς τῶν ἁγίων· ἀλλ' ὅταν καὶ αὐτοὶ ἐνεργοὶ ὦμεν. καὶ τί μοι δεῖ, φησίν, εὐχῆς τῆς παρὰ ἑτέρων, ὅταν ἐνεργὸς ὦ, καὶ μὴ καταστήσω ἐμαυτὸν ἐν χρείᾳ; οὐδὲ ἐγὼ βούλομαι· ἀλλ' ἀεὶ ἐν χρείᾳ ἐσμέν, ἐὰν εὖ φρονῶμεν. Παῦλος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; καίτοιγε τῶν εὐχομένων οὐκ ὄντων ἀξίων αὐτοῦ, μᾶλλον δὲ οὐδὲ ἴσων· καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; [Πραξ. ιβ. ε.] Πέτρος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; Εὐχὴ γὰρ ἦν, φησίν, ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ· καὶ σὺ λέγεις τί μοι δεῖ εὐχῆς; διὰ τοῦτό σοι δεῖ, ἐπειδὴ νομίζεις μηδὲν δεῖσθαι. κἂν ὡς Παῦλος γένῃ, χρείαν ἔχεις εὐχῆς. μὴ ὕψου σαυτόν, ἵνα μὴ ταπεινωθῇς. ἀλλ' ὅπερ ἔφην, ἂν μὲν ἐνεργοὶ ὦμεν καὶ αὐτοί, ἀνύουσι καὶ αἱ ὑπὲρ ὑμῶν εὐχαί. [Φιλιπ. α. ιθ.] ἄκουε Παύλου λέγοντος· Οἶδα γάρ, φησίν, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, [β. Κορ. α. ια.] Ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν [καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς;] ἂν δὲ ἀργῶμεν, οὐδεὶς ἡμᾶς εὐχόμενος ὀνῆσαι δυνήσεται. τί ὠφέλησεν [Ιερ ζ. ις.] Ἱερεμίας τοὺς Ἰουδαίους; οὐχὶ τρίτον προσῆλθε τῷ Θεῷ, καὶ τρίτον ἤκουσε, Μὴ προσεύχου, μηδὲ ἀξίου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου; τί ὠφέλησε τὸν Σαοὺλ ὁ Σαμουήλ; οὐχὶ μέχρις ἐσχάτης ἡμέρας ἐπένθει περὶ αὐτοῦ, οὐχ ἁπλῶς ηὔχετο μόνον; τί ὠφέλησε [α. Βασ. ιβ. κγ.] τοὺς Ἰσραηλίτας; οὐχὶ ἔλεγεν, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν διαλιπόντα εὐχόμενον ὑπὲρ ὑμῶν; οὐχὶ πάντες ἀπώλοντο; οὐδὲν οὖν ὠφελοῦσι, φησίν, αἱ εὐχαί; ὠφελοῦσι καὶ μεγάλα.

γάλα. ἀλλ' ὅταν καὶ ἡμεῖς συμπράττωμέν τι· συμπράττουσι μὲν γὰρ εὐχαὶ καὶ βοηθοῦσι.
συμπράττει δέ τις καὶ βοηθεῖ τῷ καὶ αὐτῷ ἐργαζομένῳ· ἂν δὲ ἀργὸς μένῃς, οὐδὲν μέγα ὠφε-
ληθήσῃ. ἐπεὶ εἰ ἴσχυον αἱ εὐχαὶ ἀργοῦντας ἡμᾶς εἰσαγαγεῖν εἰς τὴν βασιλείαν, διὰ
τί μὴ πάντες Ἕλληνες γίνονται χριστιανοί; οὐχὶ ὑπὲρ παντὸς τοῦ κόσμου εὐχόμεθα; οὐχὶ καὶ
Παῦλος τοῦτο ἐποίει; οὐχὶ πάντας ἀξιοῦμεν ἐπιστραφῆναι; εἰπὲ γάρ, διὰ τί οἱ πο-
νηροὶ μὴ γίνονται χρηστοί; ἆρα οὐχὶ δῆλον, ὅτι διὰ τὸ μὴ δύνασθαι παρ' ἑαυτῶν τι εἰσ-
ενεγκεῖν; μεγάλα τοίνυν ὠφελοῦσιν αἱ εὐχαί, ὅταν καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσφέ-
ρωμεν. βούλει μαθεῖν ὅσα ὠφέλησαν εὐχαί; ἐννόει μοι τὸν Κορνήλιον, τὴν Ταβι- Πραξ. ι. γ.
θάν. ἄκουε δὲ καὶ τοῦ Ἰακὼβ λέγοντος πρὸς τὸν Λάβαν· Εἰ μὴ ὁ φόβος τοῦ πατρός μου Πραξ. θ. λς.
ἦν μοι, νῦν ἄν με κενὸν ἐξαπέστειλας. ἄκουε δὲ καὶ τοῦ Θεοῦ πάλιν λέγοντος· Ὑπερασπιῶ τῆς Γεν. λα. μβ.
πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. ἀλλὰ πότε; ἐπὶ Ἐζεκίου δικαίου ὄν- δ. Βασ. ιθ.
τος. ἐπεὶ εἴγε ἴσχυον εὐχαί, καὶ ἐπὶ τῶν σφόδρα πονηρῶν, διὰ τί μὴ καί, ὅτε ὁ Ναβουχο- λδ. καὶ κ. ε.
δονόσορ ἦλθεν, εἶπε τοῦτο ὁ Θεός, ἀλλ' ἐξέδωκε τὴν πόλιν; ἐπειδὴ μεῖζον ἴσχυσεν ἡ πονηρία.
πάλιν αὐτὸς ἐστὶν ὁ Σαμουὴλ ηὔξατο ὑπὲρ τῶν Ἰσραηλιτῶν, καὶ ἤκουσεν. ἀλλὰ πότε; ὅτε καὶ
αὐτοὶ εὐηρέστουν, τότε ἐτροπώσαντο τοὺς ἐχθρούς. καὶ τίς χρεία, φησί, τῆς παρ' ἑτέρου εὐχῆς,
ὅταν ἐγὼ εὐαρεστῶ; μηδέποτε τοῦτο εἴπῃς, ἄνθρωπε. χρεία, καὶ πολλῆς χρεία εὐχῆς.
ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος περὶ τῶν φίλων τοῦ Ἰώβ· Καὶ προσεύξεται, φησί, περὶ ὑ- Ιωβ. μβ. η.
μῶν, καὶ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία· ἐπειδὴ ἥμαρτον μέν, οὐχ ἁμαρτίαν δὲ μεγάλην. ἀλλ' αὐ-
τὸς ἐστὶν ὁ δίκαιος ὁ σώσας τοὺς φίλους αὐτοῦ τότε ἀπὸ εὐχῆς, ἐν τῷ καιρῷ τῶν Ἰουδαϊκῶν οὐκ ἠ-
δυνήθη σῶσαι τοὺς Ἰουδαίους ἀπολλυμένους. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ Θεοῦ λέγοντος διὰ
τοῦ προφήτου· Ἂν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ, οὐκ ἐξελοῦνται τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγα- Ιεζεκ. ιδ. ιδ.
τέρας· ἐπειδὴ ὑπερίσχυσεν ἡ κακία. καὶ πάλιν· Ἐὰν στῇ Μωϋσῆς, καὶ Σαμουήλ. καὶ ὅρα πῶς Ιερ. ιε. α.
πρὸς τοὺς δύο προφήτας τοῦτο λέγεται, ἐπειδὴ ἀμφότεροι ἠξίωσαν ὑπὲρ αὐτῶν, καὶ οὐκ
ἐπέτυχον. καὶ γὰρ ὁ Ἰεζεκιὴλ ἐπειδὴ ἔλεγεν, Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ιεζεκ. θ. η.
Ἰσραήλ· ὁ Θεὸς δηλῶν ὅτι δικαίως τοῦτο ποιεῖ, καὶ οὐκ αὐτοῦ καταφρονῶν, οὐ δέχεται τὴν ὑπὲρ
αὐτῶν ἱκεσίαν, δείκνυσιν αὐτῷ τὰ ἁμαρτήματα αὐτῶν, μονονουχὶ λέγων, ἵνα ἅμα μὲν οὖν καὶ ταῦ-
τά σε πεῖσαι ὅτι οὐ καταφρονῶν σου, ἀλλὰ διὰ τὰς ἁμαρτίας αὐτῶν τὰς πολλὰς οὐ δέχομαι
τὴν ἱκετηρίαν. ἀλλ' ὅμως ἐπάγει καὶ τοῦτο, Ἐὰν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ. καὶ εἰκότως Ιεζεκ. ιδ. ιδ.
ἐκείνῳ μᾶλλον ταῦτα λέγει, ἐπειδὴ ὁ πολλὰ παθών, αὐτός ἐστιν. Εἶπές μοι, φησίν, ἐπὶ βολ-
βίτων φαγεῖν, καὶ ἔφαγον· εἶπές μοι, καὶ ἐξυράμην· εἶπές μοι, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ
ἐκοιμήθην· εἶπές μοι δι' ὀπῆς ἐξελθεῖν βασταζόμενον, καὶ ἐξῆλθον· ἔλαβές μου τὴν γυ-
ναῖκα, καὶ εἶπές μοι μὴ πενθῆσαι, καὶ οὐκ ἐπένθησα, ἀλλ' ἤνεγκα γενναίως. μυρία ἕτερα εἰρ-
γασάμην δι' αὐτούς· καὶ ἐγώ σε ἀξιῶ ὑπὲρ αὐτῶν, καὶ οὐ πείθῃ; δείκνυσι τοίνυν ὁ Θεός, ὅτι οὐ
καταφρονῶν αὐτοῦ τοῦτο ποιεῖ, λέγει· κἂν Νῶε, κἂν Ἰώβ, κἂν Δανιὴλ ᾖ, καὶ ὑπὲρ υἱῶν ἀξιώ-
σωσι καὶ θυγατέρων, οὐ πείθομαι. καὶ τῷ Ἱερεμίᾳ πάλιν ἐλέγξαι μὲν πάρεστιν ἀπὸ τῶν τοῦ
Θεοῦ προσταγμάτων, πλείονα δὲ ἀπὸ τῆς αὐτῶν πονηρίας, τί φησιν; Ἦ οὐχ ὁρᾷς τί οὗτοι Ιερ. ζ. ις.
ποιοῦσι; ναί, φησί, ποιοῦσιν· ἀλλὰ διὰ μὲ ποίησον. διὰ τοῦτό φησι πρὸς αὐτόν· Ἐὰν στῇ Μω- Ιερ. ιε. α.
ϋσῆς καὶ Σαμουήλ, Μωϋσῆς ὁ πρῶτος νομοθέτης, ὁ πολλάκις αὐτοὺς ἐξελόμενος κινδύνων, ὁ
εἰπών, Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον. εἰ τοίνυν οὗτος Εξοδ. λβ. λα.
ἦν νῦν, καὶ ταῦτα ἔλεγεν, οὐκ ἂν ἐπέτυχε. καὶ ὁ Σαμουὴλ πάλιν, ὁ καὶ αὐτὸς ἐξελόμενος αὐ-
τούς, ὁ ἐκ πρώτης ἡλικίας θαυμαστός. περὶ τούτου γὰρ ἐκεῖνο εἶπον, ὅτι ὡσανεὶ φίλος πρὸς
φίλον, οὕτω διελέχθη, καὶ οὐ δι' αἰνιγμάτων· περὶ δὲ τούτου εἶπον, ὅτι ἐν πρώτῃ ἡλικίᾳ ὤφθη
αὐτῷ, καὶ διὰ τοῦτον δυσωπηθεὶς ἀποκλεισθεῖσαν τὴν προφητικὴν ἀνέῳξε. Καὶ γὰρ ἦν, α. Βασ. γ. α.
φησί, ῥῆμα τίμιον, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα. ἐὰν οὗτοι τοίνυν στῶσιν, οὐδὲν ἀνήσουσι. καὶ

ἐξελαύνει.

πρὸς

Γεν. ϛ. θ. Ἰώβ. α. περὶ τοῦ Νῶε δὲ λέγει, Δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ ἦν Νῶε· καὶ περὶ τοῦ Ἰὼβ, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβής. τούτους οὖν πάντας, καὶ Δανιὴλ, ὃν καὶ Θεὸν ἐνόμισαν οἱ Χαλδαῖοι, οὐκ ἐξελεῖν ἰσχύσαι φησὶν υἱοὺς αὐτῶν καὶ θυγατέρας. Ταῦτα τοίνυν εἰδότες, μήτε καταφρονῶμεν τῶν εὐχῶν τῶν ἁγίων, μήτε τὸ πᾶν αὐταῖς ἐπιρρίπτωμεν· τοῦτο μὲν, ἵνα μὴ ῥαθυμῶμεν, καὶ εἰκῆ ζῶμεν· ἐκεῖνο δὲ, ἵνα μὴ πολλοῦ κέρδους ἐκπέσωμεν. ἀλλὰ καὶ παρακαλῶμεν εὔχεσθαι ὑπὲρ ἡμῶν καὶ χεῖρα ὀρέγειν, καὶ αὐτοὶ ἐχώμεθα τῆς ἀρετῆς· ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 8 ΑΦ' ΥΜΩΝ ΓΑΡ ΕΞΗΧΗΤΑΙ Ο ΛΟΓΟΣ ΤΟΥ
Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις
ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι.
9 Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς,
καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶν-
τι καὶ ἀληθινῷ, 10 Καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν (ὃν ἤγειρεν
ἐκ τῶν νεκρῶν) Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

ΚΑθάπερ μύρον εὐῶδες τὴν εὐωδίαν οὐκ ἐν ἑαυτῷ συγκλείσαι ἔχει, ἀλλὰ πόρρωθεν ἀφίησι, καὶ τὸν ἀέρα ἀναχρῶσαι τῆς ὀσμῆς, οὕτως εἰσὶ καὶ τοῖς τῶν πλησίον αἰσθήσεσιν· οὕτω δὴ καὶ οἱ γενναῖοι καὶ θαυμαστοὶ ἄνδρες οὐκ ἐν ἑαυτοῖς τὴν ἀρετὴν συγκλείσαντες ἔχουσιν, ἀλλὰ πολλοὺς διὰ τῆς φήμης αὐτῶν ὠφελοῦσι καὶ ἀμείνους ἐργάζονται. ὅπερ οὖν καὶ τότε γεγένηται. διὰ τοῦτο ἔλεγεν· ὥστε ὑμᾶς τύπους γενέσθαι πᾶσι τοῖς πιστεύουσιν ἐν Ἀχαΐᾳ καὶ τῇ Μακεδονίᾳ. ἀφ' ὑμῶν γὰρ, φησιν, ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε. τῆς μὲν οὖν παιδεύσεως τοὺς πλησίον πάντας ἐνεπλήσατε, φησι, τοῦ δὲ θαύματος τὴν οἰκουμένην. τὸ γὰρ ἐν παντὶ τόπῳ, τοῦτό ἐστι. καὶ οὐκ εἶπε, διαθρυλλεῖται ἡ πίστις ὑμῶν, ἀλλ', ἐξήχηται, δηλῶν ὅτι ὥσπερ σάλπιγγος λαμπρὸν ἠχούσης ὁ πλησίον ἅπας πληροῦται τόπος, οὕτω τῆς ὑμετέρας ἀνδρείας ἡ φήμη, καθάπερ ἐκείνη σαλπίζουσα, ἱκανὴ τὴν οἰκουμένην ἐμπλῆσαι, καὶ πᾶσι τοῖς πανταχοῦ μετὰ τῆς ἴσης ἠχῆς προσπεσεῖν. τὰ γὰρ μεγάλα τῶν πραγμάτων ἔνθα μὲν ἂν γένηται λαμπρότερον ᾄδεται, πόρρω δὲ ᾄδεται μὲν, οὐχ οὕτω δέ· ἀφ' ὑμῶν δὲ οὖν οὐχ οὕτως, ἀλλ' ἐκεῖ εὔσημος πανταχοῦ τῆς γῆς ἐξελήλυθε. καὶ μή τις ὑπερβολῆς εἶναι νομίσῃ τὰ ῥήματα. καὶ γὰρ τοῦτο τὸ ἔθνος τὸ τῶν Μακεδόνων πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἐπίσημον ἦν, καὶ πανταχοῦ ᾔδετο Ῥωμαίων μᾶλλον. καὶ Ῥωμαῖοι διὰ τοῦτο θαυμαστοὶ, ὅτι τούτους εἷλον. ἃ γὰρ ὁ Μακεδόνων βασιλεὺς εἰργάσατο, πάντα ὑπερέβαινε λόγον, ἀπὸ μικρᾶς μὲν ὁρμηθεὶς πόλεως, τὴν δὲ οἰκουμένην καταλαβών. διὰ τοῦτο καὶ πτερωτὴν πάρδαλιν αὐτὸν ὁρᾷ ὁ προφήτης, τὸ
Δυ. ζ. ϛ. ταχὺ, καὶ τὸ σφοδρὸν, καὶ τὸ πυρῶδες, καὶ τὸ ἄφνω που διαπτῆναι τὴν οἰκουμένην μετὰ τροπαίων καὶ νίκης δηλῶν. λέγουσι δὲ, ὅτι καὶ φιλοσόφου τινὸς ἀκούσας λέγοντος, ὅτι ἄπειροι κόσμοι εἰσὶ, πικρὸν ἐστέναξεν, εἴγε ἀπείρων ὄντων, μηδὲ ἑνός πω κεκράτηκεν. οὕτως ἦν μεγαλόφρων καὶ μεγαλόψυχος, καὶ πανταχοῦ τῆς οἰκουμένης ᾔδετο. τῇ γοῦν τοῦ βασιλέως φήμῃ συνανῄει καὶ ἡ τοῦ ἔθνους δόξα. Ἀλέξανδρος γὰρ ὁ Μακεδὼν ἐλέγετο. ὥστε διαβοωμένου ἐκείνου, εἰκότως καὶ τὰ ἐκεῖ γενόμενα πανταχοῦ ᾄδεσθαι. τῶν γὰρ ἐπισήμων οὐδὲν δύναται λαθεῖν. οὐχ ἧττον οὖν τῶν Ῥωμαίων οἱ Μακεδόνες ἦσαν. ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν, φησιν, ἐξελήλυθεν.

ἐξελήλυθεν. ὥσπερ τις ὡς περὶ ἐμψύχου διαλεγόμενος τὸ, ἐξελήλυθεν, εἴρηκε. τοῦτο δὲ καὶ ἀπὸ τῆς σφοδρότητος αὐτῶν γέγονεν. εἶτα δηλῶν ὅτι οὕτω τὴν πίστιν αὐτῶν σφοδρὰν καὶ ἐνεργῆ ἐπεδείξαντο, ἐπάγει· ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. * οὐ περιμένουσιν ἀκοῦσαι παρ' ὑμῶν, ἀλλὰ τοὺς παρόντας καὶ τεθεαμένους τὰ ὑμέτερα κατορθώματα οἱ μὴ παρόντες μηδὲ τεθεαμένοι προλαμβάνουσιν. οὕτω δήλη πανταχοῦ γέγονε τὰ ὑμέτερα. οὐκ οὖν ὑπομένομεν τὰ ὑμέτερα διηγούμενοι, εἰς ζῆλον αὐτοὺς ἀγαγεῖν τῶν ἴσων. ἃ γὰρ αὐτοὺς ἐχρῆν παρ' ἡμῶν ἀκούειν, ταῦτα αὐτοὶ προλαβόντες λέγουσι. καίτοιγε πολλαχοῦ ἐπὶ τῶν τοιούτων φθόνος ἐστίν. ἀλλ' ἡ ὑπερβολὴ καὶ τοῦτον ἐνίκησε, καὶ αὐτοὶ κήρυκές εἰσι τῶν ὑμετέρων ἄθλων. καίτοι ἀπολιμπανόμενοι, οὐδὲ οὕτω σιγῶσιν, ἀλλὰ προφθάνουσι. τοιούτοις δὲ οὖσιν οὐκ ἔστιν ἡμῖν λέγουσιν ἀπιστῆσαι. τί ἐστιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς; ὅτι κινδύνων ἔγεμεν, ὅτι θανάτων μυρίων, ὅτι τούτων οὐδὲν ὑμᾶς ἐτάραξεν· ἀλλ', ὡς οὐδενὸς γινομένου, οὕτως ἡμῖν εἴχεσθε· ὡς οὐδὲν παθόντες κακόν, ἀλλ' ὡς μυρίων ἀπολαύσαντες ἀγαθῶν, οὕτως ἡμᾶς ἐδέξασθε μετὰ ταῦτα. διωχθέντας γὰρ ἡ εἴσοδος αὕτη. διὰ ἀπῆλθον εἰς Βέρροιαν, ἐδιώχθησαν. καὶ μετὰ ταῦτα ἐλθόντας αὐτοὺς οὕτως ἐδέξαντο, ὡς τιμηθέντας καὶ παρ' αὐτῶν, ὥστε καὶ τὴν ψυχὴν αὐτῶν ὑπὲρ αὐτῶν ἐθέλειν. τὸ δὲ, ὁποίαν εἴσοδον ἔσχομεν, συμπεπλεγμένον ἐστί· καὶ τούτων γὰρ, καὶ αὐτῶν ἔχει ἐγκώμιον. ἀλλ' αὐτὸς τοῦτο ἔτρεψεν εἰς τὸ αὐτῶν. καὶ πῶς ἐπεστρέψατε, φησί, πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ; τουτέστιν, ὅτι εὐκόλως, ὅτι μετὰ πολλῆς τῆς σφοδρότητος, ὅτι οὐκ ἐδεήθητε πολλῆς πραγματείας εἰς τὸ δουλεῦσαι Θεῷ ζῶντι καὶ ἀληθινῷ. ἐνταῦθα καὶ παραίνεσιν εἰσήγαγεν, ὅπερ ἐστὶν ἀνεπαχθέστερον τὸν λόγον ποιοῦντος. καὶ ἀναμένειν, φησί, τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν (ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν) Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης. τὸ ἀναμένειν φησὶ τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, τὸν ἐσταυρωμένον, τὸν ταφέντα. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν. εἶδες ὁμοῦ πάντα, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν, καὶ τὴν δευτέραν παρουσίαν, τὴν κρίσιν, τὴν τῶν δικαίων ἀνταπόδοσιν, τὴν τῶν πονηρῶν τιμωρίαν; Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς, φησίν, ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης. τοῦτο καὶ παραμυθία, καὶ παράκλησις, καὶ πρὸς ταῦτα ἐκεῖνα. εἰ γὰρ ἤγειρεν ἐκ τῶν νεκρῶν, καὶ ἐν οὐρανῷ ἐστι, καὶ ἐκεῖθεν ἐλεύσεται. τοῦτο δὲ οὕτως ἔχει ἐπιστεύσατε. οὐ γὰρ ἂν εἰ μὴ ἐπιστεύσατε, τοσαῦτα ἐπάθετε. ἱκανὴ παραμυθία καὶ ταῦτα. εἰ δὲ καὶ δώσουσι πάντως οὗτοι δίκην, ὅπερ ἔφη καὶ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ φησιν, ἑτέραν καὶ ὑμεῖς ἕξετε παραμυθίαν οὐ μικράν. ἄλλως δὲ, καὶ ἀναμένειν εἶπε τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, δηλῶν ὅτι τὰ μὲν λυπηρὰ ἐν χερσί, τὰ δὲ χρηστὰ ἐν μέλλουσι, ὅταν ὁ Χριστὸς ἀπὸ τῶν οὐρανῶν ἔλθῃ. ὅρα πόσης δεῖται ἐλπίδος, ὅτι ὁ σταυρωθεὶς ἠγέρθη, ὅτι ἀνελήφθη εἰς τοὺς οὐρανούς, ὅτι ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς. β. Θεσ. α. θ.

1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν, κεφ. β.
2 Ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

Μεγάλα μὲν καὶ τὰ ὑμέτερα· πλὴν ἀλλ' οὐδὲ ἡμεῖς ἀνθρωπίνῳ λόγῳ ἐχρησάμεθα. [ἀλλ'] ὅπερ ἄνω φησί, τοῦτο καὶ ἐνταῦθα, ὅτι ἀμφοτέρωθεν δείκνυται τὸ κήρυγμα οἷόν ἐστιν, ἀπό τε τῶν σημείων, ἀπό τε τῆς τῶν κηρυττόντων προαιρέσεως, ἀπό τε τῆς τῶν δεχομένων προθυμότητος καὶ σπουδῆς. αὐτοὶ γὰρ οἴδατε, φησί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε· τουτέστιν, ὅτι οὐκ ἀνθρωπίνη, οὐδὲ ἡ τυχοῦσα. ἀπὸ γὰρ κινδύνων εὐθέως μεγάλων, καὶ θανάτων, καὶ πληγῶν, εὐθέως εἰς κινδύνους ἐνεπίπτομεν. ἀλλὰ προπαθόντες, φησί, καὶ ὑβρισθέντες, καθὼς οἴδατε ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν.

ὁρᾷς πῶς πάλιν τὸ πολὺ ἀνατίθησι τῷ Θεῷ; λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι. οὐκ ἔστι, φησὶν, εἰπεῖν, ὅτι ἐκεῖ μὲν ἐκινδυνεύσαμεν, ἐνταῦθα δὲ οὔ. ἴστε καὶ ὑμεῖς ὅσος ὁ κίνδυνος, καὶ μεθ' ὅσης ἀγωνίας ἐγενόμεθα πρὸς ὑμᾶς. ὅπερ καὶ πρὸς Κορινθίους φησὶ γράφων· Ὅτι ἐν ἀσθενείᾳ, καὶ ἐν πόνῳ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. (α Κορ. β. γ.)

3 Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ·

4 Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

Ὁρᾷς ὅτι ὅπερ ἔφην, ἀπὸ τῆς ἐνστάσεως αὐτῶν ποιεῖται τεκμήριον τοῦ θεῖον εἶναι τὸ κήρυγμα; οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, εἰ ἀπάτη ἦν, τοσούτους κινδύνους ὑπεμείναμεν ἄν, οὐδ' ἀναπνεῦσαι διδόντας ἡμῖν. τί ποτ' οὖν ἐστιν; εἰ μή τι τῶν μελλόντων διήγειρεν ἡμᾶς, εἰ μὴ ἐπεπείσμεθα ὅτι ἐλπίς ἐστιν ἀγαθή, οὐκ ἂν προθυμότεροι πάσχοντες διεκείμεθα. τίς γὰρ ἂν ἕλοιτο ὑπὲρ τῶν ἐνταῦθα τοσαῦτα ὑπομένειν, καὶ βίον ἐναγώνιον ζῆν, καὶ κινδύνων γέμοντα; τίνα γὰρ ἂν πεῖσαι; αὐτὰ γὰρ ταῦτα οὐχ ἱκανὰ θορυβῆσαι τοὺς μαθητάς, ὅταν τοὺς διδασκάλους ὁρῶσιν ἐν κινδύνοις; ἀλλ' οὐχ ὑμεῖς τοῦτο πεπόνθατε. ἡ γὰρ παράκλησις ἡμῶν, τουτέστιν, ἡ διδαχή, οὐκ ἐκ πλάνης. οὐκ ἔστι δόλος, φησί, τὸ πρᾶγμα, οὐδὲ ἀπάτη, ἵνα ἐσώμεν. οὐκ ἔστιν ὑπὲρ μυσαρῶν πραγμάτων, οἷα γοήτων καὶ μάγων. τοῦτο γὰρ τό, ἐξ ἀκαθαρσίας. οὔτε ἐν δόλῳ, οὔτε ἐν ἐπιστάσει τινί, ὅπερ ὁ Θευδᾶς ἐποίησεν· ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ. ὁρᾷς, ὅτι οὐκ ἔστι κενοδοξία; ἀλλὰ τῷ Θεῷ, φησί, τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. οὐδὲν πρὸς ἀρέσκειαν ἀνθρώπων πράττομεν, φησί. τίνος γὰρ ἕνεκεν ταῦτα ἂν ἐπράξαμεν; ἐπειδὴ ἐπαινέσαι αὐτούς, τῷ λέγειν, οὐχ ὡς ἀνθρώποις θέλοντες ἀρέσαι, οὔτε τὰς παρὰ ἀνθρώπων ἐπιζητοῦντες τιμάς, ἐπήγαγεν· ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον. ὡς εἰ ἔλεγεν, εἰ μὴ εἶδε πάντος ἀπηλλαγμένους βιωτικοῦ, οὐκ ἂν ἡμᾶς εἵλετο. καθὼς οὖν ἐδοκίμασε, τοιοῦτοι καὶ μένομεν. δεδοκιμάσμεθα, φησίν, ὑπὸ τοῦ Θεοῦ· τουτέστιν, ἡμᾶς ἐδοκίμασε καὶ ἐνεπίστευσε τὸ εὐαγγέλιον. ὡς οὖν δόκιμοι ἐφάνημεν τῷ Θεῷ, οὕτω καὶ μένομεν. ταύτης τῆς ἀρετῆς τεκμήριον, τὸ πιστευθῆναι τὸ εὐαγγέλιον. οὐκ ἂν δὲ εἴ τι φαῦλον ἐν ἡμῖν ἦν, ὁ Θεὸς ἡμᾶς ἐδοκίμασε. τὸ δέ, ἐδοκίμασεν, ἐνταῦθα ἀντὶ τοῦ, εὗρε δοκίμους καὶ ἐπίστευσεν, οὐχὶ ἐρευνῆσαί ἐστιν. ἡμεῖς μὲν γὰρ ἀπὸ τοῦ δοκιμάσαι πράττομεν, αὐτὸς δὲ χωρὶς δοκιμῆς. οὐκοῦν οὕτω λαλοῦμεν, ὥσπερ εἰκὸς τοὺς ὑπὸ τοῦ Θεοῦ δοκιμασθέντας καὶ πιστευθέντας ἀξίους εἶναι τοῦ εὐαγγελίου. καὶ λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, τουτέστιν, οὐ δι' ὑμᾶς ταῦτα πάντα ποιοῦμεν. ἐπειδὴ * παρακαλῶν αὐτοὺς ἐπῄνεσεν, ἵνα μὴ εἰς ὑποψίαν ἀγάγῃ τὸν λόγον, φησίν·

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας (ὁ Θεὸς μάρτυς)

6 Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι. Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, φησί, τουτέστιν, οὐκ ἐκολακεύσαμεν, ὅπερ ἐστὶ τῶν ἀπατώντων, τῶν βουλομένων κατασχεῖν καὶ κρατῆσαι. οὐκ ἔστιν εἰπεῖν ὅτι ἐκολακεύσαμεν, ἵνα κρατήσωμεν· οὐδ' ὅτι χρημάτων ἕνεκεν ἐπὶ τοῦτο ἤλθομεν. τούτου λοιπόν, ὅπερ ἦν δῆλον, αὐτοὺς καλεῖ μάρτυρας. εἰ ἐκολακεύσαμεν, ὑμεῖς οἴδατε, φησίν. ὅπερ δὲ ἄδηλον ἦν, τό, εἰ τρόπῳ πλεονεξίας, Θεὸν καλεῖ μάρτυρα. οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι· τουτέστιν, οὔτε τιμὰς ἐπιζητοῦντες, καὶ κομπάζοντες, καὶ δορυφορούμενοι. καίτοι εἰ καὶ τοῦτο εἰργασάμεθα, οὐδὲν ἀλλότριον ἐποιοῦμεν. εἰ γὰρ παρὰ βασιλέων ἀπο-

στελλόμενοι

στελλόμενοί τινες ὅμως εἰσὶν ἐν τιμῇ, πολλῷ μᾶλλον ἡμεῖς. καὶ οὐκ εἶπεν ὅτι ἠτιμάσθημεν, οὐδὲ ὅτι οὐκ ἀπελαύσαμεν τιμῆς, ὅπερ ἦν ὀνειδίζοντος αὐτοῖς· ἀλλ', οὐκ ἐζητήσαμεν. τὸ τοίνυν, ἄξιοι ζητῆσαι, μὴ ζητήσαντες, καὶ τοῦ κηρύγματος τοῦτο ἀπαιτοῦντος, πῶς δόξης ἕνεκεν τι περιεπτόμεθα; καίτοιγε εἰ καὶ ἐζητήσαμεν, οὐδὲ οὕτως ἦν ἔγκλημα. εἰκὸς γὰρ τοὺς παρὰ Θεοῦ πρέσβεις ἀποσταλέντας, ὡσανεὶ ἀπὸ τοῦ οὐρανοῦ νῦν ἥκοντας πρέσβεις, πολλῆς ἀπολαῦσαι τιμῆς. ἀλλ' ἐκ περιουσίας ἡμεῖς οὐδὲν τούτων περιεπτόμεθα, ἵνα τὰ τῶν ἐναντίων ἐμφράξωμεν στόματα. καὶ οὐκ ἔτι εἶπεν ὅτι πρὸς μὲν ὑμᾶς οὕτω, πρὸς δὲ ἑτέρους οὐχ οὕτως. οὕτω γὰρ καὶ Κορινθίοις γράφων ἔλεγεν· Ἀνέχεσθε γὰρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει. (β Κορ ια. κ.) καὶ πάλιν, Ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. καὶ πάλιν, (β. Κορ. ι. ι.) Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. δείκνυσι γὰρ κἀκεῖ, ὅτι σφόδρα ταπεινὸς ἦν ἀπὸ (β. Κορ ιβ. ιγ.) τοῦ τοσαῦτα παθεῖν. ἐνταῦθα δὲ καὶ περὶ χρημάτων φησὶ τὸ, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι.

7 Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα·

8 Οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε. Ἀλλ' ἐγενήθημεν, φησιν, ἤπιοι, τουτέστιν, οὐδὲν φορτικὸν, οὐδὲ ἐπαχθὲς, οὐδὲ βαρὺ, οὐδὲ κόμπον ἔχον ἐπεδειξάμεθα. καὶ τὸ ἐν μέσῳ ὑμῶν τοιοῦτόν ἐστιν, ὡς ἂν εἴποι τις, ἐξ ὑμῶν, οὐχὶ τὴν ἄνω λαχόντες λῆξιν. ὡς ἐὰν τροφὸς, φησι, θάλπῃ τὰ ἑαυτῆς τέκνα· οὕτω δεῖ τὸν διδάσκαλον εἶναι. μὴ ἡ τροφὸς κολακεύει, ἵνα δόξης τύχῃ; μὴ χρήματα αἰτεῖ παρὰ τῶν παίδων τῶν μικρῶν; μὴ βαρεῖα αὐτοῖς ἐστι, καὶ φορτική; οὐχὶ μᾶλλον τῶν μητέρων εἰσὶ προσηνεῖς; ἐν τούτῳ τὴν φιλοστοργίαν δείκνυσιν. οὕτω, φησὶν, ἱμειρόμενοι ὑμῶν, τουτέστιν, ἐπιθυμοῦντες, οὕτως ὑμῖν προσδεδέμεθα, φησιν, ὅτι οὐ μόνον οὐδὲν λαμβάνομεν, ἀλλ' εἰ δεῖ καὶ τὰς ψυχὰς μεταδοῦναι, οὐκ ἂν παρῃτησάμεθα. τοῦτο οὖν, εἰπέ μοι, ἀνθρωπίνης διανοίας; καὶ τίς οὕτως ἐρῶντος, ὡς τοῦτο εἰπεῖν; εὐδοκοῦμεν, φησι, μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς· ὥστε τοῦτο μεῖζον ἐκείνου. καὶ τί τὸ κέρδος; ἀπὸ μὲν γὰρ τοῦ εὐαγγελίου, κέρδος· τὸ δὲ τὴν ψυχὴν δοῦναι, κατὰ τὴν δυσκολίαν μεῖζον ἐκείνου. οὐ γάρ ἐστιν ἴσον ἁπλῶς κηρύξαι, καὶ ψυχὴν δοῦναι. ἐκεῖνο μὲν γὰρ τιμιώτερον, τοῦτο δὲ πλείονος δυσκολίας ἦν. ἐβουλόμεθα, φησιν, εἴγε ἐνῆν, καὶ τὰς ψυχὰς εἰς ὑμᾶς κενῶσαι. ἐπεὶ οὖν ἐπῄνεσε καὶ ἐπαινεῖ, διὰ τοῦτο λέγει, ὅτι οὐ χρήματα ζητοῦντες, οὐ κολακεύοντες ὑμᾶς, οὐ δόξης ἐφιέμενοι, τοῦτο ποιοῦμεν. ὅρα γάρ. εἰ πολλὰ ἦσαν ἀθλήσαντες, καὶ παραδόξως ἔδει αὐτοὺς ἐπαινεθῆναι καὶ θαυμασθῆναι, ὥστε στερροτέρους γενέσθαι, εἶχεν ὁ ἔπαινος ὑποψίαν. διὰ τοῦτο ἀποκρουόμενος τὴν ὑποψίαν, τοὺς κινδύνους λέγει. καὶ πάλιν, ἵνα μὴ νομισθῇ διὰ τοῦτο τοὺς κινδύνους λέγειν, ὡς κάμνων ὑπὲρ αὐτῶν, καὶ ὀφείλων τιμηθῆναι παρ' αὐτῶν, ὑπὲρ τούτου μετὰ τὸ εἰπεῖν τοὺς κινδύνους, ἐπήγαγε· διότι ἀγαπητοὶ ἡμῖν γεγόνατε, δηλῶν ὅτι διὰ τοῦτο καὶ τὰς ψυχὰς ἡδέως ἂν ὑμῖν ἐδίδομεν, ὅτι σφόδρα ὑμῖν προσεδέθημεν. τὸ μὲν οὖν εὐαγγέλιον, ἐπειδὴ ὁ Θεὸς ἐκέλευσε, καταγγέλλομεν· τοσοῦτον δὲ ὑμᾶς φιλοῦμεν, ὅτι εἰ ἐνῆν, καὶ τὰς ψυχὰς ἂν ἐδώκαμεν.

Οὕτω δεῖ φιλεῖν τὸν φιλοῦντα, ὡς, εἰ καὶ τὴν ψυχὴν αἰτηθῇ, καὶ δυνατὸν ᾖ, μὴ κωλῦσαι. ΗΘΙΚΟΝ τί λέγω, αἰτηθῇ; ἀλλ' ὥστε αὐτὸν ἐπιτρέχειν τῇ τοιαύτῃ δόσει. οὐδὲν γὰρ, οὐδὲν τῆς τοιαύτης ἀγάπης γλυκύτερον γένοιτ' ἄν. οὐδὲν ἐκεῖ λυπηρὸν συμπεσεῖται. ὄντως φίλος πιστὸς, φάρμακον ζωῆς· ὄντως φίλος πιστὸς, σκέπη κραταιά. τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος; πόσην μὲν οὐκ ἂν ἐμποιήσειεν ἡδονήν; πόσην δὲ ὠφέλειαν; πόσην δὲ ἀσφάλειαν; κἂν μυρίους θησαυροὺς εἴπῃς, οὐδὲν ἀντάξιον γνησίου φίλου. καὶ τὰ αὐτοῦ πρότερον

Εἴπωμεν τῆς φιλίας πόσην ἔχει τὴν ἡδονήν. γάνυται ὁρῶν αὐτὸν καὶ διαχεῖται, συμπλέκεται συμπλοκὴν αὐτῷ ἴσα κατὰ τὴν ψυχὴν ἄρρητον ἔχουσαν τὴν ἡδονήν. κἂν ἀναμνησθῇ μόνον αὐτοῦ, διανίσταται τῇ διανοίᾳ καὶ ἀποπτεροῦται. περὶ τῶν φίλων λέγω τῶν γνησίων, τῶν ὁμοψύχων, τῶν αἱρουμένων καὶ ὑπεραποθανεῖν, τῶν θερμῶς φιλούντων. μή μοι τοὺς ἁπλῶς φιλοῦντας ἐννοοῦντες, καὶ κοινωνοὺς τῶν τραπεζῶν, καὶ ἀπὸ συνηθείας φίλους, νομίζετε τὸν λόγον ἐλέγχεσθαι. εἴ τις ἔχει φίλον οἷον λέγω, ἐπιγνώσεται τὰ ῥήματα. κἂν ἴδῃ τοῦτον καθ' ἑκάστην ἡμέραν, οὐκ ἐμπίπλαται· ταῦτα αὐτῷ ἐπεύχεται, ἅπερ καὶ ἑαυτῷ. οἶδα ἐγώ τινα, ὃς ὑπὲρ φίλου τοὺς ἁγίους ἄνδρας παρακαλῶν, παρεκάλει εὔχεσθαι πρότερον ὑπὲρ αὐτοῦ, καὶ τότε ὑπὲρ ἑαυτοῦ. τοσοῦτόν ἐστι φίλος ἀγαθός, ὡς καὶ τόπους καὶ χρόνους φιλεῖσθαι δι' αὐτόν. καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων ἄνθος ἀπορρεῖ εἰς τοὺς πλησίον τόπους, οὕτω καὶ τῶν φίλων, οἷς ἂν παραγένωνται τόποις, τὴν ἑαυτῶν χάριν ἀφιᾶσι. καὶ πολλάκις χωρὶς φίλων ἐπιστάντες τοῖς τόποις ἐκείνοις, ἐδακρύσαμεν τῶν ἡμερῶν ἀναμνησθέντες, ἐν αἷς συνεγενόμεθα, καὶ ἐστενάξαμεν. οὐκ ἔνι τῷ λόγῳ παραστῆσαι τὴν ἡδονὴν ὅσην ἐντίθησιν ἡ παρουσία φίλων· μόνοι δὲ τὴν πεῖραν ἔχοντες ἴσασι. καὶ χάριν αἰτῆσαι, καὶ χάριν λαβεῖν ἀνυπόπτως παρὰ φίλου ἔνι. ὅταν ἡμῖν ἐπιτάττωσι, τότε αὐτοῖς χάριν ἴσμεν· ὅταν δὲ ὀκνῶσι, τότε ἀλγοῦμεν. οὐδὲν ἔχομεν ὅπερ μὴ ἐκείνων ἐστί. πολλάκις τὰ ἐνταῦθα καταφρονοῦντες, δι' ἐκείνους οὐ βουλόμεθα ἀπελθεῖν ἐντεῦθεν. καὶ τοῦ φωτὸς ἐκεῖνοι ποθεινότεροι. καὶ γὰρ ὄντως καὶ τοῦ φωτὸς αὐτοῦ ποθεινότερος φίλος· τὸν γνήσιον λέγω. καὶ μὴ θαυμάσῃς. βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον, ἢ φίλων ἀποστερηθῆναι. βέλτιον ἐν σκότῳ διάγειν, ἢ φίλων εἶναι χωρίς. καὶ πῶς, ἐγὼ λέγω. ὅτι πολλοὶ τὸν ἥλιον ὁρῶντες * ἐν σκότῳ εἰσί, φίλων δὲ εὐποροῦντες, οὐδ' ἂν ἐν θλίψει γένοιντο. περὶ φίλων λέγω τῶν πνευματικῶν, τῶν οὐδὲν προτιμώντων φιλίας. τοιοῦτος Παῦλος ἦν, καὶ τὴν ψυχὴν ἡδέως διδοὺς τὴν ἑαυτοῦ, καὶ μὴ αἰτηθείς, καὶ εἰς γέενναν ἡδέως ἂν ἐνέπεσεν. οὕτω χρὴ φιλεῖν διαθέσει πεπυρωμένῃ. βούλομαι ὑπόδειγμα δοῦναι φιλίας. πατέρας καὶ υἱοὺς ὑπερβαίνουσι φίλοι, φίλοι τῶν κατὰ Χριστόν. μὴ γάρ μοι τοὺς νῦν εἴπῃς, ὅτι μετὰ τῶν ἄλλων καὶ τοῦτο ἀπέστη τὸ καλόν· ἀλλ' ἐννόησον ὅτι ἐπὶ τῶν ἀποστόλων, οὐ λέγω τοὺς κορυφαίους, ἀλλ' αὐτοὺς τοὺς πιστεύσαντας,

Πρξ. δ. λβ. Πάντων ἦν, φησίν, ἡ ψυχὴ καὶ ἡ καρδία μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι. καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. οὐκ ἦν τότε τὸ ἐμόν, καὶ τὸ σόν. τοῦτό ἐστι φιλία, ἵνα μὴ τὰ αὐτοῦ ἑαυτοῦ τις νομίζῃ, ἀλλὰ τὰ τοῦ πλησίον· τὰ δὲ αὐτοῦ, ἀλλότρια· ἵνα οὕτω φείδηται τῆς ἐκείνου ψυχῆς, ὡς τῆς ἑαυτοῦ· κἀκεῖνος ὁμοίως τὴν αὐτὴν διάθεσιν ἐπιδεικνύηται. καὶ ποῦ δυνατόν, φησί, τοιοῦτον εὑρεθῆναι; ναί, οὐ δυνατόν, ἐπειδὴ μὴ βουλόμεθα. ὡς εἴγε ἐβουλόμεθα, καὶ σφόδρα δυνατόν· εἰ γὰρ μὴ δυνατὸν ἦν, οὐδ' ἂν ἐπέταξεν ὁ Χριστός, οὐκ ἂν τοσαῦτα περὶ ἀγάπης διελέχθη. μέγα φιλία· καὶ πόσον μέγα, οὐδεὶς ἂν δύναιτο μαθεῖν, οὔτε τις παραστῆσαι λόγος, πλὴν τῆς πείρας αὐτῆς. τοῦτο τὰς αἱρέσεις εἰργάσατο· τοῦτο τοὺς Ἕλληνας ἔτι ποιεῖ Ἕλληνας εἶναι. ὁ φιλῶν οὐκ ἐπιτάττειν βούλεται, οὐδὲ ἄρχειν, ἀλλὰ χάριν ἔχει μᾶλλον ἀρχόμενος καὶ ἐπιταττόμενος· χαρίζεσθαι βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν. φιλεῖ γάρ, καὶ ὡς οὐκ ἐμπλήσας αὐτοῦ τὴν ἐπιθυμίαν, οὕτω διάκειται. οὐχ οὕτως εὖ πάσχων τέρπεται, ὡς εὖ ποιῶν. βούλεται γὰρ κατέχειν αὐτὸν μᾶλλον, ἢ ὀφείλειν αὐτῷ· μᾶλλον δὲ καὶ ὀφείλειν αὐτῷ βούλεται, καὶ ὀφειλέτην αὐτὸν ἔχειν. καὶ βούλεται χαρίζεσθαι, καὶ οὐ βούλεται δοκεῖν χαρίζεσθαι, ἀλλ' ὀφειλέτην αὐτὸν εἶναι. τάχα πολλοῖς ὑμῶν ἀγνοεῖν οἶμαι τὸ εἰρημένον· οὐκοῦν ἀναγκαῖον αὐτὸ πάλιν εἰπεῖν. καὶ ἄρχειν βούλεται εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν, ἀλλ' ἀποδιδόναι· ὅπερ καὶ ὁ Θεὸς ἐποίησεν ἐπὶ τῶν ἀνθρώπων. ἔμελλε τὸν υἱὸν αὐτοῦ χαρίζεσθαι ὑπὲρ ἡμῶν· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, ἀλλ' ὀφείλειν ἡμῖν, προσέταξε τῷ Ἀβραὰμ δοῦναι τὸν υἱὸν αὐτοῦ, ἵνα μέγα ποιῶν,

γ. ποι

ποιῶν, μηδὲν μέγα δόξῃ ποιεῖν. ὅταν μὲν γὰρ μὴ ᾖ φιλία, καὶ ὀνειδίζομεν τὰς εὐεργεσίας, καὶ τὰς μικρὰς ἐπαίρομεν· ὅταν δὲ φιλία ᾖ, καὶ κρύπτομεν αὐτὰς, καὶ τὰς μεγάλας μικρὰς βουλόμεθα φαίνεσθαι, ἵνα μὴ δόξωμεν ὀφειλέτην ἔχειν τὸν φίλον, ἀλλ᾽ αὐτοὶ αὐτῷ ὀφειλέται εἶναι, ἐν τῷ ὀφειλέτην ἔχειν αὐτόν. οἶδα ὅτι οὐδὲ συνιᾶσιν οἱ πολλοὶ τὰ λεγόμενα. τὸ δὲ αἴτιον, περὶ πράγματος διαλέγομαι τοῦ οὐρανὸν οἰκοῦντος νῦν. ὥσπερ οὖν εἰ περὶ τινὸς ἔλεγον φυτοῦ ἐν Ἰνδίᾳ τικτομένου, οὗ μηδεὶς μηδὲ πεῖραν ἔλαβεν, οὐκ ἂν ἴσχυσεν ὁ λόγος παραστῆσαι, κἂν εἰ μυρία εἴποι· οὕτω καὶ νῦν ὅσα ἂν εἴπω, εἰκῆ ἐρῶ. οὐδεὶς γὰρ ἐπιστῆσαι δυνήσεται. ἐν οὐρανῷ πεφύτευται τοῦτο τὸ φυτὸν, κλάδους ἔχον οὐ μαργαρίτας βεβριθότας, ἀλλὰ βίον ἐνάρετον πολλῷ τούτων ἥδιον. ποίαν βούλει εἰπεῖν ἡδονήν; τὴν αἰσχράν; τὴν σεμνήν; ἀλλὰ πάσας ὑπερβάλλει ἡ τῆς φιλίας, κἂν τὴν τοῦ μέλιτος εἴπῃς. τοῦτο γὰρ προσκορὲς γίνεται· φίλος δὲ οὐδέποτε, ἕως ἂν ᾖ φίλος, ἀλλὰ μᾶλλον αὔξεται ἡ ἐπιθυμία, καὶ κόρον οὐδέποτε ἡ τοιαύτη λαμβάνει ἡδονή. καὶ τῆς παρούσης ζωῆς ὁ φίλος ἡδύτερος. πολλοὶ γοῦν μετὰ τὴν τῶν φίλων τελευτὴν οὐκ ηὔξαντο ζῆσαι λοιπόν. μετὰ φίλου καὶ ὑπερορίαν τις ἡδέως ἂν ἐνέγκοι· χωρὶς δὲ φίλου οὐδὲ τὴν αὐτοῦ οἰκῆσαι ἕλοιτο ἄν. μετὰ φίλου, καὶ πενία φορητή· τούτου δὲ ἄνευ, καὶ ὑγεία, καὶ πλοῦτος ἀφόρητοι. ὁ τοιοῦτος ἄλλον ἑαυτὸν ἔχει. ἀποπνίγομαι ὅτι οὐ δύναμαι ἐπὶ παραδείγματος εἰπεῖν. ἦ γὰρ ἂν ἐγνώκειτε ὅτι πολλῷ ἐλάττονα τοῦ δέοντος τὰ εἰρημένα. καὶ ταῦτα μὲν ἐνταῦθα. παρὰ δὲ Θεοῦ τοσοῦτος μισθὸς τῆς φιλίας, ὅσος οὐδέ ἐστιν εἰπεῖν. μισθὸν ἡμῖν δίδωσιν, ἵνα φιλῶμεν ἀλλήλους. φίλει γάρ, φησι, καὶ λάβε μισθόν, ὑπὲρ οὗ μισθὸν ὀφείλομεν πράγματος. εὖξαι, φησι, καὶ λάβε μισθόν, ὑπὲρ οὗ μισθὸν ὀφείλομεν. ὅτι αἰτούμεθα τὰ ἀγαθὰ, ὑπὲρ οὗ αἰτεῖς, φησι, λάβε μισθόν. νήστευσον, καὶ λάβε μισθόν. γενοῦ ἐνάρετος, καὶ λάβε μισθὸν, καίτοι μισθὸν ὀφείλων. ἀλλ᾽ ὥσπερ οἱ πατέρες, ὅταν ἐναρέτους ποιήσωσι τοὺς παῖδας, τότε καὶ αὐτοῖς μισθὸν διδόασιν (ὀφειλέται γάρ εἰσιν, ὅτι αὐτοὺς ἐν ἡδονῇ κατέστησαν) οὕτω καὶ ὁ Θεός. μισθόν, φησι, λάβε, ἂν ἐνάρετος γένῃ· εὐφραίνεις γὰρ τὸν πατέρα, καὶ τούτου σοι ὀφείλω μισθόν. ἂν δὲ κακὸς, οὐκέτι· παροξύνεις γὰρ τὸν γεννήσαντα. μὴ δὴ παροξύνωμεν τὸν Θεὸν, ἀλλ᾽ εὐφραίνωμεν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. γ. 9 ΜΝΗΜΟΝΕΥΕΤΕ ΓΑΡ, ΑΔΕΛΦΟΙ, ΤΟΝ κόπον ἡμῶν καὶ τὸν μόχθον. νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ. 10 Ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς, ὡς ὁσίως καὶ ἀμέμπτως καὶ δικαίως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν,

11 Καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν (ὡς πατὴρ τέκνα ἑαυτοῦ) παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι, 12 Καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλέσαντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

ΤΟῖς διδασκάλοις οὐδὲν ἐπαχθὲς χρὴ λογίζεσθαι τῶν εἰς σωτηρίαν
τῶν μαθητῶν συντεινόντων. Εἰ γὰρ ὁ μακάριος Ἰακὼβ νυκτὸς καὶ
ἡμέρας κατεκόπτετο εἰς τὴν τῶν ποιμνίων φυλακήν, πολλῷ μᾶλ-
λον τὸν τὰς ψυχὰς ἐμπιστευθέντα, κἂν ἐπίμοχθον ἔργον ᾖ, κἂν εὐ-
τελές, πάντα δεῖ ποιεῖν, πρὸς ἓν ὁρῶντα μόνον, τὴν σωτηρίαν τῶν
μαθητευομένων, καὶ τὴν ἐκεῖθεν δόξαν γινομένην τῷ Θεῷ. ὅρα
γοῦν πῶς καὶ ὁ Παῦλος κῆρυξ καὶ ἀπόστολος ὢν τῆς οἰκουμένης, καὶ τοιαύτην τιμὴν ἐπιλημ-
μένος, εἰργάζετο ταῖς χερσὶ πρὸς τὸ μὴ ἐπιβαρῆσαι τοὺς μαθητευομένους. μνημονεύετε
α Θεσ. β. ς. γάρ, φησιν, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον. εἶπε προλαβών, Ὅτι δυνάμενοι ἐν βά-
α Κορ. θ. ιγ. ρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησίν· Οὐκ οἴδατε ὅτι οἱ τὰ
ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οὕτω καὶ ὁ Χριστὸς διέταξε τοῖς τὸ εὐαγγέλιον κα-
ταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν. Ἀλλ' ἐγώ, φησιν, οὐκ ἠθέλησα, ἀλλ' ἐκοπίων. καὶ
οὐχ ἁπλῶς εἰργάζετο, ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. καὶ ὅρα τί φησι. μνημονεύετε γάρ·
οὐκ εἶπε, τὰς εὐεργεσίας τὰς παρ' ἐμοῦ, ἀλλά, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον. νυκτὸς καὶ
ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, οὕτως ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ
β Κορ. ια. η. εὐαγγέλιον τοῦ Θεοῦ. Κορινθίοις δὲ ἑτέρως φησίν· Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώ-
νιον εἰς τὴν ὑμῶν διακονίαν. καίτοι καὶ ἐκεῖ εἰργάζετο· ἀλλ' οὐκ ἀνέμνησε τούτου, ἀλλ'
ἕτερον ἔθηκε πληκτικώτερον, ὡς ἂν εἰ ἔλεγεν ὅτι παρ' ἑτέρων ἐτράφην ὑμῖν ὑπηρετῶν.
β Κορ. ια. θ. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τί; νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι. καὶ ἐκεῖ μέν φησι· Καὶ πα-
ρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθείς, οὐ κατενάρκησα οὐδενός, καί, Ἔλαβον ὀψώνιον πρὸς τὴν ὑ-
μῶν διακονίαν. ἐνταῦθα δὲ δείκνυσιν ἐν πενίᾳ ὄντας τοὺς ἄνδρας [, ἐκεῖ δὲ οὐχ οὕτω]. διὰ
τοῦτο συνεχῶς αὐτοὺς παραφέρει μάρτυρας. ὑμεῖς γάρ, φησι, μάρτυρες καὶ ὁ Θεός, ἀξιόπιστον
ποιῶν τὸν λόγον, κἀκεῖνο τιθείς, ὃ αὐτοὺς μάλιστα ἐπληροφόρει. ἐκεῖνο μὲν γὰρ ἄδηλον τοῖς
ἀγνοοῦσι, τοῦτο δὲ πᾶσι λοιπὸν ἀναμφίβολον. καὶ μὴ θαυμάσῃς. οὐδὲ γὰρ ἔβλεπον, ὅτι Παῦ-
λος ἦν ὁ ταῦτα λέγων· ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος βούλεται αὐτοὺς πληροφορῆσαι. διὰ
τοῦτό φησιν, ὑμεῖς μάρτυρες καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐ-
γενήθημεν. ἔδει αὐτοὺς πάλιν ἐπαινεῖν. διὰ τοῦτο ταῦτα προστίθησιν, ἃ ἦν ἱκανὰ αὐτοὺς
τέρψαι. συλλογίζεται γάρ, ὅτι ὁ ἐν χρείᾳ καταστὰς καὶ μὴ λαβών, πολλῷ μᾶλλον νῦν. ὡς
ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, καθάπερ οἴδατε, ὡς ἕνα ἕκα-
στον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς, καὶ παραμυθούμενοι. ἀνωτέρω τὸ
τῆς ἀναστροφῆς εἰπών, ἐνταῦθα τὸ τῆς ἀγάπης φησίν· ὃ καὶ μᾶλλον ἦν ἢ τῆς προστασί-
ας. καὶ τοῦ ἀτύφου τὸ εἰρημένον· ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς, καὶ παρα-
μυθούμενοι, καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑ-
μᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν. ὅτε εἶπε, καὶ διαμαρτυρόμενοι, τότε πατέρων
μέμνηται, δεικνὺς ὅτι εἰ καὶ διεμαρτυράμεθα, ἀλλὰ τοῦτο οὐ σφοδρῶς, ἀλλ' ὡς πατέρες. ἕνα
ἕκαστον ὑμῶν. βαβαί, ἐν τοσούτῳ πλήθει μηδένα παραλιπεῖν, μὴ μικρόν, μὴ μέγαν, μὴ
πλούσιον, μὴ πένητα. παρακαλοῦντες πρὸς τί εἶπε; πρὸς τὸ φέρειν πάντα. καὶ πα-
ραμυθούμενοι, καὶ διαμαρτυρόμενοι. παρακαλοῦντες, οὐκ ἄρα δόξαν ἐζήτουν· καὶ δια-
μαρτυρόμενοι, οὐκ ἄρα ἐκολάκευον. εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ κα-
λοῦντος ὑμᾶς εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν. ὅρα πάλιν πῶς διηγούμενος, καὶ διδά-
σκει, καὶ παραμυθεῖται. εἰ γὰρ εἰς βασιλείαν ἐκάλεσε, πάντα δεῖ φέρειν. παρακαλοῦ-
μεν οὐχ ἵνα ἡμῖν χαρίσησθέ τι, ἀλλ' ἵν' ἐπιτύχητε τῆς βασιλείας τῶν οὐρανῶν.

13 Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀ-

κοῆς

κατὰ τὸ ὑμῖν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ (καθώς ἐστιν ἀληθῶς) λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. Οὐκ ἐπὶ τούτῳ, φησὶν, ἡμεῖς μὲν πάντα ἀμέμπτως πραττόμεθα, ὑμεῖς δὲ ἀνάξια τῆς ἡμετέρας ἀναστροφῆς ἐπεδείξατε. οὐ γὰρ ὡς ἀνθρώπων ἠκούσατε, ἀλλ' ὡς αὐτοῦ τοῦ Θεοῦ παραινοῦντος, ὅτι [illegible] μὴ ἐν λόγοις, μηδὲ ἐν ἀποδείξει [illegible] καὶ τῆς [illegible] ὀρθῶς ἐδέξασθε τὸν λόγον, ἀπὸ τῶν πειρασμῶν. πόθεν δῆλον, φησὶν, [illegible] τοῦ Θεοῦ λόγον [illegible] τὸ ἀξίωμα.

14 Ὑμεῖς γὰρ, φησὶ, μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ· ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων,

15 Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων,

16 Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. Ὑμεῖς, φησὶ, μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. πολλὴ ἡ παραμυθία. τοῦτ' ἔστι, φησὶ, θαυμαστὸν εἰς ὑμᾶς τοῦτο [illegible] αὐτοὺς [illegible] καὶ εἰς τοὺς συμφυλέτας αὐτῶν. καὶ τοῦτο ἦν τὸ κήρυγμα ὅτι ἀληθὲς οὐ μικρὸν τεκμήριον, ὅπου γε καὶ Ἰουδαῖοι πάντα ἰσχύοντες [illegible]. ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ, φησὶν, ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. ἔχει τι πλέον τοῦ εἰπεῖν, κἀκεῖνοι ἐν τῇ Ἰουδαίᾳ. ἐνεικῶσι γὰρ ὅτι ἤλθοντο πανταχοῦ, ὡς ἀθλήσαντες. λέγει οὖν, ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε. καὶ τί θαυμαστὸν πάλιν εἰ καὶ εἰς ὑμᾶς, ὅπου γε καὶ εἰς τὸν δεσπότην τὰ αὐτὰ ἐτόλμων; ὁρᾷς, πῶς αὐτὸ εἰσήγαγε μεγάλην ἔχον τὴν παραμυθίαν; καὶ συνεχῶς τοῦτο στρέφει, καὶ ἐν πάσαις σχεδὸν εὕροι τις ἂν αὐτὸ ταῖς ἐπιστολαῖς ἀκριβῶς ἐξετάζων, πῶς ἐν τοῖς πειρασμοῖς ἀεὶ τὸν Χριστὸν περιφέρει διαφόρως. ὅρα γοῦν, καὶ ἐνταῦθα κατηγορῶν τῶν Ἰουδαίων, εἰς ἀνάμνησιν αὐτοὺς φέρει τοῦ δεσπότου, καὶ τῶν τοῦ δεσπότου παθημάτων. οὕτως οἶδε μεγίστην παραμυθίαν ἔχον τὸ πρᾶγμα. τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων, φησίν. ἀλλ' ἠγνόησαν αὐτοὶ ἴσως· μάλιστα μὲν οὖν ἤδεισαν. τί δαί; οὐχὶ καὶ τοὺς ἰδίους προφήτας ἀπέκτειναν, καὶ ἐλιθοβόλησαν, ὧν καὶ τὰ τεύχη περιφέρουσι; καὶ μὴν ταῦτα οὐκ ἀληθείας ἕνεκεν διεπράξαντο. οὐκ ἄρα παραμυθία μόνον ἐστὶν ἐπὶ τοῖς πειρασμοῖς, ἀλλὰ καὶ ὑπόμνησις τοῦ μὴ νομίζειν ὅτι δι' ἀλήθειαν ταῦτα ποιοῦσι, καὶ διὰ τοῦτο θορυβεῖσθαι. καὶ ἡμᾶς, φησὶν, ἐκδιωξάντων. καὶ ἡμεῖς, φησὶ, μυρία δεινὰ πεπόνθαμεν. καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσι. πᾶσιν ἀνθρώποις, φησὶν, ἐναντίων. πῶς; εἰ γὰρ τῇ οἰκουμένῃ δεῖ λαλῆσαι, οὗτοι δὲ κωλύουσι, κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί. τὸν Χριστὸν ἐφόνευσαν, τοὺς προφήτας, τὸν Θεὸν ὑβρίζουσι, κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί, ἡμᾶς ἐλαύνουσι τοὺς ἐπὶ σωτηρίᾳ παραγενομένους. τί θαυμαστὸν εἰ καὶ εἰς ὑμᾶς τοιαῦτα ἐπεδείξαντο, ὅπου γε καὶ ἐν τῇ Ἰουδαίᾳ; κωλυόντων ἡμᾶς, φησὶ, τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσι. βασκανίας ἄρα ἐστὶ τὸ τὴν τῶν πάντων ἐμποδίζειν σωτηρίαν. εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. οὐκέτι τοιαῦτα ἔσται οἷα τὰ πρότερα. οὐκέτι ἐπάνοδος, οὐκέτι πέρας, ἀλλ' ἑξῆς ἐφέστηκεν ἡ ὀργή. πόθεν δῆλον; ἀπὸ τούτου, ἀφ' οὗ προεῖπεν ὁ Χριστός. οὐ γὰρ τοῦτο μόνον ἔχει παραμυθίαν τὸ κοινωνοὺς τῶν θλίψεων λαβεῖν, ἀλλὰ καὶ τὸ τοὺς θλίβοντας ἀκοῦσαι τιμωρουμένους. εἰ δὲ ἡ ἀναβολὴ λυπεῖ, παραμυθεῖσθαι τὸ μηκέτι ἀναδύεσθαι αὐτούς. μᾶλλον δὲ καὶ τὴν ἀναβολὴν συνέσταλε τῷ εἰπεῖν, ἡ ὀργὴ, οὐχ ὡς [illegible] πάλιν ὀφειλομένην καὶ προωρισμένην

καὶ προσφθονούμενοι. 17 Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

Οὐκ εἶπε, χωρισθέντες, ἀλλ' ὃ πλέον ἦν. εἶπεν ἀνωτέρω περὶ τῆς κολακείας, δεικνὺς οὐ κολακεύων, ὅτι οὐ ζητῶν δόξαν. λέγει ἐνταῦθα περὶ τῆς ἀγάπης. ἐπειδὴ εἶπε, προτέρω, ὡς πατὴρ τέκνα, ὡς τροφὸς, ἐνταῦθα καὶ ἑτέραν φησὶν, ἀπορφανισθέντες ὅπερ ἐπὶ παιδίων πατέρας ζητούντων. καὶ μὴν ἐκεῖνοι ἀπορφανίσθησαν· οὔ, φησιν, ἀλλ' ἡμεῖς. εἰ γάρ τις τὸν πόθον ἐξετάσειε, καθάπερ παιδία μικρὰ ἀπορφανισθέντα ἀώρως ἐρημίαν ... ἐν πολλῷ πάθει τῶν γονέων εἰσὶν, οὐ διὰ τὴν φύσιν μόνον αὐτὴν, ἀλλὰ καὶ διὰ τὴν ἐρημίαν, οὕτω δὴ καὶ ἡμεῖς. ἐκ τούτου καὶ τὴν ἀθυμίαν αὐτοῦ δείκνυσιν, ἣν εἶχε διὰ τὸν χωρισμόν. καὶ ταῦτα, φησιν, οὐκ ἔνι εἰπεῖν, ὅτι πολὺν χρόνον ἀπεμείναμεν, ἀλλὰ πρὸς καιρὸν· καὶ τοῦτο προσώπῳ, οὐ καρδίᾳ. ἀεὶ γὰρ ὑμᾶς εἴχομεν ἐν τῇ διανοίᾳ. ὅρα ὅση ἀγάπη. καίτοι ἔχων αὐτοὺς διαπαντὸς ἐν καρδίᾳ, καὶ τὴν κατ' ὄψιν ἐζήτει συνουσίαν. μή μοι λέγε τὴν περιττὴν φιλοσοφίαν. τοῦτο ἀληθῶς θερμῆς ἀγάπης, τὸ καὶ ἰδεῖν, καὶ ἀκοῦσαι, καὶ εἰπεῖν. καὶ πολλὰ ἄν τις τοῦτο συμβάλλοιτο. περισσοτέρως, φησὶν, ἐσπουδάσαμεν. τί ἐστι, περισσοτέρως; ἢ τοῦτό ἐστιν εἰπεῖν, ὅτι σφόδρα ὑμῶν ἐξεχόμεθα, ἢ ὡς εἰκὸς ἦν, ὥσπερ ἀπολειφθέντες ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν. ὅρα τὸν μακάριον Παῦλον, ὅταν μὴ δι' ἑαυτοῦ δύνηται πληροῦν αὐτοῦ τὸν πόθον, δι' ἑτέρων τοῦτο ποιοῦντα. ὥσπερ ὅτε πρὸς Φιλιππησίους τὸν Τιμόθεον πέμπει, καὶ πρὸς Κορινθίους πάλιν τὸν αὐτὸν, δι' ἑτέρων αὐτοῖς συγγινόμενος, ὅταν μὴ δύνηται δι' ἑαυτοῦ. ἐρώμενος γὰρ ἦν μανικός τις, καὶ ἀκάθεκτος, καὶ ἀκαρτέρητος εἰς φιλίαν.

18 Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς· Ὅπερ ἐστὶν ἀγάπης. καίτοιγε αὐτὸ το-θαι οὐδεμίαν ἑτέραν χρείαν φησὶν, ἀλλ' ἵνα ἴδωμεν ὑμᾶς. Ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ

Ρωμ. ιε. κβ. καὶ δίς· καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. Τί λέγεις; ὁ Σατανᾶς ἐνέκοπτε; ναί. οὐ γὰρ Θεοῦ τοῦτο ἔργον ἦν. ἐπὶ μὲν γὰρ τῶν Ῥωμαίων φησὶν, ὅτι ὁ Θεὸς ἐκώλυσε. καὶ ἀλλαχοῦ δὲ

Πραξ. ις. θ. φησιν ὁ Λουκᾶς, ὅτι τὸ πνεῦμα διεκώλυσεν αὐτὸν ἐλθεῖν εἰς τὴν Ἀσίαν. καὶ Κορινθίοις τοῦ πνεύματός φησιν εἶναι τὸ ἔργον, ἐνταῦθα δὲ μόνον τοῦ Σατανᾶ. τίνα δὲ λέγει ἐγκοπὴν τοῦ

Πραξ. κ. γ. Σατανᾶ; πειρασμούς τινας ἀπροσδοκήτους, καὶ σφοδρούς. γενομένης γὰρ αὐτῷ, φησιν, ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων, κατείχετο ἐν τῇ Ἑλλάδι πρὸς μῆνας. ὅταν δὲ ᾖ οἰκονομίας

Ρωμ. ιε. κγ. ἕνεκεν περιμένειν καὶ ἑκόντα, καὶ ἐπειδὴ ἐγκοπτόμενοι. ἐκεῖ μὲν γάρ φησι· Διὸ μηκέτι τό-

β. Κορ. α. κγ. πον ἔχων ἐν τοῖς κλίμασι τούτοις, καὶ, φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· ἀλλὰ τί; ὅτι ὁ Σατανᾶς ἐνέκοψεν. ἐγὼ μὲν, φησι, Παῦλος, καὶ ἅπαξ καὶ δίς. ὅρα πῶς φιλοτιμεῖται, καὶ ἐγκαλλωπίζεται, θέλων δεῖξαι, ὅτι μάλιστα πάντων αὐτοὺς ἐφίλει. τὸ, ἐγὼ μὲν Παῦλος, ἀντὶ τοῦ, εἰ καὶ μὴ οἱ ἄλλοι, φησί. κἀκεῖνοι μὲν γὰρ ἤθελον μόνον, ἐγὼ δὲ καὶ ἐπεχείρησα.

19 Τίς γὰρ ἡμῶν ἐλπίς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ; Μακεδόνες εἰσὶν, εἰπέ μοι, ἡ ἐλπίς σου, ὦ μακάριε Παῦλε; οὐχ οὗτοι μόνοι, φησί. διὸ τοῦτο ἐπήγαγεν· ἢ οὐχὶ καὶ ὑμεῖς; ὑμεῖς γάρ ἐστιν ἡμῶν, φησιν, ἐλπὶς, ἡ χαρὰ, ὁ στέφανος καυχήσεως; ἆρα ἐπιγινώσκετε τὰ ῥήματα, γυναικῶν ὄντα πάνυ διαθερμαινομένων τοῖς σπλάγχνοις, καὶ πρὸς παιδία μικρὰ διαλεγομένων; καὶ στέφανος, φησι, καυχήσεως. οὐ γὰρ ἤρκει τὸ, στέφανος, ὄνομα δόξαν τινὰ λαμπρότητα, ἀλλὰ προσέθηκε, καὶ καυχήσεως. πόσης πυρώσεως τοῦτο; οὐκ ἄν ποτε μήτηρ, οὐδὲ πατὴρ, εἴ τι ὁμοῦ συνῆλθον, καὶ τὸν ἑαυτῶν ἀνεμίξαν τὸν πόθον, ἠδυνήθησαν δεῖξαι ἰσόρροπον ὄντα τῷ Παύλῳ τὸν ἑαυτοῦ πόθον. χαρὰ, φησι, καὶ στέφανος· τουτέστι, μᾶλλον ἐφ' ὑ-

μῖν,

[illegible] ἢ ὅτι [illegible]. ἐπειδὴ γὰρ [illegible] ὁ ἀπόστολος [illegible] [illegible] Παῦλος· τίς ἐστιν ὁ ἐπὶ τοσαύτῃ πολυπειρίᾳ καὶ ἀ- [illegible] κληρονομίας ἐστίν. οὐ γὰρ εἶπεν, ὑμεῖς ἁπλῶς, ἀλλά, καὶ ὑμεῖς [illegible].

20 Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

1 Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι. Τί οὖν ἐστιν αὐτὸ τοῦ, εἰ λέγω; κεφ. γ.

2 Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Καὶ τοῦτο οὐ τὸν Τιμόθεον ἐπαίρων, φησίν, ἀλλ' αὐτοὺς τιμῶν, ὅτι τὸν συνεργόν, καὶ διάκονον τοῦ εὐαγγελίου αὐτοῖς ἔπεμψεν· ὡς ἂν εἰ ἔλεγεν, ἀποστερήσαντες ἀπὸ τῶν ἔργων ἑαυτοὺς [illegible] πρὸς ὑμᾶς τὸν διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Εἶτα καὶ ἡ αἰτία. Εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν.

3 Τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. Τί δὲ ἐν ταῦτα φησί; ἐπειδὴ τὴν διδασκάλων οἱ πειρασμοὶ θορυβοῦσι τοὺς μαθητάς, τότε δὲ πολλοῖς περιέπεσε πειρασμοῖς, ὡς καὶ αὐτός φησιν, ὅτι ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς· ἀναγκαίως αὐτοὺς οὕτως εἴρηκεν. ὃ δὲ λέγει τοῦτό ἐστι· καὶ [illegible] καὶ [illegible] ἐπελεύσεσθαι, καὶ οὐκ ἴσχυσαν [illegible] πολλῆς βίας εἶναι. Εἰκὸς δὲ τοῦτο θορυβῆσαι αὐτούς (οὐ γὰρ οὕτως ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς, ὡς ἐπὶ τοῖς τῶν διδασκάλων θορυβοῦνται οἱ μαθηταί· ὥσπερ οὐδὲ οὕτως ἐπὶ τῶν οἰκείων θορυβεῖται τραυμάτων στρατιώτης, ὡς ὅταν τὸν στρατηγὸν ἴδῃ ἢ βεβλημένον) Εἰς τὸ στηρίξαι ὑμᾶς, φησίν. ἄρα δεῖ τὸ μὴ θορυβηθῆναι ἔπεμψεν, ἀλλ' οὐχ ὡς ἐλλείποντάς τι τῆς πίστεως, οὐδ' ὡς ὀφείλοντάς τι μαθεῖν. καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν, τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. Αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα.

4 Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε. Οὐ δεῖ θορυβεῖσθαι, φησί. εἰ γὰρ οὐδὲν ξένον, οὐδὲν παρ' ἐλπίδα συμβαίνει· ὅπερ ἱκανὸν ἦν αὐτοὺς διαναστῆσαι. ὁρᾷς ὅτι διὰ τοῦτο καὶ ὁ Χριστὸς προέλεγε τοῖς μαθηταῖς; ἄκουσον γὰρ αὐτοῦ λέγοντος· Ἀπ' ἄρτι εἶπον ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵν', ὅταν γένηται, πιστεύσητε. μέγα γάρ, ὄντως μέγα εἰς παραμυθίαν τῶν ἄλλων, τὸ παρὰ τῶν διδασκάλων ἀκοῦσαι τὰ γενόμενα. ὥσπερ γὰρ ὁ κάμνων παρὰ τοῦ ἰατροῦ ἐὰν ἀκούσῃ ὅτι τόδε γέγονε, καὶ τόδε, οὐ σφόδρα θορυβεῖται· ἐὰν δὲ ἀπροσδοκήτως ἐκβῇ, ὡς κἀκείνου ἀπορηθέντος, καὶ τοῦ νοσήματος μείζονος τῆς τέχνης γενομένου, ἀλύει καὶ θορυβεῖται· οὕτω καὶ ἐνταῦθα. ἅπερ προειδὼς ὁ Παῦλος, προεῖπεν αὐτοῖς ὅτι μέλλομεν θλίβεσθαι, καθώς, φησί, καὶ ἐγένετο καὶ οἴδατε. οὐχ ὅτι ἐγένετο τοῦτο λέγει μόνον, ἀλλ' ὅτι πολλὰ καὶ ἄλλα προεῖπε, καὶ ἐξέβη. Εἰς τοῦτο κείμεθα. ὥστε οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον οὐ δεῖ θορυβεῖσθαι καὶ ταράττεσθαι (τοῦτο γάρ ἐστι σαίνεσθαι) ἀλλ' οὐδ' ὑπὲρ τῶν μελλόντων, εἴ τι συμβαίη τοιοῦτον. Εἰς τοῦτο γὰρ κείμεθα.

Ἀκούσωμεν οἷς ἐστιν ὦτα ἀκούειν. Εἰς τοῦτο κεῖται ὁ χριστιανός. τό, Εἰς τοῦτο κείμεθα, περὶ πάντων λέγει τῶν πιστῶν. Εἰς τοῦτο κείμεθα· καὶ ἡμεῖς ὡσανεὶ εἰς ἄνεσιν κείμενοι, ξενοπαθοῦμεν; μᾶλλον δὲ τίνος ἕνεκεν ξενοπαθοῦμεν; οὐδὲ γὰρ θλίψεως καιρός, οὐδὲ πειρασμὸς κατείληφεν, εἰ μὴ ἀνθρώπινος. ΗΘΙΚΟΝ

Εὐκαιρεῖ καὶ πρὸς ὑμᾶς εἰπεῖν, Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. μᾶλλον δὲ οὐ τοῦτο εὐκαιρεῖ εἰπεῖν πρὸς ὑμᾶς, ἀλλὰ ποῖον; οὔπω χρημάτων κατεφρονήσατε. ἐκείνοις μὲν γὰρ τοῖς τὰ αὐτῶν ἀπολωλεκόσιν ἅπαντα ὑπὲρ τοῦ ταῦτα ἔλεγεν· τοῖς δὲ τὰ αὐτῶν ἔχουσι, τοῦτο. τίς ἥρπαγη χρήματα διὰ Χριστόν; τίς ἐρραπίσθη; τίς ὠνειδίσθη μέ-

Ἰωαν. ιδ. κθ. Ἑβρ. ιβ. δ.

χρι

χειρώματι [illegible], λέγων· πόθεν ἡ κακοήθεια; πόθεν ἐδειλίασας [illegible] ἔχων [illegible] ἡμᾶς ἐχθροὺς ὄντας ὁ Χριστός. τί δυνησόμεθα ἐπιδεῖξαι [illegible] ἄθλον [illegible] πεπόνθαμεν, οὐδὲ ἐὰν ὃ πάσχομεν παρ' αὐτοῦ [illegible], μυρία [illegible] κατ' ἐκείνην τὴν ἡμέραν; οὐκ ἴστε, ὅτι καὶ ὁ στρατιώτης, ὅταν μυρία τραύματα καὶ [illegible] ἐπιδεικνύηται, τότε δυνήσεται λαμπρὸς εἶναι παρὰ τῷ βασιλεῖ· ἂν δὲ μηδὲν ἔχῃ δεῖξαι κατόρθωμα, κἂν μυρία ἦ [illegible], ἐν τοῖς ἐσχάτοις τετάξεται; ἀλλ' οὐκ ἔστι πολέμου καιρός, φησίν. εἰ γὰρ νῦν, εἰπέ μοι, τίς ἂν ἠγωνίσατο; τίς ἂν ἐπεστάθη; τίς ἂν τὴν φάλαγγα διέξωσε; πάντως οὐδείς. ὅταν γὰρ ἴδω ὅτι χρημάτων οὐ καταφρονεῖς ἕνεκεν τοῦ Χριστοῦ, πῶς σοι πιστεύσω ὅτι πληγῶν καταφρονήσεις; εἴ τι φέρεται τὰς ὕβρεις γενναίως, καὶ εὐλογεῖ τις αὐτούς. τοῦτο οὐ ποιεῖς, ἀλλ' ἀντιλοιδορεῖς. ὁ κίνδυνος οὐκ ἔχει, οὐ ποιεῖς, καὶ πληγὰς οἴσεις, εἰπέ μοι, ἔνθα πολὺ τὸ τῆς ὀδύνης καὶ τῆς ἀλγηδόνος; οὐκ ἴστε ὅτι ἐν εἰρήνῃ καὶ τὰ τοῦ πολέμου γυμνάζεσθαι χρή; οὐχ ὁρᾶτε τοὺς στρατιώτας τούτους, οἵ, καὶ μηδενὸς ἐνοχλοῦντος πολέμου, ἀλλ' εἰρήνης οὔσης βαθείας, τὰ ὅπλα ἀποσμήξαντες, καὶ μετὰ τῶν διδασκάλων τῶν τακτικὰ διδασκόντων αὐτούς, εἰς ὕπαιθρα πεδία καὶ [illegible] καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν ἐξιόντες, τὰ τοῦ πολέμου γυμνάζονται μετὰ πολλῆς τῆς ἀκριβείας; τίς τοῦτο εἰργάσατο τῶν πνευματικῶν στρατιωτῶν; οὐδὲ εἷς. διὰ τοῦτο ἐν τοῖς πολέμοις [illegible] καὶ [illegible]σοι, καὶ πᾶσιν εὐάλωτοι γινόμεθα. πόσης δὲ νωθείας τὸ μὴ ἡγεῖσθαι πολέμου καιρὸν εἶναι τὸν παρόντα, τοῦ Παύλου βοῶντος,

β. Τιμ. γ΄. ιβ΄. Πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται·

Ἰωαν. ις΄. λγ΄. καὶ τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· καὶ πάλιν τοῦ μακαρίου Παύλου

Ἐφ. ς΄. ιβ΄. ιδ΄. λαμπρᾷ τῇ φωνῇ βοῶντος, καὶ λέγοντος, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· καὶ πάλιν, Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· καὶ οὐδεὶς ἐκείνων εἶπε τότε, τί ὁπλίζεις ἡμᾶς, πολέμου οὐκ ὄντος; τί μάτην ἡμῖν πράγματα παρέχεις; θορυβίζεις τοὺς στρατιώτας, δέον ἀναπαύεσθαι καὶ ἡσυχάζειν. ἀλλ' εἴπερ τις εἶπε ταῦτα, αὐτίκ' ἤνεγκαν ἄν. μάλιστα μὲν οὖν, εἰ καὶ μὴ νῦν πόλεμος, ἔδει τὰ τοῦ πολέμου μεριμνᾶν. ὁ γὰρ ἐν εἰρήνῃ τὰ τῆς μάχης φροντίζων, φοβερὸς ἔσται ἐν τῷ καιρῷ τῆς μάχης· ὁ δὲ ἄπειρος τῶν πολεμικῶν, μᾶλλον θορυβηθήσεται καὶ ἐν εἰρήνῃ. τί δήποτε; ὅτι δακρύσει μὲν [illegible] ἐνέχει, καὶ ὅτι μὴ δυνάμενος ὑπερμαχεῖν αὐτῶν, ὀδυνηθήσεται. τοῦ γὰρ δειλοῦ καὶ ἀπείρου καὶ πρὸς τὰς μάχας βαναύσου τὰ κτήματα, πάντων ἐστὶ τῶν ἀνδρείων καὶ πολεμικῶν εἰδότων. ὥστε διὰ τοῦτο [illegible] ὑμᾶς ὁπλίζω. ἔπειτα δὲ καὶ πολέμου καιρὸς πᾶς ὁ τῆς ζωῆς ἡμῶν ἐστι χρόνος. πῶς καὶ τίνι τρόπῳ; ὁ διάβολος ἐφέστηκεν ἀεί. ἄκουσον τί περὶ αὐτοῦ φησι·

α. Πετ. ε΄. η΄. Περιέρχεται ὠρυόμενος, ὡς λέων ἁρπάσαι θέλων. σωματικὰ πάθη μυρία ἐπιτίθεται ἡμῖν, ἅπερ ἀναγκαῖον διελθεῖν, ἵνα μὴ μάτην ἑαυτοὺς ἀπατῶμεν. τί γάρ, εἰπέ μοι, ἡμῖν οὐ πολεμεῖ; πλοῦτος, κάλλος, τρυφή, δυναστεία, ἐξουσία, βασκανία, δόξα, ἀπόνοια; οὐ γὰρ μόνον ἡ ἡμετέρα δόξα πολεμεῖ κωλύουσα πρὸς ταπεινοφροσύνην κατατείνειν, ἀλλὰ καὶ ἡ ἑτέρων εἰς φθόνον ἡμᾶς καὶ βασκανίαν ἐξάγουσα. τί δὲ τὰ ἐναντία, πενία, ἀτιμία, τὸ καταφρονεῖσθαι, τὸ ἀπερρῖφθαι, τὸ μηδεμίαν ἔχειν ἰσχύν; ἀλλὰ ταῦτα μὲν ἐν ἡμῖν· τὰ δὲ παρὰ ἀνθρώπων, πονηρίαι, ἐπιβουλαί, δόλοι, συκοφαντίαι, περιστάσεις μυρίαι. ὁμοίως καὶ τὰ παρὰ τῶν δαιμόνων, ἀρχαί, ἐξουσίαι, κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου, τὰ πνευματικὰ τῆς πονηρίας. ἄλλοι ἐσμὲν χαίροντες, ἄλλοι ἀλγοῦντες. ἀμφότερα [illegible]. ἀλλ' ὑγεία, ἀλλ' ἀσθένεια. πόθεν οὐχ ἁμαρτήσεταί τις; βούλεσθε καὶ ἀπὸ τοῦ Ἀδὰμ ἀρξάμενος ὑμῖν εἴπω εὐθέως ἀπὸ τῆς ἀρχῆς; τί τὸν πρωτόπλαστον εἷλεν; ἡδονή, καὶ βρώματα, καὶ φιλαρχίας ἔρως. τί [τὸν μετ' ἐκεῖνον] τὸν υἱὸν τὸν ἐκείνου; βασκανία, καὶ φθόνος. τί τοὺς ἐπὶ Νῶε; συμμιγεῖς ἡδοναί, καὶ τὸ ἀπὸ τούτων πικρότατον κακόν. τί τὸν υἱὸν τούτου; ὕβρις, καὶ ἀδικία. τί τοὺς Σοδομίτας; ὕβρις, καὶ ἀσέλγεια, καὶ πλησμονὴ ἄρτων. πολλάκις δὲ καὶ πε-

νία

νίαν τοῦτο ποιεῖ. διὰ τοῦτο σοφός τις ἔλεγε· Πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς. μᾶλλον δὲ οὐ Παρ. λ. η. πλοῦτος, οὐδὲ πενία, ἀλλ' ἡ μὴ δυναμένη τούτοις ἑκατέροις προαίρεσις χρήσασθαι. Ἐπί- Σειρ. θ. ιγ. γνωθι, φησὶν, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις. θαυμαστῶς εἶπεν ὁ μακάριος Παῦλος, Εἰς τοῦτο κείμεθα. οὐκ εἶπεν ἁπλῶς, ὅτι πειραζόμεθα, ἀλλ', Εἰς τοῦτο κείμεθα, ἀντὶ τοῦ, εἰς τοῦτο ἐγεννήθημεν. τοῦτο γὰρ ἔργον ἡμῶν, οὗτος ὁ βίος, καὶ σὺ ἀνάπαυσιν ζητεῖς; οὐκ ἐφέστηκεν ὁ δήμιος τὴν πλευρὰν κατατέμνων, καὶ θύσαι καταναγκάζων· ἀλλ' ἐφέστηκεν ἐπιθυμία σφοδρὰ χρημάτων καὶ πλεονεξίας, ἐξορύττουσα τοὺς ὀφθαλμοὺς ἡμῶν. οὐδεὶς στρατιώτης πυρὰν ἡμῖν ἀνῆψεν, οὐδὲ ἔθηκεν ἐπὶ κεφαλῆς· ἀλλ' ὁ τῶν σωμάτων φλεγμὸς μᾶλλον ἐκείνων ἐξάπτει τὴν ψυχήν. οὐ πάρεστι βασιλεὺς μυρία ἐπαγγελλόμενος ἀγαθὰ καὶ δυσωπῶν· ἀλλὰ πάρεστιν ἡ δοξομανία χεῖρον ἐκείνου γαργαλίζουσα. μέγας πόλεμος οὕτως, καὶ πολὺ μέγας, ἂν ἐθέλωμεν νήφειν. ἔχει στεφάνους καὶ ὁ παρὼν καιρός. ἄκουε Παύλου λέγοντος· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής· οὐ μόνον β. Τιμ. δ. η. δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. ὅταν ἀπολέσῃ παιδίον ἀγαπητὸν μονογενὲς, ἐν πλούτῳ πολλῷ τρεφόμενον, ἐλπίδας ὑποφαῖνον χρηστὰς, αὐτό σοι μέλλον μόνον διαδέχεσθαι τὸν κλῆρον, μὴ στέναξε, ἀλλ' εὐχαρίστησον τῷ Θεῷ, καὶ δόξαζε τὸν εἰληφότα· καὶ οὐδὲν ἔσῃ τοῦ Ἀβραὰμ κατὰ τοῦτο χείρων. καθάπερ γὰρ ἐκεῖνος τῷ Θεῷ ἔδωκε κελεύσαντι, οὕτω σὺ λαβόντος αὐτοῦ οὐκ ἐστέναξας. νόσῳ περιέπεσες χαλεπῇ, καὶ πολλοὶ παραγίνονται διαναγκάζοντες, οἱ μὲν ἐπῳδαῖς, οἱ δὲ περιάμμασιν, οἱ δὲ ἑτέροις τισὶ παραμυθήσασθαι τὸ κακόν; διὰ τὸν τοῦ Θεοῦ φόβον ἤνεγκας γενναίως καὶ ἀκλινῶς, καὶ πάντα ἂν εἵλου παθεῖν ἢ ὑποστῆναί τι τῶν εἰδωλικῶν πρᾶξαι; τοῦτό σοι μαρτυρίου στέφανον φέρει. καὶ μὴ ἀμφίβαλλε. καὶ πῶς, καὶ τίνι τρόπῳ; ἐγὼ λέγω. ὅτι καθάπερ ἐκεῖνος τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει γενναίως, ὥστε μὴ προσκυνῆσαι τὸ εἴδωλον, οὕτω καὶ σὺ τὰς ἀπὸ τῆς νόσου φέρεις ἀλγηδόνας, ὥστε μηδενὸς δεηθῆναι τῶν παρ' ἐκείνου, μηδὲ πρᾶξαι ἅπερ ἐπιτάττει. ἀλλὰ σφοδρότεραι ἐκεῖναι; ἀλλ' αὗται μακρότεραι, ὥστε εἰς ἴσον καταλήγει. πολλάκις δὲ καὶ σφοδρότεραι. τί γὰρ, εἰπέ μοι, ὅταν καύσων ἔνδον ἐνοχλῇ καὶ φλέγῃ, καὶ τῶν ἄλλων παραινούντων ἀποσείσῃ τὴν ἐπῳδὴν, οὐχὶ μαρτυρίου στέφανον ἀνεδήσω; πάλιν ἀπώλεσέ τις χρήματα· πολλοὶ οἱ παραινοῦντες πρὸς μάντεις ἀπελθεῖν· σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον (ἐπειδὴ κεκώλυται) εἵλου μᾶλλον μὴ λαβεῖν τὰ χρήματα, ἢ παρακοῦσαι τοῦ Θεοῦ· ἴσον ἔχεις τὸν μισθὸν τῷ εἰς πένητας αὐτὰ δεδωκότι. ἂν ἀπολέσας εὐχαριστήσῃς, καὶ δυνάμενος πρὸς μάντεις ἀπελθεῖν, αἱρῇ μὴ λαβεῖν αὐτὰ μᾶλλον, ἢ οὕτω λαβεῖν, ἴσον ἔχεις εἰς κέρδος τῷ διὰ τὸν Θεὸν κενώσαντι ταῦτα. καθάπερ γὰρ ἐκεῖνος διὰ τὸν τοῦ Θεοῦ φόβον εἰς τοὺς δεομένους ἐκένωσεν, οὕτω καὶ σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον, ἁρπασάντων ἐκείνων, οὐκ ἀνέλαβες. ἡμεῖς κύριοι καὶ τοῦ ἀδικεῖν ἑαυτοὺς, καὶ τοῦ μή· ἕτερος δὲ οὐδείς. καὶ, εἰ βούλεσθε, ἐπ' αὐτῆς τῆς κλοπῆς τὸ πρᾶγμα γυμνάσωμεν. διέτεμε τὸν τοῖχον ὁ κλέπτης, εἰσεπήδησεν εἰς τὸν θάλαμον, ἐξεφόρησε χρυσία πολυτίμητα, καὶ λίθους τιμίους, ἁπλῶς θησαυρὸν ὁλόκληρον ἐξέβαλε, καὶ οὐχ ἑάλω. τὸ μὲν γενόμενον, βαρὺ, καὶ δοκεῖ ζημία τὸ πρᾶγμα εἶναι, οὐκ ἔστι δὲ οὐδέπω· ἀλλ' ἐν σοὶ κεῖται ἢ ζημίαν αὐτὸ ποιῆσαι, ἢ κέρδος. καὶ πῶς ἂν γένοιτο τοῦτο κέρδος, φησίν; ἐγὼ τοῦτο ἀποδεῖξαι πειράσομαι πῶς. σοῦ βουλομένου, κέρδος ἔσται μέγα· μὴ βουληθέντος δὲ, χαλεπωτέρα τῆς γενομένης ζημία. καθάπερ γὰρ ἐπὶ τῶν τεχνιτῶν ὕλης ὑποκειμένης ὁ μὲν ἔμπειρος τῆς τέχνης εἰς δέον αὐτῇ κέχρηται, ὁ δὲ ἄπειρος ἠφάνισε, καὶ ἐποίησεν αὐτοῦ ζημίαν· οὕτω καὶ ἐπὶ τῶν πραγμάτων. πῶς οὖν ἔσται κέρδος; ἂν εὐχαριστήσῃς τῷ Θεῷ, ἂν μὴ κωκύσῃς ὀξὺ, ἀλλὰ τὰ τοῦ Ἰὼβ εἴπῃς ῥήματα· Ὁ Κύ- Ιαβ. α. κα. ριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. τί λέγεις, ὁ Κύριος ἀφείλετο; ὁ κλέπτης ἀφείλετο, καὶ πῶς δυνήσῃ, φησὶν, εἰπεῖν,

πεῖν, ὁ Κύριος ἀφείλετο; μὴ θαυμάσῃς. καὶ γὰρ καὶ ὁ Ἰὼβ, ἃ ὁ διάβολος ἀφείλετο, ταῦτα ἔφησεν ὁ Κύριος ἀφείλετο. εἰ δὲ ἐκεῖνος οὕτως ἐθάῤῥησεν εἰπεῖν, πῶς ἃ ὁ κλέπτης ἔλαβεν, οὐκ ἐρεῖς σὺ, ὅτι ὁ Κύριος ἀφείλετο; τίνα θαυμάζεις, εἰπέ μοι; τὸν τὰ αὐτοῦ κενώσαντα εἰς πένητας, ἢ τὸν Ἰὼβ ἐπὶ τῶν ῥημάτων τούτων; ἆρα μὴ ἔλαττον ἔχει τὴν ἐλεημοσύνην δόντων ἐκεῖνος, ὁ μὴ δοὺς τότε; μὴ γὰρ εἴπῃς, οὐκ ἔχω χάριν· οὐκ ἐμῆς γνώμης τὸ πρᾶγμα ἦν, οὐκ εἰδότος, οὐδὲ βουλομένου, ὁ λῃστὴς ἔλαβε. ποῖος ἔσται μοι μισθός; οὐδὲ τοῦ Ἰὼβ εἰδότος, οὐδὲ βουλομένου, ταῦτα ἔλαβε. πῶς γάρ; ἀλλ' ὅμως ἤθλησεν. ἔξεστι δὲ καὶ σοὶ τοσοῦτον λαβεῖν μισθὸν, ὅσον ἂν, εἰ ἑκὼν ἔῤῥιψας αὐτά. καὶ εἰκότως τοῦτον μᾶλλον θαυμάζομεν τὸν ἐπηρείας εὐχαρίστως φέροντα, ἢ τὸν ἑκόντα διδόντα. τί δήποτε; ὅτι ἐκεῖνος μὲν τοῖς ἐπαίνοις τρέφεται, καὶ τῷ συνειδότι, καὶ χρηστὰς ἔχει τὰς ἐλπίδας· καὶ προαιρέσει γενναίως ἐνεγκὼν τὴν στέρησιν τῶν χρημάτων, τότε αὐτὰ ἔῤῥιψεν· οὗτος δὲ ἔτι προσδεδεμένος ἀφῃρέθη βίᾳ. οὐκ ἔστι δὲ ἴσον, προαιρέσει πεισθέντα ἀποστῆναι χρημάτων, οὕτως αὐτὰ κενῶσαι, καὶ ἐπὶ αὐτῶν κρατοῦντα ἀποστερηθῆναι. ἂν ταῦτα εἴπῃς τὰ ῥήματα, λήψῃ πολλαπλασίονα, καὶ πλείονα ἢ ὁ Ἰώβ. ἐκεῖνος μὲν γὰρ τὰ διπλασίονα ἐνταῦθα ἔλαβε· σοὶ δὲ ὁ Χριστὸς ἑκατονταπλασίονα ἐπηγγείλατο. οὐκ ἐβλασφήμησας διὰ τὸν φόβον τοῦ Θεοῦ; οὐκ ἐχρήσω μάντεσιν; εὐχαρίστησας κακῶς παθών; ὅμοιος εἶ τῷ καταπεφρονηκότι. καὶ γὰρ καὶ ταῦτα οὐ γίνεται, ἂν μὴ καταφρονήσῃς προαιρέσει. οὐκ ἔστι δὲ ἴσον ἐν πολλῇ χρείᾳ μὴ θελῆσαι καταφρονῆσαι τῶν χρημάτων, καὶ ἀθρόον ζημίαν συμβᾶσαν ἐνεγκεῖν. οὕτω γίνεται κέρδος ἡ ζημία, καὶ οὐδὲ βλαβήσῃ, ἀλλὰ καὶ ὠφεληθήσῃ παρὰ τοῦ διαβόλου. πῶς δὲ καὶ ζημία γίνεται χαλεπή; ὅταν τὴν ψυχὴν ζημιωθῇς. εἰπὲ γάρ μοι, ἀπεστέρησέ σε χρημάτων ὁ κλέπτης; διὰ τί σὺ σαυτὸν ἀποστερεῖς σωτηρίας; διὰ τί ἀλγῶν ἐφ' οἷς παρ' ἑτέρων κακῶς ἔπαθες, αὐτὸς πλείοσι περιβάλλεις σαυτὸν κακοῖς; ἐκεῖνός σε ἴσως πενίᾳ περιέβαλε, σὺ δὲ σαυτὸν ἐν τοῖς καιρίοις μάλιστα καταβλάπτεις [κακούργως]· ἐκεῖνος ἀπεστέρησέ σε τὰ ἐκτός σου ὄντα, καὶ ὕστερον καὶ ἄκοντός σου ἀποπηδήσοντα· σὺ δὲ τὸν αἰώνιον πλοῦτον σαυτὸν ἀφαιρῇ. ἐλύπησέ σε ὁ διάβολος ἀφελόμενος τὰ χρήματα; λύπησον αὐτὸν καὶ σὺ εὐχαριστήσας, καὶ μὴ εὐφράνῃς. ἂν πρὸς μάντεις ἀπέλθῃς, εὔφρανας· ἂν εὐχαριστήσῃς τῷ Θεῷ, καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. καὶ ὅρα τί γίνεται. οὔτε αὐτὰ εὑρήσεις ἀπελθὼν πρὸς τοὺς μάντεις (οὐ γὰρ ἔστιν ἐκείνων εἰδέναι) εἰ δέ που καὶ εἶπον ἐπιτυχόντες, καὶ τὴν ψυχὴν προσαπολλύεις, καὶ ὑπὸ τῶν ἀδελφῶν καταγελασθήσῃ τῶν σῶν, καὶ πάλιν αὐτὰ κακῶς ἀπολεῖς. ὁ γὰρ δαίμων εἰδὼς ὅτι ζημίαν οὐ φέρεις, ἀλλ' ὑπὲρ τούτων καὶ τὸν Θεόν σου ἀρνῇ, πάλιν χρήματα δίδωσιν, ἵνα ἀφορμὴν ἔχῃ τοῦ πάλιν σε ἀπατῆσαι, καὶ ἀποστῆσαι. εἰ δὲ καὶ λέγουσιν οἱ μάντεις, μὴ θαυμάζετε. ἀσώματός ἐστιν ὁ δαίμων, πανταχοῦ περίεισιν· αὐτὸς αὐτοὺς ὁπλίζει τοὺς λῃστάς. οὐ γὰρ ἄνευ δαίμονος ταῦτα γίνεται. εἰ τοίνυν ὁπλίζει τούτους, καὶ οἶδε καὶ ποῦ κατατίθενται· οὐκ ἀγνοεῖ τοὺς αὐτοῦ ὑπηρέτας. οὐκ ἔστι δὲ θαυμαστὸν τοῦτο. ἂν ἴδῃ ἀλγοῦντά σε τῇ ζημίᾳ, καὶ ἐπιρρεῖ ἐπάγει· ἂν ἴδῃ καταγελῶντα, καὶ καταφρονοῦντα, ἀποστήσεται ταύτης τῆς ὁδοῦ. καθάπερ γὰρ ἡμεῖς ἐκεῖνα τοὺς ἐχθροὺς διατιθέμεθα ἐν οἷς λυποῦμεν αὐτούς· ἂν δὲ ἴδωμεν ὅτι οὐκ ἀλγοῦσιν, ἀφιστάμεθα λοιπόν, ὡς οὐκ ἔχοντες αὐτοὺς δακεῖν, οὕτω καὶ ὁ διάβολος. τί λέγεις; οὐχ ὁρᾷς τοὺς ἐν τῇ θαλάσσῃ πλέοντας, πῶς οὐ φροντίζουσι χρημάτων, χειμῶνος γινομένου, ἀλλὰ καὶ τὰ ὄντα ῥίπτουσι; καὶ οὐδεὶς λέγει, τί ποιεῖς, ἄνθρωπε; τῷ χειμῶνι συμπράττεις, καὶ τῷ ναυαγίῳ; πρὶν ἤ σε τὸ κῦμα τὸν πλοῦτον ἀφέληται, σὺ ταῖς σαυτοῦ χερσὶ τοῦτο ποιεῖς; τί πρὸ τοῦ ναυαγίου ναυαγίῳ περιβάλλεις σαυτόν; ἀλλὰ ταῦτα μὲν εἴποι ἀγροῖκος ἄνθρωπος, καὶ τῆς ἐν θαλάττῃ πραγματείας ἄπειρος· ὁ μέντοι ναυτικὸς, καὶ τί μὲν ἐργάζεται γαλήνην, τί δὲ ποιεῖ χειμῶνα ἀκριβῶς ἐπιστάμενος, καὶ καταγελάσεται τοῦ ταῦτα λέγοντος. διὰ γὰρ τοῦτο ῥίπτω, φησὶν, ἵνα μὴ κλυδώνιον γένηται. οὕτω καὶ ὁ ἔμπειρος τῶν ἐν τῷ βίῳ πρα-

γμάτων

γμάτων καὶ τῆς περιουσίας, ὅταν ἴδῃ τὸ χαλεπὸν ἐπιφαινόμενον, καὶ τὰ πνευματικὰ τῆς ποιείας ναυάγιον ἐργάσασθαι βουλόμενα, καὶ τὰ λείποντα τῶν χρημάτων ῥίπτει. ἐπῆλθε κλοπή σοι; ποίησον ἐλεημοσύνην, καὶ κουφίζεις τὸ πλοῖον. ἥρπασεν ὁ λῃστής; σὺ δὸς τὰ λείψανα τῷ Χριστῷ. οὕτω καὶ τὴν ἐπὶ τοῖς προτέροις παραμυθήσῃ πενίαν. κούφισον τὸ πλοῖον, μὴ καταποντίσῃς σεαυτὸν, ἵνα μὴ περιτραπῇ τὸ σκάφος. ἐκεῖνοι, ἵνα σώματα φυλάξωσιν, ἐκβολὴν ποιοῦνται τῶν σκευῶν, καὶ οὐ περιμένουσι τὸ κῦμα ἐπελθὸν περιτρέψαι τὸ σκάφος· σὺ ἵνα ψυχὰς σώσῃς, οὐ παύσεις τὸ ναυάγιον; περισώσεις, εἰ ἀπιστεῖτε, παρακαλεῖ περισώσαντες, καὶ ὄψεσθε τὴν δόξαν τοῦ Θεοῦ. ὅταν σοί τι λυπηρὸν συμβῇ, δὸς ἐλεημοσύνην εὐθέως· εὐχαρίστησον ὅτι συνέβη· καὶ ὄψει πόσην χαρὰν ἐναπορχεῖται. τὸ γὰρ κέρδος τὸ πνευματικὸν κἂν ὀλίγον ᾖ, τοσοῦτόν ἐστιν, ὡς πᾶσαν ἀποκρύψαι ζημίαν σωματικήν. ἕως ἂν ἔχῃς διδόναι τῷ Χριστῷ, πλουτεῖς. εἰπέ μοι, εἰ συληθέντι σοι προσελθὼν ὁ βασιλεὺς χεῖρα προὔτεινεν ἀξιῶν τι λαβεῖν παρὰ σοῦ, ἆρα οὐκ ἂν ἐνόμισας πάντων εἶναι πλουσιώτερος, εἰ μηδὲ μετὰ τοσαύτην πενίαν ἐπαισχύνεταί σε ὁ βασιλεύς; μὴ σὺ ἁρπαγῆς μόνον κρατήσῃς σαυτοῦ, καὶ κρατήσεις τῆς τοῦ διαβόλου ἐπιβουλῆς. ἔξεστί σοι κερδῆσαι μεγάλα. καταφρονήσωμεν πλούτου, ἵνα μὴ καταφρονήσωμεν τῆς ψυχῆς. πῶς δ᾽ ἄν τις καταφρονήσειεν; οὐχ ὁρᾶτε τὰ λαμπτῆρα τῶν σωμάτων, καὶ οὐδὲν ἐρευνῶσαι αὐτὴν, ἕως μὲν ἂν ἐν ὄψεσιν ᾖ, ἐκχεῖται τὸ πῦρ, λαμπροτέρα δύνασιν ἡ φλόξ· ἐπειδὰν δέ τις αὐτοῖς ἀπαγάγῃ πόρρω, πολλάκις ἔσβεσται, πάντα ἀχρήματα. οὕτω καὶ ἐπὶ τοῦ πλούτου. μηδεὶς χρυσία κατασκευαζέτω, μηδεὶς λίθους τιμίους, μηδεὶς περιδέρραια. δελεάζει τοὺς ὀφθαλμοὺς ὀφθέντα. εἰ καὶ βούλει πλουτεῖν ὡς οἱ παλαιοὶ, πλούτει μὴ ἐν χρυσίῳ, ἀλλ᾽ ἐν τοῖς ἀναγκαίοις, ἵνα καὶ ἐξ ἑτοίμου παρέχῃς τοῖς ἄλλοις. μὴ φιλόκοσμος ἔσο. ὁ τοιοῦτος πλοῦτος καὶ τοῖς λῃσταῖς ἐστιν εὐεπιβούλευτος, καὶ ἡμῖν παρέχει φροντίδας. μὴ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ κτῶ, ἀλλ᾽ ἔστωσαν ἀποθῆκαι σίτου, οἴνου, ἐλαίου. ἔστωσαν, οὐχ ἵνα πάλιν διαπωλήσαντες ἀργύριον ἐργάσωνται, ἀλλ᾽ ἵνα τοῖς δεομένοις χορηγῶνται. οὕτως ἀπάγωμεν ἑαυτοὺς ἐκείνων τὴν περιττὴν, ἐπιτευξόμεθα τῶν οὐρανίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ.

Λογ. δ. 5 ΔΙΑ ΤΟΥΤΟ ΚΑΓΩ ΜΗΚΕΤΙ ΣΤΕΓΩΝ
ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων,
καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. 6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς
ἡμᾶς ἀφ᾽ ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς
ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς, 7 Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ᾽ ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως·
8 Ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.

ΖΗτημα πρόκειται τήμερον ἡμῖν παρὰ πολλῶν ζητούμενον, καὶ πολλαχόθεν συλλεγόμενον. τί δὲ τὸ ζήτημά ἐστι; Διὰ τοῦτο, φησὶ, κἀγὼ μηκέτι στέγων ἔπεμψα Τιμόθεον εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν. τί λέγεις; ὁ τοσαῦτα εἰδὼς, ὁ ἀπόρρητα ἀκούσας ῥήματα, ὁ μέχρι τρίτου ἀνελθὼν οὐρανοῦ, ἐνταῦθα οὐκ οἶδε, καὶ ἐν Ἀθήναις ὤν; καίτοι οὐ πολλοῦ ὄντος τοῦ διαστήματος, οὐδὲ πρὸ πολλοῦ χωρισθεὶς αὐτῶν (ἀπορφανισθέντες γάρ, φησιν, ἀφ᾽ ὑμῶν πρὸς καιρὸν ὥρας) οὐκ οἶδεν οὐ ὁ τοιοῦτος τὰ Θεσσαλονικέων, ἀλλ᾽ ἀναγκάζεται πέμψαι Τιμόθεον εἰς τὸ γνῶναι τὴν πίστιν αὐτῶν, μή a Θεσ. β ιζ.
πως ἐπείρασεν ὑμᾶς, φησὶν, ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν; τί οὖν δῆλος εἴποις

ποις

ποι; ὅτι οὐ πάντα ἠδύνασαν οἱ ἅγιοι; καὶ ὅτι οὐκ ἠδύνασαν, πολλαχόθεν ἄν τις μάθοι, ἀπό τε τῶν
προφητῶν, ἀπό τε τῶν μετὰ ταῦτα. καθάπερ Ἐλισσαῖος περὶ τῆς γυναικὸς ἠγνόησε· κα-
δ. Βασ. δ. γ. Βασ. ιθ. ι. θάπερ Ἠλίας ἔλεγε πρὸς τὸν Θεόν, Ἐγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου·
ιθ. ιη. διὰ τοῦτο ἤκουσε παρὰ τοῦ Θεοῦ, ὅτι Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας· καθάπερ
α. Βασ. ις. ζ. ὁ Σαμουὴλ πάλιν, ἡνίκα ἀπεστάλη χρῖσαι τὸν Δαβίδ. Εἶπε, φησί, Κύριος πρὸς αὐ-
τόν· μὴ προσέχῃς εἰς τὴν ὄψιν αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν τοῦ μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα
αὐτόν· ὅτι οὐχ ὡς ἄνθρωπος, ἐμβλέπει ὁ Θεός· ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ
Θεὸς εἰς καρδίαν. τοῦτο δὲ γέγονε κατὰ πολλὴν τοῦ Θεοῦ κηδεμονίαν. πῶς καὶ τίνι τρόπῳ; αὐ-
τῶν τε ἕνεκεν τῶν ἁγίων, καὶ τῶν πιστευόντων αὐτοῖς. καθάπερ γὰρ καὶ διωγμοὺς συγχωρεῖ γί-
νεσθαι, οὕτως αὐτοὺς συγχωρεῖ πολλὰ καὶ ἀγνοεῖν, ἵνα καταστέλλωνται. διὰ τοῦτο καὶ Παῦλος
β. Κορ. ιβ. ζ. ἔλεγεν· Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρω-
μαι. καὶ πάλιν, ἵνα καὶ οἱ ἄλλοι μὴ μεγάλα περὶ αὐτῶν φαντάζωνται. εἰ γὰρ ἀπὸ ση-
μείων θεοὺς αὐτοὺς εἶναι ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ διαπαντὸς ἐπιστάμενοι τὰ πάντα εἰδό-
β. Κορ. ιβ. ς. τες. καὶ τοῦτο καὶ αὐτὸς πάλιν φησίν· Ἵνα μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκού-
ει ἐξ ἐμοῦ. καὶ πάλιν ἄκουε τοῦ Πέτρου λέγοντος, ἡνίκα τὸν χωλὸν ἐθεράπευσε· Τί ἡμῖν ἀ-
Πραξ. γ. ιβ. τενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ τοῦτο πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; εἰ δὲ καὶ αὐτῶν
τοῦτο λεγόντων καὶ ποιούντων, ὅμως καὶ ἀπὸ τῶν ὀλίγων καὶ μικρῶν οὕτως ἐτίκτοντο ὑπόνοιαι
πονηραί, πολλῷ μᾶλλον ἀπὸ τῶν μεγάλων. καὶ δι' ἕτερον δὲ ταῦτα συνεχωρεῖτο. ἵνα γὰρ
μή τις ἔχῃ λέγειν, ὅτι οὐχὶ ἄνθρωποι ὄντες κατώρθωσαν ἅπερ κατώρθωσαν, καὶ οὕτω πάντες
ὕπτιοι γίνωνται, διὰ τοῦτο δείκνυσιν αὐτοὺς ὄντας ἐν ἀσθενείᾳ, ἵνα τῶν ἀγωνίζεσθαι βουλο-
μένων πᾶσαν ἐγκόψῃ ῥᾳθυμίας πρόφασιν. διὰ τοῦτο ἀγνοεῖ, διὰ τοῦτο καὶ πολλάκις προ-
θέμενος οὐκ ἔρχεται· ἵνα μάθωσιν, ὅτι πολλὰ οὐκ οἶδε. πολὺ δὲ ἦν ἐκ τούτου τὸ κέρδος ἰδεῖν.
εἰ γὰρ ἂν ἦσαν ἔτι καὶ οὕτω λέγοντές τινες, ὅτι οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη, [καὶ
ἄλλοι τινές, ὅτι ὁ δεῖνα, καὶ ὁ δεῖνα,] εἰ μὴ ταῦτα ἐγίνοντο, τί οὐκ ἂν ἐνόμισαν; ἐνταῦθα δὲ
δοκεῖ μέν τισιν εἶναι αὐτῶν κατηγορία· τῷ δὲ ἀκριβῶς σκοποῦντι καὶ πολὺ τὸ θαῦμα αὐτῶν ἐμ-
φαίνει, καὶ τῶν πειρασμῶν ἡ ὑπερβολὴ δείκνυται. πῶς; πρόσεχε. εἰ γὰρ προεῖπεν
αὐτοῖς ὅτι εἰς τοῦτο κείμεθα (καὶ μηδεὶς θορυβείσθω) τί πάλιν πέμπεις τὸν Τιμόθεον, ὥσπερ
δεδοικὼς μή τι γένηται ὧν οὐ βούλει; τοῦτο μὲν οὖν ἀπὸ πολλῆς ἀγάπης ποιεῖ (οἱ γὰρ φιλοῦν-
τες καὶ τὰ ἀσφαλῆ ὑποπτεύουσιν ἀπὸ τῆς πολλῆς θερμότητος) τοῦτο δὲ ἀπὸ τῶν πολλῶν
πειρασμῶν. εἶπον μὲν γὰρ ὅτι εἰς τοῦτο κείμεθα· ἡ δὲ ὑπερβολὴ τῶν κακῶν ἐφόβησέ με.
διὸ οὐκ εἶπεν, ὅτι καταγνοὺς ὑμῶν ἀποστέλλω, ἀλλά, μηκέτι στέγων· ὃ μᾶλλον φιλίας ἦν.
τί ἐστι, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων; ὁρᾷς ὅτι τὸ ἐν ταῖς θλίψεσι σαλεύεσθαι, δια-
βολικόν ἐστι, καὶ τῆς ἐκείνου παρατροπῆς; ὅταν γὰρ ἡμᾶς αὐτοὺς μὴ δυνηθῇ ἑτέρως, δι' ἡμῶν
τοὺς ἀσθενεστέρους παρασαλεύει, ὅπερ ὑπερβαλλούσης ἀσθενείας ἐστί, καὶ οὐδεμίαν ἐχούσης
Ιωβ. β. θ. ἀπολογίαν· καθάπερ ἐπὶ τοῦ Ἰὼβ πεποίηκε, τὴν γυναῖκα διεγείρας. Εἰπέ τι ῥῆμα,
φησί, πρὸς Κύριον, καὶ τελεύτα. ἴδε πῶς αὐτὴν ἐπείρασε. διὰ τί δὲ μὴ εἶπεν, ἐσάλευ-
σεν, ἀλλ', ἐπείρασεν; ὅτι τοσοῦτον, φησίν, ὑπώπτευσα μόνον, ὅσον πειρασθῆναι ὑμᾶς. οὐ
γὰρ δὴ τὴν πεῖραν αὐτοῦ σάλον καλεῖ. ὁ γὰρ δεχόμενος αὐτοῦ τὴν προσβολήν, ἐσαλεύ-
θη. βαβαί, πόση φιλοστοργία τοῦ Παύλου; οὐκ ἔμελεν αὐτῷ τῶν θλίψεων, οὐδὲ τῶν ἐπι-
βουλῶν. οἶμαι γὰρ αὐτὸν ἐκεῖ τότε μεμενηκέναι· καθάπερ φησὶν ὁ Λουκᾶς, ὅτι ἐν τῇ Ἑλ-
Πραξ. κ. γ. λάδι ἔμεινε τρίμηνον, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων. οὐκ ἔμελεν οὖν
αὐτῷ τῶν κινδύνων, ἀλλὰ τῶν μαθητευομένων. ὁρᾷς ὅτι πάντα φυσικὸν πατέρα ὑπερη-
λύθη; ἡμεῖς μὲν γὰρ ἐν ταῖς θλίψεσι καὶ τοῖς κινδύνοις πάντων τὴν μνήμην ἐκβαλλόμεθα·
αὐτὸς δὲ οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν ὑπὲρ τῶν παίδων, ὡς καὶ ὃν μόνον εἶχε παραμυθίαν, τὸν
Τιμόθεον,

Τιμόθεον, καὶ κοινωνὸν καὶ συνεργόν, τοῦτον ἐν αὐτοῖς τοῖς κινδύνοις πέμψαι πρὸς αὐτούς. Καὶ εἰς κενόν, φησί, γένηται ὁ κόπος ἡμῶν. Διατί; Εἰ γὰρ καὶ περιετράπησαν, οὐ παρὰ τὴν σὴν αἰτίαν, οὐ παρὰ τὴν σὴν ῥᾳθυμίαν. Ἀλλ' ὅμως καὶ τούτων ὄντων κεκενῶσθαί μοι τὸν κόπον νομίζω ἀπὸ τῆς πολλῆς φιλαδελφίας. Μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων. Πειράζει δὲ οὐκ εἰδὼς εἰ καταβαλεῖ. Εἰ τοίνυν ἐκεῖνος μὲν καὶ ὡς οὐκ εἰδὼς ἐπιχειρεῖ, ἡμεῖς δὲ εἰδότες ὅτι σφόδρα αὐτοῦ περιεσόμεθα, οὐ νήφομεν; Ὅτι δὲ οὐκ εἰδὼς ἡμῖν προσβάλλει, ἐπὶ τοῦ Ἰὼβ ἐδήλωσεν. Ἔλεγε γὰρ πρὸς τὸν Θεὸν ὁ πονηρὸς ἐκεῖνος δαίμων· Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔσω, καὶ τὰ ἔξω; περίελε αὐτοῦ τὰ ὑπάρχοντα· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. Πειράζει δὲ ἂν ἴδῃ τι ἀσθενές, ἐπεχείρησεν· ἂν ἰσχυρόν, ἀπέστη. Καὶ εἰς κενόν, φησί, γένηται ὁ κόπος ἡμῶν. Ἀκούσωμεν ἅπαντες, πῶς ἔκαμνεν ὁ Παῦλος. Οὐκ εἶπεν, ἔργον, ἀλλ', ὁ κόπος· οὐκ εἶπε, καὶ ὑμεῖς ἀπολεῖσθε, ἀλλ', ὁ κόπος ἡμῶν. Ὥστε εἰ καὶ συνέβη τι, εἰκὸς ἐγένετο. Ἐπειδὴ δὲ οὐ συνέβη, πολὺ τὸ θαῦμα. Ταῦτα μὲν προσεδοκήσαμεν, φησίν, ἐξέβη δὲ τὰ ἐναντία. Οὐ γὰρ μόνον προσθήκην θλίψεως οὐδεμίαν παρ' ὑμῶν ἐλάβομεν, ἀλλὰ καὶ παράκλησιν. Ἄρτι δὲ ἐλθόντος Τιμοθέου, φησί, πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν, καὶ τὴν ἀγάπην ὑμῶν. Καὶ εὐαγγελισαμένου, φησίν. Ὁρᾷς τὴν περιχάρειαν Παύλου; Οὐκ εἶπεν, ἀπαγγείλαντος, ἀλλ', εὐαγγελισαμένου. Τοσοῦτον ἀγαθὸν ἡγεῖτο τὴν ἐκείνων βεβαίωσιν, καὶ τὴν ἀγάπην. Ἀνάγκη γὰρ ἐκείνης βεβαίας μενούσης καὶ ταύτην ἑστηρίχθαι. Καὶ τῇ ἀγάπῃ δὲ αὐτῶν ἔχαιρεν, ὅτι σημεῖον τῆς πίστεως ἦν. Καὶ ὅτι ἔχετε, φησί, μνείαν ἡμῶν ἀγαθὴν, πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς. Τουτέστι, μετ' ἐπαίνων. Οὐχ ὅτι μετὰ ἡμῶν, οὐδ' ὅτι ἐθαυματουργοῦμεν, ἀλλὰ καὶ νῦν, ὅτε πόῤῥω ἐσμέν, καὶ μαστιζόμεθα, καὶ μυρία πάσχομεν δεινά, μνείαν ἡμῶν ἀγαθὴν ἔχετε. Ἀκουέτωσαν πῶς θαυμάζονται οἱ μαθηταὶ μνείαν ἀγαθὴν περὶ διδασκάλων ἔχοντες, πῶς μακαρίζονται. Μιμώμεθα τούτους. Ἡμᾶς γὰρ αὐτοὺς ὠφελοῦμεν, οὐ τοὺς ἀγαπωμένους. Ἐπιποθοῦντες ἡμᾶς, φησίν, ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς. Καὶ τοῦτο δὲ αὐτοὺς εὔφραινε. Τὸ γὰρ μαθεῖν τὸν φιλοῦντα, ὅτι τοῦτο οἶδεν ὁ φιλούμενος, ὅτι φιλεῖται, πολλὴν παραμυθίαν καὶ παράκλησιν. Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. Τί Παύλου ἴσον γένοιτ' ἄν, ὃς τὴν τῶν πλησίον σωτηρίαν ἐνόμιζεν εἶναι τὴν ἑαυτοῦ, καθάπερ σῶμα πρὸς μέλη, οὕτω πρὸς πάντας διακείμενος; Τίς δυνήσεται τοιαύτην ῥῆξαι τὴν φωνὴν νῦν; μᾶλλον δὲ τίς δυνήσεται οὕτω φρονῆσαί ποτε; Οὐκ ἠξίου χάριν αὐτοὺς εἰδέναι αὐτῷ τῶν πειρασμῶν τῶν ὑπὲρ αὐτῶν, ἀλλὰ χάριν αὐτοῖς ᾔδει, ὅτι οὐκ ἐσαλεύθησαν διὰ τοὺς πειρασμοὺς τοὺς αὐτοῦ. Ὡσανεὶ ἔλεγεν, ὅτι ὑμῖν μᾶλλον ἢ ἡμῖν ἀπὸ τῶν πειρασμῶν ἐγένετο βλάβη. Ὑμεῖς ἐπειράσθητε μᾶλλον ἢ ἡμεῖς, ὑμεῖς τὸ μηδὲν παθόντες, ἢ ἡμεῖς οἱ παθόντες. Ἐπειδὴ ταῦτα, φησίν, εὐηγγελίσατο ἡμᾶς ὁ Τιμόθεος, οὐδὲν αἰσθανόμεθα τῶν λυπηρῶν, ἀλλὰ παρεκλήθημεν ἐπὶ πάσῃ τῇ θλίψει· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῇ ἀνάγκῃ ἡμῶν, φησίν. Εἰκότως· διδασκάλου γὰρ ἀγαθοῦ οὐδὲν ἂν ἅψαιτο λύπη, ἕως ἂν τὰ τῶν μαθητῶν κατὰ γνώμην αὐτῷ προχωρῇ. Δι' ὑμῶν, φησί, παρεκλήθημεν, τουτέστιν, ὑμεῖς ἡμᾶς ἐστερεώσατε. Καὶ μὴν τοὐναντίον ἦν. Τὸ γὰρ παθόντας μὴ ἐνδοῦναι, ἀλλὰ στῆναι γενναίως, ἱκανὸν τοὺς μαθητὰς διεγεῖραι. Ἀλλ' αὐτὸς ἀπ' ἐκείνων τοῦτο ποιεῖ, καὶ εἰς ἐκείνους περιτρέπει τὸ ἐγκώμιον. Ὑμεῖς ἡμᾶς ἠλείψατε, φησίν· ὑμεῖς νῦν ἀναπνεῦσαι δεδώκατε· ὑμεῖς οὐκ ἀφήκατε τῶν πειρασμῶν αἰσθέσθαι. Καὶ οὐκ εἶπεν, ἀνεπνεύσαμεν, οὐδὲ παρεμυθήθημεν, ἀλλὰ τί; νῦν ζῶμεν. Δεικνὺς ὅτι καὶ πειρασμὸν καὶ θάνατον οὐδὲν ἄλλο ἡγεῖται, ἢ τὸ σκανδαλισθῆναι ἐκείνους, ὥσπερ καὶ ζωὴν τὴν ἐκείνων προκοπήν. Πῶς ἂν ἄλλως τις τὴν λύπην τὴν ἐπὶ τῇ τῶν μαθητῶν ἀσθενείᾳ, ἢ τὴν χαρὰν ἐδήλωσεν; Οὐκ εἶπε, χαίρομεν, ἀλλά, ζῶμεν· ζωὴν λέγων τὴν μέλλουσαν. Ὥστε ἄνευ τούτου οὐδὲ ζῆν, τὸ ζῆν ἡγού-

κεφ. γ. μεθα. οὕτω τοὺς διδασκάλους διακεῖσθαι χρή, οὕτω τοὺς μαθητάς· καὶ οὐδὲν ἄτοπον ἔσται ποτέ. εἶτα προσλιπαίνων αὐτό, ὅρα τί φησι.

9 Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ χαίρομεν δι᾽ ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν,

10 Νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;

Οὐχὶ ζωῆς, φησιν, αἴτιοι ἡμῖν γεγόνατε μόνον, ἀλλὰ καὶ εὐφροσύνης πολλῆς, καὶ τοσαύτης, ὡς μηδὲ εὐχαριστῆσαι δύνασθαι τῷ Θεῷ κατ᾽ ἀξίαν. τὸ ἡμῶν κατόρθωμα, δῶρον εἶναι, φησι, τοῦ Θεοῦ ἡγούμεθα. τοιαῦτα ἡμᾶς εὐεργετήσατε, ὡς τοῦ Θεοῦ νομίζειν εἶναι· μᾶλλον δὲ καὶ ἔργον Θεοῦ. οὐ γὰρ ἀνθρωπίνης ψυχῆς, οὐδὲ σπουδῆς τοσοῦτον φρόνημα. νυκτός, φησι, καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι. καὶ τοῦτο τῆς χαρᾶς σημεῖον. καθάπερ γάρ τις γεωργός, ἀκούων περὶ τῆς αὐτοῦ χώρας τῆς ποθεινῆς αὐτῷ, ὅτι βρίθεται τοῖς καρποῖς, ποθεῖ κατ᾽ ὄψιν τὴν τοσαύτην ἰδεῖν ἡδονήν· οὕτω καὶ Παῦλος τὴν Μακεδονίαν. ὑπερεκπερισσοῦ δεόμενοι. ὅρα τὴν ὑπερβολήν. εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν. ἐνταῦθα πολὺ τὸ ζήτημα. εἰ γὰρ νῦν ζῆς ὅτι ἑστήκασι, καὶ Τιμόθεος εὐηγγελίσατό σε τὴν πίστιν αὐτῶν καὶ τὴν ἀγάπην, καὶ τοσαύτης εἶ χαρᾶς μεστός, ὡς μηδὲ δύνασθαι τῷ Θεῷ κατ᾽ ἀξίαν εὐχαριστῆσαι, πῶς ἐνταῦθα τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν εἶναι φής; ἆρα μὴ κολακείας τὰ ῥήματα ἐκεῖνα; μηδαμῶς· μὴ γένοιτο. προλαβὼν γὰρ ἐμαρτύρησεν, ὅτι πολλοὺς ἄθλους ὑπέμειναν, καὶ οὐδὲν χεῖρον διετέθησαν τῶν ἐν τῇ Ἰουδαίᾳ ἐκκλησιῶν. τί οὖν ἐστι; οὐ πάσης ἀπέλαυσαν τῆς διδασκαλίας, οὐδὲ ὅσα ἐχρῆν μαθεῖν ἔμαθον. καὶ τοῦτο δηλοῖ πρὸς τῷ τέλει. ἴσως δὲ καὶ ἐζητεῖτο παρ᾽ αὐτοῖς περὶ τῆς ἀναστάσεως, καὶ πολλοὶ ἦσαν οἱ θορυβοῦντες αὐτούς, οὐκέτι τοῖς πειρασμοῖς, οὐδὲ τοῖς κινδύνοις, ἀλλ᾽ ὑποκρινόμενοι τοὺς διδασκάλους. τοῦτό φησι τὰ ὑστερήματα τῆς πίστεως. καὶ διὰ τοῦτο οὕτως ἐνέφηνε, καὶ οὐκ εἶπεν, εἰς τὸ στηριχθῆναι, ἀλλά, καταρτίσαι. ἔνθα μὲν γὰρ περὶ αὐτῆς τῆς πίστεως ἐδεδοίκει, ἔπεμψα, φησι, Τιμόθεον εἰς τὸ στηρίξαι ὑμᾶς· ἐνταῦθα δέ, τὰ ὑστερήματα λέγει καταρτίσαι, ὃ διδασκαλίας μᾶλλόν ἐστιν, ἢ βεβαιώσεως. καθάπερ καὶ ἀλλαχοῦ φησιν· Ἵνα ἦτε κατηρτισμένοι εἰς πᾶν ἔργον ἀγαθόν. τὸ δὲ κατηρτισμένον ἐκεῖνό ἐστιν, ᾧ ὀλίγον τι λείπει. τοῦτο γὰρ καταρτίζεται.

α Κορ. α. ι.

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·

12 Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι, καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς. Τοῦτο ὑπερβαλλούσης ἀγάπης, τὸ μὴ μόνον καθ᾽ ἑαυτὸν εὔχεσθαι, ἀλλὰ καὶ ἐν τῇ ἐπιστολῇ τὴν εὐχὴν ἐντίθεσθαι. τοῦτο ζεούσης ψυχῆς, καὶ ὄντως ἀκατασχέτου. τοῦτο δεῖγμα καὶ τῶν ἐκ γεγυμνασμένων εὐχῶν· ἅμα δὲ καὶ ἀπολογία, ὅτι οὐχ ἑκόντες, οὐδὲ ῥαθυμοῦντες οὐ παραγίνονται. ὡς ἂν εἰ ἔλεγεν· αὐτὸς δὲ ὁ Θεὸς ἐκκόψαι τοὺς πειρασμοὺς τοὺς πανταχοῦ περιέλκοντας ἡμᾶς, ὥστε ὀρθὴν ἐλθεῖν πρὸς ὑμᾶς. ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι, καὶ περισσεύσαι. ὁρᾷς τὴν μανίαν τῆς ἀγάπης τὴν ἀκάθεκτον, τὴν διὰ τῶν ῥημάτων δεικνυμένην; πλεονάσαι, φησί, καὶ περισσεύσαι, ἀντὶ τοῦ, αὐξήσαι. ὡς ἂν εἴποι τις, ἐκ περιουσίας πως ἐπιθυμεῖ φιλεῖσθαι παρ᾽ αὐτῶν. καθάπερ, φησί, καὶ ἡμεῖς εἰς ὑμᾶς. τουτέστι, τὸ μὲν ἡμέτερον ἤδη ἐστί· τὸ δὲ ὑμέτερον ἀξιοῦμεν γενέσθαι. ὁρᾷς πῶς βούλεται τὴν ἀγάπην ἐκτείνεσθαι; οὐκ εἰς ἀλλήλους μόνον, ἀλλὰ πανταχοῦ. τοῦτο γὰρ ὄντως ἀγάπης τῆς κατὰ Θεόν, τὸ πάντας περιπλέκεσθαι. ἂν δὲ τὸν δεῖνα μὲν ἀγαπᾷς, τὸν δεῖνα δὲ μηκέτι, κατὰ ἀνθρωπον ἡ φιλία. ἀλλ᾽ οὐχ ἡ ἡμετέρα τοιαύτη· καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς.

13 Εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Τὴν ἀγάπην δείκνυσιν αὐτοῖς κέρδος φέρουσαν, οὐ τοῖς φιλουμένοις. βούλομαι, φησὶ, πλεονάσαι τὴν ἀγάπην ταύτην, ἵνα μηδεὶς μῶμος γένηται. οὐκ εἶπεν, ὑμᾶς στηρίξαι, ἀλλὰ, τὰς καρδίας ὑμῶν. Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. ἔστι γὰρ μηδὲν πράττοντα, πονηρὸν εἶναι, ὅταν βασκανίαν ἔχῃ, ἀπιστίαν, δόλον, ὅταν χαίρῃ ἐπὶ τοῖς κακοῖς, ὅταν μὴ ᾖ φιλικὸν, ὅταν δόγματα ἔχῃ διεστραμμένα. ταῦτα πάντα τῆς καρδίας ἐστί. τὸ δὲ τούτων καθαρεύειν, ἐστὶν ἁγιωσύνη. κυρίως μὲν γὰρ ἁγιωσύνη λέγεται ἡ σωφροσύνη κατ' ἐξοχήν· ἐπειδὴ καὶ ἀκαθαρσία, ἡ πορνεία καὶ ἡ μοιχεία. καθολικῶς δὲ πᾶσα ἁμαρτία, ἀκαθαρσία· καὶ πᾶσα ἀρετὴ, καθαρότης. Μακάριοι γὰρ, φησὶν, οἱ καθαροὶ τῇ καρδίᾳ. καθαροὺς, τοὺς πάντη καθαρούς φησιν. οἶδε γὰρ καὶ τὰ ἄλλα οὐχ ἧττον τὴν ψυχὴν ῥυποῦν. ὅτι γὰρ πονηρία μολύνει τὴν ψυχὴν, ἄκουε τοῦ προφήτου λέγοντος· Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ. καὶ πάλιν, Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. οὐκ εἶπε, τὰς πορνείας. ὥστε οὐ πορνεία μόνον, ἀλλὰ καὶ τὰ ἄλλα μολύνει τὴν ψυχήν. στηρίξαι ὑμῶν, φησὶ, τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ. κριτὴς ἄρα τότε ἔσται ὁ Χριστός. οὐκ ἔμπροσθεν δὲ αὐτοῦ, ἀλλὰ καὶ τοῦ πατρὸς παρεστήκαμεν κρινόμενοι. ἢ τοῦτό φησιν, ὅτι ἀμέμπτους ἔμπροσθεν τοῦ Θεοῦ δεῖ γενέσθαι. ὅπερ ἀεὶ λέγω, τὸ ἐνώπιον τοῦ Θεοῦ (αὕτη γὰρ ἡ ἀρετὴ εἰλικρινής) οὐκ ἐνώπιον ἀνθρώπων. — Ματθ. 12. 34. — Ματθ. 5. 8. — Ιερ. 4. 14. — Ησ. 1. 16.

ΗΘΙΚΟΝ

Ἄρα ἡ ἀγάπη ἀμέμπτους ποιεῖ. καὶ γὰρ ὄντως ἀμέμπτους ποιεῖ. καὶ ἐμοῦ ποτε τοῦτο διηγουμένου πρός τινα, καὶ λέγοντος, ὅτι ἡ ἀγάπη ἀμέμπτους ποιεῖ, καὶ οὐκ ἀφίησιν ἡ πρὸς τὸν πλησίον φιλία παρεισδῦσάν τινα γενέσθαι τῆς πλημμελείας, καὶ τὰ ἄλλα πάντα διεξιόντος καὶ ἐπεξεργαζομένου τῷ λόγῳ, τῶν ἐμοί τις γνωρίμων ὑποβαλὼν ἑαυτοῦ φησι· τί οὖν ἡ πορνεία; οὐκ ἔνεστιν οὖν καὶ φιλεῖν, καὶ πορνεύειν; καὶ ἀπὸ φιλίας μὲν τοῦτο γίνεται. πλεονεξία μὲν οὖν, καὶ μοιχεία, καὶ φθόνος, καὶ ἐπιβουλαὶ, καὶ ὅσα τοιαῦτα ἀπὸ ἀγάπης τῆς τῶν πλησίον ἀνακόψαι δυνήσεται· ἡ δὲ πορνεία πῶς, φησίν; ἐγὼ τοίνυν εἶπον, ὅτι ἡ ἀγάπη καὶ τοῦτο δύναται ἀνακόψαι. εἰ γὰρ φιλοίη τις τὴν πορνευομένην γυναῖκα, καὶ τῶν ἄλλων αὐτὴν ἀνδρῶν ἀπαγαγεῖν πειράσεται, οὐχὶ δὲ καὶ αὐτὸς προστιθέναι τῇ ἁμαρτίᾳ. ὥστε σφόδρα μισοῦντός ἐστι τὴν πορνευομένην, τὸ πορνεύειν εἰς αὐτήν· φιλοῦντος δὲ ὄντως, τὸ ἀπαγαγεῖν αὐτὴν τῆς μυσαρᾶς ἐκείνης πράξεως. καὶ οὐκ ἔστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα, ὃ μὴ, καθάπερ πῦρ, ἀναλίσκει τῆς ἀγάπης ἡ δύναμις. εὐκολώτερον γὰρ φρύγανον εὐτελὲς ἀντιστῆναι πυρᾷ πολλῇ, ἢ τῆς ἁμαρτίας τὴν φύσιν τῇ τῆς ἀγάπης δυνάμει. ταύτην οὖν φυτεύσωμεν ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ἵνα μετὰ τῶν ἁγίων πάντων στῶμεν. καὶ γὰρ ἐκεῖνοι πάντες εὐηρέστησαν ἀπὸ τῆς εἰς τὸν πλησίον ἀγάπης. πόθεν ἀνῃρέθη, καὶ οὐκ ἀνεῖλεν ὁ Ἄβελ; πάντως τῷ σφόδρα φιλεῖν τὸν ἀδελφὸν, οὐδὲ δέξασθαι τοιοῦτον ἠνείχετο λογισμόν. πόθεν ἐδέξατο τὸν τῆς βασκανίας ὄλεθρον ὁ Κάϊν; (οὐ γὰρ ἂν λοιπὸν εἴποιμι αὐτὸν τοῦ Ἄβελ ἀδελφόν) ὅτι οὐκ ἀσφαλῶς ἠρήρειστο παρ' αὐτῷ τὰ τῆς ἀγάπης θεμέλια. πόθεν εὐδοκίμησαν οἱ τοῦ Νῶε παῖδες; οὐκ ἐπειδὴ σφόδρα ἐφίλουν τὸν πατέρα, οὐδὲ τὴν γύμνωσιν ἠνείχοντο ἰδεῖν; ὁ ἕτερος δὲ πόθεν κατηράθη; οὐκ ἀπὸ τοῦ μὴ φιλεῖν; ὁ δὲ Ἀβραὰμ πόθεν ηὐδοκίμησεν; οὐκ ἀπὸ τῆς ἀγάπης, τὰ περὶ τὸν ἀδελφιδοῦν διαπραξάμενος; τὰ περὶ τὴν ἱκετηρίαν τὴν ὑπὲρ τῶν Σοδομιτῶν; σφόδρα γὰρ, σφόδρα φιλόστοργοι ἦσαν οἱ ἅγιοι, καὶ συμπαθητικοί. ἐννόησον γάρ μοι πῶς διατίθεται ἐξ ἀγάπης ὁ καὶ πυρὸς κατατολμῶν Παῦλος, ὁ ἀδαμάντινος, ὁ στερρὸς, ὁ ἀκλινὴς, ὁ πάντοτε συγκεκροτημένος, ὁ καθηλωμένος τῷ φό-

βω τοῦ Θεοῦ, ὁ ἀκαμπής. Τίς γὰρ ἡμᾶς, φησὶ, χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Ρωμ. η. λε. θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὁ τοῦ τοίνυν ἁπάντων καταπολμῶν, καὶ γῆς καὶ θαλάσσης*, ὁ τῶν ἀδαμαντίνων τοῦ ᾅδου πυλῶν καταγελῶν, ὁ οὐδὲν ὑφίστατο ὅλως, οὗτος ἐπειδὴ τινῶν ἀγαπητῶν εἶδε δάκρυα, οὕτω κατεκλάσθη, καὶ συνετρίβη ὁ ἀδάμας, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ' εἰπεῖν εὐθέως· Πραξ. κα. ιγ. Τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν; τί λέγεις, εἰπέ μοι; ἐκείνην τὴν ἀδαμαντίνην ψυχὴν συντρῖψαι δάκρυον ἴσχυσε; ναί, φησί· πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης· αὕτη μου περιγίνεται καὶ κρατεῖ. τοῦτο τῷ Θεῷ δοκεῖ. ἄβυσσος αὐτὸν οὐ συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψε. τί ποιεῖτε κλαίοντες, καὶ συντρίβοντές μου τὴν καρδίαν; πολλὴ γὰρ αὐτῆς ἡ ἰσχύς. Θέλεις αὐτὸν ἰδεῖν πάλιν κλαίοντα; ἄκουε Πραξ. κ. λα. αὐτοῦ ἀλλαχοῦ λέγοντος, Τριετίαν, νύκτα καὶ ἡμέραν, φησὶν, οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. ἀπὸ πολλῆς ἀγάπης ἐδεδοίκει, μή τις ἐπεισέλθῃ λύμη. καὶ πάλιν· β Κορ β. δ. Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. τί δὲ ὁ Ἰωσήφ, εἰπέ μοι, ὁ στεῤῥὸς, ὁ πρὸς τυραννίδα τοσαύτην στὰς, ὁ πρὸς τοσαύτην ἔρωτος πυρὰν οὕτω γενναῖος ὀφθεὶς, ὁ οὕτω καταγωνισάμενος, καὶ καταπαλαίσας τῆς δεσποίνης τὴν τοσαύτην μανίαν; τί γὰρ οὐκ ἔθελγε τότε; ὄψις εὐπρεπὴς, ἀξιώματος τῦφος, ἱματίων πολυτέλεια, ἀρωμάτων εὐοσμία (καὶ γὰρ καὶ ταῦτα καταμαλάττειν οἶδε ψυχὴν) ῥήματα πάντων μαλακώτερα; ἴστε γὰρ ὅτι ἡ ἐρῶσα, καὶ οὕτω σφοδρῶς, οὐδὲν ταπεινὸν παραιτεῖται εἰπεῖν, σχῆμα ἱκέτιδος ἀναλαβοῦσα. οὕτω γὰρ κατεκλάσθη ἡ χρυσοφοροῦσα γυνὴ, καὶ ἐν ἀξιώματι οὖσα βασιλικῷ, ὡς τοῦ παιδὸς τοῦ αἰχμαλώτου πρὸς τὰ γόνατα ἴσως ἑαυτὴν ῥίψαι· ἴσως δὲ καὶ παρακαλέσαι δακρύουσαν, καὶ τῶν γονάτων ἁπτομένην, καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δεύτερον, ἀλλὰ πολλάκις μηχανησαμένην. ἐκείνην καὶ ὀφθαλμοὶ ἰδεῖν τότε μάλιστα λάμποντα. οὐ γὰρ ἁπλῶς* εἰκὸς αὐτὴν, ἀλλὰ μετὰ πολλῆς τῆς περιεργίας καλλωπίζεσθαι, ἅτε βουλομένην πολλοῖς τοῖς δικτύοις ἑλεῖν τὸ θηρίον τοῦ Χριστοῦ. πρόσθες μοι ἐνταῦθα καὶ μαγγανείας πολλάς. ἀλλ' ὅμως ὁ ἀκαμπὴς οὗτος, ὁ στεῤῥὸς, ὁ πεπετρωμένος, ἐπειδὴ τοὺς ἀδελφοὺς εἶδε τοὺς ἀπεμπολήσαντας, τοὺς εἰς λάκκον βαλόντας, τοὺς ἀποδομένους, τοὺς καὶ ἀποκτεῖναι βουλομένους, τοὺς καὶ τοῦ δεσμωτηρίου καὶ τῆς τιμῆς αἰτίους γενομένους· ἐπειδὴ ἤκουσε περὶ αὐτῶν, ἃ τὸν πατέρα διέθηκαν (Εἴπωμεν γάρ, φησιν, ὅτι ὁ εἷς θηριόβρωτος γέγονε) Γεν. μς. κθ. κατεκλάσθη, συνεμαλάχθη, συνετρίβη, καὶ ἔκλαυσε· καὶ μὴ φέρων τὸ πάθος, εἰσελθὼν ἐνεκρα- Γεν. μγ. λα. τεύσατο, τουτέστιν, ἀπεμάξατο. τί τοῦτο; δακρύεις, ὦ Ἰωσήφ; καὶ μὴν οὐκ ἄξια τὰ παρόντα δακρύων, ἀλλ' ὀργῆς, καὶ θυμοῦ, καὶ ἀγανακτήσεως, μεγάλης τιμωρίας, καὶ ἀνταποδόσεως. ἔχεις εἰς χεῖρας τοὺς ἐχθροὺς, τοὺς ἀδελφοκτόνους, δύνασαι τὸν θυμὸν ἐμπλῆσαι. καίτοι οὐδὲ τοῦτο ἀδικία· οὐ γὰρ αὐτὸς ἄρχεις χειρῶν ἀδίκων, ἀλλ' ἀμύνῃ τοὺς ἠδικηκότας. μὴ γάρ μοι πρὸς τὸ ἀξίωμα ἴδῃς. οὐ τῆς ἐκείνων ἐγένετο γνώμης, ἀλλὰ τοῦ Θεοῦ τοῦ καταχέαντός σοι τὴν χάριν. τί κλαίεις; ἀλλ' εἴποι ἄν· μή μοι γένοιτο ἐν πᾶσιν εὐδοκιμήσαντι πάντα καταλῦσαι ἐκεῖνα διὰ ταύτης τῆς μνησικακίας. δακρύων ὄντως καιρός. οὐκ εἰμὶ τῶν θηρίων ἀγριώτερος. ἐκεῖνα πρὸς τὴν φύσιν αἰδεῖται, κἂν ὁποῖον πάθῃ δεινόν. κλαίω, φησὶν, ὅτι με ὅλως τοιαῦτα διέθηκαν. τοῦτον καὶ ἡμεῖς μιμώμεθα, καὶ πενθῶμεν τοὺς ἠδικηκότας· μὴ ὀργιζώμεθα πρὸς αὐτούς. ὄντως γὰρ δακρύων ἄξιοι, ἧς ἑαυτοὺς τιμωρίας καὶ καταδίκης ὑπευθύνους καθιστῶσιν. οἶδα πῶς κλαίετε νῦν, πῶς χαίρετε, καὶ τὸν Παῦλον θαυμάζοντες, καὶ τὸν Ἰωσὴφ ἐκπληττόμενοι, καὶ μακαρίζοντες. ἀλλ' εἴ τις ἐχθρὸν ἔχει, εἰς μνήμην αὐτὸν νῦν λαμβανέτω, εἰς νοῦν βαλλέσθω· ἵνα, ἕως ἔτι ζῇ τῇ μνήμῃ τῶν ἁγίων ἡ καρδία, δυνηθῇ τὸ πεπηγὸς τῆς μήνιδος λῦσαι, καὶ τὸ τραχὺ καὶ ἀπεσκληκὸς καταμαλάξαι. οἶδα ὅτι μετὰ τὴν ἐντεῦθεν ἔξοδον, μετὰ τὸ παύσασθαί με λέγοντα, κἂν ἀπομείνῃ τι τῆς θέρμης καὶ τῆς ζέσεως, οὐ τοσοῦτόν ἐστιν, ὅσον νῦν ἐν τῇ ἀκροάσει. Εἴ

τις

εἴ τις οὖν, εἴ τις κατέψυκται, λυέτω τὴν πάχνην. πάχνη γὰρ ὄντως καὶ κρυμὸς, ἡ μνησικακία. ἀλλ' ἀνακαλέσωμεν τὸν ἥλιον τῆς δικαιοσύνης, ἀξιώσωμεν αὐτὸν ἐπαφεῖναι τὰς ἀκτῖνας, καὶ οὐκέτι ἔσται πάχνη παχεῖα, ἀλλ' ὕδωρ πότιμον. ἂν ἅψηται δὲ τοῦ ἡλίου τῆς δικαιοσύνης πῦρ τῆς ἡμετέρας ψυχῆς, οὐδὲν ἐάσει πεπηγὸς, οὐδὲν σκληρὸν, οὐδὲν καυστικὸν, οὐδὲν ἄκαρπον· πάντα ὥριμα, πάντα γλυκέα, πάντα πολλῆς γέμοντα τῆς ἡδονῆς ἐπιδείξει. ἂν ἀγαπῶμεν ἀλλήλους, ἥξει κἀκείνη ἡ ἀκτίς. δότε μοι, παρακαλῶ, μετὰ προθυμίας ταῦτα λέγειν. ποιήσατέ με ἀκοῦσαι ὅτι ἀπὸ τῶν ῥημάτων τούτων ἠνύσαμέν τι· ὅτι ἐχθρόν τις ἀπελθὼν, εὐθέως περιέβαλεν ἀμφοτέραις ταῖς χερσὶ, περιεπλάκη, περιεχύθη, κατεφίλησεν, ἐδάκρυσε. κἂν θηρίον ἐκεῖνος ᾖ, κἂν λίθος, κἂν ὁτιοῦν, ὑπὸ τῆς σῆς φιλοφροσύνης ἡμερωθήσεται. διὰ τί γὰρ σοι ἐχθρός ἐστιν; ὕβρισέ σε; ἀλλ' οὐδὲν ἠδίκησεν. ἀλλὰ χρημάτων ἕνεκεν παρορᾷς τὸν ἀδελφὸν ἐχθραίνοντα; μὴ, παρακαλῶ· πάντα λυσώμεθα. ἡμέτερος ὁ καιρὸς· χρησώμεθα αὐτῷ εἰς δέον. τὰ κοινὰ τῶν ἁμαρτημάτων διακόψωμεν. πρὶν ἢ ἀπελθεῖν εἰς τὸ κριτήριον, αὐτοὶ κρίνωμεν ἀλλήλους. Ὁ ἥλιος, φησὶ, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. μηδεὶς ἀναβαλλέσθω. αἱ ἀναβολαὶ μνησικακίας τίκτουσιν. ἂν σήμερον ὑπερτεθῇ, μᾶλλον ἐρυθριᾷς· κἂν τὴν αὔριον παρέλθῃς, μείζων ἡ αἰσχύνη· κἂν τὴν τρίτην, ἔτι πλέον. μὴ δὴ καταισχύνωμεν ἑαυτοὺς, ἀλλ' ἀφῶμεν, ἵνα ἀφεθῇ ἡμῖν. εἰ δὲ ἀφεθῇ, πάντων ἐπιτευξόμεθα τῶν ἐν οὐρανῷ ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἐφ. δ. κϛ.

Λογ. ε. 1 ΤΟ ΛΟΙΠΟΝ, ΑΔΕΛΦΟΙ, ΕΡΩΤΩΜΕΝ Ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ περιπατεῖν ὑμᾶς, καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον.
2 Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 3 τοῦτο γάρ ἐστι θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν.

Ὅταν πρὸς τὰ κατεπείγοντα ᾖ, καὶ τὰ ἐν χερσὶ, καὶ μέλλῃ πρὸς τὰ διηνεκῆ ἐμβαίνειν λοιπὸν, καὶ ἃ συνεχῶς ἀκοῦσαι χρὴ, τοῦτο προστίθησι τὸ ῥῆμα, τὸ λοιπὸν, τουτέστιν, ἀεὶ μὲν καὶ εἰς τὸ διηνεκὲς ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ. βαβαὶ, οὐδὲ πρὸς τὸ παρακαλεῖν ἑαυτὸν ἀξιόπιστον εἶναί φησι (καίτοι τίς οὕτως ἀξιόπιστος ἦν;) ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει. διὰ τοῦ Θεοῦ παρακαλοῦμεν ὑμᾶς, φησί. τοῦτο γάρ ἐστιν, ἐν Κυρίῳ. ὃ καὶ πρὸς Κορινθίους ἔλεγεν· Ὁ Θεὸς ὑμᾶς παρακαλεῖ δι' ἡμῶν. β. Κορ. ε. κ. ἵνα καθὼς παρελάβετε παρ' ἡμῶν. τὸ, παρελάβετε, οὐχὶ ῥημάτων ἐστὶ μόνον, ἀλλὰ καὶ πραγμάτων. τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν. πᾶσαν ἐν τούτῳ τὴν ἀναστροφὴν τοῦ βίου δηλοῖ. καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον· τουτέστιν, ἵνα ἐκ πλείονος περιουσίας, μὴ μέχρι τῶν ἐντολῶν ἵστασθε, ἀλλ' ἵνα καὶ ὑπερβαίνητε. τοῦτο γάρ ἐστι τὸ, ἵνα περισσεύητε. ἐν μὲν γὰρ τοῖς προάγουσι, τῆς πίστεως αὐτῶν τῆς στεῤῥᾶς τὸ θαῦμα ἀποδέχεται· ἐνταῦθα δὲ ῥυθμίζει τὸν βίον. τοῦτο γὰρ προκοπὴ, τὸ καὶ ὑπερβαίνειν τὰς ἐντολὰς, καὶ τὰ ὑπὲρ τὰ ἐπιτάγματα. οὐκέτι γὰρ ἀπὸ τῆς διδασκαλικῆς ἀνάγκης, ἀλλ' ἀπὸ τῆς οἰκείας προαιρέσεως γίνεται τὸ πᾶν. καθάπερ γὰρ τὴν γῆν οὐ τὰ καταβληθέντα δεῖ φέρειν μόνον, οὕτω καὶ τὴν ψυχὴν οὐ μέχρις ἐκείνων ἵστασθαι τῶν καταβληθέντων, ἀλλὰ καὶ ὑπερβαίνειν. ὁρᾷς ὅτι εἰκότως εἶπεν, ὑπερβαίνειν; εἰς δύο γὰρ ταῦτα ἀρετὴ διῄρηται, εἰς τὸ ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθόν. οὐ γὰρ ἀρκεῖ τῶν κακῶν ἡ ἀναχώρησις εἰς τὴν τῆς ἀρετῆς προσαγωγὴν, ἀλλ' ὁδὸς μέν τίς ἐστι, καὶ ἀρχὴ ἐκεῖ φέρουσα. δεῖ δὲ πολλῆς ἡμῖν τῆς προθυμίας. τὰ μὲν οὖν φαῦλα ἐν πά-

ξει παραγγελίας αὐτοῖς λέγει. εἰκότως. ταῦτα γὰρ παρεπόμενα μὲν φέρει κόλασιν· μὴ παρεπόμενα δὲ, οὐδὲν ἐγκώμιον. τὰ μέντοι τῆς ἀρετῆς, οἷον τὸ κενῶσαι τὰ χρήματα, καὶ ὅσα τοιαῦτα, οὐκέτι ἐν παραγγελίας τάξει φησίν· ἀλλὰ τί; Ὁ δυνάμενος χωρεῖν χωρείτω. (Ματθ. ιθ. ιβ.) εἰκὸς δὲ ἦν αὐτὸν ἅμα μετὰ πολλοῦ φόβου καὶ τόνου τὰς παραγγελίας αὐτοῖς, καὶ ἀναμιμνήσκει διὰ τῶν γραμμάτων τούτων ἐκείνης αὐτοὺς τῆς διδασκαλίας. διόπερ οὐ τίθησιν αὐτὰ, ἀλλ' αὐτοὺς ἀναμιμνήσκει. οἴδατε γὰρ, φησι, τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ. τοῦτο γάρ ἐστι θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν. καὶ διὰ τί πῶς οὐδαμοῦ περὶ ἄλλου τινὸς οὕτω σφοδρῶς ἀπαιτεῖται, ὡς περὶ τούτου. καθάπερ καὶ ἀλλαχοῦ γράφων φησίν· Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. (Ἑβρ. ιβ. ιδ.) καὶ τί θαυμάζεις, εἰ τοῖς μαθηταῖς πανταχοῦ περὶ τούτου γράφει, ὅπου γε καὶ Τιμοθέῳ γράφων ἔλεγε· Σαυτὸν ἁγνὸν τήρει; (α Τιμ. ε. κβ.) καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐπιστολῇ τῇ πρὸς Κορινθίους γράφων ἔλεγεν· Ἐν ὑπομονῇ πολλῇ, ἐν νηστείαις, ἐν ἁγνότητι. (β Κορ. ς. ς.) καὶ πολλαχοῦ δὲ ἄν τις εὕροι τοῦτο καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, (Ρωμ. ς. ιθ.) καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς. ὄντως γὰρ πάντα τοῦτο λυμαίνεται τὸ κακόν. καὶ καθάπερ χοῖρος βορβόρου πεπληρωμένος, οὗ ἂν εἰσέλθῃ, δυσωδίας ἐνέπλησεν ἅπαντα, καὶ τὰς αἰσθήσεις ἐπλήρωσε κόπρου, οὕτω καὶ ἡ πορνεία. δυσέκνιπτον γάρ ἐστι τὸ κακόν. ὅταν δέ τινες καὶ γυναῖκας ἔχοντες τοῦτο περιέπωσι, πόση τῆς ἀτοπίας ἡ ὑπερβολή;

3 Τοῦτο γάρ ἐστι, φησι, θέλημα Θεοῦ ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ πάσης πορνείας. Πολλὰ γὰρ εἴδη ἀταξίας, πολύτροποι καὶ ποικίλαι τῆς ἀσελγείας αἱ ἡδοναί, ἃς οὐδὲ εἰπεῖν ἀνεκτόν. εἰπὼν δὲ ἀπὸ πάσης πορνείας, καταλιμπάνει τοῖς εἰδόσιν.

4 Εἰδέναι ἕνα ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ,

5 Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν.

Εἰδέναι, φησὶν, ἕνα ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι. ἄρα μαθήσεώς ἐστι τὸ πρᾶγμα καὶ πολλῆς, ὥστε μὴ ἀσελγαίνειν. ἄρα ἡμεῖς αὐτὸ κτώμεθα, ὅταν μένῃ καθαρὸν, καὶ ἔστιν ἐν ἁγιασμῷ· ὅταν δὲ ἀκάθαρτον, ἁμαρτία. εἰκότως. οὐ γὰρ ἃ βουλόμεθα πράττει λοιπὸν, ἀλλ' ἃ ἐκείνη ἐπιτάττει. μὴ ἐν πάθει ἐπιθυμίας, φησίν. ἐνταῦθα δείκνυσι καὶ τὸν τρόπον, καθ' ὃν χρὴ σωφρονεῖν, ὥστε τὰ πάθη τῆς ἐπιθυμίας ἐκκόπτειν. καὶ γὰρ καὶ τρυφὴ, καὶ πλοῦτος, καὶ ῥαθυμία, καὶ ἀργία, καὶ σχολὴ, καὶ ἅπαντα ταῦτα εἰς ἐπιθυμίαν ἡμᾶς ἐξάγει τινὸς ἀτόπου. καθάπερ, φησὶ, καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. ἐκεῖνοι γὰρ τοιοῦτοί εἰσι, οἱ μὴ προσδοκῶντες δώσειν δίκην.

6 Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν.

Καλῶς εἶπε, μὴ ὑπερβαίνειν. καὶ γὰρ ἑκάστῳ ὁ Θεὸς ἀπένειμε γυναῖκα, καὶ ὅρους ἔθηκε τῇ φύσει, τὴν μίξιν ἐκείνην τὴν πρὸς τὴν μίαν. ὥστε ἡ πρὸς τὴν ἑτέραν, παράβασίς ἐστι, καὶ ληστεία, καὶ πλεονεξία· μᾶλλον δὲ πάσης ληστείας χαλεπωτέρα. οὐ γὰρ οὕτως ἀλγοῦμεν, τῶν χρημάτων ἡμῖν ἐκφορουμένων, ὡς τοῦ γάμου διορυττομένου. ἀδελφὸν καλεῖς, καὶ πλεονεκτεῖς, καὶ ἐν οἷς οὐ χρή; ἐνταῦθα περὶ μοιχείας φησίν· ἀνωτέρω δὲ καὶ περὶ πορνείας πάσης. ἐπεὶ γὰρ ἔμελλε λέγειν μὴ ὑπερβαίνειν, μηδὲ πλεονεκτεῖν τὸν ἀδελφὸν, παραλαβὼν μὴ νομίσῃς, φησὶν, ὅτι ἐπὶ τῶν ἀδελφῶν μόνον ταῦτά φημι, ἀλλ' οὐδὲ τὰς ἑτέρων γυναῖκας, οὐδὲ τὰς ἁπλῶς ἀνάνδρους, καὶ κοινὰς ἔχειν χρή. πάσης πορνείας ἀπέχεσθαι δεῖ, διό φησι· Διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων.

Παρεκάλεσε πρῶτον, ἐνέτρεψεν εἰπὼν, καθάπερ καὶ τὰ ἔθνη· εἶτα ἀπὸ λογισμοῦ τὸ ἄτοπον ἔδειξε. τοῦτο δὲ ἦν, τὸ πλεονεκτεῖν τὸν ἀδελφόν. ἐπάγει λοιπὸν τὸ κεφάλαιον·

διό φησιν, ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων. Καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα. Οὐδὲ γὰρ ἀτιμώρητοι ταῦτα πράξομεν, ἀλλὰ τοσαύτης ἀπολαυσόμεθα ἡδονῆς, ὅσην ὑποστησόμεθα κόλασιν.

7 Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.

Ἐπειδὴ εἶπε, τὸν ἀδελφὸν, καὶ ἐπήγαγεν, ὅτι ὁ Θεὸς ἐκδικεῖ, δεικνὺς ὅτι κἂν ἄπιστος ᾖ ὁ πάθων, τιμωρεῖται ὁ πεποιηκὼς δίκην, οὕτως εἶπεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκ ἐκείνῃ ἐκδικῶν τιμωρεῖταί σε, ἀλλ' ἐπειδὴ εἰς αὐτὸν ὕβρισας. αὐτός σε ἐκάλεσε, τὸν καλέσαντα ὕβρισας. διὰ τοῦτο ἐπήγαγε·

8 Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν * τὸν δόντα τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ἡμᾶς. Ὥστε κἂν τὴν βασιλίδα διαφθείρῃς, φησὶ, κἂν τὴν δούλην τὴν ὕπανδρον οὖσαν, ὅμοιον τὸ ἔγκλημα. διατί; ὅτι οὐ τὰ ἀδικούμενα ἐκδικεῖ πρόσωπα, ἀλλ' ἑαυτόν. σὺ γὰρ ὁμοίως ἐμολύνθης, ὁμοίως τὸν Θεὸν ὕβρισας. τὸ γὰρ καὶ τοῦτο κἀκεῖνο, μοιχεία· ἐπεὶ καὶ τοῦτο κἀκεῖνο, γάμος. κἂν μὴ μοιχεύσῃς, πορνεύσῃς δὲ, καίτοι οὐκ ἔχει ἄνδρα ἡ πόρνη, ἀλλ' ὅμως ὁ Θεὸς ἐκδικεῖ, ἐπειδὴ ἑαυτὸν ἐκδικεῖ. οὐ γὰρ οὕτως ἐκείνου καταφρονεῖς τοῦτο ποιῶν, ὡς τοῦ Θεοῦ. καὶ δῆλον ἐκεῖθεν. ἐκεῖνον μὲν γὰρ καὶ λανθάνων ποιεῖς, τὸν δὲ Θεὸν ὁρῶντα οὐ προσαισχύνῃ. Εἰπὲ γάρ μοι, εἴ τις ἁλουργίδος ἀξιωθεὶς παρὰ τοῦ βασιλέως, καὶ μυρίας ἑτέρας τιμῆς, καὶ κελευσθεὶς ἀξίως ζῆν τῆς τιμῆς, ἀπελθὼν ἦν προσφθαρείη γυναικί, τίνα ὕβρισε; ἐκείνην, ἢ τὸν βασιλέα τὸν δεδωκότα; ὕβρισας μὲν κἀκείνην, ἀλλ' οὐχ ὁμοίως.

Διό, παρακαλῶ, φυλαττώμεθα τὴν ἁμαρτίαν ταύτην. καθάπερ γὰρ ἡμεῖς τὰς γυναῖκας κολάζομεν, ὅταν ἡμῖν συνοικοῦσαι ἑτέροις ἑαυτὰς δῶσιν· οὕτω καὶ ἡμεῖς κολαζόμεθα, κἂν μὴ ὑπὸ τῶν νόμων [Ῥωμαίων], ἀλλ' ὑπὸ τοῦ Θεοῦ. καὶ γὰρ καὶ τοῦτο μοιχεία ἐστί. μοιχεία γὰρ οὐ μόνον τὸ ἑτέρῳ συνεζευγμένην μοιχεύεσθαι, ἀλλὰ καὶ τὸ δεδεμένον αὐτὸν γυναικί. πρόσεχε ἀκριβῶς ᾧ λέγω. εἰ γὰρ καὶ φορτικὸν πολλοῖς τὸ λεγόμενον, ἀλλ' ἀναγκαῖον εἰπεῖν ὥστε διορθώσασθαι τοῦ λοιποῦ. οὐ τοῦτο δὲ μόνον ἐστὶ μοιχεία, ὅταν ἀνδρὶ συνεζευγμένην διαφθείρωμεν γυναῖκα, ἀλλὰ κἂν ἀφετὴν, καὶ λελυμένην, αὐτοὶ δεδεμένοι γυναικὶ, μοιχεία τὸ πρᾶγμά ἐστι. τί γὰρ εἰ ἡ μοιχευομένη οὐ δέδεται; ἀλλὰ σὺ δέδεσαι· τὸν νόμον παρέβης· ἠδίκησας τὴν σάρκα τὴν σήν. διατί γὰρ, εἰπέ μοι, τὴν γυναῖκα κολάζεις, κἂν πορνευθῇ λελυμένῳ ἀνδρὶ καὶ μὴ ἔχοντι γυναῖκα; ὅτι μοιχεία ἐστί. καίτοι ὁ πορνεύσας αὐτὴν, οὐκ ἔχει γυναῖκα, ἀλλ' αὐτὴ δέδεται ἀνδρί. οὐκοῦν καὶ σὺ δέδεσαι γυναικί. ὥστε ὁμοίως καὶ τὸ σὸν, μοιχεία ἐστίν. Ὁ ἀπολύσας γάρ, φησι, παρεκτὸς λόγου πορνείας τὴν γυναῖκα αὐτοῦ, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ ἀπολελυμένην γαμῶν, μοιχᾶται. εἰ ὁ γαμῶν ἀπολελυμένην μοιχᾶται, ὁ μετὰ τῆς ἑαυτοῦ γυναικὸς καὶ ταύτῃ προσφθειρόμενος οὐ πολλῷ μᾶλλον τοῦτο ποιεῖ; παντί που δῆλον. ἀλλὰ πρὸς μὲν ὑμᾶς ἱκανῶς τοὺς ἄνδρας εἴρηται ταῦτα. πρὸς γὰρ τοὺς τοιούτους φησὶ καὶ ὁ Χριστὸς, Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται. τῶν δὲ νέων ἕνεκεν εἰπεῖν ἀναγκαῖον πρὸς ὑμᾶς, μᾶλλον δὲ οὐ τοσοῦτον δι' ἐκείνους, ὅσον δι' ὑμᾶς. οὐκ ἐκείνοις γὰρ, ἀλλὰ καὶ ὑμῖν ταῦτα ἁρμόδια. καὶ πῶς, ἤδη λέξω. ὁ μὴ μαθὼν πορνεύειν, οὐδὲ μοιχεύειν εἴσεται· ὁ δὲ πόρναις ἐγκαλινδούμενος, καὶ ἐπὶ τοῦτο ταχέως ἥξει· κἂν μὴ ὑπάνδροις, ἀλλὰ λελυμέναις συμφθαρήσεται γυναιξί. τί οὖν παραινῶ; ὥστε τὰς ῥίζας ἐκτέμνειν. ὅσοι παῖδας ἔχετε νέους, καὶ πρὸς τὸν κοσμικὸν αὐτοὺς βίον ἀγαγεῖν μέλλετε, ταχέως * ὑπὸ τὸν τοῦ γάμου ζυγὸν ἕλκετε. ἐπειδὴ γὰρ ἔτι νέοις οὖσιν ἐνοχλεῖ τὰ τῆς ἐπιθυμίας, τὸν μὲν πρὸ τοῦ γάμου χρόνον παραινέσεσιν, ἀπειλαῖς, φόβοις, ἐπαγγελίαις, μυρίαις ἑτέραις αὐτοὺς κατέχετε· κατὰ δὲ τὸν τοῦ γάμου καιρὸν μηδεὶς ἀναβαλλέσθω (ἰδοὺ νυμφευτρίας φθέγγομαι ῥήματα) ἁρμόζειν ὑμῶν τοὺς παῖδας.

ΗΘΙΚΟΝ

Ματθ. ε. λϐ.

Μαρκ. θ. μδ.

ἀλλ'

ἀλλ' οὐκ αἰσχυνόμεθα ταῦτα λέγοντες· ἐπεὶ μηδὲ Παῦλος ᾐσχύνθη λέγων, Μὴ ἀποστερεῖτε

α. Κορ. ζ. ε.

ἀλλήλους, ὅ τούτου δοκεῖ αἰσχύνης ἐμπλεώτερον εἶναι. ἀλλ' οὐκ ᾐσχύνθη. οὐ γὰρ τοῖς ῥήμασι προσεῖχεν, ἀλλὰ τοῖς ἔργοις τοῖς ἀπὸ τῶν ῥημάτων κατορθουμένοις. ὅταν οὖν ὁ παῖς αὐξηθῇ, πρὸ στρατείας, πρὸ τοῦ βίου τοῦ ἄλλου, τὰ περὶ τοῦ γάμου φρόντιζε. κἂν ἐκεῖνος ἴδῃ ὅτι ταχέως αὐτῷ τὴν νύμφην ἄγεις, καὶ ὅτι βραχὺς ὁ καιρὸς ὁ ἐν μέσῳ, δυνήσεται διακαρτερῆσαι τὴν φλόγα. ἂν δὲ ἐννοήσῃ ὅτι ῥαθυμεῖς σύ, καὶ βραδύνεις, καὶ περιμένεις, τότε περιουσίας κτήσεται πολλάς, καὶ τότε αὐτῷ τοὺς γάμους ποιήσεις, ἀπογνοὺς πρὸς τὸ μακρὸν τοῦ χρόνου ταχέως ὀλισθήσει πρὸς πορνείαν. ἀλλ' οἴμοι, ἡ ῥίζα τῶν κακῶν καὶ ἐνταῦθα ἡ φιλαργυρία. ἐπεὶ γὰρ οὐδενὶ μέλει πῶς σώφρων, πῶς ἐπιεικὴς ὁ παῖς γένηται, ἀλλὰ χρήμασι πρὸς τὸ χρυσοῦν ἅπαντες, τούτου ἕνεκεν οὐδεὶς ταύτην ποιεῖται τὴν σπουδήν. διὸ παρακαλῶ προτρέπειν αὐτῶν τὰς ψυχὰς ῥυθμίζειν. ἂν γὰρ ἁγνὴ τῇ νύμφῃ προσέλθῃ, ἂν ἐκείνης μόνον ἴδῃ τὸ σῶμα, καὶ ὁ πόθος ἔσται σφοδρός, καὶ ὁ τοῦ Θεοῦ φόβος μείζων, καὶ τίμιος ὁ γάμος ὄντως, καθαρὰ καὶ ἀμίαντα σώματα δεχόμενος, καὶ τὰ τικτόμενα πολλῆς εὐλογίας ἔσται μεστά, καὶ ἀλλήλοις εἴξουσιν, ὅ τε νυμφίος καὶ ἡ νύμφη. ἑτέρων γὰρ ἠθῶν ὄντες ἑκάτεροι ἄπειροι, ἀλλήλοις ὑποταγήσονται. νεώτερος δὲ ἐρχόμενος ἀσελγαίνειν, καὶ πορνικῶν ἠθῶν πεῖραν λαβών, μίσει μὲν τῆς πρώτης ἑταίρας, καὶ τῆς δευτέρας ἐπαινέσεται τὴν αὐτὴν γυναῖκα· μετὰ δὲ ταῦτα ταχέως πρὸς ἐκείνην ἐξολισθήσει τὴν ἀσέλγειαν, τὸν ἐκκεχυμένον καὶ ἄτακτον γέλωτα ζητῶν, τὰ πολλῆς ἀνελευθερίας γέμοντα ῥήματα, τὰ σχήματα τὰ διακεκλασμένα, τὴν ἄλλην ἀσχημοσύνην πᾶσαν, ἣν ἡμᾶς οὐκ ἀνεκτὸν εἰπεῖν. ταῦτα δὲ ἡ ἐλευθερία παρέχειν οὐκ ἀνέχεται, οὐδὲ καταρρυπαίνειν ἑαυτήν. ἐπὶ κοινωνίᾳ γὰρ βίου καὶ παιδοποιΐᾳ κατηγγυήθη τῷ ἀνδρί, οὐκ ἐπὶ ἀσχημοσύνῃ καὶ γέλωτι· ἵνα οἰκουρῇ, ἵνα παιδεύῃ κἀκεῖνον εἶναι σεμνόν, οὐχ ἵνα αὐτῷ τὰ ἐκχεύματα παρέχῃ πορνείας. ἀλλ' ἡδέα σοι φαίνεται τὰ τῆς πόρνης ῥήματα; οἶδα κἀγώ. καὶ γὰρ

Παροιμ. ε.

ἡ γραφὴ τοῦτό φησι· Μέλι ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης. διὰ γὰρ τοῦτο ταῦτα πάντα ποιῶ, ὥστε μὴ τοῦ μέλιτος ἐκείνου πεῖραν λαβεῖν. εἰς γὰρ χολὴν εὐθέως τρέπεται. καὶ τοῦτο αὐτό φησι καὶ ἡ γραφή· Ἥτις πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. τί λέγεις; ἀνάσχεσθέ μου τι καὶ ἀκάθαρτον [ὡς εἰπεῖν] φθεγγομένου, καὶ ἀπαναισχυντοῦντος, καὶ ἀπερυθριῶντος. οὐ γὰρ ἑκὼν τοῦτο πάσχω· ἀλλὰ διὰ τοὺς οὐκ αἰσχυνομένους τὰ πράγματα, τὰ ῥήματα αὐτὸς ἀναγκάζομαι λέγειν. πολλὰ δὲ καὶ ἐν ταῖς γραφαῖς ὁρῶμεν τοιαῦτα. καὶ γὰρ καὶ ὁ Ἰεζεκιὴλ ὀνειδίζων τὴν Ἱερουσαλήμ, πολλὰ τοιαῦτα φθέγγεται, καὶ οὐκ αἰσχύνεται. καὶ εἰκότως. οὐ γὰρ ἐξ οἰκείου πάθους αὐτὰ ἔλεγεν, ἀλλ' ἀπὸ κηδεμονίας. καὶ γὰρ τὰ ῥήματα δοκῇ εἶναι ἀπρεπῆ, ἀλλ' ὁ σκοπὸς οὐκ ἀπρεπής, ἀλλὰ καὶ σφόδρα ἁρμόζων τῷ βουλομένῳ ἀκαθαρσίαν ἐκβαλεῖν ψυχῆς. ἂν γὰρ μὴ αὐτὰ τὰ ῥήματα ἀκούσῃ ἡ ἀναίσχυντος ψυχή, οὐκ ἐντρέπεται. καὶ γὰρ ἰατρὸς βουλόμενος σηπεδόνα ἐκβαλεῖν, πρότερον τοὺς δακτύλους εἰς τὸ τραῦμα καθίησι. κἂν μὴ πρότερον μολύνῃ τὰς ἰωμένας χεῖρας, ἰάσασθαι οὐ δυνήσεται. οὕτω κἀγώ. ἂν μὴ πρότερον τὸ στόμα μολύνω τὸ ἰώμενον ὑμῶν τὰ πάθη, οὐ δυνήσομαι ὑμᾶς ἰάσασθαι. μᾶλλον δὲ οὐδὲ τοῦτο μολύνεται, οὔτε ἐκεῖναι αἱ χεῖρες. τί δήποτε; ὅτι οὐκ ἔστιν ἡ ἀκαθαρσία φυσική, οὐδὲ ἐκ τοῦ ἡμετέρου σώματος, ὥσπερ οὐδὲ ἐκεῖ ἐκ τῶν ἐκείνου χειρῶν, ἀλλ' ἐξ ἀλλοτρίων. εἰ δὲ ἔνθα ἀλλότριον σῶμα, οὐ παραιτεῖται ἐκεῖνος βάψαι τὰς ἑαυτοῦ χεῖρας, ἔνθα τὸ ἡμέτερον σῶμα, παραιτησόμεθα, εἰπέ μοι; σῶμα γὰρ ἡμέτερον ὑμεῖς, ἀσθενὲς μὲν καὶ ἀκάθαρτον, ἡμέτερον δέ. τί οὖν ἐστιν ὅ φημι, καὶ δι' ὃ τοσαύτην ἐποιησάμην παραίνεσιν; ὅτι ἱμάτιον μὲν, ὅπερ ὁ δοῦλος ἔχει, οὐκ ἂν ἕλοιό ποτε φορέσαι βδελυττόμενος διὰ τὸν ῥύπον, ἀλλ' ἕλοιο ἂν γυμνὸς εἶναι, ἢ ἐκείνῳ χρήσασθαι·

χρήσασθαι σώματι δὲ ἀκαθάρτῳ καὶ ῥυπαρῷ, καὶ οὐ τῷ παιδὶ τῷ σῷ μόνον, ἀλλὰ μυρίοις ἑτέροις χρησαμένῳ; ὅτι καταχρήσῃ, καὶ οὐ βδελύξῃ; ἠσχύνθητε ἀκούσαντες; ἀλλ' ἐν τοῖς ἔργοις αἰσχύνθητε, μὴ ἐν τοῖς ῥήμασι. καὶ τὰ ἄλλα πάντα παρίημι, τὸ τῶν ἠθῶν δυσότροπον καὶ μιαρόν, τὸ τῆς ἄλλης ζωῆς δουλικὸν καὶ ἀνελεύθερον. εἰπέ μοι, πρὸς τὴν αὐτὴν* καὶ σὺ καὶ ὁ οἰκέτης ὁ σός; καὶ εἴθε ὁ οἰκέτης μόνον, ἀλλὰ καὶ ὁ δήμιος. καὶ χεῖρας μὲν τοῦ δημίου οὐκ ἂν ἀνάσχοιο κατασχεῖν· τὴν δὲ ἐν ἐκείνῳ σῶμα γινομένην περιπλέκῃ καὶ καταφιλεῖς, καὶ οὐ φρίττεις, οὐδὲ δέδοικας; οὐκ αἰσχύνῃ; οὐκ ἐντρέπῃ; οὐκ ἀγωνιᾷς; εἴποι μὲν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρους, ὅτι δεῖ ταχέως πρὸς γάμον ἄγειν ὑμᾶς· ἀλλ' ὅμως οὐδὲ ὑμεῖς ἀνεύθυνοι τῆς κολάσεώς ἐστε. εἰ γὰρ μὴ καὶ ἄλλοι νέοι μᾶλλον ὑμῶν ἦσαν πολλοὶ ἐν σωφροσύνῃ ζῶντες, καὶ πάλαι, καὶ νῦν, ἴσως ἂν ἦν τις ὑμῖν ἡ ἀπολογία. εἰ δὲ εἰσί, πόθεν ἕξετε εἰπεῖν, ὅτι οὐκ ἠδυνήθημεν κατασχεῖν τὴν φλόγα τῆς ἐπιθυμίας; ἐκεῖνοι γὰρ κατηγοροῦσιν ὑμῶν τῶν δυνηθέντων, τῷ τῆς αὐτῆς φύσεως μετέχειν. ἀκούετε τοῦ Παύλου λέγοντος· Εἰρήνην διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἡ ἀπειλὴ αὕτη οὐχ Εβρ. ιβ. ιδ. ἱκανὴ φοβῆσαι; ὁρᾷς ἑτέρους δι' ὅλου σωφρονοῦντας, καὶ ἐν σεμνότητι διάγοντας· καὶ σὺ οὐδὲ μέχρι τῶν τῆς νεότητος χρόνων καρτερεῖς; ὁρᾷς ἑτέρους καταπαλαίσαντας μυριάκις τὴν ἡδονήν· καὶ σὺ οὐδὲ ἅπαξ ἀνέχῃ; εἰ βούλεσθε, τὴν αἰτίαν ἐγὼ λέγω. οὐ γὰρ ἡ νεότης αἰτία (ἐπεὶ ἔμελλον πάντες οἱ νέοι ἀκόλαστοι εἶναι) ἀλλ' ἡμεῖς* ἑαυτοὺς ὠθοῦμεν εἰς τὴν πυράν. ὅταν γὰρ ἀνέλθῃς εἰς θέατρον, καὶ καθίσῃς γυμνοῖς μέλεσι γυναικῶν τοὺς ὀφθαλμοὺς ἑστιῶν, πρὸς μὲν καιρὸν ἥσθης· ὕστερον δὲ πολὺν ἐκεῖθεν ἔθρεψας τὸν πυρετόν. ὅταν ἴδῃς ὥσπερ σώματος τύπῳ γυναῖκας φαινομένας, ὅταν καὶ θεάματα καὶ ᾄσματα μηδὲν ἕτερον, ἀλλ' ἢ ἔρωτας ἀτόπους ἔχοντα, ἡ δεῖνα, φησί, τὸν δεῖνα ἐφίλησε καὶ οὐκ ἐπέτυχε, καὶ ἀπήγξατο, καὶ εἰς μητέρας τοὺς ἀτόπους ἔρωτας ἐκκυλισθέντας, ὅταν καὶ δι' ἀκοῆς ταῦτα δέχῃ, καὶ διὰ γυναικῶν, καὶ διὰ τόπων, ἤδη δὲ καὶ διὰ γερόντων ἀνδρῶν (καὶ γὰρ πολλοὶ προσωπεῖα περιθέντες ἑαυτοῖς ἐκεῖ γυναικίζονται) πόθεν, εἰπέ μοι, δυνήσῃ σωφρονῆσαι λοιπόν, ἐκείνων τῶν διηγημάτων, ἐκείνων τῶν θεαμάτων, ἐκείνων τῶν ἀκουσμάτων κατεχόντων σου τὴν ψυχήν, καὶ ὀνείρων τοιούτων διαδεχομένων λοιπόν; πέφυκε γὰρ ὡς τὰ πολλὰ τοιαῦτα φαντασιοῦσθαι ἡ ψυχή, οἷα ἂν ἐν ἡμέρᾳ βούλεται καὶ ἐπιθυμεῖ. ὅταν οὖν ἐκεῖ μὲν καὶ πράγματα βλέπῃς αἰσχρά, καὶ ῥήματα ἀκούῃς αἰσχρότερα, καὶ τὰ μὲν τραύματα δέχῃ, τὰ δὲ φάρμακα μὴ ἐπιτιθῇς, πῶς οὐκ εἰκότως ἡ σηπεδὼν αὐξηθήσεται; πῶς ἡ νόσος οὐκ ἐπιταθήσεται, καὶ πολλῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἡμετέροις σώμασι; κουφότερον γάρ, εἴγε ἐβουλόμεθα, τῶν σωμάτων ἡ προαίρεσις τὰ τῆς διορθώσεως ἐδέχετο. ἐκεῖ μὲν γὰρ καὶ φαρμάκων, καὶ ἰατρῶν, καὶ χρόνου δεῖ· ἐνταῦθα δὲ ἀρκεῖ θελήσαντα, καὶ ἀγαθὸν γενέσθαι καὶ κακόν. ὥστε μᾶλλον ἐδέξω τὴν νόσον. ὅταν μὲν οὖν τὰ μὲν βλάπτοντα συμφορῶμεν, μηδένα δὲ λόγον ποιώμεθα τῶν ὠφελούντων, πότε ἔσται τις ὑγεία; διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. αἰσχυνθῶμεν, φοβηθῶμεν, εἰ τὰ μὴ εἰδότα τὸν Θεὸν ἔθνη πολλάκις σωφρονεῖ. ἐντραπῶμεν, ὅταν ἐκείνων χείρους ὦμεν. εὔκολον κατορθῶσαι σωφροσύνην, ἂν ἐθέλωμεν, ἂν ἀπάγωμεν τῶν βλαπτόντων ἑαυτούς· ἐπεὶ οὐδὲ πονηρίαν διαφυγεῖν εὔκολον, ἂν μὴ θέλωμεν. τί γὰρ τοῦ βαδίζειν ἐπ' ἀγορᾶς εὐκολώτερον; ἀλλ' ὑπὸ τῆς πολλῆς βλακείας δύσκολον γέγονεν, οὐκ ἐπὶ γυναικῶν μόνον, ἀλλ' ἤδη καὶ ἐπὶ ἀνδρῶν. τί τοῦ καθεύδειν εὐκολώτερον; ἀλλὰ καὶ τοῦτο δύσκολον πεποιήκαμεν. πολλοὶ γοῦν τῶν πλουσίων δι' ὅλης περιστρέφονται τῆς νυκτός, τῷ μὴ περιμένειν τὴν χρείαν τοῦ ὕπνου, καὶ τότε καθεύδειν. καὶ ὅλως οὐδὲν δύσκολον βουλομένοις, ὥσπερ οὐδὲν εὔκολον μὴ βουλομένοις ἡμῖν. πάντων γὰρ ἡμεῖς κύριοι. διὰ τοῦτο καὶ ἡ γραφή, Ἂν θέλητε, καὶ εἰσακούσητέ Ησ. α. ιθ. κ. μου. καὶ πάλιν, Ἂν μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου. ὥστε ἐν τῷ θέλειν, καὶ τῷ μὴ

θέλειν

θέλειν κεῖται τὸ πᾶν. διὰ τοῦτο καὶ κολαζόμεθα καὶ ἐπαινούμεθα. γένοιτο δὲ τῶν ἐπαινουμένων γενομένους ἡμᾶς τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ς. 9 ΠΕΡΙ ΔΕ ΤΗΣ ΦΙΛΑΔΕΛΦΙΑΣ ΟΥ ΧΡΕΙΑΝ ἔχομεν γράφειν ὑμῖν. αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. 10 Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ.

Τί δήποτε περὶ σωφροσύνης σφοδρῶς αὐτοῖς διαλεχθεὶς, καὶ περὶ τοῦ δεῖν ἐργάζεσθαι μέλλων διαλέγεσθαι, καὶ περὶ τοῦ μὴ λυπεῖσθαι τοῖς ἀπελθοῦσιν, ὃ πάντων ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν τὸ τῆς ἀγάπης, τοῦτο κατὰ παράλειψιν τίθησι λέγων· οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν; καὶ τοῦτο ἀπὸ τῆς πολλῆς συνέσεως καὶ τῆς πνευματικῆς διδασκαλίας. δύο γὰρ ἐνταῦθα ἐμφαίνει· ἓν μὲν, ὅτι οὕτως ἀναγκαῖον τὸ πρᾶγμα, ὡς μηδὲ διδασκαλίας δεῖσθαι (τὰ γὰρ σφόδρα μεγάλα πᾶσίν ἐστι δῆλα) δεύτερον δὲ, μᾶλλον αὐτοὺς ἐντρέπει, ἢ εἰ παρῄνεσε τοῦτο εἰπών. ὁ γὰρ νομίζων αὐτοὺς κατωρθωκέναι, καὶ διὰ τοῦτο μὴ παραινῶν, καὶ εἰ μὴ κατώρθωσαν, ἐνήγαγεν ἂν μᾶλλον. καὶ ὅρα. οὐ λέγει περὶ τῆς ἀγάπης τῆς εἰς πάντας, ἀλλὰ τῆς εἰς τοὺς ἀδελφούς. οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν. ἐχρῆν οὖν σιωπῆσαι, καὶ μηδὲν εἰπεῖν, εἰ μὴ χρεία ἐστί. νῦν δὲ τὸ εἰπεῖν, οὐ χρεία ἐστὶ, μεῖζον ἐποίησεν, ἢ εἰ εἶπεν. αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε. καὶ ὅρα μεθ' ὅσου ἐγκωμίου τὸν Θεὸν αὐτοῖς διδάσκαλον ἐπέστησε τούτου. οὐ δεῖσθε, φησι, παρὰ τοῦ θεράποντος μαθεῖν. ὅπερ καὶ ὁ

Ησ. νδ. ιγ. Ιερ. λα. λδ. προφήτης φησὶ, Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. αὐτοὶ γὰρ ὑμεῖς, φησι, θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ, καὶ εἰς τοὺς ἄλλους πάντας, φησί. σφόδρα ταῦτα ἐντρεπτικὰ πρὸς τὸ ποιεῖν αὐτό. καὶ οὐχ ἁπλῶς λέγω, ὅτι θεοδίδακτοί ἐστε, ἀλλ' οἶδα ἀφ' ὧν ποιεῖτε. καὶ πολλὰ αὐτοῖς ἐμαρτύρησε τούτου ἕνεκεν. Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, περισσεύειν μᾶλλον (Τουτέστι, πλεονάζειν)

11 Καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν, καθὼς παρηγγείλαμεν ὑμῖν,

12 Ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε. Ἐνταῦθα δείκνυσιν ὅσων μὲν ἡ ἀργία κακῶν αἰτία, ὅσων δὲ ἡ ἐργασία καλῶν· καὶ ποιεῖ αὐτὸ σαφὲς ἀπὸ τῶν παρ' ὑμῖν, ὃ πολλαχοῦ ποιεῖ. καὶ τοῦτο συνετῶς. μᾶλλον γὰρ τούτοις ἐνάγονται οἱ πλείους, ἢ τοῖς πνευματικοῖς. ἀγάπης γάρ ἐστι * τῆς εἰς τοὺς πλησίον, οὐχὶ παρ' ἐκείνων λαμβάνειν, ἀλλ' ἐκείνοις παρέχειν. καὶ θέα σύνεσιν. μέλλων παρακαλεῖν καὶ παραινεῖν, μέσον τὸ κατόρθωμα τίθησιν, ἵνα καὶ ἀπὸ τῆς προτέρας παραινέσεως ἀναπνεύσωσι, καὶ τῆς ἀπειλῆς, ἡ-

α. Θεσ. δ. η. νίκα ἔλεγε· Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν· καὶ ὅπως ταῦτα μὴ ἀποσκιρτήσωσι. τοῦτο δὲ ἀπὸ τοῦ ἐργάζεσθαι γίνεται, ὥστε μὴ λαμβάνειν, μηδὲ ἀργεῖν, ἀλλ'

Πραξ. κ. λε. ἐργαζόμενον ἑτέροις παρέχειν. Μακάριον γάρ ἐστι, φησι, διδόναι μᾶλλον, ἢ λαμβάνειν. καὶ ἐργάζεσθαι, φησι, ταῖς χερσὶν ὑμῶν. ποῦ τοίνυν εἰσὶν οἱ τὸ ἔργον ζητοῦντες τὸ πνευματικόν; ὁρᾷς πῶς αὐτοῖς πᾶσαν πρόφασιν ἀνεῖλεν εἰπὼν, ταῖς χερσὶν ὑμῶν; ἆρα νηστείαν ἐργάζεταί τις ταῖς χερσίν; ἀλλὰ παννυχίδας; ἀλλὰ χαμευνίας; οὐδεὶς τοῦτο ἂν εἴποι. ἀλλὰ περὶ ἔργου φησὶ τοῦ πνευματικοῦ. πνευματικὸν γὰρ ὄντως ἐστὶ, τὸ ἐργαζόμενον ἑτέροις παρέχειν, καὶ οὐδὲν ἴσον τούτου. ἵνα περιπατῆτε, φησιν, εὐσχημόνως. ὁρᾷς πόθεν αὐτῶν καθάπτεται;

ται; οὐκ εἶπεν, ἵνα μὴ ἀσχημονῆτε ἐπαιτοῦντες, ἀλλὰ τὸ αὐτὸ μὲν ᾐνίξατο, σαφέστερον δὲ αὐτὸ τίθησιν, ὥστε καὶ πλῆξαι, καὶ μὴ σφόδρα τούτους βαρῆσαι. εἰ γὰρ οἱ παρ' ἡμῖν σκανδαλίζονται τούτοις, πολλῷ μᾶλλον οἱ ἔξωθεν μυρίας εὑρίσκοντες κατηγορίας καὶ λαβάς, ὅταν ἴδωσιν ἄνθρωπον ὑγιαίνοντα, καὶ ἑαυτῷ ἀρκέσαι δυνάμενον ὁρῶσιν ἐπαιτοῦντα, καὶ ἑτέρων δεόμενον. διὸ καὶ Χριστεμπόρους καλοῦσιν ἡμᾶς. Διὰ τοῦτο τὸ ὄνομά, φησι, βλασφημεῖται τοῦ Θεοῦ. ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ' ὃ μάλιστα αὐτῶν καθάψασθαι ἴσχυε, τὸ τῆς ἀσχημοσύνης. Ρωμ. β. κδ. Ησ. νβ. ε. Ιεζεκ. λϛ. κγ.

13 Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Δύο ταῦτα μάλιστα ἐλυμαίνετο αὐτούς, πενία, καὶ ἀθυμία, ἃ καὶ πάντας ἀνθρώπους. ὅρα οὖν πῶς αὐτὰ θεραπεύει. πενία δὲ αὐτοῖς ἦν ἐκ τοῦ ἁρπάζεσθαι αὐτῶν τὰ χρήματα. εἰ δὲ ὧν τὰ χρήματα ἡρπάζετο διὰ τὸν Χριστόν, τούτους κελεύει ἐργαζομένους τρέφεσθαι, πολλῷ μᾶλλον τοὺς ἄλλους. ὅτι γὰρ ἡρπάγη, δῆλον ἐκ τοῦ εἰπεῖν, Ὑμεῖς μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τῶν ἐν Ἰουδαίᾳ. πῶς; ὅτι ἐκείνοις γράφων ἔλεγε, Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. α. Θεσ. β. ιδ. Εβρ. ι. λδ. ἐνταῦθα λοιπὸν τὸν περὶ ἀναστάσεως λόγον κινεῖ. καὶ τί; οὐκ ἦν αὐτοῖς ἄρα περὶ τούτου διαλεχθείς; ἀλλ' ἐνταῦθα ἕτερόν τι αἰνίττεται μυστήριον. ποῖον δὴ τοῦτο; ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, φησιν, εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. ἱκανὸς μὲν οὖν καὶ ὁ τῆς ἀναστάσεως λόγος παραμυθήσασθαι τὸν ἐν ὀδύνῃ· ἱκανὸν δὲ καὶ τὸ νῦν λεγόμενον ἀξιόπιστον ποιεῖν τὴν ἀνάστασιν. πρότερον δὲ ἐκεῖνο εἴπωμεν, ὃ καὶ αὐτὸς εἶπεν, οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. ὅρα πῶς καὶ ἐνταῦθα ἡμέρως. οὐκ εἶπεν, οὕτως ἀνόητοί ἐστε; καθάπερ πρὸς Κορινθίους, οὕτως ἄφρονες, ὅτι εἰδότες ἀνάστασιν, ὡς οἱ μὴ πιστεύοντες οὕτω λυπεῖσθε; Γη. γ. γ. ἀλλὰ σφόδρα ἡμέρως, οὐ θέλω, εἶπε, τὴν ἄλλην αὐτῶν ἀρετὴν αἰδούμενος. καὶ οὐκ εἶπε, περὶ τῶν ἀποθανόντων, ἀλλ' εὐθέως ἀπὸ προοιμίων τὴν παράκλησιν καταβαλλόμενος. ἵνα μὴ λυπῆσθε, φησιν, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. ἄρα τὸ κατακόπτεσθαι ἐπὶ τοῖς ἀπελθοῦσι, τῶν οὐκ ἐχόντων ἐστὶν ἐλπίδα. εἰκότως. ψυχὴ γὰρ οὐδὲν περὶ ἀναστάσεως ἐπισταμένη, ἀλλὰ τὸν θάνατον τοῦτον θάνατον εἶναι νομίζουσα, εἰκότως ὡς περὶ ἀπολωλότων κόπτεται, καὶ θρηνεῖ, καὶ ἀφορήτως πενθεῖ. σὺ δὲ ὁ προσδοκῶν ἀνάστασιν, τίνος ἕνεκεν ὀδύρῃ; ἄρα τῶν μὴ ἐχόντων ἐλπίδα ἐστὶ τὸ ὀδύρεσθαι.

Ἀκούσατε τῶν γυναικῶν ὅσαι φιλόθρηνοι, ὅσαι πρὸς τὰ πένθη ἀφορήτως φέρεσθε, ὅτι τὰ τῶν ἐθνικῶν πράττετε. ΗΘΙΚΟΝ εἰ δὲ τὸ ἀλγεῖν ἐπὶ τοῖς ἀπελθοῦσιν, ἐθνικῶν, τὸ κατακόπτεσθαι καὶ καταξαίνειν παρειάς, τίνων ἄρα ἐστίν, εἰπέ μοι; τίνος ἕνεκεν θρηνεῖς, εἰ πιστεύεις ὅτι ἀναστήσεται, ὅτι οὐκ ἀπώλετο, ὅτι ὕπνος καὶ κοίμησις τὸ πρᾶγμά ἐστι; συνηθείας ἕνεκεν, φησι, καὶ προστασίας, πραγμάτων ἐπιμελείας, τῆς ἄλλης θεραπείας ἁπάσης. ὅταν οὖν παῖδα ἀπολέσῃς ἐν ἀώρῳ ἡλικίᾳ, οὐδὲν οὐδέπω πρᾶξαι δυνάμενον, τίνος ἕνεκεν θρηνεῖς; τί ἐπιζητεῖς; ἐλπίδας, φησί, χρηστὰς ἐνέφαινε, καὶ προσεδόκων ὅτι μου προστήσεται. διὰ τοῦτο ζητῶ τὸν ἄνδρα, διὰ τοῦτο τὸν υἱόν, διὰ τοῦτο κόπτομαι καὶ θρηνῶ, οὐκ ἀπιστοῦσα τῇ ἀναστάσει, ἀλλ' ἔρημος βοηθείας γενομένη, καὶ τὸν προστάτην ἀπολωλεκυῖα, τὸν σύνοικον, τὸν ἐν πᾶσι κοινωνοῦντα, τὸν παρηγοροῦντα. διὰ ταῦτα πενθῶ. οἶδα ὅτι ἀναστήσεται· ἀλλ' οὐ φέρω τὸν μεταξὺ χωρισμόν. πολὺς τῶν πραγμάτων ὁ ὄχλος ἐπιρρεῖ, πᾶσι πρόκειμαι τοῖς βουλομένοις ἀδικεῖν. οἱ δεδοικότες πρότερον τῶν οἰκετῶν, καταφρονοῦσι νῦν, ἐπεμβαίνουσιν. εἴ τις εὐηργέτηταί, τῆς εὐεργεσίας ἐπιλέλησται τῆς ἐκείνου· εἴ τις κακῶς ἔπαθε παρ' αὐτοῦ, τῷ ἀπελθόντι μνησικακῶν εἰς ἐμὲ τὴν ὀργὴν ἀφίησι. ταῦτα οὐκ ἀφίησί με τὴν χηρείαν φέρειν, πράως ὀδύρομαι. διὰ ταῦτα κόπτομαι, διὰ ταῦτα θρηνῶ.

πῶς

πῶς οὖν τὰς τοιαύτας παραμυθησόμεθα; τί ἐροῦμεν; πῶς αὐτῶν τὴν ὀδύνην ἀποκρουσόμεθα; πρὸς ταῦτα· αὐτὰς διελέγξαι πειράσομαι, ὅτι οὐ τούτων ἐστὶν ὁ θρῆνος τῶν ῥημάτων, ἀλλὰ πάθους ἀλογίστου. εἰ γὰρ ταῦτα πενθεῖς, ἐχρῆν διαπαντὸς πενθεῖν τὸν ἀπελθόντα. εἰ δὲ ἐνιαυτοῦ παρελθόντος ἐπιλέλησαι, ὡς οὐδὲ γενομένου τινός, οὐ τὸν ἀπελθόντα θρηνεῖς, οὐδὲ τὴν προστασίαν, ἀλλὰ τὸν χωρισμὸν οὐ φέρεις, οὐδὲ τὴν τῆς συνηθείας διακοπήν. τί δὴ ἂν εἴποιεν αἱ καὶ δευτέροις ὁμιλοῦσαι γάμοις; * σφόδρα γε. οὐ γὰρ τοὺς προτέρους ἐπιζητοῦσιν. ἀλλὰ μὴ πρὸς ταύτας τὸν λόγον ἀποτείνωμεν, ἀλλὰ πρὸς τὰς τοῖς ἀπελθοῦσι τὴν εὔνοιαν φυλαττούσας. διὰ τί πενθεῖς τὸ παιδίον; διὰ τί τὸν ἄνδρα; τοῦ μὲν, ἐπειδὴ οὐκ ἀπήλαυσα, φησί· τοῦ δὲ, ἐπειδὴ προσεδόκησα ἐπὶ πλεῖον ἀπολαύσεσθαι. τοῦτο δὲ αὐτὸ, ὅσης ἀπιστίας τὸ νομίζειν, ὅτι ὁ ἀνὴρ ἢ τὸ παιδίον ἐν ἀσφαλείᾳ σε καθίστη, ἀλλ' οὐχ ὁ Θεός; πῶς οὐκ οἴει παροξύνειν αὐτόν; διὰ γὰρ τοῦτο αὐτοὺς λαμβάνει πολλάκις, ἵνα μὴ οὕτως αὐτοῖς ᾖ προσδεδεμένη, ὥστε ἀπ' ἐκείνων τὴν ἐλπίδα ἀπαγαγεῖν. Θεὸς γάρ ἐστι ζηλωτής, καὶ πάντων μάλιστα βούλεται παρ' ἡμῶν φιλεῖσθαι· καὶ τοῦτο, ἐπειδὴ σφόδρα ἡμᾶς φιλεῖ. ἴστε γὰρ ὅτι τοῦτο τῶν μανικῶς φιλούντων τὸ ἔθος. σφόδρα εἰσὶ ζηλότυποι, καὶ αἱροῖντο ἂν τὴν ψυχὴν προέσθαι, ἢ παρευδοκιμηθῆναι ὑπό τινος τῶν ἀντεραστῶν. διὰ ταῦτα καὶ ὁ Θεὸς αὐτὸν ἔλαβε, διὰ ταῦτα τὰ ῥήματα. ἐπεὶ τίνος ἕνεκεν, εἰπέ μοι, τὸ παλαιὸν οὐκ ἐγίνοντο χῆραι, οὐδὲ ὀρφανίαι ἄωροι; διὰ τί τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ ἀφῆκε πολὺν ζῆσαι χρόνον; πάντως, ὅτι καὶ ζῶντος αὐτοῦ, προετίμα τὸν Θεόν. εἶπε γοῦν, σφάξον· καὶ ἔσφαξε. διὰ τί τὴν Σάρραν ἐπὶ τοσοῦτον ἤγαγε γήρως; ὅτι καὶ ζώσης αὐτῆς τοῦ Θεοῦ μᾶλλον ἤκουεν, ἢ αὐτῆς. διὰ τοῦτο ἔλεγε πρὸς αὐτὸν ὁ Θεός· Ἄκουσον Σάρρας τῆς γυναικός σου. οὔτε δι' ἀνδρὸς φιλίαν, οὔτε διὰ γυναικός, οὔτε διὰ παιδὸς προστασίαν παρώργιζέ ποτε τὸν Θεόν. νῦν δὲ ἐπειδὴ κατωφερεῖς ἐσμεν, καὶ σφόδρα καταπεπτώκαμεν, καὶ ἄνδρες γυναῖκας τοῦ Θεοῦ πλέον φιλοῦμεν, καὶ γυναῖκες ἄνδρας τοῦ Θεοῦ πλέον προτιμῶμεν, τούτου χάριν καὶ ἄκοντας ἡμᾶς εἰς πόθον ἕλκει τὸν αὐτοῦ. μὴ φίλει τὸν ἄνδρα τοῦ Θεοῦ πλέον, καὶ οὐκ αἰσθήσει χηρείας ποτέ. μᾶλλον δὲ κἂν συμβῇ, οὐ λήψῃ τὴν αἴσθησιν. διὰ τί; ὅτι προστάτην ἔχεις τὸν μᾶλλον φιλοῦντα ἀθάνατον. εἰ μᾶλλον τὸν Θεὸν φιλεῖς, μὴ πένθει. ὁ γὰρ μᾶλλον φιλούμενος, ἀθάνατός ἐστι, καὶ οὐκ ἀφίησι τοῦ ἧττον φιλουμένου λαβεῖν αἴσθησιν. ἐπὶ παραδείγματός σοι τοῦτο ποιήσω φανερόν. εἰπέ μοι, εἰ ἄνδρα ἔχεις κατὰ γνώμην σοι πάντα πράττοντα, εὐδοκιμοῦντα, καὶ ποιοῦντά σε λαμπρὰν πανταχοῦ, καὶ ἀκαταφρόνητον, εὐδοκιμοῦντα παρὰ πᾶσι, συνετὸν, σοφὸν, φιλοῦντά σε, μακαριζομένη δι' αὐτὸν, καὶ μετὰ τούτου τέκῃς καὶ παιδίον, εἶτα πρὶν ἢ εἰς ὥραν ἐλθεῖν ἡλικίας ἀπέλθοι τοῦτο, ἆρα αἰσθήσῃ τοῦ πένθους; οὐδαμῶς. ὁ γὰρ μᾶλλον φιλούμενος ἐκεῖνο ἀποκρύπτει. καὶ νῦν τὸν Θεὸν ἂν πλέον φιλῇς τοῦ ἀνδρὸς, μάλιστα μὲν οὐ ταχέως αὐτὸν λήψεται· εἰ δὲ ἄρα καὶ λάβοι, οὐχ ἕξεις αἴσθησιν τοῦ πένθους. διὰ τοῦτο καὶ ὁ μακάριος Ἰὼβ οὐδὲν ἔπαθε δεινὸν, τῶν παίδων ἀθρόον τὸν θάνατον ἀκούσας, ἐπειδὴ τὸν Θεὸν ἐφίλει πλέον αὐτῶν. τοῦ τοίνυν φιλουμένου ζῶντος, οὐδὲν ἔμελλεν ἐκεῖνα λυπήσειν αὐτόν. τί λέγεις, ὦ γύναι; ὁ ἀνὴρ καὶ ὁ παῖς προΐσατό σου; ὁ δὲ Θεὸς οὐ φείδεταί σου; αὐτὸν δὲ ἐκεῖνον τίς σοι ἔδωκεν; οὐχὶ αὐτός; σὲ δὲ τίς ἐποίησεν; οὐχὶ αὐτός; ὁ μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, καὶ ψυχὴν μὲν ἐμπνεύσας, καὶ διάνοιαν ἐνθεὶς, καὶ τὴν αὐτοῦ γνῶσιν καταξιώσας χαρίσασθαι, καὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ μονογενοῦς διὰ σὲ μὴ φεισάμενος, σοῦ οὐ φείδεται; ὁ δὲ ὁμόδουλος φείσεται; πόσης ταῦτα ὀργῆς τὰ ῥήματα; τί τοιοῦτον ἔχεις παρὰ τοῦ ἀνδρός; οὐδὲν ἂν ἔχοις εἰπεῖν. εἰ γάρ τί σε καὶ εὐηργέτησεν, ἀλλ' εὖ παθὼν, ἀλλὰ προϋπάρξαντος σοῦ. ἐπὶ δὲ Θεοῦ οὐδὲν τοιοῦτον ἄν τις ἔχοι λέγειν. οὐ γὰρ εὖ παθὼν ὁ Θεὸς παρ' ἡμῶν, οὕτως ἡμᾶς εὐεργετεῖ· ἀλλ' ἀνενδεὴς ὤν, ἐξ ἀγαθότητος μόνης εὖ ποιεῖ τὸ τῶν ἀνθρώπων γένος. βασιλείαν σοι ἐπηγγείλατο, ζωὴν ἀθάνατον, δόξαν, ἀδελφότητα, υἱοθεσίαν ἔδωκε, συγκλη-

Γεν. κα. ιβ.

ἐνόμισε τοὺς μονογάμους ἐποίησε· σὺ δὲ τοῦ ἀνδρὸς ἔτι μέμνησαι μετὰ τοσαῦτα ἀγαθά; τί τοιοῦτον ἐκεῖνος ἐχαρίσατο; τὸν ἥλιον αὐτὸς ἀπέστειλε, τὸν ὑετὸν ἔδωκε, ταῖς ἐτησίοις τροφαῖς τρέφει. οὐαὶ ἡμῖν ἐκ τῆς πολλῆς ἀχαριστίας. διὰ τοῦτο λαμβάνει τὸν ἄνδρα, ἵνα αὐτὸν μὴ ζητῇς· σὺ δὲ ἀπελθόντος ἔχεις, καὶ τὸν Θεὸν ἀφεῖς, δέον εὐχαριστεῖν, δέον δὲ πάντα ἐπ' αὐτὸν ἐπιρρίπτειν; τί γάρ ἐστιν ὃ παρὰ τοῦ ἀνδρὸς ἔλαβες; ὠδῖνες, καὶ πόνοι, καὶ ὕβρεις, καὶ λοιδορίαι πολλάκις καὶ ἐπιτιμήσεις καὶ ἀγανακτήσεις. οὐ ταῦτα τὰ παρὰ τῶν ἀνδρῶν; ἀλλ' ἔστι, φησί, καὶ ἕτερα χρηστά. ποῖα δὴ ταῦτα; ἐκαλλώπισέ σε ἱματίοις πολυτελέσι; χρυσία περιέθηκε τῷ προσώπῳ; αἰδέσιμον πᾶσιν ἐποίησεν; ἀλλ' ἂν θέλῃς, καὶ ἀπελθόντος κοσμήσῃ κόσμῳ πολὺ βελτίονι. τὴν γὰρ χηρείαν πολλῷ θαυμασιωτέραν τινὰ ἔχουσαν ἡ σεμνότης ποιεῖ. ἔχει καὶ αὐτὸς ὁ βασιλεὺς ἱμάτια, οὐ τοιαῦτα, ἀλλὰ πολλῷ βελτίω. ἐκεῖνα, ἂν ἐθέλῃς, περιβαλοῦ. ποῖα δὴ ταῦτα; ἱματισμός ἐστι διάχρυσος κροσσοὺς ἔχων. ἐὰν ἐθέλῃς, τοῦτο περίβαλε τὴν ψυχήν. ἀλλ' αἰδέσιμον ἐποίησεν εἶναι πᾶσι ἀνθρώποις ἐκεῖνος; καὶ τί τοῦτο μέγα; ἡ μὲν τοι χηρεία οὐκ ἀφίησί σε γενέσθαι εὐκαταφρόνητον τοῖς δαίμοσι. τότε τῶν οἰκετῶν ἐκράτεις τῶν σῶν, εἴγε ὅλως ἐκράτεις· νῦν δὲ αὐτῶν τῶν οἰκετῶν τῶν ἀσωμάτων δυνάμεων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τοῦ κοσμοκράτορος κρατεῖς. τὰ δὲ λυπηρὰ οὐ λέγεις, ἐν οἷς ἐκοινώνησας αὐτῷ· εἴ ποτε ἀρχόντων φόβος, εἴ ποτε παρὰ ἀδοκιμήσεις τῶν πλησίον. τούτων ἁπάντων ἀπηλλάξαι νῦν φόβου καὶ δέους. ἀλλὰ τίς σοι τὰ καταλειφθέντα θρέψει παιδία, μειρακίας; ὁ πατὴρ τῶν ὀρφανῶν. τίς γὰρ αὐτὰ ἔδωκεν, εἰπέ μοι; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος ἐν τοῖς εὐαγγελίοις, Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; Ματθ. ς. κε. ὁρᾷς ὅτι οὐκ ἀπὸ σπουδαιότητος, ἀλλ' ἀπὸ ἀπιστίας ὁ θρῆνος γίνεται; ἀλλ' οὐκ ἔστι λαμπρὰ ὁμοίως τὰ παιδία τοῦ πατρὸς τελευτήσαντος. διὰ τί; τὸν Θεὸν ἔχει πατέρα, καὶ οὐκ ἔστι λαμπρά; πόσους σοι ἐναποδείξω ὑπὸ χηρῶν ἀνατραφέντας, καὶ γενομένους δοκίμους; πόσους δὲ ὑπὸ πατράσιν ὄντας, καὶ ἀπολωλότας; ἂν γὰρ αὐτὰ ἀνατρέφῃς ἐκ πρώτης ἡλικίας ὡς ἀνατρέφειν δεῖ, πολλῷ μᾶλλον τῆς προστασίας τῆς πατρικῆς ἀπολαύσονται εὐεργεσίας. ὅτι γὰρ χηρῶν ἐστι τὸ κατόρθωμα, τὸ τὰ παιδία λέγω ἀνατρέφειν, ἄκουσον Παύλου λέγοντος, Εἰ ἐτεκνοτρόφησεν· καὶ πάλιν, Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας (οὐκ εἶπε, διὰ τοῦ ἀνδρὸς) ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. α. Τιμ. ε. ι. καὶ β. ιε. ἔνθες τι αὐτοῖς τὸν φόβον τοῦ Θεοῦ ἐκ πρώτης ἡλικίας, καὶ παντὸς πατρὸς μᾶλλον αὐτοὺς διατηρήσει. τοῦτο τεῖχος ἔσται ἀρραγές. ὅταν γὰρ ἔνδον ὁ φύλαξ ἐγκαθήμενος ᾖ, οὐδὲν ἡμῖν τῶν ἔξωθεν δεῖ ἐπιτειχισμάτων· ἐκείνου δὲ οὐκ ὄντος, πάντα εἰκῆ τὰ ἔξωθεν γίνεται. τοῦτο αὐτοῖς ἔσται, καὶ πλοῦτος, καὶ δόξα, καὶ εὐκοσμία, τοῦτο αὐτοὺς ποιήσει λαμπρούς, οὐκ ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς. μὴ γάρ μοι πρὸς ἐκείνους ἴδῃς τοὺς διεζωσμένους τὰς ζώνας τὰς χρυσᾶς, μηδὲ τοὺς ἐφ' ἵππων φερομένους, μηδὲ τοὺς ἐν τοῖς βασιλείοις λάμποντας διὰ τοὺς πατέρας, μηδὲ τοὺς ἀκολούθους ἔχοντας καὶ παιδαγωγούς. ταῦτα γὰρ ἴσως τὰς χήρας ἐπὶ τοῖς ὀρφανοῖς κόπτεσθαι ποιεῖ, ἐννοουμένας ὅτι καὶ αὐτὸς ὁ ἐμὸς παῖς, εἴγε ὁ πατὴρ αὐτῷ περιῆν, τοσαύτης ἂν ἀπέλαυσε μακαριότητος· νῦν δὲ ἐν κατηφείᾳ, καὶ ἀτιμίᾳ, καὶ οὐδενὸς ἄξιος λόγου ἐστί. μὴ δὴ ταῦτα ἐννοῇς, ὦ γύναι, ἀλλ' ἀναπέτασον τοῦ οὐρανοῦ τὰς πύλας τῷ λογισμῷ, καταμάνθανε τὰ ἐκεῖ βασίλεια, ἰδὲ τὸν ἐκεῖ καθήμενον βασιλέα, λόγισαι εἰ οὗτοι μᾶλλον οἱ ἐπὶ τῆς γῆς τοῦ παιδὸς τοῦ σοῦ δύναιντ' ἂν ἐκεῖ εἶναι λαμπρότεροι, καὶ τότε στέναζον· ἂν δὲ ἐπὶ τῆς γῆς ὦσί τινες εὐδόκιμοι, οὐδεὶς τούτου ἄξιος λόγου. ἔξεστιν, ἂν θέλῃς, ἐν τοῖς οὐρανοῖς αὐτὸν στρατεῦσαι, εἰς ἐκείνην καταλέξαι τὴν στρατολογίαν. οἱ γὰρ ἐκεῖ καταλεγόμενοι, οὐκ ἐφ' ἵππων φέρονται, ἀλλ' ἐν νεφέλαις· οὐκ ἐπὶ γῆς βαδίζουσιν, ἀλλ' εἰς τὸν οὐρανὸν ἁρπάζονται· οὐ παῖδας ἔχουσι τοὺς προηγουμένους, ἀλλὰ τοὺς ἀγγέλους αὐτούς· οὐ βασιλεῖ παρεστήκασι θνητῷ, ἀλλὰ τῷ ἀθανάτῳ, τῷ βασιλεῖ τῶν βασιλευόντων, καὶ Κυρίῳ τῶν κυριευόν-

τὴν· οὐ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν ἔχουσιν, ἀλλὰ τὴν δόξαν ἐκείνην τὴν ἄρρητον, δι' ἣν καὶ βασιλέων γίνονται λαμπρότεροι, καὶ τῶν πώποτε εὐδοκιμηκότων. ἐν γὰρ τοῖς βασιλείοις ἐκείνοις, οὐ πλοῦτος, οὐκ εὐγένεια, οὐκ ἄλλο οὐδέν, ἀλλ' ἀρετὴ ζητεῖται μόνον. καὶ ταύτης παρούσης, οὐδὲν ἐνδεῖ πρὸς τὸ τῶν πρωτείων αὐτοῦ τυχεῖν. οὐδὲν ὑμῖν ἐστι δυσχερές, ἂν θέλωμεν φιλοσοφεῖν. ἀνάβλεψον εἰς τὸν οὐρανόν, καὶ ὅρα πόσῳ τῆς ὀροφῆς τῶν βασιλείων λαμπρότερός ἐστι. εἰ δὲ τὸ ἔδαφος τῶν ἄνω βασιλείων παρὰ τοσοῦτόν ἐστι τῶν κάτω σεμνότερον, ὡς τοῦτο πρὸς ἐκεῖνο βόρβορον νομίζεσθαι, εἴ τις ἂν ἀξιωθῇ τὰ βασίλεια ἀκριβῶς ἰδεῖν, τίνος οὐκ ἔσται μακαριότητος ἄξιος; Ἡ δὲ ὄντως χήρα, φησί, καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν. τοῦτο πρὸς τίνας εἴρηται; πρὸς τὰς ἐχούσας παῖδας, ὅτι δοκιμώτεραι μᾶλλόν εἰσι, καὶ πλείονα ἀφορμὴν ἔχουσιν ἀρέσκειν Θεῷ· ὅτι πάντα αὐτῆς λέλυται τὰ δεσμά. οὐδεὶς ὁ κατέχων, οὐδεὶς ὁ ἐπισύρων· τὰς ἀλύσεις ἐκείνας ἀναγκάζων. ἀπηλλάγης τοῦ ἀνδρός, ἀλλ' ἡνώθης τῷ Θεῷ. οὐκ ἔχεις συνόμιλον τὸν ὁμόδουλον, ἀλλ' ἔχεις τὸν δεσπότην. ὅταν εὔχῃ, οὐχὶ τῷ Θεῷ διαλέγῃ, εἰπέ μοι; ὅταν ἀναγινώσκῃς, ἄκουε αὐτοῦ σοι διαλεγομένου. τί δέ σοι διαλέγεται; πολλῷ τοῦ ἀνδρὸς ποθεινότερα ῥήματα. ὁ μὲν γὰρ ἀνὴρ κἂν κολακεύῃ, οὐ πολλὴ ἡ τιμή (ὁμόδουλος γάρ ἐστιν)· ὅταν δὲ ὁ δεσπότης τὴν δούλην κολακεύῃ, τότε πολλὴ ἡ θεραπεία. πῶς οὖν ἡμᾶς θεραπεύει; ἄκουσον δι' ὅσων τοῦτο ποιεῖ. Δεῦτε, φησί, πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ πάλιν διὰ τοῦ προφήτου βοᾷ λέγων· Μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι, λέγει Κύριος. πόσου ταῦτα φίλτρου τὰ ῥήματα; καὶ πάλιν, Ἐπιστράφητε πρός με· καὶ πάλιν ἀλλαχοῦ, Ἐπίστρεψον πρός με, καὶ σωθήσῃ. εἰ δέ τις καὶ ἐκ τῶν ᾀσμάτων βούλοιτο ἐκλέγειν, ἀκούσεται, μυστικώτερα αὐτὰ ἐκλαμβάνων, ἡ καλή μου, ἡ πλησίον μου, πρὸς ψυχὴν εἰκὸς ἣν αὐτῷ πρέπουσαν διαλεγομένου. τί τούτων τῶν ῥημάτων ἥδιον; ὁρᾷς διάλεξιν Θεοῦ πρὸς ἀνθρώπους; τί δέ, εἰπέ μοι; οὐχ ὁρᾷς, ὅσοι ἐκείνων τῶν μακαρίων γυναικῶν παῖδες ἀπῆλθον, καὶ ἐν τάφοις εἰσίν; ὅσαι χαλεπώτερα πεπόνθασι, καὶ μετὰ τῶν ἀνδρῶν καὶ υἱοὺς ἀπέβαλον; τούτοις προσανέχωμεν, ταῦτα μεμνώμεθα· καὶ οὐδὲν ἡμῖν ἔσται λυπηρόν, ἀλλὰ πάντα διατελέσομεν τὸν χρόνον μετὰ χαρᾶς πνευματικῆς διάγοντες, καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

α Τιμ. ε ε.
Ματθ ια. κη.
Ησ. μθ. ιε.
Ησ. κα.
Ησ. με.

Λογ. ζ. 13 ΟΥ ΘΕΛΩ ΔΕ ΥΜΑΣ ΑΓΝΟΕΙΝ, ΑΔΕΛφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

ΠΟλλὰ τῶν πραγμάτων ἐξ ἀγνοίας ἡμᾶς λυπεῖ μόνης· ὡς ἂν αὐτὰ καλῶς καταμάθωμεν, ἀποκρουσόμεθα τὴν ὀδύνην. τοῦτο γοῦν καὶ ὁ Παῦλος ἐμφαίνων ἔλεγεν, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. τί οὐ θέλεις αὐτοὺς ἀγνοεῖν; τὸν περὶ τῆς ἀναστάσεώς, φησι, λόγον. διατί δὲ μὴ λέγεις τὴν κόλασιν τὴν ἀποκειμένην τῷ ἀγνοεῖν τὸν περὶ τῆς ἀναστάσεως λόγον; διότι τοῦτο ἐκεῖθεν δῆλόν ἐστι καὶ ὡμολογημένον. τέως δὲ μετ' ἐκείνου καὶ τοῦτο ἔσται κέρδος οὐ μικρόν. ἐπειδὴ γὰρ οὐ τῇ ἀναστάσει ἠπίστουν, ἀλλ' ὅμως ἐθρήνουν, διὰ τοῦτο οὕτω φησί. καὶ ἑτέρως μὲν τοῖς ἀπιστοῦσι διαλέγεται, ἑτέρως δὲ τούτοις. οἱ γὰρ περὶ τῶν χρόνων καὶ τῶν καιρῶν ζητοῦντες, δῆλον ὅτι ᾔδεσαν.

14 Εἰ γὰρ πιστεύομεν, φησὶν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, οὕτως ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Ποῦ εἰσιν οἱ τὴν σάρκα ἀθετοῦντες; εἰ γὰρ μὴ ἀνέλαβε σάρκα, οὐδὲ ἀπέθανεν· εἰ δὲ μὴ ἀπέθανεν, οὐδὲ ἀνέστη. πῶς οὖν ἡμᾶς ἀπὸ τούτων προτρέπει εἰς πίστιν; ἆρα οὐ λῆρος μᾶλλον ἦν κατ' αὐτοὺς, καὶ ἀπατεών; εἰ γὰρ τὸ ἀποθανεῖν ἁμαρτίας ἐστὶν, ὁ δὲ Χριστὸς οὐχ ἥμαρτε, πῶς ἡμᾶς προτρέπεται νῦν; διὰ τί δὲ καί φησιν, ὥσπερ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα; ὡσανεὶ ἔλεγε, τίνας θρηνεῖτε, ἀδελφοί; ὑπὲρ τίνων λυπεῖσθε; ὑπὲρ τὸν ἁμαρτωλὸν, ἢ ὑπὲρ τὸν ἁπλῶς ἀποθνήσκοντα; ὥστε ἐκεῖνοι τίνας θρηνοῦσι; πάντα δὲ ταῦτα ἐῶ λέγειν αὐτοῖς νῦν. Πρωτότοκος, φησὶν, ἐκ τῶν νεκρῶν, τουτέστιν, ἀπαρχή. οὐκοῦν καὶ λοιποὺς εἶναι δεῖ. καὶ ὅρα πῶς ἐνταῦθα οὐδὲν ἀπὸ λογισμῶν τίθησιν, ἐπειδὴ προσηνεῖς ἦσαν. Κορινθίοις δὲ γράφων, πολλὰ προσέθηκε καὶ ἀπὸ λογισμῶν ἐκεῖθεν, καὶ τότε ἐπήγαγεν· Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται. κυριώτερον μὲν γὰρ τοῦτο, ἀλλ' ὅταν πρὸς πιστοὺς διαλέγηται· πρὸς δὲ τοὺς ἔξω ποίαν ἰσχὺν ἂν ἔχοι τοῦτο, οὕτω φησὶν ὁ Θεὸς; καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. πάλιν κοιμηθέντας, οὐδαμοῦ λέγει ἀποθανόντας. ἀλλ' ἐπὶ μὲν τοῦ Χριστοῦ τὸ, ἀπέθανεν, ἔθηκεν· ἐπειδὴ καὶ τὸ τῆς ἀναστάσεως εἶπεν· ἐνταῦθα δὲ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἢ τοῦτο λέγων, ὅτι τῇ πίστει τοῦ Ἰησοῦ κοιμηθέντας, ἢ ὅτι διὰ τοῦ Ἰησοῦ ἄξει τοὺς κοιμηθέντας, τουτέστι, τοὺς πιστούς. ἐνταῦθα οἱ αἱρετικοί φασιν ὅτι τοὺς βαπτισθέντας λέγει. τὸ οὖν, ὕπνῳ, ποῦ ἵσταται; ὁ γὰρ Ἰησοῦς οὐκ ἐκοιμήθη διὰ τοῦ βαπτίσματος. τίνος δὲ ἕνεκεν φησὶ τοὺς κοιμηθέντας; ὥστε οὐ περὶ καθολικῆς, ἀλλὰ περὶ μερικῆς ἀναστάσεως διαλέγεται. ἄξει τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ φησι, καὶ πολλαχοῦ οὕτω λέγει.

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·

Περὶ τῶν πιστῶν λέγων, καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ· καὶ πάλιν, οἱ νεκροὶ ἀναστήσονται· ἔπειτα οὐ περὶ ἀναστάσεως αὐτῷ ὁ λόγος μόνον, ἀλλὰ καὶ περὶ ἀναστάσεως καὶ περὶ τιμῆς τῆς ἐν δόξῃ. ἀναστάσεως μὲν οὖν πάντες ἀπολαύσονται, φησίν· ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται, ἀλλ' οἱ ἐν Χριστῷ. ἐπεὶ οὖν παραμυθήσασθαι βούλεται αὐτοὺς, οὐ τούτῳ μόνον παραμυθεῖται, ἀλλὰ καὶ τῇ τιμῇ τῇ πολλῇ, καὶ τῷ τάχει· ἐπεὶ ἐκεῖνο ἤδεσαν. ὅτι γὰρ τῇ τιμῇ βούλεται αὐτοὺς παραμυθήσασθαι, προϊών φησι, καὶ πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, καὶ ἐπὶ ἐν νεφέλαις ἁρπαγησόμεθα. πῶς δὲ οἱ πιστοὶ διὰ τοῦ Ἰησοῦ κοιμῶνται; δηλονότι οἱ Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς. τὸ δὲ, ἄξει σὺν αὐτῷ, δείκνυσι πολλαχόθεν ἀγομένους. τοῦτο γὰρ ὑμῖν, φησι, λέγομεν ἐν λόγῳ Κυρίου. ξένον τι ἔμελλε λέγειν· διὰ τοῦτο καὶ τὸ ἀξιόπιστον τίθησιν. ἐν λόγῳ Κυρίου, φησί· τουτέστιν, οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Χριστοῦ μαθόντες λέγομεν. ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. ὅπερ ἐν τῇ πρὸς Κορινθίους φησὶν, Ὅτι ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ. ἐνταῦθα τὸ ἀξιόπιστον τῇ ἀναστάσει καὶ τὸ εὔπορον προσέθηκεν. καὶ ἐπειδὴ τὸ πρᾶγμα ἐδόκει δύσκολον εἶναι, δείκνυσιν αὐτοὺς ὅτι ὥσπερ ἐστὶν εὔκολον τοὺς ζῶντας ἀρπαγῆναι, οὕτω καὶ τοὺς ἀπελθόντας. τὸ δὲ, ἡμεῖς, οὐ περὶ ἑαυτοῦ φησιν (οὐ γὰρ δὴ ἔμελλεν αὐτὸς μέχρι τῆς ἀναστάσεως μένειν) ἀλλὰ τοὺς πιστοὺς λέγει. διὰ τοῦτο προσέθηκεν, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὡς ἂν εἰ ἔλεγε, μὴ νομίσῃς ἐργώδιαν εἶναι· ἵνα ἀκούων ὅτι οἱ ζῶντες τότε τοὺς διαλυθέντας, τοὺς σαπέντας, τοὺς μυρία ἔτη ἔχοντας οὐ μὴ περιλάβωσι (Θεός ἐστιν ὁ ποιῶν) ἀλλ' ὥσπερ εὔκολον αὐτῷ ἐκείνους τοὺς ἀπηρτισμένους ἀγαγεῖν, οὕτω καὶ τοὺς διαλελυμένους.

Ἀλλ' εἰσί τινες, οἳ διαπιστοῦσι τῷ πράγματι, ἐπειδὴ τὸν Θεὸν οὐκ ἴσασι. τί γὰρ, εἰπέ μοι, εὐκολώτερον, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, ἢ διαλυθέντα ἀναστῆσαι πάλιν;

Κολασ. α. ιη.

α. Κορ. ιε. λς.

α. Κορ. ιε. να.

ΗΘΙΚΟΝ

ἀλλὰ τί φασι; ὁ δεῖνα, φησὶ, ναυάγιον ὑπέστη, καὶ κατεποντίσθη, καὶ πεσόντα αὐτὸν ἰχθύες ἐδέξαντο πολλοὶ, καὶ τῶν ἰχθύων ἕκαστος μέλος ἔφαγεν. εἶτ' αὐτῶν δὴ τούτων ὁ μὲν ἐν τῷδε τῷ κόλπῳ, ὁ δὲ ἐν τῷδε συνελήφθη, καὶ ἐβρώθη ὑφ' ἑτέρου, καὶ οὗτος ὑπὸ ἄλλου. καὶ οὗτοι πάλιν ἐν ἄλλοις χωρίοις ἀπέθανον καὶ οἱ τοὺς ἰχθῦς φαγόντες τοὺς τὸν ἄνδρα καταφαγόντας, καὶ αὐτοὶ ἴσως ὑπὸ θηρίων. τοσαύτης δὲ τῆς συγχύσεως γινομένης καὶ διαφθορᾶς, πῶς πάλιν ἀναστήσεται ὁ ἀνήρ; τίς ὁ τὴν χοῦν συνάγων; διὰ τί γὰρ τοῦτο λέγεις, ἄνθρωπε, καὶ ὁρμαθοὺς λήρων ὑφαίνεις, καὶ ὡς ἄπορον τιθεῖς; εἰπὲ γάρ μοι, ἂν μὴ εἰς θάλατταν καταπέσῃ, ἂν γὰρ μὴ ἰχθὺς φάγῃ, μηδὲ βρωθῇ πάλιν ὁ ἰχθὺς ὑπὸ μυρίων ἀνθρώπων, ἀλλὰ κηδευθεὶς ἐν λαρνακίῳ ὁ ἀνὴρ τεθῇ, καὶ μήτε σκώληκες, μήτε ἄλλο τι διενοχλήσῃ, πῶς ἀναστήσεται τὸ διαλυθέν; πῶς ἡ κόνις καὶ ἡ τέφρα συγκολληθήσεται; πόθεν τὸ ἄνθος λοιπὸν ἔσται τοῦ σώματος; τοῦτο δὲ οὐκ ἄπορον; ἂν μὲν οὖν Ἕλληνες ὦσιν οἱ ταῦτα διαπορήσαντες, πρὸς αὐτοὺς μυρία ἐροῦμεν. τί δήποτε; εἰσὶ γὰρ παρ' αὐτοῖς οἱ τὰς ψυχὰς καὶ εἰς φυτὰ, καὶ εἰς θάμνους ἄγοντες, καὶ εἰς κύνας. εἰπέ μοι, τί εὐκολώτερον, τὸ οἰκεῖον σῶμα ἀναλαβεῖν, ἢ τὸ ἀλλότριον; ἄλλοι πάλιν φασὶν ὑπὸ πυρὸς ἀναλίσκεσθαι, καὶ ἱματίων ἀνάστασιν γίνεσθαι καὶ ὑποδημάτων, καὶ οὐ καταγελῶνται. ἕτεροι ἀτόμους εἰσάγουσιν. ἀλλὰ πρὸς ἐκείνους οὐδεὶς ἡμῖν λόγος· πρὸς δὲ τοὺς πιστοὺς, εἴγε πιστοὺς δεῖ καλεῖν τοὺς ἐρωτῶντας, ὅμως ἐροῦμεν τὸ ἀποστολικὸν, ὅτι πᾶσα ἡ ζωὴ ἀπὸ φθορᾶς γίνεται, πάντα φυτὰ, πάντα σπέρματα. οὐχ ὁρᾷς τὴν συκῆν ἡλίκον μὲν ἔχει κορμὸν, ἡλίκα δὲ στελέχη; φύλλα δὲ πόσα; κλάδους; ἀνθέλικας; ῥίζας τοσαύτας ἐπεχούσας καὶ ἐγκεκολπισμένας; αὕτη τοίνυν ἡ τηλικαύτη καὶ τοιαύτη ἀπὸ τῆς κέγχρου γίνεται ἐκείνης τῆς καταβληθείσης, καὶ αὐτῆς διαφθαρείσης πρότερον. καὶ μὴ σαπῇ καὶ διαλυθῇ, οὐδὲν τούτων ἔσται. εἰπέ μοι, πόθεν τοῦτο γίνεται; καὶ ἡ ἄμπελος δὲ ἡ οὕτω καλὴ καὶ ἰδεῖν, καὶ μετέχειν, ἀπὸ τοῦ εἰδεχθοῦς γίνεται ἐκείνου. τί δὲ, εἰπέ μοι, οὐχὶ ὕδωρ ἐστὶν εἰ τὸ ἄνωθεν καταφερόμενον; καὶ πῶς εἰς τοσαῦτα μεταβάλλεται; τοῦτο γὰρ τῆς ἀναστάσεως θαυμασιώτερον. ἐκεῖ μὲν γὰρ καὶ τὸ αὐτὸ σπέρμα, καὶ τὸ αὐτὸ ὑπόκειται φυτὸν, καὶ ἡ συγγένεια πολλή· ἐνταῦθα δὲ, εἰπέ μοι, πῶς μίαν ἔχον ποιότητα καὶ μίαν φύσιν, εἰς τοσαῦτα τρέπεται; ἐν ἀμπέλῳ γίνεται οἶνος, οὐχὶ οἶνος μόνον, ἀλλὰ καὶ φύλλα, καὶ ὀπὸς (καὶ γὰρ οὐχ ὁ βότρυς μόνον, ἀλλὰ καὶ τὸ λοιπὸν τῆς ἀμπέλου αὐτὸ τρέφει) πάλιν ἐν ἐλαίᾳ ἔλαιον· καὶ τὰ ἄλλα, ὅσα οὐκ ἔστιν εἰπεῖν. καὶ τὸ θαυμαστὸν, ἐνταῦθα ὑγρὸν, ἐκεῖ ξηρὸν, ἐνταῦθα γλυκὺ, ἐκεῖ ὀξὺ, ἐκεῖ στύφον, ἑτέρωθι πικρόν. πῶς, εἰπέ μοι, τρέπεται εἰς τοσαῦτα; εἰπὲ τὸν λόγον. ἀλλ' οὐκ ἂν ἔχοις. ἐπὶ δὲ σοῦ αὐτοῦ, εἰπέ μοι (ἐγγύτερον γὰρ τοῦτο) τὸ σπέρμα τὸ καταβαλλόμενον πῶς εἰς ὀφθαλμοὺς, πῶς εἰς ὦτα, πῶς εἰς χεῖρας, πῶς εἰς καρδίαν, πῶς εἰς τοσαῦτα ῥυθμίζεται καὶ διατυποῦται; οὐχὶ μυρίαι διαφοραὶ ἐν τῷ σώματι σχημάτων, μεγεθῶν, ποιοτήτων, θέσεων, δυνάμεων, ῥυθμῶν; πῶς νεῦρα, καὶ φλέβες, καὶ σάρκες, καὶ ὀστᾶ, καὶ ὑμένες, καὶ ἀρτηρίαι, καὶ ἄρθρα, καὶ χόνδροι, καὶ ὅσα ἕτερα τούτων πλείονα παῖδες ἰατρῶν ἀκριβολογοῦνται, ἃ τὴν ἡμετέραν συνέχει φύσιν; καὶ ταῦτα ἀπὸ τοῦ ἑνὸς σπέρματος. ἆρα πολλῷ σοι δοκεῖ τούτων εἶναι τοῦτο ἀπορώτερον; πῶς τὸ ὑγρὸν καὶ μαλακὸν εἰς σκληρὸν καὶ ψυχρὸν πήγνυται, τὸ ὀστοῦν; πῶς εἰς θερμὸν καὶ ὑγρὸν, καὶ τὸ αἷμα ἐνωθέν; πῶς εἰς ψυχρὸν καὶ μαλθακὸν, τὸ νεῦρον; πῶς εἰς ψυχρὸν καὶ ὑγρὸν, τὴν ἀρτηρίαν; πόθεν ταῦτα, εἰπέ μοι; ταῦτα οὐ διαπορεῖς; οὐχὶ ὁρᾷς καθ' ἑκάστην ἡμέραν ἀνάστασιν καὶ θάνατον ἐν ταῖς ἡλικίαις γινόμενον; ποῦ ἡ νεότης ἀπῆλθεν; πόθεν τὸ γῆρας ἦλθε; πῶς ὁ γεγηρακὼς ἑαυτὸν μὲν νέον ποιῆσαι οὐ δύναται, ἕτερον δὲ παιδίον τίκτει νεώτατον, καὶ ὃ ἑαυτῷ οὐ δύναται παρασχεῖν, ἑτέρῳ παρέχει; τοῦτο καὶ ἐπὶ τῶν δένδρων, καὶ ἐπὶ τῶν ζώων ἐστὶν ἰδεῖν. καίτοι τὸ ἑτέρῳ παρέχον, ἑαυτῷ πρότερον ὀφείλει παρασχεῖν. ἀλλὰ ταῦτα μὲν ὁ λογισμὸς ὁ ἀνθρώπινος ἀπαιτεῖ. ὅταν δὲ ὁ Θεὸς δημιουργῇ, πάντα ὑποχωρείτω. εἰ ταῦτα οὕτως ἄπορα, καὶ μεθ' ὑπερβολῆς ἄπορα, ὑπεισελθέτω μοι νῦν ἔννοια

τῶν

τὴν μαιουμένην, καὶ τὴν γέννησιν τὴν ἀσώματον πολυπραγμονοῦντες τοῦ υἱοῦ. Τὰ καθ' ἑκάστην τὴν ἡμέραν γινόμενα, καὶ χερσὶν ὑποβαλλόμενα, καὶ μυριάκις ζητηθέντα οὐδεὶς οὐδέπω εὑρεῖν δεδύνηται· πῶς οὖν τὴν ἄρρητον ἐκείνην, καὶ ἄφραστον γέννησιν πολυπραγμονοῦσιν, εἰπέ μοι; οὐκ ἀπόπληκτον ἡ ἀγνοία τῶν τοιούτων κενεμβατοῦσα; οὐκ εἰς μυρίους ἰλίγγους περιτρέπει; οὐχὶ ἀχλύος γέμοι; καὶ ὅμως οὐδὲ οὕτω παιδεύονται. περὶ σταφυλῶν καὶ σύκων οὐδὲν εἰπεῖν δυνάμενοι, περὶ τοῦ Θεοῦ πολυπραγμονοῦσιν. εἰπὲ γάρ μοι, πῶς τὸ γιγνόμενον ἐκεῖθεν ἀναλύεται εἰς φύλλα, καὶ στελέχη; πόθεν περὶ τούτου οὐκ ἦν ἐν αὐτῷ, οὐδὲ ἑωρᾶτο; ἀλλ' οὐ τὸ γιγνόμενόν ἐστι, φησίν, ἀλλὰ τῆς γῆς τὸ πᾶν. καὶ πόθεν χοῦς τοῦτο οὐδὲν φέρει ἀφ' ἑαυτῆς; ἀλλὰ μὴν ἀδυνατοῦμεν. οὔτε τῆς γῆς ἐστιν, οὔτε τοῦ κέγχρου τὸ γινόμενον, ἀλλὰ τοῦ καὶ τῆς γῆς καὶ τοῦ σπέρματος κυρίου. διὰ τοῦτο καὶ χωρὶς τούτων, καὶ μετὰ τούτων ταῦτα ἐποίησε γίνεσθαι τὸ μὲν, τὴν αὐτοῦ δύναμιν δεικνὺς, ἡνίκα ἔλεγεν, Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου· τὸ δὲ, μετὰ τοῦ δεῖξαι τὴν αὐτοῦ δύναμιν, καὶ ἡμᾶς παιδεύων εἶναι φιλοπόνους καὶ φιλέργους. τί δὴ ταῦτα ἡμῖν εἴρηται; οὐχ ἁπλῶς, ἀλλ' ἵνα καὶ τῇ δυνάμει πιστεύωμεν καὶ ὅταν τι πάλιν λογισμοῖς βουλόμενοι καταλαβεῖν οὐκ ἰσχύωμεν, μὴ δυσχεραίνωμεν, μηδὲ ἀγανακτῶμεν, ἀλλ' εὐγνωμόνως ὑποστρέφοντες, καὶ ἀναχαιτίζοντες τὸν λογισμὸν, καταφεύγωμεν ἐπὶ τὸ δυνατὸν τοῦ Θεοῦ καὶ εὐμήχανον. ταῦτα οὖν εἰδότες, χρησόμεθα τοῖς λογισμοῖς· μὴ ὑπερβαίνωμεν τοὺς ὅρους, καὶ τὰ μέτρα τὰ δεδομένα τῆς γνώσεως ἡμῖν. Εἰ γάρ τις δοκεῖ, φησὶν, εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι. οὐ λέγω περὶ Θεοῦ μόνον, ἀλλὰ περὶ πάντων πραγμάτων. τί γὰρ βούλει μαθεῖν περὶ γῆς; τί οἶδας, εἰπέ μοι; πόσον τὸ μέγεθος αὐτῆς; πηλίκον τὸ μέγεθος; ὁποία ἡ θέσις; τίς ἡ οὐσία; ποῖος ὁ τόπος; ποῦ ἕστηκε; καὶ ἐπὶ τίνος; ἀλλ' οὐδὲν ἂν τούτων ἔχοις εἰπεῖν· ἀλλ' ὅτι μὲν ἐστι ψυχρὰ, καὶ ξηρὰ, καὶ μέλαινα, ταῦτα ἂν ἔχοις εἰπεῖν, περαιτέρω δὲ οὐδέν. ἀλλὰ περὶ τῆς θαλάττης; ἀλλ' ὁμοίως εἰς ἀμηχανίαν ἐμπεσῇ, οὐκ εἰδὼς ποῦ μὲν ἄρχεται, ποῦ δὲ λήγει, ἐπὶ τίνος δὲ φέρεται, τί τὸ πυθμένα αὐτῆς διαβαστάζει, ποῖος δὲ αὐτῇ τόπος ἐστί, πότερον δὲ καὶ μετ' αὐτὴν ἐστιν ἤπειρος, ἢ εἰς ὕδωρ τελευτᾷ καὶ ἀέρα. [ἀλλὰ τὴν ἐν αὐτῇ τί οἶδας;] ἀλλὰ τὸν ἀέρα εἰπὼ; ἀλλὰ τὰ στοιχεῖα; ἀλλ' οὐδὲν ἐρεῖς. ἀφεὶς ταῦτα. βούλει τῶν φυτῶν τὸ μικρότατον ἐκλεξώμεθα; τὴν χλόην τὴν ἄκαρπον, ἥνπερ ἅπαντες ἴσμεν, εἰπὲ πῶς τίκτεται; οὐχὶ ὕδωρ ἐστὶ τὸ ὑποκείμενον, καὶ γῆ, καὶ κόπρος; τί τὸ ποιοῦν αὐτὴν οὕτω καλὴν φαίνεσθαι, καὶ χρῶμα ἔχειν θαυμαστόν; πόθεν ἐκεῖθεν τὸ κάλλος οὕτω λαμπρόν; οὐκ ἔστιν ὕδατος, οὐκ ἔστι γῆς τὸ ἔργον. ὁρᾷς ὅτι πανταχοῦ πίστεως χρεία; πῶς ἡ γῆ τίκτει; πῶς ὠδίνει. εἰπέ μοι; ἀλλ' οὐδὲν ἂν τούτων ἔχοις εἰπεῖν. παιδεύθητι, ὦ ἄνθρωπε, ἐν τοῖς κάτω καὶ τοῖς ἐν ταῦτα, καὶ μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει τὸν οὐρανόν· καὶ εἰ τὸν οὐρανόν, καὶ μὴ τοῦ οὐρανοῦ τὸν δεσπότην. τὴν γῆν οὐκ οἶδας, εἰπέ μοι, ἀφ' ἧς ἐπέφυς, ἐν ᾗ ἐπαφῆς, ἣν οἰκεῖς, ἣν πατεῖς, ἧς αὐτὸν οὐδὲ διαπτύσαι δύνασαι, καὶ τὰ τοσοῦτον ἀφεστηκότα πολυπραγμονεῖς; ὄντως ἄνθρωπος ματαιότης. ὁ γὰρ τοιοῦτος ματαιότης ἐστί. κἂν μέν τις σε εἰς βυθὸν κελεύῃ καταβαίνειν, καὶ ἐξιχνεύειν τὰ ἐν τῷ πυθμένι τῆς θαλάσσης, οὐκ ἀνέξῃ τοῦ ἐπιτάγματος· οὐδενὸς δὲ ἀναγκάζοντος, αὐτὸς τὴν ἀνεξιχνίαστον ἄβυσσον βούλει καταλαβεῖν; μὴ, παρακαλῶ· ἀλλ' ἄνω πλέωμεν, μὴ πιστεύοντες λογισμοῖς (ταχέως γὰρ ἀποκαμούμεθα, καὶ καταποντισθησόμεθα) ἀλλὰ ταῖς θείαις κεχρημένοι γραφαῖς, καθάπερ πλοίῳ τινὶ τὰ ἱστία τῆς πίστεως διαπετάσωμεν. ἂν ἐν ταύταις πλέωμεν, χρὴ κυβερνήτης ἡμῖν παρέσται ὁ λόγος τοῦ Θεοῦ· ἂν δὲ πιστεύωμεν ἐν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, οὐκέτι. ποῖ γὰρ τὸν οὕτω πιστευόμενον κυβερνήτης παρέσται; ὥστε διπλοῦς ὁ κίνδυνος, τῷ τε μὴ πλοῖον εἶναι, τῷ τε κυβερνήτην ἀπεῖναι. εἰ γὰρ καὶ τὸ σκάφος αὐτὸ κυβερνήτου σφάλλεται, ὅταν ἀμφότερα ἀπῇ, ποία σωτηρίας ἐλπίς; μὴ δὴ ῥίπτωμεν ἑαυτοὺς εἰς κίνδυνον φανερὸν, ἀλλ' ἐπ' ἀσφαλοῦς βαίνωμεν, τῆς ἱερᾶς ἀγκύρας ἐξαρτήσαντες ἑαυτούς. οὕτω γὰρ εἰς τὸν

Γεν. α. 11.

α. Κορ. η. β.

εὔδιον λιμένα καταπλευσούμεθα μετὰ πολλῆς μὲν τῆς εὐπορίας, μετὰ πάσης δὲ τῆς ἀσφαλείας· καὶ τῶν ἀποκειμένων τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. η. 15 ΤΟΥΤΟ ΓΑΡ ΥΜΙΝ ΛΕΓΟΜΕΝ ΕΝ ΛΟΓΩ
Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυ-
ρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· 16 Ὅτι αὐτὸς ὁ Κύριος ἐν κε-
λεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ'
οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· 17 Ἔπειτα ἡμεῖς
οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις
εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ
ἐσόμεθα.

Οἱ προφῆται μὲν τὸ ἀξιόπιστον τῶν λεγομένων δεῖξαι βουλόμενοι, πρὸ τῶν ἄλλων ἁπάντων τοῦτο λέγουσιν, Ὅρασις, ἣν εἶδεν Ἡσαΐας· καὶ πάλιν, Ῥῆμα Κυρίου, ὃ ἐγενήθη πρὸς Ἱερεμίαν· καὶ πάλιν, Τάδε λέγει Κύριος, καὶ ὅσα τοιαῦτα. (Ησ. ς.) πολλοὶ δὲ καὶ αὐτοὶ καθήμενοι ὁρῶσι τὸν Θεόν, ὡς αὐτοῖς ἰδεῖν δυνατόν. ὁ δὲ Παῦλος οὐ καθήμενος ἰδών, ἀλλ' ἔχων ἐν ἑαυτῷ λαλοῦντα τὸν Χριστόν, ἀντὶ τοῦ, Τάδε λέγει Κύριος, ἔλεγεν, Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; (β. Κορ. ιγ. γ.) καὶ πάλιν, Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, δεικνὺς ὅτι ἐκείνου αὐτοῦ ἐστιν. ὁ γὰρ ἀπόστολος τὰ τοῦ ἀποστείλαντος φθέγγεται. καὶ πάλιν, Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. (α. Κορ. ζ. μ.) ἐκεῖνα μὲν οὖν πνεύματι πάντα ἐφθέγγετο, τοῦτο δέ, ὃ λέγει νῦν, καὶ ῥητῶς ἤκουσε παρὰ τοῦ Θεοῦ, ὥσπερ καὶ ἐκεῖνο, ὅπερ τοῖς Ἐφεσίων πρεσβυτέροις διαλεγόμενος ἔλεγε, Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν, (Πραξ. κ. λε.) κατὰ τὸ σιωπώμενον ἤκουσεν. ἴδωμεν τοίνυν τί καὶ νῦν φησι. τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι τῇ ἐσχάτῃ καταβήσεται ἀπ' οὐρανοῦ. ὅπερ καὶ ὁ Χριστὸς τότε φησίν, αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. (Ματθ. κδ. κθ.) τί δήποτε ἐν σάλπιγγι; καὶ γὰρ ἐν τῷ Σιναίῳ ὄρει τοῦτο ὁρῶμεν, καὶ ἀγγέλους κἀκεῖ. τί δὲ βούλεται ἡ φωνὴ τοῦ ἀρχαγγέλου; καθάπερ ἐπὶ τῶν παρθένων ἔλεγεν· Ἐγείρεσθε, ἦλθεν ὁ νυμφίος. (Ματθ. κε. ς.) ἤτοι τοῦτό φησιν, ἢ ὅτι καθάπερ ἐπὶ βασιλέως, οὕτω καὶ τότε ἔσται, ἀγγέλων πρὸς τὴν ἀνάστασιν ὑπηρετουμένων. λέγει γάρ, ἀναστῶσιν οἱ νεκροί· καὶ μετὰ τὸ ἔργον, οὐ τῶν ἀγγέλων πρὸς τοῦτο ἰσχυόντων, ἀλλὰ τοῦ ῥήματος αὐτοῦ· ὥσπερ εἰ βασιλέως κελεύσαντος καὶ εἰπόντος, ἐξέλθοιεν οἱ συγκεκλεισμένοι, καὶ οἱ ὑπηρέται ἐξάγοιεν, οὐκέτι λοιπὸν ἀπὸ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἀπὸ τῆς φωνῆς ἐκείνης τοῦτο ποιοῦσι. τοῦτο καὶ ἀλλαχοῦ ὁ Χριστὸς λέγει· Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. (Ματθ. κδ. λα.) καὶ πανταχοῦ τοὺς ἀγγέλους ὁρᾷς διατρέχοντας. τῶν οὖν ἀρχαγγέλων οἶμαι τὸν ἐφεστῶτα ἐπὶ τοῖς ἀπεσταλμένοις βοῶντα τοῦτο, ὅτι ἑτοίμους ποιεῖτε πάντας· πάρεστι γὰρ ὁ κριτής. τί ἐστιν, ἐν τῇ ἐσχάτῃ σάλπιγγι; δείκνυσιν ἐνταῦθα πολλὰς τὰς σάλπιγγας γινομένας, καὶ πρὸς τῇ ἐσχάτῃ καταβαίνοντα τὸν κριτήν. καὶ οἱ νεκροί, φησίν, ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. Εἰ μέλλει καταβαίνειν, τίνος

ἕνεκεν

ἕνεκεν ἁρπαγησόμεθα; τιμῆς ἕνεκεν. καὶ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος, οἱ μὲν ἔντιμοι πρὸς ἀπάντησιν ἐξίασιν· οἱ δὲ κατάδικοι ἔνδον μένουσι τὸν κριτήν. καὶ πατρὸς φιλοστόργου παραγινομένου, οἱ μὲν παῖδες, καὶ ἄξιοι παῖδες εἶναι, ἐπὶ ὀχήματος ἐξάγονται ὥστε ἰδεῖν καὶ καταφιλῆσαι· οἱ δὲ προσκεκρουκότες τῶν οἰκετῶν ἔνδον μένουσιν. ἐπὶ τοῦ ὀχήματος φερόμεθα τοῦ πατρός. καὶ γὰρ αὐτὸς ἐν νεφέλαις ὑπέλαβεν αὐτὸν, καὶ ἡμεῖς ἐν νεφέλαις ἁρπαγησόμεθα. ὁρᾷς τὴν τιμὴν ὅση; καὶ τὴν ἀπάντησιν καταβαίνοντι ποιούμεθα, καὶ, τὸ πάντων μακαριώτερον, οὕτω σὺν αὐτῷ ἐσόμεθα. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ὅσων ἀγαθῶν ἠξίωσε τὸ γένος τὸ ἀνθρώπινον; πρότεροι οἱ τελευτήσαντες ἐγείρονται, καὶ οὕτως ὁμοῦ ἡ ἀπάντησις γίνεται. Ἄβελ ὁ πρὸ πάντων τετελευτηκὼς ὁμοῦ μετὰ τῶν ζώντων τότε ἀπαντήσει. ὥστε οὐδὲν ἔσται πλέον ἐκείνοις κατὰ τοῦτο· ἀλλ' ὁ διαφθαρεὶς, ὁ τοσαῦτα ἔχων ἐν τῇ γῇ ἔτη, μετ' ἐκείνων ἀπαντήσεται, καὶ ἀπαντήσουσιν οἱ ἄλλοι. Εἰ γὰρ ἡμᾶς ἐκεῖνοι ἀνέμειναν ἵνα στεφανωθῶμεν, καθώς ἑτέρωθί φησι γράφων, Τοῦ Κυρίου περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι· πολλῷ μᾶλλον καὶ ἡμεῖς ἐκείνους. μᾶλλον δὲ ἐκεῖνοι μὲν ἀνέμειναν, ἡμεῖς δὲ οὐκέτι. ἐν γὰρ ἀτόμῳ ἡ ἀνάστασις γίνεται, ἐν ῥιπῇ ὀφθαλμοῦ. τὸ δὲ λέγειν, ὅτι συνάγονται, τοῦτο δηλοῖ, ὅτι ἀνίστανται μὲν πανταχοῦ, συνάγονται δὲ ὑπὸ τῶν ἀγγέλων. τὸ μὲν οὖν ἀναστῆναι, τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστὶ τῇ γῇ κελευούσης ἀφεῖναι τὴν παρακαταθήκην, καὶ οὐδεὶς ὁ ὑπηρετούμενος, ὥσπερ τότε ἐκάλεσε τὸν Λάζαρον, Λάζαρε, δεῦρο ἔξω· τὸ δὲ ἀγαγεῖν, τῶν ὑπηρετῶν γίνεται. ἀλλ' εἰ συνάγουσι, καὶ περιτρέχουσιν ἄγγελοι, πῶς οὗτοι ἐνταῦθα ἁρπάζονται; μετὰ τὸ καταβῆναι ἁρπάζονται, μετὰ τὸ συναχθῆναι. ἅμα γὰρ οὐδενὸς εἰδότος τοῦτο γίνεται. ὅταν γὰρ ἴδωσι τὴν γῆν κλονουμένην, κόνιν ἀναμιγνυμένην, ἴσως πανταχόθεν ἐγειρόμενα τὰ σώματα, οὐδενὸς πρὸς τοῦτο ὑπηρετοῦντος, ἀλλὰ τοῦ κελεύσματος ἀρκοῦντος, τὴν γῆν πεπληρωμένην πᾶσαν κενώσασαν (ἐννόησον γὰρ ὅσοι εἰσὶν ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ παρουσίας πάντας ἐκείνους ἔσεσθαι τότε μετὰ γυναικῶν καὶ παίδων) ὅταν ἴδωσι τοσοῦτον ἐπὶ τῆς γῆς θόρυβον, τότε εἴσονται. ὥσπερ οὖν ἐπὶ τῆς κατὰ σάρκα οἰκονομίας οὐδὲν προεωράκασιν; οὕτω καὶ τότε.

Ψαλ. ρι. β.
Εβρ. ια. μ.
Ιωαν. ια. μγ.

ΗΘΙΚΟΝ

Ὅταν οὖν ταῦτα γίνηται, τότε καὶ ἡ φωνὴ τοῦ ἀρχαγγέλου ἔσται τοῖς ἀγγέλοις ἐπιτάττοντος καὶ βοῶντος, καὶ αἱ σάλπιγγες, μᾶλλον δὲ ὁ τῶν σαλπίγγων ἦχος. ποῖος ἄρα τρόμος ἔξω, ποῖος φόβος τῶν ἐπὶ τῆς γῆς ἀπολιμπανομένων; Μία γὰρ ἁρπάζεται, καὶ μία καταλιμπάνεται· καὶ εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. τίς ἔσται ἡ ψυχὴ ἐκείνων, ὅταν τοὺς μὲν αἰρομένους ὁρῶσιν, ἑαυτοὺς δὲ ἀφιεμένους; ἆρα οὐ πάσης γεέννης φοβερώτερον αὐτοὺς ταῦτα διασαλεῦσαι δυνήσεται; ὑποθώμεθα τοίνυν ἤδη τοῦτο προσεῖναι τῷ λόγῳ. Εἰ γὰρ θάνατος αἰφνίδιος, ἢ πόλεων σεισμοὶ, καὶ ἀπειλαὶ οὕτω ποιοῦσι τὰς ἡμετέρας ψυχάς· ὅταν τὴν γῆν διαρρηγνυμένην ἴδωμεν καὶ πεπληρωμένην πάντων ἐκείνων, ὅταν τῶν σαλπίγγων ἀκούσωμεν, ὅταν τῆς φωνῆς τοῦ ἀρχαγγέλου πάσης σάλπιγγος λαμπροτέρας οὔσης, ὅταν τοὺς οὐρανοὺς συνελκομένους, ὅταν αὐτὸν παραγινόμενον τὸν ἁπάντων βασιλέα τὸν Θεὸν, τίς ἄρα ἡμῖν ἔσται ἡ ψυχή; Φρίξωμεν, παρακαλῶ, καὶ φοβηθῶμεν, ὡς ἤδη τούτων γινομένων· μὴ τῇ μελλήσει παραμυθώμεθα ἑαυτούς. ὅταν γὰρ πάντως δέῃ γενέσθαι, οὐδὲν ἡ μέλλησις ὠφελεῖ. πόσος ὁ τρόμος; πόσος ὁ φόβος τότε; Εἴδετέ ποτε τοὺς ἀπαγομένους τὴν ἐπὶ θάνατον; ποίαν νομίζετε αὐτοὺς ἔχειν τὴν ψυχὴν, τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζοντας; πόσων θανάτων οὐ χείρονα; τί οὐκ ἂν ἕλοιντο καὶ πρᾶξαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης καὶ τοῦ νέφους; ἐγὼ πολλῶν ἤκουσα λεγόντων τῶν φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω κληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑώρων τοὺς ἀνθρώπους, τεθορυβημένης

Ματθ. κδ. μ.

τῆς ψυχῆς, καὶ ἐκπεπληγμένης, τὸ ἐξεστηκυίας. Εἰ τοίνυν σωματικὸς θάνατος οὕτως ἡμᾶς φοβεῖ, ὅταν αἰώνιος παραγένηται, τί πεισόμεθα; καὶ τί λέγω περὶ τῶν ἀπαγομένων; ὄχλος περιέστηκε τότε, τῶν πλείους οὐδὲ εἰδότες αὐτούς. Εἴ τις ἐκείνων τὰς ψυχὰς περιεσκόπησεν, * οὐδεὶς οὕτως ὠμὸς, οὐδεὶς οὕτω θρασὺς, οὐδεὶς οὕτω γενναῖος, ὃς οὐ καταπεπτωκυῖαν αὐτὴν ἔχει, παρειμένην ὑπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας. Εἰ δὲ ἑτέρων ἀναιρουμένων τὸν θάνατον τοῦτον τὸν ὕπνου οὐδὲν διαφέροντα, οἱ μηδὲν κοινωνοῦντες οὕτω διατίθενται· ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπέσωμεν, τίς ἄρα ἔσται κατάστασις; οὐκ ἔστιν, οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι λόγῳ τὸ πάθος. ναί, φησιν· ἀλλὰ φιλάνθρωπος ὁ Θεός, καὶ οὐδὲν τούτων ἔσται. οὐκοῦν εἰκῆ γέγραπται. οὔ, φησιν, ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονισθῶμεν. ἐὰν οὖν μὴ σωφρονισθῶμεν, ἀλλὰ μείνωμεν κακοί, οὐκ ἐπάξει τὴν κόλασιν, εἰπέ μοι; οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς; ναί, φησιν. ἐκεῖνο γὰρ αὐτῷ πρέπον ἐστὶ καὶ ὑπὲρ τὴν ἀξίαν εὐεργετεῖν. ὥστε ἐκεῖνα μὲν ἀληθῆ καὶ πάντως ἔσται· τὰ δὲ τῶν κολάσεων, οὐ πάντως, ἀλλ' ἀπειλῆς ἕνεκεν, * καὶ φόβου. πόθεν ὑμᾶς πείσω, οὐκ οἶδα. ἂν εἴπω ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται, ἐὰν εἴπω ὅτι ἀπελεύσονται εἰς πῦρ αἰώνιον, ἂν τὸν πλούσιον παραγάγω ἤδη κολαζόμενον, πάντα ἀπειλῆς εἶναι ἐρεῖτε. πόθεν οὖν ὑμᾶς πείσω; Σατανικὸς γάρ ἐστιν οὗτος ὁ λογισμός, χάριν ἀνόητον χαριζόμενος, τὸ ῥαθύμους ποιεῖν. πῶς οὖν αὐτὸν ἐξελῶμεν; ὅσα ἂν εἴπωμεν ἀπὸ τῶν γραφῶν, ἐρεῖτε ὅτι ἀπειλῆς ἕνεκεν. ἀλλὰ τοῦτο μὲν περὶ τῶν μελλόντων ἔχοι τις ἂν εἰπεῖν· περὶ δὲ τῶν ἐκβεβηκότων καὶ τέλος εἰληφότων, οὐκέτι. ἠκούσατε πάντες περὶ τοῦ κατακλυσμοῦ. μὴ καὶ ἐκεῖνα ἀπειλῆς ἕνεκεν εἴρηται; οὐχὶ καὶ ἐξέβη καὶ γέγονε; τοιαῦτα καὶ ἐκεῖνοι πολλὰ ἔλεγον· καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ τεκταινομένης, καὶ τῶν ξύλων ὑφαινομένων, καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν. ἀλλ' ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ, ὑπέστησαν τὴν διὰ τῶν πραγμάτων τιμωρίαν. τοῦτο καὶ ἡμεῖς πεισόμεθα, ἂν μὴ πιστεύσωμεν. διά τοι τοῦτο καὶ τὴν παρουσίαν αὐτοῦ ταῖς ἡμέραις παραβάλλει τοῦ Νῶε· ἐπειδὴ καθάπερ ἐκείνῳ τῷ κατακλυσμῷ ἠπίστησάν τινες, οὕτω καὶ τῷ κατακλυσμῷ τῆς γεέννης. μὴ ἀπειλὴ ἐκεῖνα ἐστίν; οὐχὶ ἔργοις γέγονεν; εἶτα ὁ κόλασιν οὕτως ἀθρόον τότε ἐπαγαγών, οὐ πολλῷ μᾶλλον καὶ νῦν ἐπάξει; οὐ γὰρ δὴ ἐλάττονα τῶν τότε τὰ νῦν γινόμενα. πῶς; Ὅτι τότε εἰσῆλθον, φησιν, οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ αἱ ἐπιμιξίαι ἦσαν τὸ δεινόν· νῦν δὲ οὐδέν ἐστιν εἶδος κακίας ὅπερ ἀτόλμητον. ἆρα οὖν τις πιστεύει ὅτι γέγονεν ὁ κατακλυσμός, ἢ λῆρος ὑμῖν δοκεῖ; καίτοιγε καὶ τὰ ὄρη, ἔνθα ἡ κιβωτὸς ἱδρύνθη, μαρτυρεῖ, [τὰ Ἀρμενίας λέγω.] πλὴν ἐκ περιουσίας πολλῆς καὶ ἐφ' ἕτερον ἐκείνου σαφέστερον ἄξω τὸν λόγον. ἐπεδήμησέ τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; λοιπὸν γὰρ οὐκέτι λόγον, ἀλλὰ πράγματα ἐρῶ. καίτοι καὶ τὰ πρότερα πραγμάτων σαφέστερα ἦν. ἅπερ γὰρ ἂν εἴπῃ ἡ γραφή, ταῦτα τῶν ὁρωμένων πιστότερα. ἐπεδήμησεν οὖν ὑμῶν τις τῇ Παλαιστίνῃ ποτέ; ἔγωγε οἶμαι. τί οὖν; μαρτυρήσατέ μοι ὑμεῖς οἱ τοὺς τόπους ἑωρακότες πρὸς τοὺς οὐ γενομένους ἐκεῖ. Ἀσκάλωνος γὰρ ἄνω καὶ Γάζης εἰς αὐτὸ τοῦ Ἰορδάνου ποταμοῦ τὸ τέλος ἐστὶ χώρα πολλή τις, καὶ εὔφορος· μᾶλλον δὲ ἦν· νῦν γὰρ οὐκ ἔστιν. αὕτη δὴ οὖν ὡς παράδεισος ἦν. Εἶδε γάρ, φησι, Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, τὸ ἦν ποτιζομένη, ὡς παράδεισος τοῦ Θεοῦ. αὕτη δὴ οὖν ἡ οὕτως εὐθηνής, καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα τῇ εὐθηνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐρημοτέρα ἐστὶ νῦν. καὶ ἕστηκε μὲν δένδρα, καὶ καρπὸν ἔχει· ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. ἑστήκασι μὲν γὰρ ῥοαί (καὶ τὸ ξύλον λέγω, καὶ ὁ καρπός) λαμπρὰν τὴν ἐπιφάνειαν ἔχουσαι, καὶ τῷ ἀγνοοῦντι παρέχουσαι πολλὰς τὰς ἐλπίδας· εἰ δὲ ληφθείη εἰς χεῖρας, διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν δεικνύουσιν ἐναποκειμένην ἔνδον. τοιαύτη καὶ ἡ γῆ πᾶσα. κἂν λίθον εὕρῃς, τεταφρωμένον εὑρήσεις·

Μαρκ. θ. μδ.

Γεν. ϛ. β.

Γεν. ιγ. ι.

καὶ τί λέγω λίθον καὶ ξύλα καὶ γῆν, ὅπου γε καὶ ἀὴρ καὶ τὰ ὕδατα μετέσχε τῆς συμφορᾶς; καθάπερ γὰρ σώματος ἐμπρησθέντος καὶ κατακαυθέντος, τὸ μὲν σχῆμα μένει, καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει, καὶ ὄγκος, καὶ ἡ ἀναλογία, ἡ δὲ δύναμις οὐκέτι· οὕτω δὴ ἐκεῖ γῆν ἔστιν ἰδεῖν, ἀλλ' οὐδὲν ἔχουσαν γῆς, ἀλλὰ πάντα τέφραν· δένδρα, καὶ καρπούς, ἀλλ' οὐδὲν ἔχοντα δένδρων, οὐδὲ καρπῶν· ἀέρα καὶ ὕδωρ· ἀλλ' οὐδὲν ἀέρος, οὐδὲ ὕδατος*. τὰ γὰρ καὶ ταῦτα τετέφρωται. καίτοι πῶς ἂν ἀὴρ ἐμπρησθείη ποτέ; πῶς δ' ἂν ὕδωρ μένοι ὕδωρ; ξύλα μὲν γὰρ, καὶ λίθους δυνατὸν καίειν· ἀέρα δὲ καὶ ὕδωρ οὐδαμῶς δυνατόν. ἡμῖν οὐ δυνατόν, τῷ δὲ αὐτὰ ποιήσαντι δυνατόν. τοιγαροῦν οὐδὲν ἕτερον, ἢ κάμινός ἐστιν ὁ ἀὴρ, κάμινος τὸ ὕδωρ. πάντα ἄκαρπα, πάντα ἄγονα, πάντα τῆς παρελθούσης ὀργῆς εἰκόνες, τῆς μελλούσης τεκμήρια. μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; μὴ καὶ ταῦτα ψόφοι ῥημάτων; ἐμοὶ μὲν γὰρ οὐδὲ τὰ πρότερα ἄπιστα, ἀλλ' ὁμοίως τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα πιστά· σοὶ δὲ ἀπίστῳ καὶ ταῦτα ἱκανὰ πίστιν παρασχεῖν. εἴ τις ἀπιστεῖ τῇ γεέννῃ, τὰ Σόδομα λογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν τιμωρίαν τὴν γεγενημένην, καὶ ἔτι μένουσαν. τοῦτο τοῦ διαιωνίζειν τὴν κόλασιν τεκμήριον. φορτικὰ ταῦτα; ἐκεῖνα δὲ οὐ φορτικά, ὅταν λέγῃς, ὅτι οὐκ ἔστι γέεννα, ἀλλ' ἁπλῶς ἠπείλησεν ὁ Θεός; ὅταν ἐκλύσῃς τὰς χεῖρας τοῦ λαοῦ; σύ με ταῦτα ἀναγκάζεις λέγειν ὁ διαπιστῶν. εἰ τοῖς ῥήμασιν ἐπίστευσας τοῦ Χριστοῦ, οὐκ ἂν ἠναγκαζόμεθα τὴν ἀπὸ τῶν πραγμάτων πίστιν παραγαγεῖν. ἐπειδὴ δὲ ἐκεῖνα πέφευγας, καὶ ἑκὼν καὶ ἄκων πεισθήσῃ λοιπόν. τί γὰρ ἔχεις περὶ τῶν Σοδόμων εἰπεῖν; βούλει καὶ τὴν αἰτίαν μαθεῖν, δι' ἣν τότε ταῦτα ἐγένετο; ἓν ἦν ἁμάρτημα χαλεπὸν μὲν, καὶ ἐπάρατον, πλὴν ἀλλ' ἕν. παισὶν ἐπεμαίνοντο οἱ τότε, καὶ διὰ τοῦτο ταύτην ἔδοσαν τὴν δίκην. νῦν δὲ μυρία καὶ ἴσα, καὶ χαλεπώτερα γίνεται τούτων ἁμαρτήματα. εἶτα ὁ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ἐκχέων ὀργὴν, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δυσωπηθεὶς, μήτε τὸν ἔνοικον Λὼτ, τὸν ὑπὲρ τῆς εἰς τοὺς δούλους αὐτοῦ τιμῆς τὰς θυγατέρας εἰς ὕβριν προϊέμενον τὰς ἑαυτοῦ, τοσούτων ὄντων τῶν ἁμαρτημάτων, φείσεται; λῆρος ὄντως ταῦτα, καὶ λῆρος, καὶ πλάνη, καὶ διαβολικὴ ἀπάτη. βούλει καὶ ἕτερον ἐπαγάγω; τὸν Φαραὼ πάντως ἀκούεις τὸν Αἰγυπτίων βασιλέα· οὐκοῦν οἶδας καὶ τὴν δίκην ἣν ἔδωκε, καὶ πῶς αὐτοῖς ἅρμασι καὶ ἵπποις μετὰ τοῦ στρατοπέδου παντὸς εἰς τὸ ἐρυθραῖον κατεποντίσθη πέλαγος. βούλει καὶ ἕτερα μαθεῖν; ἐκεῖνος μὲν γὰρ ἴσως ἀσεβὴς ἦν, μᾶλλον δὲ οὐκ ἴσως, ἀλλ' ὄντως ἀσεβὴς ἦν. βούλει καὶ ἐκ τῶν πιστευόντων καὶ προσηκόντων τῷ Θεῷ, βίου δὲ οὐκ ὄντων ὀρθοῦ, τιμωρουμένους ἰδεῖν; ἄκουσον τοῦ Παύλου λέγοντος· Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐξεπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. a Κορ ι η. εἰ δὲ πορνεία τοσοῦτον ἴσχυσεν, εἰ δὲ γογγυσμὸς, τί οὐκ ἐργάσεται τὰ ἡμέτερα; εἰ δὲ μηδέπω ἀπαιτεῖ νῦν δίκην, μὴ θαυμάσῃς. ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεσαν τὴν γέενναν· διὸ ταῖς παρὰ πόδας ἐκολάζοντο τιμωρίαις. σὺ δὲ ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν δίκην δῷς, πάντα ἀποτίσεις ἐκεῖ. εἶτα τοὺς μὲν νηπιωδεστέρους, καὶ οὐ τοσαῦτα πταίοντας τοσαῦτα ἐκόλαζει, ἡμῶν δὲ φείσεται; οὐκ ἂν ἔχοι λόγον. κἂν γὰρ τὰ αὐτὰ ἁμαρτάνωμεν ἐκείνοις, μείζονος ἐσμὲν κολάσεως ἄξιοι. διατί; ὅτι πλείονος ἀπηλαύσαμεν χάριτος. ὅταν δὲ καὶ πλείονα, καὶ μείζονα ἐκείνων πλημμελῶμεν, πῶς οὐχ ὑποστησόμεθα δίκην; ἐκεῖνοι (καὶ μή με τις νομιζέτω θαυμάζοντα αὐτοὺς, ἢ συγγινώσκοντα αὐτοῖς λέγειν, μὴ γένοιτο. ὅταν γὰρ ὁ Θεὸς κολάζῃ, ὁ τὴν ἐναντίαν φέρων ψῆφον, ἀπὸ διαβολικῆς διανοίας τοῦτο ποιεῖ. οὐ τοίνυν ἐπαινῶν αὐτοὺς, οὐδὲ συγγινώσκων τοῦτό φημι, ἀλλὰ δεικνὺς τὴν ἡμετέραν κακίαν) ἐκεῖνοι τοίνυν, εἰ καὶ ἐγόγγυζον, ἀλλ' ἔρημον ἤρχοντο· ἡμεῖς δὲ πατρίδα ἔχοντες, καὶ ἐν οἰκίαις ταῖς ἡμετέραις ὄντες, γογγύζομεν. ἐκεῖνοι, εἰ δὲ καὶ ἐπόρνευον, ἀλλ' ἀπὸ Αἰγυπτια-

κῶν ἐξελθόντες ἄρτι κακῶν, καὶ νόμους ἔχοντες οὐκ ἀκούσαντες τοιούτους· ἡμεῖς δὲ ἐν παρεγγύσει τὰ σωτήρια παραλαβόντες δόγματα. ὥστε μείζονος κολάσεως ἐσμὲν ἄξιοι. βούλει καὶ ἕτερα ἀκοῦσαι, ὅσα ἔπαθον ἐν Παλαιστίνῃ, λιμοὺς, λοιμοὺς, πολέμους, αἰχμαλωσίας, τὰς ἐπὶ Βαβυλωνίων, τὰς ἐπὶ Ἀσσυρίων; τὰ ὑπὸ Μακεδόνων κακά; τὰ ἐπὶ Ἀδριανοῦ καὶ Οὐεσπασιανοῦ; βούλομαί τοι, ἀγαπητέ, τί διηγήσασθαι, ἀλλὰ μὴ ἀποπηδήσῃς· μᾶλλον δὲ περὶ τούτου ἕτερον ἐρῶ.

δ. Βασ. ϛ. κη. Λιμὸς ἐγένετό ποτε, φησὶ, καὶ ὁ βασιλεὺς ἐβάδιζεν ἐπὶ τοῦ τείχους. εἶτα γυνὴ προσελθοῦσα ταῦτα φθέγγεται πρὸς αὐτὸν τὰ ῥήματα· βασιλεῦ, εἶπέ μοι ἡ γυνὴ αὕτη, ὀπτήσωμεν σήμερον τὸν υἱὸν, καὶ φάγωμεν, καὶ αὔριον τὸν ἐμόν· καὶ ὠπτήσαμεν, καὶ ἐφάγομεν· καὶ τὸν αὐτῆς οὐκ ἔτι ἔδωκε. τί ταύτης τῆς συμφορᾶς χαλεπώτερον; πάλιν ἀλλαχοῦ ὁ προφήτης φησί·

Θρήν. δ. ι. Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν. Ἰουδαῖοι μὲν οὖν τοιαύτην ἔδοσαν δίκην· ἡμεῖς δὲ οὐ πολλῷ μᾶλλον δώσομεν; βούλει καὶ ἑτέρας αὐτῶν ἀκοῦσαι συμφοράς; τὰ Ἰωσήππου ἔπελθε, καὶ μαθήσῃ πᾶσαν ἐκείνην τραγῳδίαν, ἀλλ' ἄρα σε πείσωμεν ἀπὸ τούτων ὅτι ἐστὶ γέεννα. ἐννόησον γάρ. εἰ ἐκεῖνοι ἐκολάζοντο, διὰ τί ἡμεῖς μὴ κολαζόμεθα; ἢ πῶς εἰκὸς ἡμᾶς μὴ κολάζεσθαι, χείρονα ἐκείνων πταίοντας; ἢ δῆλον, ὅτι διὰ τὸ ἀποκεῖσθαι ἡμῖν τὴν κόλασιν. εἰ δὲ βούλει, καὶ ἐπὶ προσώπου ἑνὸς ἑκάστου ἐρῶ πῶς ἐκολάσθησαν. ἀδελφὸν ἀπέκτεινεν ὁ Κάϊν. δεινὸν μὲν τὸ ἁμάρτημα. πῶς γὰρ οὔ; ἀλλ' ἔδωκε δίκην, τὴν χαλεπὴν, καὶ μυρίων ἀνταξίαν θανάτων, τὴν ὑπὲρ ἧς εἵλετο ἂν καὶ μυριάκις ἀποθανεῖν. ἄκουε γὰρ αὐτοῦ λέγοντος, Εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσται πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. εἰπὲ οὖν μοι οὐ τὰ αὐτὰ πράττουσιν ἐκείνῳ πολλοὶ καὶ νῦν; ὅταν γὰρ μὴ σαρκικὸν, ἀλλὰ πνευματικὸν ἀνέλῃς ἀδελφὸν, οὐχὶ ταὐτὸν εἰργάσω; τί γὰρ, εἰ καὶ μὴ ξίφει, ἀλλ' ἑτέρῳ τρόπῳ; ὅταν δυνάμενος λῦσαι λιμὸν, περιίδῃς. τί οὖν; οὐδεὶς ἐφθόνησε νῦν τῷ ἀδελφῷ; οὐδεὶς περιέβαλε κινδύνοις; ἀλλ' ἐνταῦθα οὐκ ἔδωκαν δίκην· ἀλλὰ δώσουσιν. εἶτα ὁ μὲν μὴ νόμον ἀκούσας γραπτὸν, μηδὲ προφητῶν, μήτε σημεῖα θεασάμενος μεγάλα, τοσαύτην δίδωσι τιμωρίαν· ὁ δὲ ἑτέρως τὰ αὐτὰ δεδρακὼς, καὶ μηδὲ τοσούτοις παραδείγμασι σωφρονιζόμενος, ἀτιμώρητος ἔσται; καὶ ποῦ τὸ δίκαιον τοῦ Θεοῦ; ἢ ποῦ τὸ ἀγαθόν; πάλιν ξύλα τις συλλέξας ἐν τῷ σαββάτῳ κατελεύσθη. καίτοι γε μικρὰ αὕτη ἡ ἐντολὴ, καὶ τῆς περιτομῆς φαυλοτέρα. οὗτος μὲν ξύλα συλλέξας ἐν σαββάτῳ ἐλιθάσθη, οἱ δὲ μυρία ἐργασάμενοι πολλάκις παράνομα ἀπῆλθον ἀτιμώρητοι. ἂν οὖν μὴ γέεννα ᾖ, ποῦ τὸ δίκαιον; ποῦ τὸ ἀπροσωπόληπτον; καίτοι πολλὰ ἐγκαλεῖ αὐτοῖς τοιαῦτα, ὅτι τὰ σάββατα οὐ τηροῦσι. πάλιν ἄλλος τις ὁ Χαρμὶ, ἀνάθημα κλέψας, μετὰ τοῦ γένους ἐλιθάσθη παντός. τί οὖν; οὐδεὶς ἐξ ἐκείνου ἱερόσυλος γέγονεν; ὁ Σαοὺλ πάλιν φεισάμενος παρὰ τὸ τῷ Θεῷ δοκοῦν τοσαύτην ὑπέστη τιμωρίαν· οὐδεὶς οὖν ἐφείσατο ἐξ ἐκείνου; εἶτα μὲν οὖν τοῦτο. οὐχὶ μᾶλλον θηρίων ἀλλήλους κατεσθίομεν παρὰ τὸ τῷ Θεῷ δοκοῦν; καὶ οὐδεὶς ἔπεσεν ἐν πολέμῳ. πάλιν οἱ τοῦ Ἠλεὶ υἱοὶ ἐπειδὴ περὶ τοῦ θυμιάματος ἥμαρτον, δίκην ἔδοσαν χαλεπωτάτην μετὰ τοῦ πατρός. οὐδεὶς οὖν ἐγένετο πατὴρ ῥᾴθυμος περὶ παῖδας; οὔτε μοχθηροὶ παῖδες; ἀλλ' οὐδεὶς ἔδωκε δίκην. πότε οὖν δώσουσιν, ἂν γέεννα μὴ ᾖ; πάλιν μυρία ἄν τις ἔχοι καταλέγειν ἕτερα. τί δέ; ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα, οὐκ ἐπειδὴ ἔκλεψαν ἐξ ὧν ἀνέθηκαν, παραχρῆμα ἐτιμωρήθησαν; οὐδεὶς οὖν ἄρα ἐξ ἐκείνου ταῦτα ἐποίησε; πῶς οὖν οὐκ ἔδωκαν τὴν αὐτὴν δίκην; ἆρά σε πείθομεν ὅτι γέεννά ἐστιν, ἢ πλειόνων ἔτι δεῖ παραδειγμάτων; οὐκοῦν καὶ ἐπὶ τὰ ἄγραφα ἥξομεν, τὰ νῦν ἐν τῷ βίῳ γινόμενα. ἀναγκαῖον γὰρ πανταχόθεν ταύτην ἡμῖν συλλέξαι τὴν ἔννοιαν· ἵνα μὴ μάτην ἑαυτοὺς παραλογιζόμενοι, βλάπτωμεν ἑαυτούς. οὐχ ὁρᾷς πολλοὺς ἐν συμφοραῖς, τὰ σώματα ἀναπήρους, μυρία πάσχοντας δεινά; ἑτέρους δὲ εὐδοκιμοῦντας; διὰ τί οἱ μὲν φόνων διδόασι δίκας, οἱ δὲ οὔ; ἀκού-

σου τοῦ Παύλου λέγοντος· Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, τισὶ δὲ καὶ ἐπακολουθοῦσι. πόσοι διέφυγον ἀνδροφόνοι; πόσοι τυμβωρύχοι; ἀλλ' ἀφείσθω ταῦτα. πόσους οὐχ ὁρᾷς κολαζομένους κολάσεσι χαλεπαῖς; οἱ μὲν τοσοῦτον μακρᾷ παρεδόθησαν, οἱ δὲ βασάνοις διηνεκέσιν, οἱ δὲ ἑτέροις μυρίοις δεινοῖς. ὅταν οὖν ἴδῃς τὰ αὐτὰ ἐκείνοις τετολμηκότα, ἢ καὶ πολλῷ πλείονα, καὶ μὴ διδόντα δίκην, οὐχὶ καὶ ἄκων ὁμολογήσεις τὴν γέενναν; ἔκλεγε τούτους τοὺς ἐν ταῖς τοὺς παρὰ σοῦ κεκολασμένους χαλεπῶς· ἐννόει ὅτι ὁ Θεὸς προσωπολήπτης οὐκ ἔστι· καὶ ὅτι μυρία ἐργασάμενος κακὰ, οὐδὲν τοιοῦτον πέπονθας· καὶ ἕξεις τὴν ἔννοιαν τῆς γεέννης. οὕτω γὰρ ἡμῖν αὐτὴν ὁ Θεὸς ἐγκατέσπειρεν, ὡς μηδένα ἀγνοῆσαι τοῦτό ποτε. καὶ γὰρ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ μυθολόγοι, καὶ πάντες ἁπλῶς ἄνθρωποι, περὶ τῆς ἀνταποδόσεως ἐφιλοσόφησαν τῆς ἐκεῖ, καὶ ἐν ᾅδου κολάζεσθαι εἰρήκασι τοὺς πολλούς. εἰ δὲ ἐκεῖνα μῦθοι, ἀλλ' οὐ τὰ παρ' ἡμῖν. ταῦτα οὐχ ἁπλῶς φοβῆσαι βουλόμενος εἶπον, οὐδὲ βαρῦναι τὰς ὑμετέρας ψυχὰς, ἀλλὰ σωφρονίσαι, καὶ κουφοτέρας ἐργάσασθαι. ἐβουλόμην καὶ αὐτὸς ἐγὼ μὴ εἶναι κόλασιν, καὶ μάλιστα πάντων ἐγώ. τί δήποτε; ὅτι ὑμῶν μὲν ἕκαστος ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς δέδοικεν· ἐγὼ δὲ καὶ τῆς προστασίας ταύτης εὐθύνας ὑφέξω. ὥστε μάλιστα πάντων ἐμὲ διαφυγεῖν ἀδύνατον. ἀλλ' οὐκ ἔστι μὴ εἶναι κόλασιν, καὶ γέενναν. τί πάθω; πάλιν ἐπαπορροῦσι καί φασι, ποῦ οὖν τοῦ Θεοῦ τὸ φιλάνθρωπον; πολλαχοῦ. μᾶλλον δὲ ἐν ἑτέρῳ περὶ τούτου διαλέξομαι καιρῷ, ἵνα μὴ τοὺς περὶ γεέννης συγχέωμεν λόγους. τέως δὲ ὅπερ ἐκερδάναμεν ἀπὸ τῶν εἰρημένων, μὴ διαρρυῇ. κέρδος γὰρ οὐ μικρὸν πεπεῖσθαι περὶ γεέννης. ἡ γὰρ τῶν τοιούτων λόγων μνήμη, καθάπερ τι πικρὸν φάρμακον, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, συνεχῶς ἡμῶν ἐνιζάνουσα τῇ διανοίᾳ. χρώμεθα τοίνυν αὐτῷ, ἵνα καθαρὰν καρδίαν ἐντεῦθεν ἔχοντες, οὕτω καταξιωθῶμεν ἰδεῖν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ὧν γένοιτο πάντας ὑμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. θ. 1 ΠΕΡΙ ΔΕ ΤΩΝ ΧΡΟΝΩΝ ΚΑΙ ΤΩΝ ΚΑΙΡΩΝ, ἀδελφοὶ, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. 2 Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται. κεφ. ε.

Οὐδὲν οὕτως, ὡς ἔοικε, περίεργόν ἐστι καὶ λίχνον πρὸς τὴν τῶν ἀφανῶν καὶ τῶν κεκαλυμμένων μάθησιν, ὡς ἡ τῶν ἀνθρώπων φύσις. τοῦτο δὲ αὐτῇ συμβαίνειν εἴωθεν, ὅταν ἀτελὴς καὶ μηδέπω κατηρτισμένην τὴν διάνοιαν ἔχῃ. καὶ γὰρ τὰ παιδία τὰ ἀφελέστερα οὐ διαλιμπάνουσιν ἀποκναίοντες καὶ τροφέας * καὶ παιδαγωγοὺς καὶ πατέρας τῇ πυκνότητι τῶν πεύσεων, ἐν αἷς οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ, πότε τόδε ἐστὶ, καὶ πότε τόδε. συμβαίνει δὲ τοῦτο καὶ ἀπὸ τοῦ θρύπτεσθαι, καὶ ἀπὸ τοῦ μηδὲν ἔχειν ποιεῖν. πολλὰ μὲν οὖν ἐπείγεται μανθάνειν ἤδη καὶ καταλαμβάνειν ἡμῶν ἡ διάνοια, μάλιστα δὲ τὸν περὶ τῆς συντελείας καιρόν. καὶ τί θαυμαστὸν, εἰ ἡμεῖς τοῦτο πάσχομεν; καὶ γὰρ αὐτοὶ οἱ ἅγιοι ἐκεῖνοι οἱ ἀπόστολοι μάλιστα αὐτὸ πάντων πεπόνθασι, καὶ πρὸ μὲν τοῦ πάθους προσελθόντες λέγουσι τῷ Χριστῷ· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; Ματθ. κδ. γ. μετὰ δὲ τὸ πάθος καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἔλεγον πρὸς αὐτόν· Εἰπὲ Πραξ. α. ς. ἡμῖν, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ· καὶ οὐδὲν περὶ τούτου αὐτὸν ἤροντο. ἀλλ' οὐ μετὰ ταῦτα οὕτως. ὅτε γὰρ τοῦ πνεύματος τοῦ ἁγίου κατηξιώθησαν, οὐ μόνον αὐτοὶ οὐκ ἐρωτῶσιν, οὐδὲ ἀσχάλλουσι πρὸς τὴν ἄγνοιαν, ἀλλὰ καὶ τοὺς ταύτην τὴν ἄκαιρον νοσοῦντας πολυπραγμοσύνην καταστέλλουσιν. ἄκουσον γοῦν οἷα νῦν ὁ μα-

καίριος Παῦλός φησι· περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοὶ, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. διατί μὴ εἶπεν, ὅτι οὐδεὶς οἶδε; διατί μὴ εἶπεν, ὅτι οὐκ ἀπεκαλύφθη, ἀλλ', οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν; ὅτι ἐκείνως μὲν ἂν ἐλύπησε μᾶλλον· οὕτω δὲ παρεμυθήσατο εἰπών. τῷ γὰρ, οὐ χρείαν ἔχετε, καὶ ὡς περιττὸν, καὶ ὡς ἀσύμφορον, ζητεῖσθαι οὐκ εἴασε. ποῖον γὰρ, εἰπέ μοι, τὸ κέρδος*; θῶμεν εἶναι τὴν συντέλειαν μετὰ εἴκοσιν ἔτη, μετὰ τριάκοντα, μετὰ ἑκατόν. τί τοῦτο πρὸς ἡμᾶς; οὐχὶ ἑκάστῳ ἡ συντέλεια τὸ τῆς αὐτοῦ ζωῆς πέρας ἐστί; τί πολυπραγμονεῖς, καὶ ὠδίνεις ὑπὲρ τοῦ κοινοῦ τέλους; ἀλλ' ὅπερ ἐν τοῖς ἄλλοις πάσχομεν, τοῦτο καὶ ἐν τούτῳ. καθάπερ γὰρ ἐν τοῖς ἄλλοις τὰ ἴδια ἀφέντες, τὰ κοινὰ μεριμνῶμεν λέγοντες· ὁ δεῖνα πόρνος, ὁ δεῖνα μοιχὸς, ἐκεῖνος ἥρπασεν, ἄλλος ἠδίκησε, τῶν δὲ ἑαυτοῦ οὐδεὶς λόγον ποιεῖται, ἀλλὰ πάντων φροντίζει μᾶλλον, ἢ τῶν οἰκείων· οὕτω καὶ ἐνταῦθα, ἀφέντες τὸ οἰκεῖον ἕκαστος τέλος μεριμνᾷν, τὴν κοινὴν βουλόμεθα κατάλυσιν μαθεῖν. τί γάρ σοι κοινὸν πρὸς ἐκείνην ἐστίν; ἂν ταύτην καλῶς διάθῃ τὴν τελευτὴν, οὐδὲν παρ' ἐκείνης πείσῃ δεινόν. ἔστω πόῤῥω, ἔστω ἐγγύς· οὐδὲν τοῦτο πρὸς ἡμᾶς. διὰ τοῦτο οὐκ εἶπεν ὁ Χριστὸς, ἐπειδὴ μὴ συνέφερε. καὶ πῶς οὐ συνέφερε, φησί; αὐτὸς οἶδεν ὁ κρύψας, διατί μὴ συνέφερεν. ἄκουε γὰρ αὐτοῦ λέγοντος τοῖς ἀποστόλοις·

Πραξ. α. ζ. Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. τί περιεργάζεσθε λοιπόν; οἱ περὶ Πέτρον τὸν κορυφαῖον ταῦτα ἤκουσαν, ὡς τὰ μείζονα ἑαυτῶν ζητοῦντες μαθεῖν. ναὶ, φησιν, ἀλλ' ἐκεῖνο τὰ τῶν ἑλλήνων ἐπιστομίζει οὕτω στόματα. πῶς, εἰπέ μοι; ἐπειδὴ ἐκεῖνοί, φησι, τὸν κόσμον τοῦτον Θεὸν λέγουσιν εἶναι. εἰ δὲ τὸν καιρὸν ᾔδειμεν τῆς καταλύσεως, ἐπεστομίσαμεν ἂν αὐτῶν τὰ στόματα. πάνυ γε. τοῦτο γάρ ἐστι τὸ ἐπιστομίζον ἐκείνους, τὸ μαθεῖν, ὅτι ποτὲ καταλύεται, ἢ τὸ μαθεῖν πότε καταλύεται; εἰ ἐπιστομίζειν βούλεσθε, τοῦτο λέγετε πρὸς αὐτοὺς, ὅτι πέρας ἕξει. εἰ μὴ πείθονται τούτῳ, οὐδὲ ἐκείνῳ πείσονται. ἄκουσον τοῦ Παύλου λέγοντος· αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται· οὐχ ἡ κοινὴ μόνον, ἀλλὰ καὶ ἡ ἑκάστου ἰδία. αὕτη γὰρ ἐκείνην μιμεῖται, ἐπειδὴ ὁμοία αὐτῇ ἐστι καὶ συγγενής. ὅπερ γὰρ ἀθρόως ἐκείνη, τοῦτο αὕτη κατὰ μέρος ποιεῖ. καὶ τῆς συντελείας ὁ καιρὸς ἀπὸ τοῦ Ἀδὰμ ἔλαβε τὴν ἀρχὴν, τό τε τέλος ἑκάστου ἡμῶν τῆς ζωῆς, εἰκὼν συντελείας ἐστί. καὶ οὐκ ἄν τις ἁμάρτοι συντέλειαν αὐτὸ εἰπών. ὅταν γὰρ μυρίοι καθ' ἑκάστην ἡμέραν τελευτῶσι, καὶ ἀναμένωσι τὴν ἡμέραν ἐκείνην ἅπαντες, καὶ περὶ ἐκείνης οὐδεὶς αἰσθάνεται, οὐχὶ ἐκείνης τὸ ἔργον ἐστί; εἰ δὲ βούλεσθε μαθεῖν διατί ἀποκέκρυπται αὕτη, καὶ διατί ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται, ἐγὼ, ὡς ἐμαυτῷ δοκῶ καλῶς ἔχειν, ἐρῶ. οὐδεὶς ἂν ἀρετῆς ἐπεμελήθη ποτὲ περὶ τὸν ἅπαντα βίον, εἰ δῆλον ἦν καὶ μὴ ἀπεκέκρυπτο· ἀλλ' εἰδὼς αὐτοῦ τὴν τελευταίαν ἡμέραν, καὶ μυρία ἐργασάμενος δεινὰ, καὶ τῷ λουτρῷ τότε προσελθὼν, οὕτως ἂν ἀπῆλθεν. εἰ γὰρ νῦν τοῦ τῆς ἀδηλίας φόβου κατασείοντος τὰς ἁπάντων ψυχὰς, πάντες τὸν ἔμπροσθεν βίον ἅπαντα ἐν κακίᾳ κατοδαπανήσαντες, εἰς ἐσχάτας ἀναπνοὰς τῷ βαπτίσματι ἐκδιδόασιν ἑαυτούς· εἰ καὶ σφόδρα ὑπὲρ τούτου ἦσαν πεπεικότες ἑαυτοὺς, τίς ἂν ποτε ἀρετῆς ἐπεμελήθη; εἰ γὰρ καὶ φόβου ἐπικειμένου, πολλοὶ χωρὶς φωτίσματος ἀπῆλθον, καὶ οὐδὲ οὗτος αὐτοὺς ὁ φόβος ἐπαίδευσε ζῶντας ἐπιμελεῖσθαι τῶν τῷ Θεῷ δοκούντων, εἰ καὶ οὗτος ἀνῄρητο ὁ φόβος, τίς ἂν ἐγένετό ποτε σώφρων; τίς δὲ ἐπιεικής; οὐκ ἔστιν οὐδείς. καὶ ἕτερον δὲ πάλιν. πολὺς ὁ τοῦ θανάτου φόβος κατέχει νῦν, καὶ ὁ τῆς ζωῆς ἔρως. εἰ δὲ ᾔδει ἕκαστος, ὅτι αὔριον πάντως τεθνήξεται, οὐδὲν ἂν παρῃτήσατο τολμῆσαι πρὸ τῆς ἡμέρας ἐκείνης, ἀλλὰ καὶ ἔσφαξεν οὓς ἂν ἠθέλησε, καὶ μυρία ἂν εἰργάσατο δεινὰ, τοὺς ἐχθροὺς ἀμυνόμενος. ἄνθρωπος γὰρ μακρὰν καὶ τῆς ἐνταῦθα ζωῆς ἀπεγνωκὼς, οὐδὲ αὐτοῦ λόγον ἔχει τοῦ τὴν ἁλουργίδα περικειμένου. ὁ τοίνυν πεπεισμένος ὅτι πάντως ἀ-

πελθεῖν

πελθεῖν δεῖ, καὶ ἀμύνεσθαι τὸν ἐχθρὸν, καὶ πρότερον διαπαῦσαι αὐτοῦ τὴν ψυχὴν, οὕτως ἂν ἐδέξατο τὴν τελευτήν. Εἴπω τι καὶ τραγικώτερον. οἱ φιλοζωοῦντες, καὶ σφόδρα τῶν ἐνταῦθα ἐφιέμενοι, ὑπὸ τῆς ἀθυμίας ἂν καὶ τῆς λύπης διεφθάρησαν. Εἰ γάρ τις τῶν νέων, ὅτι πρὸ τοῦ γήρως δέξεται τὴν τελευτὴν, ἠπίστατο, καθάπερ τὰ νεοθρέπτα τῶν θηρίων, ἐπειδὰν συλληφθῇ, μᾶλλον δὲ ταῦτα μετὰ τοῦ προσδοκῆσαι τὴν τελευτὴν, οὕτως ἂν διέπεσεν καὶ ἀπέθανεν. Οὐδὲ αὐτοὶ οἱ γενναῖοι ἄνδρες μισθὸν ἂν εἶχον. Εἰ γὰρ ᾔδεισαν ὅτι πάντως μετὰ τρία ἔτη ἀπελθεῖν δεῖ, καὶ πρὸ ἐκείνων οὐ δυνατὸν, ποῖον ἂν εἶχον μισθὸν, καταπολμῶντες τῶν δεινῶν; Εἶπε γὰρ ἄν τις πρὸς αὐτοὺς, ὅτι ἐπεὶ θαῤῥεῖτε παρὰ τῶν τριῶν ἐτῶν, διὰ τοῦτο τοῖς κινδύνοις ἑαυτοὺς ἐκδίδοτε, εἰδότες ὅτι ἄλλως οὐκ ἔνι ὑμᾶς ἀπελθεῖν. ὁ γὰρ ἐξ ἑκάστης κινδύνου προσδοκῶν τεθνήξεσθαι, καὶ εἰδὼς ὅτι ζήσεται μὲν μὴ παραβουλευσάμενος, τεθνήξεται δὲ τοιαῦτα τολμῶν, τῆς αὐτοῦ προθυμίας καὶ τοῦ καταφρονεῖν τῆς ἐνταῦθα ζωῆς μέγιστον ἐξενήνοχε τεκμήριον. ἀπὸ δὲ ὑποδείγματος τοῦτο ὑμῖν ποιήσω φανερόν. Εἰπέ μοι, εἰ ὁ πατριάρχης Ἀβραὰμ προειδὼς ὅτι οὐ σφάξει τὸν υἱὸν ἀνήγαγεν, ἆρα ἂν εἶχέ τινα μισθόν; τί δὲ, εἰ ὁ Παῦλος προειδὼς ὅτι οὐ τεθνήξεται, ὑπέστη τοὺς κινδύνους, ποῦ δὲ καὶ θαυμαστός; οὕτω γὰρ καὶ ὁ νεωτερώτατος εἰς πῦρ ἐνέβη ἂν, εἴ τινα ἀξιόπιστον ἐγγυητὴν εὗρε τῆς ἀσφαλείας. ἀλλ᾽ οὐχ οἱ τρεῖς παῖδες τοιοῦτοι. ἀλλὰ τί; ἄκουε αὐτῶν λεγόντων· Βασιλεῦ, ἔστι Θεὸς ἐν οὐρανῷ, ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῶν χειρῶν σου καὶ ἐκ τῆς καμίνου ταύτης. (Δαν. γ. ιζ.) καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦμεν. ὁρᾶτε πόσα κέρδη ἐστὶ, καὶ πλείονα τούτων ἐκ τοῦ ἀγνοεῖν τὴν τελευτήν; τέως δὲ ταῦτα ἀπήχθη μαθεῖν. Διὰ τοῦτο ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται· ἵνα μὴ εἰς κακίαν ἐξαγάγωμεν ἑαυτοὺς, ἵνα μὴ εἰς ῥᾳθυμίαν, ἵνα μὴ τὸν μισθὸν ἡμῶν ὑποτέμνηται. αὐτοὶ γὰρ ἀκριβῶς, φησὶν, οἴδατε. τί οὖν περιεργάζεσθε, εἰ πεπεισμένοι ἐστέ; ὅτι δὲ ἄδηλον τὸ μέλλον, ἐξ ὧν ὁ Χριστὸς εἶπε, μάνθανε· ὅτι δὲ διὰ τοῦτο εἶπεν, ἄκουσον τί φησι· Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται. (Ματθ. κδ. μϐ.) Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν·

3 Ὅταν δὲ λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν. Ἐνταῦθα τοῦτο ἠνίξατο, ὅπερ καὶ ἐν τῇ δευτέρᾳ εἶπεν ἐπιστολῇ. ἐπειδὴ γὰρ οὗτοι μὲν ἦσαν ἐν θλίψεσιν, οἱ δὲ πολεμοῦντες αὐτοὺς ἐν ἀνέσει καὶ ἐν τρυφῇ, εἶτα αὐτοὺς μὲν παρεμυθεῖτο τὰ παρόντα διὰ τῆς τῆς ἀναστάσεως λόγῳ, ἐκεῖνοι δὲ ἐπηρέαζον ἐκ τῶν προρρητικῶν ἐνθυμημάτων φθεγγόμενοι, καὶ ἔλεγον, πότε ἔσται; (ὅπερ καὶ οἱ προφῆται ἔλεγον· Οὐαὶ οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεὸς, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν. (Ησ. ε ιθ.) καὶ πάλιν· Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. (Αμως ε ιη.κ.) * [ταύτης] οὐ γὰρ ἁπλῶς ἐπιθυμοῦντας λέγει, ἀλλὰ τοὺς ἐκ τοῦ ἀπιστεῖν ἐπιθυμοῦντας. καὶ, Ἡ ἡμέρα Κυρίου σκότος, φησὶ, καὶ οὐ φῶς) διὰ τοῦτο εἴρηκεν οὕτω. καὶ ὅρα πῶς αὐτοὺς παραμυθεῖται. ὡς ἂν εἰ ἔλεγε· μὴ τὸ ἐν ἀπαθείᾳ εἶναι αὐτοὺς, τεκμήριον ποιείσθωσαν τοῦ μὴ παραγίνεσθαι τὴν κρίσιν. οὕτω μὲν οὖν καὶ παραγίνεται. ἄξιον δὲ καὶ ἐκεῖνο ζητῆσαι· εἰ ὁ ἀντίχριστος ἔρχεται, καὶ ὁ Ἠλίας ἔρχεται, πῶς ὅταν λέγωσιν, εἰρήνη, καὶ ἀσφάλεια, τότε αὐτοῖς αἰφνίδιος ὄλεθρος ἐφίσταται; ταῦτα γὰρ οὐκ ἀφίησι μὴ εἰδέναι τὴν ἡμέραν, τεκμήρια ὄντα τῆς παρουσίας αὐτῆς. ἀλλ᾽ οὐ τοῦτον τὸν καιρὸν αἰνίττεται, τοῦ ἀντιχρίστου λέγω, οὔτε τὴν ἡμέραν ἐκείνην φησὶν, ὅτι σημεῖον ἔσται τῆς παρουσίας τοῦ Χριστοῦ, ἀλλ᾽ ὅτι ὁ Χριστὸς οὐχ ἕξει σημεῖον, ἀλλ᾽ ἀθρόον καὶ ἀπροσδοκήτως ἥξει. καὶ γὰρ τῇ κυούσῃ, φησὶν, οὐκ ἐφίσταται ἀδήλως. οἶδε γὰρ ὅτι μετὰ ἐννέα μῆνας ἔσται ὁ τόκος· καὶ σφόδρα μὲν οὖν ἀδήλως. αἱ μὲν γὰρ ἑπταμηνιαῖα ἔτεκον, αἱ δὲ ἐννεαμηνιαῖα· ἄλλως δὲ καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα ἄδηλος τοῦ τόκου. περὶ τούτου φησὶ ταῦτα ὁ Παῦλος. καὶ ἀ-

κριβὴς ἡ εἰκών. οὐ γὰρ πολλὰ τῆς ὠδῖνός ἐστι τὰ τεκμήρια. πολλαὶ γοῦν οὕτω καὶ ἐν ὁδοῖς, καὶ τῆς οἰκίας ἔξω μὴ προσδοκήσασαι ἔτεκον. οὐ τὸ ἄδηλον δὲ μόνον ἐνταῦθα ᾐνίξατο, ἀλλὰ καὶ τὸ τῆς ὀδύνης πικρόν. ὥσπερ γὰρ ἐκείνη παίζουσα, γελῶσα, οὐδὲν ὅλως προορωμένη, ἐξαίφνης ἀρρήτοις καταληφθεῖσα πόνοις διακόπτεται ταῖς ὠδῖσιν· οὕτω καὶ αἱ ψυχαὶ ἐκεῖναι, τῆς ἡμέρας ἐπελθούσης ἐκείνης. καὶ οὐ μὴ ἐκφύγωσιν. εἶτα δεικνὺς ὅτι οὐ περὶ αὐτῶν ταῦτα λέγει, ἐπήγαγεν,

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. Ἐνταῦθα τὸν σκοτεινὸν καὶ ἀκάθαρτον βίον φησί. καθάπερ γὰρ ἐν νυκτὶ πάντα πράττουσιν οἱ μιαροὶ καὶ πονηροὶ τὴν ἀνθρώπων πάντας λανθάνοντες, καὶ ἐν σκότῳ κατακλείοντες ἑαυτούς. εἰπὲ γάρ μοι, οὐχὶ τὴν ἑσπέραν παρατηρεῖ ὁ μοιχός; καὶ οὐχὶ τὴν νύκτα ὁ κλέπτης; ὁ τυμβωρύχος οὐχὶ πᾶσαν τὴν ἐργασίαν ἐν νυκτὶ ἔχει; τί οὖν; οὐχὶ ὡς κλέπτης αὐτοὺς καταλαμβάνει; οὐχὶ καὶ αὐτοῖς ἀδήλως ἐφίσταται; ἀλλὰ προΐσασι; πῶς οὖν λέγει, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν; ἐνταῦθα οὐ πρὸς τὸ ἄδηλόν φησιν, ἀλλὰ πρὸς τὴν συμφοράν· τουτέστιν, οὐκ ἐπὶ κακῷ τῷ αὐτῶν ἥξει. ἀδήλως μὲν γὰρ ἥξει καὶ αὐτοῖς, πλὴν ἀλλ' οὐδενὶ περιβαλεῖ λυπηρῷ. ἵνα ἡ ἡμέρα, φησὶν, ὡς κλέπτης ὑμᾶς καταλάβῃ. ἐπεὶ γὰρ τῶν ἐγρηγορότων καὶ ἐν φωτὶ ὄντων κἂν γένηταί τις εἴσοδος λῃστοῦ, οὐδὲν * λυμήνασθαι δυνήσεται, οὕτω καὶ ἐπὶ τῶν ὀρθῶς ζώντων· ἀλλ' ἐκείνους τοὺς καθεύδοντας πάντων γυμνώσας ἄπεισι, τοὺς τοῖς ἐνταῦθα θαρροῦντας. εἶτα καὶ ἄλλο ὑπὲρ αὐτῶν. ἐπάγει γάρ·

5 Πάντες γὰρ ὑμεῖς, φησιν, υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. Καὶ πῶς ἔτι, φησὶν, υἱοὶ ἡμέρας εἰσίν; ὡς υἱοὺς ἀπωλείας, ὡς υἱοὺς γεέννης. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς Φαρισαίοις· Οὐαὶ ὑμῖν, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον·
Ματθ. κγ. 15. Κολοσ. γ. 6. καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν γεέννης υἱόν. καὶ ὁ Παῦλος· Δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, τουτέστι, τοὺς τὰ τῆς γεέννης πράττοντας, τοὺς τὰ τῆς ἀπειθείας. ὥσπερ οὖν υἱοὶ τοῦ Θεοῦ οἱ τὰ τῷ Θεῷ δοκοῦντα πράττοντες, οὕτω καὶ υἱοὶ ἡμέρας καὶ υἱοὶ φωτὸς, οἱ τὰ τοῦ φωτὸς πράττοντες. Οὐκ ἐσμὲν νυκτὸς, οὐδὲ σκότους.

6 Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν.

7 Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν.

8 Ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν. Δείκνυσιν ἐνταῦθα ὅτι τὸ ἐν ἡμέρᾳ εἶναι, ἡμῖν ἐστι. καὶ ἐνταῦθα μὲν (ἐπὶ τῆς ἡμέρας ταύτης καὶ τῆς νυκτὸς λέγω) οὐχ ἡμῖν ἐστιν· ἀλλὰ καὶ ἀκόντων ἡμῶν ἔρχεται ἡ νὺξ, καὶ μὴ βουλομένων ὁ ὕπνος ἐφίσταται. ἐπὶ δὲ τῆς νυκτὸς ἐκείνης καὶ τοῦ ὕπνου, οὐκ ἔτι· ἀλλ' ἔξεστι διαπαντὸς ἐγρηγορέναι, ἔξεστι διαπαντὸς ἡμέραν ἄγειν. τοὺς γὰρ τῆς ψυχῆς ὀφθαλμοὺς κλεῖσαι, καὶ τὸν ἀπὸ τῆς κακίας ὕπνον ἐπαγαγεῖν οὐκ ἔστι φύσεως, ἀλλὰ προαιρέσεως. ἀλλὰ γρηγορῶμεν, φησὶ, καὶ νήφωμεν. ἔξεστι γὰρ ἐγρηγορότα καθεύδειν, μηδὲν πράττοντα ἀγαθόν. διὰ τοῦτο ἐπήγαγε, καὶ νήφωμεν. καὶ γὰρ ἐν ἡμέρᾳ ἂν γρηγορῇ τις, μὴ νήφῃ δὲ, μυρίοις περιπεσεῖται δεινοῖς. ὥστε γρηγορήσεως ἐπίτασις ἡ νῆψίς ἐστιν. Οἱ καθεύδοντες, φησὶ, νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσι. μέθην ἐνταῦθά φησιν, οὐ τὴν ἀπὸ τοῦ οἴνου μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ πάντων τῶν κακῶν. καὶ γὰρ μέθη ψυχῆς πλοῦτος, καὶ χρημάτων ἐπιθυμία, καὶ σωμάτων ἔρως, καὶ πᾶν ὅπερ ἂν εἴποις, μέθη ψυχῆς ἐστι. διὰ τί δὲ ὕπνον τὴν κακίαν ἐκάλεσεν; ὅτι πρῶτον μὲν ἀνενέργητός ἐστι πρὸς τὴν ἀρετὴν ὁ τοιοῦτος· ἔπειτα, ὅτι πάντα φαντασιοῦται, καὶ οὐδὲν ἀληθὲς ὁρᾷ, ἀλλ' ὀνειράτων ἐστὶ μεστὸς, καὶ ἀτόπων πολλάκις πραγμάτων. ἂν δέ τι χρηστὸν ἴδῃ, οὐδὲν ἔχει βέβαιον, οὐδὲ πεπηγός. τοιοῦτος ὁ παρὼν βίος ἐστὶν· ὀνειράτων καὶ φαντασίας γέμει. ὁ πλοῦτος ὄναρ, ἡ δόξα, πάντα τὰ τοιαῦτα. ὁ καθεύδων, τὰ μὲν ὄντα καὶ ἀληθῶς ὑφεστῶτα οὐχ ὁρᾷ· τὰ δὲ μὴ ὄντα, ὡς ὄντα φαντασιοῦται. τοιαύτη ἡ κακία ἐστὶ, καὶ ὁ ἐν κακίᾳ βίος. οὐχ ὁ-

ῥᾳ τὰ ὄντα, τουτέστι, τὰ πνευματικά, τὰ οὐράνια, τὰ μένοντα· ἀλλὰ τὰ ῥέοντα, καὶ ἀφιπτάμενα, καὶ ἀποπηδῶντα ταχέως ἡμῶν. Οὐκ ἀρκεῖ δὲ τὸ ἐγρηγορέναι καὶ νήφειν, ἀλλὰ δεῖ καὶ καθοπλίζεσθαι. Κἂν γὰρ ἐγρηγορώς τις ᾖ καὶ νήφων, μὴ ἔχῃ δὲ ὅπλα, ταχέως αὐτὸν οἱ λησταὶ κατεργάζονται. Ὅταν οὖν καὶ ἐγρηγορέναι χρῇ, καὶ νήφειν, καὶ καθοπλίζεσθαι, ἡμεῖς δὲ ἄοπλοι καὶ γυμνοὶ ὦμεν, καὶ καθεύδωμεν, τίς κωλύσει ἐγχεῖρον πῆξαι τὴν μάχαιραν; διὸ καὶ τοῦτο δηλῶν, ὅτι ὅπλων ἡμῖν δεῖ, ἐπήγαγεν·

8 Ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας. Πίστεως καὶ ἀγάπης, φησίν. Ἐνταῦθα βίον μετὰ δογμάτων ὀρθῶν ἀπαιτεῖται. Ὅρα πῶς ἐδήλωσε τί ἐστι τὸ ἐγρηγορέναι καὶ νήφειν, τὸ ἔχειν θώρακα, φησί, πίστεως καὶ ἀγάπης. Πίστιν οὐ τὴν τυχοῦσάν φησιν, ἀλλὰ τὴν ζέουσαν, τὴν εἰλικρινῆ, τὴν ἀτρώτους ποιοῦσαν τοὺς περιβεβλημένους αὐτήν. Ὥσπερ τὸν * θώρακα οὐδεὶς ἂν διατέμοι ταχέως, ἀλλ' ἔστιν ἀφανὲς τεῖχος τῷ στήθει· οὕτω καὶ σὺ πίστιν καὶ ἀγάπην περιέλασον τῇ ψυχῇ, καὶ οὐδὲν τῶν πεπυρωμένων βελῶν τοῦ διαβόλου ἐμπαγῆναι δυνήσεται. Ἔνθα γὰρ ἡ περικατειλημμένη τῷ τῆς ἀγάπης ὅπλῳ τῆς ψυχῆς ἡ δύναμις, πάντα εἰκῆ καὶ μάτην κατασκευάζουσιν οἱ ἐπιβουλεύοντες. Οὔτε γὰρ πονηρία, οὐκ ἔχθρα, οὐ βασκανία, οὐ κολακεία, οὐχ ὑπόκρισις, οὐκ ἄλλο οὐδὲν καθικέσθαι δυνήσεται τῆς τοιαύτης ψυχῆς. Οὐχ ἁπλῶς δὲ ἀγάπην εἶπεν, ἀλλ' ὡς θώρακα ἰσχυρὸν εἶπεν ἐνδύσασθαι. Εἶτα οὕτως εἰπὼν ἐπάγει· καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας. Καθάπερ γὰρ ἡ περικεφαλαία τὸ καιριώτερον σώζει τῶν ἐν ἡμῖν, τὴν κεφαλὴν περιβάλλουσα καὶ πάντοθεν στεγάζουσα· οὕτω καὶ ἡ ἐλπὶς τὸν λογισμὸν οὐκ ἀφίησι διαπεσεῖν, ἀλλ' ὀρθὸν ἵστησιν ὥσπερ κεφαλήν, οὐδὲν τῶν ἔξωθεν εἰς αὐτὸν πεσεῖν ἐῶσα. Ἕως δ' ἂν μηδὲν καταφέρηται, οὐδὲ αὐτὴ ἐπολισθαίνει. Τὸν γὰρ τούτοις πεφραγμένον τοῖς ὅπλοις οὐκ ἔνι ποτὲ πεσεῖν. Μένει γάρ, φησι, πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα. [α. Κορ. ιγ ιγ.] Εἶτα εἰπών, ἐνδύσασθε καὶ περίθεσθε, αὐτὸς κατασκευάζει τὰ ὅπλα λοιπόν, καὶ δείκνυσιν, ὅθεν ἂν τεχθείη πίστις, καὶ ἐλπίς, καὶ ἀγάπη, καὶ τὰ ὅπλα ἰσχυρότερα γένοιτο, ἐπάγων καὶ λέγων·

9 Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

10 Τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν. Ὥστε οὐ πρὸς τοῦτο ἐκάλεσεν εἰς τὸ ἀπολέσαι, ἀλλ' εἰς τὸ σῶσαι. Καὶ ὅτι τοῦτο βούλεται, πόθεν δῆλον; τὸν υἱὸν αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν, φησίν. Οὕτως ἡμᾶς ἐπιθυμεῖ σωθῆναι, ὅτι τὸν υἱὸν αὐτοῦ ἔδωκε, καὶ οὐχ ἁπλῶς ἔδωκεν, ἀλλ' εἰς θάνατον. Ἀπὸ τούτων τῶν λογισμῶν ἡ ἐλπὶς τίκτεται. Μὴ γὰρ ἀπογνῷς, ἄνθρωπε, πρὸς τὸν Θεὸν ἀπερχόμενος, τὸν μηδὲ υἱοῦ φεισάμενον διὰ σέ· μὴ ἀπαγορεύσῃς τοῖς παροῦσι κακοῖς. Ὁ τὸν μονογενῆ δούς, ἵνα σε σώσῃ καὶ τῆς γεέννης ἐξέληται, τίνος φείσεται λοιπὸν ὑπὲρ τῆς σῆς σωτηρίας; ὥστε ἐλπίζειν χρὴ πάντα χρηστά. Οὐδὲ γὰρ εἰ πρὸς δικαστὴν ἀπῄειμεν μέλλοντα κρίνειν ἡμᾶς, καὶ τοσαύτην ἀγάπην ὑπὲρ ἡμῶν ἐπιδεδειγμένον, ὡς τὸν υἱὸν κατασφάξαι, ἐδείσαμεν ἄν. Ἐλπίζωμεν οὖν χρηστὰ καὶ μεγάλα. Τὸ γὰρ κεφάλαιον ἐλάβομεν, εἰ πιστεύομεν. Εἴδομεν γὰρ τὸ ὑπόδειγμα· ἀγαπήσωμεν. Ἐσχάτης γὰρ ἀνοίας τὸ μὴ τὸν οὕτω διατεθέντα ἀγαπῆσαι. Ἵνα, εἴτε γρηγορῶμεν, φησίν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν.

11 Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

Καὶ ἀλλαχοῦ πάλιν, εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν. Ἀλλ' ἕτερον ἐκεῖ τὸν ὕπνον φησί, καὶ ἕτερον ἐνταῦθα. Ἐνταῦθα μὲν γὰρ τὸν θάνατον δηλοῖ τὸν σωματικόν· ἐκεῖ δὲ τὴν περὶ τὸν βίον ἀμέλειαν. Ὃ οὖν δηλοῖ, τοῦτό ἐστι· τοὺς κινδύνους μὴ δεδοίκατε· κἂν ἀποθάνωμεν, ζησόμεθα. Μὴ ἀπελπίσῃς, ὅτι κινδυνεύεις· ἔχεις ἐνέχυρον ἀσφαλές. Οὐκ ἄν, εἰ

μὴ σφόδρα ἡμῶν περιεχόμενο, τὸν υἱὸν αὐτοῦ ἔδωκεν. ὥστε κἂν ἀποθάνῃς, ζήσῃ· καὶ γὰρ καὶ αὐτὸς ἀπέθανεν. εἴτε οὖν ἀποθάνωμεν, εἴτε ζῶμεν, μετ' αὐτοῦ ζησόμεθα. ἀδιάφορον τοῦτο ἐγώ· οὐδέν μοι μέλει, εἴτε ζῶ, εἴτε ἀποθάνω. μετ' ἐκείνου γὰρ ζησόμεθα.

ΗΘΙΚΟΝ

Πάντα οὖν ὑπὲρ ἐκείνης πράττωμεν τῆς ζωῆς, πάντα πρὸς ἐκείνην ὁρῶντες ἐργασώμεθα. σκότος ἐστὶν ἡ κακία, ἀγαπητέ, θάνατός ἐστι, νύξ ἐστιν, οὐδὲν ὁρῶμεν τῶν δεόντων, οὐδὲν πράττομεν τῶν προσηκόντων. καθάπερ γὰρ νεκροὶ δυσειδεῖς εἰσὶ καὶ ὀδωδότες· οὕτω καὶ αἱ ψυχαὶ τῶν ἐν κακίᾳ πολλῆς εἰσιν ἀκαθαρσίας μεσταί. μέμυκεν αὐτῶν τὰ ὄμματα, τὸ στόμα συνείληπται, ἀκίνητοι μένουσιν ἐν τῇ κλίνῃ τῆς κακίας· μᾶλλον δὲ τῶν ταῦτα παθόντων ἐλεεινότεροι. οὗτοι μὲν γὰρ πρὸς ἑκάτερα νεκροί, ἐκεῖνοι δὲ πρὸς μὲν ἀρετὴν ἀναίσθητοι, ζῶντες δὲ πρὸς κακίαν. νεκρὸν κἂν πλήξῃ τις, οὐκ αἰσθάνεται, οὐδὲ ἀμύνεται· ἀλλ' ὥσπερ ξύλον αὖον, οὕτω καὶ ἡ ψυχὴ αὖον ὄντως ἐστίν, ἀποβαλοῦσα τὴν ζωήν. μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνει τραύματα, καὶ οὐδενὸς αἰσθάνεται, ἀλλ' ἀνάλγητος πρὸς πάντα διάκειται. οὐκ ἄν τις ἁμάρτοι τοῖς μεμηνόσιν αὐτοὺς παραβάλλων, τοῖς μεθύουσι, τοῖς παραπαίουσι. πάντα δὲ ταῦτα ἔχει ἡ κακία, καὶ πάντων ἐστὶ χαλεπωτέρα. ὁ μαινόμενος ἔχει πολλὴν συγγνώμην παρὰ τῶν ὁρώντων (οὐ γάρ ἐστι προαιρέσεως τὸ νόσημα, ἀλλὰ φύσεως μόνης) ὁ δὲ ἐν κακίᾳ διάγων, πόθεν συγγνωσθήσεται; πόθεν οὖν ἡ κακία; πόθεν οἱ πλείους κακοί; πόθεν ἐρωτᾷς; εἰπέ μοι σύ, πόθεν ἡ κακία τῶν νοσημάτων; πόθεν φρενῖτις; πόθεν ὕπνος βαρύς; οὐχὶ ἐξ ἀπροσεξίας; εἰ τὰ φυσικὰ νοσήματα ἀπὸ προαιρέσεως ἔχει τὰς ἀρχάς, πολλῷ μᾶλλον τὰ προαιρετικά. ἡ μέθη πόθεν; οὐχὶ ἐξ ἀκρασίας ψυχῆς; ἡ φρενῖτις οὐχὶ ἀπὸ ὑπερβολῆς πυρετοῦ; ὁ δὲ πυρετὸς οὐχὶ ἀπὸ πλεοναζόντων ἐν ἡμῖν στοιχείων; ἡ πλεονεξία δὲ τῶν ἐν ἡμῖν στοιχείων οὐχὶ ἐξ ἀπροσεξίας; ὅταν γὰρ ἡ ἔνδεια, ἢ πλεονεξία εἰς ἀμετρίαν τὴν ἐν ἡμῖν ἐξαγάγωμεν, ἀνάπτομεν ἐκεῖνο τὸ πῦρ. πάλιν, ἂν τῆς φλογὸς ἀφθείσης, ἐπιμένωμεν καταφρονοῦντες, καθ' ἑαυτῶν ἐργαζόμεθα πυράν, ἣν οὐδὲ σβέσαι δυνάμεθα. οὕτω καὶ ἐπὶ τῆς κακίας γίνεται. ὅταν ἀρξαμένην αὐτὴν μὴ κωλύωμεν, μηδὲ ἐκκόπτωμεν, οὐδὲ ἐφικέσθαι δυνάμεθα τοῦ τέλους λοιπόν, ἀλλὰ μείζων γίνεται τῆς ἡμετέρας ἰσχύος. διό, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μηδέποτε ἀπονυστάξαι. οὐχ ὁρᾶτε τοὺς φύλακας, ὅτι πολλάκις μικρὸν ἑαυτοὺς δόντες τῷ ὕπνῳ, οὐδὲν ἀπώναντο τῆς πολλῆς φυλακῆς; δι' ἐκείνου γὰρ τοῦ μικροῦ τὸ πᾶν διέφθειραν, τῷ βουλομένῳ κλέψαι πολλὴν δόντες τὴν ἄδειαν. καθάπερ γὰρ οὐχ οὕτως ἡμεῖς τοὺς κλέπτας ὁρῶμεν, ὡς ἐκεῖνοι ἡμᾶς ὁρῶσιν· οὕτω καὶ ὁ διάβολος μάλιστα πάντων ἐφέστηκε, καὶ ἐνεδρεύει, καὶ τρίζει τοὺς ὀδόντας. μὴ νυστάζωμεν τοίνυν· μὴ ὑπνῶμεν, παρὰ τοῦτο οὐδέν, πλὴν ἐκεῖνο οὐδέν. ὅθεν οὐ προσεδοκήσαμεν, πολλάκις ἐσυλήθημεν. οὕτω καὶ ἐπὶ κακίας· ὅθεν οὐ προσεδοκήσαμεν, ἀπολλύμεθα. πάντα περισκοπῶμεν ἀκριβῶς. μὴ μεθυσκώμεθα, καὶ οὐχ ὑπνώσομεν. μὴ τρυφῶμεν, καὶ οὐ καθευδήσομεν. μὴ μαινώμεθα πρὸς τὰ ἔξω, καὶ ἐν νήψει διατελέσομεν. ῥυθμίζωμεν ἑαυτοὺς πάντοθεν. καὶ καθάπερ ἐπὶ σχοίνου τεταμένης βαδίζοντας οὐκ ἔνι ῥαθυμῆσαι οὐδὲ μικρόν (τὸ γὰρ μικρὸν μέγα ἐργάζεται κακόν· περιτραπεὶς γὰρ εὐθέως κατηνέχθη, καὶ ἀπώλετο) οὕτως οὐδὲ ἡμᾶς δυνατὸν ῥαθυμεῖν. στενὴν βαδίζομεν ὁδὸν ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην, ὁμοῦ δύο πόδας οὐ δεχομένην. ὁρᾷς πόσης ἡμῖν ἀκριβείας δεῖ; οὐχ ὁρᾷς τοὺς τὰς ἀμφικρήμνους ὁδοιποροῦντας ὁδούς, πῶς οὐ τοὺς πόδας ἀσφαλίζονται μόνον, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς; ἂν γὰρ δόξῃ ἑτέρωθι προσέχειν αὐτόν, κἂν ὁ πους βεβαίως ἑστήκῃ, ἰλιγγιάσας ἀπὸ τοῦ βάθους ὁ ὀφθαλμὸς τὸ πᾶν κατήνεγκεν. ἀλλ' ἑαυτῷ δεῖ προσέχειν, καὶ τῇ βαδίσει. διὰ τοῦτό φησι, μήτε δεξιά, μήτε ἀριστερά. πολὺς ὁ βυθὸς τῆς κακίας ἐστί, μεγάλοι οἱ κρημνοί, πολὺ κάτω σκότος, στενὴ ἡ ὁδός· προσέχωμεν μετὰ φόβου, μετὰ τρόμου περιπατῶμεν. οὐδεὶς τοιαύτην ὁδεύων ὁδόν, ἐκκέχυται γέλωτι, οὐδὲ

βαρεῖται μέθη, ἀλλ' ἐν νήψει καὶ προσοχῇ τὴν τοιαύτην ὁδεύει ὁδόν. οὐδεὶς τοιαύτην ὁδεύων ὁδὸν, ἐπιφέρεταί τι τῶν περιττῶν. ἀγαπητὸν γὰρ εἰ γυμνοὶ ὄντες δυνηθεῖεν διαδραμεῖν. οὐδεὶς συμποδίζει τοὺς πόδας τοὺς ἑαυτοῦ, ἀλλ' εὐλύτους ἀφίησιν. ἡμεῖς δὲ μυρίαις φροντίσιν ἑαυτοὺς καταδεσμοῦντες, καὶ μυρία φορτία βιωτικὰ ἐπιφερόμενοι, κεχηνότες καὶ ἐκκεχυμένοι, πῶς τὴν στενὴν προσδοκῶμεν βαδίζειν ὁδόν; οὐχ ἁπλῶς εἶπεν, ὅτι στενή ἐστιν, ἀλλὰ μετὰ θαυμασμοῦ· ὅτι στενὴ ἡ ὁδός· τουτέστι, σφόδρα στενή. τοῦτο καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν πάνυ θαυμαζομένων. καὶ πάλιν, Τεθλιμμένη, φησὶν, ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Ματθ. ζ. ιδ. καὶ καλῶς εἶπε στενή. ὅταν γὰρ καὶ ῥημάτων, καὶ ἐννοιῶν, καὶ πράξεων, καὶ πάντων ὀφείλωμεν εὐθύνας ὑπέχειν, στενὴ ὄντως ἐστί. στενωτέραν δὲ αὐτὴν ποιοῦμεν ἡμεῖς, πλατύνοντες ἑαυτοὺς, καὶ εὐρύνοντες, καὶ τοὺς πόδας ἐκχέοντες. ἡ γὰρ στενὴ, παντὶ μὲν δυσχερὴς, μάλιστα δὲ τῷ λιπαινομένῳ. ὡς ὅ γε κατατήκων ἑαυτὸν, οὐδὲ αἰσθήσεται τῆς στενοχωρίας· ὥστε ὁ μεμελετηκὼς θλίβεσθαι, οὐδὲ ἀποδυσπετήσει πρὸς τὸ πιέζεσθαι. μὴ τοίνυν μετὰ ἀνέσεως προσδοκάτω τις τὸν οὐρανὸν ὄψεσθαι. οὐ γὰρ ἔνι. μηδεὶς μετὰ τρυφῆς ἐλπιζέτω τὴν στενὴν ὁδεύειν ὁδόν. οὐ γὰρ δυνατόν. μηδεὶς τὴν εὐρύχωρον βαδίζων, τὴν ζωὴν ἐλπιζέτω. ὅταν οὖν ἴδῃς λουτροῖς, τραπέζῃ πολυτελεῖ, ἢ δορυφορίαις ἑτέραις ἐντρυφῶντα τὸν δεῖνα, μὴ ταλανίσῃς σαυτὸν, ὡς οὐ μετέχοντα τούτων, ἀλλὰ στέναξον ἐκεῖνον, ὅτι τὴν ἀπολλυμένην ὁδεύει ὁδόν. τί γὰρ ὄφελος ταύτης τῆς ὁδοῦ, ὅταν εἰς θλῖψιν τελευτᾷ; ποῖον δὲ βλάβος ἀπ' ἐκείνης τῆς στενοχωρίας, ὅταν εἰς ἄνεσιν ἔρχηται; εἰπέ μοι, εἴ τις εἰς τὰ βασίλεια καλούμενος, διὰ στενωπῶν θλιβερῶν καὶ ἀποκρήμνων βαδίζοι, ἕτερος δέ τις τὴν ἐπὶ θάνατον ἀγόμενος διὰ μέσης ἕλκοιτο τῆς ἀγορᾶς, τίνα μακαριοῦμεν, τίνα στενάξομεν; οὐ τὸν διὰ τῆς εὐρυχώρου βαδίζοντα; οὕτω καὶ νῦν, μὴ τοὺς τρυφῶντας μακαρίζωμεν, ἀλλὰ τοὺς μὴ τρυφῶντας. οὗτοι πρὸς τὸν οὐρανὸν σπεύδουσιν, ἐκεῖνοι πρὸς τὴν γέενναν. καὶ ἴσως μὲν αὐτῶν πολλοὶ καὶ γελάσονται τὰ παρ' ἡμῶν λεγόμενα· ἐγὼ δὲ μάλιστα διὰ τοῦτο ὀδύρομαι καὶ θρηνῶ, ὅτι οὐδὲ ἴσασιν ἐφ' οἷς χρὴ γελᾶν, ὑπὲρ ὧν ἐχρῆν μάλιστα πενθεῖν· ἀλλὰ πάντα συγχέουσι, καὶ ταράττουσι, καὶ θορυβοῦσι. διὰ ταῦτα αὐτοὺς ἐγὼ θρηνῶ. τί λέγεις, ἄνθρωπε; μέλλων ἀναστήσεσθαι, καὶ λόγον ὑφέξειν τῶν σοι πεπραγμένων, καὶ τὴν ἐσχάτην ὑποστήσεσθαι δίκην, τούτων μὲν οὐδένα λόγον ποιῇ, γαστρίζεσθαι δὲ μελετᾷς καὶ μεθύειν; καὶ πρὸς τούτοις γελᾷς; ἀλλ' ἐγώ σε θρηνῶ, τὰ μένοντά σε ἐπιστάμενος κακὰ, τὴν διαδεξομένην σε τιμωρίαν. καὶ διὰ τοῦτο θρηνῶ μάλιστα, ὅτι γελᾷς. πένθησον σὺν ἐμοὶ, θρήνησον μετ' ἐμοῦ τὰ σὰ κακά. εἰπέ μοι ἐὰν τίς σοι τῶν οἰκείων ἀπόληται, οὐχὶ τοὺς μὲν γελῶντας ἐπὶ τῇ τελευτῇ καὶ ἀποστρέφῃ, καὶ ἐχθροὺς ἡγῇ, τοὺς δὲ δακρύοντας καὶ συμπενθοῦντας φίλους; εἶτα τῆς μὲν γυναικὸς προκειμένης νεκρᾶς, τὸν γελῶντα ἀποστρέφῃ, τῆς δὲ ψυχῆς σοι τεθανατωμένης, τὸν δακρύοντα ἀποστρέφῃ, γελᾷς δὲ αὐτός; ὁρᾷς πῶς ἡμᾶς διέθηκεν ὁ διάβολος, ἐχθροὺς ἑαυτοῖς εἶναι, καὶ πολεμίους; ἀνανήψωμέν ποτε, διαβλέψωμεν, γρηγορήσωμεν, ἐπιλαβώμεθα τῆς αἰωνίου ζωῆς, τὸν πολὺν ὕπνον ἀποτιναξώμεθα. κρίσις ἐστὶ, κόλασίς ἐστιν, ἀνάστασίς ἐστιν, ἐξέτασις τῶν πεπραγμένων. Ὁ Κύριος ἔρχεται ἐν νεφέλαις, πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά, φησί. Ψαλμ. μθ. δ. ποταμὸς πυρὸς σύρει ἔμπροσθεν αὐτοῦ, σκώληξ ἀτελεύτητος, πῦρ ἄσβεστον, σκότος ἐξώτερον, βρυγμὸς τῶν ὀδόντων. κἂν μυριάκις ἐπὶ τούτοις δυσχεραίνητε, ἐγὼ λέγων οὐ παύσομαι. εἰ γὰρ λιθαζόμενοι οἱ προφῆται οὐκ ἐσίγων, πολλῷ μᾶλλον ἡμᾶς ἀπεχθείας δεῖ φέρειν, καὶ μὴ πρὸς χάριν ὑμῖν ὁμιλεῖν· ἵνα μὴ ἀπατήσαντες ὑμᾶς, αὐτοὶ διχοτομηθῶμεν. ἐκεῖ κόλασίς ἐστιν ἀθάνατος, ἀπαραμύθητος, ὁ παραστησόμενος οὐδείς. Τίς ἐλεήσει, φησὶν, ἐπαοιδὸν ὀφιόδηκτον; Σειρ. ιβ. ιγ. ὅταν ἡμεῖς ἑαυτοὺς μὴ ἐλεήσωμεν, τίς ἐλεήσει; εἰπέ μοι· ἐὰν ἴδῃς τινὰ ξίφος ἐλαύνοντα δι' ἑαυτοῦ, τοῦτον δυνήσῃ φείδεσθαί ποτε; οὐδαμῶς· πολλῷ μᾶλλον, ὅταν παρὸν ἢ κατορ-

θῶσαι, καὶ μὴ κατορθώσωμεν, τίς ἡμῶν φείσεται; οὐδείς. ἐλεήσωμεν ἑαυτούς. ὅταν εὐχόμεθα τῷ Θεῷ λέγοντες, ἐλέησόν με, Κύριε, λέγωμεν πρὸς ἑαυτοὺς, καὶ ἑαυτοὺς ἐλεήσωμεν. ἡμεῖς ἐσμεν κύριοι τοῦ τὸν Θεὸν ἡμᾶς ἐλεῆσαι. αὐτὸς ἡμῖν τοῦτο ἐχαρίσατο. ἐὰν ἄξια ἐλέους πράττωμεν, ἐὰν ἄξια φιλανθρωπίας τῆς παρ' αὐτοῦ, ἐλεήσει ἡμᾶς ὁ Θεός. ἐὰν δὲ ἑαυτοὺς μὴ ἐλεῶμεν, τίς ἡμῶν φείσεται; ἐλέησον τὸν πλησίον, καὶ ἐλεηθήσῃ παρ' αὐτοῦ τοῦ Θεοῦ. πόσοι καθ' ἑκάστην ἡμέραν προσέρχονταί λέγοντες, ἐλέησόν με, καὶ οὐδὲ ἐπιστρέφῃ; πόσοι γυμνοὶ, πόσοι ἀνάπηροι, καὶ οὐκ ἐπικαμπτόμεθα, ἀλλὰ παραπεμπόμεθα αὐτῶν τὰς ἱκετηρίας; πῶς οὖν ἄξιοι ἐλεηθῆναι, αὐτὸς οὐδὲν ἄξιον ἐλέου ποιῶν; γενώμεθα οἰκτίρμονες, γενώμεθα ἐλεήμονες· ἵν' οὕτως εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ι 12 ΕΡΩΤΩΜΕΝ ΔΕ ΥΜΑΣ, ΑΔΕΛΦΟΙ, ΕΙΔΕναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, 13 Καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν αὐτοῖς.

ΠΟλλὰς ἀνάγκη τὸν ἄρχοντα μικροψυχιῶν ἀφορμὰς ἔχειν. καὶ καθάπερ ἰατρῶν παῖδες πολλὰ λυπεῖν ἀναγκάζονται τοὺς κάμνοντας, καὶ σιτία καὶ φάρμακα κατασκευάζοντες, ἡδονὴν μὲν οὐκ ἔχοντα, πολλὴν δὲ τὴν ὠφέλειαν· καὶ καθάπερ πατέρες πολλαχοῦ τοῖς υἱοῖς εἰσὶ φορτικοί· οὕτω καὶ οἱ διδάσκαλοι, καὶ πολλῷ μᾶλλον. ὁ μὲν γὰρ ἰατρὸς κἂν πρὸς τὸν κάμνοντα ἀπεχθάνηται, ἀλλὰ πρὸς τοὺς προσήκοντας αὐτῷ καὶ ἐπιτηδείους ἔχει ἡδέως, καὶ πρὸς αὐτὸν δὲ πολλάκις τὸν κάμνοντα· καὶ ὁ πατὴρ δὲ ἀπό τε τῶν τῆς φύσεως, ἀπό τε τῶν νόμων τῶν ἔξωθεν μετὰ πολλῆς τῆς εὐκολίας κέχρηται τῇ κατὰ τοῦ παιδὸς ἀρχῇ. κἂν ἄκοντα παιδεύσῃ καὶ ἐπιπλήξῃ, οὐδεὶς ὁ κωλύσων, ἀλλ' οὐδὲ αὐτὸς ἐκεῖνος ἀντιβλέψαι δυνήσεται. ἐπὶ δὲ τοῦ ἱερέως, πολλὴ ἡ δυσκολία. πρῶτον μὲν οὖν ἑκόντων ἄρχειν ὀφείλει, καὶ χάριν αὐτῷ τῆς ἀρχῆς εἰδότων. τοῦτο δὲ οὐκ ἔνι συμβαίνειν ταχέως. ὁ γὰρ ἐλεγχόμενος καὶ ἐπιτιμώμενος, οἷος ἂν ᾖ, πάντως τὴν χάριν ἀφεὶς, ἀπεχθῶς ἔχει. ὡσαύτως καὶ ὁ παραινούμενος, καὶ ὁ νουθετούμενος, καὶ ὁ παρακαλούμενος ποιήσει. ἂν εἴπω τοίνυν, χρήματα κένωσον εἰς τοὺς δεομένους, ἐπαχθές εἶπόν τι καὶ φορτικόν· ἂν εἴπω, κόλασον τὴν ὀργὴν, σβέσον τὸν θυμὸν, παῦσον τὴν ἄτοπον ἐπιθυμίαν, ὑπότεμε τῆς τρυφῆς μέρος μικρόν· πάντα φορτικὰ καὶ ἐπαχθῆ· κἂν κολάσω ῥαθυμοῦντα, ἢ τῆς ἐκκλησίας ἀπαγάγω, ἢ τῆς κοινῆς εὐχῆς ἀπείρξω, ἀλγεῖ, οὐ διὰ τὸ τούτων ἐκπεσεῖν, ἀλλὰ διὰ τὴν κοινὴν αἰσχύνην. καὶ τοῦτο γὰρ τῆς νόσου ἐπίτασις, ὅτι τῶν πνευματικῶν κωλυόμενοι, οὐ διὰ τὴν στέρησιν τῶν τοσούτων ἀγαθῶν ἀλγοῦμεν, ἀλλὰ διὰ τὴν τῶν ὁρώντων αἰσχύνην ὑποφείττομεν, οὐ δεδοίκαμεν τὸ πρᾶγμα. διὰ τοῦτο ἄνω καὶ κάτω Παῦλος περὶ τούτων πολλὰ διαλέγεται. καὶ ὁ μὲν Χριστὸς αὐτοὺς μετὰ τοσαύτης ὑπέταξε τῆς ἀνάγκης, ὡς εἰπεῖν,

Ματθ. κγ. β. Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. καὶ πάλιν, ἡνίκα τὸν λεπρὸν

Ματθ. η. δ. ἐθεράπευσεν, ἔλεγεν, Ὕπαγε, δεῖξον σαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρόν σου, ὃ προσέταξε Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς. καὶ μὴν σὺ λέγεις· ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. διὰ τοῦτο εἶπεν, φησιν, ἃ ποιοῦσι, μὴ ποιεῖτε. πᾶσαν τοίνυν ἐξέκλεισε πρόφασιν

α. Τιμ. ε ιζ. τῷ ἀρχομένῳ ὁ Χριστός. ὁ δὲ καὶ Τιμοθέῳ γράφων ἔλεγεν· Οἱ καλῶς προεστῶτες πρε-

Εβρ. ιγ ιζ. σβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν. καὶ πρὸς Ἑβραίους δὲ γράφων ἔλεγε· Πείθεσθε

τοῖς

τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. καὶ ἐνταῦθα πάλιν· ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ. ἐπειδὴ γὰρ εἶπεν, οἰκοδομεῖτε εἷς τὸν ἕνα, ἵνα μὴ νομίσωσιν, ὅτι εἰς τὸ τῶν διδασκάλων ἀξίωμα αὐτοὺς ἀνήγαγε, τοῦτο ἐπήγαγε, μονονουχὶ λέγων, ὅτι καὶ ὑμῖν ἐπέτρεψα οἰκοδομεῖν ἀλλήλους. οὐ γὰρ δυνατὸν πάντας τὸν διδάσκαλον εἰπεῖν. τοὺς κοπιῶντας, φησὶν, ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς. καὶ πῶς οὐκ ἄτοπον, φησί; τί λέγεις; σὺ μὲν, ἂν μὲν ἄνθρωπός σου προστῇ πρὸς ἀνθρώπους, πάντα πράττεις, πᾶσαν ὁμολογεῖς χάριν· ὅταν δὲ πρὸς τὸν Θεὸν προΐσταταί σου, καὶ οὐχ ὁμολογεῖς χάριν; καὶ πῶς προΐσταταί, φησίν; ὅτι εὔχεται ὑπὲρ σοῦ, ὅτι τῇ πνευματικῇ δωρεᾷ τῇ διὰ τοῦ βαπτίσματος ὑπηρετεῖται, ἐπισκέπτεται, παραινεῖ καὶ νουθετεῖ, μέσαις νυξὶν, ἂν καλέσῃς, ἥκει. οὐδὲν ἄλλο, ἢ μόνον ὑπόκειταί σου τῷ στόματι, καὶ τὰς βλασφημίας φέρει τὰς παρὰ σοῦ. ποίαν εἶχεν ἀνάγκην; καλῶς ἐποίησεν, ἢ κακῶς; σὺ μὲν καὶ γυναῖκα ἔχεις, καὶ τρυφᾷς, καὶ βίον αἱρῇ ἐμπορικόν· ὁ δὲ ἱερεὺς πρὸς τοῦτο ἑαυτὸν ἀπησχόλησεν· οὐδεὶς αὐτῷ βίος ἕτερος, ἀλλὰ περὶ τὴν ἐκκλησίαν στρέφεσθαι. ἡγεῖσθε αὐτοὺς, φησὶν, ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν αὐτοῖς. ὁρᾷς πῶς οἶδε μικροψυχίας γινομένας; μὴ ἁπλῶς φησιν, ἀγαπᾶτε, ἀλλ', ὑπὲρ ἐκπερισσοῦ, ὥσπερ οἱ παῖδες πατέρας. διὰ γὰρ αὐτῶν ἐτέχθητε τὴν γέννησιν τὴν αἰώνιον, δι' αὐτῶν τῆς βασιλείας ἐπετύχετε, διὰ τῶν χειρῶν αὐτῶν πάντα γίνεται, δι' αὐτῶν ὑμῖν πύλαι οὐράνιαι ἀνοίγονται. μηδεὶς στασιαζέτω, μηδεὶς φιλονεικείτω. ὁ τὸν Χριστὸν ἀγαπῶν, οἷος ἂν ᾖ ὁ ἱερεὺς, ἀγαπήσει αὐτὸν, ὅτι δι' αὐτοῦ τῶν φρικτῶν μυστηρίων ἐπέτυχεν. εἰπέ μοι, εἰ βουληθεὶς ἰδεῖν τὰ βασίλεια πολλῷ καταλάμποντα τῷ χρυσῷ, καὶ περιαστράπτοντα τῇ τῶν λίθων αἴγλῃ, εὗρες τὸν τὰς κλεῖς ἔχοντα· ὁ δὲ παρακληθεὶς, εὐθέως ἤνοιξε, καὶ παρέπεμψέ σε εἴσω, οὐχὶ πάντων ἂν αὐτὸν προετίθεις; οὐχὶ τὸν ὀφθαλμὸν ἴσον ἠγάπησας; οὐχὶ ἐφίλεις; τὸν οὐρανόν σοι ἀνέῳξεν οὗτος, καὶ οὐ φιλεῖς καὶ περιέπεις; εἰ γυναῖκα ἔχεις, οὐχὶ τὸν προξενήσαντα ποθεῖς πάντων μάλιστα; οὕτως, εἰ φιλεῖς τὸν Χριστὸν, εἰ φιλεῖς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπίγνωθι διὰ τίνων ἔσχες αὐτήν. διὰ τοῦτό φησι, διὰ τὸ ἔργον αὐτῶν, εἰρηνεύετε ἐν αὐτοῖς.

4 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖτε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

Ενταῦθα πρὸς τοὺς ἄρχοντας διαλέγεται. νουθετεῖτε, φησὶ, τοὺς ἀτάκτους· τουτέστι, μὴ ἀπὸ ἐξουσίας, μηδὲ ἀπὸ αὐθαδείας ἐπιπλήσσετε, ἀλλὰ μετ' ἐπιεικείας, μετ' ἡμερότητος. παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὁ γὰρ αὐστηρῶς ἐπιπληττόμενος, ἀπογνωσκῶς ἑαυτοῦ, θρασύτερος γίνεται καταφρονῶν. διὰ τοῦτο τῇ νουθεσίᾳ χρηστότητος κατασκευάζειν τὸ φάρμακον. τίνες δέ εἰσιν οἱ ἄτακτοι; πάντες οἱ παρὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες. τάξις γὰρ ἐστὶ τῆς στρατιωτικῆς ἁρμοδιωτέρα αὕτη ἡ τάξις τῆς ἐκκλησίας. ὥστε καὶ ὁ λοίδορος ἄτακτος, καὶ ὁ μέθυσος ἄτακτος, καὶ ὁ πλεονέκτης, καὶ πάντες οἱ ἁμαρτάνοντες. οὐ γὰρ τεταγμένα βαδίζουσιν ἐν τῇ φάλαγγι, ἀλλὰ παράφορα· διὸ καὶ περιτρέπονται. ἀλλ' ἔστι καὶ ἕτερον εἶδος τῶν κακῶν· οὐ τοιοῦτον μὲν, κακία δὲ καὶ αὐτό. ποῖον τοῦτο; ἡ μικροψυχία. καὶ γὰρ καὶ αὕτη ὁμοίως τῇ ῥαθυμίᾳ ἀπόλλυσιν. ὁ μὴ φέρων ὕβριν, ὀλιγόψυχος· ὁ μὴ φέρων πειρασμὸν, ὀλιγόψυχος. οὗτός ἐστιν ὁ ἐπὶ τῆς πέτρας σπαρείς. ἔστι καὶ ἄλλο εἶδος, τὸ τῆς ἀσθενείας. ἀντέχεσθε, φησὶ, τῶν ἀσθενῶν, ἀσθενῶν λέγων τῶν περὶ πίστιν. γίνεται γὰρ ἀσθένεια καὶ περὶ αὐτήν. ἀλλ' ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς διαπλύεσθαι. καὶ ἀλλαχοῦ δὲ γράφων ἔλεγε· Τοὺς ἀσθενοῦντας τῇ πίστει προσλαμβάνεσθε. καὶ γὰρ ἐν τοῖς σώμασι τοῖς ἡμετέροις τὸ ἀσθενοῦν μέρος οὐκ ἐῶμεν ἀπόλλυσθαι. Ρωμ. ιδ. α. μακροθυμεῖτε, φησὶ, πρὸς πάντας. τί οὖν; καὶ πρὸς τοὺς ἀτάκτους; καὶ σφόδρα. οὐδὲν γὰρ

γὰρ τούτου τοῦ φαρμάκου ἴσον διδασκάλῳ μάλιστα, οὐδὲν οὕτω τοῖς ἀρχομένοις ἐπιτήδειον, πάντως ἐντρέψαι δύναται, πάντως δυσωπῆσαι καὶ τὸν πάντων ἀγριώτερον καὶ αἱμοχαρώτερον.

15 Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ. Εἰ κακὸν ἀντὶ κακοῦ οὐ χρὴ ἀποδιδόναι, πολλῷ μᾶλλον κακὸν ἀντὶ ἀγαθοῦ· πολλῷ μᾶλλον, μὴ προϋπάρξαντος κακοῦ, * ἀποδοῦναι κακόν. Ἀλλ' ὁ δεῖνα, φησί, πονηρός ἐστι, καὶ ἐλύπησε, καὶ πολλά με ἠδίκησε. βούλει αὐτὸν ἀμύνασθαι; μὴ ἀνταποδῷς· ἔασον ἀτιμώρητον. ἆρα μέχρι τούτου; οὐδαμῶς.

Ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας. Αὕτη μείζων ἡ φιλοσοφία, μὴ μόνον κακοῖς μὴ ἀμύνεσθαι τὰ κακά, ἀλλὰ ἀγαθοῖς. αὕτη γάρ ἐστιν ὄντως ἄμυνα καὶ ἐκείνῳ βλάβην ἔχουσα, καὶ ὠφέλειαν σοί· μᾶλλον δὲ καὶ ἐκείνῳ πολλὴν τὴν ὠφέλειαν, ἐὰν θέλῃ. καὶ ἵνα μὴ νομίσῃς ὅτι περὶ τῶν πιστῶν μόνων τοῦτο εἴρηται, διὰ τοῦτο εἶπε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας.

16 Πάντοτε χαίρετε. Τοῦτο περὶ τῶν πειρασμῶν τὴν θλῖψιν ἐμποιούντων. ἀκούετε, ὅσοι πενίᾳ περιπεπτώκατε, ὅσοι λυπηροῖς πράγμασιν· ἀπὸ τούτων γὰρ χαρὰ τίκτεται. ὅταν γὰρ τοιαύτην ἔχωμεν ψυχήν, ὥστε μηδένα ἀμύνεσθαι, ἀλλὰ πάντας εὐεργετεῖν, πόθεν, εἰπέ μοι, τὸ τῆς λύπης κέντρον παρεισελθεῖν δυνήσεται; ὁ γὰρ οὕτω χαίρων τῷ παθεῖν κακῶς, ὡς καὶ εὐεργεσίαις ἀμύνεσθαι τὸν πεποιηκότα κακῶς, πόθεν δυνήσεται ἀνιαθῆναι λοιπόν; καὶ πῶς οἷόν τε τοῦτο, φησίν; ἂν ἐθέλωμεν, δυνατόν. εἶπε καὶ τὴν ὁδὸν ἔδειξεν.

17 Ἀδιαλείπτως προσεύχεσθε·

18 Ἐν παντὶ εὐχαριστεῖτε. τοῦτο γὰρ θέλημα Θεοῦ. Τὸ ἀεὶ εὐχαριστεῖν, τοῦτο φιλοσόφου ψυχῆς. ἔπαθές τι κακόν; ἀλλ' ἐὰν θέλῃς, οὐκ ἔστι κακόν. εὐχαρίστησον τῷ Θεῷ, καὶ μετεβλήθη τὸ κακὸν εἰς ἀγαθόν. (Ἰωβ. α. κα.) εἰπὲ καὶ σύ, ὡς Ἰώβ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. τί γάρ, εἰπέ μοι, τοιοῦτον πέπονθας; νόσος ἐπέπεσεν; ἀλλ' οὐδὲν ξένον· θνητὸν γὰρ ἡμῶν τὸ σῶμα καὶ παθητόν. ἀλλὰ πενία συνεώτησε χρημάτων; ἀλλὰ καὶ ταῦτα κτητά, καὶ ἀπόκτητα, καὶ ἐνταῦθα μένοντα. ἀλλ' ἐπιβουλαὶ καὶ συκοφαντίαι παρὰ ἐχθρῶν; ἀλλ' οὐχ ἡμεῖς ἠδικήμεθα ἐν τούτοις, ἀλλ' ἐκεῖνοι οἱ πεποιηκότες. (Ἰεζεκ. ιη.) Ψυχὴ γάρ, φησιν, ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται. ἥμαρτε δὲ οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ ποιήσας κακῶς.

ΗΘΙΚΟΝ

Οὐ τοίνυν τὸν ἀποθνήσκοντα ἀμύνεσθαι χρή, ἀλλ' εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὥστε αὐτὸν ἐξελέσθαι τοῦ θανάτου. οὐχ ὁρᾶτε τὴν μέλισσαν, ὅτι πλήξασα ἐναποθνήσκει τῷ κέντρῳ; δι' ἐκείνου τοῦ ζώου παιδεύει ἡμᾶς ὁ Θεὸς μὴ λυπεῖν τοὺς πλησίον. αὐτοὶ γὰρ τὸν θάνατον δεχόμεθα πρότεροι. ἐκείνους μὲν γὰρ πλήττοντες ἴσως πρὸς μικρὸν ἐλυπήσαμεν· αὐτοὶ δὲ οὐκέτι ζησόμεθα, καθάπερ οὐδὲ ἐκεῖνο τὸ ζῷον. καίτοιγε ἐπαινεῖ αὐτὸ ἡ γραφὴ λέγουσα, (Σειρ. ια γ.) Ὡς ἐργάτις ἐστὶν ἧς τὴν ἐργασίαν βασιλεῖς, καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται. ἀλλ' οὐδὲν αὐτῆς περιΐσταται εἰς τὸ μὴ ἀποθανεῖν, ἀλλὰ δεῖ πάντως ἀπολέσθαι. εἰ δὲ ἐκείνην οὐκ ἐξαιρεῖται ἡ λοιπὴ πλεονεξία ποιοῦσαν κακῶς, πολλῷ μᾶλλον ἡμᾶς. θηρίων γὰρ ὄντως χαλεπώτατον, τὸ, μηδενός σε ἀδικοῦντος, ἄρχειν ἀδικίας· μᾶλλον δὲ οὐδὲ θηρίων. ἐκεῖνα γὰρ ἂν ἀφῇς ἐπὶ τῆς ἐρήμου νέμεσθαι, καὶ μὴ στενοχωρήσῃς εἰς ἀνάγκην καταστήσῃς, οὐδέποτε λυμανεῖται, οὔτε προσελεύσεται, οὔτε δήξεται, ἀλλ' ἀπελεύσεται τὴν οἰκείαν ὁδόν. σὺ δὲ ἄνθρωπος ὢν λογικός, τετιμημένος ἀρχῇ τοσαύτῃ, καὶ τιμῇ καὶ δόξῃ, οὐδὲ τὰ θηρία μιμῇ περὶ τοὺς ὁμοφύλους, ἀλλὰ τὸν ἀδελφὸν ἀδικεῖς, καὶ κατεσθίεις; καὶ πόθεν ἀπολογήσασθαι δυνήσῃ; (α. Κορ. ς. ζ.) οὐκ ἀκούεις Παύλου λέγοντος, Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. ὁ-

ρᾷς;

ρᾷς, ὅτι τὸ κακῶς παθεῖν, ἐν τῷ κακῶς ποιῆσαί ἐστι, τὸ δὲ εὖ παθεῖν ἐν τῷ κακῶς παθεῖν; εἰπὲ γάρ μοι· εἴ τις λοιδοροῖτο τοῖς ἄρχουσιν, εἴ τις ὑβρίζοι τοὺς κρατοῦντας, τίνα ἀδικεῖ; ἑαυτὸν, ἢ ἐκείνους; δῆλον ὅτι ἑαυτόν. εἶτα ἄρχοντα μὲν ὁ ὑβρίζων, οὐκ ἐκεῖνον ὑβρίζει, ἀλλ᾽ ἑαυτόν, ὁ δὲ ἄνθρωπον ὑβρίζων, δι᾽ ἐκεῖνον τὸν Χριστὸν οὐχ ὑβρίζει; οὐδαμῶς, φησί. τί λέγεις; ὁ δὲ τὰς βασιλέως εἰκόνας λιθάζων, τίνα λιθάζει; οὐχ ἑαυτόν; εἶτα εἰ ὁ εἰκόνα μὲν βασιλέως ἐπιγείου λιθάζων, ἑαυτὸν καταλύει, τοῦ δὲ Χριστοῦ τὴν εἰκόνα ὑβρίζων (ἄνθρωπος γὰρ εἰκὼν Θεοῦ) οὐχ ἑαυτὸν ἀδικεῖ; μέχρι πότε χρημάτων ἐρῶμεν; οὐ παύσομαι γὰρ αὐτῶν καταβοῶν. ταῦτα γὰρ πάντων αἴτια τῶν κακῶν. μέχρι τίνος οὐ λαμβανόμεθα κόρον τῆς ἀπλήστου ταύτης ἐπιθυμίας; τί ἔχει καλὸν τὸ χρυσίον; ἐκπέπληγμαι ἐπὶ τῷ πράγματι. ὄντως γοητεία τίς ἐστι τὸ πρᾶγμα, χρυσὸν, καὶ ἄργυρον τοσούτου τιμᾶσθαι παρ᾽ ἡμῖν. τῶν μὲν οὖν ψυχῶν ἡμῶν οὐδεὶς ἡμῖν λόγος, ἀψύχων δὲ εἰκόνων πολλὴ ἡ θεραπεία. πόθεν ἐπεισῆλθε τὸ νόσημα τοῦτο τῇ οἰκουμένῃ; τίς ἐξολοθρεῦσαι αὐτὸ δυνήσεται; ποῖος ἐκκόψαι λόγος τὸ χαλεπὸν τοῦτο θηρίον, καὶ παμπόλεθρον διαφθεῖραι; ἐνέσπαρται ταῖς τῶν ἀνθρώπων διανοίαις ἡ ἐπιθυμία, καὶ τῶν δοκούντων εἶναι ἐν εὐλαβείᾳ. αἰσχυνώμεθα ἐπὶ τοῖς εὐαγγελικοῖς παραγγέλμασι. ῥήματα κεῖται ἐν τῇ γραφῇ μόνον, ἐπὶ δὲ τῶν ἔργων οὐδαμοῦ δείκνυνται. ἀλλὰ τίς ὁ εὐπρόσωπος τῶν πολλῶν λόγος; παιδία ἔχω, φησί, καὶ αὐτὸς δέδοικα μήποτε εἰς ἀνάγκην καταστῶ λιμοῦ καὶ ἐνδείας, μήποτε ἑτέρων δεηθῶ· αἰσχύνομαι ἐπαιτεῖν. διὰ τοῦτο οὖν ἄλλους ποιεῖς ἐπαιτεῖν; οὐ δύναμαι, φησί, πεινῆν. διὰ τοῦτο οὖν ἑτέρους περιβάλλεις λιμῷ; οἶδας ὅσον δεινὸν τὸ ἐπαιτεῖν; ὅσον τῷ λιμῷ φθείρεσθαι; φεῖσαι καὶ τῶν ἀδελφῶν τῶν σῶν. αἰσχύνῃ πεινῆν, εἰπέ μοι, ἁρπάζειν δὲ οὐκ αἰσχύνῃ; δέδοικας λιμῷ φθείρεσθαι; ἑτέρους δὲ φθείρειν οὐ δέδοικας; καίτοι τὸ μὲν πεινῆν, οὐδὲ αἰσχύνην ἔχει, οὐδὲ ἔγκλημα· τὸ δὲ ἑτέρους περιβάλλειν τούτοις, οὐκ αἰσχύνην μόνον, ἀλλὰ καὶ κόλασιν ἐπιφέρει τὴν ἐσχάτην. σκήψεις πάντα ταῦτα, καὶ λῆροι, καὶ φλυαρίαι. ὅτι γὰρ οὐ παίδων ἕνεκεν ταῦτα ποιεῖτε, μαρτυροῦσιν, ὅσοι παῖδας μὲν οὐκ ἔχουσιν, οὐδὲ ἕξουσι, κόπτονται δὲ οὕτω καὶ ταλαιπωροῦσι, καὶ πλούτῳ περιβάλλονται, ὅσον ἂν, εἰ μυρίους εἶχον καταλεῖψαι παῖδας. οὐκ ἔστι παίδων φροντὶς ἡ ποιοῦσα χρηματιστικὸν, ἀλλὰ ψυχῆς νόσος. διὰ ταύτην καὶ οὐκ ἔχοντες παῖδας πολλοὶ μαίνονται διὰ τὰ χρήματα· ἕτεροι δὲ ἐν πολυπαιδίᾳ ζῶντες, καὶ τῶν ὄντων καταφρονοῦσιν. ἐκεῖνοί σου κατηγορήσουσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ ἡ τῶν παίδων ἀνάγκη πρὸς τὴν τῶν χρημάτων ἐβιάζετο συλλογὴν, ἐχρῆν κἀκείνους μᾶλλον αὐτὸν ἔχειν πόθον, τὴν αὐτὴν ἐπιθυμίαν; εἰ δὲ οὐκ ἔχουσιν, οὐκ ἀπὸ τῆς πολυπαιδίας, ἀλλ᾽ ἀπὸ τῆς φιλοχρηματίας μαινόμεθα. καὶ τίνες εἰσί, φησί, μετὰ παίδων καταφρονοῦντες χρημάτων; πολλοὶ, καὶ πολλαχοῦ· εἰ δὲ βούλει, καὶ ἐπὶ τῶν παλαιῶν ἐρῶ. οὐχὶ δώδεκα παῖδας εἶχεν ὁ Ἰακώβ; οὐχὶ μετὰ τῶν θητευόντων ἔζη βίον; οὐκ ἠδικεῖτο παρὰ τοῦ κηδεστοῦ; οὐχὶ πολλάκις αὐτὸν ἠθέτησε; μὴ ἠνάγκασεν αὐτὸν ἡ πολυπαιδία βουλεύσασθαί τι τῶν μὴ δεόντων; τί δὲ ὁ Ἀβραάμ; οὐχὶ μετὰ τοῦ Ἰσαὰκ καὶ ἑτέρους πολλοὺς εἶχε παῖδας; τί οὖν; οὐχὶ τοῖς ξένοις τὰ ὄντα ἐκέκτητο; ὁρᾷς, ὅτι οὐ μόνον οὐκ ἠδίκει, ἀλλὰ καὶ τῶν ὄντων παρεχώρει, οὐκ εὖ ποιῶν μόνον, ἀλλὰ καὶ αἱρούμενος ἀδικεῖσθαι παρὰ τοῦ ἀδελφιδοῦ· τοῦ γὰρ εὖ ποιεῖν τὸ φέρειν ἁρπαζομένους διὰ τὸν Θεὸν πολλῷ μεῖζόν ἐστι. διατί; ὅτι τὸ μὲν ψυχῆς ἐστι καρπὸς καὶ προαιρέσεως, ὅθεν καὶ εὐκόλως γίνεται· τοῦτο δὲ ἐπήρεια καὶ βία. καὶ εὐκολώτερον ἄν τις μυρία πρόοιτο τάλαντα ἑκὼν, καὶ οὐδὲν ἡγήσεται πεπονθέναι δεινὸν, ἢ πρὸς ὀβολοὺς ἁρπαγεὶς, καὶ παρὰ γνώμην, οἴσει πράως. ὥστε τοῦτο φιλοσοφία μᾶλλον ψυχῆς. καὶ τοῦτο ὁρῶμεν γενόμενον ἐπὶ τοῦ Ἀβραάμ. εἶδε γὰρ, φησί, τὴν περίχωρον ὁ Λὼτ, καὶ ἣν ποτιζομένη, ὡς ὁ παράδεισος τοῦ Θεοῦ, καὶ ἐξελέξατο αὐτήν. καὶ οὐδὲν ἐκεῖνος ἀντεῖπεν. ὁρᾷς, ὅτι οὐ μόνον οὐκ ἠδίκει, Γεν. ιγ. ι.
ἀλλὰ καὶ ἠδικεῖτο; τί κατηγορεῖς τῶν παίδων τῶν σαυτοῦ, ἄνθρωπε; οὐ διὰ τοῦτο ἡμῖν ὁ Θεὸς

ἔδωκε

ἔδωκε τοὺς παῖδας, ἵνα ἁρπάζωμεν τὰ ἑτέρων. ὅρα μὴ τὸν Θεὸν παροξύνῃς τοῦτο λέγων. εἰ γὰρ τοῦτο λέγεις, ὅτι αὐτοί σοι τῆς ἁρπαγῆς γίνονται αἴτιοι καὶ τοῦ χρηματισμοῦ, δέδοικα μὴ αὐτῶν ἀποστερηθῇς, ὡς βλαπτόντων καὶ ἐπιβουλευόντων. ὁ Θεός σοι τοὺς παῖδας ἔδωκεν, ἵνα σε γηροκομῶσιν, ἵνα τὴν ἀρετὴν μανθάνωσι παρὰ σοῦ. διὰ γὰρ τοῦτο καὶ τὸν τῶν ἀνθρώπων γάμος οὕτως ἠθέλησε συνεστάναι, δύο τὰ μέγιστα κατασκευάζων, ἓν μὲν, διδασκάλους εἶναι φύσει τοὺς πατέρας, ἕτερον δὲ, πολλὴν ἀγάπην * ἐντίκτων. εἰ γὰρ ἁπλῶς ἔμελλον οἱ ἄνθρωποι γίνεσθαι, οὐδεὶς ἂν πρὸς οὐδένα σχέσιν ἔχει. εἰ γὰρ νῦν πατέρων ὄντων καὶ παίδων καὶ ἐκγόνων, πολλοὶ πολλῶν οὐ φροντίζουσι, πολλῷ μᾶλλον τότε. διὰ τοῦτό σοι παῖδας δέδωκεν ὁ Θεός. μὴ τοίνυν κατηγόρει τῶν παίδων. εἰ δὲ οἱ παῖδας ἔχοντες οὐδεμίαν ἔχουσιν ἀπολογίαν, οἱ μὴ ἔχοντες, καὶ κοπτόμενοι περὶ τὴν τοῦ πλούτου συλλογὴν, ποῖον ἂν εἴποιεν λόγον; ἀλλ' ἔστι τις καὶ αὐτοῖς λόγος πάσης ἀπολογίας ἀπεστερημένος. τίς δὲ οὗτός ἐστιν; ἵνα ἀντὶ τῶν παίδων, φησὶν, ἔχωμεν τὸν πλοῦτον ὑπόμνημα. ὄντως γέλως πολύς. ἀντὶ τῶν παίδων, φησὶν, ἡ οἰκία μνήμη ἀθάνατος γίνεται τῆς δόξης τῆς ἐμῆς. οὐ τῆς δόξης σου, ἄνθρωπε, ἀλλὰ τῆς πλεονεξίας σου ἔσται μνήμη. ἢ οὐχ ὁρᾷς νῦν πῶς πολλοὶ παριόντες τὰς λαμπρὰς οἰκίας τοιαῦτα διαλέγονται πρὸς ἀλλήλους· πόσα ὁ δεῖνα ἐπλεονέκτησε, πόσα ἥρπασεν, ἵνα ταύτην οἰκοδομήσῃ τὴν οἰκίαν; καὶ νῦν ἐκεῖνος μὲν γέγονε τέφρα καὶ κόνις, αὕτη δὲ εἰς ἑτέρων κλήρους διέβη. οὐ τῆς δόξης σου τοίνυν καταλιμπάνεις μνήμην, ἀλλὰ τῆς πλεονεξίας. καὶ τὸ μὲν σῶμά σου κέκρυπται τῇ γῇ, τῆς δὲ πλεονεξίας μνήμην λαθεῖν πλήθει τῶν χρόνων δυναμένην οὐκ ἀφίης, ἀλλ' ἀνακρούεσθαι καὶ ἀνασκάπτεσθαι ποιεῖς διὰ τῆς οἰκίας. ἕως γὰρ ἂν αὕτη ἑστήκῃ, τὴν ἐπωνυμίαν ἔχουσα τὴν σὴν, καὶ τοῦ δεῖνος λεγομένη, πάντως ἀνάγκη καὶ τὰ πάντων ἀνοιχθῆναι στόματα κατὰ σοῦ. ὁρᾷς ὅτι βέλτιον μηδὲν ἔχειν, ἢ ταύτην ὑπομένειν τὴν κατηγορίαν; καὶ ταῦτα μὲν ἐνταῦθα· ἐκεῖ δὲ τί ποιήσομεν, εἰπέ μοι, τοσούτων μὲν ἐνταῦθα γινόμενοι κύριοι, οὐδενὶ δὲ τῶν ὄντων μεταδόντες, ἢ σφόδρα ὀλίγων; πῶς τὰς πλεονεξίας ἀποδυσόμεθα; ὁ γὰρ βουλόμενος τὴν πλεονεξίαν ἀποδύσασθαι, οὐκ ὀλίγα ἀπὸ πολλῶν δίδωσιν, ἀλλὰ πολλαπλασίονα τῶν ἁρπαχθέντων, καὶ ἵσταται καὶ ἁρπάζων. ἄκουσον ὁ Ζακχαῖος τί λέγει· Καὶ ὅσων ἥρπασα, τετραπλασίονα ἀποδίδωμι. (Λουκ. 19. η.) σὺ δὲ ἁρπάζων μυρία τάλαντα, ἂν ὀλίγας δῷς δραχμὰς, καὶ οὕτω δὲ μόλις, τὸ πᾶν ἀποδεδωκέναι νομίζεις, καὶ ὡς πλείονα δεδωκὼς διάκεισαι· καίτοι δεῖ αὐτά τε ἀποδοῦναι ἐκεῖνα, καὶ ἐκ τῶν οἴκοθεν προσθεῖναι ἕτερα. καθάπερ γὰρ ὁ κλέπτης οὐκ ἐκεῖνα ἀποδοὺς μόνα ἀπολέλυται, ἀλλὰ πολλάκις μὲν καὶ τὴν ψυχὴν προσέθηκε, πολλάκις δὲ πολλαπλασίονα δοὺς διελύσατο, οὕτω καὶ ὁ πλεονέκτης. καὶ γὰρ καὶ ὁ πλεονέκτης κλέπτης ἐστὶ, καὶ λῃστὴς ἐκείνου πολλῷ χαλεπώτερος, ὅσῳ καὶ τυραννικώτερος. ἐκεῖνος μὲν γὰρ καὶ τῷ κρύπτεσθαι, καὶ τῷ ἐν νυκτὶ ἐπιχειρεῖν, πολὺ τοῦ τολμήματος ὑποτέμνεται, ὡσανεὶ αἰσχυνόμενος, καὶ δεδοικὼς τὸ ἁμαρτανόμενον· οὗτος δὲ ἀπαναισχυντήσας, γυμνῇ τῇ κεφαλῇ κατὰ μέσην ἀγορὰν ἁρπάζει τὰ πάντων, κλέπτης τε ὁμοῦ καὶ τύραννος ὤν. οὐ διορύττει τοίχους, οὐδὲ σβέννυσι λαμπάδα, οὐδὲ κιβώτιον διοίγει, οὐδὲ σήμαντρα διαστρέφει, ἀλλὰ τί; τὰ τούτων νεανικώτερα ποιεῖ, ὁρώντων τῶν ἀδικουμένων, διὰ τῆς θύρας ἐκβάλλει, μετὰ παρρησίας πάντα διοίγει, αὐτοὺς ἐκείνους ἀναγκάζει τὰ αὐτῶν ἐκθέσθαι. τοσαύτη τῆς βίας ἡ ὑπερβολή. οὗτος ἐκείνων πολλῷ μιαρώτερος, ὅσῳ καὶ ἀναισχυντότερος καὶ τυραννικώτερος. ὁ μὲν γὰρ δόλῳ τι παθὼν, ἀλγεῖ μὲν, πλὴν ἀλλ' ἔχει παραμυθίαν οὐ μικρὰν, τὸ καὶ φοβηθῆναι αὐτὸν ἐκεῖνον τὸν ἀδικοῦντα, ὁ δὲ μετὰ τοῦ κακῶς παθεῖν καὶ καταφρονούμενος, οὐδὲ ἐνεγκεῖν τὴν βίαν δυνήσεται. μείζων γὰρ ὁ γέλως. εἰπέ μοι, εἴ τις γυναῖκα ἐμοίχευσε λαθὼν, ἕτερος δὲ ὁρῶντος τοῦ ἀνδρὸς τοῦτο εἰργάσατο, τίς μᾶλλον ἐλύπησεν ἂν, καὶ δακεῖν ἱκανός; οὐχ οὗτος; ὁ μὲν γὰρ μετὰ τοῦ κακῶς ποιῆσαι καὶ διέπτυσεν· ὁ δὲ, εἰ μηδὲν ἕτερον, ἐδεί-

ξει

ξεν ὅτι δέδοικε τὰ ἀδικηθέντα. οὕτω καὶ ἐπὶ τῶν χρημάτων, ὁ μὲν λάθρα λαβὼν, ταύτῃ τετίμηκε, τὸ λάθρα λαβεῖν· ὁ δὲ φανερῶς καὶ δημοσίᾳ, μετὰ τῆς ζημίας καὶ αἰσχύνην ἐπήγαγε. παυσώμεθα οὖν τὰ ἑτέρων ἁρπάζοντες, καὶ πένητες, καὶ πλούσιοι. οὐ γὰρ πρὸς τοὺς πλουσίους μόνους ἐστὶν ὁ λόγος, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. καὶ γὰρ καὶ αὐτοὶ ἁρπάζουσι τοὺς αὐτῶν πενεστέρους, καὶ χειροτέχναι τῶν εὐπορώτεροι καὶ δυνατώτεροι τοὺς ἀπορωτέρους καὶ πενεστέρους ἀπεμπολοῦσι, κάπηλοι καπήλους, καὶ πάντες τῶν ἐπὶ τῆς ἀγορᾶς· ὥστε πανταχόθεν βούλομαι τὴν ἀδικίαν ἐξελεῖν. οὐ γὰρ ἐν τῷ μέτρῳ τῶν ἁρπαζομένων καὶ κλεπτομένων, ἀλλ' ἐν τῇ προαιρέσει τοῦ κλέπτοντος τὸ ἀδίκημα ἵσταται. ὅτι δὲ οὗτοι μᾶλλόν εἰσι κλέπται καὶ πλεονέκται, τῶν μηδὲ τῶν μικρῶν καταφρονοῦντες, οἶδα καὶ μέμνημαι πρὸς ὑμᾶς εἰρηκώς. εἴγε καὶ ὑμεῖς μέμνησθε. πλὴν ἀλλὰ μηδὲν ἀκριβολογώμεθα· ἔστωσαν ὁμοίως τοῖς πλουσίοις καὶ αὐτοί. παιδεύσωμεν τὴν διάνοιαν λοιπὸν τῶν μειζόνων μὴ ἐπιθυμεῖν, τοῦ πλείονος μὴ ὀρέγεσθαι. ἵνα ἐν μὲν τοῖς οὐρανίοις μηδέποτε ὅρον ἐχέτω ἡ ἐπιθυμία τοῦ πλείονος, ἀλλ' ἀεὶ τοῦ πλείονος ἕκαστος ὀρεγέσθω· ἐπὶ δὲ τῆς γῆς τῆς χρείας ἕκαστος ἔστω καὶ τῆς αὐταρκείας, καὶ μηδὲν πλέον ζητείτω, ἵν' οὕτω δυνησώμεθα τῶν ὄντως ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ια. 19 ΤΟ ΠΝΕΥΜΑ ΜΗ ΣΒΕΝΝΥΤΕ· 20 ΠΡΟΦΗΤΕΙΑΣ μὴ ἐξουθενεῖτε· 21 Πάντα δὲ δοκιμάζετε· τὸ καλὸν κατέχετε· 22 Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

Ἀχλύς τις παχεῖα καὶ ζόφος καὶ νεφέλη κατακέχυται τῆς γῆς ἁπάσης. καὶ τοῦτο δηλῶν ὁ ἀπόστολος ἔλεγεν· Ἦτε γάρ ποτε σκότος. καὶ πάλιν· Ἐφ. ε. η.
Ὑμεῖς, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης α Θεσ. ε. δ.
καταλάβῃ. ἐπεὶ οὖν νύξ ἐστιν, ὡς εἶπον, ἀσέληνος, καὶ ἐν ταύτῃ τῇ νυκτὶ βαδίζομεν, ἔδωκεν ἡμῖν λαμπάδα φαιδρὰν ὁ Θεός, τοῦ πνεύματος τοῦ ἁγίου τὴν χάριν ἀνάψας ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἀλλὰ τοῦτο τὸ φῶς τῶν μὲν δεξάμενοι λαμπρότερον εἰργάσαντο καὶ φαιδρόν, οἷον ὡς Παῦλος,
ὡς Πέτρος, ὡς τῶν ἁγίων πάντες ἐκεῖνοι· τῶν δὲ καὶ ἔσβεσαν, ὡς αἱ πέντε παρθένοι, ὡς ἐκεῖνοι τῶν περὶ α Τιμ. α. ιθ.
τὴν πίστιν ναυαγήσαντες, ὡς ὁ ἐν Κορίνθῳ πεπορνευκώς, ὡς Γαλάται διαστραφέντες. διὰ τοῦτο ὁ α Κορ. ε. α.
Παῦλος νῦν φησι, τὸ πνεῦμα μὴ σβέννυτε, τουτέστι, τὸ χάρισμα. οὕτω γὰρ αὐτοῦ καλεῖν ἔθος τὸ Γαλ. γ. α.
χάρισμα τοῦ πνεύματος. σβέννυσι δὲ αὐτὸ βίος ἀκάθαρτος. καθάπερ γὰρ εἴ τις ἐπὶ τῆς λυχνίας τούτου φωτὸς ὕδωρ κατασκεδάσας, ἢ χοῦν, ἔσβεσε τὸ φῶς, καὶ εἰ μηδὲν τούτων, ἀλλά γε τὸ ἔλαιον ἐξελών, οὕτω καὶ ἐπὶ τοῦ χαρίσματος. ἄν τε γὰρ γήϊνα, καὶ τῶν διαρρεόντων πραγμάτων κατασκεδάσῃς φροντίδας, ἔσβεσας τὸ πνεῦμα· ἄν τε σὺ μηδὲν ἐργάσῃ τοιοῦτον, ἑτέρωθεν δέ ποθεν πειρασμὸς ἐπελθὼν προσβάλῃ σφοδρῶς, καθάπερ τι πνεῦμα, καὶ μὴ σφοδρὰ ᾖ ἡ φλόξ, ἢ πολὺ τὸ ἔλαιον ἔχουσα, ἢ τὴν ὀπὴν μὴ ἐμφράξῃς, ἢ τὴν θύραν μὴ προσκλείσῃς, πάντα ἀπώλεσε. τίς δέ ἐστιν ἡ ὀπή; ὥσπερ ἐπὶ τοῦ λύχνου, οὕτω καὶ ἐφ' ἡμῶν, ὀπή ἐστιν ὀφθαλμὸς καὶ ἀκοή. μὴ ἀφῇς ταύταις προσαντέλλειν πνεῦμα σφοδρὸν πονηρίας, ἐπεὶ ἔσβεσε τὸν λύχνον, ἀλλ' ἀπόφραξον τῷ φόβῳ τοῦ Θεοῦ. θύρα τὸ στόμα ἐστί· κλεῖσον, προσκλεῖσον, ἵνα καὶ τὸ φῶς παρέχῃ, καὶ ἀποκρούηται τὴν ἔξωθεν προσβολήν. οἷον, ὕβρισέ τις; ἐλοιδόρησε; σὺ κλεῖσον τὸ στόμα. ἂν γὰρ ἀνοίξῃς, ἐρρίπισας τὸν ἄνεμον. οὐχ ὁρᾷς ἐν ταῖς οἰκίαις, ὅταν κατάντικρυ καὶ ἐπ' εὐθείας δύο θύραι ἑστήκωσι, καὶ σφοδρὸς ἄνεμος ᾖ, πῶς ἂν τὴν ἑτέραν κλείσῃς, καὶ ἀντίπνοια μὴ ᾖ), οὐδὲν ἰσχύσει ὁ ἄνεμος, ἀλλὰ τὸ πολὺ τῆς ἰσχύος ὑποτέμνεται); οὕτω καὶ νῦν. δύο εἰσὶ θύραι, τὸ στόμα τὸ σόν, καὶ τὸ τοῦ ὑβρίζοντός σε, καὶ ἐμπαροινοῦντος. ἂν ἀποκλείσῃς τὸ σόν, καὶ μηδὲ ὡς ἀντίπνοιαν, ἔσβεσας ὅλον τὸ πνεῦμα·

μα· ἂν δὲ ἀνοίξῃς, ἀκάθεκτον γίνεται. μὴ τοίνυν αὐτὸ σβεννύωμεν. ἔστι δὲ πολλάκις καὶ μηδενὸς ἐπικειμένου * σβεσθῆναι τὴν φλόγα. ὅταν τὸ ἔλαιον ἐκλίπῃ, ὅταν ἐλεημοσύνην μὴ ποιῶμεν, σβέννυται τὸ πνεῦμα. καὶ γὰρ ἀπὸ ἐλεημοσύνης τῆς τοῦ Θεοῦ ἦλθε πρὸς σέ. εἶτα τὸν καρπὸν τοῦτον ὁρᾷ μὴ ὄντα παρὰ σοί, καὶ ἀφίσταται. οὐ μένει γὰρ παρὰ ψυχῇ ἀνελεήμονι. σβεσθέντος δὲ τοῦ πνεύματος, τὰ λοιπὰ ἴστε ὅσοι ἐν ἀσελήνῳ νυκτὶ ἐβαδίσατε. εἰ δὲ τὴν ἀπὸ γῆς εἰς γῆν ὁδὸν βαδίζειν δυσχερὲς ἐν νυκτί, τὴν ἀπὸ γῆς εἰς οὐρανὸν φέρουσαν πῶς ἀσφαλές; οὐκ ἴστε πόσοι δαίμονες ἐν τῷ διαστήματι τούτῳ; πόσα θηρία; πόσα πνευματικὰ τῆς πονηρίας; ἂν μὲν οὖν ἐκεῖνο τὸ φῶς ἔχωμεν, οὐδὲν ἡμᾶς βλάψαι δυνήσονται· ἂν δὲ σβέσωμεν αὐτό, ταχέως ἡμᾶς ἁλίσκουσι, ταχέως πάντα τὰ ἡμῶν ἐκφοροῦσιν. ἐπεὶ καὶ οἱ λῃσταὶ πρότερον τὴν λαμπάδα σβέσαντες, τότε λῃστεύουσιν. ἐκεῖνοι μὲν γὰρ ὁρῶσιν ἐν τῷ σκότει τούτῳ, ἐπειδὴ τὰ τοῦ σκότους πράττουσιν· ἡμεῖς δὲ ἀήθεις ἐσμὲν ἐκείνου τοῦ φωτός. μὴ τοίνυν σβέσωμεν αὐτό. πᾶσαι πονηραὶ πράξεις σβεννύουσι τοῦτο τὸ φῶς, καὶ λοιδορία, καὶ ὕβρεις, καὶ ὅπερ ἂν εἴποις. καθάπερ γὰρ ἐπὶ τοῦ πυρός, πάντα τὰ ἀλλότρια αὐτοῦ, ἀναιρετικὰ αὐτοῦ ἐστιν· ἐκεῖνο δὲ ἀνάπτει αὐτό, ὅπερ αὐτοῦ συγγενές ἐστιν· οὕτω καὶ ἐπὶ τοῦ φωτός. εἴ τι ξηρόν, εἴ τι θερμόν, εἴ τι διάπυρον, ἀνάπτει τὴν φλόγα τοῦ πνεύματος. μηδὲν οὖν ψυχρόν, μηδὲ ὑγρὸν ἐπιφέρωμεν. ταῦτα γὰρ τούτου ἀναιρετικά. ἔστι δὲ καὶ ἄλλη ἐξήγησις. πολλοὶ παρ' αὐτοῖς, οἱ μὲν προεφήτευον ἀληθῶς, οἱ δὲ ἐψεύδοντο. τοῦτο καὶ ἐν τῇ

α. Κορ. ιβ. ι

πρὸς Κορινθίους φησί· Διακρίσεις πνευμάτων διὰ τοῦτο δεδωκέναι. μιαρὸς γὰρ ὢν ὁ διάβολος ἠθέλησε διὰ τοῦ χαρίσματος τούτου τὸ πᾶν ἀνατρέψαι τῆς ἐκκλησίας. ἐπειδὴ γὰρ ἀμφότεροι περὶ μελλόντων προὔλεγον, καὶ ὁ δαίμων, καὶ τὸ πνεῦμα, ἀλλ' ὁ μὲν ψευδόμενος, τὸ δὲ ἀληθεῦον· καὶ οὐδαμόθεν ἦν ἑκατέρου τεκμήριον λαβεῖν, ἀλλ' ἀντιτύπως ἑκάτεροι ἔλεγον, ὡς ὁ Ἱερεμίας καὶ ὁ Ἰεζεκιήλ, ἀλλ' ἐλθόντος τοῦ καιροῦ ἠλέγχθησαν, ἔδωκε καὶ διακρίσεις πνευμάτων. ἐπεὶ οὖν καὶ τότε παρὰ Θεσσαλονικεῦσι πολλοὶ προεφήτευον, ὡς καὶ ἀρτίως ἔλεγεν,

β. Θεσ. β. β.

Μὴ θροεῖσθαι μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου. εἰπὼν, τὸ πνεῦμα μὴ σβέννυτε, προσέθηκεν εὐκαίρως καὶ τὰ ἑξῆς, προφητείας, λέγων, μὴ ἐξουθενεῖτε. ὃ οὖν ἐνταῦθα δηλοῦν βούλεται, τοῦτό ἐστι· μὴ ἐπειδή τινες ψευδοπροφῆται παρ' ὑμῖν εἰσι, δι' ἐκείνους καὶ τούτους κωλύσητε, καὶ ἀποστραφῆτε αὐτούς· [μὴ σβέννυτε αὐτούς,] τουτέστι, προφητείας μὴ ἐξουθενεῖτε. ὁρᾷς ὅτι τοῦτό ἐστιν ὅ φησι; πάντα δοκιμάζετε. ἐπειδὴ εἶπε, προφητείας μὴ ἐξουθενεῖτε, ἵνα μὴ νομίσωσιν ὅτι πᾶσιν ἀνέῳξε τὸ βῆμα, πάντα, φησί, δοκιμάζετε, τουτέστι, τὰς ὄντως προφητείας, τὸ δὲ καλὸν κατέχετε. ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε· μὴ τούτου, ἢ ἐκείνου, ἀλλ' ἀπὸ παντός· καὶ τὰ ψευδῆ, καὶ τὰ ἀληθῆ ἵνα μετὰ δοκιμασίας διακρίνητε, καὶ ἐκείνων ἀπέχησθε, καὶ τούτων ἔχησθε. οὕτω γὰρ κἀκείνων σφοδρὸν τὸ μῖσος ἔσται, καὶ τούτων ἡ ἀγάπη γίνεται, ὅταν μὴ ἁπλῶς, μηδὲ ἀνεξετάστως, ἀλλὰ μετ' ἀκριβείας ἅπαντα πράττωμεν.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Ὅρα διδασκάλου φιλοστοργίαν. μετὰ τὴν παραίνεσιν, καὶ εὐχὴν ἐπάγει. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν τοῖς γράμμασι. δεῖ γὰρ καὶ συμβουλῆς, καὶ εὐχῆς. διὰ τοῦτο καὶ ἡμεῖς πρότερον συμβουλεύοντες, τότε τὰς ὑπὲρ ὑμῶν εὐχὰς ποιούμεθα· καὶ τοῦτο ἴσασιν οἱ μεμυημένοι. ἀλλ' ὁ μὲν Παῦλος εἰκότως τοῦτο ἐποίει, πολλὴν πρὸς τὸν Θεὸν τὴν παρρησίαν ἔχων· ἡμεῖς δὲ κατῃσχυμμένοι καὶ ἀπαρρησίαστοι ὄντες, ἀλλ' ἐπειδὴ εἰς τοῦτο ἐτάχθημεν, πράττομεν αὐτό, ἀνάξιοι μὲν ὄντες καὶ παρεστάναι, καὶ τῶν ἐσχάτων μαθητῶν τὸν τόπον ἐπέχειν. ἐπειδὴ δὲ καὶ δι' ἀναξίων ἡ χάρις ἐνεργεῖ, οὐ δι' αὐτούς, ἀλλὰ διὰ τοὺς μέλλοντας ὠφελεῖσθαι τὰ παρ' ἑαυτῶν εἰσφέρομεν. ἁγιάσαι ὑμᾶς, φησιν, ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν

τὸ

τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Τὸ πνεῦμα τί φησιν ἐνταῦθα, τὸ χάρισμα. Αἱ μὲν γὰρ ἔχουσαι λαμπρὰς τὰς λαμπάδας ἀπέλθωμεν, εἰσελευσόμεθα εἰς τὸν νυμφῶνα· αἱ δὲ ἐσβεσμέναι, οὐκέτι. Διὰ τοῦτό φησιν, ὁλόκληρον ὑμῶν τὸ πνεῦμα. Ἐκείνου γὰρ μένοντος ἀκεραίου, καὶ τοῦτο μένει. Καὶ ἡ ψυχή φησι, καὶ τὸ σῶμα. Οὔτε γὰρ αὐτή τι πονηρὸν δέχεται, ὅτ' ἐκεῖνο.

24 Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει. Ὅρα τὴν ταπεινοφροσύνην. Ἐπειδὴ γὰρ ηὔξατο, μὴ νομίσητε, φησὶν, ὅτι ἀπὸ τῶν ἐμῶν εὐχῶν τοῦτο γίνεται, ἀλλ' ἐκ τῆς προθέσεως, ἧς ὑμᾶς ἐκάλεσεν. Εἰ γὰρ εἰς σωτηρίαν ἐκάλεσεν, ἀληθὴς δέ ἐστι, πάντως σώσει βουλόμενος.

25 Ἀδελφοὶ, προσεύχεσθε περὶ ἡμῶν. Βαβαὶ, πόση ταπεινοφροσύνη· ἀλλ' ἐκεῖνος μὲν ταπεινοφροσύνης ἕνεκεν τοῦτο ἔλεγεν, ἡμεῖς δὲ οὐ ταπεινοφροσύνης ἕνεκεν, ἀλλ' ὠφελείας πολλῆς, καὶ μέγα τι παρ' ὑμῶν κερδαίνειν βουλόμενοι, λέγομεν, προσεύχεσθε καὶ περὶ ἡμῶν. Εἰ γὰρ καὶ μηδὲν ὠφελεῖσθε παρ' ἡμῶν μέγα, μηδὲ θαυμαστὸν, ἀλλ' ὅμως δι' αὐτὴν τὴν τιμὴν, δι' αὐτὴν τὴν προσηγορίαν. Ἔχει τις παῖδας ποτὲ, καὶ ὅμως εἰ καὶ μηδὲν ὠφελεῖται παρ' αὐτοῦ, ἀλλ' ἐπειδὴ πατὴρ γέγονε, τοῦτο ἴσως προβάλλεται λέγων, μίαν οὖν ἡμέραν οὐκ ἐκλήθη πατήρ. Διὰ τοῦτο καὶ ἡμεῖς λέγομεν, προσεύχεσθε καὶ περὶ ἡμῶν. Οὐχ ἁπλῶς τοῦτο λέγω, ἀλλὰ πάνυ ἐφιέμενος τῶν ὑμετέρων εὐχῶν. Εἰ γὰρ ὑπὸ εὐθύνας ἐγενόμην τῆς πάντων ὑμῶν προστασίας, καὶ λόγους ὑπέχειν μέλλω, πολλῷ μᾶλλον ὀφείλω τῆς παρ' ὑμῶν ἀπολαύειν εὐχῆς. Αἱ εὐθῦναί μοι μείζους ἐγένοντο δι' ὑμᾶς, οὐκοῦν καὶ ἡ βοήθεια πλείων παρ' ὑμῶν.

26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν ἁγίῳ φιλήματι.

Βαβαὶ τῆς θερμότητος, βαβαὶ τῆς διανοίας. Ἐπειδὴ φιλήματι αὐτοὺς ἀσπάσασθαι οὐκ ἠδύνατο ἀπὼν, δι' ἑτέρων αὐτοὺς ἀσπάζεται· οὕτω καὶ ἡμεῖς ποιοῦμεν, ὡς ὅταν λέγωμεν, φίλησον αὐτὸν ἀντ' ἐμοῦ. Οὕτω καὶ αὐτοῖς κατεῖχε τὸ πῦρ τῆς ἀγάπης· οὐ γὰρ ἀνέχεται διεστημένη, ἀλλὰ καὶ διὰ μέσων τῶν ὁδῶν ἑαυτὴν ἐκτείνει, καὶ πανταχοῦ πάρεστι.

27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς. Καὶ τοῦτο πόθου μάλιστα, οὐ διδασκαλίας τοσοῦτον, ἵνα κἀκείνοις ὦ προσδιαλεγόμενός, φησιν.

28 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀμήν. Καὶ οὐχ ἁπλῶς ἐπιτάττει, ἀλλ' ὁρκίζων, ἀπὸ θερμῆς διανοίας καὶ τοῦτο ποιῶν· ἵνα κἂν αὐτοὶ καταφρονήσωσι, διὰ τὸν ὁρκισμὸν πράξωσι τὸ ἐπιταχθέν.

Μέγαν γὰρ εἶχε τότε φόβον τὸ πρᾶγμα, νυνὶ δὲ καὶ τοῦτο πεπάτηται. Καὶ ἔστι πολ- ΗΘΙΚΟΝ. λάκις παῖς μαστιζόμενος, καὶ ὁρκίζων τὸν Θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ, καὶ οὕτω χριστιανὸς ἀποθάνοις, καὶ οὐδεὶς προσέχει, οὐδεὶς ἐπιστρέφεται. Ἂν δὲ τὸν υἱὸν τὸν ἴδιον ὁρκίσῃ, εὐθέως καὶ ἄκων, καὶ τρίζων τοὺς ὀδόντας, ὑφίησί τι τοῦ θυμοῦ. Ἄλλος πάλιν ἑλκόμενος, ἀπαγόμενος ἐπὶ μέσης τῆς ἀγορᾶς, καὶ Ἑλλήνων, καὶ Ἰουδαίων παρόντων, ὁρκοῖ τὸν ἀπάγοντα ὅρκους φρικωδεστάτους, καὶ οὐδεὶς προσέχει. Τί οὐκ ἐροῦσιν οἱ Ἕλληνες, ὅταν πιστὸς τὸν πιστὸν καὶ χριστιανὸν ὁρκοῖ, καὶ μηδεὶς γίνηται λόγος, ἀλλὰ καὶ καταφρονῶμεν; Βούλεσθε ὑμῖν διηγήσομαί τι πρᾶγμα, ὅπερ καὶ αὐτὸς ἀκήκοα; οὐδὲ γὰρ πλάττων λέγω, ἀλλὰ παρὰ προσώπου ἀξιοπίστου ἀκηκοώς. Παιδίσκη τις ἀνδρὶ πονηρῷ συνεζευγμένη, μιαρῷ, δραπέτῃ· αὕτη, πολλὰ τοῦ ἀνδρὸς ἡμαρτηκότος, καὶ μέλλοντος ἀπεμπολεῖσθαι παρὰ τῆς δεσποίνης· καὶ γὰρ μείζονα συγγνώμης ἦν τὰ ἁμαρτήματα, καὶ χήρα ἦν ἡ γυνὴ, καὶ κολάζειν αὐτὸν λυμαινόμενον αὐτῆς τὴν οἰκίαν οὐκ ἴσχυεν, ἀλλ' ἔγνω ἀποδόσθαι. Εἶτα ἀνόσιον εἶναι νομίζουσα ἡ δέσποινα διασπάσαι τῆς γυναικὸς τὸν ἄνδρα, κατεδέξατο καὶ χρησίμην οὖσαν τὴν κόρην, ὑπὲρ τῆς ἀπαλ-

λαγῆς τῆς ἐκείνου συναπεμπολῆσαι καὶ τὴν γυναῖκα. ὁρῶσα τοίνυν ἡ κόρη ἑαυτὴν ἐν τοῖς ἀπόροις οὖσαν, ἐλθοῦσα πρός αἰδέσιμον πρόσωπον καὶ συνήθες τῇ δεσποίνῃ αὐτῆς, ὃ καί μοι διηγησάμενοι, καὶ τῶν γονάτων ἁψαμένη, καὶ μυρία ἀποδυραμένη, παρεκάλεσεν ὥστε τὴν αὐτῆς ἀξιῶσαι δέσποιναν ὑπὲρ αὐτῆς· καὶ πολλοὺς ἀναλώσασα λόγους, ὕστερον καὶ τοῦτο προσέθηκεν, ὡς τούτῳ πείσουσα μάλιστα, ὅρκον τινὰ φρικωδέστατον ἐπάγουσα. ὁ δὲ ὅρκος ἦν τοιοῦτος· οὕτω τὸν Χριστὸν ἴδοις ἐν ἡμέρᾳ κρίσεως, μὴ παρίδῃς μου τὴν ἀξίωσιν· καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν. ἡ δὲ παρακληθεῖσα, φροντίδος τινὸς ἐμπεσούσης βιωτικῆς, οἷα συμβαίνει ἐν ταῖς οἰκίαις, ἐπελάθετο. εἶτα ἄφνω δείλης μεσημβρίας εἰς μνήμην ἦλθε τοῦ φρικωδεστάτου ὅρκου· καὶ κατενύγη σφοδρῶς, καὶ ἀπελθοῦσα ἠξίωσε μετὰ πολλῆς τῆς ἐπιμελείας, καὶ τὸ πρᾶγμα ἤνυσε. καὶ κατ' ἐκείνην τὴν νύκτα ἄφνω τοὺς οὐρανίους εἶδεν ἀνεῳγότας, καὶ αὐτὸν τὸν Χριστὸν εἶδεν, ὡς δυνατὸν γυναικὶ ἰδεῖν. ἐπειδὴ γὰρ ὅλως ἐφρόντισε τοῦ ὁρκισμοῦ, ἐπειδὴ ἐφοβήθη, τῆς ὀπτασίας κατηξιώθη ταύτης. ταῦτα δὲ εἶπον, ἵνα μὴ καταφρονῶμεν τῶν ὁρκισμῶν, μάλιστα ὅταν ὑπὲρ ἀγαθῶν πραγμάτων ἡμᾶς τινες παρακαλῶσιν, ὑπὲρ ἐλεημοσύνης, ὑπὲρ φιλανθρωπίας. νῦν δὲ κάθηνται πένητες ἐκκεκομμένοι τοὺς πόδας, ὁρῶντές σε παρατρέχουσαν. εἶτ' ἐπειδὴ τοῖς ποσὶν ἐπακολουθῆσαι μὴ δυνάνται, καθάπερ ἀγκίστρῳ τινὶ προσδοκῶσι κατέχειν τῷ φόβῳ τοῦ ὅρκου, καὶ τὰς χεῖρας ἐκτείνοντες ὁρκίζουσιν, ὥστε δοῦναι ὀβολὸν ἕνα ἢ δύο μόνον· σὺ δὲ παρατρέχεις, τὸν δεσπότην ὁρκιζομένη τὸν σόν. καὶ ἂν μὲν κατὰ τῶν ὀφθαλμῶν ἢ τοῦ ἀνδρὸς τοῦ ἀποδημοῦντος ὁρκίσῃ, ἢ τοῦ παιδίου, ἢ τῆς θυγατρός, εὐθέως εἴκεις, καὶ ἐφάλλεταί σου ἡ διάνοια, καὶ διαθερμαίνῃ· ἂν δὲ τὸν Κύριον ὁρκίσῃ, παρατρέχεις. πολλὰς δὲ οἶδα ἐγώ, αἳ, τὸν μὲν Χριστὸν ἀκούουσαι, παρέδραμον· εἰς δὲ κάλλος ἐπαινεθεῖσαι παρὰ τῶν προσιόντων, διεχύθησαν, ἐμαλάχθησαν, καὶ χεῖρα ὤρεξαν. τοιγαροῦν εἰς τοῦτο τοὺς πένητας κατέστησαν τοὺς ἀθλίους, εἰς τὸ γελωτοποιεῖν. ἐπειδὴ γὰρ τὰ σφοδρὰ ῥήματα καὶ πικρὰ λέγοντες οὐ καθάπτονται τῆς ψυχῆς, ἐπὶ ταύτην ἔρχονται τὴν ὁδὸν, δι' ἧς μάλιστα τέρπουσι· καὶ τὸν ἐν συμφορᾷ ὄντα καὶ ὑπὸ τοῦ λιμοῦ ἀγχόμενοι ἠνάγκασεν ἡ πολλὴ φαυλότης ἡμῶν κάλλους ἐγκώμια λέγειν τοὺς ἐπαιτοῦντας. καὶ εἴθε τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον εἶδος τούτου χαλεπώτερον· θαυματοποιοὺς τοὺς πένητας ἠνάγκασεν εἶναι, καὶ αἰσχρολόγους καὶ γελωτοποιούς. ὅταν γὰρ κύλικας καὶ κισσύβια καὶ ποτήρια τοῖς δακτύλοις ἐνείρων καὶ περιπαθεὶς κυμβαλίζῃ, καὶ σύριγγα ἔχων ᾄδῃ δι' αὐτῆς τὰ ᾄσματα τὰ αἰσχρὰ καὶ ἔρωτος γέμοντα, καὶ διὰ τῆς φωνῆς ἀναβοᾷ· εἶτα πολλοὶ περιεστήκωσι, καὶ τῷ μὲν τρύφος ἄρτου, τῷ δὲ ὀβολὸν, τῷ δὲ ἕτερόν τι παρέχωσι, καὶ κατέχωσιν ἐπὶ πολὺ, καὶ τέρπωνται καὶ ἄνδρες καὶ γυναῖκες, τί τούτου χαλεπώτερον; οὐχὶ πολλοῦ στεναγμοῦ ταῦτα ἄξια; μικρὰ μέν ἐστι, καὶ νομίζεται μικρά· μεγάλα δὲ ἐναποτίκτει τοῖς ἤθεσιν ἡμῶν τὰ ἁμαρτήματα. ὅταν γὰρ αἰσχρόν τι λεχθῇ καὶ ᾠδὴ μετ' αὐτοῦ ἐρωτικὴ, ἐμάλαξε τὴν διάνοιαν, καὶ αὐτὴν ἐκείνην διέφθειρε τὴν ψυχήν. καὶ ὁ μὲν τὸν Θεὸν καλῶν πένης, καὶ ἐπευχόμενος ὑμῖν μυρία ἀγαθὰ, οὐδὲ λόγου ἀξιοῦται παρ' ὑμῶν· ὁ δὲ ἀντὶ τούτων τὰ νεωτερικὰ ἐπεισάγων, θαυμάζεται. ὃ δέ με νῦν ἐπεισῆλθεν εἰπεῖν πρὸς ὑμᾶς, ἐκεῖνο ἐρῶ. ποῖον δὴ τοῦτο; ὅταν πενίᾳ καὶ νόσῳ περιβληθῇς, εἰ καὶ μηδαμόθεν ἀλλαχόθεν, ἀπὸ γοῦν τῶν ἐπαιτούντων τῶν διὰ τῶν στενωπῶν χωρούντων μάθε εὐχαριστεῖν τῷ δεσπότῃ. οὗτοι γὰρ πάντα τὸν βίον ἐν τῷ ἐπαιτεῖν καταναλίσκοντες, οὐ βλασφημοῦσιν, οὐκ ἀγανακτοῦσιν, οὐδὲ δυσχεραίνουσιν, ἀλλὰ πᾶσαν τὴν τῆς ἐπαιτήσεως διήγησιν ἐν εὐχαριστίᾳ ποιοῦνται, μέγαν τὸν Θεὸν ποιοῦντες καὶ φιλάνθρωπον. ὁ μὲν λιμῷ φθειρόμενος φιλάνθρωπον καλεῖ· σὺ δὲ ὁ ἐν ἀφθονίᾳ ζῶν, ἂν μὴ τὰ πάντων λάβῃς, ὠμὸν λέγεις. πόσῳ βελτίων ἐκεῖνος; πῶς ἡμᾶς τότε κατακρινεῖ; κοινοὺς διδασκάλους ἡμῖν τῆς συμφορᾶς καὶ παραμυθίας ἀφῆκε διὰ τῆς οἰκουμένης ὁ Θεὸς τοὺς πένητας. ἔπαθές τι τῶν ἀβουλήτων; ἀλλ' οὐδὲν τοιοῦτον, οἷον ἐκεῖνος. ἐξεκόπης τὸν ὀφθαλμόν; ἀλλ' ἐκεῖνος τοὺς δύο. ἐνόσησας νό-

σοι μακρὰν; ἀλλ' ἐκεῖνος διὰ παντὸς ἔχει. ἀπέβαλες τοὺς παῖδας; ἀλλ' ἐκεῖνος καὶ τὴν ὑγείαν τοῦ οἰκείου σώματος. ἐζημιώθης ζημίαν μεγάλην; ἀλλ' οὐδέπω παρὰ τῶν ἑτέρων δεῖσθαι κατέστης. οὐκοῦν εὐχαρίστησον τῷ Θεῷ. ὁρᾷς ἐκείνους ἐν χαμίνῳ πενίας, καὶ παρὰ πάντων μὲν αἰτοῦντας, παρ' ὀλίγων δὲ λαμβάνοντας. ὅταν ἀποκάμῃς εὐχόμενος, καὶ μὴ λαμβάνῃς, ἐννόησον ποσάκις ἤκουσας πένητός σε καλοῦντος, καὶ οὐκ ἐπήκουσας, καὶ οὐκ ἠγανάκτησεν ἐκεῖνος, οὐδὲ ὕβρισέ σε. καίτοι σὺ μὲν ἀπὸ ὠμότητος τοῦτο ποιεῖς, ὁ δὲ Θεὸς ἀπὸ φιλανθρωπίας καὶ τὸ μὴ ἀκούειν ποιεῖ. εἰ τοίνυν αὐτὸς τὸν ὁμόδουλον δι' ὠμότητα μὴ ἀκούων οὐκ ἀξιοῖς ἐγκαλεῖσθαι, τῷ δεσπότῃ τοῦ δούλου διὰ φιλανθρωπίαν οὐκ ἀκούοντι ἐγκαλεῖς; ὁρᾷς πόσον τὸ ἄνισον; πόσον τὸ ἄδικον; ταῦτα ἐννοῶμεν διαπαντὸς, τοὺς χείρονας, τοὺς ἐν μείζοσι συμφοραῖς, καὶ οὕτω δυνησόμεθα εὐχαριστεῖν τῷ Θεῷ. πολλῶν ὁ βίος γέμει τοιούτων ὑποδειγμάτων. ἔχει δὲ διδασκαλίαν οὐ μικρὰν ὁ σώφρων καὶ βουλόμενος προσέχειν καὶ ἀπὸ τῶν εὐκτηρίων οἴκων. διὰ τοῦτο γὰρ καὶ ἐν ταῖς ἐκκλησίαις, καὶ ἐν τοῖς μαρτυρείοις προσκάθηνται τῶν προπυλαίων οἱ πένητες, ὥστε ἡμᾶς ἐκ τῆς τούτων θέας πολλὴν δέχεσθαι τὴν ὠφέλειαν. ἐννόησον γὰρ, ὅτι εἰς μὲν βασίλεια τὰ ἐπὶ γῆς εἰσερχομένων ἡμῶν, οὐδὲν τοιοῦτόν ἐστιν ἰδεῖν· ἀλλ' ἄνδρες καὶ σεμνοὶ, καὶ λαμπροὶ, καὶ πλουτοῦντες, καὶ συνετοὶ, πανταχοῦ διαπρέπουσιν· εἰς δὲ τὰ ὄντως βασίλεια, τὴν ἐκκλησίαν λέγω, καὶ τοὺς εὐκτηρίους οἴκους τῶν μαρτύρων, δαιμονῶντες, ἀνάπηροι, πένητες, γέροντες, τυφλοὶ, διεστραμμένοι τὰ μέλη. τί δήποτε; ἵνα σὺ παιδευθῇς διὰ τῆς τούτων θέας, πρῶτον μὲν ἵνα, εἴ τινα τῦφον ἔξωθεν ἐπισυρόμενος εἰσέλθῃς, εἰς ἐκείνους βλέψας, καὶ ἀποθέμενος τὸν ὄγκον, καὶ συντρίψας τὴν καρδίαν, οὕτως εἰσέλθῃς, καὶ τῶν λεγομένων ἀκούσῃς. οὐ γάρ ἐστι μετὰ τύφου προσευχόμενον ἀκούεσθαι. ἵν', ὅταν γέροντα ἴδῃς, μὴ ἐπὶ νεότητι μέγα φρονῇς. καὶ γὰρ οὗτοι οἱ γέροντες, νέοι ἐγένοντο. ἵν', ὅταν ἐπὶ στρατείᾳ καὶ δυναστείᾳ βασιλικῇ μέγα κομπάζῃς, ἐννοήσῃς ὅτι ἐκ τούτων εἰσὶ καὶ οἱ λαμπροὶ γενόμενοι ἐν ταῖς βασιλικαῖς αὐλαῖς. ὅταν ἐπὶ ὑγείᾳ σώματος θαῤῥῇς, τούτοις προσέχων καταστείλῃς σου τὸ φρόνημα. καὶ γὰρ ἐνταῦθα συνεχῶς εἰσιὼν, ὁ μὲν ὑγιαίνων οὐ μέγα φρονήσει ἐπὶ ὑγείᾳ σώματος· ὁ δὲ κάμνων, λήψεται παραμυθίαν οὐ τὴν τυχοῦσαν. οὐ διὰ τοῦτο δὲ μόνον ἐνταῦθα παρακάθηνται, ἀλλ' ἵνα σε καὶ ἐλεήμονα ποιήσωσι, καὶ πρὸς ἔλεον ἐπικαμφθῇς, ἵνα θαυμάσῃς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. εἰ γὰρ ὁ Θεὸς οὐκ ἐπαισχύνεται αὐτοὺς, ἀλλ' ἐν τοῖς προπυλαίοις αὐτοῦ ἔστησε, πολλῷ μᾶλλον σύ. ἵνα μὴ μέγα φρονῇς ἐπὶ τοῖς βασιλείοις τοῖς ἐπὶ τῆς γῆς. μὴ τοίνυν ἐπαισχύνου παρὰ πένητος καλούμενος· κἂν προσέλθῃ, κἂν τὰ γόνατα κατέχῃ, μὴ ἀποσείσῃ. κύνες γάρ εἰσιν οὗτοί τινες θαυμαστοὶ τῶν αὐλῶν τῶν βασιλικῶν. οὐ γὰρ ἀτιμάζων αὐτοὺς κύνας ἐκάλεσα (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα ἐπαινῶν. τὴν αὐλὴν φυλάττουσι τὴν βασιλικήν. θρέψον τοίνυν αὐτούς. ἂν γὰρ ἴῃ μὴ εἰς τὰ βασίλεια ἀναβαίνῃ· ἐκεῖ πάντα τῦφος, ἐν τοῖς βασιλείοις λέγω τοῖς ἐπὶ τῆς γῆς, ἐνταῦθα πάντα ταπεινοφροσύνη. ὅτι οὐδὲν τὰ ἀνθρώπινα, ἀπ' αὐτῶν μάλιστα τῶν προπυλαίων μανθάνεις· ὅτι οὐ τέρπεται πλούτῳ Θεὸς, αὐτὸ αὐτῶν τῶν προκαθημένων διδάσκῃ. ἡ γὰρ τούτων καθέδρα καὶ ἡ συλλογὴ, μονονουχὶ παραίνεσίς ἐστι, πρὸς τὴν τῶν ἀπάντων ἀνθρώπων φύσιν φωνὴν ἀφιεῖσα λαμπρὰν, καὶ λέγουσα, ὅτι οὐδὲν τὰ ἀνθρώπινα πράγματα, ὅτι σκιὰ καὶ καπνός. εἰ καλὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πένητας προεκάθισεν ὁ Θεὸς τῶν οἰκείων προθύρων. εἰ δὲ καὶ προσίενται καὶ πλουτοῦντας, μὴ θαυμάσῃς. οὐ γὰρ διὰ τοῦτο προσίεται, ἵνα μένωσι πλουτοῦντες, ἀλλ' ἵνα ἀπαλλαγῶσι τοῦ ὄγκου. ἄκουσον γὰρ τί φησιν αὐτοῖς ὁ Χριστός· Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμωνᾷ. καὶ πάλιν, Δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν, Εὐκοπώτερόν ἐστι κάμηλον διὰ ῥαφίδος τρυπήματος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. διὰ ταῦτα δέχεται τοὺς πλουσίους, ἵνα ταῦτα ἀκούσωσι τὰ ῥήματα, Ματθ. ϛ κδ. Ματθ. ιθ κγ. κδ.

ἵνα τὸν αἰώνιον ποθήσωσι πλοῦτον, ἵνα ἐπιθυμήσωσι τῶν ἐν τοῖς οὐρανοῖς. Καὶ τί θαυμάζεις εἰ εἰς τὰ πρόθυρα αὐτοῦ οὐκ ἀπαξιοῖ τοὺς τοιούτους καθίζειν; ἐπὶ γὰρ τὴν τράπεζαν αὐτοῦ τὴν πνευματικὴν οὐκ ἀπαξιοῖ καλεῖν αὐτοὺς, καὶ μεταδοῦναι τῆς εὐωχίας ἐκείνης· ἀλλ' ὁ κυλλὸς, καὶ ἀνάπηρος, ὁ γέρων, καὶ ῥάκια ἠμφιεσμένος καὶ ῥύπον, καὶ κόρυζαν ἔχων, ἅμα τῷ νέῳ τῷ καλῷ, καὶ αὐτῷ τῷ τὴν ἁλουργίδα περικειμένῳ καὶ τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς ἔχοντι, ἔρχεται τῆς τραπέζης μεθέξων, καὶ ἀξιοῦται τῆς εὐωχίας τῆς πνευματικῆς, καὶ τῶν αὐτῶν ἑκάτεροι ἀπολαύουσι, καὶ οὐδεμία ἐστὶ διαφορά. Εἶτ' ὁ μὲν Χριστὸς οὐκ ἀπαξιοῖ εἰς τὴν τράπεζαν αὐτοὺς καλεῖν μετὰ τοῦ βασιλέως (ὁμοῦ γὰρ ἀμφότεροι καλοῦνται) σὺ δὲ ἴσως ἀπαξιοῖς καὶ ὀφθῆναι, διδοὺς πένησιν, ἢ καὶ προσδιαλεγόμενος; βαβαὶ τῆς ἀπονοίας, καὶ τοῦ τύφου. ὅρα μὴ τὰ αὐτὰ πάθωμεν τῷ ποτε πλουσίῳ. ἀπηξίου ἐκεῖνος καὶ ἰδεῖν τὸν Λάζαρον, καὶ ὀροφῆς αὐτῷ οὐ μετεδεδώκει, οὐδὲ στέγης, ἀλλ' ἦν ἔξω παρὰ τὸν πυλῶνα ἐρριμμένος, ἀλλ' οὐδὲ ῥημάτων ἠξιώθη τῶν παρ' ἐκείνου. Ἀλλ' ὅρα πῶς ἐν ἀνάγκῃ καὶ χρείᾳ καταστὰς αὐτοῦ τῆς βοηθείας, ἀπέτυχεν. Εἰ γὰρ οὓς ὁ Χριστὸς οὐκ ἐπαισχύνεται, τούτους ἡμεῖς ἐπαισχυνόμεθα, τὸν Χριστὸν ἐπαισχυνόμεθα, τοὺς φίλους αὐτοῦ ἐπαισχυνόμενοι. Πεπληρώσθω σου ἡ τράπεζα χωλῶν, ἀναπήρων. διὰ τούτων παραγίνεται ὁ Χριστὸς, οὐ διὰ τῶν πλουτούντων. Τάχα γελᾷς ἀκούων. Οὐκοῦν ἵνα μὴ νομίσῃς ὅτι ἐμόν ἐστι τὸ ῥῆμα, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ἵνα μὴ γελάσῃς, ἀλλ' ἵνα φρίξῃς· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, φησὶ, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μήτε γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα· ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, ἀναπήρους, τυφλοὺς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων· καὶ δόξα δὲ μείζων ἐνταῦθα γίνεται, εἴπερ ταύτης ἐρᾷς. Ἐξ ἐκείνων μὲν γὰρ φθόνος, καὶ βασκανία, καὶ κατηγορία, καὶ λοιδορία, καὶ πολὺς ὁ φόβος μή τι παρὰ τὸ δέον γένηται· καὶ ὡς οἰκέτης δεσπότῃ, οὕτω παρέστηκας, ἂν μείζους οἱ κεκλημένοι ὦσι, δεδοικὼς τὴν παρ' αὐτῶν μέμψιν, καὶ τὰ σκώμματα. Ἐπὶ δὲ τούτων οὐδὲν τοιοῦτον, ἀλλ' ἅπερ ἂν αὐτοῖς ἐνέγκῃς, μεθ' ἡδονῆς πάντα δέχονται· καὶ πολὺς ἐντεῦθεν ὁ κρότος, λαμπροτέρα ἡ δόξα, μεῖζον τὸ θαῦμα. οὐχ οὕτω κροτοῦσιν ἐκείνους, ὡς τούτους ἅπαντες οἱ ἀκούοντες. Εἰ δὲ ἀπιστεῖς, πείρασον σὺ ὁ πλουτῶν, ὁ στρατηγοὺς καὶ ἡγεμόνας καλῶν· κάλεσον καὶ πένητας, καὶ ἀπὸ τούτων τὴν τράπεζαν πλήρωσον, ἂν μὴ παρὰ πάντων * κροτηθῇς, ἂν μὴ παρὰ πάντων φιληθῇς, ἂν μὴ πάντες ὡς πατέρα ἔχωσιν. ἐκείνων μὲν γὰρ τῶν δείπνων κέρδος οὐδὲν, ἀπὸ τούτων δὲ οὐρανὸς ἀπόκειται, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιδ. ιβ.

Τῶν

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὴν πρὸς Θεσσαλονικεῖς β΄. ἐπιστολήν.

ΥΠΟΘΕΣΙΣ. Λογ. α.

ΕἸπὼν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ὅτι Εὐχόμεθα νύκτα καὶ ἡμέραν ἰδεῖν ὑμᾶς, α. Θεσ. γ. ι. καὶ ὅτι Οὐ στέγομεν, ἀλλ' ἐν Ἀθήναις καταλειφθῆναι μόνοι, α. β. καὶ ὅτι Ἔπεμψα Τιμόθεον, διὰ τούτων πάντων τὸν πόθον αὐτοῦ δηλοῖ, ὃν εἶχεν, ὥστε παραγενέσθαι πρὸς αὐτούς. ἐπειδὴ δὲ οὐκ ἔφθασεν ἴσως ἀπελθεῖν, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν, τούτου χάριν τὴν δευτέραν προστίθησιν ἐπιστολὴν, τὸ ἐλλειφθὲν ἀπὸ τῆς παρουσίας διὰ τῶν γραμμάτων ἀναπληρῶν. ὅτι γὰρ οὐκ ἀπῆλθεν, ἐντεῦθεν ἔστι στοχάσασθαι. γράφων γάρ φησιν· Ἐρωτῶμεν δὲ ὑμᾶς ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. β. Θεσ. β. α. καὶ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, α. Θεσ. ε. α. ὅτι Περὶ τῶν χρόνων καὶ τῶν καιρῶν οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. ὥστε εἰ παρεγένετο, οὐδὲν ἂν ἐδεήθη γράψαι. ἐπειδὴ δὲ τὸ ζήτημα ὑπερετέθη, τούτου χάριν προστίθησι ταύτην τὴν ἐπιστολὴν, καθάπερ καὶ ἐν τῇ πρὸς Τιμόθεόν φησιν, ὅτι Ἀνατρέπουσι τὴν τινῶν πίστιν τινὲς, β. Τιμ. β. ιη. λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι. τοῦτο δὲ ἐποίουν, ἵνα μηδὲν μέγα λοιπὸν, ἢ λαμπρὸν ἐλπίσαντες οἱ πιστοὶ ἀπαγορεύσωσι πρὸς τοὺς πόνους. ἐπειδὴ γὰρ αὐτοὺς ἡ ἐλπὶς ἐβάσταζε, καὶ οὐκ ἠφίει πρὸς τὰ παρόντα ἐνδοῦναι, καθάπερ τινὰ ἄγκυραν ὁ διάβολος ἀποκόψαι βουλόμενος, ἐπειδὴ οὐκ ἴσχυσε πεῖσαι ὅτι ψευδῆ τὰ μέλλοντα, ἑτέραν ἦλθεν ὁδὸν, καὶ καθεὶς ἀνθρώπους τινὰς λυμεῶνας, ἐπεχείρει τοὺς πειθομένους ἀπατᾷν, ὅτι τὰ μεγάλα ἐκεῖνα καὶ λαμπρὰ τέλος εἴληφε. τότε μὲν οὖν ἔλεγον ἐκεῖνοι τὴν ἀνάστασιν ἤδη γεγονέναι· νῦν δὲ ἔλεγον, ὅτι ἐνέστηκεν ἡ κρίσις, καὶ ἡ παρουσία τοῦ Χριστοῦ, ἵνα καὶ τὸν Χριστὸν αὐτὸν ψευδῆ ἀποβάλωσι, καὶ πείσαντες ὡς οὐκ ἔστι λοιπὸν ἀντίδοσις, οὐδὲ δικαστήριον καὶ κόλασις καὶ τιμωρία τοῖς κακῶς πεποιηκόσιν, ἐκείνους τε θρασυτέρους ἐργάσωνται, καὶ τούτους ταπεινοτέρους. καὶ τὸ δὴ πάντων χαλεπώτερον, ἐπεχείρουν τὰ μὲν ἁπλῶς ῥήματα ἀπαγγέλλειν, ὡς παρὰ τοῦ Παύλου ταῦτα λεγόμενα, τὰ δὲ καὶ ἐπιστολὰς

ἵνα τὸν αἰώνιον ποθήσωσι πλοῦτον, ἵνα ἐπιθυμήσωσι τὴν ἐν τοῖς οὐρανοῖς. καὶ τί θαυμάζεις εἰ εἰς τὰ πρόθυρα αὐτοῦ οὐκ ἀπαξιοῖ τοὺς τοιούτους καθίζειν; ἐπεὶ γὰρ τὴν τράπεζαν αὐτοῦ τὴν πνευματικὴν οὐκ ἀπαξιοῖ καλεῖν αὐτοὺς, καὶ μεταδοῦναι τῆς εὐωχίας ἐκείνης· ἀλλ' ὁ κυλλὸς, καὶ ἀνάπηρος, ὁ γέρων, καὶ ῥάκια ἠμφιεσμένος καὶ ῥύπον, καὶ κόρυζαν ἔχων, ἅμα τῷ νέῳ τῷ καλῷ, καὶ αὐτῷ τῷ τὴν ἁλουργίδα περικειμένῳ καὶ τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς ἔχοντι, ἔρχεται τῆς τραπέζης μεθέξων, καὶ ἀξιοῦται τῆς εὐωχίας τῆς πνευματικῆς, καὶ τῶν αὐτῶν ἑκάτεροι ἀπολαύουσι, καὶ οὐδεμία ἐστὶ διαφορά. εἶτ' ὁ μὲν Χριστὸς οὐκ ἀπαξιοῖ εἰς τὴν τράπεζαν αὐτοὺς καλεῖν μετὰ τοῦ βασιλέως (ὁμοῦ γὰρ ἀμφότεροι καλοῦνται) σὺ δὲ ἴσως ἀπαξιοῖς καὶ ὀφθῆναι, διδοὺς ἄρτον πένησιν, ἢ καὶ προσδιαλεγόμενος; βαβαὶ τῆς ἀπονοίας, καὶ τοῦ τύφου. ὅρα μὴ τὰ αὐτὰ πάθωμεν τῷ ποτὲ πλουσίῳ. ἀπηξίου ἐκεῖνος κἂν ἰδεῖν τὸν Λάζαρον, καὶ ὀροφῆς αὐτῷ οὐ μετέδωκεν, οὐδὲ στέγης, ἀλλ' ἦν ἔξω παρὰ τὸν πυλῶνα ἐρριμμένος, ἀλλ' οὐδὲ ῥημάτων ἠξιώθη τῶν παρ' ἐκείνου. ἀλλ' ὅρα πῶς ἐν ἀνάγκῃ καὶ χρείᾳ καταστὰς αὐτοῦ τῆς βοηθείας, ἀπέτυχεν. εἰ γὰρ οὗτος ὁ Χριστὸς οὐκ ἐπαισχύνεται, τούτους ἡμεῖς ἐπαισχυνόμεθα, τὸν Χριστὸν ἐπαισχυνόμεθα, τοὺς φίλους αὐτοῦ ἐπαισχυνόμενοι. πεπληρώσθω σου ἡ τράπεζα χωλῶν, ἀναπήρων. διὰ τούτων παραγίνεται ὁ Χριστὸς, οὐ διὰ τῶν πλουτούντων. τάχα γελᾷς ἀκούων. οὐκοῦν ἵνα μὴ νομίσῃς ὅτι ἐμὸν τὸ ῥῆμα, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ἵνα μὴ γελάσῃς, ἀλλ' ἵνα φρίξῃς· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, φησὶ, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μήτε γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα· ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, ἀναπήρους, τυφλοὺς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων· καὶ δόξα δὲ μείζων ἐνταῦθα γίνεται, εἴ γε ταύτης ἐρᾷς. ἐξ ἐκείνων μὲν γὰρ φθόνος, καὶ βασκανία, καὶ κατηγορία, καὶ λοιδορία, καὶ πολὺς ὁ φόβος μή τι παρὰ τὸ δέον γένηται· καὶ ὡς οἰκέτης δεσπότῃ, οὕτω παρέστηκας, ἂν μείζους οἱ καλούμενοι ὦσι, δεδοικὼς τὴν παρ' αὐτῶν μέμψιν, καὶ τὰ στόματα. ἐπὶ δὲ τούτων οὐδὲν τοιοῦτον, ἀλλ' ἅπερ ἂν αὐτοῖς ἐνέγκῃς, μεθ' ἡδονῆς πάντα δέχονται· καὶ πολὺς ἐντεῦθεν ὁ κρότος, λαμπροτέρα ἡ δόξα, μεῖζον τὸ θαῦμα. οὐχ οὕτω κροτοῦσιν ἐκείνους, ὡς τούτους ἅπαντες οἱ ἀκούοντες. εἰ δὲ ἀπιστεῖς, πείρασον σὺ ὁ πλουτῶν, ὁ στρατηγοὺς καὶ ἡγεμόνας καλῶν· κάλεσον καὶ πένητας, καὶ ἀπὸ τούτων τὴν τράπεζαν πλήρωσον, ἂν μὴ παρὰ πάντων * κροτηθῇς, ἂν μὴ παρὰ πάντων φιληθῇς, ἂν μὴ πάντες ὡς πατέρα ἔχωσι. ἐκείνων μὲν γὰρ τῶν δείπνων κέρδος οὐδὲν, παρὰ τούτων δὲ οὐρανὸς ἀπόκειται, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιδ. ιβ.

γρ. πένησι

γρ. μὴ πίνω... αὐτοῦ ἐπαισχυνόμεθα; γὰρ οὗτοι Χριστὸς ... διεσπότης ... ἐπαισχυνόμεθα τούτους, ... εἰπέ μοι, ... σχυνόμεθα; ... πῶς ... λόγον; εἰ ... φίλους αὐτοῦ ἐπαισχυνόμενοι, τὸν Χριστὸν ἐπαισχυνόμενοι ... γρ. ἐγίνετο

* μάλιστα

Τοῦ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὴν πρὸς Θεσσαλονικεῖς β΄. ἐπιστολήν.

ΥΠΟΘΕΣΙΣ. Λογ. α.

Εἰπὼν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ὅτι Εὐχόμεθα νύκτα καὶ ἡμέραν ἰδεῖν ὑμᾶς, (α. Θεσσ. γ. ι.) καὶ ὅτι Οὐ στέγομεν, ἀλλ' ἐν Ἀθήναις κατελείφθημεν μόνοι, (α. β.) καὶ ὅτι Ἔπεμψα Τιμόθεον, διὰ τούτων πάντων τὸν πόθον αὐτοῦ δηλοῖ, ὃν εἶχεν, ὥστε παραγενέσθαι πρὸς αὐτούς. ἐπεὶ οὖν οὐκ ἔφθασεν ἴσως ἀπελθεῖν, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν, τούτου χάριν τὴν δευτέραν προστίθησιν ἐπιστολήν, ὃ ἐλλειφθὲν ἀπὸ τῆς παρουσίας διὰ τῶν γραμμάτων ἀναπληρῶν. ὅτι γὰρ οὐκ ἀπῆλθεν, ἐντεῦθεν ἔστι στοχάσασθαι. γράφων γάρ φησιν· Ἐρωτῶμεν δὲ ὑμᾶς ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. (β. Θεσσ. β. α.) καὶ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, ὅτι Περὶ τῶν χρόνων καὶ τῶν καιρῶν οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. (α. Θεσσ. ε. α.) ὥστε εἰ παρεγένετο, οὐδὲν ἂν ἐδεήθη γράψαι. ἐπειδὴ δὲ τὸ ζήτημα ὑπερετίθη, τούτου χάριν προστίθησι ταύτην τὴν ἐπιστολήν, καθάπερ καὶ ἐν τῇ πρὸς Τιμόθεόν φησιν, ὅτι Ἀνατρέπουσι τὴν τινῶν πίστιν τινές, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγενῆσθαι. (β. Τιμ. β. ιη.) τοῦτο δὲ ἐποίουν, ἵνα μηδὲν μέγα λοιπὸν ἢ λαμπρὸν ἐλπίσαντες οἱ πιστοὶ ἀπαγορεύσωσι πρὸς τοὺς πόνους. ἐπειδὴ γὰρ αὐτοὺς ἡ ἐλπὶς ἐβάσταζε, καὶ οὐκ ἠφίει πρὸς τὰ παρόντα ἐνδοῦναι, καθάπερ τινὰ ἄγκυραν ὁ διάβολος ἀποκόψαι βουλόμενος, ἐπειδὴ οὐκ ἴσχυσε πεῖσαι ὅτι ψευδῆ τὰ μέλλοντα, ἑτέραν ἦλθεν ὁδόν, καὶ καταπέμψας ἀνθρώπους τινὰς λυμεῶνας, ἐπεχείρει τοὺς πειθομένους ἀπατᾷν, ὅτι τὰ μεγάλα ἐκεῖνα καὶ λαμπρὰ τέλος εἴληφε. τότε μὲν οὖν ἔλεγον ἐκεῖνοι τὴν ἀνάστασιν ἤδη γεγενῆσθαι· νῦν δὲ ἔλεγον, ὅτι ἐνέστηκεν ἡ κρίσις, καὶ ἡ παρουσία τοῦ Χριστοῦ, ἵνα καὶ τὸν Χριστὸν αὐτὸν ψεύδους ὑποβάλωσι, καὶ πείσαντες ὡς οὐκ ἔστι λοιπὸν ἀντίδοσις, οὐδὲ δικαστήριον καὶ κόλασις καὶ τιμωρία τοῖς κακῶς πεποιηκόσιν, ἐκείνους τε θρασυτέρους ἐργάσωνται, καὶ τούτους ταπεινοτέρους. καὶ τὸ δὴ πάντων χαλεπώτερον, ἐπεχείρησαν οἱ μὲν ἁπλῶς ῥήματα ἀπαγγέλλειν, ὡς παρὰ τοῦ Παύλου ταῦτα λεγόμενα, οἱ δὲ καὶ ἐπιστολὰς

πλάττειν ὡς παρ' ἐκείνου γραφείσας. διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποτειχίζων ἔφοδον, φησί· (2. Θεσ. β. 2.) Μὴ θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν. μήτε διὰ πνεύματός φησι, τοῦ ψευδοπροφήτου αἰνιττόμενος. πόθεν οὖν εἰσόμεθα, φησί; (2. Θεσ. γ. 17.) διὰ τῆς προσθήκης. διὰ γὰρ τοῦτο προσέθηκεν· Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου· ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. οὐ τοῦτό φησιν, ὅτι τοῦτο σημεῖον (τοῦτο γὰρ εἰκὸς καὶ ἄλλους μιμήσασθαι) ἀλλ' ὅτι τὸν ἀσπασμὸν τῇ ἐμῇ χειρὶ γράφω· καθάπερ καὶ νῦν ἐφ' ἡμῶν ἐστιν. ἀπὸ γὰρ τῆς ὑπογραφῆς δῆλα γίνεται τὰ γράμματα τῶν πεμπόντων. παρακαλεῖ δὲ αὐτοὺς σφόδρα τεταριχευμένους ὑπὸ τῶν κακῶν, ἀπό τε τῶν παρόντων ἐγκωμιάζων, ἀπό τε τῶν μελλόντων· καὶ ἀπὸ τῆς κολάσεως δὲ, καὶ τῆς ἀνταποδόσεως τῶν ἀγαθῶν τῶν ἡτοιμασμένων· "αὐτοῖς [γρ. αὐτῷ] προτρέπων, σαφέστερον ἐπεξέρχεται τῷ τόπῳ, τὸν μὲν καιρὸν οὐκ ἀποκαλύπτων αὐτόν, τὸ δὲ τοῦ καιροῦ σημεῖον, τὸν ἀντίχριστον, δηλῶν. μάλιστα γὰρ τότε πληροφορεῖται ψυχὴ ἀσθενής, οὐκ ἐὰν ἁπλῶς ἀκούσῃ, ἀλλ' ἐὰν μάθῃ τι πλέον. καὶ ὁ Χριστὸς δὲ πολλὴν ὑπὲρ τούτου ποιεῖται φροντίδα, ὅτι καθεσθεὶς ἐν τῷ ὄρει, πάντα μετὰ ἀκριβείας διελέγετο τοῖς μαθηταῖς τὰ περὶ τῆς συντελείας. διὰ τί; ἵνα μὴ ἔχωσι χώραν οἱ τὸν ἀντίχριστον εἰσάγοντες καὶ ψευδοχρίστους. (Ματθ. κδ. 14.) καὶ πολλὰ τίθησι καὶ αὐτὸς σημεῖα· ἓν μὲν καὶ μέγιστον, λέγων, Ὅταν κηρυχθῇ εἰς πάντα τὰ ἔθνη τὸ εὐαγγέλιον· (Ματθ. κδ. 27.) ἔπειτα δὲ, ὥστε μὴ πλανᾶσθαι περὶ τῆς παρουσίας αὐτοῦ. Ὡς ἀστραπή, φησιν, ἥξει, οὐκ ἐν γωνίᾳ τινὶ κρυπτομένη, ἀλλὰ πανταχοῦ λάμπουσα· οὐ δεῖται τοῦ μηνύσοντος (οὕτως ἐστὶ λαμπρά) ὥσπερ οὐδὲ ἡ ἀστραπὴ δεῖται τοῦ μηνύσοντος. (Ἰωαν. ε. μγ.) Εἶπε δέ που καὶ περὶ τοῦ ἀντιχρίστου, ἡνίκα ἔλεγεν, Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. καὶ τὰς ἐπαλλήλους δὲ καὶ ἀφάτους συμφοράς, τεκμήριον εἶναι τούτου ἔλεγε· καὶ ὅτι Ἡλίας δεῖ ἐλθεῖν. ἠπόρουν μὲν οὖν τότε οἱ Θεσσαλονικεῖς ταῦτα, ἡμῖν δὲ χρησίμη γέγονεν ἡ ἐκείνων ἀπορία. οὐ γὰρ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς ταῦτα χρήσιμα· ἵνα τῶν μύθων τῶν παιδικῶν καὶ τῶν ληρημάτων τῶν γραϊκῶν ἀπαλλαγῶμεν. ἢ οὐκ ἠκούσατε πολλάκις ἐν παισὶν ὄντες καὶ περὶ τοῦ ὀνόματος τοῦ ἀντιχρίστου πολλὰ λεγόντων τινῶν, καὶ περὶ τοῦ κάμπτειν τὰ γόνατα; ἔτι γὰρ ἁπαλαῖς οὔσαις ταῖς διανοίαις ταῖς "ἡμετέραις [γρ. ὑμετέραις] ἐγκατασπείρει ταῦτα ὁ διάβολος, ἵνα ἡμῖν τὸ δόγμα συναυξηθῇ, ἵνα ἀπατῆσαι δυνηθῇ. οὐκ ἂν οὖν ταῦτα παρῆκεν ὁ Παῦλος περὶ τοῦ ἀντιχρίστου διαλεγόμενος, εἴπερ χρήσιμα ἦν. μὴ δὴ ταῦτα ζητῶμεν. οὐ γὰρ οὕτως ἥξει κλίνων τὰ γόνατα, ἀλλ' ὑπεραιρόμενος ἐπὶ πάντα Θεὸν λεγόμενον, ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός. καθάπερ γὰρ ὁ διάβολος ἐξ ἀπονοίας ἔπεσεν, οὕτω καὶ ὁ ἐνεργούμενος ὑπ' αὐτοῦ* [* καὶ] εἰς ἀπόνοιαν ἀλειφόμενος.

ΗΘΙΚΟΝ

Διό, παρακαλῶ, πάντες σπουδάζωμεν πόρρω γενέσθαι τοῦ πάθους τούτου, ἵνα μὴ τῷ κρίματι τῷ ἐκείνου περιπέσωμεν, ἵνα μὴ τῆς κολάσεως ὑπεύθυνοι γενώμεθα τῆς αὐτῆς, ἵνα μὴ τῇ τιμωρίᾳ κοινωνήσωμεν τῇ αὐτοῦ. (α. Τιμ. γ. 6.) Μὴ νεόφυτον, φησίν, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. (Σειρ. ι. 16. 13.) ἄρα ὁ τετυφωμένος τὴν αὐτὴν τῷ διαβόλῳ δίδωσι δίκην. Ἀρχὴ γάρ, φησιν, ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν Κύριον· ἀρχὴ ἁμαρτίας, ὑπερηφανία· πρώτη ὁρμὴ καὶ κίνησίς ἐστι τὸ κακόν· τάχα μὲν οὖν καὶ ῥίζα, καὶ ὑπόβαθρα. ἡ γὰρ ἀρχὴ ἢ τὴν πρώτην ὁρμὴν δηλοῖ τὴν ἐπὶ" τῷ κακῷ, ἢ" τὴν σύστασιν· ὡς ἂν εἴποι τις, ἀρχὴ σωφροσύνης, [γρ. τὴν ἡμῶν] τὸ ἀπέχεσθαι γυναικὸς ἀτόπου, τουτέστι, πρώτη ὁρμή. ἂν δὲ εἴπωμεν, ἀρχὴ σωφροσύνης νηστεία, τουτέστι, θεμέλιος καὶ σύστημα· οὕτω καὶ ἁμαρτίας ἀρχή ἐστιν ἡ ἀπόνοια. καὶ γὰρ ἀπ' αὐτῆς ἄρχεται πᾶσα ἁμαρτία, καὶ ὑπ' αὐτῆς συγκροτεῖται. ὅτι γάρ, ὅσα ἂν πράττωμεν ἀγαθά, οὐκ ἀφίησιν αὐτὰ ἡ κακία διαμεῖναι, καὶ μὴ διαπεσεῖν, ἀλλ' ὥσπερ ῥίζα τις ἐστὶν

οὐκ ἴασαν μὴ διασαλευθῆναι, δῆλον ἐκεῖθεν. ὅρα πόσα ὁ Φαρισαῖος εἰργάσατο, ἀλλ' οὐδὲν αὐτὸν ὤνησε. τὴν γὰρ ῥίζαν οὐκ ἐξέκοψεν, ἀλλ' αὐτὴ τοῖς πᾶσιν ἐλυμήνατο. ἐξ ἀπονοίας ὑπερηφανία τούτων γίνεται, ἐπιθυμία χρημάτων, ἔρως ἀρχῆς, πόθος δόξης. πάρες ὅθεν ἀμυντικὸς ὁ τοιοῦτος. ὁ γὰρ ἀπονενοημένος, οὐδὲ παρὰ τῶν μειζόνων, μήτιγε παρὰ τῶν ἐλαττόνων ἀνέχεται ὑβρίζεσθαι. ὁ δὲ μὴ ἀνεχόμενος ὑβρίζεσθαι, οὐδὲ παθεῖν κακῶς ἀνέχεται. ὅρα πῶς ἀρχὴ ἁμαρτίας, ὑπερηφανία. πῶς δὲ ἀρχὴ ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν Κύριον; εἰκότως. ὁ γὰρ εἰδὼς τὸν Θεὸν ὡς εἰδέναι χρή, ὁ εἰδὼς ὅτι ὁ υἱὸς τοῦ Θεοῦ τοσοῦτον ἐταπεινοφρόνησεν,* οὐκ ἐπαίρεται. ὁ δὲ ταῦτα μὴ εἰδὼς, ἐπαίρεται. πάρες ἀπονοίαι γὰρ ἀλείφει ἡ ὑπερηφανία. εἰπὲ γάρ μοι· πόθεν οὗτοι οἱ τὴν ἐκκλησίαν πολεμοῦντες φασὶν εἰδέναι τὸν Θεόν; οὐχὶ ἀπὸ ἀπονοίας; ἰδοὺ τὸ μὴ εἰδέναι τὸν Κύριον, εἰς δὲ κρημνὸν αὐτοὺς ἐνέβαλεν. εἰ γὰρ πνεῦμα συντετριμμένον ὁ Θεὸς φιλεῖ, ἐκ τούτου δὲ τοῖς ὑπερηφάνοις ἀντιτάσσεται, καὶ ταπεινοῖς δίδωσι χάριν. οὐδὲν οὖν ὑπερηφανίας ἴσον κακόν. δαίμονα τὸν ἄνθρωπον ἀπεργάζεται, ὑβριστὴν, βλάσφημον, ἐπίορκον, θανάτων ποιεῖ καὶ φόνων ἐφίεσθαι. ὁ ὑπερήφανος ἀεὶ λύπαις συζῇ, ἀεὶ ἀγανακτεῖ, ἀεὶ ἀλύει· οὐδὲν ἐστὶν, ὃ τὸ πάθος αὐτοῦ κορέσαι δυνάται. κἂν τὸν βασιλέα ἴδῃ ὑποκύπτοντα καὶ προσκυνοῦντα, οὐκ ἐκορέσθη, ἀλλὰ μᾶλλον ἐξήφθη. καθάπερ γὰρ οἱ φιλάργυροι, ὅσα ἂν λάβωσι, τοσούτων πλειόνων δέονται· οὕτω καὶ οἱ ἀπονενοημένοι, ὅσης ἂν ἀπολαύσωσι τιμῆς, τοσούτῳ πλείονος ἐπιθυμοῦσιν. αὔξεται γὰρ αὐτοῖς τὸ πάθος. πάθος γάρ ἐστι. πάθος δὲ ὅρον οὐκ οἶδεν, ἀλλὰ τότε ἵσταται, ὅταν ἀποκτείνῃ τὸν ἔχοντα. οὐχ ὁρᾷς τοὺς μεθύοντας, ὅτι ἀεὶ διψῶσι; πάθος γάρ ἐστιν οὐ φύσεως ἐπιθυμία, ἀλλὰ νόσος τις διεστραμμένη. οὐχ ὁρᾷς τοὺς καλουμένους βουλιμιῶντας, ὅτι ἀεὶ πεινῶσι; πάθος γάρ ἐστιν, ὥς φασιν ἰατρῶν παῖδες, ἐξελθεῖν ἤδη τῆς φύσεως τοὺς ὅρους. οὕτω καὶ οἱ πολυπράγμονες καὶ περίεργοι· ὅσα ἂν μάθωσιν, οὐχ ἵστανται. πάθος γάρ ἐστι, καὶ ὅρον οὐκ ἔχει. οἱ πορνείαις χαίροντες πάλιν, οὐδὲ αὐτοὶ ἵστανται. ἀνθρώπῳ γάρ, φησι, πόρνῳ πᾶς ἄρτος ἡδύς· οὐ μὴ παύσηται, ἕως ἂν καταποθῇ. πάθος γάρ ἐστιν. ἀλλὰ πάθη μὲν ἐστὶ ταῦτα, οὐ μέντοι ἀνίατα, ἀλλὰ ἔχοντα ἴασιν, καὶ πολλῷ μᾶλλον ἢ τὰ σωματικά. ἂν γὰρ θέλωμεν, δυνάμεθα αὐτὰ σβέσαι. πῶς οὖν ἐστιν ἀπόνοιαν σβέσαι; τὸν Θεὸν ἐπιγνόντα. εἰ γὰρ ἀπὸ τοῦ μὴ εἰδέναι τὸν Θεὸν γέγονεν, ἐὰν γνῶμεν αὐτὸν, ἀπελαύνεται πᾶσα ἀπόνοια. ἐννόησον τὴν γέενναν, ἐννόησον τοὺς πολλῷ βελτίους σου, ἐννόησον ὅσων ὀφείλεις τῷ Θεῷ δίκας. ἂν ταῦτα ἐννοήσῃς, ταχέως συνέστειλας τὴν διάνοιαν, ταχέως αὐτὴν ἔκαμψας. ἀλλ' οὐ δύνασαι ταῦτα ποιῆσαι; ἀσθενέστερος εἶ; ἐννόησον τὰ παρόντα, αὐτὴν τὴν ἀνθρωπίνην φύσιν, πῶς οὐδὲν ἄνθρωπος. ὅταν ἴδῃς νεκρὸν ἐπ' ἀγορᾶς φερόμενον, παῖδας ὀρφανοὺς ἀκολουθοῦντας, χήραν γυναῖκα κατακοπτομένην, οἰκέτας ὀδυρομένους, φίλους κατηφιῶντας, λόγισαι τὸ οὐδαμινὸν τῶν παρόντων πραγμάτων, καὶ ὅτι σκιᾶς καὶ ὀνειράτων οὐδὲν διενήνοχεν. ἀλλ' οὐ βούλει τοῦτο; ἐννόησον τοὺς πάλαι πλουτοῦντας, τοὺς ἐν πολέμοις ἀπολλυμένους ἁπλῶς. τὰς οἰκίας περισκόπει τὰς τῶν μεγάλων καὶ περιφανῶν, καὶ νῦν εἰς ἔδαφος κατενεχθείσας. ἐννόησον πόσα ἴσχυσαν, καὶ νῦν οὐδὲ μνήμη αὐτῶν ὑπολέλειπται. καθ' ἑκάστην γὰρ ἡμέραν, εἰ βούλει, εὑρίσκεις τούτων ὑποδείγματα· διαδοχὰς ἀρχόντων, δημεύσεις πλουτούντων. Πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. ταῦτα οὐχὶ καθ' ἑκάστην ἡμέραν γίνεται; οὐχὶ τροχῷ τινὶ τὰ ἡμέτερα ἔοικεν; ἀνάγνωθι, εἰ βούλει, καὶ τὰ παρ' ἡμῖν, καὶ τὰ ἔξωθεν (καὶ γὰρ καὶ ἐκεῖνα γέμει τούτων τῶν παραδειγμάτων) εἰ τῶν ἡμετέρων καταφρονεῖς ἐξ ἀπονοίας. εἰ τὰ τῶν φιλοσόφων θαυμάζεις, κἂν τούτοις πρόσεχε. ἐκεῖνοί σε διδάξουσι συμφορὰς παλαιὰς διηγούμενοι, καὶ ποιηταὶ, καὶ ῥήτορες, καὶ σοφισταὶ, καὶ λογογράφοι πάντες. πάντοθεν εὑρίσκεις, εἰ βούλει, τὰ ὑποδείγματα. εἰ δὲ μηδὲν τούτων θέλεις, αὐτὴν ἀναλόγισαι τὴν φύσιν τὴν ἡμετέραν,

* ὡς μορφὴν δούλου λαβεῖν

Ψαλ. γ. λδ.

γρ. πῶς

γρ. πῶς

Σειρ. κγ. ιζ.

γρ. παύσηται,

Σειρ. ια. ε.

μετρίαν, πόθεν στενώσης, καὶ ποῦ πλουτεῖ. ἐννόησον, ὅταν καθεύδῃς, τίνος ἄξιος εἶ. οὐχὶ καὶ τὸ μικρόν σε θηρίον ἀνελεῖν δύναται; πολλοῖς γὰρ πολλάκις ἀπὸ τοῦ ὀρόφου κατενεχθὲν μικρὸν ζωΰφιον ἢ τὸν ὀφθαλμὸν ἐξέβαλεν, ἢ ἑτέρου τινὸς κινδύνου αἴτιον γέγονε. τί δέ; οὐχὶ πάντων ἐλάττων εἶ τῶν θηρίων; ἀλλὰ τί λέγεις; ὅτι λόγῳ κέχρησαι; ἀλλ' ἰδοὺ λόγου οὐκ ἔχεις. ἀλογίας γὰρ ἡ ὑπερηφανία τεκμήριον. ἐπὶ τίνι δὲ μέγα φρονεῖς, εἰπέ μοι; ὅλως ἐπὶ εὐεξίᾳ σώματος; ἀλλὰ παρὰ τοῖς ἀλόγοις τὰ πρωτεῖα. τοῦτο δὲ παρὰ λῃσταῖς, καὶ ἀνδροφόνοις, καὶ τυμβωρύχοις. ἀλλ' ἐπὶ συνέσει; ἀλλ' οὐκ ἔστι συνέσεως, τὸ μέγα φρονεῖν. τοῦτο μὲν οὖν περὶ τῷ σαυτὸν ἀποστερεῖς τοῦ γενέσθαι συνετός. καταστείλωμεν ἡμῶν τὰ φρονήματα, γενώμεθα μέτριοι καὶ ταπεινοὶ καὶ ἐπιεικεῖς. τοὺς τοιούτους γὰρ περὶ πάντων ὁ Χριστὸς ἐμακάρισε λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· καὶ πάλιν ἐβόα λέγων· Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. διὰ τοῦτο τοὺς πόδας ἔνιψε τῶν μαθητῶν, ὑπόδειγμα παρέχων τῆς ταπεινοφροσύνης ἡμῖν. ἀπὸ τούτων ἁπάντων κερδᾶναι σπουδάσωμεν, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

ἴσ. λόγ

Ματθ. ε γ. καὶ ια. κθ.

κεφ. α. Λογ. β. 1 ΠΑΥΛΟΣ ΚΑΙ ΣΙΛΟΥΑΝΟΣ ΚΑΙ ΤΙΜΟΘΕΟΣ τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· 2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

ΟΙ πλείους τῶν ἀνθρώπων ἅπαντα πράττουσι καὶ μηχανῶνται, ὥστε καὶ παρὰ ἄρχουσι, καὶ παρὰ τοῖς αὐτῶν μείζοσι χάριν τινὰ ἔχειν· καὶ μέγα τίθενται τοῦτο, καὶ μακαρίους ἑαυτοὺς εἶναι νομίζουσιν, ἐὰν ἐπιτύχωσι τοῦ σπουδαζομένου. εἰ δὲ τὸ παρὰ ἀνθρώποις χάριτος τυχεῖν τοσοῦτον μέγα, τὸ παρὰ Θεοῦ χάριν εὑρεῖν, πόσον ἂν γένοιτο; διὰ τοῦτο τοῦτο προτίθησιν ἀεὶ τῆς αὐτοῦ ἐπιστολῆς, καὶ τοῦτο ἐπεύχεται. εἰδὼς ὅτι ἂν τοῦτο ᾖ, οὐδὲν ἔσται λοιπὸν τῶν ἀνιαρῶν· ἀλλ' ὅσα ἂν ᾖ δυσχερῆ, πάντα λυθήσεται. καὶ ἵνα μάθητε, ὁ Ἰωσὴφ δοῦλος ἦν, νέος, ἄπειρος, ἄπλαστος, καὶ ἐνεχειρίσθη ἀνθρώπου οἰκίας προστασίαν, καὶ ἀνδρὶ Αἰγυπτίῳ παρεῖχεν εὐθύνας. ἴστε δὲ πῶς ἀκρόχολον ἐκεῖνο τὸ ἔθνος, καὶ ἀσύγγνωστον. ὅταν δὲ καὶ ἀρχὴ προσῇ καὶ ἐξουσία, μείζων ὁ θυμὸς ὑπὸ τῆς ἐξουσίας αἰρόμενος. δῆλον δὲ τοῦτο καὶ ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. τῆς γὰρ δεσποίνης κατηγορούσης, ἰσχυρὸν καίτοι οὐ τὸν τὰ ἱμάτια κατέχοντα ἦν τὸ βιάζεσθαι, ἀλλὰ τοῦ ἀποδιδυμένου. ἐχρῆν γὰρ εἰπεῖν, ὅτι εἰ ἦρες τὴν φωνήν σου, ἔφυγεν ἄν, καὶ εἰ σιωπῇ δὲ ἑαυτῷ, οὐκ ἂν περιέμεινε τοῦ δεσπότου τὴν παρουσίαν. ἀλλ' ὅμως οὐδὲν τοιοῦτον ἐνενόησεν ἐκεῖνος, ἀλλ' ἀλόγως τῷ θυμῷ τὸ πᾶν ἐπιτρέψας, εἰς δεσμωτήριον ἐνέβαλεν. οὕτως ἀλόγιστός τις ἦν. καίτοιγε ἐνῆν καὶ ἀπὸ τῶν ἄλλων στοχάσασθαι τοῦ ἀνδρὸς τὴν εὔνοιαν, τὴν σύνεσιν. ἀλλ' ὅμως ἐπειδὴ σφόδρα ἄλογος ἦν, οὐδὲν τοιοῦτον ἐλογίσατο. ὁ τοίνυν καὶ πρὸς δεσπότην ἔχων τοιοῦτον μοχθηρόν, καὶ διακονίαν ἐμπεπιστευμένος οἰκίας ὁλοκλήρου, καὶ ξένος, καὶ ἔρημος, καὶ ἄπειρος, ἐπειδὴ ὁ Θεὸς αὐτοῦ κατεσκέδασε χάριν πολλήν, ὡς οὐδὲν ὄντας τοὺς πειρασμούς, οὕτω πάντα παρῆλθε, καὶ δεσποίνης συκοφαντίας, καὶ κινδύνους θανάτου, καὶ δεσμωτήριον. καὶ τελευταῖον ἐπὶ τὸν θρόνον ἦλθε τὸν βασιλικόν. εἶδες οὖν ὁ μακάριος οὗτος, ὅση τοῦ Θεοῦ ἡ χάρις· καὶ διὰ τοῦτο ταύτην αὐτοῖς ἐπεύχεται. καὶ ἕτερον δέ τι κατασκευάζει. βουλόμενος γὰρ αὐτοὺς πρὸς τὰ μέλλοντα τῆς ἐπιστολῆς εὐγνώμονας καταστῆσαι, ἵνα, κἂν ἐπιτιμᾷ, κἂν ἐπιπλήττῃ, μὴ ἀποπηδῶσι, διὰ τοῦτο ὑπομιμνήσκει αὐτοὺς πρὸ πάντων τῆς χάριτος τοῦ Θεοῦ, λεαίνων αὐτῶν τὴν καρδίαν, ἵνα,

γ. τοῦτον

γ. ... αἴνει

κἂν

κἂν θλίψεις ᾖ, ἀναμιμνησκόμενοι τῆς χάριτος, ἀφ' ἧς ἐσώθησαν ἐν τοῖς μείζοσιν, ἐν τοῖς ἐλάττοσι μὴ ἀπογινώσκωσιν, ἀλλ' ἐντεῦθεν ἔχωσι τὴν παραμυθίαν. καθάπερ καὶ ἀλλαχοῦ γράφων ἔλεγεν· Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. (Ρωμ. ε. ι.) χάρις ὑμῖν, φησί, καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν.

γ. Πάνυ ταπεινοφροσύνης σημεῖον πολλῆς. ἐδίδου αὐτοῖς λογίζεσθαι

Ὅρα ταπεινοφροσύνης ὑπερβολήν. εἰπών, εὐχαριστεῖν ὀφείλομεν, δίδωσιν αὐτοῖς συλλογίζεσθαι καὶ ἐννοεῖν, ὅτι εἰ ἄλλοι ὑπὲρ τῶν ἡμετέρων κατορθωμάτων οὐχ ἡμᾶς πρῶτον θαυμάζουσιν, ἀλλὰ τὸν Θεόν, πολλῷ μᾶλλον καὶ ἡμᾶς. ἄλλως δὲ καὶ ἐπαίρει αὐτῶν τὰ φρονήματα, ὅτι τοιαῦτα πάσχουσιν, οὐ δακρύων ἄξια, οὐδὲ θρήνων, ἀλλ' εὐχαριστίας τῆς εἰς τὸν Θεόν. εἰ δὲ Παῦλος εὐχαριστεῖ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς, τί πείσονται οἱ μὴ μόνον μὴ εὐχαριστοῦντες, ἀλλὰ καὶ τηκόμενοι; Ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους. Καὶ πῶς ἔνι πίστιν αὐξῆσαι, φησί; πῶς; ὅταν ὑπὲρ αὐτῆς πάσχωμέν τι δεινόν. μέγα μὲν οὖν καὶ τὸ στηριχθῆναι, καὶ ὑπὸ τῶν λογισμῶν μὴ παραφέρεσθαι· ὅταν δὲ καὶ ἄνεμοι προσαράττωσιν, ὅταν ἱστοὶ καταῤῥηγνύωνται, ὅταν αἴρηται πάντοθεν χαλεπὸς ὁ χειμών, ὅταν ἐπάλληλα τὰ κύματα ᾖ, εἶτα μὴ περισαλευώμεθα, οὐδενὸς ἑτέρου τεκμήριόν ἐστιν, ἀλλ' ἢ τοῦ αὐξηθῆναι, καὶ ὑπεραυξηθῆναι, καὶ ὑψηλοτέραν γενέσθαι. καθάπερ γὰρ ἐπὶ τοῦ κατακλυσμοῦ πάντα μὲν τὰ λ[illegible]ώδη, καὶ ταπεινὰ ἀπεκρύβη ταχέως, ὅσα δὲ ἦν ὑπεράνω, οὐκ ἐφίκετο αὐτῶν· οὕτω καὶ ἡ πίστις ὑψηλὴ γενομένη, οὐκέτι καταποντοῦται. διὰ τοῦτο οὐκ εἶπεν, αὐξάνει, ἀλλ', ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους. ὁρᾷς ὅτι καὶ τοῦτο πρὸς τὰς θλίψεις συμβάλλεται, τὸ συμπεφράχθαι; τὸ ἀλλήλων ἔχεσθαι; ἀπὸ τούτου καὶ παράκλησις ἐγίνετο πολλή. τὴν μὲν οὖν ἀσθενῆ καὶ ἀγάπην, καὶ πίστιν θλίψεις περισαλεύουσι· τὴν δὲ ἰσχυράν, ἰσχυροτέραν ποιοῦσιν. ἡ μὲν γὰρ ἐν ὀδύνῃ ψυχή, ὅταν ἀσθενὴς ᾖ, οὐδὲν ἂν [illegible]θοιτο· ἡ δὲ ἰσχυρά, καὶ τότε μάλιστα. καὶ ὅρα ἀγάπην. οὐ τὸν μὲν ἠγάπων, τὸν δὲ οὔ· ἀλλ' ἴση ἦν παρὰ πάντων. τοῦτο γὰρ ἠνίξατο τῷ εἰπεῖν, ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους· ὅτι ἰσόῤῥοπός τις ἐστίν, ὥσπερ ἑνὸς σώματος. ἐπεὶ καὶ νῦν εὑρίσκομεν ἀγάπην οὖσαν παρὰ πολλοῖς, ἀλλὰ ταύτην τὴν ἀγάπην διχοστασίας αἰτίαν γινομένην. ὅταν γὰρ κατὰ δύο καὶ τρεῖς ὦμεν συνημμένοι, καὶ οἱ μὲν δύο πρὸς ἀλλήλους σφόδρα ὦσι συνδεδεμένοι, ἢ τρεῖς, ἢ τέσσαρες, τῶν δὲ λοιπῶν ἑαυτοὺς ἀφέλκωσι, τῷ πρὸς ἐκείνους ἔχειν καταφυγεῖν καὶ ἐκείνοις πάντα θαῤῥεῖν, τοῦτο διάστασις ἀγάπης ἐστίν, οὐκ ἀγάπη. εἰπὲ γάρ μοι· εἰ ὁ ὀφθαλμὸς τὴν πρόνοιαν, ἣν ὑπὲρ τοῦ παντὸς σώματος ἔχει, εἰς τὴν χεῖρα περιστήσειε, καὶ τῶν ἄλλων ἑαυτὸν ἀποστρέψας μελῶν, ἐκείνῃ μόνῃ προσέχοι, οὐχὶ τὸ πᾶν τι λυμαίνεται; εἰκότως. οὕτω καὶ ἡμεῖς ἂν τὴν ἀγάπην τὴν εἰς πᾶσαν τὴν ἐκκλησίαν τοῦ Θεοῦ ὀφείλουσαν ἐκτείνεσθαι εἰς ἕνα, καὶ δεύτερον περιστείλωμεν, καὶ ἡμῖν αὐτοῖς κἀκείνοις καὶ τῷ παντὶ λυμανούμεθα. ταῦτα γὰρ οὐκ ἀγάπης ἐστίν, ἀλλὰ διχοστασίας σχίσματα, καὶ ῥήγματα διεσπασμένα. ἐπεὶ κἂν ἀπὸ τοῦ παντὸς ἀνθρώπου ἀποσπάσας λάβω μέρος, αὐτὸ μὲν οὖν τὸ σχίσμα ἑαυτῷ ἥνωται, καὶ ἔστι συνεχές, καὶ συγκεκολλημένον· πλὴν καὶ οὕτω σχίσμα ἐστίν, ἐπειδὴ τῷ λοιπῷ οὐχ ἥνωται σώματι. τί γὰρ ὄφελος, ὅτι τὸν δεῖνα φιλεῖς σφοδρῶς; ἀνθρωπίνη ἐστὶν ἡ ἀγάπη. εἰ δὲ οὐκ ἔστιν ἀνθρωπίνη, ἀλλὰ διὰ τὸν Θεὸν φιλεῖς, πάντας φίλει. ὁ γὰρ Θεὸς οὕτως ἐπέταξε καὶ τοὺς ἐχθροὺς φιλεῖν. εἰ δὲ τοὺς ἐχθροὺς ἐπέταξε φιλεῖν, πόσῳ μᾶλλον τοὺς οὐδὲν λελυπηκότας; ἀλλὰ φιλῶ, φησίν, ἀλλ' οὐχ οὕτω. μᾶλλον δὲ οὐδὲ φιλεῖς. ὅταν γὰρ κατηγορῇς, ὅταν φθονῇς, ὅταν ἐπιβουλεύῃς, πῶς φιλεῖς; ἀλλ' οὐδὲν τούτων ποιῶ, φησίν. ἀλλ' ὅταν ἀκούοντος κακῶς μὴ ἐμφράττῃς τὸ στόμα τοῦ λέγοντος,

Margin: γ. ἀπεκρύβη — γ. καταποντοῦται — γ. ἀφέλκοντες — γ. κατηγορῇς τῶν

λέγοντος, μὴ ἀπιστῆς τοῖς λεγομένοις, μὴ καταστέλλῃς, ποίας ταῦτα φιλίας τεκμήριον; καὶ πλεονάζει, φησὶν, ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους·

4 Ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ.

α. Θεσ. α. θ. Ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ τὰς ἐκκλησίας φησὶν ἁπάσας τῆς Μακεδονίας καὶ τῆς Ἀχαΐας ἐξηχῆσθαι μαθούσας τὰ κατὰ τὴν πίστιν αὐτῶν. ὥστε φησὶ μὴ χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. ἐνταῦθα δέ φησιν, ὥστε ἡμᾶς καυχᾶσθαι. τί δήποτ' οὖν ἐστὶ τὸ εἰρημένον; ἐκεῖ φησιν, ὅτι οὐ δέονται διδασκαλίας τῆς παρ' ἡμῶν· ἐνταῦθα δὲ οὐκ εἶπεν, ὅτι διδάσκομεν αὐτοὺς, ἀλλὰ, καυχώμεθα, καὶ σεμνυνόμεθα. Εἰ τοίνυν ἡμεῖς ἐφ' ὑμῖν καὶ εὐχαριστοῦμεν τῷ Θεῷ, καὶ καυχώμεθα παρὰ ἀνθρώποις, πολλῷ μᾶλλον ὑμᾶς ἐπὶ τοῖς ὑμετέροις χρὴ καλοῖς τοῦτο ποιεῖν. Εἰ γὰρ ἑτέροις καυχήματός ἐστιν ἄξια τὰ κατορθώματα ὑμῶν, πῶς ἡμῖν θρυλούντων, οὐκ ἔστιν εἰπεῖν. ὥστε ἡμᾶς αὐτοὺς, φησὶν, ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ

Ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως. Ἐνταῦθα δείκνυσι καὶ πολὺν παρελθόντα χρόνον. ἡ γὰρ ὑπομονὴ ἀπὸ χρόνου φαίνεται πολλοῦ, οὐκ ἐν δύο καὶ τρισὶν ἡμέραις. οὐχ ἁπλῶς δέ φησιν ὑπομονήν. μάλιστα μὲν οὖν καὶ τὸ τῶν ἐπηγγελμένων ἀγαθῶν μὴ ἤδη ἀπολαύειν, ὑπομονῆς ἐστί· νῦν δὲ καὶ μείζονα λέγει ὑπομονήν. ποίαν δὴ ταύτην; τὴν διὰ τῶν διωγμῶν. ὅτι δὲ ταύτην αἰνίττεται, δῆλον ἐξ ὧν ἐπάγει καὶ λέγει· Ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν, αἷς ἀνέχεσθε. Πολεμίοις γὰρ συνέζων διηνεκῶς πάντοθεν βλάπτειν ἐπιχειροῦσι, καὶ στερρὰν καὶ ἀκίνητον τὴν ὑπομονὴν ἐπεδείκνυντο. αἰσθανέσθωσαν ὅσοι διὰ περιστάσιν ἀνθρώπων εἰς δόγματα μετέστησαν. ἔτι γὰρ ἀρχῆς οὔσης τοῦ κηρύγματος, ἄνθρωποι πένητες καὶ ἀπὸ τῆς καθημερινῆς ζῶντες ἐργασίας πρὸς ἄνδρας πολιτευομένους καὶ πρώτους τῆς πόλεως ἔχθρας ἀνεδέχοντο, οὔτε βασιλέως οὔτε ἄρχοντος ὄντος που πιστοῦ, καὶ πόλεμον ἀκήρυκτον ὑφίσταντο, καὶ οὐδὲ οὕτως ἐξίσταντο.

5 Ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ. Ὁρᾷς πῶς αὐτοῖς συνάγει τὴν παραμυθίαν. Εἶπεν ὅτι εὐχαριστοῦμεν τῷ Θεῷ, εἶπεν ὅτι καυχώμεθα παρὰ ἀνθρώποις. καλὰ μὲν οὖν καὶ ταῦτα· ἀλλ' ὃ μάλιστα ζητεῖ ὁ ὀδυνώμενος, τοῦτό ἐστιν, ἀπαλλαγὴν τῶν κακῶν, καὶ τιμωρίαν τῶν κακῶς αὐτοὺς διατιθέντων. ὅταν γὰρ ἀσθενὴς ᾖ ἡ ψυχὴ, ταῦτα μάλιστα ἐπιζητεῖ. ἡ γὰρ φιλόσοφος, οὐδὲ τοῦτο. τί οὖν ἐστιν ὅ φησιν, ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ; ἤδη τὴν ἀνταπόδοσιν ᾐνίξατο ἑκατέρων, καὶ τὴν τῶν ποιούντων κακῶς, καὶ τὴν τῶν πασχόντων· ὡς ἂν εἰ ἔλεγεν ἵν', ὅταν ὑμᾶς μὲν στεφανοῖ, ἐκείνους δὲ κολάζῃ, δεικνύηται τὸ δίκαιον τοῦ Θεοῦ. ἅμα αὐτοὺς καὶ παραμυθεῖται, δεικνὺς ὅτι ἀπὸ τῶν οἰκείων πόνων καὶ τῶν ἱδρώτων καὶ κατὰ τὸν τῆς δικαιοσύνης λόγον στεφανοῦνται. ἀλλὰ προτέραν τίθησι τὸ αὐτῶν. εἰ γὰρ καὶ σφόδρα ἐπιθυμεῖ τις τὴν ἐκδικίαν, ἀλλὰ προτέραν τῶν ἐπάθλων ὀρέγεται. διὰ τοῦτο καὶ ἐπάγει λέγων· Εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε. Οὐκ ἄρα οὖν ἀπὸ τοῦ δυνατωτέρους εἶναι ἐκείνους ἀδικοῦνται οὗτοι, ἀλλ' ἀπὸ τοῦ δεῖν οὕτως εἰς τὴν βασιλείαν εἰσιέναι. Διὰ πολλῶν γὰρ θλίψεων, φησι, δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Πραξ. ιδ. κγ.

6 Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν,

7 Καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ. Τὸ, εἴπερ, ἐνταῦθα, ἀντὶ τοῦ, ἐπεὶ, κεῖται· ὅπερ ἐπὶ τῶν σφόδρα ὁμολογουμένων καὶ ἡμεῖς τίθεμεν καὶ ἀναντιρρήτων· ἀντὶ τοῦ, σφόδρα δίκαιον, εἰ δίκαιόν ἐστι, φησὶ, παρὰ Θεῷ τούτους ἀμύνασθαι, πάντως ἀμυνεῖται. ὡς ἂν εἰ ἔλεγεν· εἰ μέλει τῷ Θεῷ τῶν πραγμάτων, εἰ φροντίζει ὁ Θεός. οὕτω καὶ αὐτοὺς τίθησι

τὸ

γρ. λαμβ.

γρ. ἀλλὰ

γρ. ἐμμύτ

τὸ εἰπεῖν τοῦτο, ὡς ἐπὶ ὡμολογημένων, ὡς εἴ ἔλεγέ τις· εἰ μισεῖ τοὺς πονηροὺς ὁ Θεός· διὰ τοῦτο λέγων οὕτως, ἵνα ἐκείνους ἀναγκάσῃ εἰπεῖν, ὅτι μισεῖ. μάλιστα γὰρ αἱ τοιαῦται ψῆφοι ἀναμφίλεκτοί εἰσιν, ὡς καὶ αὐτῶν ἐκείνων εἰδότων, ὅτι δίκαιόν ἐστιν. εἰ γὰρ παρὰ ἀνθρώποις τοῦτο δίκαιον, πολλῷ μᾶλλον παρὰ τῷ Θεῷ. ἀνταποδοῦναι, φησί, τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις μεθ' ἡμῶν ἄνεσιν. τί οὖν; ἴση ἡ ἀνταπόδοσις; οὐδαμῶς. ἀλλ' ὅρα διὰ τῶν ἑξῆς πῶς δίκην σφοδροτέραν οὖσαν, καὶ τὴν ἄνεσιν πολλῷ μείζονα. ἰδοὺ καὶ ἑτέρα παράκλησις. τοὺς κοινωνοὺς γὰρ τῶν θλίψεων, καὶ ἐν τῇ ἀνταποδόσει κοινωνοὺς ἔχειν φησί. τοῦτο γάρ ἐστι τό, μεθ' ἡμῶν, συναπτων αὐτοὺς ἐν τοῖς σφαιρίοις, τοῖς τὰ μυρία κατωρθωκόσι καὶ μείζονα. εἶτα καὶ τὸν καιρὸν προστίθησι, καὶ διὰ τῆς ὑπογραφῆς ἐπαναγει τὰς διανοίας αὐτῶν, μονονουχὶ δείξας τῷ ῥήματι τοὺς θρόνους ἤδη, καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν παραστάς. καὶ προστίθησιν αὐτῷ τὴν στρατιὰν τὴν ἀγγελικήν, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τῶν μετ' αὐτοῦ πλατυτέραν τὴν εἰκόνα ποιῶν, ὥστε αὐτοὺς ἀναπνεῦσαι μικρόν. καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν, φησίν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ,

8 Ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεόν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰ τοίνυν τῷ εὐαγγελίῳ μὴ ὑπακούοντες διδόασι τιμωρίαν, τοίνυν καὶ μετὰ τοῦ μὴ ὑπακοῦσαι θλίβοντες ὑμᾶς, τί οὐ πείσονται; θέα δέ μοι σύνεσιν. οὐκ εἶπεν ἐνταῦθα, τοῖς θλίβουσιν ὑμᾶς, ἀλλά, τοῖς μὴ ὑπακούουσιν. ὥστε εἰ καὶ μὴ δι' ὑμᾶς, δι' ἑαυτοὺς ἀνάγκη, φησί, τιμωρηθῆναι αὐτούς. τοῦτο μὲν οὖν ὑπὲρ πληροφορίας εἴρηται, ὅτι πάντως αὐτοὺς κολασθῆναι δεῖ· τὸ δὲ πρότερον ὑπὲρ τοῦ καὶ αὐτοὺς τιμηθῆναι. τὸ μὲν οὖν πιστεῦσαι, ἡ ὑπὲρ τῆς τιμωρίας πληροφορία ποιεῖ· τὸ δὲ ἡσθῆναι, ὅτι ὑπὲρ τῶν εἰς αὐτοὺς γεγενημένων ταῦτα πάσχουσι.

Ταῦτα εἴρηται μὲν πρὸς ἐκείνους, ἁρμόζει δὲ καὶ ἡμῖν. ὅταν οὖν ἐν θλίψεσιν ὦμεν, ἩΘΙΚΟΝ ταῦτα λογιζώμεθα. μὴ τῇ ἑτέρων τιμωρίᾳ χαίρωμεν ὡς ἐκδικούμενοι, ἀλλ' ὡς αὐτοὶ τοιαύτης ἀπαλλαττόμενοι κολάσεως καὶ τιμωρίας. τί γὰρ ἡμῖν ὄφελος, ὅταν ἕτεροι κολασθῶσι; μὴ ἔχωμεν, παρακαλῶ, τοιαύτας ψυχάς, ἀπὸ τῆς βασιλείας προτρεπώμεθα πρὸς ἀρετήν. ὁ μὲν γὰρ σφόδρα ἐνάρετος οὔτε ἀπὸ φόβου, οὔτε ἀπὸ βασιλείας ἐνάγεται, ἀλλὰ δι' αὐτὸν τὸν Χριστόν, καθάπερ Παῦλος ἐποίει. πλὴν ἡμεῖς ἐννοῶμεν τὰ ἐν τῇ βασιλείᾳ ἀγαθά, τὰ ἐν τῇ γεέννῃ κακά, καὶ κἂν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν καὶ παιδαγωγῶμεν, οὕτως ἑαυτοὺς ἐνάγωμεν πρὸς τὰ πρακτέα. ὅταν ἴδῃς τι χρηστὸν καὶ μέγα ἐν τῷ παρόντι βίῳ, ἐννόησον τὴν βασιλείαν, καὶ οὐδὲν αὐτὸ νομίσεις· ὅταν φοβερόν, ἐννόησον τὴν γέενναν, καὶ καταγελάσεις· ὅταν ὑπὸ ἐπιθυμίας κατέχῃ σωματικῆς, λογίζου τὸ πῦρ, λογίζου καὶ αὐτῆς τῆς ἁμαρτίας τὴν ἡδονήν, ὅτι οὐδενός ἐστιν ἀξία, ὅτι οὐδὲ ἔχει ἡδονήν. εἰ γὰρ ὁ τῶν ἐνταῦθα κειμένων νόμων φόβος τοσαύτην ἔχει τὴν ἰσχύν, ὡς καὶ ἀπάγειν ἡμᾶς τῶν πονηρῶν πράξεων, πολλῷ μᾶλλον ἡ μνήμη τῶν μελλόντων, ἡ τιμωρία ἡ ἀθάνατος, ἡ κόλασις ἡ ἀΐδιος. εἰ ὁ τοῦ βασιλέως φόβος τοῦ ἐπὶ γῆς τοσούτων ἡμᾶς ἀπάγει κακῶν, πόσῳ μᾶλλον ὁ τοῦ αἰωνίου βασιλέως; πόθεν οὖν δυνάμεθα τὸν φόβον ἔχειν διηνεκῶς; ἂν συνεχῶς τῶν γραφῶν ἐπακούωμεν. εἰ γὰρ νεκρὸς ὁρώμενος μόνον οὕτως ἡμῶν συστέλλει τὴν διάνοιαν, πόσῳ μᾶλλον ἡ γέεννα καὶ τὸ πῦρ τὸ ἄσβεστον; πόσῳ μᾶλλον ὁ σκώληξ ὁ ἀτελεύτητος; ἂν τὴν γέενναν ἀεὶ λογιζώμεθα, οὐ ταχέως εἰς αὐτὴν ἐμπεσούμεθα. διὰ τοῦτο ἠπείλησε κόλασιν ὁ Θεός. ὡς εἰ μὴ εἶχέ τι μέγα κέρδος τὸ λογίζεσθαι, οὐκ ἂν αὐτὴν ἠπείλησεν ἤδη ὁ Θεός· ἀλλ' ἐπειδὴ ἰσχύει ἡ μνήμη αὐτῆς μεγάλα κατορθῶσαι, διὰ τοῦτο, καθάπερ τι φάρμακον σωτήριον, τὴν ἀπειλὴν αὐτῆς ἐγκατέθετο ἡμῶν ταῖς ψυχαῖς. μὴ δὴ περιορῶμεν τὸ τοσοῦτον κέρδος τὸ ἐντεῦθεν τικτόμενον, ἀλλὰ ταύτην συνεχῶς στρέφωμεν, ἐν ἀρίστοις, ἐν δείπνοις.

ἡ μὲν

ἡ μὲν γὰρ τῶν ἡδέων διάλεξις οὐδὲν τὴν ψυχὴν ὠφελεῖ, ἀλλ' ἀτονωτέραν ἐργάζεται· ἡ δὲ τῶν λυπηρῶν καὶ σκυθρωπῶν πάντα αὐτῆς περικόπτει τὸ διακεχυμένον καὶ διαρρέον, καὶ ἐπιστρέφει καὶ συστέλλει διαλελυμένην αὐτήν. ὁ περὶ θεάτρων καὶ μίμων διαλεγόμενος, οὐδὲν αὐτὴν ὤνησεν, ἀλλὰ καὶ μᾶλλον ἐξέκαυσε, καὶ περιπετεστέραν εἰργάσατο. ὁ τὰ ἀλλότρια μεριμνῶν καὶ πολυπραγμονῶν, πολλάκις αὐτῇ καὶ κινδύνους ἐκ τῆς περιεργίας ταύτης προσετρίψατο· ὁ μέντοι περὶ γεέννης διαλεγόμενος οὔτε κίνδυνον ἕξει τινὰ, καὶ σωφρονεστέραν ἐργάζεται. ἀλλὰ δέδοικας τὸ φορτικὸν τῶν ῥημάτων; μὴ γὰρ, ἂν σιγήσῃς, τὴν γέενναν ἔσβεσας; μὴ γὰρ, ἂν εἴπῃς, ἀνῆψας; ἄν τε εἴπῃς, ἄν τε μὴ εἴπῃς, ἀναβράσσεται τὸ πῦρ. λεγέσθω συνεχῶς περὶ αὐτῆς, ἵνα μηδέποτε ἐμπέσῃς εἰς αὐτήν. οὐκ ἔστι ψυχὴν μεριμνῶσαν περὶ γεέννης ἁμαρτεῖν ταχέως. ἄκουε γὰρ τῆς ἀρίστης παραινέσεως· Μιμνήσκου, φησὶ, τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. οὐκ ἔστι ψυχὴν δεδοικυῖαν ὑπὲρ εὐθυνῶν μὴ ὀκνηρὰν εἶναι περὶ τὰ πλημμελήματα. φόβος γὰρ ἐνακμάζων διανοίᾳ οὐδὲν ἀφίησι κοσμικὸν εἶναι ἐν αὐτῇ. εἰ γὰρ λόγος περὶ αὐτῆς κινούμενος οὕτω ταπεινοῖ καὶ συστέλλει, λογισμὸς διαπαντὸς ἐνοικῶν ταῖς ψυχαῖς οὐχὶ παντὸς πυρὸς μᾶλλον ἐκκαθαίρει ψυχήν; βασιλείας μὴ οὕτω μνημονεύωμεν, ὡς γεέννης. μᾶλλον γὰρ ὁ φόβος ἰσχύει τῆς ἐπαγγελίας· καὶ οἶδα ὅτι πολλοὶ κατεφρόνησαν ἂν μυρίων ἀγαθῶν, εἰ τῆς κολάσεως ἦσαν ἀπηλλαγμένοι· ὅπου γε καὶ νῦν ἐμοὶ ἀρκεῖ τὸ μὴ τιμωρηθῆναι, τὸ μὴ κολασθῆναι. οὐδεὶς τὴν γέενναν ἔχοντα πρὸ ὀφθαλμῶν, εἰς γέενναν ἐμπεσεῖται· οὐδεὶς τῶν καταφρονούντων γεέννης ἐκφεύξεται γέενναν. καθάπερ γὰρ παρ' ἡμῖν οἱ μὲν δεδοικότες τὰ δικαστήρια, οὐχ ἁλώσονται δικαστηρίοις· οἱ δὲ καταφρονοῦντες, ἐκεῖνοι μάλιστά εἰσιν οἱ περιπίπτοντες, οὕτω κἀκεῖ. εἰ μὴ ἔδεισαν τὴν καταστροφὴν οἱ Νινευῖται, κατεστράφησαν ἄν· ἐπειδὴ δὲ ἔδεισαν, οὐ κατεστράφησαν. εἰ ἔδεισαν οἱ ἐπὶ τοῦ Νῶε τὸν κατακλυσμὸν, οὐκ ἂν κατεκλύσθησαν. καὶ οἱ Σοδομῖται εἰ ἔδεισαν, οὐκ ἂν κατεκαύθησαν. μέγα κακὸν τὸ καταφρονεῖν ἀπειλῆς. ὁ καταφρονῶν ἀπειλῆς, ταχέως τῆς διὰ τῶν πραγμάτων αἰσθήσεται πείρας. οὐδὲν οὕτω χρήσιμον, ὡς τὸ περὶ γεέννης διαλέγεσθαι. ἀργύρου παντὸς καθαρωτέρας ἡμῖν ἐργάζεται τὰς ψυχάς. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Ὅτι τὰ κρίματά σου ἐνώπιόν μού ἐστι διαπαντός· καὶ ὁ Χριστὸς δὲ συνεχῶς περὶ αὐτῆς διαλέγεται. εἰ γὰρ καὶ λυπεῖ τὸν ἀκροατὴν, ἀλλ' ὠφελεῖ τὰ μέγιστα. τοιαῦτα γὰρ τὰ ὠφελοῦντα πάντα. καὶ μὴ θαυμάσῃς. καὶ γὰρ φάρμακα καὶ σιτία πρότερον λυποῦντα τὴν αἴσθησιν, τότε τὴν ὠφέλειαν ἐπάγει. εἰ δὲ ῥημάτων οὐκ ἀνεχόμεθα βαρύτητος, εὔδηλον, ὅτι τῆς διὰ τῶν πραγμάτων θλίψεως οὐκ ἀνεξόμεθα. εἰ τῶν περὶ γεέννης οὐδεὶς ἀνέχεται λόγων, εὔδηλον ὅτι, εἰ διωγμὸς κατέλαβε, πρὸς πῦρ, πρὸς σίδηρον οὐδεὶς ἂν ἔστη ποτέ. γυμνάσωμεν τὴν ἀκοὴν ἡμῶν μὴ μαλακίζεσθαι. ἀπὸ τούτου γὰρ καὶ ἐπὶ τὰ πράγματα ἥξομεν. ἂν ἐθισθῶμεν ἀκούειν φοβερὰ, ἐθισθησόμεθα καὶ ὑπομένειν φοβερά. ἂν δὲ οὕτως ὦμεν διαλελυμένοι, ὡς μηδὲ ῥήματα φέρειν, πότε πρὸς τὰ πράγματα στησόμεθα; ὁρᾷς πῶς καταφρονεῖ τῶν ἐνταῦθα πάντων, καὶ τῶν ἐπαλλήλων κινδύνων ὁ μακάριος Παῦλος; διὰ τί; ὅτι μεμελέτηκε καὶ γεέννης καταφρονεῖν ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων. ἐκεῖνος οὐδὲ τὴν πεῖραν τῆς γεέννης ἡγεῖτό τι εἶναι διὰ τὸν τοῦ Χριστοῦ πόθον, ἡμεῖς ὑπὲρ τῶν ἡμῖν συμφερόντων οὐδὲ τῶν περὶ αὐτῆς λόγων ἀνεχόμεθα. νῦν μὲν οὖν ὀλίγα ἀκούσαντες ἀπέρχεσθε. δέομαι δὲ ὑμῶν, εἴ τις ἐστὶν ἐν ὑμῖν ἀγάπη, διαπαντὸς τοὺς περὶ τούτων στρέφειν λόγους. οὐδὲν βλαβῆναι δυνήσονται, κἂν μὴ ὠφελήσωσι· πάντως δὲ καὶ ὠφελήσουσι. πρὸς γὰρ τὰς διαλέξεις καὶ ἡ ψυχὴ ποιοῦται. Φθείρουσι, φησὶν, ἤθη χρηστὰ ὁμιλίαι κακαί· οὐκοῦν ὠφελοῦσιν ὁμιλίαι ἀγαθαί· οὐκοῦν καὶ σωφρονίζουσιν ὁμιλίαι φοβεραί. ὥσπερ γὰρ κηρός τίς ἐστιν ἡ ψυχή. ἂν μὲν γὰρ ψυχρὰς ἐπαγάγῃς ὁμιλίας, ἐπώρωσας αὐτὴν καὶ ἐσκλήρωσας· ἂν δὲ πεπυρωμένας, ἐμάλαξας· μαλάξας δὲ, τυποῖς πρὸς ὅπερ

ἂν

Margin notes: γρ. ἀλλὰ καὶ χαυνοτέρ[αν] αὐτὴν ἐργάζεται. — Σειρ. κη. ς. — Ἴσ. οἱ ἐπὶ τοῦ Νῶε — Ψαλμ. ιζ. κβ.

ἂν θέλοις, καὶ τὴν εἰκόνα τὴν βασιλικὴν ἐγχαράττοις. ἀποφράττωμεν τοίνυν ἡμῶν τὰς ἀκοὰς πρὸς τὰς ὁμιλίας τὰς εἰκῆ. οὐκ ἔστι μικρὸν τὸ κακόν. ἀπὸ τούτου γὰρ πάντα τὰ κακά. εἰ μεμελετήκει ἡμῶν ἡ διάνοια προσέχειν θείοις λόγοις, οὐκ ἂν προσέσχεν ἑτέροις· οὐ προσέχουσα δὲ ἑτέροις, οὐκ ἂν οὐδὲ τὰ πράγματα μετῆλθε τὰ πονηρά. ὁδὸς γὰρ ἐπὶ τὰ ἔργα λόγος ἐστί. πρῶτον ἐννοοῦμεν, εἶτα φθεγγόμεθα, εἶτα πράττομεν. πολλοὶ πολλάκις καὶ σωφρονοῦντες, ἀπὸ ῥημάτων αἰσχρῶν ἐπὶ πράξεις ἦλθον αἰσχράς. οὐ γάρ ἐστιν ἡμῶν ἡ ψυχὴ οὔτε ἀγαθὴ φύσει, οὔτε κακὴ, ἀλλὰ προαιρέσει καὶ τοῦτο, κἀκεῖνο γίνεται. ὥσπερ οὖν τὸ ἱστίον, ὅταν ὅπερ ἂν πνεύσῃ ὁ ἄνεμος, μεταφέρει τὸ πλοῖον· μᾶλλον δὲ ὥσπερ ὁ οἴαξ μεταφέρει τὸ πλοῖον, ἂν δεξιὸς ὁ ἄνεμος ᾖ· οὕτω καὶ ὁ λογισμὸς, ἂν δεξιὰ τὰ ῥήματα φέρηται τὰ καλὰ, πλεύσεται ἀκινδύνως· ἂν δὲ ἐναντία, πολλάκις καὶ καταδύσει τὸν λογισμόν. ὅπερ γάρ ἐστι τοῖς πλοίοις τὰ πνεύματα, τοῦτο τῇ ψυχῇ οἱ λόγοι. ὅπουπερ ἂν θέλῃς, μετάγεις αὐτὴν καὶ μεταπείθεις. διὰ τοῦτο παραινῶν τίς φησι· Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. Σειρ. θ. κ. διὸ, παρακαλῶ, ἀπὸ τῆς τίτθης τὰ παιδία λαμβάνοντες, μὴ μύθοις γραϊκοῖς αὐτὰ ἐθίζωμεν, ἀλλ᾽ ἐκ πρώτης ἡλικίας μανθανέτω, ὅτι κρίσις ἐστὶν, ὅτι κόλασις, ἐμπηγνύσθω αὐτῶν τῇ διανοίᾳ. οὗτος ὁ φόβος συῤῥιζωθεὶς, μεγάλα ἐργάζεται ἀγαθά. ψυχὴ γὰρ μαθοῦσα ἐκ πρώτης ἡλικίας τῇ προσδοκίᾳ ταύτῃ κατασείεσθαι, οὐ ταχέως ἀποσείσεται τοῦτο τὸ δέος· ἀλλ᾽ ὥσπερ τις ἵππος εὐήνιος, ἐπικαθήμενον ἔχουσα τὸν τῆς γεέννης λογισμὸν, εὔτακτα βαδίζουσα, καὶ φθέγξεται, καὶ ἐρεῖ χρήσιμα· καὶ οὔτε νεότης, οὔτε πλοῦτος, οὔτε ὀρφανία, οὔτε ἄλλο οὐδὲν αὐτὴν βλάψαι δυνήσεται, οὕτω στεῤῥὸν ἔχουσα τὸν λογισμὸν, καὶ

ἰσ. ἰσχυου

πρὸς πάντα ἀντέχειν δυνάμενον. τούτοις τοῖς λόγοις καὶ ἡμᾶς αὐτοὺς ῥυθμίζωμεν, καὶ γυναῖκας, καὶ δούλους, καὶ τέκνα, καὶ φίλους· εἰ δυνατὸν, καὶ ἐχθρούς. δυνάμεθα γὰρ μετὰ τούτων τῶν λόγων τὰ πολλὰ τῶν ἁμαρτημάτων ἀποτέμνεσθαι, καὶ βέλτιον ἐν λυπηροῖς ἐνδιατρίβειν, ἢ χρηστοῖς. καὶ δῆλον ἐκεῖθεν. εἰπὲ γάρ μοι· ἂν ἔλθῃς εἰς οἰκίαν, ἔνθα γάμοι ἐπιτελοῦνται, πρὸς μὲν ὥραν ἥσθης τῇ θέᾳ· ὕστερον δὲ ἀπελθὼν τήκεις σαυτὸν τῇ λύπῃ, ὅτι οὐκ ἔχεις τοσαῦτα. ἂν δὲ εἰς οἰκίαν πενθούντων εἰσέλθοις, κἂν σφόδρα πλουτοῦντές ὦσιν, ἀπελθὼν ἀναπαύσῃ μᾶλλον. οὐ γὰρ δὴ φθόνον ἐδέξω ἐκεῖθεν, ἀλλὰ παράκλησιν, καὶ παραμυθίαν ἐπὶ τῇ σῇ πενίᾳ.

γρ. αὐλάθης,

εἶδες διὰ τῶν πραγμάτων, ὡς οὐδὲν ὁ πλοῦτος ἀγαθὸν, οὐδὲν ἡ πενία κακὸν, ἀλλ᾽ ἀδιάφορά ἐστι πράγματα; οὕτω καὶ νῦν ἂν περὶ τρυφῆς διαλέγῃ, μᾶλλον κόπτεις τὴν ψυχὴν οὐκ ἐχούσαν ἴσως τρυφᾶν· ὅταν δὲ κατὰ τρυφῆς, καὶ τοὺς τῆς γεέννης ἐμβάλῃς ἐν μέσῳ λόγους, εὐφραίνει σε τὸ πρᾶγμα, καὶ πολλὴν τέξεται τὴν ἡδονήν. ὅταν γὰρ ἐννοήσῃς, ὅτι ἡ τρυφὴ οὐδὲν ἡμῖν πρὸς τὸ πῦρ ἐκεῖνο δυνήσεται ἀμύναι, οὐκ ἐπιζητήσεις αὐτήν. ἂν δὲ λογίσῃ, ὅτι καὶ μᾶλλον αὐτὸ ἀνάπτειν εἴωθεν, οὐ μόνον οὐκ ἐπιζητήσεις, ἀλλὰ καὶ ἀποστραφήσῃ καὶ ἀποκρούσῃ. μὴ δὴ φεύγωμεν τοὺς περὶ γεέννης λόγους, ἵνα φύγωμεν τὴν γέενναν. μὴ φεύγωμεν τὴν τῆς κολάσεως μνήμην, ἵνα μὴ κολασθῶμεν. εἰ ὁ πλούσιος ἐκεῖνος τὸ πῦρ ἐνενόει ἐκεῖνο, οὐκ ἂν ἥμαρτεν· ἐπειδὴ δὲ οὐδέποτε αὐτοῦ ἐμνήσθη, διὰ τοῦτο αὐτῷ περιέπεσεν. εἰπέ μοι, ἄνθρωπε, μέλλων παρίστασθαι τῷ βήματι τοῦ Χριστοῦ πάντα μᾶλλον φθέγγῃ, ἢ περὶ τούτου; καὶ πρᾶγμα μὲν ἔχων πρὸς δικαστὴν, μέχρι ῥημάτων πολλάκις, οὐ νύκτα, οὐχ ἡμέραν, οὐ καιρὸν, οὐχ ὥραν ἄλλο τι φθέγγῃ, ἀλλὰ διαπαντὸς περὶ ἐκείνου τοῦ πράγματος· μέλλων δὲ ὑπὲρ πάσης τῆς ζωῆς σου λόγον διδόναι, καὶ εὐθύνας ὑπέχειν, οὐδὲ ἄλλων σε ἀναμιμνησκόντων ὑπὲρ τῆς δίκης ἀνέχῃ; τοιγαροῦν διὰ τοῦτο πάντα ἀπόλωλε καὶ διέφθαρται, ὅτι βήματι μὲν ἀνθρωπίνῳ παραστήσεσθαι μέλλοντες περὶ πραγμάτων βιωτικῶν, πάντα κινοῦμεν, πάντας ἀξιοῦμεν, διηνεκῶς περὶ τούτου μεριμνῶμεν, πάντα ὑπὲρ τούτου πράττομεν· εἰς δὲ τὸ βῆμα τοῦ Χριστοῦ μέλλοντες ἥκειν μετ᾽ οὐ πολὺ, οὐδὲν οὔτε δι᾽ ἑαυτῶν, οὔτε δι᾽ ἄλλων πράττομεν, οὐκ ἀξιοῦμεν τὸν δικαστήν. καί-

γρ. πάντα

τοιγε πολλὴν ἡμῖν ἐκεῖνος δίδωσι προθεσμίαν, καὶ οὐκ ἀναρπάζει ἡμᾶς ἐν τοῖς μέσοις ἁμαρτήμασιν· ἀλλ᾽ ἀφίησιν ἀποδύσασθαι, καὶ οὐδὲν τῶν εἰς αὐτὸν ἡκόντων παραλιμπάνει ἡ ἀγαθότης ἐκείνη καὶ ἡ φιλανθρωπία. ἀλλ᾽ οὐδὲν γὰρ πλέον. διὰ τοῦτο μείζων ἡ τιμωρία. ἀλλὰ μὴ γένοιτο γενέσθαι. διό, παρακαλῶ, κἂν ἐκ τοῦ νῦν ἀνανήψωμεν· ἔχωμεν τὴν γέενναν πρὸ ὀφθαλμῶν· ἐννοῶμεν τὰς εὐθύνας ἐκείνας τὰς ἀπαραιτήτους· ἵνα ταῦτα λογιζόμενοι, καὶ τὴν κακίαν φύγωμεν, καὶ τὴν ἀρετὴν ἀρώμεθα [γ. ἑλώμεθα], καὶ δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. γ. 9 ΟΙΤΙΝΕΣ ΔΙΚΗΝ ΤΙΣΟΥΣΙΝ, ΟΛΕΘΡΟΝ αἰώνιον, ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
10 Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν.

Εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ τὰς ἐλπίδας τὰς χρηστὰς οὐκ ἐν τῷ τῶν ἁμαρτημάτων ἀπέχεσθαι ἔχουσιν, ἀλλ᾽ ἐν τῷ νομίζειν τὴν γέενναν μὴ σφοδρὰν εἶναι, καθὼς λέγεται. ἀλλ᾽ ἡμερωτέραν τῆς ἠπειλημένης, καὶ πρόσκαιρον, οὐκ αἰώνιον, καὶ πολλὰ περὶ τούτου φιλοσοφοῦσιν. ἐγὼ μὲν οὖν οὐ μόνον ὅτι τῆς ἠπειλημένης οὐκ ἔστιν ἡμερωτέρα, ἀλλ᾽ ὅτι καὶ σφοδροτέρα πολλῷ, πολλαχόθεν ἔχω παραστῆσαι, καὶ ἐξ αὐτῶν συλλογίσασθαι τῶν περὶ γεέννης ῥημάτων. πλὴν ἀλλ᾽ οὐδένα περὶ τούτων κινῶ λόγον νῦν. ἀρκεῖ γὰρ ὁ καὶ ἀπὸ ψιλῶν ῥημάτων φόβος, κἂν μὴ τὸν νοῦν αὐτῶν ἀναπτύξωμεν. ὅτι δὲ οὐκ ἔστι πρόσκαιρος, ἄκουσον τοῦ Παύλου λέγοντος νῦν περὶ τῶν μὴ εἰδότων τὸν Θεόν, μηδὲ πιστευόντων ἐν τῷ εὐαγγελίῳ, ὅτι δίκην τίσουσιν, ὄλεθρον αἰώνιον. τὸ αἰώνιον οὖν πῶς πρόσκαιρον; ἀπὸ προσώπου, φησί, τοῦ Κυρίου. τί ἐστι τοῦτο; τὸ εὔκολον ἐνταῦθα βούλεται εἰπεῖν. ἐπεὶ γὰρ μέγα ἐφύσων τότε πλουτοῦντες, οὐ δεῖ, φησι, πολλῆς ἐργασίας· ἀλλ᾽ ἀρκεῖ παραγενέσθαι μόνον καὶ ὀφθῆναι τὸν Θεόν, καὶ πάντες ἐν κολάσει καὶ τιμωρίᾳ γίνονται. ἡ παρουσία αὐτοῦ, τοῖς μὲν φῶς ἔσται, τοῖς δὲ τιμωρία. καὶ ἀπὸ τῆς δόξης, φησί, τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσι. τί λέγεις; Θεὸς ἐνδοξάζεται; ναί, ἐν πᾶσι, φησι, τοῖς ἁγίοις αὐτοῦ. πῶς; ὅταν γὰρ ἴδωσιν οἱ μέγα φυσῶντες τοὺς μαστιζομένους ὑπ᾽ αὐτῶν, τοὺς καταφρονουμένους, τοὺς καταγελωμένους, τούτους ἐγγὺς ὄντας αὐτοῦ, δόξα αὐτοῦ γάρ, μᾶλλον δὲ τοῦτο δόξα ἐστὶ καὶ αὐτῶν, καὶ αὐτοῦ· αὐτοῦ μέν, ὅτι αὐτοὺς οὐκ ἐγκατέλιπεν, ἀλλὰ λαμπροὺς [γ. λαμπροτέρους] ἀπέδειξεν· αὐτῶν δέ, ὅτι τοσαύτης κατηξιώθησαν τιμῆς. ὥσπερ γὰρ πλοῦτος αὐτοῦ ἐστι, τὸ εἶναι πιστούς, οὕτω καὶ δόξα αὐτοῦ ἐστι, τὸ εἶναι τοὺς μέλλοντας ἀπολαύειν αὐτοῦ τῶν ἀγαθῶν. δόξα ἐστὶ τοῦ ἀγαθοῦ, τὸ ἔχειν οἷς [γ. τοῖς] τῆς εὐεργεσίας μεταδῷ. καὶ θαυμασθῆναι, φησιν, ἐν πᾶσι τοῖς πιστεύσασι· τουτέστι, διὰ τῶν πιστευσάντων. ἰδοὺ πάλιν τό, ἐν, διά ἐστι. δι᾽ ἐκείνων γὰρ θαυμαστὸς ἀποδείκνυται [γ. ἐπιδείκνυται]. ὅταν γὰρ τοὺς οἰκέτας καὶ ταλαιπώρους καὶ μυρία παθόντας δεινά, καὶ πιστεύσαντας, εἰς τοσαύτην ἄγῃ λαμπρότητα, δείκνυται αὐτοῦ ἡ ἰσχὺς τότε, ὅτι, εἰ καὶ ἐνταῦθα δοκοῦσιν ἐγκαταλελεῖφθαι, ἀλλ᾽ ὅμως ἐκεῖ πολλῆς ἀπολαύουσι δόξης, τότε μάλιστα πᾶσα ἡ δόξα τοῦ Θεοῦ δείκνυται, καὶ ἡ ἰσχύς. καὶ πῶς, ἄκουε. ἐπάγει γάρ (Ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ᾽ ὑμᾶς) ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν. Τουτέστιν, ὅταν παράγωνται εἰς μέσον οἱ μυρία παθόντες δεινά, ὥστε ἐκστῆναι τῆς πίστεως, καὶ μὴ ἐνδόντες, ἀλλὰ πιστοὶ μείναντες, δοξάζεται ὁ Θεός· τότε δείκνυται καὶ τούτων ἡ δόξα. ἐπεὶ τοίνυν πολλοὶ τὴν πίστιν ὑποκρίνονται,

ποκρίνονται, μὴ μακάριζε μηδένα πρὸ τελευτῆς. καὶ γὰρ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δείκνυνται οἱ πιστεύσαντες. Εἰς ὃ καὶ προσευχόμεθα, φησί, πάντοτε περὶ ὑμῶν. Ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει. Ἵνα ἀξιώσῃ, φησίν, ὑμᾶς τῆς κλήσεως, δεικνὺς ὅτι πολλοὶ καὶ ἀπεβλήθησαν. διὰ τοῦτο ἐπήγαγε, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης. ἐπεὶ καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἐνδεδυμένος ἐκλήθη, ἀλλ' οὐκ ἔμεινεν ἐν τῇ κλήσει. διὰ τοῦτο καὶ μᾶλλον γέγονεν ἀπόβλητος τῆς κλήσεως τῆς εἰς τὸν νυμφῶνα. ἐπεὶ καὶ αἱ πέντε παρθένοι ἐκλήθησαν (Ἐγείρεσθε, φησίν, ὁ νυμφίος ἔρχεται) καὶ παρεσκευάσαντο, ἀλλ' οὐκ εἰσῆλθον. δηλῶν οὖν ποίαν κλῆσιν λέγει, ἐπήγαγε· καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει. Ταύτην ζητοῦμεν τὴν κλῆσιν, φησίν. ὅρα πῶς ἠρέμα αὐτοὺς καταστέλλει. ἵνα γὰρ μὴ τῇ τῶν ἐγκωμίων ὑπερβολῇ χαυνωθῶσιν, ὡς μεγάλα κατωρθωκότες, καὶ ῥάθυμοι γένωνται, δείκνυσιν ὅτι ἔτι αὐτοῖς λείπει, ἕως ἂν ὦσιν ἐν τῷ βίῳ τούτῳ. ὅπερ καὶ Ἑβραίοις γράφων ἔλεγεν· Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. Εἰς πᾶσαν, φησίν, εὐδοκίαν· τουτέστιν, ἀρέσκειαν, πεῖσμα, πληροφορίαν. ὥσπερ ἔλεγεν, ἵνα τὸ πεῖσμα τοῦ Θεοῦ γένηται, ἵνα μηδὲν ὑμῖν λείπῃ, ἵνα ὡς βούλεται οὕτως ἦτε. καὶ ἔργον, φησί, πίστεως ἐν δυνάμει. τί ἐστι τοῦτο; ἡ ὑπομονὴ τῶν διωγμῶν, ἵνα μὴ ἐκλυώμεθα, φησίν.

Ματθ. κε.

Ἑβρ. ιβ. δ.

12 Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὅρα· εἶπεν ἐκεῖ δόξαν, εἶπε καὶ ἐνταῦθα. εἶπεν ὅτι αὐτοὶ δοξάζονται, ὥστε καὶ καυχᾶσθαι. εἶπεν ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ τὸν Θεὸν δοξάζουσιν. εἶπεν ὅτι ἀπολήψονται τὴν δόξαν ἐκείνην· ἀλλὰ καὶ ἐνταῦθά φησι. τοῦ γὰρ δεσπότου δοξαζομένου, καὶ οἱ δοῦλοι δοξάζονται. οἱ γὰρ τὸν δεσπότην δοξάζοντες, πολλῷ μᾶλλον αὐτοὶ δοξάζονται καὶ τούτῳ αὐτῷ, καὶ χωρὶς τούτου. δόξα γάρ ἐστιν ἡ θλῖψις ἡ διὰ Χριστόν, καὶ πανταχοῦ δόξαν τὸ πρᾶγμα καλεῖ. καὶ ὅσῳ ἂν ἄτιμόν τι πάθωμεν, τοσούτῳ μᾶλλον γινόμεθα λαμπροί. εἶτα πάλιν δεικνὺς ὅτι καὶ τοῦτο αὐτὸ τοῦ Θεοῦ ἐστί, φησί κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· τουτέστι, ταύτην τὴν χάριν ἡμῖν αὐτὸς ἔδωκεν ὁ Θεός, ἵνα δοξάζηται ἐν ἡμῖν, καὶ δοξάζῃ ἡμᾶς ἐν αὐτῷ. πῶς δοξάζεται ἐν ἡμῖν; ὅτι οὐδὲν αὐτοῦ προτιμῶμεν. πῶς δοξαζόμεθα ἐν αὐτῷ; ὅτι δύναμιν εἰλήφαμεν παρ' αὐτοῦ ὥστε μηδὲ ἐνδιδόναι τοῖς ἐπαγομένοις δεινοῖς. ὁμοῦ γὰρ ὅταν πειρασμὸς συμβῇ, καὶ ὁ Θεὸς δοξάζεται, καὶ ἡμεῖς. αὐτὸν μὲν γὰρ δοξάζουσιν, ὅτι οὕτως ἡμᾶς ἐνεύρωσεν· ἡμᾶς δὲ θαυμάζουσιν, ὅτι ἀξίους ἑαυτοὺς παρεσκευάσαμεν. πάντα δὲ ταῦτα ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ γίνεται.

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν, κεφ. β.

2 Εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός. Πότε μὲν ἔσται ἀνάστασις, οὐκ εἴρηκεν· ὅτι δὲ νῦν οὐκ ἔσται, εἴρηκε. καὶ ἡμῶν, φησίν, ἐπισυναγωγῆς ἐπ' αὐτόν. οὐ μικρὸν καὶ τοῦτο*. ὁρᾷς πῶς καὶ ἡ παραίνεσις πάλιν μετ' ἐγκωμίου καὶ προτροπῆς, τὸ πάντας μεθ' ἡμῶν αὐτὸν φαίνεσθαι τὸν Κύριον καὶ τοὺς ἁγίους πάντας; περὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἐνταῦθα διαλέγεται, καὶ περὶ τῆς ἐπισυναγωγῆς τῆς ἡμῶν. ὁμοῦ γὰρ ταῦτα ἔσται. ἐπαίρει τὴν διάνοιαν αὐτῶν· Εἰς τὸ μὴ σαλεύεσθαί, φησι, ταχέως ὑμᾶς. Μήτε θροεῖσθε, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου. Ἐνταῦθα δοκεῖ μοι αἰνίττεσθαι περιϊέναι τινὰς ἐπιστολὴν πλάσαντας δῆθεν ἀπὸ τοῦ Παύλου, καὶ ταύτην ἐπιδεικνυμένους λέγειν, ὡς ἄρα ἐφέστηκεν ἡ τοῦ Κυρίου ἡμέρα, ἵνα πολλοὺς ἐντεῦθεν πλανήσωσιν. ὥστε οὖν μὴ ἀπατηθῆναι, ἀσφαλίζεται αὐτοὺς ὁ Παῦλος δι' ὧν γράφει καί φησι· μὴ θροεῖσθε μήτε διὰ πνεύματος, μήτε διὰ

*ἐς ἀπόδει- …ιν τῆς ἀνα- …στάσεως.

τοίγε πολλὴν ἡμῖν ἐκεῖνος δίδωσι προθεσμίαν, καὶ οὐκ ἀναρπάζει ἡμᾶς ἐν τοῖς μέσοις ἁμαρτήμασιν· ἀλλ' ἀφίησιν ἀποδύσασθαι, καὶ οὐδὲν τῶν εἰς αὐτὸν ἡκόντων παραλιμπάνει ἡ ἀγαθότης ἐκείνη καὶ ἡ φιλανθρωπία. ἀλλ' οὐδὲν γίνεται πλέον. διὰ τοῦτο μείζων ἡ τιμωρία. ἀλλὰ μὴ γένοιτο πειραθῆναι. διὸ, παρακαλῶ, κἂν ἐκ τοῦ νῦν ἀνανήψωμεν· ἔχωμεν τὴν γέενναν πρὸ ὀφθαλμῶν· ἐννοῶμεν τὰς εὐθύνας ἐκείνας τὰς ἀπαραιτήτους, ἵνα ταῦτα λογιζόμενοι, καὶ τὴν κακίαν φύγωμεν, καὶ τὴν ἀρετὴν αἱρώμεθα, καὶ δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν (χ. ἐλπίδα) τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. γ. 9 ΟΙΤΙΝΕΣ ΔΙΚΗΝ ΤΙΣΟΥΣΙΝ, ΟΛΕΘΡΟΝ
αἰώνιον, ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
10 Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν
πᾶσι τοῖς πιστεύουσιν.

Εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ τὰς ἐλπίδας τὰς χρηστὰς οὐκ ἐν τῷ τῶν ἁμαρτημάτων ἀπέχεσθαι ἔχουσιν, ἀλλ' ἐν τῷ νομίζειν τὴν γέενναν μὴ σφοδρὰν εἶναι, καθὼς λέγεται, ἀλλ' ἡμερωτέραν τῆς ἠπειλημένης, καὶ πρόσκαιρον, οὐκ αἰώνιον, καὶ πολλὰ περὶ τούτου φιλοσοφοῦσιν. ἐγὼ μὲν οὖν οὐ μόνον ὅτι τῆς ἠπειλημένης οὐκ ἔστιν ἡμερωτέρα, ἀλλ' ὅτι καὶ σφοδροτέρα πολλῷ, πολλαχόθεν ἔχω παραστῆσαι, καὶ ἐξ αὐτῶν συλλογίσασθαι τῶν περὶ γεέννης ῥημάτων. πλὴν ἀλλ' οὐδένα περὶ τούτων κινῶ λόγον νῦν. ἀρκεῖ γὰρ ὁ καὶ ἀπὸ ψιλῶν ῥημάτων φόβος, κἂν μὴ τὸν νοῦν αὐτῶν ἀναπτύξωμεν. ὅτι δὲ οὐκ ἔστι πρόσκαιρος, ἄκουσον τοῦ Παύλου λέγοντος νῦν περὶ τῶν μὴ εἰδότων τὸν Θεὸν, μηδὲ πιστευόντων ἐν τῷ εὐαγγελίῳ, ὅτι δίκην τίσουσιν, ὄλεθρον αἰώνιον. τὸ αἰώνιον οὖν πῶς πρόσκαιρον; ἀπὸ προσώπου, φησὶ, τοῦ Κυρίου. τί ἐστι τοῦτο; τὸ εὔκολον ἐνταῦθα βούλεται εἰπεῖν. ἐπειδὴ γὰρ μέγα ἐφύσων τότε πλουτοῦντες, οὐ δεῖ, φησὶ, πολλῆς ἐργασίας· ἀλλ' ἀρκεῖ παραγενέσθαι μόνον καὶ ὀφθῆναι τὸν Θεὸν, καὶ πάντες ἐν κολάσει καὶ τιμωρίᾳ γίνονται. ἡ παρουσία αὐτοῦ, τοῖς μὲν φῶς ἔσται, τοῖς δὲ τιμωρία. καὶ ἀπὸ τῆς δόξης, φησὶ, τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσι. τί λέγεις; Θεὸς ἐνδοξάζεται; ναὶ, ἐν πᾶσι, φησὶ, τοῖς ἁγίοις αὐτοῦ. πῶς; ὅταν γὰρ ἴδωσι τοὺς μέγα φυσῶντας τοὺς μαστιζομένους ὑπ' αὐτῶν, τοὺς καταφρονουμένους, τοὺς καταγελωμένους, τούτους ἐγγὺς ὄντας αὐτοῦ, δόξα αὐτοῦ γίνεται, μᾶλλον δὲ τοῦτο δόξα ἐστὶ καὶ αὐτῶν, καὶ αὐτοῦ· αὐτοῦ μὲν, ὅτι αὐτοὺς οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ λαμπροὺς ἀπέδειξεν· αὐτῶν δὲ, ὅτι τοσαύτης (χ. λαμπροτέρους) κατηξιώθησαν τιμῆς. ὥσπερ γὰρ πλοῦτος αὐτοῦ ἐστι, τὸ εἶναι πιστοὺς, οὕτω καὶ δόξα αὐτοῦ ἐστι, τὸ εἶναι τοὺς μέλλοντας ἀπολαύειν αὐτοῦ τῶν ἀγαθῶν. δόξα ἐστὶ τοῦ ἀγαθοῦ, τὸ ἔχειν οἷς τῆς (χ. τοῖς) εὐεργεσίας μεταδῷ. καὶ θαυμασθῆναι, φησὶν, ἐν πᾶσι τοῖς πιστεύουσι· τουτέστι, διὰ τῶν πιστευσάντων. ἰδοὺ πάλιν τὸ, ἐν, διά ἐστι. δι' ἐκείνων γὰρ θαυμαστὸς ἀποδείκνυται. ὅταν (χ. ἐπιδείκνυται) γὰρ τοὺς οἰκτροὺς καὶ ταλαιπώρους καὶ μυρία παθόντας δεινὰ, καὶ πιστεύσαντας, εἰς τοσαύτην ἄγῃ λαμπρότητα, δείκνυται αὐτοῦ ἡ ἰσχὺς τότε, ὅτι, εἰ καὶ ἐνταῦθα δοκοῦσιν ἐγκαταλελεῖφθαι, ἀλλ' ὅμως ἐκεῖ πολλῆς ἀπολαύουσι δόξης, τότε μάλιστα πᾶσα ἡ δόξα τοῦ Θεοῦ δείκνυται, καὶ ἡ ἰσχύς. καὶ πῶς, ἄκουε. ἐπάγει γάρ (Ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς) ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν. Τουτέστιν, ὅταν παράγωνται εἰς μέσον οἱ μυρία παθόντες δεινὰ, ὥστε ἐκστῆναι τῆς πίστεως, καὶ μὴ ἐνδόντες, ἀλλὰ πιστοὶ μείναντες, δοξάζεται ὁ Θεός· τότε δείκνυται καὶ τούτων ἡ δόξα. ἐπεὶ τοίνυν πολλοὶ τὴν πίστιν ὑποκρίνονται,

ποκρίνονται, μὴ μακάριζε μηδένα πρὸ τελευτῆς. καὶ γὰρ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δείκνυνται τὸ πιστεύσαντες. Εἰς ὃ καὶ προσευχόμεθα, φησί, πάντοτε περὶ ὑμῶν. Ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει. Ἵνα ἀξιώσῃ, φησίν, ὑμᾶς τῆς κλήσεως, δεικνὺς ὅτι πολλοὶ καὶ ἀπεβλήθησαν. Διὰ τοῦτο ἐπήγαγε, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης. ἐπεὶ καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἐνδεδυμένος ἐκλήθη, ἀλλ' οὐκ ἔμεινεν ἐν τῇ κλήσει. Διὰ τοῦτο καὶ μᾶλλον γέγονεν ἀπόβλητος τῆς κλήσεως τῆς εἰς τὸν νυμφῶνα. ἐπεὶ καὶ αἱ πέντε παρθένοι ἐκλήθησαν (Ἐγείρεσθε, φησίν, ὁ νυμφίος ἔρχεται) καὶ παρεσκευάσαντο, ἀλλ' οὐκ εἰσῆλθον. δηλῶν οὖν ποίαν κλῆσιν λέγει, ἐπήγαγε· καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει. Ταύτην ζητοῦμεν τὴν κλῆσιν, φησίν. ὅρα πῶς ἠρέμα αὐτοὺς καταστέλλει. ἵνα γὰρ μὴ τῇ τῶν ἐγκωμίων ὑπερβολῇ χαυνωθῶσιν, ὡς μεγάλα κατωρθωκότες, καὶ ῥᾴθυμοι γένωνται, δείκνυσιν ὅτι ἔτι αὐτοῖς λείπει, ἕως ἂν ὦσιν ἐν τῷ βίῳ τούτῳ. ὅπερ καὶ Ἑβραίοις γράφων ἔλεγεν· Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. Εἰς πᾶσαν, φησίν, εὐδοκίαν· τουτέστιν, ἀρέσκειαν, πρόσταγμα, πληροφορίαν. ὥστε ἔλεγεν, ἵνα τὸ πρόσταγμα τοῦ Θεοῦ γίνηται, ἵνα μηδὲν ὑμῖν λείπῃ, ἵνα ὡς βούλεται οὕτως ᾖτε. καὶ ἔργον, φησί, πίστεως ἐν δυνάμει. τί ἐστι τοῦτο; ἡ ὑπομονὴ τῶν διωγμῶν, ἵνα μὴ ἐκλυώμεθα, φησίν.

Ματθ. κε.

Ἑβρ. ιβ.

12 Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὅρα· Εἶπεν ἐκεῖ δόξαν, εἶπε καὶ ἐνταῦθα. Εἶπεν ὅτι αὐτοὶ δοξάζονται, ὥστε καὶ καυχᾶσθαι. Εἶπεν ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ τὸν Θεὸν δοξάζουσιν. Εἶπεν ὅτι ἀπολήψονται τὴν δόξαν ἐκείνην· ἀλλὰ καὶ ἐνταῦθά φησι. τοῦ γὰρ δεσπότου δοξαζομένου, καὶ οἱ δοῦλοι δοξάζονται. οἱ γὰρ τὸν δεσπότην δοξάζοντες, πολλῷ μᾶλλον αὐτοὶ δοξάζονται καὶ τούτῳ αὐτῷ, καὶ χωρὶς τούτου. δόξα γάρ ἐστιν ἡ θλῖψις ἡ διὰ Χριστόν, καὶ πολυπλασίως δόξαν τὸ πρᾶγμα κτήσει. καὶ ὅσῳ δ' ἂν ἄτιμόν τι πάθωμεν, τοσούτῳ μᾶλλον γινόμεθα λαμπρότεροι. Εἶτα πάλιν δεικνὺς ὅτι καὶ τοῦτο αὐτὸ τοῦ Θεοῦ ἐστι, φησὶ κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· τουτέστι, ταύτην τὴν χάριν ἡμῖν αὐτὸς ἔδωκεν ὁ Θεός, ἵνα δοξάζηται ἐν ἡμῖν, καὶ δοξάζῃ ἡμᾶς ἐν αὐτῷ. πῶς δοξάζεται ἐν ἡμῖν; ὅτι οὐδὲν αὐτοῦ προετιμῶμεν. πῶς δοξαζόμεθα ἐν αὐτῷ; ὅτι δύναμιν εἰλήφαμεν παρ' αὐτοῦ ὥστε μηδὲ ἐνδιδόναι τοῖς ἐπαγομένοις δεινοῖς. ὁμοῦ γὰρ ὅταν πειρασμὸς συμβῇ, καὶ ὁ Θεὸς δοξάζεται, καὶ ἡμεῖς. αὐτοὶ μὲν γὰρ δοξάζουσιν, ὅτι οὕτως ἡμᾶς ἐνεδυνάμωσεν· ἡμᾶς δὲ θαυμάζουσιν, ὅτι ἀξίους ἑαυτοὺς παρεσκευάσαμεν. πάντα δὲ ταῦτα ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ γίνεται.

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν, κεφ. β.

2 Εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός. Πότε μὲν ἔσται ἀνάστασις, οὐκ εἴρηκεν· ὅτι δὲ νῦν οὐκ ἔσται, εἴρηκε. καὶ ἡμῶν, φησίν, ἐπισυναγωγῆς ἐπ' αὐτόν. οὐ μικρὸν καὶ τοῦτο*. ὁρᾷς πῶς καὶ ἡ παραίνεσις πάλιν μετ' ἐγκωμίου καὶ προτροπῆς, τὸ πάντως μεθ' ἡμῶν αὐτὴν φαίνεσθαι τὸν Κύριον καὶ τοὺς ἁγίους πάντας; περὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἐνταῦθα διαλέγεται, καὶ περὶ τῆς ἐπισυναγωγῆς τῆς ἡμῶν. ὁμοῦ γὰρ ταῦτα ἔσται. ἐπαίρει τὴν διάνοιαν αὐτῶν· Εἰς τὸ μὴ σαλεύεσθαι, φησί, ταχέως ὑμᾶς. Μήτε θροεῖσθε, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου. Ἐνταῦθα δοκεῖ μοι αἰνίττεσθαι περιιέναι τινὰς ἐπιστολὴν πλάσαντας δῆθεν ἀπὸ τοῦ Παύλου, καὶ ταύτην ἐπιδεικνυμένους λέγειν, ὡς ἄρα ἐφέστηκε τοῦ Κυρίου ἡ ἡμέρα, ἵνα πολλοὺς ἐντεῦθεν πλανήσωσιν. ὥστε οὖν μὴ ἀπατηθῆναι, ἀσφαλίζεται αὐτοὺς ὁ Παῦλος δι' ὧν γράφει καὶ φησί· μὴ θροεῖσθε μήτε διὰ πνεύματος, μήτε διὰ

ἀπὸ

…ἐς ἀπόδει- …ἐν τῆς ἀνα- …άσεως.

λόγου. ὃ δὲ λέγει, τοῦτό ἐστι· κἂν τις πνεῦμα προφητείας ἔχων τοῦτο εἴπῃ, μὴ πιστεύσητε. ὅτι γὰρ ἡμῶν πρὸς ὑμᾶς, ταῦτα εἴπομεν ὑμῖν. ὥστε οὐ δεῖ μεταπείθεσθαι, ἀφ' ὧν ἐδιδάχθητε. διὰ πνεύματος, τοὺς ψευδοπροφήτας οὕτω καλεῖ πνεύματι ἀκαθάρτῳ λαλοῦντας, ἃ περιελάλουν. βουλόμενοι γὰρ οὗτοι μᾶλλον πιστευθῆναι, οὐ μόνον διὰ πιθανολογίας ἐπιχειρήσεων ἀπατᾶν (τοῦτο γὰρ ἐμφαίνει εἰπὼν, μήτε διὰ λόγου) ἀλλὰ καὶ πεπλασμένην ἐπιστολὴν ἐπεδείκνυον ὡς ἀπὸ τοῦ Παύλου τὸ αὐτὸ τοῦτο δηλοῦσαν. διὰ τοῦτο καὶ αὐτὸ ἐμφαίνων ἐπήγαγε, τὸ, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν. πανταχόθεν τοίνυν αὐτοὺς ἀσφαλισάμενος, ὑπὸ τὴν οἰκείαν γνώμην ἐκτίθεται, καὶ λέγει·

3 Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,

4 Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός. Περὶ τοῦ Ἀντιχρίστου ἐνταῦθα διαλέγεται, καὶ μεγάλα ἀποκαλύπτει μυστήρια. τί ἐστιν ἡ ἀποστασία; αὐτὸν καλεῖ τὸν Ἀντίχριστον ἀποστασίαν, ὡς πολλοὺς μέλλοντα ἀπολλύναι, καὶ ἀφιστᾶν.
Ματθ. κδ. δ. Ὥστε, φησὶ, σκανδαλισθῆναι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς. καὶ ἄνθρωπον ἁμαρτίας αὐτὸν καλεῖ. μυρία γὰρ ἐργάσεται, καὶ παρασκευάσει ἑτέρους ἐργάσασθαι δεινά. υἱὸν δὲ τῆς ἀπωλείας φησὶν αὐτὸν, διὰ τὸ καὶ αὐτὸν ἀπόλλυσθαι. τίς δὲ οὗτός ἐστιν; ἆρα ὁ Σατανᾶς; οὐδαμῶς· ἀλλ' ἄνθρωπός τις πᾶσαν αὐτοῦ δεχόμενος τὴν ἐνέργειαν. καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος, φησὶν, ὁ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα. οὐ γὰρ εἰς εἰδωλολατρείαν ἄξει ἐκεῖνος, ἀλλ' ἀντίθεός τις ἔσται, καὶ πάντας καταλύσει τοὺς θεοὺς, καὶ κελεύσει προσκυνεῖν αὐτὸν ἀντὶ τοῦ Θεοῦ. καὶ καθεσθήσεται εἰς τὸν ναὸν τοῦ Θεοῦ, οὐ τὸν ἐν Ἱεροσολύμοις μόνον, ἀλλὰ καὶ εἰς τὰς πανταχοῦ ἐκκλησίας. ἀποδεικνύντα, φησὶν, ἑαυτὸν Θεόν. οὐκ εἶπε, λέγοντα, ἀλλὰ, πειρώμενον ἀποδεικνύναι. καὶ γὰρ ἔργα μεγάλα ἐργάσεται, καὶ σημεῖα ἐπιδείξεται θαυμαστά.

5 Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν;

Ὁρᾷς ὅτι ἀναγκαῖον συνεχῶς ταῦτα λέγει, καὶ ἐπαντλεῖ τοῖς αὐτοῖς ῥήμασιν; ἰδοὺ γὰρ καὶ παρόντος ἤκουσαν ταῦτα λέγοντος, καὶ πάλιν ἐδεήθησαν ὑπομνήσεως. καθάπερ γὰρ περὶ
α. Θεσ. γ. δ. τῶν θλίψεων ἀκούσαντες (Καὶ γὰρ ὅτε ἦμεν, φησὶ, πρὸς ὑμᾶς, προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι) ὅμως ἐπελάθησαν, καὶ πάλιν αὐτοὺς ἀνεγείρει διὰ τῶν γραμμάτων· οὕτω καὶ περὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἀκούσαντες πάλιν ἐδέοντο γραμμάτων τῶν ῥυθμιζόντων αὐτούς. ἀναμιμνήσκει τοίνυν αὐτοὺς, καὶ δείκνυσιν ὅτι οὐδὲν ξένον λέγει, ἀλλ' ἅπερ ἀεὶ ἔλεγε.

ΗΘΙΚΟΝ

Καθάπερ γὰρ ἐπὶ τῶν γεωργῶν τὰ σπέρματα καταβάλλεται μὲν ἅπαξ, οὐ μένει δὲ διαπαντὸς, ἀλλὰ πολλῆς δεῖται τῆς συγκατασκευῆς, κἂν μὴ τὴν γῆν ἀναμοχλεύσαντες περιστείλωσι τὰ καταβληθέντα, τοῖς σπερμολόγοις ὀρνέοις ἔσται βορά· οὕτω καὶ ἡμεῖς, ἂν μὴ τῇ συνεχεῖ μνήμῃ τὰ καταβληθέντα περιστείλωμεν, εἰς τὸν ἀέρα πάντα ἐρρίψαμεν. καὶ γὰρ καὶ ὁ διάβολος ἐξαρπάζει, καὶ ἡ ἡμετέρα ῥᾳθυμία ἀπόλλυσι, καὶ ἥλιος ξηραίνει, καὶ ὑετὸς ἐπικλύζει, καὶ ἄκανθαι ἀποπνίγουσιν. ὥστε οὐκ ἀρκεῖ μόνον ἅπαξ καταβαλόντα ἀπηλλάχθαι, ἀλλὰ πολλῆς δεῖ τῆς ἐπιμελείας καὶ τῆς προσεδρείας τῷ μέλλοντι τοὺς καρποὺς συγκομίζειν, ἀποσοβοῦντι τὰ πετεινὰ, τὰς ἀκάνθας ἐκκόπτοντι, τὰ πετρώδη γῆς πληροῦντι πολλῆς, πᾶσαν λύμην κωλύοντι καὶ ἀποτειχίζοντι καὶ ἀναιροῦντι. ἀλλ' ἐπὶ μὲν τῆς γῆς τὸ πᾶν τοῦ γεωργοῦ γίνεται. ἄψυχος γὰρ ἐκείνη ὑπόκειται, πρὸς τὸ παθεῖν ἕτοιμος οὖσα μόνον. ἐπὶ δὲ ταύτης τῆς γῆς τῆς πνευματικῆς οὐδαμῶς. οὐ τῶν διδασκάλων ἐστὶ τὸ πᾶν· ἀλλ' εἰ μὴ τὸ πλέον, τὸ γοῦν ἥμισυ καὶ τῶν μαθητῶν. ἡμῶν μὲν δεῖ καταβαλεῖν ἐπὶ τὸν σπό-

ἐστὶν ὑμῖν δὲ ποιεῖν τὰ λεγόμενα, τῇ μνήμῃ διὰ τῶν ἔργων ἐπιδείκνυσθαι τοὺς καρποὺς, τὰς ἀκάνθας προρρίζους ἀνασπᾶν. ἄκανθαι γὰρ ὄντως ὁ πλοῦτος, οὐδένα καρπὸν ἔχων, δυσειδὴς δὲ ὀφθῆναι, καὶ χρήσασθαι ἀηδὴς, λυπῶν τοὺς ἀπολαύοντας, οὐ μόνον αὐτὸς οὐκ ἔχων καρπὸν, ἀλλὰ καὶ τῷ βλαστάνοντι ἐμποδίζων. τοιοῦτόν ἐστιν ὁ πλοῦτος· οὐ μόνον αὐτὸς οὐ φέρει καρπὸν αἰώνιον, ἀλλὰ καὶ τοὺς βουλομένους κατέχων ἐμποδίζει. ἃ λέγων εἰσὶ τροφαὶ αἱ ἄκανθαι καμήλων πρὸς [εἰσὶ] βρῶσιν καὶ δαπάνην πρὸς οὐδὲν χρήσιμοι. τοιοῦτον καὶ ὁ πλοῦτος, πρὸς οὐδὲν χρήσιμος, ἀλλ' ἢ πρὸς τὸ καῦσαι κάμινον, πρὸς τὸ τὴν ἡμέραν ἀνάψαι ἐκείνην τὴν ὡς κλίβανον καιομένην, πρὸς τὸ θρέψαι τὰ ἄλογα πάθη, μνησικακίαν καὶ ὀργήν. τοιοῦτον γὰρ καὶ ἡ ἐσθίουσα κάμηλος τὰς ἀκάνθας. λέγεται γὰρ ὑπὸ τῶν τὰ τοιαῦτα εἰδότων μηδὲν εἶναι ἐν τοῖς κτήνεσιν οὕτω βαρύμηνιν καὶ δύσθυμον καὶ μνησίκακον, ὡς ἡ κάμηλος. τοιοῦτον ὁ πλοῦτός ἐστι· τὰ ἄλογα τὰ πάθη τρέφει τῆς ψυχῆς, τὰ ὑλικὰ κεντεῖ καὶ τιτρώσκει, καθάπερ ἐπὶ τῶν ἀκανθῶν. σκληρόν τι ἐστι καὶ τραχὺ τοῦτο τὸ φυτὸν, αὐτόματον φύεται. ἴδωμεν δὲ καὶ ποῦ φύεται, ἵνα ἐκκόψωμεν αὐτό. ἐν τοῖς ἀποκρήμνοις τῶν χωρίων, ἐν τοῖς λιθώδεσιν, ἐν τοῖς ξηροῖς, ἔνθα νοτὶς οὐκ ἔστιν. ὅταν οὖν τραχύς τις ᾖ καὶ ἀπόκρημνος, τουτέστιν, ἀνελεήμων, ἡ ἄκανθα φύεται ἐν αὐτῷ. ἀλλ' ὅταν αὐτὰς ἐκκόψαι βούλωνται γεωργῶν παῖδες, οὐ σιδήρῳ τοῦτο ποιοῦσιν, ἀλλὰ πανταχοῦ πῦρ ἐπαφιέντες, οὕτω πᾶσαν ἐξέλκουσι τὴν κακίαν τῆς γῆς. ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ τὸ τεμεῖν ἄνωθεν, τῆς ῥίζης κάτω μενούσης, ἀλλ' οὐδὲ τὴν ῥίζαν ἐξελεῖν (ἀπὸ γὰρ τῆς κακίας ἐναπομένει τῇ γῇ, καὶ καθάπερ τοῖς λοιμοῦ εἰς σῶμα ἐνσκήψαντος ἐπιμένει τὰ λείψανα) πᾶσαν ἐκείνην τὴν νοτίδα τὴν τῶν ἀκανθῶν τὸ πῦρ ἄνωθεν ἀνιμώμενον, ὥσπερ τινὰ ἰὸν, ἐξέλκει διὰ τῆς θερμότητος ἀπὸ τῶν λαγόνων τῆς γῆς. καθάπερ γὰρ ἡ σικύα ἐπιτιθεμένη πᾶσαν κακίαν ἕλκει πρὸς ἑαυτὴν, οὕτω καὶ τὸ πῦρ πᾶσαν κακίαν τὴν ἐκ τῶν ἀκανθῶν ἀνιμᾶται, καὶ καθαρὰν αὐτὴν ποιεῖ. τίνος ἕνεκεν ταῦτα εἶπον; ὅτι δεῖ τὴν πρὸς τὸν πλοῦτον συμπάθειαν πάντοθεν ἐκκαθαίρειν. ἔστι καὶ παρ' ἡμῖν πῦρ, ἀπὸ ψυχῆς ταύτην ἕλκον τὴν κακίαν, τὸ τοῦ πνεύματος λέγω. ἂν τοῦτο ἐπαφῶμεν, οὐ τὰς ἀκάνθας μόνον, ἀλλὰ καὶ τὴν ἐξ αὐτῶν νοτίδα ἀναξηραίνειν δυνησόμεθα· ὡς ἐὰν ὦσιν ἐμπεπηγυῖαι, πάντα γέγονε μάτην. ὅρα γάρ· εἰσῆλθε πλούσιος ἐνταῦθα, ἢ καὶ πλουτοῦσα γυνή; οὐ φροντίζει πῶς ἀκούσῃ τῶν λογίων τοῦ Θεοῦ· ἀλλὰ πῶς ἐπιδείξεται, πῶς μετὰ πομπῆς καθίσῃ, πῶς μετὰ δόξης πολλῆς, πῶς πάσας τὰς ἄλλας ὑπερβάλληται τῇ τῶν ἱματίων πολυτελείᾳ, καὶ σχήματι καὶ βλέμματι καὶ βαδίσματι σεμνοτέραν ἑαυτὴν ἐργάσηται. καὶ πᾶσα ἡ φροντὶς καὶ ἡ μέριμνα αὕτη, ἆρα εἶδεν ἡ δεῖνα; ἆρα ἐθαύμασεν; ἆρα καλῶς κεκαλλώπισμαι; ὥστε μὴ σαπῶσι τὰ ἱμάτια, ὥστε μὴ διαρραγῶσι; καὶ πᾶσα ἡ φροντὶς περὶ τούτων. ὁμοίως καὶ ὁ πλουτῶν ἀνὴρ εἰσέρχεται δείξων ἑαυτὸν τῷ πένητι, καὶ εἰς φόβον καταστήσων διὰ τῆς περιβολῆς τῶν ἱματίων, διὰ τὸ παῖδας ἔχειν πολλούς· οἳ καὶ παρεστήκασιν ἀποσοβοῦντες. ὁ δὲ ἀπὸ πολλοῦ τύφου οὐδὲ τοῦτο καταξιοῖ ποιεῖν· ἀλλ' οὕτως οἶδεν ἀνάξιον ὂν ἐλευθέρου τὸ ἔργον, ὅτι καίτοι σφόδρα τετυφωμένος οὐκ ἀνέχεται τοῦτο ποιεῖν, ἀλλὰ τοῖς δούλοις ἐπιτρέπει, τοῖς ἀκολούθοις. τὸ γὰρ τοῦτο ποιεῖν, δουλικὸν εἶναί πως, καὶ ἱταμῶν ἠθῶν. εἶτα καθήμενοι εὐθέως ἐπεισέρχονται αἱ τῆς οἰκίας φροντίδες περισύρουσαι * πανταχοῦ, ὁ τῦφος ὁ κατέχων τὴν ψυχὴν περιρρεῖ. νομίζει χαρίζεσθαι καὶ ἡμῖν, καὶ τῷ λαῷ, τάχα δὲ καὶ τῷ Θεῷ, ὅτι εἰσῆλθεν εἰς τὸν τοῦ Θεοῦ οἶκον. ὁ δὲ οὕτω φλεγμαίνων, πῶς δυνήσεται θεραπευθῆναί ποτε; εἰπὲ δή μοι, εἴ τις εἰς ἰατρεῖον παραγένοιτο, καὶ μὴ χάριν αἰτεῖ τὸν ἰατρὸν, ἀλλὰ νομίζει χαρίζεσθαι ἐκείνῳ, καὶ ἀφεὶς φάρμακον αἰτῆσαι ἐπὶ τὸ τραῦμα, περὶ ἱμάτια ἀσχολοῖτο, ἆρα ἀπέλθοι τι ἂν ὁ τοιοῦτος λαβὼν ἀγαθόν; οὐκ ἔγωγε οἶμαι. τὸ δὲ αἴτιον τούτων ἁπάντων, εἰ βούλεσθε, ἐρῶ. νομίζουσι πρὸς ἡμᾶς εἰσιέναι, ὅταν εἰσίωσιν ἐνταῦθα, νομίζουσι παρ' ἡμῶν ἀκούειν ἅπερ

ἀκούουσι. οὐ προσέχουσιν, οὐκ ἐννοοῦσιν ὅτι πρὸς τὸν Θεὸν εἰσέρχονται, ὅτι αὐτὸς αὐτοῖς διαλέγεται. ὅταν γὰρ ἀναστὰς ὁ ἀναγινώσκων λέγῃ, τάδε λέγει Κύριος· καὶ ὁ διάκονος ἑστὼς ἐπιστομίζῃ πάντας, οὐ τῷ ἀναγινώσκοντι τιμὴν ποιῶν τοῦτό φησιν, ἀλλὰ τῷ δι' ἐκείνου πᾶσι διαλεγομένῳ. εἰ ᾔδεισαν ὅτι Θεός ἐστιν ὁ ταῦτα λέγων διὰ τοῦ προφήτου, πάντως ἂν τὸν τῦφον ἔρριψαν. εἰ γὰρ ἀρχόντων αὐτοῖς διαλεγομένων οὐκ ἀνέχονται ἔξω προσέχειν, πολλῷ μᾶλλον τοῦ Θεοῦ. ἡμεῖς οὐκ ἀπρεπεῖς ἐσμεν, ἀγαπητοί· ἡμεῖς οὐ τὰ ἡμέτερα λέγομεν, ἀλλὰ τὰ τοῦ Θεοῦ. ἐπιστολαὶ καθ' ἑκάστην ἡμέραν ἀπὸ τοῦ οὐρανοῦ ἥκουσαι ἀναγινώσκονται. εἰπὲ δή μοι, παρακαλῶ· εἴ τις ἄρτι παρόντων ἡμῶν πάντων εἰσῆλθεν ἔχων ζώνην χρυσῆν, καὶ ἀνατεταμένος καὶ σοβῶν ἔφησε πεμφθῆναι παρὰ τοῦ βασιλέως τοῦ ἐπὶ τῆς γῆς, καὶ πρὸς τὴν πόλιν ἅπασαν τὴν ἐπιστολὴν κομίζειν περί τινων ἀναγκαίων, ἆρα οὐκ ἂν ἅπαντες συνεστράφητε; ἆρα οὐκ ἂν καὶ τοῦ διακόνου μὴ παρακελευομένου πολλὴν παρείχετε τὴν σιγήν; ἔγωγε οἶμαι. καὶ γὰρ ἤκουσα ἐπιστολῶν βασιλέων ἀναγινωσκομένων ἐν τούτῳ. εἶτ' ἂν μέν τις παρὰ βασιλέως ἥκῃ, πολύ τις προσέχετε· παρὰ δὲ τοῦ Θεοῦ ἥκει, καὶ ἐκ τῶν οὐρανῶν φθέγγεται ὁ προφήτης, καὶ οὐδεὶς ὁ προσέχων; ἢ οὐ πιστεύετε, ὅτι παρὰ τοῦ Θεοῦ ταῦτά ἐστι τὰ λεγόμενα; ἐπιστολαὶ αὐταί εἰσι πεμφθεῖσαι παρὰ τοῦ Θεοῦ. εἰσερχώμεθα τοίνυν μετὰ τῆς προσηκούσης τιμῆς εἰς τὰς ἐκκλησίας, καὶ μετὰ φόβου ἐπακούωμεν τῶν λεγομένων. τί εἰσέρχομαι, φησίν, εἰ οὐκ ἀκούω τινὸς ὁμιλοῦντος; τοῦτο πάντα ἀπώλεσε καὶ διέφθειρε. τίς γὰρ χρεία ὁμιλητοῦ; ἀπὸ τῆς ἡμετέρας ῥαθυμίας αὕτη ἡ χρεία γέγονε. διὰ τί γὰρ ὁμιλίας χρεία; πάντα σαφῆ καὶ εὐθέα τὰ παρὰ ταῖς θείαις γραφαῖς· πάντα τὰ ἀναγκαῖα δῆλα. ἀλλ' ἐπειδὴ τέρψεώς ἐστε ἀκροαταί, διὰ τοῦτο καὶ ταῦτα ζητεῖτε. εἰπὲ γάρ μοι, ποίῳ κόμπῳ λόγου Παῦλος ἔλεγεν; ἀλλ' ὅμως τὴν οἰκουμένην ἐπέστρεψε. ποίῳ δὲ Πέτρος ὁ ἀγράμματος; ἀλλ' οὐκ οἶδα, φησί, τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα. διὰ τί οὐκ οἶδας; μὴ γὰρ Ἑβραϊστί, μὴ γὰρ Ῥωμαϊστί, μὴ γὰρ ἑτερογλώσσως εἴρηται; οὐχὶ Ἑλληνιστὶ λέγεται; ἀλλ' ἀσαφῶς, φησί. ποῖον ἀσαφές, εἰπέ μοι; οὐχὶ ἱστορίαι εἰσί; τὰ γὰρ σαφῆ οἶδας, ἵνα περὶ τῶν ἀσαφῶν ἐρωτήσῃς. μυρίαι ἱστορίαι εἰσὶν ἐν ταῖς γραφαῖς. εἰπέ μοι μίαν ἐξ ἐκείνων. ἀλλ' οὐκ ἐρεῖς. πρόφασις ταῦτα, καὶ λόγοι. καθ' ἡμέραν, φησί, τὰ αὐτά ἐστιν ἀκούειν. τί δέ, εἰπέ μοι, ἐν τοῖς θεάτροις οὐ τὰ αὐτὰ ἀκούεις; ἐν ταῖς ἱπποδρομίαις οὐ τὰ αὐτὰ ὁρᾷς; τὰ δὲ πράγματα πάντα οὐ τὰ αὐτά ἐστιν; ὁ δὲ ἥλιος οὐχ ὁ αὐτὸς ἀεὶ ἀνατέλλει; τροφαῖς δὲ οὐ ταῖς αὐταῖς χρώμεθα; ἐβουλόμην σου πυθέσθαι, ἐπειδὴ τὰ αὐτὰ λέγεις ἀκούειν καθ' ἑκάστην ἡμέραν, εἰπέ μοι, ποίου προφήτου ἐστὶ τὸ χωρίον τὸ ἀναγνωσθέν, καὶ ποίου ἀποστόλου, ἢ ποίας ἐπιστολῆς· ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν, ἀλλὰ δοκεῖς ξένων ἀκούειν. ὅταν μὲν οὖν ῥαθυμῆσαι θέλῃς, τὰ αὐτὰ λέγεις εἶναι· ὅταν δὲ ἐρωτηθῇς, ὡς οὐδέποτε ἀκούσας διάκεισαι. εἰ τὰ αὐτά ἐστιν, ἐχρῆν αὐτὰ εἰδέναι· σὺ δὲ ἀγνοεῖς. θρήνων ἄξια τὰ παρόντα, θρήνων καὶ ὀδυρμῶν, ὅτι εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ. ταύτῃ μάλιστα ἐχρῆν προσέχειν, ὅτι τὰ αὐτά ἐστιν, ὅτι οὐδένα παρέχομεν ὑμῖν πόνον, οὐδὲ ξένα τινὰ καὶ ἐνηλλαγμένα λέγομεν. τί οὖν; ἐπειδὴ ἐκεῖνα τὰ αὐτὰ λέγεις εἶναι, τὰ δὲ ἡμέτερα οὐ τὰ αὐτά ἐστιν, ἀλλ' ἀεὶ ξένα λέγομεν, τούτοις προσέχετε; οὐδαμῶς. ἀλλ' ἂν μὲν εἴπωμεν, διὰ τί οὐδὲ ταῦτα κατέχετε; ἅπαξ, φησίν, ἀκούομεν, καὶ πῶς ἔνι κατασχεῖν; ἂν εἴπωμεν, ἐκείνοις διὰ τί οὐ προσέχετε; φατέ, ἀεὶ τὰ αὐτὰ λέγεται· καὶ πανταχόθεν ῥαθυμίας καὶ σκήψεως τὰ ῥήματα. ἀλλ' οὐ παραχωρήσει ταῦτα διαπαντός, ἀλλ' ἔσται καιρός, ὅτε θρηνήσομεν εἰκῇ, καὶ μάτην· ὅπερ μὴ γένοιτο· ἀλλὰ γένοιτο ἐνταῦθα μετανοήσαντας, καὶ μετὰ συνέσεως καὶ μετ' εὐλαβείας προσέχοντας τοῖς λεγομένοις, πρὸς τὴν τῶν ἀγαθῶν ἔργων κατόρθωσιν ἐπείγεσθαι, καὶ μετὰ πάσης ἀκριβείας τὸν ἑαυτῶν βίον εὐθύνειν, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ις 6 ΚΑΙ ΝΥΝ ΤΟ ΚΑΤΕΧΟΝ ΟΙΔΑΤΕ, ΕΙΣ τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. (7 Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται.)
8 Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος Ἰησοῦς ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· 9 Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ.

Ζητήσειεν ἄν τις ἐνταῦθα εἰκότως, τί ποτέ ἐστι, τὸ κατέχον, καὶ μετὰ ταῦτα μαθεῖν, τί δήποτε ἀσαφῶς οὕτως αὐτὸ τέθεικεν ὁ Παῦλος. τί δήποτ' οὖν ἐστι τὸ κατέχον ἀποκαλυφθῆναι αὐτόν, τουτέστι, τὸ κωλύον; οἱ μὲν τοῦ πνεύματος τὴν χάριν φασίν, οἱ δὲ τὴν Ῥωμαϊκὴν ἀρχήν· οἷς ἔγωγε μάλιστα τίθεμαι. διὰ τί; ὅτι εἰ τὸ πνεῦμα ἐβούλετο εἰπεῖν, οὐκ ἂν εἶπεν ἀσαφῶς, ἀλλὰ φανερῶς, ὅτι καὶ νῦν αὐτὸν κατέχει ἡ τοῦ πνεύματος χάρις, τουτέστι, τὰ χαρίσματα. ἄλλως δὲ ἔδει ἤδη παραγενέσθαι, εἴ γε ἔμελλε τῶν χαρισμάτων ἐκλειπόντων παραγενέσθαι. καὶ γὰρ πάλαι ἐκλέλοιπεν. ἐπεὶ δὲ περὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς τοῦτό φησιν, εἰκότως ᾐνίξατο, καὶ πως φησὶ συνεσκιασμένως. οὐδὲ γὰρ ἐβούλετο περιττὰς ἔχθρας ἀναδέχεσθαι, καὶ ἀνονήτους κινδύνους. εἰ γὰρ εἶπεν, ὅτι μικρὸν ὕστερον καταλυθήσεται ἡ Ῥωμαίων ἀρχή, ἤδη εὐθέως ἂν αὐτὸν καὶ κατώρυξαν, ὡς λυμεῶνα, καὶ τοὺς πιστοὺς ἅπαντας, ὡς ἐπὶ τούτῳ ζῶντας, καὶ στρατευομένους. διὰ τοῦτο οὐκ εἶπεν οὕτως, οὐδὲ ὅτι ταχέως ἔσται, καίτοιγε ἀεὶ αὐτὸ λέγει· ἀλλὰ τί; εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ, φησί. τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας. Νέρωνα ἐνταῦθά φησιν, ὡσανεὶ τύπον ὄντα τοῦ Ἀντιχρίστου. καὶ γὰρ οὗτος ἐβούλετο νομίζεσθαι Θεός. καὶ καλῶς εἶπε τὸ μυστήριον. οὐ γὰρ φανερῶς, ὡς ἐκεῖνος, οὐδὲ ἀπηρυθριασμένως. εἰ γὰρ πρὸ τοῦ χρόνου ἐκείνου ἀνευρέθη, φησίν, ὃς οὐ πολὺ τοῦ Ἀντιχρίστου ἐλείπετο κατὰ τὴν κακίαν, τί θαυμαστόν, εἰ ἤδη ἔσται; οὕτω δὴ συνεσκιασμένως εἶπε, καὶ φανερὸν αὐτὸν οὐκ ἠθέλησε ποιῆσαι, οὐ διὰ δειλίαν, ἀλλὰ παιδεύων ἡμᾶς μὴ περιττὰς ἔχθρας ἀναδέχεσθαι, ὅταν μηδὲν ᾖ τὸ κατεπεῖγον. οὕτω δὴ καὶ ἐνταῦθά φησι· μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· τουτέστιν, ἡ ἀρχὴ ἡ Ῥωμαϊκὴ ὅταν ἀρθῇ ἐκ μέσου, τότε ἐκεῖνος ἥξει. καὶ εἰκότως. ἕως γὰρ ἂν ὁ ταύτης ᾖ τῆς ἀρχῆς φόβος, οὐδεὶς ταχέως ὑποταγήσεται. ὅταν δὲ αὕτη καταλυθῇ, ἐπιθήσεται τῇ ἀναρχίᾳ, καὶ τὴν τῶν ἀνθρώπων, καὶ τὴν τοῦ Θεοῦ ἐπιχειρήσει ἁρπάσαι ἀρχήν. ὥσπερ γὰρ αἱ πρὸ τούτου κατελύθησαν βασιλεῖαι, οἷον ἡ Μήδων ὑπὸ τῶν Βαβυλωνίων, ἡ Βαβυλωνίων ὑπὸ Περσῶν, ἡ Περσῶν ὑπὸ Μακεδόνων, ἡ Μακεδόνων ὑπὸ Ῥωμαίων· οὕτω καὶ αὕτη ὑπὸ τοῦ Ἀντιχρίστου, κἀκεῖνος ὑπὸ τοῦ Χριστοῦ, καὶ οὐκέτι καθέξει. καὶ ταῦτα μετὰ πολλῆς τῆς σαφηνείας ὁ Δανιὴλ ἡμῖν παρακατατίθεται. καὶ τότε, φησίν, ἀποκαλυφθήσεται ὁ ἄνομος. καὶ τί μετὰ ταῦτα; εὐθέως ἡ παραμυθία. ἐπάγει γάρ· ὃν ὁ Κύριος Ἰησοῦς, φησίν, ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ. καθάπερ γὰρ πῦρ ἐπελθὸν ἁπλῶς τὰ μικρὰ ζωΰφια, καὶ πρὸ τῆς παρουσίας αὐτῆς πόρρωθεν ὄντα ναρκᾶν ποιεῖ καὶ ἀναλίσκει· οὕτω καὶ ὁ Χριστὸς τῷ ἐπιτάγματι μόνον καὶ τῇ παρουσίᾳ τὸν Ἀντίχριστον ἀναλώσει. ἀρκεῖ παραγενέσθαι αὐτόν, καὶ ταῦτα πάντα ἀπόλωλε. στήσει τὴν ἀπάτην, καὶ φανεὶς μόνον. εἶτα δηλοῖ τίς ἐστιν οὗτος, οὗ ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ·

Ἐν πάσῃ δυνάμει, φησί, καὶ σημείοις, καὶ τέρασι ψεύδους· Τουτέστι, πᾶσαν ἐπιδείξεται δύναμιν, ἀλλ' οὐδὲν ἀληθές, ἀλλὰ πρὸς ἀπάτην τὰ πάντα. ταῦτα προσέθηκεν, ἵνα

ἵνα μὴ ἀπατηθῶσιν οἱ τότε. καὶ τέρασι, φησὶ, ψευδέσιν· ἤτοι διεψευσμένοις, ἢ εἰς ψεῦδος ἄγουσι.

10 Καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις.

Τί οὖν συνεχώρησε, φησὶν, ὁ Θεὸς τοῦτο γενέσθαι; καὶ ποία αὕτη οἰκονομία; τί δὲ τὸ κέρδος τῆς ἐκείνου παρουσίας ἐπὶ λύμῃ ἡμῶν παραγινομένης; μὴ φοβηθῇς, ἀγαπητὲ, ἀλλ' ἄκουε λέγοντος αὐτοῦ, ἐν τοῖς ἀπολλυμένοις ἰσχύει οἳ, εἰ καὶ μὴ παρεγένετο ἐκεῖνος, οὐκ ἂν ἐπίστευσαν. τί οὖν τὸ κέρδος, φησὶν; ὅτι αὐτοὶ οὗτοι οἱ ἀπολλύμενοι ἐπιστομισθήσονται. πῶς; ὅτι εἰ καὶ μὴ ἦλθεν ἐκεῖνος, οὐκ ἂν ἐπίστευσαν τῷ Χριστῷ. ἔρχεται οὖν ἐλέγχων αὐτούς. ἵνα γὰρ μὴ μέλλωσι λέγειν, ὅτι ἐπειδὴ Θεὸν ἔλεγεν ἑαυτὸν ὁ Χριστὸς, καίτοιγε οὐδαμοῦ εἶπε φανερῶς, πλὴν ἀλλ' ἐπειδὴ οἱ μετὰ ταῦτα ἐκήρυξαν, οὐκ ἐπιστεύσαμεν, ἐπειδὴ ἠκούσαμεν ὅτι εἷς Θεὸς ἐξ οὗ τὰ πάντα, διὰ τοῦτο οὐκ ἐπιστεύσαμεν· ταύτην οὖν αὐτῶν τὴν πρόφασιν ὁ Ἀντίχριστος ἀφαιρήσει. ὅταν γὰρ ἔλθοι ἐκεῖνος, καὶ οὐδὲν ἐπιτάττων ὑγιὲς, ἀλλὰ πάντα παράνομα, ἀπὸ σημείων μόνων ψευδῶν πιστεύηται, ἀποῤῥαφήσεται τὸ στόμα αὐτοῖς. εἰ γὰρ τῷ Χριστῷ οὐ πιστεύεις, πολλῷ μᾶλλον οὐκ ἔχρην τῷ Ἀντιχρίστῳ πιστεῦσαι. ἐκεῖνος μὲν γὰρ ἔλεγε παρὰ τοῦ πατρὸς πεπέμφθαι, οὗτος δὲ τοὐναντίον. διὰ τοῦτο ἔλεγεν ὁ Χριστὸς, Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. ἀλλὰ σημεῖα εἴδομεν, φησίν. ἀλλὰ καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε πολλὰ, καὶ μεγάλα. οὐκοῦν πολλῷ μᾶλλον αὐτῷ πιστεῦσαι ἔχρην. καίτοι περὶ μὲν τούτου πολλὰ προεῤῥήθη, ὅτι ὁ ἄνομος, ὅτι ὁ υἱὸς τῆς ἀπωλείας, ὅτι ἡ παρουσία αὐτοῦ κατ' ἐνέργειαν τοῦ Σατανᾶ· περὶ δὲ ἐκείνου τὰ ἐναντία, ὅτι σωτὴρ, ὅτι μυρία ἀγαθὰ κομίζει.

Ιωαν. ε. μγ.

Ἀνθ' ὧν γὰρ τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς.

11 Διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει·

12 Ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. Ἵνα κριθῶσιν. οὐκ εἶπεν, ἵνα κολασθῶσι (καὶ γὰρ καὶ χωρὶς τούτου ἔμελλον κολάζεσθαι) ἀλλ' ἵνα κριθῶσι, τουτέστι, κατακριθῶσιν ἐπὶ τοῦ δικαστηρίου τοῦ φοβεροῦ, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. τίνες δέ εἰσιν οὗτοι; αὐτὸς ἑρμηνεύων ἐπάγει, οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. ἀγάπην δὲ ἀληθείας τὸν Χριστὸν καλεῖ. ἀνθ' ὧν γὰρ, φησὶ, τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο. ἀμφότερα γὰρ ἦν, καὶ δι' ἀμφότερα παρεγένετο, καὶ ἀγαπῶν τοὺς ἀνθρώπους, καὶ ὑπὲρ ἀληθῶν πραγμάτων. ἀλλ' εὐδοκήσαντες, φησὶν, ἐν τῇ ἀδικίᾳ. ἐπὶ γὰρ λύμῃ τῶν ἀνθρώπων ἦλθε, καὶ ἀδικήσων αὐτούς. τί γὰρ οὐκ ἐργάσεται τότε; πάντα κινήσει, πάντα ταράξει, καὶ ἐπιταγμάτων ἕνεκεν, καὶ φόβου. φοβερὸς ἔσται πάντοθεν, ἀπὸ τῆς ἐξουσίας, ἀπὸ τῆς ὠμότητος, ἀπὸ τῶν παρανόμων ἐπιταγμάτων. ἀλλὰ μὴ δείσῃς ἐν τοῖς ἀπολλυμένοις, φησὶν, ἕξει τὴν ἰσχύν. καὶ γὰρ καὶ ὁ Ἠλίας ἥξει τότε τοὺς πιστοὺς ἀσφαλιζόμενος. καὶ τοῦτο ὁ Χριστός φησιν, Ἠλίας ἔρχεται, καὶ ἀποκαταστήσει πάντα. διὰ τοῦτο εἴρηται περὶ Ἰωάννου δὲ, Ἐν δυνάμει καὶ πνεύματι Ἠλίου. οὐ γὰρ σημεῖα εἰργάσατο, καθάπερ Ἠλίας, οὔτε θαύματα. Ἰωάννης μὲν γὰρ, φησὶ, σημεῖον ἐποίησεν οὐδὲν· πάντα δὲ, ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν. πῶς οὖν ἐν δυνάμει καὶ πνεύματι Ἠλίου; τουτέστι, τὴν αὐτὴν ἀναδεξάμενος διακονίαν. καθάπερ οὗτος πρόδρομος τῆς προτέρας παρουσίας, οὕτω κἀκεῖνος πρόδρομος τῆς δευτέρας καὶ ἐνδόξου αὐτοῦ παρουσίας, καὶ εἰς τοῦτο φυλάττεται. μὴ τοίνυν δείσωμεν. κατέστειλε τῶν ἀκροατῶν τὴν ἀγωνίαν, οὐκέτι ἐποίησε δεινὰ τὰ παρόντα νομίζειν, ἀλλ' εὐχαριστίας ἄξια. διόπερ ἐπήγαγεν·

Ματθ. ιζ. ια.
Μαλ. δ. ε.
Λουκ. α. ιζ.
Ιωαν. ι. μα.

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας. Πῶς εἰς σωτηρίαν εἵλετο; δείκνυσιν εἰπὼν, ἐν ἁγιασμῷ πνεύματος,

ματος, τουτέστιν, ἁγιάσαι διὰ πνεύματος καὶ πίστεως ἀληθοῦς. ἁγιάσαι ὑμᾶς διὰ τοῦ πνεύματος. ταῦτα γὰρ ἡμῶν ἐστι τὰ συνεκτικὰ τῆς σωτηρίας· οὐδαμοῦ ἀπὸ ἔργων, οὐδαμοῦ ἀπὸ κατορθωμάτων, ἀλλὰ διὰ πίστεως ἀληθείας. ἰδοὺ τὸ, ἐν, πάλιν, διά ἐστιν. ἐν ἁγιασμῷ πνεύματος, φησιν,

14 Εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐ μικρὸν καὶ τοῦτο, εἰ αὐτοῦ δόξαν τὴν ἡμετέραν σωτηρίαν ἡγεῖται ὁ Χριστός. δόξα γὰρ τοῦ φιλανθρώπου, τὸ πολλοὺς εἶναι τοὺς σωζομένους. ἄρα μέγας ἡμῶν ὁ Κύριος, εἰ οὕτως ἐφίεται τῆς σωτηρίας ἡμῶν· μέγα δὲ τὸ πνεῦμα τὸ ἅγιον ἐργαζόμενον ἡμῖν τὸν ἁγιασμόν. διατί οὐ πρότερον εἶπε τὴν πίστιν, ἀλλὰ τὸν ἁγιασμόν; ὅτι καὶ μετὰ τὸν ἁγιασμὸν πολλῆς αὐτῆς ἔτι δεόμεθα, ὥστε μὴ περισαλευθῆναι. ὁρᾷς πῶς οὐδὲν αὐτῶν δείκνυσιν ὄν, ἀλλὰ τὸ πᾶν τοῦ Θεοῦ;

15 Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. Ἐντεῦθεν δῆλον ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα, καὶ ταῦτά ἐστιν ἀξιόπιστα. ὥστε καὶ τὴν παράδοσιν τῆς ἐκκλησίας ἀξιόπιστον ἡγώμεθα. παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει. δείκνυσιν ἐνταῦθα πολλοὺς ὄντας τοὺς περισαλευομένους.

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ ὁ Θεὸς καὶ πατὴρ * ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰώνιον καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,

17 Παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ.

Πάλιν εὐχὴ μετὰ παραινέσεως· τοῦτο γάρ ἐστιν ὄντως βοηθεῖν. ὁ ἀγαπήσας ἡμᾶς, φησι, καὶ δοὺς παράκλησιν αἰώνιον καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι. ποῦ νῦν εἰσὶν οἱ τὸν υἱὸν ἐλαττοῦντες, ἐπειδὴ μετὰ τὸν πατέρα ἐν τῇ χάριτι τοῦ λουτροῦ ὀνομάζεται; ἰδοὺ γὰρ ἐνταῦθα τοὐναντίον ἐστίν. αὐτὸς φησι πρῶτον, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· εἶτα, ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰώνιον. ποίαν δὴ ταύτην; τὴν ἐλπίδα τῶν μελλόντων. ὁρᾷς πῶς ἐν τάξει εὐχῆς διανίστησιν αὐτῶν τὴν διάνοιαν, τὰ τῆς κηδεμονίας τοῦ Θεοῦ τῆς ἀφάτου πάθους ἐνέχυρα, καὶ τεκμήρια; παρακαλέσαι, φησίν, ὑμῶν τὰς καρδίας ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ· τουτέστι, διὰ παντὸς ἔργου καὶ λόγου ἀγαθοῦ. χριστιανῶν γὰρ αὕτη παράκλησις, τὸ μὴ μόνον ποιῆσαί τι χρηστὸν βούλεσθαι, ἀλλὰ καὶ τῷ Θεῷ δοκοῦν. ὅρα πῶς αὐτῶν καταστέλλει τὸ φρόνημα. ὁ δοὺς παράκλησιν, φησι, καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, ἅμα καὶ εὐέλπιδας ὑπὲρ τῶν μελλόντων ποιεῖ. εἰ γὰρ τοσαῦτα χάριτι ἔδωκε, πολλῷ μᾶλλον τὰ μέλλοντα. ἐγὼ μέντοι οὕτως εἶπον, φησι, τὸ δὲ πᾶν τοῦ Θεοῦ ἐστι. στηρίξαι, βεβαιῶσαι, ὥστε μὴ σαλεύεσθαι, μηδὲ παρακλίνεσθαι. καὶ γὰρ ἡμῶν, καὶ αὐτοῦ τοῦτό ἐστιν. ὥστε καὶ δογμάτων, καὶ πράξεων ἕνεκεν. τοῦτο γάρ ἐστι παράκλησις, τὸ στηρίχθαι. ὅταν γάρ τις μὴ περιφέρηται, πάντα, ὅσαπερ ἂν πάθῃ, μετὰ πολλῆς φέρει τῆς μακροθυμίας· ὡς ἐὰν περισαλευθῇ ἡ διάνοια, οὐδὲν λοιπὸν ἐργάσεται τῶν ἀγαθῶν, καὶ γενναίων πράξεων, ἀλλ' ὡς ἄν τις τὰς χεῖρας ἐκλυθῇ, οὕτω καὶ ψυχὴ περισαλεύεται, ὅταν μὴ πεπιστευκυῖα ᾖ, ὅτι ἐπί τι χρηστὸν ἅπαντα τελεῖ.

1 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς. κεφ. γ. Αὐτὸς μὲν οὖν προσηύξατο περὶ αὐτῶν, ὥστε στηριχθῆναι. αἰτεῖ δὲ νῦν παρ' αὐτῶν, προσεύξασθαι ὑπὲρ αὐτοῦ ἀξιῶν, οὐχ ἵνα μὴ κινδυνεύῃ (εἰς τοῦτο γὰρ ἔκειτο) ἀλλ' ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς. καὶ μετ' ἐγκωμίου ἡ αἴτησις. καθάπερ, φησί, καὶ πρὸς ὑμᾶς.

2 Καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων. οὐ γὰρ πάντων ἡ πίστις. Τοῦτο δηλοῦντός ἐστι καὶ τοὺς αὐτοῦ κινδύνους. διὸ μάλιστα αὐτοὺς παρεκάλει. ἀπὸ τῶν ἀτόπων,

ἀτόπων, φησί, καὶ πονηρῶν ἀνθρώπων. οὐ γὰρ πάντων ἡ πίστις. ἄρα περὶ τῶν ἀντιλεγόντων τῷ κηρύγματι λέγει, περὶ τῶν αἰσθανομένων καὶ μαχομένων τοῖς δόγμασι. τοῦτο γὰρ ἠνίξατο εἰπών· οὐ γὰρ πάντων ἡ πίστις. οὐ κινδύνους ἐνταῦθα δέ μοι δοκεῖ αἰνίττεσθαι, ἀλλὰ τοὺς ἀντιλέγοντας, καὶ ἐμποδίζοντας αὐτοῦ τῷ λόγῳ, ὥσπερ ἦν ὁ Ὑμέναιος, ὥσπερ Ἀλέξανδρος ὁ χαλκεύς. 2.Τιμ.δ.ιε. Λίαν γάρ, φησιν, ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις· ὡς ἂν περὶ κλήρου εἴ ἔλεγέ τις πατρικοῦ, ὅτι οὐ πάντων ἐστὶ τὸ στρατεύεσθαι ἐν τοῖς βασιλείοις· οὕτω καὶ αὐτὸς ἀφ᾽ ὧν βούλεται ῥυσθῆναι πονηρῶν, εἰσὶ τοιοῦτοί, φησιν, οἷς δέδοται τὸ μὴ πιστεύειν. ἅμα δὲ τοῦτο λέγων καὶ διανίστησιν αὐτούς.

ΗΘΙΚΟΝ

Ἄρα μεγάλοι τινὲς ἦσαν, εἴγε τοσαύτην ἔχουσι παρρησίαν, ὡς δύνασθαι καὶ τὸν διδάσκαλον κινδύνων ἀπαλλάττειν, καὶ ἐκθυμιάζειν αὐτῷ τὸ κήρυγμα. οὐκοῦν καὶ ἡμεῖς τὰ αὐτὰ πρὸς ὑμᾶς λέγομεν. μηδεὶς ἡμῶν ἀπόνοιαν καταγινωσκέτω· μηδεὶς ὑμῶν ἐξ ἀμέτρου ταπεινοφροσύνης ἀποστερείτω ἡμᾶς τοσαύτης βοηθείας. οὔτε γὰρ ἀπὸ τῆς αὐτῆς διανοίας λέγομεν, ἀφ᾽ ἧς Παῦλος ἔλεγεν. ἐκεῖνος μὲν γὰρ παρακαλέσαι τοὺς μαθητὰς βουλόμενος, ταῦτα ἔλεγεν· ἡμεῖς δὲ καρπώσασθαί τι μέγα καὶ χρηστόν. καὶ σφόδρα πιστεύομεν ὅτι πάντα κατορθώσομεν, ἂν ἐθελήσητε πάντες ὁμοθυμαδὸν τὰς χεῖρας ἐκτείνειν πρὸς τὸν Θεὸν ὑπὲρ τῆς ἡμετέρας σμικρότητος. οὕτω πολεμοῦμεν τοῖς ἐχθροῖς, εὐχαῖς καὶ ἱκετηρίαις. εἰ γὰρ τοῖς ἐνόπλοις οὕτως ἐπολέμουν οἱ παλαιοί, πολλῷ μᾶλλον τοῖς χωρὶς ὅπλων οὕτω δεῖ πολεμεῖν. οὕτως ἐτροπώσατο Ἐζεκίας τοὺς Ἀσσυρίους, οὕτως ὁ Μωϋσῆς τὸν Ἀμαλήκ, οὕτω τοὺς Ἀσκαλωνίτας ὁ Σαμουήλ, οὕτως ὁ Ἰσραὴλ τοὺς τριάκοντα δύο βασιλεῖς. εἰ ἔνθα ὅπλων ἔδει, καὶ παρατάξεως, καὶ μάχης, τὰ ὅπλα ἀφέντες ἐπὶ τὴν εὐχὴν κατέφυγον· ἔνθα εὐχαῖς μόνον δύνασθαι τὰ πράγματα χρή, πῶς οὐ πολλῷ μᾶλλον εὔχεσθαι δεῖ; ἀλλ᾽ ἐκεῖ, φησιν, οἱ ἡγούμενοι ὑπὲρ τοῦ λαοῦ παρεκάλουν· σὺ δὲ ἀξιοῖς τὸν λαὸν ὑπὲρ τοῦ ἡγουμένου παρακαλεῖν; οἶδα κἀγώ. τότε μὲν γὰρ οἱ ἀρχόμενοι ταλαίπωροί τινες ἦσαν καὶ εὐτελεῖς· διὰ γὰρ ἀπὸ τῆς παρρησίας καὶ τῆς ἀρετῆς τοῦ στρατηγοῦντος ἐσώζοντο μόνης. νυνὶ δέ, ὅτε ἡ τοῦ Θεοῦ χάρις ἐπέδωκε, καὶ ἐν τοῖς ἀρχομένοις πολλούς, μᾶλλον δὲ τοὺς πλείους εὑρήσομεν τὸν κρατοῦντος ἐκ πολλοῦ περιόντας τοῦ μέρους. μὴ δὴ τῆς συμμαχίας ἡμᾶς ἀποστερήσητε ταύτης· ἀνορθώσατε τὰς χεῖρας ἡμῖν, ἵνα μὴ ἐκλύωνται· ἀνοίξατε τὸ στόμα ἡμῖν, ἵνα μὴ ἐμφράττηται· παρακαλεῖτε τὸν Θεόν, παρακαλεῖτε διὰ τοῦτο. ἔστι μὲν οὖν ὑπὲρ ἡμῶν τὸ γινόμενον· τὸ δὲ πλέον ὑπὲρ ὑμῶν ἐστίν. εἰς γὰρ τὸ ὑμῖν χρήσιμον κείμεθα, καὶ τὰ ὑμέτερα μεριμνῶμεν. παρακαλεῖτε ἕκαστος καὶ ἰδίᾳ, καὶ κοινῇ. 1.Κορ.α.ια. ὅρα Παῦλον λέγοντα, Ἵνα τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν, τουτέστιν, ἵνα πολλοῖς δῷ τὴν χάριν. εἰ ἐπὶ ἀνθρώπων καταδίκους ἄνδρας καὶ ἀπαγομένους εἰς θάνατον δῆμος προσελθὼν ἐξῃτήσατο, καὶ τὸ πλῆθος δυσωπηθεὶς ὁ βασιλεὺς τὴν γνώμην ἀνέθετο· πολλῷ μᾶλλον καὶ ὑφ᾽ ὑμῶν ὁ Θεὸς δυσωπηθήσεται, οὐ τῷ πλήθει, ἀλλὰ τῇ ἀρετῇ. σφοδρὸν γὰρ ἡμεῖς τὸν πολέμιον ἔχομεν. ὑμῶν μὲν γὰρ ἕκαστος τὰ ἑαυτοῦ μεριμνᾷ καὶ φροντίζει· ἡμεῖς δὲ τὰ πάντων ὁμοῦ. εἰς τὸ μέρος ἑστήκαμεν τοῦ πολέμου τὸ πονοῦν, σφοδρότερον καθ᾽ ἡμῶν ὁ διάβολος ὁπλίζεται. καὶ γὰρ ἐν τοῖς πολέμοις παρὰ τῶν ἄλλων ἁπάντων τὸν στρατηγὸν καταβαλεῖν ὁ δι᾽ ἐναντίας ἐπιχειρεῖ. διὰ τοῦτο ἐκεῖ πάντες οἱ συνασπισταὶ περιέχουσι. διὰ τοῦτο πολὺς ὁ θόρυβος, ἐξελεῖν αὐτὸν ἑκάστου ἐπιχειροῦντος, καὶ ταῖς ἀσπίσι περιφράττουσι πάντοθεν, τὴν ἐκείνου βουλόμενοι διασῶσαι κεφαλήν. ἀκούσατε τί φησι πρὸς τὸν Δαβὶδ ἅπας ὁ δῆμος. οὐ τῷ Δαβὶδ ἑαυτὸν παραβάλλων ταῦτα λέγω (οὐχ οὕτω μέμηνα) ἀλλὰ δήμου φιλοστοργίαν πρὸς ἄρχοντα δεῖξαι βουλόμενος· 2.Βασ.κα.ιζ. Μὴ ἐξέλθῃς, φησίν, εἰς τὸν πόλεμον μεθ᾽ ἡμῶν, ἵνα μὴ σβεσθῇ ὁ λύχνος τοῦ Ἰσραήλ. ὅρα ἐν πόσῃ φειδοῖ τὸν γέροντα εἶχον. σφόδρα δέομαι τῶν ὑμετέρων εὐχῶν. μηδείς με, ὅπερ ἔφην, ἐξ ἀμέτρου ταπεινοφροσύνης ἀφαιρείσθω ταύτην τὴν

συμμαχίαν καὶ τὴν βοήθειαν. ἂν τὰ ἡμέτερα εὐδοκιμῇ, καὶ τὰ ὑμέτερα λαμπρότερα ἔσται. αἱ ἐπιρροαὶ τῆς διδασκαλίας ἡμῶν, εἰς ὑμᾶς ὁ πλοῦτος διαβαίνει. ἄκουε τοῦ προφήτου λέγοντος, Μὴ ἑαυτοὺς ποιμαίνουσιν οἱ ποιμένες; (Ιεζεκ. λδ. β.) ὁρᾷς τὸν Παῦλον ἐπιζητοῦντα συνεχῶς ταύτας τὰς εὐχάς; ἀκούεις ὅτι Πέτρος οὕτως ἐξηρπάγη τοῦ δεσμωτηρίου, ἐπειδὴ τῆς εὐχῆς ἐκτενῆς ὑπὲρ αὐτοῦ γινομένης; (Πραξ. ιβ. ε.) σφόδρα πιστεύω ὅτι πολλὰ δυνήσεται ὑμῶν ἡ εὐχὴ, μετὰ τοσαύτης συμφωνίας γινομένη. πόσον νομίζετε μεῖζον εἶναι τῆς ἡμετέρας σμικρότητος τὸ ὑπὲρ δήμου τοσούτου προσιέναι τῷ Θεῷ καὶ παρακαλεῖν; εἰ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ παρρησίαν δυνηθῆναι οὐκ ἔχω, πολλῷ μᾶλλον ὑπὲρ ἑτέρων. τῶν γὰρ εὐδοκιμούντων ἐστὶ τοῦτο καὶ ἑτέροις ἀξιοῦν ἵλεων γενέσθαι τὸν Θεόν, τῶν ἑαυτοῖς εὐμενῆ καταστησάντων. ὁ δὲ καὶ αὐτὸς προσκεκρουκὼς, πῶς ὑπὲρ ἄλλου δεήσεται; ἀλλ' ὅμως ἐπειδὴ σπλάγχνοις ὑμᾶς περιπλέκομαι πατρικοῖς, ἐπειδὴ ἡ ἀγάπη πάντα τολμᾷ, οὐκ ἐπὶ τῆς ἐκκλησίας μόνον, ἀλλὰ καὶ κατ' οἶκον, πρὸ τῶν ἄλλων ἁπάντων ὑπὲρ τῆς ὑμετέρας ὑγείας τῆς κατὰ ψυχὴν, τῆς κατὰ σῶμα ποιοῦμαι τὴν δέησιν. οὐ γάρ ἐστιν οὕτως ἱερεῖ πρέπουσα εὐχὴ ἑτέρα, ὡς τὸ ὑπὲρ τῶν τοῦ λαοῦ καλῶν προσιέναι καὶ ἐντυγχάνειν τῷ Θεῷ. εἰ γὰρ ὁ Ἰὼβ αἰτησάμενος εὐθέως ὑπὲρ τῶν τέκνων τοσαῦτα ἐποίει τῶν σαρκικῶν, πόσῳ μᾶλλον ὑπὲρ τῶν πνευματικῶν ἡμεῖς τοῦτο ποιεῖν ὀφείλομεν; τί δὲ ταῦτά φημι; ὅτι εἰ ἡμεῖς ὑπὲρ ἁπάντων ὑμῶν ποιούμεθα δεήσεις καὶ προσευχὰς, καίτοιγε τοσοῦτον ἀπέχοντες τοῦ μεγέθους τοῦ πράγματος· πολλῷ μᾶλλον δίκαιον καὶ ὑμᾶς τοῦτο ποιεῖν. ἕνα μὲν γὰρ ὑπὲρ πολλῶν ἀξιοῦν, σφόδρα τολμηρὸν καὶ πολλῆς δεόμενον παρρησίας· πολλοὺς δὲ ὁμοῦ συνελθόντας ὑπὲρ ἑνὸς ποιήσασθαι τὴν δέησιν, οὐδὲν φορτικόν. οὐ γὰρ τῇ οἰκείᾳ πιστεύων ἕκαστος ἀρετῇ τοῦτο ποιεῖ, ἀλλὰ τῷ πλήθει, καὶ τῇ ὁμονοίᾳ, ἣ μάλιστα ὁ Θεὸς δυσωπεῖται πανταχοῦ. Ὅπου γὰρ ἂν ὦσι δύο, ἢ τρεῖς, φησι, συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. (Ματθ. ιη. κ.) εἰ, ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ ἐστὶ, πολλῷ μᾶλλον ἐφ' ὑμῶν. ὃ γὰρ καθ' ἑαυτόν τις εὐχόμενος λαβεῖν οὐ δύναται, τοῦτο μετὰ τοῦ πλήθους εὐχόμενος λήψεται. διὰ τί; ὅτι εἰ καὶ μὴ ἡ οἰκεία ἀρετὴ, ἀλλ' ἡ συμφωνία πολλὴν ἔχει τὴν ἰσχύν. ὅπου ἐὰν ὦσι, φησὶ, δύο, ἢ τρεῖς συνηγμένοι. διὰ τί εἶπε, δύο; ἂν γὰρ εἷς ᾖ εἰς τὸ ὄνομά σου, διὰ τί μὴ εἶ ἐκεῖ; ὅτι πάντας ὁμοῦ βούλομαι εἶναι, καὶ μὴ διεσπάσθαι. συμφραττώμεθα τοίνυν ἀλλήλοις, συνδεσμώμεθα τῇ ἀγάπῃ, μηδεὶς ὑμᾶς χωριζέτω. εἴ τις ἐγκαλεῖ, εἴ τις λελύπηται, μὴ κατὰ διάνοιαν ἐχέτω, κἂν πρὸς τὸν πλησίον, κἂν πρὸς ἡμᾶς. ταύτην ὑμᾶς χάριν αἰτῶ, προσιέναι, καὶ ἐγκαλεῖν, καὶ ἀπολογίας δέχεσθαι παρ' ἡμῶν. Ἔλεγξον, φησι, μήποτε οὐκ εἶπεν· ἔλεγξον, μήποτε οὐκ ἐποίησε· καὶ εἰ ἐποίησεν, ἵνα μὴ προσθῇ. (Σιρ. ιθ. ιβ.) ἢ γὰρ ἀπολογησάμεθα, ἢ καταγνωσθέντες συγγνώμην ᾐτησάμεθα, καὶ πειρώμεθα λοιπὸν μηκέτι περιπεσεῖν τοῖς αὐτοῖς. τοῦτο καὶ ὑμῖν συμφέρει, καὶ ἡμῖν. ὑμεῖς μὲν γὰρ ἴσως ἀλόγως ἐγκαλοῦντες, μαθόντες τοῦ πράγματος τὴν ἀλήθειαν, διορθωθήσεσθε· ἡμεῖς δὲ ἡμαρτηκότες ἀγνοοῦμεν, καὶ διορθούμεθα. ὑμῖν μὲν οὐ συμφέρει (καὶ γὰρ τιμωρία κεῖται τοῖς πολλὰ ῥήματα ἀργὰ ἐκβάλλουσιν) ἡμεῖς δὲ ἀποδυόμεθα τὰ ἐγκλήματα, τά τε ψευδῆ, τά τε ἀληθῆ· τὰ μὲν ψευδῆ, ὅτι ψευδῆ ἐστι δείξαντες, τὰ δὲ ἀληθῆ, μηκέτι ποιοῦντες τὰ αὐτά. πολλὴ γὰρ ἀνάγκη τὸν τοσούτων φροντίζοντα, καὶ ἀγνοεῖν, καὶ ἐξ ἀγνοίας ἁμαρτάνειν. εἰ γὰρ οἰκίαν ἕκαστος ὑμῶν ἔχων, καὶ γυναικὸς καὶ παίδων προεστηκὼς καὶ ἀνδραπόδων, ὁ μὲν πλειόνων, ὁ δὲ ἐλαττόνων, ὅμως ἐν οὕτως εὐαριθμήτοις ψυχαῖς πολλὰ ἁμαρτάνει, οὐχ ὡς βούλεται, ἀναγκάζεται, ἢ μὴ εἰδὼς, ἢ διορθῶσαί τι βουλόμενος· πολλῷ μᾶλλον ἡμεῖς δήμου τοσούτου προεστῶτες. καὶ ἔτι πληθύναι ὑμᾶς ὁ Κύριος, καὶ εὐλογήσαι ὑμᾶς, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. εἰ γὰρ καὶ μεγάλη ἡ φροντὶς ἀπὸ τοῦ πλήθους γίγνεται, ὅμως οὐ παυόμεθα εὐχόμενοι αὐξηθῆναι τὴν φροντίδα ταύτην ἡμῖν, καὶ ἐπιδοθῆναι τοῦτο

τὸ πλῆθος, καὶ πολλαπλάσιον γίνεσθαι, καὶ ἄπειρον. καὶ γὰρ πατέρες, καίτοι ὑπὸ τῆς πολυπαιδίας πολλάκις καταπονούμενοι, ὅμως οὐδένα βούλονται ἀποβαλεῖν. πάντα ἡμῖν καὶ ὑμῖν ἴσα, καὶ αὐτὰ τὰ κεφάλαια τῶν ἀγαθῶν. οὐ μετὰ πλείονος μὲν ἐγὼ διαφιλείας, ὑμεῖς δὲ μετ' ἐλάττονος μετέχομεν τῆς ἱερᾶς τραπέζης, ἀλλ' ὁμοίως ἑκάτεροι ταύτης ἐφαπτόμεθα. εἰ δὲ ἐγὼ πρότερος, οὐδὲν τοῦτο μέγα, ἐπεὶ καὶ ἐν τοῖς παισὶν ὁ πρεσβύτερος πρότερος τὴν χεῖρα ἐκτείνει εἰς τὴν ἑστίασιν, ἀλλ' ὅμως οὐδὲν πλέον παρὰ τοῦτο γίνεται, ἀλλὰ πάντα ἴσα ἡμῖν. ἡ σωτήριος καὶ ἡ συνέχουσα τὰς ψυχὰς ἡμῶν ζωὴ μετὰ τῆς αὐτῆς τιμῆς ἑκατέροις δίδοται. οὐχ ἑτέρου μὲν ἐγὼ προβάτου, ἑτέρου δὲ ὑμεῖς, ἀλλὰ τοῦ αὐτοῦ μετέχομεν πάντες. τὸ βάπτισμα τὸ αὐτὸ ἔχομεν ἑκάτεροι· πνεύματος ἠξιώθημεν ἑνός· ἐπὶ τὴν αὐτὴν βασιλείαν σπεύδομεν ἑκάτεροι· ἀδελφοὶ ὁμοίως ἐσμὲν τοῦ Χριστοῦ· πάντα ἡμῖν κοινά. ποῦ οὖν τὸ πλέον ἐμοῦ; ἐν ταῖς φροντίσι, ἐν τοῖς πόνοις, ἐν ταῖς μερίμναις, ἐν τῷ ἀλγεῖν ὑπὲρ ὑμῶν. ἀλλ' οὐδὲν ταύτης τῆς ἀλγηδόνος ἥδιον· ἐπεὶ καὶ μήτηρ ἀλγοῦσα ὑπὲρ τοῦ παιδὸς, ἥδεται τῇ ἀλγηδόνι. φροντίζει ὑπὲρ τῶν τεχθέντων, καὶ εὐφραίνεται ἐπὶ ταῖς φροντίσι· καίτοιγε ἡ φροντὶς καθ' ἑαυτὴν πικρόν· ἀλλ' ὅταν γε ὑπὲρ παίδων γίνηται, πολλὴν ἔχει τὴν ἡδονήν. πολλοὺς ὑμῶν ἐλύπησα, ἀλλὰ μετὰ ταῦτα αἱ ὠδῖνες. ἐπὶ μὲν γὰρ τῶν σωματικῶν μητέρων πρότεραι αἱ ὠδῖνες, καὶ τότε ὁ τόκος· ἐνταῦθα δὲ μέχρις ἐσχάτης ἀναπνοῆς αἱ ὠδῖνες, μήπου τι καὶ μετὰ τὸν τόκον ἀμβλωθρίδιον γένηται. καὶ ἐπιποθῶ δὲ ἐγώ. εἰ γὰρ καὶ ἕτερος ἐλύπησε [πολλάκις], ἀλλ' ὅμως ἐγὼ ταῖς φροντίσι διακόπτομαι. οὐδὲ γὰρ ἐξ ἑαυτῶν γινόμεθα, ἀλλὰ τῆς χάριτός ἐστι τοῦ Θεοῦ τὸ πᾶν. εἰ δὲ ἀμφότεροι διὰ πνεύματος τικτόμεθα, οὐχ ἁμαρτήσεταί τις καὶ τοὺς παρ' ἐμοῦ τεχθέντας ἐκείνου προσειπὼν, καὶ τοὺς παρ' ἐκείνου ἐμούς. ταῦτα δὴ πάντα ἐννοήσαντες, καὶ χεῖρα ὀρέξατε, ἵνα καὶ ὑμεῖς καύχημα ἡμῶν γένησθε, καὶ ἡμεῖς ὑμῶν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ γένοιτο μετὰ παρρησίας ἡμᾶς ἅπαντας ἰδεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ε. 3 ΠΙΣΤΟΣ ΔΕ ΕΣΤΙΝ Ο ΚΥΡΙΟΣ, ΟΣ
στηρίξει ὑμᾶς, καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. 4 Πεποίθαμεν δὲ ἐν Κυρίῳ
ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε. 5 Ὁ δὲ
Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς
τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

Οὔτε τὸ πᾶν ταῖς εὐχαῖς τῶν ἁγίων ἐπιτρέψαντας αὐτοὺς ἀργεῖν χρὴ, [καὶ τῇ κακίᾳ προστρέχειν,] καὶ μηδενὸς τῶν εἰς ἀρετὴν φερόντων ἀντιλαμβάνεσθαι· οὔτε πάλιν ἐργαζομένους τὰ ἀγαθὰ, καταφρονεῖν τῆς συμμαχίας ἐκείνης. μεγάλα μὲν γὰρ δύναται, μεγάλα ἡ εὐχὴ ὑπὲρ ἡμῶν, ἀλλ' ὅταν καὶ ἡμεῖς ἐργαζώμεθα. διὰ τοῦτο καὶ ὁ Παῦλος εὐχόμενος ὑπὲρ αὐτῶν, πάλιν τὸ ἀξιόπιστον τίθησιν ἀπὸ τῆς ἐπαγγελίας καὶ φησί· πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς, καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. εἰ γὰρ εἵλετο ὑμᾶς εἰς σωτηρίαν, οὐ ψεύσεται, οὐδὲ ἀφήσει πάντως ἀπολέσθαι. ἵνα δὲ μὴ διὰ τούτων εἰς ῥαθυμίαν ἀγάγῃ, καὶ τὸ πᾶν τοῦ Θεοῦ νομίσαντες εἶναι αὐτοὶ καθεύδωσιν, ὅρα πῶς καὶ τὴν παρ' αὐτῶν συνεργίαν ἀπαιτεῖ, λέγων· πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν, καὶ ποιεῖτε, καὶ ποιήσετε. πιστὸς μὲν οὖν ἐστι, φησὶν, ὁ Θεὸς, καὶ ἐπαγγελλόμενος σῶσαι, πάντως σώσει· ἀλλ' ὡς ἐπηγγείλατο. πῶς δὲ ἐπηγγείλατο; ἐὰν θέλωμεν, καὶ ἀκούωμεν αὐτοῦ· οὐχ ἁπλῶς, οὐδὲ, ὡς ξύλα καὶ λίθους, ἀργοῦντας. καλῶς δὲ καὶ τὸ, πεποίθαμεν ἐν Κυρίῳ,

Κυρίῳ, πέποιθε, τουτέστι, τῇ φιλανθρωπίᾳ αὐτοῦ πιστεύομεν. πάλιν αὐτοὺς καθαιρεῖ, τὸ πᾶν ἀνατιθεὶς ἐκείνῳ. εἰ μὲν γὰρ εἶπεν ὅτι πιστεύομεν δὲ ὑμῖν, ἦν μὲν τὸ ἐγκώμιον μέγα, ἀλλ' οὐκ ἂν ἔδειξεν αὐτοὺς ἐξαρτῶν εἰς τὸν Θεὸν ἅπαντα. εἰ δὲ εἶπε, πεποίθαμεν δὲ ἐν Κυρίῳ, ὅτι φυλάξει ὑμᾶς, καὶ μὴ προστέθεικε τό, ἐφ' ὑμᾶς, καὶ τό, ἃ παραγγέλλομεν ποιεῖτε καὶ ποιήσετε, ἀργοτέρους ἂν αὐτοὺς ἐποίησε, τὸ πᾶν ἐπὶ τὴν τοῦ Θεοῦ ῥίψας δύναμιν. δεῖ μὲν γὰρ τὸ πᾶν ἐπ' αὐτὸν ῥιπτεῖν, ἀλλ' ἐνεργοῦντας καὶ αὐτούς, τοῖς πόνοις ἐμβεβηκότας, καὶ τοῖς ἀγῶσι. καὶ δείκνυσιν ἐνταῦθα, ὅτι εἰ καὶ ἀρχῆς ἡ ἀρετὴ καὶ μόνης οὔσης, ἀλλ' ὅμως χρὴ ἐξαρχῆς τε αὐτὴν εἶναι, καὶ μάλιστα τοῦ ἐλθεῖν ἡμᾶς εἰς ἔσχατα τὰς λοιπὰς ἡμῖν συμπεριῆσαι. ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. ἐγκωμιάζει πάλιν αὐτούς, καὶ εὔχεται, τὴν κηδεμονίαν αὐτοῦ δεικνύς. ἐπειδὴ γὰρ μέλλει ἐμβαίνειν εἰς ἐπιτίμησιν, τούτοις αὐτῶν προλεαίνει τὰς καρδίας, τῷ τε λέγειν, ὅτι θαρροῦμεν ὅτι ἀκούσεσθε, καὶ τῷ ὑπὲρ αὐτῶν εὐχὰς ἀπαρτίζειν, καὶ τῷ πάλιν αὖθις ἐπεύχεσθαι μυρία ἀγαθά. ὁ δὲ Κύριος κατευθύναι ὑμῶν, φησί, τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ. πολλὰ γάρ ἐστι τὰ παρεκτρέποντα ἀπὸ τῆς ἀγάπης καὶ πολλαὶ αἱ ἐκεῖθεν ἐξέλκουσαι ἀπάται. [καὶ] πρῶτον μὲν ἡ τοῦ μαμωνᾶ κακία, καθάπερ τινὰς δυσαγχεύτους χεῖρας ἐπαφιεῖσα ἡμῶν τῇ ψυχῇ, καὶ ἀπρὶξ ἐπιλαβομένη, ἕλκει καὶ σύρει καὶ μὴ βουλομένους ἐκεῖθεν. ἔπειτα κενοδοξία, καὶ θλίψεις δὲ πολλάκις, καὶ πειρασμοὶ περιέτρεψαν. διὰ τοῦτο καθάπερ τινὸς πνεύματος τῆς τοῦ Θεοῦ δεόμεθα βοηθείας, ἵνα ἡμῖν τὸ ἱστίον ὥσπερ ὑπό τινος σφοδροῦ πνεύματος παραπεμφθῇ πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ. μὴ γάρ μοι εἴπῃς, ὅτι ἀγαπῶ αὐτὸν καὶ ὑπὲρ ἐμαυτόν. ταῦτα ῥήματά ἐστι· διὰ τῶν ἔργων δεῖξον, εἰ ἀγαπᾷς αὐτὸν ὑπὲρ σεαυτόν. ὑπὲρ τὸ ἀργύριον ἀγάπησον, καὶ τότε πιστεύω, ὅτι καὶ ὑπὲρ σεαυτὸν ἀγαπᾷς. ὁ δὲ χρημάτων μὴ καταφρονῶν διὰ τὸν Θεόν, πῶς σαυτοῦ καταφρονήσεις; τί δὲ λέγω χρημάτων; ὁ πλεονεξίας μὴ καταφρονῶν, ὃ καὶ χωρὶς τῶν ἐπιταγμάτων τοῦ Θεοῦ ἔδει ποιεῖν, πῶς καταφρονήσεις σαυτοῦ; καὶ εἰς τὴν ὑπομονήν, φησί, τοῦ Χριστοῦ. τί ἐστιν, εἰς τὴν ὑπομονήν; ἵνα ὑπομένωμεν, ὡς ἐκεῖνος ὑπέμεινεν, ἢ ἵνα ἐκεῖνα πράττωμεν, ἢ καὶ ἵνα μεθ' ὑπομονῆς ἀναμένωμεν αὐτόν, τουτέστιν, ἵνα εὐπαράσκευοι ὦμεν. ἐπειδὴ γὰρ πολλὰ ἐπηγγείλατο, καὶ αὐτὸς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς, ἀναμένωμεν αὐτόν, καὶ ὑπομένωμεν. ἐνθάδε δὲ ἂν ὑπομονὴν λέγῃ, πάντας θλίψιν αἰνίττεται. τοῦτο γάρ ἐστιν ἀγαπᾷν τὸν Θεόν, τὸ ὑπομένειν, καὶ μὴ θρυβέσθαι.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν. Τουτέστιν, οὐχ ἡμεῖς ταῦτα λέγομεν, ἀλλ' ὁ Χριστός. τοῦτο γάρ ἐστιν, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οὕτως εἰπών, τὸ φοβερὸν τῆς παραγγελίας δείκνυσι. διὰ τοῦ Χριστοῦ, φησί, παραγγέλλομεν. οὐκ ἄρα ὁ Χριστὸς προσέταξεν οὐδαμοῦ ἀργεῖν. στέλλεσθαι ὑμᾶς, φησίν, ἀπὸ παντὸς ἀδελφοῦ. μή μοι τὸν πλούσιον εἴπῃς, μή μοι τὸν πένητα, μή μοι τὸν ἄλλον. τοῦτο ἀταξία ἐστί. περιπατοῦντος, φησί, τουτέστι, βιοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν. παράδοσιν τὴν διὰ τῶν ἔργων φησί, καὶ κυρίως ταύτην ἀεὶ λέγει παράδοσιν.

7 Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν,
8 Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος. Καίτοι εἰ καὶ ἔφαγεν, οὐκ ἦν δωρεάν. Ἄξιος γάρ, φησιν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Ματθ. ι. ι.

Ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν.

9 Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς.

10 Καὶ γὰρ, ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Ὅρα πῶς ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ προσηνέστερον πως περὶ τούτων διαλέγεται, ὡς ὅταν λέγῃ, Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, περισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι, καὶ οὐδαμοῦ, παραγγέλλομεν, οὐδὲ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἦν φοβερὸν, καὶ κίνδυνον ἔχει, ἀλλὰ περισσεύειν φησὶ καὶ φιλοτιμεῖσθαι, ὃ ἦν εἰς ἀρετὴν προτρέποντος, ἵνα εὐσχημόνως, φησὶ, περιπατῆτε. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ', εἴ τις οὐ θέλει ἐργάζεσθαι, φησὶ, μηδὲ ἐσθιέτω. Εἰ γὰρ Παῦλος ἀνάγκην οὐκ ἔχων, ἀλλ' ἐξουσίαν ἔχων ἀργεῖν, καὶ τηλικοῦτον ἔργον ἀναδεδεγμένος, ὅμως εἰργάζετο, καὶ οὐχ ἁπλῶς εἰργάζετο, ἀλλὰ νύκτα καὶ ἡμέραν, ὥστε δύνασθαι καὶ ἑτέροις ἐπικουρεῖν, πολλῷ μᾶλλον τοὺς ἄλλους ἐχρῆν τοῦτο ποιεῖν.

11 Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. Τοῦτο ἐνταῦθα· ἐκεῖ δὲ ἐν τῇ προτέρᾳ, Ἵνα εὐσχημόνως, φησὶ, περιπατῆτε πρὸς τοὺς ἔξω. τίνος ἕνεκεν; ἴσως οὐδὲν οὐδέπω τοιοῦτον ἦν γεγονός. καὶ γὰρ ἀλλαχοῦ παραινῶν ἔλεγε· Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν. τὸ δὲ, εὐσχημόνως περιπατεῖτε, οὐ περὶ ἀταξίας ἐστί. διὸ καὶ ἐπήγαγεν· ἵνα μηδενὸς χρείαν ἔχητε. ἐνταῦθα δὲ καὶ ἑτέρας ἀνάγκην ἔθηκεν, ὥστε τὸ καλὸν ποιεῖν καὶ ἀγαθὸν πρὸς πάντας. περὶ ὧν γάρ φησι, Μὴ ἐκκακήσητε καλοποιοῦντες. πάντως γὰρ τοὺς ἀργοῦντας, καὶ δυναμένους ἐργάζεσθαι, ἀνάγκη περίεργον εἶναι. ἡ δὲ ἐλεημοσύνη ἐκείνοις δίδοται μόνοις, τοῖς οὐκ ἰσχύουσιν ἐκ τῆς τῶν χειρῶν ἐργασίας ἐπαρκέσαι ἑαυτοῖς, ἢ τοῖς διδάσκουσι καὶ τὸ πᾶν ἀπησχολημένοις εἰς τὸν τῆς διδασκαλίας λόγον. Οὐ γὰρ φιμώσεις, φησὶ, βοῦν ἀλοῶντα· Καὶ ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. ὥστε οὐδὲ οὗτος ἀργός ἐστιν· ἀλλ' ἐργασίας, καὶ ἐργασίας μεγάλης λαμβάνει τὸν μισθόν. τὸ δὲ εὔχεσθαι καὶ ἕτερα ἀργοῦντα, οὐκ ἔστιν ἔργον χειρῶν. ἐργασίαν γάρ φησιν ἐνταῦθα τὴν διὰ τῶν χειρῶν. καὶ ἵνα μηδὲν τοιοῦτον ἐπανατείνεσθαι ὑποπτεύσῃς, ἐπήγαγε· μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.

12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ σφόδρα καθήψατο, προσηνέστερον βουλόμενος ποιῆσαι τὸν λόγον, ἐπήγαγε, διὰ τοῦ Κυρίου, πάλιν τὸ ἀξιόπιστον καὶ φοβερὸν ταύτῃ δηλῶν. Ἵνα μετ' ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι. Διὰ τί μὴ εἶπεν, εἰ δὲ μὴ ἀτακτοῦσι, τρεφέσθωσαν παρ' ὑμῶν, ἀλλ' ἀμφότερα ἀπαιτεῖ, καὶ τὸ ἐν ἡσυχίᾳ εἶναι, καὶ τὸ ἐργάζεσθαι; ὅτι βούλεται αὐτοὺς ἐργαζομένους τρέφειν ἑαυτούς. τοῦτο γάρ ἐστι, τὸ, ἵνα τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι, τουτέστι, τὸν ἐξ οἰκείων πόνων, ἀλλὰ μὴ τὸν ἀλλότριον, τὸν ἀπὸ τοῦ προσαιτεῖν ἐκπορίζομενον.

13 Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε καλοποιοῦντες. Ὅρα πῶς εὐθέως κατεκλάσθη τὰ σπλάγχνα τὰ πατρικά. οὐκ ἴσχυσε περαιτέρω τὴν ἐπιτίμησιν προαγαγεῖν, ἀλλὰ πάλιν αὐτοὺς ἠλέησε. καὶ ὅρα μετ' ὅσης συνέσεως. οὐκ εἶπε, πλὴν συγγινώσκετε αὐτοῖς, ἕως ἂν διορθώσωνται· ἀλλὰ τί; ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε. στέλλεσθε μὲν, φησιν, ἀπ' αὐτῶν καὶ ἐπιτιμᾶτε αὐτοῖς, μὴ μὴν περιίδητε λιμῷ διαφθαρέντας. τί οὖν, φησιν, ἂν ἔχων τὴν παρ' ἡμῶν ἀφθονίαν ἐπιμένῃ ἀργῶν; ἐπὶ τούτῳ φάρμακον προσηνές, φησιν, εἶπον, ὅτι στέλλεσθε ἀπ' αὐτοῦ, τουτέστι, μὴ μεταδιδῶτε αὐτῷ παρρησίας, ἐνδείκνυσθε ὅτι ὀργίζεσθε. οὐ μικρὸν δὲ τοῦτο. τοιαύτη γὰρ ἡ πρὸς τὸν ἀδελφὸν τῶν ἐπιτίμησις, ὅτι

β. Θεσ. δ. 1. 12. — α. Θεσ. δ. 16. — Πραξ. κ. λε. — Δευτ. κε. δ. — Ματθ. ι. ι.

τι ὅπως διορθώσασθαι βουλόμεθα. οὐκ ἀγνοοῦμεν τὸν τρόπον τῆς ἐπιτιμήσεως. εἰπὲ γάρ μοι, εἰ σαρκικὸν εἶχες ἀδελφὸν, ἆρα ἂν περιεῖδες αὐτὸν λιμῷ τηκόμενον; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἴσως καὶ ἐρρύθμισας αὐτόν.

14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς. Ὅρα ταπεινοφροσύνην τοῦ Παύλου· οὐκ εἶπεν, ὁ παρακούων, ἐμοῦ παρακούει· ἀλλ' ἠρέμα αἰνίττεται.

Τοῦτον σημειοῦσθε. Ὥστε μὴ λανθάνειν τοῦτο ποιεῖ προστρέπει. Μὴ συναναμίγνυσθε αὐτῷ. Οὐ μικρὰ παίδευσις καὶ αὕτη. Εἶτα πάλιν· Ἵνα ἐντραπῇ, φησίν. οὕτως οὐκ ἀφίησι περαιτέρω προελθεῖν. ὥσπερ γὰρ εἰπὼν, εἴ τις μὴ ἐργάζεται, μηδὲ ἐσθιέτω, δεδοικὼς μὴ λιμῷ ἀπόλωνται, ἐπήγαγεν, ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε· οὕτως εἰπὼν, στέλλεσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, εἶτα δείσας μὴ τοῦτο αὐτὸ ἐκκόψῃ αὐτὸν τῆς ἀδελφότητος (ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, ταχέως ἀπόλλυται μὴ μεταλαβὼν παρρησίας) ἐπήγαγε·

15 Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Διὰ τοῦτο δείκνυσιν ὅτι μεγάλην ὥρισε κατ' αὐτοῦ τιμωρίαν, τὸ τῆς παρρησίας αὐτὸν ἀποστερεῖσθαι. Εἰ γὰρ καὶ τὸ εἶναι μετὰ πολλῶν λαμβάνοντα αἰσχύνης ἄξιον, ὅταν καὶ ἐπιτιμῶντες προσέχωσι καὶ στέλλωνται, πόσου ὀνείδους τοῦτο; πῶς ἱκανὸν δακεῖν ψυχήν; Εἰ γὰρ μόνον ἐκπερθέσι διδόντες, ἢ γογγύζοντες ἐμπυρίζουσι τὸν λαμβάνοντα (μὴ γάρ μοι περὶ τῶν ἀναισχύντων ἐπαιτῶν εἴπῃς, ἀλλὰ περὶ τῶν πιστῶν) εἰ καὶ ἔμελλον ἐπιτιμᾶν διδόντες, τί οὐκ ἂν εἰργάσαντο; πόσης οὐκ ἦν τιμωρίας ἄξιον; ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὡς τὰ μέγιστα ἠδικημένοι, οὕτω τοὺς προσαιτοῦντας ὑβρίζομεν, ἀποστρεφόμεθα. οὐ δίδως· τί καὶ λυπεῖς; νουθετεῖτε, εἶπεν, ὡς ἀδελφούς, οὐχ ὑβρίζετε ὡς ἐχθρούς. ὁ τὸν ἀδελφὸν νουθετῶν, οὐ δημοσίᾳ τοῦτο ποιεῖ, οὐκ ἐκπομπεύει τὴν ὕβριν, ἀλλὰ ἰδίᾳ καὶ μετὰ πολλῆς τῆς προσοχῆς, καὶ ἀλγῶν, καὶ δακρυόμενος, καὶ δακρύων, καὶ ὀδυρόμενος. ἀπὸ ἀδελφικῆς τοίνυν προαιρώμεθα τῆς διανοίας, ἀπὸ ἀδελφικῆς νουθετῶμεν τῆς προαιρέσεως· μὴ ὡς ἀλγοῦντες ἐπὶ τῷ διδόναι, ἀλλ' ὡς ἀλγοῦντες ἐπὶ τῷ ἐκεῖνον παραβαίνειν τὴν ἐντολήν. ἐπεὶ τί τὸ κέρδος; εἰ γὰρ καὶ μετὰ τὸ δοῦναι ὑβρίζεις, λυμαίνῃ τῇ τῆς δόσεως ἡδονῇ. ὅταν δὲ μάτην δῷς, καὶ ὑβρίσῃς, πόσον οὐκ εἰργάσω κακὸν τὸν ἄθλιον ἐκεῖνον καὶ ταλαίπωρον; προσῆλθεν ὡς ἐλεηθησόμενος παρὰ σοῦ· λαβὼν δὲ καιρίαν τὴν πληγὴν ἀπῆλθε, καὶ μᾶλλον ἐδάκρυσεν. ὅταν γὰρ ἀναγκάζηται διὰ τὴν ἔνδειαν προσαιτεῖν, διὰ δὲ τὸ προσαιτεῖν ὑβρίζηται, ὅρα πόση τῶν ὑβριζόντων ἔσται ἡ τιμωρία. Ὁ ἀτιμάζων πένητα, φησί, παροξύνει τὸν ποιήσαντα αὐτόν. Εἰπὲ γάρ μοι· αὐτὸς αὐτὸν ἀφῆκε πένεσθαι διὰ σέ, ἵνα σὺ ἔχῃς θεραπεύειν σαυτόν, καὶ σὺ τὸν διὰ σὲ πενόμενον ὑβρίζεις; πόσης ἀγνωμοσύνης ταῦτα, πόσης ἀσεβείας τοῦτο τὸ ἔργον; νουθετεῖτε, φησίν, ὡς ἀδελφούς· ἐ μετὰ τὸ δοῦναι νουθετεῖν ἐκέλευσεν. ὅταν δὲ καὶ χωρὶς τοῦ διδόναι ὑβρίζωμεν, τίς ἡμῖν ἔσται ἀπολογία; Παροι. ιδ κα.

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διαπαντὸς ἐν παντὶ τρόπῳ. Ὅρα πῶς, ὅταν τὰ παρακτία ὑπαγορεύῃ, ἐπισημαίνεται αὐτὰ τῇ εὐχῇ, καθάπερ τινὰ σήμαντρα τῶν ἀποτιθεμένων τιθεὶς τὴν δέησιν καὶ τὴν ἱκετηρίαν. δῴη ὑμῖν, φησί, τὴν εἰρήνην ἐν παντὶ τρόπῳ. ἐπειδὴ γὰρ ἀπὸ τούτων εἰκὸς μάχας γίνεσθαι, ἐκείνων τε τραχυτέρων γινομένων, τούτων τε οὐκέτι ὁμοίως τοῖς τοιούτοις προσεχόντων, εἰκότως τοῦτο ἐπηύξατο νῦν, δῴη ὑμῖν εἰπὼν τὴν εἰρήνην διαπαντός. τοῦτο γάρ ἐστι τὸ ζητούμενον, ὥστε ἀεὶ ἔχειν αὐτήν. τί ἐστιν, ἐν παντὶ τρόπῳ; πανταχόθεν βούλεται εἰρηνεύειν, ὥστε μηδαμόθεν ἔχειν φιλονεικίας ἀφορμήν. πανταχοῦ γὰρ εἰρήνη καλόν, ὅπου γε καὶ πρὸς τοὺς ἔξω. ἄκουε

γὰρ αὐτοῦ ἀλλαχοῦ λέγοντος· Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε. (Ρωμ. ιβ. ιη.) οὐδὲν γὰρ οὕτω πρὸς τὸ κατορθῶσαι ἃ βουλόμεθα ἐπιτήδειον, ὡς τὸ εἰρηναῖον καὶ ἀτάραχον, ὡς τὸ ἀπεχθείας ἀπηλλάχθαι ἁπάσης, καὶ μηδένα ἔχειν ἐχθρόν. Ο Κύριος μετὰ πάντων ὑμῶν.

17 Ο ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω,

18 Η χάρις τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Αμήν.

Τοῦτο λέγει γράφειν ἐν πάσῃ ἐπιστολῇ, ὥστε μηδενὶ ἐξεῖναι παραποιεῖν αὐτάς, τῆς ὑπογραφῆς ὥσπερ τεκμηρίου κειμένου μεγάλου. ἀσπασμὸν δὲ καλεῖ τὴν εὐχὴν, δεικνὺς ὅτι πάντα πνευματικὰ ἐπράττετο τότε, καὶ ὅτε ἀσπάσασθαι ἔδει, μετὰ κέρδους τὸ πρᾶγμα ἦν· καὶ εὐχὴν, οὐχ ἁπλῶς φιλίας σύμβολον. ἀπὸ ταύτης ἤρχετο, καὶ εἰς αὐτὴν ἔληγε, περιφράττων πανταχόθεν τὰ λεγόμενα ἑκατέρωθεν, ἀσφαλὲς τι θεμέλιον τιθεὶς, καὶ τὸ τέλος ἐπάγων ἀσφαλές. χάρις ὑμῖν, φησὶ, καὶ εἰρήνη· καὶ πάλιν, ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν, ἀμήν. τοῦτο καὶ ὁ Κύριος ἐπηγγείλατο λέγων τοῖς μαθηταῖς, (Ματθ. κη. κ.) Ιδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀλλὰ τοῦτο γίνεται, ὅταν ἡμεῖς βουλώμεθα. οὐ γὰρ πάντως ἔσται μεθ' ἡμῶν, ἐὰν ἑαυτοὺς πόῤῥω ποιῶμεν. μεθ' ὑμῶν, φησὶν, ἔσομαι διαπαντός. μὴ τοίνυν τὴν χάριν ἀπελάσωμεν. στέλλεσθαι ἡμᾶς βούλεται ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος. μέγα ἦν τότε τοῦτο τὸ κακὸν, τὸ ἀπὸ τοῦ πληρώματος ἀποσπασθῆναι τῶν ἀδελφῶν. τούτῳ γοῦν ἅπαντας τιμωρεῖται, καθὼς καὶ ἀλλαχοῦ γράφων Κορινθίοις ἔλεγε· (α. Κορ. ε. ια.) Τῷ τοιούτῳ μηδὲ συνεσθίειν, φησίν. ἀλλ' οὐ νῦν μέγα αὐτὸ ἡγοῦνται οἱ πλείους, ἀλλὰ πάντα συγκέχυται, καὶ διέφθαρται. μετὰ μοιχῶν, μετὰ πόρνων, μετὰ πλεονεκτῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἀναμιγνύμεθα. εἰ ἀπὸ τοῦ ἀργοῦ τρεφομένου μόνον στέλλεσθαι ἔδει, πόσῳ μᾶλλον ἀπὸ τῶν ἄλλων; καὶ ἵνα μάθῃς ὅσον ἦν φοβερὸν τὸ χωρίζεσθαι ἀπὸ τοῦ συλλόγου τῶν ἀδελφῶν, καὶ ὅσον φέρει κέρδος τοῖς εὐγνωμόνως τὴν ἐπιτίμησιν δεχομένοις, ἄκουσον ὅπως ὁ πεφυσιωμένος ἐκεῖνος τῷ ἁμαρτήματι, ὁ εἰς ἐσχάτην κακίαν ἐλάσας, ὁ πορνείας πεφυρμένος, οἷα οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὁ ἀναισθήτως ἔχων τοῦ τραύματος (τοῦτο γάρ ἐστιν ὑπερβολὴ διαστροφῆς) ἐπειδὴ ὁ τοιοῦτος οὕτω κατεκάμφθη, καὶ συνεστάλη, ὥστε τὸν Παῦλον εἰπεῖν· (β. Κορ β. ς.) Αρκεῖ τῷ τοιούτῳ ἡ ἐπιτίμησις αὕτη ἡ ὑπὸ τῶν πλειόνων· ὥστε κυρῶσαι εἰς αὐτὸν ἀγάπην. καθάπερ γὰρ μέλος ἀποσπασθὲν τοῦ λοιποῦ σώματος, οὕτως ἦν τότε. τὸ δὲ αἴτιον, καὶ πόθεν ἦν τοῦτο φοβερὸν τότε; ἐπειδὴ καὶ τὸ εἶναι μετ' αὐτῶν, μέγα ἀγαθὸν αὐτοῖς ἐνόμιζον. καθάπερ γὰρ οἰκίαν μίαν οἰκοῦντες, καὶ ὑπὸ πατέρα ἕνα ὄντες, καὶ μιᾶς τραπέζης μετέχοντες, οὕτως ὤκουν τότε καθ' ἑκάστην ἐκκλησίαν. τὸ τοίνυν τοσαύτης ἐκπεσεῖν ἀγάπης, πόσον κακὸν ἦν; νῦν δὲ οὐδὲ εἶναι μέγα δοκεῖ, διὰ τὸ μηδὲ μέγα τι νομίζεσθαι, ὅταν μετ' ἀλλήλων ὦμεν. ὅπερ ἐν τάξει τιμωρίας ἦν τότε, τοῦτο διὰ τὴν πολλὴν ψύξιν τῆς ἀγάπης καὶ χωρὶς τιμωρίας γίνεται νῦν, καὶ στελλόμεθα ἀπ' ἀλλήλων εἰκῇ, καὶ ἀπὸ ψυχρότητος. τὸ γὰρ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ εἶναι ἀγάπην. τοῦτο πάντα διέλυσε, καὶ ἠφάνισε τὰ σεμνὰ, καὶ λαμπρὰ τῆς ἐκκλησίας, ἐφ' οἷς ἀγάλλεσθαι ἔδει. μεγάλη διδασκάλου παῤῥησία, ὅταν ἐκ τῶν οἰκείων κατορθωμάτων ἔχῃ τοῖς μαθηταῖς ἐπιτιμᾶν. διὸ καὶ Παῦλος ἔλεγεν· (β. Θεσ. γ. ζ.) Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· καὶ τοῦ βίου μᾶλλον ὀφείλει διδάσκαλος εἶναι, ἢ τοῦ λόγου. μηδεὶς δὲ νομιζέτω τοῦτο μεγαληγορίας εἶναι. εἰς γὰρ ἀνάγκην καταστὰς τοῦτο ἐφθέγξατο, καὶ πρὸς τὸ κοινῇ χρήσιμον. ὅτι οὐκ ἠτακτήσαμεν, φησὶν, ἐν ὑμῖν. ἀπὸ τούτου οὐχ ὁρᾷς τὴν ταπεινοφροσύνην, ἣν δωρεὰν καλεῖ καὶ εὐταξίαν; οὐκ ἠτακτήσαμεν, φησὶν, ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν. δίκαιοι ἐνταῦθα καὶ πένητας αὐτοὺς ἴσως ὄντας, καὶ μή μοι εἴπῃς ὅτι πένητες ἦσαν. παρεὶ γὰρ

πενήτων,

πεινώντων, καὶ τὴν οὐκ ἄλλως τῆς ἀναγκαίας εὐπορούντων τροφῆς, ἢ ἀπὸ τῆς τῶν χειρῶν ἐργασίας διαλέγεται. οὐ γὰρ εἶπεν, ἵνα ἀπὸ πατρῴων ἔχωσιν, ἀλλ' ἵνα ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. Εἰ γὰρ ὁ κήρυξ ἐγώ, φησί, τοῦ λόγου τῆς διδασκαλίας ἐφοβήθην βαρῆσαι ὑμᾶς, πολλῷ μᾶλλον ὁ μηδὲν ὑμᾶς ὠφελῶν. τοῦτο γὰρ ὄντως βάρος ἐστί. βάρος δέ ἐστιν, ὅταν τις μὴ μετὰ προθυμίας πολλῆς διδῷ. ἀλλ' οὐ τοῦτο αἰνίττεται, ἀλλ' ὡς οὐκ ἐχόντων εὐκόλως. Διὰ τί γὰρ οὐκ ἐργάζῃ; χεῖράς σοι εἰς τοῦτο ἔδωκεν ὁ Θεός, οὐχ ἵνα παρ' ἑτέρων λαμβάνῃς, ἀλλ' ἵνα ἑτέροις παρέχῃς. Ὁ δὲ Κύριος, φησί, μεθ' ὑμῶν. τοῦτο ἔξεστι καὶ ἡμῖν ἑαυτοῖς ἐπεύχεσθαι, ἂν τὰ τοῦ Κυρίου πράττωμεν. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Ματθ. κη. ιθ. πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. οὐ μόνον ταῦτα πρὸς ἐκείνους εἴρηται, ἀλλὰ καὶ πρὸς ἡμᾶς. ὅτι γὰρ ἐκείνοις οὐκ ἐπήγγελται μόνον, δῆλον ἐκ τοῦ εἰπεῖν, ἕως τοῦ αἰῶνος τῆς συντελείας, ἀλλὰ καὶ τοῖς κατ' ἴχνος ἐκείνων βαίνουσι.

ΗΘΙΚΟΝ

Τί οὖν πρὸς τοὺς μὴ διδασκάλους φησίν; ἕκαστος ὑμῶν, εἰ βούλοιτο, διδάσκαλός ἐστιν εἰ καὶ μὴ ἑτέρου, ἀλλ' ἑαυτοῦ. δίδαξον σεαυτὸν πρότερον. ἂν διδάξῃς πάντα, ὅσα ἐνετείλατό σοι τηρεῖν, διὰ τούτου πολλοὺς ἕξεις τοὺς ζηλοῦντας. ὥσπερ γὰρ ὁ λύχνος, ὅταν αὐτὸς γένηται λαμπρός, μυρίους δύναται ἀνάψαι· ἐσβεσμένος δὲ οὐδὲ ἑαυτῷ παρέξει φῶς, οὔτε ἑτέρους ἀνάψαι λύχνους δυνήσεται· οὕτω καὶ ἐπὶ τοῦ βίου τοῦ καθαροῦ, ἐὰν τὸ ἐν ἡμῖν φῶς λαμπρὸν ᾖ, μυρίους καὶ μαθητὰς καὶ διδασκάλους ἐργασόμεθα, ὥσπερ ἀρχέτυποι προκείμενοι. οὐδὲ γὰρ οὕτω τὰ παρ' ἐμοῦ ῥήματα τοὺς ἀκούοντας ὠφελῆσαι δυνήσεται, ὡς ὁ βίος ὁ ἡμέτερος. ἔστω γάρ, εἰ βούλει, ἀνήρ τις τῷ Θεῷ φίλος, καὶ ἐν ἀρετῇ διαλάμπων, καὶ γυναῖκα ἔχων (ἔξεστι γὰρ καὶ γυναῖκα ἔχοντα ἀρέσκειν Θεῷ, καὶ παιδία, καὶ οἰκέτας, καὶ φίλους) τοῦτον, εἰπέ μοι, οὐ πολλῷ μᾶλλον ἐμοῦ τοὺς πάντας ὠφελῆσαι δυνήσεται; ἐμοῦ μὲν γὰρ ἅπαξ, ἢ δεύτερον * τοῦ μηνός, ἢ οὐδὲ ἅπαξ, καὶ ἅπερ ἂν ἀκούσωσιν, ἴσως μέχρι τοῦ τῆς ἐκκλησίας οὐδοῦ φυλάξαντες, εὐθέως ἀποβάλλουσιν· ἐκείνου δὲ τὸν βίον ὁρῶντες διηνεκῶς, μεγάλα κερδαίνουσιν. ὅταν γὰρ ὑβρισθεὶς μὴ ἀνθυβρίσῃ, οὐχὶ σχεδὸν ἐνέπηξε καὶ ἐνεχάραξε τῆς ἐπιεικείας αὐτοῦ τὴν αἰδῶ εἰς τὴν τοῦ ὑβρίζοντος ψυχήν; κἂν μὴ παραυτίκα ὁμολογῇ τὴν ὠφέλειαν, ἀπὸ τοῦ θυμοῦ ἢ αἰσχυνόμενος, ἢ ἐντρεπόμενος, ἀλλ' ὅμως αἴσθησιν εὐθέως λαμβάνει· καὶ ἀδύνατον ἂν ἄνθρωπον ὑβρίζοντα, κἂν θηρίον ᾖ, ἀνεξικάκῳ τινὶ προσομιλήσαντα, μὴ μεγάλα κερδήσαντα ἀπελθεῖν. τὰ γὰρ ἀγαθὰ κἂν μὴ πράττωμεν, ἀλλ' ὅμως ἐπαινοῦμεν ἅπαντες καὶ θαυμάζομεν. ἡ γυνὴ πάλιν ἂν ἴδῃ τὸν ἄνδρα ἐπιεικῆ, μεγάλα κερδαίνει ἀεὶ συνοῦσα, καὶ τὸ παιδίον. ἔξεστιν οὖν ἑκάστῳ διδασκάλῳ γενέσθαι. Οἰκοδομεῖτε γὰρ, φησίν, ἀλλήλους εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. α. Θεσ. ε. ια. ὅρα γάρ· προσέπεσε ζημία ἐπὶ τῆς οἰκίας; ἡ γυνὴ θορυβεῖται, ἅτε ἀσθενεστέρα οὖσα, καὶ πολυτελεστέρα, καὶ φιλόκοσμος· ὁ ἀνὴρ ἐὰν ᾖ φιλόσοφος καὶ καταγελάσῃ τῆς ζημίας, καὶ ἐκείνην παραμυθεῖται, καὶ πείθει φέρειν γενναίως. ἆρ' οὖν, εἰπέ μοι, οὐ πολλῷ μᾶλλον αὐτὴν τῶν ἡμετέρων ὠφελήσει λόγων; εἰπεῖν μὲν γὰρ πάνυ εὔκολον· προδεῖξαι δέ, ὅταν εἰς χεῖρας καταστῶμεν, σφόδρα δύσκολον. διὰ τοῦτο μᾶλλον ἀπὸ τῶν ἔργων ῥυθμίζεσθαι ἡ ἀνθρωπίνη φύσις εἴωθε. καὶ τοσαύτη τῆς ἀρετῆς ἡ ὑπερβολή, ὥστε καὶ δοῦλος πολλάκις ὁλόκληρον ὠφέλησεν οἰκίαν μετὰ τοῦ δεσπότου. οὐδὲ γὰρ εἰκῇ, οὐδὲ ἁπλῶς αὐτοῖς συνεχῶς ἐπιτάττει τὴν ἀρετὴν ἀσκεῖν ὁ Παῦλος, καὶ πειθηνίους εἶναι τοῖς δεσπόταις, οὐ τῆς διακονίας τοσοῦτον φροντίζων τῶν

* ἀκούονται

δεσπότην, ὥστε ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται, καὶ ἡ διδασκαλία. ὅταν δὲ μὴ βλασφημῆται, ταχέως καὶ θαυμασθήσεται. καὶ οἶδα πολλὰς οἰκίας, ὅτι μεγάλα ἐκέρδαναν ἀπὸ τῆς τῶν δούλων ἀρετῆς. Εἰ δὲ οἰκέτης ὑπὸ ἐξουσίαν κείμενος τὸν δεσπότην ῥυθμίσαι δυνήσαιτ' ἂν, πολλῷ μᾶλλον δεσπότης οἰκέτας. Διατείνομαι πρὸς ὑμᾶς, παρακαλῶ, ταύτην τὴν διακονίαν. ἐγὼ πᾶσι κοινῇ διαλέγομαι· ὑμεῖς ἰδίᾳ ἑκάστῳ. καὶ ἕκαστος ἐγχειριζέσθω τὴν σωτηρίαν τοῦ πλησίον. ὅτι γὰρ δεῖ τὴν τῆς οἰκίας προεστάναι ἐν α Κορ ιδ. λε. τούτοις, ἄκουσον ποῦ παραπέμπει τὰς γυναῖκας ὁ Παῦλος· Εἰ δέ τι μαθεῖν θέλουσι, φησὶν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν, καὶ οὐ προσάγει αὐτὰς τῷ διδασκάλῳ. καθάπερ γὰρ ἐν ταῖς διατριβαῖς τῶν γραμμάτων εἰσὶ καὶ ἐν τοῖς μαθηταῖς διδάσκαλοι, οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ. βούλεται γὰρ μὴ ὑπὸ πάντων ἐνοχλεῖσθαι τὸν διδάσκαλον. Διατί; ὅτι μεγάλα ἀγαθὰ οὕτως ἔσται, οὐ μόνον ὅτι κοῦφος ἔσται ὁ πόνος τῷ διδασκάλῳ, ἀλλ' ὅτι καὶ τῶν μαθητῶν ἕκαστος μεμελετηκὼς, ταχέως γενέσθαι δύναται διδάσκαλος, ταύτην ἔχων τὴν φροντίδα. ὅρα γὰρ πόσην διακονίαν εἰσάγει ἡ γυνή. οἰκουρεῖ, καὶ τὴν κατὰ τὴν οἰκίαν πάντων φροντίζει, ταῖς θεραπαινίσιν ἐφέστηκεν, ἀμφιέννυσι ταῖς αὐτῆς χερσὶ, πατέρας σε ποιεῖ παίδων καλεῖσθαι, χαμαιτυπείων ἀπαλλάττει, πρὸς σωφροσύνην βοηθεῖ, τοὺς οἴστρους τῆς φύσεως παύει. ἀλλ' εὐεργέτει αὐτὴν καὶ σύ. πῶς; ἐν τοῖς πνευματικοῖς ὄρεξον χεῖρα. ἅπερ ἂν ἀκούσῃς χρήσιμα, ταῦτα, καθάπερ αἱ χελιδόνες, τῷ στόματι διαβαστάζων ἀπάγαγε, καὶ ἔνθες εἰς τὸ στόμα καὶ τῆς μητρὸς καὶ τῶν νεοττῶν. πῶς γὰρ οὐκ ἄτοπον ἐν μὲν τοῖς ἄλλοις τῶν πρωτείων ἀξιοῦν σαυτὸν, καὶ τὴν τῆς κεφαλῆς χώραν ἐπέχειν, ἐν δὲ τῇ διδασκαλίᾳ λείπειν τὴν τάξιν; τὸν ἄρχοντα τῶν ἀρχομένων οὐκ ἐν ταῖς τιμαῖς ὑπερέχειν δεῖ, ἀλλ' ἐν ταῖς ἀρεταῖς. τοῦτο γὰρ ἄρχοντος· ἐκεῖνο μὲν γὰρ τῶν ἀρχομένων ἐστί. τοῦτο δὲ αὐτοῦ τοῦ ἄρχοντος κατόρθωμα. ἂν πολλῆς ἀπολαύσῃς τιμῆς, οὐδὲν τοῦτο πρὸς σέ. ἔλαβες γὰρ παρ' ἑτέρων. ἂν πολλῇ λάμπῃς τῇ ἀρετῇ, τοῦτο ὅλον σόν. κεφαλὴ τῆς γυναικὸς εἶ. οὐκοῦν ῥυθμιζέτω τὸ σῶμα τὸ λοιπὸν ἡ κεφαλή. οὐχ ὁρᾷς ὅτι οὐ τῷ τόπῳ τοσοῦτον ὑπερέχει τοῦ λοιποῦ σώματος, ὅσον τῇ προνοίᾳ, καθάπερ τις κυβερνήτης, ἅπαν αὐτὸ εὐθύνουσα; ἐν γὰρ τῇ κεφαλῇ καὶ οἱ τοῦ σώματος, καὶ οἱ τῆς ψυχῆς ὀφθαλμοί. [illegible] ἐκεῖθεν ἐπιρρεῖ τούτοις τὸ διορατικὸν, ἐκεῖθεν τὸ ἡγεμονικόν. καὶ τὸ μὲν λοιπὸν τέτακται εἰς διακονίαν, αὕτη δὲ εἰς τὸ ἐπιτάττειν κεῖται. πᾶσαι αἱ αἰσθήσεις ἐκεῖθεν ἔχουσι τὴν ἀρχὴν, καὶ τὴν πηγήν. τὰ φωνητικὰ ὄργανα ἐκεῖθεν ἀναπέμπεται, τὸ διορατικὸν, τὸ ὀσφρητικὸν, ἡ ἁφὴ πᾶσα. ἡ γὰρ τῶν νεύρων ῥίζα καὶ τῶν ὀστῶν ἐκεῖθεν συνέστηκεν. ὁρᾷς ὅτι τῇ προνοίᾳ μᾶλλον ὑπερέχει, ἢ τῇ τιμῇ; οὕτω καὶ τῶν γυναικῶν ἡμεῖς ἄρχωμεν· νικῶμεν αὐτὰς μὴ τῷ πλείονα τιμὴν ζητεῖν παρ' αὐτῶν, ἀλλὰ τῷ μειζόνως αὐτὰς εὐεργετεῖν παρ' ἡμῶν. ἔδειξα ὅτι οὐ μικρᾶς ἡμᾶς εὐεργεσίας εὐεργετοῦσιν· ἀλλ' ἐὰν θέλωμεν ἐν τοῖς πνευματικοῖς δοῦναι τὴν ἀντίδοσιν, ἡμεῖς νικῶμεν· ἐπεὶ ἐν τοῖς σωματικοῖς ἀντίρροπόν τι εἰσαγαγεῖν οὐ δυνατόν. τί γάρ; εἰσάγεται πολλὰ χρήματα; ἀλλ' ἐκείνη φυλάττει. ἀντίρροπος δὲ αὕτη ἐκείνης ἡ πρόνοια, καὶ οὕτως αὐτῆς δεῖται. διατί; ὅτι πολλοὶ πολλὰ κεκτημένοι, ἐπειδὴ φυλάττουσαν οὐκ εἶχον, πάντα ἀπώλεσαν. ἀλλὰ τῶν παίδων ἕνεκεν κοινωνεῖτε ἀμφότεροι, καὶ ἴση παρ' ἑκατέρου ἡ εὐεργεσία· μᾶλλον δὲ ἐκείνη πολυπονωτέραν ἐν τούτοις ἔχει τὴν διακονίαν, διαπαντὸς φέρουσα τὸ κυόμενον, καὶ ταῖς ὠδῖσι διακοπτομένη. ὥστε ἐν τοῖς πνευματικοῖς μόνοις δυνατὸν νικᾶν. μὴ φροντίζωμεν ὅπως ἡμῖν χρήματα ἔσται, ἀλλ' ὅπως ἃς ἐνεπιστεύθημεν ψυχὰς, μετὰ παρρησίας τῷ Θεῷ παραστήσωμεν. ἐν τῷ γὰρ ῥυθμίζειν ἐκείνας καὶ ἑαυτοὺς τὰ μέγιστα ὀνήσομεν. ὁ γὰρ ἕτερον διδάσκων, εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἐν τῷ λέγειν κατανύσσεται, καὶ μάλιστα ὅταν ἤδη ἑαυτὸν ὑπεύ-

θυνον

θυμον ὄντα τούτοις, ὑπὲρ ὧν ἑτέροις ἐπιτιμᾷ. ἐπεὶ οὕτω καὶ ἡμᾶς αὐτοὺς, κἀκείνους ὠφελοῦμεν, καὶ δι' ἐκείνων τοὺς οἴκους, καὶ τῷ Θεῷ τοῦτο δοκεῖ παρεθηγυμένως, μὴ ἀποκάμωμεν καὶ τῆς ἑαυτῶν, καὶ τῆς τῶν διακονουμένων ἡμῖν ψυχῆς κηδόμενοι, ἵν' ὑπὲρ ἁπάντων λάβωμεν τὴν ἀμοιβὴν, καὶ μετὰ πολλοῦ τοῦ πλούτου καταλύσωμεν εἰς τὴν ἁγίαν πόλιν τὴν μητέρα ἡμῶν, τὴν ἄνω Ἱερουσαλήμ· ἧς μὴ γένοιτό ποτε ἐκπεσεῖν, ἀλλ' ἐν τῇ ἀρίστῃ λάμψαντας πολιτείᾳ μετὰ πολλῆς τῆς παρρησίας ἀξιωθῆναι ἰδεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

κατὰ ξ.

Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόθεσις τῆς πρὸς Τιμόθεον ἐπιστολῆς πρώτης.

Τῶν τοῦ ἀποστόλου μαθητῶν εἷς καὶ ὁ Τιμόθεος ἦν. καὶ μαρτυρεῖ μὲν ὁ Λου- Πραξ. ις. β.
κᾶς, ὅτι θαυμαστός τις νέος ἦν, "μαρτυρούμενος ὑπὸ τῶν ἐν Λύστρᾳ
καὶ Ἰκονίῳ ἀδελφῶν," ὃς ἅμα τε μαθητὴς ἐγένετο, καὶ διδάσκαλος·
καὶ οὕτω σφόδρα συνετὸς ἦν, ὡς ἀκούων Παύλου χωρὶς περιτομῆς
κηρύσσοντος, καὶ μαθὼν ὅτι καὶ Πέτρῳ ἀντέστη τούτου ἕνεκεν, ἑλέσθαι μὴ
μόνον τὸ ἐναντίον μὴ κηρύξαι, ἀλλὰ καὶ παθεῖν. Περιέτεμε γὰρ αὐ- Πραξ. ις. γ.
τόν, φησιν, ἐν ἡλικίᾳ τοιαύτῃ, οὕτω τε αὐτῷ πᾶσαν τὴν οἰκονομίαν ἐνεπίστευσεν. ἤρκει μὲν οὖν ὁ
τοῦ Παύλου πόθος δεῖξαι τὸν ἄνδρα, ὅστις ἐστί. καὶ γὰρ καὶ ἀλλαχοῦ αὐτῷ μαρτυρεῖ γράφων [καὶ
λέγων], Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ
εὐαγγέλιον. καὶ Κορινθίοις πάλιν ἐπιστέλλει λέγων, Ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστί μου τέ- Φιλιπ. β. κβ.
κνον ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ· καὶ πάλιν, Βλέπετε μή τις αὐτὸν ἐξουθενήσῃ· τὸ γὰρ ἔρ- α. Κορ. δ. ιζ. καὶ ις ια.
γον Κυρίου ἐργάζεται, ὡς κἀγώ. καὶ Ἑβραίοις δὲ γράφων ἔλεγε, Γινώσκετε τὸν ἀδελφὸν Τι- Ἑβρ. ιγ. κγ.
μόθεον ἀπολελυμένον· καὶ πολλὴν πανταχόθεν εὕροι τις ἂν αὐτοῦ τὴν ἀγάπην. καὶ τὰ νῦν
δὲ γινόμενα θαύματα δείκνυσιν αὐτοῦ τὴν παρρησίαν. Εἰ δέ τις ἐξετάζοι, τί δήποτε Τίτῳ
καὶ Τιμοθέῳ γράφει μόνοις, καίτοιγε καὶ Σίλας τῶν εὐδοκίμων ἦν, καὶ Λουκᾶς ὁμοίως; φησὶ γὰρ
αὐτὸς γράφων, Καὶ Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. καὶ Κλήμης δὲ εἷς τῶν συνόντων αὐτῷ β. Τιμ. δ. ια.
ἐτύγχανε. φησὶ γὰρ καὶ περὶ αὐτοῦ, Μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου. τίνος Φιλιπ. δ. γ.
οὖν ἕνεκεν Τίτῳ καὶ Τιμοθέῳ γράφει μόνοις; ὅτι τούτοις ἤδη ἐκκλησίας ἦν ἐγκεχειρικώς, ἐκεί-
νοις δὲ ἔτι μεθ' ἑαυτοῦ περιῆγε. τούτους δὲ φανερὸν ὅτι τόποις ἀφώρισε. τοσαύτη γὰρ ἦν
αὐτῷ ἡ ὑπερβολὴ τῆς ἀρετῆς, ὡς μηδὲν τὴν νεότητα ἐμποδίσαι. διὰ τοῦτο γράφων
φησί· Μηδείς σου τῆς νεότητος καταφρονείτω· [καὶ πάλιν, Τὰς νεωτέρας, φησίν, ὡς ἀδελ- α. Τιμ. δ. ιβ.
φάς.] ὅταν γὰρ ἡ ἀρετὴ ᾖ, πάντα περιττά, καὶ οὐδὲν ἐμποδὼν γένοιτ' ἄν. καὶ γὰρ περὶ ἐπι- καὶ ε. β.
σκόπων διαλεγόμενος, καὶ πολλὰ περὶ αὐτῶν εἰπών, οὐδαμοῦ περὶ τῆς ἡλικίας ἀκριβο-
λογεῖται. Εἰ δὲ λέγει, [γράφων] Τέκνα ἐν ὑποταγῇ ἔχοντα, καί, Μιᾶς γυναικὸς ἄνδρα, α. Τιμ. γ. δ.
οὐ τοῦτό φησιν, ὡς ἀναγκαῖον καὶ τέκνα ἔχειν καὶ γυναῖκα· ἀλλ' εἰ συμβαίη ποτὲ ἀπὸ κοσμικῶν β.
ἄγεσθαι, ἵνα τοιοῦτοι ὦσιν, ὡς καὶ οἰκίας εἰδέναι προεστάναι, καὶ παίδων, καὶ τῶν ἄλλων ἁπάν-
των.

πων. Εἰ γὰρ καὶ κοσμικὸς εἴη, καὶ μηδὲ ἐν τούτοις χρήσιμος γεγονώς, πῶς ἂν ἐμπιστευθείη φροντίδα ἐκκλησίας; τίνος δὲ ἕνεκεν ἐπιστέλλει, φησί, τῷ μαθητῇ εἰς διδασκαλίαν παρηγμένῳ λοιπόν; οὐ γὰρ ἔδει προσέτι περὶ ἁπάντων παιδεῦσαι αὐτόν, εἶτα πέμπεσθαι; ἀλλ' ἐδεῖτο διδασκαλίας οὐ τῆς αὐτῆς, ἧς οἱ μαθηταί, ἀλλὰ τῆς διδασκάλῳ πρεπούσης. ὅρα οὖν αὐτὸν δι' ὅλης τῆς ἐπιστολῆς διδασκάλῳ προσήκουσαν ποιούμενον τὴν διδασκαλίαν. καὶ εὐθέως ἐκ τοῦ προοιμίου οὐκ εἶπεν, ἵνα μὴ προσέχῃς τοῖς ἑτεροδιδασκαλοῦσιν, ἀλλὰ τί;
α. Τιμ. α γ. Ἵνα παραγγείλῃς αὐτοῖς μὴ ἑτεροδιδασκαλεῖν.

ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ α. ΕΠΙΣΤΟΛΗΝ

ἑρμηνεία.

κεφ. α. Λογ. α 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, 2 Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.

Μέγα μὲν τοῦ ἀποστόλου ἀξίωμα ἦν, μέγα καὶ θαυμαστόν. καὶ πανταχοῦ ὁρῶμεν τὸν Παῦλον προστιθέντα τὰς αἰτίας τοῦ ἀξιώματος, οὐχ ὡς ἁρπάζοντα τὴν τιμήν, ἀλλ' ὡς ἐγχειρισθέντα, καὶ ἀνάγκην ἔχοντα. καὶ γὰρ ὅταν λέγῃ κλητὸν ἑαυτόν, καὶ ὅταν λέγῃ, Διὰ θελήματος Θεοῦ, καὶ πάλιν ἀλλαχοῦ, Ἀνάγκη γάρ μοι ἐπίκειται, καὶ ὅταν εἰς τοῦτο ἀφωρίσθαι λέγῃ, ταῦτα πάντα ἀναίρεσις φιλοτιμίας καὶ ἀλαζονείας ἐστίν. ὥσπερ γὰρ ὁ ἐπιπηδῶν μὴ διδομένῃ παρὰ Θεοῦ τιμῇ, μέμψεως ἄξιος τῆς ἐσχάτης· οὕτως ὁ διακρουόμενος καὶ ἀποπηδῶν, ἑτέρων ἐστὶν ἐγκλημάτων ὑπεύθυνος, παρακοῆς καὶ ἀπειθείας. τοῦτο γοῦν καὶ νῦν ἐν ἀρχῇ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς ὁ Παῦλός φησιν, οὕτω λέγων, Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ. οὐκ εἶπεν ἐνταῦθα, Παῦλος κλητός, ἀλλά, κατ' ἐπιταγήν. ἵνα γὰρ μή τι ἀνθρώπινον πάθῃ ὁ Τιμόθεος, νομίζων ἐξ ἴσης αὐτῷ διαλέγεσθαι τοῖς μαθηταῖς, διὰ τοῦτο οὕτως ἤρξατο. καὶ ποῦ ἐπέταξεν αὐτῷ ὁ Θεός; εὑρίσκεται τὸ πνεῦμα λέγον ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν. καὶ πανταχοῦ δὲ γράφων προστίθησι τὸ ὄνομα

Margin: β. Τιμ. α. α. — α. Κορ α. α. — α. Κορ θ. ις. — Ρωμ. α. α. — Πραξ. ιγ. β.

τοῦ

τοῦ ἀποστόλου, παιδεύων τὸν ἀκούοντα μὴ νομίζειν ἀνθρώπινα εἶναι τὰ λεγόμενα (ὁ γὰρ ἀπόστολος οὐδὲν ἂν ἴδιον λέγοι) καὶ εἰπὼν ἀπόστολον, εὐθέως τοῦ ἀκροατοῦ τὴν διάνοιαν εἰς τὸν ἀποστείλαντα παραπέμπει. διὰ τοῦτο πάσαις ταῖς ἐπιστολαῖς τοῦτο προτίθησιν, ἀξιόπιστον τὸν λόγον ποιῶν, καὶ οὕτω λέγων· Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν. καὶ μὴν οὐδαμοῦ φαίνεται ὁ πατὴρ ἐπιτάξας, ἀλλὰ πανταχοῦ ὁ Χριστὸς αὐτῷ διαλέγεται. τί γάρ φησι; Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. καὶ πάλιν, Καίσαρί σε δεῖ παραστῆναι. Πραξ. κβ. κα. καὶ κζ. κδ. ἀλλ' ἅπερ ἂν ὁ υἱὸς ἐπιτάξῃ, ταῦτα τοῦ πατρὸς ἐπιτάγματα λέγει εἶναι· ὥσπερ καὶ τὰ τοῦ πνεύματος, τοῦ υἱοῦ. ἰδοὺ γὰρ ἐξεπέμφθη ὑπὸ τοῦ πνεύματος, Πραξ. ιγ. δ. β. ἀφωρίσθη ὑπὸ τοῦ πνεύματος, καὶ φησὶν ἐπιταγὴν εἶναι Θεοῦ; τί οὖν; μὴ ἄρα ἐλαττοῖ τοῦ υἱοῦ τὴν ἐξουσίαν τὸ τὸν ἀπόστολον αὐτοῦ κατ' ἐπιταγὴν τοῦ πατρὸς πεπέμφθαι; οὐδαμῶς. ὅρα γὰρ πῶς αὐτὴν κοινὴν ἐποίησεν. εἰπὼν γάρ, κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν, ἐπήγαγε, καὶ Κυρίου Χριστοῦ Ἰησοῦ, τῆς ἐλπίδος ἡμῶν. ὅρα πῶς κυρίως τὰ ἐπώνυμα τίθησι. καὶ μὴν ὁ ψαλμῳδὸς περὶ τοῦ πατρὸς τοῦτό φησι λέγων, Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· Ψαλ. ξδ. ε. καὶ πάλιν ὁ μακάριος Παῦλος γράφων ἑτέρωθί φησιν, Εἰς τοῦτο γὰρ κοπιῶμεν α. Τιμ. δ. ι. καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι καὶ ἀληθινῷ. τὸν διδάσκαλον ἀναγκαῖον κινδύνους ὑπομένειν, καὶ πολλῷ τῶν μαθητῶν πλείονας. Πατάξω γάρ, φησι, τὸν ποιμένα, καὶ Ζαχ. ιγ. ζ. διασκορπισθήσεται τὰ πρόβατα. Ματθ. κϛ. λα. ἐπεὶ οὖν τοῦτο οἶδε, σφοδρότερον κατ' αὐτοῦ ὁ διάβολος πνεῖ, ἅτε ἐν τῇ τούτου ἀναιρέσει καὶ τοῦ ποιμνίου διασπειρομένου. πρόβατα μὲν γὰρ ἀποκτείνας, τὸ ποίμνιον ἠλάττωσε· τὸν δὲ ποιμένα ἐκ μέσου ποιήσας, ὁλόκληρον τὴν ποίμνην ἐλυμήνατο. ἅτε οὖν ἐν ἐλάττονι πόνῳ μείζονα ἐργαζόμενος, καὶ ἐν μιᾷ ψυχῇ τὸ πλῆθος λυμαινόμενος, τούτοις ἐφίσταται μᾶλλον. διὰ τοῦτο εὐθέως ἐν προοιμίοις αὐτοῦ τὴν ψυχὴν ἀνίστησι λέγων, σωτῆρα τὸν Θεὸν ἔχομεν, καὶ ἐλπίδα τὸν Χριστόν. πολλὰ πάσχομεν, ἀλλ' ἔχομεν ἐλπίδας μεγάλας. κινδυνεύομεν, ἐπιβουλευόμεθα· ἀλλ' ἔχομεν σώζοντα, οὐκ ἄνθρωπον, ἀλλὰ Θεόν. οὔτε οὖν ὁ σώζων ἀσθενής (Θεὸς γάρ ἐστι, καὶ οἷοι ἐὰν ὦσιν οἱ κίνδυνοι, οὐ περιέσονται ἡμῶν) οὔτε ἡ ἐλπὶς καταισχύνεται. Χριστοῦ γάρ ἐστι. δύο γὰρ τούτοις φέρομεν τοὺς κινδύνους, ἢ ταχέως αὐτῶν ἀπαλλαττόμενοι, ἢ χρησταῖς ἐλπίσι τρεφόμενοι. πῶς δὲ οὐδαμοῦ τοῦ πατρὸς ἀπόστολον ἑαυτὸν εἶναί φησιν, ἀλλὰ τοῦ Χριστοῦ; πάντα κοινοποιεῖ, καὶ εὐαγγέλιον δὲ αὐτὸ λέγει τοῦ Θεοῦ. ὅσα γὰρ ἂν πάθωμεν, φησίν, οὐδέν ἐστι τὰ ἐνταῦθα. Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει. καὶ τοῦτο παρακλητικόν. εἰ γὰρ τοσαύτην ἐπεδείξατο πίστιν, ὡς Παύλου γενέσθαι τέκνον, οὐχ ἁπλῶς, ἀλλὰ γνήσιον, θαρρείτω καὶ περὶ τῶν μελλόντων. πίστεως δέ, τό, κἂν ἐναντία ταῖς ἐπαγγελίαις ᾖ τὰ γινόμενα, μὴ καταπίπτειν, μηδὲ θορυβεῖσθαι. ἀλλ' ἰδοὺ καὶ τέκνον, καὶ γνήσιον τέκνον, καὶ οὐδαμοῦ τῆς αὐτῆς ἐστιν οὐσίας. ἀλλὰ τί; ἄλογον ἦν; ἀλλ' οὐκ ἦν ἐκ Παύλου, φησίν· ὥστε οὐ τοῦ ἔκ τινος εἶναι τοῦτο δηλωτικόν. τί οὖν; ἑτερούσιος ἦν; οὐδὲ τοῦτο. εἰπὼν γάρ, τέκνον, διὰ τοῦτο προσέθηκεν, ἐν πίστει, ὥστε δηλῶσαι ὅτι γνήσιος ἦν, καὶ ἐξ αὐτοῦ ἦν· οὐδὲν ἐνήλλακτο, κατὰ τὴν πίστιν τὸ ἐμφερὲς εἶχεν, ὃ καὶ ἐν τοῖς ἀνθρωπίνοις ἐπὶ τῆς οὐσίας ἐστίν. ὅμοιός ἐστιν υἱὸς τῷ πατρί, ἀλλ' οὐχ οὕτως, ὡς ἐπὶ Θεοῦ. πλείων γὰρ ἰσότης ἐκεῖ. ἐνταῦθα μὲν γάρ, εἰ καὶ τῇ οὐσίᾳ ταὐτοί εἰσιν, ἀλλ' ἑτέροις πολλοῖς διεστήκασι, χρώματι, σχήματι, συνέσει, χρόνῳ, προαιρέσει, τοῖς περὶ ψυχήν, τοῖς περὶ σῶμα, τοῖς ἐκτός, καὶ πλείοσιν ἑτέροις διεστήκασιν ἀλλήλων, ἢ συνάπτονται πρὸς ἀλλήλους· ἐκεῖ δὲ τούτων οὐδέν ἐστι τῶν διαφερομένων. τό, κατ' ἐπιταγήν, τοῦ, κλητός, ἐνεργέστερόν ἐστι, καθὼς καὶ ἀλλαχόθεν ἔστι μαθεῖν. ὅμοιον δὲ τοῦ, Τιμοθέῳ γνησίῳ τέκνῳ, καὶ Κορινθίοις φησίν, Ἐν Χριστῷ Ἰησοῦ ἐγὼ ὑμᾶς ἐγέννησα, τουτέστιν, ἐν πίστει. τὸ δέ, γνήσιον, προστίθησι, τὴν ἀκρίβειαν καὶ ὑπὲρ τοὺς ἄλλους πρὸς αὐτὸν ὁμοιότητα δεῖξαι βουλόμενος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὴν ἀγάπην τὴν πρὸς αὐτόν, καὶ τὴν διάθεσιν τὴν πολλήν. [ἰδοὺ δέ, ἐν,

πάλιν

πάλιν ἐπὶ τῆς πίστεως. γνησίῳ γὰρ τέκνῳ ἐν πίστει, φησίν. ὅρα δὲ καὶ τὸ ἐγκώμιον ὅσον, εἴγε μὴ μόνον υἱὸν αὐτοῦ φησιν αὐτόν, ἀλλὰ καὶ γνήσιον τέκνον.] [Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Διὰ τί τῶν ἄλλων ἐπιστολῶν οὐδαμοῦ τὸν ἔλεον προσέταξεν, ἀλλ' ἐνταῦθα; καὶ τοῦτο ἀπὸ πολλῆς φιλοστοργίας. πλείονα γὰρ ἐπεύχεται τῷ παιδί, δεδοικὼς ὑπὲρ αὐτοῦ καὶ τρέμων. οὕτω γὰρ ἐδεδοίκει, ὡς ὃ μηδαμοῦ πεποίηκε, καὶ σωματικῆς ἕνεκεν ἐπιστέλλει αὐτῷ, ὡς ὅταν λέγῃ,

α. Τιμ. ε. κγ. Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. πλείονος γὰρ μάλιστα οἱ διδάσκαλοι δέονται τοῦ ἐλέου. ἀπὸ Θεοῦ, φησί, πατρὸς ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. πάλιν ἐνταῦθα παραμυθία. εἰ γὰρ πατὴρ ὁ Θεός, ὡς τέκνων κήδεται. ἄκουε γὰρ τοῦ Χριστοῦ

Ματθ. ζ. θ. * λέγοντος, Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ;

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν.

Ἄκουε δὲ προσηνές, πῶς οὐ διδασκάλου κέχρηται φωνῇ, ἀλλ' οἰκέτου σχεδόν. οὐ γὰρ εἶπεν, ἐπέταξα, οὐδέ, ἐκέλευσα, οὐδέ, παρῄνεσα· ἀλλὰ τί; παρεκάλεσά σε. οὐ μὴν πρὸς πάντας τοὺς μαθητὰς οὕτω διακεῖσθαι ἡμᾶς χρή, ἀλλὰ πρὸς τοὺς ἡμέρους καὶ ἐναρέτους· πρὸς δὲ τοὺς ἄλλους τοὺς διεφθαρμένους καὶ μὴ γνησίους, ἑτέρως· καθὼς καὶ αὐτὸς γράφων ἀλλαχοῦ φησιν, Ἔλεγχε αὐτοὺς μετὰ πάσης ἐπιταγῆς. καὶ ἐνταῦθα δὲ ὅρα τί φησιν, Ἵνα παραγγείλῃς τισίν, Οὐχ ἵνα παρακαλέσῃς, ἀλλ' ἵνα Παραγγείλῃς μὴ ἑτεροδιδασκαλεῖν. Τί τοῦτό ἐστιν; οὐ γὰρ ἤρκει ἡ Παύλου ἐπιστολή, ἣν ἐπέστελλεν αὐτοῖς; ἤρκει μέν· ἀλλὰ πρὸς τὰ γράμματα καταφρονητικώτερον οἱ ἄνθρωποι ἔχουσιν· ἢ οὕτω τοῦτό ἐστιν εἰπεῖν, ἢ ὅτι καὶ πρὸ τῶν γραμμάτων ταῦτα ἦν. καὶ αὐτὸς δὲ πολὺν ἐν τῇ πόλει ταύτῃ χρόνον πεποίηκε, καὶ ἐνταῦθα τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἦν, ἐνταῦθα ἔπαθε τὰ * δεινὰ ἐκεῖνα. μετὰ γὰρ τὸ λυθῆναι τὸ θέατρον καλέσας καὶ παρακαλέσας τοὺς μαθητάς, οὕτως ἐξέπλει, καὶ πάλιν παρεγένετο αὐτοῖς. ἄξιον δὲ ζητῆσαι, εἰ νῦν ἐνίδρυσεν ἐκεῖ τὸν Τιμόθεον. φησὶ γάρ· ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν. οὐ τίθησιν αὐτοὺς ὀνομαστί, ἵνα μὴ ἀναισχυντοτέρους ἐργάσηται τῇ τοῦ ἐλέγχου παρρησίᾳ. ἐνταῦθά τινες ἦσαν ἐξ Ἰουδαίων ψευδαπόστολοι, βουλόμενοι πάλιν ἐπὶ τὸν νόμον ἕλκειν τοὺς πιστούς, ὃ πανταχοῦ τῶν ἐπιστολῶν αἰτιᾶται. ἐποίουν δὲ τοῦτο, οὐχ οὕτως ὑπὸ συνειδότος ἑλκόμενοι, ὡς ὑπὸ κενοδοξίας, καὶ τοῦ θέλειν ἔχειν μαθητάς, καὶ τῷ μακαρίῳ Παύλῳ φιλονεικοῦντες, καὶ πρὸς αὐτὸν ζηλοτύπως ἔχοντες. τοῦτό ἐστιν ἑτεροδιδασκαλεῖν.

* μνεία

4 Μηδὲ προσέχειν, φησί, μύθοις καὶ γενεαλογίαις. Μύθους οὐ τὸν νόμον φησίν, ἄπαγε· ἀλλὰ τὰς παραποιήσεις, καὶ τὰ παραχαράγματα, καὶ τὰ παράσημα δόγματα. εἰκὸς γὰρ τοὺς ἐξ Ἰουδαίων ἐν τοῖς ἀνοήτοις τὸν πάντα λόγον ἀναλίσκειν, πάππους καὶ προπάππους ἀριθμοῦντας, ἵνα δῆθεν ἐμπειρίας πολλῆς καὶ ἱστορίας δόξαν ἔχωσιν. Ἵνα παραγγείλῃς τισί, φησί, μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. Τί ἐστιν, ἀπεράντοις; ἤτοι πέρας οὐδὲν ἐχούσαις, ἢ οὐδὲν χρήσιμον, ἢ δυσκατάληπτοι ἡμῖν. εἶδες πῶς διαβάλλει τὴν ζήτησιν; ἔνθα γὰρ πίστις, οὐ χρεία ζητήσεως. ἔνθα μηδὲν δεῖ περιεργάζεσθαι, τί δεῖ ζητήσεως; ἡ ζήτησις τῆς πίστεώς ἐστιν ἀναιρετική. ὁ γὰρ ζητῶν, οὐδέπω εὗρεν· ὁ ζητῶν, πιστεῦσαι οὐ δύναται. διὰ τοῦτό φησι, μὴ ἀσχολώμεθα περὶ τὰς ζητήσεις· ἐπεὶ εἰ ζητοῦμεν, οὐκ ἔστι τοῦτο πίστις· ἡ γὰρ πίστις ἀναπαύει τὸν λογισμόν. πῶς οὖν

Ματθ. ζ. ζ. Ιωαν. ε. λθ. φησιν ὁ Χριστός, Ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν, καί, Ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς ἐν ταύταις δοκεῖτε ζωὴν αἰώνιον ἔχειν; ἐκεῖ μὲν τό, ζητεῖτε, περὶ αἰτήσεως λέγει καὶ σφοδροῦ πόθου· ἐνταῦθα δὲ τό, ἐρευνᾶτε τὰς γραφάς, οὐ τοὺς ζητητικούς ἐστιν εἰσάγοντος πόνους, ἀλλ' ἐκβάλλοντος. εἶπε γάρ, ἐρευνᾶτε τὰς γραφάς, τουτέστιν, ὥστε τὴν ἀκρίβειαν αὐ-

τῶν

τῶν κατὰ μαθεῖν καὶ εἰδέναι, οὐχ ἵνα ἀεὶ ζητῶμεν, ἀλλ' ἵνα παυσώμεθα ζητοῦντες. καὶ καλῶς εἶπε, Παράγγελλε τισὶ μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον, ἢ οἰκονομίαν Θεοῦ τὴν ἐν πίστει. Καλῶς εἶπεν, οἰκονομίαν Θεοῦ. μεγάλα γὰρ ἡμῖν δοῦναι ἠθέλησεν ὁ Θεὸς, ἀλλ' οὐ δέχεται ὁ λογισμὸς τὸ μέγεθος αὐτοῦ τῆς οἰκονομίας. διὰ πίστεως οὖν τοῦτο γενέσθαι δεῖ, ὅπερ ἐστὶ φάρμακον ψυχῶν μέγιστον. ἡ τοίνυν ζήτησις ἐναντία ἐστὶ τῇ οἰκονομίᾳ τοῦ Θεοῦ. τί γὰρ ἀπὸ πίστεως οἰκονομεῖται; δέξασθαι τὰς εὐεργεσίας αὐτοῦ, καὶ γενέσθαι βελτίους, καὶ περὶ μηδενὸς ἀμφισβητεῖν καὶ ἀμφιβάλλειν, ἀλλ' ἀναπαύεσθαι. ἅπερ γὰρ ἡ πίστις λύουσι, καὶ ᾠκοδόμησε, ταῦτα αὕτη καταστρέφει, * ζητήσεις παρέχουσα, καὶ τὴν πίστιν ἐκβάλλουσα. μηδὲ προσέχειν, φησὶ, μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. καὶ αἱ γενεαλογίαι, φησὶ, τί ἔβλαπτον; ἔλεγεν ὁ Χριστὸς, ὅτι διὰ πίστεως δεῖ σωθῆναι· ἐκεῖνοι ἐζήτουν, καὶ ἔλεγον ὅτι οὐκ ἔνι τοῦτο. ἐπεὶ γὰρ ἡ μὲν ἀπόφασις κατὰ τὸ παρὸν ἦν, ἡ δὲ ἔκβασις τῆς ἀποφάσεως ἐν τῷ μέλλοντι, πίστεως ἔδει· ἐκεῖνοι δὲ προκατειλημμένοι τοῖς νομικοῖς παρατηρήμασιν, ἐνεπόδιζον τῇ πίστει. οἶμαι δὲ καὶ Ἕλληνας αὐτὸν ἐνταῦθα αἰνίττεσθαι, ὅταν λέγῃ μύθοις καὶ γενεαλογίαις, ὡς τοὺς θεοὺς αὐτῶν καταλεγόντων.

Μὴ τοίνυν προσέχωμεν τῇ ζητήσει. πιστοὶ γὰρ διὰ τοῦτο κεκλήμεθα, ἵνα ἀνενδοιάστως τοῖς λεγομένοις πιστεύωμεν, ἵνα μηδὲν ἀμφιβάλλωμεν. εἰ μὲν γὰρ ἀνθρώπινα τὰ λεγόμενα ἦν, ἐχρῆν αὐτὰ βασανίζεσθαι· εἰ δὲ Θεοῦ, τιμᾶσθαι αὐτὰ μόνον χρὴ καὶ πιστεύεσθαι. ἂν δὲ μὴ πιστεύωμεν, οὐδὲ ὅτι Θεός ἐστι πεισόμεθα. πῶς γὰρ οἶδας ὅτι Θεός ἐστιν, εὐθύνας αὐτὸν ἀπαιτῶν; τοῦτο γὰρ ἐστὶ τεκμήριον τοῦ τὸν Θεὸν εἰδέναι, τὸ πιστεύειν οἷς ἂν λέγῃ χωρὶς τεκμηρίων καὶ ἀποδείξεων. τοῦτο καὶ Ἕλληνες ἴσασιν. ἐπεὶ τοῖς γοῦν τοῖς θεοῖς, φησὶ, κἄν τι γε ἄνευ τεκμηρίων λέγουσι. τί δήποτε; ὅτι ἔκγονοί εἰσι θεῶν. ὁρᾷς ὅτι καὶ Ἕλληνες τοῦτο ἴσασι; καὶ τί λέγω ἐπὶ θεῶν; ἐπὶ ἀνθρώπου τοῦτο ἐποίουν γόητος καὶ μάγου, τοῦ Πυθαγόρου λέγω, αὐτὸς ἔφα. καὶ ἐπὶ ναῶν ἡ σιγὴ ἄνωθεν ἐγέγραπτο, καὶ κατεῖχε τῷ δακτύλῳ τὸ στόμα, καὶ ἐπισφίγγουσι τὰ χείλη, πᾶσι τοῖς παριοῦσι σιγᾶν παρῄνει. εἶτα ἐκεῖνα μὲν οὕτω σεμνὰ, τὰ δὲ ἡμέτερα οὐχ οὕτως, ἀλλὰ καταγέλαστα; καὶ ποίας οὐχὶ μανίας ἂν εἴη τοῦτο ὑπερβολή; τὰ μὲν γὰρ Ἑλλήνων εἰκότως ζητεῖται (τοιαῦτα γάρ ἐστι, μάχαι τῶν λογισμῶν, καὶ ἀμφισβητήσεις, καὶ συμπεράσματα) τὰ δὲ ἡμέτερα τούτων ἁπάντων κεχώρισται. ἐκεῖνα μὲν γὰρ ἀνθρωπίνη εὗρε σοφία, ταῦτα δὲ χάρις ἐδίδαξε πνευματική· ἐκεῖνα μωρίας καὶ ἀνοίας, ταῦτα τῆς ὄντως σοφίας δόγματα. ἐκεῖ οὐκ ἔστι μαθητὴς, οὐδὲ διδάσκαλος, ἀλλὰ πάντες συζητοῦσιν· ἐνταῦθα κἂν διδάσκαλος ᾖ, κἂν μαθητὴς, μαθεῖν περὶ οὗ μαθεῖν χρὴ, πείθεσθαι, οὐκ ἀμφισβητεῖν, πιστεύειν, οὐ συλλογίζεσθαι. διὰ πίστεως γὰρ πάντες εὐδοκίμησαν οἱ παλαιοὶ, καὶ ταύτης ἄνευ πάντα διέφθαρται. καὶ τί λέγω περὶ τῶν ἐπουρανίων; κἂν τὰ ἐπὶ γῆς ἐξετάσωμεν, ταύτης εὑρήσομεν ἐχόμενα. οὔτε γὰρ συναλλάγματα, οὔτε τέχναι, οὔτε ἄλλο οὐδὲν ἔσται τοιοῦτον χωρὶς ταύτης. εἰ δὲ ἐνταῦθα, ἔνθα περὶ ψευδῶν πραγμάτων, ταύτης δεῖ, πολλῷ μᾶλλον ἐν ἐκείναις. ταύτης οὖν ἐχώμεθα, ταύτην μετίωμεν. οὕτω πάντα τὰ ὀλέθρια δόγματα τῆς ψυχῆς ἐκβαλοῦμεν τῆς ἡμετέρας, οἷον, γενέσιν λέγω καὶ εἱμαρμένην. ἂν πιστεύσῃς ὅτι ἐστὶν ἀνάστασις καὶ κρίσις, πάντα τὰ τοιαῦτα δυνήσῃ τῆς ψυχῆς ἐκβαλεῖν. πίστευσον ὅτι ἔστι Θεὸς δίκαιος, καὶ οὐ πιστεύσεις ὅτι ἔστι γένεσις ἄδικος· πίστευσον ὅτι ἔστι Θεὸς προνοῶν, καὶ οὐ πιστεύσεις ὅτι ἔστι γένεσις πάντα συνέχουσα. πίστευσον ὅτι ἔστι κόλασις καὶ βασιλεία, καὶ οὐ πιστεύσεις ὅτι ἔστι γένεσις, τὸ μὲν ἐφ' ἡμῖν ἀναιροῦσα, ὑποβάλλουσα δὲ ἡμᾶς ἀνάγκῃ καὶ βίᾳ. μὴ σπείρῃς, μὴ φυτεύσῃς, μὴ στρατεύσῃ, μηδὲν ὅλως ἐργάσῃ. πάντως γὰρ καὶ ἄκοντος, καὶ ἄκοντος ἥξει τὰ τῆς γενέσεως. τί ἡμῖν δεῖ λοιπὸν εὐχῶν; διὰ τί δὲ οὖν τέλεως γενέσθαι χριστιανός, εἰ γένεσίς ἐστιν; οὐ γὰρ ὑπὸ ἔγκλημα ἔσῃ. πόθεν τέχναι; ἀπὸ

ΗΘΙΚΟΝ

γενέσεως; ναί, φησι, καὶ εἱμαρμένη τῷ δεῖνι γενέσθαι σοφῷ μετὰ πόνων. καὶ δεῖξόν μοί τινα χωρὶς τοῦ πονεῖν μαθόντα τέχνην. ἀλλ' οὐκ ἂν ἔχοις. οὐκοῦν οὐ τῆς γενέσεώς ἐστιν, ἀλλὰ τῶν πόνων. πόθεν οὖν ὁ δεῖνα πλούσιός ἐστι μιαρὸς ὤν, φησι, καὶ πονηρὸς, παρὰ πατρὸς μὴ δεξάμενος τὴν κληρονομίαν· ἕτερος δὲ μυρία μοχθῶν, πένης ὑπάρχει; ταῦτα γὰρ συνεχῶς γυμνάζουσι πάντα ἐπὶ πλούτου καὶ πενίας κινοῦντες, οὐδὲν ἐπὶ κακίας καὶ ἀρετῆς. ἀλλ' ἐνταῦθα μὴ τοῦτο εἴπῃς, ἀλλὰ δεῖξον εἴ τις κακὸς ἐγένετο σπουδάζων, εἴ τις ἀγαθὸς ῥαθυμῶν. εἰ γὰρ ἰσχὺν ἔχει ἡ εἱμαρμένη, ἐπὶ τῶν μεγίστων ἐνδεικνύσθω τὴν ἰσχὺν, ἐπὶ ἀρετῆς καὶ κακίας, μὴ ἐπὶ πλούτου καὶ πενίας. καὶ πόθεν ὁ δεῖνα ἐν νόσοις, φησὶν, ὁ δεῖνα ἐν ὑγείᾳ; πόθεν ὁ δεῖνα εὐδοκιμεῖ, ἕτερος δὲ ἀσχημονεῖ; πόθεν ἐκείνῳ κατὰ γνώμην τὰ πράγματα προχωρεῖ, ἑτέρῳ δὲ μυρία ἐπὶ μυρίοις ἐμποδίσματα; ἀπόστηθι τῆς γενέσεως, καὶ εἴσῃ ταῦτα. ἀκριβῶς πίστευσον ὅτι Θεός ἐστιν ὁ προνοῶν, καὶ εἴσῃ σαφῶς ταῦτα. ἀλλ' οὐ δύναμαι, φησιν. οὐ γὰρ ἀφίησιν ἡ σύγχυσις τῶν πραγμάτων τούτων ὑποπτεῦσαι πρόνοιαν, εἰ Θεοῦ ταῦτα ἔργα. πῶς δυνάμαι πιστεῦσαι ὅτι Θεὸς ὁ ἀγαθὸς τῷ πόρνῳ, τῷ μιαρῷ, τῷ πλεονέκτῃ χρήματα δίδωσι, τῷ δὲ ἀγαθῷ οὐκέτι; πόθεν πιστεύσω; ἀπὸ γὰρ πραγμάτων δεῖ πιστεύειν. καλῶς· οὐκοῦν γενέσεως ἐκεῖνα δικαίας, ἢ ἀδίκου; ἀδίκου, φῄς. τίς οὖν ταύτην ἐποίησεν; ἆρα ὁ Θεός; οὔ, φησιν, ἀλλ' ἀγένητός ἐστι. καὶ πῶς ἀγένητος οὖσα τοιαῦτα ἐργάζεται; ἐναντία γὰρ ταῦτα. οὐκ ἔστιν οὖν ὅλως Θεοῦ ταῦτα. οὐκοῦν ἐξετάσωμεν, τίς τὸν οὐρανὸν ἐποίησεν*; ἡ γένεσις, φησι. τίς τὴν γῆν, τίς τὴν θάλασσαν, τίς τὰς ὥρας; εἶτα ἐν μὲν τοῖς ἀψύχοις τοσαύτην εὐταξίαν ἐποίησε, τοσαύτην ἁρμονίαν, ἐν δὲ ἡμῖν, δι' οὓς τὰ πάντα, τοσαύτην ἀταξίαν; ὥσπερ ἂν εἴ τις τῆς μὲν οἰκίας, ὅπως ἔσται θαυμαστή, προνοήσειε, τῶν δὲ οἰκετῶν μηκέτι. τίς τὴν διαδοχὴν τῶν ὡρῶν φυλάττει; τίς τοὺς εὐτάκτους τῆς φύσεως νόμους τέθεικε; τίς ἡμέρας καὶ νυκτὸς δρόμους ἔταξε; ταῦτα ἐκείνης τῆς γενέσεως ἀνώτερά ἐστιν. οὔ, φησιν, ἀλλ' αὐτόματα γέγονε. καὶ πῶς ἂν εὐταξία τοσαύτη αὐτομάτη γένοιτο ἄν; πόθεν οὖν, φησιν, οἱ πλούσιοι, οἱ ὑγιαίνοντες, οἱ εὐδοκιμοῦντες, οἱ μὲν ἀπὸ πλεονεξίας, οἱ δὲ ἀπὸ κληρονομίας, οἱ δὲ ἀπὸ βίας; τίνος οὖν ἕνεκεν εὐημερεῖν τοὺς κακοὺς συνεχώρησεν ὁ Θεός; ὅτι οὐκ ἔστιν ἐνταῦθα ἡ τοῦ κατ' ἀξίαν ἀντίδοσις, ἀλλ' ἐν τῷ μέλλοντι καιρῷ. τότε μοι δεῖξον τοιοῦτόν τι γινόμενον. τέως ἐνταῦθά μοι δὸς, φησι, καὶ ἐκεῖ οὐ ζητῶ. ἀλλὰ διὰ τοῦτο οὐ λαμβάνεις, ἐπεὶ ζητεῖς. εἰ γὰρ ἐκτὸς ὢν τῆς ἡδονῆς οὕτως αὐτὰ ζητεῖς, ὡς ἐκείνων προτιμᾶν, πολλῷ μᾶλλον, εἰ καὶ ἡδονῆς καθαρῶς ἀπέλαυες. διὰ τοῦτο ταῦτα δείκνυσί σοι, ὅτι οὐδέν εἰσιν, ὅτι ἀδιάφορά ἐστιν. οὐ γὰρ ἂν εἰ μὴ ἀδιάφορα ἦν, καὶ ἐκείνοις αὐτὰ ἔδωκεν ἄν. εἰπέ μοι, τὸ μέλανα εἶναι, ἢ μακρὸν, ἢ μικρὸν, οὐχὶ ἀδιάφορον; οὕτω καὶ ὁ πλοῦτος. εἰπὲ γάρ μοι, ἐπὶ τῶν ἀναγκαίων οὐκ ἐξ ἴσης πᾶσι δέδοται; οἷον ἐπιτηδειότης πρὸς ἀρετήν; τῶν πνευματικῶν δωρεῶν ἡ διανομή; εἰ ᾔδεις τοῦ Θεοῦ τὰς εὐεργεσίας, οὐκ ἂν ἐκείνων ἐξ ἴσης ἀπολαύων ἐν τούτοις ἠγανάκτησας, οὐδ' ἂν ταύτην τὴν πλεονεξίαν ἐζήτησας, ἐκείνην τὴν ἰσομοιρίαν εἰδώς. ὥσπερ ἂν ὁ οἰκέτης τροφὰς μὲν τὰς παρὰ δεσπότου, καὶ ἐνδύματα, καὶ οἰκήματα καρπούμενος, καὶ πάντων τῶν ἄλλων ἐξ ἴσης τοῖς ἄλλοις ἀπολαύων, εἰ τρίχας ἔχοι περιττὰς ἐπὶ τῆς κεφαλῆς, ἢ ὄνυχας μείζονας, πλέον ἔχειν νομίζοι τῶν ἄλλων· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τοιοῦτος μάτην ἐπὶ μέγα φρονεῖ, ἐφ' οἷς τὴν ἀπόλαυσιν πρόσκαιρον ἔχει. διὰ τοῦτο ἡμᾶς ἀφίησιν αὐτῶν, ἵνα τὴν μανίαν ταύτην σβέσῃ, ἵνα μετάγῃ τὸν πρὸς αὐτὰ πόθον εἰς τὸν οὐρανόν. ἡμεῖς δὲ οὐδὲ οὕτω σωφρονιζόμεθα. ὡς γὰρ τὸ παιδίον εἴ τι παιδικὸν ἔχοι, καὶ προτιμᾷ τοῦτο τῶν ἀναγκαίων, ἀποστερεῖ αὐτὸ ὁ πατὴρ τῶν παιδικῶν, ἵνα καὶ ἄκοντα μετάγῃ πρὸς τὰ τέλεια· οὕτω καὶ ὁ Θεὸς πάντα ποιεῖ, ἵνα ἡμᾶς μετάγῃ εἰς τὸν οὐρανόν. πῶς οὖν τοὺς πονηροὺς ἀφίησι πλουτεῖν, φησιν; ὅτι οὐ πολὺς αὐτῷ λόγος ἐκείνων. πῶς οὖν καὶ τοὺς δικαίους οὐκ αὐτός,

ἀλλ'

γρ. διαδεξάμενος

γρ. πῶς

* καὶ τὴν γῆν [illegible]

γρ. τύχης

γρ. πάρ

ἀλλ' ἁπλῶς συγχωρεῖ. καὶ ταῦτα μὲν νῦν ἐπιπολαίως ἡμῖν εἴρηται, ὡς πρὸς ἀγνοοῦντας τὰς γραφάς. εἰ δὲ ἐβούλεσθε πιστεύειν καὶ προσέχειν τοῖς θείοις λογίοις, οὐδὲν ἂν ἡμῖν τούτων ἐδέησε τῶν λόγων. ἐκ τούτων γὰρ πάντα ἂν ᾔδειμεν. ἵνα γὰρ μάθῃς ὅτι οὐδέν ἐστιν ὁ πλοῦτος, οὔτε ἡ ὑγεία, οὔτε ἡ δόξα, ἐγώ σοι δείκνυμι πολλούς, οἷς ἐξὸν κερδαίνειν, οὐ κερδαίνουσιν, οἷς ἐξὸν ὑγιαίνειν, κατατήκουσιν ἑαυτῶν τὰ σώματα, οἷς ἐξὸν δόξης ἀπολαύειν, πάντα πράττουσιν ὥστε καταφρονεῖσθαι. οὐδεὶς μέντοι ἀγαθὸς ὢν, σπουδάζει εἶναι κακός. οὐκοῦν παυσώμεθα τοῦ ζητεῖν τὰ ἐνταῦθα ἀγαθὰ, καὶ ζητήσωμεν τὰ ἐν οὐρανοῖς. οὕτω γὰρ αὐτῶν καὶ τυχεῖν δυνησόμεθα, καὶ τῆς ἀϊδίου τρυφῆς ἀπολαύσομεν χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 5 ΤΟ ΔΕ ΤΕΛΟΣ ΤΗΣ ΠΑΡΑΓΓΕΛΙΑΣ Ε-
στὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυπο-
κρίτου· 6 ὧν τινὲς ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίας,
7 θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων
διαβεβαιοῦνται.

Οὐδὲν οὕτω λυμαίνεται τὸ τῶν ἀνθρώπων γένος, ὡς τὸ φιλίας καταφρονεῖν, καὶ μὴ μετὰ πολλῆς αὐτὴν κατορθοῦν τῆς σπουδῆς, ὥσπερ οὖν οὐδὲν πάλιν ὀρθοῖ, ὡς τὸ παντὶ σθένει μεταδιώκειν αὐτήν. καὶ τοῦτο δηλῶν ὁ Χριστός φησιν, Ἐὰν δύο συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ, Ματθ. ιη. ιθ.
πᾶν ὃ ἐὰν αἰτήσωσι, λήψονται· καὶ πάλιν, Ὅταν πληθυνθῇ ἡ ἀνο- Ματθ. κδ. ιϛ.
μία, ψυγήσεται ἡ ἀγάπη. τοῦτο τὰς αἱρέσεις ἔτεκε πάσας. ἐκ γὰρ τοῦ μὴ φιλεῖν τοὺς ἀδελφοὺς τοὺς ἑαυτῶν, ἐφθόνουν εὐδοκιμοῦσιν, ἐκ δὲ τοῦ φθονεῖν ἐφιλάρχουν, ἐκ δὲ τοῦ φιλαρχεῖν αἱρέσεις ἔτεκον. διὰ τοῦτο καὶ ὁ Παῦλος εἰπὼν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν, καὶ τὸν τρόπον ὑφηγεῖται, καθ' ὃν τοῦτο γενέσθαι δυνατόν. τίς δὴ οὖν οὗτός ἐστιν; ἡ ἀγάπη. ὥσπερ οὖν ὅταν λέγῃ, Τέλος νόμου Χριστὸς, τουτέστι, συμπλήρωμα, καὶ Ρωμ. ι. δ.
τοῦτο ἐκείνῳ ἔχεται, οὕτως ἡ παραγγελία αὕτη ἐνέχεται τῇ ἀγάπῃ. τέλος ἰατρείας ὑγεία· ὥστε ὑγείας οὔσης, οὐ πολλῆς δεῖ κατασκευῆς· καὶ ἀγάπης οὔσης, οὐ πολλῆς δεῖ παραγγελίας. ἀγάπην δὲ ποίαν φησί; τὴν εἰλικρινῆ, οὐ τὴν μέχρι ῥημάτων, ἀλλὰ τὴν ἀπὸ διαθέσεως καὶ γνώμης καὶ τοῦ συναλγεῖν. ἐκ καθαρᾶς, φησι, καρδίας· ἤτοι περὶ πολιτείας φησὶν ὀρθῆς, ἢ περὶ γνησίας φιλίας. ποιεῖ γὰρ καὶ βίος ἀκάθαρτος σχίσματα. Πᾶς γὰρ ὁ φαῦλα Ἰωαν. γ. κ.
πράσσων, μισεῖ τὸ φῶς. ἔστι γὰρ φιλία καὶ ἡ τῶν φαύλων, οἷον καὶ λῃσταὶ λῃστὰς φιλοῦσι, καὶ ἀνδροφόνοι ἀνδροφόνους. ἀλλ' οὐκ ἔστι τοῦτο ἀπὸ συνειδήσεως ἀγαθῆς, ἀλλ' ἀπὸ φαύλης, οὐδ' ἐκ καθαρᾶς καρδίας, ἀλλ' ἐξ ἀκαθάρτου, οὐδὲ ἐκ πίστεως ἀνυποκρίτου, ἀλλ' ἐπιπλάστου καὶ ὑποκεκριμένης. πίστις γὰρ τὸ ἀληθὲς δείκνυσιν· ἀπὸ δὲ πίστεως εἰλικρινοῦς ἡ ἀγάπη τίκτεται. ὁ γὰρ ὄντως εἰς Θεὸν πιστεύων, οὐκ ἀνέχεταί ποτε ταύτην ἀφεῖναι. ὧν τινές, φησιν, ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίας. καλῶς εἶπεν, ἀστοχήσαντες. τέχνης γὰρ δεῖ, ὥστε εὐθέα βάλλειν, καὶ μὴ ἔξω τοῦ σκοποῦ. ὥστε ὑπὸ τοῦ πνεύματος εὐθύνεσθαι. πολλὰ γὰρ τὰ τῆς εὐθείας παρεκτρέποντα, καὶ δεῖ πρὸς ἓν ὁρᾶν. θέλοντες, φησιν, εἶναι νομοδιδάσκαλοι. ὁρᾷς καὶ ἄλλην αἰτίαν, τὴν τῆς φιλαρχίας; διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν, Ὑμεῖς δὲ μηδένα καλέσητε ῥαββί. καὶ πάλιν ὁ ἀπόστολος· Οὐδὲ γὰρ αὐτοὶ τὸν νόμον φυλάσ- Ματθ. κγ. η.
σουσιν, ἀλλ' ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. τοῦ ἀξιώματος ἐφίενται, φησι, διὰ τοῦτο Γαλ. ϛ. ιγ.
πρὸς τὴν ἀλήθειαν οὐχ ὁρῶσι. μὴ νοοῦντες, φησι, μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. ἐνταῦθα διαβάλλει αὐτούς, ὡς οὐκ εἰδότας τὸν τοῦ νόμου σκοπὸν, οὐδὲ τὸν καιρὸν μέχρι τίνος κύριον αὐτὸν εἶναι ἐχρῆν. πῶς οὖν εἰ ἐξ ἀγνοίας ἁμάρτημα τοῦτο λέ-

γεις; ὅτι οὐ διὰ τὸ θέλειν νομοδιδάσκαλοι εἶναι μόνον, ἀλλὰ καὶ διὰ τὸ μὴ κατέχειν τὴν ἀγάπην τοῦτο ἔπαθον. ἄλλως δὲ καὶ ἡ ἄγνοια ἐκ τούτου ἐτέχθη. ὅταν γὰρ ἡ ψυχὴ περὶ πράγμασιν ἑαυτὴν ἐκδῷ σαρκικοῖς, πηροῦται αὐτῆς τὸ διορατικόν. ἐκπεσοῦσα δὲ τῆς ἀγάπης ἐμπίπτει εἰς φιλονεικίαν, καὶ πηροῦται τὸ τῆς διανοίας ὄμμα. ὁ γὰρ ὑπό τινος ἐπιθυμίας τυπῶν τῶν προσκαίρων κατεχόμενος, μεθύων περὶ τὰ πάθη, τῆς ἀληθείας οὐκ ἂν γένοιτο κριτὴς ἀδέκαστος. οὐκ ἴσασι, φησι, περὶ τίνων διαβεβαιοῦνται. εἰκὸς γὰρ ἦν αὐτοὺς περὶ τοῦ νόμου φθέγγεσθαι, καὶ πολλὰ περὶ καθαρσίων καὶ τῶν ἄλλων τῶν σωματικῶν λέγειν. εἶτα ἀφεὶς ἐκεῖνα ἐλέγξαι, ὡς οὐδὲν ὄντα, ἢ σκιὰν τῶν πνευματικῶν καὶ ὑπογραμμόν, ὃ μᾶλλον προσηκόντερον ἦν, τοῦτο ἐργάζεται. ποῖον δὴ τοῦτο; ἐπαινεῖ τὸν νόμον, νόμον ἐνταῦθα τὴν δεκάλογον καλῶν. ἀπὸ δὲ τούτου κἀκεῖνα ἐξέβαλεν. εἰ γὰρ ταῦτα αὐτὰ κολάζει τοὺς παραβαίνοντας, ἃ ἀρχῆς ἡμῖν ἐστι, πολλῷ μᾶλλον ἐκεῖνα.

8 Οἴδαμεν δέ, φησιν, ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται,

9 * Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται. Καλός, φησι, καὶ οὐ καλός. τί δαί, φησιν, ἐὰν μὴ νομίμως τις χρῆται, οὐκ ἔστι καλός; καὶ οὕτω καλός. ἀλλ᾽ ὃ λέγει τοῦτό ἐστιν, ὅταν ἐκπληροῖ αὐτὸν δι᾽ ἔργων. τὸ γάρ, ἐάν τις αὐτῷ νομίμως χρῆται, τοῦτό ἐστιν ἐνταῦθα σημαῖνον. ὅταν δὲ ἐξηγῶνται μὲν αὐτὸν διὰ ῥημάτων, διὰ δὲ τῶν ἔργων παραβαίνωσι, τοῦτό ἐστιν ἀνόμως χρῆσθαι. χρῆται μὲν γὰρ καὶ οὗτος, ἀλλ᾽ οὐκ εἰς οἰκείαν ὠφέλειαν. ἔστι καὶ ἄλλο πρὸς τούτῳ εἰπεῖν. ποῖον δὴ τοῦτο; ὅτι ἐὰν νομίμως χρήσῃ τῷ νόμῳ, παραπέμπει σε πρὸς τὸν Χριστόν. ὅταν γὰρ αὐτοῦ σκοπὸς ᾖ δικαιῶσαι τὸν ἄνθρωπον, μὴ δύνηται δέ, παραπέμπει πρὸς τὸν δυνάμενον. καὶ ἄλλως δὲ νομίμως χρήσασθαι τῷ νόμῳ ἐστίν, ὅταν ἐκ πολλῆς αὐτὸν φυλάττῃς τῆς περιουσίας. τί δέ ἐστιν, ἐκ περιουσίας; ὥσπερ τῷ χαλινῷ φύσει εὐτάκτως κέχρηται οὐχ ὁ σκιρτῶν ἵππος, οὐδὲ ὁ δάκνων, ἀλλ᾽ ὁ ἁπλῶς αὐτὸν περικείμενος σχήματος ἕνεκεν, οὕτω καὶ νόμῳ νομίμως χρῆται ὁ μὴ διὰ τὴν ἐκ τῶν γραμμάτων ἀνάγκην σωφρονῶν. τίς δὲ αὐτῷ νομίμως χρήσεται; ὁ εἰδὼς ὅτι οὐ δεῖται αὐτοῦ. ὁ γὰρ πρὸς τοσοῦτον ἀρετῆς φθάσας, ὥστε μὴ διὰ τὸν ἐκείνου φόβον αὐτὸν κατορθοῦν, ἀλλὰ διὰ τὴν ἀρετήν, οὗτος νομίμως χρῆται αὐτῷ καὶ ἀσφαλῶς· ἐάν τις αὐτῷ οὕτω χρῆται, ὡς μὴ φοβούμενος αὐτόν, ἀλλὰ τῆς ἐκεῖ τιμωρίας κειμένης μᾶλλον τὴν κατάγνωσιν ἔχων πρὸ ὀφθαλμῶν. καὶ ἄλλως δὲ δίκαιον ἐνταῦθα καλεῖ, τὸν κατωρθωκότα τὴν ἀρετήν. ἐκεῖνος τοίνυν κέχρηται τῷ νόμῳ καλῶς, ὁ μὴ καταξιῶν ἀπ᾽ αὐτοῦ παιδεύεσθαι. ὥσπερ γὰρ αἱ στιγμαὶ τῶν γραμμάτων τοῖς παισὶ κεῖνται, ὁ δὲ τὰ ἀπ᾽ αὐτῶν πληρῶν μὴ ἐξ αὐτῶν, ἀλλ᾽ ἐξ ἑτέρων, μείζονος ἐπιστήμης ἂν εἴη ἔμπειρος, καὶ κρεῖττον μᾶλλον κέχρηται τοῖς γράμμασιν· οὕτως ὁ ὑπὲρ τὸν νόμον, οὐ παιδαγωγεῖται τῷ νόμῳ. ὁ γὰρ μὴ ἀπὸ τοῦ φόβου αὐτὸν πληρῶν, ἀλλ᾽ ἀπὸ τῆς κατὰ τὴν ἀρετὴν ἐπιθυμίας, πλειόνως οὗτος μάλιστα αὐτὸν κατορθοῖ. οὐ γὰρ ὁμοίως ὁ κόλασιν δεδοικώς, καὶ ὁ τιμῆς ἐφιέμενος τὸν νόμον πληροῖ· οὐχ ὁμοίως ὁ ὑπὸ τὸν νόμον ὤν, καὶ ὑπὲρ τὸν νόμον. τὸ γὰρ ὑπὲρ νόμον ζῆσαι, τοῦτό ἐστι νομίμως χρῆσθαι. νόμῳ γὰρ ἐκεῖνος χρῆται καλῶς, καὶ φυλάττει ὁ μείζονα τοῦ νόμου κατορθῶν, ὁ μὴ καταξιῶν παιδευτὴν αὐτὸν ἔχειν. ὁ γὰρ νόμος, ὡς τὰ πολλά, κακῶν ἀπαγόρευσίς ἐστι· δίκαιον δὲ οὐ ποιεῖ * τοῦτο, ἀλλὰ καὶ ἀγαθῶν ἐργασία. ὥστε ὅσοι κακῶν ἀπέχονται ὡς δοῦλοι, οὗτοι οὐ πληροῦσιν αὐτοῦ τὸν σκοπόν. διὰ γὰρ τοῦτο κεῖται, ἵνα παραβαίνοντας κολάζῃ. ὥστε καὶ ἐκεῖνοι κέχρηνται αὐτῷ, ἀλλ᾽ ἐν τῷ κόλασιν δεδοικέναι. Θέλεις γάρ, φησι, μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει· ὡς ἂν εἴποι τις, μόνοις γὰρ τοῖς πονηροῖς τιμωρεῖν διαγορευτικός ἐστι. τῷ δὲ στεφάνων ἄξια ποιήσαντι ποῦ χρήσιμος ὁ νόμος; ὥσπερ ἰατρὸς τῷ τραῦμά τι ἔχοντι, οὐ τῷ ὑγιαίνοντι, οὐδὲ τῷ καλῶς διακειμένῳ. Ἀνόμοις δέ, φησι, καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς. Ἀνόμους Ἰουδαίους καλεῖ, τοὺς αὐτοὺς δὲ καὶ ἀνυποτάκτους. ὁ νόμος, φησίν, ὀργὴν κατεργάζεται.

Ρωμ. ιγ. γ.

κατεργάζεται. τοῦτο πρὸς τὸν ποιοῦντα τὸ κακόν. τί δὲ πρὸς τὸν τιμῆς ἄξιον; Διὰ νόμου, φησὶν, ἐπίγνωσις ἁμαρτίας. (Ρωμ. γ. κ.) τί δαὶ πρὸς τὸν δίκαιον; δικαίῳ, φησὶ, νόμος οὐ κεῖται. διὰ τί; ὅτι κολάσεως ἐκτός ἐστιν, καὶ ὅτι οὐ περιμένει τὰ πρακτέα παρ' ἐκείνου μαθεῖν, ἔχων ἔνδον τὴν κατορθοῦσαν τὴν τοῦ πνεύματος χάριν. νόμος γὰρ ἐδόθη, ἵνα τῷ φόβῳ κολάζωνται καὶ τῇ ἀπειλῇ. οὐ δεῖ τοίνυν χαλινοῦ ἐπὶ τὸν εὐήνιον ἵππον, οὐδὲ παιδαγωγίας ἐπὶ τὸν οὐ δεόμενον παιδαγωγοῦ. Ἀνόμοις δὲ, φησὶ, καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις καὶ μητραλῴαις. Καὶ οὐ μέχρι τούτου ἔστη, οὐδὲ μέχρι τῶν ἁμαρτημάτων μόνον*, ἀλλὰ καὶ κατ' εἶδος ἐπεξῆλθε τὰ ἁμαρτήματα, ὥστε πεῖσαι ἐπαισχυνθῆναι τὴν τοῦ νόμου ἐπιστασίαν. εἶτα καταλέξας κατ' εἶδος, εἶπε καὶ κατὰ παράλειψιν, καίτοι καὶ τὰ εἰρημένα ἱκανὰ ἦν ἀπαγαγεῖν. περὶ τίνων δὴ ταῦτά φησι; περὶ Ἰουδαίων. οὗτοι γὰρ καὶ πατραλῷαι καὶ μητραλῷαι, καὶ αὐτοὶ καὶ βέβηλοι καὶ ἀνόσιοι. τούτους γὰρ αἰνίττεται, ἀσεβέσιν εἰπὼν, καὶ ἁμαρτωλοῖς. τοιούτων δὲ ὄντων αὐτῶν ἀναγκαίως καὶ ὁ νόμος ἐδόθη. εἰπὲ γάρ μοι· οὐχὶ συνεχῶς εἰδώλοις προσεκύνουν; οὐ τὸν Μωϋσέα ἐλίθαζον; οὐ φόνων αὐτῶν αἱ χεῖρες ἔγεμον συγγενικῶν; οὐχὶ ἄνω καὶ κάτω ταῦτα αὐτοῖς ἐγκαλοῦσιν οἱ προφῆται; τοῖς δὲ τὰ ἐν οὐρανῷ φιλοσοφοῦσι περιττὰ ταῦτα. Πατραλῴαις, φησὶ, καὶ μητραλῴαις, ἀνδροφόνοις,

10 Πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται. Καλῶς εἶπε τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. ἐκεῖνα γὰρ πάντα, πάθη ψυχῆς ἦν διεφθαρμένης.

11 Κατὰ τὸ εὐαγγέλιον, φησὶ, τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

Ὥστε καὶ νῦν ἐπὶ βεβαιώσει τοῦ εὐαγγελίου δεῖ νόμου· τοῖς μέντοι πειθομένοις οὐ δεῖ. εὐαγγέλιον δὲ δόξης αὐτὸ καλεῖ, δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ διὰ τοὺς αἰσχυνομένους ἐπὶ τοῖς διωγμοῖς, καὶ ἐπὶ τοῖς πάθεσι τοῦ Χριστοῦ. τῶν τε δὴ ἄλλων ἕνεκεν, καὶ τούτων αὐτῶν, εὐαγγέλιον δόξης εἴρηκε, δηλῶν ὅτι δόξα ἐστὶ τὸ πάθος τοῦ Χριστοῦ· ἢ καὶ τὰ μέλλοντα αἰνίττεται. εἰ γὰρ τὰ παρόντα αἰσχύνης γέμει καὶ ὀνειδῶν, ἀλλὰ τὰ μέλλοντα οὐ τοιαῦτα. τὸ δὲ εὐαγγέλιον μελλόντων ἐστὶν, οὐ παρόντων. πῶς οὖν ὁ ἄγγελος, Ἰδοὺ εὐαγγελίζομαι ὑμῖν, ὅτι ἐτέχθη ὑμῖν σωτήρ; (Λουκ. β. ι.) ὅτι τεχθεὶς ἔμελλε τοῦτο γίνεσθαι. οὐ γὰρ ἅμα ἐγεννήθη, εἰργάζετο τὰ σημεῖα. κατὰ τὸ εὐαγγέλιον, φησὶ, τῆς δόξης τοῦ μακαρίου Θεοῦ. τῆς δόξης, ἢ τὴν λατρείαν φησὶ τοῦ Θεοῦ, ἢ ὅτι εἰ τὰ παρόντα πάντα ἐμπέπλησται τῆς δόξης αὐτοῦ, πολλῷ δὲ μᾶλλον τὰ μέλλοντα. ὅταν τεθῶσι, φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ οἱ ἐχθροὶ αὐτοῦ, ὅταν ἀντικείμενον ᾖ μηδὲν, ὅταν ἴδωσιν οἱ δίκαιοι πάντα τὰ μακάρια ἐκεῖνα, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Θέλω γὰρ, φησὶν, ἵν' ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι. (Ιωαν. ιζ. κδ.)

ΗΘΙΚΟΝ

Μάθωμεν τίνες ἄρα οὗτοί εἰσι, καὶ μακαρίσωμεν αὐτοὺς ἐννοοῦντες ὅσων ἀπολαύσονταί ποτε ἀγαθῶν, ὅσης μεθέξουσι δόξης, ὅσου φωτός. ἡ μὲν γὰρ ἐνταῦθα δόξα, οὐδαμινή τίς ἐστι καὶ ἄστατος. κἂν παραμείνῃ δὲ, ἕως τελευτῆς παραμένει, καὶ λοιπὸν παντελῶς σβέννυται. Οὐ γὰρ συγκαταβήσεται αὐτῷ, φησὶν, ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ. (Ψαλ. μη. ιη.) πολλοῖς δὲ οὐδὲ ἐνταῦθα μέχρι τέλους παρέμεινε. περὶ δὲ ἐκείνης οὐκ ἔστιν ὑποπτεῦσαί τι τοιοῦτον· ἀλλὰ πᾶν τοὐναντίον, ὅτι μένει, καὶ οὐδὲ τέλος ἕξει ποτέ. τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ, μόνιμα καὶ μεταβολῆς κρείττω πάσης καὶ τέλους. οὐ γάρ ἐστιν ἡ δόξα τότε ἐκ τῶν ἔξω, ἀλλ' ἐκ τῶν ἔνδον. οἷόν τι λέγω· οὐκ ἀπὸ ἱματίων πολυτελῶν, οὐκ ἀπὸ πλήθους θεραπόντων, οὐκ ἀπὸ ὀχημάτων ἡ δόξα τότε γίνεται, ἀλλὰ τούτων χωρὶς αὐτὸς ὁ ἀνὴρ ἠμφίεσται τὴν δόξαν. νῦν μὲν γὰρ ἂν ταῦτα ἀπῇ, γυμνὸς τῆς δόξης ἐστὶν, ἐκεῖ δὲ οὐχ οὕτως. ἐν γοῦν βαλανείοις γυμνοὺς ὁρῶμεν ἐντίμους καὶ ἀτίμους, ὁρῶμεν δὲ καὶ φαύλους. τῶν ἐν ἀγοραῖς πολλοὶ γοῦν πολλάκις ἐκινδύνευσαν, τῶν παίδων αὐτοὺς κατά τινα χρείαν ἀ-

πολιτεύονται· ἐκεῖνος δὲ μὲν ἑαυτοῦ τὴν δόξαν ἔχει πανταχοῦ. καὶ καθάπερ οἱ ἄγγελοι, ὅπουπερ ἂν φανῶσιν, ἐν ἑαυτοῖς τὴν δόξαν ἔχουσιν, οὕτω καὶ οἱ ἅγιοι. μᾶλλον δὲ καθάπερ ὁ ἥλιος οὐ δεῖται ἱματίου, οὐ δεῖται ἑτέρου τινός, ἀλλ' ἅμα τε ἐφάνη, καὶ τὴν ἑαυτοῦ δόξαν ἐξέλαμψεν, οὕτω καὶ ὁ τοιοῦτος. μεταδιώκωμεν τοίνυν τὴν δόξαν ἐκείνην, ἧς οὐδὲν αἰδεσιμώτερον· καταλείπωμεν ταύτην, ἧς οὐδὲν οὐδαμινώτερον. Ἐν περιβολῇ, φησίν, ἱματίων μὴ καυχήσῃ. (Σειρ. ια. δ.) ταῦτα ἄνωθεν παρελέγετο τοῖς νηπίοις. καὶ γὰρ ὁ ὀρχηστὴς καὶ ἡ πόρνη καὶ ὁ σκηνικὸς χαριεστέρας σου ἠμφίεσται καὶ πολυτελέστερα. καὶ χωρὶς δὲ τούτων, καυχᾷ ἐπὶ πράγματι, ᾧ ἂν ἐπιθῶνται σῆτες, ἀπεστέρησαν σε τῆς ἀπολαύσεως. ὁρᾷς πῶς ἀβέβαιόν ἐστι τὸ πρᾶγμα, ἡ τοῦ παρόντος βίου δόξα; καυχᾷ ἐπὶ πράγματι, ὃ σκώληκες τίκτουσι, καὶ ἀπολλύουσι. λέγονται γὰρ Ἰνδικά τινα ζωΰφια εἶναι, ὅθεν τὰ νήματα ταῦτα κατασκευάζεται. κτῆσαι ἱμάτιον, εἰ βούλει, τὸ ἐκ τῶν ἄνωθεν ὑφαντόν, τὴν περιβολὴν τὴν θαυμασίαν καὶ λαμπράν, τὸν ἱματισμὸν τὸν διάχρυσον ὄντως. ἐκεῖνος ὁ χρυσὸς οὐκ ἀπὸ μετάλλων ἐστίν, ἃ καταδίκων χεῖρες ὤρυξαν, ἀλλ' ἀπὸ ἀρετῆς τίκτεται. περιβαλώμεθα ἑαυτοὺς ἐκείνῃ τῇ στολῇ, ἣν οὐκ ἄνθρωποι πένητες καὶ δοῦλοι κατασκευάζουσιν, ἀλλ' αὐτὸς ὁ δεσπότης. ἀλλ' ἐρᾷς ὅτι κατέσπαρται τῷ ἱματίῳ τούτῳ χρυσός; καὶ τί τοῦτο πρὸς σέ; τοὺς γὰρ ἐργασαμένους πάντες θαυμάζουσιν, οὐ τοὺς περικειμένους. ἐκείνου γὰρ ὄντως τὸ θαῦμα. ὥσπερ γὰρ ἐπὶ τῶν ἱματίων τῶν λιτῶν, οὐ τὸ ξύλον, ἐν ᾧ ἐντέταται τὸ ἱμάτιον ἐπὶ τὸ κναφεῖον, θαυμάζομεν, ἀλλὰ τοὺς ἐργαζομένους, καίτοι ξύλον αὐτὰ φορεῖ, καὶ ξύλῳ ἐνδέδεται. ὥσπερ οὖν ἐκεῖνα οὐ χρείας ἕνεκεν ἐνδέδεται, οὕτως οὐδὲ αὕτη, ἀλλὰ τῆς τοῦ ἱματίου χρείας, ἵνα τινάσσηται, φησίν, ἵνα μὴ σητὶ καταστρίβηται. πῶς οὖν οὐκ ἐσχάτης τοῦτο ἀνοίας ἐστίν, ὑπὲρ τοῦ μηδενὸς τοσαύτην ποιεῖσθαι σπουδήν, καὶ πάντα μηχανᾶσθαι, καὶ τὴν ἑαυτῶν προδιδόναι σωτηρίαν, καὶ τῆς γεέννης καταφρονεῖν, καὶ εἰς Θεὸν ὑβρίζειν, καὶ περιορᾶν τοὺς Χριστὸν πεινῶντας; τί δ' ἄν τις εἴποι τὴν τῶν ἀρωμάτων πολυτέλειαν, τῶν Ἰνδικῶν, τῶν Ἀραβικῶν, τῶν Περσικῶν, τῶν ξηρῶν, τῶν ὑγρῶν, τῶν μύρων, τῶν θυμιαμάτων, ἅπερ ἅπαντα δαπάνην ἔχει πολλὴν καὶ ἀνόνητον; τί μυρίζεις, ὦ γύναι, τὸ σῶμα ἔσωθεν ἀκαθαρσίας γέμον; τί πέρι τὸ δυσῶδες ἀναλίσκῃ, καὶ ταυτὸν ποιεῖς, ὥσπερ ἂν εἴ τις ἐπιβάλλοι βορβόρῳ μῦρον, ἢ πλίνθον διαβρέχοι βαλσάμῳ; ἔστιν, εἰ βούλει, μῦρον, ἔστιν ἄρωμα, ᾧ δυνήσῃ χρῖσαι τὴν ψυχήν, οὐκ ἐξ Ἀραβίας, οὐδὲ ἐξ Αἰθιοπίας, οὐδὲ ἀπὸ Περσίδος, ἀλλ' ἐξ αὐτοῦ φερόμενον τοῦ οὐρανοῦ, πωλούμενον οὐ χρυσίου, ἀλλὰ προαιρέσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου. τοῦτο ἀγόρασαι τὸ μῦρον, οὗ ἡ ὀσμὴ τὴν οἰκουμένην ἐμπλῆσαι δύναται. (β Κορ. β ιε.) τούτου ἀπέπνεον οἱ ἀπόστολοι. Ὀσμὴ γάρ ἐσμεν εὐωδίας, φησίν, οἷς μὲν εἰς θάνατον, οἷς δὲ εἰς ζωήν. τί δὲ τοῦτό ἐστι; ὅτι καὶ ὗς ἀποπνίγεσθαι λέγεται ἀπὸ τῆς εὐωδίας. οὐ τὸ σῶμα δὲ μόνον τῶν ἀποστόλων, ἀλλὰ καὶ τὰ ἱμάτια τοῦ μύρου τοῦ πνευματικοῦ ἀπέπνεον. οὕτω γὰρ ἔπνει καλὸν τὰ ἱμάτια Παύλου, ὡς δαίμονας ἀπελαύνειν. ποίου φύλλου, ποίας κασίας, ποίας σμύρνης οὐχὶ καὶ ἡδίων καὶ χρησιμωτέρα αὕτη ἡ εὐωδία; εἰ γὰρ δαίμονας ἀπήλαυνε, τί οὐκ ἂν ἕτερον εἰργάσατο; τοῦτο κατασκευάζωμεν τὸ μῦρον. κατασκευάζει δὲ αὐτὸ δι' ἐλεημοσύνης ἡ πνευματικὴ χάρις. τούτου καὶ ἐκεῖ ἀπελθόντες μέλλομεν ἀποπνεῖν, καὶ τοὺς ἁγίους πρὸς ἑαυτοὺς ἐπιστρέφειν. καὶ καθάπερ ἐνταῦθα πάντας ἐπιστρέφουσιν οἱ ἀνακεχρωσμένοι ταῖς εὐωδίαις, κἂν τε εἰς βαλανεῖον, κἂν τε εἰς ἐκκλησίαν, κἂν τε εἰς ἕτερον πολυάνθρωπον τόπον ἀπέλθῃ ὁ τοῦτο ἀποπνέων, πάντες αὐτοῦ ἐξαρτῶνται, καὶ πάντες ἐπιστρέφονται· οὕτω καὶ ἐν ἐκείνῳ τῷ κόσμῳ τῶν ἀποπνεουσῶν ψυχῶν τῆς πνευματικῆς εὐωδίας εἰσιουσῶν, πάντες ὑπεξίστανται καὶ παραχωροῦσι. καὶ ἐνταῦθα δὲ καὶ δαίμονες, καὶ κακίαι πᾶσαι προσελθεῖν οὐ τολμῶσιν, οὐδὲ ὑπομένουσιν. ἀποπνίγονται γάρ. ἐκεῖνο τοίνυν τὸ ἄρωμα περιθώμεθα. τοῦτο μὲν γὰρ καὶ βλακείας δόξαν ἡμῖν περιτίθησιν· ἐκεῖνο δὲ ἀνδρείας, καὶ θαύματος ὄντως· καὶ παρρησίαν δὲ ἡμῖν παρέχει πολλήν.

χ. τινι

χ. ἱμάτια

χ. ἀπὸ τῶν … ουσι,

χ. αὐτ…

χ. ἐξίστα…

τοῦτο δὲ τὸ ἄρωμα οὐ γῆ ἀναδίδωσιν, ἀλλ' ἀρετὴ τίκτει· οὐ μαραίνεται, ἀλλ' ἀνθεῖ. τοῦτο τιμίους τοὺς ἔχοντας ποιεῖ. τούτῳ χριόμεθα, ὅταν βαπτιζώμεθα, τότε αὐτὸν ἀποπνέομεν. τὸ δὲ καὶ εἰς τὸ ἑξῆς τοῦτο ἀποπνεῖν, τῆς ἡμετέρας ἐστὶ σπουδῆς. διὰ τοῦτο καὶ τὸ παλαιὸν μύρῳ ἐχρίοντο οἱ ἱερεῖς, τῆς ἀρετῆς σύμβολον διδόντες, ὅτι τὸν ἱερέα καλὸν ἀποπνεῖν δεῖ. τῆς δὲ ἁμαρτίας οὐδέν ἐστι δυσωδέστερον. ὅρα αὐτῆς πῶς διαγράφει τὴν φύσιν ὁ προφήτης· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου. (Ψαλ. λζ. ε.) ὄντως γὰρ σηπεδόνος χείρων ἐστὶ καὶ δυσωδεστέρα ἡ ἁμαρτία. τί γάρ, εἰπέ μοι, πορνείας δυσωδέστερον; εἰ δὲ μὴ αἰσθάνῃ ἐργαζόμενος, ἐννόησόν μοι τὴν ἁμαρτίαν μετὰ τὴν ἐργασίαν· καὶ τότε αὐτῆς ὄψει τὴν δυσωδίαν, τότε τὴν περιτριβεῖσαν ἀκαθαρσίαν, τότε τὸ ἄγος, τότε τὸ μύσος. τοιαύτη πᾶσα ἁμαρτία. πρὶν ἢ μὲν ἐργασθῆναι, ἔχει τινὰ ἡδονήν, μετὰ δὲ τὸ πληρωθῆναι, τὸ μὲν ἡδὺ παύεται καὶ μαραίνεται, τὸ δὲ λυπηρὸν καὶ κατηφὲς ἐπεισέρχεται. ἡ δὲ δικαιοσύνη, τοὐναντίον· παρὰ μὲν τὴν ἀρχὴν ἔχει τοὺς πόνους, πρὸς δὲ τῷ τέλει, τὴν ἡδονὴν καὶ τὴν ἀνάπαυσιν. οὐδὲ ἐκεῖ μὲν οὖν ἡ ἡδονὴ ἡδονή ἐστι, τῇ προσδοκίᾳ τῆς αἰσχύνης καὶ τῆς τιμωρίας· καὶ ἐνταῦθα δὲ πάλιν οὐδὲ ὁ πόνος πόνος, τῇ ἐλπίδι τῶν ἀμοιβῶν. τί δὲ ἡ μέθη, εἰπέ μοι; οὐκ ἐν τῷ πίνειν μόνον ἔχει τὴν ἡδονήν· μᾶλλον δὲ οὐδὲ ἐν τῷ πίνειν; ὅταν γὰρ εἰς ἀναισθησίαν ἐμπέσῃ, καὶ μηδένα τῶν παρόντων βλέπῃ, ἀλλὰ τῶν μαινομένων χεῖρον διάκειται, ποία λοιπὸν ἡδονή; μᾶλλον δὲ οὐδὲ ἐν αὐτῇ τῇ πορνείᾳ ἡδονή τίς ἐστιν. ὅταν γὰρ ὑπὸ πάθους ἡ ψυχὴ κατασχεθεῖσα τὴν κρίσιν ἀφαιρῆται, ποία αὕτη ἡδονή; εἰ δὲ τοῦτο, καὶ ψώρα ἡδονή. ἡδονὴν δὲ ἐκείνην ἐγὼ εἴποιμι ἂν τὴν ἀληθῆ, ὅταν μὴ ἐν πάθει ἡ ψυχὴ κατατεινομένη ὑπὸ τοῦ σώματος καὶ διασπωμένη. ποία γὰρ αὕτη ἡδονή, τρίζειν ὀδόντας, διαστρέφειν ὀφθαλμούς, γαργαλίζεσθαι καὶ θερμότερον πέρα τοῦ δέοντος; οὕτω δὲ οὐκ ἔστιν ἡδονή, ὅτι σπεύδομεν αὐτῆς ἀπαλλαγῆναι ταχέως, καὶ ἀπαλλαγέντες ἀλγοῦμεν. εἰ ἡδονή ἐστι, μὴ ἀπαλλάττου αὐτῆς, ἀλλὰ μένε ἐν τῇ ἡδονῇ. ὁρᾷς ὅτι ὄνομα ἐστι μόνον ἡδονῆς*; ἀλλ' οὐ τὰ παρ' ἡμῖν τοιαῦτα· ἀλλ' ὄντως ἐστὶν ἡδέα, οὐ μετὰ φλογὸς ἔχοντα τὴν ἡδονήν, ἀλλ' ἐλευθέραν ἀφιέντα τὴν ψυχήν, καὶ εὐφραίνοντα καὶ διαχέοντα. τοιαύτη ἦν ἡ Παύλου ἡδονὴ λέγοντος, Ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι· καὶ, Χαίρετε ἐν Κυρίῳ πάντοτε. (Φιλιπ. α. ιη. καὶ δ. δ.) ἐκείνη γὰρ καὶ αἰσχύνην ἔχει καὶ κατάγνωσιν· ἐκείνη καὶ λάθρα γίνεται, καὶ μυρίων ἐμπέπλησται ἀηδιῶν· αὕτη δὲ πάντων τούτων ἀπήλλακται. ταύτην οὖν μεταδιώκωμεν, ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

* ὑπὸ τῆς ... ἡδονῆς

Λογ. γ. 12 ΧΑΡΙΝ ΕΧΩ ΤΩ ΕΝΔΥΝΑΜΩΣΑΝΤΙ με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, 13 Τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. 14 Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.

Τὴν ταπεινοφροσύνην πολὺ μὲν ἔχουσαν κέρδος ὁρῶμεν, οὐδαμοῦ δὲ ταύτην κατορθοῦντας ἄλλους, τὴν παρρησίαν μὲν πολλήν, καὶ πέρα τοῦ δέοντος, τὴν ταπεινοφροσύνην δὲ οὐδαμοῦ. ὁ δὲ μακάριος οὗτος αὐτὴν μετεδίωκε Παῦλος, ἐπεὶ καὶ ἐπαινεῖ πολλαχοῦ, πανταχοῦ προφασιζόμενος τὸ ταπεινοῦν αὐτοῦ τὴν διάνοιαν. ἐπεὶ γὰρ μάλιστα ἐκείνους εἰκὸς κινδυνεύειν βουλομένους ταπεινοφρονεῖν, τοὺς μεγάλα συνειδότας ἑαυτοῖς κατορθώματα, πολλὴν δὲ εἰκὸς καὶ αὐτοὺς βίαν πάσχειν, ὑπὸ τοῦ συνειδότος τοῦ ἀγαθοῦ, καθάπερ ὑπό τινος ῥεύματος, ὀγκουμένους· ὅρα τοίνυν καὶ ἐνταῦθα τί ποιεῖ. εἰπὼν ὅτι ἐπιστεύθην ἐγὼ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ Θεοῦ· εὐαγγέλιον δὲ μετέχειν ἡμᾶς

οὐκ ἔτι τοῦ ἐπὶ τῷ νόμῳ χρωμένους. ἀντίκειται γὰρ αὐτῷ ἔτι, καὶ τοσοῦτον αὐτῷ τὸ μέσον, ὡς τοὺς τῷ ἐκείνου φερομένους μηδέπω ἀξίους εἶναι τούτου μετέχειν. ὥσπερ ἂν εἴ τις λέγοι, ὅτι τοὺς δεσμοῖς δεσμουμένους τῆς δίκης, οὐ θέμις εἰς φιλοσοφίαν εἰσφέρειν χορόν. ἐπεὶ οὖν ἐφυσήθη, καὶ μέγα ἐφθέγξατο, ἅμα καὶ ἑαυτὸν καταστέλλει, καὶ τοὺς ἄλλους πείθει τὸ αὐτὸ δὴ τοῦτο ποιεῖν· γράφων τι, ὃ ἐπιστεύθην ἐγώ, ταχέως ἐπελάβετο ἑαυτοῦ, ἵνα μὴ νομίσῃς, ὅτι ἐξ ὑπερηφανίας τοῦτό φησιν. ὅρα τοίνυν ποίᾳ κέχρηται διορθώσει ἐπάγων καὶ λέγων· χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν. ὁρᾷς πῶς πανταχοῦ τὸ ἑαυτοῦ κατόρθωμα κρύπτει, καὶ τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ; ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον τὸ αὐτεξούσιον μὴ λυμήνασθαι. ἔφη γὰρ ἂν ἴσως ὁ ἄπιστος, εἰ τὸ πᾶν τοῦ Θεοῦ ἐστι, καὶ οὐδὲν παρ' ἡμῶν εἰσφέρεται, ἀλλ' ὡς ξύλα καὶ λίθους μετακινεῖ πρὸς φιλοσοφίαν ἀπὸ κακίας, τί δήποτε Παῦλον μὲν τοιοῦτον εἰργάσατο, τὸν δὲ Ἰούδαν οὐκέτι; ταύτην οὖν ἀναιρῶν τὴν ἀντίθεσιν, ὅρα πῶς μετὰ συνέσεως τῷ λόγῳ κέχρηται. ἐπιστεύθην, φησὶν, ἐγώ. τοῦτο αὐτοῦ κατόρθωμα καὶ ἀξίωμα, ἀλλ' οὐκ αὐτοῦ ὅλον. ὅρα γάρ τί φησι. χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ. τοῦτο τοῦ Θεοῦ. εἶτα πάλιν τὸ αὐτοῦ, ὅτι πιστόν με ἡγήσατο· πάντως ἐπειδὴ ἔμελλεν ἀφ' ἑαυτοῦ χρήσιμος εἶναι. θέμενος, φησὶν, εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. ὅρα πῶς καὶ τὸ αὐτοῦ τίθησι, καὶ τὸ τοῦ Θεοῦ, τὸ πλέον νέμων τῇ τοῦ Θεοῦ προνοίᾳ, τὸ δὲ αὐτοῦ συστέλλων, πλὴν ὅσον μὴ λυμήνασθαι, ὡς ἔφθην εἰπὼν, τῷ αὐτεξουσίῳ. τί δέ ἐστι, τῷ ἐνδυναμώσαντί με; ἄκουε. φορτίον ἦν τὸ πλῆθος μέγα, καὶ πολλῆς ἐδεῖτο τῆς ἄνωθεν ῥοπῆς. ἐννόησον γὰρ ὅσον ἦν πρὸς καθημερινὰς ὕβρεις, λοιδορίας, ἐπιβουλὰς, κινδύνους, σκώμματα, ὀνείδη, θανάτους ἵστασθαι, καὶ μὴ ἀποκάμνειν, [μηδὲ ὀλισθαίνειν,] μηδὲ περιτρέπεσθαι, ἀλλὰ πάντοθεν βαλλόμενον μυρίοις καθ' ἑκάστην ἡμέραν τοῖς βέλεσιν, ἀτενὲς ἔχοντα τὸ ὄμμα ἑστάναι καὶ ἀκατάπληκτον. τοῦτο οὐκ ἦν ἀνθρωπίνης ἰσχύος, ἀλλ' οὐδὲ τῆς τοῦ Θεοῦ ῥοπῆς μόνον, ἀλλὰ καὶ τῆς αὐτοῦ προαιρέσεως. ὅτι γὰρ προειδὼς αὐτὸν τίς ἔσται, εἵλετο αὐτὸν,

Πραξ. θ. 15. ἄκουσον τί φησι, πρὶν ἢ ἅψασθαι αὐτὸν τοῦ κηρύγματος· σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων. ὥσπερ γὰρ οἱ βαστάζοντες τὸ σημεῖον τὸ βασιλικὸν ἐν πολέμῳ [τὸ λεγόμενον τῇ συνηθείᾳ λάβουρον,] πολλῆς δέονται τῆς ἰσχύος καὶ τῆς ἐμπειρίας, ὥστε αὐτὸ μὴ παραδοῦναι τοῖς πολεμίοις· οὕτω καὶ οἱ τὸ ὄνομα τοῦ Χριστοῦ βαστάζοντες οὐκ ἐν πολέμῳ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ, πολλῆς δέονται τῆς δυνάμεως, ὥστε τοῖς κατηγόροις αὐτὸ μὴ ἐκδοῦναι στόμασιν, ἀλλὰ βαστάζειν καλῶς καὶ φέρειν τὸν σταυρόν. πολλῆς γὰρ ὄντως δεῖ τῆς ἰσχύος, ὥστε βαστάσαι τὸ ὄνομα τοῦ Χριστοῦ. ὁ γὰρ ἀνάξιόν τι λέγων, ἢ πράττων, ἢ φρονῶν, οὐκ ἐβάστασε τὸ ὄνομα, οὐκ ἔχει τὸν Χριστὸν ἐν ἑαυτῷ. πομπεύει δὲ ὁ βαστάζων, οὐ δι' ἀγορᾶς, ἀλλὰ διὰ τῶν οὐρανῶν, καὶ πάντες ἐκπλήττονται ἄγγελοι δορυφοροῦντες καὶ θαυμάζοντες. χάριν ἔχω, φησὶ, τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ὅρα πῶς καὶ τὸ αὐτοῦ χάριν αὐτῷ οἶδεν. ὅτι γὰρ σκεῦος ἐκλογῆς ἐστι, φησὶν αὐτῷ χάριν εἰδέναι. καίτοι τοῦτο σοὶ γίνεται, ὦ μακάριε Παῦλε. οὐ γὰρ προσωπολήπτης ὁ Θεός. ἀλλὰ χάριν ἔχω, φησὶν, ὅτι κατηξίωσέ με τῆς διακονίας ταύτης. τοῦτο γάρ με τοῦ πιστὸν εἶναι νομίζειν σημεῖον. καθάπερ γὰρ ἐν οἰκίᾳ οὐ τῷ πιστευθῆναι μόνον ὁ οἰκονόμος χάριν ἔχει τῷ δεσπότῃ, ἀλλὰ καὶ τὸ σημεῖον τίθησι τοῦτο, ὅτι αὐτὸν τῶν ἄλλων ἡγεῖται πιστότερον· οὕτω καὶ ἐνταῦθα. εἶτα σκόπει πῶς ἐπαίρει τὸν ἔλεον τοῦ Θεοῦ καὶ τὴν φιλανθρωπίαν, τὸν πρότερον αὐτοῦ βίον διηγούμενος. τὸν πρότερον ὄντα, φησὶ, βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. καὶ ὅταν μὲν περὶ Ἰουδαίων διαλέγηται τῶν ἐπ' ἀπίστων,

Ρωμ. ι. β. μετὰ τῆς ἀποστολῆς κέχρηται τῷ λόγῳ· μαρτυρῶ γὰρ αὐτοῖς, φησὶν, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. περὶ δὲ ἑαυτοῦ φησι, βλάσφημον ὄντα καὶ διώκτην καὶ ὑβριστήν. ὁρᾷς τὴν καταφορὰν αὐτοῦ; πῶς οὐκ ἔστι φίλαυτος; πῶς συνετῷ λόγῳ κέχρηται τῇ δια-

νοίᾳ;

νοίαν; οὐκ ἤρκει εἰπεῖν, βλάσφημον ὄντα καὶ διώκτην, ἀλλ' ὅτι καὶ μετ' ἐπιτάσεως τοῦτο ἔπραττε.
οὐ μόνον γάρ, φησί, μέχρις ἐμαυτοῦ ἵστατο τὸ φαῦλον, οὐδὲ ἠρκούμην αὐτὸς βλασφημῶν, ἀλλὰ
καὶ τοὺς βουλομένους εὐσεβεῖν ἐδίωκον. πολλὴ τῆς βλασφημίας ἡ μανία. ἀλλ' ἠλεήθην, ὅ-
τι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. τίνος οὖν ἕνεκεν καὶ ἄλλοι Ἰουδαῖοι οὐκ ἠλεήθησαν; ὅτι οὐκ ἐξ
ἀγνοίας, ἀλλὰ καὶ εἰδότες καὶ σφόδρα ἐπιστάμενοι ἔπραττον ἅπερ ἔπραττον. καὶ ἵνα μάθῃς
ἀκριβῶς, ἄκουε τοῦ εὐαγγελιστοῦ λέγοντος, Ὅτι πολλοὶ ἐκ τῶν Φαρισαίων καὶ Ἰουδαίων ἐπί- Ιωαν ιβ μβ.
στευον μέν, οὐχ ὡμολόγουν δέ. ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν
δόξαν τοῦ Θεοῦ. καὶ πάλιν ὁ Χριστός φησι· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων Ιωαν. ε. μδ.
λαμβάνοντες; καὶ πάλιν, Ταῦτα εἶπον, φησίν, οἱ γονεῖς τοῦ τυφλοῦ διὰ τοὺς Ἰουδαίους, ἵνα Ιωαν. θ. κβ.
μὴ ἀποσυνάγωγοι γένωνται. καὶ αὐτοὶ δὲ οἱ Ἰουδαῖοι πάλιν ἔλεγον, Ὁρᾶτε ὅτι οὐδὲν ὠφε- Ιωαν. ιβ ιθ.
λοῦμεν, ὅτι πᾶς ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ. πανταχοῦ γὰρ αὐτοῖς τὸ τῆς φιλαρχίας
πάθος ἠνώχλει. καὶ μὴν αὐτοὶ εἶπον, Ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μό- Λουκ. ε. κα.
νος ὁ Θεός· καὶ εὐθέως ἐποίησε τοῦτο, ὅπερ ἔφησαν εἶναι σημεῖον Θεοῦ· οὐκ ἦν οὖν ταῦτα
ἀγνοίας. ποῦ δὲ ὁ Παῦλος ἦν τότε; ἴσως ἄν τις εἴποι παρὰ τοὺς πόδας Γαμαλιήλ, οὐδὲν κοι-
νὸν μετὰ τῶν ὄχλων ἔχων τῶν στασιαστῶν. ὁ δὲ Γαμαλιὴλ ἀνήρ τις ἦν οὐ φιλαρχίας ἕνεκέν τι
ποιῶν. πῶς οὖν μετὰ ταῦτα εὑρίσκεται μετὰ τοῦ ὄχλου ὁ Παῦλος; ἑώρα αὐξανόμενον τὸ
δόγμα, καὶ κρατοῦν λοιπόν, καὶ πάντας αὐτοὺς πειθομένους. ἐπεὶ μὲν γὰρ τοῦ Χριστοῦ ποτὲ μὲν
αὐτῷ συνήεσαν, ποτὲ δὲ τοῖς διδασκάλοις. ὅτε δὲ τέλεον ἀπεσχοινίσθησαν, τότε λοιπόν, οὐχ ὡς
οἱ λοιποὶ φιλαρχίας ἕνεκεν ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ ζήλου. τίνος γὰρ ἕνεκεν εἰς
Δαμασκὸν ἐπορεύετο; λύμην τὸ πρᾶγμα ἐνόμιζε, καὶ ἐδεδοίκει μὴ πανταχοῦ διαδοθῇ
τὸ κήρυγμα. οἱ δὲ Ἰουδαῖοι οὐχ οὕτως. οὐ γὰρ τῆς προστασίας τῶν πολλῶν ἕνεκεν, ἀλλὰ φι-
λαρχίας χάριν πάντα ἔπραττον. ὅρα γοῦν τί φασιν· Ἀροῦσιν ἡμῶν τὸ ἔθνος καὶ τὴν πόλιν. Ιωαν. ια. μη.
ποῖος αὐτοὺς κατέσχε φόβος; ἀνθρώπινος. ἐκεῖνο δὲ ἄξιον ἐξετάσαι, πῶς ἀκριβὴς ὢν περὶ
τοὺς νόμους οὐδὲν ἔγνω. αὐτὸς γάρ ἐστιν ὁ λέγων· Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ. Ρωμ α β.
πῶς οὖν οὐκ οἶδας ζηλωτὴς ὑπάρχων τῶν πατρῴων νόμων, παρὰ τοὺς πόδας Γαμαλιὴλ Πραξ. κβ.
παιδευόμενος; ἀλλ' οἱ μὲν ἐν λίμναις καὶ ποταμοῖς διατρίβοντες, καὶ τελῶναι προσέδρα-
μον καὶ ἐδέξαντο, σὺ δὲ διώκεις ὁ τὸν νόμον μαθών. διὰ τοῦτο καταγινώσκει ἑαυτοῦ λέγων, Οὐκ εἰ- α. Κορ. ιε. θ.
μὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος· διὰ τοῦτο τὴν ἄγνοιαν ὁμολογεῖ, ἣν ἡ ἀπιστία ἔτικτε· διὰ
τοῦτό φησιν ἐλεηθῆναι. τί ἐστι, πιστόν με ἡγήσατο; οὐδὲν τῶν δεσποτικῶν παρεδίδου· πάντα
αὐτοῦ ἔλεγεν εἶναι, καὶ τὰ ἴδια. οὐκ ἐσφετερίζετο τὴν τοῦ Θεοῦ δόξαν. ἄκουε γὰρ αὐτοῦ καὶ
ἀλλαχοῦ λέγοντος, Ἄνδρες, τί ἡμῖν προσέχετε; ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι. Πραξ. ιδ ιε.
τοῦτό ἐστι, πιστόν με ἡγήσατο. καὶ πάλιν ἀλλαχοῦ, Περισσότερον αὐτῶν πάντων ἐκοπίασα, α. Κορ ιε. ι.
φησίν· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. καὶ πάλιν, Ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέ- Φιλιπ. β. ιγ.
λειν, καὶ τὸ ἐνεργεῖν. δείκνυσιν ἑαυτὸν ἐκ τούτου τιμωρίας ἄξιον. ὁ γὰρ ἔλεος ἐπὶ τούτοις ἐστί.
καὶ πάλιν ἀλλαχοῦ φησι· Πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν. ἀλλ' ἡ χάρις τοῦ Θε- Ρωμ ια. κε.
οῦ, φησίν, ὑπερεπλεόνασε μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. τί ἐστι τοῦτο; ἵνα
μὴ ἀκούσας, ἠλεήθην, τοσοῦτον μόνον νομίσῃς*, βλάσφημος, φησίν, ἤμην καὶ διώκτης καὶ ὑ-
βριστής· οὐκοῦν καὶ κολάσεως ἄξιος· ἀλλ' οὐκ ἐτιμωρήθην· ἠλεήθην γάρ. ἆρ' οὖν τοῦτο
μόνον, καὶ μέχρι τούτου ὁ ἔλεος τοῦ μὴ δοῦναι τιμωρίας; οὐδαμῶς, ἀλλὰ καὶ ἕτερα πολλά, καὶ
μεγάλα. οὐ γὰρ τῆς ἐπηρτημένης ἡμᾶς δίκης μόνης ἀπήλλαξεν ὁ Θεός, ἀλλὰ καὶ δικαίους
ἐποίησε, καὶ υἱούς, καὶ ἀδελφούς, καὶ φίλους, καὶ κληρονόμους, καὶ συγκληρονόμους. διὰ τοῦτό φη-
σιν, ὑπερεπλεόνασεν ἡ χάρις. δηλῶν ὅτι ὑπερέβη καὶ τὸν ἔλεον τὰ δῶρα. ταῦτα γὰρ οὐκ
ἐλεοῦντός ἐστιν, ἀλλὰ φιλοῦντος, καὶ σφόδρα ἀγαπῶντος. εἰπὼν τοίνυν πολλὰ καὶ με-
γάλα περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ὅτι βλάσφημον ὄντα καὶ ὑβριστὴν καὶ διώκτην ἠ-

λέησε,

λέησε, καὶ ὅτι οὐ μέχρι τούτου ἔστη μόνον, ἀλλὰ καὶ μεγάλων ἑτέρων ἠξίωσε, πάλιν ἐκεῖνο ἀσφαλίζεται τὸ τῶν ἀπίστων, τὸ μὴ λέγειν ὅτι ἡ προαίρεσις ἀνῄρηται. ἐπήγαγε γοῦν, μετὰ πίστεως καὶ ἀγάπης ἐν Χριστῷ Ἰησοῦ. τοσοῦτον μόνον, φησὶν, ἡμεῖς εἰσηνέγκαμεν ἐπιστεύσαμεν, ὅτι δύναται ἡμᾶς σῶσαι.

ΗΘΙΚΟΝ

Ἀγαπήσωμεν τοίνυν αὐτὸν διὰ τοῦ Χριστοῦ. τί ἐστι, διὰ τοῦ Χριστοῦ; ὅτι αὐτὸς ἡμῖν τούτων πρόξενος γέγονεν, οὐχ ὁ νόμος. ὁρᾷς τίνων μὲν ὁ Χριστὸς αἴτιος ἡμῖν γέγονεν ἀγαθῶν, τίνων δὲ ὁ νόμος; καὶ οὐχ ἁπλῶς εἶπεν, ἐπλεόνασεν ἡ χάρις, ἀλλ', ὑπερεπλεόνασε. καὶ γὰρ οὓς ὑπερεπλεόνασε, τοὺς μυρίων κολάσεων ἀξίους, τούτους εἰς υἱοθεσίαν ἀγαγοῦσα ἐξαίφνης. ἰδοὺ πάλιν τὸ, ἐν, διά ἐστιν. οὐ γὰρ πίστεως δεῖ μόνον, ἀλλὰ καὶ ἀγάπης· ἐπεὶ πολλοὶ καὶ νῦν εἰσιν, ὅτι μὲν ἐστιν ὁ Χριστὸς Θεὸς, πιστεύοντες, οὐκ ἀγαπῶντες δὲ αὐτὸν, οὐδὲ τὰ τῶν φιλούντων πράττοντες. πῶς γὰρ, ὅταν πάντα αὐτοῦ προτιμῶσι, χρήματα, γένεσιν, εἱμαρμένην, παρατήρησιν, κληδονισμοὺς, οἰωνισμούς; ὅταν δὲ εἰς ὕβριν αὐτοῦ ζῶμεν, εἰπέ μοι, ποία ἀγάπη; εἴ τις εἶχε φίλον θερμὸν καὶ διάπυρον, κἂν οὕτω φιλείτω τὸν Χριστόν· κἂν οὕτω φιλείτω τὸν ὑπὲρ τῶν ἐχθρῶν τὸν υἱὸν αὐτοῦ δεδωκότα, οὐδὲν ἡμῶν κατωρθωκότων. τί λέγω, κατωρθωκότων; μεγάλα μὲν οὖν ἐργασαμένων κακὰ, καὶ τετολμηκότων ἀτόλμητα δι' οὐδενός. καὶ ὁ μὲν μετὰ τὰς μυρίας εὐεργεσίας καὶ κηδεμονίας, οὐδὲ οὕτως ἔρριψεν*, ἀλλὰ τότε μάλιστα τὸν υἱὸν ἔδωκεν, ὅτε μείζονα ἠδικήσαμεν· ἡμεῖς δὲ μετὰ τὸ τοσούτων τυχεῖν, μετὰ τὸ γενέσθαι φίλοι, μετὰ τὸ πάντων τῶν ἀγαθῶν ἀξιωθῆναι δι' αὐτοῦ, οὐδὲ ὡς φίλον ἠγαπήσαμεν. καὶ τίς ἡμῖν ἔσται ἐλπίς; τάχα φρίττετε πρὸς τὸ ῥῆμα· ἀλλ' εἴθε πρὸς τὰ πράγματα. καὶ πῶς, φησὶν, οὐδὲ ὡς τοὺς φίλους οὕτω φιλήσομεν τὸν Θεόν; πῶς; ἐγὼ πειράσομαι δεῖξαι. καὶ εὔχομαι μὲν μηδὲν δόξαι λέγειν, ἀλλὰ λῆρον· φοβοῦμαι δὲ μὴ κατὰ πράγματα ᾖ τὰ λεγόμενα [ῥήματα]. σκόπει δέ. ὑπὲρ φίλων, τῶν ὄντως φίλων, πολλοὶ καὶ ζημιωθῆναι εἵλοντο πολλάκις· τοῦ δὲ Χριστοῦ ἕνεκεν, οὐ μόνον ζημιωθῆναι, ἀλλὰ τοῖς οὖσιν ἀρκεῖσθαι οὐδεὶς ἀνέχεται. ὑπὲρ φίλου πολλάκις καὶ ὑβρίσθημεν, καὶ ἔχθρας ἀνεδεξάμεθα· διὰ δὲ τὸν Χριστὸν οὐδεὶς ἔχθραν ἀναδέχεται, ἀλλ' εἰκῇ, φησὶ, φίλου, εἰκῇ μὴ μισοῦ. τὸν φίλον λιμώττοντα οὐδέποτε περιοψόμεθα· τὸν δὲ Χριστὸν καθ' ἡμέραν ἡμῖν προσιόντα οὐχ ὑπὲρ τινὸς μεγάλου, ἀλλ' ὑπὲρ ἄρτου μόνου, οὐδὲ προσιέμεθα, καὶ ταῦτα ἐρευγόμενοι δυσωδίας, καὶ διασπώμενοι, καὶ γαστριζόμενοι, καὶ τὸν ἀρεσινὸν οἶνον ἀποπνέοντες, καὶ τρυφῶντες, καὶ τοῖς μὲν πόρναις διδόντες, τοῖς δὲ παρασίτοις, τοῖς δὲ κόλαξι, τοῖς δὲ τέρασι καὶ μωροῖς καὶ νάνοις. καὶ γὰρ τὰ τῆς φύσεως ἁμαρτήματα ταῦτα φέρουσιν εἰς τέρψιν. καὶ φίλοις τοῖς ὄντως φίλοις οὐδέποτε φθονοῦμεν, οὐδὲ δακνόμεθα τῇ τούτων εὐπραγίᾳ· ἐπὶ δὲ τοῦ Χριστοῦ καὶ τοῦτο πάσχομεν. τὸ μείζονα ἴδοι τις ἂν τὴν φιλίαν ἰσχύουσαν, ἢ τὸν τοῦ Θεοῦ φόβον. καὶ γὰρ ὁ ὕπουλος καὶ ὁ φθονερὸς μᾶλλον τοῦ Θεοῦ τοὺς ἀνθρώπους αἰδεῖται. πῶς; ἐγὼ λέγω· ὅτι τοῦ μὲν Θεοῦ ὁρῶντος τὴν καρδίαν, οὐκ ἀφίσταται ἄνθρωπος δόλους ῥάπτων· ἂν δὲ ἄνθρωπον ἴδῃ ἄνθρωπος, ἀπόλωλε, καὶ ἐρυθριᾷ. τί τοῦτο λέγω; πρὸς φίλον μὲν κακούμενοι ἀπερχόμεθα· κἂν μικρόν τι ἀναβαλώμεθα, φοβούμεθα μὴ καταγνωσθῶμεν· τοῦ δὲ Χριστοῦ πολλάκις ἐν δεσμοῖς ἀποθανόντος, οὐδὲ ἐπεσκεψάμεθα. καὶ πρὸς τοὺς φίλους δὲ τοὺς πιστοὺς, οὐκ ἐπειδὴ πιστοί εἰσιν, ἀπερχόμεθα, ἀλλ' ἐπειδὴ φίλοι. ὁρᾷς οὐδὲν φόβῳ Θεοῦ γινόμενον, οὐδὲ διὰ τὸ περὶ αὐτὸν φίλτρον; ἀλλὰ τὰ μὲν φιλίᾳ, τὰ δὲ συνηθείᾳ; ὁρῶντες φίλον ἀποδημοῦντα, κλαίομεν, στένομεν· ἂν δὲ ἀποθανόντα ἴδωμεν, ὀλοφυρόμεθα, καίτοιγε εἰδότες ὅτι οὐ διαπαντὸς ἡμῶν διεστήσεται, ἀλλ' αὐτὸν ἐν τῇ ἀναστάσει ἀποληψόμεθα. τοῦ δὲ Χριστοῦ χωριζομένου ἡμῶν καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ τὸν Χριστὸν καθ' ἑκάστην ἡμέραν ἀπελαύνοντες ἀφ' ἡμῶν, οὐκ ἀλγοῦμεν, οὐδὲ δεινόν τι ποιεῖν νομίζομεν, ἀδικοῦντες, λυποῦντες, παροξύνοντες, τὰ μὴ δοκοῦντα αὐτῷ πράττοντες. ἀλλ' οὔπω τοῦτο φρικτὸν, εἰ μηδὲ ὡς φίλῳ αὐτῷ κεχρήμεθα· ἐγὼ γὰρ δείξω, ὅτι καὶ ὡς ἐχθρῷ

αὐτῷ

αὐτοῦ χρώμεθα. πῶς; Τὸ φρόνημα τῆς σαρκός, φησιν ὁ Παῦλος, ἔχθρα εἰς Θεόν. ἡμεῖς Ρωμ. η. ε. δὲ τοῦτο μὲν ἀεὶ περιφέρομεν, τὸν δὲ Χριστὸν ἂν βουλόμενον ἡμῖν ἐπιτρέχειν, καὶ πρὸς τὰς θύρας ἡμῶν ἐρχόμενον διώκομεν. αἱ γὰρ πονηραὶ πράξεις τοῦτο ἐργάζονται. καὶ ποιοῦμεν αὐτὸν ὑβρίζεσθαι καθ' ἑκάστην ἡμέραν, διὰ τὰς πλεονεξίας ἡμῶν, διὰ τὰς ἁρπαγάς. δοξάζεταί τις εὐδοκιμῶν, καὶ τὰ αὐτοῦ φθεγγόμενος, καὶ τὴν ἐκκλησίαν ὠφελῶν; καὶ ὑμεῖς τούτῳ φθονοῦμεν, ὅτι τὰ τοῦ Θεοῦ ἐργάζεται. καὶ δοκοῦμεν μὲν φθονεῖν ἐκείνῳ, ὁ δὲ φθόνος διαβαίνει εἰς Χριστόν. οὔ, φησιν, ἀλλὰ βουλόμεθα οὐ δι' ἑτέρων, ἀλλὰ δι' ἡμῶν τὴν ὠφέλειαν γίνεσθαι· οὐ διὰ τὸν Χριστόν, ἀλλὰ δι' ἡμᾶς· ἐπεὶ εἰ διὰ τὸν Χριστόν, ἀδιάφορον ἂν ἦν ἡμῖν τό, καὶ δι' ἑτέρων, καὶ δι' ἡμῶν ταῦτα γίνεσθαι. εἰπὲ γάρ μοι, εἴ τις ἰατρὸς παῖδα ἔχων τυφλοῦσθαι μέλλοντα, αὐτὸς μὲν ἐξαδυνατήσει πρὸς τὴν ἰατρείαν, ἕτερος δὲ εὕροι δυνάμενον τοῦτο ἐργάζεσθαι, ἆρα ἂν ἀπήλασεν αὐτόν; οὐδαμῶς· ἀλλὰ * μονονουχὶ ἐρεῖ πρὸς αὐτόν· εἴτε διὰ σοῦ, εἴτε δι' ἐμοῦ, τὰ τῆς ὠφελείας γινέσθω. τί δήποτε; ὅτι οὐ τὸ ἑαυτοῦ ὁρᾷ, ἀλλὰ τὸ τῷ παιδὶ συμφέρον. οὕτω καὶ ἡμεῖς, εἰ τὸ τοῦ Χριστοῦ ἑωρῶμεν, εἴπομεν ἄν, εἴτε δι' ἡμῶν, εἴτε δι' ἑτέρου τινὸς τὸ λυσιτελὲς γινέσθω. Εἴτε ἀληθείᾳ, εἴτε προφάσει, Φιλιπ. α. ιη. φησί, Χριστὸς καταγγέλλεται. ἄκουε γὰρ τοῦ Μωϋσέως λέγοντος πρὸς τοὺς προξενῆσαι αὐτὸν βουλομένους, ἡνίκα οἱ περὶ Ἐλδὰδ καὶ Μωδὰδ προεφήτευον· Μὴ ζηλοῖς σὺ ἐμοί; Αριθ. ια. κθ. καὶ τίς δῴη πάντα τὸν λαὸν Κυρίου προφήτας εἶναι; ταῦτα δὲ πάντα ἀπὸ φιλοδοξίας γίνεται. ἆρα οὐκ ἐχθρῶν ταῦτα καὶ πολεμίων; εἶπέ σέ τις κακῶς; ἀγάπησον αὐτὸν σύ. καὶ πῶς δυνατόν; δυνατόν, καὶ σφόδρα δυνατόν, ἐὰν θέλῃς. ἂν δὲ καλῶς εἰπόντα φιλήσῃς, οὐκ ἔτι σοι χάρις. οὐ γὰρ διὰ τὸν Κύριον, ἀλλὰ διὰ τὴν εὐφημίαν τοῦτο πεποίηκας. ἔβλαψέ σέ τις; εὐεργέτησον. ἂν δὲ ὠφελήσαντα ὠφελήσῃς, οὐδὲν μέγα πεποίηκας. ἠδικήθης καὶ ἐζημιώθης τὰ μεγάλα; τοῖς ἐναντίοις ἀμείψασθαι σπούδασον. ναί, παρακαλῶ, οὕτω διοικῶμεν τὰ καθ' ἑαυτούς· παυσώμεθα τοῦ ἀδικεῖν, καὶ μισεῖν τοὺς ἐχθρούς. αὐτὸς τοὺς ἐχθροὺς κελεύει φιλεῖν, ἡμεῖς δὲ καὶ αὐτὸν φιλοῦντα διώκομεν. μὴ γένοιτο, φησί. τῷ ῥήματι τοῦτο πάντες φθεγγόμεθα, διὰ δὲ τῶν ἔργων οὐ πάντες. τοσαύτη ἡ τῆς ἁμαρτίας σκότωσις, ὅτι ἅπερ οὐκ ἔστι λόγῳ φορητά, ταῦτα δι' ἔργων φορητά ἐστιν. ἀποστῶμεν οὖν ἤδη ποτὲ τῶν βλαπτόντων καὶ λυμαινομένων ἡμῶν τὴν σωτηρίαν, ἵνα τύχωμεν ὧν τοὺς φίλους εἰκὸς τυχεῖν. Θέλω γάρ, φησιν, ἵν', ὅπου εἰμὶ ἐγώ, ὦσι καὶ οἱ μαθηταί μου, ἵνα τὴν δόξαν ὁρῶσι Ιωαν. ιζ. κδ. τὴν ἐμήν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. δ. 15 ΠΙΣΤΟΣ Ο ΛΟΓΟΣ ΚΑΙ ΠΑΣΗΣ ΑΠΟδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. 16 Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.

ΟΥτω μεγάλαι εἰσὶν αἱ εὐεργεσίαι τοῦ Θεοῦ, καὶ πᾶσαν ἀνθρωπίνην ὑπερβαίνουσι προσδοκίαν [καὶ ἐλπίδα,] ὡς πολλαχοῦ καὶ ἀπιστεῖσθαι. ἃ γὰρ μήτε ἐνενόησε, μήτε προσεδόκησέ ποτε ἀνθρώπινος, ταῦτα ἡμῖν ἐχαρίσατο. διὰ τοῦτο καὶ πολλὴν οἱ ἀπόστολοι λόγον ὑπὲρ τούτου ποιοῦνται, ὥστε πιστευθῆναι τὰ δῶρα τὰ παρὰ τοῦ Θεοῦ ἡμῖν παρασχεθέντα. καθάπερ γὰρ ἐπὶ τῶν μεγάλων ἀγαθῶν τοῦτο πάσχομεν, ἆρα μὴ ὄναρ ἐστίν, λέγοντες, τῷ ἀπιστεῖν, οὕτω καὶ ἐπὶ τῶν τοῦ Θεοῦ δωρεῶν. τί οὖν ἦν τὸ ἀπιστούμενον; εἰ οἱ ἐχθροί, εἰ οἱ ἁμαρτωλοί, εἰ οἱ ἐν νόμῳ μὴ δικαιωθέντες μηδὲ δι' ἔργων,

γων, οὗτοι ἐξαίφνης διὰ πίστεως μόνης ἔμελλον τῶν προτέρων τεύξεσθαι. πολλὰ μὲν οὖν καὶ
ἐν τῇ πρὸς Ῥωμαίους περὶ τούτου διαλέγεται τοῦ κεφαλαίου, πολλὰ δὲ καὶ ἐνταῦθα. πιστὸς,
φησὶν, ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτω-
λοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ἐπειδὴ γὰρ Ἰουδαῖοι τούτῳ μάλιστα ἐφείλκοντο, πείθει αὐ-
τοὺς τῷ νόμῳ προσέχειν, ὡς οὐκ ἐνὸν δι' ἐκείνου σωθῆναι πίστεως χωρίς. πρὸς τοῦτο τοίνυν
μάχεται. ἄπιστον γὰρ εἶναι ἐδόκει, εἰ δὴ ἄνθρωπος πάντα τὸν ἔμπροσθεν καταδαπανήσας
βίον εἰκῆ καὶ μάτην ἐν πονηραῖς πράξεσι [κατατολμήσας], ἔμελλε σώζεσθαι ὕστερον ἀπὸ
πίστεως μόνης. διὰ τοῦτό φησι, πιστὸς ὁ λόγος. ἀλλὰ τινὲς οὐκ ἠπίστουν μόνον, ἀλλὰ καὶ
Ρωμ. γ. η. καὶ ἐνεκάλουν, ὃ καὶ νῦν ποιοῦσιν Ἕλληνες λέγοντες, Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά.
ε. κ. ἐπειδὴ γὰρ ἤκουσαν λέγοντος, Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεξεπερίσσευσεν ἡ χάρις, δια-
σύροντες τὰ ἡμέτερα ἐκεῖνοι ἔλεγον τοῦτο. οὕτω καὶ ὅταν περὶ γεέννης διαλεγώμεθα αὖθις,
καὶ ποῦ, φασὶ, ταῦτα ἄξια Θεοῦ; εἰ ἄνθρωπος μὲν τὸν οἰκέτην λαβὼν τὸν ἑαυτοῦ πολλὰ ἡ-
μαρτηκότα, ἀφίησι καὶ συγγνώμης ἀξιοῖ· ὁ δὲ Θεὸς ἀθάνατα κολάζει; καὶ ὅταν περὶ λουτροῦ πά-
λιν αὖθις διαλεγώμεθα καὶ τῆς διὰ τούτου τῶν ἁμαρτημάτων ἀφέσεως, ποῦ ταῦτα, φασὶν, ἄ-
ξια Θεοῦ, τὸν μυρία ἐργασάμενον κακὰ, ἀφιέναι τῶν ἁμαρτημάτων; ὁρᾷς τὴν ἐνδιάστροφον
γνώμην; πῶς πανταχοῦ τὴν οἰκείαν ἐνδείκνυνται φιλονεικίαν; καὶ μὴν εἰ ἡ ἄφεσις κα-
κὸν, καλὸν ἡ κόλασις· εἰ δὲ ἡ κόλασις οὐ καλὸν, ἡ ἄφεσις καλόν· κατὰ τὸν ἐκείνων φημὶ λό-
γον. κατὰ γὰρ τὸν ἡμέτερον, ἀμφότερα καλά. καὶ πῶς; ἐν ἑτέρῳ δείξομεν καιρῷ. οὐ γὰρ τοῦ
παρόντος ἂν εἴη. βαθὺν γὰρ ὄντα καὶ πολλῆς δεόμενον τῆς ἐπεξεργασίας, ἐν καιρῷ δεῖ τοῦ-
τον προθεῖναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης· νῦν δὲ τῶν προκειμένων ἐχώμεθα. πιστὸς, φησὶν,
ὁ λόγος. πόθεν πιστός; καὶ ἀπὸ τῶν προαγόντων, καὶ ἀπὸ τῶν μετὰ ταῦτα. ὅρα πῶς καὶ προ-
κατασκευάζει, καὶ μετὰ τὸ κατασκευάσαι αὐτῷ ἐνδιατρίβει. τὸ γὰρ εἰπεῖν, ὅτι βλάσφημον
ὄντα καὶ διώκτην ἠλέησε, τοῦτο κατασκευάζοντός ἐστιν. καὶ οὐκ ἠλέησε, φησὶ, μόνον, ἀλλὰ καὶ
πιστὸν ἐποίησε. τοσοῦτον οὐ χρὴ, φησὶν, ἀπιστεῖν, ὅτι ἠλέησεν. οὐδεὶς γὰρ ὁρῶν τὸν δεσμώ-
την ἐν βασιλείοις στρεφόμενον, ὅτι ἠλεήθη ἀμφιβάλλει ποτὲ, ὅπερ ἐπὶ τοῦ Παύλου ἦν ἰδεῖν.
ἀφ' ἑαυτοῦ γὰρ ποιεῖται τὸ σημεῖον, καὶ οὐκ αἰσχύνεται καλῶν ἑαυτὸν ἁμαρτωλὸν, ἀλλὰ καὶ
μᾶλλον εὐφραίνεται. οὕτω γὰρ μάλιστα δύναται δεῖξαι τὸ μέγα τῆς τοῦ Θεοῦ κηδεμονίας
Φιλιπ. γ. ς. θαῦμα, καὶ ὅτι φιλανθρωπίας ἠξιώθη τοσαύτης. καὶ πῶς ἀλλαχοῦ λέγων περὶ ἑαυτοῦ, Κα-
τὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, ἐνταῦθά φησιν ἁμαρτωλὸν εἶναι; καὶ πρῶ-
τον τῶν ἁμαρτωλῶν; ὅτι πρὸς τὴν δικαιοσύνην, ἣν ὁ Θεὸς εἰργάσατο, καὶ τὴν ὄντως ζητου-
Ρωμ. γ. κγ. μένην, ἁμαρτωλοὶ καὶ οἱ ἐν τῷ νόμῳ. Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θε-
οῦ. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε δικαιοσύνην, ἀλλὰ τὴν ἐν νόμῳ. ὥσπερ γὰρ ὁ ἀργύ-
ριον πολὺ κεκτημένος καθ' ἑαυτὸν μὲν πλούσιος φαίνεται, κατὰ δὲ τὴν σύγκρισιν τῶν θησαυ-
ρῶν τῶν βασιλικῶν σφόδρα πένης, καὶ πρῶτος πένης· οὕτω δὴ καὶ ἐνταῦθα, πρὸς τοὺς ἀγ-
γέλους κρινόμενοι, ἁμαρτωλοὶ οἱ ἄνθρωποι, καὶ εἰ δίκαιοι. εἰ δὲ Παῦλος ὁ τὴν ἐν νόμῳ δι-
καιοσύνην ἐργασάμενος πρῶτος ἁμαρτωλὸς, τίς ἄρα τῶν ἄλλων δίκαιος ἂν κληθείη; οὐ γὰρ
διαβάλλων αὐτοῦ τὸν βίον, ὡς ἀσελγῆ, τοῦτό φησι (μὴ γένοιτο) ἀλλὰ τὴν δικαιοσύνην ἐ-
κείνην πρὸς ταύτην συγκρίνων, τὸ μηδὲν εἶναι δείκνυσιν· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἁμαρτω-
λοὺς τοὺς ἔχοντας αὐτὴν ἀποφαίνει. ἀλλὰ διὰ τοῦτο ἠλεήθην, φησὶν, ἵνα ἐν ἐμοὶ πρώτῳ
ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πι-
στεύειν εἰς αὐτὸν εἰς ζωὴν αἰώνιον. ὁρᾷς πῶς πάλιν ταπεινοῖ καὶ καταστέλλει ἑαυτὸν, ἑτέραν
εὐτελεστέραν λέγων αἰτίαν; τὸ μὲν γὰρ δι' ἄγνοιαν λέγειν ἐλεηθῆναι, οὐ σφόδρα δείκνυσιν ἁ-
μαρτωλὸν τὸν ἐλεούμενον, οὐδὲ ἄγαν κατεγνωσμένον. τὸ δὲ διὰ τοῦτο ἐλεηθῆναι, ἵνα μη-
δεὶς ἀπαγορεύσῃ λοιπὸν τῶν ἡμαρτηκότων, ἀλλὰ θαρρῇ ὅτι καὶ αὐτὸς τῶν αὐτῶν τεύξεται,

σφόδρα

σφόδρα μέγα καὶ μετὰ ὑπερβολῆς. ὥστε φθέγξασθαι, πρῶτός εἰμι ἐγὼ τῶν ἁμαρτωλῶν, ὁ βλάσφημος, καὶ διώκτης, καὶ ὑβριστής, καὶ οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, καὶ ὅσα εἴρηκεν, ὅμως οὐδὲν οὕτω ταπεινὸν ἐφθέγξατο. ἐπὶ ὑποδείγματος δὲ τοῦτο σαφὲς ἔσται. ἔστω γὰρ πόλις πολυάνθρωπος πάντας τοὺς πολίτας ἔχουσα φαύλους, τοὺς μὲν ἧττον, τοὺς δὲ μᾶλλον, πάντας μέντοι κατεγνωσμένους. εἷς δέ τις ἐν τοῖς πολλοῖς ἐκείνοις πάντων μᾶλλον ἔστω κολάσεως καὶ τιμωρίας ἄξιος, καὶ πᾶν ἐπελθὼν εἶδος κακίας. ἂν τοίνυν λέγῃ τις, ὅτι πᾶσιν ἀφεῖναι βούλεται ὁ βασιλεύς, οὐχ οὕτω πιστεύσουσι τῷ λόγῳ, ἕως ἂν ἴδωσι τὸν πάντων φαυλότερον αὐτῶν τούτου τυχόντα. οὐκ ἔστι γὰρ λοιπὸν ἀμφισβητήσεις. τοῦτο καὶ Παῦλός φησιν, ὅτι βουλόμενος ὁ Θεὸς πληροφορῆσαι τοὺς ἀνθρώπους, ὅτι πάντα αὐτοῖς ἀφίησι, τὸν πάντων ἁμαρτωλότερον ἠλέησεν. οὐ γὰρ ἄν, ἐμοῦ τυχόντος συγχωρήσεως, φησί, περὶ τῶν ἄλλων ἀμφισβητήσειέ τις. ὡς ἂν εἰ ἔλεγέ τις καὶ ἐν τῇ συνηθείᾳ, ἐὰν δὲ τοῦτον ὁ Θεὸς συγχωρήσῃ, οὐδένα τῶν ἄλλων κολάσει. καὶ δείκνυσι διὰ τούτου, ὅτι οὐδὲ ἄξιον ἑαυτὸν ὄντα συγχωρήσεως, ἀλλὰ διὰ τὴν εἰς ἑτέρους σωτηρίαν ταύτης τῆς δωρεᾶς ἀπολαύσαντα. μηδεὶς τοίνυν ἀμφιβαλλέτω, φησί, περὶ σωτηρίας, ὁπότε ἐγὼ ἐσώθην. καὶ ὅρα τοῦ μακαρίου τούτου τὴν ταπεινοφροσύνην. οὐκ ἔφη, ἵνα ἐνδείξηται ἐν ἐμοὶ τὴν μακροθυμίαν, ἀλλὰ τὴν πᾶσαν μακροθυμίαν, ὡσανεὶ ἔλεγε, μᾶλλον ἐμοῦ ἑτέρῳ ἄλλῳ οὐκ ἔχει μακροθυμῆσαι, οὐδὲ εὑρίσκοντος ἁμαρτωλόν, πρὸς ὃν ἐπιδείξηται τὸ τοῦ ἐλέους, πάσης τῆς μακροθυμίας, οὐ μερικῆς, καθάπερ τῶν ἐπὶ μέρους ἁμαρτόντων. πρὸς ὑποτύπωσιν, φησί, τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον, τουτέστι, πρὸς παράκλησιν, πρὸς προτροπήν. ἐπειδὴ δὲ μέγα τι περὶ τοῦ υἱοῦ ἐφθέγξατο, καὶ ὅτι τοσαύτην ἀγάπην ἐνεδείξατο, ἵνα μή τις νομίσῃ ταύτης ἀποστερεῖσθαι τὸν πατέρα, ἀναφέρει καὶ αὐτῷ δόξαν ἐπάγων, καί φησι·

17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ὑπὲρ δὴ τούτων, φησίν, οὐ τὸν υἱὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα δοξάζομεν. ἐρώμεθα δὴ τοὺς αἱρετικούς· ἰδού, μόνῳ Θεῷ, εἴρηκε περὶ πατρὸς λέγων· ἆρα οὐ Θεὸς ὁ υἱός; καὶ μόνῳ ἀφθάρτῳ· ἆρα οὐκ ἄφθαρτος ὁ υἱός; καὶ ὁ διδοὺς ἡμῖν μετὰ ταῦτα, αὐτὸς οὐκ ἔχει; ναί, φησί, καὶ Θεός, καὶ ἄφθαρτος, ἀλλ' οὐ τοιοῦτος, οἷος ὁ πατήρ. τί φής; οὐ τοιοῦτος, καὶ ἐλάττονος οὐσίας ἐστίν; οὐκοῦν καὶ ἀφθαρσίας ἐλάττονος. τί δέ ἐστι μείζων καὶ ἥττων ἀφθαρσία; ἡ γὰρ ἀφθαρσία οὐδὲν ἄλλο ἐστίν, ἢ τὸ μὴ διαφθείρεσθαι. δόξα μὲν γὰρ μείζων, καὶ ἥττων ἐστίν, ἀφθαρσία δὲ μείζων καὶ ἥττων οὐκ ἔστιν, ὥσπερ οὐδὲ ὑγεία ἥττων καὶ πλείων. ἢ γὰρ φθείρεσθαί τι δεῖ, ἢ μηδόλως. τί οὖν, φησίν; ἡμεῖς καὶ ἄφθαρτοι ὡσαύτως; μὴ γένοιτο οὐδαμῶς. διὰ τί; ὅτι αὐτὸς μὲν φύσει τοῦτο ἔχει, ἡμεῖς δὲ ἐπεισάκτως. ἆρ' οὖν καὶ ἐπὶ τοῦ υἱοῦ οὕτως; οὐδαμῶς· ἀλλὰ καὶ αὐτὸς φύσει. τίνος οὖν ἕνεκεν ἡ διαφορά; ὅτι αὐτὸς μέν, φησί, παρ' οὐδενὸς ἐγένετο τοιοῦτος, ὁ δὲ υἱὸς παρὰ τοῦ πατρός. καὶ ἡμεῖς τοῦτο ὁμολογοῦμεν. οὐδὲ γὰρ ἡμεῖς ἀρνούμεθα, ὅτι ἐκ τοῦ πατρὸς ὁ υἱὸς ἀφθάρτως γεγέννηται. * ὑπὲρ τούτων, φησί, τὸν πατέρα δοξάζομεν, ὅτι τοιοῦτον αὐτὸν ἐγέννησεν. ὁρᾷς ὅτι τότε μάλιστα δοξάζεται ὁ πατήρ, ὅταν μεγάλα ᾖ κατορθωκὼς ὁ παῖς; εἰς αὐτὸν γὰρ διαφέρεται τὰ τοῦ υἱοῦ. οὐκοῦν, ὅταν δυνατὸν ᾖ γεγεννηκώς, καὶ τοιοῦτον οἷος αὐτός, ἡ δόξα τοῦ υἱοῦ μᾶλλον ἐστίν, ἢ τοῦ πατρός, ὅταν αὐτάρκη, ὅταν ἑαυτῷ ἀρκοῦντα, ὅταν μὴ ἀσθενῆ. τῷ δὲ βασιλεῖ τῶν αἰώνων. καὶ περὶ τοῦ υἱοῦ εἴρηται, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. ὃ αὐτό ἐστιν ἐνταῦθα. παρ' ἡμῖν μὲν γὰρ διῄρηται ἀμφότερα, ἡ δημιουργία, λέγω, καὶ ἡ κτίσις, καὶ ἕτερος μὲν κατασκευάζει καὶ ποιεῖται καὶ τὰ λοιπὰ πράττει, ἕτερος δὲ κρατεῖ. διὰ τί; ὅτι ὁ κατασκευάζων, ἐλάττων ἐστίν. ἐκεῖ δὲ οὐδαμῶς. οὐχ ἕτερον μὲν ἡ δεσποτεία, ἕτερον δὲ ἡ δημιουργία. οὐδὲ γάρ, ἐπειδὴ ἀκούσω, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἀφαιρῶ τὸν πατέρα τῆς δημιουργίας· οὕτω δὲ ὁ-

ἢ Παῦλ.

τὸν ἀκούσῃ, ὁ πατὴρ βασιλεὺς τῶν αἰώνων, τὸν υἱὸν ἀφαιρεῖ τῆς δεσποτείας. κοινὰ γὰρ καὶ ἐκείνου καὶ τούτου ταῦτα. ἀμφότερα γὰρ ἑκατέρου ἐστίν. ἔκτισεν ὁ πατὴρ τῷ δημιουργὸν υἱὸν γεγεννηκέναι· βασιλεύει ὁ υἱὸς τῷ κύριος εἶναι τῶν κτισμάτων. οὐ γὰρ μισθοῦ ἐργάζεται, καθάπερ ὁ παρ' ἡμῖν, οὐδὲ ἑτέρῳ ὑπακούων, καθάπερ οὗτοι, ἀλλὰ δι' οἰκείαν ἀγαθότητα καὶ φιλανθρωπίαν. τί δαί; ὁ υἱὸς ὡρίσθη ποτέ; οὐκ ἄν τις ἔχοι λέγειν. τί οὖν ἐστιν, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ; τί δὲ ὅταν λέγῃ, Οὐδὲ γὰρ ἐστιν ὄνομα ἕτερον, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, καὶ πάλιν, Οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία; τιμὴ καὶ δόξα, φησὶν, εἰς τοὺς αἰῶνας, ἀμήν. τιμὴ καὶ δόξα οὐ διὰ ῥημάτων γίνεται. ἐπεὶ οὖν καὶ αὐτὸς οὐ διὰ ῥημάτων ἡμᾶς ἐτίμησεν, ἀλλὰ καὶ διὰ πραγμάτων καὶ δι' ἔργων, οὕτω καὶ ἡμεῖς αὐτὸν τιμήσωμεν καὶ διὰ πραγμάτων, καὶ δι' ἔργων. καίτοι αὕτη μὲν ἡ τιμὴ ἡμῶν ἀνάκειται, ἐκείνῳ δὲ αὐτῆς οὐδαμῶς. οὐ γὰρ δεῖται τῆς παρ' ἡμῶν, ἡμεῖς δὲ τῆς παρ' αὐτοῦ δεόμεθα· ὥστε κἂν τιμήσωμεν αὐτὸν, πάλιν ἡμᾶς αὐτοὺς ἐτιμήσαμεν. ὥσπερ γὰρ ὁ τοὺς ὀφθαλμοὺς ἀνοίξας, ἵνα τὸ ἡλιακὸν ἴδῃ φῶς, ἑαυτὸν πάλιν ὤνησε, θαυμάζων τὸ κάλλος τοῦ ἄστρου, οὐκ ἐκείνῳ τι ἐχαρίσατο (οὐ γὰρ λαμπρότερον αὐτὸ πεποίηκεν, ἀλλὰ μένει τὸ αὐτό) οὕτω καὶ πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ ὁ θαυμάζων τὸν Θεὸν καὶ τιμῶν, ἑαυτὸν ἔσωσε, καὶ ὠφέλησεν ὠφέλειαν μεγίστην. πῶς; ὅτι τὴν ἀρετὴν μετέρχεται, καὶ παρ' αὐτοῦ δοξάζεται. Τοὺς γὰρ δοξάζοντάς με, φησὶ, δοξάσω. πῶς οὖν αὐτὸς δοξάζεται, φησὶν, ἀπὸ τῆς δόξης τῆς ἡμετέρας οὐδὲν ἀπολαύων; ὥσπερ οὖν καὶ πεινῆν λέγεται, καὶ διψῆν. πάντα γὰρ οἰκειοῦται τὰ ἡμέτερα, ἵνα καὶ οὕτως ἡμᾶς ἐφελκύσηται, καὶ τὰς τιμὰς καὶ τὰς ὕβρεις, ἵνα καὶ οὕτω φοβηθῶμεν· καὶ οὐδὲ οὕτως ἐφελκόμεθα.

Πρᾶξ. δ. ιβ. — α. Βασ. β. λβ. — γρ. μετέρχη

ΗΘΙΚΟΝ

Δοξάσωμεν δὴ τὸν Θεὸν, ἄρωμεν τὸν Θεὸν ἐν τῷ σώματι, καὶ ἐν τῷ πνεύματι ἡμῶν. καὶ πῶς τις ἐν τῷ σώματι δοξάζει, φησί; πῶς δὲ ἐν τῷ πνεύματι; πνεῦμα ἐνταῦθα τὴν ψυχὴν λέγει, πρὸς ἀντιδιαστολὴν τοῦ σώματος. πῶς οὖν τις δοξάζει ἐν τῷ σώματι; πῶς δὲ ἐν τῇ ψυχῇ; ἐν σώματι δοξάζει, ὁ μὴ πορνεύων, ὁ μὴ μεθυσκόμενος, ὁ μὴ γαστριζόμενος, ὁ μὴ καλλωπιζόμενος, ὁ τοσαύτην αὐτοῦ ποιούμενος πρόνοιαν, ὅσον πρὸς ὑγείαν ἀρκεῖ μόνον, ὁ μὴ μοιχεύων, ἡ μὴ μυριζομένη, ἡ μὴ χρώμασι διαγράφουσα τὸ πρόσωπον, ἡ ἀρκουμένη τῇ πλάσει τοῦ Θεοῦ, καὶ μηδὲν ἐπιτεχνωμένη. τί γὰρ, εἰπέ μοι, προστίθης τῇ παρὰ σαυτῆς τῇ ἀπηρτισμένῃ παρὰ τοῦ Θεοῦ δημιουργίᾳ; οὐκ αὐτάρκης σοι γέγονεν ἡ διάπλασις; ὡς βελτίων τοίνυν τεχνίτης ἐπιχειρεῖς ῥυθμίσαι τὸ ἔργον; οὐκ ἔστι τοῦτο, ἀλλὰ διὰ τοῦτο καλλωπίζῃ, καὶ ὑβρίζεις τὸν δημιουργὸν, ἵνα μυρίους ἐραστὰς ἐπισπάσῃ; καὶ τί πάθω, φησίν; οὐδὲ γὰρ ἐγὼ βούλομαι, ἀλλὰ διὰ τὸν ἄνδρα ταῦτα ποιεῖν ἀναγκάζομαι. οὐκ ἔνι μὴ βουλομένην ἐρασθῆναι. καλήν σε ὁ Θεὸς ἐποίησεν, ἵνα θαυμάζηται καὶ ἐπὶ τούτῳ, οὐχ ἵνα ὑβρίζηται. μὴ τοίνυν αὐτὸν ἀμείβου τοῖς δώροις, ἀλλὰ σωφροσύνῃ, καὶ κοσμιότητι. καλήν σε ὁ Θεὸς ἐποίησεν, ἵνα σοι τοὺς τῆς κοσμιότητος ἄθλους αὐξήσῃ. οὐ γὰρ ἐστιν ἴσον ἐπέραστον οὖσαν σωφρονεῖν, καὶ ὑπὸ οὐδενὸς γινομένην περιμάχητον. ἀκούεις τί φησιν ἡ γραφὴ περὶ τοῦ Ἰωσήφ; ὅτι ἦν ὡραῖος καὶ καλὸς τῇ ὄψει; τί ἡμᾶς τοῦτο ἀκούοντας ὠφελεῖ, ὅτι καλὸς ἦν Ἰωσήφ; ἵνα μᾶλλον αὐτοῦ τὸ κάλλος θαυμάζωμεν, καὶ τὴν κοσμιότητα. ἐποίησέ σε καλὴν ὁ Θεός; τί τοίνυν καταασκευάζεις ἄμορφον σαυτήν; ὥσπερ γὰρ ἂν εἴ τις χρυσῷ ἀνδριάντι ἐπιχρίσειε πηλὸν βορβόρου, οὕτως εἰσὶν αἱ τοῖς ἐπιτρίμμασι κεχρημέναι. γῆν κατάπασσεις σαυτήν, τὴν μὲν φοινικῆν, τὴν δὲ λευκήν. ἀλλ' αἱ ἄμορφοι, φησιν, εἰκότως τοῦτο περιέλθοιεν. τίνος ἕνεκεν, εἰπέ μοι; ἵνα τὴν ἀμορφίαν κρύψωσιν; ἀλλὰ ἀνόητα ποιοῦσι. πότε γὰρ, εἰπέ μοι, τὸ φυσικὸν ὑπὸ τοῦ τεχνικοῦ καὶ ἐπιτετηδευμένου νικᾶται; τί δὲ ὅλως ἡ ἀμορφία λυπεῖ, ὅταν ψόγον μὴ ἔχῃ; ἄκουε γὰρ σοφοῦ τινος λέγοντος, Μὴ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ, μηδὲ αἰνέσῃς ἄνδρα ἐν τῷ κάλλει αὐτοῦ. μᾶλλον μὲν οὖν Θεὸν θαύμασον τὸν ἀριστοτέχνην, ἐκεῖνον δὲ μηκέτι. οὐ γὰρ αὐτοῦ κατόρθωμα τὸ γινόμενον. ποῖον γὰρ κέρδος

Γεν. λθ. — Σειρ. ια. β. — γρ. οἱ — γρ. τὴν

ἀπὸ

ἀπὸ κάλλους, εἰπέ μοι; οὐδὲν, ἀλλ᾽ ἀγῶνες πλείους, μείζονες ἐπήρειαι, καὶ οἱ κίνδυνοι, καὶ αἱ ὑποψίαι. τὴν μὲν γὰρ οὐ τοιαύτην οὐδ᾽ ἂν ὑποπτεύσειέ τις. ἐκείνη δὲ, ἂν μὴ πολλῇ τῇ κοσμιότητι καὶ μεθ᾽ ὑπερβολῆς ᾖ κεχρημένη, εὐθέως δέξεται δόξαν πονηρὰν, καὶ ὁ ἀνὴρ δὲ μεθ᾽ ὑποψίας συνοικεῖ (οὗ τί γένοιτ᾽ ἂν χαλεπώτερον;) οὐ τοσαύτην ἀπὸ τῆς θέας καρπούμενος τὴν ἡδονὴν, ὅσον ἀπὸ τῆς ὑπονοίας καρποῦται τὴν λύπην. ἐκείνη μὲν γὰρ τῇ συνηθείᾳ μαραίνεται, βλακείας, διαχύσεως, ἀσελγείας δόξαν λαμβανούσης αὐτῆς τῆς ψυχῆς, βαναύσου γινομένης, ἀπονοίας πολλῆς πληρουμένης. πρὸς ταῦτα γὰρ πάντα μᾶλλον ἡ εὐμορφία ἕλκει. τὴν δὲ οὐ τοιαύτην οὐκ ἂν εὕροιμεν πολλὰ τὰ κωλύματα ἔχουσαν. οὔτε γὰρ οἱ ἐπιπηδῶντες κύνες εἰσὶν, ἀλλὰ καθάπερ τις ἀμνὰς, ἐν ἡσυχίᾳ πολλῇ βόσκεται, οὐδενὸς ἐνοχλοῦντος λύκου, οὐδὲ ἐπιπηδῶντος, ἅτε τοῦ ποιμένος παρακαθημένου αὐτῇ. οὐκ ἔστι πλεονεξία τὸ ἑτέραν μὲν εἶναι καλὴν, ἑτέραν δὲ μὴ τοιαύτην. πλεονεξία ἐστὶ τὸ ἑτέραν μὲν περιεῖναι καὶ καλὴν μὴ οὖσαν, ἑτέραν δὲ εἶναι πονηράν. εἰπὲ γάρ μοι, τίς ἀρετὴ ὀφθαλμῶν; ἆρα τὸ ὑγρούς εἶναι καὶ εὐστρόφους καὶ στρογγύλους καὶ κυανοῦς, ἢ τὸ ὀξεῖς καὶ διορατικούς; ἐγὼ μὲν τοῦτό φημι, καὶ δῆλον ἐντεῦθεν. τίς ἀρετὴ λύχνου; τὸ λαμπρὰ φαίνειν καὶ πᾶσαν καταυγάζειν τὴν οἰκίαν, ἢ τὸ καλῶς πεπλάσθαι καὶ στρογγύλον εἶναι; ἐκεῖνο πάντως ἂν εἴποιμεν. τοῦτο μὲν γὰρ ἀδιάφορον, τὸ δὲ ζητούμενον, ἐκεῖνο. διὰ τοῦτο καὶ σαφῶς τὸν λύχνον ἐποίησας, πρὸς τὴν ἐγκεκλεισμένην θεραπαινίδα ἀεὶ λέγομεν. οὕτω λύχνου τὸ φωτίζειν ἐστίν. οὐκοῦν καὶ ὀφθαλμὸς, ἐάν τε τοιόσδε, ἐάν τε τοιόσδε ᾖ, οὐδέν ἐστιν, ἕως ἂν μετὰ πάσης αὐταρκείας τὴν χρείαν πληροῖ· ὥσπερ οὖν καὶ σαφῶς λέγεται, ἐὰν ἀμβλυωπῇ, καὶ τὴν σύνθεσιν μὴ ἔχῃ πᾶσαν ἀπηρτισμένην. καὶ γὰρ τῶν ἀνεῳγμένων τῶν ὀφθαλμῶν μὴ βλέποντας, σαφῶς ἔχειν ὀφθαλμοὺς φαμέν. πάνυ γὰρ, ὁ μὴ τὴν ἰδίαν χρείαν πληροῖ, σαφῶς λέγομεν· καὶ τοῦτο ὀφθαλμοῦ κακία. τῆς δὲ ῥινὸς, εἰπέ μοι, ποία ἀρετή; ἆρα τὸ εὐθεῖαν εἶναι, καὶ ἀπεξεσμένην ἑκατέρωθεν, καὶ τὴν ἀναλογίαν σύμμετρον ἔχειν, ἢ τὸ πρὸς τὴν ὄσφρησιν ἐπιτηδείαν εἶναι, καὶ δυναμένην ταχέως ἀντιλαμβάνεσθαι καὶ παραπέμψαι τῷ ἐγκεφάλῳ; τοῦτο δὴ παντί που δῆλόν ἐστι. φέρε δὲ, καὶ ἐπὶ ὑποδείγματι τὸ πρᾶγμα προσεξετάσωμεν. εἰπὲ γάρ μοι, τοὺς ἅρπαγας, τὰ σκεύη, ποῖα φήσομεν κατεσκευάσθαι καλῶς, τὰ δυνάμενα ἁρπάζειν μετ᾽ ἀκριβείας καὶ κατέχειν, ἢ τὰ διαπεπλασμένα καλῶς; δῆλον ὅτι ἐκεῖνα. τί δὲ ὀδόντας, ποίους εἶναι φήσομεν καλούς; τοὺς τμητικοὺς καὶ εὐκόλως διατέμνοντας τὴν τροφὴν*, ἢ τοὺς καλῶς συγκειμένους; δῆλον ὅτι ἐκείνους. καὶ ὅλως ἐπὶ παντὸς τοῦ σώματος τούτῳ προσάγοντες τῷ λόγῳ τὴν ζήτησιν, εὑρήσομεν πάντα τὰ ὑγιῆ καὶ καλὰ, ἕως ἂν ἐνεργῇ μετ᾽ ἀκριβείας τὰ οἰκεῖα τῶν μελῶν ἕκαστον. οὕτω καὶ σκεῦος ἕκαστον λέγομεν καλὸν, καὶ ζῶον, καὶ φυτὸν, οὐκ ἀπὸ τῆς διαπλάσεως, οὐδ᾽ ἀπὸ τοῦ χρώματος, ἀλλ᾽ ἀπὸ τῆς διακονίας. οὕτω καὶ οἰκέτην καλοῦμεν καλὸν, τὸν ἐπιτήδειον ἡμῖν πρὸς διακονίαν, οὐ τὸν ὡραῖον καὶ βλᾶκα. ὁρᾷς πῶς ἐστιν εἶναι καλήν; ὅταν τοίνυν τῶν μεγίστων καὶ θαυμαστῶν ὁμοίως ἀπολαύωμεν, οὐδὲν πλεονεκτούμεθα. ἀλλὰ τί λέγω· τὸν κόσμον τοῦτον ὁμοίως ὁρῶμεν, τὸν ἥλιον, τὴν σελήνην, τοὺς ἀστέρας, τὸν ἀέρα ὁμοίως ἕλκομεν, τοῦ ὕδατος, τῆς τροφῆς ὁμοίως μετέχομεν, ὅτε εὔμορφοι ὦμεν, ἅτε μή. εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τῶν εὐμόρφων αἱ μὴ τοιαῦται μᾶλλον ὑγιεινότεραι. ἐκεῖναι μὲν γὰρ ὡς δὴ τὴν ὥραν διαφυλάττουσαι, καμάτοις ἑαυτὰς οὐ διδόασιν, ἀλλ᾽ ἀργίᾳ καὶ σκιατροφίᾳ, ὑφ᾽ ὧν μάλιστα αἱ τῶν μελῶν ἐνέργειαι ἀμβλύτεραι γίνονται· αὗται δὲ ἁπλῶς καὶ ἀδεῶς, ἅτε οὐδεμίαν περὶ ταῦτα ἔχουσαι τὴν σπουδὴν, ἐκεῖ τὸ πᾶν ἀναλίσκουσι. δοξάσωμεν τοίνυν τὸν Θεόν· ἄρωμεν αὐτὸν ἐν τῷ σώματι ἡμῶν· μὴ καλλωπιζώμεθα· περιττὴ αὕτη ἡ σπουδὴ καὶ ἀνόνητος· μὴ παιδεύωμεν τοὺς ἄνδρας μόνας ὄψεις φιλεῖν. ἂν γὰρ ἧς οὕτω κοσμουμένη, ταχέως ὑπὸ τῆς πεπορνευμένης μετέθησε(?) ἐν τῇ ὄψει τῇ σῇ, ἁλίσκεται. ἂν μέντοι διδάξῃς αὐτὸν τρόπους φιλεῖν καὶ κοσμιότητα, οὐ ταχέως

* καλῶς ...αίνον-

χέως πορνεύσει. οὐδὲ γὰρ εὑρίσκει ταῦτα παρὰ τῇ πόρνῃ, ἀλλὰ τὰ τούτοις ἐναντία. μὴ τοίνυν διδάξῃς αὐτὸν ὑπὸ γέλωτος ἁλίσκεσθαι, μηδὲ ὑπὸ σχήματος ἐκκεχυμένου, ἵνα μὴ κατὰ σαυτῆς ἀρτύσῃς τὰ φάρμακα. παίδευε αὐτὸν κοσμιότητι χαίρειν· δυνήσῃ δὲ τοῦτο, ὅταν καὶ τὸ σχῆμα τοιοῦτον ᾖ. ἐπεὶ ἐὰν ἑταιρωμένη καὶ ἄσωτος ἧς οὖσα, πῶς δυνήσῃ προενεγκεῖν ῥῆμα σεμνόν; τίς δέ σου οὐ χλευάσεται καὶ γελάσει; πῶς δὲ ἔστι καὶ ἐν τῷ πνεύματι ἀρέσαι τῷ Θεῷ; ἀρετὴν ἀσκοῦσα, τὴν ψυχὴν καλλωπίζουσα. καὶ γὰρ ἐπ' αὐτὴν τοῦτο οὐ κεκώλυται. οὕτω δοξάζομεν τὸν Θεόν, ὅταν πάντοθεν ὦμεν ἀγαθοί, καὶ δοξαζόμεθα καὶ ἡμεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐχ ὁμοίως, ἀλλὰ πολλῷ μειζόνως. Λογίζομαι γάρ, φησιν, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν. (Ρωμ. η. ιη.)

Λογ. ε. 18 ΤΑΥΤΗΝ ΤΗΝ ΠΑΡΑΓΓΕΛΙΑΝ ΠΑρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, 19 Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν.

ΤΟ τῆς διδασκαλίας, καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα, μέγα ἐστὶ καὶ θαυμαστόν, καὶ ὄντως τῆς τοῦ Θεοῦ δεόμενον ψήφου, ὥστε τοὺς ἀξίους εἰς μέσον παραγαγεῖν. οὕτω καὶ τὸ παλαιὸν ἐγίνετο, οὕτω καὶ νῦν τότε, ὅταν χωρὶς πάθους ἀνθρωπίνου τὰς αἱρέσεις ποιώμεθα, ὅταν πρὸς μηδὲν ὁρῶντες βιωτικόν, μὴ πρὸς φιλίαν, μὴ πρὸς ἀπέχθειαν. εἰ γὰρ καὶ μὴ τοσούτου πνεύματος μετέχομεν, ἀλλ' ἀρκεῖ πρόθεσις ἀγαθὴ τοῦ Θεοῦ τὴν χειροτονίαν ἐπισπάσασθαι. ἐπεὶ οὐδὲ οἱ ἀπόστολοι πνεύματος μετεῖχον, ὅτε τὸν Ματθίαν ἐξελέξαντο, ἀλλ' εὐχῇ τὸ πρᾶγμα ἐπιτρέψαντες, ἐγκατέλεξαν αὐτὸν τῷ τῶν ἀποστόλων ἀριθμῷ. οὐ γὰρ πρὸς φιλίας ἀνθρωπίνας ἑώρων. οὕτως ἔδει καὶ νῦν ἐφ' ἡμῶν γίνεσθαι. ἀλλ' ἡμεῖς πρὸς ἔσχατον ῥᾳθυμίας ἐληλακότες, καὶ τὰ φανερὰ πρὸς ἀκρίβειαν παρίεμεθα. ὅταν δὲ τὰ δῆλα παρορῶμεν, πῶς τὰ ἄδηλα ἡμῖν ὁ Θεὸς ἐκκαλύψει; Εἰ ἐν τῷ μικρῷ, φησιν, οὐκ ἐγένεσθε πιστοί, τὸ μέγα καὶ ἀληθινὸν τίς ὑμῖν ἐγχειρίσει; τότε δέ, ἐπεὶ οὐδὲν ἀνθρώπινον ἐγίνετο, καὶ ἀπὸ προφητείας ἐγίνοντο οἱ ἱερεῖς. τί ἐστιν ἀπὸ προφητείας; ἀπὸ πνεύματος ἁγίου. προφητεία γάρ ἐστιν, οὐ τὸ τὰ μέλλοντα λέγειν, ἀλλὰ καὶ τὸ τὰ παρόντα, ἐπεὶ καὶ ὁ Σαοὺλ κατὰ προφητείαν ἐδείχθη ἐν τοῖς σκεύεσι κρυπτόμενος. ὁ γὰρ Θεὸς τοῖς δικαίοις ἀποκαλύπτει. προφητεία ἦν καὶ τὸ λέγειν, Ἀφορίσατέ μοι τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν. οὕτω καὶ ὁ Τιμόθεος ᾑρέθη. προφητείας δὲ ἐνταῦθα φησι τὰς πολλάς, ἴσως ἐκείνην μεθ' ἧς αὐτὸν ἔλαβεν ὅτε περιέτεμε, καὶ ὅτε ἐχειροτόνει, καθὼς καὶ αὐτὸς γράφων φησί· Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος. Διανίστας τοίνυν αὐτόν, καὶ νήφειν παρασκευάζων καὶ ἐγρηγορέναι, ἀναμιμνήσκει τοῦ ἑλομένου καὶ χειροτονήσαντος, ὡς ἂν εἰ ἔλεγεν· ὁ Θεός σε ἐξελέξατο, αὐτός σοι ἐπίστευσεν, οὐκ ἀνθρωπίνῃ γέγονας ψήφῳ· μὴ ὑβρίσῃς, μηδὲ καταισχύνῃς τοῦ Θεοῦ τὴν ψῆφον. Εἶτα ἐπὶ παραγγελίας ἔφησε, καὶ φορτικώτερον ἦν, τί φησι; Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε. ὡς τέκνῳ, καὶ γνησίῳ παραγγέλλει. οὐ γὰρ αὐθεντικῶς, οὐδὲ δεσποτικῶς, οὐδὲ μετ' ἐξουσίας, ἀλλὰ πατρικῶς· τέκνον, φησί, Τιμόθεε. τὸ δὲ παραθέσθαι, τῆς φυλακῆς τὸ ἀκριβὲς δηλοῖ, καὶ τὸ οὐχ ἡμέτερον. οὐ γὰρ ἡμεῖς αὐτὸ ἐκτησάμεθα, ἀλλ' ὁ Θεὸς ἡμῖν ἐχαρίσατο· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πίστιν καὶ ἀγαθὴν συνείδησιν. ἅπερ οὖν ἔδωκε, ταῦτα φυλάττωμεν. εἰ μὴ αὐτὸς ἦλθεν, οὔτε ἡ πίστις αὐτὴ ηὑρίσκετο, οὔτε ὁ βίος ὁ καθαρός, ὃν ἐκ παιδείας λαμβάνομεν. ὡς ἂν εἰ ἔλεγεν·

Margin notes: α. Βασ. ιθ. — Πραξ. ιγ. β. — α. Τιμ. δ. ιδ.

Οὐκ ἐγώ εἰμι ὁ παραγγέλλων, ἀλλ' ὁ ἐλόμενος. τὸ μὲν γὰρ κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, τοῦτό ἐστιν. ἐκείνων ἄκουσον, ἐκείναις πείθου. τί δὲ παραγγέλλεις, εἰπέ; ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν. [ἐκεῖναί σε εἵλοντο εἰς ὃ εἵλοντό σε, στρατεύου τὴν καλὴν στρατείαν.] καλὴν εἶπεν. ἔστι γὰρ καὶ κακὴ στρατεία, περὶ ἧς φησιν· Ὥσπερ γὰρ (Ῥωμ. ϛ. ιθ.) παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα τῇ ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ. ἐκεῖνοι ὑπὸ τυράννῳ στρατεύονται, σὺ δὲ ὑπὸ βασιλεῖ. διὰ τί δὲ καλεῖ στρατείαν τὸ πρᾶγμα; δηλῶν ὅτι πόλεμος ἐγήγερται σφοδρὸς, πᾶσι μὲν, μάλιστα δὲ τοῖς διδασκάλοις, ὅτι ὅπλων ἡμῖν ἰσχυρῶν δεῖ, ὅτι νήψεως, ὅτι ἐγρηγόρσεως, ὅτι διηνεκοῦς ἀγρυπνίας, ὅτι πρὸς αἷμα καὶ μάχας παρεσκευάσθαι ὀφείλομεν, ὅτι παρατάττεσθαι, καὶ μηδὲν ἔχειν χαῦνον. ἵνα στρατεύῃ ἐν αὐταῖς, φησί. καθάπερ γὰρ ἐπὶ τῶν στρατοπέδων οὐ πάντες εἰς ἓν εἶδος στρατεύονται, ἀλλ' ἐν διαφόροις τάγμασιν, οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ὁ μὲν εἰς διδασκάλου τάξιν, ὁ δὲ εἰς μαθητοῦ, ὁ δὲ εἰς ἰδιώτου, [σὺ δὲ ἐν τούτῳ.] Εἶτα ἵνα μή τις νομίσῃ ἀρκεῖν τοῦτο, τί φησιν; ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν. τὸν γὰρ διδάσκαλον πρότερον ἑαυτοῦ χρὴ εἶναι διδάσκαλον. ὥσπερ γὰρ ὁ στρατηγὸς, ἐὰν μὴ πρότερον ᾖ στρατιώτης ἄριστος, οὐδὲ στρατηγὸς ἔσται ποτέ· οὕτω καὶ ὁ διδάσκων. τοῦτο καὶ ἀλλαχοῦ φησι· Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. (α. Κορ. θ. κζ.) ἔχων, φησὶ, πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἵν' οὕτω τῶν ἄλλων προΐστασαι. Ταῦτα ἀκούοντες, μὴ ἀπαξιώσωμεν τὰς τῶν μειζόνων παραινέσεις, κἂν διδάσκαλοι ὦμεν. Εἰ γὰρ Τιμόθεος, οὗ πάντες οὐκ ἐσμὲν ἀντάξιοι, δέχεται παραγγελίας καὶ διδάσκεται, καὶ ταῦτα ἐν τάξει διδασκάλου ὢν, πολλῷ μᾶλλον ἡμεῖς. ἥν τινες, φησιν, ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν. Εἰκότως. ὅταν γὰρ ὁ βίος ἀπεγνωσμένος, καὶ δόγμα τίκτεται τοιοῦτον. καὶ ἔστιν ἰδεῖν πολλοὺς ἐκ τούτου καταπεσόντας εἰς βυθὸν κακῶν, καὶ εἰς ἑλληνισμὸν ἐκτραπέντας. ἵνα γὰρ μὴ τῷ φόβῳ τῶν μελλόντων βασανίζωνται, σπουδάζουσι πεῖσαι τὴν ψυχὴν, ὅτι ψευδῆ πάντα τὰ παρ' ἡμῖν. καὶ πίστεώς τινες ἐκτρέπονται, οἱ λογισμοῖς τὸ πᾶν ζητοῦντες. ναυάγιον γὰρ ἐργάζεται ὁ λογισμὸς, καὶ ὥσπερ πλοῖον ἀσφαλές ἐστιν ἡ πίστις. τοὺς ἐκτραπέντας τοίνυν ἐκεῖθεν ἀνάγκη ναυαγεῖν. καὶ δείκνυσι τοῦτο ἀπὸ τοῦ ὑποδείγματος.

20 Ὧν ἐστιν Ὑμέναιος, φησὶ, καὶ Ἀλέξανδρος. Καὶ ἀπὸ τούτων ἡμᾶς σωφρονίζει. ὁρᾶτε πῶς ἐξ ἐκείνων τῶν χρόνων ἦσαν οἱ παραδιδάσκοντες, οἱ πολυπραγμονοῦντες, οἱ τῆς πίστεως ἀπεχόμενοι, οἱ ζητοῦντες λογισμοῖς οἰκείοις; ὁ ναυαγῶν, γυμνὸς καὶ πάντων ἐστὶν ἔρημος· οὕτω καὶ ὁ τῆς πίστεως ἐκπεσὼν, οὐδὲν ἔχει λοιπὸν, οὐχ ὅπου στῇ, οὐχ ὅπου καταφύγῃ, οὐ βίον ἔχει, δι' οὗ κερδαίνῃ τι ἐκεῖθεν. τῆς γὰρ κεφαλῆς διεφθαρμένης, τί τοῦ λοιποῦ σώματος ὄφελος; εἰ γὰρ ἡ πίστις βίου χωρὶς οὐδέν ἐστι, πολλῷ μᾶλλον τοὐναντίον. εἰ τῶν αὐτοῦ καταφρονεῖ ὁ Θεὸς δι' ἡμᾶς, πολλῷ μᾶλλον ἡμᾶς τῶν ἡμετέρων δι' αὐτὸν χρὴ καταφρονεῖν. οὕτω γάρ ἐστιν, ὅταν τις ἐκπέσῃ τῆς πίστεως· οὐδαμοῦ ἵσταται, ἀλλ' ἄλλῃ ἄλλως νήχεται, ἕως ἂν καταποντισθῇ πάλιν. Οὓς παρέδωκα, φησὶ, τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. Ὁρᾷς ὅτι βλασφημία ἐστὶ τὸ λογισμοῖς ζητεῖν τὰ θεῖα; Εἰκότως. τί γὰρ ἂν ἔχοι κοινὸν λογισμὸς ἀνθρώπινος πρὸς ἐκεῖνα; πῶς δὲ ὁ Σατανᾶς αὐτοὺς παιδεύει μὴ βλασφημεῖν; εἰ γὰρ τοὺς ἄλλους παιδεύει μὴ βλασφημεῖν, πολλῷ μᾶλλον ἑαυτὸν ἐχρῆν. εἰ δὲ ἑαυτὸν μέχρι τοῦ νῦν οὐ δύναται παιδεῦσαι, οὐδὲ τοὺς ἄλλους. οὐκ εἶπεν, ἵνα παιδεύσῃ αὐτοὺς μὴ βλασφημεῖν, ἀλλ', ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. οὐκ ἐκεῖνος τοῦτο ἐργάζεται, ἀλλὰ τοῦτο ἐκβαίνει. ὥσπερ οὖν καὶ ἀλλαχοῦ φησιν ἐπὶ τοῦ πεπορνευκότος· Παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός· οὐχ ἵνα σώσῃ τὸ σῶμα, ἀλλ' ἵνα σωθῇ τὸ πνεῦμα. (α. Κορ. ε. ε.) τοῦτο δὲ ἀπρόσωπόν ἐστι. πῶς οὖν τοῦτο γίνεται; ὥσπερ οὖν οἱ δήμιοι μυρίων γέμοντες κακῶν τοὺς ἄλλους σωφρονίζουσιν, οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πονηροῦ δαίμονος. καὶ διατί μὴ σὺ αὐτοὺς ἐκόλασας, ὥσπερ ἐκεῖνον τὸν Βαριησοῦν, ὥσπερ

Κηφᾶς Ἀνανίαν, ἀλλὰ τῷ Σατανᾷ παρέδωκας; οὐχ ἵνα κολασθῶσιν, ἀλλ' ἵνα παιδευθῶσι.
α. Κορ. δ. κα. καίτοι καὶ αὐτὸς εἶχεν ἐξουσίαν, ὡς ὅταν λέγῃ· Τί θέλετε, ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; καὶ πάλιν·
β Κορ. ιγ. ζ. ι. Οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε. καὶ πάλιν, Οὐκ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν. τί οὖν τὸν Σατανᾶν καλεῖ πρὸς τὴν τιμωρίαν; ἵνα μετὰ τῆς σφοδρότητος καὶ τῆς κολάσεως καὶ ἡ ὕβρις ᾖ μείζων. μᾶλλον δὲ τοὺς μὲν ἀπίστους αὐτοὶ ἐπαίδευον, τοὺς δὲ ἐκπεπτωκότας τῷ Σατανᾷ παρεδίδουν. τί δήποτε δὲ Πέτρος τὸν Ἀνανίαν; καὶ γὰρ ὁ Ἀνανίας ἄπιστος ἦν ἔτι πειράζων. ἵνα μάθωσι τοίνυν οἱ ἄπιστοι, ὅτι οὐ δύνανται λαθεῖν, διὰ τοῦτο δι' ἑαυτῶν αὐτοὺς ἐτιμωροῦντο· τοὺς δὲ τοῦτο μαθόντας λοιπὸν, εἶτα ἐκπεπτωκότας, τῷ Σατανᾷ παρεδίδουν, δεικνύντες ὅτι οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ αὐτῶν φυλακῇ συνείχοντο, καὶ παρεδίδοντο ὅσοι εἰς ἀπόνοιαν ἤρχθησαν. καθάπερ οὖν ἐπὶ τῶν βασιλέων, τοὺς μὲν πολεμίους καὶ οἰκείαις σφάττουσι χερσὶ, τοὺς δὲ ὑφ' ἑαυτοὺς τοῖς δημίοις παραδιδόασιν, οὕτω καὶ ἐνταῦθα. δείκνυται δὲ ἀπὸ τούτου, ὅτι διὰ τὴν τῶν ἀποστόλων φυλακὴν τοῦτο ἐγένετο· ἄλλως δὲ οὐδὲ μικρὸν ἦν τὸ δύνασθαι ἐπιτάττειν τῷ διαβόλῳ. τοῦτο γὰρ δικαιοῦντος ἦν, ὅτι δουλεύει καὶ εἴκει καὶ ἄκων τοῖς ἀποστόλοις ὁ διάβολος. ὥστε οὐκ ἔλαττον εἰς χάριν
α Κορ. ε. δ. τοῦτο ἦν. πῶς δὲ παρέδωκεν, ἄκουσον. Συναχθέντων ὑμῶν, φησὶ, καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ. ἐξεβάλλετο οὖν εὐθέως τοῦ κοινοῦ συνεδρίου, ἀπεσχίζετο τῆς ἀγέλης, ἐγίνετο ἔρημος καὶ γυμνὸς, παρεδίδοτο τῷ λύκῳ. ὥσπερ γὰρ ἡ νεφέλη τὸ στρατόπεδον τῶν Ἑβραίων, οὕτω τὴν ἐκκλησίαν τὸ πνεῦμα ἐγνώριζεν. εἴ τις τοίνυν ἐκτὸς ἐγίνετο, κατεκαίετο· ἐγίνετο δὲ ἐκτὸς τῇ κρίσει
Ιωαν. ιγ. κζ. τῶν ἀποστόλων. οὕτω καὶ ὁ Κύριος παρέδωκε τὸν Ἰούδαν τῷ Σατανᾷ. Εὐθέως γὰρ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι οὓς μὲν διορθώσασθαι ἐβούλοντο, οὐκ ἐκόλαζον αὐτοί· τοὺς δὲ ἀδιορθώτους αὐτοὶ ἐτιμωροῦντο· ἢ εἰ μὴ τοῦτο, ὅτι φοβερώτεροι μᾶλλον ἦσαν ἑτέροις ἐκδιδόντες αὐτούς. οὕτω καὶ ὁ Ἰὼβ παρεδόθη τῷ Σατανᾷ. ἀλλ' ἐκεῖνος οὐχ ὑπὲρ ἁμαρτημάτων, ἀλλ' ὑπὲρ πλείονος εὐδοκιμήσεως.

ΗΘΙΚΟΝ

Πολλὰ τοιαῦτα γίνεται καὶ νῦν. ἐπειδὴ γὰρ οἱ ἱερεῖς οὐ πάντας ἴσασι τοὺς ἁμαρτάνοντας καὶ ἀναξίως τῶν μυστηρίων μετέχοντας, ὁ Θεὸς πολλάκις τοῦτο ποιεῖ, καὶ παραδίδωσιν αὐτοὺς τῷ Σατανᾷ. ὅταν γὰρ νόσοι, ὅταν ἐπιβουλαὶ, ὅταν πένθη, καὶ συμφοραὶ συμβαίνωσιν, ὅταν
α. Κορ. ια. λ. ἄλλα τινὰ τοιαῦτα, διὰ τοῦτο γίνεται. καὶ τοῦτο ὁ Παῦλος δηλοῖ οὕτω λέγων· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. καὶ πῶς, φησὶν, ὅταν ἅπαξ τοῦ ἐνιαυτοῦ προσερχώμεθα; τοῦτο γὰρ τὸ δεινὸν, ὅτι οὐ καθαρότητι διανοίας, ἀλλὰ διαστήματι χρόνου τὴν ἀξίαν διορίζεις τῆς προσόδου· καὶ τοῦτο εὐλάβειαν εἶναι νομίζεις, τὸ μὴ πολλάκις προσελθεῖν, οὐκ εἰδὼς ὅτι τὸ ἀναξίως προσελθεῖν, κἂν ἅπαξ γένηται, ἐκηλίδωσε· τὸ δὲ ἀξίως, κἂν πολλάκις, ἔσωσεν. οὐκ ἔστι τόλμα τὸ πολλάκις προσιέναι, ἀλλὰ τὸ ἀναξίως, κἂν ἅπαξ τις τοῦ παντὸς χρόνου προσέλθῃ. ἡμεῖς δὲ οὕτως ἀνοήτως διακείμεθα καὶ ἀθλίως, ὅτι μυρία διαπαντὸς ἐργαζόμενοι τοῦ ἐνιαυτοῦ κακὰ, τοῦ μὲν ἀποδύσασθαι ἐκεῖνα οὐδεμίαν ποιούμεθα φροντίδα, νομίζομεν δὲ * ἀρκεῖν τὸ μὴ συνεχῶς καταπολμᾶν καὶ ἐπιπηδᾶν ὑβριστικῶς τῷ σώματι τοῦ Χριστοῦ, οὐκ ἐννοοῦντες ὅτι καὶ οἱ τὸν Χριστὸν σταυρώσαντες ἅπαξ ἐσταύρωσαν. ἆρ' οὖν ἐπειδὴ ἅπαξ, ἔλαττον τὸ ἁμάρτημα; καὶ ὁ Ἰούδας δὲ ἅπαξ παρέδωκε. τί οὖν; τοῦτο αὐτὸν ἐξείλετο; διὰ τί γὰρ χρόνῳ τὸ πρᾶγμα μετρούμεθα; χρόνος προσόδου ἔστω ἡμῖν, τὸ καθαρὸν συνειδός. οὐδὲν πλέον ἔχει τὸ ἐν τῷ πάσχα μυστήριον τοῦ νῦν τελουμένου. ἕν ἐστι καὶ τὸ αὐτό· ἡ αὐτὴ τοῦ πνεύματος χάρις· ἀεὶ πάσχα ἐστί. ἴσασιν οἱ μύσται τὸ εἰρημένον. καὶ ἐν παρασκευῇ, καὶ ἐν σαββάτῳ, καὶ ἐν κυριακῇ, καὶ ἐν ἡμέρᾳ μαρτύ-
α. Κορ. ια. κς. ρων ἡ αὐτὴ θυσία ἐπιτελεῖται. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον, φησὶ, τοῦτον, ἢ τὸ ποτή-

ριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. οὐχ ὁρῶ καιρὸν περιέγραψε τὴν θυσίαν. πῶς οὖν τότε, φησί, πάσχα λέγεται; ὅτι τότε ἔπαθεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν. μηδεὶς τοίνυν ἑτέρως ἐκείνῳ προσίτω, καὶ τούτῳ ἄλλως. μία δύναμίς ἐστι, μία ἀξία, μία χάρις, ἓν σῶμα καὶ τὸ αὐτό. οὐκ ἐκεῖνο τούτου ἁγιώτερον, οὐδὲ τοῦτο ἐκείνου ἔλαττον. καὶ τοῦτο καὶ ὑμεῖς ἴστε, οὐδὲν καινότερον ὁρῶντες, πλὴν τῶν κοσμικῶν τούτων παραπετασμάτων καὶ τοῦ λαμπροῦ πλήθους. ἔχουσι δέ τι πλέον αἱ ἡμέραι ἐκεῖναι τοῦτο, ὅτι ἀπ' αὐτῶν ἀρχὴν ἔλαβεν ἡ σωτήριος ἡμῶν ἡμέρα, ὅτι ἐν αὐτῇ ἐτύθη ὁ Χριστός, λοιπὸν δὲ κατὰ τὰ μυστήρια οὐδεμίαν προτέρησιν ἔχουσι. καὶ ἑορτῇ μὲν προσβάλλων αἰσθητῇ, νίπτεις τὰς χεῖρας, πλύνεις τὸ στόμα· ἑορτῇ δὲ μέλλων προσιέναι πνευματικῇ, οὐ νίπτεις τὴν ψυχήν, ἀλλὰ γέμων ἀκαθαρσίας προσέρχῃ; καὶ τί, φησιν; οὐκ ἀρκοῦσιν αἱ τῶν τεσσαράκοντα ἡμερῶν νηστεῖαι τὸν πολὺν φορυτὸν καθᾶραι τῶν ἁμαρτημάτων; καὶ τί τὸ ὄφελος, εἰπέ μοι; ἐάν τις μύρον ἀποτίθεσθαι θέλων καθάρῃ τὸν τόπον, εἶτα πάλιν μικρὸν μετὰ τὸ ἐμβαλεῖν καὶ κόπρον ἐπιβάλῃ, οὐκ ἀπόλλυται ἡ εὐωδία; τοῦτο γίνεται καὶ ἡμῖν. ἐγινόμεθα ἄξιοι προσεργασάμενοι κατὰ δύναμιν τὴν ἡμετέραν· εἶτα πάλιν μολύνομεν ἑαυτούς. τί οὖν τὸ κέρδος; τοῦτο καὶ περὶ τῶν δυναμένων ἐν ταῖς τεσσαράκοντα ἡμέραις ἀποπλύνεσθαι φαμέν. μὴ δὴ ἀμελῶμεν τῆς ἡμετέρας σωτηρίας, παρακαλῶ, ἵνα μὴ γένηται κενὸς ὁ κόπος ἡμῶν. ἄνθρωπος γάρ, φησιν, ἀποστρέφων ἀπὸ ἁμαρτίας αὐτοῦ, καὶ πάλιν πορευόμενος, καὶ τὰ αὐτὰ ποιῶν, ὥσπερ κύων ἐστὶν ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφων. ἂν οὕτω ποιῶμεν, καὶ οὕτω προσέχωμεν, δυνησόμεθα τῶν βραβείων ἀξιωθῆναι ἐκείνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

συμβαίνει

Παροιμ. κϛ. ια

Λογ. ϛ. 1 ΠΑΡΑΚΑΛΩ ΟΥΝ ΠΡΩΤΟΝ ΠΑΝΤΩΝ κεφ. β.
ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων,
2 Ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα
* ἤρεμον, καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ, καὶ σεμνότητι.
3 Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ,
4 Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

* ...ὑτῇ γαλή-...αι τῶν

Ὥσπερ κοινός τις ἐστὶ πατὴρ τῆς οἰκουμένης ἁπάσης ὁ ἱερεύς. πάντων τοίνυν ἄξιον αὐτὸν κήδεσθαι, καθάπερ καὶ ὁ Θεός, ᾧ ἱερᾶται. διὰ τοῦτό φησι, παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς. δύο γὰρ ἐντεῦθεν γίνεται τὰ ἀγαθά, τό τε ἔχθος, ὃ πρὸς τοὺς ἔξω ἔχομεν, καταλύεται (οὐδεὶς γὰρ πρὸς τοῦτον ἀπεχθῶς ἔχειν δυνήσεται, ὑπὲρ οὗ δεήσεις ποιεῖται) αὐτοί τε ἐκεῖνοι βελτίους γίνονται ἐκ τοῦ εὐχὰς ὑπὲρ αὐτῶν γίνεσθαι, ἐκ τοῦ μὴ ἐκθηριοῦσθαι πρὸς ἡμᾶς. οὐδὲν γὰρ οὕτω πρὸς διδασκαλίαν ἐπαγωγόν, ὡς τὸ φιλεῖν καὶ φιλεῖσθαι. ἐννόησον δὲ ὅσον ἦν ἀκούειν τοὺς ἐπιβουλεύοντας, τοὺς μαστίζοντας, τοὺς ἐλαύνοντας, τοὺς ἀποκτιννύντας, ὅτι οἱ τὰ τοιαῦτα πάσχοντες ὑπὲρ τῶν τὰ τοιαῦτα δρώντων προσευχὰς πρὸς τὸν Θεὸν ποιοῦνται ἐκτενεῖς. ὁρᾷς πῶς ἀνώτερον εἶναι βούλεται τὸν Χριστιανὸν πάντων; καθάπερ γὰρ ἐπὶ τῶν παίδων τῶν νηπίων, κἂν βασταζόμενον τὸ παιδίον τύπτῃ τοῦ πατρὸς τὴν ὄψιν, οὐδὲν ἀποτέμνεται τῆς φιλοστοργίας, οὕτω κἂν τυπτώμεθα παρὰ τῶν ἔξωθεν, οὐδὲν ὀφείλομεν ἐλαττοῦν τῆς εὐνοίας τῆς πρὸς αὐτούς. τί δέ ἐστι τό, πρῶτον πάντων; τουτέστιν, ἐν τῇ λατρείᾳ τῇ καθημερινῇ· καὶ τοῦτο ἴσασιν οἱ μύσται πῶς καθ' ἑκάστην ἡμέραν γίνεται, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν πρωΐᾳ· πῶς ὑπὲρ παντὸς τοῦ κόσμου, καὶ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων ποιούμεθα τὴν δέησιν. ἀλλ' ἴσως

ἐρεῖ

ἐρεῖ τις, ὅτι οὐχ ὑπὲρ πάντων εἶπεν, ἀλλ' ὑπὲρ τῶν πιστῶν. τί οὖν ὅταν λέγῃ ὑπὲρ βασιλέων; οὐ γὰρ δὴ τότε θεοσεβεῖς ἦσαν βασιλεῖς, ἀλλὰ μέχρι πολλοῦ προῆλθον, ἀσεβεῖς ἀσεβεῖς διαδεχόμενοι. εἶτα ἵνα μὴ κολακεία τὸ πρᾶγμα ᾖ, προλαβὼν εἶπεν, ὑπὲρ πάντων, καὶ τότε, ὑπὲρ βασιλέων. εἰ γὰρ εἶπεν ὑπὲρ βασιλέων μόνων, ἴσως ἄν τις τοῦτο ὑπέλαβεν. εἶτα ἐπειδὴ εἰκὸς ἦν τὴν τοῦ χριστιανοῦ ψυχὴν ναρκᾶν ταῦτα ἀκούουσαν, καὶ μὴ προσίεσθαι τὴν παραίνεσιν, εἴγε ὑπὲρ τοῦ ἕλληνος ἐν τῷ τῶν μυστηρίων δεῖ καιρῷ δεήσεις προσφέρειν, ὅρα τί φησι, καὶ πῶς τίθησι τὸ κέρδος, ἵνα κἂν οὕτω δέξῃ τὴν παραίνεσιν. ἵνα ἤρεμον, φησι, καὶ ἡσύχιον βίον διάγωμεν. τουτέστιν, ἡ ἐκείνων σωτηρία, ἡμῶν ἀμεριμνία ὑπάρχει. ὥσπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, προτρέπων αὐτοὺς πείθεσθαι τοῖς ἄρχουσι, φησιν· Εἰ μὴ διὰ τὴν ἀνάγκην, ἀλλὰ διὰ τὴν συνείδησιν. ὁ γὰρ Θεὸς εἰς
Ρωμ. ιγ. ε. τὸ κοινῇ χρήσιμον τὰς ἀρχὰς διετάξατο. πῶς οὖν οὐκ ἄτοπον αὐτοὺς μὲν ὑπὲρ τούτου στρατεύεσθαι, καὶ τὰ ὅπλα τίθεσθαι, ἵν' ἡμεῖς ἐν ἀδείᾳ ὦμεν· ἡμᾶς δὲ μηδὲ ὑπὲρ τῶν κινδυνευόντων καὶ στρατευομένων ποιεῖσθαι δεήσεις; ὥστε οὐ κολακεία ἐστὶ τὸ πρᾶγμα, ἀλλὰ κατὰ τὸν τοῦ δικαίου νόμον λέγει. εἰ γὰρ μὴ ἐσώζοντο, μηδὲ εὐδοκίμουν ἐν τοῖς πολέμοις, ἀνάγκη καὶ τὰ ἡμέτερα ἐν ταραχαῖς εἶναι καὶ θορύβοις. ἢ γὰρ καὶ αὐτοὺς ἡμᾶς στρατεύεσθαι ἔδει, κατακοπέντων ἐκείνων, ἢ φεύγειν πανταχοῦ καὶ πλανᾶσθαι. καθάπερ γὰρ προβολοί τινές εἰσι, φησι, προβεβλημένοι, καὶ τοὺς ἔνδον ἐν εἰρήνῃ φυλάττοντες. δεήσεις, φησί, προσευχάς, ἐντεύξεις, εὐχαριστίας. δεῖ γὰρ εὐχαριστεῖν τῷ Θεῷ καὶ ὑπὲρ τῶν εἰς ἄλλους γινομένων ἀγαθῶν, οἷον ὅτι τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, ὅτι βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ὁρᾷς ὅτι οὐ μόνον διὰ τῆς εὐχῆς, ἀλλὰ καὶ διὰ τῆς εὐχαριστίας ἑνοῖ καὶ συγκολλᾷ ἡμᾶς; ὁ γὰρ ἀναγκαζόμενος εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ τῶν τοῦ πέλας ἀγαθῶν, ἀναγκάζεται καὶ φιλεῖν αὐτὸν καὶ οἰκείως πρὸς αὐτὸν διακεῖσθαι. εἰ δὲ ὑπὲρ τῶν τοῦ πέλας εὐχαριστεῖν δεῖ, πολλῷ μᾶλλον ὑπὲρ τῶν εἰς ἡμᾶς [καὶ τῶν λάθρα] γινομένων, καὶ ἑκόντων, καὶ ἀκόντων, καὶ ὑπὲρ τῶν δοκούντων εἶναι λυπηρῶν. καὶ γὰρ πρὸς τὸ ἀγαθὸν ὁ Θεὸς ἡμῖν ἅπαντα οἰκονομεῖ.

ΗΘΙΚΟΝ Πᾶσα τοίνυν ἡμῖν εὐχὴ εὐχαριστίαν ἐχέτω. εἰ δὲ καὶ ὑπὲρ εὔχεσθαι τῶν πέλας οὐχὶ πιστῶν μόνον, ἀλλὰ καὶ ἀπίστων προστάττομεθα, ἐννόησον ὅσον ἐστὶ κακὸν κατεύχεσθαι τῶν ἀδελφῶν. τί λέγεις; ἐκεῖνός σε ὑπὲρ ἐχθρῶν ἐκέλευσεν εὔχεσθαι, σὺ δὲ τοῦ ἀδελφοῦ κατεύχῃ; οὐκ ἐκείνου κατεύχῃ, ἀλλὰ σαυτοῦ. τὸν γὰρ Θεὸν παροξυνεῖς, ἐκεῖνα τὰ ἀνόσια φθεγγόμενος ῥήματα, οὕτω δεῖξον αὐτῷ, οὕτω ποίησον αὐτῷ, βάλε αὐτόν, ἀνταπόδος αὐτῷ. πόρρω ταῦτα τῶν τοῦ Χριστοῦ μαθητῶν, τῶν ἐπιεικῶν καὶ προσηνῶν. τοῦ στόματος τοῦ ἠξιωμένου τοιαύτης μυσταγωγίας μηδὲν πικρὸν ἐκβαλλέτω, μηδὲν ἀηδὲς ἡ τῷ θείῳ σώματι προσομιλοῦσα γλῶσσα. καθαρὰν αὐτὴν φυλάττωμεν, μὴ ἀρὰς προσφέρωμεν δι' αὐ-
α. Κορ. ϛ. ι. τῆς. εἰ γὰρ λοίδοροι οὐ κληρονομήσουσι βασιλείαν, πολλῷ μᾶλλον οἱ κατευχόμενοι. ἀνάγκη γὰρ καὶ ὑβρίζειν τὸν κατευχόμενον. ὕβρις δὲ καὶ εὐχὴ ἀλλήλων ἀπεσχοίνισται. ἀρὰ καὶ εὐχὴ πολὺ τὸ μέσον ἔχει· κατηγορία καὶ εὐχὴ πολὺ τὸ μέσον ἔχουσι. προσεύχῃ τὸν Θεὸν ἵλε-
Ματθ. ϛ. ων ποιῆσαι, καὶ ἑτέρου κατεύχῃ; ἐὰν μὴ ἀφῇς, οὐκ ἀφεθήσεταί σοι. καὶ αὐτὸς οὐ μόνον οὐκ ἀφίης, ἀλλὰ καὶ τὸν Θεὸν μὴ ἀφεῖναι παρακαλεῖς; εἶδες ὑπερβολὴν κακίας; εἰ τῷ μὴ ἀφιέντι οὐκ ἀφίεται, τῷ καὶ τὸν δεσπότην παρακαλοῦντι μὴ ἀφεῖναι, πῶς ἀφεθήσεται; οὐκ ἐκεῖνον βλάπτεις, ἀλλὰ σαυτόν. τί δήποτε; εἰ γὰρ καὶ ἀκούεσθαι ἔμελλες ὑπὲρ τῶν σαυτοῦ, διὰ ταῦτα οὐδέποτε εἰσακουσθήσῃ, ὅτι μιαρῷ στόματι τὰς εὐχὰς ποιεῖς. μιαρὸν γὰρ ὄντως τὸ τοιοῦτον στόμα, καὶ ἀκάθαρτον, πάσης δυσωδίας ἐμπεπλησμένον, πάσης ἀκαθαρσίας. δέον σε ὑπὲρ τῶν σῶν τρέμειν ἁμαρτημάτων, καὶ τὸν ἀγῶνα πάντα ὑπὲρ τούτων ποιεῖσθαι, σὺ δὲ προσέρχῃ τὸν Θεὸν κινήσων κατὰ τοῦ ἀδελφοῦ; οὐ γὰρ δέδοικας, καὶ μεριμνᾷς τὰ σαυτοῦ;

τοῦ; οὐχ ὁρᾷς τί διαπράττεται; μίμησαι κἂν τὰ παιδία τὰ εἰς διδασκαλεῖον φοιτῶντα, ἅπερ ἐπειδὰν τὴν ἑαυτῶν συμμορίαν ἔνδον ἴδῃ τῶν μαθημάτων ἀπαιτουμένην τὰς εὐθύνας, καὶ διὰ τὴν ῥαθυμίαν ἅπαντας τυπτομένους, καὶ καθ' ἕνα ἕκαστον ἐξεταζόμενον πικρῶς καὶ κοπτόμενον ὑπὸ τῶν πληγῶν, ἀποτέθνηκεν ὑπὸ τοῦ δέους· κἂν μυρία τις αὐτὰ πλήξῃ τῶν συμφοιτητῶν, οὐκ ἀνέχεται ὀργισθῆναι, τοῦ φόβου τὴν ψυχὴν κατέχοντος, οὐδὲ ἐντυχεῖν τῷ διδασκάλῳ, ἀλλ' εἰς ἓν μόνον ὁρᾷ, τὸ εἰσελθεῖν καὶ ἀπαλλαγῆναι πληγῶν χωρίς, καὶ πρὸς ἐκεῖνον τὸν καιρὸν σκοπεῖ. κἂν ἐξέλθῃ, εἴτε πληγὰς λαβών, εἴτε μὴ λαβών, οὐδὲ εἰς νοῦν ἐκεῖνα λοιπὸν βάλλεται ὑπὸ τῆς ἡδονῆς. σὺ δὲ ἔσω καὶ μεριμνῶν ὑπὲρ τῶν ἁμαρτημάτων τῶν σῶν, οὐ φείδῃ τῶν ἑτέρων μνημονεύων; καὶ πῶς τὸν Θεὸν παρακαλεῖς; δι' ὧν γὰρ αὐτὸν κατ' ἐκείνου ἀξιοῖς, διὰ τούτων καὶ τὰ σαυτοῦ πικρότερα ἐργάζῃ, οὐκ ἀφιεὶς αὐτὸν συγγνώμην δοῦναι τοῖς σοῖς. πῶς γάρ; εἰ θέλεις με γενέσθαι, φησίν, ἐξεταστὴν ἀκριβῆ τῶν εἰς σὲ πεπλημμελημένων, πῶς τῶν παρὰ σοῦ εἰς ἐμὲ γεγενημένων ἀξιοῖς γενέσθαι τὴν συγχώρησιν; μάθωμέν ποτε εἶναι χριστιανοί. εἰ εὔχεσθαι οὐκ ἴσμεν, ὅπερ ἐστὶν εὔκολον καὶ σφόδρα ῥᾴδιον, τί τῶν ἄλλων εἰσόμεθα; μάθωμεν εὔχεσθαι ὡς χριστιανοί. Ἑλλήνων εἰσὶν ἐκεῖναι αἱ εὐχαί, Ἰουδαίων ἐκεῖναι αἱ δεήσεις· τοῦ χριστιανοῦ δὲ ἐναντίαι, ἄφεσιν καὶ ἀμνηστίαν αἰτεῖν τῶν εἰς ἡμᾶς πεπλημμελημένων. Λοιδορούμενοι, φησίν, εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν. (α. Κορ. δ. ιβ.) ἄκουε τοῦ Στεφάνου λέγοντος, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. (Πραξ. ζ. ξ.) οὐ μόνον οὐ κατηύχετο, ἀλλὰ καὶ ὑπερηύχετο· σὺ δὲ οὐ μόνον οὐχ ὑπερεύξῃ, ἀλλὰ καὶ κατεύξῃ. ὥσπερ ἐκεῖνος θαυμάσιος ἐκεῖνος, οὕτω σὺ κάκιστος. τίνα θαυμάζομεν, εἰπέ μοι; τοὺς ὑπὲρ ὧν ηὔξατο, ἢ τοὺς ὑπερευχομένους; τούτους δηλονότι. εἰ δὲ ἡμεῖς, πολλῷ μᾶλλον ὁ Θεός. βούλει πλῆξαι τὸν ἐχθρόν; εὖξαι ὑπὲρ αὐτοῦ, ἀλλὰ μὴ τοιαύτῃ διανοίᾳ, μὴ ὡς πλήττων. τοῦτο μὲν γὰρ γένηται, σὺ δὲ μὴ τούτῳ ποίει τῷ σκοπῷ. καίτοι ὁ μακάριος ἐκεῖνος ἀδίκως πάντα ἔπασχε, καὶ ὑπερηύχετο· ἡμεῖς δὲ πολλὰ καὶ δικαίως πάσχομεν παρὰ τῶν ἐχθρῶν. εἰ δὲ ὁ ἀδίκως παθὼν οὐκ ἐτόλμησε μὴ ὑπερεύξασθαι, οἱ δίκαια πάσχοντες, καὶ μὴ μόνον οὐχ ὑπερευχόμενοι, ἀλλὰ καὶ κατευχόμενοι, τίνος οὐκ ἐσμὲν ἄξιοι τιμωρίας; δοκεῖς μὲν * ἐκείνῳ διδόναι τὴν πληγήν, τὸ δὲ ἀληθὲς κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, οὐκ ἀφιεὶς τὸν δικαστὴν ἐν τοῖς σοῖς ἁμαρτήμασι γενέσθαι ἥμερον, δι' ὧν αὐτὸν κατὰ ἑτέρων παροξύνεις. Ὧι γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν, (Ματθ. ζ. β.) φησί, καὶ ᾧ κρίματι κρίνετε, κριθήσεσθε. γενώμεθα τοίνυν συγγνωμονικοί *, ἵνα τοιούτου τύχωμεν τοῦ Θεοῦ. ταῦτα οὐκ ἀκούειν ὑμᾶς μόνον βούλομαι, ἀλλὰ καὶ φυλάττειν. νῦν δὲ μέχρι ῥημάτων ἡ μνήμη μόνον, τάχα δὲ οὐδὲ μέχρι τούτων· ἀλλὰ διαλυθέντων ἡμῶν, ἂν ἐρωτήσῃ τις τῶν μὴ παραγεγονότων, τί διελέχθημεν, οἱ μὲν οὐδὲ ἐροῦσιν, οἱ δὲ εἰδότες ἐροῦσι τὴν ὑπόθεσιν, εἰς ἣν εἰρήκαμεν μόνον, ὅτι ὡμιλήσαμεν εἰς τὸ μὴ δεῖν μνησικακεῖν, ἀλλὰ καὶ ὑπερεύχεσθαι, εἶτα ἀφέντες εἰπεῖν τὰ λεχθέντα πάντα. οὐ γὰρ οἷόν τε μεμνῆσθαι. οἱ δὲ μικρὰν μέμνηνται, ἀλλ' ἐνίων. διό, παρακαλῶ, εἰ μηδὲν κερδαίνετε ἐκ τῶν λεγομένων, μηδὲ προσέχετε τῇ ἀκροάσει. τί γὰρ τὸ ὄφελος; μεῖζον τὸ κρίμα γίνεται, χαλεπωτέρα ἡ τιμωρία, ὅτι μετὰ μυρίας παραινέσεις τοῖς αὐτοῖς ἐπιμένομεν. διὰ τοῦτο εὐχὴν ἡμῖν ἔδωκεν ὁ Θεός, ἵνα μηδὲν βιωτικόν, μηδὲ ἀνθρώπινον αἰτῶμεν. ἴσασι δὲ οἱ πιστοὶ τίνα δεῖ εὔχεσθαι, πῶς πᾶσα κοινή ἐστιν ἡ εὐχή. ἀλλ' οὐκ εἴρηται, φησίν, ὑπὲρ τῶν ἀπίστων εὔχεσθαι ἐκεῖ. ἐπειδὴ μὴ ἴστε τῆς εὐχῆς τὴν δύναμιν, μηδὲ τὸ βάθος, καὶ τὸν θησαυρὸν αὐτῆς ἐπιγινώσκετε. εἰ γάρ τις αὐτὴν ἀναπτύξειεν, εὑρήσει καὶ τοῦτο κείμενον ἐν αὐτῇ. ὅταν γὰρ λέγῃ ὁ εὐχόμενος, Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, οὐδὲν ἄλλο ἢ τοῦτο αἰνίττεται. πῶς; ὅτι ἐν οὐρανῷ οὐδεὶς ἄπιστος, οὐδεὶς προσκρούων. εἰ τοίνυν περὶ τῶν πιστῶν μόνον ἦν, οὐκ εἶχε λόγον τὸ λεγόμενον. εἰ γὰρ οἱ πιστοὶ ἔμελλον τὸ θέλημα αὐτοῦ ποιεῖν, οἱ δὲ

ἄπιστοι

ἄπιστοι οὐχί, οὐκέτι ὡς ἐν οὐρανῷ τὸ θέλημα αὐτοῦ ἦν, ἀλλὰ τί; ὥσπερ ἐν οὐρανῷ, φησίν, οὐδεὶς πονηρός, οὕτω μηδὲ ἐπὶ τῆς γῆς ἔστω· ἀλλὰ πάντας, φησίν, εἰς τὸν φόβον ἕλκυσον τὸν σαυτοῦ, πάντας ἀγγέλους ποίησον τοὺς ἀνθρώπους, κἂν ἐχθροὶ ἡμῶν ὦσι, κἂν πολέμιοι. οὐχ ὁρᾷς πόσα καθ' ἑκάστην ἡμέραν ὁ Θεὸς βλασφημεῖται; πόσα ὑβρίζεται, καὶ παρὰ τῶν ἀπίστων, καὶ παρὰ τῶν πιστῶν; καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων; τί οὖν; ἔσβεσε διὰ τοῦτο τὸν ἥλιον; ἐκοίμισε τὴν σελήνην; κατέρραξε τὸν οὐρανόν; ἀνετάραξε τὴν γῆν; ἐξήρανε τὴν θάλασσαν; ἠφάνισε τῶν ὑδάτων τὰς πηγάς; συνέχεε τὸν ἀέρα; οὐδαμῶς· ἀλλὰ πᾶν τοὐναντίον· ἀνατέλλει τὸν ἥλιον, βρέχει τὸν ὑετόν, δίδωσι καρπούς, δίδωσι τροφὰς ἐτησίους τοῖς βλασφήμοις, τοῖς ἀνοήτοις, τοῖς μιαροῖς, τοῖς διώκταις, οὐ μίαν ἡμέραν, οὐδὲ δευτέραν, οὐδὲ τρίτην, ἀλλὰ πάντα τὸν βίον. τοῦτον μίμησαι καὶ σύ· τοῦτον ζήλωσον κατὰ δύναμιν ἀνθρωπίνην. οὐ δύνασαι τὸν ἥλιον ἀνατεῖλαι; μὴ κακηγορήσῃς. οὐ δύνασαι ὑετὸν δοῦναι; μὴ λοιδορήσῃς. οὐ δύνασαι θρέψαι; μὴ παροινήσῃς. ἀρκεῖ ταῦτα παρὰ σοῦ δῶρα· παρὰ τοῦ Θεοῦ δι' ἔργων γίνεται εἰς τοὺς ἐχθροὺς ἡ εὐεργεσία· σὺ κἂν διὰ λόγων ποίησον· ὑπερεύξαι τοῦ ἐχθροῦ· οὕτως ἔσῃ ὅμοιος τῷ πατρί σου τῷ ἐν οὐρανοῖς. μυριάκις ὑπὲρ τούτων διελέχθημεν, καὶ διαλεγόμενοι οὐ παυόμεθα· μόνον γινέσθω τι πλέον. ἡμεῖς οὐ ναρκῶμεν, οὐδὲ ἀποκάμνομεν, ἡμεῖς οὐ περικακοῦμεν λέγοντες· μόνον ὑμεῖς μὴ ἀκούοντες δόξητε ἐνοχλεῖσθαι. δοκεῖ δέ τις ἐνοχλεῖσθαι, ὅταν μὴ ποιῇ τὰ λεγόμενα. ὁ γὰρ ποιῶν, συνεχῶς βούλεται τὰ αὐτὰ ἀκούειν, ὥσπερ οὐκ ἐνοχλούμενος, ἀλλ' ἐγκωμιαζόμενος. ὥστε οὐδαμόθεν ἄλλοθεν τοῦτο γίνεται, ἀλλ' ἐκ τοῦ μὴ ποιεῖν τὰ λεγόμενα· ἐκεῖθεν καὶ ὁ λέγων φορτικός ἐστιν. ἐάν τις ἐλεημοσύνην, εἰπέ μοι, ποιῇ, εἶτα ἄλλος περὶ ἐλεημοσύνης διαλέγηται, οὐ μόνον οὐκ ἀποκναίει πρὸς τὴν ἀκρόασιν, ἀλλὰ καὶ γάννυται, ἀκούων τῶν οἰκείων κατορθωμάτων λεγομένων καὶ ἀνακηρυττομένων· οὕτως οὖν καὶ ἡμεῖς, ἐπειδὴ οὐδὲν πρὸς ἀνεξικακίαν ἔχομεν κοπόν, οὐδὲ κατώρθωται ἡμῖν τοῦτο, διὰ τοῦτο δοκοῦμεν εἶναι καὶ πρὸς τὰ ῥήματα δυσχερεῖς· εἰ δὲ τὰ πράγματα ἦν, οὐκ ἂν λόγος ἡμᾶς ἐλύπησεν. εἰ τοίνυν μὴ βούλεσθε ἡμᾶς φορτικοὺς εἶναι, μηδὲ ἐπαχθεῖς, οὕτω ποιήσατε, δι' ἔργων ἐπιδείξασθε τὸ πρᾶγμα· ὡς οὐδέποτε παυσόμεθα ὑπὲρ τῶν αὐτῶν ὑμῖν διαλεγόμενοι, ἕως ἂν κατορθωθῇ ἐν ὑμῖν. μάλιστα μὲν γὰρ καὶ κηδεμονία, καὶ φιλοστοργία τῇ πρὸς ὑμᾶς τοῦτο πράττομεν· ἔπειτα δὲ καὶ διὰ τὸν ἐπικείμενον ἡμῖν κίνδυνον. τὸν γὰρ σαλπίζοντα, κἂν μηδεὶς εἰς πόλεμον ἐξίῃ, σαλπίζειν δεῖ, τὸ αὐτοῦ πληροῦντα. οὐ τοίνυν μείζονα ὑμῖν τὴν κόλασιν ἐργάσασθαι βουλόμενοι, τοῦτο πράττομεν, ἀλλὰ τὸ καθ' ἑαυτοὺς ἀποδύσασθαι. μετὰ δὲ τούτου, καὶ ἡ ὑμετέρα ἡμᾶς ἀγάπη κατέχει. σπώμεθα γὰρ τὰ σπλάγχνα, καὶ δακνόμεθα, εἴ τι τοιοῦτο συμβαίη. ἀλλὰ μὴ γένοιτο. οὐκ ἔστι δαπάνης, ὅπερ εἴπομεν νῦν, οὐκ ἔστιν ἐπιζημίας χρημάτων, οὐκ ἔστιν ὁδοῦ μακρᾶς· θελῆσαι δεῖ μόνον, ῥῆμά ἐστι, προαίρεσίς ἐστι. φυλάττωμεν ἡμῶν τὸ στόμα, θύραν καὶ μοχλὸν ἐπιθῶμεν, ἵνα μηδὲν τῶν μὴ δοκούντων τῷ Θεῷ φθεγγώμεθα. ὑπὲρ ἡμῶν αὐτῶν γίνεται τοῦτο, οὐχ ὑπὲρ ὧν εὐχόμεθα. τοῦτο ἀεὶ λογιζώμεθα, ὅτι καὶ ὁ εὐλογῶν τὸν ἐχθρόν, ἑαυτὸν εὐλογεῖ, καὶ ὁ καταρώμενος, ἑαυτὸν καταρᾶται, καὶ ὁ εὐχόμενος ὑπὲρ τοῦ ἐχθροῦ, ὑπὲρ ἑαυτοῦ εὔχεται, οὐχ ὑπὲρ ἐκείνου. ἂν οὕτω ταῦτα ποιῶμεν, δυνησόμεθα τὸ κατόρθωμα τοῦτο εἰς ἔργον ἀγαγεῖν, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ. ζ. 2 ΙΝΑ ΗΡΕΜΟΝ ΚΑΙ ΗΣΥΧΙΟΝ ΒΙΟΝ
διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. 3 Τοῦτο γὰρ καλὸν καὶ ἀπο-
δεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 4 Ὃς πάντας ἀνθρώπους θέ-
λει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

Εἰ τὸν ἱερέα βούλεται λύεσθαι πολέμους καὶ τὰς μάχας καὶ τὰς ταραχάς, καὶ διὰ τοῦτο ὑπὲρ βασιλέων, καὶ ὑπὲρ ἀρχόντων κελεύει τὸν ἱερωμένον εὐχὰς ποιεῖσθαι, πολλῷ μᾶλλον καὶ τὸν ἰδιώτην τοῦτο χρὴ ποιεῖν. Τῶν πολέμων γάρ ἐστιν εἴδη τρία, καὶ χαλεπώτερα. Εἷς μὲν οὗτος ὁ κοινός, ὅταν οἱ παρ' ἡμῖν στρατιῶται πολεμῶνται παρὰ βαρβάρων· δεύτερος, ὅταν καὶ εἰρήνης οὔσης, ἡμεῖς πρὸς ἀλλήλους πολεμῶμεν· τρίτος, ὅταν ἕκαστος πρὸς ἑαυτὸν πολεμῇ. Ὃ δὴ καὶ πάντων ἐστὶ χαλεπώτατος. Ἐκεῖνος μὲν γὰρ ὁ παρὰ τῶν βαρβάρων οὐδὲν μέγα ἡμᾶς βλάψαι δυνήσεται. Τί γάρ, εἰπέ μοι; ἔσφαξε καὶ ἀνεῖλεν; ἀλλ' οὐδὲν τὴν ψυχὴν ἐλυμήνατο. Ἀλλ' οὐδὲ ὁ δεύτερος, ἐὰν μὴ βουλώμεθα, βλάψαι τι ἡμᾶς δυνήσεται. Κἂν γὰρ ἕτεροι πρὸς ἡμᾶς πολεμῶσιν, ἔξεστιν ἡμῖν εἶναι εἰρηνικοῖς. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσευχόμην. Καὶ πάλιν, Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Καὶ πάλιν, Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. Τὸν δὲ τρίτον οὐκ ἔνι ἀκινδύνως διαφυγεῖν. Ὅταν γὰρ ἡμῖν διαστασιάζῃ τὸ σῶμα πρὸς τὴν ψυχήν, καὶ χαλεπὰς ἐπιθυμίας ἐγείρῃ, καὶ τὰς ἡδονὰς ὁπλίζῃ τῶν σωμάτων, τῆς ὀργῆς, τοῦ φθόνου, οὐκ ἔνι, μὴ τοῦ πολέμου τούτου λυθέντος, ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἀλλ' ἀνάγκη τὸν μὴ καταστέλλοντα ταύτην τὴν ταραχήν, πεσεῖν καὶ τραύματα λαβεῖν, ἐκεῖνον τὸν θάνατον τίκτοντα τὸν ἐν τῇ γεέννῃ. Δεῖ τοίνυν ἡμῖν καθ' ἑκάστην ἡμέραν μερίμνης καὶ φροντίδος πολλῆς, ὥστε μήτε ἐγείρεσθαι ἐν ἡμῖν τοῦτον τὸν πόλεμον, μήτε διεγερθέντα μένειν, ἀλλὰ καταστέλλεσθαι καὶ κοιμίζεσθαι. Τί γὰρ ἂν ὄφελος γένοιτο, ὅταν ἡ μὲν οἰκουμένη βαθείας ἀπολαύῃ εἰρήνης, σὺ δὲ πρὸς ἑαυτὸν πολεμῇς; Ταύτην δεῖ τὴν εἰρήνην ἔχειν. Ἂν ταύτην ἔχωμεν, οὐδὲν ἡμᾶς τῶν ἔξωθεν βλάψαι δυνήσεται. Συντελεῖ δέ τι πρὸς ταύτην οὐ μικρὸν καὶ ἡ κοινὴ εἰρήνη. Διὰ τοῦτό φησιν, Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν. Εἰ δέ τις, ἡσυχίας οὔσης, ταράττεται, σφόδρα ἄθλιός ἐστιν. Ὁρᾷς ὅτι ταύτην λέγει τὴν εἰρήνην, ἣν ἐγώ φημι τὴν τρίτην; Διὰ τοῦτο εἰπών, Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν, Ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Ἐν δὲ εὐσεβείᾳ καὶ σεμνότητι εἶναι οὐκ ἔνι, μὴ τῆς εἰρήνης ἐκείνης κατορθωθείσης. Ὅταν γὰρ λογισμοὶ ζητητικοὶ ταράττωσιν ἡμῶν τὴν πίστιν, ποία εἰρήνη; ὅταν ἀσελγείας πνεύματα, ποία εἰρήνη; Ἵνα γὰρ μὴ νομίσῃς ὅτι τοῦτον ἁπλῶς λέγει τὸν βίον, ὃν πλεῖστοι ζῶσιν ἄνθρωποι, εἰπών, Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐπάγει, Ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· ἐπειδὴ ἔνεστι τὸν ἤρεμον καὶ ἡσύχιον βίον διάγειν καὶ Ἕλληνας, καὶ ἀκολάστους, καὶ σπαταλῶντας, καὶ τρυφῶντας εὕροις ἂν τοῦτον τὸν βίον ζῶντας. Ἵνα οὖν μάθῃς ὅτι οὐ τοῦτό φησι, προσέθηκε τό, Ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Ἐκεῖνος γὰρ ὁ βίος ἐπιβουλὰς ἔχει καὶ μάχας, τῆς ψυχῆς καθ' ἑκάστην ἡμέραν τιτρωσκομένης ὑπὸ τῶν θορύβων τῶν ἐν τοῖς λογισμοῖς. Ὅτι δὲ τὸν βίον τοῦτον δηλοῦν βούλεται, δῆλον μὲν ἀπὸ τῆς ἐπαγωγῆς, δῆλον δὲ καὶ ἀπὸ τοῦ μὴ ἁπλῶς ἐν εὐσεβείᾳ εἰπεῖν, ἀλλὰ μετὰ προσθήκης τοῦ, πάσῃ. Τοῦτο γὰρ εἰπών, ἔοικεν οὐ τὴν ἀπὸ τῶν δογμάτων μόνον ἀπαιτεῖν πολιτείαν, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ βίου ἀσφαλίζεσθαι. Καὶ γὰρ ἐν ἀμφοτέροις τὴν εὐσέβειαν δεῖ ζητεῖν. Τί γὰρ ὄφελος ἐν τῇ πίστει εὐσεβοῦντας διὰ τοῦ βίου ἀσεβεῖν; ὅτι γάρ ἐστι διὰ τοῦ βίου ἀσεβεῖν,

Ψαλ. ρη. γ.
Ψαλ. ριθ. ζ.
Ψαλ. ρη. β.

ἄκουε

Τιτ. α. ιε. ἄκουε τοῦ μακαρίου τούτου πάλιν ἀλλαχοῦ λέγοντος· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις
α. Τιμ. ε. η. ἀρνοῦνται. καὶ πάλιν, Τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. καὶ πάλιν, Ἐάν τις ἀδελφὸς
α. Κορ. ε. ια. ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ὁ τοιοῦτος οὐ τιμᾷ τὸν Θεόν. καὶ πά-
α. Ιωαν. β θ. ια. λιν, Ὁ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, τὸν Θεὸν ἀγνοεῖ. ὁρᾷς πόσοι ἀσεβείας τρόποι; διὰ τοῦτό φη-
σιν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. ἄσεμνος γὰρ οὐκ ἔστιν ὁ πόρνος μόνον, ἀλλὰ καὶ ὁ πλεο-
νέκτης ἄσεμνος ἂν λέγοιτο καὶ ἀκόλαστος. καὶ γὰρ καὶ τοῦτο ἐπιθυμία οὐχ ἧττον τῆς τῶν σω-
μάτων. ὁ τοίνυν μὴ κολάζων αὐτὴν, ἀκόλαστος λέγεται. διὰ γὰρ τὸ μὴ κολάζειν
τὴν ἐπιθυμίαν ἀκόλαστοι λέγονται. ὥστε καὶ τὸν ὀργίλον ἀκόλαστον ἂν εἴποιμι ἔγωγε, καὶ τὸν
βάσκανον, καὶ τὸν φιλάργυρον, καὶ τὸν ὕπουλον, καὶ πάντα τὸν ἐν ἁμαρτίᾳ ὄντα, ἀκόλαστον εἶναι
καὶ ἄσεμνον καὶ ἀσελγῆ. τοῦτο γὰρ καλὸν, καὶ ἀπόδεκτον, φησὶν, ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ.
ποῖον τοῦτο; τὸ εὔχεσθαι ὑπὲρ πάντων, τοῦτο ἀποδέχεται ὁ Θεός, τοῦτο θέλει. πάντας γὰρ ἀν-
θρώπους θέλει σωθῆναι, φησὶ, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, μιμοῦ τὸν Θεόν. εἰ πάν-
τας ἀνθρώπους θέλει σωθῆναι, εἰκότως ὑπὲρ ἁπάντων δεῖ εὔχεσθαι. εἰ πάντας αὐτὸς
ἠθέλησε σωθῆναι, θέλε καὶ σύ. εἰ δὲ θέλεις, εὔχου. τῶν γὰρ τοιούτων ἐστὶ τὸ εὔχεσθαι. ὁρᾷς πῶς
πανταχόθεν τὴν ψυχὴν ἔπεισεν, ὥστε καὶ ὑπὲρ ἑλλήνων εὔχεσθαι; καὶ τὸ κέρδος δεικνὺς ὅσον
ἐκ τούτου τίκτεται, ἵνα ἤρεμον, φησὶ, καὶ ἡσύχιον βίον διάγωμεν· καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι καὶ
τῷ Θεῷ τοῦτο δοκεῖ, καὶ ὅτι ὅμοιοι αὐτῷ κατὰ τοῦτο γινόμεθα, κατὰ τὸ τὰ αὐτὰ αὐτῷ θέλειν. ἱκανὰ ταῦ-
τα δυσωπῆσαι καὶ θηρίον. μὴ τοίνυν φοβηθῇς ὑπὲρ ἑλλήνων εὐχόμενος. καὶ αὐτὸς τοῦτο βού-
λεται· φοβήθητι τὸ καταεύξασθαι μόνον. τοῦτο γὰρ οὐ βούλεται. εἰ δὲ ὑπὲρ ἑλλήνων εὔ-
χεσθαι χρὴ, καὶ ὑπὲρ αἱρετικῶν δηλονότι. ὑπὲρ γὰρ ἁπάντων ἀνθρώπων εὔχεσθαι δεῖ, οὐ διώ-
κειν. τοῦτο δὲ καὶ ἄλλως καλὸν διὰ τὸ τῆς αὐτῆς ἡμᾶς φύσεως κοινωνεῖν. καὶ ὁ Θεὸς δὲ ἐπαι-
νεῖ καὶ ἀποδέχεται τὴν εὔνοιαν, τὴν φιλοστοργίαν τὴν πρὸς ἀλλήλους. εἰ τοίνυν αὐτὸς θέ-
λει, φησὶ, δοῦναι ὁ Κύριος, τί δεῖ εὐχῶν τῶν παρ' ἐμοῦ; πολὺ τοῦτο ἐκείνοις καὶ σοὶ συμβάλλε-
ται. πρὸς ἀγάπην αὐτοὺς ἕλκει, σὲ πάλιν οὐκ ἀφίησιν ἐκθηριωθῆναι. ἱκανὰ δὲ ταῦτα
πρὸς πίστιν ἐπισπάσασθαι. πολλοὶ γὰρ τῶν ἀνθρώπων διὰ φιλονεικίαν τὴν πρὸς ἀλλή-
λους ἀπέστησαν τοῦ Θεοῦ. τοῦτο σωτηρίαν καλεῖ Θεοῦ καλῶς, ὃς πάντας ἀνθρώπους θέλει σω-
θῆναι, εἰπών· ἐπειδὴ καὶ αὕτη ὄντως ἐστὶν ἡ σωτηρία. ταύτης γὰρ χωρὶς οὐδὲν μέγα ἡ ἄλλη
ἐστὶν, ἀλλ' ὄνομα σωτηρίας ἐστὶ καὶ προσηγορία μόνον. καὶ εἰς ἐπίγνωσιν ἀληθείας, φησὶν,
ἐλθεῖν. ἀληθείας, ποίας; τῆς εἰς αὐτὸν πίστεως. καὶ δὴ προλαβὼν εἶπε, παρήγγελλε
μὴ ἑτεροδιδασκαλεῖν. ἵνα δὲ μή τις ὡς ἐχθροῖς αὐτοῖς προσέχῃ, μηδὲ μάχας ἐπὶ τούτῳ
πλέκῃ, φησὶ, πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. εἶτα
τὸ εἰπὼν, ἐπήγαγεν·

5 Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων. Εἶπεν, εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν, δεικνὺς ὅτι οὐκ ἔστιν ἡ οἰχομένη ἐν ἀληθείᾳ. εἶπε πάλιν, εἷς γὰρ Θεός,
δεικνὺς ὅτι οὐ πολλοὶ, καθὼς τινὲς νομίζουσιν. εἶπεν, ὅτι καὶ μεσίτην καὶ υἱὸν πέπομφε, δεικνὺς ὅτι
σωθῆναι θέλει πάντας. τί οὖν; ὁ υἱὸς οὐ Θεός; καὶ σφόδρα. πῶς οὖν φησιν, εἷς; πρὸς ἀν-
τιδιαστολὴν τῶν εἰδώλων, οὐ πρὸς τὸν υἱόν. περὶ γὰρ ἀληθείας καὶ πλάνης ἦν αὐτῷ ὁ λό-
γος. ὁ δὲ μεσίτης ὀφείλει ἀμφοτέροις κοινωνεῖν, ὧν ἐστὶ μεσίτης. μεσίτου γὰρ τοῦτό ἐστι, τὸ ἑκα-
τέρων ἐχόμενον, ὧν ἐστὶ μεσίτης, κοινωνεῖν. ἐὰν δὲ τοῦ μὲν ἑνὸς ἔχηται, τοῦ δὲ ἑνὸς ἀπεσχοινισμένος ᾖ,
οὐκέτι μεσίτης ἐστίν. εἰ τοίνυν μὴ ἔχεται τῆς τοῦ πατρὸς φύσεως, οὐκ ἔστι μεσίτης, ἀλλ' ἀπε-
σχοίνισται. ὥσπερ γὰρ τῆς τῶν ἀνθρώπων ἔχεται φύσεως, ἐπειδὴ πρὸς ἀνθρώπους ἤρχετο,
οὕτω καὶ τῆς τοῦ Θεοῦ, ἐπειδὴ παρὰ Θεοῦ ἤρχετο. ἐπειδὴ γὰρ δύο φύσεων μέσος γέγονεν, ἐγγὺς
τῶν δύο φύσεων αὐτὸν εἶναι δεῖ. ὥσπερ γὰρ τὸ τόπου τινὸς μέσον, ἑκατέρων ἐστὶ τῶν τόπων ἐγγύς,
οὕτω καὶ τὸ τῶν φύσεων μέσον ἑκατέρων ὀφείλει εἶναι τῶν φύσεων ἐγγύς. ὥσπερ οὖν ἄνθρωπος
γέγονεν,

γέγονεν, οὕτω καὶ Θεὸς ἦν. ἄνθρωπος οὐκ ἂν ἐγένετο μεσίτης· ἔδει γὰρ καὶ τῷ Θεῷ διαλέγεσθαι. Θεὸς οὐκ ἂν ἐγένετο μεσίτης· οὐ γὰρ ἂν ἐδέξαντο αὐτὸν οἷς ἐμεσίτευσεν. ὥσπερ ἐκεῖ φησιν, Εἷς Θεὸς ὁ πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, [α. Κορ. η. ϛ.] οὕτω καὶ ἐνταῦθα, εἷς καὶ εἷς. οὐ τίθησι δύο. ἐπειδὴ γὰρ περὶ πολυθείας διελέγετο, ἵνα μή τις ἁρπάσῃ τὸν δύο τῶν ἀριθμὸν εἰς πολυθείαν, εἷς καὶ εἷς τέθεικεν. ὁρᾷς πῶς ἡ γραφὴ μετὰ πολλῆς τῆς ἀκριβείας κέχρηται τῷ λόγῳ; ὃ γὰρ, εἷς καὶ εἷς, δύο· ἀλλ' οὐκ ἐρρέθη τοῦτο, καίτοι τοῦ λογισμοῦ ὑποβάλλοντος. ἐνταῦθα οὐ λέγει, εἷς καὶ εἷς, δύο· ὅπερ δὲ οὐδὲ ὁ λογισμὸς ὑποβάλλει, τοῦτο λέγει, εἰ ἐγέννησεν, ἔπαθεν.

Εἷς γὰρ ὁ Θεὸς, φησιν, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων Ἰησοῦς Χριστὸς,

6 Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις.

Τί οὖν καὶ Ἑλλήνων, εἰπέ μοι; ναί. καὶ ὁ μὲν Χριστὸς καὶ ἀπέθανεν ὑπὲρ Ἑλλήνων· σὺ δὲ εὔξασθαι οὐκ ἀνέχῃ; πῶς οὖν, φησιν, οὐκ ἐπίστευσαν; ὅτι οὐκ ἠθέλησαν, τὸ δὲ αὐτοῦ μέρος ἐγένετο. μαρτύριον τὸ πάθος φησίν. Ἦλθε γὰρ μαρτυρήσων, φησὶ, τῇ ἀληθείᾳ τοῦ πατρὸς, καὶ ἐσφάγη. [Ιωαν. ιη λζ.] ὥστε οὐχ ὁ πατὴρ αὐτῷ μαρτυρεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς τῷ πατρί. Ἐγὼ γὰρ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, φησί· [Ιωαν. ε. μγ.] καὶ πάλιν, Τὸν Θεὸν οὐδεὶς ἑώρακε πώποτε· [Ιωαν. α. ιη.] καὶ πάλιν, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· [Ιωαν. ιζ. γ.] καὶ πάλιν, Πνεῦμα ὁ Θεός. [Ιωαν δ. κδ.] μέχρι θανάτου τοίνυν ἐμαρτύρησε. τὸ δὲ, καιροῖς ἰδίοις, τουτέστι, τοῖς προσήκουσιν.

7 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος (ἀλήθειαν λέγω, οὐ ψεύδομαι) διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. Ἐπειδὴ τοίνυν ὁ Χριστὸς ὑπὲρ ἐθνῶν ἔπαθε, καὶ ἐγὼ διδάσκαλος ἐθνῶν ἀφωρίσθην, τίνος ἕνεκεν σὺ οὐκ εὔχῃ ὑπὲρ αὐτῶν; καλῶς ἐνταῦθα τὸ ἑαυτοῦ ἀξιόπιστον δείκνυσι, τὸ, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ, φησὶ, τουτέστιν, ἀφωρίσθην. πολὺ γὰρ ἐναρχόμενοι πρὸς τοῦτο τῶν ἀποστόλων. εἶτα ἐπήγαγε, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. ἐν πίστει πάλιν. ἀλλὰ μὴ νομίσῃς, ἐπειδὴ ἐν πίστει ἤκουσας, ὅτι ἀπάτη τὸ πρᾶγμά ἐστι. καὶ γὰρ ἐν ἀληθείᾳ φησίν. εἰ δὲ ἀλήθεια, οὐκ ἔστι ψεῦδος. ὁρᾷς τὴν χάριν ἐκτεταμένην; τοῖς γὰρ Ἰουδαίοις αἱ εὐχαὶ οὐχ ὑπὲρ τοιούτων ἐγίνοντο· νῦν δὲ ἡ χάρις ἐκτέταται. διὰ τοῦτο καὶ διδάσκαλον ἐθνῶν ἑαυτὸν εἶπεν ἀφωρίσθαι, τὴν πανταχοῦ τῆς οἰκουμένης χυθεῖσαν αἰνιττόμενος χάριν. ὁ δοὺς, φησιν, ἑαυτὸν ἀντίλυτρον. πῶς οὖν παρεδόθη ὑπὸ τοῦ πατρός; ἄρα οὖν τῆς αὐτοῦ ἀγαθότητος γέγονεν. ἀντίλυτρον, τί ἐστιν; ἔμελλε τιμωρεῖσθαι αὐτούς· τοῦτο οὐκ ἐποίησεν. ἀπόλλυσθαι ἔμελλον· ἀλλ' ἀντ' ἐκείνων τὸν αὐτοῦ ἔδωκεν υἱὸν, καὶ κήρυκας ἡμᾶς ἔπεμψεν, ὥστε κηρύττειν τὸν σταυρόν. ἱκανὰ ταῦτα ἐπισπάσασθαι πάντας, καὶ τὴν ἀγάπην ἐνδείξασθαι τοῦ Χριστοῦ.

ΗΘΙΚΟΝ

Οὕτω γὰρ μεγάλα καὶ ἀνεκδιήγητα τὰ παρὰ Θεοῦ εἰς ἡμᾶς ἐπιδεδειγμένα. κατέθυσεν ἑαυτὸν ὑπὲρ τῶν ἐχθρῶν, τῶν μισούντων, τῶν ἀποστρεφομένων αὐτόν. ὃ οὐδὲ ὑπὲρ φίλων, οὐδὲ ὑπὲρ παίδων ποιήσειεν ἄν τις, οὐδὲ ὑπὲρ ἀδελφῶν, δεσπότης ὑπὲρ δούλων ἐποίησε, δεσπότης οὐ τοιοῦτος, οἷος τῶν δούλων, ἀλλὰ Θεὸς ὑπὲρ ἀνθρώπων, καὶ ἀνθρώπων οὐδὲ εὐδοκιμούντων. εἰ γὰρ εὐδοκιμηκότες ἦσαν, εἰ γὰρ εὐηρεστηκότες, οὐ τοσοῦτον ἦν θαυμαστόν. νῦν δὲ τοῦτό ἐστι τὸ πᾶσαν διάνοιαν ἐκπλῆττον, τὸ ὑπὲρ τοιούτων ἀχαρίστων καὶ ἀγνωμόνων ἀποθανεῖν. ὃ γὰρ ἀπὸ ἀνθρώπων πρὸς ὁμοφύλους οὐ γίνεται, τοῦτο ἐγένετο ἀπὸ Θεοῦ εἰς ἡμᾶς. καὶ τοσαύτης ἀπολαύσαντες ἀγάπης, ἀκκιζόμεθα ἔτι, καὶ οὐ φιλοῦμεν τὸν Χριστόν. αὐτὸς κατέθυσεν ἑαυτὸν ὑπὲρ ἡμῶν· ἡμεῖς δὲ αὐτὸν καὶ τῆς ἀναγκαίας τροφῆς ἀπορούμενον περιορῶμεν, καὶ νοσοῦντα, καὶ γυμνητεύοντα οὐκ ἐπισκεπτόμεθα. πόσης ὀργῆς ταῦτα ἄξια, πόσης κολάσεως, πόσης γεέννης; εἰ γὰρ μηδὲν ἕτερον, τοῦτο γοῦν αὐτὸ μόνον, ὅτι κατηξίωσε τὰ τῶν ἀνθρώπων πάθη οἰκειοῦσθαι, καὶ λέγειν ὅτι πεινῶ καὶ διψῶ, οὐχ ἱκανὸν ἦν πάντας προτρέψαι; ἀλλ' ὢ τῆς τῶν χρημάτων τυραννίδος, μᾶλλον δὲ ὢ τῆς τῶν ἑκόντι δεδουλωμένων αὐτοῖς μοχθηρίας. οὐκ ἐκεῖνα ἔχει μεγάλην τὴν ἰσχὺν, ἀλλ' ἡμεῖς σφόδρα ἐσμὲν ἔκλυτοι

καὶ δεδουλωμένοι, ἡμεῖς ταπεινοὶ καὶ γελοῖοι, ἡμεῖς σαρκικοί, ἡμεῖς ἀνόητοι. οὐ γὰρ ἐκείνων μεγάλη ἡ ἰσχύς. τί γὰρ δύναται, εἰπέ μοι; κωφά ἐστι, καὶ ἀναίσθητα. εἰ ὁ διάβολος οὐδέν ἐστιν, ὁ μιαρὸς δαίμων, ὁ οὕτω πονηρὸς καὶ πάντα κυκῶν, τὰ χρήματα τίνα ἔχει ἰσχύν; ἐὰν ἴδῃς ἄργυρον, νόμισον εἶναι κασσίτερον. ἀλλ' οὐ δύνασαι; οὐκοῦν, ὅπερ ἐστὶν ἀληθές, τοῦτο νόμισον, ὅτι γῆ ἐστι. γῆ γάρ ἐστιν. ἀλλ' οὐδὲ τοῦτον δέχῃ τὸν λογισμόν; ἐννόησον ὅτι ἀπολλύμεθα καὶ ἡμεῖς, ὅτι πολλοὶ τῶν κεκτημένων οὐδὲν σχεδὸν αὐτῶν ἀπώναντο, ὅτι μυρίοι κομπάσαντες ἐν αὐτοῖς, τέφρα ἐγένοντο καὶ κόνις, ὅτι καὶ νῦν δίκην τίνουσι τὴν ἐσχάτην, τῶν ἐν ὀστράκῳ καὶ ὑέλῳ διαιτηθέντων πολλῷ τυγχάνοντες πτωχότεροι, τῶν ἐν κοπρίᾳ πολλάκις τῶν ἐπὶ τῶν κλινῶν τῶν ἐλεφαντίνων ἀπορώτεροι. ἀλλὰ τέρπει τὴν ὄψιν; ἀλλὰ τούτων ἕτερα πολλὰ τέρπειν δύναται μᾶλλον. καὶ γὰρ καὶ τὰ ἄνθη, καὶ ὁ ἀὴρ καθαρὸς ὤν, καὶ ὁ οὐρανός, καὶ ὁ ἥλιος πολλῷ μᾶλλον τέρπει. ἔστι μὲν γὰρ καὶ ἰὸν ἔχει πολύν, ὅθεν πολλοὶ καὶ μέλανα αὐτὸν εἶναι ἀπεφήναντο. καὶ δῆλον ἀπὸ τῶν ἐκμαγείων τῶν μιαινομένων. ἐν δὲ ἡλίῳ μὲν οὐδέν, ἐν οὐρανῷ, ἐν ἄστροις. πολλὴ ἐν τούτοις τοῖς ἄνθεσιν ἡ ἀπόλαυσις, ἢ ἐν ἐκείνῳ τῷ χρώματι. οὐ τὸ ἄνθος τοίνυν ἐστὶ τὸ τέρπον, ἀλλ' ἡ πλεονεξία, ἡ ἀδικία. τοῦτο τέρπει τὰς ψυχάς, οὐχ ὁ ἄργυρος. ἔκβαλε ταύτην ἀπὸ τῆς ψυχῆς, καὶ ὄψει πηλοῦ τὸ δοκοῦν εἶναι τίμιον ἀτιμότερον. ἔκβαλε τὸ πάθος· ἐπεὶ καὶ οἱ πυρέττοντες, κἂν βόρβορον ἴδωσιν, ὡς πηγὰς ἐπιποθοῦσιν· οἱ ὑγιαίνοντες δὲ ὡς χρή, οὐδὲ ὕδατος ἐπιθυμοῦσι πολλάκις. ἔκβαλε τὴν νόσον, καὶ ὄψει τὰ πράγματα ὡς ἔστι. καὶ ἵνα μάθῃς, ὅτι οὐ ψεύδομαι, πολλοὺς ἔχω δεῖξαι τοῦτο πεποιηκότας. σβέσον τὸ πῦρ, καὶ ὄψει ὅτι ἀνθέων ταῦτά ἐστιν εὐτελέστερα. καλὸν δὲ χρυσίον; ἀλλ' εἰς ἐλεημοσύνην καλόν, εἰς ἐπικουρίαν πενήτων καλόν, οὐκ εἰς τὴν ἀνόητον χρῆσιν, ἵνα ἔνδον ἀποκέηται, ἵνα εἰς γῆν κατορύττηται, ἵνα περὶ χεῖρας καὶ πόδας καὶ κεφαλὰς περικέηται. διὰ τοῦτο εὑρέθη, οὐχ ἵνα τὴν εἰκόνα τοῦ Θεοῦ καταδεσμεύωμεν τούτῳ, ἀλλ' ἵνα λύωμεν τοὺς δεδεμένους. εἰς τοῦτο κέχρησο τῷ χρυσῷ· λῦσον τοὺς δεδεμένους, μὴ δήσῃς τὴν λελυμένην. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὴν οὐδαμινὴν πάντων περιτίθης; μὴ γάρ, ἐπειδὴ χρυσός ἐστιν, οὐκέτι δεσμὸν ποιεῖ; μὴ γὰρ ἡ ὕλη τὸν δεσμὸν ποιεῖ; ἄντε χρυσὸς ᾖ, ἄντε σίδηρος, ταὐτόν ἐστι· καίτοι τοῦτο ἐκείνου καὶ βαρύτερον. ἀλλὰ τί ποιεῖ κοῦφον τὸ πρᾶγμα; ἡ κενοδοξία, καὶ τὸ παρὰ πάντων ὁρᾶσθαι δεδεμένην, ἐφ' ᾧ ἐχρῆν μᾶλλον αἰσχύνεσθαι. ὅτι γὰρ τοῦτο ἀληθές ἐστι, κατάδησον, καὶ ἄφες ἐν ἐρημίᾳ, ἔνθα οὐδεὶς ὁ θεωρῶν, καὶ βαρύνεται τὸν δεσμὸν καὶ ἐπαχθῆ νομίζει. φοβηθῶμεν, ἀγαπητοί, μὴ ἀκούσωμεν ἐκεῖνα τὰ φοβερὰ ῥήματα, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας. τί ἤδη τοῦτο σαυτῇ ποιεῖς, γύναι; οὐδεὶς δεσμώτης χεῖρας καὶ πόδας δέδεται. τί καὶ τὴν κεφαλὴν δεσμεῖς; οὐ γὰρ ἀρκεῖ χεῖρας καὶ πόδας; τί καὶ τὸν τράχηλον μυρίοις δεσμοῖς περιβάλλεις; τὴν γὰρ ἀπὸ τούτων φροντίδα παρίημι, τὸ δέος, τὴν ἀγωνίαν, τὴν μάχην τὴν ὑπὲρ αὐτῶν πρὸς τὸν ἄνδρα, εἴ ποτε αὐτῶν δεηθείη· τοὺς θανάτους οὓς ὑπομένουσιν, εἴ ποτε ἐκπέσοι τι τούτων. ταῦτα οὖν ἡδονή, εἰπέ μοι; ἵνα ἕτερος τέρπῃ τὰς ὄψεις, σαυτὴν καὶ δεσμοῖς καὶ φροντίσι καὶ κινδύνοις καὶ ἀηδίαις καὶ μάχαις καθημεριναῖς ὑποβάλλεις; ἆρ' οὐ πάσης κατηγορίας καὶ καταγνώσεως ἄξιον τοῦτο; μή, παρακαλῶ, μὴ ταῦτα ποιῶμεν· ἀλλὰ λύωμεν πάντα σύνδεσμον ἀδικίας· διαθρύπτωμεν πεινῶντι τὸν ἄρτον· πάντα τὰ ἄλλα πράττωμεν, ἃ τὴν πρὸς τὸν Θεὸν ἡμῖν παρρησίαν προξενῆσαι δύναται, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ματθ. κβ. ιγ.

Λογ. η. 8 ΒΟΥΛΟΜΑΙ ΟΥΝ ΠΡΟΣΕΥΧΕΣΘΑΙ ΤΟΥΣ ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. 9 Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασι, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, 10 Ἀλλ' (ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν) δι' ἔργων ἀγαθῶν.

…πλέγματι

Ὅταν προσεύχησθε, φησὶν ὁ Χριστὸς, μὴ γίνεσθε ὡς οἱ ὑποκριταὶ, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὰς θύρας, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ. (Ματθ. ϛ. ε.) τί οὖν ὁ Παῦλός φησι, βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ; ἀλλ' οὐκ ἔστιν ἐναντίον ἐκείνοις τοῦτο (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα συνᾴδει. πῶς δὲ τίνι τρόπῳ; δεῖ δὲ πρότερον εἰπεῖν, τί ἐστιν, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ τί δήποτε τοῦτο προστάττει, εἰ ἐν παντὶ τόπῳ δεῖ εὔχεσθαι, καὶ εἰ ἐν ἐκκλησίᾳ μὴ δεῖ εὔχεσθαι, καὶ εἰ ἐν ἄλλῳ μηδενὶ τῆς οἰκίας μέρει, ἀλλ' ἐν τῷ ταμιείῳ μόνον. τί οὖν ἐστι τὸ λεγόμενον; τὸ ἀκενόδοξον δηλῶσαι εἰπὼν ὁ Χριστός φησι, μὴ λάθρα ἁπλῶς, ἀλλὰ κεκρυμμένως τὰς εὐχὰς ποιοῦ. ὥσπερ γὰρ λέγων, Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, (Ματθ. ϛ. γ.) οὐ περὶ χειρῶν διαλέγεται ἁπλῶς, ἀλλὰ τὴν ὑπερβολὴν τῆς πρὸς τὴν κενοδοξίαν φυγῆς παρίστησιν, οὕτω δὴ καὶ ἐνταῦθα τοῦτο αἰνίττεται. οὐ τοίνυν εἰς τὸν τόπον περιώρισε τὴν εὐχὴν, ἀλλ' εἰς μόνον ἐπέταξε τὸ ἀκενόδοξον. ὁ δὲ Παῦλος ταῦτά φησι πρὸς ἀντιδιαστολὴν τῆς Ἰουδαϊκῆς εὐχῆς. ὅρα γὰρ τί φησιν· ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας, ὅπερ τοῖς Ἰουδαίοις θέμις οὐκ ἦν. οὐδὲ γὰρ ἐξῆν τῷ Θεῷ προσιέναι ἀλλαχοῦ, καὶ θύειν, καὶ τὰς λατρείας ἐπιτελεῖν, ἀλλ' εἰς ἕνα τόπον τοὺς πανταχόθεν ἐκ τῆς οἰκουμένης συντρέχοντας ἅπαντα τὰ τῆς ἁγιστείας ἐν τῷ ναῷ ἐπιτελεῖν ἔδει. τούτων ἀντίρροπον τὴν παραίνεσιν εἰσάγει. καὶ τῆς ἀνάγκης ἀπαλλάξας ἐκείνης, οὐκ ἔστι, φησὶ, τοιαῦτα τὰ ἡμέτερα, οἷα τὰ Ἰουδαϊκά. ὥσπερ γὰρ ὑπὲρ πάντων τὰς εὐχὰς κελεύει ποιεῖν (ὑπὲρ πάντων γὰρ καὶ ὁ Χριστὸς ἀπέθανε, καὶ ὑπὲρ πάντων, φησὶ, ταῦτα κηρύττω) οὕτω καὶ πανταχοῦ καλὸν εὔχεσθαι. ἡ δὲ παρατήρησις λοιπὸν μὴ περὶ τόπον ἔστω, ἀλλὰ περὶ τὸν τρόπον τῆς εὐχῆς. πανταχοῦ μὲν εὔχου, φησὶ, πανταχοῦ δὲ ὁσίους χεῖρας ἔπαιρε. τοῦτ' ἔστι τὸ ζητούμενον. ὁσίους δὲ τί ἐστι; καθαράς. καθαρὰς δὲ τί ἐστιν; οὐχ ὕδατι πεπλυμένας, ἀλλὰ πλεονεξίας, φόνων, ἁρπαγῆς, πληγῶν καθαράς. χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. τί δὴ τοῦτ' ἔστι; τίς δὲ εὐχόμενος ὀργίζεται; τουτέστι, χωρὶς μνησικακίας· καθαρὰ ἔστω τοῦ εὐχομένου ἡ διάνοια, πάντων παθῶν ἀπηλλαγμένη. μηδεὶς μετ' ἔχθρας προσίτω τῷ Θεῷ, μηδεὶς μετ' ἀηδίας, καὶ διαλογισμοῦ. τί ἐστι χωρὶς διαλογισμοῦ; ἐπακουσόμεθα. ἆρα οὐ δεῖ ὅλως ἀμφιβάλλειν ὅτι ἐπακουσθησόμεθα. Ὅσα γὰρ ἂν αἰτῆτε, φησὶ, πιστεύοντες, λήψεσθε. (Ματθ. κα. κβ.) καὶ πάλιν, Ὅταν στήκητε προσευχόμενοι, ἀφίετε, εἴ τι ἔχετε κατά τινος. τοῦτ' ἔστι χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. καὶ πῶς, φησὶ, δυνήσομαι πιστεύειν, ὅτι ἐπιτεύξομαι τῆς αἰτήσεως; ἂν μηδὲν ἐναντίον αἰτῇς, ὧν δοῦναι ἐστὶν ἕτοιμος· ἂν μηδὲν ἀνάξιον τοῦ βασιλέως αἰτῇς, μηδὲν βιωτικὸν, ἀλλὰ πάντα τὰ πνευματικά· ἂν χωρὶς ὀργῆς προσίῃς, ἂν καθαρὰς ἔχων τὰς χεῖρας, ἂν ὁσίας. ὅσιαι δέ εἰσιν αἱ ἐλεημοσύνας ἐργαζόμεναι. ἂν οὕτω προσίῃς, πάντως ἐπιτεύξῃ τῆς αἰτήσεως. Εἰ γὰρ ὑμεῖς, φησὶ, πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ (Ματθ. ζ. ια.)

…λαργυρί-

…ἔστητε καὶ ἀ-
…σησθε ὑ-

διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς; διαλογισμὸν τὴν ἀμφιβολίαν λέγει. ὡσαύτως καὶ τὰς γυναῖκας βούλομαι, φησὶ, Θεῷ προσιέναι, χωρὶς ὀργῆς, χωρὶς διαλογισμοῦ, ὁσίους χεῖρας ἔχειν, μὴ ταῖς ἐπιθυμίαις ἐξακολουθεῖν ταῖς ἑαυτῶν, μὴ ἁρπάζειν, μὴ πλεονεκτεῖν. τί γὰρ κἂν αὐτὴ μὴ ἁρπάζῃ, διὰ δὲ τοῦ ἀνδρὸς τοῦτο ἐργάζηται; παρὰ δὲ τῶν γυναικῶν καὶ πλέον τι αἰτεῖ ὁ Παῦλος. ποῖον δὴ τοῦτο; τὸ μετὰ αἰδοῦς καὶ σωφροσύνης, φησὶν, ἐν καταστολῇ κοσμίᾳ κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἀλλ' (ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις) θεοσέβειαν δι' ἔργων ἀγαθῶν. καταστολὴν τί φησι; τουτέστι, τὴν ἀμπεχόνην πάντοθεν περιεστάλθαι καλῶς, κοσμίως, μὴ περιέργως. ἐκεῖνο γὰρ κόσμιον, τοῦτο δὲ ἄκοσμον.

ΗΘΙΚΟΝ Τί λέγεις; προσέρχῃ δεομένη τοῦ Θεοῦ, καὶ περίκεισαι χρυσία καὶ ἐμπλέγματα; μὴ γὰρ χορεύσαι ἦλθες; μὴ γὰρ γάμων μεθέξουσα; μὴ γὰρ εἰς πομπὴν παρερχομένου; ἐκεῖ τὰ χρυσία, ἐκεῖ τὰ ἐμπλέγματα, ἐκεῖ τὰ πολυτελῆ ἱμάτια ἔχειν καιρὸν· νῦν δὲ οὐδενὸς χρεία τούτων. ἦλθες παρακαλέσαι, δεηθῆναι ὑπὲρ ἁμαρτημάτων, ἐντευξομένη ὑπὲρ ὧν προσέκρουσας, αἰτουμένη τὸν δεσπότην, ἵλεω καταστήσουσα αὐτόν· τί κοσμεῖς σαυτήν; οὐκ ἔστι ταῦτα ἱκετευούσης τὰ σχήματα. πῶς δυνήσῃ στενάξαι; πῶς δυνήσῃ δακρῦσαι; πῶς μετὰ ἐκτενείας εὔξασθαι, τοιοῦτον σχῆμα περικειμένη; κἂν δακρύσῃς, γέλως ἔσται τὰ δάκρυα τοῖς ὁρῶσιν. οὐ γὰρ χρυσοφορεῖν τὴν δακρύουσαν δεῖ. ἐπεὶ σκηνή ἐστι καὶ ὑπόκρισις. πῶς γὰρ οὐ σκηνὴ, ὅταν ἀπ' αὐτῆς τῆς διανοίας, ἀφ' ἧς ἡ τοσαύτη πολυτέλεια καὶ φιλοτιμία ἐτέχθη, ἀπὸ τῆς αὐτῆς καὶ δάκρυα προχέηται; περίελε πᾶσαν ἐκείνην τὴν ὑπόκρισιν· Θεὸς οὐ παίζεται. ταῦτα τῶν μίμων, καὶ τῶν ὀρχηστῶν ἐστι τῶν ἐν ταῖς σκηναῖς διημερευόντων. γυναικὶ δὲ κοσμίᾳ οὐδὲν τούτων πρέπει. μετὰ αἰδοῦς, φησι, καὶ σωφροσύνης. μὴ τοίνυν τὰς ἑταιριζομένας μιμοῦ. διὰ γὰρ τούτου τοῦ σχήματος ἐκεῖναι πολλοὺς ἐπισπῶνται τοὺς ἐραστὰς, κἀντεῦθεν πολλαὶ πονηρὰν ἔλαβον ὑπόψιν πολλάκις, καὶ οὐδὲν ἐκ τοῦ κόσμου τούτου ἀπώναντο· πολλοὺς γὰρ διὰ τῆς δόξης ταύτης ἔβλαψαν. ὥσπερ γὰρ ἡ πεπορνευμένη κἂν ἔχῃ σώφρονος δόξαν, οὐδὲν τῆς δόξης ἀπώνατο, τοῦ τὰ κρύφια δικάζοντος τότε πάντα εἰς μέσον ἄγοντος· οὕτως οὐδὲ ἡ σώφρων, ἂν ἐπιτηδεύσῃ διὰ τοῦ σχήματος μοιχείας δόξαν λαβεῖν, ἀπώνατό τι τῆς σωφροσύνης. πολλοὶ γὰρ διὰ τῆς δόξης ταύτης ἐβλάβησαν. τί οὖν ἐγὼ πάθω, φησὶν, ἂν ἕτερος ὑποπτεύσῃ; σὺ δίδως τὴν ἀφορμὴν διὰ τοῦ σχήματος, διὰ τοῦ βλέμματος, διὰ τῶν κινημάτων. διὰ τοῦτο πολὺς τῷ Παύλῳ λόγος τῆς ἀμφιάσεως, πολὺς τῆς αἰδοῦς. εἰ δὲ ἃ πλούτου μόνον ἐστὶ τεκμήρια ταῦτα περιεῖλε, χρυσὸν, μαργαρίτας, ἱμάτια πολυτελῆ, πῶς οὐ πολλῷ μᾶλλον ἃ περιεργίας ἐστὶν, οἷον ἐπιτρίμματα, ὑπογραφὰς ὀφθαλμῶν, διατεθρυμμένην βάδισιν, διακεκλασμένην φωνὴν, ὄμμα ὑγρὸν καὶ πάσης πορνείας γέμον, περίεργον ἀναβολὴν τοῦ φάρους, τοῦ χιτωνίσκου, ζώνην περιεργοτέραν, ὑποδήματα ἀπηρτισμένα; ἅπαντα γὰρ ταῦτα διὰ τοῦ εἰπεῖν, ἐν καταστολῇ κοσμίᾳ, ᾐνίξατο, καὶ διὰ τοῦ εἰπεῖν μετὰ αἰδοῦς. ταῦτα γὰρ ἀναιδείας ἐστὶ καὶ ἀσχημοσύνης. ἀνάσχεσθε μου, παρακαλῶ. γυμνότερον γὰρ ὁ λόγος τοὺς ἐλέγχους προσάγει, οὐχ ἵνα πλήξῃ, οὐδ' ἵνα λυπήσῃ, ἀλλ' ἵνα τὸ ἀλλότριον τῆς ἀγέλης ἅπαν περιέλῃ. εἰ ταῖς ἄνδρας ἐχούσαις, εἰ ταῖς τρυφώσαις, εἰ ταῖς πλουτούσαις ταῦτα ἀπαγορεύει, πολλῷ μᾶλλον ταῖς παρθενίαν ἀναδεδεγμέναις. καὶ τίς, φησι, παρθένος χρυσία περιτίθεται; τίς δὲ ἐμπλέγματα; τοσαύτη ἡ τοῦ λιτοῦ σχήματός ἐστι περιεργία, ὡς ταῦτα μηδὲν εἶναι πρὸς ἐκεῖνα. ἔνεστι γὰρ καὶ δι' εὐτελῶν ἱματίων μᾶλλον καλλωπίζεσθαι τῶν τὰ χρυσία περικειμένων. ὅταν γὰρ σφόδρα ἦ κυανοῦς ὁ χιτὼν, καὶ τῇ ζώνῃ συνεσταλμένος μετὰ πολλῆς τῆς ἀκριβείας περὶ τὸ στῆθος, καθάπερ τούτων τῶν ἐπὶ τῆς σκηνῆς ὀρχουμένων, ὥστε μήτε εἰς πλάτος ἐκβαίνειν ἐξωγκωμένον, μήτε εἰς ἰσχνότητα συστέλλεσθαι, ἀλλ' ἀμφοτέρων εἶναι μέσον, καὶ πολλὰς ἔχειν

γρ. ἁρπάζῃ

γρ. ἐπισπῶνται δυνάνται

γρ. λιτοῦ

χεῖν περὶ τὰ στέρνα τὰς ῥυτίδας, πόσων συνελκόμενα οὐχ ἱκανὸν τοῦτο δελεάσαι μᾶλλον. τί δὲ ὅταν τὸ ὑπόδημα ἐν τῷ μέλανι σφόδρα ἀποστίλβῃ δι' αὐτοῦ, λῆγον εἰς ὀξὺ, καὶ τὴν ἐν ταῖς ζωγραφίαις εὐφυΐαν ἢ μιμούμενον, ὥστε μηδὲ τὸ πρόσωπον αἰσχύνειν πολύ; τί δὲ, ὅταν τὴν ὄψιν ἐπιτρίμμασι μὲν μὴ καλλωπίζῃς, ἀπονίπτῃς δὲ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ τῆς σχολῆς καὶ διαπονήσεως μετὰ τοῦ μετώπου πολὺ τῆς ὄψεως λευκότερον τὸ κάλυμμα, εἶτα ἄνωθεν τὸ φάρος ἐπιθῇς, ὥστε ἀντὶ τοῦ λευκοῦ τὸ μέλαν ἐμπρέπῃ; τί δ' ἄν τις εἴποι περὶ τῶν ὀφθαλμῶν τὰς μυρίας ἐκείνας περιστροφάς; περὶ τῆς δέσεως, τῆς νῦν μὲν κρυπτομένης, νῦν δὲ γυμνουμένης ἐν τῇ δέσει τῆς περιστηθίδος; καὶ γὰρ καὶ τοῦτο γυμνοῦσι πολλάκις, ὥστε τοῦ ζώσματος τὴν ἀκρίβειαν φαίνεσθαι, τοῦ φάρους πάντοθεν περὶ τὴν κεφαλὴν περιαιρουμένου. τὰς δὲ χεῖρας ἐνθάπερ οἱ τραγῳδοὶ, ὑπὸ μετὰ ἀκριβείας ἐνδιδύσκουσιν, ὥστε νομίζειν περιπεφυκέναι μᾶλλον αὐταῖς. τί δ' ἄν τις εἴποι τὴν βάδισιν, καὶ τὰ ἄλλα ἐπιτηδεύματα πάντως χρυσίου μᾶλλον δυνάμενα τοὺς θεωμένους ἑλεῖν; φοβηθῶμεν, ἀγαπητοὶ, μὴ ἀκούσωμεν καὶ ἡμεῖς, ἅπερ ὁ προφήτης ἔλεγε ταῖς τῶν Ἑβραίων γυναιξὶ περὶ τὸν κόσμον τὸν ἔξωθεν ἠσχολημέναις· Ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις. Ησ. γ. κγ.
ὥστε ταῦτα μᾶλλον ἐπαγωγὰ τῶν χρυσίων ἐστὶν, ὡς πολλῶν ἑτέρων καὶ πρὸς τοῦτο ἐπιτηδευομένων, πρὸς τὸ ὁρᾶσθαι καὶ αἰχμαλωτίζειν τοὺς θεωμένους. οὐκ ἔστι μικρὸν τὸ ἁμάρτημα, ἀλλὰ καὶ σφόδρα μέγα. ἰσχύουσι παροξῦναι τὸν Θεὸν, ἰσχύουσι πάντα τὸν πόνον τῆς παρθενίας λυμήνασθαι. Χριστὸν ἔχεις νυμφίον· τί ἐραστὰς ἀνθρώπους ἐπισπᾶσαι; μοιχείας σε τότε κρινεῖ. διὰ τί μὴ κοσμεῖ τὸν κόσμον τὸν αὐτῷ ἀρέσκοντα, τὸν αὐτῷ φίλον, τὴν αἰδῶ, τὴν σωφροσύνην, τὴν κοσμιότητα, τὴν σώφρονα καταστολήν; αὕτη πορνική τίς ἐστι καὶ αἰσχρά. οὐκέτι διαγινώσκομεν τὰς πόρνας καὶ τὰς παρθένους. ὅρα εἰς πόσην ἀσχημοσύνην ἐξήγαγον ἑαυτάς. ἀνεπιτήδευτον εἶναι χρὴ τὴν παρθένον, ἁπλῶς καὶ εἰκῆ διεσκευασμένην· ἡ δὲ μυρία ἐπιτηδεύει πρὸς τὴν φαινομένην διασκευήν. παῦσαι τῆς μανίας, γύναι, ἐπὶ τὴν ψυχὴν μετάγαγε τὴν τοιαύτην σπουδὴν, ἐπὶ τὴν ἔσω εὐπρέπειαν. αὐτὸς γὰρ ὁ κόσμος ὁ ἔξωθεν περικείμενος οὐκ ἀφίησι τὸν ἔνδον φαίνεσθαι καλόν. ὁ περὶ τοῦτον ἠσχολημένος, τοῦ ἔνδον καταφρονεῖ, ὥσπερ ὁ τούτου καταφρονῶν, πᾶσαν τὴν σπουδὴν περὶ τὸν ἔνδον ἐνδείκνυται. μή μοι εἴπῃς, οἴμοι, ἱμάτιον ἐκτετριμμένον φορῶ, ὑπόδημα εὐτελὲς, κάλυμμα οὐδαμινόν· ποῖος ταῦτα κόσμος; μὴ ἀπάτα σαυτήν. ἔνεστιν, ὅταν θέλῃς, διὰ τούτων μειζόνως καλλωπίζεσθαι, ἢ δι' ἐκείνων, μάλιστα διὰ τῶν ἐκτετριμμένων ἱματίων, ἢ τῶν προσαπεπλασμένων τῷ σώματι, καὶ ἐκτετυπωμένων καλῶς πρὸς τὸ σχῆμα τὸ ἀναιδὲς, καὶ στιλβόντων χαμαιπετῶν. ἐμοὶ ταῦτα λέγεις· τί δὲ τῷ Θεῷ ἐρεῖς τῷ τὴν διάνοιαν εἰδότι, μεθ' ἧς ταῦτα ποιεῖς; ἀλλ' οὐχ ὥστε πορνεῦσαι ποιεῖς· ἀλλὰ τί; ὥστε θαυμασθῆναι; καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς ἐπὶ τούτοις βουλομένη θαυμάζεσθαι; ἀλλ' ἁπλῶς, φησὶ, ταῦτα περίκειμαι, οὐδὲ ἐπὶ τούτῳ. οἶδεν ὁ Θεὸς ἃ φθέγγῃ πρὸς ἡμᾶς. μὴ γὰρ ἐμοὶ δίδως λόγον; ἐκείνῳ τῷ παρόντι τοῖς γινομένοις, καὶ τότε διεξετάζοντι ταῦτα, ἐκείνῳ οὗ γυμνὰ καὶ τετραχηλισμένα πάντα. διὰ τοῦτο καὶ ἡμεῖς ταῦτα λέγομεν νῦν, ἵνα ὑμᾶς τῶν ἀθλίων ἐκείνων μὴ ποιήσωμεν ἐνόχους. φοβούμεθα μὴ καὶ ὑμῖν ὀνειδίσῃ, ἃ διὰ τοῦ προφήτου ταῖς Ἰουδαίων γυναιξὶν, Ἦλθον ὀφθαλμοῖς μοι θρυπτόμεναι, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι. Ησ. γ. ιϛ.
ἀποδέξασθε ἀγῶνα μέγαν, ἔνθα ἀθλήσεως, οὐ καλλωπισμοῦ δεῖ, πυκτεύειν δεῖ, οὐ βλακεύειν. οὐχ ὁρᾷς τοὺς πυκτεύοντας, τοὺς ἀθλοῦντας; ἆρα βαδίσεως αὐτοῖς μέλει, καὶ σχήματος; οὐδαμῶς. ἀλλὰ ταῦτα πάντα ἀφέντες, ἱμάτιον ἐλαίῳ διαβεβρεγμένον ἀναβαλλόμενοι, πρὸς ἓν μόνον ὁρῶσι, τὸ πλῆξαι, καὶ μὴ πληγῆναι. ἕστηκεν ὁ διάβολος τρίζων τοὺς ὀδόντας πανταχόθεν σε βουλόμενος καθελεῖν· σὺ δὲ μένεις ἀπησχολημένη περὶ τὸν κόσμον τοῦτον τὸν σατανικόν. οὐδὲν βούλομαι λέγειν περὶ φωνῆς, πῶς πολλαὶ καὶ τοῦτο ἐπιτηδεύουσι, περὶ μύρων, καὶ τῆς ἄλλης βλακείας. διὰ ταῦτα γελῶσιν ἡμᾶς αἱ κοσμικαί. τὸ σε-

μνὸν τῆς παρθενίας ἀπώλεσεν· οὐδεὶς τιμᾷ παρθένον, ὡς τιμᾶν χρή. ἑαυτὰς γὰρ ἀτιμάζεσθαι πεποιήκασιν. οὐκ ἔδει, ὥσπερ ἐξ οὐρανοῦ παραγινομένας, οὕτως εἶναι περιβλέπτους ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ; νῦν δὲ καταπεφρόνηνται δι' ἑαυτὰς, οὐ διὰ τὰς φρονίμους. ὅταν γὰρ ἴδῃς τὴν ἐσταυρωμένην εἶναι ὀφείλουσαν ἢ ἄνδρα ἔχουσαν καὶ παιδία, καὶ οἰκίας προεστῶσαν, μᾶλλον αὐτῆς τὸν κόσμον τοῦτον διώκουσαν, πῶς οὐ καταγελάσεται; πῶς οὐ καταφρονήσει; ὁρᾷς πόση ἡ σπουδή; πόση ἡ μελέτη; δι' εὐτελείας νικᾷς τὴν κοσμουμένην τὰ πολυτελῆ, μᾶλλον αὐτῆς καλλωπιζομένη τῆς τὰ χρυσία περικειμένης. ἃ πρέπει σοι οὐ ζητεῖς, ἃ οὐ πρέπει σοι ἐκεῖνα μετέρχῃ, δέον σε τὰ ἀγαθὰ ἔργα μετιέναι. διὰ τοῦτο τῶν κοσμικῶν ἀτιμότεραι αἱ παρθένοι· οὐ γὰρ ἄξια τῆς παρθενίας τὰ ἔργα ἐπιδείκνυνται. ταῦτα εἴρηκα μὲν οὐ πρὸς πάσας, μᾶλλον δὲ πρὸς πάσας, τὰς μὲν ὑπευθύνους, ἵνα σωφρονισθῶσι, τὰς δὲ ἀνευθύνους, ἵνα ἐκείνας σωφρονίζωσιν. ἀλλ' ὁρᾶτε ὅπως μὴ εἰς ἔργον ἡ ἐπιτίμησις ἔλθῃ. οὐ γὰρ ἵνα λυπήσωμεν, εἴπομεν, ἀλλ' ἵνα διορθωσώμεθα, ἵνα καυχησώμεθα ἐν ὑμῖν. γένοιτο δὲ πάντας ἡμᾶς τὰ τῷ Θεῷ δοκοῦντα ποιεῖν, καὶ εἰς δόξαν αὐτοῦ ζῆν, ὥστε καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν.

Λογ. θ. 11 ΓΥΝΗ ΕΝ ΗΣΥΧΙΑ ΜΑΝΘΑΝΕΤΩ ΕΝ πάσῃ ὑποταγῇ. 12 Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. 13 Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· 14 Καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε· 15 Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

ΠΟλλὴν ἀπαιτεῖ τὴν αἰδῶ παρὰ τῶν γυναικῶν ὁ μακάριος Παῦλος, πολλὴν τὴν κοσμιότητα. διὰ τοῦτο οὐ μέχρι σχήματος, οὐ μέχρι καταστολῆς προέβη, ἀλλὰ καὶ μέχρι φωνῆς. καὶ τί φησι; γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω. τί ἐστι τοῦτο; μηδὲ φθεγγέσθω, φησὶν, ἐν ἐκκλησίᾳ γυνή, ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγεν· Αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν. τί δήποτε; ὅτι ὁ νόμος αὐτὰς, φησιν, ὑπέταξε. καὶ πάλιν ἑτέρωθι, Εἰ δέ τι μανθάνειν ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. ἀλλὰ τότε μὲν αἱ γυναῖκες ἀπὸ τῆς τοιαύτης διδασκαλίας ἐσίγων· νυνὶ δὲ παρ' αὐταῖς πολὺς ὁ θόρυβος, πολλὴ ἡ κραυγή, πολλὴ ἡ διάλεξις, οὐδαμοῦ ἀλλαχοῦ τοσαύτη, ὅση ἐνταῦθα· πάσας διαλεγομένας ἴδοι τις ἄν, ὅσα οὔτε ἐν ἀγορᾷ, οὔτε ἐν βαλανείοις. ὥσπερ γὰρ δι' αὐτὸ τοῦτο παραγινόμεναι, ἵνα ἄνεσιν ἔχωσιν, οὕτω περὶ τὴν τῶν ἀνονήτων διάλεξιν ἠσχόληνται ἅπασαι. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, καὶ οὐκ ἐννοοῦσιν, ὅτι οὐδέ ἐστιν ἄλλως μαθεῖν τι τῶν χρησίμων μὴ ἡσυχαζούσας. ὅταν γὰρ ἐπείγηται μὲν πρὸς τὴν διάλεξιν ὁ λόγος, μηδεὶς δὲ προσέχῃ τοῖς λεγομένοις, τί τὸ ὄφελος; τοσοῦτον γὰρ αὐτὴν σιγηρὰν εἶναι δεῖ, φησιν, ὡς μὴ μόνον περὶ βιωτικῶν, ἀλλὰ μηδὲ περὶ πνευματικῶν φθέγγεσθαι ἐν ἐκκλησίᾳ. τοῦτο κόσμος, τοῦτο αἰδὼς, τοῦτο μᾶλλον αὐτὴν τῶν ἱματίων κοσμῆσαι δυνήσεται. ἂν οὕτως ἑαυτὴν περιστέλλῃ, δυνήσεται καὶ μετὰ πολλῆς τῆς εὐκοσμίας τὰς εὐχὰς ποιεῖσθαι. γυναικὶ δὲ οὐκ ἐπιτρέπω διδάσκειν. οὐκ ἐπιτρέπω, φησί. ποίαν ἐνταῦθα τοῦτο ἔχει τὴν ἀκολουθίαν; καὶ πολλήν. περὶ ἡσυχίας διελέγετο, περὶ κοσμιότητος, περὶ αἰδοῦς, εἶπεν ὅτι λαλεῖν αὐτὰς οὐ βούλομαι. πάλιν τοίνυν βουλόμενος αὐτῶν περικόψαι τὴν ἀφορμὴν τῆς λαλιᾶς, μηδὲ διδασκέτωσαν, φησιν, ἀλλὰ τὴν τῶν μανθανόντων ἐχέτωσαν τάξιν. οὕτω γὰρ διὰ τῆς σιγῆς τὴν ὑποταγὴν δείξουσι. λέγει

γὰρ

α. Κορ ιδ. λε.

γάρ πως τὸ γένος ἐστὶ διὰ τὸ πρῶτον αὐτῆς καταστέλλει. Ἀδὰμ γάρ, φησι, πρῶτος ἐπλάσθη, εἶτα Εὔα. καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. τί οὖν τοῦτο πρὸς ταύτας νῦν; ναί, φησι. τῆς πλείονος ἀπήλαυσε τιμῆς τὸ τῶν ἀνδρῶν γένος. πρότερον ἐπλάσθη. ἀλλαχοῦ δὲ καὶ τὸ μεῖζον ἔδειξεν, οὕτω λέγων· Οὐ γὰρ ἐπλάσθη ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα. (α. Κορ. ια. β.) τί οὖν τοῦτο λέγει; πολλαχόθεν βουλόμενος τὸν ἄνδρα προτεύειν. πρῶτος μὲν γάρ, ἀπὸ τούτων ἐχέτω τὰ πρεσβεῖα, φησί, δεύτερον δὲ ἀπὸ τῶν ἤδη γενομένων. ἐδίδαξε ποτὲ τὸν ἄνδρα, καὶ πάντα κατέστρεψε, καὶ τῇ παρακοῇ ὑπεύθυνον ἐποίησε. διὰ τοῦτο αὐτὴν ὑπέταξεν ὁ Θεός, ἐπειδὴ τῇ ἀρχῇ, μᾶλλον δὲ τῇ ἰσοτιμίᾳ κακῶς ἐχρήσατο. Πρὸς τὸν ἄνδρα σου, φησιν, ἡ ἀποστροφή σου. (Γεν. γ. ις.) πρὸ δὲ τούτου οὐκ εἴρητο τοῦτο. πῶς δὲ Ἀδὰμ οὐκ ἠπατήθη; ἐκεῖνο οὐ παρήκουσεν, εἴγε οὐκ ἠπατήθη. πρόσεχε ἀκριβῶς. ἡ γυνὴ φησιν, Ὁ ὄφις ἠπάτησέ με. ὁ δὲ Ἀδὰμ οὐ λέγει, ἡ γυνὴ ἠπάτησέ με, ἀλλ' ὅτι αὐτή μοι ἔδωκε, καὶ ἔφαγον. (Γεν. γ. ιγ. ιβ.) οὐκ ἔστι δὲ ἴσον παρὰ τῆς ὁμοφύλου καὶ συγγενοῦς δέξασθαι τὴν ἀπάτην, καὶ παρὰ θηρίου, τοῦ δούλου, τοῦ ὑποτεταγμένου. ὄντως ἐκεῖνο ἀπάτης ἐστί. πρὸς οὖν τὴν σύγκρισιν τῆς γυναικὸς φησιν αὐτὸν μὴ ἠπατῆσθαι. ἐκείνη μὲν γὰρ ὑπὸ τοῦ δούλου καὶ ὑποτεταγμένου, οὗτος δὲ ὑπὸ τῆς ἐλευθέρας. πάλιν δὲ οὐ περὶ τοῦ Ἀδὰμ εἴρηται, ὅτι εἶδε τὸ ξύλον ὅτι καλὸν εἰς βρῶσιν, ἀλλὰ περὶ τῆς γυναικός, καὶ ὅτι ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς. ὥστε οὐκ ἦν οὐκ ἐπιθυμίᾳ ἁλοὺς παρέβη, ἀλλὰ τῇ γυναικὶ πεισθεὶς ἁπλῶς. ἐδίδαξεν ἅπαξ ἡ γυνή, καὶ πάντα κατέστρεψε. διὰ τοῦτό φησι, μὴ διδασκέτω. τί οὖν πρὸς τὰς λοιπάς, εἰ ἐκείνη τοῦτο ἔπαθε; καὶ πάνυ. τὸ γὰρ γένος ἀσθενὲς καὶ κοῦφον. ἄλλως δέ, περὶ τῆς φύσεως ἐνταῦθα πάσης λέγεται. οὐ γὰρ εἶπεν, ἡ δὲ Εὔα ἀπατηθεῖσα, ἀλλ', ἡ γυνή, ὅπερ ἐστὶν ὄνομα τοῦ κοινοῦ γένους μᾶλλον ἢ ἐκείνης. τί οὖν, πᾶσα ἡ φύσις ἐν παραβάσει γέγονε δι' ἐκείνης; ὥσπερ περὶ τοῦ Ἀδάμ φησιν, ὅτι ἐν ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος, (Ρωμ. ε. ιδ.) οὕτω καὶ ἐνταῦθα τὸ γυναικεῖον γένος παρέβη, [οὐ τὸ ἄρρεν.] τί οὖν; οὐκ ἔχει σωτηρίαν; ναί, φησι. ποίαν δὴ ταύτην; τὴν διὰ τῶν τέκνων. οὐ γὰρ δὴ περὶ τῆς Εὔας ἔλεγεν. ἐὰν μείνωσιν ἐν τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. ποίᾳ πίστει; ποίᾳ ἀγάπῃ; ποίῳ ἁγιασμῷ μετὰ σωφροσύνης; ὡς ἂν εἰ ἔλεγε· μὴ κατηφεῖς ἔστε αἱ γυναῖκες, ὅτι τὸ γένος ὑμῶν διαβέβληται. ἔδωκεν ὑμῖν ὁ Θεὸς καὶ ἑτέραν ἀφορμὴν σωτηρίας, τὴν παιδοτροφίαν· ὥστε μὴ μόνον δι' ἑαυτῶν, ἀλλὰ καὶ δι' ἑτέρων σώζεσθαι. ὅρα πόσα κατὰ ταῦτα ζητήματα τίκτεται. ἡ γυνὴ ἀπατηθεῖσα, φησιν, ἐν παραβάσει γέγονε. τίς; ἡ Εὔα. αὐτὴ οὖν σωθήσεται διὰ τῆς τεκνογονίας; οὐ τοῦτό φησιν, ἀλλ' ὅτι ἡ φύσις ἡ γυναικεία σωθήσεται. αὐτὴ δὲ οὐκ ἐν παραβάσει γέγονε; ναί, γέγονεν, ἀλλὰ παρέβη μὲν ἡ Εὔα, σωθήσεται δὲ τὸ γυναικεῖον γένος διὰ τῆς τεκνογονίας. διὰ τί γὰρ μὴ καὶ διὰ τῆς οἰκείας ἀρετῆς; μὴ γὰρ ἐκείνη τοῦτο ταῖς ἄλλαις ἀπέκλεισε; τί οὖν πρὸς τὰς παρθένους; τί δὲ πρὸς τὰς στείρας; τί δὲ πρὸς τὰς χήρας, τὰς πρὶν ἢ τεκεῖν τοὺς ἄνδρας ἀποβαλούσας; ἀπολώλασιν; ἐλπίδα οὐκ ἔχουσι; καὶ μὴν αἱ παρθένοι εἰσὶν αἱ μάλιστα εὐδοκιμοῦσαι. (ἱερωμένων) τί ποτε οὖν βούλεται εἰπεῖν; τινές φασιν, ὅτι ὥσπερ τὸ πᾶν γένος ὑπέταξεν ἀπὸ τῆς διαπλάσεως διὰ τὸ εἰς τὴν πρώτην γενομένην γυναῖκα (ἐπειδὴ γὰρ ἡ Εὔα δευτέρα ἐπλάσθη καὶ ὑπετάγη, καὶ τὸ λοιπὸν γένος ὑποτάσσεσθαι, φησιν) οὕτως ἄρα ἐπειδὴ καὶ παρέβη, καὶ τὸ λοιπὸν γένος γέγονεν ἐν τῇ παραβάσει. ἀλλ' οὐκ ἔχει λόγον. ἐκεῖ μὲν γὰρ τῆς τοῦ Θεοῦ δωρεᾶς γέγονε τὸ πᾶν, ἐνταῦθα δὲ τῆς ἁμαρτίας τῆς γυναικός. ὃ οὖν λέγει τοῦτό ἐστιν· ὅτι ὥσπερ πάντες ἀπέθανον οἱ ἄνθρωποι διὰ τοῦ ἑνός, ἐπειδὴ ὁ εἷς ἥμαρτεν, οὕτω καὶ πᾶν τὸ γυναικεῖον γένος παρέβη, ἐπειδὴ ἐν παραβάσει γέγονεν ἡ γυνή. μηδὲν οὖν ἀλγείτω. ἔδωκεν αὐτῇ ὁ Θεὸς παραμυθίαν οὐ μικράν, τὸ τεκεῖν παιδία. ἀλλὰ τοῦτο τῆς φύσεως, φησι. καὶ ἐκεῖνο τῆς φύσεως. οὐ γὰρ μόνον τὸ τῆς φύσεως, ἀλλὰ καὶ τὸ τῆς παιδοτροφίας κεχάρισται.

κεχαρίσθαι. ἐὰν ἐπιμείνωσι, φησὶ, τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης, τουτέστιν, ἐὰν αὐτοὺς ἐν ἀγάπῃ μετὰ τὸ τεκεῖν καὶ ἁγνείᾳ διατηρήσωσιν. ἐν τούτοις οὐ μικρὸν ἕξουσι τὸν παρὰ τούτων μισθὸν, ἀλλὰ καὶ σφόδρα μέγαν, ὅτι ἀθλητὰς ἐξέθρεψαν τῷ Χριστῷ. ἁγιασμὸν δὲ τὸν ὀρθὸν λέγει βίον, σωφροσύνην δὲ τὴν κοσμιότητα.

κεφ. γ. 1 Πιστὸς ὁ λόγος. Πρὸς τοῦτο εἴρηται, οὐ πρὸς τὸ, Εἴ τις ἐπισκοπῆς ὀρέγεται. ἐπειδὴ γὰρ τοῦτο ἀμφιβαλλόμενον ἦν, διὰ τοῦτο λέγει, πιστὸς ὁ λόγος, ὅτι δυνήσονται πατέρες ἀπολαύειν τῆς τῶν παίδων ἀρετῆς, καὶ μητέρες, ὅταν αὐτοὺς ἐκθρέψωσι καλῶς. τί οὖν ἂν αὐτὴ μὲν ᾖ μοχθηρὰ καὶ μυρίων κακῶν γέμουσα; ἆρα ἀπὸ τῆς παιδοτροφίας ὠφεληθήσεται; οὐκ εἰκὸς δὲ μᾶλλον τοιούτους αὐτοὺς τρέφειν ὁμοίους αὐτῇ; περὶ τῆς ἐναρέτου ταῦτά φησιν, οὐ τῆς τυχούσης, ὅτι πολὺν καὶ τούτου λήψεται μισθὸν καὶ ἀμοιβήν.

ΗΘΙΚΟΝ

Ἀκούσατε ταῦτα πατέρες καὶ μητέρες, ὡς οὐκ ἄμισθος ὑμῖν ἔσται ἡ παιδοτροφία. τοῦτο οὖν καὶ περὶ χηρῶν φησιν, Ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησε. (α. Τιμ. ε. ι.) μετὰ τῶν ἄλλων καὶ αὐτὸ τίθησιν. οὐ γάρ ἐστι τοῦτο μικρὸν τὸ τὰ δοθέντα παιδία παρὰ Θεοῦ, ταῦτα τῷ Θεῷ ἀναθεῖναι. ἂν γὰρ τὴν κρηπῖδα καὶ τοὺς θεμελίους καλοὺς ἔχοιεν τῆς καταβολῆς, μέγαν ἕξουσι τὸν μισθὸν, ὥσπερ οὖν ἀμελοῦντες, τὴν κόλασιν· ἐπεὶ καὶ ὁ Ἡλεὶ διὰ τοὺς παῖδας ἀπώλετο τοὺς ἑαυτοῦ. ἐχρῆν γὰρ αὐτοὺς νουθετεῖν. καὶ μὴν ἐνουθέτει, ἀλλ' οὐχ ὡς ἔδει· ἀλλὰ μὴ βουληθεὶς αὐτοὺς λυπῆσαι, καὶ αὐτοὺς καὶ ἑαυτὸν προσαπώλεσεν. ἀκούσατε ταῦτα οἱ πατέρες, παιδεύετε ὑμῶν τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου μετὰ πολλῆς τῆς ἐπιστροφῆς. ἄγριον ἡ νεότης, πολλῶν δεομένη τῶν ἐπιστατούντων, διδασκάλων, παιδαγωγῶν, ἀκολούθων, τροφέων. ἀγαπητὸν γὰρ μετὰ τοσαῦτα *κατασχεθῆναι αὐτήν· καθάπερ τις ἵππος ἀδάμαστος, καθάπερ τι θηρίον ἀτίθασσον, [τοιοῦτόν] ἐστιν ἡ νεότης. ἂν τοίνυν ἄνωθεν καὶ ἐκ πρώτης ἡλικίας ὅρους αὐτῇ πήξωμεν καλοὺς, οὐ δεησόμεθα πολλῶν μετὰ ταῦτα πόνων· ἀλλ' ἡ συνήθεια νόμος αὐτοῖς ἔσται λοιπόν. μηδὲν ἐῶμεν αὐτοὺς τῶν ἡδέων καὶ βλαβερῶν ποιεῖν, μηδὲ ὡς παισὶ χαριζώμεθα· ἐν σωφροσύνῃ μάλιστα διατηρῶμεν αὐτούς. τοῦτο γὰρ πάντων πλέον τὴν νεότητα λυμαίνεται. πρὸς τοῦτο πολλῶν ἡμῖν δεῖ τῶν ἀγώνων, πολλῆς τῆς προσοχῆς. ταχέως αὐτοῖς γυναῖκας ἄγωμεν, ὥστε καθαρὰ αὐτῶν καὶ ἀνέπαφα τὰ σώματα δέχεσθαι τὴν νύμφην· οὕτως οἱ ἔρωτες θερμότεροι. ὁ πρὸ τοῦ γάμου σωφρονῶν, πολλῷ μᾶλλον μετὰ τὸν γάμον· ὁ δὲ μαθὼν πορνεύειν πρὸ τοῦ γάμου, καὶ μετὰ τὸν γάμον τοῦτο ποιήσει. Ἀνδρὶ γὰρ, φησὶ, πόρνῳ πᾶς ἄρτος ἡδύς. διὰ τοῦτο "στέφανοι ταῖς κεφαλαῖς" ἐπιτίθενται, σύμβολον τῆς νίκης, ὅτι ἀήττητοι γενόμενοι, οὕτω προσέρχονται τῇ εὐνῇ, ὅτι μὴ κατηγωνίσθησαν ὑπὸ τῆς ἡδονῆς. εἰ δὲ ἁλοὺς ὑπὸ τῆς ἡδονῆς πόρναις ἑαυτὸν ἐξέδωκε, τίνος ἕνεκεν λοιπὸν καὶ στέφανον ἔχει ἐπὶ τῆς κεφαλῆς ἡττημένος; ταῦτα αὐτοῖς παραινῶμεν, τούτοις νουθετῶμεν, φοβῶμεν, ἀπειλῶμεν, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο ποιοῦντες. μεγάλην παρακαταθήκην ἔχομεν τὰ παιδία. φροντίζωμεν τοίνυν αὐτῶν, καὶ πάντα ποιῶμεν, μὴ ὁ πονηρὸς ἡμᾶς αὐτοὺς ἀφέληται. νῦν δὲ πάντα ἀπεναντίας γίνεται παρ' ἡμῖν. ὅπως μὲν γὰρ ἔσται τὸ χωρίον καλὸν, πάντα πράττομεν, καὶ ὅπως ἀνδρί τινι τοῦτο ἐγχειρίσωμεν, καὶ ὀνηλάτην, καὶ ὀρεωκόμον, καὶ ἐπίτροπον, καὶ λογοθέτην εὐνούστατον ἐπιζητοῦμεν· ὃ δὲ πάντων ἡμῖν ἐστι τιμιώτερον, ὅπως τὸν υἱὸν ἐπιτρέψωμεν τινὶ τῷ δυναμένῳ αὐτῷ τὴν σωφροσύνην διατηρῆσαι, οὐ σκοποῦμεν. καίτοι τοῦτο πάντων ἐστὶ τὸ κτῆμα τιμιώτερον, καὶ ἐκεῖνα διὰ τοῦτο γίνεται. τῶν μὲν οὖν κτημάτων αὐτοῖς φροντίζομεν· αὐτῶν δὲ οὐκέτι. ὁρᾷς τὴν ἀλογίαν; ἄσκησον τοῦ παιδὸς τὴν ψυχὴν, κἀκεῖνα πάντα ἔσται λοιπόν· ταύτης μὲν γὰρ οὐκ οὔσης ἀγαθῆς, οὐδὲν ὄφελος αὐτῷ τῶν χρημάτων. ταύτης δὲ κατορθωμένης, οὐδὲν βλάβος ἀπὸ τῆς πενίας. βούλει καταλιπεῖν αὐτὸν πλούσιον; δίδαξον αὐτὸν εἶναι χρηστόν. οὕτω γὰρ καὶ τὰ κτήματα συγκροτῆσαι δυνήσεται. καὶ ἐὰν μὴ κτήσηται, τῶν κεκτημένων οὐδὲν ἔλαττον διακείσεται. ἂν δὲ πονηρὸς ᾖ, κἂν μυρία καταλίπῃς

αὐτῷ,

αὐτῷ, τὸν φύλακα οὐ κατέλιπες, ἀλλὰ τῶν εἰς ἔσχατον πενίας ἐληλακότων χείρονα ἐποίησας. τοῖς γὰρ μὴ ῥυθμισθεῖσι τῶν παίδων καλῶς, βέλτιον πλούτου πενία. ἐκείνη μὲν γὰρ καὶ ἄκοντας κατέχει ἐν ἀρετῇ· οὗτος δὲ οὐδὲ βουλομένους ἀφίησι σωφρονεῖν, ἀλλ' ἐξάγει, καὶ καταστρέφει, καὶ μυρίοις ἐμβάλλει δεινοῖς. αἱ μητέρες τὰς θυγατέρας μάλιστα διανείμασθε. εὔκολος ὑμῖν ἡ φυλακὴ αὕτη. περισκοπεῖτε, ὥστε οἰκουργοὺς εἶναι· πρὸ δὲ πάντων εὐλαβεῖς αὐτὰς εἶναι παιδεύετε, κοσμίας, χρημάτων καταφρονεῖν, ἀκαλλωπίστους μένειν. οὕτω πρὸς τὸν γάμον ἐκδότε. ἂν οὕτως αὐτὰς διαπλάττωμεν, οὐκ αὐτὰς μόνον, ἀλλὰ καὶ τὸν ἄνδρα διασώσετε τὸν μέλλοντα αὐτὴν ἀγαγέσθαι· οὐ τὸν ἄνδρα, ἀλλὰ καὶ τὰ παιδία· οὐ τὰ παιδία, ἀλλὰ καὶ τὰ ἔγγονα. τῆς γὰρ ῥίζης γενομένης καλῆς, οἱ κλάδοι ἐπὶ τὸ βέλτιον ἐκταθήσονται, καὶ πάντων τούτων λήψεσθε τὸν μισθόν. ὡς δεῖ οὖν οὐ μίαν ὠφελοῦντες ψυχὴν, ἀλλὰ πολλὰς διὰ τῆς μιᾶς, οὕτω πάντα πράττωμεν. οὕτω γὰρ δεῖ ἐκ τῆς πατρικῆς οἰκίας ἐξιέναι πρὸς γάμον, καθάπερ ἀθλητὴν ἐκ παλαίστρας, πᾶσαν δι' ἀκριβείας ἔχουσαν τὴν ἐπιστήμην, καθάπερ ζύμην ὀφείλουσαν τὸ ὅλον φύραμα εἰς τὸ ἑαυτῆς μεταστῆσαι κάλλος. καὶ οἱ παῖδες πάλιν οὕτως ἔστωσαν αἰδέσιμοι, ὡς ἀπὸ τῆς κοσμιότητος καὶ τῆς σωφροσύνης μᾶλλον διαγινώσκεσθαι, ἵνα καὶ παρὰ ἀνθρώπων, καὶ παρὰ Θεοῦ πολὺν τὸν ἔπαινον ἔχωσι. μαθέτωσαν γαστρὸς κρατεῖν, πολυτελείας ἀπέχεσθαι, οἰκονομικοί τινες εἶναι, φιλόστοργοι, μαθέτωσαν ἄρχεσθαι. οὕτω γὰρ δυνήσονται πολὺν προξενῆσαι μισθὸν τοῖς γεννῶσιν· οὕτω πάντα ἔσται εἰς δόξαν Θεοῦ καὶ εἰς σωτηρίαν ἡμετέραν*, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

βελτίων

διανείμα-

διαπλάτ-τωμεν,

τὰ παρ' ὑ-μῶν σπουδα-ζόμενα,

Λογ. ι. ΕΙ ΤΙΣ ΕΠΙΣΚΟΠΗΣ ΟΡΕΓΕΤΑΙ, ΚΑΛΟΥ ἔργου ἐπιθυμεῖ. 2 Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, 3 Μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, 4 Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος.

Μέλλων κατιέναι εἰς τὸν περὶ τῆς ἐπισκοπῆς λόγον, δείκνυσι καθάπαξ ὁποῖον εἶναι χρὴ τὸν ἐπίσκοπον, οὐκ ἐν τάξει τῆς πρὸς Τιμόθεον αὐτὸ παραινέσεως ποιῶν, ἀλλ' ὡς πᾶσι διαλεγόμενος, καὶ δι' ἐκείνου πάντας ῥυθμίζων. καὶ τί φησιν; Εἴ τις ἐπισκοπῆς ὀρέγεται, οὐκ ἐγκαλῶ, φησί. προστασίας γὰρ ἔργον ἐστίν. Εἴ τις ταύτην ἔχει τὴν ἐπιθυμίαν, ὥστε μὴ τῆς ἀρχῆς καὶ τῆς αὐθεντίας ἐφίεσθαι μόνον, ἀλλὰ τῆς προστ..ας, οὐκ ἐγκαλῶ. καλοῦ γὰρ ἔργου ἐπιθυμεῖ, φησίν. ἐπεὶ καὶ Μωϋσῆς ἐπεθύμησε τοῦ πράγματος, ἀλλ' οὐ τῆς ἐξουσίας, καὶ οὕτως ἐπεθύμησεν, ὡς ἀκοῦσαι· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; Εἴ τις οὕτως ἐπιθυμήσει, ἐπιθυμείτω. ἐπισκοπὴ γὰρ εἴρηται, παρὰ τὸ ἐπισκοπεῖν ἅπαντας. δεῖ οὖν, φησί, τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα. οὐ νομοθετῶν τοῦτο φησὶν, ὡς μὴ εἶναι ἐξὸν ἄνευ τούτου γίνεσθαι, ἀλλὰ τὴν ἀμετρίαν κωλύων· ἐπειδὴ ἐπὶ τῶν Ἰουδαίων ἐξῆν καὶ δευτέροις ὁμιλεῖν γάμοις, καὶ δύο ἔχειν κατὰ ταυτὸν γυναῖκας. τίμιος γὰρ ὁ γάμος. τινὲς δὲ, ἵνα μιᾶς γυναικὸς ἀνὴρ ᾖ, φασὶ τοῦτο εἰρῆσθαι. ἀνεπίληπτον. πᾶσαν εἶπεν ἀρετὴν, ἀνεπίληπτον εἰπών. ὥστε εἴ τις συνοίδεν ἑαυτῷ τινα ἁμαρτήματα, οὐ καλῶς ποιεῖ, πράγματος ἐπιθυμῶν, οὗ διὰ τῶν ἔργων ἑαυτὸν ἐξέβαλεν. οὐ γὰρ ἄρχειν, ἀλλὰ ἄρχεσθαι δεῖ τὸν τοιοῦτον. τὸν γὰρ ἄρχοντα παντὸς λαμπτῆρος λαμπρότερον εἶναι δεῖ, καὶ βίον ἔχειν ἀκηλίδωτον, ὥστε πάντας Τιν. β. 18.

λέξιν,

πρὸς

πρὸς ἐκεῖνον ὁρᾶν, καὶ πρὸς τὸν αὐτοῦ βίον τὸν οἰκεῖον χαρακτηρίζειν. ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς τοσαύτῃ κεχρημένος τῇ παρρησίᾳ· ἀλλ' ἐπειδὴ καὶ αὐτὸς ἔμελλεν ἐπισκόποις καθιστᾶν, ὅπερ
Τιτ. α. καὶ Τίτῳ γράφων ποιεῖ. καὶ ἐπειδὴ εἰκὸς ἦν πολλοὺς τοῦ πράγματος ἐπιθυμεῖν, διὰ τοῦτο ταῦτα παραγγέλλει. νηφάλιον, φησι, τουτέστι, διεγερτικόν, μυρίους ἔχοντα πανταχόθεν ὀφθαλμοὺς, ὀξὺ βλέποντα, καὶ μὴ ἀμβλυώττοντα τὸ τῆς διανοίας ὄμμα. πολλὰ γάρ ἐστι τὰ συμπίπτοντα, καὶ οὐκ ἐῶντα ὁρᾶν καθαρῶς, καὶ ὡς ἔχει τὰ πράγματα. καὶ γὰρ καὶ ἀθυμίαι, καὶ φροντίδες, καὶ πραγμάτων ὄχλος, καὶ πολλὰ πανταχόθεν ἐπιῤῥεῖ. ἄγρυπνον τοίνυν αὐτὸν εἶναι χρὴ, οὐ τὰ ἑαυτοῦ μεριμνῶντα μόνον, ἀλλὰ καὶ τὰ τῶν λοιπῶν. διεγηγέρθαι χρὴ, καὶ ζεῖν τῷ πνεύματι, καὶ πῦρ πνέειν, ὡς εἰπεῖν, καὶ μᾶλλον στρατηγοῦ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ τὸ στράτευμα περιιόντος κάμνειν καὶ διακινδυνεύεσθαι, καὶ τὴν ὑπὲρ ἁπάντων ἔχειν φροντίδα καὶ μέριμναν. σώφρονα, κόσμιον, φιλόξενον. Ταῦτα ἐπειδὴ καὶ τῶν ἀρχομένων ἔχουσι τινὲς πολλοὶ (δεῖ γὰρ καὶ αὐτοὺς εἰς τὰ τοιαῦτα τοῖς ἄρχουσιν ἴσους εἶναι) δεικνὺς τὸ τῶν ἐπισκόπων ἐξαίρετον, ἐπήγαγε, διδακτικόν. τοῦτο γὰρ οὐκέτι ὁ ἀρχόμενος ἀπαιτεῖται· μάλιστα δὲ τοῦτο πάντων προσεῖναι δεῖ τῷ ταύτην τὴν ἀρχὴν ἐγκεχειρισμένῳ. μὴ πάροινον. οὐ τὸν μέθυσον ἐνταῦθά φησιν, ἀλλὰ τὸν ὑβριστὴν, τὸν αὐθάδη. μὴ πλήκτην. οὐ τὸν μὴ πλήττοντα φησὶ ταῖς χερσί. τί οὖν ἐστι, μὴ πλήκτην; ἐπειδή εἰσιν ἀκαίρως τινὲς πλήττοντες τῶν ἀδελφῶν τὴν συνείδησιν, τούτους νῦν αἰνίττεσθαί μοι δοκεῖ. ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. εἰ τοίνυν ὁ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, τὸν δὲ ἐπίσκοπον οὐ δεῖ τὰ τοῦ κόσμου μεριμνᾶν, πῶς φησι μιᾶς γυναικὸς ἄνδρα; τινὲς μὲν οὖν φασιν, ὅτι τὸν ἀπὸ γυναικὸς ἠνίξατο*. εἰ δὲ μὴ τοῦτο εἴη, ἔνεστι γυναῖκα ἔχοντα, ὡς μὴ ἔχοντα, εἶναι. τότε μὲν γὰρ καλῶς τοῦτο συνεχώρησεν, ὡς πρὸς τὴν τοῦ πράγματος φύσιν τὴν τότε οὖσαν. ἔνεστι δὲ αὐτὸν μεταχειρίσασθαι καλῶς, εἴ τις βούλοιτο. ὥσπερ γὰρ ὁ πλοῦτος δυσχερῶς εἰσάγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, πολλαχοῦ δὲ καὶ πλουτοῦντες εἰσῆλθον, οὕτω καὶ ὁ γάμος. τί δὲ λέγεις, εἰπέ μοι; περὶ ἐπισκόπου διαλεγόμενος ἔλεγεν, ὅτι δεῖ αὐτὸν μὴ μέθυσον εἶναι, ἀλλὰ φιλόξενον, δέον τὰ μείζονα τούτων εἰπεῖν. διὰ τί γὰρ οὐκ εἶπεν, ὅτι δεῖ δὲ τὸν ἐπίσκοπον ἄγγελον εἶναι, μηδενὶ πάθει ἀνθρωπίνῳ ὑποκεῖσθαι; ἐκεῖνα τὰ μεγάλα, ἃ Χριστὸς εἶπεν, ἃ καὶ τοὺς ἀρχομένους ἔχειν δεῖ, ἐσταυρῶσθαι, καὶ ἐν ταῖς χερσὶν ἀεὶ ἔχειν τὴν ψυχήν; ὃ καὶ ὁ
Ιωαν. ι α. Χριστὸς εἶπεν, Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· καὶ
Ματθ. ι α. λη. πάλιν, Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. ἀλλὰ μὴ πάροινον, φησι. καλαί αἱ ἐλπίδες, εἰ περὶ τούτων ὀφείλει ὁ ἐπίσκοπος παραινεῖσθαι. διὰ τί γὰρ οὐκ εἶπες, δεῖ δὲ αὐτὸν ἤδη μεταστῆναι ἐκ τῆς γῆς; ἀλλὰ ἃ τοῖς κοσμικοῖς ἐπέ-
Κολασ. γ. ε. ταξας, ταῦτα τῷ ἐπισκόπῳ οὐκ ἐπιτάττεις. τί δὲ ἐκείνοις φησί; Νεκρώσατε τὰ μέλη ὑμῶν
Ρωμ. ς. ζ. τὰ ἐπὶ τῆς γῆς· καὶ πάλιν, Ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας· καὶ πάλιν, Οἱ δὲ τοῦ
Γαλ. ε. κδ. Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν· καὶ ὁ Χριστὸς πάλιν φησίν, Ἐὰν μή τις ἀποτάξηται αὐτοῦ πᾶ-
Λουκ. ιδ. λγ. σι τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος. τίνος οὖν ἕνεκεν ταῦτα οὐκ εἴρηκεν; ὅτι τοιούτους ὀλίγους εὑρεθῆναι ἐνῆν, ἐπισκόπων δὲ ἔδει πολλῶν, καὶ καθ' ἑκάστην πόλιν τῶν προηγησομένων. ἐπεὶ οὖν ἐνεδρεύεσθαι ἔμελλε τὰ τῶν ἐκκλησιῶν, διὰ τοῦτο συμμεμετρημένην εἶπεν ἀρετὴν, οὐκ ἐκείνην τὴν ἄνω, τὴν ὑψηλήν. τὸ γὰρ νηφάλιον εἶναι καὶ κόσμιον καὶ σώφρονα, πολλῶν ἦν. τέκνα ἔχοντα, φησιν, ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. δεῖ γὰρ οἴκοθεν παρέχεσθαι τὰ παραδείγματα. τίς γὰρ πιστεύσειεν, ὅτι τὸν ἀλλότριον ὑποτάξει ὁ τὸν ἑαυτοῦ μὴ ὑποτάξας; τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον. τοῦτο καὶ οἱ ἔξωθέν φασιν, ὅτι ὁ οἰκονομικὸς, καὶ πολιτικὸς ἂν γένοιτο ταχέως. καὶ γὰρ τοῦτο ἔστιν ἡ ἐκκλησία, ὡσανεὶ μικρά τις οἰκία. καὶ ὥσπερ ἐν τῇ οἰκίᾳ εἰσὶ παιδία, γυνὴ, οἰκέται, καὶ πάντων ὁ ἀνὴρ ἀνῄρηται τὴν ἀρχὴν

οὕτω

οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ οὐδὲν ἄλλο, ἢ τοῦτό ἐστι, παιδία, γυναῖκες, οἰκέται. Εἰ δὲ κοινωνοὺς
ἔχει τῆς ἀρχῆς ὁ τῆς ἐκκλησίας προεστὼς, ἀλλ' ἔχει κἀκεῖ ὁ ἀνὴρ κοινωνὸν τὴν γυναῖκα.
ἀλλὰ τὰ περὶ διατροφὴν ἐνταῦθα τῶν χηρῶν καὶ τῶν παρθένων φροντίζειν δεῖ; ἔχει κἀ-
δούλας κεῖ ὁ ἀνὴρ τοὺς δούλους, τὰς θυγατέρας· ἄλλως δὲ καὶ εὐκολώτερον τῆς οἰκίας ἀρχή.
ὁ τοίνυν ταῦτα καλῶς οὐκ οἰκονομήσας, πῶς τὰ τῆς ἐκκλησίας οἰκονομῆσαι δυ-
νήσεται; Εἶτα εἰπὼν,

5 Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;

6 Μὴ νεόφυτον, φησί. Οὐ τὸν νεώτερον ἐνταῦθα λέγει, ἀλλὰ τὸν νεοκατήχητον. Ἐγὼ α. Κορ. γ. ϛ.
γὰρ, φησὶν, ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε. τοῦτο οὖν δηλῶσαι βου-
λόμενος, τοῦτο εἶπεν. ἐπεὶ τί ἐκώλυεν εἰπεῖν, μὴ νεώτερον; τίνος οὖν ἕνεκεν αὐτὸς τὸν Τι-
μόθεον νεώτερον ὄντα ἐποίει, καὶ μαρτυρεῖ τοῦτο πρὸς αὐτὸν λέγων, Μηδείς σου τῆς νεότητος κα- α. Τιμ. δ. ιβ.
ταφρονείτω; ἐπειδὴ γὰρ ἐξ Ἑλλήνων προσῄεσαν τότε καὶ ἐβαπτίζοντο, μὴ εὐθέως, φησὶ, νεόφυ-
τον εἰς τὸν τῆς ἀρχῆς ὄγκον ἄγετε, τουτέστι, νεοκατήχητον. Εἰ γὰρ πρὶν ἢ γενέσθαι μα-
θητὴς, διδάσκαλος γένοιτο ταχέως, καὶ εἰς ἀπόνοιαν ἔρχεται· εἰ πρὶν ἢ μαθεῖν ἄρχεσθαι,
τῶν ἀρχόντων γένοιτο, φυσᾶται. Διὰ τοῦτο ἐπήγαγεν· Ἵνα μὴ τυφωθεὶς εἰς κρί-
μα ἐμπέσῃ τοῦ διαβόλου· Τουτέστιν, εἰς τὴν καταδίκην τὴν αὐτὴν, ἣν ἐκεῖνος
ἀπὸ τῆς ἀπονοίας ὑπέμεινε.

7 Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ
καὶ παγίδα τοῦ διαβόλου. Καλῶς. μέλλει γὰρ ὀνειδίζεσθαι παρ' αὐτῶν. Τάχα καὶ διὰ
τοῦτο εἶπε, μιᾶς γυναικὸς ἄνδρα, καίτοι λέγων ἀλλαχοῦ, Θέλω πάντας ἀνθρώπους εἶναι, α. Κορ. ζ. ζ.
ὡς καὶ ἐμαυτὸν, τουτέστιν, ἐν ἐγκρατείᾳ. ἵνα οὖν μὴ εἰς στενὸν περικλείσῃ τὸ πρᾶγμα, ἐπειδὴ
ἐρετὴν ἠκριβωμένην πολιτείαν ἀπαιτήσει, διὰ τοῦτο συμμεμετρημένην ἐζήτησεν ἀρετήν. ἔ-
δει γὰρ καθίστασθαι καθ' ἑκάστην πόλιν τὸν προστησόμενον. ἄκουε γὰρ αὐτοῦ γράφοντος τῷ
Τίτῳ, Ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. τί δὲ, ἂν μαρτυρί- Τιτ α. ε.
αν ἔχῃ καλὴν, καὶ δόξαν ἀγαθὴν, μὴ ᾖ δὲ τοιοῦτος; μάλιστα μὲν οὖν δύσκολον τοῦτο. ἀγα-
ἐχθρὸς πητὸν γὰρ οὐδὲ ὀρθοὺς ὀρθὴν ἔχειν δόξαν παρὰ τοῖς ἐχθροῖς· νῦν δὲ οὐδὲ τοῦτο μόνον εἴα-
σεν. οὐ γὰρ εἶπε, δεῖ αὐτὸν μαρτυρίαν ἔχειν, ἀλλὰ δεῖ αὐτὸν καὶ μαρτυρίαν ἔχειν, ὡς μετὰ τῶν
ἄλλων καὶ ταύτην. οὐ γὰρ δὴ ταύτην μόνον. τί οὖν ἂν κακῶς λέγωσιν αὐτὸν εἰκῆ καὶ βα-
σκαίνοντες, καὶ μάλιστα ἐπειδὴ Ἕλληνές εἰσιν; οὐκ ἔστι τοῦτο. τὸν γὰρ ἄληπτον ἔχοντα βίον
κἀκεῖνοι αἰδοῦνται. πῶς, φησίν; ἄκουε αὐτοῦ περὶ ἑαυτοῦ λέγοντος, Διὰ δυσφημίας καὶ β. Κορ. ϛ. η.
εὐφημίας. οὐ γὰρ τοῦ βίου αὐτῶν ἐπελαμβάνοντο, ἀλλὰ τοῦ κηρύγματος. διὰ τοῦτό φη-
σι, διὰ δυσφημίας· ὡς πλάνοι καὶ γόητες διεβάλλοντο διὰ τὸ κήρυγμα. καὶ τοῦτο ἐποίουν,
ἐπεὶ μὴ εἶχον τοῦ βίου αὐτῶν ἐπιλαμβάνεσθαι. διὰ τί γὰρ μηδεὶς εἶπε περὶ τῶν ἀπο-
στόλων, ὅτι πόρνοι καὶ ἀσελγεῖς καὶ πλεονέκται, ἀλλὰ πλάνοι, ὃ τοῦ κηρύγματος ἦν μόνον; ἆρα
οὐχ ὅτι βίον ἄληπτον εἶχον; εὔδηλον ὅτι. οὕτω τοίνυν καὶ ἡμεῖς ζῶμεν, καὶ οὐδεὶς ἡμᾶς ἐρεῖ
κακῶς, κἂν ἐχθρὸς ᾖ, κἂν ἄπιστος. ὁ γὰρ βίον λάμποντα ἔχων, κἀκείνοις ἐστὶν αἰδέσιμος. ἡ γὰρ
ἀλήθεια καὶ τοὺς ἐχθροὺς ἐπιστομίζει. Εἰς παγίδα δὲ πῶς ἐμπίπτει; τοῖς αὐτοῖς ἁμαρτήμασι
πολλάκις περιπίπτων, οἷς καὶ ἐκεῖνοι. Εἰ γὰρ εἴη τοιοῦτος, ταχέως αὐτῷ καὶ ἄλλην παγί-
δα τίθησιν ὁ διάβολος, ταχέως αὐτὸν ἀναιροῦσιν ἐκεῖνοι. Εἰ δὲ τὴν παρὰ ἐχθρῶν δεῖ μαρτυ-
ρίαν ἔχειν, πολλῷ μᾶλλον καὶ τὴν παρὰ τῶν φίλων. ὅτι γὰρ οὐκ ἔνι κακῶς ἀκοῦσαι τὸν ἀ-
νεπιλήπτῳ βίῳ κεχρημένον, ἄκουε τοῦ Χριστοῦ λέγοντος· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσ- Ματθ. ε. ιϛ.
θεν τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάζωσι τὸν πατέρα ὑμῶν τὸν ἐν
τοῖς οὐρανοῖς. τί οὖν ἂν συκοφαντῆται, φησὶ, καὶ ἐκ περιστάσεως τὴν διαβολὴν ὑπομένῃ;
ἐγχωρεῖ μὲν καὶ τοῦτο. δεῖ δὲ μηδὲ τοῦτον εἰς τὸ μέσον ἄγεσθαι. καὶ γὰρ πολὺ τὸ δέος. δεῖ τοί-
νυν,

νων, φησὶ, καὶ καλὴν μαρτυρίαν ἔχειν αὐτόν. λαμψάτω γὰρ τὰ ἔργα ὑμῶν. ὥσπερ οὖν οὐκ ἄν τις εἴποι τὸν ἥλιον σκοτεινὸν, οὐδ' αὐτὸς ὁ τυφλός (αἰσχύνεται γὰρ ταῖς πάντων μάχεσθαι δόξαις) οὕτω τὸν σφόδρα καλὸν οὐκ ἄν τις μέμψαιτο· ἀλλὰ τῶν μὲν δογμάτων ἕνεκεν πολλάκις ἂν αὐτὸν διαβάλλοιεν Ἕλληνες· βίου δὲ ὀρθοῦ οὐκ ἂν ἐπιλάβοιντο, ἀλλὰ καὶ μετὰ τῶν ἄλλων θαυμάζουσι καὶ ἐκπλήττονται.

ΗΘΙΚΟΝ

Οὕτω τοίνυν ζῶμεν, ὥστε μὴ βλασφημεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ. μήτε οὖν πρὸς δόξαν ἀνθρωπίνην βλέπωμεν, μήτε ὥστε πονηρὰν λαμβάνειν δόξαν, ἀλλ' ἐν ἑκατέρῳ τὴν συμμετρίαν τηρῶμεν. Ἐν οἷς φαίνεσθε, φησὶ, ὡς φωστῆρες ἐν κόσμῳ. (Φιλιπ. β. 15.) Διὰ τοῦτο γὰρ ἡμᾶς εἴασεν, ἵν' ὡς φωστῆρες ὦμεν, ἵνα διδάσκαλοι τῶν ἄλλων καταστῶμεν, ἵν' ὡς ζύμη ὦμεν, ἵν' ὡς ἄγγελοι μετὰ τῶν ἀνθρώπων περιπολῶμεν, ἵν' ὡς ἄνδρες μετὰ τῶν παίδων, ἵν' ὡς πνευματικοὶ μετὰ τῶν ψυχικῶν, ἵνα κερδάνωσιν ἐκεῖνοι, ἵνα σπέρματα ὦμεν, ἵνα καρποὺς πολλοὺς φέρωμεν. οὐκ ἔδει λόγων, εἰ οὕτως ἡμῶν ὁ βίος ἔλαμπεν· οὐκ ἔδει διδασκάλων, εἰ ἔργα ἐπεδεικνύμεθα. οὐδεὶς ἂν ἦν Ἕλλην, εἰ ἡμεῖς ἦμεν Χριστιανοὶ, ὡς δεῖ. εἰ τὰς τοῦ Χριστοῦ ἐφυλάττομεν, εἰ ἠδικούμεθα, εἰ ἐπλεονεκτούμεθα, εἰ λοιδορούμενοι εὐλογοῦμεν, εἰ κακῶς πάσχοντες εὐηργετοῦμεν, οὐδεὶς οὕτω θηρίον ἦν, ὡς μὴ ἐπιδραμεῖν τῇ εὐσεβείᾳ, εἰ παρὰ πάντων ταῦτα ἐγίνετο. καὶ ἵνα μάθητε, εἷς ἦν ὁ Παῦλος, καὶ τοσούτους ἐπεσπάσατο. εἰ πάντες ἦμεν τοιοῦτοι, πόσας οἰκουμένας οὐκ ἂν ἐπεσπασάμεθα; ἰδοὺ πλείους εἰσὶν οἱ Χριστιανοὶ τῶν ἐθνικῶν. καὶ ἐν μὲν ταῖς ἄλλαις τέχναις εἷς ἑκατὸν ὁμοῦ παῖδας διδάξαι δύναται· ἐνταῦθα δὲ τῶν διδασκάλων πλειόνων ὄντων, καὶ τῶν μαθητῶν πολλῷ πλειόνων, οὐδεὶς προσέρχεται. οἱ γὰρ διδασκόμενοι πρὸς τὴν τῶν διδασκάλων ἀρετὴν ὁρῶσι. καὶ ὅταν ἴδωσι καὶ ἡμᾶς τῶν αὐτῶν ἐπιθυμοῦντας, τῶν αὐτῶν ἐφιεμένους, τοῦ ἄρχειν, τοῦ τιμᾶσθαι, πῶς δυνήσονται θαυμάσαι τὸν Χριστιανισμόν; ὁρῶσι βίους ἐπιληψίμους, ψυχὰς γηΐνας. τὰ χρήματα ὁμοίως αὐτοῖς θαυμάζομεν, πολλῷ δὲ καὶ πλέον. τὸν θάνατον ὁμοίως αὐτοῖς πεφρίκαμεν, πενίαν ὁμοίως φοβούμεθα, πρὸς νόσους ὁμοίως δυσχεραίνομεν, ὁμοίως δόξης ἐρῶμεν καὶ δυναστείας, ὑπὸ φιλαργυρίας κατακόπτοντες ἑαυτοὺς, τοὺς καιροὺς θεραπεύομεν. πόθεν οὖν ἔχουσι πιστεῦσαι; ἀπὸ σημείων; ἀλλ' οὐ γίνεται ταῦτα. ἀλλ' ἀπὸ τῆς ἀναστροφῆς; ἀλλ' ἀπόλωλεν. ἀλλ' ἀπὸ τῆς ἀγάπης; ἀλλ' οὐδαμοῦ οὐδὲ ἴχνος αὐτῆς ὁρᾶται. διὰ τοῦτο οὐ τῶν ἡμετέρων μόνον ἁμαρτημάτων, ἀλλὰ καὶ τῆς ἑτέρων βλάβης ἡμεῖς λόγον ὑφέξομεν. ἀνανήψωμέν ποτε, γρηγορήσωμεν, δείξωμεν πολιτείαν ἐπὶ γῆς οὐράνιον, λέγωμεν ὅτι ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, (Φιλιπ. γ. 20.) καὶ ἐπὶ γῆς τὴν ἄθλησιν ἐπιδειξώμεθα. ἀλλ' ἐγένοντο, φησὶ, παρ' ἡμῖν ἄνδρες μεγάλοι. πόθεν τις πιστεύσῃ, φησὶν ὁ Ἕλλην; οὐ γὰρ ὁρῶ ὑμᾶς τὰ αὐτὰ πράττοντας ἐκείνοις. ἐπεὶ εἰ δεῖ ταῦτα διηγεῖσθαι, ἔχομεν καὶ ἡμεῖς, φησὶ, μεγάλους φιλοσόφους, καὶ θαυμαστοὺς βίου εἶχεν. ἀλλὰ δεῖξόν μοι Παῦλον ἕτερον, καὶ Ἰωάννην. ἀλλ' οὐκ ἂν ἔχοις. πῶς οὖν οὐχὶ καὶ γελάσειεν οὕτω διαλεγομένων ἡμῶν; πῶς οὐχὶ καὶ ἐπικαθῆσθαι ἐν ἀγνοίᾳ ἀνέξεται, ὁρῶν οὐκ ἐν ἔργοις, ἀλλ' ἐν λόγοις φιλοσοφοῦντας ἡμᾶς; νῦν γὰρ ὑπὲρ ὀβολοῦ ἑνὸς καὶ ἀναιρεῖσθαι, καὶ ἀναιρεῖν ἕτοιμοι ἕκαστος· ὑπὲρ κυάθου γῆς μυρία δικαστήρια συνίστας· ὑπὲρ θανάτου παιδίου τὰ ἄνω κάτω ποιεῖς. τὰ γὰρ ἄλλα ἀφίημι τὰ πολλοῦ πένθους ἄξια, οἷον οἰωνισμοὺς, καὶ κληδονισμοὺς, παρατηρήσεις, θυσίας, σύμβολα, περιάμματα, μαντείας, ἐπῳδὰς, μαγείας. οὕτως μεγάλα ταῦτα, καὶ ἱκανὰ τὴν ὀργὴν ἐκκαλέσασθαι τοῦ Θεοῦ, ὅτι καὶ μετὰ τὸ τὸν υἱὸν ἀποστεῖλαι τὸν ἑαυτοῦ, τοιαῦτα τολμῶμεν. τί οὖν ἐστιν ἄρα; οὐδὲν ἕτερον, ἢ πενθεῖν χρή. τὸ γὰρ πολλοστὸν τοῦ κόσμου μόλις διασώζεται. ἀλλ' οἱ ἀπολλύμενοι ἀκούοντες χαίρουσιν, ὡς οὐκ αὐτοὶ μόνοι τοῦτο πεπονθότες, ἀλλὰ μετὰ πλειόνων. καὶ ποίας ταῦτα χαρᾶς; καὶ γὰρ αὐτῆς τῆς χαρᾶς τίσουσι δίκην. μὴ γὰρ, ὡς ἐνταῦθα, νομίσῃς, τὸ κοινωνοὺς εἶναι τῶν συμφορῶν φέρει παραμυθίαν, οὕτω κἀκεῖ.

κε. πόθεν τοῦτο δῆλον; ἐγὼ ποιήσω φανερόν. Εἰπὲ γάρ μοι, εἴ τις κελευσθείη καυθῆναι, εἶτα καὶ τὸν παῖδα συγκαιόμενον αὐτῷ ἴδοι, καὶ κνίσσαν ἀπὸ τῶν κρεῶν αὐτοῦ, οὐκ ἀποθανεῖται; σφόδρα γε. καὶ πῶς, ἐγὼ λέγω. Εἰ γὰρ οἱ μὴ πάσχοντες, ταῦτα ὁρῶντες γινόμενα, ναρκῶσι καὶ ἐκλύονται, πολλῷ μᾶλλον οἱ κακούμενοι τοῦτο πείσονται. καὶ μὴ θαυμάσῃς. ἄκουε γάρ τινος σοφοῦ λέγοντος, Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. ἔχει Ησ. ιδ. ι. γάρ πως φύσει τὸ συμπαθὲς τὸ ἀνθρώπινον, καὶ ταῖς τῶν ἑτέρων κατακλώμεθα συμφοραῖς. Εἰπὲ δή μοι, ἆρα ὁ πατὴρ τὸν υἱὸν ὁρῶν ἐν τῇ αὐτῇ κείμενον δίκῃ, παραμυθίαν, ἢ προσθήκην λήψεται τῶν δεινῶν; τί δὲ ἀνὴρ τὴν γυναῖκα; τί δὲ ἄνθρωποι τοὺς ἀνθρώπους, οὐχὶ τότε μᾶλλον κατακλώμεθα; ναί, φησιν, ἀλλ' οὐκ ἔστιν ἐκεῖ ταῦτα τὰ πάθη· οἶδα κἀγώ· ἀλλ' ἕτερα πολλῷ χαλεπώτερα. κλαυθμὸς γὰρ ἔσται ἀπαραμύθητος τότε, πάντων ἀλλήλους ὁρώντων *, πάντων κολαζομένων. οἱ ἐν λιμῷ ὄντες, εἰπέ, ἆρα παραμυθίαν λαμβάνουσι τῶν οἰκείων κακῶν ἐκ τῆς ἑτέρων κοινωνίας; τί δὲ ὅταν ἢ καὶ παῖς, ἢ καὶ πατήρ, καὶ γυνή, καὶ ἔγγονα τὴν αὐτὴν** τίνωνται δίκην; τί δὲ ὅταν φίλους ὁρῶμεν, ἆρα παραμυθίαν ἔχομεν; οὐκ ἔστιν, οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ἐπιτείνεται ἡμῖν τὰ δεινά. χωρὶς δὲ τούτων ἐστὶ κακά, ἃ μὴ ἔχει παραμυθίαν ἀπὸ τῶν κοινῶν διὰ τὴν χαλεπότητα. οἷόν τι λέγω· ἔστω τις ἐν πυρὶ κείμενος, καὶ ἄλλος πάλιν. πῶς ἀλλήλους παραμυθήσονται; εἰπέ μοι, παρακαλῶ, εἴ ποτε ἐν πυρετῷ γεγόναμεν σφοδρῷ, οὐχὶ πάντα τὰ τῆς παραμυθίας ἡμῖν ἐξέλιπεν; εἰκότως. ὅταν γὰρ ἐπίκειται τὰ δεινά, οὐκέτι ἂν ἔχοι σχολὴν παραμυθεῖσθαι ἡ ψυχή. ἢ οὐχ ὁρᾷς τὰς τοὺς ἄνδρας ἀποβαλούσας, πόσας ἔχουσιν ἀριθμεῖν ἑτέρας γυναῖκας τὸ αὐτὸ παθούσας; ἀλλ' οὐδὲν ἀπὸ τούτου τὸ πένθος ἔλαττον γίνεται. μὴ δὴ ταύτῃ τρεφώμεθα τῇ ἐλπίδι, ἀλλὰ μίαν εὕρωμεν παραμυθίαν, τὸ μετανοεῖν ἐπὶ τοῖς ἡμαρτημένοις, καὶ ἔχεσθαι τῆς ἀγαθῆς ὁδοῦ τῆς ἐπὶ τὸν οὐρανὸν φερούσης, ἵνα τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτύχωμεν.

* ἐν τῇ φλο-

** γινώσῃ

Λογ. ια. 8 ΔΙΑΚΟΝΟΥΣ ΩΣΑΥΤΩΣ ΣΕΜΝΟΥΣ, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, 9 Ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. 10 Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.

Διαλεγόμενος περὶ ἐπισκόπων, καὶ χαρακτηρίσας αὐτόν, καὶ εἰπὼν τίνα μὲν ἔχειν, τίνων δὲ ἀπέχεσθαι χρή, καὶ τὸ τῶν πρεσβυτέρων τάγμα ἀφείς, εἰς τοὺς διακόνους μετεπήδησε. τί δήποτε; ὅτι οὐ πολὺ τὸ μέσον αὐτῶν καὶ τῶν ἐπισκόπων. καὶ γὰρ καὶ αὐτοὶ διδασκαλίαν εἰσὶν ἀναδεδεγμένοι, καὶ προστασίαν τῆς ἐκκλησίας· καὶ ἃ περὶ ἐπισκόπων εἶπε, ταῦτα καὶ πρεσβυτέροις ἁρμόττει. τῇ γὰρ χειροτονίᾳ μόνῃ ὑπερβεβήκασι, καὶ τούτῳ μόνον δοκοῦσι πλεονεκτεῖν τοὺς πρεσβυτέρους. διακόνους ὡσαύτως· τουτέστι, τὰ αὐτὰ δεῖ, φησιν, ἔχειν καὶ αὐτούς. τί ἐστι τὰ αὐτά; οἷον τὸ ἀνεπιλήπτους εἶναι, τὸ σώφρονας, τὸ φιλοξένους, τὸ ἐπιεικεῖς, ἀμάχους, ἀφιλαργύρους. καὶ ὅτι τοιούτους αὐτοὺς εἶναι βουλόμενος εἶπε τό, ὡσαύτως, ἐδήλωσε διὰ τῆς ἐπαγωγῆς λέγων, σεμνούς, μὴ διλόγους· τουτέστι, μὴ ὑπούλους, μηδὲ δολερούς. οὐδὲν γὰρ οὕτω ποιεῖν εἴωθεν ἀγεννεῖς, ὡς τὸ δολερόν· οὐδὲν οὕτως ἄχρηστον ἐν τῇ ἐκκλησίᾳ, ὡς τὸ ὕπουλον. μὴ οἴνῳ πολλῷ, φησι, προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. ἰδοὺ ἐσήμανε τί ἐστιν ἀνεπιλήπτους εἶναι. ὅρα δὲ πῶς τὸ μὴ νεόφυτον καὶ ἐνταῦθα τίθησι. τὸ γὰρ εἰπεῖν, καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, ὡς περὶ τοῦ ἐπισκόπου τοῦτο εἰρημένον αὐτῷ, οὕτω τὸν σύνδεσμον αὐτοῦ ἐπήγαγεν. οὐδὲν γὰρ τὸ μέσον μεταξύ. διὰ τοῦτο εἴρηται καὶ ἐκεῖ τό, μὴ νεό-

φυγεῖ. πῶς γὰρ οὐκ ἄτοπον, εἰς μὲν οἰκίαν νεώνητον οἰκέτην μὴ πρότερον ἐγχειρίζεσθαί τι τῶν ἔνδον, πρὶν ἂν διὰ πολλῆς τῆς πείρας τῆς αὐτοῦ γνώμης πολλὰ τεκμήρια δῷ, εἰς δὲ τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἔξωθεν εἰσελθόντα, εἰς τῶν πρώτων εὐθέως καταστῆσαι;

11 Γυναῖκας ὡσαύτως (διακόνους φησὶ) σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι.

Τινὲς ἁπλῶς περὶ γυναικῶν εἰρῆσθαι τοῦτό φασιν, οὐκ ἔστι δέ. τί γὰρ ἐβούλετο μεταξὺ τῶν εἰρημένων παρεμβαλεῖν τι περὶ γυναικῶν; ἀλλὰ περὶ τῶν τὸ ἀξίωμα τῆς διακονίας ἐχουσῶν λέγει.

12 Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες. Ταῦτα καὶ περὶ γυναικῶν διακόνων ἁρμόττειν εἰρῆσθαι. σφόδρα γὰρ ἀναγκαῖον τοῦτο, καὶ χρήσιμον, καὶ κόσμιον ἐν τῇ ἐκκλησίᾳ. διάκονοι ἔστωσαν μιᾶς γυναικός, φησιν, ἄνδρες. ὁρᾷς πῶς τὴν αὐτὴν ἀπαιτεῖ καὶ παρὰ διακόνων ἀρετήν; εἰ γὰρ καὶ μὴ τῆς αὐτῆς εἰσιν ἀξίας τῷ ἐπισκόπῳ, ἀλλ' ὅμως ὁμοίως ἀνεπίληπτοι, ὁμοίως ἁγνοὶ ὀφείλουσιν εἶναι. Τέκνων καλῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων.

13 Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν καλὸν ἑαυτοῖς περιποιοῦνται, καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Πανταχοῦ τίθησι τὴν τῶν τέκνων προστασίαν, ἵνα μὴ ἀπὸ τούτου οἱ λοιποὶ σκανδαλίζωνται. οἱ γὰρ καλῶς, φησι, διακονήσαντες, βαθμὸν καλὸν ἑαυτοῖς περιποιοῦνται· τουτέστι, προκοπὴν καὶ παρρησίαν πολλὴν τὴν ἐν πίστει Ἰησοῦ Χριστοῦ· ὡσεὶ ἔλεγεν, οἱ ἐν τοῖς κάτω δείξαντες ἑαυτοὺς διεγηγερμένους, ταχέως καὶ πρὸς ἐκεῖνα ἀνελεύσονται.

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ τάχιον·

15 Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Ἵνα μὴ τὸ περὶ τούτων αὐτὸν διαπτύεσθαι εἰς ἀθυμίαν ἐμβάλῃ τὸν μαθητήν, φησιν, οὐ διὰ τοῦτο ταῦτα γράφω, ὡς οὐκέτι ἥξων, ἀλλ' ἥξω μέν· εἰ δὲ συμβῇ με βραδῦναι, ἵνα μὴ ἀγχάλλης, φησί. τοῦτο μὲν ὑπὲρ τοῦ παῦσαι τὴν ἀθυμίαν ταῦτα ἐπιστέλλει· τοῖς δὲ ἄλλοις ὑπὲρ τοῦ διεγεῖραι αὐτούς, καὶ ποιῆσαι σπουδαιοτέρους. ἡ γὰρ παρουσία αὐτοῦ καὶ ἐπαγγελλομένη, μεγάλα ἠδύνατο. μὴ θαυμάσῃς δέ, εἰ πνεύματι πάντα προορῶν, ἠγνόει τοῦτο λέγων, ἐλπίζω ἐλθεῖν, ἐὰν δὲ βραδύνω. τοῦτο γὰρ ἀγνοοῦντός ἐστιν. ἐπειδὴ γὰρ πνεύματι ἤγετο, καὶ οὐκ οἰκείᾳ γνώμῃ ἔπραττεν ἅπερ ἔπραττε, καὶ τοῦτο εἰκότως ἠγνόει. ἵνα εἰδῇς, φησι, πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. οὐχ ὡς ἐκεῖνος ὁ Ἰουδαϊκός. τοῦτο γάρ ἐστι τὸ συνέχον τὴν πίστιν καὶ τὸ κήρυγμα. ἡ γὰρ ἀλήθειά ἐστι τῆς ἐκκλησίας καὶ στύλος, καὶ ἑδραίωμα.

16 Καὶ ὁμολογουμένως, φησί, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι· Τουτέστιν, ἡ οἰκονομία ἡ ὑπὲρ ἡμῶν. μή μοι εἴπῃς τοὺς κώδωνας, μηδὲ τὰ ἅγια τῶν ἁγίων, μηδὲ τὸν ἀρχιερέα. στύλος ἐστὶ τῆς οἰκουμένης ἡ ἐκκλησία. ἐννόησον τὸ μυστήριον, καὶ φρῖξαι ἔχεις. καὶ μυστήριόν ἐστι, καὶ μέγα, καὶ εὐσεβείας μυστήριον, καὶ ὁμολογουμένως, οὐ ζητουμένως. ἀναμφίβολον γάρ ἐστιν. ἐπειδὴ περὶ ἱερέων διαταττόμενος

Ματθ. γα. ιθ. οὐδὲν τοιοῦτον εἶπεν, οἷον ἐν τῷ Λευιτικῷ, εἰς ἕτερον ἀνάγει τὸ πρᾶγμα λέγων, Θεὸς ἐφανερώθη ἐν σαρκί, τουτέστιν, ὁ δημιουργός. ὤφθη, φησί, ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι. ἤγουν τοῦτο λέγει, καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς, ἢ ὅτι δόλον οὐκ ἐποίησεν· ὅπερ ὁ

Ησ. νγ. θ. προφήτης λέγει, Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

Ὤφθη ἀγγέλοις. Ὥστε καὶ ἄγγελοι μεθ' ἡμῶν εἶδον τὸν υἱὸν τοῦ Θεοῦ, πρότερον οὐχ ὁρῶντες. οὕτως μέγα τὸ μυστήριον. Ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ.

Πανταχοῦ

Πανταχοῦ τῆς οἰκουμένης ἠκούσθη, καὶ ἐπιστεύθη. καὶ δηλοῖ λέγων ὁ προφήτης, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. τοῦτο μὴ δὴ νομίσῃς ἁπλῶς ῥήματα εἶναι ψιλά. οὐ γάρ ἐστιν, ἀλλὰ πραγμάτων ἀπορρήτων πεπλήρωται. Ἀνελήφθη ἐν δόξῃ. Ψαλ. ιη. δ.

Τουτέστιν, ἐπὶ νεφελῶν. Οὗτος, φησὶν, Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται, Πραξ. α. ια. ὃν τρόπον ἐθεάσασθε. ὅρα μοι τὴν σύνεσιν τοῦ μακαρίου Παύλου. μέλλων παραινεῖν τοῖς τῆς διακονίας ἠξιωμένοις μὴ ἀνέδην ἐμφορεῖσθαι τοῦ οἴνου, οὐκ εἶπε μὴ μεθύειν, ἀλλὰ μηδὲ οἴνῳ πολλῷ προσέχοντας. εἰκότως. εἰ γὰρ οἱ εἰσιόντες εἰς τὸ ἱερὸν, οὐδὲ ὅλως μετελάμβανον οἴνου, πολλῷ μᾶλλον τούτους οὐ χρή. παραφορὰν γὰρ ἐργάζεται, φησὶ, κἂν μὴ μέθην ἐργάσηται, διαχεῖ τὸ τῆς ψυχῆς εὔτονον, διαλύει τὸ συγκεκροτημένον. σκόπει δὲ πῶς πανταχοῦ μυστήριον καλεῖ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν. εἰκότως. οὐ γάρ ἐστι πᾶσιν ἀνθρώποις δῆλον, μᾶλλον δὲ οὐδὲ ἀγγέλοις ἦν δῆλον. πῶς γὰρ, ὃ ἐφάνη διὰ τῆς ἐκκλησίας; διὰ τοῦτό φησιν, ὁμολογουμένως μέγα ἐστί. καὶ γὰρ ὄντως μέγα. ἄνθρωπος γὰρ ἐγένετο ὁ Θεὸς, καὶ Θεὸς ὁ ἄνθρωπος. ἄνθρωπος ὤφθη ἀναμάρτητος, ἄνθρωπος ἀνελήφθη. ἐκηρύχθη ἐν κόσμῳ. μεθ' ἡμῶν εἶδον αὐτὸν οἱ ἄγγελοι. μυστήριον τοίνυν ἐστί. μὴ τοίνυν ἐκπομπεύωμεν τὸ μυστήριον, μὴ πανταχοῦ αὐτὸ προτιθῶμεν, ἀξίως τοῦ μυστηρίου τούτου ζῶμεν. οἱ μυστήρια ἐμπιστευθέντες, μεγάλοι τινές εἰσιν. εἰ βασιλεὺς ἡμῖν τι μυστήριον ἐνεπίστευσεν, εἰπέ μοι, ἆρα οὐ μεγάλης φιλίας τοῦτο τεκμήριον ἐποιούμεθα; νῦν δὲ ὁ Θεὸς ἡμῖν τὸ μυστήριον αὐτοῦ ἐνεπίστευσε· καὶ ὡς μὴ μεγάλα εὐεργετηθέντες ἀχάριστοι περὶ τὸν εὐεργέτην γινόμεθα. φρίξωμεν ἀναισθήτως ἔτι διακείμενοι πρὸς τὴν εὐεργεσίαν. μυστήριόν ἐστιν ὃ πάντες ἴσασι, μᾶλλον δὲ ὃ πρὸ τούτου οὐ πάντες ᾔδεισαν, νῦν δὲ πᾶσι γέγονε δῆλον.

Ἀξιόπιστοι τοίνυν γενώμεθα περὶ τὴν τοῦ μυστηρίου φυλακήν. αὐτὸς ἡμῖν τηλικοῦτον ἐπίστευσε μυστήριον· ἡμεῖς δὲ αὐτῷ οὐδὲ χρήματα πιστεύομεν. ἀλλ' αὐτός μοι λέγει, ἀπόθεσθε αὐτὰ παρ' ἐμοὶ, οὐδεὶς αὐτὰ ἁρπάσαι δύναται, οὐδὲ σὴς, οὐδὲ λῃστὴς λυμαίνεται, καὶ ἑκατονταπλασίονα δώσειν ὑπισχνεῖται, καὶ οὐ πειθόμεθα. καίτοι παρ' οἷς ἂν παρακαταθώμεθα παρακαταθήκην, οὐδὲν ἀπολαμβάνομεν πλέον, ἀλλὰ ἂν ὅλον ἀπολάβωμεν ὃ παρακατεθέμεθα, καὶ χάριν ἴσμεν. κἂν κλέπτης ὑφέληται, φησὶν, ἐνταῦθα, ἐμοὶ τοῦτο λόγισαι. οὐ λέγω σοι, λῃστὴς ἔλαβεν, οὐδὲ σὴς ἔφαγεν. ἑκατονταπλασίονα ἐνταῦθα ἀποδίδωσι, καὶ ἐκεῖ ζωὴν αἰώνιον προσδίδωσι, καὶ οὐδεὶς παρακατατίθεται. ἀλλὰ βραδέως μοι, φησὶν, ἀποδίδωσι. καὶ τοῦτο τῆς μεγαλοδωρεᾶς αὐτοῦ σημεῖον μέγιστον, τὸ μὴ ἐνταῦθα ἀποδιδόναι ἐν τῷ ἐπικήρῳ βίῳ τούτῳ· μᾶλλον δὲ καὶ ἐνταῦθα ἀποδίδωσιν [ἑκατονταπλασίονα]. εἰπὲ γάρ μοι, ἐνταῦθα οὐχὶ σμίλιον εἶχε Παῦλος; οὐχὶ κάλαμον καὶ ἄγκιστρον Πέτρος; οὐχὶ τελώνιον Ματθαῖος; οὐχὶ πᾶσα αὐτοῖς ἡ οἰκουμένη ἀνέῳκτο μᾶλλον, ἢ τοῖς βασιλεῦσι; οὐ παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν πάντες τὰ χρήματα; οὐκ ἐκείνους ἐποίουν διοικητὰς, καὶ κυρίους; οὐχὶ καὶ τὰς ψυχὰς αὐτοῖς ἐνεχείριζον; οὐχὶ ὁλοκλήρους ἑαυτοὺς τῆς ἐκείνων βουλῆς ἐξήρτησαν; οὐχὶ καὶ ἑαυτοὺς δούλους κατέγραφον; καὶ νῦν δὲ οὐ πολλὰ τοιαῦτα ὁρῶμεν γινόμενα; πολλοὶ γὰρ πολλάκις ἀπὸ μικρῶν ὄντες καὶ εὐτελῶν, μάκελλαν μεταχειρίζοντες μόνον, καὶ οὐδὲ τῆς ἀναγκαίας μόνης ἀπολαύοντες τροφῆς, προσηγορίαν μονάζοντος ἔχοντες, πάντων μᾶλλον ἐφάνησαν, καὶ παρὰ βασιλέων ἐτιμήθησαν. ἀλλὰ μικρὰ ταῦτα; ἀλλ' ἐννόησον ὅτι παραθήκη ταῦτα· τὸ δὲ κεφάλαιον ἐν τῷ μέλλοντι ταμιεύεται χρόνῳ. καταφρόνησον χρημάτων, εἰ βούλει χρήματα ἔχειν· εἰ βούλει πλουτῆσαι, γενοῦ πένης. τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ παράδοξα. οὐ βούλεταί σε ἐκ τῆς οἰκείας σπουδῆς, ἀλλ' ἐκ τῆς αὐτοῦ χάριτος γενέσθαι πλούσιον. ἐμοὶ ταῦτα, φησὶν, ἄφες· σὺ τὰ πνευματικὰ μερίμνα, ἵνα μάθῃς μου καὶ τὴν δύναμιν. τὴν δουλείαν, καὶ τὸν ζυγὸν τὸν ἀπὸ τῶν χρημάτων φύγε. ἕως ὅτε αὐτῶν ἀντέχῃ, πένης εἶ· ἐ-

ΗΘΙΚΟΝ

πένθου αὐτῶν καταφρονήσῃς, διπλῆ γένῃ πλούσιος, τῷ τε σοι πάντοθεν ταῦτα ἐπιρρεῖν, καὶ τῷ μηδενὸς δεῖσθαι ὧν οἱ πολλοί. οὐ γὰρ τὸ πολλὰ κεκτῆσθαι πλουτοῦντός, ἀλλὰ τὸ μὴ πολλῶν δεῖσθαι. ὥστε ἕως ἂν δέηται, οὐδὲν τοῦ πένητος ὁ βασιλεὺς διενήνοχε. πενία γάρ τοῦτο ἐστι τὸ δεῖσθαι ἑτέρων. ὥστε καὶ ὁ βασιλεὺς κατὰ τοῦτον τὸν λόγον πένης ἐστί, καθὸ δεῖται τῶν ἀρχομένων. ἀλλ' οὐχ ὁ ἐσταυρωμένος οὕτως. οὐδενὸς γὰρ δεῖται, ἀρκοῦσιν αὐτῷ πρὸς διατροφὴν αἱ χεῖρες. Ἐμοὶ γάρ, φησι, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. ταῦτα

Παροιμ. κ. λ. β. Κορ. ϛ. ι. ἐκεῖνος ἔλεγεν ὁ λέγων, Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες, ἐκεῖνος ὁ Θεὸς νομισθεὶς παρὰ τῶν ἐν Λύστρᾳ κατοικούντων. Εἰ βούλει τῶν ἐν τῷ κόσμῳ τυχεῖν, ζήτει τὸν οὐρανόν·

Παροιμ. δ. Ματθ. ϛ. λγ. Εἰ βούλει δὲ τῶν ἐνταῦθα ἀπολαῦσαι, καταφρόνησον αὐτῶν. Ζητεῖτε γάρ, φησι, πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. τί τὰ μικρὰ θαυμάζεις; τί κέχηνας περὶ τὰ μηδενὸς ἄξια λόγου; μέχρι πότε πένης; μέχρι πότε πτωχός; ἀνάβλεψον εἰς τὸν οὐρανόν, τὸν ἐκεῖ πλοῦτον ἐννόησον, καταγέλασον τοῦ χρυσοῦ, μάθε τὴν χρῆσιν αὐτοῦ, πόση τίς ἐστι. μέχρι τοῦ παρόντος μένει ἡ ἀπόλαυσις, μέχρι τοῦ παρόντος βίου τοῦ ἐπικήρου. ὅσον ψάμμος, μᾶλλον δὲ ὅσον σταγὼν πρὸς ἄβυσσον ἀμέτρον, τοσοῦτον ὁ παρὼν βίος πρὸς τὰ μέλλοντα. οὐκ ἔστι κτῆσις τοῦτο, χρῆσίς ἐστιν, οὐκ ἔστι κυρία. πῶς γάρ, ὅταν σὺ ἀποπνέοντες, καὶ ἑκόντος καὶ ἄκοντος, ἕτεροι λαμβάνωσι πάντα τὰ ὄντα, καὶ αὐτοὶ πάλιν ἑτέροις δόντες, καὶ πάλιν ἐκεῖνοι ἑτέροις; πάντες γὰρ πάροικοί ἐσμεν, καὶ ὁ κύριος τῆς οἰκίας τάχα μᾶλλον ὁ μισθωτής ἐστι τῆς οἰκίας. πολλάκις γὰρ ἐκείνου τελευτήσαντος, οὗτος ἔμεινε, πλέον ἀπολαύων τῆς οἰκίας. Εἰ δὲ οὗτος μετὰ μισθοῦ, ἀλλὰ κἀκεῖνος ὁ πρότερος μετὰ μισθοῦ. ᾠκοδόμησε γάρ, καὶ ἐταλαιπωρήθη, καὶ ἐπεσκεύασε. ῥήματι μόνον ἐστὶν ἡ δεσποτεία· τῷ δὲ ἔργῳ πάντες τῶν ἀλλοτρίων ἐσμὲν κύριοι. ἐκεῖνα μόνον ἐστὶν ἡμέτερα, ὅσα ἂν ἐκεῖ προπέμψωμεν· τὰ δὲ ἐνταῦθα, οὐχ ἡμέτερα, ἀλλὰ τῶν ζώντων· μᾶλλον δὲ καὶ ζῶντας ἡμᾶς ἀπολείπει. ἐκεῖνα μόνα ἐστὶν ἡμέτερα, ὅσα τῆς ψυχῆς ἐστι κατορθώματα, ἐλεημοσύνη καὶ φιλανθρωπία. ταῦτα τὰ ἐκτὸς λέγεται καὶ παρὰ τοῖς ἔξωθεν. ἐκτὸς γὰρ ἡμῶν ἐστι. ποιήσωμεν τοίνυν αὐτὰ τῶν ἐντός. οὐ γὰρ δυνατὸν χρήματα λαμβάνοντα ἀπελθεῖν, ἀλλὰ δυνατὸν ἐλεημοσύνην λαμβάνοντα ἀπελθεῖν. μᾶλλον δὲ καὶ προπέμψωμεν αὐτά, ὥστε ἑτοιμάσαι ἡμῖν σκηνὴν ἐν ταῖς αἰωνίαις μοναῖς. χρήματα λέγεται παρὰ τὸ κεχρῆσθαι, οὐ παρὰ τὸ κυρίους εἶναι. καὶ τὰ κτήματα δὲ αὐτὰ χρῆσίς ἐστιν, οὐ δεσποτεία. Εἰπὲ γάρ μοι, πόσων κυρίων ἕκαστος ἀγρὸς γέγονε, καὶ πόσων ἔσται; λέγεταί τις καὶ παροιμία σοφωτάτη. οὐ γὰρ τῶν δημωδῶν παροιμιῶν δεῖ καταφρονεῖν, ἂν ἔχωσί τι σοφόν. ἀγρέ, φησι, πόσων εἶς, καὶ πόσων ἔσῃ; τοῦτο καὶ πρὸς οἰκίας, τοῦτο καὶ πρὸς χρήματα λεκτέον ἡμῖν. ἀρετὴ μόνον οἶδεν ἡμῖν συναποδημεῖν, ἀρετὴ μόνη διαβαίνει πρὸς τὴν ζωὴν τὴν ἐκεῖ. ἐκλύσωμεν ποτέ, καὶ σβέσωμεν τῶν χρημάτων τὸν πόθον, ἵνα ἀνάψωμεν τὴν ἐκεῖ τὴν ἐπιθυμίαν. οὐ δύνανται οὗτοι οἱ δύο ἔρωτες μίαν κατέχειν ψυχήν. ἢ γὰρ τὸν ἕνα, φησί, φιλήσει, καὶ τὸν ἕτερον μισήσει, ἢ ἑνὸς

Ματθ. ϛ. κδ. ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. ὁρᾷς, εἰπέ μοι, ἄνδρα ἀκολούθους ἔχοντα πολλούς, σοβοῦντα διὰ τῆς ἀγορᾶς, σηρικὰ ἠμφιεσμένον ἱμάτια, ἵππῳ ὀχούμενον, τὸν αὐχένα τείνοντα; μὴ καταπλαγῇς, ἀλλὰ γέλασον. ὥσπερ, ὅταν τὰ παιδία ὁρᾷς ἄρχοντας παίζοντα, καταγελᾷς, οὕτω καὶ ἐπὶ τούτῳ. οὐδὲν τοῦτο ἐκείνου διενήνοχε, μᾶλλον δὲ ἐκεῖνο καὶ τερπνότερον, ἅτε παρὰ παιδικῆς γινόμενοι ἡλικίας μετὰ πολλῆς τῆς ἀφελείας. ἐκεῖ καὶ γέλως ἐστί, καὶ ἡδονή· ἐνταῦθα καταγέλαστός ἐστιν οὗτος, καὶ ἀσχημοσύνης πλήρης. δόξασον τὸν Θεόν, ὅτι σε τῆς σκηνῆς ταύτης, καὶ τοῦ φυσήματος ἀπήλλαξεν. ἂν γὰρ θέλῃς σὺ ὁ χαμαὶ ἐρχόμενος, ὑψηλότερος ἔσῃ τοῦ καθημένου τὸ ὄχημα. πῶς; ὅτι ἐκεῖνος μὲν μικρὸν ἀνέστηκεν ἀπὸ τῆς γῆς

Ψαλμ. ρα. ε. τῷ σώματι, τῇ δὲ ψυχῇ προσανέπηγεν (Ἐκολλήθη γάρ, φησιν, ἡ ἰσχύς μου τῇ σαρκί μου) σὺ δὲ τῷ φρονήματι ἐν οὐρανῷ περιπατεῖς. ἀλλ' ἀκολούθους ἔχει πολλοὺς σοβοῦντας; καὶ τί μᾶλλον αὐτούς,

ἄλλος, ὁ ἵππος τιμᾶται. τί ταύτης τῆς ἀλογίας χεῖρον, ἂν θεράποντας διώκειν, ἵνα ὁ κτῆνος μετ' εὐψυχίας περιέλθῃ; ἀλλὰ ὁ ἵππῳ ἔχεσθαι σεμνόν; ἀλλὰ καὶ δοῦλοι τούτου μετέχουσι. εἰσὶ δέ τινες, οἳ τοσοῦτον ἔχουσι τῦφον, ὡς μηδὲν δεόμενοι, ὄπισθεν ποιεῖν ἀκολουθεῖν. ἆρα τί τούτων ἐστὶν ἀλογώτερον; ἀπὸ ἵππων, καὶ πολυτελείας ἱματίων, καὶ ἀκολούθων βούλονται φαίνεσθαι. τί ταύτης τῆς δόξης οὐδαμινέστερον, τῆς ἀπὸ ἵππων, καὶ οἰκετῶν συνισταμένης; ἐν ἀρετῇ εἶ; μηδὲν τούτων κέκτησο οἰκεῖον ἔχε τὸν κόσμον, μὴ τῇ ἑτέρου παρουσίᾳ καλλωπίζου. ταῦτα καὶ πονηροί, καὶ μιαροί, καὶ ἄγροικοι, καὶ πάντες ὅσοι πλούτου μετέχουσι, δύνανται ἔχειν. καὶ μῖμοι, καὶ ὀρχησταὶ ἐφ' ἵππων φέρονται, καὶ οἰκέτας προτρέχοντας ἔχουσιν, ἀλλ' ὅμως μῖμοι εἰσί, καὶ ὀρχησταί, καὶ οὐ γεγόνασι σεμνοὶ ἀπὸ τῶν ἵππων καὶ τῶν ἀκολούθων. ὅταν γὰρ μηδὲν τῶν ἐν ψυχῇ καλῶν προσῇ τῷ τοιούτῳ, ταῦτα ἂν ἔξωθεν προστεθῇ, εἰκῇ καὶ μάτην. καὶ καθάπερ ἀσθενεῖ πήχει, ἢ διεφθορότι σώματι, ὅσα ἄν τις περιθῇ, μένει ἀσθενὲς ἢ καὶ διεφθορός· οὕτω δὴ καὶ ἐν τούτῳ, οὐδεμίαν ἡ ψυχὴ ὄνησιν ἀπὸ τῶν ἐκτὸς προσλαμβάνει, ἀλλὰ μένει τοῦτο ὅσα, κἂν μυρία τις αὐτῇ περιθῇ χρυσία. μὴ δὴ πρὸς ταῦτα ἐπτοημένοι ὦμεν, ἀποστήσωμεν ἑαυτοὺς τῶν περισκαίρων, τῶν μειζόνων ἐχώμεθα, τῶν πνευματικῶν, τῶν ὄντως αἰδεσίμους ποιούντων ἡμᾶς, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. ιβ.

1 ΤΟ ΔΕ ΠΝΕΥΜΑ ΡΗΤΩΣ ΛΕΓΕΙ, ΟΤΙ ΕΝ ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων,
2 Ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν,
3 Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετ' εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν·
4 Ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον.
5 Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

Ὥσπερ οἱ τῆς πίστεως ἐχόμενοι ἐπ' ἀσφαλοῦς τῆς ἀγκύρας ὁρμίζονται, οὕτως οἱ ταύτης ἐκπεσόντες οὐδαμοῦ στῆναι δύνανται· ἀλλὰ πολλοὺς ἄνω καὶ κάτω πλανηθέντες πλάνους, τὸ τελευταῖον εἰς αὐτὰ τῆς ἀπωλείας φέρονται τὰ βάραθρα. καὶ τοῦτο ἤδη μὲν ἐδήλωσεν εἰπών, ὅτι ἤδη ἐναυάγησάν τινες περὶ τὴν πίστιν. καὶ νῦν δέ φησι· τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις. περὶ Μανιχαίων, καὶ Ἐγκρατιτῶν, καὶ Μαρκιωνιστῶν, καὶ παντὸς αὐτῶν τοῦ ἐργαστηρίου τὰ τοιαῦτά φησιν, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως. ὁρᾷς ὅτι πάντων αἴτιον τῶν μετὰ ταῦτα κακῶν, τὸ τῆς πίστεως ἀποστῆναι; τί δέ ἐστι, ῥητῶς; φανερῶς, σαφῶς, ὁμολογουμένως, ὡς μὴ ἀμφιβάλλειν. μὴ θαυμάσῃς, φησίν, εἰ νῦν ἀπὸ τῆς πίστεώς τινες ἀποστάντες ἔτι Ἰουδαΐζουσιν· ἔσται καιρὸς ὅτι χαλεπώτεροι αὐτοὶ οἱ τῆς πίστεως μετεσχηκότες τοῦτο ἐργάσονται, οὐ μέχρι βρωμάτων, ἀλλὰ καὶ μέχρι γάμων, καὶ πάντων τῶν τοιούτων τὴν ὀλέθριον συμβουλὴν εἰσάγοντες. οὐ περὶ Ἰουδαίων λέγει ταῦτα. πῶς γὰρ τό, ἐν ὑστέροις καιροῖς, καὶ τό, ἀποστήσονται τῆς πίστεως, ἔχει χώραν; ἀλλὰ περὶ Μανιχαίων, καὶ τῶν ἀρχηγετῶν τούτων. πνεύματα δὲ πλάνης ἐκάλεσεν αὐτούς, εἰκότως. ὑπὸ γὰρ ἐκείνων ἐνεργούμενοι, ταῦτα ἐφθέγγοντο. τί ἐστιν, ἐν ὑποκρίσει ψευδολόγων; αὐτὰ ἃ ψεύδονται οὐ κατ' ἄγνοιαν, οὐδὲ οὐκ εἰδότες, ἀλλ' ὑποκρινόμενοι ψεύδονται, εἰδότες μὲν τὸ ἀληθές, τὸ δὲ συνειδὸς κεκαυτηριασμένοι, τουτέστι, ποιη-

ερου ὄντες βίου. τί δήποτε δὲ μόνους τούτους τοὺς αἱρετικοὺς λέγει; προέφησε ὁ Χριστὸς πρὸς ἑτέρους λέγων, Ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα. (Ματθ ιη. ζ.) ἄλλως τε διὰ τῆς τοῦ σίτου σπορᾶς καὶ τῶν ζιζανίων τῆς βλάστης τούτους αὐτοὺς προεμήνυσε. σὺ δέ μοι θαύμασον τοῦ Παύλου τὴν προφητείαν. πρὸ γὰρ τῶν χρόνων, ὧν ἔμελλεν ἔσεσθαι, ἔλεγε καὶ τὸν χρόνον αὐτόν. μὴ θαυμάσῃς τοίνυν, εἰ νῦν ὅτι τὴν ἀρχὴν ἔχει τὰ τῆς πίστεως, ταῦτά τινες ἐπιχειροῦσι παραφέρειν τὰ ὀλέθρια δόγματα, ὅτι ὅταν παγῇ μετὰ χρόνον πολύν, ἀποστήσονταί τινες τῆς πίστεως. κωλυόντων, φησὶ, γαμεῖν, ἀπέχεσθαι βρωμάτων. τί δήποτε καὶ τὰς ἄλλας αἱρέσεις οὐκ εἶπεν; ᾐνίξατο καὶ αὐτὰς εἰπὼν, πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων. οὐ γὰρ ἐβούλετο ἤδη καταπεῖραι εἰς τὰς τῶν ἀκροωμένων ψυχὰς ταῦτα· ἀλλ' ὅπερ ἀρχὴν εἰλήφει, τοῦτο ἤδη προέδειξε, τὸ τῶν βρωμάτων. ἃ ὁ Θεὸς, φησὶν, ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. διὰ τί μὴ φησὶ, καὶ τοῖς ἀπίστοις; πῶς τοῖς ἀπίστοις, ὅταν νόμοις ἑαυτοὺς τούτων ἀπείργωσι; τί οὖν; οὐ κεκώλυται ἡ τρυφή; καὶ σφόδρα. διὰ τί, εἰ εἰς (χ. πάντ) μετάληψιν ἔκτισται; ὅτι καὶ ἄρτον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία, καὶ οἶνον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία. οὐχ ὡς ἀκάθαρτον νῦν τὴν τρυφὴν παραιτεῖσθαι κελεύει, ἀλλ' ὡς ἐκλύουσαν (χ ᾧ) διὰ τῆς ἀμετρίας τὴν ψυχήν. ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, φησὶ, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. εἰ κτίσμα Θεοῦ, καλόν· Πάντα γὰρ καλὰ λίαν. (Γεν. α λα.) τῷ εἰπεῖν, κτίσμα Θεοῦ, περὶ τῶν ἐδωδίμων ἁπάντων ᾐνίξατο· καὶ ἤδη προκαταστρέφει τὴν αἵρεσιν τὴν τῶν ἀγεννήτων τὴν ὕλην εἰσαγόντων, καὶ ἐκείνης ταῦτα λεγόντων εἶναι. εἰ δὲ καλὸν, τί ἐστιν ὅ φησι, τὸ, ἁγιάζεται διὰ λόγου καὶ ἐντεύξεως; δῆλον γὰρ ὅτι ἀκάθαρτον ἦν ἁγιάζεται. οὐ τοῦτο, ἀλλ' ἐνταῦθα πρὸς ἐκείνους φησὶ τοὺς κοινά τινα νομίζοντας εἶναι. δύο τοίνυν τίθησι κεφάλαια, ἓν μὲν, ὅτι οὐδὲν κτίσμα κοινόν· δεύτερον δὲ, ὅτι εἰ καὶ γένοιτο κοινὸν, ἀλλ' ἔχεις τὸ φάρμακον· σφράγισον, εὐχαρίστησον, δόξασον τὸν Θεὸν, καὶ πᾶσα ἀκαθαρσία ἀπέπτη. ἐκεῖνο καὶ τὸ εἰδωλόθυτον, φησὶν, οὕτω δυνάμεθα καθαίρειν; μὴ ᾔδεις, ὅτι εἰδωλόθυτόν ἐστιν· ἐὰν δὲ εἰδὼς λοιπὸν, καὶ μεταλάβῃς, ἀκάθαρτος ἔσῃ, οὐχ ὅτι εἰδωλόθυτόν ἐστιν, ἀλλ' ὅτι προσταχθεὶς μὴ κοινωνεῖν δαίμοσιν, ἐκοινώνησας δι' ἐκείνου. ὥστε οὐκ ἐκεῖνό ἐστι φύσει τοιοῦτον, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τῆς σῆς καὶ τῆς παρακοῆς. τί δαί; οὐκ ἀκάθαρτον τὸ ὕειον; οὐδαμῶς, ὅταν μετ' εὐχαριστίας λαμβάνηται, ὅταν μετὰ σφραγῖδος, οὐδὲ ἄλλο οὐδέν. ἀκάθαρτος ἡ προαίρεσις ἡ μὴ εὐχαριστοῦσα τῷ Θεῷ.

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας. Ταῦτα, ποῖα; ἅπερ εἶπεν, ὅτι τὸ μυστήριον μέγα ἐστὶν, ὅτι τὸ τούτων ἀπέχεσθαι, δαιμόνιον ἐστὶν, ὅτι διὰ λόγου καὶ ἐντεύξεως Θεοῦ τὰ βρώματα καθαρίζεται. ἐντρεφόμενος, φησὶ, τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς διδασκαλίας ᾗ παρηκολούθηκας.

7 Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. 8 Γύμναζε δὲ σαυτὸν πρὸς εὐσέβειαν. Ταῦτα ὑποτιθέμενος, φησίν. ὁρᾷς οὐδαμοῦ τῆς αὐθεντίας ἐνταῦθα, ἀλλὰ τῆς συγκαταβάσεως; ὑποτιθέμενος, φησὶν· οὐκ εἶπεν, ἐπιτάττων, οὐκ εἶπε, παραγγέλλων, ἀλλ', ὑποτιθέμενος· τουτέστιν, ὡς συμβουλεύων ταῦτα ὑπόθου, καὶ τοὺς λόγους ἀνακίνει τοὺς περὶ πίστεως. ἐντρεφόμενος, φησὶ, τὸ διηνεκὲς τῆς εἰς τὰ τοιαῦτα προσοχῆς δηλοῖ. ὥσπερ γὰρ τὴν τροφὴν ταύτην καθ' ἑκάστην ἡμέραν προσφερόμεθα, οὕτω, φησὶ, καὶ τοὺς (χ ἀπὸ) περὶ πίστεως λόγους ἀεὶ λαμβανόμενοι, ἀεὶ τούτοις τρεφόμεθα. τί ἐστιν, ἐντρεφόμενος; μηρυκώμενος, συνεχῶς τὰ αὐτὰ στρέφων, ἀεὶ τὰ αὐτὰ μελετῶν. τροφὴν γὰρ ἔχει οὐ τὴν τυχοῦσαν. τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. τίνας ἐνταῦθα λέγει; τὰς Ἰουδαϊκὰς παρατηρήσεις. καὶ μύθους αὐτὰς φησί; καὶ πόθεν; ἢ διὰ τὰς παραποιήσεις, ἢ διὰ τὸ ἄκαιρον. τὸ γὰρ ἐν καιρῷ χρήσιμον, χωρὶς δὲ τοῦ καιροῦ, οὐ μόνον ἄχρηστον, ἀλλὰ καὶ βλαβερόν. ἐννόησον γάρ

μοι

μοι δὲ ὅδρα μετὰ εἴκοσιν ἔτη περὶ μαστῷ προσπαίζοντα ἑαυτὸν τῆς τίτθης, πῶς ἐστι καταγέλαστος διὰ τὸ ἀχρεῖον; ὁρᾷς πῶς καὶ ἀκάθαρτα αὐτὰ εἶπε, καὶ γραώδη; τὸ μὲν διὰ τὸ παλαιόν, τὸ δὲ διὰ τὸ ἐμποδίζειν τῇ πίστει. τὸ γὰρ ὑπὸ φόβον ἄγειν τὴν ἀνωτέρω τούτων δημιουργηθεῖσαν ψυχήν, τῶν ἀκαθάρτων ἐστὶ παραγγελμάτων. γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν, τουτέστι, πρὸς πίστιν καθαράν, καὶ βίον ὀρθόν. τοῦτο γάρ ἐστιν εὐσέβεια. γυμνασίας ἄρα χρεία ἡμῖν.

9 Ἡ γὰρ σωματικὴ γυμνασία, φησί, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος.

Τινὲς περὶ τῆς νηστείας τοῦτό φασιν εἰρῆσθαι· ἄπαγε, οὐκ ἔστι σωματικὴ γυμνασία, ἀλλὰ πνευματική. εἰ γὰρ σωματικὴ ἦν, τὸ σῶμα ἔτρεφεν ἄν· εἰ δὲ τήκει αὐτὸ καὶ λεπτύνει καὶ κατισχνοῖ, οὐκ ἔστι σωματική. οὐκ ἄρα περὶ τῆς τοῦ σώματος ἀσκήσεώς φησιν· ὥστε ἡμῖν δεῖ τῆς κατὰ ψυχὴν γυμνασίας. ἐκείνη γὰρ οὐκ ἔχει κέρδος, ἀλλ' ὀλίγον ὠφελήσει τὸ σῶμα, ἡ δὲ τῆς εὐσεβείας ἄσκησις τὸν καρπὸν καὶ ἐν τῷ μέλλοντι ἀποδίδωσι, καὶ ἐνταῦθα ἀνακτᾶται, καὶ ἐκεῖ.

10 Πιστὸς ὁ λόγος. Τουτέστιν, ἀληθής, ὅτι καὶ ἐνταῦθα καὶ ἐκεῖ. ὁρᾷς πῶς πανταχοῦ τοῦτο ἐπάγει, οὐ δεῖται κατασκευῆς, ἀλλ' ἀποφαίνεται. πρὸς γὰρ Τιμόθεον ἦν ὁ λόγος αὐτῷ. ἄρα καὶ ἐνταῦθα ἐν ἐλπίσιν ἐσμὲν χρησταῖς. ὁ γὰρ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, ὁ μυρία κατορθῶν, καὶ ἐνταῦθα γλυκαίνεται· ὥσπερ οὖν ὁ πονηρὸς οὐκ ἐκεῖ μόνον, ἀλλὰ καὶ ἐνταῦθα κολάζεται, φόβῳ συζῶν διηνεκῶς, οὐδενὶ μετὰ παρρησίας ἀντιβλέψαι τολμῶν, τρέμων, ὠχριῶν, ἀγωνιῶν. ἢ οὐ τοιοῦτοι οἱ πλεονέκται, οἱ κλέπται, οὐ θαρροῦντες ὑπὲρ ὧν ἔχουσιν; οἱ μοιχοί, οἱ ἀνδροφόνοι οὐ χαλεπωτάτην ζῶσι ζωήν, μετὰ ὑποψίας τὸν ἥλιον ὁρῶντες αὐτόν; τοῦτο οὖν ζωή; οὐδαμῶς, ἀλλὰ θάνατος χαλεπός.

11 Εἰς τοῦτο γάρ, φησί, καὶ κοπιῶμεν, καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. Ὡσεὶ ἔλεγε, τίνος γὰρ ἕνεκεν κατακόπτομεν ἑαυτούς, εἰ μὴ τὰ μέλλοντα προσεδοκῶμεν; τίνος δὲ ἕνεκεν πάντες ἡμῖν ὀνειδίζουσιν; τὰ δεινά, φησι, τοσαῦτα πεπόνθαμεν; οὐχ ὕβρεις, καὶ λοιδορίας, καὶ μυρία κακά; εἰκῇ οὖν ταῦτα ὑπεμείναμεν; εἰ μὴ ἐπὶ Θεῷ ζῶντι ἠλπίκαμεν, τίνος ἕνεκεν ταῦτα ὑπεμείναμεν; εἰ δὲ τοὺς ἀπίστους σώζει ἐνταῦθα, πολλῷ μᾶλλον τοὺς πιστοὺς ἐκεῖ. ποίαν λέγει σωτηρίαν; τὴν ἐκεῖ. ὅς ἐστι, φησι, σωτὴρ πάντων, μάλιστα πιστῶν· τουτέστι, πλείονα σπουδὴν περὶ τοὺς πιστοὺς ἐνδείκνυται. τέως τὴν ἐνταῦθά φησι. καὶ πῶς τῶν πιστῶν ἐστι, φησι, σωτήρ; εἰ μὴ γὰρ σωτὴρ ἦν, οὐδὲν ἂν ἐκώλυσεν ὑπὸ πάντων πολεμουμένους πάλαι διεφθάρθαι. ἐνταῦθα καὶ παρορμᾷ αὐτοὺς πρὸς τοὺς κινδύνους, ὥστε μὴ ἐκλυθῆναι Θεὸν ἔχοντας τοιοῦτον, μήτε τῆς παρὰ ἑτέρων συμμαχίας δεῖσθαι, ἀλλ' ἑκόντας πάντα φέρειν γενναίως· ἐπεὶ καὶ οἱ πρὸς τὰ βιωτικὰ κεχηνότες, πρὸς τὴν ἐλπίδα τοῦ κέρδους ὁρῶντες ἐγχειροῦσι τοῖς πράγμασιν. ἄρα ἔσχατός ἐστι λοιπὸν ὁ καιρός. Ἐν ὑστέροις γὰρ καιροῖς, φησιν, ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν. τί οὖν; ἡμεῖς οὐ κωλύομεν, φησι, γαμεῖν; οὐ κωλύομεν, μὴ γένοιτο, βουλομένους, ἀλλὰ τοὺς μὴ βουλομένους γαμεῖν προτρέπομεν ἐπὶ τὴν παρθενίαν. ἕτερον ἐστι κωλῦσαι, καὶ ἕτερον κυρίους ἀφεῖναι τῆς προαιρέσεως. ὁ μὲν γὰρ κωλύων, καθάπαξ τοῦτο ποιεῖ· ὁ δὲ ὡς ἐπὶ μείζονα, τὴν παρθενίαν ἐνάγων, οὐ κωλύων γαμεῖν τοῦτο ποιεῖ, ἀλλὰ προτρέπων παρθενεύειν. Κωλυόντων, φησί, γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. καλῶς εἶπεν, ἐπεγνωκόσι τὴν ἀλήθειαν. ἄρα τὰ πρότερα τύπος ἦν. οὐδὲν γὰρ φύσει ἀκάθαρτον, ἀλλὰ παρὰ τὴν συνείδησιν τοῦ μεταλαμβάνοντος γίνεται. καὶ τίνος οὖν ἕνεκεν τῶν πολλῶν αὐτοὺς βρωμάτων ἀπήγαγε; τὴν πολλὴν ἐκκό-

πτων

πλῶν τρυφῶν. ἀλλ' εἰ μὲν εἶπεν, ὅτι διὰ τρυφὴν μὴ ἐσθίετε, οὐκ ἂν ἠνέσχοντο. νῦν δὲ εἰς νόμον αὐτοὺς κατέκλεισεν ἀνάγκης, ἵνα τῷ μείζονι φόβῳ μᾶλλον ἀπέχωνται. ἐπεὶ ὅτι τῶν ὑὸς ἀκαθαρτότερόν ἐστιν ὁ ἰχθὺς, παντί που δῆλον· ἀλλ' ὅμως ἐκείνων οὐκ ἀπήγαγεν. ὅσοι δὲ αὐτοῖς χαλεποὶ ἦν ἡ τρυφή, ἄκουε καὶ τοῦ Μωϋσέως λέγοντος· (Δευτ. λβ. ιε.) Ἔφαγε, καὶ ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. ἔστι δὲ καὶ ἄλλη αἰτία. ἵνα γὰρ στενοχωρηθέντες λοιπὸν ἐπὶ βόας ἔλθωσι, καὶ σφάξωσι πρόβατα, εἰκότως διὰ τοῦτο ἅπτεσθαι καὶ τοῦ μόσχου τῶν λοιπῶν ἀπεῖρξεν. ἀκάθαρτος γὰρ ἐκεῖνος, ἀλλότριος, μιαρὸς καὶ βέβηλος. ταῦτα ὑποτίθεσο, ταῦτα μελέτα. ὁ γὰρ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως, τοῦτό ἐστι. μὴ τοῖς ἄλλοις μόνοις παραινῇ, φησιν, ἀλλὰ καὶ αὐτὸς ἐν αὐτοῖς ἔχε τὴν μελέτην. ἐντρεφόμενος γὰρ, φησι, τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ἣ παρηκολούθηκας. τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. διὰ τί μὴ εἶπεν, ἀπέχου τῶν τοιούτων, ἀλλά, παραιτοῦ; τὴν πολλὴν ἀποφυγὴν αἰνιττόμενος διὰ τούτου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μηδὲ εἰς γυμνασίαν ποτὲ καταθῇς σεαυτὸν διαλεγόμενος πρὸς ἐκείνους, ἀλλὰ ταῦτα τοῖς αὐτοῦ παραίνει. (γ. αὐτῇ) οὐ γάρ ἐστι πρὸς τοὺς διεστραμμένους μαχόμενον ὀνῆσαί τι ποτε, πλὴν εἴ ποτε οἰόμεθά τινα βλάβην γίνεσθαι, ὡς δι' ἀσθένειαν παραιτουμένων ἡμῶν τὴν πρὸς ἐκείνους διάλεξιν. γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν, τουτέστι, πρὸς βίον καθαρὸν, πρὸς πολιτείαν ἀρίστην. ὁ δὲ γυμναζόμενος, καὶ καιροῦ μὴ ὄντος ἀγώνων, αὐτὸς ὡς ἀγωνιζόμενος ἀεὶ πάντα ποιεῖ, πάντων ἀπέχεται, ἐναγώνιός ἐστιν, ἱδρῶτας ἔχει πολλούς. Γύμναζε, φησι, σεαυτὸν πρὸς εὐσέβειαν. ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν, καὶ τῆς μελλούσης. καὶ τίνος ἕνεκεν, φησιν, ἐμνήσθη ταύτης τῆς σωματικῆς γυμνασίας; ἀπὸ συγκρίσεως τὴν ὑπεροχὴν ταύτης δηλῶν, ὅτι ἐκείνη μὲν καὶ πόνους ἔχουσα πολλοὺς, οὐδὲν ἔχει τὸ κέρδος, οὐδὲ ἄξιον λόγου· αὕτη δὲ διηνεκὲς, καὶ ἄφθονον. ὥσπερ ὅταν λέγῃ κοσμεῖν ἑαυτὰς μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ (α Τιμ. β. θ.) ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν. πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος. εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ὀνειδιζόμεθα.

ΗΘΙΚΟΝ

Παῦλος ὀνειδίζεται, καὶ σὺ ἀγάλλῃ; Παῦλος ἐκοπία, καὶ σὺ τρυφᾶν βούλει; ἀλλ' οὐκ ἂν ἐκεῖνος τρυφῶν τοσούτων ἐπέτυχεν ἀγαθῶν. εἰ γὰρ τὰ βιωτικὰ πράγματα καὶ ἐπίκηρα (γ. ἐπίγεια) καὶ φθαρτά, πόνων χωρὶς καὶ ἱδρώτων οὐδέποτε παραγίνεται τοῖς ἀνθρώποις, πολλῷ μᾶλλον τὰ πνευματικά. ναί, φησιν, ἀλλ' ἀπὸ κληρονομίας πολλοῖς πολλάκις περιεγένετο. ἀλλὰ κἂν αὐτὰ παραγίνηται, ἡ φυλακὴ ἡ τούτων καὶ ἡ σωτηρία πόνων οὐκ ἔστι χωρίς, ἀλλὰ δεῖ πονεῖν καὶ ταλαιπωρεῖσθαι τὸν κεκτημένον οὐχ ἧττον. καὶ οὔπω λέγω, ὅτι πολλοὶ πονήσαντες, ἢ καὶ πολλὰ ταλαιπωρηθέντες, ἐναυάγησαν πρὸς αὐτὰ τοῦ λιμένος τὰ στόματα, πνεύματος ποθὲν ἐμπεσόντος, καὶ ἐν αὐταῖς ταῖς ἐλπίσι τῶν ἀγαθῶν τὸ ναυάγιον ἐργασαμένου. παρὰ δὲ ἡμῖν οὐδὲν τοιοῦτόν ἐστι. Θεὸς γάρ ἐστιν ὁ ἐπαγγελλόμενος, καὶ ἡ ἐλπὶς οὐ καταισχύνει. ἢ οὐκ ἴστε καὶ ὑμεῖς, ὅτι ἐν τοῖς βιωτικοῖς στρεφόμενοι πράγμασι, πόσοι μετὰ μυρίους πόνους οὐκ ἀπέλαυσαν τῶν καρπῶν, ἢ θανάτου πολλάκις προαπενεγκόντος αὐτοὺς, ἢ πραγμάτων μεταβολῆς γενομένης, ἢ νόσου προσπεσούσης, ἢ συκοφαντῶν ἐπιτεθέντων, ἢ καὶ ἄλλης τινὸς αἰτίας (πολλὰ δὲ τὰ ἀνθρώπινα) κεναῖς αὐτοὺς ἀπαγαγούσης χερσί; τί δέ, φησι, τοὺς ἐπιτυγχάνοντας οὐχ ὁρᾷς, τοὺς δι' ὀλίγων πόνων μεγάλα κτησαμένους ἀγαθά; ποῖα ἀγαθά; χρήματα, καὶ οἰκίας, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ ἀνδραπόδων ἀγέλας, καὶ σταθμοὺς ἀργυρίου, καὶ χρυσίου. ταῦτα λέγεις ἀγαθά, καὶ οὐκ ἐγκαλύπτῃ, οὐδὲ καταδύῃ, ἄνθρωπος πρὸς οὐρανοῦ φιλοσοφεῖν (γ. φιλοσοφ.) προστεταγμένος, καὶ πρὸς τὰ τῆς γῆς κεχηνὼς πράγματα, καὶ ἀγαθὰ καλῶν, ἃ μηδενός ἐστιν ἄξια λόγου; εἰ ταῦτα ἀγαθά, πάντως καὶ τοὺς κεκτημένους αὐτὰ ἀγαθοὺς δεῖ καλεῖν. ὁ γὰρ ἀγαθόν τι ἔχων, πῶς οὐκ ἀγα-

θός;

τός; τί οὖν, εἰπέ μοι; ὅταν οἱ κεκτημένοι αὐτὰ πλεονεκτῶσιν, ἁρπάζωσιν, ἀγαθοὺς αὐτοὺς καλέσομεν; εἰ γὰρ ἀγαθὸν ὁ πλοῦτος, ἀπὸ δὲ πλεονεξίας συνάγεται, ὅσῳ ἂν αὔξηται, τοσούτῳ μᾶλλον τὸν ἔχοντα ἀγαθὸν ποιήσει νομίζεσθαι. ἆρα οὖν ἀγαθὸς ὁ πλεονέκτης. εἰ δὲ ὁ πλοῦτος ἀγαθὸς, ὑπὸ δὲ πλεονεξίας αὔξεται, ὅσῳ ἂν πλεονεκτῇ, ἀγαθώτερος ἔσται. εἶδες τὴν ἐναντίωσιν; ἀλλ' ἂν μὴ πλεονεκτῇ, φησί. καὶ πῶς ἔνι γενέσθαι; ὀλέθριον γὰρ τὸ πάθος, καὶ οὐκ ἔστιν, οὐκ ἔστι μὴ ἀδικοῦντα πλουτεῖν. τοῦτο καὶ ὁ Χριστὸς ἀπεφήνατο λέγων, Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. (Λουκ. ις. θ.) τί οὖν, φησὶν, ἂν παρὰ πατρὸς δέξηται τὸν κλῆρον; τὰ ἐξ ἀδικίας συλλεγέντα ἐδέξατο. οὐ γὰρ δὴ ἀπὸ τοῦ Ἀδὰμ ὁ πρόγονος ἐκείνου πλούσιος ἦν, ἀλλὰ πολλοὺς ἑτέρους εἰκὸς πρὸ ἐκείνου γεγενῆσθαι, εἶτα ἐν τοῖς πολλοῖς εὑρεθῆναί τινα ἀδίκως τὰ τῶν ἄλλων εἰληφότα καὶ καρπούμενον. τί οὖν; Ἀβραὰμ, φησὶν, ἄδικον πλοῦτον εἶχε; τί δέ; ὁ Ἰὼβ, ὁ ἄμεμπτος, ὁ δίκαιος, ὁ ἀληθινὸς, ὁ θεοσεβὴς, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος; ὁ πλοῦτος ἐκείνοις οὐκ ἐν χρυσῷ ἦν, οὐδὲ ἐν ἀργύρῳ, οὐδὲ ἐν οἰκοδομήμασιν, ἀλλ' ἐν θρέμμασιν. ἄλλως δὲ καὶ θεόπλουτος οὗτος ἦν. ὅτι γὰρ ἐν θρέμμασιν ἦν, εὔδηλον ἐκεῖθεν. καταλέγων γὰρ ὁ τὸ βιβλίον γράψας τὰ συμβεβηκότα τῷ μακαρίῳ ἐκείνῳ, καὶ λέγων, ὅτι ἀπώλοντο αὐτῷ κάμηλοι, καὶ ἵπποι θήλειαι, καὶ ὄνοι, οὐκ εἶπεν ὅτι καὶ χρυσίου θησαυροὺς ἐλθόντες ἀφήρπασαν. ἄλλως δὲ, καὶ ὁ Ἀβραὰμ πλούσιος ἦν· ἀλλ' ἐν οἰκέταις. τί οὖν; οὐκ ἠγόρασε τούτους; οὐδαμῶς. διὰ τοῦτο εἶπεν ἡ γραφὴ, Ὅτι οἰκογενεῖς ἦσαν οἱ τριακόσιοι δέκα καὶ ὀκτώ. (Γεν. ιδ. ιδ.) καὶ πρόβατα, καὶ βόες ἦσαν αὐτῷ. πόθεν οὖν χρυσίον ἔπεμψε τῇ Ῥεβέκκᾳ; ἀπὸ τῆς Αἰγύπτου δῶρα λαβὼν, οὐ βιασάμενος, οὐδὲ ἀδικήσας. εἰπὲ γάρ μοι, πόθεν σὺ πλουτεῖς; παρὰ τίνος λαβών; ἐκεῖνος δὲ ἕτερος πόθεν; παρὰ τοῦ πάππου, φησὶ, παρὰ τοῦ πατρός. δυνήσῃ οὖν μέχρι πολλοῦ τὰς γενεὰς ἀνιὼν, οὕτω δεῖξαι τὴν κτῆσιν δικαίαν οὖσαν; ἀλλ' οὐκ ἂν ἔχοις· ἀλλ' ἀνάγκη τὴν ἀρχὴν αὐτῆς καὶ τὴν ῥίζαν ἀπὸ ἀδικίας εἶναί τινος. πόθεν; ὅτι ὁ Θεὸς ἐξ ἀρχῆς οὐ τὸν μὲν πλούσιον ἐποίησε, τὸν δὲ πένητα, οὐδὲ παραγαγὼν, τούτῳ μὲν ἔδειξε χρυσίου θησαυροὺς πολλοὺς, ἐκεῖνον δὲ ἀπεστέρησε τῆς εὑρέσεως, ἀλλὰ τὴν αὐτὴν πᾶσιν ἀφῆκε γῆν. πόθεν οὖν κοινῆς οὔσης, σὺ μὲν ἔχεις πλέθρα τόσα, καὶ τόσα· ὁ δὲ πλησίον οὐδὲ κύαθον γῆς; ὁ πατήρ μοι, φησὶ, παρέδωκεν. ἐκεῖνος δὲ παρὰ τίνος παρέλαβε; παρὰ τῶν προγόνων. ἀλλὰ ἀνάγκη πάντως ἀνιόντα εὑρεῖν τὴν ἀρχήν. ἐγένετο πλούσιος ὁ Ἰακὼβ, ἀλλὰ τῶν πόνων λαβὼν τὸν μισθόν. πλὴν ἀλλ' οὐδὲ ὑπὲρ τούτων ἀκριβολογοῦμαι. ἔστω δίκαιος ὁ πλοῦτος, καὶ πάσης ἁρπαγῆς ἀπηλλάχθω. οὐ γὰρ δὴ σὺ ὑπεύθυνος, εἰ ὁ πατὴρ ἐπλεονέκτησεν. ἔχεις μὲν γὰρ τὰ ἐκ τῆς ἁρπαγῆς, ἀλλ' οὐχ ἥρπασας σύ. πλὴν ἀλλὰ συγκεχωρήσθω μηδὲ ἐκεῖνον ἡρπακέναι, ἀλλά ποθεν ἀπὸ γῆς ἀναβλυσθέντα τὸν χρυσὸν ἔχειν. τί οὖν; παρὰ τοῦτο ἀγαθὸς ὁ πλοῦτος; οὐδαμῶς. ἀλλ' οὐδὲ πονηρὸς, φησίν. ἐὰν μὴ πλεονεκτῇ, οὐ πονηρὸς, ἐὰν μεταδίδωσι τοῖς δεομένοις· ἐὰν δὲ μὴ μεταδίδωσι, πονηρὸς καὶ ἐπίβουλος. ἕως ἂν μὴ ποιῇ, φησὶ, κακὸν, οὐ κακὸς, κἂν ἀγαθὸν μὴ ἐργάζηται. καλῶς· τοῦτο δὲ οὐ κακὸν τὸ μόνον ἔχειν τὰ δεσποτικὰ, τὸ μόνον ἀπολαύειν τῶν κοινῶν; ἢ οὐχὶ τοῦ Θεοῦ ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς; εἰ τοίνυν τοῦ δεσπότου τοῦ κοινοῦ τὰ ἡμέτερα, ἄρα καὶ τῶν συνδούλων τῶν ἡμετέρων. τὰ γὰρ τοῦ δεσπότου πάντα κοινά. ἢ οὐχ ὁρῶμεν καὶ ἐν ταῖς μεγάλαις οἰκίαις οὕτω ταῦτα διατεταγμένα; οἷον, πᾶσιν ἐξ ἴσου τὸ σιτομέτριον δίδοται· ἀπὸ τῶν δεσποτικῶν γὰρ ἔξεισι θησαυρῶν. ἡ οἰκία ἡ δεσποτικὴ πᾶσιν ἀνέῳκται. κοινὰ καὶ τὰ βασιλικὰ πάντα, αἱ πόλεις, αἱ ἀγοραὶ, οἱ περίπατοι· πᾶσιν εἰσὶ κοινοὶ, πάντες τοῦ ἴσου μετέχομεν. (τὸ ἴσον) θέα γάρ μοι Θεοῦ οἰκονομίαν. ἐποίησεν εἶναί τινα κοινά, ἵνα κἂν ἀπ' ἐκείνων καταιδέσῃ τὸ ἀνθρώπινον γένος, οἷον τὸν ἀέρα, τὸν ἥλιον, τὸ ὕδωρ, τὴν γῆν, τὸν οὐρανὸν, τὴν θάλατταν, τὸ φῶς, τοὺς ἀστέρας, καθάπερ ἀδελφοῖς πάντα ἐξ ἴσης διανέμει. ὀφθαλμοὺς πᾶσι τοὺς αὐτοὺς ἐδημιούργησε, σῶμα τὸ αὐτὸ,

ψυχὴν

ψυχὴν τὴν αὐτὴν, ὁμοίαν τὴν κατασκευὴν ἐν πᾶσιν, ἀπὸ γῆς τὰ πάντα, καὶ ἀπὸ ἑνὸς ἀνδρὸς πάντας, ἐν τῇ αὐτῇ οἰκίᾳ πάντας· ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐνέτρεψεν. ἐποίησε καὶ ἄλλα κοινὰ, οἷον λουτρὰ, πόλεις, ἀγορὰς, περιπάτους. καὶ θέα πῶς ἐν τοῖς κοινοῖς οὐδεμία μάχη, ἀλλὰ πάντα εἰρηνικά. ὅταν δέ τις περισπάσαι τι ἐπιχειρήσῃ, καὶ ἴδιον ποιήσῃ, τότε ἡ ἔρις ἐπεισέρχεται, ὥσπερ αὐτῆς τῆς φύσεως ἀγανακτούσης, ὅτι δὴ πανταχόθεν ἡμᾶς συναγαγόντος τοῦ Θεοῦ, ἡμεῖς φιλονεικοῦμεν διαιρεῖν ἑαυτοὺς, καὶ ἀποσπᾷν ἐν τῷ ἰδιοποιεῖσθαι, καὶ λέγειν τὸ σὸν, καὶ τὸ ἐμόν*. τότε γὰρ μάχη, τότε ἀηδία. ἔνθα δὲ τοῦτο οὐκ ἔστιν, οὐδὲ μάχη, οὐδὲ φιλονεικία τίκτεται· ὥστε τοῦτο μᾶλλον ἐκείνου συγκεκλήρωται ἡμῖν, καὶ κατὰ φύσιν ἐστί. διὰ τί μηδεὶς ὑπὲρ ἀγορᾶς ποτε δικάζεται; ἆρα οὐχ ὅτι κοινὴ πάντων ἐστίν; ὑπὲρ δὲ οἰκίας πάντας ὁρῶμεν δικαζομένους, ὑπὲρ χρημάτων. καὶ τὰ μὲν ἀναγκαῖα, κοινὰ ἡμῖν πρόκειται· ἡμεῖς δὲ οὐδὲ ἐν τοῖς ἐλαχίστοις τὸ κοινὸν φυλάττομεν. καίτοι διὰ τοῦτο ἡμῖν ἐκεῖνα ἀνῆκεν, ἵνα παιδευθῶμεν ἀπ' ἐκείνων καὶ ταῦτα ἔχειν κοινῶς. ἡμεῖς δὲ οὐδὲ οὕτω παιδευόμεθα. ἀλλ' ὅπερ ἔφην, πῶς ὁ τὸν πλοῦτον ἔχων ἀγαθός; οὐκ ἔνι τοῦτο, ἀλλ' ἀγαθὸς, ἐὰν ἑτέροις μεταδῷ· ὅταν μὴ ἔχῃ, τότε ἀγαθός· ὅταν ἑτέροις αὐτὸν δῷ, τότε ἀγαθός. ἕως δ' ἂν ἔχῃ, οὐκ ἂν εἴη ἀγαθός. τοῦτο οὖν ἀγαθὸν, ὃ κατεχόμενον μὲν πονηροὺς δείκνυσιν, ἢ ἀπορριπτόμενον δὲ ἀγαθούς; οὐκ ἄρα τὸ ἔχειν χρήματα ἀγαθὸν, ἀλλὰ τὸ μὴ ἔχειν ἀγαθοὺς ποιεῖ φανῆναι. οὐκ ἄρα ὁ πλοῦτος ἀγαθόν. ἂν δὲ καὶ παρὸν λαβεῖν, μὴ λάβῃς, πάλιν ἀγαθός. εἰ τοίνυν καὶ ἔχοντες τοῦτον, ἂν τοῖς ἄλλοις μεταδιδῶμεν, ἢ διδόμενον οὐ λαμβάνοντες, τότε ἐσμὲν ἀγαθοί, ἂν δὲ λάβωμεν, ἢ κτησώμεθα, οὐκ ἀγαθοί, πῶς ἀγαθὸν ἂν γένηται ὁ πλοῦτος; μὴ τοίνυν κάλει τοῦτον ἀγαθόν. διὰ τοῦτο αὐτὸν οὐκ ἔχεις, ἐπειδὴ ἀγαθὸν αὐτὸν νομίζεις, ἐπειδὴ ἐπτόησαι περὶ αὐτόν. κάθαρόν σου τὴν διάνοιαν, τὴν κρίσιν ἔχε ἀπηκριβωμένην, καὶ τότε ἔσῃ ἀγαθός. μάθε τίνα ἐστὶ τὰ ὄντως ἀγαθά. τίνα δὲ ταῦτα ἐστίν; ἀρετὴ, φιλανθρωπία, ταῦτα ἀγαθὰ, οὐκ ἐκεῖνος. κατὰ τοῦτον τὸν κανόνα ἐὰν ᾖς ἐλεήμων, ὅσῳ ἂν ᾖς πλέον, τοσούτῳ ἀγαθὸς καὶ εἶ, καὶ νομίζῃ· ἂν δὲ πλούσιος ᾖς, οὐκέτι. οὕτω γενώμεθα οὖν ἀγαθοὶ, ἵνα καὶ ὦμεν ἀγαθοὶ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

* τὸ ψυχρὸν ἐκεῖνο ῥῆμα.

γ. ἀπορριπτόμενον.

Λογ. ιγ. 11 ΠΑΡΑΓΓΕΛΛΕ ΤΑΥΤΑ ΚΑΙ ΔΙΔΑΣΚΕ.

12 Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ.

13 Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ.

14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.

Τῶν πραγμάτων τὰ μὲν διδασκαλίας δεῖται, τὰ δὲ ἐπιταγῆς. ἂν τοίνυν ἐπιτάττῃς ὑπὲρ ὧν διδάσκειν χρὴ, καταγέλαστος ἔσῃ· πάλιν ἂν διδάσκῃς ὑπὲρ ὧν ἐπιτάττειν χρὴ, τὸ αὐτὸ ὑπομένεις ὁμοίως. οἷόν τι λέγω· τὸ μὴ εἶναι πονηρὸν ὑπὲρ τούτου οὐ διδάσκειν χρὴ, ἀλλ' ἐπιτάττειν, καὶ ἀπαγορεύειν μετὰ πλείονος αὐθεντίας. τὸ μὴ Ἰουδαΐζειν, ἐπιταγῆς δεῖται. ἂν μέντοι λέγῃς, ὅτι δεῖ τὰ ὑπάρχοντα κενοῦν, ὅτι δεῖ παρθενεύειν, ἂν περὶ πίστεως διαλέγῃ, ἐν τούτῳ διδασκαλίας χρεία. διὰ τοῦτο ἀμφότερα τίθησιν ὁ Παῦλος. παράγγελλε καὶ δίδασκε, φησίν. οἷον εἴ τις ἔχει περίαπτα, ἢ εἴ τι ἕτερον τοιοῦτον, ὅταν εἰδότες αὐτὰ πονηρὰ ὄντα πράττωσι, παραγγελίας δεῖ μόνης· ὅταν δὲ μὴ εἰδότες, διδασκαλίας. μηδείς σου τῆς νεότητος καταφρονείτω, φησίν. ὁρᾷς ὅτι καὶ ἐπιτάττειν χρὴ τὸν ἱερέα, καὶ αὐθεντικώτερον διαλέγεσθαι, μὴ πάντα διδάσκειν; οὐ κατα-

φρονῆται

φρόνητοι γάρ πως πρᾶγμα ἡ νεότης ἀπὸ τῆς κοινῆς προλήψεως γέγονε. διὰ τοῦτό φησι, μηδείς σου τῆς νεότητος καταφρονείτω. δεῖ γὰρ καὶ ἀκαταφρόνητον εἶναι τὸν διδάσκαλον. πῶς οὖν τὸ ἐπιεικές, φησι; πῶς οὖν τὸ πρᾶον, ἂν μὴ καταφρονῆται; ἐν μὲν τοῖς πρὸς ἑαυτὸν καταφρονείσθω καὶ φερέτω (οὕτω γὰρ διδασκαλία κατορθοῦται τῇ μακροθυμίᾳ) ἐν δὲ τοῖς πρὸς ἑτέρους μηκέτι. τοῦτο γὰρ οὐκ ἔστιν ἐπιείκεια, ἀλλὰ ψυχρότης. ἂν μὲν ὕβρεις ἐκδικῇ τὰς εἰς ἑαυτόν, ἂν λοιδορίας, ἂν ἐπιβουλάς, εἰκότως ἐγκαλεῖ· ἂν δὲ ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, "ἐπίταττε καὶ μετὰ αὐθεντίας" προσῆκεν. ἐνταῦθα οὐκέτι ἐπιεικείας χρεία, ἀλλ' αὐθεντίας, ἵνα μὴ τὸ κοινὸν λυμαίνηται. ἢ τοῦτό φησιν, ἢ ἐκεῖνο. μηδεὶς διὰ τὴν νεότητα καταφρονήσῃ σου. ἕως γὰρ ἂν τὸν πρέποντα ἐπιδεικνύῃ βίον, οὐκέτι διὰ τὴν ἡλικίαν τις καταφρονήσει, ἀλλὰ καὶ θαυμάσει μᾶλλον. διὰ τοῦτο καὶ ἐπάγει λέγων· ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ, περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων· τουτέστι, τὸ ἀρχέτυπον τοῦ βίου αὐτὸς ἔσο, ὥσπερ εἰκὼν προκείμενος, ὥσπερ νόμος ἔμψυχος, ὥσπερ κανὼν καὶ ὅρος τῆς εὐζωΐας. τὸν γὰρ διδάσκαλον τοιοῦτον εἶναι χρή. ἐν λόγῳ, ὡς καὶ φθέγγεσθαι μετ' εὐκολίας· ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ τῇ ὀρθῇ, ἐν σωφροσύνῃ. ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Τιμοθέῳ κελεύει προσέχειν τῇ ἀναγνώσει. ἀκούωμεν ἅπαντες, καὶ παιδευώμεθα μὴ ἀμελεῖν τῆς τῶν θείων γραφῶν μελέτης. ἰδοὺ πάλιν ἕως ἔρχομαι, φησιν. ὅρα πῶς αὐτὸν παραμυθεῖται. εἰκὸς γὰρ αὐτὸν ἀπορφανισθέντα ζητεῖν. ἕως ἔρχομαι, φησι, πρόσεχε τῇ ἀναγνώσει τῶν θείων γραφῶν, τῇ παρακλήσει τῇ πρὸς ἀλλήλους, τῇ διδασκαλίᾳ τῇ πρὸς πάντας. μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας. τὴν διδασκαλίαν ἐνταῦθα προφητείαν λέγει. μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. οὐ περὶ πρεσβυτέρων φησὶν ἐνταῦθα, ἀλλὰ περὶ ἐπισκόπων. οὐ γὰρ δὴ πρεσβύτεροι τὸν ἐπίσκοπον ἐχειροτόνουν.

15 Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι. Ὅρα πῶς πολλάκις περὶ τῶν αὐτῶν αὐτῷ παραινεῖ, δεῖξαι βουλόμενος, ὅτι μάλιστα πάντων ἐν τούτοις σπουδάζειν τὸν διδάσκαλον χρή.

16 Ἔπεχε σεαυτῷ, φησι, καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς. Τουτέστι, πρόσεχε σεαυτῷ, καὶ δίδασκε καὶ τοὺς λοιπούς. Τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. Καλῶς εἶπε, καὶ σεαυτόν. ὁ γὰρ τοὺς τῆς διδασκαλίας ἐπιφερόμενος λόγους, πρότερον αὐτὸς καρποῦται τὴν ὠφέλειαν. ἐν τῷ γὰρ παραινεῖν ἑτέροις, καὶ ἑαυτὸν κατανύσσει. οὐ γὰρ δὴ πρὸς Τιμόθεον ταῦτα εἴρηται, ἀλλὰ πρὸς πάντας. εἰ δὲ τῷ νεκροὺς ἀνιστῶντι τοιαῦτα παραινεῖ, τί ἐροῦμεν ἡμεῖς; καὶ ὁ Χριστὸς δὲ τὸ περὶ τῶν διδασκάλων αἰνίττεται λέγων· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. καὶ πάλιν ὁ μακάριος Παῦλος τὸ αὐτὸ παραινῶν φησιν· Ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. καὶ μάλιστα πάντων αὐτὸς τοῦτο ἐποίησε, παρὰ τοὺς πόδας Γαμαλιὴλ παιδευόμενος τὸν πατρῷον νόμον, ὥστε καὶ μετὰ ταῦτα αὐτὸν εἰκὸς προσέχειν τῇ ἀναγνώσει. ὁ γὰρ ἑτέροις ταῦτα παραινῶν, ἑαυτῷ πρότερον παρῄνεσεν ἄν. ὁρᾷς γοῦν αὐτὸν συνεχῶς ταῖς τῶν προφητῶν κεχρημένον μαρτυρίαις, καὶ θεωροῦντα τὰ ἐν αὐταῖς; εἶτα Παῦλος μὲν προσέχει τῇ ἀναγνώσει (οὐ γάρ ἐστι μικρὰν ἀπὸ τῶν γραφῶν ὠφέλειαν καρπώσασθαι) ἡμεῖς δὲ ῥαθυμοῦμεν καὶ παρέργως ἀκούομεν; καὶ πόσης οὐκ ἂν εἴημεν κολάσεως ἄξιοι; Ἵνα σου γὰρ ἡ προκοπὴ φανερὰ ᾖ, φησιν, ἐν πᾶσιν. Ὁρᾷς ὅτι ἠβούλετο αὐτὸν καὶ ἐν τούτῳ μέγαν φαίνεσθαι, καὶ θαυμαστόν; διὰ τοῦτο οὕτως εἶπε, δεικνὺς ὅτι ἐδεῖτο αὐτοῦ ἔτι. τί ἐστιν, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσι; μὴ ἐν τῷ βίῳ, φησί, μόνον, ἀλλὰ καὶ ἐν τῷ λόγῳ τῷ διδασκαλικῷ.

ἐπιτάττε, προσῆκε

Ματθ. ιγ. ιϛ.

Ῥωμ. ιε. δ.

παιδευ-

I Πρεσβυτέρῳ

κεφ. ε.

1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς. Ἆρα τὸ ἀξίωμα νῦν φησιν; οὐκ ἔγωγε οἶμαι, ἀλλὰ περὶ παντὸς γεγηρακότος. τί οὖν, ἂν δέηται διορθώσεως; οὐκ ἐπιπλήξῃς, φησὶν, ἀλλ' ὡσανεὶ πρὸς πατέρα, φησὶ, προσενεχθείης ἁμαρτόντα, οὕτω καὶ πρὸς ἐκεῖνον διαλέγου.

2 Πρεσβυτέρας ὡς μητέρας, νεωτέρους ὡς ἀδελφοὺς, νεωτέρας ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ. Αὐτὴ τοῦ πράγματος ἡ φύσις φορτικόν τί ἐστι, τὸ ἐλέγχεσθαι λέγω, καὶ μάλιστα ὅταν καὶ εἰς γέροντα γένηται· ἂν δὲ καὶ παρὰ νέου, τριπλοῦν γίνεται τὸ τῆς προπετείας. παραμυθεῖται οὖν αὐτὸ τῷ τρόπῳ καὶ τῇ πραότητι. ἔνεστι γὰρ ἀνεπαχθῶς ἐλέγχειν, εἴ τις θέλει τοῦτο ἀσκεῖν· πολλῆς μὲν γὰρ συνέσεως ἐστιν, ἔνεστι δέ. νεωτέρους ὡς ἀδελφοὺς, φησί. διὰ τί καὶ ἐνταῦθα τοῦτο προσέθηκε; τὸ θρασὺ πάλιν διὰ τὴν ἡλικίαν αἰνιττόμενος. δεῖ τοίνυν καὶ ἐνταῦθα παραμυθεῖσθαι τὸ πρᾶγμα τῇ ἐπιεικείᾳ. νεωτέρας, φησὶν, ὡς ἀδελφὰς, καὶ προσέθηκεν, ἐν πάσῃ ἁγνείᾳ. μή μοι, φησί, τὴν τῆς μίξεως μόνον εἴπῃς ἁμαρτίαν, ἀλλὰ μηδὲ ὑποψίαν, φησί, δῷς. ἐπειδὴ γὰρ αἱ πρὸς τὰς νεωτέρας γινόμεναι ὁμιλίαι δυσκόλως διαφεύγουσιν ὑποψίαν, δεῖ δὲ γίνεσθαι παρὰ τοῦ ἐπισκόπου καὶ τοῦτο, διὰ τοῦτο ἐν πάσῃ ἁγνείᾳ προστίθησι, δηλῶν ὅτι μετὰ πάσης ἁγνείας προσήκει τὰς πρὸς αὐτὰς ὁμιλίας ποιεῖσθαι. τί λέγεις, εἰπέ μοι; Τιμοθέῳ ταῦτα ἐπιτάττεις; ναί, φησί. δι' αὐτοῦ γὰρ τῇ οἰκουμένῃ διαλέγομαι. εἰ δὲ Τιμοθέῳ ταῦτα ἐπιτάττει, ἐννοείτω ἕκαστος τῶν ἄλλων ὁποῖος εἶναι ὀφείλει, μήτε ὑποψίαν παρέχων, μήτε σκιὰν προφάσεως τοῖς διαβάλλειν βουλομένοις.

3 Χήρας τίμα, τὰς ὄντως χήρας. Διὰ τί μηδὲν περὶ παρθενίας διαλέγεται, μηδὲ λέγει, παρθένους τίμα; ὅτι μοι δοκοῦσι μηδὲ εἶναι τότε, ἢ καὶ ἐκπεπτωκέναι. Ἤδη γάρ, φησί, τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ. (α. Τιμ. α. ιε.) χήρας τίμα, τὰς ὄντως χήρας, φησίν. ἆρα ἐστὶ μὴ ἔχειν μὲν ἄνδρα, μὴ εἶναι δὲ χήραν. ὥσπερ γὰρ τὴν παρθένον οὐ τοῦτο ποιεῖ παρθένον, τὸ μὴ ὡμιληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ ἑτέρων δεῖ, τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου· οὕτω καὶ χήραν οὐχ ἡ τοῦ ἀνδρὸς ἐρημία ποιεῖ ἁπλῶς, ἀλλ' ἡ μετὰ σωφροσύνης ὑπομονή, ἡ ἐκ πάντων μόνωσις. τὰς τοιαύτας χήρας τιμᾶν παραινεῖ, εἰκότως. πολλῆς γὰρ δέονται τιμῆς μεμονωμέναι. ἄνδρας οὐκ ἔχουσι τοὺς προϊσταμένους· τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δοκεῖ καὶ δυσοιώνιστον παρὰ τοῖς πολλοῖς. διὰ τοῦτο πολλῆς αὐτὴν βούλεται παρὰ τοῦ ἱερέως ἀπολαύειν τιμῆς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ ἀξία ἐστίν.

4 Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις. Ὅρα τοῦ Παύλου τὸ συνετὸν, πῶς πολλαχοῦ ἀπὸ ἀνθρωπίνων προτρέπει λογισμῶν. οὐ γὰρ ἔθηκεν ἐνταῦθα μέγα τι καὶ ὑψηλὸν, ἀλλ' ὅπερ ἐστὶν εὐσυνείδητον· καὶ ἀμοιβὰς, φησιν, ἀποδιδόναι τοῖς προγόνοις. πῶς; τῆς ἀνατροφῆς, τῆς αὐξήσεως. οἷον, ἀπέλαυσας πολλῆς τῆς ἐπιμελείας, ἀπῆλθον ἐκεῖνοι· οὐκ ἠδυνήθης αὐτοῖς ἀποδοῦναι τὴν ἀμοιβήν. οὐ γὰρ δὴ καὶ αὐτὴ ἐγέννησας αὐτοὺς, οὐδὲ ἀνέθρεψας. ἐν τοῖς ἐκγόνοις αὐτῶν ἀμείβου, ἀπόδιδου τὸ ὀφείλημα διὰ τῶν παίδων. μανθανέτωσαν, φησι, πρῶτον τὸν οἶκον ἴδιον εὐσεβεῖν. ἐνταῦθα τὸ εὖ ποιεῖν φησιν ἁπλούστερον. εἶτα ἵνα μᾶλλον ἐπάρῃ, ἐπήγαγε, Τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ. Ἐπειδὴ δὲ εἶπε τὰς ὄντως χήρας, λέγει τίς ἐστιν ἡ ὄντως χήρα.

5 Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας·

6 Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. Εἴ τις, φησι, μὴ κοσμικὸν ἐπανήρηται βίον, καὶ ἐν χηρείᾳ οὖσα, αὕτη ὄντως χήρα ἐστίν. ἡ ἐπὶ τὸν Θεὸν ἐλπίζουσα ὡς χρὴ, ἡ δεήσεσι προσανέχουσα, καὶ προσκαρτεροῦσα νυκτὸς καὶ ἡμέρας, αὕτη χήρα ἐστίν· οὐχ ὡς καὶ τῆς τέκνα ἐχούσης οὐχὶ χήρας οὔσης (καὶ γὰρ καὶ ἐκείνην θαυμάζει τὴν παιδοτροφοῦσαν, ὡς χρὴ) ἀλλ' εἴ τις τέκνα μὴ ἔχει, τουτέστιν, ἡ μεμονωμένη οὖσα. Εἶτα παραμυθεῖται αὐτὴν, ὡς οὐκ

ἔχουσαι

ἔχουσαν τέκνα, εἰπὼν, ὅτι τοῦτό ἐστι χήραν μάλιστα εἶναι, ὅταν μὴ τῆς παρὰ τοῦ ἀνδρὸς παραμυθίας, ἀλλὰ καὶ τῆς παρὰ τῶν τέκνων ἀπεστερημένη οὖσα τύχῃ. ἔχει γὰρ τὸν Θεὸν ἀντὶ πάντων. οὐ γὰρ μὴ ἔχουσα τέκνα ἐλάττων ἐστὶν, ἀλλὰ τὸ λεῖπον αὐτῇ διὰ τὴν τῶν παίδων ἀποστέρησιν πληροῖ τῇ παραμυθίᾳ. ὃ οὖν λέγει, τοιοῦτό ἐστι· μὴ ἄλγει ἐὰν ἀκούσῃς, ὅτι δεῖ παιδοτροφεῖν, ὡς οὐκ ἔχουσα τέκνα, ὡς ἐκ τούτου ἐλαττουμένου σοι τοῦ ἀξιώματος. ὄντως εἶ χήρα. ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. ἐπειδὴ γὰρ πολλαὶ τέκνα ἔχουσαι τὴν χηρείαν αἱροῦνται, οὐχ ἵνα τοῦ βίου τὰς ἀφορμὰς περικόψωσιν, ἀλλ' ἵνα μᾶλλον αὐτὰς αὐξήσωσιν, ἵνα μετὰ πλείονος αὐθεντίας ἅπαντα πράττωσι, καὶ κοσμικῶς μᾶλλον ἐκδιδῶσιν ἑαυτὰς ἐπιθυμίαις, διὰ τοῦτό φησιν, ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. τί λέγεις, καὶ χήρα γυνὴ οὐκ ὀφείλει σπαταλᾷν; οὔ, φησιν. εἰ τοίνυν καὶ τῆς ἡλικίας, καὶ τῆς φύσεως ἀσθενούσης, οὐδὲ οὕτως ἀναγκαία ἡ σπατάλη, ἀλλὰ θανάτου γὰρ πρόξενος, θανάτου τοῦ αἰωνίου, τί ἂν εἴποιεν ἄνδρες σπαταλῶντες; εἰκότως δέ φησιν, ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. ἀλλ' ἵνα μάθῃς, φέρε ἴδωμεν τί τῶν ζώντων ἔργον ἐστὶ, καὶ τί τῶν τεθνηκότων, καὶ παρατάξωμεν ταύτην. οἱ ζῶντες τὰ τῆς ζωῆς ἐνεργοῦσι, τῆς μελλούσης, τῆς ὄντως ζωῆς. τίνα δέ ἐστι τῆς μελλούσης ζωῆς, περὶ ἣν ἡμᾶς ἀσχολεῖσθαι προσήκει τὸν ἅπαντα χρόνον, ἄκουε τοῦ Χριστοῦ λέγοντος, Δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με. οἱ ζῶντες οὐχὶ τούτῳ διεστήκασι τῶν νεκρῶν μόνον, τῷ τὸν ἥλιον ὁρᾷν, καὶ πνεῖν τὸν ἀέρα· οὐ τοῦτό φαμεν, ἀλλὰ τῷ ἀγαθόν τι ποιεῖν. ἐπεὶ εἰ μὴ τοῦτο προσῇ, τῶν τεθνεώτων οὐδὲν κρείττους ἔσονται. καὶ ἵνα μάθῃς, ἄκουε πῶς ἐστι καὶ ἀποθανόντα ζῆν. Ὁ Θεὸς, φησιν, οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων. ἀλλὰ τοῦτο, φησιν, αἴνιγμα πάλιν. οὐκοῦν ἀμφότερα ἐπιλυσώμεθα. τέθνηκέ τις ζῶν, ὅταν ἐν σπατάλῃ διάγῃ. πῶς; τῇ γαστρὶ ζῇ μόνῃ, ταῖς δὲ ἄλλαις αἰσθήσεσιν οὐδαμῶς· εἰδ' ὅπως, οὐχ ὁρᾷ ἃ χρὴ ὁρᾷν, οὐκ ἀκούει ἃ χρὴ ἀκούειν, οὐ φθέγγεται, ἃ δεῖ φθέγγεσθαι, οὐδὲ τὰ τῶν ζώντων ἐνεργεῖ· ἀλλ' ὥσπερ ἐκεῖνος ὁ τεταμένος ἐπὶ τῆς κλίνης τοὺς ὀφθαλμοὺς μύσας, καὶ τὰ ὄμματα συνειλημμένος, τῶν ὄντων οὐδενὸς ἐπαισθάνεται, οὕτω καὶ οὗτος· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον. ἐκεῖνος μὲν γὰρ καὶ τῶν ἀγαθῶν ὁμοίως, καὶ τῶν κακῶν ἀνεπαισθήτως ἔχει· οὗτος δὲ ἐκείνων αἰσθάνεται μόνων, τῶν κακῶν λέγω, πρὸς δὲ τὰ ἀγαθὰ τῷ κειμένῳ ὁμοίως ἐστὶν ἀκίνητος. οὕτω μὲν οὖν καὶ τέθνηκεν. οὐδὲν γὰρ αὐτὸν κινεῖ τῶν τῆς μελλούσης ζωῆς, ἀλλὰ καθάπερ εἰς καταδύσιν τινα σκοτεινὴν καὶ ζοφώδη, καὶ δυσώδη πολλῆς ἀκαθαρσίας γέμουσαν λαβοῦσα εἰς τοὺς οἰκείους αὐτὸν κόλπους ἡ μέθη, διαπαντὸς ἐν σκότῳ ποιεῖ διατρίβειν, ὥσπερ τοὺς τεθνεῶτας. ὅταν γὰρ τὸν πάντα χρόνον τὸν μὲν ἀριστῶν, τὸν δὲ μεθύων διατελῇ, οὐχὶ ἐν σκότῳ ἐστί; οὐχὶ νεκρός ἐστι; καὶ πρὸς αὐτὴν δὲ τὴν ἕω, ἣν δοκεῖ νήφειν, οὐκ ἔχει νῆψιν καθαρὰν, τῷ μήπω τὸν ἑσπερινὸν ἤδη κεκενῶσθαι οἶνον καὶ ἀπηντλῆσθαι, καὶ τοῦ μέλλοντος σφόδρα τῇ ἐπιθυμίᾳ κατέχεσθαι, καὶ τὰς δείλης καὶ μεσημβρίας ἐν κώμοις διάγει, καὶ πᾶσαν τὴν νύκτα ἐν ὕπνῳ βαθεῖ, [καὶ τοῦ ὄρθρου τὸ πλέον.] τοῦτον οὖν, εἰπέ μοι, μετὰ τῶν ζώντων ἀριθμήσομεν; τί ἄν τις εἴποι τὸν πολὺν χειμῶνα τὸν ἀπὸ τῆς τρυφῆς, τὸν εἰς τὴν ψυχὴν, τὸν εἰς τὰ σώματα εἰσρεόμενον; καθάπερ γὰρ ἡ συνεχὴς συννεφία καὶ διηνεκὴς οὐκ ἀφίησι τὴν ἀκτῖνα διαλάμψαι ποτέ· οὕτως οἱ τῆς τρυφῆς καὶ τοῦ οἴνου ἀτμοὶ, καθάπερ τινὰ σκόπελον, τὸν ἐγκέφαλον ἀπολαβόντες, καὶ πυκνὸν ἐκεῖ στήσαντες νέφος, τὸ λογικὸν οὐκ ἀφιᾶσιν ἐκλάμψαι ποτὲ, ἐν πολλῇ σκοτομήνῃ κατέχοντες τὸν μεθύοντα. πόσον οἴει λοιπὸν ἔνδον εἶναι τὸν χειμῶνα τοῦ ταῦτα παθόντος; πόσον τὸν θόρυβον; καθάπερ γὰρ πλημμύρας γινομένης, καὶ τοῦ ὕδατος τῶν ἐργαστηρίων τὰ πρόθυρα ὑπερπηδήσαντος, τοὺς ἐνοικοῦντας ὁρῶμεν ἀεὶ θορυβουμένους, καὶ καδίσκους, καὶ ἀμφορέας, καὶ σπόγγους, καὶ ἕτερα πολλὰ ἐπινοοῦντας, ὥστε ἀποντλῆσαι, ἵνα μὴ καὶ τοὺς θεμελίους διασείσῃ, καὶ τὰ σκεύη

Ματθ. κε. λδ.

Ματθ. κβ. λβ.

...πολλάκις τον ...χήραν.

...ψυχῆ,

...ἐκπομπεύ- ...θ,

ἅπαντα ἄχρηστα ἐργάζεται· οὕτω καὶ ἡ ψυχὴ, ὅταν ὑποβρύχιος γένηται τῇ πολλῇ τρυφῇ, θορυβοῦνται μὲν ἔνδον οἱ λογισμοὶ, τὸ δὲ ἤδη συναχθὲν οὐκέτι κενῶσαι ἰσχύοντες, τῷ πάλιν ἕτερον ἐπεισελθεῖν πολὺς ὁ χειμὼν τίκτεται. μὴ γάρ μοι τὸ πρόσωπον ἴδῃς φαιδρὸν καὶ στιφρὸν, ἀλλὰ τὰ ἔνδον ἐξέτασον, καὶ πολλῆς ὄψει γέμοντα τῆς κατηφείας. καὶ εἴ γε ἐνῆν τὴν ψυχὴν ἐκβαλόντα τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὑποβαλεῖν, εἶδες ἂν τὴν τοῦ σπαταλῶντος κατηφῆ, στυγνὴν, ὀδυνηρὰν, κατισχνωμένην. ὅσῳ γὰρ ἂν τὸ σῶμα λιπαίνηται καὶ παχύνηται, τοσούτῳ μᾶλλον ἐκείνη κατισχναίνεται καὶ ἀσθενεστέρα γίνεται· καὶ ὅσῳ ἂν ἐκεῖνο θάλπηται, τοσούτῳ μᾶλλον αὕτη θάπτεται. καὶ καθάπερ ἐπὶ τῆς κόρης τῶν ὀφθαλμῶν ἂν μὲν τοὺς ἔξωθεν ἐπικειμένους χιτωνίσκους ἔχῃ παχεῖς, οὐκ ἰσχύει τὸ διορατικὸν ἀφεῖναι, καὶ ἀτενίσαι, τῆς ἀκτῖνος ἐκκρουομένης ὑπὸ τῆς παχύτητος, καὶ σκότος γίνεται πολλάκις· οὕτω καὶ τὸ σῶμα, ἐπειδὰν λιπαίνηται συνεχῶς, πολλὴν εἰκὸς τὴν παχύτητα περικεῖσθαι. ἀλλ' οἱ τεθνεῶτές, φησι, σήπονται, καὶ διαφθείρονται, καὶ πολὺς ἀπ' αὐτῶν ἰχὼρ διαῤῥεῖ. οὕτω καὶ ἐπὶ τῆς σπαταλώσης ἐστὶν ἰδεῖν, τὸ ῥεῦμα, τὸ φλέγμα, κόρυζα, λύγξ, ἔμετοι, ἐρυγαί. τὰ γὰρ ἄλλα, ἃ καὶ αἰσχρὸν εἰπεῖν, παρίημι. τοσαύτη γὰρ τῆς τρυφῆς ἡ τυραννὶς, ὅτι ἃ μηδὲ εἰπεῖν ἀνεχόμεθα, ταῦτα ποιεῖ αὐτὰς ὑπομένειν. ἔτι οὖν ἐρωτᾷς, πῶς διαῤῥεῖ τὸ σῶμα πάντοθεν; ἀλλ' ἐσθίει καὶ πίνει. ἀλλ' οὐκ ἔστι τοῦτο ζωῆς ἀνθρωπίνης τεκμήριον, ἐπεὶ καὶ τὰ ἄλογα ἐσθίει καὶ πίνει. νεκρᾶς τοίνυν τῆς ψυχῆς κειμένης, τί τὸ ὄφελος τῆς βρώσεως καὶ τῆς πόσεως; ὥσπερ γὰρ τοῦ σώματος κειμένου νεκροῦ, εὐανθὲς ἱμάτιον περιβεβλημένον οὐδὲν ὀνίνησιν, οὕτω καὶ σῶμα περικείμενον εὐανθὲς νεκρᾷ ψυχῇ, οὐδὲν ὠφελεῖ. ὅταν γὰρ ἀεὶ περὶ μαγείρων, περὶ τραπεζοποιῶν, περὶ σιτοποιῶν ὁ λόγος αὐτῇ γίνηται, καὶ μηδὲν εὐσεβὲς φθέγγηται, οὐχὶ τέθνηκε; τί γάρ ἐστιν ἄνθρωπος, ἴδωμεν. οἱ ἔξωθέν φασι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἡμεῖς δὲ μὴ ἀπ' ἐκείνων τὸν ὅρον θῶμεν, ἀλλὰ πόθεν; ἀπὸ τῆς θείας γραφῆς. ποῦ τοίνυν ἡ γραφὴ ὅρον ἐξέθετο ἀνθρώπου; ἄκουε λεγούσης αὐτῆς· Ἦν ἄνθρωπος δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. τοῦτο ἄνθρωπος. καὶ πάλιν ἑτέρως φησί· Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. τοὺς δὲ μὴ τοιούτους, κἂν νοῦ μετέχωσι, κἂν μυριάκις ἐπιστήμης ὦσι δεκτικοὶ, οὐκ οἶδεν ἡ γραφὴ λέγειν ἀνθρώπους, ἀλλὰ κύνας, καὶ ἵππους, καὶ ἔχεις, καὶ ὄφεις, καὶ ἀλώπεκας, καὶ λύκους, καὶ εἴ τι τούτων ἀτιμότερον τῶν θηρίων. εἰ τοίνυν τοῦτο ἄνθρωπος, ὁ σπαταλῶν οὐκ ἄνθρωπος. πῶς γάρ, ὁ μηδὲν τούτων φροντίζων; οὐ γὰρ ἔνι σπατάλην ὁμοῦ καὶ ταῦτα συνελθεῖν. ταῦτα ἀλλήλων ἐστὶν ἀναιρετικά. τοῦτο καὶ οἱ ἔξωθέν φασιν, ὅτι παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον. οἶδε καὶ ἀψύχους ἀνθρώπους ἡ γραφὴ καλεῖν· Οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. καίτοιγε καὶ ψυχὴν εἶχον, ἀλλ' ἐπειδὴ νεκρὰν αὐτὴν περιέφερον, σάρκας αὐτοὺς εἶπεν. ὥσπερ γὰρ περὶ τῶν ἐναρέτων, κἂν ἔχωσι σῶμα, ὅμως φαμὲν, ὅλος ψυχή ἐστιν, ὅλος πνεῦμά ἐστιν, οὕτω καὶ περὶ τῶν τοιούτων τὰ ἐναντία. οὕτω καὶ Παῦλος ἔλεγεν· Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ, ἐπειδὴ μὴ τὰ τῆς σαρκὸς ἐπετέλουν. οὕτως οἱ σπαταλῶντες οὐκ εἰσὶν ἐν ψυχῇ, οὐδὲ ἐν πνεύματι. ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε, φησίν.

Iob. α β.

Ρωμ. η. θ.

ΗΘΙΚΟΝ

Ἀκούσατε αἱ πάντα τὸν χρόνον ἐν κώμοις διατρίβουσαι καὶ μέθαις, αἱ τοὺς μὲν πένητας περιορῶσαι ὑπὸ λιμοῦ τηκομένους καὶ ἀποθνήσκοντας, διηνεκῶς δὲ ὑμεῖς ὑπὸ τῆς τρυφῆς ἀποθνήσκουσαι. δύο γὰρ θανάτους ἐργάζεσθε, τὸν τῶν θλιβομένων, καὶ τὸν ὑμῶν αὐτῶν, ἀμφοτέρους ἐξ ἀμετρίας. εἰ δὲ ἐκεράσατε τὴν ὑμετέραν πλησμονὴν ἐκείνων τῇ ἐνδείᾳ, δύο ζωὰς εἰργάζεσθε. τί διασπᾷς τὴν γαστέρα τὴν σὴν τῇ πλησμονῇ; τί κατατήκεις τὴν τοῦ πένητος ἐν ἐνδείᾳ; ταύτην πλέον τοῦ μέτρου καταπιαίνεις, ἐκείνην ὑπὸ τὸ μέτρον ξηραίνεις. ἐννόησον τίνα ἐστὶ τὰ ἀπὸ τῶν σιτίων*, ποῦ μεταβάλλεται, καὶ τί γίνεται. ἆρα οὐ δυσχεραίνεις καὶ πρὸς τὴν ἀκοήν; τί τοίνυν, ὥστε πλείονα ἐκεῖνα ἀποθέσθαι, σπουδάζεις;

οὐδὲ

οὐδὲν ἄλλο ἐστὶ τὸ πλέον τῆς τρυφῆς, ἢ κόπρου πλεονασμός. ἔχει γὰρ ἡ φύσις μέτρα, καὶ τὸ πλέον ἐκείνων, οὐκέτι ἐστὶ τροφὴ, ἀλλὰ λύμη, καὶ κόπρος πλείων. θρέψον τὸ σῶμα, μὴ ἀποκτείνῃς. διὰ τοῦτο τροφὴ κέκληται, οὐχ ἵνα ἀπολλύωμεν αὐτὸ, ἀλλ' ἵνα τρέφωμεν. διὰ τοῦτο οἶμαι καὶ τὴν τροφὴν εἰς τοῦτο ἐκκρίνεσθαι, ἵνα μὴ τῆς τρυφῆς ὦμεν ἐρασταί. ὡς εἰ μὴ τοῦτο ἦν, μηδὲ εἰς ἄχρηστον ᾔει, μηδὲ ἐλυμαίνετο τῷ σώματι, οὐκ ἂν ἐπαυσάμεθα ἀλλήλους καταπίνοντες. εἰ γὰρ ὅσον ἐβουλόμεθα δεχομένη ἡ γαστὴρ τὸ πᾶν εἰργάζετο, καὶ τῷ σώματι παρέπεμπε, μυρίους ἂν εἴδες πολέμους καὶ μάχας. εἰ γὰρ καὶ νῦν τῶν μὲν εἰς κόπρον ἐκκρινομένων, τῶν δὲ εἰς αἷμα καὶ φλέγμα ἄχρηστον καὶ νόθον, ὅμως ἐγκείμεθα τρυφῇ, καὶ πολλάκις οὐσίας ὁλοκλήρους ἐν τραπέζῃ μιᾷ καταναλίσκομεν· εἰ μὴ τοιοῦτον ἦν τὸ τέλος τῆς τρυφῆς, τί οὐκ ἂν ἐπράξαμεν; πλείονος δυσωδίας πληροῦμεν ἑαυτοὺς, ὅταν μᾶλλον τρυφήσωμεν, καθάπερ ἀσκοῦ τινος, τοῦ σώματος πάντοθεν διαῤῥέοντος. ἐρυθριᾷ τις τοιοῦτον, ὡς καὶ τὸν ἐγκέφαλον λυμαίνεσθαι τὸν ἔξωθεν. ἀτμοὶ πάντοθεν ἀπὸ τοῦ σώματος ζοφώδεις περιΐενται, καθάπερ ἀπὸ καμίνου τῆς θερμότητος σαπείσης ἔνδον. εἰ δὲ τὸν ἔξωθεν οὕτω δυσχεραίνουσι, τί οἴει παθεῖν τὸν ἐγκέφαλον ἔνδον, πληττόμενον συνεχῶς ὑπὸ τῶν ἀτμῶν; τί δὲ τοὺς ὀχετοὺς τοῦ αἵματος ζέοντος, καὶ ἐμφραττομένου; τί δὲ τὰς δεξαμενὰς ἐκείνας, τὸ ἧπαρ, τὸν σπλῆνα; τί δὲ αὐτὰς τὰς ἀμάρας τῆς κόπρου; καὶ τὸ χαλεπὸν, ὅτι ταύτας μὲν τὰς ἀμάρας τῆς κόπρου προνοούμεθα, ὅπως μὴ ἐμφραγῶσι, καὶ τὴν κόπρον εἰς τὰ ἄνω πέμψωσι, καὶ πάντα ὑπὲρ τούτου πράττομεν, κοντοῖς ὠθοῦντες, μακέλλαις ὀρύττοντες· τὰς δὲ ἀμάρας τῆς ἡμετέρας γαστρὸς οὐ διακαθαίρομεν, ἀλλ' ἐμφράττομεν, καὶ πληροῦμεν· καὶ τῆς κόπρου ἀνιούσης ἄνω, ἔνθα ὁ βασιλεὺς αὐτὸς κάθηται, τὸν ἐγκέφαλον λέγω, οὐδεμίαν ποιούμεθα πρόνοιαν. διά τοι τοῦτο οὐχ ὡς βασιλέα ἔχοντες κόσμιον, οὕτω πάντα πράττομεν, ἀλλ' ὡς κυνά τινα ἀκάθαρτον. διὰ τοῦτο ὁ Θεὸς πόῤῥω ἀπῴκισεν ἐκεῖνα τὰ μέλη, ὥστε μηδεμίαν ἐξ αὐτῶν δέχεσθαι λύμην. ἀλλ' οὐκ ἐῶμεν ἡμεῖς, ἀλλὰ πάντα διαφθείρομεν τῇ ἀμετρίᾳ. τί δ' ἄν τις εἴποι τὰ ἄλλα κακά; ἀπόφραξον τοὺς ὀχετοὺς τῶν ἀμάρων, καὶ ὄψει λοιμὸν εὐθέως τικτόμενον. εἶτα ἡ μὲν ἔξωθεν προσπεσοῦσα δυσωδία λοιμὸν τίκτει· ἡ δὲ ἔνδον οὖσα, καὶ πάντοθεν ἐμπεφραγμένη τῷ στενωπῷ τοῦ σώματος, καὶ μὴ ἔχουσα πόθεν διαφορηθῇ, μυρίας οὐκ ἐργάζεται νόσους καὶ τῷ σώματι, καὶ τῇ ψυχῇ; καὶ τὸ δεινὸν, ὅτι πρὸς μὲν τὸν Θεὸν πολλοὶ δυσχεραίνουσι, τί ποτε τοῦτό ἐστι, λέγοντες· κόπρον βαστάζειν ἡμᾶς ἐνομοθέτησεν· αὐτοὶ δὲ τὴν κόπρον αὔξουσι. διὰ τοῦτο ὁ Θεὸς ἐνομοθέτησεν, ἵνα καὶ οὕτω τῆς τρυφῆς ἀπαλλάξῃ, ἵνα καὶ οὕτω πείσῃ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς. σὺ δὲ οὐδὲ οὕτως ἀνέχῃ παύσασθαι τῆς τρυφῆς, ἀλλὰ μέχρι τοῦ φάρυγγος, μέχρι τοῦ καιροῦ τῆς τραπέζης, μᾶλλον δὲ οὐδὲ μέχρι τότε τῆς ἡδονῆς παραμενούσης, ἐπιμένεις τῇ τρυφῇ. ἢ οὐχ ἅμα μὲν παρέδραμε τὴν γλῶτταν καὶ τὸν αὐχένα, καὶ ἔσβεσται τὰ τῆς ἡδονῆς; ἡ γὰρ αἴσθησις ἐν τῇ γεύσει, μετὰ δὲ ταῦτα οὐκέτι, ἀλλὰ πολλὴ ἡ ἀηδία, ἢ μὴ κατεργαζομένου τοῦ στομάχου, ἢ μετὰ πολλῆς τῆς δυσκολίας τοῦτο ποιοῦντος. εἰκότως ἄρα ἔλεγεν, ἡ σπαταλῶσα, ζῶσα τέθνηκεν. οὐδὲν γὰρ οὐκ ἔστιν, οὔτε ἀκοῦσαι, οὔτε εἰπεῖν τὴν σπαταλῶσαν ψυχήν. μαλακὴ γίνεται, ἄτονος, ἄνανδρος, ἀνελευθέρα, δειλὴ, θρασύτητος, κολακείας, ἀμαθίας πλήρης, θυμοῦ, ἀκροχολίας, πάντων τῶν κακῶν μεστὴ, τῶν δὲ ἐναντίων ἀγαθῶν ἔρημος. διὰ τοῦτό φησι,

7 Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν. Ὁρᾷς ὅτι νομοθεσίας τὸ πρᾶγμά ἐστιν; οὐ τῇ προαιρέσει ἐπιτρέπει αὐτό· παράγγελλε, φησὶ, μὴ τρυφᾷν, ὡς ὡμολογημένου ὄντος κακοῦ, ὡς οὐκ ἐνὸν οὐδὲ ἐγχωροῦν τὸν τρυφῶντα μυστηρίων μετέχειν. καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσι, φησίν. ὁρᾷς ὅτι ἐν τοῖς ἁμαρτήμασι κεῖται τὸ πρᾶγμα; τὸ γὰρ ἐν τῇ προαιρέσει ὂν, κἂν μὴ πραχθῇ, οὐδὲν κωλύει ἀνεπίληπτον εἶναι. οὐκοῦν τοῦ

ἐπικείμεθα φύντες,

...τοῦ

φάρυγγα.

Παύλῳ πειθόμενοι καὶ ἡμεῖς παραγγέλλωμεν ταῖς ἀποταλώσαις τῶν χηρῶν ἐκτὸς εἶναι τοῦ καταλόγου τῶν χηρῶν. εἰ γὰρ στρατιώτης λουτροῖς καὶ θεάτροις προσανέχων καὶ πραγματείαις, καθάπερ τις λειποτάκτης κρίνεται, πολλῷ μᾶλλον αἱ χῆραι. μὴ ζητῶμεν ἐνταῦθα τὴν ἄνεσιν, ἵνα ἐκεῖ αὐτὴν εὕρωμεν· μὴ σπαταλῶμεν ἐνταῦθα, ἵνα ἐκεῖ σπαταλήσωμεν τὴν ὄντως σπατάλην, τὴν ὄντως τρυφὴν, τὴν οὐδὲν τίκτουσαν κακὸν, τὴν μυρία ἀγαθὰ ἔχουσαν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. ιδ. 8 ΕΙ ΔΕ ΤΙΣ ΤΩΝ ΙΔΙΩΝ, ΚΑΙ ΜΑΛΙΣΤΑ τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.

Πολλοὶ νομίζουσιν ἀρκεῖν ἑαυτοῖς πρὸς σωτηρίαν τὴν οἰκείαν ἀρετὴν· κἂν τὰ κατὰ τὸν ἑαυτῶν βίον καλῶς διάθωνται, μηδὲν αὐτοῖς ἔτι λείπειν πρὸς σωτηρίαν. οὐ μὴν ὀρθῶς οἴονται. καὶ τοῦτο δηλοῦσι μὲν ὁ τὸ τάλαντον κατορύξας τὸ ἕν. (Ματθ. κε.) οὐ γὰρ δὴ μειώσας αὐτὸ προσήνεγκεν, ἀλλ' ὁλόκληρον, καὶ τοιοῦτον, οἷον ὁ παρακαταθέμενος ἔδωκε. δείκνυσι δὲ καὶ ἐνταῦθα ὁ μακάριος Παῦλος οὕτω λέγων· εἰ δέ τις τῶν ἰδίων οὐ προνοεῖ. πρόνοιαν πᾶσαν λέγει τὴν κατὰ ψυχὴν, τὴν κατὰ σῶμα· ἐπεὶ καὶ αὕτη πρόνοιά ἐστιν. ὁ δὲ τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων, τουτέστι, τῶν πρὸς γένος διαφερόντων μὴ προνοῶν, ἀπίστου, φησὶν, ἐστὶ χείρων. ὃ λέγει καὶ Ἡσαΐας ὁ τῶν προφητῶν κορυφαῖος, (Ἡσ. νη. ζ.) Τοὺς οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει. εἰ γάρ τις τοὺς γένει προσήκοντας, καὶ ἡνωμένους ὑπὸ ἀγχιστείας περιίδοι, πῶς ἔσται περὶ τοὺς ἄλλους φιλόστοργος; οὐχὶ κενοδοξίαν τὸ πρᾶγμα πάντες ἐροῦσιν, ὅταν τοὺς ἀλλοτρίους εὖ ποιῶν τῶν αὐτοῦ καταφρονῇ, καὶ μὴ φείδηται; τί δὲ ὅταν ἄλλους κατηχῶν, τούτους ἐν πλάνῃ περιορᾷ, καίτοι πλείονα ἔχων εὐκολίαν καὶ μεῖζον δικαίωμα εἰς τὸ εὖ ποιεῖν; σφόδρα γε. οὐ γὰρ ἐροῦσι, φιλόστοργοι οἱ χριστιανοὶ οἱ τοὺς ἑαυτῶν περιορῶντες; καὶ ἔστι, φησὶν, ἀπίστου χείρων. διὰ τί; ὅτι ἐκεῖνος εἰ καὶ μὴ τοὺς ἀλλοτρίους, τοὺς γοῦν ἐγγὺς οὐ περιορᾷ. ὃ δὲ λέγει, τοῦτό ἐστι· καὶ τὸν τοῦ Θεοῦ νόμον, καὶ τὸν τῆς φύσεως ἀδικεῖ ὁ τῶν ἰδίων καταμελῶν. εἰ δὲ ὁ μὴ προνοῶν τῶν οἰκείων τὴν πίστιν ἤρνηται, καὶ ἀπίστου χείρων ἐστὶν, ὁ καὶ ἀδικῶν τοὺς οἰκείους, ποῦ τετάξεται; μετὰ τίνος στήσεται; πῶς δὲ τὴν πίστιν ἤρνηται; (Τιτ. α. ιϛ.) Θεὸν, φησὶν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. τί δὲ ἐπέταξεν ὁ πιστεύσας Θεός; τοὺς οἰκείους τοῦ σπέρματος μὴ ὑπερορᾶν. πῶς δὲ πιστεύει ἀρνησίθεος ὁ τοιοῦτος γεγονώς; ἐννοήσωμεν ὅσοι χρημάτων φειδόμενοι τῶν οἰκείων καταφρονοῦμεν. ὁ Θεὸς διὰ τοῦτο καὶ τὴν ἀπὸ τῆς συγγενείας ἐπενόησεν ἕνωσιν, ἵνα πολλὰς ἔχωμεν ὑποθέσεις τοῦ ἀλλήλους εὖ ποιεῖν. ὅταν τοίνυν, ὅπερ ὁ ἄπιστος ποιεῖ, σὺ μὴ ποιῇς, οὐχὶ ἤρνησαι τὴν πίστιν; ἆρα οὐ τοῦτο πίστεως, ὁμολογία μόνον πιστεύειν, ἀλλὰ καὶ τὰ ἔργα ἐπιδείκνυσθαι ἄξια. καὶ καθ' ἕκαστον ἔστι πιστεύειν, καὶ μὴ πιστεύειν. ἐπειδὴ γὰρ περὶ τρυφῆς διελέχθη καὶ σπατάλης, οὐ κατὰ τοῦτο μόνον, φησὶν, ἀπώλωλε, καθὸ τρυφᾷ, ἀλλ' ὅτι καὶ τοὺς οἰκείους ἀναγκάζεται περιορᾶν. εἰκότως τοῦτό, φησιν. ἡ γὰρ τῇ γαστρὶ ζῶσα, καὶ κατὰ τοῦτο ἀπώλωλε, τὴν πίστιν ἀρνουμένη. πῶς δὲ ἐστιν ἀπίστου χείρων; ὅτι οὐκ ἴσον τὸν οἰκεῖον περιορᾶν, καὶ τὸν πόῤῥω. πῶς γάρ; ἀλλὰ μεῖζον ἐνταῦθα τὸ ἔγκλημα, ἢ τὸν γνώριμον ἢ τὸν ἀγνῶτα, τὸν φίλον ἢ τὸν οὐ φίλον περιορᾶν.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή,

10 Ἐν ἔργοις καλοῖς μαρτυρουμένη. Εἶπε, Μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· (α. Τιμ. γ. δ. καὶ ε. δ. ια.) εἶπεν, Ἡ σπαταλῶσα ζῶσα τέθνηκεν· εἶπεν ὅτι τῶν οἰκείων εἰ μὴ προνοεῖ, ἀπίστου χείρων ἐστίν· εἶπεν ἅπερ μὴ ἔχουσα ἀξίας

ξιός ἐστι τοῦ καταλόγου τῶν χηρῶν. λέγει ἐνταῦθα τί δεῖ ἔχειν λοιπόν. τί οὖν; ἀπὸ τῶν χρό-
νων αὐτὴν ἐγκρινοῦμεν; καὶ ποῖον τοῦτο κατόρθωμα; οὐ γὰρ αὐτῆς ἐστι τὸ ἑξήκοντα γεγονέναι ἔ-
των. οὐκ ἀπὸ τῆς ἡλικίας, φησί, μόνον, ὡς ἂν εἰ καὶ ἐκείνην παρέλθοι τὴν ἡλικίαν, φησί,
μὴ ἔχουσα τὰ ἔργα, μηδὲ τότε καταλεγέσθω. τί δήποτε δὲ ὑπὲρ τῆς ἡλικίας ἀκριβολο-
γεῖται, τὴν αἰτίαν ὕστερον τίθησιν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' αὐτῶν εἰσενηνεγμένην τῶν χηρῶν.
τέως δὲ τῶν ἑξῆς ἀκούσωμεν. ἐν ἔργοις, φησί, καλοῖς μαρτυρουμένη. ποίοις ἔργοις;

Εἰ ἐτεκνοτρόφησεν. Οὐ μικρὸν ὄντως τὸ ἔργον τοῦτο, τὸ παιδοτροφεῖν. τὸ παιδοτρο-
φεῖν δὲ οὐ τοῦτό ἐστιν ἁπλῶς τὸ τρέφειν μόνον τοὺς παῖδας, ἀλλὰ καὶ τὸ τρέφειν ὡς δεῖ, καθάπερ
ἀλλαχοῦ φησίν· Ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ. ὁρᾷς πῶς πανταχοῦ α. Τιμ. β. ιε.
τῶν οἰκείων τὰς εὐεργεσίας τῶν ἀλλοτρίων προτίθησι; πρῶτον γάρ φησιν, Εἰ ἐτεκνοτρό-
φησε, καὶ τότε, Εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ
παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. Τί οὖν ἂν πένης ᾖ; οὐδὲ οὕτω τοῦ παιδοτροφεῖν,
οὐδὲ τοῦ ξενοδοχεῖν, οὐδὲ τοῦ θλιβομένοις ἐπαρκεῖν ἀπεστέρηται. οὐκ ἔστι τῆς τοὺς δύο ὀβολοὺς
καταβαλούσης ἀπορωτέρα. κἂν πένης ᾖ, οἰκίαν ἔχει· οὐ γὰρ δὴ αἴθριος μένει. εἰ ἁγίων πό-
δας, φησίν, ἔνιψεν. οὐκ ἔστι τοῦτο δαπάνης. εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. οἷον ἐ-
πίταγμα λέγει ἐνταῦθα; τὴν σωματικὴν ὑπηρεσίαν εἰσφέρειν προστέτακται. πρὸς
γὰρ θεραπείαν μάλιστα ἐπιτηδείως ἔχουσιν αἱ γυναῖκες, κλίνην στρῶσαι, ἀναπαῦσαι. βα-
βαί, πόσην ἀκρίβειαν ἀπαιτεῖ παρὰ τῆς χήρας, ὅσην σχεδὸν καὶ παρ' αὐτοῦ τοῦ τὴν ἐπισκοπὴν
ἔχοντος. τὸ γάρ, Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε, τοῦτο δηλοῦντός ἐστιν, ὅτι εἰ καὶ μὴ
αὐτὴ αὐτὰ ἐργάσασθαι ἠδυνήθη, ἀλλ' ὅμως ἐκοινώνησεν, ὑπούργησε. τὴν σπατάλην
ἐκκόπτων, προνοητικὴν αὐτὴν εἶναι βούλεται, οἰκονομικήν, εὐχαῖς διαπαντὸς προσκαρ-
τερεῖν. τοιαύτη ἦν ἡ Ἄννα. ὅρα πόσην ἀπαιτεῖ τὴν ἀκρίβειαν παρὰ τῆς χήρας, ὅσην οὐδὲ
παρὰ τῶν παρθένων· καίτοι καὶ ἐκείνας πολλὴν ἀπῄτησε τὴν ἀκρίβειαν, καὶ ἄκραν τὴν ἀρε-
τήν. τὸ γὰρ εἰπεῖν, εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως, ἐν κεφαλαίῳ πως α. Κορ. ζ. λε.
περιλαμβάνει τὴν ἀρετὴν ἅπασαν. ὁρᾷς ὅτι οὐ τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις ἀρ-
κεῖ δεῖξαι τὴν χήραν, ἀλλ' ἑτέρων δεῖ πολλῶν; διατί γάρ, εἰπέ μοι, δευτέροις οὐχ ὁμιλῆ-
σαι γάμοις προστέτακται; ἆρα κατέγνω τοῦ πράγματος; οὐδαμῶς. τοῦτο γὰρ αἱρετικῶν,
ἀλλ' ἀπησχολῆσθαι βουλόμενος λοιπὸν αὐτὴν ἐν τοῖς πνευματικοῖς, καὶ πρὸς τὴν ἀρετὴν
μεταταξάσθαι. οὐ γὰρ ἀκαθαρσίας, ἀλλὰ ἀσχολίας ὁ γάμος, ἐπεὶ καὶ ὅταν λέγῃ, ἵνα σχο-
λάσωσιν, οὐ λέγει, ἵνα καθαρθῶσι. πολλῆς γὰρ ἀσχολίας ὄντως ὁ γάμος αἴτιος. Εἰ τοίνυν
διὰ τοῦτο μὴ γαμεῖς, ἵνα σχολάζῃς τῷ φόβῳ τοῦ Θεοῦ, μὴ σχολάζεις δέ, οὐδέν σοι τοῦ πράγμα-
τος ὄφελος, ἵνα τὴν θεραπείαν πᾶσαν περὶ ξένους, περὶ ἁγίους ἐπιδείκνυσαι. ὅταν οὖν
ταῦτα μὴ ποιῇς, ὡς τοῦ πράγματος καταγνοῦσα μᾶλλον ἀπέσχου τοῦ γάμου. οὕτω καὶ ἡ
παρθένος ἡ μὴ μετὰ ἀκριβείας ἐσταυρωμένη, ὡς τοῦ γάμου κατεγνωκυῖα, ὡς μιαροῦ καὶ ἀκαθάρ-
του, τοῦτον παρῃτήσατο. ὁρᾷς ὅτι ξενοδοχίαν λέγει, οὐ τὴν ἁπλῶς φιλοφροσύνην, ἀλλὰ τὴν μετὰ
σπουδῆς, τὴν μετὰ προαιρέσεως ἱλαρᾶς, τὴν μετὰ προθυμίας, τὴν οὕτω τὸ πρᾶγμα μετιοῦσαν, ὡς
αὐτὸν δεχομένην τὸν Χριστόν; οὐ γὰρ δὴ ταῖς θεραπαινίσι βούλεται τὴν εἰς τούτους θερα-
πείαν ἐπιτάττεσθαι, ἀλλ' αὐτὰς δι' ἑαυτῶν ταῦτα ποιεῖν. Εἰ γὰρ ἐγώ, φησιν, ἔνιψα τοὺς Ιωαν. ιγ. ιδ.
πόδας ὑμῶν ὁ διδάσκαλος, πολλῷ μᾶλλον ὑμεῖς ὀφείλετε τοῦτο ποιεῖν ἀλλήλοις. κἂν γὰρ μυ-
ριάκις ᾖ τις πλουτοῦσα, κἂν ἐν περιφανείᾳ τῇ μεγίστῃ τυγχάνῃ οὖσα, καὶ ἐπὶ εὐγενείᾳ προ-
γόνων μέγα φρονῇ, οὐκ ἔστι τοσοῦτον τὸ μέσον, ὅσον τοῦ Θεοῦ καὶ τῶν μαθητῶν. Εἰ ὡς τὸν Χρι-
στὸν δέχῃ, μηδὲν ἐπαισχυνθῇς, μᾶλλον δὲ καὶ σεμνύνου ἐπὶ τῷ πράγματι. Εἰ δὲ μὴ ὡς
τὸν Χριστὸν δέχῃ, μηδὲ δέξῃ. Ὁ δεχόμενος, φησιν, ὑμᾶς, ἐμὲ δέχεται. ἐὰν μὴ οὕτω δέ- Ματθ. ι. μ.
χῃ, οὐδὲ μισθὸν ἔχεις. ἀνθρώπους παριόντας ὁδίτας, ὡς ἐνόμιζεν, ὁ Ἀβραὰμ ἐδέχετο, καὶ

οὐ πάντα τοῖς οἰκέταις ἐπέτρεπεν διαπραγματεύειν τὰ περὶ τὴν ὑποδοχήν, ἀλλὰ τὸ πλέον τῆς διακονίας καὶ αὐτὸς δι' ἑαυτοῦ ἐποίει, καὶ τῇ γυναικὶ τὰ ἄλευρα φυρᾶν ἐπέταττε, καίτοι τριακοσίους δεκαοκτὼ ἔχων οἰκογενεῖς, ὧν εἰκὸς καὶ θεραπαινίδας εἶναι. ἀλλ' αὐτὸς ἐβούλετο τὸν μισθὸν ἔχειν μετὰ τῆς γαμετῆς, οὐ τῆς δαπάνης μόνης, ἀλλὰ καὶ τῆς διακονίας. οὕτω δεῖ φιλοξενίαν ἐπιδείκνυσθαι, δι' ἑαυτῶν πάντα περαίνοντας, ἵν' ἡμεῖς ἁγιαζώμεθα, ἵν' αἱ χεῖρες αἱ ἡμέτεραι εὐλογῶνται. κἂν πένησι διδῷς, μὴ ἀπαξιώσῃς διὰ σαυτοῦ δοῦναι. οὐ γὰρ τῷ πένητι δίδως, ἀλλὰ τῷ Χριστῷ. τίς δὲ οὕτως ἄθλιος, ὡς ἀπαξιοῦν αὐτὸν τὴν χεῖρα ὀρέγειν τῷ Χριστῷ; τοῦτο φιλοξενία, τοῦτο ὄντως διὰ τὸν Θεόν ἐστι ποιῆσαι. ἂν δὲ μετὰ τύφου ἐπιτάττῃς, κἂν τὴν πρωτείων κλισίαν ἀπολαύειν, οὐκ ἔστι φιλοξενία τὸ τοιοῦτον, οὐδὲ διὰ τὸν Θεόν ἐστι. πολλῆς ὁ ξένος δεῖται τῆς θεραπείας, πολλῆς τῆς παρακλήσεως. ἀγαπητὸν γὰρ καὶ μετὰ τοσαῦτα τὸ μὴ ἐρυθριᾶν· ἐπειδὴ τὸ πρᾶγμα φύσιν ἔχει τοιαύτην, ὥστε τὸν εὖ παθόντα αἰσχύνεσθαι. τῇ ὑπερβολῇ τῆς θεραπείας τὰ τῆς αἰσχύνης χρὴ περιαιρεῖν, καὶ δεικνύναι καὶ ῥήμασι καὶ πράγμασιν, ὅτι οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ' εὖ πάσχει αὐτός, καὶ εὐεργετεῖται μᾶλλον, ἢ εὐεργετεῖ. οὕτω πλεονάζεται τὸ γινόμενον ἀπὸ τῆς προαιρέσεως. ὥσπερ γὰρ ὁ ἡγούμενος ζημιοῦσθαι, πάντα ἀπώλεσε, καὶ ὁ ἡγούμενος εὖ ποιεῖν πάντα ἀπώλεσεν, οὕτως ὁ ἡγούμενος εὖ πάσχειν, πλέον ἔλαβεν. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. ὥστε χάριν ὀφείλεις μᾶλλον τῷ πένητι τοῦ λαβεῖν. εἰ μὴ γὰρ πένητες ἦσαν, οὐκ ἂν τὸ πολὺ τῶν ἁμαρτημάτων ἀπετέμου. ἰατροὶ τῶν τραυμάτων εἰσὶ τῶν σῶν· φαρμακὰ σοι παρέχουσι τὰς ἑαυτῶν χεῖρας. οὐχ οὕτως ἰατρὸς χεῖρας ἐκτείνων, καὶ φάρμακον ἐπιτιθεὶς τὴν ἰατρείαν παρέχει, ὡς πένης χεῖρα ἐκτείνων, καὶ τὰ παρὰ σοῦ λαμβάνων, ἐκμαγεῖον τῶν σῶν ἐστι κακῶν. ἔδωκας τὸ ἀργύριον, συνεξῆλθε καὶ τὰ ἁμαρτήματα. τοιοῦτοι καὶ οἱ ἱερεῖς· ἁμαρτίας, φησί, λαοῦ μου φάγονται. ὥστε μείζονα λαμβάνεις, ἢ δίδως, εὐεργετῇ μᾶλλον, ἢ εὐεργετεῖς· Θεῷ δανείζεις, οὐκ ἀνθρώποις, αὔξεις τὸν πλοῦτον, οὐ μειοῖς. μειοῖς δὲ, ἐὰν μὴ ἐλαττώσῃς, ἐὰν μὴ δῷς. εἰ ἐξενοδόχησε, φησιν, εἰ ἁγίων πόδας ἔνιψε. ποίων δὴ τούτων; τῶν θλιβομένων, οὐχ ἁπλῶς ἁγίων. ἔνεισι γὰρ ἁγίους εἶναι, καὶ πολλῆς ἀπολαύειν θεραπείας παρὰ πάντων. μὴ τούτους δίωκε τοὺς ἐν ἀφθονίᾳ ὄντας, ἀλλὰ τοὺς ἐν θλίψει, τοὺς ἀγνοοῦντας, τοὺς οὐ παρὰ πολλῶν γνωριζομένους. Ὃς ἐποίησεν ἑνί, φησι, τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε.

Β. Κορ. θ'.

Ωσ. δ. η.

Ματθ. κε. μ.

ΗΘΙΚΟΝ

Μὴ δῷς τοῖς προεστῶσι τῆς ἐκκλησίας διανέμειν· σὺ διακόνησον αὐτή, ἵνα μὴ τοῦ ἀναλίσκειν, ἀλλὰ καὶ τοῦ ὑπηρετῆσαι ἔχῃς τὸν μισθόν. οἰκείαις χερσὶ δός. σὺ σπεῖρον τὴν αὔλακα. οὐκ ἔνι ἀροτριᾶν ἐνταῦθα πήξασθαι, οὐδὲ βοῶν ζεῦξαι, οὐδὲ καιρὸν ἀναμεῖναι, οὐδὲ γῆν ἀνατεμεῖν, οὐδὲ κρυμῷ παλαῖσαι. πάσης ταύτης τῆς περιεργασίας ἀπήλλακται οὗτος ὁ σπόρος. εἰς γὰρ τὸν οὐρανὸν σπείρεις, ἔνθα οὐ κρυμός, οὐδὲ χειμών, οὐκ ἄλλο οὐδέν· εἰς ψυχὰς σπείρεις, ἔνθα οὐδεὶς τὸ βαλλόμενον αἴρει, ἀλλὰ κατέχεται σφοδρῶς, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ μετὰ πολλῆς τῆς σπουδῆς. σὺ σπεῖρον. διὰ τί σαυτὸν ἀποστερεῖς τοῦ μισθοῦ; μέγας μισθός, τὸ δύνασθαι καὶ τὰ τῶν ἄλλων οἰκονομεῖν. οὐ τοῦ δοῦναι μόνον μισθός ἐστιν, ἀλλὰ καὶ τοῦ καλῶς οἰκονομῆσαι τὰ διδόμενα. διὰ τί μὴ σὺ λαμβάνεις τὸν μισθόν; ὅτι γὰρ καὶ τούτου ἐστὶ μισθός, ἄκουσον. κατέστησαν, φησιν, οἱ ἀπόστολοι τοὺς περὶ Στέφανον εἰς τὴν τῶν χηρῶν διακονίαν. * γενοῦ σὺ οἰκονόμος τῶν σαυτοῦ, αὐτή σε χειροτονεῖ ἡ φιλανθρωπία, ὁ τοῦ Θεοῦ φόβος. τοῦτο καὶ κενοδοξίας ἀπήλλακται, τοῦτο καὶ ψυχὰς ἀναπαύει, τοῦτο καὶ χεῖρας ἁγιάζει, τοῦτο καὶ φρόνημα κατασπᾷ, τοῦτο καὶ φιλοσοφίαν διδάσκει, τοῦτο προθυμότερον ἐργάζεται, τοῦτό σε τὰς εὐλογίας ποιεῖ λαβεῖν. ἄπεισιν ἡ κεφαλή σου δεχομένη πάσας τὰς παρὰ τῶν χηρῶν εὐλογίας. προθυμότερος γενοῦ ἐν ταῖς εὐχαῖς, περιεργάζου καὶ ἁγίους ἄνδρας, τοὺς ὄντως ἁγίους, τοὺς ἐν ταῖς ἐρημίαις καθημένους, τοὺς οὐ δυναμένους

γ. καὶ

γρ. αὐτὸ

Πραξ. ς.

* ἰδοὺ ... ἔχῃ ...

μάρτυρας ἐπαινεῖν, τοὺς προσανέχοντας τῷ Θεῷ. βάδιζε μακρὰν ὁδὸν, δίδου διὰ σαυτοῦ. πολλὰ γάρ ἐστι δι' ἑαυτοῦ ὠφελῆσαι παρ' αὐτῶν. ὁρᾷς σκηνὴν, καὶ καταγώγιον; ὁρᾷς ἐρημίαν; ὁρᾷς μόνωσιν; πολλάκις ἀπελθὼν δοῦναι χρήματα, ἔδωκας τὴν ψυχὴν ὁλόκληρον, καὶ κατεσχέθης, καὶ γέγονας αὐτῶν αἰχμάλωτος ἐκείνων, ἀπεξενώθης τῷ κόσμῳ. μέγα πρᾶγμα, καὶ ταῦτα ὁρᾷν. Ἀγαθὸν, φησὶν, εἰσελθεῖν εἰς οἰκίαν πένθους, ἢ εἰς οἰκίαν γέλωτος. Εκκλησ. ζ γ. ἐν τούτῳ ἡ ψυχὴ φλεγμαίνει. ἂν μὲν γὰρ ἔχῃς ὁμοίως τρυφᾷν, πρὸς ἐκείνην ἔλαβες εἰς ἀπόλαυσιν· ἂν δὲ μὴ ἔχῃς, λύπην ἐδέξω. εἰς δὲ τὴν οἰκίαν τοῦ πένθους οὐδὲν τοιοῦτον, ἀλλὰ κἂν μὴ ἔχῃς τρυφᾷν, οὐκ ἤλγησας, κἂν ἔχῃς, καταστέλλῃ. ὄντως οἰκία πένθους, τὰ μοναστήρια, ἔνθα σάκκος καὶ σποδὸς, ἔνθα μόνωσις, ἔνθα γέλως οὐδεὶς, οὐδὲ βιωτικῶν πραγμάτων ὄχλος, ἔνθα νηστεία, ἔνθα χαμευνία, πάντα καθαρὰ κνίσσης, αἱμάτων, θορύβου, ταραχῆς, πολυοχλίας. λιμήν ἐστιν εὔδιος· ὥσπερ λαμπτῆρές εἰσιν ἀφ' ὑψηλοῦ τοῖς πόῤῥωθεν ἐπιβαίνουσι φαίνοντες, ἐπὶ λιμένος καθήμενοι, καὶ πρὸς γαλήνην τὴν αὐτῶν ἅπαντας ἕλκοντες, οὐκ ἐῶντες γενέσθαι ναυάγια τοῖς εἰς αὐτοὺς ὁρῶσιν, οὐκ ἐῶντες ἐν σκότῳ διάγειν τοὺς ἐκεῖ βλέποντας. ἄπιθι πρὸς αὐτοὺς, φιλοφρόνησον, πρόσελθε, ἅψαι ποδῶν ἁγίων. πολλῷ γὰρ ἐντιμότερον τῶν ἐκείνων ἅψασθαι ποδῶν, ἢ τῆς ἑτέρων κεφαλῆς. εἰπὲ γάρ μοι, εἰ ἀνδριάντων πόδας κατέχουσί τινες, ἐπειδὴ ὅλως τύπον ἔχουσι βασιλικὸν, σὺ τὸν αὐτὸν ἔχοντα τὸν Χριστὸν ἐν ἑαυτῷ, οὐ καθέξεις ἀπὸ τῶν ποδῶν, καὶ σωθήσῃ; ἅγιοί εἰσιν οἱ πόδες, κἂν εὐτελεῖς ὦσι· τῶν δὲ βεβήλων οὐδὲ ἡ κεφαλὴ τιμία. πόδες γὰρ ἁγίων μεγάλα ἰσχύουσι. διόπερ καὶ κολάζουσιν, ὅταν ἐξ ἑαυτῶν τὸν κονιορτὸν ἐκτινάξωσιν. ὅταν ἅγιος ᾖ παρ' ἡμῖν, μηδὲν ἐπαισχυνώμεθα τὸ αὐτῶν. ἅγιοι δέ εἰσι πάντες, ὅσοι πίστιν ὀρθὴν μετὰ βίου ἔχουσι· κἂν σημεῖα μὴ ἐργάζωνται, κἂν δαίμονας μὴ ἐκβάλλωσιν, ἅγιοί εἰσιν. ἄπιθι πρὸς τὰς τῶν ἁγίων σκηνάς. ὥσπερ ἀπὸ γῆς εἰς τὸν οὐρανὸν, οὕτως ἐστὶν εἰς μοναστήριον ἀνδρὸς ἁγίου καταφυγεῖν. οὐχ ὁρᾷς ἐκεῖ ταῦτα ἅπερ ἐν τῇ οἰκίᾳ. πάντων καθαρὸς ὁ χορὸς ἐκεῖνος· σιγὴ καὶ ἡσυχία πολλή. τὸ ἐμὸν οὐκ ἔνι καὶ τὸ σὸν ἐκεῖ. ἂν δὲ καὶ ἡμέραν μίαν μείνῃς, ἢ καὶ δευτέραν, τότε πλέον αἰσθήσῃ τῆς ἡδονῆς. ἡμέρα γίνεται, μᾶλλον δὲ πρὸ ἡμέρας ἀλεκτρυὼν ἐφώνησε, καὶ οὐκ ἔστιν, ὥσπερ ἐπὶ τῆς οἰκίας, ῥέγχουσιν οἱ οἰκέται, αἱ θύραι κεκλεισμέναι, πάντες νεκροῖς ἐοίκασι καθεύδοντες, ὁ ὀρεοκόμος τοὺς κώδωνας σείει. οὐδὲν τοιοῦτον ἐκεῖ, ἀλλ' εὐθέως ἅπαντες μετ' εὐλαβείας τὸν ὕπνον ἀποθέμενοι διανίστανται, τοῦ προεστῶτος αὐτοὺς διεγείροντος, καὶ ἑστήκασι τὸν ἅγιον στησάμενοι χορὸν, καὶ τὰς χεῖρας εὐθέως ἀνατείναντες, τοὺς ἱεροὺς ᾄδουσιν ὕμνους. οὐ γὰρ δὴ, ὥσπερ ἡμεῖς, πολλῶν ὡρῶν δέονται πρὸς τὸ τὸν ὕπνον ἀποτινάξασθαι καὶ τὴν καρηβαρίαν. ἡμεῖς μὲν γὰρ ἅμα διαναστάντες, καθήμεθα ἐπὶ πολὺ διατεινόμενοι, πρὸς χρείαν ἀπερχόμεθα, εἶτα νιπτόμεθα τὴν ὄψιν, τὰς χεῖρας· μετὰ τοῦτο ὑποδήματα καὶ ἐνδύματα λαμβάνομεν, καὶ πολὺς ἀναλίσκεται χρόνος. ἐκεῖ δὲ τοιοῦτον οὐδέν· οὐδεὶς οἰκέτην καλεῖ· ἕκαστος γὰρ ἀρκεῖ ἑαυτῷ. οὐ δεῖται ἱματίων πολλῶν, οὐ δεῖται τοῦ τὸν ὕπνον ἀποτινάξασθαι, ἀλλ' ἅμα τοὺς ὀφθαλμοὺς ἀνέῳξε, καὶ τῷ πολλῷ ἐγρηγορότι χρόνῳ προσέοικε τῆς νήψεως ἕνεκεν. ὅταν γὰρ ἡ καρδία μὴ βαρηθεῖσα τοῖς σιτίοις βαπτίζηται κάτω, οὐ δεῖται πολλοῦ τοῦ χρόνου πρὸς τὸ ἀνενεγκεῖν, ἀλλ' εὐθέως ἐστὶν ἐν νήψει· χεῖρες ἀεὶ καθαραί. καὶ γὰρ ὁ ὕπνος εὔτακτος. οὐδεὶς ἀκούει ῥεγχόντων ἐκεῖ, οὐδεὶς ἀσθμαινόντων· οὐδὲ ῥιπταζομένους ὁρᾷ κατὰ τὸν ὕπνον, οὐδὲ γυμνουμένους, ἀλλὰ καθεύδουσι τῶν ἐγρηγορότων εὐσχημονέστερον κείμενοι. τοῦτο δὲ ὅλον ἀπὸ τῆς εὐταξίας γίνεται τῆς ἐν τῇ ψυχῇ. ὄντως ἅγιοι οὗτοι, καὶ ἐν ἀνθρώποις ἄγγελοι. καὶ μὴ θαυμάσῃς ἀκούων ταῦτα. ὁ γὰρ πολὺς φόβος ὁ τοῦ Θεοῦ, οὐκ ἀφίησι πρὸς τὰ βάθη τοῦ ὕπνου κατελθεῖν, καὶ βαπτίσαι τὴν διάνοιαν, ἀλλ' ἐξ ἐπιπολῆς ἐπίκειται διαναπαύων αὐτοὺς μόνον. τοιούτου δὲ αὐτοῖς ὄντος τοῦ ὕπνου, τοιαῦτα εἰκότως καὶ τὰ ὀνείρατα, οὐ φαντασιώδη, οὐδὲ τερατώδη. ἀλλ', ὅπερ ἔφην,

ἀλεκτρυὼν

ἀλεκτρυὼν ἐφώνησε, καὶ εὐθέως ἐλθὼν ὁ προεστὼς, καὶ τῷ ποδὶ τοὺς κειμένους ἁπλῶς ὑπονύ-
ξας, πάντας ἀνέστησεν. οὐδὲ γὰρ γυμνοὺς ἐκεῖ καθεύδειν θέμις. Εἶτα διαναστάντες, εὐθέως
ἑστήκασιν, ὕμνους ᾄδοντες προφητικοὺς μετὰ πολλῆς τῆς συμφωνίας, μετ' εὐρύθμων μελῶν. οὔ-
τε κιθάρα, οὔτε σύριγγες, οὔτε οὐδὲν ἄλλο ὄργανον μουσικὸν τοιαύτην ἀφίησι φωνὴν, οἵαν
ἐστὶν ἀκοῦσαι ἐν ἡσυχίᾳ βαθείᾳ καὶ ἐν ἐρημίᾳ τῶν ἁγίων ᾀδόντων ἐκείνων. καὶ αἱ ᾠδαὶ
δὲ τὰ ᾄσματα πρόσφορα, καὶ φιλίας γέμοντα τῆς πρὸς τὸν Θεόν. ἐν ταῖς νυξὶ, φησὶν, ἐπά-

Ἡσ. κϛ. θ.
Ψαλ. ϛ. ϛ.
Ψαλ. ρα. ι.
Ψαλ. η. ε.
Ψαλ. ρμδ. δ.
Ψαλ. μη. ιϛ.
Ψαλ. ξζ. ζ.
Ψαλ. ριη. ριδ.
Ψαλ. ριη. ξβ.
Ψαλ. μη. ιε.
Ψαλ. κβ. δ.
Ψαλ. ζ. ε.
Ψαλ. μδ. κδ.
Ψαλ. ρμη. α.

ρατε τὰς χεῖρας ὑμῶν πρὸς τὸν Θεὸν, καὶ πάλιν, Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ
Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. καὶ τὰ ᾄσματα τὰ Δαβιτικὰ, πολλὰς πη-
γὰς κινοῦντα δακρύων. ὅταν γὰρ ᾄδῃ λέγων· Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω
καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· καὶ πάλιν, Ὅτι
σποδὸν ὡσεὶ ἄρτον ἔφαγον· καὶ πάλιν, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; Ἄνθρωπος
ματαιότητι ὡμοιώθη, καὶ αἱ ἡμέραι ἡμῶν ὡσεὶ σκιὰ παράγουσι· καὶ, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ
ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· καὶ πάλιν, Ὁ κατοικίζων μονοτρόπους ἐν
οἴκῳ· καὶ, Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου· καὶ πάλιν, Μεσο-
νύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου· καὶ, Ὁ Θε-
ὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου· καὶ, Ἐὰν πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ
φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ· καὶ πάλιν, Οὐ φοβηθήσομαι ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ
βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώμα-
τος, καὶ δαιμονίου μεσημβρινοῦ· καὶ πάλιν, Ἐλογίσθημεν, ὡς πρόβατα σφαγῆς· τὴν εἰς Θε-
ὸν αὐτῶν διάπυρον ἀγάπην ἐνδείκνυνται· ὅταν δὲ πάλιν μετὰ τῶν ἀγγέλων ᾄδωσι (καὶ γὰρ καὶ
ἄγγελοι τότε ᾄδουσιν) Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, λέγοντες, ἡμῶν χασμωμένων, κνωμένων,
ῥεγχόντων, ἢ καὶ ὑπτίων ἁπλῶς κειμένων, καὶ μυρίας λογιζομένων ἀπάτας· οἷοί εἰσιν ἐκεῖνοι
ἐν τούτῳ τὸ πᾶν τῆς νυκτὸς ἀναλίσκειν; ἐπειδὰν δὲ ἡ ἡμέρα μέλλῃ γίνεσθαι, διαναπαύονται λοι-
πόν. καὶ ὅταν ἡμεῖς ἀρχώμεθα τῶν ἔργων, ἐκεῖνοι καιρὸν ἔχουσι τῆς ἀναπαύσεως. ἡμέρας δὲ
γινομένης, ἡμῶν ἕκαστος καλεῖ τὸν ἕτερον, τὸν λόγον ποιεῖ τῶν ἐξοδιαζομένων. Ὁ εἰς ἀ-
γορὰν ἐμβάλλει, ἄρχοντι παρίσταται, τρέμει, δέδοικε τὰς εὐθύνας· ἕτερος ἐπὶ τῆς σκηνῆς,
ἄλλος πρὸς τὸ ἐπιτήδευμα τὸ ἑαυτοῦ. ἐκεῖνοι δὲ πάλιν εὐχὰς ἑωθινὰς ἐπιτελέσαντες καὶ ὕ-
μνους, πρὸς τὴν τῶν γραφῶν ἀνάγνωσιν τρέπονται. εἰσὶ δὲ οἳ καὶ βιβλία γράφειν μεμα-
θηκότες. ἕκαστος οἴκημα ἀποτεταγμένον ἓν λαβὼν, ἡσυχίαν διαπαντὸς ἀσκεῖ, οὐδενὸς
φλυαροῦντος, οὐδενὸς οὐδὲν λέγοντος. Εἶτα τρίτην, ἕκτην, ἐνάτην, καὶ τὰς ἑσπερινὰς
εὐχὰς ἐπιτελοῦσι, καὶ εἰς τέσσαρα μέρη τὴν ἡμέραν διανείμαντες, καθ' ἕκαστον μέρος πλη-
ρούμενον, ψαλμῳδίαις, ὕμνοις γεραίρουσι τὸν Θεόν. πάντων δὲ ἀριστώντων τῶν ἄλλων, γελώντων,
παιζόντων, διαρρηγνυμένων ὑπὸ τῆς γαστριμαργίας, οὗτοι τοῖς ὕμνοις προσανέχουσιν. οὐ-
δαμοῦ τραπέζης καιρὸς, οὐδὲ τῶν αἰσθητῶν τούτων. πάλιν μετὰ τὸ ἄριστον τῶν αὐτῶν ἔχονται,
ὕπνῳ πρότερον ἑαυτοὺς ἐκδεδωκότες. οἱ μὲν οὖν κοσμικοὶ καὶ τὴν ἡμέραν καθεύδουσιν· ἐ-
κεῖνοι δὲ καὶ τὴν νύκτα ἐγρηγόρασιν. ὄντως υἱοὶ φωτός εἰσιν. Εἶτα ἐκεῖνοι τὸ πλέον ἀναλώ-
σαντες ἐν τῷ ὕπνῳ τῆς ἡμέρας παρίασι βεβαρημένοι. οὗτοι δὲ ἔτι νήφουσιν, ἄσιτοι μένοντες
ἕως ὀψὲ, καὶ τοῖς ὕμνοις προσανέχοντες. ἑσπέρας δὲ πάλιν καταλαβούσης, οἱ μὲν εἰς λουτρὰ
καὶ ἀνέσεις σπεύδουσιν· ἐκεῖνοι δὲ τῶν πόνων ἀπολύσαντες ἑαυτοὺς, τότε τῇ τραπέζῃ προσα-
νέχουσιν, οὐκ οἰκετῶν πλῆθος ἐγείροντες, οὐδὲ περιτρέχοντες τὴν οἰκίαν, οὐδὲ θορυβοῦντες, οὐδὲ
ὄψα πολλὰ παρατιθέμενοι, οὐδὲ κνίσσης γέμοντα, ἀλλ' οἱ μὲν ἄρτον μόνον καὶ ἅλας, οἱ δὲ
ἔλαιον προστιθέντες. ἕτεροι δὲ, ὅσοι ἀσθενέστεροί εἰσι, καὶ λαχάνων ἔχονται καὶ ὀσπρίων. Εἶ-
τα μικρὸν καθίσαντες, μᾶλλον δὲ ὕμνοις τὸ πᾶν κατακλείσαντες, διαναπαύονται ἐπὶ στιβά-
δος ἕκαστος πρὸς ἀνάπαυσιν μόνον πεποιημένης, οὐ τρυφήν. Οὐκ ἔστι φόβος ἀρχόντων ἐκεῖ,

οὐκ

οὐκ ἔστι δεσποτῶν ἀπόνοια, οὐκ ἔστι δούλων φόβος, οὐκ ἔστι γυναικῶν θόρυβος, οὐκ ἔστι παίδων ταραχή, οὐκ ἔστι κιβωτίων πλῆθος, οὐδὲ ἱματίων ἀπόθεσις περιττή, οὐ χρυσίον, οὐκ ἀργύριον, οὐκ εἰσὶν ἐκεῖ φυλακαὶ, καὶ προφυλακαί· οὐκ ἔστι ταμεῖον, οὐκ ἄλλο τοιοῦτον οὐδέν, ἀλλὰ πάντα εὐχῆς γέμει, πάντα ὕμνων, πάντα εὐωδίας πνευματικῆς, οὐδὲν ἐκεῖ σαρκικόν. λῃστῶν ἐφόδους οὐ δεδοίκασιν. οὐ γὰρ ἔχουσιν ὅτου ζημιωθῶσι, χρήματα οὐκ ἔστι, σῶμά ἐστι καὶ ψυχή· ἂν ταύτην ἀφέλωνται, οὐκ ἐζημίωσαν, ἀλλ᾽ ὤνησαν. Ἐμοὶ γὰρ τὸ ζῆν, φησι, Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος. ἀπήλλακται τῶν δεσμῶν ἑαυτοῖς πάντων. ὄντως φωνὴ ἀγαλλιάσεως ἐν σκηναῖς δικαίων. οὐκ ἔστιν ἐκεῖ ὀλολυγῆς ἀκοῦσαί ποτε, οὐδὲ κωκυτοῦ· καθαρὸς τούτων τῶν ἀηδιῶν ὁ ὄροφος, καθαρὸς τῆς κραυγῆς ταύτης. ἀποθνήσκουσι μὲν γὰρ καὶ ἐν αὐτοῖς. οὐ γὰρ εἰσὶν ἀθάνατοι τὸ σῶμα, ἀλλ᾽ οὐκ ἴσασι θάνατον τὸν θάνατον. μεθ᾽ ὕμνων προπέμπουσι τοὺς ἀπελθόντας· προπομπὴν τὸ τοιοῦτον καλοῦσιν, οὐκ ἐκφοράν. κἂν ἀπαγγελθῇ, ὅτι ὁ δεῖνα τετελεύτηκε, πολλὴ ἡ εὐφροσύνη, πολλὴ ἡ ἡδονή. μᾶλλον δὲ οὐδὲ τολμᾷ τις εἰπεῖν, ὅτι ὁ δεῖνα τετελεύτηκεν, ἀλλ᾽ ὁ δεῖνα τετελείωται. εἶτα εὐχαριστία, δόξα πολλὴ, εὐφροσύνη, ἑκάστου εὐχομένου τέλος τοιοῦτον λαβεῖν, οὕτω τὸν ἀγῶνα τοῦτον ἐξελθεῖν, ἀναπαύσασθαι τῶν πόνων καὶ τῶν ἀγώνων, ἰδεῖν τὸν Χριστόν. κἂν ἀρρωστήσῃ, οὐ δάκρυα, οὐ θρῆνος, ἀλλ᾽ εὐχαὶ πάλιν. οὐκ ἰατρῶν χεῖρες, ἀλλὰ πίστις μόνη πολλάκις ἀπήλλαξε τὸν ἄρρωστον. εἰ δὲ καὶ ἰατρῶν δεηθείη, πολλὴ καὶ ἐνταῦθα ἡ φιλοσοφία, πολλὴ ἡ καρτερία. οὐ παρέστηκε γυνὴ λύουσα τὰς τρίχας, οὐδὲ παιδία τὴν οὐδέπω γενομένην ὀρφανίαν ἀποδυρόμενα, οὐδὲ οἰκέται παρακαλοῦντες τὸν ἀποπνέοντα μετὰ ἀσφαλείας αὐτούς τινι παρακαταθέσθαι, ἀλλὰ πάντων τούτων ἀπηλλαγμένη ἡ ψυχὴ, ἓν σκοπεῖ μόνον εἰς τὴν ἐσχάτην ἀναπνοὴν, ὅπως ἀπέλθῃ τῷ Θεῷ φίλη. κἂν γένηται δὲ νόσος, οὐ γὰρ ἀπὸ γαστριμαργίας, οὐδὲ ἀπὸ καρηβαρίας, ἀλλὰ καὶ αὐταὶ αἱ τῶν νόσων ὑποθέσεις ἐγκωμίων γέμουσιν, οὐχὶ κατηγορίας, ὡς αὗται. ἢ γὰρ ἀγρυπνίας, ἢ νηστείας ἐπίτασις, ἤ τι τῶν τοιούτων τὰς νόσους ἐργάζεται· ὅθεν καὶ εὐαπάλλακτοι γίνονται. ἀρκεῖ γὰρ μηκέτι κάμνοντας ὁμοίως πάντων ἀπηλλάχθαι τῶν δεινῶν. Εἰπὲ οὖν μοί, φησιν, εἰ ἁγίων τις πόδας ἔνιψεν ἐν τῇ ἐκκλησίᾳ, εἰ ἔνεστι καὶ ἐνταῦθα τοιούτους εὑρεῖν. ἔνεστι, καὶ πάνυ ἔνεστι· μόνον μὴ ἐπειδὴ ἐκείνων τὸν βίον διηγησάμεθα, τῶν ἐν ταῖς ἐκκλησίαις καταφρονῶμεν. πολλοὶ πολλάκις τοιοῦτοι καὶ ἐν μέσαις ταῖς ἐκκλησίαις εἰσὶν, ἀλλ᾽ ἐν τῷ λανθάνοντι. μὴ γὰρ ἐπειδὴ οἰκίας περινοστοῦσι, μηδὲ ἐπειδὴ εἰς ἀγορὰν ἐμβάλλουσι, μηδὲ ἐπειδὴ περιϊέναι δύνανται, καταφρονῶμεν αὐτῶν. καὶ τοῦτο ὁ Θεὸς ἐπέταξε. Κρίνατε γὰρ, φησιν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν. πολλαὶ τῆς ἀρετῆς αἱ ὁδοὶ, ὥσπερ οὖν καὶ τῶν μαργαριτῶν πολλὴ ἡ διαφορὰ, καίτοι πάντες μαργαρῖται λέγονται· ἀλλ᾽ ὁ μέν ἐστι λαμπρὸς καὶ στρογγύλος πάντοθεν, ἕτερος δὲ τοῦτο μὲν οὐκ ἔχει τὸ κάλλος, ἕτερον δέ. ποῖον δὴ τοῦτο; ὥσπερ ἀπό τινος τέχνης τὸ κοράλλιον ἐπιμήκη ἔχει τὴν γραμμὴν, καὶ τὰς γωνίας ἐκπεπορευμένας, καὶ τοῦ λευκοῦ χρώματος ἑτέρου ἐπιτερπέστερον, ὁ δὲ πράσινος πολὺ πάσης χλωρότητος ἐπιτερπέστερος· ἄλλος τοῦ αἵματος ὁ ἀνθηρὸς παρέχεται τῷ εὐανθεῖ, ἄλλος τῆς θαλάττης ἐστὶ κυανώτερος, ἄλλος τῆς ἁλουργίδος στιλβότερος. καὶ ἄλλα δὲ μυρία ἄν τις εὕροι τοῖς ἄνθεσιν ἁμιλλώμενα κατὰ τὸ ποικίλον, ἢ τοῖς τοῦ ἡλίου χρώμασιν ἐξισούμενα. τοιοῦτοι δὴ καὶ οἱ ἅγιοι. οἱ μὲν ἑαυτοὺς ἀσκοῦσιν· οἱ δὲ καὶ τὰς ἐκκλησίας. καλῶς ἄρα ἔλεγεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν. ὥστε γὰρ πάντας ἐπᾶραι πρὸς μίμησιν, διὰ τοῦτο οὕτως εἶπεν. οὐκοῦν καὶ ἡμεῖς ἐπιδράμωμεν τῷ πράγματι, ἵνα ἔχωμεν καυχᾶσθαι ἐκεῖ. ὅτι ἐνίψαμεν πόδας ἁγίων. εἰ δὲ πόδας αὐτῶν νίπτειν δεῖ, πολλῷ μᾶλλον καὶ ἐκ χειρὸς ἐπιδιδόναι αὐτοῖς τὰ χρήματα, καὶ σπουδάζειν λανθάνειν. Μὴ γνώτω, φησὶν, ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου. τί μυρίους παραλαμβάνεις μάρτυρας; μηδὲ οἰκέτης ἰδέτω, εἰ δυνατὸν, μηδὲ γυνή. πολλὰ τὰ σκάνδαλα

Margin notes: Φιλιπ. α. κα. — Ψαλμ. ριζ. ιε. — Ησ. α. ιζ. — Ματθ. ς. γ. — ἀηδῶν — παρέλ[illegible] — αὗται — ἁγίων πό- [illegible] ἔνιψεν. [illegible] — κρύ[illegible] — ἄλλα πολ- [illegible] χρώ- [illegible] — εἰς χεῖρας

MVSEVM BRITANNICVM

σκάνδαλα τοῦ διαβόλου· πολλάκις ἡ μηδέποτε ἐμποδίσασα, τότε ἐμποδίζει, ἢ ὑπὸ κενοδοξίας, ἢ ὑπὸ ἑτέρου τινός. ἐπεὶ καὶ ὁ Ἀβραὰμ, καίτοι θαυμαστὴν ἔχων γυναῖκα, τὸν υἱὸν μέλλων ἀναφέρειν, ἔκρυψε, καίτοιγε οὐκ εἰδὼς τὸ ἐκβησόμενον, ἀλλὰ πεπεισμένος, ὅτι πάντως ἀναιρήσει. τί οὖν ἔμελλε λέγειν, εἴ τις ἦν ἂν ἄνθρωπος τῶν πολλῶν; οὐκ ἂν εἶπε, τίς ἐστιν οὗτος ὁ ταῦτα διαπραττόμενος; οὐκ ἂν ἐπὶ ἀπιστίᾳ αὐτὸν διέβαλε καὶ ἀγροικίᾳ; οὐδὲ ἰδεῖν κατηξιώθη τὸ παιδίον τὸ ἑαυτῆς ἡ γυνὴ, οὐδὲ ὑστέρας ἀκοῦσαι φωνῆς, οὐδὲ ἀναιρεῖ περιάσασθαι, ἀλλ᾽ ὥσπερ αἰχμάλωτον λαβὼν, οὕτως ἀπήγαγεν. ἀλλ᾽ οὐδὲν τούτων ἐνενόησεν ὁ δίκαιος ἐκεῖνος, μεθύων τῷ πόθῳ. οὐδὲν γὰρ ἄλλο ἑώρα, ἀλλὰ τὸ προστεταγμένον ὅπως ἐργάσαιτο, οὐδὲ παῖς ἦν ἐκεῖ, οὐδὲ γυνή· μᾶλλον δὲ οὐδὲ αὐτὸς ᾔδει τὸ ἐκβησόμενον. οὕτω πάντοθεν ἐσπούδαζε καθαρὸν τὸ ἱερεῖον ἀναγαγεῖν, μὴ δάκρυσιν αὐτὸ, μὴ ἀντιλογίᾳ μολῦναι. ὅρα δὲ μεθ᾽ ὅσης ἡμερότητος ὁ Ἰσαὰκ ἐρωτᾷ, καὶ τί φησι πρὸς αὐτόν· Ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, ποῦ τὸ πρόβατον; τί οὖν ὁ πατήρ; Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. λέγεται δὲ τοῦτο καὶ ὡς προφητεία, ὅτι τὸν υἱὸν ὄψεται ἑαυτῷ Θεὸς εἰς ὁλοκάρπωσιν, καὶ ἅμα καὶ τότε ἐξέβη ἐκεῖνο. τί δὲ αὐτὸν κρύπτεις, εἰπέ, τὸν σφαγιασθησόμενον; ναί, φησι, δέδοικα μὴ ναρκήσῃ, δέδοικα μὴ ἀνάξιος ὀφθῇ. εἶδες πῶς μετὰ πολλῆς τῆς ἀκριβείας ἅπαντα ἔπραττεν; ἆρα καλῶς εἶπεν ἡ γραφὴ, Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, τουτέστι, κἂν ὡς οἰκεῖον μέλος ἔχωμεν τινὰ, μὴ σπουδάζωμεν αὐτῷ δεικνῦναι, πλὴν εἰ μὴ ἀνάγκη εἴη. πολλὰ γὰρ ἀπὸ τούτου γίνεται τὰ δεινά· εἰς κενοδοξίαν τις αἴρεται, κώλυμα γίνεται πολλάκις. διὰ δὴ τοῦτο καὶ ἑαυτοὺς λανθάνωμεν, εἰ δυνατὸν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ. ιε. 11 ΝΕΩΤΕΡΑΣ ΔΕ ΧΗΡΑΣ ΠΑΡΑΙΤΟΥ· Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, 12 Ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· 13 Ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι, περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. 14 Βούλομαι οὖν νεωτέρας χήρας γαμεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν. 15 Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ.

α. Τιμ. ε. θ. ΠΟλλὴν ὑπὲρ τῶν χηρῶν ὁ Παῦλος ποιησάμενος λόγον, καὶ χρόνον αὐτῶν ὁρίσας, τῷ λέγειν, Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, καὶ τὴν ποιότητα διδάξας τῆς χήρας τῷ εἰπεῖν, Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε, πάλιν ἐνταῦθα φησί· νεωτέρας δὲ χήρας παραιτοῦ. περὶ δὲ τῶν παρθένων, καίτοι πολὺ φορτικωτέρου τοῦ πράγματος ὄντος, οὐδὲν τοιοῦτον εἴρηκε. εἰκότως. διὰ τί; ὅτι ἐπὶ μείζοσιν ἀπεγράψαντο, καὶ ἀπὸ μείζονος τῆς διανοίας ἐκεῖναι τὸ ἔργον προσέβη τοῦτο. τὸ μὲν οὖν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε, καὶ πάντα τὰ τοιαῦτα, διὰ τὸ εὐπρόσεδρον παρέστησε, καὶ τοῦ λέγειν, Ἡ δὲ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου. εἰ
α. Κορ. ζ. λδ.
δὲ χρόνων ἕνεκεν οὐδὲν ἀκριβολογεῖται, μὴ θαυμάσῃς. μάλιστα μὲν γὰρ ἀπὸ τούτου καὶ κοινὸν δῆλον. ἄλλως δὲ εἶπον ὅτι ἀπὸ μείζονος διανοίας ἐκεῖναι τὴν παρθενίαν εἵλοντο. πρὸς δὲ τούτοις, ἐν ταῖς ἤδη πλώματα γέγονε, καὶ αὗται παρέσχον τὴν ἀφορμὴν τῆς τοιαύτης νομοθεσίας· ἐκεῖ δὲ τοιοῦτον οὐδὲν ἦν. ὅτι γὰρ ἐξέπεσόν τινες ἤδη, ἀπὸ τούτου δῆλον, ἀπὸ τοῦ λέγειν, ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. καὶ πάλιν, ἤδη γὰρ ἐξετράπησαν τινες ὀπίσω τοῦ Σατανᾶ. νεωτέρας δὲ χήρας παραιτοῦ. διὰ τί; ὅταν γὰρ καταστρηνιά-

σωσι

MVSEVM BRITAN NICVM

ωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. τί ἐστιν, ὅταν καταστρηνιάσωσιν; ὅταν ἀνεθῶσιν, ὅταν θρύπτωνται. καθάπερ ὅταν ἐπὶ ἀνδρός τις ἐπιεικοῦς λέγῃ, ἄφες αὐτήν, ὅτι ἑτέρῳ συγγέγονε. δείκνυσι τοίνυν ὅτι καὶ τὴν χηρείαν ἁπλῶς εἵλοντο, οὐ κρίνασαι. ἄρα καὶ ἡ χήρα τῷ Χριστῷ ἁρμόζεται ἐν τῇ χηρείᾳ. Ἐγὼ γάρ, φησι, προστάτης τῶν χηρῶν, καὶ πατὴρ τῶν ὀρφανῶν. δείκνυσιν ὅτι οὐδὲ τὴν χηρείαν ὀρθῶς αἱρούμεναι, ἀλλὰ καταστρηνιῶσιν, ἀλλ' ὅμως φέρει. καὶ μὴν ἀλλαχοῦ φησιν· Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. (β. Κορ. ια. β.) ὅταν ὀνομασθῶσιν αὐτῷ, φησι, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. πίστιν, τὴν συνθήκην λέγει, τὴν ἀλήθειαν, ὥσπερ ἔλεγεν, ἐψεύσαντο αὐτόν, ἠθέτησαν, παρέβησαν τὰς συνθήκας. ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσιν. οὐκ ἄρα ἀνδράσι μόνον ἐπιτάττει τὸ ἐργάζεσθαι, ἀλλὰ καὶ γυναιξί. πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία. οὐ τούτῳ, φησί, τῷ κρίματι μόνον εἰσὶν ὑπεύθυνοι, ἀλλὰ καὶ ἑτέροις ἁμαρτήμασιν. Εἰ ἄρα ἀνάρμοστον γυναικὶ τὸ περιϊέναι τὰς οἰκίας, πολλῷ μᾶλλον παρθένῳ*. οὐ μόνον δέ, φησιν, ἀργαὶ μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι, καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. βούλομαι οὖν νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν. τί οὖν συμβαίνει; ὅταν καὶ ἡ τοῦ ἀνδρὸς μέριμνα ἀποστῇ, καὶ ἡ τοῦ Θεοῦ μὴ κατέχῃ, εἰκότως ἀργαί, λάλοι, περίεργοι γίνονται. ὁ γὰρ τὰ ἑαυτοῦ μὴ μεριμνῶν, τὰ ἑτέρου μεριμνήσει πάντως· ὥσπερ ὁ τὰ ἑαυτοῦ φροντίζων, τῶν ἑτέρων οὐδένα ποιήσεται λόγον, οὐδεμίαν ἕξει φροντίδα. λαλοῦσαι τὰ μὴ δέοντα. οὐδὲν οὕτως ἀνάρμοστον γυναικί, ὡς τὸ τὰ ἑτέρων περιεργάζεσθαι μάλιστα, οὐ μόνον δὲ γυναικί, ἀλλὰ καὶ ἀνδρί. ἀναισχυντίας γὰρ καὶ ἰταμότητος τεκμήριον τοῦτο μέγιστον. βούλομαι οὖν. ἐπειδὴ αὐταὶ βούλονται, βούλομαι κἀγὼ νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, οἰκουρεῖν. πολλῷ γὰρ τοῦ ποιεῖν ἐκεῖνα τοῦτο βέλτιον. ἔδει μὲν οὖν τὰ τοῦ Θεοῦ μεριμνᾶν, ἔδει τὴν πίστιν φυλάττειν· ἐπειδὴ δὲ ἐκεῖνα οὐ γέγονε, βέλτιον ταῦτα γενέσθαι, ἢ ἐκεῖνα. οὔτε γὰρ ὁ Θεὸς ἀθετεῖται, οὔτε αὐταὶ ταῦτα μανθάνουσιν. ἀπὸ μὲν γὰρ τῆς χηρείας ἐκείνης οὐδὲν χρηστὸν ἔσται· ἀπὸ δὲ τοῦ γάμου τούτου πολλὰ ἀγαθά. ἐντεῦθεν τὸ κακχηνὸς καὶ ῥᾳθυμίας τῆς ἀγνοίας αὐτῆς ἐπιστρέψαι δύναται. Καὶ τίνος ἕνεκεν, φησιν, οὐκ εἶπεν, ἐπειδὴ χῆραι ἐξέπεσον, πολλῆς αὐταῖς ἐπιμελείας δεῖ ἀπολαύειν, ὥστε μὴ παθεῖν ἅπερ εἶπον, ἀλλ' ἐπέταξε γάμον; ὅτι οὐ κεκώλυται, ὅτι ἐν ἀσφαλείᾳ καθίστησι. διὸ καὶ ἐπάγει, μηδεμίαν διδόναι ἀφορμὴν τῷ ἀντικειμένῳ λοιδορίας χάριν, μηδὲ λαβεῖν τινα. ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ. κωλύει τοίνυν τὰς χήρας τὰς τοιαύτας, οὐ βουλόμενος μὴ εἶναι χήρας νεωτέρας, ἀλλὰ μὴ βουλόμενος μοιχαλίδας εἶναι, μὴ βουλόμενος ἀργὰς εἶναι καὶ περιέργους, λαλούσας τὰ μὴ δέοντα, μὴ βουλόμενος τὸν διάβολον ἀφορμὴν λαμβάνειν· ὡς εἰ μὴ τοιοῦτον ἐγένετο, οὐκ ἂν ἐκώλυσεν.

16 Εἰ δέ τις πιστός, ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ. Ὁρᾷς πῶς πάλιν ὄντως χήρας λέγει ἐκείνας τὰς μεμονωμένας, τὰς οὐδαμόθεν ἐχούσας παραμυθίαν; οὕτω γὰρ βέλτιον ἦν. δύο γὰρ ἐγίνετο τὰ μέγιστα, καὶ ἐκεῖναι ἀφορμὴν ἐλάμβανον τοῦ εὖ ποιεῖν, καὶ αὗται διετρέφοντο καλῶς, καὶ ἡ ἐκκλησία οὐκ ἐβαρεῖτο. καλῶς προσέθηκεν, εἴ τις πιστός. παρὰ γὰρ τῶν ἀπίστων οὐκ ἔδει τὰς πιστὰς τρέφεσθαι, ἵνα μὴ δόξωσι δεῖσθαι αὐτῶν. καὶ ὅρα πῶς παραμυθητικῶς. οὐκ εἶπε, πολυτέλειαν τινα χορηγείτω, ἀλλ', ἐπαρκείτω αὐταῖς, ἵνα ἡ ἐκκλησία, φησί, ταῖς ὄντως χήραις ἐπαρκέσῃ. ἄρα καὶ ταύτης τὸν μισθὸν αὐτὴ ἔχει τῆς βοηθείας. ἡ γὰρ βοηθοῦσα ταύτῃ, οὐ ταύτῃ βοηθεῖ μόνον, ἀλλὰ καὶ ἐκείναις, μετ' εὐρυχωρίας ἀφεῖσα αὐτὰς τρέφεσθαι. βούλομαι νεωτέρας, τί; τρυφᾶν; ἀλλὰ σπαταλᾶν; οὐδὲν τοιοῦτον, ἀλλὰ γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν. ἵνα γὰρ μὴ νομίσῃς αὐτὸν εἰς τρυφὴν αὐτὰς προτρέπειν, ἐπήγαγε· μηδεμίαν διδόναι ἀφορμὴν τῷ ἀντικειμένῳ λοιδορίας χάριν. ἔδει μὲν γὰρ αὐτὰς εἶναι ἀνωτέρας τῶν βιωτικῶν·

βιωτικῶν· ἐπεὶ δὲ κατώτεραι γεγόνασι, κἂν ἐν αὐτοῖς στηκέτωσαν.
17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπι-
Δευτ. κε. δ. ῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. 18 Λέγει γὰρ ἡ γραφή, Βοῦν ἀλοῶντα οὐ φιμώσεις·
Λουκ. ι. ζ. καί, Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Τιμὴν ἐνταῦθα τὴν θεραπείαν λέγει, τὴν τῶν ἀναγ-
καίων χορηγίαν. ὃ γὰρ ἐπήγαγεν, οὐ φιμώσεις βοῦν ἀλοῶντα, καί, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, τοῦτο δηλοῖ. ἄρα καὶ ὅταν λέγῃ, χήρας τίμα, τοῦτο λέγει περὶ τῆς τῶν ἀναγκαίων τροφῆς, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ, φησί. καὶ πάλιν, τίμα τὰς ὄντως χήρας· τουτέστι, τὰς ἐν πενίᾳ. ὅσῳ γὰρ ἄν τις ἐν πενίᾳ ᾖ, τοσούτῳ μᾶλλόν ἐστι χήρα. τίθησι δὲ τὸ τοῦ νόμου, τίθησι δὲ τὸ τοῦ Χριστοῦ, ἀμφότερα συμφωνοῦντα. ὁ μὲν γὰρ νόμος φησίν, οὐ φιμώσεις βοῦν ἀλοῶντα. ὁρᾷς πῶς βούλεται κάμνειν τὸν διδάσκαλον; οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄλλος πόνος τοιοῦτος, ὡς ὁ ἐκείνου. ἀλλ' ἐκεῖνο μὲν τοῦ νόμου· πῶς δὲ καὶ τὸ τοῦ Χριστοῦ τίθησιν; ἄξιος γάρ, φησίν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. μὴ τῷ μισθῷ τοίνυν προσέχωμεν μόνῳ, ἀλλὰ καὶ πῶς προσέταξε. φησὶ γάρ, ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. ὥστε εἴ τις τρυφᾷ, καὶ αἰτεῖται, οὐκ ἔστιν ἄξιος· εἰ μή τις ἐστὶ βοῦς ἀλοῶν, καὶ πρὸς πνῖγος, καὶ πρὸς ἀκάνθας τὸ ζεῦγος διὰ ζυγὸν ἕλκει, καὶ οὐ πρότερον ἀφίσταται, ἕως ταῖς ἀποθήκαις τοὺς καρποὺς εἰσκομίσει, οὐκ ἔστιν ἄξιος. ἄρα δεῖ μετὰ ἀφθονίας ἐπιρρέειν τοῖς διδασκάλοις τὴν τῶν ἀναγκαίων χορηγίαν, ἵνα μὴ κάμνωσι, μήτε ἐκλύωνται, μηδὲ περὶ τὰ μικρὰ σχολάζοντες τῶν μεγάλων ἀποστερῶσιν ἑαυτούς, ἵνα τὰ πνευματικὰ ἐργάζωνται, μηδένα τῶν βιωτικῶν ποιούμενοι λόγον. τοιοῦτοι ἦσαν οἱ Λευῖται, οὐδὲν αὐτοῖς ἔμελε τῶν βιωτικῶν, ὅτι τοῖς λαϊκοῖς ἔμελε τῆς αὐτῶν προνοίας. καὶ νόμῳ ἐτέτακτο τὰ τῶν προσόδων, οἷον αἱ δεκάται, [τὰ ἀπὸ τῶν χειρῶν,] αἱ ἀπαρχαί, αἱ εὐχαί, καὶ πολλὰ ἕτερα. ἀλλ' ἐκείνοις μὲν εἰκότως ταῦτα ἐνομοθέτει, ἅτε τὰ παρόντα ζητοῦσιν· ἐγὼ δὲ πλέον οὐδὲν λέγω τοῦ δεῖν τοὺς προεστῶτας ἔχειν τροφὰς καὶ σκεπάσματα, ἵνα μὴ περιέλκωνται εἰς ταῦτα. τί δέ ἐστι, διπλῆς τιμῆς; διπλῆς τῆς πρὸς τὰς χήρας, ἢ τῆς πρὸς τοὺς διακόνους, ἢ ἁπλῶς διπλῆς τιμῆς, πολλῆς φησι. μὴ τοῦτο τοίνυν μόνον σκοπῶμεν, ὅτι διπλῆς αὐτοὺς τιμῆς ἠξίωσεν, ἀλλ' ὅτι προσέθηκε τοὺς καλῶς προε-
Ιωαν. ι. ια. στῶτας. τί δέ ἐστι, καλῶς προεστῶτας; ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος· Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ἄρα τοῦτό ἐστι καλῶς προεστάναι, μηδενὸς φείδεσθαι τῆς ἐκείνων κηδεμονίας ἕνεκεν. μάλιστα, φησίν, οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. ποῦ νῦν εἰσιν οἱ λέγοντες μὴ δεῖν λόγου, μηδὲ διδασκαλίας; ὅπου γε καὶ Τι-
α. Τιμ. δ. ιε. ιγ. μοθέῳ τοσαῦτα παραινεῖ λέγων, Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι. καὶ πάλιν, Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντας. καὶ τούτους μάλιστα πάντων τῶν ἄλλων τιμᾶσθαι βούλεται· καὶ τὴν αἰτίαν τίθησιν, ὅτι πολὺν πόνον ὑπομένουσι, φησίν. εἰκότως. ὅταν γὰρ ὁ μὲν ἕτερος μήτε ἀγρυπνῇ, μήτε φροντίζῃ, ἀλλὰ ἁπλῶς συνεδρεύῃ ἐν ἀδείᾳ καὶ ἀμεριμνίᾳ, ἐκεῖνος δὲ κόπτηται φροντίζων, μελετῶν, καὶ μάλιστα, ὅταν ἄπειρος ᾖ καὶ λόγων τῶν ἔξωθεν, πῶς οὐ δεῖ μάλιστα τιμῆς ἀπολαύειν καὶ πρὸ τῶν ἄλλων ἁπάντων αὐτὸν εἰς τοσούτους πόνους ἑαυτὸν ἀφιέντα; μυρίαις γὰρ γλώσσαις ἐστὶν ὑπεύθυνος. ὁ δεῖνα ἐμέμψατο, ἕτερος ἐπῄνεσεν, ἄλλος ἔσκωψεν, ἄλλος διέβαλε τὴν μνήμην καὶ τὴν σύνθεσιν, καὶ δεῖ αὐτῷ πολλῆς ἰσχύος, ὥστε ταῦτα φέρειν. μέγα γὰρ τοῦτο, μέγα πρὸς ἐκκλησίας οἰκοδομήν, καὶ πολὺ συντελεῖ, τὸ διδακτικοὺς εἶναι τοὺς προεστῶτας. κἂν τοῦτο μὴ παρῇ, πολλὰ τῶν ἐν ταῖς ἐκκλησίαις οἴχεται. διὰ τοῦτο μετὰ τῶν ἄλλων, μετὰ τοῦ φιλοξένου καὶ τοῦ ἐπιεικοῦς, μετὰ τοῦ ἀνεπιλήπτου, καὶ τοῦτο ἀριθμεῖ λέγων, διδακτικόν. ἐπεὶ διατί διδάσκαλος λέγεται; ναί, φησίν, ἵνα τῷ βίῳ διδάσκῃ φιλοσοφίαν. ὥστε ταῦτα περιττά. καὶ οὐ δεῖ τῆς ἀπὸ τοῦ λόγου διδασκαλίας εἰς προκοπήν. καὶ πῶς ὁ Παῦλός φησι, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ; ὅταν γὰρ περὶ δογμάτων ᾖ λόγος, ποῖος βίος ἐνταῦθα ἰσχὺν ἔχει;

ἔχει; τίνα λέγει δὲ φησίν; οὐ τὸν κομπώδη, οὐδὲ τὸν τὸ κομψείαν ἔχοντα τὴν ἔξωθεν, ἀλλὰ τὸν ἰσχὺν πολλὴν κεκτημένον τοῦ πνεύματος, τὸν συνέσεως γέμοντα καὶ φρονήσεως. οὐ κατὰ πιστοθήκην οὖν αὐτῷ καὶ φράσεως δεῖ, ἀλλὰ νοημάτων, ὅπως ἂν λέγηται, οὐδὲ συνθήκης, ἀλλὰ φρενῶν.

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.

Κατὰ γὰρ νεωτέρου δεῖ ἐκτὸς μαρτύρων κατηγορίαν δέχεσθαι; κατὰ δὲ ὅλως τινός, καὶ οὐχὶ μετ' ἀκριβείας πάντοτε δεῖ τὰς κρίσεις ποιεῖσθαι; τί οὖν ἐστιν ὃ λέγει; οὐδὲ ἐπὶ ἄλλων, φησί, μάλιστα δὲ κατὰ πρεσβυτέρου. πρεσβύτερον γὰρ ἐνταῦθά φησιν, οὐχὶ τὸ ἀξίωμα, ἀλλὰ τὴν ἡλικίαν, ἐπειδήπερ εὐκολώτεροι ἁμαρτάνουσιν οἱ νέοι τῶν πρεσβυτέρων· δῆλον δέ ἐστιν ἐντεῦθεν, ὅτι ἐκκλησίαν λοιπὸν ἦν ἐμπεπιστευμένος ὁ Τιμόθεος, ἢ καὶ ἔθνος ὁλόκληρον τὸ τῆς Ἀσίας. διὸ καὶ περὶ πρεσβυτέρων αὐτῷ διαλέγεται.

20 Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.

Τουτέστι, μὴ ταχέως ἐκκόπτε, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριβείας ἅπαντα περιεργάζου. ὅταν δὲ μάθῃς σαφῶς, σφοδρῶς ἐπέξιθι, ἵνα οἱ ἄλλοι σωφρονισθῶσιν. ὥσπερ γὰρ τὸ ἁπλῶς κατακρίνειν βλαβερόν, οὕτω τὸ μὴ ἐπεξιέναι τοῖς φανεροῖς ἁμαρτήμασιν, ὁδόν ἐστι δοῦναι τοῖς ἄλλοις τὰ τοιαῦτα ποιεῖν καὶ τολμᾶν. ἔλεγχε δέ, εἶπε, δηλῶν ὅτι οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀποτομίας. οὕτω γὰρ καὶ οἱ λοιποὶ φόβον ἕξουσι. πῶς οὖν φησιν ὁ Χριστός, Ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, ἐὰν εἰς σὲ ἁμάρτῃ; πλὴν κἀκεῖνον συγχωρεῖ ἐν τῇ ἐκκλησίᾳ ἐλέγχεσθαι. τί οὖν; οὐχὶ σκανδαλίζει μᾶλλον τὸ ἐνώπιον πάντων ἐλέγχεσθαι; πῶς; ὅταν γὰρ τὸ ἁμάρτημα ὦσιν εἰδότες, τὴν δὲ κόλασιν οὐκέτι, μᾶλλον σκανδαλίζονται. ὥσπερ γὰρ ἀτιμωρήτων μενόντων τῶν ἁμαρτανόντων, πολλοὶ οἱ πλημμελοῦντες, οὕτω κολαζομένων, πολλοὶ οἱ κατορθοῦντες εἰσίν. οὕτω καὶ ὁ Θεὸς ἐποίησε· τὸν Φαραὼ εἰς μέσον ἀγαγὼν ἐκόλασε, καὶ τὸν Ναβουχοδονόσορ, καὶ πολλοὺς ἑτέρους καὶ κατὰ πόλιν, καὶ κατὰ ἄνθρωπον ἐρωμένην δίκην δεδωκότας. ἆρα βούλεται πάντας φόβον ἔχειν παρὰ τοῦ ἐπισκόπου, καὶ πᾶσιν αὐτὸν ἐφίστησιν. ἐπειδὴ γὰρ πολλὰ ἀπὸ ὑπονοίας κρίνεται, δεῖ, φησί, τότε σὺν μαρτυρούντας, καὶ διελέγχονται αὐτὸν κατὰ τὸν παλαιὸν νόμον. Ἐπὶ γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. κατὰ πρεσβυτέρου, φησί, κατηγορίαν μὴ παραδέχου. οὐκ εἶπε, μὴ κατακρίνῃς, ἀλλὰ μηδὲ δέξῃ κατηγορίαν, μηδὲ ὅλως εἰς κρίσιν καταστήσῃς. τί οὖν ἂν καὶ οἱ δύο ψεύδωνται; τοῦτο σπανιάκις συμβαίνει. ἔνι δὲ ἀπὸ τῆς κρίσεως ἐξεταζόμενον καὶ τοῦτο γενέσθαι δῆλον. τὰ γὰρ ἁμαρτήματα ἀγαπητὸν καὶ δύο μάρτυρας ἔχειν, διὰ τὸ λάθρα γίνεσθαι καὶ κεκρυμμένως. ὥστε πολλῆς δοκιμασίας σημεῖον τοῦτο. τί οὖν ἂν μὴ ὁμολογημένα ᾖ τὰ ἁμαρτήματα, μάρτυρας δὲ μὴ ἔχῃ, ἀλλὰ πονηρὰν ὑπόνοιαν; εἶπον ἄνω, φησί, Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν. μετὰ φόβου τοίνυν ἀγαπῶμεν τὸν Θεόν. δικαίῳ μὲν γὰρ νόμος οὐ κεῖται· οἱ δὲ πολλοὶ καὶ τὴν ἀρετὴν δι' ἀνάγκην μετερχόμενοι, καὶ οὐ προθέσει, μεγάλα ἀπὸ τοῦ φόβου καρποῦνται πολλάκις τὰς ἐπιθυμίας ἐκκόπτοντες τὰς ἑαυτῶν.

Ματθ. ιη. ιε.
Δευτ. ιθ. ιε.
α. Τιμ. γ. ζ.

ΗΘΙΚΟΝ

Διὰ τοῦτο περὶ γεέννης ἀκούωμεν, ἵνα πολύ τι καρπωσώμεθα ἀπὸ τῆς ἀπειλῆς καὶ τοῦ φόβου τούτου. εἰ γὰρ μέλλων ἐμβάλλειν εἰς αὐτὴν τοὺς ἁμαρτάνοντας, μὴ προεῖπε ταύτης τὴν ἀπειλήν, πολλοὶ ἐνέπεσον ἂν εἰς αὐτήν. εἰ γὰρ νῦν τοῦ φόβου κατασείοντος ἡμῶν τὰς ψυχάς, εἰσί τινες οἱ οὕτω ῥᾳδίως ἁμαρτάνοντες, ὡς οὐδὲ οὔσης αὐτῆς, εἰ μηδὲν τούτων εἴρητο μήτε ἠπείλητο, τί οὐκ ἂν εἰργασάμεθα δεινόν; ὥστε ὅπερ ἀεὶ φημί, τῆς βασιλείας οὐχ ἧττον ἡ γέεννα τοῦ Θεοῦ τὴν κηδεμονίαν δείκνυσιν. ἡ γέεννα γὰρ τῇ βασιλείᾳ συμπράττει, τοὺς ἀνθρώπους τῷ φόβῳ ὠθοῦσα πρὸς αὐτήν. μηδὲ ἀπηνείας, μηδὲ ὠμότητος εἶναι τὸ πρᾶγμα νομίσωμεν, ἀλλὰ ἐλέου, καὶ φιλανθρωπίας πολλῆς, καὶ κηδεμονίας, καὶ

φίλτρου τοῦ περὶ ἡμᾶς. Εἰ μὴ ἠπειλήθη καταστροφὴ ἐπὶ Ἰωνᾶ, οὐκ ἂν ἐκωλύθη ἡ καταστροφή. Εἰ μὴ εἶπεν, ὅτι καταστραφήσεται Νινευΐ, οὐκ ἂν ἔστη Νινευΐ. Εἰ μὴ ἠπειλήθη γέεννα, ἅπαντες ἂν εἰς γέενναν ἐνεπέσομεν. Εἰ μὴ ἠπειλήθη πῦρ, οὐδεὶς ἂν διέφυγε τὸ πῦρ. ἐναντία ὧν βούλεται πράττειν λέγει, ἵνα πράττῃ ἃ βούλεται. οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, καὶ λέγει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἵνα μὴ ἐμβάλῃ εἰς θάνατον. οὐκ εἶπε ῥήματι μόνον, ἀλλὰ καὶ τὸ ἔργον δείκνυσιν, ἵνα φύγωμεν. ἵνα γὰρ μή τις νομίσῃ ἀπειλὴν εἶναι τὸ πρᾶγμα μόνον, ἀλλὰ καὶ ὄντως εἶναι, ἀπὸ τῶν ἐνταῦθα γεγενημένων δηλοῖ τὸ ποιῆσον. ἢ οὐ δοκεῖ σοι τῆς γεέννης εἶναι σύμβολον ὁ κατακλυσμός, ὁ τῆς παντελοῦς πανωλεθρίας

Ματθ. κδ. λη. τοῦ ὑετοῦ τοῦ πυρός; Ὥσπερ γάρ, φησιν, ἐν ταῖς ἡμέραις Νῶε ἦσαν γαμοῦντες καὶ ἐκγαμίζοντες, οὕτω καὶ νῦν. προεῖπε πρὸ πλείονος χρόνου τότε, καὶ νῦν προλέγει πρὸ ἐτῶν τετρακοσίων, ἢ καὶ πλειόνων, ἀλλ' οὐδεὶς ὁ προσέχων· πάντες μύθους τὸ πρᾶγμα εἶναι νομίζουσι, πάντες γελῶσι, οὐδένα φόβος ἔχει, οὐδεὶς δακρύει, οὐδεὶς πατάσσει τὸ στῆθος. ὁ ποταμὸς τοῦ πυρὸς ἀναβράζεται, ἡ φλὸξ ἐκκαίεται, καὶ ἡμεῖς γελῶμεν, καὶ τρυφῶμεν, καὶ ἁμαρτάνομεν ἀδεῶς. οὐδεὶς εἰς νοῦν τὴν ἡμέραν ἐκείνην λαμβάνει ποτέ, οὐδεὶς ἐννοεῖ, ὅτι παρέρχεται τὰ παρόντα, ὅτι πρόσκαιρα ταῦτα, καίτοι τῶν πραγμάτων καθ' ἑκάστην ἡμέραν βοώντων, καὶ φωνὴν ἀφιέντων. οἱ ἄωροι θάνατοι, αἱ τῶν πραγμάτων μεταβολαὶ καὶ ζώντων ἡμῶν γινόμεναι οὐ παιδεύουσιν ἡμᾶς, αἱ ἀρρωστίαι, καὶ τὰ λοιπὰ νοσήματα. οὐκ ἐν τοῖς ἡμετέροις γὰρ σώμασι τὰς μεταβολὰς μόνον, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς στοιχείοις ἴδοι τις ἄν. καὶ ἐν ταῖς ἡλικίαις γὰρ καθ' ἑκάστην ἡμέραν τὸν θάνατον μελετῶμεν, καὶ ἐν πᾶσι τὸ ἄστατον πανταχοῦ διὰ τῶν πραγμάτων χαρακτηρίζεται. οὐδέποτε χειμὼν ἔμεινεν, οὐδέποτε θέρος, οὐδὲ ἔαρ, οὐδὲ μετόπωρον, ἀλλὰ πάντα τρέχει, καὶ ἀφίπταται, καὶ ῥεῖ. ἀλλὰ τί βούλει εἴπω τὰ ἄνθη; τὰ ἀξιώματα; οἱ βασιλεῖς οἱ νῦν ὄντες, καὶ αὔριον οὐκ ὄντες; ἀλλὰ τοὺς πλουτοῦντας; ἀλλὰ τὰ οἰκοδομήματα τὰ λαμπρά; ἀλλὰ νύκτα καὶ ἡμέραν; ἀλλὰ τὸν ἥλιον; ἀλλὰ τὴν σελήνην; οὐ φθίνει καὶ αὐτή; καὶ αὐτὸς γὰρ ὁ ἥλιος οὐκ ἐκλείπει πολλάκις, οὐ σκοτίζεται; οὐ νέφος αὐτὸν κρύπτει; μή τι τῶν ὁρωμένων παραμένει διαπαντός; οὐδέν, ἀλλ' ἡ ψυχὴ μόνη τῶν ἐν ἡμῖν, καὶ ταύτης ἀμελοῦμεν. τῶν μὲν ἀλλοιουμένων, ὡς μενόντων πολλὴν ποιούμεθα πρόνοιαν· τῆς γὰρ μενούσης ἀεὶ ὡς παρερχομένης οὐδένα ἔχοντες λόγον. ὁ δεῖνα μεγάλα δύναται; ἀλλ' ἕως αὔριον, μετὰ γὰρ ταῦτα ἀπόλλυται. καὶ δηλοῖ ἐκ τῶν μείζονα δυνηθέντων, καὶ νῦν οὐδαμοῦ φαινομένων. σκηνή τίς ἐστιν ὁ βίος, καὶ ὄναρ. καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς τοῦ σκηνώσεις ἀρθέντος αἱ ποικιλίαι διαλύονται, καὶ τὰ ὀνείρατα τῆς ἀκτῖνος φανείσης πάντα ἀφίπταται· οὕτω καὶ νῦν τῆς συντελείας ἐλθούσης, καὶ τῆς κοινῆς, καὶ τῆς ἑνὸς ἑκάστου, πάντα λύεται καὶ ἀφανίζεται. καὶ ξύλον μένει, ὃ ἐφύτευσας, μένει, καὶ ἡ οἰκία, ἣν οἰκοδομεῖς, καὶ αὐτὴ μένει· ὁ γὰρ τεχνίτης καὶ ὁ γεωργὸς ἀπάγονται καὶ διαφθείρονται. καὶ τούτων γινομένων, οὐδ' οὕτως ἐντρεπόμεθα, ἀλλ' ὡς ἀθάνατοι ταῦτα πάντα κατασκευάζομεν, τρυφῶντες καὶ σπαταλῶντες. ἄκουσον τί φησιν ὁ Σολομῶν, ὁ ἔργῳ πεῖραν λαβὼν

Εκκλησ. β. δ. τῶν παρόντων πραγμάτων. Ὠκοδόμησά μοι οἰκίας, φησίν, ἐφύτευσα κήπους, καὶ παραδείσους, ἀμπελῶνας, καὶ κολυμβήθρας ὑδάτων, ἀργύριον καὶ χρυσίον ἐγένετό μοι, ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, ποίμνια καὶ βουκόλια. οὐδεὶς γὰρ οὕτως ἐγένετο τρυφηλός, οὐδεὶς οὕτως ἔνδοξος, οὐδεὶς οὕτω σοφός, οὐδεὶς οὕτω ἄρχων, οὐδεὶς οὕτω κατὰ νοῦν πάντα εἶδεν αὐτῷ προκεχωρηκότα. τί οὖν; οὐδὲν τούτων ἀπώνατο. ἀλλὰ τί φησι μετὰ ταῦτα πάντα; Ματαιότης γάρ, φησι, ματαιοτήτων, τὰ πάντα ματαιότης· οὐχ ἁπλῶς ματαιότης, ἀλλὰ καθ' ὑπερβολήν. πειθώμεθα αὐτῷ, παρακαλῶ, τῷ διὰ πεῖρας ἥκοντι· πειθώμεθα αὐτῷ, καὶ ἐπιλαβώμεθα πραγμάτων, ἔνθα οὐκ ἔστι ματαιότης, ἔνθα ἀλήθεια, ἔνθα πάντα πάγια καὶ βέβαια, ἔνθα πάντα ἐπὶ τῆς πέτρας ᾠκοδόμηται, ἔνθα γῆρας οὐκ ἔστιν, οὐδὲ

πρόσοδος,

πρόοδος, ἔνθα πάντα ἀνθεῖ, ἔνθα πάντα ἀκμάζει, ἔνθα παλαιούμενον οὐδὲν, οὐδὲ γηράσκον, οὐδὲ εἰς ἀφανισμόν. ποθήσωμεν, παρακαλῶ, γνησίως τὸν Θεόν, μὴ φόβῳ γεέννης, ἀλλ' ἐπιθυμίᾳ βασιλείας. τί γάρ, εἰπέ μοι, τοῦ τὸν Χριστὸν ἰδεῖν ἴσον; οὐδὲν οὐκ ἔστι. τί δὲ τοῦ ἀπολαῦσαι τῶν ἀγαθῶν ἐκείνων ἴσον; οὐκ ἔστιν οὐδέν. Εἰκότως. Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεός, φησί, τοῖς ἀγαπῶσιν αὐτόν. (α. Κορ. β. θ.) ἐκείνων ἐπιτυχεῖν σπουδάσωμεν, καταφρονήσωμεν τούτων. οὐχὶ μυριάκις αὐτὸν κατηγοροῦμεν, ὅτι οὐδὲν ὁ βίος ὁ ἀνθρώπινος; τί σπουδάζεις περὶ τὸ μηδέν; τί πόνους ὑφίστασαι περὶ τὸ μηδέν; ἀλλ' ὁρᾷς οἰκοδομὰς λαμπράς, καὶ τούτων ἀπατᾷ σε ἡ θέα; ἀλλ' εὐθέως ἰδὲ εἰς τὸν οὐρανόν, ἀνάβλεψον ἀπὸ τῶν λίθων καὶ τῶν κιόνων πρὸς ἐκεῖνο τὸ κάλλος, καὶ ὄψει ταῦτα ὅτι μυρμήκων καὶ κωνώπων ἐστὶν ἔργα. ἐμφιλοσόφησον τῇ θέᾳ. ἄνελθε πρὸς τὰ ἐν τῷ οὐρανῷ. ἐκεῖθεν κατάμαθε τὰς λαμπρὰς οἰκοδομάς, καὶ ὄψει οὐδὲν οὔσας, ἀλλὰ παίδων ἀθύρματα μικρῶν. Εἶδες πῶς λεπτότερος, πῶς κουφότερος, πῶς καθαρώτερος καὶ διαυγέστερος ὁ ἀήρ, ὅσῳ ἂν ἀναβαίνῃς εἰς ὕψος; ἐκεῖ οἱ τὴν ἐλεημοσύνην ἐργαζόμενοι τὰς οἰκίας ἔχουσι, τὰς σκηνάς. ταῦτα ἐν τῇ ἀναστάσει καταλύεται, μᾶλλον δὲ πρὸ τῆς ἀναστάσεως χρόνος ἐπελθὼν διέφθειρε καὶ ἠφάνισε καὶ διέλυσε. καὶ πρὸ τοῦ χρόνου δὲ ἐν αὐτῇ πολλάκις τῇ ἀκμῇ καὶ τῇ ὥρᾳ ἢ σεισμὸς κατήνεγκεν, ἢ καὶ ἐμπρησμὸς τὸ πᾶν ἐλυμήνατο. οὐ γὰρ δὴ ἐν ταῖς ἡλικίαις τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐν ταῖς οἰκοδομαῖς εἰσιν ἄωροι θάνατοι. καὶ πολλάκις τὰ μὲν σαθρὰ τῷ χρόνῳ γενόμενα, τῆς γῆς τιναχθείσης, ἔμεινεν ἀκλινῆ· τὰ δὲ ἀπαστράπτοντα, καὶ πεπηγότα, καὶ νεοκατασκεύαστα, ὑπὸ βροντῆς μόνης κατεσείσθη καὶ ἀπώλετο. καὶ τοῦτο τοῦ Θεοῦ οἰκονομοῦντος οἶμαι, ἵνα μὴ μέγα φρονῶμεν ἐν ταῖς οἰκοδομαῖς. βούλει καὶ ἑτέρως μὴ ἀθυμεῖν; ἐπὶ τὰ κοινὰ ἐλθὲ οἰκοδομήματα, ὧν ἴσον μετέχεις καὶ σύ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οἰκία, κἂν σφόδρα ᾖ λαμπρά, τῶν δημοσίων οἰκοδομημάτων λαμπροτέρα. ἐνδιάτριψον ὅσον χρόνον θέλεις ἐκεῖ. σά ἐστιν ἐκεῖνα, σά ἐστι μετὰ τῶν ἄλλων, κοινά ἐστι, καὶ οὐκ ἴδια. ἀλλ' οὐ τέρπει ταῦτα, φησίν. οὐ τέρπει, πρῶτον μὲν τῇ συνηθείᾳ, δεύτερον δὲ τῇ πλεονεξίᾳ. ἄρα τὸ τερπνὸν ἡ πλεονεξία ἐστίν, οὐχὶ τὸ κάλλος, ἄρα ἡ τέρψις ἡ πλεονεξία ἐστί, καὶ τὸ τὰ πάντων βούλεσθαι ἰδιοποιεῖσθαι. μέχρι τίνος τούτοις προσηλώμεθα; μέχρι τίνος τῇ γῇ προσπεπήγαμεν, καὶ καθάπερ οἱ σκώληκες, περὶ τὸν βόρβορον ἐγκαλινδούμεθα; τὸ σῶμα ἡμῖν ἔδωκεν ὁ Θεὸς ἀπὸ γῆς, ἵνα καὶ αὐτὸ εἰς οὐρανὸν ἀναγάγωμεν, οὐχ ἵνα δι' αὐτοῦ καὶ τὴν ψυχὴν εἰς γῆν κατασπῶμεν. γεῶδές ἐστιν, ἀλλ', ἐὰν θέλω, οὐράνιον γίνεται. ὅρα πόσῃ τετίμηκεν ἡμᾶς τιμῇ, τοιοῦτον ἔργον ἐπιτρέψας ἡμῖν. ἐποίησα, φησίν, ἐγὼ γῆν καὶ οὐρανόν· δίδωμι καὶ σοὶ δημιουργίαν, ποίησον τὴν γῆν οὐρανόν. δύνασαι γάρ. Ο ποιῶν πάντα, καὶ μετασκευάζων αὐτά, περὶ τοῦ Θεοῦ εἴρηται. (Αμώς ε. η.) ἀλλὰ ταύτην καὶ τοῖς ἀνθρώποις ἔδωκε τὴν ἐξουσίαν· καθάπερ τις πατὴρ φιλόστοργος ζωγραφῶν οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὸ παιδίον βούλεται ἄγειν εἰς τὴν ἴσην μάθησιν. ἐποίησα, φησίν, ἐγὼ σῶμα καλόν· δίδωμί σοι τοῦ κρείττονος τὴν δημιουργίαν· ποίησον σὺ ψυχὴν καλήν. Εἶπον ἐγώ, Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ πᾶν ξύλον κάρπιμον. (Γεν. α. ια.) εἰπὲ καὶ σύ, ἐξαγαγέτω ἡ γῆ αὕτη καρπὸν τὸν ἴδιον, καὶ ἐξελεύσεται ὃ ἐὰν θέλῃς ἐνεργῆσαι. ποιῶ θέρος, καὶ ὁμίχλην, στερεῶ βροντήν, καὶ κτίζω πνεῦμα, ἔπλασα δράκοντα ἐμπαίζειν αὐτῷ, τουτέστι, τὸν διάβολον. οὐδέ σοι ταύτης ἐφθόνησα τῆς ἐξουσίας. ἔμπαιζε καὶ σύ, εἰ θέλεις, δύνασαι γὰρ ὡς στρουθίον δῆσαι αὐτόν. ἀνατέλλω τὸν ἥλιον ἐπὶ πονηρούς, καὶ ἀγαθούς. μίμησαι καὶ σύ· μεταδοὺς τῶν σῶν καὶ ἀγαθοῖς καὶ πονηροῖς. ὑβριζόμενος φέρω, καὶ εὐεργετῶ τοὺς ὑβρίζοντας. μίμησαι καὶ σύ· δύνασαι γάρ. εὖ ποιῶ, οὐκ ἐπὶ ἀντιδόσει· μίμησαι καὶ σύ, καὶ μὴ εὖ ποιήσῃς ἐπὶ ἀντιδόσει, μηδὲ ἐπὶ ἀμοιβῇ. ἀνῆψα φωστῆρας εἰς τὸν οὐρανόν, ἄναψον καὶ σὺ τούτων λαμπροτέρους (δύνασαι γάρ) τοὺς ἐν πλάνῃ

φώτισον· μείζων ἡ εὐεργεσία ἐκείνη τοῦ τὸν ἥλιον ὁρᾶν τὸ ἐμὲ ἐπιγινώσκειν. ἄνθρωποι οὐ δύνανται ποιῆσαι, ἀλλὰ δίκαιοι δύνανται ποιῆσαι τὸ εὐάρεστον τῷ Θεῷ. ἐγὼ τὴν οὐσίαν εἰργασάμην· σὺ καλλώπισον τὴν προαίρεσιν. ὅρα πῶς σε φιλῶ, καὶ ἐν τοῖς μείζοσί σοι ἔδωκα τὴν ἰσχύν. ὁρᾶτε, ἀγαπητοί, πῶς τετιμήμεθα; καί τινες τῶν ἀλογίστων, καὶ ἀγνωμόνων λέγουσι, διὰ τί τῆς προαιρέσεώς ἐσμεν κύριοι. Ταῦτα πάντα ὅσα διήλθομεν, ἐν οἷς δυνάμεθα μιμεῖσθαι τὸν Θεόν, εἰ μὴ προαίρεσις ἦν, οὐκ ἂν ἦν ἡμῖν δυνατὸν μιμήσασθαι. ἄρχω, φησίν, ἀγγέλων ἐγώ, καὶ σὺ διὰ τῆς ἀπαρχῆς. ἐπὶ θρόνου κάθημαι βασιλικοῦ· καὶ σὺ συγκαθῆσαι διὰ τῆς ἀπαρχῆς. Συνήγειρε, φησι, καὶ συνεκάθισεν ἡμᾶς
Ἐφ. β. ϛ.
ἐν δεξιᾷ τοῦ πατρός. προσκυνεῖ σε τὰ χερουβίμ, καὶ τὰ σεραφίμ, πᾶσα ἡ ἀγγελικὴ δύναμις, ἀρχαί, ἐξουσίαι, θρόνοι, κυριότητες διὰ τῆς ἀπαρχῆς. μὴ κατηγόρει τοῦ σώματος, ὃ τοσαύτης ἀπολαύει τιμῆς, ὃ τρέμουσι καὶ ἀσώματοι δυνάμεις. ἀλλὰ τί εἴπω; οὐ τούτοις τὸ φίλτρον ἐπιδείκνυμαι μόνοις, ἀλλὰ καὶ οἷς ἔπαθον. διὰ σὲ ἐνεπτύσθην, ἐρραπίσθην, τὴν δόξαν ἐκένωσα, τὸν πατέρα εἴασα, καὶ πρὸς σὲ ἦλθον τὸν μισοῦντά με, καὶ ἀποστρεφόμενον, καὶ οὐδὲ ἀκοῦσαι βουλόμενον τὸ ὄνομά μου. κατεδίωξα καὶ ἐπέδραμον, ἵνα σε καταλάβω. ἥνωσά σε καὶ συνῆψα ἐμαυτῷ. φάγε με, εἶπον, πίε με. καὶ ἄνω σε ἔχω, καὶ κάτω συμπλέκομαί σοι. οὐκ ἀρκεῖ σοι, ὅτι σου τὴν ἀπαρχὴν ἔχω ἄνω; οὐ παραμυθεῖται τοῦτο τὸν πόθον; καὶ κάτω πάλιν κατέβην, οὐχ ἁπλῶς μίγνυμαί σοι, ἀλλὰ συμπλέκομαι, τρώγομαι, λεπτύνομαι κατὰ μικρόν, ἵνα πολλὴ ἡ ἀνάκρασις γένηται, καὶ ἡ μίξις, καὶ ἡ ἕνωσις. τὰ γὰρ ἑνούμενα ἐν οἰκείοις ἕστηκεν ὅροις· ἐγὼ δὲ συνυφαίνομαί σοι. οὐ βούλομαι λοιπὸν εἶναί τι μέσον· ἓν εἶναι βούλομαι τὰ ἀμφότερα. Ταῦτα οὖν εἰδότες, καὶ τὴν πολλὴν περὶ ἡμᾶς αὐτοῦ κηδεμονίαν, ἅπαντα πράττωμεν, ἅπερ ἂν ἡμᾶς μὴ ἀναξίους δύναται δεικνῦναι τῶν μεγάλων αὐτοῦ δωρεῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. ιϛ.
21 ΔΙΑΜΑΡΤΥΡΟΜΑΙ ΕΝΩΠΙΟΝ ΤΟΥ ΘΕ-
ΟΥ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦ-
τα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν.
22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλο-
τρίαις. σεαυτὸν ἁγνὸν τήρει. 23 Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλί-
γῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

Διαλεχθεὶς περὶ ἐπισκόπων, περὶ διακόνων, ἀνδρῶν, γυναικῶν, περὶ χηρῶν, περὶ πρεσβυτέρων, περὶ τῶν ἄλλων ἁπάντων, καὶ δείξας ὅσων ἐστὶν ὁ ἐπίσκοπος κύριος, ὅτι περὶ κρίσεως ἔλεγεν, ἐπήγαγε· διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν. καὶ φρικτῶς παραγγέλλει λοιπόν. οὐ γὰρ ἐπειδὴ Τιμόθεος ἦν τὸ τέκνον τὸ ἀγαπητόν, ᾐδέσθη. ὁ γὰρ περὶ ἑαυτοῦ μὴ αἰ-
α. Κορ. θ. κζ.
δεσθεὶς εἰπεῖν, Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι, πολλῷ μᾶλλον περὶ Τιμοθέου οὐκ ἂν ᾐδέσθη, οὐδὲ ἠσχύνθη. ἀλλὰ τὸν μὲν πατέρα καὶ τὸν υἱὸν καλῶς παραλαμβάνει εἰς μαρτυρίαν, τοὺς μέντοι ἐκλεκτοὺς ἀγγέλους τίνος ἕνεκεν; ἀπὸ πολλῆς
Δευτ. δ. κϛ.
Μιχ. ϛ. β.
ἐπιεικείας, ἐπεὶ καὶ Μωϋσῆς οὕτω φησί· Διαμαρτύρομαι ὑμῖν τὸν οὐρανόν, καὶ τὴν γῆν, διὰ τὴν πολλὴν ἐπιείκειαν τοῦ δεσπότου. καὶ πάλιν, Ἀκούσατε φάραγγες θεμέλια τῆς γῆς. καλεῖ δὲ μάρτυρας τὸν πατέρα καὶ τὸν υἱὸν τῶν λεχθέντων, εἰς τὴν μέλλουσαν ἡμέραν ἀπολογούμενος αὐτοῖς, εἴ τι γένοιτο παρὰ τὸ δέον, ὡς τὸ πᾶν ἀποδυσάμενος. ἵνα ταῦτα, φησι, φυ-

λάξῃς

λάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν· τουτέστιν, ἵνα κοινὸς ᾖς καὶ ἴσος
τοῖς δικαζομένοις, τοῖς ἐπὶ σοῦ κρινομένοις, ἵνα σοι μηδεὶς προκαταλάβῃ, μηδὲ προοικει-
ώσηται. τίνες δέ εἰσιν οἱ ἐκλεκτοὶ ἄγγελοι; ἄρα ὡς ὄντων τινῶν οὐ τοιούτων· ἐπεὶ καὶ ὁ Ιακὼβ τὸν Γεν. λα. μη.
Θεὸν λαμβάνει ἰδίᾳ μάρτυρα, καὶ τὸν βουνόν. οὕτω καὶ ἡμεῖς πολλάκις καὶ ὑπάρχοντα, καὶ ἐλάττονα
πρόσωπα εἰς μαρτυρίαν λαμβανόμεθα, οὕτω μέγα ἐστὶν ἡ μαρτυρία. ὡς ἂν εἰ ἔλεγε·
μάρτυρα καλῶ τὸν Θεὸν, καὶ τὸν υἱὸν αὐτοῦ, καὶ τοὺς δούλους αὐτοῦ, ὅτι παρήγγειλά σοι. ἐπ' αὐτῶν
ἰδού σοι διαγγέλλω. φοβεῖ τὸν Τιμόθεον. εἶτα τοῦτο εἰπὼν, ὃ πάντων μάλιστα κυριώτατον
ἦν, ἐπήγαγε, καὶ ὃ μάλιστα συνεῖχε τὴν ἐκκλησίαν, τὸ τῶν χειροτονιῶν. χεῖρας γὰρ, φησὶ,
ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. τί ἐστι ταχέως; μὴ ἐκ πρώ-
της δοκιμασίας, μηδὲ δευτέρας, μηδὲ τρίτης, ἀλλὰ πολλάκις περισκεψάμενος καὶ ἀκρι-
βῶς ἐξετάσας. οὐ γὰρ ἀκίνδυνον τὸ πρᾶγμα. τῶν γὰρ ἡμαρτημένων ἐκείνῳ καὶ σὺ δίκην
ὑφέξεις ὁ τὴν ἀρχὴν παρασχὼν καὶ τῶν προελθουσῶν ἁμαρτιῶν καὶ τῶν μελλησομένων.
ἀφεὶς γὰρ τὰς πρὸ ταύτης ἀκύρως, ὑπεύθυνος ἔσῃ καὶ τῶν ἐσομένων, τούτων μὲν ὡς αἴτιος ὢν
σὺ τοῦτον ἐπὶ τὴν ἀρχὴν ἀγαγὼν, τῶν τε προελθουσῶν, ὡς οὐκ ἀφεὶς αὐτὰς πενθῆσαι, οὔ-
τε ἐν κατανύξει γενέσθαι. ὥσπερ γὰρ τῶν κατορθωμάτων κοινωνεῖς, οὕτω καὶ τῶν ἁμαρτημάτων.
σεαυτὸν ἁγνὸν τήρει. περὶ σωφροσύνης φησὶν ἐνταῦθα. μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλί-
γῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. εἰ δὲ ἀνδρὶ μέχρι τοσούτου νηστεί-
αις προσεσχηκότι, καὶ ἐπὶ τοσοῦτον ὕδατι κεχρησαμένῳ, ὡς καὶ ἀσθενεῖν, καὶ πυκνῶς ἀσθενεῖν, πα-
ραγγέλλει σωφρονεῖν, ὃ οὐκ ἀναίνεται ἐκεῖνος, πολλῷ μᾶλλον ἡμεῖς, ὅταν ἀκούσωμεν νυ-
θεσίαν παρά τινος, οὐκ ὀφείλομεν δυσχεραίνειν. τί δήποτε δὲ οὐκ ἔρρωσεν αὐτοῦ τὸν στόμα-
χον; οὐχ ὡς ἀδυνατῶν, ἀλλὰ μέγα τι καὶ ἐντεῦθεν οἰκονομῶν. οἱ γὰρ τὰ ἱμάτια νεκροὺς ἀ-
νιστῶντες, εὔδηλον ὅτι καὶ τοῦτο ἠδύναντο. τίνος οὖν ἕνεκεν; ἵνα κἂν νῦν ἴδωμεν ἄνδρας μεγάλους καὶ
ἐναρέτους ἀσθενοῦντας, μὴ σκανδαλιζώμεθα. καὶ γὰρ καὶ ἐκεῖνο συμφερόντως ἐγένετο. εἰ
γὰρ αὐτῷ ἐδόθη ἄγγελος Σατὰν, ἵνα μὴ ὑπεραίρηται, πολλῷ μᾶλλον Τιμοθέῳ. ἱκανὰ γὰρ β. Κορ. ιβ. ζ.
ἦν τὰ σημεῖα εἰς ἀπόνοιαν ἆραι. διὰ τοῦτο νόμῳ ἰατρείας ἀφίησιν αὐτὸν διαλῦσαι, ἵνα καὶ
αὐτὸς μετριάζῃ, καὶ οἱ ἄλλοι μὴ σκανδαλίζωνται, καὶ μάθωσιν, ὅτι τῆς φύσεως ὄντες κἀκεῖνοι
τῆς ἡμετέρας, οὕτω κατώρθουν ἅπερ κατώρθουν. δοκεῖ δέ μοι καὶ ἄλλως ἐπίνοσος εἶναι, καὶ τοῦ-
το δεικνύς λέγων, διὰ τὰς πυκνάς σου ἀσθενείας, ἀπό τε τοῦ στομάχου, ἀπό τε τῶν ἄλ-
λων μερῶν. οὐ μὴν ἀφῆκεν αὐτὸν ἀδεῶς ἐμφορεῖσθαι τοῦ οἴνου, ἀλλ' ὅσον πρὸς ὑγείαν,
οὐ πρὸς τρυφήν.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακο-
λουθοῦσιν. Ἐπειδὴ περὶ χειροτονιῶν ἔλεγε, μὴ κοινώνει, φησὶν, ἁμαρτίαις ἀλλοτρίαις, τί οὖν
ἂν ἀγνοῶ, φησί; τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι αὐτῶν εἰς κρίσιν, τισὶ δὲ
καὶ ἐπακολουθοῦσι. τινῶν μὲν, φησὶ, δῆλοί εἰσιν, ὅτι προλαμβάνουσι· τινῶν δὲ οὐ, ἀλλ'
ἐπακολουθοῦσιν.

25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ
δύναται.

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας ἀξίους πάσης τιμῆς ἡγείσθωσαν, κεφ. ϛ.
ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. Πάσης τιμῆς ἀξίους, φη-
σὶν, ἡγείσθωσαν. μὴ γὰρ ἐπειδὴ πιστὸς εἶ, νομίσῃς ἐλεύθερος εἶναι. τοῦτο ἐστὶν ἐλευθερία τὸ
μᾶλλον δουλεύειν. ὁ γὰρ ἄπιστος ἂν μὲν ἴδῃ διὰ τὴν πίστιν αὐθαδῶς προσφερομένους,
βλασφημήσει πολλάκις ὡς στάσιν ἐμποιοῦν τὸ δόγμα· ὅταν δὲ ἴδῃ πειθομένους, μᾶλλον
πεισθήσεται, μᾶλλον προσέξει τοῖς λεγομένοις. καὶ γὰρ καὶ ὁ Θεὸς καὶ τὸ κήρυγμα
μέλλει βλασφημεῖσθαι, μὴ πειθομένων. τί οὖν φησιν, ἂν ἄπιστοι ὦσιν οἱ δεσπόται;

καὶ οὕτως ὑπείκειν χρὴ διὰ τὸ τοῦ Θεοῦ ὄνομα. 2 Οἱ γὰρ πιστοὺς ἔχοντες, φησι, δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Ὥσπερ ἔλεγεν, εἰ τοσαύτης ἠξιώθητε τιμῆς, φησὶν, ὡς ἀδελφοὺς ἔχειν τοὺς δεσπότας, διὰ τοῦτο μάλιστα ὀφείλετε εἴκειν. προάγουσαι, φησὶν, εἰς κρίσιν· τουτέστι, τὴν πονηρὰν, φησὶ, πράξεων αἱ μὲν λανθάνουσιν ὧδε, αἱ δὲ οὔ. ἐκεῖ δὲ οὐδὲ τὰ κακὰ, οὐδὲ τὰ καλὰ λαθεῖν δύναται. τί ἐστι, προάγουσαι εἰς κρίσιν; οἷον ὅταν τις ἀμάρτῃ τὸ μὴ τὰ ἤδη αὐτοὶ κατακρίνονται, ὅταν τις ἀδιόρθωτος ᾖ, ὅταν τις ἐλπίζηται διορθώσασθαι, μηδὲν δὲ τοιοῦτον πράξῃ. τί οὖν, καὶ πρὸς τί τοῦτο εἴρηται; ὅτι κἂν ἐνταῦθά τινες λάθωσιν, ἐκεῖ οὐ λήσονται. ἐκεῖ πάντα γυμνά ἐστιν. αὕτη δὲ μεγίστη παραμυθία τοῖς κατορθοῦσιν. εἶτα ἐπειδὴ εἶπε μηδὲν κατὰ πρόσκλησιν, ἀναγκαίως ἑρμηνεύων αὐτὸ ἐπήγαγε, τὸ, ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι. καὶ τί τοῦτο πρὸς τὸν ἐπίσκοπον, φησί; καὶ πάνυ, ἵνα παραινῇ, ἵνα καὶ τούτους διδάσκῃ. καλῶς δὲ καὶ ἐνταῦθα περὶ τούτων διατάττεται. καὶ γὰρ ὁρῶμεν αὐτοὺς πανταχοῦ τοῖς δούλοις μᾶλλον, ἢ τοῖς δεσπόταις ἐπιτάττοντας, καὶ τούτους ὑποταγῆς ὑποδεχομένους, καὶ πολλὴν αὐτῶν ποιουμένους λόγον. ἐκείνοις μὲν οὖν μετὰ πολλῆς τῆς ἐπιεικείας ὑποτάττεσθαι παραινεῖ· τοῖς δὲ δεσπόταις ἀνιέναι τὸν φόβον παρακαλεῖ, ἀνιέντες, λέγων, τὴν ἀπειλήν. καὶ τί δήποτε ταῦτα διατάττεται; ἐπὶ μὲν γὰρ τῶν ἀπίστων, εἰκότως (οὐ γὰρ εἶχε λόγον διαλέγεσθαι τοῖς μὴ προσέχουσιν) ἐπὶ δὲ τῶν πιστῶν, τίνος ἕνεκεν; ὅτι μείζονα παρὰ τῶν δεσποτῶν εἰσφέρεται τοῖς δούλοις, ἢ παρὰ τῶν οἰκετῶν τοῖς δεσπόταις. ἐκεῖνοι γάρ εἰσιν οἱ καὶ χρυσίον καταβάλλοντες, καὶ ὑπὲρ τῆς τῶν ἀναγκαίων εὐπορίας, καὶ ὑπὲρ ἐνδυμάτων, καὶ τῶν ἄλλων μεριμνῶντες ἁπάντων. ὥστε μείζονα αὐτοῖς δουλείαν εἰσάγουσιν οἱ δεσπόται. ὅπερ καὶ ἐνταῦθα ᾐνίξατο εἰπὼν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. κόπτονται καὶ ταλαιπωροῦνται ὑπὲρ τῆς ὑμετέρας ἀναπαύσεως, καὶ οὐκ ὀφείλουσι πολλῆς ἀπολαύειν τιμῆς παρὰ τῶν οἰκετῶν;

ΗΘΙΚΟΝ Εἰ δὲ τοῖς δούλοις οὕτως ἐπιτάττει τοσαύτῃ κεχρῆσθαι τῇ ὑπακοῇ, ἐννοήσατε πῶς ἡμᾶς πρὸς τὸν δεσπότην διακεῖσθαι χρὴ, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγόντα, τὸν τρέφοντα, τὸν ἐνδιδύσκοντα. εἰ καὶ μηδαμῶς οὖν ἑτέρως, κἂν ὡς οἱ οἰκέται οἱ ἡμέτεροι δουλεύσωμεν αὐτῷ. οὐχὶ πᾶσαν τὴν ζωὴν εἰς τοῦτο κατεστήσαντο ἐκεῖνοι εἰς τὸ ἀναπαύεσθαι τοὺς δεσπότας αὐτῶν, καὶ τοῦτο ἔργον αὐτοῖς ἐστι, καὶ οὗτος ὁ βίος τὰ δεσποτικὰ μεριμνᾶν; οὐχὶ τὰ τοῦ δεσπότου πᾶσαν τὴν ἡμέραν μεριμνῶσι; τὰ δὲ αὐτῶν πολλάκις μικρὸν ἑσπέρας μέρος; ἡμεῖς δὲ τοὐναντίον· τὰ μὲν ἡμέτερα διαπαντὸς· τὰ δὲ τοῦ δεσπότου οὐδὲ μικρὸν μέρος, καὶ ταῦτα οὐ δεομένου τῶν ἡμετέρων, καθάπερ οἱ δεσπόται τῶν δούλων, ἀλλὰ καὶ τούτων αὐτῶν πάλιν εἰς ἡμέτερον προχωρούντων κέρδος. ἐκεῖ μὲν γὰρ ἡ διακονία τοῦ οἰκέτου τὸν δεσπότην ὠφελεῖ· ἐνταῦθα δὲ ἡ διακονία τοῦ δούλου τὸν μὲν δεσπότην οὐδὲν, πάλιν δὲ αὐτὸν τὸν οἰκέτην ὀνίνησι.

Ψαλ. 15. c. Τῶν ἀγαθῶν γάρ μου, φησὶν, οὐ χρείαν ἔχεις. εἰπὲ γάρ μοι, τί τῷ Θεῷ κέρδος, ἐὰν ἐγὼ δίκαιος ὦ; ποία δὲ βλάβη, ἐὰν ἄδικος; οὐχὶ ἀκήρατος ἡ φύσις ἐκείνη; οὐχὶ ἀβλαβής; οὐχὶ παντὸς ἀνωτέρα πάθους; οἱ οἰκέται οὐδὲν ἴδιον ἔχουσιν, ἀλλὰ πάντα δεσποτικὰ, κἂν μυριάκις πλουτῶσιν· ἡμεῖς δὲ πολλὰ ἴδια ἔχομεν. οὐχ ἁπλῶς τοσαύτης τιμῆς ἀπολαύομεν παρὰ τοῦ τῶν ὅλων βασιλέως. ποῖος δεσπότης ὑπὲρ οἰκέτου τὸν υἱὸν ἔδωκε τὸν ἑαυτοῦ; οὐδείς· ἀλλὰ πάντες ἂν ἕλοιντο μᾶλλον τοὺς οἰκέτας ὑπὲρ τῶν παίδων δοῦναι. ἐνταῦθα δὲ τοὐναντίον· τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, ὑπὲρ τῶν ἐχθρῶν, τῶν μισούντων αὐτόν. οἱ οἰκέται, κἂν βαρεῖά τινα ἐπιτάττωνται, οὐδὲ οὕτω δυσχεραίνουσι, καὶ μάλιστα ἂν ὦσιν εὐγνώμονες· ἡμεῖς δὲ ἀποδυσπετοῦμεν μυρία. τοῖς οἰκέταις οὐδὲν ἐπαγγέλλεται τοιοῦτον ὁ δεσπότης, οἷον ἡμῖν ὁ Θεός· ἀλλὰ τί; ἐ-

ἀλήθεια

ἐλευθερίαν τὴν ἐνταῦθα, τὴν πολλάκις τῆς δουλείας χαλεπωτέραν. πολλάκις γὰρ κατέλαβε λιμὸς, καὶ πικροτέρα δουλείας αὕτη ἡ ἐλευθερία γέγονε. καὶ τὸ δῶρον τοῦτο τὸ μέγιστον*. παρὰ δὲ τῷ Θεῷ οὐδὲν ἐπίκηρον, οὐδὲν φθαρτόν, ἀλλὰ τί; βούλει μαθεῖν; ἄκουε. Οὐκ ἔτι λέγω ὑμᾶς δούλους, φησίν, ὑμεῖς φίλοι μού ἐστε. Ιωαν 15. 15. αἰσχυνθῶμεν, ἀγαπητοί, φοβηθῶμεν· καὶ ὡς οἱ οἰκέται ἡμῖν δουλεύουσι, δουλεύσωμεν ἡμεῖς τῷ δεσπότῃ· μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν μέρος τὴν δουλείαν ἡμεῖς ἐπιδεικνύμεθα. ἐκεῖνοι διὰ τὴν ἀνάγκην φιλοσοφοῦσι, σκεπάσματα μόνον ἔχουσι καὶ τροφὰς, ἡμεῖς δὲ μυρία, τὰ μὲν ἔχοντες, τὰ δὲ ἐλπίζοντες, ὑβρίζομεν τῇ τρυφῇ εἰς τὸν εὐεργέτην. εἰ μηδαμόθεν ἄλλοθεν, κἂν παρ' ἐκείνων δεξώμεθα τῆς φιλοσοφίας τοὺς κανόνας. οὐδὲ γὰρ ἡ γραφὴ οὐχὶ πρὸς οἰκέτας, ἀλλὰ καὶ πρὸς ἄλογα πέμπει τοὺς ἀνθρώπους· δηλ. ὅτε μὲν τὴν μέλισσαν, ὅτε μὲν τοὺς μύρμηκας κελεύει μιμεῖσθαι. ἐγὼ δὲ καὶ τοὺς οἰκέτας μιμήσασθαι παραινῶ· ὅσα ἐκεῖνοι διὰ τὸν φόβον τὸν ἡμέτερον πράττουσι, κἂν τοσαῦτα διὰ τὸν τοῦ Θεοῦ φόβον ἡμεῖς πράττωμεν. οὐ γὰρ εὑρίσκομεν πράττοντας ὑμᾶς. ἐκεῖνοι διὰ τὸν ἡμέτερον φόβον ὑβρίζονται μυριάκις, καὶ παντὸς φιλοσόφου μᾶλλον ἑστήκασι σιγῶντες. ὑβρίζονται καὶ δικαίως, καὶ ἀδίκως, καὶ οὐκ ἀντιλέγουσιν, ἀλλὰ παρακαλοῦσιν, ἀδικοῦντες οὐδὲν πολλάκις. οὐδὲ ἐκεῖνοι πλέον τῆς χρείας λαμβάνοντες, πολλάκις δὲ καὶ ἐλάττονα φέρουσι· καὶ ἐπὶ στιβάδος καθεύδοντες, καὶ ἄρτου μόνου πληρούμενοι, καὶ τὴν ἄλλην πᾶσαν δίαιταν ἔχοντες εὐτελῆ, οὐκ ἐγκαλοῦσιν, οὐδὲ δυσχεραίνουσιν ἐκεῖνοι διὰ τὸν παρ' ἡμῶν φόβον· ἐμπιστευόμενοι χρήματα, πάντα ἀποδιδόασι. μὴ γάρ μοι τοὺς μοχθηροὺς εἴπῃς τῶν οἰκετῶν, ἀλλὰ τοὺς μὴ λίαν κακούς. ἂν ἀπειλήσωμεν, εὐθέως συστέλλονται. ἆρα οὐ φιλοσοφίας ταῦτα; μὴ γὰρ ὅτι ἀνάγκη ἐστὶν, εἴπῃς, ὅτι καὶ ἐπὶ σοὶ ἀνάγκη τῆς γεέννης ἐπίκειται, καὶ οὐδὲ οὕτω σωφρονεῖς, οὐδὲ τοσαύτην παρέχεις τιμὴν τῷ Θεῷ, ὅσης ἀπολαύεις παρὰ τῶν οἰκετῶν. ἔχει ἕκαστος τῶν οἰκετῶν οἴκημα τὸ [illegible], καὶ οὐκ ἐπεμβαίνει τῷ τοῦ πλησίον, οὐδὲ λυμαίνεται τῇ ἐπιθυμίᾳ τοῦ πλείονος. καὶ ταῦτα ἴδοι τις ἂν ἐν οἰκέταις διὰ τὸν τῶν δεσποτῶν φόβον φυλαττόμενα. καὶ σπανίως ἂν ἴδοις οἰκέτην τὰ τοῦ οἰκέτου ἁρπάζοντα, ἢ λυμαινόμενον, παρὰ δὲ ἀνθρώποις ἐλευθέροις τὰ ἐναντία τούτων ἐστί. ἀλλήλους δάκνομεν, κατεσθίομεν, οὐ δεδοίκαμεν τὸν δεσπότην, τὰ τῶν συνδούλων ἁρπάζομεν, κλέπτομεν, τύπτομεν, ὁρῶντος αὐτοῦ. τοῦτο δὲ οὐκ ἂν ποιήσειεν οἰκέτης, ἀλλὰ κἂν τύπτῃ, μὴ ὁρῶντος τοῦ δεσπότου, κἂν ὑβρίζῃ, μὴ ἀκούοντος· ἡμεῖς δὲ τοῦ Θεοῦ πάντα καὶ ὁρῶντος καὶ ἀκούοντος, τολμῶμεν. φόβος ὁ τοῦ δεσπότου πρὸ τῶν ὀφθαλμῶν ἐκείνων διαπαντός· ἡμῖν δὲ οὐδαμοῦ οὐδέποτε. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, πάντα συγκέχυται καὶ διέφθαρται· καὶ αὐτοὶ μὲν οὐδὲ εἰς νοῦν λαμβάνομεν τὰ ἁμαρτανόμενα ἡμῖν· τῶν δὲ οἰκετῶν τῶν ἡμετέρων ἁμαρτημάτων μετὰ ἀκριβείας ἅπαντα ἐξετάζομεν, καὶ τὰ μικρότατα. ταῦτα λέγω, οὐχ ἵνα τοὺς οἰκέτας ὑπτίους ποιήσω βουλόμενος, ἀλλὰ τὸ ἡμέτερον ὕπτιον ἐπιστρέψαι, τὸ ῥᾴθυμον διεγεῖραι, ἵνα κἂν οὕτω δουλεύωμεν τῷ Θεῷ, ὡς ἡμῖν οἱ οἰκέται, οὕτω τὸν πεποιηκότα ἡμᾶς, ὡς ἡμῖν οἱ ὁμόδουλοι, καὶ μηδὲν τοιοῦτον ἔχοντες παρ' ἡμῶν. ἐλεύθεροι τῇ φύσει καὶ οὗτοί εἰσιν. Ἀρχέτωσαν τῶν ἰχθύων, καὶ τότε εἴρηται. Γεν. 1. 26. οὐκ ἔστιν αὕτη φύσεως ἡ δουλεία, ἀλλ' αἰτίας ἐστὶ καὶ περιστάσεως, ἀλλ' ὅμως πολλὴν ἡμῖν παρέχουσι τὴν τιμήν. ἡμεῖς δὲ τούτοις μὲν μετὰ πάσης ἀκριβείας ἐπιτιθέμεθα τῆς ἡμετέρας ἕνεκεν διακονίας· τῷ δὲ Θεῷ οὐδὲ τὸ πολλοστὸν παρέχομεν μέρος, καὶ ταῦτα πάλιν εἰς ἡμᾶς τρεφομένης τῆς ὠφελείας. ὅσῳ γὰρ ἂν σπουδαιότερον δουλεύσωμεν τῷ Θεῷ, τοσούτῳ μᾶλλον ἑαυτοὺς [illegible], καὶ αὐτοὶ μᾶλλον κερδαίνομεν. μὴ δὴ τοσαύτης ἀποστερήσωμεν ὠφελείας ἡμᾶς αὐτούς. ὁ μὲν γὰρ Θεὸς αὐτάρκης ἐστὶ, καὶ ἀνενδεής· ἡ δὲ ἀμοιβὴ καὶ τὸ κέρδος πάλιν εἰς ἡμᾶς ἀνατρέχει. ὥστε οὐ τὸν Θεὸν θεραπεύοντες, ἀλλ' ἡμᾶς αὐτούς, οὕτω διακείμεθα, παρακαλῶ, καὶ δουλεύσωμεν

λέσωμεν αὐτοὺς μετὰ φόβου καὶ τιμῆς, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ιζ. ΤΑΥΤΑ ΔΙΔΑΣΚΕ ΚΑΙ ΠΑΡΑΚΑΛΕΙ.

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ,

4 Τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,

5 Διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων.

6 Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας.

7 Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.

Οὐκ αὐθεντίας δεῖ τῷ διδασκάλῳ μόνον, ἀλλὰ καὶ προσηνείας πολλῆς, ὥσπερ οὐ προσηνείας μόνον, ἀλλὰ καὶ αὐθεντίας. καὶ ταῦτα πάντα διδάσκων ὁ μακάριος Παῦλος, ποτὲ μὲν λέγων, Παράγγελλε ταῦτα καὶ δίδασκε, ποτὲ δὲ, ταῦτα δίδασκε καὶ παρακάλει. εἰ γὰρ ἰατροὶ τοὺς κάμνοντας παρακαλοῦσιν, οὐχ ἵνα αὐτοὶ τῆς ὑγείας ἐπιτύχωσιν, ἀλλ' ἵνα ἐκείνους ἀπαλλάξωσι τῆς ἀσθενείας καὶ κειμένους ἀναστήσωσι· πολλῷ μᾶλλον ὑμᾶς τοῦτο πρὸς τοὺς διδασκομένους τοὺς ἤδη κεχρῆσθαι χρὴ παρακαλοῦντας. οὐδὲ γὰρ δοῦλος αὐτῶν εἶναι παραιτεῖται ὁ μακάριος Παῦλος λέγων· Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, φησὶν, ἀλλὰ Χριστὸν Ἰησοῦν, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. καὶ πάλιν, Πάντα ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς. καὶ δουλεύει τὴν δουλείαν ταύτην μετὰ προθυμίας. οὐ γάρ ἐστι δουλεία, ἀλλ' ἐλευθερίας βελτίων. ἐκεῖνος γάρ ἐστι, φησὶ, δοῦλος ὁ ποιῶν τὴν ἁμαρτίαν. Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος. οὐκ ἄρα ἐκ τοῦ εἰδέναι τὸ εἰς ἀπόνοιαν αἴρεσθαι συμβαίνει, ἀλλ' ἐκ τοῦ μὴ εἰδέναι. ὁ γὰρ εἰδὼς τοὺς κατ' εὐσέβειαν λόγους, τοῦτο μάλιστα καὶ μετριάζειν οἶδεν. ὁ δὲ τοὺς ὑγιαίνοντας ἐπιστάμενος λόγους, οὐ νοσεῖ. ὅπερ γὰρ ἐπὶ σωμάτων φλεγμονὴ, τοῦτο ἐν ταῖς ψυχαῖς ἀπόνοια. ὥσπερ ἐκεῖ τὸ φλεγμαῖνον οὐ φαμὲν ὑγιαίνειν, οὕτως οὐδὲ ἐνταῦθα τοὺς ἀλαζόνας. ἄρα ἐστὶν εἰδότα τι μηδὲν εἰδέναι. ὁ γὰρ μὴ εἰδὼς ἅπερ εἰδέναι χρὴ, οὐδὲν οἶδε. καὶ ὅτι ἐκ τοῦ μηδὲν εἰδέναι ὑπερηφανία γίνεται, δῆλον ἐντεῦθεν. ὁ Χριστὸς ἐκένωσεν ἑαυτόν. ὁ τοῦτο τοίνυν εἰδὼς, οὐ μέγα φρονήσει ποτέ. οὐδὲν γὰρ ἔχει ἄνθρωπος, εἰ μὴ παρὰ τοῦ Θεοῦ. οὐκοῦν οὐ μέγα φρονήσει. Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; αὐτὸς τοὺς πόδας ἔνιψε τῶν μαθητῶν. ὁ τοῦτ' εἰδὼς, πῶς ἐπαρθήσεται; διὰ τοῦτό φησιν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ὁ τελώνης ἀπὸ μόνης ταπεινοφροσύνης εὐδοκίμησεν, ὁ Φαρισαῖος δὲ ἀλαζονείας ἀπώλετο. ὁ τοίνυν τετυφωμένος οὐδὲν τούτων ἐπίσταται. αὐτὸς πάλιν ὁ Χριστός φησιν, Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; ἀλλὰ νοσῶν, φησὶ, περὶ ζητήσεις. ἄρα νοσεῖν ἐστι τὸ ζητεῖν, καὶ λογομαχίαι. εἰκότως. ὅταν γὰρ ὑπὸ τῶν λογισμῶν ἡ ψυχὴ πυρέττῃ, ὅταν χειμάζηται, τότε ζητεῖ· ὅταν δὲ ὑγιαίνῃ, τότε οὐ ζητεῖ, ἀλλὰ τὴν πίστιν δέχεται. ἀπὸ δὲ ζητήσεως καὶ λογομαχίας οὐδέν ἐστιν εὑρεῖν. ἃ γὰρ ἡ πίστις ἐπαγγέλλεται μόνη, ἡ ζήτησις ἐπιθυμεῖ ἀναδεῖξαι,

α. Τιμ. δ. ια. β. Κορ. δ. ε. α. Κορ. γ. κγ. Ἰωαν. η. λδ. Φιλιπ. β. ζ. α. Κορ. δ. ζ. Ἰωαν. ιγ. Λουκ. ιζ. ι. Λουκ. ιη. Ἰωαν. ιη. κγ.

ἔτι

οὔτε δείκνυσιν, οὔτε συνιέναι ἀφίησιν. οὐδὲ γὰρ εἴ τις μύσας τοὺς ὀφθαλμούς, βούλεται εὑρεῖν τι τῶν ζητουμένων, δυνήσεται, ἢ αὖ πάλιν, εἰ τούτων ἀνεῳγμένων, κατορύξας ἑαυτόν, καὶ τὴν ἀκτῖνα ἀποστραφείς, ἐκεῖ ζητοίη, δυνήσεταί τι εὑρεῖν· οὕτω πίστεως χωρὶς οὐδὲν εὑρίσκεται, ἀλλὰ μάχας ἀνάγκη τίκτεσθαι, ἐξ ὧν γίνονται βλασφημίαι, ὑπόνοιαι πονηραί, τουτέστι, δόξαι καὶ δόγματα πονηρὰ ἀπὸ τῶν ζητήσεων. ποτὲ περὶ Θεοῦ, ἃ μὴ δεῖ, ὑποπτεύομεν, ὅταν εἰς ζητήσεις ἐμπέσωμεν. Διαπαρατριβαί· τουτέστι, χολή, ἢ διατριβή. ἢ τοῦτό φησι, διαπαρατριβαί· καθάπερ τὰ ψωραλέα τῶν προβάτων παρατριβόμενα νόσου καὶ τὰ ὑγιαίνοντα ἐμπίπλησιν, οὕτω καὶ οὗτοι οἱ πονηροὶ ἄνδρες. καὶ ἀπεστερημένων, φησί, τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ὁρᾷς πόσα τίκτειν φησὶ τὰς λογομαχίας; αἰσχροκέρδειαν, ἄγνοιαν, ἀπόνοιαν. τὴν γὰρ ἀπόνοιαν ἡ ἄγνοια τίκτει. ἀπὸ τούτων, φησίν, ἀφίστασο. οὐκ εἶπεν, ὁμόσε χώρει, ἀλλ᾽, ἀφίστασο, τουτέστιν, ἐκτρέπου. Αἱρετικὸν γάρ, φησιν, ἄνθρωπον μετὰ μίαν ἢ δευτέραν νουθεσίαν παραιτοῦ. δείκνυσιν αὐτοὺς οὐκ ἀπὸ ἀγνοίας τοσοῦτον, ὅσον ἀπὸ ῥαθυμίας καὶ αὐτὴν τὴν ἄγνοιαν ἔχοντας. ἀνθρώπους γὰρ χρημάτων ἕνεκεν μαχομένους πότε δυνήσῃ πεῖσαι; ἄλλως οὐ πείσεις τοὺς τοιούτους, ἂν μὴ δῷς πάλιν, καὶ οὐδὲ οὕτως αὐτῶν τὴν ἐπιθυμίαν ἐμπλήσεις. Πλεονέκτου γὰρ ὀφθαλμός, φησιν, οὐκ ἐμπίπλαται μερίδι. δεῖ τοίνυν αὐτοὺς ἀδιορθώτως ἔχοντας ἐκτρέπεσθαι. εἰ δὲ τῷ τοῦ μάχεσθαι πολλὴν ἔχοντι τὴν ἀνάγκην παραινεῖ μὴ ὁμόσε χωρεῖν, μηδὲ συμπλέκεσθαι, πολλῷ μᾶλλον τοῖς μαθητευομένοις ἡμῖν, τοῖς ἐν τάξει μαθητῶν οὖσιν. Εἰπὼν δὲ ὅτι νομίζουσι πορισμὸν εἶναι τὴν εὐσέβειαν, ἐπήγαγεν· ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας, οὐχ ὅταν χρήματα ἔχῃ, ἀλλ᾽ ὅταν μὴ ἔχῃ. ἵνα γὰρ μὴ καταπέσῃ εἰς ἀθυμίαν διὰ τὴν πενίαν, ἀνίστησιν αὐτόν, καὶ ἀνορθοῖ. νομίζουσι, φησιν, ὅτι πορισμός ἐστιν. ἔστι μὲν γάρ, ἀλλ᾽ οὐχ οὕτως, ἀλλὰ μειζόνως. εἶτα πρότερον καταβαλὼν ἐκείνην, τότε ταύτην ἐπαίρει. ὅτι γὰρ οὐδέν ἐστιν ὁ πορισμὸς οὗτος, δῆλον ἐκ τοῦ μηδὲν ἐνταῦθα, μηδὲ συμμεθίστασθαι ἡμῖν, μηδὲ συναποδημεῖν. πόθεν τοῦτο δῆλον; ὅτι οὐδὲν ἔχοντες, ἤλθομεν εἰς τὸν βίον, οὐκοῦν οὐδὲ ἀπελευσόμεθα ἔχοντες. γυμνὴ γὰρ παρεγένετο ἡ φύσις, γυμνὴ καὶ ἄπεισιν. οὐ τοίνυν ἡμῖν δεῖ τῶν περιττῶν. εἰ μηδὲν εἰσηνέγκαμεν, μηδὲ ἔχοντες ἀπελευσόμεθα.

8 Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

Τοσαῦτα ἐσθίειν χρὴ καὶ τοιαῦτα, ἃ θρέψαι ἀρκεῖ· τοιαῦτα ἀμφιέννυσθαι, ἃ σκεπάσαι μόνον ἡμᾶς ὀφείλει καὶ περιστεῖλαι τὴν γύμνωσιν, μηδὲν περιττόν. τοῦτο δὲ καὶ τὸ τυχὸν ποιῆσαι δύναται ἱμάτιον. εἶτα ἀπὸ τῶν ἐνταῦθα προτρέπει.

9 Οἱ δὲ βουλόμενοι, φησι, πλουτεῖν. Οὐχ ἁπλῶς εἶπεν, οἱ πλουτοῦντες, ἀλλ᾽, οἱ βουλόμενοι. ἔστι γάρ τινα καὶ χρήματα ἔχοντα καλῶς οἰκονομεῖν, καταφρονοῦντα αὐτῶν, καὶ εἰς πένητας διανέμοντα. οὐκ ἄρα τοὺς τοιούτους, ἀλλὰ τοὺς ἐπιθυμοῦντας διαβάλλει. Οἱ δὲ βουλόμενοι, φησι, πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν, καὶ παγίδα τοῦ διαβόλου, καὶ ἐπιθυμίας πολλὰς καὶ ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους. Καλῶς εἶπε, βυθίζουσιν, ὡς μηδὲ ἀνενεγκεῖν δύνασθαι. Εἰς ὄλεθρον καὶ ἀπώλειαν.

Τιτ. γ. 1.
Σειρ. ιδ. θ.

αἰσχρότης

10 Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ περιέπειραν ἑαυτοὺς ὀδύναις πολλαῖς.

Ἰδοὺ δύο τίθησιν, ἀλλ᾽ ὃ μᾶλλον αὐτοῖς ἰσχυρότερον εἶναι δοκεῖ, τοῦτο ἐνταῦθα ὕστερον τέθεικε, τό, ὀδύναις πολλαῖς. καὶ ταῦτα ἑτέρως οὐκ ἔστι μαθεῖν, ἢ τοῖς πλουσίοις προσιοῦντα, πόσα ἀποδύρονται, πόσα θρηνοῦσι.

11 Σὺ δέ, ὦ ἄνθρωπε τοῦ Θεοῦ. Μέγα ἀξίωμα. πάντες μὲν γὰρ ἄνθρωποι τοῦ Θεοῦ,

Θεοῦ, ἀλλὰ κυρίως οἱ δίκαιοι, οὐ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον, ἀλλὰ καὶ κατὰ τὸν* τῆς οἰκειώσεως. Εἰ τοῦ Θεοῦ ἄνθρωπος, φησὶν, εἶ, μὴ ζήτει τὰ περιττὰ, καὶ οὐκ ἄγοντα πρὸς τὸν Θεόν. Ἀλλὰ ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην. Ἀμφότερα μετ' ἐπιτάσεως. οὐκ εἶπεν, ἀφίστασο, καὶ περίστηθι, ἀλλὰ φεῦγε, καὶ δίωκε δικαιοσύνην, ὥστε μὴ πλεονεκτεῖν. Εὐσέβειαν, Τὴν τῶν δογμάτων. Πίστιν, Ἥπερ ἐστὶν ἐναντία τῇ ζητήσει. Ἀγάπην, ὑπομονὴν, πραότητα.

12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς.

Ἰδοὺ καὶ ὁ μισθός. Εἰς ἣν ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἐνώπιον πολλῶν μαρτύρων. Τουτέστι, μὴ καταισχύνῃς τὴν παρρησίαν ἐκείνην. τί ἀνόητα κάμνεις; ποῖον δὲ πειρασμὸν καὶ παγίδα φησὶν ὑποφέρουσιν οἱ βουλόμενοι πλουτεῖν; τῆς γὰρ πίστεως αὐτοὺς ἀποπλανᾷ, κινδύνοις αὐτοὺς περιβάλλει, καὶ ἀτολμοτέρους ἐργάζεται. καὶ ἐπιθυμίας ἀνοήτους, φησί. πῶς γὰρ οὐκ ἀνόητος ἐπιθυμία, ὅταν μωροὺς ἔχωσιν, ὅταν νάνους, οὐ φιλανθρωπίας ἕνεκεν, ἀλλὰ τέρψεως; ὅταν ἰχθῦς ἀποκλείωσιν ἐν ταῖς αὐλαῖς, ὅταν θηρία τρέφωσιν, ὅταν περὶ κύνας ἠσχόληνται, ὅταν ἵππους κοσμῶσι, καὶ τῶν παίδων οὐχ ἧττον περὶ αὐτοὺς διακέωνται; πάντα ταῦτα ἀνόητα καὶ περιττὰ, οὐδὲν ἀναγκαῖον, οὐδὲν χρήσιμον. ἐπιθυμίας, φησὶν, ἀνοήτους καὶ βλαβεράς. ποῖαι βλαβεραί; ὅταν ἐρῶσιν ἔρωτας ἀτόπους, ὅταν τῶν τοῦ πλησίον ἐφίενται, ὅταν τῇ τρυφῇ προσπαλαίωσιν, ὅταν μέθης ὀρέγωνται, ὅταν σφαγῆς καὶ τῆς ἑτέρων ἀπωλείας· πολλοὶ δὲ ἀπὸ τῶν τοιούτων ἐρώτων καὶ τυραννίδι ἐπέθεντο, καὶ ἀπώλοντο. οὕτως ὁ τοιοῦτος κάμνει εἰς ἀνόητα, μᾶλλον δὲ καὶ βλαβερά. καὶ καλῶς εἶπεν, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως. οὐ γὰρ ἀφίησιν αὐτοὺς τὴν ὁδὸν ἰδεῖν ἀνθέλκουσα τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτὴν ἡ φιλαργυρία, καὶ κατὰ μικρὸν ὑποκλέπτουσα. καθάπερ γάρ τις εὐθεῖαν ὁδὸν βαδίζων, καὶ πρὸς ἕτερόν τι τὸν νοῦν ἑστηκὼς, βαδίζει μὲν, οὐκ εἰδὼς δὲ παρέρχεται τὴν πόλιν πολλάκις ἐκείνην, εἰς ἣν ἔσπευδεν, ἑλκομένων αὐτῷ τῶν ποδῶν ἁπλῶς καὶ μάτην· τοιοῦτόν τι καὶ ἡ φιλαργυρία ἐστί. καὶ περιέπειραν ἑαυτοὺς ὀδύναις πολλαῖς. ὁρᾷς, πῶς περιέπειραν, τί ᾐνίξατο; ὃ δὲ βούλεται δηλῶσαι διὰ τῆς ἐμφάσεως, τοῦτό ἐστιν. ἄκανθαί εἰσιν αἱ ἐπιθυμίαι. καὶ καθάπερ ἐν ἀκάνθαις, ὅθεν ἂν τις ἅψηται αὐτῶν, ᾕμαξε τὰς χεῖρας καὶ τραύματα ἐργάζεται, οὕτω καὶ ἀπὸ τῶν ἐπιθυμιῶν τὸ αὐτὸ πείσεται ὁ ταύταις ἐμπεσὼν, καὶ τὴν ψυχὴν ἀλγηδόσι περιβαλεῖ. πόσας ἔχουσι φροντίδας, πόσας ὀδύνας οἱ περιπαρέντες, εἰπέ μοι; οὐκ ἔστιν εἰπεῖν. διὰ τοῦτό φησι, ταῦτα φεῦγε, δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα. ἀπὸ γὰρ τῆς ἀγάπης ἡ πραότης. ἀγωνίζου τὸν καλὸν ἀγῶνα. ἐνταῦθα αὐτοῦ τὴν παρρησίαν καὶ τὴν ἀνδρείαν ἐπαινεῖ· ὅτι μετὰ παρρησίας, φησὶν, ἐπὶ πάντων ὡμολόγησας. ἀναμιμνήσκει δὲ καὶ τῆς κατηχήσεως αὐτόν· ἐπιλαβοῦ, φησὶ, τῆς αἰωνίου ζωῆς. οὐκ ἄρα ὁμολογίας χρεία μόνον, ἀλλὰ καὶ ὑπομονῆς, ὥστε διαπαντὸς ἐμμένειν τῇ ὁμολογίᾳ, καὶ ἀγῶνος σφοδροῦ, καὶ μυρίων ἱδρώτων εἰκότως, ὥστε μὴ περιτραπῆναι. πολλὰ γὰρ τὰ σκάνδαλα, πολλὰ τὰ κωλύματα. διὰ τοῦτο στενὴ καὶ τεθλιμμένη ἡ ὁδός. πάντοθεν οὖν χρὴ συνεστράφθαι, πάντοθεν χρὴ εὔζωνον εἶναι. μυρίαι πανταχόθεν φαίνονται ἡδοναὶ ἕλκουσαι τῆς ψυχῆς τοὺς ὀφθαλμοὺς, αἱ τῶν σωμάτων, αἱ τῶν χρημάτων, αἱ τῆς τρυφῆς, αἱ τῆς ῥᾳθυμίας, αἱ τῆς δόξης, αἱ τῆς ὀργῆς, αἱ τῆς δυναστείας, αἱ τῆς φιλαρχίας, καὶ φαίνονται λαμπρὰς ὄψεις ἔχουσαι καὶ ἐπεράστους, ἱκανὰς ἐπισπάσασθαι τοὺς ἐπτοημένους, τοὺς μὴ σφόδρα τῆς ἀληθείας ἐρῶντας. αὕτη μὲν γὰρ ἀπεσκληκυῖά ἐστι, καὶ οὐδὲν ἐπιτερπὲς ἔχουσα. τί δήποτε; ὅτι πάσας τὰς ἡδονὰς ἐν τῷ μέλλοντι ὑπισχνεῖται. ἐκεῖναι δὲ παρατείνουσιν ἤδη τιμὰς, ἡδονὰς, ἀναπαύσεις οὐκ ἀληθεῖς, ἀλλ' ἐπικεχρωσμένας. ἂν τοίνυν βάναυσος ᾖ τις, καὶ μαλακὸς, καὶ ἄνανδρος, ἐκείνων ἀνθέξεται, ἐκλυθεὶς

πρὸς

πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους. οὕτω καὶ ἐπὶ τῶν ἀγώνων τῶν ἔξωθεν τῷ μὲν μὴ σφόδρα ἐρῶντι τῶν στεφάνων, ἔξεστιν ἐκ περιττῆς συμποσίοις καὶ μέθαις προσανέχειν (οὕτω γοῦν οἱ δειλοὶ καὶ ἄνανδροι τῶν πυκτευόντων ποιοῦσιν) οἱ δὲ πρὸς τὸν στέφανον ὁρῶντες, μυρίας ἀνέχουσι πληγάς. τῇ γὰρ ἐλπίδι τῶν μελλόντων τρέφονται καὶ διαγωνίζονται.

ΗΘΙΚΟΝ

Φύγωμεν τοίνυν τὴν ῥίζαν τῶν κακῶν, καὶ πάντα φευξόμεθα. ἡ φιλαργυρία, φησίν, ἐστὶ ῥίζα. Παῦλος ἐφθέγξατο, μᾶλλον δὲ ὁ Χριστὸς διὰ Παύλου. ἴδωμεν δὲ τοῦτο πῶς. καὶ αὐτὴ τῶν πραγμάτων μαρτυρεῖ ἡ πεῖρα. τί γὰρ κακὸν οὐ διὰ τὰ χρήματα, μᾶλλον δὲ οὐ διὰ τὰ χρήματα, ἀλλὰ διὰ τὴν κακὴν προαίρεσιν τῶν οὐκ εἰδότων αὐτοῖς κεχρῆσθαι; ἐπεὶ ἐξῆν τοῖς χρήμασιν εἰς δέον κεχρῆσθαι, ἐξῆν καὶ βασιλείαν δι' αὐτῶν κληρονομεῖν. νυνὶ δὲ ἅπερ ἐδόθη εἰς ἐπικουρίαν τῶν πενήτων, εἰς παραμυθίαν τῶν ἡμαρτημένων ἡμῖν, εἰς εὐδοκίμησιν καὶ ἀρέσκειαν Θεοῦ, τούτοις κεχρήμεθα κατὰ τῶν ἀθλίων πενήτων, μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν ψυχῆς, καὶ εἰς παροξυσμὸν τοῦ Θεοῦ. τὸν μὲν γὰρ χρήματα ἀφείλετό τις, καὶ πενίᾳ περιέβαλεν, ἑαυτὸν δὲ θανάτῳ. καὶ τοῦτον μὲν ἐνταῦθα τῇ πενίᾳ κατέστησεν, ἑαυτὸν δὲ τῇ διηνεκεῖ τιμωρίᾳ. ἆρα μὴ ἴσον ἐστί; τί τοίνυν κακὸν οὐ διὰ ταῦτα; οὐχὶ πλεονεξίαι; οὐχ ἁρπαγαί; οὐκ ὀλοφυρμοί; οὐκ ἔχθραι; οὐ μάχαι; οὐ φιλονεικίαι; οὐχὶ μέχρι τῶν νεκρῶν τὰς χεῖρας ἐξέτειναν; οὐχὶ καὶ μέχρι πατέρων, καὶ ἀδελφῶν; οὐχὶ φύσεως νόμους, καὶ Θεοῦ προστάγματα, καὶ πάντα ἁπλῶς ἀνέστρεψαν, ὑπὸ τῆς ἐπιθυμίας ἐκείνης κατεχόμενοι; τὰ δικαστήρια οὐ τούτων ἕνεκεν; ἄνελε τοίνυν τὴν φιλοχρηματίαν, καὶ πέπαυται πόλεμος, πέπαυται μάχη, πέπαυται ἔχθρα, πέπαυται ἔρις καὶ φιλονεικία. ὥσπερ λυμεῶνας καὶ λύκους ἐλαύνεσθαι τοὺς τοιούτους ἐκ τῆς οἰκουμένης ἐχρῆν. καθάπερ γὰρ ἄνεμοί τινες ἐναντίοι καὶ σφοδροὶ εἰς γαλήνην ἐμπεσόντες πέλαγος ἐκ βάθρων αὐτὸ ἀναστρέφουσιν, ὡς καὶ τὴν βύθιον ἄμμον τοῖς ἄνω μίγνυσθαι κύμασιν· οὕτως οἱ φιλοχρήματοι πάντα ἄνω καὶ κάτω ποιοῦσιν. οὐδένα οἶδεν ὁ φιλοχρήματος φίλον. τί δὲ λέγω φίλον; οὐδὲ αὐτὸν τὸν Θεὸν ἐπίσταται. ὑπὸ γὰρ τῆς ἐπιθυμίας ἐκείνης κατεχόμενος, μέμηνεν. οὐχ ὁρᾶτε τοὺς Τιτολῦας ξιφήρεις περιϊόντας; ἐκεῖνα μανίας ἐστὶν ὑπόκρισις. οὗτοι δὲ οὐ τοιοῦτοι, ἀλλ' ἀληθῶς μαινόμενοι καὶ ἐξεστηκότες. κἂν ἀποδύσῃς αὐτῶν τὴν ψυχήν, οὕτως εὑρήσεις ἐσκευασμένην, οὐχ ἓν ξίφος, οὐδὲ δύο, ἀλλὰ μυρία κατέχουσαν, οὐδένα ἐπιγινώσκουσαν, ἀλλὰ κατὰ πάντων λυττῶσαν, πᾶσιν ἐπιπηδῶσαν καὶ ὑλακτοῦσαν κατὰ πάντων, οὐ κύνας σφάζουσαν, ἀλλὰ ψυχὰς ἀνθρώπων, καὶ εἰς τὸν οὐρανὸν αὐτὸν μεγάλα βλασφημοῦσαν. ὑπὸ τούτων πάντα ἀνατέτραπται, πάντα διόλωλεν ἀπὸ τῆς τῶν χρημάτων μανίας. τίνας γάρ, τίνας αἰτιάσομαι, οὐκ οἶδα. οὕτως ἅπαντας ὁ λοιμὸς πάντας κατέχει. τοὺς μὲν ἐκ πλείονος, τοὺς δὲ ἐξ ἐλάττονος μοίρας, πάντας δὲ ὅμως. καὶ καθάπερ πυρά τις εἰς ὕλην ἐμπεσοῦσα καταστρέφει πάντα καὶ ἐρημοῖ, οὕτω καὶ αὕτη τὴν οἰκουμένην ἀνέστρεψε. βασιλεῖς, ἄρχοντες, ἰδιῶται, πένητες, γυναῖκες, ἄνδρες, παῖδες ἐξίσης πάντες κατέχονται τῷ κακῷ. καθάπερ ζόφου τινὸς τὴν οἰκουμένην ἐπιπνέοντος, οὐδεὶς ἀνανήφει· ἀλλὰ κατηγορίαι μὲν μυρίαι κατὰ πλεονεξίας καὶ ἰδίᾳ καὶ δημοσίᾳ γίνονται, διόρθωσις δὲ οὐδαμοῦ. τί οὖν ἂν γένοιτο; πῶς σβέσομεν τὴν φλόγα; ἔνεστι γὰρ κἂν πρὸς αὐτὸν ἀρθῇ τὸν οὐρανόν· θελήσωμεν μόνον, καὶ πάντως περιεσόμεθα τῆς πυρᾶς. ὥσπερ γὰρ ἀπὸ τοῦ θέλειν ηὐξήθη, οὕτω καὶ ἀπὸ τοῦ θέλειν καθαιρεθήσεται. οὐχὶ ἡ προαίρεσις ἡ ἡμετέρα αὐτὴν ἐποίησεν; οὐκοῦν δυνήσεται καὶ ἡ προαίρεσις σβέσαι· μόνον βουληθῶμεν. πῶς δὲ τὸ θέλειν ἐγγενήσεται; ἂν ἴδωμεν αὐτῆς τὸ μάταιον καὶ περιττόν· ὅτι ἐκεῖ ἡμῖν συναπελθεῖν οὐ δυνήσεται, ὅτι καὶ ἐνταῦθα ἡμᾶς ἀφίησιν· ὅτι αὐτὴ μὲν ὧδε μένει, τὰ δὲ ἐξ αὐτῆς ἡμῖν τραύματα συναπέρχεται· ἂν ἴδωμεν, ὅτι πολὺς ἐκεῖ πλοῦτός ἐστιν· ἂν πρὸς ἐκεῖνον τοῦτον παραβάλωμεν, καὶ βορβόρου εὐτελέστερος φανεῖται· ἂν ἴδωμεν, ὅτι μυρίους ἔχει κινδύνους, ὅτι ἡδονὴν πρόσκαιρον, ὅτι ἡδονὴν ἀναμεμιγμένην ἀθυμίαις· ἂν ἐκεῖνον τὸν πλοῦτον καλῶς

καλῶς περισκεψώμεθα τὰ τῆς αἰωνίου ζωῆς, οὕτω δυνησόμεθα τούτου καταφρονεῖν. ἂν ἴδωμεν, ὅτι οὐδὲν ἡμᾶς ὀνίνησιν, οὐ πρὸς δόξαν, οὐ πρὸς ὑγείαν, οὐ πρὸς ἄλλο οὐδέν, ἀλλὰ τοὐναντίον καὶ βυθίζει εἰς ὄλεθρον καὶ ἀπώλειαν. ἂν μάθης ὅτι ἐνταῦθα πλουτεῖς καὶ πολλοὺς ἔχεις ὑπὸ σαυτόν· ἐκεῖ δὲ ἀπελθών, ἔρημος ἀπελεύσῃ καὶ γυμνός. ἂν ταῦτα ἐπᾴδωμεν συνεχῶς, καὶ παρὰ τῶν ἄλλων ἀκούωμεν, ἴσως ἔσται τις ὑγεία, ἔσται τις ἀπαλλαγὴ τῆς κολάσεως ταύτης τῆς χαλεπῆς. καλὸν ὁ μαργαρίτης; ἀλλ' ἐννόησον ὅτι ὕδωρ ἐστὶ θαλάττιον, ὅτι ἐν τοῖς κόλποις αὐτῆς τὸ πρότερον ἦν ἐρριμμένος. καλὸν τὸ χρυσίον καὶ τὸ ἀργύριον; ἀλλ' ἐννόησον, ὅτι γῆ, καὶ σποδὸς καὶ ἦν, καὶ ἔστι. καλὰ τὰ σηρικὰ ἱμάτια; ἀλλὰ σκωλήκων ἐστὶν ὕφασμα· ὑπόληψίς ἐστι καὶ πρόληψις ἀνθρωπίνη, οὐκ ἐν τῇ φύσει τὸ κάλλος ἔχει. τὰ γὰρ ἐν τῇ φύσει τὸ κάλλος ἔχοντα, οὐ δεῖται τῶν διδασκόντων. σὺ δὲ ἂν ἴδῃς νόμισμα χαλκοῦν ἁπλῶς ἀνακεχρωσμένον χρυσῷ, πρότερον μὲν θαυμάζεις, χρυσὸν αὐτὸν ὀνομάζων· ὅταν δὲ οἱ περὶ ταῦτα δεινοὶ τὴν ἀπάτην σε διδάξωσι, συνεξῆλθε τὸ θαῦμα μετὰ τῆς ἀπάτης. ὁρᾷς ὅτι οὐκ ἐν τῇ φύσει ἔχει τὸ καλόν; ἀλλ' οὐδὲ ὁ ἄργυρος. καὶ γὰρ ἂν ἴδῃς κασσίτερον, θαυμάζεις, ὡς ἄργυρον, ὥσπερ τὸν χαλκὸν ὡς χρυσόν· καὶ χρεία τῶν διδασκόντων ποῖα χρὴ θαυμάζειν. οὕτως οὐκ ἀρκοῦσιν ἡμῖν οἱ ὀφθαλμοὶ πρὸς τὴν διάγνωσιν. τὰ δὲ ἄνθη οὐ τοιαῦτα, ἀλλ' ἐκείνων βελτίω πολλῷ. ῥόδον ἂν ἴδῃς, οὐ χρεία τῶν διδασκόντων, ἀλλ' οἶδας ἀφ' ἑαυτοῦ τὴν εὐμορφίαν διακρῖναι, καὶ ἴα, οὕτω καὶ κρίνα, καὶ ἕκαστον ἄνθος. οὐδὲν ἕτερον, ἢ πρόληψις, τὸ γινόμενον. καὶ ὅτι προλήψεώς ἐστι τὸ ὀλέθριον τοῦτο πάθος, φέρε, εἰπέ μοι, εἰ ἔδοξε τῷ βασιλεῖ τιμιώτερον νομοθετῆσαι τοῦ χρυσοῦ τὸ ἀργύριον, οὐ μετέθηκας ἂν τὸ θαῦμα καὶ τὸ φίλτρον; οὕτω πανταχοῦ τῆς πλεονεξίας ἐσμέν, καὶ τῆς ὑπονοίας. καὶ ὅτι οὕτως ἐστί, καὶ τῷ σπανίῳ τιμᾶται, ἀλλ' οὐ τῇ φύσει, εἰσὶ καρποὶ παρ' ἡμῖν εὐτελεῖς, ἐν δὲ τῇ Καππαδοκῶν χώρᾳ τίμιοι, καὶ τῶν παρ' ἡμῖν τιμίων πολυτελέστεροι πάλιν ἐν τῇ Σηρῶν χώρᾳ ἕτεροι, ὅθεν τὰ ἱμάτια ταῦτα. ἐν δὲ τῇ ἀρωματοφόρῳ Ἀραβίᾳ καὶ Ἰνδίᾳ, ἔνθα εἰσὶν οἱ λίθοι, πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν. οὕτω πρόληψίς ἐστιν, οὕτως ὑπόνοιά ἐστιν ἀνθρωπίνη τὰ τοιαῦτα· καὶ οὐδὲν κρίσει πράττομεν, ἀλλ' ἁπλῶς, καὶ ὡς ἔτυχεν. ἀνανήψωμεν τοίνυν ποτὲ ἐκ τῆς μέθης ταύτης· ἴδωμεν τὸ ὄντως καλόν, τὸ φύσει καλόν, τὴν εὐσέβειαν, τὴν δικαιοσύνην, ἵνα ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ. ιη. 13 ΠΑΡΑΓΓΕΛΛΩ ΣΟΙ ΕΝΩΠΙΟΝ ΤΟΥ
Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν,
14 Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· 15 Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος,
καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων,
16 Ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ κράτος αἰώνιον. Ἀμήν.

Πάλιν τὸν Θεὸν μαρτύρεται, ὥσπερ μικρὸν ἔμπροσθεν ποιήσας, ὁμοῦ καὶ τὸν φόβον αὔξων, καὶ ἀσφαλέστερον καθιστὰς τὸν μαθητὴν, καὶ δεικνὺς ὡς οὐκ ἀνθρώπινα τὰ παραγγέλματα, ἵνα ὡς παρ' αὐτοῦ τοῦ δεσπότου λαμβάνων τὴν παραγγελίαν, ἵνα ἀεὶ τὸν μάρτυρα ἐν διανοίᾳ ἔχων ἀφ' οὗ ἤκουσε, καταστείληται τὴν διάνοιαν τῇ μνήμῃ. Παραγγέλλω σοι, φησὶν, ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα. Ἐνταῦθα καὶ παράκλησίς ἐστι πρὸς τοὺς κινδύνους, καὶ τῆς ἀναστάσεως ὑπόμνησις. Καὶ Χριστοῦ Ἰησοῦ, φησὶ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου. Πάλιν ἀπὸ τοῦ διδασκάλου ἡ προτροπή. Ὃ δὲ λέγει, τοῦτ' ἔστιν· ὥσπερ ἐκεῖνος ἐποίησεν, οὕτω, φησὶ, καὶ ὑμᾶς χρὴ ποιεῖν. Διὰ τοῦτο γὰρ ἐμαρτύρησεν, ἵνα κατ' ἴχνος αὐτοῦ βαίνωμεν. Τὴν καλὴν ὁμολογίαν. Ὅπερ καὶ ἐν τῇ πρὸς Ἑβραίους ποιεῖ λέγων· Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικε· καὶ πάλιν, Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Τοῦτο καὶ νῦν ποιεῖ πρὸς τὸν μαθητὴν, ὡς ἂν εἰ ἔλεγε, μὴ δείσῃς τὸν θάνατον· Θεοῦ γὰρ εἶ δοῦλος, τοῦ τὰ πάντα δυναμένου ζωογονεῖν. Ποίαν δὲ λέγει καλὴν ὁμολογίαν; Τὴν ἐπερωτῶντος Πιλάτου, Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἐγὼ εἰς τοῦτο γεγέννημαι, ἔφη. Καὶ πάλιν, Ἐγὼ ἦλθον μαρτυρῆσαι τῇ ἀληθείᾳ. Ἴδε οὗτοί μου ἤκουσαν. Ἢ τοίνυν διὰ τοῦτό φησιν, ἢ ὅτι εἶπεν, ἐρωτώμενος εἰ υἱὸς Θεοῦ ἐστι, Σὺ λέγεις ὅτι υἱὸς Θεοῦ εἰμι ἐγώ. Καὶ πολλὰ ἕτερα ἐμαρτύρησε καὶ ὡμολόγησε. Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον καὶ ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τουτέστι, μέχρι τῆς σῆς τελευτῆς, μέχρι τῆς ἐξόδου. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ μέχρι τῆς ἐπιφανείας εἶπεν· ἵνα μᾶλλον αὐτὸν διεγείρῃ. Τί ἐστι, Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον; Μήτε δογμάτων ἕνεκεν, μήτε βίου, κηλῖδά τινα προστριψάμενον. Ἣν καιροῖς ἰδίοις δείξει, φησὶν, ὁ μακάριος, καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. Περὶ τίνος ταῦτα εἴρηται; ἆρα περὶ τοῦ Πατρός; ἆρα περὶ τοῦ Υἱοῦ; Περὶ τοῦ Υἱοῦ πάντως. Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης. Καὶ ταῦτα πάλιν εἰς παραμυθίαν, ἵνα μὴ θαυμάζῃ, μὴ δεδοίκῃ τοὺς ἐνταῦθα βασιλεῖς. Καιροῖς ἰδίοις· τουτέστι, τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις· ὥστε μὴ ἀσχάλλειν, ὅτι οὐδέπω γέγονε. Καὶ πόθεν δῆλον ὅτι δείξει; Ἐκ τοῦ εἶναι δυνάστην. Μόνος γάρ ἐστι δυνάστης, οὐκοῦν δείξει ὁ μακάριος, ἡ αὐτομακαριότης. Τοῦτο δὲ λέγει δηλῶν ὅτι οὐδὲν ἔχει λυπηρὸν, οὐδὲν ἀηδές. Τὸ δὲ, μόνος, ἢ πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρώπων, ἢ διὰ τὸ ἀγέννητον εἴρηκεν, ὃ καὶ ἡμεῖς λέγομεν πολλάκις περὶ ἀνθρώπων, οὓς ἐξαιρεῖν βουλόμεθα. Ὁ μόνος ἔχων ἀθανασίαν, φησί. Τί οὖν; ὁ Υἱὸς οὐκ ἔχει; οὐκ αὐτοαθανασία ἐστί; Καὶ πῶς, τῆς αὐτῆς ὢν οὐσίας τῷ Πατρί; Φῶς οἰκῶν ἀπρόσιτον, φησίν. Ἄλλο δὲ φῶς αὐτὸς, καὶ ἄλλο ὃ οἰκεῖ; οὐκοῦν καὶ τόπῳ ἐμπεριείληπται. Ἄπαγε. Οὐχ ἵνα τοῦτο νοήσωμεν, ἀλλ' ἵνα τὸ ἀκατάληπτον τῆς θείας φύσεως παραστήσῃ, φῶς οἰκεῖν αὐτὸν εἶπεν ἀπρόσιτον, οὕτω θεολογήσας ὡς ἦν αὐτῷ δυνατόν. Ὁρᾷς καὶ ὅταν μέγα τι φθέγξασθαι βουληθείη ἡ γλῶττα, πῶς ἐξασθενεῖ; Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, φησὶν, οὐδὲ ἰδεῖν δύναται· ὥσπερ οὖν τὸν υἱὸν οὔτε εἶδέ τις, οὔτε ἰδεῖν δύναται. Ὧι τιμὴ καὶ κράτος αἰώνιον, ἀμήν. Καλῶς ἐθεολόγησεν ἐνταῦθα, καὶ ἀναγκαίως. Ἐπειδὴ γὰρ μάρτυρα αὐτὸν ἤγαγε, πολλὰ περὶ τοῦ μάρτυρος διαλέγεται, ὥστε μᾶλλον τὸν μαθητὴν ἐντρέψαι. Τουτέστι, δόξα αὐτῷ· τοῦτο μόνον δυνάμεθα λέγειν, τοῦτο μόνον ποιεῖν, οὐ περιεργάζεσθαι τίς ἐστιν. Εἰ τοίνυν τὸ κράτος αὐτοῦ αἰώνιον, μὴ δείσῃς· κἂν νῦν μὴ ᾖ, ἀεὶ τιμὴ αὐτῷ, ἀεὶ κράτος αὐτῷ.

Εβρ. ιϐ. β γ.

Ιωαν. ιη λζ. κα.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν. Καλῶς εἶπεν, ἐν τῷ νῦν αἰῶνι. Εἰσὶ γὰρ καὶ ἄλλοι πλούσιοι ἐν τῷ μέλλοντι. Ταῦτα δὲ παραινεῖ εἰδὼς ὅτι οὐδὲν οὕτω τίκτει τῦφον, καὶ ἀπόνοιαν, καὶ ἀλαζονείαν, ὡς χρήματα. Εἶτα δείκνὺς αὐτοὺς κατέπασαν, εἰπών· Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. Ἀπὸ γὰρ τούτου ἡ ἀπόνοια· ὡς ὅ γε εἰς Θεὸν ἐλπίζων, οὐκ ἐπαίρεται. τί ἐλπίζεις ἐπὶ τὸ ἀνθρώπον μεθιστάμενον; τοῦτο γὰρ ὁ πλοῦτος. καὶ πῶς εἰς ἐκεῖνον ἐλπίζεις ὑπὲρ οὗ θαῤῥῆσαι οὐκ ἔστι; πῶς δὲ δυνήσονται μὴ ὑψηλοφρονεῖν, φησίν; ἂν ἴδωσιν ὅτι οὗτος ἄστατος, ἀβέβαιος· ἂν ἴδωσιν ὅτι μείζων τοῦ πλούτου ἡ ἐλπὶς ἡ παρὰ τοῦ Θεοῦ· ἂν ἴδωσιν ὅτι καὶ τούτου αὐτοῦ αἴτιος ὁ Θεός.

Ἀλλ' ἐπὶ τῷ Θεῷ, φησί, τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν.

Καλῶς εἶπε, πάντα πλουσίως, τὰς ἐτησίους τροπὰς αἰνιττόμενος, τὸν ἀέρα, τὸ φῶς, τὸ ὕδωρ, τὰ ἄλλα πάντα. ὁρᾷς πῶς πλουσίως παρέχει καὶ μετὰ πολλῆς τῆς ἀφθονίας; εἰ πλοῦτον ζητεῖς, ἐκεῖνον ζήτει τὸν μένοντα, τὸν βέβαιον, τὸν ἀπὸ τῶν ἔργων γινόμενον τῶν ἀγαθῶν. τοῦτο καὶ αὐτὸς δηλῶν

18 Ἀγαθοεργεῖν, φησί, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς.

Τὸ μὲν τῶν χρημάτων, τὸ δὲ τῆς ἀγάπης. κοινωνικοὺς ὁμιλητικούς φησι, προσηνεῖς.

19 Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον. Ἐκεῖ οὐδὲν ἄδηλον. ἔνθα δὲ βέβαιος ὁ θεμέλιος, οὐδὲν ἄστατον, ἀλλὰ πάντα βέβαια, ἀκίνητα, πάγια, μόνιμα. Ἵνα ἐπιλάβωνται, φησί, τῆς αἰωνίου ζωῆς. Ἡ γὰρ τῶν ἀγαθῶν ἔργων πρᾶξις τὴν ἐκείνης ἡμῖν ἀπόλαυσιν προξενῆσαι δύναται.

20 Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον. Μὴ μειώσῃς· οὐκ ἔστι σά, τὰ ἀλλότρια ἐνεπιστεύθης· μηδὲν ἐλαττώσῃς. Ἐκτρεπόμενος, φησί, τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως. Καλῶς οὕτως εἶπεν. ὅταν γὰρ πίστις μὴ ᾖ, γνῶσις οὐκ ἔστιν. ὅταν ἐκ τῶν οἰκείων λογισμῶν τίκτηταί τι, γνῶσις οὐκ ἔστιν. ἢ τάχα τοῦτό φησι, διότι τινὲς ἑαυτοὺς ἐκάλουν τότε Γνωστικούς, ὡς πλέον τι τῶν ἄλλων εἰδότες. Ἥν τινες ἐπαγγελλόμενοι, φησί, περὶ τὴν πίστιν ἠστόχησαν. Ὁρᾷς πῶς πάλιν κελεύει μηδὲ ὅμως χωρεῖν πρὸς τοὺς τοιούτους; ἐκτρεπόμενος, φησί, τὰς ἀντιθέσεις. ἄρα εἰσὶν ἀντιθέσεις, πρὸς ἃς οὐδὲ ἀποκρίνεσθαι χρή. διατί; ὅτι τῆς πίστεως ἐκβάλλουσιν, ἐπεὶ οὐκ ἀφιᾶσιν ἑστάναι βεβαίως οὐδὲ πεπηγέναι.

ΗΘΙΚΟΝ

Μὴ δὴ ταύτης ἐχώμεθα, ἀλλὰ τῆς πίστεως, τῆς πέτρας τῆς ἀῤῥαγοῦς. οὔτε γὰρ ποταμοί, οὔτε ἄνεμοι προσπεσόντες δυνήσονταί τι λυμήνασθαι ἡμῖν. ἑστήκαμεν γὰρ ἐπὶ τῆς πέτρας ἀπαρασάλευτοι. οὕτω καὶ ἐπὶ τοῦ βίου τούτου, ἂν ἐκεῖνον ἑλώμεθα τὸν ὄντως θεμέλιον, ἑστήκαμεν πάλιν οὐδὲν πάσχοντες δεινόν. ὁ τὸν πλοῦτον αἱρούμενος ἐκεῖνον, οὐδὲν πείσεται δεινόν, ὁ τὴν εὐδοκίμησιν, ὁ τὴν δόξαν, ὁ τὴν τιμήν, ὁ τὴν ἡδονήν. πάντα ἐκεῖνα βέβαια, μεταβολὴ οὐδεμία. πάντα τὰ ἐνταῦθα ἀπεικόνισται καὶ ὑπὸ τροπὴν κεῖται, πάντα μεταβάλλεται. τί γὰρ βούλει; δόξαν; Οὐ συγκαταβήσεται, φησίν, ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ. πολλάκις δὲ οὐδὲ ζῶντι παραμένει. ἀλλ' οὐ τὰ τῆς ἀρετῆς τοιαῦτα· ἀλλὰ πάντα μένει. ὁ ἐνταῦθα ἔνδοξος ἀπὸ τῆς ἀρχῆς, ἑτέρου τὴν ἀρχὴν διαδεξαμένου, γέγονεν εὐτελής, καὶ τῶν ἀρχομένων εἷς. ὁ πλούσιος, ἢ λῃστῶν ἐπιθεμένων, ἢ συκοφαντῶν καὶ ἐπιβούλων, ἄφνω γέγονε πένης. ἀλλ' οὐ τὰ παρ' ἡμῖν οὕτως. ὁ σώφρων ἐὰν ἑαυτῷ προσέχῃ, οὐδεὶς αὐτοῦ τὴν σωφροσύνην ἀφελέσθαι δυνήσεται. ὁ ἄρχων ἑαυτοῦ καὶ κρατῶν τῶν παθῶν, οὐδεὶς ἰδιώτην, οὐδὲ ἀρχόμενον ἐργάσεται. ὅτι γὰρ αὕτη μείζων ἐκείνης ἡ ἀρχή, ἀπὸ τῆς ἐξετάσεως μάθωμεν. τί γὰρ ὄφελος, εἰπέ μοι, ἐθνῶν ὁλοκλήρων ἄρχειν, καὶ δοῦλον εἶναι τῶν παθῶν; ποία δὲ βλάβη μηδενὸς ἀνθρώπων ἄρχειν, καὶ τὴν τῶν παθῶν τυραννίδος ἀνώτερον εἶναι; οὗτος ἐλευθερία, τοῦτο ἀρχή, τοῦτο βασιλεία [καὶ δυναστεία] ἐκεῖνα δουλεία, κἂν μυρία τις διαδήματα περικέηται. ὅτ-

Ψαλ. μη. ιη.

τὴν γὰρ ἔνδοθεν ἀρχὴν αὐτοῦ τὴν δεσποτικὴν τὸ πλῆθος, τὴν φιλαργυρίαν λέγω, τὴν φιληδονίαν, τὴν ὀργὴν, τὰ ἄλλα πάθη, τί τοῦ διαδήματος ὄφελος; μείζων ἡ τυραννὶς τῶν παθῶν, ὅταν μηδὲ ὁ στέφανος αὐτὸν ἰσχύῃ ταύτης ἐξελέσθαι τῆς ὑποταγῆς. ὥσπερ οὖν εἰ παρὰ βαρβάροις βασιλεύς τις γενόμενος ἐδούλευεν, εἶτα ἐκεῖνοι βουλόμενοι μείζονα δεῖξαι τὴν ἀρχὴν, μήτε τὴν ἁλουργίδα, μήτε τὸ διάδημα ἀφέλοιεν, ἀλλὰ μετ' ἐκείνων καὶ ὑδροφορεῖν, καὶ μαγειρεύειν, καὶ τὰ ἄλλα πάντα διακονεῖσθαι προστάττοιεν, ὥστε αὐτοῖς μὲν μείζονα τὴν τιμὴν, ἐκείνῳ δὲ τὴν αἰσχύνην γίνεσθαι· οὕτω καὶ νῦν, παντὸς βαρβάρου βαρβαρικώτερον ταῦτα τὰ πάθη ἡμῖν προσφέρεται. ὁ μὲν γὰρ τούτων καταφρονῶν, καὶ τῶν βαρβάρων καταγελάσεται· ὁ δὲ τούτοις ὑποκύπτων, πολλῷ δεινότερα πείσεται, ἢ παρὰ τῶν βαρβάρων. ὁ βάρβαρος, ὅταν μεγάλα ἰσχύσῃ, τὸ σῶμα αἰκίζεται· αὗται δὲ τὴν ψυχὴν βασανίζουσι καὶ καταξαίνουσι πάντοθεν. ὁ βάρβαρος ὅταν μεγάλα ἰσχύσῃ, θανάτῳ τούτῳ παρέδωκεν, αὗται δὲ τῷ μέλλοντι. ὥστε μόνος ἐλεύθερος ἐκεῖνος ὁ τὴν ἐλευθερίαν οἴκοθεν ἔχων, ὥσπερ καὶ δοῦλος ἐκεῖνος ὁ τοῖς ἀλόγοις πάθεσιν ὑποκύπτων. οὐδεὶς ἐπιτάττει δεσπότης, κἂν σφόδρα ἀπηνὴς ᾖ, τοιαῦτα ὠμὰ καὶ ἀπηνῆ προστάγματα. καταίσχυνόν σου, φησὶ, τὴν ψυχὴν εἰκῆ καὶ μάτην, πρόσκρουσον τῷ Θεῷ, τὴν φύσιν αὐτὴν ἀγνόησον, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, μηδεμίαν ἔχε αἰδῶ· στῆθι κατ' αὐτῶν. τοιαῦτα γὰρ τῆς φιλαργυρίας τὰ ἐπιτάγματα. θῦσόν μοι, φησὶ, μὴ μόσχους, ἀλλὰ ἀνθρώπους. καὶ ὁ μὲν προφήτης, Θύσατε, φησὶν, ἀνθρώπους· Ωσ. γ. β.
τῶν μόσχων γὰρ ἐκλελοίπασιν· αὕτη δὲ οὐ τοῦτό φησιν, ἀλλὰ, μόσχων ὄντων, θῦσον ἀνθρώπους· κατάθυσον τοὺς μηδὲν ἠδικηκότας. κἂν εὐηργετημένος ᾖς, ἀπόκτεινον. πάλιν, ἔσο πολέμιος, κοινὸς ἐχθρὸς ἁπάντων περιέρχου, καὶ τῆς φύσεως αὐτῆς, καὶ τοῦ Θεοῦ. συνάγε χρυσίον, οὐχ ἵνα ἀπολαύσῃς, ἀλλ' ἵνα φυλάξῃς, ἵνα μείζονα ἐργάσῃ τὴν βάσανον. οὐ γὰρ ἔνι τὸν φιλάργυρον καὶ ἀπολαυστικὸν εἶναι. δέδοικε γὰρ μὴ ἐλαττωθῇ τὸ χρυσίον, μὴ πενιχροὶ γένωνται οἱ θησαυροί. ἀγρύπνει, φησὶ, πάντας ἔχε δι' ὑποψίας, καὶ οἰκέτας, καὶ φίλους. ἔσο φύλαξ τῶν ἀλλοτρίων. ἂν ἴδῃς πένητα λιμῷ φθειρόμενον, μὴ μεταδῷς· ἀλλ', εἰ δυνατὸν, καὶ τὸ δέρμα αὐτοῦ ἀπόδυσον. ἐπιόρκει, ψεύδου, ὄμνυε, κατηγόρει, συκοφάντει, κἂν εἰς πῦρ ἐμβῆναι δέῃ, μὴ παραιτήσῃ, κἂν μυρίους ὑποστῆναι θανάτους, κἂν λιμῷ διαφθαρῆναι, κἂν προσαπαλαῖσαι νόσῳ. ἢ οὐχὶ ταῦτα νομοθετεῖ ἡ φιλαργυρία; ἰταμὸς ἔσο καὶ ἀναίσχυντος, ἀναιδὴς καὶ θρασὺς, μιαρὸς καὶ μοχθηρὸς, ἀγνώμων, ἀναίσθητος, ἄφιλος, ἄσπονδος, ἄστοργος, πατραλοίας, θηρίον μᾶλλον ἢ ἄνθρωπος. παρέλασον πάντα ὄφιν τῇ πικρίᾳ, πάντα λύκον τῇ ἁρπαγῇ, ὑπέρβηθι καὶ τῆς φύσεως ἐκείνης τὴν θηριωδίαν. κἂν εἰς δαίμονος ἐλθεῖν κακίαν δέῃ, μὴ παραιτήσῃ· ἀγνόησον τὸν εὐεργέτην· οὐχὶ ταῦτα λέγει, καὶ ἀκούεις; ὁ δὲ Θεὸς τὰ ἐναντία. ἔσο πᾶσι φίλος, ἔσο ἐπιεικὴς, παρὰ πάντων ἀγαπώμενος, μηδενὶ πρόσκρουε εἰκῆ καὶ μάτην, τίμα τὸν πατέρα, τίμα τὴν μητέρα, δόξης ἀπόλαυε χρηστῆς, ἔσο μὴ ἄνθρωπος, ἀλλὰ ἄγγελος· μηδὲν αἰσχρὸν εἴπῃς, μηδὲν ψευδὲς, ἀλλὰ μηδὲ ἐννοήσῃς. ἐπικούρει τοῖς δεομένοις, μὴ ἀναγκάζου πράγματα ἔχειν ἁρπάζων, μὴ ἔσο ὑβριστὴς, μηδὲ θρασὺς, καὶ οὐδεὶς ὁ ἀκούων. ἆρα οὐ δικαίως ἡ γέεννα; οὐκ εἰκότως τὸ πῦρ; ὁ σκώληξ ὁ ἀτελεύτητος; μέχρι τίνος κατὰ κρημνῶν ὠθοῦμεν ἑαυτούς; μέχρι τίνος ἐπὶ τῶν ἀκανθῶν βαδίζομεν; μέχρι τίνος ἥλοις διαπείρομεν ἑαυτοὺς, καὶ χάριν ἔχομεν; ὠμοῖς τυράννοις ὑποκείμεθα, τὸν πρᾶον δεσπότην παραιτούμεθα, τὸν οὐδὲν ἐπαχθὲς λέγοντα, οὐδὲ βάρβαρον, οὐδὲ φορτικὸν, οὐδὲ ἀνόητον, ἀλλὰ πάντα χρήσιμα καὶ ἐπικερδῆ καὶ ὠφέλειαν ἡμῖν μεγάλην παρέχοντα. διαναστῶμέν ποτε, συστρέψωμεν ἑαυτοὺς, συγκροτήσωμεν, ἀγαπήσωμεν, ὡς δεῖ, τὸν Θεὸν, ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ, κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ
ΤΙΜΟΘΕΟΝ ΔΕΥΤΕΡΑΝ
ἐπιστολήν.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ, 2 Τιμοθέῳ ἀγαπητῷ τέκνῳ χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Κεφ. α.

ΤΙ δήποτε καὶ δευτέραν ἐπιστέλλει τῷ Τιμοθέῳ ἐπιστολήν; Εἶπεν, Ἐλπίζω ἐλθεῖν πρὸς σὲ τάχιον· οὐκ ἐξεληλύθει τοῦτο. α. Τιμ. γ. ιδ. παραμυθεῖται αὐτὸν διὰ γραμμάτων, ἀντὶ τῆς παρουσίας, ἴσως τεθλιμμένον καὶ διὰ τοῦτο, καὶ διὰ τὸ ἀρχῆς ἤδη ἧφθαι τότε. κἂν γὰρ μεγάλοι τινὲς ἄνδρες ὦσιν, ὅταν αἱ αὐτοὶ δέξωνται τοὺς οἴακας καὶ τὴν κυβέρνησιν τῆς ἐκκλησίας, ξενοπαθοῦσι, πολλοῖς πολλαχόθεν βαπτιζόμενοι τῶν πραγμάτων κύμασι, καὶ μάλιστα τότε, ὅτε ἡ ἀρχὴ τοῦ κηρύγματος ἦν, ὅτε πάντα ἀήθη, ὅτε πάντα ἐχθρὰ, ὅτε πάντα ἀντέστησαν. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αἱρέσεις ἦσαν ἐξ Ἰουδαϊκῶν διδασκάλων ἀρχόμεναι, ἅπερ καὶ ἐν τῇ προτέρᾳ ἐνέφηνεν ἐπιστολῇ. οὐ διὰ γραμμάτων δὲ αὐτὸν παραμυθεῖται μόνον, ἀλλὰ καὶ καλεῖ πρὸς ἑαυτόν. Σπούδασον γὰρ ἐλθεῖν πρός με ταχέως, φησὶ, καὶ, Ἐρχόμενος φέρε τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. β. Τιμ. δ. θ. ιγ. δοκεῖ δέ μοι πρὸς τῷ τέλει εἶναι αὕτη ἡ ἐπιστολή. Ἐγὼ γὰρ ἤδη, φησὶ, σπένδομαι. καὶ πάλιν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο. β. Τιμ. δ. ς. ις. Ταῦτα δὴ πάντα διορθούμενος, καὶ τὴν παράκλησιν ποιεῖται ἀπὸ τῶν οἰκείων πειρασμῶν, καί φησι· Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ. εὐθέως ἀνέστησεν αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ προοιμίου. μή μοι τοὺς ἐν ταῦθα κινδύνους εἴπῃς, φησίν· οὗτοι τίκτουσιν ἡμῖν τὴν αἰώνιον ζωὴν, ἔνθα τοιοῦτον οὐδέν ἐστιν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. οὐ γὰρ διὰ τοῦτο ἀποστόλους ἡμᾶς ἐποίησεν, ἵνα κινδυνεύσωμεν μόνον, φησὶν, ἀλλ' ἵνα καὶ ἀποθνήσκωμεν, ἵνα τοιαῦτα πάσχωμεν. ἐπεὶ γὰρ τὸ τὰ οἰκεῖα διελθεῖν κακὰ οὐχὶ παράκλησις μόνον οὐκ ἦν, ἀλλὰ καὶ προσθήκη λύπης, εὐθέως ἀπὸ τῆς ἀρχῆς ποιεῖται τὴν παραμυθίαν, κατ' ἐπαγγελίαν λέγων ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ἐπαγγελία ἐστὶ, μὴ ζήτει αὐτὴν ἐν ταῦθα. Ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. Ρωμ. η. κδ. Τιμοθέῳ ἀγαπητῷ τέκνῳ. οὐχὶ ἁπλῶς, τέκνῳ, ἀλλὰ, ἀγαπητῷ. ἔστι γὰρ εἶναι καὶ τέκνα μὴ ἀγαπώμενα. ἀλλ' οὐ σὺ τοιοῦτος, φησιν, οὐδὲ τέκνον σε καλῶ ἁπλῶς, ἀλλὰ τέκνον ἀγαπητόν. ἐπεὶ καὶ Γαλάτας τέκνα καλεῖ, ἀλλ' ὅμως Γαλ. δ. ιθ.

...ράμασι,

καὶ ἀλγεῖ ὑπὲρ αὐτῶν, Τεκνία μου λέγων, οὓς πάλιν ὠδίνω. μάλιστα δὲ πολλὴν αὐτῷ μαρτυρεῖ τὴν ἀρετὴν, ἀγαπητὸν καλῶν. πῶς; ὅταν γὰρ μὴ ἐκ φύσεως ᾖ ἡ ἀγάπη, ἀπὸ ἀρετῆς ἐστιν. τὰ γὰρ ἐξ ἡμῶν τεχθέντες, οὐ δι' ἀρετὴν μόνον ἡμῖν εἰσιν ἀγαπητοὶ, ἀλλὰ καὶ διὰ τὴν τῆς φύσεως ἀνάγκην· οἱ δὲ κατὰ πίστιν ὅταν ὦσιν ἀγαπητοὶ, δι' οὐδὲν ἕτερόν εἰσιν, ἀλλ' ἢ δι' ἀρετήν. ἐπεὶ πόθεν ἄλλοθεν; καὶ μάλιστα παρὰ Παύλῳ τῷ οὐδὲν ποιοῦντι κατὰ πρόσκλισιν. ἄλλως δὲ δείκνυσι διὰ τοῦ εἰπεῖν τέκνῳ ἀγαπητῷ, ὅτι οὐκ ὀργιζόμενος πρὸς αὐτὸν, οὐχὶ καταφρονῶν αὐτοῦ, οὐχὶ κατεγνωκὼς αὐτοῦ, οὐ παρεῖλθεν. χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. ἅπερ καὶ πρότερον, ταῦτα αὐτῷ καὶ νῦν ἐπεύχεται. καὶ ὅρα πῶς εὐθέως ἐν τῷ προοιμίῳ πρὸς ἐκεῖνον ἀπολογεῖται, ὅτι οὐκ
α. Τιμ. δ. ιγ. α. Τιμ. γ. ιδ. ἦλθε πρὸς αὐτὸν, οὐδὲ εἶδεν αὐτόν. καὶ γὰρ τὸ, Ἕως ἔρχομαι, καὶ τὸ, Σπουδάζω ἐλθεῖν πρὸς σὲ τάχιον, ταχεῖαν ἐποίει προσδοκᾶν τὴν παρουσίαν. πρὸς τοῦτο οὖν εὐθέως ἀπολογεῖται. καὶ τὴν μὲν αἰτίαν εὐθέως οὐ λέγει, δι' ἣν οὐκ ἦλθεν, ἵνα μὴ σφόδρα λυπήσῃ. αὕτη δὲ ἦν, τὸ κατέχεσθαι αὐτὸν παρὰ τοῦ Καίσαρος. ὅτε δὲ αὐτὸν ἐκάλεσε πρὸς ἑαυτὸν πρὸς τῷ τέλει, τότε αὐτὴν ἐξέφηνεν. εὐθέως δὲ αὐτὸν ἐκ προοιμίων οὐκ ἐμβάλλει εἰς λύ-
β. Τιμ. α. δ. καὶ θ. πην, ἀλλ' ἐλπίδας ὑποφαίνει τοῦ αὐτὸν ὄψεσθαι, Ἐπιποθῶν σε ἰδεῖν, καὶ, Σπούδασον ἐλθεῖν πρός με ταχέως. εὐθέως οὖν ἐκ τοῦ προοιμίου ἀνίστησιν αὐτὸν, καὶ τὰ ἑξῆς λέγει μετ' ἐγκωμίου.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας,

4 Ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ.

Εὐχαριστῶ τῷ Θεῷ, ὅτι μέμνημαί σου, φησιν, οὕτω σε φιλῶ. τοῦτο ὑπερβαλλούσης ἀγάπης, ὅταν καὶ κοσμῆταί τις τῇ φιλίᾳ ἐκ τοῦ σφόδρα φιλεῖν. χάριν ἔχω, φησὶ, τῷ Θεῷ, ᾧ λατρεύω. πῶς; ἐν καθαρᾷ συνειδήσει ἀπὸ προγόνων· ὅτι τὸ συνειδὸς αὐτοῦ οὐκ ἦν βλαβέν. ἄλλως δὲ ἐνταῦθα περὶ βίου φησὶ, καὶ πανταχοῦ τὴν συνείδησιν τὸν βίον λέγει· ἢ ὅτι οὐδὲν ὧν προεθυμούμην κακῶς δι' ἀνθρωπίνην αἰτίαν προὔδωκα, οὐδὲ τότε ὅτε ἐδίω-
α. Τιμ. α. ιγ. κον. διό φησιν, Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, μονονουχὶ λέγων, μὴ ὑποπτεύσῃς τὸ πρᾶγμα κακίαν εἶναι. καλῶς συνίστησιν αὐτοῦ τὸ ἦθος, ἵνα ἀξιόπιστος δειχθῇ τὸ περὶ τὴν ἀγάπην. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐδὲν ψεύδομαι, οὐδὲ ἄλλα ἔχω, καὶ ἄλλα λέγω. ὥστε καὶ τότε ἀναγκασθεὶς ἑαυτὸν ἐνεκωμίασεν, ὥς που τὸ τῶν πράξεων βιβλίον δηλοῖ.
Πραξ. κβ. ιδ. ἐπειδὴ γὰρ ὡς στασιαστὴν αὐτὸν διέβαλλον καὶ νεωτεροποιὸν, διὰ τοῦτο ἔλεγε, Καὶ εἶπεν Ἀνανίας πρός με, ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας. οὕτω καὶ ἐνταῦθα· ἵνα μὴ λάβῃ ἀφίλου καὶ ἀσυνειδήτου δόξαν ὡς ἐπιλελησμένος, εἰκότως ἑαυτὸν ἐγκωμιάζει λέγων, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν ταῖς δεήσεσί μου· τουτέστιν, εὐχῆς μοι ἔργον ἐστὶ τὸ πάντα χρόνον διατελῶ τοῦτο ποιῶν διηνεκῶς. τοῦτο γὰρ ἐμφαίνει τῷ εἰπεῖν νυκτὸς καὶ ἡμέρας. ὑπὲρ τούτου τὸν Θεὸν παρεκάλουν, ἐπιποθῶν σε ἰδεῖν. ὁρᾷς ζέοντα πόθον; ὁρᾷς μανίαν ἀγάπης; ὁρᾷς ταπεινοφροσύνην; πῶς ἀπολογεῖται τῷ μαθητῇ; εἶτα δείκνυσιν ὅτι οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ. ἔδειξε μὲν οὖν καὶ ἤδη, δείκνυσι δὲ καὶ ἐνταῦθα. φησὶ γὰρ, μεμνημένος σου τῶν δακρύων. εἰκὸς ἦν αὐτὸν ἀποχωριζόμενον, κλαίειν καὶ ὀδύρεσθαι μᾶλλον ἢ παιδίον τοῦ μαστοῦ καὶ τῆς τιτθῆς ἀποσπώμενον καὶ τοῦ γάλακτος. ἵνα χαρᾶς, φησι, πληρωθῶ, ἐπιποθῶν σε ἰδεῖν. οὐκ ἂν οὖν ἐμαυτὸν τοσαύτης ἀπεστέρησα ἡδονῆς, εἰ καὶ σφόδρα ἀναίσθητος ἤμην καὶ ὠμὸς καὶ θηριώδης· ἱκανὰ γὰρ ἦν τὰ δάκρυα ἐκεῖνα εἰς μνήμην ἐλθόντα κάμψαι. νυνὶ δὲ οὐχ εἷς τῶν τοιούτων εἰμὶ, ἀλλὰ τῶν καθαρῶς λατρευόντων τῷ Θεῷ.

ὥστε πολλαί με ἦγεν ἀνάγκη πρὸς σέ. ἄρα οὕτω ἔκλαιε. καὶ ἑτέραν τίθησιν αἰτίαν ἅμα καὶ παρακλητικήν,

5 Ὑπόμνησιν, φησι, λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως.

Εἶτα καὶ ἄλλο ἐγκώμιον, ὅτι οὐκ ἐξ ἐθνῶν, οὐδὲ ἐξ ἀπίστων, ἀλλ' ἄνωθεν ἀπὸ οἰκίας τῷ Χριστῷ δουλευούσης. Ἥτις ἐνῴκησε, φησιν, ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ ἐν τῇ μητρί σου Εὐνείκῃ. Ἦν γάρ, φησιν, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς. πῶς Ἰουδαίας; πῶς πιστῆς; οὐκ ἐξ ἐθνικῶν. διὰ δὲ τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχε, καὶ διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις, ἔλαβε καὶ περιέτεμεν αὐτόν. ὁρᾷς πῶς ἤρχετο ὁ νόμος καταλύεσθαι, τῇ ἐπιμιξίᾳ τούτων γινομένων; καὶ ὅρα πόσα ἔθηκε πληροφορῶν ὅτι οὐ καταφρονήσειν. ἐγὼ λατρεύω τῷ Θεῷ, φησι· συνείδησιν ἔχω ἀληθῆ· σὺ δὲ τὰ δάκρυα. οὐ διὰ τὰ δάκρυα μόνον, ἀλλὰ καὶ διὰ τὴν πίστιν, δι' ἀληθείας εἶ ἐργάτης, ὅτι οὐδὲν δολερὸν παρὰ σοί. ὅταν οὖν καὶ σαυτὸν ἄξιον τοῦ φιλεῖσθαι παρέχῃς, οὕτω μὲν ὢν φιλόστοργος, οὕτω δὲ γνήσιος μαθητὴς τοῦ Χριστοῦ, ὅταν μηδὲ ἐγὼ τὴν ἀστοργίαν ὦ, ἀλλὰ τὴν ἀλήθειαν σπουδάζοντες, τί τὸ κωλῦον ἦν ἐμὲ ἐλθεῖν; Πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Πραξ. ιϛ. α.

Ἄνωθεν ἔχεις τοῦτο, φησι, τὸ καλόν, ἐκ προγόνων διεδέξω τὴν πίστιν τὴν ἀνυπόκριτον. τὰ γὰρ τῶν προγόνων ἐγκώμια, ὅταν μὲν αὐτοῖς κοινωνῶμεν, καὶ ἡμῶν ἐστιν· ὅταν δὲ μή, οὐδὲν ἰσχύει, ἀλλὰ καὶ μᾶλλον κατακρίνει. διὸ καὶ ἐπήγαγε, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. οὐ στοχάζομαι, φησιν, ἀλλὰ πέπεισμαι καὶ πεπληροφόρημαι. εἰ τοίνυν δι' οὐδὲν ἀνθρώπινον ἦλθες ἐπὶ τοῦτο, οὐδέν σε παρασαλεῦσαι δυνήσεται.

6 Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. Ὅρα πῶς δείκνυσιν αὐτὸν ἐν ἀθυμίᾳ ὄντα πολλῇ, πῶς ἐν κατηφείᾳ. μονονουχὶ γὰρ τοῦτό φησι· μὴ νομίσῃς ὅτι κατεφρόνησά σου· ἀλλ' εἰδὼς ἔσο, ὅτι οὔτε κατέγνων, οὐδὲ ἐπελαθόμην. καὶ εἰ μηδένα ἕτερον, τὴν μάμμην καὶ τὴν μητέρα ἐννοεῖ. διὸ ἐπειδὴ οἶδα ὅτι ἀνυπόκριτον ἔχεις πίστιν, ἀναμιμνήσκω. δεῖ γάρ σοι προθυμίας πρὸς τὸ ἀναζωπυρῆσαι τὸ χάρισμα τοῦ Θεοῦ. καθάπερ τὸ πῦρ δεῖται ξύλων, οὕτω καὶ ἡ χάρις τῆς προθυμίας τῆς ἡμετέρας, ἵνα ἀεὶ ἀνάζῃ. ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου· τουτέστι, τὴν χάριν τοῦ πνεύματος, ἣν ἔλαβες εἰς προστασίαν τῆς ἐκκλησίας, εἰς σημεῖα, εἰς τὴν λατρείαν ἅπασαν. ἐν ἡμῖν γάρ ἐστι καὶ σβέσαι, καὶ ἀνάψαι τοῦτο. διὸ ἀλλαχοῦ λέγει, Τὸ πνεῦμα μὴ σβέννυτε. α Θεσ. ε. ιθ. ὑπὸ μὲν γὰρ ἀκηδίας καὶ ῥᾳθυμίας σβέννυται, ὑπὸ δὲ νήψεως καὶ προσοχῆς διεγείρεται. ἔνεστι μὲν γὰρ ἐν σοί, πλὴν ἀλλὰ σφοδρότερον ἐργάζου αὐτό, τουτέστι, παρρησίας ἔμπλησον αὐτό, χαρᾶς, εὐφροσύνης. στῆθι γενναίως.

7 Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. Τουτέστιν, οὐ διὰ τοῦτο τὸ πνεῦμα ἐλάβομεν, ἵνα ὑποστελλώμεθα, ἀλλ' ἵνα παρρησιαζώμεθα. πολλοῖς γὰρ δίδωσι πνεῦμα δειλίας, ὅπερ ἐπὶ τῶν πολέμων ἐν ταῖς βασιλείαις γέγονε. Καὶ ἔπεσε, φησι, πνεῦμα δειλίας ἐπ' αὐτούς, τουτέστι, φόβον αὐτοῖς ἐνέθηκεν. Εξοδ. ιε. 15. ἀλλὰ σοὶ ἔδωκε τοὐναντίον πνεῦμα δυνάμεως καὶ ἀγάπης τῆς εἰς αὐτόν. ἄρα καὶ τοῦτο ἀπὸ χάριτός ἐστιν, ἀλλ' οὐχ ἁπλῶς ἀπὸ χάριτος, ἀλλ' ὅταν καὶ ἡμεῖς πρότεροι ἐπιδειξώμεθα τὰ παρ' ἑαυτῶν. τὸ γὰρ ποιοῦν ἡμᾶς κράζειν ἀββᾶ ὁ πατήρ, καὶ τὴν ἀγάπην τίθησι τὴν πρὸς αὐτόν, καὶ τὴν πρὸς τὸν πλησίον ἵνα ἀλλήλους, φησιν, ἀγαπῶμεν. ἀπὸ γὰρ τῆς δυνάμεως καὶ τοῦ μὴ δειλιᾶν ἡ ἀγάπη γίνεται. οὐδὲν γὰρ οὕτω φιλίαν διαλύειν εἴωθεν, ὡς δειλία καὶ προδοσίας φήμη. οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεός, φησι, πνεῦμα δειλίας, ἀλλὰ ἀγάπης καὶ δυνάμεως καὶ σωφρονισμοῦ. ἤτοι σωφρονισμὸν τὴν ὑγείαν λέγει τῆς διανοίας καὶ τῆς ψυχῆς, ἢ σωφρονισμοῦ,

σωφρονισμοῦ, ὥστε σωφρονίζεσθαι ἡμᾶς, κἂν τι δεινὸν γένηται, ἵνα σωφρονίζῃ ἡμᾶς, καὶ τὰ περιττὰ κόπτῃ.

ΗΘΙΚΟΝ Σερ. β. β.

Μὴ τοίνυν ἀλγῶμεν ἐπὶ τοῖς δεινοῖς τοῖς συμπίπτουσι. σωφρονισμὸς τοῦτό ἐστι. Μὴ σπεύσῃς, φησὶν, ἐν καιρῷ ἐπαγωγῆς. πολλοὶ πολλὰ κατ' οἶκον ἔχουσι λυπηρὰ, καὶ τῇ μὲν λύπῃ κοινωνοῦμεν ἀλλήλοις, τῇ δὲ ὑποθέσει οὐκέτι· ἀλλ' ὁ μὲν ἀπὸ γυναικὸς, ὁ δὲ ἀπὸ παιδὸς, ἕτερος ἀπὸ οἰκέτου, ἄλλος ἀπὸ φίλου, ἄλλος ἀπὸ ἐχθροῦ, ἄλλος ἀπὸ γείτονος, ἄλλος ἀπὸ ζημίας. καὶ πολλαὶ καὶ διάφοροί εἰσιν αἱ αἰτίαι τῆς λύπης· καὶ ὅλως οὐκ ἔστιν εὑρεῖν τινα λύπης καθαρὸν καὶ ἀθυμίας, ἀλλὰ ὁ μὲν μικρὰ, ὁ δὲ μείζονα ἔχει τὰ λυποῦντα. μὴ τοίνυν ἀγανακτῶμεν, μηδὲ αὐτοὶ μόνοι νομίζωμεν εἶναι ἐν λύπῃ. οὐ γάρ ἐστιν ἀνθρώπους ὄντας καὶ τὸν ἐπίκηρον τοῦτον ζῶντα βίον, λύπης εἶναι χωρίς. ἀλλ' εἰ μὴ σήμερον, αὔριον· εἰ μὴ αὔριον, μετὰ ταῦτα συμβαίνει τὸ λυπηρόν. ὥσπερ γὰρ οὐκ ἔνι τινὰ πλέοντα μὴ εἶναι ἐν ἀγωνίᾳ (πλέοντα λέγω πέλαγος μέγα) οὕτως οὐδὲ τὸν τοῦτον τὸν βίον ζῶντα οὐκ οἷόν τε μὴ εἶναι ἐν ἀθυμίᾳ, κἂν πλούσιον εἴπῃς. ἐπειδὴ γὰρ πλούσιός ἐστι, πολλὰς ἀφορμὰς ἐπιθυμιῶν ἔχει· κἂν αὐτὸν τὸν βασιλέα. καὶ γὰρ καὶ αὐτὸς ὑπὸ πολλῶν κρατεῖται, καὶ οὐ πάντα κατὰ γνώμην πράττει, ἀλλὰ πολλὰ παρὰ τὸ δοκοῦν αὐτῷ ἀναγκάζεται, καὶ μάλιστα πάντων ἐκεῖνός ἐστιν ὁ πάντα πράττων ἃ μὴ θέλει. τί δήποτε; ὅτι πολλοὺς ἔχει τοὺς ἐκ τῶν ἐκείνου λαμβάνειν βουλομένους. ἐν ὅσῃ δὲ, ἐν ὅσῃ ἐστὶν ἀθυμίᾳ, ὅταν βούληται μέν τι πράττειν, μὴ δυνηθῇ δὲ, ἢ διὰ δέος, ἢ διὰ ὑποψίαν, ἢ διὰ πολεμίους, ἢ διὰ φίλους; πολλάκις δὲ ὅταν καὶ φιλονεικήσῃ τι πρᾶξαι τῶν αὐτῷ δοκούντων, τὸ πλέον αὐτῷ τῆς ἡδονῆς ἀφαιρεῖται ἐκ τῆς πράξεως ἐκείνης, πολλῶν ὄντων τῶν ἀπεχθανομένων αὐτῷ. ἀλλὰ σὺ νομίζεις τοὺς ἀπράγμονα βίον ζῶντας εἶναι ἐν βίῳ λύπης καθαρούς; οὐκ ἔστιν. ὥσπερ γὰρ οὐκ ἔστιν εἶναι ἀθανάτους ἀνθρώπους ὄντας, οὕτως οὐδὲ λύπης χωρίς. πόσα εἰκὸς ὑπομένειν αὐτοὺς πράγματα, ἃ λόγῳ μὲν παραστῆσαι οὐκ ἔστιν, ἔργῳ δὲ ἐκείνους μόνους δυνατὸν εἰδέναι; πόσοι μυριάκις ηὔξαντο ἀποθανεῖν ἐν ἐκείνῳ τῷ πλούτῳ, καὶ τῇ τρυφῇ; τὸ γὰρ τρυφᾶν, οὐ πάντως καὶ ἐκτὸς εἶναι λύπης ποιεῖ· μᾶλλον δὲ αὐτὸ τὸ τρυφᾶν μυρίας τίκτει λύπας, νόσους, ἀηδίας καὶ χωρὶς τούτων αἰτίας πολλάκις μὴ ὑποκειμένης. ὅταν γὰρ ἡ ψυχὴ ἐν ἕξει τοιαύτῃ καταστῇ, καὶ ἁπλῶς οἶδεν ἀλγεῖν. καὶ γὰρ ἰατρῶν λέγουσι παῖδες ὅτι καὶ παρὰ σώματος κατασκευὴν ἀσθενῆ ἄκαιροι γίνονται λῦπαι. ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο συμπίπτει, ὅταν ἀλγῶμεν, καὶ μὴ εἰδῶμεν τῆς λύπης τὴν ὑπόθεσιν; καὶ ὅλως οὐκ ἔστιν εὑρεῖν τινα λύπης χωρίς. εἰ δὲ οὐ τοσαύτην ἔχουσιν ἀφορμὴν λύπης, ὅσην ἡμεῖς, ὅμως οὕτως ἔχειν ἕκαστος νομίζει. τὸ γὰρ οἰκεῖον μᾶλλον αὐτὸν λυπεῖ τοῦ ἀλλοτρίου. ὥσπερ γὰρ οἱ τὰ μέρη τῶν σωμάτων ἀλγοῦντες, νομίζουσι τοὺς πλησίον πλεονεκτεῖν ταῖς ἀλγηδόσι, καὶ ὁ τοὺς ὀφθαλμοὺς νοσῶν, οὐδὲν ἐπίπονον ἡγεῖται τοιοῦτον εἶναι πάθος, οἷον τὸ ἑαυτοῦ· πάλιν ὁ τὸν στόμαχον νοσῶν, τοῦτο πάντων χαλεπώτερον εἶναί φησι, καὶ ἕκαστος ἐν ᾧ κατέχεται, τοῦτο πάντων ἀνιαρώτερον εἶναι ἡγεῖται· οὕτω καὶ ἐπὶ τῆς ἀθυμίας ἕκαστος ὑπὸ τῆς λύπης, ἧς κατέχεται, ταύτην φησὶν εἶναι ἀλγεινοτέραν. μετὰ γὰρ τῆς πείρας τῆς οἰκείας οὕτω κρίνει. οἷον ὁ παῖδας οὐκ ἔχων, οὐδὲν οὕτω δεινὸν νομίζει, ὡς ἀπαιδίαν· ὁ πολλοὺς ἔχων πάλιν μετὰ πενίας, οὐδὲν οὕτως ὡς πολυπαιδίαν αἰτιᾶται· ὁ ἕνα ἔχων, οὐδὲν χεῖρον τοῦ ἕνα ἔχειν νομίζει. ἐντεῦθεν γὰρ, φησι, καὶ ῥάθυμος γίνεται, καὶ ἐν λύπῃ τὸν πατέρα καθίστησιν, ἀεὶ περιπόθητος αὐτῷ τυγχάνων, καὶ οὐδεμιᾶς ἐπιστροφῆς δεχόμενος. ὁ καλὴν ἔχων γυναῖκα, οὐδὲν χεῖρόν φησι τοῦ καλὴν ἔχειν γυναῖκα (ὑποψίας γὰρ τὸ πρᾶγμα γέμει καὶ ἐπιβουλῆς) ὁ δυσειδῆ, οὐδὲν χεῖρόν φησι τοῦ ἄμορφον ἔχειν γυναῖκα (ἀηδίας γὰρ τὸ πρᾶγμα ἐμπέπλησται) ὁ ἰδιώτης οὐδὲν ἀχρηστότερον τοῦ βίου τούτου φησὶν, οὐδὲ εὐτελέστερον. ὁ στρατιώτης οὐδὲν μοχθηρότερον φησι, οὐδὲ ἐπισφαλέστερον

τῆς

τῆς στρατείας. βέλτιον γὰρ ἄρτῳ κεχρῆσθαι μόνῳ καὶ ὕδατι, ἢ τοσαύτας φέρειν ἐπαχθείας. ὁ ἐν ἀρχῇ ὢν οὐδὲν ἐπιπονώτερόν φησι τοῦ τῶν ἄλλων τὰς ἀνάγκας θεραπεύειν. ὁ ἀρχόμενος οὐδὲν δουλικώτερόν φησιν ἑτέρων ἐξουσίᾳ ὑποκεῖσθαι. ὁ γεγαμηκὼς οὐδὲν χεῖρόν φησι γυναικὸς καὶ φροντίδος· ὁ μὴ γεγαμηκὼς οὐδὲν ἀνελευθεριώτερόν φησι τοῦ μὴ γαμεῖν, καὶ οἰκίας ἀπεστερῆσθαι καὶ ἀναπαύσεως. ὁ ἔμπορος τὸν γεωργὸν μακαρίζει τῆς ἀσφαλείας· ὁ γεωργὸς τὸν ἔμπορον τοῦ πλούτου. καὶ ὅλως δυσάρεστόν πως τὸ γένος τὸ ἀνθρώπινον, μεμψίμοιρον καὶ βαρύθυμόν ἐστιν. ὅταν πάντων τῶν ἀνθρώπων καταγινώσκει, τότε φησὶν, οὐδὲν ἄνθρωπος, τὴν πᾶσαν λέγοντες φύσιν ἐπίμοχθον ζῶον καὶ ταλαίπωρον. πόσοι τὸ γῆρας θαυμάζουσι; πόσοι τὴν νεότητα μακαρίζουσιν; οὕτω καὶ ταῖς ἡλικίαις πολλὴ ἡ ἀθυμία. ὅταν ἴδωμεν κατηγορουμένους ἡμᾶς διὰ τὴν ἡλικίαν, φαμὲν, διὰ τί μὴ ἦμεν γέροντες; ὅταν λευκάνηται ἡ κεφαλὴ, πάλιν, ποῦ ἡ νεότης; καὶ ὅλως μυρίας ἔχομεν ἀφορμὰς τοῦ λυπεῖσθαι. μία μόνη ἐστὶν ὁδὸς ταύτης ἀπηλλαγμένη τῆς ἀνωμαλίας ἡ κατ' ἀρετήν, μᾶλλον δὲ καὶ αὕτη λύπην ἔχει· ἀλλὰ λύπην οὐκ ἀνόνητον, ἀλλὰ κέρδος καὶ ὠφέλειαν ἔχουσαν. ἢ γὰρ ἥμαρτέ τις, καὶ διὰ τῆς λύπης κατανύξεις ἀπενίψατο τὰ ἁμαρτήματα, ἢ ἀδελφῷ πεπτωκότι συνήλγησε, καὶ ἐν ταύτῃ πάλιν ἔχει τὸν μισθὸν οὐ μικρόν. τὸ γὰρ συναλγεῖν τοῖς ἐν συμφοραῖς οὖσι, πολλὴν ἡμῖν πρὸς Θεὸν δίδωσι τὴν παρρησίαν. ἄκουσον ὅσα περὶ τοῦ Ἰὼβ φιλοσοφεῖ ἡ θεία γραφή· ἄκουσον καὶ Παῦλος τί φησι· Κλαίειν μετὰ κλαιόντων· (Ρωμ. ιβ. ιε.) καὶ πάλιν, Τοῖς ταπεινοῖς συναπαγόμενοι. ἡ γὰρ κοινωνία τῶν λυπουμένων τὸ σφόδρα φορτικὸν τῆς λύπης ἀφαιρεῖν εἴωθεν. ὥσπερ γὰρ ἐπὶ φορτίου, ἂν τοῦ βαρέος τις κοινωνήσῃ, ἐπελάφρυνε τὸν μόνον τὸ ἄχθος φέροντα, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. νῦν δὲ τῶν μὲν οἰκείων ἡμῖν τινος τετελευτηκότος, πολλοὶ τὸν παρακαθήμενοι, πολλοὶ τὸν παραμυθούμενοι· καὶ ὄνον πεσόντα πολλάκις διεγείρομεν· τὰς δὲ ἀδελφῶν ἡμῶν τὰς ψυχὰς πεπτούσας, οὐ μᾶλλον παραβλέπομεν καὶ παρατρέχομεν. καὶ ἐὰν εἰς καπηλεῖον αὐτὸν ἴδωμεν ἀσέμνως εἰσιόντα, οὐκ ἀνακόπτομεν· κἂν μεθύοντα, οὐ κωλύομεν, κἂν ὁτιοῦν ἕτερον ποιοῦντα τῶν ἀτόπων· ἀλλὰ μᾶλλον καὶ συμπράττομεν. διὰ τοῦτο Παῦλος ἔλεγεν, Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι· (Ρωμ. α. λβ.) καὶ συμμορίας πότου καὶ μέθης ποιοῦσιν οἱ πολλοί. ποίησον, ἄνθρωπε, συμμορίας, ὥστε ἀποθέσθαι τὴν μανίαν τῆς μέθης. τοῖς δεδεμένοις καλὰ ταῦτα τὰ φιλικά, τοῖς ἐν θλίψει οὖσι. τοιοῦτόν τι καὶ Κορινθίοις ἐπέταξεν ὁ Παῦλος, Ἵνα μὴ ὅταν ἔλθω, φησί, τότε λογίαι γίνωνται. (α. Κορ. ιϛ. β.) νῦν δὲ μέθης μὲν καὶ τρυφῆς καὶ σπατάλης ἕνεκεν πάντα πράττομεν, καὶ κλίνην κοινήν, καὶ τράπεζαν κοινήν, καὶ οἶνον κοινόν, καὶ ἀνάλωμα κοινὸν ποιοῦμεν· ἐλεημοσύνην δὲ οὐδεὶς ἐποιήσατο κοινήν. τοιαῦτα ἦν ἐπὶ τῶν ἀποστόλων τὰ φιλικά, πάντα εἰς μέσον κατετίθεντο τὰ ὑπάρχοντα. ἐγὼ δὲ οὐ πάντα κελεύω, ἀλλὰ μέρος τι. Ὁ ἂν τις εὐοδῶται, φησιν, ὁριζέτω ἕκαστος κατὰ μίαν τῶν σαββάτων, (α. Κορ. ιϛ. β.) ὥσπερ τινὰ φόρον φέρειν ὑπὲρ τῶν ἑπτὰ ἡμερῶν, καὶ καταπίθεσθαι, καὶ οὕτω διδόναι ἐλεημοσύνην, κἂν μικρὸν, κἂν μέγα. Οὐκ ὀφθήσῃ γάρ, φησι, κενὸς ἐνώπιον Κυρίου. (Ἐξόδ. κγ. ιε. Δευτ. ιϛ. ιϛ.) Ἰουδαίοις ταῦτα ἐλέγετο, πόσῳ μᾶλλον ἡμῖν; διὰ τοῦτο εἴρηκά σοι τὸν πένητας πρὸ τὴν θύραν, ἵνα μηδεὶς εἰσίῃ κενός, ἵνα μετὰ ἐλεημοσύνης εἰσίῃ. εἰσέρχῃ ἐλεηθῆναι· ἐλέησον πρότερον. ὁ δὲ ὕστερον ἐρχόμενος, πλέον ὀφείλει. ὅταν γὰρ ἀρξώμεθα ἡμεῖς, ὁ δεύτερος πλέον καταπίθησι. ποίησον σοι ὀφειλέτην τὸν Θεόν, καὶ τότε αὐτὸν αἴτησαι. δάνεισον, καὶ τότε ἀπαίτει, ἵνα μετὰ τόκου λάβῃς. βούλεται τοῦτο ὁ Θεός, οὐκ ἀποφεύγει. ἂν μετὰ ἐλεημοσύνης αἰτῇς, χάριν ἔχει. ἂν μετὰ ἐλεημοσύνης ἀπαιτῇς, δανείζεις καὶ τόκους λαμβάνεις. ναί, παρακαλῶ. οὐκ ἐν τῇ ἐκτάσει τῶν χειρῶν τὸ ἀκούεσθαί ἐστιν. ἔκτεινόν σου τὰς χεῖρας μὴ εἰς τὸν οὐρανόν, ἀλλ' εἰς τὰς τῶν πενήτων χεῖρας. ἂν εἰς τὰς τῶν πενήτων χεῖρας ἐκτείνῃς τὴν χεῖρα, αὐτῆς ἥψω τῆς κορυφῆς τοῦ οὐρανοῦ. ὁ γὰρ ἐκεῖ καθήμενος λαμ-

βάνει

ταίνει τὴν ἐλεημοσύνην. ἂν δὲ ἀκαρπεῖς αἱ ἀπαιτήσεις, οὐδὲν ὤνησας. εἰπὲ γάρ μοι, εἴ σοι προσελθὼν ὁ βασιλεὺς ᾔτησε μετὰ τῆς ἁλουργίδος, οὐκ ἂν προθύμως ἅπαντα τὰ ὄντα δέδωκας; νῦν δὲ οὐχ ὑπὸ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ οὐρανίου διὰ τῶν πενήτων αἰτούμενος ἕστηκας παρορῶν καὶ τὴν δόσιν ὑπερτιθέμενος; καὶ πόσης οὐκ ἂν εἴης κολάσεως ἄξιος; οὐ γὰρ ἐν τῇ ἐκτάσει τῶν χειρῶν, οὐδὲ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ᾽ ἐν τοῖς ἔργοις τὸ ἐπακούεσθαί ἐστιν. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. δέον γὰρ σιγᾶν, καὶ μηδὲ ἀναβαίνειν εἰς τὸν οὐρανὸν τὸν ἐλέου δεόμενον, ὃ παρρησίαν ἔχει καὶ πολλὰ φθέγγεται. ἀλλὰ τί φησι; Κρίνατε ὀρφανῷ [καὶ ταπεινῷ,] καὶ δικαιώσατε χήραν, καὶ μάθετε καλὸν ποιεῖν. οὕτω δυνησόμεθα ἀκούεσθαι, κἂν κάτω τὰς χεῖρας ἔχωμεν, κἂν μὴ φθεγγώμεθα, μηδὲ ζητῶμεν. ταῦτα τοίνυν ζηλώσωμεν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν.

Ησ. α. ιε.

Λογ. β. 8 ΜΗ ΟΥΝ ΕΠΑΙΣΧΥΝΘΗΣ ΤΟ ΜΑΡ-
τύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπά-
θησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ, 9 Τοῦ σώσαντος ἡμᾶς, καὶ
καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ ἰδίαν πρόθεσιν καὶ
χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, 10 Φα-
νερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΟΥδὲν χεῖρον, ἢ ὅταν τις ἀνθρωπίνοις λογισμοῖς τὰ θεῖα κρίνῃ καὶ μετρῇ πράγματα. οὕτω γὰρ ἀποπεσεῖται τῆς πέτρας ἐκείνης ἐκ πολλοῦ τοῦ μέσου, καὶ τοῦ φωτὸς ἀποστερηθήσεται. εἰ γὰρ ὁ τὰς τοῦ ἡλίου ἀκτῖνας ἀνθρωπίνοις θέλων καταλαβεῖν ὀφθαλμοῖς, οὐ μόνον οὐ καταλήψεται, οὐδὲ ἀνθέξεται τοῦ προκειμένου, ἀλλὰ καὶ ἀποπεσεῖται καὶ μυρίαν ὑποστήσεται βλάβην· πολλῷ μᾶλλον ὁ βουλόμενος πρὸς ἐκεῖνο τὸ φῶς ἀτενὲς ἰδεῖν διὰ τῶν οἰκείων λογισμῶν, πείσεται τοῦτο, καὶ ὑβρίζει εἰς τὴν τοῦ Θεοῦ δωρεάν. ὅρα γοῦν Μαρκίωνα καὶ Μάνην καὶ Οὐαλεντῖνον καὶ πάντας τοὺς τὰς λοιπὰς αἱρέσεις καὶ τὰ ὀλέθρια δόγματα ἐπεισαγαγόντας τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, ὅπως ἀνθρωπίνοις λογισμοῖς τὰ τοῦ Θεοῦ μετρήσαντες ᾐσχύνθησαν ἐπὶ τῇ οἰκονομίᾳ. καίτοι οὐκ αἰσχύνης, ἀλλὰ πολλοῦ καυχήματος ἄξια ἂν εἴη, τὸν σταυρὸν λέγω τοῦ Χριστοῦ. οὐδὲν γὰρ οὕτω τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον μέγα, οὐκ οὐρανός, οὐ θάλαττα, οὐ γῆ, οὐ τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι πάντα παραγαγεῖν, οὐ τὰ ἄλλα πάντα, ὡς ὁ σταυρός. διὸ καὶ Παῦλος ἐπ᾽ αὐτῷ καυχᾶται λέγων, Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀλλ᾽ οἱ ψυχικοὶ καὶ μηδὲν πλέον Θεῷ νέμοντες τῶν ἀνθρώπων, καταπτήσσουσι καὶ αἰσχύνονται. διὰ τοῦτο ἄνωθεν τῷ μαθητῇ παραινεῖ λέγων, καὶ δι᾽ ἐκείνου πᾶσι. μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, τουτέστι, μὴ αἰσχύνου ὅτι τὸν ἐσταυρωμένον κηρύσσεις, ἀλλὰ καὶ σεμνύνου. αὐτὰ μὲν γὰρ καθ᾽ ἑαυτά, θάνατος καὶ δεσμωτήρια καὶ δεσμά, αἰσχύνης ἄξια καὶ ὀνειδισμοῦ· ἀλλ᾽ ἐὰν τις τὴν αἰτίαν προσθῇ, καὶ τὸ μυστήριον ἴδῃ καλῶς, πολλοῦ καυχήματος, πολλῆς σεμνότητος ἑκάτερα ὄντα εὑρήσει. ὁ γὰρ θάνατος ἐκεῖνος τὴν οἰκουμένην ἀπολλυμένην ἔσωσεν, ὁ θάνατος ἐκεῖνος τὴν γῆν συνῆψε τῷ οὐρανῷ, ὁ θάνατος ἐκεῖνος τὴν τυραννίδα τοῦ διαβόλου κατέλυσε, τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε καὶ Θεοῦ υἱούς· ὁ θάνατος ἐκεῖνος τὴν ἡμετέραν φύσιν ἀνήγαγεν εἰς τὸν ἄνω θρόνον τὸν βασιλικόν. τὰ δεσμὰ ταῦτα πολλοὺς ἐπέστρεψε. μὴ οὖν ἐπαισχυνθῇς, φησι, τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν.

μηδὲ

Γαλ. ς. ιδ.

γρ. ὑβρίσει

γρ. τὸ ὑπὲρ πολεμίων, τὸν σταυρὸν τοῦ Χριστοῦ.

γρ. ἰδῇ

μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ. τουτέστι, κἂν αὐτὸς ταῦτα πάθῃς, μὴ αἰσχυνθῇς. ὅτι γὰρ τοῦτο ᾐνίξατο, καὶ διὰ τῶν ἀνωτέρω εἰρημένων δῆλον, διὰ τοῦ εἰπεῖν, Ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ· καὶ διὰ (β. Τιμ. α. ζ.) τῶν μετὰ ταῦτα πάλιν. ἀλλὰ συγκακοπάθησον, φησί· τουτέστι, μὴ ἁπλῶς μὴ ἐπαισχυνθῇς, ἀλλὰ τῇ πείρᾳ μὴ ἐπαισχυνθῇς. καὶ οὐκ εἶπε, μὴ φοβηθῇς, μηδὲ δείσῃς, ἀλλὰ μᾶλλον αὐτὸν θαρρύνων φησί, μὴ ἐπαισχυνθῇς, ὡς οὐκ ὄντος λοιπὸν κινδύνου, εἰ τῆς αἰσχύνης τις περιγένοιτο. τοῦτο γὰρ μόνον ἔχει φορτικὸν αἰσχύνη τὸ ἡττᾶσθαι αὐτῆς. μὴ τοίνυν ἐπαισχυνθῇς, εἰ ἐγὼ ὁ νεκροὺς ἐγείρων, ὁ μυρία ἐργαζόμενος σημεῖα, ὁ τὴν οἰκουμένην περιδραμών, δέδεμαι νῦν· οὐ γὰρ ὡς κακοῦργός εἰμι δεσμώτης, ἀλλὰ τοῦ σταυρωθέντος ἕνεκεν. εἰ σταυρὸν οὐκ ἐπῃσχύνθη μου ὁ δεσπότης, οὐδὲ τὰ δεσμὰ ἐγώ. καὶ καλῶς παρακαλῶν αὐτὸν μὴ ἐπαισχυνθῆναι, περιέτρεψεν αὐτὸν τοῦ σταυροῦ ἀνέμνησεν. εἰ τὸν σταυρὸν οὐκ ἐπαισχύνῃ, φησί, μηδὲ δεσμά. εἰ ὁ δεσπότης ἡμῶν καὶ διδάσκαλος σταυρὸν ὑπέμεινε, πολλῷ μᾶλλον ἡμεῖς τὰ δεσμά. ἅπερ γὰρ αὐτὸς ὑπέμεινεν ὁ αἰσχυνόμενος, καὶ τὸν σταυρωθέντα ἐπαισχύνεται. οὐ γὰρ δι' ἐμαυτόν, φησί, φέρω ταῦτα τὰ δεσμά. μηδὲν οὖν ἀνθρώπινον πάθῃς, ἀλλὰ τοῖς αὐτοῖς κοινώνησον, ἀλλὰ συγκακοπάθησον, φησί, τῷ εὐαγγελίῳ, οὐχ ὡς τοῦ εὐαγγελίου κακοπαθοῦντος, ἀλλὰ τὸν μαθητὴν διεγείρων ὑπὲρ τοῦ εὐαγγελίου πάσχειν. κατὰ δύναμιν Θεοῦ, φησί, τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων. ἄλλως δέ, ἐπεὶ φορτικὸν ἦν τὸ εἰπεῖν, κακοπάθησον, πάλιν αὐτὸν παραμυθεῖται λέγων, οὐ κατὰ τὰ ἔργα ἡμῶν· τουτέστι, μὴ τῇ δυνάμει λογίζου τῇ σῇ, ἀλλὰ τῇ τοῦ Θεοῦ τὸ ταῦτα φέρειν. σὸν μὲν γάρ ἐστι τὸ ἑλέσθαι καὶ προθυμηθῆναι, Θεοῦ δὲ τὸ κουφίσαι καὶ παῦσαι. εἶτα καὶ τῆς δυνάμεως αὐτοῦ δείκνυσι τὰ τεκμήρια. πῶς ἐσώθης ἐννόει, πῶς ἐκλήθης. ὥσπερ φησὶν ἀλλαχοῦ, Κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἡμῖν. οὕτω τοῦ ποιῆσαι τὸν οὐρανὸν (Εφ. γ. κ.) μείζων δύναμις αὕτη ἦν, τὸ πεῖσαι τὴν οἰκουμένην. πῶς οὖν ἐκλήθη, φησί; κλήσει ἁγίᾳ· τουτέστιν, ἁγίους εἰργάσατο ἁμαρτωλοὺς ὄντας καὶ ἐχθρούς. καὶ ταῦτα οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον. εἰ τοίνυν καὶ δυνατός ἐστι τοῦ καλέσαι, καὶ ἀγαθὸς ὢν κατὰ χάριν, ἀλλὰ μὴ κατὰ ὀφειλὴν τοῦτο ποιῆσαι, οὐ δεῖ δεδοικέναι. ὁ γάρ, ἡνίκα ἡμᾶς ἔδει σωθῆναι, καὶ ἐχθροὺς ὄντας χάριτι σώσας, ὅταν καὶ ἐργαζομένους ἴδῃ, οὐ πολλῷ μᾶλλον συμπράξει; οὐ κατὰ τὰ ἔργα ἡμῶν, φησίν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν· τουτέστιν, οὐδενὸς ἀναγκάζοντος, οὐδενὸς συμβουλεύοντος, ἀλλ' ἐξ ἰδίας προθέσεως· οἴκοθεν ἐκ τῆς ἀγαθότητος αὐτοῦ ὁρμώμενος ἔσωσε. τοῦτο γάρ ἐστι τό, κατ' ἰδίαν πρόθεσιν. καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων· τουτέστιν, ἀνάρχως ταῦτα προτετύπωτο ἐν Χριστῷ Ἰησοῦ γενέσθαι. οὐ μικρὸν καὶ τοῦτο, τὸ ἄνωθεν βουλεύεσθαι. οὐκ ἐκ μεταμελείας ἄρα. πῶς οὖν οὐκ ἀΐδιος ὁ υἱός; καὶ γὰρ καὶ αὐτὸς ταῦτα ἐβούλετο ἐξ ἀρχῆς.

10 Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου. Εἶδες δύναμιν, εἶδες δωρεὰν οὐχὶ δι' ἔργων γινομένην, ἀλλὰ διὰ τοῦ εὐαγγελίου; ἐλπίδος γὰρ ταῦτά ἐστιν. ἐν μὲν γὰρ τῷ αὐτοῦ σώματι ἀμφότερα ταῦτα γέγονεν, ἐν δὲ τῷ ἡμετέρῳ ἔσται. πῶς; διὰ τοῦ εὐαγγελίου.

11 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν. Τί δή ποτε τοῦτο συνεχῶς λέγει, διδάσκαλον ἐθνῶν ἑαυτὸν καλῶν; πεῖσαι βουλόμενος, ὅπερ ἔφην, ὅτι χρὴ καὶ ἔθνεσι πλησιάζειν. μὴ καταπέσῃς τοίνυν ἐν τοῖς ἐμοῖς παθήμασι· καταβέβληνται τοῦ θανάτου τὰ νεῦρα. οὐχ ὡς κακοῦργος ταῦτα ὑπομένω, ἀλλὰ διὰ τὴν διδασκαλίαν τῶν ἐθνῶν. ἅμα καὶ ἀξιόπιστον ποιεῖ τὸν λόγον.

12 Δι' ἣν αἰτίαν καὶ ταῦτα, φησι, πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι. οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

Ἀλλ' οὐκ ἐπαισχύνομαι, φησι. αἰσχύνης γάρ, εἰπέ μοι, τὰ δεσμά; αἰσχύνης τὰ πάθη; μὴ οὖν ἐπαισχυνθῇς. ὁρᾷς πῶς διὰ τῶν ἔργων ἐνδείκνυται τὴν διδασκαλίαν; Ταῦτα πάσχω, φησίν, εἰς δεσμωτήριον ἐμβέβλημαι, ἐλαύνομαι. οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. τί ἐστι παρακαταθήκη; ἡ πίστις, τὸ κήρυγμα. τοῦτο αὐτός, φησιν, ὁ παρακαταθέμενος ἀκέραιον φυλάξει. πάντα πάσχω ὥστε μὴ τὸν θησαυρὸν συληθῆναι. οὐκ ἐπαισχύνομαι τέως, ἕως ἂν αὕτη ἀκέραιος σώζηται. ἢ τοὺς πιστοὺς λέγει τὴν παρακαταθήκην, οὓς ὁ Θεὸς αὐτῷ παρακατέθετο, ἢ οὓς αὐτὸς τῷ Θεῷ. καὶ νῦν γάρ φησιν, ἰδοὺ παρατίθημι ὑμᾶς τῷ Κυρίῳ. τουτέστιν, οὐκ αἰσθητά μοι ταῦτά ἐστι. καὶ Τιμόθεος τῆς παραθήκης ἀφήσει μοι τὸν καρπόν. ὁρᾷς αὐτὸν οὐδὲ αἰσθανόμενον τῶν κακῶν διὰ τὴν ἐλπίδα τῶν μαθητῶν;

ΗΘΙΚΟΝ

Τοιοῦτον εἶναι τὸν διδάσκαλον χρή, ὑπὸ κήδεσθαι τῶν μαθητῶν, τούτους πάντα ἡγεῖσθαι. (α. Θεσ. γ. η.) Νῦν ζῶμεν, φησιν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. (καὶ β. ιθ.) καὶ πάλιν, Τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; ὁρᾷς αὐτὸν ταῦτα μεριμνῶντα; * οὐχ ἧττον τῶν οἰκείων τὰ τῶν μαθητῶν; δεῖ γὰρ οὐδὲ φυσικοὺς πατέρας ὑπεραίρειν, δεῖ θερμοτέρους εἶναι. ἀλλὰ καὶ τοὺς παῖδας φιλοστόργως πρὸς αὐτοὺς διακεῖσθαι (Εβρ. ιγ. ιζ.) προσήκει. Πείθεσθε γάρ, φησι, τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, εἰδότες ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. Εἰπὲ γάρ μοι, αὐτὸς μὲν τοσούτῳ κινδύνῳ ἐστὶν ὑπεύθυνος· σὺ δὲ οὐδὲ πείθεσθαι αὐτῷ βούλει, καὶ ταῦτα εἰς τὸ σοὶ συμφέρειν; κἂν γὰρ τὰ καθ' ἑαυτὸν καλῶς διάθηται, ἕως ἂν τὰ σὰ μὴ καλῶς ᾖ διακείμενα, ἐναγώνιός ἐστι, διπλᾶς δίδωσι τὰς εὐθύνας. ἐννόησον δὲ ὅσοι ἐστὶ καθ' ἕκαστον τῶν ἀρχομένων ἐξετάζεσθαι, καὶ ἀγωνιᾶν. πόσην βούλει τιμὴν εἶναι τιμήν; πόσην θεραπείαν ἀντίρροπον τῶν κινδύνων τούτων; ἀλλ' οὐδὲν ἴσον ἐρεῖς. ὑπὸ γὰρ τὴν ψυχὴν ἐπιδέδωκας. αὐτὸς δὲ τὴν ψυχὴν τίθησιν ὑπὲρ σοῦ. κἂν μὴ δῇ ἐνταῦθα χρεὼ καλοῦντος, ἀπόλλυσιν αὐτὴν ἐκεῖ. σὺ δὲ οὐδὲ μέχρι λόγων ὑποτάσσεσθαι βούλει. τοῦτο πάντων τῶν κακῶν αἴτιον, ὅτι τὰ τῶν ἀρχόντων ἠφάνισται, οὐδεμία αἰδώς, οὐδεὶς φόβος. Πείθεσθε, φησι, τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· νυνὶ δὲ πάντα κατεστράφη καὶ συγκέχυται. οὐχὶ τῶν ἡγουμένων ἕνεκεν ταῦτα λέγω. τί γὰρ ἀπὸ τῆς τιμῆς ὠφεληθήσονται τῆς ἡμετέρας, ἢ τοσοῦτον ὅσοι πειθηνίους ἔξουσι; ἀλλὰ διὰ τὸ ὑμῖν συμφέρειν. ὅτι μὲν γάρ, κἂν τιμηθῶσιν, οὐδὲν ὠφελοῦνται πρὸς τὸ μέλλον, ἀλλὰ μεῖζον αὐτοῖς τὸ κατάκριμα· κἂν ὑβρισθῶσιν, οὐδὲν ἐβλάβησαν πρὸς τὸ μέλλον, ἀλλὰ καὶ πλείων αὐτοῖς ἡ ἀπολογία. ἀλλ' ὑμῶν αὐτῶν ἕνεκεν ἅπαντα βούλομαι γενέσθαι. ὅταν γὰρ τιμῶνται παρὰ τῶν ἀρχομένων οἱ ἡγούμενοι, καὶ τοῦτο αὐτοῖς προσφέρεται, καθάπερ τῷ (α. Βασ. β. κη.) Ἠλὶ ἔλεγον, Ἔλαβόν σε ἐκ τοῦ οἴκου τοῦ πατρός σου· ὅταν δὲ ὑβρίζωνται, καθάπερ ἐπὶ τοῦ (καὶ η. ζ.) Σαμουήλ, Οὐ σέ, φησιν, ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμέ. ὥστε ἡ μὲν ὕβρις, κέρδος αὐτοῖς ἐστιν· ἡ δὲ τιμή, βάρος. οὐκ αὐτῶν τοίνυν ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν. ὁ τιμῶν τὸν ἱερέα, καὶ τὸν Θεὸν τιμήσει· ὁ δὲ μαθὼν τοῦ ἱερέως καταφρονεῖν, ὁδῷ προβαίνων καὶ εἰς τὸν Θεὸν (Ματθ. ι. μ.) ὑβρίσει ποτέ. Ὁ δεχόμενος ὑμᾶς, φησιν, ἐμὲ δέχεται. Καὶ τοὺς ἱερέας αὐτοῦ, φησιν, ἐν τιμῇ (Act. 15.) ἔχε. ἐντεῦθεν ἔμαθον Ἰουδαῖοι τοῦ Θεοῦ καταφρονεῖν, ὅτι Μωϋσέως κατεφρόνησαν, ἐπ' αὐτὸν ἐλίθαζον. ὅταν γάρ τις πρὸς τὸν ἱερέα εὐλαβῶς διατεθῇ, πολλῷ μᾶλλον πρὸς τὸν Θεόν. κἂν ὁ ἱερεὺς φαῦλος ᾖ, ὁ Θεὸς ὁρῶν ὅτι διὰ τὴν πρὸς αὐτὸν τιμὴν καὶ τὸν οὐκ ἄξιον τι- (Ματθ. ι. μα.) μῆς θεραπεύεις, αὐτὸς ἀποδώσει σοι τὴν ἀμοιβήν. Εἰ γὰρ ὁ δεχόμενος προφήτην, φησίν, εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται, καὶ ὁ τιμῶν, καὶ ὁ εἴκων, καὶ ὁ ὑπακούων δηλονότι τῷ ἱερεῖ. Εἰ γὰρ ἔνθα φιλοξενίας λόγος, ἔνθα οὐκ οἶδας τὸν καταγόμενον, πόσῳ

λαμβάνεις

λαμβάνοντας μισθόν· ὧν καὶ κελεύει ὑποτάσσεσθαι, ἀπὸ τῆς γῆς, πολλῷ μᾶλλον. Ἐπὶ τῆς Ματθ. κγ β.
Μωϋσέως, φησὶ, καθέδρας ἐκάθισαν οἱ γραμματεῖς, καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν
λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. οὐκ οἶδας τί ἐστιν ὁ ἱερεύς; ἄγ-
γελος Κυρίου ἐστί. μὴ γὰρ τὰ ἑαυτοῦ λέγει; εἰ καταφρονεῖς αὐτοῦ, οὐκ αὐτοῦ καταφρονεῖς,
ἀλλὰ τοῦ χειροτονήσαντος αὐτὸν Θεοῦ. καὶ πόθεν δῆλον ὅτι ὁ Θεὸς ἐχειροτόνησεν αὐτόν, φησίν;
οὐκοῦν εἰ μὴ ταύτην ἔχεις τὴν ὑπόληψιν, ἡ ἐλπίς σου κεκένωται. εἰ γὰρ μηδὲν ἐνερ-
γεῖ ὁ Θεὸς δι' αὐτοῦ, οὔτε λουτρὸν ἔχεις, οὔτε μυστηρίων μετέχεις, οὔτε εὐλογιῶν ἀπολαύεις· οὐκ
ἄρα χριστιανὸς εἶ. τί οὖν, φησί; πάντας ὁ Θεὸς χειροτονεῖ, καὶ τοὺς ἀναξίους; πάντας μὲν ὁ
Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ, εἰ καὶ αὐτοὶ εἶεν ἀνάξιοι, διὰ τὸ σωθῆναι
τὸν λαόν. εἰ γὰρ δι' ὄνου, καὶ διὰ Βαλαὰμ, διὰ μιαροῦ ἀνθρώπου, τοῦ λαοῦ ἕνεκεν ἐλά- Αριθ. κβ.
λησε, πολλῷ μᾶλλον διὰ τοῦ ἱερέως. τί γὰρ οὐ ποιεῖ ὁ Θεὸς τῆς σωτηρίας ἕνεκεν τῆς ἡμε-
τέρας; τί γὰρ οὐ φθέγγεται; διὰ τίνος δὲ οὐκ ἐνεργεῖ; εἰ διὰ τοῦ Ἰούδα ἐνήργησε, καὶ διὰ τῶν
προφητευόντων, οἷς φησιν, Οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀ-
νομίαν, καὶ ἄλλοι δαίμονας ἐξέβαλλον, πολλῷ μᾶλλον διὰ τῶν ἱερέων ἐνεργήσει. ἐπεὶ εἰ μέλ- Ματθ. ζ. κγ. Ψαλ. ϛ. θ.
λοιμεν τοὺς βίους ἐρευνᾶν τῶν ἀρχόντων, αὐτοὶ μέλλομεν εἶναι χειροτονηταὶ τῶν διδασκάλων,
καὶ τὰ ἄνω κάτω γέγονε, ἄνω οἱ πόδες, καὶ κάτω ἡ κεφαλή. ἄκουε Παύλου λέγοντος· Ἐμοὶ δὲ εἰς α. Κορ. δ. γ.
ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· καὶ πάλιν, Σὺ τί κρίνεις Ρωμ. ιδ. ι.
τὸν ἀδελφόν σου; εἰ τὸν ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον τὸν διδάσκαλον. εἰ μὲν γὰρ
τοῦτο ἐπέταξεν ὁ Θεὸς, καλῶς ποιεῖς, καὶ ἁμαρτάνεις μὴ ποιῶν· εἰ δὲ τοὐναντίον, μὴ τόλμα,
μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα ἐπιχείρει. τῷ Ἀαρὼν μετὰ τὴν μοσχοποιΐαν ἐπανέστησαν οἱ περὶ
Κορὲ, καὶ Δαθὰν, καὶ Ἀβειρών. τί οὖν; οὐκ ἀπώλοντο; ἕκαστος τὰ ἑαυτοῦ μεριμνάτω. εἰ
μὲν γὰρ δόγμα ἔχει διεστραμμένον, κἂν ἄγγελος ᾖ, μὴ πείθου· εἰ δὲ ὀρθὰ διδάσκει, μὴ τῷ βίῳ
πρόσεχε, ἀλλὰ τοῖς ῥήμασιν. ἔχεις Παῦλον καὶ δι' ἔργων, καὶ διὰ λόγων ῥυθμίζοντά σε πρὸς
τὸ δέον. ἀλλ' οὐ δίδωσι πένησι, φησὶν, οὐδὲ καλῶς διοικεῖ. πόθεν σοι τοῦτο δῆλον; πρὶν ἢ μά-
θῃς, μὴ μέμψῃ, φοβήθητι τὰς εὐθύνας. πολλὰ ἀπὸ ὑπονοίας κρίνεται. μιμήσαι σου τὸν
δεσπότην, ἄκουε αὐτοῦ λέγοντος· Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντε- Γεν. ιη. κ.
λοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ. εἰ δὲ κατέμαθες, καὶ ἐξήτασας, καὶ εἶδες, ἀνάμενε τὸν κρι-
τὴν, μὴ προαρπάσῃς τοῦ Χριστοῦ τὴν τάξιν. ἐκείνου ταῦτά ἐστιν ἐξετάζειν, οὐ σοῦ. σὺ
δοῦλος εἶ ἔσχατος, οὐ δεσπότης· σὺ πρόβατον εἶ· μὴ τοίνυν περιεργάζου τὸν ποιμένα, ἵνα
μὴ καὶ ἐφ' οἷς ἐκείνου κατηγορεῖς, εὐθύνας δῷς. καὶ πῶς ἐμοὶ λέγει, φησὶν, αὐτὸς οὐ ποιῶν; οὐκ
αὐτός σοι λέγει. εἰ αὐτῷ πείθῃ, μισθὸν οὐκ ἔχεις. ὁ Χριστός σοι ταῦτα παραινεῖ. καὶ τί λέγω;
οὐδὲ Παύλῳ πείθεσθαι χρὴ, ἄν τι ἴδιον λέγῃ, ἄν τι ἀνθρώπινον, ἀλλὰ τῷ ἀποστόλῳ τῷ τὸν
Χριστὸν ἔχοντι λαλοῦντα ἐν ἑαυτῷ. μὴ κρίνωμεν τὰ ἀλλήλων, ἀλλὰ τὰ ἑαυτοῦ ἕκαστος.
ἐξέταζε σὺ σου τὸν βίον. ἀλλ' ἐκεῖνος ὀφείλει μου βελτίων εἶναι, φησί. διὰ τί; ὅτι ἱερεύς ἐστι. καὶ
τί σου πλέον οὐκ ἔχει; οὐχὶ τοὺς μόχθους; οὐχὶ τοὺς κινδύνους; οὐχὶ τὴν ἀγωνίαν; οὐχὶ τὴν
ταλαιπωρίαν; ταῦτα τοίνυν ἔχων πῶς οὐ βελτίων ἐστί σου, εἰ δὲ οὐκ ἔστι βελτίων, ἄρα ὀ-
φείλεις, εἰπέ μοι, σὺ σαυτὸν ἀπολλύναι; ἀπονοίας ταῦτα τὰ ῥήματα. πόθεν γὰρ, ὅτι
οὐκ ἔστι σου βελτίων; ἐὰν κλέπτῃ, φησὶ, καὶ ἱεροσυλῇ. πόθεν οἶδας, ἄνθρωπε; τί κατὰ κρημ-
νῶν ὠθεῖς σαυτόν; καὶ σὺ μὲν, ἂν εἴπῃ τις, ὅτι ὁ δεῖνα πορφύραν ἔχει, κἂν εἰδὼς ᾖς, ἀπο-
φράττεις τὰ ὦτα, κἂν ἐλέγξαι δυνάμενος ᾖς, ἀποπηδᾷς εὐθέως καὶ προσποιῇ μὴ εἰδέ-
ναι, πρόδηλον κίνδυνον μὴ θέλων ἀναδέξασθαι. ἐνταῦθα δὲ οὐ μόνον οὐκ ἀποπηδᾷς, ἀλλὰ
καὶ ἀναδέχῃ πρόδηλον κίνδυνον. ταῦτα τὰ ῥήματα οὐκ ἔστιν ἀνεύθυνα. ἄκουε γὰρ τοῦ Χριστοῦ
λέγοντος, Λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσι περὶ Ματθ. ιβ. λϛ.
αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. ὅλως δὲ οὐδενός τινος βελτίων εἶ. καὶ οὐ στενάζεις, οὐδὲ κόπτεις

τὸ ἦθος, οὐδὲ κάτω κύπτεις, οὐδὲ μιμῇ τὸν τελώνην; οὐκοῦν ἀπώλεσας σαυτὸν, κἂν βελτί-
ων ἦς. βελτίων εἶ; σίγα, ἵνα ἀκούσῃς βελτίων. ἂν δὲ εἴπῃς, ἐκένωσας τὸ πᾶν· ἂν νομίσῃς, οὐχὶ ἂν
μὴ νομίσῃς, πολὺ προσέθηκας. εἰ γὰρ ὁ ὢν ἁμαρτωλὸς, ἐπειδὴ ὡμολόγησε, κατῆλθε δεδικαιω-
μένος, ὁ μὴ ὢν σφόδρα ἁμαρτωλὸς, καὶ οὕτω πεπεισμένος, τί οὐ κερδαίνει; ἐξέτασόν σου τὸν βίον.
οὐ κλέπτεις; ἀλλ' ἁρπάζεις, ἀλλὰ βιάζῃ, ἀλλὰ μυρία ἕτερα τοιαῦτα ποιεῖς. οὐκ ἐπαι-
νῶν λέγω τὴν κλοπὴν, ἄπαγε, ἀλλὰ καὶ σφόδρα δακρύων, εἴ τις ἄρα ἐστὶ τοιοῦτος. οὐ γὰρ
πείθομαι. ὅσον γὰρ ἡ ἱεροσυλία κακὸν, οὐδέ ἐστιν εἰπεῖν, ἀλλ' ὑμῶν φειδόμεθα. οὐ γὰρ βου-
λόμεθα τὴν ἀρετὴν τὴν ἡμετέραν κενοῦσθαι τῷ κατηγορεῖν ἑτέρων. τί τοῦ τελώνου χεῖρον,
εἰπέ μοι; ἀληθές ἐστιν, ὅτι καὶ τελώνης ἐστὶ, καὶ μυρίων ἔνοχος κακῶν· καὶ μόνον ἵνα εἴπῃ ὁ φαρι-
σαῖος, ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης, πάντα ἀπώλεσε. σὺ περὶ τοῦ ἱερέως λέγεις, ὅτι οὐκ
εἰμὶ ὡς οὗτος ἱερόσυλος, καὶ οὐ πάντα κενοῖς; ταῦτα λέγειν ἀναγκαζόμεθα καὶ ἐπεξιέναι τῷ τύπῳ
τῷ λόγῳ, οὐκ ἐπειδὴ ἐκείνων μοι μέλει τοσοῦτον, ἀλλ' ἐπειδὴ περὶ ὑμῶν δέδοικα, μὴ κενώσητε
ὑμῶν τὴν ἀρετὴν διὰ τῆς καυχήσεως ταύτης, διὰ τῆς κατακρίσεως. ἄκουε γὰρ τοῦ
Γαλ. ς. δ. Παύλου παραινοῦντος καὶ λέγοντος· Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν
μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. εἰπέ μοι, ἂν εἰς ἰατρεῖον ἔλθῃς τραῦμα ἔχων,
μὴ ἀφεὶς φάρμακον ἐπιθεῖναι καὶ θεραπεῦσαι τὸ ἕλκος, περιεργάζῃ τὸν ἰατρὸν, εἴ τι ἕλκος
ἔχει, εἴ τι οὐκ ἔχει; κἂν ἔχῃ δὲ, φροντίζεις; ἢ ἐπειδὴ ἔχει ἐκεῖνος, τὸ σαυτοῦ οὐ θεραπεύεις, καὶ
λέγεις, ἐχρῆν αὐτὸν ὑγιαίνειν ἰατρὸν ὄντα· ἐπειδὴ οὐχ ὑγιαίνει ἰατρὸς ὢν, ἀφίημι κἀγὼ τὸ ἕλ-
κος τὸ ἐμὸν ἀνίατον; μὴ γάρ, ἂν ὁ ἱερεὺς ᾖ κακὸς, παραμυθία ἔσται τῷ ἀρχομένῳ; οὐδαμῶς,
ἀλλὰ δώσει μὲν ἐκεῖνος δίκην τὴν ὡρισμένην· δώσεις δὲ καὶ σὺ τὴν ὀφειλομένην καὶ πρέ-
Ιωαν. ς. με. πουσαν. καὶ γὰρ ὁ διδάσκαλος τάξιν λοιπὸν πληροῖ μόνον. Ἔσονται γάρ, φησι, πάντες διδακτοὶ
Ησ. νδ. ιγ. Θεοῦ, καὶ οὐ μὴ εἴπωσι, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγά-
Ιερ. α. λδ. λου αὐτῶν. τίνος οὖν ἕνεκεν, φησι, παρακάθηται; τίνος οὖν ἕνεκεν ἐφέστηκε; μὴ λέγωμεν, πα-
ραινῶ, κακῶς τοὺς διδασκάλους, μηδὲ ἀκριβολογώμεθα περὶ τούτων, ἵνα μὴ κακῶς ἑ-
αυτοὺς διαθῶμεν· τὰ ἡμέτερα ἐξετάζωμεν, καὶ οὐδένα ἐροῦμεν κακῶς. αἰδεσθῶμεν τὴν ἡμέ-
ραν ἐκείνην, καθ' ἣν ἡμᾶς ἐφώτισεν. ἂν πατέρα τις ἔχῃ, κἂν μυρία ἔχῃ δεινὰ, πάντα
Σειρ. γ. ιβ. συσκιάζει. Μὴ δοξάζου γάρ, φησιν, ἐν ἀτιμίᾳ πατρός σου· οὐ γάρ ἐστί σοι δόξα ὡς ὄνειδος.
κἂν ἀπολίπῃ σύνεσις, συγγνώμην ἔχε. εἰ δὲ ἐπὶ τῶν σωματικῶν πατέρων, πολλῷ μᾶλλον
ἐπὶ τῶν πνευματικῶν πατέρων ταῦτα λεκτέον. αἰδέσθητι ὅτι καθ' ἑκάστην ἡμέραν σοι
διακονεῖται, ἀναγινώσκεσθαι ποιεῖ τὰς γραφὰς, διὰ σὲ τὸν οἶκον κοσμεῖ, διὰ σὲ ἀγρυπνεῖ,
διὰ σὲ εὔχεται, ὑπὲρ σοῦ ἕστηκε τὸν Θεὸν παρακαλῶν, διὰ σὲ λιτὰς ποιεῖ, ὑπὲρ σοῦ πᾶσα
αὐτῷ ἡ θρησκεία. ταῦτα αἰδέσθητι, ταῦτα ἐννόησον, μετὰ πάσης εὐλαβείας πρόσιθι. εἰπέ
μοι, φαῦλός ἐστι; καὶ τί τοῦτο; ὁ γὰρ μὴ φαῦλος αὐτός σοι χαρίζεται τὰ μεγάλα ἀγαθά; οὐ-
δαμῶς. πρὸς τὴν πίστιν τὴν σὴν τὸ πᾶν ἐνεργεῖται. οὔτε ὁ δίκαιος ὠφελῆσαι ἂν, μὴ ὄν-
α. Βασ. ς. τος σου πιστοῦ, οὔτε ὁ φαῦλος βλάψει τι, ὄντος σου πιστοῦ. διὰ βοῶν ἐνήργησεν ὁ Θεὸς ἐπὶ
τῆς κιβωτοῦ, ὅτε ἐβούλετο σῶσαι τὸν λαόν. μὴ γὰρ ὁ βίος τοῦ ἱερέως, μὴ γὰρ ἡ ἀρετὴ τοσοῦ-
τόν τι συντελεῖ; οὐκ ἔστι τοιαῦτα ἃ χαρίζεται ὁ Θεὸς, ὡς ὑπὸ ἱερατικῆς ἀρετῆς γίνεσθαι.
τὸ πᾶν τῆς χάριτός ἐστι, τούτου ἐστὶν ἀνοῖξαι μόνον τὸ στόμα· τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, σύμ-
Ματθ. γ. ια. ιδ. βολον οὗτος πληροῖ μόνον. ἐννόησον ὅσον ἐστὶ τὸ μέσον Ἰωάννου καὶ τοῦ Ἰησοῦ. ἄκουε γὰρ Ἰωάννου
Ιωαν. α. ιε. λέγοντος, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ, Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα
τοῦ ὑποδήματος. ἀλλ' ὅμως καὶ τοσούτου ὄντος τοῦ μέσου, καὶ πνεῦμα κατῆλθεν, ὅπερ οὐκ
εἶχεν Ἰωάννης. Ἐκ γὰρ τοῦ πληρώματος αὐτοῦ, φησιν, ἡμεῖς πάντες ἐλάβομεν. ἀλλ' ὅμως πρὶν
ἢ βαπτισθῆναι, οὐ κατῆλθεν· οὐ μὴν οὐδὲ Ἰωάννης ἐποίησεν αὐτὸ κατενεχθῆναι. τί οὖν
τοῦτο γέγονεν; ἵνα μάθῃς ὅτι σύμβολον ὁ ἱερεὺς πληροῖ. οὐδεὶς ἀνθρώπων ἀνθρώπου τοσοῦτον
ἀφέστηκε,

ἀφέστηκεν, ὅσοι Ἰωάννης τοῦ Ἰησοῦ, ἀλλ' ὅμως ἐπ' αὐτοὺς κατῆλθε τὸ πνεῦμα, ἵνα μάθῃς ὅτι τὸ πᾶν ὁ Θεὸς ἐργάζεται, ὅτι τὸ πᾶν ὁ Θεὸς ποιεῖ. βούλομαί τι παράδοξον εἰπεῖν· ἀλλὰ μὴ θαυμάσητε, μηδὲ θορυβηθῆτε. τί δὲ τοῦτό ἐστιν; ἡ προσφορὰ ἡ αὐτή ἐστι, κἂν ὁ τυχὼν προσενέγκῃ, κἂν Παῦλος, κἂν Πέτρος, ἡ αὐτή ἐστιν, ἣν ὁ Χριστὸς τοῖς μαθηταῖς ἔδωκε, καὶ ἣν νῦν οἱ ἱερεῖς ποιοῦσιν. οὐδὲν αὕτη ἐλάττων ἐκείνης, ὅτι καὶ ταύτην οὐκ ἄνθρωποι ἁγιάζουσιν, ἀλλ' αὐτὸς ὁ καὶ ἐκείνην ἁγιάσας. ὥσπερ γὰρ τὰ ῥήματα, ἅπερ ὁ Θεὸς ἐφθέγξατο, τὰ αὐτά ἐστιν, ἅπερ ὁ ἱερεὺς καὶ νῦν λέγει, οὕτω καὶ ἡ προσφορὰ ἡ αὐτή ἐστι, καὶ τὸ βάπτισμα ὅπερ ἔδωκεν. οὕτω τὸ πᾶν τῆς πίστεώς ἐστιν. ἐπεπήδησεν εὐθέως τὸ πνεῦμα ἐπὶ Κορνήλιον, ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο, καὶ τὴν πίστιν εἰσήνεγκε. καὶ τοῦτο τοίνυν σῶμά ἐστι, κἀκεῖνο· ὁ δὲ νομίζων τοῦτο ἔλαττον ἐκείνου εἶναι, οὐκ οἶδεν ὅτι ὁ Χριστὸς καὶ νῦν πάρεστι, καὶ νῦν ἐνεργεῖ. ταῦτα τοίνυν εἰδότες (οὐδὲ γὰρ ἁπλῶς εἴρηται ἡμῖν ταῦτα πάντα, ἀλλ' ἵνα διορθώσωμεν ὑμῶν τὴν γνώμην, καὶ ἀσφαλεστέρους εἰς τὸ ἑξῆς ἐργασώμεθα) πολλὴν τῶν εἰρημένων τὴν φυλακὴν ἐπιδείξασθε. ἂν δὲ ἀεὶ μὲν ἀκούωμεν, περιπλῶμεν δὲ μηδέποτε, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν λεγομένων. προσέχωμεν τοίνυν ἀκριβῶς, προσέχωμεν τοῖς λεχθεῖσι μετ' ἐπιμελείας, ἀπογράψωμεν αὐτὰ ἐπὶ τῆς διανοίας τῆς ἡμετέρας, ἔχωμεν ἀεὶ κεκολλημμένα τῷ συνειδότι, καὶ διηνεκῶς δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι.

Λογ. γ. 13 ΥΠΟΤΥΠΩΣΙΝ ΕΧΕ ΥΓΙΑΙΝΟΝΤΩΝ ΛΟΓΩΝ, ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ.

14 Τὴν καλὴν παραθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. 15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελος, καὶ Ἑρμογένης. 16 Δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη. 17 Ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερόν με ἐζήτησε, καὶ εὗρε. 18 Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

Οὐ διὰ γραμμάτων μόνον τὰ πρακτέα ὑπετίθετο τῷ μαθητῇ, ἀλλ' ἤδη καὶ διὰ ῥημάτων. καὶ τοῦτο πολλαχοῦ καὶ ἐν ἄλλοις ἐδήλωσε λέγων, Εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν· πολλῷ δὲ μᾶλλον καὶ ἐνταῦθα. (2. Θεσσ. 2.) μὴ τοίνυν ἐλλιπῶς εἰρῆσθαι τὰ κατὰ τὴν διδασκαλίαν νομίσωμεν. πολλὰ γὰρ αὐτῷ καὶ ἀγράφως παρέδωκεν, ἅπερ οὖν ἀναμιμνήσκων αὐτὸν ἔλεγεν, ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας. τί δέ ἐστιν ὅ φησι; καθάπερ ἐπὶ τῶν ζωγράφων ἐντετύπωσαί μου, φησὶν, εἰκόνα σοι τῆς ἀρετῆς, καὶ τῶν τῷ Θεῷ δοκούντων ἁπάντων ὥσπερ τινὰ κανόνα καὶ ἀρχέτυπον καὶ ὅρους καταβαλὼν εἰς τὴν σὴν ψυχήν. ταῦτα οὖν ἔχε· κἂν περὶ πίστεως, κἂν περὶ ἀγάπης, κἂν περὶ σωφρονισμοῦ δέῃ τι βουλεύσασθαι, ἐκεῖθεν λάμβανε τὰ παραδείγματα. οὐ δεήσει σοι παρ' ἑτέρων εἰκόνα ζητεῖν, πάντων ἐκεῖ καταχειμένων. τὴν καλὴν παραθήκην φύλαξον. πῶς; διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. οὐ γάρ ἐστιν ἀνθρωπίνης ψυχῆς, οὐδὲ δυνάμεως τοσαῦτα ἐμπιστευθέντα, ἀρκέσαι πρὸς τὴν φυλακήν. διὰ τί; ὅτι πολλοὶ οἱ λῃσταὶ, σκότος βαθὺ, ὁ διάβολος ἐφέστηκεν ἤδη καὶ ἐφεδρεύει. οὐκ οἴδαμεν ποίᾳ ὥρᾳ, ποίῳ καιρῷ ἐπιτίθεται. πῶς οὖν ἀρκέσομεν πρὸς τὴν φυλακήν, φησι; διὰ πνεύματος ἁγίου, τουτέστιν, ἐὰν τὸ πνεῦμα ἔχωμεν παρ' ἡμῖν * ἐὰν μὴ τὴν χάριν φυγαδεύσωμεν, παρέσται. ἐὰν γὰρ μὴ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκο- (* Ψαλ. ρκς. α.)

πίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν. τοῦτο τεῖχος ἡμῖν, τοῦτο φρούριον, τοῦτο καταφυγή. Εἰ τοίνυν ἐνοικεῖ, καὶ αὐτὸ φυλάττει, τίς χρεία παραγγελίας; ἵνα αὐτό, φησι, κατέχωμεν, ἵνα αὐτὸ φυλάττωμεν, καὶ μὴ διώκωμεν διὰ τῶν φαύλων πράξεων. Εἶτα ἐξηγεῖται τοὺς πειρασμούς, οὐχὶ καταβαλεῖν τὸν μαθητὴν βουλόμενος, ἀλλὰ διαναστῆσαι, ἵνα εἴ ποτε καὶ αὐτὸς περιπέσοι τούτοις, μὴ ξενοπαθῇ πρὸς τὸν διδάσκαλον ἀφορῶν, καὶ μεμνημένος πάντων τῶν συμβάντων αὐτῷ. τί οὖν φησιν; ἐπειδὴ εἰκὸς ἦν αὐτὸν συλληφθέντα ἐγκαταλειφθῆναι, καὶ μηδεμιᾶς ἀπολαῦσαι φιλανθρωπίας, μηδὲ ῥοπῆς, μηδὲ βοηθείας, ἀλλὰ καὶ ὑπ' αὐτῶν τῶν πιστῶν καὶ φίλων προδεδόσθαι, ἄκουε τί φησιν. οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ. Εἰκὸς ἦν ἐν Ῥώμῃ εἶναι πολλοὺς τότε ἀπὸ τῆς Ἀσίας μερῶν· ἀλλ' οὐδείς μοι προσέστη, φησιν, οὐδείς με ἐγνώρισε, πάντες ἀπηλλοτριώθησαν. καὶ ὅρα τὴν φιλόσοφον αὐτοῦ ψυχήν. Εἶπε τὸ γινόμενον μόνον, οὐχὶ κατηράσατο αὐτοῖς· ἀλλὰ τὸν μὲν πράξαντα τοῦτο καὶ ἐπῄνεσε, καὶ ἐπεύχεται τούτῳ μυρία ἀγαθά, ἐκείνοις δὲ οὐ κατηράσατο. ἀλλὰ τί φησιν; ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. Δῴη ἔλεος ὁ Κύριος, φησι, τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε. θέα πῶς πανταχοῦ τὴν αἰχμαλωσίαν λέγει, οὐ τὸν κίνδυνον, ὥστε μὴ φοβηθῆναι τὸν Τιμόθεον, καίτοι κινδύνων τὸ πρᾶγμα ἔγεμε. προσέκρουσε γὰρ τότε τῷ Νέρωνι, τινὰ τῶν διακειμένων αὐτῷ οἰκειωσάμενος. ἀλλὰ γενόμενος, φησιν, ἐν Ῥώμῃ οὐ μόνον οὐκ ἔφυγέ μου τὴν συντυχίαν, ἀλλὰ καὶ ἐπεζήτησέ με, καὶ εὗρε. Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις. τοιούτους εἶναι χρὴ τοὺς πιστούς, μήτε φόβῳ, μήτε ἀπειλῇ, μήτε αἰχμαλωσίᾳ κωλύεσθαι, ἀλλὰ συμπράττειν ἀλλήλοις, καθάπερ ἐν πολέμῳ παρεστάναι καὶ βοηθεῖν. οὐ γὰρ τοῖς κινδυνεύουσι τοσοῦτον, ὅσον ἑαυτοῖς χαρίζονται, κοινωνοὺς ἑαυτοὺς ποιοῦντες, διὰ τῶν εἰς ἐκείνους γεγενημένων, τῶν ἐκείνοις ὀφειλομένων στεφάνων. οἷον, ἐν θλίψει καθέστηκέ τις τῶν ἀνακειμένων Θεῷ, πολλὰ πάσχει δεινά, καὶ μετὰ πολλῆς τῆς καρτερίας ἀθλῶν· σὺ οὐδέπω πρὸς τὸν ἀγῶνα τοῦτον ἐλήλυθας· ἔξεστί σοι, εἰ βουληθείης, καὶ μὴ ἐμβάντι εἰς τὸ στάδιον, μεριστῇ γενέσθαι τῶν ἀποκειμένων αὐτῷ στεφάνων, προνοοῦντι, ἀλείφοντι, προτρέποντι, διεγείροντι. καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἄκουσον τί φησιν ἑτέρωθι γράφων,

Φιλ. δ. ιδ. ιε.

Πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει· καὶ πάλιν, Ὅτι καὶ ἐν Θεσσαλονίκῃ, καὶ ἅπαξ, καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. καὶ πῶς οἱ ἀπόντες τῷ μὴ παρόντι ἐκοινώνησαν τῆς θλίψεως; πῶς; ὅτι ἐπέμψατέ μοι, φησι, τὰ εἰς τὴν χρείαν καὶ ἅπαξ, καὶ δίς.

Φιλιπ. β. λ.

καὶ πάλιν περὶ τοῦ Ἐπαφροδίτου λέγων φησίν· Ὅτι ἤγγισε μέχρι θανάτου παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων οὐχ οἱ πολεμοῦντες μόνον, ἀλλὰ καὶ οἱ τὰ σκεύη φυλάττοντες τιμῆς μετέχουσι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ τῶν ἴσων πολλάκις ἐπέτυχον δώρων, καίτοιγε οὐδὲ τὰς χεῖρας αἱμάξαντες, οὐδὲ τὰ ὅπλα θέμενοι, ἀλλ' οὐδὲ ὅλως τὴν παράταξιν θεασάμενοι τῶν πολεμίων· πολλῷ μᾶλλον ἐπὶ τούτων τῶν θλίψεων. ὁ γὰρ βοηθῶν τῷ ἀθλητῇ λιμῷ τηκομένῳ, ὁ παρών, ὁ λόγοις παρακαλῶν, ὁ τὴν ἄλλην θεραπείαν ἅπασαν παρέχων τὸ ἴσον ἔχει τῷ ἀθλοῦντι. μὴ γάρ μοι Παῦλον ἐννοήσῃς τὸν ἀθλητήν, τὸν ἄμαχον καὶ ἀκαταγώνιστον, ἀλλὰ ἄλλον τινὰ τῶν πολλῶν, ὃς εἰ μὴ ἔτυχε πολλῆς προθυμίας, πολλῆς παρακλήσεως, οὐκ ἂν ἴσως ἔστη, οὐκ ἂν ἠγωνίσατο. ὥστε οἱ ἔξω τῶν ἀγώνων τῷ εἰς τοὺς ἀγῶνας ἐμβεβηκότι τῆς νίκης γεγένασιν αἴτιοι, καὶ τῶν ἐπὶ τῇ νίκῃ κειμένων στεφάνων γένοιντ' ἂν μέτοχοι. καὶ τί θαυμαστόν, εἰ τοῖς ἔτι ζῶσι κοινωνεῖ τις τῶν αὐτῶν ἀξιοῦται τοῖς ἀγωνιζομένοις; ὥσπερ οὖν καὶ τοῖς ἀπελθοῦσι, τοῖς ἤδη κειμένοις, τοῖς ἐστεφανωμένοις, τοῖς οὐδενὸς δεομένοις ἐστὶ κοινωνεῖν καὶ μετὰ θάνατον. ἄκουε γὰρ τοῦ Παύλου λέγοντος, Ταῖς

μνείαις

μνείαις τῶν ἁγίων κοινωνοῦντες. καὶ πῶς, φησὶν, ἔστι κοινωνεῖν; ὅταν θαυμάσῃς τὸν ἄνδρα, ὅταν ἐργάσῃ τι τούτων ἐφ' οἷς ἐκεῖνος ἐστεφανώθη, κεκοινώνηκας αὐτῷ τῶν ἄθλων, καὶ τῶν στεφάνων δηλονότι. Δῴη αὐτῷ, φησιν, ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἠλέησέ με, φησίν· οὐκοῦν ἕξει τὴν ἀνταπόδοσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ καὶ φρικτῇ, ἔνθα πολλοῦ ἐλέους χρεία ἡμῖν. Δῴη αὐτῷ, φησιν, ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου. δύο Κύριοι; οὐδαμῶς, ἀλλ' ἡμῖν εἷς Κύριος Χριστὸς Ἰησοῦς, καὶ εἷς Θεός. ἐντεῦθεν οἱ τὰ Μαρκίωνος νοσοῦντες ἐπιπηδῶσι τῷ εἰρημένῳ. ἀλλὰ μανθανέτωσαν, ὡς ἔθος τῇ γραφῇ τοῦτο, καὶ πολλαχοῦ ἔστιν εὑρεῖν ταύτῃ τῇ συνηθείᾳ τὴν γραφὴν κεχρημένην, ὡς ὅταν λέγῃ, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· καὶ πάλιν, Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ· καὶ ἀλλαχοῦ, Ἔβρεξε Κύριος παρὰ Κυρίου· τοῦτο δὲ προσώπων ἐστὶ παραστατικὸν ὁμοουσίων, οὐ φύσεως διαιρετικόν. οὐ γὰρ ἵνα δύο οὐσίας διαφερούσας ἀλλήλων, ἀλλ' ἵνα δύο πρόσωπα νοήσωμεν τῆς αὐτῆς ὄντα οὐσίας ἑκάτερα, τοῦτο λέγει. ὅρα δὲ πῶς καὶ εἶπε, Δῴη αὐτῷ Κύριος. τί τοῦτο; οὐχ ἕτερον, ἀλλ' ἔλεος. ἐπεὶ γὰρ αὐτὸς ἐλέους ἔτυχε παρὰ Ὀνησιφόρου, τοῦτο τυχεῖν ἐπεύχεται καὶ αὐτὸν παρὰ τοῦ Θεοῦ.

γὰρ εἶπεν / αὐτῷ ὁ / ...ιος ἕτερον / ἀλλ' ἔλεος

Ψαλ. ρθ. α.
Ψαλ. ιε. α.
Γεν. ιθ. κδ.

ΗΘΙΚΟΝ

Εἰ δὲ Ὀνησιφόρος ὁ κινδύνοις παραβαλὼν ἑαυτὸν ἀπὸ ἐλέους σώζεται, πολλῷ μᾶλλον ἡμεῖς. φοβεραὶ γὰρ αἱ εὐθῦναι, φοβεραὶ, καὶ πολλῆς δεόμεθα τῆς φιλανθρωπίας, ὥστε μὴ ἀκοῦσαι τὸ ῥῆμα τὸ φρικτὸν ἐκεῖνο, Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὥστε μὴ ἀκοῦσαι πάλιν ἐκεῖνο τὸ φοβερόν· Ἀπέλθετε οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ὥστε μὴ ἀκοῦσαι, Χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν· ὥστε μὴ ἀκοῦσαι ἐκεῖνο τὸ φρίκης γέμον, Ἄρατε αὐτὸν, καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ὥστε μὴ ἀκοῦσαι ἐκεῖνο τὸ πολλοῦ φόβου γέμον, Πονηρὲ δοῦλε καὶ ὀκνηρέ. φρικτὸν γὰρ σφόδρα τὸ δικαστήριον ἐκεῖνο καὶ φοβερόν· καίτοι ὁ Θεὸς ἥμερός ἐστι, καίτοι προσηνής. Θεὸς γὰρ οἰκτιρμῶν λέγεται, καὶ Θεὸς παρακλήσεως, καὶ ἀγαθὸς ὡς οὐδεὶς ἀγαθὸς, καὶ χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος, καὶ οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. πόθεν οὖν, πόθεν τοσαύτης ἀγωνίας ἡ ἡμέρα γέμει ἐκείνη; πυρὸς ἕλκεται ποταμὸς πρὸ προσώπου αὐτοῦ, βίβλοι τῶν πράξεων ἡμῶν ἀνοίγονται, αὐτὴ ἡ ἡμέρα ὡς κλίβανός ἐστι καιομένη, ἄγγελοι περιτρέχουσι, καὶ κάμινοι προστίθενται πολλαί. πῶς οὖν φιλάνθρωπος; πῶς ἐλεήμων; πῶς ἀγαθός; φιλάνθρωπος μὲν οὖν καὶ οὕτω, καὶ ἐκ τούτων μάλιστα δείκνυται αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέγεθος. διὰ γὰρ τοῦτο τοσοῦτον ἡμῖν ἐπισείει τὸν φόβον, ἵνα κἂν διὰ τούτων συνωθούμενοι πρὸς τὸν τῆς βασιλείας πόθον ποτὲ διεγερθῶμεν. θέα δέ μοι, πῶς οὐχ ἁπλῶς τῷ Ὀνησιφόρῳ μαρτυρεῖ, ἀλλά φησι· πολλάκις με ἀνέψυξε. καθάπερ ἀθλητήν τινα ὑπὸ αὐχμοῦ πιεζόμενον, ὑπὸ τῶν θλίψεων, ἀνεκτήσατό, φησι, καὶ ἀνέρρωσε. καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις. οὐ μόνον ἐν Ἐφέσῳ, φησὶν, ἀλλὰ καὶ ἐνταῦθα. τοιοῦτον γὰρ δεῖ εἶναι τὸν νήφοντα καὶ διεγηγερμένον, οὐχ ἅπαξ ἐργάζεσθαι, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, ἀλλὰ δι' ὅλης τῆς ζωῆς. ὥσπερ γὰρ τὸ σῶμα τὸ ἡμέτερον οὐχ ἅπαξ τραφὲν ἔχει τῆς ὅλης ζωῆς τὴν ὑπόστασιν, ἀλλὰ δεῖται καὶ τῆς καθημερινῆς τροφῆς· οὕτω δὴ καὶ ἐνταῦθα ἐπὶ τῆς εὐσεβείας, καθ' ἑκάστην ἡμέραν δεόμεθα τῆς ἀπὸ τῶν ἔργων βοηθείας. πολλοῦ γὰρ ἡμῖν ἐλέους χρεία. διὰ γὰρ τὰ ἁμαρτήματα ἡμῶν, καὶ ὁ φιλάνθρωπος Θεὸς ἐκεῖνα πάντα ποιεῖ, οὐδενὸς μὲν αὐτῶν δεόμενος, πάντα δὲ ποιῶν δι' ἡμᾶς. διὰ γὰρ τοῦτο πάντα ἡμῖν ἔδειξε καὶ διηγήσατο, καὶ οὐ διηγήσατο μόνον, ἀλλὰ καὶ δι' ἔργων πιστοῦται. ἀξιόπιστος μὲν γὰρ ἦν καὶ ἀπὸ ῥημάτων μόνον. ἀλλ' ἵνα μή τις ὑπερβολῆς, μηδὲ ἀπειλῆς μόνης εἶναι νομίσῃ τὰ ῥήματα, καὶ τὴν ἀπὸ τῶν ἔργων πληροφορίαν προστίθησι. πῶς; καὶ ἰδίᾳ, καὶ κοινῇ τὰς τιμωρίας ἐπάγων. καὶ ἵνα μάθῃς δι' αὐτῶν τῶν πραγμάτων, ποτὲ μὲν τὴν Φαραὼ κόλασιν, ποτὲ κατακλυσμὸν τῶν ὑδάτων ἐπάγα-

Ματθ. ζ. κγ.
Ματθ. κε. μα.
Λουκ. ιϛ. κϛ.
Ματθ. κβ. ιγ.
Ματθ. κε. κϛ.
Ιεζ. ιη.

...ενὸς

γε καὶ τὴν πανωλεθρίαν ἐκείνην, ποτὲ δὲ τὸν τοῦ πυρός. καὶ νῦν δὲ ὁρῶμεν πολλοὺς κολαζομένους τῶν πονηρῶν, καὶ δίκην τίνοντας· ἅπερ ὑποδείγματα τῆς γεέννης ἐστίν. ἵνα γὰρ μὴ καθεύδωμεν, μηδὲ ῥαθυμῶμεν, μηδὲ ἐπιλανθανώμεθα τῶν ῥημάτων, διὰ τῶν ἔργων ἡμᾶς ὑπομιμνήσκει καὶ διεγείρει, ἐν τούτῳ δείξας κριτήρια, δικαστήρια, εὐθύνας. εἶτα παρὰ ἀνθρώποις μὲν τοσαύτη τοῦ δικαίου ἐπιμέλεια, παρὰ δὲ Θεῷ τῷ καὶ ταῦτα νομοθετήσαντι οὐδεὶς τούτων λόγος; καὶ πῶς ἂν ἔχοι ταῦτα πίστιν; καὶ γὰρ καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πανταχοῦ δικαστήρια ἐστὶν ἰδεῖν. ἐν οἰκίᾳ μὲν γὰρ ὁ δεσπότης δούλοις δικάζει καθ' ἑκάστην ἡμέραν, καὶ τῶν ἁμαρτημάτων αὐτοὺς ἀπαιτεῖ εὐθύνας, καὶ τὰ μὲν κολάζει, τὰ δὲ ἀφίησιν. ἐν ἀγροῖς πάλιν ὁ γεωργὸς, καὶ ἡ γυνὴ δικάζεται καθ' ἑκάστην ἡμέραν. ἐν πλοίοις ὁ κυβερνήτης δικάζει, ἐν στρατοπέδοις ὁ στρατηγὸς τοὺς στρατιώτας. καὶ πολλὰ ἄν τις εὕροι δικαστήρια. ἐν τέχναις ὁ διδάσκαλος τῷ μαθητῇ. καὶ ἰδίᾳ τοίνυν, καὶ κοινῇ πάντες ἀλλήλοις δικάζουσι, καὶ οὐδαμοῦ τοῦ δικαίου τὸν λόγον παραμελούμενον ἴδοι τις ἄν, ἀλλὰ πάντας εὐθύνας διδόντας πανταχοῦ. εἶτα ἐν τοῖς μὲν οὕτω διέσπαρται καὶ κατὰ πόλιν, καὶ κατὰ οἰκίας, καὶ καθ' ἕνα ἕκαστον ἡ τοῦ δικαίου ζήτησις· (Ψαλ. μζ. ι.) ἐκεῖ δὲ ἔνθα δικαιοσύνης πλήρης ἡ δεξιὰ τοῦ Θεοῦ, καὶ (Ψαλ. λε. ς.) ἡ δικαιοσύνη αὐτοῦ ὡς ὄρη Θεοῦ, ἐκεῖ οὐδεὶς τοῦ δικαίου λόγος; καὶ πῶς ὁ Θεὸς ὁ κριτὴς καὶ δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος ἀνέχεται, καὶ οὐκ ἀπαιτεῖ τὰς τιμωρίας; ἐν τούτοις ἔχεις τὴν αἰτίαν. μακρόθυμος, φησίν, ἐστί, μακροθυμεῖ δὲ εἰς μετάνοιάν σε ἕλκων. ἄκουε δὲ ἐπιμένης, (Ρωμ. β. ε.) Κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν. ὁ δίκαιος τοίνυν ἐστὶ, τὸ κατ' ἀξίαν ἀποδίδωσι, καὶ οὐ περιορᾷ ἀτιμωρητὶ τοὺς πάσχοντας κακῶς. τοῦτο γὰρ δικαίου. εἰ ἰσχυρὸς, καὶ μετὰ θάνατον ἀποδίδωσι, καὶ ἐν τῇ ἀναστάσει. τοῦτο γὰρ ἰσχυροῦ. εἰ δὲ μακρόθυμος ὢν ἀνέχεται, μὴ θορυβηθῶμεν, μηδὲ λέγωμεν, διὰ τί ἐν τούτοις οὐκ ἐπεξέρχεται; εἰ γὰρ τοῦτο ἐγίνετο, πάλαι ἂν ἀνήρπαστο τὸ γένος τὸ ἀνθρώπινον, εἰ καθ' ἑκάστην ἡμέραν ἀπῄτει δίκας ἡμᾶς τῶν πεπλημμελημένων. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἡμέρα ἁμαρτημάτων καθαρὰ, ἀλλ' ἢ μέγα, ἢ μικρόν τι παρασκευαζόμεθα. ὥστε οὐδ' ἂν ἐφθάσαμεν οὐδὲ εἰς εἰκοστὸν ἔτος ἕκαστος ἐλθεῖν, εἰ μὴ πολλὴ αὐτοῦ ἦν ἡ μακροθυμία, καὶ ἡ ἀγαθότης, πολλὴν ἡμῖν παρέχουσα τὴν προθεσμίαν τῆς μετανοίας, ὥστε ἀποδύσασθαι τὰ πεπλημμελημένα. ἕκαστος τοίνυν μετὰ συνειδότος ὀρθοῦ εἰσιὼν εἰς τὰ πεπραγμένα αὐτῷ, καὶ τὸν βίον αὐτοῦ πάντα εἰς μέσον ἀγαγὼν, ἐπισκοπείτω, εἰ μὴ μυρίων τιμωριῶν ἄξιος καὶ κολάσεών ἐστι. καὶ ὅταν ἀγανακτῇ, διὰ τί μὴ ὁ δεῖνα μυρία πράττων φαῦλα δίκην δίδωσιν, ἐννοείτω τὰ ἑαυτοῦ, καὶ παύσεται τὴν ἀγανάκτησιν. ἐκεῖνα γὰρ μεγάλα φαίνεται, ἐπειδὴ ἐπὶ μεγάλοις γίνεται καὶ φανεροῖς. εἰ δὲ τὰ ἑαυτοῦ ἐξετάσειεν, ἴσως εὑρήσει πλείονα. τὸ γὰρ ἁρπάζειν, καὶ πλεονεκτεῖν, ὅμοιόν ἐστιν, ἄν τε ἐπὶ χρυσοῦ, ἄν τε ἐπὶ ἀργυρίου γίνηται. ἀπὸ γὰρ τῆς αὐτῆς διανοίας ἀμφότερα τίκτεται, καὶ ὁ τὸ μικρὸν ὑφελόμενος οὐ παραιτήσεται καὶ μέγα ὑφελέσθαι. εἰ δὲ μὴ πάρεστιν, οὐ παρ' ἐκεῖνον τοῦτο γέγονεν, ἀλλὰ παρὰ τὴν τοῦ πράγματος δυστυχίαν. ὁ τὸν πενέστερον ἀδικῶν πένης, οὐκ ἄν, εἴγε ἐδυνήθη, τὸν πλουτοῦντα παρῆκεν, ἀλλὰ τῆς ἀσθενείας, οὐ τῆς ἐκείνου προαιρέσεως τὸ πρᾶγμα γίνεται λοιπόν. ὁ δεῖνα ἀρχεῖ, φησί, καὶ τὰ τῶν ἀρχομένων ἁρπάζει. σὺ δὲ οὐχ ἁρπάζεις, εἰπέ μοι; μὴ γάρ μοι εἴπῃς, ὅτι χρυσοῦ μὲν τάλαντα ἐκεῖνος, σὺ δὲ ὀβολοὺς δέκα· ἐπεὶ καὶ ἐν τῇ ἐλεημοσύνῃ (Λουκ. κα. α.) τὸ μὲν ἔβαλον χρυσίον, ἡ δὲ δύο λεπτά, καὶ οὐδὲν ἔλαττον εἰσήνεγκεν ἐκείνων. διὰ τί; ἡ γὰρ προαίρεσις κρίνεται, καὶ οὐχ ἡ δόσις. εἶτα ἐπὶ μὲν τῆς ἐλεημοσύνης ἀξιοῖς οὕτω δικάζειν τὸν Θεὸν, καὶ μηδὲν ἔλαττον διὰ τὴν πενίαν ἀποφέρεσθαι, εἰ δύο λεπτὰ καταβάλοις, τῶν μυρία τάλαντα καταθεμένων χρυσίου, ἐπὶ δὲ τῆς πλεονεξίας οὐχ οὕτω; καὶ πῶς ἂν ἔχοι λόγον; ὥσπερ ἐκείνη δύο λεπτὰ καταβαλοῦσα ἀπὸ τῆς προαιρέσεως οὐδὲν ἔλαττον εἰσήνεγκεν, οὕτω καὶ σὺ δύο λεπτὰ ὑφελόμενος, οὐδὲν ἄμεινον ἐκείνων διάκεισαι, ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν,

γ. πλημμελημάτων

γ. ἰσ

γ. ὠφελ

γρ. ὠφελ- θ.

 κεφ. α.

πτῶν, μᾶλλον αὐτῶν πλεονεκτεῖς. ὥσπερ γὰρ κἂν τὴν τοῦ βασιλέως τις μοιχεύσῃ γυναῖκα, κἂν τὴν τοῦ πένητος, κἂν τὴν τοῦ δούλου, ὁμοίως ἐστὶ μοιχός, οὐ τῇ διαφορᾷ τῶν προσώπων τοῦ ἁμαρτήματος κρινομένου, ἀλλὰ τῇ μοχθηρίᾳ τῆς τοῦ τολμήσαντος προαιρέσεως· οὕτω δὴ καὶ ἐνταῦθα. καὶ μᾶλλον ἐγὼ μοιχὸν ἂν εἴποιμι τὸν εἰς τὴν τυχοῦσαν μοιχευόμενον, ἢ τὸν εἰς τὴν βασιλίδα αὐτήν. ἐκεῖ μὲν γὰρ ὁ πλοῦτος, καὶ ἡ ὥρα, καὶ πολλὰ ἕτερα ἦν τὰ ἐπισπώμενα, ἐνταῦθα δὲ οὐδέν· ὥστε μᾶλλον οὗτος ἂν εἴη μοιχός. πάλιν, μέθυσον ἐκεῖνον ἂν εἴποιμι μᾶλλον τὸν τῷ φαύλῳ οἴνῳ προσκεχηνμένον· οὕτω καὶ πλεονέκτην τὸν μηδὲ τῶν μικρῶν καταφρονοῦντα. ὁ μὲν γὰρ τὰ πολλὰ ἁρπάζων τῶν μικρῶν ἴσως καταφρονήσειεν ἄν· ὁ δὲ τὰ μικρὰ ὑφελόμενος, τῶν μεγάλων οὐδαμῶς· ὥστε μᾶλλον οὗτος κλέπτης ἐστίν. ὁ γὰρ μὴ καταφρονῶν ἀργυρίου, πῶς ἂν χρυσίου καταφρονήσειεν; ὥστε ὅταν τῶν ἀρχόντων κατηγορῶμεν, τὰ ἡμέτερα αὐτῶν ἀναλογισώμεθα, καὶ εὑρήσομεν μᾶλλον ἡμᾶς αὐτοὺς καὶ κλέπτοντας καὶ πλεονεκτοῦντας πλέον ἐκείνων, εἰ μὴ τῷ πράγματι, ἀλλὰ τῇ προαιρέσει ταῦτα κρινόμενα, ὥσπερ οὖν καὶ κρίνειν δίκαιον. εἰπὲ γάρ μοι, εἴ τις προσενεχθείη τὰ τοῦ πένητος λαβών, ἕτερος δὲ τὰ τοῦ πλουσίου, οὐχ ὁμοίαν ἀμφότεροι τίσουσι δίκην; τί δέ; ὁ φονεὺς οὐχ ὁμοίως ἐστὶ φονεύς, εἴτε ἀνάπηρον καὶ πένητα, εἴτε πλούσιον καὶ καλὸν ἀποκτείνῃ; ὅταν οὖν εἴπωμεν, ὅτι ὁ δεῖνα τοῦ δεῖνος τὸ χωρίον ἥρπασεν, ἐννοήσωμεν τὰ ἑαυτῶν, καὶ οὕτως οὐ τοὺς ἄλλους κατακρινοῦμεν, καὶ τὸν Θεὸν θαυμασόμεθα τῆς μακροθυμίας, καὶ οὐκ ἀγανακτήσομεν, ὅτι ἡ κρίσις οὐκ ἔρχεται ἐπ' αὐτούς, καὶ αὐτοὶ ὀκνηρότεροι ἐσόμεθα πρὸς τὴν τῶν κακῶν ἐργασίαν. ὅταν γὰρ ἴδωμεν τοὺς αὐτοὺς ὑπευθύνους ὄντας καὶ ἡμᾶς αὐτούς, οὐκέτι ὁμοίως δυσχεραίνομεν, ἀλλ' ἀποστησόμεθα τῶν ἁμαρτημάτων, καὶ ἐπιτευξόμεθα τῶν μελλόντων ἀγαθῶν.

Λογ. δ. 1 ΣΥ ΟΥΝ, ΤΕΚΝΟΝ ΜΟΥ, ΕΝΔΥΝΑΜΟΥ
ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, 2 Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ κεφ. β.
πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσον-
ται καὶ ἑτέρους διδάξαι. 3 Σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης
Ἰησοῦ Χριστοῦ. 4 Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου
πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.
5 Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.
6 Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.
7 Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι.

ΦΕρει μὲν ἐν θαλάσσῃ πολὺ τὸ θάρσος τῷ μαθητῇ τὸ τὸν διδάσκαλον ἐν ναυαγίῳ γενέσθαι, καὶ διασωθῆναι. οὐ γὰρ ἡγήσεται λοιπὸν ἀπὸ τῆς οἰκείας ἀμαθίας συμπίπτειν αὐτοὺς χειμῶνας, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων φύσεως. τοῦτο δὲ εἰς ψυχαγωγίαν οὐ μικρόν. φέρει δὲ καὶ ἐν πολέμοις τῷ ταξιάρχῃ προτρεπτικὸν τὸ τὸν στρατηγὸν τρωθέντα ὁρᾶν, καὶ ἀνενεγκόντα πάλιν. οὕτω δὴ καὶ τοῖς πιστοῖς φέρει τινὰ παραμυθίαν τὸ τὸν ἀπόστολον πολλὰ παθεῖν δεινά, καὶ ὑπ' οὐδενὸς τούτων καταμαλακισθῆναι. οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τὰ αὑτοῦ πάθη διηγεῖτο. ὁ γὰρ Τιμόθεος ἀκούων, ὅτι ὁ τοσαῦτα δυνάμενος καὶ πάσης τῆς οἰκουμένης κρατήσας, ἐν δεσμοῖς ἐστι καὶ ἐν θλίψεσι, καὶ οὐκ ἀσχάλλει, οὐδὲ δυσχεραίνει ὑπὸ τῶν οἰκείων ἐγκαταλειφθείς, εἰ καὶ αὐτὸς τὰ αὐτὰ ἔπαθεν, οὐκ ἂν ἡγήσατο ἀνθρωπίνης τὸ πρᾶγμα εἶναι ἀσθενείας, οὐδὲ διὰ τὸ μαθητὴς εἶναι καὶ ἐλάττων τοῦ Παύλου, ὅπουγε καὶ ὁ διδάσκαλος ταῦτα ἔπαθεν, ἀλλὰ διὰ τὴν τοῦ πρά-
γματος

γματος φύσει ταῦτα πάντα συμβεβηκέναι. καὶ γὰρ καὶ αὐτὸς [ταῦτα εἰργάσατο, καὶ] διὰ τοῦτο ταῦτα διηγεῖται, ἵνα αὐτὸν ῥώσῃ καὶ ἀνακτήσηται. ὅτι γοῦν τούτου ἕνεκεν τοῦτο ἐποίει, διηγησάμενος αὐτοῦ τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς, ἐπήγαγε· σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. τί λέγεις; κατέσεισας ἡμᾶς τῷ φόβῳ. εἶπες ὅτι διέσεισαι, ὅτι ἐν θλίψει εἶ, ὅτι πάντες σε ἀπεστράφησαν· καὶ ὥσπερ εἰρηκὼς, ὅτι οὐδὲν πέπονθας δεινὸν, οὐδὲ ὑπό τινων ἐγκατελείφθης, οὕτως ἐπάγεις, σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ; εἰκότως. ὅτι ταῦτά σε μᾶλλον ἐνεδυνάμωσεν, ἢ ἐκεῖνον. εἰ γὰρ ἐγὼ Παῦλος ταῦτα πάσχω, πολλῷ μᾶλλον σὺ ταῦτα φέρειν ὀφείλεις. εἰ ὁ διδάσκαλος, πολλῷ μᾶλλον ὁ μαθητής. καὶ μετὰ πολλῆς τῆς φιλοστοργίας τὴν παραίνεσιν προσάγει, τέκνον αὐτὸν καλῶν, καὶ οὐχ ἁπλῶς, ἀλλὰ, τέκνον ἐμόν. εἰ τέκνον εἶ, φησὶ, τὸν πατέρα μιμοῦ· εἰ τέκνον εἶ, ἐνδυναμοῦ οἷς εἶπον· μᾶλλον δὲ οὐκ ἀπὸ τῶν διηγημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ. ἐνδυναμοῦ γὰρ, φησὶν, ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. τουτέστι, διὰ τῆς χάριτος τοῦ Χριστοῦ· τουτέστι, στῆθι γενναίως, οἶδας τὴν παράταξιν. ἐπεὶ καὶ ἀλλαχοῦ λέγων, (Εφεσ. ς ιβ.) Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, οὐχὶ καταβάλλων αὐτοὺς λέγει, ἀλλὰ διεγείρων. οὐκοῦν νῆφε, φησὶ, γρηγόρει, ἔχεις τὴν χάριν τοῦ Κυρίου συμμαχοῦσαν καὶ συναγωνιζομένην, πολλῇ τῇ προθυμίᾳ καὶ τῇ προαιρέσει τὰ παρὰ σεαυτοῦ εἴσφερε. καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις· πιστοῖς, οὐ ζητητικοῖς, οὐ συλλογιστικοῖς· πιστοῖς· ποίοις; τοῖς μὴ προδιδοῦσι τὸ κήρυγμα. ἃ ἤκουσας, οὐχ ἃ συνεζήτησας. (Ρωμ. ι. ιζ.) Ἡ πίστις γὰρ ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. τί ἐστι, διὰ πολλῶν μαρτύρων; ὡς ἂν εἰ ἔλεγεν, οὐ λάθρα ἤκουσας, οὐδὲ κρυφῇ, ἀλλὰ πολλῶν παρόντων, μετὰ παρρησίας. οὐκ εἶπεν, εἰπὲ, ἀλλὰ, παράθου, καθάπερ ἐπὶ θησαυροῦ* τὸ παρατιθέμενον ἐν ἀσφαλείᾳ παρακατατίθεται. πάλιν φοβεῖ τὸν μαθητὴν καὶ ἀπὸ τῶν ἄνω, καὶ ἀπὸ τῶν κάτω. ἀλλ' οὐ πιστοῖς μόνον λέγει, παράθου. τί γὰρ ὄφελος ὅταν πιστὸς μὲν ᾖ, μὴ δυνήσεται δὲ εἰς ἑτέρους ἐξάγειν τὴν διδασκαλίαν; ὅταν αὐτὸς μὲν μὴ προδῷ τὴν πίστιν, ἑτέρους δὲ μὴ κατασκευάζῃ τοιούτους; δύο τοίνυν ἔχειν χρὴ τὸν διδάσκαλον, καὶ πιστὸν εἶναι, καὶ διδακτικόν. διὰ τοῦτό φησιν, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. βαβαὶ, πόσον τὸ ἀξίωμα, στρατιώτην εἶναι τοῦ Χριστοῦ; ἐννόησον τοὺς βασιλέας τοὺς ἐπὶ τῆς γῆς, πῶς μέγα τι εἶναι νομίζουσιν οἱ ὑπ' αὐτοὺς στρατευόμενοι. εἰ τοίνυν τὸ κακοπαθεῖν βασιλικοῦ στρατιώτου, τὸ μὴ κακοπαθεῖν οὐκ ἔστι στρατιώτου. ὥστε οὐ χρὴ δυσχεραίνειν, εἰ κακοπαθεῖς (τοῦτο γὰρ ἐστὶ στρατιώτου) ἀλλὰ δυσχεραίνειν εἰ μὴ κακοπαθοίης. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. ταῦτα εἴρηται μὲν πρὸς Τιμόθεον, λέγεται δὲ πρὸς πάντα καὶ διδάσκαλον καὶ μαθητὴν δι' ἐκείνου. μηδεὶς τοίνυν ἀπαξιούτω τῶν τὴν ἐπισκοπὴν ἐχόντων ταῦτα ἀκούων, ἀλλ' ἀπαξιούτω μὴ ταῦτα πράττων. ἐὰν ἀθλῇ τις, φησὶν, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. τί ἐστιν, ἐὰν μὴ νομίμως; οὐκ, ἐὰν εἰς τὸν ἀγῶνα εἰσέλθῃ, ἀρκεῖ τοῦτο, οὐδὲ ἐὰν ἀλείψηται, οὐδὲ ἐὰν συμπλακῇ, ἀλλ' ἂν μὴ πάντας τοὺς τῆς ἀθλήσεως νόμους φυλάττῃ, καὶ τοὺς ἐπὶ σιτίων, καὶ τοὺς ἐπὶ σωφροσύνης καὶ σεμνότητος, καὶ τοὺς ἐν παλαίστρᾳ, καὶ πάντα ἁπλῶς διέλθοι τὰ τοῖς ἀθληταῖς προσήκοντα, οὐδέποτε στεφανοῦται. καὶ ὅρα τοῦ Παύλου τὴν σοφίαν. ἀθλήσεως καὶ στρατιωτῶν ἐμνήσθη, τὸ μὲν, ὥστε ἕτοιμον εἶναι πρὸς σφαγὰς καὶ φόνους καὶ αἵματα· τὸ δὲ καρτερικὸν, ἵνα πάντα γενναίως φέρῃ, ἵνα διαπαντὸς ἐν ἀσκήσει ᾖ. τὸν κοπιῶντα γεωργὸν, φησὶ, δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. εἶπεν ἀπὸ τῶν αὐτοῦ παραδειγμάτων, εἶπεν ἀπὸ τοῦ διδασκάλου, λέγει λοιπὸν καὶ ἀπὸ τῶν κοινῇ συμβαινόντων, τῶν ἀθλητῶν, τῶν στρατιωτῶν. καὶ τίθησιν ἐκεῖ τὰ ἔπαθλα, τὸ μὲν, ἵνα ἀρέσῃ τῷ στρατολογήσαντι· τὸ δὲ, ἵνα στεφανωθῇ.

φανωθῇ. καὶ λέγει καὶ τρίτον ὑπόδειγμα ὃ μάλιστα αὐτῷ ἁρμόζει. τὸ μὲν γὰρ τοῦ στρατιώτου, καὶ τὸ τοῦ ἀθλητοῦ καὶ τοῖς ἀρχομένοις κατάλληλον, τὸ δὲ τοῦ γεωργοῦ λοιπὸν τῷ διδασκάλῳ. μὴ ὡς στρατιώτης, μηδὲ ὡς ἀθλητὴς μόνον, ἀλλὰ καὶ ὡς γεωργός*. ὁ γεωργὸς οὐχ ἑαυτοῦ ἐπιμελεῖται μόνον, ἀλλὰ καὶ τῶν καρπῶν τῆς γῆς· τουτέστιν, οὐ μικρὰν ἀμοιβὴν τῶν πόνων καρποῦται καὶ ὁ γεωργός. ἐνταῦθα καὶ τοῦ Θεοῦ τὸ ἀνενδεὲς δείκνυσι, καὶ τὴν ἀντίδοσιν τῆς διδασκαλίας, πρᾶγμα εἰπὼν κοινόν. ὥσπερ, φησίν, ὁ γεωργὸς οὐκ ἀνόητα ποιεῖ, ἀλλὰ πρὸ τῶν ἄλλων αὐτὸς ἀπολαύει τῶν πόνων τῶν οἰκείων, οὕτω καὶ τὸν διδάσκαλον εἰκός. ἢ τοῦτο, ἢ περὶ τοῦ τιμᾶσθαι τοὺς διδασκάλους φησίν. ἀλλ᾽ οὐκ ἔχει λόγον. πῶς γὰρ οὐχ ἁπλῶς γεωργὸν εἶπεν, ἀλλὰ τὸν κοπιῶντα; οὐδὲ ἁπλῶς τὸν κάμνοντα, ἀλλὰ τὸν κοπιώμενον; ἐνταῦθα καὶ περὶ τὴν μέλλησιν ἵνα μηδεὶς δυσχεραίνῃ, ἤδη, φησίν, ἀπολαμβάνεις, ἢ ὅτι ἐν αὐτῷ τῷ κόπῳ ἡ ἀντίδοσις. ἐπειδὴ οὖν τὰ παραδείγματα ἔθηκε τὸ τῶν στρατιωτῶν, καὶ ἀθλητῶν, καὶ γεωργῶν, καὶ πάντα ἁπλῶς αἰνιγματωδῶς, οὐδείς, φησι, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. καὶ εἰπών, τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν, ἐπήγαγε· Νόει ὃ λέγω· δῴη γάρ σοι ὁ Θεὸς σύνεσιν ἐν πᾶσι. τούτων γὰρ ἕνεκεν ταῦτα εἴρηται ἐν παροιμίᾳ, καὶ παραβολῇ. εἶτα πάλιν τὸ φιλόστοργον αὐτοῦ δεικνύς, οὐ παύεται ἐπευχόμενος αὐτῷ, ἅτε ὡς ὑπὲρ γνησίου τέκνου δεδοικώς, καί φησι·

8 Μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν μου,

9 Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος. Τίνος ἕνεκεν ἐνταῦθα τούτου μέμνηται; μάλιστα μὲν οὖν καὶ πρὸς τοὺς αἱρετικοὺς ἀποτεινόμενος, ἅμα δὲ καὶ ἀνακτώμενος αὐτόν, καὶ δεικνὺς τῶν παθημάτων τὸ κέρδος, ὅτι καὶ αὐτὸς ὁ διδάσκαλος ἡμῶν ὁ Χριστὸς διὰ πάθους τὸν θάνατον κατηγωνίσατο. τοῦτο μνημόνευε, φησι, καὶ ἕξεις παράκλησιν ἱκανήν. μνημόνευε, φησι, Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ. ἤδη γὰρ ἐξ ἐκείνου ἤρξαντό τινες τὴν οἰκονομίαν ἀνατρέπειν, ἐπαισχυνόμενοι τῷ μεγέθει τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τοιαῦτα γὰρ ἦν ἃ εὐηργέτησεν ἡμᾶς ὁ Θεός, ὡς τοὺς ἀνθρώπους αἰσχύνεσθαι περιάπτειν αὐτὰ τῷ Θεῷ, καὶ ἀπιστεῖν ὅτι τοσοῦτον κατέβη. κατὰ τὸ εὐαγγέλιόν μου, φησι. πολλαχοῦ τοῦτο τίθησι τῶν ἐπιστολῶν λέγων, κατὰ τὸ εὐαγγέλιόν μου, ἢ ἐπεὶ αὐτῷ πείθεσθαι ἐχρῆν, ἢ ἐπεὶ καὶ ἕτεροι ἦσαν εὐαγγελιζόμενοι ἕτερα. ἐν ᾧ κακοπαθῶ, φησι, μέχρι δεσμῶν, ὡς κακοῦργος. πάλιν παρ᾽ ἑαυτοῦ τὴν παραμυθίαν εἰσάγει, πάλιν τὴν προτροπήν. ἃ καὶ δύο τούτοις τὸν ἀκροατὴν ἀλείφει, τῷ τε εἰδέναι κακοπαθεῖν, καὶ τῷ μὴ ἐπ᾽ οὐδενὶ χρησίμῳ τοῦτο ποιεῖν. οὕτω μὲν κερδαίνεις, ἐκείνως δὲ καὶ βλαβήσεται. τί γὰρ ὄφελος, ἐὰν δείξῃς τὸν διδάσκαλον κακοπαθοῦντα μέν, ἐπ᾽ οὐδενὶ δὲ χρησίμῳ; ἀλλ᾽ ἐκεῖνο θαυμαστόν, εἰ ἐπί τινι χρησίμῳ, εἰ ἐπ᾽ ὠφελείᾳ τῶν διδασκομένων. Ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται.

α. Κορ. ιε. α.
α. Τιμ. α. ια.

Τουτέστιν, εἰ μὲν κοσμικοὶ ἦμεν στρατιῶται, φησίν, ἢ εἰ πόλεμον ἐπολεμοῦμεν αἰσθητόν, ἴσχυε ταῦτα τὰ δεσμὰ τὰς χεῖρας κατέχοντα· νῦν δὲ τοιούτους ἡμᾶς ἐποίησεν ὁ Θεός, ὡς μηδενὶ καταγωνίζεσθαι. δεσμοῦνται μὲν γὰρ αἱ χεῖρες, ἀλλ᾽ οὐχ ἡ γλῶττα. γλῶτταν γὰρ οὐδεὶς δῆσαι δύναται, ἀλλ᾽ ἡ δειλία μόνον καὶ ἀπιστία ὡς ἂν ταύτην μὴ ἔχωμεν, κἂν περιβάλῃς δεσμά, τὸ κήρυγμα οὐ δέδεται. οἷον γεωργόν τις ἐὰν δήσῃ, τὸν σπόρον ἐνεπόδισε (τῇ χειρὶ γὰρ σπείρει) διδάσκαλον ἐὰν δήσῃς, τὸν λόγον οὐκ ἐνεπόδισας. τῇ γλώττῃ γὰρ σπείρει, οὐ τῇ χειρί. οὐχ ὑποβάλλεται τοίνυν δεσμῷ ὁ λόγος ὁ ἡμέτερος. ἡμῶν γὰρ δεδεμένων, ἐκεῖνος λέλυται καὶ τρέχει. πῶς, φησιν; ὅτι ἰδοὺ καὶ δεδεμένοι κηρύττομεν. τοῦτο εἰς προτροπὴν τῶν λελυμένων. εἰ ἡμεῖς δεδεμένοι κηρύττομεν, πολλῷ μᾶλλον ὑμᾶς τοὺς λελυμένους τοῦτο ποιεῖν χρή. ἤκουσας ὅτι ὡς κακοῦργος ταῦτα πάσχω· μὴ κατηφὴς γίνου. πολὺ γὰρ τὸ θαῦμα δεδεμένους ὄντας τὰ τῶν λελυμένων ποιεῖν, δεδεμένον πάντων περιγενέσθαι, δεδεμένον καταγωνίζεσθαι.

καταγωνίζεσθαι τοὺς δεδεκότας. Θεοῦ γάρ ἐστιν ὁ λόγος, οὐχ ἡμῶν. δεσμὰ δὲ ἀνθρώπινα Θεοῦ λόγον περιβαλεῖν οὐ δύνανται. ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς.

10 Διὰ τοῦτο γάρ, φησι, πάντα πάσχω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου. Ἰδοὺ καὶ ἄλλη προτροπή. οὐχ ὑπὲρ ἐμαυτοῦ, φησιν, ἀλλ' ὑπὲρ τῆς ἑτέρων σωτηρίας ταῦτα ὑπομένω. ἐξὸν ἦν ἀκινδύνως ζῆν, ἐξὸν ἦν μηδὲν τούτων παθεῖν, εἴ γε τὰ ἐμαυτοῦ ἐσκόπουν. ἀλλὰ διὰ τίνα ταῦτα πάσχω; ὑπὲρ τῶν ἀλλοτρίων ἀγαθῶν, ἵνα ἄλλοι τύχωσι ζωῆς αἰωνίου. τί οὖν καὶ ἐπαγγέλλῃ; οὐχ ἁπλῶς εἶπε, διὰ τούσδε, ἀλλά, διὰ τοὺς ἐκλεκτούς. εἰ ὁ Θεὸς αὐτοὺς ἐξελέξατο, πάντα ἡμᾶς δεῖ πάσχειν ὑπὲρ αὐτῶν, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι. τῷ εἰπεῖν, καὶ αὐτοί, δεικνύντος ἐστὶ καὶ λέγοντος, ὡς καὶ ἡμεῖς. καὶ γὰρ καὶ ἡμᾶς ὁ Θεὸς ἐξελέξατο. καὶ ὥσπερ δι' ἡμᾶς ὁ Θεὸς ἔπαθεν, οὕτω καὶ ἡμεῖς δι' ἐκείνους. ὥστε ἀνταπόδοσίς ἐστι τὸ πρᾶγμα, οὐχὶ χάρις. ἐπὶ μὲν τοῦ Θεοῦ, χάρις ἦν (οὐ γὰρ προευπαθὼν εὐηργέτησεν) ἐπὶ δὲ ἡμῶν, ἀντίδοσις. προευπαθόντες ἡμεῖς παρὰ τοῦ Θεοῦ, πάσχομεν ὑπὲρ τούτων ὧν πάσχομεν, ἵνα σωτηρίας τύχωσι. τί λέγεις; ποίας σωτηρίας; ὁ σεαυτῷ αἴτιος μὴ ὢν σωτηρίας, ἀλλὰ ἀπολλύμενος, ἑτέρῳ σωτηρίας αἴτιος γίνῃ; διὰ τοῦτο προσέθηκεν· οὐ ταύτης, φησίν, ἀλλὰ τῆς ἐν Χριστῷ Ἰησοῦ, τῆς ὄντως σωτηρίας, μετὰ δόξης αἰωνίου. ὀδυνηρὰ τὰ παρόντα, ἀλλ' ἐπὶ τῆς γῆς· κατηφῆ τὰ παρόντα, ἀλλὰ πρόσκαιρα· ἀηδίας μεστὰ καὶ ὀδύνης, ἀλλὰ μέχρι σήμερον καὶ αὔριον μόνον. τὰ μέντοι χρηστά, οὐ τοιαῦτα, ἀλλ' αἰώνια, ἀλλ' ἐν οὐρανῷ. ὄντως ἐκείνη δόξα, αὕτη δὲ ἀτιμία.

ΗΘΙΚΟΝ

Θέα γάρ μοι, ἀγαπητέ· οὐκ ἔστι δόξα ἐπὶ τῆς γῆς, ἀλλ' ἡ ὄντως δόξα ἐν οὐρανοῖς ἐστιν. εἰ δέ τις δοξάζεσθαι βούλεται, ἀτιμαζέσθω· εἴ τις ἀνέσεως βούλεται τυχεῖν, θλιβέσθω· εἴ τις διαπαντὸς εὐδοκιμεῖν καὶ τρυφᾶν, τὰ πρόσκαιρα διαπτυέτω. ὅτι δὲ ἡ ἀτιμία δόξα ἐστίν, ἡ δὲ δόξα ἀτιμία, φέρε, κατὰ δύναμιν τοῦτο παραστήσωμεν, ἵνα τὴν ὄντως δόξαν ἴδωμεν. οὐκ ἔστιν ἐπὶ γῆς δοξάζεσθαι· εἰ δὲ βούλει δοξάζεσθαι, δι' ἀτιμίας. καὶ φέρε ἐπὶ τῶν δύο προσώπων τοῦτο ἐξετάσωμεν, ἐπὶ τοῦ Νέρωνος, καὶ τοῦ Παύλου. ἐκεῖνος τὴν δόξαν εἶχε τοῦ κόσμου, οὗτος τὴν ἀτιμίαν. πῶς; τύραννος ἦν ἐκεῖνος, πολλὰ κατορθωκώς, τρόπαια στήσας, πλοῦτον ἔχων ἐπιρρέοντα, πανταχόθεν στρατόπεδα ἄπειρα, τὸ πλεῖον τῆς οἰκουμένης μέρος ὑποτεταγμένον, τὴν βασιλίδα πόλιν ὑποτεταγμένην, τὴν σύγκλητον ἅπασαν ὑποκύπτουσαν, τὰ βασίλεια αὐτὰ ἐν λαμπρῷ τῷ σχήματι προέχει. εἴ ποτε ὁπλίζεσθαι ἔδει, χρυσῷ καὶ λίθοις τιμίοις ὁπλιζόμενος ἔξεισιν· εἴ ποτε ἐν εἰρήνῃ καθῆσθαι, ἁλουργίδα περικείμενος ἐκάθητο. γ. ἐξῄει
πολλοὺς τοὺς δορυφόρους, πολλοὺς τοὺς ὑπασπιστὰς εἶχε, γῆς καὶ θαλάττης δεσπότης ἤκουεν, Αὐτοκράτωρ, Αὔγουστος, Καῖσαρ, Βασιλεύς, καὶ πολλὰ ἕτερα ὀνόματα τοιαῦτα, ἅπερ κολακείαν ἐπενόει καὶ θεραπείαν, καὶ οὐδὲν ἐνέλιπεν ὅλως τῶν εἰς δόξαν· ἀλλὰ καὶ ἴσ. [illegible]
σοφοί, καὶ δυνάσται, καὶ βασιλεῖς αὐτὸν ἔτρεμον καὶ ἐδεδοίκεισαν τὸν ἄνδρα. καὶ γὰρ καὶ ἄλλως ὠμός τις καὶ ἰταμὸς εἶναι ἐλέγετο. οὗτος καὶ Θεὸς εἶναι ἐβούλετο, καὶ πάντων κατεφρόνει τῶν εἰδώλων, καὶ αὐτοῦ τοῦ ἐπὶ πάντων Θεοῦ, καὶ ὡς Θεὸς ἐθεραπεύετο. τί ταύτης τῆς δόξης κρεῖττον, μᾶλλον δὲ τί τῆς ἀτιμίας χεῖρον; ἀλλ' οὐκ οἶδα πῶς ὑπὸ τῆς ἀληθείας περιέδραμε τὸ στόμα, καὶ περὶ τῆς κρίσεως τὴν ψῆφον ἤνεγκε. τέως δὲ κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν τὸ πρᾶγμα ἐξετάσωμεν, κατὰ τὴν τῶν ἀπίστων, κατὰ τὴν κολακείαν. τί μεῖζον εἰς λόγον δόξης τοῦ καὶ Θεὸν νομισθῆναι αὐτόν; μεγάλη ὄντως τοῦτο ἀτιμία, τὸ ἄνθρωπον ὄντα τοιαῦτα λυττᾶν. ἀλλὰ τέως κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν τὸ πρᾶγμα ἐξετάσωμεν. οὐδὲν τοίνυν ἐνέλιπεν αὐτῷ εἰς δόξαν τὴν ἀνθρωπίνην, ἀλλ' ὡς Θεὸς παρὰ πάντων ἐθεραπεύετο. ἀλλὰ ἀντεξετάσωμεν αὐτῷ καὶ τὸν Παῦλον, εἰ δοκεῖ. Κίλιξ ὁ ἄνθρωπος ἦν (ὅσον δὲ Κιλικίας καὶ Ῥώμης τὸ μέσον, πάντες ἴσασι) σκυτοτόμος, πένης, τῆς ἔξωθεν σοφίας ἄπειρος,

Ἑβραϊστὶ

Ἑβραῖοι μόνον εἰδώς, γλῶτταν δυσερμήνευτον παρὰ πάντων, καὶ μάλιστα παρὰ τῶν Ἰταλῶν. οὐ γὰρ οὕτω πρὸς τὴν βάρβαρον, οὔτε τὴν ἑλλάδα, οὔτε ἄλλην τινὰ ἔχονται γλῶτταν δυσαπόρευτον, ὡς τὴν Σύρων. αὕτη δὲ πολλὴν ἔχει τὴν κοπωδίαν πρὸς ταύτην. καὶ μὴ θαυμάσῃς ὅτι ταύτην διέπλευσεν. εἰ γὰρ τὴν ἑλλάδα τὴν θαυμαστὴν καὶ χαλεπὴν διέπλευσε, πολλῷ μᾶλλον τὴν Ἑβραίων. ἄνθρωπος πολλάκις ἐν λιμῷ ζήσας, καὶ κοιμηθεὶς πεινῶν, ἄνθρωπος γυμνός, οὐκ ὅ,τι περιβάλοιτο ἔχων. Ἐν ψύχει καὶ γυμνότητι, φησίν. οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ ἐν δεσμοῖς γεγονώς. μετὰ γὰρ λῃστῶν, μετὰ γοήτων, μετὰ τυμβωρύχων, μετὰ ἀνδροφόνων αὐτοῦ ἐκείνου κελεύσαντος ἐβέβλητο, καὶ ἐμαστίζετο ὡς κακοῦργος, ὅπερ οὖν καὶ αὐτός φησι. τίς οὖν λαμπρότερος; οὐχὶ ἐκείνου μὲν οὐδὲ ὄνομα ἴσασιν οἱ πολλοί, τοῦτον δὲ καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ Σκύθαι, καὶ οἱ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα καθ' ἑκάστην ᾄδουσι τὴν ἡμέραν; ἀλλὰ μήπω τὰ νῦν, ἀλλὰ τὰ τότε ἐξετάσωμεν. τίς ἦν λαμπρότερος; τίς ἐπιδοξότερος; ὁ τὴν ἅλυσιν περικείμενος, καὶ δεδεμένος ἑλκόμενος ἐκ τοῦ δεσμωτηρίου, ἢ ὁ τὴν ἁλουργίδα περικείμενος, καὶ ἐκ τῶν βασιλείων προϊών; ὁ δεδεμένος πάντως. πῶς; ὅτι ἐκεῖνος μὲν καὶ στρατόπεδα ἔχων, καὶ ἐν λαμπρῷ τῷ σχήματι προκαθήμενος, ἅπερ ἤθελεν οὐκ ἴσχυσεν ἀνύειν· ὁ δὲ δεσμώτης, καὶ ὡς κακοῦργος ἐν εὐτελεῖ σχήματι, αὐθεντικώτερον πάντα ἔπραττε. πῶς καὶ τίνι τρόπῳ; ἐκεῖνος ἔλεγε, μὴ διασπειρέσθω ὁ λόγος τῆς εὐσεβείας· οὗτος ἔλεγεν, οὐκ ἀνέξομαι. οὐ δέδεται γὰρ ὁ λόγος τοῦ Θεοῦ. καὶ διέπλευσεν ὁ Κίλιξ, ὁ δεσμώτης, ὁ σκηνοποιός, ὁ πένης, ὁ ἐν λιμῷ ζῶν τὸν ἀπὸ τῆς Ῥώμης, τὸν πλούσιον, τὸν βασιλεύοντα, τὸν πάντων κρατοῦντα, τὸν μυρίοις μυρία παρέχοντα. καὶ τοσούτων ὄντων στρατοπέδων, οὐδὲν ἴσχυσε. τίς ἄρα λαμπρότερος ἦν; τίς σεμνός; ὁ ἐν δεσμοῖς νικῶν, ἢ ὁ ἐν ἁλουργίδι νικώμενος; ὁ κάτω ἑστὼς καὶ βάλλων, ἢ ὁ ἄνω καθήμενος καὶ βαλλόμενος; ὁ ἐπιτάττων καὶ καταφρονούμενος, ἢ ὁ ἐπιταττόμενος καὶ οὐδένα λόγον ἔχων τῶν ἐπιταγμάτων; ὁ μόνος ὢν καὶ περιγινόμενος, ἢ ὁ μετὰ μυρίων στρατοπέδων ἡττώμενος; ἀπήγχετο οὖν ὁ βασιλεύς, τοῦ δεσμώτου κατ' αὐτοῦ τρόπαιον στήσαντος. εἰπὲ οὖν μοι, ποίας ἄν τις ἐβουλήθη μερίδος εἶναι; μὴ γάρ μοι τὰ μετὰ ταῦτα εἴπῃς, ἀλλὰ τέως ἐκεῖνα ἐξέτασον. ποίας μερίδος ἄν τις ἠθέλησεν εἶναι, τῆς τοῦ Παύλου, ἢ τῆς τοῦ Νέρωνος; οὐ λέγω κατὰ τὸν τῆς πίστεως λόγον (τοῦτο γὰρ δῆλον) ἀλλὰ κατὰ τὸν τῆς δόξης, καὶ τῆς σεμνότητος, καὶ τῆς λαμπρότητος. εἴ τις εὐγνώμων, τοῦ Παύλου ἔφησεν ἄν. εἰ γὰρ τὸ νικᾶν τοῦ νικᾶσθαι λαμπρότερον, ἐκεῖνος ἐπίδοξος. καὶ οὔπω τοῦτο μέγα, ὅτι ἐνίκησεν, ἀλλ' ὅτι ἐν τοιούτῳ σχήματι ὢν ἐν τοιούτῳ ἐνίκησε. πάλιν γὰρ ἐρῶ, καὶ οὐ παύσομαι τὰ αὐτὰ λέγων. ἅλυσιν περιέκειτο, καὶ τὸν ἀναδεδεμένον τὸ διάδημα ἔδησε. τοιαύτη τοῦ Χριστοῦ ἡ δύναμις. ἅλυσις τὸν στέφανον ἐνίκα τὸν βασιλικόν, καὶ λαμπρότερον τοῦτο ἐκείνου τὸ σχῆμα ἐδείκνυτο. ῥάκια περιέκειτο αὐχμῶντα, ἅτε δεσμωτήριον οἰκῶν, καὶ μᾶλλον τῆς ἁλουργίδος πάντας ἐπέστρεφε πρὸς τὰ περικείμενα αὐτῷ δεσμά. ἐπὶ γῆς εἱστήκει κατηχούμενος καὶ κάτω νεύων, καὶ τὸν ἐπ' ὀχήματος χρυσοῦ ἅπαντες ἀφέντες ἐκείνῳ προσεῖχον. εἰκότως. τὸ μὲν γὰρ συνηθείας ἦν βασιλέα ἰδεῖν ἐπὶ ζεύγους καθήμενον λευκοῦ· τοῦτο δὲ ξένον καὶ παράδοξον, δεσμώτην ὁρᾶν μετὰ τοσαύτης παρρησίας βασιλεῖ διαλεγόμενον, μᾶλλον δὲ ὅσης ὁ βασιλεὺς πρὸς ἀνδράποδον οἰκτρὸν καὶ ταλαίπωρον. ὄχλος περιειστήκει πολύς, καὶ δοῦλοι πάντες τοῦ βασιλέως ἦσαν. ἐθαύμαζον δὲ οὐ τὸν δεσπότην τὸν αὐτῶν, ἀλλὰ τὸν νικῶντα τὸν δεσπότην αὐτῶν· καὶ ὃν ἅπαντες ἐδεδοίκεσαν καὶ ἔτρεμον, τοῦτον μόνος ὢν κατεπάτει ἐκεῖνος. ἴδε ἐν αὐτοῖς τοῖς δεσμοῖς πόση ἡ λαμπρότης. τί ἄν τις εἴποι τὰ μετὰ ταῦτα; ἐκείνου μὲν οὐδὲ τὸ μνῆμα δῆλον· τούτου δὲ πάντων βασιλέων λαμπρότερον ἐν αὐτῇ κεῖται τῇ βασιλίδι, ἔνθα καὶ ἐνίκησεν, ἔνθα καὶ τὸ τρόπαιον ἔστησεν. ἐκείνου κἂν μνησθῇ τις, μετὰ ψόγου μέμνηται, καὶ τῶν οἰκείων (καὶ γὰρ καὶ ἀσελγὴς λέγεται γεγενῆσθαι) τούτου μετ' εὐφημίας ἡ μνήμη πανταχοῦ.

β. Κορ ια. κζ.

παχοῦ. οὐ γὰρ ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἐχθροῖς. ὅταν γὰρ ἐκλάμπῃ ἡ ἀλήθεια, οὐδὲ οἱ ἐχθροὶ ἀναισχυντεῖν ἔχουσιν. Εἰ γὰρ καὶ μὴ τῆς πίστεως ἕνεκεν αὐτὸν θαυμάζουσιν, ἀλλὰ τῆς παρρησίας, ἀλλὰ τῆς ἀνδρείας. ἐστὶν ἐν τοῖς ἁπάντων στόμασι πανταχοῦ καθ' ἑκάστην ἡμέραν στεφανούμενος ἀνακηρύττεται· ἐκεῖνος δὲ βαλλόμενος ψόγοις καὶ κατηγορίαις. ποῖα πίνων τὰ λαμπρά; ἀλλὰ γὰρ ἔλαθον ἀπὸ [τοῦ] ὄνυχος τὸν λέοντα ἐπαινῶν, δέον τὰ ὄντως εἰπεῖν. τίνα δὲ ταῦτά ἐστι; τὰ ἐν τοῖς οὐρανοῖς. πῶς ἥξει μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, μετὰ λαμπρότητος τοῦ σχήματος; πῶς ὁ Νέρων στήσεται τότε κατηφὴς, στυγνός; Εἰ δὲ δοκῶ σοι ἄπιστα λέγειν καὶ καταγέλαστα, σὺ καταγέλαστος εἶ γελῶν τὰ μὴ γέλωτος ἄξια. Εἰ γὰρ ἀπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν φθασάντων πίστευσον. οὔπω τῶν στεφάνων ὁ καιρὸς, καὶ τοσαύτης ἀπέλαυσε τιμῆς ὁ ἀθλητής· ὅταν ὁ ἀγωνοθέτης ἔλθοι, πόσης ἀπολαύσεται τιμῆς; ἐν τοῖς ἀλλοτρίοις ξένος ἐστὶ, ξένος καὶ παρεπίδημος, καὶ οὕτω θαυμάζεται· ὅταν ἐν τοῖς ἰδίοις ᾖ, τίνος οὐκ ἀπολαύσεται ἀγαθοῦ; Νῦν ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ, καὶ ὅμως τῶν ζώντων ὁ τεθνηκὼς μᾶλλον ἐνεργεῖ καὶ τιμᾶται· ὅταν ἔλθῃ αὕτη ἡ ζωὴ ἡμῶν, τίνος οὐ μεθέξει; τίνος οὐκ ἐπιτεύξεται; διὰ τοῦτο ταύτης αὐτὸν τῆς τιμῆς ἀπολαῦσαι ἐποίησεν ὁ Θεὸς, οὐκ ἐπειδὴ ἐκεῖνος ἐδεῖτο. Εἰ γὰρ ἐν σώματι ὢν κατεφρόνει τῆς παρὰ τῶν πολλῶν δόξης, πολλῷ μᾶλλον ἀπαλλαγεὶς τοῦ σώματος. οὐ διὰ τοῦτο δὲ ἐποίησεν αὐτὸν ἀπολαῦσαι μόνον, ἀλλ' ἵνα οἱ τοῖς μέλλουσιν ἀπιστοῦντες, κἂν ἐκ τῶν παρόντων ἐνάγωνται. λέγω ὅτι ἥξει Παῦλος μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, ὅτε ἀνάστασις ἔσται, ὅτι μυρίων ἀπολαύσει τῶν ἀγαθῶν. ἀλλ' οὐ πιστεύει ὁ ἄπιστος· οὐκοῦν ἀπὸ τῶν παρόντων πιστευέτω. λαμπρότερος τοῦ βασιλέως ὁ σκηνοποιὸς, ἐντιμότερος τοῦ βασιλέως. οὐδεὶς βασιλεὺς τῆς Ῥώμης γενόμενος, τοσαύτης ἀπέλαυσε τιμῆς. ἀλλ' ὁ μὲν βασιλεὺς ἐρριμμένος ἔξω που κεῖται· ὁ δὲ τὸ μέσον κατέχει τῆς πόλεως, καθάπερ βασιλεὺς ὢν καὶ ζῶν. ἀπὸ τούτων πίστευσον καὶ περὶ τῶν μελλόντων. Εἰ ἐνταῦθα, ἔνθα ἠλαύνετο, ἔνθα ἐδιώκετο, τοσαύτης ἀπέλαυσε τιμῆς, ὅταν ἔλθῃ, τί ἔσται; Εἰ ὅπου σκηνοποιὸς ἐστὶ, οὕτως ἐγένετο λαμπρὸς, ὅταν ἔλθῃ ἀπολάμπων ταῖς ἡλιακαῖς ἀκτῖσι, τί ἔσται; Εἰ μετὰ τοσαύτης εὐτελείας τοσαύτης μεγαλοπρεπείας περιεγένετο, ὅταν ἔλθῃ, τίνος οὐ περιέσται; μὴ ἔνι φυγεῖν τὰ πράγματα. τίνα οὐκ ἐκπλήττει τὸ τὸν σκηνοποιὸν ἐντιμότερον γενέσθαι τοῦ πάντων βασιλέων μᾶλλον θαυμασθέντος; εἰ ἐνταῦθα ταῦτα παρὰ φύσιν ἐγένετο, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. πίστευσον, ἄνθρωπε, τοῖς παροῦσιν, εἰ μὴ θέλεις τοῖς μέλλουσι· πίστευσον, ἄνθρωπε, τοῖς ὁρωμένοις, εἰ μὴ βούλει τοῖς ἀοράτοις. μᾶλλον δὲ πίστευσον τοῖς ὁρωμένοις· οὕτω γὰρ καὶ τοῖς ἀοράτοις πιστεύσεις. Εἰ δὲ οὐ θέλεις, εὔκαιρον τὸ τοῦ ἀποστόλου εἰπεῖν, Καθαροὶ ἡμεῖς ἀπὸ τοῦ αἵματος ὑμῶν. ἅπαντα γὰρ ὑμῖν διεμαρτυράμεθα, καὶ οὐδὲν ἐνελίπομεν τῶν ὀφειλόντων λεχθῆναι. ὑμεῖς ἑαυτοὺς ἀπατᾶσθε, καὶ λογιεῖσθε τὴν ἐν τῇ γεέννῃ τιμωρίαν. ἡμεῖς δὲ, ὦ τέκνα ἀγαπητὰ, Παύλου μιμηταὶ μὴ κατὰ τὴν πίστιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν βίον γενώμεθα. ἵνα τύχωμεν δόξης ἐπουρανίου, καταπατήσωμεν τὴν ἐνταῦθα δόξαν. μηδὲν ἡμᾶς ἐφελκέσθω τῶν παρόντων ἁπάντων· καταφρονήσωμεν τῶν ὁρωμένων, ἵνα τῶν οὐρανίων τύχωμεν, μᾶλλον δὲ καὶ τούτων ἐπιτευξώμεθα δι' ἐκείνων, πλὴν προηγουμένως ἔστω ὁ σκοπὸς ἐκείνων ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι.

Κολασ. γ. γ.

Πραξ. κ. κς.

χ βασιλει

Λογ. ε. 11 ΠΙΣΤΟΣ Ο ΛΟΓΟΣ· ΕΙ ΓΑΡ ΣΥΝΑΠΕΘΑΝΟΜΕΝ, καὶ συζήσομεν· 12 Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνησόμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς· 13 Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι [γὰρ] ἑαυτὸν οὐ δύναται.

14 Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

ΠΟλλοὶ τῶν ἀσθενεστέρων ἀνθρώπων ὅταν ἴδωσι τοὺς τῆς πίστεως πόνους, ἀπαγορεύουσιν, οὐδὲ τὴν ἀναβολὴν τῆς ἐλπίδος φέρουσι· τὰ παρόντα γὰρ ἐπιζητοῦσι, καὶ ἀπὸ τούτων τὰ μέλλοντα χαρακτηρίζουσιν. ἐπεὶ οὖν τὰ μὲν ἐν ζωῇ θάνατος ἦν, βάσανοι, δεσμά· αὐτοὺς δέ φησιν, ὅτι εἰς ζωὴν αἰώνιον ἥξουσιν, οὐκ ἂν δὲ ῥᾳδίως ἐπίστευσαν, ἀλλ' εἶπον ἄν, τί λέγεις; ὅτι ζῶ, ἀποθνήσκω, καὶ ὅταν ἀποθάνω, ζῶ; ἐν τῇ γῇ μοι οὐδὲν ἐπαγγέλλῃ, καὶ ἐν τῷ οὐρανῷ δίδως; τὰ μικρὰ οὐ δίδως, καὶ τὰ μεγάλα παρέχεις; ἵνα τοίνυν μηδεὶς ταῦτα εἴπῃ, ἀναμφίβολον ποιεῖται τούτου τὴν κατασκευὴν, προεμβάλλων μὲν αὐτὸ καὶ ἤδη, καὶ τεκμήρια διδούς. τὸ γὰρ, μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, τοῦτό ἐστιν, ὅτι μετὰ θάνατον ἀνέστη. νῦν δὲ τὸ αὐτὸ πάλιν δηλοῖ φησι, πιστὸς ὁ λόγος, ὅτι ὁ ζωῆς οὐρανίου τυχὼν, καὶ αἰωνίου τεύξεται. πόθεν πιστός; εἰ γὰρ συναπεθάνομεν, φησὶ, καὶ συζήσομεν. εἰπὲ γάρ μοι, ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν αὐτῷ καὶ ἐν τοῖς κόπον ἔχουσι, καὶ ἐν τοῖς χρηστοῖς οὐκέτι; ἀλλὰ τοῦτο οὐκ ἂν οὐδεὶς ἄνθρωπος ποιήσειεν, ὥστε τοὺς ἑλομένους αὐτῷ συναποθανεῖν καὶ συνθλιβῆναι, εἴ ποτε ἐν ἀνέσει γένηται, ἀρνήσασθαι αὐτῷ γενέσθαι κοινωνόν. ποῖον δὲ συναπεθάνομεν; τοῦτον λέγει τὸν θάνατον, τόν τε διὰ τοῦ λουτροῦ, καὶ τὸν διὰ τῶν παθημάτων. φησὶ γὰρ, Τὴν νέκρωσιν τοῦ Κυρίου ἐν τῷ σώματι περιφέροντες· καὶ, Συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος· καὶ, Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη· καὶ, Σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. ἐνταῦθα δὲ καὶ τὸν τῶν πειρασμῶν λέγει μᾶλλον δὲ τοῦτον. καὶ γὰρ ἐν πειρασμοῖς ἦν, ὅτε ταῦτα ἔγραφεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ δι' αὐτὸν ἀπεθάνομεν, δι' αὐτὸν οὐ ζησόμεθα; ἀναμφισβήτητον τοῦτό ἐστιν. εἰ ὑπομένομεν, φησὶ, καὶ συμβασιλεύσομεν. οὐχ ἁπλῶς εἶπε, συμβασιλεύσομεν, ἀλλ', εἰ ὑπομένομεν, δεικνὺς ὅτι οὐκ ἀρκεῖ τὸ ἅπαξ ἀποθανεῖν (καθ' ἑκάστην ἡμέραν ἀπέθνησκεν ὁ μακάριος οὗτος) ἀλλὰ δεῖ πολλῆς ὑπομονῆς, ἧς μάλιστα ἔδει Τιμοθέῳ. μὴ γάρ μοι, φησὶ, τὰ πρῶτα εἴπῃς, ἀλλ' εἰ διαπαντός. εἶτα καὶ ἀπὸ τοῦ ἄλλου μέρους προτρέπει, οὐκ ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κακῶν. εἰ γὰρ μέλλοιεν τῶν αὐτῶν μετέχειν καὶ οἱ πονηροὶ, οὐκ ἔστι τοῦτο παράκλησις. καὶ εἰ μέλλοιεν ὑπομείναντες μὲν συμβασιλεύειν, μὴ ὑπομείναντες δὲ τοῦτο μόνον πάσχειν, τὸ μὴ συμβασιλεύειν, δεινὸν μὲν καὶ τοῦτο, πλὴν ἀλλὰ οὐδὲ πολλοῖς οὕτως ἱκανὸν δακεῖν. διὰ τὸ φοβερώτερον λέγει· εἰ ἀρνησόμεθα αὐτὸν, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. ἄρα οὐκ ἐν τοῖς χρηστοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις αἱ ἀμοιβαί. τοὺς δὲ ἀρνηθέντας ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐννόησατε τί παθεῖν εἰκός. Ὃς ἐὰν ἀρνήσηταί με, φησὶν, ἀρνήσομαι κἀγὼ αὐτόν. οὐκ ἐξ ἴσης ἡ ἀντίδοσις, εἰ καὶ οὕτω λέγων δοκεῖ. ἡμεῖς μὲν γὰρ ἄνθρωποι τὸν ἀρνούμενοι, ἐκεῖνος δὲ Θεός. ὅσον δὲ τὸ μέσον Θεοῦ καὶ ἀνθρώπων τί δεῖ λέγειν; ἄλλως δὲ ἡμεῖς ἐντεῦθεν ἑαυτοὺς βλάπτομεν, ἐκεῖνον δὲ οὐδαμῶς, οὐδὲ δυνάμεθα. διὰ τοῦτο καὶ ἐπήγαγε τὸ αὐτὸ δηλῶν, εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. τουτέστιν, εἰ ἀπιστοῦμεν ὅτι ἀνέστη, οὐδὲν ἀπὸ τούτου βλάπτεται ἐκεῖνος. ἀληθής ἐστι, βέβαιός ἐστιν, ἄν τε εἴπωμεν, ἄν τε μὴ εἴπωμεν. εἰ τοίνυν οὐδὲν

2. Κορ. δ. ι. Ρωμ. ς. δ. Ρωμ. ς. ς. ε. Ματθ. ι. λγ.

περὶ ἡμῶν βλέπεται τῶν ἀρνουμένων, δι' οὐδὲν ἕτερον ἀπαιτεῖ τὴν ὁμολογίαν ἡμῶν, ἀλλ' ἢ διὰ τὸ ἡμῖν χρήσιμον. ἐκεῖνος γὰρ ὁ αὐτὸς μένει καὶ ἀρνουμένων, καὶ μὴ ἀρνουμένων. ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται, τουτέστι, μὴ εἶναι. ἡμεῖς λέγομεν ὅτι οὐκ ἔστιν, εἰ καὶ μὴ τὸ πρᾶγμα οὕτως ἔχει. οὐκ ἔχει φύσιν μὴ εἶναι, οὐ δυνατόν· τουτέστιν, εἰς τὸ μὴ εἶναι αὐτὸν χωρῆσαι. ἀεὶ μένει, ἀεὶ ἔστιν αὐτοῦ ἡ ὑπόστασις. μὴ τοίνυν ὡς χαριζόμενοι αὐτῷ, οὕτω διακείμεθα, ἢ ὡς καταβλάπτοντες. εἶτα, ἵνα μή τις νομίσῃ τὸν Τιμόθεον τούτων δεῖσθαι, ἐπήγαγε· Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. φοβερὸν τοῦτο τὸ ἐπιμαρτύρεσθαι τοῦ Θεοῦ λέγειν. εἰ γὰρ ἀνθρώπου μαρτυρίαν καλουμένην οὐκ ἄν τις τολμήσειεν ἀθετῆσαι, πολλῷ μᾶλλον Θεοῦ. οἷόν τι λέγω. εἴ τις συνθήκας τιθέμενος, ἢ διαθήκας γράφων βούλεται ἀξιοπίστους μάρτυρας καλέσαι, ἆρα τολμήσει τις ἀθετῆσαι ἐκεῖνα τῶν ἔξωθέν τινι; οὐδαμῶς. καὶ βούλεται, δεδοικὼς τὸ τῶν μαρτύρων ἀξιόπιστον, φυλάττεται. τί ἐστι, διαμαρτυρόμενος; μάρτυρα καλῶν τὸν Θεὸν τῶν λεγομένων, τῶν πραττομένων. μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον· οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. οὐ μόνον οὐδὲν ἐκ τούτου κέρδος, ἀλλὰ καὶ βλάβη πολλή. Ταῦτα τοίνυν ὑπομίμνησκε. κἂν καταφρονῶσιν, ὁ Θεὸς αὐτὸς κρινεῖ. τί δήποτε καὶ περὶ τοῦ μὴ λογομαχεῖν παραινεῖ; οἶδεν ὅτι λίχνον τὸ πρᾶγμα, καὶ ὅτι ἀεὶ βούλεται ἡ ἀνθρωπίνη ψυχὴ μάχεσθαι καὶ λογομαχεῖν. ἵνα οὖν τοῦτο μὴ γίνηται, οὐχ ἁπλῶς φησι μὴ λογομαχεῖν, ἀλλὰ φοβερώτερον τὸν λόγον ποιῶν ἐπήγαγεν, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

15 Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Πανταχοῦ τὸ ἀνεπαίσχυντον. τί δήποτε πολλὴν περὶ τῆς αἰσχύνης ποιεῖται τὴν σπουδήν; ἐπειδὴ εἰκὸς ἦν πολλοὺς ἐπαισχύνεσθαι καὶ τὸν Παῦλον αὐτόν, ἅτε σκηνοποιὸν ὄντα, καὶ τὸ κήρυγμα, ὡς τῶν διδασκάλων ἀπολλυμένων. ὁ Χριστὸς γὰρ ἐσταυρώθη· οὗτος ἔμελλεν ἀποκεφαλίζεσθαι· ὁ Πέτρος κάτωθεν ἀνεσκολοπίσθη, καὶ ταῦτα ἔπαθον παρὰ ἀνθρώπων καταπτύστων καὶ ἰταμῶν. ἐπεὶ οὖν οὗτοι ἐκράτουν, μὴ ἐπαισχυνθῇς, φησι, τουτέστι, μηδὲν ὅλως αἰσχύνου πράττειν τῶν εἰς εὐσέβειαν ἡκόντων, κἂν δουλεῦσαι δέῃ, κἂν ὁτιοῦν παθεῖν. πῶς δὲ γένοιτ' ἄν τις δόκιμος; ἐργάτης ὢν ἀνεπαίσχυντος. ὁ ἐργάτης οὐδὲν αἰσχύνεται πράττειν· οὕτως οὐδὲ ὁ τοῦ εὐαγγελίου ἐργάτης. πάντα γὰρ ὑφίστασθαι δεῖ. ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. καλῶς τοῦτο εἶπε. πολλοὶ γὰρ αὐτὸν παρασπῶσι πολλαχόθεν καὶ περιέλκουσι, πολλὰ ἔχει τὰ ἐπιφυόμενα. καὶ οὐκ εἶπεν, ἀπευθύνοντα, ἀλλ', ὀρθοτομοῦντα· τουτέστι, τέμνε τὰ νόθα, καὶ τὰ τοιαῦτα μετὰ πολλῆς τῆς σφοδρότητος ἐφίστασο καὶ ἔκκοπτε· καθάπερ ἐπὶ ἱμάντος τῇ μαχαίρᾳ τοῦ πνεύματος πανταχόθεν τὸ περιττὸν καὶ ἀλλότριον τοῦ κηρύγματος ἔκτεμνε.

16 Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο. Οὐδὲ γὰρ μέχρι τούτου στήσονται. ὅταν γάρ τι καινὸν εἰσενεχθῇ, ἀεὶ καινοτομίας τίκτει· καὶ ἄπειρος ἡ πλάνη τῶν ἐξελθόντων τὸν λιμένα τὸν εὔδιον, καὶ οὐδαμοῦ στήσεται. Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, φησί,

17 Καὶ ὁ λόγος αὐτῶν, ὡς γάγγραινα, νομὴν ἕξει. Ἀκατάσχετον κακόν, οὐκέτι ἰατρείᾳ καταργηθῆναι δυνάμενον, ἀλλὰ τὸ πᾶν λυμαίνεται. δείκνυσιν ὅτι νόσος ἐστὶν ἡ κενοφωνία, μᾶλλον δὲ νόσου χαλεπωτέρα. ἐνταῦθα τὸ ἀδιόρθωτον αὐτῶν δηλοῖ, καὶ ὅτι οὐχ ἁπλῶς, ἀλλ' ἑκόντες ἀποπλανήθησαν. ὅθεν καὶ μάλιστα οὗτοί εἰσιν ἀδιόρθωτοι.

Ὧν ἐστιν Ὑμέναιος, καὶ Φιλητός, φησιν,

18 Οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν τινων πίστιν. Καλῶς εἶπεν, ἐπὶ πλεῖον προκόψουσι. δοκεῖ μὲν γὰρ

τοῦτο μόνον ἐστὶ τὸ δεινόν· ὅρα δὲ πόσα ἐξ αὐτοῦ τίκτεται. εἰ γὰρ ἤδη ἡ ἀνάστασις, οὐ τοῦτο μόνον ζημιούμεθα ὅτι τῆς μεγάλης δόξης ἐκείνης ἀπεστερήμεθα, ἀλλ' ὅτι καὶ τὰ τῆς κρίσεως ἀνῄρηται. εἰ ἤδη γέγονε, καὶ τὰ τῆς ἀνταποδόσεως. εἰ γὰρ ἤδη γέγονεν ἡ ἀνάστασις, γέγονε καὶ ἡ ἀνταπόδοσις. οὐκοῦν ἀπέλαυσαν μὲν οἱ ἀγαθοὶ τῶν θλίψεων καὶ τῶν ὀδυνῶν· οὐ κολάζονται δὲ οἱ πονηροί, καλῶς γε, οἱ ἐν τρυφῇ ὄντες πολλῇ. βέλτιον ἦν εἰπεῖν, ὅτι οὐκ ἔστιν ἀνάστασις, ἢ ὅτι ἤδη γέγονε. καὶ ἀνατρέπουσι, φησί, τήν τινων πίστιν. οὐ πάντων, ἀλλά τινων. εἰ γὰρ ἀνάστασις οὐκ ἔστι, καὶ τὰ τῆς πίστεως ἀνατέτραπται. εἰ ἀνάστασις οὐκ ἔστι, κενὸν τὸ κήρυγμα ἡμῶν, οὐδὲ Χριστὸς ἀνέστη. εἰ δὲ μὴ ἀνέστη, οὐδὲ ἐγεννήθη, οὐδὲ εἰς οὐρανοὺς ἀνῆλθεν. ὁρᾷς πῶς δοκεῖ μὲν τῷ τῆς ἀναστάσεως ἐναντιοῦσθαι λόγῳ, πολλὰ δὲ συνεφέλκεται δεινά. τί οὖν, φησίν; οὐδὲν δεῖ ποιεῖν ὑπὲρ τῶν ἀνατρεπομένων;

19 Ὁ μέντοι, φησί, στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.

Δείκνυσιν ὅτι καὶ πρὶν ἀνατραπῆναι οὐκ ἦσαν βέβαιοι. οὐ γὰρ ἂν ἀνετράπησαν ἀπὸ τῆς παρ' αὐτῆς προσβολῆς, ὥσπερ οὐδὲ ὁ Ἀδὰμ πρὸ τῆς ἐντολῆς βέβαιος ἦν. οἱ γὰρ πεπηγότες οὐ μόνον οὐδὲν πάσχουσιν ὑπὸ τῶν ἀπατεώνων, ἀλλὰ καὶ θαυμάζονται. καὶ στερεός, φησι, καὶ θεμέλιος. οὕτως ἔχεσθαι δεῖ τῆς πίστεως. ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. τί ἐστι τοῦτο; ἀπὸ τοῦ Δευτερονομίου αὐτὸ ἔλαβε· τουτέστιν, αἱ στερεαὶ ψυχαὶ ἑστήκασι πεπηγυῖαι καὶ ἀκίνητοι. πόθεν δὲ δῆλοι εἰσί; ἀπὸ τοῦ τὰ γράμματα ταῦτα ἔχειν ἐπὶ τῶν πραγμάτων, ἀπὸ τοῦ γνωρίζεσθαι ὑπὸ τοῦ Θεοῦ, καὶ μὴ συμπαραπόλλυσθαι, ἀπὸ τοῦ ἀφεστάναι ἀπὸ ἀδικίας. καὶ ἀποστήτω, φησίν, ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου. ταῦτα τὰ γνωρίσματα τοῦ θεμελίου. καθάπερ θεμέλιος στερεὸς δείκνυται, ὡς ἄν τις ἐπὶ λίθον ἐπιγράψειεν, ἵνα ᾖ τὰ γράμματα σημεῖον· τὰ δὲ γράμματα ταῦτα δι' ἔργων δείκνυται. ἔχων, φησί, τὴν σφραγῖδα ταύτην ἐμπεπηγμένην. πᾶς ὁ ὀνομάζων, φησί, τὸ ὄνομα Κυρίου ἀποστήτω ἀπὸ ἀδικίας. ὥστε ὅταν ᾖ τις ἄδικος, οὐκ ἔστι τοῦ θεμελίου. ὥστε καὶ τοῦτο σφραγῖδος, τὸ μὴ πράττειν ἄδικα.

Μὴ τοίνυν τὸ σημαντήριον τὸ βασιλικὸν καὶ τὸ γνώρισμα ἀποθώμεθα, ἵνα μὴ ἀσφράγιστοι ὦμεν, ἵνα μὴ σαθροί, ἵνα θεμέλιοι ὦμεν, καὶ θεμέλιοι στερεοί, ἵνα μὴ περιφερώμεθα. τοῦτο δείκνυσι τοὺς τοῦ Θεοῦ, τοὺς ἀφισταμένους ἀπὸ ἀδικίας. πῶς γὰρ τις τοῦ Θεοῦ δύναται εἶναι δικαίου ὄντος, ὁ ἄδικα ποιῶν; ὁ μαχόμενος αὐτῷ διὰ τῶν ἔργων, καὶ ὑβρίζων αὐτὸν διὰ τῶν πράξεων; πάλιν ἡμεῖς τῆς ἀδικίας κατηγοροῦμεν, καὶ πάλιν πολλοὺς ἔχομεν τοὺς ἀπεχθανομένους. ὥσπερ γὰρ τύραννός τις τὰς ἁπάντων κατέλαβε ψυχὰς τοῦτο τὸ πάθος· καὶ τὸ δεινόν, ὅτι οὐκ ἀνάγκη, οὐδὲ βία, ἀλλὰ πειθοῖ, καὶ προθυμίᾳ, καὶ χάριν ἴσασι τῆς δουλείας ταύτης. τοῦτο γὰρ ὄντως τὸ δεινόν· ὡς εἴ γε βίᾳ κατείχοντο, καὶ μὴ ἀγάπῃ, ταχέως ἂν ἀπέστησαν. καὶ πόθεν ἡδὺ τὸ πρᾶγμα εἶναι δοκεῖ, σφόδρα πικρὸν ὄν; πόθεν δὲ πικρὸν ἡ δικαιοσύνη, σφόδρα ἡδὺ ὄν; παρὰ τὰ αἰσθητήρια τὰ ἡμέτερα. οὕτω γοῦν καὶ μέλι πικρὸν ἐνόμισάν τινες, καὶ ἄλλο τι τῶν βλαβερῶν μεθ' ἡδονῆς προσίεντο. τὸ δὲ αἴτιον οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν τῶν κακουμένων διαστροφήν. νόει τὸ κριτήριον τῆς ἡμετέρας ψυχῆς. ἐπεὶ καὶ ζυγὸς ἐὰν ἔχῃ περισαλευομένην τὴν πλάστιγγα, οὐ κρίνει δικαίως τὰ σταθμητά, περιφερόμενος· καὶ ψυχὴ ἐὰν μὴ ἔχῃ τὴν πλάστιγγα τῶν οἰκείων λογισμῶν πεπηγυῖαν καὶ προσηλωμένην ἀσφαλῶς τῷ νόμῳ τοῦ Θεοῦ, οὐ δυνήσεται κρῖναι καλῶς τὰ πράγματα, ἀλλὰ περιφέρεται καὶ καθέλκεται. ἐπεὶ εἴ τις ἀκριβῶς ἐξετάσειε, πολλὴν ὄψεται τῆς ἀδικίας τὴν πικρίαν, οὐ τοῖς πάσχουσιν, ἀλλὰ τοῖς ποιοῦσι, καὶ τούτοις μᾶλλον, ἢ ἐκείνοις. καὶ μήπω περὶ τῶν μελλόντων, ἀλλὰ τέως περὶ τῶν ἐνταῦθα διαλεχθῶμεν. οὐχὶ μάχας ἔχει καὶ δικαστήρια, καὶ καταγνώσεις, καὶ φθόνον, καὶ κατηγορίας; τί τούτων πικρότερον; οὐχὶ ἀπε-

ΗΘΙΚΟΝ

ἀληθείας; οὐχὶ πολέμους; οὐχὶ κατηγορίας; οὐ τὸ συνειδὸς μαστίζοι ἡμᾶς συνεχῶς καὶ δάκνοι; εἰ δυνατὸν ἦν, ἐξελκύσαι τοῦ σώματος τὴν ψυχὴν τοῦ ἀδίκου, καὶ εἶδες ἂν αὐτὴν ὠχρὰν, τρέμουσαν, αἰσχυνομένην, * ἀγωνιῶσαν, καταδικάζουσαν ἑαυτήν. καὶ γὰρ εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπέσωμεν, τὸ κριτήριον τοῦ νοῦ οὐ διαφθείρεται, ἀλλ' ἔμεινεν ἀδέκαστον. καὶ οὐδεὶς καλὸν εἶναι λέγων τὴν ἀδικίαν μετέρχεται, ἀλλὰ προφάσεις πλάττει, καὶ πάντα ποιεῖ, ὥστε κἂν διὰ ῥημάτων ἀποδύσασθαι τὸ ἔγκλημα· ἀλλ' οὐχὶ καὶ ἀπὸ τοῦ συνειδότος δυνήσεται. ἐνταῦθα μὲν γὰρ καὶ κομψεία λόγων, καὶ ἀρχόντων διαφθορά, καὶ πλήθη κολάκων δυνήσεται συσκιάσαι τὸ δίκαιον· ἔνδον δὲ ἐν τῷ συνειδότι οὐδὲν τούτων, οὐ πάρεισι κόλακες, οὐ πάρεστι χρήματα τὸν κριτὴν διαφθείροντα. φυσικῶς γὰρ ἡμῖν ἔγκειται τὸ κριτήριον παρὰ τοῦ Θεοῦ. τὸ δὲ παρὰ τοῦ Θεοῦ, οὐδὲν ἂν πάθοι τοιοῦτο. ἀλλὰ καὶ ὕπνοι ἀηδεῖς, καὶ φαντασίαι, καὶ συνεχῶς εἰς μνήμην ἐρχόμενοι τὸ κακὸν λυμαίνεται τὴν ἀνάπαυσιν ἡμῶν. οἷον, οἰκίαν τις ἀφείλετο ἀδίκως τινός; οὐχ ὁ ἀποστερούμενος στένει μόνον, ἀλλὰ καὶ ὁ ἀποστερήσας, ἐὰν μὲν ᾖ περὶ τῆς κρίσεως πεπεισμένος· εἴ γέ τις πέπεισται, καὶ σφοδρῶς στένει, καὶ ὀδύρεται· ἐὰν δὲ μὴ πιστεύῃ τοῖς μέλλουσι, καὶ οὕτως ἐρυθριᾷ αἰσχυνόμενος· μᾶλλον δὲ οὐκ ἔστιν ἄνθρωπος, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος, κἂν αἱρετικὸς, ὃς περὶ τῆς κρίσεως οὐ δέδοικε. κἂν μὴ περὶ τῶν μελλόντων φιλοσοφῇ, ἀλλὰ τὰ ἐνταῦθα δέδοικε καὶ τρέμει, μὴ εἰς χρήματα ἀπολάβῃ μειζόνως, μὴ εἰς τέκνα, μὴ εἰς οἰκείους, μὴ εἰς τὴν ψυχήν. καὶ γὰρ πολλὰ τοιαῦτα ποιεῖ ὁ Θεός. ἐπειδὴ γὰρ οὐκ ἰσχύει ὁ τῆς ἀναστάσεως λόγος σωφρονίσαι πάντας, καὶ ἐνταῦθα τῆς αὐτοῦ δικαιοκρισίας πολλὰ ἡμῖν τεκμήρια παρέχεται καὶ εἰς μέσον φέρει. ὁ δεῖνα πλεονεκτήσας οὐκ ἔσχε παῖδας, ὁ δεῖνα ἐν τῷ πολέμῳ ἔπεσεν, ἄλλος τὸ σῶμα ἐπηρώθη, ἕτερος παῖδα ἀπέβαλε. ταῦτα ἐννοεῖ, ταῦτα φαντάζεται· διηνεκεῖ φόβῳ συζῇ. οὐκ ἴστε ὅσα πάσχουσιν οἱ ἀδικοῦντες; ἢ οὐχὶ πικρὰ ταῦτα; εἰ δὲ καὶ μηδὲν εἴη τοιοῦτον, οὐχὶ πάντες αὐτοῦ καταγινώσκουσι; οὐχὶ πάντες μισοῦσιν; οὐχὶ πάντες ἀποστρέφονται; οὐχὶ πάντες τῶν θηρίων ἀλογωτέρους εἶναι φασι, καὶ αὐτοὶ οἱ ἀδικοῦντες; εἰ γὰρ ἑαυτοὺς καταδικάζουσι, πολλῷ μᾶλλον ἕτεροι, τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν λυμεῶνα ὀνομάζοντες. τί οὖν ἔχει ἡδύ; οὐδὲν ἕτερον, ἢ τὸ πλείονα περιβάλλεσθαι φροντίδα ὑπὲρ τῆς φυλακῆς τῆς ἐκείνων, τὸ μᾶλλον φροντίζειν καὶ μεριμνᾷν. ὅσῳ γὰρ ἄν τις πλείονα περιβάλληται χρήματα, τοσούτῳ μᾶλλον ἰσχυροτέραν αὐτῷ τὴν ἀγρυπνίαν ἐργάζεται. τί δὲ αἱ κατάραι αἱ τῶν ἀδικουμένων, αἱ ἐντυχίαι *; τί δὲ ἂν καὶ νόσος περιπέσῃ; οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἐν νόσῳ γινόμενον, κἂν ἁπάντων ἀθεώτερος ᾖ, μὴ ἐκεῖνα μεριμνᾷν, μηδὲ φροντίζειν, ὅτε οὐδὲν δύναται ἐργάσασθαι. ἕως μὲν γὰρ ἐνταῦθα ὦμεν, ἡ ψυχὴ ἡδυπαθοῦσα οὐκ ἀνέχεται τῶν λυπηρῶν· ἐπειδὰν δὲ ἀποπηδᾷν μέλλῃ τοῦ σώματος, τότε αὐτὴν μείζων φόβος συνέχει, ἅτε εἰς αὐτὰ τοῦ δικαστηρίου τὰ πρόθυρα ἥκουσαν. ἐπεὶ καὶ οἱ λῃσταὶ ἐν μὲν τῷ δεσμωτηρίῳ ζῶντες, ἀδεῶς ζῶσιν· ὅταν δὲ παρὰ τὸ παραπέτασμα ἀγαγών τις στήσῃ αὐτοὺς, διαλύονται τῷ φόβῳ. ὅταν γὰρ ὁ τοῦ θανάτου φόβος ἐπιστῇ, καθάπερ πῦρ πάντα ἐκεῖνα ἐκκόψας, φιλοσοφεῖν αὐτὴν ἀναγκάζει, καὶ τὰ ἐκεῖ μεριμνᾷν· οὐκέτι χρημάτων ἐπιθυμία κατέχει, οὐκέτι πλεονεξίας ἔρως, οὐκέτι σωμάτων. ὥσπερ οὖν νέφη ταῦτα παρελθόντα ἀφίησι τὸ κριτήριον εἶναι καθαρὸν, καὶ τῆς λύπης ἐπεισελθούσης καὶ μαλαττούσης τὸ σκληρόν. οὐδὲν γὰρ οὕτως ὡς ἀπάλη πρὸς φιλοσοφίαν ἐναντίον, ὥσπερ οὖν καὶ τὸ ἐναντίον θλίψις πρὸς φιλοσοφίαν ἐπιτήδειον. ἐννόει μοι τίς ἔσται ὁ πλεονέκτης τότε. Ὥρα γάρ, φησι, κακώσεως ἐπιλησμονὴν ποιεῖ πολλῆς τρυφῆς. τίς ἔσται τοὺς ἡρπασμένους ἐννοῶν; τοὺς ἠδικημένους; τοὺς πλεονεκτηθέντας; τίς ἔσται ὁρῶν τῆς πλεονεξίας ἑτέρους ἀπολαύοντας, ἑαυτὸν δὲ μέλλοντα τὴν δίκην τίνειν; οὐ γὰρ ἔνι, οὐκ ἔνι ἐμπεσόντα μὴ καὶ ταῦτα ὑποπτεῦσαι. πολλάκις αὐτὴ ἡ ψυχὴ στρέφεται κάτωθεν ἀγωνιῶσα, τρέμουσα. πόση αὕτη πικρία, εἰπέ μοι; ταῦτα γὰρ καθ' ἑκάστην νόσον ἀνάγκη γίνεσθαι. οἱ δὲ καὶ κολαζο-

Σειρ. ια κζ.

μένους

μένους ἴδοι, εἰ δὲ καὶ ἀποθνήσκοντας, τί οὐ πείσεται; καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ, οὐδὲ εἰπεῖν ἔνι, ὅση ἡ κόλασις, ὅσαι αἱ τιμωρίαι, ὅσαι αἱ βάσανοι, οἷα τὰ δεσμωτήρια. ταῦτα λέγομεν ἡμεῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. συνεχῶς περὶ αὐτῶν λέγομεν, οὐ βουλόμενοι λέγειν συνεχῶς, ἀλλ' ἀναγκαζόμενοι. Λουκ. η. ν. ἐβουλόμεθα μὲν γὰρ μηδὲ τὴν ἀρχὴν ἡμῖν ἀνάγκην γενέσθαι τῶν τοιούτων λόγων· εἰ δὲ μὴ, κἂν ἐξ ὀλίγης ἰατρείας ἀπαλλαγέντας τοῦ νοσήματος, ἐπὶ τὴν ὑγείαν ὑμᾶς ἐπαναγαγεῖν. μενόντων δὲ ὑμῶν ἐν τῇ ἀῤῥωστίᾳ, ἐκλύτου καὶ βαναύσου ψυχῆς ἂν εἴη ἀποστῆναι τῆς μεθοδείας τῆς ἰατρικῆς, καὶ ἀπηνείας, καὶ ὠμότητος. εἰ γὰρ τὰ σώματα ἀπαγορεύσαντας ἰατροὺς παρακαλοῦμεν, λέγοντες, μὴ ἀμελήσῃς, ἀλλ' ὅλως μέχρις ἐσχάτης ἀναπνοῆς τὰ παρὰ σαυτοῦ προσφέρων μὴ ἀνύσῃς, οὐ πολλῷ μᾶλλον ἡμεῖς ἑαυτοὺς παραπέσομεν; ἴσως γὰρ μετὰ τὸ ἐλθεῖν εἰς αὐτὰς τοῦ ᾅδου τὰς πύλας, καὶ τῆς κακίας αὐτῆς τὰ πρόθυρα, ἀνελκύσαι δυνήσεται, καὶ ἀνακτήσασθαι, καὶ ῥωσθῆναι, καὶ ἐπιλαβέσθαι τῆς αἰωνίου ζωῆς. πόσοι ἀπὸ μὲν δεκάτης ἀκροάσεως οὐδὲ αἴσθησιν ἔλαβον, ὕστερον δὲ ἀπὸ μιᾶς μόνης ἐπεστράφησαν; μᾶλλον δὲ οὐκ ἀπὸ μιᾶς. εἰ γὰρ καὶ ἀναισθήτως εἶχον ἐν ταῖς δέκα, ἀλλ' ὅμως ἐκερδαίνομεν, καὶ ὕστερον τὸν καρπὸν ἀθρόον ἔδειξαν. ὥσπερ γὰρ ἐπὶ δένδρου, τὸ δέκα λαβὸν τομὰς, καὶ μὴ καταπεσὸν ὑπὸ τῶν δέκα, ὕστερον δὲ μιᾶς ἐπαχθείσης πᾶν κατηνέχθη· οὐ τῆς μιᾶς δὲ γέγονε τομῆς, ἀλλὰ τῶν δέκα ἐστὶ τὸ τῆς ὑστέρας κατόρθωμα· καὶ ὁ μὲν πρὸς τὴν ῥίζαν ἰδὼν οἶδε τοῦτο, ὁ δὲ ἄνωθεν ἀπὸ τοῦ στελέχους καταμανθάνων οὐδὲν τοιοῦτο δύναται συνιδεῖν· οὕτω δὴ καὶ ἐνταῦθα. καὶ ἰατροὶ δὲ πολλάκις * πολλὰ προσενεγκόντων φάρμακα, οὐδεμία γέγονεν ὠφέλεια, ὕστερον δέ τις προσελθὼν, τὸ πᾶν κατώρθωσεν· οὐκ ἐκείνου δέ ἐστι μόνου τὸ ἔργον, ἀλλὰ καὶ ἐκείνων τῶν ἤδη κατεργασαμένων τὸ πάθος. ὥστε κἂν μὴ νῦν δῶμεν τῆς ἀκροάσεως τὸν καρπὸν, ὕστερον δώσομεν. ὅτι γὰρ δώσομεν, σφόδρα πέπεισμαι. οὐ γὰρ ἔστιν, οὐκ ἔστι τοσαύτην φιληκοΐαν, καὶ τοσοῦτον πόθον διαπεσεῖν· μὴ γένοιτο· ἀλλὰ πάντες ἄξιοι τῶν τοῦ Χριστοῦ παραπέσεων γινόμενοι, τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν.

Λογ. ϛ. 20 ΕΝ ΜΕΓΑΛΗ ΔΕ ΟΙΚΙΑ ΟΥΚ ΕΣΤΙ μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. 21 Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

ΠΟλλοὺς τῶν ἀνθρώπων θορυβεῖ ἔτι καὶ νῦν, τί δήποτε μένουσιν οἱ κακοὶ, καὶ οὐκ ἀπόλλυνται. εἰσὶ μὲν οὖν τούτου καὶ ἕτεραι πολλαὶ αἰτίαι, οἷον, ἵνα μεταβάλωνται, ἵνα διὰ τῆς κολάσεως ὑπόδειγμα γένωνται τοῖς πολλοῖς. ἐνταῦθα δὲ ὁ Παῦλος πρᾶγμά φησιν ἐοικός. ἐν μεγάλῃ γὰρ οἰκίᾳ, φησὶν, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· δηλῶν διὰ τούτου ὅτι ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ εἰκὸς εἶναι πολλὴν διαφορὰν σκευῶν, οὕτω καὶ ἐνταῦθα ἐν τῇ οἰκουμένῃ πάσῃ· οὐ περὶ τῆς ἐκκλησίας λέγων, ἀλλὰ περὶ τοῦ κόσμου παντός. μὴ γάρ μοι τὴν ἐκκλησίαν ὑπολάβῃς· ἐνταῦθα γὰρ οὐδὲν βούλεται εἶναι σκεῦος ξύλινον, οὐδὲ ὀστράκινον, ἀλλὰ πάντα χρυσᾶ καὶ ἀργυρᾶ, ἔνθα σῶμα Χριστοῦ, ἔνθα παρθένος ἁγνὴ μὴ ἔχουσα σπίλον, ἢ ῥυτίδα. ὃ δὲ λέγει, τοῦτό ἐστι· μή σε ταραττέτω, ὅτι εἰσὶν ἄνθρωποι πονηροὶ καὶ μιαροί· καὶ γὰρ ἐν μεγάλῃ οἰκίᾳ ἐστὶ σκεύη τοιαῦτα. τί οὖν; ἀλλ' οὐ τῆς αὐτῆς, φησὶν, ἀπολαύει τιμῆς, ἀλλὰ τὰ μὲν εἰς τιμήν ἐστι, τὰ δὲ εἰς ἀτιμίαν. ναὶ, φησὶν, ἀλλ' ἐνταῦθα μὲν χρήσιμ-

τίμια πλείονα, ἐπὶ δὲ τοῦ κόσμου οὐδαμῶς. εἰ καὶ μὴ πρὸς τοιαύτην ἐνέργειαν, ἀλλὰ κέχρηνται αὐτοῖς τούτοις πρὸς ἕτερα ὁ Θεός· οἷον, ὁ κενόδοξος πολλὰ οἰκοδομεῖ, ὁ πλεονέκτης, ὁ ἔμπορος, ὁ κάπηλος, ὁ ἄρχων. ἔστιν ἔργα τινὰ ἐν τῷ κόσμῳ αὐτοῖς ἁρμόζοντα. τὸ δὲ χρυσοῦν σκεῦος οὐδὲν τοιοῦτον· ἀλλὰ περὶ τὴν τράπεζαν στρέφεται τὴν βασιλικήν. οὐ τοῦτο οὖν φησιν, ὅτι ἀναγκαῖον πρᾶγμα ἡ πονηρία· πῶς γάρ; ἀλλ' ὅτι καὶ αὐτοὶ ἔχουσιν ἔργον. εἰ γὰρ πάντες ἦσαν χρυσοῖ καὶ ἀργυροῖ, οὐκ ἂν ἐδέησεν ἐκείνων· οἷον, εἰ πάντες ἦσαν καρτερικοὶ, οὐκ ἔδει οἰκοδομημάτων, εἰ πάντες τρυφῆς ἦσαν ἀπηλλαγμένοι, οὐκ ἔδει ἐνδυμάτων, εἰ τῆς χρείας ἐπεμέλοντο πάντες, οὐκ ἔδει λαμπρᾶς οἰκοδομῆς. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον. ὁρᾷς ὅτι οὐ φύσεως, οὐδὲ ὕλης ἀνάγκης ἐστὶ τὸ εἶναι χρυσοῦν ἢ ὀστράκινον, ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως; ἐκεῖ μὲν γὰρ τὸ ὀστράκινον οὐκ ἂν γένηται χρυσοῦν, οὐδὲ τοῦτο εἰς τὴν ἐκείνου καταπεσεῖν εὐτέλειαν δυνήσεται· ἐνταῦθα δὲ πολλὴ ἡ μεταβολὴ καὶ ἡ μετάστασις. σκεῦος ὀστράκινον ἦν ὁ Παῦλος, ἀλλ' ἐγένετο χρυσοῦν. σκεῦος χρυσοῦν ἦν ὁ Ἰούδας, ἀλλ' ἐγένετο ὀστράκινον. ἄρα ἀπὸ ἀκαθαρσίας τὰ ὀστράκινα. ὁ πόρνος, ὁ πλεονέκτης, ὀστράκινος γέγονε. πῶς οὖν ἀλλαχοῦ φησιν, Ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν; ὥστε τιμᾷ, καὶ οὐ διαβάλλει τὸ σκεῦος τὸ ὀστράκινον, θησαυροῦ δεκτικὸν αὐτὸ προσειπών. ἐκεῖ τὴν φύσιν αὐτὴν δηλοῖ, οὐ τὸ εἶδος τῆς ὕλης. ὃ δὲ λέγει τοῦτό ἐστι· σκεῦος ὀστράκινον ἡμῶν τὸ σῶμα. ὥσπερ γὰρ τὸ ὀστράκινον οὐδὲν ἄλλο ἐστὶν, ἢ πηλὸς ὠπτημένος, οὕτω καὶ τὸ σῶμα τὸ ἡμέτερον οὐδὲν ἄλλο ἐστὶν, ἢ πηλὸς τῇ θερμότητι τῆς ψυχῆς στερεούμενος. ὅτι γὰρ ὀστράκινόν ἐστιν, εὔδηλον. πολλάκις γὰρ ὡς ἐκεῖνο τὸ σκεῦος πεσὸν κατεάγη καὶ συνετρίβη, οὕτω καὶ τὸ σῶμα θανάτῳ καταπεσὸν διαλύεται. τί γὰρ ὀστράκων διενήνοχε τὰ ὀστᾶ, οὕτως ὄντα κραταιά, οὕτως ὄντα ξηρά; τί δὲ πηλοῦ αἱ σάρκες; οὐχ ὁμοίως ἀπὸ ὕδατός εἰσι καὶ αὗται; ἀλλ', ὅπερ ἔφην, πῶς ἐκεῖ οὐ διαβάλλει τὸ πρᾶγμα; ἐκεῖ περὶ φύσεως διαλέγεται, ἐνταῦθα περὶ προαιρέσεως. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτόν, φησιν. οὐκ εἶπε, καθάρῃ, ἀλλ', ἐκκαθάρῃ, τουτέστι, παντελῶς καθάρῃ, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ. ἄρα ἐκεῖνα ἄχρηστα, εἰ καί τινα χρείαν ἐπιτελεῖ. εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. κἂν μὴ πράττῃ, ἀλλ' ὅμως ἐπιτήδειόν ἐστι, δεκτικόν. δεῖ οὖν πρὸς πάντα παρεσκευάσθαι, κἂν πρὸς θάνατον, κἂν πρὸς μαρτύριον δέῃ ἡτοιμάσθαι, κἂν πρὸς παρθενίαν, κἂν πρὸς ταῦτα πάντα.

β. Κορ. δ. ζ.

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε. Νεωτερικαὶ οὐχ αὗταί εἰσιν αἱ τῆς πορνείας μόνον, ἀλλὰ πᾶσα ἐπιθυμία ἄτοπος, νεωτερική. ἀκουέτωσαν οἱ γεγηρακότες, ὅτι οὐ δεῖ τὰ τῶν νεωτέρων ποιεῖν. κἂν ὑβριστὴς ᾖ τις, κἂν δυναστείας ἐρᾷ, κἂν χρημάτων, κἂν σωμάτων, κἂν ὁτουοῦν δήποτε, νεωτερικὴ ἡ ἐπιθυμία, ἀνόητος. οὔπω τῆς καρδίας βεβηκυίας, οὐδὲ τῶν φρενῶν ἐν βάθει τεθεισῶν, ἀλλ' ἠωρημένων ἀνάγκη ταῦτα πάντα γίνεσθαι. ἵνα οὖν μηδεὶς τούτοις ἁλῷ, τί παραινεῖ; φαντασίας νεωτερικὰς φεῦγε· Δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ πάντων τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. Δικαιοσύνην τὴν καθόλου ἀρετὴν λέγει, τὴν ἐν τῷ βίῳ εὐσέβειαν, πίστιν, ἀγάπην, πρᾳότητα. τί ἐστι μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας; ὥσπερ ἔλεγεν, ἐκείνοις θάρρει μόνοις, μὴ τοῖς ἁπλῶς ἐπικαλουμένοις, ἀλλὰ τοῖς ἀνυπούλως, τοῖς ἀνυποκρίτως, τοῖς οὐδὲν ἔχουσι δολερὸν, τοῖς μετ' εἰρήνης προσιοῦσι, τοῖς ἀμάχοις· μετ' ἐκείνων ἀναμίγνυσο, μετὰ δὲ τῶν ἄλλων οὐ χρὴ πρᾶον εἶναι, ἀλλ' εἰρηνεύειν μόνον τὸ ἐξ αὐτοῦ.

23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας.

Ὁρᾷς πῶς πανταχοῦ αὐτὸν ἀπάγει τῶν ζητήσεων; οὐ διὰ τὸ μὴ ἔχειν ἱκανῶς ἀναπτύσσειν αὐτάς· εἶχε γάρ. εἰ δὲ μὴ εἶχεν, εἶπεν ἂν πρὸς αὐτὸν, ὅτι σπούδασον εἶναι ἐπιστήμ-

ος πρὸς ἀνάγνωσιν τὴν τοιαύτην, ὥσπερ ὅταν λέγῃ, Πρόσεχε τῇ ἀναγνώσει· Τοῦτο γὰρ α. Τιμ. δ. ιγ. ιϛ.
ποιῶν καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. ἀλλ' οἶδεν ἄχρηστον ὂν καὶ τὸ καθεῖναι ὅλως εἰς
ἀγῶνας τοιούτους, καὶ ὅτι οὐδὲν τέλος ἔσται, ἀλλ' ἡ μάχη καὶ ἀπέχθεια, ὕβρεις καὶ λοιδορίαι.
Ταύτας οὖν τὰς ζητήσεις παραιτοῦ· ὥστε εἰσὶν ἕτεραι ζητήσεις, αἱ περὶ τὴν γραφήν, αἱ
περὶ τῶν ἄλλων.

24 Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι. Οὐκοῦν οὐ δεῖ μάχεσθαι οὐδὲ ἐν ζητή-
σει. πόῤῥω γὰρ μάχης εἶναι δεῖ τὸν τοῦ Θεοῦ δοῦλον. εἰρήνης γάρ ἐστι Θεὸς ὁ Θεός· ὁ δὲ
τοῦ Θεοῦ τῆς εἰρήνης δοῦλος, πῶς ἂν μαχέσοιτο; Ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. Δοῦ-
λον γὰρ Κυρίου οὐ δεῖ μάχεσθαι, φησὶν, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. πῶς οὖν λέγει, Ἔ- Τιτ. β. ιε.
λεγχε αὐτοὺς μετὰ πάσης ἐπιταγῆς; καὶ ἐνταῦθα πάλιν, Μηδείς σου τῆς νεότητος καταφρο- α. Τιμ. δ. ιβ.
νείτω; καὶ πάλιν, Ἔλεγχε αὐτοὺς ἀποτόμως; ὅτι καὶ τοῦτο πρᾳότητός ἐστιν. ὁ γὰρ σφοδρὸς ἔ- Τιτ. α. ιγ.
λεγχος, ὅταν μετ' ἐπιεικείας γίνηται, τοῦτό ἐστιν ὁ μάλιστα δάκνειν δυνάμενος. ἔνεστι γάρ,
ἔνεστι μετὰ πρᾳότητος καθάψασθαι μᾶλλον, ἢ μετὰ θρασύτητος ἐντρέψαι.

Διδακτικόν· Τουτέστι, πρὸς πάντας τοὺς βουλομένους διδαχθῆναι. Αἱρετικὸν Τιτ. γ. ι.
γάρ, φησιν, ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. Ἀνεξίκακον.

Καλῶς τοῦτο προσέθηκε. μάλιστα γὰρ τοῦτο ἔχειν χρὴ τὸν διδάσκαλον· ἐπεὶ πάντα
μάταιά ἐστιν. εἰ γὰρ οἱ ἁλιεῖς πολλάκις δι' ὅλης ἡμέρας βάλλοντες τὰ δίκτυα, καὶ οὐκ ἐπι-
τυγχάνοντες οὐκ ἀπαγορεύουσι, πολλῷ μᾶλλον ἡμεῖς. ὅρα γὰρ τί ἐστι. συμβαίνει πολλάκις
ἀπὸ τῆς συνεχοῦς διδασκαλίας εἰς τὸ βάθος τῆς ψυχῆς τὸ τοῦ λόγου ἄροτρον κατελθὸν ἐκ-
κόψαι τὸ ἐνοχλοῦν αὐτῇ πάθος. ὁ γὰρ μυριάκις ἀκούσας, πείσεταί τι. οὐ γάρ ἐστιν
ἄνθρωπον ἀκούοντα συνεχῶς, μηδὲν παθεῖν. ἔστιν οὖν ὅτε μέλλων πείθεσθαι, ἡμῶν ἀπα-
γορευσάντων, τὸ πᾶν ἀπώλεσε. καὶ ταυτόν ἐστιν, οἷον ἂν εἴ τις γεωργίας ἄπειρος τὴν ἄμ-
πελον φυτευθεῖσαν σκάπτοι μὲν ἐνιαυτῷ τῷ πρώτῳ, ἐν δὲ τῷ δευτέρῳ ζητῶν λήψεσθαι
καρπὸν, καὶ πάλιν ἐν τῷ τρίτῳ, καὶ μὴ λαμβάνων, εἶτα τῶν τριῶν ἐτῶν παρελθόντων ἀπο-
γνοὺς, τότε λοιπὸν αὐτὴν καταλείποι ἐν ᾧ τετάρτῳ ἔτει τῶν πόνων ἐκείνων ἔμελλε κομίζεσθαι
τὴν ἀντίδοσιν. Εἰπὼν δὲ ἀνεξίκακον, οὐκ ἀρκεῖται, ἀλλ' ἐπάγει λέγων·

25 Ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους. Μάλιστα γὰρ τὸν διδάσκον-
τα τοῦτο χρὴ ποιεῖν ἐν πρᾳότητι· οὐ γὰρ ἔνι ψυχὴν δυναμένην μαθεῖν, μετὰ θρασύτητος καὶ
μάχης δυνηθῆναί τι τῶν χρησίμων συνιδεῖν. κἂν γὰρ μέλλῃ προσέχειν, ἀποῤῥηθεῖσα οὐ-
δὲν εἴσεται. δεῖ γὰρ τὸν μέλλοντά τι τῶν χρησίμων μαθεῖν, πρὸ τῶν ἄλλων πάντων ἡ-
δέως ἔχειν πρὸς τὸν διδάσκοντα. τούτου δὲ μὴ προκατασκευασθέντος, οὐκ ἔνι ἀνέχεσθαι τι τῶν
δεόντων, οὐδὲ τῶν χρησίμων. ἡδέως δὲ οὐκ ἄν τις ἔχοι πρὸς τὸν θρασυνόμενον καὶ ὑβρί-
ζοντα. πῶς οὖν αἱρετικὸν, φησιν, ἄνθρωπον μετὰ μίαν ἢ δευτέραν νουθεσίαν παραιτοῦ; τὸν
ἀδιόρθωτον λέγει, ὃν οἶδεν ἀνίατα νοσοῦντα. Μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς
ἐπίγνωσιν ἀληθείας,

26 Καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἴσως
ἔσται τις διόρθωσις. τὸ δὲ, ἴσως, ἐπὶ τῶν ἀδήλων ἐστίν. ὥστε ἐκείνων μόνον ἀφίστασθαι χρή,
περὶ ὧν δυνάμεθα σαφῶς ἀποφήνασθαι, καὶ παρ' ὧν πεπείσμεθα, ὅτι οὐδ' ἂν ὁτιοῦν γί-
νηται, μεταστήσονται. ἐν πρᾳότητι, φησιν. ὁρᾷς ὅτι τοὺς βουλομένους μαθεῖν οὕτω χρὴ
προσίεσθαι, καὶ μηδέποτε πρὸ τῆς ἀποδείξεως ἀφίστασθαι τῆς διαλέξεως;

Ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. Καλῶς εἶπεν, ἐζωγρημένοι. τέ-
ως γὰρ ἐν πλάνῃ ἔχονται. ὅρα πῶς διδάσκει μετριοφρονεῖν. οὐκ εἶπε, μή ποτε δυνη-
θῇς, ἀλλά, μή ποτε δῷ αὐτοῖς ὁ Κύριος ἀνανῆψαι. κἂν γένηταί τι, τοῦ Κυρίου τὸ πᾶν ἐστι.
σὺ φυτεύεις, σὺ ποτίζεις, ἐκεῖνος αὐξάνει καὶ ποιεῖ καρποφορεῖν. μή ποτε τοίνυν ἐκκακώμεθα,

ὡς

ὡς ἄν τινα πάθοντες, κἂν πείσωμεν. καὶ ζωγρηθέντες, φησὶν, ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. τοῦτο δὲ οὐ περὶ δογμάτων ἄν τις εἴποι, ἀλλὰ καὶ περὶ βίου. τὸ γὰρ θέλημα αὐτοῦ ἐστιν ὀρθῶς βιοῦν. εἰσὶ δέ τινες ἐν τῇ παγίδι τοῦ διαβόλου, καὶ βίου ἕνεκεν. οὐ τοίνυν οὐδὲ πρὸς τούτους ἀπεχθάνεσθαι χρή. μή ποτε ἀνανήψωσι, φησὶν, ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα. τὸ δὲ, μή ποτε, πολλῆς μακροθυμίας ἐστὶ δεικτικόν. τὸ γὰρ μὴ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, παγὶς διαβολική. ὥσπερ γὰρ ὁ στρουθὸς, κἂν μὴ ἐξ ὅλου τοῦ μέρους κατέχηται, ἀλλ' ἐξ ἑνὸς τοῦ ποδὸς λέγω, ὑπὸ τὴν ἐξουσίαν ἐστὶ τοῦ τὴν παγίδα θέντος· οὕτω καὶ ἡμεῖς, κἂν μὴ ἐξ ὅλου κατεχώμεθα, καὶ ἐκ πίστεως καὶ ἐκ βίου, ἀλλ' ἐκ τοῦ βίου μόνον, ὑπὸ τὴν ἐξουσίαν ἐσμὲν τοῦ διαβόλου.

Ματθ. ζ. κα. κγ.

Οὐ γὰρ ὁ λέγων μοι, Κύριε, Κύριε, φησὶν, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν, Οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ὁρᾷς ὅτι κέρδος οὐδὲν ἐκ τῆς πίστεως, ὅταν ἡμᾶς ἀγνοῇ ὁ δεσπότης;

Ματθ. κε ιβ.

καὶ ταῖς παρθένοις τὸ αὐτὸ φησίν· Οὐκ οἶδα ὑμᾶς. τί οὖν τὸ κέρδος τῆς παρθενίας καὶ τῶν πολλῶν ἱδρώτων, ὅταν ἀγνοῇ αὐτὰς ὁ δεσπότης; καὶ πολλαχοῦ εὑρίσκομεν ὑπὲρ μὲν πίστεως οὐδὲν ἐγκαλουμένους, ἀπὸ δὲ βίου πονηροῦ κολαζομένους μόνον· ὥσπερ ἀλλαχοῦ ὑπὲρ βίου μὲν οὐδὲν ἐγκαλουμένους, διὰ δὲ δόγμα διεστραμμένον ἀπολλυμένους. ταῦτα γὰρ ἀλλήλων ἔχεται. ὁρᾷς ὅτι ὅταν μὴ ποιῶμεν τὸ θέλημα τοῦ Θεοῦ, ὑπὸ τὴν παγίδα τοῦ διαβόλου ἐσμέν; οὐκ ἀπὸ βίου δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ ἑνὸς ἐλαττώματος πολλάκις εἰσερχόμεθα εἰς τὴν γέενναν, ὅταν μὴ τὰ ἄλλα ἀντίρροπα ᾖ ἀγαθά· ἐπεὶ καὶ αἱ παρθένοι οὐ πορνείαν ἐνεκλήθησαν, οὐ μοιχείαν, οὐ φθόνον, οὐ βασκανίαν, οὐ μέθην, οὐ κακοπιστίαν, ἀλλ' ἔλλειψιν ἐλαίου· τουτέστιν, οὐκ ἐποίουν ἐλεημοσύνην. τὸ γὰρ ἔλαιον, τοῦτό ἐστι.

Ματθ. κε. μα.

καὶ ἐκεῖνοι οἱ καταραθέντες, Ἀπέλθετε οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, οὐδὲν πάλιν τούτων ἐνεκαλοῦντο, ἀλλὰ καὶ αὐτοὶ, ὅτι οὐκ ἔθρεψαν τὸν Χριστόν.

ΗΘΙΚΟΝ

Ὁρᾷς ὅτι ἀρκεῖ ἐλεημοσύνη ἐλλειφθεῖσα εἰσαγαγεῖν εἰς τὸ τῆς γεέννης πῦρ; πῶς γὰρ ἔσται χρήσιμος, εἰπέ μοι, ὁ ἐλεημοσύνην μὴ ποιῶν; νηστεύεις καθ' ἑκάστην ἡμέραν; ἀλλὰ καὶ αἱ παρθένοι τότε ἐκεῖναι, ἀλλ' οὐδὲν ἀπώναντο. εὔχῃ; καὶ τί τοῦτο; ἐλεημοσύνης χωρὶς ἄκαρπος ἡ εὐχή. πάντα ἀκάθαρτα ταύτης χωρὶς, πάντα ἀνόητα· τὸ πλέον τῆς ἀρετῆς μέρος ἐκκόπτεται.

α. Ιωαν. γ ι.

Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, φησὶ, τὸν Θεὸν οὐκ οἶδε. σὺ δὲ πῶς ἀγαπᾷς, μηδὲ τῶν μικρῶν τούτων καὶ εὐτελῶν αὐτῷ μεταδοῦναι βουλόμενος; εἰπὲ δή μοι, σωφρονεῖς; τίνος ἕνεκεν; οὐχὶ δεδοικὼς τὴν κόλασιν; οὐδαμῶς, ἀλλὰ φύσει τὸ πρᾶγμα μετέχει· ἐπεὶ εἰ σωφρονεῖς δεδοικὼς τὴν κόλασιν, καὶ τοσαύτην ὑπομένεις βίαν καὶ τοσαύτην τυραννίδα, πολλῷ μᾶλλον ἐλεημοσύνας ποιεῖν ἔδει. οὐ γάρ ἐστιν ἴσον ἐπιθυμίας κρατῆσαι χρημάτων, καὶ σωμάτων, ἀλλὰ μείζων ὁ πόνος ἐν ταύτῃ. τί δήποτε; ὅτι ἡ μὲν ἡδονὴ φυσικὴ, καὶ ἐνέσπαρται καὶ ἐμπεφύτευται ἡμῶν τῷ σώματι· τὰ δὲ τῶν χρημάτων, οὐκέτι. τοῦτό ἐστιν ᾧ ἐξισοῦσθαι δυνάμεθα τῷ Θεῷ, τῷ ἐλεεῖν καὶ οἰκτείρειν. ὅταν οὖν τοῦτο μὴ ἔχωμεν, τοῦ παντὸς ἀπεστερήμεθα. οὐκ εἶπεν, ἐὰν νηστεύητε, ὅμοιοι ἔσεσθε τῷ πατρὶ ὑμῶν· οὐκ εἶπεν, ἐὰν παρθενεύσητε, οὐδὲ εἶπεν, ἐὰν εὔχησθε, ὅμοιοι ἔσεσθε τῷ πατρὶ ὑμῶν. οὐδὲν γὰρ τούτων περὶ Θεὸν, οὐδὲ ἐργάζεταί τι τούτων ὁ Θεός.

Λουκ. ς. λς.
Ωσ. ς. ς.

ἀλλὰ τί; Γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. τοῦτο Θεοῦ ἔργον. ἐὰν οὖν τοῦτο μὴ ἔχῃς, τί ἔχεις; Ἔλεον θέλω, φησὶ, καὶ οὐ θυσίαν. ἐποίησεν οὐρανὸν ὁ Θεὸς, ἐποίησε γῆν, θάλασσαν. μεγάλα ταῦτα, καὶ τῆς αὐτοῦ σοφίας ἄξια. ἀλλ' οὐδενὶ τούτων ἐφειλκύσατο τὴν ἀνθρωπίνην φύσιν, ὡς τῷ ἐλέῳ καὶ τῇ φιλανθρωπίᾳ (τοῦτο μὲν γὰρ σοφίας ἔργον, καὶ δυνάμεως, καὶ ἀγαθότητος) πολλῷ δὲ μᾶλλον ὅτι δοῦλος ἐγένετο. οὐκ ἐπὶ τούτῳ μᾶλλον αὐτὸν θαυμάζομεν; οὐκ ἐπὶ τούτῳ μᾶλλον αὐτὸν ἐκπληττόμεθα; οὐδὲν οὕτως ἐπισπᾶται τὸν Θεὸν, ὡς ἔλεος· καὶ πολλὰ περὶ τούτου ἀπαυ-

τες διαλέγονται ἄνω καὶ κάτω τὸν προφήτην. ἔλεον δὲ λέγω, οὐ τὸν μετὰ πλεονεξίας. οὐ γάρ ἐστι τοῦτο ἔλεος. οὐδὲ γὰρ ἀκάνθης ῥίζα ἐλαίαν τίκτει ποτὲ, ἀλλ' ἐλαίας· ὥσπερ οὕτω οὐδὲ πλεονεξίας ῥίζα ἔλεον τίκτει, οὐδὲ ἀδικίας, οὐδὲ ἁρπαγῆς. μὴ διάβαλλε τὴν ἐλεημοσύνην, μὴ ποίει αὐτὴν κατηγορεῖσθαι ὑπὸ πάντων. εἰ γὰρ διὰ τοῦτο ἁρπάζεις, ἵνα ἐλεήσῃς, οὐδὲν τῆς ἐλεημοσύνης ταύτης χεῖρον. ὅταν γὰρ ἐξ ἁρπαγῆς τίκτηται, οὐκ ἔστι τοῦτο ἐλεημοσύνη· ἀπήνειά τις ἐστὶ καὶ ὠμότης, ὕβρις τοῦτο εἰς τὸν Θεόν. εἰ ὁ τὰ ἐλάττονα τῶν αὐτοῦ προσενεγκὼν οὕτω προσέκρουσεν ὁ Κάϊν, ὁ τὰ ἀλλότρια προσφέρων πῶς οὐ προσκρούσει; προσφορὰ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ θυσία, καθαρότης, οὐκ ἀκαθαρσία. καὶ ῥυπαραῖς μὲν χερσὶν οὐ τολμᾷς εὔξασθαι, ῥύπον δὲ καὶ ἀκαθαρσίαν προσφέρων ἐξ ἁρπαγῆς οὐδὲν ἡγῇ ποιεῖν δεινόν; τὰς χεῖρας οὐκ ἀφίης ῥύπου καὶ ἀκαθαρσίας πληροῦσθαι, ἀλλὰ καθαρὰς εἶναι ποιήσας, οὕτω προσφέρεις· καίτοι ἐκεῖ ὁ ῥύπος οὐδὲν ἔγκλημα φέρει, ἐκεῖνος δὲ κατηγορίας ἄξιος καὶ διαβολῆς. μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως καθαρὰς προσφέρωμεν καὶ εὐχώμεθα χερσὶν, ἀλλ' ὅπως καὶ τὰ προσφερόμενα ᾖ καθαρά. ἐπεὶ τοῦτο γέλως ἐστὶν, ὥσπερ ἂν εἴ τις τὸν πίνακα περιπλύνας δώρων ἀκαθάρτων αὐτὸν ἐμπλήσειεν. οὐχὶ χλευασία τοῦτο ἐστὶ καὶ γέλως; ἔστωσαν αἱ χεῖρες καθαραί· ἔσονται δὲ, ἂν μὴ ὕδατι αὐτὰς ἀπονίπτωμεν μόνον, ἀλλὰ καὶ δικαιοσύνῃ πρότερον. τοῦτο χειρῶν καθάρσιον. ἂν δὲ γέμωμεν ἀδικίας, κἂν μυριάκις αὐτὰς περιπλύνῃς, κέρδος οὐδέν. Λούσασθε, φησὶ, καθαροὶ γίνεσθε. Ησ. α. 16.

τί οὖν; ἆρα προσθεὶς εἶπε, πορεύεσθε ἐπὶ τὰς πηγὰς, πορεύεσθε ἐπὶ τὰ βαλανεῖα, καὶ τὰς λίμνας, καὶ τοὺς ποταμούς; οὐδὲν τούτων· ἀλλὰ τί; Ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν· τουτέστι, καθαροὶ γίνεσθε. τοῦτο ἀπαλλάττεσθαι ποιεῖ μολυσμοῦ, αὕτη ἐστὶν ἡ ὄντως καθαρότης. ἐκείνη μὲν γὰρ οὐδὲν μέγα ὤνησεν, αὕτη δὲ παῤῥησίαν ἡμῖν χαρίζεται τὴν πρὸς τὸν Θεόν· κἀκείνην καὶ μοιχοὺς, καὶ κλέπτας, καὶ ἀνδροφόνους ἔχειν δυνατὸν, καὶ βλάκας, καὶ ἐκλύτους ἄνδρας, καὶ πόρνους, καὶ ἡταιρηκότας, καὶ μάλιστα τούτους. οὗτοι γάρ εἰσιν οἱ τῆς τοῦ σώματος καθαρότητος ἐπιμελούμενοι μάλιστα πάντων, μύρων ὄζοντες συνεχῶς, ἀποσμύχοντες τὸ σῆμα. σῆμα γάρ ἐστιν αὐτοῖς τὸ σῶμα, τῆς ψυχῆς ἔνδον οὔσης νεκρᾶς. ὥστε ταύτης μὲν τῆς καθαρότητος κἀκείνοις μετιέναι δυνατόν· τῆς δὲ ἔνδον οὐκέτι. οὐδὲν μέγα, ἐὰν τὸ σῶμα ἀποπλύνῃς. Ἰουδαϊκός ἐστιν οὗτος ὁ καθαρμὸς, ἀνόητος καὶ ἀνωφελὴς, τοῦ ἔνδον οὐκ ὄντος. ἔστω τις σπιλάδια ἔχων, ἢ νομὴν τραυμάτων, περιπλυνέτω τὸ σῶμα. τί τὸ κέρδος; τί τὸ πέρας; εἰ δὲ τὴν ἐν σώματι σπιλάδα οὐδὲν ὠφελῆσαι δυνήσεταί τις ἀπὸ τῆς ἐπιφανείας τῆς ἔξωθεν περικλυζομένης καὶ ἀφανιζομένης, ὅταν ἐν ψυχῇ ἡ σπιλὰς ᾖ, τί ἀπὸ τῆς τοῦ σώματος καθαρότητος ὀνήσομεν; οὐδέν. εὐχῶν ἡμῖν δεῖ καθαρῶν. εὐχαὶ δὲ οὐκ ἂν γένοιντο καθαραὶ, τῆς τικτούσης αὐτὰς ψυχῆς οὔσης μιαρᾶς. (γίνονται) οὐδὲν γὰρ οὕτω ποιεῖ ψυχὴν μιαρὰν, ὡς πλεονεξία καὶ ἁρπαγή. ἀλλ' εἰσί τινες οἳ κατὰ τὴν ἑσπέραν μυρία διὰ τῆς ἡμέρας ἐργαζόμενοι κακὰ, λουόμενοι εἰσίασιν εἰς τὴν ἐκκλησίαν μετὰ πολλῆς τῆς παῤῥησίας τὰς χεῖρας ἀνατείνοντες, ὡς τὸ πᾶν διὰ τῆς τῶν ὑδάτων κολυμβήθρας ἀποθέμενοι. εἰ τοῦτο ἦν, μέγα τὸ κέρδος ἦν τὸ καθ' ἑκάστην ἡμέραν λούεσθαι. εἰ τοῦτο ἦν, οὐκ ἂν οὐδὲ αὐτὸς ἐπαυσάμην τὰ βαλανεῖα διενοχλῶν, εἰ καθαροὺς ἐποίει καὶ ἁμαρτημάτων ἀπήλλαττε. γέλως ταῦτα καὶ λῆρος, παίγνια καὶ παίδων ἀθύρματα. οὐκ ἀποστρέφεται σώματος ῥύπον ὁ Θεὸς, ἀλλ' ἀκαθαρσίαν ψυχῆς. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Μακάριοι οἱ καθαροὶ, ἆρα τῷ σώματι; οὐδαμῶς, ἀλλ', οἱ τῇ καρδίᾳ καθαροὶ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Ματθ. ε. η.

ὁ δὲ προφήτης τί φησι; Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. καὶ πάλιν, Ἀπόπλυναι ἀπὸ κακίας τὴν καρδίαν σου. Ψαλ. ν. ιβ. Ιερ. δ. ιδ.

μέγα ἀγαθὸν ἐν συνηθείᾳ ἀγαθῶν εἶναι. ὅρα πῶς ἐστὶ μικρὰ ταῦτα καὶ ἀνόητα. καὶ ἐπειδὰν προληφθῇ ἐν συνηθείᾳ ἡ ψυχὴ, οὐκ ἀφίσταται, οὐδὲ ἀνέχεται μὴ πρότερον αὐτὰ πληρώσασα προσελθεῖν τῇ εὐχῇ. οἷόν τι λέγω· ἐν συνηθίᾳ

συνηθείᾳ καταστήσαιμεν ἑαυτοὺς τοῦ νίπτεσθαι καὶ εὔχεσθαι, καὶ οὐκ ἔτι μὴ νιψάμενοι τοῦτο ποιῆσαι. ἀλλ᾽ ἡδέως οὐκ εὐχόμεθα, εἰ ἀνίπτοις χερσὶ τοῦτο ποιοῦμεν, ὡς προσκρούειν μέλλοντες Θεῷ, καὶ ἀπὸ συνειδότος πονηροῦ ὄντες. εἰ δὲ μικρὸν τοῦτο τοσαύτην ἔχει τὴν τυραννίδα, καὶ πάντως ἐκπληροῦται καθ᾽ ἑκάστην ἡμέραν, εἰ ἐν ἐλεημοσύνης συνηθείᾳ καταστήσαιμεν ἑαυτοὺς, καὶ τοῦτο πληροῦν ἀεὶ πεισαίμεθα, μηδέποτε εἰσιέναι κεναῖς ταῖς χερσὶν εἰς οἶκον εὐκτήριον, κατώρθωτο ἂν τὸ πρᾶγμα. μεγάλη γὰρ καὶ ἐν τοῖς ἀγαθοῖς, καὶ ἐν τοῖς κακοῖς τῆς συνηθείας ἡ τυραννίς. οὐ δεησόμεθα ποίου λοιπὸν, αὐτῆς ἑλκούσης ἡμᾶς. ἐν συνηθείᾳ πολλοὶ κατέστησαν τοῦ σφραγίζειν ἑαυτοὺς συνεχῶς, καὶ οὐκέτι δέονται τοῦ ὑπομιμνήσκοντος. ἀλλὰ καὶ τοῦ νοῦ πολλάκις ἀλλαχοῦ ῥεμβομένου, καθάπερ ὑπό τινος ἐμψύχου διδασκάλου τῆς συνηθείας, ἡ χεὶρ αὐτομάτως ἕλκεται πρὸς τὸ τὸ σημεῖον ἐργάσασθαι. ἐν συνηθείᾳ κατέστησαν ἑαυτούς τινες, ὥστε μὴ ὀμνύειν· καὶ οὔτε ἑκόντες, οὔτε ἄκοντες τοῦτο πίσοι. καταστήσωμεν καὶ ἡμεῖς ἑαυτοὺς ἐν ταύτῃ τῇ συνηθείᾳ τῇ τῆς ἐλεημοσύνης. πόσων ἡμῖν ἔδει καμάτων, ὥστε εὑρεθῆναι τὸ φάρμακον τοῦτο; εἰπὲ γάρ μοι, εἰ μὴ ἦν ἡ τῆς ἐλεημοσύνης παραμυθία, εἶτα μυρία ἡμαρτηκότες ὑπευθύνους ἑαυτοὺς κατεσκευάζομεν τῇ τιμωρίᾳ, ἆρα οὐκ ἂν ἀπωδυρόμεθα πολλά; ἆρα οὐκ ἂν εἴπομεν, εἴθε ἦν διὰ χρημάτων ἀπολύσασθαι τὰ ἁμαρτήματα, καὶ πάντα ἂν ἐκενώσαμεν· εἴθε ἦν διὰ χρημάτων ἐκβαλεῖν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ οὐκ ἂν ἐφεισάμεθα τῶν ὄντων; εἰ γὰρ ἐν νόσῳ τοῦτο ποιοῦμεν, καὶ ἐν [illegible] λέγομεν, ὅτι εἰ ἦν θάνατον πρίασθαι, πάντα ἂν ἔδωκεν ὁ δεῖνα τὰ ὑπάρχοντα, πολλῷ μᾶλλον ἐνταῦθα. καίτοι ὅρα τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὅση τίς ἐστιν. οὐκ ἔδωκέ σοι θάνατον ἀγοράζειν τὸν πρόσκαιρον, ἀλλὰ θάνατον τὸν αἰώνιον. μὴ τὴν μικρὰν ἀγοράσῃς, φησὶ, ζωὴν ταύτην, ἀλλὰ ζωὴν ἐκείνην τὴν αἰώνιον· ἐκείνην σοι πωλῶ, οὐ ταύτην· οὐκ ἐμπαίζω σοι. κἂν λάβῃς ταύτην, οὐδὲν ἔλαβες. ἐγὼ οἶδα ὅτι ἐκείνη μεγάλη ἐστίν. ἀλλ᾽ οὐχ οὕτως οἱ κάπηλοι, καὶ οἱ τὰ βιωτικὰ ἐμπορευόμενοι ποιοῦσιν· ἐκείνοις ἂν ἐξὸν ἐμπράξαι, οἷς βούλονται, καὶ τὸ μικρὸν διδόασιν ἀντὶ τοῦ μεγάλου. αὐτὸς δὲ οὐχ οὕτως· ἀλλ᾽ ἀντὶ τῶν μικρῶν τὰ πολλῷ μείζονα δίδωσιν. εἰπέ μοι, εἰ πρὸς ἔμπορόν τινα ἀπελθὼν, δύο λίθων κειμένων, τοῦ μὲν εὐτελοῦς, τοῦ δὲ βαρυτίμου καὶ ἱκανοῦ ἐργαζομένου πλοῦτον, καταθεὶς ἐκείνου τοῦ μικροῦ τὸ τίμημα, τὸν μέγαν ἔλαβες, ἆρα ἂν ἐνεκάλεσας ἐκείνῳ; οὐδαμῶς, ἀλλὰ μᾶλλον ἐθαύμασας. οὕτω καὶ νῦν κεῖνται δύο ζωαί, ἡ πρόσκαιρος, καὶ ἡ αἰωνία. πωλεῖ δὲ ταύτας ὁ Θεός. ἀλλὰ ταύτην ἡμῖν πωλεῖ, οὐκ ἐκείνην. τί ἀγαλλόμεθα κατὰ τοὺς ἀνοήτους τῶν παίδων, ὅτι τὸ τίμιον λαμβανόμεθα; ἔστιν οὖν ἀγοράσαι ζωὴν χρημάτων, φησί; ναὶ, ὅταν τὰ ἑαυτῶν, καὶ μὴ τὰ ἀλλότρια καταβάλλωμεν, ὅταν μὴ ἐπιθέσει ποιῶμεν. ἀλλ᾽ ἐμὰ λοιπόν ἐστι, φησίν. οὐκ ἔστι σὰ μετὰ τὴν ἁρπαγὴν, ἀλλ᾽ ἐκείνου ἐστίν· ἀλλότριά ἐστι, κἂν μυριάκις αὐτῶν κύριος ᾖς. οὐδὲ γὰρ εἰ παρακαταθήκην λάβοις, τὸν χρόνον καθ᾽ ὃν ὁ παρακαταθέμενος ἀποδημεῖ, σά ταῦτά ἐστι, καίτοι παρὰ σοὶ κεῖται. εἰ τοίνυν ἃ παρ᾽ ἑκόντων καὶ χάριν εἰδότων τῶν παρακαταθεμένων ἐλάβομεν, οὐκ ἔστιν ἡμέτερα, οὐδὲ ἐκεῖνον τὸν χρόνον, καθ᾽ ὃν ἔχομεν, πολλῷ μᾶλλον ταῦτα, ἅπερ ἀκόντων καὶ μὴ βουλομένων ἁρπάζομεν. ἐκεῖνός ἐστιν αὐτῶν κύριος, κἂν μυριάκις αὐτὰ ἔχῃς. ἡμέτερα ὄντως ἐστὶν ἡ ἀρετή, τὰ δὲ χρήματα οὐδὲ τὰ ἡμέτερα, ἡμέτερα, μήτοι τὰ ἀλλότρια. ἀλλὰ νῦν μὲν ἡμῶν, αὔριον δὲ οὐχ ἡμῶν. τὰ δὲ τῆς ἀρετῆς ἡμέτερα. οὐ γὰρ ζημιοῦται αὕτη, καθάπερ ἐκεῖνα, ἀλλὰ πᾶσι πρόσοδός ἐστιν ὁλόκληρος. ταύτην οὖν κτησώμεθα, καὶ χρημάτων καταφρονήσωμεν, ἵνα δυνηθῶμεν τῶν ὄντως ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι.

Λογ. ζ.

Λογ. ζ. 1 ΤΟΥΤΟ ΔΕ ΓΙΝΩΣΚΕ, ΟΤΙ ΕΝ ΕΣΧΑ- κεφ. γ.
ταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. 2 Ἔσονται γὰρ οἱ ἄνθρωποι
φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀ-
πειθεῖς, ἀχάριστοι, ἀνόσιοι, 3 Ἄσπονδοι, ἄστοργοι, διάβολοι, ἀκρατεῖς,
ἀνήμεροι, ἀφιλάγαθοι, 4 Προδόται, προπετεῖς, τετυφωμένοι, φι-
λήδονοι μᾶλλον, ἢ φιλόθεοι, 5 Ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύ-
ναμιν αὐτῆς ἠρνημένοι· καὶ τούτους ἀποτρέπου. 6 Ἐκ τούτων γάρ εἰ-
σιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσω-
ρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις,
7 Πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας δυνάμενα
ἐλθεῖν.

ΕΝ τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, Ὅτι τὸ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως. (α. Τιμ. δ. α.) καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ προφητεύει ἐν αὐτῇ τῇ ἐπιστολῇ τοιοῦτόν τι ὕστερον ἐσόμενον. καὶ ἐνταῦθα δὲ πάλιν τὸ αὐτὸ ποιεῖ λέγων· τοῦτο δὲ γίνωσκε ὅτι ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί. καὶ οὐκ ἀπὸ τῶν ὑστέρων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν φθασάντων τοῦτο δείκνυσιν. 8 Οἱ τρόποι, φησὶν, Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσῇ. Καὶ ἀπὸ λογισμῶν πάλιν· Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ. (β. Τιμ. β. κ.) τί δὴ τοῦτο ποιεῖ; ἵνα μὴ θορυβῆται Τιμόθεος, μηδὲ ἡμῶν τις, ὅταν ὦσιν ἄνδρες πονηροί. εἴγε ἐπὶ Μωϋσέως γεγόνασι, φησὶ, καὶ μετὰ ταῦτα ἔσονται, οὐδὲν θαυμαστὸν εἰ καὶ ἐφ' ἡμῶν. ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί· οὐχὶ τὰς ἡμέρας διαβάλλων λέγει, οὐδὲ τοὺς καιροὺς, ἀλλὰ τοὺς ἀνθρώπους τοὺς τότε ὄντας. καὶ γὰρ ἡμῖν οὕτω λέγειν ἔθος ἐστὶ καιροὺς πονηροὺς, καὶ οὐ πονηροὺς, ἀπὸ τῶν ἐν αὐτοῖς συμβαινόντων πραγμάτων ὑπὸ τῶν ἀνθρώπων. καὶ εὐθέως τὸ πάντων αἴτιον τίθησι τῶν κακῶν, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγὴν, ὅθεν τὰ ἄλλα πάντα τίκτεται, τὴν ὑπεροψίαν. ὁ τούτῳ ἁλοὺς τῷ πάθει οὐδὲ τὰ οἰκεῖα σκοπεῖ. ὅταν γὰρ μὴ τὰ τοῦ πλησίον τις σκοπῇ, ὅταν τῶν ἐκείνου ἀμελῇ, πῶς τὰ ἑαυτοῦ σκοπήσει; ὥσπερ γὰρ ὁ τὰ τοῦ πλησίον ὁρῶν, τὰ αὐτοῦ καλῶς θήσεται ἐν τοῖς ἐκείνου, οὕτως ὁ καταφρονῶν τὰ ἐκείνου, καὶ τὰ αὐτοῦ ὑπερόψεται. εἰ γὰρ μέλη ἀλλήλων ἐσμὲν, ἡ τοῦ πλησίον σωτηρία οὐκ ἐκείνου μόνου ἐστὶν, ἀλλὰ καὶ τοῦ λοιποῦ σώματος· καὶ ἡ τοῦ πλησίον βλάβη, οὐ μέχρις ἐκείνου μόνου ἵσταται, ἀλλὰ καὶ ἅπαντα λοιπὸν κατατείνει ταῖς ὀδύναις. εἰ οἰκοδομή ἐσμεν, ὅπερ ἂν πάθῃ μέρος, καὶ τὸ λοιπὸν λυμαίνεται· ἂν δὲ ᾖ στεῤῥὸν, καὶ τὸ λοιπὸν διαβαστάζειν δύναται. οὕτω δὴ καὶ ἐν τῇ ἐκκλησίᾳ. ὑπερεῖδες τοῦ ἀδελφοῦ; σαυτὸν ἠδίκησας. πῶς; τὸ μέλος τὸ σὸν βλάβην ὑπέστη οὐ μικράν. εἰ γὰρ ὁ χρημάτων μὴ μεταδιδοὺς εἰς τὴν γέενναν ἄπεισιν, ὁ ἐν τοῖς ἀναγκαιοτέροις ὁρῶν κινδυνεύοντα, καὶ χεῖρα μὴ ὀρέγων, πολλῷ μᾶλλον ἐκείνου τοῦτο πείσεται, ὅσῳ καὶ ἐν μείζονι ἡ ζημία γέγονεν. ἔσονται γὰρ, φησὶν, οἱ ἄνθρωποι φίλαυτοι. ὁ φίλαυτος οὗτός ἐστιν ὁ μάλιστα ἑαυτὸν μὴ φιλῶν· ὁ δὲ φιλάδελφος, οὗτος μᾶλλόν ἐστιν ὁ ἑαυτὸν ἀγαπῶν. ἀπὸ τούτου ἡ φιλαργυρία. τὴν γὰρ ἀγάπην πλατεῖαν οὖσαν καὶ πανταχοῦ ἐκκεχυμένην συστέλλει, καὶ εἰς βραχὺ συνάγει τὸ τῆς φιλαυτίας ὀλέθριον καὶ μικρολόγον. φιλάργυροι. ἀπὸ τούτου ἀλαζονεία τίκτεται, ἀπὸ τῆς ἀλαζονείας ἡ ὑπερηφανία, ἀπὸ τῆς ὑπερηφανίας βλασφημία, ἀπὸ τῆς βλασφημίας ἀπόνοια καὶ ἀπείθεια. ὁ γὰρ κατὰ ἀνθρώπων ἐπαιρόμενος, εὐκόλως καὶ κατὰ τοῦ Θεοῦ. οὕτω καὶ τὰ ἁμαρτήματα τίκτεται. πολλάκις κάτωθεν * ἄνεισιν. ὁ πρὸς τοὺς ἀνθρώπους εὐλαβὴς,

εὐλαβὴς, πολλῷ μᾶλλον πρὸς τὸν Θεόν. ὁ πρὸς ὁμοδούλους ἐπιεικὴς, πολλῷ μᾶλλον πρὸς τὸν δεσπότην· ὁ δὲ τῶν ὁμοδούλων καταφρονῶν, ὁδῷ προβαίνων καὶ αὐτοῦ καταφρονήσει τοῦ Θεοῦ.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν καταφρονῶμεν ἀλλήλων. διδασκαλία γὰρ αὕτη κακὴ, διδάσκουσα ἡμᾶς τοῦ Θεοῦ καταφρονεῖν. καὶ ἐν αὐτῷ μὲν γὰρ τούτῳ τοῦ Θεοῦ καταφρονοῦμεν, ὅταν ἀλλήλων καταφρονῶμεν, τοῦ κελεύσαντος πολλὴν εἰς ἀλλήλους ἐπιδείκνυσθαι τὴν σπουδήν. πλὴν καὶ ἑτέρως, εἰ βούλεσθε, ἐκ παραδειγμάτων τοῦτο ποιήσω φανερόν. κατεφρόνησε τοῦ ἀδελφοῦ ὁ Κάϊν, κατεφρόνησεν εὐθέως καὶ τοῦ Θεοῦ. πῶς κατεφρόνησεν; ὅρα πῶς ὑβριστικῶς ἀποκρίνεται πρὸς τὸν Θεόν, Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; κατεφρόνησε πάλιν τοῦ ἀδελφοῦ ὁ Ἡσαῦ, καὶ κατεφρόνησε τοῦ Θεοῦ. διὰ τοῦτο ἔλεγεν ὁ Θεὸς, Ὅτι τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. διὸ καὶ Παῦλός φησι, Μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ. κατεφρόνησαν τοῦ Ἰωσὴφ οἱ ἀδελφοὶ, κατεφρόνησαν καὶ τοῦ Θεοῦ. οἱ Ἰσραηλῖται κατεφρόνησαν Μωϋσέως, διὰ τοῦτο κατεφρόνησαν καὶ τοῦ Θεοῦ. οὕτω καὶ οἱ υἱοὶ Ἠλεὶ καταφρονοῦντες τοῦ λαοῦ, κατεφρόνουν καὶ τοῦ Θεοῦ. βούλει δὲ καὶ ἐκ τοῦ ἐναντίου ἰδεῖν; ὁ Ἀβραὰμ ἐφείσατο τοῦ ἀδελφιδοῦ, ὑπήκουσε καὶ τῷ Θεῷ. καὶ δῆλόν ἐστιν ἐκ τῆς ὑπακοῆς τῆς ἐπὶ τοῦ υἱοῦ Ἰσαὰκ, καὶ τῆς ἄλλης ἁπάσης ἀρετῆς. πάλιν ὁ Ἄβελ ἐπιεικὴς ὢν πρὸς τὸν ἀδελφὸν, εὐλαβὴς ἦν καὶ πρὸς τὸν Θεόν. μὴ τοίνυν καταφρονῶμεν ἀλλήλων, ἵνα μὴ μάθωμεν καὶ τοῦ Θεοῦ καταφρονεῖν. τιμῶμεν ἀλλήλους, ἵνα μάθωμεν καὶ τὸν Θεὸν τιμᾶν. ὁ θρασὺς κατὰ ἀνθρώπων, καὶ κατὰ τοῦ Θεοῦ γίνεται θρασύς. ὅταν δὲ καὶ φιλαργυρία, καὶ φιλαυτία, καὶ ἀπόνοια κατὰ ταὐτὸν συνέλθῃ, τί λοιπὸν λείπεται πρὸς τελείαν ἀπώλειαν; τὸ πᾶν διέφθαρται, καὶ πολὺς τῶν ἁμαρτημάτων ἐπιῤῥεῖ βόρβορος. ἀχάριστοι, φησί. πῶς γὰρ ὁ φιλάργυρος εὐχάριστος ἔσται; τίνι εἴσεται χάριν; οὐδενί. πάντας ἐχθροὺς ἡγεῖται, τὰ πάντων θέλων λαβεῖν. κἂν γὰρ τὴν πᾶσαν οὐσίαν κενώσῃς, οὐδεμίαν οἶδέ σοι χάριν. ἀγανακτεῖ ὅτι μὴ πολλὰς εἶχες, καὶ πολλάκις αὐτὸν πεποίηκας κύριον. κἂν τῆς οἰκουμένης αὐτὸν δεσπότην ποιήσῃς, οὐκ οἶδέ σοι χάριν. οὐδὲν γὰρ ἡγεῖται εἰληφέναι. ἀκόρεστος ἡ ἐπιθυμία τούτου. νόσου γάρ ἐστιν ἐπιθυμία. τοιαῦται δὲ αἱ τῶν νοσούντων ἐπιθυμίαι. καὶ ὁ πυρέττων οὐδέποτε ἐμφορηθῆναι δύναται, ἀλλ' ἀεὶ ἐν ἐπιθυμίᾳ μεθύων οὐδέποτε πληροῦται, ἀλλ' ἀεὶ διψᾷ· οὕτω καὶ ὁ περὶ χρήματα μαινόμενος, οὐδέποτε οἶδε τὴν ἐπιθυμίαν ἐμπλῆσαι· μηδέποτε δὲ ἐμπιπλάμενος, ὅσα ἂν κενώσῃς, οὐκ εἴσεταί σοι χάριν. ἐκείνῳ γὰρ εἴσεται μόνῳ τῷ διδόντι ὅσα βούλεται· τοῦτο δὲ οὐδεὶς δυνήσεται ποιῆσαι. οὐ γὰρ ἔχει μέτρον ἃ βούλεται. οὐκοῦν οὐδενὶ εἴσεται χάριν. οὐδὲν οὕτως ἀχάριστον, ὡς φιλάργυρος· οὐδὲν οὕτως ἀναίσθητον, ὡς φιλοχρήματος. τῆς οἰκουμένης ἁπάσης ἐστὶν ἐχθρός. ἀγανακτεῖ ὅτι εἰσὶν ἄνθρωποι. βούλεται γὰρ πάντα ἐρημίας εἶναι μεστὰ, ὥστε τὰ πάντων ἔχειν αὐτός. καὶ πολλὰ τοιαῦτα φαντάζεται· Εἰ ἐγένετο σεισμὸς ἐν τῇ πόλει, φησίν, εἶτα πάντων καταχωσθέντων, ἐγὼ μόνος περιλειφθείην, ὥστε τὰ πάντων λαβεῖν εἰ δυνατόν· εἰ ἐπῆλθε λοιμὸς, καὶ πάντας ἀπώλεσε τοῦ χρυσίου χωρίς· εἰ κατακλυσμὸς ἐγένετο, εἰ θαλάττης ἐπίκλυσις, καὶ μυρία τοιαῦτα ἐπινοεῖ χρηστὸν μὲν οὐδὲν, σεισμοὺς δὲ, καὶ σκηπτοὺς, καὶ πολέμους, καὶ λοιμοὺς, καὶ πάντα τὰ τοιαῦτα γενέσθαι εὔχεται. εἰπὲ δή μοι, ἄθλιε καὶ ταλαίπωρε καὶ παντὸς ἀνδραπόδου δουλικώτερε, εἰ πάντα ἦν χρυσὸς, οὐκ ἂν ἀπηλλάγης ὑπὸ τοῦ χρυσοῦ, λιμῷ διαφθαρείς. εἰ σεισμὸς ἐγένετο, τῆς οἰκουμένης καταποθείσης, ἀπώλωλεις ἂν καὶ σὺ ὑπὸ τῆς ὀλεθρίας ταύτης ἐπιθυμίας. οὐ γὰρ ὄντος ἀνθρώπου ἐπὶ τῆς γῆς, οὐκ ἂν σοι τὰ τῆς ζωῆς συγκεκρότητο. θῶμεν γὰρ πάντας ἄρδην ἠφανίσθαι τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους, εἶτα τὸ χρυσίον αὐτῶν, καὶ τὸ ἀργύριον αὐτομάτως πως εἰς σὲ περιεληλυθέναι (καὶ γὰρ μωρὰ, καὶ ἀδύνατα φαντάζονται) καὶ τὸν πλοῦτον ἐκείνων, τὸν χρυσὸν, τὸν ἄργυρον, τὰ ἱμάτια τὰ σηρικὰ, τὰ διάχρυσα πάντα αὐτομάτως εἰς τὰς σὰς χεῖρας ἐλθεῖν,

Γεν. δ. θ.
Ρωμ. θ. ιγ.
Μαλ. α. γ.
Εβρ. ιβ. ιε.

ἰσ. ἔχει

γρ. ἐπινοεῖ

γρ. ἀπαλλάγης αὐτοῦ χρυσοῦ,

ἐλθεῖν, τί τὸ κέρδος; οὕτως ἂν μάλιστα θάνατός σε κατέλαβεν, ἀρτοκόπων οὐκ ὄντων, γεωργῶν οὐκ ὄντων, θηρίων ἐπινεμομένων, δαιμόνων ἐκδειματούντων ''σοι τὴν ψυχήν. καὶ νῦν μὲν αὐτὴν κατέχουσι δαίμονες καὶ πολλοί, τότε δὲ ἄν σε καὶ εἰς ἔκπληξιν ἤγαγον, κἂν εὐθέως ἀπώλεσαν. ἀλλ' οὐκ ἐβουλόμην, φησὶν, ἀλλ' εἶναι καὶ γεωργοὺς, καὶ ἀρτοκόπους. ἀλλ' ἔμελλον κἀκεῖνοι δαπανᾶν. ἀλλ' οὐκ ἐβουλόμην αὐτοὺς δαπανᾶν· οὕτως ἀκόρεστος ἡ ἐπιθυμία αὕτη. τί γὰρ ἂν εἴη τούτων καταγελαστότερον; εἶδες ἀμηχανίας πραγμάτων; βούλεται ἔχειν πολλοὺς τοὺς διακονουμένους αὐτῷ, καὶ ἀλγεῖ ὅτι τροφῆς οὗτοι μετέχουσιν, ἅτε ἐλαττοῦντες αὐτοῦ τὴν οὐσίαν. τί οὖν, εἰπέ μοι; βούλει λίθους εἶναι τοὺς ἀνθρώπους; χλευασία ταῦτα πάντα, κύματα, καὶ ζάλη, καὶ χειμὼν, καὶ τρικυμία, καὶ πολὺς ὁ θόρυβος τῇ ψυχῇ. ἀεὶ πεινᾷ, ἀεὶ διψᾷ. εἰπὲ δή μοι, τοῦτον οὐκ ἐλεήσομεν, οὐδὲ δακρύσομεν; ἀλλ' ἐν μὲν τοῖς σώμασι τὸ τοιοῦτον κόλασίς ἐστιν ἡ χαλεπωτάτη, βουλιμία λεγομένη παρὰ τῶν ἰατρῶν, ὅταν τις πολλῶν ἐμφορούμενος, τοῦ λιμοῦ τέλειον μὴ ἀπαλλάττηται· ἐπὶ δὲ τῆς ψυχῆς οὐ δακρύσομεν τὸ αὐτὸ τοῦτο πάθος; βουλιμία γὰρ ψυχῆς ἡ φιλαργυρία, ἣ πολλῶν μὲν ἐμπίπλαται, οὐδέποτε δὲ ἵσταται, ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἀεὶ κατατείνεται. εἰ γὰρ ἐλλέβορον ἔδει πιεῖν, ἢ μυριάκις ὑποστῆναί τι τούτου βαρύτερον, ὥστε ἀπαλλαγῆναι τοῦ πάθους τούτου, οὐκ ἔδει προθύμως καταδέξασθαι; οὐκ ἔστι χρημάτων πλῆθος, ὃ τὴν ἀκόρεστον ''ἐπιθυμίαν ἐμπλῆσαι δύναται. οὐκ αἰδεσθησόμεθα τοίνυν ἡμεῖς, εἰ περὶ μὲν χρημάτων οὕτω τινὲς μεμήνασι, περὶ δὲ τὸν Θεὸν ἡμεῖς οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἀγάπης ἐπιδεικνύμεθα, ἀλλὰ ἀργυρίου γέγονεν ἀτιμότερος ἡμῖν ὁ Θεός; καὶ γὰρ ὑπὲρ μὲν ἀργυρίου, καὶ ἀγρυπνίας, καὶ ἀποδημίας, καὶ κινδύνους ἐπαλλήλους, καὶ μῖσος, καὶ ἐπιβουλὰς, καὶ πάντα ὑπομένουσιν ἄνθρωποι· ἡμεῖς δὲ ὑπὲρ τοῦ Θεοῦ οὐδὲ ψιλὸν ῥῆμα προέσθαι ἀνεχόμεθα, οὐδὲ ἀπέχθειαν ἀναδέξασθαι. ἀλλὰ ἂν δέῃ τινὶ τῶν καταπονουμένων ἀμῦναι, τὰς τῶν δυνατῶν ὄντων ἔχθρας ὑποστελλόμενοι καὶ τοὺς κινδύνους, περιείδομεν τὸν ἠδικημένον· καὶ δύναμιν λαβόντες παρὰ τοῦ Θεοῦ ὥστε βοηθεῖν, ἀπολλύομεν αὐτὴν διὰ τὸ μὴ βούλεσθαι μισεῖσθαι, μηδὲ ἀπεχθάνεσθαι. καὶ εὐθέως τοῦτο προβάλλονται οἱ πολλοί, εἰκῆ φιλοῦ, λέγοντες, εἰκῆ μὴ μισοῦ. τοῦτο δὲ εἰκῆ μισεῖσθαί ἐστι; τί δὲ τοῦ μίσους τούτου κρεῖττον; τῆς γὰρ φιλίας τῆς διὰ τὸν Θεὸν τὸ μῖσος τὸ δι' αὐτὸν πολλῷ βέλτιον. ὅταν γὰρ φιλώμεθα διὰ τὸν Θεόν, ἡμεῖς ὀφειλέται ἐσμὲν τῆς τιμῆς· ὅταν δὲ μισώμεθα, αὐτὸς ἡμῖν ὀφειλέτης ἐστὶ τοῦ μισθοῦ. ὅσοι ἂν ἀγαπήσωσι τὸν χρυσὸν οἱ φιλοχρήματοι, οὐκ ἴσασι μέτρον ἀγάπης· ἡμεῖς δὲ κἂν μικρόν τι ἐργασώμεθα, τὸ πᾶν ἠνυκέναι νομίζομεν. ὡς ἐκεῖνοι τὸν χρυσὸν φιλοῦσιν, ἡμεῖς τὸν Θεὸν οὐ φιλοῦμεν, ἀλλ' οὐδὲ τὸ πολλοστὸν μέρος. πολλὴ ἐκείνων κατηγορία, ὅτι τοσαύτην περὶ τὸν χρυσὸν τὴν μανίαν ἔχουσι· πολλὴ ἡμῶν κατάγνωσις ὅτι οὐ ''μαινόμεθα οὕτω περὶ τὸν Θεόν. ἀλλ' ὅσην τῇ γῇ (γῆ γὰρ ὁ χρυσὸς ὁ μεταλλικός) ὅσην τῇ γῇ τιμὴν ἀπονέμουσιν ἐκεῖνοι, τοσαύτην οὐκ ἀπονέμομεν ἡμεῖς τῷ πάντων δεσπότῃ. ἴδωμεν αὐτῶν τὴν μανίαν, καὶ αἰδεσθῶμεν. τί γὰρ εἰ καὶ ἡμεῖς μὴ περιεχόμεθα τοῦ χρυσοῦ; ἀλλ' οὐδὲ τοῦ Θεοῦ δεόμεθα σπουδαίως. ἐκεῖνοι μὲν γὰρ ἄνθρωποι γυναικὸς καταφρονοῦσι, καὶ παίδων, καὶ οὐσίας, καὶ αὐτῆς τῆς σωτηρίας αὐτῶν, καὶ ταῦτα οὐκ εἰδότες ὅτι τὴν οὐσίαν αὔξουσι τὴν ἑαυτῶν (πολλάκις γὰρ ἐν μέσαις ταῖς ἐλπίσι καὶ τὴν ψυχὴν ἀφέντες ἀπῆλθον εἰκῆ πονήσαντες) ἡμεῖς δὲ εἰδότες ὅτι ἐπιτευξόμεθα τοῦ ποθουμένου, ἂν αὐτὸν ἀγαπήσωμεν ὡς ἀγαπᾶν χρή, οὐδὲ οὕτω φιλοῦμεν, ἀλλὰ πάντα κατεψύξαμεν, τὴν πρὸς τὸν πλησίον ἀγάπην, τὴν πρὸς τὸν Θεόν· ἀπὸ τούτου τὴν πρὸς τὸν Θεόν, ἐπειδὴ καὶ τὴν πρὸς τὸν πλησίον. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄνδρα οὐκ εἰδότα φιλεῖν, ἔχειν τι γενναῖον, καὶ φρόνημα ἀνδρεῖον. ἡ γὰρ ὑπόβαθρα πάντων τῶν ἀγαθῶν, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ φιλία. Ἐν ταύτῃ, φησὶν, ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Ματθ. κβ. μ. καθάπερ γὰρ εἰς ὕλην πῦρ εἰσελθὸν πάντα διακαθαίρειν εἴωθεν, οὕτω καὶ

χ. τοῦ

χ. ψυχὴν

χ. λυσσώμεθα

ἡ τῆς ἀγάπης θερμότης ὅπουπερ ἂν ἐμπέσοι, πάντα αἴρει καὶ διακόπτει τὰ περὶ θείῳ λυ-
μαινόμενα ἄπορα, καὶ τὴν γῆν καθαρὰν πρὸς ὑποδοχὴν τῶν σπερμάτων ἐργάζεται. χ. πυρ.
ἔνθα ἐστὶν ἀγάπη, πάντα ἀνῄρηται τὰ κακά. οὐκ ἔστιν ἡ φιλαργυρία ἡ ῥίζα τῶν κακῶν, οὐκ
ἔστι φιλαργυρία, οὐκ ἔστιν ἀλαζονεία. τί γὰρ ἄν τις κατὰ τοῦ φίλου ἀλαζονεύσαιτο; οὐδὲν
γὰρ οὕτω ποιεῖ ταπεινοὺς ὡς ἀγάπη. καὶ γὰρ τὰ τῶν οἰκετῶν τοῖς φίλοις διακονούμεθα,
καὶ οὐκ αἰσχυνόμεθα, ἀλλὰ καὶ χάριν ἴσμεν τῆς δουλείας ταύτης αὐτοῖς. χρημάτων οὐ φει-
δόμεθα, ἀλλ' οὐδὲ σωμάτων πολλάκις. ἤδη γάρ τις καὶ ὑπερεκινδύνευσε τοῦ φιλουμένου. φθό-
νος οὐκ ἔστιν, οὐδὲ κακοηθεία, ἔνθα ἂν ᾖ γνησία φιλία. οὐ γὰρ μόνον οὐ διαβάλλομεν χ. κακοηθεία
τοὺς φίλους, ἀλλὰ καὶ τοὺς διαβάλλοντας ἐπιστομίζομεν. πάντα γαληνά, πάντα ἥμε-
Ρωμ. ιγ. ι. ρα, μάχης καὶ φιλονεικίας οὐδὲ ἴχνος φαίνεται· πάντα εἰρήνης μεστά (Πλήρωμα γὰρ νόμου,
φησίν, ἡ ἀγάπη) οὐδὲν ἀηδὲς παρ' αὐτῇ. πῶς; αὐτὰ γὰρ τὰ ἁμαρτήματα, πλεονεξία, ἁρ-
παγή, φθόνος, κακοηθεία, ἀπόνοια, ἐπιορκία, ψεῦδος, ταῦτα πάντα καταλύεται), τῆς ἀ-
γάπης οὔσης. ἐπιορκοῦσι γὰρ τὸν ἐπιορκοῦντες ἁρπάσαι βουλόμενοι. τὸν δὲ ἀγαπώμενον
οὐδεὶς ἂν ἁρπάσειεν, ἀλλὰ καὶ προσδοίη τὰ ἑαυτοῦ τῷ φιλουμένῳ. χάριν γὰρ ἔχομεν
μᾶλλον, ἢ εἰ λάβοιμεν παρ' αὐτοῦ. ἴσασι ταῦτα ὅσοι φίλους ἐσχήκασι· φίλους οὐ μέχρι ὀνό-
ματος λέγω, οὐδὲ ἐκ ψιλῆς προσηγορίας, ἀλλ' εἴ τις ἠγάπησεν ὡς ἀγαπᾶν ἔδει, εἴ
τις προσεδέθη τινί. εἰ δέ τινες οὐκ ἴσασι, παρὰ τῶν εἰδότων μαθέτωσαν. νῦν διηγήσο-
μαι ὑμῖν ἀπὸ τῶν γραφῶν φιλίαν θαυμαστήν. ὁ τοῦ Σαοὺλ υἱὸς Ἰωνάθαν ἐφίλησε τὸν Δα-
α. Βασ. ιη. α. βίδ, Καὶ συνεδέθη αὐτῷ, φησίν, ἡ ψυχὴ οὕτως, ὡς καὶ θρηνοῦντα αὐτὸν λέγειν, Ἐπέπεσεν ἐπ'
β. Βασ. α. κϛ. ἐμὲ ἡ ἀγάπησίς σου, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν. Εἰς θάνατον ἐτραυματίσθης ἐμοί. τί
οὖν; ἐκεῖνος ἄρα ἐφθόνησεν αὐτῷ; οὐδαμῶς, καίτοιγε εἶχεν ἀνάγκην τοῦ φθονεῖν. πῶς;
ἀπὸ γὰρ τῶν πραγμάτων ἑώρα τὴν βασιλείαν ἐρχομένην εἰς αὐτόν, καὶ ὅμως οὐδὲν
ἔπαθε τοιοῦτον. οὐκ εἶπεν, οὗτός ἐστιν ὁ ἐμὲ ἀποστερήσων τῆς βασιλείας τῆς πατρικῆς, ἀλλὰ
συγκατεσκεύαζεν αὐτῷ τὴν ἀρχήν, καὶ τοῦ πατρὸς οὐκ ἐφείδετο διὰ τὸν φίλον. ἀλλὰ
μή τις αὐτὸν πατραλοίαν νομιζέτω. οὐ γὰρ ἠδίκει τὸν πατέρα, ἀλλὰ τὰς ἐπιβουλὰς καὶ
τὰς ἀδικίας κατεῖχε. μᾶλλον ἐφείδετο, ἢ ἠδίκει. οὐκ ἀφῆκεν αὐτὸν εἰς φόνον ἄδικον ἐκ-
βῆναι. ἠθέλησε καὶ ἀποθανεῖν πολλάκις δι' αὐτόν. οὐ κατηγόρησεν, ἀλλὰ καὶ τὸν πατέρα ἐπε-
στόμισεν. οὐκ ἐφθόνησεν, ἀλλὰ καὶ συγκατεσκεύασεν. οὐ χρημάτων αὐτῷ μετέδωκε μόνον,
ἀλλὰ καὶ σωτηρίας. τί λέγω χρημάτων; καὶ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ προεῖτο. οὐκ ᾐ-
δέσθη τὸν γεγεννηκότα διὰ τὸν φίλον, ἐπειδὴ ὁ μὲν ἀδίκοις ἐπεχείρει πράγμασιν, ὁ δὲ οὐδὲν
ἑαυτῷ συνῄδει τοιοῦτον. ἐκεῖ μὲν οὖν μετὰ τοῦ δικαίου ἦν ἡ φιλία. οὗτος μὲν οὖν ὁ Ἰωνάθαν· ἴσως
ἴδωμεν δὲ λοιπὸν καὶ τὸν Δαβίδ. οὐκ ἔλαβεν αὐτῷ καιρὸς ἀποδοῦναι τὰς ἀμοιβάς. προ-
ανηρπάσθη γὰρ ἐκεῖνος τῆς ἀρχῆς τοῦ Δαβίδ, καὶ πρὶν ἢ τὸν εὖ παθόντα ἐλθεῖν εἰς τὴν βα-
σιλείαν ὁ εὖ ποιῶν ἀπώλετο. τί οὖν; ἐν οἷς ἦν δυνατὸν καὶ ἐξῆν, ἴδωμεν πῶς ἐπεδείκνυτο
β. Βασ. α. κϛ. τὴν φιλίαν ὁ δίκαιος. Καλὸς ἐμοί, φησίν, Ἰωνάθαν· εἰς θάνατον ἐτραυματίσθης ἐμοί. ἆρα
τοῦτο μόνον; οὐ μικρὸν γὰρ καὶ τοῦτο· πλὴν ἀλλὰ καὶ τὸν υἱὸν ἐκείνου, καὶ τὸν ἔγγονον πολλάκις χ. ἔγγονα
κινδύνων ἐξήρπασεν, ἀπομνημονεύων τοῦ πατρὸς τὴν χάριν· καὶ διετέλει καθάπερ υἱοὺς τοὺς
("ἔγγονα διατηρῶν καὶ διαφυλάττων. τοιαύτην ἐγὼ βούλομαι φιλίαν πάντας ἔχειν, καὶ χ. ἔγγονα
πρὸς ζῶντας, καὶ πρὸς ἀπελθόντας. αἱ γυναῖκες ἀκουέτωσαν (μάλιστα γὰρ διὰ τοῦ-
το εἶπον πρὸς ἀπελθόντας) αἱ δευτέροις ὁμιλοῦσαι γάμοις, καὶ τὴν εὔνοιαν διαφθείρου-
σαι τοῦ τετελευτηκότος, "αἱ στέρξασαι τὸν πρότερον. οὐκ ἀπαγορεύων τὸν δεύτερον γάμον,
οὐδὲ ἀκόλαστον εἶναι λέγων, ταῦτά φημι. οὐ γὰρ ἀφίησί με ὁ Παῦλος, χαλινὸν ἐπιτιθείς μου
α. Κορ. ζ. κη. μ. τῷ στόματι, καὶ λέγων ταῖς γυναιξίν, Ἐὰν δὲ καὶ γήμῃ, οὐχ ἥμαρτεν. ἀλλ' ἴδωμεν καὶ τὸ ἑξῆς.
Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ· πολλῷ τοῦτο βέλτιον ἐκείνου. διὰ τί; διότι πολ-

λὴν

λέ. Εἰ γὰρ τοῦ γαμῆσαι τὸ μηδὲ ὅλως γαμῆσαι βέλτιον, πολλῷ μᾶλλον τοῦτο ἐκείνου βέλτιον. ἀλλ' οὐκ ἤνεγκαν ἴσως, φησί, τὴν χηρείαν, ἀλλὰ συμφοραῖς περιέπεσον. οὐ γὰρ ἔγνωσαν τί ἐστι χηρεία. οὐ τοῦτό ἐστι χηρεία, τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις, ὥσπερ οὐδὲ παρθενία τοῦτό ἐστι τὸ ἀπειρόγαμον εἶναι, ἀλλὰ τί; ὥσπερ ἐκεῖ τὸ εὐσχῆμον καὶ εὐπρόσεδρον, οὕτως ἐνταῦθα τὸ μεμονῶσθαι, τὸ προσκαρτερεῖν ταῖς δεήσεσι, τὸ τρυφῆς ἀπηλλάχθαι καὶ σπατάλης. Η γὰρ σπαταλῶσα, φησί, ζῶσα τέθνηκεν. Εἰ μέλλοις χήρα μένουσα τὸν αὐτὸν κόμπον ἔχειν, καὶ τὴν αὐτὴν φαντασίαν, καὶ τὴν αὐτὴν περιβολήν, ἣν ζῶντος εἶχες τοῦ ἀνδρός, βέλτιον γαμῆσαι. οὐ γὰρ ἡ μῖξις κακόν, ἀλλ' ἡ πολυπραγμοσύνη. σὺ δὲ τὸ μὲν οὐκ ὂν κακὸν οὐ παραιτεῖς, ὃ δὲ οὐκ ἀδιάφορον, ἀλλ' ὑπὸ ἔγκλημά ἐστι, τοῦτο ὑπομένεις. διὰ τοῦτο ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ, ἐπειδὴ οὐκ ἔγνωσαν χηρεῦσαι καλῶς. Βούλει μαθεῖν τί ἐστι χήρα, καὶ τί τὸ τῆς χήρας ἀξίωμα; ἄκουε Παύλου λέγοντος· Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. ὅταν γὰρ τοῦ ἀνδρὸς τελευτήσαντος τῆς πλούτου περιβεβλημένη πολὺν ὄγκον, εἰκότως οὐ φέρεις τὴν χηρείαν. μετάθες τοίνυν τὸν πλοῦτον τοῦτον εἰς τὸν οὐρανόν, καὶ ἔσται σοι φορητὸν τῆς χηρείας τὸ φορτίον. τί οὖν ἂν παῖδας ἔχω τοῦ πατρῴου κλήρου διαδόχους, φησί; παίδευε κἀκείνους χρημάτων καταφρονεῖν· τὰ σαυτῆς μετάθες, ἐκείνοις ἀποταμιεύσασα τοσοῦτον ὅσον ἀρκεῖ. παίδευε κἀκείνους εἶναι χρημάτων κρείττους. τί οὖν ἂν περιρρέῃ, φησίν, ἀνδραπόδων πλῆθος; ἐὰν πραγμάτων ἑσμός; χρυσίον; ἀργύριον; πῶς ἱκανὴ πρὸς ταύτην ἔσομαι τὴν φυλακήν, δεομένη ἀνδρὸς προστασίας; σκῆψις ταῦτα καὶ πρόφασις· καὶ τοῦτο δῆλον πολλαχόθεν. Εἰ γὰρ μὴ ἐφίεσαι χρημάτων, μηδὲ πλείω τὰ ὄντα ποιῆσαι θέλεις, κοῦφόν σοι τὸ φορτίον. φορτικώτερον τοῦ φυλάξαι πολλῷ πλέον ἐστὶ τὸ περιβάλλεσθαι. ἂν τοίνυν τὸ ἓν ἐκκόψῃς, τὸ περιβάλλεσθαι, φημί, καὶ ἐκ τῶν ἐνόντων τοῖς δεομένοις χορηγῇς, ὁ Θεὸς ὑπερασπιεῖ* τὴν χήραν τὴν αὐτοῦ. κἂν ὄντως τῆς τῶν ὀρφανῶν κληρονομίας προεστῶσα ταῦτα λέγῃς, οὐχὶ δὲ προφάσει ταύτης κεκτῆσθαι φιλαργυρίᾳ, οἶδεν ὁ τὰς καρδίας ἐμβατεύων ἐν ἀσφαλεῖ τὸν ἐκείνων καταστῆσαι πλοῦτον, αὐτὸς ὁ ἐπιτάξας τεκνοτροφεῖν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οἰκίαν ὑπὸ ἐλεημοσύνης ἐρριζωμένην παθεῖν τι δεινόν· ἀλλὰ κἂν πάθῃ πρὸς καιρόν, εἰς ἀγαθὸν τελευτήσει. τοῦτο μᾶλλον ἀσπίδος καὶ δόρατος ἔσται πάσῃ τῇ οἰκίᾳ· ἄκουε τί φησιν ὁ διάβολος περὶ τοῦ Ἰώβ· Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔσω, καὶ τὰ ἔξω; διὰ τί; ἄκουε αὐτοῦ Ἰὼβ λέγοντος· Ὀφθαλμὸς ἤμην τυφλῶν, φησί, ποὺς χωλῶν, πατὴρ ὀρφανῶν. ὥσπερ ὁ μὴ ἀποσχίζων ἑαυτὸν τῶν ἀλλοτρίων συμφορῶν, οὐδέποτε οὐδὲ ἐν τοῖς οἰκείοις πείσεταί τι κακοῖς, ὅταν ἐν ἑτέροις συναλγεῖν μανθάνῃ· οὕτως ὁ μὴ βουλόμενος τὴν ἀπὸ τῆς συμπαθείας φέρειν λύπην, ἐν τοῖς ἑαυτοῦ ταῦτα εἴσεται πάντα. καὶ καθάπερ ἐπὶ τοῦ σώματος ἡ χείρ, τοῦ ποδὸς σηπομένου, ἂν μὴ συμπαθῇ, καὶ τραῦμα καθαίρῃ, καὶ φάρμακον ἐπιθῇ, καὶ ἀποπλύνῃ ἰχῶρα, ἐν τοῖς ἑαυτῆς τοῦτο πείσεται κακοῖς, καὶ ἡ μὴ βουληθεῖσα διακονῆσαι ἑτέρῳ ἐκτὸς οὖσα τοῦ πάθους, αὐτὴ ἔνοχος ἔσται τῷ πάθει (ἐκεῖθεν γὰρ ἕρπον τὸ κακὸν ἥξει καὶ ἐπὶ ταύτην, καὶ οὐκέτι περὶ διακονίας ὁ λόγος αὐτῆς ἔσται, ἀλλὰ περὶ ἰατρείας καὶ ἀπαλλαγῆς) οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὴ βουλόμενος ἑτέροις συμπάσχειν, αὐτὸς ἀλγήσει. περιέφραξας αὐτοῦ, φησί, τὰ ἔσω, καὶ τὰ ἔξω, καὶ οὐ τολμῶ ἐπελθεῖν. ἀλλ' ἔπαθε, φησί, δεινά. ἀλλὰ τὰ δεινὰ ἐκεῖνα πολλῶν ἐγένετο ἀγαθῶν αἴτια. διπλασίων ἡ οὐσία, μείζων ὁ μισθός, πλείων ἡ δικαιοσύνη, λαμπρότεροι οἱ στέφανοι, φαιδρὰ τὰ βραβεῖα, καὶ τὰ πνευματικὰ καὶ τὰ βιωτικὰ ηὐξήθη. ἀπώλεσε παῖδας; ἀλλ' ἔλαβεν, οὐ τοὺς αὐτούς, ἀλλ' ἑτέρους ἀντ' ἐκείνων, καὶ ἐκείνους δὲ ἔσωζεν ἐν τῇ ἀναστάσει. Εἰ τοὺς αὐτοὺς ἀνέλαβεν, ἠλάττωτο ἂν αὐτῷ τὰ τοῦ ἀριθμοῦ· νῦν δὲ ἑτέρους δοὺς ἀντ' ἐκείνων, καὶ ἐκείνους ἐν τῇ ἀναστάσει παραστήσει. ταῦτα πάντα αὐτῷ ἀπὸ τοῦ πρόχειρον αὐ-

α. Τιμ. ε. ϛ. — α. Τιμ. ε. ι. — Ιωβ. α. ι. — Ιωβ. κθ. ιε.

χηρεύειν — *. πω — ἢ. αὐτῇ — ἢ πλημ.

τοι ἐστὶ περὶ τὰς ἐλεημοσύνας ὑπῆρξεν· ὅπερ καὶ ἡμεῖς ποιήσωμεν, ἵνα τῶν αὐτῶν ἐπιτύχωμεν.

κεφ. γ. Λογ. η. 1 ΤΟΥΤΟ ΔΕ ΓΙΝΩΣΚΕ, ΟΤΙ ΕΝ ΕΣΧΑΤΑΙΣ ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. 2 Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄσπονδοι, 3 Ἄστοργοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, 4 Προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι.

Εἴ τις ἐπὶ τοῖς αἱρετικοῖς ἀσχάλλει νῦν, ἐννοείτω, ὅτι καὶ ἐξ ἀρχῆς τοιαῦτα γέγονεν, ἀεὶ τοῦ διαβόλου τῇ ἀληθείᾳ τὸ ψεῦδος παρυφιστῶντος. ἐπηγγείλατο ὁ Θεὸς ἐξ ἀρχῆς τὰ ἀγαθά, ἦλθε καὶ ὁ διάβολος ἐπαγγελλόμενος· ἐφύτευσε παράδεισον, ἠπάτησεν ἐκεῖνος, εἰπών, Ἔσεσθε
Γεν. γ. ε. ὡς θεοί. ἐπειδὴ γὰρ ἔργοις οὐδὲν ἐδείκνυ, ῥήμασι τὰ μείζονα ὑπισχνεῖται. τοιοῦτοι γάρ εἰσιν οἱ ἀπατεῶνες. μετὰ ταῦτα ἦν ὁ Κάϊν καὶ ὁ Ἄβελ, εἶτα οἱ υἱοὶ τοῦ Σὴθ καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων, εἶτα ὁ Χὰμ καὶ ὁ Ἰάφεθ, ὁ Ἀβραὰμ καὶ ὁ Φαραώ, ὁ Ἰακὼβ καὶ ὁ Ἡσαῦ, καὶ μέχρι τέλους οὕτως ἐστίν, ὁ Μωϋσῆς καὶ οἱ μάγοι, οἱ προφῆται καὶ οἱ ψευδοπροφῆται, οἱ ἀπόστολοι καὶ οἱ ψευδαπόστολοι, ὁ Χριστὸς καὶ ὁ ἀντίχριστος. καὶ πρότερον οὕτω, καὶ τότε τὰ αὐτὰ ἦν. τότε ὁ Θευδᾶς, τότε ὁ Σίμων, ὅτε οἱ ἀπόστολοι, καὶ νῦν οἱ περὶ Ἑρμογένην καὶ Φιλητόν. οὐκ ἔστιν οὖν ὅτε οὐ παρυφέστηκε τῇ ἀληθείᾳ τὸ ψεῦδος. μὴ τοίνυν ἀσχάλλωμεν, ἄνωθεν ταῦτα εἴρηται. διὰ τοῦτο ἔλεγε, γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι. ἄρα ὁ ἀχάριστος ἀνόσιος. εἰκότως. ὁ γὰρ περὶ τὸν εὐεργέτην ἀχάριστος, τίς ἂν γένοιτό ποτε περὶ τοὺς ἄλλους; ὁ ἀχάριστος ἄσπονδος, ὁ ἀχάριστος ἄστοργος. διάβολοι, φησὶ,
τουτέστι, ″κατήγοροι. οἱ γὰρ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθόν, ὥσπερ τινὰ παραμυθίαν ἔχοντες τὸ τὴν τῶν ἄλλων τὰς ὑπολήψεις βλασφημεῖν, μυρία πλημμελοῦσι καὶ ἁμαρτάνουσιν. ἀκρατεῖς, καὶ γλώσσης καὶ γαστρὸς, καὶ τῶν ἄλλων ἁπάντων. ἀνήμεροι. ἐντεῦθεν ἡ ὠμότης, ἐντεῦθεν ἡ ἀπήνεια, ὅταν τις φιλάργυρος ᾖ, ὅταν τις φίλαυτος, ὅταν ἀχάριστος, ὅταν ″λάγνος. ἀφιλάγαθοι, προδόται, προπετεῖς. προδόται τῆς φιλίας. προπετεῖς τουτέστιν, οὐδὲν βεβηκὸς ἔχοντες. τετυφωμένοι· ἀπονοίας πεπληρωμένοι. φιλήδονοι μᾶλλον ἢ φιλόθεοι·

γ. κακήγοροι.
γ. ἀσελγής
γ. ταύτης

5 Ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν ″αὐτῆς ἠρνημένοι. Καὶ ἐν τῇ πρὸς
Ρωμ β κ. Ῥωμαίους γράφων, οὕτω πως φησίν· Ἔχοντες τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. ἀλλ' ἐκεῖ μὲν ἐπαινῶν αὐτὸ τέθεικεν· ἐνταῦθα δὲ παρὰ πάντα τὰ ἐλαττώματα χαλεπώτερον τοῦτο δείκνυσι τὸ ἁμάρτημα. τί δήποτε; ὅτι οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον αὐτὸ ἔλαβεν. ὥσπερ γὰρ τὴν εἰκόνα πολλάκις μὲν εἰς ὁμοίωσιν λαμβάνει, πολλάκις δὲ εἰς τὸ ἄ-
α Κορ. ια. ζ. ψυχον καὶ οὐδαμινόν· οἷον καθάπερ καὶ αὐτός φησι Κορινθίοις γράφων· Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει
Ψαλ. λη. θ. κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. ὁ δὲ προφήτης· Πλὴν ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. καὶ τὸν λέοντα ἡ γραφὴ ποτὲ μὲν εἰς τὸ βασιλικὸν λαμ-
Γεν. μθ θ. βάνει· Ἐκοιμήθη, φησίν, ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν; ποτὲ δὲ εἰς τὸ ἁρ-
Ψαλ. κα. ιγ. πακτικόν· Ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος· οὕτω καὶ ἡμεῖς τὸ αὐτὸ ποιοῦμεν. ἐπειδὴ γὰρ τὰ πράγματα σύνθετά ἐστι, καὶ ποικίλα, εἰκότως εἰς πολλὰς εἰκόνας καὶ παραδείγματα παρείληπται.

περιλείπεται. δεῖ τὴν κρίσιν ὅταν θαυμάζειν βουλώμεθα. τὰς γραφὰς περιεργαζόμεθα, καὶ τὰς γραφομένας ὅταν θαυμάζειν βουλώμεθα, λέγομεν ὅτι λαλεῖ, ὅτι φθέγγεται· οὐ ποιοῦμεν δὲ τὸ αὐτό. ἐκεῖ μὲν γὰρ, ὅτι ἐγγὺς ὁμοιότητος ἦλθεν, ἐνταῦθα δὲ, ὅτι τοῦ κάλλους ἐγγύς. οὕτω καὶ ἐν τῇ μορφῇ, ἐκεῖ μὲν, ὅτι τύπος τις καὶ εἰκὼν, καὶ διδασκαλία, καὶ ἀρχέτυπον τῆς εὐσεβείας· ἐνταῦθα δὲ, ὅτι ἄψυχοι καὶ νεκρὸν, καὶ σχῆμα μόνον καὶ τύπον καὶ ὑπόκρισιν δηλοῖ. ἄρα σχῆμά ἐστι μόνον χωρὶς δυνάμεως πίστις, χωρὶς ἔργων. Εἰκότως. ὥσπερ γὰρ σῶμα καλὸν καὶ εὐειδὲς, ὅταν ἰσχὺν μὴ ἔχῃ, ἀλλὰ τοῖς ἐζωγραφημένοις ᾖ προσεοικὸς, οὕτω πίστις ὀρθὴ χωρὶς ἔργων. θῶμεν γὰρ εἶναί τινα φιλάργυρον, προδότην, προπετῆ· εἶτα πιστεύειν ὀρθῶς· τί τὸ κέρδος, ἂν μηδὲν ἔχῃ τῶν τῷ χριστιανῷ πρεπόντων; ὅταν μηδὲν παρέχῃ τῶν τὴν εὐσέβειαν χαρακτηριζόντων, ἀλλὰ τοὺς ἕλληνας παρελαύνῃ τῇ ἀσεβείᾳ; ὅταν ἐπὶ λύμῃ τῶν συνόντων ᾖ; ὅταν ἐπὶ βλασφημίᾳ τοῦ Θεοῦ; ὅταν διαβάλλῃ τὸ δόγμα διὰ τῶν ἔργων;

Καὶ τούτους, φησὶν, ἀποτρέπου. Εἰ τοίνυν ἐν ὑστέροις καιροῖς τοιοῦτοι ἔσονται, πῶς φησι, καὶ τούτους ἀποτρέπου; Εἰκὸς μὲν καὶ τότε τοιούτους εἶναί τινας, εἰ καὶ μὴ μεθ' ὑπερβολῆς, ἀλλ' ὅμως εἶναι. τὸ δ' ἀληθὲς δι' ἐκείνου πᾶσι παραινεῖ, ὥστε ἐκτρέπεσθαι τοὺς τοιούτους.

6 Ἐκ τούτων γάρ εἰσι, φησὶν, οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις,

7 Πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας δυνάμενα ἐλθεῖν.

κεχρημ. τῇ ἀρχαίᾳ ἀπάτῃ

Ὁρᾷς αὐτοὺς τῇ τοῦ ἀρχαίου ἀπάτῃ κεχρημένους; τῷ ὅπλῳ, ᾧ ὁ διάβολος κατὰ τοῦ Ἀδὰμ ἐχρήσατο; ἐνδύνοντες εἰς τὰς οἰκίας, φησίν. Εἶδες τὸ ἀναίσχυντον πῶς ἐδήλωσε διὰ τοῦ εἰπεῖν, ἐνδύνοντες; τὸ ἄτιμον; τὴν ἀπάτην; τὴν κολακείαν; αἰχμαλωτίζοντες γυναικάρια. ὥστε γυναικάριον ὁ εὐεξαπάτητος, καὶ ἀνδρὸς πόρρω. γυναικῶν δὲ τὸ ἀπατᾶσθαι, μᾶλλον δὲ οὐδὲ γυναικῶν, ἀλλὰ γυναικαρίων. σεσωρευμένα. ὅρα πόθεν κἀκείναις γίνεται τὸ πείθεσθαι, ἀπὸ τῶν ἁμαρτιῶν, ἀπὸ τοῦ μηδὲν ἑαυταῖς συνειδέναι καλόν. εὖ σφόδρα κυρίως εἶπε, σεσωρευμένα. τὸ πλῆθος γὰρ τῶν ἁμαρτιῶν διὰ τούτου παρίστησι, καὶ τὸ ἄτακτον καὶ συγκεχυμένον. ἀγόμενα ἐπιθυμίαις ποικίλαις. οὐ τῆς φύσεως κατηγόρησεν. οὐ γὰρ ἁπλῶς γυναῖκας εἶπεν, ἀλλὰ τοιάσδε γυναῖκας. τί ἐστι, ποικίλαις; ἐνταῦθα πολλὰ ᾐνίξατο, τὴν τρυφὴν, τὴν ἀσχημοσύνην, τὴν λαγνείαν. ποικίλαις, φησὶν, ἐπιθυμίαις, τουτέστι, χρημάτων, δόξης, τρυφῆς, αὐθαδείας, τιμῆς, ἴσως δὲ καὶ ἑτέρας αἰσχρὰς ἐπιθυμίας αἰνίττεται. πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. διὰ τί ταῦτά φησι; οὐ συγγινώσκων αὐταῖς, ἀλλὰ καὶ σφόδρα καταπειλῶν. ἐπειδὴ γὰρ ἑαυτὰς κατέχωσαν ταῖς ἐπιθυμίαις ἐκείναις καὶ τοῖς ἁμαρτήμασιν, ἐπωρώθη αὐτῶν ἡ διάνοια.

8 Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσῇ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ. Τίνες εἰσὶν οὗτοι; οἱ μάγοι οἱ ἐπὶ Μωϋσέως· πῶς δὲ αὐτῶν τὰ ὀνόματα οὐδαμοῦ ἐμφέρεται ἀλλαχοῦ; ἢ ἀγράφως παραδέδοται, ἢ ἀπὸ τοῦ πνεύματος εἰκὸς ἦν εἰδέναι τὸν Παῦλον. οὕτω καὶ οὗτοί, φησιν, ἀντιστήσονται τῇ ἀληθείᾳ. Ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν·

9 Ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον. ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο. Ἀλλ' οὐ προκόψουσι, φησί. πῶς οὖν λέγει ἀλλαχοῦ, Ὅτι προκόψουσιν ἐπὶ πλεῖον ἀσεβείας· ἐνταῦθα δὲ, οὐ προκόψουσιν; ἐκεῖ τοῦτό φησιν, ὅτι ἀρχόμενοι καινοτομεῖν καὶ πλανᾶν, οὐ στήσονται τῆς πλάνης, ἀλλ' ἀεὶ ἐξευρήσουσιν ἅπαντα καινὰ καὶ δόγματα διεφθαρμένα. καὶ γὰρ ἡ πλάνη οὐδαμοῦ ἵσταται. ἐνταῦθα δὲ τοῦτό φησιν, ὅτι οὐκ ἀπα- β. Τιμ. β. ιϛ.

τήσουσι, οὐδὲ συναρπάσουσι, κἂν παραυτὰ τὴν ἀρχὴν δόξωσί τινας παρακρούεσθαι, ἀλλ' εὐφώρατοι ταχέως ἔσονται. ὅτι γὰρ περὶ τούτου φησὶν, ἄκουσον τί λέγει. ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσι. πόθεν; πάντα χόθεν· ὥσπερ καὶ ἡ ἐκείνων ἐγένετο. καὶ γὰρ πρότερον αἰσθήσονται τῆς πλάνης, εἰς τέλος οὐ διαμενεῖ. τοιαῦτα γὰρ τὰ μὴ φύσει καλὰ, ἀλλὰ δοκοῦντα εἶναι καλά. πρὸς καιρὸν ἀνθεῖ, καὶ φωρᾶται, καὶ ἀπόλλυται. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα· καὶ τούτων σὺ μάρτυς. οὐ γὰρ ἐν ἀπάτῃ τὰ ἡμέτερα. τίς γὰρ ἂν ὑπὲρ ἀπάτης καὶ ἀποθανεῖν ἕλοιτο;

10 Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, Ὥσπερ ἰσχυρὸς ἔσο. οὐ γὰρ ἁπλῶς παρεγένου, ἀλλὰ παρηκολούθηκας. ἐνταῦθα τὸν χρόνον σημαίνει πολὺν γεγενῆσθαι, ἀπὸ τοῦ εἰπεῖν, παρηκολούθηκας τῇ διδασκαλίᾳ. τοῦτο περὶ λόγου. Τῇ ἀγωγῇ. Τοῦτο περὶ βίου. Τῇ προθέσει. Τοῦτο περὶ προθυμίας καὶ τοῦ παραστήματος τῆς ψυχῆς. οὐχὶ ἔλεγον μὲν, φησι, ταῦτα, οὐκ ἐποίουν δὲ, οὐδὲ ἐν λόγοις μόνον ἐφιλοσόφουν. Τῇ πίστει, τῇ μακροθυμίᾳ. Πῶς οὐδὲν με τούτων, φησὶν, ἐτάραττε; Τῇ ἀγάπῃ. Ὅπερ οὐκ εἶχον οὗτοι. Τῇ ὑπομονῇ.

Ὥσπερ οὐδὲ τοῦτο τῇ μακροθυμίᾳ, φησί. πρὸς τοὺς αἱρετικοὺς πολλὴν ἐπιδεικνύμενον τὴν μακροθυμίαν. τῇ ὑπομονῇ· πρὸς τοὺς διωγμούς.

11 Τοῖς διωγμοῖς, τοῖς παθήμασι. Δύο γὰρ ταῦτα ταράττει τὸν διδάσκαλον, τὸ αἱρετικοὺς εἶναι πολλοὺς, καὶ τὸ μὴ καρτερεῖν ἐν τοῖς παθήμασιν. ἀλλ' ὅμως ὑπὲρ τούτων πολλὰ διηγεῖται, ὅτι τε πάλαι ἦσαν, καὶ ἔσονται, καὶ χρόνος οὐδεὶς καθαρὸς τούτων, καὶ ὅτι ἡμᾶς οὐδὲν βλάψαι δυνήσονται, καὶ ὅτι ἐν τῷ κόσμῳ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἐστιν. ὁρᾷς λοιπὸν αὐτὸν περὶ τῶν θλίψεων διαλεγόμενον; Οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις. Τί δήποτε ταῦτα μόνα εἴρηκεν ἀπὸ πολλῶν; ἐπειδὴ γνώριμα ἦν τῷ ἀνδρὶ τὰ λοιπά. καὶ ἴσως ὡς νεαρῶν τῶν πραγμάτων τούτων μέμνηται, οὐ τῶν πάλαι· καὶ οὐκ ἀπαριθμεῖται κατ' εἶδος. οὐ γάρ ἐστι κενόδοξος, οὐδὲ φιλότιμος. πρὸς γὰρ παραμυθίαν τοῦ μαθητοῦ, οὐ πρὸς ἐπίδειξιν λέγει. Ἀντιόχειαν δὲ τὴν τῆς Πισιδίας ἐνταῦθά φησι, καὶ Λύστραν, ὅθεν ἦν ὁ Τιμόθεος. Οἵοις διωγμοῖς ὑπέμεινα. Ἀμφότερα παρακλήσεως, ὅτι καὶ ἐγὼ προθυμίαν παρειχόμην γενναίαν, καὶ οὐκ ἐγκατελείφθην, καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι παρεώρακέ με ὁ Θεὸς, ἀλλὰ τὸν στέφανόν μοι λαμπρότερον εἰργάσατο.

Οἵους διωγμοὺς ὑπέμεινα, φησι, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος.

12 Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται.

Τί δὲ ὅλως λέγω περὶ ἐμαυτοῦ, φησιν; ἕκαστος τῶν θελόντων ζῆν εὐσεβῶς, διωχθήσεται. διωγμοὺς ἐνταῦθά φησι τὰς θλίψεις, τὰς ὀδύνας. καὶ γὰρ οὐκ ἔνι ἄνδρα τὴν τῆς ἀρετῆς ὁδὸν ὁδεύοντα λύπης εἶναι χωρὶς, θλίψεως, ὀδύνης, πειρασμῶν. πῶς γὰρ, ὁ στενὴν καὶ τεθλιμμένην ὁδεύων ὁδόν; ὁ ἀκούσας, Ὅτι ἐν τῷ κόσμῳ θλίψιν ἕξετε; Εἰ ἐν ἐκείνῳ τῷ χρόνῳ ἔλεγεν ὁ Ἰὼβ, Πειρατήριον ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, πόσῳ μᾶλλον τότε;

Ἰωάν. ις. λγ.
Ἰωβ. ζ. α.

13 Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες, φησὶ, προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Μηδέν σε θορυβείτω τούτων, φησὶν, εἰ ἐκεῖνοι μὲν ἐν εὐθηνίᾳ, σὺ δὲ ἐν πειρασμοῖς. τοιαύτη τοῦ πράγματος ἡ φύσις ἐστίν. ἐκ τῶν ἐμῶν δυνάσαι μαθεῖν, ὅτι οὐκ ἔνι ἄνδρα πολεμοῦντα τοῖς πονηροῖς, μὴ εἶναι ἐν θλίψει. οὐκ ἔστι πυκτεύοντα ἐν τρυφῇ εἶναι, οὐκ ἔστι παλαίοντα εὐωχεῖσθαι. μηδεὶς τοίνυν τῶν ἀθλούντων ἄνεσιν ζητείτω, μηδεὶς ἐν εὐθυμίᾳ εἶναι. πάλιν τὰ παρόντα, ἀγὼν, πόλεμος, θλίψις, στενοχωρία, πειρατήριον, τῶν ἀγώνων τὸ στάδιον. ἔστιν ὁ τῆς ἀνέσεως ὁ καιρὸς· οὐκ ἔστι τῶν ἱδρώτων, οὐκ ἔστι τῶν πόνων ὁ καιρός.

γρ. διαλέγεσθαι

οὐδεὶς ἀποδυσάμενος καὶ ἀλειψάμενος ἄνεσιν ἐπιζητεῖ. εἰ δὲ ἄνεσιν ἐπιζητεῖς, τί ἀπεδύσω; τί τὰς χεῖρας ἀνέτεινας; καὶ πῶς οὐκ ἀνταίρω, φησί, νῦν; ὅταν τὴν ἐπιθυμίαν μὴ κρατῇς, ὅταν πρὸς τὴν βίαν τῆς φύσεως μὴ μάχῃ.

14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες,

15 Καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. Τί ἐστι τοῦτο; καθάπερ ὁ προφήτης Δαβὶδ παρῄνεσε, Μὴ παραζήλου, εἰπών, ἐν πονηρευομένοις, τοῦτο καὶ αὐτὸς παραινεῖ λέγων· σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. (Ψαλμ. λς. α.) οὐχ ἁπλῶς ἔμαθες, ἀλλὰ καὶ ἐπιστώθης· τουτέστιν, ἐπίστευσας. τί δαὶ καὶ ἐπίστευσα; ὅτι αὕτη ἐστὶν ἡ ζωή. κἂν ἐναντία τοίνυν ὁρᾷς ἐνταῦθα ὧν ἐπίστευσας, μὴ θορυβοῦ, ἐπεὶ καὶ ὁ Ἀβραὰμ ἐναντία ἑώρα, ἀλλ' οὐδὲν ἔπαθεν. ἤκουσεν, ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, καὶ τὸν Ἰσαὰκ σφάξαι ἐκελεύετο, καὶ οὐκ ἐθορυβεῖτο, οὐδὲ ἐταράττετο. (Γεν. κα. ιβ.)

ΗΘΙΚΟΝ

Μηδεὶς σκανδαλιζέσθω ἐπὶ τοῖς πονηροῖς, τοῦτο ἄνωθεν εἶπεν ἡ γραφή. τί οὖν ὅταν καὶ ἀγαθοὶ εὐφραίνωνται, καὶ πονηροὶ κολάζωνται; τὸ μὲν ἕτερον εἰκὸς γενέσθαι, τὸ δὲ ἄλλο οὐκέτι. πονηροὺς μὲν γὰρ κολάζεσθαι ἔνι, ἀγαθοὺς δὲ εὐφραίνεσθαι ἀεὶ οὐκ ἔνι. οὐδεὶς Παύλου ἴσος ἦν, ἀλλ' ὅμως ἐν θλίψει τὸν πάντα διῆγε χρόνον, ἐν δάκρυσιν, ἐν στεναγμοῖς νυκτὸς καὶ ἡμέρας. Μετὰ δακρύων γάρ, φησι, νύκτα καὶ ἡμέραν τριετίαν νουθετῶν οὐκ ἐπαυσάμην. (Πραξ. κ. λα.) καὶ πάλιν, Ἡ ἐπισύστασίς μου ἡ καθημερινή, φησίν. (β. Κορ. ια. κη.) οὐ σήμερον μὲν ἔχαιρεν, αὔριον δὲ ἤλγει, ἀλλὰ καθ' ἡμέραν οὐ διελίμπανεν ὀδυνώμενος. πῶς οὖν φησι, πονηροὶ προκόψουσιν ἐπὶ τὸ χεῖρον; οὐκ εἶπεν, ὅτι ἀνέσεως τυγχάνουσιν, ἀλλ' ἐπὶ τὸ χεῖρον προκόψουσιν· εἰς τὸ χεῖρον ἡ προκοπὴ αὕτη. οὐκ εἶπεν, ἐν εὐθηνίᾳ ἔσονται· εἰ δὲ καὶ κολάζοιντο, διὰ τοῦτο κολάζοιντο, ἵνα μὴ νομίσῃς ἀτιμώρητα εἶναι τὰ ἁμαρτήματα. ἐπεὶ γὰρ ἡ γέεννα οὐκ ἰσχύει κωλῦσαι ἡμᾶς τῆς κακίας, φειδόμενος ἡμῶν διυπνίζει καὶ διεγείρει ἡμᾶς. εἰ μηδεὶς πονηρὸς ἐκολάζετο, οὐδεὶς ἂν ἐνόμιζεν ἐφεστάναι τὸν Θεὸν τοῖς ἀνθρωπίνοις πράγμασιν· εἰ πάντες ἐκολάζοντο, οὐδεὶς ἂν προσεδόκησεν ἔσεσθαι ἀνάστασιν, ὡς πάντων ἐνταῦθα ἀπολαμβανόντων. διὰ τοῦτο καὶ κολάζει, καὶ οὐ κολάζει. διὰ τοῦτο ἐνταῦθα δίκαιοι θλίβονται, ὅτι πάροικοί εἰσιν, ὅτι ξένοι, ὅτι ἐν ἀλλοτρίᾳ εἰσίν. οἱ δίκαιοι τοίνυν δοκιμῆς ἕνεκεν ταῦτα ὑπομένουσιν. ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος πρὸς τὸν Ἰώβ, Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; (Ιωβ. μ. γ.) οἱ δὲ ἁμαρτωλοὶ ἐὰν καί ποτέ τι τοιοῦτον ὑπομείνωσι, δίκην τίνουσι τῶν ἁμαρτιῶν. ἐν πᾶσι τοίνυν εὐχαριστῶμεν τῷ Θεῷ, εἴτε οὕτως, εἴτε ἐκείνως. ἀμφότερα γὰρ χρήσιμα. οὐδὲν μισῶν, οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ποιεῖ, ἀλλ' ἀμφότερα φροντίζων καὶ κηδόμενος. Εἰδώς, φησιν, ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας· τουτέστιν, ἐκ πρώτης ἡλικίας τὰ ἱερὰ γράμματα ἔμαθες. ἱερὰ δὲ γράμματα τὰς θείας καλεῖ γραφάς. ἐν ταύταις ἀνετράφης, ὥστε καὶ διὰ τούτων στερεὰν εἶναί σοι τὴν πίστιν χρή, καὶ μηδὲν παρασαλεύεσθαι. (Ρωμ. ε. ιθ.?) κατὰ βάθους γὰρ ἡ ῥίζα κεῖται, οὐ χρόνῳ τραφεῖσα πολλῷ, οὐδὲν αὐτὴν περιτρέψαι δύναται. εἰπὼν δὲ τὰ ἱερὰ γράμματα, ἐπήγαγε, τὰ δυνάμενά σε σοφίσαι· τουτέστιν, οὐκ ἀφιᾶσιν ἀνόητόν τι παθεῖν, καὶ ὅσα οἱ πολλοί. ὁ γὰρ τὰς γραφὰς εἰδώς, ὡς εἰδέναι χρή, οὐδενὶ τῶν γινομένων σκανδαλίζεται, πάντα φέρει γενναίως, τὰ μὲν τῇ πίστει ἐπιτρέπων καὶ τὸ ἀκατάληπτον τῆς τοῦ Θεοῦ οἰκονομίας, τῶν δὲ καὶ λόγους εἰδώς, καὶ παραδείγματα εὑρίσκων ἐν ταῖς γραφαῖς. ἐπεὶ καὶ τὸ μὴ πάντα περιεργάζεσθαι, καὶ τὸ μὴ πάντα θέλειν εἰδέναι, μέγα τοῦ εἰδέναι τεκμήριον. καὶ εἰ βούλεσθε, ἐπὶ παραδείγματος ἐρῶ. ἔστω ποταμός, μᾶλλον δὲ ἔστωσαν ποταμοί, οὐ κατὰ συγχώρησιν λέγω, ἀλλ' ὅπερ εἰσὶν οἱ ποταμοί. οὐ πάντες κατὰ βάθος ἴσον τυγχάνουσιν, ἀλλ' οἱ μὲν ψιλώτερον τὸ ἔδαφος ἔχοντες, ἕτεροι βαθὺ καὶ ἱκανὸν ἀποπνῖξαι τὸν ἀγνοοῦντα. καὶ ἐνταῦθα μὲν ἴλιγγοι, ἐκεῖ δὲ οὐκέτι. τὸ οὖν μὴ θέλειν

πᾶσι

γρ. ἐπαύετο

γρ. νῦν

γρ. χρησίμως οἰκονομεῖ. ὁ Θεὸς οὐ μισῶν γ. ἡμᾶς [illegible]

γρ. ἀνόητον

γρ. ἐπιτρέπειν

πᾶσι τι ὁμοίως ἐπιχειρεῖν, καλόν, τὸ δὲ μὴ θέλειν πάντα τὰ βάθη εἰδέναι, οὐ μικρὸν τοῦ εἰδέναι τεκμήριον· ὡς ὅ γε βουλόμενος πάντως τοῦ μέρους τοῦ ποταμοῦ κατατολμᾶν, τοῦτο μάλιστα οὐκ οἶδε τῶν ποταμῶν τὰ ἰδιώματα, καὶ ἀπόλλυται πολλάκις ἀπὸ τῆς αὐτῆς θρασύτητος τοῦ βάθους κατατολμήσας, ἀφ' ἧς διέβαινε τὸ μὴ βαθύ. οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ, ὁ πάντα θέλων εἰδέναι, καὶ πάντων κατατολμῶν, τοῦτο οὐκ οἶδε μάλιστα τί ἐστι Θεός. ἀλλ' ἐν μὲν τοῖς ποταμοῖς τὸ μὲν πλέον μέρος ἀσφαλές, ὀλίγαι δὲ ἕλικες καὶ βάθη· ἐπὶ δὲ τοῦ Θεοῦ τὸ πλέον ἐν ἀποκρύφοις, καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ ἔργα αὐτοῦ. τί τοίνυν βιάζῃ καταποντίσαι σαυτόν; τοῦτο μόνον ἴσθι, ὅτι πάντα ὁ Θεὸς οἰκονομεῖ, ὅτι πάντων προνοεῖ, ὅτι αὐτεξούσιοί ἐσμεν, ὅτι τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ, ὅτι οὐδὲν πονηρὸν γίνεσθαι βούλεται, ὅτι οὐκ ἀπὸ τοῦ βουλήματος αὐτοῦ πάντα γίνεται, ἀλλὰ καὶ ἀπὸ τοῦ ἡμετέρου, πάντα τὰ κακὰ ἀπὸ τοῦ ἡμετέρου μόνον, πάντα τὰ ἀγαθὰ ἀπό τε τοῦ ἡμετέρου καὶ τῆς αὐτοῦ ῥοπῆς, ὅτι οὐδὲν αὐτὸν λανθάνει. διὰ τοῦτο πάντα ἐνεργεῖ. εἶτα σὺ τοῦτο εἰδώς, ἀρίθμει τίνα μὲν τὰ ἀγαθά, τίνα δὲ τὰ κακά, καὶ τίνα τὰ ἀδιάφορα· οἷον, ἀγαθὸν ἡ ἀρετή, κακὸν ἡ φαυλότης, ἀδιάφορα πλοῦτος, πενία, ζωή, θάνατος. ἂν ταῦτα εἰδῇς, εἴσῃ καὶ μετὰ τούτων, ὅτι οἱ δίκαιοι διὰ τοῦτο θλίβονται, ἵνα στεφανωθῶσιν, οἱ ἁμαρτωλοί, ἵνα τῶν ἁμαρτιῶν δίκην ἐκτίσωσιν· οὐ πάντες δὲ οἱ ἁμαρτωλοὶ δίκην ἐνταῦθα τίνουσιν, ἵνα μὴ τῇ ἀναστάσει οἱ πολλοὶ ἀπιστῶσιν, ὥσπερ οὐ πάντες οἱ δίκαιοι θλίβονται, ἵνα μὴ τὴν κακίαν ἐπαινετὴν εἶναι νομίσῃς, ἀλλὰ τὴν ἀρετήν. οὗτοι κανόνες εἰσί, καὶ ὅροι. εἰ βούλει ἄγε ἐπ' αὐτούς, καὶ οὐ διαπορήσεις. ὥσπερ γάρ ἐστι παρὰ τοῖς γραμματισταῖς ὁ τῶν ἑξακισχιλίων ἀριθμός, καὶ ὑπὸ τοῦτον ἅπαντα ἄγεται, καὶ πάντα μερίζειν καὶ πολυπλασιάζειν δυνατὸν ἐν τῷ κανόνι τῶν ἑξακισχιλίων, καὶ διὰ τοῦ ἀριθμοῦ τούτου πάντα στρέφεται (καὶ ἴσασι ταῦτα ὅσοι γράμματα μεμαθήκασιν) οὕτω τοὺς κανόνας τούτους, οὓς πάλιν ἐρῶ συντομώτερον, ἄν τις εἰδῇ, οὐδέποτε σκανδαλίζεται. τίνες οὖν εἰσιν οὗτοι; ὅτι ἀγαθὸν ἀρετή, ὅτι φαῦλον κακία, ὅτι ἀδιάφορα νόσοι, πενία, ἐπιβουλαί, συκοφαντίαι, καὶ ὅσα τοιαῦτα, ὅτι οἱ δίκαιοι θλίβονται ἐνταῦθα· εἰ δὲ τινὲς καὶ εὖ πάσχουσιν, ἵνα μὴ ἡ ἀρετὴ δόξῃ μισητὴ εἶναι. ὅτι οἱ πονηροὶ εὐφραίνονται, ἵνα ἐκεῖ κολασθῶσιν· εἰ δὲ τινὲς καὶ κολάζονται, ὥστε μὴ τὴν κακίαν δόξαι εἶναι καλόν, μηδὲ ἀτιμώρητα τὰ πράγματα. ὅτι οὐ κολάζονται πάντες, ἵνα μὴ τῆς ἀναστάσεως ὁ καιρὸς διαπιστηθῇ· ὅτι καὶ τῶν ἀγαθῶν εἰσί τινες οἱ φαῦλα ἔχοντες ἔργα, καὶ ἐνταῦθα αὐτὰ ἀποτίθενται, καὶ τῶν πονηρῶν οἱ χρηστὰ ἔχοντες, καὶ ἐνταῦθα ἀπολαμβάνουσιν, ἵνα ἐκεῖ τιμωρηθῶσιν· ὅτι ἀκατάληπτα τὰ πλείονα τοῦ Θεοῦ ἔργα, ὅτι πολὺ τὸ μέσον ἡμῶν καὶ αὐτοῦ, καὶ ὅσον οὐκ ἔστιν εἰπεῖν. ἂν ταῦτα ἀναλογιζώμεθα, οὐδὲν ἡμᾶς θορυβῆσαι δυνήσεται. ἂν τῶν γραφῶν ἀκούωμεν συνεχῶς, εὑρήσομεν καὶ παραδείγματα τοιαῦτα πολλά. τὰ δυνάμενά σε, φησί, σοφίσαι εἰς σωτηρίαν. καὶ γὰρ τὰ πρακτέα ὑποτίθενται αἱ γραφαί, καὶ τὰ μὴ πρακτέα. ἄκουε γὰρ τοῦ μακαρίου τούτου ἀλλαχοῦ

Ῥωμ. β. ιθ. λέγοντος, Πέποιθας σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων. ὁρᾷς ὅτι φῶς τῶν ἐν σκότει ὁ νόμος; εἰ δὲ ὁ τὸ γράμμα δεικνύς, φῶς, τὸ γράμμα τὸ ἀποκτεῖνον, τί ἄρα ὁ τὸ πνεῦμα τὸ ζωοποιοῦν; εἰ ἡ παλαιά, φῶς, τί ἡ καινή, ἔνθα τοσαῦτα ἀνεπετάσθη; ἔνθα τοσοῦτόν ἐστι τὸ μέσον, ὅσον εἴ τις οὐδὲν πλέον τῆς γῆς εἰδόσι τοὺς οὐρανούς τις ἀνοίξειε, καὶ πάντα ποιήσει κατοπτεῦσαι. περὶ γεέννης ἐμάθομεν, περὶ βασιλείας, περὶ κρίσεως. μὴ πιστεύωμεν ἀλόγοις πράγμασι, γοητεία πάντα ἐκεῖνα. τί οὖν ὅτι λέγουσι, φησί, καὶ ἐκβαίνει; ἐπειδὴ σὺ πιστεύεις, εἴγε καὶ ἐκβαίνει. αἰχμάλωτόν σε ἔλαβε, κύριός ἐστι τοῦ βίου τοῦ σοῦ, ὡς θέλει αὐτὸν οἰκονομεῖ. εἰπέ μοι, εἴ τις λῃστάρχης υἱὸν βασιλέως αὐτῷ προσφυγόντα, καὶ ἐρημίαν καὶ τὴν ἐκείνου συνοίκησιν ἀγαπήσαντα ὑπὸ χεῖρας ἔχει καὶ ἐξουσίαν, δυνήσεται αὐτῷ εἰπεῖν, εἰ πλουτεῖ, εἰ ζῇ; καὶ σφόδρα γε δυνήσεται. τί δήποτε; οὐκ ἐπειδὴ προοῖδε τὸ μέλλον, ἀλλ' ἐπειδὴ ἑκατέρου κύριος γίνεται, τοῦ ἀφανίσαι, καὶ

σῶσαι τὸ παιδίον, ἐκείνου ποιήσαντος αὐτὸν κύριον. καὶ γὰρ ἀνελεῖν ἐὰν θέλῃ, δυνήσεται, καὶ ἀφεῖναι, ἂν βουληθῇ, ὁμοίως δυνήσεται. ἀπὸ γὰρ ἐκείνου γέγονεν. * ἂν εἴπῃ, ὅτι πλούσιος ἔσῃ ἢ πένης, ἀμφοτέρων κύριος αὐτός ἐστι. τὸ πλέον τοῦ κόσμου ὑπὸ τὰς τοῦ διαβόλου χεῖρας ἑαυτὸ ἔδωκεν. καὶ ἄλλως δὲ ὅταν ἐπιθυμῇ ὁ ἄνθρωπος πιστεύειν, πολὺ καὶ τοῦτο συμβάλλεται ἐκείνοις τοῖς ἀπατῶσιν. οὐδεὶς γὰρ ταῖς ἀποτυχίαις προσέχει, ἀλλ' εἴ τι ἐπιτύχοιεν. εἰ δέ τινα ἔχουσι δύναμιν προγνωστικήν, ἐμοὶ πρὸς τοὺς τούτους ἄγε. οὐ μεγαληγορῶν λέγω. τὸ γὰρ τούτων ἀπηλλάχθαι, οὐ μεγαληγορίας. ἁμαρτημάτων μὲν γάρ εἰμι μεστός. τούτων δὲ ἕνεκεν οὐκ ἂν ταπεινοφρονήσαιμι. πάντων τῇ τοῦ Θεοῦ χάριτι καταπαλῶ. ἄγε πρὸς ἐμὲ τὸν ἄνδρα τὸν μάγον, εἴ τινα ἔχει δύναμιν προγνωστικήν, εἰπάτω τί μοι συμβήσεται, αὔριον τί ἔσται μοι; ἀλλ' οὐκ ἐρεῖ. ὑπὸ γὰρ τὴν τοῦ βασιλέως ἐξουσίαν εἰμί, καὶ οὐκ ἔχει τὴν ἐμὴν ἀρχήν, οὐδὲ τὴν ὑποταγήν. πόρρω τῆς κατὰ δύσιν αὐτοῦ, καὶ τῆς ἀπηλασίων τυγχάνω, τῷ βασιλεῖ στρατεύομαι. ἀλλ' ὁ δεῖνα ἐκλεψε, φησί, καὶ ὁ δεῖνα αὐτὸν κατεμήνυσε. μάλιστα μὲν οὐδὲ πάντως τοῦτο ἀληθές, ἀλλὰ γέλως καὶ ψεῦδος. οὐδὲν γὰρ ἴσασιν· εἰ δέ τι ἴσασι, μᾶλλον τὰ ἑαυτῶν ὤφειλον λέγειν, πῶς τὰ πολλὰ ἀναθήματα τῶν εἰδώλων ἐκλάπη, πῶς δὲ πολὺ χρυσίον ἐχωνεύθη, διὰ τί μὴ προεῖπον τοῖς ἱερεῦσιν αὐτῶν. ὥστε οὐδὲν ἴσασιν· ἀλλὰ χρημάτων μὲν ἕνεκεν οὐδὲ εἰπεῖν ἠδύναντο, ὅτε οἱ ναοὶ αὐτῶν οἱ εἰδωλικοὶ ἐπιμπρῶντο, καὶ πολλοὶ συναπώλλυντο. διὰ τί μὴ φείδονται τῆς σωτηρίας τῆς αὐτῶν; ἀλλ' ἐπιτυχία μόνον τὸ πρᾶγμά ἐστιν, εἴ που τι καὶ προείποιεν. εἰσὶ παρ' ἡμῖν προφῆται, ἀλλ' οὐκ ἀποτυγχάνουσιν. οὐ τοῦτο μὲν λέγουσιν, ἐκεῖνο δὲ ψεύδονται, ἀλλὰ πάντα ἀληθεύουσι. τοῦτο γὰρ προγνώσεώς ἐστι. παύσασθέ ποτε τῆς μανίας, παρακαλῶ, εἴγε τῷ Χριστῷ πιστεύετε· εἰ δὲ μὴ πιστεύετε, τί ἑαυτοὺς διασύρετε, τί ἀπατᾶτε; ἕως πότε χωλεύσετε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; τίνος γὰρ ἕνεκεν προσέρχῃ; ἵνα ἐρωτᾷς; ἅμα προσῆλθες, ἅμα ἠρώτησας, ὑπὸ τὴν δουλείαν σεαυτὸν ἐποίησας. ὡς γὰρ πιστεύων ἐρωτᾷς. οὔ, φησιν, οὐ πιστεύων αὐτὸν ἀληθεύειν, ἀλλὰ πειράζων. καὶ τὸ πειράζειν εἰ ἀληθεύει, οὐκ ἔστι πεπεισμένου, ὅτι ψεύδεται, ἀλλ' ἔτι ἀμφιβάλλοντος. τίνος δὲ οὖν ἕνεκεν ἐρωτᾷς τί ἔσται; εἰ μὲν γὰρ τοῦτο λέγει, ὅτι τόδε ἔσται, τόδε πρᾶξον καὶ διαφεύξῃ, μάλιστα μὲν οὐδὲ οὕτως ἐχρῆν εἰδωλολατρεῖν, πλὴν ἀλλ' οὐ τοσαύτη ἡ ἄνοια. εἰ δὲ τὰ μέλλοντα προλέγουσιν, οὐδὲν ἄλλο κερδαίνει ὁ μαθών, ἢ λύπην προτέραν. τὸ μὲν γὰρ πρᾶγμα οὐκ ἐξέβη, τὴν δὲ λύπην ὑπομένει, ἐπεισχύουσαν ἑαυτόν. εἰ συνέφερε τοῦτο, οὐκ ἂν ἡμῖν ἐφθόνησεν ὁ Θεός· οὐκ ἂν ἐβάσκηνεν ὁ τὰ ἐν οὐρανοῖς εἰπών· Ὅσα γὰρ ἤκουσα παρὰ τοῦ πατρός, φησί, πάντα ἐγνώρισα ὑμῖν, καί, Πάντα ὅσα ἤκουσα παρὰ τοῦ πατρός, ἀπήγγειλα ὑμῖν· καί, Οὐ λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους· ὑμεῖς φίλοι μου ἐστέ. διὰ τί οὖν ταῦτα οὐκ ἐγνώρισεν ἡμῖν; ὅτι βούλεται μηδένα λόγον ἔχειν ἡμᾶς αὐτῶν. ἐπεὶ ὅτι οὐ βασκαίνει, τοῖς παλαιοῖς ταῦτα ἐλέγετο, καὶ περὶ οἴνου καὶ ἑτέρων τινῶν, ἐπειδὴ νήπιοι ἦσαν. ἡμῖν δέ, ἐπειδὴ βούλεται μηδένα λόγον ἡμῖν εἶναι περὶ αὐτῶν, οὐδὲ φροντίδα ἔχειν ταύτην τοῦ γνωρίσαι ἡμῖν. ἀλλὰ τί μανθάνομεν; ὅπερ οὐκ ἔμαθον ἐκεῖνοι· μικρὰ γὰρ ἅπαντα ἐκεῖνα. ἃ δὲ ἡμεῖς ἐμάθομεν ἐστὶ ταῦτα, ὅτι ἐγερθησόμεθα, ὅτι ἀθάνατοι ἐσόμεθα, ὅτι ἄφθαρτοι, ὅτι οὐκ ἔχει τέλος ἡ ζωή, ὅτι πάντα παρελεύσεται, ὅτι ἐν νεφέλαις ἁρπαγησόμεθα, ὅτι οἱ πονηροὶ κόλασιν τίσουσι, μυρία πρὸς τούτοις ἕτερα, καὶ οὐδέν ἐστι ψεῦδος. οὐ πολλῷ βέλτιον εἰδέναι ταῦτα, ἢ ὅτι ὁ ὄνος ὁ ἀπολόμενος εὑρέθη; ἰδοὺ ἔλαβες τὸν ὄνον, ἰδοὺ εὗρες. τί δὲ κέρδος; οὐ πάλιν ἀπολλύεις αὐτὸν ἑτέρῳ τρόπῳ; κἂν γὰρ αὐτός σε μὴ ἀφῇ, σὺ αὐτὸν ἀφήσεις τῇ τελευτῇ. τὰ δὲ πράγματα, ἅπερ ἐγὼ εἶπον, ἂν κρατεῖν βουλώμεθα, διηνεκῶς ἕξομεν. ἐκεῖνα τοίνυν διώκωμεν, ἐκείνων ἐχώμεθα τῶν μενόντων, τῶν βεβαίων. μὴ προσέχωμεν μάντεσι, μηδὲ χρησμολόγοις, μηδὲ ἀγύρταις, ἀλλ' ἢ τῷ Θεῷ τῷ πάντα εἰδότι σαφῶς, τῷ τὴν γνῶ-

οὕτω καὶ ὁ μέγας

Ioan. 15. 15. 15.

σιν

συνέχοντι τῶν ἁπάντων· καὶ οὕτω πάντα εἰσόμεθα, ἃ εἰδέναι χρὴ, καὶ πάντων τῶν ἀγαθῶν ἐπιτευξόμεθα.

Λογ. θ. 16 ΠΑΣΑ ΓΡΑΦΗ ΘΕΟΠΝΕΥΣΤΟΣ, ΚΑΙ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, 17 Ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

ΠΟλλὴν παράκλησιν ποιησάμενος καὶ παραμυθίαν ἀπὸ πάντων, ἐπάγει καὶ τὴν ἀπὸ τῶν γραφῶν πλειοτέραν οὖσαν. Εἰκότως δὲ ποιεῖται τοσαύτην παράκλησιν, ἐπειδὴ μέγα τι καὶ λυπηρὸν ἔμελλεν ἐρεῖν. Εἰ γὰρ ὁ Ἐλισσαῖος μέχρις ἐσχάτης ἀναπνοῆς συνὼν τῷ διδασκάλῳ, καὶ [ἐν] τῷ καιρῷ τῆς τελευτῆς ὁρῶν αὐτὸν τελευτῶντα, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, τί οἴει τοῦτον παθεῖν τὸν οὕτω μὲν ἀγαπώμενον, οὕτω δὲ ἀγαπῶντα, ἀκούοντα ὅτι μέλλει ἀποθνήσκειν ὁ διδάσκαλος, καὶ ὅτι οὐδὲ ἀπέλαυσεν αὐτοῦ τὸν χρόνον τὸν ἐγγὺς τοῦ θανάτου, ὃ μάλιστα πάντων εἴωθε λυπεῖν; οὐ γὰρ οὕτω χαίρειν ἴσμεν τῷ παρελθόντι χρόνῳ, ἂν τὸν ἐγγὺς χρόνον ἀπολειφθῶμεν τῶν τετελευτηκότων. Διὰ τοῦτο, ὅτι πολλὴν ἐποιήσατο τὴν παράκλησιν, τότε περὶ τῆς τελευτῆς ἑαυτοῦ διαλέγεται. καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ λέξεσι χρῆται ἱκαναῖς αὐτὸν παραμυθήσασθαι καὶ χαρᾶς ἐμπλῆσαι, ὡς θυσίαν νομισθῆναι εἶναι τὸ πρᾶγμα, ἢ τελευτὴν, καὶ ἀποδημίαν μᾶλλον, ὅπερ οὖν καὶ ἦν, καὶ μετάστασιν πρὸς τὰ κρείττω. β. Τιμ. δ. ϛ. Ἐγὼ γὰρ ἤδη σπένδομαι, φησί. Διὰ τοῦτο ἔγραφε λέγων· πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν. χ. ἐπεὶ πᾶσα, ποία; περὶ ἧς εἶπον, φησι, πᾶσα ἱερά· περὶ ἧς διελέγετο, ταῦτα εἴρητο, περὶ ἧς ἔλεγεν, β. Τιμ. γ. ιε. Ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας. πᾶσα οὖν ἡ τοιαύτη θεόπνευστος. μηδὲν οὖν ἀμφίβαλλε, φησί. καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. πρὸς διδασκαλίαν. εἴ τι μαθεῖν, εἴ τι ἀγνοῆσαι χρὴ, ἐκεῖθεν εἰσόμεθα· εἰ ἐλέγξαι τὰ ψευδῆ, καὶ τοῦτο ἐκεῖθεν· εἰ ἐπανορθωθῆναι καὶ σωφρονισθῆναι. πρὸς παράκλησιν, πρὸς παραμυθίαν, φησὶ, πρὸς ἐπανόρθωσιν· τουτέστιν, εἴ τι λείπει, καὶ χρὴ προστεθῆναι. ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. διὰ τοῦτό, φησι, γέγονεν ἡ τῶν γραφῶν παράκλησις, ἵνα ἄρτιος ᾖ ὁ χ. τοῦ Θεοῦ τοῦ Θεοῦ ἄνθρωπος. οὐκ ἄρα χωρὶς αὐτῆς ἄρτιον ἔνι γενέσθαι. ἀντ᾽ ἐμοῦ, φησι, τὰς γραφὰς ἔχεις· εἴ τι βούλει μαθεῖν, ἐκεῖθεν δυνήσῃ. εἰ δὲ Τιμοθέῳ ταῦτα ἔγραφε τῷ πνεύματος ἐμπεπλησμένῳ, πόσῳ μᾶλλον ἡμῖν; πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. οὐχ ἁπλῶς μετέχων, φησὶν, ἀλλὰ μετ᾽ ἀκριβείας ἐξηρτισμένος.

κεφ. δ'. 1 Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς. Ἤτοι ἁμαρτωλοὺς λέγει καὶ δικαίους, ἤτοι καὶ τοὺς ἀπελθόντας καὶ τοὺς νῦν ὄντας, ὅτι πολλοὶ καταλειφθήσονται ζῶντες. ἐφόβησεν αὐτὸν ἐν μὲν τῇ προτέρᾳ α. Τιμ. ϛ. ιγ. λέγων, Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, ἐνταῦθα δὲ τὸ φοβερώτερον τέθεικε, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς· τουτέστι, τοῦ μέλλοντος εὐθύνας ἀπαιτεῖν. Κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ.

Κρίνειν πότε; ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ τῇ μετὰ δόξης, τῇ μετὰ βασιλείας. ἢ τοίνυν τοῦτο λέγει, ὅτι οὐχ οὕτως ἥξει, ὡς νῦν· ἢ ὅτι διαμαρτύρομαί σοι τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὴν βασιλείαν, μάρτυρα καλῶ ἐκεῖνον δεικνὺς ὅτι καὶ τούτου αὐτὸν ἀνέμνησεν. Εἶτα πῶς δεῖ κηρύττειν τὸν λόγον διδάσκων, ἐπάγει·

2 Κήρυξον

2 Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. Τί ἐστιν, εὐκαίρως, ἀκαίρως; τουτέστι, μὴ καιρὸν ἔχε ὡρισμένον, ἀεί σοι καιρὸς ἔστω, μὴ ἐν εἰρήνῃ, μὴ ἐν ἀδείᾳ, μηδὲ ἐν ἐκκλησίᾳ καθήμενος μόνον· κἂν ἐν τοῖς κινδύνοις, κἂν ἐν δεσμωτηρίῳ ᾖς, κἂν ἁλύσει περικείμενος, κἂν μέλλῃς ἐξιέναι ἐπὶ θάνατον, καὶ παρ' αὐτὸν τὸν καιρὸν ἔλεγξον, μὴ ὑποσταλῇς ἐπιτιμῆσαι. τότε γὰρ καὶ ἡ ἐπιτίμησις ἔχει καιρὸν, ὅταν ὁ ἔλεγχος προχωρήσῃ, ὅταν ἀποδειχθῇ τὸ ἔργον. παρακάλεσον, φησί. καθάπερ ἐπὶ τῶν ἰατρῶν, εἰ ποιῶ τὸ τραῦμα, ἔδωκε τὴν τομὴν, ἐπήγαγε τὸ φάρμακον. ὅπερ δ' ἂν τούτων ἀπολειφθῇ, τὸ ἕτερον ἄχρηστον γίνεται. ἄν τε γὰρ χωρὶς ἐλέγχων ἐπιτιμήσῃς, δόξεις εἶναι θρασὺς, καὶ οὐδεὶς ἀνέχεται· μετὰ δὲ τὸ ἀποδειχθῆναι, τότε καὶ καταδέχεται τὴν ἐπιτίμησιν, πρότερον δὲ ἰταμὸς ἔσται. ἄν τε ἐλέγξῃς μὲν, καὶ ἐπιτιμήσῃς, σφοδρῶς δὲ, καὶ μὴ παράκλησιν προσαγάγῃς, πάλιν τὸ πᾶν ἀνατέτραπται. ἀφόρητος γὰρ ἔλεγχος καθ' ἑαυτὸν, ὅταν μὴ καὶ παράκλησιν ἀναμεμιγμένην ἔχῃ. καθάπερ γὰρ ἡ τομὴ, καίτοι σωτήριος οὖσα, ἂν μὴ πολλὰ τὰ παραμυθούμενα τὰς ἀλγηδόνας ἔχῃ, οὐκ ἀνέχεται κοπτόμενος καὶ τεμνόμενος ὁ κάμνων, οὕτω καὶ ἐνταῦθα. καὶ ἐν πάσῃ, φησὶ, μακροθυμίᾳ καὶ διδαχῇ. καὶ γὰρ ὁ ἐλέγχων μακροθυμίας δεῖται, ὥστε μὴ ἁπλῶς πιστεύειν, καὶ ἡ ἐπιτίμησις παρακλήσεως, ὥστε δεχθῆναι. τί ἐστιν ὅτι τῇ μακροθυμίᾳ προστίθησι λέγων, καὶ διδαχῇ; μὴ ὡς ὀργιζόμενος, μὴ ὡς ἀπεχθανόμενος, μὴ ὡς ἐπεμβαίνων, μὴ ὡς ἐχθρὸν εὑρηκὼς (πάντα ταῦτα ἀφείσθω) ἀλλὰ τί; ὡς φιλῶν, ὡς συναλγῶν, ὡς μᾶλλον ἐκείνου πενθῶν, ὡς τηκόμενος ἐπὶ τοῖς ἐκείνου. ἐν πάσῃ μακροθυμίᾳ, φησὶ, καὶ διδαχῇ, μὴ ἐν τῇ τυχούσῃ.

3 Ἔσται γὰρ καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται.

Πρὶν ἢ ἐκτραχηλιασθῆναι, προκατάλαβε πάντας αὐτούς. Διὰ τοῦτο εἶπε, καὶ εὐκαίρως, καὶ ἀκαίρως· ὡς ἔχεις ἐκείνους μαθητευομένους, πάντα πρᾶττε.

Ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας, φησὶν, ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους.

Οὐδὲν ἐμφαντικώτερον τῆς λέξεως ταύτης. τὸ γὰρ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων διὰ τοῦ, σωρεύσουσιν, ἐδήλωσε, καὶ διὰ τοῦ παρὰ τῶν μαθητῶν χειροτονεῖσθαι. Ἑαυτοῖς ἐπισωρεύσουσι, φησὶ, διδασκάλους, Κνηθόμενοι τὴν ἀκοήν· Τῆς ἡδονῆς γὰρ λέγοντας καὶ τέρποντας τὴν ἀκοὴν ἐπιζητοῦντες.

4 Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Ταῦτα προλέγει, οὐκ εἰς ἀθυμίαν βουλόμενος ἐμβαλεῖν, ἀλλ' ἵνα, ὅταν
ἐκβῇ, γενναίως φέρῃ. ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἐποίει λέγων, ὅτι Παραδώσουσιν ὑμᾶς, καὶ μα- Ματθ. ι. ιζ.
στιγώσουσι, καὶ εἰς τὰς συναγωγὰς ἄξουσιν ἕνεκεν τοῦ ὀνόματός μου. ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ
μακάριος οὗτος· Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς Πραξ. κ. κθ.
ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. ταῦτα δὲ ἔλεγεν, ὥστε νήφειν αὐτοὺς, ὥστε τῷ πρὸ τούτου
καιρῷ κεχρῆσθαι εἰς δέον.

5 Σὺ δὲ νῆφε, φησὶν, ἐν πᾶσι, κακοπάθησον. Ὁρᾷς ὅτι διὰ τοῦτο ταῦτα προ-
λέγει; καὶ γὰρ καὶ ὁ Χριστὸς ἔλεγε πρὸς τῷ τέλει, ὅτι ἔσονται ψευδόχριστοι καὶ ψευδοπροφῆ- Ματθ. κδ. κδ.
ται· οὕτω καὶ οὗτος, ὅτε ἔμελλεν ἀποδημεῖν, ταῦτα ἔλεγε. σὺ δὲ νῆφε ἐν πᾶσι. κακοπάθησον, τουτέστι, κἀμὲ, προκατάλαβε, πρὶν ἢ τὴν λύμην ἐκείνην ἐπελθεῖν, ἐν ἀσφαλεῖ τὰ πρόβατα κατάστησον, ἕως οὗ πάρεισιν οἱ λύκοι, πανταχοῦ κακοπάθησον.

Ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

Ἄρα τοῦτο ἔργον εὐαγγελιστοῦ, τὸ κακοπαθεῖν καὶ πρὸ ἑαυτοῦ, καὶ παρὰ τῶν ἔξωθεν. τὴν διακονίαν σου πληροφόρησον· τουτέστι, πλήρωσον. ἰδοὺ καὶ ἄλλη ἀνάγκη τοῦ κακοπαθεῖν.

6 Ἐγὼ

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι, φησί, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν.

Οὐκ εἶπε τῆς ἐμῆς θυσίας, ἀλλ' ὃ περιττότερόν ἐστι. τῆς μὲν γὰρ θυσίας οὐ τὸ πᾶν ἀναφέρεται τῷ Θεῷ, τῆς δὲ σπονδῆς τὸ ὅλον.

7 Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.

Πολλάκις τὸν ἀπόστολον μετὰ χεῖρας λαβὼν ἐγώ, καὶ τὸ χωρίον τοῦτο περισκεψάμενος, ἀπορῶν διετέλουν, τίνος ἕνεκεν οὕτω μεγαληγορεῖ Παῦλος λέγων, τὸν καλὸν ἀγῶνα ἠγώνισμαι. νῦν δέ μοι δοκῶ εὑρηκέναι τῇ τοῦ Θεοῦ χάριτι. τίνος οὖν ἕνεκεν ταῦτά φησι; τὴν ἀθυμίαν τοῦ μαθητοῦ παραμυθήσασθαι βούλεται, θαρρεῖν κελεύων ὡς ἐπὶ στέφανον ἀπιόντος αὐτοῦ, ὡς πάντα τετελεκότος, ὡς καλῆς ἐπιτυχόντος τελευτῆς. χαίρειν δεῖ, φησίν, οὐκ ἀλγεῖν. διὰ τί; τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι. ὥσπερ ἂν εἴ τις πατὴρ παιδίον αὐτοῦ παρακαθήμενον, καὶ τὴν ὀρφανίαν οὐ φέρον, παραμυθοῖτο λέγων, τέκνον, μὴ κλαῖε, ἐζήσαμεν καλῶς, εἰς γῆρας ἐλθόντες καταλιμπάνομέν σε, ἄληπτος ἡμῶν ὁ βίος γέγονε, μετὰ δόξης ἀπερχόμεθα, ἔχεις καὶ σὺ θαυμάζεσθαι ἀπὸ τῶν ἡμῖν πεπραγμένων, πολλὰς ἡμῖν ὁ βασιλεὺς οἶδε τὰς χάριτας· ὡς ἂν εἰ ἔλεγε, τρόπαια ἐστήσαμεν, τοὺς πολεμίους ἐνικήσαμεν· οὐ μεγαληγορῶν, ἄπαγε, ἀλλ' ἀνιστὰς τὸν παῖδα, καὶ παιδεύων τοῖς ἐγκωμίοις κούφως φέρειν τὰ συμβάντα, καὶ χρηστὰς ἔχειν ἐλπίδας, καὶ μὴ νομίζειν, ὅτι φορτικὸν τὸ πρᾶγμα. δεινὸν γάρ, (α. Θεσ. β. ιζ.) δεινὸν ὁ χωρισμός. καὶ ἄκουε αὐτοῦ λέγοντος, Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν προσώπῳ, οὐ καρδίᾳ. εἰ οὖν αὐτὸς χωρισθεὶς τῶν μαθητῶν τοιαῦτα ἔπασχεν, οἷα οἴει (β. Τιμ. α. δ.) τὸν Τιμόθεον πάσχειν; εἰ ζῶντος χωριζόμενος αὐτοῦ ἐδάκρυεν, ὡς λέγει αὐτόν, Μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ, πόσῳ μᾶλλον τελευτήσαντος; ταῦτα οὖν παραμυθούμενος, ἔγραφε· καὶ πᾶσα δὲ ἡ ἐπιστολὴ παραμυθίας ἐστὶ πλήρης, καὶ ὡσανεὶ διαθήκη τίς ἐστι. τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον, φησί, τετέλεκα, τὴν πίστιν τετήρηκα. τὸν ἀγῶνα, φησί, τὸν καλόν. οὐκοῦν καὶ σὺ αὐτοῦ ἐπιλαβοῦ. ἔνθα ἅλυσις, ἔνθα δεσμά, ἔνθα θάνατος, πῶς ὁ ἀγὼν καλός; ναί, φησίν. ὑπὲρ γὰρ Χριστοῦ γίνεται, καὶ στεφάνους ἔχει μεγάλους. τὸν ἀγῶνα τὸν καλόν. οὐδεὶς τούτου βέλτιον τοῦ ἀγῶνος, οὐ λαμβάνει τέλος ὁ στέφανος οὗτος, οὗτος οὐκ ἀπὸ κοτίνων ἐστίν, οὐκ ἔχει ἄνθρωπον ἀγωνοθέτην, οὐκ ἔχει ἀνθρώπους θεατάς. ἀπὸ ἀγγέλων σύγκειται τὸ θέατρον. ἐκεῖ ἐν ἡμέραις πολλαῖς πονοῦσι, καὶ ταλαιπωροῦνται, καὶ ἐν ὥρᾳ μιᾷ τὸν στέφανον ἔλαβον, καὶ παραχρῆμα ἀπέπτη τὰ τῆς ἡδονῆς· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ διαπαντὸς ἐν λαμπρότητι, ἐν δόξῃ, ἐν τιμῇ. διὸ λοιπὸν χαίρειν. εἰς γὰρ ἀνάπαυσιν ἔρχομαι, ἐξέρχομαι τὸ στάδιον. ἤκουσας ὅτι τὸ ἀναλῦσαι κρεῖσσον, καὶ σὺν Χριστῷ εἶναι. (Φιλιπ. α. κγ.) τὸν δρόμον τετέλεκα. καὶ γὰρ ἀγωνίζεσθαι χρὴ καὶ τρέχειν· ἀγωνίζεσθαι μὲν καρτεροῦντα τὰς θλίψεις, τρέχειν δὲ οὐχ ἁπλῶς, ἀλλὰ πρός τι χρήσιμον. ὄντως καλὸς ὁ ἀγών, οὐ τέρπων ἁπλῶς τὸν θεατήν, ἀλλὰ ὠφελῶν· καὶ ὁ δρόμος οὐκ εἰς τὸ μηδὲν χωρῶν, οὐδὲ ἰσχύος ἐπίδειξίς ἐστι, καὶ φιλοτιμίας, ἀλλὰ πάντας ἕλκων εἰς τὸν οὐρανόν. οὗτος ὁ δρόμος τοῦ ἡλίου καθαρώτερος, ὃν ὁ Παῦλος ἔτρεχεν ἐπὶ τῆς γῆς, ἢ ὃν ἐκεῖνος τρέχει ἐπὶ τοῦ οὐρανοῦ. πῶς δὲ τετέλεκε τὸν δρόμον; τὴν οἰκουμένην ἅπασαν περιῆλθεν, ἀρξάμενος ἀπὸ τῆς (Ρωμ. ιε. ι.) Γαλιλαίας, καὶ ἀπὸ τῆς Ἀραβίας, καὶ μέχρι τῶν περάτων τῆς γῆς ἐλθών (Ὥστε με, φησίν, ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ) καὶ πάσαν διαδραμὼν τὴν οἰκουμένην καθάπερ τις πτηνός, μᾶλλον δὲ καὶ πτηνοῦ σφοδρότερον. ὁ μὲν γὰρ πτηνὸς ἁπλῶς διέτρεχεν, οὗτος δὲ οὐχ ἁπλῶς, ἀλλὰ τὸ πτερὸν ἔχων τοῦ πνεύματος, καὶ μυρία διακόπτων κωλύματα, θανάτους, ἐπιβουλάς, συμφοράς. ὥστε καὶ πτηνοῦ ταχύτερος ἦν. εἰ πτηνὸς ἦν ἁπλῶς, καὶ κατηνέχθη ἂν καὶ ἀνάλωτο. ἐπειδὴ δὲ ὑπὸ τοῦ πνεύματος ἐκουφίζετο, πάντων ὑπερανέβη τῶν δικτύων, ὡσανεὶ πτηνὸς πτερὰ ἔχων ἀπὸ πυρός. τὴν πίστιν, φησί, τετήρηκα. πολλὰ γὰρ ἦν τὰ βουλόμενα αὐτὴν συλῆσαι, οὐχ αἱ

φιλίαι

φιλίαι τῶν ἀνθρώπων μόναι, ἀλλὰ καὶ ἀπειλαί, καὶ θάνατοι, καὶ μυρία ἕτερα. ἀλλὰ πρὸς ἅπαντα ἔστη. πῶς; νήφων καὶ ἐγρηγορώς. ἱκανὰ μὲν οὖν καὶ ταῦτα πρὸς παραμυθίαν τῶν μαθητῶν, αὐτὸς δὲ καὶ τὰ ἔπαθλα προστίθησι. ποῖα δὲ ταῦτα;

8 Λοιπὸν ἀπόκειταί μοι, φησίν, ὁ τῆς δικαιοσύνης στέφανος. Δικαιοσύνην ἐνταῦθα πάλιν τὴν καθόλου φησὶν ἀρετήν. οὐ τοίνυν ἀλγεῖν χρή, ὅτι ἄπειμι στεφανωσόμενος τὸν στέφανον τὸν ἀπὸ Χριστοῦ τιθέμενον ἐπὶ τῆς ἐμῆς κεφαλῆς· ἀλλ' εἰ ἐνταῦθα περιέμενον, οὕτως ἀλγεῖν ἐχρῆν μᾶλλον καὶ δεδοικέναι, μὴ περιπέσω, μὴ παραπόλωμαι.

Ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Ἐνταῦθα καὶ αὐτὸν ἀνέστησεν. εἰ πᾶσι, πολλῷ μᾶλλον Τιμοθέῳ· ἀλλ' οὐκ εἶπε, καὶ σοί, ἀλλὰ πᾶσι· δηλῶν ὅτι εἰ πᾶσι, πολλῷ μᾶλλον αὐτῷ.

ΗΘΙΚΟΝ

Πῶς δὲ ἄν τις ἀγαπήσειε, φησί, τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ; εἰ χαίρει ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. ὁ δὲ χαίρων ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, ἄξια πράττει τῆς χαρᾶς, τὰ ὑπάρχοντα προήσεται, εἰ δέοι, καὶ τὴν ψυχήν, ὥστε τῶν μελλόντων τυχεῖν ἀγαθῶν, ὥστε καταξιωθῆναι τὴν δευτέραν παρουσίαν μετὰ τοῦ πρέποντος σχήματος ἰδεῖν, μετὰ παρρησίας, μετὰ δόξης καὶ λαμπρότητος. τοῦτό ἐστιν ἀγαπᾷν τὴν ἐπιφάνειαν αὐτοῦ. ὁ ἀγαπῶν αὐτοῦ τὴν ἐπιφάνειαν, πάντα πράξει ὥστε καὶ πρὸ ἐκείνης τῆς καθολικῆς γενέσθαι αὐτῷ τὴν μερικήν. καὶ πῶς ἔνι τοῦτο, φησίν; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει, καὶ πορευσόμεθα ἐγὼ καὶ ὁ πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. [Ιωαν. ιδ. κγ.] [γρ. ἐλευσόμεθα] ἐννόησον δὲ ὅσον ἐστὶ τὸν κοινῇ πᾶσιν ἐπιφαίνεσθαι μέλλοντα, τοῦτον ἰδίᾳ ὑποσχέσθαι ἐπιφανῆναι ἡμῖν. ἐλευσόμεθα γάρ, φησί, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. εἴ τις ἀγαπᾷ τὴν ἐπιφάνειαν αὐτοῦ, πάντα πράξει, ὥστε αὐτὸν καλέσαι πρὸς ἑαυτόν, καὶ ἔχειν, ὥστε ἐπιλάμψαι αὐτῷ τὸ φῶς. μηδὲν ἀνάξιον ἔστω τῆς παρουσίας αὐτοῦ, καὶ ταχέως καταλύει παρ' ἡμῖν. ἐπιφάνεια δὲ λέγεται, διὰ τὸ ἐπάνω φαίνεσθαι, καὶ ἄνωθεν ἀνατέλλειν. οὐκοῦν τὰ ἄνω ζητῶμεν, καὶ ταχέως τὰς ἀκτῖνας ἐκείνας ἐπισπασόμεθα. οὐδεὶς τῶν κάτω κυπτόντων, καὶ κατορυττόντων ἑαυτοὺς εἰς τὴν γῆν, δυνήσεται τὸ ἡλιακὸν φῶς ἰδεῖν· οὐδεὶς τῶν καταμολυνόντων ἑαυτοὺς τοῖς βιωτικοῖς πράγμασι, δυνήσεται τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν· οὐδενὶ ἐπιφαίνει τῶν τούτοις ἐνστρεφομένων. ἀνάκυψον μικρόν, ἀνάκυψον ἀπὸ τοῦ βάθους, ἀπὸ τοῦ κλύδωνος τοῦ βιωτικοῦ, εἰ βούλει τὸν ἥλιον ἰδεῖν, εἰ βούλει τῆς ἐπιφανείας τυχεῖν. ἂν τύχῃς αὐτοῦ τῆς ἐπιφανείας ταύτης, τότε αὐτὸν ὄψει μετὰ πολλῆς τῆς παρρησίας. φιλοσόφησον νῦν, μὴ ἔστω παρὰ σοὶ πνεῦμα ἀπονοίας, ἵνα μή σε ῥαπίσῃ σφοδρῶς, καὶ καταβάλῃ. μὴ ἔστω λελιθωμένη ἡ καρδία, καὶ σκότος, ἵνα μὴ προσαρράξῃς ἐκεῖ τὸ πλοῖον. μὴ ἔστω τις δόλος. καὶ γὰρ αἱ ὕφαλοι ναυάγια ἐργάζονται χαλεπώτατα. μὴ τρέφε θηρία, τὰ πάθη λέγω (θηρίων γὰρ ἐκεῖνα χαλεπώτερα) μὴ τοῖς ῥευστοῖς πράγμασι θάρρει, ἵνα δυνηθῇς ἑστάναι βεβαίως. οὐδεὶς ἐπὶ ὕδατος ἵσταται, ἐπὶ δὲ πέτρας ἅπαντες ἀσφαλῶς ἵστανται. ὕδωρ ἐστὶ τὰ βιωτικὰ πράγματα. Ἦλθον, φησίν, ὕδατα ἕως ψυχῆς μου, ὡς χειμάρροις παραρρέων. [Ψαλ. ξη. α.] πέτρα ἐστὶ τὰ πνευματικά. Ἐν πέτρᾳ γάρ, φησίν, ὕψωσας τοὺς πόδας μου. [Ψαλ. λθ. γ.] [γρ. ἔστησας] ἰλύς ἐστι καὶ πηλὸς τὰ βιωτικά. ἀνασπάσωμεν ἑαυτοὺς ἀπὸ τούτων. οὕτω γὰρ δυνησόμεθα τυχεῖν τῆς ἐπιφανείας τοῦ Χριστοῦ. πᾶν ὃ ἐὰν ἐπέλθῃ, φέρωμεν. ἱκανὴ ἐν πᾶσι παραμυθία τὸ διὰ Χριστὸν παθεῖν. ταύτην τὴν θείαν ἐπῳδὴν ἐπιλέγωμεν, καὶ παύσεται τοῦ τραύματος ἡ ἀλγηδών. καὶ πῶς διὰ Χριστόν ἐστι παθεῖν, φησίν; ἐσυκοφάντησέ σέ τις ἁπλῶς οὐ διὰ Χριστόν; ἂν ἐνέγκῃς γενναίως, ἐὰν εὐχαριστήσῃς, ἐὰν εὔξῃ ὑπὲρ ἐκείνου, ταῦτα πάντα διὰ Χριστὸν ποιεῖς. ἂν καταράσῃ, ἂν ἀποδυσπετήσῃς, ἂν ἐπιχειρήσῃς ἀμύνασθαι, κἂν μὴ δυνηθῇς, οὐκ ἔστι διὰ τὸν Χριστόν, ἀλλὰ ζημίαν ὑπήνεγκας, [γρ. ὑπομεμένηκας] καὶ τοῦ καρποῦ ἀπεστέρησαι διὰ τὴν προαίρεσιν τὴν σήν. ἐν ἡμῖν γάρ ἐστι καὶ

καρδίαν ἐκ τῆς λύπης, καὶ βλάπτεσθαι. οὐ παρὰ τὴν φύσιν τῶν δεινῶν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν προαίρεσιν. οἷόν τι λέγω· ἔπαθε τοσαῦτα ὁ Ἰώβ, εὐχαρίστως ἤνεγκεν, ἐδικαιώθη, οὐκ ἐπειδὴ ἔπαθεν, ἀλλ' ἐπειδὴ παθὼν εὐχαρίστως ἤνεγκεν. ἕτερος τὰ αὐτὰ παθών, μᾶλλον δὲ οὐδὲ τὰ αὐτά (οὐδεὶς γάρ ἐστιν ὁ τοιαῦτα παθών) ἀλλὰ πολλῷ ἐλάττονα, ἐδυσφήμησεν, ἠγανάκτησε, κατηράσατο τῷ κόσμῳ παντί, ἐδυσχέραινε πρὸς τὸν Θεόν. οὗτος κατεκρίθη καὶ κατεδικάσθη, οὐκ ἐπειδὴ πέπονθεν, ἀλλ' ἐπειδὴ ἐβλασφήμησεν, ἐβλασφήμησε δέ, οὐ παρὰ τὴν ἀνάγκην τῶν συμβάντων· ἐπεὶ εἰ ἡ ἀνάγκη τῶν συμβάντων τοῦτο ἐποίησεν, ἔδει καὶ τὸν Ἰὼβ βλασφημῆσαι. εἰ δὲ χαλεπώτερα παθὼν οὐδὲν τοιοῦτον εἰργάσατο, οὐ παρὰ τοῦτο ταῦτα συνέβη, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς προαιρέσεως. ἰσχυρᾶς οὖν δεῖ ἡμῖν ψυχῆς, καὶ οὐδὲν ἡμῖν χαλεπὸν φανεῖται, ὥσπερ ἀσθενούσης, οὐδὲν ὅπερ οὐ χαλεπόν. παρὰ τὴν ἡμετέραν διάθεσιν πάντα καὶ φορητὰ καὶ ἀφόρητα γίνεται. ταύτην ὀχυρώσωμεν, καὶ πάντα οἴσομεν εὐκόλως. καὶ γὰρ τὸ δένδρον, ὅταν μὲν κατὰ βάθους παραπέμψῃ τὰς ῥίζας, οὐδὲ σφοδρὰ καταιγὶς αὐτὸ διασαλεῦσαι δυνήσεται· ἂν δὲ ἐξ ἐπιπολῆς ᾖ κείμενον, καὶ ἀπὸ τῆς ἐπιφανείας, κἂν μικρὰ προσπέσῃ ἀνέμου ῥοπή, πρόρριζον αὐτὸ ἀνέσπασεν· οὕτω καὶ ἐφ' ἡμῶν, ἐὰν καθηλώσωμεν τὰς σάρκας ἡμῶν τῷ φόβῳ τοῦ Θεοῦ, οὐδὲν παρασαλεῦσαι δυνήσεται· ἐὰν δὲ ἁπλῶς προσπηγῶμεν, καὶ μικρὰ ῥοπὴ ἠφάνισε καὶ ἀπώλεσε. διὸ παρακαλῶ μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα φέρειν, καὶ μιμεῖσθαι τὸν προφήτην τὸν λέγοντα, Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. ὅρα τί φησιν, ἐκολλήθη ἡ ψυχή μου. οὐχ ἁπλῶς εἶπεν, ἤγγισεν, ἀλλ', ἐκολλήθη. καὶ πάλιν, Ἐδίψησέ σε ἡ ψυχή μου· οὐχ ἁπλῶς εἶπεν, ἐπεπόθησεν, ἵνα τὸ σφοδρὸν τοῦ πόθου διὰ τούτων ἐμφήνῃ τῶν λέξεων. καὶ πάλιν, Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου. βούλεται γὰρ ἡμᾶς ἀεὶ προσκολλᾶσθαι αὐτῷ οὕτω καὶ συνδεδέσθαι, ὡς μηδέποτε αὐτοῦ ἀφίστασθαι. ἂν οὕτως ἐχώμεθα τοῦ Θεοῦ, ἂν προσηλώσωμεν αὐτῷ τὰς ἡμετέρας διανοίας, ἂν διψῶμεν αὐτοῦ τὸν πόθον, καὶ πάντα ἡμῖν ἔσται ἅπερ βουλόμεθα, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα.

Ψαλ. ξβ. η. β.
Ψαλ. ξιη. ρκθ.

γ. οὐχ ἁπλῶς ἤγγισεν, ἀλλ' ἐκολλήθη, καὶ ἐδίψησέ σε, οὐχ ἁπλῶς ἐπεπόθησεν. καὶ καθήλωσον, φησιν, ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.

Λογ. ι.

9 ΣΠΟΥΔΑΣΟΝ ΕΛΘΕΙΝ ΠΡΟΣ ΜΕ ΤΑΧΕΩΣ. 10 Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν· 11 Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ. ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.
12 Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. 13 Τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

γρ. φαιλόνην

Ἄξιον ζητῆσαι πῶς καλεῖ τὸν Τιμόθεον πρὸς ἑαυτόν, εἴγε ἐκκλησίαν πεπιστευμένος ἦν, καὶ ἔθνος ὁλόκληρον. οὐκ ἀπονοίας ἦν τὸ πρᾶγμα. αὐτὸς γὰρ ἕτοιμος ἦν ἐλθεῖν πρὸς αὐτόν. ἄκουε γοῦν αὐτοῦ λέγοντος, Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι. ἀλλὰ τίνος ἕνεκεν; ἀνάγκη κατείληπτο πολλή, καὶ κύριος ἀποδημίας οὐκέτι ἦν. δεσμωτήριον ᾤκει, καὶ συνεκέκλειστο ὑπὸ Νέρωνος, καὶ ὅσον οὔπω ἔμελλε τελευτᾶν. ἵνα οὖν μὴ τοῦτο γένηται πρὸ τοῦ τὸν μαθητὴν ἰδεῖν, διὰ τοῦτο αὐτὸν καλεῖ, θεάσασθαι ποθῶν πρὸ τῆς τελευτῆς, καὶ ἴσως πολλὰ παραθέσθαι· διό φησι, σπούδασον πρὸ χειμῶνος ἐλθεῖν πρός με. Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα. καὶ οὐ λέγει, ἵνα σε ἴδω πρὶν ἀπελθεῖν ἐκ τοῦ βίου, ὃ μάλιστα ἐλύπει,

α. Τιμ. γ. ιε.

ἀλλ'

ἀλλ' ἐπειδὴ μόνος εἰμί, φησιν, οὐδένα ἔχω τὸν συναντιλαμβανόμενόν μου. Δημᾶς μὲν γὰρ ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· τουτέστι, τῆς ἀνέσεως ἐρασθεὶς, τοῦ ἀκινδύνου καὶ τοῦ ἀσφαλοῦς, μᾶλλον εἵλετο οἴκοι τρυφᾶν, ἢ μετ' ἐμοῦ ταλαιπωρεῖσθαι, καὶ συνδιαφέρειν μοι τοὺς παρόντας κινδύνους. Τοῦτον διέβαλε μόνον, οὐκ αὐτὸν διαβαλεῖν βουλόμενος, ἀλλ' ἡμᾶς στηρίξαι, ὥστε μὴ μαλακίζεσθαι ἐν τοῖς κινδύνοις, μηδὲ ἐν τοῖς πόνοις (τοῦτο γάρ ἐστι, τὸν παρόντα ἀγαπῆσαι αἰῶνα) ἅμα δὲ καὶ τὸν μαθητὴν ἐπισπάσασθαι βουλόμενος. Κρήσκης, φησὶν, εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν. τούτους οὐκέτι διαβάλλει. καὶ γὰρ ὁ Τίτος τῶν σφόδρα θαυμαστῶν ἦν, ὥστε αὐτῷ τὰ κατὰ τὴν νῆσον ἐνεχείρισε, νῆσον οὐ μικρὰν, ἀλλὰ καὶ σφόδρα μεγάλην, τὴν Κρήτην λέγω. Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. αὐτὸς γὰρ σφόδρα ἀδιασπάστως εἶχεν αὐτοῦ [ὁ καὶ τὸ εὐαγγέλιον γράψας, καὶ τὰς καθολικὰς πράξεις] φιλόπονος ὢν, καὶ φιλομαθὴς, καὶ καρτερικός. περὶ τούτου φησὶ γράφων, Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ. τίνος ἕνεκεν; ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. οὐκ εἰς τὴν ἀνάπαυσιν λέγει τὴν ἑαυτοῦ, ἀλλ' εἰς τὴν διακονίαν τοῦ εὐαγγελίου. καὶ γὰρ ἐν δεσμοῖς ὢν, οὐκ ἐπαύετο κηρύττων. ἄρα καὶ τὸν Τιμόθεον τούτου ἕνεκεν ἐκάλει, οὐ τῆς αὐτοῦ ἕνεκεν, ἀλλ' ὑπὲρ τοῦ εὐαγγελίου, ὥστε μηδεμίαν γενέσθαι ταραχὴν κατὰ τὴν αὐτοῦ τελευτὴν τοῖς πιστοῖς, τῶν αὐτοῦ μαθητῶν πολλῶν παρόντων, καὶ κωλυόντων θορύβους, καὶ παραμυθουμένων τοὺς ἀφορήτως φέροντας αὐτοῦ τὴν τελευτήν. καὶ γὰρ ἄνδρας ἀξιολόγους εἰκὸς ἦν εἶναι τοὺς πιστοὺς τὸ τότε ἐπὶ τῆς Ῥώμης. Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. Φελόνην ἐνταῦθα τὸ ἱμάτιον λέγει· τινὲς δέ φασι τὸ γλωσσόκομον, ἔνθα τὰ βιβλία ἔκειτο. τί δὲ αὐτῷ τῶν βιβλίων ἔδει μέλλοντι ἀποδημεῖν πρὸς τὸν Θεόν; καὶ μάλιστα ἔδει, ὥστε αὐτὰ τοῖς πιστοῖς παραθέσθαι, καὶ ἀντὶ τῆς αὐτοῦ διδασκαλίας ἔχειν αὐτά. πάντας μὲν οὖν τοὺς πιστοὺς εἰκὸς τότε μεγάλην ἔχειν πληγὴν, μάλιστα δὲ τοὺς παρόντας τῇ τελευτῇ, καὶ ἀπολαύοντας αὐτοῦ τότε. τὸν δὲ φελόνην ζητεῖ, ὥστε μὴ δεηθῆναι παρ' ἑτέρου λαβεῖν. ὁρᾷς γὰρ αὐτὸν ὑπὲρ τούτου πολλὴν ποιούμενον τὴν σπουδὴν, καὶ λέγοντα ἑτέρωθι, καθὼς πρὸς τοὺς ἀπὸ τῆς Ἐφέσου διελέγετο· Γινώσκετε, ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ πάλιν, Μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν.

[Margin: ἴσ. τοῦτο — γ. καὶ ὅτι τὸν θαυμαστὸν, ὅτι τὴν νῆσον ἐγκεχείρισται, — β. Κορ. η. ιη. — γ. φαιλόνην — γ. φαιλόνην — Πραξ. κ. λδ. λε.]

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο. ἀποδώῃ αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. Πάλιν ἐνταῦθα μέμνηται πειρασμοῦ, οὐχ ἁπλῶς ἐκεῖνον βουλόμενος διαβαλεῖν, οὐδὲ κατηγορῆσαι αὐτοῦ, ἀλλὰ τὸν μαθητὴν ἀλεῖψαι πρὸς τοὺς ἀγῶνας, ὥστε φέρειν γενναίως, κἂν εὐτελεῖς ὦσιν οἱ τὰς πείρας προσάγοντες, κἂν οὐδαμινοὶ, κἂν ἄτιμοι, δεῖ, φησι, πάντα φέρειν γενναίως. ὁ γὰρ ὑπὸ μεγάλου τινὸς παθὼν κακῶς, ἔχει φιλοτιμίαν οὐ μικρὰν, τὴν τοῦ ποιοῦντος ὑπεροχήν· ὁ δὲ ὑπὸ εὐτελοῦς καὶ ἀπερριμμένου, μείζονα ἔχει τὴν ὀδύνην. πολλά με κακὰ ἐνεδείξατο, τουτέστιν, ἔθλιψέ με διαφόρως. ἀλλ' οὐκ ἀτιμωρητί, φησι, ταῦτα αὐτῷ παραχωρήσει. ἀποδώσει γὰρ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. ὥσπερ γράφων ἔλεγεν ἀνωτέρω, Οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος, οὕτω καὶ ἐνταῦθα διπλῆ παρεκάλεσε τὸν μαθητὴν, τῷ τε κακῶς πάσχειν, καὶ τῷ ἐκεῖνον ἀπολήψεσθαι· οὐχ ὡς τῶν ἁγίων ταῖς τιμωρίαις ἐπιχαιρόντων ἁπλῶς, ἀλλ' ὡς τοῦ κηρύγματος δεομένου, καὶ τῶν ἀσθενεστέρων, τῆς ἐντεῦθεν παραμυθίας.

[Margin: β. Τιμ. γ. ια. — γ. ἐπιτρεχόντων]

15 Ὃν καὶ σὺ, φησι, φυλάσσου. λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.

Τουτέστι, πολεμεῖ καὶ ἐμποδίζεται. καὶ οὐκ εἶπε, τιμωρῆσαι, κόλασον, ἀπέλασον, καί-

ποιεῖ ἐκείνῳ διὰ τῆς χάριτος ταῦτα ἐργάσασθαι, ἀλλ' οὐδὲν τούτων. οὐδὲ ὁπλίζει αὐτὸν κατ' αὐτοῦ, ἀλλ' ἀναχωρεῖν μόνον κελεύει, τῷ Θεῷ παραχωρεῖν τὰ τῆς τιμωρίας. καὶ πρὸς παραμυθίαν τῶν ἀσθενεστέρων τοῦτο εἴρηκε, τὸ, ἀποδώσει αὐτῷ· ὃ καὶ προφητεία ἐστὶν, οὐκ ἀρά. ὅτι δὲ ὑπὲρ τοῦ τὸν μαθητὴν ἀλεῖψαι ταῦτα λέγει, καὶ ἐκ τῶν ἑξῆς δῆλον. ἀλλ' ὅρα πάλιν πῶς ἑτέρους πειρασμοὺς αὐτοῦ διηγεῖται.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησὶν, οὐδείς μοι συμπαρεγένετο, πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη. Ὁρᾷς πῶς φείδεται τῶν οἰκείων; καίτοι ἔργον εἰργάσαντο δεινόν. οὐ γάρ ἐστιν ἴσον παρὰ τῶν ἔξωθεν καταφρονεῖσθαι, καὶ παρὰ τῶν οἰκείων. ὁρᾷς ἐπιτεταμένην ἀθυμίαν; οὐκ ἔχεις εἰπεῖν, ὅτι παρὰ μὲν τῶν ἔξωθεν ἐπολεμούμην, εἶχον δὲ παραμυθίαν, τὴν θεραπείαν καὶ τὴν συμμαχίαν τῶν ἐμῶν. καὶ γὰρ καὶ ἐκεῖνοί με προέδωκαν. πάντες με ἐγκατέλιπον, φησίν. ἆρα οὐ μικρὸν ἁμάρτημα τοῦτο. εἰ γὰρ ἐν πολέμῳ τὸν κινδυνεύοντα ὁ ἀφεὶς, ἐκ τῆς τῶν ἐχθρῶν ἑαυτὸν ὑπεξάγων χειρὸς, ὑπὸ τῶν οἰκείων πλήττεται εἰκότως, ὡς τὸ πᾶν διαφθείρας καὶ προδούς, πολλῷ μᾶλλον ἐν τῷ κηρύγματι. ποίαν δὲ πρώτην ἀπολογίαν λέγει; παρέστη ἤδη τῷ Νέρωνι, καὶ διέφυγεν. ἐπειδὴ δὲ τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε αὐτὸν ἀπέτεμεν. ἰδοὺ πάλιν προτρέπεται μαθητὴν διὰ τῶν ἐπαγγελιῶν.

17 Ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με. Τὸν γὰρ ὑπὸ ἀνθρώπων ἐγκαταλιμπανόμενον οὐκ ἀφίησί τι παθεῖν δεινὸν ὁ Θεός. καὶ ἐνεδυνάμωσέ με, φησὶ· τουτέστι, παρρησίαν ἐχαρίσατο, οὐκ ἀφῆκε καταπεσεῖν. Ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ. Τουτέστι, πληρωθῇ. ὅρα τὴν ταπεινοφροσύνην αὐτοῦ τὴν πολλήν. οὐχ ὡς ἄξιον τυχεῖν τῆς δωρεᾶς, φησὶν ἐνεδυνάμωσέ με, ἀλλ' ἵνα τὸ κήρυγμα πληροφορηθῇ, ὃ ἤμην ἐμπεπιστευμένος. ὡς ἂν εἴ τις ἁλουργίδα καὶ διάδημα βαστάζοι, καὶ δι' αὐτὴν σώζοιτο. Καὶ ἀκούσῃ, φησὶ, πάντα τὰ ἔθνη. Τί ἐστι τοῦτο; ἵνα πᾶσι, φησὶ, κατάδηλος γένηται καὶ τοῦ κηρύγματος ἡ περιφάνεια, καὶ τῆς περὶ ἐμὲ προνοίας ἡ κηδεμονία.

Καὶ ἐρρύσατό με ἐκ στόματος λέοντος,

18 Καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ. Ὅρα πῶς παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. εἰς αὐτὸν τοῦ λέοντος ἐνέπεσε τὸν φάρυγγα. λέοντα γὰρ τὸν Νέρωνά φησι, διὰ τὸ θηριῶδες, καὶ ἰσχυρὸν τῆς βασιλείας αὐτοῦ, καὶ ἀκατάπληκτον. καὶ ἐρρύσατό με, φησὶν, ὁ Κύριος, καὶ ῥύσεται. εἰ ῥύσεται πάλιν, πῶς ἔλεγεν, ὅτι ἤδη σπένδομαι; ἀλλὰ πρόσεχε τῇ φωνῇ. ἐρρύσατό με, φησὶν, ἐκ στόματος λέοντος· καὶ πάλιν ῥύσεται, οὐκέτι ἐκ στόματος, ἀλλὰ τί; ἀπὸ παντὸς ἔργου πονηροῦ. τότε μὲν γάρ με τῶν κινδύνων ἐξήρπασεν. ἐπειδὴ δὲ τὸ ἱκανὸν τῷ εὐαγγελίῳ γέγονε, ῥύσεταί με πάλιν ἀπὸ παντὸς ἁμαρτήματος, τουτέστιν, οὐκ ἀφήσει καταγνωσθέντα ἀπελθεῖν. καὶ γὰρ καὶ τοῦτο τὸ δυνηθῆναι μέχρις αἵματος ἀντικαταστῆναι πρὸς τὴν ἁμαρτίαν, καὶ μὴ ἐνδοῦναι, ἑτέρου λέοντός ἐστι ῥύσασθαι, τοῦ διαβόλου. ὥστε μείζων αὕτη τῆς προτέρας ἡ σωτηρία, ὅτι δοκεῖ ἐκδεδόσθαι.

Καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἄρα αὕτη ἐστὶν ἡ σωτηρία, ὅταν ἐκεῖ διαλάμπωμεν. τί ἐστι, σώσει εἰς τὴν βασιλείαν αὐτοῦ; ἐξαρπάσει με, φησὶ, πάσης αἰτίας, καὶ ἐκεῖ φυλάξει. τοῦτο γάρ ἐστι σωθῆναι εἰς τὴν βασιλείαν, τὸ ἐνταῦθα δι' αὐτὴν ἀποθανεῖν. Ὁ μισῶν γάρ, φησὶ, τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ᾧ ἡ δόξα. ἰδοὺ δοξολογία τοῦ υἱοῦ.*

Ἰωαν. ιβ. κε.

19 Ἄσπασαι Πρίσκιλλαν, καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου οἶκον.

Αὐτὸς γὰρ ἐκεῖ ἦν ἐν Ῥώμῃ, καθὼς φησί· Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. διὰ τῆς προσρήσεως τῆς τούτου καὶ τοὺς ἐν τῇ οἰκίᾳ προθυμοτέρους

β. Τιμ. α. ιη.

χ. ἀπελθοῦσαι.

χ. ἐρρύσατο ... ῥύσεται.

χ. ῥυσθῆναι.

* ποῦ εἰσὶν οἱ τῷ πατρὶ αὐτὴν δοξολογίαν, ὅτι ἐκεῖνος, λαμβάνει;

πρέπει ποιεῖν ἐν τοῖς τοιούτοις κατορθώμασιν. Ἄσπασαι, φησὶ, Πρίσκιλλαν καὶ Ἀκύλαν. οὗτοί εἰσιν ὧν συνεχῶς μέμνηται, παρ' οἷς καὶ κατήχθη, καὶ τὸν Ἀπολλὼ προσλαβόμενοι. προτίθησι δὲ τὴν γυναῖκα, ἐμοὶ δοκεῖν, ἅτε σπουδαιοτέραν οὖσαν καὶ πιστοτέραν (καὶ γὰρ καὶ αὐτὴ τότε προσελάβετο τὸν Ἀπολλώ) ἢ καὶ ἀδιαφόρως τοῦτο ποιεῖ. οὐ μικρὰ δὲ τούτοις ἡ παραμυθία ἡ πρόρρησις, ἀλλὰ τιμῆς καὶ ἀγάπης εἶχεν ἔνδειξιν, καὶ πολλῆς μετάληψιν χάριτος· ἀρκεῖ γὰρ καὶ ἀσπασμὸς μόνος τοῦ ἁγίου καὶ μακαρίου ἐκείνου πολλῆς ἐμπλῆσαι χάριτος τὸν τὴν προσηγορίαν δεχόμενον. Πραξ. ιη.

γ. αὐτὴ

γ. πρόρρησις

20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

Τοῦτον καὶ τὸν Τυχικὸν ἔγνωμεν ἐν τῇ τῶν Πράξεων βίβλῳ συναναχθέντας αὐτῷ ἀπὸ τῆς Ἰουδαίας, καὶ πανταχοῦ συνόντας, ἴσως ὡς σπουδαιοτέρους τῶν ἄλλων. Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ, φησὶν, ἀσθενοῦντα. Διὰ τί γὰρ μὴ ἰάσω αὐτὸν, ἀλλ' ἀπέλιπες; οὐ πάντα ἴσχυον οἱ ἀπόστολοι, ἢ οὐ πάντα ᾠκονόμουν τῇ χάριτι, ἵνα μή τις [εἰς] αὐτοὺς λογίσηται ὑπὲρ ὃ βλέπει. τοῦτο καὶ ἐπὶ τῶν μακαρίων τῶν περὶ αὐτὸν ἀθλουμένων δικαίων ὁρῶμεν συμβαῖνον καθάπερ ἐπὶ τοῦ Μωϋσέως, ἰσχνόφωνος ἦν. Διὰ τί μὴ μετέβαλεν αὐτοῦ τὴν ἰσχνότητα; πολλάκις ὑπὸ λύπης ἐβάλλετο καὶ ἀθυμίας, εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσῆλθε. πολλὰ γὰρ συνεχώρει ὁ Θεὸς, ὥστε δείκνυσθαι τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως. εἰ γὰρ καὶ τούτων γινομένων, ἔλεγον οἱ ἀναίσθητοι Ἰουδαῖοι, Ποῦ ἐστι Μωϋσῆς, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου; εἰ καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τί οὐκ ἂν ἔπαθον; εἰ μὴ συνεχώρησεν αὐτὸν κρατῆσαι τὸν φόβον τὸν τοῦ Φαραὼ, οὐκ ἂν θεὸν αὐτὸν ἐνόμισαν; οὕτω καὶ περὶ Παύλου καὶ Βαρνάβα τοὺς τὴν Λύστραν οἰκοῦντας ὁρῶμεν παθόντας ἐπ' αὐτῶν, καὶ θεοὺς αὐτοὺς νομίσαντας, ὅτε διαρρήξαντες αὐτῶν τὰ ἱμάτια, ἐξεπήδησαν εἰς τὸν ὄχλον κράζοντες καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι. καὶ ὁ Πέτρος πάλιν ἡνίκα τὸν ἐκ γενετῆς χωλὸν ἰάσατο, πάντων ἐκπλαγέντων ἐπὶ τῷ γεγονότι, ἀπεκρίνατο λέγων, Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ἄκουε δὲ πάλιν καὶ τοῦ μακαρίου Παύλου λέγοντος, Καὶ ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἵνα μὴ ὑπεραίρωμαι. ἀλλὰ ταπεινοφροσύνης, φησὶν, ὁ λόγος. ἄπαγε, οὐκ ἔστι τοῦτο. οὐ γὰρ διὰ τοῦτο ἐδόθη αὐτῷ σκόλοψ, ἵνα ταπεινοφρονῇ, οὐδὲ διὰ ταπεινοφροσύνην μόνον ἔφη τοῦτο, ἀλλὰ καὶ δι' ἄλλας αἰτίας. ὅρα γοῦν πῶς ὁ Θεὸς ἀπολογούμενος, οὔ φησιν αὐτῷ, ἀρκεῖ σοι ἡ χάρις μου, ἵνα μὴ ὑπεραίρῃ, ἀλλὰ τί; Ἡ γὰρ δύναμίς μου, φησὶν, ἐν ἀσθενείᾳ τελειοῦται. δύο τοίνυν συνεγίνετο, καὶ ἐδείκνυτο τὰ κατορθώματα, καὶ τὸ ὅλον ἐπεγράφετο τῷ Θεῷ. διὰ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν, Ἔχομεν τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι, τουτέστι, παθητοῖς καὶ ἀσθενέσι σώμασι. διὰ τί; ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. εἰ μὴ παθητὰ ἦν τὰ σώματα, αὐτοῖς ἂν ἐπεγράφετο ἅπαντα. καὶ ἀλλαχοῦ ὁρῶμεν αὐτοὺς ἀλγοῦντας ἐπὶ ἀρρωστίᾳ (περὶ γὰρ τοῦ Ἐπαφροδίτου ἔλεγε· Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησε) καὶ πολλὰ δὲ καὶ ἄλλα ἀγνοοῦντα, συμφερόντως καὶ αὐτοῖς, καὶ τοῖς μαθητευομένοις. Τρόφιμον δὲ, φησὶν, ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα. ἡ Μίλητος τῆς Ἐφέσου ἐγγὺς οὖσα τυγχάνει. ἄρα ὅτε ἀπέπλεεν ἐπὶ τὴν Ἰουδαίαν, ἢ τοῦτο καιροῦ ἄλλου φησίν; μετὰ μὲν γὰρ τὸ ἀχθῆναι εἰς Ῥώμην, πάλιν εἰς τὴν Σπανίαν ἀπῆλθεν. εἰ δὲ ἐκεῖθεν πάλιν εἰς ταῦτα τὰ μέρη, οὐκ ἴσμεν. πάντων γοῦν ὁρῶμεν αὐτὸν μεμονωμένον. Δημᾶς με γὰρ ἐγκατέλιπε, φησί. Κρήσκης γὰρ εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν, Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ· Τρόφιμον ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

Margin notes: γ. ἐν ἰσχνοφωνίᾳ ὄντα οὐ μετέβαλεν | γ. εἰσελθών | γ. ὅτε καὶ Παῦλος καὶ Βαρνάβας πάσιν, ὅτε τοὺς τὴν Λύστραν οἰκοῦντας ἰδόντες ἐπ' αὐτοὺς τι ποιοῦντας, καὶ ὡς θεοῖς μέλλοντας θύειν, διέρρηξαν | γ. συνέβαινε τοῦτο

Ἐξοδ. δ. | Ἐξοδ. λβ. β. | Πραξ. ιδ. | Πραξ. ιδ. ιε. | Πραξ. γ. ιβ. | β. Κορ. ιβ. ζ. | β. Κορ. δ. ζ. | Φιλιπ. β. κζ.

21 Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος,

καὶ Κλαυδία. Τοῦτον τὸν Λῖνον ἱστοροῦσί τινες δεύτερον μετὰ τὸν Πέτρον ἐπίσκοπον τῆς Ῥωμαίων ἐκκλησίας γεγενῆσθαι. καὶ Λῖνος, φησὶ, καὶ Κλαυδία. Ὁρᾷς πῶς καὶ γυναῖκες ἦσαν διάπυροι περὶ τὴν πίστιν, καὶ θερμαί; οἵα ἡ Πρίσκιλλα; οἵα αὕτη ἡ Κλαυδία; ἤδη ἐσταυρωμέναι; ἤδη παρατεταγμέναι; καὶ τί γὰρ δήποτε τοσούτων ὄντων πιστῶν, τούτων μέμνηται τῶν γυναικῶν; ἢ δῆλον, ὡς ἐκβεβηκότων ἤδη τῇ γνώμῃ τῶν κοσμικῶν πραγμάτων, ὡς μᾶλλον λαμπόντων. οὐ γάρ ἐστιν ἐμποδισθῆναι γυναῖκα οὖσαν. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ χάριτος ἔργον, τὸ τὴν φύσιν ταύτην ἐν τοῖς βιωτικοῖς μόνον ἐμποδίζειν, μᾶλλον δὲ οὐδὲ ἐκεῖ. οὐδὲ γὰρ μικρὸν τῆς πάσης διοικήσεως ἀναδέδεκται μέρος ἡ γυνὴ, τὸ οἰκουρεῖν· ἀλλ' ἐκείνης χωρὶς, οὐδὲ τὰ πολιτικὰ δύναιτο συστῆναί ποτε. Εἰ γὰρ μέλλοι θορύβου καὶ ταραχῆς ἐμπεπλῆσθαι τὰ κατὰ τὴν οἰκίαν, ἕκαστος τῶν πολιτευομένων ἔμελλεν οἴκοι καθῆσθαι, καὶ τὰ κατὰ τὴν πόλιν κακῶς ἂν διακεῖσθαι. ὥστε οὐδὲ ἐν ἐκείνοις τὸ ἔλαττον ἔχει, οὐδὲ ἐν τοῖς πνευματικοῖς. δύναται γὰρ μυριάκις ἀποθανεῖν, εἴγε βούλοιτο. πολλαὶ γοῦν καὶ ἐμαρτύρησαν. δύναται σωφροσύνην ἀσκῆσαι, καὶ μᾶλλον τῶν ἀνδρῶν (ἅτε οὐ τοσαύτης ἐνοχλούσης αὐτῇ φλογὸς) καὶ κοσμιότητα, καὶ σεμνότητα ἐπιδείξασθαι, καὶ ἁγιασμόν, Οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, καὶ χρημάτων ὑπεροψίαν, εἴγε θέλοιεν, καὶ πάντα ἁπλῶς τὰ ἄλλα. (Ἑβρ. ιβ. ιδ.) Σπούδασον, φησὶ, πρὸ χειμῶνος ἐλθεῖν. πῶς αὐτὸν κατεπείγει; καίτοι οὐδαμοῦ τὸ λυπηρὸν τέθεικεν· οὐ λέγει, πρὶν ἐμὲ τελευτῆσαι, ἵνα μὴ λυπήσῃ, ἀλλὰ, πρὸ χειμῶνος ἐλθεῖν, ἵνα μὴ κατασχεθῇς. Ἀσπάζεταί σε, φησὶν, Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες. Ὀνόμασιν αὐτῶν οὐ μέμνηται. ὁρᾷς ὅτι ἐκεῖνοι θερμότεροι ἦσαν;

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. Οὐδὲν ταύτης τῆς εὐχῆς ἄμεινον. μὴ ἀλγεῖ, φησὶν, ὅτι ἀφίσταμαι· ὁ Κύριος μετὰ σοῦ. καὶ οὐκ εἶπε, μετὰ σοῦ, ἀλλὰ, μετὰ τοῦ πνεύματός σου. διπλῆ ἡ βοήθεια, τῆς χάριτος τοῦ πνεύματος, καὶ τοῦ Θεοῦ βοηθοῦντος αὐτῇ. καὶ ἄλλως δὲ οὐκ ἔστιν εἶναι τὸν Θεὸν μεθ' ἡμῶν, μὴ τῆς χάριτος οὔσης τῆς πνευματικῆς. Εἰ γὰρ ἐγκαταλειφθείημεν, πῶς ἔσται μεθ' ἡμῶν; Ἡ χάρις μεθ' ἡμῶν, ἀμήν.

Καὶ ἑαυτῷ λοιπὸν ἐπεύχεται τοῦτο. τουτέστιν, ὥστε ἀεὶ εὐάρεστος εἶναι αὐτῷ, ὥστε χάριν ἔχειν μετὰ τοῦ χαρίσματος. ταύτης γὰρ οὔσης, οὐδὲν ἔσται λυπηρόν. ὥσπερ γὰρ ὁ τὸν βασιλέα ὁρῶν, καὶ χάριν ἔχων παρ' αὐτῷ, οὐδενὸς ἐπαισθάνεται λυπηροῦ, οὕτω καὶ τῶν φίλων ἀπολιμπανώμεθα, κἂν εἰς δεινόν τι περιπέσωμεν, οὐδενὸς αἴσθησιν λαμβανόμεθα, τῆς χάριτος οὔσης ἐκείνης καὶ ἐπιχεούσης ἡμᾶς.

ΗΘΙΚΟΝ. Πῶς δὲ ἔνι τὴν χάριν ἐπισπάσασθαι λοιπόν; τὰ πρὸς Θεὸν φίλα πράττοντα, καὶ ἐν πᾶσιν αὐτῷ ὑπακούοντα. ἢ καὶ ἐν ταῖς μεγάλαις οἰκίαις οὐκ ἐκείνους ὁρῶμεν χάριν ἔχοντας τῶν οἰκετῶν, ὅσοι μὴ τὰ αὐτῶν μεμεριμνήκασιν, ἀλλὰ τὰ τῶν δεσποτῶν πάσῃ ψυχῇ καὶ προθυμίᾳ, οὐ δι' ἀνάγκην μόνην δεσποτικήν, ἀλλὰ καὶ διὰ προθυμίαν καὶ διὰ φιλοστοργίαν δὲ διατιθῶσιν ἅπαντα; ὅταν ἀεὶ παρῶσιν; ὅταν ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς ὦσι τοῖς αὐτῶν; ὅταν ἐπὶ τῆς οἰκίας στρέφωνται; ὅταν μηδὲν ἴδιον πραγματεύωνται, μηδὲ τῶν οἰκείων φροντίζωσι; μᾶλλον δὲ ἀπὸ τῶν ἰδίων ἴχωσι τὰ δεσποτικά; * ὁ γὰρ τὰ αὐτοῦ τοῦ δεσπότου ποιησάμενος, οὐ τὰ αὐτοῦ τοῦ δεσπότου πεποίηκεν, ἀλλὰ τὰ τοῦ δεσπότου αὐτοῦ. ὁμοίως αὐτῷ ἐπιστάτει ἐν τοῖς ἐκείνου, ὁμοίως ἐκείνῳ κρατεῖ. πολλοὶ δὲ τῶν οἰκετῶν μᾶλλον αὐτοὺς δεδοίκασι, καὶ ὥσπερ ἂν εἴποι τις, τοῦτο κἀκεῖνος· πάντες οἱ ἐχθροὶ λοιπὸν ἐν φόβῳ. Εἰ δὲ ὁ ἐν τοῖς βιωτικοῖς τῶν αὐτοῦ καταφρονήσας, καὶ τὰ τοῦ δεσπότου ἑλόμενος, οὐχὶ κατεφρόνησε τῶν αὐτοῦ, ἀλλὰ μᾶλλον μειζόνων ἐπέτυχε, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. καταφρόνησον τῶν σῶν, καὶ ἔλαβες τὰ τοῦ Θεοῦ· βούλεται αὐτὸς τοῦτο. καταφρόνησον τῆς γῆς, καὶ ἅρπασον τὴν βασιλείαν τῶν οὐρανῶν. ἐκεῖ διάγε, μὴ ἐνταῦθα. ἐκεῖθεν ἔσο φοβερὸς, μὴ ἐνταῦθα.

* πῶς εἰ κόπτως αὐτοῖς ἔσται διὰ τοῦτο ἡ χάρις;

ἐκεῖθεν ἂν ᾖς φοβερὸς, οὐχὶ ἀνθρώποις μόνοις, ἀλλὰ καὶ δαίμοσι, καὶ αὐτῷ τῷ διαβόλῳ ἔσῃ
φοβερός. ἂν δὲ ἀπὸ τῶν χρημάτων τῶν ἐνταῦθα ἐκείνοις εὐκαταφρόνητος ἔσῃ, πολλάκις
δὲ καὶ ἀνθρώποις. ὅσα ἂν πλουτήσῃς, ἐν τοῖς δουλικοῖς πλουτήσεις· ἂν δὲ τούτων ὑπερί-
δῃς, ἐν τῷ οἴκῳ τῷ βασιλικῷ λαμπρὸς ἔσῃ. τοιοῦτοι ἦσαν οἱ ἀπόστολοι, καταφρο-
νήσαντες τῆς δουλικῆς οἰκίας, καὶ τῶν ἐνταῦθα χρημάτων. καὶ ὅρα πῶς τοῖς δεσποτικοῖς ἐ-
πέταττον. ὁ δεῖνα, φησὶν, ἀπηλλάχθω νόσου, ἕτερος δαιμόνων, καὶ δῆσον ἐκεῖνον, καὶ λῦσον τοῦ-
τον. ἐπὶ γῆς τοῦτο ἐγίνετο, ἀλλ' ὡς ἐν οὐρανοῖς ἐπράττετο. Ὅσα γὰρ ἂν δήσητε, φησὶν, ἐπὶ γῆς, Ματθ. ιη. ιη.
ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ μείζονα αὐτοῖς ἔδωκεν αὐτὸς ἐξουσίαν. καὶ ὅτι οὐκ ἐψευσά-
μην, ἄκουε αὐτοῦ λέγοντος, Ὁ πιστεύων εἰς ἐμὲ, μείζονα ποιήσει, ὧν ἐγὼ ποιῶ. τί δήποτε; Ιωαν. ιδ. ιβ.
ὅτι καὶ οὕτως εἰς τὸν δεσπότην ἡ τιμὴ διαβαίνει. ἐπεὶ καὶ ἐν τοῖς ἡμετέροις πράγμασιν,
ὅταν μεγάλα δύνηται ὁ οἰκέτης, μᾶλλον θαυμάζεται ὁ δεσπότης. Εἰ γὰρ ὁ οἰκέτης τοσαῦ-
τα δύναται, πόσῳ μᾶλλον ὁ κρατῶν αὐτοῦ; Εἰ δέ τις ἀφεὶς τὴν δεσποτικὴν ὑπηρεσί-
αν, φροντίζοι τῆς αὐτοῦ γυναικὸς, καὶ τοῦ παιδίου, καὶ τοῦ οἰκέτου, καὶ βούλοιτο πλουτεῖν, ἀποπη-
δᾶσθαι ἐκεῖθεν ἢ κλέπτων, ἢ λυμαινόμενος τοῖς δεσποτικοῖς, ταχέως καὶ ἑαυτὸν μετὰ τῶν χρημάτων
προσαπώλεσεν. διὸ ταῦτα ἔχοντες τὰ ὑποδείγματα, παρακαλῶ, μὴ φροντίζωμεν
τῶν ἡμετέρων, ἵνα φροντίζωμεν ἑαυτῶν· καταφρονῶμεν αὐτῶν, ἵνα κτησώμεθα αὐτά. ἂν ἡ-
μεῖς αὐτῶν καταφρονήσωμεν, αὐτὸς αὐτῶν ἐπιμελήσεται· ἂν ἡμεῖς ἐπιμελησώμεθα αὐτῶν,
ὁ Θεὸς αὐτῶν καταφρονήσει. ἐν τοῖς τοῦ Θεοῦ κάμνωμεν, μὴ ἐν τοῖς ἡμετέροις, μᾶλλον
δὲ ἐν τοῖς ἡμετέροις. τὰ γὰρ αὐτοῦ ἡμέτερα. οὐ λέγω οὐρανὸν, οὐ λέγω γῆν, οὐ λέγω τὰ ἐν
κόσμῳ. ταῦτα γὰρ αὐτοῦ ἀνάξια, ταῦτα οὐχ ἡμῶν μόνων ἐστὶν, ἀλλὰ καὶ τῶν ἀπίστων. ἀλλὰ
τίνα λέγω αὐτοῦ; δόξαν, βασιλείαν. ταῦτα καὶ αὐτοῦ, καὶ ἡμέτερα δι' αὐτόν. πῶς; Εἰ συνα- β. Τιμ. β. ια.
πεθάνομεν, φησὶ, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. συγκληρονόμοι
ἐγενόμεθα, καὶ ἀδελφοὶ λεγόμεθα. τί ἡμεῖς ἑαυτοὺς κάτω κατάγομεν, αὐτοῦ ἡμᾶς ἄνω καὶ
πρὸς ἑαυτὸν ἕλκοντος; μέχρι πότε πτωχοί, μέχρι πότε [illegible]; οὐρανὸς πρόκειται, καὶ
ἡμεῖς περὶ τὴν γῆν στρεφόμεθα; οὐρανοῦ βασιλεία, καὶ ἡμεῖς τὴν ἐνθάδε πενίαν αἱρούμεθα;
ζωὴ ἀθάνατος, καὶ ἡμεῖς περὶ ξύλα, καὶ λίθους, καὶ ἀγροὺς δαπανώμεθα; γίνου πλούσιος, τοῦτο
κἀγὼ βούλομαι. πλεονέκτησον, καὶ ἅρπασον. ἐνταῦθα οὐκ ἔστι μέμψις· ἐνταῦθα τὸ μὴ
πλεονεκτῆσαι, ἔγκλημα· ἐνταῦθα τὸ μὴ ἁρπάσαι, κατηγορία. τί δὴ τοῦτό ἐστιν; Ἡ βασιλεία, Ματθ. ια. ιβ.
φησὶ, τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. γίνου βίαιος ἐκεῖ, γίνου ἅρ-
παξ, οὐ μειοῦται τὸ ἁρπαζόμενον. οὐδὲ γὰρ μερίζεται ἡ ἀρετὴ, οὐ μειοῦται οὐδὲ ἡ εὐ-
σέβεια, οὐδὲ ἡ βασιλεία τῶν οὐρανῶν. τότε αὔξεται ἡ ἀρετὴ, ὅταν ἁρπάσῃς· τότε τὰ σωματι-
κὰ μειοῦται, ὅταν ἁρπάσῃς. καὶ δῆλον ἐκεῖθεν· ἔστωσαν ἐν πόλει μυρίοι ἄνδρες. οὐκοῦν ἂν μὲν
πάντες ἁρπάζωσι τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην, ἐπλεόνασαν αὐτὴν (ἐν γὰρ τοῖς μυ-
ρίοις γίνονται δίκαιοι) ἂν δὲ μὴ ἁρπάσωσιν, ἠλάττωσαν. οὐδαμοῦ γὰρ φαίνεται. ὁρᾷς ὅτι
ἐν τῷ ἁρπάζεσθαι πλεονεκτεῖ μᾶλλον τὰ ἀγαθά; ταῦτα δὲ ἐν τῷ ἁρπάζεσθαι μειοῦται μᾶλ-
λον; μὴ τοίνυν τῇ πενίᾳ προσκαθεζώμεθα, ἀλλὰ τὸν πλοῦτον ἑλώμεθα. πλοῦτος Θεοῦ ἐστὶ,
τὸ πολλοὺς εἶναι τοὺς ἀπολαύοντας τῆς βασιλείας. Ὁ πλουτῶν, φησὶν, εἰς πάντας, καὶ ἐπὶ Ρωμ. ι. ιβ.
πάντας τοὺς ἐπικαλουμένους αὐτόν. αὔξησον αὐτοῦ τὴν οὐσίαν, αὐξήσεις δὲ ἂν ἁρπάσῃς,
ἂν πλεονεκτήσῃς, ἂν βιάσῃ. βίας ὄντως χρεία. τί δήποτε; ὅτι πολλοὶ οἱ κωλύοντες, γυ-
ναῖκες, παῖδες, φροντίδες, τὰ κοσμικὰ πράγματα, μετὰ τούτων δαίμονες, καὶ αὐτὸς ὁ τῶν
δαιμόνων ἀρχηγέτης ὁ διάβολος. δεῖ τοίνυν βίας, δεῖ καρτερίας. ὁ βιαζόμενος ἐν πόνοις
ἐστί. πῶς; πάντα ὑπομένει. καὶ πρὸς ἀνάγκην ἵσταται. πῶς; σχεδὸν τοῖς ἀδυνάτοις ἐπι-
χειρεῖ. Εἰ τοίνυν οἱ μὲν βιαζόμενοι τοιοῦτοι, ἡμεῖς δὲ οὐδὲ τοῖς δυνατοῖς ἐπιχειροῦμεν, πότε
ἐπιτευξόμεθα; πότε ἀπολαυσόμεθα τῶν σπουδαζομένων; βιασταὶ, φησὶν, ἁρπάζουσι τὴν βα-

σιλείαν

σιλείαν τῶν οὐρανῶν. βίας χρεία καὶ ἁρπαγῆς. οὐ γὰρ ἁπλῶς πρόκειται, οὐδὲ ἐξ ἑτοίμου. ὁ ἁρπάζων, διάπυρός ἐστι, νήφει, διεγήγερται, φροντίζει καὶ μεριμνᾷ, ὥστε εὐκαίρως ἐπιθέσθαι τῇ ἁρπαγῇ. οὐχ ὁρᾶτε ἐν τοῖς πολέμοις, ὅτι ὁ ἁρπάσαι βουλόμενος δι' ὅλης τῆς νυκτὸς ἀγρυπνεῖ; δι' ὅλης ὥπλισται; Εἰ τοίνυν οἱ τὰ βιωτικὰ ἁρπάζοντες, καὶ νύκτα ἀγρυπνοῦσι, καὶ ὁπλίζονται, πῶς οἱ τὰ τούτων μείζονος δεόμενα τῆς σπουδῆς, τὰ πνευματικὰ, ἁρπάσαι βουλόμενοι, καὶ ἐν ἡμέρᾳ καθεύδομεν, καὶ ῥέγχομεν, καὶ ἀεὶ ἄοπλοι καὶ γυμνοὶ διατελοῦμεν; ὁ γὰρ ἐν ἁμαρτίαις στρεφόμενος, ἄοπλός ἐστι καὶ γυμνὸς, ὥσπερ ὁ ἐν δικαιοσύνῃ, ὡπλισμένος. οὐκ ἐλεημοσύνῃ περιφράττομεν ἑαυτοὺς, οὐ τὰς ἀναπτομένας λαμπάδας ἑαυτοῖς εὐτρεπίζομεν, οὐ συμφραττόμεθα ὅπλοις πνευματικοῖς, οὐ τὴν ὁδὸν μανθάνομεν τὴν ἐκεῖ φέρουσαν, οὐ νήφομεν, οὐ διεγηγέρμεθα· διὰ τοῦτο ἁρπάσαι οὐδὲν δυνάμεθα. Εἴ τις βασιλείᾳ ἐπιθέσθαι βούλοιτο, οὐχὶ θανάτους μυρίους ἑαυτῷ ὑποτίθησι πρότερον; οὐχὶ συμφραξάμενος; οὐχὶ μελετήσας * τὴν πολεμικήν; οὐχὶ πάντα ὑπὲρ τούτου πράττει, καὶ οὕτως ὁρμᾷ πρὸς τὴν ἐπίθεσιν; ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ καθεύδοντες ἁρπάζειν βουλόμεθα. τοιγάρτοι διὰ τοῦτο κεναῖς ἄπιμεν χερσίν. οὐχ ὁρᾷς τοὺς ἁρπάζοντας, πῶς φεύγουσι; πῶς τρέχουσι; πῶς διατέμνουσιν ἅπαντα; δρόμου χρεία. εὐθέως γάρ σου κατατρέχει ὁ διάβολος, καὶ τοῖς ἔμπροσθεν κελεύει κατασχεῖν. ἀλλ' ἐὰν ᾖς ἰσχυρὸς, ἐὰν ᾖς διεγηγερμένος, τὸ μὲν ἐλάχιστον τῶν ἀπώσω, πάντας διέφυγες ὡς πτηνός. κἂν ἀπέλθῃς λοιπὸν ἐντεῦθεν, κἂν τὴν ἀγορὰν ὑπερβῇς, καὶ τὸν πολὺν θόρυβον, ὅπερ ἐστὶν ὁ βίος, καὶ πρὸς τὰ μετέωρα τούτων ἔλθῃς, ὅπερ ἐστὶν ὁ μέλλων αἰών. καθάπερ γὰρ ἐν ἐρημίᾳ, οὐδεὶς θόρυβος, οὐδεὶς ὁ ἐνοχλῶν, οὐδεὶς ὁ κατέχων. ἀνήρπασας; ὀλίγου δεῖ πόνου μετὰ τὴν ἁρπαγὴν, ὥστε μὴ ἀφαιρεθῆναι τὸ ληφθέν. ἂν τρέχωμεν, ἂν μηδὲν ὁρῶμεν τῶν πρὸ τῶν ὀφθαλμῶν κειμένων, ἂν μηδὲν ἕτερον φροντίζωμεν, ἀλλ' ὥστε τοὺς κωλύοντας διαδρᾶναι, δυνησόμεθα τὰ ἁρπαγέντα κατέχειν μετὰ ἀσφαλείας. ἥρπασας τὴν σωφροσύνην; μὴ μείνῃς, φεῦγε, πόρρω γενοῦ τοῦ διαβόλου. ἂν ἴδῃ, ὅτι οὐκέτι δύναται καταλαβεῖν, οὐδὲ διώξει. οὕτω καὶ ἡμεῖς, ὅταν τοὺς ἁρπάσαντάς τι μηκέτι βλέπωμεν, ὡς ἀπαγορεύσαντες, οὔτ' αὐτοὶ κατατρέχομεν, οὔτε ἑτέροις παρακελευόμεθα κατέχειν, ἀλλ' ἀφίεμεν ἀπελθόντας μένειν.

οὕτω καὶ σὺ δράμε σφοδρῶς μετὰ τὴν ἁρπαγήν. ὅταν πόρρω γένῃ τοῦ διαβόλου, οὐδὲ ἐπιχειρήσει λοιπὸν, ἀλλ' ἔσῃ ἐν ἀσφαλείᾳ, τῶν ἀγαθῶν ἀπολαύων τῶν ἀπορρήτων μετ' ἀδείας, ὧν γένοιτο πάντας ὑμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

γ. ὥπλισται

* γ. τέχνην

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου τῆς πρὸς Τίτον ἐπιστολῆς ἑρμηνεία.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΔΟΥΛΟΣ ΘΕΟΥ, ΑΠΟΣΤΟΛΟΣ κεφ. α.
δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ'
εὐσέβειαν, 2 Ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς
Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις, 3 Τὸν λόγον
αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν
Θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· 4 Χάρις καὶ εἰρήνη ἀπὸ
Θεοῦ πατρός, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

Τῶν Παύλου συνόντων δόκιμος οὗτος ἦν. Εἰ μὴ γὰρ ἦν δόκιμος, οὐκ ἂν αὐτῷ τὴν νῆσον ὁλόκληρον ἐπέτρεψεν, οὐκ ἂν τὰ ἐλλειφθέντα ἀναπληρῶσαι προσέταξεν (Ἵνα γάρ, φησι, τὰ λείποντα ἐπιδιορθώσῃ) [Τιτ. α. ε.] οὐκ ἂν τοσούτων ἐπισκόπων κρίσιν ἐπέτρεψεν, εἰ μὴ σφόδρα ἐθάῤῥει τῷ ἀνδρί. Φασὶ δὲ αὐτὸν καὶ νέον εἶναι, διὰ τὸ τέκνον αὐτὸν λέγειν· πλὴν ἀλλ' οὔπω τοῦτο δῆλον ἀπὸ τούτου. Οἶμαι δὲ αὐτοῦ καὶ ἐν ταῖς πράξεσιν εἶναι μνείαν. Τάχα καὶ Κορίνθιος ἦν, εἰ μή τις ἕτερος ἦν ὁμώνυμος αὐτῷ. Καὶ Ζηνᾶν μὲν καλεῖ πρὸς ἑαυτόν, καὶ Ἀπολλὼ πεμφθῆναι βούλεται, τοῦτον δὲ οὔ. [Τιτ. γ. ιγ.] Καὶ γὰρ ἐναντίον τοῦ αὐτοκράτορος μείζονα τούτοις ἐμαρτύρει τὴν ἀνδρείαν καὶ τὴν ἀρετήν. Δοκοῦσι δέ μοι χρόνοι εἶναι μέσοι τινές, καὶ ἐν ἀδείᾳ Παῦλος ὢν γράφει ταῦτα. Οὐδὲν γὰρ περὶ πειρασμῶν φησι. Συνεχῶς δὲ περιστρέφει τοῦ Θεοῦ τὴν χάριν ἄνω καὶ κάτω, ἱκανὴν οὖσαν παράκλησιν τοῖς πεπιστευκόσι πρὸς ἀρετήν. Τὸ γὰρ μαθεῖν τίνων ἐγένοντο ἄξιοι, πρὸς τί δὲ μετέστησαν, καὶ ταῦτα χάριτι, καὶ τίνων ἠξίωνται, οὐ μικρὰ προτροπή. Ἀποτείνεται δὲ καὶ πρὸς Ἰουδαίους. Εἰ δὲ καὶ ὁλόκληρον τὸ ἔθνος ὑβρίζει, μὴ θαυμάσῃς. Καὶ ἐπὶ Γαλατῶν γὰρ αὐτὸ ποιεῖ λέγων· Ὦ ἀνόητοι Γαλάται. [Γαλ. γ. α.] Οὐχ ὑβριστικοῦ δὲ τοῦτο ἤθους, ἀλλ' ἐρωτικοῦ. Εἰ μὲν γὰρ τῶν αὐτοῦ ἕνεκεν ταῦτα ἐποίει, εἰκότως ἄν τις αὐτῷ ἐπεμέμψατο· εἰ δὲ πεπυρωμένος καὶ ζέων ὑπὲρ τοῦ κηρύγματος, οὐχ ὑβριστικῶς αὐτὸ ἐποίει. Καὶ ὁ Χριστὸς δὲ μυρία ἐλοιδορεῖτο τοῖς γραμματεῦσι, καὶ Φαρισαίοις, ἀλλ' οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ' ὅτι τοὺς ἄλλους ἀπατῶντες ἀπώλλυον.

γρ. τῷ ἀνδρί. γρ. [illegible] γρ. [illegible]

γρ. ἐπεμέμψατο

πόλλυσι. βραχεῖαν δὲ ποιεῖ τὴν ἐπιστολήν, εἰκότως. καὶ τοῦτο δὲ τῆς ἀρετῆς τοῦ Τίτου τεκμή-
ριον ἦν, τὸ μὴ δεῖσθαι λόγων πολλῶν, ἀλλ' ὥσπερ ἁπλῶς ὑπομνήσεως. αὕτη δέ μοι δοκεῖ τῆς
πρὸς Τιμόθεον εἶναι προτέρα ἐπιστολῆς. ἐκείνην μὲν γὰρ πρὸς τῷ τέλει ἐν δεσμοῖς ὢν ἔγρα-
Τιτ. γ. ιβ. φεν, ἐνταῦθα δὲ ἄφετος ὢν καὶ λελυμένος. τὸ γάρ, Κέκρικα παραχειμάσαι ἐν Νικοπόλει, τεκμή- γ. περιστής
ριον ἦν τοῦ μηδέπω ἐν δεσμοῖς εἶναι· ἐκεῖ δὲ συνεχῶς ἑαυτὸν δέσμιον καλεῖ. τί οὖν φησι; Παῦ-
λος δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ. ὁρᾷς πῶς ἀδιαφόρως
αὐτὰ τίθησι, ποτὲ μὲν ἑαυτὸν τοῦ Θεοῦ δοῦλον λέγων, οὐ δὲ Χριστοῦ ἀπόστολον, ποτὲ δὲ οὐ Χριστοῦ
δοῦλον, Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ; οὕτως οὐδεμίαν οἶδε διαφορὰν μεταξὺ πατρὸς καὶ
υἱοῦ. κατὰ πίστιν ἐκλεκτῶν τοῦ Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν ἐπ' ἐλπίδι
ζωῆς αἰωνίου. κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ. ὅτι ἐπίστευσας, ἢ ὅτι ἐπιστεύθης; οἶμαι αὐτὸν
λέγειν, ὅτι αὐτὸς ἐπιστεύθη τὴν τῶν ἐκλεκτῶν τοῦ Θεοῦ. τουτέστιν, οὐκ ἀπὸ κατορθωμάτων, οὐδὲ
ἀπὸ πόνων καὶ ἱδρώτων τὸ ἀξίωμα ἔλαβον· ἀλλὰ τὸ πᾶν τῆς τοῦ πιστεύσαντος εὐεργεσίας ἐ-
γένετο. εἶτα, ἵνα μὴ ἄλογος ἡ χάρις νομισθῇ (οὕτω γὰρ τὸ πᾶν αὐτοῦ· ἐπεὶ διατί μὴ καὶ γ. ἥττω
ἑτέροις ἐνεπιστεύθη;) διὰ τοῦτο ἐπήγαγε τό, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν.
ἀπὸ ταύτης, φησίν, ἐπιστεύθην, μᾶλλον δὲ καὶ αὐτὸ τοῦτο ἐπιστεύθην ἐκ τῆς αὐτοῦ γ. τί
Ιωαν. ιε. ιϛ. χάριτος. καὶ γὰρ καὶ τούτου αὐτὸς αἴτιος. διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ Χριστός φησιν, Οὐχ ὑμεῖς με
ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην· καὶ πάλιν αὐτὸς οὗτος ὁ μακάριος
α. Κορ. ιγ. ιβ. ἑτέρωθι γράφων φησίν· Ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην· καὶ πάλιν, Εἰ καταλάβω,
Φιλιπ. γ. ιβ. ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ. πρότεροι κατελήφθημεν, καὶ ὕστερον
ἐπέγνωμεν· πρότεροι ἐπεγνώσθημεν, καὶ τότε κατελάβομεν· πρότεροι ἐκλήθημεν, γ. ἔγνωμεν
καὶ τότε ὑπηκούσαμεν. τὸ δὲ κατὰ πίστιν εἰπεῖν, τὸ πᾶν ἐκείνοις λογίζεται, ὅτι δι'
ἐκείνους εἰμὶ ἀπόστολος· οὐχὶ ὡς ἄξιος, ἀλλὰ διὰ τοὺς ἐκλεκτούς, ὅπερ καὶ ἀλλαχοῦ λέ-
α. Κορ. γ. κβ. γει· Πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς. καὶ ἐπίγνωσιν, φησιν, ἀληθείας
τῆς κατ' εὐσέβειαν. ἔστι γὰρ ἀλήθεια πραγμάτων, ἀλλ' οὐ κατ' εὐσέβειαν· οἷον τὸ εἰδέναι τὰ γ. καὶ
γεωργικά, τὸ εἰδέναι τέχνας, ἀληθῶς ἐστιν εἰδέναι· ἀλλ' αὕτη κατ' εὐσέβειαν ἡ ἀλήθεια. ἢ
τὸ κατὰ πίστιν, ὅτι ἐπίστευσαν καθάπερ καὶ οἱ λοιποὶ ἐκλεκτοί, καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν. ἀπὸ
πίστεως ἄρα ἡ ἐπίγνωσις, οὐκ ἀπὸ λογισμῶν. ἐπ' ἐλπίδι ζωῆς αἰωνίου. εἶπε τὴν παροῦ-
σαν τὴν ἐν τῇ χάριτι τοῦ Θεοῦ· λέγει καὶ τὴν μέλλουσαν, καὶ ἔπαθλα τίθησιν ἡμῖν ὑπὲρ ὧν
ἡμᾶς εὐηργέτησεν. ἐπειδὴ γὰρ ἐπιστεύσαμεν καὶ ἀπηλλάγημεν τῆς πλάνης, στεφανῶσαι ἡ-
μᾶς βούλεται. ὁρᾷς πῶς γέμει τὸ προοίμιον τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ ὅλη διόλης ἡ ἐπι-
στολὴ αὕτη μάλιστα τοιαύτη τυγχάνει, καὶ αὐτὸν τὸν ἄγιον ἐκείνων διανιστῶσα μᾶλλον πρὸς τοὺς
πόνους, καὶ τοὺς μαθητευομένους. οὐδὲν γὰρ οὕτως ἡμᾶς ὠφελεῖ, ὡς τὸ συνεχῶς μεμνῆσθαι
τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, τῶν τε κοινῶν, καὶ τῶν ἰδίων. εἰ γὰρ φίλου εὐεργεσίας ἐνεγκόν- γ. ἑνωτῶν
τες, ἢ ῥῆμα προσηνὲς ἀκούσαντες, ἢ πρᾶγμα, διαθερμαινόμεθα, πολλῷ μᾶλλον, ὅταν ἴ-
δωμεν πόσοις κινδύνοις περιεπέσομεν, καὶ ἀπὸ πάντων ἡμᾶς ἐξείλετο ὁ Θεός, προθυμότε-
ροι πρὸς τὴν ὑπακοὴν ἐσόμεθα. καὶ ἐπίγνωσιν, φησιν, ἀληθείας. ἀληθείας δὲ ἐνταῦθα γ. δὲ
πρὸς τὸν τύπον οὕτως εἶπε. καὶ γὰρ καὶ ἐκείνη ἐπίγνωσις ἦν, καὶ εὐσέβεια ἦν, ἀλλ' οὐκ ἀληθείας, γ. τύπον μ
οὐ μὴν οὐδὲ ψευδής, ἀλλὰ τύπων καὶ εἰκόνος. καλῶς εἶπεν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου,
Ρωμ. ι. ε. ὅτι ἐκείνη ἐπ' ἐλπίδι ἦν ζωῆς τῆς παρούσης. Ὁ γὰρ ποιήσας αὐτά, φησι, ζήσεται ἐν αὐτοῖς.
ὁρᾷς πῶς ἐκ προοιμίων ἤδη δείκνυται τῆς χάριτος τὸ μέσον; ἐκεῖνοι οὐκ ἐκλεκτοί, ἀλλ' ἡ-
μεῖς. εἰ γὰρ καὶ αὐτοὶ ἐλέγοντο ἐκλεκτοί, ἀλλ' οὐκέτι. ἣν ἐπηγγείλατο, φησιν, ὁ ἀψευδὴς
Θεὸς πρὸ χρόνων αἰωνίων, τουτέστιν οὐ νῦν ἐκ μετανοίας, ἀλλ' ἄνωθεν ταῦτα προεώριστο.
Ρωμ. α. α. πολλαχοῦ τοῦτο τίθησιν, ὡς ὅταν λέγῃ, Ἀφωρισμένος εἰς τὸ εὐαγγέλιον τοῦ Θεοῦ· καὶ πάλιν,
Ρωμ. η. λ. Οὓς προέγνω, καὶ προώρισε, δεικνὺς τὴν εὐγένειαν τὴν ἡμετέραν, ὅτι ἡμᾶς οὐ νῦν, ἀλλ' ἄνω-

θεν

θεν ἠγάπησεν. οὐ μικρὸν δὲ τοῦτο τὸ ἄνωθεν ἠγαπῆσθαι καὶ ἐξ ἀρχῆς. ἣν ἐπηγγείλατο, φησὶν, ὁ ἀψευδὴς Θεός. εἰ ἀψευδὴς, πάντως ἔσται, ὃ ἐπηγγείλατο· εἰ ἀψευδὴς, οὐ δεῖ ἀμφιβάλλειν, κἂν μετὰ θάνατον ᾖ. ἣν ἐπηγγείλατο, φησὶν, ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων. καὶ ἀπὸ τοῦ εἰπεῖν, πρὸ χρόνων αἰωνίων, τὸ ἀξιόπιστον δείκνυσιν. οὐκ ἐπειδὴ Ἰουδαῖοι νῦν οὐ προσῆλθον, φησὶ, διὰ τοῦτο ταῦτα, ἀλλ' οὕτως ἄνωθεν ἐτετύπωτο. Ἄκουε γοῦν τί φησιν· ἐφανέρωσε δὲ καιροῖς ἰδίοις. τίς οὖν ἡ ἀναβολή; κηδεμονίας χάριν καὶ τοῦ εὐκαίρως ποιῆσαι. Καιρὸς, φησὶν ὁ προφήτης, τοῦ ποιῆσαι τῷ Κυρίῳ. [Ψαλ. ριη. ρκϛ.] τὸ γὰρ ἰδίοις, τοῦτ' ἔστι, τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις, τοῖς ἁρμόζουσιν. ἐφανέρωσε, φησὶ, καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ, τουτέστι, τὸ κήρυγμα. τοῦτο γὰρ τὰ πάντα εἶχε τὸ εὐαγγέλιον, καὶ τὰ ἐνταῦθα, καὶ τὰ μέλλοντα, τὴν ζωὴν, τὴν εὐσέβειαν, τὴν πίστιν, πάντα ὁμοῦ. ἐν κηρύγματι τουτέστι, φανερῶς, μετὰ παρρησίας. τοῦτο γάρ ἐστι τὸ, ἐν κηρύγματι. ὥσπερ γὰρ ὁ κήρυξ πάντων παρόντων ἐν τῷ θεάτρῳ κηρύττει, οὕτω καὶ ἡμεῖς κηρύττομεν, ὥστε μηδὲν προσθεῖναι, ἀλλ' αὐτὰ ἃ ἠκούσαμεν εἰπεῖν. ἡ γὰρ τοῦ κήρυκος ἀρετὴ ἐν τῷ πᾶσιν εἰπεῖν ἐστι τὸ γεγωνὸς, οὐκ ἐν τῷ προσθεῖναί τινα καὶ ἀφελεῖν. [Εἰ τοίνυν κηρύττειν δεῖ, μετὰ παρρησίας κηρύττειν δεῖ. ἐπεὶ οὐδὲ κήρυγμά ἐστι. διὰ τοῦτο οὐδὲ εἶπεν ὁ Χριστὸς, Εἴπατε ἐπὶ τῶν δωμάτων, ἀλλὰ, Κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ σχήματος τὸ γεγωνὸς [Ματθ. ι. κζ.] παριστῶν.] ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ. καὶ τὸ ἐπιστεύθην, καὶ τὸ κατ' ἐπιταγὴν, τὸ ἀξιόπιστον δείκνυσιν· ὥστε μηδένα ἀπαξιοπαθεῖν, μηδὲ ἀκκίζεσθαι, μηδὲ δυσχεραίνειν. εἰ τοίνυν ἐπιταγή ἐστιν, οὐκ εἰμὶ κύριος. ἐπίταγμα γὰρ πληρῶ. τῶν γὰρ πρακτέων τὰ μὲν ἐφ' ἡμῖν κεῖται, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἃ μὲν γὰρ ἐπιτάττων λέγει, ταῦτα οὐκ ἐφ' ἡμῖν· ἅπερ δὲ ἐπιτρέπει, ταῦτα ἐφ' ἡμῖν τυγχάνει. οἷον τὸ, Ἐὰν τις εἴπῃ τῷ [Ματθ. ε. κβ. κγ.] ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρὸς, τοῦτο ἐπίταγμα. καὶ τὸ, Ὅταν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ γνῷς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου· καὶ τοῦτο ἐπίταγμα, καὶ τὸν μὴ ποιήσαντα ἀνάγκη ὑπεύθυνον εἶναι κολάσει. ὅταν δὲ λέγῃ, Ἐὰν θέλῃς τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα· καὶ [Ματθ. ιθ. ια. ιβ.] πάλιν, Ὁ δυνάμενος χωρεῖν, χωρείτω, οὐκέτι ἐπίταγμά ἐστι. τὸν γὰρ ἀκροατὴν ποιεῖ κύριον τῶν λεχθέντων, καὶ τὴν αἵρεσιν αὐτῷ δίδωσι τῶν πρακτέων. ταῦτα μὲν γὰρ καὶ ποιῆσαι, καὶ μὴ ποιῆσαι ἐφ' ἡμῖν· τὰ δὲ ἐπιτάγματα οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἀνάγκη ἢ ποιῆσαι, ἢ μὴ ποιήσαντα κολασθῆναι. τοῦτο οὖν λέγει, καὶ ὅταν λέγῃ, Ἀνάγκη γάρ μοι ἐπίκειται. οὐαὶ γάρ [α. Κορ. θ. ιϛ.] μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. σαφέστερον δὲ ἐρῶ αὐτὸ, ἵνα πᾶσι κατάδηλον γένηται. οἷον, ὁ τὴν ἀρχὴν τῆς ἐκκλησίας ἐμπεπιστευμένος, καὶ τῇ τῆς ἐπισκοπῆς ἀξίᾳ τετιμημένος, ἂν μὴ διαγορεύῃ τῷ λαῷ τὰ πρακτέα, οὐκ ἀνεύθυνός ἐστιν· ὁ μέντοι λαϊκὸς οὐδεμίαν ἀνάγκην ἔχει τούτου. διὰ τοῦτό φησι καὶ ὁ Παῦλος, ὅτι κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν τοῦτο ποιῶ. καὶ ὅρα τὰ ἐπίθετα πῶς πρὸς ὃ εἶπον ἁρμόζει. ἀνωτέρω γὰρ εἰπὼν, ὁ ἀψευδὴς Θεὸς, ἐνταῦθά φησι, κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ. εἰ τοίνυν σωτήρ ἐστι, καὶ αὐτὸς ταῦτα ἐπέταξεν ἀπὸ τοῦ βούλεσθαι σώζεσθαι, οὐ τοίνυν φιλαρχίας τὸ πρᾶγμά ἐστι. πίστις γάρ ἐστι, καὶ ἐπιταγή ἐστι Θεοῦ σωτῆρος. Τίτῳ γνησίῳ τέκνῳ. ἔστι γὰρ καὶ μὴ γνήσια εἶναι τέκνα, ὡς ἐκεῖνος περὶ οὗ φησιν· Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ [α. Κορ. ε. ια.] πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἰδοὺ καὶ τέκνον, καὶ οὐκ ἔστι γνήσιον τέκνον. τέκνον μέν ἐστιν, ἐπειδὴ ἅπαξ ἐδέξατο τὴν χάριν, καὶ ἀνεγεννήθη· οὐ γνήσιον δὲ, ἐπειδὴ ἀνάξιον τοῦ πατρός ἐστιν, ἐπειδὴ πρὸς ἕτερον αὐτομολεῖ τύραννον. ἐπὶ μὲν γὰρ τῶν φυσικῶν παίδων τὸ γνήσιον καὶ μὴ γνήσιον ἀπὸ τῆς ὠδινούσης καὶ τοῦ σπείραντος ὁρίζεται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως. ἔστι γὰρ γνήσιον

γενόμενον

γινόμενοι μὲν μηδαμῶς γνήσιοι· ἔστιν οὐκ ὄντα γνήσιον γενέσθαι γνήσιον. οὐ γὰρ ἀνάγκη φύσεως ταῦτα κατακέκλεισται, ἀλλ' ἐξουσίᾳ προαιρέσεως, ὅθεν καὶ συνεχεῖς ἔχει τὰς μεταβάσεις. ἦν Ὀνήσιμος τέκνον γνήσιον, ἀλλὰ καὶ οὐ γνήσιον ἦν. καὶ γὰρ ἄχρηστος ἐγένετο. ἀλλὰ πάλιν ἐγένετο γνήσιον οὕτως, ὡς καὶ αὐτὸν σπλάγχνα καλεῖσθαι ἀποστολικά. (γ. μεταβολαί)

Φιλημ. ιβ. Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν. τί ἐστι, κατὰ κοινὴν πίστιν; ἐπειδὴ εἶπε, τέκνον, καὶ τὴν τοῦ πατρὸς αὐτοῦ ἔλαβε τάξιν, πῶς καὶ ταύτην τὴν τιμὴν ἐλάττωσε καὶ κατέστελλει, ἄκουσον. κατὰ κοινὴν γὰρ πίστιν ἐπήγαγε· τουτέστι, κατὰ πίστιν οὐδὲν ἔχω σου πλέον. κοινὴ γάρ ἐστι, καὶ διὰ τῆς αὐτῆς ἐγώ τε ἐτέχθην καὶ σύ. τέκνον οὖν πόθεν αὐτὸν καλεῖ; ἢ τὴν φιλοστοργίαν μόνον δηλῶσαι θέλων, ἢ ὅτι, προέτρεψεν αὐτὸν ἐν τῷ κηρύγματι, ἢ ὅτι, αὐτὸς αὐτὸν προεφώτισε. διὰ τοῦτο καὶ τέκνα, καὶ ἀδελφοὺς καλεῖ. ἐπειδὴ ἀπὸ τῆς αὐτῆς πίστεως ἐτέχθησαν, ἀδελφοί· ἐπειδὴ διὰ τῶν ἐκείνου χειρῶν, τέκνα. τοῦτο οὖν κατὰ κοινὴν εἰπὼν πίστιν τὴν ἀδελφότητα ᾐνίξατο. χάρις καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. ἐπειδὴ εἶπε, τέκνον, ἐπήγαγεν, ἀπὸ Θεοῦ πατρὸς, ὥστε ἀναστῆσαι αὐτοῦ τὴν διάνοιαν, καὶ μαθεῖν τίνος ἐστὶ τέκνον, καὶ ὅτι οὐ τῷ κοινὴν πίστιν εἰπεῖν μόνον, ἀλλὰ καὶ τῷ ἐπαγαγεῖν, πατρὸς ἡμῶν· τὸ ὁμότιμον αὐτοῦ δείκνυσιν.

ΗΘΙΚΟΝ Θέα δὲ πῶς ἃ τοῖς μαθηταῖς καὶ τοῖς πολλοῖς ἐπεύχεται, ταῦτα καὶ τῷ διδασκάλῳ. ὁμοίως γὰρ καὶ αὐτὸς δεῖται τῆς τοιαύτης εὐχῆς, καὶ πολλῷ μᾶλλον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πλείονας ἐχθροὺς ἔχει, ὅσῳ καὶ πλείονας ἀνάγκας τοῦ προσκρούειν τῷ Θεῷ. ὅσῳ γὰρ μεῖζον τὸ ἀξίωμα, τοσούτῳ μείζονας καὶ τοὺς κινδύνους ὁ τὴν ἱερωσύνην ἔχων. ἀρκεῖ γὰρ καὶ ἓν κατόρθωμα ἐπισκοπῆς διενεγκεῖν εἰς τὸν οὐρανόν, καὶ ἓν ἁμάρτημα εἰς αὐτὴν ἐμβαλεῖν τὴν γέενναν. ἵνα γὰρ τὰ ἄλλα πάντα παρῶ τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν, ἢ δι' ἄλλην αἰτίαν ἀνάξιον εἰς ἐπισκοπὴν παραγαγὼν, καὶ πόλεως ἐπιτρέψας μεγάλης ἀρχὴν, ὅρα πόσου πυρὸς ἑαυτὸν ὑπεύθυνον ἐποίησεν. (γ. τύχῃ) οὐ γὰρ τῶν ψυχῶν τῶν ἀπολλυμένων μόνον (ἀπόλλυσι γὰρ αὐτὰς ἀνευλαβὴς ὤν) ἀλλὰ καὶ πάντων τῶν ὑπ' ἐκείνου παραπολλυμένων αὐτὸς δώσει τὰς εὐθύνας. ὁ γὰρ ἐν τάξει ἰδιώτου ὢν ἀνευλαβὴς, πολλῷ μᾶλλον, ὅταν ἐπιλάβηται τῆς ἀρχῆς. ἀγαπητὸν γὰρ τὸν εὐλαβῆ μηδαμῶς τοιοῦτον ἐπιλαβόμενον τῆς ἀρχῆς. καὶ γὰρ κενοδοξία τότε σφοδροτέρα ἐπιτίθεται, καὶ χρημάτων ἔρως, καὶ αὐθάδεια, τῆς ἀρχῆς τὴν ἐξουσίαν παρεχούσης, καὶ προσκρούσματα, καὶ ὕβρεις, καὶ λοιδορίαι, καὶ μυρία ἕτερα. ἂν οὖν τις εὐλαβὴς ᾖ, μᾶλλον ἔσται εὐλαβέστερος τοιοῦτος γινόμενος. ὅταν οὖν τοιοῦτον ἐπιστήσῃ ἄρχοντα, πάντων τῶν ἁμαρτανομένων ὑπ' ἐκείνου, καὶ δήμων ὁλοκλήρων ὑπεύθυνος ἔσται. εἰ δὲ ὁ μίαν ψυχὴν σκανδαλίζων συμφέρει αὐτῷ, ἵνα

Ματθ. ιη. ς. μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, ὁ [τὰς] τοσαύτας ψυχὰς σκανδαλίζων, πόλεις ὁλοκλήρους, καὶ δήμους, καὶ μυρίας ψυχὰς, ἄνδρας, γυναῖκας, παῖδας, πολίτας, γεωργούς, τοὺς ἐν αὐτῇ τῇ πόλει, τοὺς ἐν ἑτέραις ταῖς ὑπ' ἐκείνην τὴν πόλιν, τί πείσεται; κἂν γὰρ τριπλασίονα ἕτερα εἴπῃς, οὐδὲν ἐρεῖς· τοσαύτης ἔσται ὑπεύθυνος κολάσεως καὶ τιμωρίας. (γ. οἰκείαις) ὥστε μάλιστα οὗτος δεῖται τῆς χάριτος τοῦ Θεοῦ καὶ τῆς εἰρήνης. ἂν γὰρ μὴ μετὰ ταύτης κυβερνῇ τὸν λαὸν, πάντα οἴχεται καὶ ἀπόλωλε, τῶν οἰάκων αὐτῷ οὐκ ὄντων. (γ. κυβερνήτης) κἂν γὰρ ἔμπειρος ᾖ τῆς κυβερνητικῆς, ἂν μὴ τοὺς οἴακας τούτους ἔχῃ, τὴν χάριν καὶ τὴν εἰρήνην τὴν παρὰ τοῦ Θεοῦ, καταδύσει τὸ σκάφος καὶ τοὺς ἐμπλέοντας. ὅθεν ἔμοιγε θαυμάζειν ἔπεισι τοὺς ἐφιεμένους ὄγκου τοσούτου. ἄθλιε καὶ ἄθεε, καὶ ταλαίπωρε, οὐχ ὁρᾷς τίνος ἐφίεσαι; κατὰ σαυτὸν ἂν ᾖς καὶ ἀγνὼς καὶ ἄσημος, κἂν μυρία ἁμάρτῃς, ἀλλὰ μιᾶς ψυχῆς δώσεις λόγον, καὶ ταύτης εὐθύνας ὑφέξεις μόνον· (γ. καὶ ἄλλοις) ὅταν δὲ εἰς τὴν ἀρχὴν ταύτην ἀχθῇς, ἐννόησον ὅσων κεφαλῶν ὑπεύθυνος εἶ τιμωρίας.

Εβρ. ιγ. ιζ. ἄκουε γὰρ Παύλου λέγοντος· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ

ἀγρυπνοῦσι

ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἀλλὰ τιμῆς ἐφίεσαι καὶ ἀρχῆς; καὶ τίς ἡ ἡδονὴ ταύτης τῆς τιμῆς; οὐ γὰρ δὴ οὐδὲ τοῦτο ὁρᾷς. οὐ γάρ ἐστι δυνατὸν ἄρχοντα εἶναι ἀληθῶς. πῶς; ὅτι ἐν τῇ ἐξουσίᾳ κεῖται τῶν ἀρχομένων τὸ ὑπακούειν. καὶ εἴ τις ἀκριβῶς ἐξετάσειε τὸ πρᾶγμα, οὐκ ἐπὶ ἀρχὴν ἔρχεται ὁ τοιοῦτος, ἀλλὰ δουλεύει μυρίοις δεσπόταις ἐναντία καὶ ἐπιθυμοῦσι καὶ λέγουσιν. ὅπερ γὰρ ἐγκωμιάζει εἷς, μέμφεται ἕτερος· ὅπερ ψέγει οὗτος, θαυμάζει ἄλλος. τίνος οὖν ἀκοῦσαι χρή, τίνι πεισθῆναι, οὐκ ἔστι. καὶ ὁ μὲν ἀργυρώνητος, κἂν ἐναντία ὁ δεσπότης αὐτῷ προστάξῃ, καὶ δυσχεραίνει· σὺ δέ, ἂν τοσούτων δεσποτῶν ἐναντία ἐπιταττόντων ἀλγήσῃς, καὶ τούτου δίδως δίκην, τὰ πάντων ἐπὶ σὲ στόματα ἀνοίγων. τοῦτο οὖν, εἰπέ μοι, τιμή; τοῦτο ἀρχή; τοῦτο ἐξουσία; εἶπέ τις ὁ τὴν ἐπισκοπὴν ἔχων, εἰσενεγκεῖν χρήματα. ἂν μὴ θέλῃ, οὐ μόνον οὐκ εἰσήνεγκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ μὴ δόξαι ῥᾳθυμίας ἕνεκεν τοῦτο ποιεῖν, κατηγορεῖ τοῦ κελεύσαντος· κλέπτει, φησίν, ἁρπάζει, καταπίνει τὰ τῶν πενήτων, κατεσθίει τὰ τῶν πτωχῶν. παῦσαι λοιδορῶν. μέχρι τίνος ταῦτα φής; οὐ βούλει εἰσενεγκεῖν; οὐδεὶς ὁ καταναγκάζων, οὐδεὶς ὁ βιαζόμενος. τί καὶ λοιδορῇ τῷ παραινοῦντι καὶ συμβουλεύοντι; ἀλλ' εἰς χρείαν τις κατέστη, καὶ οὐκ ὤρεξε χεῖρα μὴ δυνηθείς, ἢ καὶ ἑτέρωθι ἀσχοληθείς, οὐδεμία συγγνώμη, ἀλλὰ πάλιν κατηγορίαι χείρους τῶν προτέρων. τοῦτο γοῦν ἀρχή; καὶ ἀμύνασθαι οὐκ ἔχει. σπλάγχνα γάρ ἐστιν ἴδια. καὶ ὥσπερ τὰ σπλάγχνα, κἂν οἰδήσῃ, κἂν πόνους παρέχῃ τῇ κεφαλῇ καὶ τῷ λοιπῷ σώματι, οὐ τολμῶμεν ἀμύνασθαι (οὐ γὰρ λαβόντες ξίφος διαρρήγνυμεν) οὕτω κἂν τῶν ἀρχομένων τις τοιοῦτος ᾖ, πόνους ἡμῖν παρέχων καὶ ἀθυμίας ἐκ τῶν κατηγοριῶν τούτων, οὐ τολμῶμεν ἀμύνασθαι (πόρρω γὰρ ταῦτα πατρικῆς διανοίας) ἀλλ' ἀνάγκη φέρειν τοὺς πόνους, ἕως ἂν ἐκεῖνος ὑγιανῇ καλῶς. ὁ ἀργυρώνητος οἰκέτης ἔχει τι ἔργον ἐπιτεταγμένον· κἂν τοῦτο ἀνύσῃ, λοιπὸν ἑαυτοῦ κύριός ἐστιν. οὗτος δὲ πανταχόθεν περιέλκεται, πολλὰ καὶ τῶν ὑπὲρ δύναμιν ἀπαιτεῖται. ἂν μὴ εἰδῇ λέγειν, πολὺς ὁ γογγυσμός· ἂν δὲ εἰδῇ λέγειν, πάλιν κατηγορίαι· κενόδοξός ἐστιν. ἂν μὴ νεκροὺς ἀνιστᾷ, οὐδενὸς λόγου ἄξιος, φησίν. ὁ δεῖνα εὐλαβής ἐστιν, οὗτος δὲ οὔ. ἂν ἀπολαύσῃ συμμέτρου τροφῆς, πάλιν κατηγορίαι· ἔδει αὐτὸν ἀπάγχεσθαι, φησίν. ἂν λουόμενον ἴδῃ τις, πολλαὶ κατηγορίαι· ὅλως οὐδὲ τὸν ἥλιον ὁρᾷν ὀφείλει, φησίν. εἰ δὲ τὰ αὐτὰ πράττει, ἅπερ ἐγώ, καὶ λούεται, καὶ ἐσθίει, καὶ πίνει, καὶ ἱμάτια περιβέβληται, καὶ οἰκίας φροντίζει καὶ οἰκετῶν, τίνος ἕνεκεν ἐμοῦ προέστηκεν; ἀλλὰ καὶ οἰκέτας ἔχει, φησί, τοὺς διακονουμένους αὐτῷ, καὶ ἐπὶ ὄνου ὀχεῖται. τίνος οὖν ἕνεκεν ἐμοῦ προέστηκεν; ἀλλὰ τί, εἰπέ μοι; οὐκ ὀφείλει τοὺς διακονουμένους ἔχειν, ἀλλ' αὐτὸς τὸ πῦρ ἀνακαίειν, καὶ ὑδροφορεῖν, καὶ ξύλα διακλᾷν, καὶ εἰς ἀγορὰν ἐμβάλλειν; καὶ πόση τοῦτο αἰσχύνη ἐστί; καὶ οἱ μὲν ἅγιοι ἐκεῖνοι ἄνδρες, οἱ ἀπόστολοι, τὸν τῷ λόγῳ προσκαρτεροῦντα οὐδὲ διακονίᾳ χηρῶν βούλονται προσανέχειν, ἀλλ' ἀνάξιον αὐτοῦ τὸ πρᾶγμα εἶναι νομίζουσι· σὺ δὲ αὐτὸν καὶ εἰς τὴν τῶν οἰκετῶν ὑπηρεσίαν καθέλκεις τὴν σήν; διὰ τί ὁ ταῦτα ἐπιτάττων οὐ παρέρχῃ σύ, καὶ ταῦτα πληροῖς; εἰπέ μοι, οὐχὶ μείζονα ταύτης διακονεῖται ὑπηρεσίας, ἢ σὺ τὰ σωματικά; διὰ τί μὴ τὸν παῖδα πέμπεις τὸν σὸν πρὸς τὴν τούτου ὑπηρεσίαν; ὁ Χριστὸς ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, σὺ θεραπείας ἂν παράσχῃς τῷ διδασκάλῳ, μέγα τι ποιεῖς; ἀλλ' οὔτε σὺ βούλει παρέχειν, καὶ αὐτοὺς κωλύεις. τί οὖν; ἀπὸ τοῦ οὐρανοῦ ζῆν ὀφείλει; ἀλλ' οὐ βούλεται οὕτως ὁ Θεός. τί οὖν; οἱ ἀπόστολοι, φησίν, ἐλευθέρους εἶχον δουλεύοντας; βούλει καὶ τοῦτο ἀκοῦσαι πῶς οἱ ἀπόστολοι διῆγον; ἀποδημίας ἐποιοῦντο, καὶ ἄνδρες ἐλεύθεροι καὶ εὐγενεῖς γυναῖκες ὑπὲρ τῆς ἐκείνων ἀναπαύσεως καὶ τὰς ψυχὰς καὶ τὰς κεφαλὰς ὑπετίθεσαν τὰς ἑαυτῶν. ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου παραινοῦντος καὶ λέγοντος· Τοὺς οὖν τοιούτους ἐντίμους ἔχετε. καὶ πάλιν, Διὰ τὸ ἔργον τοῦ Θεοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. Φιλιπ. β. κθ.

γίας.

γίας. ὁρᾷς τί φησι; σὺ δὲ οὐδὲ λόγῳ παραιτεῖσθαι ὑπὲρ τοῦ παιδὸς τοῦ σοῦ, μήπηγε κίνδυνον τοσοῦτον ἀναδέχῃ. ἀλλὰ λούεσθαι, φησὶν, οὐ χρή. διὰ τί, εἰπέ μοι; ποῦ τοῦτο κεκώλυται; οὐδὲ γὰρ ὁ ῥύπος καλόν. οὐδαμοῦ ταῦτα ὁρῶμεν, οὔτε ἐγκαλοῦμεν, οὔτε θαυμάζομεν. ἀλλὰ γάρ ἐστιν ἅπερ ἐπέταξε τὸν ἐπίσκοπον ἔχειν, ἀνέγκλητον εἶναι, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν. (Τιτ. α. ζ.) ταῦτα ἀπαιτεῖ ὁ ἀπόστολος, ταῦτα χρὴ ἐπιζητεῖν παρὰ τοῦ ἄρχοντος, περαιτέρω δὲ μηδέν. οὐκ εἶ τοῦ Παύλου ἀκριβέστερος, μᾶλλον δὲ οὐκ εἶ τοῦ πνεύματος ἀκριβέστερος. ἂν ᾖ πλήκτης, ἂν ᾖ πάροινος, ἂν ὠμὸς καὶ ἀνηλεὴς, κατηγόρει· ἀνάξια ταῦτα τοῦ ἐπισκόπου. ἂν τρυφᾷ, καὶ τοῦτο κατηγορία. ἂν δὲ θεραπεύῃ τὸ σῶμα ἵνα σοι διακονῇ, ἂν ἐπιμελῆται ἵνα σοι χρήσιμος ᾖ, ὑπὲρ τούτων αὐτὸν ἐγκαλεῖσθαι δεῖ; (γρ. αὐτὸ ἐγκαλεῖν) οὐκ οἶδας ὅτι ἀσθένεια σωματικὴ τῆς κατὰ ψυχὴν ἀσθενείας οὐχ ἧττον καὶ ἡμᾶς βλάπτει, καὶ τὴν ἐκκλησίαν; διὰ τί διορθοῦται αὐτὴν ὁ Παῦλος γράφων τῷ Τιμοθέῳ, (α. Τιμ. ε. κγ.) Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας; εἰ μὲν γὰρ ψυχῇ μόνῃ τὴν ἀρετὴν κατορθοῦμεν, οὐκ ἔδει φροντίζειν τοῦ σώματος. τί δὲ ὅλως καὶ γεγόναμεν; εἰ δὲ πολλὴ τούτου ἡ συντέλεια, πῶς οὐκ ἐσχάτης ἐστὶν ἀνοίας ἀμελεῖν τούτου; ἔστω γάρ τις ἀνὴρ ἐπίσκοπος τετιμημένος καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας τὴν προστασίαν ἐγκεχειρισμένος, καὶ τὰ μὲν ἄλλα ἔστω ἐνάρετος καὶ πάντα ἔχων ἅπερ ἔχειν ἁρμόζει τὸν ἱερωμένον· διαπαντὸς δὲ τῇ κλίνῃ προσδεδέσθω ὑπὸ πολλῆς ἀῤῥωστίας, τί ἔσται ὀνῆσαι δυνήσεται; ποίαν ἀποδημίαν στείλασθαι; ποίας ἐπισκέψεις ποιήσασθαι; τίνα ἐπιπλῆξαι; τίνα νουθετῆσαι; ταῦτα εἶπον, ἵνα εἰδῆτε μὴ ἁπλῶς ἐγκαλεῖν, ἵνα εἰδῆτε μᾶλλον ἀποδέχεσθαι, ἵνα καὶ εἴ τις ἐφίεται τῆς ἀρχῆς, τὰς ῥαφίδας τῶν κατηγοριῶν ὁρῶν, τὴν τοιαύτην ἐπιθυμίαν σβεννύῃ. μέγας ὄντως κίνδυνος καὶ τῆς τοῦ Θεοῦ δεόμενος χάριτος καὶ τῆς εἰρήνης, ἣν ἐπεύχεσθε ἡμῖν εἶναι πολλὴν, καὶ ἡμεῖς ὑμῖν· ἵνα ἀμφότεροι κατορθώσαντες τὴν ἀρετὴν, οὕτω τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. β. 5 ΤΟΥΤΟΥ ΧΑΡΙΝ ΚΑΤΕΛΙΠΟΝ ΣΕ ΕΝ
Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέ-
ρους, ὡς ἐγώ σοι διεταξάμην· 6 Εἴ τις ἐστὶν ἀνέγκλητος, μιᾶς
γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπό-
τακτα.

Τοῖς μὲν παλαιοῖς ἀνδράσιν ἅπας ὁ βίος ἦν ἐνεργὸς καὶ ἐναγώνιος, ἡμῖν δὲ οὐχ οὕτως, ἀλλὰ ῥᾳθυμίας μεστός. ἐκεῖνοι μὲν γὰρ ᾔδεισαν ὅτι διὰ τοῦτο εἰς τὸν κόσμον παρήχθησαν, ἵνα τὰ προσταχθέντα κατὰ γνώμην ἐργάζωνται· ἡμεῖς δὲ ὡς διὰ τοῦτο παραχθέντες, ἵνα ἐσθίωμεν καὶ πίνωμεν καὶ τρυφῶμεν, οὕτως οὐδενὸς τῶν πνευματικῶν λόγον ποιούμεθα. οὐ περὶ τῶν ἀποστόλων λέγω μόνον, ἀλλὰ καὶ τῶν μετ' αὐτούς. ὁρᾷς γοῦν αὐτοὺς πάντα διατρέχοντας, καὶ ὥσπερ τινὸς ἔργου τούτου ἐπειλημμένους, (γρ. πάντα) καὶ ὅλως ἐν ξένῃ διατρίβοντας, ἅτε οὐκ ἔχοντας πόλιν ἐπὶ τῆς γῆς; ἄκουσον γοῦν τοῦ μακαρίου τούτου τί φησι· τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ. καθάπερ οἰκίαν μίαν τὴν οἰκουμένην διανειμάμενοι οὕτως ἅπαντα διῴκησαν, καὶ τῶν ἁπανταχοῦ ἐπεμελοῦντο, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο λαβὼν τὸ μέρος. τούτου γὰρ χάριν, φησὶ, κατέλιπόν σε ἐν τῇ Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ. οὐκ ἐπιτακτικῶς αὐτῷ παραινεῖ πως. ἵνα ἐπιδιορθώσῃ, φησίν. ὁρᾷς ψυχὴν φθόνου παντὸς καθαρὰν, πανταχοῦ τὸ τῶν μαθητευομένων χρήσιμον ζητοῦσαν, οὐκ ἀκριβολογουμένην, εἴτε δι' αὐτοῦ, εἴτε δι' ἑτέρου γένοιτο; ἔνθα μὲν γὰρ ἦν κίνδυνος καὶ

πολλὴ

πολλὴ δυσκολία, αὐτὸς κατορθοῦν ἔμελλεν· ἃ δὲ τιμὴν μᾶλλον ἔφερεν, ἢ ἔπαινον εἶχε, ταῦτα ἐπιτρέπει τῷ μαθητῇ, τὴν ἐπισκόπων λέγω χειροτονίαν, καὶ τὰ ἄλλα πάντα, ὅσα ἐδεῖτό τινος ἐπιδιορθώσεως, ἢ ὡς ἂν εἴποι τις, πλείονος καταρτισμοῦ. τί λέγεις, εἰπέ μοι; τὰ σὰ προσδιορθοῦνται; καὶ οὐχ ἡγῇ τὸ πρᾶγμα αἰσχρὸν, οὐδὲ αἰσχύνην σοι φέρειν; οὐδαμῶς. πρὸς γὰρ τὸ κοινὸν κέρδος ὁρῶ μόνον. εἴτε δὲ δι' ἐμοῦ, εἴτε δι' ἑτέρου γένοιτο, οὐδὲν ἐμοὶ διαφέρει. οὕτω τὸν προεστῶτα χρὴ διακεῖσθαι, μὴ τὴν ἰδίαν τιμὴν ζητεῖν, ἀλλὰ τὸ κοινῇ συμφέρον. καὶ καταστήσῃς, φησὶ, κατὰ πόλιν πρεσβυτέρους. τοὺς ἐπισκόπους ἐνταῦθά φησι, καθὼς ἀλλαχοῦ ἡμῖν εἴρηται. ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος. κατὰ πόλιν, φησίν. οὐ γὰρ ἐβούλετο πᾶσαν τὴν νῆσον ἐπιτετράφθαι ἑνὶ, ἀλλ' ἕκαστον ἰδίαν ἔχειν φροντίδα καὶ μέριμναν. οὕτω γὰρ αὐτῷ τε ἔσεσθαι τὸν πόνον κοῦφον, καὶ τοὺς ἀρχομένους πλείονος ἀπολαύσεσθαι τῆς ἐπιμελείας, εἴγε μὴ εἰς πολλῶν ἐκκλησιῶν προστασίαν ὁ διδάσκαλος περιέρχοιτο, ἀλλὰ σχολάζοι μιᾷ μόνῃ, καὶ ταύτην κατακοσμοῖ. εἴ τις, φησὶν, ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. τίνος ἕνεκεν καὶ τὸν τοιοῦτον εἰς μέσον παράγει; ἐπιστομίζει τοὺς αἱρετικοὺς τοὺς τὸν γάμον διαβάλλοντας, δεικνὺς ὅτι τὸ πρᾶγμα οὐκ ἔστιν ἐναγὲς, ἀλλ' οὕτω τίμιον, ὡς μετ' αὐτοῦ δύνασθαι καὶ ἐπὶ τὸν ἅγιον ἀναβαίνειν θρόνον, ἐν ταὐτῷ δὲ καὶ τοὺς ἀσελγεῖς κολάζων, καὶ οὐκ ἀφιεὶς μετὰ δευτέρου γάμου τὴν ἀρχὴν ἐγχειρίζεσθαι ταύτην. ὁ γὰρ πρὸς τὴν ἀπελθοῦσαν μηδεμίαν φυλάξας εὔνοιαν, πῶς ἂν οὗτος γένοιτο προστάτης καλός; τίνα δὲ οὐκ ἂν ὑποσταίη κατηγορίαν; ἴστε γὰρ ἅπαντες, ἴστε ὅτι εἰ καὶ μὴ κεκώλυται παρὰ τῶν νόμων τὸ δευτέροις ὁμιλεῖν γάμοις, ἀλλ' ὅμως πολλὰς ἔχει τὸ πρᾶγμα κατηγορίας. οὐδεμίαν οὖν παρέχειν λαβὴν τοῖς ἀρχομένοις τὸν ἄρχοντα βούλεται. διὰ τοῦτο * τίθησιν, εἴ τις ἀνέγκλητος, τουτέστιν, εἰ κατηγορίας ὁ βίος ἐλεύθερος αὐτῷ γέγονεν, εἰ μηδεὶς ἔσχεν ἐπισκῆψαι ἐν τῇ ζωῇ. ἄκουε τοῦ Χριστοῦ λέγοντος· Εἰ γὰρ τὸ φῶς, φησὶ, τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον; Ματθ. ς. κγ.

τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. σκοπήσωμεν πῶς πολλὴν καὶ ὑπὲρ τῶν παίδων ποιεῖται τὴν πρόνοιαν. ὁ γὰρ τῶν αὐτοῦ παίδων διδάσκαλος γενέσθαι μὴ δυνηθεὶς, πῶς ἂν ἑτέρων γένοιτο; εἰ οὓς ἐξ ἀρχῆς εἶχε μεθ' ἑαυτοῦ καὶ ἔτρεφε, καὶ καθ' ὧν καὶ παρὰ τῶν νόμων, καὶ παρὰ τῆς φύσεως εἶχεν ἐξουσίαν, τούτους ῥυθμίσαι οὐκ ἴσχυσε, πῶς ἂν τοὺς ἔξωθεν ὠφελῆσαι δυνήσεται; εἰ μὴ γὰρ πολλὴ ῥᾳθυμία εἴη πατρὸς, οὐκ ἂν ὧν ἐξ ἀρχῆς ἔλαβεν ἐξουσίαν, τούτους περιεῖδε γενομένους κακούς. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξ ἀρχῆς μετὰ πολλῆς τραφέντα τῆς ἐπιμελείας γενέσθαι κακὸν, καὶ πολλῆς ἀπολαύσαντα σπουδῆς. οὐ γάρ ἐστι φυσικὰ τὰ ἁμαρτήματα, ἵνα τοσαύτης περιγένηται προνοίας. εἰ δὲ ἐν δευτέρῳ τὰ τῶν παίδων ἐτίθετο, περὶ τὰ χρήματα σχολάζων, καὶ οὐ τοσαύτην αὐτῶν ἐποιεῖτο σπουδὴν, καὶ οὕτως ἀνάξιος. εἰ γὰρ ὅπου ἡ φύσις ἀναγκάζει, οὕτως ἄστοργος ἦν, ἢ οὕτως ἀνόητος, ὡς μᾶλλον τῶν χρημάτων φροντίζειν αὐτὸν, ἢ αὐτῶν, πῶς ἂν οὗτος ἐπὶ τὸν θρόνον ἀναχθείη καὶ τὴν τοσαύτην ἀρχήν; εἰ μὲν γὰρ οὐκ ἠδύνατο, πολλὴ τῆς ῥᾳθυμίας ἡ κατηγορία· εἰ δὲ οὐκ ἐσπούδασε, πολλὴ τῆς ἀστοργίας ἡ μέμψις. ὁ τοίνυν τῶν παίδων ἀμελῶν τῶν ἑαυτοῦ, πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; καὶ οὐκ εἶπε μὴ ἁπλῶς ἄσωτος, ἀλλὰ μηδὲ διαβολὴν ἔχειν τοιαύτην, μηδὲ πονηρᾶς εἶναι δόξης.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον, φησὶν, ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην. Ὁ μὲν γὰρ ἔξωθεν ἄρχων, ἐπειδὴ νόμῳ κρατεῖ καὶ ἀνάγκῃ, εἰκότως οὐ πολλαχοῦ τῆς τῶν ἀρχομένων γνώμης κοινωνεῖ· ὁ μέντοι ἑκόντων ὀφείλων ἄρχειν καὶ * χάριν αὐτῷ τῆς ἀρχῆς εἰδότων, ἂν οὕτω τὸ πρᾶγμα καταστήσῃ, ὡς ἀπὸ τῆς οἰκείας γνώμης μόνον πάντα ποιεῖν, καὶ μηδενὶ μεταδιδόναι λόγου, τυραννικώτερον μᾶλλον, ἢ δημοτικώτερον τὴν ἐπιστασίαν πεποίηται. δεῖ γὰρ, φησὶν, ἀνέγκλητον εἶναι, ὡς Θεοῦ

γ. τινὸν

γ. ἐπανορθοῦται

γ. πόλεις

γ. περιέλκοιτο

γ. ἀφεὶς

* καὶ τοῦτον

* ὑπηρετούντων καὶ

οἰκονόμοι, μὴ αὐθάδη, μὴ ὀργίλον. πῶς γὰρ ἑτέρους παιδεύσει κρατεῖν τοῦ πάθους τούτου, ἑαυτὸν μὴ παιδεύσας; εἰς πολλὰ γὰρ ἡ ἀρχὴ ἐξάγει, καὶ χαλεπωτέρους ποιεῖ καὶ δυσαρέστους καὶ τὸ σφόδρα ἐπιεικῆ, μυρίας ἀνάγκας περιΐστασα ὀργῆς· ἂν μὴ ᾖ τοῦτο μεμελετηκὼς πρότερον, καὶ χαλεπώτερος ἔσται, καὶ πολλὰ διαφθερεῖ καὶ ἀπολέσει τῶν τῆς ἀρχῆς. μὴ πάροινον, μὴ πλήκτην. τὸν ὑβριστὴν ἐνταῦθά φησι. νουθετοῦντα γὰρ ἢ ἐπιπλήττοντα πάντα χρὴ ποιεῖν, μὴ ὑβρίζοντα. ποία γὰρ ἀνάγκη ὕβρεως, εἰπέ μοι; φοβεῖν χρὴ τῇ τῆς γεέννης ἀπειλῇ, δεδίττεσθαι, καθικνεῖσθαι. ὁ γὰρ ὑβρισθεὶς, θρασύτερος γίνεται καὶ μᾶλλον καταφρονεῖ τοῦ ὑβρίζοντος. οὐδὲν γὰρ οὕτω ποιεῖ καταφρόνησιν, ὡς ὕβρις, καὶ αἰσχύνει τὸν ὑβρίζοντα μᾶλλον, καὶ οὐκ ἀφίησιν εἶναι αἰδέσιμον ὡς δεῖ. πολλῆς αὐτοῖς τῆς εὐλαβείας γέμειν τὸν λόγον χρὴ, ἐν τοῖς ἁμαρτήμασι μνήμην ἔχειν τῆς μελλούσης κρίσεως, πάσης δὲ ὕβρεως εἶναι καθαρόν. εἰ δέ τινες εἶεν οἱ κωλύοντες τὰ δέοντα ποιεῖν, μετὰ πάσης αὐθεντίας μετιέναι τὸ πρᾶγμα. μὴ πλήκτην, φησίν. ἰατρός ἐστιν ὁ διδάσκαλος τῶν ψυχῶν, ὁ δὲ ἰατρὸς οὐ πλήττει, ἀλλὰ τὸν πεπληγότα διορθοῦται καὶ θεραπεύει. Μὴ αἰσχροκερδῆ,

γρ. διαφθείρει καὶ ἀπολύει

8 Ἀλλὰ φιλόξενοι, φιλάγαθοι, σώφρονα, δίκαιοι, ὅσιοι, ἐγκρατῆ,

9 Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. Εἶδες πόσην ἐπίτασιν ἀρετῆς ἀπῄτησε; μὴ αἰσχροκερδῆ, φησὶ τουτέστι, πολλὴν ὑπεροψίαν χρημάτων ἐπιδεικνύμενοι. φιλόξενοι, φιλάγαθοι, σώφρονα, δίκαιοι, ὅσιοι, τὰ αὐτοῦ πάντα τοῖς δεομένοις, φησὶ, προϊέμενοι, ἐγκρατῆ. οὐ τὸν νηστευτὴν εἶπεν ἐνταῦθα, ἀλλὰ τὸν πάθους κρατοῦντα, τὸν καὶ γλώττης καὶ χερὸς καὶ ὀφθαλμῶν ἀκολάστων. τοῦτο γάρ ἐστιν ἐγκράτεια, τὸ μηδενὶ ὑποσύρεσθαι πάθει. ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. πιστοῦ ἐνταῦθα τοῦ ἀληθοῦς φησιν, ἢ τοῦ διὰ πίστεως παραδιδομένου, οὐ δεομένου συλλογισμῶν, οὐδὲ ζητημάτων. ἀντεχόμενοι, φροντίζοντα, ἔργον τοῦτο ποιούμενοι. τί οὖν ἂν λόγων ἄπειρος ἦ τῶν ἔξωθεν; διὰ τοῦτο εἶπε, τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. Ἵνα δυνατὸς ἦ καὶ παρακαλεῖν, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Ὥστε οὐ χρεία κόμπου ῥημάτων, ἀλλὰ φρενῶν, καὶ γραφῶν ἐμπειρίας, καὶ νοημάτων δυνάμεως. οὐχ ὁρᾷς Παῦλον περιτρεψάμενον τὴν οἰκουμένην ἅπασαν, καὶ μείζονα ἰσχύσαντα καὶ Πλάτωνος καὶ τῶν ἄλλων ἁπάντων; ἀλλ' ἀπὸ τῶν σημείων, φησίν. οὐκ ἀπὸ τῶν σημείων μόνον. εἰ γὰρ ἐπέλθοις τὰς πράξεις τῶν ἀποστόλων, πολλαχοῦ αὐτὸν εὑρήσεις ἀπὸ τῆς διδασκαλίας κρατοῦντα καὶ πρὸ τῶν σημείων. ἵνα δυνατὸς ἦ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, τουτέστι, πρὸς φυλακὴν τῶν οἰκείων, πρὸς ἀνατροπὴν τῶν ἐχθρῶν. καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. τούτου γὰρ μὴ ὄντος, πάντα οἴχεται. ὁ γὰρ οὐκ εἰδὼς μάχεσθαι τοῖς ἐχθροῖς, καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ καὶ λογισμοὺς καθαιρεῖν, ὁ οὐκ εἰδὼς ἃ χρὴ περὶ τῆς ὀρθῆς διδάσκειν διδασκαλίας, πόρρω ἔστω θρόνου διδασκαλικοῦ. τὰ μὲν γὰρ ἄλλα καὶ ἐν τοῖς ἀρχομένοις εὕροι τις ἄν· οἷον τὸ ἀνέγκλητον, τὸ τέκνα ἔχειν ἐν ὑποταγῇ, τὸ φιλόξενον, τὸ δίκαιον, τὸ ὅσιον· ὃ δὲ μάλιστα χαρακτηρίζει τὸν διδάσκαλον, τοῦτό ἐστι, τὸ δύνασθαι κατηχεῖν τῷ λόγῳ, οὗ πρόνοια οὐδεμία νῦν.

γρ. χειρῶν

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι, καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς·

11 Οὓς δεῖ ἐπιστομίζειν. Ὁρᾷς πῶς δείκνυσι πόθεν εἰσὶ τοιοῦτοι; ἀπὸ τοῦ μὴ θέλειν ἄρχεσθαι, ἀλλ' ἄρχειν. τοῦτο γὰρ ᾐνίξατο. ὅταν οὖν πεῖσαι μὴ δυνηθῇς, μὴ ἐγκατάλειπε τούτοις, ἀλλ' ἐπιστόμιζε εἰς τὴν τῶν ἄλλων ὠφέλειαν. τί οὖν τὸ κέρδος, ὅταν μὴ πείθωνται, οὐ καὶ εἰ ἀνυπότακτοί εἰσι; τίνος ἕνεκεν ἐπιστομίζειν χρή; ἵνα ὠφεληθῶσιν ἕτεροι ἐντεῦθεν. Οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν. Εἰ γὰρ τὴν διδασκαλίαν ἀνεδέξατο, οὐχ ἱκανὸς δέ ἐστιν ἐκείνοις μάχεσθαι, οὐδὲ ἐπιστομίσαι αὐτοὺς οὕτως ἀναισχυντοῦντας, τῆς τῶν ἀπολλυμένων βλάβης καθ' ἕκαστον αἴτιος γενήσεται.

γρ. οὐ βούλονται

εἰ γὰρ πρεσβύτης τις λέγων, μὴ ζήτει γενέσθαι κριτὴς, εἰ μὴ ἰσχύεις ἐξᾶραι ἀδικίαν· πολλῷ μᾶλλον ἐνταῦθα ἂν εἴποι τις, μὴ ζήτει γενέσθαι διδάσκαλος, εἰ τῆς τοῦ πράγματος "ἀξίας ἀπέχεις, ἀλλὰ καὶ ἑλκόμενος ἀποπήδα. ὁρᾷς πανταχοῦ τὴν "φιλαργυρίαν, τὴν αἰσχροκέρδειαν αἰτίαν τούτων οὖσαν; διδάσκοντες, φησὶν, ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν.

γ. ἀρετῆς ἀπέχῃς, γ. φιλαρχίαν,

Οὐδὲν γάρ ἐστιν, ὃ μὴ λυμαίνεται ταῦτα τὰ πάθη. ἀλλ' ὥσπερ πνεύματά τινα ἄγρια εἰς γαληνὸν ἐμπεσόντα πέλαγος, ὅλον αὐτὸ κάτωθεν "ἀναμοχλεύει, ὡς καὶ τὴν ἄμμον τοῖς κύμασιν "ἀναμίγνυσθαι, οὕτω ταῦτα τὰ πάθη εἰς ψυχὴν εἰσιόντα, πάντα ἄνω καὶ κάτω ποιεῖ. πυροῖ δὲ διαφορικὸν τῆς διανοίας, μάλιστα δὲ ἡ τῆς δόξης μανία. χρημάτων μὲν γὰρ εὐκόλως καταφρονῆσαι τῷ βουλομένῳ· τῆς δὲ παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, πολλοῦ δεῖ πόνου, μεγάλης "φιλοσοφίας, ψυχῆς τινος ἀγγελικῆς αὐτῆς ἁπτομένης τῆς κορυφῆς "τῆς τοῦ οὐρανοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν οὕτω πάθος τυραννικὸν καὶ πανταχοῦ κρατοῦν, *ἐκ πλείονος μὲν καὶ ἐλάττονος μοίρας, πανταχοῦ δὲ ὅμως. πῶς ἂν οὖν αὐτοῦ περιγενοίμεθα, εἰ καὶ μὴ κατὰ κράτος, ἀλλὰ κἂν ἐξ ἐλαχίστου μέρους; ἂν εἰς τὸν οὐρανὸν ἀναβλέπωμεν, ἂν τὸν Θεὸν ἔχωμεν πρὸ ὀφθαλμῶν, ἂν μείζω τῶν γηΐνων λάβωμεν λογισμόν. ἐννόησον ὅταν ἐπιθυμῇς δόξης, ὅτι αὐτῆς ἐπέτυχες, καὶ μάθε τὸ τέλος, καὶ οὐδὲν εὑρήσεις. ἐννόησον ὅσην ἔχει τὴν ζημίαν τὸ πρᾶγμα, ὅσων καὶ ἡλίκων ἀποστερεῖ ἀγαθῶν. τοὺς μὲν γὰρ πόνους ὑποστήσῃ καὶ τοὺς κινδύνους, τῶν δὲ καρπῶν ἀποστερηθήσῃ καὶ τῶν ἐπάθλων. ἐννόει ὅτι οἱ πλεῖστοι κακοὶ, καὶ καταφρονήσουσιν αὐτῆς τῆς δόξης, καθ' ἕνα ἕκαστον ἀναλογίσασθαι "τίς ἐστι· καὶ ὄψει τὸ πρᾶγμα γέλωτος γέμον· ἐννόει ὅτι αἰσχύνη μᾶλλον, ἢ δόξα τὸ πρᾶγμά ἐστι. καὶ μετὰ ταῦτα ἀνάγαγε τὸν λογισμὸν ἐπὶ τὸ ἄνω θέατρον, ὅταν ἀγαθόν τι πράττων ἐννοῇς ὅτι δεῖ καὶ ἀνθρώποις δεῖξαι, καὶ τινὰς ἐπιζητῇς θεατὰς τοῦ πράγματος, καὶ ὠδίνῃς ὥστε ὀφθῆναι. ἐννόησον ὅτι ὁ Θεὸς ὁρᾷ, καὶ πᾶσαν ἐκείνην σβεννύεις τὴν ἐπιθυμίαν. ἀναχώρησον ἐκ τῆς γῆς, πρὸς ἐκεῖνο ἰδὲ τὸ θέατρον τὸ ἐν τοῖς οὐρανοῖς. ἄνθρωποι κἂν ἐπαινέσωσιν, ἀλλ' ὕστερον ἐμέμψαντο, ἀλλὰ φθονοῦσιν, ἀλλ' ἐπιλαμβάνονται· κἂν μὴ τοῦτο ποιῶσιν, οὐδὲν ὅλως "ὠφελήσουσι τὸν ἐπαινούμενον. ἐπὶ δὲ τοῦ Θεοῦ οὐχ οὕτως, ἀλλὰ χαίρει ἐπαινῶν ἡμῶν τὰ κατορθώματα. εἶπέ τις ὀρθῶς, καὶ κρότων ἐπέτυχες; καὶ τί τὸ κέρδος; εἰ μὲν γὰρ ὠφελήθησαν οἱ κροτήσαντες καὶ μετεβάλοντο καὶ βελτίους ἐγένοντο καὶ τῶν προτέρων κακῶν ἀπέστησαν, δεῖ χαίρειν οὕτως, οὐκ ἐπὶ τοῖς ἐπαίνοις τοῖς γινομένοις, ἀλλ' ἐπὶ τῇ μεταβολῇ τῇ καλῇ καὶ θαυμαστῇ. εἰ δὲ διὰ παντὸς μὲν ἐπαινοῦντες καὶ θορυβοῦντες καὶ κροτοῦντες διατελοῦσι, καρποῦνται δὲ οὐδὲν ἀπὸ τῶν κρότων, ἀλγεῖν μᾶλλον χρὴ, ὅτι αὐτοῖς εἰς κρίμα *ταῦτα γίνεται. ἀλλ' ἐπὶ εὐλαβείᾳ δόξαν ἔχεις; ἂν μὲν ὄντως ᾖς εὐλαβὴς, καὶ μηδὲν ἑαυτῷ συνειδὼς πονηρὸν, χαίρειν δεῖ; οὐκ ἐπειδὴ δοκεῖς, ἀλλ' ἐπειδὴ εἶ. ἂν μέντοι μὴ ὢν τῆς τῶν πολλῶν δόξης ἐπιθυμῇς, ἐννόει ὅτι οὐχ οὗτοι κρινοῦσιν ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν, ἀλλ' ὁ τὰ λανθάνοντα μετὰ ἀκριβείας ἐπιστάμενος. εἰ δὲ συνειδὼς ἑαυτῷ ἁμαρτήματα, καθαρὸς εἶναι παρὰ πᾶσιν ὑποπτεύῃ, οὐ μόνον οὐ χαίρειν δεῖ, ἀλλὰ καὶ ἀλγεῖν καὶ στένειν πικρὸν, τὴν ἡμέραν ἐννοοῦντα συνεχῶς, καθ' ἣν πάντα ἀποκαλύπτεται, καθ' ἣν τὰ κρυπτὰ τοῦ σκότους φωτίζεται. τιμῆς ἀπολαύεις; διακρούου ταύτην, εἰδὼς ὅτι σε ὀφειλέτην καθίστησιν. οὐδείς σοι παρέχει τιμήν; καὶ χαίρειν δεῖ ἐπὶ τούτῳ. οὐ γάρ σοι μετὰ τῶν ἄλλων καὶ τοῦτο ὁ Θεὸς "προσλογίζεται, ὅτι τιμῆς ἀπήλαυσας. ἢ οὐχ ὁρᾷς, ὡς μετὰ τῶν ἄλλων εὐεργεσιῶν καὶ τοῦτο "ἐγκαλεῖ ὁ Θεὸς διὰ τοῦ προφήτου, Ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν; κἂν τοῦτο τοίνυν κερδαίνεις, ὅτι οὐκ ἔσῃ ὑπεύθυνος μείζονι τιμωρίᾳ. ὁ μὲν γὰρ μὴ τιμώμενος ἐν τῷ παρόντι βίῳ καὶ καταφρονούμενος καὶ οὐδενὸς λόγου τινὸς ἀπολαύων, ἀλλὰ καὶ ὑβριζόμενος καὶ διαπτυόμενος, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν καρποῦται τὸ μὴ καὶ τούτου ὑπεύθυνος εἶναι τοῦ τιμηθῆναι παρὰ τῶν ὁμοδούλων. καὶ διὰ πολλὰ δὲ ἕτερα κερδαίνει ἐντεῦθεν. συστέλλεται,

ΗΘΙΚΟΝ

γ. ἀνασπᾷ, γ. ἀναμιγνύναι,

γ. σοφίας γ. τὰ ὕψιλος πτέρυγας *ἐς τὸ πᾶν.

γ. τί

γ. ὀφελῶσι

*ἢ εἰς κατάκριμα

γ. συμβάλλεται, γ. φησί

Αμώς β. ια.

ται, ταπεινοῦται, οὐδέ, ἐὰν θέλῃ, μέγα φρονήσει ποτέ, εἰ ἑαυτῷ μᾶλλον προσέχει. ὁ γ. ἀλλ
μέντοι πολλῆς ἀπολαύων τιμῆς, πρὸς τῷ καὶ ὀφλήματα εἶναι μεγάλων ὑπεύθυνος, καὶ εἰς
ἀπόνοιαν αἴρεται καὶ εἰς κενοδοξίαν, καὶ γίνεται δοῦλος ἀνθρώπων. εἶτα τῆς δεσποτείας ταύ-
της αὐξομένης, πολλὰ ἀναγκάζεται ποιεῖν, ὧν οὐ βούλεται. ὡς οὖν εἰδότες ὅτι τοῦτο βέλτιον
ἡμῖν, ἢ ἐκεῖνο, μήτε ζητῶμεν τιμάς, καὶ τὰς παρεχομένας διακρουώμεθα, ἀπορρίπτωμεν
ἀφ' ἑαυτῶν, σβεννύωμεν τὴν ἐπιθυμίαν ταύτην. ταῦτα καὶ πρὸς ἄρχοντας, καὶ πρὸς ἀρ-
χομένους ἡμῖν εἴρηται. ψυχὴ γὰρ τιμῆς ἐπιθυμοῦσα καὶ τοῦ δοξάζεσθαι, οὐκ ὄψεται τὴν βα-
σιλείαν τῶν οὐρανῶν. οὐκ ἐμός ἐστιν ὁ λόγος, οὐδὲ ἐμαυτοῦ λέγω ῥήματα, ἀλλὰ τοῦ θείου
Ματθ. ϛ. ε. πνεύματος. οὐκ ὄψεται, κἂν ἀρετὴν ἐργάζηται. Ἀπέχουσι γάρ, φησι, τὸν μισθὸν αὐτῶν.
ὁ τοίνυν μισθὸν μὴ λαμβάνων, πῶς ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν; οὐ κωλύω δόξης
Ῥωμ. β. κθ. ἐφίεσθαι, ἀλλὰ δόξης βούλομαι τῆς ἀληθοῦς τῆς παρὰ τοῦ Θεοῦ. Οὗ ὁ ἔπαινος, φησιν, οὐκ
ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ. ἐν τῷ κρυπτῷ ὦμεν εὐλαβεῖς, μὴ περικείμενοι τῦφον
πολὺν, καὶ σκηνὴν, καὶ ὑπόκρισιν. ῥίψωμεν τοῦ προβάτου τὴν δορὰν, μᾶλλον δὲ γενώμεθα
πρόβατα· οὐδὲν τῆς τῶν ἀνθρώπων δόξης οὐδαμινέστερον. Εἰπὲ γάρ μοι ἐὰν ἴδῃς παίδων
πλῆθος μικρῶν, ὑπομαζίων λέγω, ἆρα ἐπιθυμεῖς τῆς δόξης τῆς παρ' ἐκείνων; * οὕτω πρὸς
τοὺς ἀνθρώπους διάκεισο πάντας δόξης ἕνεκεν. διὰ τοῦτο κενοδοξία λέγεται. οὐχ ὁρᾷς τὰ προ-
σωπεῖα, ἃ περιτίθενται ἐπὶ τῆς σκηνῆς; πῶς μὲν καλά; πῶς δὲ λαμπρά; πῶς δὲ εἰς
τὴν ἐσχάτην ἀκρίβειαν τῆς εὐμορφίας διαπεπλασμένα; ἔχεις μοι δεῖξαι ὄψιν τοιαύτην
ἐπὶ τῆς ἀληθείας; οὐδαμῶς. τί οὖν; ἆρα ἠράσθης αὐτῶν ποτε; οὔ. διὰ τί; ὅτι διάκενά
ἐστι, καὶ μιμεῖται κάλλος, οὐκ ἔστι δὲ κάλλος. οὕτω καὶ ἡ δόξα διάκενός ἐστι καὶ μιμεῖται δόξαν, οὐκ
ἔστι δὲ δόξα. ἐκείνη μόνη ἐστὶν ἡ φυσικὴ ἡ ἔνδον, αὕτη δὲ ἡ ἔξω ἐπικειμένη ἐπικρύπτει πολ- γ. ἐπιπ
λάκις τὴν ἀμορφίαν, ἐπικρύπτει παρὰ ἀνθρώποις, καὶ μέχρι τῆς ἑσπέρας. τοῦ δὲ θεά-
τρου λυθέντος καὶ τῶν προσωπείων ἐπαρθέντων, ἕκαστος, ὅπερ ἐστί, τοῦτο φαίνεται. μὴ τοί-
νυν ὡς ἐν σκηνῇ καὶ ὑποκρίσει, τὴν ἀλήθειαν μετέλθωμεν. Εἰπὲ γάρ μοι, τί καλὸν ἔχει
τὸ περιβλέπεσθαι παρὰ τῶν πολλῶν; κενοδοξία ἐστί, καὶ οὐδὲν ἕτερον. ἐπεὶ ἄνελθε εἰς τὴν
οἰκίαν καὶ γενοῦ μόνος, καὶ εὐθέως διερρύη τὸ πᾶν. ἐνέβαλες εἰς τὴν ἀγοράν; ἐπέστρεψας τοὺς
παρόντας; καὶ τί τὸ πλέον; οὐδέν. ἐσβέσθη, καὶ ἀπῆλθεν ὡς καπνὸς διαλυθείς. τῶν οὖν γ. διαχυθεὶς
ἀνυποστάτων οὕτως ἐρῶμεν; καὶ πόσης ταῦτα ἀλογίας, εἰπέ μοι; πόσης ἀνοίας; πρὸς ἓν γ. ἐκ ὧ
τοίνυν ὁρῶμεν μόνον, πῶς ὁ Θεὸς ἐπαινέσῃ. ἂν τοῦτο σκοπῶμεν, οὐδέποτε ζητήσομεν τὰ
παρὰ τῶν ἀνθρώπων, ἀλλὰ κἂν γένηται, καταφρονήσομεν, καταγελασόμεθα, διαπτύσομεν,
ὡς ἂν εἰ χρυσίου μὲν ἐφιέμενοι, πηλὸν δὲ λαμβάνοντες οὕτω διακεισόμεθα. μὴ ἐπαινείτω
σε ὁ δεῖνα· οὐδὲν γὰρ ὠφέλησε. κἂν ψέξῃ, οὐδὲν ἔβλαψεν. ἐπὶ δὲ τοῦ Θεοῦ ταῦτα ἀμφό-
τερα ἔχει καὶ κέρδος καὶ ζημίαν· τὰ δὲ παρὰ τῶν ἀνθρώπων πάντα μάταια. καὶ κατὰ τοῦτο γ. καὶ
ἐξισούμεθα τῷ Θεῷ, ὅτι οὐ δεῖται τῆς παρὰ ἀνθρώπων δόξης ἐκεῖνος. Δόξαν γάρ, φησι, παρὰ
Ἰωαν. ε. μα. ἀνθρώπων οὐ λαμβάνω. μικρὸν μὲν οὖν τοῦτο, εἰπέ μοι; ὅταν μὴ θέλῃς καταφρονεῖν γ. ἢ οἶν
δόξης, εἰπὲ ὅτι τῷ Θεῷ ἴσος γίνομαι καταφρονήσας, καὶ εὐθέως καταφρονήσεις. οὐ γάρ
ἐστιν ἄνθρωποι δόξης δοῦλοι, μὴ πάντων εἶναι δοῦλοι, καὶ αὐτῶν τῶν ἀνδραπόδων δουλικώτε-
ροι. οὐ γὰρ ἐπιτάττομεν τοιαῦτα τοῖς δούλοις τοῖς ἡμετέροις, οἷα ἐκείνη τοῖς ὑπ' αὐτῆς
ἁλοῦσιν. αἰσχρὰ καὶ αἰσχύνης γέμοντα πράγματα καὶ φθέγγεσθαι ποιεῖ καὶ πάσχειν· καὶ μάλι-
στα ὅταν ἴδῃ ὑπακούοντας, ἐπιτείνει μᾶλλον τὰ ἐπιτάγματα. φύγωμεν οὖν, φύγωμεν,
παρακαλῶ, τὴν δουλείαν ταύτην. πῶς δέ, φησι, δυνησόμεθα; ἂν φιλοσοφήσωμεν περὶ
τῶν ἐνταῦθα, ἂν ἴδωμεν ὅτι τὰ παρόντα πράγματα ὄναρ ἐστὶ καὶ σκιά, καὶ οὐδὲν ἕτερον, εὐ-
κόλως αὐτῆς περιεσόμεθα, καὶ οὔτε ἐν τοῖς μικροῖς, οὔτε ἐν τοῖς μεγάλοις ἁλωσόμεθα. ἂν δὲ
μὴ ἐν τοῖς μικροῖς καταφρονῶμεν, καὶ ἐν τοῖς μεγίστοις ῥᾳδίως περιπεσούμεθα. πόρρωθεν οὖν

ἀναστέλλωμεν

ἀναστέλλωμεν αὐτῆς τὰς πηγάς. αὗται δέ εἰσιν ἄνοια, καὶ τὸ ταπεινὴν κεκτῆσθαι ψυχήν· ὡς ἐὰν ὑψηλὸν λάβωμεν φρόνημα, δυνησόμεθα καὶ τῆς παρὰ τῶν πολλῶν τιμῆς καταφρονεῖν, καὶ πρὸς τὸν οὐρανὸν τείνειν τὴν διάνοιαν, καὶ τῶν ἐκεῖ ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. γ. 12 ΕΙΠΕ ΤΙΣ ΕΞ ΑΥΤΩΝ ΙΔΙΟΣ ΑΥΤΩΝ προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.
13 Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, 14 Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

Πολλὰ ἐνταῦθά ἐστι τὰ ζητούμενα, πρῶτον μὲν, τίς ὁ εἰρηκώς· δεύτερον δὲ, τί δήποτε ὁ Παῦλος αὐτοῖς ἐχρήσατο· τρίτον, ὅτι οὐδὲ ὀρθῶς ἔχουσαν μαρτυρίαν παρήγαγε. Φέρε οὖν καὶ ἕτερον προσθέντες οὕτω κἀκείνων τὴν λύσιν ἐπαγάγωμεν. καὶ γὰρ ὅτε τοῖς Ἀθηναίοις διελέγετο, μεταξὺ τῆς δημηγορίας φησὶν, Ἀγνώστῳ Θεῷ· καὶ πάλιν, --- Τοῦ γὰρ καὶ γένος ἐσμὲν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν. Ἐπιμενίδης οὖν ἐστιν ὁ εἰρηκὼς, Κρὴς καὶ αὐτὸς ὤν· ἀλλὰ πόθεν κινούμενος, ἀναγκαῖον εἰπεῖν τὴν ὑπόθεσιν πρὸς ὑμᾶς. ἔχει δὲ οὕτως. Οἱ Κρῆτες τάφον ἔχουσι τοῦ Διὸς ἐπιγράφοντα τοῦτο· Ἐνταῦθα Ζὰν κεῖται, ὃν Δία κικλήσκουσι. διὰ ταύτην οὖν τὴν ἐπιγραφὴν ὁ ποιητὴς ψεύστας τοὺς Κρῆτας κωμῳδῶν, προσιὼν πάλιν ἐπάγει, αὔξων μᾶλλον τὴν κωμῳδίαν· --- Καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο

Κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες, ἐσσὶ γὰρ αἰεί.

Εἰ τοίνυν αὕτη ἡ μαρτυρία ἀληθὴς, ὅρα τὸν κίνδυνον ὅσος. εἰ γὰρ ἀληθὴς ὁ ποιητὴς εἰπὼν ὅτι ἐψεύσαντο, τεθνηκέναι τὸν Δία εἰπόντες, ὡς φησιν ὁ ἀπόστολος, μέγας ὁ κίνδυνος. Προσέχετε, ἀγαπητοὶ, μετὰ πολλῆς τῆς ἀκριβείας. εἶπεν ὁ ποιητὴς, ὅτι ψεύδονται οἱ Κρῆτες οἱ τὸν Δία εἰπόντες τετελευτηκέναι· ἐβεβαίωσε τὴν μαρτυρίαν αὐτοῦ ὁ ἀπόστολος. οὐκοῦν κατὰ τὸν ἀπόστολον ἀθάνατος ὁ Ζεύς. αὕτη γὰρ, φησὶν, ἡ μαρτυρία ἀληθής ἐστι. τί οὖν ἐροῦμεν; μᾶλλον δὲ πῶς ἐστι τοῦτο ἐπιλύσασθαι; οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ' ἁπλῶς οὕτως ἔλαβε τὴν μαρτυρίαν καὶ ἀφελῶς πρὸς τὸ ἦθος αὐτῶν τὸ ἐψευσμένον. διὰ τί γὰρ μὴ ἐπήγαγε τὸ, Καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο; ὥστε οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ' ὅτι καλῶς ὁ δεῖνα εἶπεν, ὅτι ψεῦσταί εἰσιν οἱ Κρῆτες. οὐκ ἐντεῦθεν δὲ μόνον ἰσχυριζόμεθα, ὅτι οὐκ ἔστι Θεὸς ὁ Ζεύς. ἔνεστι γὰρ καὶ ἑτέρωθεν πολλαχόθεν κατασκευάζοντας, οὐχὶ ἀπὸ τῆς τῶν Κρητῶν μαρτυρίας, τοῦτο σαφῶς ἀποδεῖξαι· ἄλλως δὲ οὐκ ἐν τούτῳ εἶπεν αὐτοὺς ψεύδεσθαι. μᾶλλον δὲ εἰκὸς καὶ τοῦτο ἐψεῦσθαι αὐτούς. καὶ γὰρ καὶ ἄλλους ἐνόμιζον θεούς. διὰ τοῦτο ὁ ἀπόστολος ψεύστας αὐτοὺς εἶπεν. ἀλλὰ τὸ ζητούμενον, τί δήποτε ἀπὸ τῶν ἑλληνικῶν ἄγει τὰς μαρτυρίας; ὅτι μάλιστα τούτοις ἐντρέπομεν αὐτοὺς, ὅταν οἴκοθεν ἐνέγκωμεν τὰς μαρτυρίας, καὶ τὰς κατηγορίας, ὅταν τοὺς παρ' αὐτοῖς θαυμαστοὺς, τούτους ἐπιστήσωμεν αὐτοῖς αἰτιωμένους. διὰ τοῦτο καὶ ἑτέρωθι κέχρηται λέγων, Ἀγνώστῳ Θεῷ. Οἱ γὰρ Ἀθηναῖοι ἐπεὶ οὐκ ἐξ ἀρχῆς τοὺς θεοὺς πάντας παρέλαβον, ἀλλὰ κατὰ χρόνους, καὶ ἄλλους τινὰς, ὡς τὰ ἐκ τῶν Ὑπερβορέων, ὡς τὰ τοῦ Πανὸς, ὡς τὰ μητρῷα, ὡς τὰ μεγάλα μυστήρια ἐπήγαγον ὕστερον· οὗτοι στοχαζόμενοι ἀπὸ τούτων, ὅτι εἰκὸς καὶ ἄλλον εἶναι Θεὸν, ὑπ' αὐτῶν δὲ ἠγνοῆσθαι, ἵνα καὶ περὶ ἐκεῖνον ὦσιν εὐκαθοσίωτοι, τοῦτο βωμὸν ἔστησαν ἐπιγράψαντες, Ἀγνώστῳ Θεῷ, μονονουχὶ τοῦτο δηλοῦντες, καὶ εἴ τις ἄγνωστος εἴη Θεός. εἶπεν οὖν, ὅτι Οἱ προλαβόντες ὑμεῖς ἐ-

πίγνωτε

γ. κἀκείνων

Πραξ. ιζ. κγ. κη.

ἰα. ἐπίγραμμα

γ. προφήτης,

Πραξ. ιζ. κγ.

πίζοντες, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. τὸ δὲ --- Τοῦ γὰρ καὶ γένος ἐσμὲν, περὶ τοῦ Διὸς εἴρηται τῷ Ἀράτῳ· ὃς ἐπεὶ ἀρχόμενος εἶπε, Μεσταὶ δὲ Διὸς μὲν ἀγυιαὶ, μεσταὶ δὲ θάλασσαι, τότε ἐπήγαγε τὸ --- Τοῦ γὰρ καὶ γένος ἐσμὲν, δεικνὺς οἶμαι κἀκεῖνος ὅτι γεγόναμεν ἐκ Θεοῦ. πῶς οὖν ὁ Παῦλος τὰ περὶ τοῦ Διὸς εἰρημένα εἰς τὸν Θεὸν τῶν ὅλων εἵλκυσεν; οὐ τὰ περὶ τοῦ Διὸς εἰρημένα εἵλκυσεν εἰς τὸν Θεὸν, ἀλλὰ τὰ προσήκοντα τῷ Θεῷ, καὶ οὐ γνησίως, οὐδὲ κυρίως ἐπιτεθέντα τῷ Διῒ, ταῦτα ἀποδίδωσι τῷ Θεῷ· ἐπεὶ καὶ τὸ, Θεὸς, ὄνομα αὐτοῦ μόνου ἐστὶ, καὶ παρανόμως ἐπίκειται τοῖς εἰδώλοις. ἀλλὰ πόθεν ἐχρῆν αὐτοὺς διαλεχθῆναι; ἀπὸ τῶν προφητῶν; ἀλλ' οὐκ ἂν ἐπίστευσαν· ἐπεὶ καὶ Ἰουδαίοις οὐδὲν ἀπὸ τῶν εὐαγγελίων φθέγγεται, ἀλλ' ἀπὸ τῶν προφητῶν. διὰ τοῦτό φησιν, Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον. τοῦτο καὶ ὁ Θεὸς ποιεῖ ἐπὶ τῶν μάγων, οὐ δι' ἀγγέλου αὐτοὺς ἄγει, οὐ διὰ προφήτου, οὐ δι' ἀποστόλου, οὐ δι' εὐαγγελιστοῦ, ἀλλὰ πόθεν; διὰ ἄστρου. ἐπειδὴ γὰρ περὶ ταῦτα τὴν τέχνην εἶχον, ἐκεῖθεν αὐτοὺς εἵλκυσε. πάλιν ἐπὶ τῶν βοῶν ἐπὶ τῆς κιβωτοῦ, Ἐὰν πορευθῶσι, φησὶ, τὴν δὲ τὴν ὁδὸν, ἀληθής ἐστιν ἡ τοῦ Θεοῦ ἀγανάκτησις, καθάπερ οἱ μάντεις ὑπέθεντο. οὐκοῦν ἀληθεύουσιν οἱ μάντεις; ἄπαγε· ἀλλ' ἀπὸ τῶν οἰκείων στομάτων αὐτοὺς ἐλέγχει καὶ καταπλήττει. πάλιν ἐπὶ τῆς ἐγγαστριμύθου. καὶ γὰρ ἐπειδὴ ταύτῃ ἐπίστευε, διὰ ταύτης ἐποίησεν ἀκοῦσαι τὸν Σαοὺλ τὰ μέλλοντα αὐτὸν καταλαμβάνειν. τίνος οὖν ἕνεκεν ἐπεστόμισε τὸν δαίμονα ὁ Παῦλος τὸν λέγοντα, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας; τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς κωλύει τοὺς δαίμονας φθέγγεσθαι; ἐκεῖ μὲν εἰκότως. καὶ γὰρ τὰ σημεῖα προεχώρει. ἐπεὶ καὶ ἐνταῦθα οὐκ ἀστὴρ ἦν, ἀλλ' αὐτὸς ἑαυτὸν ἐκήρυττε, καὶ οἱ δαίμονες δὲ οὐ προσεκύνουν. οὐκ ἦν γὰρ εἴδωλον τὸ φθεγγόμενον, ἵνα κωλυθῇ. καὶ τὸν Βαλαὰμ δὲ εἴασεν εὐλογῆσαι, καὶ οὐκ ἐκώλυσεν. οὕτω πανταχοῦ συγκαταβαίνει. καὶ τί τοῦτο θαυμάζεις; αὐτὸς περὶ ἑαυτοῦ ἀφίησι δόξας πονηρὰς καὶ ἀναξίους ἑαυτοῦ ἱστᾶσθαι, ὅτι σῶμα ἦν πρότερον, ὅτι ὁρατός. πρὸς τοῦτο γοῦν λέγει, Πνεῦμα ὁ Θεός. πάλιν ὅτι χαίρει ταῖς θυσίαις (ὅπερ ἦν ἀλλότριον αὐτοῦ) καὶ ῥήματα φθέγγεται ἀπᾴδοντα αὐτοῦ τῆς ὁμολογίας, καὶ ὅσα τοιαῦτα. οὐδαμοῦ γὰρ αὐτὴν ἀξίαν ὁρᾷ τὴν αὐτοῦ, ἀλλὰ πανταχοῦ τὸ ἡμῖν χρήσιμον. εἰ γὰρ πατὴρ οὐχ ὁρᾷ τὴν ἀξίαν τὴν ἑαυτοῦ, ἀλλὰ συμψελλίζει τοῖς παιδίοις, καὶ τροφὴν καὶ ἐνδύματα καὶ πόματα οὐχ ἑλληνικοῖς ὀνόμασι καλεῖ, ἀλλὰ παιδικῇ τινι διαλέξει καὶ βαρβάρῳ, πολλῷ μᾶλλον ὁ Θεός· καὶ ὀνειδίζει συγκαταβατικῶς διὰ τοῦ προφήτου λέγων, Εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν. καὶ πανταχοῦ συγκατάβασίς ἐστι τὰ ἐν ταῖς γραφαῖς καὶ ῥήματα καὶ πράγματα. δι' ἣν αἰτίαν, φησὶν, ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσι τῇ πίστει. διὰ τοῦτό φησιν, ἐπειδὴ ἦθος αὐτοῖς ἐστιν ἰταμὸν καὶ δόλερον καὶ ἀκόλαστον. τὰ δὲ μυρία κακὰ αὐτοὶ ἔχουσιν. ὅταν καὶ ψεύδωνται προχείρως, καὶ δόλεροι ὦσι, καὶ γαστρίμαργοι, καὶ ἀργοὶ, σφοδροῦ καὶ πληκτικοῦ τοῦ λόγου δεῖ. προσηνείᾳ γὰρ οὐκ ἂν ἀχθείη ὁ τοιοῦτος· ἔλεγχε οὖν αὐτούς. ἐνταῦθα οὐ τοὺς ἀλλοτρίους φησὶν, ἀλλὰ τοὺς οἰκείους. ἀποτόμως. βαθυτέραν, φησὶ, δίδου τὴν πληγήν. οὐ γὰρ πᾶσιν ἑνὶ τρόπῳ προσενεκτέον, ἀλλὰ διαφόρως καὶ ποικίλως, καὶ πρὸς τὰ ὑποκείμενα. οὐδαμοῦ παρακαλεῖ ἐνταῦθα. ὥσπερ γὰρ ὁ τὸν ἐπιεικῆ καὶ εὐγενῆ πλήττων ἀναιρεῖ καὶ ἀπόλλυσιν, οὕτως ὁ τὸν δεόμενον σφοδρότητος κολακεύων διαφθείρει, καὶ οὐκ ἀφίησι διαναστῆναι. ἵνα ὑγιαίνωσι, φησὶν, ἐν τῇ πίστει. ἄρα τοῦτο ὑγεία, τὸ μηδὲν νόθον, μηδὲ ἀλλότριον ἐπεισάγειν. εἰ δὲ οἱ βρώματα παρατηροῦντες οὐχ ὑγιαίνουσιν, ἀλλὰ νοσοῦσι καὶ ἀσθενοῦσι (Τὸν γὰρ ἀσθενοῦντα, φησὶ, τῇ πίστει προσλαμβάνεσθε μὴ εἰς διακρίσεις διαλογισμῶν) τί ἂν εἴποι τις περὶ τῶν τὰ αὐτὰ νηστευόντων αὐτοῖς; περὶ τῶν σαββατιζόντων; περὶ τῶν εἰς τόπους ἀπερχομένων ἐκείνοις ἀφιερωμένους; τὴν ἐν Δάφνῃ λέγω, τὸ τῆς Ματρώνης λεγόμενον σπήλαιον, τὸ

Marginal references (left): α. Κορ. θ. κα. — Ματ. β. — α. Βασ. ϛ. θ. — α. Βασ. κη. η. — Πράξ. ιϛ. ζ. — Μαρκ. α. κε. — Λουκ. δ. λε. — Ἀριθ. κγ. — Ἰωάν. δ. κδ. — Ἱερ. β. ια. — Ῥωμ. ιδ. α.

Marginal variants (right): γ. μόνη — γ. Χριστιανήν — γ. ὅτι — γ. διατηροῦντες — γ. εἴποιμι

ἐν Κιλικίᾳ τόπον τὸν τοῦ Κρόνου λεγόμενον. πῶς δὲ οὗτοι ὑγιανοῦσι; διὸ χρὴ σφοδροτέρας αὐτοῖς τῆς πληγῆς. διὰ τί οὖν ἐπὶ Ῥωμαίων αὐτὸ οὐ ποιεῖ; ὅτι οὐ τοιαῦτα τὰ ἤθη ἐκείνων, ἀλλ' εὐγενέστεροι ἐτύγχανον. μὴ προσέχοντες, φησὶν, Ἰουδαϊκοῖς μύθοις. διπλῆ ἡ μῦθος τὰ Ἰουδαϊκά, καὶ ὅτι παράποίησις, καὶ ὅτι παρὰ καιρὸν τὸ πρᾶγμα. λοιπὸν γὰρ μῦθος γίνεται. ὅταν γὰρ μὴ δέῃ αὐτὸ γίνεσθαι, καὶ γινόμενον βλάπτῃ, μῦθός ἐστιν [ὥσπερ ἄχρηστόν ἐστιν]. ὥσπερ οὖν ἐκείνοις οὐ δεῖ προσέχειν, οὕτως οὐδὲ τούτοις. οὐ γάρ ἐστιν ὑγιαίνειν. εἰ γὰρ πιστεύεις τῇ πίστει, τί ἕτερα ἐπεισάγεις, ὡς οὐκ ἀρκούσης τῆς πίστεως δικαιῶσαι; τί καταδουλοῖς ἑαυτὸν καὶ ὑποβάλλεις τῷ νόμῳ; οὐ θαῤῥεῖς τῷ πράγματι; τοῦτο νοσοῦντός ἐστι καὶ ἀπιστοῦντος. πιστῆς γὰρ διανοίας μὴ ἀμφιβάλλειν· ἀμφιβάλλει δὲ ὁ τοιοῦτος.

15 Πάντα μὲν, φησὶ, καθαρὰ τοῖς καθαροῖς. Ὁρᾷς ὅτι πρὸς τί ἐστι τὸ εἰρημένον; Τοῖς δὲ μεμιαμμένοις, φησὶ, καὶ ἀπίστοις οὐδὲν καθαρόν. Οὐκ ἄρα παρὰ τὴν οἰκείαν φύσιν καθαρὰ ἢ ἀκάθαρτα, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν μεταλαμβανόντων. Ἀλλὰ μεμίανται αὐτῶν, φησὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.

χ. πῶς

16 Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. Οὐκοῦν καὶ ὁ ἰχθὺς καθαρόν. τί οὖν ὡς ἀκάθαρτον ἀπηγόρευται; οὐ τῇ φύσει ἀκάθαρτον ἦν. πάντα γὰρ καθαρά· ἐπεὶ οὐδὲν ἰχθύος ἀκαθαρτότερον, ὅπου γε καὶ ἀνθρωπίνων ἀπογεύεται σωμάτων· ἀλλ' ἐπετέτακτο, καὶ καθαρὸν εἶναι ἐδόκει. πάλιν οὐδὲν ὄρνιθος ἀκαθαρτότερον. σκώληκας γὰρ ἐσθίει· οὐδὲν * ἐλάφου· καὶ γὰρ καὶ παρὰ τοῦτό φασιν αὐτὸν καλεῖσθαι ἔλαφον, διὰ τὸ ὄφεις ἐσθίειν· ἀλλὰ πάντα ταῦτα ἠσθίετο. τίνος οὖν ἕνεκεν τότε μὲν καὶ ἕτερα τινὰ τοιαῦτα ἀπηγόρευσεν; οὐχ ὡς ἀκάθαρτα, ἀλλὰ τὸ πλέον τῆς τρυφῆς περικόπτων. ἀλλ' εἰ μὲν τοῦτο εἶπεν, οὐκ ἂν ἐπείσθη· νῦν δὲ τῷ φόβῳ τῆς ἀκαθαρσίας αὐτοὺς κατεῖχε. τί γὰρ, εἰπέ μοι, οἴνου ἀκαθαρτότερον, εἰ ταῦτα ἐξετάζειν χρή; τί δὲ ὕδατος, εἰπέ μοι, ᾧ μάλιστα ἐκαθαίροντο; νεκρῶν οὐχ ἥπτοντο, καὶ νεκρῶν καθηγνίζοντο. τὸ γὰρ σφαζόμενον, νεκρὸν, καὶ τούτῳ ἐκαθαίροντο. οὕτω παίδων ἦν ἡ διδασκαλία. σκόπει δὲ· ὁ οἶνος οὐχὶ ἀπὸ κόπρου τὴν σύστασιν ἔχει; ὥσπερ γὰρ ἀπὸ τῆς γῆς ἕλκει ἡ ἄμπελος τὴν ἰκμάδα, οὕτω καὶ ἀπὸ τῆς κόπρου τῆς παρακειμένης. καὶ ὅλως, εἰ βουλοίμεθα ἀκριβολογεῖσθαι, πάντα ἀκάθαρτα. μᾶλλον δὲ οὐδὲν, εἰ βουλοίμεθα μὴ ἀκριβολογεῖσθαι, ἀκάθαρτον, ἀλλὰ πάντα καθαρά. οὐδὲν ὁ Θεὸς ἀκάθαρτον ἐποίησεν. οὐδὲν γὰρ ἀκάθαρτον, εἰ μὴ ἡ ἁμαρτία μόνη. ψυχῆς γὰρ ἅπτεται, καὶ ταύτην ῥυποῖ. τὸ δὲ ἄλλο πρόληψίς ἐστιν ἀνθρωπίνη. τοῖς δὲ μεμιαμμένοις, φησὶ, καὶ ἀπίστοις οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. πῶς γὰρ ἐν τοῖς καθαροῖς ἀκάθαρτον ἂν εἴη; ὁ ψυχὴν ἔχων ἀσθενῆ, πάντα ῥυποῖ. εἰ δὲ ἐσαπρή τοιοῦτος λογισμὸς τὸ καθαρὸν καὶ τὸ ἀκάθαρτον ζητῶν, οὐδενὸς ἅψεται. οὐδὲ γὰρ ταῦτα καθαρά, ἰχθῦς λέγω, καὶ τὰ ἄλλα κατὰ τὸν αὐτῶν λογισμὸν (μεμίανται αὐτῶν, φησὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις) ἀλλὰ πάντα μιαρά. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; περιέτρεψεν εἰς αὐτοὺς τὸ πᾶν. οὐδὲν γὰρ ἀκάθαρτον, φησὶν, ἀλλ' αὐτοὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις αὐτῶν. τούτων οὐδέν ἐστιν ἀκαθαρτότερον. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

κεφ. β.

1 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Τοῦτό ἐστιν ἀκαθαρσία. αὐτοί εἰσιν ἀκάθαρτοι· ἀλλὰ μὴ τούτων ἕνεκεν σιγήσῃς. κἂν μὴ δέχωνται, φησὶ, σὺ τὰ σαυτοῦ πρᾶττε· κἂν μὴ πείθωνται, σὺ παραίνει καὶ συμβούλευε. ἐνταῦθα πλέον αὐτοὺς διαβάλλει. καὶ γὰρ οἱ μαινόμενοι οὐδὲν νομίζουσιν ἑστηκέναι· ἀλλ' οὐ παρὰ τὰ ὁρώμενα τοῦτο γίνεται, ἀλλὰ παρὰ τοὺς ὁρῶντας ὀφθαλμούς. ἐπειδὴ ἀστατοί εἰσι καὶ ἰλιγγιῶντες, νομίζουσι περιστρέφεσθαι αὐτοῖς τὴν γῆν, ἀλλ' οὐ περιστρέφεται, ἀλλ' ἕστηκε παγία. τοῦ γὰρ πάθους αὐτῶν ἡ ἀπόνοια, οὐ τοῦ στοιχείου τὸ πάθος. οὕτω καὶ ἐνταῦθα· ὅταν ψυχὴ ἀκάθαρτος ᾖ, πάντα ἀκάθαρτα

θαρτα νομίζει. ἀρχὴ οὖν οὐ τὸ παρατηρεῖσθαι, καθαρότητος· ἀλλὰ καθαρότητος τὸ πάντων κατατολμᾶν. ὁ γὰρ φύσει καθαρὸς, πάντων κατατολμᾷ· οἱ δὲ ἐρρυπωμένοι, οὐδαμῶς. τοῦτο καὶ πρὸς Μαρκίωνά ἐστιν εἰπεῖν. ὁρᾷς ὅτι καθαρότητος τεκμήριον τίθεται τὸ πάντως ῥύπου ἀνώτερον εἶναι, τὸ δὲ μηδενὸς ἅπτεσθαι, ἀκαθαρσίας; οὕτω καὶ ἐπὶ Θεοῦ. ὅτι σάρκα ἀνέλαβε; τοῦτο καθαρότητος· εἰ δὲ δεδοικὼς οὐκ ἀνέλαβε, ῥύπου. ὁ τὰ δοκοῦντα εἶναι ἀκάθαρτα μὴ ἐσθίων, οὗτός ἐστιν ἀκάθαρτος καὶ ἀσθενής· ὁ δὲ ἐσθίων, οὐκέτι. μὴ καθαροὺς τοίνυν καλῶμεν τοὺς τοιούτους· οὗτοί εἰσιν οἱ ἀκάθαρτοι· ὁ δὲ πάντων κατατολμῶν, καθαρός. ταύτην τὴν εὐλάβειαν ἐπὶ τῶν ῥυπούντων τὴν ψυχὴν ἐπιδείκνυσθαι χρή. ἐκεῖνο γὰρ ἀκαθαρσία, ἐκεῖνο ῥύπος· τοῦτο δὲ οὐδὲν τούτων. ἐπεὶ καὶ οἱ σῶμα ἔχοντες διεφθαρμένον νομίζουσι τὰ προσφερόμενα ἀκάθαρτα εἶναι, τοῦτο δὲ τοῦ πάθους ἐστί. χρὴ τοίνυν τῶν καθαρῶν σφόδρα εἰδέναι καὶ τῶν ἀκαθάρτων τὴν φύσιν.

ΗΘΙΚΟΝ

Τί οὖν ἐστιν ἀκάθαρτον; ἁμαρτία, κακία, πλεονεξία, πορνεία. [γ. πονηρία] [Ἡσ. α. ιϛ.] Λούσασθε, φησί, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν. [Ψαλ. ν ια.] Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. [Ἡσ. νβ. ια.] Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, φησί, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· ἐπεὶ καὶ αἱ παρατηρήσεις ἐκεῖναι σύμβολα ἦσαν καθαρσιῶν. [Λευϊτ. ι. λθ.] Νεκροῦ, φησί, μὴ ἅψῃ· τοιοῦτον γὰρ ἡ ἁμαρτία, νεκρὸν καὶ ὀδῶδός. [Λευϊτ. ιγ. κ. ιγ.] Ὁ λεπρὸς, φησίν, ἀκάθαρτός ἐστι. καὶ γὰρ ἡ ἁμαρτία, ποικίλον καὶ πολυειδές. καὶ ὅτι τοῦτο αἰνίττεται, ἐκ τῶν ἑξῆς δῆλον. ἐὰν γὰρ ᾖ διαπαντὸς ἡ λέπρα καὶ καθ' ὅλου τοῦ σώματος, καθαρός ἐστιν· ἐὰν δὲ ἐν μέρει, οὐκέτι. ὁρᾷς ὅτι τὸ ποικίλον καὶ ἐνηλλαγμένον ἐστὶ τὸ ἀκάθαρτον; πάλιν ὁ γονορρυὴς ἀκάθαρτος· ἐν τῇ ψυχῇ [γ. ἀκάθαρτος] λόγισαι τὸν γονορρυῆ, τὸν τὰ σπέρματα ἀποβάλλοντα. ὁ μὴ περιτμηθεὶς πάλιν ἀκάθαρτος. ὁρᾷς πῶς οὐκ ἔστι ταῦτα δηγηγεία, ἀλλὰ τύποι; ὁ μὴ περιελὼν, φησὶ, τῆς ψυχῆς τὴν κακίαν. ὁ ἐργαζόμενος ἐν τῷ σαββάτῳ, λιθάζεται· τουτέστιν, ὁ μὴ διαπαντὸς ἀνακείμενος τῷ Θεῷ, οὗτος ἀπόλλυται. Εἴδετε πόσοι τρόποι ἀκαθαρσιῶν; [Λευϊτ. ιβ. β.] ἡ ἀπὸ λεχοῦς, φησίν, ἀκάθαρτός ἐστι. διὰ τί, εἰπέ μοι; οὐχὶ ἄρσεν καὶ γέννησιν αὐτὸς ἐποίησε; τίνος οὖν ἕνεκεν ἀκάθαρτος ἡ γυνή, εἰ μὴ ἐπειδὴ τι ᾐνίττετο; τί δὲ τοῦτό ἐστιν; εὐλαβεῖσθαι ἐνέβαλε τῇ [γ. διὰ] ψυχῇ, τῆς πορνείας ἀπήγαγε πόῤῥω. εἰ γὰρ ἡ τικοῦσα ἀκάθαρτος, πολλῷ μᾶλλον ἡ πορνεύουσα. εἰ τὸ τῇ γυναικὶ τῇ ἑαυτοῦ πλησιάζειν οὐ σφόδρα καθαρὸν, τὸ ἀλλοτρίᾳ μίγνυσθαι πολλῷ μᾶλλον. [Λευϊτ. κα. α.] Ὁ ἀπὸ κήδους, φησὶν, ἀκάθαρτος· πολλῷ μᾶλλον ὁ ἀπὸ φόνου καὶ πολέμου. καὶ πολλοὺς ἂν εὕροι τις τρόπους ἀκαθαρσιῶν, εἴγε δὴ πάντας ἀναλέγεσθαι. [γ. αἰσχύνεσθαι] ἀλλ' οὐ νῦν ταῦτα ἀπαιτούμεθα, ἀλλὰ μετέστη εἰς τὴν ψυχὴν τὸ πᾶν. τὰ γὰρ σωματικὰ ἐλύτρω ἡμῶν· διὰ τοῦτο ἀπὸ τούτου ἐνήγαγεν, ἀλλ' οὐ νῦν. οὐ γὰρ ἔδει προσκαθέζεσθαι τοῖς τύποις, οὐδὲ προσεδρεύειν ταῖς σκιαῖς, ἀλλὰ τῆς ἀληθείας ἔχεσθαι, καὶ ταύτης ἀντιλαμβάνεσθαι. ἀκάθαρτον ἡ ἁμαρτία, ταύτην φεύγωμεν, ταύτης ἀπεχώμεθα. [Σειρ. κα. β.] Ἐὰν προσέλθῃς, φησί, πρὸς αὐτὴν, δήξεταί σε. οὐδὲν πλεονεξίας ἀκαθαρτότερον. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν πραγμάτων. τί γὰρ οὐ μιαίνει, χεῖρας, ψυχὴν, αὐτὴν τὴν οἰκίαν, ἔνθα ἀπόκειται τὰ ἁρπαζόμενα; παρὰ Ἰουδαίοις μὲν οὖν οὐδὲν τοῦτο εἶναι δοκεῖ. καίτοι ὀστᾶ ἐβάστασεν ὁ Μωϋσῆς τοῦ Ἰωσὴφ, καὶ ὁ Σαμψὼν ἀπὸ σιαγόνος ὅθεν ἔπιε, καὶ ἀπὸ λέοντος μέλι ἔφαγε, καὶ Ἠλίας ἀπὸ κοράκων ἐτρέφετο, καὶ παρὰ γυναικὸς χήρας. [γ. διὰ] τί δὲ, εἰπέ μοι, εἰ τούτων ἕνεκεν ἀκριβολογεῖσθαι χρὴ, τὰ δέρματα τῶν βιβλίων αὐτῶν οὐ πάντων ἦν ἐναγέστερα; καὶ γὰρ ἀπὸ νεκρῶν ζώων ἐστίν. οὐχὶ ὁ πόρνος τοίνυν ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ἕτεροι τούτου μᾶλλον, καὶ ὁ μοιχὸς ἀκάθαρτος· ἀκάθαρτος δὲ καὶ οὗτος κἀκεῖνος οὐ διὰ τὴν μίξιν (ἐπεὶ κατὰ τοῦτον τὸν λόγον καὶ ὁ γυναικὶ ἰδίᾳ πλησιάζων, ἀκάθαρτος) ἀλλὰ διὰ τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν, ὅτι τὸν ἀδελφὸν ἐπλεονέκτησεν ἐν τοῖς ἀναγκαιοτάτοις. ὁρᾷς ὅτι ἡ κακία ἀκάθαρτον;

γ. πολλὰς

τον; καὶ ὁ μὲν δύο γυναῖκας ἔχων οὐκ ἦν ἀκάθαρτος, καὶ πολλὰς ἔχων ὁ Δαβὶδ οὐκ ἦν ἀκάθαρτος· ἐπειδὴ δὲ μίαν ἔσχε παρανόμως, ἀκάθαρτος γέγονε. διὰ τί; ὅτι ἠδίκησεν, ὅτι ἐπλεονέκτησε. καὶ ὁ πόρνος δὲ οὐ διὰ τοῦτο ἀκάθαρτος διὰ τὴν μίξιν, ἀλλὰ διὰ τὸν τρόπον, ὅτι ἀδικεῖ τὸ γύναιον, καὶ ἀλλήλους ἀδικοῦσι τὴν γυναῖκα ποιοῦντες κοινὴν, καὶ τοὺς τῆς φύσεως ἀνατρέποντες νόμους. ἑνὸς γὰρ αὐτὴν ἔδει εἶναι. Ἄρσεν γὰρ, φησὶ, καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εἶπεν, Ἔσονται οἱ δύο εἰς σάρκα μίαν· οὐχ οἱ πολλοὶ, ἀλλ' οἱ δύο εἰς σάρκα μίαν. καὶ ἐνταῦθα τοίνυν ἀδικία ἐστὶ, καὶ διὰ τοῦτο πονηρὸν τὸ πρᾶγμα. ὁ θυμὸς πάλιν ὅταν ὑπερβῇ τὰ μέτρα, ἀκάθαρτον ποιεῖ τὸν ἄνθρωπον, οὐ διὰ τὴν ὀργὴν, ἀλλὰ διὰ τὸν τρόπον· ἐπεὶ καὶ τοῦτο πρόσκειται, Ὁ ὀργιζόμενος, οὐχ ἁπλῶς, ἀλλὰ εἰκῆ. ὥστε πάντα παρὰ τὸ τοῦ πλείονος ἐφίεσθαι, ἀκάθαρτα. ἀπὸ γὰρ ἀπληστίας καὶ τοῦ ἀκορέστου τὸ πρᾶγμα τίκτεται. νήφωμεν τοίνυν, παρακαλῶ, καθαροὶ γενώμεθα τὴν ἀληθῆ καθαρότητα, ἵνα τὸν Θεὸν ἰδεῖν καταξιωθῶμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Γεν. α. κζ. β. κδ. Ματθ. ε. κβ.

Λογ. δ. 2 ΠΡΕΣΒΥΤΑΣ ΝΗΦΑΛΙΟΥΣ ΕΙΝΑΙ, σεμνοὺς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ·

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,

4 Ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους,

5 Σώφρονας, ἁγνὰς, οἰκουροὺς, ἀγαθὰς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

γ. Ἐστιν ἀπὸ γήρως ἐλαττώματα ὑ-χων, τί νωθρὸν καὶ ὀκνηρὸν, τί ληθαργικόν,

Ἔστιν ἃ καὶ τὸ γῆρας ἐλαττώματα ἔχει, ἃ οὐκ ἔχει ἡ νεότης. καὶ ἔχει μέν τινα καὶ τὰ τῆς νεότητος· ἔχει δὲ ὅμως καὶ τὸ νωθρὸν, τὸ ὀκνηρὸν, τὸ ληθαργικὸν, τὸ ἀμβλὺ, τὸ ἀκρόχολον. διὰ τοῦτο περὶ τούτων παραγγέλλων φησί· πρεσβύτας εἶναι νηφαλίους. πολλὰ γάρ ἐστι τὰ ποιοῦντα μὴ νήφειν τὴν ἐν ἡλικίᾳ τοιαύτῃ· καὶ πρῶτον αὐτὸ, ὅπερ ἔφην, τὸ πάντα γέρον ἀμβλύνεσθαι, καὶ δυσκόλως διεγείρεσθαι, καὶ δυσκόλως κινεῖσθαι. διὸ καὶ ἐπάγει, σεμνοὺς, σώφρονας. ἐνταῦθα τοὺς φρονίμους φησί. σωφροσύνη γὰρ τοῦτο λέγεται ἡ τῶν φρενῶν σωτηρία. Εἰσὶ γὰρ, εἰσὶ καὶ ἐν τοῖς γεγηρακόσιν λυττῶντες ἄνθρωποι, παράφρονες, οἱ μὲν ὑπὸ οἴνου, οἱ δὲ ὑπὸ λύπης. μικροψύχους γὰρ τὸ γῆρας ποιεῖ. ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. καὶ καλῶς εἴρηκε, τῇ ὑπομονῇ· καὶ τοῦτο γὰρ μάλιστα τοῖς γέρουσιν ἁρμόζει. πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, τουτέστιν, ἀπ' αὐτοῦ τοῦ σχήματος καὶ τῆς καταστολῆς δεικνυμένας τὴν κοσμιότητα. μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας. μάλιστα γὰρ τοῦτο γυναικῶν τὸ ἐλάττωμα καὶ τοῦ γήρως. τῷ γὰρ κατεψῦχθαι τὰς ἡλικίας πολλὴ καὶ τούτου γίνεται ἡ ἐπιθυμία. ὅθεν καὶ περὶ τούτου μάλιστα τὴν παραίνεσιν πρὸς αὐτὰς ποιεῖται, πάντα χόθεν τὴν μέθην ἐκκόπτων, καὶ τοῦ νοσήματος τούτου ἐκτὸς αὐτὰς εἶναι βουλόμενος, καὶ διαφυγεῖν τὸν ἐντεῦθεν γέλωτα. καὶ γὰρ εὐκολώτερον καὶ οἱ κάτωθεν ἀτμοὶ ἀναφέρονται, καὶ αἱ μήνιγγες τὴν βλάβην δέχονται τῷ πεπαλαιῶσθαι αὐτὰς τῷ χρόνῳ. καὶ ἐντεῦθεν ἡ μέθη μάλιστα γίνεται. δεῖ μὲν οὖν οἴνου τῇ ἡλικίᾳ ταύτῃ μάλιστα (ἀσθενὴς γὰρ) δεῖ δὲ οὐ πολλοῦ, ὥσπερ οὐδὲ ταῖς νέαις, οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλὰ διὰ τὸ σφόδρα τὴν φλόγα τῆς ἐπιθυμίας ἀνάπτεσθαι. καλοδιδασκάλους. καὶ μὴν κωλύεις γυναῖκας διδάσκειν. πῶς οὖν ἐνταῦθα ἐπιτρέπεις, ἐν τοῖς ἑτέρωθι λέγων, Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω; ἀλλ' ἄκουε τί ἐπήγαγεν, Οὐδὲ αὐθεντεῖν ἀνδρός. ἀνδράσι μὲν γὰρ ἐπιτέτραπται διδάσκειν ἄνωθεν καὶ ἄνδρας καὶ γυναῖκας, γυναιξὶ δὲ α. Τιμ. β. ιβ.

γ. λυπουμένοις

γ. παράφρονες

γ. τῆς ἐπιθυμίας

τὴν μὲν παραινετικὴν ἐπιτρέπει λόγον ἐπ' οἰκίας, οὐδαμοῦ δὲ προκαθῆσθαι συγχωρεῖ, οὐδὲ μακρὸν ἀποτείνειν λόγον ἀφίησι. διὰ τοῦτο ἐπήγαγεν, οὐδὲ αὐθεντεῖν ἀνδρός. ἵνα σωφρονίζωσι, φησὶ, τὰς νέας. ὁρᾷς πῶς συμπλέκει καὶ συνάγει τὸν λαόν; πῶς ὑποτάττει τὰς νεωτέρας ταῖς γεγηρακυίαις; οὐ γὰρ περὶ θυγατέρων ἐνταῦθα διαλέγεται, ἀλλ' ἁπλῶς ἀπὸ τῆς ἡλικίας. ἑκάστη, φησὶ, πρεσβυτέρα τὴν νεωτέραν σωφρονιζέτω. φιλάνδρους εἶναι. τὸ κεφάλαιον τοῦτο τῶν κατὰ τὴν οἰκίαν ἀγαθῶν. (Σειρ. κε. β.) Γυνὴ γὰρ, φησὶν, ἀνδρὶ συμπεριφερομένη. (γρ. [illegible]) τούτου γὰρ ὄντος, οὐδὲν τῶν ἀηδῶν συμβήσεται. πῶς γὰρ, τῆς κεφαλῆς πρὸς τὸ σῶμα συνηθείας καὶ μηδεμιᾶς ἐκεῖ διαστάσεως οὔσης, οὐ πάντα τὰ λοιπὰ εἰρηνεύσεται; τῶν γὰρ ἀρχόντων ἐν εἰρήνῃ ὄντων, τίς ὁ διαιρῶν καὶ διατέμνων τὴν εἰρήνην; ὥσπερ αὖ τούτων κακῶς διακειμένων, οὐδὲν ὑγιὲς ἔσται κατὰ τὴν οἰκίαν. οὐδὲν οὖν τούτου μεῖζον καὶ χρημάτων καὶ εὐγενείας καὶ δυναστείας καὶ τῶν ἄλλων ἁπάντων τοῦτο λυσιτελέστερον. οὐκ εἶπεν ἁπλῶς, ἐν εἰρήνῃ εἶναι, ἀλλὰ, φιλάνδρους. ὅταν γὰρ ἀγάπη ᾖ, οὐδὲν τῶν δυσκόλων παρεισδύσιν ἕξει. ἀπὸ ταύτης γὰρ καὶ τὰ λοιπὰ τίκτεται ἀγαθά. φιλοτέκνους, φησί. καλῶς. (γρ. διὸ) ἡ γὰρ τὴν ῥίζαν ἀγαπῶσα, πολλῷ μᾶλλον καὶ τοὺς καρπούς. σώφρονας, ἁγνὰς, οἰκουργοὺς, ἀγαθάς. πάντα ἀπ' ἐκείνης τίκτεται. καὶ γὰρ ἀγαθαὶ καὶ οἰκουργοὶ ἀπὸ τῆς ἀγάπης καὶ τῆς περὶ τὸν ἄνδρα φιλίας γίνονται. ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται· ὡς ἥγε τοῦ ἀνδρὸς καταφρονοῦσα καὶ τῆς οἰκίας ἀμελεῖ. ἀπὸ δὲ τοῦ φιλεῖν καὶ σωφροσύνη πολλὴ τίκτεται, ἀπὸ τοῦ φιλεῖν πᾶσα ἀναιρεῖται φιλονεικία. κἂν Ἕλλην ᾖ, ταχέως πεισθήσεται· κἂν χριστιανὸς, βελτίων ἔσται. ὁρᾷς τοῦ Παύλου τὴν συγκατάβασιν; ὁ πάντα πράττων ὥστε ἡμᾶς ἀποστῆσαι τῶν βιωτικῶν, περὶ τῶν κατὰ τὴν οἰκίαν νῦν πολλὴν ποιεῖται τὴν φροντίδα. τούτων γὰρ καλῶς διοικουμένων, καὶ τὰ πνευματικὰ χώραν ἕξει· ἑτέρως δὲ, κἀκεῖνα λυμαίνεται. ἡ γὰρ οἰκουρὸς γυνὴ καὶ σώφρων ἔσται, ἡ οἰκουργὸς καὶ οἰκονομική· οὔτε περὶ τρυφὴν, οὔτε περὶ * ἐξόδους ἀκαίρους, οὔτε περὶ ἄλλο τι τῶν τοιούτων ἀσχοληθήσεται. (* ἀπείρους) ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ, φησὶ, βλασφημῆται. ὁρᾷς ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζει, οὐχὶ τῶν κοσμικῶν πραγμάτων; καὶ γὰρ πρὸς Τιμόθεον γράφων φησὶν, (α. Τιμ. β. β.) Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· καὶ ἐνταῦθα, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. εἰ γὰρ συμβαίη γυναῖκα πιστὴν ἀπίστῳ συνοικοῦσαν μὴ εἶναι ἐνάρετον, ἡ βλασφημία ἐπὶ τὸν Θεὸν διαβαίνειν εἴωθεν· εἰ δὲ εἴη κοσμία, τὸ κήρυγμα καρποῦται τὴν δόξαν τὴν ἐξ ἐκείνης καὶ τῶν ὑπ' ἐκείνης (γρ. ὑπ') κατορθουμένων. ἀκουέτωσαν αἱ γυναῖκες, ὅσαι μοχθηροῖς ἢ ἀπίστοις συνοικοῦσιν ἀνδράσιν· ἀκουέτωσαν, καὶ παιδευέσθωσαν διὰ τῶν οἰκείων τρόπων ἐνάγειν αὐτοὺς εἰς εὐσέβειαν. κἂν γὰρ μηδὲν ἕτερον κερδάνῃς, μηδὲ ἐφελκύσῃ τὸν ἄνδρα πρὸς τὴν τῶν ὀρθῶν δογμάτων κοινωνίαν, (γρ. διδασκαλίαν) ἀλλὰ τὸ στόμα αὐτοῦ ἀπέρραψας, οὐκ ἐάσεις βλασφημεῖσθαι τὸν χριστιανισμόν. τοῦτο δὲ οὐ μικρὸν, ἀλλὰ καὶ σφόδρα μέγα, θαυμάζεσθαι τὸ δόγμα ἐκ τῆς ἡμετέρας ἀναστροφῆς.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν. Ὅρα πῶς πανταχοῦ παρακαλεῖ τὸ πρέπον φυλάττειν. τῆς μὲν γὰρ εἰς τὰς γυναῖκας διδασκαλίας ταῖς γυναιξὶ τὸ πλέον ἀπένειμε, τὰς γεγηρακυίας ταῖς νεωτέραις ἐπιστήσας· τῶν δὲ ἀνδρῶν τὸ πᾶν αὐτῷ δίδωσι καὶ ἀπονέμει. οὐδὲν γὰρ, οὐδὲν οὕτω δύσκολον καὶ χαλεπὸν τῇ ἡλικίᾳ ταύτῃ γένοιτ' ἄν, ὡς τὸ περιγενέσθαι τῶν ἡδονῶν τῶν ἀτόπων. οὔτε γὰρ χρημάτων ἔρως, οὔτε δόξης ἐπιθυμία, οὔτε ἄλλο οὐδὲν οὕτω ταύτην ἐνοχλεῖ τὴν ἡλικίαν, ὡς ὁ τῶν σωμάτων ἔρως. διὸ πάντα τὰ ἄλλα ἀφεὶς, περὶ τὸ καίριον αὐτῷ τὴν παραίνεσιν ἵστησιν. εἶτα οὐδὲ τῶν ἄλλων ἕνεκεν ῥᾳθυμεῖ, ἀλλὰ τί φησι;

7 Περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων. Διδασκέτωσαν μὲν οὖν,

δὴν, φησὶ, καὶ αἱ πρεσβύτεραι τὰς νεωτέρας, καὶ σὺ δὲ αὐτὸς παρακάλει τοὺς νεωτέρους σωφρονεῖν. ἔστω δὲ κοινὸν πᾶσι διδασκαλεῖον καὶ ὑπόδειγμα ἀρετῆς, ἡ τοῦ σοῦ βίου λαμπρότης. εἰς μέσον πᾶσι προκείσθω, ὥσπερ ἀρχέτυπός τις εἰκὼν, πάντα ἔχουσα ἐν ἑαυτῇ τὰ καλὰ, μετὰ πολλῆς τῆς εὐκολίας τοῖς βουλομένοις ἐναπομάξασθαί τι τῶν ἐν αὐτῇ καλῶν παρεχομένη τὰ παραδείγματα. Ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, * (* ἀφθαρσίαν,)

8 Λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. Τοὺς ἐξ ἐναντίας φησὶ τόν τε διάβολον καὶ πάντας τοὺς ἐκείνῳ διακονουμένους. ὅταν γὰρ καὶ βίος λάμπῃ, καὶ λόγος ᾖ συμβαίνων, ἐπιεικὴς, ἥμερος, προσηνὴς, μηδεμίαν τοῖς ἐναντίοις παρέχων λαβὴν, πολὺ καὶ ἄφατον τὸ κέρδος. πολλὴ ἄρα τῆς τοῦ λόγου διακονίας ἡ χρεία, λόγου οὐ τοῦ τυχόντος, ἀλλὰ δοκίμου τινὸς καὶ ἀλήπτου καὶ μηδεμίαν μηδαμόθεν παρεχομένου τοῖς βουλομένοις πρόφασιν.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι.

Ὁρᾷς τί προλαβὼν εἶπεν; ἵνα ὁ ἐξ ἐναντίας, φησὶν, ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. ἄρα καταγνώσεως ἄξιος ὁ γυναῖκας ἀπὸ ἀνδρῶν ἀποζευγνὺς τῇ προφάσει τῆς ἐγκρατείας, καὶ ὁ δούλους δεσποτῶν ἀποστερῶν τῷ αὐτῷ διὰ τούτου προσχήματι. ἐπεὶ οὐκ ἔστιν ἀκατάγνωστος ὁ λόγος. πολλὴν δὲ καὶ τοῖς ἀπίστοις δίδωσι λαβὴν, καὶ τὰ πάντων καθ' ἡμῶν ἀνοίγει στόματα. Δούλους, φησὶν, ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι. Μὴ ἀντιλέγοντας.

10 Μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν, ἵνα τὴν διδασκαλίαν τὴν τοῦ Θεοῦ σωτῆρος ἡμῶν κοσμῶσιν ἐν πᾶσιν. Εἰκότως ἄρα ἔλεγεν ἑτέρωθι, Ὡς τῷ Θεῷ δουλεύοντες, καὶ οὐκ ἀνθρώποις. (Ephes. ϛ. ζ.) κἂν γὰρ τῷ δεσπότῃ διακονῇς μετ' εὐνοίας, ἀλλ' ἡ πρόφασις ἀπὸ τοῦ φόβου τὴν ἀρχὴν ἔχει. ὥστε ὁ μετὰ τοσούτου φόβου ἐκείνῳ διακονῶν, μεγίστων ἐπιτεύξεται τῶν μισθῶν. εἰ γὰρ χειρὸς μὴ κρατοῖ, μηδὲ γλώττης ἀκολάστου, πόθεν θαυμάσεται ὁ Ἕλλην τὸ δόγμα τὸ παρ' ἡμῖν; εἰ δὲ τοὺς δούλους θεάσονται τοὺς ἐν Χριστῷ φιλοσοφοῦντας, τῶν παρ' αὐτοῖς φιλοσοφησάντων μείζονα τὴν ἐγκράτειαν ἐπιδεικνυμένους, καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας, καὶ τῆς εὐνοίας διακονουμένους, πάντῃ τρόπῳ θαυμάσεται τὴν δύναμιν τοῦ κηρύγματος. οὐ γὰρ ἀπὸ δόγματος δόγματα, ἀλλ' ἀπὸ πραγμάτων καὶ βίου τὰ δόγματα κρίνουσιν Ἕλληνες. ἔστωσαν οὖν αὐτοῖς καὶ γυναῖκες, καὶ δοῦλοι διδάσκαλοι διὰ τῆς οἰκείας ἀναστροφῆς. καὶ γὰρ καὶ παρ' αὐτοῖς, καὶ πανταχοῦ τοῦτο διωμολόγηται, ὅτι τὸ τῶν δούλων γένος ἰταμόν πως ἐστὶ, δυσδιατύπωτον, δυστράπελον, οὐ σφόδρα ἐπιτήδειον πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν, οὐ διὰ τὴν φύσιν, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν ἀναστροφὴν, καὶ τὴν ἀμέλειαν τὴν παρὰ τῶν δεσποτῶν. ἐπειδὴ γὰρ πανταχοῦ οὐδενὸς ἑτέρου, ἀλλὰ τῆς αὐτῶν διακονίας μόνης κρατοῦντες αὐτῶν φροντίζουσιν, εἰ δέ που καὶ τῶν τρόπων ἐπιμεληθεῖεν, καὶ τοῦτο πάλιν διὰ τὴν αὐτῶν ἀνάπαυσιν πράττουσιν, ὥστε μὴ πράγματα αὐτοῖς παρέχειν ἢ πορνεύοντας, ἢ κλέπτοντας, ἢ μεθύοντας, εἰκότως ἠμελημένοι, καὶ οὐδένα τὸν πολυπραγμονοῦντα ἔχοντες, εἰς αὐτὰ τῆς κακίας τὰ βάραθρα καταποντίζονται. εἰ γὰρ ἔνθα πατὴρ ἐφέστηκε, καὶ μήτηρ, καὶ παιδαγωγὸς, καὶ τροφεὺς, καὶ διδάσκαλος, καὶ ἡλικιῶται, καὶ αὐτὴ ἡ τῆς ἐλευθερίας δόξα προκειμένη, καὶ πολλὰ ἕτερα, μόλις ἄν τις διαφύγοι τὰς τῶν πονηρῶν συνουσίας, τί οἴει τοὺς πάντων τούτων ἐρήμους ὄντας, καὶ μιαροῖς ἀναμιγνυμένους, καὶ μετὰ ἀδείας οἷς ἂν ἐθέλωσι συγγινομένους, οὐδενὸς ὄντος τοῦ τὰς φιλίας αὐτῶν πολυπραγμονοῦντος; τί οἴει τοὺς τοιούτους ἔσεσθαι; διὰ τοῦτο δύσκολον δοῦλον γενέσθαι ἀγαθόν. ἄλλως δὲ οὐδὲ διδασκαλίας ἀπολαύουσιν, οὔτε τῶν ἔξωθεν, οὔτε τῶν παρ' ἡμῖν. οὐ συναναστρέφονται ἀνδράσιν ἐλευθέροις, κοσμίοις, πολλὴν τῆς αὐτῶν δόξης ποιουμένοις φροντίδα. διὰ ταῦτα πάντα δύσκολον καὶ θαυμαστὸν, χρήσιμον οἰκέτην γενέσθαι ποτέ. ὅταν οὖν ἴδωσιν, ὅτι τὸ γένος τὸ οὕτως αὐθάδες

ἡ τοῦ κηρύγματος δύναμις χαλεποὺς προσληφθεῖσα πάντων εἰργάσατο κοσμιωτέρους, καὶ ἐπιεικεστέρους, κἂν σφόδρα πάντων ὦσιν ἀλογώτεροι οἱ δεσπόται, λήψονται ἔννοιαν μεγάλην περὶ τῶν δογμάτων τῶν παρ' ἡμῖν. δῆλον γὰρ ὅτι καὶ τὸν περὶ τῆς ἀναστάσεως φόβον καὶ τὸν τῆς κρίσεως καὶ τὸν τῶν ἄλλων ἁπάντων μετὰ τῶν θαυμαστῶν φιλοσοφουμένων παρ' ἡμῖν ἀκριβέστερον ἐγκαταθέντες αὐτῶν τῇ ψυχῇ, οὕτως ἴσχυσαν ἀποκρούσασθαι τὴν κακίαν, ἀντίρροπόν τινα φόβον τῆς ἀπὸ τῶν κακῶν ἡδονῆς εἰς τὴν ἑαυτῶν ἐνιδρύσαντες ψυχήν. ὥστε οὐκ εἰκῇ οὐδὲ ἁπλῶς πολὺν ὑπὲρ τούτων πανταχοῦ ποιεῖται τὸν λόγον. ὅσῳ γὰρ ἂν ὦσι κακοί, τοσούτῳ μάλιστα θαυμάζεται τοῦ κηρύγματος ἡ ἰσχύς. καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν, ὅταν τὸν ἀπεγνωσμένον καὶ οὐδεμιᾶς βοηθείας ἀπολαύοντα, οὐδὲ κρατῆσαι τῶν ἀκαίρων ἐπιθυμιῶν δυνάμενον, ἀλλ' ἐν ταύταις ἐγκαλινδούμενον, ἐπαναγάγῃ πρὸς ὑγείαν καὶ διορθώσηται. καὶ ὅρα τίνα παρ' αὐτῶν ἀπαιτεῖ· ἃ μάλιστα πάντων ἀναπαύει τὸν δεσπότην. μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους· τουτέστι, πολλὴν εὔνοιαν ἐπιδείκνυσθαι ἐν οἷς ἂν πιστευθῶσιν, ἐν τοῖς πρὸς τοὺς δεσπότας μάλιστα εἶναι ἀγαθούς, ὑπείκοντας ἐν τοῖς ἐπιτάγμασι.

ΗΘΙΚΟΝ Μὴ τοίνυν νομίζετε ἁπλῶς με ταῦτα νῦν διεξιέναι. λοιπὸν γάρ μοι πρὸς τοὺς οἰκέτας ὁ λόγος. μὴ τοίνυν, ὦ βέλτιστε, σὺ πρὸς τοῦτο ἴδῃς, ὅτι ἀνθρώπῳ δουλεύεις, ἀλλ' ὅτι Θεῷ, ὅτι τὸ κήρυγμα κοσμεῖς· καὶ πάντα ὑποστήσῃ ποιεῖν, τῷ δεσπότῃ πειθόμενος καὶ φέρων ἀγανακτοῦντα ἀκαίρως καὶ δυσχεραίνοντα. ἐννόησον ὅτι οὐκ ἐκείνῳ τὴν χάριν δίδως, ἀλλὰ τὸ τοῦ Θεοῦ πρόσταγμα πληροῖς, καὶ πᾶν ὁποιοῦν ὑποστήσῃ ῥᾳδίως. ὅπερ γὰρ ἀεὶ λέγω, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τῶν πνευματικῶν ἡμῖν κατορθουμένων καὶ τὰ τοῦ παρόντος ἕψεται βίου. τὸν γὰρ τοιοῦτον οἰκέτην, τὸν οὕτως εὔνουν, τὸν οὕτως ἐπιεικῆ, οὐχ ὁ Θεὸς ἀποδέξεται μόνον καὶ τῶν στεφάνων μεταδώσει τῶν λαμπροτάτων ἐκείνων, ἀλλὰ καὶ αὐτὸς ὁ πάντων δὴ δεσπότης, κἂν θηρίον ᾖ, κἂν λίθινός τις ᾖ καὶ ἀπάνθρωπος καὶ ὠμός, ἐπαινέσεται καὶ θαυμάσεται καὶ προτιμήσει τῶν ἄλλων ἁπάντων, καὶ τοῖς λοιποῖς αὐτὸν ἐπιστήσει, κἂν Ἕλλην ᾖ. καὶ ὅτι κἂν Ἕλληνες ὦσιν οἱ δεσπόται, κελεύει τὸν οἰκέτην τοιοῦτον ἑαυτὸν ἐπιδείκνυσθαι, εἰ βούλεσθε, ὑμῖν καὶ παράδειγμα διηγήσομαι. ὁ Ἰωσὴφ ἐπράθη πρὸς τὸν ἀρχιμάγειρον, καὶ δόξης ἑτέρας ἦν, οὐ τῆς Αἰγυπτιακῆς. τί οὖν ἐκεῖνος; ἐπειδὴ ἐνάρετον εἶδε τὸν νεανίσκον, οὐκ ἐνενόησε τὸ τῆς δόξης διεστηκός, ἀλλ' αὐτὸν ἠγάπα καὶ ἐφίλει καὶ ἐθαύμαζε, καὶ τῶν ἄλλων αὐτῷ τὴν ἐπιστασίαν ἐνεχείρισεν ἅπασαν, * καὶ τῶν κατὰ τὴν οἰκίαν οὐδὲν ᾔδει δι' αὐτόν· ἀλλὰ δεύτερος δεσπότης ἐκεῖνος ἦν, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ δεσπότου κυριώτερος, εἴγε ὁ μὲν ἠγνόει τὰ αὐτοῦ, οὗτος δὲ τὰ ἐκείνου ᾔδει μᾶλλον τοῦ δεσπότου. καί μοι δοκεῖ καὶ ὕστερον, ὅτε ἐπίστευσε τῇ γυναικὶ τὴν παράνομον ἐκείνην συκοφαντίαν κατ' αὐτοῦ ποιησαμένῃ, [illegible] τὸ δίκαιον ἀπὸ τῆς προτέρας αἰδοῦς καὶ τῆς τιμῆς, μέχρι τοῦ δεσμωτηρίου στῆσαι τὴν ὀργήν. εἰ γὰρ μὴ σφόδρα ᾐδεῖτο τὸν ἄνδρα, καὶ ἐθαύμαζεν ἀπὸ τῶν προϋπηργμένων αὐτῷ, κἂν εὐθέως αὐτὸν διεχειρίσατο, καὶ τὸ ξίφος ἤλασε διὰ τοῦ σώματος ἐκείνου. Μεστὸς γὰρ ζήλου, φησί, θυμὸς ἀνδρός, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. εἰ δὲ παντὸς ἀνδρὸς τοιοῦτος ὁ ζῆλος, πολλῷ μᾶλλον ἐκείνου, Αἰγυπτίου τε ὄντος καὶ βαρβάρου, καὶ παρὰ τοῦ τιμηθέντος ἠδικημένου, ὡς ᾤετο. ἴστε γὰρ δήπου πάντες, ὅτι οὐχ ὁμοίως ἡμᾶς δάκνει τὰ παρὰ πάντων ἀδικήματα, ἀλλὰ σφοδρότερον τῶν ἄλλων καὶ πικρότερον τὰ παρὰ τῶν εὐνοϊκῶς πρὸς ἡμᾶς διατεθέντων, καὶ πιστευθέντων καὶ πιστευσάντων ἡμῖν, καὶ πολλὰ παρ' ἡμῶν εὖ παθόντων γινόμενα κακὰ ἡμᾶς ἀνιᾷ καὶ λυπεῖ. οὐκ ἐνενόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπε, τί τοῦτο; οἰκέτην αὐτὸν λαβὼν πάντων μετέδωκα τῶν τῆς οἰκίας, ἐλεύθερον ἐποίησα καὶ ἐμοῦ τι μείζονα, καὶ τοιαύτας μοι τὰς ἀμοιβὰς ἀποδέδωκεν; οὐδὲν τούτων εἶπεν· οὕτως αὐτοῦ τὴν ψυχὴν ἡ προτέρα κατεῖχεν αἰδώς. καὶ τί θαυμαστόν, εἰ ἐν οἰκίᾳ τοσαύτης ἀπήλαυσε τιμῆς, ὅπου καὶ ἐν τῷ δεσμωτηρίῳ ὅρα αὐτόν, ὅσης

ἀπολαύει

Παροι. ς. λδ.

ἀπολαύει κηδεμονίας; ἴστε δὲ πῶς πρὸς ὠμότητα τοῖς τὰ δεσμωτήρια ἐγκεχειρισμένοις τὸ ἦθος ἐξήσκηται. τὰς ἀλλοτρίας καρποῦνται συμφορὰς, καὶ οὓς ἕτεροι κακῶς πάσχοντας τρέφουσι, τούτους οὗτοι ἀποστεροῦσι. κέρδη κερδαίνοντες πολλῶν δακρύων ἄξια, θηρίων ὄντες ὠμότεροι. ἀφ' ὧν γὰρ ἐχρῆν ἐλεεῖν τοὺς ἐμβεβλημένους, ἀπὸ τούτων αὐτοὶ καρποῦνται. καὶ μὴ τοῦτο μόνον λογιζώμεθα, ἀλλ' ὅτι καὶ αὐτοὶ οὗτοι οὐχ ὁμοίως πᾶσι κέχρηνται τοῖς ἐμβεβλημένοις. τοὺς μὲν γὰρ ἐπὶ συκοφαντίαις, καὶ ἐπηρεασθέντας ἁπλῶς καὶ δοθέντας καὶ ἐλεήσαιεν ἄν· τοὺς δὲ ἐπὶ τοῖς αἰσχίστοις καὶ δεινοτάτοις καὶ τολμήμασιν ἐμβεβλημένους μυρίαις αἰκίζονται πληγαῖς. ὥστε οὐ μόνον ἀπὸ τοῦ τρόπου ὠμὸς ἔμελλεν ἔσεσθαι ὁ δεσμοφύλαξ, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας, δι' ἣν ἐνεβέβλητο. τίνα γὰρ οὐκ ἂν διήγειρε καθ' ἑαυτοῦ ὁ νεανίσκος, τοσαύτης μὲν ἀπολαύσας τιμῆς, ὑποπτευθεὶς δὲ τὴν δέσποιναν πειρᾶν καὶ τοιαύταις τὸν εὐεργέτην ἀμειβόμενος ἀμοιβαῖς; ταῦτα οὖν ἐννοῶν ὁ δεσμοφύλαξ, καὶ τὴν τιμὴν τοῦ ἐμβεβλημένου, καὶ τὸ πρᾶγμα ἐφ' ᾧ ἐνεβέβλητο, οὐκ ἂν πάντως θηρίου χαλεπώτερον ἐχρήσατο τῷ ἀνδρί; ἀλλὰ πάντων τούτων δυνατωτέρα γέγονεν ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν. οὕτως οἶδε καὶ θηρία καταπραΰνειν ψυχῆς ἀρετή. ἀπὸ γὰρ τῆς αὐτῆς ἐπιεικείας, ἀφ' ἧς τὸν δεσπότην εἷλεν, ἀπὸ τῆς αὐτῆς καὶ τὸν ἀρχιδεσμοφύλακα. καὶ πάλιν ἦν ἄρχων ὁ Ἰωσὴφ, καὶ ἐν δεσμωτηρίῳ ἐκράτει, καὶ ἐν οἰκίᾳ. ἐπειδὴ γὰρ ἔμελλε βασιλεύειν, εἰκότως πρότερον ἐμάνθανεν ἄρχεσθαι, καὶ ἀρχόμενος ἄρχων ἦν, καὶ προέστη τῆς οἰκίας. εἰ γὰρ τὸν εἰς ἐκκλησίαν ἑλκόμενον ἀπαιτεῖ τοῦτο ὁ Παῦλος, οὕτω λέγων· Εἰ γάρ τις τοῦ ἰδίου οἴκου α Τιμ. γ. ε. προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται; καὶ τὸν εἰς ἀρχὴν ἐλθόντα πρότερον ἄριστον εἶναι χρὴ προεστάναι οἰκίας. προέστη δεσμωτηρίου, οὐχ ὡς δεσμωτηρίου, ἀλλ' ὡς οἰκίας. πᾶσι γὰρ ἐπεκούφιζε τὰς συμφορὰς, καὶ τῶν ἐμβεβλημένων ὡς οἰκείων προΐστατο μελῶν, οὐ μόνον αὐτῶν τὰς συμφορὰς πολυπραγμονῶν καὶ παραμυθούμενος, ἀλλὰ καὶ εἰ σκυθρωπὸν εἶδέ τινα, προσῄει καὶ τὴν αἰτίαν ἐμάνθανεν, οὐδὲ ἁπλῶς κατηφοῦντα αἰσχυνόμενος ὁρᾶν, ἂν μὴ πρότερον αὐτὸν ἀπαλλάξῃ τῆς κατηφείας. καίτοι τοσαύτην τις οὐδὲ περὶ τέκνα στοργὴν ἐπεδείξατο. ἀπὸ τούτων γοῦν αὐτῷ καὶ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἐγένετο. ἀλλὰ γὰρ τὰ παρ' ὑμῶν ἐν ἀρχῇ πρότερον, καὶ τότε τὰ παρὰ τοῦ Θεοῦ. ὅτι γὰρ τοσαύτῃ ἐκέχρητο φειδοῖ καὶ ἐπιμελείᾳ, Εἶδε, φησί, τοὺς εὐνούχους τοὺς ἐμβληθέντας ὑπὸ Γεν μ. τοῦ Φαραὼ, τὸν ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιὸν, καὶ εἶπε, τί ὅτι σκυθρωπὰ τὰ πρόσωπα ὑμῶν σήμερον; καὶ οὐκ ἀπὸ τούτου μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἐκεῖνοι ἐποίησαν, καταμαθεῖν ἔστι τὴν ἀρετὴν τοῦ ἀνδρός. οὐ γὰρ ὡς βασιλέως ὄντες οἰκέται διέπτυσαν αὐτὸν, οὐχ ὡς ἐν ἀθυμίᾳ ὄντες διεκρούσαντο, ἀλλ' ὡς ἀδελφῷ γνησίῳ καὶ συναλγεῖν εἰδότι πάντα αὐτῷ ἐξεκάλυψαν τὰ ἑαυτῶν. ταῦτα δέ μοι πάντα εἴρηται, ὅτι κἂν ἐν δουλείᾳ, κἂν ἐν αἰχμαλωσίᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ὑπ' αὐτὴν τὴν γῆν γένηται ὁ ἐνάρετος, οὐδὲν αὐτὸν καταγωνίσασθαι δυνήσονται. ταῦτά μοι * πρὸς τοὺς οἰκέτας λέλεκται, ὅτι κἂν θηρία ἔχωσι δεσπότας, ὡς τὸν Αἰγύπτιον, κἂν ὠμοὺς, ὡς τὸν ἀρχιδεσμοφύλακα, δυνήσονται αὐτοὺς ἑλεῖν, κἂν Ἕλληνες ὦσιν, ὡς ἐκεῖνοι, κἂν ὁποιοιοῦν, ταχέως μεταπείσουσιν. οὐδὲν γὰρ ἐμμελέστερον τρόπων, οὐδὲν ἥδιον, οὐδὲν γλυκύτερον ἐπιεικείας καὶ πραότητος καὶ ὑπακοῆς. πᾶσιν ἐστὶν ἐπιτήδειος ὁ τοιοῦτος. καὶ οὔτε δουλείαν ἐπαισχύνονται οἱ τοιοῦτοι, οὔτε πενίαν φεύγουσιν, οὔτε ἀρρωστοῦσι καὶ κάμνοντα. πάντων γὰρ κρατεῖ καὶ πάντων ἡ ἀρετὴ περιγίνεται. εἰ δὲ ἐν δούλοις τοσαύτην ἔχει τὸ πρᾶγμα τὴν ἰσχὺν, πόσῳ μᾶλλον ἐν ἐλευθέροις; ταῦτα οὖν ἀσκῶμεν καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ γυναῖκες καὶ ἄνδρες· οὕτω καὶ ἀνθρώποις, καὶ Θεῷ ἐσόμεθα ποθεινοὶ, καὶ ἀνθρώποις οὐ τοῖς ἐναρέτοις μόνον, ἀλλὰ καὶ τοῖς κακοῖς, καὶ μάλιστα ἐκείνοις. ἐκεῖνοι γάρ εἰσιν οἱ μάλιστα ποθοῦντες καὶ αἰδούμενοι. ὥσπερ γὰρ τοὺς ἐπιεικεῖς οἱ ἀρχόμενοι μάλιστα τρέμουσιν, οὕτω καὶ τοὺς ἐναρέτους οἱ ἀκόλαστοι, εἰδότες

πίων ἐκπεπλώκασιν. ἐπεὶ οὖν τοσοῦτος ὁ καρπὸς τῆς ἀρετῆς, ταύτην διώκωμεν, ταύτην μετίωμεν. ἂν ταύτης ἐχώμεθα, οὐδὲν ἡμῖν ἔσται δεινόν, πάντα ῥᾴδια, πάντα εὔκολα. καὶ διὰ πυρὸς διαβαίνωμεν, καὶ δι' ὕδατος, πάντα εἴκει τῇ ἀρετῇ καὶ παραχωρεῖ, καὶ αὐτὸς ὁ θάνατος. ζηλώσωμεν τοίνυν αὐτήν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ε. 11 ΕΠΕΦΑΝΗ ΓΑΡ Η ΧΑΡΙΣ ΤΟΥ ΘΕΟΥ Η
σωτήριος πᾶσιν ἀνθρώποις, 12 Παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι
τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ
εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, 13 Προσδεχόμενοι τὴν μα-
καρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ, 14 Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώ-
σηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον,
ζηλωτὴν καλῶν ἔργων.

ΠΟλλὴν παρὰ τῶν οἰκετῶν ἀπαιτήσας τὴν ἀρετὴν (καὶ γάρ ἐστι πολλή, τὸ τὴν διδασκαλίαν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν κοσμεῖν ἐν πᾶσι, καὶ μηδεμίαν διδόναι τοῖς δεσπόταις λαβήν, μηδὲ ἐν τῷ τυχόντι) ἐπάγει καὶ τὴν αἰτίαν δικαίαν, δι' ἣν ὀφείλουσι τοιοῦτοι εἶναι οἱ οἰκέται. ποίαν δὲ ταύτην; ἐπεφάνη γάρ, φησιν, ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος. οἱ Θεοῦ διδασκάλου τυγχάνοντες, πῶς οὐκ ἂν εἶεν εἰκότως τοιοῦτοι, οἵους ἄρτι διῆλθον ἐγώ, μυρίων ἁμαρτημάτων λύσιν εὑρόντες; ἴστε γὰρ ὅτι μετὰ τῶν ἄλλων, καὶ τοῦτο οὐχ ὡς ἔτυχεν ἐντρέπει καὶ συστέλλει ψυχήν, τὸ μυρίων ἁμαρτημάτων οὖσαν ὑπεύθυνον, μὴ δίκην δοῦναι, ἀλλὰ συγγνώμης τυχεῖν καὶ μυρίων ἀγαθῶν. εἰ γάρ τις, εἰπέ μοι, τὸν μυρία προσκρούσαντα οἰκέτην λαβών, μὴ κατατείνοι ἱμάσιν, ἀλλ' ἐπ' ἐκείνοις μὲν συγγνώμην παρέχοι, ὑπὲρ δὲ τῶν μελλόντων αὐτὸν ἀπαιτοίη εὐθύνας, καὶ φυλάττεσθαι * παρακελεύοιτο, ὥστε μὴ τοῖς αὐτοῖς περιπεσεῖν, καὶ δωρεαῖς μεγάλαις τιμήσειε, ἆρα οὐκ ἂν οἴεσθε ἐντρέψαι τὴν τοσαύτην χάριν ἀκούοντα; ἀλλὰ μὴ νομίσῃς, ὅτι ἡ χάρις μέχρι τῆς τῶν προτέρων * συγχωρήσεως ἵσταται, * ἀλλὰ καὶ εἰς τὸ μέλλον ἡμᾶς ἀσφαλίζεται. καὶ γὰρ καὶ τοῦτο χάριτος. ἐπεὶ εἰ μέλλοι ἀεὶ κακῶς πράττοντας μὴ κολάζειν, οὐκέτι τὸ πρᾶγμα χάρις ἐστίν, ἀλλὰ προτροπή τις εἰς λύμην καὶ διαφθοράν. ἐπεφάνη γάρ, φησιν, ἡ χάρις τοῦ Θεοῦ παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὅρα πῶς μετὰ τῶν ἐπάθλων τίθησι τὴν ἀρετήν. καὶ τοῦτο χάριτος, τὸ ἀπαλλάξαι τῶν βιωτικῶν, τὸ πρὸς τὸν οὐρανὸν ἀγαγεῖν. δύο δείκνυσιν ἐνταῦθα ἐπιφανείας. καὶ γὰρ εἰσὶ δύο, ἡ μὲν προτέρα, χάριτος· ἡ δὲ δευτέρα, ἀνταποδόσεως καὶ τοῦ δικαίου. ἵνα ἀρνησάμενοι, φησί, τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας. ἰδοὺ πάσης τῆς ἀρετῆς ἡ ὑπόθεσις. οὐκ εἶπεν, ἵνα φευξώμεθα, ἀλλ', ἵνα ἀρνησάμενοι. ἡ ἄρνησις πολλὴν δείκνυσι τὴν διάστασιν, πολὺ τὸ μῖσος, πολλὴν τὴν ἀποστροφήν. μεθ' ὅσης διαθέσεως, μεθ' ὅσης σπουδῆς τὰ εἴδωλα ἀπεστράφησαν, μετὰ τοσαύτης καὶ τὴν κακίαν αὐτήν * καὶ τὰς κοσμικὰς ἐπιθυμίας, φησί. καὶ γὰρ καὶ ταῦτα εἴδωλα, κοσμικὴ ἐπιθυμία καὶ πλεονεξία. καὶ ταύτην εἰδωλολατρείαν ὀνομάζει· καὶ ὅσα πρὸς τὸν παρόντα βίον ἡμῖν χρησιμεύει, κοσμικαί εἰσιν ἐπιθυμίαι· πάντα ὅσα ἂν τῷ παρόντι βίῳ συγκαταλύεται, κο-

σμική

σμικὴ ἐστὶν ἐπιθυμία. μηδὲν τοίνυν πρὸς ταύτας ἔχωμεν. ἦλθεν ὁ Χριστὸς, ἵνα ἀρνησώμεθα τὴν ἀσέβειαν. ἀσέβειαν τὰ δόγματα τὰ φησι, καὶ κοσμικὰς ἐπιθυμίας τὸν βίον τὸν ἐναγῆ. σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, σωφροσύνη οὐ τοῦτο μόνον ἐστὶ, τὸ πορνείας ἀπέχεσθαι, ἀλλὰ καὶ τὸ τῶν λοιπῶν παθῶν ἐκτὸς εἶναι; ἄρα καὶ ὁ χρημάτων ἐρῶν, οὐ σώφρων. ὥσπερ γὰρ ἐκεῖνος σωμάτων, οὕτω καὶ οὗτος χρημάτων, μᾶλλον δὲ οὗτος ἀκολαστότερος, ὅσῳ οὐδὲ τοσαύτην ἔχει βίαν τὴν ὠθοῦσαν αὐτόν. καὶ γὰρ ἡνίοχος ἐκεῖνος ἀκρατὴς μάλιστα ἂν λέγοιτο, οὐχ ὁ τὸν τραχὺν καὶ δυσήνιον μὴ κατέχων ἵππον, ἀλλ' ὁ τὸν ἠρέμα ἐπιεικέστερον μὴ δυνάμενος ὑποτάξαι. τί δέ φησιν; ἡ τῶν χρημάτων ἐπιθυμία τῆς τῶν σωμάτων ἐλάττων; πάνυ τί που δῆλον, καὶ πολλαχόθεν τοῦτο δείκνυται. καὶ πρῶτον μὲν, ὅτι ἀναγκαίως γέγονεν ἡ τῶν σωμάτων ἐπιθυμία. τὸ δὲ ἀναγκαίως γεγονὸς δῆλον ὅτι καὶ μετὰ πολλοῦ κατορθοῦται τοῦ πόνου, ἐπειδὴ καὶ ἐνέσπαρη τῇ φύσει. δεύτερον, ὅτι χρημάτων μὲν οὐ πολὺς τοῖς παλαιοῖς λόγος· γυναικῶν δὲ πολὺς σωφροσύνης ἕνεκεν. καὶ γυναικὶ μὲν συγγενομένῳ κατὰ νόμον οὐδεὶς ἂν μέμψαιτο μέχρι γήρως, χρηματιζομένῳ δὲ πάντες. καὶ τῶν ἔξωθεν φιλοσόφων πολλοὶ χρημάτων μὲν κατεφρόνησαν, γυναικῶν δὲ οὐκέτι. οὕτω τοῦτο ἐκείνου τυραννικώτερον. ἀλλ' ἐπειδὴ πρὸς τὴν ἐκκλησίαν ἡμῖν ὁ λόγος, μὴ ἀπὸ τῶν ἔξωθεν φέρωμεν τὰ ὑποδείγματα, ἀλλὰ ἀπὸ τῶν γραφῶν. τοῦτο μὲν οὖν καὶ ἐν ἐπιτάγματος σχεδὸν μέρει τίθησιν ὁ μακάριος οὗτος οὕτω λέγων, Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. (α Τιμ. ς. η.) περὶ δὲ τῶν γυναικῶν, Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε. (α Κορ. ζ. ε.) καὶ πολλάκις ἴδοις ἂν αὐτὸν περὶ συνουσίας νομοθετοῦντα τῆς νομίμου. καὶ ταύτης μὲν ἀφίησιν ἀπολαύειν τῆς ἐπιθυμίας, καὶ δευτέρῳ προσιέναι γάμῳ, καὶ πολλὴν ποιεῖται τοῦ πράγματος τὴν ἐπιμέλειαν, καὶ οὐδαμοῦ ὑπὲρ τούτου κολάζει· τὸν δὲ χρημάτων ἐφιέμενον, πανταχοῦ καταδικάζει. καὶ περὶ μὲν χρημάτων ὁ Χριστὸς πολλαχοῦ διέταξεν, ὥστε φεύγειν τὴν ἐντεῦθεν λύμην· περὶ δὲ ἀποχῆς γυναικὸς, οὐχ οὕτως. ἄκουε γὰρ τί φησι περὶ χρημάτων· Ἐὰν μή τις ἀποτάξηται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν. (Λουκ. ιδ. λγ.) οὐδαμοῦ εἶπεν, ἐὰν μή τις ἀποτάξηται γυναικί· οἶδε γὰρ οἵαν ἐνέθηκε τὴν τυραννίδα. καὶ ὁ μακάριος οὗτος φησι Τιμοθέῳ, Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. (Ἑβρ. ιγ. δ.) οὐδαμοῦ τιμίαν τὴν τῶν χρημάτων ἐπιμέλειαν καλεῖ, ἀλλὰ τὸ ἐναντίον· Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς. (α Τιμ. ς. θ.) οὐκ εἶπε, πλεονεκτεῖν, ἀλλὰ, πλουτεῖν. ἵνα δὲ μάθῃς καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ἀναγκαῖον καὶ τοῦτον τὸν λόγον εἰς μέσον παραγαγεῖν. χρημάτων μὲν γάρ τις καθάπαξ ἀποστερηθεὶς οὐκ ἔτ' ἂν ἐνοχλοῖτο ὑπὸ τῆς ἐπιθυμίας. οὐδὲν γὰρ οὕτω ποιεῖ χρημάτων ἐπιθυμεῖν, ὡς τὸ χρήματα ἔχειν. ἐπὶ δὲ τῆς τῶν σωμάτων ἐπιθυμίας οὐχ οὕτως, ἀλλὰ καὶ εὐνουχισθέντες πολλοὶ τὴν ἔνδον ἐνοχλοῦσαν πυρὰν οὐκ ἀπέσβεσαν. ἡ γὰρ ἐπιθυμία ἐν ἑτέροις κεῖται ὀργάνοις, ἔνδον ἐν τῇ φύσει ἐγκειμένη. τίνος οὖν ἕνεκεν ἡμῖν ταῦτα εἴρηται; ὅτι οἱ πλεονεκτοῦντες τῶν πορνευόντων ἀκολαστότεροι, ὅσῳ ὑπὸ ἐλάττονος ἐνοχλοῦνται ἐπιθυμίας, μᾶλλον δὲ οὐδὲ ἐπιθυμίας τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ῥαθυμίας. ἐνταῦθα μὲν γὰρ οὕτως ἐστὶν ἡ ἐπιθυμία φυσική, ὥστε κἂν γυναικί τις μὴ πλησιάζῃ, ἡ φύσις τὸ αὐτῆς ποιεῖ καὶ ἐργάζεται· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον ἐστί. καὶ εὐσεβῶς, φησί, ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. καὶ τίς ἡ ἐλπίς; τί τὸ ἔπαθλον τῶν πόνων; Προσδεχόμενοι, φησι, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν. οὕτως γὰρ οὐδὲν ἐκείνης μακαριώτερον, οὐδὲν ζηλωτότερον. καὶ ταῦτα λόγῳ παραστῆσαι οὐ δυνάσεται. καὶ γὰρ νοῦν ὑπερβαίνει τὰ τότε ἀγαθά. Προσδεχόμενοι, φησι, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν. ποῦ εἰσιν οἱ τοῦ Πατρὸς ἐλάττονα τὸν υἱὸν λέγοντες; τοῦ μεγάλου, φησί, Θεοῦ, καὶ σωτῆρος. ὁ τοὺς ἐχθροὺς σώσας, τί οὐκ ἐργάσεται τότε [οὐκ] εὐδοκιμοῦντας λαβών; τοῦ μεγάλου, φησί, Θεοῦ. τὸ μέγας ἐπὶ Θεοῦ ὅταν λέγῃ, οὐ πρός τι

γ. λέγει

γ. παρθένων ἤρκεσεν; ἐπεὶ τὴν Κυρίου οὐκ ἔχω. καὶ πάλιν, Ἐπὶ τὸ

γ. διετάξατο

γ. ἐπιθυμία

γ. ῥαθυμία.

γ. λόγος

γ. δύναται

μέγας φησὶν, ἀλλ' ἀπολύτως μέγας, μὴ ἂν οὐκ ἂν εἴη μέγας, ἐπεὶ πρός τι ἐστί. Εἰ δὲ πρός τι, κατὰ σύγκρισιν, καὶ οὐ φύσει μέγας· νῦν δὲ ἀσυγκρίτως μέγας. Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, φησὶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, τουτέστιν, ἐξειλεγμένον, οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς. Ζηλωτὴν καλῶν ἔργων. γ. ἐξειλεγμ. Ὁρᾷς ὅτι καὶ τὸ παρ' ἡμῶν δεῖ. οὐχ ἁπλῶς ἔργων, ἀλλὰ ζηλωτὴν, τουτέστι, μετὰ προθυμίας πολλῆς ἐπ' αὐτὴν ἰόντα τὴν ἀρετὴν, μετὰ σφοδρότητος τῆς προσηκούσης. Ὁ μὲν οὖν βεβαρημένους τοῖς κακοῖς καὶ διὰ τὰ τοσοῦτα ἀπαλλάξαι, τῆς ἐκείνου φιλανθρωπίας ἦν· τὰ δὲ μετὰ ταῦτα, καὶ ἡμῶν καὶ ἐκείνου. ς γ. δεῖ

Β Τιμ. δ. β. 14 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. Ταῦτα λάλει, καὶ παρακάλει. Ὁρᾷς πῶς Τιμοθέῳ μὲν προσέταξεν, καί φησιν, Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον· ἐνταῦθα δὲ, ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς; γ. λέγει ἐπειδὴ ὁ ἦθος τούτων σκληρότερον ἦν, διὰ τοῦτο καὶ ἀποτόμως καὶ μετὰ πάσης ἐπιταγῆς ἐλέγχειν ἐπιτάττει. ἔστι γὰρ τῶν ἁμαρτημάτων, ἃ καὶ ἐπιτάγμασιν ἀπείργειν χρή. οἷον, ὁ μὲν χρημάτων καταφρονεῖν παραινούντας δεῖ πείθειν, καὶ ὁ ἐπιεικεῖς εἶναι, καὶ ὅσα τοιαῦτα. τὸν δὲ μοιχὸν, τὸν πόρνον, τὸν πλεονέκτην μετ' ἐπιταγῆς ἐπιστρέφειν· τὸ δὲ βέλτιον δεῖ ἐπάγειν, τὸν οἰωνιζόμενον, τὸν κληδονιζόμενον, τὸν ἄλλα τοιαῦτα πράττοντα, * οὐδὲ ἁπλῶς ἐπιταγῆς, ἀλλὰ μετὰ πάσης ἐπιταγῆς. Ὁρᾷς πῶς βούλεται καὶ μετὰ αὐθεντίας, καὶ μετὰ ἐξουσίας πολλῆς ταῦτα αὐτὸν ἐπιτάττειν; Μηδείς σου περιφρονείτω*, ἀλλὰ γ. ἄτοπα * καὶ * τουτέστι, περιφρονείτω.

κεφ. γ. 1 Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι.

2 Μηδένα βλασφημεῖν, ἀμάχους εἶναι. Τί οὖν; μηδὲ τοὺς κακῶς πράττοντας, μηδὲ ἐκείνους λοιδορεῖσθαι; ἀλλὰ πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν. Ἀκούσωμεν τῆς παραινέσεως. Μηδένα, φησί, βλασφημεῖν. καθαρὸν εἶναι δεῖ ἡμῶν τὸ στόμα ἀπὸ λοιδορίας. Εἴτε γὰρ ἀληθεῖς εἶσιν αἱ λοιδορίαι, οὐχ ἡμῶν ταῦτα λέγειν, ἀλλὰ

Ρωμ. ιδ. δ. τοῦ κριτοῦ ἐξετάζειν. Σὺ γὰρ, φησι, τίς κρίνεις τὸν ἀδελφόν σου; Εἴτε οὐκ ἀληθεῖς, ὅρα ὅσον τὸ

Λουκ. κγ. μ. πῦρ. Ἄκουσον τοῦ λῃστοῦ λέγοντος πρὸς τὸν ἕτερον λῃστήν· Καὶ γὰρ καὶ αὐτοὶ ἐν τῷ αὐτῷ κρίματι ἐσμέν, τὸν αὐτὸν ἀγῶνα πάσχομεν. ἐὰν ὀνειδίζῃς ἑτέροις, ταχέως καὶ αὐτὸς τοῖς αὐτοῖς

α. Κορ. ι. ιβ. περιπίπτῃς. διὰ τοῦτο παραινεῖ ὁ μακάριος οὗτος λέγων· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. Ἀμάχους εἶναι, φησιν, Ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραότητα, Πρὸς πάντας ἀνθρώπους, καὶ Ἕλληνας καὶ Ἰουδαίους, καὶ μοχθηροὺς καὶ πονηρούς. Ἐκεῖ μὲν γὰρ ἀπὸ τῶν μελλόντων φοβεῖ λέγων, Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. ἐνταῦθα δὲ οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλ' ἀπὸ τῶν παρελθόντων ἐντρέπει, τὸ αὐτὸ ποιῶν, δι' ὧν ἐπάγει, Ἦμεν γάρ ποτε

Γαλ. δ. γ. καὶ ἡμεῖς ἀνόητοι. ὅπερ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ γράφων, Ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. Οὐκοῦν μηδενὶ ὀνειδίσῃς, φησί· τοιοῦτος γὰρ ἦς καὶ σύ.

3 Ἦμεν γὰρ, φησὶ, ποτὲ καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους.

Ὥστε πρὸς πάντας τοιούτους εἶναι δεῖ, ἡμέρως ἔχειν. ὁ γὰρ τοιοῦτος ὢν πρότερον, καὶ ἀπαλλαγεὶς, οὐκ ὀνειδίζειν ὀφείλει πρὸς τοιούτους, ἀλλ' εὔχεσθαι, καὶ χάριτας ἔχειν τῷ καὶ αὐτὸν κἀκείνοις δόντι τὴν ἀπαλλαγὴν τῶν προτέρων κακῶν. Μηδεὶς καυχάσθω· πάντες γὰρ ἥμαρτον. Ὅταν οὖν ἐθέλῃς ὀνειδίσαι ἵνα καὶ πορθῆθαι αὐτός, καὶ τὸν πρότερον σου ἀνόσιον βίον καὶ τὸ τοῦ μέλλοντος ἄδηλον τὴν ὀργὴν ἀναχαίτιζε. Εἰ γὰρ καὶ ἐκ πρώτης ἡλικίας ἀναμαρτήτως ἔζησας, ἀλλ' ὅμως ἔχοις ἂν ἁμαρτήματα πολλά. Εἰ δὲ οὐκ ἔχεις, ὡς νομίζεις, ἐννόησον ὅτι οὐ τῆς σῆς ἀρετῆς τοῦτο γέγονεν, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος. Εἰ γὰρ μὴ τοὺς προγόνους ἐκάλεσε τοὺς σούς, καὶ αὐτὸς ἂν ἦς ἄπιστος. Ὅρα πῶς πᾶσαν κακίαν διεξῆλθεν. Οὐχὶ

γ. πάντες γ. ἐμφαίνει γ. διεξῆλθεν

μνεία διὰ προφητῶν, διὰ πάντων ὁ Θεὸς ᾠκονόμει; μὴ ἠκούσαμεν; ἦμεν γάρ ποτε, φησί, καὶ ἡμεῖς πλανώμενοι;

4 Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ. Πῶς;

5 Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου.

Βαβαί, πῶς ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μὴ δύνασθαι καθαρθῆναι, ἀλλ' ἀναγεννήσεως δεηθῆναι; τοῦτο γάρ ἐστι παλιγγενεσία. καθάπερ γὰρ ἐπὶ οἰκίας σαθρᾶς διακειμένης οὐδεὶς ὑποστήριγμα τίθησιν, οὐδὲ συρράπτει τῇ παλαιᾷ οἰκοδομῇ, ἀλλ' ἄχρι τῶν θεμελίων αὐτὴν καταλύσας, οὕτως ἄνωθεν ἀνίστησι καὶ ἀνακαινίζει, οὕτω καὶ αὐτὸς ἐποίησεν· οὐκ ἐπεσκεύασεν ἡμᾶς, ἀλλ' ἄνωθεν κατεσκεύασε. τοῦτο γάρ ἐστι, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. ἄνωθεν ἐποίησε καινούς. πῶς; διὰ τοῦ πνεύματος. καὶ πάλιν, ἑτέρως τοῦτο δεικνὺς, ἐπάγει,

6 Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Οὕτω πολλοῦ δεῖ ἡμῖν τοῦ ἐλέους.

7 Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι. Πάλιν χάριτι, οὐκ ὀφειλῇ.

Κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. Ἅμα καὶ προτροπὴ εἰς ταπεινοφροσύνην ἐστὶ, καὶ ἐλπὶς ὑπὲρ τῶν μελλόντων. εἰ γὰρ οὕτως ἀπεγνωσμένους, ὡς ἄνωθεν γεννηθῆναι, ὡς χάριτι σωθῆναι, ὡς μηδὲν ἔχειν ἀγαθὸν, ἔσωσε, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι τοῦτο ἐργάσεται. οὐδὲν γὰρ τῆς ἀνθρωπίνης θηριωδίας χεῖρον ἦν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. ὥσπερ γὰρ ἐχθροὶ καὶ πολέμιοι, πάντες διέκειντο πρὸς ἀλλήλους· τοὺς παῖδας ἔσφαζον τοὺς ἑαυτῶν πατέρες, καὶ μητέρες παισὶν ἐπεμαίνοντο· οὐδὲν ἦν ἑστηκὸς, οὐ φυσικὸς, οὐ γραπτὸς νόμος, ἀλλὰ ἀνατέτραπτο ἅπαντα. μοιχεῖαι διηνεκεῖς, φόνοι, καὶ εἴ τι φόνων χαλεπώτερον, κλοπαὶ (φησὶ δέ τις τῶν ἔξωθεν, ὅτι καὶ ἀρετὴ τὸ πρᾶγμα ἐδόκει εἶναι· καὶ εἰκότως, ὅπου γε καὶ θεοὶ τοιοῦτον ἔσεβον) χρησμοὶ συνεχεῖς τὰ ἀδελφὰ αἱρεῖσθαι, καὶ τὰ ἀδελφὰ κελεύοντες. εἴπω τι τῶν κατ' ἐκείνους τοὺς χρόνους; Ἀνδρόγεως τις τοῦ Μίνωος υἱὸς ἐλθὼν εἰς Ἀθήνας καὶ πάλην νικήσας, δίκην ἐδίδου, καὶ ἀνῃρέθη. ὁ δὲ Ἀπόλλων χαλῶν τὸ κακὸν ἰώμενος, ἐκέλευσε δὶς ἑπτὰ παῖδας ἀπάγεσθαι ὑπὲρ τούτου. τί τῆς τυραννίδος ὠμότερον; καὶ τοῦτο ἐγένετο, καὶ ἄνθρωπος τοῦ δαίμονος τὴν μανίαν λῦσαι ἐπελθὼν, ἔσφαξε τοὺς παῖδας ἐκείνους, ὅτι περὶ αὐτοὺς ἡ ἀπάτη ἴσχυεν· ἐπεὶ δὲ διηγέρθησαν καὶ ἠμύναντο ἑαυτοὺς, οὐκέτι. εἰ μὲν οὖν δικαίως τὸ πρᾶγμα ἐγένετο, οὐκ ἐχρῆν κωλυθῆναι· εἰ δὲ ἀδίκως, ὥσπερ οὖν καὶ ἀδίκως, οὐδὲ παρὰ τὴν ἀρχὴν ἐπιταχθῆναι. πύκται προσηκόντως, καὶ παλαισταί, πόλεμοι συνεχεῖς καὶ ἐπάλληλοι, κατὰ πόλιν, κατὰ κώμην, κατὰ οἰκίαν. ἐπαιδεράστουν καὶ παρ' αὐτοῖς φιλόσοφός τις ὀνομαστὸς, δοῦλόν τινα κελεύει μήτε παιδεραστεῖν, μήτε ξηραλοιφεῖν, ὡς ἐναρέτου τοῦ πράγματος ὄντος καὶ πολλὴν ἔχοντος τιμήν. διὰ τοῦτο καὶ ὑπὸ οἰκήματος εἰσήκεισαν φανερῶς τοὺς τοιούτους. καὶ εἰ πάντα τις ἐπέλθοι τὰ κατ' αὐτοὺς, εὑρήσει φανερῶς ὅτι καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνύβριζον, καὶ οὐδεὶς ὁ κωλύων ἦν· ἀλλὰ τὰ δράματα αὐτοῖς πάντα τοῦτον εἶχε, μοιχείας, ἀσελγείας, διαφθοράς. παννυχίδες ἐγίνοντο μιαραί, καὶ γυναῖκες ἐκάθηντο ἐπὶ τὴν θέαν. ὢ τῆς μιαρίας. ἐν νυκτὶ, ἐν θεάτρῳ παννυχὶς ἦν, καὶ παρθένος ἐκάθητο μεταξὺ νέων μεμηνότων καὶ μεθύοντος ὄχλου. τὸ σκότος ἦν ἡ πανήγυρις, καὶ τὰ μιαρὰ ἔργα τὰ ὑπ' αὐτῶν τελούμενα. διὰ τοῦτό φησιν, Ἦμεν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις. ὁ μὲν τῆς μητρυιᾶς ἠράσθη, φησί, καὶ ἡ ἀδελφὴ τοῦ προγόνου, καὶ ἀπήγξατο. τῶν γὰρ τῶν παίδων ἐρώτων, οὕσπερ αὐτοῖς παιδικὰ καλεῖν ἔθος ἐστὶν, οὐδὲ εἰπεῖν ἔνι.* ἀλλὰ τί; βούλει μὴ τραγῳδίας ἰδεῖν; ἔστι καὶ τοῦτο παρ' αὐτοῖς, καὶ τὸ διήγημα, ὑπὸ ἀγνοίας τὸ πρᾶγμα ἐγένετο, καὶ οὐκ ἐκώ-

λυει

γ. γεννηθῶμεν
γ. πρὸ
γ. υἱοῦ
γ. παρ' αὐτοῖς
γ. ὁ θαυμαστὸς αὐτῶν φιλόσοφος
γ. πᾶσι
γ. τοῖς
γ. σαφῶς
* τῶν δὲ αἰσχυνται ὁ δὲ ἐγχωρίαζεν;

λυεν ὁ Θεὸς ὁ παρ' αὐτοῖς, ἀλλὰ περιεώρα τὴν φύσιν ὑβριζομένην, καὶ ταῦτα τὴν ἐπισήμων οὖσαν. εἰ δὲ οὐκ εἰκὸς, εἰ καὶ μὴ δι' ἕτερόν τι, διὰ γοῦν τὴν πολλῶν δόξαν ἀντέχεσθαι τῆς ἀρετῆς, οὗτοι δὲ οὕτω περιφανῶς κατὰ τῆς κακίας ἐφέροντο, τί εἰκὸς τοὺς πολλοὺς καὶ λανθάνοντας βιοῦντας διαπράττεσθαι; τί ποικιλώτερον ταύτης τῆς ἡδονῆς; ἠράσθη ἡ δεῖνα τοῦ δεῖνος· ἐπιμεληθέντα τὸν ἄνδρα ἔσφαξε διὰ τοῦ μοιχοῦ. τάχα ἴστε τὸ διήγημα οἱ πολλοί. τὸν μοιχὸν ἀνεῖλεν ὁ παῖς τοῦ φονευθέντος, κἀκείνην ἐπέθυσε, μετὰ ταῦτα ἐμάνη καὶ αὐτὸς, καὶ ταῖς ἐριννύσιν ἠλαύνετο. εἶτα αὐτὸς τοὺς μυρίους ἀπειλῶν ἔσφαξεν ἕτερον, καὶ τὴν ἐκείνου γυναῖκα λαμβάνει. τί τούτων χεῖρον τῶν συμφορῶν; τούτου χάριν ταῦτα λέγω ἀπὸ τῶν ἔξωθεν, ἵνα τοὺς Ἕλληνας πείσω, πόσα κατεῖχε τὴν οἰκουμένην κακά. ἀλλ' εἰ βούλεσθε, καὶ ἀπὸ τῶν ἡμετέρων δεικνύωμεν.

Ψαλ. ρε λς. Ματθ. ιδ. Ἔθυσαν, φησι, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. καὶ πάλιν οἱ τὰ Σόδομα οἰκοῦντες δι' οὐδὲν ἕτερον ἀπώλοντο, ἢ ὅτι παίδων ἐπεμαίνοντο. ἀλλὰ πάλιν ἐν προοιμίοις τῆς τοῦ Χριστοῦ παρουσίας οὐχὶ ἡ τοῦ βασιλέως θυγάτηρ ἐν μέσοις ὠρχεῖτο τοῖς συμποσίοις; ἐν αὐτοῖς ἀνθρώποις μεθύουσιν; οὐχὶ φόνον ᾔτει, καὶ ὀρχήσεως μισθὸν τὴν κεφαλὴν τοῦ προφήτου;

Ψαλ. ρε β. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; στυγητοί, φησι, μισοῦντες ἀλλήλους. ἀνάγκη γὰρ πάντως, ὅταν πάσας τῇ ψυχῇ ἐπαφῶμεν τὰς ἡδονὰς, πολὺ τὸ μῖσος γίνεσθαι. διὰ τί; ὅτι οὐ μετὰ ἀρετῆς ἡ ἀγάπη. ὅτι οὐδεὶς οὐδένα πλεονεκτεῖ.

α Κορ. ς. θ. ὅρα καὶ ὁ Παῦλος τί φησι. Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ λοίδοροι, οὐ μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσι· καὶ ταῦτά τινες ἦτε. ὁρᾷς πῶς πᾶν κακίας εἶδος ἐπεπόλαζε, καὶ πολλή τις ἦν ἡ ἀχλύς, καὶ τὸ δίκαιον διεφθείρετο; εἰ γὰρ οἱ προφητείας ἀπολαύοντες, καὶ τοσαῦτα ὁρῶντες γινόμενα κακὰ καὶ ἐν τοῖς πολεμίοις, καὶ ἐν ἑαυτοῖς, ὅμως οὐκ ἀνείχοντο, ἀλλὰ μυρία χαλεπὰ εἰργάζοντο, τί ἂν οἱ ἄλλοι; ἀλλά τις πάλιν παρ' αὐτοῖς παρθένους γυμνὰς ἐκέλευσε παλαίειν ἐπὶ ὄψεσιν ἀνθρώπων. πολλὰ ὑμῖν γένοιτο ἀγαθὰ, ὅτι οὐδὲ τὸ ῥῆμα ἀκοῦσαι φέρετε· αὐτοὶ δὲ τὸ πρᾶγμα οἱ φιλόσοφοι οὐκ ᾐσχύνοντο. ἕτερος δέ τις φιλόσοφος ὁ κορυφαῖος αὐτῶν καὶ εἰς πολέμους αὐτὰς ἐξάγει, καὶ κοινὰς εἶναι κελεύει, ὡς μαστροπός τις ὢν καὶ προαγωγός. Ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, φησιν. εἰ γὰρ οἱ φιλοσοφοῦντες παρ' αὐτοῖς τοιαῦτα ἐνομοθέτουν, τί ἂν εἴποιμεν περὶ τῶν μὴ φιλοσοφησάντων; εἰ οἱ τὸ γένειον ἔχοντες βαθὺ καὶ τὸν τρίβωνα ἀναβεβλημένοι τοιαῦτα λέγουσι, τί ἂν εἴποιμεν περὶ ἑτέρων; οὐ διὰ τοῦτο γέγονεν ἡ γυνή, ἄνθρωπε, ὥστε κοινῇ πᾶσι προκεῖσθαι. ὦ πάντα ἀνατρέποντες ὑμεῖς, οἱ τοῖς μὲν ἄρρεσιν ὡς θηλείαις μιγνύμενοι, τὰς δὲ θηλείας ὡς ἄνδρας εἰς πόλεμον ἐξάγοντες. τοῦτο γὰρ ἔργον τοῦ διαβόλου, τὸ πάντα συγχεῖν καὶ ἀνατρέπειν, καὶ τὰ ἐξ ἀρχῆς τεθέντα ὅρια διασαλεύειν καὶ μεταίρειν ἃ ὁ Θεὸς ἔθετο τῇ φύσει. τῇ μὲν γὰρ γυναικὶ τὸ οἰκουρεῖν μόνον ἔδωκεν ὁ Θεὸς, τῷ δὲ ἀνδρὶ τὰ δημόσια πράγματα· σὺ δὲ τὴν κεφαλὴν εἰς τοὺς πόδας κατάγεις, καὶ τοὺς πόδας εἰς τὴν κεφαλὴν ἀνάγεις. γυναῖκας ὁπλίζεις, καὶ οὐκ αἰσχύνῃ; τί δὲ ταῦτα λέγω; εἰσάγουσί τινα παρ' αὐτοῖς γυναῖκα καὶ παῖδας ἀνελοῦσαν, καὶ οὐκ αἰσχύνονται, οὐδὲ ἐντρέπονται, τοιαῦτα μυσαρὰ διηγήματα εἰς τὰς τῶν ἀνθρώπων ἀκοὰς ἐμβάλλοντες. Ὅτε δὲ ἡ χρηστότης, φησὶ, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον, ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. τί ἐστι κατ' ἐλπίδα; τουτέστι, καθὼς ἠλπίσαμεν, οὕτως ἀπολαύσομεν· ἢ ὅτι ἤδη καὶ κληρονόμοι ἐστέ.

8 Πιστὸς ὁ λόγος. Ἐπειδὴ γὰρ περὶ μελλόντων διελέχθη καὶ οὔπω παρόντων, ἐπι-

γαγε

γάρ ἐστιν ἀξιόπιστον. ἀληθῆ ταῦτά ἐστι, φησί, καὶ δῆλον ἐκ τῶν φθασάντων. ὁ γὰρ τοσαύτης ἡμᾶς ἀνομίας ἀπαλλάξας καὶ τοσούτων κακῶν, εὔδηλον ὅτι καὶ τῶν μελλόντων ἡμῖν μεταδώσει πάντων ἐπιμείνασι τῇ χάριτι. ἀπὸ γὰρ τῆς αὐτῆς κηδεμονίας ἅπαντα ταῦτα.

γ. ἡμᾶς

ΗΘΙΚΟΝ

Εὐχαριστῶμεν οὖν τῷ Θεῷ, καὶ μηδὲν τοῖς ἄλλοις ὀνειδίζωμεν, μηδὲν ἐγκαλῶμεν, ἀλλὰ παρακαλῶμεν μᾶλλον. εὐχώμεθα ὑπὲρ αὐτῶν, συμβουλεύωμεν, * παραινῶμεν, κἂν ὑβρίζωσι, κἂν λακτίζωσι. τοιοῦτοι γάρ εἰσιν οἱ νοσοῦντες. ἀλλ' οἱ πρὸς τὴν ὑγίειαν ἐκείνων σπεύδοντες, πάντα φέρουσι, πάντα πράττουσι, κἂν μηδὲν ἀνύσωσιν, ἵνα μὴ ἑαυτοῖς ἐγκαλῶσιν ὥσπερ ἠμεληκόσιν. ἢ οὐκ ἴστε ὅτι πολλάκις ἰατροῦ ἀπογνόντος τοῦ κάμνοντος, ἕτερός τίς φησι τῶν προσηκόντων πρὸς αὐτόν· θεραπείαν πάλιν πρόσαγε, καὶ μηδὲν ἐλλίπῃς, ἵνα μηδὲν ἐμαυτῷ ἐγκαλῶ· ἵνα μηδὲν μέμφωμαι· ἵνα μὴ κατηγορεῖν ἔχω ἐμαυτοῦ; οὐχ ὁρᾶτε πόσην οἱ προσήκοντες περὶ τοὺς ἐπιτηδείους ποιοῦνται τὴν πρόνοιαν; πόσα ὑπὲρ τούτου πράττουσι, καὶ ἰατροὺς παρακαλοῦντες, * καὶ προσεδρεύοντες διηνεκῶς; κἂν τούτους μιμώμεθα· καίτοιγε οὐχ ὑπὲρ τῶν ἴσων ἡ φροντίς. νῦν δὲ τὸ μὲν σῶμα κάμνοντος τοῦ παιδὸς οὐκ ἂν παραιτήσαιτό τις καὶ μακρὰν ἀποδημίαν στείλασθαι, ὥστε λῦσαι τὴν νόσον· τῆς δὲ ψυχῆς κακῶς ἐχούσης, οὐδεὶς οὐδένα ποιεῖται λόγον, ἀλλ' ἅπαντες ἀναπεπτώκαμεν, πάντες ῥαθυμοῦμεν, πάντες ὀλιγωροῦμεν, καὶ παῖδας καὶ γυναῖκας καὶ ἡμᾶς αὐτοὺς περιορῶντες ἁλισκομένους ἀπὸ τῆς νόσου ταύτης τῆς χαλεπῆς. ἀλλ' ὕστερον λαμβάνομεν τὴν αἴσθησιν. ἐννοήσατε ὡς αἰσχρὸν καὶ σφόδρα καταγέλαστον ὕστερον λέγειν, οὐ προσεδοκῶμεν, οὐκ ἠλπίζομεν τοῦτο ἔσεσθαι· οὐκ αἰσχρὸν δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνον. εἰ γὰρ ἐν τῷ παρόντι βίῳ τῶν ἀνοήτων ἐστὶ τὸ τὰ μέλλοντα μὴ προορᾶν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι, ὅτε καὶ ἀκούομεν νῦν πολλῶν συμβουλευόντων καὶ λεγόντων τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα. ἀντεχώμεθα τοίνυν τῆς φροντίδος ἐκείνης, φροντίζωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, τὸν Θεὸν ἐπὶ πᾶσι παρακαλῶμεν, ὥστε χεῖρα ὀρέξαι. μέχρι τίνος ῥάθυμοι; μέχρι τίνος ἀμελεῖς; μέχρι τίνος καταφρονοῦμεν ἑαυτῶν, καὶ τῶν ὁμοδούλων ἡμῶν; αὐτὸς πλουσίως ἐξέχεεν εἰς ἡμᾶς τὴν τοῦ πνεύματος χάριν. ἐννοήσωμεν τοίνυν ὅσην χάριν περὶ ἡμᾶς ἐπεδείξατο, καὶ τοσαύτην καὶ ἡμεῖς σπουδὴν ἐπιδειξώμεθα· μᾶλλον δὲ τοσαύτην μὲν οὐ δυνατόν, κἂν γοῦν ἐλάττονα. ἂν γὰρ καὶ μετὰ τὴν χάριν ταύτην ὦμεν ἀναίσθητοι, μείζων ἡμῖν ἔσται ἡ κόλασις. Εἰ μὴ ἦλθον γάρ, φησί, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν. ἀλλ' ἃ μὴ γένοιτο ταῦτα περὶ ἡμῶν εἰπεῖν, ἀλλὰ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

* γ. ἐπιτιμῶμεν, διδάσκωμεν,

γ. ἑαυτῷ

γ. ἑαυτοῦ;

* καὶ χρήματα ἀναλίσκοντες,

γ. ἁλισκομένας ὑπό

γ. κατὰ τὸ μέλλοντα,

γ. ἐλπίδος

γ. ἡμῶν

Ιωαν. ιε. κβ.

Λογ. ς. ΚΑΙ ΠΕΡΙ ΤΟΥΤΩΝ ΒΟΥΛΟΜΑΙ ΣΕ ΔΙΑΒΕβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. ταῦτά ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. 9 Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. 10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, 11 Εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

Εἰπών

Εἰπὼν περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ περὶ τῆς ἀφάτου αὐτοῦ περὶ ἡμᾶς κηδεμονίας, καὶ τίνας ὄντας ἡμᾶς τίνας εἰργάσατο, ἐπήγαγε καί φησι· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· τουτέστι, ταῦτα διαλέγεσθαι, καὶ ἀπὸ τούτων προτρέπειν ἐπὶ ἐλεημοσύνην. οὐ γὰρ μόνον πρὸς ταπεινοφροσύνην ἡμῖν τὰ εἰρημένα ἁρμόσει, καὶ πρὸς τὸ μὴ ἐπαίρεσθαι, καὶ ὀνειδίζειν ἑτέροις, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν ἄλλην ἀρετήν. οὕτω γοῦν καὶ πρὸς Κορινθίους διαλεγόμενός φησι· Γινώσκετε ὅτι ὁ Κύριος ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. (β. Κορ. η. θ.) ἐννοήσας τοῦ Θεοῦ τὴν κηδεμονίαν καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, ἐπὶ τὴν ἐλεημοσύνην αὐτοὺς προτρέπει, οὐχ ἁπλῶς, οὐδὲ παρέργως· ἀλλὰ τί; ἵνα φροντίζωσί, φησι, καλῶν ἔργων προΐστασθαι, τουτέστι, καὶ ἀδικουμένοις βοηθεῖν, μὴ χρήμασι μόνον, ἀλλὰ καὶ προστασίαις, καὶ χήραις ἐπαμύνειν καὶ ὀρφανοῖς, καὶ πάντας τοὺς κακῶς πάσχοντας ἐν ἀσφαλείᾳ καθιστᾶν. τοῦτο γάρ ἐστι, καλῶν ἔργων προΐστασθαι. Ταῦτα γάρ ἐστι, φησι, καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. τί ποτε βούλονται αἱ γενεαλογίαι; καὶ γὰρ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ τίθησι τοῦτο λέγων· Μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. (α. Τιμ. α. δ.) [τάχα καὶ ἐνταῦθα καὶ ἐκεῖ αἰνιττόμενος Ἰουδαίους, οἱ μέγα φρονοῦντες ἐπὶ τῷ πρόγονον ἔχειν τὸν Ἀβραὰμ τὴν καθ' ἑαυτοὺς ἠμέλουν. διὰ τοῦτο καὶ μωρὰς αὐτὰς καλεῖ καὶ ἀνωφελεῖς. μωρίας γάρ ἐστι ἀνωφελέσι πράγμασι τὸ θαρρεῖν.] ἔρεις δέ φησι τὰς πρὸς τοὺς αἱρετικούς, ἵνα μὴ κάμνωμεν εἰκῆ, ὅταν μηδὲν ᾖ κέρδος. τὸ γὰρ τέλος αὐτῶν οὐδέν. ὅταν γὰρ ᾖ τις διεστραμμένος, καὶ μηδ' ἂν ὁπωσοῦν γένηται, προῃρημένος μεταθέσθαι τὴν γνώμην, τίνος ἕνεκεν εἰκῆ κάμνεις κατὰ πετρῶν σπείρων, δέον ποιεῖν τὸν καλὸν τοῦτον πόνον εἰς τοὺς σούς, τὰ περὶ ἐλεημοσύνης αὐτοῖς διαλεγόμενος, καὶ τῆς ἄλλης ἀρετῆς; πῶς οὖν ἑτέρωθί φησι, Μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν, (β. Τιμ. β. κε.) ἐνταῦθα δέ, αἱρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος; ἐκεῖ μὲν περὶ τῶν ἐλπίδα ἐχόντων διορθώσεώς φησι, καὶ περὶ τῶν ἀντιδιατιθεμένων ἁπλῶς· ὅταν δὲ δῆλος ᾖ πᾶσι καὶ φανερός, τίνος ἕνεκεν πυκτεύεις εἰκῆ; τί τὸν ἀέρα δέρεις; τί ἐστιν, ὢν αὐτοκατάκριτος; οὐ γὰρ ἔχει εἰπεῖν, ὅτι οὐδεὶς εἶπεν, οὐδεὶς ἐνουθέτησεν. ὅταν οὖν μετὰ τὴν παραίνεσιν ὁ αὐτὸς ἐπιμένῃ, αὐτοκατάκριτος γίνεται.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σέ, ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρὸς μὲ εἰς Νικόπολιν. Τί λέγεις; ἐπιστήσας αὐτὸν τῇ Κρήτῃ, πάλιν καλεῖς πρὸς σεαυτόν; οὐκ ἀπάγων αὐτὸν τῆς σχολῆς ἐκείνης, ἀλλὰ πλέον ῥυθμίζων. ὅτι γὰρ οὐχ ὥστε προσάγειν αὐτὸν καὶ πανταχοῦ ἔχειν ἀκολουθοῦντα καλεῖ πρὸς ἑαυτόν, ἄκουσον τί φησιν. Ὅτι ἐκεῖ κέκρικα παραχειμάσαι. Ἡ δὲ Νικόπολις, τῆς Θρᾴκης ἐστί.

13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Αὐτοὶ δὲ οὐδέπω τῶν ἐγχειρισθέντων ἦσαν, ἀλλὰ τῶν συνόντων αὐτῷ· σφοδρότερος δὲ ἦν ὁ Ἀπολλώς, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς, καὶ ἀνὴρ λόγιος. (Πραξ. ιη. κδ.) εἰ τοίνυν νομικὸς ἦν ἐκεῖνος, οὐκ ἔδει παρ' ἑτέρων αὐτόν, φησι, τρέφεσθαι. ἀλλὰ νομικὸν ἐνταῦθά φησι τὸν τῶν Ἰουδαϊκῶν νόμων ἔμπειρον· ὥσπερ ἔλεγον, ἐν πάσῃ ἀφθονίᾳ αὐτοὺς κατάστησον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.

14 Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονται

15 Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες, ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει.

Ἤτοι τοὺς αὐτὸν φιλοῦντάς φησιν, ἢ τοὺς πιστοὺς ἄνδρας. Ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν. Πῶς οὖν αὐτοὺς κελεύεις τοὺς ἀντιλέγοντας ἐπιστομίζειν, εἰ προσέστησαν τούτους δέ, ὅταν ἐπὶ λύμῃ πάντα ποιῶσι τῇ ἑαυτῶν; φησὶ δὲ προτεθυμημένως ἐπὶ τῷ ἐκείνων κέρδει μηδέποτε τοῦτο ποιεῖν. οὐδὲ γὰρ ἂν κερδάνειαν ποτε, ἅπαξ διεστραμμένοι τὴν γνώμην. εἰ δὲ γὰρ ἑτέροις λυμαίνοιντο, διεστάναι χρὴ καὶ μάχεσθαι καὶ μετὰ πολλῆς τῆς ἀνδρείας παρεστάναι· εἰ δὲ εἰς ἀνάγκην καταστῇς, ὁρῶν ἑτέρους διαφθειρομένους, μὴ σίγα, ἀλλ' ἐπιστόμιζε, τῶν μελλόντων ἀπόλλυσθαι κινδυνεύοντος. ὅλως δὲ οὐκ ἔστι τὸν σπουδὴν ἔχοντα καὶ βίον ὀρθὸν, μάχας ἀνέχεσθαι. πλὴν, ὡς εἶπον, οὕτω ποίει· ἀπὸ γὰρ ἀργίας καὶ τῆς περιττῆς φιλοσοφίας τὸ πρᾶγμα γίνεται, τὸ περὶ τὰ ῥήματα ἠσχολῆσθαι μόνον. καὶ γὰρ περιττὰ φθέγγεσθαι πολλὴ ζημία, δέον ἢ διδάσκειν, ἢ εὔχεσθαι, ἢ εὐχαριστεῖν. οὐδὲ γὰρ χρημάτων μὲν φείδεσθαι ὀφείλομεν, ῥημάτων δὲ οὔ· ἀλλὰ μάλιστα τούτων, ἢ ἐκείνων, καὶ μὴ ἁπλῶς πᾶσιν ἑαυτοὺς ἐκδιδόναι. τί ἐστιν, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι; ἵνα μὴ περιμένωσι τοὺς δεομένους ἐλθεῖν πρὸς αὐτοὺς, ἀλλ' αὐτοὶ περιεργάζωνται τοὺς δεομένους τῆς αὐτῶν βοηθείας. ὁ γὰρ φροντίζων, οὕτω φροντίζει. οὕτω γὰρ μάλιστα καὶ μετὰ πολλῆς τῆς σπουδῆς τοῦτο ἐργάζεται. καὶ γὰρ ἐν οἷς εὖ ποιεῖ, οὐ τοῖς πάσχουσι τοσοῦτον, ὅσον τοῖς εὖ ποιοῦσι πρόσοδον καὶ κέρδος φέρει τὸ γινόμενον. παρρησίαν γὰρ δίδωσιν αὐτοῖς πρὸς τὸν Θεόν· ἐκεῖ δὲ τῆς μάχης τέλος οὐδέν. τὸν ἀδιόρθωτον οὕτω λέγει αἱρετικόν. ὥσπερ γὰρ τοὺς ἐλπίδας ἔχοντας μεταβολῆς ἀφορμᾷν, ῥᾳθυμίας, οὕτω τοὺς ἀνιάτως νοσοῦντας θεραπεύειν, ἀνοίας καὶ τῆς ἐσχάτης παραπληξίας. θρασυτέρους γὰρ ἐργαζόμεθα ἐκείνους. μανθανέτωσαν δέ, φησι, καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. ὁρᾷς ὅτι αὐτῶν φροντίζει μᾶλλον, ἢ τῶν λαμβανόντων; ἐκείνους γὰρ ἴσως πολλαχόθεν τούτους περιπέμψαι, ἀλλὰ τῶν ἡμετέρων, φησί, φροντίζω. τί γὰρ ὄφελος, εἰπέ μοι; εἰ γὰρ θησαυροὺς ἀνορύττοντες ἔτρεφον τοὺς διδασκάλους ἕτεροι, τούτοις οὐδὲν οὐδέπω κέρδος ἦν· ἄκαρποι γὰρ ἔμενον. τί οὖν, εἰπέ μοι; οὐκ ἠδύνατο ὁ Χριστὸς ὁ ἀπὸ πέντε ἄρτων πεντακισχιλίους, καὶ ἀπὸ ἑπτὰ τετρακισχιλίους θρέψας, θρέψαι ἑαυτὸν καὶ τοὺς συνόντας αὐτῷ;

Τίνος οὖν ἕνεκεν ὑπὸ γυναικῶν ἐτρέφετο; (Ἠκολούθουν γὰρ αὐτῷ, φησι, γυναῖκες, αἵτινες διηκόνουν αὐτῷ) διδάσκων ἡμᾶς ἄνωθεν ὅτι τῶν εὖ ποιούντων φροντίζει. οὐκ ἠδύνατο ὁ Παῦλος ὁ καὶ ἑτέροις ἐπαρκῶν διὰ τῶν ἑαυτοῦ χειρῶν, μηδαμόθεν λαμβάνειν; ἀλλ' ὁρᾷς αὐτὸν καὶ λαμβάνοντα καὶ αἰτοῦντα. καὶ ἄκουσον, διὰ τί· Ζητῶ γάρ, φησιν, οὐ τὸ δόμα, ἀλλὰ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. καὶ παρὰ τὴν ἀρχὴν δέ, ὅτε τὰ αὐτῶν ἅπαντα πιπράσκοντες ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, ὁρᾷς τοὺς ἀποστόλους αὐτῶν φροντίζοντας μᾶλλον, ἢ τῶν λαμβανόντων; εἰ γὰρ ὁπωσδήποτε μόνον τῶν πενήτων ἐφρόντιζον, οὐδ' ἂν λόγον ὑπὲρ τῆς Σαπφείρας καὶ τοῦ Ἀνανία ἐποιήσαντο, ἡνίκα ἐνοσφίσαντο τὰ χρήματα. οὐκ ἂν ἐκώλυσεν ἐξ ἀδικίας λαμβάνειν, οὐκ ἂν διετάξατο Παῦλος λέγων· Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. τί λέγεις, Παῦλε; ἐμποδίζεις τοῖς πένησιν; οὔ, φησιν. οὐ γὰρ τὸ ἐκείνων ὁρῶ, ἀλλὰ τὸ τῶν διδόντων. ὅρα δὲ καὶ τὸν προφήτην, ἡνίκα τῷ Ναβουχοδονόσορ συνεβούλευε τὴν ἀρίστην ἐκείνην γνώμην, οὐχὶ τῶν πενήτων μόνον φροντίζοντα. οὐ γὰρ εἶπε, δὸς τοῖς πένησιν ἁπλῶς, ἀλλὰ τί; Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. κένωσον τὰ χρήματα, φησιν, οὐχ ἵνα ἕτεροι τραφῶσι μόνον, ἀλλ' ἵνα ἀπαλλαγῇς αὐτὸς τῆς τιμωρίας. καὶ πάλιν ὁ Χριστός· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. ὁρᾷς ὅτι καὶ διὰ τὴν ἀκολούθησιν τοῦτο ἐπιτάττει; ἐπειδὴ γὰρ ἐμπόδιόν ἐστι τὰ χρήματα, διὰ τοῦτο διδόναι πένησιν ἐπέταξε, παιδεύων τὴν ψυχὴν ἐλεήμονα εἶναι καὶ οἰκτίρμονα, παιδεύων χρημάτων καταφρονεῖν,

ΗΘΙΚΟΝ

Μαρκ. ιε. μα.

Φιλιπ. δ. ιζ.

β Κορ. θ. ζ.

Δαν. δ. κδ.

Ματθ. ιθ. κα.

φρονεῖ, παιδεύων πλεονεξίας ἀφίστασθαι. ὁ γὰρ παιδευόμενος τῷ μὴ ἔχοντι δοῦναι, παιδεύεται τῶν χρημάτων καὶ μὴ λαμβάνειν ἀπὸ τῶν ἐχόντων. τοῦτο ὁμοίους ποιεῖ τῷ Θεῷ. καίτοιγε ἡ παρθενία χαλεπώτερον αὐτῆς πόνον ἔχει, καὶ ἡ νηστεία, καὶ τὸ χαμευνεῖν· ἀλλ' οὐδὲν οὕτως ἰσχυρὸν καὶ δυνατὸν πρὸς τὸ σβέσαι τῶν ἁμαρτημάτων ἡμῶν τὴν πυράν, ὡς ἡ ἐλεημοσύνη. πάντων αὕτη μείζων ἐστί, παρ' αὐτὸν ἵστησι τὸν βασιλέα τοὺς αὐτῆς ἐραστάς· καὶ μάλα εἰκότως. παρθενία μὲν γάρ, καὶ νηστεία, καὶ χαμευνία περὶ τὸν ποιοῦντα ἵσταται μόνον, ἕτερον δὲ ἔσωσεν οὐδένα· ἡ δὲ ἐλεημοσύνη εἰς πάντας ἐκτείνεται, καὶ τὰ μέλη περιπλέκεται τοῦ Χριστοῦ. πολὺ δὲ τῶν εἰς τὸ ἓν ἀπαρτισαμένων τὰ πρὸς τοὺς πολλοὺς ἐκτεινόμενα κατορθώματα μείζονα. αὕτη γὰρ μήτηρ ἀγάπης ἐστίν, ἀγάπης τῆς τὸν χριστιανισμὸν χαρακτηριζούσης, τῆς τῶν σημείων ἁπάντων μείζονος· δι' ἧς οἱ μαθηταὶ φαίνονται τοῦ Χριστοῦ. αὕτη φάρμακόν ἐστι τῶν ἡμετέρων ἁμαρτημάτων, σμῆγμα τοῦ ῥύπου τῆς ἡμετέρας ψυχῆς, κλίμαξ εἰς τὸν οὐρανὸν ἐστηριγμένη· αὕτη τὸ τοῦ Χριστοῦ σῶμα συνδεῖ. βούλεσθε μαθεῖν ὅσων ἀγαθῶν αὕτη ἐστίν; ἐπὶ τῶν ἀποστόλων πάντες τὰ ἑαυτῶν πωλοῦντες ἔφερον πρὸς αὐτούς, ἃ καὶ διεδίδοτο. διεδίδοτο γάρ, φησιν, ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. εἰπὲ γάρ μοι, χωρὶς τῶν μελλόντων (μήπω γὰρ περὶ τῆς βασιλείας νῦν κινήσωμεν) ἀλλ' ἐν τῷ παρόντι ἴδωμεν, τίνες κερδαίνουσιν, οἱ λαμβάνοντες, ἢ οἱ διδόντες. ἐκεῖνοι μὲν γὰρ ἐγόγγυζον, καὶ διεπληκτίζοντο πρὸς ἀλλήλους· οὗτοι

Πράξ. δ. λβ. δὲ εἶχον ψυχὴν μίαν. ἦν γάρ, φησιν, ἁπάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ χάρις ἦν ἐπὶ πάντας αὐτούς, καὶ μετὰ πολλῆς ὠφελείας διῆγον. ὁρᾷς ὅτι καὶ ἐντεῦθεν ἐκεῖνοι ἐκέρδαινον; εἰπὲ δή μοι, τίνων ἂν ἠθέλησας εἶναι; τῶν τὰ αὐτῶν ῥιπτούντων, καὶ οὐδὲν ἐχόντων, ἢ τῶν καὶ τὰ ἑτέρων λαμβανόντων; ὅρα τὸν καρπὸν τῆς ἐλεημοσύνης· τὰ διαφράγματα καὶ τὰ κωλύματα ἀνῃρέθη, καὶ εὐθέως συνεφύησαν αὐτῶν αἱ ψυχαί. πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ὥστε καὶ χωρὶς τῆς ἐλεημοσύνης, τὸ τὰ χρήματα κενοῦν πολὺ ἔχει τὸ κέρδος. ταῦτα δέ μοι εἴρηται, ἵνα οἱ κλῆρον παρὰ γονέων μὴ διαδεξάμενοι, μὴ ἀλγῶσι, μηδὲ κατηφιῶσιν, ὡς ἔλαττον τῶν πλουτούντων ἔχοντες. μείζονα γὰρ ἕξουσιν, ἂν ἐθέλωσι. καὶ γὰρ καὶ πρὸς ἐλεημοσύνην μετὰ πλείονος ἥξουσι τῆς εὐκολίας, καθάπερ ἡ χήρα, καὶ τῆς πρὸς τὸν πλησίον ἔχθρας οὐδεμίαν ἕξουσιν ἀφορμήν, καὶ πάντων ἔσονται ἐλευθερώτεροι. οὐδεὶς ἀπειλῆσαι δυνήσεται τῷ τοιούτῳ δήμευσιν, ἀλλ' ἔστιν ἀνώτερος τοῦ παθεῖν κακῶς. καὶ καθάπερ τοὺς γυμνοὺς φθάνοντας οὐδεὶς ἂν ταχέως κατάσχοι, τὸν δὲ πολλὰ περιβεβλημένον καὶ ἐπισυρόμενον ῥᾳδίως ἄν τις ἐπιλάβοιτο· οὕτω καὶ ὁ πλούσιος, καὶ ὁ πένης ἐστίν. ὁ μὲν γάρ, κἂν ἁλῷ, εὐκόλως διαδρᾶναι δυνήσεται· ὁ δέ, κἂν μὴ κατασχεθῇ, τοῖς ἑαυτοῦ σχοινίοις συμποδίζεται, φροντίσι μυρίαις, ἀθυμίαις, ὀργαῖς, προσοχθισμοῖς. ταῦτα πάντα καταχωννύει τὴν ψυχήν· καὶ οὐ ταῦτα μόνα, ἀλλὰ καὶ ἄλλα πολλά, ἅπερ ἀπὸ τοῦ πλούτου ἐπισυρόμενα. καὶ γὰρ μετριάζειν δυσκολώτερον τὸν πλούσιον, ἢ τὸν πένητα, καὶ ἐν εὐτελείᾳ ζῆν· καὶ θυμοῦ ἀπηλλάχθαι δυσκολώτερον τοῦτον, ἢ ἐκεῖνον. οὐκοῦν πλείονα, φησιν, ἕξει μισθόν; οὐδαμῶς. διὰ τί, εἰ γὰρ τὰ δύσκολα κατορθοῖ; ὅτι αὐτὸς ἑαυτῷ τὰς δυσκολίας ἐπινόησεν. οὐ γὰρ ἐπιτέτακται πλουτεῖν, ἀλλὰ καὶ τοὐναντίον· ἑαυτῷ δὲ μυρία σκάνδαλα καὶ κωλύματα κατασκευάζει. ἄλλοι δὲ οὐ μόνον τὰ χρήματα ἀποτίθενται, ἀλλὰ καὶ τοῦ σώματος τὸ πλέον κατατήκουσιν, ὡς στενὴν ὁδεύοντες ὁδόν· σὺ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὔξεις τὴν κάμινον τῶν παθῶν, [καὶ ἕτερα περιβάλλεις,] οὐκοῦν εἰς τὴν εὐρύχωρον ἄπιθι. ἐκείνη γάρ ἐστιν ἡ τοὺς τοιούτους δεχομένη· ἡ δὲ στενὴ τοὺς θλιβομένους, τοὺς ἐστενωμένους, τοὺς οὐδὲν βαστάζοντας, ἀλλ' ἢ ταῦτα τὰ φορτία, ἃ δι' αὐτῆς κομίζεσθαι δυνατόν, ἐλεημοσύνην, φιλανθρωπίαν, χρηστότητα, ἐπιείκειαν. ἂν ταῦτα βαστάζῃς, εὐκόλως δυνήσῃ εἰσελθεῖν· ἂν δὲ ἀπόνοιαν καὶ φλεγμονὴν ψυχῆς, καὶ τὸ τῶν ἀχθῶν φορτίον, τὸν πλοῦτον, πολλῆς σοι δεῖ τῆς εὐρυχωρίας. οὐδὲ γὰρ εἰς τὸν ὄχλον ἐμβιβάσαι σοι δυνατόν, ὥστε μὴ ἑτέροις πλήττειν αὐτὸν ἐπιφερόμενον· ἀλλ'

ἐν

γρ. ποιοῦσι
γρ. ποιεῖ
γρ. πολλοί
γρ. διεπλήκτιζον
γρ. διαδρᾶναι
γρ. ἐπισυρόμενα
γρ. ἐν

ἐστι πολλῆς διαστάσεως ἐνταῦθα. ὁ μέντοι ἀποφέρων χρυσίον καὶ ἀργύριον, τὰ τῆς ἀρετῆς λέγω κατορθώματα, οὐ μόνον φθόνον οὐκ ἔχει τὸν πλησίον, ἀλλὰ καὶ πλησίον γινομένους καὶ συμμιδιάζοντας. πλὴν εἰ ὁ πλοῦτος αὐτὸς ἄχθος ἐστί, τί ἡ πλεονεξία; τίνος ἕνεκεν ταύτην ἀπάγεις ἐκεῖ; ἵνα μείζονα τὴν φλόγα ἐργάσῃ, φορτία ὑποτιθεὶς τῷ πυρί; οὐ γὰρ ἀρκεῖ τὸ τῆς γεέννης πῦρ; ἐννόησον τοὺς τρεῖς παῖδας πῶς περιεπάτουν τῆς καμίνου· ἐκείνην νόμισον γέενναν εἶναι. μετὰ θλίψεως ἐνέπεσον εἰς αὐτὴν δεδεμένοι καὶ συμπεποδημένοι· ἀλλὰ πολλὴν εὗρον ἔνδον τὴν εὐρυχωρίαν. ἀλλ' οὐχ οἱ ἔξωθεν περιεστῶτες. τοιοῦτόν τι ἔστι καὶ νῦν, ἐὰν βουλώμεθα γενναίως καὶ ἀνδρείως ἵστασθαι πρὸς τοὺς ἐπαγομένους πειρασμούς. ἂν εἰς τὸν Θεὸν ἔχωμεν τὰς ἐλπίδας, ἐσόμεθα μὲν ἡμεῖς ἐν ἀσφαλείᾳ, ἐν εὐρυχωρίᾳ, οἱ δὲ ἐμβάλλοντες ἡμᾶς ἀπολοῦνται. Ὁ γὰρ ὀρύσσων βόθρον, φησὶν, ἐμπεσεῖται εἰς αὐτόν. κἂν τὰς χεῖρας δήσωσι, κἂν τοὺς πόδας, ἡ θλίψις λῦσαι δυνήσεται. ὅρα γὰρ τὸ θαυμαστόν. οὓς ἔδησαν ἄνθρωποι, τούτους ἔλυσε τὸ πῦρ. καθάπερ γὰρ εἴ τις παραδοίη τινὰς τοῖς οἰκέταις τῶν φίλων, οὗτοι δὲ τὴν φιλίαν αἰδούμενοι τοῦ δεσπότου, οὐ μόνον αὐτοὺς οὐ λυμαίνονται, ἀλλὰ καὶ πολλῆς μεταδιδόασι τιμῆς· οὕτω καὶ τὸ πῦρ, ἐπειδὴ ἐπέγνω ὅτι φίλοι τοῦ δεσπότου αὐτοῦ εἰσιν οἱ παῖδες ἐκεῖνοι, καὶ διέρρηξεν αὐτῶν τὰ δεσμά, καὶ ἔλυσεν αὐτοὺς, καὶ ἀφῆκε, καὶ ἔδαφος αὐτοῖς ἐγίνετο, καὶ κατεπατεῖτο ὑπ' αὐτῶν, εἰκότως. ὑπὲρ γὰρ τῆς δόξης ἐνεβέβληντο τοῦ Θεοῦ. ὅσοι ἐν θλίψεσίν ἐσμεν, ταῦτα κατέχωμεν τὰ ὑποδείγματα. ἀλλ' ἰδοὺ, φησιν, ἐκεῖνοι ἀπηλλάγησαν τῆς θλίψεως, ἡμεῖς δὲ οὔ. καὶ εἰκότως, ἐπειδὴ οὐχ οὕτως ἐνέβησαν εἰς τὴν κάμινον ἐκεῖνοι, ὡς ἀπαλλαγησόμενοι, ἀλλ' ὡς τεθνηξόμενοι τέλεον. ἄκουε γὰρ αὐτῶν λεγόντων, Ἔστι Θεὸς ἐν οὐρανοῖς, ὃς ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. ἡμεῖς δὲ ὡς πραγματευόμενοι τοῦ Θεοῦ τὰς παιδείας, καὶ χρόνον ὁρίζομεν λέγοντες· ἐὰν μέχρι τοσοῦδε μὴ ἐλεήσῃ. διὰ τοῦτο οὐκ ἀπαλλαττόμεθα. ἐπεὶ καὶ ὁ Ἀβραὰμ οὐχ ὡς σῶον ληψόμενος τὸν υἱὸν, οὕτως ἀπήρχετο, ἀλλ' ὡς σφαγιάσων· καὶ παρὰ προσδοκίαν σῶον ἔλαβε. καὶ σὺ ὅταν ἐμπέσῃς εἰς θλίψιν, μὴ ταχυνῇς, μὴ σπεύσῃς ἀπαλλαγῆναι, παρασκεύασον τὴν διάνοιάν σου πρὸς πᾶσαν ὑπομονὴν, καὶ ἀπαλλαγήσῃ ταχέως τῆς θλίψεως. διὰ γὰρ τοῦτο καὶ ἐπάγει αὐτὴν ὁ Θεὸς, ἵνα παιδεύσῃ. ὅταν οὖν ἐκ προοιμίων παιδευθῶμεν φέρειν, καὶ μὴ ἀλύωμεν, ἀνίησι λοιπὸν, ὡς τοῦ παντὸς κατωρθωμένου. βούλομαί τι διήγημα πρὸς ὑμᾶς εἰπεῖν χρήσιμον, καὶ πολλὴν ἔχον τὴν ὠφέλειαν. τί δὲ τοῦτό ἐστι; διωγμοῦ ποτε καταληφθέντος, καὶ πολέμου σφοδροῦ κατὰ τῆς ἐκκλησίας ἀναρριπισθέντος, δύο τινὲς συνελήφθησαν ἄνδρες· καὶ ὁ μὲν ἕτοιμος ἦν πᾶν ὁτιοῦν παθεῖν, ὁ δὲ πρὸς μὲν τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν καὶ αὐτὸς ἕτοιμος καὶ γενναῖος, πρὸς δὲ τὰς ἄλλας βασάνους δεδοικὼς καὶ τρέμων. ὅρα τοίνυν τὴν οἰκονομίαν. ἐπειδὴ ἐκάθισεν ὁ δικαστὴς, τὸν μὲν ἕτοιμον ὄντα πᾶν ὁτιοῦν παθεῖν, ἐκέλευσεν ἀποτμηθῆναι τὴν κεφαλήν· ἐκεῖνον δὲ ἀναρτήσας κατέξαινε, καὶ οὐχ ἅπαξ, οὐδὲ δεύτερον, ἀλλὰ πάσας περιάγων τὰς πόλεις. τί δήποτε τοῦτο συνεχωρήθη; ἵνα τὸ ἠμβλυμμένον αὐτοῦ τῆς διανοίας ἀνακτήσηται διὰ τῶν βασάνων, ἵνα τὴν δειλίαν πᾶσαν ἐκβάλῃ, ἵνα μηκέτι ᾖ δεδοικὼς, μηδὲ ὀκνῶν, μηδὲ τρέμων πρὸς τὸ πρᾶγμα. καὶ Ἰωσὴφ δὲ ὅτε μάλιστα ἠπείγετο ἐξελθεῖν, τότε μάλιστα ἐναπέμεινεν. ἄκουε γὰρ αὐτοῦ λέγοντος, Κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων· καὶ μνήσθητί μου, φησὶ, πρὸς τὸν βασιλέα. διὰ τοῦτο ἐναπέμεινεν, ἵνα μάθῃ, ὅτι οὐ χρὴ θαρρεῖν, οὐδὲ ἐπελπίζειν ἀνθρώποις, ἀλλὰ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν. ταῦτα οὖν εἰδότες, χάριν ὁμολογῶμεν τῷ Θεῷ, καὶ πάντα πράττωμεν τὰ πρὸς τὸ συμφέρον· ἵνα τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἐκεῖνο

γ. δεδεμένοι ἦσαν καὶ συμπεποδημένοι.

Σοφ. κζ. κζ.

Δαν. γ. ιζ.

Γεν. μ. ιε. ιδ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόθεσις τῆς πρὸς Φιλήμονα ἐπιστολῆς.

Πρῶτον ἀναγκαῖον τὴν ὑπόθεσιν εἰπεῖν τῆς ἐπιστολῆς, εἶτα καὶ τὰ ζητούμενα. τίς οὖν ἡ ὑπόθεσις; Φιλήμων ἀνήρ τις τῶν θαυμαστῶν καὶ γενναίων. ὅτι γὰρ θαυμαστὸς ἦν, δῆλον ἀπὸ τοῦ καὶ τὴν οἰκίαν αὐτοῦ πᾶσαν εἶναι πιστήν, καὶ οὕτω πιστήν, ὡς καὶ ἐκκλησίαν αὐτὴν ὀνομάζεσθαι. διὰ τοῦτο καὶ γράφων ἔλεγε, Καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. Φιλημ. β. μαρτυρεῖ δὲ αὐτῷ καὶ πολλὴν ὑπακοήν, καὶ ὅτι Τὰ Φιλημ. ζ. σπλάγχνα τῶν ἁγίων ἀναπέπαυντο εἰς αὐτόν. καὶ αὐτὸς δὲ γράφων ἐν ταύτῃ τῇ ἐπιστολῇ παρήγγειλεν αὐτῷ ἑτοιμάσαι ξενίαν. οὕτω μοι δοκεῖ καταγώγιον εἶναι ἁγίων ἡ οἰκία ἡ ἐκείνου πάντων ἕνεκεν. οὗτος δὴ οὖν ὁ θαυμαστὸς ἀνὴρ παῖδά τινα εἶχεν Ὀνήσιμον· ὁ τοίνυν Ὀνήσιμος οὗτος κλέψας τι παρὰ τοῦ δεσπότου, ἐδραπέτευσεν. ὅτι γὰρ ἔκλεψεν, ἄκουσον τί φησιν· Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, ἐγὼ ἀποτίσω. ἐλθὼν τοίνυν πρὸς τὸν Παῦλον εἰς τὴν Ῥώ- Φιλημ. ιη. μην, καὶ εὑρὼν αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπολαύσας τῆς παρ' αὐτοῦ διδασκαλίας, καὶ τοῦ βαπτίσματος ἔτυχεν ἐκεῖ. ὅτι γὰρ ἐκεῖ ἔτυχε τῆς τοῦ βαπτίσματος δωρεᾶς, δῆλον ἐκ τοῦ Φιλημ. ι. εἰπεῖν, Ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου. ὁ τοίνυν Παῦλος γράφει συνιστῶν αὐτὸν πρὸς τὸν δεσπότην, ὥστε πάντων ἕνεκεν λύσιν γενέσθαι, καὶ προσίεσθαι αὐτὸν ὡς ἀναγεννηθέντα νῦν. ἀλλ' ἐπειδή τινές φασι περιττὸν εἶναι τὸ καὶ ταύτην προσκεῖσθαι τὴν ἐπιστολήν, εἴγε ὑπὲρ πράγματος μικροῦ ἠξίωσεν, ὑπὲρ ἑνὸς ἀνδρός, μαθέτωσαν ὅσοι ταῦτα ἐγκαλοῦσιν, ὅτι μυρίων εἰσὶν ἐγκλημάτων ἄξιοι. οὐ μόνον γὰρ τὰς οὕτω μικρὰς ἐπιστολάς, καὶ ὑπὲρ οὕτω πραγμάτων ἀναγκαίων ἐπεσταλμένας ἔδει ἐγγεγράφθαι· ἀλλ' εἴθε γὰρ ἐνῆν εὐπορῆσαι τοῦ τὴν ἱστορίαν ἡμῖν παραδιδόντος τῶν ἀποστόλων, οὐ λέγω ὑπὲρ ὧν ἔγραψαν καὶ διελέχθησαν, ἀλλὰ καὶ τὴν ἄλλην αὐτῶν ἀναστροφήν, καὶ τί ἔφαγον, καὶ πότε ἔφαγον, πότε ἐκάθισαν, καὶ ποῦ ἐβάδισαν, καὶ τί καθ' ἑκάστην ἡμέραν διεπράξαντο, ἐν ποίοις μέρεσι γεγόνασι, καὶ εἰς ποίαν οἰκίαν εἰσῆλθον, καὶ ποῦ κατήχθησαν, καὶ μετ' ἀκριβείας ἅπαντα διηγήσασθαι. οὕτω πάντα τὰ παρ' αὐτῶν γινόμενα πολλῆς ὠφελείας γέμει. ἀλλ' ἐπειδὴ μὴ ἴσασιν οἱ πλείους τὸ κέρδος τὸ ἐντεῦθεν, διὰ τοῦτο μέμφεσθαι ἐπιχειροῦσιν. εἰ γὰρ τόπους ὁρῶντες μόνον, ἔνθα ἐκάθισαν ἢ ἐδέθησαν, τόπους ἀψύχους, πολλάκις ἐκεῖ παραπέμπομεν τὴν διάνοιαν, καὶ

γρ. πολύ. γρ. πολλ.

γρ. ἐλύθησαν, ἀλλ' ἐδιδάχθησαν.

φανταζόμεθα αὐτῶν τὴν ἀρετήν, καὶ διεγειρόμεθα καὶ προθυμότεροι γινόμεθα. Εἰ τὰ ῥήματα καὶ τὰς ἑτέρας αὐτῶν πράξεις ἠκούσαμεν, πολλῷ μᾶλλον. Ἀλλὰ περὶ μὲν φίλου τις ἐρωτᾷ, ποῦ διάγει, τί πράττει, ποῦ πρόεισι· περὶ δὲ τοῦ κοινοῦ τῆς οἰκουμένης διδασκάλου οὐκ ἐθέλει ταῦτα μαθεῖν; Εἰπέ μοι· ὅταν γάρ τις πνευματικῶς ζῇ, καὶ σχήματα, καὶ βαδίσματα, καὶ ῥήματα, καὶ πράγματα τοῦ τοιούτου, καὶ πάντα ἁπλῶς τοὺς ἀκούοντας ὠφελεῖ, καὶ οὐδὲν ἐμποδίζει, οὐδὲ κώλυμα γίνεται. Πλὴν ὅτι περὶ ἀναγκαίων ἡ ἐπιστολὴ διεπέμπετο, μαθεῖν ὑμᾶς χρήσιμον. Ὅρα γοῦν πόσα κατορθοῦται ἐντεῦθεν. Ἓν μὲν καὶ πρῶτον, τὸ σπουδαῖόν τινα εἶναι περὶ πάντα. Εἰ γὰρ Παῦλος ὑπὲρ δραπέτου, ὑπὲρ λῃστοῦ καὶ κλέπτου τοσαύτην ποιεῖται πρόνοιαν, καὶ οὐ παραιτεῖται μετὰ τοσούτων αὐτὸν ἐγκωμίων ἀποπέμψαι, οὐδὲ αἰσχύνεται, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς προσήκει ῥαθύμους εἶναι περὶ τὰ τοιαῦτα. Δεύτερον, ὅτι τὸ δουλικὸν γένος οὐ δεῖ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἐλάσῃ κακίαν. Εἰ γὰρ ὁ κλέπτης, ὁ δραπέτης οὕτως ἐγένετο ἐνάρετος, ὡς θέλειν τὸν Παῦλον κοινωνὸν αὐτὸν καταστῆσαι, καὶ γράφων ἔλεγεν, Ἵνα ὑπὲρ σοῦ διακονῇ μοι,

Φιλημ. ιγ. | κ. ἢ χάριτα λήψῃ

πολλῷ μᾶλλον ἐλευθέρους ἀπογινώσκειν οὐ χρή. Τρίτον, ὅτι τοὺς δούλους ἀποσπᾶν τῶν δεσποτῶν οὐ προσήκει. Εἰ γὰρ Παῦλος ὁ οὕτω θαρρῶν τῷ Φιλήμονι, τὸν Ὀνήσιμον τὸν οὕτως εὔχρηστον καὶ χρήσιμον αὐτῷ πρὸς διακονίαν οὐκ ἠθέλησε κατασχεῖν παρὰ γνώμην τοῦ δεσπότου, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν οὐ χρή. Εἰ γὰρ θαυμαστός ἐστιν ὁ οἰκέτης, ταύτῃ μάλιστα μένειν αὐτὸν χρὴ ἐν τῇ δουλείᾳ, καὶ τὴν δεσποτείαν ἐπιγινώσκειν, ἵνα αἴτιος πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ ὠφελείας γένηται. Τί τὸν λύχνον ἀπὸ τῆς λυχνίας ἐπὶ τὸν μόδιον ἄγεις; Εἴθε τοὺς ἔξωθεν εἰς τὰς πόλεις εἰσαγαγεῖν ἐνῆν. Τί οὖν, φησίν, ἂν καὶ αὐτὸς φαῦλος γένηται; διὰ τί, εἰπέ μοι, παρακαλῶ; ὅτι πρὸς πόλιν εἰσῆλθεν; Ἀλλ' ἐννόει ὅτι καὶ ἔξω ὢν φαυλότερος ἔσται. Ὁ γὰρ ἔνδον φαῦλος γενόμενος, πολλῷ μᾶλλον ἔξω ὤν. Ἐνταῦθα μὲν γὰρ τῆς ἀναγκαίας φροντίδος ἀπήλλακται, τοῦ δεσπότου μεριμνῶντος· ἐκεῖ δὲ ἡ περὶ τούτων φροντὶς ἴσως ἀπάξει αὐτὸν τῶν ἀναγκαιοτέρων καὶ πνευματικωτέρων. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος

α Κορ. ζ. κα.

τὴν ἀρίστην αὐτοῖς εἰσάγων συμβουλὴν ἔλεγε· Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι, τῇ δουλείᾳ παράμενε. Τὸ δὲ πάντων ἀναγκαιότερον, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. Καθὼς καὶ αὐτὸς γράφων ἔλεγεν,

α. Τιμ. ς. α.

Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. Ἐροῦσι γὰρ καὶ Ἕλληνες, ὅτι δύνανται καὶ δουλεύοντες εὐαρεστεῖν τῷ Θεῷ. Ἐπεὶ εἰς ἀνάγκην καθίστανται πολλοὶ τοῦ βλασφημεῖν καὶ λέγειν, ἐπὶ διαστροφῇ τῶν πάντων ὁ χριστιανισμὸς εἰς τὸν βίον εἰσενήνεκται, τῶν δεσποτῶν ἀφαιρουμένων τοὺς οἰκέτας, καὶ βίας τὸ πρᾶγμά ἐστιν. Εἴπω τι καὶ ἕτερον. Διδάσκει ἡμᾶς μὴ ἐπαισχύνεσθαι τοὺς οἰκέτας, εἰ ἐνάρετοι εἶεν. Εἰ γὰρ Παῦλος πάντων ἀνθρώπων θαυμαστότερος τοσαῦτα περὶ τούτου φησί, πολλῷ μᾶλλον ἡμεῖς περὶ τῶν ἡμετέρων. Τοσούτων οὖν ὄντων κατορθωμάτων, καίτοι οὔπω πάντα εἰρήκαμεν, περιττόν τις ἡγεῖται τὸ καὶ ταύτην τὴν ἐπιστολὴν ἐντετάχθαι; καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας ἂν εἴη; Προσέχωμεν γοῦν, παρακαλῶ, τῇ παρὰ τοῦ ἀποστόλου γραφείσῃ ἐπιστολῇ. Τοσαῦτα γὰρ ἤδη κερδάναντες, πλείονα κερδανοῦμεν ἀπὸ τῆς ὑφῆς.

ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΝ

ἑρμηνεία.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΔΕΣΜΙΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν,
2 Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ.
3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ὑπὲρ οἰκέτου πρὸς δεσπότην ἐστὶ ταῦτα. εὐθέως ἀπὸ τοῦ προοιμίου τὸ φρόνημα αὐτοῦ κατέπασεν, οὐκ ἀφῆκεν ἐπαρθῆναι, τὸν θυμὸν ἔσβεσε, δέσμιον ἑαυτὸν καλῶν κατέπληξε, καὶ συνέστειλεν, οὐδὲν τὰ παρόντα ἐποίησε δοκεῖν εἶναι πράγματα. εἰ γὰρ δεσμὸς οὐκ αἰσχύνη διὰ τὸν Χριστὸν, ἀλλὰ καὶ καύχημα, πολλῷ μᾶλλον δουλεία οὐκ ἐπονείδιστον. καὶ ταῦτα λέγει οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλὰ συμφερόντως τοῦτο ποιῶν, καὶ τὸ ἀξιόπιστον ἐντεῦθεν δεικνὺς, οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ᾽ ὑπὲρ τοῦ τὴν χάριν ἑτοιμότερον λαβεῖν. ὡς ἂν εἰ ἔλεγε, δι᾽ ὑμᾶς τὸν δεσμὸν τοῦτον περίκειμαι. ὥσπερ οὖν καὶ εἶπεν ἀλλαχοῦ, ἐκεῖ μὲν τὴν κηδεμονίαν δεικνὺς, ἐνταῦθα δὲ τὸ ἀξιόπιστον. οὐδὲν τοῦ καυχήματος τούτου μεῖζον τοῦ ἀκούειν, ὡς στιγματίας τοῦ Χριστοῦ· Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Χριστοῦ, φησὶ, βαστάζω. ὁ δέσμιος τοῦ Χριστοῦ. διὰ γὰρ αὐτὸν δέδεται. τίς οὐκ ἂν αἰδεσθείη, τίς οὐκ ἂν δυσωπηθείη, Χριστοῦ δεσμὰ ἀκούων; τίς οὐκ ἂν καὶ τὴν ψυχὴν προοῖτο, μήτιγε οἰκέτην ἕνα; καὶ Τιμόθεος ὁ ἀδελφός. συμπαραλαμβάνει καὶ ἕτερον μεθ᾽ ἑαυτοῦ, ὥστε κἀκεῖνον ὑπὸ πολλῶν ἀξιούμενον μᾶλλον εἶξαι καὶ δοῦναι τὴν χάριν. Φιλήμονι τῷ ἀγαπητῷ, καὶ συνεργῷ ἡμῶν. εἰ ἀγαπητὸς, οὐ τόλμα τὸ θαρρεῖν, οὐδὲ προπέτεια, ἀλλὰ πολλῆς φιλίας δεῖγμα. εἰ συνεργὸς, οὐ μόνον ἀξιοῦν ὑπὲρ τοῦ τοιούτου, ἀλλὰ καὶ χάριν εἰδέναι ὀφείλει. ἑαυτῷ γὰρ χαρίζεται, τὸ αὐτὸ ἔργον οἰκοδομῆσαι. ὥστε καὶ χωρὶς ἀξιώσεως ἐπείγει ἀνάγκην, φησὶν, ἔχεις τοῦ δοῦναι τὴν χάριν. εἰ γὰρ τῷ εὐαγγελίῳ ἐστὶ χρήσιμος, σὺ δὲ εἰς τὸ εὐαγγέλιον σπουδάζεις, ἄρα οὐκ ἀξιωθῆναι, ἀλλ᾽ ἀξιῶσαι ὀφείλεις. καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ. ἐμοὶ δοκεῖ σύμβιοι εἶναι τούτου. ὅρα Παύλου τὸ ταπεινόν. καὶ Τιμόθεον παραλαμβάνει πρὸς τὴν ἀξίωσιν, καὶ οὐ τὸν ἄνδρα μόνον ἀξιοῖ, ἀλλὰ καὶ τὴν γυναῖκα, καὶ ἕτερον τινὰ ἴσως φίλον. καὶ Ἀρχίππῳ, φησὶ, τῷ συστρατιώτῃ ἡμῶν. οὐκ ἐξ ἐπιτάγματος βουλόμενος τὰ τοιαῦτα ἀνύειν, οὐδὲ ἀγανακτῶν, εἰ μὴ εὐθέως κελεύσαντι ὑπακούει, ἀλλ᾽ ἅπερ ἂν

β. Τιμ. β. Γαλ. ϛ. ιζ.

Κολοσ. δ. ιζ.

αὐτὴν ἄγνωστος ἐποίει, ταῦτα ποιεῖ κἀκείνους ἀξιοῖ, ὥστε ἀντιλαβέσθαι τῆς δεήσεως. οὐ γὰρ τὸ παρὰ πολλῶν ἀξιοῦσθαι μόνον, ἀλλὰ καὶ τὸ πρὸς πολλοὺς τὴν δέησιν γίνεσθαι, φέρει τινὰ τὸ αἰσχυνθῆναι τὸν ἀξιούμενον. διὰ τοῦτο ἔλεγε· καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν. εἰ συστρατιώτης εἶ, καὶ ἐν τούτοις κοινωνεῖν ὀφείλεις. οὗτος δὲ ἐστιν Ἀρχίππος, περὶ οὗ γράφων Κολοσσαεῦσιν ἔλεγεν, εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. δοκεῖ μοι οὗτος καὶ εἶναι τῶν ἐν κλήρῳ κατειλεγμένων, ὃν καὶ παραλαμβάνει εἰς τὴν ἀξίωσιν· καὶ συστρατιώτην καλεῖ, ὥστε πάντη τούτῳ συναράσθαι. καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. οὐδὲ δούλους παρῆκεν ἐνταῦθα. οἶδε γὰρ πολλάκις καὶ ῥήματα δούλων ἀνατρέψαι δυνάμενα τὸν δεσπότην, καὶ μάλιστα, ὅταν ὑπὲρ δούλου ἡ ἀξίωσις ᾖ· τὸν δὲ μάλιστα παροξύνοντες, ἴσως ἐκεῖνοι ἦσαν. οὐ τοίνυν ἀφίησιν αὐτοὺς εἰς φθόνον ἐμπεσεῖν, τῇ προσηγορίᾳ τιμήσας μετὰ τοῦ δεσπότου. ἀλλ' οὐδὲ τὸν δεσπότην ἀγανακτῆσαι συγχωρεῖ. εἰ μὲν γὰρ ὀνόματι εἶπεν, ἴσως ἂν ἠγανάκτησεν· εἰ δὲ μὴ ἐμνήσθη, κἂν ἐδυσχέραινεν. ὅρα οὖν πῶς συνετῶς εὗρε διὰ τοῦ μνησθῆναι καὶ τούτους τῇ μνήμῃ τιμῆσαι, κἀκεῖνον μὴ πλῆξαι. τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα οὐκ ἀφίησι τὸν δεσπότην ἀγανακτεῖν, εἴ γε συναριθμοῖτο τοῖς οἰκέταις. καὶ γὰρ ἡ ἐκκλησία οὐκ οἶδε δεσπότου, οὐκ οἶδεν οἰκέτου διαφοράν· ἀπὸ κατορθωμάτων καὶ ἁμαρτημάτων τούτους κἀκείνους ὁρίζει. εἰ τοίνυν ἐκκλησία ἐστί, μὴ ἀγανάκτει, ὅτι μετὰ σοῦ προσηγορεύθη ὁ δοῦλος. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος. χάρις ὑμῖν καὶ εἰρήνη. εἰς ὑπόμνησιν αὐτὸν ἤνεγκε τῶν οἰκείων ἁμαρτημάτων τῆς χάριτος ὑπομνήσας. ἐννόησον, φησίν, ὅσα σοι συνεχώρησεν ὁ Θεός, πῶς χάριτι σὺ ἐσώθης· μίμησαι τὸν δεσπότην. ἐπεύχεται δὲ αὐτῷ τὴν εἰρήνην. εἰκότως. τότε γὰρ παραγίνεται καὶ αὕτη, ὅταν μιμώμεθα αὐτόν, ὅταν ἐπιμένῃ ἡ χάρις· ἐπεὶ κἀκεῖνος ὁ δοῦλος ὁ περὶ τὸν σύνδουλον ἀπηνὴς γενόμενος, ἕως ὅτε οὐκ ἀπῄτει τὰ ἑκατὸν δηνάρια, καὶ ἡ χάρις ἔμενεν ἡ δεσποτική· ἐπεὶ δὲ ἀπῄτησεν, ἀφῃρέθη καὶ παρεδόθη τοῖς βασανισταῖς.

Γαλ. γ. κη.

Ματθ. ιη.

ΗΘΙΚΟΝ

Ταῦτα δὴ καὶ ἡμεῖς ἐννοοῦντες, οἰκτίρμονες ὦμεν, συγγνωμονικοὶ περὶ τοὺς ἁμαρτάνοντας εἰς ἡμᾶς. ἑκατὸν δηνάριά ἐστιν ἐνταῦθα τὰ εἰς ἡμᾶς ἁμαρτήματα, τὰ δὲ εἰς τὸν Θεὸν παρ' ἡμῶν, μυρία τάλαντα. ἴστε δὲ ὅτι καὶ τῇ ποιότητι τῶν προσώπων τὰ ἁμαρτήματα κρίνονται. οἷόν τι λέγω· ὁ τὸν ἰδιώτην ὑβρίσας, ἥμαρτεν, ἀλλ' οὐχ ὁμοίως ὡς ὁ τὸν ἄρχοντα· καὶ μειζόνως τούτου, ὁ τὸν μείζονα ἄρχοντα, ἀλλ' οὐχ ὁμοίως ὁ τὸν ἐλάττονα· ὁ δὲ τὸν βασιλέα, πολλῷ πλέον. καὶ ἡ μὲν ὕβρις ἐστὶν ἡ αὐτή, τῇ δὲ ὑπεροχῇ τοῦ προσώπου μείζων γίνεται. εἰ δὲ ὁ βασιλέα ὑβρίζων ἀφόρητον ἔχει τὴν τιμωρίαν διὰ τὴν τοῦ προσώπου ἀξιοπιστίαν, ὁ τὸν Θεὸν ὑβρίζων πόσων ἔσται ὑπεύθυνος ταλάντων; ὥστε κἂν τὰ αὐτὰ εἰς τὸν Θεὸν ἁμαρτάνωμεν, ἅπερ εἰς τοὺς ἀνθρώπους, οὐδὲ οὕτως τὸ ἴσον ἐστίν, ἀλλ' ὅσον μέσον Θεοῦ καὶ ἀνθρώπων, τοσοῦτον τῶν ἁμαρτημάτων ἐκείνων καὶ τούτων. νῦν δὲ καὶ πλείονα εὑρίσκω τὰ ἁμαρτήματα, οὐ τῇ ὑπεροχῇ τοῦ προσώπου μεγάλα μόνον γινόμενα, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει. καὶ φρικτὸς μὲν ὁ λόγος, ὃν μέλλω λέγειν, καὶ φοβερὸς ὄντως, πλὴν ὅμως ἀνάγκη λεχθῆναι, ἵνα κἂν οὕτως ἡμῶν τὴν διάνοιαν κατασείσῃ καὶ παρασαλεύσῃ, δεικνὺς ὅτι πολλῷ πλέον ἀνθρώπους φοβούμεθα, ἢ τὸν Θεόν, καὶ τιμῶμεν ἀνθρώπους, ἢ τὸν Θεόν. σκόπει γάρ. ὁ μοιχεύων οἶδεν ὅτι Θεὸς αὐτὸν ὁρᾷ, καὶ τούτου μὲν καταφρονεῖ· ἂν δὲ ἄνθρωπος ἴδῃ, κατέχει τὴν ἐπιθυμίαν. ὁ τοιοῦτος οὐχὶ προτιμᾷ ἀνθρώπους μόνον Θεοῦ, οὐχὶ μόνον ὑβρίζει τὸν Θεόν, ἀλλὰ καὶ τὸ πολλῷ χαλεπώτερον, ἐκείνους δεδοικώς, τούτου καταφρονεῖ. ἂν μὲν γὰρ ἐκεῖνος ἴδῃ, κατέχει τὴν φλόγα τῆς ἐπιθυμίας· μᾶλλον δὲ ποίαν φλόγα; οὐκ ἔστι φλόξ, ἀλλὰ ὕβρις. εἰ μὲν γὰρ μὴ ἐξῆν γυναικὶ κεχρῆσθαι, εἰκότως φλὸξ τὸ πρᾶγμα ἦν, νυνὶ δὲ ὕβρις καὶ στρῆνος. ἂν μὲν γὰρ ἄνθρωποι ἴδωσιν, ἵσταται τῆς μανίας, τῆς δὲ τοῦ Θεοῦ μακροθυμίας ἔλαττον φροντίζει. πάλιν ἕτερος, ὁ κλέπτων συνοίδεν, ὅτι ἁρπάζει, καὶ ἀνθρώπους μὲν

πειρᾶται

χ. τῇ δὲ ποιότητι τῶν προσώπων

χ. ὑπεροχῇ

χ. καὶ δὲ ... ἐκ τῶν πολλῶν ... χρηματίζοντας ... ἐπιστρέφει ... τὰ δὲ χωρία ... πολλοὺς ... ζόμενα. ἴσασι ... καὶ φθόνον ... ὅλον ἐστί.

πειρᾶται ἀπατῆσαι, καὶ ἀπολογεῖται πρὸς τοὺς ἐγκαλοῦντας, καὶ ῥῆμα προστίθησι τῇ ἀπολογίᾳ. τὸν δὲ Θεὸν μὴ δυνάμενος πεῖσαι, οὐ φροντίζει, οὐδὲ αἰδεῖται, οὐδὲ τιμᾷ. κἂν μὲν ὁ βασιλεὺς κελεύσῃ ἀπέχεσθαι τῶν ἑτέρου χρημάτων, μᾶλλον δὲ καὶ τὰ αὐτῶν δοῦναι, πάντες ἑτοίμως εἰσφέρομεν· τοῦ δὲ Θεοῦ κελεύοντος μὴ ἁρπάζειν, μηδὲ τὰ ἑτέρων συνάγειν, οὐκ ἀνεχόμεθα. ὁρᾷς ὅτι προτιμῶμεν ἀνθρώπους τοῦ Θεοῦ; φορτικὸν τὸ ῥῆμα καὶ ἐπαχθές. ἀλλὰ δείξατε ὅτι φορτικόν· φύγετε τὸ ἔργον. εἰ δὲ τὸ ἔργον οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δυνάμεθα λέγουσιν, ὅτι τὰ ῥήματα δεδοίκαμεν, καὶ βαρεῖς ὑμᾶς; ὑμεῖς ἑαυτοὺς τῷ ἔργῳ βαρεῖτε, καὶ οὐδεὶς λέγει· ἐγὼ δὲ ἂν τὰ ῥήματα εἴπω, ὧν ὑμεῖς τὰ πράγματα πράττετε, ἀγανακτεῖτε; καὶ πῶς οὐκ ἄτοπον; γένοιτο ψευδὸς εἶναι τὰ παρ᾽ ἐμοῦ. βούλομαι αὐτὸς λοιδορίας δόξαν λαβεῖν κατ᾽ ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῆ καὶ μάτην λοιδορησάμενος ὑμᾶς, ἢ ἰδεῖν ὑπὲρ τοιούτων ἐγκαλουμένους. οὐ μόνοι δὲ αὐτοὶ ἀνθρώπους προτιμᾶτε τοῦ Θεοῦ, ἀλλὰ καὶ ἑτέρους ἀναγκάζετε. πολλοὶ πολλοὺς οἰκέτας ἠνάγκασαν, καὶ παῖδας τοὺς μὲν εἰς γάμον εἵλκυσαν μὴ βουλομένους, τοὺς δὲ ὑπηρετήσασθαι διακονίαις ἀτόποις, καὶ ἔρωτι μιαρῷ, καὶ ἁρπαγαῖς, καὶ πλεονεξίαις, καὶ βίαις· ὥστε διπλοῦν εἶναι τὸ ἔγκλημα, καὶ μηδὲ ἀπὸ τῆς ἀνάγκης δύνασθαι συγγνώμην αὐτοὺς εὑρέσθαι. εἰ γὰρ αὐτὸς ἄκων πράττεις τὰ πονηρὰ καὶ διὰ τὸ ἐπίταγμα τοῦ ἄρχοντος, μάλιστα μὲν οὐδὲ οὕτως ἰσχυρὴ ἡ ἀπολογία, πλὴν χαλεπωτέρα γίνεται ἡ ἁμαρτία, ὅταν καὶ ἐκείνους ἀναγκάζῃς τοῖς αὐτοῖς περιπίπτειν. ποία γὰρ ἂν εἴη τῶν τοιούτων συγγνώμη λοιπόν; ταῦτα εἶπον, οὐχὶ κατακρῖναι βουλόμενος ὑμᾶς, ἀλλὰ δεῖξαι πόσων ἐσμὲν ὀφειλέται τῷ Θεῷ. εἰ γὰρ ἐξ ἴσου τιμῶντες ἀνθρώπους τῷ Θεῷ, ὑβρίζομεν τὸν Θεόν, πολλῷ μᾶλλον, ὅταν προτιμῶμεν ἀνθρώπους. εἰ δὲ ταῦτα τὰ ἁμαρτήματα τὰ εἰς ἀνθρώπους γινόμενα, εἰς Θεὸν πολλῷ μείζονα δείκνυται· πόσῳ μᾶλλον ὅταν καὶ αὐτὴ ἡ ἁμαρτία τῇ ποιότητι μείζων ᾖ, καὶ χαλεπωτέρα; ἐξεταζέτω τις ἑαυτόν, καὶ ὄψεται πάντα δι᾽ ἀνθρώπους ποιῶν. σφόδρα ἂν ἦμεν μακάριοι, εἰ τοσαῦτα διὰ τὸν Θεὸν ἐπράττομεν, ὅσα διὰ τοὺς ἀνθρώπους, καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν, καὶ τὸν φόβον, καὶ τὴν τιμήν. εἰ τοίνυν τοσούτων ἐσμὲν ὑπεύθυνοι, ὀφείλομεν μετὰ πάσης προθυμίας ἀφιέναι τοῖς ἀδικοῦσιν ἡμᾶς καὶ πλεονεκτοῦσι, καὶ μὴ μνησικακεῖν. ὁδὸς γάρ ἐστι λύσεως ἁμαρτημάτων, οὐ πόνων δεομένη, οὐδὲ δαπάνης χρημάτων, οὐδὲ ἄλλου οὐδενός, ἀλλ᾽ ἁπλῶς προαιρέσεως. οὐκ ἀποδημίαν χρὴ στείλασθαι, οὐκ εἰς τὴν ὑπερορίαν ἐλθεῖν, οὐ κινδύνους ὑποστῆναι καὶ πόνους, ἀλλὰ θελῆσαι μόνον. ποίαν, εἰπέ μοι, συγγνώμην ἕξομεν ἐν τοῖς δοκοῦσιν εἶναι δυσκόλοις, ὅταν καὶ κοῦφον πρᾶγμα καὶ τοσοῦτον ἔχον κέρδος, καὶ τοσαύτην τὴν ὠφέλειαν, καὶ οὐδένα πόνον, μὴ πράττωμεν; οὐ δύνασαι χρημάτων καταφρονῆσαι; οὐ δύνασαι δαπανῆσαι τὰ ὄντα εἰς τοὺς δεομένους; θελῆσαι οὐ δύνασαί τι ἀγαθόν; ἀφεῖναι τῷ ἠδικηκότι οὐ δύνασαι; εἰ γὰρ μὴ τοσούτων ὑπεύθυνος ἦς, ἐκέλευσε δὲ μόνον ὁ Θεὸς ἀφεῖναι, οὐκ ἔδει; νῦν δὲ τοσούτων ὑπεύθυνος ὤν, οὐκ ἀφίης, καὶ ταῦτα εἰδὼς ὅτι ἀφ᾽ ὧν ἔχεις ἐξ αὐτῶν ἀπαιτῇ; ἂν μὲν οὖν ἡμεῖς παρὰ ὀφειλέτην ἔλθωμεν ἡμέτερον, ἐκεῖνος εἰδὼς τοῦτο, θεραπεύει καὶ ὑποδέχεται καὶ τιμᾷ, καὶ πᾶσαν ἐπιδείκνυται φιλοφροσύνην μετὰ δαψιλείας, καὶ ταῦτα οὐκ ἀπὸ τοῦ δανείσματος διαλυόμενος, ἀλλ᾽ ἡμέρους ἡμᾶς θέλων καταστῆσαι περὶ τὴν ἀπαίτησιν· σὺ δὲ τῷ Θεῷ ὀφείλων τοσαῦτα, καὶ κελευόμενος ἀφεῖναι, πάλιν ἵνα σὺ λάβῃς, οὐκ ἀφίης; τί δήποτε, παρακαλῶ; οἴμοι, πόσης μὲν ἀπολαύομεν φιλανθρωπίας; πόσην δὲ ἐπιδεικνύμεθα κακίαν; πόσον ὕπνον; πόσην ῥαθυμίαν; πῶς εὔκολος ἡ ἀρετὴ καὶ πολλὴν ἔχει ὠφέλειαν; πῶς ἐργῶδες ἡ κακία; ἡμεῖς δὲ τὸ οὕτως ἐλαφρὸν ἀποφυγόντες διώκομεν τὸ μολύβδου βαρύτερον. ἐνταῦθα οὐ σώματος ἰσχύος χρεία, οὐ πλούτου, οὐ χρημάτων, οὐ δυναστείας, οὐ φιλίας, οὐκ ἄλλου οὐδενός, ἀλλ᾽ ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν γέγονεν. ἐλύπησεν ὁ δεῖνα, καὶ ὕβρισε, καὶ ἔσκωψεν· ἀλλ᾽ ἐννόησον

ὅτι καὶ σὺ πολλὰ τοιαῦτα εἰς ἑτέρους ποιεῖς, καὶ εἰς αὐτὸν τὸν δεσπότην, καὶ ὅλως καὶ συγχώρησον. ἐννόησον ὅτι λέγεις, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. ἐννόησον ὅτι ἐὰν μὴ ἀφῇς, οὐ δυνήσῃ ὑπὸ μετὰ παρρησίας εἰπεῖν· ἂν δὲ ἀφῇς, ὀφειλὴν τὸ πρᾶγμα ἀπαιτεῖς, οὐ διὰ τὴν τοῦ πράγματος φύσιν, ἀλλὰ διὰ τὴν τοῦ δεδωκότος φιλανθρωπίαν. καὶ ποῦ ἴσον τὰ εἰς τοὺς ὁμοδούλους ἀφιέντα τὸν εἰς τὸν δεσπότην ἡμαρτηκότων τὴν ἄφεσιν λαβεῖν; ἀλλ' ὅμως τυγχάνομεν τῆς τοσαύτης φιλανθρωπίας, ἐπειδὴ πλούσιός ἐστιν ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ἵνα δέ σοι δείξω, ὅτι καὶ χωρὶς τούτου, καὶ χωρὶς τῆς ἀφέσεως, ἀπὸ τοῦ ἀφεῖναι μόνον σὺ καρποῦσαι τὸ κέρδος, ἐννόησον πόσους ὁ τοιοῦτος ἔχει φίλους, πῶς πανταχοῦ ἐγκώμια τοῦ τοιούτου ἅπαντες διεξέρχονται λέγοντες, ἀγαθὸς ἀνήρ, εὐκατάλλακτος, οὐκ οἶδε μνησικακῆσαι, ἅμα ἐπλήγη, καὶ ἅμα ἰάθη. τὸν τοιοῦτον περιστάσει τινὶ περιπεσόντα τίς οὐκ ἐλεήσει; τίς οὐ συγγνώσεται ἁμαρτόντι; τίς οὐ δώσει χάριν ὑπὲρ ἑτέρων ἀξιοῦντι; τίς οὐ θελήσει φίλος εἶναι καὶ δοῦλος ψυχῆς οὕτως ἀγαθῆς; ναί, παρακαλῶ, πάντα ὑπὲρ τούτου πράττωμεν, μὴ πρὸς φίλους, μὴ πρὸς συγγενεῖς μόνον, ἀλλὰ καὶ πρὸς τοὺς οἰκέτας. Ἀνιέντες γάρ, φησι, τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς. ἂν ἀφιῶμεν τοῖς πλησίον τὰ ἁμαρτήματα, ἀφεθήσεται καὶ ἡμῖν, ἂν ἐλεημοσύνας παρέχωμεν, ἂν ταπεινοὶ ὦμεν. καὶ γὰρ καὶ τοῦτο ἀφαιρεῖ ἁμαρτίας. εἰ γὰρ ὁ τελώνης, ἵνα μόνον εἴπῃ, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθε δεδικαιωμένος, πολλῷ μᾶλλον καὶ ἡμεῖς, ἂν ταπεινοὶ ὦμεν καὶ συντετριμμένοι, δυνησόμεθα πολλῆς φιλανθρωπίας τυχεῖν. ἂν ὁμολογῶμεν τὰ ἑαυτῶν ἁμαρτήματα, καὶ καταγινώσκωμεν ἑαυτῶν, τὸ πλεῖον ἀποσμηξόμεθα τοῦ ῥύπου. πολλαὶ γάρ αἱ ὁδοὶ αἱ καθαρεύουσαι. πανταχόθεν τοίνυν πολεμῶμεν τῷ διαβόλῳ. οὐδὲν εἶπον δύσκολον, οὐδὲν δυσχερές. ἄφες τῷ λελυπηκότι, ἐλέησον τοὺς δεομένους, ταπείνωσόν σου τὴν ψυχήν. κἂν σφόδρα ᾖς ἁμαρτωλός, δυνήσῃ καὶ τῆς βασιλείας ἐπιτυχεῖν, διὰ τούτων αὐτὰ ἐκκαθαίρων τὰ ἁμαρτήματα, καὶ ἀποσμήχων τὴν κηλῖδα. γένοιτο δὲ ἡμᾶς πάντας ἐνταῦθα ἀποκαθηραμένους ἅπαντα τῶν ἁμαρτημάτων τὸν ῥύπον διὰ τῆς ἐξομολογήσεως, ἐκεῖ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν.

[Margin: Ἐφ. ς. θ.] [Margin: Λουκ. ιη. ιγ.] [Margin: γρ. εὐμετάλλακτος,] [Margin: γρ. καθαίρωμεν διαπάθειαν.] [Margin: γρ. δεδεημένον,]

Λογ. β. 4 ΕΥΧΑΡΙΣΤΩ ΤΩ ΘΕΩ ΜΟΥ ΠΑΝΤΟΤΕ, μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, 5 Ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, 6 Ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστὸν Ἰησοῦν.

[Margin: γρ. ὑμῖν]

Οὐκ εὐθέως ἐκ προοιμίων αἰτεῖ τὴν χάριν, ἀλλὰ πρότερον τὸν ἄνδρα θαυμάσας, καὶ ἐπαινέσας ἐπὶ τοῖς κατορθώμασι, καὶ τῆς αὐτοῦ ἀγάπης δείξας τεκμήριον οὐ μικρόν, τὸ διαπαντὸς αὐτοῦ μεμνῆσθαι ἐν ταῖς προσευχαῖς, καὶ εἰπών, ὅτι πολλοὶ ἀναπαύονται πρὸς αὐτόν, καὶ πᾶσιν ὑπακούει καὶ πείθεται, τότε καὶ αὐτὴν τελευταῖον τίθησι, μάλιστα αὐτὸν δυσωπῶν τούτῳ. εἰ γὰρ ἕτεροι ἐπιτυγχάνουσιν ὧν δέονται, πολλῷ μᾶλλον Παῦλος· εἰ παρὰ τῶν ἄλλων ἐλθὼν ἄξιος ἦν τυχεῖν, πολλῷ μᾶλλον μετὰ τοὺς ἄλλους, καὶ πρᾶγμα αἰτῶν οὐκ εἰς αὐτὸν ἧκον, ἀλλ' ὑπὲρ ἑτέρου. εἶτα ἵνα μὴ δόξῃ τούτου ἕνεκεν γράφειν μόνον, μηδὲ εἴπῃ τις, ὡς εἰ μὴ Ὀνήσιμος ἦν, οὐκ ἂν ἔγραψας, ὅρα πῶς καὶ ἑτέρας αἰτίας τίθησι τῆς ἐπιστολῆς, πρότερον μὲν τὴν ἀγάπην αὐτοῦ δηλῶν, ἔπειτα δὲ καὶ ξενίαν κελεύων ἑτοιμασθῆναι αὐτῷ. ἀκούων σοῦ, φησι, τὴν ἀγάπην. θαυμαστὸν τοῦτο, καὶ τοῦ παρόντος ἰδεῖν τοῦτο πολλῷ μεῖζον. δῆλον γὰρ ὅτι ἐκ τοῦ ὑπερβάλλουσαν ταύτην εἶναι, καὶ

διαβόητος

διάδηλος γέγονε, καὶ μέχρις αὐτοῦ ἔφθασεν· καίτοιγε οὐκ ὀλίγον τὸ μέσον ἦν Ῥώμης καὶ Φρυγίας. ἐκεῖ γάρ μοι δοκεῖ εἶναι ἀπὸ Ἀρχίππου. αἱ γὰρ Κολοσσαὶ τῆς Φρυγίας εἰσί, πρὸς οὓς γράφων ἔλεγεν, Ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Κολοσ. δ. ις. Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. αὕτη δὲ τῆς Φρυγίας πόλις ἐστίν. Εὔχομαι, φησίν, ἵνα ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται. ὁρᾷς πρότερον αὐτὸν διδόντα πρὶν ἢ λαβεῖν, καὶ πρὶν ἢ τὴν χάριν αἰτῆσαι, τὴν αὐτοῦ παρέχοντα πολλῷ μείζονα; ὅπως, φησίν, ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν. τουτέστιν, ἵνα πᾶσαν ἀρετὴν ἐπέλθῃς, ἵνα μηδὲν ἐλλειφθῇ. οὕτω γὰρ ἡ πίστις γίνεται ἐνεργής, ὅταν ἔργα ἔχῃ. χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά ἐστι. καὶ οὐκ εἶπεν, ἡ πίστις σου, ἀλλ᾽, ἡ κοινωνία τῆς πίστεώς σου, συνάπτων αὐτὸν ἑαυτῷ, καὶ ἓν σῶμα δεικνύς, καὶ τούτῳ μάλιστα αὐτὸν δυσωπῶν. Εἰ κοινωνὸς εἶ, φησί, κατὰ τὴν πίστιν, καὶ κατὰ τὰ ἄλλα ὀφείλεις κοινωνεῖν.

7 Χαρὰν γὰρ ἔχομεν καὶ πολλὴν παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ. Οὐδὲν οὕτω δυσωπεῖ, ὡς τὸ τὰς ἑτέρων εὐεργεσίας προσφέρειν, καὶ μάλιστα ὅταν ἐκείνων αἰδεσιμώτερος ᾖ. (γ. προσφέρειν) καὶ οὐκ εἶπεν, εἰ τοῖς ἄλλοις ποιεῖς, πολλῷ μᾶλλον ἐμοί· ἀλλὰ τὸ αὐτὸ μὲν ᾐνίξατο, ἑτέρως δὲ αὐτὸ μεθώδευσε προσηνέστερον. χαρὰν ἔχομεν· τουτέστι, σύ μοι παρρησίαν ἔδωκας ἐκ τῶν εἰς ἑτέρους γινομένων· καὶ παράκλησιν· τουτέστιν, οὐ μόνον ἡδόμεθα, ἀλλὰ καὶ παραμυθούμεθα. μέλος γὰρ ἡμῶν ἐκεῖνοι. εἰ τοίνυν τὴν συμφωνίαν τοσαύτην δεῖ εἶναι, ὡς ἐπὶ ταῖς ἑτέρων ἀναπαύσεσι τοὺς ἄλλους ἐν θλίψεσιν ὄντας, κἂν μὴ τύχωσί τινος, εὐφραίνεσθαι δι᾽ ἐκείνους, ὡς ἑνὸς σώματος εὐεργετηθέντος, πολλῷ μᾶλλον εἰ καὶ ἡμᾶς ἀναπαύσεις. καὶ οὐκ εἶπεν, ὅτι εἴκεις, ὅτι πείθῃ, ἀλλὰ καὶ σφοδρότερον καὶ ἐμφαντικώτερον, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων, ὡσανεὶ περὶ παιδίου ποθεινοῦ τοῖς πατράσιν ὄντος καὶ ἐπεράστου· οὕτως ἡ ἀγάπη, ἡ φιλοστοργία δείκνυσιν αὐτὸν καὶ σφόδρα ἀγαπώμενον παρ᾽ αὐτῶν.

8 Διὸ πολλὴν παρρησίαν ἔχων ἐν Χριστῷ ἐπιτάσσειν σοι τὸ ἀνῆκον. Ὅρα πῶς ἀσφαλίζεται, μή τι καὶ τῶν ἀπὸ σφοδρᾶς ἀγάπης λεγομένων πλήξῃ τὸν ἀκροατήν, ὡς δυσπαραίτητον. διὰ τοῦτο πρὶν ἢ εἰπεῖν, ἐπιτάσσειν σοι, ἐπειδὴ βαρὺ ἦν, καίτοιγε ἀπὸ ἀγάπης λεγόμενον μᾶλλον ἱκανὸν θεραπεῦσαι, ἀλλ᾽ ὅμως ἐκ περιουσίας πολλὴν τίθεται τὴν διόρθωσιν, εἰπών, παρρησίαν ἔχων, ὅπερ μέγαν δεικνύντος ἦν τὸν Φιλήμονα, τουτέστι, παρρησίαν ἡμῖν ἔδωκας σύ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐν Χριστῷ ἐπήγαγεν, ὅπερ δηλοῦντός ἐστιν ὅτι οὐχ ὡς ἐν τῷ κόσμῳ λαμπρότερον, οὐδὲ ὡς δυνατώτερον, ἀλλὰ διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστόν. καὶ τότε ἔθηκε τό, ἐπιτάσσειν σοι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τό, ἀνῆκον, τουτέστιν, εὔλογον πρᾶγμα. καὶ ὅρα ἐκ πόσων αὐτὸ κατασκευάζει. εἰ τοὺς ἄλλους εὖ ποιεῖς, φησί, καὶ ἐμέ, καὶ διὰ τὸν Χριστόν, καὶ ὅτι τὸ πρᾶγμα εὔλογον, καὶ ὅτι ἡ ἀγάπη δίδωσι. διὸ καὶ ἐπάγει,

9 Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ. Ὡσανεὶ εἶπεν, οἶδα μέν, ὅτι καὶ ἐπιτάττειν δύναμαι μετὰ πολλῆς τῆς ἐξουσίας, ἀπὸ τῶν προλαβόντων· πλὴν ἀλλ᾽ ἐπειδὴ πολλὴν ὑπὲρ τοῦ πράγματος ποιοῦμαι σπουδήν, παρακαλῶ. ἀμφότερα ἔδειξεν ὁμοῦ, ὅτι καὶ θαρρεῖ αὐτῷ (ἐπέταξε γάρ) καὶ ὅτι σφόδρα τοῦ πράγματος ἀντιποιεῖται· διὸ παρακαλεῖ. Τοιοῦτος ὤν, φησίν, ὡς Παῦλος πρεσβύτης. Βαβαί, πόσα δυσωπητικά; Παῦλος ἀπὸ τῆς ποιότητος τοῦ προσώπου, ἀπὸ τῆς ἡλικίας, ὅτι πρεσβύτης, ἀπὸ τοῦ δικαιοτέρου πάντων, Ὅτι καὶ δέσμιος Ἰησοῦ Χριστοῦ. Τίς γὰρ οὐκ ἂν τὸν ἀθλητήν, καὶ στεφανίτην ἐδέξατο ὑπτίαις χερσί; τίς ὁρῶν διὰ Χριστὸν δεδεμένον, οὐκ ἂν μυρία ἐχαρίσατο; τούτοις δὴ προλεάνας αὐτοῦ τὴν ψυχήν, οὐδ᾽ εὐθέως ἐνέβαλε τὸ ὄνομα, ἀλλὰ

τοσαύτην ποιησάμενος αἴτησιν ἀναβάλλεται. ἴστε γὰρ ὅσον θυμοῦσι τοὺς δεσπότας κατὰ τῶν ἀποδεδρακότων οἰκετῶν, καὶ μάλιστα ὅταν μετὰ κλοπῆς τοῦτο ἐργάσωνται, κἂν χρηστοὺς ἔχωσι δεσπότας, πῶς αὔξεται ἡ ὀργή. ταύτην οὖν πᾶσι τούτοις προελέανε. καὶ πρότερον πείσας πάντα ὁπόσου ὑπουργῆσαι ἑτοίμως, καὶ παρασκευάσας αὐτοῦ τὴν ψυχὴν πρὸς πᾶσαν ὑπακοήν, τότε ἐπάγει τὴν δέησιν, καί φησι·

10 Παρακαλῶ σε, Καὶ μετ' ἐγκωμίων, Περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου. Πάλιν οἱ δεσμοὶ δυσωπητικοί, καὶ τότε τὸ ὄνομα. οὐ μόνον γὰρ τὸν θυμὸν ἔσβεσεν, ἀλλὰ καὶ ἡσθῆναι πεποίηκεν. οὐ γὰρ ἂν αὐτόν, φησι, τέκνον ἐκάλεσα, εἰ μὴ σφόδρα ἦν εὔχρηστος· ὅπερ Τιμόθεον ἐκάλεσα, τοῦτο καὶ τοῦτον. καὶ πολλαχοῦ τὴν φιλοστοργίαν δεικνύς, ἀπὸ τοῦ καιροῦ τῆς ὠδῖνος ἐντρέπει, δέσμιος αὐτὸν ἐγέννησα, φησίν. ὥστε καὶ διὰ τοῦτο ἄξιος πολλῆς τυχεῖν τῆς τιμῆς, ὅτι ἐν αὐτοῖς τοῖς ἄθλοις ἀπετέχθη, ἐν τοῖς ὑπὲρ τοῦ Χριστοῦ πειρασμοῖς. Ονήσιμον,

11 Τόν ποτέ σοι ἄχρηστον. Ὅρα πόση ἡ σύνεσις, πῶς ὁμολογεῖ αὐτοῦ τὸ ἁμάρτημα, καὶ τούτῳ σβεννὺς αὐτοῦ τὸν θυμόν. οἶδα, φησιν, ὅτι ἄχρηστος ἦν, νῦν δέ σοι, καὶ ἐμοὶ χρήσιμος ἔσται. οὐκ εἶπε, νῦν δέ σοι χρήσιμος ἔσται, ἵνα μὴ ἐκεῖνος ἀντείπῃ, ἀλλὰ καὶ τὸ αὐτοῦ πρόσωπον εἰσήγαγεν, ἵνα ἀξιόπιστοι ὦσιν αἱ ἐλπίδες. Νῦν δέ σοί, φησι, καὶ ἐμοὶ εὔχρηστον. Εἰ γὰρ Παύλῳ χρήσιμος τῷ τοσαύτην ἀκρίβειαν ἀπαιτοῦντι, πολλῷ μᾶλλον τῷ δεσπότῃ. Ὃν ἔπεμψα πρὸς σέ. Καὶ τούτῳ τὸν θυμὸν ἔσβεσε, τὸ παραδοῦναι αὐτόν. μάλιστα γὰρ οἱ δεσπόται τότε ὀργίζονται, ὅταν ὑπὲρ ἀπόντων παρακαλῶνται, ὥστε καὶ αὐτῷ τούτῳ μᾶλλον κατεπράϋνε.

12 Σὺ δὲ αὐτόν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ. Καὶ πάλιν οὐ γυμνὸν τίθησι τὸ ὄνομα, ἀλλὰ μετὰ ῥήματος ἐντρεπτικοῦ, ὃ τοῦ τέκνου θερμότερόν ἐστιν. εἶπε, τέκνον, εἶπεν, ἐγέννησα· ὥστε μάλιστα αὐτὸν φιλεῖ εἰκός, ὅτι ἐν πειρασμοῖς αὐτὸν ἔτεκεν. ὅτι γὰρ περὶ ἐκεῖνα τὰ παιδία μάλιστα ἐκκαιόμεθα, δῆλον, ὅταν κινδύνους διαφύγωμεν, καὶ ἐν αὐτοῖς τέκωμεν· ὡς ὅταν λέγῃ ἡ γραφή, Οὐαὶ Βαροχαβήλ· καὶ πάλιν ὅταν καλῇ τὸν Βενιαμὶν ἡ Ῥαχήλ, υἱὸν φησὶν ὀδύνης μου· σὺ δὲ αὐτόν, φησι, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ. δείκνυσιν αὐτοῦ τὴν ἀγάπην τὴν πολλήν. οὐκ εἶπεν, ἀπόδεξαι, οὐκ εἶπε, μὴ ὀργισθῇς, ἀλλά, προσλαβοῦ· τουτέστιν, οὐχὶ συγγνώμης, ἀλλὰ τιμῆς ἐστὶν ἄξιος. διὰ τί; τέκνον Παύλου γέγονεν.

Γεν. λε. ιη.

13 Ὃν ἐγὼ ἐβουλόμην ὑπὲρ σοῦ κατέχειν, ἵνα διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου. Ὁρᾷς πόσα πρότερον κατασκευάσας, τότε αὐτὸν ἤγαγεν εἰς τὴν τοῦ δεσπότου τιμήν; καὶ ὅρα καὶ τοῦτο μετὰ ἴσης σοφίας· ὅρα κἀκεῖνον πόσου ὑπεύθυνον ποιεῖ, καὶ τοῦτον πῶς τιμᾷ. εὗρες, φησιν, ὅπως ἀποδῷς τὴν πρὸς ἐμὲ λειτουργίαν δι' αὐτοῦ. ἐνταῦθα δείκνυσιν, ὅτι τὸ αὐτοῦ μᾶλλον ἐσκόπησεν, ἢ τὸ τοῦ παιδός, ὅτι σφόδρα αὐτὸν αἰδεῖται.

14 Χωρὶς δὲ τῆς σῆς γνώμης, φησίν, οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατ' ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον. Τοῦτο μάλιστα χαίρουσιν οἱ ἀξιούμενοι, ὅταν καὶ πράγματος ὄντος χρησίμου, μετὰ τῆς ἐκείνου γνώμης τίκτηται. δύο γὰρ ἀγαθὰ ἐντεῦθεν γίνεται, κἀκεῖνος κερδαίνει, καὶ οὗτος ἀσφαλέστερος καθίσταται. καὶ οὐκ εἶπεν, ἵνα μὴ κατὰ ἀνάγκην, ἀλλ', ὡς κατὰ ἀνάγκην. ᾔδειν μὲν γάρ, φησιν, ὅτι καὶ μὴ μαθών, ἀλλὰ ὕστερον γνούς, οὐκ ἂν ἠγανάκτησας, ἀλλ' ὅμως ἐκ πλείονος περιουσίας, ἵνα μὴ ὡς κατὰ ἀνάγκην.

15 Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,

16 Μηκέτι ὡς δοῦλον. Καλῶς τὸ, τάχα, ἵνα εἴξῃ ὁ δεσπότης. ἐπειδὴ γὰρ ἀπὸ αὐθαδείας γέγονεν ἡ φυγὴ καὶ διεστραμμένης διανοίας, καὶ οὐκ ἀπὸ προαιρέσεως, λέγει, τάχα· καὶ οὐκ εἶπε, διὰ τοῦτο ἔφυγεν, ἀλλά, διὰ τοῦτο ἐχωρίσθη, εὐφημοτέρῳ ὀνόματι μᾶλλον πραΰνων.

προσωνείδισεν· καὶ οὐκ εἶπεν, ἐχώρισεν ἑαυτόν, ἀλλ', ἐχωρίσθη. οὐ γὰρ αὐτοῦ τὸ κατασκεύασμα τὸ ἐπὶ τούτῳ ἀναχωρῆσαι, οὐδὲ ἐστὶν ἐκείνῳ. ὅπερ καὶ Ἰωσὴφ ἀπολογούμενος πρὸς τοὺς ἀδελφούς φησιν, ὅτι Ὁ Θεὸς ἀπέστειλέ με ἐνταῦθα, τουτέστι, τῇ κακουργίᾳ αὐτῶν εἰς δέον ἐχρήσατο. Γεν. με. ε. διὰ τοῦτο ἐχωρίσθη, φησί, πρὸς ὥραν. καὶ τὸν χρόνον συστέλλει, καὶ τὸ ἁμάρτημα ὁμολογεῖ, καὶ τρέπει τὸ πᾶν εἰς οἰκονομίαν. ἵνα αἰώνιον αὐτόν, φησιν, ἀπέχῃς, οὐκ ἐν τῷ παρόντι μόνον καιρῷ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἵνα διαπαντὸς ἔχῃς αὐτόν, οὐκέτι δοῦλον, ἀλλὰ τιμιώτερον δούλου. δοῦλον γὰρ μένοντα εὐνοϊκώτερον ἕξεις ἀδελφοῦ, ὥστε καὶ τῷ χρόνῳ κεκέρδακας καὶ τῇ ποιότητι· λοιπὸν γὰρ οὐκ ἀποπηδήσει. Ἵνα αἰώνιον αὐτόν, φησιν, ἀπέχῃς. Ἀντὶ τοῦ, ἀπολάβῃς.

16 Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί.

Δοῦλον ἀπώλεσας πρὸς ὀλίγον, καὶ ἀδελφὸν εὑρήσεις τὸ διηνεκές, ἀδελφὸν οὐ σὸν μόνον, ἀλλὰ καὶ ἐμόν. ἐνταῦθα καὶ ἡ ἀρετὴ πολλή. εἰ δὲ ἐμὸς ἀδελφός, οὐκ ἐπαισχυνθήσῃ καὶ σύ. διὰ μὲν οὖν τοῦ τέκνου τὴν στοργὴν ἔδειξε, διὰ δὲ τοῦ ἀδελφοῦ τὴν εὔνοιαν τὴν πολλὴν καὶ τὴν ἰσοτιμίαν.

Ταῦτα οὐχ ἁπλῶς ἀναγέγραπται, ἀλλ' ἵνα μὴ ἀπογινώσκωμεν τῶν οἰκετῶν οἱ δεσπόται, ΗΘΙΚΟΝ μηδὲ σφόδρα αὐτοῖς ἐπιτιθώμεθα, ἀλλὰ μάθωμεν συγχωρεῖν τὰ ἁμαρτήματα τοῖς οἰκέταις τοῖς τοιούτοις, ἵνα μὴ ἀεὶ τραχεῖς ὦμεν, ἵνα μὴ ἀπὸ τῆς δουλείας ἐπαισχυνώμεθα καὶ κοινωνοὺς αὐτοὺς ἐν πᾶσι λαμβάνωμεν, ὅταν ὦσιν ἀγαθοί. εἰ γὰρ Παῦλος οὐκ ἐπῃσχύνθη καὶ τέκνον καλέσαι, καὶ σπλάγχνον, καὶ ἀδελφόν, καὶ ἀγαπητόν, πῶς ἂν ἡμεῖς ἐπαισχυνθῶμεν; καὶ τί λέγω, Παῦλος; ὁ Παύλου δεσπότης οὐκ ἐπαισχύνεται τοὺς ἡμετέρους δούλους ἀδελφοὺς αὐτοῦ καλεῖν, καὶ ἡμεῖς ἐπαισχυνούμεθα; ὅρα πῶς ἡμᾶς τιμᾷ. ἀδελφοὺς ἑαυτοῦ καλεῖ τοὺς ἡμετέρους δούλους, καὶ φίλους, καὶ συγκληρονόμους. ἰδοὺ ποῦ κατέβη. τί οὖν ποιήσαντες ἡμεῖς, τὸ πᾶν ἠνυκότες ἐσόμεθα; οὐδὲν ὅλως δυνησόμεθα, ἀλλ' ὅπου δ' ἂν ταπεινοφροσύνης ἔλθωμεν, τὸ πλέον αὐτῆς ὑπολέλειπται. σκόπει γάρ. ὅπερ ἂν ποιήσῃς σύ, περὶ τοὺς ὁμοδούλους ποιεῖς, ὁ δὲ σὸς δεσπότης περὶ τοὺς σοὺς δούλους πεποίηκεν. ἄκουσον, καὶ φρίξον· μηδέποτε ἐπαρθῇς ἐπὶ ταπεινοφροσύνῃ. τάχα γελᾶτε τὸ λεχθέν, εἰ ταπεινοφροσύνη ἐπαίρει. ἀλλὰ μὴ θαυμάσητε· ἐπαίρει, ὅταν μὴ γνησία ᾖ. πῶς, καὶ τίνι τρόπῳ; ὅταν διὰ τὸ ἀποδέξασθαι ἀνθρώπους γίνηται, καὶ οὐχὶ Θεόν, ὅταν πρὸς τὸ ἐπαινεῖσθαι καὶ μεγαλοφρονεῖν. καὶ γὰρ τοῦτο διαβολικόν. ὥσπερ γὰρ πολλοὶ διὰ τὸ μὴ κενοδοξεῖν κενοδοξοῦσιν, οὕτω καὶ διὰ τὸ ταπεινοῦσθαι ἐπαίρονται διὰ τὸ μέγα φρονεῖν. οἷον, ἦλθέ τις ἀδελφός, ἢ καὶ οἰκέτης, προσελάβου αὐτόν, τοὺς πόδας ἔνιψας, εὐθέως μέγα ἐφρόνησας· ἐποίησα, λέγεις, ὃ οὐδεὶς ἐποίησε, κατώρθωσα τὴν ταπεινοφροσύνην. πῶς οὖν ἄν τις ἐν τῇ ταπεινοφροσύνῃ μένοι; εἰ μεμνημένος εἴη τῆς παραγγελίας τοῦ Χριστοῦ τῆς λεγούσης, Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· Λουκ. ιζ. ι. καὶ πάλιν τοῦ διδασκάλου τῆς οἰκουμένης λέγοντος, Ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι. Φιλιπ. γ. ιγ. ὁ πείσας ἑαυτόν, ὅτι οὐδὲν μέγα κατώρθωσεν, ὅσα ἂν ποιήσῃ, οὗτος μόνος ταπεινοφρονεῖν δύναται, ὁ μὴ πρὸς τὸ τέλος ἥκειν νομίζων. πολλοὶ ἀπὸ ταπεινοφροσύνης ἐπήρθησαν· ἀλλὰ μὴ ἡμεῖς τοῦτο πάθωμεν. ἐποίησάς τι ταπεινόν; μὴ φρονήσῃς μέγα, ἐπεὶ τὸ πᾶν ἀπώλεσας. τοιοῦτος ἦν ὁ Φαρισαῖος. ἐπήρθη ἐπειδὴ ἐδίδου τοῖς πένησι τὰς δεκάτας, καὶ τὸ πᾶν ἀπώλεσεν. ἀλλ' οὐχ ὁ τελώνης οὕτως. ἄκουε Παύλου πάλιν λέγοντος, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. α. Κορ. δ. δ. ὁρᾷς ὅτι οὐκ ἐπῆρεν αὐτόν, ἀλλὰ παντοίως συνέστελλε καὶ ἐταπείνου, καὶ ταῦτα εἰς τὴν ἄκραν κορυφὴν ἀνεληλυθώς; καὶ οἱ τρεῖς παῖδες ἐν πυρὶ ὄντες, καὶ ἐν μέσῃ τῇ καμίνῳ, καὶ τί ἔλεγον; Ἡμάρτομεν, ἠνομήσαμεν μετὰ τῶν πατέρων ἡμῶν. Δαν. γ. κθ. τοῦτο ἐστι καρδίαν συντετριμμένην ἔχειν. διὰ τοῦτο ἠδύναντο λέγειν,

ἀλλ'

ἀλλ᾽ ἐν καρδίᾳ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. οὕτω καὶ μετὰ
τὸ ἐμπεσεῖν εἰς τὴν κάμινον, σφόδρα ἦσαν τεταπεινωμένοι, καὶ μᾶλλον ἢ πρὸ τοῦ ἐμπεσεῖν.
ἐπειδὴ γὰρ εἶδον τὸ θαῦμα τὸ γενόμενον, ἀναξίους νομίσαντες ἑαυτοὺς τῆς σωτηρίας, εἰς ταπεινοφροσύνην κατηνέχθησαν. ὅταν γὰρ πεισθῶμεν, ὅτι παρ᾽ ἀξίαν μεγάλα εὐηργετήμεθα, τότε μάλιστα αἰδούμεθα. καίτοι τί παρ᾽ ἀξίαν εὐηργετήθησαν ἐκεῖνοι; ἐξέδωκαν ἑαυτοὺς
εἰς κάμινον, ἐξηχμαλωτίσθησαν, ἑτέρων ἁμαρτόντων (ἔτι γὰρ νέοι ἦσαν) καὶ οὐκ ἐδυσχέραναν, οὐδὲ
ὠργίσθησαν, οὐδὲ εἶπον· ναί, τί γὰρ ἡμῖν ἀγαθὸν, ὅτι δουλεύομεν τῷ Θεῷ; τί ὠφελήσαμεν
προσκυνοῦντες αὐτόν; οὗτος ἀσεβής ἐστι, καὶ γέγονεν ἡμῶν δεσπότης· μετὰ τῶν εἰδωλολατρῶν
ὑπὸ τοῦ εἰδωλολάτρου κολαζόμεθα, εἰς αἰχμαλωσίαν ἤχθημεν, πατρίδος ἐξεπέσομεν,
ἐλευθερίας, τῶν πατρῴων ἁπάντων, αἰχμάλωτοι καὶ δοῦλοι γεγόναμεν, βασιλεῖ βαρβάρῳ
δουλεύομεν. οὐδὲν τούτων εἶπον, ἀλλὰ τί; Ἡμάρτομεν, ἠνομήσαμεν, καὶ οὐδὲ ὑπὲρ ἑαυτῶν, ἀλλ᾽ ὑπὲρ τῶν ἄλλων ποιοῦνται τὴν δέησιν, ὅτι βασιλεῖ, φασιν, ἐχθίστῳ καὶ πονηροτάτῳ
παρέδωκας ἡμᾶς. πάλιν ὁ Δανιὴλ δεύτερον εἰς λάκκον ἐμβεβλημένος, ἔλεγεν· Ἐμνήσθη
Δαν. ιδ. λζ. μου γὰρ ὁ Θεός. διὰ τί οὐκ ἂν ἐμνήσθη, ὦ Δανιήλ; ὅτι αὐτὸν ἐδόξασας ἐπὶ τοῦ βασιλέως,
Δαν. β. λ. λέγων, Καὶ ἐγὼ οὐκ ἐν τῇ σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί. ἀλλ᾽ ὅτι ἐνεβλήθης εἰς λάκκον λεόντων
διὰ τὸ μὴ ὑπακοῦσαι τῷ πονηροτάτῳ δόγματι ἐκείνῳ, διὰ τί οὐκ ἂν ἐμνήσθη; δι᾽ αὐτὸ
δὴ τοῦτο. οὐχὶ δι᾽ αὐτὸν ἐμβεβλῆσαι νῦν; ναί, φησιν, ἀλλὰ πολλῶν ὀφειλέτης εἰμί. εἰ δὲ ἐκεῖνος τοιαῦτα μετὰ τοσαύτην ἀρετὴν, τί ἂν εἴποιμεν λοιπὸν ἡμεῖς; ἀλλ᾽ ὁ Δαβὶδ ἄκουε
β. Βασ. ιε. κϛ. τί φησι, Καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ,
α. Βασ. γ. ιη. καίτοι μυρία ἔχων εἰπεῖν ἑαυτοῦ κατορθώματα· καὶ ὁ Ἠλεὶ δέ φησι, Κύριος αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. τοῦτο δούλων εὐγνωμόνων, μὴ μόνον ἐν ταῖς εὐεργεσίαις, ἀλλὰ καὶ
ἐν ταῖς κολάσεσι, καὶ ἐν ταῖς τιμωρίαις τὸ πᾶν αὐτῷ παραχωρεῖν. πῶς γὰρ οὐκ ἄτοπον, εἰ
ἡμεῖς μὲν δεσπότας τοιούτους τῶν οἰκετῶν ἐσόμεθα, εἰδότες ὅτι φείδονται αὐτῶν, ἅτε αὐτῶν
Ρωμ. ιδ. η. ὄντων ἐκείνων, ὁ δὲ Θεὸς κολάζων οὐ φείσεται; τοῦτο καὶ ὁ Παῦλος ᾐνίξατο εἰπών, Ἐάν τε ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. οὐ βούλεται αὐτῷ, φησι, τὸν πλοῦτον ἐλαττωθῆναι· οἶδε πῶς κολάζει. οἰκείους κολάζει παῖδας. οὐδεὶς ἡμῶν μᾶλλον αὐτοῦ φείδεται τοῦ ἐκ
τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος ἡμᾶς, τοῦ τὸν ἥλιον ἀνατέλλοντος, τοῦ βρέχοντος, τοῦ ψυχὴν
ἐμπνέοντος, τοῦ τὸν υἱὸν αὐτοῦ δεδωκότος ὑπὲρ ἡμῶν. ἀλλ᾽ ὅπερ ἔφην, καὶ δι᾽ ὃ πάντα μοι
ταῦτα εἴρηται, ταπεινοφρονῶμεν, ὡς χρή, μετριάζωμεν ὡς χρή. μὴ ἀφορμὴ ἡμῖν τῆς
γινέσθω ἐπάρσεως. ταπεινὸς εἶ, καὶ πάντων ἀνθρώπων ταπεινότερος; μὴ διὰ τοῦτο μέγα φρόνει, μηδὲ ἑτέροις ὀνείδιζε, μὴ ἀπολέσῃς τὸ καύχημα. διὰ τοῦτο ταπεινοφρονεῖς, ἵνα ἀπονοίας ἀπαλλαγῇς. ἂν τοίνυν δι᾽ αὐτῆς εἰς ἀπόνοιαν πέσῃς, κρεῖττον μὴ ταπεινοφρονεῖν.
Ρωμ. ζ. ιγ. ἄκουε γὰρ Παύλου λέγοντος, Διὰ τοῦ ἀγαθοῦ μοι κατεργάζεται θάνατον, ἵνα γένηται καθ᾽
ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. ὅταν εἰς ἔννοιαν ἔλθῃς θαυμάσαι σεαυτὸν ἐπὶ ταπεινοφροσύνῃ, νόησον τὸν δεσπότην σου, ποῦ κατῆλθε, καὶ οὐκέτι θαυμάσεις σαυτόν, οὐδὲ ἐπαινέσεις, ἀλλὰ καὶ καταγελάσεις σαυτοῦ, ὡς οὐδὲν πεποιηκότος. πάντως ἑαυτὸν ὀφειλέτην εἶναι νόμιζε. ἅπερ ἂν ποιήσῃς, ἐκείνην ἀναμιμνήσκου τὴν παραβο-
Λουκ. ιζ. ζ. λήν, Τίς ἐξ ὑμῶν, φησιν, ὃς ἔχει δοῦλον, μὴ εἰσελθόντι αὐτῷ ἀνάπεσε λέγει; οὐχί, λέγω
ὑμῖν, ἀλλά, στῆθι, καὶ διακόνει μοι. μὴ χάριν ἴσμεν τοῖς οἰκέταις ἡμῶν διακονουμένοις ἡμῖν;
οὐδαμῶς. ἀλλ᾽ ὁ Θεὸς ἡμῖν οἶδε χάριν οὐκ αὐτῷ διακονουμένοις, ἀλλὰ τὸ ἡμῖν συμφέρον ποιοῦσι. πλὴν ἀλλὰ μὴ οὕτω διακεώμεθα, ὡς χάριν εἰδότος αὐτοῦ, ἵνα μᾶλλον εἰδῇ, ἀλλ᾽
ὡς ὀφειλὴν ἐκπληροῦντες. καὶ γὰρ ὄντως ὀφειλὴ τὸ πρᾶγμα, καὶ ὀφειλῆς ἐστι πάντα ἅπερ ἂν πράττωμεν. εἰ γὰρ ἀργυρίου παῖδας ὠνούμενοι, ″πάντα ἡμῖν αὐτοὺς ζῆν βουλόμεθα, γρ. πάντα

λύσῃ; καὶ ὅσα μὲν ἐχθρὸν ἡμῖν ἔχει, πόσῳ μᾶλλον ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, ὁ μετὰ ταῦτα ἡμέρας ὑβρισθεὶς ὑπὸ ἡμῶν καθ᾽ ἑκάστην; λέγεται καὶ τέθνηκεν ὑπὲρ ἡμῶν, ὅτι οὐδεὶς ἐστὶν ὑπὲρ τέκνου καὶ ἀποθνήσκει ἀνωφελῶς· ἆρα χάριν, ὃ ἡμεῖς οὐκ ἔχει τὸ ἴσον. τὴν δυσμενείας ἔχοντες ψυχὰς, τὰς ταῖς κακίαις καταγελῶμεν, ἆρα τὴν ἴσην ἀποδώσομεν; οὐδαμῶς. διὰ τί; ὅτι αὐτὸς οὐκ ὀφείλων ἡμῖν τοῦτο πεποίηκεν, ἀλλὰ τὸ πᾶν χάριτος γέγονεν, ἡμεῖς δὲ λοιπὸν ὀφείλομεν· καὶ αὐτὸς Θεὸς ὢν, δοῦλος γέγονε, καὶ οὐκ ἂν ὑπὲρ θανάτου, ὑπὲρ τοῦ θανάτου γεγενημένους ἐν σαρκὶ ἡμᾶς, κἂν μὲν ὑπὲρ αὐτοῦ καταθῶμεν τὰς ψυχὰς, τῷ νόμῳ τῆς φύσεως πάντως καταθησόμεθα, καὶ ἄκοντες μικρὸν ὕστερον αὐτὰς ἀποστερηθησόμεθα. οὕτω καὶ ἐπὶ τῶν χρημάτων κἂν μὴ δι᾽ αὐτὸν αὐτὰ δῶμεν, ἀλλὰ παρὰ τῆς τελευτῆς ἀναγκαίως ἀποδώσομεν. οὕτω καὶ ἐπὶ τῆς ταπεινοφροσύνης, κἂν μὴ δι᾽ αὐτὸν ταπεινοφρονήσωμεν, διὰ τὰς θλίψεις, διὰ τὰς συμφορὰς, διὰ τὰς δυναστείας ταπεινωθησόμεθα. ὁρᾷς οὖν ὅτι ἡ χάρις οὐκ ἔστι; τί γὰρ μέγα ποιοῦσιν οἱ μάρτυρες; κἂν μὴ νῦν ἀποθάνωσι, τεθνήξονται πάντως· ἀλλὰ πολλὴν αὐτοῖς οἶδε χάριν, ὅτι ἑκόντες ἀπέθανον, ὅτι προέλαβον ἀπὸ τῆς φύσεως ἄκοντες ἐρχόμενον. οὐκ ἔστι, τί γὰρ μέγα ποιοῦσιν οἱ τὰ χρήματα κενοῦντες; πάντως αὐτὰ ἀποθήσονται καὶ ἄκοντες· ἀλλὰ πολλὴν καὶ τούτοις οἶδε χάριν, καὶ οὐκ αἰσχύνεται ἐπὶ πάντων ὁμολογεῖν, ὅτι εὐχαριστεῖ διὰ τῶν δούλων ὁ δεσπότης. καὶ γὰρ καὶ τοῦτο δόξα δεσπότου, τὸ οἰκέτας ἔχειν εὐγνώμονας· καὶ τοῦτο δόξα δεσπότου, τὸ οὕτω φιλεῖν τοὺς δούλους· καὶ τοῦτο δόξα δεσπότου, τὸ οἰκειοῦσθαι τὰ ἐκείνων· καὶ τοῦτο δόξα δεσπότου, τὸ μὴ ἐπαισχύνεσθαι ἐπὶ πάντων ὁμολογεῖν. αἰδεσθῶμεν τοίνυν τὴν τοσαύτην ἀγάπην τοῦ Χριστοῦ, διαθερμανθῶμεν τῷ φίλτρῳ. κἂν ταπεινὸς ᾖ τις, κἂν εὐτελὴς, ἐὰν ἀκούσωμεν ᾗ, ὅτι φιλεῖ ἡμᾶς, μάλιστα πάντων διαθερμαινόμεθα πρὸς αὐτὸν, καὶ εἰς τιμὴν αὐτὸν ἄγομεν σφοδράν· καὶ ἡμεῖς φιλοῦμεν, ὁ δὲ δεσπότης ἡμῶν ἡμᾶς φιλεῖ τοσοῦτον, καὶ οὐ διεγειρόμεθα; μὴ, παρακαλῶ, μὴ οὕτω ῥᾴθυμοι γινώμεθα περὶ τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, ἀλλὰ καὶ ἀγαπῶμεν κατὰ δύναμιν τὴν ἡμετέραν, καὶ πάντα κενώσωμεν εἰς τὴν ἀγάπην αὐτοῦ, καὶ ψυχὴν, καὶ χρήματα, καὶ δόξαν, καὶ πᾶν ὁτιοῦν μετὰ χαρᾶς, μετὰ εὐφροσύνης, μετὰ προθυμίας, μὴ ὡς ἐκείνῳ τι παρέχοντες, ἀλλ᾽ ὡς ἡμῖν αὐτοῖς. τοιοῦτος γὰρ τῶν φιλούντων ὁ νόμος· εὖ πάσχειν ἡγοῦνται, ὅταν κακῶς πάσχωσι διὰ τοὺς φιλουμένους. οὕτω τοίνυν καὶ ἡμεῖς διακειώμεθα περὶ τὸν δεσπότην τὸν ἡμέτερον, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. γ. 17 ΕΙ ΟΥΝ ΜΕ ΕΧΕΙΣ ΚΟΙΝΩΝΟΝ, ΠΡΟΣλαβοῦ αὐτὸν ὡς ἐμέ. 18 Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, ἐμοὶ τοῦτο ἐλλόγει. Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ ἀποτίσω, ἵνα μὴ λέγω σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.

Οὐδὲν οὕτω πρᾶγμα πιθανὸν οἶδεν, ὡς τὸ μὴ πάντα ἀθρόον αἰτεῖν. ὅρα γὰρ μετὰ πόσα ἐγκώμια, μετὰ πόσην κατασκευὴν τὸ μέγα τοῦτο ἔθηκε, μετὰ τὸ εἰπεῖν, ὅτι τέκνον μου, ὅτι κήρυκος τοῦ εὐαγγελίου, ὅτι σπλάγχνα, ὅτι ἀδελφὸν αὐτὸν ἀπέχεις, ὅτι ὡς ἀδελφὸν ἔχε, τότε ἐπήγαγεν, ὡς ἐμέ. καὶ οὐκ ᾐσχύνθη τοῦτο Παῦλος. ὁ γὰρ μὴ αἰσχυνόμενος δοῦλος κληθῆναι τῶν πιστῶν, ἀλλὰ καὶ ὁμολογῶν τοῦτο, πολλῷ μᾶλλον τοῦτο οὐκ ἂν παρῃτήσατο. ὃ δὲ λέγει, τοῦτό ἐστιν· Εἰ τὰ αὐτά μοι φρονεῖς, ἐπὶ τοῖς αὐτοῖς τρέχεις, εἰ φίλον ἡγῇ, πρόσλαβοῦ αὐτὸν, ὡς ἐμέ. Εἰ δέ τι ἠδίκησεν. ὅρα ποῦ τέθεικε καὶ πότε τὸ ἀδίκημα· ὕστερον μετὰ τὸ πολλὰ ὑπὲρ τούτου συνειπεῖν. ἐπειδὴ γὰρ μάλιστα

ἢ τῶν χρημάτων ζημία δάκνειν εἴωθε τοὺς δεσπότας, ἵνα μηδὲ ὑπὲρ τούτων ἐγκαλέσῃ (εἰκὸς γὰρ αὐτὰ καὶ κατηναλῶσθαι) τότε τοῦτο τίθησι καί φησιν, Εἰ δέ τι ἠδίκησεν. οὐκ εἶπεν, εἰ ἔκλεψεν, ἀλλὰ τί; εἴ τι ἠδίκησεν. ἅμα καὶ τὸ ἁμάρτημα ὡμολόγησε, καὶ οὐχ ὡς δούλου ἁμάρτημα, ἀλλ᾽ ὡς φίλου πρὸς φίλον, τῷ τῆς ἀδικίας μᾶλλον, ἢ τῷ τῆς κλοπῆς ὀνόματι χρησάμενος. τοῦτο ἐμοὶ ἐλλόγει, φησί· τουτέστι, πρὸς ἐμὲ ἔχε τὴν ὀφειλήν, ἐγὼ ἀποτίσω. Εἶτα καὶ μετὰ χάριτος τῆς πνευματικῆς· ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί. καὶ συγκεκλιμένως ἅμα καὶ χαριέντως, εἴγε ὑπὲρ τούτου καὶ γραμματεῖον ἐνέβαλε Παῦλος μὴ παραιτησαμένου, τοῦτον αὐτὸν παραιτήσεται προσλαβέσθαι. τοῦτο σφόδρα καὶ αὐτὸν ἐδυσώπησε, καὶ τῆς ἐγκλήσεως ἀπήλλαξε τὸν Ὀνήσιμον. καὶ τῇ ἐμῇ χειρί, φησιν, ἔγραψα. οὐδὲν τῶν σπλάγχνων θερμότερον τούτων, οὐδὲ σπουδαιότερον, οὐδὲ προθυμότερον. ὑπὲρ ἑνὸς ἀνδρὸς ὅρα πόσην ποιεῖται πρόνοιαν. ἵνα μὴ λέγω, φησί, σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. Εἶτα ἵνα μὴ δόξῃ τοῦτο ὑβρίζειν εἰς τὸν ἀξιούμενον, εἴγε μὴ ἐθάρρησεν ὑπὲρ κλοπῆς ἀξιῶσαι καὶ τυχεῖν, καὶ τοῦτο πῶς παραμυθεῖται· ἵνα μὴ λέγω, φησίν, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις· οὐ τὰ σεαυτοῦ μόνον, ἀλλὰ καὶ σεαυτόν. καὶ τοῦτο ἀπὸ ἀγάπης καὶ κατὰ τὸν τῆς φιλίας λόγον, καὶ τοῦ σφόδρα θαρρεῖν ἐστίν. ὅρα πῶς πανταχοῦ ἀμφοτέρων ἐπιμελεῖται, καὶ τοῦ μετὰ πολλῆς τῆς ἀσφαλείας ἀξιοῦν, καὶ τοῦ μὴ τοῦτο δηλοῦσθαι τεκμήριον τοῦ σφόδρα θαρρεῖν αὐτόν.

19 Ναὶ, ἀδελφέ. Τί ἐστι ναί, ἀδελφέ;

Προσλαβοῦ, φησιν, αὐτόν. Τοῦτο γὰρ ἔξωθεν δεῖ προσυπακούειν. ἀφεὶς γὰρ τὸν χαριεντισμόν, πάλιν ἔχεται τῶν σοβαρωτέρων, τῶν σπουδαίων. καίτοι καὶ ταῦτα σπουδαῖα. τὰ γὰρ παρὰ τῶν ἁγίων καὶ αὐτὰ σπουδαῖα, κἂν χαριεντίζωνταί τι. ναί, ἀδελφέ.

Ἐγώ σου ὀναίμην ἐν Κυρίῳ. ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Χριστῷ.

Τουτέστι, τῷ Κυρίῳ δίδως τὴν χάριν, οὐκ ἐμοί, τὰ σπλάγχνα τὰ περὶ σέ.

20 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι. Ποῖον λίθον ταῦτα οὐκ ἂν ἐμάλαξε; ποῖον θηρίον ταῦτα οὐκ ἂν κατεπράϋνε, καὶ παρεσκεύασε γνησίως προσδέξασθαι; μετὰ δὲ ἐν κατορθώμασι τηλικούτοις αὐτῷ μαρτυρῆσαι, οὐ παραιτεῖται καὶ πάλιν ἀπολογεῖσθαι. οὐχ ἁπλῶς φησιν, οὐδὲ ἐπιτάττων, οὐδὲ αὐθαδιαζόμενος, ἀλλά, πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι. ὅπερ καὶ ἀρχόμενος εἶπε, παρρησίαν ἔχων, τοῦτο καὶ ἐνταῦθα λέγει εἰς τὸ ἐπισφραγίσαι τὴν ἐπιστολήν. Εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω, ποιήσεις. Ἅμα καὶ διεγείρει εἰπὼν τοῦτο. ᾐσχύνθη γὰρ ἄν, εἰ καὶ μηδὲν ἔπραξε, τοιαύτην δόξαν ἔχων παρ᾽ αὐτῷ, ὅτι καὶ ὑπὲρ ὃ λέγει ποιεῖ, μὴ ποιῆσαι τοσοῦτον.

21 Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν. ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. Καὶ τοῦτο σφόδρα θαρροῦντος ἦν, μᾶλλον δὲ καὶ τοῦτο ὑπὲρ Ὀνησίμου, ἵνα μὴ ῥαθυμήσαντες, ἀλλ᾽ εἰδότες ὅτι παρὼν ἐπιμεληθεὶς ἀκούσεται τὰ κατ᾽ αὐτόν, πᾶσαν μνησικακίαν ἐξέλωσι, καὶ χάριν μᾶλλον δῶσι. πολλὴ γὰρ ἦν ἡ χάρις καὶ ἡ τιμὴ Παύλου ἐνδημοῦντος, Παύλου μετὰ ἡλικίαν, Παύλου μετὰ δεσμούς. πάλιν τῆς ἀγάπης αὐτῶν τεκμήριον τὸ εὔχεσθαι αὐτοὺς εἰπεῖν, καὶ τοσοῦτον αὐτοῖς δοῦναι, ὡς εὔχεσθαι ὑπὲρ αὐτοῦ. εἰ γὰρ καὶ ἐν κινδύνοις εἰμὶ νῦν, ἀλλ᾽ ὅμως ὄψεσθέ με, ἐὰν εὔχησθε.

22 Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ.

Κολοσ. α. Οὗτος παρὰ Κολοσσαέων ἦν ἀποσταλείς· ὥστε καὶ ἀπὸ τούτου δῆλον, ὅτι καὶ ἐν Κολοσσαῖς ἦν ὁ Φιλήμων. συναιχμάλωτον δὲ αὐτὸν καλεῖ, δεικνὺς καὶ αὐτὸν ἐν πολλῇ θλίψει. ὥστε εἰ καὶ

γρ. ἅμα δὲ καὶ [illegible] τὸ Ἐπαφ. [illegible]

μὴ δι' αὐτὸν ἐκεῖνον, διὰ τοῦτον εἰκὸς ἀκουσθῆναι. ὁ γὰρ ἐν θλίψει ὤν, καὶ τὰ αὑτοῦ ἀφεὶς, καὶ τὰ τῶν ἄλλων μεριμνῶν, ὀφείλει ἀκούεσθαι. καὶ ἄλλως δὲ ὥσπερ ἔσω αὐτὸν, εἴγε ὁ πολίτης ἐκείνου, καὶ συναιχμάλωτος γέγονεν αὐτῷ καὶ συγκακουχεῖται· οὐκ ἔτι δὲ οὐδὲ χάριν δίδωσιν ὑπὲρ ἰδίου οἰκέτου. καὶ προσέθηκε, συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, ἀντὶ τοῦ, διὰ Χριστόν.

23 Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

Τί δή ποτε τὸν Λουκᾶν τελευταῖον τέθεικε; καίτοιγε φησὶν ἀλλαχοῦ, Λουκᾶς ἐστὶ μόνος μετ' ἐμοῦ, καὶ Δημᾶς, φησὶν, εἷς τῶν ἐγκαταλιπόντων αὐτὸν ἦν, καὶ ἀγαπησάντων τὸν νῦν αἰῶνα. ταῦτα δὲ εἰ καὶ ἑτέρωθι εἴρηται, ἀλλ' ὅμως οὐκ ἀνεξέταστα δεῖ ἀφεῖναι, οὐδὲ ἁπλῶς ἀκούειν, οὐδὲ ὡς ἔτυχε. πῶς δὲ λέγει ἀσπάσασθαι αὐτὸν τὸν ἐγκαταλιπόντα αὐτόν; Ἔραστος γὰρ, φησὶν, ἔμεινεν ἐν Κορίνθῳ. τὸν μὲν οὖν Ἐπαφρᾶν καὶ ὡς γνώριμον αὐτοῖς καὶ ἐκεῖθεν ὄντα προστίθησι, καὶ Μάρκον ὡς καὶ αὐτὸν θαυμαστόν. τί δαὶ τούτοις συναριθμεῖ τὸν Δημᾶν; ἴσως μετὰ ταῦτα γέγονε ῥαθυμότερος, ὅτε τοὺς κινδύνους εἶδε τοὺς πολλούς. ὁ μέντοι Λουκᾶς ἔσχατος ὢν, ἐγένετο πρῶτος. καὶ ἀπὸ τούτων δὲ αὐτὸν προσαγορεύει προτρέπων αὐτὸν πλέον εἰς τὴν ὑπακοὴν, καὶ συνεργοὺς καλεῖ, καὶ ταύτῃ δυσωπῶν αὐτὸν πρὸς τὴν αἴτησιν.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

Εὐχῇ τὴν ἐπιστολὴν κατέκλεισεν. ἡ δὲ εὐχὴ μέγα μὲν ἀγαθὸν, καὶ σωτήριον, καὶ τῶν ψυχῶν τῶν ἡμετέρων φυλακτήριον· μέγα δὲ, ὅταν ἄξια αὐτῆς πράττωμεν, καὶ μὴ ἀναξίους ἑαυτοὺς κατασκευάζωμεν. καὶ σὺ τοίνυν ὅταν προσέλθῃς τῷ ἱερεῖ, κἀκεῖνος εἴπῃ, ἐλεήσει σε ὁ Θεὸς, τέκνον, μὴ τῷ ῥήματι θάῤῥει μόνον, ἀλλὰ καὶ τὰ ἔργα πρόσθες· ποίει τὰ ἐλέου ἄξια. εὐλογήσει σε ὁ Θεὸς, τέκνον. εἰ μὲν ποιεῖς τὰ τῆς εὐλογίας, εὐλογηθήσῃ, εἰ ἐλεεῖς τὸν πλησίον. ὧν γὰρ βουλόμεθα τυχεῖν παρὰ τοῦ Θεοῦ, τούτων πρότερον μεταδιδόναι τοῖς πλησίον ὀφείλομεν. ἂν δὲ τοὺς πλησίον αὐτῶν ἀποστερῶμεν, πῶς τυχεῖν αὐτῶν βουλόμεθα; Μακάριοι, φησὶν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. εἰ γὰρ οἱ ἄνθρωποι τοὺς τοιούτους ἐλεοῦσι, πολλῷ μᾶλλον ὁ Θεὸς, τοὺς δὲ μὴ ἐλεοῦντας, οὐκέτι. Ἀνίλεως γὰρ ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεον. καλὸν τὸ πρᾶγμα; τί οὖν αὐτὸ οὐκ ἐποίησας ἑτέρῳ; βούλει συγγνωσθῆναι πλημμελῶν; τί οὖν αὐτὸς οὐ συγγνώμων τῷ πεπλημμεληκότι; ἀλλὰ προσέρχῃ μὲν τῷ Θεῷ βασιλείαν οὐρανῶν αἰτῶν, αὐτὸς δὲ ἀργύριον αἰτηθεὶς οὐκ ἔδωκας. διὰ τοῦτο οὐκ ἐλεούμεθα, ἐπειδὴ οὐκ ἐλεοῦμεν. διὰ τί, φησὶ; καὶ μὴν τοῦτο ἐλέους ἐστὶ, τὸ τοὺς ἀνελεήμονας ἐλεεῖν; ὁ γὰρ τὸν ὠμὸν καὶ ἀπάνθρωπον καὶ μυρία τὸν πλησίον ἀδικοῦντα κακὰ φιλανθρωπευσάμενος, πῶς ἂν ἐλεήμων εἴη; τί οὖν φησι; τὸ λουτρὸν οὐχὶ μυρία ἡμᾶς ἐργασαμένους κακὰ ἔσωσεν; ἀπήλλαξεν ἐκείνων, οὐχ ἵνα πάλιν αὐτὰ πράττωμεν, ἀλλ' ἵνα μὴ πράττωμεν. Εἰ γὰρ ἀπεθάνομεν, φησὶ, τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; Τί οὖν; ἁμαρτήσομεν ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον; μὴ γένοιτο. διὰ τοῦτό σε ἐκείνων ἀπήλλαξεν, ἵνα μηκέτι παλινδρομήσῃς πρὸς τὴν ἀτιμίαν ἐκείνην· ἐπεὶ καὶ ἰατροὶ τοὺς πυρέττοντας ἀπαλλάττουσι τῆς φλογὸς, οὐχ ἵνα τῇ ὑγιείᾳ πρὸς κάκωσιν ἀποχρήσωνται καὶ ἀταξίαν (ἐπεὶ βέλτιον νοσεῖν, εἴγε μέλλοι τις διὰ τοῦτο ὑγιαίνειν, ἵνα πάλιν τῇ κλίνῃ προσηλώσῃ ἑαυτὸν) ἀλλ' ἵνα μαθόντες τὰ ἀπὸ τῆς ἀῤῥωστίας κακὰ, μηκέτι τοῖς αὐτοῖς περιπέσωσιν, ἵνα ἀσφαλέστερον τῆς ὑγιείας ἔχωνται, ἵνα πάντα πράττωσι τὰ πρὸς ταύτην συντελοῦντα. πῶς οὖν ἡ φιλανθρωπία τοῦ Θεοῦ, φησὶν, εἴγε μὴ μέλλοι σώζειν τοὺς κακούς; πολλαχοῦ γὰρ καὶ τοῦτο πολλοὺς ἀκούω λέγοντας, ὅτι φιλάνθρωπός ἐστι, καὶ πάντως σώσει πάντας. ἵν' οὖν μὴ μάτην ἑαυτοὺς ἀπατῶμεν (καὶ γὰρ μέμνημαι τοιαύτην τινὰ ὑπόσχεσθαι ὑμῖν ὑπόθεσιν) φέρε τὴν περὶ τοῦ λόγου τούτου κίνησιν

Right margin: 2. Tim. 4. 10 (beside line 7); 2. Tim. 4. 20 (beside line 10); ΗΘΙΚΟΝ (beside line 18); Matth. 5. (beside line 25); Iac. 2. 13. (beside line 26); Rom. 6. 2. 15. (beside line 34)

Left margin (beside lines 14–16): γρ. αὐτοῦ / γρ. ὑπερέπων / ...αὐτὸν εἰς τὴν / ...αίτησιν, / γρ. αὐτοῦ

Left margin (beside lines 33–35, partly cut off): ...ὕμη δὲ / ...πρὸς ... / ...

μεθα. διαλεχθῶμεν περὶ γεέννης πρὸς ὑμᾶς πρῴην, καὶ ἀνεβαλόμεθα περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λόγον· σήμερον οὖν αὐτὸν ἀποδοῦναι καλόν. ὅτι μὲν οὖν ἔστιν ἡ γέεννα, ἱκανῶς (ὡς ἐμαυτῷ δοκῶ) τάχα ἀπεδείξαμεν, τὸν κατακλυσμὸν εἰς μέσον ἐνεγκόντες, καὶ τὰ περίπετα κακά, καὶ εἰπόντες ὅτι οὐχ οἷόν τε τὸν ἐκεῖνα ποιήσαντα ἀτιμωρήτους ἐᾶσαι τοὺς νῦν. εἰ γὰρ τοὺς πρὸ τοῦ νόμου ἁμαρτόντας οὕτως ἐκόλασε, τοὺς μείζονα κακὰ ἐργασαμένους μετὰ τὴν χάριν ἀτιμωρήτους οὐκ ἀφήσει. ἐζητεῖτο τοίνυν, πῶς οὖν ἀγαθός; πῶς δὲ φιλάνθρωπος, εἴπερ κολάζει; καὶ ἀνεβαλόμεθα τὸν λόγον, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὰς ἀκοὰς τὰς ὑμετέρας. φέρε τήμερον ἀποδῶμεν τὸ χρέος, καὶ δείξωμεν πῶς ἀγαθὸς ὁ Θεὸς καὶ κολάζων. καὶ γὰρ καὶ πρὸς τοὺς αἱρετικοὺς ἡμῖν ὁ λόγος οὗτος ἁρμόσειεν ἄν· ὥστε μετὰ σπουδῆς προσέχωμεν. οὐδενὸς δεόμενος ὁ Θεὸς τῶν παρ' ἡμῶν, ἐποίησεν ἡμᾶς. ὅτι δὲ οὐδενὸς ἐδεῖτο, ἐδήλωσεν ἐκ τοῦ μετὰ ταῦτα ποιῆσαι. εἰ γὰρ ἐδεῖτο, πάλαι ἂν ἐποίησεν. εἰ δὲ καὶ χωρὶς ἡμῶν ἦν αὐτός, ἡμεῖς δὲ ἐν ὑστέροις χρόνοις γεγόναμεν, οὐ δεόμενος ἡμῶν ἐποίησεν ἡμᾶς. ἐποίησεν οὐρανόν, γῆν, θάλατταν, πάντα τὰ ὄντα δι' ἡμᾶς. ταῦτα οὐκ ἀγαθότητος, εἰπέ μοι; καὶ πολλὰ ἄν τις ἔχοι λέγειν. ἀλλ' ἵνα συντέμωμεν τὸν λόγον, ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς

Ματ. ε με. καὶ ἀγαθούς, βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. τοῦτο οὐκ ἀγαθότητος; ναί, φησι. καὶ γάρ ποτε πρός τινα Μαρκιωνιστὴν ἔλεγον, ἆρα οὐκ ἀγαθότητος ταῦτα; καὶ ἔφησεν, ὅτι εἰ μὴ τὸν λόγον ἀπήτει τῶν ἁμαρτημάτων, ἀγαθότητος ἦν· εἰ δὲ ἀπαιτεῖ, οὐκ ἀγαθότητος. ἀλλ' ἐκεῖνος μὲν οὐ πάρεστι νῦν· φέρε δὲ τὰ τότε λεχθέντα εἴπωμεν, καὶ πλείονα τούτων. ἐγὼ γὰρ δείκνυμι ἐκ περιουσίας, ὅτι εἰ μὴ ἀπῄτει λόγον, οὐκ ἀγαθός· ἐπειδὴ δὲ ἀπαιτεῖ, διὰ τοῦτο ἀγαθός. εἰπὲ γάρ μοι, εἰ μὴ ἀπῄτει λόγον ἡμᾶς, ἆρα ἂν ἔστη ὁ βίος ὁ ἀνθρώπινος; ἆρα οὐκ ἂν εἰς θηρία ἐξεπέσομεν; εἰ γάρ, ἐπικειμένου φόβου, καὶ εὐθυνῶν, καὶ δικαστηρίων, τοὺς ἰχθῦς παρεληλάσαμεν ἀλλήλους καταπιόντες, τοὺς λέοντας καὶ τοὺς λύκους ἀπεκρύψαμεν τὰ ἀλλήλων ἁρπάζοντες, εἰ μὴ λόγον ἡμᾶς ἀπῄτει, καὶ τοῦτο πεπείσμεθα, πόσης ἂν συγχύσεως καὶ ταραχῆς ἐπληρώθη ὁ βίος; τίς ἦν ὁ μυθευόμενος λαβύρινθος λοιπὸν πρὸς τὴν ἀταξίαν τὴν κοσμικήν; οὐκ ἂν εἶδες μυρίας ἀτοπίας καὶ ἀταξίας; τίς γὰρ ἂν ᾐδέσθη πατέρα λοιπόν; τίς δὲ ἂν ἐφείσατο μητρός; τίς δὲ ἂν πᾶσαν ἡδονήν, πᾶσαν κακίαν παρέλιπε; καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἀπὸ μιᾶς οἰκίας μόνης ἐγώ σοι πεῖσαι πειράσομαι. πῶς; ἐὰν ὑμῶν τῶν ταῦτα ἐρωτώντων, καὶ οἰκέτας ἐχόντων, δήλην ποιήσω τούτοις, ὅτι κἂν διαφθείρωσι τὴν δεσποτείαν, καὶ εἰς τὸ σῶμα ἐκείνων ἐνυβρίσωσι, κἂν πάντα ἐκφέρωσι, κἂν τὰ ἄνω κάτω ἐργάσωνται, καὶ τὰ τῶν ἐχθρῶν αὐτοὺς διαθῶσιν, οὐκ ἀπειλοῦσιν, οὐ κολάζουσιν, οὐ τιμωρήσονται, οὐδὲ μέχρι ῥημάτων λυπήσουσιν, ἆρα δοκεῖ ταῦτα ἀγαθότητος εἶναι; ἀλλ' ἐγὼ δείκνυμι, ὅτι ὠμότητός ἐστι τῆς ἐσχάτης, οὐ μόνον τῷ τὴν γυναῖκα καὶ τὰ παιδία προδίδοσθαι διὰ ταύτης τῆς ἀκαίρου χρηστότητος, ἀλλὰ καὶ τῷ αὐτοὺς ἐκείνους πρὸ τούτων ἀπόλλυσθαι. καὶ γὰρ μέθυσοι, καὶ ἀσελγεῖς, καὶ ἀκόλαστοι, καὶ ὑβρισταί, καὶ πάντων θηρίων ἔσονται ἀλογώτεροι. τοῦτο οὖν ἀγαθότητος, εἰπέ μοι, εὐγένειαν τῆς ψυχῆς καταπατῆσαι, καὶ ἑαυτοὺς καὶ ἀλλήλους προσαπολέσαι; ὁρᾷς ὅτι τὸ εὐθύνας ἀπαιτεῖν τοῦτό ἐστι τὸ πολλῆς χρηστότητος ὄν; καὶ τί λέγω οἰκέτας τοὺς προχειρότερον ἐπὶ τὰ ἁμαρτήματα ταῦτα ἐρχομένους; ἀλλ' ἐχέτω τις υἱούς, καὶ πάντα ἐπιτρεπέτω τολμᾶν ἐκείνοις, καὶ μὴ κολαζέτω, τίνος οὖν οὐκ ἔσονται χείρους, εἰπέ μοι; εἶτα ἐπὶ μὲν ἀνθρώπων τὸ κολάζειν ἀγαθότητος, τὸ δὲ μὴ κολάζειν ὠμότητος, ἐπὶ δὲ Θεοῦ οὐκέτι; ὥστε ἐπειδὴ ἀγαθός ἐστι, διὰ τοῦτο γέενναν προητοίμασε. βούλεσθε καὶ ἄλλην εἴπω ἀγαθότητα τοῦ Θεοῦ; οὐ ταύτην μόνον, ἀλλ' ὅτι καὶ τοὺς ἀγαθοὺς οὐκ ἀφίησι λυμαίνεσθαι κακούς. εἰ γὰρ ἔμελλον τῆς αὐτῆς τυγχάνειν, πάντες ἂν ἦσαν κακοί· νῦν δὲ οὐ μικρῶς καὶ τοῦτο παραμυθεῖται τοὺς ἀγαθούς. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν

τῷ

τῷ αἵματι τοῦ ἀνθρώπου· οὐχ ὑποκρινόμενος (μὴ γένοιτο) ἀλλὰ διδάσκων μὴ τὰ αὐτὰ πάθῃ, καθαρώτερον τὸν ἑαυτοῦ βίον ἐργάσηται. πολλῆς ἄρα τοῦτο κηδεμονίας ἐστί. ναὶ, φησὶν, ἀλλ' ἀπειλῆσαι μόνον ἐχρῆν, μὴ μέντοι καὶ κολάσαι. εἰ κολάζει, καὶ λέγεις, ὅτι ἀπειλὴ τὸ πρᾶγμά ἐστι, καὶ διὰ τοῦτο ῥαθυμότερος γένῃ, εἰ οὕτως ἀπειλὴ μόνον ἦν, οὐκ ἂν ὑπτιώτερος γέγονας; οἱ Νινευῖται εἰ ᾔδεισαν ὅτι ἀπειλὴ τὸ πρᾶγμα ἦν, οὐκ ἂν μετενόησαν· ἐπειδὴ δὲ μετενόησαν, μέχρι ῥημάτων τὴν ἀπειλὴν ἔστησαν. βούλει αὐτὸ ἀπειλὴν εἶναι; σὺ κύριος εἶ τοῦ πράγματος· γενοῦ βελτίων, καὶ ἵσταται μέχρι τῆς ἀπειλῆς. ἂν δὲ, ὅπερ ἀπείη, καταφρονήσῃς τῆς ἀπειλῆς, ἥξεις ἐπὶ τὴν πεῖραν. οἱ * τοῦ κατακλυσμοῦ, εἰ τὴν ἀπειλὴν ἔδεισαν, οὐκ ἂν τὴν πεῖραν ὑπέμειναν. καὶ ἡμεῖς, ἐὰν φοβηθῶμεν τὴν ἀπειλὴν, οὐχ ὑποστησόμεθα τὴν πεῖραν· μηδὲ γένοιτο, ἀλλὰ παράσχοι ὁ φιλάνθρωπος Θεὸς πάντας ἡμᾶς ἐντεῦθεν ἤδη σωφρονισθέντας, τῶν ἀπορρήτων ἐκείνων ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

χ ἐργάζεσθ.

οἱ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν, ἐκτεθεῖσα ἀπὸ σημείων μετὰ τὴν κοίμησιν αὐτοῦ, παρὰ Κωνσταντίνου πρεσβυτέρου Ἀντιοχείας. γρ. φερθεῖσα

ΥΠΟΘΕΣΙΣ [ΚΑΙ ΑΙΤΙΟΛΟΓΙΑ] ΤΗΣ ἐπιστολῆς κεφαλαιώδης.

Ῥωμαίοις γράφων ὁ μακάριος Παῦλός φησιν, Ἐφ' ὅσον μὲν [οὖν] εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω· εἴ πως παραζηλώσω μου τὴν σάρκα. Ῥωμ. ια. ιγ. καὶ πάλιν ἀλλαχοῦ, Ὁ γὰρ ἐνεργήσας Πέτρῳ Γαλ. β. η. εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη. εἰ τοίνυν ἐθνῶν ἀπόστολος ἦν (καὶ γὰρ καὶ ἐν ταῖς πράξεσί φησι πρὸς αὐτὸν ὁ Θεός, Πορεύου· ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε) τί κοινὸν Πραξ. κβ. κα. πρὸς Ἑβραίους εἶχε; τί δὲ αὐτοῖς ἐπέστελλεν; οὐ μὴν ἀλλὰ καὶ αὐτοὶ πρὸς αὐτὸν ἀπεχθῶς διέκειντο· καὶ τοῦτο πολλαχόθεν ἔστιν ἰδεῖν. ἄκουσον γὰρ τί φησιν ὁ Ἰάκωβος πρὸς αὐτόν· Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες κατήχηνται Πραξ. κα. κ. περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. καὶ πολλαὶ ζητήσεις αὐτῷ πολλάκις ἐγένοντο περὶ τούτου. τίνος οὖν ἕνεκεν ζητήσειεν ἄν τις, καὶ νομομαθὴς (παρὰ γὰρ τοὺς πόδας Γαμαλιὴλ τὸν νόμον ἐξεπαιδεύετο, καὶ πολὺς ἦν αὐτῷ ζῆλος τοῦ πράγματος) καὶ ταύτῃ μάλιστα δυνάμενος ἐντρέψαι, οὐχὶ πρὸς Ἰουδαίους ἔπεμπεν ὁ Θεός; ὅτι ταύτῃ μάλιστα πλέον ἂν αὐτῷ ἐξεπολεμώθησαν. τοῦτο τοίνυν προειδὼς ὁ Θεός, καὶ ὅτι οὐκ ἀνέξονται αὐτοῦ, Πορεύου εἰς τὰ ἔθνη, φησὶ πρὸς αὐτόν· Διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. Πραξ. κβ. ιη. εἶτα αὐτός φησι, Ναί, Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· Καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάττων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν. καὶ τοῦτο αὐτὸ δείκνυσι σημεῖον εἶναι [καὶ ἀπόθεσιν] τοῦ μὴ πιστεῦσαι αὐτῷ. εἰ γὰρ οὕτως εἶχε, ὅταν

...ρ. φαίνεται ...αὐτ. ὁ Θε-...ἐκλέγων, πορ-...χ. Ἑβραίους ...αὐτὸν ἔχων, ...ἐπιστέλλει αὐ-...τοῖς, ἀνθρώ-...πους σφόδρα ἀπεχθανομέ-...νους αὐτῷ; ὅτι ...δὲ πρὸς αὐτὸν ἀπεχθῶς διέ-...κειντο πολλα-...χόθεν ἔστι τοῦ-...το ἰδεῖν.

ὅταν * τις ἐξ ἔθνους ἀποπηδήσῃ τινός, ἂν μὲν τῶν ἐλαχίστων ᾖ καὶ οὐδενὸς ἀξίων λόγου, οὐ [* γρ.]
πολὺ δάκνει τοὺς ἀφ' ὧν ἀνεχώρησεν· ἂν δὲ τῶν θαυμαστῶν καὶ σφόδρα ζηλωτῶν, καὶ τὰ ἐκείνων
φρονούντων, μάλιστα αὐτοὺς ἀλγυνεῖ, καὶ μεθ' ὑπερβολῆς λυπεῖ, ἅτε μάλιστα αὐτῶν καθαι-
ροῦν τὸ δόγμα, τῷ προσελθεῖν ἄλλοις, ἐκεῖνον ἀποπηδήσαντα. καὶ ἄλλο δὲ τούτῳ προσῆν
τὴν ἀπιστίαν ἐργαζόμενον. ποῖον δὴ τοῦτο; ὅτι οἱ μὲν περὶ Πέτρον καὶ συνεγένοντο τῷ Χρι- [χ. δόγμα περὶ τοῖς πολλοῖς, καὶ]
στῷ, καὶ σημεῖα εἶδον καὶ θαύματα· οὗτος δὲ οὐδενὸς τούτων ἀπολελαυκώς, ἀλλὰ μετὰ Ἰουδαίων
ὢν ἐξαίφνης ηὐτομόλησε, καὶ γέγονεν εἷς ἐξ αὐτῶν· ὃ μάλιστα ἤρκει τὰ ὑμέτερα ἐπαίρειν. ἐκεῖ-
νοι μὲν γὰρ καὶ χάριτι ἐδόκουν μαρτυρεῖν· καὶ εἴποι ἄν τις * ὅτι τὸν διδάσκαλον ποθοῦντες ταῦτα [* εὐλόγως]
μαρτυροῦσιν. ὁ δὲ τῇ ἀναστάσει μαρτυρῶν, οὗτος μάλιστα ἦν, ὁ φωνῆς μόνης ἀκούσας. διὰ τοῦτο ὁ-
ρᾷς αὐτοὺς ἐκθύμως πολεμοῦντας αὐτῷ, καὶ πάντα ὑπὲρ τούτου πράττοντας καὶ στασιάζον-
τας, ὥστε ἀνελεῖν αὐτόν. ἀλλ' οἱ μὲν ἄπιστοι διὰ τοῦτο αὐτῷ ἀπεχθῶς εἶχον· οἱ δὲ πιστεύ- [χ. φροντίζει]
σαντες, τίνος ἕνεκεν; ὅτι ἠναγκάζετο τοῖς ἔθνεσι κηρύττων καθαρῶς κηρύττειν τὸν χριστιανισ-
μόν· καὶ εἴ που καὶ ἐν Ἰουδαίᾳ ἀπελήφθη, οὐκ ἐφρόντιζε. Πέτρος μὲν γὰρ καὶ οἱ περὶ αὐ- [χ. ὅθεν]
τόν, ἅτε ἐν Ἱεροσολύμοις κηρύττοντες, ἔνθα πολὺς ἦν ὁ ζῆλος, ἀνάγκην εἶχον τὸν νόμον [χ. ἀπελήφθη]
[κελεύειν] τηρεῖν. οὗτος δὲ ἐν ἐλευθερίᾳ πολλῇ ἦν· καὶ πλείους ἦσαν οἱ ἐξ ἐθνῶν, ἢ οἱ Ιου-
δαῖοι, ἅτε ἐκτὸς ὄντες. καὶ τούτῳ παρέλυε τὸν νόμον· καὶ οὐ τοσαύτην εἶχον περὶ αὐτὸν εὐ- [χ. οὕτω]
λάβειαν, ὅτι πάντα καθαρῶς ἐκήρυττεν. ἀμέλει * ἐν τούτῳ αὐτὸν δοκοῦσι καταιδεῖν τῷ [χ. εἶχε] [χ. καὶ]
πλήθει, λέγοντες, Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων. [* γρ.]
διὰ τοῦτο αὐτὸν ἐμίσουν καὶ ἀπεστρέφοντο, ὅτι κατηχήθησαν, φησί, περὶ σοῦ, ὅτι ἀποστασίαν
ἀπὸ τοῦ νόμου διδάσκεις. τίνος οὖν ἕνεκεν οὐκ ὢν τῶν Ἰουδαίων διδάσκαλος ἐπιστέλλει αὐ-
τοῖς; ποῦ δὲ οὖσιν ἐπέστελλεν; ἐμοὶ δοκεῖ, ἐν Ἱεροσολύμοις καὶ Παλαιστίνῃ. πῶς οὖν ἐπιστέλλει;
α. Κορ. α. ιζ. ὥσπερ καὶ βαπτίσαι οὐκ ἐπετράπη, καὶ ἐβάπτιζεν. Οὐ γὰρ ἀπέσταλκε, φησί, βαπτίζειν· οὐ
μὴν ἐκωλύθη, ἀλλ' ἐκ παρέργου τοῦτο ποιεῖ. πῶς δὲ οὐκ ἂν ἐπέστελλε τούτοις, ὑπὲρ ὧν καὶ
Ρωμ. θ. γ. ΕΒρ. ιγ κγ. ἀνάθεμα γενέσθαι ἤθελε; διὰ τοῦτο ἔλεγε, Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμέ-
νον· μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς. οὔπω γὰρ συνειλημμένος ἦν. δύο μὲν οὖν
ἔτη ἐποίησεν ἐν Ῥώμῃ δεδεμένος. εἶτα ἀφείθη· εἶτα εἰς τὰς Σπανίας ἦλθεν· εἶτα [χ. Σπανίαν ἐλθεῖν. εἶτα καὶ Ἰουδαίαν ἴσως καὶ τότε πάλιν ἦλθεν εἰς Ῥώμην.]
εἰς Ἰουδαίαν ἔβη, ὅτε καὶ Ἰουδαίους εἶδε. καὶ τότε πάλιν ἦλθεν εἰς Ῥώμην, ὅτε καὶ ὑπὸ Νέ-
ρωνος ἀνῃρέθη. ταύτης μὲν οὖν τῆς ἐπιστολῆς πρεσβυτέρα ἡ πρὸς Τιμόθεον. ἐκεῖ γάρ
β. Τιμ. δ. ς. καὶ ις. φησιν, Ἐγὼ γὰρ ἤδη σπένδομαι. καὶ ἐκεῖ πάλιν φησίν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς
μοι συμπαρεγένετο. πολλαχοῦ γὰρ ἤθλησε· καθὼς καὶ Θεσσαλονικεῦσιν ἐπιστέλλων λέγει, [χ. περιφέρω.]
α. Θεσ. β. ιδ ΕΒρ. ι. λδ. Μιμηταὶ ἐγένεσθε τῶν ἐκκλησιῶν τῆς Ἰουδαίας. καὶ αὐτοῖς δὲ τούτοις γράφων φησί, Μετὰ χα-
ρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν προσεδέξασθε. ὁρᾷς ἀθλοῦντας αὐτούς;
εἰ δὲ τοῖς ἀποστόλοις οὕτως ἐπέκειντο οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ καὶ ὅπου μεταξὺ ἐθνῶν [χ. ἐποίουν]
ἦσαν, τί οὐκ ἂν ἐποίησαν τοῖς πιστοῖς; διὰ τοῦτο αὐτῶν μάλιστα ὁρᾷς αὐτὸν φροντίζοντα. ὅ-
Ρωμ. ιε. κε. ταν γὰρ λέγῃ, Πορεύομαι διακονῶν τοῖς ἁγίοις τοῖς ἐν Ἱεροσολύμοις· καὶ πάλιν ὅταν Κο-
β. Κορ. η. γ. ρινθίους παρακαλῇ πρὸς τὴν εὐποιΐαν, καὶ Μακεδόνας λέγῃ εἰσενηνοχέναι, καί φησιν, Ἐ-
α. Κορ. ις. δ. ὰν ᾖ ἄξιον κἀμὲ πορεύεσθαι, τοῦτο λέγει. καὶ ὅταν λέγῃ, μόνον τῶν πτωχῶν ἵνα μνημονεύω-
Γαλατ. β. θ. καὶ ι. μεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι, τοῦτο λέγει. καὶ ὅταν λέγῃ, Δεξιὰς ἔδωκεν ἐμοὶ
καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, τοῦτο λέγει.
ταῦτα δὲ οὐχ ἁπλῶς φησι περὶ τῶν πτωχῶν τῶν ἐκεῖ, ἀλλ' ὥστε ἐν ἐκείνῳ κοινωνεῖν ἡ-
μᾶς τῆς εὐποιΐας. οὐ γὰρ ὥσπερ τὸ κήρυγμα ἑαυτοῖς ἀπενείμαμεν, καὶ ἡμεῖς μὲν εἰς
τὰ ἔθνη, ἐκεῖνοι δὲ εἰς τὴν περιτομήν, οὕτω καὶ τὴν πρόνοιαν τῶν πτωχῶν, φη-
σίν, ἐνειμάμεθα. καὶ πανταχοῦ ὁρᾷς αὐτῶν πολλὴν πρόνοιαν τὸν Παῦλον ποιούμενον.

[καὶ

καὶ εἰκότως.] ἐν μὲν γὰρ ταῖς ἄλλαις ἔθνεσιν, ἔνθα καὶ Ἰουδαῖοι ἦσαν καὶ Ἕλληνες,
οὐδὲν τοιοῦτον ἐγίνετο. ἐκεῖ δὲ ἐπειδὴ πῶς ἐδόκουν κρατεῖν καὶ αὐτονομεῖσθαι, καὶ πολλὰ
καὶ τοῖς ἰδίοις νόμοις διῴκουν, οὔπω τῆς ἀρχῆς κατάστασιν ἐχούσης, οὐδὲ πλεῖον τῶν Ῥω-
μαίοις κειμένης, εἰκότως πολλῇ τυραννίδι ἐκέχρηντο. εἰ γὰρ καὶ ἐν ἄλλαις πόλεσιν, ὥσπερ
ἐν Κορίνθῳ, ἔτυπτον τὸν ἀρχισυνάγωγον ἔμπροσθεν τοῦ βήματος τοῦ ἀνθυπάτου, καὶ οὐδὲν
τούτων τῷ Γαλλίωνι ἔμελεν· ἀλλ᾽ οὐκ ἐν τῇ Ἰουδαίᾳ. ὁρᾷς γοῦν ὅτι ἐν μὲν ταῖς ἄλλαις πό-
λεσι τοῖς ἄρχουσιν αὐτοὺς προσάγουσι, καὶ αὐτῶν δέονται εἰς βοήθειαν καὶ τῶν ἐθνῶν. ἐνταῦ- Πραξ. κα. ιζ.
θα δὲ οὐδεμίαν ἐποιοῦντο φροντίδα τούτου, ἀλλ᾽ αὐτοὶ συνέδριοι καθίζουσι, καὶ ἀναιροῦσιν οὓς
ἂν ἐθέλωσιν. οὕτω γοῦν τὸν Στέφανον ἀνεῖλον, οὕτω τοὺς ἀποστόλους ἐμάστιζον, οὐκ ἐπὶ
ἄρχοντας ἀγαγόντες· οὕτω καὶ τὸν Παῦλον ἔμελλον ἀναιρεῖν, εἰ μὴ ὁ χιλίαρχος ἐπέρριψεν
ἑαυτόν. ἔτι γὰρ τῶν ἱερέων ἑστώτων, ἔτι τοῦ ναοῦ, τῆς λατρείας, τῶν θυσιῶν, τοῦτο ἐγίνετο. ὅ-
ρα γοῦν αὐτὸν τὸν Παῦλον ἐπὶ τοῦ ἱερέως κρινόμενον, καὶ λέγοντα, Οὐκ ᾔδειν ὅτι ἀρχιερεύς Πραξ. κγ. ε.
ἐστι, καὶ ταῦτα ἐπὶ τοῦ ἄρχοντος. πολλὴν γὰρ εἶχον τότε ἐξουσίαν. ἐννόησον [οὖν] οἷα πά-
σχειν εἰκὸς ἦν τοὺς οἰκοῦντας τὰ Ἱεροσόλυμα καὶ τὴν Ἰουδαίαν. ὁ τοίνυν ἀνάθεμα ὑπὲρ
τῶν μήπω πιστευσάντων εὐχόμενος γενέσθαι, καὶ τοῖς πιστοῖς οὕτω διακονῶν, ὡς καὶ αὐτὸς προ-
θυμεῖσθαι, εἰ δέοι, καὶ πολλὴν πανταχοῦ πρόνοιαν αὐτῶν ποιησάμενος, τί θαυμαστὸν, εἰ καὶ
διὰ γραμμάτων αὐτοὺς παρακαλεῖ καὶ παραμυθεῖται, καὶ ἀναπίπτοντας αὐτοὺς καὶ κειμένους
ἀνορθοῖ; καὶ γὰρ τεταλαιπωρημένοι λοιπὸν ἦσαν, καὶ ἀπειρηκότες ταῖς πολλαῖς θλίψεσι. καὶ
τοῦτο πρὸς τῷ τέλει ἐμφαίνει λέγων, Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνα- Ἑβρ. ιβ. ιβ.
τα ἀνορθώσατε. καὶ πάλιν, Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. καὶ πάλιν, Εἰ Ἑβρ. ι. λζ.
ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. ἐπειδὴ γὰρ [καὶ] Ἰουδαῖοι ἦσαν, καὶ αὐτοὶ παρὰ Ἑβρ. ιβ. η.
τῶν πατέρων ἐμάνθανον, ὅτι καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ παρὰ πόδας ἔχειν προσδοκᾶν,
καὶ οὕτω βιῶναι, τότε δὲ τὸ ἐναντίον ἦν, τὰ μὲν ἀγαθὰ ἐν ἐλπίσι, καὶ μετὰ θάνατον, τὰ δὲ κακὰ
ἐν χερσί, καὶ πολλὰ καρτερησάντων αὐτῶν, εἰκὸς ἦν ὀλιγοψυχεῖν πολλοὺς, πολλὴν ὑπὲρ τού-
του ποιεῖται τὸν λόγον. ἀλλὰ ταῦτα μὲν ἐν καιρῷ τῷ προσήκοντι ἐπιλυσόμεθα· πῶς δὲ ὅτι ἀ-
ναγκαίως αὐτοῖς ἔγραφεν, ὧν τοσαύτην ἐποιεῖτο πρόνοιαν. καὶ γὰρ ἡ αἰτία, δι᾽ ἣν οὐκ ἀπεστά-
λη πρὸς αὐτοὺς, δήλη ἦν. οὐ τοίνυν ἐκωλύετο γράφειν. ὅτι δὲ ὀλιγοψυχοῦν, δείκνυσιν,
εἰπὼν, Τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς Ἑβρ. ιβ. ιβ.
ποιήσατε. καὶ πάλιν, Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τῆς ἀγάπης. ἡ Ἑβρ. ς. ι.
ψυχὴ γὰρ * ὑπὸ πειρασμῶν πολλῶν καταληφθεῖσα, πολλάκις καὶ τῆς πίστεως ἐκπέπτωκε.
διὸ παραινεῖ προσέχειν τοῖς ἀκουσθεῖσι, καὶ μὴ εἶναι καρδίαν πονηρὰν ἀπιστίας. διὰ τοῦτο καὶ Ἑβρ. γ. ιβ.
ἐν ταύτῃ μάλιστα τῇ ἐπιστολῇ πολλὰ περὶ πίστεως διαλέγεται, καὶ παραδείγματα πολλὰ
ἐν τῷ τέλει δείκνυσιν· ὅτι κἀκείνοις παρὰ πόδας τὰ ἀγαθὰ ἐπηγγέλλετο, καὶ οὐδὲν ἔδωκε. καὶ
χωρὶς τούτων, ἵνα μὴ ἐγκαταλελεῖφθαι νομίσωμεν, δύο ταῦτα κατασκευάζει· ἓν μὲν πρὸς
τὸ φέρειν πάντα γενναίως τὰ συμπίπτοντα, ἕτερον δὲ πρὸς τὸ πάντως προσδοκᾶν τὴν ἀ-
μοιβήν. οὐ γὰρ δὴ περιόψεται τοὺς περὶ Ἄβελ καὶ τοὺς καθεξῆς δικαίους, ἀπειράστους. καὶ ποιεῖ-
ται τὴν παράκλησιν ἀπὸ τριῶν τρόπων. ἑνὸς μὲν, ἐξ ὧν ἔπαθεν ὁ Χριστὸς καθὼς καὶ αὐτὸς
λέγει, Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· ἑτέρου δὲ, ἐξ ὧν ἀπόκειται τοῖς πιστεύουσιν Ιωαν. ιγ. ιε.
ἀγαθῶν· καὶ τρίτου, ἐκ τῶν κακῶν. καὶ τοῦτο οὐκ ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται
μόνον, ὅπερ ἧττον ἦν πιθανὸν, ἀλλὰ καὶ ἀπὸ τῶν προελθόντων, καὶ γενομένων εἰς τοὺς
πατέρας αὐτῶν. τοῦτο καὶ ὁ Χριστὸς ποιεῖ, λέγων ποτὲ μὲν, Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου
αὐτοῦ· καὶ πάλιν, Πολλαὶ μοναί εἰσι παρὰ τῷ πατρί· καὶ μυρία ταλανίζει τοὺς μὴ πεπι- Ιωαν. ιδ. β.
στευκότας. ποιεῖται δὲ πολὺν λόγον καὶ περὶ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης. καὶ γὰρ πρὸς

τὴν

τὴν τῆς ἀναστάσεως πίστιν σφόδρα αὐτοῖς τοῦτο ἐχρησίμευεν. ἵνα γὰρ μὴ δὲ ὧν ἔπαθε διαπιστῶσιν ἐπ' αὐτῷ, ἀπὸ προφητῶν αὐτὸ ἰσχυροποιεῖ. καὶ δείκνυσιν οὐκ ὄντα σωματικὰ τὰ Ἰουδαϊκά, ἀλλὰ τὰ ἡμέτερα. καὶ ἐπειδὴ ἔτι ὁ ναὸς εἱστήκει, καὶ τὰ τῶν θυσιῶν, διὰ τοῦτο ἔλεγε, Τοίνυν ἐξερχώμεθα ἔξω, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. ἐκώλυε δὲ αὐτοὺς καὶ τοῦτο. εἰκὸς γὰρ ἦν εἰπεῖν τινας, ὅτι εἰ ταῦτα σκιά, εἰ ταῦτα εἰκών, πῶς οὐ παρεχώρησεν, οὐδὲ προεξέστη τῆς ἀληθείας φανείσης, ἀλλ' ἔτι ποσότε αὐθεῖς καὶ τοῦτο δὲ ἠρέμα ἠνίξατο ἐσόμενον καὶ αὐτό, εἰς καιρὸν τὸν προσήκοντα. ὅτι δὲ πολλῷ χρόνῳ εἶχον ἐν τῇ πίστει καὶ ταῖς θλίψεσιν ἐδήλωσε λέγων, Ὀφείλοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον· καί, Μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας· καί, Μιμηταὶ δὲ γένησθε τῶν διὰ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

Ἑβρ. ιγ. ιγ. — Ἑβρ. ε. ιβ. — Ἑβρ. γ. ιβ. — Ἑβρ. ϛ. ιβ.

γρ. ἦν — γρ. εἶχον ταῦτα, καὶ ἐν ταῖς — γρ. ἐγένου

ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

ἑρμηνεία.

Λογ. α. 1 ΠΟΛΥΜΕΡΩΣ ΚΑΙ ΠΟΛΥΤΡΟΠΩΣ ΠΑ- κεφ. α.
λαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμε-
ρῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. 2 Ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ
καὶ τοὺς αἰῶνας ἐποίησεν.

Ὄντως ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. (Ρωμ. ε. 2.) Τοῦτο γοῦν καὶ ἐνταῦθα ἐν τῷ προοιμίῳ αἰνίττεται ὁ μακάριος Παῦλος πρὸς Ἑβραίους ἐπιστέλλων. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς τεταλαιπωρημένους καὶ τετρυχωμένους ὑπὸ τῶν κακῶν, καὶ ἀπὸ τούτων τὰ πράγματα κρίνοντας, λογίζεσθαι ἑαυτοὺς ἐλάττους πάντων τῶν ἄλλων, δείκνυσιν ὅτι μᾶλλον μείζονος ἀπολελαύκασι χάριτος, καὶ σφόδρα ὑπερεχούσης, ἀπ' αὐτῆς τοῦ λόγου τῆς εἰσβολῆς διεγείρων τὸν ἀκροατήν. Διὰ τοῦτό φησι, πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. Διὰ τί μὴ ἀντέθηκεν ἑαυτὸν τοῖς προφήταις; καίτοιγε πολλῷ μείζων ἦν ἐκείνων, ὅσῳ καὶ μείζονα ἐπεπίστευτο. ἀλλ' οὐ ποιεῖ τοῦτο. τί δήποτε; πρῶτον μὲν τὸ περὶ ἑαυτοῦ μεγάλα λέγειν παραιτούμενος· δεύτερον δὲ, διὰ τὸ τοὺς ἀκροατὰς μηδέπω εἶναι τελείους· καὶ τρίτον, ἐπᾶραι μᾶλλον αὐτοὺς βουλόμενος, καὶ δεῖξαι πολλὴν οὖσαν τὴν ὑπεροχήν. ὡς ἂν εἰ ἔλεγε, τί μέγα ὅτι προφήτας ἔπεμψε πρὸς τοὺς πατέρας ἡμῶν; ἔπεμψε πρὸς ἡμᾶς αὐτὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. καὶ καλῶς ἤρξατο οὕτως εἰπὼν, πολυμερῶς καὶ πολυτρόπως. δείκνυσι γὰρ ὅτι οὐδὲ αὐτοὶ οἱ προφῆται τὸν Θεὸν εἶδον· ὁ μέντοι υἱὸς εἶδε. τὸ γὰρ, πολυμερῶς καὶ πολυτρόπως, τουτέστι, διαφόρως. Ἐγὼ γὰρ, φησιν, ὁράσεις ἐπλήθυνα· καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. (Ωσ. ιβ. ια.) ὥστε οὐ κατὰ τοῦτο μόνον ἡ ὑπεροχὴ, ὅτι ἐκείνοις μὲν προφῆται ἀπεστάλησαν, ἡμῖν δὲ ὁ υἱός· ἀλλ' ὅτι ἐκείνων μὲν οὐδεὶς εἶδε τὸν Θεὸν, ὁ δὲ υἱὸς ὁ μονογενὴς εἶδε. καὶ εὐθέως μὲν αὐτὸ οὐ τίθησι· διὰ δὲ τῶν ἑξῆς αὐτὸ κατασκευάζει, ὅταν περὶ τῆς ἀνθρωπότητος λέγῃ, Πρὸς τίνα γὰρ τῶν ἀγγέλων εἴρηκεν, υἱός μου εἶ σύ; καὶ, κάθου ἐκ δεξιῶν μου; καὶ ὅρα πῶς σπεύδει αὐτοῦ τὴν πολλὴν πρὸς τοὺς ἀπὸ προφητῶν δεῖξαι τὴν ὑπεροχήν.

Εἰπὼν

εἶπεν ὡς ὁμολογουμένου ἐκ τοῦ παρασκευάσαι, ἀποφαίνεται) λοιπὸν, ὅτι ἐκείνοις μὲν διὰ τῶν προφητῶν ἐλάλησεν, ἡμῖν δὲ διὰ τοῦ μονογενοῦς. Εἰ δὲ καὶ δι' ἀγγέλων ἐκείνοις (ἔστι γὰρ καὶ ἄγγελοι ὡμίλησαν Ἰουδαίοις) ἀλλὰ καὶ τούτῳ τὸ πλέον ἡμεῖς ἔχομεν, καὶ τοσοῦτον, ὅσον ἡμῖν μὲν δεσπότης, ἐκείνοις δὲ δοῦλοι. καὶ ἄγγελοι γὰρ καὶ προφῆται ὁμόδουλοι. * Καὶ καλῶς εἶπεν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν. καὶ τοῦτο γὰρ αὐτοὺς διανίστησι, καὶ παραθαρρύνει ἀπηυδηκότας λοιπόν. ὥσπερ γὰρ ἀλλαχοῦ λέγει, ὅτι Ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε, καὶ πάλιν, Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν, οὕτω καὶ ἐνταῦθα. τί οὖν ἐστιν ὃ λέγει; ὅτι πᾶς ὁ ἐν τῷ ἀγῶνι καταπονηθεὶς, ἐπειδὰν ἀκούσῃ τοῦ ἀγῶνος τὸ τέλος, ἀναπνεῖ λοιπὸν, εἰδὼς ὅτι τῶν πόνων μέν ἐστι τὸ τέλος, τῆς δὲ ἀναπαύσεως ἀρχή. ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. ἰδοὺ πάλιν τὸ, ἐν υἱῷ, διὰ τοῦ υἱοῦ φησι, πρὸς τοὺς λέγοντας τῷ πνεύματι τοῦτο ἁρμόζειν. ὁρᾷς ὅτι καὶ τὸ, ἐν, διά ἐστι; καὶ τὸ, πάλαι, καὶ τὸ, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, πάλιν ἕτερόν τι αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι πολλοῦ χρόνου διαγενομένου μέσου, ὅτε ἐμέλλομεν κολάζεσθαι, ὅτε ἐκλελοίπει τὰ χαρίσματα, ὅτε προσδοκία σωτηρίας οὐκ ἦν, ὅτε πανταχόθεν προσεδοκῶμεν ἔλαττον ἔχειν, τότε πλέον ἐσχήκαμεν. καὶ θέα πῶς συνετῶς αὐτὸ εἴρηκεν. οὐ γὰρ εἶπεν, ὁ Χριστὸς ἐλάλησε (καίτοιγε αὐτὸς ἦν ὁ λαλήσας) ἀλλ' ἐπειδὴ ἀσθενεῖς αὐτῶν ἦσαν αἱ ψυχαὶ, καὶ οὐδέπω ἀκούειν ἠδύναντο [τὰ] περὶ τοῦ Χριστοῦ, ἐλάλησεν ἡμῖν ἐν υἱῷ, φησί. τί λέγεις; ὁ Θεὸς διὰ τοῦ υἱοῦ ἐλάλησε; ναί. ποῦ οὖν ἡ ὑπεροχή; ἐνταῦθα μὲν γὰρ ἔδειξας, ὅτι καὶ ἡ καινὴ καὶ ἡ παλαιὰ ἑνός ἐστι καὶ τοῦ αὐτοῦ· οὐ πολλὴν δὲ ταύτην ὑπεροχὴν οὖσαν. διὰ τοῦτο λοιπὸν τούτῳ ἐπεξέρχεται τῷ λόγῳ, λέγων, ἐλάλησεν ἡμῖν ἐν υἱῷ. [ὅρα πῶς αὐτὸ κοινοποιεῖ, καὶ ἐξισοῖ τοῖς μαθηταῖς ἑαυτὸν ὁ Παῦλος, λέγων, ἐλάλησεν ἡμῖν.] καίτοιγε αὐτῷ οὐκ ἐλάλησεν, ἀλλὰ τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πολλοῖς. ἀλλ' ἐπαίρει αὐτοὺς, καὶ δείκνυσιν, ὅτι καὶ αὐτοῖς ἐλάλησεν, ἅμα δὲ καὶ καθάπτεταί πως τῶν Ἰουδαίων. σχεδὸν γὰρ ἅπαντες, οἷς ἐλάλησαν οἱ προφῆται, μοχθηροί τινες ἦσαν καὶ μιαροί. καὶ οὔπω περὶ τούτων ποιεῖται τὸν λόγον· τέως δὲ περὶ τῶν ὑπερηρμένων [περὶ] τοῦ Θεοῦ δωρεῶν. διὰ τοῦτο καὶ ἐπάγει, ὃν ἔθηκε κληρονόμον ἁπάντων. * ἐνταῦθα τὴν σάρκα φησί· καθὼς καὶ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ λέγει, Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. οὐκέτι γὰρ μερὶς Κυρίου Ἰακὼβ, οὐδὲ κλῆρος αὐτοῦ ὁ Ἰσραὴλ, ἀλλὰ πάντες. τί ἐστιν, ὃν ἔθηκε κληρονόμον; τουτέστι, τοῦτον κύριον ἁπάντων ἐποίησεν. ὃ καὶ ἐν ταῖς πράξεσιν ὁ Πέτρος ἔφη, Καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε. τῷ δὲ τοῦ κληρονόμου ὀνόματι κέχρηται, δύο δηλῶν, καὶ τὸ τῆς υἱότητος γνήσιον, καὶ τὸ τῆς κυριότητος ἀναπόσπαστον. κληρονόμον πάντων· τουτέστι, τοῦ κόσμου παντός. Εἶτα πάλιν ἐπὶ τὸ πρότερον ἐπανάγει τὸν λόγον· Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. Ποῦ εἰσιν οἱ λέγοντες, ἦν ὅτε οὐκ ἦν; Εἶτα ἀναβαθμοῖς χρώμενος, τὸ πολλῷ τούτων μεῖζον ὕστερον φθέγγεται λέγων,

3 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Βαβαὶ τῆς συνέσεως τῆς ἀποστολικῆς· μᾶλλον δὲ οὐ τὴν τοῦ Παύλου σύνεσιν, ἀλλὰ τὴν τοῦ πνεύματός ἐστι θαυμάσαι χάριν ἐνταῦθα. οὐ γὰρ δὴ ἐξ οἰκείας διανοίας ταῦτα ἐφθέγξατο, οὐδὲ τοσαύτην σοφίαν ἐξ ἑαυτοῦ εὗρεν. ἀπὸ τῆς σμίλης γὰρ καὶ τῶν δερμάτων, ἢ τοῦ ἐργαστηρίου, σοφία πόθεν; ἀλλὰ θείας ἐνεργείας ἦν τὸ οὕτως εἰπεῖν. οὐ γὰρ αὐτοῦ ταῦτα τὰ νοήματα ἔτικτεν ἡ διάνοια, τότε μὲν οὕτω ταπεινὴ καὶ εὐτελὴς οὖσα, ὡς τῶν ἀγοραίων μηδὲν ἔχειν πλέον (πῶς γὰρ ἡ περὶ συμβόλαια καὶ δέρματα καταμαλαχθεῖσα;) ἀλλ' ἡ τοῦ πνεύματος χάρις ἡ δι' ὧν ἂν ἐθέλῃ, τὴν ἰσχὺν αὐτῆς ἐπιδείκνυσι. καθάπερ γὰρ

Φιλιπ. δ. ε.

Ρωμ. ιγ. ια.

Ψαλ. β. η.

Πραξ. β. λς.

εἰς ὑψηλὸν τόπον ἵνα, καὶ πρὸς αὐτὴν τοῦ οὐρανοῦ φθάνοντα τὴν κορυφήν, εἶθ' ὡς παιδίον μικρὸν ἀναγαγεῖν βούλοιτο, ἠρέμα καὶ κατὰ μικρὸν τοῦτο ποιεῖ, διὰ τῶν κάτωθεν βαθμῶν αὐτὸ ἀνάγων· εἶτα ἐπειδὰν ἄνω στήσῃ, καὶ κελεύσῃ κάτω προσσχεῖν, καὶ ἴδῃ ἰλιγγιῶν καὶ θορυβούμενον καὶ σκοτοδινιῶν, λαβόμενος αὐτοῦ κατάγει πάλιν ἐπὶ τὸ ταπεινότερον, παρέχων ἀναπνεῦσαι, εἶτα ὅταν ἀνακτήσηται αὐτό, πάλιν ἀνάγει, καὶ πάλιν κατάγει· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος ἐποίησε καὶ ἐπὶ τῶν Ἑβραίων καὶ πολλαχοῦ, παρὰ τοῦ διδασκάλου τοῦτο μαθών. καὶ γὰρ καὶ αὐτὸς οὕτως ἐποίησε, ποτὲ μὲν ἀνάγων εἰς ὕψος, ποτὲ δὲ κατάγων τοὺς ἀκροατάς, καὶ οὐκ ἀφεὶς ἐπὶ πολὺ τὸ αὐτὸ ἐγχρονίζειν. ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα, δι' ὅσων αὐτοὺς ἀναγαγὼν ἀναβαθμῶν, καὶ πρὸς αὐτὴν στήσας τὴν κορυφὴν τῆς θεολογίας, πρὶν ἰλιγγιᾶσαι καὶ σκοτοδινιάσαι αὐτούς, πῶς κατάγει πάλιν αὐτοὺς κατωτέρω, καὶ δίδωσιν ἀναπνεῦσαι, φησίν, ἐλάλησεν ἡμῖν ἐν υἱῷ· καὶ πάλιν, ὃν ἔθηκε κληρονόμον πάντων. τὸ γὰρ τοῦ υἱοῦ ὄνομα, τέως κοινόν. ἔνθα μὲν γὰρ ἂν γνήσιος ὑπονοῆται, πάντων ἐστὶν ἀνώτερος· τέως δὲ ὅπως ἂν ᾖ, κατασκευάζει λοιπὸν καὶ δείκνυσιν, ὅτι αὐθεντὴς ἐστιν. ὅρα δὲ καὶ πῶς πρόσεισιν ἐπὶ τὸν ταπεινότερον βαθμὸν ἵστησι λέγων, ὃν ἔθηκε κληρονόμον πάντων. τὸ γὰρ, κληρονόμον ἔθηκε, ταπεινόν. εἶτα ἐπὶ τὸν ἀνώτερον, ἐπαγαγών, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· εἶτα ἐπὶ τὸν ὑψηλότερον, καὶ μεθ' ὃν οὐκ ἔστιν ἕτερος· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. οὕτως εἰς ἀπρόσιτον φῶς ἤγαγεν, εἰς αὐτὸ τὸ ἀπαύγασμα. καὶ πρὶν ἢ σκοτοδινιᾶσαι, ὅρα πῶς πάλιν ἠρέμα κατάγει λέγων, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης. οὐχ ἁπλῶς εἶπεν, ἐκάθισεν, ἀλλὰ, μετὰ τὸν καθαρισμόν, ἐκάθισεν. ἐπελάβετο γὰρ τῆς σαρκώσεως καὶ πάλιν ταπεινὰ φθέγγεται). εἶτα πάλιν φθεγξάμενος τι ὑψηλόν (ἐν δεξιᾷ γάρ, φησι, τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς) πάλιν φθέγγεται τὸ ταπεινὸν διὰ τῆς ἐπαγωγῆς τῆς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. ἐνταῦθα γὰρ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας διαλέγεται). τὸ γάρ, κρείττων γενόμενος, οὐκ οὐσίας δηλωτικόν ἐστι τῆς κατὰ πατέρα (ἐκείνη γὰρ οὐκ ἐγένετο, ἀλλὰ γεγένηται)) ἀλλὰ τῆς κατὰ σάρκα. αὕτη γὰρ ἐγένετο. ἀλλ' οὐ περὶ οὐσιώσεως νῦν ὁ λόγος αὐτῷ. ἀλλ' ὥσπερ Ἰωάννης λέγων, Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, τοῦτο δηλοῖ, ὅτι ἐντιμότερος καὶ λαμπρότερος· οὕτω καὶ ἐνταῦθα Παῦλος εἰπών, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅτι βελτίων ἐδήλωσε, καὶ εὐδοκιμώτερος. ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. ὁρᾷς ὅτι περὶ τῆς κατὰ σάρκα ὁ λόγος ἦν; τοῦτο γὰρ τὸ ὄνομα, ὁ Θεὸς λόγος, ἀεὶ εἶχεν. οὐχ ὕστερον ἐκληρονόμησεν, οὐδὲ τότε τῶν ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο· ἀλλ' ἀεὶ κρείττων ἦν, καὶ κρείττων ἀσυγκρίτως. περὶ δὲ τῆς κατὰ σάρκα τοῦτο εἴρηται). οὕτω γοῦν καὶ ἡμῖν ἔθος περὶ ἀνθρώπου διαλεγομένοις, καὶ ὑψηλὰ καὶ ταπεινὰ φθέγγεσθαι. ὅταν μὲν γὰρ λέγωμεν, οὐδὲν ἄνθρωπος, γῆ ἄνθρωπος, σποδὸς ἄνθρωπος, ἀπὸ τοῦ χείρονος τὸ πᾶν καλοῦμεν· ὅταν δὲ λέγωμεν, ἀθάνατον ζῷον ὁ ἄνθρωπος, καὶ λογικὸς ὁ ἄνθρωπος, καὶ ὅτι τῶν ἄνω συγγενής, ἀπὸ τοῦ κρείττονος τὸ πᾶν πάλιν καλοῦμεν· οὕτω καὶ περὶ τοῦ Χριστοῦ, ποτὲ μὲν ἀπὸ τοῦ ἐλάττονος, ποτὲ δὲ ἀπὸ τοῦ κρείττονος διαλέγεται ὁ Παῦλος, καὶ τὴν οἰκονομίαν συστῆσαι βουλόμενος, καὶ περὶ τῆς ἀκηράτου διδάξαι φύσεως. — Ιωαν. α. κζ.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν καθαρισμὸν ἐποίησε τῶν ἁμαρτιῶν ἡμῶν, μένωμεν καθαροί, καὶ μηδεμίαν δεχώμεθα κηλῖδα, ἀλλὰ τὸ κάλλος, ὅπερ ἡμῖν ἐνέθηκε, καὶ τὴν εὐπρέπειαν διαφυλάττειν οὕτω σπουδάζωμεν, ἀμώμους καὶ καθαρούς, ὥστε μηδένα σπίλον ἔχειν, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. σπίλος γάρ ἐστι καὶ ῥυτὶς, καὶ τὰ μικρὰ τῶν ἁμαρτημάτων· οἷόν τι λέγω, λοιδορία, ὕβρεις, ψεῦδος. μᾶλλον δὲ οὐδὲ ταῦτα μικρά, ἀλλὰ καὶ σφόδρα μεγάλα, καὶ οὕτω μεγάλα, ὡς καὶ τῆς

Ματθ. ε. κβ. βασιλείας ἀποστερεῖ τῶν οὐρανῶν. πῶς καὶ τίνι τρόπῳ; Ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὲ, ἔνοχός ἐστι, φησὶν, εἰς τὴν γέενναν τοῦ πυρός. εἰ δὲ ὁ μωρὲ καλῶν, ὃ δοκεῖ πάντων εἶναι κουφότερον, καὶ παίδων * ὁμιλία· ὁ κακοήθη καλῶν, καὶ κακοῦργον, καὶ βάσκανον, καὶ μυρίοις
Ματθ. κε μ. μϛ. ἑτέροις βάλλων ὀνείδεσι, τίνα οὐχ ὑποστήσεται κολάσεως δίκην; τί * φρικωδέστερον τούτου; ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, τοῦ λόγου. εἰ γὰρ ὁ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ ποιεῖ, καὶ ὁ μὴ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ οὐ ποιεῖ· πῶς οὐχὶ καὶ ἐπὶ τῆς εὐφημίας, καὶ ἐπὶ τῆς κατηγορίας ταὐτόν ἐστιν; ὁ ὑβρίζων γὰρ τὸν ἀδελφὸν αὐτοῦ τὸν Θεὸν ὑβρίζει· καὶ ὁ τιμῶν τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν τιμᾷ. παιδεύωμεν οὖν τὴν γλῶτταν εὔφημον εἶναι. Παῦσον γὰρ, φησὶ, τὴν γλῶσσάν σου ἀπὸ κακοῦ. οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ
Ψαλ. λγ. ιδ. Θεὸς, ἵνα κατηγορῶμεν, ἵνα ὑβρίζωμεν, ἵνα ἀλλήλους διαβάλλωμεν· ἀλλ' ἵνα τὸν Θεὸν ὑμνῶμεν, ἵνα ταῦτα λαλῶμεν ἃ δίδωσι χάριν τοῖς ἀκούουσι, τὰ πρὸς οἰκοδομὴν, τὰ πρὸς ὠφέλειαν. εἶπες τὸν δεῖνα κακῶς; τί κερδαίνεις, καὶ σαυτὸν μετ' ἐκείνου βλάβῃ περιβάλλων; δόξαν γὰρ ἔλαβες κατηγόρου. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν κακὸν, ὃ μέχρι τοῦ πάσχοντος ἵσταται, ἀλλὰ καὶ τὸν ποιοῦντα περιλαμβάνει. οἷον, ὁ βάσκανος δοκεῖ μὲν ἐπιβουλεύειν ἑτέρῳ, πρότερος δὲ αὐτὸς ἀπολαύει τῆς ἀδικίας, τηκόμενος καὶ φθειρόμενος, καὶ παρὰ πάντων μισούμενος. ὁ πλεονέκτης ἀποστερεῖ χρήματα ἑτέρων· ἀλλὰ καὶ τοῦ φιλεῖσθαι, ἑαυτόν· μᾶλλον δὲ παρὰ πάντων ποιεῖ κατηγορεῖσθαι. πολλῷ δὲ κρείττων ἀγαθὴ δόξα χρημάτων. τὴν μὲν γὰρ οὐ ῥᾴδιον ἀποτρίψασθαι· τὰ δὲ ῥᾴδιον ἀποκτήσασθαι. μᾶλλον δὲ, τὰ μὲν οὐ παρόντα, οὐδὲν τοὺς οὐκ ἔχοντας ἔβλαψεν· ἡ δὲ μὴ παροῦσα ἐπονειδίστους ποιεῖ καὶ καταγελάστους, καὶ πᾶσιν ἐχθρὸν καὶ πολέμιον. ὁ ὀργίλος πάλιν πρότερον ἑαυτὸν τιμωρεῖται [illegible], καὶ τότε ἐκεῖνον ᾧ ὀργίζεται. οὕτως ὁ κατήγορος πρότερον ἑαυτὸν αἰσχύνει, καὶ τότε τὸν κατηγορούμενον. ἢ οὐδὲ τοῦτο ἴσως δέδοικεν, ἀλλ' ἀπῆλθεν οὗτος μὲν μιαροῦ τινος καὶ καταφλυάρου δόξαν λαβὼν, ἐκεῖνον δὲ μᾶλλον φιλεῖσθαι παρασκευάζων. ὅταν γὰρ ἀκούσῃ κακῶς, μὴ τοῖς αὐτοῖς αὐτὸν ἀμύνηται, ἀλλ' ἐπαινῇ καὶ θαυμάζῃ· οὐκ ἐκεῖνον ἐπαινέσεται, ἀλλ' ἑαυτόν. ὥσπερ γὰρ (ὅπερ ἔφθην εἰπὼν) αἱ κατὰ τῶν πλησίον κατηγορίαι τῶν ἐπιβουλευόντων ἅπτονται πρότερον· οὕτω καὶ τὰ εἰς τὸν πλησίον ἀγαθὰ τοὺς ἐργαζομένους εὐφραίνει πρῶτον. ὁ γὰρ τίκτων καὶ τὸ καλὸν καὶ τὸ κακὸν, εἰκότως πρῶτος αὐτὸς ἀπολαύει. καὶ καθάπερ ὕδωρ πηγαῖον τό τε ἁλμυρὸν, τό τε πότιμον, καὶ τὰ τῶν προσαγόντων ἀγγεῖα πληροῖ, καὶ τὴν πηγὴν οὐκ ἐλαττοῖ τὴν ἐκφέρουσαν· οὕτω δὴ καὶ κακία καὶ ἀρετὴ, ὅθεν ἂν ἐξίῃ, ἐκείνην καὶ εὐφραίνει καὶ ἀπόλλυσι*. καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ τίς διηγήσεται λόγος, ἢ τὰ ἀγαθὰ, ἢ τὰ κακά; οὐκ ἔστιν οὐδείς. τὰ χρηστὰ μὲν γὰρ καὶ πάντα νοῦν ὑπερβαίνει, οὐχὶ λόγον μόνον· τὰ ἐναντία δὲ εἴρηται μὲν τοῖς ὀνόμασι τοῖς συντρόφοις ἡμῖν. πῦρ γὰρ, φησὶν, ἐστὶν ἐκεῖ, καὶ σκότος καὶ δεσμὰ καὶ σκώληξ ἀτελεύτητος. οὐ ταῦτα δὲ μόνον παρίστησιν, ἅπερ εἴρηται, ἀλλ' ἕτερα χαλεπώτερα. καὶ ἵνα μάθῃς, εὐθέως τοῦτο σκόπησον πρότερον. εἰπὲ γὰρ, εἰ πῦρ ἐστι, πῶς καὶ σκότος ἐστίν; ὁρᾷς ὅτι χαλεπώτερον τούτου τὸ πῦρ ἐκεῖνο; οὐ γὰρ ἔχει φῶς. εἰ πῦρ ἐστι, πῶς ἀεὶ κατακαίει; ὁρᾷς ὅτι χαλεπώτερον τούτου τυγχάνει; οὐ γὰρ σβέννυται. διὰ γὰρ τοῦτο ἄσβεστον λέγεται. ἐννοήσωμεν τοίνυν ὅσον ἐστὶ κακὸν κατακαίεσθαι διαπαντὸς, καὶ ἐν σκότῳ εἶναι, καὶ μυρία οἰμώζειν, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μηδὲ ἀκούεσθαι. εἰ γὰρ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν εὐγενῶς τεθραμμένων, τὴν δυσωδίαν μόνον, καὶ τὸ ἐν σκότῳ κεῖσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι παντὸς θανάτου χαλεπώτερον εἶναί φησιν· ἐννόησον τί ἐστιν, ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων κατακαιώμεθα, μήτε ὁρῶντες, μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. τὸ γὰρ σκότος [καὶ] τὸ ἀλαμπὲς οὐκ ἀφίησιν οὐδὲ τὸν πλησίον ἡμᾶς διαγινώσκειν· ἀλλ' ὡς μόνος τοῦτο πάσχων ἕκαστος, οὕτω διακείσεται. εἰ δὲ σκότος θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ· τί ἐστ' ἂν ἆρα, ὅταν μετὰ τοῦ

[Margin notes: * μᾶλλον; * γὰρ; γρ. ἀλλ' οὐχὶ; γρ. ἐπαινοῦσι; γρ. αὖ ἢ; * αὐτὴν; γρ. τοῦ πυρὸς; γρ. τίνος ἰώμεθα]

σκότους καὶ ὀδύναι τοσαῦται ὥστε καὶ ἐμπρησμοί; διὸ δέομαι ταῦτα διαπαντὸς στρέφειν παρ' ἑαυτοῖς, καὶ τῆς ἀπὸ τῶν ῥημάτων λύπης ἀνέχεσθαι, ἵνα μὴ τὴν διὰ τῶν πραγμάτων ὑπομείνωμεν τιμωρίαν. πάντως γὰρ ταῦτα πάντα ἔσται, καὶ τῶν ἀξίᾳ παρέξει τὰς τῶν ἐκεῖ κολαστηρίων οὐδεὶς ἐξαιρήσεται, οὐ πατήρ, οὐ μήτηρ, οὐκ ἀδελφός, κἂν πολλὴν παρρησίαν ἔχῃ, κἂν μεγάλα ἰσχύῃ πρὸς τὸν Θεόν. Ἀδελφὸς γὰρ οὐ λυτροῦται, φησί· λυτρώσεται ἄνθρωπος; Ψαλ. μη. η. αὐτὸς γάρ ἐστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ἀπὸ τούτων καὶ σωθῆναι ἔνι, καὶ κολασθῆναι. Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. Λουκ. ιϛ. θ. οὐκοῦν ὑπακούσωμεν (δεσποτικὴ γάρ ἐστιν ἐντολή) καὶ τὰ περιττὰ τοῦ πλούτου εἰς τοὺς δεομένους σκορπίσωμεν. ἐργασώμεθα ἐλεημοσύνην, ἕως ἐσμὲν κύριοι. τοῦτο γάρ ἐστι τὸ, φίλους ποιεῖν ἐκ τοῦ μαμωνᾶ. κενώσωμεν τὰ χρήματα εἰς τοὺς πένητας, ἵνα κενώσωμεν ἐκεῖνο τὸ πῦρ, ἵνα σβέσωμεν αὐτό, ἵνα ἔχωμεν παρρησίαν ἐκεῖ. καὶ γὰρ ἐκεῖ οὐχ οὗτοί εἰσιν οἱ δεχόμενοι ἡμᾶς, ἀλλὰ τὸ ἔργον τὸ ἡμέτερον. ὅτι γὰρ οὐχ ἁπλῶς τὸ φίλους ἡμῖν τούτους εἶναι σῶσαι δύναται, ἔνι τοῦτο μαθεῖν ἀπὸ τῆς προσθήκης. διατί γὰρ οὐκ εἶπε, ποιήσατε ὑμῖν φίλους, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς, ἀλλὰ προσέθηκε καὶ τὸν τρόπον; εἰπὼν γάρ, ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἔδειξεν ὅτι ἀπὸ τῶν χρημάτων προσήκει ποιῆσαι τούτους φίλους, δηλῶν ὅτι οὐχ ἁπλῶς προστήσεται ἡμῶν φιλία, ἐὰν μὴ ἔργα ἔχωμεν ἀγαθά, ἐὰν μὴ τὸν ἀδίκως συλλεγέντα πλοῦτον δικαίως κενώσωμεν. οὐ τοίνυν ὁ λόγος ἡμῖν ὁ τῆς ἐλεημοσύνης οὐ πρὸς τοὺς πλουσίους μόνον ἁρμόσει, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. κἂν ᾖ τις ἐκ τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος οὗτος. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ, ὡς δύο λεπτῶν μὴ εὐπορεῖν. ἔνεστι τοίνυν καὶ ἐξ ὀλίγων ὀλίγα δόντα, τοὺς πολλὰ κεκτημένους ὑπερβαίνειν, πλείονα διδόντας· καθάπερ κἀκείνη ἡ χήρα. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόντων κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος. ὥστε πανταχοῦ προαιρέσεως ἡμῖν δεῖ, πανταχοῦ τῆς πρὸς τὸν Θεὸν ἀγάπης. ἐὰν μετὰ ταύτης ἅπαντα πράττωμεν, κἂν μικρὰ ἔχοντες μικρὰ δῶμεν, οὐκ ἀποστρέψει ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ἀλλὰ δέξεται ὡς μεγάλα καὶ θαυμαστά. τῇ γὰρ προαιρέσει, οὐ τοῖς διδομένοις προσέχει. κἂν ἐκείνην ἴδῃ μεγάλην οὖσαν, ταύτῃ τίθεται τὰς ψήφους καὶ κρίσεις, καὶ τῶν αἰωνίων ἀγαθῶν ποιεῖ μετόχους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 3 ΟΣ ΩΝ ΑΠΑΥΓΑΣΜΑ ΤΗΣ ΔΟΞΗΣ, ΚΑΙ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.

Πανταχοῦ μὲν εὐλαβοῦς διανοίας δεῖ, μάλιστα δὲ ὅταν περὶ Θεοῦ λέγωμέν τι καὶ ἀκούωμεν. οὔτε γὰρ γλῶσσα εἰπεῖν, οὔτε οὖς ἀκοῦσαι πρὸς ἀξίαν τοῦ Θεοῦ τι δύναται. καὶ τί λέγω γλῶτταν καὶ οὖς; οὐδὲ γὰρ ὁ νοῦς ὁ πολὺ τούτων ὑπερέχων, δυνήσεταί τι περιλαβεῖν ἀκριβῶς, ὅταν περὶ Θεοῦ τι φθέγγεσθαι βουλώμεθα. εἰ γὰρ ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· πολλῷ μᾶλλον αὐτὸς ὁ τῆς εἰρήνης Θεός, ὁ τῶν ἁπάντων δημιουργός, ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. δεῖ τοίνυν μετὰ πίστεως καὶ εὐλαβείας ἅπαντα δέχεσθαι· καὶ ὅταν ὁ λόγος ἐξασθενήσῃ, καὶ μὴ δύνηται παραστῆσαι τὰ λεγόμενα μετὰ ἀκριβείας, τότε μάλιστα δοξάζειν τὸν Θεόν, ὅτι Θεὸν τοιοῦτον ἔχομεν, καὶ τὴν διάνοιαν ἡμῶν καὶ τὸν λόγον ὑπερβαίνοντα. πολλὰ γὰρ ὧν περὶ Θεοῦ

νοοῦμεν, οὐ φράσαι δυνάμεθα· ἢ πολλὰ μὲν φράζομεν, νοῆσαι δὲ οὐκ ἰσχύομεν. οἷον τι λέγω· ὅτι πανταχοῦ μὲν ὁ Θεὸς, ἴσμεν· πῶς δὲ, οὐκέτι νοοῦμεν. ὅτι ἐστί τις ἀσώματος δύναμις, πάντων αἰτία τῶν ἀγαθῶν, ἴσμεν· πῶς δέ ἐστιν, ἢ τίς ἐστιν, οὐκ ἴσμεν. ἰδοὺ φράζομεν, καὶ οὐ νοοῦμεν. εἶπον ὅτι πανταχοῦ ἐστιν, ἀλλ' οὐ νοῶ. [εἶπον ὅτι ἄναρχός ἐστιν, ἀλλ' οὐ νοῶ.] εἶπον ὅτι ἐγέννησεν ἐξ ἑαυτοῦ, καὶ οὐκ οἶδα πῶς πάλιν νοήσω. ἔστι δέ τινα, ἃ μηδὲ φράσαι ἔνι. οἷον τι λέγω· νοεῖ ἡ διάνοια, ἀλλ' εἰπεῖν οὐ δύναται. καὶ ἵνα εἰδῇς καὶ Παῦλον ἀσθενοῦντα, καὶ μὴ πρὸς ἀκρίβειαν τὰ ὑποδείγματα λέγοντα, καὶ φρίξῃς, καὶ μηδὲν περαιτέρω ζητήσῃς, ἄκουε. εἰπὼν γὰρ υἱὸν, καὶ θεὶς δημιουργὸν, τί ἐπάγει; ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τοῦτο * μετ' εὐλαβείας ἐκλαμβάνειν δεῖ, καὶ τὰ ἄτοπα περικόπτειν. ἀπαύγασμα τῆς δόξης, φησίν. ἀλλ' ὅρα πρὸς τί αὐτὸ ἐκλαμβάνει, καὶ οὕτω καὶ αὐτὸς δέχου· ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος, οὐδὲ ἐλαττωθέντος· ἐπειδὴ εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγματος ἐκλαμβάνοντες. τὸ γὰρ ἀπαύγασμα, φασὶν, ἐνυπόστατον οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. μὴ τοῦτο τοίνυν ἐκλάβῃς, ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς τὴν νόσον. ἐγγύθεν γάρ σε θεραπεύει, ὥστε μὴ εἰς ἐκείνην ἐμπεσεῖν σε τὴν διάνοιαν, οὐδὲ ἀφίησί σε εἰς τὸ ὀλέθριον ἐκεῖνο νόσημα κατενεχθῆναι. τί δέ φησι; καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. δηλῶν διὰ τῆς ἐπαγωγῆς, ὅτι ὥσπερ ἐστὶν ὁ πατὴρ ἐνυπόστατος, καὶ πρὸς ὑπόστασιν οὐδενὸς δεόμενος· οὕτω καὶ ὁ υἱός. ἐνταῦθα γὰρ τὸ ἀπαράλλακτον δεικνὺς τοῦτό φησι, καὶ πρὸς τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου παραπέμπων σε, καὶ διδάσκων ὡς ἐν ὑποστάσει ἐστὶ καθ' ἑαυτόν. εἰπὼν δὲ ἀνωτέρω, ὅτι δι' αὐτοῦ ἐποίησεν ὁ Θεὸς τὰ πάντα, ἐνταῦθα δίδωσιν αὐτῷ τὴν αὐθεντίαν. τί γὰρ ἐπάγει; φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· ἵνα ἐκ τούτου μὴ μόνον τὸν χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ τὸ μετὰ αὐθεντίας ἅπαντα κυβερνᾶν. ὅρα τοίνυν πῶς, ὅπερ ἐστὶν ἴδιον τοῦ πατρὸς, τοῦτο περιάπτει τῷ υἱῷ. διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, φέρων τε τὰ πάντα, οὐδὲ εἶπε, τῇ δυνάμει αὐτοῦ, ἀλλὰ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὥσπερ γὰρ πρώην [ἡμῖν] ἀνῄει κατὰ μικρὸν καὶ κατῄει· οὕτω καὶ νῦν, καθάπερ ἀπό τινων βαθμῶν, ἀναβαίνει εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καί φησι, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. ὅρα πῶς καὶ ἐνταῦθα δύο τέμνει ὁδούς. βουλόμενος γὰρ ἡμᾶς ἀπαγαγεῖν τῆς Σαβελλίου καὶ Ἀρείου καινοτομίας, τοῦ μὲν τὸ περιττὸν τῆς ὑποστάσεως ἀναιροῦντος, τοῦ δὲ τὴν μίαν φύσιν εἰς ἀνισότητα κατατέμνοντος, ἐκ περιουσίας ἀμφότερα καθαιρεῖ. πῶς οὖν τοῦτο ποιεῖ; ἄνω καὶ κάτω τὰ αὐτὰ στρέφει καὶ φθέγγεται, ὥστε μὴ νομισθῆναι αὐτὸν ἄναρχον, μηδὲ ἀλλότριον τοῦ Θεοῦ. καὶ μὴ ξενισθῇς τῶν λόγων, ἀγαπητέ. εἰ γὰρ καὶ μετὰ τοσαύτην ἀπόδειξιν εἰσί τινες τὸν ἀλλότριον αὐτὸν εἶναι φήσαντες, καὶ ἕτερον αὐτῷ δόντες πατέρα, καὶ τούτῳ πολεμεῖν αὐτὸν λέγοντες· εἰ μὴ ταῦτα εἶπε, τί οὐκ ἂν ἐφθέγξαντο; ὅταν οὖν θεραπεύειν ἀναγκάζηται, τότε ἀναγκάζεται καὶ τὰ ταπεινὰ φθέγγεσθαι· οἷον ὅτι ἔθηκε, φησὶν, αὐτὸν κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν. εἶτα ἵνα μὴ ἑτέρως λυμήνηται, ἀπὸ τῶν λόγων τῆς ταπεινότητος εἰς αὐθεντίαν πάλιν αὐτὸν ἀνάγει, καὶ δείκνυσιν ὁμότιμον ὄντα τῷ πατρὶ, καὶ οὕτως ὁμότιμον, ὡς πολλοὺς νομίσαι τὸν αὐτὸν εἶναι πατέρα. καὶ θέα τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν· πρότερον ἐκεῖνο τίθησι, καὶ ἀσφαλίζεται αὐτὸ μετὰ ἀκριβείας. καὶ ὅταν τοῦτο δειχθῇ, ὅτι τοῦ Θεοῦ ἐστιν υἱὸς, καὶ ὅτι οὐκ ἀλλότριος αὐτοῦ, μετὰ ἀδείας λοιπὸν ἅπαντα, ὅσα βούλεται, φθέγγεται τὰ ὑψηλά. ἐπειδὴ γὰρ τὸ μέγα τι περὶ αὐτοῦ εἰπεῖν εἰς ἐκείνην τὴν ἔννοιαν πολλοὺς ἤγαγε, πρότερον θεὶς τὰ ταπεινὰ, μετὰ ἀσφαλείας τότε εἰς ὕψος ἀνέρχεται ὅσον βούλεται. καὶ εἰπὼν, ὃν ἔθηκε κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησε, τότε ἐπάγει, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁ γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν δεηθείη τι-

νὸς

* ἢ

χ. ἐν ὑπερῴῳ

χ. ἀπὸ ἀναβαθμῶν

χ. πῶς οὖν τί ποιεῖ; τοῦ διορθοῦν

χ. ἀσφαλεία

υἱὸς εἰς τὸ παραγαγεῖν τὰ πάντα. καὶ ὅτι πολὺ οὐκ ἔστιν, ὅρα πῶς πάλιν περιιὼν δίδωσιν αὐτῷ τὴν αὐθεντίαν, τὸ, δι᾽ οὗ, ὑφελών. ἐπειδὴ γὰρ εἰργάσατο δι᾽ αὐτοῦ οὐκ ἤθελε, λοιπὸν ἀπαρτίσας ἀπ᾽ αὐτοῦ, τί φησι; Κατ᾽ ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. οὐδαμοῦ τὸ, δι᾽ οὗ, οὐδὲ ὅτι ἐποίησε δι᾽ αὐτοῦ τοὺς αἰῶνας. τί οὖν; οὐχ ὑπ᾽ Ἑβρ. α. ι.
αὐτοῦ γεγένηνται; ναί. ἀλλ᾽ οὐχ ὡς σὺ λέγεις, οὐδὲ ὡς ὑποδεέστερος, ὡς δι᾽ ὀργάνου· οὐδὲ ὡς οὐκ ἂν ποιήσαντος, εἰ μὴ χεῖρα αὐτῷ ὤρεξεν ὁ πατήρ. ὥσπερ γὰρ οὐδένα κρίνει ἐκεῖνος, καὶ λέγεται κρίνειν διὰ τοῦ υἱοῦ, ὅτι κριτὴν αὐτὸν ἐγέννησεν· οὕτω καὶ δημιουργεῖν δι᾽ αὐτοῦ, ὅτι δημιουργὸν αὐτὸν ἐγέννησεν. εἰ γὰρ αὐτοῦ αἴτιος ὁ πατὴρ, πολλῷ μᾶλλον τῶν δι᾽ αὐτοῦ γεγενημένων. ὅταν μὲν οὖν βούληται δεῖξαι ὅτι ἐξ αὐτοῦ, ἀναγκαίως τὰ ταπεινὰ φθέγγεται. ὅταν δὲ βούληται ὑψηλὰ φθέγξασθαι, λαβέτω Μάρκελλος λαμβανέτω, καὶ Σαβέλλιος. ἀλλ᾽ ἀμφοτέρων τὴν ἀμετρίαν φυγὼν, μέσην ὁδεύει ὁδόν. οὔτε γὰρ ἐπὶ τῆς ταπεινότητος ἐμμένει, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς λάβῃ χώραν, οὔτε αἰεὶ τοῖς ὑψηλοῖς ἐναπομένει. καὶ δείκνυσιν αὐτοῦ πάλιν τὴν ἐγγύτητα τὴν πολλὴν, ἵνα μὴ Σαβέλλιος ἐπιπηδήσῃ. εἶπεν υἱὸν, καὶ εὐθέως ἐφέστηκε Παῦλος ὁ Σαμοσατεὺς, λέγων αὐτὸν εἶναι υἱὸν ὡς τοὺς πολλούς. ἀλλ᾽ ἔδωκεν αὐτῷ καιρίαν πληγὴν, εἰπὼν κληρονόμον. ἀλλ᾽ ἔτι ἀναισχυντεῖ μετὰ Ἀρείου. τὸ γὰρ, ἔθηκεν αὐτὸν κληρονόμον, ἀμφότεροι κατέχουσιν· ἐκεῖνος μὲν ἀσθενείας λέγων εἶναι, οὗτος δὲ ἐπισκοτεῖν ἐπιχειρῶν καὶ τοῖς ἑξῆς. εἰπὼν δὲ Παῦλος, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, [illegible] ὑπτίους ἀναισχυντοῦντα τὸν Σαμοσατέα. ὁ δὲ Ἄρειος ἔτι ἰσχυρὸς εἶναι δοκεῖ. ἀλλ᾽ ὅρα καὶ τοῦτον πῶς καταβάλλει πάλιν εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης αὐτοῦ. ἀλλ᾽ ἰδοὺ πάλιν ἐπιπηδᾷ Σαβέλλιος, καὶ Μάρκελλος, καὶ Φωτεινός. ἀλλὰ κἀκείνοις πᾶσι μίαν πληγὴν δίδωσιν, εἰπὼν, [καὶ χαρακτὴρ τῆς] ὑποστάσεως αὐτοῦ, [φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ]. ἐνταῦθα πάλιν καὶ Μαρκίωνα πλήττει· οὐ σφόδρα μὲν ἰσχυρῶς, πλήττει δὲ ὅμως. δι᾽ ὅλης γὰρ τῆς ἐπιστολῆς πρὸς αὐτοὺς μάχεται. ἀλλ᾽ ὅπερ ἔφην, ἀπαύγασμα τῆς δόξης εἴρηκε τὸν υἱόν. καὶ ὅτι καλῶς, ἄκουε τοῦ Χριστοῦ λέγοντος περὶ αὐτοῦ, Ἐγώ εἰ- Ἰωάν. η. ιβ.
μι τὸ φῶς τοῦ κόσμου. διὰ τοῦτο δὲ ἀπαύγασμα εἶπεν αὐτὸς, ἵνα δείξῃ ὅτι κἀκεῖ οὕτως εἴρηται· δηλοῖ δὲ, ὡς φῶς ἐκ φωτός. οὐ τοῦτο δὲ μόνον δείκνυται, ἀλλ᾽ ὅτι καὶ ἐφώτισε τὰς ἡμετέρας ψυχάς. διὰ δὲ τοῦ ἀπαυγάσματος τὸ ἴσον ἐσήμανε τῆς οὐσίας, καὶ τὴν πρὸς τὸν πατέρα ἐγγύτητα. ἐννόησον* τὴν λεπτότητα τῶν εἰρημένων· οὐσίαν μίαν ἔλαβε καὶ ὑπόστασιν εἰς δύο ὑποστάσεων παράστασιν. ὃ καὶ ἐπὶ τῆς γνώσεως τοῦ πνεύματος ποιεῖ. ὥσπερ γὰρ μίαν εἶναι φησὶ τὴν γνῶσιν τὴν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, ὡς ὄντως μίαν, καὶ οὐδὲν πρὸς ἑαυτὴν διεστηκυῖαν· οὕτω καὶ ἐνταῦθα ἑνός τινος ἐπελάβετο ῥήματος εἰς τὴν τῶν δύο ὑποστάσεων δήλωσιν. εἶτα ἐπήγαγεν ὅτι καὶ χαρακτήρ. ὁ γὰρ χαρακτὴρ, ἄλλος τίς ἐστι παρὰ τὸ πρωτότυπον· ἄλλος δὲ οὐ πάντῃ, ἀλλὰ κατὰ τὸ ἐνυπόστατον εἶναι. ἐπεὶ καὶ ἐνταῦθα ὁ χαρακτὴρ τὸ ἀπαράλλακτον δηλοῖ οὗ ἐστι χαρακτὴρ, τὸ ὅμοιον κατὰ πάντα. ὅταν οὖν καὶ μορφὴν αὐτὸν καλῇ, καὶ χαρακτῆρα, τί ἐροῦσιν; ἀλλὰ καὶ εἰκὼν ὁ ἄνθρωπος, φησί. τί οὖν; οὕτως Γεν. α. κϛ.
ὡς ὁ υἱός; οὔ, φησίν, ἀλλ᾽ ὅτι εἰκὼν οὐ δείκνυσι τὸ ὅμοιον. καίτοιγε καθ᾽ ὃ εἴρηται ὁ ἄνθρωπος εἰκὼν, δείκνυσι τὸ ὅμοιον ὡς ἐν ἀνθρώπῳ. ὅπερ γάρ ἐστιν ὁ Θεὸς ἐν τῷ οὐρανῷ, τοῦτο ὁ ἄνθρωπος ἐπὶ τῆς γῆς, κατὰ τὴν ἀρχὴν λέγω. καὶ ὥσπερ τῶν ἐπὶ γῆς πάντων οὗτος κρατεῖ, οὕτω καὶ ὁ Θεὸς πάντων κρατεῖ τῶν ἐν [τῷ] οὐρανῷ καὶ [τῶν] ἐπὶ [τῆς] γῆς. ἄλλως δὲ, ὁ ἄνθρωπος οὐκ εἴρηται χαρακτήρ, οὐκ εἴρηται ἀπαύγασμα, οὐκ εἴρηται μορφή· ὅπερ τὴν οὐσίαν ἐμφαίνει, ἢ καὶ ὁμοιότητα τὴν κατ᾽ οὐσίαν. ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου οὐδὲν ἄλλο ἐμφαίνει ἢ ἄνθρωπον ἀπαράλλακτον· οὕτως ἡ μορφὴ τοῦ Θεοῦ οὐδὲν ἄλλο ἐμ- Φιλιπ. β. ζ.
φαίνει, ἢ Θεόν. ὃς ὢν ἀπαύγασμα, φησὶ, τῆς δόξης. ὅρα τὸν Παῦλον τί ποιεῖ. εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, ἐπήγαγε πάλιν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ὀνόμασιν οἵοις

κέκληται, οὐδαμοῦ τῆς οὐσίας αὐτῆς ὄνομα εὑρών. οὔτε γὰρ ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα τὸ ὄνομα "παρίστησιν, ὃ βούλεται εἰπεῖν, ἀλλ' οὐκ ἔχει ὄνομα εὑρεῖν. τοῦτο [γάρ] ἐστιν ὃ ἔλεγον ἐξ ἀρχῆς, ὅτι πολλάκις τινὰ νοοῦμεν, καὶ οὐ δυνάμεθα φράζειν· ἐπεὶ οὐδὲ τὸ, Θεὸς, ὄνομα οὐσίας ἐστὶν, οὐδὲ ἔστιν ὅλως τῆς οὐσίας ἐκείνης ὄνομα εὑρεῖν. καὶ τί θαυμαστὸν εἰ ἐπὶ Θεοῦ, ὅπου γε οὐδὲ ἐπὶ ἀγγέλου εὕροι τις ἂν ὄνομα τῆς οὐσίας δηλωτικόν; τάχα δὲ οὐδὲ ἐπὶ ψυχῆς. οὐ γάρ μοι δοκεῖ τοῦτο τὸ ὄνομα παραστατικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψύχειν. καὶ τὴν [Ψαλ. ν. ιβ.] γὰρ αὐτὴν, καὶ ψυχὴν, καὶ καρδίαν, καὶ νοῦν καλουμένην ἴδοι τις ἄν. Καρδίαν γάρ, φησι, καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πνεῦμα [πολλαχοῦ] ἴδοι τις ἂν λεγομένην αὐτήν. Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁρᾷς τί φησι; [Γεν. α. γ.] πῶς οὖν, εἰπέ μοι, λέγεις, αἱρετικὲ, διὰ τὸ λέγεσθαι παρὰ τῇ γραφῇ, Εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, ὅτι ὁ πατὴρ ἐπέταξεν, ὁ δὲ υἱὸς ἐπήκουσεν; [ἀλλ'] ἰδοὺ καὶ ἐνταῦθα ῥήματι αὐτὸς ποιεῖ. Φέρων τε γάρ, φησι, τὰ πάντα· τουτέστι, κυβερνῶν, τὰ διαπίπτοντα συγκρατῶν. τοῦ γὰρ ποιῆσαι τὸν κόσμον οὐχ ἧττόν ἐστι τὸ συγκρατεῖν· ἀλλ' (εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν) καὶ μεῖζον. τὸ μὲν γάρ, ἐξ οὐκ ὄντων ἐστί τι παραγαγεῖν· τὸ δὲ, τὰ γενόμενα εἰς τὸ μὴ εἶναι μέλλοντα ἀναχωρεῖν, συνέχειν τε καὶ συνάπτειν πρὸς ἄλληλα διαστασιάζοντα. τοῦτο ἐστὶ τὸ μέγα καὶ θαυμαστὸν, καὶ πολλῆς δυνάμεως τεκμήριον. εἶτα καὶ τὸ εὔκολον δηλῶν, εἶπε, φέρων (οὐκ εἶπε, κυβερνῶν) ἀπὸ μεταφορᾶς τῶν [ἁπλῶς] τῷ δακτύλῳ τι κινούντων, καὶ ποιούντων "περιφέρεσθαι. ἐνταῦθα καὶ τὸν ὄγκον τῆς κτίσεως ἔδειξε μέγαν ὄντα, καὶ τὸ μέγα οὐδὲν αὐτῷ ὄν. εἶτα πάλιν τὸ ἀπόνητι δείκνυσιν, εἰπὼν, τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. καλῶς εἶπε, τῷ ῥήματι. ἐπειδὴ γὰρ τὸ ῥῆμα παρ' ἡμῖν ψιλὸν εἶναι δοκεῖ, δείκνυσιν ὅτι οὐκ ἔστι ψιλὸν ἐπὶ Θεοῦ. ἀλλ' ὅτι μὲν τῷ ῥήματι φέρει, εἶπε· τὸ δὲ πῶς [τῷ ῥήματι φέρει], οὐκέτι προσέθηκεν. οὐδὲ γὰρ δυνατὸν εἰδέναι. εἶτα ἐπήγαγε περὶ τῆς μεγαλειότητος αὐτοῦ. οὕτω γὰρ καὶ ὁ Ἰωάννης πεποίηκεν. εἰπὼν γὰρ ὅτι Θεός ἐστιν, ἐπήγαγε τῆς κτίσεως τὴν δη- [Ιωαν. α. α.] μιουργίαν. ὅπερ γὰρ ἐκεῖνος ἠνίξατο εἰπὼν, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ πάντα δι' αὐτοῦ ἐγένετο, τοῦτο καὶ οὗτος διὰ τοῦ ῥήματος, καὶ τοῦ εἰπεῖν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἐνέφηνε. καὶ γὰρ καὶ δημιουργὸν, καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. τί οὖν*, ὅταν περὶ τοῦ πατρὸς [Ψαλ. πθ. β.] μὲν λέγῃ ὁ προφήτης, Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· περὶ δὲ τοῦ υἱοῦ, ὅτι πρὸ πάντων ἐστὶ τῶν αἰώνων, καὶ τῶν ἁπάντων δημιουργὸς, τί ἂν εἴποιεν; μᾶλλον δὲ "ὅπερ περὶ τοῦ πατρὸς ἐλέγετο, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, τοῦτο καὶ περὶ τοῦ υἱοῦ ἴδοι τις ἂν εἰρημένον; καὶ ὥσπερ ἐκεῖνός φησι, ζωὴ ἦν, τὸ συγκροτητικὸν τῆς κτίσεως δηλῶν, ὅτι πάντων αὐτός ἐστιν ἡ ζωή· οὕτω καὶ οὗτός φησι, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· οὐ καθάπερ Ἕλληνες, καὶ τῆς δημιουργίας αὐτῆς, τό γε εἰς αὐτοὺς ἧκον, ἀποστεροῦντες αὐτὸν, καὶ τῆς προνοίας μέχρι σελήνης συγκλείοντες αὐτοῦ τὴν δύναμιν. δι' ἑαυτοῦ γάρ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν. εἰπὼν περὶ τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων, τῶν "ἀνωτάτω, λέγει λοιπὸν καὶ περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ κηδεμονίας. μάλιστα μὲν γὰρ καὶ ἐκεῖνο καθολικὸν ἦν, τὸ, φέρων τε τὰ πάντα· πλὴν ἀλλὰ τοῦτο πολλῷ μεῖζον. καὶ τοῦτο δὲ καθολικόν. τὸ γὰρ αὐτοῦ μέρος "πάντας ἔσωσεν. ἐπεὶ καὶ ὁ Ἰωάννης εἰπὼν, ζωὴ ἦν, καὶ τὴν πρόνοιαν αὐτοῦ δηλώσας, πάλιν "λέγει, ὅτι καὶ φῶς, τὸ αὐτὸ τοῦτο δηλῶν. δι' ἑαυτοῦ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. δύο τίθησιν ἐνταῦθα τῆς κηδεμονίας αὐτοῦ τεκμήρια μέγιστα· τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, καὶ τὸ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι. καὶ πολλαχοῦ ὁρᾷς αὐτὸν ἐπὶ τούτῳ σεμνυνόμενον, οὐ μόνον ἐπὶ τῇ καταλλαγῇ τῇ πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ υἱοῦ τοῦτο γεγενῆσθαι. καὶ γὰρ "οὕτω τὸ μέγα δῶρον μεῖζον γέγονεν, [τῷ] διὰ τοῦ υἱοῦ. εἰπὼν, ἐκάθισεν ἐν δεξιᾷ, καὶ, καθαρισμὸν δι' ἑαυτοῦ ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως

τὸν

τῷ περὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως λόγῳ ἐπήγαγε. καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν ἄφατον. οὐκ εἶπεν, ἐκελεύσθη καθίσαι· ἀλλ', ἐκάθισεν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς αὐτὸν ἑστάναι, ἐπάγει, Τίνι γὰρ τῶν ἀγγέλων εἴρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου;

Ἐκάθισε, φησὶν, ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. τί ἐστιν, ἐν ὑψηλοῖς; εἰς τόπον περικλείει τὸν Θεόν; ἄπαγε· οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, οὕτως εἴρηκεν. ἀλλ' ὥσπερ εἰπὼν, ἐν δεξιᾷ, οὐκ ἐσχημάτισεν αὐτὸν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν πατέρα· οὕτως εἰπὼν, ἐν ὑψηλοῖς, οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ ἁπάντων ἔδειξεν ὑψηλότερον, καὶ πάντα ὑπερβεβηκότα. ὡσανεὶ ἔλεγεν, εἰς αὐτὸν ἔφθασε τὸν θρόνον τὸν πατρικόν. ὥσπερ οὖν ὁ πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός. ἡ γὰρ συνεδρία οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμότιμον. εἰ δὲ λέγουσιν, ὅτι εἶπε, κάθου, ἐρώμεθα αὐτοὺς, τί οὖν; ἑστῶτι εἶπεν; ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι. ἄλλως δὲ οὐκ εἶπεν, ὅτι ἐκέλευσεν, ἢ προσέταξεν, ἀλλ' ὅτι εἶπε [κάθου]· καὶ τοῦτο δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρχον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. ὅτι γὰρ διὰ τοῦτο οὕτως εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας. εἰ γὰρ ἐλάττωσιν ἤθελε δηλῶσαι, οὐκ ἂν εἶπεν, ἐκ δεξιῶν, ἀλλ' ἐξ ἀριστερῶν.

4 Τοσούτῳ κρείττων γενόμενος, φησὶν, ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τὸ, γενόμενος, ἐνταῦθα ἀντὶ τοῦ, ἀποδειχθεὶς, ὡς ἂν εἴποι τις, ἐστίν. εἶτα καὶ διϊσχυρίζεται. πόθεν; ἀπὸ τοῦ ὀνόματος. ὁρᾷς ὅτι οἶδε τὸ, υἱὸς, ὄνομα τὴν γνησιότητα δηλοῦν; καὶ μὴν εἰ μὴ γνήσιος ἦν, οὐκ ἂν τοῦτο εἶπε. πῶς; ὅτι δι' οὐδὲν ἕτερον γνήσιός ἐστιν, ἀλλ' ἢ τὸ ἐξ αὐτοῦ εἶναι. ἀπὸ τούτου τὴν κοινωνίαν γνωρίζεται. εἰ δὲ χωρίς ἐστιν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν ἀγγέλων. πῶς; ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοί· καὶ τὸ, υἱὸς, ὄνομα, ἂν μὴ γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον. καὶ δηλῶν ὅτι διαφορά τίς ἐστι κτισμάτων καὶ δημιουργοῦ, ἄκουσον τί φησι·

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; Ταῦτα εἴρηται μὲν καὶ εἰς τὴν σάρκα. τὸ γὰρ, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱὸν, τῆς ἐνανθρωπήσεώς ἐστι παραστατικόν· τὸ δὲ, υἱός μου εἶ σὺ, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ αὐτοῦ ἐστιν. ὥσπερ δὲ, ὤν, λέγεται ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ (ἐκεῖνο γὰρ μάλιστα ἁρμόζει αὐτῷ) οὕτω καὶ τὸ, σήμερον, * ἐνταῦθά μοι δοκεῖ εἰς τὴν σάρκα εἰρῆσθαι. ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται. καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ οὖν καὶ ἡ θεότης τῶν ταπεινῶν. ὁ Θεὸς γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας, καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;

Ταῦτ' οὖν εἰδότες, μηδὲν ἐπαισχυνώμεθα, μὴ μέγα φρονῶμεν. εἰ γὰρ αὐτὸς Θεὸς ὢν, καὶ δεσπότης, καὶ Θεοῦ υἱὸς, οὐ παρῃτήσατο μορφὴν δούλου λαβεῖν· πολλῷ μᾶλλον ἡμᾶς ἅπαντα δεῖ ποιεῖν, κἂν ταπεινὰ ᾖ. πόθεν γὰρ, εἰπέ μοι, ἄνθρωπε, μέγα φρονεῖς; ἀπὸ τῶν βιωτικῶν; ἀλλὰ ταῦτα πρὶν ἢ φανῆναι παρατρέχει. ἀλλ' ἀπὸ τῶν πνευματικῶν; ἀλλ' ἓν καὶ τοῦτό ἐστι κατόρθωμα πνευματικὸν, τὸ μὴ μέγα φρονεῖν. διὰ τί τοίνυν μέγα φρονεῖς; ὅτι κατορθοῖς; ἄκουσον τοῦ Χριστοῦ λέγοντος, Ὅταν ποιήσητε πάντα, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. ἀλλὰ διὰ τὸν πλοῦτον μέγα φρονεῖς; διὰ τί, εἰπέ μοι; οὐκ ἤκουσας ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν βίον, γυμνοὶ καὶ ἀπελευσόμεθα; μᾶλλον δὲ, οὐχ ὁρᾷς τοὺς πρὸ σοῦ ἐρήμους καὶ γυμνοὺς ἀπελθόντας; τί τὰ ἀλλότρια ἔχων μέγα φρονεῖς; οἱ γὰρ βουλόμενοι αὐτοῖς χρῆσθαι εἰς οἰκείαν μόνην ἀπόλαυσιν, ἀφαιροῦνται αὐτὰ καὶ ἄκοντες, καὶ πρὸ μὲν τῆς τελευτῆς πολλάκις, ἐν δὲ τῇ τελευτῇ πάντως. ἀλλ' ἡμεῖς ζῶντες αὐτοῖς, φησὶν, ὡς βουλόμεθα, χρώμεθα. μάλιστα μὲν οὐδένα ἂν τις ἴδοι ταχέως, ὡς βούλεται, τοῖς οὖσι χρώμενον. Εἰ δέ τις καὶ χρῷτο ὡς βούλεται, οὐδὲ τοῦτο μέγα.

ΗΘΙΚΟΝ

Λυκ. ιζ. ι.

γα. βραχὺς γὰρ ὁ παρὼν καιρὸς πρὸς τοὺς αἰῶνας τοὺς ἀτελευτήτους. μέγα φρονεῖς, ἄνθρωπε, ὅτι πλουτεῖς; τίνος ἕνεκεν; τοῦτο γὰρ καὶ λῃσταῖς παραγίνεται, καὶ κλέπταις, καὶ ἀνδροφόνοις, καὶ μαλακοῖς, καὶ πόρνοις, καὶ πᾶσι τοῖς πονηροῖς. διὰ τί οὖν μέγα φρονεῖς; εἰ μὲν γὰρ εἰς δέον αὐτῷ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ λυμήνῃ τὴν ἐντολήν· εἰ δὲ οὐκ εἰς δέον, ταύτῃ μάλιστα συστέλλεσθαι δεῖ, ὅτι δοῦλος γέγονας τῶν χρημάτων καὶ κτημάτων, καὶ κρατῇ ὑπ' αὐτῶν. εἰπὲ γάρ μοι, εἴ τις πυρέττων ὕδωρ ἐκπίοι πολύ, ὃ πρὸς βραχὺ μὲν σβεννύον τὴν δίψαν, ὕστερον δὲ ἀνάπτει τὴν φλόγα, μέγα ὀφείλει φρονεῖν; τί δὲ εἴ τις πλείονα φροντίζει εἰκῇ, διὰ τοῦτο ὀφείλει μέγα φρονεῖν; διὰ τί, εἰπέ μοι; ἐπειδὴ πολλοὺς ἔχεις δεσπότας; ἐπειδὴ μυρίας μερίμνας; ἐπειδὴ κολακεύουσί σε πολλοί; ἀλλὰ τοῦτο δουλεύειν ἐστί. καὶ ἵνα μάθῃς ὅτι δουλεύεις αὐτοῖς, ἄκουε [σαφῶς]. τὰ ἄλλα τῶν παθῶν τῶν ἐν ἡμῖν, ἐστὶν ὅπου χρήσιμά ἐστιν. οἷον ἡ ὀργὴ πολλαχοῦ χρησίμη. Σειρ. α. κβ. Θυμὸς γάρ, φησιν, ἄδικος οὐκ ἀθωωθήσεται· ὥστε ἐστὶ καὶ δικαίως θυμωθῆναι. Ματθ. ε. κβ. καὶ πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ γεέννῃ. πάλιν ὁ ζῆλος καλόν, καὶ ἡ ἐπιθυμία· ἡ μέν, ὅταν εἰς παιδοποιίαν γίνηται, ὁ δέ, ὅταν πρὸς τὰ καλὰ τὴν μίμησιν ἔχῃ. ὥσπερ καὶ Παῦλος λέγει, Γαλατ. δ. ιη. Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε· καὶ πάλιν, α Κορ. ιβ. λα. Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα. ὥστε ἀμφότερα χρήσιμα. ἡ μέντοι ἀπόνοια οὐδαμοῦ καλόν, ἀλλὰ πανταχοῦ ἄχρηστον καὶ βλαβερόν. πλὴν εἰ δεῖ μέγα φρονεῖν, ἐπὶ πενίᾳ, οὐκ ἐπὶ πλούτῳ δεῖ. διὰ τί; ὅτι ὁ ἐν ὀλίγοις ζῆν δυνάμενος, τοῦ μὴ δυναμένου πολλῷ μείζων καὶ κρείττων ἐστίν. εἰπὲ γάρ μοι, εἰ κληθέντων εἰς βασιλικὴν πόλιν τινῶν, οἱ μὲν αὐτῶν μήτε ὑποζυγίων δέοιντο, μήτε οἰκετῶν, μήτε σκιαδίων, μήτε καταγωγίων, μήτε ὑποδημάτων, μήτε σκευῶν, ἀλλ' ἀπόχρη αὐτοῖς ἄρτον μόνον ἔχειν, καὶ ὕδωρ ἐκ τῶν πηγῶν λαμβάνειν, ἐκεῖνοι δὲ λέγοιεν ὅτι ἐὰν μὴ καὶ ὀχήματα δῶτε καὶ στρωμνὴν ἁπαλήν, οὐ δυνάμεθα παραγενέσθαι, ἐὰν μὴ καὶ πολλοὺς ἔχωμεν τοὺς ἀκολουθοῦντας, ἐὰν μὴ συνεχῶς ἐξῇ διαναπαύεσθαι, οὐ δυνάμεθα, ἐὰν μὴ ὑποζυγίοις χρώμεθα, καὶ μικρὸν ἐσθίωμεν τῆς ἡμέρας μέρος, δεῖ δὲ ἡμῖν καὶ ἑτέρων πλειόνων· τίνας ἂν θαυμάσαιμεν; ἐκείνους, ἢ τούτους; δῆλον ὅτι τούτους τοὺς οὐδενὸς δεομένους. οὕτω δὴ καὶ ἐνταῦθα, οἱ μὲν πρὸς τὴν ὁδὸν τοῦ βίου τούτου πολλῶν δέονται, οἱ δὲ οὐδενός. ὥστε τὸν ἐπὶ πενίᾳ μᾶλλον ἐχρῆν μέγα φρονεῖν, εἴγε καὶ ἐχρῆν. ἀλλ' εὐκαταφρόνητός ἐστιν ὁ πένης, φησίν. οὐκ ἐκεῖνος, ἀλλ' οἱ τούτου καταφρονοῦντες. διὰ τί γὰρ ἐγὼ μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυμάζειν ἃ χρή; ἀλλ' ἂν μὲν ζωγράφος ᾖ τις, πάντων καταγελάσεται τῶν σκωπτόντων αὐτόν, ἕως ἂν ὦσιν ἀμαθεῖς, καὶ οὔτε πρὸς τὰ παρ' ἐκείνων λεγόμενα ἐπιστρέφεται, ἀλλὰ τῇ ἑαυτοῦ ἀρκεῖται μαρτυρίᾳ· ἡμεῖς δὲ τῆς τῶν πολλῶν δόξης ἐξαρτήσομεν ἑαυτούς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; διὰ τοῦτό ἐσμεν ἄξιοι καταφρονεῖσθαι, ὅτι τῶν καταφρονούντων ἡμῶν διὰ τὴν πενίαν μὴ καταφρονοῦμεν, μηδὲ ταλανίζωμεν αὐτούς. καὶ παρίημι ὅσα μὲν ἁμαρτήματα ἀπὸ τοῦ πλούτου τίκτεται, ὅσα δὲ ἀγαθὰ ἀπὸ τῆς πενίας. μᾶλλον δέ, οὐδὲ πλοῦτος, οὐδὲ πενία καθ' ἑαυτὸ καλόν, ἀλλὰ παρὰ τοὺς χρωμένους τούτῳ γίνεται. ὁ χριστιανὸς [δόκιμος] ἐν πενίᾳ μᾶλλον διαφαίνεται, ἢ ἐν τῷ πλούτῳ. πῶς; ἐν πενίᾳ μὲν γὰρ ὢν ἀτυφότερος ἔσται, σωφρονέστερος, σεμνότερος, ἐπιεικέστερος, συνετώτερος· ἐν τῷ πλούτῳ δὲ μένων, πολλὰ πρὸς ταῦτα ἔχει τὰ κωλύματα. ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ πλούσιος ἐργάζεται, μᾶλλον δὲ ὁ κακῶς τῷ πλούτῳ κεχρημένος. ἐκεῖνος ἁρπάζει, πλεονεκτεῖ, βιάζεται. τί δαί; τοὺς * ἔρωτας τοὺς ἀτόπους, τὰς ἀθεμίτους μίξεις, τὰς γοητείας, τὰς φαρμακείας, τὰ ἄλλα πάντα δεινὰ οὐκ ἀπὸ τοῦ πλούτου εὑρήσεις τικτόμενα; ὁρᾷς ὅτι ἐν πενίᾳ μᾶλλον ἀκοπώτερόν ἐστιν, ἢ ἐν πλούτῳ τὴν ἀρετὴν μετιέναι; μὴ γάρ μοι, ἐπειδὴ δίκην οὐ διδόασιν ἐνταῦθα οἱ πλούσιοι, νομίσῃς αὐτοὺς μηδὲ ἁμαρτάνειν. ὡς εἴγε ἦν εὔκολον πλούσιον δίκην διδόναι, ἐκ τούτων ἂν

εὗρες

εὗρες ἐμπεπλησμένα τὰ δεσμωτήρια. ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει κακὸν ὁ πλοῦτος, ὅτι ἐν πονηρίᾳ ἀτιμωρητὶ πλημμελεῖ ὁ τοῦτον κεκτημένος, οὐδέποτε γὰρ ἐπιστρέφεται τῶν πονηρῶν, ἀλλὰ λήψεται τραύματα ἄνευ φαρμάκων, καὶ χαλινὸν οὐδεὶς ἐπιθήσει αὐτῷ. εἰ δὲ βούλοιτό τις, καὶ πρὸς ἡδονὴν εὑρήσει τὴν πενίαν πλείους παρέχουσαν ἡμῖν τὰς ἀφορμάς. πῶς; ὅτι φροντίδων ἀπήλλακται, μίσους, μάχης, φιλονεικίας, φθόνου, μυρίων ἄλλων. μὴ τοίνυν διώκωμεν τὸ πλουτεῖν, μηδὲ τούτους ζηλώσωμεν ἀεὶ τοὺς πολλὰ κεκτημένους· ἀλλ' οἱ μὲν ἔχοντες, εἰς δέον τῷ πλούτῳ χρώμεθα· οἱ δὲ μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τοῦτο, ἀλλ' εὐχαριστῶμεν ὑπὲρ ἁπάντων τῷ Θεῷ, ὅτι ἡμᾶς ἐν ὀλίγῳ πόνῳ τὸν αὐτὸν τοῖς πλουσίοις ἢ καὶ μείζονα, ἂν θέλωμεν, παρασκευάζει μισθὸν λαβεῖν, καὶ ἐξ ὀλίγων μεγάλα κερδαίνωμεν. ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα προσενέγκας, ἐθαυμάσθη, καὶ ἐτιμήθη ὁμοίως τῷ τὰ πέντε προσενεγκόντι. τί δήποτε; ὅτι εἰ καὶ δύο ἐπιστεύθη τάλαντα, ἀλλὰ τὰ παρ' ἑαυτοῦ πάντα ἐπλήρωσε, καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. τί τοίνυν σπεύδομεν πιστευθῆναι πολλά, ὅταν ἔξεστι δι' ὀλίγων τὰ αὐτὰ καρπώσασθαι, ἢ καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; εὐκολώτερον γὰρ πένης ἐκστήσεται τῶν αὐτοῦ, ἢ πλούσιος πολλὰ καὶ μεγάλα κεκτημένος. ἢ οὐκ ἴστε, ὅτι ὅσῳ ἂν πλείονά τις περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ; ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μὴ ζητῶμεν πλοῦτον, μηδὲ δυσαναχέτως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ σπεύδωμεν πλουτεῖν, ἀλλὰ καὶ οἱ ἔχοντες οὕτως αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσεν (Οἱ ἔχοντες, φησίν, ὡς μὴ ἔχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι) ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. χρώμεθα.

γ. δυσαναχέτως ἔχωμεν.

χαριζομένῳ

α. Κορ. ζ. λα.

Λογ. γ. 6 ΟΤΑΝ ΔΕ ΠΑΛΙΝ ΕΙΣΑΓΑΓΗ ΤΟΝ ΠΡΩ-
τότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι Θεοῦ. 7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς
ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·
8 Πρὸς δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον, ἔξοδον καλεῖ· οἷον ὡς ὅταν λέγῃ, Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ πάλιν, Ἐγὼ ἐκ τοῦ πατρός μου ἐξῆλθον, καὶ ἥκω. καὶ πολλαχοῦ τοῦτο ἴδοι τις ἄν. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν καλεῖ λέγων, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, εἰσαγωγὴν ταύτην λέγων τὴν τῆς σαρκὸς ἀνάληψιν. τί δήποτε δὲ περὶ αὐτοῦ διαφόρως τῷ λόγῳ κέχρηνται, καὶ κατὰ τί οὕτως εἴρηται; δῆλόν ἐστι καὶ ἀπ' αὐτῶν τῶν σημαινομένων. ὁ μὲν γὰρ Χριστὸς ἔξοδον τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ· ἔξω γὰρ ἦμεν τοῦ Θεοῦ. καὶ καθάπερ ἐν τοῖς βασιλείοις, οἱ δεσμῶται, καὶ προσκεκρουκότες τῷ βασιλεῖ, ἔξω ἑστήκασιν, ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ εἴσω τούτους εἰσάγων, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐξελθὼν γὰρ πρὸς ἡμᾶς, τουτέστι, σάρκα ἀναλαβών, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρίσας τῶν ἁμαρτημάτων, καὶ καταλλάξας. διὰ τοῦτο ἔξοδον αὐτὴν καλεῖ. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν κληρονομούντων, καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσίν τινα. τὸ γὰρ εἰπεῖν, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, τοῦτό ἐστι δηλοῦντος, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν οἰκουμένην. τότε γὰρ αὐτὴν ἐκτήσατο πᾶσαν, ὅτε καὶ ἐγνώσθη. οὐ περὶ τοῦ Θεοῦ δὲ λό-

Ματθ. ιγ. γ.
Ιωαν. ις. κη.

γ. τότε

γ. εἰσάγει,

γ. κληρονομίαν τινὰ παραλαμβανόντων ἢ κτῆσιν.

γου

γα. βραχὺς γὰρ ὁ παρὼν καιρὸς πρὸς τοὺς αἰῶνας τοὺς ἀτελευτήτους. μέγα φρονεῖς, ἄν-
θρωπε, ὅτι πλουτεῖς; τίνος ἕνεκεν; τοῦτο γὰρ καὶ λῃσταῖς παραγίνεται, καὶ κλέπταις, καὶ ἀνδρο-
φόνοις, καὶ μαλακοῖς, καὶ πόρνοις, καὶ πᾶσι τοῖς πονηροῖς. διατί οὖν μέγα φρονεῖς; εἰ μὲν γὰρ
εἰς δέον αὐτῷ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ λυμήνῃ τὴν ἐντολήν· εἰ δὲ
οὐκ εἰς δέον, ταύτῃ μάλιστα συστέλλεσθαι δεῖ, ὅτι δοῦλος γέγονας τῶν χρημάτων καὶ κτη-
μάτων, καὶ κρατῇ ὑπ' αὐτῶν. εἰπὲ γάρ μοι, εἴ τις πυρέττων ὕδωρ ἐκπίοι πολὺ, τὸ πρὸς
βραχὺ μὲν σβεννύον τὴν δίψαν, ὕστερον δὲ ἀνάπτον τὴν φλόγα, μέγα ὀφείλει φρονεῖν; τί δὲ
εἴ τις πλείονα φροντίζει εἰκῆ, διὰ τοῦτο ὀφείλει μέγα φρονεῖν; διατί, εἰπέ μοι; ἐπειδὴ πολ-
λοὺς ἔχεις διαπόντας; ἐπειδὴ μυρίας μερίμνας; ἐπειδὴ κολακεύουσί σε πολλοί; ἀλλὰ τοῦτο
δουλεύειν ἐστί. καὶ ἵνα μάθῃς ὅτι δουλεύεις αὐτοῖς, ἄκουε [σαφῶς]. τὰ ἄλλα τῶν παθῶν τῶν
Σειρ α. ιθ. ἐν ἡμῖν, ἔστιν ὅπου χρήσιμά ἐστιν. οἷον ἡ ὀργὴ πολλαχοῦ χρησίμη. Θυμὸς γὰρ, φησιν, ἄδι-
Ματθ. ε. κβ. κος οὐκ ἀθωωθήσεται· ὥστε ἐστὶ καὶ δικαίως θυμωθῆναι. καὶ πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελ-
φῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ γεέννῃ. πάλιν ὁ ζῆλος καλὸν, καὶ ἡ ἐπιθυμία· ἡ μὲν, ὅταν εἰς
παιδοποιΐαν γίνηται, ὁ δὲ, ὅταν πρὸς τὰ καλὰ τὴν μίμησιν ἔχῃ. ὥσπερ καὶ Παῦλος λέ-
Γαλατ δ ιη. γει, Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε. καὶ πάλιν, Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα.
α Κορ. ιβ λα. ὥστε ἀμφότερα χρήσιμα. ἡ μέντοι ἀπόνοια οὐδαμοῦ καλὸν, ἀλλὰ πανταχοῦ ἄχρηστον καὶ
βλαβερόν. πλὴν εἰ δεῖ μέγα φρονεῖν, ἐπὶ πενίᾳ, οὐκ ἐπὶ πλούτῳ δεῖ. διατί; ὅτι ὁ ἐν
ὀλίγοις ζῆν δυνάμενος, τοῦ μὴ δυναμένου πολλῷ μείζων καὶ κρείττων ἐστίν. εἰπὲ γάρ μοι,
εἰ κληθέντων εἰς βασιλικὴν πόλιν τινῶν, οἱ μὲν αὐτῶν μήτε ὑποζυγίων δέοιντο, μήτε
οἰκετῶν, μήτε σκιαδίων, μήτε καταγωγίων, μήτε ὑποδημάτων, μήτε σκευῶν, ἀλλ' ἀπό-
χρη αὐτοῖς ἄρτον μόνον ἔχειν, καὶ ὕδωρ ἐκ τῶν πηγῶν λαμβάνειν, ἐκεῖνοι δὲ λέγοιεν ὅτι ἐὰν μὴ
καὶ ὀχήματα δῶτε καὶ στρωμνὴν ἁπαλὴν, οὐ δυνάμεθα παραγενέσθαι, ἐὰν μὴ καὶ πολλοὺς
ἔχωμεν τοὺς ἀκολουθοῦντας, ἐὰν μὴ συνεχῶς ἐξῇ διαναπαύεσθαι, οὐ δυνάμεθα, ἐὰν μὴ
ὑποζυγίοις χρώμεθα, καὶ μικρὸν ὁδεύωμεν τῆς ἡμέρας μέρος, δεῖ δὲ ἡμῖν καὶ ἑτέ- χ. χρείαν,
ρων πλειόνων· τίνας ἂν θαυμάσαιμεν; ἐκείνους, ἢ τούτους; δῆλον ὅτι τούτους τοὺς οὐδενὸς δεο- ἐὰν μὴ
μένους. οὕτω δὴ καὶ ἐνταῦθα, οἱ μὲν πρὸς τὴν ὁδὸν τοῦ βίου τούτου πολλῶν δέονται, οἱ δὲ
οὐδενός. ὥστε τοὺς ἐπὶ πενίᾳ μᾶλλον ἐχρῆν μέγα φρονεῖν, εἴγε καὶ ἐχρῆν. ἀλλ' εὐκατα-
φρόνητός ἐστιν ὁ πένης, φησίν. οὐκ ἐκεῖνος, ἀλλ' οἱ τούτου καταφρονοῦντες. διατί γὰρ ἐγὼ
μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυμάζειν ἃ χρή; ἀλλ' ἂν μὲν ζωγράφος ᾖ τις, πάντων
καταγελάσεται τῶν σκωπτόντων αὐτὸν, ἕως ἂν ὦσιν ἀμαθεῖς, καὶ οὔτε πρὸς τὰ παρ' ἐκείνων
λεγόμενα ἐπιστρέφεται, ἀλλὰ τῇ ἑαυτοῦ ἀρκεῖται μαρτυρίᾳ· ἡμεῖς δὲ τῆς τῶν πολλῶν δό-
ξης ἐξαρτήσομεν ἑαυτούς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; διὰ τοῦτο ἐσμὲν ἄξιοι κατα-
φρονεῖσθαι, ὅτι τῶν καταφρονούντων ἡμῶν διὰ τὴν πενίαν μὴ καταφρονοῦμεν, μηδὲ
ταλανίζωμεν αὐτούς. καὶ παρίημι ὅσα μὲν ἁμαρτήματα ἀπὸ τοῦ πλούτου τίκτεται, ὅσα δὲ
ἀγαθὰ ἀπὸ τῆς πενίας. μᾶλλον δὲ, οὐδὲ πλοῦτος, οὐδὲ πενία καθ' ἑαυτὸ καλὸν, ἀλλὰ
παρὰ τοὺς χρωμένους τούτῳ γίνεται. ὁ χριστιανὸς [δόκιμος] ἐν πενίᾳ μᾶλλον διαφαίνεται,
ἢ ἐν τῷ πλούτῳ. πῶς; ἐν πενίᾳ μὲν γὰρ ὢν ἀτυφότερος ἔσται, σωφρονέστερος, σεμνότε-
ρος, ἐπιεικέστερος, συνετώτερος· ἐν τῷ πλούτῳ δὲ μένων, πολλὰ πρὸς ταῦτα ἔχει τὰ
κωλύματα. ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ πλούσιος ἐργάζεται, μᾶλλον δὲ ὁ κακῶς τῷ πλού-
τῳ κεχρημένος. ἐκεῖνος ἁρπάζει, πλεονεκτεῖ, βιάζεται. τί δαί; τοὺς * ἔρωτας τοὺς ἀτό-
πους, τὰς ἀθεμίτους μίξεις, τὰς γοητείας, τὰς φαρμακείας, τὰ ἄλλα πάντα δεινὰ οὐκ ἀπὸ
τοῦ πλούτου εὑρήσεις τικτόμενα; ὁρᾷς ὅτι ἐν πενίᾳ μᾶλλον ἀκοπώτερόν ἐστιν, ἢ ἐν πλούτῳ
τὴν ἀρετὴν μετιέναι; μὴ γάρ μοι, ἐπειδὴ δίκην οὐ διδόασιν ἐνταῦθα οἱ πλούσιοι, νομίσῃς
αὐτοὺς μηδὲ ἁμαρτάνειν. ὡς εἴγε ἦν εὔκολον πλούσιον δίκην διδόναι, ἐκ τούτων ἂν
εὗρες

θύρες ἐμπεπλησμένα τὰ δεσμωτήρια. ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει κακὸν ὁ πλοῦτος, ὅτι ἐν πονηρίᾳ ἀτιμώρητι πλημμελεῖ ὁ τοῦτον κεκτημένος, οὐδέποτε γὰρ ἵσταται τοῦτο ποιῶν, ἀλλὰ λήψεται τραύματα ἄνευ φαρμάκων, καὶ χαλινὸν οὐδεὶς ἐπιθήσει αὐτῷ. εἰ δὲ βούλοιτό τις, καὶ πρὸς ἡδονὴν εὑρήσει τὴν πενίαν πλείους παρέχουσαν ἡμῖν τὰς ἀφορμάς. πῶς; ὅτι φροντίδων ἀπήλλακται, μίσους, μάχης, φιλονεικίας, φθόνου, μυρίων δεινῶν. μὴ τοίνυν διώκωμεν τὸ πλουτεῖν, μηδὲ τούτους ζηλώσωμεν ἀεὶ τοὺς πολλὰ κεκτημένους· ἀλλ' οἱ μὲν ἔχοντες, εἰς δέον τῷ πλούτῳ χρώμεθα· οἱ δὲ μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τοῦτο, ἀλλ' εὐχαριστῶμεν ὑπὲρ ἁπάντων τῷ Θεῷ, ὅτι ἡμᾶς ἐν ὀλίγῳ πόνῳ τὸν αὐτὸν τοῖς πλουσίοις ἢ καὶ μείζονα, ἂν θέλωμεν, παρασκευάζει μισθὸν λαβεῖν, καὶ ἐξ ὀλίγων μεγάλα κερδαίνομεν. ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα προσενέγκας, ἐθαυμάσθη, καὶ ἐτιμήθη ὁμοίως τῷ τὰ πέντε προσενεγκόντι. τί δήποτε; ὅτι εἰ καὶ δύο ἐπιστεύθη τάλαντα, ἀλλὰ τὰ παρ' ἑαυτοῦ πάντα ἐπλήρωσε, καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. τί τοίνυν σπεύδομεν πιστευθῆναι πολλά, ὅταν ἐξῇ δι' ὀλίγων τὰ αὐτὰ καρπώσασθαι, ἢ καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; εὐκολώτερον γὰρ πένης ἐκστήσεται τῶν αὐτοῦ, ἢ πλούσιος πολλὰ καὶ μεγάλα κεκτημένος. ἢ οὐκ ἴστε, ὅτι ὅσῳ ἂν πλείονά τις περιβάλληται, τοσούτῳ πλειόνων ἐρᾷ; ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μὴ ζητῶμεν πλοῦτον, μηδὲ δυσαναχέτως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ σπεύδωμεν πλουτεῖν, ἀλλὰ καὶ οἱ ἔχοντες οὕτως αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσεν (Οἱ ἔχοντές, φησιν, ὡς μὴ ἔχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι) ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ. α. Κορ. ζ. κθ. λα.

Margin notes: γ. χρώμεθα — γ. δυσαναχέτως — χαταχρώμεθα

Λογ. γ. 6 ΟΤΑΝ ΔΕ ΠΑΛΙΝ ΕΙΣΑΓΑΓΗ ΤΟΝ ΠΡΩ-
τότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι Θεοῦ. 7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ο ποιῶν τοὺς
ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·
8 Πρὸς δὲ τὸν υἱόν, Ο θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ομὲν Κύριος ἡμῶν Ιησοῦς Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον, ἔξοδον καλεῖ· οἷον ὡς ὅταν λέγῃ, Εξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ πάλιν, Εγὼ ἐκ τοῦ πατρός μου ἐξῆλθον, καὶ ἥκω. καὶ πολλαχοῦ τοῦτο ἴδοι τις ἄν. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν καλεῖ λέγων, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, εἰσαγωγὴν ταύτην λέγων τὴν τῆς σαρκὸς ἀνάληψιν. τί δήποτε δὲ περὶ αὐτοῦ διαφόρως τῷ λόγῳ κέχρηνται, καὶ κατὰ τί οὕτως εἴρηται; δῆλόν ἐστι καὶ ἀπ' αὐτῶν τῶν σημαινομένων. ὁ μὲν γὰρ Χριστὸς ἔξοδον τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ· ἔξω γὰρ ἦμεν τοῦ Θεοῦ. καὶ καθάπερ ἐν τοῖς βασιλείοις, οἱ δεσμῶται, καὶ προσκεκρουκότες τῷ βασιλεῖ, ἔξω ἑστήκασιν, ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ ἔνδον τούτους εἰσάγων, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐξελθὼν γὰρ πρὸς ἡμᾶς, τουτέστι, σάρκα ἀναλαβών, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καὶ καθαρίσας τῶν ἁμαρτημάτων, καὶ καταλλάξας. διὰ τοῦτο ἔξοδον αὐτὴν καλεῖ. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν κληρονομούντων, καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσίν τινα. τὸ γὰρ εἰπεῖν, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, τοῦτό ἐστι δηλοῦντος, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν οἰκουμένην. τότε γὰρ αὐτὴν ἐκτήσατο πᾶσαν, ὅτε καὶ ἐγνώσθη. οὐ περὶ τοῦ Θεοῦ δὲ λό- Ματθ. ιγ. γ. Ιωαν. ις. κη.

Margin notes: γ. τότε — γ. εἰσάγει — γ. κληρονομοῦσι τινὰ περιλαμβανόντων ἢ κτῆσιν.

γου φησὶ ταῦτα, ἀλλὰ περὶ τῆς κατὰ σάρκα Χριστοῦ. εἰκότως. εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, κατὰ τὸν Ἰωάννην, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, πῶς ἑτέρως ἂν εἰσήχθη, ἀλλ' ἢ ἐν σαρκί; καὶ προσκυνησάτωσαν αὐτῷ, φησὶ, πάντες ἄγγελοι Θεοῦ. ἐπειδὴ μέγα τι καὶ ὑψηλὸν λέγειν μέλλει, προκατασκευάζει αὐτὸ καὶ ποιεῖ εὐπαράδεκτον. [τὸ τὸν πατέρα ποιῆσαι εἰσαγαγόντα τὸν υἱόν.] σκόπει δὲ εἶπεν ἀνωτέρω, ὅτι οὐ διὰ προφητῶν ἐλάλησεν ἡμῖν, ἀλλὰ διὰ τοῦ υἱοῦ. ἔδειξεν ὅτι κρείττων ἀγγέλων ὁ υἱὸς, καὶ ἀπὸ τοῦ ὀνόματος δὲ τοῦτο κατασκευάσας, καὶ ἀπὸ τοῦ τὸν πατέρα ποιῆσαι εἰσάγοντα τὸν υἱόν. ἐνταῦθα δὲ λοιπὸν, καὶ ἀφ' ἑτέρου κατασκευάζει. ποίου δὴ τούτου; ἀπὸ τῆς προσκυνήσεως. τοῦτο δὲ καὶ ὅσῳ κρείττων ἐστὶ δείκνυσιν· ὅσῳ γὰρ δεσπότης δούλου. διὸ καὶ ὡς ἂν εἴ τις εἰσαγάγοι τινὰ εἰς οἰκίαν βασιλέα, τοὺς περιεστῶτας αὐτῆς εὐθέως κελεύει προσκυνεῖν αὐτῷ· οὕτω καὶ αὐτὸς ποιεῖ, περὶ τῆς κατὰ σάρκα λέγων τὴν ἐν κόσμῳ εἰσαγωγὴν, καὶ τὸ, προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ, διὰ τοῦτο ἐπάγων. ἆρα οὖν ἄγγελοι μόνον, οὐχὶ δὲ καὶ ἄλλαι δυνάμεις; ἄπαγε. ἄκουσον γὰρ τῶν ἑξῆς· καὶ πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἰδοὺ ἡ μεγίστη διαφορά· ὅτι οἱ μὲν κτιστοὶ, ὁ δὲ ἄκτιστος. καὶ διὰ τί πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν· πρὸς δὲ τὸν υἱὸν διὰ τί οὐκ εἶπεν, ὁ ποιῶν; καίτοι ἐνῆν τὴν διαφορὰν οὕτως εἰπεῖν, πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ λέγει, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν υἱὸν, Κύριος ἔκτισέ με, καὶ πάλιν, Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν. ἀλλ' οὔτε ἐκεῖνο περὶ τοῦ Χριστοῦ Κυρίου υἱοῦ εἴρηται, οὔτε τοῦτο περὶ τοῦ Θεοῦ λόγου, ἀλλὰ περὶ τῆς κατὰ σάρκα*. ἔνθα γὰρ τὴν ἀληθῆ διαφορὰν ἠβούλετο δηλοῦν, οὐκέτι ἀγγέλους παρέλαβε μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν ἄνω δύναμιν τὴν λειτουργικήν. ὁρᾷς πῶς διαιρεῖ, καὶ μεθ' ὅσης τῆς σαφηνείας, κτίσματα καὶ κτίστην, λειτουργοὺς καὶ δεσπότην, καὶ κληρονόμον καὶ γνήσιον υἱὸν καὶ δούλους; πρὸς δὲ τὸν υἱόν φησιν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἰδοὺ βασιλείας σύμβολον. ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἰδοὺ πάλιν καὶ ἄλλο βασιλείας σύμβολον. εἶτα πάλιν εἰς τὸ κατὰ σάρκα·

9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου. Τί ἐστι, Θεός σου; ἐπειδὴ γὰρ μέγα ἐφθέγξατο, πάλιν αὐτὸ παραμυθεῖται. ἐνταῦθα καὶ Ἰουδαίους, καὶ τοὺς Παύλου τοῦ Σαμοσατέως, καὶ Ἀρειανοὺς, καὶ Μάρκελλον, καὶ Σαβέλλιον ἔβαλε, καὶ Μαρκίωνα. πῶς; Ἰουδαίους μὲν, δύο τὸν αὐτὸν δεικνὺς, καὶ Θεὸν, καὶ ἄνθρωπον. τοὺς δὲ ἄλλους, τοὺς Παύλου λέγω τοῦ Σαμοσατέως, τῷ περὶ τῆς αἰωνίου ὑπάρξεως ταῦτα διαλέγεσθαι, καὶ τῆς ἀκτίστου οὐσίας. πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ, ἐποίησε, τὸ, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τέθεικε. πρός τε Ἀρειανοὺς, τοῦτό τε αὐτὸ πάλιν, καὶ ὅτι οὐ δοῦλος. εἰ δὲ κτίσμα, δοῦλος. πρὸς δὲ Μάρκελλον καὶ τοὺς ἄλλους, ὅτι δύο ἐστὶ ταῦτα πρόσωπα διῃρημένα κατὰ τὴν ὑπόστασιν. πρὸς δὲ Μαρκιωνιστὰς, ὅτι ἡ θεότης οὐ χρίεται, ἀλλ' ἡ ἀνθρωπότης. εἶτα, Παρὰ τοὺς μετόχους σου, φησί.

Τίνες δέ εἰσιν οἱ μέτοχοι, ἀλλ' ἢ οἱ ἄνθρωποι; τουτέστι, τὸ πνεῦμα οὐκ ἐκ μέτρου ἔλαβεν ὁ Χριστός. ὁρᾷς πῶς συνάπτει ἀεὶ τὸν περὶ τῆς ἀκτίστου φύσεως, καὶ τὸν περὶ τῆς οἰκονομίας λόγον; τί τούτου σαφέστερον; εἶδες πῶς οὐκ ἔστι τὸ αὐτὸ, κτίσμα καὶ γέννημα; οὐ γὰρ ἂν διεῖλε, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ ἐποίησεν, ἐπήγαγε τὸ, πρὸς δὲ τὸν υἱὸν εἶπεν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, οὐδ' ἂν διαφορώτερον ὄνομα ἐκάλει τὸ υἱὸς ὄνομα, εἰ τοῦ αὐτοῦ ἦν σημεῖον. ποῖον γὰρ τὸ διάφορον; εἰ γὰρ τὸ κτίσμα καὶ γέννημα, ταὐτὸν, ἐκεῖνοι δὲ ἐποιήθησαν, τί τὸ διαφορώτερον; ἰδοὺ πάλιν τὸ, ὁ Θεὸς, μετὰ τοῦ ἄρθρου. καὶ πάλιν φησὶ,

10 Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

11 Αὐτοὶ

11 Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται,

12 Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Ἵνα μὴ ἀκούσας, ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, ὡς δωρεὰν νομίσῃς εἶναι ὕστερον αὐτῷ προσδοθέν, τοῦτο καὶ ἄνω προδιωρθώσατο, καὶ πάλιν ἐπιδιορθοῦται λέγων, κατ᾽ ἀρχάς· οὐχὶ νῦν, ἀλλ᾽ ἄνωθεν. ἰδοὺ πάλιν καὶ τὸν Σαμοσατέα Παῦλον καιρίαν πλήττει πληγὴν καὶ Ἄρειον, ἃ περὶ τοῦ πατρός ἐστι, ταῦτα ἁρμόσας τῷ υἱῷ. μετὰ δὲ τούτου καὶ τι ἄλλο παρέργως ἠνίξατο, καὶ μεῖζον τούτου. καὶ γὰρ τὴν μετασχημάτισιν τοῦ κόσμου προεδήλωσε λέγων, ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. ὃ καὶ ἐν τῇ πρὸς Ῥωμαίους φησὶν, ὅτι μετασχηματίσει τὸν κόσμον. καὶ τὸ εὔκολον δηλῶν, ἐπήγαγεν, ἑλίξεις. ὥσπερ γὰρ ἄν εἴ τις περιβόλαιον ἑλίξῃ, οὕτως αὐτὸς τὸν κόσμον καὶ ἑλίξει καὶ ἀλλάξει. εἰ δὲ τὴν ἐπὶ τὸ βέλτιον [καὶ τὸ κρεῖττον] μετασχημάτισιν [καὶ δημιουργίαν] οὕτως εὐκόλως ἐργάζεται, ἐπὶ τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖτο; μέχρι τινὸς οὐκ αἰσχύνεσθε; ἅμα δὲ καὶ παραμυθία μεγίστη τοῦτο ἐστὶ, τὸ γνῶναι ὅτι οὐκ ἔσται οὕτω τὰ πράγματα, ἀλλὰ τὰ πάντα τὴν μεταβολὴν λήψεται, καὶ πάντα ἐναλλαγήσεται, αὐτὸς δὲ μένει διαπαντὸς ζῶν, καὶ ἀπείρως ζῶν· καὶ τὰ ἔτη σου, φησὶν, οὐκ ἐκλείψουσι.

13 Τίνι δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; ἰδοὺ πάλιν αὐτὸν παραθαρρύνει, εἴγε μέλλοιεν οἱ ἐχθροὶ αὐτοῦ ὑποταγῆναι, καὶ ἐχθροὶ αὐτοῦ αὐτοί εἰσιν, οἱ καὶ τοῦ Χριστοῦ. τοῦτο πάλιν βασιλείας, τοῦτο ὁμοτιμίας, τοῦτο τιμῆς οὐκ ἀδυναμίας, τὸ τὸν πατέρα ὀργίζεσθαι ὑπὲρ τῶν εἰς τὸν υἱὸν γεγενημένων. τοῦτο πολλῆς ἀγάπης δεῖγμα, καὶ γνησιότητος τῆς ὡς ἀπὸ πατρὸς πρὸς υἱόν. ὁ γὰρ ὀργιζόμενος ὑπὲρ αὐτοῦ, πῶς ἀλλότριος αὐτοῦ ἐστιν; ἕως ἂν θῶ τοὺς ἐχθρούς σου. ὅπερ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ φησὶν, Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ψαλ. β. δ. καὶ πάλιν αὐτός φησι, Τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ᾽ αὐτοὺς, ἀγάγετε ὧδε ἐνώπιόν μου, καὶ κατασφάξατε αὐτούς. Λουκ. ιθ. κζ. ὅτι γὰρ αὐτοῦ ἐστι τὰ ῥήματα, ἄκουσον τί φησι καὶ ἑτέρωθι· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λουκ. ιγ. λγ. καὶ πάλιν, Ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. Ματθ. κα. μδ. καὶ πάλιν, Ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ, λικμήσει αὐτόν. ἄλλως δὲ, ὁ μέλλων ἐκεῖνος κρίνειν αὐτοὺς, πολλῷ μᾶλλον αὐτοὺς δίκην ἐν τούτῳ τῆς εἰς αὐτὸν παροινίας ἀπαιτήσειν. ὥστε τιμῆς μόνης ἐστὶ τῆς εἰς τὸν υἱὸν, τὸ, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

14 Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Τί θαυμαστὸν, φησὶν, εἰ τῷ υἱῷ λειτουργοῦσιν, ὅπου καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν λειτουργοῦσιν; ὅρα πῶς ἐπαίρει αὐτῶν τὰ φρονήματα, καὶ πολλὴν δείκνυσι τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς τιμὴν, εἴ γε ἀγγέλους τοὺς ὑπὲρ ἡμᾶς ταύτην ἔταξεν ἔχειν διακονίαν, τὴν ὑπὲρ ἡμῶν. ὡς ἂν εἴποι τις, εἰς τοῦτο κέχρηνται αὐτοῖς, φησὶ, τοῦτο ἀγγέλων λειτουργία, τὸ διακονεῖν τῷ Θεῷ εἰς σωτηρίαν ἡμετέραν. ὥστε ἀγγελικὸν ἔργον τοῦτό ἐστι, τὸ πάντα ποιεῖν εἰς σωτηρίαν τῶν ἀδελφῶν· μᾶλλον δὲ αὐτοῦ τοῦ Χριστοῦ τὸ ἔργον ἐστίν. αὐτὸς μὲν γὰρ ὡς δεσπότης σώζει, οὗτοι δὲ ὡς δοῦλοι. καὶ ἡμεῖς εἰ καὶ δοῦλοι, ἀλλὰ σύνδουλοι ἀγγέλων. τί πρὸς χάσκετε πρὸς τοὺς ἀγγέλους, φησί; δοῦλοί εἰσι τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ πολλαχοῦ δι᾽ ἡμᾶς πέμπονται, καὶ πρὸς σωτηρίαν τὴν ἡμετέραν λειτουργοῦσιν· ὥστε ὁμόδουλοι ἡμῶν εἰσιν. ἐννοήσατε πῶς οὐ πολλὴν δίδωσι τοῖς κτίσμασι διαφοράν. καίτοι πολὺ τὸ μέσον ἀγγέλων καὶ ἀνθρώπων· ἀλλ᾽ ὅμως πλησίον ἡμῶν αὐτοὺς ἵστησι, μονονουχὶ λέγων,

γον, ἡμῖν κάμνουσι, δι' ἡμᾶς περιτρέχουσιν, ἡμῖν, ὡς ἂν εἴποι τις, ὑπηρετοῦσιν. αὕτη ἐστὶν ἡ διακονία αὐτῶν, τὸ δι' ἡμᾶς πανταχοῦ πέμπεσθαι. καὶ τούτων τῶν ὑποδειγμάτων μεστὴ μὲν ἡ παλαιά, μεστὴ δὲ καὶ ἡ καινή. ὅταν γὰρ ἄγγελοι ποιμέσιν εὐαγγελίζωνται, ὅταν τῇ Μαριάμ, ὅταν τῷ Ἰωσήφ, ὅταν ἐπὶ τοῦ μνήματος καθέζωνται, ὅταν πέμπωνται εἰπεῖν τοῖς μαθηταῖς, [Πραξ. α. ια.] Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν, ὅταν Πέτρον ἀπολύωσι τοῦ δεσμωτηρίου, ὅταν Φιλίππῳ διαλέγωνται, πῶς ἡμῖν οὐχ ὑπουργοῦσιν; ἐννόησον γοῦν τὴν τιμήν, ὅση τυγχάνει, ὅταν, ὡς πρὸς φίλους, πέμπῃ διακόνους τοὺς ἀγγέλους ὁ Θεός, ὅταν Κορνηλίῳ ἄγγελος φαίνηται, ὅταν πάντας τοὺς ἀποστόλους ἀπὸ τοῦ δεσμωτηρίου ἄγγελος ἐκβάλλῃ, καὶ λέγῃ, Πορευθέντες στῆτε, καὶ λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ [Πραξ. ε. κ.] τὰ ῥήματα τῆς ζωῆς ταύτης. τί τὰ ἄλλα λέγω; καὶ αὐτῷ Παύλῳ ἄγγελος φαίνεται. ὁρᾷς αὐτοὺς διακονοῦντας ἡμῖν διὰ τὸν Θεόν, καὶ εἰς τὰ μέγιστα διακονοῦντας; διὰ τοῦτό φησιν ὁ Παῦλος, Πάντα ὑμῶν, εἴτε ζωή, εἴτε θάνατος, εἴτε κόσμος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα. [α. Κορ. γ. κα.] ἐπέμφθη μετὰ τούτων καὶ ὁ υἱός, ἀλλ' οὐχ ὡς διάκονος, οὐδὲ ὡς λειτουργός, ἀλλ' ὡς υἱὸς καὶ μονογενής, καὶ τὰ αὐτὰ τῷ πατρὶ βουλόμενος. μᾶλλον δέ, οὐδὲ ἐπέμφθη. οὐ γὰρ ἐκ τόπου εἰς τόπον μετέβη, ἀλλὰ σάρκα ἀνέλαβεν. οὗτοι δὲ τόπους ἀμείβουσι, καὶ τοὺς προτέρους ἀφέντες ἐν οἷς εἰσίν, οὕτως εἰς ἑτέρους ἔρχονται ἐν οἷς οὐκ ἦσαν. καὶ τοῦτο δὲ πάλιν παραθαρρύνων αὐτοὺς λέγει, τί δεδοίκατε; ἄγγελοι διακονοῦσιν ἡμῖν. καὶ εἰπὼν περὶ τοῦ υἱοῦ, καὶ τὰ κατὰ τὴν οἰκονομίαν, καὶ τὰ κατὰ τὴν δημιουργίαν, καὶ τὰ κατὰ τὴν βασιλείαν, καὶ τὸ ὁμότιμον δείξας, καὶ ὅτι ὡς δεσπότης κρατεῖ, οὐχὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, λοιπὸν παρακαλεῖ αὐτούς, κατασκευάσας τὸν λόγον, ὥστε προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσι, καί φησι,

[κεφ. β.]

1 Διὸ χρὴ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσιν.

Ἐνταῦθα βουλόμενος εἰπεῖν, ὅτι δεῖ περισσοτέρως τοῦ νόμου προσέχειν, ἐσιώπησεν αὐτό· δῆλον δὲ ὅμως τοῦτο ποιεῖ ἐν τῇ κατασκευῇ, οὐκ ἐν συμβουλῇ, οὐδὲ ἐν παρακλήσει. οὕτω γὰρ ἄμεινον ἦν.

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος, φησίν, ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν·

3 Πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, εἰς ἡμᾶς ὑπὸ τῶν ἀκουσάντων ἐβεβαιώθη;

Διὰ τί περισσοτέρως ἡμᾶς δεῖ προσέχειν τοῖς ἀκουσθεῖσιν; οὐχὶ κἀκεῖνα Θεοῦ, καὶ ταῦτα; ἢ τοίνυν περισσοτέρως τοῦ νόμου φησίν, ἢ ὅτι μεγάλως· οὐχὶ συγκρίνων, μὴ γένοιτο. ἐπειδὴ γὰρ ἀπὸ τοῦ χρόνου τοῦ πολλοῦ μεγάλην εἶχον περὶ τῆς παλαιᾶς ὑπόληψιν, ταῦτα δὲ ὡς νέα ἔτι καταπεφρόνητο, δείκνυσιν ἐκ περιουσίας, ὅτι τούτοις δεῖ μᾶλλον προσέχειν. πῶς; μονονουχὶ λέγων, ὅτι τοῦ Θεοῦ μὲν καὶ ταῦτα, κἀκεῖνα, ἀλλ' οὐχ ὁμοίως. καὶ τοῦτο ἡμῖν ὕστερον δείκνυσι. τέως δὲ ἐπιπολαιότερον αὐτὸ κατασκευάζει, ὕστερον δὲ φανερώτερον, λέγων, [Εβρ. η. ζ. ιγ.] Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος· καὶ πάλιν, Τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ· καὶ πολλὰ ἕτερα τοιαῦτα. ἀλλ' οὔπω τολμᾷ τοιοῦτον οὐδὲν εἰπεῖν ἐν προοιμίοις, ἕως ἂν προκαταλάβῃ καὶ κατάσχῃ ταῖς πλείοσι προκατασκευαῖς τὸν ἀκροατήν. διὰ τί τοίνυν δεῖ περισσοτέρως ἡμᾶς προσέχειν, εἰπέ. Μήποτε, φησί, παραρρυῶμεν. τουτέστι, μὴ ἀπολώμεθα, μὴ ἐκπέσωμεν. καὶ δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκπτώσεως, ὅτι δύσκολον τὸ παραρρυὲν πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥαθυμίας τοῦτο συνέβη. ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν παροιμιῶν. [Παροιμ. γ. κα.] Υἱὲ γάρ, φησί, μὴ παραρρυῇς· καὶ τὸ εὔκολον τοῦ ὀλίσθου δείκνυσι, καὶ τὸ χαλεπὸν τῆς ἀπωλείας. τουτέστιν, οὐκ ἀκίνδυνος ἡμῖν ἡ παρακοή. καὶ διὰ τῶν μὲν κατασκευάζει, δείκνυσιν ὅτι μείζων ἡ κόλασις. ἀφίησι δὲ πάλιν αὐτὴν ἐν τῇ περιζητήσει, καὶ οὐκ ἐν τῷ συμπεράσματι. καὶ γὰρ τοῦτο ἔστιν ἀνεπαχθῆ τὸν λόγον ποιεῖν, μὴ ἀφ' ἑαυτοῦ πανταχοῦ τὴν κρίσιν

ἐπάγοντα

ἐπάγοντα ἀποφαίνεσθαι, ἀλλὰ κύριον ἀφιέναι τὸν ἀκροατὴν, ἵνα αὐτὸς ἐνέγκῃ τὴν ψῆφον· ὅπερ καὶ εὐγνωμονεστέρους ἐποίει γίνεσθαι. ποιεῖ δὲ αὐτὸ καὶ ἐν τῇ παλαιᾷ ὁ προφήτης Νάθαν, καὶ ἐν τῷ Ματθαίῳ ὁ Χριστὸς λέγων, Τί ποιήσει τοῖς γεωργοῖς τοῦ ἀμπελῶνος ἐκείνοις; [Ματθ. κα. μ.] καὶ αὐτοὺς ἀναγκάζων τὴν ψῆφον ἐξενεγκεῖν. τοῦτο γὰρ ἡ μεγίστη νίκη. Εἶτα εἰπὼν, Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, οὐκ ἐπήγαγε, πολλῷ μᾶλλον ὁ διὰ τοῦ Χριστοῦ· ἀλλὰ τοῦτο μὲν εἴασεν, εἶπε δὲ τὸ ἔλαττον, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; καὶ ὅρα πῶς ποιεῖται τὴν σύγκρισιν· Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λόγος λαληθεὶς, φησίν. ἐκεῖ δι᾽ ἀγγέλων, ἐνταῦθα δὲ διὰ τοῦ Κυρίου· κἀκεῖ μὲν λόγος, ἐνταῦθα δὲ σωτηρία. Εἶτα, ἵνα μὴ εἴπῃ τις, τί δαί; ἃ σὺ λέγεις, ὦ Παῦλε, ταῦτα τοῦ Χριστοῦ ἐστι; προλαμβάνει, καὶ ἀποδείκνυσι τὸ ἀξιόπιστον ὄντα. τῷ τε παρ᾽ ἐκείνου γὰρ ἀκηκοέναι αὐτὰ τὸ ἀξιόπιστον δείκνυσι, καὶ τῷ νῦν ὑπὸ τοῦ Θεοῦ αὐτὰ λέγεσθαι, οὐχ ἁπλῶς φωνῆς φερομένης, καθάπερ ἐπὶ Μωϋσέως, ἀλλὰ σημείων γινομένων, καὶ πραγμάτων μαρτυρούντων. τί δέ ἐστιν, Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος; καὶ ἐν τῇ πρὸς Γαλάτας οὕτω πως φησὶ, Διαταγεὶς δι᾽ ἀγγέλων ἐν χειρὶ μεσίτου. [Γαλατ. γ. ιθ.] καὶ πάλιν, Ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. [Πραξ. ζ. νγ.] καὶ πανταχοῦ δι᾽ ἀγγέλων αὐτόν φησι δίδοσθαι. τινὲς μὲν οὖν τὸν Μωϋσέα φασὶν αἰνίττεσθαι· ἀλλ᾽ οὐκ ἔχει λόγον. ἀγγέλους γὰρ ἐνταῦθα πολλούς φησι· καὶ ἀγγέλους [δὲ ἐνταῦθα] τούτους φησὶ τοὺς ἐν τῷ οὐρανῷ. τί οὖν ἐστιν εἰπεῖν; ἤτοι τὴν δεκάλογον φησὶ μόνον (ἐκεῖ γὰρ Μωϋσῆς ἐλάλει, καὶ ὁ Θεὸς ἀπεκρίνετο) ἢ ὅτι παρῆσαν ἄγγελοι, τοῦ Θεοῦ διατιθεμένου, ἢ ὅτι περὶ τῶν ἐν τῇ παλαιᾷ λεγομένων καὶ πραττομένων ἁπάντων, ὡς ἀγγέλων διακονησάντων ἐν τούτοις ταῦτά φησι. πῶς δὲ ἀλλαχοῦ φησιν, ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἐνταῦθα δὲ δι᾽ ἀγγέλων; φησὶ γὰρ, Καὶ κατέβη ὁ Θεὸς ἐν γνόφῳ. [Ιωαν. α. ιζ.] [Ἐξοδ. κ. ιε.] Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος. τί ἐστι, βέβαιος; ἀληθὴς, ὡς ἄν τις εἴποι, καὶ πιστός· διότι ἐν τῷ προσήκοντι καιρῷ πάντα ἐξέβη τὰ λεχθέντα. ἢ τοίνυν τοῦτό φησιν, ἢ ὅτι ἐκράτησε, καὶ αἱ ἀπειλαὶ εἰς ἔργον ἤρχοντο. ἢ λόγον φησὶ τὰ προστάγματα. πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν ἄγγελοι παρὰ Θεοῦ πεμπόμενοι· οἷον ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν Κριτῶν, ἐπὶ τοῦ Σαμψών. [Κριτ. β. α.] διὰ γὰρ τοῦτο οὐκ εἶπε, νόμος, ἀλλὰ, λόγος. καὶ τάχα μοι δοκεῖ τοῦτο λέγειν δηλῶν· διὰ τοῦτο μᾶλλον τὰ διὰ τῶν ἀγγέλων οἰκονομηθέντα. τί οὖν ἐροῦμεν; ὅτι παρῆσαν μὲν ἄγγελοι τότε, τὸ δὲ ἔθνος ἐμπιπλῶντες θορύβου, καὶ αὐτοὶ τὰς σάλπιγγας ἐποίουν, καὶ τὰ ἕτερα, τὸ πῦρ, τὸν γνόφον. καὶ πᾶσα παράβασίς, φησι, καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν. οὐχ ἡ μὲν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα. οὐδὲν ἀνεκδίκητον ἔμεινε, φησὶν, ἀλλ᾽ ἔλαβεν ἔνδικον μισθαποδοσίαν [ἀντὶ τοῦ, κόλασιν]. καὶ τί δήποτε οὕτως εἶπεν; οὕτως ἔθος τῷ Παύλῳ μὴ πολλὴν τῆς λέξεως ποιεῖσθαι λόγον, ἀλλ᾽ ἀδιαφόρως καὶ ἐπὶ δυσφήμων τιθέναι κακέμφατα. οἷον καὶ ἀλλαχοῦ φησιν, Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. [β. Κορ. ι. ε.] καὶ πάλιν ἀλλαχοῦ τὴν ἀντιμισθίαν τέθεικεν ἀντὶ κολάσεως, καὶ ἐνταῦθα τὴν κόλασιν μισθὸν καλεῖ. Εἰ δίκαιον, φησι, παρὰ τῷ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν. [β. Θεσ. α. ς.] τουτέστιν, οὐ παρεφθάρη τὸ δίκαιον, ἀλλ᾽ ἐπεξῆλθεν ὁ Θεὸς, καὶ τὴν δίκην προσέταξε γενέσθαι ἐπὶ τοὺς ἡμαρτηκότας· καίτοι τῶν ἁμαρτημάτων οὐ πάντων εἰς φανερὸν γινομένων, εἰ μὴ παραβαθείη τὰ διατεταγμένα. πῶς οὖν ἡμεῖς, φησὶν, ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; διὰ τούτου ἐδήλωσεν, ὅσῳ πολλή τις ἦν ἐκείνη ἡ σωτηρία. καλῶς δὲ καὶ τὸ, τηλικαύτης, προσέθηκεν. οὐ γὰρ ἐκ πολέμων, φησὶν, ἡμᾶς διασώσει νῦν, οὐδὲ τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ παρέξει, ἀλλὰ θανάτου κατάλυσις ἔσται, ἀλλὰ διαβόλου ἀπώλεια, ἀλλ᾽ οὐρανῶν βασιλεία, ἀλλὰ ζωὴ αἰώνιος. ταῦτα γὰρ πάντα ἐν συντόμῳ ἐνέφηνεν εἰπὼν, τηλικαύτης ἀμελήσαντες σωτηρίας. Εἶτα καὶ τὸ ἀξιόπιστον ἐπάγει· ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι

διὰ τοῦ Κυρίου· τουτέστι, παρ' αὐτῆς τῆς πηγῆς ἔσχε τὴν ἀρχήν. οὐκ ἄνθρωπος αὐτὴν διεπόρθμευσεν εἰς τὴν γῆν, οὐ κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ μονογενής. Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη. τί ἐστιν, ἐβεβαιώθη; ἐπιστώθη, ἢ ἐξέβη. τὸν γὰρ ἀρραβῶνα, φησὶν, ἔχομεν· τουτέστιν, οὐκ ἐσβέσθη, οὐκ ἔληξεν, ἀλλὰ κρατεῖ καὶ περιγίνεται. τὸ δὲ αἴτιον, ἡ θεία δύναμις ἐνεργεῖ. τί ἐστιν, ὑπὸ τῶν ἀκουσάντων; τουτέστιν, οἱ παρὰ τοῦ Κυρίου ἀκούσαντες αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν. μέγα τοῦτο καὶ ἀξιόπιστον. ὅπερ καὶ Λουκᾶς φησιν ἐν ἀρχῇ τοῦ εὐαγγελίου· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. (Λουκ. α. β.) * πῶς οὖν ἐβεβαιώθη; τί οὖν εἰ οἱ ἀκούσαντες ἔπλασαν, φησί; τοῦτο τοίνυν ἀναιρῶν, καὶ δεικνὺς οὐκ ἀνθρωπίνην τὴν χάριν, ἐπήγαγε, (* ὅτι ἐπί τινας αὐτοὺς ἴδ' ὀλιγωροῦντας ἐκείνων.)

4 Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ. Οὐκ ἂν γὰρ, εἰ ἔπλασαν, ὁ Θεὸς αὐτοῖς ἐμαρτύρησε. μαρτυροῦσι μὲν * κἀκεῖνοι, μαρτυρεῖ δὲ καὶ ὁ Θεός. πῶς μαρτυρεῖ; οὐ λόγῳ, οὐδὲ φωνῇ. καίτοι γε καὶ τοῦτο πιστόν. ἀλλὰ πῶς; Σημείοις, καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι. (* γὰρ)

Καλῶς δὲ, ποικίλαις δυνάμεσι, τέθεικε, τὴν ἀφθονίαν τῶν χαρισμάτων δηλῶν. ὅπερ οὐ γεγένηται ἐπὶ τῶν προτέρων, οὐδὲ τοσαῦτα σημεῖα, καὶ οὕτω διάφορα. τουτέστιν, οὐχ ἁπλῶς ἐπιστεύσαμεν ἐκείνοις, ἀλλὰ διὰ σημείων καὶ τεράτων. ὥστε οὐκ ἐκείνοις πιστεύομεν, ἀλλ' αὐτῷ τῷ Θεῷ. Καὶ πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν.

(Λουκ. ια. ιη.) Τί οὖν [ὅτι] καὶ γόητες σημεῖα ποιοῦσι, καὶ Ἰουδαῖοι ἐν Βεελζεβοὺλ ἔλεγον αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια; ἀλλ' οὐ τοιαῦτα ποιοῦσι σημεῖα. διὰ τοῦτο εἶπε, ποικίλαις δυνάμεσιν. ἐκεῖνα γὰρ οὐ δυνάμεις, ἀλλ' ἀσθένεια καὶ φαντασία, καὶ διάκενα πράγματα. διὰ τοῦτο εἶπε, πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. ἐνταῦθα καὶ τι ἄλλο αἰνίττεσθαί μοι δοκεῖ. εἰκὸς γὰρ μὴ εἶναι πολλοὺς ἐκεῖ χαρίσματα ἔχοντας, ἐκλελοιπέναι δὲ ταῦτα, ἅτε ῥαθυμοτέρων αὐτῶν γενομένων. ἵν' οὖν αὐτοὺς καὶ ἐν τούτῳ παραμυθήσηται, καὶ μὴ ἀφῇ καταπεσεῖν, τὸ πᾶν ἀνέθηκε τῇ τοῦ Θεοῦ βουλῇ. αὐτὸς οἶδε τίνι τί συμφέρει, φησὶ, καὶ οὕτω καταμερίζει τὴν χάριν. ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ, λέγων, Ὁ Θεὸς ἔθετο ἕνα ἕκαστον ἡμῶν, καθὼς ἠθέλησε. (α. Κορ. ιβ. ιη.) καὶ πάλιν, Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον, κατὰ τὴν αὐτοῦ θέλησιν. (α. Κορ. ιβ. ζ.) δείκνυσιν ὅτι τὸ χάρισμα κατὰ τὴν τοῦ πνεύματός ἐστι θέλησιν. πολλάκις δὲ καὶ δι' ἀκάθαρτοι βίοι καὶ ζωὴ οὐκ ἔλαβον * πολλοὶ χάρισμα· ἐνίοτε δὲ καὶ καλὸν βίον ἔχοντες καὶ καθαρὸν οὐκ ἔλαβον. τί δήποτε; ὥστε μὴ ἐκτραχηλιασθῆναι, ὥστε μὴ φυσιωθῆναι, ὥστε μὴ ῥαθυμοτέρους γενέσθαι, ὥστε μὴ πλέον ἐπαρθῆναι. εἰ γὰρ καὶ χωρὶς χαρίσματος αὐτὴ τοῦ καθαροῦ βίου ἡ συνείδησις ἱκανὴ ἐπᾶραι, πολλῷ μᾶλλον, ὅταν καὶ ἡ χάρις προσῇ. ὥστε τοῖς ταπεινοῖς, τοῖς ἀφελέσι μᾶλλον ἐδίδοτο· καὶ μάλιστα τοῖς ἀφελέσιν. Ἐν ἀφελότητι γὰρ, φησι, καὶ ἐν ἀγαλλιάσει καρδίας. (Πραξ. β. μϛ.) καὶ γὰρ καὶ ταύτῃ προετρέψατο αὐτοὺς μᾶλλον· καὶ εἰ ῥαθυμότεροι ἦσαν, κατένυξεν. ὁ γὰρ ταπεινὸς, καὶ μὴ μεγάλα περὶ ἑαυτοῦ φανταζόμενος, σπουδαιότερος γίνεται, ὅταν λάβῃ χάρισμα, ἅτε παρ' ἀξίαν εἰληφὼς, καὶ οὐκ ἄξιον ἑαυτὸν εἶναι κρίνων· ὁ δὲ τι κατορθωκέναι νομίζων, ὀφείλειν εἶναι τὸ πρᾶγμα ἡγούμενος καὶ πεφυσιῶσθαι. ὥστε ὁ Θεὸς συμφερόντως τὸ πρᾶγμα οἰκονομεῖ τοῦτο. ὅπερ καὶ ἐν τῇ ἐκκλησίᾳ συμβαῖνον ἴδοι τις ἄν. ὁ μὲν γὰρ ἔχει λόγον διδασκαλικόν· ὁ δὲ οὐδὲ διᾶραι τὸ στόμα δύναται. μηδεὶς τοίνυν λυπείσθω διὰ τοῦτο. Ἑκάστῳ γὰρ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον. (α. Κορ. ιβ. ζ.) εἰ γὰρ ἂν θρώπινος οἰκοδεσπότης οἶδε τίνι τί ἐγχειρίσαι, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν. ἓν ἐστι μόνον τὸ λύπης ἄξιον, τὸ ἁμαρτάνειν· ἄλλο δὲ οὐδέν.

(Margin notes: χ. παρὰ · * οἱ · χ. ἐπὶ · χ. ἀδημον. · λ. ου)

ΗΘΙΚΟΝ

Μὴ εἴπῃς, διὰ τί οὐκ ἔχω χρήματα, ἤ, εἰ εἶχον, παρέσχον ἂν τοῖς πένησιν. οὐκ οἶδας, εἰ εἶχες, εἰ μὴ μᾶλλον καὶ πλεονέκτης ἦς. νῦν μὲν γὰρ ταῦτα λέγεις· ἐν δὲ τῇ πείρᾳ (χ. εἰ δὲ)

γενόμενος.

ἠμόνημος, ἐπειδὴ ἂν ᾖς. ἐπεὶ καὶ ὅταν ὦμεν κεκορεσμένοι, νομίζομεν ὅτι δυνάμεθα νηστεύειν· ὅταν δὲ μικρὸν διαλείπωμεν, ἕτερος ἡμᾶς ἐπεισέρχεται λογισμός. πάλιν, ὅταν ὦμεν ἐκτὸς τῆς μέθης, νομίζομεν δύνασθαι περιγενέσθαι τῶν παθῶν· ὅταν δὲ ἁλῶμεν ὑπ' αὐτῆς, οὐκέτι. μὴ εἴπῃς εἰς τί; οὐκ ἔχω χάρισμα διδασκαλικόν; εἰ εἶχον, μυρίους ἂν ᾠκοδόμησα. οὐκ οἶδας, εἰ εἶχες, μὴ εἰς κρῖμά σοι ἐγένετο, μὴ βασκανία, μὴ ὄκνος παρεσκεύαζε τὸ τάλαντον κρύπτειν. νῦν μὲν οὖν ἀπήλλαξαι πάντων τούτων, καὶ τὸ σιτομέτριον ἐὰν μὴ δῷς, οὐκ ἐγκαλῇ· τότε δὲ μυρίοις ἂν ὑπεύθυνος ἦς. ἄλλως δέ, οὐδὲ νῦν ἐκτὸς εἶ τοῦ χαρίσματος. δεῖξον ἐν τῷ μικρῷ, οἷος ἦς, εἰ ἐκεῖνο εἶχες. Εἰ γὰρ ἐν τῷ μικρῷ οὐ γέγονε, φησι, πιστοί, πῶς τὸ μέγα ὑμῖν τίς δώσει; δεῖξον ὡς ἡ χήρα. δύο γὰρ ὀβολοὺς εἶχεν ἐκείνη, καὶ [ὅλα] κατέβαλεν, ὅσα ἐκέκτητο. χρήματα ζητεῖς; δεῖξον ὅτι τῶν ὀλίγων καταφρονεῖς, ἵνα σοι πιστεύσω καὶ περὶ τῶν πολλῶν. εἰ δὲ μηδὲ τούτων καταφρονεῖς, πολλῷ μᾶλλον οὐδὲ ἐκείνων. πάλιν, ἐν τῷ λόγῳ δεῖξον ὅτι κέχρησαι δεόντως τῇ παραινέσει καὶ τῇ συμβουλῇ. οὐκ ἔχεις εὐγλωττίαν τὴν ἔξωθεν; οὐκ ἔχεις νοημάτων ἀφθονίαν; ἀλλ' ὅμως ταῦτα τὰ κοινὰ οἶδας, παῖδα ἔχεις, γείτονα ἔχεις, φίλον ἔχεις, ἀδελφὸν ἔχεις, οἰκείους ἔχεις. κἂν δημοσίᾳ ἐπὶ τῆς ἐκκλησίας μὴ δύνῃ λόγον ἀποτείνειν μακρόν, τούτοις ἰδίᾳ δύνασαι παραινεῖν. ἐνταῦθα οὐ ῥητορείας χρεία, οὐδὲ μακρᾶς ἀποτάσεως. δεῖξον ἐπὶ τούτων, ὅτι εἰ καὶ λόγον εἶχες, οὐκ ἂν ἠμέλησας. εἰ δὲ ἐν τῷ μικρῷ οὐ σπουδάζεις, πῶς σοι πιστεύσω περὶ τοῦ μεγάλου; ὅτι γὰρ τοῦτο ἕκαστος δύναται, ἄκουσον πῶς καὶ λαϊκοῖς τοῦτο ἐπέτρεψεν ὁ Παῦλος. Ἕκαστος, φησιν, οἰκοδομεῖτε εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε· καί, Παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. οἶδεν ὁ Θεὸς πῶς ἑκάστῳ διανείμῃ. μὴ σὺ τοῦ Μωϋσέως εἶ βελτίων; ἄκουσον πῶς ἀποδυσπετεῖ. Μὴ ἐγὼ δύναμαι, φησι, βαστάζειν αὐτούς, ὅτι εἶπές μοι, ἆρον αὐτούς, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα; τί οὖν ὁ Θεός; ἀφεῖλεν ἀπὸ τοῦ πνεύματος αὐτοῦ, καὶ ἔδωκε τοῖς ἄλλοις, δεικνὺς ὅτι οὐδὲ ὅτε ἐβάσταζεν αὐτούς, αὐτοῦ τοῦτο τὸ χάρισμα ἦν, ἀλλὰ τοῦ πνεύματος. εἰ τὸ χάρισμα εἶχες, πολλάκις ἂν ἐπήρθης, πολλάκις ἂν ἐξετράπης. οὐκ οἶδας σὺ σαυτόν, ὡς ὁ Θεός σε οἶδε. μὴ λέγωμεν, εἰς τί τοῦτο, ἢ διὰ τί τοῦτο; ὅταν οἰκονομῇ ὁ Θεός, μὴ ἀπαιτῶμεν αὐτὸν εὐθύνας. τοῦτο γὰρ ἐσχάτης ἀσεβείας καὶ ἀπονοίας ἐστί. δοῦλοί ἐσμεν, καὶ δοῦλοι πολὺ τοῦ δεσπότου διεστηκότες, οὐδὲ τὰ ἐν ποσὶν ἐπιστάμενοι. μὴ δὴ τὴν βουλὴν τοῦ Θεοῦ περιεργαζώμεθα· ἀλλ' ὅπερ δέδωκε, τοῦτο φυλάττωμεν, κἂν μικρὸν ᾖ, κἂν ἔσχατον, καὶ πάντως εὐδοκιμήσομεν. μᾶλλον δέ, οὐδὲν μικρὸν τῶν τοῦ Θεοῦ δωρεῶν ἐστιν. ἀλγεῖς ὅτι οὐκ ἔχεις χάρισμα διδασκαλίας; εἰπὲ δή μοι, τί σοι δοκεῖ μεῖζον εἶναι, χάρισμα διδασκαλίας, ἢ χάρισμα ἰαμάτων; πάντως τοῦτο. τί δέ, τοῦ νόσους ἀπελαύνειν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ τυφλοὺς ὀμματοῦν; οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ νεκροὺς ἀνιστᾶν; τί δέ, εἰπέ μοι, τοῦ λόγῳ τοῦτο ποιεῖν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ σκιαῖς καὶ σουδαρίοις τοῦτο ἐργάζεσθαι; τί οὖν θέλεις, εἰπέ μοι, σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν, ἢ τὸ χάρισμα τῆς διδασκαλίας ἔχειν; πάντως ἐκεῖνο ἐρεῖς, τὸ σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν. ἂν οὖν σοι δείξω, ὅτι πολλῷ τούτου μεῖζόν ἐστιν ἕτερον χάρισμα, καὶ ἔξεστί σοι λαβεῖν, οὐ λαμβάνων, δικαίως καὶ τούτων ἀπεστέρησαι, τί ἐρεῖς; πλὴν τοῦτο τὸ χάρισμα, οὐχ ἑνί, οὐδὲ δευτέρῳ, ἀλλὰ πᾶσιν ἔξεστιν ἔχειν. οἶδα ὅτι κεχήνατε καὶ ἐξεπλάγητε, εἴγε μέλλοιτε ἀκούσεσθαι, ὅτι ἔξεστιν ὑμῖν μεῖζον χάρισμα ἔχειν τοῦ νεκροὺς ἀνιστᾶν, καὶ τυφλοὺς ὀμματοῦν, καὶ ἐκεῖνα ποιεῖν, ἃ καὶ ἐπὶ τῶν ἀποστόλων. καὶ τάχα καὶ ἄπιστον ὑμῖν εἶναι δοκεῖ. τί οὖν τοῦτό ἐστι τὸ χάρισμα; ἡ ἀγάπη. ἀλλὰ πιστεύσατέ μοι. οὐκ ἐμὸς γάρ ἐστιν ὁ λόγος, ἀλλὰ τοῦ Χριστοῦ διὰ Παύλου φθεγγομένου. τί γάρ φησι; Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. τί ἐστιν, ἔτι καθ' ὑπερβολήν; ὃ λέγει τοιοῦτόν ἐστι· Κορίνθιοι μέγα ἐφρόνουν ἐπὶ τοῖς χαρίσμασι τότε, καὶ οἱ ἔχοντες γλώσσας, τὸ ἐλάχιστον χάρισμα,

Marginalia: γρ. ἐστι — γρ. παρ. — Λουκ. ις. ια. — γρ. ἀλλ. — γρ. σπουδὴν — α Θεσ. ε. ια. καὶ δ. ιη. — Ἀριθ. ια. ις. — γρ. σοφίας, καὶ δικαίως τούτων ἀπεστέρησαι; καὶ τοῦτο — α. Κορ. ιβ. λα.

ἐφεστιοῦν τὸ κατὰ τῶν λοιπῶν. λέγε μοι, ὅλως θέλετε χαρίσματα; ἐγὼ δείκνυμι ὑμῖν ὁδὸν χαρισμάτων, οὐχ ἁπλῶς ὑπερέχουσαν, ἀλλὰ καθ᾽ ὑπερβολήν. εἶτά φησιν, Ἐὰν ταῖς

α. Κορ. ιγ. α. γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. εἶδες χάρισμα; οὐκοῦν ζήλωσον τοῦτο τὸ χάρισμα. τοῦτο τοῦ νεκροὺς ἐγείρειν μεῖζον· τοῦτο τῶν ἄλλων ἁπάντων πολλῷ βέλτιον. καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἄκουσον τί φησιν ὁ Χριστὸς τοῖς μαθηταῖς διαλεγόμενος· Ἐν τούτῳ γνώ-

Ἰωαν. ιγ. λε. σονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε. εἶτα δεικνὺς ἐν ποίῳ, οὐκ εἶπε τὰ θαύματα, ἀλλὰ τί;

Ἰωαν. ιζ. κα. Ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. καὶ πάλιν πρὸς τὸν πατέρα φησίν, Ἐν τούτῳ γνώ-

Ἰωαν. ιγ. λδ. σονται, ὅτι σύ με ἀπέστειλας, ἐὰν ὦσιν ἕν. καὶ αὐτὸς ἔλεγε πρὸς τοὺς μαθητὰς, Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. τῶν τοίνυν τοὺς νεκροὺς ἀνιστώντων σεμνότερος ὁ τοιοῦτος, καὶ λαμπρότερος εἰκότως. ἐκεῖνο μὲν γὰρ ὅλον τῆς τοῦ Θεοῦ χάριτός ἐστι· τοῦτο δὲ καὶ τῆς σῆς σπουδῆς. τοῦτο ὄντως χριστιανοῦ· τοῦτο δείκνυσι τὸν τοῦ Χριστοῦ μαθητὴν, τὸν ἐσταυρωμένον, τὸν οὐδὲν ἔχοντα κοινὸν ἐν τῇ γῇ. τούτου χωρὶς οὐδὲ μαρτύριον ὠφελῆσαί τι δύναται. καὶ ἵνα μάθῃς, ὅρα τοῦτο σαφῶς. ἔλαβε δύο κορυφὰς ἀρετῶν ὁ μακάριος Παῦλος, μᾶλλον δὲ τρεῖς· τὰς ἐν τοῖς σημείοις, τὰς ἐν τῇ γνώσει, τὰς ἐν τῷ βίῳ. "καὶ χ. ἀλλὰ ταύτης ἄνευ οὐδὲν ἔφησιν εἶναι ταῦτα. πῶς δὲ οὐδέν ἐστι ταῦτα; ἐγὼ λέγω. Ἐὰν ψωμίσω

α. Κορ. ιγ. γ. μου, φησὶ, τὰ ὑπάρχοντα, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν "εἰμι. ἔστι γὰρ καὶ ψωμίζοντα μὴ εἶναι χ. εἶ. ἀγαπητικὸν, καὶ χρήματα κενοῦντα. καὶ εἴρηται μὲν ἡμῖν ταῦτα ἀρκούντως ἐν τῷ τόπῳ τῷ περὶ τῆς ἀγάπης· κἀκεῖ παραπεμπόμεθα τοὺς ἐντυγχάνοντας. πλὴν δὲ, ὅπερ ἔφην, ζηλώσωμεν τὸ χάρισμα, ἀγαπήσωμεν ἀλλήλους· καὶ οὐδενὸς ἑτέρου δεηθησόμεθα πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν, ἀλλὰ πάντα ἡμῖν ἔσται εὔκολα χωρὶς ἱδρώτων, καὶ ἅπαντα κατορθώσομεν μετὰ πολλῆς τῆς σπουδῆς. ἀλλ᾽ ἰδοὺ καὶ νῦν, φησιν, ἀγαπῶμεν ἀλλήλους. ὁ μὲν γὰρ ἔχει φίλους δύο, ἢ τρεῖς, ὁ δὲ τέτταρας. ἀλλὰ τοῦτο οὐκ ἔστι διὰ τὸν Θεὸν ἀγαπᾶν, ἀλλὰ διὰ τὸ φιλεῖσθαι. ὁ δὲ διὰ τὸν Θεὸν ἀγαπᾶν, οὐ ταύτην ἔχει τὴν ἀρχὴν τῆς "ἀγάπης, ἀλλὰ πρὸς πάντας, ὡς πρὸς ἀδελφοὺς, ὁ τοιοῦτος διακείσεται, τοὺς μὲν ὁμοπίστους, ἅτε γνησίους ὄντας ἀδελφοὺς φιλεῖ, τοὺς δὲ αἱρετικοὺς καὶ Ἕλληνας καὶ Ἰουδαίους, ὡς ἀδελφοὺς μὲν κατὰ τὴν φύσιν, φαύλους δὲ τυγχάνοντας καὶ ἀχρήστους, ἐλεεῖ, καὶ τηκόμενος ὑπὲρ αὐτῶν, καὶ δακρύων. ἐν τούτῳ * ὅμοιοι ἐσόμεθα τῷ Θεῷ, ἐὰν πάντας ἀγαπῶμεν, καὶ τοὺς ἐχθρούς· οὐκ ἐὰν σημεῖα ποιῶμεν. ἐπεὶ καὶ τὸν Θεὸν θαυμάζομεν μὲν καὶ ὅταν θαύματα ἐργάζηται· πολλῷ δὲ πλέον, ὅταν φιλανθρωπεύηται, ὅταν ἀνεξικακῇ. εἰ τοίνυν καὶ ἐπὶ τοῦ Θεοῦ ἐκεῖνο πολλοῦ θαύματος ἄξιον, πολλῷ μᾶλλον ἐπ᾽ ἀνθρώπων εὔδηλον ὅτι τοῦτο ἡμᾶς θαυμαστοὺς ἀπεργάζεται. τοῦτο τοίνυν ζηλώσωμεν· καὶ Παύλου, καὶ Πέτρου, καὶ τῶν μυρίους ἀναστησάντων νεκροὺς οὐδὲν ἔλαττον ἕξομεν, κἂν πυρετὸν ἀπελάσαι μὴ δυνώμεθα. ἐκείνης δὲ χωρὶς, κἂν αὐτῶν τῶν ἀποστόλων μείζονα ἐργασώμεθα σημεῖα, κἂν μυρίοις κινδύνοις ἑαυτοὺς ὑπὲρ τῆς πίστεως παραβάλλωμεν, οὐδὲν ἡμῖν ἔσται ὄφελος. καὶ ταῦτα οὐκ ἐγὼ λέγω, ἀλλ᾽ αὐτὸς ὁ τῆς ἀγάπης "τρόφιμος ταῦτα ἐπίσταται. ἐκείνῳ τοίνυν πειθώμεθα. οὕτω γὰρ δυνησόμεθα ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μεταλαχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. η. 5 ΟΥ ΓΑΡ ΑΓΓΕΛΟΙΣ ΥΠΕΤΑΞΕ ΤΗΝ ΟΙ-
κουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. 6 Διεμαρτύρατο δέ
πού τις λέγων, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι
ἐπισκέπτῃ αὐτόν; [7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους.]

Ἠβουλόμην

Ἠβουλόμην γνῶναι σαφῶς, εἴ τινες μετὰ τῆς προσηκούσης σπουδῆς τῶν λεγομένων ἀκούουσιν, εἰ μὴ παρὰ τὴν ὁδὸν τὰ σπέρματα ῥίπτομεν. οὕτω γὰρ ἂν προθυμότεροι τὴν διδασκαλίαν ἐποιησάμεθα. ἐρχόμεθα γάρ, κἂν μηδεὶς ἀκούῃ, διὰ τὸν ἐπικείμενον παρὰ τοῦ σωτῆρος φόβον. Διαμαρτύρασθαι γάρ, φησι, τῷ λαῷ τούτῳ κἂν μὴ ἀκούσωσιν, αὐτὸς ἀνεύθυνος ἔσῃ. Εἰ δὲ ἐπεπείσμεθα περὶ τῆς ὑμετέρας σπουδῆς, οὐ διὰ τὸν φόβον ἐλέγομεν μόνον, ἀλλὰ καὶ μεθ᾽ ἡδονῆς τοῦτο ἐποιοῦμεν. νῦν μὲν γὰρ κἂν μηδεὶς ἀκούῃ, κἂν ἐμοὶ τὸ πρᾶγμα ἀκίνδυνον ᾖ τὸ ἐμαυτοῦ πληροῦντι, ἀλλ᾽ ὅμως οὐ μεθ᾽ ἡδονῆς ὁ πόνος γίνεται. τί γὰρ ὄφελος, ὅταν μὴ ἐγκαλώμεθα μὲν ἡμεῖς, ὠφελῆται δὲ μηδείς; Εἰ δέ τινες μέλλοιεν προσέχειν, οὐ τοσαύτην ἀπὸ τοῦ μὴ κολάζεσθαι ληψόμεθα ὄνησιν, ὅσην ἀπὸ τῆς προκοπῆς τῆς ὑμετέρας. πῶς οὖν εἰσόμεθα; τοῦτο ἐπιτηρήσαι ὑμῶν τινας τῶν οὐ πάνυ προσεχόντων, τούτους ἐρησόμεθα κατ᾽ ἰδίαν συντυχόντες. κἂν εὕρω τινὰ τῶν εἰρημένων κατέχοντας (οὐ λέγω πάντα· τοῦτο γὰρ ὑμῖν οὐ σφόδρα εὔκολον) ἀλλὰ κἂν ὀλίγα ἐκ πολλῶν, εὔδηλον ὅτι περὶ τῶν πολλῶν οὐδεὶς ἀμφιβάλλειν λοιπόν. καὶ ἐχρῆν μὲν ἡμᾶς μὴ προειπόντας τοῦτο, ἀφυλάκτοις ὑμῖν ἐπιτεθῆναι· πλὴν ἀλλ᾽ ἀγαπητόν, εἰ καὶ οὕτω δυνηθείημεν ἐπιτυχεῖν. μᾶλλον δέ, καὶ οὕτω δυνάμεθα ἀφυλάκτοις ἐπιθέσθαι. ὅτι μὲν γὰρ ἐρησόμεθα, προείπομεν· πότε δὲ ἐρησόμεθα, οὐκ ἔτι δῆλον καθίσταμεν. ἴσως γὰρ σήμερον, ἴσως δὲ αὔριον, ἴσως δὲ μετὰ εἴκοσιν ἢ καὶ τριάκοντα ἡμέρας, ἴσως δὲ μετ᾽ ἐλάττους, ἴσως δὲ καὶ μετὰ πλείους. οὕτω καὶ ὁ Θεὸς τὴν ἡμέραν τῆς τελευτῆς ἄδηλον ἐποίησε. καὶ οὔτε εἰ σήμερον, οὔτε εἰ αὔριον, οὔτε εἰ μετ᾽ ἐνιαυτὸν ὅλον, οὔτε εἰ μετὰ πλείονα ἔτη ἐπιστήσεται, δῆλον ἡμῖν ἀφῆκεν εἶναι· ἵνα τῷ τῆς προσδοκίας ἀδήλῳ διὰ παντὸς ἐν ἀρετῇ κατέχωμεν ἑαυτούς. καὶ ὅτι μὲν ἀπελευσόμεθα, εἶπε· πότε δέ, οὐκ ἔτι. οὕτω κἀγώ, ὅτι μὲν ἐρησόμεθα, εἶπον· πότε δέ, οὐ προσέθηκα, βουλόμενος ὑμᾶς ἐν φροντίδι εἶναι διαπαντός. καὶ μή τις λεγέτω, ὅτι πρὸ τεσσάρων ἑβδομάδων καὶ πέντε καὶ πλειόνων ταῦτα ἠκούσαμεν, καὶ κατέχειν οὐ δυνάμεθα. τὸν γὰρ ἀκούοντα οὕτω βούλομαι κατέχειν, ὡς ἄληστον ἔχειν τὴν μνήμην, καὶ μὴ ἐξίτηλον, μηδὲ ἀποπλύνειν τὰ λεγόμενα. βούλομαι γὰρ ὑμᾶς κατέχειν, οὐχ ἵνα ἐμοὶ εἴπητε, ἀλλ᾽ ἵνα ὑμεῖς κερδάνητε· καὶ τοῦτο ἐμοί ἐστι τὸ σπουδαζόμενον. ἀλλ᾽ ἐπεὶ ὅσα ἐχρῆν εἰπεῖν εἰς ἀσφάλειαν, ἡμῖν εἴρηται, ἀναγκαῖον λοιπὸν ἄρξασθαι τῆς ἀκολουθίας. τί δὲ οὖν προέκειται ἡμῖν εἰπεῖν σήμερον; Οὐ γὰρ ἀγγέλοις, φησίν, ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. ἆρα μὴ περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης; οὐκ ἔστιν, ἀλλὰ περὶ ταύτης. διὸ γὰρ τοῦτο προσέθηκε, περὶ ἧς λαλοῦμεν, ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα ἑτέραν τινὰ ἐπιζητεῖν. πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ; ὥσπερ καὶ ἑτέρωθί φησιν, Ὅς ἐστι τύπος τοῦ μέλλοντος, περὶ τοῦ Ρωμ. ε.
Ἀδὰμ καὶ τοῦ Χριστοῦ λέγων ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, πρὸς τὸν χρόνον τοῦ Ἀδὰμ μέλλοντα τὸν κατὰ σάρκα Χριστὸν καλῶν (καὶ γὰρ ἔμελλεν) οὕτω καὶ νῦν. ἐπειδὴ εἶπεν, ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, ἵνα μὴ νομίσῃς ἑτέραν οἰκουμένην λέγειν αὐτόν, πολλαχόθεν μὲν αὐτὸ καὶ ἄλλοθεν βεβαιοῦται, καὶ ἀπ᾽ αὐτοῦ δὲ τοῦ εἰπεῖν [αὐτὴν] μέλλουσαν. ἔμελλε γὰρ ἡ οἰκουμένη· ὁ δὲ υἱὸς τοῦ Θεοῦ ἦν ἀεί. ταύτην οὖν τὴν μέλλουσαν ἔσεσθαι, οὐκ ἀγγέλοις ὑπέταξεν, ἀλλὰ τῷ Χριστῷ. ὅτι δὲ πρὸς τὸν υἱὸν εἴρηται, φησί, δῆλον. οὐδεὶς γὰρ ἐκεῖνο ἄν τις εἴποι, ὅτι πρὸς ἀγγέλους. εἶτα καὶ ἑτέραν παράγει μαρτυρίαν, καί φησι, Διεμαρτύρατο δέ πού τις λέγων. διατί μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ᾽ ἔκρυψεν αὐτό; καὶ ἐν ἑτέραις δὲ μαρτυρίαις τοῦτο ποιεῖ· ὡς ὅταν λέγῃ, Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν
πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Ψαλ. ϟς. ζ.
β Βασ. ζ. ιδ.
καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς Ψαλ. ργ. δ.

ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν υἱὸν, καὶ κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας. οὕτω καὶ ἐνταῦθά φησι, διεμαρτύρατο δέ πού τις λέγων. τοῦτο δὲ αὐτὸ, οἶμαι, τὸ κρύπτειν καὶ μὴ τιθέναι τὸν εἰρηκότα τὴν μαρτυρίαν, ἀλλ' ὡς περιφερομένην καὶ καταφανῆ οὖσαν εἰσάγειν, δεικνύντος ἐστὶν αὐτοὺς σφόδρα ἐμπείρους εἶναι τῶν γραφῶν. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

8 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ταῦτα δὲ εἰ καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα εἴρηται, ἀλλ' ὅμως κυριώτερον ἁρμόσειεν ἂν τῷ Χριστῷ κατὰ σάρκα. τὸ γὰρ, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, ἐκείνου μᾶλλόν ἐστιν, ἢ ἡμῶν. καὶ γὰρ ὁ υἱὸς τοῦ Θεοῦ οὐδὲν ἡμᾶς ὄντας ἐπεσκέψατο· καὶ τὸ ἐξ ἡμῶν ἀναλαβὼν, καὶ ἑνώσας αὑτῷ, πάντων ἀνώτερος γέγονεν. Ἐν γὰρ τῷ ὑποτάξαι, φησὶν, αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ εἶπεν, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, εἰκὸς δὲ ἦν αὐτοὺς ἔτι ἀσχάλλειν, εἶτα μετὰ ταῦτα ὀλίγα ἄνω παρενθεὶς, ταύτην τὴν μαρτυρίαν ἐπήγαγε βεβαιοῦσαν ἐκείνην. ἵνα γὰρ μὴ λέγωσι, πῶς τοὺς ἐχθροὺς ἔθηκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τοσαῦτα παθόντων ἡμῶν; ἠρέμα μὲν καὶ ἐν τῷ προτέρῳ αὐτὸ ᾐνίξατο (τὸ γὰρ, ἕως, οὐ τὸ εὐθέως ἐδήλου γινόμενον, ἀλλὰ τὸ ἐν χρόνῳ) ἐνταῦθα δὲ αὐτὸ ἐπεξέρχεται. μὴ γὰρ, ἐπειδὴ οὐδέπω ὑπετάγησαν, φησὶ, νομίσῃς μηδὲ ὑποτάττεσθαι. ὅτι μὲν γὰρ δεῖ ὑποταγῆναι, δῆλον. καὶ γὰρ ἡ προφητεία διὰ τοῦτο εἴρηται. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ, φησι, τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. πῶς οὖν οὐ πάντα ὑποτέτακται; ὅτι μέλλει ὑποτάσσεσθαι. εἰ τοίνυν πάντα μὲν ὑποταγῆναι ὀφείλει, οὔπω δὲ ὑποτέτακται, μὴ ἄσχαλλε, μηδὲ θορυβοῦ. εἰ μὲν γὰρ τοῦ τέλους παραγινομένου, καὶ πάντων ὑποταγέντων, ταῦτα ἔπασχες, εἰκότως ἂν ἤλγεις· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα· οὔπω ἐκράτησεν ὁ βασιλεὺς καθαρῶς. τί τοίνυν θορυβῇ, πάσχων κακῶς; οὔπω πάντων περιεγένετο τὸ κήρυγμα, οὔπω καιρὸς τέλεον ὑποταγῆναι. Εἶτα πάλιν ἑτέρα παράκλησις· ἤδη ὁ μέλλων πάντας ἔχειν ὑποτεταγμένους, καὶ αὐτὸς ἀπέθανε, καὶ μυρία πέπονθε.

9 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν, φησὶ, Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου. Εἶτα τὰ χρηστὰ πάλιν, Δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. Εἶδες πῶς αὐτῷ πάντα ἥρμοσε; καὶ γὰρ τὸ, βραχύ, αὐτῷ ἂν ἁρμόσειε μᾶλλον, τῷ τρεῖς ἡμέρας γενομένῳ ἐν τῷ ᾅδῃ μόνας, ἀλλ' οὐχ ἡμῖν τοῖς ἐπιπολὺ φθειρομένοις. ὁμοίως καὶ τὸ, δόξῃ καὶ τιμῇ, ἐκείνῳ πολλῷ πλέον, ἢ ἡμῖν ἁρμόσει. πάλιν αὐτοὺς ἀναμιμνήσκει τοῦ σταυροῦ, δύο ταῦτα κατορθῶσαι σπουδάζων, καὶ τὴν κηδεμονίαν αὐτοῦ δεῖξαι, καὶ πεῖσαι αὐτοὺς πάντα φέρειν γενναίως, εἰς τὸν διδάσκαλον ἀφορῶντας. εἰ γὰρ ὁ προσκυνούμενος ὑπ' ἀγγέλων, φησὶν, ἠνέσχετο βραχύ τι παρ' ἀγγέλους ἔχειν διὰ σέ· πολλῷ μᾶλλον σὺ ὁ τῶν ἀγγέλων ἐλάττων, πάντα φέρειν ὀφείλεις δι' αὐτόν. εἶτα δείκνυσιν, ὅτι δόξα καὶ τιμὴ ὁ σταυρός ἐστιν· [Ιωαν. ια δ.] ὥσπερ οὖν καὶ αὐτὸς δόξαν αὐτὸν καλεῖ λέγων, Ἦλθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. εἰ οὖν ἐκεῖνος τὰ διὰ τοὺς δούλους δόξαν καλεῖ, πολλῷ μᾶλλον σὺ τὰ διὰ τὸν δεσπότην. ὁρᾷς τοῦ σταυροῦ τὸν καρπὸν, ὅσος; μὴ φοβηθῇς τὸ πρᾶγμα. σκυθρωπὸν μὲν γὰρ εἶναι σοι δοκεῖ, μυρία δὲ τίκτει ἀγαθά. δείκνυσιν ἐκ τούτων τοῦ πειρασμοῦ τὸ ὄφελος. εἶτά φησιν,

Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ὅπως, φησὶ, χάριτι Θεοῦ. [Ρωμ. η. λϐ.] κἀκεῖνος μὲν διὰ τὴν χάριν τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς ταῦτα πέπονθεν· Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο,

σατο, φησὶν, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. τίνος ἕνεκεν; οὐκ ὀφείλετο ἡμῖν, ἀλλὰ χάριτι πεποίηκε. καὶ πάλιν ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ φησι, Πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν. Ρωμ. ε. ιε. ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. οὐχὶ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης. αὐτὸς μὲν γὰρ ὑπὲρ πάντων ἀπέθανε. τί δὲ, εἰ μὴ πάντες ἐπίστευσαν; αὐτὸς τὸ ἑαυτοῦ πεπλήρωκε. καὶ κυρίως εἶπεν, ὑπὲρ παντὸς γεύσηται θανάτου· καὶ οὐκ εἶπεν, ἀποθάνῃ. ὥσπερ γὰρ ὄντως γευσάμενος, οὕτω μικρὸν ἐν αὐτῷ ποιήσας διάστημα, εὐθέως ἀνέστη. τῷ μὲν οὖν εἰπεῖν, διὰ τὸ πάθημα τοῦ θανάτου, τὸν ὄντως θάνατον ἐσήμανε· τῷ δὲ, ἀγγέλων κρείττων, τὴν ἀνάστασιν ἐδήλωσεν. καθάπερ γὰρ ἰατρὸς οὐκ ἔχων ἀνάγκην τῶν τῷ ἀρρώστῳ προεσκευασμένων σιτίων ἀπογεύσασθαι, διὰ τὴν περὶ ἐκεῖνον κηδεμονίαν πρότερος αὐτὸς ἀπογεύεται, ἵνα πείσῃ τὸν ἄρρωστον θαρσοῦντα κατατολμῆσαι τῆς βρώσεως· οὕτω καὶ ὁ Χριστὸς, ἐπειδὴ πάντες ἄνθρωποι τὸν θάνατον ἐδεδοίκεσαν, πείθων αὐτοὺς κατατολμᾶν τοῦ θανάτου, καὶ αὐτὸς ἀπεγεύσατο αὐτοῦ, οὐκ ἔχων ἀνάγκην. Ἔρχεται γὰρ, φησὶν, ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ οὐχ εὑρίσκει ἐν ἐμοὶ οὐδέν. Ιωαν. ιδ. γ. ὥστε καὶ τὸ, χάριτι, καὶ τὸ, ὑπὲρ παντὸς γεύσηται θανάτου, τοῦτο συνίστησιν.

10 Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. Περὶ τοῦ πατρὸς ἐνταῦθα λέγει. ὁρᾷς πῶς πάλιν τὸ, δι' οὗ, αὐτῷ ἁρμόζει; οὐκ ἂν δὲ τοῦτο ἐποίησεν, εἴγε ἐλαττώσεως ἦν, καὶ τῷ υἱῷ μόνον προσῆκεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἄξια, φησὶ, τῆς φιλανθρωπίας αὐτοῦ πεποίηκε, τὸ τὸν πρωτότοκον λαμπρότερον ἀποδεῖξαι πάντων, καὶ ὥσπερ ἀθλητὴν γενναῖον καὶ τοὺς ἄλλους ὑπερέχοντα, τοῖς ἑτέροις ὑπόδειγμα θεῖναι. τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν. τουτέστι, τὸν αἴτιον τῆς σωτηρίας. ὁρᾷς ὅσον τὸ μέσον; καὶ αὐτὸς υἱὸς, καὶ ἡμεῖς υἱοί· ἀλλ' ὁ μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. εἶδες πῶς ἡμᾶς καὶ συνάγει καὶ διΐστησι; πολλοὺς, φησὶν, υἱοὺς εἰς δόξαν ἀγαγόντα. ἐνταῦθα συνήγαγε. τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν. καὶ πάλιν διΐστησι. διὰ παθημάτων τελειῶσαι. ἄρα τὰ παθήματα τελείωσις, καὶ αἰτία τῆς σωτηρίας. ὁρᾷς ὅτι τὸ παθεῖν κακῶς, οὐκ ἔστιν ἐγκαταλελειμμένων; εἰ δὴ τούτῳ πρώτῳ τετίμηκε τὸν υἱὸν ὁ Θεὸς, τῷ διὰ παθημάτων αὐτὸν ἀγαγεῖν. καὶ ὄντως τοῦ τὸν κόσμον ποιῆσαι, καὶ ἐκ μὴ ὄντων παραγαγεῖν αὐτὸν, τὸ σάρκα ἀναλαβόντα παθεῖν ἅπερ ἔπαθε, πολλῷ μεῖζόν ἐστι. καὶ τοῦτο μὲν οὖν φιλανθρωπίας, ἐκεῖνο δὲ πολλῷ πλέον. καὶ δηλῶν καὶ αὐτὸς τοῦτο αὐτό, φησὶν, Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, καὶ συνήγειρε, καὶ συνεκάθισεν * ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. Εφεσ. β. ζ. ἔπρεπε γὰρ * αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ἔπρεπε γὰρ αὐτῷ, φησὶ, τῷ κηδεμόνι ὄντι, καὶ πάντα εἰς τὸ εἶναι παραγαγόντι, ἐκδοῦναι τὸν υἱὸν ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας, τὸν ἕνα ὑπὲρ τῶν πολλῶν. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ, διὰ παθημάτων τελειῶσαι, δεικνὺς ὅτι ὁ παθὼν ὑπέρ τινος, οὐκ ἐκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς λαμπρότερος γίνεται καὶ τελειότερος. καὶ τοῦτο δὲ πρὸς τοὺς πιστοὺς φησὶ, παραθαρρύνων αὐτούς. καὶ γὰρ ὁ Χριστὸς τότε ἐδοξάσθη, ὅτε ἔπαθεν. ὅταν δὲ εἴπω, ὅτι ἐδοξάσθη, μὴ νομίσῃς δόξης πρόσληψιν αὐτῷ γίνεσθαι. ἐκείνην γὰρ τὴν τῆς φύσεως εἶχεν ἀεὶ, οὐδὲν προσλαβών.

11 Ὅ τε γὰρ ἁγιάζων, φησὶ, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν. Ἰδοὺ πάλιν πῶς συνάγει τέως αὐτοὺς καὶ παραμυθούμενος, καὶ ἀδελφοὺς αὐτοὺς ποιῶν τοῦ Χριστοῦ, κατὰ τοῦτο, τὸ ἐξ ἑνὸς εἶναι. εἶτα πάλιν ἀσφαλιζόμενος, καὶ δεικνὺς ὅτι τὸ κατὰ σάρκα φησὶν, ἐπήγαγε, τὸ, ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι.

γρ. ἰδού
* ἡμᾶς
* φησι

μεθα. ὁρᾷς ὅσον τὸ μέσον; ὁ μὲν γὰρ ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. καὶ δευτέρῳ τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν ἔφη. εἷς γὰρ Θεός, ἐξ οὗ τὰ πάντα. δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν. ὁρᾷς πῶς πάλιν δείκνυσι τὴν ὑπεροχήν; τῷ γὰρ εἰπεῖν, οὐκ ἐπαισχύνεται, δείκνυσιν οὐ τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς φιλοστοργίας τοῦ μὴ ἐπαισχυνομένου τὸ πᾶν ὄν, καὶ τῆς ταπεινοφροσύνης τῆς πολλῆς. εἰ γὰρ καὶ ἐξ ἑνός, ἀλλ᾽ ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. πολὺ δὲ τὸ μέσον. καὶ ὁ μὲν ἐκ τοῦ πατρός, ὡς υἱὸς γνήσιος, τουτέστιν, ἐκ τῆς οὐσίας αὐτοῦ· ἡμεῖς δὲ ὡς κτίσμα, τουτέστιν, ἐξ οὐκ ὄντων. ὥστε πολὺ τὸ μέσον. διό φησιν, οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων,

Ψαλ. κβ. κγ. 12 Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. Τὴν γὰρ σάρκα ἐνδυσάμενος, ἐνεδύσατο καὶ τὴν ἀδελφότητα, καὶ συνεισῆλθεν ὁμοῦ τῇ σαρκὶ καὶ ἡ ἀδελφότης. ἀλλὰ τοῦτο μὲν εἰκότως τέθεικε· τὸ δέ,

Ψαλ. ιη. γ. Ησ. η. ιη. 13 Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ, Τί βούλεται; καὶ τὸ μετὰ ταῦτα δὲ εἰκότως· Ἰδοὺ ἐγώ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.

Ὥσπερ γὰρ ἐνταῦθα πατέρα δείκνυσιν ἑαυτόν, οὕτως ἐκεῖ ἀδελφόν. Ἀπαγγελῶ, φησι, τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. καὶ πάλιν τὴν ὑπεροχὴν δείκνυσι, καὶ πολὺ τὸ μέσον, διὰ τῶν ἑξῆς.

14 Ἐπεὶ οὖν τὰ παιδία, φησί, κεκοινώνηκεν αἵματος καὶ σαρκός.

Ὁρᾷς ποῦ φησι τὸ ὅμοιον; κατὰ τὴν σάρκα. Παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν. Αἰσχυνέσθωσαν πάντες οἱ αἱρετικοί, ἐγκαλυπτέσθωσαν οἱ δοκήσει λέγοντες αὐτὸν παραγεγενῆσθαι, καὶ οὐκ ἀληθείᾳ. οὐ γὰρ εἶπεν, ὅτι μετέσχε τούτων μόνον, καὶ ἐσίγησε (καίτοι καὶ εἰ οὕτως εἶπεν, ἱκανὸν ἦν) ἀλλ᾽ ἕτερόν τι μεῖζον ἐνέφηνε, τό, παραπλησίως, προσθείς. οὐ φαντασίᾳ, οὐδὲ εἰκόνι, φησίν, ἀλλ᾽ ἀληθείᾳ· ἐπεὶ τό, παραπλησίως, οὐ σώζεται. Εἶτα δείξας τὴν ἀδελφότητα, καὶ τὴν αἰτίαν τίθησι τῆς οἰκονομίας. Ὅπως διὰ τοῦ θανάτου, φησί, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον.

Ἐνταῦθα τὸ θαυμαστὸν δείκνυσιν, ὅτι δι᾽ οὗ ἐκράτησεν ὁ διάβολος, διὰ τούτου ἡττήθη, καὶ ὅπερ ἰσχυρὸν ἦν αὐτῷ ὅπλον κατὰ τῆς οἰκουμένης ὁ θάνατος, τούτῳ αὐτὸν ἔπληξεν ὁ Χριστός. καὶ τὸ πολὺ τῆς δυνάμεως τοῦ νικήσαντος ἐμφαίνει. ὁρᾷς ὅσον ὁ θάνατος εἰργάσατο καλόν;

15 Καὶ ἀπαλλάξῃ, φησί, τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Τίνος ἕνεκεν φρίττετε, φησι, τί δεδοίκατε τὸν καταργηθέντα; οὐκέτι φοβερός ἐστιν, ἀλλὰ πεπάτηται, καταπεφρόνηται, εὐτελής ἐστι, καὶ οὐδενὸς ἄξιος. τί δέ ἐστιν, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας; τί τοῦτό, φησιν; ὅτι ὁ τὸν θάνατον δεδοικώς, δοῦλός ἐστι, καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν· ἢ ἐκεῖνο, ὅτι πάντες δοῦλοι ἦσαν τοῦ θανάτου, φησί, καὶ τῷ μηδέπω αὐτὸν λελύσθαι ἐκρατοῦντο· ἢ [εἰ μὴ τοῦτο,] ὅτι φόβῳ διηνεκεῖ συνέζων οἱ ἄνθρωποι. ἀεὶ γὰρ ἀποτεθνήξεσθαι προσδοκῶντες, καὶ τὸν θάνατον δεδοικότες, οὐδεμιᾶς ἡδονῆς αἴσθησιν λαβεῖν ἠδύναντο, τοῦ φόβου τούτου παρόντος αὐτοῖς. τοῦτο γὰρ ᾐνίξατο εἰπών, διὰ παντὸς τοῦ ζῆν. δείκνυσιν ἐνταῦθα τοὺς θλιβομένους, τοὺς ἐλαυνομένους, τοὺς διωκομένους, τοὺς καὶ πατρίδος καὶ οὐσίας καὶ τῶν ἄλλων ἁπάντων ἀπεστερημένους, ἤδη διάγοντας ἐλευθεριωτέρους ἐκείνων τῶν ἐν τρυφῇ τὸ πάλαι τυγχανόντων, τῶν μηδὲν τοιοῦτον παθόντων, τῶν εὐθηνουμένων· εἴγε ἐκεῖνοι μὲν διὰ παντὸς τοῦ ζῆν ὑπὸ τῷ φόβῳ τούτῳ ἦσαν, καὶ δοῦλοι· αὐτοὶ δὲ τούτου εἰσὶν ἀπηλλαγμένοι, καὶ γελῶντες τοῦτο, ὅπερ ἐκεῖνοι πεφρίκασιν. ὥσπερ γὰρ εἴ τις δεσμώτην μέλλοντα τὴν ἐπὶ θάνατον ἄγεσθαι, καὶ ἀεὶ τοῦτο προσδοκῶντα λιπαίνοι πολλῇ τῇ τρυφῇ, τοιοῦτόν τι ἦν τὸ παλαιὸν ὁ θάνατος. νῦν δὲ ταὐτὸν γέγονεν, οἷον ἂν εἴ τις τὸν φόβον ἐκεῖνον ἐκβαλὼν μετὰ τῆς τρυφῆς, ἀ-

θλεῖν

θλίψει προτρέποι, καὶ τὸν ἀγῶνα προτιθεὶς, ἐπαγγέλλοιτο μηκέτι εἰς θάνατον, ἀλλ' εἰς βασιλείαν ἀγαγεῖν. τίνων οὖν ἠθέλησας σὺ γενέσθαι, τὸν ἐν τῷ δεσμωτηρίῳ λιπαρούμενον μετὰ τὸ καθ' ἑκάστην ἡμέραν τὴν ἀπόφασιν προσδοκᾷν, ἢ τὸν ἀθλήσαντα πολλὰ, καὶ πονήσαντα ἐκεῖνον, ὥστε τὸ διάδημα τῆς βασιλείας ἀναδήσασθαι; ὁρᾷς πῶς αὐτὴν ἦρε τὴν ψυχὴν, καὶ μετεώρους εἰργάσατο; δείκνυσι δὲ οὐ τὸν θάνατον μόνον πεπαυμένον, ἀλλὰ διὰ τούτου κἀκεῖνον τὸν ἄσπονδον πρὸς ἡμᾶς ἀεὶ τὸν πόλεμον ἐπανῃρημένον καὶ ἐπιδεικνύμενον, τὸν διάβολον λέγω καταργηθέντα. ὁ γὰρ θάνατον μὴ δεδοικὼς, ἔξω τῆς τυραννίδος ἐστὶ τοῦ διαβόλου. εἰ γὰρ δέρμα ὑπὲρ δέρματος, καὶ πάντα δοίη ἄν τις ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· ὅταν καὶ ταύτης κρίνῃ τις καταφρονεῖν, τίνος ἔσται δοῦλος λοιπόν; οὐδένα δέδοικεν, οὐδένα φοβεῖται, πάντων ἐστὶν ἀνώτερος, καὶ πάντων ἐλευθερώτερος. ὁ γὰρ τῆς ψυχῆς τῆς ἑαυτοῦ καταφρονῶν, πολλῷ μᾶλλον τῶν ἄλλων. ὅταν δὲ εὕρῃ ψυχὴν τοιαύτην ὁ διάβολος, οὐδὲν ἐργάσασθαι δύναται ἐν αὐτῇ τῶν ἑαυτοῦ. τί γὰρ, εἰπέ μοι; χρημάτων ζημίαν ἀπειλήσει, καὶ ἀτιμίαν, καὶ πατρίδος ἔκπτωσιν; ἀλλὰ ταῦτα μικρὰ τῷ μηδὲ τὴν ψυχὴν τιμίαν ἡγουμένῳ, κατὰ τὸν μακάριον Παῦλον. ὁρᾷς ὅτι τοῦ θανάτου τὴν τυραννίδα ἐκβαλὼν, συγκατέλυσε καὶ τοῦ διαβόλου τὴν ἰσχύν; ὁ γὰρ περὶ ἀναστάσεως μυρία φιλοσοφεῖν εἰδὼς, πῶς δέδοικε θάνατον; πῶς φρίττει λοιπόν;

Μὴ τοίνυν ἀσχάλλετε λέγοντες, διὰ τί τὰ καὶ τὰ πεπόνθαμεν; οὕτω γὰρ λαμπροτέρα ἡ νίκη γίνεται. οὐκ ἂν δὲ ἦν λαμπρὰ, εἰ μὴ θανάτῳ τὸν θάνατον ἔλυσε. τὸ δὲ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι δι' αὐτῶν αὐτὸν ἐνίκησε, δι' ὧν ἴσχυσε, τὸ εὔπορον αὐτοῦ πανταχοῦ καὶ εὐμήχανον δεικνύς. μὴ δὴ προδῶμεν τὴν δοθεῖσαν ἡμῖν δωρεάν. Οὐ γὰρ ἐλάβομεν, φησὶ, πνεῦμα δειλίας, ἀλλὰ πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. στῶμεν οὖν γενναίως καταγελῶντες τοῦ θανάτου. ἀλλὰ γὰρ ἐπῆλθέ μοι στενάξαι πικρὸν, ποῦ μὲν ὁ Χριστὸς ἡμᾶς ἀνήγαγε, ποῦ δὲ ἑαυτοὺς κατηγάγομεν. ὅταν γὰρ ἴδω τοὺς κοπετοὺς τοὺς κατὰ τὴν ἀγορὰν, τὰς οἰμωγὰς, ἃς ἐπὶ τοῖς ἐξερχομένοις ποιοῦνται τοῦ βίου, τὰς ὀλολυγὰς, τὰς ἀσχημοσύνας τὰς ἄλλας, πιστεύσατε, * αἰσχύνομαι καὶ Ἕλληνας καὶ Ἰουδαίους καὶ αἱρετικοὺς τοὺς ὁρῶντας, καὶ πάντας ἁπλῶς τοὺς διὰ τοῦτο καταγελῶντας ἡμῶν. ὅσα γὰρ ἂν εἴπω λοιπὸν, εἰκῇ ἐρῶ περὶ ἀναστάσεως φιλοσοφῶν. τί δήποτε; ὅτι οὐ τοῖς λεγομένοις παρ' ἐμοῦ προσέχουσιν Ἕλληνες, ἀλλὰ τοῖς γινομένοις παρ' ὑμῶν. εὐθέως γὰρ ἐροῦσι, πότε τούτων τις καταφρονῆσαι θανάτου δυνήσεται, μηδὲ ἕτερον τεθνεῶτα δυνάμενος ἰδεῖν; καλὰ τὰ εἰρημένα ὑπὸ τοῦ Παύλου, καλὰ, καὶ τῶν οὐρανῶν ἄξια, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τί γάρ φησι; καὶ ἀπαλλάξει τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. ἀλλ' οὐκ ἀφίετε ταῦτα πιστεύεσθαι ὑμεῖς, μαχόμενοι διὰ τῶν ἔργων αὐτοῖς· καίτοι πολλὰ ἐπιτειχίσαντος τοῦ Θεοῦ γίνεσθαι * πρὸς τοῦτο, ἵνα ἀνέλῃ τὴν πονηρὰν ταύτην συνήθειαν. εἰπὲ γάρ μοι, τί βούλονται αἱ λαμπάδες αἱ φαιδραί; οὐχ ὡς ἀθλητὰς αὐτοὺς προπέμπομεν; τί δὲ οἱ ὕμνοι; οὐχὶ τὸν Θεὸν δοξάζομεν, καὶ εὐχαριστοῦμεν ὅτι λοιπὸν ἐστεφάνωσε τὸν ἀπελθόντα, ὅτι τῶν πόνων ἀπήλλαξεν, ὅτι τῆς δειλίας ἐκβαλὼν ἔχει παρ' ἑαυτῷ; οὐ διὰ τοῦτο ὕμνοι; οὐ διὰ τοῦτο ψαλμῳδίαι; ταῦτα πάντα χαιρόντων ἐστίν. Εὐθυμεῖ γάρ, φησί, τις; ψαλλέτω. ἀλλ' οὐ τούτοις προσέχουσιν Ἕλληνες. μὴ γάρ μοι, φησὶν, εἴπῃς τὸν ἐκτὸς τοῦ πάθους φιλοσοφοῦντα (τοῦτο γὰρ οὐδὲν μέγα, οὐδὲ θαυμαστὸν) ἀλλὰ δεῖξόν μοι τὸν ἐν αὐτῷ τῷ πάθει φιλοσοφοῦντα, καὶ τότε πιστεύσω τῇ ἀναστάσει. καὶ τὸ μὲν βιωτικὰς γυναῖκας τοῦτο ποιεῖν, θαυμαστὸν οὐδέν. καίτοιγε καὶ αὐτὸ δεινόν. καὶ γὰρ καὶ αὗται τὴν αὐτὴν ἀπαιτοῦνται φιλοσοφίαν. διὸ καὶ Παῦλός φησι, Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. οὐχὶ μονάζουσιν ἔγραφε ταῦτα, οὐδὲ ἀειπαρθένοις, ἀλλὰ καὶ κοσμικαῖς γάμῳ ὁμιλησάσαις, καὶ βιωτικοῖς. πλὴν

ἀλλ'

Marginalia (left): γρ. αὐ — γρ. μετέωρον ἐποίησε; — γρ. -τον διὰ τοῦτο, ἀλλὰ καὶ — γρ. ἀνώτερος αὐτός — γρ. δέδιεν — γρ. φρίξει — γρ. δειλίας, ἀλλὰ πνεῦμα ... στῶμεν — γρ. καταφρονοῦντες — * ἐπὶ — * πὰρ ἡμῶν — γρ. δειλίας, ἢ: ... ἔχει παρ' ἑαυ... ... ἀλλ. ... δουλείας

Marginalia (right): Ἰωβ. β. δ. — ΗΘΙΚΟΝ — Ρωμ. η. ιε. — β. Τιμ. α. ζ. — Ἰακ. ε. ιγ. — α. Θεσ. δ. ιγ.

ἀλλ' οὐχ οὕτω δεινὸν τοῦτο. ὅταν δέ τις, ἢ γυνή, ἢ ἀνὴρ ἐσταυρῶσθαι τῷ κόσμῳ λέγων, ὁ μὲν κ. χειρ.
τρίχας τίλλῃ, ἡ δὲ κωκύῃ μεγάλα, τί τούτου ἀσχημονέστερον; πιστεύσατέ μοι λέγοντι· εἴπερ ὡς
ἐχρῆν ἐγίνετο, πολὺν ἔδει χρόνον τοὺς τοιούτους εἴργεσθαι τῶν οὐδῶν τῶν τῆς ἐκκλησίας.
οἱ γὰρ ὄντως ἄξιοι πένθους, οὗτοί εἰσιν, οἱ τὸν θάνατον δεδοικότες ἔτι καὶ φρίττοντες, οἱ τῇ ἀ-
ναστάσει διαπιστοῦντες. ἀλλ' οὐ τῇ ἀναστάσει διαπιστῶ, φησίν, ἀλλὰ τὴν συνήθειαν ἐπι-
ζητῶ. διατί οὖν, εἰπέ μοι, ὅταν ἀποδημῇ, καὶ ἀποδημίαν μακράν, οὐ τὰ αὐτὰ ποιεῖς;
ἀλλὰ κλαίω καὶ τότε, φησί, καὶ θρηνῶ ἐπιζητοῦσα. ἀλλ' ἐκεῖνο μὲν ὄντως συνήθειαν ἐπιζητού-
σης ἐστί, τοῦτο δὲ ἀπεγνωκυίας τὴν ἐπάνοδον. ἐννόησον ἃ ψάλλεις κατὰ τὸν καιρὸν ἐκεῖνον·
Ψαλμ. ριδ. ζ. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. καὶ πάλιν, Οὐ φο-
Ψαλμ. λα. ζ. βηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ πάλιν, Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς
περιεχούσης με. ἐννόησον τί βούλονται οὗτοι οἱ ψαλμοί. ἀλλ' οὐ προσέχεις, ἀλλὰ μεθύεις
ὑπὸ τοῦ πένθους. κἂν ἐν τοῖς ἑτέρων κηδεύμασι κατανόησον ἀκριβῶς, ἵνα ἔχῃς φάρμα-
κον ἐν τοῖς σοῖς. ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε, λέ-
γεις, καὶ δακρύεις; οὐχὶ σκηνὴ ταῦτά ἐστιν, οὐχ ὑπόκρισις; εἰ μὲν γὰρ ὄντως πιστεύεις οἷς λέ- κ. ὅλως
γεις, περιττῶς πενθεῖς· εἰ δὲ παίζεις καὶ ὑποκρίνῃ καὶ μύθους αὐτὰ εἶναι νομίζεις, τί καὶ ψάλλεις;
τί καὶ ἀνέχῃ τῶν παραγινομένων; διατί μὴ ἀπελαύνεις τοὺς ψάλλοντας; ἀλλὰ μαινομέ-
νων τοῦτο, φησί· κἀκεῖνο πολλῷ μᾶλλον. τέως μὲν οὖν παραινῶ· τοῦ χρόνου δὲ προϊόντος, σφο-
δρότερον τῷ πράγματι χρήσομαι. καὶ γὰρ μειζόνως δέδοικα, μὴ τούτῳ τῷ τρόπῳ χαλεπή
τις νόσος ἐν τῇ ἐκκλησίᾳ ὑπεισέλθῃ. τοῦτον μὲν οὖν τὸν κοπετὸν ὕστερον ἐπανορθωσόμεθα. κ. -σώμεθα
τέως δὲ παραγγέλλω καὶ διαμαρτύρομαι καὶ πλουσίοις καὶ πένησι καὶ γυναιξὶ καὶ ἀνδράσι. γένοι-
το μὲν οὖν πάντας ὑμᾶς ἀπενθήτους τὸν βίον ἐξελθεῖν, καὶ κατὰ νόμον τὸν προσήκοντα πατέ- κ. ἡμᾶς
ρας ὑπὸ τῶν υἱῶν γεγηρακότας προπέμπεσθαι, καὶ μητέρας ὑπὸ θυγατέρων καὶ ἐγγόνων
[καὶ μετεγγόνων] ἐν λιπαρῷ τῷ γήρᾳ, καὶ μηδαμοῦ γίνεσθαι ἄωρον θάνατον. γένοιτο μὲν κ. -πυγ.
οὖν τοῦτο, καὶ τοῦτο εὔχομαι, καὶ τοὺς προέδρους δὲ καὶ πάντας ὑμᾶς ὑπὲρ ἀλλήλων
παρακαλῶ δεηθῆναι τοῦ Θεοῦ, καὶ κοινὴν ποιήσασθαι ταύτην εὐχήν. εἰ δὲ (ὅπερ
ἀπείη, μηδὲ συμβαίη) πικρός τις γένηται θάνατος (πικρὸν δὲ λέγω, οὐ τῇ φύσει (οὐδὲ
γάρ ἐστι λοιπὸν πικρὸς ὁ θάνατος, ὕπνου γὰρ οὐδὲν διενήνοχεν) ἀλλὰ πικρός, [λέγω,]
πρὸς τὴν ἡμετέραν διάθεσιν) εἰ οὖν τοῦτο συμβαίη, καί τινες τὰς θρηνούσας ταύτας μι-
σθώσαιντο (πιστεύσατέ μοι λέγοντι, οὐκ ἄλλως γὰρ ἐρῶ, ἀλλ' ὡς ἔχω· ὁ βουλόμενος ὀρ-
γιζέσθω) πολὺν αὐτὸν χρόνον τῆς ἐκκλησίας ἀπείρξω ὡς τὸν εἰδωλολάτρην. εἰ γὰρ κ. -ξομεν
Κολοσσ. γ. ε. τὴν πλεονεξίαν εἰδωλολατρείαν καλεῖ ὁ Παῦλος, πολλῷ μᾶλλον τὸν ἐπὶ πιστοῦ τὰ τῶν εἰ-
δωλολατρῶν ἐπεισφέροντα. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, πρεσβυτέρους καλεῖς, καὶ τοὺς ψάλ-
λοντας; οὐχ ὥστε παραμυθήσασθαι, οὐχ ὥστε τιμῆσαι τὸν ἀπελθόντα; τί τοίνυν αὐτὸν ὑ-
βρίζεις; τί δὲ παραδειγματίζεις; τί δὲ παίζεις, ὥσπερ ἐν σκηνῇ; ἡμεῖς ἐρχόμεθα τὰ περὶ
ἀναστάσεως φιλοσοφοῦντες, πάντας παιδεύοντες, καὶ τοὺς μηδέπω πεπληγμένους, διὰ
τῆς εἰς ἐκεῖνον τιμῆς, εἴποτε συμβαίη τι τοιοῦτον, φέρειν γενναίως· σὺ δὲ ἄγεις τοὺς τὰ ἡμέ-
τερα καθαιροῦντας, τόγε αὐτῶν μέρος; τί τούτου τοῦ γέλωτος καὶ τῆς χλευασίας χεῖρον;
τί ταύτης τῆς ἀνωμαλίας βαρύτερον; αἰσχύνθητε καὶ ἐντράπητε. εἰ δὲ μὴ βούλεσθε,
α. Τιμ. ε. κ. ἡμεῖς οὐκ ἀνεχόμεθα ἔθη τοιαῦτα ὀλέθρια τῇ ἐκκλησίᾳ ἐπεισαγαγεῖν. Τοὺς γὰρ ἁ-
μαρτάνοντας, φησίν, ἐνώπιον πάντων ἔλεγχε. κἀκείναις δὲ ταῖς ταλαιπώροις καὶ ἀθλί-
αις δι' ὑμῶν ἀπαγορεύομεν, μηδέποτε ταῖς τῶν πιστῶν ἐκφοραῖς ἐπεισιέναι, ἵνα μὴ ὄντως τὰ
οἰκεῖα αὐτὰς ἀναγκάσωμεν θρηνῆσαι κακά, καὶ παιδεύσωμεν μὴ ἐν ἀλλοτρίοις ταῦτα ποι-
εῖν, ἀλλὰ τὰς οἰκείας συμφορὰς μᾶλλον ὀδύρεσθαι. καὶ γὰρ καὶ πατὴρ φιλόστοργος, ὅταν
υἱὸν ἄτακτον ἔχῃ, οὐκ ἐκείνῳ μόνον παραινεῖ μὴ πλησιάζειν τοῖς πονηροῖς, ἀλλὰ καὶ ἐκεί-

τοῖς φόβοις. ἰδοὺ τοίνυν καὶ ὑμῖν καὶ ἐκείναις δι᾽ ὑμῶν παραινῶ, ὥστε μήτε ὑμᾶς κατὰ ταύτας τοιαύτας, μήτε ἐκείνας παραγίνεσθαι. εἰ βούλοιτο μὲν τὸν λόγον ἢ ἐργάσασθαι πλέον, καὶ τὴν ἀπειλὴν ἰσχύσαι. εἰ δὲ (ὅπερ ἀπείη) καταφρονηθῶμεν, ἀναγκασθησόμεθα λοιπὸν εἰς ἔργον ἀγαγεῖν τὴν ἀπειλὴν, ὑμᾶς μὲν τοῖς νόμοις παιδεύοντες τοῖς ἐκκλησιαστικοῖς, ἐκείνας δὲ ὡς ἐκείναις προσῆκόν ἐστιν. εἰ δέ τις ἀπαυθαδιαζόμενος καταφρονοίη, αἰσχυνέσθω τοῦ Χριστοῦ λέγοντος καὶ νῦν, Ἐὰν ὁ ἀδελφός σου ἁμαρτήσῃ εἰς σὲ, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· εἰ δὲ μὴ πείθοιτο, παράλαβε μετὰ σαυτοῦ ἕνα ἢ δύο· εἰ δὲ καὶ οὕτως ἀντιλέγῃ (?), εἰπὲ τῇ ἐκκλησίᾳ· εἰ δὲ καὶ τῆς ἐκκλησίας παρακούσειεν, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. εἰ δὲ τὸν εἰς ἐμὲ ἁμαρτάνοντα, ἐπειδὰν μὴ πείθοιτο, οὕτως ἀποστρέφεσθαι κελεύει· τὸν εἰς ἑαυτὸν ἁμαρτάνοντα καὶ εἰς τὸν Θεὸν πῶς ἔχειν ὀφείλω, ὑμεῖς κρίνατε. ὑμεῖς γὰρ ἢ ἡμῶν καταγινώσκετε οὐ μαλακῶς προσφερομένων ὑμῖν. εἰ δέ τις καταφρονεῖ τῶν δεσμῶν τῶν παρ᾽ ἡμῶν, πάλιν αὐτὸν ὁ Χριστὸς παιδευέτω λέγων, Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. εἰ γὰρ καὶ ἡμεῖς ταλαίπωροι καὶ οὐδαμινοὶ καὶ τοῦ καταφρονεῖσθαι ἄξιοι, ὥσπερ οὖν καὶ ἄξιοι, ἀλλ᾽ οὐχ ἑαυτοὺς ἐκδικοῦμεν, οὐδὲ ὀργῇ ἀμυνόμεθα, ἀλλὰ τῆς ὑμετέρας σωτηρίας φροντίζομεν. αἰδέσθητε, παρακαλῶ, καὶ ἐντράπητε. εἰ γὰρ φίλον τις φέρει σφοδρότερον τοῦ δέοντος ἐπιφερόμενον, τὸν σκοπὸν ἐξετάζων, καὶ ὅτι εὐνοϊκῶς, ἀλλ᾽ οὐκ ἀλαζονευόμενος τοῦτο ποιεῖ· πολλῷ μᾶλλον διδάσκαλον ἐπιπλήττοντα, καὶ διδάσκαλον· οὐδὲ αὐτὸν ἐξ αὐθεντίας ταῦτα λέγοντα, οὐδὲ ὡς ἐν τάξει ἄρχοντος, ἀλλ᾽ ὡς ἐν τάξει κηδεμόνος. οὐ γὰρ ἐξουσίαν ἐπιδείξασθαι βουλόμενοι, ταῦτα λέγομεν (πῶς γὰρ τὸν μηδὲ εἰς πεῖραν αὐτῆς ἐλθεῖν εὐχόμενοι;) ἀλλ᾽ ὑπὲρ ὑμῶν ἀλγοῦντές τε καὶ καταπονούμενοι (?). συγγνῶτε δὴ, καὶ μηδεὶς καταφρονείτω τῶν δεσμῶν τῶν ἐκκλησιαστικῶν. οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ δεσμεύων, ἀλλ᾽ ὁ Χριστὸς ὁ τὴν ἐξουσίαν ταύτην ἡμῖν δεδωκὼς, καὶ κυρίους ποιῶν ἀνθρώπους τῆς τοσαύτης τιμῆς. ἡμεῖς μὲν γὰρ εἰς τὸ λύειν βουλόμεθα κατακεχρῆσθαι τῇ ἐξουσίᾳ· μᾶλλον δὲ, οὐδὲ τούτου ἀνάγκην ἔχειν βουλόμεθα. οὐδένα γὰρ βουλόμεθα εἶναι δεσμώτην παρ᾽ ἡμῖν· οὐχ οὕτως ἐσμὲν ἄθλιοι καὶ ταλαίπωροι, εἰ καὶ σφόδρα οὐδαμινοί τινές ἐσμεν. εἰ δὲ ἀναγκασθείημεν, συγγνῶτε. οὐ γὰρ ἑκόντες, οὐδὲ βουλόμενοι, ἀλλὰ μᾶλλον ὑμῶν τῶν δεδεμένων ἀλγοῦντες, τὰ δεσμὰ περιβάλλομεν. εἰ δέ τις καταφρονοίη τούτων, ἐπιστήσεται ὁ τῆς κρίσεως καιρὸς ὁ διδάσκων αὐτόν. τὸ δὲ λοιπὸν οὐ βούλομαι εἰπεῖν, ἵνα μὴ πλήξω τὴν διάνοιαν ὑμῶν. ἡμεῖς μὲν γὰρ πρὸ τοῦ μὲν εὐχόμεθα εἰς ἀνάγκην μὴ ἐλθεῖν· εἰ δὲ ἔλθοιμεν, τὸ ἑαυτῶν πληροῦμεν, περιβάλλομεν τὰ δεσμά. εἰ δέ τις διαρρήξειε ταῦτα, ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα, καὶ ἀνεύθυνός εἰμι λοιπὸν, ὁ δὲ λόγος ἔσται σοι πρὸς τὸν ἐμοὶ κελεύσαντα δῆσαι. οὐδὲ γὰρ εἰ, βασιλέως παρακαθημένου, τῶν δορυφόρων τῶν παρεστώτων τις ἐκελεύσθη δῆσαί τινα τῶν ἐν τῇ τάξει, καὶ τὰ δεσμὰ περιέβαλεν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσαιτο τοῦτον, ἀλλὰ καὶ συντρίψειε τὰ δεσμά, ὁ δορυφόρος ἐστὶν ὁ τὴν ὕβριν πεπονθὼς, ἀλλ᾽ ὁ βασιλεὺς πολλῷ μᾶλλον ὁ κελεύσας. εἰ γὰρ τὰ εἰς τοὺς πιστοὺς γινόμενα αὐτὸς οἰκειοῦται, ὅταν τοὺς εἰς τὸ διδάσκειν τεταγμένους ὑβρίζητε, πολλῷ μᾶλλον ὡς αὐτὸς ὑβριζόμενος ἀγανακτήσει. ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐπὶ τῆς ἐκκλησίας ταύτης εἰς ἀνάγκην τῶν δεσμῶν τούτων ἐλθεῖν. ὥσπερ γὰρ τὸ μὴ ἁμαρτάνειν, καλόν· οὕτω τὸ φέρειν ἐπιτίμησιν, χρήσιμον. φέρωμεν τοίνυν τὴν ἐπίπληξιν, καὶ σπουδάζωμεν τὸ μὴ ἁμαρτάνειν· ἂν δὲ ἁμαρτάνωμεν, φέρωμεν τὴν ἐπιτίμησιν. ὥσπερ γὰρ καλὸν μὲν τὸ μὴ πλήττεσθαι, εἰ δὲ τοῦτο γένοιτο, τὸ φάρμακον ἐπιτιθέναι τῇ πληγῇ χρήσιμον· οὕτω καὶ ἐνταῦθα. ἀλλὰ μὴ γένοιτό τινα τῶν τοιούτων δεηθῆναι φαρμάκων. Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. σφοδρότερον δὲ διελέχθημεν

Ματθ. ιη. ιε.

γ. ἡμῶν ὁ καταγινώσκετε πίστευμεν

Ματθ. ιη. ιη.

γ. ἀνάξ

γ. τί μοι,

γ. ὑμῶν

Ἑβρ. ς. θ.

μεν

παιδαγωγίας

μεν ὑπὲρ πλείονος ἀσφαλείας. βέλτιον γὰρ ἐμὲ θρασύν τινα καὶ ἀπηνῆ καὶ αὐθάδη ὑποπτεύεσθαι παρ' ὑμῶν, ἢ ὑμᾶς τὰ τῷ Θεῷ μὴ δοκοῦντα ποιεῖν. πιστεύομεν δὲ τῷ Θεῷ, ὅτι οὐκ ἀνόνητος ὑμῖν αὕτη ἡ ἐπιτίμησις ἔσται, ἀλλ' οὕτω μεταβληθήσεσθε, ὡς τοὺς τοὺς λόγους εἰς τὰ ὑμέτερα ἐγκώμια ἀναλίσκεσθαι, καὶ εἰς τοὺς ἐπαίνους. γένοιτο δὲ ἡμᾶς βιοῦν κατὰ τὸ δοκοῦν τῷ Θεῷ· ἵνα καταξιωθῶμεν ἁπάντων τυχεῖν τῶν ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ε. 16 ΟΥ ΓΑΡ ΔΗΠΟΥ ΑΓΓΕΛΩΝ ΕΠΙΛΑΜΒΑνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.
17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.

Εβρ. β. ιδ. Τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὁ Παῦλος δεῖξαι βουλόμενος, καὶ τὴν ἀγάπην, ἣν περὶ τὸ γένος ἔσχε τὸ ἀνθρώπινον, μετὰ τὸ εἰπεῖν, Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἐπεξέρχεται τούτῳ τῷ χωρίῳ, καί φησιν, οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται. μὴ [γὰρ] ἁπλῶς παρέλθῃς τὸ λεχθὲν, μηδὲ ψιλόν τι πρᾶγμα τοῦτο εἶναι νομίσῃς, τὸ τὴν ἐξ ἡμῶν σάρκα αὐτὸν ἀναλαβεῖν. οὐ γὰρ ἀγγέλοις τοῦτο ἐχαρίσατο· διὸ καὶ οὕτως εἴρηκεν, οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ. τί ἐστιν ὅ φησιν; οὐκ ἀγγέλου φύσιν ἀνεδέξατο, ἀλλ' ἀνθρώπου. [τί δέ ἐστιν ἐπιλαμβάνεται;] οὐκ ἐκείνης, φησὶν, ἐδράξατο τῆς φύσεως τῶν ἀγγέλων, ἀλλὰ τῆς ἡμετέρας. διὰ τί δὲ οὐκ εἶπεν, ἀνέλαβεν, ἀλλὰ ταύτῃ τῇ λέξει ἐχρήσατο τῇ, ἐπιλαμβάνεται; ἀπὸ μεταφορᾶς τῶν διωκόντων τοὺς ἀποστρεφομένους αὐτοὺς, καὶ πάντα ποιούντων, ὥστε καταλαβεῖν φεύγοντας, καὶ ἐπιλαβέσθαι ἀποπηδώντων. Εφεσ. β. ιβ. φεύγουσαν γὰρ ἀπ' αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ πόρρω φεύγουσαν (Ἦμεν γὰρ τοῦ Θεοῦ μακρὰν, φησὶν, ἀπηλλοτριωμένοι, καὶ ἄθεοι ὄντες ἐν τῷ κόσμῳ) αὐτὸς καταδιώξας κατέλαβεν. ἐντεῦθεν δείκνυται ὅτι φιλανθρωπία μόνη καὶ ἀγάπη καὶ κηδεμονία τοῦτο πεποίηκεν. ὥσπερ οὖν ὅταν λέγῃ, Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; τὸ περισπούδαστον αὐτῷ τῆς ἀνθρωπίνης φύσεως δείκνυσι, καὶ ὅτι πολὺς τῷ Θεῷ ὁ λόγος αὐτῆς, οὕτω καὶ ἐνταῦθα τὸ πολὺ μεῖζον τίθησιν ἀπὸ συγκρίσεως λέγων, οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται. καὶ γὰρ ὄντως μέγα καὶ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, τὴν ἐξ ἡμῶν σάρκα ἄνω καθῆσθαι, καὶ προσκυνεῖσθαι ὑπὸ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν σεραφὶμ καὶ τῶν χερουβίμ. τοῦτο πολλάκις εἰς νοῦν ἐγὼ λαβὼν, ἐξίσταμαι, καὶ μεγάλα περὶ τοῦ ἀνθρωπίνου γένους φαντάζομαι. μεγάλα γὰρ ὁρῶ καὶ λαμπρὰ τὰ προοίμια, καὶ πολλὴν τῷ Θεῷ τὴν σπουδὴν ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας. καὶ οὐκ εἶπεν ἀνθρώπων ἁπλῶς ἐπιλαμβάνεται, ἀλλὰ βουλόμενος αὐτοὺς ἐπᾶραι, καὶ δεῖξαι μέγα τὸ γένος αὐτῶν καὶ τίμιον, φησὶν, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. τί ἐστι, κατὰ πάντα; ἐτέχθη, φησὶν, ἐτράφη, ηὐξήθη, ἔπαθε πάντα ἅπερ ἐχρῆν, τέλος ἀπέθανε. τοῦτό ἐστι κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἐπειδὴ γὰρ πολλὰ διελέχθη περὶ τῆς μεγαλειότητος αὐτοῦ καὶ τῆς ἄνω δόξης, λοιπὸν καὶ περὶ τῆς οἰκονομίας λόγον κινεῖ. καὶ ὅρα μεθ' ὅσης συνέσεως καὶ δυνάμεως. δείκνυσι γὰρ αὐτὸν πολλὴν τιθέμενον τὴν σπουδὴν, ὥστε ἡμῖν ὁμοιωθῆναι· ὅπερ κηδεμονίας ἦν πολλῆς. εἰπὼν δὲ ἀνωτέρω, Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, [καὶ] ἐνταῦθά φησι, κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι· μονονουχὶ λέγων, ὁ ὢν μέγας, ὁ ὢν ἀ-

ἀπαύγασμα τῆς δόξης, ὁ ὢν χαρακτὴρ τῆς ὑποστάσεως, ὁ τοὺς αἰῶνας πεποιηκώς, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, οὗτος ἠθέλησε καὶ ἐσπούδασεν ἀδελφὸς ἡμῶν ἐν ἅπασι γενέσθαι, καὶ διὰ τοῦτο ἀγγέλους ἀφῆκε καὶ τὰς ἄνω δυνάμεις, καὶ πρὸς ἡμᾶς κατῆλθε, καὶ ἡμῶν ἐπελάβετο. σκόπει δὲ καὶ ὅσα εἰργάσατο ἀγαθά. θάνατον ἔλυσε, τὸν διαβόλου τῆς τυραννίδος ἐξέβαλεν ἡμᾶς, δουλείας ἀπήλλαξεν, ἀδελφὸς γενόμενος ἐτίμησεν· οὐ τῇ ἀδελφότητι δὲ μόνον τετίμηκεν, ἀλλὰ καὶ ἑτέροις μυρίοις. καὶ γὰρ ἀρχιερεὺς ἡμῶν γενέσθαι ἠθέλησε πρὸς τὸν πατέρα. ἐπάγει γοῦν, Ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν.

γρ. ὅτι, καὶ μυρία εἰργάσατο. γρ. τὸν διάβολον τῆς τυρ. ἐξέβαλεν, ἡμᾶς δου-

Διὰ τοῦτο, φησί, τὴν σάρκα ἀνέλαβε τὴν ἡμετέραν, διὰ φιλανθρωπίαν μόνην, ἵνα ἐλεήσῃ ἡμᾶς. οὐδὲ γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας, * ἢ μόνη αὕτη. εἶδε γὰρ χαμαὶ ἐρριμμένους, ἀπολλυμένους, ὑπὸ τοῦ θανάτου τυραννουμένους, καὶ ἠλέησεν.

* ἀλλ'

Εἰς τὸ ἱλάσκεσθαι, φησί, τὰς ἁμαρτίας τοῦ λαοῦ, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεύς. Τί ἐστι, πιστός; ἀληθὴς, δυνάμενος. ἀρχιερεὺς γάρ ἐστι μόνος πιστὸς ὁ υἱός, δυνάμενος τούτους, ὧν ἐστιν ἀρχιερεὺς, ἀπαλλάξαι τῶν ἁμαρτημάτων. ἵν' οὖν προσενέγκῃ θυσίαν δυναμένην ἡμᾶς καθαίρειν, διὰ τοῦτο γέγονεν ἄνθρωπος. ἐπήγαγε γοῦν, τὰ πρὸς τὸν Θεόν· τουτέστι, τῶν πρὸς τὸν Θεὸν ἕνεκεν. ἐκπεπολεμωμένοι ἦμεν, φησί, τῷ Θεῷ, κατεγνωσμένοι, ἠτιμωμένοι· οὐδεὶς ἦν ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν· εἶδεν ἡμᾶς ἐν τούτοις ὄντας, καὶ ἠλέησεν, οὐ καταστήσας ἡμῖν ἀρχιερέα, ἀλλ' αὐτὸς γενόμενος ἀρχιερεὺς πιστός. εἶτα δεικνὺς πῶς πιστὸς, ἐπήγαγεν, Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.

γρ. βέβαιος. γρ. τὰς ἁμαρτίας

18 Ἐν ᾧ γὰρ πέπονθε, φησὶν, αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Πάνυ ταπεινὸν τοῦτο καὶ εὐτελὲς καὶ ἀνάξιον τοῦ Θεοῦ. ἐν ᾧ [γὰρ] πέπονθε, φησὶν, αὐτός. περὶ τοῦ σαρκωθέντος ἐνταῦθά φησι, τάχα δὲ καὶ πρὸς πληροφορίαν τῶν ἀκουόντων εἴρηται, καὶ διὰ τὴν αὐτῶν ἀσθένειαν. ὃ δὲ λέγει τοῦτό ἐστι· δι' αὐτῆς τῆς πείρας ἣν ἐπάθομεν, ἦλθε· νῦν οὐκ ἀγνοεῖ τὰ πάθη τὰ ἡμέτερα. οὐ γὰρ ὡς Θεὸς μόνον οἶδεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἔγνω διὰ τῆς πείρας ἧς ἐπειράσθη· ἔπαθε πολλά, οἶδε συμπάσχειν. καίτοιγε ἀπαθὴς ὁ Θεός ἐστιν· ἀλλὰ τὰ τῆς σαρκώσεως ἐνταῦθα διηγεῖται, ὡς ἂν εἰ ἔλεγε, καὶ αὐτὴ ἡ σὰρξ ἡ τοῦ Χριστοῦ πολλὰ δεινὰ ἔπαθεν. οἶδε τί ἐστι θλίψις, οἶδε τί ἐστι πειρασμὸς, καὶ οὐχ ἧττον τῶν παθόντων ἡμῶν· καὶ γὰρ καὶ αὐτὸς ἔπαθε. τί οὖν ἐστι τὸ, δύναται τοῖς πειραζομένοις βοηθῆσαι; ὡς ἂν εἴποι τις, μετὰ πολλῆς προθυμίας ὀρέξει χεῖρα, συμπαθὴς ἔσται. ἐπειδὴ γὰρ ἐβούλοντο μέγα τι καὶ πλέον ἔχειν τῶν ἐξ ἐθνῶν, δείκνυσιν ἐν τούτῳ πλέον ἔχοντας, ὥσθ' οὐδὲν κατέβλαψε τοὺς ἐξ ἐθνῶν. ἐν ποίῳ δὴ τούτῳ; ὅτι ἐξ αὐτῶν ἐστιν ἡ σωτηρία, ὅτι ἐκείνων ἐπελάβετο πρῶτον, ὅτι ἐκεῖθεν ἀνέλαβε σάρκα. οὐ γὰρ ἀγγέλων, φησὶν, ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. τιμᾷ καὶ τὸν πατριάρχην διὰ τούτου, καὶ δείκνυσι [καὶ] τί ἐστι, σπέρματος Ἀβραάμ. ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς πρὸς αὐτὸν γενομένης ἐπαγγελίας τῆς λεγούσης, Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, διὰ τοῦ σμικροτάτου δηλῶν τὴν ἐγγύτητα, τοῦ ἐξ ἑνὸς εἶναι πάντας. ἀλλ' ἐπειδὴ οὐ πολλὴ ἐκείνη ἦν ἡ ἐγγύτης, ἔρχεται πάλιν ἐπὶ ταύτην, καὶ ἐνδιατρίβει λοιπὸν τῇ οἰκονομίᾳ τῇ κατὰ σάρκα, καί φησιν, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ. ἦν μὲν γὰρ καὶ αὐτὸ τὸ θελῆσαι γενέσθαι ἄνθρωπον, πολλῆς κηδεμονίας καὶ ἀγάπης. νῦν δὲ οὐ τοῦτο μόνον ἐστὶν, ἀλλὰ καὶ τὰ ἀθάνατα ἀγαθὰ, τὰ δι' αὐτοῦ ἡμῖν παρασχεθέντα. [Εἰς τὸ ἱλάσκεσθαι γάρ, φησι, ταῖς ἁμαρτίαις τοῦ λαοῦ.] διὰ τί μὴ εἶπε, τῆς οἰκουμένης, ἀλλὰ τοῦ λαοῦ; οὕτως γὰρ τὰς πάντων ἡμῶν ἁμαρτίας ἀνήνεγκεν. ὅτι τέως περὶ αὐτῶν ἦν ὁ λόγος αὐτῷ. ἐπεὶ καὶ ὁ ἄγγελος πρὸς τὸν Ἰωσὴφ ἔλεγε, Καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ. τοῦτο γὰρ καὶ πρῶτον ἔδει γενέσθαι, καὶ διὰ τοῦτο ἦλθεν, ὥστε τούτους σῶσαι, καὶ τότε διὰ τούτων ἐκείνους, εἰ καὶ τοὐναντίον γέγονε.

γρ. ὃν ἐπειράσθη, νῦν. γρ. ἐνταῦθα. γρ. τῷ.

Γεν. ιγ. ιε. Ματθ. α. κα.

τοῦτο καὶ οἱ ἀπόστολοι εἰώθεσαν λέγειν· Ὑμῖν ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα ὑμᾶς. καὶ πάλιν, Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἀπεστάλη. τὴν εὐγένειαν ἐνταῦθα δείκνυσι τὴν Ἰουδαϊκήν, *λέγων, Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. τέως οὕτω φησίν. ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων ἀφιείς, ἐδήλωσε καὶ ἐν τῷ παραλυτικῷ εἰπών, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· καὶ ἐν τῷ βαπτίσματι. φησὶ γὰρ πρὸς τοὺς μαθητάς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα λοιπὸν τὰ ταπεινὰ φθέγγεται, οὐδὲν δεδοικώς. ὅρα γὰρ λοιπὸν τί φησιν.

Πραξ. γ. κς.
Πραξ. ιγ. κς.
Μαρκ. β. ε.
Ματθ. κη. ιθ.

1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν,

2 Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

Μέλλων αὐτὸν παρατιθέναι τοῦ Μωϋσέως κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερωσύνης νόμον ἤγαγε τὸν λόγον. οὐ γὰρ μικρὰν περὶ Μωϋσέως δόξαν εἶχον ἅπαντες. καὶ παρακαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκός, ἀνάγει δὲ εἰς τὴν θεότητα, ἔνθα οὐκέτι σύγκρισις ἦν γίνεσθαι. ἤρξατο ἀπὸ τῆς σαρκὸς τέως τὸ ἴσον τιθέναι, καί φησιν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχήν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατής, καὶ εὐθέως ἐμφράξῃ τὰς ἀκοάς. εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως ἔτι "πολὺ τὸ συνειδὸς εἶχον πρὸς Μωϋσέα. πιστὸν ὄντα, φησί, τῷ ποιήσαντι αὐτόν. τί ποιήσαντι; *ἀπόστολον καὶ ἀρχιερέα. οὐδὲν ἐνταῦθα περὶ οὐσίας φησίν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλ' ἕως περὶ ἀξιωμάτων ἀνθρωπίνων. ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστιν, ἐν τῷ λαῷ, ἢ ἐν τῷ ἱερῷ. ἐνταῦθα δὲ τὸ, ἐν τῷ οἴκῳ αὐτοῦ φησιν, ὡς ἂν εἴ τις εἴποι περὶ τῶν ἐν τῇ οἰκίᾳ. καθάπερ γάρ τις ἐπίτροπος καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ Μωϋσῆς ἐν τῷ λαῷ. ὅτι γὰρ οἶκον ἐνταῦθα τὸν λαόν φησιν, ἐπήγαγεν, Οὗ οἶκός ἐσμεν ἡμεῖς. Τουτέστιν, ἐν τῇ "κτήσει αὐτοῦ ἐσμεν. εἶτα ἡ ὑπεροχή.

γρ. πολλὴν
γνώμην
*αὐτὸν

γρ. τιμῇ

3 Μείζονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται. Πάλιν περὶ τῆς σαρκός.

Καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Καὶ αὐτός, φησι, τῆς οἰκίας ἦν. καὶ οὐκ εἶπεν, οὗτος μὲν γὰρ δοῦλος, ἐκεῖνος δὲ δεσπότης, ἀλλὰ τοὺς λανθανόντως ἐνέφηνεν. εἰ ὁ οἶκος οὖν ἦν ὁ λαός, καὶ αὐτὸς δὲ τοῦ λαοῦ ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν. οὕτω [γὰρ] καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα τῆς οἰκίας τῆς τοῦ δεῖνός ἐστιν. ἐνταῦθα δὲ οἶκον οὐ τὸν ναὸν λέγει. οὐ γὰρ ὁ Θεὸς αὐτὸν κατεσκεύασεν, ἀλλ' οἱ ἄνθρωποι. ὁ δὲ "ποιήσας "αὐτόν, ὁ Θεός. τὸν Μωϋσέα φησί. καὶ ὅρα πῶς δείκνυσι τὴν ὑπεροχὴν λανθανόντως. πιστός, φησιν, ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ αὐτὸς ὢν τοῦ οἴκου, τουτέστι, τοῦ λαοῦ. πλείονα τιμὴν ἔχει *τῶν ἔργων ὁ τεχνίτης, "ἀλλὰ καὶ τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

γρ. κατασκευάσας
γρ. ποιήσας
*ὡς

4 Ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός. Ὁρᾷς ὅτι οὐ περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ λαοῦ;

γρ. οὐ

5 Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων. Ἰδοὺ καὶ ἄλλη ὑπεροχὴ ἡ ἀπὸ τοῦ υἱοῦ καὶ τῶν δούλων. ὁρᾷς πάλιν ὅτι γνησιότητα διὰ τῆς τοῦ υἱοῦ προσηγορείας αἰνίττεται;

6 Χριστὸς δέ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ. Εἶδες πῶς ποίημα καὶ ποιητὴν διίστησι, πῶς δοῦλον καὶ υἱόν; κἀκεῖνος μὲν εἰς τὰ πατρῷα, ὡς "δεσπότης εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος.

γρ. υἱὸς

Οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. Ἐπὶ τοῦτο πάλιν αὐτοὺς παρασκευάζει ἑστάναι γενναίως, καὶ μὴ καταπίπτειν. οἶκος γάρ, φησιν, ἐσόμεθα τοῦ Θεοῦ, ὥσπερ ἦν Μωϋσῆς, ἐάνπερ τὴν παῤῥησίαν καὶ

τὸ

τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. ὥστε ὁ ἀλγῶν ἐν τοῖς πειρασμοῖς καὶ καταπίπτων, οὐ καυχᾶται· ὁ αἰσχυνόμενος, ὁ κρυπτόμενος, παῤῥησίαν οὐκ ἔχει· ὁ ἀλύων οὐ καυχᾶται. Εἶτα καὶ ἐγκωμιάζει αὐτοὺς λέγων, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δεικνὺς ὅτι καὶ ἤρξαντο. δεῖ δὲ καὶ τοῦ τέλους, καὶ οὐχ ἁπλῶς ἑστάναι, ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα * ἐν πληροφορίᾳ πίστεως, μὴ παρασαλευομένους ὑπὸ τῶν πειρασμῶν. καὶ μὴ θαυμάσῃς, εἰ ἀνθρωπίνως περὶ Θεοῦ, αὐτοὺς πειρασθεὶς, εἴρηται. εἰ γὰρ περὶ τοῦ πατρὸς τοῦ μὴ σαρκωθέντος φησὶν ἡ γραφὴ, Ἐκ τοῦ οὐρανοῦ διέκυψεν ὁ Κύριος, καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, [τουτέστιν, ἀκριβῶς πάντα κατέμαθε.] καὶ πάλιν, Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται). [καὶ πάλιν, οὐ δυνάται φέρειν ὁ Θεὸς τὰς κακίας τῶν ἀνθρώπων, τὸ πολὺ τῆς ὀργῆς ἐνδεικνυμένη ἡ θεία γραφή·] πολλῷ μᾶλλον περὶ τοῦ Χριστοῦ τοῦ καὶ παθόντος ἐν σαρκὶ λέγουσι ταῦτα τὰ ἀνθρωποπαθῆ. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὴν πεῖραν πάντων εἶναι πιστοτέραν νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι, ὅτι ὁ παθὼν οἶδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις. ὅθεν φησὶν, ἀδελφοὶ ἅγιοι. τὸ, ὅθεν, ἀντὶ τοῦ, διὰ τοῦτο, φησὶ. κλήσεως ἐπουρανίου μέτοχοι. μηδὲν τοίνυν ἐνταῦθα ζητεῖτε, εἰ ἐκεῖ κέκλησθε. ἐκεῖ γὰρ ὁ μισθὸς, ἐκεῖ ἡ ἀνταπόδοσις. τί οὖν; κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τί ἐστι, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν; τουτέστι, προνοοῦντα, προϊστάμενον τῶν αὐτοῦ, καὶ οὐκ ἐῶντα φέρεσθαι ἁπλῶς. ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστι, γνῶτε τίς ἐστιν ὁ ἀρχιερεὺς, καὶ ποταπὸς, καὶ οὐ δεήσεσθε παραμυθίας ἑτέρας, οὐδὲ παρακλήσεως. ἀπόστολον δὲ αὐτὸν λέγει διὰ τὸ ἀπεστάλθαι· καὶ ἀρχιερέα φησὶ τῆς ὁμολογίας ἡμῶν, τουτέστι, τῆς πίστεως. καλῶς εἶπεν, ὡς Μωϋσῆς. καὶ γὰρ καὶ οὗτος λαοῦ, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἐγκεχείρισται, εἰ καὶ μείζονα, καὶ ἐπὶ μείζοσι. Μωϋσῆς μὲν γὰρ ὡς οἰκέτης, Χριστὸς δὲ ὡς υἱός, καὶ ὁ μὲν τῶν ἀλλοτρίων, οὗτος δὲ τῶν αὐτοῦ κήδεται. Εἰς μαρτύριον τῶν λαληθησομένων. τί λέγεις; μαρτυρίας ἀνθρώπου λαμβάνει ὁ Θεός; καὶ πάνυ γε. εἰ γὰρ οὐρανοὺς μάρτυρας καλεῖ καὶ γῆν καὶ βουνοὺς, λέγων διὰ τοῦ προφήτου, Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε, καὶ, Ἀκούσατε φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ· πολλῷ μᾶλλον ἀνθρώπους. τί ἐστιν, εἰς μαρτύριον; ἵνα ὦσι, φησὶ, μάρτυρες, ὅταν ἀναισχυντῶσιν αὐτοί. καὶ τὸ καύχημα τῆς ἐλπίδος. καλῶς εἶπε, τῆς ἐλπίδος, ἐπειδὴ πάντα ἐν ἐλπίσιν ἦν τὰ ἀγαθά. οὕτω δὲ αὐτὴν δεῖ κατέχειν, ὡς ἤδη καυχᾶσθαι ὡς ἐπὶ γεγενημένοις. διὰ τοῦτό φησι, τὸ καύχημα τῆς ἐλπίδος. καὶ ἐπάγει, μέχρι τέλους βεβαίαν κατάσχωμεν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν. εἰ τοίνυν τῇ ἐλπίδι ἐσώθημεν, καὶ δι' ὑπομονῆς ἀπεκδεχόμεθα· μὴ οὖν ἀγάλλωμεν ἐπὶ τοῖς παροῦσι, μηδὲ ἤδη ζητῶμεν τὰ μετὰ ταῦτα ἐπαγγελθέντα. Ἐλπὶς γὰρ, φησὶ, βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ἐπειδὴ δὲ μεγάλα ἐστὶ τὰ ἀγαθὰ, φησὶν, ἐνταῦθα λαβεῖν οὐ δυνάμεθα αὐτὰ ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ. τίνος οὖν ἕνεκεν ἡμῖν καὶ προεῖπε ταῦτα, οὐ μέλλων αὐτὰ ἐνταῦθα διδόναι; ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς ἀνακτήσηται), ἵνα τῇ ὑποσχέσει ῥώσῃ τὴν προθυμίαν, ἵνα ἀλείψῃ καὶ διεγείρῃ τὴν ἡμετέραν διάνοιαν· διὰ δὴ τοῦτο πάντα ταῦτα γεγένηται).

Ῥωμ. η. κδ.

Ψαλμ. ιγ. γ.

Γεν. ιη. κα.

Ησ. α. β.

Μιχ. ς. β.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω. οὐκ ἔστιν ἐνταῦθα ἡ ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς. εἰ δέ που γίνεται καὶ τῆς πονηρίας καὶ τῆς ἀρετῆς, ἀλλ' οὐχὶ κατ' ἀξίαν, ἀλλ' ἁπλῶς, ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τῇ ἀναστάσει διαπιστοῦντες, κἂν ἐν τούτοις ἐνταῦθα σωφρονίζωνται). ὅταν οὖν ἴδωμεν πονηρὸν πλουτοῦντα, μὴ καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ θορυβώμεθα. ἐκεῖ γὰρ οἱ στέφανοι, ἐκεῖ καὶ αἱ κολάσεις. καὶ ἄλλως δὲ οὐκ ἔστιν οὔτε τὸν κακὸν πάντη εἶναι κακὸν, ἀλλ' ἔστι τινὰ ἔχειν αὐτὸν καὶ ἀγαθά· οὔτε τὸν ἀγαθὸν πάντη εἶναι ἀγαθὸν, ἀλλ' ἔχει τινὰ καὶ ἁμαρτήματα.

ται. ὅταν οὖν εὐπραγῇ ὁ πονηρός, ἴσθι ὅτι ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς. ἵνα γὰρ ἐκεί-
νων τῶν ὀλίγων ἀγαθῶν τὴν ἀντίδοσιν ἐνταῦθα λαβών, ἐκεῖ λοιπὸν τέλεον κολάζηται,
τούτου χάριν ἐνταῦθα ἀπολαμβάνει. καὶ μακάριος ἐκεῖνος μάλιστά ἐστιν ὁ ἐνταῦθα κολα-
ζόμενος, ἵνα πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ, καὶ ἀνεύθυνος.
α. Κορ ια. λ. καὶ τοῦτο διδάσκων ἡμᾶς ὁ Παῦλός φησι, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοι-
α. Κορ ε. ε. μῶνται ἱκανοί. καὶ πάλιν, Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα
Ησ. μ β. τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ προφήτης φησίν, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου
Ψαλ. λθ. ιγ. διπλᾶ τὰ ἁμαρτήματα. καὶ πάλιν ὁ Δαβίδ, Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν ὑπὲρ
Ψαλ. κδ. ιθ. τὰς τρίχας τῆς κεφαλῆς μου. καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
Ησ. κς ιβ. καὶ πάλιν ἕτερος, Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. ἀλλὰ
ταῦτα μὲν δεικνύντος ἐστὶ τοὺς καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας ἐνταῦθα ἀπο-
λαμβάνοντας. ποῦ δὲ τὰ ἀγαθὰ τοὺς πονηροὺς ἀπολαμβάνοντας ἐνταῦθα, ἐκεῖ τέλεον κολά-
Λουκ. ις. κε. ζονται; ἄκουε τοῦ Ἀβραὰμ λέγοντος πρὸς τὸν πλούσιον, Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ
ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. ἐνταῦθα γὰρ τὸ, ἀπέλαβες, ἀλλ' οὐ μὴ ἔλαβες εἰ-
πών, δείκνυσι κατὰ ὀφειλὴν ἑκατέρους παθόντας, καὶ τὸν μὲν ἐν εὐπραγίᾳ, τὸν δὲ ἐν δυσπρα-
γίᾳ γενόμενον· καί φησι, Διὰ τοῦτο οὗτος ἐνταῦθα παρακαλεῖται (ὁρᾷς γὰρ αὐτὸν καθαρὸν
ἁμαρτημάτων) καὶ σὺ ὀδυνᾶσαι. μὴ τοίνυν ἀλύωμεν ὅταν εὐπαθοῦντας ὁρῶμεν ἐνταῦθα
τοὺς ἁμαρτωλούς· ἀλλ' ὅταν κακῶς πάσχωμεν αὐτοί, χαίρωμεν. ἁμαρτιῶν γάρ ἐστι τὸ
πρᾶγμα ἔκλυσις. μὴ ζητῶμεν ἄνεσιν· θλίψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ
Χριστός. καί φησιν ὁ Παῦλος, Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσον-
β Τιμ. γ. ιβ ται. οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι * λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν πλήθου-
σαν σιτίοις καὶ οἴνῳ. τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός. ὁ γὰρ ἀθλητὴς μάχεται κόνει,
ἐλαίῳ, ἀκτῖνος θερμότητι, ἱδρῶτι πολλῷ, θλίψει, καὶ στενοχωρίᾳ ἀγῶνος. οὗτος ἐστὶ καὶ τοῦ
πυκτεύειν ὁ καιρός· οὐκοῦν καὶ τὰ τραύματα λαμβάνειν καὶ αἱμάττεσθαι καὶ ἀλγεῖν. ἄκου-
α Κορ θ. κς. σον τί φησιν ὁ μακάριος Παῦλος· Οὕτω πυκτεύω ὡς οὐκ ἀέρα δέρων. πάντα τὸν βίον εἰ-
ἀγώνιον εἶναι νομίσωμεν, καὶ οὐδέποτε ἀνάπαυσιν ζητήσομεν, οὐδέποτε θλιβόμενοι ξενοπα-
θήσομεν· εἰ γὰρ μηδὲ πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως
καιρός. διὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ. εἰ δὲ μὴ διωγμός ἐστι, μηδὲ θλίψις,
ἀλλ' εἰσὶν ἕτεραι θλίψεις, αἱ καθ' ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι. εἰ δὲ ταύτας οὐ φέ-
ρομεν, σχολῇ γε ἐκείνας ἐνέγκωμεν ἄν. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφε, φησίν, εἰ
α. Κορ. ι. ιγ. μὴ ἀνθρώπινος. εὐχώμεθα μὲν οὖν τῷ Θεῷ μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες
δὲ φέρωμεν γενναίως. ἐκεῖνο μὲν γὰρ σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυ-
τούς· τοῦτο δὲ γενναίων καὶ φιλοσόφων, τὸ ἵστασθαι ἐμπεσόντας. μήτε οὖν ἐπιρρίπτωμεν ἑαυ-
τοὺς ἁπλῶς· θρασύτητος γάρ· μήτε ἀγόμενοι, καὶ τῶν πραγμάτων καλούντων, ἐνδι-
δῶμεν· δειλίας γάρ· ἀλλ' ἐὰν μὲν τὸ κήρυγμα καλῇ, μὴ παραιτώμεθα· ἁπλῶς δὲ αἰτίας
μὴ οὔσης, μήτε χρείας, μήτε ἀνάγκης τῆς κατὰ θεοσέβειαν καλούσης, μὴ ἐπιτρέχωμεν. ἐπί-
δειξις γάρ ἐστι τὸ πρᾶγμα, καὶ φιλοτιμία περιττή. ἐὰν δέ τι τῶν τὴν εὐσέβειαν παραβλα-
πτόντων γίνηται, κἂν μυρίους ὑποστῆναι δέῃ θανάτους, μηδὲν παραιτώμεθα. μὴ προσκα-
λοῦ τοὺς πειρασμούς, ὅταν σοι τὰ κατὰ τὴν εὐσέβειαν προχωρῇ ὡς ποθεῖς. τί περιττοὺς ἐ-
πισπᾶσαι κινδύνους οὐδὲν κέρδος ἔχοντας; ταῦτα λέγω, βουλόμενος ὑμᾶς φυλάττειν τοὺς
νόμους τοῦ Χριστοῦ κελεύοντος εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν, καὶ κελεύοντος πάλιν
τὸν σταυρὸν λαβόντας ἀκολουθεῖν αὐτῷ. ταῦτα μὲν γὰρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφό-
δρα συνᾴδοντα. σὺ μὲν οὖν οὕτω παρεσκεύασο ὡς στρατιώτης γενναῖος, ἐν τοῖς ὅπλοις
ἔσο διηνεκῶς, νήφων, ἐγρηγορώς, ἀεὶ τὸν πολέμιον προσδοκῶν. πολέμους μέντοι
μὴ

μὴ ἥκτο. τοῦτο γὰρ οὐκ ἔστι στρατιώτου, ἀλλὰ στασιαστοῦ. ἐὰν δὲ ἡ τῆς εὐσεβείας σάλπιγξ καλῇ, εὐθέως ἔξιθι, καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ ἔμβηθι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας, ῥῆξον τὴν φάλαγγα τῶν ἐναντίων, σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου, στῆσον τὸ τρόπαιον. ἐὰν δὲ μηδὲν ἡ εὐσέβεια παραβλάπτηται, μηδὲ πορθῇ τις τὰ ἡμέτερα δόγματα (τὰ κατὰ τὴν ψυχὴν λέγω) μηδὲ ἀναγκάζῃ τι ποιεῖν τῶν μὴ δοκούντων τῷ Θεῷ, μὴ περιττὸς ἔσο. αἱμάτων δὲ γέμει ὁ τοῦ χριστιανοῦ βίος, αἱμάτων, οὐκ ἐν τῷ τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ἐν τῷ ἑτοίμως ἔχειν τὸ ἑαυτοῦ ἐκχεῖν. μετὰ τοσαύτης τοίνυν προθυμίας τὸ ἴδιον αἷμα ἐκχέωμεν, ὅταν ὑπὲρ τοῦ Χριστοῦ τοῦτο ᾖ, μεθ' ὅσης ἂν ὕδωρ τις ἐκχέοι (καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιρρέον τὸ σῶμα) καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα ἀποδυώμεθα, μεθ' ὅσης ἂν καὶ τὸ ἱμάτιον. τοῦτο δὲ ἔσται, ἐὰν μὴ χρήμασιν ὦμεν προσδεδεμένοι, ἀλλὰ μὴ οἰκίαις, ἀλλὰ μὴ προσπαθείᾳ τῶν παρόντων ὦμεν ἀπηρτημένοι. εἰ γὰρ οἱ τὸν στρατιωτικὸν τοῦτον βίον ζῶντες πᾶσιν ἀποτάσσονται, καὶ ἔνθα ἂν ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται, καὶ ὁδοιποροῦσι, καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι· πολλῷ μᾶλλον ἡμᾶς τοὺς τοῦ Χριστοῦ στρατιώτας οὕτω παρασκευάζεσθαι χρή, καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. οὐκ ἔστι διωγμὸς νῦν, μηδὲ γένοιτο γενέσθαι ποτέ· ἀλλ' ἕτερος πόλεμός ἐστιν, ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ τῶν ἄλλων παθῶν. τοῦτον τὸν πόλεμον διηγούμενος ὁ Παῦλός φησιν, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. ἀεὶ οὗτος ὁ πόλεμος ἐνέστηκε. (Ἐφεσ. ς. ιβ. καὶ ιδ.) διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς ἑστάναι βούλεται. Στῆτε οὖν, φησι, περιζωσάμενοι. ὅπερ καὶ αὐτὸ ἐνεστῶτος ἐστὶ καιροῦ. καὶ ἐνέφηνεν, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. πολὺς γὰρ ὁ πόλεμος διὰ γλώττης, πολὺς διὰ ὀφθαλμῶν. τοῦτον τοίνυν κατέχωμεν. πολὺς ὁ τῶν ἐπιθυμιῶν. διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθοπλίζειν τὸν στρατιώτην τοῦ Χριστοῦ. στῆτε γάρ, φησι, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν καὶ ἐπήγαγεν, ἐν ἀληθείᾳ. διὰ τί ἐν ἀληθείᾳ; ἐμπαιγμὸς γάρ ἐστι καὶ ψεῦδος ἡ ἐπιθυμία, ὥς που καὶ ὁ Δαβὶδ ἔφη, Αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων. (Ψαλ. λζ. ζ.) οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ σκιὰ ἡδονῆς. διὰ τοῦτο περιζωσάμενοι, φησι, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· τουτέστι, τῇ ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. διὰ ταῦτα δὲ καὶ ὁ σοφός, εἰδὼς τῆς ἁμαρτίας τὴν ἀτοπίαν, καὶ βουλόμενος ἡμῶν τὰ μέλη πάντα περιπεφράχθαι. Θυμὸς γάρ, φησιν, ἄδικος οὐκ ἀθωωθήσεται. (Σειρ. α. ιθ.) καὶ θώρακα ἡμᾶς περικεῖσθαι βούλεται, καὶ ἀσπίδα. θηρίον γάρ ἐστιν εὐκόλως ἐπιπηδῶν ὁ θυμός, καὶ μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δεῖ πρὸς τὸ περιγενέσθαι καὶ κατασχεῖν. καὶ διὰ τοῦτο μάλιστα ἡμῖν τοῦτο τὸ μέρος, ὥσπερ ἔκ τινων λίθων, τῶν ὀστέων ᾠκοδόμησεν ὁ Θεός· ἔρεισμα αὐτῷ περιθεὶς ταῦτα, ὥστε μὴ διαρρῆξαι ποτέ, μηδὲ διατεμεῖν εὐκόλως τὸ πᾶν λυμήνασθαι ζῶον. πῦρ γάρ ἐστι, φησι, καὶ ζάλη μεγάλη, καὶ οὐκ ἂν ἕτερον μέρος ταύτην τὴν βίαν ἀνάσχοιτο. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες τούτου χάριν ὑπεστρῶσθαι τὸν πνεύμονα τῇ καρδίᾳ, ὥστε εἰς ἁπαλὸν αὐτὴν οὖσαν, καθάπερ εἴς τινα σπόγγον ἐναλλομένην, διαναπαύεσθαι [τὴν καρδίαν], ἀλλὰ μὴ εἰς τὸ ἀντίτυπον καὶ σκληρὸν τὸ στέρνον, καταβλάπτεσθαι τῇ πυκνότητι τῶν ἁλμάτων. δεῖ τοίνυν ἡμῖν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς ἐν ἡσυχίᾳ τοῦτο τὸ θηρίον διατηρεῖν. δεῖ δὲ ἡμῖν καὶ περικεφαλαίας. ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ τούτου ἡ σωτηρία δυνατόν, ἐὰν τὰ δέοντα γίνωνται, ἡ ἀπώλεια ἔτι, εἰ τὰ μὴ δέοντα· διὰ τοῦτό φησι καὶ τὴν περικεφαλαίαν σωτηρίου. ὁ γὰρ ἐγκέφαλος φύσει μέν ἐστιν ἁπαλός. διὸ καὶ αὐτός, καθάπερ τινὶ ὀστράκῳ, τῷ βρέγματι καλύπτεται ἄνωθεν. πάντων δὲ ἡμῖν αἴτιος γίνεται τῶν ἀγαθῶν καὶ τῶν κακῶν, εἴτε τὰ δέοντα νοεῖ, εἴτε τὰ μὴ τοιαῦτα. καὶ οἱ πόδες δὲ καὶ αἱ χεῖρες ὅπλων ἡμῖν δέονται. οὐχ αὗται αἱ χεῖρες, οὐδὲ οὗτοι οἱ πόδες, ἀλλὰ πάλιν οἱ τῆς ψυχῆς· αἱ μὲν μελετῶσαι τὰ δέοντα, οἱ δὲ ἵνα πορεύωνται ἔνθα χρή. καθοπλίσωμεν τοίνυν ἑαυτοὺς

οὕτω, καὶ δυνησόμεθα περιγενέσθαι τῶν πολεμίων, καὶ τὸν στέφανον τῆς νίκης ἀναδήσασθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλ. ϙδ. Λογ. ς. 7 ΔΙΟ ΚΑΘΩΣ ΛΕΓΕΙ ΤΟ ΠΝΕΥΜΑ ΤΟ
ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
8 Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν
ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·
9 Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.
10 Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.
11 Ὡς ὤμοσα ἐν τῇ ὀργῇ
μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Διαλεχθεὶς περὶ ἐλπίδος ὁ Παῦλος, καὶ εἰπὼν ὅτι οἶκος αὐτοῦ ἐσμεν, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δείκνυσι λοιπὸν ὅτι βεβαίως χρὴ προσδοκᾶν, καὶ τοῦτο πιστοῦται ἀπὸ τῶν γραφῶν. πρόσεχε δέ. δυσχερέστερον γάρ πως αὐτὰ ἔφρασε, καὶ δυσκαταληπτότερον. διὸ χρὴ τὰ παρ᾽ ἡμῶν πρότερον εἰπόντας, καὶ συντόμως τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας, οὕτως ἐπαφεῖναι τὸν λόγον τοῖς γεγραμμένοις. οὐκέτι γὰρ ἡμῶν δεηθήσεσθε, ἐὰν τὸν σκοπὸν μάθητε τῶν ἀποστολικῶν. περὶ ἐλπίδος ἦν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἔσται πάντως τοῖς ἐνταῦθα πονήσασι μισθός τις καὶ καρπὸς καὶ ἀνάπαυσις. τοῦτο οὖν ἀπὸ τοῦ προφήτου δείκνυσι· καὶ τί φησι; διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. τρεῖς φησι καταπαύσεις εἶναι· μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ ὁ Θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέραν τὴν τῆς Παλαιστίνης, εἰς ἣν εἰσελθόντες οἱ Ἰουδαῖοι ἔμελλον ἀναπαύεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτην τὴν καὶ ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀναπαύονται ἀληθῶς τῶν κόπων καὶ τῶν μόχθων. τῶν τριῶν τοίνυν ἐνταῦθα μέμνηται. καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς διαλεγόμενος, τῶν τριῶν ἐμνημόνευσεν; ἵνα δείξῃ τὸν προφήτην περὶ ταύτης λέγοντα. περὶ μὲν γὰρ τῆς πρώτης οὐκ εἶπε [φησί]. πῶς γάρ, τῆς πάλαι γεγενημένης; ἀλλ᾽ οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ. πῶς γάρ, καὶ αὐτῆς τέλος ἤδη λαβούσης; λείπεται δὴ περὶ τῆς τρίτης αὐτὸν λέγειν λοιπόν. ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον. ἐπειδὴ γὰρ ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντες, καὶ πολλὴν ὁδὸν διανύσαντες, καὶ μυρία τῆς τοῦ Θεοῦ δυνάμεως λαβόντες τεκμήρια, ἔν τε τῇ Αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ, ἔν τε τῇ ἐρήμῳ, ἐβουλεύσαντο πέμψαι κατασκόπους τοὺς διασκεψομένους τὴν φύσιν τῆς γῆς, οἱ δὲ ἀπελθόντες ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες, καὶ γενναίων καρπῶν εὔφορον εἶναι λέγοντες, ἀνθρώπων μέντοι ἀκαταμαχήτων εἶναι χώραν καὶ ἰσχυρῶν· οἱ ἀγνώμονες Ἰουδαῖοι καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων τοῦ Θεοῦ εὐεργεσιῶν ἀναμνησθῆναι, καὶ πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους στρατοπέδων τοσούτων Αἰγυπτιακῶν, οὐ μόνον ἐξήρπασε τῶν κινδύνων, ἀλλὰ καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους, καὶ πῶς πάλιν ἐν τῇ ἐρήμῳ πέτραν ἔρρηξε, καὶ τῶν ὑδάτων τὴν ἀ-

φθονίαν ἐχαρίσατο, καὶ τὸ μάννα κατέβρεχε, καὶ ταῦτα ἀναμνησθέντας καὶ τὰ ἄλλα θαύματα ἅπερ εἰργάσατο, πιστεῦσαι τῷ Θεῷ· τούτων μὲν οὐδὲν ἐνενόησαν, ἀλλ' ὡς μηδενὸς γενομένου, (γρ. δὲ) οὕτω καταπλαγέντες, πάλιν εἰς Αἴγυπτον ὑποστρέφειν ἐβούλοντο, λέγοντες, Ἐξήγαγεν ἡμᾶς ὧδε ὁ Θεός, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ παίδων καὶ γυναικῶν. (Ἀριθ. κ.) ὁ τοίνυν Θεὸς ὀργιζόμενος, ὅτι οὕτω ταχέως ἐξέβαλον τὴν τῶν γεγενημένων μνήμην, ὤμοσε μὴ εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν ταῦτα εἰρηκυῖαν εἰς τὴν κατάπαυσιν· καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ. ἐπεὶ οὖν ὁ Δαβὶδ ὕστερον μετὰ τὴν γενεὰν τὴν ἐκείνων διελέγετο· σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, φησί, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. διὰ τί; ἵνα μὴ τὰ αὐτὰ πάθητε, ἅπερ οἱ πρόγονοι οἱ ὑμέτεροι, καὶ ἀποστερηθῆτε τῆς καταπαύσεως· δῆλον ὅτι ὡς οὔσης τινὸς καταπαύσεως ταῦτα ἔλεγεν. ἐπεὶ εἰ ἀπειληφότες ἦσαν τὴν κατάπαυσιν, φησί, τίνος ἕνεκεν αὖθις πάλιν λέγει τό, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν,* ὡς ἐν τῷ παραπικρασμῷ; (*ὡς οἱ πατέρες ὑμῶν) τίς οὖν ἐστιν ἄλλη κατάπαυσις, ἀλλ' ἢ ἡ βασιλεία τῶν οὐρανῶν, ἧς εἰκὼν καὶ τύπος ἐστὶ τὸ σάββατον; εἶτα θεὶς τὴν μαρτυρίαν πᾶσαν (αὕτη δέ ἐστι, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου) τότε ἐπάγει,

12 Βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. Ἀπὸ γὰρ τῆς σκληρότητος ἡ ἀπιστία γίνεται. καὶ καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ οὐκ εἴκει ταῖς τῶν ἰατρῶν χερσίν· οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι οὐκ εἴκουσι τῷ λόγῳ τοῦ Θεοῦ. εἰκὸς γὰρ τινὰς καὶ ἀπιστεῖν λοιπόν, ὡς οὐκ ὄντων ἀληθῶν τῶν γεγενημένων. διὰ τοῦτό φησι, βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ ἔστιν οὕτω πιθανός, ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδεήθησαν. εἰ γὰρ οἱ πατέρες ὑμῶν, φησίν, ἐπειδὴ οὐκ ἤλπισαν, ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον· πολλῷ μᾶλλον ὑμεῖς. καὶ γὰρ πρὸς αὐτοὺς οὗτός ἐστιν ὁ λόγος. τὸ γὰρ σήμερον, φησίν, ἀεί ἐστιν, ἕως ἂν συνεστήκῃ ὁ κόσμος.

(γρ. λέγεται) 13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται.

Τουτέστιν, οἰκοδομεῖτε ἀλλήλους, ἀνορθώσατε ἑαυτούς, ἵνα μὴ τὰ αὐτὰ γένηται.

Ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. Ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ; (γρ. ἰδὼν) ὥσπερ γὰρ ἡ ἀπιστία βίον τίκτει πονηρόν, οὕτω καὶ ἡ ψυχή, ὅταν εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ· καταφρονήσασα δέ, οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε ἀπαλλάξαι φόβου ἑαυτήν. Εἶπον γάρ, φησιν, Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. (Ψαλ. ϟγ. ζ.) καὶ πάλιν, Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστι; (Ψαλ. ια. δ.) καὶ πάλιν, Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; (Ψαλ. θ. λγ.) καὶ πάλιν, Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. (Ψαλ. ιγ. α. β.) καὶ πάλιν, Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. (Ψαλ. λε. β.) καὶ πάλιν, Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. καὶ ὁ Χριστὸς δὲ αὐτὸ τοῦτο δηλοῖ, λέγων, Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. (Ἰωάν. γ. κ.) Εἶτα ἐπάγει,

14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ. — Τί ἐστι, μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ; (γρ. καὶ τῇ …) μετέχομεν αὐτοῦ, φησιν, ἓν ἐγενόμεθα ἡμεῖς καὶ αὐτός· εἴπερ αὐτὸς μὲν κεφαλή, σῶμα δὲ ἡμεῖς, συγκληρονόμοι καὶ σύσσωμοι. ἓν σῶμά ἐσμεν, ἐκ τῆς σαρκὸς αὐτοῦ, φησι, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.

αὐτοῦ. Ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν.

Τί ἐστιν ἀρχὴ τῆς ὑποστάσεως; τὴν πίστιν λέγει, δι' ἧς ὑπέστημεν, καὶ * γεγενήμεθα, καὶ " συνουσιώθημεν, ὡς ἄν τις εἴποι. Εἶτα ἐπάγει,

15 Ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὥσπερ ἐν τῷ παραπικρασμῷ. Καθ' ὑπερβατόν ἐστι τοῦτο· τὸ ἀκόλουθον δὲ οὕτως ἔχει,

κεφ. δ. 1 Φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, ὥσπερ κἀκεῖνοι, Ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε. Τὸ γὰρ σήμερον, ἀεί ἐστιν. Εἶτα ἐπάγει, Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ " συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασι. Δεικνὺς πῶς ὁ λόγος οὐκ ὠφέλησεν (ἐκ γὰρ τοῦ μὴ συγκραθῆναι, οὐκ ὠφελήθησαν) εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσιν αὐτὸ τοῦτο, δι' ὧν φησι,

16 Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως·

17 Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ;

18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;

19 Καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν. Εἰπὼν πάλιν τὴν μαρτυρίαν, " καὶ τὴν ἐρώτησιν ἐπάγει, ποιῶν τὸν λόγον σαφῆ. Εἶπε γάρ, φησι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. τίνων μέμνηται, φησι, σκληρυνθέντων, τίνων δὲ ἀπειθησάντων; οὐχὶ τῶν Ἰουδαίων; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἤκουσαν κἀκεῖνοι, φησιν, ὥσπερ ἡμεῖς ἀκούομεν, ἀλλ' οὐδὲν ὄφελος αὐτοῖς γέγονε. μὴ τοίνυν νομίσητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε· ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ' οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν. Οἱ οὖν περὶ Χάλεβ καὶ Ἰησοῦν, ἐπειδὴ μὴ συνεκράθησαν τοῖς ἀπιστήσασι, τουτέστιν, οὐ συνεφώνησαν, διέφυγον τὴν κατ' ἐκείνων ἐξενεχθεῖσαν τιμωρίαν. καὶ ὅρα τι θαυμαστόν. οὐκ εἶπεν, οὐ συνεφώνησαν, ἀλλ', οὐ συνεκράθησαν· τουτέστιν, ἀστασιάστως διέστησαν, ἐκείνων πάντων μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. ἐν ταῦτά μοι δοκεῖ καὶ στάσιν αἰνίττεσθαι.

3 Εἰσερχόμεθα γάρ, φησιν, εἰς τὴν κατάπαυσιν [οἱ πιστεύσαντες]. Εἶτα τοῦτο βεβαιῶν ἐπήγαγε, καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. Ἐπειδὴ εἰκὸς ἦν εἰπεῖν τινα, καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς εἰσελεύσεσθαι δηλωτικόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσεληλυθέναι, τί ποιεῖ; σπουδάζει δεῖξαι πῶς, ὅτι ὥσπερ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν. πῶς οὖν θέλει δεῖξαι, ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως. ὅτι γὰρ τοῦτο λέγει, δῆλον ἐξ ὧν ἐπάγει·

4 Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω, καὶ κατέπαυσεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ·

5 Καὶ ἐν τούτῳ πάλιν, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Ὁρᾷς πῶς οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν;

6 Ἐπεὶ οὖν ἀπολείπεται, φησί, τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν·

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαβὶδ λέγων μετὰ τοσοῦτον χρόνον, καθὼς προείρηται.

περιείρηται. Τί δέ ἐστιν ὅ φησιν; ἐπειδὴ οὖν ὀφείλουσι, φησί, τινὲς εἰσελθεῖν πάντως, ἐκεῖνοι δὲ οὐκ εἰσῆλθον, πάλιν ὁρίζει περὶ τὴν ἄλλην κατάπαυσιν. ὅτι δὲ εἰσελθεῖν χρὴ, καὶ δεῖ τινας εἰσελθεῖν, ἀκούσωμεν πόθεν τοῦτο κατασκευάζει. ὅτι μετὰ τοσαῦτα ἔτη, φησὶ, λέγει πάλιν Δαβὶδ, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Δῆλον οὖν ὅτι ὡς μελλόντων τινῶν τεύξεσθαι τινὸς ἀμοιβῆς, ταῦτά φησιν.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Πόθεν; ἐκ τοῦ παραγγέλλειν, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. οὐ γὰρ ἂν, εἰ μὴ ἦν σαββατισμὸς, ταῦτα παρηγγέλλοντο, οὐδ᾽ ἐκελεύοντο μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσιν, εἰ μὴ ἔμελλον τὰ αὐτὰ πείσεσθαι. πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι οἱ τὴν Παλαιστίνην ἔχοντες, εἰ μὴ ἑτέρα τις ἦν κατάπαυσις; καὶ καλῶς συνεπέρανε τὸν λόγον. οὐ γὰρ εἶπε, κατάπαυσις, ἀλλὰ, σαββατισμὸς, ὃ οἰκεῖον ὄνομα, ᾧ ἔχαιρον καὶ ἐπέτρεχον, σαββατισμὸν τὴν βασιλείαν καλῶν. ὥσπερ γὰρ ἐν τῷ σαββάτῳ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ, καὶ μηδὲν ἕτερον· οὕτω καὶ τότε. ἀλλ᾽ αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς;

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ* τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. Ὥσπερ ὁ Θεὸς κατέπαυσε, φησὶν, ἀπὸ τῶν ἔργων αὐτοῦ, οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. ἐπειδὴ γὰρ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος ἦν, καὶ τοῦτο σφόδρα ἐπεθύμουν ἀκοῦσαι πότε ἔσται, εἰς τοῦτο τὸν λόγον κατέκλεισε. τὸ δὲ, σήμερον, εἶπεν, ὥστε μηδέποτε ἀπελπίζειν αὐτούς. παρακαλεῖτε, φησὶν, ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται. τουτέστι, κἄν τις ἡμαρτηκὼς ᾖ· ἕως ἂν ᾖ τὸ σήμερον, ἐλπίδας ἔχει. μηδεὶς τοίνυν ἀπογινωσκέτω, ἕως ἂν ζῇ. μάλιστα μὲν οὖν, φησὶ, μηδὲ ἔστω καρδία πονηρὰ ἀπιστίας. εἰ δὲ καὶ γένοιτο, μηδεὶς ἀπογινωσκέτω, ἀλλ᾽ ἀναλαμβανέτω ἑαυτόν. ἕως μὲν γάρ ἐσμεν ἐν τῷδε τῷ κόσμῳ, τὸ σήμερον ἔχει καιρόν. ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει, ἀλλὰ καὶ τοὺς γογγυσμούς. ὧν τὰ κῶλα, φησὶν, ἔπεσεν ἐν τῇ ἐρήμῳ. εἶτα ἵνα μὴ νομίσῃ τις ὅτι ἁπλῶς τῆς ἀναπαύσεως ἀποστερηθήσεται μόνον, ἐπάγει καὶ κόλασιν, εἰπών,

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Ἐνταῦθα περὶ τῆς γεέννης διαλέγεται, καὶ περὶ τῆς κολάσεως· εἰς τὰ κρυπτὰ, φησὶ, διϊκνεῖται τῆς καρδίας τῆς ἡμετέρας, καὶ διατέμνει τὴν ψυχήν. οὐ κῶλα ἐστὶ πεσεῖν ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι, καθάπερ ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν, καὶ γεέννῃ παραδοθῆναι αἰωνίᾳ, καὶ κολάσει ἀθανάτῳ καὶ τιμωρίᾳ.

Ἀλλὰ παρακαλεῖτε ἑαυτούς. Ὅρα τὸ ἥμερον καὶ πρᾶον. οὐκ εἶπεν, ἐπιτιμᾶτε, ἀλλὰ, παρακαλεῖτε. οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως στενοχωρουμένοις προσφέρεσθαι. τοῦτο καὶ Θεσσαλονικεῦσι γράφων φησὶ, Νουθετεῖτε τοὺς ἀτάκτους. περὶ δὲ τῶν ὀλιγοψύχων οὐχ οὕτως, ἀλλὰ τί; Παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. Ὅ ἐστι, παρακαλεῖτε; αὐτὶ τοῦ, μὴ ἀπελπίσητε, μὴ ἀπογνῶτε. τὸν γὰρ ἀπὸ θλίψεως στενοχωρούμενον ὁ μὴ παρακαλῶν, σκληρότερον ποιεῖ. ἵνα* μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις, φησὶν, ἀπάτῃ τῆς ἁμαρτίας. ἢ τὴν ἀπάτην τοῦ διαβόλου φησὶν (ἀπάτη γάρ ἐστιν ὄντως, τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν ὅτι ἀνεύθυνα ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν ἐνταῦθα οὐ δώσομεν δίκην, οὐδὲ ἔσται ἀνάστασις)

γ. -γγέλλε, μὴ

* πάντων

γ. -θώσονται

γ. τετέσι, μὴ ἀπελ.

* ἐξ

α. Θεσ. ε. ιδ.

στασις) ἢ ἑτέρως ἀπάτη ἐστὶν ἢ ἀναλγησία, ἢ ἀπόγνωσις. τὸ γὰρ λέγειν, Τί ἐστι λοιπόν; ἅπαξ ἥμαρτον, οὐκ ἔχω ἐλπίδα τοῦ ἀνακτήσασθαι ἐμαυτόν, ἀπάτη ἐστίν. εἶτα ἐλπίδας αὐτοῖς ἐπιτίθησι, λέγων, Μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ. Μονονουχὶ λέγων, ὁ οὕτως ἡμᾶς ἀγαπήσας, ὁ τοσούτων ἡμᾶς καταξιώσας, ὥστε ἑαυτοῦ σῶμα ποιῆσαι, οὐ περιόψεται ἀπολλυμένους. ἐννοήσωμεν, φησί, τίνων κατηξιώθημεν. ἡμεῖς καὶ ὁ Χριστὸς ἕν ἐσμεν. μὴ τοίνυν ἀπιστῶμεν αὐτῷ. καὶ πάλιν ἐκεῖνο αἰνίττεται ὃ εἴρηκεν ἑτέρωθι, ὅτι Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. τοῦτο γάρ ἐστι, μέτοχοι γεγόναμεν, τῆς αὐτῆς μετέχομεν ὧν καὶ ὁ Χριστός. παρετρέψατο ἀπὸ τῶν χρηστῶν· μέτοχοι γάρ ἐσμεν, φησί, τοῦ Χριστοῦ. εἶτα πάλιν ἀπὸ τῶν σκυθρωπῶν· φοβηθῶμεν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. ἐκεῖνο γὰρ δῆλον καὶ ὡμολογημένον ἐστίν· ἐδοκίμασάν με, φησί, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. ὁρᾷς ὅτι οὐ δεῖ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας, ἀλλ' ἄν τε περιίσταται, ἄν τε μή, πιστεύειν αὐτῷ; ἐκείνοις γὰρ τοῦτο ἐγκαλεῖ, ὅτι ἐπείρασαν τὸν Θεόν. ὁ γὰρ βουλόμενος ἀπόδειξιν λαβεῖν, ἢ τῆς δυνάμεως, ἢ τῆς προνοίας, ἢ τῆς κηδεμονίας αὐτοῦ, οὔτε πιστεύει οὔτε δυνατὸν αὐτὸν εἶναι, οὔτε φιλόθεον. τοῦτο καὶ πρὸς τούτους γράφων αἰνίττεται, βουλομένους ἴσως ἤδη τῆς δυνάμεως αὐτοῦ καὶ τῆς περὶ αὐτοὺς προνοίας τὴν ἐξέτασιν καὶ τὸν ἔλεγχον λαβεῖν ἐν τοῖς πειρασμοῖς. ὁρᾷς ὅτι ἀπὸ ἀπιστίας πάντα γέγονεν ὁ παροξυσμὸς καὶ ὁ παροργισμός; τί οὖν φησιν; ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. ὅρα δὲ πῶς ὅλον τὸν λόγον συνελογίσατο. ὤμοσε, φησί, τοῖς πατράσιν μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσιν, καὶ οὐκ εἰσῆλθον. εἶτα μετ' ἐκείνους χρόνῳ πολλῷ ὕστερον διαλεγόμενος τοῖς Ἰουδαίοις, φησί, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς οἱ πατέρες ὑμῶν· δηλῶν ὅτι ἔστιν ἄλλη κατάπαυσις. περὶ μὲν γὰρ τῆς Παλαιστίνης οὐκ ἔνι εἰπεῖν. εἶχον γὰρ αὐτήν. περὶ δὲ τῆς ἑβδόμης οὐκ ἔστιν εἰπεῖν. οὐ γὰρ δήπου περὶ ταύτης διελέγετο τῆς πάλαι γεγενημένης. ἄρα ἑτέραν τινὰ αἰνίττεται τὴν ὄντως ἀνάπαυσιν.

2. Τιμ. 2. 12. | γ. ἂν εἶχον

ΗΘΙΚΟΝ

Ὄντως γὰρ ἐκείνη ἐστὶν ἀνάπαυσις, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ἔνθα οὐδὲ φροντίδες, οὔτε πόνοι, οὔτε ἀγωνία, οὔτε φόβος καταπλήττων καὶ σείων τὴν ψυχήν, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ φόβος ἡδονῆς πλήρης ὤν. οὐκ ἔστιν ἐκεῖ ἀκοῦσαι, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου· οὐδέ, Ἀκάνθας, οὐδέ, τριβόλους ἀνατελεῖ σοι. οὐκ ἔτι ἄκανθαι καὶ τρίβολοι. οὐκ ἔστιν, Ἐν λύπαις τέξεις τέκνα, οὐδέ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. πάντα εἰρήνη ἐκεῖ, χαρά, εὐφροσύνη, ἡδονή, ἀγαθωσύνη, πρᾳότης, εὐθύτης, ἀγάπη. οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία, οὐδὲ βασκανία, οὐ νόσος, οὐ θάνατος οὔτε ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς, οὐκ ἔστι σκότος, οὔτε νύξ· πάντα ἡμέρα, πάντα φῶς, πάντα ἄνεσις. οὐκ ἔστι κάμνειν, οὐκ ἔστι κόρον λαβεῖν, ἀλλ' ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν. βούλεσθε δῶ τινα καὶ εἰκόνα ὑμῖν τῆς ἐκεῖ καταστάσεως; οὐκ ἔστι δυνατόν. πλὴν ἀλλ' ὅμως, ὡς ἂν ᾖ δυνατόν, πειράσομαι ὑμῖν δοῦναί τινα εἰκόνα. ἀναβλέψωμεν εἰς τὸν οὐρανόν, ὅτ' ἂν μηδενὸς ἐνοχλοῦντος νέφους, φαίνῃ τὸν ἑαυτοῦ στέφανον. εἶτα πρὸς τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολὺν διατρίψαντες χρόνον, ἐννοήσωμεν ὅτι καὶ τὸ ἔδαφος ἕξομεν οὐ τοιοῦτον μένον, ἀλλὰ τοσούτῳ γινόμενον κάλλιον, ὅσῳ τῶν πηλίνων ὀρόφων ὁ χρυσοῦς. εἶτα τὸν μετ' ἐκεῖνον πάλιν τὸν ἀνώτερον ὄροφον· ἔπειτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τοὺς ἀπείρους δήμους τῶν ἀσωμάτων δυνάμεων, αὐτὰ τοῦ Θεοῦ τὰ βασίλεια, τὸν θρόνον τὸν πατρικόν. ἀλλ' οὐκ ἰσχύει (ὅπερ ἔφθην) ὁ λόγος παραστῆσαι· δὲ πάντως πείρας χρεία, καὶ τῆς διὰ πείρας γνώσεως. πῶς οἴεσθε, εἰπέ μοι, τὸν Ἀδὰμ εἶναι ἐν τῷ παραδείσῳ; πολὺ βελτίων ἐστὶν ἐκείνης αὕτη ἡ διαγωγή, ὅσῳ τῆς γῆς ὁ οὐρανός. πλὴν ἀλλὰ καὶ ἑτέραν εἰκόνα ἐπιζητήσωμεν. εἰ συνέβη τὸν βασιλεύοντα νῦν πάσης τῆς οἰκουμένης κρατῆσαι, εἶτα μὴ τοῦ

Γεν. γ. | γ. καὶ αὐτὸς | γ. πάντα λαμπρότης | γ. ἰσχύσει

τοῦ

ὑπὸ πολέμων, μήτε ὑπὸ φροντίδων ἐνοχλεῖσθαι, ἀλλὰ τιμᾶσθαι μόνον, καὶ τρυφᾶν, καὶ πολλοὺς μὲν ἔχειν δορυφόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτοῦ ἐπιρρεῖν, καὶ ἀποβλεπτὸν εἶναι), ποίαν οἴεσθε ἔχειν αὐτὸν ψυχὴν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ἑώρα; τοιοῦτόν τι ἔσται καὶ τότε. μᾶλλον δὲ οὔπω καὶ τῆς εἰκόνος ἐφικόμεθα ἐκείνης· διὸ χρὴ καὶ ἑτέραν ἐπιζητῆσαι. ἐννόησον δή μοι παιδίον βασιλικὸν, ὅπερ ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς ἐπαισθάνεται, εἰ δὲ συμβαίη ἄφνω ἐξελθὸν ἐκεῖθεν ἐπὶ τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικὸν, μὴ ἠρέμα, ἀλλ' ἀθρόον πάντα περιλαβεῖν· οὕτως ἐστὶν ἡ κατάστασις αὕτη κἀκείνη. ἢ εἴ τις δεσμώτης μυρία παθὼν κακὰ, ἀθρόον ἐπὶ τὸν βασιλικὸν ἁρπαγείη θρόνον. ἀλλ' οὐδὲ οὕτως ἐφικόμεθα ἀκριβῶς τῆς εἰκόνος. ἐνταῦθα μὲν γὰρ κἂν ὅταν τις ἐπιτύχῃ καλοῦ, κἂν αὐτὴν εἴπῃς τὴν βασιλείαν, κατὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόθον, καὶ κατὰ τὴν δευτέραν, καὶ τὴν τρίτην· χρόνου δὲ προϊόντος, ἔχει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ δέ. λύεται γὰρ ὑπὸ τῆς συνηθείας ἀεὶ, οἷα ἂν ᾖ. ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν. ἐννόησον γὰρ ὅσον ἐστὶ, ψυχὴν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων, μηδὲ μεταβολὴν *, ἀλλ' ἐπίδοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, * παντὸς μὲν κινδύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν εὐθυμίας καὶ μυρίων ἀγαθῶν. εἰ γὰρ εἰς πεδίον ἐξιόντες, ἔνθα σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων πηγνυμένας, καὶ δόρατα, καὶ κράνη, καὶ ὀμφαλοὺς ἀσπίδων λάμποντας, μετεωριζόμεθα τῷ θαύματι, εἰ δὲ καὶ τὸν βασιλέα συμβαίη μέσον ἰδεῖν τρέχοντα, ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅπλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν· τί οἴει, ὅταν τῶν ἁγίων ἴδῃς τὰς σκηνὰς τὰς αἰωνίους ἐν τοῖς οὐρανοῖς πεπηγυίας (Δέξονται γὰρ ὑμᾶς, φησὶν, εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς) ὅταν αὐτῶν ἕκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἴδῃς ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνθρώπινος ὀφθαλμὸς οὐ δύναται ἰδεῖν; καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων· τί δὲ ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβὶμ, τῶν σεραφὶμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον, καὶ πάντα νοῦν ὑπερβαῖνον; ἀλλὰ γὰρ μέχρι τίνος οὐ στησόμεθα διώκοντες ἄληπτα; Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησὶν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. οὐκοῦν οὐδὲν ἐλεεινότερον τῶν ἀποτυγχανόντων, οὔτε μακαριώτερον τῶν ἐπιτυγχανόντων· γένοιτο δὲ καὶ ἡμᾶς τῶν μακαρίων γενέσθαι, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

γ. φέρεις,

γ. καὶ τὸ εἰς μέσον προτεθῆν.

* ἐχόντων

* ζωὴν

Λουκ. ιϛ. θ.

α Κορ. β. θ.

Λογ. ζ 11 ΣΠΟΥΔΑΣΩΜΕΝ ΟΥΝ ΕΙΣΕΛΘΕΙΝ ΕΙΣ ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. 12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. 13 Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

Μέγα μὲν ἡ πίστις καὶ σωτήριον, καὶ ταύτης ἄνευ οὐκ ἔνι σωθῆναί ποτε. ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τοῦτο ἐργάσασθαι, ἀλλὰ δεῖ καὶ πολιτείας ὀρθῆς. ὥστε διὰ τοῦτο καὶ Παῦλος τοῖς ἤδη τῶν μυστηρίων καταξιωθεῖσι παραινεῖ λέγων, σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν. σπουδάσωμεν, φησὶν, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προστεθῆναι καὶ τοῦ βίου, καὶ πολλὴν τὴν σπουδὴν γενέσθαι. δεῖ γὰρ ἡμῖν ὄντως καὶ πολλῆς σπουδῆς, ὥστε ἀνελθεῖν εἰς τὸν οὐρανόν. εἰ γὰρ γῆς οὐκ ἠξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ, καὶ γῆς τυχεῖν οὐκ ἠδυνήθησαν, ἐπειδὴ ἐγόγγυσαν καὶ ἐπόρνευσαν· πῶς τοῦ οὐρανοῦ ἡμεῖς καταξιωθησόμεθα, ἀδιαφόρως ζῶντες καὶ ῥαθύμως; δεῖ τοίνυν ἡμῖν πολλῆς σπουδῆς. καὶ ὅρα, οὐ μέχρι τούτου τὴν ζημίαν δείκνυσι μόνον, τοῦ μὴ εἰσελθεῖν (οὐ γὰρ εἶπε, σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν, ἵνα μὴ ἐκπέσωμεν τοσούτων ἀγαθῶν) ἀλλ' ὃ μάλιστα τοὺς ἀνθρώπους διεγείρει, τοῦτο προσέθηκε. ποῖον δὴ τοῦτο; τὸ, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. τί ἐστι τοῦτο; τουτέστιν, ἵνα τὸν νοῦν ἔχωμεν ἐκεῖ, τὴν ἐλπίδα, τὴν προσδοκίαν, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν. ὅτι γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ· μὴ ἐν τῷ αὐτῷ, φησίν. εἶτα ἵνα μὴ ἀκούων, ἐν τῷ αὐτῷ, τὴν αὐτὴν εἶναι νομίσῃς τιμωρίαν, ἄκουσον τί ἐπάγει· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. δείκνυσι κἀνταῦθα, ὅτι κἀκεῖνα αὐτὸς εἰργάσατο ὁ τοῦ Θεοῦ λόγος, καὶ ζῇ, καὶ οὐκ ἐσβέσθη. μὴ τοίνυν, ἐπειδὴ λόγον ἤκουσας, ἁπλῶς λόγον νομίσῃς. μαχαίρας γάρ ἐστι, φησὶ, τομώτερος. ὅρα τὴν συγκατάβασιν, καὶ ἐντεῦθεν μάνθανε τίνος ἕνεκεν ἐδεήθησαν καὶ οἱ προφῆται εἰπεῖν μάχαιραν καὶ τόξον καὶ ῥομφαίαν. [Ψαλ. ζ. ιγ.] Ἐὰν μὴ ἐπιστραφῆτε, φησὶ, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. εἰ γὰρ νῦν μετὰ τοσοῦτον χρόνον καὶ τελείωσιν, οὐ δύναται τῷ τοῦ λόγου ὀνόματι καταπλῆξαι μόνον, ἀλλὰ δεῖται τούτων τῶν ῥημάτων, ἵνα δείξῃ τὴν ὑπεροχὴν τὴν ἐκ τῆς συγκρίσεως· πολλῷ μᾶλλον τότε. διϊκνούμενος, φησὶν, ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος. τί ἐστι τοῦτο; φοβερόν τι ᾐνίξατο. ἢ γὰρ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, λέγει· ἢ ὅτι καὶ αὐτῶν τῶν ἀσωμάτων διϊκνεῖται, οὐ καθὼς ἡ μάχαιρα μόνον τῶν σωμάτων. δείκνυσιν ἐνταῦθα, ὅτι καὶ ἡ ψυχὴ κολάζεται, καὶ ὅτι τὰ ἐνδότατα διερευνᾶται, καὶ ὅλον δι' ὅλου διϊκνεῖται τὸν ἄνθρωπον. καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. ἐνταῦθα αὐτοὺς μάλιστα ἐφόβησεν. ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ γὰρ εἰ ἔτι, φησὶν, ἐν τῇ πίστει ἑστήκατε, μὴ μετὰ πληροφορίας δὲ, θαρρεῖτε. αὐτὸς τὰ ἐν τῇ καρδίᾳ κρίνει. ἐκεῖ γὰρ διαβαίνει καὶ κολάζων καὶ ἐξετάζων. καὶ τί λέγω περὶ ἀνθρώπων, φησί; κἂν γὰρ ἀγγέλους εἴπῃς, κἂν ἀρχαγγέλους, κἂν τὰ χερουβὶμ, κἂν τὰ σεραφὶμ, κἂν οἱανδήποτε κτίσιν· πάντα ἐκκεκάλυπται τῷ ὀφθαλμῷ ἐκείνῳ, πάντα δῆλά ἐστι καὶ φανερὰ, οὐδέν ἐστι τὸ λαθεῖν αὐτὸν δυνατόν. πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. τετραχηλισμένα εἶπεν ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ τῶν σφαζομένων ἱερείων ἐξελκομένων. ὥσπερ γὰρ ἐπειδὰν ἐπιθεὶς σφάξας τις ἀπὸ τῆς σαρκὸς περιελκύσῃ τὸ δέρμα, πάντα τὰ ἔνδον ἀποκαλύπτεται, καὶ δῆλα γίνεται τοῖς ἡμετέροις ὀφθαλμοῖς· οὕτω καὶ τῷ Θεῷ δῆλα πρόκειται πάντα. σὺ δέ μοι θέα, πῶς ἀεὶ τῶν σωματικῶν εἰκόνων δεῖται· ὅπερ ἦν τῆς ἀσθενείας τῶν ἀκουόντων. ὅτι γὰρ ἀσθενεῖς ἦσαν, ἐδήλωσεν εἰπὼν νωθροὺς αὐτοὺς εἶναι, καὶ χρείαν ἔχοντας γάλακτος, οὐ στερεᾶς τροφῆς. πάντα γυμνὰ, φησὶ, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. τί δέ ἐστιν, ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας; ὡς ἂν εἴ τις ἀπολογούμενος εἴποι, διατί οὐκ

εἶδον

Εἶδον ἐκεῖνοι τὴν γῆν· ἔλαβον ἀῤῥαβῶνα, φησὶ, τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ δέον πιστεῦσαι, τῷ φόβῳ πλέον δόντες, καὶ μηδὲν μέγα περὶ τοῦ Θεοῦ φαντασθέντες, καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. ἔστι δὲ καὶ ἑτέρωθι εἰπεῖν δεῖ, ὅτι τὸ πλέον ἀνύσαντες τῆς ὁδοῦ, ὅτι πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι, κατεποντίσθησαν. τοῦτο καὶ περὶ ὑμῶν δέδοικα, φησί. τοῦτο τοίνυν ἐστὶ τὸ, ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας. οὐδὲ γὰρ καὶ οὗτοι πολλὰ ἔπαθον, ὥσπερ αὐτοῖς μαρτυρεῖ λέγων, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. μηδεὶς οὖν ὀλιγοψυχείτω, μηδὲ πρὸς τὸ τέλος ἀπαγορεύων καταποντιζέσθω. εἰσὶ γὰρ, εἰσὶν οἳ παρὰ μὲν τὴν ἀρχὴν μετ' ἀκμαζούσης προσβάλλουσι τῆς προθυμίας πρὸς τοὺς ἀγῶνας· ὕστερον δὲ μικρὸν τῷ παντὶ προσθεῖναι μὴ βουληθέντες, τὸ πᾶν ἀπώλεσαν. ἐκεῖνοι, φησι, καὶ πρὸς γεγόνασι παιδεῦσαι ὑμᾶς μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὥστε μὴ τὰ αὐτὰ παθεῖν, ἅπερ ἔπαθον. [τοῦτο δέ ἐστιν, ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας.] οὐκοῦν μὴ ἐκλυώμεθα, φησίν. ὃ καὶ πρὸς τῷ τέλει λέγει, Τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε· *ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι, φησι, πέσῃ. τοῦτο γὰρ πεσεῖν ὄντως ἐστίν. εἶτα ἵνα μὴ ἀκούσας, ἐν τῷ αὐτῷ ὑποδείγματι πέσῃ, τὸν αὐτὸν θάνατον ὑπολάβῃς, ὅνπερ κἀκεῖνοι ὑπέμειναν, ὅρα τί φησι· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. πάσης γὰρ μαχαίρας χαλεπώτερον εἰς τὰς τούτων ἐμπίπτων ψυχὰς ὁ λόγος, πληγὰς ἐργάζεται χαλεπὰς, καὶ καιρίας δίδωσι τομάς. καὶ τούτων τὴν ἀπόδειξιν οὐ δεῖται παραγαγεῖν, οὐδὲ κατασκευάσαι, ἔχων οὕτω τὴν διήγησιν φανεράν. ποῖος γὰρ πόλεμος ἐκείνους ἀπώλεσε, φησί; ποία μάχαιρα; οὐχ ἁπλῶς αὐτόματοι κατέπιπτον; μὴ οὖν, ἐπειδὴ μὴ ἐπάθομεν τὰ αὐτὰ, ἀμεριμνήσωμεν. μέχρις οὗ τὸ σήμερον λέγεται, ἔξεστιν ἡμῖν ἀνακτήσασθαι. ἀλλ' ἐπεὶ οὕτως εἶπεν, ἵνα μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥαθυμήσωσι, προστίθησι καὶ τὰ τοῦ σώματος, δηλῶν, ὅτι καθάπερ τις βασιλεὺς ἄρχοντας ἁμαρτόντας μεγάλα, πρότερον ἀπογυμνοῖ δεῖ τῆς στρατείας, εἶτα τὴν ζώνην ἀφελόμενος, καὶ τὸ ἀξίωμα, καὶ τὸν κήρυκα παραστησάμενος, τότε κολάζει· οὕτω καὶ τοῦ πνεύματος ἡ μάχαιρα τότε ἐργάσεται. εἶτα τοῦτο εἰπὼν, φοβερώτερον ἔτι τὸν λόγον ποιῶν, περὶ τοῦ υἱοῦ διαλέγεται, καί φησι, πρὸς ὃν ἡμῖν ὁ λόγος· αὐτὸ τοῦ, αὐτῷ μέλλομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων. οὐκοῦν μὴ ἀναπέσωμεν, μηδὲ ὀλιγοψυχήσωμεν. ἴσμεν μὲν οὖν καὶ τὰ εἰρημένα παιδεῦσαι· ὁ δὲ οὐκ ἀρκεῖται, ἀλλ' ἔτι προστίθησι λέγων,

14 Ἔχομεν δὲ καὶ ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ.

Ὅτι γὰρ διὰ τοῦτο προσέθηκεν, ἐπήγαγεν,

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν.

Διὰ τοῦτο ἀνωτέρω ἔλεγεν, ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. ὅρα τοίνυν πῶς καὶ ἐνταῦθα τὸ αὐτὸ ποιεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἦλθε, φησιν, ὁδὸν τὴν καὶ ἡμετέραν, μᾶλλον δὲ καὶ τραχυτέραν. πάντων γὰρ ἔλαβε τὴν ἀνθρωπίνων πεῖραν. εἶπεν ἐκεῖ, οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, τὴν θεότητα αἰνιττόμενος. εἶτα, ἐπειδὴ τῆς σαρκὸς ἐπελάβετο, *συγκαταβατικώτερον πάλιν διαλέγεται λέγων, ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς· καὶ μείζονα δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι ὥσπερ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν. Μωϋσῆς μὲν γὰρ, φησιν, οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν, αὐτὸς δὲ εἰσῆλθε. καὶ πῶς, ἐγὼ λέγω. οὐ θαυμαστὸν δὲ, εἰ οὐδαμοῦ αὐτὸ τέθεικεν. ἢ γὰρ ἵνα μὴ δόξωσιν ἀπολογίαν εὑρίσκειν, συμπεριέλαβε καὶ αὐτόν· ἢ ἵνα μὴ δόξῃ κατηγορεῖν τοῦ ἀνδρὸς, φανερῶς αὐτὸ οὐκ εἶπεν. εἰ γὰρ, οὐδενὸς τούτων λεχθέντος, ταῦτα προέφερον, λέγοντες, Κατὰ τοῦ Μωϋσέως καὶ κατὰ τοῦ νόμου ταῦτ' εἴρηκε· πολλῷ μᾶλλον εἰ εἶπεν, οὐκ ἔστι Παλαιστίνη, ἀλλ' οὐρανὸς, μείζονα ἂν τούτων εἶπεν. ἀλλ' οὐ τὸ πᾶν

τῷ ἱερεῖ δίδωσιν, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν. ἔχοντες οὖν, φησὶν, ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. ποίαν ὁμολογίαν λέγει; ὅτι ἀνάστασίς ἐστιν, ὅτι ἀνταπόδοσις, ὅτι μυρία ἀγαθὰ, ὅτι ὁ Χριστὸς Θεός ἐστιν, ὅτι ἡ πίστις ὀρθή. ταῦτα ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. ὅτι γὰρ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἀρχιερέα ἔνδον εἶναι. οὐκοῦν ὅτι οὐκ ἐξεπέσομεν, ὁμολογήσωμεν. εἰ καὶ μὴ πάρεστι τὰ πράγματα, ἀλλ' ἡμεῖς ὁμολογήσωμεν. εἰ ἄρτι παρῆν, ψεῦδος ἦν. ὥστε καὶ τοῦτο ἀληθὲς, τὸ ὑπερτίθεσθαι. καὶ γὰρ ὁ ἀρχιερεὺς ἡμῶν μέγας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν. οὐκ ἔστι, φησὶν, ἀγνοῶν τὰ ἡμέτερα, ὡς πολλοὶ τῶν ἀρχιερέων, οἳ τοὺς ἐν θλίψεσιν οὐκ ἴσασιν, ἀλλ' οὐδὲ ὅτι ποτέ ἐστι θλίψις. ἐπὶ γὰρ τῶν ἀνθρώπων ἀδύνατον εἰδέναι τὴν κάκωσιν τοῦ κακουμένου τὸν μὴ πεῖραν λαβόντα, καὶ διὰ τῶν αἰσθητῶν ἐλθόντα. πάντα ὑπέστη ὁ ἀρχιερεὺς ὁ ἡμέτερος. διὰ γὰρ τοῦτο πρότερον ὑπέστη, καὶ τότε ἀνέβη, ἵνα δυνηθῇ συμπαθεῖν.

Πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

Ὁρᾷς πῶς καὶ αὐτὸ τὸ παραπλησίως, ἔθηκε, καὶ ἐνταῦθα τὸ, καθ' ὁμοιότητα. τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη, κατηγορήθη, ἐσκώφθη, ἐσυκοφαντήθη, ἀπηλάθη, τὸ τέλος ἐσταυρώθη. καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. ἐνταῦθα καὶ ἄλλο αἰνίττεται, ὅτι δυνατὸν χωρὶς ἁμαρτίας, καὶ ἐν θλίψεσιν ὄντα διενεγκεῖν. ὥστε καὶ ὅταν λέγῃ ἐν ὁμοιώματι σαρκὸς, οὐ τοῦτό φησιν, ὅτι ὁμοίωμα σαρκὸς, ἀλλ' ὅτι σάρκα ἀνέλαβε. διατί οὖν εἶπεν, ἐν ὁμοιώματι; ὅτι περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν. ὁμοία γὰρ ἦν τῇ σαρκὶ τῇ ἡμετέρᾳ. τῇ μὲν γὰρ φύσει ἡ αὐτὴ ἦν ἡμῖν· τῇ δὲ ἁμαρτίᾳ οὐκέτι ἡ αὐτή.

16 Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος αὐτοῦ, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Ψαλ. ρθ. α. Θρόνον χάριτος τίνα φησί; τὸν θρόνον τὸν βασιλικὸν, περὶ οὗ φησιν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ὥστε ἔλεγε, προσερχώμεθα μετὰ παρρησίας, ὅτι ἀναμάρτητον ἔχομεν ἀρχιερέα, καταγωνιζόμενον τὴν οἰκουμένην. Θαρσεῖτε γὰρ, φησὶν, ἐγὼ νενίκηκα τὸν κόσμον. τὸ γὰρ πάντα μὲν παθεῖν, καθαρὸν δὲ εἶναι ἁμαρτημάτων, τοῦτό ἐστιν*. εἰ ἡμεῖς ὑπὸ ἁμαρτίαν ἐσμὲν, φησὶν, αὐτὸς δὲ ἀναμάρτητος, πῶς προσερχώμεθα μετὰ παρρησίας; ὅτι θρόνος χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. διὰ τοῦτο προσερχώμεθα μετὰ παρρησίας, ἵνα λάβωμεν ἔλεον, ὃν ζητοῦμεν, φησί. φιλοτιμία γὰρ τὸ πρᾶγμά ἐστι, καὶ δωρεὰ βασιλική. καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. καλῶς εἴρηκεν, εἰς εὔκαιρον βοήθειαν. ἂν νῦν προσέλθῃς, φησὶ, λήψῃ καὶ χάριν καὶ ἔλεον· εὐκαίρως γὰρ προσέρχῃ· ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· ἄκαιρος γὰρ τότε ἡ πρόσοδος. οὐ γάρ ἐστι τότε θρόνος χάριτος. θρόνος χάριτός ἐστιν, ἕως κάθηται χαριζόμενος ὁ βασιλεύς· ὅταν δὲ ἡ συντέλεια γένηται, τότε ἐγείρεται εἰς κρίσιν. Ἀνάστα γὰρ, φησὶν, ὁ Θεὸς, κρῖνον τὴν γῆν. ἔστι καὶ ἕτερόν τι εἰπεῖν· προσερχώμεθα, φησὶ, μετὰ παρρησίας, τουτέστι, μηδὲν ἔχοντες συνειδὸς πονηρὸν, μὴ διστάζοντες. οὐ γὰρ δύναται μετὰ παρρησίας ὁ τοιοῦτος προσελθεῖν. διὰ τοῦτο καὶ ἀλλαχοῦ λέγει, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ἐπεὶ καὶ νῦν τὸ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας εὑρίσκειν μετάνοιαν, χάριτός ἐστιν. ἵνα δὲ μὴ ἀκούσας αὐτὸν ἀρχιερέα, νομίσῃς ἑστάναι, εὐθέως αὐτὸν ἐπὶ τὸν θρόνον ἄγει. ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν. ὁρᾷς ὅτι τὸ γενέσθαι ἀρχιερέα, οὐ φύσεώς ἐστιν, ἀλλὰ χάριτος καὶ συγκαταβάσεως καὶ κενώσεως;

Ψαλ. πα. η.

Ἡσ. μθ. η.

Ἰωαν. ις. λγ.

ΗΘΙΚΟΝ

Τοῦτο καὶ ὑμῖν εὔκαιρον νῦν εἰπεῖν, προσερχώμεθα μετὰ παρρησίας αἰτοῦντες· μόνον πίστιν προσαγάγωμεν, καὶ πάντα δίδωσι. νῦν ὁ τῆς δωρεᾶς ἐστι καιρὸς, μηδεὶς ἑαυτὸν ἀπογινωσκέτω. τότε τῆς ἀπογνώσεως ὁ καιρὸς, ὅταν ὁ νυμφὼν κλεισθῇ, ὅταν εἰσέλθῃ ὁ βασιλεὺς

τοὺς

γ. ϑ

γ. ζ * ἐξ ἡμῶν μόνων

γ. ἀλλ' αὐτὸς

γ. ἑστάναι εὐθέως ἐπὶ

γ. πάντα λαμβάνομεν

τοὺς ἀνακειμένους ἰδεῖν, ὅταν ἀπολάβωσι τοὺς κόλπους τοῦ πατριάρχου τοὺς μέλλοντας τούτων ἀξιοῦσθαι· νῦν δὲ οὔπω. ἔτι γὰρ τὸ θέατρον συνέστηκεν, ἔτι ὁ ἀγὼν ἕστηκεν, ἔτι τὸ βραβεῖον μετέωρον. σπουδάσωμεν οὖν. καὶ γὰρ Παῦλός φησιν, Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως. (α. Κορ. θ.) δρόμου χρεία, καὶ δρόμου σφοδροῦ. ὁ τρέχων οὐδένα τῶν ἀπαντώντων ὁρᾷ, κἂν διὰ λειμώνων, κἂν δι᾽ αὐχμηρῶν τόπων διαβαίνῃ· ὁ τρέχων οὐ πρὸς τοὺς θεατὰς ὁρᾷ, ἀλλὰ πρὸς τὸ βραβεῖον. κἂν πλούσιοι, κἂν πένητες ὦσι, κἂν σκώπτῃ τις, κἂν ἐπαινῇ, κἂν ὑβρίζῃ, κἂν λίθοις βάλλῃ, κἂν τὴν οἰκίαν διαρπάζῃ, κἂν παῖδας ἴδῃ, κἂν γυναῖκα, κἂν ὁτιοῦν, οὐδαμῶς ἐπιστρέφεται, ἀλλ᾽ ἑνὸς μόνου τοῦ τρέχειν, τοῦ λαβεῖν τὸ βραβεῖον. ὁ τρέχων οὐδαμοῦ ἵσταται· ἐπεὶ κἂν μικρὸν ῥαθυμήσῃ, τὸ πᾶν ἀπώλεσεν. ὁ τρέχων οὐ μόνον οὐδὲν ὑφαιρεῖ πρὸ τοῦ τέλους, ἀλλὰ καὶ τότε μάλιστα ἐπιτείνει τὸν δρόμον. τοῦτό μοι εἴρηται πρὸς τοὺς λέγοντας, ἐν νεότητι ἠσκήσαμεν, ἐν νεότητι ἐνηστεύσαμεν, γεγηράκαμεν νῦν. μάλιστα νῦν τὴν εὐλάβειαν ἐπιτείνειν χρή. μή μοι τὰ παλαιὰ ἀρίθμει κατορθώματα, νέαζε καὶ ἄκμαζε νῦν μᾶλλον. ὁ μὲν γὰρ τὸν σωματικὸν τοῦτον τρέχων δρόμον, εἰκότως, ἐπειδὰν ἡ πολιὰ καταλάβῃ, οὐκέτι ὁμοίως τρέχειν δύναται. ἐν γὰρ τῷ σώματι τὸ πᾶν τοῦ ἀγῶνός ἐστι. σὺ δὲ τίνος ἕνεκεν ἐλαττοῖς τὸν δρόμον; ψυχῆς γὰρ ἐνταῦθα χρεία, ψυχῆς διεγηγερμένης. ἡ δὲ ψυχὴ ἐν γήρᾳ ῥώννυται, μᾶλλον τότε ἀκμάζει, τότε γαυροῦται. καθάπερ γὰρ σῶμα ἕως μὲν ἂν πυρετοῖς συνέχηται καὶ ἐπαλλήλοις νοσήμασι, κἂν ἰσχυρὸν ᾖ, καταλαιπωρεῖται, ἐπειδὰν δὲ ἀπαλλαγῇ τῆς πολιορκίας ἐκείνης, ἀνακτᾶται τὴν οἰκείαν δύναμιν· οὕτω καὶ ἡ ψυχὴ ἐν νεότητι μὲν οὖσα πυρέττει, καὶ δόξης αὐτὴν ἔρως κατέχει μάλιστα, καὶ τρυφῆς, καὶ ἀφροδισίων, καὶ πολλῶν ἄλλων φαντασιῶν, τοῦ δὲ γήρως αὐτῇ ἐπελθόντος, πάντα ταῦτα ἀπελαύνεται τὰ πάθη, τὰ μὲν διὰ τὸν καιρόν, τὰ δὲ διὰ τὴν φιλοσοφίαν. τοὺς μὲν γὰρ τόνους χαλάσαν τοῦ σώματος τὸ γῆρας, οὐδὲ βουλομένην ἀφίησιν αὐτοῖς χρῆσθαι τὴν ψυχήν, ἀλλ᾽ ὥσπερ πολεμίους παντοδαποὺς καταστείλαν, ἐν καθαρῷ θορύβων χωρίῳ καθίστησιν αὐτήν, καὶ πολλὴν ἐργάζεται τὴν γαλήνην, καὶ τὸν φόβον ἐπεισάγει πλείονα. εἰ γὰρ καὶ μηδεὶς ἕτερος, ἀλλ᾽ οἱ γεγηρακότες ἴσασιν, ὅτι τελευτῶσι, καὶ ὅτι πάντως ἐγγὺς ἑστήκασι τοῦ θανάτου. ὅταν οὖν αἱ μὲν ἐπιθυμίαι ἐξιστῶνται αἱ βιωτικαί, ἡ δὲ τοῦ δικαστηρίου προσδοκία ἐπεισέρχηται, τὸ δυσπειθὲς αὐτῆς μαλάττουσα, οὐχὶ μᾶλλον προσεκτικωτέρα γίνεται, ἐὰν θέλῃ; τί οὖν, φησιν, ὅταν ἴδωμεν τῶν νέων χαλεπωτέρους τοὺς γέροντας; ὑπερβολήν μοι λέγεις κακίας. καὶ γὰρ ἐπὶ τῶν μαινομένων, οὐδενὸς ὠθοῦντος, ὁρῶμεν αὐτοὺς κατὰ κρημνῶν χωροῦντας. ὅταν οὖν καὶ γέρων τὰ τῶν νέων νοσῇ, ὑπερβολή τίς ἐστι κακίας, καὶ οὐδὲ ἐν νεότητι ὁ τοιοῦτος ἀπολογίαν ἂν ἔχοι. οὐ γὰρ δύναται λέγειν, Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς. (Ψαλμ. κδ. ζ.) ὁ γὰρ ἐν γήρᾳ μένων ὁ αὐτός, δείκνυσιν ὅτι καὶ ἐν νεότητι ὑπάρχων, οὐ δι᾽ ἄγνοιαν, οὐδὲ δι᾽ ἀπειρίαν, οὐδὲ διὰ τὴν ἡλικίαν τοιοῦτος ἦν, ἀλλὰ διὰ ῥαθυμίαν. ἐκεῖνος γὰρ δύναται λέγειν, ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς, ὁ τὰ τῷ γέροντι προσήκοντα ποιῶν, ὁ ἐν τῷ γήρᾳ μεταβαλλόμενος. εἰ δὲ καὶ ἐν γήρᾳ τὰ αὐτὰ ἀσχημονεῖ, πῶς ἄξιον, γέροντα τὸν τοιοῦτον ὀνομάζεσθαι, οὐδὲ τὴν ἡλικίαν αἰδούμενον; ὁ γὰρ λέγων, ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς, ὡς ἐν τῷ γήρᾳ κατορθῶν, ταῦτά φησι. μὴ τοίνυν διὰ τῶν ἐν τῷ γήρᾳ γινομένων ἀποστερήσῃς σαυτὸν καὶ τῆς τῶν ἐπὶ τῇ νεότητι ἁμαρτημάτων συγγνώμης. πῶς γὰρ οὐκ ἄτοπον, καὶ συγγνώμης ἐπέκεινα τὸ γινόμενον; γέρων μεθύει, ἐν καπηλείοις καθέζεται, γέρων εἰς ἱπποδρομίας σπεύδει, γέρων εἰς θέατρα ἀναβαίνει, καθάπερ παιδίον τρέχων μετὰ τοῦ πλήθους. ὄντως αἰσχύνη καὶ γέλως, τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, ἔνδοθεν δὲ παιδὸς φρόνημα ἔχειν. κἂν μὲν ὑβρίσῃ τις νέος, εὐθέως προβάλλεται τὰς πολιάς. σὺ αὐτὰς αἰδέσθητι πρότερος. εἰ δὲ σὺ τὰς σεαυτοῦ οὐκ αἰδῇ, καὶ ταῦτα γέρων ὤν, πῶς τὸν νέον τὰς σὰς αἰδεῖσθαι ἀξιοῖς πολιάς; οὐκ αἰδῇ τὰς πολιάς, ἀλλ᾽ αἰσχύνεις αὐτάς.

γ. ἀπαντώντων

γ. σώματα δυνατὸν καὶ γυμνάσματα ἔχειν, ὡς ἴδιον ἄθλον, μάλιστα. ὁ μὲν γὰρ κινάζει

γ. ἀνεξετάζουσι ἄλλ. ἀνεξετάζονται

ὁ Θεός σε ἐτίμησε τῇ λευκότητι τῶν τριχῶν, ἔδωκέ σοι προεδρίαν πολλήν. τί προδίδως τὴν τιμήν; πῶς σε αἰδεσθήσεται ὁ νέος, ὅταν αὐτοῦ πλέον ἀσελγαίνῃς; ἡ γὰρ πολιὰ τότε αἰδέσιμος, ὅταν τὰ τῆς πολιᾶς πράττῃ· ὅταν δὲ νεωτερίζῃ, τῶν νέων καταγελαστότερος ἔσται. πῶς οὖν δυνήσεσθε τῷ νέῳ ταῦτα παραινεῖν ὑμεῖς οἱ γέροντες μεθύοντες ὑπὸ τῆς ἀταξίας; οὐ τῶν γερόντων δὲ κατηγορῶν ταῦτα λέγω (μὴ γένοιτο) ἀλλὰ τῶν νέων. οἱ γὰρ ταῦτα πράττοντες, ἐμοὶ δοκεῖ, κἂν εἰς ἑκατοστὸν ἔλθωσιν ἔτος, νέοι εἰσί· καθάπερ οἱ νέοι, κἂν παιδία μικρὰ ὦσι, σωφρονῶσι δὲ, τῶν γερόντων εἰσὶν ἀμείνους. καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ καὶ ἡ γραφὴ ταύτην οἶδε τὴν διάκρισιν.

Σοφ. δ. κ.

Γῆρας γάρ, φησι, τίμιον, οὐ τὸ πολυχρόνιον· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. καὶ γὰρ τὴν πολιὰν τιμῶμεν, οὐκ ἐπειδὴ τὸ λευκὸν χρῶμα τοῦ μέλανος προτιμότερον, ἀλλ' ὅτι τεκμήριόν ἐστι τῆς ἐναρέτου ζωῆς, καὶ ὁρῶντες ἀπὸ τούτου στοχαζόμεθα τὴν ἔνδον πολιάν. ἂν δὲ τἀναντία τῇ πολιᾷ διαπράττωνται, καταγέλαστοι γενήσονται διὰ τοῦτο μᾶλλον. ἐπεὶ καὶ τὸν βασιλέα τιμῶμεν, καὶ τὴν ἁλουργίδα καὶ τὸ διάδημα, ἐπειδὴ σύμβολά ἐστι τῆς ἀρχῆς. ἐὰν δὲ ἴδωμεν αὐτὸν μετὰ τῆς ἁλουργίδος ἐμπτυόμενον, ὑπὸ τῶν δορυφόρων καταπατούμενον, ἀγχόμενον, εἰς δεσμωτήριον ἐμβαλλόμενον, σπαραττόμενον, ἆρα αἰδεσθησόμεθα τὴν ἁλουργίδα, ἢ τὸ διάδημα, εἰπέ μοι, ἀλλ' οὐχὶ καὶ αὐτὸ τὸ σχῆμα δακρύσομεν; μὴ ἀξίου τοίνυν διὰ τὴν πολιὰν τιμᾶσθαι, ὅταν αὐτὴν αὐτὸς ἀδικῇς. καὶ γὰρ καὶ αὐτὴ δίκην ὀφείλει παρὰ σοῦ λαβεῖν, ὅτι σχῆμα λαμπρὸν οὕτω καὶ τίμιον καταισχύνεις. οὐ κατὰ πάντων ταῦτα λέγομεν, οὐδὲ κατὰ τοῦ γήρως ἁπλῶς ἡμῖν ὁ λόγος (οὐχ οὕτω μέμηνα) ἀλλὰ κατὰ ψυχῆς νέας τὸ γῆρας αἰσχυνούσης. οὐδὲ ὑπὲρ τῶν γεγηρακότων ταῦτα ἀλγοῦντες λέγομεν, ἀλλὰ τῶν καταισχυνόντων τὴν πολιάν. βασιλεὺς γάρ ἐστιν ὁ γέρων, ἐὰν ἐθέλῃ, καὶ τοῦ τὴν ἁλουργίδα ἔχοντος βασιλικώτερος, τῶν παθῶν κρατῶν, καὶ ἐν τάξει δορυφόρων ὑποτάττων τὰ πάθη. ἐὰν δὲ ἕλκηται, καὶ καταβιβάζηται ἀπὸ τοῦ θρόνου, καὶ χρημάτων ἔρωτος, καὶ δόξης κενῆς, καὶ καλλωπισμοῦ, καὶ τρυφῆς καὶ μέθης καὶ ὀργῆς καὶ ἀφροδισίων γίνηται δοῦλος, καὶ καλλωπίζηται ἐλαίῳ τὴν τρίχα, καὶ τὴν ἡλικίαν ὑπὸ τῆς προαιρέσεως ὑβριζομένην δεικνύῃ· ποίας οὐκ ἂν εἴη κολάσεως ὁ τοιοῦτος ἄξιος; ἀλλὰ μὴ γίνοισθε τοιοῦτοι οἱ νέοι· οὐδὲ γὰρ ὑμῖν συγγνώμη ἐστὶν ἁμαρτάνουσι. τί δήποτε; ὅτι ἔξεστι γέροντα εἶναι ἐν νεότητι· καὶ ὥσπερ ἐν γήρᾳ νέοι εἰσίν, οὕτω καὶ τοὐναντίον. ὥσπερ γὰρ ἐκεῖ οὐδὲν ἡ θρὶξ λευκαινομένη σώζει, οὕτως οὐδὲ ἐνταῦθα μέλαινα οὖσα ἐμποδίζει. εἰ γὰρ ἀσχημονέστερον τὸν γέροντα ταῦτα ποιεῖ, ἅπερ εἶπον, πολλῷ μᾶλλον τὸν νέον. ἀλλ' ὅμως οὐδὲ ὁ νέος κατηγορίας ἀπήλλακται. νέος γὰρ ἐκεῖ δύναται συγγνώμην ἔχειν μόνον, ὅταν εἰς διοίκησιν πραγμάτων καλῆται, ὅταν ἄπειρος ᾖ, ὅταν χρόνου δέηται καὶ πείρας· ὅταν δὲ δέῃ σωφροσύνην καὶ ἀνδρείαν ἐπιδείξασθαι, οὐκέτι, οὐδὲ ὅταν δέῃ χρημάτων κρατεῖν. ἔστι γὰρ ὅπου μᾶλλον τοῦ γέροντος κατηγορεῖται ὁ νέος. ἐκεῖνος μὲν γὰρ πολλῆς δεῖται θεραπείας, τοῦ γήρως ἐξασθενοῦντος αὐτόν· οὗτος δὲ δυνάμενος, ἐὰν θέλῃ, ἀρκεῖν ἑαυτῷ, ποίας ἂν τύχῃ συγγνώμης μὴ βουλόμενος, ὅταν ἁρπάζῃ μᾶλλον τοῦ γέροντος, ὅταν μνησικακῇ, ὅταν ἐξουθενῇ, ὅταν μὴ προΐστηται μᾶλλον τοῦ γέροντος, ὅταν πολλὰ φθέγγηται ἀκαίρως, ὅταν ὑβρίζῃ, ὅταν λοιδορῆται, ὅταν μεθύῃ; εἰ δὲ ἐν τῇ σωφροσύνῃ νομίζει μὴ δύνασθαι ἐγκαλεῖσθαι, ὅρα αὐτὸν καὶ ἐνταῦθα πολλὰ ἔχοντα τὰ βοηθήματα, ἐὰν ὅπερ βούληται. εἰ γὰρ καὶ σφοδρότερον αὐτὸν τοῦ γέροντος ἡ ἐπιθυμία ἐνοχλεῖ, ἀλλ' ὅμως ἐστὶ πολλά, ἃ μᾶλλον τοῦ γέροντος ποιοῦσαι δυνήσεται, [καὶ ἐπᾴδειν τὸ θηρίον ἐκεῖνο]. ποῖα δὴ ταῦτά ἐστι; πόνοι, ἀναγνώσεις, παννυχίδες, νηστεῖαι. τί οὖν πρὸς ἡμᾶς ταῦτα φὴς τοὺς μὴ μονάζοντας; ταῦτα ἐμοὶ λέγεις; εἰπὲ Παύλῳ, ὅταν λέγῃ, Ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει, ὅταν λέγῃ, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. οὐ γὰρ δὴ μοναχοῖς ταῦτα ἔγραφε μόνοις, ἀλλὰ πᾶσι τοῖς οὖσιν ἐν ταῖς πόλεσι.

Κολοσ. δ.
Ρωμ. ιγ.

γρ. οὕτω

γρ. περιτιτρώμενον,

γρ. νεαζούσης καὶ τό

γρ. καὶ κατὰ τῶν κακῶς γηρ. τ. ἀλγοῦντες, οὐ

πόλεσι. μὴ γὰρ ὁ κοσμικὸς ὀφείλει τι ἔχειν πλέον τοῦ μονάζοντος, ἢ τὸ γυναικὶ συνοικεῖν μόνον; ἐν τούτῳ ἔχει τὴν συγγνώμην, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι, ἀλλὰ πάντα ἀξίως τοῖς μονάζουσι προσῆκεν αὐτὸν πράττειν. καὶ οἱ μακαρισμοὶ δὲ οἱ παρὰ τοῦ Χριστοῦ, οὐ μονάζουσι μόνοι εἰσὶν εἰρημένοι· ἐπεὶ τὸ πᾶν ἀπώλετο τῆς οἰκουμένης, καὶ κατηγορήσαμεν ἂν τῆς ὠμότητος τοῦ Θεοῦ. εἰ δὲ οἱ μακαρισμοὶ τοῖς μονάζουσι εἰσὶ μόνοις εἰρημένοι, καὶ τὸν κοσμικὸν οὐ δυνατὸν αὐτὰ κατορθῶσαι, αὐτὸς δὲ τὸν γάμον ἐπέτρεψεν, ἄρα αὐτὸς πάντας ἀπώλεσεν. εἰ γὰρ οὐ δυνατὸν μετὰ γάμου τὰ τῶν μοναζόντων ποιεῖν, πάντα ἀπόλωλε καὶ διέφθαρται, καὶ εἰς στενὸν κατεκλείσθη τὰ τῆς ἀρετῆς. πῶς δὲ καὶ τίμιος ὁ γάμος, ὁ τοσοῦτον ἐμποδίζων ἡμῖν; τί οὖν ἐστιν εἰπεῖν; δυνατόν, καὶ σφόδρα δυνατὸν καὶ γυναῖκας ἔχοντας τὴν ἀρετὴν μετιέναι, ἐὰν θέλωμεν. πῶς; ἐὰν ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦμεν· ἐὰν μὴ χαίρωμεν ἐπὶ κτήσεσιν, ἐὰν τῷ κόσμῳ χρώμεθα ὡς μὴ καταχρώμενοι. εἰ δέ τινες ἐνεποδίσθησαν ἀπὸ γάμου, ἴστωσαν ὅτι οὐχ ὁ γάμος ἐμπόδιον, ἀλλ' ἡ προαίρεσις ἡ κακῶς χρησαμένη τῷ γάμῳ. ἐπεὶ οὐδὲ ὁ οἶνος ποιεῖ τὴν μέθην, ἀλλ' ἡ κακὴ προαίρεσις, καὶ τὸ πέρα τοῦ μέτρου χρῆσθαι. μετὰ συμμετρίας τῷ γάμῳ χρῶ, καὶ πρῶτος ἐν τῇ βασιλείᾳ ἔσῃ, καὶ πάντων ἀπολαύσεις τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. η. 1 ΠΑΣ ΓΑΡ ΑΡΧΙΕΡΕΥΣ ΕΞ ΑΝΘΡΩΠΩΝ λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, κεφ. ε.

2 Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, 3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

Θέλει δεῖξαι λοιπὸν ὁ μακάριος Παῦλος, ὅτι πολλῷ βελτίων ἡ διαθήκη αὕτη τῆς παλαιᾶς. ποιεῖ δὲ τοῦτο, πόρρωθεν προκαταβάλλων τὸν λογισμόν. ἐπειδὴ γὰρ οὐδὲν ἦν σωματικόν, ἢ φαντασικόν, οἷον, οὐ ναός, οὐχ ἅγια ἁγίων, οὐχ ἱερεὺς τοιαύτην ἔχων κατασκευήν, οὐ παρατηρήσεις νομικαί, ἀλλ' ὑψηλότερα καὶ τελειότερα πάντα, καὶ οὐδὲν τῶν σωματικῶν, τὰ δὲ πάντα ἐν τοῖς πνευματικοῖς ἦν, οὐχ οὕτω δὲ τὰ πνευματικὰ τὸν ἀσθενέστερον ἐπήγετο, ὡς τὰ σωματικά· τούτου χάριν τοῦτον ὅλον κινεῖ τὸν λόγον. καὶ ἰδὲ τὴν σύνεσιν· ἀπὸ τοῦ ἱερέως πρῶτον ποιεῖται τὴν ἀρχήν, καὶ συνεχῶς αὐτὸν ἀρχιερέα καλεῖ, καὶ ἀπ' αὐτοῦ πρῶτον δείκνυσι τὴν διαφοράν. διὰ τοῦτο ὁρίζεται πρῶτον, τί ἐστιν ἱερεύς, καὶ δείκνυσι τίνα ἔχει ἱερέως, καὶ τίνα σύμβολα γίνεται ἱερωσύνης. καὶ ἐπείπερ ἀντέπιπτεν αὐτῷ, ὅτι οὐδὲ ἐπίσημος ἦν, οὔτε ἐκ φυλῆς ἦν ἱερατικῆς, οὔτε ἐπὶ τῆς γῆς ἱερεύς, εἰκὸς δὲ ἦν διὰ τοῦτο τινας εἰπεῖν, πῶς οὖν ἱερεὺς ἐστί; ὅπερ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, τοῦτο καὶ νῦν ποιεῖ. Ῥωμ. δ. ἀπίθανον γὰρ λόγον λαβών, εἰ πίστις ἐργάζεται τοῦθ' ὅπερ οὐδὲ ἴσχυσεν ὁ τοῦ νόμου πόνος, καὶ ὁ τῆς πολιτείας ἱδρώς, καὶ θέλων δεῖξαι ὅτι τὸ δοκοῦν ἀδύνατον, γέγονε καὶ κατώρθωται, κατέφυγεν ἐπὶ τὸν πατριάρχην, καὶ εἰς ἐκεῖνον τὸν χρόνον τὸ πᾶν ἀνήγαγεν. οὕτω δὴ καὶ ἐν τούτῳ τέμνει τῆς ἱερωσύνης τὴν ἑτέραν ὁδόν, ἀπὸ τῶν φθασάντων αὐτὴν προφητῶν. καὶ καθάπερ ἐπὶ τῆς κολάσεως, οὐ τὴν γέενναν παραφέρει μόνον, ἀλλὰ καὶ τὰ ἐπὶ τῶν πατέρων συμβάντα· οὕτω δὴ καὶ ἐν τούτῳ, πρῶτον ἀπὸ τῶν προόντων τοῦτο βεβαιοῦται. ἔδει μὲν γὰρ ἀπὸ τῶν οὐρανίων τὰ ἐπίγεια πιστοῦσθαι· ἀλλ' ἐπειδὴ ἀσθενεῖς ἦσαν οἱ ἀκούοντες, τὸ ἐναντίον γίνεται. πῶς οὖν ἃ κοινά ἐστι, τίθησι πρῶτα· καὶ τότε δείκνυσιν ὅ, τι ἐκ περισ-

χή. ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτω γίνεται, ὅταν ἐν μὲν τοῖς κοινωνῇ, ἐν δὲ τοῖς ὑπερέχῃ· εἰ δὲ μή, οὐκέτι κατὰ σύγκρισιν γίνεται. πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος. τοῦτο κοινὸν τῷ Χριστῷ. ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν. Καὶ τοῦτο κοινόν. Ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ τοῦ λαοῦ. Καὶ τοῦτο, οὐχ ὅλον δέ. τὰ δὲ λειπόμενα, οὐκέτι· Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις. Ἐνταῦθα λοιπὸν ἡ ὑπεροχή. ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Εἶτα καὶ ἄλλο προστίθησιν· ὅτι ὑφ' ἑτέρου γίνεται, καὶ ὅτι οὐκ αὐτὸς ἐπιπηδᾷ. καὶ τοῦτο κοινόν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθὼς καὶ Ἀαρών. Ἐνταῦθα ἕτερόν τι πάλιν παραπλέκει, δεικνὺς ὅτι ἀπὸ τοῦ Θεοῦ ἀπέσταλται. ὃ δὴ καὶ κάτω Ἰουδαίοις διαλεγόμενος ἔλεγεν ὁ Χριστός· (Ιωαν. η. μβ.) Ὁ πέμψας με μείζων μού ἐστι, καί, Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα. ἐνταῦθά μοι δοκεῖ καὶ τῶν Ἰουδαίων αἰνίττεσθαι τοὺς ἱερέας, ὡς οὐκ ὄντας ἱερέας, τοὺς ἐπιπηδῶντας, καὶ τὸν νόμον τῆς ἱερωσύνης παραφθείροντας.

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα.

Ποῦ οὖν ἐχειροτονήθη, φησίν; ὁ γὰρ Ἀαρὼν ἐχειροτονήθη πολλάκις, ὡς ἐπὶ τῆς ῥάβδου, καὶ ὅτε τὸ πῦρ κατῆλθε καὶ ἠφάνισε τοὺς ἐπιπηδῶντας τῇ ἱερωσύνῃ· ἐνταῦθα δὲ τοὐναντίον, οὐ μόνον οὐδὲν ἔπαθον, ἀλλὰ καὶ εὐδοκιμοῦσι. πόθεν οὖν τοῦτο δείκνυσι; ἀπὸ τῆς προφητείας τοῦτο δείκνυσιν. οὐδὲν ἔχει αἰσθητόν, οὐδὲ ὁρατόν. διὰ τοῦτο ἀπὸ προφητείας, * ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται. (Ψαλ. β. ζ.) Ἀλλ' ὁ λαλήσας, φησί, πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Τί πρὸς τὸν υἱὸν τοῦτο; ναί, φησι, τοῦτο πρὸς τὸν υἱὸν εἴρηται. τί δαὶ συμβάλλεται τὸ τοιοῦτο πρὸς τὸ ζητούμενον; καὶ πάνυ γε. προκατασκευὴ γάρ ἐστι τοῦ ὑπὸ Θεοῦ χειροτονηθῆναι.

(Ψαλ. ρι. δ.) 6 Καθὼς καὶ ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Πρὸς τίνα δὲ εἴρηται τοῦτο; τίς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ; οὐδεὶς ἕτερος, ἢ οὗτος. πάντες γὰρ ὑπὸ τὸν νόμον ἦσαν, πάντες ἐσαββάτιζον, πάντες περιετέμνοντο, οὐδένα δὲ ἂν ἔχοι τις ἕτερον, φησί, δεῖξαι.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,

8 Καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν. Ὁρᾷς ὅτι οὐδὲν ἄλλο [ποιεῖ,] ἢ τὸ κηδεμονικὸν ἐπιδείκνυσι, καὶ τῆς ἀγάπης τὴν ὑπερβολήν; τί γὰρ βούλεται τό, μετὰ κραυγῆς ἰσχυρᾶς; οὐδαμοῦ τοῦτο τὸ εὐαγγέλιόν φησιν, οὐδὲ ὅτι ἐδάκρυσεν εὐχόμενος, οὐδὲ ὅτι κραυγὴν ἀφῆκεν. ὁρᾷς ὅτι συγκατάβασίς ἐστιν; οὐ γὰρ ἐκεῖνο εἰπεῖν ὅτι ηὔξατο, ἀλλὰ καὶ μετὰ κραυγῆς ἰσχυρᾶς; καὶ εἰσακουσθείς, φησιν, ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν.

9 Καὶ τελειωθείς, ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου·

10 Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἔστω μετὰ κραυγῆς· διὰ τί καὶ ἰσχυρᾶς; καὶ μετὰ δακρύων προσενέγκας, φησί, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας. αἰσχυνέσθωσαν αἱρετικοὶ ἀθετοῦντες τὴν σάρκα. τί λέγεις; ὁ υἱὸς τοῦ Θεοῦ ἀπὸ εὐλαβείας ἠκούετο; καὶ τί περὶ τῶν προφητῶν πλέον ἂν εἴποι τις; ποία δὲ καὶ ἀκολουθία εἰπεῖν, εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καὶ ἐπαγαγεῖν, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν; ταῦτα περὶ Θεοῦ ἄν τις εἴποι; καὶ τίς οὕτω μέμηνε; τίς δὲ παραπαίων ἂν ταῦτα ἐφθέγξατο; εἰσακουσθείς, φησιν, ἀπὸ τῆς εὐλαβείας, ἔμαθεν ἀφ'

ὧν

* καὶ

ὧν ἔπαθε, τὴν ὑπακοήν. ποίαν ὑπακοὴν ἔμαθεν, ὁ μέχρι θανάτου πρὸ τούτου ὑπακούσας, ὡς πατρὶ υἱός; πῶς δὲ καὶ ὕστερον ἔμαθεν; ὁρᾷς ὅτι περὶ τῆς σαρκὸς εἴρηται; Εἰπὲ δή μοι, τοῦ πατρὸς ἐδεῖτο, ἵνα σωθῇ ἀπὸ τοῦ θανάτου, καὶ διὰ τοῦτο περίλυπος ἦν, καὶ ἔλεγεν, Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο; οὐδαμοῦ δὲ περὶ τῆς ἀναστάσεως ἐδεήθη τοῦ πατρὸς, ἀλλὰ καὶ τοὐναντίον αὐτὸς ἀποφαίνεται λέγων, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. οὐδεὶς * αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. τί οὖν ἐστι, καὶ τίνος ἕνεκεν ἐδεῖτο; καὶ πάλιν λέγει, Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν, εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. καὶ οὐκ εἶπεν, ὅτι ἀναστήσει με ὁ πατήρ. πῶς οὖν περὶ τούτου ἐδεήθη; ἀλλὰ περὶ τίνων ἐδεήθη; περὶ τῶν πιστευσάντων εἰς αὐτόν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰσακούεται εὐκόλως. ἐπειδὴ γὰρ οὐδέπω περὶ αὐτοῦ δόξαν εἶχον τὴν προσήκουσαν, εἶπεν ὅτι εἰσηκούσθη· ὥσπερ καὶ αὐτὸς τοὺς μαθητὰς παραμυθούμενος, ἔλεγεν, Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι πρὸς τὸν πατέρα μου πορεύομαι, ὅτι ὁ πατήρ μου μείζων μού ἐστι. πῶς δὲ οὐχ ἑαυτὸν ἐδόξασεν ὁ ἑαυτὸν κενώσας, ὁ παραδοὺς ἑαυτόν; Παρέδωκε γάρ, φησιν, ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ πάλιν, Δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων ἡμῶν. [τί οὖν ἐστιν;] ὁρᾷς ὅτι διὰ τὴν σάρκα ταπεινὰ φθέγγεται περὶ ἑαυτοῦ; οὕτω καὶ ἐνταῦθα, καίπερ ὢν υἱός, ἀπὸ τῆς εὐλαβείας εἰσηκούσθη, φησί. βούλεται γὰρ αὐτοῦ δεῖξαι τὸ κατόρθωμα ἐν μᾶλλον ἢ τῆς χάριτος τοῦ Θεοῦ. τοσαύτη, φησίν, ἦν αὐτοῦ ἡ εὐλάβεια, ὡς καὶ ἀπὸ τούτου αἰδεσθῆναι αὐτὸν τὸν Θεόν. ἔμαθεν ὑπακούειν, φησί, τῷ Θεῷ. ἐνταῦθα πάλιν δείκνυσιν ὅσον τῶν παθημάτων τὸ κέρδος. καὶ τελειωθείς, φησιν, ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας. εἰ δὲ ἐκεῖνος υἱὸς ὢν ἐκερδαίνει ἀπὸ τῶν παθημάτων τὴν ὑπακοήν, πολλῷ μᾶλλον ἡμεῖς. ὁρᾷς ὅσα περὶ ὑπακοῆς διαλέγεται, ὥστε πείθεσθαι αὐτούς; δοκοῦσι γάρ μοι συνεχῶς ἀφηνιάζειν, καὶ τοῖς λεγομένοις μὴ παρακολουθεῖν. τοῦτο γὰρ ἠνίξατο τῷ εἰπεῖν, νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. [ἀφ' ὧν ἔπαθε, φησι, συνεχῶς ἔμαθεν ὑπακούειν τῷ Θεῷ.] καὶ τελειωθεὶς διὰ τῶν παθημάτων, φησί. τοῦτο ἐστιν ἄρα τελείωσις, καὶ διὰ τούτου ἐλθεῖν εἰς τελείωσιν χρή. οὐ μόνον γὰρ αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις τοῦτο γέγονεν ἐκ περιουσίας. τελειωθεὶς γὰρ ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος αἰωνίου σωτηρίας.

Προσαγορευθείς, φησιν, ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος. Μέλλων καθιέναι τὸν λόγον εἰς τὴν διαφορὰν τῆς ἱερωσύνης, πρότερον αὐτοῖς ἐπιτιμᾷ, δεικνὺς ὅτι καὶ ἡ τοσαύτη συγκατάβασις γάλα ἦν, καὶ διὰ τὸ νηπίους εἶναι, πλέον ἐνδιέτριβε τῷ ταπεινῷ λόγῳ τῷ κατὰ σάρκα, καὶ ὡς περί τινος δικαίου διαλέγεται. καὶ θέα, οὔτε ἀπεσιώπησε τὸν λόγον πάντη, οὔτε εἶπε. τὸ μὲν γάρ, ἵνα ἀναγάγῃ αὐτῶν τὴν διάνοιαν, καὶ πείσῃ τελείους εἶναι, καὶ μὴ ἀποστερεῖσθαι τῶν μεγάλων δογμάτων, πεποίηκε· τὸ δέ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὸν νοῦν.

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, φησί, καὶ δυσερμήνευτος λέγειν· ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. *Ἐπειδὴ ἐκεῖνοι οὐκ ἀκούουσι, διὰ τοῦτο δυσερμήνευτος ὁ λόγος. ὅταν γάρ τις πρὸς ἀνθρώπους ἔχῃ μὴ παρακολουθοῦντας, μηδὲ τὰ λεγόμενα νοοῦντας, ἑρμηνεῦσαι καλῶς αὐτοῖς οὐ δύναται. ἀλλ' ἴσως τις ὑμῶν τῶν ἐνταῦθα ἑστηκότων, ἰλιγγιᾷ, καὶ ἐπήρειαν τὸ πρᾶγμα νομίζει, εἰ δι' Ἑβραίους αὐτὸς ἐνεποδίσθη τὸν τελειότερον λαλῆσαι λόγον. τάχα μὲν οὖν καὶ ἐνταῦθα, πλὴν ὀλίγων, πολλοὺς εἶναι τοιούτους οἶμαι, ὥστε λέγεσθαι καὶ περὶ ὑμῶν τοῦτο. τῶν δὲ ὀλίγων ἕνεκεν ἐρῶ. ἆρ' οὖν ἀπεσιώπησεν, ἢ πάλιν αὐτὸν ἀνέλαβεν ἐν τοῖς ἐφεξῆς, καὶ ταὐτὸν ἐποίησεν, ὅπερ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ; καὶ γὰρ ἐκεῖ πρότερον ἐπιτιμήσας

Margin notes: γ. ἔλεγε, περίλυπός ἐστιν ἡ ψυχή μου, καὶ εἰ δυν. — * γὰρ — γ. ἔλεγεν, — Ματθ. κϛ. λθ. — Ιωαν. β. ιθ. — Ιωαν. ι. ιη. — Ματθ. κ. ιη. — Ιωαν. ιδ. κη. — Γαλατ. α. δ. — α Τιμ. β. ϛ. — γ. εἰ αὐτοῦ καὶ ἐνταῦθα; — γ. γέγονε περιουσία σωτηρίας. τελειωθ. — * τί οὖν; γ. λόγος, ὑμῶν. ἀλλ' ὅταν τις — γ. τῶν τελειοτέρων ἀπ. ὑμῖν λόγων.

Ρωμ. θ. κ.

πιστομίσας τὸν ἀντιλέγοντα, καὶ εἰπών, Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; τότε τὴν λύσιν ἐπάγει. ἐγὼ δὲ αὐτὸν οὔτε πάντη σεσιγηκέναι, οὔτε εἰρηκέναι οἴομαι, ἵνα εἰς πόθον ἀγάγῃ τὸν ἀκροατήν. μνημονεύσας γὰρ καὶ εἰπὼν μεγάλα, ἵνα ἐναποκεῖσθαι ὃ λέγω, ὅρα πῶς μετ' ἐγκωμίου ποιεῖται τὴν ἐπιτίμησιν. τοῦτο γὰρ ἀεὶ τῆς σοφίας Παύλου, τὰ δυσχερῆ τοῖς χρηστοῖς ἀναμιγνύναι. ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ, λέγων, Ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψε; καὶ, Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ. καὶ, Πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ. ὃ καὶ τούτοις φησί, Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας. δύο γὰρ ταῦτα ποιεῖ· οὔτε ἐπιτείνει, οὔτε ἀφίησιν αὐτοὺς ἀναπεσεῖν*. Εἰκότως. εἰ γὰρ τὰ ἑτέρων παραδείγματα ἱκανὰ τῶν ἀκουόντων ἀναστῆσαι, καὶ εἰς ζῆλον ἀγαγεῖν, ὅταν τις παρ' ἑαυτοῦ τὸ ὑπόδειγμα ἔχῃ, καὶ ἑαυτὸν παρακελεύηται ζηλοῦν, πολλῷ μᾶλλον ἐντεῦθεν ἤδη τὸ δυνατὸν τῆς διδασκαλίας εἰσάγεται. Καὶ τοῦτο οὖν δείκνυσι, καὶ οὐκ ἀφίησιν ὡς σφόδρα κατεγνωσμένους ἀναπεσεῖν, οὐδὲ ὡς ἀεὶ ὄντας κακούς, ἀλλ' ὅτι ποτὲ ἐγένοντο καὶ χρηστοί, λέγει.

Γαλατ. ε. ζ.
Γαλατ. γ. δ.
κεφ. ε. ι.
Εβρ. ς. θ.

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον. Δείκνυσιν ἐνταῦθα πρὸ πολλοῦ χρόνου πεπιστευκότας αὐτούς. δείκνυσι δὲ ὅτι καὶ ἄλλους ὀφείλουσι κατηχεῖν. ὅρα γοῦν αὐτὸν συνεχῶς ὠδίνοντα τὸν περὶ τοῦ ἀρχιερέως εἰσαγαγεῖν λόγον, καὶ ἀεὶ ἀναβαλλόμενον. ἄκουε γὰρ πῶς ἤρξατο· ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς. καὶ μέλλων εἰπεῖν πῶς μέγαν, πάλιν φησί, πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν. καὶ πάλιν, οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα. καὶ πάλιν εἰπών, σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, πάλιν ἀναβάλλεται λέγων, ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας προσενέγκων. ἐπεὶ οὖν τοσαυτάκις ἐξεκρούσθη, ὥσπερ ἀπολογούμενός φησιν, ἡ αἰτία παρ' ὑμᾶς. βαβαί, πόση διαφορά; ὀφείλοντες ἄλλους διδάσκειν, οὐδὲ ἁπλῶς μαθηταί εἰσιν, ἀλλὰ μαθηταὶ ἔσχατοι. Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, φησί, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. Ἐνταῦθα στοιχεῖα ἀρχῆς τὴν ἀνθρωπότητά φησιν. ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων πρῶτον τὰ στοιχεῖα δεῖ μαθεῖν, οὕτω καὶ ἐπὶ τῶν θείων λογίων πρῶτον περὶ τῆς ἀνθρωπότητος ἔδει διδάσκεσθαι. ὁρᾷς τίς ἡ αἰτία τοῦ ταπεινὰ φθέγγεσθαι; οὕτω καὶ Ἀθηναίοις ἐποίησεν ὁ Παῦλος διαλεγόμενος αὐτοῖς καὶ λέγων, Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. διὰ τοῦτο εἰ μέν τι ὑψηλὸν λέγει, ἐν βραχεῖ τοῦτό φησι· τὰ δὲ ταπεινὰ πολλαχοῦ διέσπαρται τῆς ἐπιστολῆς. καὶ οὕτω δὲ τὸ ὑψηλὸν δείκνυται. τὸ γὰρ σφόδρα ταπεινὸν οὐκ ἀφίησι περὶ τῆς θεότητος ταῦτα ὑποπτεύεσθαι. οὕτω καὶ ἐνταῦθα τὸ ἀσφαλὲς φυλάττων, τὰ ταπεινὰ προσάπτει τῇ ἀνθρωπότητι. καὶ τὸ αἴτιον, τὸ μὴ δύνασθαι αὐτοὺς τῶν τελείων ἀκούειν. τοῦτο μάλιστα ἐν τῇ πρὸς Κορινθίους ἐσήμανεν ἐπιστολῇ, εἰπών, Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασία, οὐχὶ σαρκικοί ἐστε; θέα δέ μοι τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν, πῶς καταλλήλως ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι προσφέρεται. ἐκεῖ μὲν γὰρ ἡ ἀσθένεια ἀπὸ ἀμαθίας τὸ πλέον ἐγένετο, μᾶλλον δὲ ἀπὸ ἁμαρτημάτων· ἐνταῦθα δὲ οὐκ ἀπὸ ἁμαρτημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν θλίψεων τῶν συνεχῶν. διὸ καὶ λέξεσι δέξασθαι δυναμένοις τὴν διαφορὰν κέχρηται, ἐκεῖ μὲν λέγων, Σαρκικοί ἐστε, ἐνταῦθα δέ, ἐπεὶ μείζων ἡ ὀδύνη, νωθροὶ γεγόνατε. καὶ ἐκεῖνοι μὲν οὐκ ἠδυνήθησαν ἐνεγκεῖν, ἅτε σαρκικοὶ ὄντες· οὗτοι δὲ ἠδυνήθησαν. τὸ γὰρ εἰπεῖν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς, δηλοῦντός ἐστιν ὅτι πάλαι ὑγίαινον, καὶ ἦσαν ἰσχυροί, τῇ προθυμίᾳ ζέον-

Πραξ. ιζ.
α. Κορ. γ. γ.

τες, καὶ ὕστερον αὐτῶν τῶν παθῶν μαρτυρῶ. Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. Ἀεὶ δὲ γάλα τὸν ταπεινὸν λόγον καλεῖ, [καὶ ἐνταῦθα, καὶ ἐκεῖ]. ὀφείλοντες εἶναι, φησὶ, διδάσκαλοι διὰ τὸν χρόνον· ὡσεὶ ἔλεγε, δι' ὃ μάλιστα ἐξελύθητε, καὶ ὕπτιοι γεγόνατε, διὰ τοῦτο μάλιστα ὀφείλετε εἶναι ἰσχυροὶ, διὰ τὸν χρόνον. γάλα δὲ καλεῖ τὸν ταπεινὸν λόγον, διὰ τὸ τοῖς ἀσθενεστέροις ἁρμόζειν. τοῦτο δὲ ἐναντίον τοῖς τελειοτέροις, καὶ βλαβερὸν τὸ ἐν τούτοις διατρίβειν. ὥστε οὐκ ἔδει τὰ νομικὰ ἐπιφέρεσθαι νῦν, οὐδὲ ἀπὸ τούτων τὴν σύγκρισιν γίνεσθαι, ὅτι ἀρχιερεὺς, καὶ ὅτι ἔθυσε, καὶ ἐδεήθη μετὰ κραυγῆς καὶ ἱκετηρίας. ὁρᾷς γοῦν πῶς ἡμῖν ταῦτα προσίσταται· ἀλλ' ἐκείνους τότε ἔτρεφεν, οὐδαμοῦ προσιστάμενα αὐτοῖς. ἄρα οὖν ἀληθῆς τροφὴ τὰ λόγια τοῦ Θεοῦ, τρέφουσα τὴν ψυχήν. ὅτι δὲ ὁ λόγος τροφὴ, δῆλον ἐκεῖθεν· Δώσω γὰρ αὐτοῖς, φησιν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. (Αμως. η.) Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. (α. Κορ. γ. β.) οὐκ εἶπεν, ἔθρεψα, δεικνὺς ὅτι οὐκ ἔστι τὸ τοιοῦτον τροφὴ, ἀλλ' ὥσπερ ἐπὶ τῶν παιδίων τῶν μικρῶν τῶν οὐ δυναμένων ἄρτῳ τρέφεσθαι. τὰ γὰρ τοιαῦτα οὐ ποτίζεται, ἀλλ' ἡ τροφὴ αὐτοῖς αὕτη ποτοῦ ἐστιν· οὕτω καὶ ἐνταῦθα. καὶ οὐκ εἶπε, χρείαν ἔχετε, ἀλλὰ, γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. τουτέστιν, ὑμεῖς ἠθελήσατε, ὑμεῖς ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε, εἰς ταύτην τὴν χρείαν.

13 Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι.

Τί ἐστιν ὁ λόγος τῆς δικαιοσύνης; ἐνταῦθά μοι δοκεῖ καὶ βίον αἰνίττεσθαι· ὅπερ καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων. (Ματθ. ε. κ.) τοῦτο καὶ αὐτός φησιν. ἄπειρος λόγου δικαιοσύνης (τουτέστι, τῆς ἄνω φιλοσοφίας ἄπειρος) οὐ δύναται παραδέξασθαι βίον ἄκρον καὶ ἠκριβωμένον. ἢ καὶ δικαιοσύνην ἐνταῦθα τὸν Χριστόν φησι, καὶ τὸν ὑψηλὸν περὶ αὐτοῦ λόγον. ὅτι μὲν οὖν νωθροὶ γεγόνασιν, εἶπε· πόθεν δὲ, οὐκέτι προσέθηκεν, αὐτοῖς ἀφιεὶς εἰδέναι, καὶ μὴ βουλόμενος ἐπαχθῆ τὸν λόγον ἐργάσασθαι. ἐπὶ δὲ τῶν Γαλατῶν καὶ ἐθαύμασε καὶ ἠπόρησεν. ὃ πολλῷ μεῖζον πρὸς παραμυθίαν ἐστίν· ὡς οὐκ ἂν προσδοκήσαντός ποτε τοῦτο γενέσθαι. τοῦτο γάρ ἐστιν ἡ διαπόρησις. ὁρᾷς νηπιότητα ἑτέραν οὖσαν; ὁρᾷς * τελειότητα ἑτέραν; γενώμεθα τέλειοι τοίνυν ταύτην τὴν τελειότητα. ἔνεστι καὶ παῖδας ὄντας, καὶ νέους, πρὸς ἐκείνην ἐλθεῖν τὴν τελειότητα. οὐ γάρ ἐστι φύσεως, ἀλλ' ἀρετῆς.

14 Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. Τί δαί; οὐκ εἶχον τὰ αἰσθητήρια γεγυμνασμένα ἐκεῖνοι, οὐδὲ ᾔδεισαν τί καλὸν καὶ κακόν; νῦν οὐ περὶ βίου αὐτῷ ὁ λόγος, ὅταν λέγῃ, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ (τοῦτο γὰρ παντὶ τῷ ἀνθρώπῳ δυνατὸν εἰδέναι, καὶ εὔκολον) ἀλλὰ περὶ δογμάτων ὑγιαινῶν καὶ ὑψηλῶν, διεφθαρμένων τε καὶ ταπεινῶν. τὸ παιδίον οὐκ οἶδε τὴν φαύλην καὶ τὴν δόκιμον τροφὴν διαιρεῖν. πολλάκις γοῦν καὶ χοῦν ἐνέβαλεν εἰς τὸ στόμα, καὶ τὸ βλαβερὸν ἐδέξατο, καὶ πάντα ἀδιακρίτως ποιεῖ· ἀλλ' οὐ τὸ τέλειον τοιοῦτον. τοιοῦτοί εἰσιν οἱ πᾶσιν ἁπλῶς προσέχοντες, καὶ ἀδιακρίτως τὰς ἀκοὰς ἐκδιδόντες ἀδοκίμοις. καὶ τούτους αἰτιᾶται, ὡς ἁπλῶς περιφερομένους, καὶ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις διδόντας ἑαυτούς. ὃ καὶ πρὸς τῷ τέλει ᾐνίξατο λέγων, διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. τοῦτό ἐστι, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. λάρυγξ μὲν γὰρ σιτία γεύεται, ψυχὴ δὲ δοκιμάζει λόγους.

ΗΘΙΚΟΝ

Καὶ ἡμεῖς τοίνυν τοῦτο μάθωμεν· καὶ μὴ, ἐὰν ἀκούσῃς, ὅτι οὐκ ἔστιν Ἕλλην, οὐδὲ Ἰουδαῖος, εὐθέως χριστιανὸν εἶναι νομίσῃς, ἀλλ' ἐξέταζε καὶ τὰ ἄλλα ἅπαντα. ἐπεὶ καὶ Μανιχαῖοι καὶ πᾶσαι αἱρέσεις τοῦτο ὑπέδυσαν τὸ προσωπεῖον, πρὸς τὸ οὕτως ἀπατᾶν τοὺς ἀφελεστέρους. ἀλλ' ἐὰν ἔχωμεν τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ,

κα καὶ, δυνησόμεθα τοὺς τοιούτους διακρίνειν. πῶς δὲ γεγυμνασμένα γένηται ἡμῖν τὰ αἰσθητήρια; ἀπὸ τῆς συνεχοῦς ἀκροάσεως, ἀπὸ τῆς τῶν γραφῶν ἐμπειρίας. ἐὰν μὲν γὰρ προσθῶμεν αὐτῶν τὴν πλάνην, καὶ σήμερον ἀκούσῃς, καὶ αὔριον, καὶ δοκιμάσῃς μὴ καλῶς ἔχειν, ὃ πρὶν ἔμαθες, ὃ πρὶν ἔγνως. κἂν σήμερον μὴ καταλάβῃς, αὔριον καταλήψῃ. τῶν τὰ αἰσθητήρια, φησι, γεγυμνασμένα ἐχόντων. ὁρᾷς ὅτι χρὴ γυμνάζειν ἡμῶν τὴν ἀκοὴν ταῖς ἀκροάσεσι ταῖς θείαις, ὥστε μὴ ξενοφωνεῖσθαι; γεγυμνασμένα, φησὶ, πρὸς διάκρισιν· τουτέστιν, ἔμπειρον εἶναι. ὁ μὲν λέγει μὴ εἶναι ἀνάστασιν, ὁ δὲ οὐδὲν τῶν μελλόντων προσδοκᾷ, ἄλλος ἕτερον λέγει Θεὸν, ἄλλος ἀπὸ Μαρίας αὐτὸν ἔχειν τὴν ἀρχήν. καὶ θέα εὐθέως πῶς ἐξ ἀμετρίας πάντες ἐξέπεσον, οἱ μὲν πλεονάσαντες, οἱ δὲ ἐλαττώσαντες. οἷον, πρώτη μὲν πάντων αἵρεσις, ἡ Μαρκίωνος· ἐκείνη ἕτερον Θεὸν ἐπεισήγαγε τὸν οὐκ ὄντα. ἰδοὺ τὸ πλέον. μετ' ἐκείνην ἡ Σαβελλίου, τὸν υἱὸν καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα ἓν πρόσωπον εἶναι λέγουσα. εἶτα ἡ Μαρκέλλου καὶ Φωτεινοῦ, καὶ αὕτη τὰ αὐτὰ πρεσβεύουσα. εἶτα ἡ Παύλου τοῦ Σαμοσατέως, ἐκ Μαρίας λέγουσα τὴν ἀρχὴν αὐτὸν ἐσχηκέναι. εἶτα ἡ Μανιχαίων· αὕτη γὰρ πασῶν νεωτέρα. μετ' ἐκείνας, ἡ Αρείου. εἰσὶ δὲ καὶ ἕτεραι. ἡμεῖς δὲ διὰ τοῦτο τὴν πίστιν παρελάβομεν ἁπλῶς, ἵνα μὴ ἀναγκαζώμεθα μυρίαις ἐπιέναι αἱρέσεσι, καὶ πράγματα ἔχειν, ἀλλ' ὅπερ ἂν ἢ προστεθῆναι, ἢ ἀφελεῖν τις ἐπιχειρήσειεν ἐκείνης, τοῦτο νόθον εἶναι νομίζωμεν. καθάπερ γὰρ οἱ τοὺς κανόνας διδόντες οὐκ ἀναγκάζουσι μυρία μέτρα περιεργάζεσθαι, ἀλλὰ τὸ δοθὲν ἐκεῖνο κατέχειν κελεύουσιν· οὕτω καὶ ἐπὶ τῶν δογμάτων. ἀλλ' οὐδεὶς βούλεται ταῖς γραφαῖς προσέχειν. εἰ γὰρ προσείχομεν, οὐ μόνον οὐκ ἂν περιεπέσομεν τῇ ἀπάτῃ, ἀλλὰ καὶ ἑτέρους ἀπατωμένους ἀπηλλάξαμεν ἂν, καὶ τῶν κινδύνων ἐξειλκύσαμεν. ὁ γὰρ ἰσχυρὸς στρατιώτης οὐ μόνον ἑαυτῷ ἀρκέσαι δύναται, ἀλλὰ καὶ τὸν παραστάτην διαφυλάξαι, καὶ τῆς τῶν πολεμίων βλάβης ἐλευθερῶσαι. νῦν δὲ οὐδὲ ὅτι γραφαί εἰσιν ἴσασί τινες. καίτοι τὸ πνεῦμα τὸ ἅγιον τοσαῦτα ᾠκονόμησεν, ὥστε αὐτὰς φυλαχθῆναι. καὶ ὁρᾶτε ἄνωθεν, ἵνα μάθητε τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν. ἐνέπνευσε τῷ μακαρίῳ Μωϋσῇ, τὰς πλάκας ἐκόλαψε, κατέσχεν αὐτὸν τεσσαράκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους, καὶ πάλιν τοσαύτας ἑτέρας, ὥστε δοῦναι τὸν νόμον. μετὰ δὲ ταῦτα προφήτας ἔπεμψε μυρία παθόντας δεινά. ἐπῆλθε πόλεμος, ἀνεῖλον πάντας, κατέκοψαν, ἐνεπρήσθησαν αἱ βίβλοι. ἑτέρῳ πάλιν ἀνδρὶ θαυμαστῷ ἐνέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ Ἔσδρα, λέγω, καὶ ἀπὸ λειψάνων συντεθῆναι ἐποίησε. μετὰ δὲ τοῦτο ᾠκονόμησεν ἑρμηνευθῆναι αὐτὰς ὑπὸ τῶν ἑβδομήκοντα. [ἡρμήνευσαν ἐκεῖνοι.] παρεγένετο ὁ Χριστὸς, δέχεται αὐτὰς, οἱ ἀπόστολοι εἰς πάντας αὐτὰς διασπείρουσι, σημεῖα ἐποίησε καὶ θαύματα ὁ Χριστός. εἶτα τί; μετὰ τοσαύτην πραγματείαν καὶ οἱ ἀπόστολοι ἔγραψαν, καθὼς καὶ Παῦλος εἶπεν, Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. καὶ ὁ Χριστὸς * ἔλεγε, Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς. καὶ Παῦλος πάλιν ἔλεγε, Διὰ τῆς ὑπομονῆς, καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχομεν. καὶ πάλιν, Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος· καὶ, Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως. καὶ ὁ προφήτης, Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. καὶ ἑτέρωθι πάλιν, Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. καὶ πάλιν, Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου (οὐκ εἶπε, τῇ ἀκοῇ μου, ἀλλὰ, τῷ λάρυγγί μου) ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. καὶ ὁ Μωϋσῆς, Μελετήσεις ἐν αὐτοῖς, φησι, διαπαντὸς, ἀνιστάμενος, καθεζόμενος, κοιταζόμενος. διὰ τοῦτο καὶ ὁ Παῦλος γράφων πρὸς Τιμόθεον, ἔλεγεν· Ἐν αὐτοῖς ἴσθι, ταῦτα μελέτα. καὶ μυρία ἄν τις περὶ αὐτῶν εἴποι. ἀλλ' ὅμως μετὰ τοσαῦτα εἰσί τινες οὐδὲ εἰδότες ὅτι εἰσί ποτε γραφαί. διά τοι τοῦτο, οὐδὲν ὑγιὲς, οὐδὲν χρήσιμον παρ' ἡμῶν γίνεται. ἀλλ' εἰ μὲν τις τὰ τῆς στρατείας εἰδέναι βούλοιτο, ἀνάγκη τοὺς νόμους αὐτῶν μανθάνειν τοὺς στρατιωτικούς·

α Κορ. ι ια.
Ματθ. κβ. κθ.
Ρωμ. ιε. δ.
β. Τιμ. γ. ιϛ.
Κολοσ. γ. ιϛ.
Ψαλ. α. β.
Σειρ. θ. κ.
Ψαλ. ιη ια.
Δευτ. ϛ. ζ.
α. Τιμ. δ. ιε.

χ. προσσχῶμεν
χ. τῇ
χ. περιεπέσομεν
χ. αὐτῶν ἐπιστῆσαι
χ.
* πάλιν
χ.

ἐπιχειρεῖ· καὶ εἰ μὲν τὴν κυβερνητικὴν, ἢ τὴν τεκτονικὴν ἐπιστήμην γινώσκειν ἐθέλοι, ἢ εἴ τι ἕτερον, τὰ τῆς τέχνης αὐτῷ ἀνάγκη μανθάνειν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστι ποιοῦντας ἰδεῖν· καὶ ταῦτα τῆς ἐπιστήμης ταύτης πολλῆς δεομένης τῆς ἀγρυπνίας. ὅτι γὰρ καὶ τοῦτο τέχνη ἐστὶ διδασκαλίας δεομένη, ἄκουσον τοῦ προφήτου λέγοντος, Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. ἄρα ἀληθῶς διδασκαλίας δεῖται ὁ τοῦ Θεοῦ φόβος. Εἶτά φησι, Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν; ζωὴν τὴν ἐκεῖ λέγει. καὶ πάλιν, Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. ἆρα ἴστε τίς ταῦτα εἶπε προφήτης, ἢ ἱστοριογράφος, ἢ ἀπόστολος, ἢ εὐαγγελιστής; οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων· καὶ αὐτοὶ δὲ οὗτοι πάλιν, ἐὰν παραγάγωμεν μαρτυρίαν ἑτέρωθεν, τὸ αὐτὸ ὑμῖν πείσονται. ἰδοὺ γὰρ ἐρῶ τὸ αὐτὸ τοῦτο ῥητὸν, ῥήμασιν ἑτέροις εἰρημένον· Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, [παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν,] μάθετε καλὸν ποιεῖν. ὁρᾷς ὅτι διδασκαλίας δεῖται ἡ ἀρετή; οὗτος μὲν γὰρ λέγει, Φόβον Κυρίου διδάξω ὑμᾶς· ἐκεῖνος δὲ, μάθετε καλὸν ποιεῖν. ἆρ' οὖν ἴστε ποῦ ταῦτα ἔγκειται; οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων. καίτοι καθ' ἑκάστην ἑβδομάδα δὶς ἢ καὶ τρὶς ταῦτα ὑμῖν ἀναγινώσκεται. καὶ ἀνελθὼν ὁ ἀναγνώστης λέγει πρῶτον τὸ βιβλίον τίνος ἐστὶ (τοῦ δεῖνος τυχὸν προφήτου, ἢ ἀποστόλου, ἢ εὐαγγελιστοῦ) καὶ τότε λέγει ἃ λέγει, ὥστε εὐσημότερα ὑμῖν εἶναι, καὶ μὴ μόνον τὰ ἐγκείμενα εἰδέναι, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν γεγραμμένων, καὶ τίς ταῦτα εἴρηκεν. ἀλλὰ πάντα εἰκῆ, [ἀλλὰ] πάντα μάτην. πᾶσα γὰρ ἡ σπουδὴ εἰς τὰ βιωτικὰ κεκένωται· καὶ τῶν πνευματικῶν λόγος οὐδείς. διὰ τοῦτο οὐδὲ ἐκεῖνα ὑμῖν κατὰ γνώμην ἐκβαίνει, ἀλλὰ πολλαὶ καὶ αἱ δυσκολίαι. ὁ μὲν γὰρ οὕτω Χριστός φησιν, Αἰτεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ ταῦτα μὲν ἐν προσθήκης εἶπε μέρει δοθήσεσθαι· ἡμεῖς δὲ τὴν τάξιν ἀνεστρέψαμεν, καὶ ζητοῦμεν τὴν γῆν, καὶ τὰ ἀγαθὰ τὰ ἐν τῇ γῇ, ὡς ἐκείνων ἐν προσθήκης μέρει δοθησομένων ἡμῖν. διὰ τοῦτο οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔχομεν. ἀνανήψωμεν οὖν ποτε, καὶ γενώμεθα τῶν μελλόντων ἀγαθῶν ἐπιθυμηταί. οὕτω γὰρ καὶ ταῦτα ἕψεται. οὐδὲ γὰρ ἔνι τὸν τὰ κατὰ Θεὸν ζητοῦντα, μὴ καὶ τῶν ἀνθρωπίνων ἐπιτυχεῖν. ἀπόφασίς ἐστι τῆς ἀληθείας αὐτῆς τοῦτο λεγούσης. μὴ τοίνυν ἄλλως ποιῶμεν, ἀλλ' ἀντεχώμεθα τῆς συμβουλῆς τοῦ Χριστοῦ, ἵνα μὴ πάντων ἐκπέσωμεν. ὁ δὲ Θεὸς ἱκανός ἐστι κατανύξαι ἡμᾶς, καὶ ποιῆσαι βελτίους ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλ. λγ. ιβ.

Ησ. α. ιϛ.

Ματθ. ϛ. λγ.

Λογ. θ. 1 ΔΙΟ ΑΦΕΝΤΕΣ ΤΟΝ ΤΗΣ ΑΡΧΗΣ ΤΟΥ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν, κεφ. ϛ.

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.

3 Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός.

Ηκούσατε

Ηκούσατε ὅσα Ἑβραίοις ἐνεκάλεσεν ὁ Παῦλος βουλομένοις ἀεὶ μανθάνειν περὶ τῶν αὐτῶν; καὶ εἰκότως. ὀφείλοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, ἵνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. δέδοικα δὲ μὴ καὶ πρὸς ὑμᾶς ταῦτα καιρὸν ἂν ἔχοι λέγεσθαι· ὅτι ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, οὐδὲ μαθητῶν τάξιν ἐπέχετε, ἀλλ' ἀεὶ τὰ αὐτὰ ἀκούοντες, καὶ περὶ τῶν αὐτῶν, ὡς οὐδενὸς ἀκούοντες, οὕτω διάκεισθε. κἂν ἔρηταί τις ὑμᾶς, οὐδεὶς ἀποκρίνασθαι δυνήσεται, πλὴν ὀλίγων σφόδρα καὶ εὐαριθμήτων. τοῦτο δὲ οὐ μικρὰ ζημία. πολλάκις γὰρ τὸν διδάσκαλον βουλόμενον προελθεῖν περαιτέρω, καὶ μυστικωτέρων ἅψασθαι, καὶ ὑψηλοτέρων λόγων, οὐκ ἀφίησιν ἡ ἀπροσεξία τῶν μαθητευομένων. καθάπερ γὰρ ἐπὶ τῶν γραμματιστῶν, ἂν ἀεὶ τὰ στοιχεῖα ἀκούων ὁ παῖς μὴ κρατῇ, ἀεὶ ἔσται αὐτῷ ἀνάγκη τὰ αὐτὰ ἐνηχεῖν τῷ παιδὶ, καὶ οὐ πρότερον ἀποστήσεται διδάσκων, ἕως ἂν ἐκεῖνα μαθεῖν ἀκριβῶς δυνηθῇ (καὶ γὰρ ἀνοίας ἐστὶ πολλῆς, τὰ πρότερα μὴ ἐνθέντα καλῶς, ἐφ' ἕτερα ἄγειν αὐτόν) οὕτω δὴ καὶ ἐπὶ τῆς ἐκκλησίας, ἂν ἀεὶ τὰ αὐτὰ λεγόντων ἡμῶν μηδὲν πλέον μανθάνετε, οὐδέποτε τὰ αὐτὰ λέγοντες παυσόμεθα. εἰ μὲν γὰρ ἐπιδείξεως ἦν ἡμῖν ὁ λόγος, καὶ φιλοτιμίας, ἐχρῆν ἀεὶ μεταπηδᾷν καὶ μεταβαίνειν, οὐδὲν * φροντίζοντας ὑμῶν ἕνεκεν, ἀλλὰ τῶν κρότων μόνον τῶν παρ' ὑμῶν. ἐπεὶ δὲ οὐ πρὸς τοῦτο τὴν σπουδὴν ἐθέμεθα, ἀλλὰ πάντα ὑπὲρ τῆς ὠφελείας ἡμῖν ποιεῖται τῆς ὑμετέρας, οὐ παυσόμεθα περὶ τῶν αὐτῶν ὑμῖν διαλεγόμενοι, ἕως ἂν αὐτὰ κατορθώσητε. ἐπεὶ ἐνῆν πολλὰ καὶ περὶ ἑλληνικῆς λέγειν δεισιδαιμονίας, καὶ περὶ Μανιχαίων, καὶ περὶ Μαρκιωνιστῶν, καὶ μεγάλα πλήττειν αὐτοὺς τῇ τοῦ Θεοῦ χάριτι. ἀλλ' οὐκ ἔχει καιρὸν ὁ λόγος. τοῖς γὰρ οὐδέπω τὰ ἑαυτῶν εἰδόσιν ἀκριβῶς, τοῖς οὐδέπω μεμαθηκόσιν ὅτι τὸ πλεονεκτεῖν κακὸν, τίς ἂν τοὺς τοιούτους εἴποι λόγους, καὶ ἐφ' ἕτερα ἀνάγοι πρὸ καιροῦ; ἡμεῖς μὲν οὖν οὐ παυσόμεθα τὰ αὐτὰ λέγοντες, ἄν τε πεισθῆτε, ἄν τε μή. δεδοίκαμεν δὲ μὴ τὸ συνεχῶς τὰ αὐτὰ λέγειν, ἐὰν μὴ ἀκούητε, μείζονα τοῖς παρακούουσι τὴν καταδίκην ἐργασώμεθα. οὐ πρὸς πάντας δέ μοι ταῦτα ῥητέον. οἶδα γὰρ πολλοὺς ὠφελουμένους ἀπὸ τῆς ἐνταῦθα εἰσόδου, οἳ δικαίως ἂν ἐκείνων καταβοήσαιεν, ὡς ἐνεδρευόντων αὐτοὺς διὰ τῆς οἰκείας ἀμαθίας καὶ ἀπροσεξίας. πλὴν ἀλλ' οὐδὲ οὕτως ἐνεδρευθήσονται. τὸ γὰρ συνεχῶς τὰ αὐτὰ ἀκούειν, καὶ τοῖς εἰδόσι χρήσιμον. ὃ γὰρ ἴσμεν πολλάκις ἀκούσαντες, μᾶλλον κατενύγημεν*. οἷόν τι λέγω· ἴσμεν ὅτι καλὸν ἡ ταπεινοφροσύνη, καὶ ὅτι πολλάκις διελέχθη περὶ αὐτῆς ὁ Χριστός. ἀλλ' ὅταν καὶ αὐτῶν τῶν ῥημάτων ἐπακούσωμεν, καὶ τῶν εἰς αὐτὰ θεωρημάτων, πλέον τι πάσχομεν, κἂν μυριάκις ἀκούσωμεν. ἀναγκαῖον οὖν καὶ ἡμᾶς νῦν εἰπεῖν ὑμῖν, διόπερ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα. τί δέ ἐστιν ἡ ἀρχὴ τοῦ λόγου, αὐτὸς ἐφεξῆς ἑρμηνεύει, λέγων, μὴ πάλιν θεμέλιον, φησὶ, καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεὸν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. εἰ δὲ τοῦτο ἀρχὴ, τί ἄλλο ἐστὶ τὸ δόγμα τὸ ἡμέτερον, ἢ τὸ μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων, καὶ διὰ τοῦ πνεύματος λαβεῖν τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν, καὶ κρίματος αἰωνίου; [τί δέ ἐστιν ἀρχή;] οὐδὲν ἄλλο, ἢ τοῦτο ἀρχὴν φησὶν, ὅταν μὴ βίος ἀκριβὴς παρῇ. καθάπερ γὰρ τὸν εἰς τὴν μάθησιν τῶν γραμμάτων εἰσερχόμενον, τὰ στοιχεῖα δεῖ πρότερον ἀκοῦσαι· οὕτω καὶ τὸν χριστιανὸν ταῦτα εἰδέναι ἀκριβῶς πρότερον χρὴ, καὶ μηδὲν ἀμφιβάλλειν περὶ αὐτῶν. εἰ δὲ δέοιτο πάλιν διδασκαλίας, οὔπω τὸν θεμέλιον ἔχει. τὸν γὰρ ἑδραῖον πεπηγέναι προσήκει, καὶ ἑστάναι, καὶ μὴ μετακινεῖσθαι. εἰ δὲ μέλλοι τις κατηχηθεὶς καὶ βαπτισθεὶς μετὰ ἔτη δέκα περὶ πίστεως πάλιν ἀκούειν, καὶ ὅτι πιστεῦσαι χρὴ εἰς ἀνάστασιν νεκρῶν· οὔπω

τὸν θεμέλιον ἔχει, πάλιν τὴν ἀρχὴν τοῦ χριστιανισμοῦ ζητεῖ. ὅτι γὰρ ἡ πίστις θεμέλιον, ὁ δὲ λοιπὸν οἰκοδομή, ἄκουε αὐτοῦ λέγοντος, Ἐγὼ θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ. εἴ τις ἐποικοδομεῖ (α. Κορ. γ. ι.) ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. διὰ τοῦτο ἔλεγε, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων. τί δέ ἐστιν, ἐπὶ τὴν τελειότητα φερώμεθα; πρὸς αὐτὴν χωρῶμεν λοιπόν, φησί, τὴν ὀροφήν· τουτέστι, βίον ἄριστον ἔχωμεν. ὥσπερ γὰρ ἐπὶ τῶν στοιχείων τὸ πᾶν τὸ ἄλφα συνέχει, καὶ ὁ θεμέλιος τὴν πᾶσαν * οἰκοδομήν· οὕτω καὶ τοῦ βίου τὴν καθαρότητα ἡ περὶ τὴν πίστιν * πληροφορία. ταύτης δὲ ἄνευ οὐκ ἔστιν εἶναι χριστιανόν· ὥσπερ οὐδὲ θεμελίων ἄνευ οἰκοδομήν, οὐδὲ στοιχείων χωρὶς ἔμπειρον γραμμάτων εἶναι. ἀλλ' ὥσπερ ἐάν τις ἀεὶ περὶ τὰ στοιχεῖα καταγίνηται, ἢ εἴ τις περὶ τὸν θεμέλιον στρέφηται, καὶ οὐκ ἀνέρχηται ἐπὶ τὴν οἰκοδομήν, οὐδέποτε ἕξει αὐτῷ τι πλέον· οὕτω καὶ ἐφ' ἡμῶν. ἂν γὰρ ἀεὶ ἐπὶ τὴν ἀρχὴν τῆς πίστεως μένωμεν, οὐδέποτε πρὸς τὸ τέλειον ταύτης ἀναβησόμεθα. σὺ δὲ μὴ νομίσῃς ἠλαττῶσθαι τὴν πίστιν διὰ τὸ στοιχεῖον κληθῆναι. [ἡ γὰρ πᾶσα δύναμις αὕτη ἐστίν.] ὅταν γὰρ λέγῃ, πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν, οὐ γάλα ταύτην καλεῖ· ἀλλὰ τὸ ἀμφιβάλλειν ἔτι περὶ τούτων, τοῦτό ἐστιν ἀσθενοῦς διανοίας, καὶ λόγων δεομένης πολλῶν. τὰ γὰρ δόγματα ταῦτά ἐστι τὰ ὑγιῆ. τέλειον γὰρ ἐκεῖνον καλοῦμεν τὸν μετὰ τῆς πίστεως βίον ἔχοντα ὀρθόν. ἐὰν δέ τις πίστιν μὲν ἔχῃ, πράττῃ δὲ πονηρά, καὶ περὶ αὐτῆς δὲ ταύτης ἀμφιβάλλῃ, καὶ ὑβρίζῃ τὴν διδασκαλίαν· εἰκότως αὐτὸν φήσομεν νήπιον, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα. ὥστε κἂν μυρία ἔτη ἐν τῇ πίστει ἔχωμεν, καὶ μὴ βέβαιοι ὦμεν ἐν αὐτῇ, νήπιοί ἐσμεν· ὅταν βίον αὐτῇ μὴ συμβαίνοντα ἐπιδεικνυώμεθα, ὅταν ἔτι θεμέλιον καταβαλλώμεθα. τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλο ἐγκαλεῖ, ὡς παρασαλευθεῖσι, καὶ δεομένοις θεμέλιον καταβάλλειν μετανοίας ἀπὸ νεκρῶν ἔργων. τὸν γὰρ ἀπό τινος εἰς ἕτερον μετατιθέμενον, καὶ τὸ μὲν ἀφιέντα, τοῦτο δὲ αἱρούμενον, πρότερον αὐτοῦ καταγνῶναι χρή, καὶ ἀποστῆναι τῇ διαθέσει, καὶ τότε ἐλθεῖν ἐφ' ἕτερον. εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι μέλλοι, πῶς τοῦ δευτέρου ἅψεται; τί οὖν, φησί, περὶ τοῦ νόμου; κατέγνωμεν αὐτοῦ, καὶ πάλιν ἐπ' αὐτὸν ἀνατρέχομεν. τοῦτο οὐκ ἔστι μετάθεσις· καὶ γὰρ ἐνταῦθα ἔχομεν νόμον. Νόμον οὖν, φησί, καταργοῦμεν διὰ τῆς (Ῥωμ. γ. λα.) πίστεως; μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν. ἐγὼ δὲ περὶ πονηρῶν εἶπον πραγμάτων. ὁ γὰρ μέλλων ἐπ' ἀρετὴν μετιέναι, πρότερον τῆς κακίας καταγνῶναι ὀφείλει, καὶ τότε αὐτὴν μετελθεῖν. οὐ γὰρ ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι. διὰ τοῦτο εὐθέως ἐβαπτίζοντο· ἵν', ὅπερ ἀδυνάτως εἶχον ἐργάσασθαι δι' ἑαυτῶν, τοῦτο διὰ τῆς τοῦ Χριστοῦ γένηται χάριτος. οὔτε οὖν μετάνοια ἀρκεῖ πρὸς τὸν καθαρισμόν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν. ἐπὶ γοῦν τὸ βάπτισμα ἔρχεσθαι δεῖ, πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ, καὶ καταψηφισάμενον. τί δέ ἐστι βαπτισμῶν διδαχῆς; οὐχ ὡς πολλῶν ὄντων τῶν βαπτισμῶν, ἀλλ' ἑνός. τί οὖν αὐτὸ πληθυντικῶς εἶπε; διὰ τὸ εἰπεῖν, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας. εἰ γὰρ πάλιν αὐτὸν ἐβάπτισε, καὶ ἄνωθεν κατήχησε, καὶ πάλιν ἐξ ἀρχῆς βαπτισθέντες ἐδιδάσκοντο τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μένειν. καὶ ἐπιθέσεως χειρῶν. οὕτω γὰρ τὸ πνεῦμα ἐλάμβανον. Ἐπιθέντος γὰρ αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, φησίν, ἦλθε τὸ πνεῦμα τὸ (Πραξ. ιθ. ϛ.) ἅγιον. ἀναστάσεώς τε νεκρῶν. τοῦτο γὰρ ἐν τῷ βαπτίσματι γίνεται, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται. καὶ κρίματος αἰωνίου. διὰ τί δὲ ταῦτά φησιν; ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἢ παρασαλεύεσθαι ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥαθύμως. ἀπάγων οὖν αὐτοὺς τῆς τοιαύτης ῥαθυμίας, καὶ προσεκτικωτέρους ποιῶν, τοῦτον τὸν λόγον κινεῖ. οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι ἂν νῦν ῥαθύμως ζήσωμεν, πάλιν βαπτισθησόμεθα, πάλιν κατηχηθησόμεθα, καὶ πάλιν ληψόμεθα τὸ πνεῦμα· ἢ ὅτι ἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνησόμεθα βαπτιζόμενοι τὰ ἁμαρ-

* συνέχει
* ἔχει
γρ. συμφέροντα
γρ. ἀρετῇ

ἁμαρτήματα ἀπολούσασθαι, καὶ τὴν αὐτὴν τυχεῖν ὥσπερ καὶ πρότερον. σφάλλεσθε, φησί, ταῦτα νομίζοντες.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου,

5 Καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,

6 Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. Καὶ ὅρα πῶς ἀποστολικῶς, καὶ ἀπαγορευτικῶς ἄρχεται. ἀδύνατον, φησί. τουτέστι, μηκέτι προσδόκα τὸ μὴ δυνατόν. οὐ γὰρ εἶπεν, οὐ πρέπει, οὐδὲ συμφέρει, οὐδὲ ἔξεστιν, ἀλλ', ἀδύνατον· ὥστε εἰς ἀπόγνωσιν ἐμβαλεῖν, εἰ ὅλως ἐφωτίσθη τις ἅπαξ. εἶτα ἐπάγει, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου· τουτέστι, τῆς ἀφέσεως. καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα. τὴν διδασκαλίαν ἐνταῦθα λέγει. δυνάμεις τε μέλλοντος αἰῶνος. τίνας λέγει δυνάμεις; ἢ τὸ θαύματα ἐπιτελεῖν, ἢ τὸν ἀρραβῶνα τοῦ πνεύματος. καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. ἀνακαινίζειν, φησίν, εἰς μετάνοιαν· τουτέστι, διὰ μετανοίας.* τί οὖν; ἐκβέβληται ἡ μετάνοια; οὐχ ἡ μετάνοια, μὴ γένοιτο, ἀλλ' ὁ διὰ λουτροῦ πάλιν ἀνακαινισμός. οὐ γὰρ εἶπεν, ἀδύνατον ἀνακαινισθῆναι εἰς μετάνοιαν, καὶ ἐσίγησεν· ἀλλ' εἰπὼν ἀδύνατον, ἐπήγαγεν, ἀνασταυροῦντας. ἀνακαινισθῆναι. τουτέστι, καινὸν γενέσθαι. τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνον ἐστίν. Ψαλ. ρβ. ε. Ἀνακαινισθήσεται γάρ, φησιν, ὡς ἀετοῦ ἡ νεότης σου. τῆς δὲ μετανοίας ἐστὶ τὸ, καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος, καὶ καινοὺς ἐργάσασθαι. εἰς ἐκείνην μέντοι τὴν λαμπρότητα ἀγαγεῖν οὐκ ἔνι. ἐκεῖ γὰρ τὸ ὅλον ἡ χάρις ἦν. ἀνασταυροῦντας ἑαυτοῖς, φησι, τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. ὃ δὲ λέγει, τοῦτό ἐστι· τὸ βάπτισμα σταυρός ἐστι. Συνεσταυρώθη γὰρ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος. Ρωμ. ς. ε. ς. καὶ πάλιν, Σύμμορφοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν, Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χριστὸν (τοῦτο γὰρ παραδειγματίσαι αὐτόν ἐστιν) οὕτως οὐδὲ βαπτισθῆναι. εἰ γὰρ θάνατος αὐτοῦ οὐκέτι κυριεύσει, εἰ ἀνέστη [τῇ ἀναστάσει] κρείττων γενόμενος τοῦ θανάτου, εἰ διὰ τοῦ θανάτου τὸν θάνατον κατεπάλαισεν, εἶτα πάλιν σταυροῦται· μῦθος πάντα ἐκεῖνα, καὶ παραδειγματισμός. ὁ τοίνυν δεύτερον ἑαυτὸν βαπτίζων, πάλιν αὐτὸν σταυροῖ. τί δέ ἐστιν, ἀνασταυροῦντας; ἄνωθεν πάλιν σταυροῦντας. ὥσπερ γὰρ ἀπέθανεν ὁ Χριστὸς ἐν τῷ σταυρῷ, οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι· οὐ τῇ σαρκὶ, ἀλλὰ τῇ ἁμαρτίᾳ. ὅρα θάνατον, καὶ θάνατον. ἐκεῖνος ἀπέθανεν ἐν τῇ σαρκί· ἡμεῖς δὲ τῇ ἁμαρτίᾳ. διὰ τοῦ βαπτίσματος ἡμῶν ὁ παλαιὸς ἄνθρωπος ἐτάφη, καὶ ἀνέστη ὁ καινὸς, ὁ σύμμορφος γενόμενος τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. εἰ τοίνυν ἀνάγκη πάλιν βαπτισθῆναι, ἀνάγκη πάλιν αὐτὸν ἀποθανεῖν τοῦτον. τὸ γὰρ βάπτισμα οὐδέν ἐστιν ἄλλο, ἢ ἀναίρεσις τοῦ βαπτιζομένου, καὶ ἔγερσις ἐκείνου. καὶ καλῶς εἶπεν, ἑαυτοῖς ἀνασταυροῦντας. ὁ γὰρ τοῦτο ποιῶν, ὡς τῆς προτέρας χάριτος ἐπιλαθόμενος, καὶ ῥᾳθύμως τὸν ἑαυτοῦ βίον οἰκονομῶν, ὡς ὄντος ἑτέρου βαπτίσματος, οὕτω πάντα διαπράττεται. διόπερ προσέχειν χρὴ, καὶ ἀσφαλίζεσθαι. τί ἐστι, γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου; τουτέστι, τῆς ἀφέσεως τῶν ἁμαρτημάτων. τοῦτο γὰρ Θεοῦ μόνου χαρίζεσθαι, καὶ ἡ χάρις ἅπαξ ἐστὶ χάρις. Ρωμ. ς. α. Τί οὖν; ἐπιμένομεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο. εἰ δὲ ἀεὶ μέλλομεν χάριτι σώζεσθαι, οὐδέποτε ἐσόμεθα ἀγαθοί. ὅπου γὰρ μία ἐστὶ χάρις, καὶ οὕτω ῥᾳθυμοῦμεν· εἰ ᾔδειμεν ὅτι πάλιν ἐστὶν ἀπολούσασθαι τὰ ἁμαρτήματα, ἆρα ἂν ἐπαυσάμεθα ἁμαρτάνοντες; οὐκ ἔγωγε οἶμαι. πολλὰ ἐνταῦθα δύναται* τὰ

δύο.

δῶρα. καὶ ἵνα μάθῃς, ἄκουσον· κατηξιώθης, φησὶ, τοσαύτης ἀφέσεως, ὁ ἐν σκότῳ καθεζόμενος, ὁ ἐχθρὸς, ὁ πολέμιος, ὁ ἀπηλλοτριωμένος, ὁ θεοστυγὴς, ὁ ἀπολλύμενος. ὁ τοιοῦτος οὖν ἐξαίφνης φωτισθεὶς, πνεύματος ἀξιωθεὶς, δωρεᾶς ἐπουρανίου, υἱοθεσίας, βασιλείας οὐρανῶν, τῶν ἄλλων ἀγαθῶν, μυστηρίων ἀποῤῥήτων, καὶ οὐδὲ οὕτω βελτίων γενόμενος, ἀλλ' ἄξιος μὲν ὢν ἀπωλείας, τυχὼν δὲ σωτηρίας καὶ τιμῆς, ὡς τὰ μεγάλα κατωρθωκὼς, πῶς ἂν δύναιτο βαπτισθῆναι πάλιν; δύο τοίνυν τρόποις τὸ πρᾶγμα ἀδύνατον ἔφησεν εἶναι, καὶ τὸν ἰσχυρότερον ὕστερον ἔθηκεν. ἐπὶ μὲν, ὅτι οὐκ ἄξιος ὁ τοιούτων καταξιωθεὶς, καὶ προδοὺς τὰ δωρηθέντα αὐτῷ, πάλιν ἀνακαινισθῆναι· δευτέρῳ δὲ, ὅτι οὐ δυνατόν ἐστιν αὐτὸν πάλιν ἀνασταυροῦσθαι. τοῦτο γάρ ἐστι παραδειγματίσαι. οὐκ ἔστι τοίνυν δεύτερον λουτρὸν, οὐκ ἔστιν. εἰ δὲ ἔστι, καὶ τρίτον ἐστὶ, καὶ τέταρτόν ἐστι, καὶ ὑπὸ τοῦ ὑστέρου ἀεὶ τὸ πρότερον καταλύεται, καὶ τοῦτο πάλιν ὑπὸ τοῦ ἄλλου, καὶ οὕτω εἰς ἄπειρον. εἰπὼν δὲ, καὶ καλὸν Θεοῦ γευσαμένους ῥῆμα, δυνάμεις τε αἰῶνος μέλλοντος, οὐκ ἀποκαλύπτει αὐτὸ, ἀλλ' αἰνίττεται, καὶ μονονουχὶ ταῦτα λέγει· ὅτι τὸ ζῆν ὡς ἀγγέλους, τὸ μηδενὸς δεῖσθαι τῶν ἐνταῦθα, τὸ εἰδέναι ὅτι τῆς τῶν μελλόντων αἰώνων ἀπολαύσεως πρόξενος ἡμῖν ἡ υἱοθεσία γίνεται, τὸ εἰς τὰ ἄδυτα ἐκεῖνα εἰσελθεῖν προσδοκᾷν, διὰ τοῦ πνεύματός ἐστι ταῦτα μαθεῖν. τί ἐστι, δυνάμεις τε τοῦ μέλλοντος αἰῶνος; ἡ ζωὴ ἡ αἰώνιος, ἡ ἀγγελικὴ διαγωγή. τούτων ἤδη τὸν ἀῤῥαβῶνα ἐλάβομεν διὰ τῆς πίστεως παρὰ τοῦ πνεύματος. εἰπέ μοι τοίνυν, εἰ εἰς βασίλεια εἰσαχθεὶς, καὶ πάντα ἐμπιστευθεὶς τὰ ἐκεῖ, εἶτα προέδωκας ἅπαντα, ἆρα ἂν ἐνεπιστεύθης τὰ ἐκεῖ πάλιν;

Τί οὖν; οὐκ ἔστι μετάνοια, φησίν; ἔστι μετάνοια, ἀλλὰ βάπτισμα οὐκ ἔστι δεύτερον. μετάνοια δέ ἐστι πολλὴν ἔχουσα τὴν ἰσχὺν, καὶ τὸν σφόδρα τοῖς ἁμαρτήμασι βεβαπτισμένον, εἰ βουληθείη, δυναμένη ἀπαλλάξαι τοῦ τῶν ἁμαρτημάτων φορτίου, καὶ τὸν κινδυνεύοντα καταστῆσαι ἐν ἀσφαλείᾳ, κἂν πρὸς αὐτὸν ἔλθῃ τῆς κακίας τὸν πυθμένα. καὶ τοῦτο πολλαχόθεν δυνατὸν ἀποδεῖξαι. Μὴ ὁ πίπτων γὰρ, φησὶν, οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἔστιν, ἐὰν βουλώμεθα, μορφωθῆναι τὸν Χριστὸν ἐν ἡμῖν πάλιν. ἄκουε γὰρ Παύλου λέγοντος, Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. μόνον ἁψώμεθα τῆς μετανοίας. ὅρα γὰρ Θεοῦ φιλανθρωπίαν· ἔδει ἡμᾶς παντὶ τρόπῳ κολασθῆναι παρὰ τὴν ἀρχὴν, ὅτι καὶ νόμον λαβόντες τὸν φυσικὸν, καὶ μυρίων ἀπολαύσαντες ἀγαθῶν, τόν τε δεσπότην ἠγνοήσαμεν, καὶ βίον ἀκάθαρτον βεβιώκαμεν· ὁ δὲ οὐ μόνον οὐκ ἐκόλασεν, ἀλλὰ καὶ μυρίων μετέδωκεν ἀγαθῶν, ὡς ἂν εἰ μεγάλα κατωρθωκότες ἦμεν. πάλιν ἐξεπέσομεν, καὶ οὐδὲ οὕτω κολάζει, ἀλλ' ἔδωκε τὸ τῆς μετανοίας φάρμακον, πάντα ἡμῶν τὰ ἁμαρτήματα ἱκανὸν ἀφανίσαι καὶ ἀπαλεῖψαι, μόνον ἐὰν εἰδῶμεν τὸ φάρμακον ὁποῖόν ἐστι, καὶ πῶς αὐτὸ ἐπιτιθέναι δεῖ. ποῖον οὖν ἐστι τὸ φάρμακον τῆς μετανοίας, καὶ πῶς αὐτὸ κατασκευάζεται; πρῶτον, ἀπὸ καταγνώσεως τῶν οἰκείων ἁμαρτημάτων, καὶ ἀπὸ ἐξαγορεύσεως. Τὴν ἀνομίαν γάρ μου, φησὶν, ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα· καὶ, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ πάλιν, Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. καὶ, Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. δεύτερον, ἀπὸ ταπεινοφροσύνης πολλῆς. ὥσπερ γὰρ σειρά τίς ἐστι χρυσῆ· κἂν ἀρχὴν λάβῃ, πάντα ἕπεται. ἐὰν γὰρ ὁμολογήσῃς τὴν ἁμαρτίαν ὡς ὁμολογῆσαι χρὴ, ταπεινοῦται ἡ ψυχή. τὸ γὰρ συνειδὸς αὐτὴν συστρέφον, καταστέλλεσθαι ποιεῖ. δεῖ δὲ καὶ ἕτερα προσεῖναι τῇ ταπεινοφροσύνῃ, ἵνα τοιαύτη ᾖ οἵαν ὁ μακάριος Δαβὶδ ηὔχετο λέγων, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. καὶ πάλιν, Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. τὸ γὰρ συντετριμμένον οὐ διανίσταται, οὐ πλήττει· ἀλλὰ πρὸς τὸ παθεῖν κακῶς ἐστιν ἕτοιμον, αὐτὸ δὲ οὐ διανίσταται. τοιοῦτόν ἐστι συντριβὴ καρδίας· κἂν ὑβρισθῇ, κἂν πάθῃ κακῶς, ἡσυχάζει, καὶ οὐχ ὁρμᾷ πρὸς ἄμυναν. μετὰ δὲ τὴν ταπεινοφρο-

ΗΘΙΚΟΝ

Ἱερεμ. η. δ.

Γαλατ. δ. ιθ.

Ψαλ. λα. ε. ς.

Ησ. μγ. κς.
Παροιμ. ιη. ιζ.

Ψαλ. ν. ια. ιθ.

Ψαλ. ϛ. ϛ. στενὴν, ὅταν δεῖ ἐκτενῶν, δακρύων πολλῶν, τῶν ἐν ἡμέρᾳ, τῶν ἐν νυκτί. Λούσω γάρ, φησι,
καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δὲ δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ἐκοπί-
ασα ἐν τῷ στεναγμῷ μου. καὶ πάλιν, Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθ-
Ψαλ. ρα. ι. μοῦ ἐκίρνων. καὶ μετὰ τὴν εὐχὴν τὴν οὕτως ἐκτενῆ, ἐλεημοσύνης δεῖ πολλῆς. τὸ γὰρ μά-
λιστα ἰσχυρὸν ἐργαζόμενον τὸ φάρμακον τῆς μετανοίας, τοῦτό ἐστι. καὶ καθάπερ ἐπὶ τῶν ἰα-
τρικῶν βοηθημάτων ἐστὶ φάρμακον πολλὰς μὲν λαμβάνον βοτάνας, μίαν δὲ τὴν κυριω-
τάτην· οὕτω καὶ ἐπὶ τῆς μετανοίας αὕτη ἡ βοτάνη κυριωτέρα, καὶ τὸ πᾶν αὕτη γένοιτο ἄν.
Λουκ. ια. μα. ἄκουε γὰρ τί φησιν ἡ θεία γραφή· Δότε ἐλεημοσύνην, καὶ πάντα ἔσται καθαρά. καὶ πάλιν,
Τωβ. δ. Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. καὶ πάλιν, Πῦρ φλογιζόμενον ἀποσβέ-
Σειρ. γ. λ. σει ὕδωρ, καὶ ἐλεημοσύνη καταπαύσει ἁμαρτίας μεγάλας. εἶτα τὸ μὴ ὀργίζεσθαι, μηδὲ
Σειρ. κη. γ. μνησικακεῖν, τὸ πᾶσιν ἀφιέναι τὰ ἁμαρτήματα. Ἄνθρωπος γὰρ ἀνθρώπῳ συντηρεῖ
Ματθ. ϛ. ιδ. ὀργὴν, φησι, καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν. Ἄφετε, ἵνα ἀφεθῇ ὑμῖν. καὶ τὸ ἐπιστρέφειν ἀ-
Λουκ. κβ. λβ. δελφοὺς ἀπὸ τῆς πλάνης. Πορεύου γάρ, φησι, καὶ ἐπίστρεφε τοὺς ἀδελφούς σου, ἵνα ἀφεθῶ-
Ἰακώβ. ε. ιε. σί σοι αἱ ἁμαρτίαι σου. τὸ πρὸς τοὺς ἱερέας ἔχειν οἰκείως. Κἂν γὰρ ἁμαρτίας ᾖ, φησι,
πεποιηκώς τις, ἀφεθήσεται αὐτῷ. τὸ προΐστασθαι τῶν ἀδικουμένων, τὸ μὴ ἔχειν ὀργὴν, τὸ
πάντα πράως φέρειν. ἄρα περὶ μὲν τοῦ μαθεῖν ὅτι ἔστι διὰ μετανοίας ἀπολούσασθαι τὰ
ἁμαρτήματα, οὐκ ἐναγώνιοι ἦτε, [γνόντες] ὅτι οὐκ ἔστιν ἕτερον λουτρὸν, καὶ ἀπεγινώσκετε ἑ-
αυτῶν; νυνὶ δὲ μαθόντες δι' ὅσων ἡ μετάνοια καὶ ἡ ἄφεσις κατορθοῦται, καὶ ὅτι δυνησόμεθα τὸ πῦρ
ἐκφυγεῖν, ἂν βουληθῶμεν αὐτῇ χρήσασθαι δεόντως, ποίας τύχοιμεν ἂν συγγνώμης οὐδὲ
εἰς νοῦν ἐρχόμενοι τῶν ἡμετέρων ἁμαρτημάτων; εἰ γὰρ τοῦτο ἴδῃ, πάντα ἤνυσε. ὥσπερ
γὰρ ὁ τὴν θύραν εἰσελθὼν, ἔνδον ἐστίν· οὕτως ὁ τὰ οἰκεῖα λογιζόμενος κακά. ἂν γὰρ ἀνα-
λογίζηται αὐτὰ καθ' ἑκάστην, καὶ ἐπὶ τὴν θεραπείαν αὐτῶν πάντως ἥξει. ἂν δὲ λέγῃ, ἁ-
μαρτωλός εἰμι, μὴ ἀναλογίζηται δὲ αὐτὰ κατ' εἶδος, καὶ λέγῃ, ὅτι τόδε καὶ τόδε ἥμαρτον· οὐ-
δέποτε παύσεται, ἀεὶ μὲν ὁμολογῶν, φροντίζων δὲ οὐδέποτε τῆς διορθώσεως. ἐὰν γὰρ ἄρξη-
ται, πάντως καὶ τὰ ἄλλα ἕπεται, ἂν εἴσοδον ἐπιδείξηται. πανταχοῦ γὰρ ἡ ἀρχὴ καὶ τὰ προοί-
μια δύσκολα. ταῦτα οὖν καταβαλώμεθα, καὶ πάντα εὔκολα ἔσται καὶ ῥᾷστα. ἀρξώμεθα
τοίνυν, παρακαλῶ, ὁ μὲν ἀπὸ τοῦ τὰς εὐχὰς ἐπιτεῖναι, ὁ δὲ ἀπὸ τοῦ δακρύειν συνεχῶς, ὁ δὲ
Ἡσ. νζ. ιζ. ἀπὸ τοῦ κατηφεῖν. οὐδὲ γὰρ [οὐδὲ] τοῦτο τὸ οὕτω μικρὸν, ἀνόνητον. Εἶδον γάρ, φησιν, ὅτι ἐ-
λυπήθη, καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. πάντες δὲ ἀπὸ ἐλεημοσύνης, καὶ
τοῦ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα, καὶ ἀπὸ τοῦ μὴ μνησικακεῖν, μηδὲ ἀμύνεσθαι,
ταπεινώσωμεν ἑαυτῶν τὰς ψυχάς. ἐὰν ἐννοῶμεν συνεχῶς τὰ ἡμαρτημένα ἡμῖν, οὐδὲν ἡμᾶς
ἐπᾶραι τῶν ἔξωθεν δυνήσεται, οὐ πλοῦτος, οὐ δυναστεία, οὐκ ἀρχὴ, οὐ τιμή· ἀλλὰ κἂν εἰς
αὐτὸ τὸ ὄχημα τὸ βασιλικὸν καθίσωμεν, στενάξομεν πικρόν. ἐπεὶ καὶ ὁ μακάριος Δαβὶδ βα-
Ψαλ. ϛ. ϛ. σιλεὺς ἦν, καὶ ἔλεγε, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· καὶ οὐδὲν ἀπὸ τῆς ἁλουργί-
δος καὶ τοῦ διαδήματος παρεβλάβη, καὶ οὐκ ἐτυφώθη. ᾔδει γὰρ ἑαυτὸν ἄνθρωπον ὄντα· καὶ
ἐπὶ συντετριμμένην εἶχε τὴν καρδίαν, ἐθρήνει. τί γάρ ἐστι τὰ ἀνθρώπινα πράγ-
ματα; τέφρα καὶ κόνις, καὶ ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καπνὸς καὶ σκιὰ, καὶ φύλλον περι-
φερόμενον, καὶ ἄνθος, ὄναρ, καὶ διήγημα, καὶ μῦθος, ἄνεμος καὶ ἀὴρ χαῦνος, ἁπλῶς * διαρρέον, * καὶ
πλερὸν οὐχ ἱστάμενον, ῥεῦμα παρατρέχον, καὶ εἴ τι τούτων οὐδαμινέστερον. τί γάρ, εἰπέ μοι,
μέγα νομίζεις; ποῖον ἡγῇ μέγα ἀξίωμα εἶναι; τὸ τοῦ ὑπάτου; οὐδὲν γὰρ τούτου τοῦ ἀξιώμα-
τος εἶναι μεῖζον νομίζουσιν οἱ πολλοί. τοῦ ἐν τοσαύτῃ τοίνυν λαμπρότητι γινομένου, τοῦ με-
γάλως θαυμασθέντος, ὁ μὴ ὕπατος ἔλαττον ἔχει οὐδέν. ἐν τῷ αὐτῷ καὶ οὗτος κἀκεῖνός ἐστιν ἀ-
ξιώματι· ὁμοίως ἑκάτεροι μετ' ὀλίγον οὐκ εἰσί. πότε ἐγένετο, πόσον χρόνον, εἰπέ μοι; ἡ-
μερῶν δύο; τοῦτο καὶ ἐν ὀνείροις γίνεται. ἀλλ' ὄναρ, φησὶν, ἐστί. καὶ τί τοῦτο; τὸ γὰρ ἐν ἡμέρᾳ

οὐκ

οὐκ ὄναρ, εἰπέ μοι; Διὰ τί μὴ ταῦτα μᾶλλον λέγεται ὄναρ; ὥσπερ γὰρ τὰ ὀνείρατα, τῆς ἡμέρας καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα· οὕτω καὶ ταῦτα, τῆς νυκτὸς καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα. Τὸ γὰρ ἴσον ἥ τε νὺξ καὶ ἡ ἡμέρα ἀπέλαβον τοῦ χρόνου, καὶ ἐξίσης διενείμαντο τὸν πάντα χρόνον. Ὥσπερ τοίνυν ἐν ἡμέρᾳ τοῖς ἐν νυκτὶ γινομένοις οὐ χαίρει τις, οὕτως οὐδὲ ἐν νυκτὶ τὴν μεθ' ἡμέραν ἀπολαῦσαι δυνατόν. Γέγονας ὕπατος; κἀγώ. Ἀλλὰ σὺ ἐν ἡμέρᾳ, ἐγὼ δὲ ἐν νυκτί. Καὶ τί τοῦτο; οὐδὲ οὕτω μὲν πλέον τι ἔχεις, εἰ μὴ ἄρα τὸ λέγεσθαι, ὁ δεῖνα ὁ ὕπατος, καὶ τὴν ἀπὸ τῶν ῥημάτων ἔχειν ἡδονὴν πλέον ἔχειν ποιεῖ. Οἷόν τι λέγω (σαφέστερον γὰρ αὐτὸ ἐρῶ) ἐὰν εἴπω, ὁ δεῖνα ὕπατός ἐστι, καὶ πληρώσωμεν τὸ ῥῆμα, οὐχ ἅμα ἐλέχθη, καὶ ἀπῆλθεν; οὕτω καὶ τὸ πρᾶγμά ἐστιν· ἅμα ἐφάνη ὕπατος, καὶ οὐκέτι ἐστί. Τιθῶμεν δὲ ἐνιαυτὸν εἶναι, καὶ δύο ἐνιαυτούς, καὶ τρεῖς καὶ τέσσαρας. Ποῦ οὖν εἰσιν οἱ δέκα ὕπατοι γενόμενοι; οὐδαμοῦ. Ἀλλ' ὁ Παῦλος οὐχ οὕτως. Οὗτος μὲν γὰρ καὶ ζῶν λαμπρὸς διαπαντός, οὐ μίαν ἡμέραν, οὐδὲ δύο, οὐδὲ δέκα, οὐκ εἴκοσιν, οὐ τριάκοντα, οὐδὲ ἐνιαυτοὺς δέκα καὶ εἴκοσι καὶ τριάκοντα· ἀλλ' ἐξ οὗ ἐτελεύτησε, τετρακοσιοστὸν λοιπὸν ἔτος παρελήλυθε, καὶ ἔτι καὶ νῦν λαμπρότερός ἐστι, καὶ πολλῷ λαμπρότερος ἢ ὅτε ἔζη. Καὶ ταῦτα μὲν ἐν τῇ γῇ· τὴν δὲ ἐν τοῖς οὐρανοῖς λαμπρότητα τῶν ἁγίων τίς ἂν παραστήσειε λόγος; Διό, παρακαλῶ, ταύτην ζητήσωμεν τὴν λαμπρότητα, ταύτην διώξωμεν, ἵνα αὐτῆς τύχωμεν. Ἡ γὰρ ὄντως λαμπρότης, αὕτη ἐστίν. Ἀποστῶμεν λοιπὸν τῶν βιωτικῶν, ἵνα εὕρωμεν χάριν καὶ ἔλεον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ι. 7 ΓΗ ΓΑΡ Η ΠΙΟΥΣΑ ΤΟΝ ΕΠ' ΑΥΤΗΣ ἐρχόμενον πολλάκις ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ.

8 Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν.

ΜΕτὰ φόβου τῶν λογίων ἀκούωμεν τοῦ Θεοῦ, μετὰ φόβου καὶ τρόμου πολλοῦ. Δουλεύσατε γάρ, φησί, τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Ψαλ β. ια. Εἰ δὲ καὶ ἡ χαρὰ ἡμῶν, καὶ ἡ ἀγαλλίασις μετὰ τρόμου ὀφείλει γίνεσθαι· ὅταν καὶ φοβερὰ ᾖ τὰ λεγόμενα, οἷα τὰ νῦν, τίνος οὐκ ἐσμὲν ἄξιοι τιμωρίας, μὴ μετὰ φρίκης ἐπακούοντες τῶν λεγομένων; Εἰπὼν ὅτι ἀδύνατον τοὺς παραπεσόντας βαπτισθῆναι δεύτερον, καὶ τὴν διὰ τοῦ λουτροῦ ἄφεσιν πάλιν λαβεῖν, καὶ δείξας τὸ φρικτὸν τοῦ πράγματος, ἐπάγει, γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν. Φοβηθῶμεν οὖν, ἀγαπητοί· οὐκ ἔστι Παύλου αὕτη ἡ ἀπειλή, οὐκ ἔστιν ἀνθρώπου τὰ ῥήματα· τοῦ πνεύματός εἰσι τοῦ ἁγίου, τοῦ Χριστοῦ τοῦ λαλοῦντος ἐν αὐτῷ. Ἆρα τίς ἐστιν ὁ τούτων τῶν ἀκανθῶν καθαρός; Εἰ δὲ καὶ ὦμεν καθαροί, οὐδὲ οὕτω θαρρεῖν ἐχρῆν, ἀλλὰ δεδοικέναι καὶ τρέμειν μήποτε ἄκανθαι βλαστήσωσιν ἐν ἡμῖν. Ὅταν δὲ ὅλοι δι' ὅλου ἄκανθαι ὦμεν καὶ τρίβολοι, πόθεν θαρροῦμεν, εἰπέ μοι, καὶ ὕπτιοι γινόμεθα; τί τὸ ποιοῦν ἡμᾶς ῥᾳθυμεῖν; Εἰ ὁ δοκῶν ἑστάναι, ὀφείλει δεδοικέναι μὴ πέσῃ (Ὁ δοκῶν γὰρ ἑστάναι, φησί, βλεπέτω μὴ πέσῃ) ὁ πεσὼν πῶς * ὀφείλει μεριμνᾶν ὥστε ἀναστῆναι; α Κορ ι β. Εἰ Παῦλος φοβεῖται μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται), καὶ δέδοικε τὸ μὴ γενέσθαι ἀδόκιμος, ὁ οὕτω δόκιμος· ἡμεῖς οἱ γενόμενοι ἤδη ἀδόκιμοι, ἵνα ἔχοιμεν ἀπολογίαν καὶ συγγνώμην, οὐδένα φόβον ἔχοντες, ἀλλ' ὡς συνήθειαν οὕτω πληροῦντες τὸν χριστι- α Κορ θ. κζ.

Ρωμ. α. ιη. δωισμῶν, καὶ ἀφοσιούμενοι; φοβηθῶμεν τοίνυν, ἀγαπητοί. Ἀποκαλύπτεται γὰρ ὀργὴ τοῦ
Θεοῦ ἀπ' οὐρανοῦ. φοβηθῶμεν. ἀποκαλύπτεται γὰρ οὐκ ἐπ' ἀσέβειαν μόνον, ἀλλὰ καὶ ἐπὶ
πᾶσαν ἀδικίαν, καὶ μικρὰν καὶ μεγάλην. ἐνταῦθα τοῦ Θεοῦ τὸ φιλάνθρωπον αἰνίττεται·
Εϐρ. ε. ιϐ. ὑετὸν δὲ τὴν διδασκαλίαν φησί. καὶ ὅπερ ἀνωτέρω ἔλεγεν, Ὀφείλοντες εἶναι διδάσκαλοι διὰ
τὸν χρόνον, τοῦτο καὶ ἐνταῦθα φησι. καὶ πολλαχοῦ ὑετὸν τὴν διδασκαλίαν ἡ γραφὴ λέγει.
Ησ. ε. ϛ. Ἐντελοῦμαι γάρ, φησι, ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν· περὶ τοῦ ἀμπελῶνος
Αμως η. ια. Ψαλ. ξδ. ι. λέγουσα. ὅπερ ἀλλαχοῦ λιμὸν ἄρτου, καὶ δίψαν ὕδατος καλεῖ. καὶ πάλιν, Ὁ ποταμὸς τοῦ
Θεοῦ ἐπληρώθη ὑδάτων. γῆ γὰρ ἡ πιοῦσα, φησι, τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν. ἐνταῦθα δηλοῖ, ὅτι καὶ ἐδέξαντο καὶ ἔπιον τὸν λόγον, καὶ πολλάκις τούτου ἔτυχον, καὶ οὐδὲ
οὕτως ἀπώναντο. Εἰ μὲν γὰρ μὴ ἐγεωργήθης, φησίν, εἰ μὴ ἀπέλαυσας ὑετοῦ, οὐκ ἂν τοσοῦτον τὸ κακόν.
Ιωαν. ιε. κϐ. Εἰ γὰρ μὴ ἦλθον, φησι, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. Εἰ δὲ πολλάκις ἔπιες καὶ ἐδέξω, τίνος ἕνεκεν ἀντὶ καρπῶν ἕτερα ἐξήνεγκας; Ἔμεινα γάρ, φησιν, ἵνα ποιή-
Ησ. ε. β. δ. σῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. ὁρᾷς ὅτι πανταχοῦ ἡ γραφὴ ἀκάνθας καλεῖ τὰ ἁμαρ-
Ψαλ. λϐ. δ. τήματα; καὶ γὰρ καὶ ὁ Δαβὶδ φησι, Ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. οὐ γὰρ ἁπλῶς ἐπέρχεται, ἀλλ' ἐμπήγνυται. κἂν μικρὸν αὐτῆς ἐναπομείνῃ, κἂν μὴ πᾶσαν αὐτὴν ἐξέλωμεν, αὐτὸ τὸ μικρὸν ὀδυνᾷ ὁμοίως, καθάπερ ἐπὶ τῆς ἀκάνθης. καὶ τί λέγω αὐτὸ τὸ μικρόν; καὶ μετὰ τὸ ἐξαιρεθῆναι, ἐπὶ πολὺ τῆς πληγῆς τὴν ὀδύνην ἐναφίησι. (γρ. ἐμποιεῖ.) καὶ διὰ τοῦτο δεῖ θεραπείας πολλῆς καὶ ἰατρείας, ὥστε τέλεον αὐτῆς ἐλευθερωθῆναι. οὐδὲ γὰρ ἀρκεῖ τὸ ἐξελεῖν μόνον τὴν ἁμαρτίαν, ἀλλὰ δεῖ καὶ τὸν πληγέντα θεραπεῦσαι τόπον. ἀλλὰ δέδοικα μὴ πρὸς ἡμᾶς ᾖ τὸ λεγόμενον μᾶλλον ἢ πρὸς ἑτέρους, τό, γῆ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν. ἀεὶ γὰρ πίνομεν, ἀεὶ ἀκούομεν· ἀλλ' εὐθέως τὴν ἰκμάδα ἀπόλλυμεν, τοῦ ἡλίου ἀνατείλαντος, καὶ διὰ τοῦτο ἀκάνθας ἐκφέρομεν. τίνες οὖν αἱ ἄ-
Λουκ. η. ιδ. κανθαι; ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, ὅτι ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. γῆ γὰρ ἡ πιοῦσα, φησι, τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον. οὐδὲν οὕτως εὔθετον, ὡς βίου καθαρότης, οὐδὲν οὕτως εὔρυθμον, ὡς βίος ἄριστος, οὐδὲν οὕτως εὔθετον, ὡς ἀρετή. καὶ τίκτουσα, φησι, βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. ἐνταῦθά φησι τὸν Θεὸν αἴτιον τῶν ἁπάντων γίνεσθαι, πλήττων τοὺς Ἕλληνας ἠρέμα, οἳ τῇ δυνάμει τῆς γῆς τῶν καρπῶν τὴν γένεσιν ἐπιγράφονται. οὐδὲ γὰρ αἱ γεωργικαὶ χεῖρες, φησίν, εἰσὶν αἱ τὴν γῆν πείθουσαι τὸν καρπὸν φέρειν, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ πρόσταγμα. διὰ τοῦτό φησι, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. καὶ ὅρα πῶς ἐπὶ τῶν ἀκανθῶν οὐκ εἶπε, τίκτουσα ἀκάνθας, οὐδὲ τῷ χρησίμῳ τούτῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τί; ἐκφέρουσα ἀκάνθας· ὡς ἂν εἴποι τις, ἐκβράσσουσα, ἐκβάλλουσα. ἀδόκιμος, φησι, καὶ κατάρας ἐγγύς. βαβαί, πόσην ἔχει παραμυθίαν ὁ λόγος; κατάρας [γὰρ] εἶπεν ἐγγύς, οὐ κατάρα. ὁ δὲ μηδέπω εἰς τὴν κατάραν ἐμπεσών, ἀλλ' ἐγγὺς γενόμενος, καὶ μακρὰν γενέσθαι δυνήσεται. καὶ οὐ τούτῳ μόνῳ παρεμυθήσατο, ἀλλὰ καὶ τῷ ἑξῆς. οὐ γὰρ εἶπεν, * ἀδόκιμος, καὶ κατάρας ἐγγύς, ἥτις καήσεται· ἀλλὰ τί; ἧς τὸ τέλος εἰς καῦσιν· δηλῶν ὅτι ἐὰν μέχρι τέλους οὕτως ἐπιμείνῃ, τοῦτο πείσεται. ὥστε, ἐὰν ἐκτέμωμεν καὶ κατακαύσωμεν τὰς ἀκάνθας, δυνησόμεθα τῶν μυρίων ἀπολαῦσαι ἀγαθῶν, καὶ γενέσθαι δόκιμοι, καὶ εὐλογίας μετασχεῖν. Εἰκότως δὲ τὴν ἁμαρτίαν τρίβολον ἐκάλεσεν, εἰπών, ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους. ὅθεν γὰρ ἂν αὐτὴν κατάσχῃς, πλήττει καὶ δάκνει, καὶ ἔστιν ἀειδὴς καὶ τῷ ἰδεῖν. καθαψάμενος τοίνυν αὐτῶν ἱκανῶς, καὶ φοβήσας καὶ πλήξας, θεραπεύει πάλιν, ὥστε μὴ πλέον καταβαλεῖν, καὶ ὑπτίους ἐργάσασθαι. τὸν γὰρ νωθρὸν ὁ πλήττων, νωθρότερον ἐργάζεται. οὔτε

οὖν

οὔτε πάντη κολακεύει, ὥστε μὴ ἐπᾶραι, οὔτε πάντη πλήττει, ὥστε μὴ ἀπονωτέρους ποιῆσαι· ἀλλ' ὀλίγον ἐμβαλὼν τὸ πληκτικὸν, πολὺ τὸ θεραπευτικὸν προσφέρει διὰ τῶν ἐπαγομένων, ὥστε ὃ βούλεται κατορθῶσαι. τί γάρ φησι;

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. Τουτέστιν, οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν, οὐδ' ὡς νομίζοντες ὑμᾶς ἀκανθῶν πλήρεις, ἀλλὰ δεδοικότες μὴ τοῦτο γένηται. βέλτιον γὰρ ὑμᾶς τοῖς ῥήμασι φοβῆσαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε. καὶ τοῦτο τῆς συνέσεως Παύλου μάλιστα. καὶ οὐκ εἶπε, νομίζομεν, οὐδὲ στοχαζόμεθα, οὐδὲ προσδοκῶμεν, οὐδὲ ἐλπίζομεν, ἀλλὰ τί; πεπείσμεθα. ὃ καὶ Γαλάταις γράφων ἔλεγε, Πέποιθα δὲ εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. Γαλ. ε. ι. οὐκ εἶπε, φρονεῖτε, ἀλλὰ, φρονήσετε. ἐκεῖ μὲν γὰρ ἐπειδὴ σφόδρα κατεγνωσμένοι ἦσαν, καὶ οὐκ εἶχεν αὐτοὺς ἀπὸ τῶν παρόντων ἐπαινέσαι, ἀπὸ τῶν μελλόντων τοῦτο ποιεῖ, οὐδὲν ἄλλο φρονήσετε, λέγων. ἐνταῦθα δὲ ἀπὸ τῶν παρόντων· πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττω, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. καὶ ἐπειδὴ ἀπὸ τῶν παρόντων οὐ τοσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατασκευάζει τὴν παραμυθίαν, καί φησιν,

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

Βαβαὶ, πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχὴν καὶ ἀνέρρωσε, τῶν παλαιῶν ἀναμνήσας πραγμάτων, καὶ εἰς ἀνάγκην καταστήσας τοῦ μὴ προσδοκᾷν ἐπιλελῆσθαι τὸν Θεόν; ἀνάγκη γὰρ ἐκεῖνον ἁμαρτάνειν τὸν μὴ πεπληροφορημένον περὶ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, καὶ τῆς τῶν ἑκάστῳ βεβιωμένων κατ' ἀξίαν παρ' αὐτοῦ ἀνταποδόσεως, καὶ λέγειν ὅτι ἄδικος ὁ Θεός. ὥστε συνηνάγκασεν αὐτοὺς πάντως προσδοκᾷν ἐκεῖνα τὰ μέλλοντα. τὸν γὰρ ἀπεγνωκότα ἀπὸ τῶν παρόντων καὶ ἀπαγορεύσαντα, ἀπὸ τῶν μελλόντων ἀναρρῶσαι δυνήσεταί τις· ὡς καὶ αὐτὸς Γαλάταις γράφων ἔλεγεν, Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε; Γαλ. ε. ζ. καὶ πάλιν, Τοσαῦτα ἐπάθετε εἰκῆ; εἴγε καὶ εἰκῆ. Γαλ. γ. δ. ὥσπερ δὲ ἐνταῦθα μετ' ἐπιπλήξεως τίθησι τὸ ἐγκώμιον, λέγων, ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον· οὕτω καὶ ἐκεῖ, Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε. Γαλ. α. ς. μετ' ἐκπλήξεως τὸ ἐγκώμιον. περὶ γὰρ μεγάλων, ὅταν ἐκπέσωσι, θαυμάζομεν. ὁρᾷς ἐγκεκρυμμένον τὸν ἔπαινον τῇ κατηγορίᾳ καὶ τῇ διαβολῇ; καὶ οὐ περὶ ἑαυτοῦ τοῦτο μόνον φησὶν, ἀλλὰ καὶ περὶ πάντων. οὐ γὰρ εἶπε, πέπεισμαι, ἀλλὰ, πεπείσμεθα περὶ ὑμῶν τὰ κρείττονα· τουτέστι, τὰ χρηστά. ἤτοι περὶ πολιτείας, ἢ περὶ ἀνταποδόσεως ταῦτά φησιν. εἶτα εἰπὼν ἀνωτέρω, ὅτι ἀδόκιμος καὶ κατάρας ἐγγὺς, καὶ ὅτι εἰς καῦσιν ἔσται, ἵνα μὴ δόξῃ περὶ αὐτῶν τοῦτο λέγειν, ἐπήγαγεν εὐθέως τὸ, οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης· δηλῶν, ὅτι εἰ καὶ οὕτω λαλοῦμεν, οὐ πάντως περὶ ὑμῶν τοῦτο λέγομεν. καὶ εἰ περὶ ὑμῶν οὐ λέγεις, τί δήποτε καθάπτῃ νωθροὺς καλῶν, καὶ μεμνημένος ἀκανθῶν ἐκφοβεῖς; ἐπειδὴ

11 Ἐπιθυμοῦμεν, φησὶν, ἕνα ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους·

12 Ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. Ἐπιθυμοῦμεν, φησίν· οὐκ ἄρα μέχρι ῥημάτων τοῦτο βουλόμεθα μόνον. ἀλλὰ τί ἐπιθυμεῖς, εἰπέ. ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς ἔχεσθαι· οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, φησὶν, ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. καὶ οὐκ εἶπεν, ὅτι οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, ἀλλὰ τῶν παρόντων· ἐξελύθητε γὰρ, ῥαθυμότεροι γεγόνατε. ἀλλ' ὅρα πῶς προσηνῶς ἐνέφηνε, καὶ οὐκ ἔπληξε. τί γάρ φησιν; ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν σπουδὴν ἐνδείκνυσθαι ἄχρι τέλους. τοῦτο γὰρ

τὸ

χ. τῆς ἐλπίδος καὶ λέγειν

χ. μετ' ἐπιπλήξεως

χ. -τα, καὶ χρηστά φησιν.

χ. ἔσται, οὐ πάντως, φησὶ, περὶ ὑμῶν τοῦτο λέγομεν. οὐ

χ. -τος. τίνος ἕνεκεν ταῦτ' εἴπομεν; Ἐπιθυμοῦμεν δὲ ἕκαστον

τὸ θαυμαστόν ἐστι τῆς Παύλου συνέσεως, ὅτι οὐκ ἐνδείκνυται, ὅτι ἐνέδωκαν, ὅτι καθυφῆκαν. τὸ γὰρ εἰπεῖν, ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν, τοῦτό ἐστιν, ὡς ἂν εἴποι τις, θέλω σε σπουδάζειν ἀεὶ, καὶ οἷος ἦς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν, καὶ εἰς τὸ μέλλον. τοῦτο γὰρ τῶν ἐλέγχων προσηνέστερον καὶ εὐπαράδεκτον εἰργάζετο. καὶ οὐκ εἶπε, θέλω, ὅπερ ἦν διδασκαλικῆς αὐθεντίας, ἀλλ' ὃ πατρικῆς ἦν φιλοστοργίας καὶ πλέον τοῦ θέλειν, ἐπιθυμοῦμεν· μονονουχὶ λέγων, σύγγνωτε κἂν φορτικόν τι φθεγξώμεθα. ἐπιθυμοῦμεν γὰρ ἕνα ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ὑμῶν ἄχρι τέλους. τί ἐστι τοῦτο; ἡ ἐλπίς, φησι, διαβαστάζει, αὕτη ἀνακτᾶται πάλιν. μὴ ἐκλυθῆτε, μηδὲ ἀπελπίσητε, ἵνα μὴ περιττὴ ὑμῶν ἡ ἐλπὶς ᾖ. ὁ γὰρ ἀγαθὰ ἐργαζόμενος, καὶ ἀγαθὰ ἐλπίζει, καὶ οὐδέποτε ἀπελπίζει ἑαυτόν. ἵνα μὴ νωθροὶ γένησθε, ἀκμὴν γένησθε. καὶ μὴν δεύτερον ἔλεγεν, ἐπειδὴ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ἀλλ' ὅρα πῶς ἐκεῖ μέχρι τῆς ἀκοῆς τὴν νωθρότητα ἔστησεν. ἐνταῦθα εἰ καὶ αὐτὸ τοῦτο φθέγγεται, ἀλλ' ἑτέρῳ τι αἰνίττεται. ἀντὶ γὰρ τοῦ εἰπεῖν, μὴ ἐναπομείνητε τῇ ῥαθυμίᾳ, μὴ νωθροὶ γένησθε εἶπε. πάλιν αὐτοὺς εἰς τὸν μέλλοντα ἐξάγει καιρὸν τὸν ἀνεύθυνον [, εἰπὼν, ἵνα μὴ νωθρότεροι γένησθε]. ἐκείνου γὰρ τοῦ μήπω παρόντος οὐκ ἂν εἴημεν ὑπεύθυνοι. ὁ μὲν γὰρ εἰς τὸ πρὶν παρακαλούμενος σπουδάζειν, ὡς ῥαθυμῶν ἴσως καὶ ὀκνηρότερος ἔσται· ὁ δὲ εἰς τὸ μέλλον, οὐχ οὕτως. ἐπιθυμοῦμεν δέ, φησιν, ἕκαστον ὑμῶν. πολλὴ ἡ φιλοστοργία· καὶ μεγάλων καὶ μικρῶν ὁμοίως κήδεται, καὶ πάντας οἶδε, καὶ οὐδένα παρορᾷ, ἀλλὰ τὴν αὐτὴν περὶ ἕκαστον κηδεμονίαν ἐπιδείκνυται, καὶ τὴν ἰσοτιμίαν πρὸς πάντας. ὅθεν καὶ μᾶλλον ἔπειθε δέξασθαι τὸ φορτικὸν τῶν ῥημάτων. ἵνα μὴ νωθροὶ γένησθε, φησι. καθάπερ γὰρ ἡ ἀργία τὸ σῶμα βλάπτει· οὕτω καὶ τὴν ψυχὴν ἡ ἀργία τῶν ἀγαθῶν ὑπτιωτέραν ἐργάζεται καὶ ἀσθενῆ. μιμηταὶ δέ, φησι, τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. καὶ τίνες οὗτοί εἰσιν, ἑξῆς λέγει. πρότερον εἴρηκε, μιμήσασθε τὰ πρότερα ὑμῶν κατορθώματα. εἶτα ἵνα μὴ λέγωσι, ποῖα; αὐτοὺς ἀνάγει ἐπὶ τὸν πατριάρχην, τῶν μὲν κατορθωμάτων οἴκοθεν αὐτοῖς φέρων τὰ ὑποδείγματα, τοῦ δὲ νομίζειν ἐγκαταλελεῖφθαι, ἀπὸ τοῦ πατριάρχου. τοῦτο δὲ ποιεῖ, ἵνα μὴ λέγωσιν ὅτι ὡς οὐδενὸς ἄξιοι λόγου καταφρονηθέντες ἐγκατελείφθησαν, ἀλλ' εἰδέναι ἔχωσιν ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν τοῦτό ἐστι, τὸ διὰ πειρασμῶν ὁδεύειν τὸν βίον, καὶ ὅτι τοῖς θαυμαστοῖς καὶ μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ Θεός. δεῖ δέ, φησι, μετὰ μακροθυμίας ἅπαντα φέρειν. τοῦτο γάρ ἐστι καὶ πιστεῦσαι. ἐὰν δὲ εἴπῃ ὅτι δίδωσι, καὶ λάβῃς εὐθέως, τί καὶ ἐπίστευσας; οὐκέτι γὰρ τῆς πίστεώς ἐστι τοῦτο τῆς σῆς, ἀλλ' ἐμοῦ, φησι, τοῦ προλαβόντος τὴν ἐπαγγελίαν καὶ δεδωκότος. ἐὰν δὲ εἴπω ὅτι δίδωμι, καὶ μετὰ ἑκατὸν ἔτη δώσω, σὺ δὲ μὴ ἀπελπίσῃς· τότε με ἐνόμισας ἀξιόπιστον, τότε τὴν προσήκουσαν περὶ ἐμοῦ δόξαν ἔχεις. ὁρᾷς ὅτι πολλάκις ἡ ἀπιστία οὐκ ἐξ ἀνελπιστίας γίνεται μόνον, ἀλλὰ καὶ ἐκ τοῦ ὀλιγοψυχεῖν καὶ μὴ μακροθυμεῖν, οὐκ ἐκ τοῦ * ἐπαγγειλαμένου; οὐ γὰρ ἄδικος ὁ Θεός, φησιν ἐπιλαθέσθαι τῆς ἀγάπης ὑμῶν, καὶ τῆς σπουδῆς ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. μεγάλα αὐτοῖς μαρτυρεῖ, οὐκ ἔργα μόνον *, ἀλλὰ καὶ μετὰ προθυμίας ἔργα. ὃ καὶ ἀλλαχοῦ φησιν, Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ, καὶ ἡμῖν. (β. Κορ. η. ε.) ἧς ἐνεδείξασθε, φησιν, εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. ὅρα πῶς πάλιν αὐτοὺς θεραπεύει, ἐπαγαγὼν καὶ εἰπὼν, διακονοῦντες. ἔτι καὶ νῦν, λέγει, διακονοῦντες, διανιστῶν αὐτοὺς, καὶ δεικνὺς ὅτι οὐκ ἐκείνοις πεποιήκασιν, ἀλλὰ τῷ Θεῷ. ἣν ἐνεδείξασθε, φησιν· οὐχ ἁπλῶς εἰς τοὺς ἁγίους, ἀλλ' εἰς τὸν Θεόν. τοῦτο γάρ ἐστιν, εἰς τὸ ὄνομα αὐτοῦ· ὡσεὶ ἔλεγε διὰ τὸ ὄνομα αὐτοῦ πάντα πεποιήκατε. ὁ τοίνυν τοσαύτης παρ' ὑμῶν ἀπολαύων σπουδῆς καὶ ἀγάπης, οὐ καταφρονήσει ποτὲ ὑμῶν, οὐδὲ ἐπιλήσεται.

ΗΘΙΚΟΝ

Ταῦτα ἀκούοντες, παρακαλῶ, διακονῶμεν τοῖς ἁγίοις. πᾶς γὰρ πιστὸς ἅγιος, καθὸ

πιστός ἐστι. κἂν κοσμικός ᾖ τις, ἅγιός ἐστιν. Ἡγίασται γάρ, φησιν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί. ὁρᾷς πῶς τὸν ἁγιασμὸν ἡ πίστις ποιεῖ. κἂν κοσμικὸν τοίνυν ἴδωμεν ἐν περιστάσει, ὀρέγωμεν χεῖρα· μὴ πρὸς τοὺς ἐν ὄρεσι μόνον καθημένους ὦμεν σπουδαῖοι. ἅγιοι μὲν γὰρ ἐκεῖνοι καὶ βίῳ καὶ πίστει· ἅγιοι δὲ καὶ οὗτοι τῇ πίστει, πολλοὶ δὲ καὶ βίῳ. μή, ἐὰν ἴδωμεν μοναχὸν εἰς φυλακήν, τότε εἰσέλθωμεν· ἐὰν δὲ κοσμικόν, μὴ εἰσέλθωμεν. ἅγιός ἐστι καὶ οὗτος, καὶ ἀδελφός. τί οὖν, φησίν, ἐὰν ᾖ ἀκάθαρτος καὶ μιαρός; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. σὺ διὰ τὸν Θεὸν ποίησον. καὶ τί λέγω; κἂν Ἕλληνα ἴδωμεν ἐν περιστάσει, εὖ ποιεῖν δεῖ, καὶ ἁπλῶς πάντας ἀνθρώπους ἐν περιστάσεσιν ὄντας, πολλῷ δὲ μᾶλλον πιστὸν κοσμικόν. ἄκουε Παύλου λέγοντος, Τὸ καλὸν ποιεῖτε πρὸς πάντας· μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. ἀλλ' οὐκ οἶδα πόθεν τοῦτο εἰσενήνεκται, καὶ πόθεν αὕτη κεκράτηκεν ἡ συνήθεια. ὁ γὰρ τοὺς μονάζοντας μόνον ἐπιζητῶν, κἀκείνους μόνους εὖ ποιεῖν θέλων, καὶ ἐκείνους δὲ πάλιν περιεργαζόμενος, καὶ λέγων, ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δίκαιος, ἐὰν μὴ σημεῖα ποιῇ, οὐκ ὀρέγω χεῖρα, τὸ πλέον τῆς ἐλεημοσύνης ἐξέβαλε, καὶ τοῦτο δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσει· καίτοιγε ἐλεημοσύνη ἐκείνη ἐστίν, ἡ εἰς τοὺς ἁμαρτωλούς, ἡ εἰς τοὺς ὑπευθύνους γινομένη. ἐλεημοσύνη γὰρ τοῦτό ἐστιν, οὐ τὸ τοὺς κατορθωκότας, ἀλλὰ τὸ τοὺς πεπλημμεληκότας ἐλεεῖν. καὶ ἵνα μάθῃς, ἄκουε τί φησιν ὁ Χριστὸς διὰ τῆς παραβολῆς. Κατῄει, φησί, τις ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσε· καὶ τυπτήσαντες αὐτόν, εἴασαν παρὰ τὴν ὁδὸν ἡμιθανῆ τυγχάνοντα. κατὰ δὲ συγκυρίαν Λευίτης τις παρὰ τὴν ὁδὸν ἦλθε, καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν· ὁμοίως δὲ καὶ ἱερεὺς ὡς τὸ αὐτὸ ποιήσας παρέδραμεν. ὕστερον δὲ ἦλθέ τις Σαμαρείτης, καὶ πολλὴν τὴν κηδεμονίαν ἐποιήσατο ἐπ' αὐτῷ. ἐπέδησε γὰρ τὰ τραύματα, ἐπέσταξεν ἔλαιον, ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ὄνον, ἤγαγεν αὐτὸν εἰς τὸ πανδοχεῖον, εἶπε τῷ πανδοχεῖ, θεράπευσον αὐτόν. καὶ ὅρα τὴν φιλοτιμίαν τὴν πολλήν· καὶ ἐγώ σοι δώσω, φησίν, ὅσον ἂν ἀναλώσῃς. εἶτα πυνθάνεται, Τίς οὖν δοκεῖ σοι ἐκ τῶν τριῶν τούτων πλησίον αὐτοῦ γεγονέναι; ὁ δὲ νομικὸς εἰπών, ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ, ἀκούει, Πορεύου οὖν καὶ σύ, ποίει ὁμοίως. καὶ θέα ποίαν εἶπε παραβολήν· οὐκ εἶπεν ὅτι Ἰουδαῖος εἰς Σαμαρείτην ἐποίησεν, ἀλλ' ὅτι Σαμαρείτης τὴν φιλοτιμίαν ἐκείνην ἅπασαν ἐνεδείξατο. ἐντεῦθεν μανθάνομεν, ἐξ ἴσης προνοεῖσθαι τῶν πάντων, οὐ τῶν οἰκείων τῆς πίστεως μόνον ἐπιμελουμένους, τῶν ἀλλοτρίων δὲ ἀμελοῦντας. οὕτω τοίνυν καὶ σύ, ἐὰν ἴδῃς τινὰ κακῶς πάσχοντα, μηδὲν περιεργάζου λοιπόν· ἔχει* τὸ δικαίωμα τῆς βοηθείας τὸ κακῶς παθεῖν αὐτόν. εἰ γὰρ ὄνον ἐὰν ἴδῃς ἀγχόμενον, ἐγείρεις αὐτόν, καὶ οὐ περιεργάζῃ τίνος ἐστί· πολλῷ μᾶλλον ἄνθρωπον οὐ δεῖ περιεργάζεσθαι, τίνος ἐστί. τοῦ Θεοῦ ἐστι, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος. εἰ γὰρ καὶ ἄπιστος, ἀλλὰ βοηθείας δεῖται. εἰ μὲν γὰρ ἐξετάζειν καὶ κρίνειν ἐπετράπη σοι, καλῶς ταῦτα ἔλεγες· νῦν δὲ ἡ συμφορὰ ταῦτα οὐκ ἀφίησί σε ἐξετάζειν. εἰ γὰρ οὐδὲ ὑγιαίνοντας περιεργάζεσθαι χρή, οὐδὲ τὰ ἑτέρων πολυπραγμονεῖν· πολλῷ μᾶλλον τοὺς κακῶς πάσχοντας. ἄλλως δὲ [τί;] εἰ ἴδοις εὐθηνοῦντα αὐτὸν ἢ εὐδοκιμοῦντα, ὅτι λέγεις, πονηρός ἐστι καὶ φαῦλος; κακῶς πάσχει. εἰ δὲ κακῶς πάσχοντα ὁρᾷς, μὴ λέγε ὅτι πονηρός ἐστιν. ὅταν μὲν γὰρ εὐδοκιμῇ, καλῶς ταῦτα λέγομεν· ὅταν δὲ ἐν συμφορᾷ ᾖ, καὶ βοηθείας δεῖται, οὐ χρὴ λέγειν ὅτι πονηρός ἐστιν. ὠμότητος γὰρ τοῦτο, καὶ ἀπανθρωπίας καὶ ἀλαζονείας. τί τῶν Ἰουδαίων ἀνομώτερον γέγονεν, εἰπέ μοι; ἀλλ' ὅμως ἐκόλασεν αὐτοὺς ὁ Θεὸς καὶ δικαίως, καὶ σφόδρα δικαίως. καὶ ὅμως τοὺς μὲν συναλγοῦντας αὐτοῖς ἀπεδέξατο, τοὺς δὲ ἐπιτεθέντας ἐκόλασεν. Οὐκ ἔπασχον γάρ, φησιν, οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ. καὶ πάλιν φησίν, Ἐκπρίου κτεινομένους, μὴ φείσῃ. οὐκ εἶπε, περιεργάσαι, καὶ μάθε τίς ἐστι· καίτοι ὡς τὰ πολλὰ πονηροὶ οἱ ἀπαγόμενοι· ἀλλ' εἶπεν ἁπλῶς, ἐκπρίου· ὅστις ἂν ᾖ, φησί. τοῦτο γάρ ἐστι μάλιστα ἐλεημοσύνη. ὁ μὲν γὰρ φίλον εὖ ποιῶν, οὐ διὰ τὸν Θεὸν πάντως* ποιεῖ·

ὁ δὲ

Margin notes (left): κ. -στάσει ὄντας εὐεργετεῖν χρή, πολλῷ μᾶλλον — κ. καὶ ἐλεῶν. ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δί- — κ. ὀρέγων — κ. κα. πάξαντας — κ. ἐπιμελήθητι αὐτοῦ. — * δ — κ. ἵνα ἔπῃς … πον- — κ. ἐκπριοῦ. — κ. ἐκπρίου — μόνον

Margin notes (right): α. Κορ. ζ. ιδ. — Ματθ. ζ. α. — Γαλ. ς. ι. — Λουκ. ι. λ. — Αμ. ς. ς. — Παροιμ. κδ.

ὁ δὲ τῶν ἀγρῶν, οὐ καθαρῶς διὰ τὸν Θεὸν ἐργάζεται. καὶ ὁ μὲν φησι, μὴ φείσῃ χρημάτων, ἀλλὰ καὶ πάντα δέῃ κενῶσαι, δός. ἡμεῖς δὲ ἀγχομένους ὁρῶντες, ἀποδυρομένους, μυρίων θανάτων χαλεπώτερα πάσχοντας, καὶ ἀδίκως πολλάκις, φειδόμεθα τῶν χρημάτων, καὶ ἀφειδοῦμεν τῶν ἀδελφῶν· τῶν ἀψύχων μὲν κηδόμεθα, ψυχῆς δὲ ἀμελοῦμεν. καίτοιγε Παῦλος κελεύει ἐν πρᾳότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους, μήποτέ, φησι, δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. μήποτέ, φησιν. ὁρᾷς πόσης μακροθυμίας τὸ ῥῆμα γέμει; τοῦτον καὶ ἡμεῖς μιμούμενοι, μηδένα ἀπελπίζωμεν. καὶ γὰρ καὶ ἁλιεῖς, πολλάκις τὸ ἄγκιστρον ῥίψαντες εἰς τὴν θάλατταν, οὐκ ἐπέτυχον· ὕστερον δὲ βαλόντες, τὸ πᾶν ἀπέλαβον· οὕτω καὶ ἡμεῖς οὐκ ἀπελπίζομεν, ἀλλὰ προσδοκῶμεν ἐπὶ ἀγαθὸν δείξετε ἡμῖν καρπὸν ὥριμον. καὶ γὰρ ὁ γηπόνος ἐπειδὰν σπείρῃ, καὶ τὴν πρώτην ἡμέραν καὶ τὴν δευτέραν ἀναμένει, καὶ πολὺν χρόνον ἐκδέχεται· εἶτα ἀθρόον πάντοθεν ὁρᾷ τοὺς καρποὺς βλαστάνοντας. τοῦτο καὶ ἐφ' ὑμῶν ἔσεσθαι προσδοκῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Margin: β. Τιμ. β. κε. — χ. δείξῃ

Λογ. ια. 13 ΤΩ ΓΑΡ ΑΒΡΑΑΜ ΕΠΑΓΓΕΙΛΑΜΕΝΟΣ Ο Θεὸς, ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,

14 Λέγων, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε.

15 Καὶ οὕτω μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

Καταβαλλόμενος [γνησίως] τοὺς Ἑβραίους, καὶ φοβήσας αὐτοὺς ἱκανῶς, πρῶτον μὲν τοῖς ἐγκωμίοις παραμυθεῖται, δεύτερον δὲ, ὃ καὶ ἰσχυρότερόν ἐστι, τῷ πάντως ἐπιτυχεῖν αὐτοὺς τῶν ἐλπιζομένων. καὶ τὴν παράκλησιν οὐκ ἀπὸ τῶν ἐνεστώτων ποιεῖται, ἀλλὰ πάλιν ἀπὸ τῶν μελλόντων· ὅθεν μᾶλλον αὐτοὺς ἐπῆγεν. ὥσπερ γὰρ ἐν τῇ κολάσει δι' ἐκείνων μᾶλλον φοβεῖ, οὕτω καὶ ἐν τοῖς ἐπάθλοις διὰ τούτων παρακαλεῖ. ὃ τοῦ Θεοῦ μάλιστα ἔθος. τοῦτο δέ ἐστι, τὸ μὴ ταχέως ἐπάγειν τὰ ἐπηγγελμένα, ἀλλὰ διὰ μακροῦ τοῦ χρόνου. ποιεῖ δὲ τοῦτο, τῆς τε αὐτοῦ δυνάμεως μέγιστον τεκμήριον ἐκφέρων, καὶ ἡμᾶς εἰς πίστιν ἐνάγων, ἵνα καὶ οἱ θλιβόμενοι, καὶ τὰς ἐπαγγελίας μὴ λαμβάνοντες, μηδὲ τοὺς μισθοὺς, μὴ ἀπαγορεύωσι πρὸς τὰ χαλεπά. καὶ πάντας ἀφεὶς, καίτοιγε ἔχων πολλοὺς εἰπεῖν, τὸν Ἀβραὰμ εἰς μέσον ἤγαγε διά τε τὸ ἀξίωμα τοῦ προσώπου, καὶ διὰ τὸ μάλιστα ἐπ' αὐτοῦ τοῦτο συμβεβηκέναι. καίτοιγε ἐν τῷ τέλει τῆς ἐπιστολῆς φησίν, οὗτοι πάντες πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. τῷ γὰρ Ἀβραάμ, φησιν, ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. πῶς οὖν ἐν τῷ τέλει φησὶν, ὅτι οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας· ἐνταῦθα δὲ, ὅτι μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας; πῶς οὐκ ἔλαβε; πῶς καὶ ἐπέτυχεν; οὐ περὶ τῶν αὐτῶν ἐνταῦθα φησὶ κἀκεῖ, ἀλλὰ καὶ διττὴν ποιεῖται τὴν παράκλησιν. ἐπηγγείλατο τῷ Ἀβραάμ. καὶ τὰ μὲν ἐνταῦθα μετὰ μακρὸν χρόνον ἔδωκε· τὰ δὲ ἐκεῖ, οὐδέπω· καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. ὁρᾷς ὅτι οὐχ ἡ ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο, ἀλλὰ καὶ ἡ μακροθυμία; ἐνταῦθα φοβεῖ αὐτοὺς, δεικνὺς ὅτι πολλάκις ἐγκόπτεται ἐπαγγελία δι' ὀλιγοψυχίαν. καὶ τοῦτο ἔδειξε

μὲν

Margin: χ. ἰσχυρότερον, ἐλπίδας αὐτοῖς ποιῆσαι τῷ πάντως — χ. μελλόντων — Ἑβρ. ια. ιγ. λθ. — χ. οὐ — χ. ἐκκόπτεται

μὲν διὰ τοῦ χρόνου. ἐπειδὴ γὰρ ὠλιγοψύχησαν, διὰ τοῦτο τῆς ἐπαγγελίας ἐπέτυχον οὐδαμῶς. τὸ δὲ ἐναντίον δείκνυσι διὰ τοῦ Ἀβραάμ. εἶτα πρὸς τῷ τέλει καὶ πλῆθος τῶν παίδων. δείκνυσι γὰρ ὅτι καὶ μακροθυμήσαντες οὐκ ἐπέτυχον, καὶ οὐδὲ οὕτως ἀγάλλονται. ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· ὁ δὲ Θεὸς ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ. καλῶς. τίς οὖν ἐστιν ὁ ὀμόσας τῷ Ἀβραάμ; οὐχὶ ὁ υἱός; οὔ, φησι. πόθεν τοῦτο λέγεις; μάλιστα μὲν γὰρ αὐτός· πλὴν οὐκ ἀμφισβητῶ. ὅταν οὖν αὐτὸς ὀμνύῃ τὸν αὐτὸν ὅρκον, ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δηλοῖ ὅτι ἐκ τοῦ μὴ ἔχειν κατὰ μείζονος ὀμόσαι; ὥσπερ γὰρ ὁ πατὴρ ὤμοσεν, οὕτω καὶ ὁ υἱὸς ὀμνύει καθ' ἑαυτοῦ, λέγων, ἀμὴν ἀμὴν λέγω ὑμῖν. ἐνταῦθα αὐτοὺς ἀναμιμνήσκει ἐκείνων τῶν ὅρκων τῶν τοῦ Χριστοῦ, ὧν συνεχῶς ἔλεγεν, Ἀμὴν ἀμὴν λέγω σοι, ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. τί ἐστι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος; ἀντὶ τοῦ, ἐκ τούτου λύεται πάσης ἀντιλογίας ἀμφισβήτησις· οὐ τῆσδε, ἢ τῆσδε, ἀλλὰ πάσης. ἔδει μὲν οὖν καὶ χωρὶς ὅρκου πιστεύεσθαι τὸν Θεόν. Ιωαν. ια. κϛ.

γ. ὀμνύει; γ. αὐτός

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεός, φησιν, ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ. Ἐνταῦθα καὶ τοὺς πιστοὺς παραλαμβάνει. διὰ τοῦτο καὶ ταύτης τῆς ἐπαγγελίας μέμνηται τῆς πρὸς ἡμᾶς κοινῶς γενομένης. ἐμεσίτευσε, φησιν, ὅρκῳ. πάλιν ἐνταῦθα τὸν υἱόν φησι μεταξὺ ἀνθρώπων καὶ Θεοῦ μεσίτην γεγενῆναι.

γ. τῆς προτέρας κοινῆς

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν.

Ποίων, καὶ ποίου; τοῦ τε εἰπεῖν καὶ ὑποσχέσθαι, τοῦ τε ὅρκον προσθεῖναι τῇ ὑποσχέσει. ἐπειδὴ γὰρ παρὰ ἀνθρώποις τοῦτο δοκεῖ πιστότερον εἶναι τὸ τοῦ ὅρκου, διὰ τοῦτο καὶ αὐτὸ προσέθηκεν. ὁρᾷς ὅτι οὐ τὴν ἀξίαν τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅπως τοὺς ἀνθρώπους πείσῃ, καὶ ἀνάξια περὶ ἑαυτοῦ ἀνέχεται λέγεσθαι; * τουτέστι, πληροφορῆσαι θέλων. καὶ ἐπεὶ [μὲν] τοῦ Ἀβραάμ, δείκνυσι τοῦ Θεοῦ ὂν τὸ πᾶν, οὐ τῆς μακροθυμίας ἐκείνου, εἶχε καὶ ὅρκον ὑπέσχετο προσθεῖναι, εἰ καθ' οὗ ὀμνύουσιν ἄνθρωποι, καὶ ὁ Θεὸς κατ' αὐτοῦ ὤμοσε, τουτέστι, καθ' ἑαυτοῦ. ἀλλ' ἐκεῖνοι μὲν ὡς μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος· καὶ ὅμως ἐποίησεν. οὐ γὰρ ἴσον, ἄνθρωποι καθ' ἑαυτοῦ ὀμόσαι, καὶ Θεόν. ὁ γὰρ ἄνθρωπος ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει. ὁρᾷς τοίνυν ὅτι οὐ πρὸς τὸν Ἀβραὰμ μᾶλλον ἢ πρὸς ἡμᾶς τοῦτο εἴρηται. Ἰσχυράν, φησι, παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος. Καὶ ἐνταῦθα πάλιν μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας ἵνα, φησι, καὶ οὐκ εἶπεν, ἐπειδὴ ὤμοσεν. ὅρκος δὲ τίς ἐστιν ἐδήλωσεν εἰπὼν τὸ, κατὰ τοῦ μείζονος ὀμόσαι. ἀλλ' ἐπειδὴ ἄπιστόν ἐστι τὸ τῶν ἀνθρώπων γένος, συγκατέβη εἰς τὰ αὐτὰ ἡμῖν. ὥσπερ οὖν ὄμνυσι δι' ἡμᾶς, καίτοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι· οὕτω καὶ τὸ, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, εἴρηκεν, ἐπειδὴ οἱ ἄνθρωποι τοῦτο νομίζουσι μᾶλλον εἶναι ἀξιοπιστότερον, τὸ διὰ τῆς πείρας ἐλθεῖν. τί ἐστι, τῆς προκειμένης ἐλπίδος; ἀπὸ τούτων τὰ μέλλοντα, φησι, στοχαζόμεθα. εἰ γὰρ ταῦτα μετὰ τοσοῦτον ἐξέβη χρόνον, πάντως κἀκεῖνα. ὥστε τὰ πρὸς τὸν Ἀβραὰμ γεγενημένα πιστοῦται ἡμᾶς καὶ περὶ τῶν μελλόντων.

* ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν

γ. αὐτὸ τοῦτο, μακροθ. γ. νῦν φησιν, ἰσχυρὰν παράκλησιν ἔχωμεν καὶ

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.

20 Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδέκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα. Ἐν τῷ κόσμῳ ἔτι ὄντας, καὶ οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυσιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις. διὰ γὰρ τῆς ἐλπίδος ἤδη ἐν τῷ οὐρανῷ ἐσμεν. εἶπεν, ἀναμείνατε· πάντως γὰρ ἔσται. εἶτα πληροφορῶν λέγει, μᾶλλον δὲ, τῇ ἐλπίδι ἤδη ἐτύχετε. καὶ οὐκ εἶπεν, ἡμεῖς ἐσμεν εἴσω, ἀλλ' αὐτὸς εἰσῆλθεν ἔνδον· ὅπερ ἀληθέστερον ἦν καὶ πιθανώτερον.

ραν. ὥσπερ γὰρ ἡ ἄγκυρα ἐξαρτηθεῖσα τοῦ πλοίου, οὐκ ἀφίησιν αὐτὸ περιφέρεσθαι, κἂν μυρίοι διασαλεύωσιν ἄνεμοι, ἀλλ' [ἐξαρτηθεῖσα] ἑδραῖον ποιεῖ· οὕτω καὶ ἡ ἐλπίς. καὶ ὅρα πῶς σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα. οὐ γὰρ εἶπε θεμέλιον, ὅπερ ἀπῇδεν, ἀλλ' ἄγκυραν. τὸ γὰρ ἐν σάλῳ ὄν, καὶ οὐ σφόδρα δοκοῦν ἡδράσθαι, ἐπὶ τῆς ὑγρᾶς, ὡς ἐπὶ γῆς, ἕστηκε, καὶ σαλεύεται, καὶ οὐ σαλεύεται. ἐπὶ μὲν γὰρ τῶν σφόδρα ἐῤῥωμένων καὶ φιλοσόφων, εἰκότως ἐκεῖνο τέθεικεν ὁ Χριστὸς λέγων, Ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· ἐπὶ δὲ τῶν ἀπαγορευόντων, καὶ ὀφειλόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, οἰκείως τοῦτο τέθεικεν ὁ Παῦλος. ἡ μὲν γὰρ ζάλη καὶ ὁ πολὺς χειμὼν σαλεύει τὸ σκάφος· ἡ δὲ ἐλπὶς οὐκ ἀφίησι περιφέρεσθαι, κἂν μυρίοι διασαλεύωσιν ἄνεμοι. ὥστε εἰ μὴ ταύτην εἴχομεν, πάλαι ἂν κατεποντίσθημεν. οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς βιωτικοῖς πολλὴν ταύτης εὕροι τις ἂν τὴν ἰσχύν· οἷον, ἐπὶ ἐμπορείας, ἐπὶ γεωργίας, ἐπὶ στρατείας. ἐὰν γὰρ μὴ ταύτην εὐθέως τις προθῆται, οὐδ' ἂν ἅψαιτο ἔργου. ἄγκυραν δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ἀσφαλῆ τε καὶ βεβαίαν· ἵνα δηλώσῃ τὸ ἀψευδὲς τῶν αὐτῇ ἐπηρεισμένων εἰς σωτηρίαν· διὸ ἐπάγει, εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. τί ἐστι τοῦτο; ἀντὶ τοῦ, διϊκνουμένην εἰς τὸν οὐρανόν. εἶτα καὶ τὴν πίστιν ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ καὶ ἀληθὴς σφόδρα. μετὰ γὰρ τὸν ὅρκον καὶ ἑτέραν τίθησι, τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν, ὅτι πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. ὁ δὲ πρόδρομος, τινῶν ἐστι πρόδρομος· ὥσπερ Ἰωάννης τοῦ Χριστοῦ. καὶ οὐκ εἶπεν ἁπλῶς, εἰσῆλθεν, ἀλλ', ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν· ὡς καὶ ἡμῶν ὀφειλόντων καταλαβεῖν. οὐ πολὺ γὰρ τοῦ προδρόμου καὶ τῶν ἑπομένων ὀφείλει εἶναι τὸ μέσον· ἐπεὶ οὐδ' ἂν εἴη πρόδρομος. τὸν γὰρ πρόδρομον καὶ τοὺς ἑπομένους ἐν τῇ αὐτῇ χρὴ εἶναι ὁδῷ· καὶ τὸν μὲν ὁδεύειν, τοὺς δὲ ἐπικαταλαμβάνειν. κατὰ τὴν τάξιν, φησὶ, Μελχισεδὲκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα. ἰδοὺ καὶ ἄλλη παράκλησις· εἴγε οὗτος ὁ ἀρχιερεὺς ἡμῶν, καὶ πολὺ βελτίων τῶν παρὰ Ἰουδαίοις, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ τόπῳ, καὶ τῇ σκηνῇ, καὶ τῇ διαθήκῃ, καὶ τῷ προσώπῳ. καὶ τοῦτο δὲ εἰς τὸ κατὰ σάρκα εἴρηται.

Ματθ. ζ. κδ.

ΗΘΙΚΟΝ

Χρὴ τοίνυν καὶ τοὺς ὧν ἐστιν ἱερεὺς, σφόδρα εἶναι βελτίους· καὶ ὥσπερ πολὺ τὸ μέσον Ἀαρὼν καὶ τοῦ Χριστοῦ, τοσοῦτον ἡμῶν καὶ τῶν Ἰουδαίων τὸ μέσον. ὅρα γάρ· ἄνω ἔχομεν τὸ ἱερεῖον, ἄνω τὸν ἱερέα, ἄνω τὴν θυσίαν. οὐκοῦν τοιαύτας ἀναφέρωμεν θυσίας τὰς ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι τῷ θυσιαστηρίῳ· οὐκέτι πρόβατα καὶ βόας, οὐκέτι αἷμα καὶ κνίσσαν. πάντα ταῦτα λέλυται, καὶ ἀντεισενήνεκται ἀντὶ τούτων ἡ λογικὴ λατρεία. τί δέ ἐστιν ἡ λογικὴ λατρεία; τὰ διὰ ψυχῆς, τὰ διὰ πνεύματος (Πνεῦμα, φησὶν, ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ χρὴ προσκυνεῖν) ὅσα μὴ δεῖται σώματος, ὅσα μὴ δεῖται ὀργάνων, μὴ τόπων. τὰ δέ ἐστιν οἷον ἐπιείκεια, σωφροσύνη, ἐλεημοσύνη, ἀνεξικακία, μακροθυμία, ταπεινοφροσύνη. τὰ θύματα ταῦτα καὶ ἐν τῇ παλαιᾷ ἴδοι τις ἂν ἄνωθεν προδιατετυπωμένα. Θύσατε γὰρ, φησὶν ὁ Δαβὶδ, τῷ Θεῷ θυσίαν δικαιοσύνης. καὶ πάλιν, Θύσω σοι θυσίαν αἰνέσεως, καὶ, Θυσία αἰνέσεως δοξάσει με, καὶ, Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, [καὶ, Τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ ἀκούειν αὐτοῦ;] Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας. τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου. καὶ πάλιν, Ἱνατί μοι λίβανον ἐκ Σαβὰ φέρετε; καὶ ἑτέρως, Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι· ἀλλ' ἀντὶ τούτων, Ἔλεον θέλω, καὶ οὐ θυσίαν. ὁρᾷς οἵαις θυσίαις εὐαρεστεῖται ὁ Θεός; ὁρᾷς καὶ ἄνωθεν ἤδη τὰς μὲν ἐκκεχωρηκυίας, τὰς δὲ ἀντεισελθούσας; ταύτας τοίνυν προσάγωμεν. ἐκεῖναι μὲν γὰρ πλούτου καὶ τῶν ἐχόντων εἰσίν, αὗται δὲ ἀρετῆς· ἐκεῖναι ἔξωθεν, αὗται ἔνδοθεν· ἐκείνας καὶ ὁ τυχὼν ἐργάσασθαι δύναιτ' ἄν, ταύτας δὲ ὀλίγοι. ὅσῳ δὲ προβάτου κρείττων ὁ ἄνθρωπος, τοσούτῳ αὕτη ἐκείνης ἡ θυσία. ἐν-

Ἰωαν. δ. κδ.

Ψαλ. δ. ϛ.
Ψαλ. ρις. ζ.
Ψαλ. μθ. κγ.
Ψαλ. ν ιη.
Μιχ. ϛ. η.
Ψαλ. λθ. ι.
Ἱερ. ϛ. κ.
Αμωσ. ε. κγ.
Ωσ. ϛ ϛ.

ταῦθα

ἐν ταύτῃ γὰρ τὴν ψυχήν σου ἀναφέρεις θῦμα. ἔστι καὶ ἄλλα θύματα, τὰ ὄντως ὁλοκαυτώματα, τὰ τῶν ἁγίων μαρτύρων σώματα. ἐκεῖνα ἁγία καὶ ψυχὴ καὶ σῶμα· ἐκεῖνα ὀσμὴν εὐωδίας ἔχει μεγάλην. δύνασαι καὶ σύ, ἐὰν θέλῃς, τοιαύτην θυσίαν ἀναγαγεῖν. τί γάρ, ἐὰν μὴ τῷ πυρὶ καύσῃς τὸ σῶμα; ἀλλ' ἑτέρῳ πυρὶ δύνασαι· οἷον, τῷ τῆς πενίας τῆς ἑκουσίου, τῷ τῆς θλίψεως. τὸ γὰρ ἐξὸν εἶναι μετὰ τρυφῆς καὶ πολυτελείας διάγειν, τὸν δὲ ἐπίμοχθον καὶ κατάπικρον αἱρεῖσθαι βίον, καὶ τὸ σῶμα νεκροῦν, οὐχὶ ὁλοκαύτωσίς ἐστι; νέκρωσόν σου τὸ σῶμα, καὶ σταύρωσον, καὶ λήψῃ καὶ αὐτὸς τοῦ μαρτυρίου τοῦτον τὸν στέφανον. ὅπερ [γὰρ] ἐκεῖ τὸ ξίφος ἐργάζεται, τοῦτο ἐνταῦθα ἡ προθυμία ποιείτω. μὴ καιέτω, μηδὲ κατεχέτω χρημάτων ἔρως, ἀλλὰ καταχεέσθω καὶ κατασβεννύσθω ἡ ἐπιθυμία αὕτη ἡ ἄτοπος τῷ πυρὶ τοῦ πνεύματος, καὶ κατακοπτέσθω τῇ μαχαίρᾳ τοῦ πνεύματος. αὕτη θυσία καλή, οὐ δεομένη ἱερέως, ἀλλ' αὐτοῦ τοῦ προσφέροντος αὐτήν· θυσία καλή, κάτω μὲν ἐπιτελουμένη, ἄνω δὲ εὐθέως ἀναλαμβανομένη. οὐχὶ θαυμάζομεν ὅτι τὸ παλαιὸν πῦρ κάτωθεν ἅπαντα ἀνήλισκεν; ἔξεστι καὶ νῦν πῦρ κατελθεῖν πολὺ θαυμαστότερον ἐκείνου, καὶ πάντα ἀναλῶσαι τὰ προκείμενα· μᾶλλον δέ, οὐκ ἀναλῶσαι, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν. οὐ γὰρ τέφραν αὐτὰ ποιεῖ, ἀλλὰ δῶρα προσφέρει τῷ Θεῷ. τοιαῦται ἦσαν αἱ τοῦ Κορνηλίου προσφοραί. Αἱ προσευχαί σου γάρ, φησί, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. (Πρξ. ι. δ.) ὁρᾷς συζυγίαν ἀρίστην; πότε ἀκουόμεθα, ὅταν καὶ αὐτοὶ ἀκούωμεν τῶν προσιόντων πενήτων. Ὃς ἀποφράσσει, φησί, τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. (Παροιμ. κα. Ψαλμ. μ. α.) οὐκ ἄλλη δὲ αὕτη ἐστίν, ἀλλ' ἢ ἡ ἡμέρα ἐκείνη, ἡ πονηρὰ οὖσα τοῖς ἁμαρτωλοῖς. τί ἐστιν ὁ συνιῶν; ὁ νοῶν τί ἐστι πένης, ὁ τὴν θλῖψιν αὐτοῦ καταμανθάνων. ὁ γὰρ μαθὼν αὐτοῦ τὴν θλῖψιν, πάντως καὶ εὐθέως αὐτὸν ἐλεήσει. ὅταν ἴδῃς πένητα, μὴ παραδράμῃς, ἀλλ' εὐθέως ἐννόησον τίς ἂν ἦς, εἰ σὺ ἦς ἐκεῖνος. τί οὐκ ἂν ἠθέλησας πάντας ποιεῖν; ὁ συνιῶν, φησίν. ἐννόησον ὅτι ὁμοίως σοι ἐλεύθερός ἐστι, καὶ τῆς αὐτῆς σοι κοινωνεῖ εὐγενείας, καὶ πάντα σοι κοινὰ κέκτηται· ἀλλὰ τοῦτον τὸν οὐδὲν ἔλαττον ἔχοντά σου, οὐδὲ τῶν κυνῶν πολλάκις τῶν σῶν ἴσον ποιεῖς. τὸν μὲν γὰρ ἄρτου κορέννυνται, οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν, καὶ τῶν δούλων τῶν σῶν ὁ ἐλεύθερος ἀτιμότερος γέγονεν. ἀλλ' ἐκεῖνοι ἡμῖν χρείας πληροῦσι, φησί. ποίαν δὴ ταύτην, εἰπέ μοι; ὅτι δουλεύουσί σοι καλῶς; ἐὰν οὖν δείξω καὶ τοῦτον χρείαν σοι πληροῦντα πολλῷ μείζονα ἐκείνων, τί ἐρεῖς; παραστήσεται γάρ σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ ἐξαιρήσεταί σε τοῦ πυρός. τί τοιοῦτον οἱ δοῦλοι ποιοῦσι πάντες; ὅτε ἡ Ταβιθὰ ἐτελεύτησε, τίς ἀνέστησεν αὐτήν; δοῦλοι περιστάντες, ἢ πτωχοί; σὺ δὲ οὐδὲ τῶν δούλων τὸν ἐλεύθερον ἐν ἴσῳ ποιεῖν ἐθέλεις. πολύς ἐστιν ὁ κρυμός, καὶ ἔρριπται ἐπ' ἐδάφους ῥάκια ἔχων ὁ πένης, ἀποτεθνηκὼς σχεδὸν ὑπὸ τοῦ κρύους, κροτῶν τοὺς ὀδόντας, καὶ τῇ ὄψει καὶ τῷ σχήματι ἱκανὸς παρακαλέσαι· σὺ δὲ θερμαινόμενος καὶ μεθύων παρέρχῃ. καὶ πῶς ἀξιοῖς τὸν Θεὸν ἐν συμφορᾷ σε ὄντα ἐξελέσθαι; πολλάκις δὲ καὶ τοῦτο λέγεις, ἐγὼ εἰ ἤμην, καὶ ἔλαβον πολλὰ ἁμαρτόντα τινά, ἀφῆκα ἂν αὐτόν, καὶ ὁ Θεὸς οὐκ ἀφίησι; μὴ τοῦτο εἴπῃς. καὶ γὰρ σὺ τὸν οὐδὲν ἁμαρτόντα εἰς σέ, ὃν δύνασαι ἀπαλλάξαι, τοῦτον περιορᾷς. εἰ δὲ τὸν τοιοῦτον σὺ παραλογίζῃ, πῶς ὁ Θεὸς εἰς αὐτὸν ἁμαρτάνοντά σε ἀφήσει; ἆρα οὐχὶ γεέννης ἄξια ταῦτα; καὶ τί θαυμαστόν; * σῶμα μὲν πολλάκις νεκρὸν καὶ ἀναίσθητον, οὐκέτι τῆς τιμῆς αἰσθανόμενον, μυρίοις καὶ ποικίλοις καὶ διαχρύσοις ἱματίοις περιστέλλεις· τὸ δὲ ἀλγοῦν καὶ κατακοπτόμενον καὶ βασανιζόμενον καὶ καταπινόμενον ὑπὸ λιμοῦ καὶ κρυμοῦ περιορᾷς, καὶ πλέον τῇ κενοδοξίᾳ χαρίζῃ, ἢ τῷ φόβῳ τοῦ Θεοῦ. καὶ εἴθε μέχρι τούτου. ἀλλ' εὐθέως κατηγορίαι κατὰ τοῦ προσιόντος. τί γὰρ οὐκ ἐργάζεται, φησί; τί δὲ ἀργὸν τρέφεται; εἰπέ μοι, σὺ δὲ ἐργαζόμενος ἔχεις ἃ ἔχεις, οὐχὶ κλῆρον πατρῷον παραλαβών; εἰ δὲ καὶ ἐργάζῃ, διὰ τοῦτο ὀνειδίζεις ἑτέρῳ; οὐκ ἀκούεις Παύλου

γ. ἐκεῖ καὶ

γ. αἱρεῖσθαι

β. Θεσ. γ. ιγ. λέγοντος, Ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε; μετὰ γὰρ τὸ εἰπεῖν, ὁ μὴ ἐργαζόμενος μηδὲ ἐσθιέτω, τοῦτο ἐπήγαγεν. ἀλλ' ἐπιθέτης, φησὶν, ἐστί. τί φῄς, ἄνθρωπε; ἄρτου ἑνὸς ἕνεκεν καὶ ἱματίου ἐπιθέτην καλεῖς; ἀλλ' εὐθέως πωλεῖ αὐτό, φησι. σὺ δὲ πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς; τί δέ; πάντες ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ ναυαγίων; οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ κινδύνων; οὐδεὶς ἀπὸ νόσων; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως; ἀλλ' ἂν ἀκούσωμέν τινος τοιαῦτα ἀποδυρομένου, καὶ μεγάλα βοῶντος, καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανὸν, καὶ κομῶντος, καὶ ῥάκια ἠμφιεσμένου, εὐθέως τὸν ἐπιθέτην, τὸν ἀπατεῶνα, τὸν εἴρωνα καλοῦμεν. οὐκ αἰσχύνῃ τινὰ ἐπιθέτην καλεῖς; μηδὲν δῷς, καὶ μὴ κατηγορήσῃς τοῦ ἀνδρός. ἀλλ' ἔχει, φησὶ, καὶ σχηματίζεται. τοῦτό σου κατηγορία, οὐκ ἐκείνου. οἶδε πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον ἢ πρὸς ἀνθρώπους, καὶ ὅτι κἂν ἐλεεινὸν φθέγξηται ῥῆμα, οὐδένα ἐφέλκεται· καὶ διὰ τοῦτο ἀναγκάζεται καὶ σχῆμα περιθεῖναι ἑαυτῷ ἐλεεινότερον, ἵνα σου καταμαλάσσῃ τὴν ψυχήν. ἐὰν ἴδωμέν τινα ἐν ἐλευθερίῳ σχήματι προσιόντα, οὗτος ἐπιθέτης ἐστί, φησι, καὶ ἵνα δόξῃ ἀπὸ εὐγενῶν εἶναι, οὕτω πρόσεισιν· ἂν ἴδωμεν ἐν τῷ ἐναντίῳ σχήματι, καὶ τοῦτον κακίζομεν. τί πράξουσι λοιπόν; ὢ τῆς ὠμότητος, ὢ τῆς ἀπηνείας. καὶ τίνος ἕνεκεν, φησι, τὰ γρ. ἀπονοίας
ἠκρωτηριασμένα μέλη γυμνοῦσι; διὰ σέ. εἰ ἐλεήμονες ἦμεν, οὐκ ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν· εἰ ἐκ πρώτης προσόδου ἔπειθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. τίς ἐστιν οὕτως ἄθλιος, ὡς ἐθέλειν τοσαῦτα βοᾶν, ὡς ἐθέλειν ἀσχημονεῖν, ὡς ἐθέλειν ἀποδύρεσθαι δημοσίᾳ μετὰ τῆς γυναικὸς γεγυμνωμένης, * μετὰ τῶν παίδων σποδὸν καταπάττεσθαι; πόσης ταῦτα * οὐ
πενίας χείρονα; ἀλλ' ὑπὲρ τούτων οὐ μόνον οὐκ ἐλεοῦνται, ἀλλὰ καὶ κατηγοροῦνται παρ' ἡμῶν. ἔπειτα οὖν ἀγανακτήσομεν, ὅτι τοῦ Θεοῦ δεόμενοι οὐκ εἰσακουόμεθα; ἔπειτα οὖν δυσχεραίνομεν, ὅτι οὐ πειθόμεθα παρακαλοῦντες; οὐ φειδόμεθα, ἀγαπητοί; ἀλλὰ πολλάκις ἔδωκα, φησι. σὺ δὲ οὐκ ἀεὶ ἐσθίεις; οὐ τοὺς δὲ παῖδας πολλάκις ἀπαιτοῦντας ἀπάγεις; ὢ τῆς ἀναισχυντίας. πένητας ἀναισχύντους καλεῖς; καὶ σὺ μὲν ἁρπάζων οὐκ ἀναίσχυντος· ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος ἀναίσχυντος; οὐκ ἐννοεῖς ὅση τῆς γαστρὸς ἡ ἀνάγκη; οὐχὶ πάντα διὰ ταύτην ποιεῖς; οὐχὶ τὴν πνευματικὴν διὰ ταύτην ἀμελεῖς; οὐχὶ οὐρανὸς πρόκειται καὶ οὐρανῶν βασιλεία, σὺ δὲ τὴν ἐκείνης δεδοικὼς τυραννίδα, πάντα ὑπομένεις, καὶ ἐκείνης [οὐ] καταφρονεῖς; αὕτη ἐστὶν ἀναισχυντία. οὐχ ὁρᾷς γέροντας ἀναπήρους; ἀλλ' ὢ τῆς λῃρῳδίας. ὁ δεῖνα, φησι, τοσούσδε χρυσοῦς δανείζει, ὁ δεῖνα δὲ τόσους, καὶ ἐπαιτεῖ. παίδων μικρῶν μύθους γρ. χρυσίου
διηγεῖσθε καὶ λήρους. καὶ γὰρ ἐκεῖνοι τοιούτων ἀεὶ μύθων παρὰ τῆς τιτθίδος ἀκούουσιν. οὐ πείθομαι, οὐ πιστεύω, μὴ γένοιτο. δανείζει τις, καὶ ἐν ἀφθονίᾳ ὢν προσαιτεῖ; τίνος ἕνεκεν, εἰπέ μοι; τί δὲ ἀσχημονέστερον τοῦ ἐπαιτεῖν; κρεῖσσον ἀποθανεῖν, ἢ ἐπαιτεῖν. μέχρι τίνος ἀπίστως ἐσμέν; τί οὖν; πάντες δανείζουσι; πάντες ἐπιθέται εἰσίν; οὐδεὶς πένης ὄντως; ναί, φησι, καὶ πολλοί. τί οὖν ἐκείνοις οὐκ ἐπικουρεῖς; ἐπειδὴ ἀκριβὴς εἶ τῶν βίων αὐτῶν ἐξεταστής. σκῆψις ταῦτα καὶ πρόφασις. γρ. παίδων

Λουκ. ϛ. λ. Παντὶ τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ μὴ ἀποστραφῇς· ἔκτεινον τὴν χεῖρά σου, μὴ ἔστω συνεσταλμένη. οὐχὶ τῶν βίων κατέστημεν ἐξετασταί, ἐπεὶ οὐδένα οὕτως ἐλεήσομεν. διὰ τί, ὅταν τὸν Θεὸν παρακαλῇς, λέγεις, μὴ μνησθῇς τῶν ἁμαρτιῶν μου; ὥστε εἰ καὶ σφόδρα ἐστὶν ἐκεῖνος ἁμαρτωλὸς, τοῦτο καὶ ἐπ' αὐτοῦ λογίζου, καὶ μὴ μιμνήσκου τῶν ἁμαρτιῶν αὐτοῦ. φιλανθρωπίας ἐστὶν ὁ καιρὸς, οὐκ ἀκριβοῦς ἐξετάσεως· ἐλέους, οὐ λογισμοῦ. διατραφῆναι βούλεται. ἂν μὲν βούλῃ, δός· ἂν δὲ μὴ βούλῃ, ἀπόπεμψον μὴ ἐπαπορήσας διὰ τί ἄθλιος ἦ καὶ ταλαίπωρος. διὰ τί οὐδὲ αὐτὸς ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀποστερεῖς; ὅταν γὰρ ὁ δεῖνα ἀκούσῃ παρὰ σοῦ, ὅτι οὗτος ἀπατεών, ὅτι ἐκεῖνος ὑποκριτής, ὅτι ἐκεῖνος δανείζει· οὔτε τούτοις δίδωσιν, οὔτε ἐκείνοις. πάντας γὰρ ὑποπτεύει τοιούτους εἶναι. ἴστε γὰρ ὅτι τὰ πονηρὰ εὐκόλως ὑποπτεύομεν, τὰ δὲ χρηστὰ

γρ. [illegible] μὴ λογίζου, μηδὲ μιμνήσκου · γρ. ἦς · γρ. ὅτι

οὐκέτι.

οὐκέτι. γινώμεθα ἐλεήμονες, οὐχ ἁπλῶς, ἀλλ' ὡς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος. αὐτὸς καὶ μοιχοὺς καὶ πόρνους καὶ γόητας τρέφει. καὶ τί λέγω; τοὺς πᾶν εἶδος κακίας ἔχοντας. ἐν γὰρ τοσούτῳ κόσμῳ ἀνάγκη εἶναι καὶ τοιούτους πολλούς· ἀλλ' ὅμως ἅπαντας τρέφει, ἅπαντας ἐνδιδύσκει· οὐδεὶς λιμῷ διεφθάρη ποτὲ, πλὴν εἴ τις ἑκών. οὕτω γινώμεθα οἰκτίρμονες. ἐὰν δέηται, καὶ ἐν ἀνάγκῃ ᾖ, βοηθεῖν. νῦν δὲ εἰς τοσοῦτον ἤλθομεν ἀλογίας*, ὥστε μὴ μόνον ἐπὶ τῶν πτωχῶν τοῦτο ποιεῖν τῶν διὰ τῶν στενωπῶν βαδιζόντων, ἀλλὰ καὶ ἐπὶ μοναζόντων ἀνδρῶν. ὁ δεῖνα ἐπιθέτης ἐστὶ, φησίν. οὐχὶ τοῦτο ἔλεγον πρῴην, ὅτι ἂν μὲν πᾶσιν ἀδιαφόρως διδῶμεν, ἀεὶ ἐλεήσομεν· ἐὰν δὲ ἀρξώμεθα περιεργάζεσθαι, οὐδέποτε ἐλεήσομεν; τί λέγεις; ἵνα ἄρτον λάβῃ, ἐπιθέτης ἐστίν; εἰ μὲν χρυσίου τάλαντα ᾔτει καὶ ἀργυρίου, ἢ ἱμάτια πολυτελῆ, ἢ ἀνδράποδα, ἢ ἄλλ' ὁτιοῦν, εἰκότως ἄν τις τοῦτον εἴποι ἀπατεῶνα· εἰ δὲ μηδὲν τούτων, ἀλλὰ διατροφὴν καὶ σκέπην, ἃ φιλοσοφίας ἐστὶ, τοῦτο ἀπατεῶνος, εἰπέ μοι; παυσώμεθα τῆς ἀκαίρου ταύτης φιλοπραγμοσύνης, τῆς σατανικῆς, τῆς ὀλεθρίας. εἰ μὲν γὰρ ἐν κλήρῳ κατειλεγμένον ἑαυτὸν εἶναι λέγοι, ἢ ἱερέα ἑαυτὸν ὀνομάζοι· περιεργάζου, πολυπραγμόνει. οὐ γὰρ ἀκίνδυνος ἐκεῖ ἡ ἀνεξέταστος κοινωνία· περὶ γὰρ μεγάλων ὁ κίνδυνος. ἂν δὲ διατροφῆς δέηται, μηδὲν ἐξέταζε. οὐ γὰρ δίδως, ἀλλὰ λαμβάνεις. ἐξέτασον, εἰ βούλει, πῶς Ἀβραὰμ τὴν φιλοξενίαν περὶ πάντας τοὺς προσιόντας ἐπεδείκνυτο. εἰ περίεργος ἦν περὶ τοὺς καταφεύγοντας πρὸς αὐτὸν, οὐκ ἂν ἀγγέλους ἐξένισεν. ἴσως γὰρ ἂν μὴ νομίζων αὐτοὺς ἀγγέλους εἶναι, μετὰ τῶν ἄλλων καὶ τούτους ἀπώσατο. ἀλλ' ἐπειδὴ πάντας ἐδέχετο, ἐδέξατο καὶ ἀγγέλους. μὴ γὰρ ἀπὸ τοῦ βίου σοι τῶν λαμβανόντων τὸν μισθὸν δίδωσιν ὁ Θεός; ἀπὸ τῆς προαιρέσεως τῆς σῆς, ἀπὸ τῆς φιλοτιμίας τῆς οἰκείας, ἀπὸ τῆς φιλανθρωπίας τῆς πολλῆς, ἀπὸ τῆς ἀγαθότητος. αὕτη ἔσω, καὶ πάντων ἐπιτεύξῃ τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπία.

Λογ. ιϛ. 1 ΟΥΤΟΣ ΓΑΡ Ο ΜΕΛΧΙΣΕΔΕΚ, ΒΑΣΙ-
λεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέ-
φοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν·
2 Ὧι καὶ δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ· πρῶτον μὲν ἑρμηνευό-
μενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ· ὅ ἐστι βασιλεὺς
εἰρήνης. 3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμε-
ρῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει [ἱερεὺς]
εἰς τὸ διηνεκές.

ΒΟυλόμενος ὁ Παῦλος τὸ διάφορον δεῖξαι τῆς καινῆς καὶ τῆς παλαιᾶς, πολλαχοῦ αὐτὸ διασπείρει, καὶ ἀκροβολίζεται, καὶ διακωδωνίζει τὰς ἀκοὰς τῶν ἀκροατῶν, καὶ προγυμνάζει. εὐθέως γὰρ καὶ ἀπὸ τοῦ προοιμίου τοῦτο καταβάλλεται, εἰπὼν, ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν υἱῷ· κἀκείνοις μὲν πολυμερῶς καὶ πολυτρόπως, ἡμῖν δὲ διὰ τοῦ υἱοῦ. εἶτα περὶ τοῦ υἱοῦ διαλεχθεὶς τίς εἴη, καὶ τί ἐργασάμενος, καὶ παραινέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν τοῖς Ἰουδαίοις, καὶ εἰπὼν ὅτι ἀρχιερεύς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβῆναι βουληθεὶς, καὶ πολλὰ προοικονομήσας, καὶ ἐπιτιμήσας αὐτοῖς ὡς ἀσθενέσι, καὶ πάλιν θεραπεύσας καὶ ἀνακτησάμενος ὥστε θαρρεῖν, τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον ἀκμαζούσαις ταῖς ἀκοαῖς. ὁ γὰρ ἀναπεπτωκὼς οὐκ ἂν εὐκόλως ἀκούσειε. καὶ ἵνα μάθῃς, ἄκουε τῆς γραφῆς λεγούσης, Καὶ οὐκ ἤκουσαν Μωϋσῆ διὰ τὴν ὀλιγοψυχίαν. Ἐξοδ. ϛ. θ.

διὰ τῶν προειρημένων κενώσας αὐτῶν τὴν ἀθυμίαν διὰ πολλῶν, καὶ διὰ φοβερῶν, καὶ διὰ χρηστοτέρων, τότε λοιπὸν καθίησιν εἰς τὸν τῆς διαφορᾶς λόγον. Καὶ τί φησιν; Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. Καὶ τὸ δὴ θαυμαστὸν, ἐν τῷ τύπῳ δείκνυσι πολλὴν οὖσαν τὴν διαφοράν. Ὅπερ γὰρ εἶπον, ἀπὸ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν, ἀπὸ τῶν προελθόντων τὰ ἐνεστῶτα διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν. Οὗτος γὰρ, φησὶν, ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν· ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ. Θεὶς τὴν διήγησιν πᾶσαν ἐν συντόμῳ, μυστικῶς αὐτὴν ἐθεώρησε. Καὶ πρῶτον ἀπὸ τοῦ ὀνόματος· πρῶτον μὲν, φησὶν, ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης. Καλῶς. Σεδὲκ γὰρ δικαιοσύνη λέγεται, Μελχὶ δὲ βασιλεύς· ἄρα ὁ Μελχισεδὲκ, βασιλεὺς δικαιοσύνης ἐστίν. Ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; Τίς δέ ἐστι βασιλεὺς δικαιοσύνης, ἀλλ᾽ ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; Ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, [ἀπὸ τῆς πόλεως·] τουτέστι, βασιλεὺς εἰρήνης. Οὕτω γὰρ ἑρμηνεύεται τὸ, Σαλήμ. Ὃ πάλιν ἐστὶ τοῦ Χριστοῦ. Οὗτος γὰρ ἡμᾶς δικαίους ἐποίησε, καὶ εἰρηνοποίησε τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. Τίς δαὶ ἄνθρωπος βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης ἐστίν; οὐδεὶς ἕτερος, ἀλλ᾽ ἢ μόνος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Εἶτα καὶ ἑτέραν διαφορὰν ἐπάγει λέγων, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. Ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. Ἐπειδὴ τοίνυν αὐτὸς εἶπε πρὸς αὐτὸν τὸ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἐκεῖνος δὲ ἐτεθνήκει, καὶ οὐκ ἐγένετο ἱερεὺς εἰς τὸν αἰῶνα· ὅρα πῶς αὐτὸ τεθεώρηκεν. Ἵνα γὰρ μηδεὶς ἀντεπενέγκῃ λέγων, καὶ πῶς τοῦτο εἴποι ἂν περὶ ἀνθρώπου; οὐ τῷ πράγματι, φησὶ, λέγω. Τουτέστιν, οὐκ ἴσμεν ποτὲ τίνα πατέρα ἔσχεν, ἢ τίνα μητέρα, οὔποτε ἐδέξατο τὴν ἀρχὴν, οὔποτε ἐτελεύτησε. Καὶ τί τοῦτο, φησί; μὴ γὰρ, ἐπειδὴ ἡμεῖς οὐκ ἴσμεν, οὐκ ἐτελεύτησεν, ἢ οὐκ ἔσχε γονεῖς; Καλῶς λέγεις, καὶ ἐτελεύτησε, καὶ ἔσχε γονεῖς. Πῶς οὖν ἀπάτωρ, ἀμήτωρ; πῶς μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων; Πῶς; τῷ μὴ ἐμφέρεσθαι τῇ γραφῇ. Καὶ τί τοῦτο; ὅτι ὥσπερ οὗτος ἀπάτωρ τῷ μὴ γενεαλογεῖσθαι, οὕτως ὁ Χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγματος. Ἰδοὺ τὸ ἄναρχον, ἰδοὺ τὸ ἀτελεύτητον. Ὥσπερ τούτου οὐκ ἴσμεν οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος, διὰ τὸ μὴ γεγράφθαι· οὕτως οὐκ ἴσμεν οὐδὲ τοῦ Ἰησοῦ, οὐ διὰ τὸ μὴ γεγράφθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. Ἐκεῖνο μὲν γὰρ τύπος· καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ γεγράφθαι· τοῦτο δὲ ἀλήθεια· καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ εἶναι. Ὥσπερ γὰρ καὶ ἐν τοῖς ὀνόμασιν· ἐνταῦθα μὲν γὰρ προσηγορίαι ἦσαν, βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια· οὕτω καὶ ἐνταῦθα προσηγορίαι εἰσὶν, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια. Πῶς οὖν ἀρχὴν ἔχει; ὁρᾷς ἄναρχον τὸν υἱὸν, οὐ κατὰ τὸ μὴ ἔχειν αἴτιον (τοῦτο γὰρ ἀδύνατον. ἔχει γὰρ πατέρα. ἐπεὶ πῶς υἱός;) ἀλλὰ κατὰ τὸ μὴ ἔχειν ἀρχὴν ζωῆς, μήτε τέλος. Ἀφωμοιωμένος δὲ, φησὶ, τῷ υἱῷ τοῦ Θεοῦ. Καὶ ποῦ ἡ ὁμοιότης; ὅτι καὶ τούτου κἀκείνου τὸ τέλος ἀγνοοῦμεν, καὶ τὴν ἀρχήν· ἀλλὰ τούτου μὲν παρὰ τὸ μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τὸ μὴ εἶναι. Ἐνταῦθα ἡ ὁμοιότης. Εἰ δὲ πανταχοῦ ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκέτι τύπος ἦν καὶ ἀλήθεια, ἀλλὰ τύπος τὰ ἀμφότερα. Οὕτω καὶ ἐν ταῖς σκιαγραφουμέναις εἰκόσι γινόμενον ἴδοι τις ἄν. Ἐν ἐκείναις γάρ ἐστι μέν τι καὶ ὅμοιον, ἔστι δὲ καὶ ἀνόμοιον. Διὰ μὲν γὰρ τῆς ἁπλῶς γραφῆς, ὁμοιότης τίς ἐστι τοῦ χαρακτῆρος· τῶν χρωμάτων δὲ ἐπιτεθέντων, τότε φανερῶς δείκνυται ἡ διαφορὰ, καὶ τὸ ὅμοιον, καὶ τὸ ἀνόμοιον.

4 Θεωρεῖτε δὲ, φησὶ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. Τέως ἥρμοσε τὸν τύπον· θαῤῥῶν λοιπὸν δείκνυσιν αὐτὸν τῶν ἀληθινῶν πραγμάτων τῶν παρὰ Ἰουδαίοις λαμπρότερον. Εἰ δὲ ὁ τύπον ἔχων τοῦ Χριστοῦ, τοσοῦτον,

τοι, οὐ τῶν ἱερέων, ἀλλὰ καὶ αὐτοῦ τοῦ προπάτορος τῶν ἱερέων βελτίων. τί ἄν τις εἴποι περὶ τῆς ἀληθείας; ὁρᾷς δὲ ὅσης περιουσίας δείκνυσι τὴν ὑπεροχήν; θεωρεῖτε δέ, φησί, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. ἀκροθίνια τὰ λάφυρα λέγεται. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μεταλαβόντι τοῦ πολέμου ἔδωκε. διὰ γὰρ τοῦτο εἶπεν, ὑπαντήσαντι ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων· δηλῶν ὅτι οἴκοι ἐκάθητο, καὶ ὅτι τῶν αὐτῷ πεπονημένων τὰς ἀπαρχὰς ἔδωκε.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ. Τοσαύτης, φησί, τῆς ἱερωσύνης ἡ ὑπερβολή, ὥστε τοὺς ὁμοτίμους ἀπὸ προγόνων, καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα, πολλῷ βελτίους εἶναι τῶν ἄλλων. δεκάτας γοῦν παρ' ἐκείνων λαμβάνουσιν. ὅταν οὖν εὑρεθῇ τις παρ' αὐτῶν τούτων δεκάτας λαμβάνων, ἆρ' οὐχ οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν τοῖς ἱερεῦσι; καὶ οὐ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὁμότιμος ἦν αὐτοῖς, ἀλλ' ἐξ ἑτερογενῶν. ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ ἦν ἡ τιμή. βαβαί, τί εἰργάσατο; ὅ μεῖζον ἦν πάντα κατὰ τὴν πίστιν ἐν τῇ πρὸς Ῥωμαίους κοινῇ ἐπιστολῇ διεσάφησεν. ἐκεῖ μὲν γὰρ καὶ τῆς ἡμετέρας καὶ τῆς Ἰουδαϊκῆς πολιτείας τὸν Ἀβραὰμ προπάτορα εἶναι φησίν· ἐνταῦθα δὲ αὐτοῦ σφόδρα κατατολμᾷ, καὶ δείκνυσι τὸν ἀκρόβυστον πολλῷ βελτίονα. πῶς οὖν ἔδειξεν ὅτι Λευὶ δεκάτας ἔδωκεν; ὁ Ἀβραάμ, φησίν, ἔδωκε. καὶ τί πρὸς ἡμᾶς τοῦτο; μάλιστα μὲν οὖν πρὸς ὑμᾶς. οὐ γὰρ δὴ φιλονεικήσετε τοὺς Λευίτας βελτίονας εἶναι τοῦ Ἀβραάμ.

6 Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ.

Εἶτα καὶ οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ προσέθηκε, Καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγησεν. Ἐπειδὴ δόξα καὶ κατὰ τοῦτο ἦν τὸ σεμνὸν Ἰουδαίοις, δείκνυσιν ἐκεῖνον ὄντα σεμνότερον ἐκείνου, καὶ ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντων.

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, φησί, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

Τουτέστι, πᾶσι δοκεῖ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖσθαι. οὐκοῦν κρείττων ὁ τύπος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ. Ἀλλ' ἵνα ἐκεῖνοι μὴ εἴπωσι, τί οὖν ἀπ' ἀρχῆς; τί πρὸς τοὺς ἱερέας ἡμῶν, εἰ Ἀβραὰμ δεκάτην ἔδωκεν; εἰπὼν τὰ εἰς ἡμᾶς ἐπάγει καὶ λέγει,

9 Καί, ὡς ἔπος εἰπεῖν. Καὶ καλῶς αὐτὸ ἐκόλασε, φανερῶς μὴ εἰπών, ἵνα μὴ πλήξῃ. Διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται. Πῶς;

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Τουτέστιν, ἐν αὐτῷ ἦν ὁ Λευί, καὶ μήπω τεχθεὶς δι' αὐτοῦ τὴν δεκάτην ἐδίδου. ὅρα, οὐκ εἶπεν, οἱ Λευῖται, ἀλλ' ὁ Λευί, τὸ μεῖζον, ὡς ἤθελε, καίτοι ἔδει συνάγειν εἰς ὑπερβολήν. εἶδες πόσον τὸ μέσον τοῦ Ἀβραάμ, καὶ τοῦ Μελχισεδὲκ τοῦ τὸν τύπον φέροντος τοῦ ἀρχιερέως τοῦ ἡμετέρου; καὶ δείκνυσι τὴν ὑπεροχὴν ἐξουσίᾳ, οὐκ ἀνάγκῃ γεγενημένην. ἐκεῖνος γὰρ ἔδωκε τὴν δεκάτην, ὅπερ ἐστὶν ἱερέως· οὗτος εὐλόγησεν, ὅπερ ἐστὶ κρείττονος. αὕτη ἡ ὑπεροχὴ καὶ εἰς τοὺς ἐκγόνους διαβαίνει. θαυμαστῶς καὶ προσηγηνότως ἔρριψεν ἔξω τὰ Ἰουδαϊκά. διὰ τοῦτο ἄρα ἔλεγε, * νωθροὶ γεγόνατε, ἐπειδὴ ταῦτα καταβαλέσθαι ἐβούλετο, ὥστε μὴ ἀποσκιρτῆσαι αὐτούς. τοιαύτη γὰρ ἡ σοφία τοῦ Παύλου· προκατασκευάζων πρότερον, οὕτως ἐμβάλλει εἰς ἃ βούλεται. δυσπαθὲς γὰρ τὸ γένος τὸ ἀνθρώπινον, καὶ πολλῆς δεόμενον ἐπιμελείας, καὶ πλείονος ἢ τὰ φυτά. ἐκεῖ μὲν γὰρ φύσις σωμάτων ἐστί, καὶ ἡ γῆς, εἴκουσα ταῖς τῶν γηπόνων χερσίν· ἐν-

τῶν δὲ προαίρεσις, πολλὰς δεχομένη μεταβολάς, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο αἱρουμένη, ὀξύρροπος γὰρ αὕτη πρὸς κακίαν.

ΗΘΙΚΟΝ

Ψαλ. ρκ. γ.

Διὸ χρὴ πάντοτε φυλάττειν ἑαυτόν, μήποτε ἀπονυστάξωμεν. Ἰδοὺ γάρ, φησίν, οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ· καί, Μὴ δῷς εἰς σάλον τὸν πόδα σου, οὐκ εἶπε, μὴ σαλευθῇς, ἀλλὰ * μὴ δῷς. ἄρα ἐφ' ἡμῖν τὸ σαλευθῆναι, καὶ οὐκ ἐφ' ἑτέρῳ τινί. (* αἱ) ἂν γὰρ ἐθέλωμεν ἑστάναι ἑδραῖοι καὶ ἀμετακίνητοι, οὐ σαλευθησόμεθα. τί γάρ, οὕτως εἰπών, τοῦτο ᾐνίξατο. τί οὖν; οὐδὲν ἐπὶ τῷ Θεῷ; πάντα μὲν ἐπὶ τῷ Θεῷ· ἀλλ' οὐχ οὕτως, ὥστε τὸ αὐτεξούσιον ἡμῶν βλάπτεσθαι. εἰ τοίνυν ἐπὶ τῷ Θεῷ, φησί, τί ἡμᾶς αἰτιᾶται; διὰ τοῦτο εἶπον οὐχ οὕτως, ὥστε τὸ αὐτεξούσιον ἡμῶν μὴ βλάπτεσθαι. ἐφ' ἡμῖν ἐστὶ τοίνυν, καὶ ἐπ' αὐτῷ. δεῖ γὰρ ἡμᾶς προτέρους ἑλέσθαι τὰ ἀγαθά· καὶ ὅτε ἑλώμεθα ἡμεῖς, τότε καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ εἰσάγει. οὐ προφθάνει τὰς ἡμετέρας βουλήσεις, ἵνα μὴ λυμήνηται τὸ αὐτεξούσιον ἡμῶν· ὅταν δὲ ἡμεῖς ἑλώμεθα, τότε πολλὴν εἰσάγει τὴν βοήθειαν ἡμῖν. πῶς οὖν,

Ῥωμ. θ. ιϛ.

εἰ καὶ ἐφ' ἡμῖν ἐστιν, ὁ Παῦλός φησιν, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ; πρῶτον μέν, οὐχ ὡς ἰδίαν γνώμην εἰσήγαγεν, ἀλλ' ὡς ἐκ τοῦ προκειμένου αὐτῷ συνήγαγε, καὶ ἐκ τοῦ προβληθέντος.

Ῥωμ. θ. ιε.

εἰπὼν γάρ, γέγραπται, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω, ἐπήγαγεν, Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. [ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται;] δεύτερον δέ, ἐκεῖνό ἐστιν εἰπεῖν, * ὅτι οὗ τὸ πλεῖόν ἐστι, τὸ πᾶν φησιν εἶναι. ἡμῶν γὰρ τὸ προελέσθαι καὶ βουληθῆναι· Θεοῦ δὲ τὸ ἀνύσαι, καὶ εἰς τέλος ἀγαγεῖν. ἐπεὶ οὖν ἐκείνου τὸ πλεῖόν ἐστι, τὸ πᾶν ἐκείνου εἶναί φησι, κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην τοῦτο λέγων. οὕτω γὰρ καὶ ἡμεῖς ποιοῦμεν. οἷόν τι λέγω· ὁρῶμεν οἰκίαν οἰκοδομημένην καλῶς, καὶ λέγομεν, τὸ πᾶν τοῦ τεχνίτου ἐστί· καίτοιγε οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ καὶ τῶν ἐργατῶν, καὶ τοῦ τὴν ὕλην παρασχόντος δεσπότου, καὶ πολλῶν ἑτέρων· ἀλλ' ὅμως ἐπειδὴ τὸ πλεῖον ἐκεῖνος εἰσήνεγκεν, ἐκείνου τὸ πᾶν εἶναι λέγομεν. οὕτω δὴ καὶ ἐνταῦθα. καὶ πάλιν ἐπὶ πλήθους, ἔνθα μὲν οἱ πολλοί, πάντας εἶναί φαμεν· ἔνθα δὲ ὀλίγοι, οὐδένα· οὕτω καὶ Παῦλος ἐνταῦθά φησι τό, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. τοῦτο δὲ λέγων, δύο τὰ μέγιστα κατορθοῖ· ἓν μέν, τὸ μὴ ἐπαίρεσθαι ἐφ' οἷς κατορθοῦμεν· δεύτερον δέ, τὸ κατορθοῦντας ἀνατιθέναι τῷ Θεῷ τὴν τῶν κατορθουμένων αἰτίαν. κἂν τρέχῃς τοίνυν, κἂν σπουδάζῃς, φησί, μὴ νόμιζε σὸν εἶναι τὸ κατόρθωμα. ἂν γὰρ μὴ τῆς ἄνωθεν τύχῃς ῥοπῆς, πάντα εἰκῆ. πλὴν ὅτι τεύξῃ τοῦ σπουδαζομένου, μετὰ τῆς ἐκεῖθεν συμμαχίας, εὔδηλόν ἐστιν· * ἀλλ' ἂν τρέχῃς καὶ σύ, ἂν θέλῃς. οὐ τοῦτο οὖν εἶπεν, ὅτι εἰκῆ τρέχομεν, ἀλλ' ὅτι εἰκῆ τρέχομεν, ἐὰν ἡμέτερον εἶναι τὸ πᾶν νομίζωμεν, ἐὰν μὴ τὸ πλεῖον ἀπονέμωμεν τῷ Θεῷ. οὔτε γὰρ αὐτοῦ εἶναι τὸ πᾶν ἠθέλησεν ὁ Θεός, ἵνα μὴ δόξῃ εἰκῆ στεφανοῦν ἡμᾶς· οὔτε ἡμῶν πάλιν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐκπέσωμεν. εἰ γὰρ τὸ ἔλαττον μέρος ἔχοντες μεγάλα φρονοῦμεν, τί εἰ τοῦ ὅλου κύριοι ἦμεν; πολλὰ γὰρ ὁ Θεὸς ἐποίησεν ὑπὲρ τοῦ τὴν ἀλαζονείαν ἡμῶν ἐκκόψαι.

Ἡσ. θ.

Καὶ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή, φησί. πόσοις ἡμᾶς πάθεσι περιέβαλεν, ὥστε ἐκκόψαι ἡμῶν τὸ φρόνημα; πόσοις ἐκύκλωσε θηρίοις; καὶ γὰρ ὅταν λέγωσί τινες, τί τοῦτο; εἰς τί τοῦτο; παρὰ τὸ τῷ Θεῷ ἀρέσκειν ταῦτά φασιν. ἐν τοσούτῳ σε φόβῳ κατέστησε, καὶ οὐδὲ οὕτω ταπεινοφρονεῖς· ἀλλὰ μικρᾶς εὐπραγίας ἂν ἐπιλάβῃ ποτέ, πρὸς αὐτὸν φθάνεις τὸν οὐρανὸν τῷ φρονήματι. διὰ τοῦτο αἱ ταχεῖαι μεταβολαὶ καὶ μεταπτώσεις, καὶ οὐδὲ οὕτω παιδευόμεθα. διὰ τοῦτο θάνατοι συνεχεῖς καὶ ἄωροι, ἡμεῖς δὲ ὡς ἀθάνατοι φρονοῦμεν, ὡς οὐδέποτε τεθνηξόμενοι· οὕτως ἁρπάζομεν, οὕτω πλεονεκτοῦμεν, ὡς οὐδέποτε δώσοντες λόγον· οὕτως οἰκοδομοῦμεν, ὡς ἐνταῦθα μένοντες ἀεί. καὶ οὐδὲ ὁ τοῦ Θεοῦ λόγος καθ' ἑκάστην ἡμέραν ἡμῖν ἐνηχούμενος, οὐδὲ αὐτὰ παιδεύει τὰ πράγματα. οὐκ ἔστιν ἡμέραν, οὐκ ἔστιν ὥ-

ραν

* χ ἵνα εἴπῃ [illegible]

* χ. [illegible]

ρας εἰπεῖν, ἐν ᾗ μὴ συνεχεῖς ἐστὶν ἰδεῖν ἐκφοράς. ἀλλὰ πάντα μάτην, καὶ ἡ σκληρότης ἡμῶν οὐδενὶ καθικνεῖται. οὐδὲ ἐν ταῖς ἑτέρων συμφοραῖς βελτίους γινόμεθα, δέον μᾶλλον δὲ, οὐδὲ πλήσσομεν. ἀλλ᾽ ὅταν αὐτοὶ μόνοι πάθωμεν, τότε συστελλόμεθα· καὶ ἅμα τὴν χεῖρα ὁ Θεός, πάλιν ἡμεῖς τὴν χεῖρα ἐπήραμεν. οὐδεὶς ἀναθεωρεῖν φρονεῖ, οὐδεὶς καταφρονεῖ τῶν ἐν τῇ γῇ, οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ. ἀλλ᾽ ὥσπερ οἱ χοῖροι κάτω νεύουσι, πρὸς τὴν γαστέρα κύπτοντες, καὶ τῷ βορβόρῳ ἐγκαλινδούμενοι· οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, βορβόρῳ χαλεπωτάτῳ ἑαυτοὺς μολύνοντες οὐκ αἰσθάνονται. βέλτιον γὰρ πηλῷ μολύνεσθαι ἢ ἀκαθάρτοις ἁμαρτήμασιν. ὁ μὲν γὰρ ἐκεῖνο μολυνθεὶς, ἀπονιψάμενος ἐν βραχεῖ χρόνῳ, καὶ γίνεται ὅμοιος τῷ μηδὲ ἐμπεσόντι [ἀρχῆθεν] τῆς ἀρχῆς εἰς ἐκεῖνο τὸ πηλόν· ὁ δὲ εἰς τὸ βάραθρον τῆς ἁμαρτίας ἐμπεσὼν, ἐδέξατο μολυσμὸν οὐχ ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου, καὶ μετανοίας ἀκριβοῦς, καὶ δακρύων καὶ κοπετῶν, καὶ πλείονος θρήνου καὶ θερμοτέρου, ἢ ἐπὶ τοῖς φιλτάτοις ἐπιδείκνυσθε. ἔξωθεν μὲν γὰρ ὁ ῥύπος ἔξωθεν ἡμῖν προσγίνεται· διὸ καὶ ταχέως αὐτὸν ἀποτιθέμεθα· ἐκεῖνος δὲ ἔνδοθεν τίκτεται· διὸ καὶ μόλις αὐτὸν ἀποτιθέμενοι καθαιρόμεθα. Ἐκ γὰρ τῆς καρδίας, φησὶν, ἐξέρχονται διαλογισμοὶ πονηροί, πορ- Ματθ. 15. 19.

νεῖαι, μοιχεῖαι, κλοπαί, ψευδομαρτυρίαι. διὸ καὶ ὁ προφήτης ἔλεγε, Καρδίαν καθαρὰν κτίσον Ψαλ. ν. ια.

ἐν ἐμοὶ, ὁ Θεός. ἕτερος δὲ, Ἀπόπλυνον ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ. ὁρᾷς ὅτι Ιερ. δ.

τὸ κατόρθωμα καὶ ἡμῶν ἐστι καὶ τοῦ Θεοῦ; καὶ πάλιν, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ Ματθ. ε. η.

τὸν Θεὸν ὄψονται. οὐκοῦν γενώμεθα καθαροὶ εἰς δύναμιν τὴν ἡμετέραν· ἀποσμήξωμεν Ησ. α. ις.

ἑαυτῶν τὰ ἁμαρτήματα. πῶς δὲ ἔστιν ἀποσμῆξαι; ὁ προφήτης διδάσκει, λέγων, Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου. τί ἐστιν, ἀπέναντι τῶν ὀφθαλμῶν μου; ἐπειδή τινες δοκοῦσιν ἀπόπονηροί, ἀλλὰ τοῖς ἀνθρώποις, τῷ δὲ Θεῷ δῆλοί εἰσιν ὄντες τάφοι κεκονιαμένοι, διὰ τοῦτό φησιν, οὕτως ἀφέλετε, ὡς ἐγὼ ὁρῶ. μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ταπεινὸν καὶ πένητα δικαιώσατε. καὶ δεῦτε, καὶ διελεγχθῶμεν, λέγει Κύριος. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς Ησ. α.

φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. ὁρᾷς ὅτι προτέρους ἡμᾶς ἑαυτοὺς δεῖ καθαίρειν, καὶ τότε ὁ Θεὸς καθαίρει; προειπὼν γὰρ εἰπὼν, Λούσασθε, καθαροὶ γίνεσθε, τότε ἐπήγαγεν, ἐγὼ λευκανῶ. μηδεὶς τοίνυν τῶν εἰς ἐσχάτην κακίαν ἡκόντων, ἀπογινωσκέτω ἑαυτοῦ. κἂν [γὰρ] εἰς ἕξιν, φησὶν, ἔλθῃς, καὶ σχεδὸν εἰς φύσιν τῆς κακίας αὐτῆς, μὴ φοβηθῇς. διὰ γὰρ τοῦτο χρώματα οὐκ ἐξίτηλα, ἀλλὰ σχεδὸν συνουσιωμένα τοῖς ὑποκειμένοις λαβὼν, εἰς τὴν ἐναντίαν αὐτὰ ἔφησε καταστήσειν ἕξιν. οὐ γὰρ ἁπλῶς ἀπολούειν ἔφη, ἀλλ᾽ ὡς χιόνα, καὶ ὡς ἔριον λευκαίνειν, ἵνα ἡμῖν χρηστὰς ὑποτίθηται τὰς ἐλπίδας. ἄρα μεγάλη τῆς μετανοίας ἡ δύναμις, εἴγε ὡς χιόνα ἡμᾶς ἐργάζεται, καὶ ὡς ἔριον λευκαίνει, κἂν προκατασχοῦσα ἡ ἁμαρτία βάψῃ τὰς ἡμετέρας ψυχάς. σπουδάσωμεν τοίνυν καθαροὶ γενέσθαι. οὐδὲν φορτικὸν ἐπέταξε. κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, φησίν. ὁρᾷς πανταχοῦ πῶς πολὺς τῷ Θεῷ ὁ τοῦ ἐλέους λόγος, καὶ τῆς τῶν ἀδικουμένων προστασίας; ταῦτα μετιόντες τὰ κατορθώματα, καὶ δυνησόμεθα τῇ χάριτι τοῦ Θεοῦ καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν.

Λογ. ιγ.
11 ΕΙ ΜΕΝ ΟΥΝ ΤΕΛΕΙΩΣΙΣ ΔΙΑ ΤΗΣ ΛΕΥ-
ϊτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο) τίς ἔτι χρεία, κατὰ
τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν
λέγεσθαι;   12 Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ
νόμου μετάθεσις γίνεται.   13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας
μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.
14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν
φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησεν.

χ. -λὴν οὐδὲν περὶ ἱερέων εἶπε Μωϋσῆς

Ει μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, φησίν. Εἰπὼν περὶ τοῦ Μελχισεδὲκ, καὶ δείξας ὅσῳ κρείττων ἦν τοῦ Ἀβραὰμ, καὶ πολὺ τὸ διάφορον ἀποφήνας, ἐντεῦθεν ἄρχεται λοιπὸν τῆς διαθήκης αὐτῆς τὸ μέσον ἀποδεικνύναι, καὶ πῶς ἡ μὲν ἀτελὴς, ἡ δὲ τελεία. καὶ οὐδέπω εἰς αὐτὰ τὰ πράγματα ἐμβαίνει, ἀλλ' ἀπὸ τῆς ἱερωσύνης τέως μάχεται, καὶ τῆς διαθήκης. πόθεν γὰρ ταῦτα πιστότερα ἦν τοῖς ἀπίστοις, ὅταν ἀπὸ τῶν ἤδη προειλημμένων καὶ πεπιστευμένων ἡ ἀπόδειξις γίνηται; ἔδειξεν ὅτι πολὺ καὶ τοῦ Λευῒ καὶ τοῦ Ἀβραὰμ βελτίων ἦν ὁ Μελχισεδὲκ, ἐν τάξει ἱερέως αὐτοῖς γενόμενος. ἐξ ἑτέρου δὲ πάλιν ἐπιχειρεῖ. ποίου δὴ τούτου; τῆς τινῶν ἱερωσύνης, καὶ τῆς Ἰουδαϊκῆς καὶ θαυμασίως κατασκευάζει παραβολήν. ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτὸν ἐκβαλεῖν τῆς ἱερωσύνης, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν Ἀαρὼν, ἀπὸ τούτου τοῦτον μὲν ἵστησιν, ἐκβάλλει δὲ ἐκείνους. ποιεῖ δὲ τοῦτο ἑαυτὴν εἰσάγων, ὥσπερ ἀπὸ τινος διαπορούμενοι, τί δήποτε μὴ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεται, οὕτω τὴν διαπόρησιν λύοντα· καὶ ἐγὼ, φησὶ, τοῦτο αὐτὸ διαπορῶ, τίνος ἕνεκεν μὴ κατὰ τὴν τάξιν Ἀαρὼν γέγονε. τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν, εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν. τὸ δὲ, τίς ἔτι χρεία, πολλὴν ἔμφασιν ἔχει. εἰ μὲν οὖν περὶ ὧν ὁ Χριστὸς ὁ κατὰ σάρκα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἔπειτα ὁ νόμος γέγονε, καὶ τὰ κατὰ τὸν Ἀαρών. εἰκότως ἄν τις εἴποι, ἅτε ὄντα τελειότερα, ταῦτα ἐκεῖνα καταλύειν, ἅτε ἐπεισελθόντα. εἰ δὲ ὁ Χριστὸς ὕστερος, καὶ ἕτερον λαμβάνει τύπον τὸν τῆς ἱερωσύνης· δῆλον ὅτι ὡς ἀτελεστέρων ὄντων ἐκείνων. θῶμεν γὰρ, φησὶ, τῷ λόγῳ, πάντα πεπληρῶσθαι, καὶ μηδὲν ἀτελὲς εἶναι ἐν τῇ ἱερωσύνῃ. τί οὖν ἔδει κατὰ τὴν τάξιν Μελχισεδὲκ λέγεσθαι, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών; τίνος ἕνεκεν ἀφεὶς τὸν Ἀαρὼν, ἑτέραν εἰσήνεγκεν ἱερωσύνην, τὴν τοῦ Μελχισεδέκ; εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης, φησὶν, ἦν· τουτέστι, τῆς τῶν πραγμάτων, τῆς τῶν δογμάτων, τοῦ βίου ἡ τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. εἶπεν ὅτι κατὰ τὴν τάξιν Μελχισεδὲκ, δείκνυς ὅτι βελτίων ἡ κατὰ τὴν τάξιν Μελχισεδέκ· πολὺ γὰρ βελτίων ἐκεῖνος. λοιπὸν δὲ καὶ ἀπὸ τοῦ χρόνου τοῦτο δείκνυσιν· ὅτι μετὰ Ἀαρὼν, δηλονότι ὡς ἀμείνων. καὶ τί βούλεται τὸ ἑξῆς; ὁ λαὸς γὰρ [, φησὶν,] ἐπ' αὐτῇ νενομοθέτητο. τί ἐστιν, ἐπ' αὐτῇ; αὐτῇ στοιχεῖ, φησὶ, δι' αὐτῆς ἅπαντα πράττει· οὐκ ἔστιν εἰπεῖν, ὅτι ἑτέροις ἐδόθη. ὁ λαὸς ἐπ' αὐτῇ νενομοθέτητο· τουτέστι, κέχρηται αὐτῇ, καὶ ἐχρήσατο. οὐκ ἔστιν εἰπεῖν ὅτι τελεία μὲν ἦν, οὐ προσεσχήκει δὲ τοῦ λαοῦ. [ἐπ' αὐτῇ νενομοθέτητο· τουτέστιν, αὐτῇ ἐχρήσατο.] τίς οὖν ἑτέρας ἦν ἱερωσύνης χρεία, εἰ τὸ τέλειον εἶχε; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. εἰ δὲ ἕτερον δεῖ ἱερέα εἶναι, μᾶλλον δὲ ἑτέραν ἱερωσύνην· ἀνάγκη καὶ νόμον ἕτερον εἶναι. τοῦτο πρὸς τοὺς λέγοντας, τί ἔδει καινῆς διαθήκης; εἶχε μὲν γὰρ καὶ μαρτυρίαν εἰπεῖν ἀπὸ προφητείας· αὕτη ἡ διαθήκη, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. τέως δὲ ἀπὸ τῆς ἱερωσύνης μάχεται. καὶ ὅρα πῶς ἄνωθεν ταῦ-

Πραξ. γ. κε.

χ. αὐτοῖς ταῦτα καὶ πιστότερα ἦν · χ. ἱερέων · χ. τίνος ἱερωσύνης · χ. ἐκβάλλει τοὺς ἱερεῖς τῆς ἱερωσύνης · χ. ὁ μὲν Χριστὸς · ἐπ. ὡς · χ. -τερων · χ. πῶς · χ. ἐμφαίνει ἐξ εἰσάγει τοῦ λαοῦ · χ. τοῦτο αὐτῇ ἐχρήσατο

τὰ εἰσφὶ ὤδινεν. Εἶπε, κατὰ τὴν τάξιν Μελχισεδέκ. τοῦτο τὴν Ἀαρὼν διέβαλεν. οὐ γὰρ ἂν κατὰ τὴν τάξιν Μελχισεδὲκ εἶπεν, εἰ αὕτη ἀμείνων ἦν. Εἰ τοίνυν ἱερωσύνη εἰσῆκται ἄλλη, δεῖ καὶ διαθήκην εἶναι ἑτέραν. οὔτε γὰρ ἱερέα ἐστὶ διαθήκης χωρὶς εἶναι, καὶ νόμων καὶ προσταγμάτων· οὔτε ἑτέραν λαβόντα ἱερωσύνην ἐκείνῃ κεχρῆσθαι. Εἶτα, ὅπερ ἀντίθεσις ἦν, πῶς ἱερεὺς ἂν εἴη μὴ ὢν Λευΐτης, τοῦτο διὰ τῶν ἄνω προκαταβαλὼν, οὐδὲ λῦσαι ἀξιοῖ, ἀλλ᾽ ἐν παραδρομῇ εἰσάγει αὐτό. Εἶπον, φησὶν, ὅτι μετετέθη ἡ ἱερωσύνη. οὐκοῦν καὶ ἡ διαθήκη. μετετέθη δὲ οὐ τῷ τρόπῳ μόνον, οὐδὲ τοῖς προστάγμασιν, ἀλλὰ καὶ τῇ φυλῇ. ἔδει γὰρ καὶ τῇ φυλῇ. πῶς; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, φησί. τουτέστι, διὰ τοῦτο μετετέθη ἀπὸ φυλῆς εἰς φυλὴν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικὴν, ἵνα ἡ αὐτὴ καὶ βασιλικὴ καὶ ἱερατική. καὶ θέα τὸ μυστήριον. πρότερον [μὲν] ἦν βασιλικὴ, καὶ τότε γέγονεν ἱερατική· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Χριστοῦ. βασιλεὺς μὲν γὰρ ἦν ἀεί· ἱερεὺς δὲ γέγονεν, ὅτε τὴν σάρκα ἀνέλαβεν, ὅτε τὴν θυσίαν προσήγαγεν. ὁρᾷς τὴν μεταβολήν; καὶ ἅπερ ἀντίθεσις ἦν, ταῦτα, ὡς τῆς τῶν πραγμάτων ἀκολουθίας ἀπαιτούσης, εἰσάγει. ἐφ᾽ ὃν γὰρ λέγεται ταῦτα, φησι, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ᾽ ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν περὶ ἱερωσύνης οὐδὲν Μωϋσῆς ἐλάλησεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κἀγώ φημι καὶ οἶδα, ὅτι οὐδεμίαν ἱερωσύνης εἶχεν αὕτη ἡ φυλὴ, οὐδέ τις ἀπὸ ταύτης ἱεράτευσε (τοῦτο γὰρ δηλοῖ τὸ, οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ) ἀλλὰ τὸ πᾶν μετάθεσίς ἐστιν. οὕτως ἀναγκαῖον ἦν τὸν νόμον καὶ τὴν παλαιὰν διαθήκην μετατεθῆναι, ὅτι καὶ αὐτὴ ἐνήλλακται ἡ φυλή. ὁρᾷς πῶς δείκνυσι καὶ ἄλλην διαφορὰν ἀπὸ τῆς ἐναλλαγῆς τῆς φυλῆς; οὐ μόνον δὲ καὶ ἀπὸ ταύτης δείκνυται ὅσον τὸ διάφορον, ἀλλ᾽ ἤδη καὶ ἀπὸ τοῦ προσώπου, καὶ ἀπὸ τῆς διαθήκης, καὶ ἀπὸ τοῦ τρόπου, καὶ ἀπ᾽ αὐτοῦ τοῦ τύπου.

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

Γέγονε, φησιν, ἱερεὺς, ἀλλ᾽ οὐ κατὰ νόμον σαρκικῆς ἐντολῆς. ὁ γὰρ νόμος ἐκεῖνος τὰ πολλὰ αἴομος ἦν. καὶ καλῶς αὐτοῦ ἐντολὴν ἐκάλεσε σαρκικήν. πάντα γὰρ ὅσα διώριζεν, σαρκικὰ ἦν. τὸ γὰρ λέγειν, περίτεμε τὴν σάρκα, χρῖσον τὴν σάρκα, λοῦσον τὴν σάρκα, καθάρισον τὴν σάρκα, περίκειρον τὴν σάρκα, ἐπίδησον τὴν σάρκα, θρέψον τὴν σάρκα, ἀργῆσον τῇ σαρκὶ, ταῦτα, εἰπέ μοι, οὐχὶ σαρκικά; εἰ δὲ θέλεις μαθεῖν καὶ τίνα ἂν ἐπηγγέλλετο ἀγαθὰ, ἄκουε· πολλὴ ζωὴ, φησι, τῇ σαρκὶ, γάλα καὶ μέλι τῇ σαρκὶ, εἰρήνη τῇ σαρκὶ, τρυφὴ τῇ σαρκί. ἀπὸ τούτου τοῦ νόμου τὴν ἱερωσύνην ἔλαβεν ὁ Ἀαρών· ὁ μέντοι Μελχισεδὶκ, οὐχ οὕτω.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὶκ ἀνίσταται ἱερεὺς ἕτερος. Τί ἐστι κατάδηλον; τὸ μέσον τῆς ἱερωσύνης ἑκατέρας, τὸ διάφορον ὅσον κρείττων ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε. [Τίς; ὁ Μελχισεδὶκ οὗτος; οὔ· ἀλλ᾽ ὁ Χριστός.] ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

17 Μαρτυρεῖται γὰρ, ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδίκ.

Τουτέστιν, οὐ πρόσκαιρος, οὐδὲ πέρας ἔχων, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. τοῦτο εἶπεν, ἵνα δηλώσῃ, ὅτι ἱερεὺς γέγονε διὰ δυνάμεως ἰδίας καὶ τοῦ πατρὸς, διὰ ζωῆς ἀπεράντου. καίτοι οὐκ ἔστιν ἀκόλουθον τοῦτο τῷ, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε. τὸ γὰρ ἀκόλουθον ἦν εἰπεῖν, ἀλλὰ κατὰ πνευματικῆς. ἀλλὰ διὰ τοῦ σαρκικοῦ τὸ πρόσκαιρον ἔδειξεν. ὥσπερ καὶ ἀλλαχοῦ λέγει, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα τὰ δικαιώματα τῆς σαρκός. (Ἑβρ. θ'. ι'.) κατὰ δύναμιν ζωῆς· τουτέστιν, ὅτι οἰκείᾳ δυνάμει ζῇ. Εἶπεν ὅτι νόμου μετάθεσις γέγονε, καὶ ἔδειξε πῶς. ζητεῖ λοιπὸν τὴν αἰτίαν. ὃ μάλιστα πάντων πληροφορεῖ τὰς τῶν ἀνθρώπων ψυχὰς, τὸ τὴν αἰτίαν πάντως εἰδέναι, καὶ εἰς πίστιν πλείονα ἄγει. τότε γὰρ

μᾶλλον

μᾶλλον πιστεύομεν, ὅταν καὶ τὴν αἰτίαν μάθωμεν, καὶ τὸν λόγον καθ' ὃν γέγονεν.

18 Ἀθέτησις μὲν γὰρ γίνεται, φησί, προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. Ἐνταῦθα ἡμῖν οἱ αἱρετικοὶ ἐπιφύονται λέγοντες, ἰδοὺ καὶ ὁ Παῦλος πονηρὰν τὴν ἐντολὴν εἴρηκεν. ἀλλὰ πρόσεχε ἀκριβῶς· οὐκ εἶπε, διὰ τὸ πονηρόν, οὐδὲ διὰ τὸ μοχθηρόν, ἀλλά, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. καὶ ἀλλαχοῦ δὲ δείκνυσι τὸ ἀσθενές· ὡς ὅταν λέγῃ, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός. οὐκ ἄρα αὐτὴ ἀσθενής, ἀλλ' ἡμεῖς.

19 Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος. Τί ἐστιν, οὐδὲν ἐτελείωσεν; οὐδένα, φησί, τέλειον εἰργάσατο παρακουόμενος. ἄλλως δέ, οὐδὲ εἰ ἠκούσθη, τέλειον ἐποίησεν ἄν, καὶ ἐνάρετον. πλὴν οὐ τοῦτό φησιν ὁ λόγος ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν ἴσχυσε. καὶ εἰκότως. γράμματα γὰρ ἦν κείμενα, τόδε πράττε, καὶ τόδε μὴ πράττε· ἐπιτιθέμενα μόνον, οὐχὶ δὲ καὶ δύναμιν ἐντιθέντα. ἡ δὲ ἐλπὶς οὐ τοιαύτη. τί ἐστιν ἀθέτησις; ἄμειψις, ἐκβολή. τίνος [δὲ ταύτης] δηλῶν, ἐπήγαγεν εἰπών, προαγούσης ἐντολῆς, οὕτω τὸν νόμον καλῶν, διότι ἐκβέβληται διὰ τὸ αὐτοῦ ἀσθενές. προαγόμενον δέ, τὸ παρελθόν, καὶ παλαιωθὲν διὰ τὴν ἀσθένειαν. ὥστε ἡ ἀθέτησις, τῶν κρατούντων ἐστὶν ἀθέτησις. καὶ δῆλον ἐκ τούτου λοιπόν, ὅτι ἐκράτει, ἀλλὰ κατεφρονήθη, ἐπεὶ μηδὲν ἤνυσεν. οὐδεμίαν ὠφέλησεν ὁ νόμος; ὠφέλησε μέν, καὶ σφόδρα ὠφέλησεν· ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους οὐκ ὠφέλησε. κατὰ τοῦτο τοίνυν λέγει τό, οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, καθὸ πάντα τύποι ἦσαν, πάντα σκιά, περιτομή, θυσία, σάββατον, ἃ οὐκ ἴσχυσε διαβῆναι εἰς τὴν ψυχήν. * διὰ τοῦτο παραχωρεῖ καὶ ὑπεξίσταται. Ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ.

20 Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. Ὁρᾷς ὅτι ἀναγκαῖον οὕτω γέγονε τὸ τοῦ ὅρκου ἐνταῦθα; ὥστε διὰ τοῦτο πολλὰ ἄνω ἐφιλοσόφησεν· ὅτι ὤμοσεν ὁ Θεός, καὶ ὤμοσεν ὑπὲρ πλείονος πληροφορίας. ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος. τί ἐστι τοῦτο; εἶχε καὶ ὁ νόμος ἐλπίδα, φησίν, ἀλλ' οὐ τοιαύτην. ἤλπιζον γὰρ εὐαρεστήσαντες ἕξειν τὴν γῆν, μηδὲν πείσεσθαι δεινόν. ἐνταῦθα δὲ ἐλπίζομεν εὐαρεστήσαντες, οὐ γῆν καθέξειν, ἀλλὰ τὸν οὐρανόν· μᾶλλον δὲ (ὃ πολλῷ τούτου κρεῖττόν ἐστιν) ἐλπίζομεν ἐγγὺς στήσεσθαι τοῦ Θεοῦ, παρ' αὐτὸν ἥξειν τὸν θρόνον τὸν πατρικόν, λειτουργήσειν αὐτῷ μετὰ ἀγγέλων. καὶ ὅρα πῶς αὐτὰ τίθησι κατὰ μικρόν. ἐκεῖ μὲν γάρ φησιν, εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος· ἐνταῦθα δέ, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ· καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. τί ἐστι, καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας; τουτέστιν, οὐ χωρὶς ὅρκου. ἰδοὺ καὶ ἄλλη διαφορά. καὶ οὐδὲ ἁπλῶς ταῦτα ἐπήγγελται, φησίν.

21 Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες· ὁ δὲ μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν, ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην.

Δύο τίθησι διαφοράς, ὅτι οὐκ ἔχει τέλος, ὥσπερ ἡ νομική, καὶ ὅτι μετὰ ὁρκωμοσίας. τοῦτο δὲ ποιεῖ ἀπὸ τοῦ Χριστοῦ τοῦ μετιόντος. κατὰ δύναμιν γάρ, φησι, ζωῆς ἀκαταλύτου. ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ὅρκου, ὅτι ὤμοσε· καὶ ἀπὸ τοῦ πράγματος. εἰ γὰρ ἐπειδὴ ἀσθενὴς ἦν, φησίν, ἐκείνη ἐξεβλήθη· αὕτη ἐπειδὴ δυνατή ἐστιν, ἕστηκε. ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ἱερέως. πῶς; δεικνὺς ὅτι εἷς ἐστι· καὶ οὐκ ἂν * εἷς ἦν, εἰ μὴ ἀθάνατος ἦν. ὥσπερ γὰρ πολλοὶ ἱερεῖς, διὰ τὸ θνητοὶ εἶναι· οὕτως εἷς ὁ εἷς, διὰ τὸ ἀθάνατος εἶναι. κατὰ τοσοῦτον κρείττονος διαθήκης

θήκης γέγονεν ἔγγυος Ἰησοῦς, * καθότι ὤμοσεν αὐτῷ ἀεὶ αὐτὸν ἔσεσθαι ἱερέα, φησίν· οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ ζῶν ἦν.

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. Ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα τοῦτό φησιν; ὅτε ἔδειξεν αὐτὸν ἱερέα, τότε εὐκαίρως λέγει τὸ ἐντυγχάνειν. ὥστε καὶ ὅταν λέγῃ Παῦλος, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, τὸ αὐτὸ αἰνίττεται, ὅτι ἀρχιερεὺς ὢν ἐντυγχάνει. ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς ὡς θέλει, καὶ ζωοποιῶν οὕτως ὡς ὁ πατὴρ, πῶς ἔνθα σῶσαι δεῖ, ἐντυγχάνει; [ὁ πᾶσαν τὴν κρίσιν ἔχων, πῶς ἐντυγχάνει;] ὁ ἀποστέλλων τοὺς ἀγγέλους, ὥστε τοὺς μὲν εἰς κάμινον ἐμβαλεῖν, τοὺς δὲ σῶσαι, πῶς ἐντυγχάνει; ὅθεν, φησὶ, καὶ σώζειν δύναται. διὰ τοῦτο οὖν σώζει, ἐπειδὴ οὐκ ἀποθνήσκει. ἐπειδὴ ἀεὶ ζῇ, οὐκ ἔχει διάδοχον, φησίν· εἰ δὲ οὐκ ἔχει διάδοχον, καὶ δύναται πάντων προΐστασθαι. ἐνταῦθα μὲν γὰρ ὁ ἀρχιερεὺς, εἰ καὶ θαυμαστὸς ἦν μέχρι τοῦ καιροῦ ἐκείνου ἐν ᾧ ἦν, οἷον ὁ Σαμουὴλ, καὶ ὅσοι τοιοῦτοι· μετὰ δὲ ταῦτα, οὐκέτι. ἐτεθνήκεσαν γάρ. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ σώζει εἰς τὸ παντελές. τί ἐστιν, εἰς τὸ παντελές; μυστήριόν τι μέγα αἰνίττεται. οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ καὶ ἐκεῖ σώζει τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ. πῶς σώζει; πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν, φησίν. ὁρᾷς ὅσον τὸ ταπεινόν; εἶτα διὰ τὴν ἀνθρωπότητα; οὐ γὰρ ἅπαξ αὐτὸν ἐντυχόντα τοῦτο τυχεῖν λέγει, ἀλλ' ἀεὶ, καὶ ἡνίκα ἂν δέηται ἐντυγχάνειν ὑπὲρ αὐτῶν. τοῦτο γὰρ δηλοῖ τὸ, εἰς τὸ παντελές. τί ἐστιν εἰς τὸ παντελές; οὐ πρὸς τὸ παρὸν μόνον, φησὶν, ἀλλὰ καὶ ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ. ἀεὶ οὖν δεῖται τοῦ εὔχεσθαι; καὶ πῶς ἂν ἔχοι λόγον; καὶ ἄνθρωποι μὲν πολλάκις δίκαιοι ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν· αὐτὸς δὲ ἀεὶ δεῖται; τίνος οὖν ἕνεκεν συγκάθηται; ὁρᾷς ὅτι συγκατάβασίς ἐστι τὸ ταπεινὰ φθέγγεσθαι; ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μηδὲν δείσητε, μηδὲ εἴπητε, ναὶ, φιλεῖ μὲν ἡμᾶς, καὶ παρρησίαν ἔχει πρὸς τὸν πατέρα, ἀλλ' οὐκ ἀεὶ δύναται ζῆν. ἀεὶ γὰρ ζῇ.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν. Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωπότητος τὸ πᾶν εἴρηται; ὅταν δὲ εἴπω ἀνθρωπότητα, θεότητα ἔχουσαν λέγω, οὐ διαιρῶν, ἀλλὰ ἀφεὶς τὰ πρέποντα ὑποπτεύειν. εἶδες τὴν διαφορὰν τοῦ ἀρχιερέως; ἀνεκεφαλαιώσατο τὰ ἄνω λεχθέντα, ὅτε ἔλεγε, Πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. Τοιοῦτος γὰρ ἡμῖν, φησὶν, ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος. ἄκακος τί ἐστιν; ἀπόνηρος, οὐχ ὕπουλος. καὶ ὅτι τοιοῦτος, ἄκουε τοῦ προφήτου λέγοντος, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. τοῦτο οὖν ἄν τις περὶ Θεοῦ εἴποι; ὁ δὲ οὐκ αἰσχύνεται λέγων, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ὕπουλος, οὐδὲ δολερός; περὶ μὲν οὖν τοῦ κατὰ σάρκα ἔχοι ἂν λόγον, ὅσιος, ἀμίαντος· καὶ τοῦτο [οὐ] περὶ τοῦ Θεοῦ εἴποι τις ἄν. * ἔχει γὰρ φύσιν [μὴ] μιαίνεσθαι. κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν. Τοῦτο οὖν μόνον δείκνυσι τὸ διαφορον, ἢ καὶ αὐτὴ ἡ θυσία; καὶ ἡ θυσία πῶς;

27 Οὐκ ἔχει, φησὶ, καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ. τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας. Τοῦτο ποιῶν, ἐνταῦθα προανακρούεται λοιπὸν τῆς πνευματικῆς θυσίας τὴν ὑπερβολήν. καὶ τὸ μέσον εἶπε τὸ τοῦ ἱερέως, εἶπε τὸ τῆς διαθήκης, οὐχ ὅλον μὲν, εἶπε δὲ ὅμως. ἐνταῦθα προανακρούεται λοιπὸν καὶ αὐτὴν τὴν θυσίαν. μὴ τοίνυν αὐτὸν ἱερέα ἀκούσας, [ἀεὶ] ἱερᾶσθαι νόμιζε *. ἅπαξ γὰρ ἱεράσατο, καὶ λοιπὸν ἐκάθισεν. ἵνα γὰρ μὴ νομίσῃς ἄνω ἑστάναι αὐτὸν, καὶ λειτουργὸν εἶναι, δείκνυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμά ἐστιν. ὥσπερ γὰρ δοῦλος ἐγένετο, οὕτω καὶ ἱερεὺς, καὶ λειτουργός. ἀλλ' ὥσπερ δοῦλος γενόμενος, οὐκ ἔμεινε δοῦλος· οὕτω καὶ λειτουργὸς γενόμενος, οὐκ ἔμεινε λειτουργός. οὐ γὰρ λειτουργοῦ τὸ καθῆσθαι, ἀλλὰ τὸ ἑστάναι. τοῦτο οὖν αἰνίττεται ἐνταῦθα τῆς θυσίας τὸ μέγεθος· ἥ ἤρκεσε μία οὖσα, καὶ

ἅπαξ

ἅπαξ προσενεχθεῖσα, τοσοῦτον ὅσον αἱ πᾶσαι οὐκ ἴσχυσαν. ἀλλ' οὔπω περὶ τούτου. τοσαύτην δὲ πῶς φησί· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ. τοῦτο, ποῖον; ἀναγκαῖον γὰρ ἔχειν, φησί, τι καὶ τοῦτον ὃ προσενέγκῃ· οὐ τὸ ὑπὲρ ἑαυτοῦ. πῶς γὰρ ὑπὲρ ἑαυτοῦ προσέφερεν ἀναμάρτητος ὤν; ἀλλ' ὑπὲρ τοῦ λαοῦ. τί λέγεις; καὶ οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ, ἀλλ' ἰσχύει τοσοῦτον; ναί, φησιν. ἵνα γὰρ μὴ νομίσῃς τὸ, ἐποίησεν ἐφάπαξ, καὶ περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί ἐπάγει.

28 Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν.

* Διὰ τοῦτο καὶ ἀεὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν. ὁ μέντοι δυνατὸς ὤν, ὁ μὴ ἔχων ἁμαρτίαν, τίνος ἕνεκεν ὑπὲρ ἑαυτοῦ προσφέρει; ἄρα οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ λαοῦ προσέφερε· καὶ τοῦτο ἐφάπαξ. Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. [Τετελειωμένον τί ἐστιν;] ὅρα· οὐ τίθησι τὰς ἀντιδιαστολὰς ὁ Παῦλος κυρίας. ἐπειδὴ γὰρ, ἔχοντας ἀσθένειαν, οὐκ εἶπεν υἱὸν δυνατόν, ἀλλὰ τετελειωμένον· τουτέστι, δυνατόν, ὡς ἂν εἴποι τις. ὁρᾷς ὅτι * τὸ, υἱός, ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρηται; ἀσθένειαν δὲ, ἢ τὴν ἁμαρτίαν φησίν, ἢ τὸν θάνατον. τί ἐστιν, εἰς τὸν αἰῶνα; οὐ νῦν μόνον ἀναμάρτητον, φησιν, ἀλλ' ἀεί. εἰ τοίνυν τέλειός ἐστιν, εἰ μηδέποτε ἁμαρτάνει, εἰ ἀεὶ ζῇ, τίνος ἕνεκεν προσοίσει πολλάκις ὑπὲρ ἡμῶν θυσίας; ἀλλὰ τέως μὲν ὑπὲρ τούτου οὐκ ἰσχυρίζεται· ὑπὲρ δὲ τοῦ μὴ προσφέρειν αὐτὸν ὑπὲρ ἑαυτοῦ, τοῦτο ἰσχυρίζεται.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν τοιοῦτον ἔχομεν ἀρχιερέα, μιμησώμεθα αὐτόν, καὶ κατ' ἴχνος αὐτοῦ βαίνωμεν. οὐκ ἔστιν ἄλλη θυσία· μία ἡμᾶς ἐκαθάρισε. μετὰ δὲ τοῦτο, πῦρ καὶ γέεννα. καὶ γὰρ καὶ διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει λέγων, ἕνα ἱερέα, μίαν θυσίαν· ἵνα μή τις νομίζων πολλὰς εἶναι, ἀδεῶς ἁμαρτάνῃ. ὅσοι τοίνυν κατηξιώθημεν τῆς σφραγῖδος, ὅσοι τῆς θυσίας ἀπηλαύσαμεν, ὅσοι τῆς ἀθανάτου τραπέζης μετέχομεν, μένωμεν φυλάττοντες τὴν εὐγένειαν καὶ τὴν τιμήν. οὐ γὰρ ἀκίνδυνος ἡ ἀπόπτωσις. ὅσοι δὲ μηδέπω κατηξιώθησαν τούτων, μηδὲ οὗτοι διὰ τοῦτο θαρρείτωσαν. ὅταν γάρ τις διὰ τοῦτο ἁμαρτάνῃ, ἵνα τὸ ἅγιον βάπτισμα πρὸς ἐσχάταις λάβῃ ταῖς ἀναπνοαῖς, πολλάκις οὐκ ἐπιτεύξεται. καί, πιστεύσατέ μοι, οὐ φοβῶν ὑμᾶς λέγω, ὃ μέλλω λέγειν. πολλοὺς οἶδα τοῦτο παθόντας ἐγώ, οἳ προσδοκίᾳ μὲν τοῦ φωτίσματος πολλὰ ἡμάρτανον· πρὸς δὲ τῇ ἡμέρᾳ τῆς τελευτῆς ἀπῆλθον κενοί. ὁ γὰρ Θεὸς διὰ τοῦτο τὸ βάπτισμα ἔδωκεν, ἵνα λύσῃ τὰς ἁμαρτίας, οὐχ ἵνα αὐξήσῃ [τὰς ἁμαρτίας]. εἰ δέ τις τούτῳ κεχρημένος εἴη πρὸς ἄδειαν τοῦ πλείονα ἁμαρτάνειν, ῥᾳθυμίας λοιπὸν τοῦτο γίνεται αἴτιον. εἰ γὰρ μὴ λουτρὸν ἦν, ἀσφαλέστερον ἔζων ἄν, ὡς οὐκ ἔχοντες ἄφεσιν. ὁρᾷς ὅτι τὸ,

Ρωμ. γ. η.

Ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά, ἡμεῖς ἐσμεν οἱ ποιοῦντες λέγεσθαι; διό, παρακαλῶ, καὶ ὑμεῖς οἱ ἀμύητοι νήφετε· μηδεὶς ὡς μισθωτός, μηδεὶς ὡς ἀγνώμων, οὕτω μετίτω τὴν ἀρετήν, μηδεὶς ὡς βαρὺ καὶ φορτικόν. μετὰ προθυμίας τοίνυν ταύτην μετέλθωμεν, καὶ χαίροντες. εἰ γὰρ μὴ μισθὸς ἔκειτο, οὐκ ἐχρῆν εἶναι ἀγαθόν; ἀλλ' ὅμως καὶ μετὰ μισθοῦ γινώμεθα ἀγαθοί. πῶς γὰρ οὐκ αἰσχύνη τοῦτο, καὶ μεγίστη καταγνωσις, ἐὰν μὴ δῷς μοι μισθόν, φησιν, οὐ γίνομαι σώφρων; οὐκοῦν τολμῶ τι εἰπεῖν, οὐδέποτε ἔσῃ σώφρων, οὐδὲ ὅταν σωφρονῇς, εἴγε μισθοῦ αὐτὸ ποιεῖς. οὐδεὶς γὰρ ἡγεῖται τὴν ἀρετήν, εἴγε μὴ ἐρᾷς αὐτῆς. ἀλλ' ὁ Θεὸς διὰ τὴν πολλὴν ἡμῶν ἀσθένειαν, τέως κἂν μισθῷ ἠθέλησεν αὐτὴν γίνεσθαι· ἡμεῖς δὲ οὐδὲ οὕτω μετίμεν αὐτήν. θῶμεν δέ, εἰ βούλεσθε, ὅτι ἄνθρωπός τις μυρία ἐργασάμενος κακὰ ἄπεισι, [καὶ] καταξιωθεὶς τοῦ βαπτίσματος· ὅπερ οὐ ταχέως οἶμαι συμβαίνειν· πῶς ἀπελεύσεται ἐκεῖ, εἰπέ μοι; ὑπὲρ μὲν τῶν εἰργασμένων οὐκ ἐγκαλούμενος, ἀπαρρησίαστος δὲ ὢν εἰκότως. ὅταν γὰρ ἑκατὸν ἔτη βιώσας, μηδὲν ἀγαθὸν ἔργον ἐπιδείξηται, ἀλλὰ μόνον, ὅτι οὐχ ἥμαρτε, μᾶλλον δὲ μηδὲ τοῦτο, ἀλλ' ὅτι χάριτι μόνῃ διεσώθη, ἑτέρους δὲ ἐστεφανωμένους λαμπροὺς καὶ εὐδοκίμους ἴδῃ· κἂν εἰς γέενναν μὴ ἐμπέσῃ, ἆρα οἴσει τὴν ἀθυμίαν, εἰ-

τί μοι; ἵνα δὲ ἐπὶ ὑποδείγματος τὸ πρᾶγμα ποιήσω φανερώτερον, ἔστωσαν δύο στρατιῶται, καὶ ὁ μὲν κλεπτέτω, ἀδικείτω, πλεονεκτείτω· ὁ δὲ μηδὲν τούτων ἐργαζέσθω, ἀλλὰ ἀνδραγαθείτω, μεγάλα κατορθούτω, ἐν πολέμοις τρόπαια ἱστάτω, αἱματτέτω τὴν δεξιάν. εἶτα καιροῦ ἐπιστάντος, ὁ μὲν ἀπὸ τῆς ἀξίας ἐκείνης, ἐν ᾗ καὶ ὁ κλέπτης ἦν, ἀνελθέτω ἐπὶ τὸν βασιλικὸν θρόνον καὶ τὴν ἁλουργίδα ἀναδέσθω. ἐκεῖνος δὲ ὁ κλέπτης ἐκεῖ μενέτω, ἔνθα ἦν· ἀπὸ δὲ τῆς φιλανθρωπίας μόνον τοῦ βασιλεύοντος μὴ διδότω δίκην ὧν ἔδρασεν. ἐν μέντοι τῷ ἐσχάτῳ τόπῳ ἔστω, καὶ ὑπὸ τῷ βασιλεῖ τεταγέσθω. ἆρα οἴσει τὴν ἀθυμίαν, εἰπέ μοι, ὅταν ἴδῃ τὸν μὲν μετ' αὐτοῦ πρὸς αὐτὴν ἤδη ἀνελθόντα τῶν ἀξιωμάτων τὴν κορυφήν, καὶ οὕτω λαμπρὸν γενόμενον, καὶ τῆς οἰκουμένης κρατοῦντα, ἑαυτὸν δὲ ἔτι κάτω μένοντα, καὶ οὐδὲ αὐτὸ τὸ μὴ κολασθῆναι μετὰ τιμῆς ἔχοντα, ἀλλ' ἀπὸ τῆς χάριτος καὶ τῆς φιλανθρωπίας τοῦ βασιλέως; κἂν γὰρ ἀφῇ ὁ βασιλεὺς, καὶ ἐγκλημάτων ἀπαλλάξῃ, ἀλλ' ὅμως αἰσχυνόμενος βιώσεται. οὐ γὰρ δὴ καὶ ἄλλοι αὐτὸν θαυμάσονται. ἐν γὰρ ταῖς τοιαύταις συγχωρήσεσιν, οὐ τοὺς λαμβάνοντας τὰ δῶρα, ἀλλὰ τοὺς διδόντας θαυμάζομεν. καὶ ὅσῳ ἂν μείζονα δῶσι δωρεὰν, τοσούτῳ μᾶλλον καταισχύνονται οἱ λαμβάνοντες, ὅταν μεγάλα ᾖ αὐτοῖς τὰ ἡμαρτημένα. ποίοις οὖν ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται ὁ τοιοῦτος τοῖς ἐν τοῖς βασιλείοις οὖσιν, ἐκείνων μυρίους ἱδρῶτας καὶ τραύματα ἐπιδεικνυμένων, αὐτὸς οὐδὲν ἔχων ἐπιδεῖξαι, ἀλλὰ καὶ αὐτὸ τὸ σωθῆναι ἀπὸ μόνης τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔχων; ὥσπερ γὰρ εἴ τις ἀνδροφόνον, κλέπτην, μοιχὸν μέλλοντα ἀπάγεσθαι * ἐξαιτήσαιτο, καὶ κελεύσειεν εἶναι παρὰ τὰ πρόθυρα τῶν βασιλείων, οὐδενὶ δυνήσεται ἀντιβλέψαι ἐκεῖνος λοιπὸν, εἰ καὶ τῆς τιμωρίας ἀπήλλακται· οὕτω δὴ καὶ ἐνταῦθα. μὴ γὰρ δὴ, ἐπειδὴ βασιλεία λέγεται, νομίσητε πάντας τῶν αὐτῶν τυγχάνειν. εἰ γὰρ ἐνταῦθα καὶ ὁ ὕπαρχος, καὶ πάντες οἱ περὶ τὸν βασιλέα, καὶ οἱ σφόδρα καταδεέστεροι, καὶ τὸν τῶν λεγομένων δεκανῶν τόπον ἐπέχοντες ἐν τοῖς βασιλείοις εἰσὶ, καίτοι τοσούτου ὄντος τοῦ μέσου τοῦ ὑπάρχου καὶ τοῦ δεκανοῦ· πολλῷ μᾶλλον ἐν τοῖς ἄνω βασιλείοις τοῦτο ἔσται. καὶ τοῦτο οὐκ ἀπ' ἐμαυτοῦ λέγω. καὶ γὰρ ἑτέραν τινα μείζονα τίθησι διαφορὰν ὁ Παῦλος. ὅσαι γὰρ διαφοραὶ, φησὶν, ἀπὸ ἡλίου ἕως σελήνης καὶ ἀστέρων καὶ τοῦ μικροτάτου ἀστέρος, τοσαῦται καὶ τῶν ἐν τῇ βασιλείᾳ. καὶ ὅτι πολλῷ πλέον τοῦ δεκανοῦ λεγομένου καὶ τοῦ ὑπάρχου, τοῦ ἡλίου καὶ τοῦ μικροτάτου ἀστέρος τὸ διαφέρει, δῆλον ἅπασιν. ὁ μὲν γὰρ ἥλιος πᾶσαν ὁμοῦ καταλάμπει τὴν οἰκουμένην, καὶ φαιδρὰν ποιεῖ, καὶ σελήνην καὶ ἀστέρας ἀποκρύπτει· ὁ δὲ πολλάκις οὐδὲ φαίνεται, καὶ ταῦτα ἐν σκότῳ. πολλοὶ γάρ εἰσι τῶν ἀστέρων, οὓς οὐχ ὁρῶμεν. ὅταν οὖν ἑτέρους ὁρῶμεν ἡλίους γινομένους, ἡμεῖς δὲ τῶν ἀστέρων τῶν σμικροτάτων τὴν τάξιν ἔχωμεν τῶν οὐδὲ φαινομένων, τίς ἔσται ἡμῖν παραμυθία; μὴ, παρακαλῶ, μὴ οὕτω νωθεῖς ὦμεν, μὴ οὕτως ἀργοὶ, μὴ πραγματευώμεθα τὴν παρὰ τοῦ Θεοῦ σωτηρίαν εἰς ῥᾳθυμίαν, ἀλλ' ἐμπορευώμεθα αὐτὴν, καὶ πληθύνωμεν. κἂν γὰρ κατηχούμενός τις ᾖ, ἀλλὰ τὸν Χριστὸν οἶδεν, ἀλλὰ τὴν πίστιν ἔγνω, ἀλλὰ τῶν θείων ἐπακούει λόγων, ἀλλ' οὐ πόρρω ἐστὶ τῆς θείας γνώσεως, οἶδε τὸ θέλημα τοῦ δεσπότου αὐτοῦ. τίνος οὖν ἕνεκεν ἀναβάλλεται; τίνος ἕνεκεν μέλλει καὶ ὑπερτίθεται; οὐδὲν βίου χρηστοῦ καλοῦ, καὶ ἐνταῦθα, καίτοι καὶ ἐπὶ φωτιζομένων, καὶ ἐπὶ κατηχουμένων. τί γὰρ, εἰπέ μοι, φορτικὸν ἐπιτετάγμεθα; ἔχε, φησὶ, γυναῖκα, καὶ σωφρόνει. τοῦτο φορτικὸν, εἰπέ μοι; καὶ πῶς, ὅπουγε πολλοὶ καὶ χωρὶς γυναικὸς σωφρονοῦσιν, οὐ χριστιανοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες; ὃ ὑπερβαίνει ποιεῖν ὁ Ἕλλην διὰ κενοδοξίαν, σὺ οὐδὲ τοῦτο τηρεῖς διὰ τὸν φόβον τοῦ Θεοῦ; Δίδου, φησὶ, πένησιν ἐκ τῶν ὄντων. τοῦτο φορτικόν; ἀλλὰ καὶ ἐνταῦθα κατηγοροῦσιν ἡμῶν Ἕλληνες, ὁλοκλήρους οὐσίας κενώσαντες διὰ κενοδοξίαν μόνην. μὴ αἰσχρολόγει. τοῦτο δύσκολον; εἰ γὰρ μὴ ἐπετέτακτο, οὐκ ἔδει αὐτὸ κατορθοῦν, ἵνα μὴ ἄτιμοι φαινώμεθα; ὅτι γὰρ τὸ ἐναντίον δύσκολον, τὸ αἰσχρολογεῖν λέγω, δῆλον ἐξ ὧν αἰδεῖται ἡ ψυχὴ καὶ ἐρυθριᾷ, ἐάν τι τοιοῦτον εἴπῃ φθεγχθῇ,

α Κορ. ιε μα.

Τιτ. β.

χθῇ, καὶ οὐδὲν ἐρεῖ, ἐὰν μὴ τάχα μεθύῃ. διὰ τί γὰρ ἐπ' ἀγορᾶς καθήμενος, καὶ ἐπὶ οἰκίας τοῦτο ποιῇς, ἐκεῖ οὐ ποιεῖς; ἆρα οὐχὶ διὰ τοὺς παρόντας; διὰ τί ἐπὶ τῆς γυναικός σου [τοῦ πλησίον] τὸ αὐτὸ μὴ ποιεῖς; ἆρα οὐχ ἵνα μὴ αὐτὴν ὑβρίσῃς; ἵνα μὴ ὑβρίσῃς τοίνυν τὴν γυναῖκά σου, οὐ ποιεῖς· τὸν δὲ Θεὸν ὑβρίζων οὐκ ἐρυθριᾷς; πανταχοῦ γὰρ πάρεστι, καὶ πάντα ἀκούει. μὴ μεθύε, φησί. καλῶς. τοῦτο γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ οὐ κόλασις; οὐκ εἶπε, κατάτεινον τὸ σῶμα, ἀλλὰ τί; μὴ μεθύε· τουτέστι, μὴ οὕτως αὐτὸ ἐκτραχηλίσῃς, ὡς τῆς ψυχῆς ἀφελέσθαι τὴν ἀρχήν. τί οὖν; οὐ χρὴ προνοεῖσθαι τοῦ σώματος; μὴ γένοιτο· οὐ τοῦτο λέγω, ἀλλ' εἰς ἐπιθυμίας αὐτοῦ μὴ προνόει. οὕτω γὰρ καὶ Παῦλος ἐκέλευσε λέγων, Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. (Ρωμ. ιγ. ιδ.) μὴ ἅρπαζε, φησὶ, τὰ μὴ σά, μὴ πλεονέκτει, μὴ ἐπιόρκει. ποίων πόνων ταῦτα δεῖται; ποίων ἱδρώτων; μὴ κατηγόρει, φησί, μηδὲ συκοφάντει. ποῖον ἔχει τοῦτο πόνον; τοὐναντίον μὲν οὖν πόνος. ὅταν μὲν γὰρ εἴπῃς κακῶς, εὐθέως ἐν κινδύνῳ εἶ, ἐν ὑποψίᾳ. μὴ ἀκούσῃ περὶ οὗ εἶπον, εἴτε μέγας ᾖ, εἴτε μικρός; ἂν μὲν γὰρ μέγας ᾖ, ἐν ἔργοις κινδυνεύσεις εὐθέως· ἂν δὲ μικρὸς, τοῖς ἴσοις σε ἀμείψεται, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέροις. μειζόνως γάρ σε ἐρεῖ κακῶς. οὐδὲν δύσκολον, οὐδὲν φορτικὸν ἐπιτετάγμεθα, ἂν βουλώμεθα· ἂν δὲ μὴ βουλώμεθα, καὶ τὰ ῥᾷστα, φορτικὰ ἡμῖν φαίνεται. τί τοῦ φαγεῖν ῥᾷον; ἀλλ' ὑπὸ πολλῆς βλακείας πολλοὶ καὶ πρὸς τοῦτο δυσχεραίνουσι· πολλῶν δὲ ἀκούω λεγόντων, ὅτι καὶ τὸ φαγεῖν κάματος. οὐδὲν τοίνυν ἔχει κάματον, ἂν θέλῃς. ἐν γὰρ τῷ θέλειν πάντα κεῖται, μετὰ τὴν ἄνωθεν χάριν. θελήσωμεν οὖν τὰ ἀγαθὰ, ἵνα καὶ τῶν αἰωνίων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

χιε΄. η. Λογ. ιδ΄. 1 ΚΕΦΑΛΑΙΟΝ ΔΕ ΕΠΙ ΤΟΙΣ ΛΕΓΟΜΕΝΟΙΣ, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς· 2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

ΑΝαμίγνυσι τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁ Παῦλος, ὁ ἀεὶ τὸν διδάσκαλον μιμούμενος τὸν αὐτοῦ, ὥστε τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁδὸν γίνεσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι, καὶ γενομένους ἐν τοῖς μεγάλοις, μανθάνειν ὅτι ταῦτα συγκαταβάσεως ἦν. τοῦτο γοῦν καὶ ἐνταῦθα ποιεῖ. εἰπὼν γὰρ ὅτι ἀνήνεγκεν ἑαυτὸν, καὶ ἀρχιερέα δείξας, ἐπάγει, κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς. καίτοι τοῦτο οὐχὶ ἱερέως, ἀλλὰ τούτου ᾧ ἱερᾶσθαι ἐκεῖνον χρή. τῶν ἁγίων λειτουργὸς, [οὐδὲ λειτουργὸς ἁπλῶς, ἀλλὰ τῶν ἁγίων λειτουργὸς,] καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. (Εβρ. α. ιδ.) ὁρᾷς τὴν συγκατάβασιν; οὐχὶ περὶ μικροῦ δείκνυσι λέγων, Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα; καὶ διὰ τοῦτο οὐδὲ ἀκούουσι, Κάθου ἐκ δεξιῶν μου· τοῦτο δέ φησιν, ὡς τοῦ καθημένου πάντως οὐκ ὄντος λειτουργοῦ. ὥστε τοῦτο ἀκούει διὰ τὴν σάρκα. σκηνὴν δὲ ἐνταῦθα τὸν οὐρανὸν λέγει. διὸ καὶ τὸ διαφορὰν δεικνὺς πρὸς τὴν Ἰουδαϊκὴν, ἐπάγει λέγων, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. ὅρα πῶς ἦρε τὰς ψυχὰς τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, τοῦτο εἰπών. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς φαντάζεσθαι, ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην· ἰδού, φησιν, ὁ ἱερεὺς, καὶ μέγας, καὶ πολὺ μείζων ἐκείνου, καὶ θυσίαν θαυμασιωτέραν προσήνεγκεν. ἀλλ' ἆρα μὴ λόγος ταῦτα, μὴ κόμπος καὶ ψυχαγωγία; ἀλλὰ διὰ τοῦτο ἐπιστώσατο πρότερον ἀπὸ τοῦ ὅρκου, λοιπὸν δὲ καὶ ἀπὸ τῆς σκηνῆς. ἦν μὲν οὖν καὶ αὕτη διπλῆ ἡ διαφορά· ἔστι δὲ καὶ ἑτέραν ἐπιπος. ἣν ἔπηξεν ὁ Κύριός, φησι, καὶ οὐκ ἄνθρωπος. ποῦ

τοίνυν

ποῖοι εἰσὶν οἱ λέγοντες καθῆσθαι τὸν οὐρανόν; ποῦ εἰσὶν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα ἀνῄρηται ἐν ταὐτῷ. κεφάλαιον δέ, φησιν, ἐπὶ τοῖς λεγομένοις. κεφάλαιον ἀεὶ τὸ μέγιστον λέγεται. πάλιν κατάγει τὸν λόγον· εἰπὼν τὸ ὑψηλόν, ἀδεῶς φθέγγεται λοιπὸν τὰ ταπεινά. εἶτα, ἵνα μάθῃς ὅτι τὸ, λειτουργὸς, περὶ τῆς ἀνθρωπότητος εἴρηται, ὅρα πῶς πάλιν ἐπισημαίνεται.

3 Πᾶς γὰρ ἀρχιερεὺς, φησιν, εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ.

Μή, ἐπειδὴ ἀκούεις ὅτι κάθηται, ὑθλον εἶναι νομίσῃς τὸ ἀρχιερέα αὐτὸν εἰρῆσθαι. ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ Θεοῦ, τὸ καθῆσθαι· τοῦτο δὲ τῆς φιλανθρωπίας τῆς πολλῆς, καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας. διὰ τοῦτο αὐτὸ λιπαίνει, καὶ τούτῳ πλέον ἐνδιατρίβει. δέδοικε γὰρ μὴ ἐκεῖνο ἀνατρέψῃ. διὰ τοῦτο πάλιν ἐπὶ τοῦτο κατάγει τὸν λόγον, ἐπειδὴ ἐζήτουν τινὲς τίνος ἕνεκεν ἀπέθανεν. ἱερεὺς ἦν· ἱερεὺς δὲ χωρὶς θυσίας οὐκ ἔστι. δεῖ τοίνυν καὶ τοῦτον ἔχειν θυσίαν. ἄλλως δὲ, εἰπὼν ὅτι ἄνω ἐστί, λέγει καὶ δείκνυσιν ὅτι ἱερεύς ἐστι πανταχόθεν, ἀπὸ τοῦ Μελχισεδὲκ, ἀπὸ τοῦ ὅρκου, ἀπὸ τοῦ προσενεγκεῖν θυσίαν. ἐκ τούτου λοιπὸν καὶ ἀναγκαῖον ἄλλον πλέκει συλλογισμόν.

γ. -γεν. ἱεράς ὢν ἱερ.

4 Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, φησιν, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα. Εἰ τοίνυν ἐστὶν ἱερεὺς, φησιν, ὥσπερ οὖν καὶ ἔστι· δεῖ αὐτὸν τόπον ζητῆσαι ἕτερον. ἐπὶ γῆς μὲν γὰρ ὢν, οὐκ ἂν ἦν ἱερεύς. πῶς γάρ; οὐ προσήνεγκεν, οὐχ ἱεράσατο. καὶ εἰκότως· ἦσαν γὰρ οἱ ἱερεῖς. καὶ δείκνυσιν, ὅτι οὐδὲ δυνατὸν ἐπὶ γῆς εἶναι ἱερέα. πῶς γάρ; ἐπεὶ οὐδὲ ἐπανάστασις ἦν, φησιν. ἐν ταῦθα ἀναγκαῖον συντίθεται τὸν νοῦν, καὶ συνιδεῖν τὴν ἀποστολικὴν σύνεσιν. πάλιν γὰρ τὴν διαφορὰν δείκνυσι τῆς ἱερωσύνης.

γ. διαφόρου

5 Οἵτινες, φησιν, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων.

Τίνα λέγει ἐνταῦθα ἐπουράνια; τὰ πνευματικά. εἰ γὰρ καὶ ἐπὶ γῆς τελεῖται, ἀλλ' ὅμως τῶν οὐρανῶν εἰσιν ἄξια. ὅταν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κεῖται ἐσφαγμένος, ὅταν πνεῦμα παραγίνηται, ὅταν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρὸς ἐνταῦθα ᾖ, ὅταν υἱοὶ γίνωνται διὰ τοῦ λουτροῦ, ὅταν πολῖται ὦσι τῶν ἐν οὐρανοῖς, ὅταν πατρίδα ἔχωμεν ἐκεῖ, καὶ πόλιν καὶ πολίτευμα, ὅταν ξένοι ὦμεν τῶν ἐνταῦθα, πῶς οὐκ ἐπουράνια ταῦτα πάντα τυγχάνει; ἀλλὰ τί; οἱ ὕμνοι οὐκ ἐπουράνιοι; οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, ταῦτα καὶ ἡμεῖς οἱ κάτω συνῳδὰ ἐκείνοις φθεγγόμεθα; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπουράνιον; πῶς; οὐδὲν ἔχει σαρκικόν, πάντα πνευματικὰ γίνεται τὰ προκείμενα· οὐκ εἰς τέφραν, οὐκ εἰς καπνόν, οὐκ εἰς κνίσαν διαχεῖται ἡ θυσία, ἀλλὰ λαμπρὰ καὶ φαιδρὰ ἐργάζεται τὰ προκείμενα. πῶς δὲ οὐκ οὐράνια τὰ τελούμενα, ὅταν οἱ διακονούμενοι αὐτοῖς ἀκούωσιν ἔτι ἐξ οὗ εἴρηται, Ἄν τινων κρατῆτε, κεκράτηνται· ἂν τινων ἀφῆτε, ἀφίενται; Ιωαν. κ. κγ. πῶς οὐκ οὐράνια πάντα, ὅταν οὗτοι καὶ τὰς κλεῖς ἔχωσι τοῦ οὐρανοῦ; οἵτινες, φησιν, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, Καθὼς κεχρημάτισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν. ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Εξοδ. κε μ.

Ἐπειδὴ ἡ ἀκοὴ ἡμῶν ἀμαυροτέρα τῆς ὄψεώς ἐστιν (οὐ γὰρ οὕτως ἅπερ ἂν ἀκούσωμεν, τῇ ψυχῇ παρακατατιθέμεθα, ὡς ἅπερ αὐτοὶ ἴδωμεν αὐταῖς ὄψεσιν) ἔδειξεν αὐτῷ πάντα. ἢ τοίνυν τοῦτο λέγει, ὑποδείγματι καὶ σκιᾷ· ἢ περὶ τοῦ ναοῦ αἰνίττεται. ἐπήγαγε γάρ, ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. ἆρα περὶ τῆς κατασκευῆς τοῦ ναοῦ μόνον, ἢ περὶ τῶν θυσιῶν εἶδε, καὶ τῶν ἄλλων ἁπάντων; μᾶλλον δὲ οὐκ ἂν τις ἁμάρτοι καὶ τοῦτο εἰπών. οὐρανὸς γάρ ἐστιν ἡ ἐκκλησία, καὶ οὐδέν ἐστιν ἄλλο, ἢ οὐρανός.

γ. ἄρα οὖ περὶ γ. ἀλλὰ καὶ π-
γ. -των. μᾶ.

6 Νυνὶ δὲ διαφορωτέρας τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης.

Ὁρᾷς, φησὶν, ὅσῳ βελτίων ἡ λειτουργία τῆς λειτουργίας, εἴγε ἐκείνη μὲν ὑπόδειγμα καὶ τύπος, αὕτη δὲ ἀλήθεια. ἀλλ' οὐδὲν τοῦτο ὠφελεῖ τοὺς ἀκούοντας, οὐδὲ εὐφραίνει. διά τι τοῦτο ὃ μάλιστα αὐτοὺς εὐφραίνει, λέγει. Ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

Ἐπάρας * ἀπὸ τοῦ τόπου καὶ τοῦ ἱερέως καὶ τῆς θυσίας, τότε καὶ τῆς διαθήκης τὸ μέσον τίθησιν· εἰπὼν μὲν καὶ πρότερον, ὅτι ἐδείκνυ ὅτι ἀσθενὴς ἦν καὶ ἀνωφελής. καὶ ὅρα οἷα τίθησιν ἀσφαλίσματα, μέλλων αὐτῆς κατηγορεῖν. ἐκεῖ γὰρ εἰπὼν, κατὰ δύναμιν ζωῆς ἀκαταλύτου, τότε εἶπεν, ὅτι ἀθέτησις γὰρ γίνεται προαγούσης ἐντολῆς. εἶτα καὶ ὕστερον μέγα τι ἔθηκεν εἰπὼν, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ. ἐνταῦθα δὲ ἡμᾶς εἰς τὸν οὐρανὸν ἀναγαγὼν, καὶ δείξας ὅτι ἀντὶ τοῦ ἱεροῦ τὸν οὐρανὸν ἔχομεν, καὶ ὅτι τύποι ἦσαν τῶν ἡμετέρων ἐκεῖνα, καὶ τὴν λειτουργίαν ἐπῆρας τούτοις, καὶ τὴν ἱερωσύνην εἰκότως ἐπαίρει λοιπόν. ἀλλ' (ὅπερ ἔφην) ὃ μάλιστα αὐτοὺς εὐφραίνει τίθησι λέγων, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. πόθεν τοῦτο δῆλον; ἐξ ὧν αὕτη μὲν ἐξεβλήθη, ἐκείνη δὲ ἀντεισήχθη. διὰ γὰρ τοῦτο κρατεῖ, ἐπειδὴ βελτίων. ὥσπερ γὰρ λέγει, ὅτι εἰ [ἡ] τελείωσις δι' αὐτῆς ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα; οὕτω καὶ ἐνταῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται λέγων,

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.

Τουτέστιν, εἰ οὐδὲν εἶχεν ἐλλιπὲς, εἰ ἀμέμπτους ἐποίει. ὅτι γὰρ περὶ τούτου φησὶν, ἄκουε τὸ ἑξῆς·

8 Μεμφόμενος γὰρ αὐτοῖς λέγει. Οὐκ εἶπε, μεμφόμενος δὲ αὐτῇ, ἀλλά, μεμφόμενος γὰρ αὐτοῖς λέγει, Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν·

9 Οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ

Ιερ. λα. λγ. διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.

Ναί, φησι. καὶ πόθεν δῆλον, ὅτι τέλος ἔλαβεν; ἔδειξε μὲν οὖν καὶ ἀπὸ τοῦ ἱερέως τοῦτο· δείκνυσι δὲ σαφέστερον νῦν αὐτολεξεὶ, ὅτι ἐκβέβληται. πῶς δέ; ἐπὶ κρείττοσιν ἐπαγγελίαις, εἰπών. ποῦ γὰρ ἴσον, εἰπέ μοι, γῆ καὶ οὐρανός; σὺ δὲ θεώρει πῶς κἀκεῖ ἐπαγγελίαις φησὶν, ἵνα μὴ ταύτης τοῦτο κατηγορῇς. καὶ γὰρ ἐκεῖ, Δι' ἧς ἐγγίζομεν τῷ Θεῷ ἐλπίδος φησὶ κρείττονος, δεικνὺς ὅτι * κἀκεῖ ἐλπίς· καὶ ἐνταῦθα, ἐπαγγελίαις κρείττοσιν, αἰνιττόμενος ὅτι καὶ

Εβρ. ζ. ιθ.

ἐκεῖ ἐπηγγείλατο. ἐπειδὴ δὲ ἐνεκάλουν ἀεὶ, ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριός, φησι, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν. οὐ παλαιὰν τινὰ διαθήκην φησίν. ἵνα γὰρ μὴ τοῦτο ἔχωσι λέγειν, καὶ τοὺς χρόνους ὥρισεν. οὐ γὰρ ἁπλῶς εἶπε, κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἵνα μὴ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην εἴπῃς, ἢ τὴν πρὸς τὸν Νῶε· ἀλλὰ ποίαν δηλῶν, φησίν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν τοῖς ἐν τῇ ἐξόδῳ *. διὸ καὶ ἐπήγαγεν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος. ὁρᾷς πρότερον παρ' ἡμῶν ἀρχόμενα τὰ κακά; αὐτοὶ, φησι, πρῶτον οὐκ ἐνέμειναν. λοιπὸν καὶ παρ' ἡμῶν ἡ ἀμέλεια· τὰ δὲ ἀγαθὰ παρ' αὐτοῦ, τὰ τῆς εὐεργεσίας, λέγω. ἐνταῦθα ὥσπερ ἀπολογίαν τίθησι, αὐτὴν τὴν αἰτίαν δεικνὺς, δι' ἣν ἐγκαταλιμπάνει αὐτούς.

10 Ὅτι αὕτη ἡ διαθήκη, φησὶν, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

Οὐκοῦν περὶ τῆς * καινῆς ταῦτά φησιν, ὅτι λέγει, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην. ποία

δὲ

* ἦν

γρ. ἐμέμψατο

* λέγων

γρ. καινῆς

ἢ ἄλλη ἐστὶ διαφορά, ἢ αὕτη; εἰ δὲ διαφορὰν λέγει τις, οὐ κατὰ τοῦτο, ἀλλὰ κατὰ τὸ δοθῆναι εἰς τὰς καρδίας αὐτῶν· οὐ προσταγμάτων εἰσάγει διαφοράν, ἀλλὰ τὸν τρόπον τῆς δόσεως δείκνυσιν. οὐκ ἔτι γὰρ ἐν γράμμασί, φησιν, ἔσται ἡ διαθήκη, ἀλλ' ἐν καρδίαις. δειξάτω τοίνυν τοῦτο γενόμενόν ποτε ὁ Ἰουδαῖος. ἀλλ' οὐκ ἂν εὕροι. πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο, μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος. ἐγὼ δὲ δείκνυμι τοὺς ἀποστόλους μηδὲν παραλαβόντας γραπτόν, ἀλλ' ἐν ταῖς καρδίαις δεξαμένους διὰ πνεύματος ἁγίου. διὸ καὶ ἔλεγεν ὁ Χριστός, Ἐκεῖνος ἐλθὼν ἀναμνήσει ὑμᾶς πάντα, καὶ διδάξει ὑμᾶς. Ιωαν. ιδ. κϛ.

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος, φησί, τὸν * πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν.

12 Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ἰδοὺ καὶ ἄλλο σημεῖον· ἀπὸ μικροῦ, φησιν, ἕως μεγάλου* αὐτῶν εἰδήσουσί με, καὶ οὐ μὴ εἴπωσι, γνῶθι τὸν Κύριον. πότε τοῦτο γέγονεν, ἢ νῦν; δῆλον γὰρ τὸ ἡμέτερον· τὸ δὲ ἐκείνων οὐ δῆλον, ἀλλ' ἀποκέκλειστο εἰς γωνίαν. ἄλλως δέ, καινὴ τότε λέγεται, ὅταν ἑτέρα ᾖ, καὶ δεικνύῃ εἴ τι τῆς παλαιᾶς πλέον ἔχει. καινὴ δὲ καὶ αὕτη τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν περιαιρεθῇ, τὰ δὲ μή. οἷον (ἐπὶ ὑποδείγματος ἵνα εἴπω) εἴ τις οἰκίαν παλαιὰν μέλλουσαν καταπίπτειν ἀφεὶς τὸ πᾶν, τὸν θεμέλιον ὑπερείσας εὐθέως λεγομένην, ἐποίησεν αὐτὴν καινήν, ὅταν τὰ μὲν ἐξέλῃ, τὰ δὲ ἀντεισαγάγῃ. καὶ γὰρ καὶ ὁ οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ' ὑετὸν διδῷ. καὶ ἡ γῆ ὁμοίως καινή, ὅταν μὴ ἄκαρπος ᾖ, οὐχ ὅταν μεταβληθῇ. καὶ οἶκος οὕτω καινός, ὅταν τὰ μὲν αὐτοῦ ἐξαιρεθῇ, τὰ δὲ μένῃ. ὥστε καὶ διαθήκην καινὴν καλῶς εἶπεν· ἵνα δείξῃ ὅτι παλαιὰ γέγονεν ἡ διαθήκη ἐκείνη, κατὰ τὸ μηδένα δοῦναι καρπόν. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι τί φησιν ὁ Ἀγγαῖος, τί ὁ Ζαχαρίας, [τί ὁ ἄγγελος], * τί δὲ Ἔσδρας ἐγκαλεῖ. [πῶς οὖν ἔλαβεν αὐτήν;] πῶς δὲ οὐδεὶς ἐρωτᾷ Κύριον, ὅπου γε καὶ αὐτοὶ προέδωσαν, καὶ οὐδὲ αὐτοὶ ᾔδεισαν; ὁρᾷς πῶς βεβαίωσαι τὸ σόν; ἐγὼ δὲ τὸ ἐμὸν τίθημι, ὅτι καινὴ κυρίως αὕτη ἂν λέγοιτο· ἄλλως δὲ οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι, τό, Ἔσται καινὸς ὁ οὐρανός. διὰ τί γὰρ μὴ λέγων* ἐν τῷ Δευτερονομίῳ, ὅτι ἔσται χαλκοῦς ὁ οὐρανός, τοῦτο ἔθηκεν ἐν τῇ διαστολῇ, ἐὰν δὲ εἰσακούσητε, ἔσται καινός; καὶ μὴν διὰ τοῦτό φησιν ἑτέραν διαθήκην δώσειν, ἐπειδὴ τῇ προτέρᾳ οὐκ ἐνέμειναν. τοῦτο ἐγὼ δείκνυμι δι' ὧν φησι, Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός· καὶ πάλιν, Τί πειράζετε τὸν Θεόν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ὅτι αὐτοὶ οὐκ ἐνέμειναν, φησίν. ἐν τούτῳ δείκνυσιν, ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ, καὶ πνευματικῶν. Εἰς πᾶσαν γάρ, φησι, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. τουτέστιν, οὐ μὴ εἴπωσιν ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν Κύριον· καὶ πάλιν, Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας.

Ησ. ξϛ. ιζ. Δευτ. κη. κγ. Ρωμ. η. γ. Πραξ. ιε. ι. Ψαλ. ιη. δ. Αββακ. β. ιδ.

13 Ἐν τῷ λέγειν καινήν, φησι, πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. Ὁρᾷς δὲ κρυπτόμενον, ὅπως ἐξεκάλυψεν αὐτὴν τοῦ προφήτου τὴν διάνοιαν. ἐπήνεσε τὸν νόμον, καὶ οὐκ ἠθέλησεν αὐτὸν εἰπεῖν παλαιὸν ὀνομαστί· πλὴν μάθοι τοῦτο εἰπεῖν. εἰ γὰρ ἐκείνη καινὴ ἦν, οὐκ ἂν καὶ τοῦτο δὲ μετὰ ταῦτα καινὴν ἐκάλεσεν. ὥστε πλέον τι διδοὺς καὶ ἕτερον, ἐπαλαιώθη, φησίν· οὐκοῦν καταλύεται καὶ ἀπόλλυται, καὶ οὐκέτι ἐστί. λαβὼν παρὰ τοῦ προφήτου τὴν πρόρρησιν, μᾶλλον αὐτῆς καθάπτεται συμφερόντως, δεικνὺς ὅτι τὰ ἡμέτερα νῦν ἀνθεῖ· τουτέστιν, ἔδειξεν οὖσαν παλαιάν. εἶτα λαβὼν δὲ τῆς παλαιᾶς ὄνομα, καὶ ἕτερον παρ' ἑαυτοῦ προστίθησι, τὸ τοῦ γήρως, ὃ λειπόμενον ἀπὸ τῶν ἄλλων ἔλαβε, καί φησιν, ἐγγὺς ἀφανισμοῦ. οὐκ ἄρα ἁπλῶς κατέπαυσεν ἡ καινὴ τὴν παλαιάν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον. διὰ τοῦτο ἔλεγε, διὰ δὲ ἀσθενὲς

καὶ ἀνωφελές; καὶ, οὐδὲν ἐτελείωσεν ὁ νόμος· καὶ ὅτι εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. ἄμεμπτος τί ἐστι; χρήσιμος, ἰσχυρά. τοῦτο δὲ λέγει, οὐχ ὡς ἐγκλημάτων δεῖξαι ὑπεύθυνον, ἀλλ' ὡς οὐκ ἀρκοῦσαν ἰδιωτικώτερον ἐφθέγξατο. ὡς ἂν εἴ τις εἴποι, οὐκ ἔστιν ἄμεμπτος ἡ οἰκία, τουτέστιν, ἔχει ἐλάττωμα, σαθρά ἐστιν· ἢ ὅτι οὐκ ἔστιν ἄμεμπτον τὸ ἱμάτιον, τουτέστι, λοιπὸν διεῤῥωγός. οὐχ ὡς πονηρὰν τοίνυν ἐνταῦθά φησιν, ἀλλ' ὡς ἔχουσαν τὸ αἰτίαμα καὶ ἐλάττωμα.

ΗΘΙΚΟΝ

Οὕτω δὴ καὶ ἡμεῖς καινοί ἐσμεν· μᾶλλον δὲ καινοὶ ἐγενόμεθα· νῦν δὲ πεπαλαιώμεθα. διὰ τοῦτο ἐγγύς ἐσμεν ἀφανισμοῦ καὶ ἀπωλείας. ἀλλ' ἂν ἐθέλωμεν, ἔστιν ἀποξύσαι τοῦτο τὸ γῆρας. λουτρῷ μὲν οὖν οὐκέτι δυνατόν· μετανοίᾳ δὲ ἐνταῦθα δυνατόν. εἴ τι παλαιὸν ἐν ἡμῖν, ῥίψωμεν· εἴ τις ῥυτὶς, εἴ τις κηλὶς, εἴ τις σπίλος, ἀπονιψώμεθα, καὶ καλοὶ γενώμεθα, ἵνα ἐπιθυμήσῃ ὁ βασιλεὺς τοῦ κάλλους ἡμῶν. ἔξεστι καὶ πρὸς ἐσχάτην δυσειδίαν καταπεσόντας ἀνακτήσασθαι τὸ κάλλος ἐκεῖνο, περὶ οὗ φησιν ὁ Δαβὶδ, Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. καὶ μὴν ἡ λήθη κάλλος οὐ ποιεῖ. [κάλλος] τὸ ψυχικόν. λήθη ποία; ἡ τῶν ἁμαρτιῶν. πρὸς γὰρ τὴν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν διαλέγεται, παραινῶν αὐτῇ τῶν πατρῴων μὴ μνησθῆναι· τουτέστι, τῶν εἰδώλοις θυόντων. ἀπὸ γὰρ τῶν τοιούτων συνῆκται. καὶ οὐκ εἶπε, μὴ μετέλθῃς αὐτά· ἀλλ' ὃ πλέον ἐστὶ, μηδὲ εἰς νοῦν λάβῃς. ὁ δὲ ἀλλαχοῦ φησιν, Οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. καὶ πάλιν, Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. οὔπω τοῦτο μεγάλη ἀρετή. μᾶλλον δὲ μεγάλη μέν, ἀλλ' οὐ τοιαύτη. ἐκεῖ γὰρ τί φησιν; οὐκ εἶπεν, οὐ μὴ λαλήσῃς τὰ τῶν * πατέρων, ἀλλὰ μηδὲ ἀναμνησθῇς αὐτῶν, * μηδὲ εἰς νοῦν λάβῃς. ὁρᾷς πόσον ἡμᾶς διάστημα τῆς κακίας ἀπέχειν βούλεται; ὁ γὰρ μὴ μεμνημένος, οὐ λογίζεται· ὁ δὲ μὴ λογιζόμενος, οὐδὲ φθέγγεται· ὁ δὲ μὴ φθεγγόμενος, οὐδὲ πράξει. ὁρᾷς περὶ πόσων ἀπετείχισεν ἡμᾶς ὁδῶν, περὶ πόσων διαστημάτων ἀπεμάκρυνε, καὶ ἐκ τοῦ πλείονος; ἀκούσωμεν τοίνυν καὶ ἡμεῖς, καὶ ἐπιλαθώμεθα τῶν ἡμετέρων κακῶν· οὐ τῶν ἡμαρτημένων ἡμῖν, λέγω. Μνήσθητι γὰρ σύ, φησι, πρῶτος, καὶ οὐ μὴ μνησθῶ ἐγώ. οἷον τί λέγω; μηκέτι μνημονεύωμεν ἁρπαγῆς, ἀλλὰ καὶ τὰ πρότερα ἀποδῶμεν. τοῦτό ἐστιν ἐπιλαθέσθαι κακίας, καὶ ἐκβαλεῖν τοὺς λογισμοὺς τοὺς ἁρπακτικοὺς, καὶ μηδέποτε αὐτοὺς ἐπιδέξασθαι, ἀλλὰ καὶ τὰ ἤδη πεπλημμελημένα ἀπαλείφειν. πόθεν δὲ ἂν γένοιτο ἡμῖν λήθη πονηρίας; ἀπὸ τῆς μνήμης τῶν ἀγαθῶν τοῦ Θεοῦ. ἐὰν τοῦ Θεοῦ διαπαντὸς μνημονεύωμεν, οὐ δυνάμεθα κἀκείνων μεμνῆσθαι. Εἰ ἐμνημόνευόν γάρ σου, φησὶν, ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ἀεὶ μὲν οὖν, μάλιστα δὲ τότε χρὴ μεμνῆσθαι τοῦ Θεοῦ, ὅταν ἐν ἡσυχίᾳ ὁ λογισμὸς ᾖ, ὅταν διὰ τῆς μνήμης ἐκείνης ἑαυτοῦ καταδικάζειν δύνηται, ὅταν κατέχεσθαι ἐν τῇ μνήμῃ. ἐν ἡμέρᾳ μὲν γὰρ ἂν μνημονεύσωμεν, ἐπεισελθοῦσαι φροντίδες ἕτεραι καὶ θόρυβοι πάλιν αὐτὴν ἐκβάλλουσιν· ἐν νυκτὶ δὲ διαπαντὸς μεμνῆσθαι δυνατὸν, ὅταν ἐν γαλήνῃ ᾖ καὶ ἀναπαύσει ἡ ψυχή, ὅταν ἐν λιμένι, ὅταν ἐν εὐδίᾳ. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε, φησιν. ἔδει μὲν γὰρ καὶ δι' ἡμέρας ταύτην ἔχειν τὴν μνήμην. ἐπειδὴ δὲ φροντίζετε ἀεὶ, καὶ περισπᾶσθε ἐν τοῖς βιωτικοῖς, κἂν τότε μνημονεύετε ἐπὶ τῆς κοίτης τοῦ Θεοῦ· ἐν τοῖς ὄρθροις μελετᾶτε ἐν αὐτῷ. ἂν ἐν τοῖς ὄρθροις μελετήσωμεν ταῦτα, μετὰ πολλῆς ἀσφαλείας χωρήσομεν εἰς τὰ πράγματα. ἂν ἵλεων πρῶτον τὸν Θεὸν ποιήσωμεν τῇ ἐντεύξει καὶ τῇ ἱκετηρίᾳ, οὕτω προβαίνοντες οὐδένα ἕξομεν ἐχθρόν. κἂν ἔχῃς δὲ, καταγελάσῃ, ἵλεων ἔχων τὸν Θεόν. πόλεμός ἐστιν ἐν τῇ ἀγορᾷ, μάχη ἐστὶ τὰ πράγματα τὰ καθημερινὰ, κλυδώνιόν ἐστι καὶ χειμών. δεῖ τοίνυν ὅπλων ἡμῖν· μέγα δὲ ὅπλον εὐχή. δεῖ οὐρίων ἀνέμων, δεῖ μαθεῖν ἅπαντα, ὥστε τὸ μῆκος τῆς ἡμέρας χωρὶς ναυαγίων διανύσαι καὶ τραυμάτων. πολλοὶ γὰρ καθ' ἑκάστην ἡμέραν εἰσὶ σκόπελοι, καὶ πολλάκις προσέῤῥαξε τὸ σκάφος, καὶ κατεποντίσθη. διὰ τοῦτο εὐχῆς ἡμῖν

Ψαλμ. μδ. ιγ.

Ψαλμ. ιε. δ.

Ψαλμ. ις. δ.

Ψαλμ. ξβ. ζ.

Ψαλμ. δ. ε.

δεῖ

ᾠδῆς μάλιστα ἑωθινῆς καὶ νυκτερινῆς. Ὀλύμπια πολλοὶ πολλάκις ὑμῶν ἐθεάσαντο· καὶ οὐκ ἐθεάσαντο μόνον, ἀλλὰ καὶ σπουδασταὶ καὶ θαυμασταὶ τῶν ἀγωνιζομένων ἐγένοντο, ὁ μὲν τούτου, ὁ δὲ ἐκείνου. ἴστε οὖν ὅτι καὶ τὰς ἡμέρας τῶν ἀγώνων, καὶ τὰς νύκτας ἐκείνας, δι' ὅλης νυκτὸς ὁ κῆρυξ οὐδὲν ἄλλο φροντίζει, οὐδὲν ἄλλο μεριμνᾷ, ἢ ὅπως ἐξελθὼν μὴ ἀσχημονήσῃ ὁ ἀγωνιζόμενος. ἐκεῖνοι γὰρ οἱ παρακατατιθέμενοι τῷ σαλπιγκτῇ παρέχουσι μηδὲ φθέγξασθαί τινι, ὥστε μὴ τὸ πνεῦμα δαπανώμενοι γέλωτα ὀφλεῖν. Εἰ τοίνυν ὁ ἐν ἀνθρώποις ἀγωνίζεσθαι μέλλων, τοσαύτῃ κέχρηται προνοίᾳ· πολλῷ μᾶλλον ἡμῖν ἁρμόσει διηνεκῶς φροντίζειν καὶ μεριμνᾷν, οἷς ὁ πᾶς βίος ἀγών ἐστι. πᾶσα τοίνυν ἔστω νὺξ παννυχίς, καὶ μεριμνῶμεν πῶς ἐξελθόντες τὴν ἡμέραν, μὴ γέλωτα ὀφλῶμεν. καὶ εἴθε γέλωτα μόνον. νυνὶ δὲ κάθηται ἐν δεξιᾷ τοῦ πατρὸς ὁ ἀγωνοθέτης, ἀκούων ἀκριβῶς μήτι ἀπηχὲς φθεγγώμεθα, μήτι παρὰ μέλος. οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ῥημάτων ἐστὶ κριτής. παννυχίσωμεν, ἀγαπητοί· ἔχομεν καὶ ἡμεῖς σπουδαστάς, ἐὰν θέλωμεν. ἑκάστῳ ἡμῶν ἄγγελος παρακάθηται· ἡμεῖς δὲ ῥέγχομεν δι' ὅλης νυκτός. καὶ εἴθε τοῦτο μόνον· πολλοὶ δὲ καὶ ἀσελγῆ πράττουσι πολλοί, οἱ μὲν πρὸς αὐτὰ τὰ χαμαιτυπεῖα βαδίζοντες, οἱ δὲ τὰς οἰκίας πορνεῖα ποιοῦντες, τὰς ἑταίρας ἄγοντες ἐκεῖ. πάνυγε. οὐ γὰρ καλῶς μεριμνῶσιν ἀγωνίσασθαι. ἕτεροι μεθύουσι καὶ παραφθέγγονται, ἄλλοι θορυβοῦσιν, ἕτεροι παννυχίζουσι κακῶς, κατὰ τῶν καθευδόντων χεῖρον πλέκοντες δόλους· ἄλλοι τόκους ἀριθμοῦντες, ἕτεροι φροντίσι κατατεινόμενοι, καὶ πάντα μᾶλλον ποιοῦντες, ἢ τὰ τῷ ἀγῶνι προσήκοντα. διό, παρακαλῶ, πάντα ἀφέντες, εἰς ἓν ὁρῶμεν μόνον, ὅπως τὸ βραβεῖον λάβωμεν, καὶ τὸν στέφανον ἀναδησώμεθα. πάντα πράττωμεν, δι' ὧν δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιε. 1 ΕΙΧΕ ΜΕΝ ΟΥΝ ΚΑΙ Η ΠΡΩΤΗ ΔΙ-καιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. 2 Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια. 3 Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, 4 Χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσοῦν ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. 5 Ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. κεφ. θ.

Ἔδειξεν ἀπὸ τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς διαθήκης, ὅτι τέλος ἔμελλεν ἔχειν ἐκείνη. δείκνυσι λοιπὸν καὶ ἀπ' αὐτῆς τῆς σκηνῆς τοῦ σχήματος. πῶς; ἅγια λέγων, καὶ ἅγια ἁγίων. τὰ μὲν οὖν ἅγια, τοῦ προτέρου καιροῦ σύμβολά ἐστιν. ἐκεῖ γὰρ διὰ θυσιῶν πάντα ἐγίνετο· τὰ δὲ ἅγια τῶν ἁγίων, τούτου τοῦ νῦν ἐνεστῶτος. λέγει δὲ ἅγια ἁγίων, τὸν οὐρανόν, τὸ αὐτὸ δὲ καὶ καταπέτασμα τοῦ οὐρανοῦ, καὶ τὴν σάρκα εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, τουτέστι, διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ. καλὸν δὲ ἄνωθεν τὸ χωρίον ἀναλαβόντας εἰπεῖν. τί οὖν φησιν; εἶχε μὲν οὖν καὶ ἡ πρώτη. ἡ πρώτη τίς; ἡ διαθήκη. δικαιώματα λατρείας. τί ἐστι, δικαιώματα; σύμβολα, ἢ θεσμούς. ὥσπερ ἔλεγε, τότε εἶχε, νῦν οὐκ ἔχει. δείκνυσιν ἤδη ταύτην αὐτὴν ἐκκεχωρηκυῖαν. τότε γὰρ εἶχε, φησίν· ὥστε νῦν εἰ καὶ ἕστηκεν, οὐκ ἔστι. τό τε ἅγιον κοσμικόν. κοσμικὴν λέγει, ἐπειδὴ πᾶσιν ἐφίετο ἐπιβαίνειν, καὶ δῆλος ἦν ὁ τόπος ἐν τῷ αὐτῷ οἴκῳ, ἔνθα οἱ ἱερεῖς εἱστήκεσαν, ἔνθα

οἱ

οἱ Ἰουδαῖοι, οἱ προσήλυτοι, οἱ Ἕλληνες, οἱ Ναζωραῖοι. ἐπειδὴ οὖν καὶ Ἕλλησι βατὸν ἦν, κοσμικὸν αὐτὸ καλεῖ. οὐ γὰρ δὴ οἱ Ἰουδαῖοι ὁ κόσμος ἦσαν. σκηνὴ γάρ, φησι, κατεσκευάσθη ἡ πρώτη, ἥτις λέγεται ἅγια· ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων. ταῦτα σύμβολα τοῦ κόσμου. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα. ἄρα οὐκ ἦν καταπέτασμα ἕν, ἀλλὰ καὶ ἔξω καταπέτασμα ἦν. σκηνή, ἥτις λέγεται ἅγια ἁγίων. ὅρα πῶς πανταχοῦ σκηνὴν καλεῖ, παρὰ τὸ σκηνῶσαι ἐκεῖ. χρυσοῦν ἔχουσα θυμιατήριον, φησι, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. πάντα ταῦτα σεμνὰ ἦν καὶ λαμπρά· τῆς Ἰουδαϊκῆς ἀγνωμοσύνης ὑπομνήματα. καὶ αἱ πλάκες τῆς διαθήκης. κατέαξαν γὰρ αὐτάς. καὶ τὸ μάννα. ἐγόγγυσαν γάρ· [καὶ διὰ τοῦτο εἰς ἐγγόνους παραπέμπων τὴν μνήμην, προσέταξεν εἰς τὴν στάμνον τὴν χρυσῆν ἀποτεθῆναι αὐτό]. καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα. [ἐπανέστησαν γάρ. ἐπειδὴ οὖν καὶ ἀχάριστοι ἦσαν οἱ Ἰουδαῖοι, καὶ εὐεργετούμενοι συνεχῶς ἐπελανθάνοντο, διὰ τοῦτο προστάζει ὁ νομοθέτης εἰς τὴν στάμνον τὴν χρυσῆν ἀποθέσθαι αὐτά, καὶ οὕτως εἰς ἐγγόνους παραπέμπειν τὴν μνήμην.] ὑπεράνω δὲ αὐτῆς, χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον. τί ἐστι χερουβὶμ δόξης; ἤτοι τὰ ἔνδοξα, ἢ τὰ ὑποκάτω τοῦ Θεοῦ φησι. καλῶς δὲ καὶ ἐπαίρει τὸν λόγον, ἵνα δείξῃ μείζονα ὄντα τὰ μετὰ ταῦτα. περὶ ὧν οὐκ ἔστι, φησί, νῦν λέγειν κατὰ μέρος. ἐνταῦθα ᾐνίξατο, ὅτι οὐ ταῦτα ἦν μόνον τὰ ὁρώμενα, ἀλλὰ αἰνίγματά τινα ἦν. περὶ ὧν οὐκ ἔστι, φησί, νῦν λέγειν κατὰ μέρος· ἴσως ὡς μακροῦ δεομένων λόγου. γρ. ἀνάγκη

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. Τουτέστι, ἦν μὲν ταῦτα, οὐκ ἀπέλαυον δὲ τούτων αὐτῶν οἱ Ἰουδαῖοι. οὐ γὰρ ἑώρων αὐτά· ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, ἢ οἷς προετυποῦτο. γρ. ἀλλ' οἷς προετυπώθη.

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Ὁρᾷς ἤδη τοὺς τύπους προκαταβεβλημένους; ἵνα γὰρ μὴ λέγωσιν, ὅτι πῶς μία θυσία, καὶ πῶς ὁ ἀρχιερεὺς ἅπαξ προσέφερε; δείκνυσιν αὐτοὺς ἄνωθεν οὕτως ὄν· εἴγε ἡ ἁγιωτέρα μία ἦν καὶ ἡ φρικτή. οὕτως εἰθίζοντο ἄνωθεν. καὶ γὰρ τότε ὁ ἀρχιερεύς, φησιν, ἅπαξ προσέφερε. καὶ καλῶς εἶπεν, οὐ χωρὶς αἵματος. οὐ χωρὶς μὲν αἵματος, οὐ μὴν τούτου τοῦ αἵματος. οὐ γὰρ τοσαύτη ἦν ἡ πραγματεία. δείκνυσιν ὅτι ἔσται θυσία, οὐ πυρὶ ἀναλουμένη, ἀλλὰ ἀπὸ αἵματος μᾶλλον διαχυνομένη. ἐπειδὴ γὰρ θυσίαν ἐκάλεσε τὸν σταυρόν, οὔτε πῦρ ἔχοντα, οὔτε ξύλα, οὔτε πολλάκις προσφερόμενον, ἀλλὰ ἅπαξ ἐν αἵματι προσενεχθέντα· δείκνυσιν ὅτι καὶ ἡ παλαιὰ θυσία τοιαύτη ἦν, ἅπαξ προσεφέρετο ἐν αἵματι. ὃ προσφέρει, φησίν, ὑπὲρ ἑαυτοῦ * καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ὅρα· οὐκ εἶπεν, ἁμαρτημάτων, ἀλλ', ἀγνοημάτων· ἵνα μὴ μέγα φρονήσωσιν. εἰ γὰρ καὶ μὴ ἑκὼν ἥμαρτες, φησιν· ἀλλ' ἄκων ἠγνόησας, καὶ τούτου οὐδεὶς ἐστι καθαρός. καὶ πανταχοῦ δέ, ὑπὲρ ἑαυτοῦ, τίθησι, δεικνὺς ὅτι ὁ Χριστὸς πολλῷ μείζων ἐστὶ τοῦ παρὰ Ἰουδαίοις ἀρχιερέως. εἰ γὰρ κεχώρισται τῶν ἁμαρτιῶν ἡμῶν, πῶς ὑπὲρ ἑαυτοῦ προσήνεγκε; τί οὖν ταῦτα εἶπες, φησί; [τοῦτο γὰρ κρείττονός ἐστιν.] οὐδαμοῦ ἐνταῦθα κυρεία. λοιπὸν δὲ θεωρεῖ καί φησι,

* αὐτὸ ἐπὶ λαοῦ

8 Τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν. Διὰ τοῦτο, φησι, ταῦτα οὕτω κατεσκεύασται, ἵνα μάθωμεν ὅτι τὰ ἅγια τῶν ἁγίων (τουτέστι, ὁ οὐρανός) ἔτι ἐστὶν ἄβατος. μὴ οὖν, ἐπειδὴ μὴ ἐπιβαίνομεν αὐτοῦ, φησι, νομίζωμεν αὐτὸν μάτην εἶναι· ἐπεὶ οὐδὲ τῶν ἁγίων ἐπέβημεν.

9 Ἥτις παραβολὴ, φησὶν, εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα*. Καιρὸν ἐνεστηκότα ποῖον λέγει; τὸν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. μετὰ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ, οὐκέτι καιρὸς ἐστὶν ἐνεστώς. πῶς γὰρ, ἐπιγενόμενος, καὶ τέλος ἔχων; καὶ ἕτερον δὲ ἐμφαίνων, τοῦτό φησιν, ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα· Τουτέστιν, ὁ τύπος γέγονε. Καθ᾽ ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα. Εἶδες πῶς σαφῶς ἔδειξεν ἐντεῦθεν τί ἐστι τὸ, οὐδὲν ἐτελείωσεν ὁ νόμος, καὶ τὸ, Εἰ ἡ πρώτη ἦν ἄμεμπτος;* πῶς; κατὰ συνείδησιν. αἱ γὰρ θυσίαι οὐ τὸν ἀπὸ τῆς Εβρ. η. ζ.
ψυχῆς ῥύπον ἠφίεσαν, ἀλλ᾽ ἐπὶ τοῦ σώματος ἦσαν. Κατὰ νόμον γὰρ ἐντολῆς σαρκικῆς, φησίν. Εβρ. ζ. ιγ.
οὐ γὰρ δὴ μοιχείαν, οὐδὲ φόνον, οὐδὲ ἱεροσυλίαν ἀφιέναι ἐδύναντο· ὅτι δὲ τόδε φάγε, τόδε μὴ φάγῃς· ἅπερ ἐστὶν ἀδιάφορα.

10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς.

Τί δέ ποτε, φησί. καίτοι οὐδὲν τοῦ ποτοῦ οὐδὲν ἦν διατεταγμένον· ἀλλ᾽ ἐξευτελίζων αὐτὰ οὕτως εἶπε. καὶ διαφόροις βαπτισμοῖς, Καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Αὕτη γὰρ ἡ δικαιοσύνη τῆς σαρκός. ἐνταῦθα καταβάλλει τὰς θυσίας, δεικνὺς ὅτι οὐδεμίαν εἶχον ἰσχὺν, καὶ ὅτι μέχρι καιροῦ διορθώσεως ἦσαν· τουτέστιν, ἔμελλον τὸν καιρὸν τὸν διορθοῦντα πάντα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου. Τὴν σάρκα ἐνταῦθα λέγει. καλῶς δὲ καὶ μείζονα καὶ τελειοτέραν εἶπεν, εἴγε ὁ Θεὸς λόγος, καὶ πᾶσα ἡ τοῦ πνεύματος ἐνέργεια οἰκεῖ ἐν αὐτῇ. Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα. ἢ τελειοτέρας, ἅτε καὶ ἀλήπτου οὔσης, λέγει, καὶ μείζονα κατορθούσης. Ιωαν γ. λδ.
Τουτέστιν, οὐ ταύτης τῆς κτίσεως.

Ἰδοὺ πῶς μείζονος. οὐ γὰρ ἂν ἐκ πνεύματος, εἰ ἄνθρωπος αὐτὴν κατεσκεύασεν. οὐ ταύτης τῆς κτίσεως, φησὶ (τουτέστιν, οὐ τούτων τῶν κτισμάτων) ἀλλὰ πνευματικῆς· ἐκ πνεύματος γὰρ κατεσκεύαστο ἁγίου. ὁρᾷς πῶς καὶ σκηνὴν καὶ καταπέτασμα καὶ οὐρανὸν τὸ σῶμα καλεῖ; διὰ τῆς μείζονος καὶ τελειοτέρας, φησὶ, σκηνῆς· εἶτα, διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ. καὶ πάλιν, εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος· καὶ πάλιν, εἰσερχομένην εἰς τὰ ἅγια τῶν ἁγίων, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ. Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; ἡμᾶς διδάξαι βουλόμενος, καθ᾽ ἕτερον καὶ ἕτερον σημαινόμενον, τὸν αὐτὸν λέγων ὄντα. οἷόν τι λέγω, καταπέτασμα ὁ οὐρανός ἐστιν. ὥσπερ γὰρ ἀποτειχίζει τὰ ἅγια καταπέτασμα, καὶ ἡ σὰρξ κρύπτουσα τὴν θεότητα· καὶ σκηνὴ ὁμοίως ἡ σὰρξ, ἔχουσα τὴν θεότητα· [καὶ] σκηνὴ πάλιν ὁ οὐρανός. ἐκεῖ γὰρ ἐστὶν ἔνδον ὁ ἱερεύς. Χριστὸς δὲ, φησὶ, παραγενόμενος ἀρχιερεύς. οὐκ εἶπε, γενόμενος, ἀλλὰ, παραγενόμενος· τουτέστιν, εἰς αὐτὸ τοῦτο ἐλθὼν, οὐχ ἕτερον διαδεξάμενος. οὐ πρότερον προγενόμενος, καὶ τότε γενόμενος· ἀλλὰ μᾶλλον ἦλθε. καὶ οὐκ εἶπε, παραγενόμενος ἀρχιερεὺς τῶν θυσιῶν, ἀλλὰ τῶν μελλόντων ἀγαθῶν· ὡς οὐκ ἰσχύοντος τοῦ λόγου παραστῆσαι τὸ πᾶν.

12 Οὐδὲ δι᾽ αἵματος, φησὶ, τράγων καὶ μόσχων. Πάντα ἐξηλλαγμένα.

Διὰ δὲ τοῦ ἰδίου αἵματος, φησὶν, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια.

Ἰδοὺ τὸν οὐρανὸν τοῦτο ἐκάλεσεν. Ἐφάπαξ, φησὶν, εἰσῆλθεν εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Καὶ τὸ, εὑράμενος, σφόδρα τῶν ἀπόρων ἦν, καὶ τῶν παρὰ προσδοκίαν, πῶς διὰ μιᾶς εἰσόδου αἰωνίαν λύτρωσιν ηὕρατο. Εἶτα τὸ πιθανόν·

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα·

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν

ἄμωμον

ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; Εἰ γὰρ σάρκα, φησὶ, δύναται καθαρίσαι τὸ αἷμα τῶν ταύρων· πολλῷ μᾶλλον τῆς ψυχῆς τὸν ῥύπον ἀποσμήξει τὸ αἷμα τοῦ Χριστοῦ. ἵνα γὰρ μὴ ἀκούσας, ἁγιάζει, μέγα νομίσῃς· ἐπισημαίνεται καὶ δείκνυσιν ἑκατέρου τοῦ καθαρμοῦ τὸ μέσον, καὶ πῶς ἐστὶν ὁ μὲν ὑψηλὸς, ἐκεῖνος δὲ ταπεινός. καὶ λέγει, ὅτι εἰκότως· εἴγε ἐκεῖνο μὲν τὸ αἷμα ἦν ταύρων, τοῦτο δὲ τοῦ Χριστοῦ. καὶ οὐκ ἠρκέσθη τῷ ὀνόματι, ἀλλὰ καὶ τὸν τρόπον τίθησι τῆς προσφορᾶς· ὃς διὰ πνεύματος ἁγίου, φησὶν, ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ. τουτέστι, τὸ ἱερεῖον ἄμωμον ἦν, ἁμαρτιῶν καθαρόν. τὸ δὲ, διὰ πνεύματος ἁγίου, δηλοῖ ὅτι οὐ διὰ πυρὸς προσήνεκται, οὐδὲ δι' ἄλλων τινῶν. καθαριεῖ τὴν συνείδησιν ὑμῶν, φησιν, ἀπὸ νεκρῶν ἔργων. καὶ καλῶς εἶπεν, ἀπὸ νεκρῶν ἔργων. εἴ τις γὰρ ἥψατο τότε νεκροῦ, ἐμιαίνετο· καὶ ἐνταῦθα εἴ τις ἅψαιτο νεκροῦ ἔργου, μολύνεται διὰ τῆς συνειδήσεως. εἰς τὸ λατρεύειν Θεῷ ζῶντι, φησι, καὶ ἀληθινῷ. ἐνταῦθα ἐμφαίνει, ὅτι τὸν νεκρὰ ἔργα ἔχοντα οὐκ ἔνι δουλεύειν τῷ ζῶντι Θεῷ. ἀληθινῷ δὲ καὶ ζῶντι Θεῷ εἰκότως εἶπε, δηλῶν ἐντεῦθεν ὅτι καὶ τὰ προσαγόμενα αὐτῷ τοιαῦτα. ὥστε ταῦτα τὰ παρ' ἡμῖν, καὶ ζῶντα καὶ ἀληθινά· ἐκεῖνα δὲ τὰ παρὰ Ἰουδαίοις, καὶ νεκρὰ καὶ ψευδῆ· καὶ εἰκότως.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν νεκρὰ ἔργα ἔχων εἰσίτω ἐνταῦθα. εἰ γὰρ τὸν νεκροῦ σώματος ἁψάμενον οὐκ ἔδει εἰσιέναι, πολλῷ μᾶλλον τὸν νεκρὰ ἔργα ἔχοντα. μολυσμὸς γάρ ἐστι χαλεπώτατος. νεκρὰ δὲ ἔργα ἐστὶ, πάντα τὰ ζωὴν οὐκ ἔχοντα, τὰ δυσωδίας πνέοντα. ὥσπερ γὰρ τὸ νεκρὸν σῶμα πρὸς οὐδεμίαν αἴσθησίν ἐστι χρήσιμον, ἀλλὰ [καὶ] λυπεῖ τοὺς πλησιάζοντας· οὕτω καὶ ἡ ἁμαρτία εὐθέως τὸ λογιστικὸν πλήττει, καὶ οὐκ ἀφίησιν οὐδὲ αὐτὴν τὴν διάνοιαν ἠρεμεῖν, ἀλλὰ θορυβεῖ καὶ ταράττει. λέγεται δὲ καὶ λοιμὸς τικτόμενος διαφθείρειν τὰ σώματα. τοιαύτη ἐστὶ καὶ ἡ ἁμαρτία· λοιμοῦ οὐδὲν διενήνοχεν, οὐ τὸν ἀέρα διαφθείρουσα πρότερον, εἶτα τὰ σώματα, ἀλλ' εὐθέως εἰς τὴν ψυχὴν εἰσπηδῶσα. οὐχ ὁρᾷς τοὺς λοιμώττοντας, πῶς φλεγμαίνουσι, πῶς διαστρέφονται, πῶς δυσωδίας εἰσὶν ἐμπεπλησμένοι, πῶς αὐτῶν αἰσχραὶ αἱ ὄψεις, πῶς ὅλοι ἀκάθαρτοι; τοιοῦτοί εἰσι καὶ οἱ ἁμαρτάνοντες, κἂν μὴ βλέπωσιν. εἰπέ μοι γὰρ, πυρέττοντος παντὸς οὐκ ἔστι χείρων ὁ τῇ ἐπιθυμίᾳ τῶν χρημάτων, ἢ τῶν σωμάτων ἁλούς; οὐχὶ ἀκαθαρτότερος τούτων πάντων ἐστὶ, πάντα τὰ αἴσχιστα καὶ ποιῶν καὶ πάσχων; τί γὰρ αἰσχρότερον ἀνδρὸς χρημάτων ἐρῶντος; ὅσα αἱ ἑταιριζόμεναι γυναῖκες, ὅσα αἱ ἐπὶ τῆς σκηνῆς οὐ παραιτοῦνται ποιεῖν, τοσαῦτα οὐδὲ οὗτος· μᾶλλον δὲ ἐκείνας εἰκός ἐστι παραιτήσασθαι, ἢ τοῦτον. τί λέγω, οὐ παραιτεῖται; καὶ δουλοπρεπῆ πράγματα ὑπομένει, κολακεύων οὓς οὐ δεῖ, θρασυνόμενος πάλιν ἔνθα μὴ δεῖ, πανταχοῦ ἀνώμαλος, πονηροὺς ἄνδρας, καὶ ["γόητας, πολλάκις] διεφθαρμένους, πολλῷ καὶ πενεστέρους καὶ εὐτελεστέρους αὐτοῦ παρακάθηται κολακεύων, καὶ ἑτέρους ἀγαθοὺς καὶ πάντοθεν ἐναρέτους ὑβρίζων, καὶ θρασυνόμενος. εἶδες ἑκατέρωθεν τὴν ἀσχημοσύνην, τὴν ἀναισχυντίαν; καὶ ταπεινός ἐστι πέρα τοῦ μέτρου, καὶ ἀλαζών. ἀλλ' ἑστήκασιν ἐπὶ οἰκήματος αἱ πόρναι· καὶ τοῦτό ἐστι τὸ ἔγκλημα, ὅτι τὸ σῶμα πωλοῦσι χρημάτων ἕνεκεν. ἀλλ' ἔχουσί τινα ἀπολογίαν, τὴν πενίαν καὶ τὸν καταναγκάζοντα λιμόν. εἰ καὶ τὰ μάλιστα οὐδὲ τοῦτο ἱκανὸν εἰς ἀπολογίαν. ἔξεστι γὰρ ἐργαζομένας διατρέφεσθαι. ἐνταῦθα δὲ ἕστηκεν ὁ πλεονέκτης, οὐκ ἐπὶ οἰκήματος, ἀλλ' ἐπὶ τῆς πόλεως μέσης, οὐ σῶμα, ἀλλὰ τὴν ψυχὴν προδιδοὺς τῷ διαβόλῳ, ὥστε καὶ συγγίνεσθαι, καὶ εἰσέρχεσθαι πρὸς αὐτὸν, ὥσπερ ὄντως πρὸς πόρνην. καὶ * τὴν ἐπιθυμίαν αὐτοῦ πᾶσαν πληρώσας ἐξέρχεται· καὶ ὁρῶσι πᾶσα ἡ πόλις, οὐ δύο ἄνδρες, καὶ τρεῖς. καὶ τοῦτο δὲ τῶν πορνῶν ἴδιόν ἐστιν, ὅτι τοῦ τὸ πλεῖστον διδόντος εἰσί. κἂν γὰρ δοῦλος ᾖ, καὶ ἐλεύθερος,

χ. γόητ[as]

* ἴσ.

κἂν

καὶ μοναχὸς, κἂν ὁσιοῦν, περιπίνῃ δὲ τὸν μισθὸν, καταδέχοιτο· οὐδὲ γὰρ μηδὲν προσπίνοντας,
καὶ πάντων ὄντων εὐηργετημένοι, χωρὶς τοῦ ἀργυρίου οὐ προσίενται. τοῦτο καὶ ἐνταῦθα οὗτοι ποιοῦσι,
οὐδὲ μετ᾽ ὀρθοὺς λογισμοὺς, ὅταν ἀργύριον μὴ ἔχωσιν, ἀποστρέφονται· τοῖς δὲ μιαροῖς καὶ ὄντως
θεομάχοις συγγίνονται διὰ τὸ χρυσίον, καὶ ἀσχημόνως συγγίνονται· καὶ τὸ κάλλος ἀπολλύουσι
τῆς ψυχῆς. καθάπερ γὰρ ἐκεῖναι φύσει μὲν εἰδεχθεῖς καὶ μιαραί, καὶ ἀγροικίδες καὶ παχεῖαι,
καὶ ἄμορφοι καὶ κακόπλαστοι, καὶ πάντοθεν αἰσχραί· οὕτω καὶ αἱ τούτων γίνονται ψυχαί, οὐδὲ τοῖς
ἔξωθεν ἐπιτρίμμασι τὴν ἀμορφίαν συγκαλύψαι δυνάμεναι. ὅταν γὰρ ἐσχάτη ἡ δυσει-
δεια, ὅσα ἂν ἐπινοήσωσιν, οὐδὲ ὑποκρίνασθαι δύνανται. ὅτι γὰρ ἀναισχυντία πόρνης ποιεῖ,
ἄκουσον τοῦ προφήτου λέγοντος, Ἀπηναισχύντησας πρὸς πάντας, ὄψις πόρνης ἐγένετό σοι.
τοῦτο δὲ πρὸς τοὺς πλεονέκτας ἐστὶν εἰπεῖν, ἀπηναισχύντησας πρὸς πάντας, οὐ πρὸς τούσ-
δε καὶ τούσδε, ἀλλὰ πρὸς πάντας. πῶς; οὐ πατέρα, οὐχ υἱὸν, οὐ γυναῖκα, οὐ φίλον, οὐκ ἀ- Ιερ. γ. γ.
δελφὸν, οὐκ εὐεργέτην, οὐδένα ἁπλῶς αἰδεῖται ὁ τοιοῦτος. καὶ τί λέγω φίλον καὶ ἀδελφὸν
καὶ πατέρα; αὐτὸν οὐκ αἰδεῖται τὸν Θεὸν, ἀλλὰ πάντα μῦθος αὐτῷ εἶναι δοκεῖ, καὶ γελᾷ ὑπὸ
τῆς πολλῆς ἐπιθυμίας μεθύων, καὶ οὐδὲ τῇ ἀκοῇ παραδεχόμενός τι τῶν ὠφελεῖν αὐτὸν δυνα-
μένων. ἀλλ᾽ ὢ τῆς ἀτοπίας, καὶ οἷα φθέγγονται· οὐαί σοι, μαμωνᾶ, καὶ τοῖς μὴ ἔχουσί σε. ἐνταῦ-
θα διαπρίομαι ὑπὸ τοῦ θυμοῦ. οὐαὶ γὰρ τοῖς ταῦτα λέγουσι, κἂν ἐν γέλωτι λέγωσιν. εἰ-
πέ μοι γὰρ, οὐ τοιαύτην ἀπειλὴν ἠπείλησεν ὁ Θεὸς λέγων, Οὐ δύνασθε δυσὶ κυρίοις δου-
λεύειν, σὺ δὲ ἐκλύεις τὴν ἀπειλὴν, τοιαῦτα τολμῶν φθέγγεσθαι ἐπὶ κακῷ τῷ σαυτοῦ; οὐκ Ματθ. ς. κδ.
εἰδωλολατρείαν αὐτὴν εἶναί φησιν ὁ Παῦλος, καὶ τὴν πλεονεξίαν εἰδωλολατρείαν καλεῖ,
σὺ δὲ ἐπίτηδες γελῶν μιμῇ τὰς βιωτικὰς γυναῖκας, γελωτοποιῶν μιμῇ τοὺς ἐν τῇ σκηνῇ; τοῦτο πάν-
τα ἀνέτρεψε, τοῦτο κατέβαλε. γέλως γέγονε τὰ ἡμέτερα καὶ πολιτισμὸς καὶ ἀστειότης· οὐδὲν
εὐσταθὲς, οὐδὲν στιβαρόν. οὐ πρὸς τοὺς βιωτικοὺς ἄνδρας μόνον λέγω ταῦτα, ἀλλ᾽ οἶδα οὓς
αἰνίττομαι. γέλωτος γὰρ ἐμπέπλησται ἡ ἐκκλησία. ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ, γέλως εὐ-
θέως ἐν τοῖς καθημένοις γίνεται. καὶ τὸ θαυμαστὸν, ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς οὐ παύονται πολ-
λοὶ τοῦ γελᾷν. πανταχοῦ χορεύει ὁ διάβολος, πάντας ἐνέδυσε, πάντων κρατεῖ. ἠτί-
μασται ὁ Χριστὸς, παρῶσται, ἐν οὐδενὸς ἐστὶ μέρει ἡ ἐκκλησία. οὐκ ἀκούετε Παύλου λέγοντος,
Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία ἀρθήτω ἀφ᾽ ὑμῶν; μετὰ τῆς αἰσχρότητος τὴν εὐ-
τραπελίαν τίθησι· σὺ δὲ γελᾷς; μωρολογία τί ἐστι; τὰ μηδὲν ἔχοντα χρήσιμον. γελᾷς δὲ Εφεσ. ε. δ.
ὅλως, καὶ διαχεῖς τὸ πρόσωπον ὁ μονάζων; ὁ ἐσταυρωμένος, ὁ πενθῶν γελᾷς, εἰπέ μοι; ποῦ
τοῦ Χριστοῦ τοῦτο ἤκουσας ποιοῦντος; οὐδαμοῦ, ἀλλὰ κατηφοῦντος μὲν * πολλάκις. καὶ γὰρ ὅτε
τὴν Ἱερουσαλὴμ εἶδεν, ἐδάκρυσε, καὶ ὅτε τὸν προδότην ἐνενόησεν, ἐταράχθη· καὶ ὅτε τὸν Λά-
ζαρον ἔμελλεν ἐγείρειν, ἔκλαυσε· σὺ δὲ γελᾷς; εἰ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλ-
γῶν, κατηγορίας ἄξιος· ὁ ἐπὶ τοῖς αὐτοῦ ἀναλγήτως διακείμενος καὶ γελῶν, ποίας ἔσται
συγγνώμης ἄξιος; πένθους ὁ παρὼν καιρὸς καὶ θλίψεως, ὑπωπιασμοῦ καὶ δουλαγωγίας, ἀγώ-
νων καὶ ἱδρώτων· σὺ δὲ γελᾷς; οὐχ ὁρᾷς πῶς ἐπετιμήθη Σάῤῥα; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέ-
γοντος, Οὐαὶ οἱ γελῶντες, ὅτι κλαύσονται; ταῦτα ψάλλεις καθ᾽ ἑκάστην ἡμέραν; τί γὰρ λέ- Λουκ. ς. κε.
γεις, εἰπέ μοι; ὅτι ἐγέλασα; οὐδαμῶς· ἀλλὰ τί; ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. ἀλλὰ
τάχα τινές εἰσιν οὕτω διακεχυμένοι καὶ χαῦνοι, ὡς καὶ ἐν τῇ ἐπιτιμήσει ταύτῃ γελᾷν, ὅτι δὴ
περὶ γέλωτος ταῦτα διαλεγόμεθα. καὶ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορὰ, τοιαύτη ἡ παραπληξία,
οὐδὲ αἰσθάνεται τῆς ἐπιτιμήσεως. ἕστηκεν ὁ ἱερεὺς τοῦ Θεοῦ τὴν πάντων εὐχὴν ἀναφέρων·
σὺ δὲ γελᾷς, οὐδὲν δεδοικώς; καὶ ἐκεῖνος μὲν τρέμων ὑπὲρ σοῦ τὰς εὐχὰς ἀναφέρει, σὺ δὲ κα-
ταφρονεῖς; οὐκ ἀκούεις τῆς γραφῆς λεγούσης, οὐαὶ οἱ καταφρονηταί; οὐ φρίττεις; οὐ συ-
στέλλεις σαυτόν; καὶ εἰς μὲν βασίλεια εἰσιὼν, καὶ σχήματι καὶ βλέμματι καὶ βαδίσματι καὶ
πᾶσι

πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐνταῦθα δὲ ἔνθα τὰ ὄντως ἐστὶ βασίλεια, καὶ τοιαῦτα οἷα τὰ οὐράνια, καὶ γελᾷς; σὺ μὲν οὕτω οἶδα ὅτι οὐχ ὁρᾷς· ἄκουε δὲ ὅτι ἄγγελοι πάρεισι πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρεστήκασι τῷ βασιλεῖ, καὶ πάντα ἐμπέπλησται τῶν ἀσωμάτων ἐκείνων δυνάμεων. Ἐστὶ ἐμοὶ καὶ πρὸς γυναῖκας ὁ λόγος, αἳ ἐπὶ μὲν τῶν ἀνδρῶν οὐ πολλάκις τοῦτο ποιοῦσι ταχέως· καὶ ποιοῦσι δὲ, οὐκ ἀεὶ, ἀλλὰ παρὰ τὸν καιρὸν τῆς αἰτήσεως· αὗται δὲ ἀεί. κατακαλύπτεις, εἰπέ μοι, τὴν κεφαλὴν, καὶ γελᾷς, ὦ γύναι, ἐν ἐκκλησίᾳ καθημένη; Εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτήματα, προσπεσεῖν τῷ Θεῷ, δεηθῆναι καὶ ἱκετεῦσαι ὑπὲρ τῶν κακῶς σοι πεπλημμελημένων, καὶ μετὰ γέλωτος τοῦτο ποιεῖς; πῶς οὖν αὐτὸν ἐξιλεώσασθαι δυνήσῃ; καὶ τί κακὸν ὁ γέλως, φησίν; οὐ κακὸν ὁ γέλως, ἀλλὰ κακὸν τὸ παρὰ μέτρον, τὸ ἄκαιρον. ὁ γέλως ἔγκειται ἐν ἡμῖν, ἵν', ὅταν φίλους ἴδωμεν διὰ μακροῦ χρόνου, τοῦτο ποιῶμεν, ὅταν τινὰς καταπεπληγμένους καὶ δεδοικότας, ἀνῶμεν αὐτοὺς τῷ μειδιάματι· οὐχ ἵνα ἀνακαγχάζωμεν, καὶ ἀεὶ γελῶμεν. ὁ γέλως ἔγκειται τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἵνα ἀνῆταί ποτε ἡ ψυχὴ, οὐχ ἵνα διαχέηται. ἐπεὶ καὶ ἐπιθυμία ἡμῖν ἔγκειται σωμάτων, καὶ οὐ πάντως ἀνάγκη διὰ τὸ ἐγκεῖσθαι, καὶ αὐτῇ χρῆσθαι, ἢ κεχρῆσθαι ἀμέτρως· ἀλλὰ καὶ κρατῶμεν αὐτῆς, καὶ οὐ λέγομεν, ἐπειδὴ ἔγκειται, χρησώμεθα. Μετὰ δακρύων δούλευε τῷ Θεῷ, ἵνα δυνηθῇς ἀπονίψασθαι τὰ ἡμαρτημένα. οἶδα ὅτι πολλοὶ διακωμῳδοῦσιν ἡμᾶς λέγοντες, εὐθέως δάκρυα. διὰ τοῦτο δακρύων καιρός. οἶδα ὅτι καὶ οἰωνίζονται τὸ λέγοντες,

α. Κορ. ιε. λϛ. Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. ἀλλ' ἐννόησον ὅτι ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τὴν πεῖραν τῶν πραγμάτων πάντων λαβὼν, ταῦτά φησιν·

Ἐκκλησ. β. δ. Ὠκοδόμησά μοι οἰκίας, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, οἰνοχόους καὶ οἰνοχοούσας· καὶ τί δὴ μετὰ ταῦτα πάντα φησί; ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Πενθήσωμεν τοίνυν, ἀγαπητοὶ, πενθήσωμεν, ἵνα ὄντως γελάσωμεν, ἵνα ὄντως ἡσθῶμεν ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς εἰλικρινοῦς. αὕτη μὲν γὰρ ἡ χαρὰ πάντως λύπῃ ἀναμέμικται, καὶ οὐδέποτε καθαρὰν αὐτὴν ἐστιν εὑρεῖν· ἐκείνη δὲ εἰλικρινής* ἐστι καὶ ἄδολος, καὶ οὐδὲν ἔχουσα ὕπουλον, οὐδὲ ἀναμεμιγμένον. Ἐκείνην ἡσθῶμεν τὴν χαρὰν, ἐκείνην μεταδιώξωμεν. ἄλλως δὲ οὐκ ἔστιν αὐτῆς ἐπιτυχεῖν, ἢ διὰ τοῦ ἐνταῦθα μὴ τὰ ἡδέα, ἀλλὰ τὰ ὠφελοῦντα αἱρεῖσθαι, καὶ μικρὸν θλίβεσθαι ἑκόντας, καὶ μετὰ εὐχαριστίας ἅπαντα φέρειν τὰ συμπίπτοντα. οὕτω γὰρ δυνησόμεθα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιϛ. 15 ΚΑΙ ΔΙΑ ΤΟΥΤΟ ΔΙΑΘΗΚΗΣ ΚΑΙ-
νῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ
πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι
τῆς αἰωνίου κληρονομίας. 16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγ-
κη φέρεσθαι τοῦ διαθεμένου. 17 Διαθήκη γὰρ ἐπὶ νεκροῖς βε-
βαία· ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. 18 Ὅθεν οὐδ' ἡ
πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Εἰκὸς

Εἰκὸς δὲ πολλοὺς τῶν ἀσθενεστέρων διαπιστεῖν, καὶ ἀπὸ τοῦ τετελευτηκέναι τὸν Χριστὸν μάλιστα ἀπιστεῖν τῆς ἐπαγγελίας αὐτοῦ. ὁ τοίνυν Παῦλος τὴν τοιαύτην ὑπόνοιαν ἐκ περιουσίας ἀναιρεῖ, τοῦτο αὐτὸ ἀποδεικνὺς ἡμῖν ἀπὸ τῆς κοινῆς συνηθείας λαβών. ποῖον δὲ τοῦτο; δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν, φησί. διατί; ὅτι οὐ ζῶντος γίνονται αἱ διαθῆκαι, ἀλλ' ἀποθανόντος, τότε βέβαιαι εἰσὶν αἱ διαθῆκαι, καὶ ἰσχὺν λαμβάνουσι. διὸ καὶ οὕτως ἄρχεται λέγων· καὶ διὰ τοῦτό, φησι, καινῆς διαθήκης μεσίτης ἐστίν. ἡ διαθήκη πρὸς τῇ ἐσχάτῃ ἡμέρᾳ γίνεται τῆς τελευτῆς. τοιαύτη δὲ οὖσα ἡ διαθήκη, τοὺς μὲν κληρονόμους ἔχει, τοὺς δὲ ἀποκληρονόμους. οὕτω καὶ ἐνταῦθα περὶ μὲν τινῶν καὶ κληρονόμων φησὶν ὁ Χριστός, Θέλω ἵνα, ὅπου εἰμὶ ἐγώ, καὶ οὗτοι ὦσι. καὶ πάλιν περὶ τῶν ἀποκληρονομουμένων ἄκουε αὐτοῦ λέγοντος, Οὐ περὶ πάντων ἐγὼ ἐρωτῶ, ἀλλὰ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. ἡ διαθήκη πάλιν, τὰ μὲν τοῦ διαθεμένου ἔχει, τὰ δὲ τῶν διαδεχομένων· ἃ χρὴ τοὺς μὲν αὐτοὺς λαβεῖν, τὰ δὲ ποιῆσαι. οὕτω καὶ ἐνταῦθα. μετὰ γὰρ τὸ ἐπαγγείλασθαι μυρία ἀγαθά, ἀπαιτεῖ καὶ παρ' αὐτῶν, λέγων, Ἐντολὴν καινὴν δίδωμι ὑμῖν. πάλιν, ὀφείλει ἡ διαθήκη μάρτυρας ἔχειν. καὶ ἄκουε αὐτοῦ πάλιν λέγοντος, Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. καὶ πάλιν, Ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ, περὶ τοῦ παρακλήτου λέγων. καὶ τοὺς δώδεκα ἀποστόλους ἀπέστειλε λέγων, Διαμαρτύρεσθε ἐνώπιον τοῦ Θεοῦ. καὶ διὰ τοῦτο, φησί, διαθήκης καινῆς μεσίτης ἐστί. τί ἐστι μεσίτης; ὁ μεσίτης οὐκ ἔστι κύριος τοῦ πράγματος, οὗ ἐστι μεσίτης, ἀλλ' ἑτέρου μὲν τὸ πρᾶγμα, ἕτερος δὲ ὁ μεσίτης. οἷον, μεσίτης γάμων οὐκ ἔστιν ὁ νυμφίος ὁ γαμῶν, ἀλλ' ὁ τῷ μέλλοντι ἄγεσθαι συμπεριπατῶν. οὕτω δὴ καὶ ἐνταῦθα, μεσίτης ὁ υἱὸς ἐγένετο τοῦ πατρὸς καὶ ἡμῶν. οὐκ ἤθελεν ἡμῖν ἀφεῖναι ὁ πατὴρ τὴν κληρονομίαν ταύτην, ἀλλ' ὠργίζετο πρὸς ἡμᾶς, καὶ ἐγκαλεῖ ἐπεὶ παρεῖσι ὡς πρὸς ἀπηλλοτριωμένους. μεσίτης τοίνυν ἐγένετο ἡμῶν καὶ αὐτοῦ, καὶ ἔπεισεν αὐτόν. καὶ ὅρα πῶς μεσίτης ἐγένετο. λόγους ἀπήγαγε καὶ ἤγαγε, τὰ παρὰ τοῦ πατρὸς ἡμῖν διαπορθμεύων, καὶ τὸν θάνατον προστιθείς. προσκεκρουκότες ἦμεν, ἀποθανεῖν ὠφείλομεν· ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης. ταύτῃ τοι καὶ βεβαία ἐστὶν ἡ διαθήκη, ἢ οὐκ εἰς ἀναξίους λοιπὸν γέγονε. πρῶτα μὲν οὖν τῆς ἀρχῆς, ἅτε ὡς πατὴρ πρὸς υἱοὺς διέθετο. ἐπειδὴ δὲ ἀνάξιοι γεγόναμεν, οὐκέτι διαθήκης, ἀλλὰ τιμωρίας ἦμεν ἄξιοι. τί τοίνυν μεταφέρεις, φησίν, ἐπὶ τὸν νόμον; εἰς τοσαύτην γὰρ ἡμᾶς κατέστησεν ἀπόγνωσιν, ὡς μὴ ἂν σωθῆναί ποτε, εἰ μὴ * ὁ δεσπότης ἡμῶν ὑπὲρ ἡμῶν ἀπέθανεν, οὐκ ἂν ἴσχυσεν ὁ νόμος· ἀσθενὴς γὰρ ἦν. οὐκέτι δὲ αὐτὸ ἀπὸ τῆς κοινῆς συνηθείας βεβαιοῖ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ παλαιᾷ συμβεβηκότων ὃ μάλιστα αὐτοὺς ἔπειθε. ἀλλ' οὐδείς, φησιν, ἦν ὁ τετελευτηκὼς ἐκεῖ· πῶς οὖν ἐκείνη βεβαία; διὰ τοῦ αὐτοῦ τρόπου, φησί. πῶς; καὶ γὰρ ἐκεῖ αἷμα, ὥσπερ ἐνταῦθα αἷμα. εἰ δὲ μὴ τὸ τοῦ Χριστοῦ αἷμα, μὴ θαυμάσῃς· τύπος γὰρ ἦν. διὸ καὶ λέγει, ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται. τί ἐστιν ἐγκεκαίνισται; βεβαία γέγονεν *, ἐκυρώθη. ὅθεν (τουτέστι, διὰ τοῦτο) φησίν, ἦν τῆς διαθήκης τὸ σύμβολον (τί;) καὶ τῆς τελευτῆς. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ἐρράντιζε τῆς διαθήκης;

Ιωαν. ιζ. κδ.
Ιωαν. ιζ. κ.
Ιωαν. ιγ. λδ.
Ιωαν. η. ιη.
Ιωαν. ε. λζ.
Ιωαν. ιε. κς.
α. Τιμ. β. ε.

19 Λαληθείσης γάρ, φησι, πάσης τῆς ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισε,

20 Λέγων, τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.

Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης, καὶ ὁ λαὸς ἢ * τοῦ τιμίου αἵματος ἄνωθεν σχηματίζοντος; τύπος τις ἐκεῖνο τὸ αἷμα καὶ τὰ ἄλλα ἐγίνετο; τί δήποτε δὲ

μετὰ ὑσσώπου; ὅτι πυκνὸν καὶ ἁπαλὸν ὑπάρχει, κρατητικὸν τοῦ αἵματος ἦν. τί δαὶ τὸ ὕδωρ; καὶ τοῦτο ὡς χαρακτηρίζον τὴν δι' ὕδατος κάθαρσιν. τί δὲ τὸ ἔριον; καὶ τοῦτο περιελαμβάνετο, ὥστε κατέχεσθαι τὸ αἷμα. δείκνυσιν ἐνταῦθα τὸ αὐτὸ ὂν καὶ αἷμα καὶ ὕδωρ. τὸ γὰρ βάπτισμα αὐτοῦ πάθους ἐστὶ σύμβολον.

21 Καὶ τὴν σκηνὴν δὲ, καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας, τῷ αἵματι ὁμοίως ἐρράντισε.

22 Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. Διὰ τί τὸ σχεδὸν, εἶπε; διὰ τί αὐτὸ ἐκόλασεν; ἐπειδὴ ἐκεῖνα οὐκ ἦν καθαρισμὸς τέλειος, οὐδὲ ἄφεσις τελεία, ἀλλὰ ἡμιτελὴς, καὶ ἐν ὀλίγῳ τῷ μέρει. ἐνταῦθα δὲ, Τοῦτο τὸ αἷμά, φησι, τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ποῦ τοίνυν τὸ βιβλίον ἐκαθάρισε τὰς διανοίας αὐτῶν; αὐτοὶ ἄρα ἦσαν βιβλία τῆς καινῆς διαθήκης. ποῦ δὲ τὰ σκεύη τῆς λειτουργίας; αὐτοί εἰσι. ποῦ δὲ ἡ σκηνή; αὐτοί εἰσι πάλιν. Ἐνοικήσω γὰρ ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, φησίν. ἀλλ' οὐκ ἔριον κόκκινον, οὐδὲ ὕσσωπον ἐρράντισεν ἐνταῦθα. τί δήποτε; οὐ γὰρ σωματικὸς ὁ καθαρισμὸς ἦν, ἀλλὰ πνευματικὸς, καὶ τὸ αἷμα πνευματικόν. πῶς; οὐκ ἀπὸ σώματος γὰρ ἔρρει ἀλόγων, ἀλλὰ σώματος ἀπὸ πνεύματος κατασκευασθέντος. τοῦτο ἡμᾶς οὐ Μωϋσῆς, ἀλλ' ὁ Χριστὸς ἐρράντισε τὸ αἷμα, διὰ τοῦ λόγου τοῦ λεχθέντος, Τοῦτο τὸ αἷμα τῆς καινῆς διαθήκης, εἰς ἄφεσιν ἁμαρτιῶν. οὗτος ὁ λόγος ἀντὶ ὑσσώπου τῷ αἵματι ἐμβαφεὶς, πάντας περιρραίνει. καὶ ἐκεῖ μὲν τὸ σῶμα ἔξωθεν ἐκαθαίρετο· σωματικὸς γὰρ ὁ καθαρισμὸς ἦν. ἐνταῦθα δὲ, ἐπειδὴ πνευματικός ἐστιν ὁ καθαρισμὸς, εἰς τὴν ψυχὴν εἰσέρχεται, καὶ καθαίρει, οὐχ ἁπλῶς περιρραινόμενος, ἀλλὰ πηγάζων ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. καὶ ἐπ' ἐκείνων μὲν, αὐτὴν τὴν ἐπιφάνειαν ἔρραινε, καὶ πάλιν ἀπενίπτετο ὁ ῥαντιζόμενος. οὐ γὰρ δὴ ἡμαγμένος ἀεὶ περιῄει. ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως, ἀλλ' αὐτῇ τῇ οὐσίᾳ ἀναμίγνυται τὸ αἷμα, ῥωμαλέαν αὐτὴν ποιοῦν καὶ ἁγνὴν, καὶ πρὸς αὐτὸ τὸ ἀμήχανον κάλλος ἄγει. δείκνυσι δὴ λοιπὸν τὸν θάνατον, οὐ μόνον βεβαιώσεως, ἀλλὰ καὶ καθαρμοῦ αἴτιον. ἐπειδὴ γὰρ ἡ τελευτὴ μιαρὸν πρᾶγμα ἐδόκει εἶναι, καὶ μάλιστα ἡ διὰ σταυροῦ, λέγει ὅτι ἐκάθαρε, καὶ ἐκάθαρε τιμίαν κάθαρσιν, καὶ ἐπὶ μείζοσι. διὰ τοῦτο αἱ θυσίαι προέλαβον, διὰ τὸ αἷμα τοῦτο; διὰ τοῦτο ἀμνοί, διὰ τοῦτο ἅπαντα ἐγένετο.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας.

Καὶ πῶς ἐστιν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς; τίνα δὲ καλεῖ τὰ ἐν τοῖς οὐρανοῖς νῦν; ἄρα τὸν οὐρανόν; ἀλλὰ τοὺς ἀγγέλους; οὐδὲν τούτων, ἀλλὰ τὰ ἡμέτερα. ἄρα ἐν τοῖς οὐρανοῖς τὰ ἡμέτερα, καὶ ἐπουράνια [τὰ ἡμέτερα,] καίτοι ἐν τῇ γῇ ἐπιτελεῖται. ἐπεὶ καὶ ἄγγελοι ἐν τῇ γῇ εἰσιν, ἀλλ' ἐπουράνιοι λέγονται· καὶ τὰ χερουβὶμ ἐπὶ τῆς γῆς ἐφάνη, ἀλλ' ἐπουράνιά ἐστι. καὶ τί λέγω ἐφάνη; ἐπὶ τῆς γῆς μὲν οὖν διάγει, ὥσπερ οὖν ἐν τῷ παραδείσῳ. ἀλλ' οὐδὲν ἐκώλυσε τοῦτο. ἐπουράνια γὰρ καὶ οὕτως ἐστί. Καὶ ἡμῶν τὸ πολίτευμά ἐστιν ἐν οὐρανοῖς, καίτοι ἐνταῦθα πολιτευόμεθα. αὐτὰ δὲ τὰ ἐπουράνια· τουτέστι, τὴν φιλοσοφίαν τὴν παρ' ὑμῖν, τοὺς ἐκεῖ κεκλημένους. κρείττοσι θυσίαις παρὰ ταύτας. τὸ κρεῖττον, καλοῦ τινός ἐστι κρεῖττον. ἄρα καλὰ γεγόνασι καὶ τὰ ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς. οὐκ ἂν γὰρ οὐδὲ τὰ ὑποδείγματα πονηρὰ ἦν· ἐπεὶ καὶ κακία ἂν εἴη πονηρῶν ἐστιν ὑποδείγματα.

ΗΘΙΚΟΝ

Εἰ τοίνυν ἐπουράνιοι ἡμεῖς, καὶ τοιαύτης οὐσίας ἐτύχομεν, φρίξωμεν· μηκέτι μένωμεν ἐν τῇ γῇ. ἔξεστι γὰρ μὴ εἶναι ἐν τῇ γῇ καὶ νῦν τοὺς βουλομένους. τὸ γὰρ εἶναι ἐν τῇ γῇ, καὶ μὴ εἶναι,

Ματθ. κϛ. κη.

β. Κορ. ϛ. ιϛ.

Ματθ. κϛ. κη.

Φιλιπ. γ.

εἶναι. τοῦτο ὥσπερ καὶ προσχρῆσθαι γῆς. οἷον τί λέγω, ὁ Θεὸς λέγεται εἶναι ἐν τῷ οὐρανῷ. διὰ τί; οὐ τόπῳ ἀποκλειόμενος, μὴ γένοιτο, οὐδὲ τὴν γῆν ἔρημον τῆς αὐτοῦ παρουσίας ἀφείς, ἀλλὰ τῇ σχέσει, καὶ τῇ οἰκειώσει τῇ πρὸς τοὺς ἀγγέλους. ἂν τοίνυν καὶ ἡμεῖς ἐγγὺς ὦμεν τοῦ Θεοῦ, ἐν οὐρανῷ ἐσμεν. τί γάρ μοι μέλει τοῦ οὐρανοῦ, ὅταν ὁρῶ τὸν δεσπότην τοῦ οὐρανοῦ, ὅταν αὐτὸς οὐρανὸς γένωμαι; Ἐλευσόμεθα γάρ, φησιν, ἐγὼ καὶ ὁ πατήρ μου, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ιωαν ιδ κγ. ποιήσωμεν οὖν ἡμῶν τὴν ψυχὴν οὐρανόν. φαιδρός ἐστιν ὁ οὐρανὸς τῇ φύσει. οὐδὲ γὰρ ἐν χειμῶνι μέλας γίνεται. οὐ γὰρ αὐτὸς μεταβάλλει τὴν ὄψιν, ἀλλ' αἱ νεφέλαι συνδραμοῦσαι καλύπτουσιν αὐτόν. ὁ οὐρανὸς ἥλιον ἔχει· ἔχομεν καὶ ἡμεῖς ἥλιον δικαιοσύνης. εἶπον, ἔξεστι γενέσθαι [ὡς] οὐρανόν· καὶ ὁρῶ, ὅτι καὶ βέλτιον γενέσθαι τοῦ οὐρανοῦ ἔξεστι. πῶς; ὅταν τὸν δεσπότην τοῦ ἡλίου ἔχωμεν. ὁ οὐρανὸς πανταχόθεν ἐστὶ καθαρὸς καὶ ἀκηλίδωτος, οὐκ ἐν χειμῶνι, οὐκ ἐν νυκτὶ * μεταβάλλεται. μὴ τοίνυν μηδὲ ἡμεῖς, μήτε ἐν ταῖς θλίψεσι, μήτε ἐν ταῖς μεθοδείαις τοῦ διαβόλου τοῦτο πάσχωμεν, ἀλλὰ μένωμεν ἀκηλίδωτοι καὶ καθαροί. ὁ οὐρανός ἐστιν ὑψηλός, καὶ πολὺ τῆς γῆς ἀπέχων. τοῦτο καὶ ἡμεῖς ποιήσωμεν, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς, καὶ πρὸς τὸ ὕψος ἀρθῶμεν ἐκεῖνο. καὶ ποῦ τῆς γῆς ἑαυτοὺς ἀποστήσωμεν; ὅταν τὰ οὐράνια φανταζώμεθα. ὁ οὐρανὸς ἀνώτερός ἐστι καὶ ὑετῶν καὶ χειμώνων, καὶ ὑπ' οὐδενὸς ἁλίσκεται. τοῦτο καὶ ἡμεῖς δυνησόμεθα, ἐὰν θέλωμεν. τοῦτο δοκεῖ μέν, οὐ μέντοι πάσχει. μὴ τοίνυν μηδὲ ἡμεῖς, κἂν δοκῶμεν πάσχειν, πάσχωμεν. ὥσπερ γὰρ ἐν τῷ χειμῶνι τὸ μὲν πολλοὶ τὸ κάλλος αὐτοῦ οὐκ ἴσασιν, ἀλλὰ νομίζουσιν αὐτὸν τρέπεσθαι, τὸ δὲ φιλοσοφοῦντες ἴσασιν ὅτι οὐδὲν ἔπαθεν· οὕτω καὶ περὶ ἡμῶν ἐν ταῖς θλίψεσιν, τὸ μὲν πολλοὶ νομίζουσιν ἡμᾶς συμμεταβεβλῆσθαι, καὶ αὐτῆς ἡμῶν ἧφθαι τῆς καρδίας τὴν θλῖψιν, τὸ δὲ φιλόσοφοι ἴσασιν ὅτι οὐχ ἥψατο ἡμῶν. γενώμεθα τοίνυν οὐρανός, ἀνέλθωμεν εἰς τὸ ὕψος ἐκεῖνο, καὶ οὕτως ὀψόμεθα τοὺς ἀνθρώπους μυρμήκων οὐδὲν διαφέροντας· οὐ τοὺς πένητας λέγω μόνον, οὐδὲ τοὺς πλουσίους, ἀλλὰ κἂν στρατηγός τις ᾖ, κἂν βασιλεύς, οὐκ ὀψόμεθα ἐκεῖ τὸν βασιλέα, οὐδὲ τὸν ἰδιώτην. οὐκ εἰσόμεθα τί μὲν χρυσός, τί δὲ ἄργυρος, τί δὲ ἱμάτιον σηρικόν, ἢ πορφυροῦν· πάντα ὥσπερ μυίας ὀψόμεθα, ἐὰν ἐν ἐκείνῳ τῷ ὕψει καθίσωμεν. οὐδεὶς θόρυβος ἐκεῖ, οὐδεμία ταραχή, οὐδὲ κραυγή. καὶ πῶς ἔνι, φησίν, εἰς ἐκεῖνο ἀρθῆναι τὸ ὕψος, ἐπὶ τῆς γῆς περιπατοῦντα; λόγῳ μὲν οὐ λέγω τοῦτο ἁπλῶς· ἀλλ', εἰ βούλει, ἐγώ σοι δείκνυμι ἔργῳ τοὺς εἰς τὸ ὕψος ἐκεῖνο φθάσαντας. τίνας δὴ τούτους; τοὺς περὶ Παῦλον λέγω· οἵτινες ἐν τῇ γῇ ὄντες, ἐν τῷ οὐρανῷ διετέλουν. καὶ τί λέγω ἐν τῷ οὐρανῷ; ὑψηλότεροι ἦσαν τοῦ οὐρανοῦ, [καὶ τοῦ ἄλλου οὐρανοῦ,] καὶ * πρὸς αὐτὸν ἀνῆλθον τὸν Θεόν. Τίς γὰρ ἡμᾶς χωρίσει, φησίν, ἀπὸ τῆς ἀγάπης τοῦ Ρωμ. η λε. Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ πάλιν, Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. ὁρᾷς ὅτι οὐδὲ ἑώ- Β. Κορ δ. ιη. ρα τὰ ἐνταῦθα; ἵνα δέ σοι δείξω ὅτι τῶν οὐρανῶν ἀνώτερος ἦν, ἄκουε αὐτοῦ λέγοντος, Πέ- Ρωμ. η λη. πεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. ὁρᾷς πῶς πάντα παραδραμὼν ὁ λογισμός, ἀνώτερον αὐτὸν ἐποίησεν, οὐ ταύτης μόνον τῆς κτίσεως, οὐδὲ τούτων τῶν οὐρανῶν, ἀλλὰ καὶ εἴ τινες ἕτεροι ἦσαν; εἶδες ὕψος διανοίας; εἶδες ὁ σκηνοποιὸς οἷος ἐγένετο ἐπειδὴ ἠθέλησεν, ὁ ἐπ' ἀγορᾶς τὸν ἅπαντα βίον διαγαγών; οὐδὲν γάρ ἐστι κώλυμα, οὐκ ἔστι, πάντας ὑπερβαλέσθαι, εἴγε βουλοίμεθα. εἰ γὰρ τέχνας οὕτω κατορθοῦμεν ὑπερβαινούσας τοὺς πολλούς, πολλῷ μᾶλλον ὃ μὴ τοσούτου δεῖται πόνου. τί γάρ, εἰπέ μοι, χαλεπώτερον τοῦ διὰ σχοίνου τεταμένης βαδίζειν, καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω περιπατοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλίνης καθήμενον; οὐχὶ οὕτω φρικτὸν ἡμῖν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς μηδὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν καὶ πρὸς τὴν ὄψιν αὐτήν; τί δέ, εἰπέ μοι, χαλεπώτερον τοῦ κοντὸν ἐπὶ τοῦ προσώπου λαβεῖν, εἶτα

ἐπιθέντα αὐτῷ παιδίον, μυρία ποιεῖ, καὶ τέρπειν σπουδάζει; τί δὲ χαλεπώτερον τοῦ σφαγιάζειν ἐν ξίφει; τί δὲ βαρύτερον, εἰπέ μοι, τοῦ τὸ βάθος τοῦ πλήγματος διερευνᾶσθαι; καὶ μυρίας ἑτέρας ἄν τις ἔχοι τέχνας εἰπεῖν· ἀλλὰ πάντων τούτων δυσκολωτέρα ἡ ἀρετή, ἐὰν θέλωμεν, καὶ τὸ εἰς τὸν οὐρανὸν ἀναβῆναι. θελῆσαι γὰρ δεῖ μόνον ἐνταῦθα, καὶ πάντα ἕπεται. οὐκ ἔστι [γὰρ] εἰπεῖν, οὐ δύναμαι. τοῦτο γὰρ κατηγορῆσαί ἐστι τοῦ δημιουργοῦ. εἰ γὰρ ἀδυνάτους ἡμᾶς ἐποίησεν, εἶτα ἐπιτάττει, κατηγορία αὐτοῦ ἐστι. πῶς οὖν, φησι, πολλοὶ οὐ δύνανται; ὅτι οὐ θέλουσι. πόθεν δὲ οὐ θέλουσιν; ἀπὸ ῥαθυμίας. ὥστε εἰ θελήσουσι, πάντως δυνήσονται. α. Κορ. ζ. ζ. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν, ἐπειδὴ ᾔδει ὅτι πάντες ἠδύναντο εἶναι ὡς καὶ αὐτός. οὐδὲ γὰρ ἄν, εἴγε ἀδύνατον ἦν, τοῦτο εἶπε. θέλεις γενέσθαι ἐνάρετος; τῆς ἀρχῆς ἐπιλαβοῦ μόνον. εἰπὲ δή μοι, ἐν ταῖς τέχναις ἁπάσαις, ὅταν θέλωμεν ἐν αὐταῖς γενέσθαι, ἀρκούμεθα τῷ θέλειν, ἢ καὶ ἁπτόμεθα τῶν πραγμάτων; οἷόν τι λέγω, βούλεταί τις γενέσθαι κυβερνήτης· οὐ λέγει, θέλω, καὶ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. θέλει γενέσθαι ἔμπορος· οὐ λέγει, θέλω μόνον, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. ἀποδημῆσαι πάλιν θέλει, καὶ οὐ λέγει, θέλω, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. εἶτα ἐν πᾶσιν οὐκ ἀρκεῖ τὸ θελῆσαι μόνον, ἀλλὰ καὶ τὸ ἔργον προσθεῖναι δεῖ. εἰς δὲ τὸν οὐρανὸν βουλόμενος ἀνελθεῖν, λέγεις, θέλω μόνον; πῶς οὖν, φησιν, ἔλεγες, ὅτι τὸ θέλειν * ἀρκεῖ; τὸ θέλειν μετὰ τῶν ἔργων, τὸ ἀντιλαμβανόμενον τοῦ πράγματος, τὸ πονέσαντα. ἔχομεν γὰρ συνεργοῦντα καὶ συμπράττοντα τὸν Θεόν· μόνον ἑλώμεθα, μόνον ὡς ἔργῳ προσενεχθῶμεν τῷ πράγματι, μόνον μεριμνήσωμεν, μόνον εἰς νοῦν βαλώμεθα, καὶ πάντα ἕπεται. ἐὰν δὲ καθεύδωμεν, καὶ ῥέγχοντες προσδοκῶμεν εἰσιέναι εἰς τὸν οὐρανόν, πότε δυνησόμεθα τὴν κληρονομίαν τῶν οὐρανῶν κατασχεῖν; βουληθῶμεν οὖν, παρακαλῶ, βουληθῶμεν. τί πάντα πρὸς τὸν παρόντα βίον ἐμπορευόμεθα, ὃν αὔριον ἀπολείψομεν; ἑλώμεθα τοίνυν τὴν ἀρετὴν τὴν εἰς τὸν πάντα αἰῶνα ἡμῖν διαρκέσουσαν. ἐν ᾧ ἐσόμεθα διηνεκῶς, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ιζ.

24 ΟΥ ΓΑΡ ΕΙΣ ΧΕΙΡΟΠΟΙΗΤΑ ΑΓΙΑ εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.

25 Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια [τῶν ἁγίων] κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ.

26 Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

Ιερ. ζ. γ. ΜΕγα ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ καὶ τῇ σκηνῇ. διὸ ἔλεγον, Ναὸς Κυρίου, ναὸς Κυρίου *. οὔτε γὰρ ἀλλαχοῦ γῆς κατεσκευάσθη τοιοῦτος ναός, οὐ πολυτελείας ἕνεκεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός. ὁ γὰρ διαταξάμενος Θεὸς ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ καὶ αὐτοὶ τοῖς σωματικοῖς μᾶλλον ἐφείλκοντο καὶ ἐπεσπῶντο. πλίνθους γὰρ εἶχε χρυσᾶς ἐν τοῖς τοίχοις· καὶ ἔξεστι τῷ βουλομένῳ, ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν, καὶ ἐν τῷ Ἰεζεκιὴλ τοῦτο καταμαθεῖν, καὶ ὅσα χρυσοῦ τάλαντα ἀνηλώθη τότε. ἡ δὲ δευτέρα λαμπροτέρα γέγονεν οἰκοδομία, καὶ κάλλους ἕνεκεν, καὶ τῶν ἄλλων ἁπάντων. καὶ οὐ τούτῳ μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ τῷ εἶναι ἕνα, καὶ τῷ πάντας τῷ κάλλει ἐφέλκεσθαι. ἀπὸ γὰρ

τῶν

τῶν περάτων τῆς γῆς ὄντες ἤρχοντο, εἴτε ἀπὸ Βαβυλῶνος, εἴτε ἀπὸ Αἰθιοπίας. καὶ τοῦτο δηλοῖ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν εἰπών, Ἦσαν δὲ ἐκεῖ κατοικοῦντες Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην. (Πραξ. β. α.) οἱ οὖν πανταχοῦ τῆς οἰκουμένης ὄντες, ἐκεῖ συνῄεσαν, καὶ πολὺ δὲ ὄνομα τοῦ ναοῦ ἦν. τί οὖν ὁ Παῦλος ποιεῖ; ὥσπερ ἐπὶ τῆς θυσίας, οὕτω καὶ ἐνταῦθα ποιεῖ. ὡς γὰρ ἐκεῖ τὸν θάνατον ἀντέστησε τοῦ Χριστοῦ, οὕτω καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον ἀντέστησε τῷ ναῷ. οὐ τούτῳ δὲ μόνον τὸ διάφορον ἔδειξεν, ἀλλὰ καὶ τῷ προσθεῖναι, τὸν ἱερέα ἐγγύτερον γενόμενον τοῦ Θεοῦ. ἐμφανισθῆναι γάρ, φησι, τῷ προσώπῳ τοῦ Θεοῦ· ὥστε οὐ τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ τῇ εἰσόδῳ τὸ πρᾶγμα σεμνὸν ἐποίησεν. οὐ γὰρ ἁπλῶς, ὥσπερ ἐνταῦθα, διὰ συμβόλων, ἀλλ' αὐτὸν ὁρᾷ τὸν Θεὸν ἐκεῖ. ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν πανταχοῦ τὰ ταπεινὰ εἴρηται; τί δαὶ θαυμάζεις λοιπὸν εἰ ἐντυγχάνει, ὅπουγε αὐτὸν ἔστησεν ὡς ἀρχιερέα; οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, φησιν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθε, φησιν, ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν. ἄρα ἐκεῖνα ἐστὶν ἀληθινά, ταῦτα δὲ τύποι. καὶ γὰρ ὁ ναὸς οὕτω κατεσκεύαστο, ὥσπερ ὁ οὐρανὸς τοῦ οὐρανοῦ. τί λέγεις; ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανόν, οὐκ ἐμφανίζεται ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν; ὁρᾷς ὅτι τῆς σαρκός ἐστι ταῦτα πάντα. νῦν ἐμφανισθῆναι, φησι, τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. τί ἐστιν, ὑπὲρ ἡμῶν; μετὰ θυσίας ἀνῆλθε, φησί, δυναμένης ἐξιλεώσασθαι τὸν πατέρα. διὰ τί, εἰπέ μοι; μὴ γὰρ αὐτὸς ἦν ὁ ἐχθρός; οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, αὐτὸς οὐκ ἦν ἐχθρός. ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, ἄκουσον τί φησιν· Εἰρηνοποιήσας τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. (Κολοσ. α. κ.) ὥστε καλῶς εἶπεν, ὅτι καὶ αὐτὸς εἰσῆλθεν εἰς τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. νῦν ἐμφανίζεται, ἀλλ' ὑπὲρ ἡμῶν. οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. ὁρᾷς πόσαι αἱ διαφοραί; τὸ πολλάκις, τὸ ἅπαξ· τὸ ἐν αἵματι ἀλλοτρίῳ, τὸ ἐν ἰδίῳ. πολὺ δὲ μέσον. αὐτὸς οὖν καὶ ἱερεῖον καὶ ἱερεύς. ἐπεὶ ἔδει αὐτόν, φησι, πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. ἐνταῦθα τι δόγμα ἀνακαλύπτει, καί φησιν, ὅτι εἰ θυσίας προσενεχθῆναι ἔδει πολλάκις, ἔδει πολλάκις καὶ σταυρωθῆναι. νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων. διὰ τί ἐπὶ συντελείᾳ τῶν αἰώνων; μετὰ τὰ πολλὰ ἁμαρτήματα. εἰ μὲν γὰρ οὖν παρὰ τὴν ἀρχὴν ἐγένετο, εἶτα οὐδεὶς ἐπίστευσεν, ἦν ἂν τὸ τῆς οἰκονομίας ἀνόνητον. οὐκ ἔδει γὰρ δεύτερον ἀποθανεῖν τὸν Χριστόν, ὥστε καὶ οὕτω κατορθωθῆναι τὸ σπουδαζόμενον. ἐπειδὴ δὲ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη. ὃ καὶ ἀλλαχοῦ λέγει, Οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. (Ρωμ. ε. κ.) νῦν δέ φησιν, ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

27 Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις.

Δείξας ὅτι οὐκ ἔδει πολλάκις ἀποθανεῖν, νῦν δείκνυσι καὶ διὰ τί ἅπαξ ἀπέθανεν. ὅτι καὶ ὁ θανάτου ἀντίλυτρον ἐγένετο. ἀπέκειτο, φησι, τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν. τούτου οὖν δὲ ἅπαξ ἀπέθανεν ὑπὲρ ἀνθρώπων πάντων. τί οὖν; οὐκέτι ἀποθνήσκομεν;] τὸν θάνατον ἐκεῖνον ἀποθνήσκομεν μέν, ἀλλ' οὐ μένομεν ἐν αὐτῷ· ὅπερ οὐδὲ ἀποθανεῖν ἐστι. θανάτου γὰρ τυραννὶς καὶ θάνατος ὄντως ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς ζωὴν ἐπανελθεῖν. ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν ζήσῃ, καὶ ζωὴν βελτίονα, οὐ θάνατος τοῦτό ἐστιν, ἀλλὰ κοίμησις. ἐπειδὴ οὖν ἔμελλε πάντας κατέχειν ὁ θάνατος, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμᾶς ἀπαλλάξῃ.

28 Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθείς. ὑπὸ τίνος προσενεχθείς; ὑφ' ἑαυτοῦ

δηλονότι. ἐνταῦθα οὐδὲ ἱερέα δείκνυσιν αὐτὸν μόνον, ἀλλὰ καὶ θῦμα καὶ ἱερεῖον. Εἶτα προστίθησι τὴν αἰτίαν τοῦ, προσενεχθείς. ἅπαξ, φησὶ, προσενεχθείς, Εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας. Διὰ τί δὲ πολλῶν εἶπε, καὶ μὴ πάντων; ἐπειδὴ μὴ πάντες ἐπίστευσαν. ὑπὲρ ἁπάντων μὲν γὰρ ἀπέθανεν, εἰς τὸ σῶσαι πάντας, τὸ αὐτοῦ μέρος. ἀντίρροπος γὰρ ἦν ὁ θάνατος ἐκεῖνος τῆς πάντων ἀπωλείας. οὐ πάντων δὲ τὰς ἁμαρτίας ἀνήνεγκε, διὰ τὸ μὴ θελῆσαι αὐτούς. τί δέ ἐστιν * ἀνενεγκεῖν ἁμαρτίας; ὥσπερ ἐπὶ τῆς προσφορᾶς τῆς ἀναφερομένης, προσφερόμεθα καὶ τὰ ἁμαρτήματα λέγοντες, εἴτε ἑκόντες, εἴτε ἄκοντες ἡμάρτομεν, συγχώρησον, τουτέστι, μεμνήμεθα αὐτῶν πρῶτον, καὶ τότε τὴν συγχώρησιν αἰτούμεθα· οὕτω δὴ καὶ ἐνταῦθα γέγονε. ποῦ τοῦτο πεποίηκεν ὁ Χριστός; ἄκουσον αὐτοῦ λέγοντος, Καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν. (Ιωαν. ιζ. ιθ.) ἰδοὺ ἀνήνεγκε τὰ ἁμαρτήματα. ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀνήνεγκε τῷ πατρί· οὐχ ἵνα τι ὁρίσῃ κατ' αὐτῶν, ἀλλ' ἵνα αὐτὰ ἀφῇ.

Ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται, φησὶ, τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. Τί ἐστι, χωρὶς ἁμαρτίας; οὐχ ἁμαρτίας αἴρων, οὐδὲ δι' ἁμαρτίας ἐκ δευτέρου ἥξει, ἵνα πάλιν ἀποθάνῃ. οὐδὲ γὰρ ὁ ἅπαξ ἀπέθανεν, ὀφείλων ἀποθανεῖν ἀπέθανε. πῶς οὖν ὀφθήσεται; κολάζων. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλὰ τὸ φαιδρὸν, χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν· ὡς μηκέτι λοιπὸν δεηθῆναι θυσίας, ὥστε σῶσαι αὐτοὺς, ἀλλ' ἀπὸ ἔργων τοῦτο ποιεῖν.

Κεφ. ι.

1 Σκιὰν γὰρ ἔχων, φησὶν, ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων· Τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν. ἕως μὲν γὰρ ἂν ὡς ἐν γραφῇ περιάγῃ τις τὰ χρώματα, σκιά τίς ἐστιν· ὅταν δὲ τὸ ἄνθος ἐπαλείψῃ τις, καὶ ἐπιχρίσῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. τοιοῦτόν τι καὶ ὁ νόμος ἦν. σκιὰν γὰρ, φησὶν, ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων· τουτέστι, τῆς θυσίας, τῆς ἀφέσεως. Κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι.

2 Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν συνείδησιν ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους·

3 Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

Ψαλ. μ. ζ.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

6 Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας·

7 Τότε εἶπον, ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου.

8 Ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας (αἵτινες κατὰ τὸν νόμον προσφέρονται)

9 Τότε εἶπεν, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Ὁρᾷς πάλιν τὴν περιουσίαν; μία, φησὶν, αὕτη ἡ θυσία· ἐκεῖναι δὲ πολλαί. διὰ [γὰρ] τοῦτο οὐκ ἴσχυσαν, ἐπειδὴ πολλαί. τί γὰρ ἔδει πολλῶν, εἰπέ μοι, τῆς μιᾶς ἀρκούσης; ὥστε αἱ πολλαί, καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ μηδέποτε αὐτοὺς καθαίρεσθαι δείκνυσιν. ὥσπερ γὰρ φάρμακον, ὅταν ᾖ ἰσχυρὸν, καὶ ὑγείας ποιητικὸν, καὶ δυνάμενον πᾶσαν ἀπαλλάξαι τὴν νόσον, ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ποιεῖ, ὅπερ ἐστὶν ἅπαξ ἐπιτεθὲν τὸ πᾶν εἰργάσατο, δείκνυσιν αὐτοῦ τὴν ἰσχὺν τῷ μηκέτι ἐπιτίθεσθαι, καὶ τοῦτο αὐτοῦ ἐστιν ἔργον τὸ μηκέτι ἐπιτίθεσθαι· ἐὰν δὲ ἀεὶ ἐπιτίθηται, δῆλον ὅτι τοῦ μηδὲν ἰσχυκέναι ἐστὶ σημεῖον (φαρμάκου γὰρ ἀρετὴ τὸ, ἅπαξ ἐπιτεθῆναι, καὶ μὴ πολλάκις) οὕτω δὴ καὶ ἐνταῦθα. τί δήποτε γὰρ

χ. τραυμάτων

ταῖς αὐταῖς θυσίαις ἀεὶ θεραπεύων. Εἰ γὰρ ἐκεῖνοι ἦσαν ἀπηλλαγμένοι τῶν ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέρετο ἡ θυσία. καὶ γὰρ οὕτως ἦν ὡρισμένη, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ τοῦ λαοῦ παντὸς, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν ἡμέρᾳ. ὥστε κατηγορία ἁμαρτημάτων, καὶ οὐ λύσις ἁμαρτημάτων ἦν· καὶ ἐπιδείξεως, κατηγορία ἀσθενείας, οὐκ ἰσχύος ἐπίδειξις. ἐπειδὴ γὰρ ἡ πρώτη οὐδὲν ἴσχυσεν, ἡ δευτέρα προσεφέρετο· καὶ ἐπειδὴ οὐδὲ αὕτη ἤνυσεν, ἑτέρα πάλιν· ὥστε ἔλεγχος ἁμαρτημάτων ἦν. τὸ μὲν οὖν προσφέρεσθαι, ἔλεγχος ἁμαρτημάτων· τὸ δὲ ἀεὶ, ἔλεγχος ἀσθενείας. ἐπὶ δὲ τοῦ Χριστοῦ, τοὐναντίον· ἅπαξ προσηνέχθη, καὶ εἰς τὸ ἀεὶ ἤρκεσε. καὶ καλῶς εἶπεν ἐκεῖνα ἀντίτυπα, ἄρα τύπον ἔχει μόνον, οὐχὶ δὲ καὶ τὴν ἰσχύν· ὥσπερ ἐπὶ τῆς εἰκόνος, τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰκὼν, οὐχὶ τὴν ἰσχύν· ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν ἀλλήλοις. ὁ γὰρ τύπος ἴσος, ἡ δὲ ἰσχὺς οὐκέτι. οὕτω δὴ καὶ ἐπὶ τοῦ οὐρανοῦ, καὶ ἐπὶ τῆς σκηνῆς. ὁ μὲν γὰρ τύπος ἴσος ἦν, ἅγια γὰρ ἦν· ἡ δὲ δύναμις καὶ τὰ ἄλλα, οὐ ταὐτά. τί ἐστιν, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται; τί ἐστιν ἀθέτησις; τουτέστι, καταφρόνησις. οὐκέτι γὰρ παῤῥησίαν ἔχει ἡ ἁμαρτία· ἠθέτηται γάρ. πῶς; ὀφείλουσα μὲν ἀπαιτεῖσθαι δίκας, οὐκ ἀπῃτήθη δέ· τουτέστι, βίαν ἔπαθεν· ὅτι προσεδόκησε πάντας ἀπολεῖν, τοῦτο ἀνῃρέθη. διὰ τῆς θυσίας αὐτοῦ, φησὶ, πεφανέρωται· τουτέστιν, ἐφανερώθη τῷ Θεῷ, καὶ προσῆλθε. μὴ οὖν ἐπεὶ ὁ ἱερεὺς πολλάκις τοῦτο ἐποίει τοῦ ἐνιαυτοῦ, τοιοῦτος ἦν ἁπλῶς, καὶ οὐχὶ δι' ἀσθένειαν τοῦτο ἐγίνετο; εἰ γὰρ μὴ δι' ἀσθένειαν, τί καὶ ἐγίνετο; μὴ ὄντων γὰρ τραυμάτων, οὐδὲ φάρμακον λοιπὸν ἦν ἐπιμελουμένοις. διὰ τοῦτο προσέταξε, φησὶν, ἀεὶ προσφέρεσθαι διὰ τὸ ἀσθενὲς, καὶ ὥστε ἀνάμνησιν ἁμαρτιῶν γίνεσθαι. τί οὖν; ἡμεῖς καθ' ἑκάστην ἡμέραν οὐ προσφέρομεν; προσφέρομεν μὲν, ἀλλ' ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτοῦ· καὶ μία ἐστὶν αὕτη, καὶ οὐ πολλαί. πῶς μία, καὶ οὐ πολλαί; ἐπεὶ ἅπαξ προσηνέχθη, ὥσπερ ἐκείνη ἡ εἰς τὰ ἅγια τῶν ἁγίων. τοῦτο ἐκείνης τύπος ἐστὶ, καὶ αὕτη ἐκείνης. τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν, οὐ νῦν μὲν ἕτερον [πρόβατον,] αὔριον δὲ ἕτερον, ἀλλ' ἀεὶ τὸ αὐτό. ὥστε μία ἐστὶν ἡ θυσία. ἐπεὶ τῷ λόγῳ τούτῳ, ἐπειδὴ πολλαχοῦ προσφέρεται, καὶ πολλοὶ Χριστοί; ἀλλ' οὐδαμῶς· ἀλλ' εἷς [πανταχοῦ] ὁ Χριστὸς, καὶ ἐνταῦθα πλήρης ὢν, καὶ ἐκεῖ πλήρης, ἓν σῶμα. ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα· οὕτω καὶ μία θυσία. ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν, ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκών. ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον. τοῦτο εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου. τοῦτο γὰρ ποιεῖτε, φησὶν, εἰς τὴν ἐμὴν ἀνάμνησιν. οὐκ ἄλλην θυσίαν, καθάπερ ὁ ἀρχιερεὺς τότε, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν· μᾶλλον δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας.

ΗΘΙΚΟΝ

Ἀλλ' ἐπειδὴ τῆς θυσίας ταύτης ἐμνήσθην, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμυημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ τὴν ὠφέλειαν. οὐ γὰρ ἡμέτερά ἐστιν, ἀλλὰ τοῦ θείου Πνεύματος τὰ λεγόμενα. τί οὖν ἐστι; πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, ἄλλοι δὲ δὶς, ἄλλοι δὲ πολλάκις. πρὸς πάντας ἡμῖν ὁ λόγος ἐστὶν, οὐ πρὸς τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους. ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. τί οὖν; τίνας ἀποδεξόμεθα; τοὺς ἅπαξ; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀλήπτου. οἱ τοιοῦτοι ἀεὶ προσίτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. διὰ τί; ὅτι κρίμα ἑαυτοῖς λαμβάνουσι, καὶ κατάκριμα, καὶ κόλασιν, καὶ τιμωρίαν. καὶ μὴ θαυμάσῃς. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακῶς ἔχοντα ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ νόσου ἀφορμὴ γίνεται· οὕτω δὴ καὶ τὰ τῆς φρικτῆς μυστικῆς

τραπέζης

τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ στόμα; μύρῳ χρίεις, καὶ πάλιν δυσωδίας πληροῖς; Εἰπέ μοι, παρακαλῶ, μετ᾽ ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων, τὰς τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς καθαρμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου; καὶ πάλιν, ἑβδομάδος παρελθούσης, ἐκδίδως σαυτὸν τοῖς προτέροις; Εἰπὲ δή μοι, ἐὰν ὑγιάνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν σαυτὸν τοῖς σιτίοις ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ [καὶ] τὸν πρότερον κόπον ἀπώλεσας; εὔδηλον ὅτι. Εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. οἷόν τι λέγω, φύσει βλέπομεν, καὶ ὑγιεῖς ἔχομεν ὀφθαλμοὺς κατὰ φύσιν· ἀλλὰ πολλάκις ἀπὸ κακοχυμίας βλάπτεται ἡμῶν τὸ ὀπτικόν. εἰ τοίνυν τὰ ἐκ φύσεως μεθίσταται, οὐχὶ μάλιστα τὰ ἐκ προαιρέσεως; τεσσαράκοντα ἡμέρας ἀπονέμεις τῇ ὑγιείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; παίζεις, ἄνθρωπε. Ταῦτα λέγω, οὐχὶ τῆς μιᾶς καὶ ἐνιαυσιαίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ βουλόμενος μᾶλλον διαπαντὸς ὑμᾶς προσιέναι τοῖς ἁγίοις. Διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἐπιφωνεῖ τότε τοὺς ἁγίους καλῶν, καὶ διὰ τῆς φωνῆς ταύτης μωμοσκοπῶν ἅπαντας, ὥστε μὴ προσελθεῖν τινα ἀπαρασκεύαστον. καθάπερ γὰρ ἐπὶ ποίμνης, ἔνθα πολλὰ μὲν ὑγιαίνει πρόβατα, πολλὰ δὲ ψώρας ἀναπέπλησται, ἀνάγκη ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ἐπειδὴ τὰ μέν ἐστιν ὑγιαίνοντα πρόβατα, τὰ δὲ κακοχυμοῦντα, διὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων περιιὼν πανταχοῦ διὰ τῆς κραυγῆς ταύτης τῆς φρικωδεστάτης ὁ ἱερεύς, καὶ τοὺς ἁγίους καλῶν καὶ ἕλκων. ἐπειδὴ γὰρ οὐκ ἔνι ἀνθρώπον ὄντα εἰδέναι τὰ τοῦ πλησίον (Τίς γὰρ οἶδεν ἀνθρώπων, φησί, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;) ταύτην ἀφίησι τὴν φωνὴν μετὰ τὸ τὴν θυσίαν ἀπαρτισθῆναι πᾶσαν, ὥστε μηδένα ἁπλῶς, καὶ ὡς ἔτυχεν, ἐπὶ τὴν πηγὴν ἐλθεῖν τὴν πνευματικήν. καὶ γὰρ ἐπὶ τῆς ποίμνης (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι πάλιν χρήσασθαι) τὰ μὲν νοσοῦντα ἔνδον ἀποκλειόμενα, καὶ ἐν σκότῳ κατεχόμενα, τὸ ἑτέρας μεταδιδόμενα τροφῆς, οὔτε ἀέρος καθαροῦ, οὔτε πόας εἰλικρινοῦς, οὔτε πηγῆς τῆς ἔξω συγχωροῦνται μεταλαβεῖν. Ἐνταῦθα τοίνυν αὕτη ἡ φωνὴ ἀντὶ δεσμοῦ τινός ἐστιν. οὐκ ἔχεις εἰπεῖν, οὐκ ᾔδειν, ἠγνόουν ὅτι κίνδυνος ἕπεται τῷ πράγματι· μάλιστα μὲν οὖν καὶ ὁ Παῦλος τοῦτο διεμαρτύρατο. ἀλλ᾽ ἐρεῖς ὅτι οὐκ ἀνέγνων; οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ καὶ ἔγκλημα. καθ᾽ ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἔτι τοῦτο ἀγνοεῖς; πλὴν ἀλλ᾽ ἵνα μηδὲ τοῦτο ἔχῃς προφασίζεσθαι, τούτου χάριν μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ, καθάπερ τις κῆρυξ τὴν χεῖρα αἴρων εἰς τὸ ὕψος, ὑψηλὸς ἑστώς, πᾶσι καταφανὴς γενόμενος, καὶ μέγα ἐπ᾽ ἐκείνῃ τῇ φρικτῇ ἡσυχίᾳ ἀνακραυγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ ἀπείργει ὁ ἱερεύς, οὐ τῇ χειρὶ τοῦτο ποιῶν, ἀλλὰ τῇ γλώττῃ τῆς χειρὸς τρανότερον. ἡ γὰρ φωνὴ ἐκείνη εἰς τὴν ἀκοὴν ἐμπίπτουσα τὴν ἡμετέραν, καθάπερ χείρ, τοὺς μὲν ὠθεῖ καὶ ἐκβάλλει, τοὺς δὲ εἰσάγει καὶ παρίστησιν. Εἰπὲ δή μοι, παρακαλῶ, ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οὐχὶ ἕστηκεν ὁ κῆρυξ βοῶν μέγα καὶ ὑψηλόν, εἴ τις τούτου κατηγορεῖ, λέγων, μὴ δοῦλός ἐστι; μὴ κλέπτης; μὴ τρόπον πονηρῶν ἐκέκτητο; καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα οὐ ψυχῆς ἐστιν, οὐδὲ τρόπου ἀγαθοῦ, ἀλλὰ ῥώμης καὶ σώματος. Εἰ τοίνυν ἔνθα σωμάτων ἐστὶν ἄσκησις, πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, πόσῳ μᾶλλον ἐνταῦθα, ἔνθα τὸ πᾶν ψυχῆς ἆθλον; ἕστηκε τοίνυν καὶ νῦν ὁ παρ᾽ ἡμῖν κῆρυξ, οὐ τῆς κεφαλῆς ἕκαστον κατέχων καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς τῆς ἔνδον κατέχων, οὐκ ἐφίστησιν ἄλλους αὐτοῖς κατηγόρους, ἀλλ᾽ αὐτοὺς ἑαυτοῖς. οὐ γὰρ λέγει, μή τις τούτου κατηγορεῖ; ἀλλὰ τί; εἴ τις ἑαυτοῦ κατηγορεῖ. ὅταν μὲν γὰρ εἴπῃ, τὰ ἅγια τοῖς ἁγίοις, τοῦτο λέγει, εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. οὐχ ἁπλῶς φησιν, ἁμαρτημάτων καθαρός, ἀλλ᾽ ἅγιος. τὸν γὰρ ἅγιον οὐχ ἡ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ πνεύματος παρουσία, καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος. οὐ βούλομαι μόνον, φησίν, βορ-

α. Κορ. β. ια.

βορβόρου ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ λευκοὺς εἶναι καὶ ὡραίους. Εἰ γὰρ ὁ Βαβυλώνιος βασιλεὺς, ἀπὸ τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους, καλοὺς τῷ εἴδει, καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο· πολλῷ μᾶλλον ἡμᾶς παρισταμένους τῇ* τραπέζῃ τῇ βασιλικῇ, καλοὺς τῷ εἴδει εἶναι δεῖ, τὸ τῆς ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν καθαράν, τὰ ὑποδήματα βασιλικά, τὸ πρόσωπον τῆς ψυχῆς εὔμορφον, τὸν κόσμον αὐτῇ περικεῖσθαι τὸν χρυσοῦν, τὴν ζώνην τῆς ἀληθείας. ὁ τοιοῦτος προσίτω, καὶ ποτηρίων ἁπτέσθω βασιλικῶν. Εἰ δέ τις ῥάκια ἠμφιεσμένος, ῥυπῶν, αὐχμῶν ἐπεισιέναι τῇ βασιλικῇ βούλοιτο τραπέζῃ, ὅρα ὅσα πείσεται, οὐκ ἀρκούσης τῆς τεσσαρακοντα ἡμέρας τὰ ἐν παντὶ τῷ χρόνῳ πεπλημμελημένα ἀπολούσασθαι. Εἰ γὰρ ἡ γέεννα οὐκ ἀρκεῖ, καίτοιγε αἰώνιος οὖσα (διὰ τοῦτο γὰρ καὶ αἰώνιός ἐστι) πολλῷ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. οὐ γὰρ μετάνοιαν ἰσχυρὰν ἐπιδειξάμεθα, ἀλλ' ἀσθενῆ. Τοὺς εὐνούχους μάλιστα δεῖ παρεστάναι τῷ βασιλεῖ· εὐνούχους λέγω, τοὺς τὴν διάνοιαν λευκούς, μηδένα ἔχοντας ῥύπον, μηδὲ σπῖλον, ὑψηλοὺς τῇ διανοίᾳ, τὸ ὄμμα ἥμερον τῆς ψυχῆς ἔχοντας καὶ ὀξυδερκές, εὐπερίστροφον καὶ γοργόν, ἀλλὰ μὴ ὑπνηλόν, μηδὲ ὕπτιον, ἐλευθερίας γέμον πολλῆς, πόρρω ἀναισχυντίας τε μὲν καὶ ἰταμότητος, ἐγρηγορός, ὑγιές, μήτε στυγνὸν σφόδρα καὶ κατηφές, μήτε διακεχυμένον καὶ ὑγρόν. οὕτως ἡμεῖς κύριοι δημιουργῆσαι τὸν ὀφθαλμόν, καὶ ὀξυδερκῆ ποιῆσαι καὶ καλόν. ὅταν γὰρ αὐτὸν μὴ πρὸς τὸν καπνὸν ἄγωμεν, μηδὲ πρὸς τὴν κόνιν (τοιαῦτα γὰρ πάντα τὰ ἀνθρώπινα πράγματα) ἀλλὰ πρὸς τὴν αὔραν τὴν λεπτήν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα καὶ ὑψηλά, καὶ ἡσυχίας γέμοντα πολλῆς καὶ καθαρότητος, καὶ πολλῆς τῆς τέρψεως, ἀνακτησόμεθα ταχέως αὐτόν, καὶ ῥώσομεν ἐντρυφῶντα τῇ τοιαύτῃ θέᾳ. Εἶδες πλεονεξίαν, καὶ πλοῦτον πολὺν ἔχοντά τινα; μὴ ἐπαγάγῃς ἐκεῖ τὸν ὀφθαλμόν σου· βόρβορός ἐστι τὸ πρᾶγμα, καπνός ἐστιν, ἀτμὶς πονηρά, σκότος καὶ στενοχωρία πολλή, καὶ φροντίδων πνιγμός. Εἶδες δικαιοσύνην ἀσκοῦντα ἄνθρωπον, ἀρκούμενον τοῖς αὐτοῦ, καὶ πολλὴν ἔχοντα τὴν εὐρυχωρίαν τῆς ἀνέσεως, οὐδὲν μεριμνῶντα, οὐδὲν φροντίζοντα τῶν ἐνταῦθα; στῆσον αὐτὸν ἐκεῖ, καὶ μετεώρισον· καὶ πολλῷ καλλίονα αὐτὸν ἐργάσῃ καὶ λαμπρότερον, οὐ τοῖς τῆς γῆς ἄνθεσιν εὐωχῶν, ἀλλὰ τοῖς τῆς ἀρετῆς, σωφροσύνῃ, ἐπιεικείᾳ, καὶ τοῖς ἄλλοις ἅπασιν. Οὐδὲν γὰρ οὕτω ταράττει ὀφθαλμόν, ὡς συνειδὸς πονηρόν. Ἐταράχθη, φησίν, ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. Οὐδὲν οὕτω σκοτοῖ. ταύτης αὐτὸν ἀπάλλαξον τῆς ἐπηρείας, καὶ φαιδρὸν ἐργάσῃ καὶ ἰσχυρόν, ἀεὶ τρεφόμενον ἐλπίσιν ἀγαθαῖς. γένοιτο δὲ πάντας ἡμᾶς, καὶ τοῦτον καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι τοιαύτας, οἵας ὁ Χριστὸς βούλεται· ἵνα τῆς ἐπικειμένης ἡμῖν κεφαλῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἔνθα θέλει. Φησὶ γάρ, Θέλω ἵν', ὅπου ἐγὼ εἰμί, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα τὴν δόξαν τὴν ἐμὴν ὁρῶσιν· ἧς γένοιτο ἀπολαῦσαι πάντας ἡμᾶς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι δόξα.

* ἁγίᾳ.

γ. ἱερατι.

Ψαλ. ς. ζ.

γ. περὶ ψυχῶν, ὡς ὀφθαλμῶν· ταύτης αὐτὸν ἀπάλλαξον τῆς πονηρίας καὶ γ. ταύτην καὶ ἀλ. τοῦτο

Ιωαν. ιζ. κδ.

Λογ. ιη.

Λογ. ιη. 8 Ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ χ. ἀνώτερον
προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐ-
δόκησας (αἵτινες κατὰ νόμον προσφέρονται) 9 Τότε εἴρηκεν, ἰδοὺ ἥ-
κω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον
στήσῃ. 10 Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν, διὰ τῆς προσφορᾶς
τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. 11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε
καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες
οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· 12 Οὗτος δὲ μίαν ὑπὲρ
ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ,
13 Τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν
ποδῶν αὐτοῦ.

Ἐν μὲν τοῖς ἔμπροσθεν ἔδειξεν ἀνωφελεῖς τὰς θυσίας οὔσας πρὸς τὴν τελείαν καθαρότητα, καὶ τύποι οὔσας, καὶ πολὺ λειπομένας. ἐπειδὴ οὖν ἀντέπιπτεν αὐτῷ τοῦτο, εἰ τύποι εἰσί, πῶς, τῆς ἀληθείας ἐλθούσης, οὐκ ἐπαύσαντο, οὐδὲ ὑπεχώρησαν, ἀλλ' ἐπιτελοῦνται; αὐτὸ δὴ τοῦτο ἐνταῦθα ἐργάζεται, δεικνὺς ὅτι οὐκέτι τελοῦνται*, οὐδὲ ὡς τύπος. οὐ γὰρ αὐτὰς προσίεται ὁ Θεός. καὶ τοῦτο οὐκ ἀπὸ τῆς καινῆς πάλιν, ἀλλ' ἀπὸ τῶν προφητῶν δείκνυσιν, ἄνωθεν τὴν ἰσχυροτάτην παράγων μαρτυρίαν, ὅτι λήγει καὶ παύεται, καὶ εἰκῇ πάντα πράττουσιν, ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες. καὶ δείκνυσιν ἐκ περιουσίας οὐ νῦν αὐτὰς πεπαυμένας, ἀλλὰ καὶ πρὸ αὐτῆς τοῦ Χριστοῦ τῆς παρουσίας· μᾶλλον δέ, καὶ παρὰ τῆς αὐτοῦ παρουσίας. καὶ πῶς οὐ τελευταῖον ἔλυσεν αὐτὰς ὁ Χριστός, ἀλλὰ πρότερον ἐλύθησαν, καὶ τότε ἦλθε· πρότερον ἐπαύθησαν, καὶ τότε αὐτὸς παρεγένετο; ἵνα γὰρ μὴ λέγωσι*, καὶ χωρὶς ταύτης τῆς θυσίας ἠδυνάμεθα εὐαρεστῆσαι τῷ Θεῷ, καὶ δι' ἐκείνων ἀνέμενεν αὐτὰς ἐλεγχθῆναι, καὶ τότε αὐτὸς παρεγένετο. θυσίαν γάρ, φησι, καὶ προσφορὰν οὐκ ἠθέλησας. πάντα ἀνεῖλε διὰ τούτου. καὶ γενικῶς εἰπών, λέγει καὶ ἰδικῶς, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. προσφορὰ δὲ πᾶν τὸ ἐκτὸς τῆς θυσίας ἦν. τότε εἶπον, ἰδοὺ ἥκω. περὶ τίνος τοῦτο εἴρηται; περὶ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ περὶ τοῦ Χριστοῦ. ἐνταῦθα οὐδὲν αἰτιᾶται τοὺς προσφέροντας, δεικνὺς ὅτι οὐ διὰ τὰς πονηρίας αὐτῶν οὐ δέχεται, καθάπερ ἑτέρωθι φησιν, ἀλλὰ διὰ τὸ λοιπὸν ἐληλέγχθαι τὸ πρᾶγμα, καὶ πεφανερῶσθαι οὐδεμίαν ἔχοι ἰσχὺν, οὐδὲ καιρόν τινα προσήκοντα. τί οὖν τοῦτο πρὸς τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον, φησιν, ὅτι ἀσθενεῖς εἰσί, καὶ ὅτι οὐδὲν ἴσχυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς τὸν Θεόν, ὡς ἀνονήτους καὶ ἀνωφελεῖς. τοῦτο αὐτὸ δηλῶν καὶ ἀλλαχοῦ φησιν, ὅτι, Εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. ἄρα καὶ διὰ τούτου δηλοῖ ὅτι οὐ θέλει. ἄρα οὖν οὐχ αἱ θυσίαι τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ' ἡ τῶν θυσιῶν ἀναίρεσις. οὐκοῦν παρὰ τὸ θέλημα θύουσι. τί ἐστι, τοῦ ποιῆσαι τὸ θέλημά σου; τοῦ ἐμαυτόν, φησιν, ἐκδοῦναι. τοῦτο τοῦ Θεοῦ θέλημα· ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν. ἔτι διὰ τούτου καὶ ἄλλως δείκνυσιν, ὅτι οὐχ αἱ θυσίαι τοὺς ἀνθρώπους καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ. [ἄρα οὖν τὸ θύειν οὐ θέλημα τοῦ Θεοῦ.] καὶ τί θαυμάζεις, εἰ νῦν οὐ θέλημά ἐστι τοῦ Θεοῦ, ὅπου γε μηδὲ ἐξ ἀρχῆς θέλημα ἦν; Τίς γὰρ ἐξεζήτησε ταῦτα, φησιν, ἐκ τῶν χειρῶν ὑμῶν; πῶς οὖν αὐτὸς ἐπέταξε; συγκαταβαίνων. ὥσπερ καὶ ὁ Παῦλος φαίνεται λέγων, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ. καὶ πάλιν παραινῶν ἀλλαχοῦ φησι, Βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν. *δύο θελήματα τίθησιν, ἀλλ' οὐ τὰ δύο αὐτοῦ

Margin notes: χ. τελοῦνται; * λοιπόν; * ὅτι; χ. πᾶν τὸ ἐκτὸς τῆς θυσίας ἦν; χ. πρᾶγμα; Ψαλ. ν. ιζ.; Ησ. α. ιβ.; α. Κορ. ζ. ζ.; α. Τιμ. ε. ιδ.; * καὶ

αὐτοῦ ἐστιν, εἰ καὶ ἐπιτάττει· ἀλλ' ὥσπερ μὲν αὐτὸς, διὸ καὶ χωρὶς αἰτίας τίθησιν, ἐκεῖνο δὲ οὐκ αὐτὸς, εἰ καὶ βούλεται· διὸ καὶ μετ' αἰτίας πρόσκειται. προέτρεψε γὰρ καὶ κατηγορήσας αὐτὰς, ὅτι καταστρηνιάσωσι τοῦ Χριστοῦ, τότε φησὶ, βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν. οὕτω δὴ καὶ ἐν τοῖς συγκαταβάσεσιν οἰκονομίας· οὐκ αὐτοῦ θέλημα ἦν προστασσόμενον τὸ τὰς θυσίας γίνεσθαι. οὕτω καὶ περὶ τοῦ θανάτου λέγει, Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν αὐτόν, καὶ ἀλλαχοῦ λέγει, ὅτι οὐ μόνον * ἠβουλήθη, ἀλλὰ καὶ ἐπεθύμησε τοῦτο. καίτοιγε ἐναντία ταῦτα ἀλλήλοις. ἐπιθυμία γὰρ ἐπιτεταμένη ἡ βούλησίς ἐστι. πῶς οὖν οὐ θέλων, ἀλλαχοῦ ἐπιθυμεῖ, ὅτι σφόδρα θέλει ἐστὶ σημεῖον; τοῦτο δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν, φησί. πῶς δὲ ἡγιασμένοι, αὐτὸς ἑρμηνεύων εὐθὺς ἐπάγει, διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας. ἄρα τὸ ἑστάναι τοῦ λειτουργεῖν ἐστι σημεῖον· οὐκοῦν τὸ καθῆσθαι, τοῦ λειτουργεῖσθαι. οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ.

14 Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον. Εἶπεν ὅτι ἐκεῖναι οὐ προσφέρονται· συμπεραίνεται ἀπὸ τῶν γραφῶν. ἄλλως δὲ καὶ ῥητὸν προστίθησι προφητικὸν λέγον, ὅτι θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. εἶπεν, ὅτι ἀφῆκε τὰς ἁμαρτίας. πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφου μαρτυρίας πιστοῦται. μαρτυρεῖ γὰρ ἡμῖν, φησι, τὸ πνεῦμα τὸ ἅγιον. μετὰ γὰρ τὸ εἰρηκέναι,

16 Αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς·

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

18 Ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

Οὐκοῦν ἀφῆκε τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκε. τὴν δὲ διαθήκην διὰ τῆς θυσίας ἔδωκεν. εἰ τοίνυν ἀφῆκε τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκέτι χρεία δευτέρας. ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος. καὶ τίνος ἕνεκεν ἡ ἀναβολή; ἵνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. μιᾷ γάρ, φησι, προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἔθηκε; διὰ τοὺς πιστοὺς τοὺς μέλλοντας τίκτεσθαι καὶ γεννᾶσθαι. πόθεν οὖν ὅτι τεθήσονται; διὰ τοῦ εἰπεῖν, ὅτι ἐκάθισεν. ἀνέμνησε πάλιν τῆς μαρτυρίας ἐκείνης τῆς λεγούσης, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπὸ τοὺς πόδας σου. οἱ δὲ ἐχθροὶ αὐτοῦ, οἱ Ἰουδαῖοί εἰσιν. εἶτα ἐπειδὴ εἶπεν, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, σφόδρα δὲ ἠπείγετο, τούτου χάριν πολλὰ πάλιν μετὰ ταῦτα τίθησιν, ὅσα περὶ πίστεως διαλέγεται. τίνες δὲ οἱ ἐχθροί, εἰπέ; ἢ οἱ ἄπιστοι πάντες, οἱ δαίμονες; οὐ γὰρ δὴ μόνοι Ἰουδαῖοι. καὶ τὸ πολὺ δὲ τῆς ὑποταγῆς ἀντιτιθέμενος, οὐκ εἶπεν, ὑποταγῶσιν, ἀλλά, τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ.

Μὴ τοίνυν γενώμεθα τῶν ἐχθρῶν. οὐ γὰρ ἐκεῖνοι μόνον ἐχθροί, οἱ ἄπιστοι καὶ Ἰουδαῖοι, ἀλλὰ καὶ οὗτοι οἱ βίου ἀκαθάρτου πλήρεις ὄντες. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. τί οὖν, φησιν; οὐκ ἔστιν ἔγκλημα τοῦτο; καὶ σφόδρα μὲν οὖν ἔγκλημα. ὁ γὰρ κακός, ἕως ἂν ᾖ κακός, οὐ δύναται ὑποτάσσεσθαι· μεταβαλέσθαι μέντοι, καὶ γενέσθαι ἀγαθὸς δύναται. ἐκβάλωμεν τοίνυν τὰ φρονήματα τὰ σαρκικά. ποῖα δέ ἐστι σαρκικά; ὅσα τὸ μὲν σῶμα αὐξάνειν ποιεῖ καὶ εὐπαθεῖν, κακοῖ δὲ τὴν ψυχήν. οἷόν τι λέγω, ὁ πλοῦτος, ἡ τρυφή, ἡ δόξα (πάντα ταῦτα τῆς σαρκός ἐστιν)

Ιεζεκ. κη. κγ.

ΗΘΙΚΟΝ

Ρωμ. η. ζ.

ἐστιν) ὁ ἔρως ὁ τῶν χρημάτων. μὴ τοίνυν τὸν πλούσιον ἐρῶμεν, ἀλλὰ τὴν πενίαν ἀεὶ διώκω- γρ. χρημάτων
μεν. αὕτη γάρ ἐστι μέγα ἀγαθόν. ἀλλὰ ταπεινοῖ, φησί, καὶ εὐτελεῖς ποιεῖ. τοῦτο γὰρ ἡμῖν χρεία. γρ. τοῦ
Παροιμ. ι. δ. πολὺ γὰρ ἡμῖν τοῦτο συμβάλλεται. Πενία, φησίν, ἄνδρα ταπεινοῖ. καὶ πάλιν ὁ Χριστός,
Ματθ. ε. γ. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. διὰ τοῦτο οὖν ἀλγεῖς, ὅτι ἔχεις ὁδὸν εἰς ἀρετὴν
χειραγωγοῦσαν; οὐκ οἶδας ὅτι αὕτη πολλὴν παρρησίαν ἡμῖν δίδωσιν; Ἀλλ' ἡ σοφία, φησί,
Εκκλησ. θ. ιϛ. τοῦ πένητος ἐστὶν ἐξουδενωμένη. καὶ πάλιν ἕτερός τις φησί, Πλοῦτον καὶ πενίαν μή μοι δῷς. καὶ, Ἐκ
Παροιμ. λ. η. καμίνου πενίας ῥῦσαί με. πῶς δὲ πάλιν, εἰ πλοῦτος καὶ πενία παρὰ Κυρίου, κακὸν ἡ πενία
ἢ ὁ πλοῦτος; τίνος [οὖν] ἕνεκεν ταῦτα εἴρηται; ταῦτα ἐλέγετο ἐν τῇ παλαιᾷ, ἔνθα πολὺς
ὁ λόγος τοῦ πλούτου, ἔνθα τῆς πενίας πολλὴ ἦν ἡ ἀδοξία, ἔνθα τὸ μὲν κατάρα ἦν, τὸ δὲ
εὐλογία. ἀλλὰ νῦν οὐκ ἔτι. ἀλλὰ θέλεις ἀκοῦσαι τῆς πενίας ἐγκώμια; αὐτὴν μετῆλ-
θεν ὁ Χριστός, καί φησιν, Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. καὶ πάλιν
Ματθ. η. κ. τοῖς μαθηταῖς ἔλεγε, Μὴ κτήσησθε χρυσόν, μήτε ἄργυρον, μήτε δύο χιτῶνας. καὶ ὁ
Ματθ. ι. θ. Παῦλος γράφων ἔλεγεν, Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. καὶ Πέτρος ἔλεγε τῷ ἐκ γενετῆς
β. Κορ. ϛ. ι. χωλῷ, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. καὶ ἐν αὐτῇ δὲ τῇ παλαιᾷ, ἔνθα ἐθαυμάζετο ὁ πλοῦ-
Πραξ. γ. ϛ. τος, τίνες, εἰπέ μοι, ἦσαν οἱ θαυμαστοί; οὐχὶ Ἠλίας ὁ πλὴν τῆς μηλωτῆς μηδὲν ἔχων; οὐχὶ
Ἐλισσαῖος; οὐχὶ Ἰωάννης; μηδεὶς τοίνυν ἔστω ταπεινὸς διὰ πενίαν. οὐκ ἔστι πενία ἡ ποιοῦσα
ταπεινόν, ἀλλὰ πλοῦτος ὁ πολλῶν δεῖσθαι καταναγκάζων, καὶ πολλοῖς εἰδέναι χάριτας βια-
Γεν. κη. ζόμενος. τί δὲ τοῦ Ἰακὼβ πενέστερον ἦν, εἰπέ μοι, ὃς ἔλεγεν, Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ
ἱμάτιον περιβαλέσθαι; ἆρα ἀπαρρησίαστοι ἦσαν οἱ περὶ Ἠλίαν καὶ Ἰωάννην; οὐχ ὁ μὲν τὸν Ἀ-
Λουκ. ιδ. γ. χαὰβ ἤλεγχεν, ὁ δὲ τὸν Ἡρώδην; ἐκεῖνος ἔλεγεν, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίπ-
γ. Βασ. ιη. που τοῦ ἀδελφοῦ σου. ὁ δὲ Ἠλίας πρὸς τὸν Ἀχαὰβ μετὰ παρρησίας ἔλεγεν, Οὐκ ἐγὼ δια-
στρέφω τὸν Ἰσραήλ, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. ὁρᾷς ὅτι τοῦτο μᾶλλον ποιεῖ τὴν παρ-
ρησίαν, ἡ πενία; ὁ μὲν γὰρ πλούσιος δοῦλός ἐστιν, ὑπεύθυνος ὢν ζημίᾳ, καὶ παρέχων πᾶσι
τοῖς βουλομένοις κακῶς αὐτὸν ποιεῖν. ὁ δὲ μηδὲν ἔχων, δήμευσιν οὐ δέδοικεν, οὐδὲ καταδίκην.
οὐκ ἂν οὖν, εἰ ἡ πενία ἐποίει ἀπαρρησιάστους, ὁ Χριστὸς μετὰ πενίας ἔπεμπε τοὺς μαθητὰς
εἰς πρᾶγμα παρρησίας πολλῆς δεόμενον. σφόδρα γὰρ ἰσχυρὸς ὁ πένης ἐστί, καὶ οὐκ ἔχει
ὅθεν ἀδικηθῇ, ἢ πάθῃ κακῶς. ὁ μέντοι πλούσιος, πανταχόθεν εὐχείρωτος καθίσταται. καὶ
ταὐτὸν γέγονεν, ὥσπερ ἂν εἴ τις τὸν πολλὰ σχοινία ἐπισυρόμενον καὶ μακρά, ῥᾳδίως ἕλοι, τὸν μέντοι
γυμνὸν οὐκ εὐκόλως καταλαβεῖν δυνήσεται. οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πλουσίου συμβαίνει.
ἀνδράποδα, χρυσίον, ἀγροί, μυρία πράγματα, μυρίαι φροντίδες, περιστάσεις, ἀνάγκαι, γρ. καὶ οὐ-
πᾶσιν αὐτὸν εὐχείρωτον ἐργάζονται. μηδεὶς τοίνυν λοιπὸν τὴν πενίαν τῆς ἀτιμίας αἰτίαν εἶναι
νομιζέτω. ἐὰν [γὰρ] ἀρετὴ παρῇ, ἅπας ὁ τῆς οἰκουμένης πλοῦτος, οὐδὲ πηλός, οὐδὲ κάρ-
φος ἐστὶ πρὸς αὐτήν. ταύτην τοίνυν διώκωμεν, εἰ βουλοίμεθα εἰσελθεῖν εἰς τὴν βασι-
Ματθ. ιθ. κα. λείαν τῶν οὐρανῶν. Πώλησόν σου γάρ, φησί, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θη-
Ματθ. ιθ. κβ. σαυρὸν ἐν οὐρανῷ. καὶ πάλιν, Δύσκολον πλουσίους εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρα-
νῶν. ὁρᾷς ὅτι καὶ μὴ παροῦσαν αὐτὴν ἐπισπάσασθαι δεῖ; τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ πενία. χει-
ραγωγία γάρ τις ἐστὶ τῆς πρὸς τὸν οὐρανὸν φερούσης ὁδοῦ, ἄλειμμα ἀθλητικόν, γυμνασία
τις μεγάλη καὶ θαυμαστή, λιμὴν εὐδιεινός. ἀλλὰ χρείαν ἔχω πολλῶν, φησί, καὶ οὐ βούλομαί
τινος χάριν λαβεῖν. ἀλλὰ καὶ ἐν τούτῳ σου ὁ πλούσιος ἠλάττωται. σὺ μὲν γὰρ ἴσως ὑπὲρ τρο-
φῆς τὴν χάριν αἰτεῖς· ἐκεῖνος δὲ ὑπὲρ μυρίων ἀναγκαίων πραγμάτων, ὑπὲρ πλεονεξί-
ας. ὥστε οἱ πλούσιοι εἰσὶν οἱ πολλῶν δεόμενοι. τί λέγω πολλῶν; καὶ ἀναξίων ἑαυτῶν πολ-
λάκις. οἶδα τί λέγω· τῶν ἐν ταῖς τάξεσι στρατιωτῶν καὶ δούλων ὄντων πολλάκις ἐν χρείᾳ καθί-
σταται· ὁ δὲ πένης οὐδὲ αὐτοῦ δεῖται τοῦ βασιλέως· κἂν δεηθῇ, θαυμάζεται ὅτι εἰς τοῦτο
κατέστησεν ἑαυτόν, παρὸν αὐτῷ πλουτεῖν. μηδεὶς τοίνυν αἰτιάσθω τὴν πενίαν, ὡς μυρίων οὖ-

σαν

σαι καλὴν αἰτίαν, μηδὲ ἀποφθεγγέσθω τῷ Χριστῷ, ὃς τελειότητα ταύτην ἔφησεν εἶναι τῆς ἀρετῆς, εἰπών, Εἰ θέλεις τέλειος εἶναι. τοῦτο γὰρ καὶ διὰ τῶν λόγων αὐτὸς εἶπε, καὶ διὰ τῶν ἔργων ἔδειξε, καὶ διὰ τῶν μαθητῶν ἐδίδαξε. διώξωμεν οὖν τὴν πενίαν. μέγιστον γάρ ἐστιν ἀγαθὸν αὕτη τοῖς νήφουσι. τάχα τινὲς καὶ οἰωνίζονται τῶν ἀκουόντων. οὐκ ἀπιστῶ. πολλὴ γὰρ ἡ νόσος αὕτη παρὰ τοῖς πλείοσι τῶν ἀνθρώπων, καὶ τοσαύτη τῶν χρημάτων ἡ τυραννίς, ὡς μηδὲ μέχρι ῥημάτων αὐτῆς τὴν παραίτησιν φέρειν, ἀλλὰ καὶ οἰωνίζεσθαι ταύτην. πόρρω ταῦτα τῆς τοῦ χριστιανοῦ ψυχῆς. οὐδὲν γὰρ πλουσιώτερον τοῦ πενίαν αἱρουμένου ἑκοντί, καὶ μετὰ προθυμίας. πῶς; ἐγὼ λέγω· καὶ εἰ βούλεσθε, καὶ αὐτοῦ τοῦ βασιλέως πλουσιώτερον ὄντα ἀποφαίνω τὸν ἑκοντὶ τὴν πενίαν αἱρούμενον. ἐκεῖνος μὲν γὰρ δεῖται πολλῶν, καὶ ἐν φροντίδι ἐστί, καὶ δέδοικε μὴ ἐπιλίπῃ αὐτῷ τὰ τῆς τροφῆς τῆς στρατιωτικῆς· οὗτος δὲ πάντα ἀφθόνως ἔχει, καὶ περὶ οὐδενὸς δέδοικε· καὶ εἰ δέδοικεν, οὐχ ὑπὲρ τοσούτων. τίς οὖν, εἰπέ μοι, πλούσιος, ὁ καθ' ἑκάστην ἡμέραν ἀπαιτῶν, καὶ σπουδάζων πολλὰ συλλέγειν, καὶ δεδοικὼς μή ποτε ἐπιλείπῃ· ἢ ὁ μηδὲν συλλέγων, καὶ ἐν ἀφθονίᾳ ὢν πολλῇ, καὶ μηδενὸς δεόμενος; τὴν παρρησίαν γὰρ ἀρετὴ δίδωσι, καὶ τοῦ Θεοῦ φόβος, οὐ τὰ χρήματα. ἐκεῖνα γὰρ καὶ καταδουλοῦνται. Ξένια γὰρ καὶ δῶρα, φησίν, ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς. σκόπει πῶς ὁ πένης ἐκεῖνος Πέτρος Ἀνανίαν τὸν πλούσιον ἐκόλασεν. οὐχ ὁ μὲν πλούσιος ἦν, ὁ δὲ πένης; ἀλλ' ὅρα τοῦτον μετὰ αὐθεντίας διαλεγόμενον, καὶ λέγοντα, Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε· ἐκεῖνον δὲ μετὰ ὑποστολῆς λέγοντα, ναὶ τοσούτου. καὶ τίς δώσει μοί, φησι, κατὰ Πέτρον εἶναι; ἔξεστί σοι κατὰ Πέτρον εἶναι, ἐὰν θέλῃς ῥίψαι ἃ ἔχεις. σκόρπισον, δὸς πένησιν, ἀκολούθησον τῷ Χριστῷ, καὶ ἔσῃ τοιοῦτος. πῶς; ἐκεῖνος, φησι, σημεῖα ἐποίησε. τοῦτο οὖν ἐστιν, εἰπέ μοι, τὸ τὸν Πέτρον ποιῆσαι θαυμαστόν, ἢ ἡ παρρησία ἡ ἀπὸ τῆς πολιτείας; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, [Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει;] Ἐὰν θέλῃς τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντά σου, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς; ἄκουσον τί καὶ ὁ Πέτρος φησίν· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. εἰ τις ἔχει ἀργύριον καὶ χρυσίον, ἐκεῖνα οὐκ ἔχει. τί οὖν, φησιν, ὅτι πολλοὶ οὔτε ἐκεῖνα, οὔτε ταῦτα ἔχουσιν; ὅτι οὐχ ἑκόντες πένονται. ἐπεὶ οἱ ἑκόντες πενόμενοι, πάντα ἔχουσι τὰ ἀγαθά. εἰ γὰρ καὶ μὴ νεκροὺς ἀνιστῶσι, μηδὲ χωλούς, ἀλλ', ὃ πάντων μεῖζόν ἐστι, παρρησίαν ἔχουσι πρὸς τὸν Θεόν. ἀκούσονται κατ' ἐκείνην τὴν ἡμέραν τῆς μακαρίας ἐκείνης φωνῆς τῆς λεγούσης, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. [τί τούτου κρεῖττον;] κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με· ἀσθενὴς ἤμην, καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. φεύγωμεν τοίνυν τὴν πλεονεξίαν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν. τρέφωμεν τοὺς πένητας, ἵνα τρέφωμεν τὸν Χριστόν· ἵνα συγκληρονόμοι αὐτοῦ γενώμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ιθ. 19 ΕΧΟΝΤΕΣ ΟΥΝ, ΑΔΕΛΦΟΙ, ΠΑΡΡΗΣΙΑΝ εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, 20 Ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ, 21 Καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, 22 Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς 23 Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ.

Margin notes: γ. ἀποφαίνειν. γ. πάχα. γ. μεμψοῦν. γ. ἐλεγχους. γ. -σιν; ὅσοι ἑκόντες πε-νο-, πάντα. γ. ἐπαγγελίαν. Σειρ. κ. κθ. Π. Μ. Π. Ματθ. κε. λδ.

Δείξας τὸ διάφορον ὅσον τοῦ ἀρχιερέως, καὶ τῶν θυσιῶν, καὶ τῆς σκηνῆς, καὶ τῆς διαθήκης, καὶ τῆς ἐπαγγελίας, καὶ πολὺ τὸ μέσον (εἴγε τὰ μὲν πρόσκαιρα, τὰ δὲ αἰώνια, τὰ μὲν ἐγγὺς ἀφανισμοῦ, τὰ δὲ μένοντα, τὰ μὲν εὐτελῆ, τὰ δὲ τέλεια, τὰ μὲν τύποι, τὰ δὲ ἀλήθεια. Οὐ γὰρ κατὰ νόμον ἐντολῆς, φησὶ, σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. καὶ πάλιν, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. ἰδοὺ τὸ διηνεκὲς τοῦ ἱερέως. καὶ περὶ τῆς διαθήκης, ἐκείνη, φησὶ, παλαιά· τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. αὕτη δὲ καινὴ, καὶ ἄφεσιν ἁμαρτιῶν ἔχουσα· ἐκείνη δὲ οὐδὲν τοιοῦτον. οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, φησί. καὶ πάλιν, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. καὶ ἐκείνη μὲν χειροποίητος, αὕτη δὲ ἀχειροποίητος, καὶ ἡ μὲν τράγων αἷμα ἔχουσα, αὕτη δὲ δεσπότου, καὶ ἡ μὲν ἑστῶτα τὸν ἱερέα, αὕτη δὲ καθήμενον) ἐπεὶ τοίνυν πάντα ἐκεῖνα ἐλάττω, ταῦτα δὲ μείζω, διὰ τοῦτό φησιν, ἔχοντες οὖν, ἀδελφοὶ, παῤῥησίαν. παῤῥησίαν πόθεν; ἀπὸ τῆς ἀφέσεως. ὥσπερ γὰρ αἰσχύνην, φησὶ, ποιεῖ τὰ ἁμαρτήματα, οὕτω παῤῥησίαν τὸ πάντα ἀφεθῆναι ταῦτα ἡμῖν. οὐ μόνον δὲ οὕτως, ἀλλὰ καὶ τὸ συγκληρονόμους γενέσθαι, καὶ τοσαύτης ἀπολαῦσαι ἀγάπης εἰς τὴν εἴσοδον τῶν ἁγίων. τί φησιν εἴσοδον ἐνταῦθα; τὸν οὐρανὸν, καὶ τὴν πρόσοδον τὴν εἰς τὰ πνευματικά. ἣν ἐνεκαίνισεν ἡμῖν. τουτέστιν, ἣν κατεσκεύασε, καὶ ἧς ἤρξατο. ἐγκαινισμὸς γὰρ λέγεται ἀρχὴ χρήσεως λοιπόν. ἣν κατεσκεύασε, φησὶ, καὶ δι᾽ ἧς αὐτὸς ἐβάδισεν. ὁδὸν πρόσφατον καὶ ζῶσαν. ἐνταῦθα τὴν πληροφορίαν τῆς ἐλπίδος ἐμφαίνει. πρόσφατον, φησί. βιάζεται δεῖξαι πάντα τὰ μείζονα ἐσχηκότας, εἴγε νῦν ἀνεῴχθησαν αἱ πύλαι τῶν οὐρανῶν, ὃ οὐδὲ ἐπὶ Ἀβραὰμ ἐγένετο. καὶ καλῶς ὁδὸν πρόσφατόν φησι καὶ ζῶσαν. ἡ γὰρ προτέρα ὁδὸς, θανάτου ἦν, ἐπὶ τὸν ᾅδην ἄγουσα· αὕτη δὲ ζωῆς. καὶ οὐκ εἶπε, ζωῆς, ἀλλὰ ζῶσαν αὐτὴν ἐκάλεσε, τὴν μένουσαν οὕτω δηλῶν. διὰ τοῦ καταπετάσματος, φησὶ, τῆς σαρκὸς αὐτοῦ. ἡ γὰρ σὰρξ αὕτη ἔτεμε πρώτη τὴν ὁδὸν [αὐτῷ] ἐκείνην, ἣν καὶ ἐγκαινίσαι λέγει, τῷ καὶ αὐτὸς ἀξιῶσαι διὰ ταύτης βαδίσαι. καταπέτασμα δὲ εἰκότως ἐκάλεσε τὴν σάρκα. ὅτε γὰρ ἤρθη εἰς ὕψος, τότε ἐφάνη τὰ ἐν τοῖς οὐρανοῖς. προσερχώμεθα, φησὶ, μετὰ ἀληθινῆς καρδίας. τίνες προσερχώμεθα; εἴ τις ἅγιος τῇ πίστει, τῇ πνευματικῇ λατρείᾳ. μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως· τουτέστιν, ἐπειδὴ οὐδέν ἐστιν ὁρατὸν, οὔτε ὁ ἱερεὺς, οὔτε ἡ θυσία, οὔτε τὸ θυσιαστήριον ὁρᾶται. καίτοιγε οὐδὲ ἐκεῖνος ὁ ἱερεὺς ὁρατὸς ἦν, ἀλλ᾽ ἔνδον αὐτὸς εἱστήκει, ἐκεῖνοι δὲ ἔξω πάντες, ὁ λαὸς ἅπας. ἐνταῦθα δὲ οὐ μόνον τοῦτο δείκνυσιν, ὅτι ὁ ἱερεὺς εἰσῆλθεν εἰς τὰ ἅγια (τοῦτο γὰρ δηλοῖ τῷ λέγειν, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ) ἀλλ᾽ ὅτι καὶ ἡμεῖς εἰσερχόμεθα. διὰ τοῦτό φησιν, ἐν πληροφορίᾳ πίστεως. ἔστι γὰρ καὶ πιστεύειν διστάζοντα· οἷοι πολλοί εἰσι καὶ νῦν λέγοντες, ὅτι τινῶν μέν ἐστιν ἀνάστασις, τινῶν δὲ οὔ. τοῦτο δὲ οὐκ ἔστι πληροφορία πίστεως. οὕτω γὰρ δεῖ πιστεύειν, ὡς περὶ ὁρωμένων, καὶ πολλῷ πλέον. ἐνταῦθα μὲν γὰρ καὶ σφαλῆναί ἐστιν ἐν τοῖς ὁρωμένοις, ἐκεῖ δὲ οὔ. καὶ ἐνταῦθα μὲν τῇ αἰσθήσει ἐπιτρέπομεν, ἐκεῖ δὲ τῷ πνεύματι. ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς. ἐνταῦθα δείκνυσιν ὅτι οὐ πίστις μόνον, ἀλλὰ καὶ βίος ἐνάρετος ζητεῖται, καὶ τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρόν. οὐ γὰρ δέχεται τὰ ἅγια τοὺς μὴ οὕτω διακειμένους μετὰ πληροφορίας. ἅγια γάρ ἐστι, καὶ ἅγια ἁγίων. οὐκοῦν ἐνταῦθα ἄνθρωπος οὐδεὶς βέβηλος εἴσεισιν. ἐκεῖνοι δὲ σῶμα ἐῤῥαντίζοντο, ἡμεῖς τὴν συνείδησιν· ὥστε ἔστι καὶ νῦν περιῤῥαντίζεσθαι, ἀλλ᾽ αὐτῇ τῇ ἀρετῇ. καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ. τὸ λουτρὸν ἐνταῦθά φησιν, ὅπερ οὐκ ἔστι σωμάτων καθάρσιον, ἀλλὰ ψυχῆς. Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος. Καὶ τίς ὁ ἐπαγγειλάμενος; ἔστι πιστός; ὅτι δεῖ ἀπελθεῖν ἐκεῖ, καὶ εἰσελθεῖν εἰς τὴν βασιλείαν. μηδὲν τοίνυν περιεργάζου, μηδὲ λογισμοὺς ἀπαίτει· πίστεως δεῖται τὰ ἡμέτερα.

Ἑβρ. ζ. ιε.

Ἑβρ. η. ιγ.

γρ. ἀΐδιοι, ταῦτα δὲ τὰ

γρ. -ται, ἐν παλαιᾷ, διὰ λόγου δι᾽ ὧν λέγει, τὰ δὲ

γρ. -δον, ἐν πρόσφατον λέγει ἐπὶ τοῦ μι-

24 Καὶ κατανοῶμεν, φησὶν, ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων,
25 Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. Καὶ πάλιν ἑτέρωθι, Ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε. νῦν [γὰρ] ἐγγύτερον ἡμῶν ἡ σωτηρία. καὶ πάλιν, Ὁ καιρὸς συνεσταλμένος ἐστὶ λοιπόν. τί ἐστι, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν; οἶδεν ἀπὸ τῆς συνουσίας καὶ τῆς ἐπισυναγωγῆς πολλὴν οὖσαν τὴν ἰσχύν. Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς, φησὶ, συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ πάλιν, Ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. καὶ πάλιν, Πλήθους ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ τὰ τῆς ἀγάπης αὔξεται διὰ τῆς ἐπισυναγωγῆς· τῆς δὲ ἀγάπης αὐξανομένης, ἀνάγκη καὶ τὰ τοῦ Θεοῦ ἕπεσθαι. Προσευχὴ δὲ ἦν, φησὶν, ἐκτενὴς ὑπὸ τοῦ λαοῦ γινομένη. καθὼς ἔθος τισίν. ἐνταῦθα οὐ μόνον παρῄνεσεν, ἀλλὰ καὶ ἐμέμψατο*. καὶ κατανοῶμεν, φησὶν, ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. οἶδε καὶ τοῦτο γινόμενον ἀπὸ τῆς ἐπισυναγωγῆς αὐτῶν. καθάπερ γὰρ σίδηρος σίδηρον ὀξύνει, οὕτω καὶ ἡ συνουσία τὴν ἀγάπην αὔξει. Εἰ γὰρ λίθος πρὸς λίθον τριβόμενος πῦρ ἀφίησι, πόσῳ μᾶλλον ψυχὴ πρὸς ψυχὴν ἀναμιγνυμένη; ὅρα· οὐκ εἰς ζῆλον, φησὶν, ἀλλ' εἰς παροξυσμὸν ἀγάπης. τί ἐστιν, εἰς παροξυσμὸν ἀγάπης; εἰς τὸ μᾶλλον ἀγαπᾶν καὶ ἀγαπᾶσθαι. προστίθησι δὲ, καὶ καλῶν ἔργων, ὥστε ζῆλον λαβεῖν. Εἰκότως. εἰ γὰρ ὁ ποιεῖ, φησι, τοῦ λέγειν μείζονα τὴν ἰσχὺν ἔχει πρὸς διδασκαλίαν· πολλοὺς ἔχετε καὶ ὑμεῖς διδασκάλους ἐν τῷ πλήθει, διὰ τῶν ἔργων τοῦτο ποιοῦντας. τί ἐστι, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας; τουτέστι, χωρὶς ὑποκρίσεως. οὐαὶ γὰρ καρδίᾳ δειλῇ, καὶ χερσὶ παρειμέναις. μηδὲν ἔστω, φησὶ, ψεῦδος ἐν ὑμῖν· μὴ ἕτερα μὲν λέγωμεν, ἕτερα δὲ φρονῶμεν· τοῦτο γὰρ ψεῦδος· μηδὲ ὀλιγοψυχῶμεν· τοῦτο γὰρ οὐκ ἀληθινῆς καρδίας. ἀπὸ γὰρ τοῦ μὴ πιστεύειν τὸ ὀλιγοψυχεῖν γίνεται. πῶς δὲ ἔσται τοῦτο; ἐὰν πληροφορήσωμεν ἑαυτοὺς διὰ τῆς πίστεως. ἐρραντισμένοι τὰς καρδίας. διὰ τί μὴ εἶπε, κεκαθαρμένοι, ἀλλ' ἐρραντισμένοι; τὴν διαφορὰν τῶν περιρραντηρίων δεῖξαι βουλόμενος, καὶ ὅτι τὸ μὲν τοῦ Θεοῦ, τὸ δὲ ἡμέτερον. τὸ μὲν γὰρ λοῦσαι καὶ περιρρᾶναι τὴν συνείδησιν, τοῦ Θεοῦ· τὸ δὲ μετὰ ἀληθείας προσελθεῖν καὶ ἐν πληροφορίᾳ πίστεως, ἡμέτερον. εἶτα καὶ τῇ πίστει δίδωσιν ἰσχὺν ἀπὸ τῆς ἀληθείας τοῦ ἐπαγγειλαμένου. τί ἐστι, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ; ὕδατι τῷ καθαροὺς ποιοῦντι λέγει, ἢ τῷ μὴ ἔχοντι αἷμα. εἶτα προστίθησι τὸ τέλειον, τὴν ἀγάπην. μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν, φησὶν, ἑαυτῶν, ὅπερ τινὲς, φησὶ, ποιοῦσι, καὶ τὰς συνόδους διατέμνουσι· τοῦτο αὐτοῖς ἀπαγορεύει. Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. ἀλλὰ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης. τί ἐστι, κατανοῶμεν ἀλλήλους; οἷον, εἴ τις ἐνάρετος, τοῦτον μιμώμεθα· βλέπωμεν εἰς αὐτὸν, ὥστε ἀγαπᾶν καὶ ἀγαπᾶσθαι. ἀπὸ γὰρ τῆς ἀγάπης τὰ καλὰ ἔργα γίνονται. μέγα* ἀγαθὸν ἡ σύνοδος. αὕτη γὰρ αὐτὴν θερμοτέραν ἐργάζεται· καὶ ἐξ αὐτῆς πάντα τίκτεται τὰ ἀγαθά. οὐδὲν γάρ ἐστιν ἀγαθὸν, ὃ μὴ δι' ἀγάπης γίνεται.

Φιλιπ. δ. ε.
α. Κορ. ζ. κθ.
Ματθ. ιη. κ.
Ιωαν. ιζ. ια.
Πραξ. δ. λβ.
Πραξ. ιβ. ε.
χ. —νον οὐκ ἀπήλλαξαν, ἀλλὰ τὸ πρᾶγμα
χ. ὑμῶν
Παροιμ. ιη. ιθ

ΗΘΙΚΟΝ
Ρωμ. ιγ. ι.
α. Κορ. ιγ. δ.

Ταύτην οὖν κυρώσωμεν εἰς ἀλλήλους. Πλήρωμα γὰρ νόμου ἐστὶν ἡ ἀγάπη. οὐ δεῖ πόνων ἡμῖν, οὐδὲ ἱδρώτων, ἐὰν ἀγαπῶμεν ἀλλήλους. αὐτόματός τίς ἐστιν ὁδὸς φέρουσα πρὸς τὴν ἀρετήν. καθάπερ γὰρ ἐπὶ τῆς λεωφόρου, ἐάν τις εὕρῃ τὴν ἀρχὴν, ὁδηγεῖται ὑπ' αὐτῆς, καὶ οὐ δεῖται χειραγωγοῦ· οὕτω καὶ ἐπὶ τῆς ἀγάπης, μόνον ἐπιλαβοῦ τῆς ἀρχῆς, καὶ εὐθέως χειραγωγῇ ὑπ' αὐτῆς, καὶ εὐθύνῃ. Ἡ ἀγάπη, φησὶ, μακροθυμεῖ, χρηστεύεται, οὐ λογίζεται τὸ κακόν. ἐὰν ἐννοήσῃ τις [αὐτὸς ἑαυτὸν,] πῶς διάκειται πρὸς ἑαυτὸν, καὶ οὕτω πρὸς τὸν πλησίον διακείσθω. οὐδεὶς φθονεῖ ἑαυτῷ, πάντα ἑαυτῷ εὔχεται τὰ ἀγαθά, πάντων ἑαυτὸν προτιμᾷ, πάντα ὑπὲρ ἑαυτοῦ βούλεται ποιεῖν. ἐὰν τοίνυν καὶ πρὸς τοὺς ἄλλους οὕτω διακείμεθα, πάντα λέλυται τὰ δεινά· οὐκ ἔστιν ἔχθραι, οὐκ ἔστι πλεονεξία. τίς γὰρ ἂν ἕλοιτο πλεονεκτῆσαι ἑαυτόν; οὐδείς· ἀλλὰ μᾶλλον πᾶν τοὐναντίον. οὐκοῦν κοινὰ πάντα κτησώμεθα, καὶ μὴ παυσώμεθα συνά-

γοντες ἑαυτούς. καὶ τοῦτο ποιοῦμεν, μνησικακίᾳ χαίροντες οὐκ ἂν ἔχῃ. τίς γὰρ ἕλοιτο ἂν ἑαυτῷ μνησικακεῖν; τίς ἂν ἕλοιτο ἑαυτῷ ὀργίζεσθαι; οὐχὶ μάλιστα πάντων ἑαυτοῖς συγγινώσκομεν; ἐὰν οὕτω καὶ πρὸς τὸν πλησίον διακειώμεθα, οὐδέποτε ἔσται μνησικακία. καὶ πῶς δυνατόν, φησι, τὸν πλησίον οὕτως ἀγαπῆσαι, ὡς αὐτὸς ἑαυτόν; εἰ μὴ ἐποίησαν τοῦτο ἕτεροι, καλῶς ἀδύνατον εἶναι τοῦτο νομίζεις· εἰ δὲ ἐποίησαν, δῆλον ὅτι διὰ ῥαθυμίαν παρ' ἡμῖν οὐ γίνεται. ἄλλως δέ, οὐδὲν ἀδύνατον ἐπιτάττει ὁ Χριστός, ἐπειδὴ πολλοὶ καὶ ὑπερέβησαν αὐτοῦ τὰ προστάγματα. τίς οὖν ἐποίησε τοῦτο; ὁ Παῦλος, ὁ Πέτρος, πᾶς ὁ τῶν ἁγίων χορός. ἐγὼ δὲ ἂν μὴ εἴπω ὅτι τοὺς πλησίον ἠγάπησαν, οὐδὲν μέγα ἐρῶ. τοὺς ἐχθροὺς οὕτως ἠγάπησαν, ὡς οὐκ ἄν τις ἀγαπήσειε τοὺς ὁμοψύχους. τίς γὰρ ἂν ἕλοιτο ἡμῶν ὑπὲρ τῶν ὁμοψύχων εἰς γέενναν ἀπελθεῖν, μέλλων εἰς βασιλείαν ἀπιέναι; οὐδείς. ἀλλ' ὁ Παῦλος ὑπὲρ τῶν ἐχθρῶν τοῦτο εἵλετο, τῶν λιθασάντων αὐτόν, τῶν μαστιξάντων. ποία οὖν ἡμῖν ἔσται συγγνώμη, τίς παραίτησις, εἰ μηδὲ τὸ πολλοστὸν μέρος τῆς ἀγάπης, ἧς ἐπεδείξατο περὶ τοὺς ἐχθροὺς ὁ Παῦλος, ἡμεῖς περὶ τοὺς φίλους ἐπιδειξόμεθα; καὶ ὁ μακάριος δὲ Μωϋσῆς πρὸ τούτου ὑπὲρ τῶν ἐχθρῶν ἠθέλησε τῶν λιθασάντων αὐτὸν ἐξαλειφθῆναι τῆς βίβλου τοῦ Θεοῦ· καὶ ὁ Δαβὶδ τοὺς λυπήσαντας αὐτὸν ὁρῶν ἀναιρουμένους, φησίν, Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ οὗτοι τί ἐποίησαν; καὶ τὸν Σαοὺλ εἰς χεῖρας λαβών, ἀνελεῖν οὐκ ἠβουλήθη, ἀλλὰ διέσωζε, καὶ ταῦτα μέλλων αὐτὸς κινδυνεύειν. εἰ δὲ ἐν τῇ παλαιᾷ ταῦτα, ἵνα συγγνώμην ἕξομεν ἡμεῖς οἱ ἐν τῇ καινῇ πολιτευόμενοι, καὶ μηδὲ πρὸς τὸ αὐτὸ ἐκείνοις φθάνοντες μέτρον; εἰ γάρ, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλέον τῶν Φαρισαίων καὶ γραμματέων, οὐκ εἰσελευσόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅταν καὶ * ἔλαττον ἐκείνων ἔχωμεν, πῶς εἰσελευσόμεθα; Ἀγαπᾶτε, φησι, τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἔσεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. ἀγάπησον τοίνυν τὸν ἐχθρόν. οὐ γὰρ ἐκεῖνον εὐεργετεῖς, ἀλλὰ σαυτόν. πῶς; ἴσος γίνῃ τοῦτο ποιῶν τῷ Θεῷ. ἐκεῖνος ἐὰν ἀγαπηθῇ παρὰ σοῦ, οὐδὲν μέγα ἐκέρδανε· παρὰ γὰρ ὁμοδούλου ἠγαπήθη. σὺ δὲ ἐὰν ἀγαπήσῃς τὸν ὁμόδουλον, μέγα ἐκέρδανας. γίνῃ γὰρ ὅμοιος τῷ Θεῷ. ὁρᾷς ὅτι οὐκ ἐκείνῳ χαρίζῃ, ἀλλὰ σαυτῷ; τὸ γὰρ ἔπαθλον οὐκ ἐκείνῳ τίθησιν, ἀλλὰ σοί. τί οὖν ἐὰν ᾖ πονηρός, φησι; τοσούτῳ μείζων ὁ μισθός. ἀλλὰ καὶ τῆς πονηρίας ὀφείλεις αὐτῷ χάριν εἰδέναι, κἂν μυρία εὐεργετούμενος κακὸς ᾖ. εἰ μὴ γὰρ σφόδρα κακὸς ἦν, οὐκ ἂν σοι σφόδρα ὁ μισθὸς ηὐξήθη. ὥστε ἡ αἰτία τοῦ μὴ ἀγαπᾶν, τὸ λέγειν ὅτι πονηρός ἐστιν, αὕτη αἰτία ἐστὶ τοῦ ἀγαπᾶν. ἆρον τὸν ἀνταγωνιστήν, καὶ ἀναιρεῖς τῶν στεφάνων τὴν ἀφορμήν. οὐχ ὁρᾷς τοὺς ἀθλητάς, πῶς θυλάκους ἄμμου πληρώσαντες, οὕτω γυμνάζονται; σοὶ δὲ οὐ χρεία ἐπιτηδεῦσαι τοῦτο· γέμει ὁ βίος τῶν γυμναζόντων σε, καὶ ποιούντων ἰσχυρόν. οὐχ ὁρᾷς ὅτι καὶ τὰ δένδρα ὅσῳ ἂν ὑπὸ ἀνέμων ῥιπίζηται, τοσούτῳ μᾶλλον ἰσχυρότερα γίνεται, καὶ πυκνότερα; καὶ ἡμεῖς τοίνυν ἂν ὦμεν μακρόθυμοι, καὶ ἰσχυροὶ ἐσόμεθα. Ἀνὴρ γάρ, φησι, μακρόθυμος, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων. ὁρᾷς ὅτι ἐν τούτῳ τὸ ἐγκώμιον; ὁρᾷς ὅσον ἐκείνου τὸ κατηγόρημα; ἰσχυρῶς ἄφρων, τουτέστι, πάνυ. μὴ τοίνυν μικροψυχῶμεν πρὸς ἀλλήλους. οὐ γὰρ ἀπὸ τῆς ἔχθρας γίνεται τοῦτο, ἀλλ' ἀπὸ τοῦ ψυχὴν μικρὰν ἔχειν. ὥστε ἐὰν ᾖ ἰσχυρά, πάντα οἴσει ῥᾳδίως, καὶ οὐδὲν αὐτὴν καταποντίσαι δυνήσεται, ἀλλ' εἰς τοὺς εὐδίους ἀπάξει λιμένας· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

β. Βασ. κδ. — Ματθ. ε. κ. — Ματθ. ε. μδ. — Παροιμ. ιδ. λα.

Λογ. κ. 26 ΕΚΟΥΣΙΩΣ ΓΑΡ ΑΜΑΡΤΑΝΟΝΤΩΝ ΗΜΩΝ μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· 27 Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

Τὰ τῶν δένδρων ὅσαπερ ἂν φυτευθέντα, καὶ χειρὸς γεωργικῆς καὶ τῆς ἄλλης ἐπιμελείας ἀπολαύσαντα, μηδένα παρέχηται τῶν πόνων ἀμοιβὴν, πρόῤῥιζα ἀνασπασθέντα τῷ πυρὶ παραδίδοται· τοιοῦτον δή τι καὶ ἐπὶ τοῦ φωτίσματος γίνεται. ἐπειδὰν γὰρ ἡμᾶς ὁ Χριστὸς φυτεύσῃ, καὶ τῆς ἀρδείας ἀπολαύσωμεν τῆς πνευματικῆς, εἶτα βίον ἄκαρπον ἐπιδειξώμεθα, πῦρ ἡμᾶς ἀναμένει τὸ τῆς γεέννης, καὶ φλὸξ ἄσβεστος. ὁ τοίνυν Παῦλος παρακαλέσας εἰς ἀγάπην, καὶ καρποφορεῖν ἔργων ἀγαθῶν, προτρέψας τε ἀπὸ τῶν χρηστοτέρων (ποίων δὴ τούτων; ὅτι ἔχομεν εἴσοδον εἰς τὰ ἅγια, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον) καὶ ἀπὸ τῶν σκυθρωποτέρων πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, οὕτω λέγων. εἰπὼν γὰρ, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν (καὶ αὕτη γὰρ εἰς παράκλησιν ἱκανή) ἐπήγαγεν, ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας. δεῖ, φησὶν, ἔργων ἀγαθῶν, καὶ σφόδρα δεῖ. ἑκουσίως γὰρ ἡμῶν ἁμαρτανόντων μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐκαθάρθης, ἀπηλλάγης ἐγκλημάτων, γέγονας υἱός. ἂν τοίνυν ἐπὶ τὸν πρότερον ἔμετον ἐπιστρέψῃς πάλιν, ἀποκήρυξις μένει καὶ πῦρ, καὶ ὅσα τοιαῦτα. οὐ γάρ ἐστι θυσία δευτέρα. πάλιν ἐνταῦθα ἡμῖν ἐπιφύονται (οἱ τὴν μετάνοιαν ἀναιροῦντες, καὶ ὅσοι πρὸς τὸ βάπτισμα ὀκνοῦσιν ἐλθεῖν· ἐκεῖνοι μὲν λέγοντες, ὅτι οὐκ ἀσφαλὲς αὐτοῖς τῷ βαπτίσματι προσελθεῖν, εἴγε οὐκ ἔστιν ἄφεσις δευτέρα· οὗτοι δὲ φάσκοντες, οὐκ ἀσφαλὲς εἶναι) μεταδοῦναι μυστηρίων τοῖς ἡμαρτηκόσιν, εἴγε μὴ ἔστιν ἄφεσις δευτέρα. τί οὖν πρὸς ἀμφοτέρους ἐροῦμεν; ὅτι οὐκ ἀσκόπως τοιοῦτον ἐνταῦθα τοῦτό φησιν, οὐδὲ τὴν μετάνοιαν ἀναιρεῖ, ἢ τὸν διὰ μετανοίας ἐξιλασμὸν, οὐδὲ ὠθεῖ καὶ καταβάλλει διὰ τῆς ἀπογνώσεως τὸν ἐπταικότα. οὐχ οὕτως ἐχθρός ἐστι τῆς σωτηρίας τῆς ἡμετέρας· ἀλλὰ τί; τὸ δεύτερον ἀναιρεῖ λουτρόν. οὐ γὰρ εἶπεν, οὐκέτι ἐστὶ μετάνοια, οὐδὲ, οὐκέτι ἐστὶν ἄφεσις, ἀλλὰ θυσία οὐκέτι ἐστὶ, τουτέστι, σταυρὸς δεύτερος οὐκέτι ἐστί. θυσίαν γὰρ τοῦτο καλεῖ. μιᾷ γὰρ θυσίᾳ, φησὶ, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους· οὐχ ὥσπερ τὰ Ἰουδαϊκὰ, οὐδὲ πολλάκις. διὰ γὰρ τοῦτο τοσαῦτα ἄνω καὶ κάτω διελέχθη περὶ τῆς θυσίας, ὅτι μία καὶ μία, οὐ τοῦτο μόνον βουλόμενος δηλῶσαι, ὅτι διενήνοχε τῶν Ἰουδαϊκῶν [τούτῳ], ἀλλὰ καὶ ἀσφαλεστέρους ποιῆσαι, ὥστε μηκέτι προσδοκᾶν κατὰ τὸν Ἰουδαϊκὸν νόμον ἄλλην θυσίαν. ἑκουσίως γάρ, φησιν, ἁμαρτανόντων ἡμῶν. ὁρᾷς πῶς συγγνωμονικός ἐστιν; ἑκουσίως, φησὶν, ἁμαρτανόντων ἡμῶν. ὥστε τοῖς ἀκουσίως συγγνώμη ἐστί. μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας (ἤτοι τοῦ Χριστοῦ φησιν, ἢ τῶν δογμάτων ἁπάντων, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται) θυσία. ἀλλὰ τί; φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. τοὺς ὑπεναντίους οὐ τοὺς ἀπίστους μόνον φησὶν, ἀλλὰ καὶ τοὺς ἐναντία πράττοντας τῇ ἀρετῇ. οὐδὲν δὲ οὖν ἄλλο ἐντεῦθεν ἢ τοῦτο δηλοῖ, ὅτι καὶ τοὺς οἰκείους τὸ αὐτὸ λήψεται πῦρ, ὅπερ καὶ τοὺς ὑπεναντίους. εἶτα τὸ διεγερτικὸν αὐτοῦ δηλῶν, ὥσπερ ἐμψυχῶν αὐτὸ, πυρὸς ζῆλος εἶπεν ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. καθάπερ γὰρ θηρίον παροξυνθὲν καὶ σφόδρα χαλεπαῖνον, καὶ ἐξηγριωμένον οὐκ ἂν παύσαιτο, ἕως ἂν λάβοι τινὰ καὶ καταφάγοι· οὕτω καὶ τὸ πῦρ ἐκεῖνο, καθάπερ τις ὑπὸ ζήλου κεντούμενος, ὃν ἂν ἐπιλάβηται, οὐκ ἀφίησιν, ἀλλὰ τρώγει καὶ δαπανᾷ. εἶτα καὶ τὸν λόγον ἐπάγει τῆς ἀπειλῆς, ὅτι εἰκότως, ὅσα δικαίως πάντα εἰς πίστιν ἐστὶ συμβαλλόμενοι, ὅπως ἂν δείξωμεν, ὅτι δικαίως γέγονε.

28 Ἀθετήσας γάρ, φησί, τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. Χωρὶς οἰκτιρμῶν, φησιν. ὥστε οὐδεμία συγγνώμη, οὐδεὶς

ἔλεος ἐκεῖ. κατέπιγε Μωϋσέως ὁ νόμος ἐστί· τὰ γὰρ πολλὰ αὐτὸς διετάξατο. τί ἐστιν, ἐπὶ δυσὶν ἢ τρισί; ἂν δύο ἢ τρεῖς μαρτυρήσωσι, φησιν, εὐθέως τὴν δίκην ἔδωσαν. Εἰ τοίνυν ἐπὶ τῆς παλαιᾶς, ἔνθα ὁ Μωϋσέως ἀθετῆται νόμος, τοσαύτη τιμωρία· πόσῳ μᾶλλον ἐνταῦθα; διὸ καὶ οὕτω φησί·

29 Πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

Καὶ πῶς καταπατεῖ τις τὸν υἱὸν τοῦ Θεοῦ; ὅταν ὁ μετέχων αὐτοῦ ἐν τοῖς μυστηρίοις, ἁμαρτίαν ἐργάζηται, εἰπέ μοι, οὐχὶ κατεπάτησεν αὐτόν; οὐχὶ κατεφρόνησεν αὐτοῦ; καθάπερ γὰρ τῶν καταπατουμένων οὐδένα λόγον ἔχομεν· οὕτω καὶ οἱ ἁμαρτάνοντες, τοῦ Χριστοῦ οὐδένα λόγον ἔχουσιν, ὅθεν καὶ οὕτως ἥμαρτον. γέγονας σῶμα Χριστοῦ, καὶ δίδως σεαυτὸν τῷ διαβόλῳ, ὥστε καταπατεῖν σε; καὶ τὸ αἷμα, φησι, κοινὸν ἡγησάμενος. κοινὸν τί ἐστι; τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν πλέον ἔχον τῶν λοιπῶν. καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας. ὁ γὰρ τὴν εὐεργεσίαν μὴ παραδεχόμενος, ὕβρισε τὸν εὐεργετήσαντα. ἐποίησέ σε υἱόν· σὺ δὲ θέλεις γενέσθαι δοῦλος; ἦλθε κατασκηνῶσαι παρὰ σοί· σὺ δὲ εἰσάγεις αὐτῷ πονηροὺς λογισμούς; ὁ Χριστὸς ἠθέλησεν ἱδρυνθῆναι πρὸς σέ· σὺ δὲ αὐτὸν καταπατεῖς διὰ τῆς κραιπάλης, διὰ τῆς μέθης; ἀκουσώμεθα οἱ ἀναξίως τῶν μυστηρίων μετέχοντες, ἀκουσώμεθα οἱ ἀναξίως προσιόντες τῇ τραπέζῃ ἐκείνῃ. Μὴ δῶτε τὰ ἅγια, φησι, τοῖς κυσί, μήποτε καταπατήσωσιν ἐν τοῖς ποσὶν αὐτῶν· τουτέστι, μήπως καταφρονήσωσι, μὴ διαλύσωσιν. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ τούτου φοβερώτερον ἦν. ἀπὸ γὰρ τοῦ φοβεροῦ ἐπιστρέφει τὰς ψυχάς. ἱκανὸν γὰρ καὶ τοῦτο ἐπιστρέψαι παραμυθίας οὐχ ἧττον. [καὶ] ὁμοῦ τι τὴν διαφορὰν δείκνυσι, καὶ τὴν κόλασιν, καὶ τὴν κρίσιν αὐτοῖς ἐφίστησιν, ἀπὸ τοῦ πράγματος ὄντος φανεροῦ. πόσῳ (δοκεῖτε) φησι, χείρονος ἀξιωθήσεται τιμωρίας; ἐνταῦθα μοι δοκεῖ καὶ περὶ τῶν μυστηρίων αἰνίττεσθαι. εἶτα καὶ μαρτυρίαν ἐπάγει λέγων,

Ματθ. ζ. ς.

31 Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

30 Γέγραπται γάρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. καὶ πάλιν. Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ. Ἐμπεσούμεθα, φησιν, εἰς χεῖρας Κυρίου, καὶ μὴ εἰς χεῖρας ἀνθρώπων. ἀλλ' ἐὰν μὴ μετανοήσῃς, εἰς χεῖρας Θεοῦ ἐμπεσεῖσθε. ἐκεῖνο φοβερόν· τοῦτο οὐδέν ἐστι, τὸ εἰς χεῖρας ἀνθρώπων ἐμπεσεῖν. ὅταν ἴδωμεν, φησί, τινὰς κολαζομένους ἐνταῦθα, μὴ φοβηθῶμεν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ φρίξωμεν ἐπὶ τοῖς μέλλουσι. Κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ καὶ ἡ ὀργὴ αὐτοῦ· καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. ἄμα καὶ ἕτερόν τι αἰνίττεται ἐνταῦθα διὰ τοῦ εἰπεῖν, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω. ἐπὶ τῶν ἐχθρῶν τοῦτ' εἴρηται τῶν κακῶς ποιούντων, οὐ τῶν κακῶς πασχόντων. ἐνταῦθα καὶ παραμυθεῖται αὐτούς, μονονουχὶ λέγων, μένει διαπαντὸς ὁ Θεὸς καὶ ζῇ· ὥστε κἂν μὴ νῦν ἀπολαύσωσιν, ὕστερον ἀπολήψονται. ἐκείνους δὲ φοβίζων, οὐχ ἡμᾶς. ἡμεῖς μὲν γὰρ εἰς τὰς ἐκείνων ἐμπεσούμεθα χεῖρας, ἐκεῖνοι δὲ εἰς τὰς τοῦ Θεοῦ. οὐ γὰρ ὁ παθὼν πάσχει κακῶς, ἀλλ' ὁ ποιῶν· οὔτε ὁ εὐεργετούμενος εὐεργετεῖται, ἀλλ' ὁ εὐεργετῶν.

Δευτ. λβ. ς. β. Βασ. κδ. ιδ.

Σειρ. ε. ζ.

ΗΘΙΚΟΝ

Ταῦτα οὖν εἰδότες, ἀνεξικάκως φέρωμεν τὸ πάσχειν κακῶς, προτιμήσωμεν τὸ εὐεργετεῖν. τοῦτο δέ ἐστιν, ἂν χρημάτων καταφρονῶμεν καὶ δόξης. ὁ ταῦτα τὰ πάθη ἀποδυσάμενος, ἁπάντων ἀνθρώπων ἐστὶν ἐλευθερώτερος, καὶ αὐτοῦ τοῦ τὴν ἁλουργίδα περικειμένου εὐπορώτερος. οὐχ ὁρᾷς ὅσα γίνεται κακὰ διὰ τὰ χρήματα; οὐ λέγω ὅσα διὰ τὴν πλεονεξίαν, ἀλλ' ἐν τῇ περιουσίᾳ τούτων. εἰ γάρ τι λέγω, ἂν ἀπολέσῃ τις χρήματα, πάντως θανάτου χαλεπώτερον βίον ζῇ. τί ἀλγεῖς, ἄνθρωπε; τί δακρύεις; ὅτι σε τῆς περιττῆς φυλακῆς ἀπήλλαξεν ὁ Θεός; ὅτι οὐ κάθῃ τρέμων καὶ δεδοικώς; εἰ γὰρ αὐτὸς σὲ τοῖς ἀεί σου θησαυροῖς, κελεύων διαπαντὸς ἐπικαθῆσθαι, καὶ ἀγρυπνεῖν ὑπὲρ ἀλλοτρίων, ἀλγεῖς, δυσχεραί-

νους· σὺ δὲ σαυτὸν προσδήσεις δεσμοῖς χαλεπωτάτοις, ἐπειδὴ ἀπηλλάγης τῆς δουλείας, ἀλγεῖς; οὕτως περιληφθῶς εἰσιν αἱ λῦπαι καὶ αἱ εὐφροσύναι. καθάπερ γὰρ ἀλλότρια ἔχοντες, οὕτως αὐτὰ τηροῦμεν. πῶς; πρὸς τὰς γυναῖκάς μοι ὁ λόγος. ἔσχε τις γυνὴ πολλάκις ἀπὸ χρυσίου ὑφασμένον ἱμάτιον, καὶ τοῦτο ἰσάκις περιβάλλει λίθοις, τηρεῖ μετὰ ἀσφαλείας, τρέμει ὑπὲρ αὐτοῦ, καὶ οὐκ ἀπολαύει αὐτοῦ. ἢ γὰρ ἐτελεύτησεν, ἢ ἐχήρευσεν· ἤ, κἂν μηδὲν τούτων συμβῇ, δέδοικε μὴ τῇ συνεχείᾳ τῆς χρήσεως διαπληγῇ, ἀποστερήσειεν ἑαυτήν· κἂν ἄλλος οὐκ ἀποστερήσῃ, ἀποστερεῖ ἑαυτὴν τῇ φειδωλίᾳ. ἀλλὰ παραχωρεῖ* ἑτέρᾳ; ἀλλ᾽ οὐδὲ τοῦτο δῆλον· εἰ δὲ καὶ παραχωρήσειε, κἀκείνη πάλιν ὁμοίως αὐτῷ χρήσεται). καὶ εἴ τις ἐρευνήσειε τὰ ἐν ταῖς οἰκίαις, εὑρήσει τὰ μάλιστα τίμια τῶν ἱματίων, καὶ τὰ ἄλλα τὰ ὑπάρχοντα, ἐν πλείονι τιμῇ, ὥσπερ ἐμψύχοις διακείμενα, θεραπευόμενα. οὐ γὰρ χρῆται αὐτοῖς συνεχῶς, ἀλλὰ δέδοικε καὶ τρέμει, σῆτας καὶ τὰ ἄλλα τὰ βιβρώσκειν εἰωθότα ἀποσοβοῦσα, καὶ τὰ πλείονα ἐν μύροις καὶ ἀρώμασι τιθεῖσα,* οὐδὲ πᾶσιν ἐπιτρέπουσα τῆς ὄψεως καταξιωθῆναι ἐκείνης, ἀλλ᾽ αὐτὴ πολλάκις μετὰ τοῦ ἀνδρὸς ταῦτα διαπιστεύουσα ἐπιμελείας. οὐκ εἰκότως, εἰπέ μοι, εἰδωλολατρείαν τὴν πλεονεξίαν ἐκάλεσεν ὁ Παῦλος; ὅσην γὰρ ἐκεῖνοι τιμὴν περὶ τὰ εἴδωλα ἐπιδείκνυνται, τοσαύτην καὶ οὗτοι περὶ τὰ ἱμάτια, περὶ τὰ χρυσία. μέχρι τίνος βορβόρῳ ἀναπηλοῦμεν; μέχρι τίνος ἐν πηλῷ καὶ τῇ πλινθείᾳ προσηλούμεθα; ὥσπερ γὰρ ἐκεῖνοι τῷ τῶν Αἰγυπτίων βασιλεῖ ἔκαμνον, οὕτω καὶ ἡμεῖς τῷ διαβόλῳ κάμνομεν, καὶ μαστιζόμεθα πολὺ χαλεπωτέρας μάστιγας. καί μοι μὴ ἴσα ὑπερβολικὴν καταγνῷς τοῦ λόγου. ὅσῳ γὰρ κρείττων σώματος ψυχή, τοσούτῳ φροντὶς μωλώπων. μαστιζόμεθα καθ᾽ ἑκάστην ἡμέραν, δεδοικότες, φροντίζοντες, τρέμοντες. ἀλλ᾽ ἐὰν θελήσωμεν στενάξαι, ἐὰν θελήσωμεν ἀναβλέψαι πρὸς τὸν Θεόν, πέμπει ἡμῖν οὐ Μωϋσέα, οὐδὲ Ἀαρών, ἀλλὰ τὸν αὐτοῦ Λόγον, καὶ τὸν [illegible]. ἐξέλθωμεν τοίνυν ἀληθῶς, καὶ καταστήσωμεν τὰς ψυχάς, ἐλευθερώσει τῆς δουλείας τῆς παρ᾽ εἰς ἡμᾶς, ἐξάξει ἡμᾶς ἐξ Αἰγύπτου, τῆς ἀνοήτου καὶ ματαιοπόνου σπουδῆς, τῆς δουλείας τῆς οὐδὲν κέρδος ἐχούσης. ἐκεῖνοι μὲν οὖν καὶ χρυσία λαβόντες ἐξῆλθον,* ἐπὶ μισθῷ τῆς οἰκοδομῆς· ἡμεῖς δὲ οὐδέν, καὶ εἴθε μηδέν. νῦν δὲ καὶ ἡμεῖς ἐκβαλλόμεθα οὐ χρυσία, ἀλλὰ τὰ Αἰγύπτου κακά, ἁμαρτήματα καὶ κολάσεις καὶ τιμωρίας. μάθωμεν τοίνυν ἀφελέσθαι, μάθωμεν ἐπαρκεῖσθαι· τοῦτό ἐστι χρυσίον. καταφρονήσωμεν τῶν χρυσῶν ἱματίων, καταφρονήσωμεν τῶν χρημάτων, ἵνα μὴ καταφρονήσωμεν τῆς σωτηρίας τῆς ἡμετέρας. κἂν καταφρονήσωμεν χρημάτων, καὶ μὴ καταφρονῶμεν τῆς ψυχῆς. αὕτη γάρ ἐστιν ἡ κολαζομένη, αὕτη ἐστὶν ἡ τιμωρουμένη. ἐκεῖνα ἐνταῦθα μένει, αὕτη δὲ ἄπεισιν ἐκεῖ. τίνος ἕνεκεν, τίνος, εἰπέ μοι, κατακόπτεις σεαυτόν, καὶ οὐκ αἰσθάνῃ; ταῦτα πρὸς τοὺς πλεονέκτας λέγω. καλὸν δὲ καὶ πρὸς τοὺς πλεονεκτουμένους εἰπεῖν· φέρετε γενναίως τὰς πλεονεξίας· ἑαυτοὺς ἀναιροῦσιν ἐκεῖνοι, οὐχ ὑμᾶς. ὑμᾶς μὲν ἀποστεροῦσι χρημάτων· ἑαυτοὺς δὲ γυμνοῦσι τῆς εὐνοίας τοῦ Θεοῦ, καὶ τῆς βοηθείας. ὁ δὲ ἐκείνης γυμνωθείς, κἂν ἅπαντα περιβάλληται τῆς οἰκουμένης τὸν πλοῦτον, πάντων ἐστὶ πτωχότερος· ὥσπερ οὖν καὶ ὁ πάντων πτωχότερος, ἂν ταύτην ἔχῃ, πάντων ἐστὶν εὐπορώτερος. Κύριος γάρ, φησι, ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. εἰπὲ δή μοι, εἴ τινα εἶχες ἄνδρα μέγαν καὶ θαυμαστόν, πάνυ σε φιλοῦντα καὶ κηδόμενον (εἶτα ἔγνως ὅτι [illegible] ζῇ), καὶ οὐ [illegible] αὐτῷ, καὶ πολλά σοι παρέξει μετὰ ἀδείας τὰ αὐτοῦ, ὥστε σε [ὡς τὰ σά] ἀπολαύειν· ἆρα ἂν ἠθέλησας κτήσασθαί τι; ἆρα ἂν εἰ πάντων ἐγυμνώθης, οὐχὶ πλουσιώτερος ἐνόμιζες εἶναι διὰ τοῦτο; τί δή ποτε οὖν πενθεῖς; ὅτι χρήματα οὐκ ἔχεις; ἀλλ᾽ ἐννόει ὅτι ἀφηρέθης τῶν ἁμαρτημάτων τὴν ὑπόθεσιν. ἀλλ᾽ ὅτι οὐκ εἰς ἀποστερήθης, ἀλλ᾽ ἐν τόπῳ τοῦ Θεοῦ τὴν εὔνοιαν. καὶ πῶς ἐνταῦθα; [illegible], φησίν; οὕτω. Διὰ τί μὴ μᾶλλον ἀδικεῖσθε; εἶπεν ὅτι, Ἐν παντὶ εὐχαριστεῖτε· ἄκουσον ὅτι Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. ἐκείνου τοίνυν ὅσοις ἂν ἀπολαύσῃς, ταῦτα διὰ τῶν

* αὐτὸ χ. ἀπο

* ἢ

* ἔχοντες χ. κἀκεῖ καὶ ἐκεῖ.

χ. [illegible]

χ. ὑπερέχουσαν.

χ. εἶπεν ὅτι Μακάριοι οἱ [illegible] εὐχαριστεῖτε.

Ψαλ. κβ. α.

α. Θεσ. ε. ιη.

Ματθ. ε. γ.

τῶν ἔργων ἐπιδειξαμένῃ. ἓν γὰρ μόνον ζητεῖται παρ' ἡμῶν, τὸ ἐπὶ πᾶσιν εὐχαριστεῖν τῷ Θεῷ, καὶ πάντα ἔχομεν μετ' ἀσφαλείας. οἷόν τι λέγω, ἀπώλεσας χρυσοῦ λίτρας μυρίας; εὐχαρίστησον εὐθέως τῷ Θεῷ, καὶ δέκα μυριάδας ἐκτήσω διὰ τῆς φωνῆς ἐκείνης καὶ τῆς εὐχαριστίας. εἰπὲ γάρ μοι, πότε μακαρίζεις τὸν Ἰώβ; ὅτε εἶχε τοσαύτας καμήλους, καὶ τὰ ποίμ-

Ιωβ. α. κα.

νια, καὶ τὰ βουκόλια, ἢ ὅτε ἐκείνην τὴν φωνὴν ἀφῆκεν, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο; καὶ γὰρ ὁ διάβολος διὰ τοῦτο ἡμᾶς ζημιοῖ, οὐχ ἵνα τὰ χρήματα μόνον ἀφέλῃ (οἶδε γὰρ ὅτι οὐδέν ἐστιν) ἀλλ' ἵνα διὰ τούτων ἀναγκάσῃ εἰπεῖν τι βλάσφημον. οὕτω καὶ ἐπὶ τοῦ μακαρίου Ἰὼβ τοῦτο ἐσπούδαζεν, οὐ πένητα αὐτὸν ποιῆσαι μόνον, ἀλλὰ βλάσφημον ἀποφῆναι.

Ιωβ. β. θ.

ὅτε γοῦν πάντων αὐτὸν ἐγύμνωσεν, ὅρα τί φησι πρὸς αὐτὸν διὰ τῆς γυναικός· Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. καίτοι, ὦ μιαρέ, πάντων αὐτὸν ἐγύμνωσας. ἀλλ' οὐ τοῦτο ἐσπούδαζον, φησί· δι' ὃ γὰρ πάντα ἐποίησα, οὐδέπω ἤνυσα. ἐσπούδασα γὰρ αὐτὸν γυμνῶσαι τῆς τοῦ Θεοῦ βοηθείας· διὰ τοῦτο καὶ τῶν χρημάτων ἐγύμνωσα. τοῦτο ἐστὶν ὃ βούλομαι· ἐκεῖνο οὐδέν ἐστιν. ἂν τοῦτό μοι μὴ προσῇ, οὐ μόνον οὐδὲν ἠδικήθη, ἀλλὰ καὶ ὠφελήθη. ὁρᾷς ὅτι οἶδε καὶ ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὅση τοῦ πράγματός ἐστιν ἡ ζημία; διὰ τοῦτο καὶ βλέπεις αὐτὸν διὰ τῆς γυναικὸς τὴν ἐπιβουλὴν ῥάπτοντα. ἀκούετε ὅσοι γυναῖκας ἄνδρες ἔχετε χρημάτων ἐρώσας, καὶ ἀναγκαζούσας ὑμᾶς βλασφημεῖν τὸν Θεόν· ἀναμνήσθητε τοῦ Ἰώβ. ἀλλ' ἴδωμεν αὐτοῦ τὴν πολλὴν (εἰ δοκεῖ) ἐπιείκειαν, καὶ ὅπως αὐτὴν ἐπεστόμισεν.

Ιωβ. β. ι.

Ἵνα τί, φησιν, ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν οὕτως ἐλάλησας; ἀληθῶς φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. ἀεὶ μὲν οὖν φθείρουσι· μάλιστα δὲ ἐπὶ τῶν συμφορῶν. τότε γὰρ τὰ φαῦλα παραινοῦντες ἔχουσιν ἰσχύν. εἰ γὰρ καὶ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς ἀποδυσπέτησιν ἐστὶν ἑτοίμη, πόσῳ μᾶλλον, ὅταν καὶ ὁ συμβουλεύων ᾖ; οὐχὶ καὶ πρὸς βάραθρον ὠθεῖται; μέγα ἀγαθὸν γυνή, ὥσπερ οὖν καὶ κακὸν μέγα. καὶ ὅρα πόθεν ὀρύξαι τὸ τεῖχος ἐπεχείρησε τὸ ἰσχυρόν. ἐπειδὴ γὰρ οὐχ εἷλεν αὐτὸν ἡ τῶν χρημάτων ἀφαίρεσις, οὐδὲ μέγα τι εἰργάσατο ἡ τούτων ζημία, ἀλλὰ καὶ μᾶλλον ἠλέγχθη, εἰπών, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει, διὰ τοῦτο ἐφοπλίζει αὐτῷ τὴν γυναῖκα. ὁρᾷς ποῦ ἔπαισεν; ἀλλ' οὐδὲν αὐτῷ πλέον ὑπῆρξε καὶ ἀπὸ ταύτης τῆς μηχανῆς. ἂν τοίνυν καὶ ἡμεῖς εὐχαρίστως φέρωμεν, καὶ ταῦτα ἀποληψόμεθα· κἂν μὴ ἀπολάβωμεν, μεῖζον ἔσται ἡμῖν ὁ μισθός. οὕτω καὶ ἐπὶ τοῦ ἀδάμαντος ἐκείνου γέγονεν. ὅτε γὰρ ἤθλησε γενναίως, τότε αὐτῷ καὶ ταῦτα ἀπέδωκεν· ὅτε ἔδειξε τῷ διαβόλῳ, ὅτι οὐ διὰ ταῦτα αὐτὸν ἐθεράπευε, τότε καὶ αὐτὰ αὐτῷ ἔδωκε. τοιοῦτος γάρ ἐστιν ὁ Θεός· ὅταν ἴδῃ ἡμᾶς μὴ προσηλωμένους τοῖς βιωτικοῖς, τότε ἡμῖν αὐτὰ δίδωσιν· ὅταν ἴδῃ τὰ πνευματικὰ προτιμῶντας, τότε καὶ τὰ σαρκικὰ παρέχεται. οὐ πρότερον δὲ δίδωσιν, ἵνα μὴ ἀπορραγῶμεν τῶν πνευματικῶν. φειδόμενος οὖν ἡμῶν οὐ δίδωσι τὰ σαρκικά, ἵνα καὶ ἄκοντας ἀποστήσῃ τούτων. οὔ, φησιν· ἀλλ' ἐὰν λάβω, ἐμπίπλαμαι, καὶ μᾶλλον εὐχαριστῶ. ψεύδῃ, ὦ ἄνθρωπε. τότε γὰρ μάλιστα ἔσῃ ῥᾴθυμος. τί οὖν ὅτι, φησί, πολλοῖς δίδωσι; καὶ πόθεν δῆλον, ὅτι αὐτὸς δίδωσιν; ἀλλὰ τίς, φησιν, ἕτερος δίδωσιν; ἡ πλεονεξία αὐτῶν, ἡ ἁρπαγή. πῶς οὖν συγχωρεῖ γίνεσθαι ταῦτα; ὥσπερ καὶ φόνους, καὶ κλοπάς, καὶ βίας. τί οὖν ἐρεῖς, φησί, πρὸς τοὺς ἐκ πατέρων διαδεχομένους κλῆρον, τοὺς μυρίων γέμοντας κακῶν; πῶς αὐτοὺς ἐᾷ [, φησιν,] ὁ Θεὸς ἀπολαύειν τούτων; καὶ τί τοῦτο; ὥσπερ [οὖν] καὶ κλέπτας ἀφίησι, καὶ φονέας, καὶ τοὺς λοιποὺς κακούργους. οὐ γάρ ἐστιν ὁ καιρὸς τῆς κρίσεως νῦν, ἀλλὰ τῆς πολιτείας τῆς ἀρίστης. ὅπερ δὲ καὶ ἤδη εἶπον, τοῦτο καὶ νῦν λέγω· ὅτι μείζονα δώσουσι δίκην, ὅταν καὶ πάντων ἀπολαύσαντες τῶν ἀγαθῶν, μηδὲ οὕτω βελτίους γίνωνται. οὐ γὰρ πάντες ὁμοίως πάντες κολασθήσονται· ἀλλ' οἱ μὲν καὶ μετὰ τῆς εὐεργεσίας μείναντες κακοί, μειζόνως τιμωρηθήσονται· οἱ δὲ μετὰ πενίας, οὐχ οὕτω. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησι

β. Βασ. ιβ. η.

τῷ Δαυίδ· Οὐχὶ ἔδωκά σοι πάντα τὰ τοῦ Κυρίου σου; ὅταν οὖν ἴδῃς νέον χορείας πόρνων κλυ-

ερον παραλαβόντα πατρῷον, καὶ μείναντα κακόν, εὖ ἴσθι ὅτι ἡ κόλασις αὐτοῦ αὔξεται, καὶ τὰ τῆς τιμωρίας ἐπιτείνεται. μὴ δὴ τούτους ζηλῶμεν, ἀλλ' εἴ τις ἀρετὴν ἐπεδείξατο, εἴ τις πλοῦτον πνευματικὸν ἐκτήσατο. Οὐαὶ γάρ, φησιν, οἱ πεποιθότες ἐπὶ τῷ πλούτῳ αὐτῶν. καὶ πάλιν, Μακάριοι οἱ φοβούμενοι τὸν Κύριον. ποτέρων βούλει εἶναι), εἰπέ μοι; πάντως τῶν μακαριζομένων. τούτους οὖν ζήλου, μὴ ἐκείνους, ἵνα καὶ τῶν ἀποκειμένων αὐτοῖς τύχῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ψαλμ. μη. ζ.
Ψαλμ. ρκζ. α.

Λογ. κα. 32 ΑΝΑΜΙΜΝΗΣΚΕΣΘΕ ΔΕ ΤΑΣ ΠΡΟΤΕΡΟΝ
ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων·
33 Τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ, κοινωνοὶ
τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. 34 Καὶ γὰρ τοῖς δεσμοῖς μου
συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς
προσεδέξασθε, γινώσκοντες ἔχειν κρείττονα ὕπαρξιν ἑαυτοῖς ἐν οὐρανοῖς, καὶ
μένουσαν.

χ. δεσμίοις

Οἱ τῶν ἰατρῶν ἄριστοι, ἐπειδὰν βαθεῖαν δῶσι τομὴν, καὶ τὰς ἀλγηδόνας ἐπιτείνωσι διὰ τῆς πληγῆς, παραμυθούμενοι τὸν πονοῦντα, καὶ τεθορυβημένην ἀναπαύοντες καὶ ἀνακτώμενοι τὴν ψυχὴν, ἑτέραν οὐκέτι προσάγουσι τομὴν, ἀλλὰ καὶ τὴν δοθεῖσαν, φαρμάκοις προσηνέσι, καὶ τὸ πολὺ τῆς ὀδύνης ἱκανοῖς ἀφανίσαι, παραμυθοῦνται. τοῦτο καὶ ὁ Παῦλος ἐποίησε, κατασείσας αὐτῶν τὰς ψυχὰς, καὶ κατανύξας τῇ μνήμῃ τῆς γεέννης, καὶ πιστωσάμενος αὐτοὺς, ὅτι πάντως δεῖ ἀπολέσθαι τὸν ἐνυβρίσαντα εἰς τὴν τοῦ Θεοῦ χάριν. καὶ τοῦτο ἀπὸ τῶν Μωϋσέως δείξας νόμων, ὅτι καὶ ἀπολοῦνται, καὶ μειζόνως τιμωρηθήσονται), καὶ μαρτυρίαις ἑτέραις ἐπισφραγίσας τὰ εἰρημένα, καὶ εἰπὼν, φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· ὥστε μὴ τῷ πολλῷ φόβῳ ἀπαγορεύσασαν τὴν ψυχὴν καταποθῆναι τῇ λύπῃ, παραμυθεῖται αὐτοὺς διὰ τῶν ἐγκωμίων, καὶ τῆς παρακλήσεως· καὶ [τὸν] ζῆλον οἴκοθεν αὐτοῖς προσφέρει. Ἀναμιμνήσκεσθε γὰρ, φησὶ, τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. πολλὴ ἡ διὰ τῶν ἔργων παράκλησις. τὸν γὰρ ἀρχόμενον πράγματος, προϊόντα ἐπιδιδόναι χρή. ὡς ἂν εἰ ἔλεγεν, ὅτι ἐνήχθητε, ὅτι ἐν τάξει μαθητῶν ἦτε, τοσαύτην προθυμίαν ἐπεδείξασθε, τοσαύτην γενναιότητα· νῦν δὲ οὐκέτι. καὶ ὁ παρακαλῶν, οὕτω μάλιστα παρακαλεῖ ἀπὸ τῶν οἰκείων. καὶ ὅρα, οὐχ ἁπλῶς εἶπεν, ἄθλησιν ὑπεμείνατε, ἀλλὰ [μετὰ προσθήκης τοῦ,] πολλήν. καὶ οὐκ εἶπε πειρασμοὺς, ἀλλ' ἄθλησιν· ὅπερ ἐστὶν ἐγκωμίου ὄνομα, καὶ ἐπαίνων μεγίστων. Εἶτα καὶ κατατέμνει κατὰ μέρος, πλατύνων τὸν λόγον, καὶ σὺν ἐπαίνοις πολλοῖς ποιῶν. πῶς; τοῦτο μὲν ὀνειδισμοῖς, φησί, καὶ θλίψεσι θεατριζόμενοι. μέγα γὰρ ὀνειδισμὸς καθικέσθαι καρδίας, καὶ ἱκανὸς διαστρέψαι ψυχὴν, καὶ σκοτῶσαι λογισμόν. ἄκουε γὰρ τί φησιν ὁ προφήτης· Ἐγενήθη τὰ δάκρυα μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός, ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; καὶ πάλιν, Εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. ἐπειδὴ γὰρ σφόδρα κενόδοξόν ἐστι τὸ ἀνθρώπινον γένος, διὰ τοῦτο καὶ ὑπὸ τούτου ῥᾳδίως ἁλίσκεται. καὶ οὐχ ἁπλῶς εἶπεν, ὀνειδισμοῖς, ἀλλὰ καὶ αὐτὸ" μετ' ἐπιτάσεως πολλῆς, θεατριζόμενοι, φησίν. ὅταν μὲν γάρ τις ὀνειδίζηται καθ' ἑαυτὸν, λυπηρὸν μὲν, πολλῷ δὲ πλέον, ὅταν ἐπὶ πάντων. ἐννόησον γάρ μοι ὅσον ἦν κακὸν, ἀποστάντας τῆς Ἰουδαϊκῆς "ταπεινότητος, καὶ ὡς ἐπὶ ἀκριβέστερον βίον μετελθόντας, καὶ τῶν πατρῴων καταφρονήσαντας, * ὑπὸ αὐτῶν τῶν οἰκείων πάσχειν κακῶς, καὶ μηδεμίαν ἔχειν ἀντίληψιν. οὐκ ἔχω, φησίν, εἰπεῖν, ὅτι

χ. τιμωρίας

Ψαλμ. μα. γ.
Ψαλμ. ρδ. ι6.

χ. μετ' ἐπιτάσεως πολλῆς,

χ. ματαιότητος, καὶ

ταῦτα

ταῦτα ἔπαθε τι μὲν, ἤλγει δέ· ἀλλὰ καὶ σφόδρα ἔχαιρε. καὶ τοῦτο ἐδήλωσεν εἰπὼν, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε. καὶ αὖθις φέρει εἰς μέσον τὸν ἀπόστολον. οὐ μόνον, φησὶν, ἐπὶ τοῖς οἰκείοις οὐκ ἠχθέσθητε, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐκοινωνεῖτε τοῖς ταῦτα πάσχουσι. τοῦτο καὶ παρακαλοῦντός ἐστιν αὐτοὺς ἐστι. οὐκ εἶπε, φέρετε τὰς θλίψεις τὰς ἐμὰς, κοινωνεῖτέ μοι, ἀλλ᾽ ἁπλῶς, τοῖς δεσμίοις συνεπαθήσατε. ὁρᾷς ὅτι περὶ ἑαυτοῦ φησι, καὶ τῶν ἄλλων τῶν δεδεμένων; οὕτως οὐχ ἡγήσασθε δεσμὰ εἶναι τὰ δεσμά· ἀλλ᾽ ὥσπερ ἀθληταὶ γενναῖοι, οὕτως ἔστητε. ὅτι οὐ μόνον ἐν τοῖς ὑμετέροις οὐκ ἐδέεσθε παρακλήσεως, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐγένεσθε παράκλησις. καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. βαβαὶ, πόση πληροφορία πίστεως; εἶτα καὶ τὴν αἰτίαν τίθησιν, οὐ μόνον πρὸς τοὺς ἄθλους αὐτοὺς παρακαλῶν, ἀλλὰ καὶ πρὸς τὸ μὴ διασαλευθῆναι τῆς πίστεως. τὸν ὑμέτερον πλοῦτον, φησὶν, ἁρπαζόμενον ὁρῶντες, ἠνέγκατε. ἤδη γὰρ τὸν οὐ φαινόμενον, ὡς φαινόμενον ἑωρᾶτε. ὅπερ εἰλικρινοῦς πίστεως ἦν. καὶ δι᾽ αὐτῶν τῶν ἔργων αὐτὴν ἐπεδείξασθε. τὸ μὲν οὖν ἁρπαγῆναι, ἴσως τῆς βίας ἦν τῶν ἁρπαζόντων, καὶ οὐδεὶς ἂν ἠδυνήθη κωλῦσαι. ὥστε οὐδέπω τοῦτο δηλοῖ, ὅτι διὰ τὴν πίστιν τὴν ἁρπαγὴν ὑπεμείνατε. καίτοιγε καὶ τοῦτο δηλοῖ. ἐξῆν γὰρ, εἴπερ ἐβούλεσθε, μὴ ἁρπαγῆναι μὴ πιστεύσαντας. ἀλλ᾽ ὁ πολλῷ τούτου μεῖζόν ἐστιν ἐποιήσατε, τὸ καὶ μετὰ χαρᾶς τὰ τοιαῦτα φέρειν. ὅπερ ἦν ὅλον ἀποστολικὸν, καὶ τῶν γενναίων ἐκείνων ἄξιον ψυχῶν,

Πράξ. ε. μα.

οἳ μαστιχθέντες ἔχαιρον. ὑπέστρεψαν γὰρ, φησὶν, ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. ὁ δὲ μετὰ χαρᾶς φέρων, δείκνυσιν ὅτι ἔχει μισθόν τινα, καὶ ὅτι οὐ ζημία, ἀλλὰ πρόσοδός ἐστι τὸ πρᾶγμα. καὶ τὸ, προσεδέξασθε, τὴν ἑκούσιον αὐτῶν ὑπομονὴν δηλοῖ. πῶς οὖν εἵλεσθε καὶ κατεδέξασθε; γινώσκοντες, φησὶν, ἔχειν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. τί ἐστι μένουσαν; βεβαίαν, οὐχ οὕτως ἀπολλυμένην ὥσπερ ταύτην. εἶτα ἐπαινέσας αὖθις φησί,

35 Μὴ οὖν ἀποβάλητε τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.

Τί λέγεις; οὐκ εἶπεν, ὅτι ἀποβάλετε τὴν παῤῥησίαν ὑμῶν, καὶ ἀνακτήσασθε, ἵνα μὴ ἀπαγορεύσωσιν· ἀλλ᾽ ὅτι ἔχετε αὐτὴν, μὴ ἀποβάλητε. ὁ μᾶλλον αὐτοὺς ἐψυχαγώγει, καὶ ἐποίει ῥωσθῆναι. ὅτι ἔχετε αὐτὴν, φησί. τὸ μὲν γὰρ ἀποβληθὲν ἀνακτήσασθαι πάλιν, πραγμάτων δεῖται πλειόνων· τὸ δὲ κατεχόμενον μὴ ἀπολέσαι, οὐχ οὕτω. Γαλάταις δὲ τὸ ἐναντίον

Γαλατ. δ. ιθ.

γράφει· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καὶ εἰκότως. ἐκεῖνοι μὲν γὰρ ὑποπεπτωκότες διέκειντο, ὅθεν αὐτοῖς ἔδει πληκτικωτέρου λόγου· οὗτοι δὲ μικροψυχότεροι, ὅθεν θεραπευτικωτέρου μᾶλλον ἐδέοντο. μὴ ἀποβάλητε οὖν, φησὶ, τὴν παῤῥησίαν ὑμῶν. ὥστε ἐν παῤῥησίᾳ ἦσαν πολλῇ πρὸς τὸν Θεόν. ἥτις ἔχει, φησὶ, μισθαποδοσίαν μεγάλην. τί ἐστι τοῦτο; πότε αὐτῆς ἀποληψόμεθα, φησίν. οὐκοῦν εἰκότως τὸ μέλλον ἀπόκειται. οὐ διὰ τὸ ταῦτα ζητεῖν, ἀλλ᾽ ἵνα μή τις εἴπῃ, ἰδοὺ τὰ παρ᾽ ἡμῶν πάντα ἀπήρτισται, διὰ τοῦτο προέλαβεν αὐτοὺς καὶ τῇ αὐτῇ ἀντιλήψει (?), μονονουχὶ τοῦτο λέγων, εἰ ἐν τοῖς ἔργοις γινώσκετε ἔχειν ὕπαρξιν κρείττονα, μηδὲν ἐν ταῦτα ζητεῖτε. ὑπομονῆς γὰρ ἔχετε χρείαν, οὐχὶ προσθήκης ἀγῶνος, ἵνα ἐν τοῖς αὐτοῖς μείνητε, ἵνα μὴ ῥίψητε ὃ ἐκέχρησθε (?). οὐδενὸς ὑμῖν ἑτέρου δεῖ, ἀλλ᾽ ἢ ὥστε στῆναι, ὡς ἐστήκατε, ἵνα πρὸς τὸ τέλος ἐλθόντες, κομίσησθε τὴν ἐπαγγελίαν.

36 Ὑπομονῆς γὰρ ἔχετε, φησὶ, χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν. Ἀρκεῖ (?) ὑμῖν δεῖ μόνου, ἵνα ἀναμείνητε τὴν μέλλησιν, οὐχ ἵνα ἀθλήσητε πάλιν. πρὸς τῷ στεφάνῳ αὐτοί ἐστε, φησί, πάντας ἀγῶνας ὑπηνέγκατε, τοὺς δεσμούς, τὰς θλίψεις, τὴν τῶν ὑπαρχόντων ὑμῶν ἁρπαγήν. [τί οὖν;] πρὸς τὸ στεφανωθῆναι ἑ-

ἑστήκατε

κεφ. ια.

στήκατε λοιπόν. τοῦτο μόνον φέρετε, τὴν μέλλησιν τοῦ στεφάνου. ὢ μέγεθος παρακλήσεως. οὕτως αὐτοὺς παρακαλεῖ, ὡς ἂν εἴ τις εἴποι πρὸς ἀθλητὴν πάντας καταβαλόντα, καὶ μηδένα ἔχοντα ἀνταγωνιστὴν, εἶτα μέλλοντα στεφανοῦσθαι, καὶ οὐ φέροντα τὸν χρόνον ἐκεῖνον, καθ' ὃν ὁ ἀγωνοθέτης ἔρχεται, καὶ τίθησι τὸν στέφανον· ἐκεῖνος δὲ ἀκαρτερήτως ἔχων, θέλοι ἐξελθεῖν καὶ φυγεῖν, ὡς μὴ φέρων τὸ δίψος καὶ τὸν φλογμόν. τοῦτο τοίνυν αὐτὸς ἀριστώμενος, τί φησιν;

37 Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.

Ἵνα γὰρ μὴ λέγωσι, καὶ πότε ἥξει; ἀπὸ τῶν γραφῶν αὐτοὺς παρακαλεῖ. καὶ γάρ φησι, Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ὅταν λέγῃ ἀλλαχοῦ, παραμυθεῖται αὐτοὺς, ὡς ὀλίγου ὄντος τοῦ λειπομένου χρόνου. καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ φησιν, ἀλλ' ἀπὸ τῶν γραφῶν. εἰ δὲ ἐξ ἐκείνου ἐλέγετο, μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· δῆλον ὅτι νῦν ἐγγύτερός ἐστιν. ὥστε καὶ τὸ ἀναμένειν μισθός ἐστιν οὐ μικρός. — Ρωμ. ιγ. ια.

38 Ὁ δὲ δίκαιος, φησιν, ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή — Αμβακ. β δ.
μου ἐν αὐτῷ. Μεγάλη αὕτη ἡ παράκλησις, ὅταν δεικνύῃ τις τὸ πᾶν κατωρθωκότας,
καὶ διὰ μικρᾶς ῥαθυμίας ἀπολλύντας αὐτό. 39 Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς
ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

1 Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος, οὐ βλεπομένων. — κεφ. ια.

2 Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Βαβαὶ, οἵᾳ λέξει ἐχρήσατο εἰπὼν, ἔλεγχος οὐ βλεπομένων; ἔλεγχος γὰρ λέγεται ἐπὶ τῶν λίαν ἀδήλων. ἡ πίστις τοίνυν ἐστὶν ὄψις τῶν ἀδήλων, φησὶ, καὶ εἰς τὴν αὐτὴν τοῖς ὁρωμένοις φέρει πληροφορίαν τὰ μὴ ὁρώμενα. οὔτε οὖν [ἐν] τοῖς ὁρωμένοις ἀπιστῆσαι ἔστιν, οὔτε πάλιν, εἰ μὴ τῶν ὁρωμένων σαφέστερον περὶ τῶν ἀοράτων πεπληροφόρηταί τις, πίστιν εἶναι δυνατόν. ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίδι ἀνυπόστατα εἶναι δοκεῖ, ἡ πίστις ὑπόστασιν αὐτοῖς χαρίζεται· μᾶλλον δὲ, οὐ χαρίζεται, ἀλλ' αὐτό ἐστιν οὐσία αὐτῶν. οἷον, ἡ ἀνάστασις οὐ παραγέγονεν, οὐδέ ἐστιν ἐν ὑποστάσει, ἀλλ' ἡ ἐλπὶς ὑφίστησιν αὐτὴν ἐν τῇ ἡμετέρᾳ ψυχῇ. τοῦτό ἐστιν ὑπόστασις πραγμάτων ἐλπιζομένων. εἰ τοίνυν ἔλεγχός ἐστιν οὐ βλεπομένων, τί δὴ βούλεσθε αὐτὰ ἰδεῖν, ἵνα ἐκπέσητε τῆς πίστεως, καὶ τοῦ δίκαιοι εἶναι; εἶπεν, ἐκ πίστεως ὁ δίκαιος ζήσεται. ὑμεῖς δὲ εἰ βούλεσθε αὐτὰ ἰδεῖν, οὐκέτι ἐστὲ πιστοί. ἐκάμετε, φησὶν, ἠθλήσατε· κἀγὼ τοῦτό φημι. ἀλλ' ἀναμείνατε. τοῦτο γάρ ἐστι πίστις. μὴ ἐν τοῖς ἔργοις ζητεῖτε τὸ πᾶν.

Ταῦτα εἴρηται μὲν πρὸς Ἑβραίους, κοινὴ δέ ἐστι παραίνεσις καὶ πρὸς πολλοὺς τῶν ἐνταῦθα συνειλεγμένων. πῶς καὶ τίνι τρόπῳ; πρὸς τοὺς ὀλιγοψύχους, πρὸς τοὺς μικροψύχους. ὅταν γὰρ ἴδωσι πονηροὺς εὐπραγοῦντας, ἑαυτοὺς δὲ δυσπραγοῦντας, ἀλύουσι, δυσαναχετοῦσιν· ὅταν ποθῶσιν ἐκείνων τὴν κόλασιν καὶ τὴν ἐκδίκησιν, ἢ ὅταν τῶν οἰκείων πόνων τοὺς μισθοὺς ἐκδέχωνται. ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ, εἴπω τότε ὁ Παῦλος. καὶ ἡμεῖς τοίνυν πρὸς τοὺς ῥαθύμους ταῦτα λέγωμεν, πάντως ἔσται κόλασις, πάντως ἥξει, ἐπὶ θύραις λοιπὸν τὰ τῆς ἀναστάσεως. πόθεν δῆλον, φησίν; οὐ λέγω ἀπὸ προφητῶν. οὔτε γὰρ πρὸς Χριστιανοὺς μόνον μοι νῦν ὁ λόγος· ἀλλὰ κἂν Ἕλλην ᾖ, θαρρῶ πάνυ, καὶ τὰς ἀποδείξεις παρέχω, καὶ διδάξω αὐτόν. καὶ πῶς, ἄκουε. πολλὰ προεῖπεν ὁ Χριστός. εἰ μὴ ἐξέβη ἐκεῖνα, μηδὲ τούτοις πιστεύσῃς· εἰ δὲ πάντα ἐξέβη, τί περὶ τῶν λειπομένων ἀμφιβάλλεις; καίτοι πολὺ ἀπίθανον ἦν, μηδενὸς ἐκβάντος, περὶ ἐκείνων πιστεύειν ἢ ὅτι πάντα ἐξέβη, τούτοις ἀπιστεῖν. μᾶλλον δὲ ἐπὶ ὑποδείγματος ποιήσω τὸ πρᾶγμα φανερόν. εἶπεν ὁ Χριστὸς ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται, καὶ ἁλώσεται ἅλωσιν οἵαν οὐδέποτε, καὶ ὅτι οὐκ ἔτι ἀναστήσεται· καὶ ἐξέβη εἰς ἔργον ἡ πρόρρησις. εἶπεν ὅτι θλίψις ἔσται μεγάλη, καὶ ἐξέβη. εἶπεν ὅτι καθάπερ σίναπι σπαρὲν, οὕτως ἐκταθήσεται τὸ κήρυγμα· καὶ τοῦτο ὁρᾶς καθ' ἑκάστην ἡμέραν τὴν οἰκουμένην ἐπιτρέχον. εἶπεν ὅτι οἱ καταλιπόντες πατέρα, ἢ μητέρα, ἢ ἀδελφοὺς, — Λουκ. ιθ. μγ. Μαρκ. ιγ. θ. Λουκ. ιγ. ιθ. Ματθ. ιθ. κθ.

ΗΘΙΚΟΝ

ἢ ἀδελφὰς,

ἢ ἀδελφάς, ἕξουσι καὶ πατέρας καὶ μητέρας· καὶ τοῦτο διὰ τῶν ἔργων ὁρῶμεν πληρούμενον.
Ιωαν. ις. λγ. Εἶπεν ὅτι Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον (τουτέστιν,
Ματθ. ις. ιη. οὐδεὶς ὑμῶν περιέσται) καὶ τοῦτο διὰ τῶν πραγμάτων ὁρῶμεν ἐκβεβηκός. Εἶπεν ὅτι πύλαι
ᾅδου οὐ κατισχύσουσι τῆς ἐκκλησίας, καὶ ταῦτα διωκομένης, καὶ ὅτι οὐδεὶς σβέσει τὸ κήρυγμα·
καὶ μάρτυρες καὶ ταύτῃ τῇ προρρήσει ἡ τῶν πραγμάτων πεῖρα. καίτοι σφόδρα ἀπίθανος
ἦν ταῦτα λέγων τότε. διὰ τί; ὅτι πάντα λόγοι ἦσαν, καὶ οὐδέπω ἀπόδειξιν" παρείχετο τῶν γρ. ἐπιὼν
Ματθ. κδ. ιδ. λεχθέντων. ὥστε πολλῷ μᾶλλον πιστότερα γέγονε νῦν. Εἶπεν ὅτι ὅταν κηρυχθῇ τὸ εὐαγγέ-
λιον ἐν πᾶσι τοῖς ἔθνεσι, τότε ἥξει τὸ τέλος. καὶ ἰδοὺ [πρὸς] τὸ τέλος λοιπὸν ἐφθάσαμεν. τὸ γὰρ
πλέον τῆς οἰκουμένης κατηγγέλη· λοιπὸν ἐγγὺς τὸ τέλος ἐνέστηκε. φρίξωμεν, ἀγαπητοί.
τί δέ, εἰπέ μοι, περὶ συντελείας σὺ μεριμνᾷς; καὶ αὕτη μὲν γὰρ ἐγγὺς πάρεστιν· ἡ δὲ ἑκάστου
Ψαλ. πθ. ι. ζωὴ ἐγγυτέρα πολλῷ καὶ ἡ τελευτή. Αἱ ἡμέραι γὰρ τῶν ἐτῶν ἡμῶν, φησίν, ἐν αὐτοῖς ἑβδομήκοντα
ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη. ἐγγὺς ἡ ἡμέρα τῆς κρίσεως· κἂν οὕτω φοβηθῶμεν.
Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; πολλὰ μετανοήσομεν ἐκεῖ· Ἀλλ' ἐν τῷ
θανάτῳ οὐδεὶς ἐξομολογήσεται αὐτῷ. διὰ τοῦτο λέγει, Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ
ἐν ἐξομολογήσει· τουτέστι, τὴν παρουσίαν αὐτοῦ. ἐνταῦθα μὲν γὰρ ὅπερ ἐὰν ποιήσωμεν, ἐ-
ξισχύει· ἐκεῖ δὲ οὐκέτι. Εἴ τις ἡμᾶς, εἰπέ μοι, ἐν καμίνῳ φλεγομένῃ μικρὸν ἔστησε χρό-
νον, οὐχὶ πάντα ὑποστησόμεθα ὑπὲρ τῆς ἀπαλλαγῆς, κἂν χρήματα δέῃ προέσθαι, κἂν δου-
λείαν ὑποστῆναι; πόσοι νόσοις" περιέπεσον χαλεπαῖς, καὶ πάντα ἑτοίμως εἵλοντο δοῦναι ἄν, γρ. δεσπό-
ὥστε ἀπαλλαγῆναι, εἴγε" αἵρεσις προὔκειτο; εἰ τοίνυν ἐνταῦθα νόσος ὀλιγοχρόνιος οὕτως ταις χαλεποῖς ὑπέ-
ἡμᾶς αἰκίζει, τί ποιήσομεν ἐκεῖ, ὅταν μηδὲν ὄφελος ᾖ τῆς μετανοίας; πόσων νῦν γέμομεν κα- γρ. ἁμαρτημ
κῶν, καὶ οὐκ αἰσθανόμεθα; ἀλλήλους δάκνομεν, ἀλλήλους κατεσθίομεν, ἀδικοῦντες, κατηγο-
ροῦντες, διαβάλλοντες, ταῖς τῶν πλησίον δόξαις δακνόμενοι. καὶ ὅρα τὸ χαλεπόν. ὅταν
βουληθῇ τις διορύξαι τοῦ πλησίον τὴν ὑπόληψιν, φησί, τόδε εἶπεν ὁ δεῖνα περὶ αὐτοῦ, ὁ
Θεὸς συγχωρήσει μοι, μή με ἐξετάσῃς, ἀκοῆς λόγον ὀφείλω. τί οὖν λέγεις ὅλως, εἰ οὐ
πιστεύεις; τί* λέγεις; τί πιστὸν" αὐτὸ ἐργάζῃ τῇ πολλῇ φήμῃ; τί διαπορθμεύεις τὸν λόγον ° καὶ
οὐκ ἀληθῆ ὄντα; σὺ ἀπιστεῖς, καὶ τὸν Θεὸν παρακαλεῖς ὥστε σε μὴ ἐξετάσαι; μὴ λέγε τοί- γρ. αὐτὸν
νυν, ἀλλὰ σιώπα, καὶ πάντως δέους ἀπήλλαξαι. ἀλλ' οὐκ οἶδα πόθεν ἡ νόσος αὕτη ἐν τοῖς
ἀνθρώποις ἐμπέπτωκε. φλύαροι γεγόναμεν, οὐδὲν ἡμῖν ἐναπομένει τῇ ψυχῇ. ἄκουε σο-
Σειρ. ιθ. θ. ι. φοῦ τινος παραινοῦντος καὶ λέγοντος, Ἤκουσας λόγον;" ἐναποθανέτω σοι· θάρσει, οὐ μή σε γρ. Συναπ-
"ῥήξῃ. καὶ πάλιν, Ἤκουσε λόγον ὁ μωρός, καὶ ὤδινησεν, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτου- γρ. ῥήξει
σα. πρὸς κατηγορίας ἐσμὲν ἕτοιμοι, πρὸς κατακρίσεις παρεσκευασμένοι. κἂν μηδὲν ἡ-
μῖν ἕτερον εἰργασμένον εἴη κακόν, τοῦτο ἱκανὸν ἦν ἡμᾶς ἀπολέσαι, καὶ εἰς γέενναν ἀπαγα-
γεῖν, τοῦτο μυρίοις περιβάλλει κακοῖς. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἄκουε τοῦ προφήτου λέγον-
τος, Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. ἀλλ' οὐκ ἐγώ, φησίν, ἀλλ' ἐκεῖνος. σὺ
κα. μὲν οὖν. εἰ γὰρ μὴ σὺ εἶπες, ἕτερος οὐκ ἂν ἤκουσεν· εἰ δὲ καὶ ἔμελλεν ἀκούειν, ἀλλὰ σὺ
τῆς αἰτίας οὐκ ἦς αἴτιος. δέον συσκιάζειν καὶ συγκρύπτειν τὰ ἐλαττώματα τῶν πλησί-
ον· σὺ δὲ ἐκπομπεύεις προσχήματι φιλαγαθίας; οὐ γὰρ ἢ κατήγορος, ἀλλὰ φλύαρος, ἀλ-
λὰ λῆρος, ἀλλὰ μωρός. ὦ δεινότης. σαυτὸν αἰχμαλωτεύεις μετ' ἐκείνου, καὶ οὐκ αἰσθάνῃ; ὅρα" δὲ γρ. δὲ
ὅσα τὰ κακὰ ἐντεῦθεν γίνεται· παροργίζεις τὸν Θεόν, λυπεῖς τὸν πλησίον, ὑπεύθυνον σεαυτὸν
τῇ κολάσει ποιεῖς. οὐκ ἀκούεις Παύλου λέγοντος περὶ" χηρῶν γυναικῶν; Οὐ μόνον δὲ ἀρ-
γαί, φησί, μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας, καὶ λαλοῦ-
σαι τὰ μὴ δέοντα; ὥστε καὶ ὅταν πιστεύσῃς τοῖς λεγομένοις κατὰ τοῦ ἀδελφοῦ σου, οὐδὲ οὕτω λέ-
γειν χρή· μή ποτε ἀπιστοῦντα. ἀλλὰ τὸ σαυτοῦ πανταχοῦ" σκοπεῖς, δεδοικὼς ἐξετασθῆναι
κα — παρὰ τοῦ Θεοῦ; δέδοικα οὖν μὴ καὶ ὑπὲρ τῆς φλυαρίας ἐξετασθῇς. ἐνταῦθα γὰρ
οὐκ

οὐκ ἔχεις εἰπεῖν ὅτι μή με ἐξετάσῃς, ὁ Θεός, περὶ τῆς φλυαρίας. [ὃ γὰρ πρᾶγμα, φλυαρία ἐστί.] τί ἐξεπόμπευσας; τί ηὔξησας τὸ ἁμάρτημα; τοῦτο ἡμᾶς ἀπολέσαι ἔχει. διὰ τοῦτο ἔλεγεν ὁ Χριστός, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. (Matth. ζ. a.) ἀλλ' οὐδεὶς ἡμῖν τούτου λόγος, οὐδὲ τὰ κατὰ τὸν Φαρισαῖον ἡμᾶς σωφρονίζει. ἐκεῖνος εἶπεν ἀληθὲς πρᾶγμα, ὅτι Οὐκ εἰμὶ ὡς ὁ τελώνης οὗτος, (Luc. ιη. ια.) καὶ εἶπεν, ἀκούοντος οὐδενός, καὶ κατεκρίθη. εἰ δὲ ἀληθὲς εἰρηκὼς κατεκρίθη, καὶ μηδενὸς ἀκούοντος, εἰπὼν τὰ ψευδῆ, καὶ περὶ ὧν οὐκ εἰσὶ πεπεισμένοι ταῦτα διαπορθμεύοντες πανταχοῦ, καθάπερ γυναῖκες φλύαροι, τί οὐ πείσονται δεινόν; τί δὲ οὐχ ὑπομενοῦσι; θῶμεν λοιπὸν τῷ στόματι θύραν καὶ μοχλόν. μυρία γὰρ ἀπὸ φλυαρίας γέγονε κακά· οἰκίαι ἀνετράπησαν, φιλίαι διεσπάσθησαν, ἕτερα μυρία χαλεπὰ γέγονε. μὴ περιεργάζου τὰ τοῦ πλησίον, ἄνθρωπε· ἀλλὰ λάλος εἶ, καὶ ἐλάττωμα ἔχεις; λάλει τὰ σὰ πρὸς τὸν Θεόν· οὕτως οὐκέτι ἔσται τὸ ἐλάττωμα, ἀλλὰ πλεονέκτημα. λάλει τὰ σὰ πρὸς τοὺς φίλους, τοὺς πάνυ φίλους καὶ δικαίους, καὶ οἷς θαῤῥεῖς, ὥστε εὔξασθαι ὑπὲρ τῶν σῶν ἁμαρτημάτων. ἂν τὰ ἑτέρων εἴπῃς, οὐδὲν ὠφελήθης, οὐδὲν ἐκέρδανας, ἀλλὰ καὶ ἀπώλου. ἂν τὰ σαυτοῦ ἐξαγορεύσῃς τῷ δεσπότῃ, πολὺν ἔχεις τὸν μισθόν. Εἶπα γάρ, φησίν, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. θέλεις κρίνειν; τὰ σαυτοῦ κρῖνε. οὐδεὶς σοι ἐγκαλεῖ, ἐὰν καταδικάσῃς σαυτόν· ἐγκαλεῖ δὲ ἐὰν μὴ καταδικάσῃς σαυτόν, ἐγκαλεῖ ἐὰν μὴ ἐλέγξῃς σαυτόν, ἐγκαλεῖ ἂν οὐκ ἀλγήσῃς. Εἶδες τὸν δεῖνα ὀργιζόμενον, παροξυνόμενον, ἢ ἄλλο τι ἄτοπον ποιοῦντα; ἐννόησον εὐθέως καὶ σὺ τὰ σαυτοῦ, καὶ οὕτως οὐδὲ ἐκεῖνον καταδικάζεις σφοδρῶς, καὶ σαυτὸν ἐλευθερώσεις τοῦ φορτίου τῶν ἁμαρτημάτων. ἂν οὕτω τὸν ἑαυτῶν ῥυθμίζωμεν βίον, ἂν οὕτω πραγματευώμεθα ἡμῶν τὴν ζωήν, ἂν κατακρίνωμεν ἑαυτούς· οὐ πολλὰ ἁμαρτησόμεθα ἴσως, πολλὰ δὲ ἐργασόμεθα καλά, ἐπιεικεῖς ὄντες καὶ μέτριοι, καὶ πάντων ἀπολαύσομεν τῶν ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Θεὸν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κβ. 3 ΠΙΣΤΕΙ ΝΟΟΥΜΕΝ ΚΑΤΗΡΤΙΣΘΑΙ ΤΟΥΣ αἰῶνας ῥήματι [τοῦ] Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. 4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

ΤΟ τῆς πίστεως γενναίας καὶ νεανικῆς δεῖται ψυχῆς, καὶ πάντα ὑπερβαινούσης τὰ αἰσθητά, καὶ τὴν ἀσθένειαν τῶν λογισμῶν τῶν ἀνθρωπίνων παρερχομένης. οὐ γὰρ ἐστιν ἑτέρως γενέσθαι πιστόν, ἂν μή τις ἑαυτὸν τῆς συνηθείας ὑπεραναγάγῃ τῆς κοινῆς. ἐπεὶ οὖν αἱ τῶν Ἑβραίων ἦσαν ἐξησθενημέναι ψυχαί, καὶ ἀπὸ πίστεως μὲν ἤρξαντο, ὑπὸ δὲ τῶν πραγμάτων (λέγω δὴ τῶν παθῶν, τῶν θλίψεων) ὀλιγοψυχοῦσαι λοιπὸν καὶ ἐμικροψύχουν καὶ περιεσαλεύοντο, πρῶτον μὲν αὐτοὺς ἀπὸ τῶν ἑαυτῶν παρεκάλεσεν, εἰπών, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας· (Ebr. ι. λε.) ἔπειτα ἀπὸ τῆς γραφῆς τῆς λεγούσης, Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· (Ambac. β. δ.) ἔπειτα ἀπὸ τῶν λογισμῶν, εἰπών, ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος, οὐ βλεπομένων. νῦν δὲ πάλιν ἀπὸ τῶν προπατόρων, τῶν μεγάλων ἀνδρῶν, τῶν θαυμαστῶν ἐκείνων, μονονουχὶ λέγων, Εἰ ἔνθα παρὰ πόδας τὰ ἀγαθά, πάντες πιστοὶ ἐσώθησαν, πολλῷ μᾶλλον ἡμεῖς. ὅταν γὰρ εὕρῃ τὸν αὐτὸν κοινωνὸν ἡ ψυχή, ἀναπαύεται καὶ ἀναπνεῖ. τοῦτο καὶ ἐπὶ τῆς πίστεως, τοῦτο καὶ ἐπὶ θλίψεως ἐστιν

Ῥωμ. α. ιβ. ἰδεῖν συμβαλεῖν· καθὼς ἀλλαχοῦ φησιν, Εἰς τὸ συμπαρακληθῆναι ἐν ὑμῖν, διὰ τῆς ἐν ἀλλήλοις πίστεως. σφόδρα γὰρ ἄπιστον τὸ γένος τὸ ἀνθρώπινον, καὶ ἑαυτῷ μὲν δύναται θαρρεῖν, καὶ δέδοικεν ὑπὲρ ὧν ἂν κρίνῃ ὅτι ἔχει, καὶ πολλὴν ἔχει τῆς τῶν πολλῶν δόξης φροντίδα. τί οὖν ὁ Παῦλος ποιεῖ; ἀπὸ τῶν πατέρων αὐτοὺς παρακαλεῖ, καὶ πρὸ τούτων, ἀπὸ τῆς κοινῆς ἐννοίας. ἐπειδὴ γὰρ ἡ πίστις τότε διεβάλλετο ὡς ἀναπόδεικτον πρᾶγμα, καὶ ἀπιστίας μᾶλλον ὄν, διὰ τούτων δείκνυσιν, ὅτι τὰ μέγιστα διὰ πίστεως, καὶ οὐ διὰ λογισμῶν κατορθοῦται. καὶ πῶς τοῦτο δείκνυσιν, εἰπέ μοι; πίστει νοοῦμεν, εἰπὼν, κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. δῆλον, φησὶν, ἐστὶν ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ Θεὸς, ἐκ τῶν μὴ φαινομένων τὰ φαινόμενα, ἐκ τῶν οὐχ ὑφεστώτων τὰ ὑφεστῶτα. πόθεν δὲ δῆλον, ὅτι καὶ ῥήματι [τοῦτο] ἐποίησεν; ὁ μὲν γὰρ λογισμὸς οὐδὲν ὑποβάλλει τοιοῦτον, ἀλλὰ καὶ τοὐναντίον ἐκ τῶν φαινομένων τὰ μὴ φαινόμενα εἶναι. διὰ τοῦτο μάλιστα οἱ φιλόσοφοι οὐδέν φασιν ἐξ οὐκ ὄντων εἶναι, ψυχικοὶ ὄντες, καὶ οὐδὲν τῇ πίστει ἐπιτρέποντες. ἁλίσκονται δὲ καὶ αὐτοὶ ὅμως ὅταν μέγα τι καὶ γενναῖον εἴπωσι, τῇ πίστει αὐτὸ ἐπιτρέποντες· οἷον, λέγουσιν ὅτι ὁ Θεὸς ἄναρχός ἐστι καὶ ἀγέννητος. ὁ γὰρ λογισμὸς οὐχ ὑποβάλλει τοῦτο, ἀλλὰ * τοὐναντίον. ἴδε δέ μοι καὶ τὴν πολλὴν μωρίαν αὐτῶν. τὸν Θεὸν ἄναρχον λέγουσιν· ὃ τοῦ ἐξ οὐκ ὄντων πολλῷ θαυμασιώτερον. τοῦ γὰρ εἰπεῖν, ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ὁ Θεὸς ἐποίησε, τὸ εἰπεῖν, ὅτι ἄναρχός ἐστιν, ὅτι ἀγέννητος, οὔτε ὑφ' ἑαυτοῦ, οὔτε ὑφ' ἑτέρου γεννηθεὶς, ἀπορώτερον. ἐν ἐκείνῳ μὲν γὰρ πολλὰ τὰ πιστά· οἷον, ὅτι ἐποίησέ τις, ὅτι ἀρχὴν ἔχει τὸ ποιούμενον, ὅτι ἐποιήθη ὅλως. ἐνταῦθα δὲ τὸ, αὐτόματος, ἀγέννητος, οὔτε ἀρχὴν ἔχων, οὔτε χρόνον, ταῦτα οὐχὶ πίστεως δεῖται, εἰπέ μοι; ἀλλ' οὐκ ἔθηκε τοῦτο ὃ πολλῷ πλέον ἦν, ἀλλὰ τὸ ἔλαττον, εἰπὼν, πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ. πόθεν οὖν λέγεις δῆλον, ὅτι ὁ Θεὸς ῥήματι πάντα ἐποίησε; λογισμὸς γὰρ τοῦτο οὐχ ὑποβάλλει, οὐδὲ παρῆν τις ὅτε ταῦτα ἐγένετο. ἀπὸ πίστεως. πίστεως γὰρ ἔργον ἡ κατανόησις. διὸ καὶ οὕτως εἶπε, πίστει νοοῦμεν. τί νοοῦμεν πίστει, εἰπέ. ὅτι μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γέγονε. τοῦτο γὰρ ἡ πίστις. εἰπὼν δὲ τὸ κοινὸν, λοιπὸν ἐπὶ προσώπων αὐτὸ γυμνάζει. καὶ γὰρ τῆς οἰκουμένης ἐστὶν ἀντάξιος, ἔνδοξος ἀνήρ. τοῦτο γοῦν καὶ ὕστερον ᾐνίξατο. ἐπειδὴ γὰρ ἐπὶ προσώπων αὐτὸ ἑκατὸν

Ἑβρ. ια. λη. ἢ διακοσίων ἀντέστησεν, εἶτα εἰδὼς τὸν ἀριθμὸν ὀλίγον τῇ ποσότητι, λοιπόν φησιν, Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ. ἵνα τίνα πρῶτον τίθησι; τὸν παθόντα κακῶς, καὶ παρὰ ἀδελφοῦ οὐδὲν ἠδικημένου, ἀλλὰ διὰ τὸν

α. Θεσ. β. ιδ. Θεὸν φθονηθέντος. οὐκοῦν οἰκεῖον τὸ πάθος. Καὶ γὰρ ὑμεῖς τὰ αὐτὰ, φησὶν, ἐπάθετε ὑπὸ τῶν οἰκείων συμφυλετῶν. ἅμα καὶ δείκνυσιν ὅτι καὶ αὐτοὶ βασκαίνονται καὶ φθονοῦνται. ἐτίμησεν ἐκεῖνος τὸν Θεὸν, καὶ ἀπέθανεν ἀνθ' ὧν ἐτίμησε, καὶ οὐδέπω ἀναστάσεως ἔτυχεν. ἀλλ' ἡ μὲν προθυμία αὐτοῦ δήλη, καὶ τὰ παρ' αὐτοῦ γέγονε· τὰ δὲ παρὰ τοῦ Θεοῦ οὐδέπω εἰς αὐτὸν εἰσηνέχθη. θυσίαν δὲ ἐνταῦθα πλείονα, τὴν ἐντιμοτέραν λέγει, τὴν λαμπροτέραν, τὴν ἀνεγκλητοτέραν. καὶ οὐκ ἔχομεν, φησὶν, εἰπεῖν, ὅτι οὐκ ἀπεδέχθη. ἀπεδέξατο γὰρ, καὶ

Γεν. δ. ζ. εἶπε πρὸς τὸν Κάϊν, Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς. οὐκοῦν ὁ Ἄβελ καὶ ὀρθῶς προσήνεγκε, καὶ ὀρθῶς διεῖλεν. ἀλλ' ὅμως ἀντὶ τούτων τίνα τὴν ἀμοιβὴν ἔλαβεν; ἐσφάγη παρὰ τῆς ἀδελφικῆς χειρός· καὶ τὴν καταδίκην, ἣν ὁ πατὴρ ὑπέμεινε διὰ τὴν ἁμαρτίαν, ταύτην πρῶτος ἐδέξατο υἱὸς ὁ κατορθώσας· καὶ τοσοῦτο χαλεπὰ ἔπαθεν, ὅσῳ καὶ παρὰ ἀδελφοῦ, καὶ πρῶτος. καὶ ταῦτα κατώρθωσεν εἰς οὐδένα ἰδών. εἰς τίνα γὰρ εἶδεν, καὶ οὕτως ἐτίμησε τὸν Θεόν; εἰς τὸν πατέρα καὶ τὴν μητέρα; ἀλλ' ἐκεῖνοι ὕβρισαν αὐτὸν ἀντὶ τῶν εὐεργεσιῶν. ἀλλ' εἰς τὸν ἀδελφόν; ἀλλὰ καὶ οὗτος ἠτίμασεν. ὥστε παρ' ἑαυτοῦ τὸ ἀγαθὸν ἐξεῦρε. καὶ ὁ τοσαύτης ὢν τιμῆς ἄξιος τί δεῖ πάσχει; ἀναιρεῖται. εἶτα καὶ ἄλλο ἐγκώμιον τίθησι λέγων, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ

δι'

δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. πῶς δὲ καὶ [ἄλλως] ἐμαρτυρήθη εἶναι δίκαιος; λέγεται πῦρ κατελθὸν ἀναλῶσαι τὰς θυσίας. αὕτη γάρ ἐστιν, Ἐπὶ Ἄβελ ἐπέβλεψε, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ ὁ Κύριος, καὶ ἐπεσκέψατο, εἶπεν. ὁ τοίνυν καὶ διὰ λόγων καὶ δι' ἔργων μαρτυρήσας τῷ δικαίῳ, καὶ δι' αὐτῶν ὁρᾶν ἀναγεγραμμένον, οὐκ ἤμυνεν, ἀλλ' εἴασε. τὸ δὲ ὑμέτερον, οὐ τοιοῦτον. πῶς γὰρ "οἱ καὶ παραφθέντες παραδείγματα" ἔχοντες, καὶ παρακλήσεις μυρίας, καὶ σημεῖα καὶ θαύματα γενόμενα; ὥστε ἐκεῖνο ὄντως πίστις ἦν. ποῖα γὰρ θαύματα εἶδεν ἐκεῖνος, ἵνα πιστεύσῃ ὅτι ἔσται τις αὐτῷ ἀντίδοσις τῶν ἀγαθῶν; οὐχὶ ἀπὸ πίστεως μόνης τὴν ἀρετὴν εἵλετο; τί ἐστι, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ; ἵνα μὴ εἰς πολλὴν ἀπόγνωσιν αὐτοὺς ἐμβάλῃ, δείκνυσιν αὐτὸν ἐν μέρει ἀπολαύσαντα ἀμοιβῆς. πῶς; ἡ ἐπισκοπὴ ἡ "ὑπὲρ αὐτοῦ, φησί, πολλή ἐστι. τοῦτο γὰρ ἠνίξατο εἰπών, καὶ ἔτι λαλεῖ· τουτέστι, δοξάζει αὐτόν· ἀλλὰ οὐ σιωπᾷ, δείκνυσιν αὐτοῦ τὴν δόξαν καὶ τὴν "τιμωρίαν. οὐ τέθνηκεν ἐκεῖνος οὐκοῦν οὐδὲ ὑμεῖς τεθνήξεσθε. ὅσῳ γὰρ ἄν τις χαλεπώτερα πάθῃ, τοσούτῳ ἡ δόξα μείζων. πῶς οὖν ἔτι γὰρ λαλεῖ; τοῦτο καὶ τοῦ ζῆν σημεῖόν ἐστι, καὶ τοῦ παρὰ πάντων ᾄδεσθαι, θαυμάζεσθαι καὶ μακαρίζεσθαι. ὁ γὰρ παραινῶν τοῖς ἄλλοις δικαίοις εἶναι, λαλεῖ. οὐ τοσοῦτον γὰρ δύναιτο λόγος, ὅσον τὸ πάθος τὸ ἐκείνου. ὥσπερ οὖν ὁ οὐρανὸς φαινόμενος μόνον λαλεῖ, οὕτω καὶ ἐκεῖνος μνημονευόμενος. οὐκ ἂν εἰ ἀνεκήρυξεν ἑαυτόν, οὐκ ἂν εἰ μυρίας εἶχε γλώσσας, καὶ ἔζη, οὕτως ἐθαυμάζετο ὡς νῦν. τουτέστιν, οὐκ ἀτιμώρητα ταῦτα γέγονεν, οὐδὲ ἁπλῶς, οὐδὲ παρέρχεται.

5 Πίστει Ἐνὼχ μετετέθη, τοῦ μὴ ἰδεῖν θάνατον· καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός. πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πιστεῦσαι γὰρ δεῖ [πρῶτον] τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστί, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Οὗτος μείζονα πίστιν τοῦ Ἄβελ ἐπεδείξατο. τί δήποτε; "ὅτι εἰ καὶ μετ' ἐκεῖνον" γέγονεν, ἀλλὰ τὸ εἰς ἐκεῖνον γενόμενα ἱκανὰ ἦν αὐτὸν ἀποτρέψαι. πῶς; προῄδει ὁ Θεὸς ὅτι ἀπολεῖται. εἶπε γὰρ τῷ Κάϊν, Ἥμαρτες, μὴ προσθῇς ἔτι. ἐπιμελήθη περὶ αὐτοῦ· οὐκ ἤμυνεν αὐτῷ. καὶ οὐδὲ τοῦτο εἰς ῥᾳθυμίαν ἐνέβαλεν. οὐκ εἶπε πρὸς ἑαυτόν, τίς χρεία πόνων καὶ κινδύνων; ὁ Ἄβελ ἐτίμησε τὸν Θεόν, καὶ οὐκ ἤμυνεν αὐτῷ. τί γὰρ ὄφελος τῷ ἀπελθόντι "τῆς τιμωρίας τῆς τοῦ ἀδελφοῦ; τί δὲ ἐκεῖθεν ἀπόνασθαι αὐτὸν δυνατόν; θῶμεν ὅτι χαλεπὴν δίδωσι δίκην. τί πρὸς τὸν ἀνῃρημένον; οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν *, ἀλλὰ ταῦτα πάντα ὑπερβάς, ἔγνω ὅτι εἰ Θεός ἐστι, πάντως καὶ ἀνταποδότης ἐστί. καίτοι οὔπω οὐδὲν περὶ ἀναστάσεως ᾔδεσαν. εἰ δὲ οἱ μηδὲν μηδέπω περὶ ἀναστάσεως εἰδότες, ἀλλὰ καὶ ἐνταῦθα τἀναντία ὁρῶντες οὕτως εὐηρέστησαν, πόσῳ μᾶλλον ὑμεῖς; οὔτε γὰρ περὶ ἀναστάσεως ᾔδεσαν ἐκεῖνοι, οὔτε εἰς παραδείγματα εἶχον ἰδεῖν. αὐτὸ μὲν οὖν τοῦτο αὐτὸν εὐαρεστῆσαι ἐποίησε, τὸ μηδὲν αὐτὸν ἀπολαβεῖν. εἰπὲ δή μοι· ᾔδει ὅτι μισθαποδότης ἐστὶν ὁ Θεός. "πόθεν; οὔπω γὰρ οὐδὲ τῷ Ἄβελ ἀπέδωκεν. ὥστε ὁ λογισμὸς ἕτερα ὑπέβαλεν, ἡ δὲ πίστις τὰ ἐναντία τῶν ὁρωμένων. καὶ ὑμεῖς οὖν, φησίν, ὁρᾶτε μηδὲν ἐνταῦθα ἀπολαμβάνοντας ὑμᾶς, μὴ θορυβεῖσθε. πῶς δὲ πίστει μετετέθη ὁ Ἐνώχ; ὅτι τῆς μεταθέσεως ἡ εὐαρέστησις αἰτία, τῆς δὲ εὐαρεστήσεως ἡ πίστις. εἰ γὰρ μὴ ᾔδει ὅτι λήψεται ἀμοιβάς, πῶς εὐηρέστει; χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πῶς; ἂν γάρ τις πιστεύσῃ εἶναι Θεόν, καὶ ἀντίδοσιν, ἕξει τὰς ἀμοιβάς. "ἐντεῦθεν οὖν ἡ εὐαρέστησις. πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστίν, οὐ τὸ τί ἐστιν. εἰ δὲ τὸ ὅτι ἐστί, πίστεως, καὶ οὐ λογισμῶν δεῖται· τὸ τί ἐστι, λογισμῷ καταλαβεῖν "δυνατόν; εἰ ὅτι μισθαποδότης ἐστί, πίστεως χρείαν ἔχει, καὶ οὐ λογισμῶν· πῶς τὰ τῆς οὐσίας λογισμῷ περιλαβεῖν ἔνι; ποῖος γὰρ δυνήσεται λογισμὸς ἐφικέσθαι τούτων; τινὲς [γὰρ] αὐτόματά φασιν "ἄγεσθαι τὰ ὄντα. ὁρᾷς ὅτι ἂν μὴ πιστεύωμεν περὶ πάντα, οὐ περὶ τὴν ἀντίδοσιν μόνον, ἀλλὰ καὶ περὶ αὐτὸ τὸ εἶναι Θεόν, οἰχήσεται ἡμῖν τὰ πάντα; πολλοὶ δὲ ζητοῦσι ποῦ μετετέθη ὁ Ἐνώχ. καὶ

διὰ τί μετετέθη, καὶ διὰ τί οὐκ ἀπέθανεν, οὔτε αὐτὸς, οὔτε ὁ Ἠλίας, καὶ εἰ ἔτι ζῶσι, πῶς ζῶσι, καὶ ἐν ποίῳ σχήματί εἰσιν. ἀλλὰ περιττὸν πάντη τὸ ταῦτα ζητεῖν. ὅτι μὲν γὰρ μετετέθη ἐκεῖνος, καὶ ὅτι ἀνελήφθη ἐκεῖνος, εἶπον αἱ γραφαί· ποῦ δὲ εἰσὶ, καὶ πῶς εἰσὶν, οὐκέτι προσετέθηκεν. οὐδὲν γὰρ πλέον τῶν ἀναγκαίων λέγουσι. τοῦτο μὲν γὰρ γέγονε (λέγω δὲ τὸ τῆς μεταθέσεως) ἐν προοιμίοις εὐθέως, ὅπως ἡ ἀνθρωπίνη φύσις ἐλπίδα λάβῃ τῆς καταλύσεως τοῦ θανάτου, καὶ τῆς καθαιρέσεως τῆς τυραννίδος τῆς διαβολικῆς, καὶ ὅτι καταλυθήσεται ὁ θάνατος. μετετέθη γὰρ οὐ νεκρὸς, ἀλλὰ τοῦ μὴ ἰδεῖν θάνατον. διὰ τοῦτο προσέθηκε, ζῶν μετετέθη, ὅτι εὐηρέστησε. καθάπερ γὰρ τις ἀπειλήσας πατὴρ υἱῷ, βούλεται μὲν εὐθέως ἀνεῖναι τὴν ἀπειλὴν, ὅταν ἀπειλήσῃ, ἀνέχεται δὲ καὶ καρτερεῖ, ἵνα τέως αὐτὸν σωφρονίσῃ καὶ νουθετήσῃ, ἀφεὶς βεβαίαν μένειν τὴν ἀπειλήν· οὕτω καὶ ὁ Θεὸς, σχεδὸν εἰπεῖν, ἀνθρωπίνως, οὐκ ἐκαρτέρησεν, ἀλλ' εὐθέως ἔδειξεν, ὅτι λέλυται ὁ θάνατος. καὶ τέως μὲν ἀφίησι τὸν θάνατον εἰς τὸν δίκαιον γενέσθαι, φοβῆσαι βουλόμενος διὰ τοῦ παιδὸς τὸν πατέρα. θέλων γὰρ δεῖξαι, ὅτι ὄντως ἐστὶν ἡ ἀπόφασις βεβαία, οὐ τοὺς κακοὺς εὐθέως, ἀλλὰ καὶ τὸν εὐαρεστήσαντα ὑπέβαλε τῇ τιμωρίᾳ, τὸν μακάριον ἐκεῖνον τὸν Ἄβελ λέγω. καὶ σχεδὸν μετὰ τοῦτον εὐθέως μετέθηκε τὸν Ἐνὼχ ζῶντα. καὶ οὐκ ἀνέστησεν ἐκεῖνον, ἵνα μὴ θαρρήσωσιν [εὐθέως, ἀλλὰ μετέθηκε τοῦτον ζῶντα·] διὰ μὲν τοῦ Ἄβελ φοβήσας, διὰ δὲ τούτου δοὺς ζῆλον τῆς εὐαρεστίας αὐτῷ. ὥστε οἱ αὐτόματα πάντα ἄγεσθαι καὶ φέρεσθαι λέγοντες, καὶ μὴ προσδοκῶντες ἀντίδοσιν, οὐκ εὐαρεστοῦσιν· ὥσπερ οὐδὲ οἱ Ἕλληνες. τοῖς γὰρ ἐκζητοῦσιν αὐτὸν διὰ ἔργων, καὶ διὰ τῆς γνώσεως, μισθαποδότης γίνεται.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἔχομεν μισθαποδότην, πάντα πράττωμεν, ὥστε μὴ ἀποστερηθῆναι τῶν μισθῶν τῶν ἐπὶ τῇ ἀρετῇ. καὶ γὰρ πολλῶν δακρύων ἄξιοι τοιαύτης ἀμοιβῆς ὑπεριδεῖν, τοιαύτης ἀντιδόσεως καταφρονῆσαι. ὥσπερ γὰρ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται, οὕτω τοῖς μὴ ζητοῦσι, τὸ ἐναντίον. Ζητεῖτε, καὶ εὑρήσετε, φησί. πῶς δὲ ἔστι τὸν Κύριον εὑρεῖν; ἐννόησον πῶς εὑρίσκεται τὸ χρυσίον· μετὰ πολλοῦ πόνου. Ταῖς χερσί μου, φησί, νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην· τουτέστιν, ὥσπερ τὸ ἀπολωλὸς ζητοῦμεν, οὕτω τὸν Θεὸν ζητήσωμεν. οὐχὶ τὸν νοῦν ἐκεῖ συστρέφομεν; οὐχὶ πάντας ἐξετάζομεν; οὐχὶ ἀποδημίαν ποιούμεθα; οὐχὶ χρήματα ἐπαγγελλόμεθα; οἷον, ἔστω τις ἡμῖν υἱὸς ἀπολωλώς. τί * οὐ πράττομεν; ποίαν γῆν, ποίαν θάλατταν οὐ περινοστοῦμεν; οὐχὶ καὶ χρήματα, καὶ οἰκίας, καὶ πάντα δεύτερα ἡγούμεθα τῆς εὑρέσεως; κἂν εὕρωμεν, κατέχομεν, ἐπισφίγγομεν, οὐκ ἐγκαταλιμπανόμεθα. καὶ μέλλοντες ζητεῖν, πάντα πραγματευόμεθα, ὥστε εὑρεῖν τὸ ζητούμενον. πόσῳ δὲ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο χρὴ ποιεῖν, ὥσπερ τι τῶν ἀναγκαίων ζητοῦντας; μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. πλὴν ἀλλ' ἐπειδὴ ἀσθενεῖς ἐσμεν, κἂν ὡς τὰ χρήματά σου ζητεῖς, ἢ τὸν υἱὸν, ζήτησον τὸν Θεόν. οὐχὶ ἀποδημεῖς ὑπὲρ τούτου; [ἆρα οὐκ ἀπεδήμησάς ποτε ὑπὲρ χρημάτων;] οὐχὶ πάντα περιεργάζῃ; οὐχ ὅταν εὕρῃς, τότε θαρρεῖς; Ζητεῖτε, φησί, καὶ εὑρήσετε. τὰ γὰρ ζητούμενα πολλῆς δεῖται μερίμνης, καὶ μάλιστα ἐπὶ Θεοῦ. πολλὰ γάρ τὰ κωλύματα, πολλὰ τὰ ἐπισκοτοῦντα, πολλὰ τὰ εἴργοντα ἡμῶν τὴν αἴσθησιν. ὥσπερ γὰρ ὁ ἥλιός ἐστι δῆλος, καὶ εἰς μέσον πᾶσι πρόκειται, καὶ οὐ δεόμεθα τοῦ ζητεῖν αὐτόν, ἂν μέντοι κατορύξωμεν ἑαυτοὺς, κἂν πάντα περιστρέφωμεν, πολλοῦ δεόμεθα πόνου, ὥστε ἰδεῖν πρὸς τὸν ἥλιον· οὕτω δὴ καὶ ἐνταῦθα, ἐὰν ἐν τῷ βυθῷ τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἐὰν ἐν τῷ σκότῳ τῶν παθῶν καὶ τῶν βιωτικῶν πραγμάτων κατορύττωμεν ἑαυτοὺς, * μόλις διαβλέπομεν, μόλις ἀνακύπτομεν. ὁ κάτω κατορωρυγμένος, ὅσῳ ἂν ἄνω βλέπῃ, τοσοῦτο πρὸς τὸν ἥλιον ἔρχεται. ἀποτιναξώμεθα τοίνυν τὸν χοῦν, ἀναρρήξωμεν τὴν ἐπικειμένην ἡμῖν ἀχλύν. πυκνή τίς ἐστι, καὶ στεγανή, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἀναβλέψαι. καὶ πῶς διαρρήγνυται, φησίν, ἡ νεφέλη αὕτη; ἐὰν ἐπισπασώμεθα [τοῦ νοητοῦ ἡλίου] τὰς ἀκτῖνας, τοῦ ἡλίου τῆς δικαιοσύνης, ἐὰν

Ματθ. ζ. ζ.

Ψαλ. οϛ. β.

Ματθ. ζ. ζ.

τὰς χεῖρας εἰς τὸν οὐρανὸν αἴρωμεν (Ἐπάρσις, φησὶ, τῶν χειρῶν μου θυσία ἑσπερινή) ἐὰν μετὰ τῶν χειρῶν καὶ τὸν νοῦν ἀνακαλῶμεν. ἴστε οἱ μεμυημένοι τὸ λέγω· τάχα δὲ καὶ ἐπιγνώσεσθε τὸ λεχθὲν, καὶ συνορᾶτε ὅπερ ᾐνιξάμην. ἐπάρωμεν εἰς ὕψος τὴν διάνοιαν. οἶδα πολλοὺς ἄνδρας ἐγὼ, σχεδὸν κρεμαμένους ἀπὸ τῆς γῆς, καὶ πέρα τοῦ μέτρου τὰς χεῖρας ἀνατείνοντας, καὶ ἀθυμοῦντας, ὅτι μὴ δυνατὸν μετεωρισθῆναι, καὶ οὕτως εὐχομένους μετὰ προθυμίας. οὕτως ὑμᾶς εἶναι βούλομαι ἀεί. εἰ δὲ μὴ ἀεὶ, κἂν πλεονάκις· εἰ δὲ μὴ πλεονάκις, κἂν ὀλιγάκις, κἂν ἐν ταῖς ἑωθιναῖς, κἂν ἐν ταῖς ἑσπεριναῖς. εἰπὲ γάρ μοι, ἐκτείνειν τὰς χεῖρας οὐ δύνῃ; ἔκτεινον τὴν προαίρεσιν, ὅσον θέλεις· ταύτην ἔκτεινον κἂν εἰς αὐτὸν τὸν οὐρανόν. κἂν αὐτῆς βουληθῇς τῆς κορυφῆς ἅψασθαι, κἂν ἀνωτέρω ἀνελθὼν ἐμπεριπατῆσαι, ἔξεστί σοι. πάντως γὰρ πτερωτὸς καὶ κουφότερος καὶ ὑψηλότερος ὁ ἡμέτερος νοῦς. ὅταν δὲ καὶ τὴν παρὰ τοῦ πνεύματος λάβῃ χάριν, βαβαὶ, πῶς ἐστι ταχύς; πῶς ὀξύς; πῶς πάντα περινοστεῖ; πῶς οὐ καταφέρεται, οὐδὲ καταπίπτει πρὸς τὸ ἔδαφος; ταῦτα κατασκευάσωμεν ἡμῖν τὰ πτερά· διὰ τούτων καὶ τὸ πέλαγος διαπλεῦσαι δυνησόμεθα τοῦ κλύδωνος τοῦ παρόντος βίου. τὰ ὀξύτατα τῶν ὀρνίθων, καὶ ὄρη καὶ νάπας, καὶ πελάγη καὶ σκοπέλους ἐν βραχείᾳ καιροῦ ῥοπῇ διίπταται ἀσινῆ. τοιοῦτός ἐστι καὶ ὁ νοῦς, ὅταν πτερωθῇ, ὅταν τῶν βιωτικῶν ἀποστῇ, οὐδὲν αὐτοῦ ἐπιλαβέσθαι δύναται, πάντων ἐστὶν ἀνώτερος, καὶ τῶν βελῶν τῶν πεπυρωμένων τοῦ διαβόλου. οὐκ ἔστιν οὕτως εὔστοχος ὁ διάβολος, ὡς δυνηθῆναι τοῦ ὕψους ἐφικέσθαι· ἀλλὰ τί; ἀφίησι μὲν τὰ βέλη· ἀναίσχυντος γάρ ἐστιν· οὐκ ἐπιτυγχάνει δέ· ἀλλ' ἀποστρέφει πρὸς αὐτὸν κενὸν τὸ βέλος, καὶ οὐ μόνον κενὸν, ἀλλὰ καὶ εἰς τὴν αὐτοῦ κεφαλήν. δεῖ γὰρ πάντως πλῆξαι τὸ παρ' αὐτοῦ πεμπόμενον. ὥσπερ οὖν τὸ παρὰ ἀνθρώπων βληθὲν, ἢ τὸ καθ' οὗ πέμπεται, βάλλει, ἢ ὄρνεον, ἢ τοῖχον, ἢ ἱμάτιον, ἢ ξύλον, ἢ αὐτὸν τὸν ἀέρα διατέμνει· οὕτω καὶ τὸ τοῦ διαβόλου βέλος δεῖ μὲν πλῆξαι πάντως, ἂν δὲ τὸν βαλλόμενον μὴ πλήξῃ, πάντως τὸν πέμποντα ἔπληξε. καὶ ἔστι πολλαχόθεν τοῦτο μαθεῖν, ὅτι ὅταν ἡμεῖς μὴ πληγῶμεν, πάντως ἐκεῖνος πλήττεται. οἷον τί λέγω, ἐπεβούλευσε τῷ Ἰὼβ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. ἐπεβούλευσε τῷ Παύλῳ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. καὶ πανταχοῦ τοῦτο ἔστιν, ἐὰν νήφωμεν, ἰδεῖν γινόμενον. καὶ ὅταν μὲν γὰρ πλήξῃ, πλήττεται· πολλῷ δὲ πλέον, ὅτι κατ' ἐκείνου τοῖς ξίφεσι, καὶ τῷ θυρεῷ τῆς πίστεως καθοπλίσαντες καὶ τειχίσαντες ἑαυτοὺς, ἐν ἀσφαλείᾳ διατηρούμεθα, ὥστε ἀναλώτους γίνεσθαι. βέλος δέ ἐστι τοῦ διαβόλου, ἐπιθυμία πονηρά. ὀργὴ μάλιστα πῦρ ἐστι. φλόξ ἐστι, συναρπάζει, ἀναιρεῖ, κατακαίει. ἀλλ' ἡμεῖς τῇ μακροθυμίᾳ, τῇ ἀνοχῇ αὐτὴν σβέσωμεν. καθάπερ γὰρ πεπυρωμένος σίδηρος εἰς ὕδωρ βαφεὶς, τὸ πῦρ ἀπόλλυσιν· οὕτως ὀργὴ εἰς τὸν μακρόθυμον ἐμπεσοῦσα, οὐδὲν τὸν μακρόθυμον ἔβλαψεν, ἀλλὰ μᾶλλον ὠφέλησε, καὶ αὐτὸς διεκρατύνθη πλέον. οὐδὲν γὰρ μακροθυμίας ἴσον. οὐδέποτε ὑβρίζεται ὁ τοιοῦτος· ἀλλ' ὥσπερ τὰ ἀδαμάντινα σώματα οὐ πλήττεται, οὕτως οὐδὲ αἱ τοιαῦται ψυχαί. ἀνώτεραι γὰρ τῶν βελῶν εἰσιν. ὑψηλός ἐστι, καὶ οὕτως ὑψηλὸς ὁ μακρόθυμος, ὡς μὴ δέχεσθαι πληγὴν ἀπὸ τῆς βολῆς. ὅταν ἀσελγαίνῃ, σὺ γέλα· γέλα δὲ μὴ φανερῶς, ὥστε μὴ παροξῦναι· ἀλλὰ γέλα κατὰ ψυχὴν, αὐτοῦ ἕνεκεν. καὶ γὰρ ἐπὶ τῶν παίδων, ὅταν πλήττωσιν ἡμᾶς μετὰ θυμοῦ, ὡς δὴ ἀμυνόμενοι, γελῶμεν. ἂν τοίνυν γελάσῃς, τοσοῦτον ἔσται σοι κἀκείνου τὸ μέσον, ὅσον παιδὸς καὶ ἀνδρός· ἂν δὲ ἀσελγαίνῃς, γέγονας παῖς. παίδων γὰρ ἀνοητότεροι οἱ ὀργιζόμενοι. εἰπὲ δή μοι, ἂν ἀπίδῃ τις πρὸς παῖδα ἀσελγαίνοντα, οὐχὶ καταγελᾷ; τοῦτο καὶ ἐπὶ τῶν ὀργιζομένων συμβαῖνον ἐστιν ἰδεῖν. οἱ τοιοῦτοι καὶ ὀλιγόψυχοι· εἰ δὲ ὀλιγόψυχοι, καὶ ἄφρονες. Ὁ δὲ ὀλιγόψυχος, φησὶν, ἰσχυρῶς ἄφρων. [ὁ τοίνυν ἄφρων, νήπιός ἐστι.] καὶ ὁ μακρόθυμος, φησὶ, πολὺς ἐν φρονήσει. ταύτην τοίνυν τὴν μακροθυμίαν μεταδιώκωμεν, ὅθεν πολλὴ τοῖς κατορθοῦσι σύνεσις προσγίνεται· ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλμ. ρμ. β.

Παροίμ. ιδ. κθ.

διὰ τί μετετέθη, καὶ διὰ τί οὐκ ἀπέθανεν, οὔτε αὐτὸς, οὔτε ὁ Ἠλίας, καὶ εἰ ἔτι ζῶσι, πῶς ζῶσι, καὶ ἐν ποίῳ σχήματι εἰσίν. ἀλλὰ περιττὸν ταῦτα ζητεῖν. ὅτι μὲν γὰρ μετετέθη οὗτος, καὶ ὅτι ἀνελήφθη ἐκεῖνος, εἶπον αἱ γραφαί· ποῦ δέ εἰσι, καὶ πῶς εἰσίν, οὐκέτι προσέθηκαν. οὐδὲν γὰρ πλέον τῶν ἀναγκαίων λέγουσι. τοῦτο μὲν γὰρ γέγονε (λέγω δὲ τὸ τῆς μεταθέσεως) ἐν προοιμίοις εὐθέως, ὅπως ἡ ἀνθρωπίνη φύσις ἐλπίδα λάβῃ τῆς καταλύσεως τοῦ θανάτου, καὶ τῆς καθαιρέσεως τῆς τυραννίδος τῆς διαβολικῆς, καὶ ὅτι καταλυθήσεται ὁ θάνατος. μετετέθη γὰρ οὐ νεκρὸς, ἀλλὰ τοῦ μὴ ἰδεῖν θάνατον. διὰ τοῦτο προσέθηκε, ζῶν μετετέθη, ὅτι εὐηρέστησε. καθάπερ γάρ τις ἀπειλήσας πατὴρ υἱῷ, βούλεται μὲν εὐθέως ἀνεῖναι τὴν ἀπειλὴν, ὅταν ἀπειλήσῃ, ἀνέχεται δὲ καὶ καρτερεῖ, ἵνα τέως αὐτὸν σωφρονίσῃ καὶ νουθετήσῃ, ἀφεὶς βεβαίαν μένειν τὴν ἀπειλήν· οὕτω καὶ ὁ Θεὸς, σχεδὸν εἰπεῖν, ἀνθρωπίνως, οὐκ ἐκαρτέρησεν, ἀλλ' εὐθέως ἔδειξεν, ὅτι λέλυται ὁ θάνατος. καὶ πρῶτον ἀφίησι τὸν θάνατον εἰς τὸν δίκαιον γενέσθαι, φοβῆσαι βουλόμενος διὰ τοῦ παιδὸς τὸν πατέρα. θέλων γὰρ δεῖξαι, ὅτι ὄντως ἐστὶν ἡ ἀπόφασις βεβαία, οὐ τοὺς κακοὺς εὐθέως, ἀλλὰ καὶ τὸν εὐαρεστήσαντα ὑπέβαλε τῇ τιμωρίᾳ, τὸν μακάριον ἐκεῖνον τὸν Ἄβελ λέγω. καὶ σχεδὸν μετὰ τοῦτο εὐθέως μετέθηκε τὸν Ἐνὼχ ζῶντα. καὶ οὐκ ἀνέστησεν ἐκεῖνον, ἵνα μὴ θαρρήσωσιν [εὐθέως, ἀλλὰ μετέθηκε τοῦτον ζῶντα·] διὰ μὲν τοῦ Ἄβελ φοβήσας, διὰ δὲ τούτου δοὺς ζηλοῦν τὴν εὐαρέστησιν αὐτοῦ. ὥστε τὸ αὐτόματα πάντα ἄγεσθαι καὶ φέρεσθαι λέγοντες, καὶ μὴ προσδοκῶντες ἀντίδοσιν, οὐκ εὐαρεστοῦσιν· ὥσπερ οὐδὲ οἱ Ἕλληνες. τοῖς γὰρ ἐκζητοῦσιν αὐτὸν διὰ ἔργων, καὶ διὰ τῆς γνώσεως, μισθαποδότης ἐστίν.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἔχομεν μισθαποδότην, πάντα πράττωμεν, ὥστε μὴ ἀποστερηθῆναι τοῦ μισθοῦ τοῦ ἐπὶ τῇ ἀρετῇ. καὶ γὰρ πολλῶν δακρύων ἄξιοι τοιαύτης ἀμοιβῆς ὑπεριδεῖν, τοιαύτης ἀντιδόσεως καταφρονῆσαι. ὥσπερ γὰρ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης ἐστὶν, οὕτω τοῖς μὴ ζητοῦσι τὸ ἐναντίον. Ζητεῖτε, καὶ εὑρήσετε, φησί. πῶς δὲ ἔστι τὸν Κύριον εὑρεῖν; ἐννόησον πῶς εὑρίσκεται τὸ χρυσίον· μετὰ πολλοῦ πόνου. Ταῖς χερσί μου, φησι, νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην· τουτέστιν, ὥσπερ τὸ ἀπολωλὸς ζητοῦμεν, οὕτω τὸν Θεὸν ζητήσωμεν. οὐχὶ τὸν νοῦν ἐκεῖ συστρέφομεν; οὐχὶ πάντας ἐξετάζομεν; οὐχὶ ἀποδημίαν ποιούμεθα; οὐχὶ χρήματα ἐπαγγελλόμεθα; οἷον, ἔστω τις ἡμῖν υἱὸς ἀπολωλώς. τί * οὐ περιέλθομεν; ποίαν γῆν, ποίαν θάλατταν οὐ περινοστοῦμεν; οὐχὶ καὶ χρήματα, καὶ οἰκίας, καὶ πάντα δεύτερα ἡγούμεθα τῆς εὑρέσεως; κἂν εὕρωμεν, κατέχομεν, ἐπισφίγγομεν, οὐκ ἐγκαταλιμπανόμεθα. καὶ μέλλοντες ζητεῖν, πάντα πραγματευόμεθα, ὥστε εὑρεῖν τὸ ζητούμενον. πόσῳ δὲ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο χρὴ ποιεῖν, ὥσπερ τι τῶν ἀναγκαίων ζητοῦντας; μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. πλὴν ἀλλ' ἐπειδὴ ἀσθενεῖς ἐσμεν, κἂν ὡς τὰ χρήματά σου ζητεῖς, ἢ τὸν υἱὸν, ζήτησον τὸν Θεόν. οὐχὶ ἀποδημεῖς ὑπὲρ τούτου; [ἆρα οὐκ ἀπεδήμησας ποτε ὑπὲρ χρημάτων;] οὐχὶ πάντα περιεργάζῃ; οὐχ ὅταν εὕρῃς, τότε θαρρεῖς; Ζητεῖτε, φησι, καὶ εὑρήσετε. τὸ γὰρ ζητούμενον πολλῆς δεῖται μερίμνης, καὶ μάλιστα ἐπὶ Θεοῦ. πολλὰ γὰρ τὰ κωλύματα, πολλὰ τὰ ἐπισκοτοῦντα, πολλὰ τὰ εἴργοντα ἡμῶν τὴν αἴσθησιν. ὥσπερ γὰρ ὁ ἥλιός ἐστι δῆλος, καὶ εἰς μέσον πᾶσι πρόκειται, καὶ οὐ δεόμεθα τοῦ ζητεῖν αὐτὸν, ἂν μέντοι κατορύξωμεν ἑαυτοὺς, κἂν πάντα περιστρέφωμεν, πολλοῦ δεόμεθα πόνου, ὥστε ἰδεῖν πρὸς τὸν ἥλιον· οὕτω δὴ καὶ ἐνταῦθα, ἐὰν ἐν τῷ βυθῷ τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἐὰν ἐν τῷ σκότῳ τῶν παθῶν καὶ τῶν βιωτικῶν πραγμάτων κατορύττωμεν ἑαυτοὺς, * μόλις διαβλέπομεν, μόλις ἀνακύπτομεν. ὁ κάτω κατορωρυγμένος, ὅσῳ ἂν ἄνω βλέπῃ, τοσούτῳ πρὸς τὸν ἥλιον ἔρχεται. ἀποτιναξώμεθα τοίνυν τὸν χοῦν, ἀναρρήξωμεν τὴν ἐπικειμένην ἡμῖν ἀχλύν. πυκνή τίς ἐστι, καὶ στεγανὴ, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἀναβλέψαι. καὶ πῶς διαρρήγνυται, φησιν, ἡ νεφέλη αὕτη; ἐὰν ἐπισπασώμεθα [τοῦ νοητοῦ ἡλίου] τὰς ἀκτῖνας, τοῦ ἡλίου τῆς δικαιοσύνης, ἐὰν

τὰς

τὰς χεῖρας εἰς τὸν οὐρανὸν αἴρωμεν (Ἔπαρσις, φησὶ, τῶν χειρῶν μου θυσία ἑσπερινή) ἵνα μετὰ τῶν χειρῶν καὶ τὸν νοῦν ἀναλάβωμεν. ἴστε οἱ μεμυημένοι τί λέγω· τάχα δὲ καὶ ἐπιγνώσεσθε τὸ λεχθὲν, καὶ συνορᾶτε ὅπερ ᾐνιξάμην. ἐπάρωμεν εἰς ὕψος τὴν διάνοιαν. οἶδα πολλοὺς ἄνδρας ἐγὼ, σχεδὸν κρεμαμένους ἀπὸ τῆς γῆς, καὶ πέρα τοῦ μέτρου τὰς χεῖρας ἀνατείνοντας, καὶ ἀθυμοῦντας, ὅτι μὴ δυνατὸν μετεωρισθῆναι, καὶ οὕτως εὐχομένους μετὰ προθυμίας. οὕτως ὑμᾶς εἶναι βουλόμεθα ἀεί. εἰ δὲ μὴ ἀεὶ, κἂν πλεονάκις· εἰ δὲ μὴ πλεονάκις, κἂν ὀλιγάκις, κἂν ἐν ταῖς ἑωθιναῖς, κἂν ἐν ταῖς ἑσπεριναῖς. εἰπὲ γάρ μοι, ἐκτεῖναι τὰς χεῖρας οὐ δύνῃ; ἔκτεινον τὴν προαίρεσιν, ὅσον θέλεις· ταύτην ἔκτεινον κἂν εἰς αὐτὸν τὸν οὐρανόν. κἂν αὐτῆς βουληθῇς τῆς κορυφῆς ἅψασθαι, κἂν ἀνωτέρω ἀνελθὼν ἐμπεριπατῆσαι, ἔξεστί σοι. πάντως γὰρ πτεροῦ καὶ κουφότερος καὶ ὑψηλότερος ὁ ἡμέτερος νοῦς. ὅταν δὲ καὶ τὴν παρὰ τοῦ πνεύματος λάβῃ χάριν, βαβαί, πῶς ἐστι ταχύς; πῶς ὀξύς; πῶς πάντα περιοπτεῖ; πῶς οὐ καταφέρεται, οὐδὲ καταπίπτει πρὸς τὸ ἔδαφος; ταῦτα κατασκευάσωμεν ἡμῖν τὰ πτερά· διὰ τούτων καὶ τὸ πέλαγος διαπλεῦσαι δυνησόμεθα τοῦ κλύδωνος τοῦ παρόντος βίου. τὰ ὀξύτατα τῶν ὀρνίθων, καὶ ὄρη καὶ νάπας, καὶ πελάγη καὶ σκοπέλους ἐν βραχείᾳ καιροῦ ῥοπῇ διΐπταται ἀσινῆ. τοιοῦτός ἐστι καὶ ὁ νοῦς, ὅταν πτερωθῇ, ὅταν τῶν βιωτικῶν ἀποστῇ, οὐδὲν αὐτοῦ ἐπιλαβέσθαι δύναται, πάντων ἐστὶν ἀνώτερος, καὶ τῶν βελῶν τῶν πεπυρωμένων τοῦ διαβόλου. οὐκ ἔστιν οὕτως εὔστοχος ὁ διάβολος, ὡς δυνηθῆναι τοῦ ὕψους ἐφικέσθαι· ἀλλὰ τί; ἀφίησι μὲν τὰ βέλη· ἀναίσχυντος γάρ ἐστιν· οὐκ ἐπιτυγχάνει δέ· ἀλλ' ὑποστρέφει πρὸς αὐτὸν κενὸν τὸ βέλος, καὶ οὐ μόνον κενὸν, ἀλλὰ καὶ εἰς τὴν αὐτοῦ κεφαλήν. δεῖ γὰρ πάντως πλῆξαι τὸ παρ' αὐτοῦ πεμπόμενον. ὥσπερ οὖν τὸ παρὰ ἀνθρώπων βληθὲν, ἢ τὸ καθ' οὗ πέμπεται, βάλλει, ἢ ὄρνεον, ἢ τοῖχον, ἢ ἱμάτιον, ἢ ξύλον, ἢ αὐτὸν τὸν ἀέρα διατέμνει· οὕτω καὶ τὸ τοῦ διαβόλου βέλος δεῖ μὲν πλῆξαι πάντως, ἂν δὲ τὸν βαλλόμενον μὴ πλήξῃ, πάντως τὸν πέμποντα ἔπληξε. καὶ ἔστι πολλαχόθεν τοῦτο μαθεῖν, ὅτι ὅταν ἡμεῖς μὴ πληγῶμεν, πάντως ἐκεῖνος πλήττεται. οἷόν τι λέγω, ἐπεβούλευσε τῷ Ἰὼβ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. ἐπεβούλευσε τῷ Παύλῳ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. καὶ πανταχοῦ τοῦτο ἔστιν, ἐὰν νήφωμεν, ἰδεῖν γινόμενον. καὶ ὅταν μὲν γὰρ πλήξῃ, πλήττεται· πολλῷ δὲ πλέον, ὅτι κατ' ἐκείνου τοῖς ξίφεσι, καὶ τῷ θυρεῷ τῆς πίστεως καθοπλίσαντες καὶ τειχίσαντες ἑαυτοὺς, ἐν ἀσφαλείᾳ διατηρούμεθα, ὥστε ἀνάλωτοι γίνεσθαι. βέλος δέ ἐστι τοῦ διαβόλου, ἐπιθυμία πονηρά. ὀργὴ μάλιστα πῦρ ἐστι. φλόξ ἐστι, συναρπάζει, ἀναιρεῖ, κατακαίει. ἀλλ' ἡμεῖς τῇ μακροθυμίᾳ τῇ ἀνοχῇ αὐτὴν σβέσωμεν. καθάπερ γὰρ πεπυρωμένος σίδηρος εἰς ὕδωρ βαφεὶς, τὸ πῦρ ἀπόλλυσιν· οὕτως ὀργὴ εἰς τὸν μακρόθυμον ἐμπεσοῦσα, οὐδὲν τὸν μακρόθυμον ἔβλαψεν, ἀλλὰ μᾶλλον ὠφέλησε, καὶ αὐτὸς διεκεντήθη πλέον. οὐδὲν γὰρ μακροθυμίας ἴσον. οὐδέποτε ὑβρίζεται ὁ τοιοῦτος· ἀλλ' ὥσπερ τὰ ἀδαμάντινα σώματα οὐ πλήττεται, οὕτως οὐδὲ αἱ τοιαῦται ψυχαί. ἀνώτεραι γὰρ τῶν βελῶν εἰσιν. ὑψηλός ἐστι, καὶ οὕτως ὑψηλὸς ὁ μακρόθυμος, ὡς μὴ δέχεσθαι πληγὴν ἀπὸ τῆς βολῆς. ὅταν ἀγριαίνῃ, σὺ γέλα· γέλα δὲ μὴ φανερῶς, ὥστε μὴ παροξῦναι· ἀλλὰ γέλα κατὰ ψυχὴν, αὐτὸν ἐλεῶν. καὶ γὰρ ἐπὶ τῶν παίδων, ὅταν πλήττωσιν ἡμᾶς μετὰ θυμοῦ, ὡς δὴ ἀμυνόμενοι, γελῶμεν. ἂν τοίνυν γελάσῃς, τοσοῦτον ἔσται σοι κἀκείνῳ τὸ μέσον, ὅσον παιδὸς καὶ ἀνδρός· ἂν δὲ ἀγριαίνῃς, γέγονας παῖς. παίδων γὰρ ἀνοητότεροι οἱ ὀργιζόμενοι. εἰπὲ δή μοι, ἂν ἀπίδῃ τις πρὸς παῖδα ἀγριαίνοντα, οὐχὶ καταγελᾷ; τοῦτο καὶ ἐπὶ τῶν ὀργιζομένων συμβαῖνον ἔστιν ἰδεῖν. οἱ τοιοῦτοι καὶ ὀλιγόψυχοι· εἰ δὲ ὀλιγόψυχοι, καὶ ἄφρονες. Ὁ δὲ ὀλιγόψυχος, φησὶν, ἰσχυρῶς ἄφρων. [ὁ τοίνυν ἄφρων, νήπιός ἐστι.] καὶ ὁ μακρόθυμος, φησὶ, πολὺς ἐν φρονήσει. Ταύτην τοίνυν τὴν μακροθυμίαν μεταδιώκωμεν, ὅθεν πολλὴ τοῖς κατορθοῦσι σύνεσις περιγίνεται· ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλ. ρμ. β.

Παροιμ. ιδ. κα.

Λογ. κγ. 7 ΠΙΣΤΕΙ ΧΡΗΜΑΤΙΣΘΕΙΣ ΝΩΕ ΠΕΡΙ ΤΩΝ μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

Λουκ. ιζ. κς. Πίστει, φησὶ, χρηματισθεὶς Νῶε.] καθάπερ ὁ υἱὸς τοῦ Θεοῦ περὶ τῆς ἑαυτοῦ παρουσίας διαλεγόμενος ἔλεγεν, Ἐν ταῖς ἡμέραις τοῦ Νῶε ἐγάμουν καὶ ἐγαμίσκοντο· οὕτω καὶ ἐστὶ φησιν. Εἰκότως δὲ αὐτῆς οἰκείας εἰκόνος ἀνέμνησε. τὸ μὲν γὰρ ὑπόδειγμα τοῦ Ἐνὼχ, πίστεως ἦν ὑπόδειγμα μόνον· τὸ δὲ τοῦ Νῶε καὶ ἀπιστίας. αὕτη δὲ ἐστὶν ἀπηρτισμένη παράκλησις καὶ παρατροπὴ, ὅταν μὴ μόνον οἱ πιστεύσαντες εὑρίσκωνται εὐδοκιμοῦντες, ἀλλὰ καὶ οἱ ἀπιστοῦντες τἀναντία πάσχοντες. τί γάρ φησι; πίστει χρηματισθεὶς Νῶε. τί ἐστι τοῦτο; προελέχθη ἦν αὐτῷ, φησί. χρηματισμὸν δὲ τὴν

Λουκ. β. κς. Ῥωμ. ια. δ. προφητείαν καλεῖ. καὶ γὰρ ἀλλαχοῦ οὕτως εἶπε· Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος. καὶ πάλιν, Καὶ τί λέγει ὁ χρηματισμός; ὁρᾷς τοῦ πνεύματος τὸ ἰσότιμον; ὥσπερ γὰρ ὁ Θεὸς χρηματίζει, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον. τίνος δὲ ἕνεκεν οὕτως εἶπεν; ἵνα δείξῃ ὅτι ὁ χρηματισμὸς προφητεία ἐστί. περὶ τῶν μηδέπω βλεπομένων φησί· τουτέστι, τοῦ ὑετοῦ. εὐλαβηθεὶς κατεσκεύασε κιβωτόν. ὁ μὲν λογισμὸς οὐδὲν τοιοῦτον ὑπέβαλλεν. ἐγάμουν γὰρ, καὶ ἐγαμίσκοντο, ἀὴρ ἦν καθαρὸς, σημεῖα οὐκ ἦν· ἀλλ' ὅμως ἐφοβήθη ἐκεῖνος. διὰ καὶ οὕτως εἶπε· πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ. πῶς, δι' ἧς κατέκρινε τὸν κόσμον; ἔδειξεν αὐτοὺς ἀξίους ὄντας κολάσεως, οἵγε οὐδὲ διὰ τῆς κατασκευῆς ἐσωφρονίζοντο. καὶ τῆς κατὰ πίστιν, φησὶ, δικαιοσύνης ἐγένετο κληρονόμος· τουτέστιν, ἀπὸ τούτου δίκαιος ἐφάνη, ἀπὸ τοῦ πιστεῦσαι τῷ Θεῷ. τοῦτο γὰρ ψυχῆς ἐστι γνησίως πρὸς αὐτὸν διακειμένης, καὶ μηδὲν πιστότερον τῶν αὐτοῦ ῥημάτων εἶναι κρινούσης· ὥσπερ οὖν ἡ ἀπιστία τοὐναντίον. ἡ δὲ πίστις εὔδηλον ὅτι δικαιοσύνην ἐργάζεται. ὥσπερ ἡμεῖς ἐχρηματίσθημεν περὶ γεέννης, οὕτω κἀκεῖνος. καίτοιγε ἐγελᾶτο τότε, καὶ ὠνειδίζετο καὶ ἐχλευάζετο· ἀλλ' ὅμως πρὸς οὐδὲν τούτων εἶδε.

8 Πίστει καλούμενος Ἀβραὰμ, ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν· καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται.

9 Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Τίνα γὰρ εἶδεν, ἵνα ζηλώσῃ, εἰπέ μοι; πατέρα ἕλληνα εἶχε, καὶ εἰδωλολάτρην, προφητῶν οὐκ ἤκουσεν, οὐδὲ ᾔδει ποῦ ἤρχετο. ἐπειδὴ γὰρ εἰς τούτους ἑώρων οἱ ἐξ Ἑβραίων πεπιστευκότες, ὡς μηδὲν ἀπολαύσαντας ἀγαθῶν, δείκνυσιν ὅτι οὐδεὶς οὐδέπω οὐδὲν ἐκομίσατο, ἀλλὰ καὶ πρὸ τούτων εἰσὶν ἀγέραστοι, καὶ ὅτι οὐδεὶς οὐδέπω ἐδέξατο τὰς ἀμοιβάς. τῆς πατρίδος ἐκεῖνος καὶ τῆς οἰκίας ἐξέπεσε, καὶ ἐξῆλθεν οὐκ εἰδὼς ποῦ ἔρχεται. καὶ τί θαυμαστὸν, εἰ αὐτὸς, ὅπουγε καὶ τὸ

Γεν. ιβ. ζ. σπέρμα αὐτοῦ οὕτω κατῴκησεν; ὁρῶν γοῦν ἐλεγχομένην τὴν ἐπαγγελίαν, οὐ κατενάρκησεν. εἶπε γὰρ, Σοὶ δώσω τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου. εἶδε τὸν υἱὸν ἐκεῖ κατοικοῦντα· καὶ ὁ ἔκγονος πάλιν εἶδεν ἑαυτὸν ἐν ἀλλοτρίᾳ κατοικοῦντα, καὶ οὐδὲν ἐθορυβήθη. τὸ μὲν γὰρ τοῦ Ἀβραὰμ εἰκότως ἐγίνετο, ἅτε μετὰ ταῦτα μελλούσης τῆς ἐπαγγελίας εἰς ἔργον ἐκβαίνεσθαι εἰς τὸ γένος αὐτοῦ. καίτοιγε καὶ πρὸς αὐτὸν εἴρητο, ὅτι σοὶ καὶ τῷ σπέρματί σου. οὐ, διὰ τοῦ σπέρματός σου σοὶ, ἀλλὰ, σοὶ καὶ τῷ σπέρματί σου. καὶ οὔτε αὐτὸς, οὔτε ὁ Ἰσαὰκ, οὔτε ὁ Ἰακὼβ ἀπήλαυσαν τῆς ὑποσχέσεως. ὁ μὲν γὰρ μισθῷ ἐδούλευσεν, ὁ δὲ ἐξηλαύνετο ἐκ

καὶ ἐξέπιπτε δεδοικώς. καὶ τὰ μὲν εἶλε πολέμῳ· τὰ δὲ, εἰ μὴ τῆς τοῦ Θεοῦ ῥοπῆς ἔτυχεν, ἀπώλετο ἄν. διὰ τοῦτό φησιν, [ὅτι] μετὰ τῶν κληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. * οὐχὶ αὐτὸς μόνος, φησὶν, ἀλλὰ καὶ οἱ κληρονόμοι. εἶτα καὶ ἑτέρα τινὰ τῶν εἰρημένων πρότερον ἐπήγαγε λέγων,

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας.

Δύο ἐνταῦθα ζητῆσαι ἄξιον, πῶς εἰπὼν ὅτι μετετέθη ὁ Ἐνὼχ, τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, λέγει, κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες· καὶ πάλιν εἰπὼν, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, τὸν Νῶε δείκνυσιν εἰληφέναι μισθὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, καὶ τὸν Ἐνὼχ μετατεθεῖσθαι, καὶ τὸν Ἄβελ ἔτι λαλεῖν, καὶ τὸν Ἀβραὰμ ἐπειλῆφθαι τῆς γῆς, καί φησι, κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας. τί οὖν ἐστιν ὃ λέγει; ἀναγκαῖον δὲ πρότερον λῦσαι, εἶτα τὸ δεύτερον. κατὰ πίστιν ἀπέθανον, φησὶν, οὗτοι πάντες. τὸ, πάντες, ἐνταῦθα εἶπεν, οὐκ ἐπειδὴ πάντες ἀπέθανον, ἀλλ' ἐπειδὴ, ἐξηριθμημένου ἐκείνου, ἀπέθανον οὗτοι πάντες, οὓς ἴσμεν τεθνηκότας. τὸ δὲ, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀληθὲς τυγχάνει. οὐ γὰρ δὴ τοῦτο ἔμελλεν εἶναι ἡ ἐπαγγελία τῷ Νῶε. ποίας δὲ καὶ ἐπαγγελίας φησίν; οἱ μὲν γὰρ Ἰσαὰκ καὶ Ἰακὼβ ἔλαβον τὰς ἐπαγγελίας τῆς γῆς· οἱ δὲ περὶ Νῶε καὶ Ἄβελ καὶ Ἐνὼχ ποίας ἐπαγγελίας ἔλαβον; ἢ τοίνυν περὶ τῶν τελείων φησὶ τούτων· ἢ εἰ καὶ περὶ ἐκείνων, οὐ τοῦτο ἦν ἡ ἐπαγγελία, τὸ θαυμασθῆναι τὸν Ἄβελ, οὐδὲ τὸ μετατεθῆναι τὸν Ἐνὼχ, οὐδὲ τὸ διασωθῆναι τὸν Νῶε, ἀλλὰ καὶ ταῦτα μὲν αὐτοῖς διὰ τὴν ἀρετὴν ἐγένετο, γνωρίσματα δέ τινα ἦν τῶν μελλόντων. ὁ γὰρ Θεὸς ἀπ' ἀρχῆς εἰδὼς τὸ γένος τὸ ἀνθρώπινον πολλῆς δεόμενον συγκαταβάσεως, οὐ μόνον τὰ ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ τὰ ἐνταῦθα ἡμῖν χαρίζεται. ὥσπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστὸς, Ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται, Μαρκ. ι. γ. καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ πάλιν, Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα Ματθ. ς. λ'. προστεθήσεται ὑμῖν. ὁρᾷς καὶ ἐν παραθήκης μέρει ταῦτα παρ' αὐτοῦ διδόμενα, ὥστε μὴ ἀποκάμῃς; καθάπερ γὰρ οἱ ἀθληταὶ ἀπολαύουσι μὲν θεραπείας καὶ ὅταν ἀγωνίζωνται, πλὴν ἀλλ' οὐ πάσης τότε τῆς ἀνέσεως ἀπολαύουσιν, ὑπὸ νόμοις ζῶντες, ἀλλὰ πάσης μετὰ ταῦτα ἀπολαύουσιν· οὕτω καὶ ὁ Θεὸς οὐ πάσης ἐνταῦθα δίδωσι μεταλαβεῖν τῆς ἀνέσεως. δίδωσι μὲν γὰρ καὶ ἐνταῦθα· πλὴν ὅμως τὴν πᾶσαν ἐν τῷ μέλλοντι ἐπαγγέλλεται. καὶ ὅτι τοῦτό ἐστιν, ἐδήλωσεν αὐτὸ καὶ διὰ τῆς ἐπαγωγῆς, εἰπὼν, Ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. Ἐνταῦθά τι μυστικὸν αἰνίττεται. δείκνυσι γὰρ ὅτι προέλαβον πάντα τὰ περὶ τῶν μελλόντων εἰρημένα, τὰ περὶ ἀναστάσεως, τὰ περὶ βασιλείας οὐρανῶν, τὰ περὶ τῶν ἄλλων, ὧν ἐλθὼν ὁ Χριστὸς ἐκήρυσσε. τὰς γὰρ ἐπαγγελίας ταύτας φησίν. ἢ τοῦτο οὖν φησιν, ἢ ὅτι οὐκ ἔλαβον μὲν αὐτὰς, θαῤῥήσαντες δὲ ὑπὲρ αὐτῶν ἀπῆλθον. ἐθάῤῥησαν δὲ τῇ πίστει μόνῃ. πόῤῥωθεν δὲ αὐτὰς ἰδόντες εἶπε, δηλῶν ὅτι πρὸ τεσσάρων γενεῶν. μετὰ γὰρ τοσαύτας ἦλθον ἐξ Αἰγύπτου. καὶ ἀσπασάμενοι, φησὶ, καὶ πεισθέντες. οὕτω πεπληροφορημένοι ἦσαν περὶ αὐτῶν, ὡς καὶ ἀσπάζεσθαι αὐτάς. ἀπὸ μεταφορᾶς εἶπε τῶν πλεόντων καὶ πόῤῥωθεν ὁρώντων τὰς πόλεις τὰς ποθουμένας, ἃς πρὶν ἢ εἰσελθεῖν εἰς αὐτὰς τῇ προσρήσει λαβόντες αὐτὰς οἰκειοῦνται.

10 Ἐξεδέχοντο γὰρ, φησὶ, τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

Ὁρᾷς ὅτι τὸ ἔλαβον τὸ ἤδη δέξασθαι [ἐστὶ] καὶ θαῤῥῆσαι ὑπὲρ αὐτῶν; εἰ τοίνυν τὸ θαῤῥῆσαι λαβεῖν ἐστιν, ἔνεστι καὶ ὑμῖν λαβεῖν. οὗτοι γὰρ εἰ καὶ μὴ ἀπήλαυσαν τούτων, ἀλλ' ὅμως τῷ πόθῳ ἐθεώρησαν αὐτάς. τί δὴ ταῦτά φησιν; ἵνα ἡμᾶς αἰσχύνῃ δεικνὺς, ὅτι ἐκεῖνοι μὲν, καὶ ἐπαγγελλομένου αὐτοῖς τὴν ἐν τῇ γῇ, οὐ προσεῖχον, ἀλλὰ τὴν μέλλουσαν πόλιν ἐζήτουν· ἡμῖν δὲ ἄνω καὶ κάτω ὁ Θεὸς περὶ τῆς ἄνω διαλέγεται πόλεως, καὶ τὴν ἐνταῦθα ζητοῦμεν.

μένην. Εἶπεν αὐτοῖς ὅτι δώσω ὑμῖν τὰ ἐν τῷ παρόντι. ἐπεὶ δὲ εἶδε, μᾶλλον δὲ ἐπειδὴ ἔδειξεν αὐτοὺς μειζόνων ὄντας ἀξίους, τότε οὐκέτι αὐτοὺς ἀφίησι ταῦτα λαβεῖν, ἀλλ' ἐκεῖνα τὰ μείζονα, βουλόμενος ἡμῖν δεῖξαι ὅτι μειζόνων ἄξιοί εἰσι, μὴ θελήσαντες προσδιατρῖψαι τούτοις. ὡς ἄν τις * συνετῷ ἐπαγγέλλοιτο παιδικὰ, οὐχ ἵνα λάβῃ, ἀλλ' ἐπιδεικνύμενος αὐτοῦ τὴν φιλοσοφίαν, αἰτοῦντος ἐκείνου τὰ μείζονα. τοῦτο γάρ ἐστι δεικνύντος, ὅτι μετὰ τοσαύτης σπουδῆς ἀπείχοντο τῆς γῆς, ὅτι οὐδὲ διδόμενα ἐλάμβανον. τοιγαροῦν διὰ τοῦτο οἱ [illegible] λαμβάνουσιν. αὐτοὶ γὰρ ἦσαν τῆς γῆς ἄξιοι. τί ἐστι, τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν; ἐκεῖναι γὰρ οὐκ εἰσὶ θεμέλιοι; πρὸς σύγκρισιν ἐκείνων οὐκ εἰσίν. ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. βαβαὶ, οἷον τὸ ἐγκώμιον τῆς πόλεως ἐκείνης;

11 Πίστει καὶ αὐτὴ Σάρρα. Ἐντρεπτικῶς ἐνταῦθα ἤρξατο, εἴγε γυναικὸς ὀλιγοψυχότεροι φανεῖεν. ἀλλ' εἴποι ἄν τις, πῶς πιστὴ ἡ γελάσασα; ὁ μὲν οὖν γέλως, ἐξ ἀπιστίας· ὁ δὲ φόβος, ἀπὸ πίστεως. τὸ γὰρ εἰπεῖν, Οὐκ ἐγέλασα, ἀπὸ πίστεως γέγονε. τοιγαροῦν διὰ τοῦτο, κενωθείσης τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις.

Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε. Τί ἐστιν εἰς καταβολὴν σπέρματος; εἰς τὸ κατασχεῖν τὸ σπέρμα, εἰς ὑποδοχὴν δύναμιν ἔλαβεν ἡ νενεκρωμένη, ἡ στεῖρα. διπλῆ γὰρ ἦν ἡ πήρωσις· ἡ μὲν ἀπὸ τοῦ χρόνου (γεγηρακυῖα γὰρ ἦν ὄντως) ἡ δὲ ἀπὸ τῆς φύσεως. στεῖρα γὰρ ἦν.

12 Ὅθεν καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες, καὶ ταῦτα νενεκρωμένου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

[Ὅθεν, φησὶ, καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες.] οὐ τοῦτο μόνον ἐνταῦθα λέγει, ὅτι ἐγέννησεν, ἀλλ' ὅτι καὶ τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ αἱ εὔφοροι γαστέρες. ὡς τὰ ἄστρα, φησί. πῶς οὖν αὐτοὺς ἀριθμεῖ πολλάκις, καίτοιγε εἰπὼν, Ὥσπερ οὐκ ἐξαριθμηθήσεται τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως οὐδὲ τὸ σπέρμα ὑμῶν; ἤτοι καθ' ὑπερβολήν ἐστι τοῦτο, ἢ διὰ τοὺς ἀεὶ ἐπιγινομένους οὕτως εἶπε. μιᾶς μὲν γὰρ οἰκίας δυνατὸν τοὺς προγόνους ἀριθμῆσαι, οἷον, ὁ δεῖνα τοῦ δεῖνος, καὶ ὁ δεῖνα τοῦ δεῖνος· ἐνταῦθα δὲ, ὧν τὸ γένος τῷ πλήθει τῶν ἄστρων παρεικάζεται, οὐκ ἔστι. τοιαῦται αἱ ἐπαγγελίαι τοῦ Θεοῦ, οὕτως εὐμήχανοι αὐτοῦ αἱ ὑποσχέσεις. εἰ δὲ ἅπερ ἐν προσθήκης μέρει παρέχει, οὕτω θαυμαστὰ, οὕτω παράδοξα, οὕτω μεγαλόδωρα, τίνα ἔσται ἐκεῖνα, ὧν ταῦτα προσθήκη, ὧν ἐκ περιουσίας ταῦτα;

ΗΘΙΚΟΝ

Τί τοίνυν τῶν ἐπιτυγχανόντων μακαριώτερον; τί τῶν ἀποτυγχανόντων ἀθλιώτερον; εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος, ὑπὸ πάντων ἐλεεῖται, καὶ κληρονομίας ἀπολέσας δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι· ὁ τοῦ οὐρανοῦ ἐκπίπτων, καὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δάκρυσι δακρύεσθαι; μᾶλλον δὲ οὐδὲ δακρύεσθαι. δακρύεται γάρ τις ὅταν τι πάθῃ, ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιπείρῃ τῇ κακίᾳ, οὐδὲ δακρύων, ἀλλὰ θρήνων ἐστὶν ἄξιος, μᾶλλον δὲ καὶ τότε πένθους. ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Ἱερουσαλὴμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδάκρυσεν. ὄντως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν, μυρίων θρήνων. ἐὰν πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνὴν, καὶ λίθοι καὶ ξύλα καὶ δένδρα καὶ θηρία καὶ ὄρνιθες καὶ ἰχθύες, καὶ ἁπλῶς πᾶσα ἡ οἰκουμένη ἐὰν λαβοῦσα φωνὴν [ἡμᾶς] ὀδύρηται τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ' ἀξίαν ὀδύρεται, οὐδὲ θρηνήσει. ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς ἐκείνην τὴν μακαριότητα [καὶ τὴν ἀρετὴν ἐκείνην], τὴν ἡδονὴν, τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα, ἃ ὀφθαλμός, φησιν, οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν; οὐκ εἶπεν ὅτι ὑπερβαίνει ἁπλῶς, ἀλλ' οὐδὲ ἐνενόησέ ποτέ τις, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὧν γὰρ ἐπι-

μαςῆς

Margin notes: χ. ἐλέγξει αὐτούς · * παιδία · χ. πίστει · Γεν. ιη. ιβ. · χ. ἀριθμῆσαι · χ. μεγαλόδωρα · χ. εἴποι · χ. ἀνθρώπω · α. Κορ. β. θ. · * φρον.

μαστὴς καὶ περισπουδαστὴς ὁ Θεὸς ἀγαθῶν, ποῖα εἰκὸς εἶναι ταῦτα; Εἰ γὰρ ποιήσας ἡμᾶς, οὐδενὸς, οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου, τοσαῦτα ἐχαρίσατο, παράδεισον, ὁμιλίαν τὴν μετ' αὐτοῦ, ἀθανασίαν ὑπέσχετο, βίον ἀγγελικὸν, καὶ φροντίδων ἀπηλλαγμένον· τοῖς τοσαῦτα πεποιηκόσι καὶ ἠθληκόσι, καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι, τί οὐ χαρίσεται; τοῦ μονογενοῦς οὐκ ἐφείσατο δι' ἡμᾶς, τὸν υἱὸν αὐτοῦ τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι' ἡμᾶς. Εἰ δὲ ἐχθροὺς ὄντας τοιούτων κατηξίωσε, τίνος οὐ καταξιώσει φίλους γενομένους; τίνος οὐ μεταδώσει καταλλάξας ἑαυτῷ; καὶ πλούσιος ἐστι σφόδρα, καὶ ἀπείρως ἐπιθυμεῖ καὶ σπουδάζει τῆς ἡμετέρας φιλίας τυχεῖν· ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν ἐκείνου σπουδάζομεν, ἀγαπητοί. τί λέγω, οὐ σπουδάζομεν; οὐ θέλομεν οὕτω τυχεῖν αὐτοῦ τῶν ἀγαθῶν, ὡς αὐτὸς θέλει. καὶ ὅτι πλέον ἐκεῖνος θέλει, δι' οὗ ἐποίησεν, ἔδειξεν. ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου καταφρονοῦμεν χρυσίου· αὐτὸς δὲ ὑπὲρ ἡμῶν καὶ τὸν υἱὸν ἔδωκε τὸν αὐτοῦ. χρησώμεθα εἰς δέον τῇ ἀγάπῃ τοῦ Θεοῦ, ἀγαπητοί, ἀπολαύσωμεν αὐτοῦ τῆς φιλίας. Ὑμεῖς γὰρ φίλοι μου ἐστὲ, φησὶν, ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν. βαβαὶ τοὺς ἐχθροὺς τοὺς ἀπείρως αὐτοῦ διεστηκότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ κατὰ πάντα διενηνόχε, τούτους φίλους ἐποίησε, καὶ καλεῖ φίλους. τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας; ἀλλ' ἡμεῖς ὑπὲρ ἀνθρώπων φιλίας μὲν πολλάκις καὶ κινδυνεύομεν· ὑπὲρ δὲ τῆς τοῦ Θεοῦ οὐδὲ χρήματα προϊέμεθα. πένθους ὄντως ἄξια τὰ ἡμέτερα, πένθους καὶ δακρύων καὶ ὀδυρμῶν καὶ ὀλοφυρμοῦ μεγάλου καὶ κοπετοῦ. τῆς ἐλπίδος ἡμῶν ἐξεπέσαμεν, ἐταπεινώθημεν ἀπὸ τοῦ ὕψους ἡμῶν, ἀνάξιοι τῆς τιμῆς ἐφάνημεν τοῦ Θεοῦ, ἀγνώμονες, καὶ μετὰ τὰς εὐεργεσίας ἐφάνημεν ἀχάριστοι. ἐγύμνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν. οἱ καταξιωθέντες εἶναι υἱοὶ, οἱ ἀδελφοὶ καὶ συγκληρονόμοι, τῶν ἐχθρῶν αὐτοῦ οὐδὲν διενηνόχαμεν τῶν ὑβριζόντων αὐτόν. τίς ἡμῖν ἔσται παραμυθία λοιπόν; αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανὸν, ἡμεῖς δὲ ἑαυτοὺς πρὸς τὴν γέενναν ὠθήσαμεν. ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς. οἱ μὲν αἵματα ἐφ' αἵμασι μιγνύουσιν· οἱ δὲ πράγματα ποιοῦσιν αἱμάτων χείρονα. πολλοὶ τῶν ἀδικουμένων, πολλοὶ τῶν πλεονεκτουμένων, μυρίους εὔχονται θανάτους, ἢ ταῦτα παθεῖν· καὶ εἰ μὴ τὸν τοῦ Θεοῦ φόβον ἐδεδοίκεσαν, καὶ διεχειρίσαντο ἑαυτοὺς, οὕτω φονῶντες καθ' ἑαυτῶν. ταῦτ' οὖν οὐχ αἱμάτων χείρω; Οἴμοι ψυχὴ (ἔλεγεν ἀποδυρόμενος ὁ προφήτης) ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. νῦν δὲ καὶ ἡμεῖς τοῦτο βοήσομεν περὶ ἡμῶν αὐτῶν πρέπον. ἀλλά μοι τῶν θρήνων συλλάβεσθε. τάχα τινὲς καὶ οἰωνίζονται καὶ γελῶσι. πλὴν καὶ διὰ τοῦτο ἐπιτείνει μᾶλλον χρὴ τὸν θρῆνον, ὅτι οὕτω μαινόμεθα καὶ παραπαίομεν, ὅτι οὐδὲ εἰ μαινόμεθα ἴσμεν, ἀλλ' ἐφ' οἷς ἐχρῆν στένειν, γελῶμεν. Ἀποκαλύπτεται, ἄνθρωπε, ὀργὴ ἀπ' οὐρανοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων. Ὁ Θεὸς ἐμφανῶς ἥξει· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ἡ ἡμέρα Κυρίου ὡς κλίβανος καιόμενος, καὶ οὐδεὶς ταῦτα εἰς νοῦν βάλλεται, ἀλλὰ μύθων μᾶλλον καταπεφρόνηται τὰ φρικώδη ταῦτα πράγματα καὶ φοβερὰ, καὶ πεπάτηται. ὁ ἀκούων, οὐδεὶς· οἱ δὲ γελῶντες καὶ χλευάζοντες, πάντες. τίς ἔσται ἡμῖν πόρος; πόθεν σωτηρίαν εὕρωμεν; ἀπολώλαμεν, παραπολώμεθα, γεγόναμεν τῶν ἐχθρῶν ἡμῶν καταγέλως, καὶ χλευασμὸς τῶν Ἑλλήνων καὶ τῶν δαιμόνων. μέγα φρονεῖ νῦν ὁ διάβολος, γαυροῦται καὶ χαίρει. ἐν αἰσχύνῃ οἱ πιστεύσαντες ἡμᾶς ἄγγελοι πάντες, ἐν κατηφείᾳ. οὐδεὶς ὁ ἐπιστρέφων· εἰκῆ πάντα ἡμῖν ἀνάλωται, καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν ληρεῖν. εὔκαιρον καὶ νῦν καλέσαι τὸν οὐρανὸν, ὅτι οὐδεὶς ὁ ἀκούων· διαμαρτύρεσθαι τὰ στοιχεῖα· Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε. δότε χεῖρα, ὀρέξατε οἱ μηδέπω καταβαπτισθέντες, τοῖς ὑπὸ τῆς μέθης ἀπολωλόσιν· οἱ ὑγιαίνοντες, τοῖς κάμνουσιν, οἱ νήφοντες, τοῖς μαινομένοις, οἱ ἑδραῖοι τοῖς περιφερομένοις. μηδεὶς, παρακαλῶ, χωρὶς τῆς σωτηρίας τοῦ φίλου περιπατείτω,

Margin notes: χ. πεπονηκόσι — χ. -λει, δι' ἐπ- — Ἰωαν. ιε. ιδ. — χ. αὐτῷ — χ. γεγόναμεν ἀχάριστοι. — Μιχ. ζ. β. — Ρωμ. α. ιη. — Ψαλ. ϟς. γ. — χ. μᾶλλον κα- — Μαλαχ. δ. α. — χ. δόγματα — χ. πολλοί. — χ. γαυριᾷ — Ἡσ. α. β.

καὶ

καὶ αἱ ὕβρεις, καὶ ἡ ἐπιτίμησις εἰσὶν ὁρατὰ μόνον, αὐτὴν τὴν ὠφέλειαν. ὅταν πυρετὸς καταλάβῃ, καὶ δοῦλοι κρατῶσι δεσποτῶν. ὅταν μὲν γὰρ ἐχθρὸς μὴ ἐπικείμενος τὴν ψυχὴν συγχέῃ, ἀνδραπόδων δὲ ἐσμὸς παρασύρῃ, οὐδεὶς ἐπιγινώσκει τὸν νόμον τὸν δεσποτικὸν ἐν τῇ βλάβῃ τοῦ δεσπότου. συστρέψωμεν ἑαυτούς, παρακαλῶ· πόλεμοι καθήμενοι, καταποντισμοί, ἀπώλειαι μυρίαι κύκλῳ, καὶ πάντοθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἡμᾶς περιστοιχίζεται. ἡμεῖς δὲ ὡς εὐαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀδείᾳ. πάντες τὰς χεῖρας εἰς πλεονεξίαν ἐκτείνομεν, οὐδεὶς εἰς βοήθειαν· πάντες εἰς ἁρπαγήν, οὐδεὶς εἰς προστασίαν. ἕκαστος πῶς πλείονα τὰ ὄντα ποιήσει ἐσπούδακεν, οὐδεὶς πῶς βοηθήσει τοῖς δεομένοις· ἕκαστος πῶς προσθῇ τοῖς χρήμασι, πολλὴν ἔχει τὴν μέριμναν, οὐδεὶς ὅπως τὴν ψυχὴν τὴν ἑαυτοῦ διασώσῃ. φόβος εἷς ἔχει πάντας, μὴ πενιχροί, φησί, γενώμεθα· μὴ εἰς πενίαν δὲ ἐμπέσωμεν, οὐδεὶς ἀγωνιᾷ καὶ τρέμει. ταῦτα θρηνῶν, ταῦτα κατηγορῶν, πάντα διαβολῆς ἄξια. [ἀλλ'] οὐ ταῦτα ἐβουλόμην λέγειν, ἀλλ' ὑπὸ τῆς ὀδύνης βιάζομαι. σύγγνωτε· ὑπὸ τοῦ πένθους ἀναγκάζομαι πολλὰ καὶ ὧν οὐ βούλομαι, φθέγξασθαι. χαλεπὴν ὁρῶ τὴν πληγήν, ἀπαραμύθητον τὴν συμφοράν, παρακλήσεως μείζονα τὰ καταλαβόντα ἡμᾶς δεινά· ἀπολώλαμεν.

Ἱερ. θ. α. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, ἵνα θρηνήσω; κλαύσωμεν, ἀγαπητοί, κλαύσωμεν, στενάξωμεν. τάχα τινὲς εἰσὶν ἐνταῦθα λέγοντες, πάντα θρήνους ἡμῖν λέγει, πάντα δάκρυα. οὐκ ἐβουλόμην, πιστεύσατε, οὐκ ἐβουλόμην, ἀλλ' ἐγκώμια καὶ ἐπαίνους διεξιέναι. νυνὶ δὲ τούτων ὁ καιρός. οὐ τὸ θρηνεῖν, ἀγαπητοί, χαλεπόν, ἀλλὰ τὸ θρήνων ἄξια ποιεῖν. οὐ τὸ ὀδύρεσθαι, ἀποτρόπαιον, ἀλλὰ τὸ τὰ ὀδυρμῶν ἄξια πράττειν. μὴ κολασθῇς, καὶ οὐ πενθῶ· μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω. ἀλλ' ἐὰν μὲν τὸ σῶμα κέηται νεκρόν, πάντας παρακαλεῖς συναλγεῖν, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ πενθοῦντας· τῆς δὲ ψυχῆς ἀπολλυμένης, λέγεις μὴ πενθεῖν; ἀλλ' οὐ δύναμαι πατὴρ ὢν μὴ

Γαλ. δ. ιθ. δακρύειν. πατήρ εἰμι φιλόστοργος. ἀκούετε οἷα βοᾷ ὁ Παῦλος· Τεκνία μου, οὓς πάλιν ὠδίνω. ποία μήτηρ κύουσα οὕτω πικρὰς ἀφίησι φωνάς, ὡς ἐκεῖνος; εἴθε ἐνῆν τὴν πυρὰν αὐτὴν τῆς διανοίας ἰδεῖν, καὶ εἶδες ἄν, ὅτι πάσης γυναικὸς καὶ κόρης χηρείαν ἄωρον ὑποστάσης πλέον καίομαι. οὐχ οὕτως ἐκείνη τὸν ἄνδρα πενθεῖ τὸν ἑαυτῆς, οὐδὲ μήτηρ υἱόν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ' ἡμῖν. οὐδεμίαν ὁρῶ προκοπήν, πάντα εἰς διαβολὰς καὶ κατηγορίας. οὐδεὶς ἔργον τίθεται ἀρέσκειν Θεῷ· ἀλλὰ τὸν δεῖνα, φησίν, εἴπωμεν κακῶς, καὶ τὸν δεῖνα. ὁ δεῖνα ἀνάξιος τοῦ κλήρου, ὁ δεῖνα ἀσέμνως βιοῖ. ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν κακά, κρίνομεν ἑτέρους, οὐδὲ ὅτε καθαροί ἐσμεν ἁμαρτημάτων ὀφείλοντες τοῦτο ποιεῖν.

α. Κορ. δ. ζ. Τίς γάρ σε διακρίνει, φησί; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου, μυρίων αὐτὸς γέμων κακῶν; ὅταν εἴπῃς, ὁ δεῖνα πονηρός ἐστι καὶ λυμεὼν καὶ μοχθηρός, ἐννόησον σαυτόν, καὶ ἐξέτασον ἀκριβῶς τὰ σαυτοῦ, καὶ μεταμελήσει σοι ἐπὶ τοῖς λεχθεῖσιν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὀρθῆς ἀρετῆς προτροπή τις τοιαύτη, οἵα ἁμαρτημάτων ἀνάμνησις. ἐὰν ταῦτα τὰ δύο στρέφωμεν πρὸς ἑαυτούς, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, δυνησόμεθα καθαίρειν ἑαυτοὺς καὶ ἀποσμήχειν· μόνον λάβωμεν ἔννοιάν ποτε, μεριμνήσωμεν τὸ πρᾶγμα, ἀγαπητοί· ἀλγήσωμεν ἐνταῦθα τῷ λογισμῷ, ἵνα μὴ ἀλγήσωμεν ἐκεῖ τῇ κολάσει, ἀλλ' ἵνα ἀπολαύσωμεν τῶν αἰωνίων ἀγαθῶν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· ἵνα τύχωμεν τῶν ὑπερβαινόντων τὸν ἀνθρώπινον νοῦν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ.

Λογ. κγ. 13 ΚΑΤΑ ΠΙΣΤΙΝ ΑΠΕΘΑΝΟΝ ΟΥΤΟΙ
πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες, καὶ
ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.
14 Οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.
15 Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ᾽ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν
ἀνακάμψαι. 16 Νυνὶ δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου.
Διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

Η Πρώτη ἀρετὴ καὶ ἡ πᾶσα ἀρετή, τὸ ξένον εἶναι τοῦ κόσμου τούτου, καὶ παρεπίδημον, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ ἐνταῦθα πράγματα, ἀλλ᾽ ἀπηρτῆσθαι αὐτῶν, ὥσπερ ξένων. καθάπερ οἱ μακάριοι [μαθηταὶ] ἐκεῖνοι, περὶ ὧν φησι, Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἐκεῖνοι μὲν οὖν ξένους ἔλεγον εἶναι ἑαυτούς· ὁ δὲ Παῦλος καὶ πολλῷ τι πλέον εἶπεν. οὐ γὰρ ξένον ἑαυτὸν ἁπλῶς εἶπεν, ἀλλὰ νεκρὸν εἶπε τῷ κόσμῳ*, καὶ τὸν κόσμον αὐτῷ νεκρόν. Ἐμοὶ γάρ, φησιν, ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἀλλ᾽ ἡμεῖς ὡς καὶ πολῖται, καὶ σφόδρα ζῶντες ὡς πολῖται, οὕτω πάντα ἐνταῦθα πραγματευόμεθα. καὶ ὅπερ* ἦσαν τῷ κόσμῳ οἱ δίκαιοι, ξένοι καὶ νεκροί, τοῦτο ἡμεῖς ἐσμεν τῷ οὐρανῷ· ὅπερ δὲ ἦσαν ἐκεῖνοι τῷ οὐρανῷ, ζῶντες καὶ πολιτευόμενοι, τοῦτο ἡμεῖς ἐσμεν τῷ κόσμῳ. διὰ τοῦτο τεθνήκαμεν, ὅτι τὴν ὄντως ζωὴν ἠρνησάμεθα, καὶ τὴν πρόσκαιρον ταύτην εἱλόμεθα. διὰ τοῦτο παροξύνομεν τὸν Θεόν, ὅτι προκειμένης ἡμῖν τῆς ἐν τοῖς οὐρανοῖς ἀπολαύσεως, οὐδὲ ὕπαρ τὴν ἐπὶ τῆς γῆς ἀποστῆναι βουλόμεθα, ἀλλά, καθάπερ τινὲς σκώληκες, ἀπὸ τῆς γῆς εἰς τὴν γῆν, καὶ πάλιν ἀπὸ ταύτης εἰς ταύτην περιστρεφόμεθα, καὶ ὅλως οὐδὲ μικρὸν ἀνακύψαι βουλόμεθα, οὐδὲ ἀποστῆσαι ἑαυτοὺς τῶν ἀνθρωπίνων πραγμάτων, ἀλλ᾽ ὥσπερ ὑπό τινος κάρου καὶ ὕπνου καὶ μέθης καταβαπτισθέντες, καταπεπλήγμεθα φανταζόμενοι. καὶ καθάπερ οἱ γλυκεῖ κατεχόμενοι ὕπνῳ, οὐ μόνον ἐν νυκτί, ἀλλὰ καὶ αὐτῆς τοῦ ὄρθρου καταλαβόντος, καὶ λαμπρᾶς γενομένης ἡμέρας κεῖνται ἐπὶ κλίνης, καὶ οὐκ αἰσχύνονται τῇ ῥᾳθυμίᾳ χαριζόμενοι, καὶ τὸν καιρὸν τῆς ἐργασίας καὶ τῆς σπουδῆς τοῦτον, καιρὸν ποιούμενοι ὕπνου καὶ ῥᾳθυμίας· οὕτω δὴ καὶ ἡμεῖς, τῆς ἡμέρας ἐγγιζούσης, τῆς νυκτὸς προκοπτούσης, μᾶλλον δὲ τῆς ἡμέρας (Ἐργάζεσθε γάρ, φησιν, ἕως ἐστὶν ἡμέρα) ἡμέρας οὔσης, τὰ τῆς νυκτὸς πράττομεν· ἀπόλλυμεν, καθεύδοντες, ὀνείρατα βλέποντες, φαντασίαις ἐντρυφῶντες. καὶ μεμύκασιν ἡμῶν οἱ τῆς διανοίας ὀφθαλμοί, καὶ οἱ τοῦ σώματος, περιφθεγγόμεθα, παραληρούμεθα· κἂν βαθεῖ ἡμᾶς πλήξῃ τις πληγήν, οὐδὲ αἰσθανόμεθα, κἂν πάντα ἡμῶν διαρπάσῃ τὴν οὐσίαν, κἂν αὐτὴν ἐμπρήσῃ τὴν οἰκίαν. μᾶλλον δὲ οὐδὲ ἀναμενόμεθα ἑτέρους τοῦτο ποιεῖν, ἀλλ᾽ αὐτοὶ τοῦτο πράττομεν· κατοπτεύοντες ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, καὶ πλήττοντες, ἀσχημόνως κείμενοι, καὶ γεγυμνωμένοι πάσης εὐδοξίας, πάσης τιμῆς, καὶ τὰ αἰσχρὰ ἡμῶν ἔργα οὕτω αὐτοὶ συγκαλύπτοντες, οὔτε ἑτέροις ἐπιτρέποντες τοῦτο ποιεῖν, ἀλλ᾽ εἰς μέσον τὴν ἀσχημοσύνην τοῖς ὁρῶσι καὶ παριοῦσι προκείμενοι εἰς γέλωτα, εἰς σκώμματα μυρία. οὐκ οἴδατε καὶ αὐτοὺς τοὺς πονηροὺς καταγελᾶν τῶν ὁμοτρόπων, καὶ καταγινώσκειν αὐτῶν; ἐπειδὴ γὰρ ἡμῖν ἐντέθηκεν ὁ Θεὸς δικαστήριον ἀδέκαστον, οὐδέποτε διαφθειρόμενον, κἂν εἰς αὐτὸ τὸ τῆς κακίας ἔλθωμεν τὸ πυθμένα· τούτου χάριν καὶ αὐτοὶ οἱ πονηροὶ καταδικάζουσιν ἑαυτούς, κἂν αὐτοὺς καλέσῃ τις τοῦτο, ὅπερ εἰσίν, αἰσχύνονται, ὀργίζονται, ὕβριν τὸ πρᾶγμά φασιν. οὕτως

Εβρ. ια. λζ.

Γαλ. ϛ. ιδ.

Ιωαν. θ. δ.

γρ. ξένον

τος εἰ καὶ μὴ δι' ἔργων, ἀλλὰ διὰ λόγων καταδικάζουσιν ἅπερ πράττουσι, διὰ τοῦ συνειδότος, μᾶλλον δὲ, καὶ διὰ τῶν ἔργων. ὅταν γὰρ λανθάνοντες καὶ κρυπτόμενοι πράττωσι, μηδέπω ἐκφέρουσι δεῖγμα γνώμης, ἣν περὶ τοῦ πράγματος ἔχουσιν. οὕτω γὰρ δήλη ἐστὶν ἡ κακία, ὡς πάντας αὐτῆς εἶναι κατηγόρους, καὶ τοὺς μετιόντας αὐτήν. τοσοῦτον δέ ἐστιν ἡ ἀρετὴ, ὡς καὶ παρὰ ἐκείνων θαυμάζεσθαι τῶν μὴ ζηλούντων αὐτήν. καὶ γὰρ ὁ πόρνος ἐπαινέσεται τὴν σωφροσύνην, καὶ ὁ πλεονέκτης καταγνώσεται τῆς ἀδικίας, καὶ ὁ ὀργίλος τὴν ἀνεξικακίαν θαυμάσεται, καὶ τὴν μικροψυχίαν μέμψεται, καὶ τὴν ἀσέλγειαν ὁ ἀσελγής. πῶς οὖν αὐτὰ μέτεισι, φησίν; ἀπὸ ῥαθυμίας πολλῆς, οὐ κρίνας εἶναι καλόν. ἐπεὶ οὐδὲ ἂν ᾐσχύνθη τῷ πράγματι, οὐδ' ἂν ἠρνήσατο κατηγορουμένου ἑτέρου. πολλοὶ δὲ καὶ παραληφθέντες, τὴν αἰσχύνην οὐ φέροντες, καὶ ἀπήγξαντο. τοσαύτη τοῦ καλοῦ καὶ πρέποντος ἔνεστιν ἡμῖν ἡ μαρτυρία. οὕτως ἡλίου λαμπρότερα τὰ καλὰ, καὶ πάντων δυσειδέστερα τὰ ἐναντία. ξένοι καὶ παρεπίδημοι ἦσαν οἱ ἅγιοι. πῶς καὶ τίνι τρόπῳ; ποῦ δὲ ὡμολόγει ὁ Ἀβραὰμ ξένος εἶναι καὶ παρεπίδημος; ἴσως μὲν καὶ αὐτὸς ὡμολόγησεν. ὁ δὲ Δαβὶδ οὖν ὡμολόγησε, πάνυ τί που δῆλον. καὶ ἄκουε

Ψαλ. λη. ιγ. αὐτοῦ λέγοντος, Ὅτι ξένος [εἰμὶ] καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. οἱ γὰρ ἐν σκηναῖς κατοικοῦντες, οἱ ἀργυρίου καὶ τάφους ὠνούμενοι, δῆλον ὅτι ξένοι τινὲς οὕτως ἦσαν, ὥστε μηδὲ ὅπου θάψωσι τοὺς νεκροὺς ἔχειν. τί οὖν; ἆρα τῆς γῆς ἐκείνης μόνον ἔλεγον εἶναι ξένοι τῆς ἐν Παλαιστίνῃ; οὐδαμῶς, ἀλλὰ τῆς οἰκουμένης πάσης. καὶ εἰκότως. οὐδὲν γὰρ ἑώρων ἐν αὐτῇ τούτων, ὧν ἐβούλοντο, ἀλλὰ πάντα ξένα καὶ ἀλλότρια. αὐτοὶ μὲν οὖν τὴν ἀρετὴν ἀσκεῖν ἐβούλοντο. ἐνταῦθα δὲ ἦν ἡ κακία πολλὴ, καὶ ἀπεξένωτο πρὸς αὐτοὺς τὰ πράγματα, οὐδένα φίλον, οὐδένα οἰκεῖον εἶχον, πλὴν ὀλίγων τινῶν. πῶς δὲ ξένοι ἦσαν; οὐκ ἐπιμελούμενοι τῶν ἐνταῦθα. καὶ τοῦτο οὐ διὰ

Γεν. ιβ. α. ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτῶν ἐδείκνυον. πῶς καὶ τίνι τρόπῳ; Εἶπε τῷ Ἀβραὰμ, ἄφες τὴν πατρίδα τὴν δοκοῦσαν, καὶ ἐλθὲ ἐπὶ τὴν ἀλλοτρίαν· καὶ οὐκ ἀντείχετο τῆς οἰκείας, ἀλλ' ὡς ξένην μέλλων ἀφιέναι, οὕτως ἀπραγματεύτως αὐτὴν εἴασεν. Εἶπεν αὐτῷ, ἀνένεγ-

Γεν. κβ. β. κε τὸν υἱόν σου· καὶ ὡς οὐκ ἔχων υἱὸν, [οὕτως αὐτὸν ἀνήνεγκεν,] ὡς οὐκ ἐνδεδυμένος τὴν φύσιν, οὕτως αὐτὸν ἀνήνεγκε. τὰ χρήματα κοινὰ ἐκέκτητο τοῖς παριοῦσιν ἅπασι, καὶ οὐδὲν τὸ πρᾶγμα ἡγεῖτο. τῶν πρωτείων ἑτέροις παρεχώρει, εἰς κινδύνους ἑαυτὸν ἐνέβαλλε, μυρία ἔπασχε δεινὰ, οὐκ οἰκίας ᾠκοδόμει λαμπρὰς, οὐδὲ ἐτρύφα, οὐχ ἱματίων ἐπεμελεῖτο, οὐκ ἄλλου οὐδενὸς, ἃ τῶν ἐνταῦθά ἐστιν· ἀλλὰ * πάντα τὰ τῆς ἐκεῖ πόλεως ἐπολιτεύετο, φιλοξενίαν ἐπεδείκνυτο, φιλαδελφίαν, ἐλεημοσύνην, ἀνεξικακίαν, ὑπεροψίαν χρημάτων, καὶ τῆς παρούσης δόξης, καὶ τῶν ἄλλων ἁπάντων. καὶ ὁ τούτου δὲ παῖς τοιοῦτος ἦν· ἐλαυνόμενος, πολεμούμενος εἶκε καὶ παρεχώρει, ἅτε ἐν ξένῃ ὤν. οἱ γὰρ ξένοι, ὅσα ἂν πάθωσι, φέρουσιν, ἅτε οὐκ ὄντες ἐν πατρίδι. καὶ τῆς γυναικὸς ἀφαιρούμενος, καὶ τοῦτο ἔφερεν, ἅτε ξένος. τὰ δὲ ἄλλα πάντα ἐπολιτεύετο, σωφροσύνην, κοσμιότητα ἐπιδεικνύμενος πᾶσαν. καὶ γὰρ μετὰ τὸ παιδοποιῆσαι, οὐκέτι ὡμίλησε τῇ γυναικί. καὶ παρελθούσης δὲ τῆς ἀκμῆς τῆς νεότητος, τότε αὐτὴν ἠγάγετο, δεικνὺς ὅτι οὐ πάθους ἕνεκεν τοῦτο ἐποίει, ἀλλὰ ὑπηρετούμενος τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ. τί δὲ ὁ Ἰακώβ; οὐχὶ ἄρτον ἐζήτει μόνον, καὶ ἱμάτιον, ἃ ξένων ἐστὶν ὄντως αἰτήματα τῶν εἰς πενίαν ἐλθόντων πολλήν; οὐχὶ ἐλαυνόμενος ἀνεχώρει, καθάπερ ξένος; οὐχὶ ἐθήτευεν; οὐχὶ μυρία ἔπασχε δεινὰ, περιιὼν πανταχοῦ, καθάπερ ξένος; ταῦτα δὲ πάσχοντες ἔφερον, δεικνύντες ὅτι πατρίδα ἐπιζητοῦσιν ἑτέραν. βαβαὶ, πόση διαφορά; ἐκεῖνοι μὲν ὤδινον καθ' ἑκάστην ἡμέραν, ἀπαλλαγῆναι βουλόμενοι ἐντεῦθεν, καὶ πρὸς τὴν αὐτῶν πατρίδα ἐπανελθεῖν. ἡμεῖς δὲ τοὐναντίον. ἂν γὰρ πυρετὸς ἐμπέσῃ, πάντα ἀφέντες, καθάπερ τὰ παιδία τὰ μικρὰ, τὰ κλαυθμυριζόμενα, τὸν θάνατον δεδοίκαμεν. καὶ εἰκότως τοῦτο πάσχομεν. ἐπεὶ γὰρ οὐχ ὡς ξένοι διάγομεν ἐνταῦθα, οὐδ' ὡς ἐπὶ πατρίδα σπεύδομεν, ἀλλ' ὡς ἐπὶ κόλασιν ἀπιόντες ἐσμὲν, διὰ τοῦτο ἀλγοῦμεν, ὅτι τοῖς

πράγμασι

πράγμασιν οὐκ ἐχρησάμεθα εἰς δέον, ἀλλὰ τὴν τάξιν ἀντιστρέψαντες, διὰ τοῦτο ὀδυρόμεθα ὅτε χαίρειν ἐχρῆν, διὰ τοῦτο φειδόμεθα, καθάπερ τινὲς ἀνδροφόνοι καὶ λῄσταρχοι, μέλλοντες δικαστηρίῳ παρίστασθαι, καὶ πάντα λογιζόμενοι ἅπερ ἔπραξαν, καὶ διὰ τοῦτο δεδοικότες καὶ τρέμοντες. ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι, ἀλλ' ἠπείγοντο· ὁ γοῦν Παῦλος καὶ ἐστέναζε. καὶ ἄκουε αὐτοῦ λέγοντος, Καὶ αὐτοὶ οἱ ἐν τῷ σκήνει ὄντες, στενάζομεν βαρούμενοι. τοιοῦτοι ἦσαν οἱ περὶ τὸν Ἀβραάμ. ξένοι [, φησίν,] ἦσαν τῆς οἰκουμένης ἁπάσης, καὶ πατρίδα ἐζήτουν. ποίαν δὴ ταύτην; ἆρα ἣν εἴασαν; οὐδαμῶς. τί γὰρ ἐκώλυεν αὐτούς, εἴγε ἐβούλοντο, ὑποστρέψαι πάλιν, καὶ γενέσθαι πολίτας; ἀλλ' ἐκείνην ἐζήτουν τὴν ἐν τοῖς οὐρανοῖς. οὕτω περὶ τὴν ἀποδημίαν τὴν ἐντεῦθεν ἐσπούδαζον, καὶ οὕτως ἤρεσκον Θεῷ. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν. βαβαί, ὅσον ἀξίωμα; Θεὸς καλεῖσθαι αὐτῶν κατεδέξατο. τί λέγεις; Θεὸς τῆς γῆς καλεῖται, καὶ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὡς μέγα τι τίθησι τὸ οὐκ ἐπαισχύνεσθαι Θεὸς καλεῖσθαι αὐτῶν; μέγα, καὶ ὄντως μέγα, καὶ πολλῆς μακαριότητος τοῦτο τεκμήριον. πῶς; ὅτι γῆς μὲν καὶ οὐρανοῦ οὕτω καλεῖται Θεός, ὡς καὶ ἑλλήνων· καὶ οὐρανοῦ μὲν καὶ γῆς Θεός, ἢ ἔκτισε καὶ ἐδημιούργησεν αὐτά· τῶν δὲ ἁγίων ἐκείνων, οὐχ οὕτως, ἀλλ' ὡς φίλος τις γνήσιος. ἐπὶ δὲ ὑποδείγματος ὑμῖν [αὐτὸ] ποιήσω φανερόν. οἷον ἐπὶ τῶν ἐν ταῖς μεγάλαις οἰκίαις, ὅταν τινὲς εὐδοκιμῶσι τῶν προεστηκότων τῆς οἰκίας, καὶ σφόδρα εὐδοκιμῶσι, καὶ πάντα αὐτοὶ διέπωσι, καὶ πρὸς τὸν δεσπότην πολλὴν τὴν παρρησίαν ἔχωσιν, ἀπ' αὐτῶν ὁ δεσπότης καλεῖται· καὶ πολλοὺς ἄν τις εὕροι οὕτω καλουμένους. τί δὲ λέγω; ὥσπερ ἂν εἴπῃ, ὁ Θεός, οὐχ ὁ τῶν ἐθνῶν, ἀλλ' ὁ τῆς οἰκουμένης· οὕτως ἂν εἴπῃ ὁ Θεὸς Ἀβραάμ. ἀλλ' οὐκ ἴστε ὅσον ἐστὶ τὸ ἀξίωμα τοῦτο, ἐπεὶ μηδὲ τυγχάνομεν αὐτοῦ. ὥσπερ γάρ τινων ὁ Κύριος τῶν χειρόνων ἁπάντων λέγεται Θεός, καὶ ὅμως ὑπερβαίνει τὸ ὄνομα τὴν ἡμετέραν ἀξίαν· εἰ δὲ ἑνὸς κληθείη Θεός, ἐννόησον ὅσον τὸ μέγεθος. ὁ τῆς οἰκουμένης * Θεός, οὐκ ἐπαισχύνεται τριῶν καλεῖσθαι Θεός· εἰκότως. οὐ γὰρ τῆς οἰκουμένης, ἀλλὰ μυρίων τοιούτων εἰσὶν ἀντίρροποι οἱ ἅγιοι. Κρείττων γὰρ εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. ὅτι δὲ οὕτως ἑαυτοὺς ξένους ἐκάλουν, δῆλον. ἔστω δὲ οὗτοι διὰ τὴν ξένην ἔλεγον εἶναι ξένοι· τί δαὶ καὶ ὁ Δαβίδ; οὐχὶ βασιλεὺς ἦν; οὐχὶ προφήτης; οὐχὶ ἐν τῇ οἰκείᾳ πατρίδι διετέλει; πῶς οὖν ἔλεγεν φησί, Ξένος καὶ παρεπίδημός εἰμι; πῶς εἶ ξένος; Καθώς, φησί, πάντες οἱ πατέρες μου. ὁρᾷς ὅτι κἀκεῖνοι ξένοι ἦσαν; ἔχομεν πατρίδα, φησίν, ἀλλ' οὐ τὴν ὄντως πατρίδα. πῶς δὲ σὺ ξένος; τῆς γῆς. οὐκοῦν κἀκεῖνοι τῆς γῆς. καθὼς γὰρ ἐκεῖνοι, οὕτω καὶ οὗτος· καὶ καθὼς οὗτος, οὕτω κἀκεῖνοι.

ΗΘΙΚΟΝ

Γενώμεθα τοίνυν ξένοι κἂν νῦν καὶ ἡμεῖς, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι ἡμῶν. αἰσχύνη γὰρ αὐτῷ, ὅταν ἀνδρῶν πονηρῶν καλῆται Θεός, καὶ ἐπαισχύνεται αὐτούς· καὶ αὐτοὺς ὥσπερ δοξάζεται, ὅταν ἀγαθῶν ᾖ, καὶ χρηστῶν, καὶ ἀσκούντων ἀρετήν. εἰ γὰρ ἡμεῖς παραιτούμεθα καλεῖσθαι δεσπόται πονηρῶν ὄντων δούλων, καὶ ἀφιέμεν αὐτούς· κἂν εἴπῃ τις προσελθών, ὁ δεῖνα μυρία ἐργάζεται κακά, ἆρα σὸς δοῦλός ἐστιν; εὐθέως φαμέν, [ὅτι] οὐδαμῶς, ἀποτριβόμενοι τὸ ὄνειδος (σχέσις γάρ ἐστι τῷ δούλῳ πρὸς τὸν δεσπότην, καὶ διαβαίνει ἡ ἀδοξία καὶ εἰς τοῦτον ἀπ' ἐκείνου) πολλῷ μᾶλλον ὁ Θεός. ἀλλ' ἐκεῖνοι οὕτως ἦσαν λαμπροί, οὕτω παρρησίας μεστοί, ὡς μὴ μόνον αὐτὸν μὴ ἐπαισχύνεσθαι τῶν ἐκείνων καλούμενον, ἀλλὰ καὶ ἑαυτὸν λέγειν, ὅτι Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. γενώμεθα καὶ ἡμεῖς, ἀγαπητοί, ξένοι· ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ Θεός, ἵνα μὴ ἐπαισχυνθῇ, καὶ τῇ γεέννῃ παραδῷ. τοιοῦτοι ἦσαν ἐκεῖνοι οἱ λέγοντες, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; ἀλλ' ὅρα τί φθέγγεται πρὸς αὐτοὺς ὁ Χριστός· Οὐκ οἶδα ὑμᾶς. ὅπερ ἂν ποιήσειαν δεσπόται οἰκετῶν πονηρῶν προστρεχόντων αὐτοῖς, βουλόμενοι τὸ ὄνειδος ἀποτρίψασθαι, οὐκ οἶδα ὑμᾶς, φησί. πῶς οὖν κο-

β. Κορ. ε. δ.
Σειρ. ις. δ.
Ψαλ. λη. ιζ.
Ἐξοδ. γ. ς.
Ματθ. ζ. κβ.

λάζεις, οὓς οὐκ οἶδας; οὐκ οἶδα ἑτέρως, εἶπον· τουτέστιν, ἀρνοῦμαι ὑμᾶς, καὶ παραιτοῦμαι. ἀλλὰ μὴ γένοιτο ταύτην ἡμᾶς ἀκοῦσαι τὴν φωνὴν τὴν ὀλεθρίαν καὶ φρικώδη. εἰ γὰρ οἱ δαίμονας ἐκβαλόντες, καὶ προφητείας ἐργασάμενοι, ἐπειδὴ βίον οὐκ εἶχον συμβαίνοντα τοῖς λόγοις, ἠρνήθησαν· πόσῳ μᾶλλον ἡμεῖς; καὶ πῶς, φησὶν, ἔνι προφητείας ἐπιδειξαμένους, καὶ σημεῖα πεποιηκότας, καὶ δαιμόνια ἐκβαλόντας, ἀρνηθῆναι; εἰκὸς αὐτοὺς ὕστερον μεταβεβλῆσθαι, καὶ γεγενῆσθαι πονηρούς, ὅθεν οὐδὲν ἀπώναντο οὐδὲ τῆς προτέρας ἀρετῆς. οὐ γὰρ τὰ προοίμια δεῖ μόνον ἔχειν λαμπρά, ἀλλὰ καὶ τὸ τέλος λαμπρότερον. εἰπὲ γάρ μοι, ὁ ῥήτωρ οὐχὶ τὰ ἐν τῷ τέλει τοῦ λόγου σπουδάζει ποιεῖν λαμπρά, ὥστε μετὰ κρότου ἀναχωρεῖν; ὁ δὲ λειτουργῶν πόλει, οὐχὶ τὰ ἐπ' ἐξόδῳ τῆς λειτουργίας λαμπρότερα ἐπιδείκνυται; ὁ ἀθλητὴς ἐὰν μὴ ἐκεῖνα δείξῃ λαμπρότερα, καὶ μέχρι τέλους νικήσῃ, κἂν πάντας νικήσας νικηθῇ ὑπὸ τοῦ τελευταίου, οὐχὶ πάντα αὐτῷ διώλετο; ὁ κυβερνήτης ἂν ἅπαν τὸ πέλαγος διαλαβών, πρὸς τῷ λιμένι καταρράξῃ τὸ σκάφος, οὐχὶ πάντα ἀπώλεσε τῶν ἔμπροσθεν πόνων; τί δὲ ὁ ἰατρός; ἐὰν ἀπαλλάξας τῆς νόσου τὸν κάμνοντα, ὅταν μέλλῃ τέλεον ἀπαλλάττειν, τότε διαφθείρῃ, οὐχὶ τὸ πᾶν διέφθειρεν; οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς, ὅσοι μὴ τῇ ἀρχῇ ἀκόλουθον τὸ τέλος ἐπέθηκαν, καὶ σύμφωνον καὶ συνῳδόν, ἀπώλοντο καὶ διεφθάρησαν. τοιοῦτοί εἰσιν οἱ ἀπὸ μὲν τῶν βαλβίδων αὐτῶν λαμπροὶ καὶ γαῦροι προπηδήσαντες, μετὰ ταῦτα δὲ ἐκλυθέντες, καὶ χαῦνοι γενόμενοι. διὸ καὶ τοῦ βραβείου ἀπεστερήθησαν, καὶ παρὰ τοῦ δεσπότου οὐκ ἐπεγνώσθησαν. ἀκούσωμεν ταῦτα οἱ χρημάτων ἐρῶντες. ἡ γὰρ μεγίστη ἀνομία, αὕτη τυγχάνει. Ῥίζα γάρ ἐστι πάντων, φησί, τῶν κακῶν ἡ φιλαργυρία. ἀκούσωμεν οἱ βουλόμενοι μείζονα τὴν ὑπάρχουσαν οὐσίαν ποιεῖν, ἀκούσωμεν, καὶ παυσώμεθα τῆς πλεονεξίας ποτέ, ἵνα μὴ ταῦτα ἀκούσωμεν ἅπερ ἐκεῖνοι. [νῦν αὐτὰ ἀκούσωμεν, καὶ φυλαξώμεθα, ἵνα μὴ τότε ἀκούσωμεν]. νῦν ἀκούσωμεν μετὰ φόβου*, ἵνα μὴ τότε ἀκούσωμεν μετὰ τιμωρίας, Ἀπέλθετε ἀπ' ἐμοῦ, φησὶν, οὐδέποτε ἔγνων ὑμᾶς. οὐδὲ τότε, φησὶν, ὅτε τὰς προφητείας ἐπεδείκνυσθε, καὶ τοὺς δαίμονας ἐξεβάλλετε. εἰκὸς αὐτοὺς ἐνταῦθα καὶ ἕτερόν τι αἰνίττεσθαι, ὅτι καὶ τότε βίου ἦσαν πονηροῦ. παρὰ δὲ τὴν ἀρχήν, καὶ δι' ἀναξίων ἐνήργει ἡ χάρις. εἰ γὰρ καὶ διὰ Βαλαὰμ ἐνήργησε, πολλῷ μᾶλλον δι' ἀναξίων, καὶ τοῦτο διὰ τοὺς μέλλοντας κερδαίνειν. εἰ δὲ [καὶ] σημεῖα καὶ τέρατα οὐκ ἴσχυσε κολάσεως ἀπαλλάξαι· πολλῷ μᾶλλον, κἂν ἐν ἀξιώματι ἱερατικῷ τις ὢν τυγχάνῃ, κἂν εἰς τὴν ἀνωτάτω τιμὴν φθάσῃ, κἂν εἰς τὴν χειροτονίαν ἐνεργήσῃ ἡ χάρις, κἂν εἰς τὰ ἄλλα πάντα διὰ τοὺς τῆς προστασίας δεομένους, ἀκούσεται καὶ αὐτὸς, οὐδέποτέ σε ἔγνων, οὐδὲ τότε, ὅτε ἐνήργησεν ἐν σοὶ ἡ χάρις. βαβαί, πόση τῆς τοῦ βίου καθαρότητος ἡ ζήτησις ἐκεῖ; πῶς αὐτὴ καὶ καθ' ἑαυτὴν ἀρκεῖ εἰς τὴν βασιλείαν ἡμᾶς εἰσαγαγεῖν; σαθρὰ δὲ ἀποῦσα προδίδωσι τὸν ἄνδρα, κἂν μυρία ἔχῃ τέρατα καὶ σημεῖα ἐπιδείκνυσθαι; οὐδὲν γὰρ οὕτως εὐφραίνει τὸν Θεόν, ὡς πολιτεία ἀρίστη. Ἐὰν ἀγαπᾶτέ με, φησίν· οὐκ εἶπε, σημεῖα ποιήσατε, ἀλλὰ τί; τὰς ἐντολάς μου τηρήσατε. καὶ πάλιν, Φίλους ὑμᾶς λέγω, οὐχ ὅταν δαιμόνια ἐκβάλητε, ἀλλ' ἐὰν τηρήσητε τοὺς λόγους τοὺς ἐμούς. ἐκεῖνα μὲν γὰρ τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστι· ταῦτα δὲ μετὰ τὴν τοῦ Θεοῦ δωρεάν, καὶ τῆς ἡμετέρας σπουδῆς. σπουδάσωμεν γενέσθαι φίλοι τοῦ Θεοῦ, καὶ μὴ μείνωμεν ἐχθροί. ἀεὶ ταῦτα λέγομεν, ἀεὶ ταῦτα παραινοῦμεν, καὶ ἡμῖν αὐτοῖς, καὶ ὑμῖν· πλέον δὲ οὐδὲν γίνεται. διὸ καὶ δέδοικα, καὶ ἐβουλόμην μὲν σιγῆσαι, ὥστε μὴ τὸν κίνδυνον ὑμῖν αὐξῆσαι. τὸ γὰρ πολλάκις ἀκούοντα μηδὲ οὕτω ποιεῖν, προσκροῦσαι τὸν δεσπότην ἐστίν. ἀλλὰ δέδοικα καὶ αὐτὸς τὸν ἕτερον κίνδυνον τὸν τῆς σιγῆς, εἴγε εἰς λόγου διακονίαν τεταγμένος, μέλλοιμι σιγᾶν. τί οὖν ποιήσομεν, φησίν, ἵνα σωθῶμεν; ἀρξώμεθα τῆς ἀρετῆς, ἕως καιρὸν ἔχομεν· διανείμωμεν ἑαυτοῖς τὰς ἀρετάς, καθάπερ τὴν γεωργίαν οἱ γηπόνοι· ἐν τῷ μηνὶ τούτῳ κρατήσωμεν λοιδορίας,

Margin notes: χ. φθειεῦ (line 2); χ. φιλῶν (line 7); χ. διαλιπ. κ. ἀπῆ (line 14); χ. αὐχμ. (line 16); χ. ἐγγίζει (line 18); α Τιμ. ς 1. (line 19); * καὶ φυλαξ- ώμ. (line 22); χ. τοτιση (line 24); Ιω. ιδ. 15. 12. & ιε. 1. (lines 34–35)

είας, ὕβρεως, ὀργῆς ἀδίκου· καὶ θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν, σήμερον τοῦτο κατορθώσωμεν· καὶ ἐν τῷ μηνὶ τῷ ἄλλῳ τὴν ἀνεξικακίαν ἑαυτοὺς παιδεύσωμεν, καὶ ἐν ἑτέρῳ ἄλλην ἀρετήν. καὶ ὅταν ἐν ἕξει ταύτης γενώμεθα τῆς ἀρετῆς, ἐφ' ἑτέραν ἔλθωμεν, καθάπερ ἐπὶ τῶν μαθημάτων, τὰ μὲν ἤδη κτηθέντα φυλάττοντες, καὶ ἕτερα προσλαμβάνοντες. μετ' ἐκείνην ἔλθωμεν ἐπὶ τὴν τῶν χρημάτων ὑπεροψίαν. πρότερον καταγάγωμεν τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ τότε ποιήσωμεν ἐλεημοσύνην· μὴ πάντα ἁπλῶς συγχέωμεν, ταῖς αὐταῖς χερσὶ καὶ ἁρπάζοντες, καὶ ἐλεοῦντες δῆθεν. μετὰ τοῦτο εἰς ἄλλην ἀρετήν, καὶ μετ' ἐκείνην εἰς ἄλλην. Αἰσχρότης, φησὶ, καὶ μωρολογία καὶ εὐτραπελία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν. Εφ. ε. δ. Τοῦτο τέως κατορθώσωμεν. οὐκ ἔστι χρεία δαπάνης, οὐκ ἔστι πόνων, οὐκ ἔστιν ἱδρώτων· ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα λέλυται. οὐ δεῖ μακρὰν ὁδὸν βαδίσαι, οὐδὲ πέλαγος διαλαβεῖν ἄπειρον, ἀλλὰ σπουδάσαι, καὶ προθυμηθῆναι, καὶ χαλινὸν ἐπιθεῖναι τῇ γλώττῃ πρὸς τὰς ὕβρεις τὰς ἀκαίρους. τὰς ὀργάς, τὰς ἐπιθυμίας τὰς ἀτόπους, τὴν τρυφήν, τὴν πολυτέλειαν ἐκβάλωμεν, τὴν ἐπιθυμίαν τῶν χρημάτων ἀπὸ τῆς ψυχῆς τῆς ἡμετέρας, τὰς ἐπιορκίας, τοὺς ὅρκους τοὺς συνεχεῖς. ἂν οὕτως ἑαυτοὺς γεωργῶμεν, τὰς μὲν περιττὰς ἀκάνθας ἐκτίλλοντες, καὶ τὰ οὐράνια σπέρματα ἐμβάλλοντες, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. ἥξει γὰρ ὁ γεωργός, καὶ ἀποθήσεται ἡμᾶς εἰς τὴν ἀποθήκην, καὶ ἐπιτευξόμεθα πάντων τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κϛ. 17 ΠΙΣΤΕΙ ΠΡΟΣΕΝΗΝΟΧΕΝ ΑΒΡΑΑΜ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. 18 Πρὸς ὃν ἐλαλήθη, Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· 19 Λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

Μεγάλη ὄντως ἡ πίστις τοῦ Ἀβραάμ. ἐπὶ μὲν γὰρ τοῦ Ἄβελ καὶ τοῦ Νῶε καὶ τοῦ Ἐνὼχ, λογισμῶν ἦν μάχη μόνων, καὶ ἔδει τοὺς ἀνθρωπίνους ὑπερβῆναι ἔχειν λογισμούς. ἐνταῦθα δὲ οὐ τοὺς ἀνθρωπίνους μόνον ὑπερβῆναι ἔχρην λογισμούς, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιδείξασθαι. τὰ γὰρ τοῦ Θεοῦ ἐδόκει τοῖς τοῦ Θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ πρόσταγμα ἐπαγγελίᾳ. οἷόν τι λέγω, εἶπεν, Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, Γεν. ιβ. α. καὶ δώσω σοι τὴν γῆν ταύτην· καὶ οὐκ ἔδωκεν αὐτῷ ἐν αὐτῇ κληρονομίαν, οὐδὲ βῆμα ποδός. ὁρᾷς πῶς τὰ γινόμενα τῇ ἐπαγγελίᾳ ἐμάχετο; πάλιν φησὶν, Ἐν Ἰσαὰκ κληθήσεταί σοι Γεν. κβ. β. σπέρμα, καὶ ἐπίστευσε· καὶ πάλιν λέγει, Θῦσόν μοι τοῦτον, τὸν μέλλοντα τὴν οἰκουμένην πᾶσαν ἐκ τοῦ σπέρματος αὐτοῦ πληρῶσαι. εἶδες μάχην προσταγμάτων καὶ ἐπαγγελίας; ἐναντία τῇ ἐπαγγελίᾳ προσέταξε, καὶ οὐδὲ οὕτως ἰλιγγίασεν ὁ δίκαιος, οὐδὲ ἠπατῆσθαι ἔφη. ὑμεῖς μὲν γὰρ, φησὶν, οὐκ ἂν ἔχοιτε τοῦτο εἰπεῖν, ὅτι ἄνεσιν ἐπηγγείλατο, καὶ θλίψιν ἔδωκεν. ἐνταῦθα γὰρ ἅπερ ἐπηγγείλατο, ταῦτα καὶ ποιεῖ. πῶς; Ἐν τῷ κόσμῳ, φησὶ, θλίψιν ἕξετε. Ὁ μὴ λαβὼν τὸν Ιωαν. ιϛ. λγ. σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῶν ἐμοὶ, οὐκ ἔστι μου ἄξιος. Ὁ μὴ μισῶν τὴν ψυχὴν αὐτοῦ, οὐ μὴ Ματθ. ι. λη. εὕρῃ αὐτήν. Καὶ ὃς οὐκ ἀποτάσσεται, φησὶ, πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, καὶ ἀκολουθεῖ Λουκ. ιδ. κϛ. λγ. ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. καὶ πάλιν, Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ. καὶ Ματθ. ι. ιη. πάλιν, Ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ. καὶ τὰ μὲν τῆς θλίψεως, ὧδε· τὰ δὲ τῆς ἀνέσεως, ἐκεῖ. λϛ. ἐπὶ δὲ τοῦ Ἀβραὰμ τοὐναντίον. ἐναντία ταῖς ὑποσχέσεσι προσετέτακτο ποιεῖν· καὶ οὐδὲ οὕτως ἐθορυβήθη, οὐδὲ ἰλιγγίασεν, οὐδὲ ἠπατῆσθαι ἐνόμισεν. ὑμεῖς δὲ οὐδὲν ἔξωθεν τῆς ἐπαγγελίας ὑπομένετε, καὶ θορυβεῖσθε. ἐκεῖνος ἐναντία ὧν ἐπηγγείλατο ἤκουσε

κεφ. ια.

παρὰ τοῦ αὐτοῦ τοῦ ἐκεῖνα ἐπηγγελμένου, καὶ οὐκ ἐθορυβεῖτο, ἀλλ' ὡς σύμφωνα ἐπέραινε [καὶ γὰρ ἦν σύμφωνα·] ἐναντία μὲν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, σύμφωνα δὲ ἀπὸ τῆς πίστεως. καὶ πῶς, αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ ἀπόστολος, εἰπών, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀπὸ τῆς [αὐτῆς] πίστεώς, φησιν, ἧς ἐπίστευσεν ὅτι οὐκ ὄντα [illegible] παῖδα, ἀπὸ τῆς αὐτῆς καὶ νεκρὸν ἐγείρειν, καὶ ὅτι σφαγιασθέντα ἀναστήσει, ἐπίστευσε. ὁμοίως γὰρ ἄπορον ἦν ἀνθρωπίνῳ (λέγω) λογισμῷ, καὶ ἐκ μήτρας νεκρᾶς καὶ γεγηρακυίας, καὶ ἀχρήστου ἤδη γεγενημένης πρὸς παιδοποιΐαν, δοῦναι παιδίον, καὶ σφαγιασθέντα ἀναστῆσαι. ἀλλ' ὅμως ἐπείθετο. προωδοποίει γὰρ ἡ πίστις ἡ παρελθοῦσα τοῖς μέλλουσιν· ἄλλως δέ, καὶ ὁ μὲν ἑώρα τὰ χρηστὰ πρῶτα, τὰ δὲ δυσχερῆ ὕστερα πρὸς τὸ γῆρας. ὑμεῖς δὲ τοὐναντίον, φησί, τὰ μὲν σκυθρωπά, πρῶτα· τὰ δὲ χρηστά, τελευταῖα. τοῦτο πρὸς τοὺς λέγειν τολμῶντας, ὅτι μετὰ θάνατον ἡμῖν ἐπηγγείλατο τὰ ἀγαθά, ἠπάτησεν ἴσως ἡμᾶς. δείκνυσιν, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. εἰ δὲ καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός, πάντως πάντα ἀποδώσει. εἰ δὲ Ἀβραὰμ ἐπίστευσε πρὸ τοσούτων ἐτῶν, ὅτι δυνατὸς ἐκ νεκρῶν ἐγείρειν ὁ Θεός, πολλῷ μᾶλλον ἡμεῖς πιστεύειν ὀφείλομεν. ὁρᾷς ὅτι (ὅπερ ἔφθην εἰπὼν) οὔπω εἰσῆλθεν ὁ θάνατος, καὶ εὐθέως αὐτὸν εἰς τὴν τῆς ἀναστάσεως εἵλκυσεν ἐλπίδα, καὶ εἰς τοσαύτην πληροφορίαν ἤγαγεν, ὡς καὶ σφαγιάζειν τὸν ἑαυτοῦ υἱὸν κελευόμενος, καὶ ἀφ' οὗ προσεδόκων ἐμπλήσειν τὴν οἰκουμένην, ἑτοίμως τοῦτον προσάγειν; καὶ ἕτερον δὲ δείκνυσιν ἐνταῦθα διὰ τοῦ εἰπεῖν, ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ. τί οὖν; οὐκ ᾔδει ὁ Θεὸς ὅτι γενναῖος ἦν καὶ δόκιμος ὁ ἀνήρ; σφόδρα γε. τίνος οὖν ἕνεκεν ἐπείραζεν αὐτόν, εἰ ᾔδει; οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοῖς ἄλλοις δείξῃ, καὶ καταδήλου αὐτοῦ τὴν ἀνδρείαν πᾶσι καταστήσῃ. καὶ δείκνυσιν ἐνταῦθα καὶ τῶν πειρασμῶν τὴν αἰτίαν, ἵνα μὴ νομίζωσιν, ὡς ἐγκαταλελειμμένοι ταῦτα πάσχειν. ἐνταῦθα μὲν γὰρ καὶ ἀνάγκη πειράζεσθαι, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐλαύνοντας, καὶ τοὺς ἐπιβουλεύοντας· ἐκεῖ δὲ ποία ἀνάγκη ἦν τοὺς οὐκ ὄντας αὐτῷ πειρασμοὺς ἐπινοεῖν; οὐκοῦν τοίνυν ὁ πειρασμὸς δῆλος ἦν ὅτι αὐτοῦ προστάττοντος ἐγένετο. τὰ μὲν οὖν ἄλλα συγχωροῦντος αὐτοῦ συνέβαινον, ἐκεῖνο δὲ καὶ προστάττοντος. εἰ τοίνυν οὕτω δοκίμους τὰ τῶν πειρασμῶν ποιεῖ, ὡς καὶ μὴ οὔσης αἰτίας τὸν Θεὸν γυμνάζειν τὸν ἑαυτοῦ ἀθλητήν· πολλῷ μᾶλλον ἡμᾶς φέρειν πάντα χρὴ γενναίως. ἐμφαντικῶς δὲ εἶπεν ἐνταῦθα, ὅτι πίστει προσενήνοχε τὸν Ἰσαάκ, πειραζόμενος. οὐδεμία γὰρ ἄλλη αἰτία ἦν τῆς προσαγωγῆς, ἢ αὕτη. εἶτα ἐπεξέρχεται τῷ νοήματι. οὐκ ἔχει, φησίν, εἰπεῖν, ὅτι καὶ ἄλλον εἶχεν υἱόν, καὶ ἐξ ἐκείνου προσεδόκα τὴν ἐπαγγελίαν πληρωθήσεσθαι, καὶ διὰ τοῦτο θαρρῶν τοῦτον προσήνεγκε. καὶ τὸν μονογενῆ, φησι, προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. τί λέγεις μονογενῆ; τί οὖν ὁ Ἰσμαήλ; πόθεν ἦν; μονογενῆ λέγω, φησίν, ὅσον εἰς τὸν τῆς ἐπαγγελίας λόγον. διὰ γὰρ τοῦτον προσέθηκεν εἰπὼν μονογενῆ, δηλώσας ὅτι διὰ τοῦτο καὶ λέγει, πρὸς ὃν ἐλαλήθη ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τουτέστιν, ἐξ αὐτοῦ. ὁρᾷς πῶς θαυμάζει τὸ παρὰ τοῦ πατριάρχου γινόμενον; ἐν Ἰσαάκ, ἤκουσε, κληθήσεταί σοι σπέρμα, καὶ προσέφερε σφάγιον τὸν υἱόν. εἶτα ἵνα μή τις νομίσῃ, ὅτι ἀπογνοὺς τοῦτο ἐποίει, καὶ διὰ τοῦ προστάγματος τούτου τὴν πίστιν ἐξέβαλεν ἐκείνην, ἀλλὰ μάθῃ, ὅτι ὄντως καὶ τοῦτο πίστεως ἦν, φησὶν ὅτι κἀκείνην εἶχε τὴν πίστιν, καίτοιγε δοκοῦσαν ταύτῃ μάχεσθαι· ἀλλ' οὐκ ἐμάχετο. οὐ γὰρ λογισμοῖς ἀνθρωπίνοις ἐμέτρει τοῦ Θεοῦ τὴν δύναμιν, ἀλλὰ τῇ πίστει πάντα ἐπέτρεπε. διὸ οὐδὲ δέδοικεν εἰπεῖν, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. τουτέστιν, ἐν ὑποδείγματι, ἐν τῷ κριῷ, φησι. πῶς; τοῦ γὰρ κριοῦ σφαγιασθέντος, οὗτος ἐσώθη· ὥστε διὰ τοῦ κριοῦ αὐτὸν ἔλαβεν, ἀντὶ τούτου σφάξας ἐκεῖνον. ταῦτα δὲ τύποι τινὲς ἦσαν. ἐνταῦθα γὰρ ὁ υἱός ἐστι τοῦ Θεοῦ ὁ σφαγιαζόμενος. καὶ ὅρα μοι τὴν φιλανθρωπίαν, ὅση ἦν. ἐπειδὴ γὰρ μεγάλη τις ἔμελλε δίδοσθαι χάρις τοῖς ἀνθρώποις,

ἀνθρώποις, βουλόμενος μὴ χάριτι αὐτὸ ποιῆσαι, ἀλλ' ὡς ὀφειλέτης, παρασκευάζει πρότερον ἀνθρώπους ἢ υἱὸν ἢ ἑαυτὸν ἐπιδιδόναι ὑπὲρ τοῦ προστάγματος τοῦ Θεοῦ, ἵνα μηδὲν δόξῃ μέγα ποιεῖν, ἢ ἑαυτὸν ἐπιδιδοὺς ἢ υἱόν. ἔπειτα ἄνθρωπος περὶ αὐτὸν τοῦτο ἐποίησεν· ἵνα μὴ χάριτι μόνον νομισθῇ τοῦτο ποιεῖν, ἀλλὰ καὶ ὀφειλῇ. οὓς γὰρ ἂν φιλῶμεν, καὶ τοῦτο αὐτοῖς χαρίζεσθαι βουλόμεθα, τὸ δοκεῖν παρ' αὐτῶν τι πρότερον λαβόντας μικρὸν, οὕτως αὐτοῖς τὸ πᾶν διδόναι· καὶ καυχώμεθα ἐπὶ τῇ λήψει μᾶλλον ἢ ἐπὶ τῇ δόσει· καὶ οὐ λέγομεν, τόδε ἐδώκαμεν αὐτῷ, ἀλλὰ τόδε ἐλάβομεν παρ' αὐτοῦ. ὅθεν αὐτὸν, φησὶ, καὶ ἐν παραβολῇ ἐκομίσατο. τουτέστιν, ὡς ἐν αἰνίγματι (ὥσπερ γὰρ παραβολὴ ἦν ὁ κριὸς τοῦ Ἰσαὰκ) ἢ ὡς ἐν [τῷ] τύπῳ. ἐπεὶ γὰρ ἀπήρτιστο ἡ θυσία, καὶ ἔσφακτο ὁ Ἰσαὰκ τῇ προαιρέσει, διὰ τοῦτο αὐτὸν χαρίζεται τῷ πατριάρχῃ.

Ὁρᾷς ὅτι ἃ ἀεὶ λέγω, τοῦτο καὶ νῦν δείκνυται; ὅταν γὰρ παραστήσωμεν ἡμῶν τὴν διάνοιαν ἀπηρτισμένην, καὶ δείξωμεν ὅτι ὑπερορῶμεν τῶν γηΐνων πραγμάτων, τότε ἡμῖν καὶ τὰ γήϊνα χαρίζεται, πρότερον δὲ οὔ· ἵνα μὴ τὸ λαβεῖν, προσδεδεμένους ἡμᾶς αὐτοῖς, ἔτι προσδήσῃ. λῦσον, φησὶ, σαυτὸν πρότερον τῆς δουλείας, καὶ τότε λάβε· ἵνα μηκέτι ὡς δοῦλος λάβῃς, ἀλλ' ὡς δεσπότης. καταφρόνησον πλούτου, καὶ ἔσῃ πλούσιος· καταφρόνησον δόξης, καὶ ἔσῃ ἔνδοξος· καταφρόνησον τῆς τιμωρίας τῶν ἐχθρῶν, καὶ τότε αὐτῆς ἐπιτεύξῃ· καταφρόνησον ἀνέσεως, καὶ τότε αὐτὴν λήψῃ· ἵνα λαβὼν, μὴ ὡς δέσμιος λάβῃς, μηδὲ ὡς δοῦλος, ἀλλ' ὡς ἐλεύθερος. καθάπερ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν, ὅταν μὲν ἐπιθυμῇ τὸ παιδίον παιδικῶν ἀθυρμάτων, μετὰ πολλῆς σπουδῆς ἐκεῖνα κρύπτομεν, οἷον σφαῖραν, καὶ ὅσα τοιαῦτα, ἵνα μὴ ἐμποδίζηται τῶν ἀναγκαίων· ὅταν δὲ αὐτῶν καταφρονήσῃ, καὶ μηκέτι ἐπιθυμῇ, ἀδεῶς αὐτῶν μεταδίδομεν, εἰδότες ὡς οὐδεμία βλάβη λοιπὸν αὐτῷ ἐντεῦθεν γένοιτο, τῆς ἐπιθυμίας ἐκείνης οὐκέτι ἰσχυούσης ἀπάγειν αὐτὸν τῶν ἀναγκαίων· οὕτω καὶ ὁ Θεὸς, ὅταν ἴδῃ μηκέτι ἐπιθυμοῦντας τῶν ἐνταῦθα, λοιπὸν ἀφίησιν αὐτοῖς χρῆσθαι. ὡς γὰρ ἐλεύθεροι καὶ ἄνδρες αὐτὰ ἔχομεν, οὐχ ὡς παῖδες. ὅτι γὰρ ἐὰν καταφρονήσῃς τῆς τιμωρίας τῶν ἐχθρῶν, τότε ἐπιτεύξῃ, ἄκουε τί φησιν· Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. *Ῥωμ. ιβ. κ.* καὶ ἐπάγει, Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ πάλιν, ὅτι ἐὰν καταφρονήσῃς τοῦ πλούτου, τότε αὐτοῦ ἐπιτεύξῃ, ἄκουε τοῦ Χριστοῦ λέγοντος, Οὐκ ἔστιν ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ οἰκίας, ἢ ἀδελφοὺς, ὃς οὐχὶ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. *Ματθ. ιθ. κθ.* καὶ ὅτι ἐὰν καταφρονήσῃς δόξης, τότε αὐτῆς ἐπιτεύξῃ, ἄκουε αὐτοῦ πάλιν τοῦ Χριστοῦ λέγοντος, Ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι, ἔστω ὑμῶν διάκονος. *Ματθ. κ. κϛ. καὶ κγ. ιβ.* καὶ πάλιν, Ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυτὸν, οὗτος ὑψωθήσεται. τί λέγεις; ἐὰν ποτίσω τὸν ἐχθρὸν, τότε αὐτὸν κολάζω; ἐὰν ἀφῶ τὰ ὑπάρχοντα, τότε αὐτὰ ἔχω; ἐὰν ταπεινώσω ἐμαυτὸν, τότε ὑψηλὸς ἔσομαι; ναί, φησι. τοιαύτη γὰρ ἡ ἐμὴ δύναμις· διὰ τῶν ἐναντίων τὰ ἐναντία παρέχει. εὔπορός εἰμι, καὶ εὐμήχανος· μὴ δείσῃς. τῷ ἐμῷ θελήματι ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις, οὐκ ἐγὼ τῇ φύσει ἕπομαι. ἐγὼ πάντα ἐργάζομαι, οὐκ ἐγὼ ὑπ' ἐκείνων ἄγομαι. διὸ καὶ μεταπλάττειν καὶ μεταρρυθμίζειν αὐτὰ δύναμαι. καὶ τί θαυμάζεις, εἰ ἐν τοῖς τοιούτοις γίνεται τὸ τοιοῦτο; τὸ αὐτὸ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν εὑρήσεις. ἐὰν γὰρ ἀδικήσῃς, ἠδικήθης· ἐὰν ἀδικηθῇς, τότε οὐκ ἠδικήθης· ἐὰν ἀμύνῃ, τότε οὐκ ἠμύνω, ἀλλὰ σαυτὸν ἠμύνω. Ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν, φησὶ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ὁρᾷς ὅτι οὐκ ἀδικεῖς, ἀλλ' ἠδικήθης; διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; *α Κορ. ϛ. ζ.* εἶδες ὅτι οὐκ ἔστι τοῦτο ἀδικεῖσθαι; ὅταν ὑβρίσῃς, τότε ὑβρίσθης. καὶ τοῦτο ἐκ μέρους ἴσασιν οἱ πολλοί. ὡς ὅταν λέγωσι πρὸς ἀλλήλους, ἄγωμεν ἐντεῦθεν, μὴ ὑβρίσῃς σαυτόν. διατί; ὅτι πολὺ τὸ μέσον σου κἀκείνου. ὅσα γὰρ ἂν ὑβρίσῃς, ἐκεῖνος δόξαν ἡγεῖται. τοῦτο ἐπὶ πάντων ἐποιοῦμεν, καὶ γινόμεθα ὑψηλότεροι τῶν ὕβρεων. πῶς; ἐγὼ λέγω· ἐὰν πρὸς αὐτὸν τὸν τὴν ἁλουργίδα

ἔχοντα μᾶλλον ἔχωμεν, τὸ ὑβρίζειν αὐτὸν, ἡμᾶς αὐτοὺς ὑβρίζειν ἡγούμεθα. καὶ γὰρ πλουτοῦντες ἐκεῖνοι, καὶ ἡμεῖς τοῦ πλουτεῖσθαι ἄξιοι γενόμεθα. τί λέγεις, εἰπέ μοι; τῶν οὐρανῶν πολίτης ὤν, καὶ τὴν ἄνω φιλοσοφίαν ἔχων, μετὰ τῶν τὰ γήϊνα φρονούντων πλανᾷς σαυτόν; κἂν γὰρ μυρία χρήματα κέκτηται, κἂν ἐν δυναστείᾳ ᾖ, οὔπω οἶδε τὸ καλὸν τὸ σόν. μὴ ὑβρίσῃς σαυτὸν, ἐκεῖνον ὑβρίζων. σαυτοῦ φεῖσαι, μὴ ἐκείνου· σαυτὸν τίμησον, μὴ ἐκεῖνον. οὐχὶ παροιμία τοιαύτη ἐστὶν, ὁ τιμῶν, ἑαυτὸν τιμᾷ; εἰκότως. οὐ γὰρ ἐκεῖνον τιμᾷ, ἀλλ' ἑαυτόν. [Σειρ. ι. λα.] ἄκουε σοφοῦ τινος λέγοντος, Ποίησον τῇ ψυχῇ σου τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς. τί ἐστι, κατὰ τὴν ἀξίαν αὐτῆς; εἰ ἐπλεονέκτησέ, φησι, μὴ πλεονεκτήσῃς, εἰ ὕβρισε, μὴ ὑβρίσῃς. εἰπέ μοι, παρακαλῶ, εἴ τις πένης πηλὸν ἐρριμμένον ἀπὸ τῆς αὐλῆς ἔλαβε τῆς σῆς, ἆρα ἂν ὑπὲρ τούτου δικαστήριον αὐτῷ συνεκρότησας; οὐδαμῶς. διατί; ἵνα μὴ ὑβρίσῃς σαυτὸν, ἵνα μὴ πάντες σου καταγελῶσι. τοῦτο καὶ νῦν γίνεται. πένης γάρ ἐστιν ὁ πλούσιος· καὶ ὅσῳ πλουτεῖ, τοσούτῳ πένης γίνεται τὴν ὄντως πενίαν. πηλός ἐστιν ὁ χρυσὸς, ἐν αὐλῇ ἐρριμμένος, οὐκ ἐν τῇ οἰκίᾳ σου κείμενος. ἡ γὰρ οἰκία σου ὁ οὐρανός ἐστιν. ὑπὲρ τούτου οὖν συγκροτήσεις δικαστήριον, καὶ οὐ καταγελάσονταί σου οἱ ἄνω πολῖται; οὐκ ἐκβαλοῦσί σε τῆς ἑαυτῶν πατρίδος, τὸν οὕτω ταπεινὸν, τὸν οὕτως εὐτελῆ, ὡς ὑπὲρ ὀλίγου πηλοῦ μάχεσθαι αἱρεῖσθαι; εἰ γὰρ ὁ κόσμος ἦν σὸς, εἶτα αὐτόν τις ἔλαβεν, ἐπιστραφῆναι ἐχρῆν; οὐκ οἶδας ὅτι δεκάκις τὴν οἰκουμένην ἐὰν θῇς, καὶ ἑκατοντάκις, καὶ μυριάκις, καὶ δὶς τοσοῦτον, οὐδὲ πρὸς τὸ πολλοστὸν μέρος τῶν ἐν τοῖς οὐρανοῖς ἐστιν ἀγαθῶν; ὁ τοίνυν τὰ ἐνταῦθα θαυμάζων, ἐκεῖνα ὑβρίζει, εἴγε ταῦτα ἄξια σπουδῆς ἡγεῖται, τοσοῦτον ἐκείνων ἀπολιμπανόμενα· μᾶλλον δὲ οὐδὲ θαυμάσαι ἐκεῖνα δυνήσεται. πῶς γὰρ, πρὸς ταῦτα ἐπτοημένος; διατέμωμεν οὖν ποτε, παρακαλῶ, τὰ σχοινία καὶ τὰς πλεκτάνας. τοῦτο γὰρ τὰ γήϊνα πράγματα. μέχρι πότε κάτω κύπτομεν; μέχρι τίνος ἀλλήλοις ἐπιβουλεύομεν, καθάπερ τὰ θηρία, καθάπερ οἱ ἰχθύες; μᾶλλον δὲ, τὰ θηρία οὐκ ἐπιβουλεύει ἀλλήλοις, ἀλλὰ τοῖς ἀλλοφύλοις· οἷον, ἄρκτος ἄρκτον οὐκ ἀναιρεῖ ταχέως, οὐδὲ ὄφις ὄφιν ἀναιρεῖ, τὸ ὁμόφυλον αἰδούμενος. σὺ δὲ μετὰ τοῦ ὁμοφύλου καὶ μυρία ἔχων δικαιώματα, τὸ συγγενὲς, τὸ λογικὸν, τὸ εἰς τὸν Θεὸν εἰδέναι, τῆς φύσεως τὴν ἰσχὺν, μυρία ἄλλα ἕτερα, τὸν συγγενῆ, καὶ τῆς αὐτῆς φύσεως κεκοινωνηκότα, τοῦτον ἀναιρεῖς, καὶ μυρίοις περιβάλλεις κακοῖς. τί γὰρ εἰ μὴ τὸ ξίφος ὠθεῖς, μηδὲ βαπτίζεις εἰς τὴν δέρην τὴν δεξιάν; ἕτερα χαλεπώτερα τούτου ποιεῖς, λύπαις διηνεκέσι περιβάλλων. ἐκεῖνο γὰρ εἰ εἰργάσω, ἀπήλλαξας ἂν αὐτὸν φροντίδος· νῦν δὲ λιμῷ καὶ δουλείᾳ περιβάλλεις, ἀποδυσπετήσει καὶ ἁμαρτίαις ἑτέραις πολλαῖς. ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, οὐχὶ φονᾶν ὑμᾶς παρασκευάζων, οὐδὲ ὡς ἐπὶ ἔλαττον ἐκείνου κακὸν ἔρχεσθαι προτρεπόμενος· ἀλλὰ μὴ θαρρεῖ, ὡς μὴ μέλλοντας δώσειν δίκην. [Σειρ. λδ. κδ.] Ὁ ἀφαιρούμενος γάρ, φησιν, ἐμβίωσιν τὸν πλησίον αὐτοῦ, καὶ ἄρτον, φονεύει αὐτόν. κατάσχωμεν πρὸς ἑαυτοῖς τὰς χεῖράς ποτε, παρακαλῶ, κατάσχωμεν· μᾶλλον δὲ, μὴ κατάσχωμεν, ἀλλ' ἐκτείνωμεν αὐτὰς καλῶς, μὴ πρὸς πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην· μὴ ἄκαρπον ἔχωμεν τὴν χεῖρα, μηδὲ ξηράν. ἡ μὲν γὰρ μὴ ποιοῦσα ἐλεημοσύνην, ξηρά· ἡ δὲ καὶ πλεονεκτοῦσα, μιαρὰ καὶ ἀκάθαρτος. μηδεὶς μετὰ τοιούτων ἐσθιέτω χειρῶν. ὕβρις γὰρ τῶν κεκλημένων τοῦτο. εἰπὲ γάρ μοι, εἴ τις ἐπὶ ταπήτων, καὶ στρωμνῆς ἁπαλῆς, καὶ χρυσοπάστων σινδόνων κατακλίνας ἡμᾶς, ἐν οἴκῳ λαμπρῷ καὶ μεγάλῳ, καὶ πολὺ πλῆθος διακόνων παραστησάμενος, εἶτα πίνακα ἐξ ἀργύρου παρασκευασάμενος καὶ χρυσοῦ, καὶ πολλῶν ἐμπλήσας ἐδεσμάτων, καὶ πολυτελῶν καὶ παντοδαπῶν, ἠνάγκαζεν ἐσθίειν, εἰ μόνον ἀνεξόμεθα αὐτοῦ τὰς χεῖρας εἰς βόρβορον χρίοντος, ἢ καὶ κόπρον ἀνθρωπίνην, καὶ οὕτω συγκατακλινομένου· ἆρα ἄν τις ταύτην ἠνέσχετο τὴν κόλασιν, ἀλλ' οὐχ ὕβριν τὸ πρᾶγμα ἐνόμιζεν ἄν; ἔγωγε οἶμαι, καὶ εὐθέως ἂν ἀπεπήδησε. νῦν δὲ βορβόρου τοῦ ὄντως

οὐχὶ

οὐχὶ τὰς χεῖρας ὁρᾷς ἐμπεπλησμένας, ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα, καὶ οὐκ ἀποπηδᾷς, οὐκ ἀποφεύγεις, οὐκ ἐπιτιμήσεις· ἀλλ' ἐὰν ἐν δυναστείᾳ ᾖ, καὶ μέγα τὸ πρᾶγμα ἡγήσαι, καὶ τὴν ψυχὴν ἀπολλύεις τὴν σαυτοῦ, τοιαῦτα σιτούμενος. πολλῷ γὰρ βορβόρου πλεονεξία χείρων. ψυχὴν γὰρ, οὐ σῶμα μολύνει, καὶ ποιεῖ δυσέκπλυτον. σὺ τοίνυν ὁρῶν τοῦ βορβόρου τούτου ἀναχεχρωσμένον [μὲν] τὸν κατακλινόμενον, καὶ τὰς χεῖρας, καὶ τὴν ὄψιν, ἐμπεπλησμένην δὲ * τὴν οἰκίαν, [ἐμπεπλησμένην δὲ] καὶ τὴν τράπεζαν (βορβόρου γὰρ, καὶ εἴ τι τούτων χεῖρον, ἀκαθαρτότερα ἐκεῖνα καὶ μιαρώτερα τὰ ἐδέσματα) ὡς δή τι μηδὲν διακεῖσαι, καὶ ὡς μέλλων τρυφᾶν; καὶ οὐδὲ τὸν Παῦλον δέδοικας, ὡς μὴ ἐλλείποντα τράπεζαν, εἰ βουλοίμεθα, ἀκωλύτως συγχωροῦντα ἀπελθεῖν, εἰς δὲ τὰς τῶν πλεονεκτῶν οὐδὲ βουλομένους ἐῶντα; Ἐὰν γάρ τις ἀδελφὸς ὀνομαζόμενος, ἢ, φησί, πόρνος· ἀδελφοὺς ἐνταῦθα λέγων πάντας τοὺς πιστοὺς ἁπλῶς, οὐ τοὺς μονάζοντας. (a. Κορ. ε. ια.) τί γάρ ἐστι τὸ ποιοῦν τὴν ἀδελφότητα; τὸ λουτρὸν τῆς παλιγγενεσίας, τὸ δυνηθῆναι καλέσαι πατέρα τὸν Θεόν. ὥστε ὁ μὲν κατηχούμενος, κἂν μοναχὸς ᾖ, οὐκ ἀδελφός· ὁ δὲ πιστὸς, κἂν κοσμικὸς ᾖ, ἀδελφός ἐστιν. εἴ τις, φησὶν, ἀδελφὸς ὀνομαζόμενος. οὐδὲ γὰρ ἴχνος τότε μονάζοντος ἦν, ἀλλὰ πάντα πρὸς κοσμικοὺς διελέγετο ὁ μακάριος οὗτος. ἐάν τις, φησὶν, ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἀλλ' οὐκ ἐπὶ τῶν ἑλλήνων οὕτως, ἀλλὰ τί; Ἐάν τις ὑμᾶς καλέσῃ τῶν ἀπίστων, (a. Κορ. ι. κζ.) τοὺς ἕλληνας λέγων, καὶ θέλητε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε. Ἐὰν δέ τις ἀδελφὸς ὀνομαζόμενος, ἢ, φησὶ, μέθυσος. βαβαὶ, πόση ἡ ἀκρίβεια; ἡμεῖς δὲ οὐ μόνον οὐ φεύγομεν τοὺς μεθύσους, ἀλλὰ καὶ ἀπερχόμεθα πρὸς αὐτοὺς, μεθέξοντες τῶν παρ' αὐτῶν. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γεγόνηται, πάντα συγκέχυται καὶ διατέτραπται καὶ ἀπόλωλεν. εἰπὲ γάρ μοι, εἰ καλέσειέ σέ τις τὴν τοιαύτην ἐπὶ ἑστίασιν ἡτοιμασμένην, σὲ τὸν πένητα καὶ εὐτελῆ νομιζόμενον, εἶτα ἀκούσειε παρὰ σοῦ, ὅτι ἐπειδὴ ἀπὸ πλεονεξίας ἐστὶ τὰ παρατιθέμενα, οὐκ ἀνέξομαι μολῦναι τὴν ἐμαυτοῦ ψυχήν, οὐκ ἂν ᾐδέσθη; οὐκ ἂν ἐνετράπη; οὐκ ἂν κατηζημιώθη; τοῦτο μόνον ἱκανὸν ἦν διορθῶσαι, καὶ ποιῆσαι ταλανίσαι μὲν ἐπὶ τῷ πλούτῳ ἑαυτόν, θαυμάσαι δὲ ἐπὶ τῇ πενίᾳ σε, εἴπερ ἑώρα ἑαυτὸν μετὰ τοσαύτης σπουδῆς καταφρονούμενον παρὰ σοῦ. ἀλλὰ γεγόναμεν δοῦλοι ἀνθρώπων, οὐκ οἶδα πόθεν, τοῦ Παύλου ἄνω καὶ κάτω βοῶντος, Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. πόθεν οὖν γεγόναμεν δοῦλοι ἀνθρώπων; (a. Κορ. ζ. κγ.) ἐπειδὴ πρότερον γαστρὸς ἐγινόμεθα δοῦλοι, καὶ χρημάτων, καὶ δόξης, καὶ τῶν ἄλλων ἁπάντων. προεδώκαμεν τὴν ἐλευθερίαν, ἣν ἐχαρίσατο ἡμῖν ὁ Χριστός. τί οὖν μένει τὸν γινόμενον δοῦλον, εἰπέ μοι; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. (Ιωαν. η. λε.) ἔχεις ἀπόφασιν αὐτοτελῆ, ὅτι οὐδέποτε εἰς βασιλείαν εἰσέρχεται. ἡ γὰρ οἰκία τοῦτό ἐστιν. Ἐν γὰρ τῇ οἰκίᾳ, φησὶ, τοῦ πατρός μου, μοναὶ πολλαί εἰσιν. ὁ τοίνυν δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. (Ιωαν. ιδ. β.) δοῦλον ἐκεῖνον λέγει τὸν τῆς ἁμαρτίας δοῦλον. ὁ δὲ μὴ μένων ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἐν τῇ γεέννῃ μένει εἰς τὸν αἰῶνα, οὐδαμόθεν ἔχων παραμυθίαν. ἀλλὰ γὰρ εἰς τοσοῦτον κακίας τὰ πράγματα ἦλθεν, ὡς καὶ ἐλεημοσύνας αὐτοὺς ἀπὸ τούτων ποιεῖν, καὶ πολλοὺς δέχεσθαι. διὰ τοῦτο ἡ παρρησία ἡμῶν ἐγκέκοπται, καὶ οὐδὲ ἐπιτιμῆσαί τινι δυνάμεθα. ἀλλ' ὅμως κἂν ἀπὸ τοῦ νῦν, φύγωμεν τὴν ἐντεῦθεν βλάβην· ὑμεῖς τε τὸν βόρβορον τοῦτον ἀνελίττοντες, παύσασθε τῆς τοιαύτης λύμης, καὶ ἐπίσχετε τὴν ἐν τοῖς τοιούτοις συμποσίοις ὁρμήν, εἴ πως κἂν νῦν δυνηθῶμεν ἐξιλεώσασθαι τὸν Θεὸν, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κϛ'. 20 ΠΙΣΤΕΙ * ΠΕΡΙ ΜΕΛΛΟΝΤΩΝ ΗΥΛΟΓΗΣΕΝ Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. 21 Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. 22 Πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο.

Ματθ. ιγ'. ιζ'. ΠΟλλοί, φησι, προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ἆρα πάντα τὰ μέλλοντα ᾔδεισαν οἱ δίκαιοι; καὶ σφόδρα. εἰ γὰρ καὶ διὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, οὐκ ἀπεκαλύπτετο ὁ Θεὸς τοῖς ἐν ἀρετῇ διαλάμπουσιν ὅμως ἀπεκαλύπτετο. τοῦτο καὶ νῦν ὁ Παῦλός φησιν, ὅτι τὰ μέλλοντα ᾔδεισαν, τουτέστι, τὴν ἀνάστασιν τοῦ Χριστοῦ. ἢ οὐχὶ τοῦτό φησιν, ἀλλὰ τὸ πίστει, περὶ μελλόντων, οὐ περὶ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ τῶν ἐνταῦθα μελλόντων ὕστερον γίνεσθαι, λέγει. εἰ γὰρ μὴ τοῦτο, πῶς ἂν ἄνθρωπος κατὰ φύσιν ὢν ἐν ξένῃ, τοιαύτας εὐλογίας ἠδύνατο διδόναι; πῶς δαὶ πάλιν ἐπέτυχεν εὐλογίας, καὶ οὐκ ἔλαβεν αὐτήν; ὁρᾷς ὅτι ὅπερ ἔφην ἐπὶ μὲν τοῦ Ἀβραὰμ, καὶ ἐπὶ τοῦ Ἰακὼβ ἔστιν εἰπεῖν, ὅτι οὐκ ἀπώνατο τῆς εὐλογίας, ἀλλ' εἰς ἐκγόνους ἐξῆλθε τὰ τῆς εὐλογίας, αὐτὸς δὲ τῶν μελλόντων ἔτυχεν; εὑρίσκομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπολελαυκότα. ὁ μὲν γὰρ ἐν δουλείᾳ καὶ θητείᾳ καὶ κινδύνοις καὶ ἐπιβουλαῖς καὶ ἀπάταις καὶ φόβοις τὸν ἅπαντα διετέλεσε χρόνον, ἐρωτώμενός τε παρὰ τοῦ Φαραὼ, φησὶ, Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν· ἐκεῖνος δὲ ἐν ἀδείᾳ καὶ αὐθεντίᾳ πολλῇ, καὶ μετὰ ταῦτα ἦν αὐτῷ φοβερός. ποῦ οὖν ἐξέβησαν αἱ εὐλογίαι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι; ὁρᾷς ὅτι ἄνωθεν οἱ πονηροὶ τὰ ἐνταῦθα ἀπήλαυον, οἱ δὲ δίκαιοι τοὐναντίον; οὐ μὴν πάντως. ἰδοὺ γὰρ ὁ Ἀβραὰμ δίκαιος ἦν, καὶ ἀπήλαυσε καὶ τῶν ἐνταῦθα, πλὴν μετὰ θλίψεως καὶ πειρασμῶν. καὶ γὰρ ὁ πλοῦτος ἦν αὐτῷ μόνον· ἐπεὶ τὰ ἄλλα πάντα θλίψεως ἔγεμε τὰ κατ' αὐτόν. οὐ γάρ ἐστι τὸν δίκαιον μὴ θλίβεσθαι, καὶ πλουτῇ. ὅταν γὰρ βούληται πλεονεκτεῖσθαι, ἀδικεῖσθαι, τὰ ἄλλα πάσχειν, ἀνάγκη θλίβεσθαι. ὥστε καὶ ἀπολαύῃ τοῦ πλούτου, οὐκ ἀλύπως. τί δήποτε; ὅτι ἐν θλίψει ἐστὶ καὶ ὀδύνῃ. εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ μᾶλλον νῦν. πίστει περὶ μελλόντων, φησὶν, εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. καίτοιγε μείζων ἦν ὁ Ἡσαῦ· ἀλλὰ προτίθησιν ἀπὸ τῆς ἀρετῆς τὸν Ἰακώβ. ὁρᾷς ὅση ἦν ἡ πίστις; πόθεν γὰρ ἐπηγγέλλετο τοῖς υἱοῖς τὰ τοσαῦτα ἀγαθὰ, ἢ ἀπὸ τοῦ πιστεύειν τῷ Θεῷ πάντως; πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν. ἐνταῦθα χρὴ θεῖναι τὰς εὐλογίας ὅλας, ἵνα καὶ ἡ πίστις καὶ ἡ προφητεία αὐτοῦ καταφανὴς γένηται. καὶ προσεκύνησε, φησὶν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ἐνταῦθα δείκνυσιν, ὅτι οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς ἐσομένοις, ὡς καὶ τῷ ἔργῳ αὐτὸ ἐπιδεῖξαι. ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ Ἐφραῒμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτό φησι, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. τουτέστι, καὶ γέρων ὢν, ἤδη προσεκύνει τῷ Ἰωσὴφ, τὴν παντὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν τὴν ἐσομένην αὐτῷ. καὶ τοῦτο ἐξέβη μὲν ἤδη, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν· ἐκβήσεσθαι δὲ ἔμελλε καὶ ὕστερον διὰ τῶν δέκα φυλῶν. ὁρᾷς πῶς τὰ ὕστερον ἐσόμενα προεῖπεν; ὁρᾷς ὅσην εἶχον πίστιν; πῶς ὑπὲρ τῶν ἐσομένων ἐπίστευον; τὰ μὲν γὰρ ὑπομονῆς ἐνταῦθά ἐστιν ὑποδείγματα μόνης, τὰ παρόντα, καὶ τοῦ παθεῖν κακῶς, καὶ τοῦ μηδὲν ἀπολαμβάνειν ἀγαθόν· οἷον, τὸ ἐπὶ τοῦ Ἀβραὰμ, τὸ ἐπὶ τοῦ Ἄβελ· τὰ δὲ, πίστεως· οἷον ἐπὶ τοῦ Νῶε, ὅτι ἔστιν ὁ Θεὸς, ὅτι ἔστιν ἀνταπόδοσις. ἡ πίστις γὰρ πολύσημός ἐστι λέξις· καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο σημαίνει. ἐνταῦθα δὲ σημαντική ἐστι τοῦ τὸ εἶναι ἀνταπόδοσιν, καὶ τοῦ μὴ ἐπὶ

Γεν. μζ'. θ'.

γρ. -σιν, αὐτοὺς. γρ. Παῦλος αὐτοὺς ... γρ. -σιν, τί, περὶ μελλόντων, λέγει, τουτέστι. γρ. εὐλογίας ἐδίδου; ... γρ. ἐγγόνους

γρ. αὐτὸ

γρ. ἀδελφοὶ

γρ. πολύσημος ... τι

ἐπὶ

ἐπὶ τοῖς αὐτοῖς αὐτὴν ἀναμένουσι πάντας, καὶ τοῦ περὶ τῶν ἐπάθλων ἀθλεῖν. καὶ τὸ κατὰ Ἰωσὴφ δὲ πίστεως μόνης ἐστίν. ὅτι γὰρ ἐπηγγείλατο τῷ Ἀβραάμ, [ὅτι ὑπέσχετο] σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην, ἤκουσεν ὁ Ἰωσήφ· καὶ ἐν ἀλλοτρίᾳ ὤν, καὶ οὐδέπω ὁρῶν ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν, οὐδὲ οὕτω κατέπεσεν, ἀλλ' οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξόδου εἰπεῖν, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι. οὐκ ἄρα μόνος αὐτὸς ἐπίστευσεν, ἀλλ' ἀεὶ καὶ τοὺς ἄλλους ἐνῆγεν εἰς πίστιν. διὰ τοῦτο καὶ ἐντέλλεται, ἵνα ἀεὶ τῆς ἐξόδου μεμνημένοι ὦσιν. οὐκ ἂν δὲ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο, εἰ μὴ πεπληροφόρητο ἔσεσθαι τὴν ἐπάνοδον. ὥστε ὅταν τινὲς λέγωσιν, ἰδοὺ καὶ δίκαιοι ἐφρόντισαν μνημείων· λέγωμεν πρὸς αὐτοὺς ὅτι διὰ τοῦτο, ἄλλως δὲ οὐδαμῶς. ᾔδει γὰρ ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Ψαλ. κγ. α. οὐκ ἂν οὖν ἐν τοσαύτῃ ζήσας φιλοσοφίᾳ τοῦτο ἠγνόησεν, [ὁ τὸν ἅπαντα χρόνον ἐν Αἰγύπτῳ ζήσας. καίτοιγε ἐξῆν, εἴγε ἐβούλετο, ἐπανελθεῖν, καὶ μὴ πενθῆσαι, μηδὲ δυσχερᾶναι. ἀλλὰ καὶ τὸν πατέρα ἐκεῖ ἀναγαγών, τίνος ἕνεκεν καὶ τὰ αὐτοῦ ὀστᾶ ἀναγαγεῖν ἐκεῖσε ἐπισκήψει; ἢ δῆλον ὅτι διὰ τοῦτο; τί δέ, εἰπέ μοι, τοῦ Μωϋσέως αὐτοῦ τὰ ὀστᾶ οὐκ ἐν ξένῃ κεῖται; τὰ δὲ Ἀαρών, τὰ δὲ τοῦ Δανιήλ, τὰ δὲ τοῦ Ἱερεμίου; τὰ δὲ τῶν ἀποστόλων οὐδὲ ἴσμεν τῶν πολλῶν ὅπου κεῖται. Πέτρου μὲν γάρ, καὶ Παύλου, καὶ Ἰωάννου, καὶ Θωμᾶ δῆλοι οἱ τάφοι· τῶν δὲ ἄλλων τοσούτων ὄντων, οὐδαμοῦ γνώριμοι γεγόνασι. μηδὲν τοίνυν ὑπὲρ τούτου κοπτώμεθα, μηδὲ οὕτω μικροψυχῶμεν. ὅπου γὰρ ἂν ταφῶμεν, τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. πάντως ὃ δεῖ γενέσθαι, γίνεται. τὸ μέντοι πενθεῖν, καὶ κόπτεσθαι τοὺς ἀπελθόντας, καὶ ὀδύρεσθαι, ἀπὸ μικροψυχίας γίνεται.

23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ.

Ὁρᾷς ὅτι οὐ ταῦτα τὰ μετὰ θάνατον ἤλπιζον ἐν τῇ γῇ; καὶ πολλὰ ἐκβέβηκε μετὰ θάνατον αὐτῶν. τοῦτο πρὸς τὸ λέγειν τινὰς μετὰ θάνατον γίνεσθαι ταῦτα ἐκείνοις, ὧν οὐκ ἔτυχον ζῶντες, οὔτε μετὰ θάνατον ἐπίστευον. καὶ οὐκ εἶπεν ὁ Ἰωσήφ, ζῶντί μοι τὴν γῆν οὐκ ἔδωκεν, οὐδὲ τῷ πατρὶ τῷ ἐμῷ, οὐδὲ τῷ πάππῳ τῷ ἐμῷ, οὗ καὶ τὴν ἀρετὴν αἰδεσθῆναι ἔδει· τούτους δὲ τοὺς μοχθηροὺς ἀξιώσει ὧν ἐκείνους οὐκ ἠξίωσεν; οὐδὲν τούτων εἶπεν, ἀλλὰ τῇ πίστει ταῦτα πάντα καὶ ἐνίκησε, καὶ ὑπερέβη. εἶπε τὸν Ἄβελ, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, πάντας ἐπιδόξους καὶ θαυμαστούς. * πάλιν αὔξει τὴν παράκλησιν, εἰς πρόσωπα εὐτελῆ κατάγων τὸ πρᾶγμα. τὸ μὲν γὰρ θαυμαστὰ πρόσωπα τοῦτο παθεῖν, θαυμαστὸν οὐδέν· καὶ τὸ ἐκείνων ἐλάττους φανῆναι, οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ τῶν ἀνωνύμων ἐλάττους ὀφθῆναι, τοῦτό ἐστι τὸ δεινόν. καὶ ἄρχεται ἀπὸ τῶν γονέων τοῦ Μωϋσέως, ἀσήμων τινῶν ἀνδρῶν, καὶ οὐδὲν τοσοῦτον ἐχόντων, ὅσον ὁ παῖς. διὰ τοῦτο καὶ προϊὼν αὔξει τὴν ἀτοπίαν, καὶ πόρνας γυναῖκας, καὶ χήρας καταλέγων. Πίστει γάρ, φησί, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. Εβρ. ια. λα. καὶ οὐ μόνον τῆς πίστεως, ἀλλὰ καὶ τῆς ἀπιστίας τίθησι τὰ ἐπίχειρα, ὡς ἐπὶ τοῦ Νῶε. πῶς δὲ περὶ τῶν γονέων τοῦ Μωϋσέως ἀναγκαῖον εἰπεῖν. πάντα τὰ ἄρρενα ἀπόλλυσθαι ἐκέλευσεν ὁ Φαραώ, καὶ οὐδεὶς ἐξέφυγε τὸν κίνδυνον. πόθεν οὖν οὗτοι προσεδόκησαν σῶσαι τὸ παιδίον; ἀπὸ πίστεως. ποίας πίστεως; Εἶδον, φησίν, ἀστεῖον τὸ παιδίον. Αὐτὴ ἡ ὄψις αὐτοὺς πρὸς τὴν πίστιν ἐπεσπάσατο. οὕτως ἄνωθεν, καὶ ἐξ αὐτῶν τῶν σπαργάνων, πολλὴ τῷ δικαίῳ ἡ χάρις ἐπεκέχυτο, οὐ τῆς φύσεως, ἀλλὰ τοῦ Θεοῦ, τοῦτο ἐργαζομένης. σκόπει γάρ· εὐθέως τεχθὲν καλὸν φαίνεται τὸ παιδίον, ἀλλ' οὐχὶ εἰδεχθές. τίνος οὖν ἦν τοῦτο; οὐ τῆς φύσεως, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ἣ καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα τὴν Αἰγυπτίαν διήγειρε, καὶ ἀνέρρωσε, καὶ εἷλε, καὶ ἐπεσπάσατο· καίτοιγε ἡ πίστις οὐχ ἱκανὴν εἶχεν ἐπὶ τύποις τὴν ὑπόθεσιν. τί γὰρ ἦν ἀπὸ τῆς ὄψεως.* πιστεῦσαι; ἀλλ' ὑμεῖς, φησίν, ἀπὸ πραγμάτων πιστεύετε, καὶ πολλὰ τῆς πίστεως ἐνέχυρα ἔχοντες. τὸ γὰρ μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν

ὑπαρχόντων

Λόγ. κϛ'. 20 ΠΙΣΤΕΙ * ΠΕΡΙ ΜΕΛΛΟΝΤΩΝ ΗΥΛΟΓΗΣΕΝ Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. 21 Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. 22 Πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο.

Ματθ. ιγ'. ιζ'. ΠΟλλοί, φησι, προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ἆρα πάντα τὰ μέλλοντα ᾔδεσαν οἱ δίκαιοι; καὶ σφόδρα. εἰ γὰρ καὶ διὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, οὐκ ἀπεκαλύπτετο ὁ Θεός· τοῖς ἐν ἀρετῇ διαλάμπουσιν ὅμως ἀπεκαλύπτετο. τοῦτο καὶ νῦν ὁ Παῦλός φησιν, ὅτι τὰ μέλλοντα ᾔδεσαν, τουτέστι, τὴν ἀνάστασιν τοῦ Χριστοῦ. ἢ οὐχὶ τοῦτό φησιν, ἢ δὲ πίστει, περὶ μελλόντων, οὐ περὶ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ τῶν ἐνταῦθα μελλόντων ὕστερον γίνεσθαι, λέγει. εἰ γὰρ μὴ τοῦτο, πῶς ἂν ἄνθρωπος καθήμενος ἐν ξένῃ, τοιαύτας εὐλογίας ἠδύνατο διδόναι; πῶς δαὶ πάλιν ἐπέτυχεν εὐλογίας, καὶ οὐκ ἔλαβεν αὐτήν; ὁρᾷς ὅτι ὅπερ ἔφην ἐπὶ μὲν τοῦ Ἀβραάμ, καὶ ἐπὶ τοῦ Ἰακὼβ ἔστιν εἰπεῖν, ὅτι οὐκ ἀπώνατο τῆς εὐλογίας, ἀλλ᾽ εἰς ἐκγόνους ἐξῆλθε τὰ τῆς εὐλογίας, αὐτὸς δὲ τῶν μελλόντων ἔτυχεν; εὑρίσκομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπολελαυκότα. ὁ μὲν γὰρ ἐν δουλείᾳ καὶ θητείᾳ καὶ κινδύνοις καὶ ἐπιβουλαῖς καὶ ἀπάταις καὶ φόβοις τὸν ἅπαντα διεγένετο χρόνον, ἐρωτώμενός τε παρὰ τοῦ Φαραώ, φησι, Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν· ἐκεῖνος δὲ

Γεν. μζ'. θ'. ἐν ἀδείᾳ καὶ αὐθεντίᾳ πολλῇ, καὶ μετὰ ταῦτα ἦν αὐτῷ φοβερός. ποῦ οὖν ἐξέβησαν αἱ εὐλογίαι, ἀλλ᾽ ἢ ἐν τῷ μέλλοντι; ὁρᾷς ὅτι ἄνωθεν οἱ πονηροὶ τῶν ἐνταῦθα ἀπήλαυον, οἱ δὲ δίκαιοι τοὐναντίον; οὐ μὴν πάντες. ἰδοὺ γὰρ ὁ Ἀβραὰμ δίκαιος ἦν, καὶ ἀπήλαυσε καὶ τῶν ἐνταῦθα, πλὴν μετὰ θλίψεως καὶ πειρασμῶν. καὶ γὰρ πλοῦτος ἦν αὐτῷ μόνον· ἐπεὶ τὰ ἄλλα πάντα θλίψεως ἔγεμε τὰ κατ᾽ αὐτόν. οὐ γάρ ἐστι τὸν δίκαιον μὴ θλίβεσθαι, καὶ πλουτῇ. ὅταν γὰρ βούληται πλεονεκτεῖσθαι, ἀδικεῖσθαι, τὰ ἄλλα πάσχειν, ἀνάγκη θλίβεσθαι. ὥστε καὶ ἀπολαύῃ τοῦ πλούτου, οὐκ ἀλύπως. τί δήποτε; ὅτι ἐν θλίψει ἐστὶ καὶ ὀδύνῃ. εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ μᾶλλον νῦν. πίστει περὶ μελλόντων, φησὶν, εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. καίτοιγε μείζων ἦν ὁ Ἡσαῦ· ἀλλὰ προτίθησιν ἀπὸ τῆς ἀρετῆς τὸν Ἰακώβ. ὁρᾷς ὅση ἦν ἡ πίστις; πόθεν γὰρ ἐπηγγείλατο τοῖς υἱοῖς τὰ τοσαῦτα ἀγαθά, ἢ ἀπὸ τοῦ πιστεύειν τῷ Θεῷ πάντως; πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν. ἐνταῦθα χρὴ θεῖναι τὰς εὐλογίας ὅλας, ἵνα καὶ ἡ πίστις καὶ ἡ προφητεία αὐτοῦ κατάδηλος γένηται. καὶ προσεκύνησε, φησιν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ἐνταῦθα δείκνυσιν, ὅτι οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς ἐσομένοις, ὡς καὶ τῷ ἔργῳ αὐτὸ ἐπιδεῖξαι. ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ Ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτό φησι, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. τουτέστι, καὶ γέρων ὢν, ἤδη προσεκύνει τῷ Ἰωσὴφ, τὴν παντὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν τὴν ἐσομένην αὐτῷ. καὶ τοῦτο ἐξέβη μὲν ἤδη, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν· ἐκβήσεσθαι δὲ ἔμελλε καὶ ὕστερον διὰ τῶν δέκα φυλῶν. ὁρᾷς πῶς τὰ ὕστερον ἐσόμενα προεῖπεν; ὁρᾷς ὅσην εἶχον πίστιν; πῶς ὑπὲρ τῶν ἐσομένων ἐπίστευον; τὰ μὲν γὰρ ὑπομονῆς ἐνταῦθά ἐστιν ὑποδείγματα μόνης, τὰ παρόντα, καὶ τοῦ παθεῖν κακῶς, καὶ τοῦ μηδὲν ἀπολαμβάνειν ἀγαθόν· οἷον, τὸ ἐπὶ τοῦ Ἀβραάμ, τὸ ἐπὶ τοῦ Ἄβελ· τὰ δὲ, πίστεως· οἷον ἐπὶ τοῦ Νῶε, ὅτι ἔστιν ὁ Θεός, ὅτι ἔστιν ἀνταπόδοσις. ἡ πίστις γὰρ πολύσημός ἐστι λέξις· καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο σημαίνει. ἐνταῦθα δὲ σημαντική ἐστι τοῦ τὸ εἶναι ἀνταπόδοσιν, καὶ τοῦ μὴ

ἐπὶ

γρ. …ται, ὅμως

γρ. Παῦλος ἀνταπ…

γρ. …ται, τὸ πίστει περὶ μελλόντων, λέγει, τουτέστι.

γρ. εὐλογίας εὐλόγει; καὶ πάλιν.

γρ. ἐγγόνους

γρ. αὐτ…

γρ. ἀδελφ…

γρ. πολύσημος ἐστιν ἡ πίστις

ἐπὶ τοῖς αὐτοῖς αὐτὴν ἀνάλωσεν πάντας, καὶ τοὺς περὶ τῶν ἐπάθλων ἀθλεῖ. καὶ τὰ κατὰ τὸν Ἰωσὴφ δὲ πίστεως μόνης ἐστίν. ὅτι γὰρ ἐπηγγείλατο τῷ Ἀβραάμ, [ὅτι ὑπέσχετο] σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην, ἤκουσεν ὁ Ἰωσήφ· καὶ ἐν ἀλλοτρίᾳ ὤν, καὶ οὐδέπω ὁρῶν ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν, οὐδὲ οὕτω κατέπεσεν, ἀλλ' οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξόδου εἰπεῖν, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι. οὐκ ἄρα μόνος αὐτὸς ἐπίστευσεν, ἀλλ' ἀεὶ καὶ τοὺς ἄλλους ἐνῆγεν εἰς πίστιν. διὰ τοῦτο καὶ ἐντέλλεται, ἵνα ἀεὶ τῆς ἐξόδου μεμνημένοι ὦσιν. οὐκ ἂν δὲ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο, εἰ μὴ πεπληροφόρητο ἔσεσθαι τὴν ἐπάνοδον. ὥστε ὅταν τινὲς λέγωσιν, ἰδοὺ καὶ δίκαιοι ἐφρόντισαν μνημείων· λέγωμεν πρὸς αὐτοὺς ὅτι διὰ τοῦτο, ἄλλως δὲ οὐδαμῶς. ᾔδει γὰρ ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Ψαλμ. κγ. α. οὐκ ἂν οὖν ἐν τοσαύτῃ ζήσας φιλοσοφίᾳ τοῦτο ἠγνόησεν, [ὁ τὸν ἅπαντα χρόνον ἐν Αἰγύπτῳ ζήσας. καίτοιγε ἐξῆν, εἴγε ἐβούλετο, ἐπανελθεῖν, καὶ μὴ πενθῆσαι, μηδὲ δυσχερᾶναι. ἀλλὰ καὶ τὸν πατέρα ἐκεῖ ἀναγαγών, τίνος ἕνεκεν καὶ τὰ αὐτοῦ ὀστᾶ ἀναγαγεῖν ἐκεῖθεν ἐπέσκηψεν; οὐ δῆλον ὅτι διὰ τοῦτο; τί δέ, εἰπέ μοι, τοῦ Μωϋσέως αὐτοῦ τὰ ὀστᾶ οὐκ ἐν ξένῃ κεῖται; τὰ δὲ Ἀαρών, τὰ δὲ τοῦ Δανιήλ, τὰ δὲ τοῦ Ἱερεμίου; τὰ δὲ τῶν ἀποστόλων οὐδὲ ἴσμεν τῶν πολλῶν ὅπου κεῖται. Πέτρου μὲν γάρ, καὶ Παύλου, καὶ Ἰωάννου, καὶ Θωμᾶ δῆλοι οἱ τάφοι· τῶν δὲ ἄλλων τοσούτων ὄντων, οὐδαμοῦ γνώριμοι γεγόνασι. μηδὲν τοίνυν ὑπὲρ τούτου κοπτώμεθα, μηδὲ οὕτω μικροψυχῶμεν. ὅπου γὰρ ἂν ταφῶμεν, τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. πάντως ὃ δεῖ γενέσθαι, γίνεται. τὸ μέντοι πενθεῖν, καὶ κόπτεσθαι τοὺς ἀπελθόντας, καὶ ὀδύρεσθαι, ἀπὸ μικροψυχίας γίνεται.

23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ.

Ὁρᾷς ὅτι ἐν τούτῳ τὰ μετὰ θάνατον ἤλπιζον ἐν τῇ γῇ; καὶ πολλὰ ἐξέβαινε μετὰ θάνατον αὐτῶν. τοῦτο πρὸς τὸ λέγειν τινὰς μετὰ θάνατον γίνεται ταῦτα ἐκείνοις, ὧν οὐκ ἔτυχον ζῶντες, ὅτι μετὰ θάνατον ἐπίστευον. καὶ οὐκ εἶπεν ὁ Ἰωσήφ, ζῶντί μοι τὴν γῆν οὐκ ἔδωκεν, οὐδὲ τῷ πατρί τῷ ἐμῷ, οὐδὲ τῷ πάππῳ τῷ ἐμῷ, οὗ καὶ τὴν ἀρετὴν αἰδεσθῆναι ἔδει· τούτους δὲ τοὺς μοχθηροὺς ἀξιώσει ὧν ἐκείνους οὐκ ἠξίωσεν; οὐδὲν τούτων εἶπεν, ἀλλὰ τῇ πίστει ταῦτα πάντα καὶ ἐνίκησε, καὶ ὑπερέβη. εἶπε τὸν Ἄβελ, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, πάντας ἐπιδόξους καὶ θαυμαστούς. * πάλιν αὔξει τὴν παράκλησιν, εἰς πρόσωπα εὐτελῆ κατάγων τὸ πρᾶγμα. τὸ μὲν γὰρ θαυμαστὰ πρόσωπα τοῦτο παθεῖν, θαυμαστὸν οὐδέν· καὶ τὸ ἐκείνων ἐλάττους φανῆναι, οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ ἀνωνύμων ἐλάττους ὀφθῆναι, τοῦτό ἐστι τὸ δεινόν. καὶ ἄρχεται ἀπὸ τῶν γονέων τοῦ Μωϋσέως, ἀσήμων τινῶν ἀνδρῶν, καὶ οὐδὲν τοσοῦτον ἐχόντων, ὅσον ὁ παῖς. διὰ τοῦτο καὶ προϊὼν αὔξει τὴν ἀτοπίαν, καὶ πόρνας γυναῖκας, καὶ χήρας καταλέγων. Πίστει γάρ, φησι, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. Ἑβρ. ια. λα. καὶ οὐ μόνον τῆς πίστεως, ἀλλὰ καὶ τῆς ἀπιστίας τίθησι τὰ ἐπίχειρα, ὡς ἐπὶ τοῦ Νῶε. πῶς δὲ περὶ τῶν γονέων τοῦ Μωϋσέως ἀναγκαῖον εἰπεῖν. πάντα τὰ ἄρρενα ἀπόλλυσθαι ἐκέλευσεν ὁ Φαραώ, καὶ οὐδεὶς ἐξέφυγε τὸν κίνδυνον. πόθεν οὖν οὗτοι προσεδόκησαν σῶσαι τὸ παιδίον; ἀπὸ πίστεως. ποίας πίστεως; Εἶδον, φησιν, ἀστεῖον τὸ παιδίον. Αὕτη ἡ ὄψις αὐτοὺς πρὸς τὴν πίστιν ἐπεσπάσατο. οὕτως ἄνωθεν, καὶ ἐξ αὐτῶν τῶν σπαργάνων, πολλὴ τῷ δικαίῳ ἡ χάρις ἐπεκέχυτο, οὐ τῆς φύσεως, ἀλλὰ τοῦ Θεοῦ, τοῦτο ἐργαζομένης. σκόπει γάρ· εὐθέως τεχθὲν καλὸν φαίνεται τὸ παιδίον, ἀλλ' οὐχὶ εἰδεχθές. τίνος οὖν ἦν τοῦτο; οὐ τῆς φύσεως, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ἣ καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα τὴν Αἰγυπτίαν διήγειρε, καὶ ἀνέρρωσε, καὶ εἷλε, καὶ ἐπεσπάσατο. καίτοιγε ἡ πίστις οὐχ ἱκανὴν εἶχεν ἐπὶ τύπον τὴν ὑπόθεσιν. τί γὰρ ἦν ἀπὸ τῆς ὄψεως * πιστεῦσαι; ἀλλ' ὑμεῖς, φησιν, ἀπὸ πραγμάτων πιστεύετε, καὶ πολλὰ τῆς πίστεως ἐνέχυρα ἔχοντες. τὸ γὰρ μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν

ὑπαρχόντων

ὑπαρχόντων προσδέξασθαι, καὶ ὅσα τοιαῦτα πίστεώς ἐστι, καὶ ὑπομονῆς. ἀλλ' ἐπειδὴ καὶ οὗτοι ἐπίστευσαν, εἶτα ὠλιγοψύχησαν, δείκνυσιν ὅτι καὶ ἡ πίστις ἡ ἐκείνων εἰς πολὺ παρετείνετο· οἷα ἡ τοῦ Ἀβραάμ, καίτοι τῶν πραγμάτων δοκούντων μάχεσθαι.

Καὶ οὐκ ἐφοβήθησαν, φησὶ, τὸ διάταγμα τοῦ βασιλέως. Καίτοιγε ἐκεῖνο ἠπείλει· τοῦτο δὲ ἁπλῶς ψιλή τις ἦν προσδοκία. καὶ τοῦτο μὲν τῶν γονέων ἦν· αὐτὸς δὲ ὁ Μωϋσῆς οὐδὲν εἰσήνεγκεν. εἶτα πάλιν οἰκεῖον αὐτοῖς τὸ ὑπόδειγμα, ἐπειδὴ λέγει, μᾶλλον δὲ ἐκείνων μεῖζον. ποῖον δὴ τοῦτο;

24 Πίστει γὰρ, φησὶ, Μωϋσῆς γενόμενος μέγας, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ,

25 Μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν·

26 Μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. Ὡς ἂν εἰ ἔλεγε πρὸς αὐτοὺς, οὐδεὶς ὑμῶν ἀφῆκε βασίλεια, καὶ βασίλεια λαμπρὰ, οὐ θησαυροὺς τοιούτους· οὐδὲ ἐξὸν εἶναι βασιλέως υἱὸν, κατεφρόνησε τούτου, καθὼς ὁ Μωϋσῆς πεποίηκε. καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκεν, ἐδήλωσεν εἰπὼν, ἠρνήσατο· τουτέστιν, ἐμίσησεν, ἀπεστράφη. τοῦ γὰρ οὐρανοῦ προκειμένου, περιττὸν ἦν τὰ βασίλεια θαυμάζειν τὰ Αἰγύπτου. καὶ βλέπε πῶς θαυμαστῶς αὐτὸ τέθεικεν ὁ Παῦλος. οὐκ εἶπε, μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν οὐρανὸν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς· ἀλλὰ τί; τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. τὸ γὰρ διὰ Χριστὸν ὀνειδίζεσθαι, βέλτιον ἡγήσατο τοῦ ἀνεῖσθαι. οὕτω καὶ τοῦτο αὐτὸ καθ' ἑαυτὸ μισθὸς ἦν. μᾶλλον ἑλόμενος, φησὶ, συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ. ὑμεῖς μὲν γὰρ ὑπὲρ ὑμῶν αὐτῶν πάσχετε, ἐκεῖνος δὲ ὑπὲρ ἄλλων εἵλετο· καὶ ἑκὼν ἑαυτὸν ἔρριψεν εἰς τοσούτους κινδύνους, ἐξὸν αὐτῷ καὶ εὐσεβεῖν, καὶ ἀπολαύειν τῶν ἀγαθῶν. ἢ πρόσκαιρον ἔχειν, φησὶν, ἁμαρτίας ἀπόλαυσιν. ἁμαρτίαν εἶπε τὸ μὴ θελῆσαι τοῖς ἄλλοις συγκακουχεῖσθαι. τοῦτο ἁμαρτίαν, φησὶν, ἐνόμισεν. εἰ τοίνυν ἐκεῖνος τὸ μὴ προθύμως συγκακουχηθῆναι τοῖς ἄλλοις, ἁμαρτίαν ἐνόμισε· μέγα ἄρα ἀγαθὸν ἡ κακουχία, ἐφ' ἣν ἀπὸ τῶν βασιλείων ἔρριψεν ἑαυτόν. ταῦτα δὲ ἐποίει, μεγάλα τινὰ προορῶν. διὸ καὶ οὕτως εἶπε· πλοῦτον μείζονα ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. τί ἐστι, τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ; τουτέστι, τὸ ὀνειδίζεσθαι τοιαῦτα οἷα ὑμεῖς, τὸν ὀνειδισμὸν ὃν ὁ Χριστὸς ὑπέμεινεν· ἢ ὅτι διὰ τὸν Χριστὸν ὑπέμεινεν, ὅτε ὑπὲρ τῆς πέτρας ἐλοιδορεῖτο, ἐξ ἧς ὕδωρ ἐξήγαγεν. ἡ δὲ πέτρα, φησὶν, ἦν ὁ Χριστός. (ά. Κορ. ι. δ.) πῶς δέ ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ; ὅτι καταπτυόμενοι τῶν πατρῴων ὀνειδιζόμεθα, ὅτι πάσχομεν κακῶς Θεῷ προσδραμόντες. εἰκὸς δὲ ἦν κἀκεῖνον ὀνειδίζεσθαι, ὅτε ἤκουσε, Μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; (Ἐξοδ. β. ιδ.) τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, τὸ μέχρι τέλους καὶ ἐσχάτης ἀναπνοῆς πάσχειν κακῶς, ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουεν, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, (Ματθ. κζ. μ.) ὑπὸ τούτων ὑπὲρ ὧν ἐσταυροῦτο, ὑπὸ τούτων τῶν συμφυλετῶν. τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, ὅταν τις παρὰ οἰκείων, ὅταν τις παρὰ ὧν εὐεργετεῖ, ὀνειδίζηται. καὶ γὰρ ἐκεῖνος παρὰ τοῦ εὐεργετηθέντος ταῦτα ἔπασχεν. ἐνταῦθα αὐτοὺς ἀνέστησε, δεικνὺς ὅτι καὶ ὁ Χριστὸς ταῦτα ἔπαθε, καὶ ὁ Μωϋσῆς, δύο πρόσωπα ἔνδοξα· ὥστε τοῦ Χριστοῦ μᾶλλόν ἐστιν οὗτος ὁ ὀνειδισμὸς, ἢ τοῦ Μωϋσέως, ἐπειδὴ παρὰ τῶν ἰδίων τοιαῦτα ἔπαθεν. ἀλλ' οὔτε ἐκεῖνος ἔπαθέ τι, οὔτε οὗτος κεραυνοὺς ἠφίει, ἀλλ' ὠνειδίζετο, καὶ ἔφερε πάντα, κινούντων ἐκείνων τὰς κεφαλάς. ἐπεὶ οὖν εἰκὸς ἦν τοιαῦτα ἀκούειν καὶ αὐτοὺς, καὶ ἐπιθυμεῖν τὴν ἀνταπόδοσιν, λέγει ὅτι καὶ ὁ Χριστὸς καὶ ὁ Μωϋσῆς τοιαῦτα πεπόνθασιν. ἄρα οὖν ἡ μὲν ἄνεσις, τῆς ἁμαρτίας ἐστί· τὸ δὲ ὀνειδίζεσθαι, τοῦ Χριστοῦ. τί γὰρ βούλει; τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἢ τὴν ἄνεσιν;

27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως. τὸν γὰρ ἀόρα-

τον

τον ὡς ὁρῶν ἐκαρτέρησε. Τί λέγεις; ὅτι οὐκ ἐφοβήθη; καὶ μὴν ἡ γραφὴ τοῦτό φησιν, ὅτι ἀκούσας ἐφοβήθη, καὶ διὰ τοῦτο φυγῇ τὴν σωτηρίαν "ἐποιήσατο, καὶ ἀπέδρα, καὶ "ὑπεξέκλεψεν ἑαυτόν, καὶ * μετὰ ταῦτα περιδεὴς ἦν. πρόσεχε μετὰ ἀκριβείας τῷ εἰρημένῳ· τὸ, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, πρὸς τὸ καὶ πάλιν ἐπιστῆναι εἴρηκε. φοβουμένου γὰρ ἦν μὴ ἅψασθαι τῆς προστασίας πάλιν, μηδὲ ἐγχειρῆσαι τῷ πράγματι. τὸ μέντοι ἅψασθαι πάλιν, τῷ Θεῷ τὸ πᾶν ἐπιτρέποντος ἦν. οὐ γὰρ εἶπεν [ὅτι] ζητεῖ με, καὶ περιεργάζεται, καὶ οὐκ ἀνέχομαι πάλιν τῶν αὐτῶν ἅψασθαι. ὥστε καὶ τὸ φυγεῖν, πίστεως ἦν. τί οὖν οὐκ ἔμεινε, φησίν; ὥστε μὴ εἰς πρόδηλον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν. τοῦτο γὰρ λοιπὸν πειράζοντος ἦν, τὸ ἅλλεσθαι εἰς μέσους κινδύνους, καὶ λέγειν, ἴδω εἰ σώζει με ὁ Θεός. τοῦτο καὶ τῷ Χριστῷ εἶπεν ὁ διάβολος· Ῥῖψον σεαυτὸν κάτω. ὁρᾷς ὅτι τοῦ διαβολικόν ἐστι, τὸ εἰκῇ καὶ μάτην ῥίπτειν ἑαυτὸν εἰς κινδύνους, καὶ πειράζειν εἰ σώζει ὁ Θεός; προεστάναι γὰρ αὐτῶν οὐκέτι ἠδύνατο, οὕτως ἀγνωμόνως τῶν εὐεργετουμένων διακειμένων. μωρὸν τοίνυν ἦν, καὶ "ἀνόητον, μένειν αὐτόθι. ταῦτα δὲ πάντα γέγονε, διότι ὡς ὁρῶν τὸν ἀόρατον, οὕτως ἐκαρτέρει.

Ἐξοδ. β. — Ματθ. δ. ς.

χ. ἐχρήσατο, χ. ἔκλεψεν ° ὅμως — χ. ἀνόητον,

ΗΘΙΚΟΝ

Ἂν τοίνυν καὶ ἡμεῖς ὁρῶμεν ἀεὶ τὸν Θεὸν τῷ νῷ, ἂν ἀεὶ ἐν τῇ μνήμῃ αὐτοῦ στρέφωμεν τὴν διάνοιαν, πάντα ἡμῖν "ῥᾷστα φανεῖται, πάντα φορητά, πάντα εὐκόλως οἴσομεν, πάντων ἀνώτεροι γενησόμεθα. εἰ γὰρ ἀγαπώμενόν τις ὁρῶν, μᾶλλον δὲ μεμνημένος τούτου, διανίσταται τὴν ψυχήν, καὶ ὑψηλὸς γίνεται τὴν διάνοιαν, καὶ πάντα εὐκόλως φέρει ἐντρυφῶν τῇ μνήμῃ· ὁ τὸν ὄντως ἀγαπῆσαι ἡμᾶς καταξιώσαντα ἔχων ἐν διανοίᾳ, καὶ μεμνημένος αὐτοῦ, πότε ἢ λυπηροῦ τινος αἰσθήσεται, ἢ φοβερόν τι καὶ ἐπικίνδυνον φοβηθήσεται; πότε δὲ ὀλιγοψυχήσει; οὐδέποτε. πάντα γὰρ ἡμῖν δύσκολα φαίνεται, ὅτι τοῦ Θεοῦ τὴν μνήμην οὐκ ἔχομεν, ὡς ἔχειν δεῖ· ὅτι οὐ περιφέρομεν αὐτὸν ἐν τῇ διανοίᾳ διαπαντός. εἴποι γὰρ ἂν δικαίως πρὸς ἡμᾶς, ἐπελάθου μου σύ, ἐπιλήσομαί σου κἀγώ. ὥστε διπλοῦν τὸ κακὸν γίνεται, ὅτι καὶ ἡμεῖς αὐτοῦ ἐπιλανθανόμεθα, καὶ * αὐτὸς ἡμῶν. ταῦτα γὰρ δύο ἐστὶν ἀλλήλοις μὲν συμπεπλεγμένα, δύο δὲ ὅμως ἐστί. μέγα μὲν "γὰρ τὸ καὶ ἡμᾶς ἐν μνήμῃ ποιεῖσθαι τοῦ Θεοῦ, μέγα δὲ καὶ τὸ μνημονεύεσθαι αὐτὸν παρ' ἡμῶν. τοῦτο ποιεῖ αἱρεῖσθαι τὰ ἀγαθά· ἐκεῖνο δὲ ἀνύειν, καὶ εἰς τέλος ἄγειν. διὰ τοῦτό φησιν ὁ προφήτης, Μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ. ταῦτά φησιν ὁ λαὸς ὁ ἐν Βαβυλῶνι, ἐκεῖ ὢν μνησθήσομαί σου. καὶ ἡμεῖς τοίνυν ὥσπερ ἐν Βαβυλῶνι ὄντες τὰ αὐτὰ λέγωμεν. εἰ γὰρ [καὶ] μὴ μεταξὺ τῶν πολεμίων καθήμεθα, ἀλλὰ μεταξὺ τῶν ἐχθρῶν ἐσμεν. τινὲς μὲν γὰρ ὡς αἰχμάλωτοι ἐκάθηντο· τινὲς δὲ οὐδὲ ᾐσθάνοντο τῆς αἰχμαλωσίας, ὡς ὁ Δανιήλ, ὡς οἱ τρεῖς παῖδες· οἳ καὶ ἐν αἰχμαλωσίᾳ ὄντες, αὐτοῦ τοῦ αἰχμαλωτεύσαντος αὐτοὺς βασιλέως ἐγίνοντο λαμπρότεροι, ἐν αὐτῇ τῇ χώρᾳ ἐκείνῃ. καὶ τοὺς αἰχμαλώτους γὰρ ὁ αἰχμαλωτεύσας προσεκύνει. εἶδες ὅσον ἀρετή ἐστιν; ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ οὓς ἐθεράπευσεν ὡς δεσπότας. ἆρα ἐκεῖνος [ὁ] αἰχμάλωτος ἦν, μᾶλλον ἢ οὗτοι. οὐκ ἦν οὕτω θαυμαστόν, εἰ ἐν τῇ πατρίδι ὄντας ἐλθὼν προσεκύνησε τῇ "ἑαυτῶν, ἢ βασιλεύοντας ἐκεῖ. τὸ δὲ θαυμαστόν, ὅτι δεσμεύσας αὐτούς, καὶ λαβὼν αἰχμαλώτους, καὶ ἔχων ἐν τῇ ἑαυτοῦ ἐξουσίᾳ, πάντων ὁρώντων οὐκ ᾐσχύνετο προσκυνῆσαι, καὶ μάνναα σπεῖσαι *. ὁρᾶτε ὅτι τὰ ὄντως λαμπρὰ πράγματα τὰ τοῦ Θεοῦ ἐστι, τὰ δὲ ἀνθρώπινα σκιά; ἠγνόει ἄρα δεσπότας ἀπάγων "ἑαυτῷ, καὶ οὓς εὐθέως προσκυνεῖν ἐνέβαλεν εἰς κάμινον· ἀλλ' ὡς ὄναρ ταῦτα ἐκείνοις ἦν. φοβηθῶμεν οὖν, ἀγαπητοί, τὸν Θεόν, φοβηθῶμεν· κἂν ἐν αἰχμαλωσίᾳ ὦμεν, πάντων ἐσόμεθα λαμπρότεροι. φόβος ἔστω Θεοῦ, καὶ οὐδὲν ἔσται λυπηρόν, κἂν πενίαν εἴπῃς, κἂν νόσον, κἂν αἰχμαλωσίαν, κἂν δουλείαν, κἂν ὁτιοῦν τῶν λυπηρῶν· ἀλλὰ καὶ αὐτὰ ἐκεῖνα ἡμῖν συνεργήσει πρὸς τὰ ἐναντία. αἰχμάλωτοι ἦσαν οὗτοι, καὶ προσεκύνησεν αὐτοῖς ὁ βασιλεύς· σκηνοποιὸς ἦν

Ψαλμ. μα. η.

χ. εἰσί — ° ἐπὶ χ. τὸ ποιεῖν ἡ μνήμη τοῦ — χ. αὐτῶν, οἱ βασιλ. — ° κελεῦσαι αὐτῷ — χ. ἑαυτοῦ

ἦν ὁ Παῦλος, καὶ ἔθυον αὐτῷ ὡς Θεῷ. ἐνταῦθα ζήτημα ἀνακύπτει. ἐρωτῶσι γὰρ πολλοὶ
λέγοντες, τί δήποτε ὁ μὲν ἀπόστολος τὰς θυσίας ἀπέστρεψεν, καὶ διέρρηξεν αὐτῶν τὰ ἱμάτια, καὶ
Πράξ. ιδ´ ιε. ἀπήγαγεν αὐτοὺς τῆς ἐπιχειρήσεως, καὶ ἀπεδύρετο λέγοντες, Τί ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπα-
θεῖς ὑμῖν ἐσμεν ἄνθρωποι· ὁ δὲ Δανιὴλ οὐδὲν τοιοῦτον ἐποίησεν. ὅτι γὰρ καὶ αὐτὸς ταπεινὸς
ἦν, καὶ τούτων οὐχ ἧττον ἀνέφερε τῷ Θεῷ δόξαν, πολλαχόθεν δῆλον. μάλιστα μὲν γὰρ καὶ πρῶ-
τον καὶ ἐξ αὐτοῦ τοῦ φιλεῖσθαι παρὰ τοῦ Θεοῦ, τοῦτο δῆλον. οὐ γὰρ ἂν αὐτὸν ὑπερεπαιρόμενον ὁ
Θεὸς τὴν τιμὴν ἐκείνην ἠξίωσεν, οὐ λέγω εὐδοκιμῆσαι. δεύτερον, ὅτι καὶ μετὰ πολλῆς τῆς παρ-
ρησίας ἔλεγε, Καὶ ἐμοί, βασιλεῦ, οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη τὸ μυστήριον
Δαν. β´. λ´. τοῦτο. καὶ τρίτον πάλιν, ὅτι ἐν λάκκῳ ἦν διὰ τὸν Θεόν· καὶ ἐπειδὴ τροφὴν αὐτῷ ἐκόμισεν ὁ
προφήτης, φησίν, Ἐμνήσθη γάρ μου ὁ Θεός. οὕτως ἦν ταπεινὸς καὶ συντετριμμένος· ἐν
Δαν. ιδ´. λζ´. λάκκῳ ἦν διὰ τὸν Θεόν, καὶ ἀνάξιον ἑαυτὸν ἡγεῖτο τῆς μνήμης, καὶ τοῦ ἀκουσθῆναι. ἡμεῖς δὲ
μυρία τολμῶντες μιαρά, καὶ πάντων ὄντες μιαρώτεροι, ἐὰν μὴ ἐκ πρώτης εὐχῆς ἀκουσθῶ-
μεν, ἀναχωροῦμεν. οὕτως πολὺ τὸ μέσον ἐκείνων καὶ ἡμῶν, ὅσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν,
καὶ εἴ τι πλέον. τί λέγεις; μετὰ τοσαῦτα κατορθώματα, μετὰ τὸ ἐν λάκκῳ γενόμενον θαῦ-
μα, οὕτω σεαυτὸν ταπεινὸν ἡγῇ; ναί, φησιν. ὅσα γὰρ ἂν ἐργασώμεθα, ἀχρεῖοι δοῦλοί ἐσμεν.
Λουκ. ιζ´ ι´. οὕτω προλαβὼν τὸ εὐαγγελικὸν παράγγελμα ἐπλήρου, καὶ οὐδὲν ἡγεῖτο ἑαυτόν. ἐμνήσθη
γάρ μου ὁ Θεός, ἔλεγε. καὶ ἡ εὐχὴ αὐτοῦ ὅρα πάλιν ὅσης ταπεινοφροσύνης γέμει. οὕτω καὶ οἱ
Δαν. γ´. κθ´. τρεῖς παῖδες ἔλεγον· Ἡμάρτομεν, ἠνομήσαμεν, καὶ πανταχοῦ τὸ ταπεινὸν ἑαυτῶν * ἀνακη-
ρύσσουσι. καίτοιγε εἶχεν ὁ Δανιὴλ μυρίας ἀφορμὰς τοῦ ἐπαίρεσθαι· ἀλλ' ᾔδει ὅτι καὶ ταῦτα
αὐτῷ ὑπῆρχεν ἀπὸ τοῦ μὴ ἐπαίρεσθαι, καὶ οὐ διέφθειρε τὸν θησαυρόν. παρὰ πάντας γὰρ
ἀνθρώπους ᾔδετο, καὶ ἐν τῇ οἰκουμένῃ πάσῃ. οὐκ ἐπὶ τούτοις ᾔδετο μόνον, ὅτι ῥίψας ἑαυτὸν εἰς
πρόσωπον ὁ βασιλεὺς ἔσπεισεν αὐτῷ, ἀλλ' ὅτι καὶ Θεὸν ἐνόμισεν αὐτὸν ὁ πανταχοῦ τῆς γῆς
ὡς Θεὸς τιμώμενος. πάσης γὰρ αὐτὸς ἐκράτει· καὶ δῆλον ἀπὸ τῶν Ἱερεμίου. Ὡς ἀναβαλ-
Ἱερ. κζ´. ς´. λόμενος γάρ, φησι, τὴν γῆν, ὡς ἱμάτιον. καὶ πάλιν, Ἐγὼ ἔδωκα αὐτὴν Ναβουχοδονόσορ τῷ
δούλῳ μου. καὶ ἐξ ὧν ἐπιστέλλει δῆλον τοῦτο πάλιν, ὅτι οὐκ ἐκεῖ μόνον ἐθαυμάζετο, ἔνθα ἦν,
ἀλλὰ καὶ πανταχοῦ, καὶ μείζων ἦν ἀκουόμενος, ἢ εἰ παρόντα εἶδον αὐτὸν τὰ λοιπὰ ἔθνη, ὁπότε
καὶ διὰ γραμμάτων ὡμολόγησε τὴν δουλείαν καὶ τὸ θαῦμα. ἀλλ' ὅμως καὶ ἐπὶ σοφίᾳ πά-
λιν ἐθαυμάζετο. Μὴ σοφώτερος γὰρ εἶ, φησι, σὺ τοῦ Δανιήλ; καὶ μετὰ ταῦτα πάντα οὕτως
Ἰεζεκ. κη´. γ´. ἦν ταπεινός, ὡς μυριάκις διὰ τὸν δεσπότην ἀποθανεῖν. τί δήποτ' οὖν οὕτω ταπεινὸς ὤν,
οὐ διεκρούσατο, οὔτε τὴν προσκύνησιν τὴν παρὰ τοῦ βασιλέως, οὔτε τὰς σπονδάς; οὐκ οὐκ
ἐρῶ. ἀρκεῖ γάρ μοι τὸ ζήτημα μόνον εἰπεῖν· τὸ δὲ λοιπὸν ὑμῖν ἀφίημι, ἵνα κἂν οὕτω δια-
ναστήσω ὑμῶν τὴν διάνοιαν. ἐκεῖνο μέντοι προλέγω, πάντα διὰ τὸν τοῦ Θεοῦ φόβον αἱρεῖ-
σθαι, ὑποδείγματα τοιαῦτα ἔχοντας· καὶ ὅτι οὕτως καὶ τῶν ἐνταῦθα ἐπιτευξόμεθα, ἐὰν τῶν
μελλόντων γνησίως ἀντιλαβώμεθα. ὅτι γὰρ οὐκ ἀπονοίᾳ τοῦτο ἐποίησε, δῆλον ἀπὸ τοῦ εἰ-
Δαν. ε´ ιζ´. πεῖν, Τὰ δόματά σου σοὶ ἔστω. καὶ γὰρ καὶ τοῦτο πάλιν ἕτερον ζήτημα, πῶς τῷ λόγῳ δια-
κρουόμενος, διὰ τῶν ἔργων ἐδέξατο τὴν τιμήν, καὶ ἐφόρεσε τὸν μανιάκην. καὶ ὁ μὲν
Πράξ. ιβ´ κβ´. Ἡρώδης ἀκούσας, Φωνὴ Θεοῦ, καὶ οὐκ ἀνθρώπου, ἐπειδὴ μὴ ἔδωκε δόξαν τῷ Θεῷ,
διερράγη, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ. οὗτος δὲ καὶ Θεοῦ τιμὴν προσήκατο, οὐχὶ ῥή-
ματα μόνον. ἐνταῦθα ἀναγκαῖον εἰπεῖν. τί δή τοῦτό ἐστι; ὅτι ἐκεῖθεν μὲν εἰς εἰδωλολα-
τρείαν ἐξέπιπτον οἱ ἄνθρωποι μείζονα· ἐντεῦθεν δὲ οὐκέτι. πῶς; τὸ γὰρ νομισθῆναι τοῦτον
τοιοῦτον, τιμὴ εἰς τὸν Θεὸν ἦν. διὰ γὰρ τοῦτο προλαβὼν εἶπε, καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ
τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη. ἄλλως δέ, οὐδὲ φαίνεται προσιέμενος τὰς σπονδάς. Εἶπε
μὲν γάρ, φησιν, οἷς χρὴ σπεῖσαι· οὔπω δὲ δῆλον ἐγένετο, εἰ καὶ τὸ ἔργον παρηκολούθησεν. ἐκεῖ
δὲ ἤνεγκαν, ὥστε αὐτοῖς ταύρους καταθῦσαι. καὶ ἐκάλουν τὸν μέν, Δία· τὸν δέ, Ἑρμῆν. τὸν

μέν

μὲν οὕτω μανιακὴν περιεποιήσατο, ἵνα δῆλον ἑαυτὸν ποιήσῃ· τὸ μὲν γὰρ αὐτὸ δεῖν διὰ τί μὴ φαίνεται διαχειρούμενος; καὶ γὰρ ἐκεῖ οὐκ ἐποίησεν, ἀλλ' ἐπεχείρησε, καὶ ἐκωλύθησαν οἱ ἀπόστολοι. ὥσπερ καὶ ἐνταῦθα ἔδει εὐθέως διαχειρίσασθαι· καὶ ἐκεῖ μὲν δῆμος ὁλόκληρος ἦν· ἐνταῦθα δὲ στρατηγός. τί οὖν αὐτὸν οὐκ ἀπήγαγε; παραλαβὼν εἶπεν, ὅτι οὐχ ὡς Θεῷ ἐπέμφθη ἐπὶ ἀποστροφῇ τοῦ σεβάσματος, ἀλλ' ἐπὶ μείζονι θαύματι. πῶς; ὅτι τὸν Θεὸν εἶχεν. διὰ τὸ πρᾶγμα τέθεικεν, ὁμολογῶν αὐτοῦ τὴν δεσποτείαν. ὥστε οὐκ ἠρώτησε ἰάζειν τὴν τιμὴν. ἐκεῖνοι τοίνυν οὐχ οὕτως, ἀλλ' ὡς τὸν ἐνόμιζον εἶναι [τὸν] θεούς. διὰ τοῦτο διερρήξαντο ἄλλως δὲ, καὶ προσεκύνησεν ἐνταῦθα, τότε ταῦτα ποιεῖ. οὐδὲ γὰρ ὡς Θεῷ προσεκύνησεν, ἀλλ' ὡς ... σοφῷ. οὐ δῆλον δὲ οὐδὲ ὅτι ἔκαυσεν. εἰ δὲ καὶ ἐκαύθη, ἀλλ' οὐ διὰ χειρὸς τοῦ Δανιήλ. ... ὅτι αὐτὸν καὶ Βαλτάσαρ ἐκάλεσεν, τοῦ Θεοῦ αὐτοῦ τὸ ὄνομα· οὕτως οὐδὲν θαῦμα ἦν ... τοῖς θεοῖς, ὅπου γε καὶ τὸν αἰχμάλωτον οὕτως ἐκάλει ὁ πάλαι ... τὴν Σίβυλλαν προσκυνῶν τὴν παντοδαπὴν καὶ ποικίλην, καὶ τὸν δράκοντα σέβων. καὶ ἐκείνως πάλιν ἄλλοι ... περὶ οἱ Βαβυλώνιοι τοὺς ἐν Λύστρᾳ· διὸ οὐκ ἐνῆν εὐθέως ἀναγκάσαι αὐτὸν εἰς τοῦτο. καὶ πολλὰ ἄν τις εἴποι· τέως δὲ ταῦτα ἀρκεῖ. εἰ τοίνυν βουλώμεθα πάντων ἐπιτυχεῖν τῶν ἀγαθῶν, τὰ κατὰ Θεὸν ζητῶμεν. ὥσπερ γὰρ οἱ τὰ τοῦ κόσμου ζητοῦντες, καὶ τούτων καὶ ἐκείνων ἐκπίπτουσιν· οὕτως οἱ τὰ κατὰ Θεὸν προτιμῶντες, ἀμφοτέρων ἐπιτυγχάνουσι. μὴ δὴ ταῦτα λοιπὸν ζητῶμεν, ἀλλ' ἐκεῖνα· ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. κζ. 28 ΠΙΣΤΕΙ ΠΕΠΟΙΗΚΕ ΤΟ ΠΑΣΧΑ ΚΑΙ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν.

29 Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι, κατεπόθησαν.

30 Πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

ΠΟλλὰ μεταξὺ κατασκευάζειν ὁ Παῦλος εἴωθε, καὶ πυκνός ἐστι τοῖς νοήμασι. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χάρις· οὐκ ἐν πλήθει λόγων ὀλίγα περιέχει νοήματα, ἀλλὰ βραχύτητι ῥημάτων μεγάλην καὶ πολλὴν διάνοιαν ἐντίθησιν. ὅρα γοῦν πῶς ἐν τάξει παρακλήσεως [καὶ] περὶ πίστεως διαλεγόμενος, οἷον ὑπομιμνήσκει τύπου καὶ μυστηρίου, οὗ τὴν ἀλήθειαν ἔχομεν. πίστει, φησὶ, πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν. τί δέ ἐστιν ἡ πρόσχυσις τοῦ αἵματος; πρόβατον ἐθύετο κατ' οἰκίαν, καὶ τὸ αἷμα αὐτοῦ ἐπεχρίετο ταῖς φλιαῖς, καὶ τοῦτο ἦν ἀποτείχισις τῆς ἀπωλείας τῆς Αἰγυπτιακῆς. εἰ τοίνυν αἷμα προβάτου, ἐν μέσοις Αἰγυπτίοις, καὶ ἐν ὀλέθρῳ τοσούτῳ ἀσινεῖς διεφύλαξε τοὺς Ἰουδαίους· πολλῷ μᾶλλον διασώσει ἡμᾶς, οὐκ ἐν ταῖς φλιαῖς, ἀλλ' ἐπὶ ταῖς ψυχαῖς τὸ αἷμα ἐπιχριόμενον τοῦ Χριστοῦ. καὶ γὰρ καὶ νῦν ὁ ὀλοθρεύων ἐν τῇ βαθείᾳ νυκτὶ ταύτῃ περιέρχεται. ἀλλ' ὁπλιζώμεθα ἐκείνῃ τῇ θυσίᾳ. πρόσχυσιν τὴν χεῖρα καλεῖ. ἀπὸ γὰρ Αἰγύπτου ἐξήγαγεν ἡμᾶς ὁ Θεὸς, ἀπὸ τοῦ σκότους, ἀπὸ τῆς εἰδωλολατρείας. καίτοι τὸ γινόμενοι οὐδέν ἐστι· τὸ δὲ κατορθούμενοι, μέγα. τὸ μὲν γὰρ γινόμενοι, αἷμα· τὸ δὲ κατορθούμενοι, σωτηρία, τὸ ἐμφράξις, τὸ κώλυμα ἀπωλείας. ἐφοβήθη τὸ αἷμα ὁ ἄγγελος· ᾔδει γὰρ τίνος ἦν τύπος· ἔφριξε, τὸν δεσποτικὸν θάνατον ἐννοήσας· διὰ τοῦτο οὐκ ἔθιγε τῶν φλιῶν. εἶπε Μωϋσῆς, χρίσατε

τι; καὶ ἐχρίσαντο, καὶ ἐθαῤῥήσατε χρίσαντες. ὑμεῖς δὲ αὐτοῦ τοῦ ἀμνοῦ ἔχοντες τὸ αἷμα, οὐ θαῤῥεῖτε; πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς. πάλιν λαὸν ὁλόκληρον παραβάλλει λαῷ, ἵνα μὴ λέγωσιν, ὅτι οὐ δυνάμεθα κατὰ τοὺς ἁγίους γενέσθαι. πίστει, φησὶ, διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεποντίσθησαν. ἐνταῦθα αὐτοὺς καὶ εἰς ὑπόμνησιν ἄγει τῶν παθημάτων τῶν ἐν Αἰγύπτῳ. πῶς πίστει; ὅτι ἤλπισαν διὰ τῆς θαλάσσης διαβήσεσθαι, καὶ διὰ τοῦτο ηὔξαντο· μᾶλλον δὲ Μωϋσῆς ἦν ὁ εὐχόμενος. ὁρᾷς ὅτι πανταχοῦ ἡ πίστις τοὺς λογισμοὺς ὑπερβαίνει τοὺς ἀνθρωπίνους, καὶ τὴν ἀσθένειαν, καὶ τὴν ταπεινότητα. ὁρᾷς, ὁμοῦ καὶ ἐπίστευον, καὶ τὴν κόλασιν ἐνδεδείχασιν εἴτε τῷ αἵματι τὴν θυραν, εἴτε τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ τοῦτο ἐδήλου, ὅτι ὕδωρ ἦν, διὰ τῶν ἐμπεσόντων καὶ ἀποπνιγέντων, καὶ ὅτι οὐκ ἦν φαντασία, ἀλλ' ἀλήθεια. ὥσπερ δὲ ἐπὶ τῶν λεόντων οἱ ἀναλωθέντες ἐδείκνυον * τῶν πραγμάτων τὴν ἀλήθειαν, καὶ ἐπὶ τῆς καμίνου οἱ καέντες· οὕτω καὶ νῦν ὁρᾷς ταὐτὰ τὰ πράγματα, τοῖς μὲν πρὸς σωτηρίας καὶ εὐδοκιμήσεως, τοῖς δὲ πρὸς ἀπωλείας γινόμενα. τοσοῦτόν ἐστιν ἡ πίστις ἀγαθόν. καὶ γὰρ ὅταν εἰς ἀμηχανίαν ἐμπίπτωμεν, τότε ἀπαλλαττόμεθα, κἂν πρὸς αὐτὸν τὸν θάνατον ἔλθωμεν, κἂν ἀπογνωσθῇ τὰ καθ' ἡμᾶς. τί γὰρ ἄλλο ἦν λοιπόν; Αἰγύπτιοι καὶ θάλασσα αὐτοὺς ἀπλόοις ἐκύκλουν, καὶ ἢ ἀποπνιγῆναι ἔμελλον φανέντες, ἢ εἰς τὰς Αἰγυπτιακὰς χεῖρας ἐμπεσεῖν. ἀλλ' ὅμως ἀπὸ ἀμηχάνων αὐτοὺς διέσωσε. τὸ αὐτὸ ὕδωρ τοῖς μὲν ὑπεστρώννυτο, καθάπερ γῆ, τοὺς δὲ κατεπόντιζε καθάπερ θάλαττα. ἐκεῖ μὲν τῆς φύσεως ἐπελανθάνετο, ἐνταῦθα δὲ καὶ ὡπλίζετο κατ' αὐτῶν. πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. οὐ γὰρ δὴ σαλπίγγων ἠχὴ λίθους οἵα τε καταβάλλειν ἐστί, κἂν μυρία τις ἔτη σαλπίζῃ, ἀλλ' ἡ πίστις πάντα δύναται. ὁρᾷς πανταχοῦ, οὐχὶ ἀκολουθίᾳ, οὐδὲ φύσεως νόμῳ μεταβαλλομένην αὐτὴν, ἀλλὰ παρὰ προσδοκίαν ἅπαντα γινόμενα; οὐκοῦν καὶ ἐνταῦθα παρὰ προσδοκίαν ἅπαντα ἦν. ἐπεὶ γὰρ εἶπε καὶ κατέλεξεν, ὅτι δεῖ πιστεύειν ταῖς ἐλπίσι ταῖς μελλούσαις, εἰκότως τοῦτο ἀπ' αὐτῶν λέγει ἐκείνων, δεικνὺς ὅτι οὐ νῦν, ἀλλὰ καὶ ἐξ ἀρχῆς πάντα τὰ θαύματα διὰ ταύτης ἤνυσται καὶ κατώρθωται. πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. οὐκοῦν αἰσχρὸν, εἰ καὶ πόρνης ἀπιστότεροι φανείητε· καίτοιγε ἐκείνη τῶν ἀνδρῶν ἤκουσεν ἀπαγγελλόντων, καὶ εὐθέως ἐπίστευσε. εἶτα ἐρωτῶ καὶ τὸ τέλος ἐπηκολούθησε. πάντων γὰρ ἀπολωλότων, μόνη διεσώθη. οὐκ εἶπε πρὸς ἑαυτὴν, ὅτι μετὰ πολλῶν ἔσομαι τῶν ἐμῶν, οὐκ εἶπεν, ἐγὼ τοσούτων φρονιμωτέρα δύναμαι εἶναι ἀνδρῶν συνετῶν, οἵτινες ἀπιστοῦσι, καὶ ἐγὼ πιστεύσω; οὐδὲν τοιοῦτον, ὅπερ εἰκὸς ἦν ἄλλους καὶ εἰπεῖν καὶ παθεῖν, ἀλλὰ τοῖς λεγομένοις ἐπίστευσε.

32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος.

Οὐκέτι λοιπὸν τὰ ὀνόματα τίθησιν· ἀλλὰ πλατύνας εἰς τὴν πόρνην, καὶ ἐντρέψας διὰ τῆς τοῦ προσώπου ποιότητος, οὐκέτι πλατύνει τὰς ἱστορίας, ἵνα μὴ δόξῃ μακρηγορεῖν. οὐ μὴν αὐτὰς ἀφίησιν, ἀλλ' ἐπιτρέχει σφόδρα συντόμως, τηρῶν ἀμφότερα, καὶ τὸν κόρον φυγὼν, καὶ τὴν πυκνότητα οὐ λυμαινόμενος. οὔτε πάντη ἐσίγησεν, οὔτε λέγων ἠνώχλησεν, ἀλλ' ἀμφότερα ποιεῖ. ὅταν γάρ τις ἰσχυρῶς ἀγωνίζηται, ἂν ἐπιμένῃ ἀγωνιζόμενος, ἀποκναίει τὸν ἀκροατὴν, πεπεισμένον λοιπὸν ἐνοχλῶν, καὶ φιλοτιμίας λαμβάνων δόξαν. δεῖ γὰρ πρὸς τὸ λυσιτελὲς ἁρμόζεσθαι. καὶ τί ἔτι λέγω, φησίν; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαράκ τε, καὶ Σαμψὼν, καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν. Ἐγκαλοῦσι τῷ Παύλῳ τινὲς, εἰ τὸν Βαρὰκ καὶ τὸν Σαμψὼν καὶ τὸν Ἰεφθάε ἐν τούτοις τίθησι τοῖς τόποις. τί λέγεις; ὁ τὴν πόρνην θεὶς, τούτους οὐ θήσει; μὴ γάρ μοι τὸν ἄλλον αὐτῶν βίον εἴπῃς, ἀλλ' εἰ μὴ ἐπίστευσαν, καὶ ἔλαμψαν [ἐν] τῇ πίστει. καὶ τῶν προφητῶν, φησιν,

33 Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας. Ὁρᾷς ὅτι οὐχὶ βίον ἐνταῦθα αὐ-

τοῖς

τοῖς μάρτυρσι λαμπροί. οὐδὲ γὰρ τοῦτο προηγουμένως ἦν τὸ ζητούμενον· ἀλλὰ πίστεως τέως ἐξέτασις ἦν. Εἰπὲ γάρ μοι, εἰ μὴ πίστει τὸ πρῶτον ἴσχυσαν; πῶς; διὰ πίστεως, φησι, κατηγωνίσαντο βασιλείας οἱ περὶ τὸν Γεδεών. Εἰργάσαντο δικαιοσύνην.

Τίνες; αὐτοὶ οὗτοι. ἤτοι τὴν φιλανθρωπίαν ἐνταῦθα δικαιοσύνην εἶπεν.

Ἐπέτυχον ἐπαγγελιῶν. Περὶ τοῦ Δαβὶδ οἶμαι αὐτὸν τοῦτο λέγειν. ποίων δὲ τούτων ἔτυχεν ἐπαγγελιῶν; ὧν ἔλεγεν, ὅτι τὸ σπέρμα αὐτοῦ καθίσει ἐπὶ τοῦ θρόνου αὐτοῦ. Ἔφραξαν στόματα λεόντων,

34 Ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας. Ὅρα πῶς ἐν αὐτῷ τῷ θανατωθῆναι ὁ Δανιὴλ κυκλούμενος ὑπὸ τῶν λεόντων, οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ διατρίβοντες, * ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακὼβ ἐν διαφόροις πειρασμοῖς, καὶ οὐδὲ οὕτως ἀπέγνωσαν. τοῦτο γὰρ πίστις· ὅταν τὰ πράγματα πρὸς τὸ ἐναντίον ἐκβαίνῃ, τότε δεῖ πιστεύειν ὅτι οὐδὲν ἐναντίον γέγονεν, ἀλλὰ πάντα ἀκόλουθα. ἔφυγον στόματα μαχαίρας. περὶ τῶν τριῶν πάλιν οἶμαι παίδων λέγειν αὐτόν. Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων.

Τὰ κατὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος ἐνταῦθα αἰνίττεται. ἀπὸ ἀσθενείας, φησί· τουτέστιν, ἀπὸ αἰχμαλωσίας. ὅτε ἤδη ἀπέγνωστο τὰ Ἰουδαϊκά, ὅτε ὀστῶν νεκρῶν οὐδὲν διενηνόχασαν, τότε αὐτοῖς γέγονε τὰ τῆς ἐπανόδου. τίς γὰρ ἂν ἤλπισεν ἀπὸ Βαβυλῶνος ἐπανήκειν αὐτούς, καὶ οὐκ ἐπανήκειν μόνον, ἀλλὰ καὶ ἰσχυροὺς γενέσθαι, καὶ κλῖναι παρεμβολὰς ἀλλοτρίων; ἀλλ' ἡμῖν οὐδὲν τοιοῦτον συνέβη, φησίν. ἀλλὰ ταῦτα τύποι τῶν μελλόντων εἰσίν.

35 Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. Τὰ κατὰ τοὺς προφήτας ἐνταῦθα λέγει, τὸν Ἐλισσαῖον, τὸν Ἠλίαν. νεκροὺς γὰρ ἀνέστησαν οὗτοι.

Ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. Ἀλλ' οὐχ ἡμεῖς ἀναστάσεως ἐτύχομεν. ἀλλ' ἔχω δεῖξαι καὶ ἐκείνους, φησίν, ἀποτμηθέντας, καὶ μὴ δεξαμένους, ἵνα κρείττονος ἀναστάσεως τύχωσι. διὰ τί γάρ, εἰπέ μοι, πρότερον ζῆσαι, οὐκ ἠβουλήθησαν; οὐκ ἄρα ὅτι κρείττονα προσεδόκων ζωήν; καὶ οἱ τοὺς ἄλλους ἀναστήσαντες, αὐτοὶ εἵλοντο ἀποθανεῖν, ὥστε κρείττονος ἀναστάσεως τυχεῖν, οὐ τοιαύτης, οἵας τὰ παιδία τῶν γυναικῶν. ἐνταῦθά μοι δοκεῖ καὶ τὸν Ἰωάννην αἰνίττεσθαι, καὶ τὸν Ἰάκωβον. ἀποτυμπανισμὸς γὰρ λέγεται ὁ ἀποκεφαλισμός. ἐξῆν" αὐτοῖς ὁρᾶν τὸν ἥλιον, ἐξῆν αὐτοῖς μὴ ἐλέγξαι, καὶ ὅμως εἵλοντο ἀποθανεῖν, καὶ οἱ ἀναστήσαντες ἄλλους, αὐτοὶ εἵλοντο "ἀποθανεῖν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν.

36 Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς. ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν*. Ἐν τούτοις τελευτᾷ ἐν τοῖς οἰκειοτέροις. μάλιστα γὰρ ταῦτα φέρει τὴν παράκλησιν, ὅταν τῆς αὐτῆς ὑποθέσεως ἡ λύπη ᾖ· ἐπεὶ κἂν σφοδρότερον εἴπῃς, μὴ ᾖ δὲ ἐκ τῆς αὐτῆς ὑποθέσεως "τεχθεῖσα, οὐδὲν ἐποίησας. διὰ τοῦτο εἰς τὸ τέλος τὸν λόγον συνέκλεισε, δεσμὰ λέγων, φυλακάς, μάστιγας, λιθασμούς, τὰ κατὰ τὸν Στέφανον, τὰ κατὰ τὸν Ζαχαρίαν αἰνιττόμενος. διὸ ἐπήγαγεν, Ἐν φόνῳ μαχαίρας ἀπέθανον. Τί λέγεις; οἱ μὲν ἔφυγον στόματα μαχαίρας, οἱ δὲ ἐν φόνῳ μαχαίρας ἀπέθανον; τί ἐστι τοῦτο; ποῖον ἐπαινεῖς; ποῖον θαυμάζεις; τοῦτο, ἢ ἐκεῖνο; ναί, φησι, καὶ τοῦτο, κἀκεῖνο. τοῦτο μέν, ὅτι ὑμῖν οἰκεῖον· ἐκεῖνο δέ, ὅτι καὶ πρὸς αὐτὴν τὴν τελευτὴν ἰσχύσει ἡ πίστις, καὶ τύπος τῶν μελλόντων ἐστί. δύο γάρ ἐστι τὰ "θαύματα τῆς πίστεως· ὅτι καὶ ἀνύει μεγάλα, καὶ πάσχει μεγάλα, καὶ ὅτι οὐδὲν ἡγεῖται πάσχειν. καὶ οὐκ ἔχεις εἰπεῖν, φησιν, ὅτι ἁμαρτωλοί τινες ἦσαν, καὶ οὐδαμινοί. κἂν γὰρ τὸν κόσμον ἀντιστήσῃς ὅλον, ἐκείνους εὑρίσκω καθέλκοντας τὸν ζυγόν, καὶ τιμιωτέρους ὄντας. διὰ τοῦτο καὶ οὕτως εἶπεν· ὧν οὐκ ἦν ἄξιος ὁ

κόσμος. τί τοίνυν ἐμβῆναι ἐνταῦθα ἀπολαμβάνειν, ὧν οὐδὲν τῶν ἐν τῷ κόσμῳ ἦν ἄξιον; εἰ ταῦτα αὐτῶν διαφυλάττεισι τὴν διάνοιαν, παιδεύων μὴ προσηλῶσθαι τοῖς παροῦσιν, ἀλλὰ πάντων μείζω φρονεῖν τῶν ἐν τῷ παρόντι βίῳ, εἴπε ὁ πᾶς κόσμος οὐκ ἔστιν αὐτῶν ἄξιος. τί τοίνυν βούλει ἐνταῦθα λαβεῖν; ὕβρεις γάρ ἐστιν, ἐὰν ἐνταῦθα λάβῃς τὸν μισθόν.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν κοσμικὰ φρονῶμεν, μηδὲ ἐνταῦθα ζητῶμεν τὴν ἀνταπόδοσιν, μηδὲ οὕτως ὦμεν πένητες. εἰ γὰρ ὁ πᾶς κόσμος οὐκ ἄξιος αὐτῶν, τί τὸ μέρος ἐπιζητεῖς; καὶ εἰκότως. φίλοι γάρ εἰσι τοῦ Θεοῦ. κόσμον δὲ ἐνταῦθα ἄρα τὸ πλῆθός φησιν, ἢ τὴν κτίσιν αὐτήν; ἀμφότερα. ἀμφότερα γὰρ οἶδε λέγειν ἡ γραφή. εἰ* πᾶσα ἡ κτίσις μετὰ τῶν ἀνθρώπων, φησί, στῇ τῶν αὐτῆς, οὐδέπω ἀντάξιοι φαίνονται τούτων. καὶ εἰκότως. ὥσπερ γὰρ μυρίοι σταθμοὶ ἀχύρου καὶ χόρτου, δέκα μαργαριτῶν οὐκ ἂν εἶεν ἀντάξιοι· οὕτως οὐδὲ ἐκεῖνοι. Κρείττων γὰρ εἷς ποιῶν θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. μυρίους οὐχὶ τοὺς πολλοὺς λέγει, ἀλλὰ τὸ πλῆθος τὸ ἄπειρον. ἐννόησον ὅσον ἐστὶν ὁ δίκαιος. Εἶπεν Ἰησοῦς ὁ τοῦ Ναυῆ,

Ἰησ. ι. ιβ. Στήτω ὁ ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλὼμ, καὶ ἐγένετο. ἡκέτω τοίνυν πᾶσα ἡ οἰκουμένη, μᾶλλον δὲ δύο, καὶ τρεῖς, καὶ τέσσαρες, καὶ δέκα, καὶ εἴκοσιν οἰκουμέναι, καὶ λεγέτωσαν, καὶ ποιείτωσαν τοῦτο· ἀλλ' οὐ δυνήσονται. ὁ δὲ τοῦ Θεοῦ φίλος τοῖς τοῦ φίλου κτίσμασιν ἐπέταττε, μᾶλλον δὲ τὸν φίλον παρεκάλει, καὶ εἶκε τὰ δοῦλα, καὶ ὁ κάτω τοῖς ἄνω προσέταττεν. ὁρᾷς ὅτι εἰς δουλείαν ταῦτα γέγονε, τὸν δρόμον τὸν διατεταγμένον πληρῶσαι; τοῦτο τῶν Μωϋσέως μεῖζον. τί δήποτε; οὐ γάρ ἐστιν ἴσον θαλάττῃ ἐπιτάξαι, καὶ τοῖς κατ' οὐρανόν. μέγα μὲν γὰρ κἀκεῖνο, καὶ σφόδρα μέγα· πλὴν ἀλλ' οὐδὲν ἴσον. [ἄκουε δὲ καὶ πόθεν τοιοῦτος γέγονε.] τί δήποτε; τύπος ἦν τοῦ Χριστοῦ τὸ τοῦ Ἰησοῦ ὄνομα. διὰ τοῦτο τοίνυν, ἐπεὶ τὴν τοιαύτην κλῆσιν εἶχεν ἐν τύπῳ, ἦν Ἰησοῦς, αὐτὴν τὴν προσηγορίαν ἠδέσθη ἡ κτίσις. τί οὖν; ἄλλος οὐκ ἐκλήθη Ἰησοῦς; ἀλλ' οὗτος ἐπὶ τύπῳ ἐκλήθη ἐν τύπῳ. καὶ γὰρ καὶ Αὐσῆς ἐλέγετο. διὰ τοῦτο μετεβλήθη τὸ ὄνομα. προρρήσις γὰρ ἦν, καὶ προφητεία. οὗτος εἰσήγαγε τὸν λαὸν εἰς τὴν ἐπαγγελίαν, ὥσπερ ὁ Ἰησοῦς εἰς τὸν οὐρανόν· οὐχ ὁ νόμος, ὥσπερ οὐδὲ Μωϋσῆς, ἀλλ' ἔξω ἔμεινεν. οὐκ ἰσχύει νόμος εἰσαγαγεῖν, ἀλλ' ἡ χάρις. ὁρᾷς τοὺς τύπους ἄνωθεν προδιαγραφομένους; ἐπέταξε τῇ κτίσει, μᾶλλον δὲ τῷ Κυρίῳ τῆς κτίσεως μέρει, αὐτῇ τῇ κεφαλῇ, κάτω ἑστώς· ἵνα ὅταν ἴδῃς ἐν ἀνθρώπου σχήματι τὸν Ἰησοῦν τὰ αὐτὰ λέγοντα, μὴ θορυβηθῇς, μηδὲ ξενισθῇς. αὐτὸς, καὶ Μωϋσέως ζῶντος, ἐτροπώσατο τοὺς πολεμίους· οὗτος, καὶ τοῦ νόμου ζῶντος,* τὰ πάντα διῴκει· ἀλλ' οὐ φανερῶς. πλὴν ἴδωμεν ὅση ἡ ἀρετὴ τῶν ἁγίων. εἰ ἐνταῦθα τοιαῦτα ἐργάζονται, εἰ ἐνταῦθα τοιαῦτα ποιοῦσιν, ἅπερ οἱ ἄγγελοι, τί ἄρα ἐκεῖ; πόσην ἔχουσι τὴν λαμπρότητα; τάχα τις ὑμῶν ἕκαστος ἐβούλετο εἶναι τοιοῦτος, ὥστε δύνασθαι ἐπιτάττειν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ. ἐνταῦθα οἱ λέγοντες τὸν οὐρανὸν σφαῖραν εἶναι, πρὸς τοῦτο τί ἂν εἴποιεν; διὰ τί γὰρ μὴ εἶπε, στήτω ὁ ἥλιος, ἀλλὰ προσέθηκε, στήτω ὁ ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλὼμ, τουτέστι, μείζονα τὴν ἡμέραν ἐργασάσθω; τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου γέγονεν. ἀνεπόδισε γὰρ ὁ ἥλιος. ἀλλὰ τοῦτο ἐκείνου θαυμαστότερον, τὸ τὴν ἐναντίαν ἐλθεῖν πάλιν ὁδὸν, μήπω προελθόντα τὸν δρόμον. ἀλλὰ τούτων ἡμεῖς μείζονα ἐπιτευξόμεθα, ἐὰν ἐθέλωμεν. τίνα γὰρ ἡμῖν ἐπηγγείλατο ὁ Χριστός;

Ἰωαν. ιδ. κγ. οὐχὶ ἥλιον στήσειν, οὐδὲ σελήνην, οὐδὲ ἀναποδισμὸν ἡλίου, ἀλλὰ τί; Ἐλευσόμεθα πρὸς αὐτὸν ἐγὼ καὶ ὁ πατήρ, φησι, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. τί μοι χρεία ἡλίου καὶ σελήνης, καὶ τῶν θαυμάτων τούτων, αὐτοῦ τοῦ δεσπότου πάντων παρ' ἐμοὶ καταγινομένου καὶ ἐνιδρυμένου; οὐ χρεία μοι τούτου. τί γὰρ δεῖ μοι τινὸς τούτων; αὐτὸς ἔσται μοι εἰς σελήνην, καὶ ἥλιον, καὶ εἰς φῶς. εἰπὲ γάρ μοι, τί ἐβούλου, εἰς βασίλεια εἰσελθεῖν, δυνηθῆναί τι τῶν πεπηγότων μεταρρυθμίσαι, ἢ τὸν βασιλέα οὕτως οἰκειώσασθαι, ὡς πεῖσαι πρὸς σὲ καταβῆναι; οὐ πολλῷ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο; τί δαί; οὐ θαυμαστὸν, εἴπερ ἄνθρωπος ἐπιτάττει ταῦτα ἃ

καὶ ὁ Χριστός; ἀλλ' ὁ Χριστός, φησιν, οὐ δεῖται τοῦ πατρός, ἀλλ' αὐθεντικῶς ποιεῖ, καλῶς. οὐκοῦν ὁμολόγησον πρῶτον καὶ εἰπέ, ὅτι οὐ δεῖται τοῦ πατρός, καὶ αὐθεντικῶς ποιεῖ· καὶ τότε σε ἐρήσομαι πάλιν, μᾶλλον δὲ διδάξω περὶ τῆς εὐχῆς, ἧς ποιεῖται, ὅτι συγκαταβάσεως καὶ οἰκονομίας ἦν (οὐ γὰρ δὴ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἐλάττων ἦν ὁ Χριστός) καὶ τοῦ δυνάσθαι διδάσκειν ἡμᾶς χωρὶς εὐχῆς. ὥσπερ γὰρ διδασκάλου ἀκούων ψελλίζοντος, καὶ τὰ στοιχεῖα καταλέγοντος, οὐ φῂς αὐτὸν ἀγνοεῖν, καὶ ὅταν ἐρωτᾷ, ποῦ ἐστι τόδε τὸ στοιχεῖον; οἶδας ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὸν μαθητευόμενον θέλων ἐναγαγεῖν· οὕτω καὶ ὁ Χριστὸς οὐ δεόμενος εὐχῆς ἐποιεῖτο τὴν εὐχήν, ἀλλὰ σὲ θέλων ἐναγαγεῖν, ἵνα συνεχῶς προσέχῃς τῇ εὐχῇ, ἵνα ἀδιαλείπτως, ἵνα νηφόντως, καὶ μετὰ πολλῆς τῆς ἀγρυπνίας ταύτην ποιῇς. ἀγρυπνεῖν δὲ οὐ τὸ νυκτὸς ἐγείρεσθαι λέγω μόνον, ἀλλὰ καὶ τὸ ἐν ἡμέρᾳ νήφειν ἐν ταῖς προσευχαῖς. ἄγρυπνος γὰρ καλεῖται ὁ τοιοῦτος. ἐπεὶ ἔστι καὶ νυκτὸς εὐχόμενον καθεύδειν, καὶ ἐν ἡμέρᾳ μὴ εὐχόμενον ἀγρυπνεῖν. πῶς τοῦτο, πῶς ἐκεῖνο; ὅταν ἡ ψυχὴ τεταμένη ᾖ πρὸς τὸν Θεόν, ὅταν ἐννοῇ τίνι διαλέγεται, πρὸς τίνα ὁ λόγος αὐτῇ, ὅταν λάβῃ ἐν νῷ, ὅτι ἄγγελοι παρεστήκασι μετὰ τρόμου καὶ φόβου, αὐτὸς δὲ προσίῃ χασμώμενος καὶ κνώμενος. μέγα ὅπλον εὐχή, ἐὰν μετὰ τῆς προσηκούσης γίνηται διανοίας. καὶ ἵνα μάθῃς αὐτῆς τὴν ἰσχύν, σκόπει ἐντεῦθεν· ἀναισχυντίας καὶ ἀδικίας καὶ ὠμότητος καὶ ἰταμότητος ἐκράτησεν ἡ συνεχὴς ἔντευξις. Ἀκούσατε γάρ, φησι, τί ὁ κριτὴς λέγει τῆς ἀδικίας. καὶ ὄκνου (Λουκ. ιη. ε.) πάλιν ἐκράτησε· καὶ ὅπερ οὐκ ἐποίησε φιλία, τοῦτο ἐποίησεν ἔντευξις συνεχής. καὶ εἰ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι, φησι, δώσει αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ. καὶ ἀναξίαν οὖσαν ἀξίαν ἐποίησεν ἡ συνεχὴς προσεδρεία. Οὐκ ἔστι, φησί, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων (Ματθ. ιε. κϛ.), καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δέ, ναί, φησι, Κύριε. καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. προσέχωμεν τοίνυν τῇ εὐχῇ. μέγα ὅπλον ἐστίν, ἐὰν μετὰ ἐκτενείας γίνηται, ἐὰν χωρὶς κενοδοξίας, ἐὰν μετὰ ψυχῆς εἰλικρινοῦς. αὕτη πολεμίους ἐτρέψατο, αὕτη ἔθνος ὁλόκληρον καὶ ἀνάξιον εὐηργέτησεν. Ἤκουσα, φησι, τοῦ στεναγμοῦ αὐτῶν (Ἐξοδ. β. ζ.), καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. αὕτη φάρμακόν ἐστι σωτήριον, καὶ κωλυτικὸν τῶν ἁμαρτημάτων, καὶ ἰατρεῖον τῶν πλημμελημάτων. ταύτῃ καὶ ἡ χήρα ἡ μεμονωμένη προσήδρευεν. ἐὰν οὕτω μετὰ ταπεινοφροσύνης εὐχώμεθα, ἐὰν τὸ στῆθος πλήττοντες, ὡς ὁ τελώνης, ἐὰν ἐκεῖνα φθεγγώμεθα ἅπερ ἐκεῖνος, ἐὰν λέγωμεν, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, πάντων ἐπιτευξόμεθα (Λουκ. ιη. ιγ.). εἰ γὰρ καὶ μὴ τελῶναι ἐσμέν, ἀλλ' ἕτερα ἔχομεν ἐκείνων οὐκ ἧττον ἁμαρτήματα. μὴ γάρ μοι εἴπῃς, ὅτι ἐν μικρῷ τινι διήμαρτες. τὴν γὰρ αὐτὴν ἔχει τὸ πρᾶγμα φύσιν. καθάπερ γὰρ ὁμοίως ἀνδροφόνος λέγεται, ὅ τε παῖδα ἀνελών, ὅ τε ἄνδρα· οὕτω καὶ πλεονέκτης, καὶ ὁ πολλά, καὶ ὁ μικρὰ πλεονεκτῶν. καὶ ἡ μνησικακία δὲ οὐ μικρόν, ἀλλὰ καὶ μέγα ἁμάρτημα. Μνησικάκων γάρ, φησιν, ὁδοὶ εἰς θάνατον (Παροιμ. ιβ. κη.). Καὶ ὁ ὀργιζόμενος εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ γεέννῃ, καὶ ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρέ, καὶ ἀνόητε, καὶ ὅσα τοιαῦτα (Ματθ. ε. κβ.). μεταλαμβάνομεν δὲ καὶ τῶν φρικτῶν μυστηρίων ἀναξίως, καὶ φθονοῦμεν, καὶ λοιδορούμεθα· τινὲς δὲ ἡμῶν καὶ ἐμεθύσθημεν πολλάκις. τούτων δὲ ἕκαστον καὶ αὐτὸ καθ' ἑαυτὸ ἱκανὸν ἐκβαλεῖν τῆς βασιλείας· ὅταν δὲ καὶ ὁμοῦ συμφέρηται, τίνα ἕξομεν ἀπολογίαν; πολλῆς ἡμῖν δεῖ τῆς μετανοίας, ἀγαπητοί, πολλῆς τῆς εὐχῆς, πολλῆς τῆς καρτερίας, πολλῆς τῆς προσεδρείας, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν. Εἴπωμεν οὖν καὶ ἡμεῖς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. μᾶλλον δὲ μὴ εἴπωμεν μόνον, ἀλλὰ καὶ οὕτω φρονῶμεν· κἂν ἕτερος τις ἡμᾶς ἐγκαλέσῃ, μὴ ὀργιζώμεθα. ἤκουσεν ἐκεῖνος, Ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης· καὶ οὐ παρωξύνθη, ἀλλὰ κατενύγη. ἐδέξατο τὸ ὄνειδος, καὶ ἀπέθετο τὸ ὄνειδος. εἶπεν ἐκεῖνος τὸ τραῦμα, ἐζήτησεν οὗτος τὸ φάρμακον. λέγωμεν τοίνυν, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πλὴν κἂν ἕτερος εἴπῃ, μὴ ἀγανακτῶμεν. ἐὰν δὲ αὐτοὶ μὲν λέγωμεν μυρία ἑαυτοὺς κακά, παρ' ἑτέρων δὲ ἀκούοντες δυσχεραίνωμεν, οὐκέτι τοῦτο ταπεινοφροσύνη ἐστίν, οὐδὲ ἐξομολόγησις,

λόγησις, ἀλλ᾽ ἐπίδειξις καὶ κενοδοξία. ἐπίδειξίς ἐστι, φησὶν, ἑαυτὸν ἁμαρτωλὸν καλεῖν; ναί. ταπεινοφροσύνης γὰρ λαμβάνομεν δόξαν, θαυμαζόμεθα, ἐγκωμιαζόμεθα. ἐὰν δὲ τοὐναντίον εἴπωμεν ἑαυτῶν, καταφρονούμεθα. ὥστε καὶ τοῦτο δόξης ἕνεκεν ποιοῦμεν. τί δέ ἐστι ταπεινοφροσύνη; τὸ ἑτέρου ὀνειδίζοντος φέρειν, τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κακηγορίας. (γρ. ταπ.) καὶ οὐδὲ τοῦτο ταπεινοφροσύνης ἂν εἴη, ἀλλ᾽ εὐγνωμοσύνης. νῦν δὲ ἑαυτοὺς μὲν λέγομεν ἁμαρτωλοὺς, ἀναξίους, μυρία ὅσα· ἂν δὲ ἕτερός τις ἡμῖν ἓν τούτων προσενέγκῃ, χαλεπαίνομεν, ἀγριαινόμεθα. ὁρᾷς ὅτι οὐκ ἔστιν ἐξομολόγησις, οὐδὲ εὐγνωμοσύνη; εἶπες σαυτὸν εἶναι τοιοῦτον· μὴ ἀγανάκτει καὶ παρ᾽ ἑτέρου ἀκούων, καὶ ἐλεγχόμενος. οὕτω σοι τὰ ἁμαρτήματα κουφίζεται, ὅταν ἕτεροι ὀνειδίζωσιν. ἑαυτοῖς μὲν γὰρ βάρος ἐπιτιθέασι, σὲ δὲ εἰς φιλοσοφίαν ἀνάγουσιν. ἄκουε τί φησιν ὁ μακάριος Δαβὶδ, ἡνίκα κατηρᾶτο αὐτῷ ὁ Σεμεΐ·

β. Βασ. ιϛ. ια. Ἄφες αὐτὸν, φησὶν· ὁ Κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου· καὶ ἀνταποδώσει μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ. (γρ. ἄφετε) (γρ. ἴδοι) σὺ δὲ περὶ σαυτοῦ λέγων καὶ ὑπερβολὴν κακῶν, ἐὰν μὴ τὰ τῶν μεγάλων δικαίων ἐγκώμια παρ᾽ ἑτέρων ἀκούῃς, ἀγριαίνεις. ὁρᾷς ὅτι παίζεις ἐν οὐ παικτοῖς πράγμασι; καὶ γὰρ τοὺς ἐπαίνους ἐπαίνων ἑτέρων ἐπιθυμίᾳ διακρουόμεθα, ἵνα μειζόνων πάλιν τύχωμεν ἐγκωμίων, ἵνα μᾶλλον θαυμασθῶμεν. ὥστε οὐ παραιτούμενοι τὰ ἐγκώμια, ἵνα αὐξήσωμεν αὐτὰ τοῦτο ποιοῦμεν· καὶ πάντα πρὸς δόξαν ἡμῖν γίνεται, οὐ πρὸς ἀλήθειαν. διὰ τοῦτο πάντα κενὰ, πάντα ἄπορα. διὸ παρακαλῶ νῦν γοῦν ἀποστῆναι τῆς μητρὸς τῶν κακῶν, τῆς κενοδοξίας, καὶ ζῆσαι κατὰ τὸ τῷ Θεῷ δοκοῦν· ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. κη. 37 ΠΕΡΙΗΛΘΟΝ ΕΝ ΜΗΛΩΤΑΙΣ, ΕΝ ΑΙγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι.
38 Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος [ἐστιν]· ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς.

ΑΕὶ μὲν, μάλιστα δὲ ὅταν τῶν ἁγίων ἐννοήσω τὰ κατορθώματα, τότε μοι ἐπέρχεται ἀπαγορεύειν τὰ κατ᾽ ἐμαυτὸν, ὅτι οὐδὲ ὄναρ πεῖραν ἐλάβομεν οἷς ἐκεῖνοι τὸν ἅπαντα χρόνον ἐνδιέτριψαν ἄνδρες, οὐχ ἁμαρτήματα τίνοντες δίκην, ἀλλ᾽ ἀεὶ κατορθοῦντες, καὶ ἀεὶ θλιβόμενοι. ἐννόησον γάρ μοι τὸν Ἠλίαν, εἰς ὃν ἡμῖν ὁ λόγος περιέστηκε τήμερον. περὶ αὐτοῦ γάρ φησιν ἐνταῦθα τὸ, περιῆλθον ἐν μηλωταῖς, καὶ εἰς αὐτὸν αὐτῷ τελευτᾷ τὰ ὑποδείγματα. οὐδὲ αὐτὸν καταλιπὼν, ὅπερ οἰκεῖον αὐτοῖς ἦν, καὶ εἰπὼν τὰ κατὰ τοὺς ἀποστόλους, ὅτι ἐν φόνῳ μαχαίρας ἀπέθανον, ὅτι ἐλιθάσθησαν, ἄγει πάλιν ἐπὶ τὸν Ἠλίαν, τὸν τὰ αὐτὰ παθόντα τούτοις. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς οὐδέπω περὶ τῶν ἀποστόλων δόξαν ἔχειν τοσαύτην, ἀπὸ τοῦ ἀναληφθέντος, καὶ μάλιστα θαυμασθέντος, φέρει τὴν παράκλησιν καὶ τὴν παραμυθίαν. περιῆλθον γάρ, φησιν, ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος ἐστιν. οὐδὲ ἱμάτιον εἶχον, φησι, περιβαλέσθαι, τῇ ὑπερβολῇ τῶν θλίψεων· οὐ πόλιν, οὐκ οἰκίαν, οὐ καταγώγιον. τοῦτο, ὅπερ ὁ Χριστὸς ἔλεγεν,

Ματθ. η. κ. Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. τί λέγω, οὐ καταγώγιον; οὐ στάσιν. οὐδὲ γὰρ τὴν ἔρημον καταλαβόντες, ἡσυχίαν ἦγον. οὐ γὰρ εἶπεν, ἐν ἐρήμῳ ἐκάθηντο, ἀλλὰ καὶ ἐκεῖ ὄντες ἔφευγον, καὶ ἐκεῖθεν ἠλαύνοντο, οὐκ ἐκ τῆς οἰκουμένης μόνον, ἀλλὰ καὶ ἐκ τῆς ἀοικήτου. καὶ ἀναμιμνήσκει τόπων αὐτοὺς ἔνθα ἐκάθηντο, καὶ πραγμάτων ἐκεῖ γινομένων· ὑστερούμενοι, θλιβόμενοι. ἔστω, φησὶν, ὑμῖν ἀνεχάλεσαν

δεῖ

διὰ τὸν Χριστόν, καὶ ταῦτα ἐποίουν. τὸν Ἠλίαν τί ἔχοντες ἐγκαλεῖν, ἤλαυνον αὐτόν, καὶ ἐδίωκον, καὶ λιμῷ παλαίειν ἠνάγκαζον; ταῦτα διέξεισιν ἃ καὶ οὗτοι τότε ἔπασχον. διὰ τοῦτο ἔλεγεν ἀλλαχοῦ, Ἔκριναν γοῦν πέμψαι οἱ ἀδελφοὶ τοῖς θλιβομένοις τῶν μαθητῶν. Καθὼς γὰρ ηὐπορεῖτό τις, ὥρισεν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς. Πραξ. ια. κθ. [ὃ καὶ τούτων ἦν.] κακουχούμενοι, φησί· τουτέστι, κακῶς πάσχοντες, ἐν ταῖς ὁδοιπορίαις, ἐν τοῖς κινδύνοις. ὃ καὶ αὐτὸ τούτων ἦν. τὸ δέ, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, οὐδὲν ἄλλο ἢ τοῦτο μονονουχὶ ἐμφαίνει, ὅτι περιῆλθον καθάπερ φυγάδες καὶ μετανάσται, καθάπερ ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότες, καθάπερ οἱ οὐδὲ τὸν ἥλιον ὁρᾷν ἄξιοι, καὶ οὐδὲ ἀπὸ τῆς ἐρημίας εὕρισκον καταφυγήν, ἀλλ' ἔδει φεύγειν ἀεί, ἔδει καταδύσεις ζητεῖν, ἔδει ζῶντας εἰς τὴν γῆν κατορύττειν ἑαυτούς, ἀεὶ ἐν φόβῳ εἶναι.

39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,

40 Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Τίς οὖν ὁ μισθὸς τῆς τοσαύτης, φησίν, ἐλπίδος; τίς ἡ ἀνταπόδοσις; μεγάλη, καὶ οὕτω μεγάλη, ὡς μηδὲ λόγῳ δύνασθαι δηλωθῆναι. Ἃ γάρ, φησιν, ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ταῦτά ἐστιν ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἀλλ' οὔπω ἀπέλαβον, ἀλλ' ἐπιμένουσι καὶ οὕτω τελευτήσαντες ἐν τοσαύτῃ θλίψει. καὶ ἐκεῖνοι μετὰ χρόνους ἔχουσι τοσούτους νικήσαντες, καὶ οὐδέπω ἀπέλαβον. ὑμεῖς δὲ ἐν τῷ ἀγῶνι ἔτι ὄντες, ἀσχάλλετε; ἐννοήσατε [καὶ ὑμεῖς τί ἐστι, καὶ] ὅσον ἐστὶ τὸν Ἀβραὰμ καθῆσθαι, καὶ τὸν ἀπόστολον Παῦλον, περιμένοντας πότε σὺ τελειωθῇς, ἵνα δυνηθῶσι τότε λαβεῖν τὸν μισθόν. ἐὰν μὴ γὰρ καὶ ἡμεῖς παραγενώμεθα, προεῖπεν αὐτοῖς ὁ σωτὴρ μὴ δώσειν· καθάπερ εἰ πατὴρ φιλόστοργος, παισὶν εὐδοκιμοῦσι, καὶ τὸ ἔργον ἠνυκόσι λέγοι, μὴ διδόναι φαγεῖν, ἐὰν μὴ ἔλθωσιν αὐτῶν οἱ ἀδελφοί. σὺ δὲ ἀσχάλλεις, ὅτι οὐδέπω τὸν μισθὸν ἔλαβες; τί οὖν ποιήσει Ἄβελ ὁ πρὸ πάντων νικήσας, καὶ ἀστεφάνωτος καθήμενος; τί δὲ Νῶε; τί δὲ οἱ α. Κορ. β. θ. κατ' ἐκείνους τοὺς χρόνους γεγονότες, ὅτι σε, καὶ τοὺς μετὰ σὲ ἀναμένουσιν; ὁρᾷς ὅτι ἡμεῖς πλεονεκτοῦμεν αὐτῶν; καὶ καλῶς διὰ τοῦτο εἶπε, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου. ἵνα γὰρ μὴ δοκῶσι πλεονεκτεῖν [ἡμῶν] τῷ πρότεροι στεφανοῦσθαι, ἕνα ὥρισε πᾶσι τῶν στεφάνων τὸν καιρόν, καὶ ὁ πρὸ τοσούτων ἐτῶν νενικηκώς, μετὰ σοῦ λαμβάνει τὸν στέφανον. ὁρᾷς κηδεμονίαν; καὶ οὐκ εἶπεν, ἵνα μὴ χωρὶς ἡμῶν στεφανωθῶσιν, ἀλλ' ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν· ὥστε καὶ τέλειοι τότε φαίνονται. προέλαβον κατὰ τοὺς ἀγῶνας, ἀλλ' οὐ προλαμβάνουσι κατὰ τοὺς στεφάνους. οὐκ ἐκείνους ἠδίκησεν, ἀλλ' ἡμᾶς ἐτίμησε. καὶ γὰρ καὶ αὐτοὶ τοὺς ἀδελφοὺς ἀναμένουσιν. εἰ γὰρ σῶμα ἓν οἱ πάντες ἐσμέν, μείζων γίνεται τῷ σώματι τούτῳ ἡ ἡδονή, ὅταν κοινῇ στεφανῶται, καὶ μὴ κατὰ μέρος. καὶ γὰρ οἱ δίκαιοι καὶ ἐν τούτῳ εἰσὶ θαυμαστοί, ὅτι χαίρουσιν ὡς ἐπὶ οἰκείοις ἀγαθοῖς, τοῖς τῶν ἀδελφῶν. ὥστε κἀκείνοις τοῦτο κατὰ γνώμην ἐστί, τὸ μετὰ τῶν μελῶν τῶν ἰδίων στεφανωθῆναι. τὸ γὰρ ὁμοῦ δοξασθῆναι, μεγάλη ἡδονή.

1 Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων. κεφ. ιβ.

Πολλαχοῦ ἡ γραφὴ τὴν παραμυθίαν λαμβάνει τὴν ἐν τοῖς κακοῖς ἀπὸ τῶν συμβαινόντων πραγμάτων. ὡς ὅταν λέγῃ ὁ προφήτης, Ἀπὸ καύματος, καὶ ἀπὸ σκληρότητος, καὶ Ησ. δ. ς. ὑετοῦ ῥύσεταί σε. καὶ ὁ Δαβίδ· Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Ψαλ. ρκ. ς. τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει, ὅτι ἡ μνήμη τῶν ἁγίων ἐκείνων, ὥσπερ νέφος τὸν φλεγόμενον ὑπὸ ἀκτῖνος θερμοτέρας σκιάζει, οὕτω τὴν ὑπὸ τῶν κακῶν καταπεπονημένην αἴρουσι* καὶ ἀνακτᾶται ψυχήν. καὶ οὐκ εἶπεν, ὑπεραιωρούμενον ἡμῖν, ἀλλὰ περικείμενον ἡμῖν, ὃ ἐκείνου πλέον ἦν· ὥστε δηλῶσαι διὰ τούτου, ὅτι περικείμενοι κύκλῳ, ἐν μείζονι ἀδείᾳ.

Εἰκότως

εἰκότως εἶναι ποιήσει. μάρτυρας δὲ, οὐχὶ τοὺς ἐν τῇ καινῇ λέγει μόνον, ἀλλὰ καὶ τοὺς ἐν τῇ παλαιᾷ. ἐν γὰρ καὶ αὐτοὶ ἐμαρτύρησαν τῇ τοῦ Θεοῦ μεγαλειότητι, οἷον, ὡς οἱ περὶ παῖδας, οἱ περὶ τὸν Ηλίαν, οἱ προφῆται πάντες. Ογκον ἀποθέμενοι πάντα. [Πάντα] τίνα; τουτέστι, τὸν ὕπνον, τὴν ὀλιγωρίαν, τοὺς λογισμοὺς τοὺς εὐτελεῖς, πάντα τὰ ἀνθρώπινα. Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν. Εὐπερίστατον, ἤτοι τὴν εὐκόλως περιϊσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν δυναμένην παθεῖν, λέγει· μᾶλλον δὲ τοῦτο. ῥᾴδιον γὰρ, ἐὰν θέλωμεν, περιγενέσθαι τῆς ἁμαρτίας. Δι' ὑπομονῆς, φησὶ, τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα. Οὐκ εἶπε, πυκτεύωμεν, οὐδὲ, παλαίωμεν, οὐδὲ, πολεμῶμεν, ἀλλ', ὃ πάντων κουφότερον ἦν τὸ τοῦ δρόμου, τοῦτο εἰς μέσον τέθεικεν. οὐδὲ εἶπε, προσθῶμεν τῷ δρόμῳ, ἀλλ', ἐν αὐτῷ τούτῳ ὑπομείνωμεν, μὴ ἐκλυθῶμεν, τρέχωμεν, φησὶ, τὸν προκείμενον ἡμῖν ἀγῶνα. εἶτα τὸ κεφάλαιον τῆς παρακλήσεως, ὃ καὶ πρῶτον, καὶ ὕστερον τίθησι, τὸν Χριστόν.

2 Αφορῶντες, φησὶν, εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ιησοῦν.

Ματθ. ι. κε. Ο περ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῖς μαθηταῖς συνεχῶς ἔλεγεν, Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ; καὶ πάλιν, Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἀφορῶντες, φησί. τουτέστιν, ἵνα μάθωμεν τρέχειν, βλέπωμεν εἰς Χριστόν. καθάπερ γὰρ ἐπὶ τῶν τεχνῶν πασῶν, καὶ τῶν ἀγωνισμάτων, πρὸς τοὺς διδασκάλους ὁρῶντες, οὕτως ἐντυπούμεθα τῇ διανοίᾳ τὴν τέχνην, διὰ τῆς ὀπτικῆς κανόνας τινὰς λαμβάνοντες· οὕτω δὴ καὶ ἐνταῦθα, εἰ βουλοίμεθα τρέχειν, καὶ μαθεῖν καλῶς τρέχειν, πρὸς τὸν Χριστὸν ὁρῶμεν, τὸν ἀρχηγὸν τῆς πίστεως καὶ τελειωτὴν Ιησοῦν. τί ἐστι τοῦτο; τουτέστιν, αὐτὸς ἐν ἡμῖν τὴν πίστιν ἐνέθηκεν, αὐτὸς τὴν ἀρχὴν δέδωκεν. ὃ καὶ πρὸς τοὺς μαθητὰς ὁ Χριστὸς εἶπεν, Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. καὶ ὁ Παῦλος δέ φησι, Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. εἰ δὲ αὐτὸς τὴν ἀρχὴν ἡμῖν ἐνέθηκεν, αὐτὸς καὶ τὸ τέλος ἐπιθήσει. Ος ἀντὶ τῆς προκειμένης αὐτῷ, φησὶ, χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. Τουτέστιν, ἐξῆν αὐτῷ μηδὲν παθεῖν, εἴπερ ἐβούλετο. Οὔτε γὰρ ἁμαρτίαν ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ· καθὼς καὶ αὐτός φησιν ἐν τοῖς εὐαγγελίοις, Ερχεται ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. προὔκειτο τοίνυν αὐτῷ, εἴπερ ἐβούλετο, μὴ ἐλθεῖν εἰς τὸν σταυρόν. Εξουσίαν γὰρ ἔχω, φησὶ, θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. εἰ τοίνυν ὁ μηδεμίαν ἔχων ἀνάγκην τοῦ σταυρωθῆναι, ἐσταυρώθη ἡμῶν ἕνεκεν· πόσῳ μᾶλλον ἡμᾶς δίκαιον πάντα γενναίως ὑπομένειν; ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, φησὶν, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. τί δέ ἐστιν, αἰσχύνης καταφρονήσας; τὸν ἐπονείδιστον, φησὶν, εἵλετο θάνατον. ἔστω γὰρ, ἀπέθνησκε· τί καὶ ἐπονειδίστως; δι' οὐδὲν ἕτερον, ἀλλ' ἡμᾶς διδάσκων μηδὲν ἡγεῖσθαι τὴν παρ' ἀνθρώπων δόξαν. διὰ τοῦτο, οὐχ ὑποκείμενος ἁμαρτίᾳ, εἵλετο αὐτὴν, παιδεύων ἡμᾶς καταπολμᾶν αὐτῆς, καὶ μηδὲν αὐτὴν τίθεσθαι. διὰ τί μὴ εἶπε λύπην, ἀλλὰ αἰσχύνην; ὅτι οὐ μετὰ λύπης ταῦτα ἔφερε. τί οὖν τὸ τέλος; ἄκουε. ἐπάγει γὰρ, Εν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν. Ορᾷς τὸ ἔπαθλον; ὅπερ καὶ ὁ Παῦλος γράφων φησὶ, Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ιησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ. τὸ κατὰ σάρκα φησί. μάλιστα μὲν οὖν, εἰ καὶ μηδὲν ἦν ἔπαθλον, ἱκανὸν τὸ ὑπόδειγμα πεῖσαι πάντας ἑλέσθαι. νυνὶ δὲ καὶ ἔπαθλα ἡμῖν πρόκειται, οὐ τὰ τυχόντα, ἀλλὰ μεγάλα καὶ ἀπόρρητα. ὥστε καὶ ἡμεῖς ἐπειδὰν τι πάθωμεν τοιοῦτον, πρὸ τῶν ἀποστόλων ἐννοῶμεν τὸν Χριστόν. διὰ τί; ὅτι ὅλος ὁ βίος αὐτοῦ ὕβρεων ἔγεμε. καὶ γὰρ μαινόμενος ἤκουεν [ἀεὶ], καὶ πλάνος, καὶ γόης. καί* ποτε μὲν ἔλεγον οἱ Ιουδαῖοι, Οὗτος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ· ποτὲ δὲ, Οὐχί, φησιν, ἀλλὰ

πλανᾷ

Margin references: Ιωαν. ιε. ιϛ. — α. Κορ. ιγ. ιβ. — Ησ. νγ. θ. — Ιωαν. ιδ. λ. — Ιωαν. ι. ιη. — Φιλιπ. β. θ. — Ιωαν. θ. ιϛ. — Ιωαν. ζ. ιβ.

Margin variants: γρ. ἐκάλ. — γρ. διὸ καὶ πρὸς τοὺς μαθητὰς ὁ Χρ. — γρ. ἔχει ἐν ἐμοί — γρ. πάν — * γρ.

πλανᾷ τὸν ὄχλον. καὶ πάλιν, Ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. [Ματθ. κζ. ξγ.] καὶ ὡς γόητα δὲ αὐτὸν διέβαλλον λέγοντες, Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. [Ματθ. ιβ. κδ.] καὶ ὅτι πλανᾶται, καὶ δαιμόνιον ἔχει· Οὐ καλῶς ἐλέγομεν, φησίν, ὅτι δαιμόνιον ἔχει, καὶ μαίνεται; [Ιωαν. ι. κ.] καὶ ταῦτα ἤκουε παρ' αὐτῶν, εὐεργετῶν, θαυματουργῶν, Θεοῦ ἔργα ἐπιδεικνύμενος. Εἰ μὲν γὰρ μηδὲν ποιῶν ταῦτα ἤκουεν, οὐκ ἦν οὕτω θαυμαστόν. Εἰ δὲ διδάσκων τὰ περὶ ἀληθείας, πλάνος ἤκουε, καὶ δαίμονας ἐκβάλλων, δαίμονα ἔχειν ἐλέγετο, καὶ πάντα ἀνατρέπων τὰ ἐναντία, γόης ἐλέγετο· ποίαν ὑπερβολὴν θαύματος οὐκ ἔχει; ταῦτα γὰρ αὐτοῦ συνεχῶς κατηγόρουν. Εἰ δὲ βούλει καὶ τὰ σκώμματα, καὶ τὰς εἰρωνείας μαθεῖν ἃς κατ' αὐτοῦ ἐποιοῦντο, ὃ μάλιστα δάκνει τὰς ἡμετέρας ψυχάς· ἄκουε πρῶτον τὰς ἀπὸ τοῦ γένους. Οὐχ οὗτος, φησίν, ἐστὶν ὁ τοῦ τέκτονος υἱός, [Ματθ. ιγ. νε.] οὗ ἡμεῖς ἴσμεν τὸν πατέρα καὶ τὴν μητέρα; οὐχ οἱ ἀδελφοὶ αὐτοῦ πάντες παρ' ἡμῖν εἰσι; καὶ ἀπὸ τῆς πατρίδος αὐτὸν σκώπτοντες, ἔλεγον ἐκ Ναζαρὲθ αὐτὸν εἶναι. καὶ πάλιν, Ἐρώτησον, φησί, καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται. [Ιωαν. ζ. νβ.] καὶ ἔφερε τοσαῦτα συκοφαντούμενος. καὶ πάλιν ἔλεγον, Οὐχὶ ἡ γραφή φησιν, ὅτι ἀπὸ Βηθλεὲμ τῆς κώμης ἔρχεται ὁ Χριστός; βούλει καὶ τὰς εἰρωνείας ἰδεῖν ἃς ἐποιοῦντο παρ' αὐτὸν τὸν σταυρόν; προσκυνοῦντες αὐτῷ ἐμπαίζοντες, καὶ ἔπαιον αὐτόν, καὶ ἐκολάφιζον, καὶ ἔλεγον, Εἰπὲ ἡμῖν τίς ἐστιν ὁ παίσας σε. [Ματθ. κζ. μ.] καὶ ὄξος προσέφερον. καὶ ἔλεγον, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ἔτι δὲ καὶ ὁ δοῦλος τοῦ ἀρχιερέως, ῥάπισμα ἔδωκεν αὐτῷ· καί φησιν, Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; [Ιωαν. ιη. κγ.] καὶ χλευάζοντες δέ, χλαμύδα περιέθηκαν αὐτῷ, καὶ ἐνέπτυον εἰς τὸ πρόσωπον αὐτοῦ· καὶ τὰς πείρας ἀεὶ προσῆγον, πειράζοντες αὐτόν. βούλει καὶ τὰς κατηγορίας ἰδεῖν, τὰς λάθρα, τὰς φανερῶς, τὰς παρὰ τῶν μαθητῶν; τὸ γάρ, Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; καὶ τό, δαιμόνιον ἔχεις, παρὰ τῶν πιστευσάντων ἤδη ἐλέγετο. [Ιωαν. ϛ. ξζ.] Εἰπὲ δέ μοι, οὐκ ἀεὶ ἔφευγε καὶ αὐτός, ποτὲ μὲν εἰς τὴν Γαλιλαίαν, ποτὲ δὲ εἰς τὴν Ἰουδαίαν; οὐχὶ ἐκ σπαργάνων αὐτῷ πολὺς ὁ πειρασμός; οὐχὶ παιδίον [ὄντα] αὐτὸν ἡ μήτηρ λαβοῦσα κατῆλθεν εἰς Αἴγυπτον; διὰ ταῦτα τοίνυν πάντα, φησίν, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν. Εἰς τοῦτον τοίνυν ἀφορῶμεν, καὶ εἰς τὰ τῶν μαθητῶν τῶν τούτου, ἀναγινώσκοντες τὰ Παύλου, καὶ ἀκούοντες αὐτοῦ λέγοντος, Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, [ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν κόποις, ἐν ἁγνότητι, ἐν γνώσει.] [β. Κορ. ϛ. δ.] [α. Κορ. δ. ια.] καὶ πάλιν, Μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν. ἆρα οὖν ὑμῶν ἔχει τις εἰπεῖν, ὅτι τὸ πολλοστὸν τούτων μέρος ἔπαθεν; Ὡς πλάνοι γάρ, φησιν, ὡς ἄτιμοι, ὡς μηδὲν ἔχοντες. [β. Κορ. ια. κδ.] καὶ πάλιν, Πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, ἐν θλίψεσιν, ἐν στενοχωρίᾳ, ἐν λιμῷ. καὶ ὅτι ταῦτα τῷ Θεῷ ἐδόκει, ἄκουε αὐτοῦ λέγοντος, Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. [β. Κορ. ιβ. θ.] Διό καί φησιν, εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. καὶ αὐτοῦ δὲ ἄκουσον τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε. [Ιωαν. ιϛ. λγ.]

3 Ἀναλογίσασθε γάρ, φησι, τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.

Εἰκότως ταῦτα ἐπήγαγεν. Εἰ γὰρ τὰ τῶν πλησίον πάθη διανίστησιν ἡμᾶς, τὰ τοῦ δεσπότου πόσην ἡμῖν οὐ παρέξει προθυμίαν; τί ἡμᾶς οὐκ ἐργάσεται; καὶ σκόπει πῶς πρὸς

πάντα

χ. διώματί τι ἐμαθον εἶ;

χ. -πῶς ἐλθόντες, φησί, πρὸ αὐτοῦ τοῦ σταυροῦ, προσκυ-

χ. ἄρα τις τι

πάντα εἰπεῖν, διὰ τῆς ἀντιλογίας τὸ πᾶν ἐδήλωσε, καὶ τὴν τοιαύτην προσθεῖναι. τὰς γὰρ ἐπὶ κόρρης πληγάς, τὸν γέλωτα, τὰς ὕβρεις, τοὺς ὀνειδισμούς, τὰς χλευασίας, ταῦτα πάντα διὰ τῆς ἀντιλογίας ἐνέφηνε· καὶ οὐκ ἐκεῖνα μόνα, ἀλλὰ καὶ τὰ παρὰ τὸν βίον ἅπαντα τὸν τῆς διδασκαλίας.

ΗΘΙΚΟΝ

Ταῦτα τοίνυν, ἀγαπητοί, ἀεὶ ἀναλογιζώμεθα, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν ταῖς διανοίαις ἡμῶν στρέφωμεν, εἰδότες ὅτι μεγάλα ἐκ τούτου καρπωσόμεθα ἀγαθά, καὶ πολλὴν τὴν ὠφέλειαν ἕξομεν. μέγα γάρ, οὕτως μέγα παραμύθιον, καὶ τὰ τοῦ Χριστοῦ πάθη, καὶ τὰ τῶν ἀποστόλων. οὕτω γὰρ ᾔδει ταύτην βελτίω τῆς ἀρετῆς οὖσαν τὴν ὁδόν, ὡς καὶ αὐτὸς ὁ μὴ δεόμενος αὐτῆς ταύτην ἐλθεῖν· οὕτως οἶδε τὴν θλῖψιν συμφέρουσαν ἡμῖν, καὶ ἀνέσεως ὑπόθεσιν μᾶλλον γινομένην. ἄκουε γὰρ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. μόνον γὰρ οὐχὶ τοῦτο διὰ τῆς τοιαύτης λέγει διδασκαλίας· εἰ μαθητὴς εἶ, τὸν διδάσκαλον μιμοῦ. τοῦτο γάρ ἐστι μαθητοῦ. εἰ δὲ αὐτὸς μὲν διὰ θλίψεως ἦλθε, σὺ δὲ δι' ἀνέσεως· οὐκέτι τὴν αὐτὴν βαδίζεις ὁδόν, ἣν ἐκεῖνος ἐβάδισεν, ἀλλ' ἑτέραν. πῶς οὖν ἀκολουθεῖς, μὴ ἀκολουθῶν; πῶς εἶ μαθητής, μὴ τῷ διδασκάλῳ ἑπόμενος; τοῦτο καὶ ὁ Παῦλός φησιν, Ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ ἔντιμοι. ἢ πῶς ἔχει λόγον, φησί, τοὐναντία ἡμᾶς ζηλοῦν, καὶ ὑμᾶς μὲν εἶναι μαθητάς, ἡμᾶς δὲ διδασκάλους; μέγα ἄρα θλῖψις, ἀγαπητοί. δύο γὰρ τὰ μέγιστα κατορθοῖ, καὶ ἁμαρτίας ἐξαλείφει, καὶ στερροὺς ποιεῖ. τί οὖν, φησίν, ἂν περιτρέψῃ, καὶ ἀπολέσῃ; οὐχ ἡ θλῖψις τοῦτο ποιεῖ, ἀλλ' ἡ ἡμετέρα νωθεία. πῶς, φησίν; ἐὰν γὰρ νήφωμεν, ἐὰν τὸν Θεὸν παρακαλῶμεν, ὥστε μὴ ἐᾶσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἐὰν ἀεὶ αὐτοῦ ἐχώμεθα· στησόμεθα γενναίως, καὶ παραταξόμεθα. ἕως ἂν αὐτὸν ἔχωμεν βοηθόν, κἂν πάντων τῶν ἀνέμων σφοδρότερον πνεύσωσιν οἱ πειρασμοί, κάρφος ἡμῖν ἔσονται, καὶ φύλλον ἁπλῶς φερόμενον. ἄκουε Παύλου λέγοντος*, Ἐν τούτοις, φησί, πᾶσιν ὑπερνικῶμεν. καὶ πάλιν, Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. καὶ πάλιν, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται. σκόπει ἡλίκους κινδύνους, ναυάγια, τὰς ἐπαλλήλους θλίψεις, καὶ ὅσα τοιαῦτα, ἐλαφρὰ καλεῖ· καὶ ζήλωσον τὸν ἀδάμαντα τοῦτον, τὸν ἁπλῶς καὶ εἰκῆ τὸ σῶμα τοῦτο περικείμενον. ἐν πενίᾳ εἶ; ἀλλ' οὐκ ἐν τοσαύτῃ, ὅσῃ ὁ Παῦλος, ὁ καὶ ἐν λιμῷ ἐξεταζόμενος, καὶ δίψει, καὶ γυμνότητι. οὐ γὰρ μίαν ἡμέραν τοῦτο ἔπαθεν, ἀλλὰ διηνεκῶς τοῦτο ὑπέμεινε. πόθεν τοῦτο δῆλον; ἄκουε αὐτοῦ λέγοντος, Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν. βαβαί, πόσην ἔχων ἤδη δόξαν ἐν τῷ κηρύγματι, τοσαῦτα ὑπέμενεν· εἰκοστὸν λοιπὸν ἔτος ἔχων, ὅτε ταῦτα ἔγραφεν. Οἶδα γάρ, φησίν, ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα. καὶ πάλιν, Μετὰ τρία ἔτη, φησίν, ἀνῆλθον εἰς Ἱεροσόλυμα. καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος, Καλόν μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πάλιν γράφων ἔλεγεν, Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν. τί λιμοῦ χαλεπώτερον; τί κρυμοῦ; τί τῶν ἐπιβουλῶν τῶν παρὰ ἀδελφῶν; οὓς ψευδαδέλφους λοιπὸν καλεῖ. οὐχὶ λυμεὼν ἐκαλεῖτο τῆς οἰκουμένης; οὐχὶ ἀπατεών; οὐχὶ ἀνατροπεύς; οὐχὶ κατεκόπτετο μαστιζόμενος; ταῦτα ἐν νῷ λάβωμεν, ἀγαπητοί, ταῦτα ἀναλογιζώμεθα, ταῦτα μνημονεύωμεν, καὶ οὐδέποτε ἐκλυθησόμεθα, κἂν ἀδικώμεθα, κἂν ἁρπαζώμεθα, κἂν μυρία πάσχωμεν κακά. γένοιτο τὰ ἐν τοῖς οὐρανοῖς ἡμᾶς εὐδοκιμεῖν, καὶ πάντα φορητά. γένοιτο εὐπραγεῖν ἐκεῖ, καὶ τῶν ἐνταῦθα λόγος οὐδείς. σκιὰ ταῦτά ἐστι, καὶ ὄναρ· οἷα ἂν εἴη, ἐλπιζομένων ἐκείνων καὶ προσδοκωμένων, οὐδέν ἐστι τῶν δεινῶν οὔτε τῇ φύσει, οὔτε τῷ χρόνῳ. τί γὰρ βούλει πρὸς τὰ δεινὰ ἐκεῖνα παραβάλωμεν; τί πρὸς τὸ πῦρ τὸ ἄσβεστον, πρὸς

τὸν

Margin notes (left): Ματθ. ι. λη. — α. Κορ. δ. ι. — Ρωμ. η. λζ. — Ρωμ. η. ιη. — β. Κορ. δ. ιζ. — α. Κορ. δ. ια. — β. Κορ. ιβ. β. — Γαλ. α. ιη. — α. Κορ. θ. ιε. — α. Κορ. δ. ιγ. — β. Κορ. ια. κϛ.

Margin notes (right): γρ. καὶ τὸ … τίπ, τοῦ … — γρ. ἵνα … ταύτην ἰδών, ὡς καὶ — γρ. ἐστι — γρ. … — γρ. ὑμᾶς — γρ. στερρούς — γρ. περὶ — * πάντα — γρ. …

τῶν σκωλήκων τῶν ἀτελευτήτων; τί δεινότερον ἴσον εἰπεῖν τῆς ἐκεῖ, πρὸς τὸν βρυγμὸν τῶν ὀδόντων, πρὸς τὰ δεσμά, πρὸς τὸ σκότος τὸ ἐξώτερον, πρὸς τὴν ὀργήν, πρὸς τὴν θλίψιν, πρὸς τὴν στενοχωρίαν; ἀλλὰ τὰ χρόνια; καὶ τί μυρία ἔτη πρὸς αἰῶνας ἀπείρους ἀϊδίους καὶ ἀτελευτήτους; οὐχ ὅσον μικρὰ σταγὼν πρὸς ἄβυσσον ἄπειρον. Ἀλλὰ πρὸς τὰ ἀγαθά; ἀλλ' ἐκεῖ μείζων ἡ ὑπερβολή. Ὀφθαλμὸς οὐκ εἶδε, φησί, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· καὶ ταῦτα εἰς αἰῶνας ἀπείρους ἀϊδίους. Ὑπὲρ τούτων οὖν κατακοπῆναι μυριάκις οὐ καλόν; ἀναιρεθῆναι, κατακαῆναι, μυρίους ὑποστῆναι θανάτους, πᾶν ὁποῖον ὑπομεῖναι δεινόν, καὶ λόγῳ καὶ ἔργῳ; Εἰ γὰρ ἐν πυρὶ ζῆν κατακαιόμενοι ἦμεν, οὐκ ἔδει πάντα ὑπομεῖναι ὑπὲρ τοῦ τυχεῖν τῶν ἐπηγγελμένων ἐκείνων ἀγαθῶν; ἀλλὰ τί λέγω ταῦτα ληρῶν πρὸς ἀνθρώπους οὐδὲ χρημάτων καταφρονῆσαι αἱρουμένους, ἀλλ' ὡς ἀθανάτων αὐτῶν ἐχομένους, καὶ μικρὰ ἐκ πολλῶν διδόντας, ὃ πάνυ νομίζοντας ἐλεῆσαι; οὐκ ἔστι τοῦτο ἐλεημοσύνη. ἐλεημοσύνη γάρ ἐστιν ἡ τῆς χήρας ἐκείνης, ἥτις τὸν βίον αὐτῆς πάντα ἐκένωσεν. Εἰ δὲ οὐ χωρεῖς τοσοῦτον ὅσον ἡ χήρα καταβαλεῖν, ἀλλὰ καὶ τὸ περίσσευμα ὅλον κατάβαλε· ἔχε τὰ ἀρκοῦντα, μὴ τὰ περιττά. Ἀλλ' οὐδείς ἐστιν οὐδὲ τὸ περίσσευμα καταβάλλων. ἕως γὰρ ἂν ἔχῃς οἰκέτας πολλούς, καὶ ἱμάτια σηρικά, πάντα ταῦτα περιττεύματά ἐστιν. οὐδὲν ἀναγκαῖον, οὐδὲ τῆς χρείας, ὧν ἄνευ δυνάμεθα ζῆν· ταῦτα περιττά, καὶ ἁπλῶς ἔξωθεν προσκεῖται. τίνος οὖν ἄνευ οὐ δυνάμεθα ζῆν ἴδωμεν, εἰ δοκεῖ. καὶ δύο μόνους ἔχοντες οἰκέτας, δυνάμεθα ζῆν. ὅπου γὰρ εἰσί τινες χωρὶς οἰκετῶν ζῶντες, ποίαν ἡμεῖς ἔχομεν ἀπολογίαν, τοῖς δύο οὐκ ἀρκούμενοι; δυνάμεθα καὶ ἐκ πλίνθων ἔχειν οἰκίαν τριῶν οἰκημάτων, καὶ τοῦτο ἀρκεῖ ἡμῖν. Εἰπὲ γάρ μοι, οὐκ εἰσί τινες μετὰ παίδων καὶ γυναικὸς ἕνα οἶκον ἔχοντες; ἔστωσαν δέ, εἰ βούλει, καὶ παῖδες δύο. Καὶ πῶς οὐκ αἰσχύνη, φησίν, ἐστι τὸ μετὰ δύο οἰκετῶν τὴν ἐλευθέραν βαδίζειν; ἄπαγε. οὐκ ἔστι τοῦτο αἰσχύνη, μετὰ δύο οἰκετῶν [τὴν ἐλευθέραν] βαδίζειν, ἀλλ' αἰσχύνη ἐστὶ τὸ μετὰ πολλῶν περιϊέναι. τάχα γελᾶτε ταῦτα ἀκούοντες. πιστεύσατε, τοῦτό ἐστιν αἰσχύνη, τὸ μετὰ πολλῶν περιϊέναι. ὥσπερ οἱ προβατοπῶλαι, ἢ ὥσπερ οἱ τῶν ἀνδραπόδων κάπηλοι, οὕτω μέγα τι ἡγεῖσθε τὸ μετὰ πλειόνων οἰκετῶν περιϊέναι. τῦφος τοῦτο καὶ κενοδοξία· ἐκεῖνο φιλοσοφία καὶ σεμνότης. τὴν γὰρ ἐλευθέραν οὐκ ἀπὸ τοῦ πλήθους τῶν ἀκολούθων φαίνεσθαι δεῖ. ποία γὰρ ἀρετὴ ἀνδράποδα ἔχειν πολλά; τοῦτο οὐκ ἔστι ψυχῆς. ὅπερ δὲ οὐκ ἔστι ψυχῆς, οὐ δείκνυσιν ἐλευθέραν. ὅταν ὀλίγοις ἀρκῆται, τότε ἐστὶν ἐλευθέρα ὄντως· ὅταν δὲ πολλῶν δέηται, δούλη ἐστί, καὶ ἀνδραπόδων χείρων. Εἰπέ μοι, οἱ ἄγγελοι οὐχὶ μόνοι περιπολοῦσι τὴν οἰκουμένην, καὶ οὐ δέονται οὐδενὸς τοῦ ἑπομένου; ἆρ' οὖν διὰ τοῦτο χείρους ἡμῶν εἰσι τῶν δεομένων οἱ μὴ δεόμενοι; Εἰ τοίνυν τὸ μηδὲ ὅλως δεῖσθαι ἀκολούθου, ἀγγελικόν· τίς τοῦ ἀγγελικοῦ βίου ἐγγύς, ἡ πολλῶν δεομένη, ἢ ἡ ὀλίγων; οὐκ ἔστι τοῦτο αἰσχύνη. αἰσχύνη γάρ ἐστι τὸ ἄτοπόν τι πρᾶξαι. Εἰπέ μοι, τίς ἐπιστρέφει τοὺς ἐν ἀγορᾷ, ἡ πολλοὺς ἐπαγομένη, ἢ ἡ ὀλίγους; ταύτης δὲ τῆς ὀλίγους ἐπαγομένης, οὐχὶ ἡ μόνη μᾶλλον, ἢ ἀπρόσιτος φαινομένη; ὁρᾷς ὅτι ἐκεῖνό ἐστιν αἰσχύνη; τίς * ἐπιστρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ τὰ καλὰ φοροῦσα ἱμάτια, ἢ ἡ ἁπλῶς περικειμένη, καὶ ἀνεπιτηδεύτως; τίς πάλιν ἐπιστρέφει τοὺς ἐν ἀγορᾷ, ἡ ἐπὶ ἡμιόνων φερομένη, καὶ χρυσοπάστων παραπετασμάτων, ἢ ἡ ἁπλῶς, καὶ ὡς ἔτυχε, μετὰ κοσμιότητος βαδίζουσα; ἢ ταύτην μὲν οὐδὲ ὁρῶμεν [καὶ ἴδωμεν], ἐκείνην δὲ οὐ μόνον ἰδεῖν βιάζονται οἱ πολλοί, ἀλλὰ καὶ ἐρωτῶσι, τίς εἴη, καὶ πόθεν; καὶ παρίημι λέγειν ὅσος ὁ φθόνος ἐντεῦθεν τίκτεται. τί οὖν, εἰπέ μοι, αἰσχρόν, ὁρᾶσθαι, ἢ μὴ ὁρᾶσθαι; πότε μείζων ἡ αἰσχύνη, ὅταν πάντες εἰς αὐτὴν βλέπωσιν, ἢ ὅταν μηδείς; ὅταν μανθάνωσι περὶ αὐτῆς, ἢ ὅταν μηδὲ φροντίζωσιν; ὁρᾷς ὅτι οὐ δι' αἰσχύνην, ἀλλὰ διὰ κενοδοξίαν πάντα πράττομεν; πλὴν ἀλλ' ἐπειδὴ τούτου ἀδύνατον ὑμᾶς ἀπαγαγεῖν, ἀρκεῖ μοι τέως τὸ μαθεῖν ὑμᾶς, ὅτι οὐκ ἔστι τοῦτο αἰσχύνη. ἁμαρτία μόνη αἰσχρόν ἐστιν, ἣν οὐδεὶς ἡγεῖται αἰσχύνην,

α. Κορ. β θ.
Ματ. κ ιϛ. μδ.

χ. μύρια
χ. ἐστι, ὁ νῦν
χ. περίκειται.
χ. τὸ ἀρκοῦν ἡμῖν. οὐκ
χ. δὲ
χ. ἀκολουθούντων
χ. ἐστιν ἀρετ. ἐστιν
χ. ἐστιν ἀρετ.
χ. ἀπροσόπτως πάλιν
χ. ταύτην μὲν οὐδὲ
χ. τοῦτο

αἰσχύνην, ἀλλὰ πάντα μᾶλλον ἢ ταύτην. ἱμάτια ἔστω τὰ τῆς χρείας, μὴ περιττά. πλὴν ἀλλ᾽ ἵνα μὴ εἰς πολλὴν στενοχωρίαν ὑμᾶς κατακλείσωμεν, ἐκεῖνο παραινοῦμεν, ὅτι χρυσοπάστων ἡμῖν οὐ δεῖ, οὐδὲ λεπτῶν ὀθονίων. καὶ ταῦτα οὐκ ἐγὼ λέγω. ὅτι γὰρ οὐκ ἐμά ἐστι τὰ ῥήματα, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, καὶ παραινοῦντος ταῖς γυναιξὶ κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. ἀλλὰ ποταπῷ βούλει, ὦ Παῦλε, εἰπέ. ἴσως γὰρ ἐροῦσιν, ὅτι τὰ χρυσᾶ μόνα ἐστὶ πολυτελῆ· [τὰ δὲ σηρικὰ, οὐ πολυτελῆ.] εἰπὲ ποταπῷ βούλει. Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις, φησὶν, ἀρκεσθησόμεθα. τοιοῦτον ἔστω τὸ ἱμάτιον, φησὶν, ὥστε σκέπειν μόνον. διὰ γὰρ τοῦτο ἔδωκεν ἡμῖν αὐτὰ ὁ Θεὸς, ἵνα σκέπωμεν τὴν γυμνότητα. τοῦτο δὲ οἱονδήποτε ἱμάτιον ποιῆσαι δύναται καὶ τὸ εὐτελέστατον. ἴσως γελᾶτε αἱ τὰ σηρικὰ φοροῦσαι ἱμάτια. γελᾶσαι γὰρ ὄντως χρή. τί μὲν Παῦλος ἐπέταξε; τί δὲ ἡμεῖς περιττεύομεν; οὐ πρὸς τὰς γυναῖκας δέ μοι ὁ λόγος μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄνδρας. πάντα γὰρ τὰ λοιπὰ, ἅπερ ἔχομεν, περιττά. μόνοι δὲ οἱ πένητες οὐ περιττὰ κέκτηνται. τάχα δὲ κἀκεῖνοι δι᾽ ἀνάγκην· ὡς εἴγε ἐξῆν, οὐκ ἂν οὐδὲ ἐκεῖνοι ἀπέσχοντο πλειόνων. ἀλλ᾽ εἴτε προφάσει, εἴτε ἀληθείᾳ, τέως ἐκεῖνοι τὰ περιττὰ οὐκ ἔχουσι. τοιαῦτα τοίνυν φορῶμεν ἱμάτια, τὰ τὴν χρείαν πληροῦντα. τί γὰρ βούλεται ὁ πολὺς χρυσός; τοῖς ἐπὶ σκηνῆς ταῦτα ἁρμόττει, ταῦτα ἐκείνων τὰ φορήματα, πορνῶν ἐστι γυναικῶν, πάντα πρὸς τὸ θεαθῆναι ποιουσῶν. καλλωπιζέσθω ἐκείνη ἡ ἐπὶ τῆς σκηνῆς, ἡ ἐπὶ τῆς ὀρχήστρας. πάντας γὰρ βούλεται πρὸς ἑαυτὴν ἐπισπάσασθαι. ἡ δὲ ἐπαγγελλομένη θεοσέβειαν, μὴ οὕτω καλλωπιζέσθω, ἀλλ᾽ ἑτέρως. ἔχει καλλωπισμὸν πολὺ ἐκείνης μείζονα. ἔχεις καὶ σὺ θέατρον. πρὸς ἐκεῖνο καλλωπίζου τὸ θέατρον· ἐκεῖνον περιτίθεσο τὸν κόσμον. ποῖον σοί ἐστι τὸ θέατρον; ὁ οὐρανὸς, ὁ τῶν ἀγγέλων δῆμος· οὐχὶ τῶν παρθένων λέγω μόνον, ἀλλὰ καὶ τῶν κοσμικῶν. πᾶσαι, ὅσαι τῷ Χριστῷ πιστεύουσιν, ἐκεῖνο ἔχουσι τὸ θέατρον. τοιαῦτα φθεγγώμεθα, ἵνα ἐκείνους τέρπωμεν τοὺς θεατάς· τοιαῦτα περιτίθεσο, ἵνα ἐκείνους εὐφράνῃς. εἰπὲ γάρ μοι, ἐὰν ἡ πόρνη γυνὴ ἀφεῖσα τὰ χρυσία, καὶ τὰ ἱμάτια, καὶ τὸν γέλωτα, καὶ τὰ ῥήματα τὰ ἀστεῖα, καὶ τὰ αἰσχρὰ, εὐτελὲς ἱμάτιον περιβάληται, καὶ ἀνεπιτηδεύτως συνθεῖσα ἑαυτὴν εἰσέλθῃ, καὶ θεοσεβῆ φθέγγηται ῥήματα, καὶ περὶ σωφροσύνης διαλέγηται, καὶ μηδὲν αἰσχρὸν λέγῃ, οὐχὶ διαναστήσονται πάντες; οὐχὶ διαλυθήσεται τοῦτο τὸ θέατρον; οὐχὶ ἐκβαλοῦσιν αὐτὴν, ὡς οὐκ εἰδυῖαν ἁρμόσασθαι τῷ δήμῳ, καὶ ἀλλότρια λέγουσαν τοῦ θεάτρου ἐκείνου τοῦ Σατανικοῦ; οὕτω καὶ σὺ, ἐὰν τὰ ἐκείνης περικειμένη εἰς τὸ τῶν οὐρανῶν θέατρον εἰσέλθῃς, ἐκβαλοῦσί σε οἱ θεαταί. ἐκεῖ γὰρ οὐ τῶν χρυσῶν ἱματίων χρεία τούτων, ἀλλ᾽ ἑτέρων. ποίων; οἵων ὁ προφήτης φησίν, *Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.* οὐχ ὥστε τὸ σῶμα λευκὸν ποιῆσαι, καὶ ἀποστίλβον, ἀλλ᾽ ὥστε τὴν ψυχὴν καλλωπίσαι. αὕτη γάρ ἐστιν ἡ ἀγωνιζομένη ἐκεῖ, καὶ ἀθλοῦσα. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, φησί. ταῦτα περιέθου. μυρίων γὰρ καὶ ἄλλων ἀπαλλάττεις σαυτὴν κακῶν, καὶ τὸν ἄνδρα μερίμνης, καὶ σαυτὴν φροντίδος. οὕτω γὰρ αἰδέσιμος ἔσῃ τῷ ἀνδρὶ, ὅταν μὴ πολλῶν δέῃ. πᾶς γὰρ ἄνθρωπος εἴωθεν αἰκίζεσθαι κατὰ τῶν δεομένων αὐτοῦ· ὅταν δὲ ἴδῃ μὴ χρείαν ἔχοντας, κατασπᾷ τὸ φρόνημα. ὥστε ὁμοτίμως * διαλέγεται *. ὅταν ἴδῃ ὁ ἀνὴρ ὅτι οὐ χρείαν αὐτοῦ ἔχεις ἐν οὐδενὶ, ὅτι καταφρονεῖς τῶν παρ᾽ αὐτοῦ δωρεῶν, κἂν σφόδρα ᾖ φρόνημα πνέων, τότε σε αἰδεσθήσεται μᾶλλον, ἢ τὰ χρυσία περικειμένην· καὶ οὐκέτι ἔσῃ αὐτοῦ δούλη. ὧν γὰρ χρείαν ἔχομεν, ὑποκύπτειν τούτοις ἀναγκαζόμεθα. ἐὰν δὲ ἀποστήσωμεν ἑαυτοὺς, οὐκέτι ἐσόμεθα ὑπόδικοι, ἀλλ᾽ οἶδεν ὅτι διὰ τὸν τοῦ Θεοῦ φόβον ὑπακοήν τινα ἀπονέμομεν αὐτῷ, οὐ διὰ τὰ παρ᾽ αὐτοῦ. νῦν μὲν γὰρ ὡς μεγάλα ἡμῖν χαριζόμενος, ὅσης ἂν ἀπολαύσῃ τῆς τιμῆς, οὐχ ἡγεῖται τῆς πάσης ἀπολελαυκέναι· τότε δὲ κἂν μικρᾶς τύχῃ, χάριν ἡγήσεται. οὐκ ὀνειδιεῖ, οὐκ ἀναγκασθήσεται οὐδὲ αὐτὸς πλεονεκτεῖν διὰ σέ. τί γὰρ ἀλογώτερον τοῦ χρυσία εἰς τοῦτο κατασκευάζειν, ἵνα

περικέωνται

Margin notes (left): α. Τιμ. β. θ. — α. Τιμ. ς. η. — Ψαλμ. μδ. ιδ.

Margin notes (right): π. χρυσῶν — π. φορήματα — π. δὲ ἱμάτιον — π. οὐρανῶν — * Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. — * [illegible] — * ὡς — * ἰσοτίμως

περιέχειν) ἐν βαλανείοις καὶ ἐν ἀγοραῖς; ἀλλ' ἐν βαλανείοις καὶ ἐν ἀγοραῖς οὐδὲν ἴσως θαυμαστόν· τὸ δὲ καὶ ἐν ἐκκλησίᾳ οὕτω σχηματιζομένην περιϊέναι, πολὺς ὁ γέλως. τί γὰρ δήποτε εἰσέρχεται χρυσία φοροῦσα ἐνταῦθα, ἡ ὀφείλουσα εἰσελθεῖν, ἵνα ἀκούσῃ κοσμεῖν ἑαυτὰς, μὴ χρυσίῳ, μηδὲ μαργαρίταις, μηδὲ ἱματισμῷ πολυτελεῖ; τίνος οὖν ἕνεκεν εἰσέρχῃ, ὦ γύναι; ἆρα ὡς μαχομένη τῷ Παύλῳ, καὶ δεικνύουσα ὅτι κἂν μυριάκις ταῦτα λέγῃ, οὐκ ἐπιστρέφῃ, ἀλλ' ὡς τοὺς διδασκάλους ἡμᾶς ἐλέγξαι βουλομένη μάτην ταῦτα διαλεγομένους; εἰπὲ γάρ μοι· ἐάν τις Ἕλλην καὶ ἄπιστος ἀκούσας ἀναγινωσκομένου τοῦ χωρίου τούτου ἔνθα ταῦτα λέγει ὁ μακάριος Παῦλος, παρεγγυῶν ταῖς γυναιξὶ, μήτε χρυσῷ, μήτε μαργαρίταις, μήτε ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτὰς, καὶ ἔχων γυναῖκα πιστὴν, ἴδῃ ὅτι πολλὴν ποιεῖται λόγον τοῦ καλλωπισμοῦ, καὶ χρυσία περιτίθεται, ἵνα προσέλθῃ ἐν ἐκκλησίᾳ, ἆρα οὐκ ἐρεῖ πρὸς ἑαυτὸν, ὁρῶν αὐτὴν ἐν τῷ κοιτωνίσκῳ ταῦτα περιτιθεμένην καὶ διατιθεῖσαν καλῶς, τί μένει ἔνδον ἡ γυνὴ εἰς τὸν κοιτωνίσκον; τί βραδύνει; τί περιτίθεται τὰ χρυσία; ποῦ ἀπελθεῖν ἔχει; εἰς τὴν ἐκκλησίαν; διὰ τί; ἵνα ἀκούσῃ, Μὴ ἱματισμῷ πολυτελεῖ; οὐ γελάσεται; οὐκ ἀνακαγχάσει; οὐ χλεύην καὶ ἀπάτην εἶναι νομιεῖ τὰ ἡμέτερα; διὸ, παρακαλῶ, τὰ χρυσία ταῖς πομπαῖς ἀφῶμεν, ταῖς σκηναῖς, ταῖς προσθήκαις ταῖς ἐπὶ τῶν ἐργαστηρίων. ἡ δὲ τοῦ Θεοῦ εἰκὼν μὴ τούτοις καλλωπιζέσθω· ἡ ἐλευθέρα τῇ ἐλευθερίᾳ κοσμείσθω. ἐλευθερία δὲ, τὸ ἄτυφον, τὸ ἀκόμπαστον. εἰ δὲ καὶ δόξης βούλει τῆς παρὰ ἀνθρώπων ἐπιτυχεῖν, οὕτως ἐπιτεύξῃ. τὴν γὰρ ἀνδρὸς πλουτοῦντος οὖσαν γυναῖκα οὐχ οὕτω θαυμασόμεθα χρυσία φοροῦσαν καὶ σηρικὰ (τοῦτο γὰρ κοινὸν ἁπασῶν) ὡς ὅταν λιτὸν ἱμάτιον, καὶ ἁπλοῦν, καὶ ἐξ ἐρίου εἰργασμένον μόνον περικειμένη τυγχάνῃ. τοῦτο θαυμάσονται πάντες, τοῦτο κροτήσουσιν. ἐν ἐκείνῳ μὲν γὰρ τῷ κόσμῳ, τῷ τῶν χρυσίων καὶ τῶν πολυτελῶν ἱματίων, πολλὰς ἔχει τὰς κοινωνούσας αὐτῇ. κἂν ταύτην ὑπερακοντίσῃ, ὑπὸ τῆς ἑτέρας ἡττᾶται· κἂν πάσας ὑπερβάλῃ, ὑπὸ τῆς βασιλίδος αὐτῆς νικᾶται· ἐνταῦθα δὲ πάσας νικᾷ, καὶ αὐτὴν τὴν τοῦ βασιλέως γυναῖκα. μόνη γὰρ ἐν πλούτῳ πολλῷ τὰ τῶν πενήτων εἵλετο. ὥστε καὶ εἰ δόξης ἐρᾶς μὲν, ἐνταῦθα μείζων ἡ δόξα. οὐ πρὸς τὰς χήρας λέγω μόνον, καὶ τὰς πλουσίας (ἐκεῖ γὰρ δοκεῖ ἡ τῆς χηρείας ἀνάγκη τοῦτο ποιεῖν) ἀλλὰ καὶ πρὸς τὰς ὑπάνδρους οὔσας. ἀλλ' οὐκ ἀρέσκω, φησὶ, τῷ ἀνδρί. οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, ἀλλὰ τῷ πλήθει τῶν γυναικῶν τῶν πενήτων· μᾶλλον δὲ οὐκ ἀρέσκειν, ἀλλὰ κατατήκειν αὐτὰς, καὶ ὀδυνᾶν, καὶ τὴν πενίαν μείζονα ποιεῖν. πόσα διὰ σὲ βλάσφημα φθέγγονται; μὴ ἔστω, φησὶ, πενία· ὁ Θεὸς μισεῖ τοὺς πενομένους, ὁ Θεὸς οὐ φιλεῖ τοὺς ἐν πενίᾳ. ὅτι γὰρ οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, καὶ ταύτης ἕνεκεν τῆς αἰτίας καλλωπίζῃ, ἐξ ὧν αὐτὴ ποιεῖς, [τοῦτο] δῆλον ἅπασι καθίστας. ὅταν γὰρ ὑπερβῇς τὸν οὐδὸν τοῦ θαλάμου, εὐθέως ἀποδύσασα ἀποτίθῃ, καὶ τὰ ἱμάτια, καὶ τὰ χρυσία, καὶ τοὺς μαργαρίτας· καὶ ἐπὶ τῆς οἰκίας μάλιστα οὐ φορεῖς. εἰ δὲ ὅλως βούλει ἀρέσκειν τῷ ἀνδρὶ, ἔστι δι' ὧν ἀρέσκεις, δι' ἐπιεικείας, διὰ πρᾳότητος, διὰ κοσμιότητος. πίστευε γάρ μοι, γύναι, κἂν μυριάκις ᾖ καταφερὴς ὁ ἀνὴρ, καὶ ἀκρατὴς, ταῦτα μᾶλλον αὐτὸν ἐφελκύσεται, ἐπιείκεια, κοσμιότης, τὸ ἄτυφον, τὸ ἀδάπανον, τὸ εὐτελές. τὸν μὲν γὰρ ἀκόλαστον, κἂν μυρία τοιαῦτα ἐπινοῇς, οὐ καθέξεις. καὶ ἴσασιν ὅσαι τοιούτους ἐσχήκασιν ἄνδρας. ὡς γὰρ ἐὰν καλλωπίσῃς σαυτὴν, ἐκεῖνος ἀκόλαστος ὢν πρὸς ἑτέραν ἄπεισι· τὸν δὲ σώφρονα καὶ κόσμιον οὐ τούτοις αἱρήσεις, ἀλλὰ τοῖς ἐναντίοις· ἐν τούτοις δὲ καὶ λυπεῖς, σαυτῇ δόξαν περιτιθεῖσα φιλοκόσμου. εἰ γὰρ καὶ αἰδούμενος ὁ ἀνὴρ, καὶ τοῦτο ὡς σώφρων, οὐ λέγει, ἀλλ' ἔνδοθεν καταγνώσεταί σου· τοὺς δὲ φθόνους, καὶ τὰς βασκανίας οὐ περιστέλλεται. οὐ πᾶσαν ἡδονὴν ἐκβάλλεις λοιπὸν, φθόνον ἐγείρουσα κατὰ σαυτῆς; τάχα δυσχερῶς ἀκούετε τῶν λεγομένων, καὶ ἀγανακτεῖτε, λέγουσαι, ὅτι τοὺς ἄνδρας προξενεῖ μᾶλλον κατὰ τῶν γυναικῶν. οὐ τοὺς ἄνδρας προξενῶν ταῦτα λέγω, ἀλλὰ περὶ ὑμῶν βουλόμενος ἐκεῖνα ταῦτα

α. Τιμ. β. θ.

γίνεσθαι, δι᾽ ὑμᾶς, οὐ δι᾽ ἐκείνους· οὐχ ἵνα ἐκείνους ἀπαλλάξω φθόνου, ἀλλ᾽ ἵνα ὑμᾶς ἀπαλλάξω φαντασίας βιωτικῆς. βούλει φανῆναι καλή; κἀγὼ τοῦτο βούλομαι, ἀλλὰ κάλλος, ὃ ὁ Θεὸς ζητεῖ, κάλλος, ὃ ἐπιθυμεῖ ὁ βασιλεύς. τίνα βούλει ἔχειν ἐραστήν; τὸν Θεόν, ἢ ἀνθρώπους; ἐὰν ἐκεῖνο ἔχῃς τὸ κάλλος καλόν, ὁ Θεὸς ἐπιθυμήσει τοῦ κάλλους σου· ἂν δὲ τοῦτο χωρὶς ἐκείνου, ἐκεῖνος μέν σε βδελύξεται, ἔσονται δέ σου ἐρασταὶ ἄνδρες μιαροί. οὐδεὶς γὰρ ὑπάνδρου γυναικὸς ἐρῶν, ἀγαθός. τοῦτο καὶ ἐπὶ τοῦ κόσμου τοῦ ἔξωθεν λογίζου. ἐκεῖνος μὲν γὰρ ὁ κόσμος, ὁ τῆς ψυχῆς, λέγω, τὸν Θεὸν ἐπισπᾶται· οὗτος δὲ πάλιν τοὺς μιαροὺς ἄνδρας. ὁρᾷς ὅτι ὑμῶν κήδομαι, ὅτι ὑμῶν φροντίζω, ἵνα καλαὶ ἦτε, ὄντως καλαί, ὄντως ἐπίδοξοι, ἵνα ἀντὶ ἀνδρῶν μιαρῶν τὸν ἁπάντων δεσπότην Θεὸν ἔχητε ἐραστήν; ἡ δὲ ἐκεῖνον ἔχουσα ἐραστήν, τίνι ἔσται ὁμοία; μετὰ ἀγγέλων χορεύει. εἰ γὰρ παρὰ βασιλέως φιλουμένη τις ὑπὲρ πάντας μακαρίζεται· ἡ παρὰ τοῦ Θεοῦ φιλουμένη φιλίαν πολλήν, τίνος ἔσται ἀξία; κἂν τὴν οἰκουμένην ἀντιστήσῃς, οὐδὲν τοῦ κάλλους ἐκείνου ἄξιον. τοῦτο τοίνυν ἀσκήσωμεν τὸ κάλλος, τούτῳ κοσμώμεθα τῷ κόσμῳ, ἵνα εἰς τοὺς οὐρανοὺς χωρήσωμεν, εἰς τὰς παστάδας τὰς πνευματικάς, εἰς τὸν νυμφῶνα τὸν ἀκήρατον. τοῦτο μὲν γὰρ τὸ κάλλος ὑπὸ πάντων ἁλίσκεται· καὶ ὅταν παραμείνῃ καλῶς, καὶ μήτε νόσος ἐνοχλήσῃ, μήτε φροντίς (ὅπερ ἀδύνατον) οὐ παραμένει εἴκοσιν ἔτη· ἐκεῖνο δὲ ἀεὶ ἀνθεῖ, ἀεὶ ἀκμάζει· οὐκ ἔστιν ἐκεῖ δέξασθαι μεταβολήν, οὐ γῆρας ἐπελθὸν ῥυτίδα ἤγαγεν, οὐ νόσος κατασκήψασα ἐμάρανεν, οὐκ ἀθυμίας φροντὶς ἐλυμήνατο, ἀλλὰ πάντων τούτων ἐστὶν ἀνώτερον. τοῦτο δὲ πρὶν ἢ φανῆναι, ἀπέπτη· κἂν φανῇ, οὐκ ἔχει πολλοὺς τοὺς θαυμαστάς. οἱ μὲν γὰρ κόσμιοι οὐ θαυμάζουσιν· οἱ δὲ θαυμάζοντες, μετὰ ἀσελγείας θαυμάζουσι. μὴ τοίνυν τοῦτο ἀσκῶμεν, ἀλλ᾽ ἐκεῖνο. ἐκείνου ἐχώμεθα, ἵνα μετὰ λαμπάδων φαιδρῶν ἀπέλθωμεν εἰς τὸν νυμφῶνα. οὐ γὰρ ταῖς παρθένοις τοῦτο ἐπήγγελται μόνον, ἀλλὰ* ταῖς ψυχαῖς ταῖς παρθένοις. ἐπεὶ εἰ παρθένων ἦν ἁπλῶς τοῦτο, οὐκ ἂν αἱ πέντε ἀπεκλείσθησαν. πασῶν τοίνυν ἐστὶ τοῦτο, ὅσαι τὴν ψυχήν εἰσι παρθένοι, ὅσαι τῶν νοημάτων τῶν βιωτικῶν εἰσιν ἀπηλλαγμέναι. φθείρουσι γὰρ τὰς ψυχὰς τὰ νοήματα ταῦτα. ἐὰν τοίνυν ἀκέραιοι μένωμεν, ἀπελευσόμεθα ἐκεῖ, καὶ δεχθησόμεθα.
β. Κορ. ια. β. Ἡρμοσάμην γὰρ ὑμᾶς, φησίν, ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. ταῦτα οὐ πρὸς τὰς παρθένους εἶπεν, ἀλλὰ πρὸς τὸ πλήρωμα τῆς ἐκκλησίας ἁπάσης. ἡ γὰρ ἄφθορος ψυχή, παρθένος ἐστί, κἂν ἄνδρα ἔχῃ· παρθένος ἐστὶ τὴν ὄντως παρθενίαν, τὴν θαυμαστήν. αὕτη γὰρ ἡ τοῦ σώματος ἐκείνης ἐστὶν ἐπακολούθημα καὶ σκιά· ἡ δὲ ἀληθὴς παρθενία ἐκείνη ἐστί. ταύτην ἀσκῶμεν, καὶ οὕτω δυνησόμεθα μετὰ φαιδροῦ προσώπου τὸν νυμφίον ἰδεῖν, μετὰ φαιδρῶν εἰσελθεῖν τῶν λαμπάδων, ἐὰν τὸ ἔλαιον ἡμᾶς μὴ ἐπιλίπῃ, ἐὰν τὰ χρυσία χωνεύσασαι ἔλαιον ἐργασώμεθα τοιοῦτον, ὃ ποιεῖ φαιδρὰς τὰς λαμπάδας. τὸ δὲ ἔλαιον ἐκεῖνό ἐστιν ἡ φιλανθρωπία. ἐὰν ἑτέροις μεταδῶμεν τὰ ὄντα, ἐὰν ἔλαιον αὐτὰ ἐργασώμεθα, τότε ἡμῖν προστήσεται, καὶ οὐκ ἐροῦμεν ἐν ἐκείνῳ τῷ καιρῷ,
Ματθ. κε. η. Δότε ἡμῖν ἔλαιον ὅτι σβέννυνται ἡμῶν αἱ λαμπάδες, οὐδὲ ἑτέρων δεηθησόμεθα, οὐδὲ ἀπελθοῦσαι πρὸς τοὺς πωλοῦντας, ἀποκλεισθησόμεθα, οὐδὲ ἀκουσόμεθα τῆς φωνῆς ἐκείνης τῆς φοβερᾶς καὶ φρικτῆς, κρούουσαι τὰς θύρας, Οὐκ οἶδα ὑμᾶς, ἀλλ᾽ ἐπιγνώσεται ἡμᾶς, καὶ συνεισελευσόμεθα τῷ νυμφίῳ, καὶ εἰσελθόντες εἰς τὸν νυμφῶνα τὸν πνευματικόν, μυρίων ἀπολαύσομεν τῶν ἀγαθῶν. εἰ γὰρ ἐνταῦθα οὕτω φαιδρὸς ὁ νυμφών, οὕτω λαμπραὶ αἱ παστάδες, ὡς μηδένα κορέννυσθαι προσέχοντα· πόσῳ μᾶλλον ἐκεῖ; θάλαμός ἐστιν ὁ οὐρανός, καὶ τοῦ οὐρανοῦ ὁ νυμφὼν βελτίων· ἐκεῖ εἰσελευσόμεθα. εἰ δὲ ὁ νυμφὼν οὕτω καλός, τίς ἄρα ἔσται ὁ νυμφίος; καὶ τί λέγω, τὰ χρυσία ἀποθέμεναι μεταδῶμεν τοῖς δεομένοις; εἰ γὰρ καὶ ἑαυτὰς πωλεῖν ἐχρῆν, εἰ γὰρ ἀντ᾽ ἐλευθέρων γενέσθαι δούλας, ὥστε δυνηθῆναι μετ᾽ ἐκείνου εἶναι τοῦ νυμφίου, τοῦ κάλλους ἀπολαύειν ἐκείνου, μόνον ὁρᾷν εἰς τὸ πρόσωπον ἐκείνου· οὐκ ἐχρῆν μετὰ

προθυμίας ἅπαντα καταδέξασθαι; καὶ βασιλέα μὲν τὸν ἐπὶ γῆς ἵνα μόνον ἴδωμεν, πολλάκις ὑπὲρ τοῦ ἰδεῖν αὐτὸν, καὶ τὰ ἐν χερσὶ ῥίπτομεν, καὶ ἀναγκαῖα ὄντα· ὑπὲρ δὲ τοῦ βασιλέα καὶ νυμφίον ἐν οὐρανοῖς ἀμφότερα ὄντα, ὥστε μὴ μόνον καταξιωθῆναι ἰδεῖν, ἀλλὰ καὶ προαπαντῆσαι αὐτῷ μετὰ λαμπάδων, καὶ ἐγγὺς αὐτοῦ εἶναι, καὶ διαπαντὸς εἶναι μετ' αὐτοῦ, τί οὐκ ἔδει ποιεῖν; τί δὲ οὐ παρατλεῖν; τί δὲ οὐχ ὑπομένειν; δέομαι, παρακαλῶ, λάβωμεν πόθον ἐκείνων τῶν ἀγαθῶν, ποθήσωμεν ἐκεῖνον τὸν νυμφίον, ὦμεν παρθένοι τὴν ἀληθῆ παρθενίαν. τὴν γὰρ τῆς ψυχῆς παρθενίαν ἐπιζητεῖ ὁ δεσπότης. μετὰ ταύτης εἰσέλθωμεν εἰς τὸν οὐρανὸν, μὴ ἔχοντες σπίλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων· ἵνα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς μεταλαχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ. ὁ Θεός.

Λογ. κθ. 4 ΟΥΠΩ ΜΕΧΡΙΣ ΑΙΜΑΤΟΣ ΑΝΤΙΚΑΤΕΣΤΗΤΕ, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· 5 Καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται, Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. 6 Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.

7 Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός (τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;)

Ἔστιν εἴδη παρακλήσεως δύο, ἐναντία ἀλλήλοις εἶναι δοκοῦντα, πολλὴν δὲ ἑαυτοῖς συνεισφέροντα τὴν ἰσχὺν· ἅπερ ἀμφότερα ἐνταῦθα τέθεικε. τὸ μὲν γάρ ἐστιν, ὅταν πολλὰ λέγωμεν πεπονθέναι τινάς (ἡ γὰρ ψυχὴ διαναπαύεται, ὅταν ἔχῃ τῶν οἰκείων παθῶν μάρτυρας πολλούς. ὅπερ ἀνωτέρω ἐποίησεν εἰπών, Αναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων) τὸ δὲ, ὅταν λέγωμεν, ὅτι οὐ μέγα τι πέπονθας. ἐπιστρεφόμεθα γὰρ τῷ λόγῳ, καὶ διανιστάμεθα, καὶ πάντα πρὸς τὸ παθεῖν γινόμεθα προθυμότεροι. καὶ τὸ μὲν τετρυχωμένην τὴν ψυχὴν διαναπαύει, καὶ ἀνάπαυσιν ποιεῖ· τὸ δὲ, ῥαθυμοῦσαν αὐτὴν καὶ ὑπτίαν γινομένην ἐπιστρέφει, καὶ τοῦ φρονήματος κατασπᾷ. ἵνα τοίνυν [μὴ] ἐξ ἐκείνης τῆς μαρτυρίας φρόνημα αὐτοῖς τεχθῇ, ὅρα τί ποιεῖ. οὔπω, φησὶ, μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν [ἀνταγωνιζόμενοι καὶ ἐκλέλησθε τῆς παρακλήσεως.] καὶ οὐκ εὐθέως ἐπήγαγε τὰ ἑξῆς, ἀλλὰ δείξας αὐτοῖς πάντας τοὺς μέχρις αἵματος στάντας, εἶτα ἐπαγαγὼν τὸ καύχημα τοῦ Χριστοῦ τὰ παθήματα, τότε εὐκόλως κατέδραμε. τοῦτο καὶ Κορινθίοις γράφων λέγει, Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος· τουτέστι, μικρός. ἱκανὸν γὰρ τοῦτο διαναστῆσαι καὶ διορθῶσαι ψυχὴν, ὅταν ἐννοήσῃ, ὅτι οὐ πρὸς τὸ πᾶν ἀπῆλθε, καὶ πείσῃ ἑαυτὴν ἀπὸ τῶν προλαβόντων. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὔπω θάνατον ὑπέστητε, μέχρι χρημάτων ὑμῖν ἡ ζημία, μέχρι δόξης, μέχρι τοῦ ἐλαύνεσθαι. ὁ μέντοι Χριστὸς ὑπὲρ ὑμῶν τὸ αἷμα ἐξέχεεν, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ ἑαυτῶν. αὐτὸς μέχρι θανάτου ἠγωνίσατο περὶ τῆς ἀληθείας, πολεμῶν ὑπὲρ ὑμῶν· ὑμεῖς δὲ οὐδέπω εἰς κινδύνους ἐπέβητε θάνατον ἀπειλοῦντας. καὶ ἐκλέλησθε τῆς παρακλήσεως· τουτέστι, καὶ παρήκατε τὰς χεῖρας, ἐξελύθητε. οὔπω, φησὶ, μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. ἐνταῦθα δείκνυσι καὶ τὴν ἁμαρτίαν σφόδρα πνέουσαν, καὶ αὐτὴν ὁπλιζομένην. τὸ γὰρ ἀντικατέστητε, πρὸς τοὺς ἑστῶτας εἴρηται. ἥτις ὑμῖν, φησὶν, ὡς υἱοῖς διαλέγεται, υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ἐποιήσατο ἀπὸ τῶν πραγμάτων τὴν παράκλησιν, ἐκ περιουσίας καὶ τὴν ἀπὸ τῶν λόγων ἐπάγει, ἀπὸ τῆς μαρτυρίας ταύτης. μὴ ἐκλύου, φησίν,

Εβρ. ι. λϛ.

α. Κορ. ι. ιγ.

φησὶν, ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος. ἄρα τοῦ Θεοῦ ταῦτά ἐστι. καὶ τοῦτο δὲ εἰς παράκλησιν οὐ μικρὸν, ὅταν μάθωμεν, ὅτι τοῦ Θεοῦ ἔργον ἐστὶ τὸ τοιαῦτα δυνηθῆναι, ἐκείνου συγχωροῦντος, καθάπερ καὶ Παῦλός φησιν, Ὑπὲρ τούτου τρεῖς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι,
β. Κορ. ιβ. θ. ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὥστε ἐκεῖνός ἐστιν ὁ συγχωρῶν. ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. οὐκ ἔχεις, φησὶν, εἰπεῖν ὅτι ἐστί τις δίκαιος θλίψεως χωρίς· κἂν γὰρ οὕτω φαίνηται, ἀλλ᾽ οὐκ ἴσμεν ἡμεῖς τὰς ἄλλας θλίψεις. ὥστε πάντα δίκαιον ἀνάγκη διὰ θλίψεως ἐλθεῖν. ἀπόφασις γάρ ἐστι τοῦ Χριστοῦ, ὅτι ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς ἀπάγει εἰς τὴν ἀπώλειαν· ἡ δὲ στενὴ καὶ τεθλιμμένη, εἰς τὴν ζωήν. εἰ τοίνυν ἐκεῖθεν ἔστιν ἐλθεῖν εἰς τὴν ζωὴν, ἄλλοθεν δὲ οὐκ ἔνι, ἄρα διὰ τῆς στενῆς πάντες εἰσῆλθον, ὅσοι πρὸς τὴν ζωὴν ἀπῆλθον.

7 Εἰ παιδείαν ὑπομένετε, φησιν, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; [Εἰ παιδεύει, ἄρα εἰς διόρθωσιν, ἀλλ᾽] οὐκ εἰς κόλασιν, οὐδὲ εἰς τιμωρίαν, οὐδὲ εἰς τὸ κακῶς παθεῖν. ὅρα, ὅθεν ἐνόμιζον ἐγκαταλελεῖφθαι, ἀπὸ τούτων φησὶν αὐτοὺς πιστεύειν, ὅτι οὐκ ἐγκαταλελειμμένοι εἰσίν. ὡς ἂν εἰ ἔλεγεν, ἐπειδὴ τοσαῦτα ἐπάθετε κακὰ, νομίζετε ὅτι ἀφῆκεν ὑμᾶς ὁ Θεὸς καὶ μισεῖ; εἰ μὴ ἐπάθετε, τότε ἔδει τοῦτο ὑποπτεύειν. εἰ γὰρ πάντα υἱὸν μαστιγοῖ, ὃν παραδέχεται· ὁ μὴ μαστιζόμενος, [ἴσως] οὐχ υἱός. τί οὖν, φησι; πονηροὶ οὐ πάσχουσι κακῶς; πάσχουσι μέν. πῶς γὰρ οὔ; ἀλλ᾽ οὐκ εἶπε, πᾶς ὁ μαστιζόμενος, υἱός, ἀλλὰ πᾶς ὁ υἱὸς μαστιγοῦται. ἀλλ᾽ οὐκ ἂν ἔχοις εἰπεῖν. εἰσὶ μὲν γὰρ μαστιζόμενοι πολλοὶ, καὶ πονηροί· οἷον ἀνδροφόνοι, λῃσταὶ, γόητες, τυμβωρύχοι. ἀλλ᾽ ἐκεῖνοι τῆς ἰδίας πονηρίας διδόασι δίκην, καὶ οὐχ ὡς υἱοὶ μαστιγοῦνται, ἀλλ᾽ ὡς κακοὶ κολάζονται· ὑμεῖς δὲ ὡς υἱοί. ὁρᾷς πῶς πάντοθεν κινεῖ λογισμοὺς, ἀπὸ πραγμάτων τῶν ἐν τῇ γραφῇ, ἀπὸ ῥημάτων, ἀπὸ ἐννοιῶν οἰκείων, ἀπὸ παραδειγμάτων τῶν ἐν τῷ βίῳ; εἶτα πάλιν καὶ ἀπὸ τῆς κοινῆς συνηθείας·

8 Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί.

Ὁρᾷς ὅτι (ὅπερ ἔφθην εἰπὼν) οὐκ ἔνι μὴ παιδευόμενον εἶναι υἱόν; ὥσπερ γὰρ ἐν ταῖς οἰκίαις τῶν νόθων καταφρονοῦσιν οἱ πατέρες, κἂν μηδὲν μανθάνωσι, κἂν μὴ ἔνδοξοι γίνωνται· τῶν δὲ γνησίων ἕνεκεν υἱῶν δεδοίκασι μήποτε ῥαθυμήσωσι· τοῦτο καὶ ἐπὶ τοῦ παρόντος. εἰ τοίνυν τὸ μὴ παιδεύεσθαι νόθων ἐστὶ, δεῖ χαίρειν ἐπὶ τῇ παιδείᾳ, εἴγε γνησιότητος τοῦτο ἐστίν. Ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Διὰ τοῦτο αὐτό φησιν,

9 Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Πάλιν ἀπὸ
Ἑβρ. ι. λβ. τῶν οἰκείων παθημάτων, ἀφ᾽ ὧν αὐτοὶ ἔπαθον, ἡ προτροπή. ὥσπερ γὰρ ἐκεῖ λέγει, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας· οὕτω καὶ ἐνταῦθα, ὁ Θεὸς, φησιν, ὡς υἱοῖς ὑμῖν προσφέρεται, καὶ οὐκ ἂν ἔχοιτε εἰπεῖν, ὅτι οὐ δυνάμεθα φέρειν. καὶ ὡς υἱοῖς ποθεινοῖς. εἰ δὲ τοὺς πατέρας αἰδούμεθα τοὺς σαρκικοὺς ἐκείνους, πῶς ὑμεῖς τὸν πατέρα τὸν ἐπουράνιον οὐκ αἰδεσθήσεσθε; καίτοι οὐκ ἀπὸ τούτου μόνον ἡ διαφορὰ, καὶ ἀπὸ προσώπων, ἀλλὰ καὶ ἀπ᾽ αὐτῆς τῆς αἰτίας, καὶ ἀπὸ τοῦ πράγματος. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς τούτοις κἀκεῖνοι παιδεύουσι. διὸ καὶ ἐπάγει,

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· Τουτέστιν, ἡδονὴν πληροῦντες πολλάκις, καὶ οὐ πανταχοῦ τὸ συμφέρον ὁρῶντες. ἐνταῦθα δὲ οὐκ ἔστι τοῦτο εἰπεῖν. οὐ γὰρ διά τι τῶν αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ δι᾽ ὑμᾶς, καὶ τὴν ὠφέλειαν μόνην τὴν ὑμετέραν. ἐκεῖνοι ἵνα καὶ αὐτοῖς χρήσιμοι γένησθε, πολλάκις δὲ καὶ εἰκῇ· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ὁρᾷς ὅτι καὶ τοῦτο φέρει παράκλησιν; μάλιστα γὰρ ἐκείνοις οἰκειούμεθα, ὅταν ἴδωμεν ὅτι οὐ διά τι τῶν αὐτῶν ἢ ἐπιτάττουσιν, ἢ παραινοῦσιν, ἀλλ᾽ ὁλόκληρος ἡ σπουδὴ διὰ τὸ ἡμέτερον κέρδος. τοῦτο γάρ ἐστιν εἰλικρινὴς ἀγάπη, καὶ ὄντως ἀγάπη, ὅταν μηδὲν ὄντες τῷ

φιλοῦντι

φιλοῦσιν ὅτι χρήσιμοι, φιλῶμεν διὰ τὸ αὐτόν. φιλούμεθα γάρ, οὐχ ἵνα λάβῃ, ἀλλ' ἵνα δῷ· παιδεύει, πάντα ποιεῖ, πάντα σπουδάζει, ὥστε γενέσθαι ἡμᾶς δεκτικοὺς τῶν ἀγαθῶν τῶν αὐτοῦ. Οἱ μὲν γάρ, φησι, πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. τί ἐστι, τῆς ἁγιότητος αὐτοῦ; τουτέστι, τῆς καθαρότητος, ὥστε ἀξίους αὐτοῦ γενέσθαι κατὰ δύναμιν. ἐκεῖνος σπουδάζει ἵνα λάβητε, καὶ πάντα ποιεῖ, ἵνα δῷ ὑμῖν· ὑμεῖς δὲ οὐ σπουδάζετε ἵνα λάβητε; Εἶπον, φησι, τῷ Κυρίῳ, Κύριός μου εἶ σύ· ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. Ψαλ. ιε. α.

9 Εἶτα, φησι, τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν [παιδεύοντας], καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ [δὲ] μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Τῷ πατρὶ τῶν πνευμάτων· ἤτοι τῶν χαρισμάτων λέγει, ἤτοι τῶν εὐχῶν, ἤτοι τῶν ἀσωμάτων δυνάμεων. ἐὰν οὕτως ἀποθνήσκωμεν, τότε ζησόμεθα. καὶ καλῶς εἶπεν, Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας ἐπαίδευον κατὰ τὸ δοκοῦν αὐτοῖς (οὐ γὰρ πανταχοῦ τὸ δοκοῦν, συμφέρει) οὗτος δὲ πρὸς τὸ συμφέρον.

ΗΘΙΚΟΝ

Ἄρα ἡ παιδεία συμφέρει, ἄρα ἡ παιδεία μετάληψις ἁγιότητός ἐστι. καὶ σφόδρα γε. ὅταν γὰρ ῥαθυμίαν ἐκβάλλῃ, ὅταν ἐπιθυμίαν πονηράν, ὅταν ἔρωτα τῶν βιωτικῶν πραγμάτων, ὅταν συστρέφῃ τὴν ψυχήν, ὅταν ποιῇ καταγινώσκειν τῶν ἐνταῦθα πάντων (τοιοῦτον γὰρ ἡ θλῖψις) οὐχὶ ἁγία ἐστίν; οὐχὶ τοῦ πνεύματος ἐπισπᾶται τὴν χάριν; ἐννοήσωμεν τοιγαροῦν ἀεὶ τοὺς δικαίους, καὶ ἴδωμεν πόθεν πάντες ἔλαμψαν· καὶ πρὸ πάντων, ὁ Ἄβελ, ὁ Νῶε. ἆρα γὰρ οὐχὶ ἀπὸ θλίψεως; οὐ γάρ ἐστι τὸν μόνον ὄντα ἐν τῷ τοσούτῳ πλήθει τῶν κακῶν, μὴ θλίβεσθαι. Νῶε γάρ, φησι, [μόνος] τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν. Γεν. ς. θ. ἐννόησον γάρ μοι, εἰ νῦν μυρίους ἔχοντες, ὧν ζηλώσομεν τὴν ἀρετήν, καὶ πατέρας, καὶ διδασκάλους, οὕτω θλιβόμεθα, τί παθεῖν ἐκεῖνον εἰκὸς ἦν μόνον μεταξὺ τοσούτων; ἀλλὰ τὰ κατὰ τὸν ὑετὸν [εἴπω] τὸν ξένον ἐκεῖνον καὶ παράδοξον; ἀλλὰ τὸν Ἀβραὰμ εἴπω, καὶ ἃ τοῦτον συνέβη παθεῖν, οἷον, τὰς ἀποδημίας τὰς ἐπαλλήλους, τὴν τῆς γυναικὸς ἁρπαγήν, τοὺς κινδύνους, τοὺς πολέμους, τοὺς πειρασμούς; ἀλλὰ τὸν Ἰακώβ, ὅσα πέπονθε δεινά, ἐλαυνόμενος πάντοθεν, καὶ πονῶν εἰκῇ, καὶ ἑτέροις μοχθῶν; πάντας μὲν γὰρ αὐτοῦ τοὺς πειρασμοὺς καταλέγειν οὐκ ἀναγκαῖον, τὴν δὲ μαρτυρίαν παρενεγκεῖν βούλομαι, ἣν καὶ αὐτὸς διαλεγόμενος τῷ Φαραὼ ἔλεγε· Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου. Γεν. μζ. θ. ἀλλὰ τὸν Ἰωσὴφ εἴπω; ἀλλὰ τὸν Μωϋσέα; ἀλλὰ τὸν Ἰησοῦν; ἀλλὰ τὸν Δαβίδ; ἀλλὰ τὸν Σαμουήλ; ἀλλὰ τὸν Ἡλίαν; ἀλλὰ τὸν Δανιήλ; ἀλλὰ τοὺς προφήτας πάντας; ἀλλὰ τούτους ἅπαντας ἀπὸ τῶν θλίψεων λαμπροὺς εὑρήσεις γενομένους. Εἰπὲ οὖν μοι σύ, ἀπὸ ἀνέσεως καὶ τρυφῆς λαμπρὸς βούλει γενέσθαι; ἀλλ' οὐκ ἂν δύναιο. ἀλλὰ τοὺς ἀποστόλους εἴπω; ἀλλὰ καὶ οὗτοι πάντας ὑπερηκόντισαν τοῖς λυπηροῖς. τί ταῦτα λέγω; καὶ ὁ Χριστὸς τοῦτό φησιν· Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε. Ἰωαν. ις. λγ. καὶ πάλιν, Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς· ὁ δὲ κόσμος χαρήσεται. Ἰωαν. ις. κ. καί, ὅτι Στενή, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Ματθ. ζ. ιδ. ὁ τῆς ὁδοῦ Κύριος εἶπεν, ὅτι στενὴ καὶ τεθλιμμένη· σὺ δὲ τὴν πλατεῖαν ζητεῖς; καὶ πῶς οὐκ ἄτοπον; διὰ τοῦτο οὐκ ἐπιτεύξῃ τῆς ζωῆς, ἑτέραν βαδίζων, ἀλλὰ τῆς ἀπωλείας. τὴν γὰρ ἐκεῖ φέρουσαν εἵλου. βούλει εἴπω, καὶ παραγάγω εἰς μέσον τοὺς ἐν τρυφῇ; ἀπὸ τῶν ἐσχάτων ἐπὶ τοὺς πρώτους ἀνέλθωμεν. ὁ πλούσιος ὁ καιόμενος ἐν τῇ καμίνῳ, οἱ τῇ γαστρὶ ζῶντες Ἰουδαῖοι, ὧν ὁ Θεὸς ἡ κοιλία, οἱ ἐν τῇ ἐρήμῳ ἐπιζητοῦντες ἀεὶ ἄνεσιν, διὰ τί ἀπώλοντο, ὥσπερ καὶ οἱ ἐπὶ τοῦ Νῶε; οὐκ ἐπειδὴ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον εἵλοντο βίον; καὶ οἱ ἐν Σοδόμοις, διὰ γαστριμαργίαν. Ἐν πλησμονῇ γάρ, φησιν, ἄρτων ἐσπατάλων. Ἰεζεκ. ις. μθ. τοῦτο περὶ τῶν ἐν Σοδόμοις εἴρηται. εἰ δὲ ἄρτων πλησμονὴ τοσοῦτον κακὸν εἰργάσατο, τί ἂν εἴποιμεν περὶ τῶν ἄλλων καρυκευμάτων; ὁ Ἡσαῦ οὐχὶ ἐν ἀνέσει ἦν; τί δὲ οἱ ἰδόντες τὰς γυναῖκας

γρ. -ψεως; καὶ ἐννοήσωμεν, εἰ βούλει, ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὁ Ἄβελ, αὐτὸς ὁ Νῶε. οὐ γάρ ἐστι

γρ. παῖδας

γρ. -σούτων, κατὰ

γρ. λιμούς;

γρ. τοῦτο προεῖπεν

τῶν υἱῶν τοῦ Θεοῦ, καὶ κατὰ κρημνῶν ἐλθόντες; τί δὲ αἱ τοῖς ἄρρεσιν ἐπιμαινόμεναι; πάντες δὲ αἱ βασιλεῖς τῶν ἐθνῶν, Βαβυλωνίων, Αἰγυπτίων, οὐχὶ κακῶς τὴν ζωὴν κατέστρεψαν; οὐχὶ ἐν κολάσει εἰσί; τὰ δὲ νῦν, εἰπέ μοι, οὐ τοιαῦτα; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. [Αἱ δὲ μὴ τὰ τοιαῦτα, ἐν τοῖς οὐρανοῖς.] Τὸ γὰρ μαλακὸν ἱμάτιον καὶ τὴν αὐστηρὰν ἐκλύει ψυχήν, καὶ διακλᾷ, καὶ διαχεῖ. κἂν τραχὺ λάβῃ σῶμα, καὶ σκληρόν, ταχέως διὰ τῆς [τοιαύτης] τρυφεραγωγίας μαλακὸν ποιεῖ, καὶ ἀσθενές. πόθεν γὰρ οἴεσθε ἑτέρωθεν τὰς γυναῖκας οὕτως εἶναι ἀσθενεῖς, εἰπέ μοι; ἆρα ἀπὸ τῆς φύσεως μόνης; οὐδαμῶς· ἀλλὰ καὶ ἀπὸ τῆς ἀγωγῆς, καὶ τῆς ἀνατροφῆς. ἡ γὰρ σκιατροφία, ἡ ἀργία, τὰ λουτρά, τὰ μύρα, τῶν ἀρωμάτων τὸ πλῆθος, τῆς στρωμνῆς ἡ ἁπαλότης, τοιαύτας αὐτὰς ἀπεργάζεται. καὶ ἵνα μάθῃς, πρόσεχε ὃ λέγω. [Ἀπὸ κήπου, εἰπέ μοι,] τῶν ἐν τῇ ἐρήμῳ ἑστώτων δένδρων, καὶ δειρομένων ὑπὸ τῶν ἀνέμων λαβὼν φυτόν, εἰς ὑγρὸν καὶ σύσκιον καταθοῦ τόπον· καὶ πολὺ ἀνάξιον εὑρήσεις ἐκείνου, ἀφ' οὗ παρὰ τὴν ἀρχὴν αὐτὸ ἔλαβες. ὅτι δὲ τοῦτο ἐστὶν ἀληθές, αἱ ἐπὶ τῶν ἀγρῶν τρεφόμεναι γυναῖκες, τῶν ἀστικῶν ἀνδρῶν εἰσὶν ἰσχυρότεραι· καὶ πολλοὺς ἂν τοιούτους καταπαλαίσειεν ἐκεῖναι. τοῦ δὲ σώματος γινομένου μαλακωτέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς λύμης. τὰ γὰρ πολλά, καὶ συνδιατίθενται αὐτῆς αἱ ἐνέργειαι τῇ τούτου διαθέσει. καὶ γὰρ ἐν νόσοις ἕτεροί ἐσμεν διὰ τὸ μαλακίζεσθαι, καὶ ὑγιαίνοντες πάλιν ἕτεροι. καθάπερ γὰρ ἐπὶ νευρῶν, ὅταν ὦσιν αἱ φθόγγοι ἁπαλοὶ καὶ μαλακοί, καὶ μὴ διατεταμένοι καλῶς, καὶ ἡ τῆς τέχνης ἀρετὴ ὑποτέμνεται, ἀναγκαζομένη δουλεύειν τῇ μαλακίᾳ τῶν νευρῶν· οὕτω καὶ ἐπὶ τοῦ σώματος, πολλὰς ἀπ' αὐτοῦ δέχεται βλάβας καὶ ἡ ψυχή, πολλὰς ἀνάγκας. ὅταν γὰρ πολλῆς δέηται θεραπείας, πικρὰν ὑπομένει τὴν δουλείαν ἐκείνη. διό, παρακαλῶ, ἰσχυρὸν αὐτὸ ἐργαζώμεθα, καὶ μὴ νοσηλευώμεθα. * οὐ πρὸς ἄνδρας μόνον, ἀλλὰ καὶ πρὸς γυναῖκας ὁ λόγος ἐμοί. τί γὰρ συνεχῶς ἐκλύεις αὐτὸ τῇ τρυφῇ, καὶ ἐξίτηλον ποιεῖς, ὦ γύναι; τί τὴν ἰσχὺν λυμαίνῃ στέασι; τὸ στέαρ λαγνότης ἐστὶ τούτῳ, οὐκ ἰσχύς. ἐὰν δὲ τούτων ἀποστᾶσα, ἑτέρως ἄγῃς σεαυτήν· τότε καὶ τὸ κάλλος τὸ σωματικὸν προχωρεῖ κατὰ γνώμην, ὅταν ἰσχὺς καὶ εὐεξία παρῇ. ἂν δέ τοι μυρίαις αὐτὸ πολιορκῇς νόσοις, οὔτε ἄνθος χρώματος, οὔτε εὐεξία τις ἔσται. ἀεὶ γὰρ ἐν κατηφείᾳ ἔσῃ. ἴσθι δὲ ὅτι ὥσπερ οἶκον καλόν, ἐπειδὰν γελάσῃ ὁ ἀήρ, λαμπρότερον δείκνυσιν, οὕτω καὶ ὄψιν ὡραίαν φαιδρότης [ἐπιγινομένη] ψυχῆς, κρείττονα ποιεῖ· ἐὰν δὲ ἐν κατηφείᾳ ᾖ καὶ ὀδύναις, δυσειδεστέρα γίνεται. τὴν δὲ κατήφειαν αἱ νόσοι ποιοῦσι, καὶ αἱ ὀδύναι· τὰς δὲ νόσους, τὸ μαλακώτερον γίνεσθαι τὸ σῶμα ἀπὸ τῆς πολλῆς τρυφῆς. ὥστε καὶ κατὰ τοῦτο φεύξεσθε τὴν τρυφήν, ἐὰν ἐμοὶ πείθησθε. ἀλλ' ἡδονήν, φησίν, ἔχει ἡ τρυφή. ἀλλ' οὐ τοσαύτην, ὅσας δυσκολίας· ἄλλως δέ, ἡ ἡδονὴ μέχρι τοῦ φάρυγγος, μέχρι τῆς γλώττης ἐστί. τῆς γὰρ τραπέζης ἀρθείσης, ἢ τοῦ σιτίου καταποθέντος, ὅμοιος ἔσῃ τῷ μὴ μετεσχηκότι, μᾶλλον δὲ πολλῷ χείρων, βάρη φέρων ἐκεῖθεν, καὶ διάτασιν, καὶ καρηβαρείαν, καὶ ὕπνον ἐοικότα θανάτῳ· πολλάκις δὲ καὶ ἀγρυπνίαν ἀπὸ πλησμονῆς *, καὶ πνεύματος ἐμφράξεως, καὶ ἐρυγῆς. καὶ μυρία ἂν καταράσω τῇ γαστρί, δέον τῇ ἀμετρίᾳ καταράσασθαι. μὴ λιπαίνωμεν τοίνυν τὸ σῶμα, ἀλλ' ἀκούωμεν τοῦ Παύλου λέγοντος, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. ὥσπερ ἂν εἴ τις εἰς ἄμμον λαβὼν τὰ σιτία ἐμβάλλῃ, οὕτω καὶ ὁ εἰς τὴν γαστέρα [ἐμβάλλων·] μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον. ἐνταῦθα μὲν γὰρ ἄμμον ἐργάζεται χωρὶς τῶν οἰκείων κακῶν· ἐκεῖ δὲ καὶ μυρία τίκτει τὰ νοσήματα. τὸ γὰρ τρέφον, * ἡ αὐτάρκειά ἐστιν, ὃ καὶ κατεργασθῆναι δύναται· τὸ δὲ περιττὸν τῆς χρείας, οὐ μόνον οὐ τρέφει, ἀλλὰ καὶ ἐκεῖνο λυμαίνεται. ἀλλ' οὐδεὶς ταῦτα ὁρᾷ, ὑπὸ τῆς ἀκαίρου ἡδονῆς καὶ τῆς ἐν συνηθείᾳ προλήψεως ἀπατώμενος. βούλει τρέφειν τὸ σῶμα; περίελε τὸ πλέον, τὸ αὔταρκες δίδου, καὶ ὅσον κατεργάσασθαι δυνατόν. μὴ βάρυνε αὐτό, ἵνα μὴ καταποντίσῃς. τὸ αὔταρκες, καὶ τροφή ἐστι, καὶ ἡδονή. οὐδὲν γὰρ οὕτω ποιεῖ ἡδονήν, ὡς σιτίον καλῶς κατεργασθὲν

Ματθ. ια. η. (margin, at "Οἱ τὰ μαλακὰ φοροῦντες")

Ρωμ. ιγ. ιδ. (margin, at "Τῆς σαρκὸς πρόνοιαν")

οὐδὲν

οὐδὲν οὕτως ὑγείαν, οὐδὲν οὕτως ὀξύτητα αἰσθήσεων, οὐδὲν οὕτως ἐστὶ νόσου ἀπελαστικόν. ἄρα τὸ αὔταρκες μὲν, καὶ τροφή ἐστι, καὶ ἡδονὴ, καὶ ὑγεία· τὸ δὲ πλέον, καὶ λύμη, καὶ ἀηδία, καὶ νόσος. ἃ γὰρ ποιεῖ ὁ λιμὸς, ταῦτα ποιεῖ καὶ ἡ πλησμονή· μᾶλλον δὲ χαλεπώτερα. ἐκεῖνος μὲν γὰρ ἐν ὀλίγαις ἡμέραις ἀπήγαγε καὶ ἀπήλλαξε τῶν ἀνθρώπων· αὕτη δὲ διατρώγουσα καὶ σήπουσα τὸ σῶμα, μακρᾷ παραδίδωσι νόσῳ, καὶ τότε θανάτῳ χαλεπωτάτῳ. ἡμεῖς δὲ τὸν μὲν λιμὸν ἀπευκτὸν πρᾶγμα νομίζομεν· ἐπὶ δὲ τὴν τούτου χαλεπωτέραν πλησμονὴν τρέχομεν. πόθεν * αὕτη ἡ νόσος; πόθεν αὕτη ἡ μανία; οὐ λέγω κατατρύχειν ἑαυτοὺς, ἀλλὰ τοσοῦτον σιτεῖσθαι, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονὴν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ὑμῖν, καὶ εὐάρμοστον πρὸς τὰς ἐνεργείας παρασχεῖν τῆς ψυχῆς, πεπηγὸς καλῶς καὶ συνηρμοσμένον. ὅταν δὲ ὑπέραντλον γένηται τῇ τροφῇ, οὐδὲ γόμφους αὐτοὺς, ὡς ἄν τις εἴποι, καὶ τὰς ἁρμονίας διαλύσασα τὰς συμπεπηγυίας, τὴν πλημμύραν οὐ δύναται κατασχεῖν. ἐπεισελθοῦσα γὰρ ἡ πλημμύρα τὸ πᾶν διαλύει καὶ διαχεῖ. Τῆς σαρκὸς, φησὶ, πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. καὶ καλῶς εἶπεν, εἰς ἐπιθυμίας. ὕλη γάρ ἐστιν ἡ τρυφὴ ταῖς ἀτόποις ἐπιθυμίαις. κἂν πάντων ᾖ φιλοσοφώτερος ὁ τρυφῶν, ἀνάγκη τι παθεῖν αὐτὸν ἀπὸ τοῦ οἴνου, ἀπὸ τῶν σιτίων, ἀνάγκη διαχυθῆναι, ἀνάγκη τὴν φλόγα μείζονα ἐνεγκεῖν. ἐντεῦθεν πορνεῖαι, ἐντεῦθεν μοιχεῖαι. οὐ γὰρ δύναται πεινῶσα γαστὴρ ἔρωτα τεκεῖν· μᾶλλον δὲ [οὐδὲ] αὐταρκείᾳ κεχρημένη. ἡ δὲ τίκτουσα τὰς ἀτόπους ἐπιθυμίας, ἐκείνη ἐστὶν ἡ ἀπαντλοῦσα τῇ τρυφῇ. καὶ καθάπερ ἡ σφόδρα δίυγρος γῆ τίκτει τοὺς σκώληκας, καὶ ἡ κόπρος ἡ διαβρεχομένη, καὶ πολλὴν ἔχουσα τὴν ἰκμάδα, ἡ δὲ ἀπηλλαγμένη τῆς ὑγρασίας ἐκείνης καρποὺς φέρει πολλοὺς, ὅταν μὴ ἀμετρίαν ἔχῃ (κἂν μὲν γὰρ μὴ γεωργῆται, χλόην ἐκδίδωσιν, ἂν δὲ γεωργῆται, καρποὺς) οὕτω καὶ ἡμεῖς. μὴ τοίνυν ἄχρηστον τὴν σάρκα κατασκευάσωμεν, μηδὲ ἀνόνητον, μηδὲ ἐπιβλαβῆ, ἀλλὰ φυτεύσωμεν ἐν αὐτῇ χρησίμους καρποὺς, καὶ φυτὰ καρποφόρα καὶ ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ αὐτὰ ἐκλῦσαι τῇ τρυφῇ. καὶ γὰρ καὶ ἐκεῖνα σκώληκας ἀντὶ καρπῶν ἐκβάλλει διασαπέντα. οὕτω καὶ ἡ ἔμφυτος ἐπιθυμία, ἐὰν αὐτὴν ὑπὲρ μέτρον διαβρέξῃς, ἀτόπους τίκτει ἡδονὰς, καὶ σφόδρα ἀτοπωτάτας. τὴν οὖν λύμην ταύτην ἐξέλωμεν παντὶ τρόπῳ· ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. λ 11 ΠΑΣΑ ΔΕ ΠΑΙΔΕΙΑ ΠΡΟΣ ΜΕΝ ΤΟ ΠΑΡΟΝ οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε,

13 Καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

ΟΙ τὰ φάρμακα πίνοντες τὰ πικρὰ, ἀνέχονται τινὸς πρότερον ἀηδίας, καὶ τότε τῆς ὠφελείας αἰσθάνονται. τοιοῦτον γὰρ ἡ ἀρετὴ, τοιοῦτον ἡ κακία· ἐκεῖ πρώτη ἡ ἡδονὴ, εἶτα ἡ ἀθυμία· ἐνταῦθα πρώτη ἡ ἀθυμία, καὶ τότε ἡ ἡδονή. ἀλλ' οὐδὲν ἴσον. οὐ γάρ ἐστιν ἴσον πρότερον λυπηθέντα ὕστερον ἡσθῆναι, καὶ πρότερον ἡσθέντα ὕστερον λυπηθῆναι. πῶς; ἐνταῦθα μὲν γὰρ ἡ προσδοκία τῆς μελλούσης ἀθυμίας τὴν παροῦσαν ἐλάττονα ποιεῖ ἡδονήν· ἐκεῖ δὲ ἡ προσδοκία τῆς μελλούσης ἡδονῆς ἀποτέμνεται τὸ σφοδρὸν τῆς παρούσης ἀθυμίας· ὡς συμβαίνειν ἐκεῖ μὲν μηδέποτε ἡσθῆναι, ἐνταῦθα δὲ μηδέποτε λυπηθῆναι. οὐ ταύτῃ δὲ μόνον τὰ τῆς διαφορᾶς, ἀλλὰ καὶ ἑτέρως. πῶς; ὅτι οὐδὲ τὰ τῶν χρόνων ἴσα,

ἀλλὰ

* ἴν.

γρ. τρυφῇ, κ. αἱ τῇ πλημμύρᾳ κατέχειν ὁ λύσασα συμπεπηγυίας. ε.

γρ. πλαδῶσα

γρ. τετάκτ.

ἀλλὰ πολὺ μείζονα καὶ πλείονα. ἐνταῦθα δὲ καὶ πλέον τι ἐν τοῖς πνευματικοῖς. ἀπὸ τούτου τοίνυν ἐπιχειρεῖ ὁ Παῦλος τὴν παραμυθίαν εἰσαγαγεῖν· καὶ τὴν κοινὴν [πάλιν] κρίσιν λαμβάνει, ᾗ οὐδεὶς ἀντιστῆναι δύναται, οὐδὲ κοινῇ ψήφῳ μάχεσθαι. ὅταν γάρ τις τὸ παρὰ πάντων ὁμολογούμενον εἴπῃ, πάντες συγκατατίθενται, καὶ οὐδεὶς ἀντιπίπτει. λυπεῖσθε, φησί. τοῦτο κατὰ λόγον. τοιοῦτον γὰρ ἡ παιδεία, τὴν ἀρχὴν ἔχει τοιαύτην. ὅθεν καὶ οὕτως ἐπήγαγε, πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης. καλῶς εἶπεν, οὐ δοκεῖ. οὐδὲ γάρ ἐστι λύπης ἡ παιδεία, ἀλλὰ μόνον δοκεῖ· οὐδὲ ἡ μὲν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα. πᾶσα γάρ, φησι, παιδεία οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· τουτέστι, καὶ ἡ ἀνθρωπίνη, καὶ ἡ πνευματική. ὁρᾷς αὐτὸν ἀπὸ τῶν κοινῶν ἐννοιῶν ἀγωνιζόμενον; δοκεῖ, φησι, λύπης εἶναι· ὥστε οὐκ ἔστι. ποία γὰρ λύπη τίκτουσα χαράν; οὐδεμία· ὥσπερ οὖν οὐδὲ ἡδονὴ τίκτουσα ἀθυμίαν. ὕστερον δὲ, καρποὺς εἰρηνικοὺς τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. οὐ καρπὸν, ἀλλὰ καρποὺς εἶπε, τὸ πλῆθος ἐμφαίνων πολύ. τοῖς δι' αὐτῆς, φησι, γεγυμνασμένοις. τί ἐστι, τοῖς δι' αὐτῆς γεγυμνασμένοις; τοῖς ἀνασχομένοις ἐπὶ πολὺ, καὶ καρτερήσασιν. ὁρᾷς πῶς καὶ εὐφήμῳ ὀνόματι κέχρηται; ἄρα γυμνασία ἐστὶν ἡ παιδεία, τὸν ἀθλητὴν ἰσχυρὸν ἐργαζομένη, καὶ ἀκαταγώνιστον ἐν τοῖς ἀγῶσι, καὶ ἄμαχον ἐν τοῖς πολέμοις. εἰ τοίνυν πᾶσα παιδεία τοιαύτη ἐστὶ, καὶ αὕτη τοιαύτη ἔσται. ὥστε χρηστὰ χρὴ προσδοκᾶν, καὶ τὸ τέλος ἡδὺ καὶ εἰρηνικόν. καὶ μὴ θαυμάσῃς, εἰ σκληρὰ οὖσα, καρποὺς ἔχει γλυκεῖς· ἐπεὶ καὶ ἐν τοῖς δένδροις ὁ μὲν φλοιὸς, ἄποιός τις ἐστὶ σχεδὸν καὶ τραχύς· οἱ δὲ καρποὶ γλυκεῖς. ἀλλ' ἔλαβεν αὐτὸ ἀπὸ τῆς κοινῆς ἐννοίας. εἰ τοίνυν τοιαῦτα χρὴ προσδοκᾶν, τί ἀλγεῖτε; τί τὰ λυπηρὰ ὑπομείναντες, περὶ τὰ χρηστὰ ἐκλύεσθε; ἃ ἐχρῆν ὑπομεῖναι ἀνδρῶν, ὑπεμείνατε· μὴ τοίνυν ἐκλυθῆτε περὶ τὴν ἀνταπόδοσιν. διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. ὡς πρὸς δρομεῖς καὶ πύκτας καὶ πολεμιστὰς, διαλέγεται. ὁρᾷς πῶς αὐτοὺς καθοπλίζει, πῶς αὐτοὺς ἐπαίρει; ἐνταῦθα περὶ τῶν λογισμῶν αὐτῶν τοῦτο λέγει. ὀρθὰ βαδίζετε, φησί· τουτέστι, μὴ ἀμφιβάλλοντες. εἰ γὰρ ἀπὸ ἀγάπης ἡ παιδεία, εἰ ἀπὸ κηδεμονίας ἄρχεται, εἰ εἰς τέλος χρηστὸν τελευτᾷ (τοῦτο γὰρ καὶ διὰ πραγμάτων, καὶ διὰ ῥημάτων, καὶ διὰ πάντων ἀποδέδειχεν,) τίνος ἕνεκεν ἐκλύεσθε; τοιοῦτον [γὰρ] οἱ ἀπογνόντες, οἱ μὴ τῇ ἐλπίδι ῥωννύμενοι τῶν μελλόντων. ὀρθά, φησι, βαδίζετε. ὥστε μὴ ἐπιταθῆναι τὴν χωλείαν, ἀλλὰ μεταβληθῆναι ἐπὶ τὰ πρότερα. ὁ γὰρ μετὰ χωλείας τρέχων, ἐπιτείνει τὸ κακόν. ὁρᾷς ὅτι ἐν ἡμῖν ἐστι τὸ πάντως ἰατρευθῆναι;

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

Ἑβρ. ι. κε. Ὅπερ καὶ ἀνωτέρω ἔλεγε, Μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, τοῦτο καὶ ἐνταῦθα αἰνίττεται. οὐδὲν γὰρ οὕτω μάλιστα ἐν πειρασμοῖς εὐκαταγωνίστους ποιεῖ, καὶ εὐχειρώτους, ὡς τὸ διεσπάσθαι. καὶ ὅρα πῶς. διάσπασον φάλαγγα ἐν πολέμῳ, καὶ οὐδὲ πόνου δεηθήσονται οἱ πολέμιοι, ἀλλὰ δεδεμένους αὐτοὺς λήψονται, κατ' ἰδίαν εὑρόντες, καὶ ταύτῃ ὄντας ἀσθενεστέρους. Εἰρήνην διώκετε μετὰ πάντων, φησίν. ἆρα καὶ τῶν κακῶς ποιούντων;

Ῥωμ. ιβ. ιη. τοῦτο καὶ ἀλλαχοῦ φησιν, Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. τὸ σὸν μέρος, φησὶν, εἰρήνευε, μηδὲν τὴν εὐσέβειαν παραβλάπτων· ἀλλ' ἐν οἷς πάσχεις κακῶς, φέρε γενναίως. μέγα γὰρ ὅπλον ἐν τοῖς πειρασμοῖς ἀνεξικακία. οὕτω καὶ ὁ Χριστὸς τοὺς

Ματθ. ι. ιϛ. μαθητὰς ἰσχυροὺς ἐποίει λέγων, Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι, ὡς οἱ ὄφεις· καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. τί λέγεις; μεταξὺ λύκων ἐσμὲν, καὶ ὡς πρόβατα κελεύεις εἶναι, καὶ ὡς περιστεράς; ναὶ, φησιν. οὐδὲν γὰρ οὕτως ἐντρέπει τοὺς ποιοῦντα κακῶς, ὡς τὸ φέρειν ὑμᾶς γενναίως τὰ ἐπαγόμενα, καὶ μήτε λόγῳ, μήτε ἔργῳ ἀμύνεσθαι. τοῦτο καὶ ἡμᾶς φιλοσοφωτέρους ποιεῖ, καὶ μείζονα παρέξενει τὸν μισθὸν, κἀκείνους ὠφελεῖ. ἀλλ'

ὁ δεῖνα

ὁ δεῖνά σε ὕβρισε; σὺ εὐλόγησον. ὅρα πόσα ἀπὸ τούτου κερδαίνεις· τὸ κακὸν ἔσβεσας, μισθὸν σεαυτῷ προυξένησας, κἀκεῖνον ἐνέτρεψας, καὶ σὺ οὐδὲν πέπονθας δεινόν. Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν. τὸν ἁγιασμὸν τί φησι; τὴν σωφροσύνην, καὶ τὴν κοσμιότητα τὴν ἐν γάμῳ. εἴ τις χωρὶς γάμου ἐστί, φησιν, ἁγνὸς μενέτω, γαμείτω· εἴ τις ἐν γάμῳ, μὴ πορνευέτω, ἀλλὰ κεχρήσθω τῇ ἰδίᾳ γυναικί. καὶ γὰρ καὶ τοῦτο ἁγιασμός. πῶς; οὐχ ὁ γάμος ἁγιασμός, ἀλλ' ὁ γάμος τηρεῖ τὸν ἀπὸ τῆς πίστεως ἁγιασμόν, οὐκ ἀφιεὶς πορνείᾳ προσέχειν. ὁ γὰρ γάμος, τίμιος, οὐχ ἅγιος. καθαρὸς ὁ γάμος· οὐ μέντοι καὶ ἁγιωσύνην παρέχει, ἢ τὸ κωλύειν τὴν ἀπὸ τῆς πίστεως δοθεῖσαν μὴ μολύνειν. οὗ χωρίς, φησιν, οὐδεὶς ὄψεται τὸν Κύριον. ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους λέγει, Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε εἰδωλολάτραι, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. πῶς γὰρ ὁ γενόμενος πόρνης σῶμα, δυνήσεται εἶναι σῶμα Χριστοῦ;

γρ. ἁγνοὺς γαμείτω.
γρ. πρὸ τοῦ κω-
α Κορ. ς. θ.

15 Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί.

γρ. δι' αὐτῆς

16 Μή τις πόρνος ἢ βέβηλος. Ὁρᾷς πῶς πανταχοῦ ἑκάστῳ τὴν κοινὴν ἐγχειρίζει σωτηρίαν; Παρακαλοῦντες, φησιν, ἀλλήλους καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται.

Εβρ. γ. ιγ.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν πάντα ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτετε, μὴ πάντα ἐπὶ τοὺς ἡγουμένους· δύνασθε καὶ ὑμεῖς, φησιν, ἀλλήλους οἰκοδομεῖν. ὁ δὲ Θεσσαλονικεῦσι γράφων ἔλεγεν, Εἰς τὸν ἕνα οἰκοδομεῖτε, καθὼς καὶ ποιεῖτε. καὶ πάλιν, Παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. τοῦτο καὶ ὑμῖν παραινοῦμεν νῦν ἡμεῖς. πλείονα γὰρ ἡμῶν, ἐὰν βούλησθε, εἰς ἀλλήλους κατορθώσετε. καὶ γὰρ πλείονα σύνεστε χρόνον ἀλλήλοις, καὶ τὰ ἀλλήλων μᾶλλον ἡμῶν ἴστε, καὶ τὰ ἀλλήλων ἐλαττώματα οὐκ ἀγνοεῖτε, καὶ πλείονα καὶ παρρησίαν καὶ ἀγάπην ἔχετε, καὶ συνῆσθε. οὐ μικρὰ δὲ ταῦτα εἰς διδασκαλίαν, ἀλλ' εἴσοδοι μεγάλαι καὶ εὐκαιρίαι· καὶ μᾶλλον ἡμῶν ἐπιπλῆξαι καὶ παρακαλέσαι δυνήσεσθε. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἐγὼ μὲν εἷς εἰμι, ὑμεῖς δὲ πολλοί· καὶ δυνήσεσθε πάντες ὅσοι ἐστὲ, εἶναι διδάσκαλοι. διό, παρακαλῶ, μὴ ἀμελεῖτε τοῦ χαρίσματος τούτου. ἕκαστος γυναῖκα ἔχει, φίλον ἔχει, οἰκέτην ἔχει, γείτονα ἔχει· τούτῳ ἐπιπληττέτω, τούτῳ παραινείτω. πῶς γὰρ οὐκ ἄτοπον, τὸ μὲν ἐφεξῆς συσσίτια ποιεῖν, καὶ συμπόσια, καὶ ἡμέραν ἔχειν τακτὴν ὥστε συγκροτεῖσθαι ἀλλήλους, καὶ τὸ ἑκάστῳ λεῖπον καθ' ἑαυτὸν ὅτι ἀναπληροῦσθαι διὰ τῆς κοινωνίας, οἷον, εἴτε εἰς ἐκφορὰν ἀπιέναι δέοι, εἴτε εἰς ἄριστα, εἴτε συμπρᾶξαι ἔν τινι τῷ πλησίον· εἰς δὲ ἀρετῆς διδασκαλίαν μὴ τοῦτο ποιεῖν; ναί, παρακαλῶ, μηδεὶς ἀμελείτω. μισθὸν γὰρ δέχεται παρὰ Θεοῦ πολύν. καὶ ἵνα μάθῃς, ὁ τὰ πέντε τάλαντα ἐμπιστευθείς, ἐστὶν ὁ διδάσκαλος· ὁ δὲ τὸ ἕν, ὁ μαθητής. ἐὰν δὲ εἴπῃ ὁ μαθητής, μαθητής εἰμι ἐγώ, οὐκ ἔχω κίνδυνον, καὶ ὃν ἔλαβε παρὰ τοῦ Θεοῦ λόγον, τοῦτον τὸν κοινὸν καὶ ψιλὸν κατακρύψῃ, καὶ μὴ παραινέσῃ, μὴ παρρησιάσηται, μὴ ἐλέγξῃ, μὴ νουθετήσῃ, εἰ δύναται, ἀλλὰ κατακρύψῃ ἐν τῇ γῇ (γῆ γὰρ ὄντως ἐστὶ καὶ σποδός, καρδία τὸ χάρισμα τοῦ Θεοῦ κατακρύπτουσα) ἂν τοίνυν κατακρύψῃ, ἢ διὰ ὄκνον, ἢ διὰ πονηρίαν· οὐ προστήσεται αὐτῷ τὸ εἰπεῖν, ὅτι ἓν τάλαντον εἶχον. ἓν τάλαντον εἶχες; ἔδει σε κἂν ἓν προσενεγκεῖν, καὶ διπλασιάσαι τὸ τάλαντον. εἰ προσήνεγκες ἕν, οὐκ ἂν ἐνεκλήθης. οὐδὲ γὰρ τῷ τὰ δύο προσενεγκόντι εἶπε, διὰ τί μὴ πέντε προσήνεγκας; ἀλλὰ τῆς αὐτῆς αὐτὸν ἠξίωσε τῷ τὰ πέντε προσενεγκόντι. τί δήποτε; ὅτι ὅσον εἶχεν εἰργάσατο· καὶ οὐκ ἐπειδὴ ἐλάττονα τοῦ τὰ πέντε ἐγχειρισθέντος ἔλαβε, διὰ τοῦτο ἐρρᾳθύμησεν, οὐδὲ τῇ ὀλιγότητι εἰς ἀργίαν ἐχρήσατο· οὐδέ σε ἐχρῆν πρὸς τὸν τὰ δύο ὁρᾶν. μᾶλλον δὲ πρὸς ἐκεῖνον ἔδει ἰδεῖν, καὶ ὥσπερ ἐκεῖνος ἐμιμήσατο τὸν τὰ πέντε, δύο ἔχων,

α. Θεσσ. ε. ια.
γρ. ἁμαρτήματα
γρ. τὰ διδασκαλεῖα, ἀλλ'

χων, οὕτω καί σε ζηλῶσαι ἔδει τὸν τὰ δύο ἔχοντα. Εἰ γὰρ τῷ χρήματα ἔχοντι, καὶ μὴ μεταδιδόντι, κόλασις κεῖται· τῷ δυναμένῳ παραινέσαι ὁπωσδήποτε, καὶ μὴ τοῦτο ποιοῦντι, πῶς οὐ μεγίστη κόλασις ἔσται; ἐκεῖ σῶμα τρέφεται, ἐνταῦθα ψυχή· ἐκεῖ θάνατον κωλύεις τὸν πρόσκαιρον, ἐνταῦθα τὸν αἰώνιον. ἀλλ' οὐκ ἔχω λόγον, φησίν. ἀλλ' οὐ χρεία λόγου, οὐδὲ εὐγλωττίας. ἐὰν ἴδῃς τὸν φίλον πορνεύοντα, εἰπὲ πρὸς αὐτόν· πονηρὸν πρᾶγμα ὃ μετέρχῃ· οὐκ αἰσχύνῃ; οὐκ ἐρυθριᾷς; κακὸν τοῦτό ἐστιν. αὐτὸς γὰρ οὐκ οἶδε, φησίν, ὅτι κακόν; ναὶ, οἶδεν· ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἕλκεται. καὶ οἱ νοσοῦντες ἴσασιν, ὅτι ἡ ψυχροποσία κακόν· ἀλλ' ὅμως δέονται τῶν κωλυσόντων. ὁ γὰρ ἐν τῷ πάθει ὢν, οὐ ταχέως ἑαυτῷ ἀρκέσαι δυνήσεται ἐν τῇ νόσῳ. δεῖ τοίνυν σε τὸν ὑγιαίνοντος πρὸς τὴν ἐκείνου ἰατρείαν· κἂν μὴ πεισθῇ τῷ ῥήματι, παρατήρησον ἀπιόντα, καὶ κάτασχε, ἴσως ἐντραπήσεται. καὶ τί, φησίν, ὄφελος ὅταν δι' ἐμὲ τοῦτο ποιῇ, καὶ διὰ τὸ καταχεθῆναι παρ' ἐμοῦ; μὴ ἀκριβολογοῦ. τέως οἱῳδήποτε τρόπῳ ἀπόστησον αὐτὸν τῆς πονηρᾶς πράξεως· ἐθισθήτω μὴ ἀπιέναι εἰς ἐκεῖνο τὸ βάραθρον. εἴτε διὰ σὲ, εἴτε δι' ὁτιδήποτε κωλυθῇ, κέρδος ἔσται ἐκ τούτου. ὅταν γὰρ ἐθίσῃς αὐτὸν μὴ ἀπιέναι, τότε δυνήσῃ μικρὸν ἀναπνεύσαντα λαβὼν, διδάξαι, ὅτι χρὴ διὰ τὸν Θεὸν τοῦτο μὴ ποιεῖν, καὶ οὐ δι' ἄνθρωπον. μὴ θελήσῃς ὑφ' ἓν κατορθῶσαι τὸ πᾶν (ἐπεὶ οὐ δυνήσῃ) ἀλλ' ἠρέμα, καὶ κατὰ μικρόν. ἂν εἰς πότον ἴδῃς ἀπιόντα, καὶ εἰς συμπόσια μέθης πεπληρωμένα, κἀκεῖ τὸ αὐτὸ ποίει· καὶ αὐτὸν πάλιν παρακάλεσον, εἴ τι σεαυτοῦ ὁρᾷς ἐλάττωμα σε ἔχοντα, βοηθεῖν, καὶ διορθοῦν. οὕτω γὰρ καὶ ἐπὶ ἑαυτοῦ τὸν ἔλεγχον οἴσει, ὅταν ἴδῃ καί σε δεόμενον ἐλέγχων, καὶ μὴ ὡς τὰ πάντα κατωρθωκότα, μηδὲ ὡς διδάσκαλον, ἀλλ' ὡς φίλον καὶ ἀδελφὸν βοηθοῦντα. εἰπὲ πρὸς αὐτόν, ἐγώ σε ὤνησα, ὑπομνήσας τῶν συμφερόντων· καὶ σὺ ὅπερ ἂν συνίδῃς ἐλάττωμα ἔχοντά με, διαχαίτισον, διόρθωσον. ἂν ὀργίλον ἴδῃς, ἂν πλεονέκτην, κάτασχε, δῆσον τῇ παραινέσει. τοῦτό ἐστι φιλία· οὕτως ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. οὐ γὰρ τὸ φαγεῖν καὶ τὸ πιεῖν ποιεῖ φιλίαν. τοιαύτην γὰρ καὶ λῃσταὶ ἔχουσι καὶ ἀνδροφόνοι.

Παροιμ. ιη. ιθ.

ἀλλ' εἰ φίλοι ἐσμὲν, εἰ ὄντως ἀλλήλων κηδόμεθα, εἰς ταῦτα ἀλλήλοις συμβαλλώμεθα, ταῦτα εἰς φιλίαν ἡμᾶς ἄγει ἐπωφελῆ, ταῦτα κωλύει εἰς γέενναν ἀπελθεῖν. μήτε οὖν ὁ ἐλεγχόμενος ἀγανακτείτω· ἄνθρωποι γάρ ἐσμεν, καὶ ἔχομεν ἐλαττώματα· μήτε ὁ ἐλέγχων, ὡς ἐπεγγελῶν, ἢ ὡς ἐπεμβαίνων, τοῦτο ποιείτω, καὶ ἐκπομπεύων· ἀλλὰ κατ' ἰδίαν, μετὰ προσηνείας. πλείονος γὰρ δεῖται προσηνείας ὁ ἐλέγχων, ἵνα οὕτω πείσῃ τὴν τομὴν ἐνεγκεῖν. οὐχ ὁρᾶτε τοὺς ἰατρούς, ὅταν καίωσιν, ὅταν τέμνωσι, μετὰ πόσης προσηνείας τὴν θεραπείαν ἐπάγουσι; πολλῷ μᾶλλον τοὺς ἐλέγχοντας τοῦτο δεῖ ποιεῖν. καὶ γὰρ καὶ πυρὸς, καὶ σιδήρου σφοδρότερον ὁ ἔλεγχος, καὶ σκιρτᾶν ποιεῖ. καὶ διὰ τοῦτο καὶ οἱ ἰατροὶ πολλὰ ἐπιτηδεύουσιν, ὥστε ἐνεγκεῖν πράως τὴν τομὴν, καὶ προσηνῶς, ὡς οἷόν τε, ταύτην ἐπάγουσι, καὶ μικρὸν ἐνδιδόντες, [εἶτα παρέχοντες] ἀναπνεῦσαι. οὕτω καὶ τοὺς ἐλέγχους δεῖ ποιεῖν, ἵνα καὶ οἱ ἐλεγχόμενοι μὴ ἀποσκιρτῶσι. κἂν ὑβρισθῆναι τοίνυν δέῃ, κἂν πληγῆναι, μὴ παραιτησώμεθα. καὶ γὰρ ἐκεῖνοι οἱ τεμνόμενοι, μυρία καταβοῶσι τῶν τεμνόντων· ἀλλ' ἐκεῖνοι πρὸς οὐδὲν τούτων ὁρῶσιν, ἀλλ' ἢ πρὸς τὴν ὑγείαν τῶν καμνόντων μόνον. οὕτω δὴ καὶ ἐνταῦθα πάντα δεῖ ποιεῖν πρὸς τὸ τοὺς ἐλέγχους χρησίμως γενέσθαι, πάντα φέρειν πρὸς τὸν μισθὸν ἀφορῶντας τὸν ἀποκείμενον. Ἀλλήλων, φησὶ, τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. οὕτως οὖν καὶ ἐλέγχοντες, καὶ φέροντες ἀλλήλους, δυνησόμεθα ἀναπληρῶσαι τὴν οἰκοδομὴν τοῦ Χριστοῦ. καὶ ἡμῖν οὕτω ποιήσετε κοῦφον τὸν πόνον, ἐν ἅπασι συλλαμβανόμενοι ἡμῖν, καὶ χεῖρα ὀρέγοντες, καὶ μερισταὶ γινόμενοι [καὶ κοινωνοὶ, καὶ] τῆς ἀλλήλων σωτηρίας, καὶ τῆς ἰδίας ἕκαστος. ὑπομένωμεν τοίνυν, καὶ φέροντες τὰ ἀλλήλων βάρη, καὶ ἐλέγχοντες· ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Γαλ. ϛ. β.

Λογ. λα.

Λογ. λα. 14 ΕΙΡΗΝΗΝ ΔΙΩΚΕΤΕ ΜΕΤΑ ΠΑΝΤΩΝ, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

Πολλὰ μέν ἐστι τὰ χαρακτηρίζοντα τὸν χριστιανισμόν· μᾶλλον δὲ πάντων, καὶ κρεῖττον ἁπάντων, ἡ πρὸς ἀλλήλους ἀγάπη καὶ ἡ εἰρήνη. διὰ τοῦτο καὶ ὁ Χριστός φησιν, Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ πάλιν, Εν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. διὰ τοῦτο καὶ ὁ Παῦλος νῦν φησιν, Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν (τουτέστι, τὴν σεμνότητα) οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Ιωαν. ιδ. κζ. Ιωαν. ιγ. λε.

15 Επισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ.

Καθάπερ ὁδόν τινα μακρὰν ὁδευόντων ἐν συνοδίᾳ πολλῇ, βλέπετε, φησι, μή τις ἀπέμεινεν. οὐ γὰρ τοῦτο ζητῶ μόνον, ἵνα ὑμεῖς παραγένησθε, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους ἐπισκοπῆτε. μή τις ὑστερῶν, φησιν, ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ. χάριν Θεοῦ, τὰ μέλλοντα καλεῖ ἀγαθά, τὴν πίστιν τὴν εὐαγγελικήν, τὴν ἀρίστην πολιτείαν. πάντα γὰρ ταῦτα τοῦ Θεοῦ χάριτός ἐστι. μηδὲν μοι εἴπῃς, ὅτι εἷς ἐστιν ὁ ἀπολλύμενος, καὶ δι' ἕνα ὁ Χριστὸς ἀπέθανε. Δι' ἕνα ὁ Χριστὸς ἀπέθανε, σὺ δὲ οὐ φροντίζεις; ἐπισκοποῦντες, φησι· τουτέστιν, ἀκριβῶς ἐρευνῶντες, ἐπισκεπτόμενοι, καταμανθάνοντες (ὅπερ ἐστὶν ἐπὶ τῶν ἀσθενῶν) καὶ διὰ πάντων ἐξετάζοντες, [καταμανθάνοντες]· Μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ.

γ. δι' ὃν Χριστός

Τοῦτο ἐν τῷ Δευτερονομίῳ κεῖται· ἔλαβε δὲ αὐτὸ ἀπὸ μεταφορᾶς τῶν φυτῶν. μή τις ῥίζα, φησί, πικρίας. ὃ καὶ ἀλλαχοῦ γράφων λέγει, Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Δευτ. κθ. ιη. α. Κορ. ε. ς. οὐκ ἐκείνου μόνον ἕνεκεν τοῦτό, φησι, βούλομαι, ἀλλὰ καὶ διὰ τὴν ἐξ αὐτοῦ γινομένην βλάβην. τουτέστι, κἂν ᾖ τις ῥίζα τοιαύτη, μηδεμίαν βλάστην ἀφῆτε ἀνελθεῖν, ἀλλ' ἐκκοπτέσθω, ὥστε μὴ φέρειν τοὺς οἰκείους καρπούς, ὥστε μὴ καὶ τοὺς ἄλλους μολύνειν καὶ μιαίνειν. μή τις γάρ, φησι, ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, Καὶ διὰ ταύτης μιανθῶσι πολλοί.

Καὶ εἰκότως πικρὰν τὴν ἁμαρτίαν ἐκάλεσεν. οὐδὲν γὰρ ὄντως ἁμαρτίας πικρότερον· καὶ ἴσασιν οἱ μετὰ τὸ πρᾶξαι ὑπὸ τοῦ συνειδότος τηκόμενοι, [καὶ] πικρίαν πολλὴν ὑπομένοντες. πικροτάτη γὰρ οὖσα διαστρέφει αὐτῶν τὸ λογιστικόν. τοιαύτη ἡ τοῦ πικροῦ φύσις ἐστὶν ἀνόνητος. καὶ καλῶς εἶπε, ῥίζα πικρίας. οὐκ εἶπε, πικρά, ἀλλὰ πικρίας. τὴν μὲν γὰρ πικρὰν ῥίζαν ἐστὶ καρποὺς ἐνεγκεῖν γλυκεῖς· τὴν δὲ πικρίας ῥίζαν καὶ πηγὴν καὶ ὑπόθεσιν, οὐκ ἔστι ποτὲ γλυκὺν ἐνεγκεῖν καρπόν. πάντα γάρ ἐστι πικρά, οὐδὲν ἔχει ἡδύ· πάντα πικρά, πάντα ἀηδῆ, πάντα μίσους καὶ βδελυγμίας γέμοντα. Καὶ δι' αὐτῆς, φησι, μιανθῶσι πολλοί· τουτέστιν, ἵνα μὴ τοῦτο γένηται, τοὺς ἀσελγεῖς ἐκκόπτετε.

γ. κατατεμνόμενοι

γ. διὰ ταύτης,

16 Μή τις πόρνος, ἢ βέβηλος ὡς Ησαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. Καὶ ποῦ πόρνος ἦν ὁ Ησαῦ; οὐ τοῦτο ἐνταῦθά φησιν, ὅτι πόρνος ἦν ὁ Ησαῦ, ἀλλὰ πρὸς αὐτὸ διαστολὴν κεῖται τοῦ, τὸν ἁγιασμὸν διώκετε. τὸ δέ, βέβηλος, ὡς πρὸς ἐκεῖνον εἴρηται. μή τις οὖν ἔστω ὡς ὁ Ησαῦ, βέβηλος· τουτέστι, γαστρίμαργος, ἀκρατής, [κοσμικός,] τὰ πνευματικὰ ἀπεμπολῶν. ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ· τουτέστιν, ὃς τὴν παρὰ τοῦ Θεοῦ τιμὴν ταύτην διὰ τῆς οἰκείας ῥᾳθυμίας ἀπέδοτο, καὶ μικρᾶς ἡδονῆς χάριν τὴν μεγίστην τιμὴν καὶ δόξαν ἀπώλεσε. τοῦτο οἰκείως πρὸς αὐτούς, οὔτε βδελυροῦ, οὔτε ἀκαθάρτου. ὥστε οὐχ ὁ πόρνος ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ὁ γαστρίμαργος, ὅς ἐστι τῆς γαστρὸς δοῦλος. καὶ γὰρ καὶ οὗτος ἑτέρας ἐστὶν ἡδονῆς δοῦλος, ἀναγκάζεται πλεονεκτεῖν, ἀναγκάζεται ἁρπάζειν, μυρία ἀσχημονεῖν, δοῦλος ὢν τοῦ πάθους ἐκείνου· καὶ βλασφη-

γ. ἑτέρας ἐστίν

μεῖ

μεῖ πολλάκις. οὐκ ἔστιν οὐδενὸς ἄξια εἶναι ἐνόμισε τὰ πρωτοτόκια. διὰ δὲ πρόνοιαν τῆς ἀναπαύσεως τῆς προσκαίρου, καὶ μέχρι τῶν πρωτοτοκίων ἔφθασεν. ὥστε ἡμῶν τὰ πρωτοτόκια λοιπόν, οὐχὶ Ἰουδαίων. ἅμα δὲ καὶ πρὸς τὸ πάθος αὐτῶν τοῦτο συμβάλλεται. μονονουχὶ τοῦτο γὰρ διὰ τούτου αἰνίττεται, ὅτι ὁ πρῶτος, ὕστερος γέγονε, καὶ ὁ δεύτερος, πρῶτος· οὗτος διὰ καρτερίας πρῶτος, ἐκεῖνος διὰ ῥαθυμίαν ὕστερος.

17 Ἴστε γάρ, φησιν, ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη. μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

Τί δὴ τοῦτό ἐστι; ἆρα μὴ τὴν μετάνοιαν ἐκβάλλει; οὐδαμῶς. ἀλλὰ πῶς φησι, μετανοίας τόπον οὐχ εὗρεν; εἰ γὰρ κατέγνω ἑαυτοῦ, εἰ ἀνῴμωξε μέγα, διὰ τί οὐχ εὗρε τόπον μετανοίας; ὅτι οὐκ ἦν μετανοίας τὸ πρᾶγμα. ὥσπερ γὰρ ἡ λύπη τοῦ Κάϊν οὐκ ἦν μετανοίας, καὶ ὁ φόνος ἔδειξεν· οὕτω καὶ ἐνταῦθα οὐκ ἦν μετανοίας τὰ ῥήματα, καὶ μετὰ ταῦτα ὁ φόνος ἔδειξε. καὶ γὰρ καὶ αὐτὸς τῇ προαιρέσει ἀνεῖλε τὸν Ἰακώβ. Ἐγγίσουσι γάρ, φησιν, αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ ἀποκτενῶ Ἰακὼβ τὸν ἀδελφόν μου. διὰ τοῦτο οὐκ ἴσχυσε τὰ δάκρυα μετάνοιαν αὐτῷ δοῦναι. καὶ οὐκ εἶπε μετανοίας ἁπλῶς, ἀλλὰ καί, μετὰ δακρύων ἐκζητήσας, μετανοίας τόπον οὐχ εὗρε. τί δήποτε; ὅτι οὐ μετενόησεν ὃν ἔδει τρόπον (τοῦτο γάρ ἐστι μετάνοια) οὐ μετενόησεν ὡς ἐχρῆν. ἐπεὶ πῶς ταῦτα ἔλεγε; πῶς νωθεῖς ἀνορθοῦν παρεκάλει [πάλιν]; πῶς χωλοὺς ἀνορθοῦν; πῶς παραλυθέντας; πῶς παρειμένους; τοῦτο γὰρ ἀρχὴ τελειώσεώς ἐστιν. ἐμοὶ δοκεῖ αἰνίττεσθαι τινας ἐν αὐτοῖς πόρνους, οὐ μέντοι βούλεσθαι ἐλέγχειν αὐτοὺς τέως· ἀλλὰ προσποιεῖται ἄγνοιαν, ἵνα διορθώσωνται. δεῖ γὰρ πρότερον μὲν ἄγνοιαν ὑποκρίνεσθαι· μετὰ δὲ ταῦτα, ὅταν ἐπιμένωσι, τότε καὶ τὸν ἔλεγχον ἐπάγειν, ὥστε μὴ ἀπαναισχυντῆσαι. ὅπερ καὶ Μωϋσῆς ἐποίησεν ἐπὶ Ζαμβρὶ καὶ τῆς Χασβίτιδος. μετανοίας γάρ, φησι, τόπον οὐχ εὗρεν, οὐχ εὗρε μετάνοιαν· ἢ ὅτι μετανοίας μείζονα ἥμαρτεν, ἢ ὅτι μετάνοιαν ἀξίαν οὐκ ἐπεδείξατο. ἔστιν ἄρα ἁμαρτήματα μετανοίας μείζονα. ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ πέσωμεν πτῶμα ἀνίατον. ἕως μὲν γὰρ ἡ χωλεία τὸ πρᾶγμα, εὔκολον γενέσθαι ὀρθόν· ἐὰν δὲ ἐκτραπῶμεν, τί ἔσται λοιπόν; τοῖς μὲν γὰρ μηδέπω πεσοῦσιν οὕτω διαλέγεται, τῷ φόβῳ συγκροτῶν αὐτούς, καί φησιν ὅτι οὐκ ἔστι πεσόντα παραμυθίας τυχεῖν· τοῖς δὲ πεσοῦσιν, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμπεσεῖν, τοὐναντίον παραινεῖ, οὕτω λέγων·

Γαλ. δ. θ.
Γαλ. ε. δ.

Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καὶ πάλιν, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. ἰδοὺ μαρτυρεῖ ὅτι ἐξέπεσον. ὁ μὲν γὰρ ἑστώς, ἀκούων ὅτι πεσόντα οὐκ ἔστι συγγνώμης τυχεῖν, σφοδρότερος ἔσται, καὶ ἀσφαλέστερος περὶ τὴν στάσιν. ἂν μέντοι καὶ περὶ τὸν πεπτωκότα τῇ αὐτῇ χρήσῃ σφοδρότητι, οὐδέποτε ἀναστήσεται. ποίᾳ γὰρ ἐλπίδι τὴν μεταβολὴν ἐπιδείξεται; [οὐ μόνον δέ φησιν, ἐδάκρυσεν, ἀλλὰ καὶ ἐξεζήτησεν.] οὐ τοίνυν ἐκβάλλει μετάνοιαν, λέγων, μετανοίας τόπον οὐχ εὗρεν· ἀλλ' ἀσφαλίζεται αὐτοὺς μᾶλλον διὰ τούτου πρὸς τὸ μὴ πεσεῖν.

ΗΘΙΚΟΝ

Ὅσοι τοίνυν ἀπιστοῦσι τῇ γεέννῃ, ταῦτα ἀναμιμνησκέσθωσαν· ὅσοι νομίζουσιν ἀτιμώρητα ἁμαρτάνειν, ταῦτα λογιζέσθωσαν. διὰ τί Ἡσαῦ οὐκ ἔτυχε συγγνώμης; ὅτι οὐ μετενόησεν ὡς ἐχρῆν. θέλεις ἰδεῖν μετάνοιαν ἀκριβῆ; ἄκουσον τὴν τοῦ Πέτρου μετάνοιαν μετὰ τὴν ἄρνησιν. διηγούμενος γὰρ ἡμῖν τὰ κατ' αὐτὸν ὁ εὐαγγελιστής, φησι, Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Ματθ. κς. οε.

διὰ τοῦτο καὶ ἀφείθη αὐτῷ τὸ τοιοῦτον ἁμάρτημα, ὅτι μετενόησεν ὃν ἔδει τρόπον. καίτοι οὔπω τὸ θῦμα προσενήνεκτο, οὔπω ἡ θυσία ἐτετέλεστο, οὔπω ἦρτο ἡ ἁμαρτία, ἔτι ἐκράτει καὶ ἐτυράννει. καὶ ἵνα μάθῃς, ὅτι οὐχ οὕτω ῥαθυμίας ἦν ἡ ἄρνησις, ὅσον ἐγκαταλείψεως τοῦ Θεοῦ παιδεύοντος αὐτὸν εἰδέναι τὰ ἀνθρώπινα μέτρα, καὶ μὴ ἀντιλέγειν τοῖς παρὰ τοῦ διδασκάλου λεγομένοις, μηδὲ μείζονα τῶν ἄλλων φρονεῖν, ἀλλ' εἰδέναι ὅτι χωρὶς Θεοῦ οὐδὲν γενέσθαι δυνατόν, καὶ ὅτι Ἐὰν μὴ ὁ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ

Ψαλ. ρκζ. α.

οἰκοδομοῦντες

οἰκοδομοῦντες αὐτόν· ἄκουε πῶς ἀσφαλιζόμενος, καὶ πείθων μετριάζειν, εἶπε πρὸς αὐτὸν μόνον ὁ Χριστός, Σίμων, Σίμων, ἰδού, ὁ Σατανᾶς ἐξητήσατο σινιάσαι σε ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. (Λουκ. κϐ. λα.) ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὸν μέγα φρονεῖν, συνειδότα ἑαυτῷ, ὅτι μᾶλλον ἁπάντων ἀγαπᾷ τὸν Χριστόν, διὰ τοῦτο συγχωρεῖται πεσεῖν, ἀπαρνήσασθαι τὸν διδάσκαλον, διὰ τοῦτο καὶ κλαίει πικρῶς, καὶ τὰ ἄλλα τὰ ἑξῆς τοῦ κλαυθμοῦ ὁμοίως ποιεῖ. τί γὰρ οὐκ ἐποίησε; μυρίοις κινδύνοις ἑαυτὸν περιέβαλε μετὰ ταῦτα, διὰ πάντων δεικνὺς αὐτοῦ τὴν ἀνδρείαν, καὶ τὸ παράστημα τῆς ψυχῆς. μετενόησε καὶ ὁ Ἰούδας, ἀλλὰ κακῶς. ἀπήγξατο γάρ. μετενόησεν (ὅπερ ἔφην) καὶ Ἡσαῦ. μᾶλλον δὲ οὐδὲ μετενόησε. τὰ γὰρ δάκρυα οὐκ ἦν μετανοίας, ἀλλὰ ἐπηρείας, καὶ θυμοῦ μᾶλλον· καὶ δηλοῦσι τὰ ἑξῆς. μετενόησεν ὁ μακάριος Δαβὶδ οὕτω λέγων, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· (Ψαλ. ς. ς.) καὶ τὴν πάλαι γεγενημένην ἁμαρτίαν, μετὰ τοσαῦτα ἔτη, μετὰ τοσαύτας γενεάς, ὡς νεωστὶ συμβᾶσαν ἐπένθει. τὸν γὰρ μετανοοῦντα οὐκ ὀργίζεσθαι χρή, οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντετρίφθαι ὡς κατεγνωσμένον, ὡς οὐκ ἔχοντα παρρησίαν, ὡς καταδεδικασμένον, ὡς ἀπὸ ἐλέους σωθῆναι ὀφείλοντα μόνου, ὡς ἀγνώμονα περὶ τὸν εὐεργέτην φανέντα, ὡς ἀχάριστον, ὡς ἀδόκιμον, ὡς μυρίων κολάσεων ἄξιον. ἐὰν ταῦτα λογίζηται, οὐκ ὀργισθήσεται, οὐκ ἀγανακτήσει, ἀλλὰ πενθήσει, κλαύσει, στενάξει, καὶ ὀδυρεῖται νύκτα καὶ ἡμέραν. τὸν μετανοοῦντα, οὐδέποτε χρὴ λήθῃ παραδοῦναι τὴν ἁμαρτίαν, ἀλλὰ τὸν μὲν Θεὸν παρακαλεῖν μὴ μνησθῆναι αὐτῆς, αὐτὸν δὲ μηδέποτε ἐπιλανθάνεσθαι αὐτῆς. ἐὰν ἡμεῖς * αὐτῆς μνημονεύωμεν, ὁ Θεὸς αὐτῆς * ἐπιλήσεται. παρ' ἡμῶν αὐτῶν δίκην λάβωμεν, ἡμῶν αὐτῶν κατηγορήσωμεν· οὕτως ἐξιλεωσόμεθα τὸν κριτήν. ἁμαρτία γὰρ ὁμολογουμένη, ἐλάττων γίνεται· μὴ ὁμολογουμένη δέ, χείρων. ἂν γὰρ προσλάβῃ ἁμαρτία τὴν ἀναισχυντίαν καὶ τὴν ἀγνωμοσύνην, οὐδέποτε στήσεται. πῶς δαὶ ὅλως ὁ τοιοῦτος δυνήσεται φυλάξασθαι πάλιν μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὁ δὲ πρότερον οὐκ εἰδὼς ὅτι ἥμαρτε; μὴ τοίνυν ἀρνώμεθα, παρακαλῶ, μηδὲ ἀναισχυντῶμεν, ἵνα μὴ καὶ ἄκοντες δῶμεν τιμωρίαν. ἤκουσε Κάϊν παρὰ τοῦ Θεοῦ, Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; καί φησιν, οὐκ οἶδα· μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου; (Γεν. δ. θ.) εἶδες πῶς [τοῦτο] χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργάσατο; ἀλλ' οὐχ ὁ πατὴρ αὐτοῦ οὕτως· ἀλλὰ τί; ἀκούσας, Ἀδὰμ ποῦ εἶ; φησίν, Ἤκουσα (Γεν. γ. ι.) τῆς φωνῆς σου, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. μέγα ἀγαθόν, ἐπιγινώσκειν τὰ ἁμαρτήματα, καὶ μιμνήσκεσθαι αὐτῶν διηνεκῶς. οὐδὲν οὕτω θεραπεύει πλημμέλειαν, ὡς μνήμη διηνεκής· οὐδὲν οὕτως ὀκνηρὸν ἄνθρωπον ποιεῖ πρὸς κακίαν. οἶδα ὅτι ἀποπηδᾷ, καὶ οὐκ ἀνέχεται τὸ συνειδὸς ὑπὸ τῆς μνήμης μαστίζεσθαι τῶν κακῶν. ἀλλ' ἄγχε τὴν ψυχήν, καὶ ἐπίθες αὐτῇ κημόν. καθάπερ γὰρ ἵππος δυσήνιος, οὕτω δυσανασχετεῖ, καὶ οὐ βούλεται πεῖσαι ἑαυτήν, ὅτι ἥμαρτε. τοῦτο δὲ ὅλον ἐστὶ Σατανικόν. ἀλλ' ἡμεῖς αὐτὴν πείθωμεν ὅτι ἥμαρτεν· ἵνα καὶ μετανοήσῃ, καὶ ἵνα μετανοήσασα ἀπαλλαγῇ τῶν κολάσεων. πῶς ἀξιοῖς συγγνώμης τυχεῖν, εἰπέ μοι, ἐπὶ τοῖς ἁμαρτήμασι μηδέπω ταῦτα ὁμολογήσας; πάντως ἐκεῖνός ἐστιν ἐλέους καὶ φιλανθρωπίας ἄξιος, ὁ ἡμαρτηκώς. σὺ δὲ μηδέπω πείσας σαυτὸν ἡμαρτηκέναι, πῶς ἀξιοῖς ἐλεηθῆναι, ἐπὶ τοῖς πλημμελήμασιν οὕτως ἀναισχυντῶν; πείθωμεν ἑαυτοὺς ὅτι ἡμάρτομεν. μὴ τῇ γλώττῃ λέγωμεν μόνον, ἀλλὰ καὶ τῇ διανοίᾳ· μὴ ἁμαρτωλοὺς καλῶμεν ἑαυτοὺς μόνον, ἀλλὰ καὶ τὰ ἁμαρτήματα ἀναλογιζώμεθα, κατ' εἶδος ἕκαστον ἀναλέγοντες. οὐ λέγω σοι, ἐκπόμπευσον σαυτόν, οὐδὲ παρὰ τοῖς ἄλλοις κατηγόρησον, ἀλλὰ πείθεσθαι συμβουλεύω τῷ προφήτῃ λέγοντι, Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου. (Ψαλ. λς. ε.) ἐπὶ τοῦ Θεοῦ ταῦτα ὁμολόγησον, ἐπὶ τοῦ δικαστοῦ ὁμολόγει τὰ ἁμαρτήματα, εὐχόμενος, εἰ καὶ μὴ τῇ γλώττῃ, ἀλλὰ τῇ μνήμῃ, καὶ οὕτως ἀξίου ἐλεηθῆναι. ἂν ἔχῃς τὰ ἁμαρτήματα διηνεκῶς ἐν τῇ μνήμῃ, οὐδέποτε τῷ πλησίον μνησικακήσεις. οὐ τοῦτο δὲ

λέγω, ἐὰν ᾖς πεπεισμένος σαυτὸν ἁμαρτωλὸν εἶναι. οὐχ οὕτω τοῦτο δύναται ταπεινῶσαι ψυχήν, ὡς αὐτὰ ἐφ' ἑαυτῶν τὰ ἁμαρτήματα, [καὶ] κατ' εἶδος ἐξεταζόμενα. οὐ μνησικακήσεις, ταῦτα δι' ὅλου ἔχων ἐν τῇ μνήμῃ, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις, οὐ φρονήσεις μέγα, οὐ περιπεσῇ πάλιν τοῖς αὐτοῖς, σφοδρότερος ἔσῃ* πρὸς τὰ ἀγαθά. ὁρᾷς ὅσα ἀπὸ τῆς μνήμης τῶν ἁμαρτημάτων τίκτεται καλά; ἐγγράφωμεν τοίνυν αὐτὰ εἰς τὴν διανοίας ἡμῶν. οἶδα ὅτι οὐκ ἀνέχεται ἡ ψυχὴ τῆς μνήμης τῆς οὕτω πικρᾶς. ἀλλ' ἀναγκάζωμεν αὐτήν, καὶ βιαζώμεθα. βέλτιον δάκνεσθαι αὐτὴν τῇ μνήμῃ νῦν, ἢ κατ' ἐκεῖνον τὸν καιρὸν τῇ τιμωρίᾳ. νῦν ἐὰν ᾖς αὐτῶν μεμνημένος, καὶ συνεχῶς αὐτὰς προσφέρῃς τῷ Θεῷ, καὶ ὑπὲρ αὐτῶν δέῃ, ταχέως ἐξαλείψεις αὐτάς· ἐὰν δὲ νῦν ἐπιλάθῃ, τότε αὐτῶν ἀναμνησθήσῃ καὶ ἄκων, ἐπὶ τῆς οἰκουμένης ἁπάσης εἰς μέσον φερομένων αὐτῶν, καὶ ἐκπομπευομένων ἐπὶ πάντων, καὶ φίλων, καὶ ἐχθρῶν, καὶ ἀγγέλων. οὐ γὰρ δὴ πρὸς Δαβὶδ ἔλεγε μόνον,

β. Βασ. ιβ. ιϛ.

Ἃ σὺ ἐν κρυφῇ ἐποίησας, ἐγὼ ποιήσω πᾶσι κατάδηλα, ἀλλὰ καὶ πρὸς πάντας ἡμᾶς. ἐφοβήθης ἀνθρώπους, φησί, καὶ ᾐσχύνθης τοῦ Θεοῦ πλέον· καὶ τοῦ Θεοῦ ὁρῶντος οὐκ ἐφρόντισας, ἀλλὰ τοὺς ἀνθρώπους ᾐδέσθης. τοὺς ὀφθαλμοὺς γάρ, φησι, τῶν ἀνθρώπων, τοῦτο ὁ φόβος αὐτῶν. διὰ τοῦτο ἐπὶ τούτων αὐτῶν δώσεις δίκην. Ἐλέγξω γάρ σε, ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς θεὶς σου τὰ ἁμαρτήματα. ὅτι γὰρ τοῦτο ἐστὶν ἀληθές, καὶ κατ' ἐκείνην τὴν ἡμέραν πάντων ἡμῶν ἐκπομπεύεται τὰ ἁμαρτήματα, ἐὰν μὴ νῦν αὐτὰ τῇ συνεχεῖ μνήμῃ ἀφανίσωμεν, ἄκουσον πῶς ἐκπομπεύεται ἡ ὠμότης, καὶ ἡ ἀπανθρωπία τῶν ἐν τῷ μὴ ἐλεησάντων.

Ματθ. κε. μϛ.

Ἐπείνασα, φησι, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. πότε ταῦτα λέγεται; ἆρα ἐν γωνίᾳ; ἆρα ἐν παραβύστῳ; οὐδαμῶς, ἀλλὰ πότε; ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντα τὰ ἔθνη συναγάγῃ, ὅταν ἀφορίσῃ τούτους κἀκείνους, τότε πάντων ἀκουόντων ἐρεῖ, στήσας ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύμων, Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ὅρα πάλιν καὶ τὰς πέντε παρθένους ἐπὶ πάντων ἀκουούσας,

Ματθ. κε. ιβ.

Οὐκ οἶδα ὑμᾶς. αἱ γὰρ πέντε, καὶ πέντε, οὐχὶ τὸν ἀριθμὸν δηλοῦσι τῶν πέντε μόνον, ἀλλὰ πάσας τὰς πονηρὰς καὶ ὠμὰς καὶ ἀπανθρώπους τῶν παρθένων, καὶ τὰς μὴ τοιαύτας. οὕτω καὶ ὁ τὸ ἓν τάλαντον κατορύξας, ἤκουσεν ἐπὶ πάντων, καὶ τῶν τὰ πέντε, καὶ τῶν τὰ δύο προσενεγκόντων,

Ματθ. κε. κϛ.

Πονηρὲ δοῦλε, καὶ ὀκνηρέ. οὐ διὰ ῥημάτων* μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων τότε ἐλέγχει αὐτούς· καθάπερ καὶ ὁ εὐαγγελιστής φησιν,

Ιωαν. ιθ. λζ.

Ὄψονται εἰς ὃν ἐξεκέντησαν. ὁμοῦ γὰρ ἡ ἀνάστασις ἔσται πάντων, καὶ ἁμαρτωλῶν, καὶ δικαίων· ὁμοῦ παρέσται κρίνων ἅπασιν. ἐννόησον οὖν τίνες ἔσονται τότε οἱ ἐν κατηφείᾳ, οἱ ἐν ὀδύνῃ, οἱ ἑλκόμενοι εἰς τὸ πῦρ, στεφανουμένων ἑτέρων.

Ματθ. κε. λδ. μα.

Δεῦτε, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. καὶ πάλιν, Ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. μὴ ἁπλῶς τῶν ῥημάτων ἀκούωμεν, ἀλλ' ὑπογράφωμεν αὐτὰ καὶ τῇ ὄψει, καὶ νομίσωμεν νῦν παρεῖναι αὐτόν, καὶ λέγειν ταῦτα, καὶ ἀπάγεσθαι ἡμᾶς εἰς τὸ πῦρ ἐκεῖνο. τίνα ἕξομεν ψυχήν; ποίαν παραμυθίαν; τί δὲ ὅταν διχοτομώμεθα; τί δὲ ὅταν ὑπὲρ ἁρπαγῆς ἐγκαλώμεθα; ποίαν ἕξομεν εἰπεῖν πρόφασιν; τίνα λόγον εὐπρόσωπον; οὐδένα· ἀλλ' ἀνάγκη δεσμουμένους, κάτω νεύοντας, σύρεσθαι πρὸς τὰ τῶν καμίνων στόματα, πρὸς τὸν ποταμὸν τοῦ πυρός, πρὸς τὸ σκότος, πρὸς τὰς ἀθανάτους κολάσεις, καὶ μηδενὸς λοιπὸν πρὸς ἀπαλλαγὴν δύνασθαι. οὐ γὰρ ἔστι, φησιν, οὐκ ἔστιν ἐντεῦθεν διαβῆναι ἐκεῖ.

Λουκ. ιϛ. κϛ.

Χάσμα γὰρ μέγα μεταξὺ ἡμῶν τε, καὶ ὑμῶν· καὶ οὐδὲ βουλομένοις ἔνι μεταβῆναι, καὶ ὀρέξαι χεῖρα· ἀλλ' ἀνάγκη καίεσθαι διαπαντός, οὐδενὸς ἡμῖν ἀμύνοντος, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν ὁστισοῦν, κἂν πολλὴν ἔχῃ πρὸς τὸν Θεὸν παρρησίαν.

Ψαλ. μη. ζ.

Ἀδελφὸς γάρ, φησιν, οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; ἐπεὶ οὖν οὐκ ἔστιν ἐν ἑτέρῳ τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ' ἐν αὐτῷ μετὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, παρακαλῶ, πάντα πράττωμεν, ὥστε ἡμῖν

τὸν

τὸν βίον γενέσθαι καθαρὸν, καὶ τὴν πολιτείαν ἄριστην, καὶ μηδὲ παρὰ τὴν ἀρχὴν δέξασθαι κηλῖδά τινα. Εἰ δὲ ἐδεξάμεθα, μετὰ γοῦν τὴν κηλῖδα μὴ καθεύδωμεν, ἀλλὰ διαπαντὸς ἐπιμελώμεθα ἀποπλυνόντες τὸν ῥύπον, διὰ μετανοίας, διὰ δακρύων, διὰ εὐχῶν, διὰ ἐλεημοσύνης. τί οὖν ἐὰν μὴ ἔχω, φησίν, ἐλεημοσύνην ἐργάζεσθαι; ἀλλὰ ψυχροῦ ποτήριον ἔχεις· κἂν ὡς ἂν ᾖς πένης, ἀλλὰ δύο λεπτὰ ἔχεις, κἂν ᾖς ἐν πενίᾳ, ἀλλὰ πόδας ἔχεις ὥστε ἐπισκέψασθαι ἀῤῥώστους, ὥστε εἰς δεσμωτήριον εἰσελθεῖν, ἀλλὰ στέγην ἔχεις ὥστε δέξασθαι ξένους. οὐ γάρ ἐστιν, οὐκ ἔστι συγγνώμη οὐδεμία τῷ ἐλεημοσύνην μὴ ἐργαζομένῳ. Ταῦτα συνεχῶς λέγομεν πρὸς ὑμᾶς, ἵνα κἂν μικρὸν ἀπὸ τῆς συνεχείας ἀνύσωμεν· ταῦτα λέγομεν, οὐ τῶν ἡμετέρων παρόντων φροντίζοντες, ὡς ὑμῶν. ἐκείνοις μὲν γὰρ τὰ ἐνταῦθα δίδοτε, ἀπολαμβάνετε δὲ τὰ οὐράνια· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λβ. 18 ΟΥ ΓΑΡ ΠΡΟΣΕΛΗΛΥΘΑΤΕ ΟΡΕΙ ΨΗ-
λαφωμένῳ, καὶ κεκαυμένῳ πυρὶ, γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, 19 Καὶ
σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ
προστεθῆναι αὐτοῖς λόγον (20 Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον·
Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται. 21 Καὶ (οὕτω φοβε- Ἐξοδ. ιθ. ιϛ.
ρὸν ἦν τὸ φανταζόμενον) Μωϋσῆς εἶπεν, Ἔκφοβός εἰμι καὶ ἔντρομος)
22 Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσα-
λὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, 23 Πανηγύρει καὶ ἐκκλησίᾳ
πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύ-
μασι δικαίων τετελειωμένων,
24 Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λα-
λοῦντι παρὰ τὸν Ἄβελ.

Ἦν μὲν τὰ κατὰ τὸν ναὸν θαυμαστὰ, τὰ ἅγια τῶν ἁγίων· ἦν δὲ πάλιν φοβερὰ καὶ ταῦτα τὰ κατὰ τὸ Σινᾶ ὄρος γεγενημένα, τὸ πῦρ, τὸ σκότος, ὁ γνόφος, ἡ θύελλα. Ὤφθη γάρ, φησιν, ὁ Θεὸς ἐν Σινᾶ διὰ πυρὸς καὶ θυέλλης καὶ γνόφου. ἡ μέντοι διαθήκη ἡ καινὴ μετ' οὐδενὸς τούτων ἐδόθη, ἀλλ' ἐν διαλέξει ψιλῇ παρὰ τοῦ Χριστοῦ δίδοται). ὅρα τοίνυν πῶς ποιεῖται τὰς συγκρίσεις καὶ τούτων. καὶ εἰκότως αὐτὰ ὕστερον ἔθηκεν. ὅτε γὰρ αὐτοὺς διὰ μυρίων ἔπεισεν, ὅτε καὶ τὸ μέσον ἔδειξεν ἑκατέρας τῆς διαθήκης, τότε λοιπὸν ὡς προκατεγνωσμένης αὐτῆς, ῥᾳδίως καὶ τούτοις ἐπιχειρεῖ. καὶ τί φησιν; οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον. [οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται.] φοβερὰ ταῦτα, φησὶ, καὶ οὕτω φοβερὰ, ὡς μηδὲ φέρειν τὴν ἀκοὴν, ὡς μηδὲ θηρίον τολμᾶν ἀνιέναι. ἀλλ' οὐ τοιαῦτα οἷα τὰ μετὰ ταῦτα. τί γὰρ τὸ Σινᾶ πρὸς τὸν οὐρανόν; τί δὲ τὸ ψηλαφώμενον πῦρ πρὸς τὸν ἀψηλάφητον Θεόν; Ὁ Θεὸς γὰρ ἡμῶν πῦρ καταναλίσκον, φησίν. ὅτι δὲ φρίκης ἔγεμον τὰ ἐν τῷ ὄρει τότε γεγενημένα, δῆλον ἐξ ὧν ἔλεγον, μὴ λαλείτω ὁ Θεὸς, ἀλλὰ λαλείτω ἡμῖν Μωϋσῆς. οὐκ ἔφερον γάρ, φησι, τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται. καὶ (οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον) Μωϋσῆς εἶπεν, Ἔκφοβός εἰμι, καὶ ἔντρομος. τί θαυμαστὸν εἰ περὶ τοῦ λαοῦ τοιαῦτα παθεῖν διαλέγεται, ὅπου καὶ αὐτὸς ὁ εἰς τὸν γνόφον εἰσελθὼν, οὕτως ἦν ὁ Θεὸς, φησιν, ἔμφοβός εἰμι καὶ ἔντρομος; ἀλλὰ προσεληλύθατε

Ἐξ. ιθ. κ. Ἑβρ. ιβ. κθ.

Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. ὅρα διὰ πόσων ἔδειξε τὸ ὑπερέχον τῆς καινῆς πρὸς τὴν παλαιάν. αὕτη γάρ τῆς κάτω Ἱερουσαλὴμ ἡ ἐπουράνιος. προσεληλύθατε γάρ, φησι, πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. ἀντὶ Μωϋσέως ὁ Ἰησοῦς· καὶ διαθήκης, φησί, νέας μεσίτῃ Ἰησοῦ. ἀντὶ δὲ τοῦ λαοῦ πάντες οἱ ἄγγελοι· καὶ μυριάσιν ἀγγέλων, πανηγύρει, φησί. τίνας δὲ πρωτοτόκους καλεῖ λέγων, καὶ ἐκκλησίᾳ πρωτοτόκων; πάντας τοὺς χοροὺς τῶν πιστῶν. τοῦτ' αὐτὸ δὲ καὶ πνεύματα δικαίων τετελειωμένων λέγει. μὴ τοίνυν ἀγάλλετε, μετὰ τούτων ἔσεσθε, φησι. τί ἐστιν ὃ λέγει, αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ;

Εβρ. ια δ. Γεν δ. ι. τὸ γάρ τοῦ Ἄβελ ἐλάλησε; ναί. καὶ πῶς, ἄκουε Παύλου λέγοντος, Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε· δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. τοῦτο καὶ ὁ Θεὸς δείκνυσι λέγων, Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. ἢ τοῦτο τοίνυν ἐστὶν εἰπεῖν, ἢ ὅτι ἔτι καὶ νῦν ᾄδεται· ἀλλ' οὐχ οὕτως ὡς τὸ τοῦ Χριστοῦ. τοῦτο γὰρ πάντας ἐκάθηρε, καὶ φωνὴν ἀφίησι λαμπροτέραν καὶ εὐσημοτέραν, ὅσῳ μείζονα τὴν μαρτυρίαν ἔχει τὴν διὰ τῶν πραγμάτων.

25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γάρ ἐκεῖνοι οὐκ ἐξέφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανοῦ ἀποστρεφόμενοι·

Αγγ. β ζ. 26 Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται λέγων, Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.

27 Τὸ δέ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας.

29 Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. Φοβερὰ ἐκεῖνα, ἀλλὰ πολλῷ ταῦτα θαυμασιώτερα καὶ λαμπρότερα. οὐ γὰρ σκότος ἐνταῦθα, οὐδὲ γνόφος, οὐδὲ θύελλα, ὥσπερ ἐκεῖ. καὶ τίνος ἕνεκεν διὰ πυρὸς ὤφθη τότε ὁ Θεός; ἐμοὶ δοκεῖ δι' ἐκείνων αἰνίττεσθαι τὸ ἀσαφὲς τῆς παλαιᾶς, καὶ τὸ συνεσκιασμένον τοῦ νόμου, καὶ τὸ συγκεκαλυμμένον. ἄλλως δέ, ἵνα δείξῃ ὅτι ὁ νομοθέτης φοβερὸς ὀφείλει εἶναι, καὶ κολαστικὸς τοῖς παραβαίνουσι. τί δὲ ὁ ἦχος τῆς σάλπιγγος; εἰκότως, ἅτε ὡς βασιλέως τινὸς παρόντος. τοῦτο γίνεται καὶ ἐπὶ τῆς δευτέρας

α. Κορ ιε.νβ. ἔσται παρουσίας. Σαλπίσει γάρ, φησι, καὶ πάντες ἀναστησόμεθα. ὥστε τῇ τοῦ Θεοῦ δυνάμει πάντως ἡ ἀνάστασις ἔσται. ἡ δὲ φωνὴ τῆς σάλπιγγος οὐδὲν ἕτερον, ἀλλ' ἢ τοῦτο δηλοῖ, ὅτι πάντας ἐγηγέρθαι δεῖ. ἀλλὰ τότε μὲν ἦσαν ἐκεῖνα αἰσθητά, καὶ ὄψεις, καὶ φωναί· τὰ δὲ μετὰ ταῦτα πάντα, νοητά, καὶ ἀόρατα. καὶ τὸ μὲν πῦρ τοῦτο δηλοῖ, ὅτι ὁ Θεὸς πῦρ ἐστι. Πῦρ γάρ, φησιν, ὁ Θεὸς ἡμῶν καταναλίσκον.

Ησ. ς. δ. ὁ δὲ γνόφος, καὶ τὸ σκότος, καὶ ὁ καπνὸς πάλιν τὸ φοβερὸν ἐμφαίνει. οὕτω καὶ ὁ Ἡσαΐας φησί, Καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. καὶ ἡ θύελλα τί βούλεται; ῥᾴθυμον τὸ γένος τὸ ἀνθρώπινον ἦν. ἔδει τοίνυν αὐτὸ διανίστασθαι τούτοις. οὐδεὶς γὰρ οὕτω νωθής, ὃς οὐκ ἄνω τὴν διάνοιαν εἶχε γινομένων τούτων, καὶ νομοθετουμένων. Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνετο αὐτῷ φωνῇ. ἔδει

β. Κορ. γ. ιη. γὰρ τοῦ Θεοῦ φέρεσθαι τὴν φωνήν. ἐπεὶ δὲ διὰ Μωϋσέως ἔμελλε νομοθετεῖν, διὰ τοῦτο ἀξιόπιστον αὐτὸν ποιεῖ. οὐχ ἑώρων αὐτὸν διὰ τὸν γνόφον, οὐκ ἤκουον αὐτοῦ διὰ τὸ ἰσχνόφωνον. τί οὖν; ἀποκρίνεται ὁ Θεὸς φωνῇ φθεγγόμενος, ὥσπερ καὶ δημηγορῶν, καὶ ἐξάκουστα ποιῶν τὰ νομοθετούμενα. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρί, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο,

φησι,

φησὶ, μὴ προστεθῆναι αὐτοῖς τὸν λόγον. ἄρα αὐτοὶ γεγόνασιν αἴτιοι τοῦ διὰ σαρκὸς φανῆναι τὸν Θεόν. τί δὲ καὶ ἔλεγον; Λαλείτω ἡμῖν Μωϋσῆς, καὶ μὴ λαλείτω ἡμῖν ὁ Θεός. καὶ τὰς συγκρίσεις ποιοῦντες, μᾶλλον ἐκεῖνα αἴρεσιν, ἵνα ταῦτα πολλῷ μείζονα δείξωσι. ἐγὼ δὲ κἀκεῖνα ἡγούμενος θαυμαστὰ (Θεοῦ γὰρ ἔργα, καὶ τῆς αὐτοῦ δυνάμεως ἀπόδειξις) ὅμως καὶ ταύτῃ κρείττονα καὶ θαυμασιώτερα τὰ ἡμέτερα δείκνυμι. διπλῆ γὰρ μεγάλα· ὅτι τε λαμπρότερα, καὶ ὅτι μείζονα ὄντα, εὐπρόσιτα μᾶλλόν ἐστι, καὶ ἡμερώτερα. τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων φησίν. Ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, καὶ οὐχ ὡς Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ πρόσωπον αὐτοῦ. οὐκ ἠξιώθησαν, φησιν, ὧν ἡμεῖς, ἐκεῖνοι. τίνος γὰρ κατηξιώθησαν; σκότος εἶδον, γνόφον, φωνῆς ἤκουσαν. ἀλλὰ καὶ σὺ φωνῆς ἤκουσας, οὐ διὰ γνόφου, ἀλλὰ διὰ σαρκός. οὐ διεταράχθης, οὐδὲ διεθορυβήθης, ἀλλὰ καὶ ἔστης, καὶ διελέχθης τῷ μεσίτῃ. ἄλλως δὲ, καὶ τὸ ἀόρατον δείκνυσι διὰ τοῦ σκότους. καὶ γνόφος, φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ. τότε καὶ Μωϋσῆς ἔδεισε· νυνὶ δὲ οὐ. κάτω εἱστήκει ὁ λαὸς τότε· ἡμεῖς δὲ οὐκ ἐσμὲν κάτω, ἀλλὰ τοῦ οὐρανοῦ ἀνώτεροι, ἐγγὺς τοῦ Θεοῦ ὡς υἱοὶ, ἀλλ᾽ οὐχ ὡς Μωϋσῆς. ἐκεῖ ἔρημος ἦν, ἐνταῦθα πόλις. καὶ μυριάσιν ἀγγέλων, πανηγύρει. ἐνταῦθα τὴν χαρὰν δείκνυσι, καὶ τὴν εὐφροσύνην, ἀντὶ τοῦ γνόφου καὶ τοῦ σκότους καὶ τῆς θυέλλης. καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων. ἐκεῖνοι οὐ προσῆλθον, ἀλλὰ πόῤῥω εἱστήκεισαν, καὶ ὁ Μωϋσῆς· ὑμεῖς δὲ προσεληλύθατε. ἐνταῦθα αὐτοῦ φοβεῖ εἰπὼν, καὶ κριτῇ Θεῷ πάντων. ἄρα οὐχὶ τῶν Ἰουδαίων μόνον, οὐδὲ τῶν πιστῶν, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης καθέδειται κριτής. καὶ πνεύμασι δικαίων τετελειωμένων. τὰς ψυχὰς λέγει τῶν εὐδοκίμων. καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ· τουτέστι, καθαρμοῦ. κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. εἰ δὲ τὸ αἷμα λαλεῖ, πολλῷ μᾶλλον ὁ σφαγιασθεὶς ζῇ. τί δὲ λαλεῖ; ἄκουε· Καὶ τὸ πνεῦμά, φησι, λαλεῖ στεναγμοῖς ἀλαλήτοις. πῶς λαλεῖ; ἔνθα γὰρ ἂν εἰς εἰλικρινῆ διάνοιαν ἐμπέσῃ, αὐτὴν διανίστησι, καὶ ποιεῖ λαλεῖν. βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα· τουτέστι, μὴ ἀπογνῶτε. εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον, τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα. τίνα λέγει; ἐμοὶ δοκεῖ, Μωϋσῆν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ ἐπὶ γῆς νομοθετοῦντα παραιτησάμενοι οὐκ ἐξέφυγον, ἀπὸ τοῦ οὐρανοῦ νομοθετοῦντα πῶς παραιτησόμεθα; ἐνταῦθα ἐπιδείκνυσιν, οὐχ ὅτι ἄλλος ἐστὶν ἐκεῖνος. μὴ γένοιτο. οὐκ ἄλλον καὶ ἄλλον δείκνυσιν, ἀλλὰ ὅτι φοβερὸς φαίνεται φωνὴν ἀφιεὶς ἐκ τοῦ οὐρανοῦ. αὐτὸς μὲν οὖν ἐστι καὶ οὗτος κἀκεῖνος· φοβερὸς δὲ οὗτος. οὐ γὰρ διαφορὰν λέγει προσώπων, ἀλλὰ δόσεως. πόθεν δῆλον; ἐξ ὧν ἐπήγαγε λέγων, εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον παραιτησάμενοι τὸν ἐπὶ γῆς χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ᾽ οὐρανῶν ἀποστρεφόμενοι. τί οὖν; ἄλλος οὗτος ἐστὶ παρ᾽ ἐκεῖνον; πῶς οὖν φησιν, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε; ἡ γὰρ τοῦ τότε δόντος τὸν νόμον φωνὴ τὴν γῆν ἐσάλευσε. νῦν δὲ ἐπήγγελται λέγων, ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δὲ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων. ἄρα ἐκ τοῦ μέσου πάντα ἀρθήσεται, καὶ ἐπὶ τὸ βέλτιον συμπαγήσεται ἄνωθεν. τοῦτο γὰρ αἰνίττεται ταῦτα λέγων ἐνταῦθα. τί τοίνυν ἀλγεῖς, ἐν κόσμῳ πάσχων οὐ μένοντι, ἐν κόσμῳ θλιβόμενος μικρὸν ὕστερον παροδευομένῳ; εἰ ἐν ὑστέρῳ τοῦ κόσμου ἡ ἄνεσις ἦν, τότε θλίβεσθαι ἐχρῆν πρὸς τὸ τέλος ὁρῶντα. ἵνα μείνῃ, φησὶ, τὰ μὴ σαλευόμενα. ποῖα δέ ἐστι τὰ μὴ σαλευόμενα; τὰ μέλλοντα.

ΗΘΙΚΟΝ

Πάντα τοίνυν ὑπὲρ τούτου πράττωμεν, ὥστε ἐκείνων τυχεῖν, ὥστε ἐκείνων ἀπολαῦσαι τῶν ἀγαθῶν. ναὶ δέομαι καὶ ἀντιβολῶ, τοῦτο σπουδάζωμεν. οὐδεὶς ἐν πόλει μελλούσῃ καταπίπτειν οἰκοδομεῖ. εἰπὲ δή μοι, παρακαλῶ, εἴ τις ἔλεγεν ὅτι μετ᾽ ἐνιαυτὸν αὕτη πεσεῖται ἡ πόλις, ἡ δεῖνα δὲ οὐ πάντως, ἆρα ἂν ᾠκοδόμησας ἐν τῇ μελλούσῃ καταπίπτειν; ὥστε τοῦτο καὶ

Margin (right): β. Κορ. γ. ιη. — Ρωμ. η. κς.

Margin (left): χ. ἀναιρεῦντες, — χ. καὶ — χ. τῶν. ἀλλ. τὸ — χ. πῶς; ὅπερ γὰρ εἰς — χ. -σιν, ὅτι καὶ ἀλλ. — χ. ἰσάγει — χ. καὶ εἰς τὸ βέλτιον συμ- — χ. -χων; οὐ μένον ἐν τῷ κό-

νῦν λέγω, μὴ οἰκοδομῶμεν ἐν τῷ κόσμῳ τούτῳ· πεσεῖται μικρὸν ὕστερον, καὶ πάντα ἀπόλλυται. τί δὲ λέγω, πεσεῖται; πρὸ τῆς πτώσεως ἡμεῖς ἀπολούμεθα, καὶ δεινὰ πεισόμεθα, ἢ ἡμεῖς αὐτῶν ἐκστησόμεθα. τί οἰκοδομοῦμεν ἐπὶ τὴν ἄμμον; οἰκοδομήσωμεν ἐπὶ τὴν πέτραν. ὅπερ γὰρ ἐὰν ἐπέλθῃ, ἀνάλωτος ἐκείνη μένει ἡ οἰκοδομὴ, οὐδὲν αὐτὴν δυνήσεται ἑλεῖν. εἰκότως. πάσαις γὰρ ἐπιβουλαῖς τοιαύταις ἄβατος ὁ χῶρος ἐκεῖνος, ὥσπερ οὐκ ὁ ἐνταῦθα βατός. καὶ γὰρ σεισμοὶ, καὶ ἐμπρησμοὶ, καὶ πολεμίων ἔφοδοι καὶ ζῶντας ἡμᾶς ἀφαιροῦνται αὐτήν· πολλάκις δὲ καὶ μετ' αὐτῆς ἀπόλλυσιν. ὅταν δὲ καὶ αὐτὴ ἑστήκῃ, τότε ἡμᾶς ἡ νόσος ἀπήγαγε θᾶττον, ἢ μένοντας οὐκ εἴασεν αὐτῆς ἀπολαῦσαι καλῶς. ποία γὰρ ἡδονὴ, ἔνθα νόσοι, καὶ συκοφαντίαι, καὶ φθόνος, καὶ ἐπιβουλαί; ἢ εἰ μηδὲν τούτων ἢ τὸ ἐνοχλοῦν, παιδία πολλάκις μὴ ἔχοντες, ἀλυόμεθα, δυσαναχετοῦμεν, οὐκ ἔχοντες οἷς παραδῶμεν τὰς οἰκίας, καὶ τἄλλα πάντα· καὶ κατατρυχόμεθα λοιπὸν ὡς ἑτέροις ποιοῦντες. πολλάκις δὲ καὶ εἰς ἐχθροὺς ἦλθεν ὁ κλῆρος, οὐκ ἀπελθόντων μόνον ἡμῶν, ἀλλὰ καὶ ζώντων. τί τοίνυν ἀθλιώτερον τοῦ τοῖς ἐχθροῖς κάμνειν, καὶ ἵνα ἐκεῖνοι ἀναπαύσωνται, αὐτὸν ἁμαρτίας συλλέγειν; καὶ τούτου τὰ ὑποδείγματα πολλὰ ἐν ταῖς πόλεσιν ὁρᾶται. καὶ σιγῶ ἵνα μὴ λυπήσω τοὺς ἀπεστερημένους. ἐπεὶ εἶπον ἂν ὀνόματι καί τινας ἐξ αὐτῶν, καὶ πολλὰ εἶχον διηγήματα εἰπεῖν, καὶ πολλὰς ἀποδεῖξαι οἰκίας ὑμῖν, αἳ κυρίους ἔλαβον τοὺς ἐχθροὺς τῶν περὶ αὐτὰς πονησάντων· οὐκ οἰκίας δὲ, ἀλλὰ καὶ ἀνδράποδα, καὶ ἅπας ὁ κλῆρος πολλάκις εἰς τοὺς ἐχθροὺς περιῆλθε. τοιαῦτα γὰρ τὰ ἀνθρώπινα. ἐν τοῖς οὐρανοῖς δὲ οὐδέν ἐστι δεῖσαι τούτων, μὴ τοῦ τετελευτηκότος ἕτερος ἔλθῃ ὁ ἐχθρὸς, καὶ τὸν κλῆρον διαδέξηται. οὔτε γὰρ θάνατός ἐστιν ἐκεῖ, οὔτε ἀπέχθεια· αἱ σκηναὶ τῶν ἁγίων εἰσὶ μόναι· ἐν δὲ τοῖς ἁγίοις ἐκείνοις ἀγαλλίασις, χαρὰ, εὐφροσύνη.

Ψαλ. ριζ. ιε. Φωνὴ γάρ, φησιν, ἀγαλλιάσεως ἐν σκηναῖς δικαίων. αἰώνιοί εἰσι, τέλος οὐκ ἔχουσαι. οὐχ αὗται τῷ χρόνῳ καταπίπτουσιν, οὐ τοὺς κεκτημένους ἀμείβουσιν, ἀλλ' ἑστήκασιν ἐν ἀκμῇ διηνεκεῖ. εἰκότως. οὐ γάρ ἐστί τι φθαρτὸν, οὐδὲ ἐπίκηρον ἐκεῖ, ἀλλὰ πάντα ἀθάνατα, καὶ ἀκήρατα. οὐκοῦν κενώσωμεν εἰς ταύτην τὴν οἰκοδομὴν τὰ χρήματα. οὐ δεῖ τεκτόνων ἡμῖν, οὐδὲ ἐργατῶν· αἱ τῶν πενήτων χεῖρες τὰς τοιαύτας οἰκοδομοῦσιν οἰκίας, οἱ χωλοὶ, οἱ τυφλοὶ, οἱ ἀνάπηροι· οὗτοι ἐκείνας τὰς οἰκίας οἰκοδομοῦσι. καὶ μὴ θαυμάσῃς ὅπουγε καὶ βασιλείαν ἡμῖν οὗτοι προξενοῦσι, καὶ παρρησίαν ἡμῖν διδόασι πρὸς τὸν Θεόν. ἡ γὰρ ἐλεημοσύνη, τέχνη τίς ἐστιν ἀρίστη, καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν. φίλη γὰρ τῷ Θεῷ ἐστι, καὶ πλησίον ἕστηκεν αὐτοῦ, ὑπὲρ ὧν ἂν βούληται, εὐκόλως αἰτοῦσα χάριν, μόνον ἂν μὴ ἀδικῆται παρ' ἡμῶν. ἀδικεῖται δὲ, ὅταν ἐξ ἁρπαγῆς αὐτὴν ἐργαζώμεθα. ὡς ἐὰν ᾖ καθαρὰ, πολλὴν τοῖς ἀναπέμπουσιν αὐτὴν δίδωσι τὴν παρρησίαν. τοσαύτη αὐτῆς ἡ ἰσχὺς, ὅτι καὶ ὑπὲρ προσκεκρουκότων δεῖται, καὶ ὑπὲρ ἡμαρτηκότων. αὕτη διαρρήγνυσι τὰ δεσμὰ, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, θανατοῖ τὸν σκώληκα, ἀπελαύνει τὸν τῶν ὀδόντων βρυγμόν. ταύτῃ μετὰ πολλῆς ἀδείας ἀνοίγονται τῶν οὐρανῶν αἱ πύλαι. καὶ ὥσπερ βασιλίδος εἰσιούσης οὐδεὶς τολμήσει τῶν φυλάκων τῶν ἐπὶ ταῖς θύραις τεταγμένων ἐξετάσαι τίς εἴη, καὶ πόθεν, ἀλλὰ πάντες εὐθέως ὑποδέχονται· οὕτω δὴ καὶ τὴν ἐλεημοσύνην. βασιλὶς γάρ ἐστιν ὄντως,

Λουκ. ϛ. λϛ. ὁμοίους ἀνθρώπους ποιοῦσα Θεῷ. Ἔσεσθε γάρ, φησιν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν. ὑπόπτερός ἐστι, καὶ κούφη, πτέρυγας ἔχουσα χρυσᾶς, πτῆσιν ἔχουσα πάνυ τέρπουσαν τοὺς ἀγγέλους.

Ψαλ. ξζ. ιδ. Ἐκεῖ, φησι, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου. καθάπερ γὰρ περιστερά τις χρυσῆ καὶ ζῶσα, πέταται, ὄμμα προσηνὲς ἔχουσα, ὀφθαλμοὶ ἥμεροι. οὐδὲν τοῦ ὀφθαλμοῦ ἐκείνου βέλτιον. καλός ἐστι καὶ ὁ ταὼς, ἀλλὰ πρὸς ἐκείνην κολοιός ἐστιν· οὕτως ἡ ὄρνις αὕτη καλή τίς ἐστι, καὶ θαυμαστή. ἄνω διαπαντὸς ὁρᾷ, πολλῇ τοῦ Θεοῦ τῇ δόξῃ περιστοιχίζεται, παρθένος ἐστὶ [πτέρυγας ἔχουσα χρυσᾶς,] περιεσταλμένη, λευκὸν πρόσωπον ἔχουσα, καὶ ἥμερον. ὑπόπτε-

ρὸς

γ. ὑπερίσταται
ἄλλ. ἐφίσταται
γ. περιίσταται
γ. θέλει

ρός ἐστι, καὶ κούφη, παρὰ τὸν θρόνον ἐφέστηκε τὸν βασιλικόν. ὅταν κρινώμεθα, ἄφνω ἐφίπταται καὶ φαίνεται καὶ ἐξαιρεῖται τῆς κολάσεως ἡμᾶς, ταῖς αὐτῆς πτέρυξι περιβάλλουσα. ταύτην θέλει ὁ Θεὸς μᾶλλον, ἢ θυσίας. πολλὰ περὶ αὐτῆς διαλέγεται· οὕτως αὐτὴν φιλεῖ. Χήρας καὶ ὀρφανὸν καὶ πένητα, φησίν, ἀντιλήψεται. ἀπ᾽ αὐτῆς φιλεῖ καλεῖσθαι ὁ Θεός. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος (φησὶν ὁ Δαβίδ) μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός. καὶ πάλιν ἕτερος, Ἔλεος τοῦ Θεοῦ ἐπὶ πᾶσαν τὴν γῆν. αὕτη δὲ τὸ τῶν ἀνθρώπων γένος διέσωσεν. εἰ γὰρ μὴ ἠλέησεν ἡμᾶς ὁ Θεός, πάντα ἂν ἀπωλώλει. αὕτη ἐχθροὺς ἡμᾶς ὄντας κατήλλαξεν, αὕτη τὰ μυρία ἀγαθὰ εἰργάσατο, αὕτη τὸν υἱὸν τοῦ Θεοῦ ἔπεισε δοῦλον γενέσθαι, καὶ κενῶσαι ἑαυτόν. ταύτην ζηλώσωμεν, ἀγαπητοί, δι᾽ ἧς ἐσώθημεν, ταύτην ἀγαπήσωμεν, ταύτην χρημάτων προτιμήσωμεν, καὶ χωρὶς χρημάτων ψυχὴν ἐλεήμονα ἔχωμεν. οὐδὲν οὕτω χαρακτηριστικὸν Χριστιανοῦ, ὡς ἐλεημοσύνη· οὐδὲν οὕτω καὶ ἄπιστοι καὶ πάντες θαυμάζουσιν, ὡς ὅταν ἐλεῶμεν. πολλαχοῦ γὰρ καὶ ἡμεῖς δεόμεθα τοῦ ἐλέους τούτου, καὶ πρὸς τὸν Θεὸν καθ᾽ ἑκάστην λέγομεν, Κατὰ τὸ μέγα σου ἔλεος ἐλέησον ἡμᾶς. πρότεροι αὐτοὶ ἀρχόμεθα· μᾶλλον δὲ οὐκ ἀρχόμεθα πρότεροι. καὶ γὰρ αὐτὸς ἤδη ἐπεδείξατο τὸν ἔλεον αὐτοῦ [τὸν] περὶ ἡμᾶς. ἀλλ᾽, ἀγαπητοί, κἂν δεύτεροι ἑπώμεθα. εἰ γὰρ ἄνθρωποι τὸν ἐλεήμονα, κἂν μυρία ἐργάσηται ἁμαρτήματα, ἐλεοῦσι· πολλῷ μᾶλλον ὁ Θεός. ἄκουε τοῦ προφήτου λέγοντος, Ἐγὼ δὲ ὡσεὶ ἐλαία, φησί, κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τοιοῦτοι γενώμεθα, [ὡς ἐλαία γενώμεθα]· πάντοθεν βριθώμεθα ταῖς ἐντολαῖς. οὐ γὰρ ἀρκεῖ ὡς ἐλαίαν εἶναι, ἀλλὰ καὶ κατάκαρπον. εἰσὶ γὰρ οἱ ἐλεοῦντες ὀλίγα διδόασι, ἢ διὰ παντὸς τοῦ ἐνιαυτοῦ ἅπαξ, ἢ καθ᾽ ἑκάστην ἑβδομάδα, ἢ τὸ τυχὸν προϊέμενοι. οὗτοι ἐλαῖαι μέν εἰσιν, οὐ κατάκαρποι δέ, ἀλλὰ καὶ ξηραί. ὅτι μὲν γὰρ ἐλεοῦσιν, ἐλαῖαι· ὅτι δὲ οὐ φιλοτίμως, οὐ κατάκαρποι ἐλαῖαι. ἀλλ᾽ ἡμεῖς κατάκαρποι γενώμεθα. ὃ πολλάκις εἶπον, καὶ λέγω νῦν· οὐ τῷ μέτρῳ τῶν διδομένων τὸ μέγεθος δείκνυται τῆς ἐλεημοσύνης, ἀλλὰ τῇ προαιρέσει τοῦ διδόντος. ἴστε τὰ κατὰ τὴν χήραν. καλὸν ἀεὶ φέρειν τοῦτο τὸ ὑπόδειγμα, ἵνα μηδεὶ ὁ πένης ἀπογινώσκῃ ἑαυτοῦ, ὁρῶν εἰς τὴν τὰ δύο λεπτὰ καταβαλοῦσαν. ἤνεγκόν τινες καὶ τρίχας ἐν τῇ τοῦ ναοῦ κατασκευῇ, καὶ οὐδὲ οὗτοι ἀπεβλήθησαν. ἀλλ᾽ εἰ μὲν χρυσίον ἔχοντες, τρίχας ἔφερον, ἐπικατάρατοι· εἰ δὲ τοῦτο ἔχοντες μόνον, τοῦτο ἤνεγκαν, ἀποδεκτοί. διὰ τοῦτο καὶ ὁ Κάϊν ἐμέμφθη, οὐκ ἐπειδὴ φαῦλα προσήνεγκεν, ἀλλ᾽ ἐπειδὴ ὧν εἶχε τὰ φαυλότερα. Ἐπικατάρατος, φησίν, ὃς ἔχει ἄρσεν, καὶ θύει διεφθαρμένον τῷ Θεῷ. οὐχ ἁπλῶς εἶπεν, ἀλλ᾽ ὁ ἔχων, φησί, καὶ φειδόμενος. εἰ τοίνυν τις οὐκ ἔχει, ἀπήλλακται καὶ ἐγκλημάτων, μᾶλλον δὲ ἔχει μισθόν. τί γὰρ δύο ὀβολῶν εὐτελέστερον, καὶ τριχῶν οὐδαμινέστερον; τί δὲ σεμιδάλεως κοτύλης; ἀλλ᾽ ὅμως ταῦτα ηὐδοκίμησεν, ὁμοίως τοῖς μόσχοις καὶ τῷ χρυσίῳ. Καθὸ γὰρ ἔχει τις, εὐπρόσδεκτος, οὐ καθ᾽ ὃ οὐκ ἔχει. καί, Ὡς ἂν ἔχῃ, φησίν, ἡ χείρ σου, εὖ ποίει. διό, παρακαλῶ, κενώσωμεν προθύμως τὰ ὄντα εἰς τοὺς πένητας. κἂν ὀλίγα ᾖ, τὸν αὐτὸν ληψόμεθα μισθὸν τοῖς τὰ πλείονα καταβάλλουσι, μᾶλλον δὲ πλείονα τῶν μυρία τάλαντα καταβαλλόντων. ἂν ταῦτα ποιῶμεν, ἐπιτευξόμεθα τῶν ἀφάτων θησαυρῶν τοῦ Θεοῦ, ἂν μὴ ἀκούωμεν μόνον, ἀλλὰ καὶ πράττωμεν, ἂν μὴ ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδεικνύωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ψαλ. ρμδ. η.
Ψαλ. ρβ.
γ. ἅπαντες
Ψαλ. ν. α.
γ. ἐρχόμ.
γ. ἐσόμεθα
Ψαλ. να. η.
γ. διδόντες διὰ π.
γ. οὐ
Μαλ. α. ιδ.
β. Κορ. η. ιβ.
γ. ἴσα ἂν
γ. ποιώμεθα

Λογ. λγ. 28 ΔΙΟ ΒΑΣΙΛΕΙΑΝ ΑΣΑΛΕΥΤΟΝ ΠΑΡΑλαμβάνοντες, ἔχωμεν χάριν, δι᾽ ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. 29 Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.

β. Κορ. δ. ιη.
γ. μετ᾽ εὐλαβείας καὶ δέους.

Ὅπερ

Ὅπερ ἀλλαχοῦ φησι, Τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια, καὶ ἀπὸ τούτου ποιούμενος τὴν παράκλησιν τὴν ἐπὶ τοῖς κακοῖς, οἷς κατὰ τὸν παρόντα βίον συμβαίνομεν, τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ, καί φησιν, ἔχωμεν χάριν· τουτέστιν, εὐχαριστῶμεν τῷ Θεῷ, βέβαιοι γενώμεθα. οὐ γὰρ μόνον οὐκ ὀφείλομεν ἀποδυσπετεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ καὶ χάριν αὐτῷ μεγίστην εἰδέναι ἐπὶ τοῖς μέλλουσι. δι᾽ ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ· τουτέστιν, ὑπὸ [γὰρ] ἐστὶν εὐαρέστως λατρεύειν τῷ Θεῷ, εὐχαριστοῦντα ἐν ἅπασι. Πάντα ποιεῖτε, φησὶ, χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. ὃ γὰρ ἂν ἐργάσηταί τις γογγύζων, ἀποτίμνεται καὶ ἀπώλεσε τὸν μισθὸν καθάπερ οἱ Ἰσραηλῖται. ἴστε γὰρ ἡλίκην ἐκεῖνοι δίκην ἔτισαν ὑπὲρ γογγυσμῶν. διό φησι, μηδὲ γογγύζετε. οὐκ ἄρα ἐστὶν εὐαρέστως λατρεῦσαι, μὴ χάριν εἰδότα πάντων αὐτῷ, καὶ τῶν πειρασμῶν, καὶ τῶν ἀνέσεων. μετὰ αἰδοῦς καὶ εὐλαβείας· τουτέστι, μηδὲν ἰταμὸν φθεγγώμεθα, μηδὲν ἀναίσχυντον, ἀλλὰ συστέλλωμεν ἑαυτοὺς, ἵνα αἰδέσιμοι ὦμεν. τοῦτο γάρ ἐστιν ὃ λέγει, μετ᾽ αἰδοῦς καὶ εὐλαβείας.

Φιλιπ. β. ιδ.

γρ. ποιεῖται

γρ. εὐχ...

κεφ. ιγ.

1 Ἡ φιλαδελφία μενέτω.

2 Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. Διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. Ὅρα πῶς τὰ παρόντα προστάττει φυλάττειν αὐτούς· καὶ οὐχὶ προστίθησιν ἕτερα. οὐ γὰρ εἶπε, γίνεσθε φιλάδελφοι, ἀλλὰ, μενέτω ἡ φιλαδελφία. καὶ πάλιν, οὐκ εἶπε, φιλόξενοι γίνεσθε, ὡς οὐκ οὖσι, ἀλλὰ τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. τοῦτο γὰρ εἰκὸς ἀπὸ τῶν θλίψεων γίνεσθαι. εἶτα καὶ ἐπάγει ὅπερ ἱκανὸν ἦν μᾶλλον προτρέψαι, λέγων, ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. ὁρᾷς ὅση ἡ τιμὴ, ὅσον τὸ κέρδος; τί ἐστιν, ἔλαθον; οὐκ εἰδότες, φησὶν, ἐξένισαν. διὰ τοῦτο καὶ μέγας ὁ μισθὸς τῷ Ἀβραὰμ δίδοται, ὅτι μὴ εἰδὼς ἀγγέλους αὐτοὺς ὄντας, ἐξένισεν. ἐπεὶ εἰ ᾔδει, οὐδὲν θαυμαστόν. τινὲς ἐνταῦθα καὶ τὸν Λὼτ [αὐτὸν] αἰνίττεσθαί, φασι, καὶ δι᾽ αὐτοῦ εἰρηκέναι αὐτό.

3 Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

4 Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

5 Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν.

Ὅρα πόσος περὶ σωφροσύνης ὁ λόγος αὐτῷ. Εἶπεν, Εἰρήνην διώκετε, καὶ τὸν ἁγιασμόν· καὶ πάλιν, Μή τις [ἢ] πόρνος, ἢ βέβηλος. νῦν πάλιν φησὶ, πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. πανταχοῦ δὲ μετ᾽ ἐπιτιμίου ἡ ἀπαγόρευσις. καὶ πῶς, σκόπει ἐντεῦθεν· Εἰρήνην εἰπὼν διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, ἐπήγαγεν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἐνταῦθα δὲ, πόρνους [δὲ] καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. καὶ πρότερον θεὶς τὸ, τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος, εἶτα ἐπιτίμιον ἐπαγαγὼν, δείκνυσιν ὅτι δικαίως τὰ ἑξῆς ἐπήγαγεν. εἰ γὰρ γάμος συγκεχώρηται, δικαίως ὁ πόρνος κολάζεται, δικαίως ὁ μοιχὸς τιμωρεῖται. ἐνταῦθα πρὸς τοὺς αἱρετικοὺς ἀποδύεται. οὐκ εἶπε πάλιν, μηδεὶς ἔστω πόρνος· ἀλλ᾽ ἅπαξ εἰπὼν, τότε ἐπήγαγεν ὡς κοινὴν παραίνεσιν, καὶ οὐχ ὡς πρὸς αὐτοὺς ἀποτεινόμενος. ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν. οὐκ εἶπεν ὅτι μηδὲν κτήσησθε, ἀλλ᾽ ἀφιλάργυρος ὁ τρόπος ἔστω· τουτέστιν, ἐλεύθερος ὁ νοῦς ἔστω, δεικνύτω τὸ φιλόσοφον ἡ γνώμη. δείξει δὲ, ἐὰν μὴ ζητῶμεν τὰ περιττὰ, ἐὰν τῆς χρείας μόνον ἐχώμεθα. καὶ γὰρ ἀνωτέρω ἔλεγε, Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. ταῦτα ὥστε μὴ εἶναι φιλαργύρους παραινεῖ. [ἀρκούμενοι, φησι, τοῖς παροῦσιν.] εἶτα καὶ ἐνταῦθα ἡ παραμυ-

Εβρ. ιβ. ιδ.
Εβρ. ιβ. ιϛ.

Εβρ. ι. λδ.

θία,

θία, ὥστε μὴ ἀπαγορεύειν. Αὐτὸς γάρ, φησιν, εἴρηκεν, Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπω. Ἰησ. α. ε.

6 Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ἰδοὺ πάλιν ἐν τοῖς πειρασμοῖς ἡ παραμυθία. Ψαλ. ριζ. ς.

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν. Τοῦτο ἄνωθεν ὤδινεν εἰπεῖν. διὰ τοῦτο [ἔλεγεν, εἰρήνην διώκετε μετὰ πάντων. τοῦτο] Καὶ Θεσσαλονικεῦσι παραινεῖ, ὥστε ἔχειν αὐτοὺς ἐν τιμῇ ὑπερεκπερισσοῦ. α. Θεσ. ε. ιγ. Μνημονεύετε, φησι, τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ποία ἀκολουθία αὕτη; ἀρίστη μὲν οὖν. λέγει γάρ, θεωροῦντες αὐτῶν τὴν ἀναστροφὴν (τουτέστι, τὸν βίον) μιμεῖσθε τὴν πίστιν. ἀπὸ γὰρ βίου καθαροῦ ἡ πίστις. ἢ τὴν πίστιν, τὸ βέβαιον λέγει. πῶς; δείκνυσι γὰρ ὅτι πιστεύσαντες βεβαίως τοῖς μέλλουσι, τὴν ἀρίστην πολιτείαν κατώρθωσαν. οὐ γὰρ ἂν ἐπεδείξαντο βίον καθαρόν, εἴγε ἠμφισβήτουν περὶ τῶν μελλόντων, εἴγε ἀμφέβαλλον. ὥστε καὶ ἐν τούτῳ τὸ αὐτὸ θεραπεύει.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

9 Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

Ἐν τούτῳ τὸ, χθὲς, τὸν παρελθόντα πάντα λέγει χρόνον, τὸ, σήμερον, τὸν ἐνεστῶτα, ὁ αἰών, τὸ ἄπειρον, καὶ λῆξιν οὐκ ἔχον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀρχιερέα ἠκούσατε, ἀλλ᾽ οὐκ ἀρχιερέα λήγοντα. ἀεὶ γὰρ ὁ αὐτός ἐστι. τάχα δὲ ὡς ὄντων τινῶν τῶν λεγόντων, ὅτι οὐκ ἔστιν ὁ σταυρωθεὶς οὗτος ὁ προσδοκώμενος Χριστός, ἀλλ᾽ ἕτερος ἥξει, τὸ, χθὲς καὶ σήμερον, λέγει, καὶ, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας· δηλῶν διὰ τούτου, ὅτι ὁ ἐλθών, πάλιν ἥξει, καὶ αὐτὸς οὗτος καὶ πρώην, καὶ ἔστι, καὶ ἔσται εἰς τοὺς αἰῶνας. ἐπεὶ καὶ νῦν Ἰουδαῖοι λέγουσιν, ὅτι ἕτερος ἥξει· οἱ καὶ τοῦ ὄντος ἀποστερήσαντες ἑαυτούς, τὸν Ἀντίχριστον περιποιοῦνται. διδαχαῖς ποικίλαις, φησί, καὶ ξέναις μὴ παραφέρεσθε. οὐ μόνον ξέναις, ἀλλ᾽ οὐδὲ ποικίλαις διδαχαῖς βούλεται αὐτοὺς παραφέρεσθαι. οἶδε γὰρ ἐξ ἀμφοτέρων τοῖς παραφερομένοις ὄλεθρον τίκτεσθαι. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. ἐν τούτῳ ἠρέμα αἰνίττεται τοὺς τὴν παρατήρησιν τῶν βρωμάτων εἰσάγοντας. τῇ γὰρ πίστει πάντα καθαρά. πίστεως οὖν δεῖ, οὐ βρωμάτων.

10 Ἔχομεν [γὰρ] θυσιαστήριον, ἐξ οὗ φαγεῖν ἐξουσίαν οὐκ ἔχουσιν οἱ τῇ σκηνῇ λατρεύοντες. Οὐχ οἷα τὰ Ἰουδαϊκά, φησι, τοιαῦτα τὰ παρ᾽ ἡμῖν, ὡς μηδὲ ἀρχιερεῖ θέμις εἶναι μετέχειν αὐτῶν. ὥστε ἐπειδὴ εἶπε μὴ παρατηρεῖσθε, ἐδόκει δὲ τοῦτο καταβάλλοντος εἶναι τὰ ἴδια, πάλιν αὐτὸ περιστρέφει. μὴ γὰρ καὶ ἡμεῖς οὐ παρατηρούμεθα, φησι; καὶ παρατηρούμεθα, καὶ σφοδρότερον, οὐδὲ αὐτοῖς τοῖς ἱερεῦσι μεταδιδόντες αὐτῶν.

11 Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

12 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης, φησίν, ἔπαθεν. Εἶδες τὸν τύπον ἐκλάμποντα; ἔξω, φησί, τῆς παρεμβολῆς, καὶ ἔξω τῆς πύλης. ἐπεὶ οὖν τὰ προσφερόμενα περὶ ἁμαρτίας, τύπος τις ἦσαν, καὶ ἔξω τῆς παρεμβολῆς ὡλοκαυτοῦντο, καὶ ὁ ὑπὲρ ἁμαρτιῶν ἡμῶν προσαχθεὶς Ἰησοῦς, εἰκότως ἔξω τῆς πύλης πάσχει. οὐκοῦν καὶ ἡμᾶς τὸν ὑπὲρ ἡμῶν παθόντα μιμεῖσθαι χρή, καὶ ἔξω τοῦ κόσμου γίνεσθαι, μᾶλλον δὲ τῶν τοῦ κόσμου πραγμάτων. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε,

13 Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, φέροντες τὸν ὀνειδισμὸν αὐτοῦ· Τουτέστι, τὰ αὐτὰ πάσχοντες, κοινωνοῦντες αὐτῷ ἐν τοῖς παθήμασιν. ὡς κατάδικος ἐσταυρώθη

χ. ἀποσ…ντες

χ. …ποντας; περὶ ἁμαρτίας, φησί, καὶ ἔξω τῆς πύλης ἔπαθε.

ρώθη ἔξω· μὴ τοίνυν μηδὲ ἡμεῖς αἰσχυνώμεθα ἐξιέναι ἔξω τοῦ κόσμου. τοῦτο γὰρ ἠνίξατο τῷ εἰπεῖν, ἔξω τῆς παρεμβολῆς, καὶ ἔξω τῆς πύλης.

14 Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν, φησὶ, πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

15 Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Δι' αὐτοῦ, εἶπεν, ὡς δι' ἀρχιερέως, τὸ κατὰ σάρκα. ὁμολογούντων, φησὶ, τῷ ὀνόματι αὐτοῦ. ὡσανεὶ ἔλεγεν, εἰ ὁμολογεῖν αὐτῷ δεῖ, μηδὲν βλάσφημον, μηδὲν ἰταμὸν, μηδὲν θρασὺ, μηδὲν τολμηρὸν, μηδὲν ἀπονενοημένον φθεγγώμεθα, ἀλλὰ μετ' αἰδοῦς καὶ εὐλαβείας πάντα ποιῶμεν καὶ λέγωμεν. ταῦτα λέγει οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ οἶδεν αὐτοὺς θλιβομένους. ψυχὴ δὲ ἐν ταῖς θλίψεσιν ἀπογινώσκει, καὶ ἀπονοίᾳ ἁλίσκεται· ἀλλὰ μὴ ἡμεῖς, φησίν. ἰδοὺ πάλιν τὸ αὐτὸ εἶπεν, ὅπερ ἀνωτέρω ἔλεγε, Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. οὕτω δυνησόμεθα μετ' αἰδοῦς πάντα ποιεῖν. πολλάκις γὰρ καὶ ἀνθρώπους αἰσχυνόμενοι, πολλὰ οὐ πράττομεν τῶν πονηρῶν.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. Ταῦτα τότε μὲν ὁ Παῦλος ἔλεγε· νῦν δὲ ἐγὼ λέγω· οὐχὶ πρὸς τοὺς παρόντας μόνον ἀδελφούς· δὲ ταῦτα λέγω, ἀλλὰ καὶ πρὸς τοὺς ἀπόντας. οὐδεὶς τὰ ὑπάρχοντα ὑμῶν ἥρπασεν· εἰ δέ τινες καὶ ἡρπάκασιν, ἐκ τοῦ ἐναντίου τὴν φιλοξενίαν ἐπιδείκνυσθε. τίνα γὰρ ἕξομεν ἡμεῖς ἀπολογίαν λοιπὸν, τούτων καὶ μετὰ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ταῦτα ἀκουόντων; καὶ ὅρα, ἐνταῦθα λέγει, τῆς εὐποιΐας μὴ ἐπιλανθάνεσθε, εἰπὼν ἀνωτέρω, τῆς φιλοξενίας· οὐκ ἄλλο καὶ ἄλλο δηλῶν, ἀλλὰ τὸ αὐτὸ δι' ἑτέρας λέξεως. καὶ οὐκ εἶπε, τῆς ξενοδοχίας μὴ ἐπιλανθάνεσθε, ἀλλὰ τῆς φιλοξενίας· τουτέστι, μὴ ἁπλῶς ξενοδοχεῖτε, ἀλλὰ μετὰ τοῦ φιλεῖν τοὺς ξένους. καὶ οὐκ εἶπε τὴν μέλλουσαν καὶ ἀποκειμένην ἀμοιβὴν, ἵνα μὴ πάλιν αὐτοὺς ὑπτιωτέρους ἐργάσηται, ἀλλὰ τὴν ἤδη δοθεῖσαν. ἐπήγαγε γὰρ, διὰ ταύτης ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. ἀλλ' ἴδωμεν ὅθεν τὰ εἰρημένα. Τίμιος ὁ γάμος, φησὶν, ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. πῶς τίμιος ὁ γάμος; ὅτι ἐν σωφροσύνῃ, [φησὶ,] διατηρεῖ τὸν πιστόν. ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεται, ὅτι βδελυρὰν ἡγοῦντο τὴν κοίτην. καὶ ὃς ἂν ᾖ, φησὶν, ἀπὸ κοίτης, οὐκ ἔστι καθαρός. οὐκ ἔστι βδελυρὰ τὰ ἀπὸ φύσεως (ὦ ἀγνώμον καὶ ἀναίσθητε Ἰουδαῖε) ἀλλὰ τὰ ἀπὸ προαιρέσεως. εἰ γὰρ τίμιος ὁ γάμος, καὶ καθαρὸς, τί δήποτε καὶ ἐξ αὐτοῦ μιαίνεσθαι νομίζεις; ἀφιλάργυρος, φησὶν, ὁ τρόπος. ἐπειδὴ πολλοὶ μετὰ τὸ κενῶσαι τὰ ὑπάρχοντα, ὕστερον βούλονται προσχήματι ἐλεημοσύνης ἀνακτᾶσθαι πάλιν αὐτὰ, διὰ τοῦτό φησιν, ἀφιλάργυρος ὁ τρόπος· τουτέστιν, ἵνα τῆς χρείας ὦμεν, καὶ τῶν ἀναγκαίων. τί οὖν ἂν μηδὲ τούτων, φησὶν, εὐπορῶμεν; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. αὐτὸς γὰρ εἶπε, καὶ οὐ ψεύδεται, ὅτι οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω, ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ὥστε εἰ ἔχεις, τὴν ὑπόσχεσιν ἔχεις παρ' αὐτοῦ, μὴ ἀμφίβαλλε λοιπόν· αὐτὸς ἐπηγγείλατο, μὴ ἀμφισβήτει. τὸ δὲ, οὐ μή σε ἀνῶ, οὐ περὶ χρημάτων μόνον φησὶν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων λέγει. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. εἰκότως τὸ τοῦ προφήτου ἐπήγαγεν, ἐπισφραγίζων τούτῳ τὸν λόγον, καὶ προθυμοτέρους μᾶλλον ποιῶν, ὥστε μὴ ἀπαγορεύειν. τοῦτο τοίνυν καὶ ἡμεῖς ἐν πᾶσι λέγωμεν τοῖς πειρασμοῖς, καὶ καταγελῶμεν τῶν ἀνθρωπίνων πραγμάτων. ἕως ἂν ἔχωμεν τὸν Θεὸν ἡμῖν εὐμενῆ, οὐδεὶς ἡμῶν περιέσται. ὥσπερ γὰρ ἐκείνου ἐχθροῦ ὄντος, κἂν πάντες ἡμῖν ὦσι φίλοι, κέρδος οὐδέν· οὕτως αὐτοῦ φίλου ὄντος, κἂν ἅπαντες ἡμᾶς πολεμῶσιν, οὐδεμία βλάβη. διὰ τοῦτο ἔλεγεν, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. μνημονεύετε

τῶν

Κεφ. ι. κε.

Ψαλ. ριη. ς.

τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. ἐνταῦθα καὶ περὶ ἐπικουρίας αὐτοῖς οἶμαι λέγειν. τοῦτο γάρ ἐστι τὸ, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. τί ἐστιν, ἀναθεωροῦντες; συνεχῶς στρέφοντες, παρ' ἑαυτοῖς ἐξετάζοντες, λογιζόμενοι, ζητοῦντες ἀκριβῶς, ὡς βούλεσθε βασανίζοντες. καλῶς εἶπε, τὴν ἔκβασιν τῆς ἀναστροφῆς· τουτέστι, τὴν μέχρι τέλους πολιτείαν· ὅτι τέλος εἶχε χρηστὸν αὐτῶν ἡ ἀναστροφή. Ἰησοῦς, φησι, Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. ὃ λέγει τοῦτό ἐστι· μὴ νομίσητε ὅτι τότε μὲν ἐθαυματούργησε, νῦν δὲ οὐ θαυματουργεῖ. ὁ αὐτός ἐστι· [καὶ ἐπεὶ ὁ αὐτός ἐστιν, οὐκ ἔστιν ὅτε μὴ δύναται τὰ αὐτὰ ἐνεργεῖν. τάχα πρὸς τοῦτο ἀφορῶν εἶπε, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν.] διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. ξέναις, τουτέστι, παρ' ἃς ἠκούσατε παρ' ἡμῶν. ποικίλαις, παντοδαπαῖς. αἱ τοιαῦται γὰρ οὐδὲν βέβαιον ἔχουσιν, ἀλλ' εἰσὶ διάφοροι· μάλιστα δὲ τὸ τῶν βρωμάτων διάφορον. διὸ καὶ πρὸς τοῦτο ἱστάμενος ἐπάγει, καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν. αἱ ποικίλαι, αὗται· αἱ ξέναι, αὗται. ἐνταῦθα εἰς παρατήρησιν βρωμάτων αὐτοὺς κωμῳδεῖ. δείκνυσι γὰρ ὅτι ἀπὸ τῆς τῶν βρωμάτων παρατηρήσεως εἰς τὸ ἑτεροδιδασκαλεῖν ἐξέπεσον, καὶ ἀπὸ τούτων πρὸς τὰς ποικίλας καὶ ξένας διδαχὰς ἐξενεχθῆσαν. καὶ ὅρα αὐτὸν οὐ τολμῶντα φανερῶς εἰπεῖν τοῦτο, ἀλλ' ὡς ἐν αἰνίγματι. τὸ γὰρ εἰπεῖν, ποικίλαις καὶ ξέναις διδαχαῖς μὴ περιφέρεσθε, καὶ, καλὸν χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασι, μονονουχὶ τὸ τοῦ Χριστοῦ λέγει, ἐν οἷς ἔλεγεν, Οὐ τὸ εἰσερχόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον. καὶ δείκνυσιν ὅτι τὸ πᾶν πίστις ἐστίν. ἂν αὕτη βεβαιώσῃ, ἡ καρδία ἐν ἀσφαλείᾳ ἕστηκεν. ἄρα πίστις βεβαιοῖ· οὐκοῦν λογισμοὶ σαλεύουσιν. ἐναντίον γὰρ ἡ πίστις λογισμῷ. ἐν οἷς οὐκ ὠφελήθησαν, φησιν, οἱ περιπατήσαντες. τί [γὰρ] τὸ κέρδος, φησίν, ἀπὸ τῆς παρατηρήσεως, [εἰπέ μοι;] οὐχὶ ἀπόλλυσι μᾶλλον; οὐχὶ τοῦτο ἁμαρτίαν ἐργάζεται τὸ τοιοῦτον; εἰ δεῖ παρατηρεῖν, ἔστι παρατηρεῖσθαι ὅθεν ὠφέλεια τοῖς παρατηροῦσιν ἔσται. καλὴ παρατήρησις, κακίας ἀποφυγὴ, καρδίας εὐθύτης, εὐσέβεια εἰς Θεὸν, πίστις ὀρθή. ἐν οἷς, φησιν, οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες· τουτέστιν, οἱ διὰ παντὸς φυλάξαντες αὐτά. μία ἐστὶ παρατήρησις, τὸ ἁμαρτίας ἀπέχεσθαι. τί γὰρ ὄφελος, ὅπου γε οὕτως εἰσί τινες μιαροὶ, ὡς μὴ δύνασθαι μετέχειν τῶν θυσιῶν; ὥστε οὐδὲν αὐτοὺς ἔσωζε, καίτοι σπουδὴν ἐποιοῦντο περὶ τὰς παρατηρήσεις· ἀλλ' ἐπειδὴ πίστιν οὐκ εἶχον, οὐδὲν ὠφελήθησαν οὐδὲ οὕτως. εἶτα ἀναιρεῖ ἀπὸ τοῦ τύπου τὴν θυσίαν, καὶ ἐπὶ τὸ πρωτότυπον ἄγει τὸν λόγον, λέγων, ὅτι ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθεν. ἄρα τύπος ἐκεῖνα τούτων ἦν, καὶ οὕτω τὰ πάντα ἐπλήρωσεν ὁ Χριστὸς ἔξω παθών. ἐνταῦθα καὶ τὸ ἑκόντι πεπονθέναι δηλοῖ. δείκνυσι γὰρ, ὅτι οὐδὲ ἐκεῖνα ἁπλῶς, ἀλλὰ τύπος τις ἦν, καὶ αὕτη ἡ οἰκονομία οὐκ ἔξω τοῦ πάθους ἦν, ἀλλ' εἰς τὸν οὐρανὸν τὸ αἷμα ἀνηνέχθη. ὁρᾷς [οὖν] ὅτι αἵματος μετέχομεν τοῦ εἰς τὰ ἅγια εἰσφερομένου, τὰ ἅγια τὰ ἀληθινά· τῆς θυσίας ἧς μόνος ἀπήλαυσεν ὁ ἀρχιερεύς. ἡμεῖς οὖν τῆς ἀληθείας μετέχομεν. εἰ τοίνυν οὐκ ὀνειδισμοῦ, ἀλλ' ἁγιασμοῦ μετέχομεν· ὁ ὀνειδισμὸς τοῦ ἁγιασμοῦ αἴτιον. καθάπερ γὰρ αὐτὸς ὠνειδίσθη, οὕτω καὶ ἡμεῖς. ἂν ἐξέλθωμεν οὖν, κοινωνοῦμεν αὐτῷ. τί δέ ἐστι τοίνυν, ἐξερχώμεθα πρὸς αὐτόν; κοινωνῶμεν αὐτῷ τῶν παθῶν, φέρωμεν αὐτοῦ τὸν ὀνειδισμόν. οὐ γὰρ ἁπλῶς ἔξω πύλης ἔπαθεν, ἀλλ' ἵνα καὶ ἡμεῖς τὸν σταυρὸν αὐτοῦ αἴρωμεν, καὶ ἔξω κόσμου μένωμεν, καὶ εἶναι σπουδάζωμεν. ὥσπερ οὖν ἐκεῖνος ὠνειδίζετο ὡς καταδίκος, οὕτω καὶ ἡμεῖς. καὶ δι' αὐτοῦ θυσίαν ἀναφέρωμεν τῷ Θεῷ. ποίαν δὲ θυσίαν λέγει; αὐτὸς ἡρμήνευσε λέγων, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ· τουτέστιν, εὐχὰς, ὕμνους, εὐχαριστίαν. ταῦτα γὰρ τῶν χειλέων ὁ καρπός. ἐκεῖνοι προσέφερον

Ματθ. 15. ιαʹ.

ρον

ερ πρόβατα, μόσχους, καὶ ἐδίδοσαν τῷ ἱερεῖ. ἡμεῖς δὲ μηδὲν τούτων προσενέγκωμεν, ἀλλ' εὐχαριστίαν, καὶ τὴν ἐν πᾶσιν, ὡς οἷόν τε, μίμησιν τοῦ Χριστοῦ. τοῦτο βλαστησάτω ἡμῶν τὰ χείλη. τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. δῶμεν, φησὶ, τοιαύτην αὐτῷ θυσίαν, ἵνα ἀνενέγκῃ τῷ πατρί. ἄλλως γὰρ οὐκ ἀναφέρεται, ἂν μὴ διὰ τοῦ υἱοῦ· μᾶλλον δὲ καὶ διὰ "καρδίας * συντετριμμένης. πάντα ταῦτα οὕτως εἶπε διὰ τοὺς ἀσθενέστερον διακειμένους ἐκ τῶν ἀκροατῶν. ἐπεὶ ὅτι τοῦ υἱοῦ ἐστιν ἡ χάρις, δῆλον. ἐπεὶ πῶς ἐστι τιμὴ ἴση; Ἵνα πάντες, φησὶ, τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. [Ἰωαν. ε. κγ.] εἰ μὴ τοῦ πατρὸς δοξαζομένου καὶ ὁ υἱὸς συνδοξάζεται, ποῦ ἴση ἡ τιμή; ἐπειδὴ καρπὸς χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ, τὸ χάριν αὐτῷ εἰδέναι, τουτέστιν, ὑπὲρ πάντων, καὶ ὑπὲρ ὧν δι' ἡμᾶς ἔπαθε.

ΗΘΙΚΟΝ

Πάντα φέρωμεν εὐχαρίστως, κἂν πενία, κἂν νόσος ᾖ, κἂν ὁποιονοῦν ἕτερον. τὰ γὰρ ἡμῖν συμφέροντα αὐτὸς οἶδε μόνος. Τὸ γὰρ τί προσευξώμεθα, φησὶ, καθὸ δεῖ, οὐκ οἴδαμεν. [Ρωμ. η. κϛ.] τὸν οὖν μηδὲ αἰτῆσαι εἰδότας "ὅ, τι χρὴ, ἐὰν μὴ τοῦ πνεύματος ἐπιλαβώμεθα, πῶς ἂν εἰδείημεν τὰ συμφέροντα; οὐκοῦν σπουδάζωμεν εὐχαριστίαν ὑπὲρ ἁπάντων ἀναφέρειν, καὶ γενναίως ἅπαντα φέρωμεν τὰ συμπίπτοντα. ὅταν τοίνυν ἐν πενίᾳ ὦμεν, ὅταν ἐν νόσῳ, εὐχαριστῶμεν· ὅταν συκοφαντώμεθα, εὐχαριστῶμεν· ὅταν κακῶς πάσχωμεν, εὐχαριστῶμεν. τοῦτο ἡμᾶς ἐγγὺς [εἶναι] τοῦ Θεοῦ ποιεῖ. τότε καὶ τὸν Θεὸν ὀφειλέτην ἔχομεν. ὅταν δὲ καλῶς πάσχωμεν, ἡμεῖς ἐσμεν ὀφειλέται καὶ ὑπεύθυνοι τοῦ Θεοῦ· ἄλλως τε καὶ πολλάκις ἡμῖν ταῦτα εἰς κρίμα γίνεται, ἐκεῖνα δὲ εἰς ἔκτισιν ἁμαρτημάτων. ἐκεῖνα "ἔλεον ἐπισπᾶται, ἐκεῖνα φιλανθρωπίαν· ταῦτα δὲ καὶ εἰς ἀπόνοιαν αἴρει, ταῦτα καὶ εἰς ῥᾳθυμίαν ἐξάγει, καὶ μεγάλα περὶ ἑαυτοῦ παρασκευάζει φαντάζεσθαι, ταῦτα χαυνοῖ. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. [Ψαλ. ριη. οα.] ὅτε εὐεργετήθη καὶ ἀπηλλάγη τῶν κακῶν ὁ Ἐζεκίας, ἐπήρθη εἰς ὕψος ἡ καρδία αὐτοῦ· ὅτε ἠρρώστησε, τότε ἐταπεινώθη, τότε ἐγγὺς ἐγένετο τοῦ Θεοῦ. Ὅτε, φησὶν, ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτὸν, καὶ [Ψαλ. οζ. λη.] ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν· καὶ πάλιν, Ὅτε ἐπαχύνθη καὶ ἐλιπάνθη, ἀπελάκτισεν ὁ ἠγαπημένος. [Δευτ. λβ. ιε.] γινώσκεται γὰρ Κύριος κρίματα ποιῶν. μέγα θλῖψις ἀγαθόν. στενὴ ἐστὶν ἡ ὁδός· ὥστε ἡ θλῖψις ἡμᾶς ὠθεῖ ἐν τῇ στενῇ. ὁ μὴ θλιβόμενος, εἰσελθεῖν οὐ δύναται. ὁ γὰρ ἐν τῇ στενῇ θλίβων ἑαυτὸν, οὗτος ἐστὶν ὁ καὶ ἀνέσεως ἀπολαύων· ὁ δὲ ἐμπλατύνων ἑαυτὸν, οὔτε εἰσέρχεται, καὶ θλίβεται σφηνούμενος, ὡς εἴπερ. ἄκουε πῶς εἰσῆλθεν εἰς τὴν στενὴν ταύτην ὁδὸν Παῦλος. Ὑπωπιάζω, φησὶ, μου τὸ σῶμα, καὶ δουλαγωγῶ. [α. Κορ. θ. κζ.] ὑπωπίαζε τὸ σῶμα, ὥστε δυνηθῆναι εἰσελθεῖν. διὰ τοῦτο ἐν πάσαις ταῖς θλίψεσιν εὐχαριστῶν τῷ Θεῷ διετέλει. ἐζημιώθης χρήματα; τοῦτό σοι τὸ πολὺ τῆς εὐρύτητος "ἐπεκούφισεν. ἐξέπεσες δόξης; ἑτέρα αὕτη εὐρύτης. ἐσυκοφαντήθης; ἐπιστεύθη κατὰ σοῦ τὰ λεχθέντα, ἐν οἷς οὐ συνοίδας σαυτῷ; χαῖρε καὶ ἀγαλλία. Μακάριοι γάρ ἐστε, φησὶν, ὅταν ὀνειδίσωσιν ὑμᾶς, [Ματθ. ε. ια.] καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. τί θαυμάζεις εἰ σὺ ἀσχάλλεις, καὶ θέλεις ἀνεθῆναι ἐκ τῶν πειρασμῶν; Παῦλος ἠθέλησεν ἀνεθῆναι, καὶ πολλάκις τὸν Θεὸν παρεκάλεσε, καὶ οὐκ ἔτυχε. τὸ γὰρ τρὶς, πολλάκις ἐστίν· Ὑπὲρ τούτου τρὶς τὸν Κύριον, φησὶ, παρεκάλεσα, [β. Κορ. ιβ. θ.] καὶ εἶπέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἀσθενείας λέγει ἐνταῦθα τὰς θλίψεις. τί οὖν; ἐπειδὴ ταῦτα ἤκουσεν, εὐχαρίστως ἤνεγκε, καὶ λέγει, Διὸ εὐδοκῶ ἐν ἀσθενείαις· [β. Κορ. ιβ. ι.] τουτέστιν, ἀρέσκομαι, ἀναπαύομαι ἐν ταῖς θλίψεσιν. ὑπὲρ πάντων οὖν εὐχαριστῶμεν, ὑπέρ τε ἀνέσεως, ὑπέρ τε θλίψεως. μὴ γογγύζωμεν, μὴ ἀχάριστοι ὦμεν. λέγε καὶ σὺ, Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. [Ἰωβ. α.] "οὐκ ἐξῆλθες ἔνδοξος· μὴ ζήτει δόξαν. γυμνὸς οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης, καὶ εὐφημίας,

νίας, εἰς τὸν βίον περιήχθης. ἐννόησον πόσα πολλάκις ἀπὸ χρημάτων κακὰ γέγονε· μᾶλλον δὲ ἄκουε τί φησιν ὁ Χριστός· Εὐκοπώτερον [γάρ, φησι,] κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ῥαφίδος, ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. (Μαρκ. ι. κε.) ὁρᾷς πόσων ἀγαθῶν ἐμπόδιον ὁ πλοῦτος γίνεται; καὶ σὺ πλουτῆσαι ζητεῖς, καὶ οὐ χαίρεις ἐν πενίᾳ ὤν, ὅτι τὸ κώλυμα διατέτραπται; οὕτω στενή ἐστιν ἡ ὁδὸς ἡ εἰσάγουσα εἰς τὴν βασιλείαν· οὕτω πλατὺς ὁ πλοῦτος, καὶ ὄγκου γέμων καὶ φυσήματος. διὰ τοῦτό φησι, πώλησόν σου τὰ ὑπάρχοντα, ἵνα σε δέξηται ἡ ὁδὸς ἐκείνη. τί ποθεῖς τὰ χρήματα; διὰ τοῦτο σε ἀφείλετο, ἵνα σε ἀπαλλάξῃ δουλείας. ἐπεὶ καὶ οἱ πατέρες οἱ γνήσιοι, ἐπειδὰν ὁ παῖς τύχῃ προσεφθαρμένος ἑταίρᾳ τινί, καὶ πολλὰ παραινέσαντες μὴ πείθωσιν αὐτὸν ἀποστῆναι, τὴν ἑταίραν ἐξορίζουσι· τοιαύτη ἐστὶ καὶ ἡ εὐπορία τῶν χρημάτων. κηδόμενος τοίνυν [καὶ] ἡμῶν ὁ δεσπότης, καὶ ἀπαλλάττων ἡμᾶς τῆς ἐντεῦθεν βλάβης, ἀφαιρεῖται ἡμῶν τὰ χρήματα. μὴ τοίνυν νομίζωμεν πενίαν κακὸν εἶναι· ἁμαρτία κακὸν μόνον. οὐδὲ γὰρ ὁ πλοῦτος ἀγαθὸν καθ' ἑαυτόν· τὸ θεῷ εὐαρεστεῖν, ἀγαθὸν μόνον. τὴν πενίαν τοίνυν ζητῶμεν, ταύτην διώκωμεν· οὕτω τοῦ οὐρανοῦ ἐπιληψόμεθα, οὕτω τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λδ. 17 ΠΕΙΘΕΣΘΕ ΤΟΙΣ ΗΓΟΥΜΕΝΟΙΣ ΥΜΩΝ, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

Κακὸν μὲν ἡ ἀναρχία πανταχοῦ, καὶ πολλῶν ὑπόθεσις συμφορῶν, καὶ ἀρχὴ ἀταξίας καὶ συγχύσεως· μάλιστα δὲ ἐν ἐκκλησίᾳ τοσοῦτον ἐπισφαλεστέρα ἐστίν, ὅσον καὶ τὸ τῆς ἀρχῆς μεῖζον καὶ ὑψηλότερον. ὥσπερ γὰρ ἂν χοροῦ τὸν κορυφαῖον ἀνέλῃς, οὐχὶ κατὰ μέλος καὶ κατὰ τάξιν ὁ χορὸς ἔσται, καὶ φάλαγγος στρατοπέδου τὸν στρατηγὸν ἂν ἀποστήσῃς, οὐκ ἐν ῥυθμῷ καὶ τάξει τὰ τῆς παρατάξεως ἔσται, καὶ πλοίου τὸν κυβερνήτην ἐὰν περιέλῃς, καταδύσεις τὸ σκάφος· οὕτω καὶ ποιμνίου τὸν ποιμένα ἐὰν ἀποστήσῃς, πάντα διέτρεψας καὶ ἠφάνισας. κακὸν μὲν οὖν ἡ ἀναρχία, καὶ ἀνατροπῆς ὑπόθεσις. κακὸν δὲ οὐχ ἧττον, καὶ ἡ ἀπείθεια τῶν ἀρχομένων. τὸ αὐτὸ γὰρ γίνεται πάλιν. λαὸς γὰρ ἄρχοντι μὴ πειθόμενος, ὅμοιός ἐστι τῷ μὴ ἔχοντι· τάχα δὲ καὶ χείρων. ἐκεῖ μὲν γὰρ καὶ συγγνώμην ἔχουσιν ὑπὲρ τῆς ἀταξίας· ἐνταῦθα δὲ οὐκέτι, ἀλλὰ καὶ κολάζονται. ἀλλ' ἴσως ἐρεῖ τις ἡμῖν, ὅτι ἔστι καὶ τρίτον κακόν, ὅταν ὁ ἄρχων ᾖ κακός. οἶδα κἀγώ, καὶ οὐ μικρὸν τοῦτο κακόν, ἀλλὰ καὶ τῆς ἀναρχίας πολλῷ χεῖρον. κρεῖττον γὰρ ὑπὸ μηδενὸς ἄγεσθαι, ἢ ὑπὸ κακοῦ ἄγεσθαι. ὁ μὲν γὰρ πολλάκις μὲν ἐσώθη, πολλάκις δὲ ἐκινδύνευσεν· οὗτος δὲ πάντως κινδυνεύσει, εἰς βάραθρα ἀγόμενος. πῶς οὖν ὁ Παῦλός φησι, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε; ἀνωτέρω εἰπών, Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν, (Ἑβρ. ιγ. ζ.) τότε εἶπε, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. τί οὖν, φησίν, ὅταν πονηρὸς ᾖ, καὶ μὴ πειθώμεθα; πονηρός, πῶς λέγεις; εἰ μὲν πίστεως ἕνεκεν, φεῦγε αὐτὸν καὶ παραίτησαι, μὴ μόνον ἂν ἄνθρωπος ᾖ, ἀλλὰ κἂν ἄγγελος ἐξ οὐρανοῦ κατιών· εἰ δὲ βίου ἕνεκεν, μὴ περιεργάζου. καὶ τοῦτο οὐκ οἴκοθεν λέγω τὸ ὑπόδειγμα, ἀλλ' ἀπὸ τῆς θείας γραφῆς. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος, Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ (Ματθ. κγ. β.) Φαρισαῖοι. πρότερον εἰπὼν δεινὰ πολλὰ περὶ αὐτῶν, τότε φησίν, ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν. πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ

ποιεῖτε. ἔργοις, φησὶ, τὸ ἀξίωμα, ἀλλὰ βίου εἰσὶν ἀκάθαρτοι. ἀλλὰ μὴ τῷ βίῳ, ἀλλὰ τοῖς λόγοις προσέχετε. τῶν μὲν γὰρ ἠθῶν ἕνεκεν οὐδεὶς ἂν βλαβείη. τί δήποτε; ὅτι καὶ δῆλα πᾶσίν ἐστι, καὶ οὐδὲ αὐτὸς, κἂν μυριάκις ᾖ πονηρὸς, πονηρὰ διδάξει ποτέ. πίστεως δὲ ἕνεκεν, οὔτε δῆλόν ἐστιν ἅπασιν, ὅ τε πονηρὸς οὐ παραιτήσεται διδάσκειν. ἐπεὶ καὶ τὸ, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, (Ματθ ζ. α.) περὶ βίου ἐστὶν, οὐ περὶ πίστεως. τὸ γοῦν ἐπαγόμενον, τοῦτο δηλοῖ. Τί γὰρ βλέπεις, φησὶ, τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς; πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν, φησι, ποιεῖν, ποιεῖτε (τὸ δὲ ποιεῖν, ἔργων ἐστὶν, οὐ πίστεως) κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ὁρᾷς ὅτι οὐ περὶ δογμάτων ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ βίου, καὶ ἔργων; ἀλλ' ὁ Παῦλος πρότερον συνέστησεν αὐτοὺς, καὶ τότε φησὶ, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἀκουέτωσαν καὶ οἱ ἄρχοντες, μὴ μόνοι οἱ ἀρχόμενοι, ὅτι ὥσπερ πειθηνίους εἶναι δεῖ τοὺς ἀρχομένους, οὕτω καὶ τοὺς ἄρχοντας ἀγρύπνους εἶναι καὶ νηφαλίους. τί λέγεις; ἀγρυπνεῖ, κινδύνους ἔχει κατὰ τῆς αὐτοῦ κεφαλῆς, ὑπόκειται ταῖς τιμωρίαις τῶν σῶν ἁμαρτημάτων, καὶ διὰ σὲ τοσούτῳ ἐστὶν ὑποκείμενος φόβῳ, καὶ σὺ ῥαθυμεῖς, καὶ ἀκκίζῃ, καὶ βλάκαυσος εἶ, καὶ οὐ βούλει πείθεσθαι; διὰ τοῦτο προστίθησι λέγων, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. ὁρᾷς ὅτι τὸν ἄρχοντα καταφρονούμενον οὐκ ἀμύνεσθαι χρή; ἀλλ' ἡ πολλὴ ἄμυνα τὸ κλαῦσαι καὶ στενάξαι ἐστίν; εἰκότως. ἐπεὶ καὶ ἰατρὸν καταφρονούμενον ὑπὸ τοῦ κάμνοντος, οὐκ ἔνι ἀμύνασθαι, ἀλλὰ δακρῦσαι καὶ οἰμῶξαι. ὥστε ἐὰν στενάξῃ ὁ ἄρχων, ἀμυνεῖταί σε ὁ Θεός. εἰ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων στενάζοντες ἐπισπώμεθα τὸν Θεὸν· ὑπὲρ τῆς τῶν ἄλλων ἀπονοίας καὶ καταφρονήσεως στενάζοντες, οὐ πολλῷ μᾶλλον; ὁρᾷς ὅτι οὐκ ἀφίησιν αὐτοὺς εἰς ὕβρεις ἐξάγεσθαι; ὁρᾷς ὅση ἡ φιλοσοφία; στενάζειν δεῖ τὸν καταφρονούμενον, τὸν καταπατούμενον, τὸν διαπτυόμενον. μὴ θαρρήσῃς ὅτι σε οὐκ ἀμύνεται. ὁ γὰρ στεναγμὸς, πάσης ἀμύνης χείρων. ὅταν γὰρ αὐτὸς μηδὲν ἀνύσῃ, στενάζων καλεῖ τὸν δεσπότην. καὶ καθάπερ ἐπὶ διδασκάλου καὶ τροφέως, ὅταν ἐκείνου μὴ ἀκούῃ τὸ παιδίον, καλεῖται ὁ αὐστηρότερον προσφερόμενος· οὕτω δὲ ἐνταῦθα. βαβαὶ, πόσος ὁ κίνδυνος; τί δ' ἄν τις εἴποι πρὸς τοὺς ἀθλίους, τοὺς ἐπιρρίπτοντας ἑαυτοὺς τοσαύτῃ τιμωριῶν ἀβύσσῳ; πάντων ὧν ἄρχεις γυναικῶν καὶ ἀνδρῶν καὶ παίδων σὺ λόγον δίδως. τοσούτῳ πυρὶ τὴν κεφαλὴν ὑποτίθης. θαυμάζω εἴ τινά ἐστι τῶν ἀρχόντων σωθῆναί ποτε πρὸς τῇ τοσαύτῃ ἀπειλῇ καὶ τῇ παρούσῃ ῥαθυμίᾳ, ὁρῶν ἔτι [καὶ] ἐπιτρέχοντας [τινας,] καὶ ἐπιρρίπτοντας ἑαυτοὺς τῷ τοσούτῳ ὄγκῳ τῆς ἀρχῆς. εἰ γὰρ οἱ ἀνάγκῃ ἑλκόμενοι οὐδεμίαν ἔχουσι συγγνώμην, οὐδὲ ἀπολογίαν, κακῶς τὸ πρᾶγμα οἰκονομοῦντες, καὶ ἀμελοῦντες (ἐπεὶ καὶ Ἀαρὼν ἀνάγκῃ εἱλκύσθη, καὶ ἐκινδύνευσε, καὶ Μωϋσῆς πάλιν ἐκινδύνευσε, καίτοι πολλάκις παραιτησάμενος· καὶ Σαοὺλ ἑτέραν ἐμπιστευθεὶς ἀρχὴν, μετὰ τὸ παραιτήσασθαι ἐκινδύνευσεν, ἐπειδὴ κακῶς αὐτὴν ᾠκονόμησε) πόσῳ μᾶλλον οἱ σπουδὴν ταύτην τιθέμενοι, καὶ ἐπιρρίπτοντες ἑαυτούς; ὁ γὰρ τοιοῦτος, πολλῷ πλέον ἑαυτὸν ἀποστερεῖ πάσης συγγνώμης. δεδοικέναι γὰρ χρὴ καὶ τρέμειν, καὶ διὰ τὸ συνειδὸς, καὶ διὰ τὸν ὄγκον τῆς ἀρχῆς, καὶ οὔτε ἑλκομένους ἅπαξ παραιτεῖσθαι, οὔτε μὴ ἑλκομένους ἐπιρρίπτειν ἑαυτούς· ἀλλὰ καὶ φεύγειν μὲν προορῶντας τοῦ ἀξιώματος τὸ μέγεθος, καταληφθέντας δὲ, πάλιν τὴν εὐλάβειαν ἐπιδείκνυσθαι χρή. μηδὲν ἄμετρον ἔστω, πάντα κατὰ τάξιν γινέσθω. πρὸ τοῦ ληφθῆναι προαισθόμενος, ἀναχώρει, ποιῶν σαυτὸν ἀνάξιον εἶναι τοῦ πράγματος. συλληφθεὶς πάλιν, ὁμοίως εὐλαβὴς ἔσο, πανταχοῦ τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενος.

18 Προσεύχεσθε, [φησι, καὶ] περὶ ἡμῶν. πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι, καλῶς θέλοντες ἀναστρέφεσθαι. Ὁρᾷς ὅτι ταῦτα ἀπολελόγηται, ὡς πρὸς λελυπημένους πρὸς αὐτοὺς, γράφων, ὡς πρὸς ἀποστρεφομένους, ὡς πρὸς παραβάτην δια-

κειμένους,

κειμένοις, καὶ οὐκ ἀνεχομένοις οὐδὲ τὸ ὄνομα αὐτοῦ ἀκοῦσαι; ἐπεὶ οὖν παρὰ τῶν μισούντων αὐτὸν ταῦτα ἀπῄτει, ἅπερ [ἂν] παρὰ τῶν φιλούντων οἱ λοιποὶ πολλάκις, τούτου ἕνεκεν ἐνταῦθα τίθησι τοῦτο, λέγων, πεποίθαμεν ὅτι καλὴν συνείδησιν ἔχομεν. μὴ γάρ μοι τὰς κατηγορίας εἴπῃς. τὸ συνειδὸς ἡμῶν, φησὶν, οὐδὲν ἡμῶν καταγινώσκει· οὐδὲ συνίσμεν ἑαυτοῖς ὅτι ἐπεβουλεύσαμεν ὑμῖν. πεποίθαμεν γάρ, φησὶν, ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσιν. ἄρα οὐκ ἐν ἐθνικοῖς μόνον, ἀλλὰ καὶ ἐν ὑμῖν· οὐδὲν μετὰ καπηλείας, οὐδὲν μετὰ ὑποκρίσεως πεποιήκαμεν. εἰκὸς γὰρ ἦν αὐτὸν ταῦτα διαβάλλεσθαι. καὶ ὅτι διεβέβλητο, ἄκουε Ἰακώβου λέγοντος, Κατηχήθησαν γὰρ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις. οὐχ ὡς Πραξ. κα. κδ. ἐχθρός, φησὶν, οὐδὲ ὡς πολέμιος ταῦτα γράφω, ἀλλ' ὡς φίλος. καὶ τοῦτο καὶ ἐκ τοῦ ἑξῆς δηλοῖ.

19 Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

Τοῦτο σφόδρα φιλοῦντος ἦν αὐτοὺς, τὸ οὕτως ἀξιοῦν εὔχεσθαι. μὴ ἁπλῶς, φησὶν, ἀλλὰ μετὰ πάσης σπουδῆς· ὥστε με ταχέως ἐλθεῖν πρὸς ὑμᾶς. τοῦτο μηδὲν ἑαυτῷ συνειδότος ἐστὶ, τὸ σπουδάζειν ἐλθεῖν πρὸς αὐτοὺς, καὶ παρακαλεῖν αὐτοὺς εὔχεσθαι ὑπὲρ αὐτοῦ. τούτου ἕνεκεν πρότερον παρ' αὐτῶν αἰτήσας τὰς εὐχὰς, τότε καὶ αὐτὸς αὐτοῖς ἐπεύχεται πάντα τὰ ἀγαθά.

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, φησί. Τοῦτο εἶπε διὰ τὸ στασιάζειν αὐτούς. εἰ τοίνυν ὁ Θεὸς, εἰρήνης Θεός ἐστι· μὴ διαστασιάζετε πρὸς ἡμᾶς.

Ὁ ἀναγαγὼν ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων. Περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται. Τὸν μέγαν. Ἄλλη προσθήκη. ἐνταῦθα πάλιν * μέχρι τέλους τὸν περὶ τῆς ἀναστάσεως αὐτοῖς λόγον διαβεβαιοῦται. Ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,

21 Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ. Πάλιν μαρτυρεῖ αὐτοῖς μεγάλα. τὸ γὰρ καταρτιζόμενόν ἐστι τὸ ἀρχὴν ἔχον, * εἶτα πληρούμενον. καὶ ἐπεύχεται αὐτοῖς, ὅπερ ἐστὶ ποθοῦντος. καὶ ὅρα, ἐν μὲν ταῖς ἄλλαις ἐπιστολαῖς, ἐν τοῖς προοιμίοις εὔχεται· ἐνταῦθα δὲ ἐν τῷ τέλει.

Ποιῶν, φησὶν, ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως. καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. Ὁρᾷς ὅτι ὃ μηδενὶ ἐπέστειλε, τοῦτο τούτοις ἐπιστέλλει; καὶ γὰρ διὰ βραχέων, φησὶν, ἐπέστειλα· τουτέστιν, οὐδὲ ἐνοχλῶ ὑμᾶς τῇ μακρολογίᾳ. οἶμαι αὐτοὺς οὐ πάνυ πρὸς τὸν Τιμόθεον ἔχειν ἀπεχθῶς, ὅθεν καὶ αὐτὸν προεστήσατο.

23 Γινώσκετε γάρ, φησι, τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς. Ἀπολελυμένον, φησί, πόθεν; * οἶμαι αὐτὸν εἰς δεσμωτήριον ἐμβεβλῆσθαι· ἢ εἰ μὴ τοῦτο, ἀπὸ Ἀθηνῶν ἀπολελυμένον. καὶ γὰρ καὶ τοῦτο ἐν ταῖς πράξεσι κεῖται.

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. Ὁρᾷς πῶς δείκνυσι τὴν ἀρετὴν ὅτι ἐκ τοῦ Θεοῦ τὸ ὅλον, οὔτε ἐξ ἡμῶν μόνον κατορθουμένην; πῶς γὰρ εἰπὼν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, ὥστε ἔλεγεν, ἔχετε μὲν ἀρετὴν, δεῖσθε δὲ πληρώσεως. εἰπὼν δὲ ἔργῳ καὶ λόγῳ ἀγαθῷ, ἔδειξεν ὅτι καὶ βίον ὀρθὸν ἔχειν δεῖ, καὶ δόγματα. καλῶς δὲ προσέθηκε τό, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ. [ἐνώπιον αὐτοῦ, φησίν.] αὕτη γὰρ ἡ μεγίστη ἀρετή, ποιεῖν ἐνώπιον τοῦ Θεοῦ τὸ εὐάρεστον· καθὰ καὶ ὁ προφήτης

Ψαλ. ιζ. κδ. κζ. λέγει, Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. Τοσαῦτα δὲ γράψας, ὀλίγα αὐτὰ ἔφησεν εἶναι, σύγκρισιν ποιῶν πρὸς ἃ ἔμελλε λέγειν. Καθὰ καὶ ἀλλαχοῦ φησι, Καθὼς προέγραψα ἐν ὀλίγῳ· πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ. (Εφ. γ. γ.) Καὶ ὅρα αὐτοῦ τὴν σοφίαν. Οὐ λέγει, παρακαλῶ ὑμᾶς, ἀνέχεσθε τοῦ λόγου τῆς παραινέσεως, ἀλλὰ τοῦ λόγου τῆς παρακλήσεως· τουτέστι, τῆς παραμυθίας, τῆς προτροπῆς. Οὐκ ἔχει τις, φησι, πρὸς τὸ μῆκος ἀπαγορεῦσαι τῶν λεχθέντων. Τί οὖν; καὶ τοῦτο ἦν ὃ ἐποίει αὐτοὺς ἀποστρέφεσθαι; οὐδαμῶς. ἀλλ' οὐ βούλεται αὐτοῖς ἐνδείξασθαι, καὶ εἰπεῖν ὅτι ὀλιγόψυχοί ἐστε. τῶν γὰρ τοιούτων ἴδιον τὸ μὴ ἀνέχεσθαι λόγου μακροῦ. Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς. Τοῦτο ἱκανὸν αὐτοὺς πεῖσαι κατευφρανθῆναι, εἰ ἕτοιμός ἐστιν ἐλθεῖν μετὰ τοῦ μαθητοῦ. Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. Ὅρα πῶς αὐτοὺς ἐτίμησεν, εἴγε ἐκείνοις ἐπέστειλεν αὐτοὺς ἐκείνων. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. Ὅπερ ἦν κοινὸν ἁπάντων, τοῦτο ὕστερον εἶπεν. Ἡ χάρις δὲ πῶς ἔσται μεθ' ἡμῶν; ἂν μὴ ὑβρίσωμεν εἰς τὴν εὐεργεσίαν, ἂν μὴ ῥᾴθυμοι γενώμεθα περὶ τὴν δωρεάν. καὶ τί ἐστιν ἡ χάρις, φησίν; ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις. αὕτη γὰρ μεθ' ἡμῶν ἐστι. (χ. ἐπεὶ οὐ λέγει οὐκ ἔστιν οὐδεὶς ὑβριστικὸς δύναται) Τίς γάρ, φησιν, ὑβριστικῶς δύναται φυλάξαι τὴν χάριν, καὶ οὐκ ἀπόλλυσιν αὐτήν; ὁ δεῖνα, ἐχαρίσατό σοι τὰ ἁμαρτήματα. πῶς οὖν ἔσται μετὰ σοῦ ἡ χάρις (τουτέστιν, ἡ εὐδοκίμησις, ἢ ἡ τοῦ πνεύματος ἐνέργεια) ἂν μὴ διὰ τῶν ἀγαθῶν πράξεων αὐτὴν ἐπισπάσῃ; τοῦτο γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν, τὸ παραμένειν ἡμῖν ἀεὶ τὴν χάριν τοῦ πνεύματος. αὕτη [γὰρ] πρὸς ἅπαντα ἡμᾶς ὁδηγεῖ· ὥσπερ οὖν ὅταν ἀποστῇ ἡμῶν, ἀπόλλυσιν ἡμᾶς, καὶ ἐρήμους ποιεῖ.

ΗΘΙΚΟΝ

Μὴ δὴ αὐτὴν ἀποκρουσώμεθα. ἐν ἡμῖν γάρ ἐστι καὶ μένειν αὐτὴν, καὶ ἀπελθεῖν. τὸ μὲν γὰρ, ὅταν τὰ οὐράνια λογιζώμεθα, γίνεται· τὸ δὲ, ὅταν τὰ βιωτικά. (Ιωαν. ιδ. ιζ.) Ὁ κόσμος, φησὶν, οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό. κόσμον τὸν πονηρὸν καὶ αἰσχρὸν βίον καλεῖ. ὁρᾷς ὅτι οὐκ ἔστι κοσμικῆς ψυχῆς τὸ ἔχειν αὐτό; πολλῆς τοίνυν ἡμῖν δεῖ τῆς σπουδῆς, ὥστε αὐτὸ κατασχεθῆναι παρ' ἡμῶν, ὥστε πάντα τὰ ἡμέτερα οἰκονομεῖν, καὶ ἐν ἀσφαλείᾳ ποιεῖν, καὶ ἐν εἰρήνῃ πολλῇ. ὥσπερ γὰρ τὴν ἐξ οὐρίων πλέουσαν ναῦν οὐκ ἔστιν οὔτε ἐμποδισθῆναι, οὔτε βαπτισθῆναι, ἕως ἂν ἀπολαύῃ δεξιοῦ τοῦ πνεύματος καὶ διηνεκοῦς, ἀλλὰ [καὶ] πολλὴν μετὰ τὴν κάθοδον, ἐπιδόσεως δόξαν παρέχεται τοῖς τε ναύταις, τοῖς τε ἐπιβάταις, τοὺς μὲν διαναπαύουσα, καὶ οὐκ ἐῶσα ταῖς κώπαις προσταλαιπωρεῖν, τοὺς δὲ πάντως ἀπαλλάττουσα δέους, καὶ θέαμα ἥδιστον τὸν αὐτῆς παρέχουσα δρόμον· οὕτω καὶ ψυχὴ τῷ θείῳ ὀχυρωθεῖσα πνεύματι, πάντων ἀνωτέρα ἐστὶ τῶν τρικυμιῶν τῶν βιωτικῶν, τὴν δὲ ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδὸν σφοδρότερον ἐκείνης τέμνει τῆς νεὼς, ἅτε οὐχ ὑπὸ ἀνέμου παραπεμπομένη, ἀλλ' ὑπὸ αὐτοῦ τοῦ παρακλήτου πεπληρωμένα ἔχουσα τὰ ἱστία πάντα, καὶ καθαιρεῖ καὶ πᾶν χαῦνον καὶ διαλελυμένον ἐκβάλλει ἐκ τῆς διανοίας τῆς ἡμετέρας. ὥσπερ γὰρ εἰς χαῦνον ἱστίον ἐμπίπτων ὁ ἄνεμος οὐκ ἂν ἐνεργήσειεν· οὕτως οὐδὲ τὸ πνεῦμα εἰς χαύνην ψυχὴν παραμένειν ἀνέχεται, ἀλλὰ δεῖ πολλῆς τῆς τάσεως, τῆς σφοδρότητος. ὥστε πεπυρωμένην ἡμῖν εἶναι χρὴ τὴν διάνοιαν, καὶ πανταχοῦ τετάσθαι ἡμῶν τὰ ἔργα, καὶ τετονῶσθαι. οἷον, ὅταν εὐχώμεθα, μετὰ πολλῆς τοῦτο τῆς τάσεως δεῖ ποιεῖν, ἀποτείνοντας πρὸς τὸν οὐρανὸν τὴν ψυχὴν, οὐ σχοινίοις, ἀλλὰ προθυμίᾳ σφοδρᾷ. ὅταν ἐλεῶμεν πάλιν, τάσεως ἡμῖν δεῖ, μήποτε φροντὶς οἰκίας, καὶ πραγματεία παίδων, καὶ γυναικὸς ἐπιμέλεια, καὶ δέος πενίας ἐπεισελθὸν χαυνώσῃ τὸ ἱστίον. ἂν γὰρ τῇ τῶν μελλόντων ἐλπίδι τείνωμεν αὐτὸ πάντοθεν, καλῶς ὑποδέχεται τοῦ πνεύματος τὴν ἐνέργειαν· ἐκείνων δὲ τῶν ἐπικήρων καὶ ταλαιπώρων οὐδὲν εἰς αὐτὴν ἐμπεσεῖται, ἀλλὰ κἂν ἐμπέσῃ, αὐτὴν μὲν οὐδὲν ἔβλαψεν, ἀπεκρούσθη δὲ ταχέως πα-

γεγονώς,

στεγόμενα, καὶ οὐκ ἐξέπεσεν ἀποναυαγεῖν. διὰ τοῦτο τοίνυν πολλῆς ἡμῖν δεῖ τῆς πίστεως. καὶ γὰρ καὶ ἡμεῖς θάλατταν πλέομεν μεγάλην καὶ εὐρύχωρον, πολλῶν μὲν θηρίων γέμουσαν, πολλῶν δὲ σκοπέλων, πολλοὺς δὲ ἡμῖν χειμῶνας τίκτουσαν, καὶ ἐξ αἰθρίας μέσης χαλεπωτάτην ζάλην ἐπεγείρουσαν. δεῖ τοίνυν, εἴγε βουλοίμεθα μετ' εὐμαρείας πλεῖν καὶ ἀκινδύνως, τείνειν τὰ ἱστία, τουτέστι, τὴν προαίρεσιν τὴν ἡμετέραν. ἀρκεῖ γὰρ ἡμῖν τοῦτο. ἐπεὶ καὶ ὁ Ἀβραάμ, ἐπειδὴ τὸν πόθον ἔτεινε πρὸς τὸν Θεόν, καὶ τὴν προαίρεσιν παρέστησεν ἀπηρτισμένην, τίνος ἑτέρου ἐδεήθη; οὐδενός. Ἀλλ' ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἡ δὲ πίστις, Γεν. ιε. ς. προαιρέσεως γνησίας ἐστίν. ἀνήνεγκε τὸν υἱὸν καὶ μὴ σφάξας, τὴν τοῦ "σφάξαντος ἀμοιβὴν ἐδέξατο, καὶ τοῦ ἔργου μὴ γενομένου ὁ μισθὸς ἐδίδοτο. ἔστω τοίνυν ἡμῖν καθαρὰ καὶ "καινὰ τὰ ἱστία, μὴ πεπαλαιωμένα (πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ) μὴ Εβρ. η. ιγ. "ἐκτετριμμένα, ὥστε στέγειν τοῦ πνεύματος τὴν ἐνέργειαν. ψυχικὸς γὰρ ἄνθρωπος, φησιν, οὐ δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ τὰ τῶν "ἀραχνῶν ὑφάσματα πνεύματος ῥύμην οὐκ ἂν δέξαιτο· οὕτως οὐδὲ ψυχὴ βιωτική, οὐδὲ ἄνθρωπος ψυχικὸς πνεύματος χάριν δέξασθαι δυνήσεταί ποτε. ἐκείνων γὰρ οὐδὲν διεστήκασιν "ἡμῶν οἱ λογισμοί, ἐπειδὴ μὲν μόνον ἀκολουθίαν σώζοντες, δυνάμεως δὲ ἀπεστερημένοι πάσης. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἐὰν νήφωμεν· ἀλλ' ὅπερ ἂν ἐμπέσῃ, πάντα στέγει, καὶ πάντων ἐστὶν ἀνώτερος, πάσης "ἴλιγγος ἰσχυρότερος. ἔστω γάρ τις πνευματικὸς ἀνήρ, καὶ μυρία αὐτῷ συμπιπτέτω δεινά· [ἀλλ'] οὐδενὶ τούτων ἁλίσκεται). [καὶ] τί λέγω; ἐπαγέσθω πενία, νόσος, ὕβρεις, λοιδορίαι, σκώμματα, πληγαί, πᾶν εἶδος κολάσεως, πᾶν εἶδος χλευασίας, καὶ ὀνειδισμῶν, καὶ ὕβρεων· ἀλλ' ὥσπερ ἐκτὸς ὢν τῆς οἰκουμένης, καὶ τῶν τοῦ σώματος ἀπηλλαγμένος παθῶν, οὕτως ἁπάντων καταγελάσεται. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, πολλοὺς μὲν οἶμαι εἶναι καὶ νῦν τῶν τὰς ἐρημίας κατειληφότων. ἀλλ' οὐδὲν θαυμαστόν, φησιν. ἐγὼ δὲ λέγω, καὶ τῶν ἐν ταῖς πόλεσιν ἀνυπονοήτους ἄνδρας εἶναι τοιούτους. εἰ δὲ βούλει, καὶ τῶν πάλαι τινὰς ἐπιδεῖξαι δυνήσομαι. καὶ ἵνα μάθῃς, ἐννόει μοι τὸν Παῦλον· τί μὲν οὐκ ἔπαθε δεινόν, τί δὲ οὐχ ὑπέστη; ἀλλὰ πάντα ἔφερε γενναίως. τοῦτον δὴ μιμησώμεθα καὶ ἡμεῖς· οὕτω γὰρ δυνησόμεθα καὶ ἐνώπιον τοῦ Θεοῦ εὐαρεστῆσαι, καὶ πρὸς τοὺς λιμένας καταχθῆναι τοὺς εὐδίους μετὰ πολλῆς τῆς "ἐμπορίας. τείνωμεν τοίνυν τὴν διάνοιαν ἡμῶν πρὸς τὸν οὐρανόν, τῷ πόθῳ κατασχεθῶμεν ἐκείνῳ, τῷ πυρὶ περιβάλωμεν ἑαυτοὺς τῷ πνευματικῷ, τῇ φλογὶ "διαζώσωμεν ἑαυτούς. οὐδεὶς φλόγα ἐπιφερόμενος δέδοικε τοὺς "ἀπαντῶντας. κἂν θηρίον ᾖ, κἂν ἄνθρωπος, κἂν μυρίαι παγίδες, ἕως πεπυρωμένος "ᾖ, πάντα ὑπεξίσταται, πάντα παραχωρεῖ. ἀνύποιστος ἡ φλόξ, ἀφόρητος ἡ πυρά, πάντα καταναλίσκει. τοῦτο τὸ πῦρ περιβαλώμεθα ἑαυτοῖς, "καὶ δόξαν ἀναπέμψωμεν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(***)

χ. στεγνότατος
χ. ὑγιῆ
χ. ἐκπεπταμένα
χ. ἀραχνίων
χ. αἱ τῶν
χ. πληγῆς
χ. μὴν ἔχω δεῖξαι καὶ νῦν
χ. περιστασίας
χ. διασώζωμεν
χ. ἀπαντῶντας
χ. ᾖ
χ. δόξαν τὴν ἀπαύστως ἀναπέμψωμεν

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὰς πράξεις τῶν* ἀποστόλων.

Λογ. α. 1 ΤΟΝ ΜΕΝ ΠΡΩΤΟΝ ΛΟΓΟΝ ΕΠΟΙΗΣΑ- κεφ. α.
μην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,
2 Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς
ἐξελέξατο, ἀνελήφθη.

Πολλοῖς τουτὶ τὸ βιβλίον οὐδ' ὅτι ἔστι γνώριμόν ἐστιν, οὔτε αὐτὸ, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. διὰ τοῦτο μάλιστα εἰς ταύτην ἐμαυτὸν καθῆκα τὴν πραγματείαν, ὥστε καὶ τοὺς ἀγνοοῦντας ἐπισπάσασθαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καὶ ἀποκρύπτεσθαι θησαυρόν. οὐδὲ γὰρ ἔλαττον αὐτὸ τῶν εὐαγγελίων ὠφελῆσαι ἡμᾶς δυνήσεται. τοσαύτης ἐμπέπλησται φιλοσοφίας καὶ δογμάτων ὀρθότητος, καὶ μάλιστα τῶν περὶ τοῦ πνεύματος εἰρημένων. μὴ δὴ λοιπὸν παρατρέχωμεν αὐτὸ, ἀλλὰ μετ' ἀκριβείας ἐξετάζωμεν. καὶ γὰρ τὰς προρρήσεις, ἃς ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς προαναφωνεῖ, ταύτας εἰς ἔργον ἐξελθούσας ἐνταῦθά ἐστιν ἰδεῖν, καὶ αὐτὴν τὴν τῶν πραγμάτων διαλάμπουσαν τὴν ἀλήθειαν, καὶ πολλὴν τῶν μαθητῶν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν τὴν ἀπὸ τοῦ πνεύματος αὐτοῖς ἐγγινομένην. καὶ γὰρ ἅπερ ἤκουσαν τοῦ Χριστοῦ λέγοντος, ὅτι Πᾶς ὁ πιστεύων εἰς ἐμὲ, τὰ σημεῖα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα (Ιωαν. ιδ. ιβ.) τούτων ποιήσει· καὶ προλέγοντος τοῖς μαθηταῖς, ὅτι Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται, καὶ (Ματθ. ι. ιη.) ὅτι Ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν αὐτοὺς, καὶ τὰ ἀνήκεστα πείσονται, καὶ ὅτι περιέσονται (Ματθ. κδ. ιδ.) πάντων, καὶ ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ, ταῦτα πάντα μετ' ἀκριβείας ἐκβεβηκότα ἐν τῷ βιβλίῳ τούτῳ ἐστὶν ἰδεῖν, καὶ πλείονα τούτων ἕτερα, ἅπερ εἴρηκεν αὐτοῖς συνών. ὄψει δὲ καὶ αὐτοὺς τοὺς ἀποστόλους ἐνταῦθα, καθάπερ πτηνοὺς, διατρέχοντας γῆν καὶ θάλατταν, καὶ τοὺς δειλοὺς ἐκείνους καὶ ἀσυνέτους ἀθρόον ἄλλους ἀντ' ἄλλων γενομένους, καὶ χρημάτων ὑπερόπτας, καὶ δόξης, καὶ θυμοῦ, καὶ ἐπιθυμίας, καὶ πάντων ἁπλῶς ἀνωτέρους γεγονότας, καὶ πολλὴν τὴν ὁμόνοιαν ἔχοντας, καὶ οὐδαμοῦ τὴν [illegible] βασκανίαν, ὡς ἔμπροσθεν, οὐδὲ τὸν περὶ πρωτείων ἔρωτα· ἀλλὰ πᾶσαν ἀπηκριβωμένην ἐν αὐτοῖς τὴν ἀρετὴν καὶ τὴν ἀγάπην μεθ' ὑπερβολῆς διαλάμπουσαν, ὑπὲρ ἧς καὶ πολλὰ παρήγγειλεν

Ιωαν. ιγ. λε. παρήγγειλεν αὐτοῖς λέγων· ὅτι Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶ-
τε ἀλλήλους. ἔστι δὲ καὶ δόγματα ἐνταῦθα εὑρεῖν, ἅπερ, εἰ μὴ τοῦτο ἦν τὸ βιβλίον, οὐδ᾽ ἂν
[σαφῶς] οὕτω γνώριμα ἐγένοντο· ἀλλὰ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἀπεκρύπτετο καὶ
ἄδηλον ἦν καὶ βίου καὶ δογμάτων ἕνεκεν. τὸ δὲ πλέον τῶν ἐνταῦθα ἐγκειμένων, Παύλου
πράξεις εἰσί, τοῦ περισσότερον πάντων κοπιάσαντος. καὶ τὸ αἴτιον, ὅτι αὐτοῦ φοιτητὴς ἦν
α. Κορ. ιε. ι. ὁ τὸ βιβλίον τοῦτο συνθεὶς Λουκᾶς ὁ μακάριος· οὗ τὴν ἀρετὴν πολλαχόθεν μὲν καὶ ἀλλαχόθεν
ἐστὶν ἰδεῖν, μάλιστα δὲ ἐκ τοῦ πρὸς τὸν διδάσκαλον ἀδιασπάστως ἔχειν, καὶ διαπαντὸς αὐτῷ
παρακολουθεῖν. ὅτε γοῦν Δημᾶς καὶ Ἑρμογένης αὐτὸν ἐγκατέλιπον, ὁ μὲν εἰς Γαλατίαν, ὁ
β. Τιμ. δ. ια. δὲ εἰς Δαλματίαν ἀπελθών, ἄκουσον τί φησι περὶ τούτου· Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. καὶ
β. Κορ. η. ιη. Κορινθίοις δὲ ἐπιστέλλων περὶ αὐτοῦ· φησιν· Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκ-
α. Κορ. ιε. ε. α. κλησιῶν. καὶ ὅταν λέγῃ, ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· καὶ, Κατὰ τὸ εὐαγγέλιον ὃ
παρελάβετε, τὸ τούτου λέγει. ὥστε οὐκ ἄν τις ἁμάρτοι τὴν πραγματείαν ταύτην αὐτῷ ἀ-
ναθείς. ὅταν δὲ εἴπω, τούτῳ, τῷ Χριστῷ λέγω. εἰ δέ τις λέγοι, καὶ τί δήποτε, οὐχὶ πάν-
τα συνέγραψε, μέχρι τέλους ὢν μετ᾽ αὐτοῦ; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ ταῦτα ἀρκοῦντα ἦν
τοῖς βουλομένοις προσέχειν, καὶ ὅτι πρὸς τὰ κατεπείγοντα ἀεὶ ἵσταντο, καὶ ὅτι οὐκ ἐν τῷ λογο-
γραφεῖν ἦν αὐτοῖς ἡ σπουδή. πολλὰ γὰρ καὶ ἀγράφῳ παραδόσει δεδώκασι. καὶ πάντα
μὲν οὖν ἄξια θαύματος τὰ ἐν τῷ βιβλίῳ τούτῳ κείμενα· μάλιστα δὲ, τῶν ἀποστόλων ἡ συγ-
κατάβασις, ἣν καὶ τὸ πνεῦμα αὐτοῖς ὑπέβαλε, παρασκευάζον αὐτοὺς τῷ τῆς οἰκονομίας
ἐνδιατρίβειν λόγῳ. διὰ δὴ τοῦτο τοσαῦτα περὶ Χριστοῦ διαλεχθέντες, ὀλίγα μὲν περὶ τῆς
θεότητος αὐτοῦ εἰρήκασι· τὰ δὲ πλείονα περὶ τῆς ἀνθρωπότητος διελέγοντο καὶ τοῦ πάθους καὶ
τῆς ἀναστάσεως καὶ τῆς ἀναβάσεως. τὸ γὰρ ζητούμενον τέως τοῦτο ἦν, τὸ πιστευθῆναι, ὅτι
ἀνέστη καὶ ἀνέβη εἰς οὐρανούς. ὥσπερ οὖν αὐτὸς ὁ Χριστὸς μάλιστα πάντων ἐσπούδαζε δεῖξαι,
ὅτι παρὰ τοῦ πατρὸς ἥκει· οὕτω καὶ οὗτος, ὅτι ἀνέστη καὶ ἀνελήφθη, καὶ πρὸς αὐτὸν ἀπῆλθε, καὶ
παρ᾽ αὐτοῦ ἀφῖκτο. εἰ γὰρ μὴ τοῦτο ἐπιστεύθη πρότερον, πολλῷ μᾶλλον τῆς προσθήκης
γενομένης τῆς κατὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν, ἄπιστον ἅπαν τὸ δόγμα τοῖς Ἰουδαίοις ἔ-
δοξεν εἶναι. διὸ ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα ἀνάγει. ἐν δὲ Ἀθήναις καὶ ἀν-
Πραξ. ιζ. λα. θρωπον αὐτὸν ἁπλῶς καλεῖ ὁ Παῦλος οὐδὲν πλέον εἰπὼν εἰκότως. εἰ γὰρ αὐτὸν τὸν
Ιωαν. η. νθ. Χριστὸν διαλεγόμενον περὶ τῆς εἰς τὸν πατέρα ἰσότητος λιθάσαι πολλάκις ἐπεχείρησαν, καὶ
βλάσφημον διὰ τοῦτο ἐκάλουν, σχολῇ γ᾽ ἂν παρὰ τῶν ἁλιέων τοῦτον τὸν λόγον ἐδέξαντο,
καὶ ταῦτα τοῦ σταυροῦ προχωρήσαντος. καὶ τί δεῖ λέγειν τοὺς Ἰουδαίους, ὅπουγε καὶ αὐτοὶ
πολλάκις οἱ μαθηταὶ τῶν ὑψηλοτέρων ἀκούοντες δογμάτων, ἐθορυβοῦντο καὶ ἐσκανδαλί-
ζοντο; διὰ τοῦτο καὶ ἔλεγε· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι. εἰ
Ιωαν. ιϛ. ιβ. δὲ ἐκεῖνοι οὐκ ἐδύναντο, οἱ συγγενόμενοι χρόνον τοσοῦτον αὐτῷ, καὶ τοσούτων κοινωνήσαντες ἀπορ-
ρήτων, καὶ τοσαῦτα θεασάμενοι θαύματα, πῶς ἂν ἄνθρωποι ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ θυσι-
ῶν καὶ αἰλούρων καὶ κροκοδείλων (τοιαῦτα γὰρ ἦν τῶν Ἑλλήνων τὰ σεβάσματα) καὶ τῶν ἄλ-
λων τῶν κακῶν τότε πρῶτον ἀποσπασθέντες, ἀθρόον τοὺς ὑψηλοὺς τῶν δογμάτων ἐδέξαν-
το λόγους; πῶς δὲ ἂν καὶ Ἰουδαῖοι οἱ καθ᾽ ἑκάστην ἡμέραν ἀκούοντες καὶ ἐνηχούμενοι
Δευτ. ϛ. δ. ὑπὸ τοῦ νόμου· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος, ἐν
τῷ σταυρῷ ἰδόντες προσηλωμένον αὐτὸν, μᾶλλον δὲ καὶ σταυρώσαντες καὶ θάψαντες, καὶ οὐδὲ
ἀναστάντα θεασάμενοι· ἀκούοντες ὅτι Θεός ἐστιν αὐτὸς οὗτος, καὶ τῷ πατρὶ ἴσος, οὐκ ἂν μά-
λιστα πάντων ἀπεπήδησάν τε καὶ ἀπερράγησαν; διά τοι τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς προσ-
βιβάζουσι· καὶ πολλῇ μὲν κέχρηνται τῇ τῆς συγκαταβάσεως οἰκονομίᾳ, δαψιλεστέρας δὲ
ἀπολαύουσι τῆς τοῦ πνεύματος χάριτος, καὶ μείζονα ὧν αὐτὸς πεποίηκεν, ἐργάζονται τῷ αὐτοῦ
ὀνόματι, ἵνα ἑκατέρωθεν αὐτοὺς χαμαὶ κειμένους ἀναστήσωσι, καὶ τὸ περὶ τῆς ἀναστάσεως πιστώ-

σωνται

σονται λόγον. καὶ γὰρ τοῦτο μάλιστά ἐστι τουτὶ τὸ βιβλίον, ἀναστάσεως ἀπόδειξις. τούτου γὰρ πιστευθέντος, ὁδῷ καὶ τὰ ἄλλα προσεύβαινεν. ἡ μὲν οὖν ὑπόθεσις καὶ ὁ τοῦ βιβλίου σκοπὸς ἅπας, ὡς ἄν τις παχυμερῶς συλλαβὼν εἴποι, τοῦτο μάλιστά ἐστιν. ἀκούσωμεν δὲ λοιπὸν αὐτῶν τῶν προοιμίων.

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. κεφ. α. Τίνος ἕνεκεν αὐτὸν ἀναμιμνήσκει τοῦ εὐαγγελίου; ὥστε τὴν οἰκείαν ἀκρίβειαν ἐνδείξασθαι. καὶ γὰρ ἀρχόμενος τῆς πραγματείας ἐκείνης φησίν· Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι. Λουκ. α. γ. καὶ οὔτε τῇ οἰκείᾳ ἀρκεῖται μαρτυρίᾳ μόνον, ἀλλὰ καὶ ἀνάγει ἐπὶ τοὺς ἀποστόλους τὸ πᾶν, λέγων· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. διὸ τὸν λόγον ἀξιόπιστον ἐκεῖ ποιήσας, οὐδὲ δεῖται ἐνταῦθα ἑτέρας βεβαιώσεως, ἅπαξ αὐτοῦ πιστευθέντος, καὶ δι' ἐκείνου τὸ ἀκριβὲς αὐτὸν τῆς ἀληθείας κατηχήσας. ὁ γὰρ, ἅπερ ἤκουσεν, ἀξιόπιστος γενόμενος γράψαι, καὶ πιστευθεὶς, πολλῷ μᾶλλον ταῦτα συνθεὶς, ἃ μὴ παρ' ἑτέρων παρειλήφει, ἀλλ' ἃ εἶδε καὶ ἤκουσε, πιστευθῆναι δίκαιος ἂν εἴη. Εἰ γὰρ τὰ τοῦ Χριστοῦ ἐδέξω, [φησὶ,] πολλῷ μᾶλλον τὰ τῶν ἀποστόλων. τί οὖν ἐκεῖ; ἱστορία μόνον τὸ πρᾶγμά ἐστι, καὶ πνεύματος ἀμοιρος ὁ λόγος; οὐδαμῶς. πῶς; ὅτι ἅπερ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου αὐτῷ παρέδοσαν, τοῦ πνεύματος ἦσαν. καὶ διατί μὴ εἶπεν, ὅτι καθὼς παρέδοσαν ἡμῖν οἱ πνεύματος ἁγίου καταξιωθέντες, ἀλλ' οἱ [ἀπ' ἀρχῆς] αὐτόπται γενόμενοι; ὅτι τοῦτο μάλιστα εἰς πίστιν ἐστὶν ἀξιόπιστον, τὸ παρὰ αὐτοπτῶν μαθεῖν· ἐκεῖνο δὲ καὶ ἀλαζονεία καὶ τῦφος ἂν ἔδοξε τοῖς ἀνοήτοις. διὸ καὶ Ἰωάννης οὕτως ἔλεγεν· Ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. Ιωαν. α. λδ. καὶ ὁ Χριστὸς δὲ οὕτω διαλέγεται τῷ Νικοδήμῳ παχυτέρῳ ὄντι· Ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβάνει. Ιωαν. γ. ια. καὶ πάλιν δεικνὺς ὅτι πολλὰ καὶ ἀπὸ ὄψεως μαρτυρεῖν ἐστι, τοῖς μαθηταῖς ἔλεγε· Καὶ ὑμεῖς μαρτυρεῖτε περὶ ἐμοῦ, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ιωαν. ιε κζ. καὶ αὐτοὶ οἱ ἀπόστολοι πολλαχοῦ οὕτω φασί· Μάρτυρες ἡμεῖς, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Πραξ. β. λβ. καὶ μετὰ ταῦτα [δὲ] πιστούμενος τὴν ἀνάστασιν ὁ Πέτρος ἔλεγεν· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. Πραξ. ι. μα. τάχιον γὰρ τὴν παρὰ τῶν συγγενομένων ἀνθρώπων μαρτυρίαν ἐδέχοντο, διὰ τὸ τῆς περὶ τοῦ πνεύματος ἐννοίας σφόδρα πόρρω ἀπεῖναι. διὰ τοῦτο καὶ Ἰωάννης ἐν τῷ εὐαγγελίῳ ἔλεγεν, ὅτι αὐτὸς εἶδε, περὶ τοῦ αἵματος καὶ τοῦ ὕδατος διαλεγόμενος, τὴν ὄψιν αὐτοῖς ἀντὶ μαρτυρίας τιθεὶς μεγίστης· Ιωαν. ιθ. λε. καίτοι ὄψεως ἀκριβέστερα τὰ παρὰ τοῦ πνεύματος, ἀλλ' οὐ παρὰ τοῖς ἀπίστοις. ἐπεὶ ὅτι πνεύματος μετεῖχεν ὁ ἀνὴρ, πολλαχόθεν δῆλον, ἀπό τε τῶν σημείων τῶν γενομένων, ἀπό τε τοῦ καὶ τοὺς τυχόντας τότε μεταλαμβάνειν πνεύματος, ἀπό τε τῆς Παύλου μαρτυρίας (Οὗ γὰρ, φησιν, ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ) ἀπό τε τῆς χειροτονίας τῆς ψήφου. εἰπὼν γὰρ τοῦτο, ἐπάγει· Ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν, συνέκδημος ἡμῶν ἐν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. β. Κορ. η. ιη. καὶ ὅρα αὐτοῦ τὸ ἄτυφον. οὐ γὰρ λέγει, τὸ μὲν πρῶτον εὐαγγέλιον, ὃ εὐηγγελισάμην· ἀλλὰ, τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, μείζονα ἑαυτοῦ τοῦτον νομίζων τοῦ εὐαγγελίου τὴν προσηγορίαν. καίτοιγε ὁ ἀπόστολος ἐντεῦθεν αὐτὸν κοσμεῖ λέγων· Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. ἀλλ' αὐτὸς μετριάζει, καί φησι· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν· οὐχ ἁπλῶς, περὶ πάντων, ἀλλ' ἀπ' ἀρχῆς μέχρι τέλους. Ἄχρι γὰρ τῆς ἡμέρας, φησὶν, ἧς ἀνελήφθη. καὶ μὴν Ἰωάννης δείκνυσιν, ὅτι οὐκ ἦν δυνατὸν πάντα γράψαι. Εἰ γὰρ ἐγράφη, οὐδὲ ἂν τὸν κόσμον οἶμαι, φησι, χωρῆσαι τὰ γραφόμενα βιβλία. Ιωαν κα. κε. πῶς οὖν φησι περὶ πάντων αὐτός; οὐκ εἶπε, πάντα, ἀλλὰ, περὶ πάντων· ὡς ἂν εἴποι τις, ἁδρομερῶς καὶ παχυμερῶς· ἢ, περὶ πάντων, λέγει, τῶν συνεχόντων καὶ κατεπειγόντων. Εἶτα δείκνυσι καὶ ποίων πάντων, ὧν

ἤρξατο

ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, τὰ θαύματα καὶ τὰς διδασκαλίας αἰνιττόμενος. οὐ τοῦτο δὲ
μόνον, ἀλλ' ὅτι καὶ ποιῶν ἐδίδασκεν. ὅρα δὲ αὐτοῦ καὶ τὴν φιλάνθρωπον καὶ ἀποστολικὴν γνώ-
μην, εἰ καὶ ἑνὸς ἕνεκεν τοσαύτην ἐποιεῖτο ἀκρίβειαν, ὡς ὁλόκληρον εὐαγγέλιον γράψαι.
Λουκ. α. δ. Ἵνα γὰρ ἔχῃς, φησὶ, περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. καὶ γὰρ ἤκουσε τοῦ Χριστοῦ
λέγοντος· Οὐκ ἔστι θέλημα τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. καὶ τίνος
Ματθ. ιη. ιδ. ἕνεκεν οὐχ ἓν βιβλίον ἐποίησεν ἑνὶ τῷ Θεοφίλῳ ἐπιστέλλων, ἀλλ' εἰς δύο διεῖλεν ὑποθέσεις;
σαφηνείας ἕνεκεν καὶ τοῦ διαναπαῦσαι τὸν ἀκροατήν· ἄλλως δὲ, καὶ τῇ ὑποθέσει διῃρη-
μέναι εἰσὶν αἱ πραγματεῖαι. σκόπει δὲ ὅπως ἑαυτοῦ τοὺς λόγους ὁ Χριστὸς διὰ τῶν ἔργων
Ματθ. ια. κη. ἀξιοπίστους ἐποίει. περὶ πραότητος παρῄνει, καὶ ἔλεγε· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι
Ματθ. η. κ. καὶ ταπεινὸς τῇ καρδίᾳ. ἐδίδασκεν ἀκτήμονας εἶναι, καὶ τοῦτο ἐδείκνυτο διὰ τῶν ἔργων. Ὁ γὰρ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ, φησί. πάλιν, ἐκέλευσε τοὺς ἐχθροὺς ἀ-
Ματθ. ε. μδ. γαπᾷν. ἐδίδαξε τοῦτο ἐπὶ τοῦ σταυροῦ εὐχόμενος ὑπὲρ τῶν σταυρωσάντων. ἔλεγε, Τῷ θέ-
Λουκ. κγ. λδ. λοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. ὁ δὲ, οὐχὶ τὰ ἱμάτια
Ματθ. ε. μ. μόνον, ἀλλὰ καὶ τὸ αἷμα ἔδωκεν. οὕτω καὶ * τοῖς μαθηταῖς ἐκέλευσε ποιεῖν. διὸ καὶ ὁ Παῦλος * γ. τοῖς ἐθν.
Φιλ. γ. ιζ. ἔλεγε· Καθὼς ἔχετε τύπον ἡμᾶς. οὐδὲν γὰρ διδασκάλου ψυχρότερον ἐν λόγοις φιλοσο- καὶ ἐπὶ δια-
φοῦντος μόνον. τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ. διὰ τοῦτο οἱ ἀπόστολοι πρό- δόχων.
τερον ἀπὸ τοῦ βίου ἐδίδασκον, καὶ τότε ἀπὸ τῶν ῥημάτων· μᾶλλον δὲ οὐδὲ ἔδει ῥημάτων αὐ-
τοῖς, τῶν ἔργων βοώντων. οὐκ ἂν δέ τις ἁμάρτοι, καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν καλέσας. ἐν
τῷ γὰρ * παθεῖν, ἐποίησε τὸ μέγα καὶ θαυμαστὸν ἔργον ἐκεῖνο, τὸν θάνατον καταλύσας, καὶ τὰ * παθ.
ἄλλα πάντα ἐργασάμενος. Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύ-
ματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Διὰ πνεύματος ἐντειλάμενος· τουτέστι,
πνευματικὰ πρὸς αὐτοὺς εἰπὼν ῥήματα, οὐδὲν ἀνθρώπινον. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ
ὅτι διὰ πνεύματος αὐτοῖς ἐνετείλατο. ὁρᾷς πῶς ταπεινῶς ἔτι διαλέγεται περὶ αὐτοῦ, ὡς
Ματθ. ιβ. κη. καὶ αὐτὸς περὶ ἑαυτοῦ λέγων, Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια; καὶ γὰρ καὶ τὸ
Ματθ. κη. ιθ. πνεῦμα τὸ ἅγιον ἐνήργει ἐν ἐκείνῳ τῷ ναῷ. τί δαὶ ἐνετείλατο; Πορευθέντες μαθητεύσατε
πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος,
διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. μέγα τῶν ἀποστόλων τὸ ἐγκώμι-
ον, ὅτι μὴ τοιαῦτα ὥσπερ ἐγκεχειρισμένοι· τῆς οἰκουμένης λέγω τὴν σωτηρίαν, * ῥήματα τοῦ * ἦν
πνεύματος γέμοντα. ὃ δὴ καὶ αἰνιττόμενος εἶπε, τὸ διὰ πνεύματος ἁγίου· τουτέστι, καὶ τὰ
Ἰωάν. ς. ξγ. ῥήματα, ἃ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστι. τοῦτο δέ φησι, τὸν ἀκροατὴν εἰς ἐπιθυμίαν λοι-
πὸν ἄγων τοῦ μαθεῖν τὰς ἐντολὰς, καὶ ἀξιοπίστους τοὺς ἀποστόλους ποιῶν, εἴγε τὰ τοῦ πνεύμα-
τος μέλλουσι λέγειν καὶ τὰς τοῦ Χριστοῦ ἐντολάς. ἐντειλάμενος οὖν, φησιν, ἀνελήφθη.
οὐκ εἶπεν, ἀνέβη, ἐπειδὴ ἔτι ὡς περὶ ἀνθρώπου διαλέγεται. ἄρα καὶ μετὰ τὴν ἀνάστα-
σιν ἐδίδασκε * τοὺς μαθητάς· ἀλλὰ τὸν χρόνον τοῦτον οὐδεὶς εἶπεν ἡμῖν μετὰ ἀκριβείας ἅ- * ν
παντα, ἐπεὶ ἐγχρονίζει μὲν αὐτῷ ὁ Ἰωάννης τῶν ἄλλων μᾶλλον, καὶ οὐδέ· πάντα δὲ σαφῶς οὐ-
δεὶς ἀπήγγειλε (περὶ γὰρ ἕτερον ἠπείγοντο) ἐμάθομεν δὲ ταῦτα διὰ τῶν ἀποστόλων. ἃ γὰρ ἤ-
κουσαν [καὶ] εἶπον.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν, φησι, ζῶντα. Εἰπὼν περὶ τῆς ἀναλήψεως πρό-
τερον, λέγει [καὶ] περὶ τῆς ἀναστάσεως. ἐπειδὴ γὰρ * εἶπεν, ὅτι ἀνελήφθη, ἵνα μὴ νομίσῃς * γ. ἕως
ὑφ' ἑτέρων αὐτὸν ἀνειλῆφθαι, ἐπήγαγεν· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. εἰ γὰρ ἐν τῷ μείζονι
ἑαυτὸν παρέστησε, πολλῷ μᾶλλον ἐν τῷ ἐλάττονι. εἶδες πῶς λανθανόντως κατασπείρει τὰ με-
γάλα ταυτὶ δόγματα; Δι' ἡμερῶν, φησι, τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς.

Οὐ γὰρ ὥσπερ πρὸ τῆς ἀναστάσεως, ἀεὶ μετ' αὐτῶν ἦν, οὕτω καὶ τότε. οὐ γὰρ εἶπε τεσ-
σαράκοντα ἡμέρας, ἀλλὰ δι' ἡμερῶν τεσσαράκοντα. ἐφίστατο γὰρ, καὶ * ἀφίστατο πάλιν. * γ. ἐφίστατο

τί δήποτε; ἀνάγων αὐτῶν τὰς διανοίας, καὶ οὐκ ἔτι συγχωρῶν ὁμοίως πρὸς αὐτὸν διακεῖσθαι, ὥσπερ καὶ ἔμπροσθεν. οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίει, ἀλλ' ἑκάτερα μετὰ ἀκριβείας κατασκευάζων, καὶ τὸ πιστευθῆναι τὴν ἀνάστασιν, καὶ τὸ μείζονα αὐτὸν νομισθῆναι λοιπὸν ἢ κατὰ ἄνθρωπον. καίτοι ταῦτα ἐναντία ἦν. ὑπὲρ μὲν γὰρ τοῦ πιστευθῆναι τὴν ἀνάστασιν, πολλὰ ἀνθρώπινα ἔδει γενέσθαι, ὑπὲρ δὲ θατέρου, τοὐναντίον. ἀλλ' ὅμως ἀμφότερα γέγονε μετὰ τοῦ προσήκοντος καιροῦ. τίνος δὲ ἕνεκεν οὐχὶ πᾶσιν, ἀλλὰ τοῖς ἀποστόλοις ἐφαίνετο; ὅτι φάντασμα ἂν ἔδοξεν εἶναι τοῖς πολλοῖς, οὐκ εἰδόσι τὸ ἀπόρρητον τοῦ μυστηρίου. εἰ γὰρ καὶ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν καὶ ἐθορυβοῦντο, καὶ ἀφῆς ἐδεήθησαν τῆς διὰ χειρὸς, καὶ τραπέζης, τί τοὺς πολλοὺς εἰκὸς παθεῖν ἦν; διά τοι τοῦτο ἐκ τῶν σημείων ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν· ὥστε μὴ τοῖς τότε μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. ὅπερ γὰρ ἐκείνοις ἐκ τῆς ὄψεως τῶν σημείων, τοῦτο ἐκ τῆς πίστεως πᾶσιν ὑπάρξειν ἔμελλεν ἔσεσθαι. διά τοι τοῦτο καὶ τοὺς ἀπίστους ἐντεῦθεν συλλογιζόμεθα. εἰ γὰρ οὐκ ἀνέστη, ἀλλὰ μένει νεκρὸς, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ ἀπόστολοι σημεῖα ἐποίησαν; ἀλλ' οὐκ ἐποίησαν σημεῖα; πῶς οὖν συνέστη τὸ ἔθνος τὸ ἡμέτερον; "οὐ γὰρ δὴ [καὶ] πρὸς τοῦτο ἀντιστήσονται," οὐδὲ τοῖς ὁρωμένοις μαχήσονται. ὥστε ὅταν λέγωσι μὴ γενέσθαι σημεῖα, μειζόνως ἑαυτοὺς περιπείρουσι. τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προσδραμεῖν ἅπασαν, ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο οἱ ἁλιεῖς. ὥστε καὶ ἄκοντες ὁμολογήσουσι θείαν εἶναι ἐν αὐτοῖς δύναμιν. ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτά ποτε. διά τοι τοῦτο καὶ αὐτὸς τεσσαράκοντα ἡμέρας ἔμεινε μετὰ τὴν ἀνάστασιν, ἔλεγχον διδοὺς ἐν τῷ μακρῷ χρόνῳ τῆς ὄψεως τῆς οἰκείας, ἵνα μὴ φάντασμα εἶναι νομίσωσι τὸ ὁρώμενον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τράπεζαν προστίθησιν· ὅπερ οὖν καὶ προϊὼν λέγει·

γ. μένων· ὅπερ ἐκ τῆς ὄψεως ἔμελλεν ἔσεσθαι, ἀλλὰ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. διά τι
γ. εἰ
γ. καὶ
γ. ἐπὶ τῆς γῆς
γ. δηλῶν ἔλεγε·

4 Καὶ συναλιζόμενος αὐτοῖς παρήγγειλε. Τοῦτο δὲ ἀεὶ καὶ αὐτοὶ οἱ ἀπόστολοι τεκμήριον ἐποιοῦντο τῆς ἀναστάσεως λέγοντες· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. τί Πραξ. ι. μα.
δὲ καὶ φαινόμενος ἐποίει, δι' ὧν ἐπήγαγε δείκνυσι λέγων·

Ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

Ἐπεὶ οὖν δὲ καὶ πεποιηκότες ἦσαν καὶ τεταραγμένοι τοῖς ἤδη γεγενημένοις, καὶ πρὸς μεγάλους ἔμελλον λοιπὸν ἐξιέναι ἀγῶνας, τοῖς περὶ τῶν μελλόντων αὐτοὺς ἀνακτώμενος λόγοις, παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός. πρότερον αὐτοὺς εἰς τὴν Γαλιλαίαν ἐξήγαγε δεδοικότας ἔτι καὶ τρέμοντας, ἵνα μετὰ ἀδείας ἀκούσωσι τῶν λεγομένων. εἶτα, ἐπειδὴ ἤκουσαν, καὶ τεσσαράκοντα συνδιέτριψαν ἡμέρας, παρήγγειλεν Ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι. Τί δήποτε; καθάπερ τινὰς στρατιώτας μέλλοντας εἰς πλῆθος ἐμπίπτειν οὐδεὶς ἀφίησιν ἐξελθεῖν, ἕως ἂν ὁπλίσωνται· οὐδὲ ἵππους προπηδᾷν τῆς βαλβῖδος, ἕως ἂν τὸν ἡνίοχον λάβωσιν· οὕτω δὴ καὶ αὐτοὺς πρὸ τῆς τοῦ πνεύματος καθόδου φανῆναι ἐπὶ τῆς παρατάξεως οὐκ ἠφίει, ὥστε μὴ γενέσθαι εὐχειρώτους καὶ ἁλωσίμους τοῖς πολλοῖς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐπειδὴ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι· καὶ πρὸς τούτοις πάλιν, ἵνα μὴ λέγωσί τινες, ὅτι τοὺς γνωρίμους ἀφέντες, παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι, τούτου χάριν παρ' αὐτοῖς τοῖς πεφονευκόσι παρέχουσι τὰ τεκμήρια τῆς ἀναστάσεως, παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι, τοῖς θάψασιν, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ τὸ πρᾶγμα τὸ παράνομον ἐτολμήθη, ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομισθῆναι ἅπαντας. ὅταν γὰρ οἱ ἐσταυρωκότες αὐτοὶ φαίνωνται καὶ πεπιστευκότες, εὔδηλον ὅτι καὶ ὁ σταυρὸς καὶ τοῦ τολμήματος ἐδείκνυτο ἡ παρανομία, καὶ τῆς ἀναστάσεως πολλὴ ἡ ἀπόδειξις. εἶτα ἵνα μὴ λέγωσι, πῶς οὖν ἐνστησόμεθα μεταξὺ ἀνθρώπων μιαρῶν καὶ φονώντων, καὶ τοσούτων ὄντων, ὀλίγοι καὶ εὐτελεῖς ὄντες μόνοι; ὅρα πῶς λύει τὴν ἀγωνίαν, εἰπών·

γ. διὰ τί ἐπὶ τὰς τεσσαράκοντα ἡμέρας ὀπτανόμενος; Διελέγετο γὰρ αὐτοῖς, φησι, περὶ
γ. γὰρ

Ἀλλὰ

Ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου.

Ιωαν. ιϛ. ξ. Καὶ πότε ἠκούσατε, φησίν; ὅτε ἔλεγε· Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ
Ιωαν. ιδ. ιϛ. ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. καὶ πάλιν· Ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον
παράκλητον πέμψει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν. καὶ τίνος ἕνεκεν οὐχὶ παρόντος αὐτοῦ, οὐδὲ ἀπελ-
θόντος εὐθέως παραγίνεται, ἀλλ' αὐτὸς μὲν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀνῆλθε, τὸ δὲ πνεῦμα παρε-
γένετο ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς; καὶ πῶς, εἰ μηδέπω παραγεγόνει, ἔλεγε,
Ιωαν. κ. κϐ. Λάβετε πνεῦμα ἅγιον; ἵνα δεκτικοὺς αὐτοὺς ποιήσῃ καὶ ἐπιτηδείους πρὸς τὴν ὑποδοχήν.
Εἰ γὰρ ἄγγελον μέλλων ὁρᾶν ὁ Δανιὴλ διελύετο, πολλῷ μᾶλλον οὗτοι μέλλοντες τοσαύτην
Δαν. η. ιζ. δέχεσθαι χάριν. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι τὸ μέλλον ἔσεσθαι ὡς ἤδη γεγενημένον εἴρηκεν.
Λυκ. ι. ιθ. ὥσπερ ὅταν λέγῃ, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.
τίνος δὲ ἕνεκεν οὐκ εὐθὺς τότε παραγεγόνει; ἐν ἐπιθυμίᾳ αὐτοὺς ἔδει γενέσθαι τοῦ πράγματος,
καὶ οὕτω δέξασθαι τὴν χάριν. διὰ τοῦτο αὐτὸς ἀπέστη, καὶ τότε ἐκεῖνο ἦλθεν. εἰ δὲ ἦλθε, πα-
ρόντος αὐτοῦ, οὐκ ἂν ἐν τοσαύτῃ ἐγένοντο προσδοκίᾳ. διὰ τοῦτο οὐδὲ εὐθέως, ἀνελθόντος
αὐτοῦ, παραγίνεται, ἀλλὰ μετὰ ὀκτὼ ἢ ἐννέα ἡμέρας. οὕτω καὶ ἡμεῖς πρὸς τὸν Θεὸν τότε μά-
λιστα διεγειρόμεθα, ὅταν ἐν χρείᾳ καταστῶμεν. διὰ τοῦτο καὶ Ἰωάννης τότε μάλιστα πέμπει
Λυκ. ζ. κ. τοὺς μαθητὰς πρὸς τὸν Χριστὸν, ὅτε μάλιστα ἔμελλον ἐν χρείᾳ εἶναι τοῦ Ἰησοῦ, τὸ δεσμωτήρι-
ον οἰκοῦντος ἐκείνου. ἄλλως δέ· ἔδει ἐν οὐρανῷ φανῆναι τὴν ἡμετέραν φύσιν, καὶ τὰς κα-
ταλλαγὰς γενέσθαι ἀπηρτισμένας, καὶ τότε ἐλθεῖν τὸ πνεῦμα, καὶ καθαρὰν γενέσθαι τὴν ἡδονήν.
Εἰ γὰρ παρόντος αὐτοῦ, ὁ μὲν ἀπῆλθεν, ὁ δὲ ἔμεινεν, οὐκ ἂν ἦν τοσαῦτα τὰ τῆς παραμυθίας.
Ιωαν. ιϛ. ξ. καὶ γὰρ σφόδρα αὐτοῦ δυσαποσπάστως εἶχον. διὸ καὶ ἔλεγε παραμυθούμενος αὐτούς· Συμ-
φέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. διὰ τοῦτο καὶ ἡμέρας ἀναμένει τὰς μεταξύ· ἵνα μικρὸν ἀθυμή-
σαντες, καὶ ἐν χρείᾳ, ὅπερ ἔφην, καταστάντες, ὁλόκληρον καὶ καθαρὰν καρπώσωνται τὴν ἡ-
δονήν. εἰ δὲ ἔλαττον ἦν τὸ πνεῦμα, οὐκ ἦν ἀρκοῦσα ἡ παραμυθία. πῶς δὲ καὶ ἔλεγε, Συμ-
φέρει ὑμῖν; διὰ τοῦτο τὰ μείζονα αὐτῷ τετήρηται τῆς διδασκαλίας, ἵνα μὴ ἔλαττον αὐτὸ νο-
μίσωσι. σκόπει δὲ ἡλίκην αὐτοῖς ἀνάγκην ἐπέθηκεν ἐν Ἱεροσολύμοις εἶναι, τῷ ὑποσχέσθαι
ἐκεῖ τὸ πνεῦμα παρέχεσθαι. ἵνα γὰρ μὴ πάλιν μετὰ τὴν ἀνάληψιν αὐτοῦ φύγωσι, τῇ προσ-
δοκίᾳ ταύτῃ, καθάπερ τινὶ δεσμῷ, κατέχει πάντας αὐτοὺς ἐκεῖσε. Εἰπὼν δὲ περιμένειν τὴν
ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου, ἐπήγαγεν·

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ
πολλὰς ταύτας ἡμέρας. Δείκνυσι λοιπὸν τὸ μέσον αὐτοῦ καὶ Ἰωάννου φανερῶς, οὐκ ἔτι,
Ματθ. ια. ια. ὡς πρὸ τούτου, συνεσκιασμένως. καὶ γὰρ σφόδρα συνεσκίασε τὸν λόγον ὅτε ἔλεγεν· Ὁ δὲ
μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν· ἀλλὰ νῦν φανερώτερον, Ἰωάν-
νης, φησὶν, ἐβάπτισεν ὕδατι· ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. * οὐκ ἐπικέχρηται
τῇ μαρτυρίᾳ, ἀλλὰ ἀναμιμνήσκει τοῦ προσώπου μόνον, εἰς μνήμην τῶν περὶ αὐτοῦ εἰ-
ρημένων ἐνάγων, καὶ δείκνυσιν αὐτοὺς ἤδη μείζους λοιπὸν γεγενημένους Ἰωάννου, εἴ γε ἐν πνεύ-
ματι ἔμελλον καὶ αὐτοὶ βαπτίζειν. καὶ οὐκ εἶπεν, ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν πνεύματι ἁγίῳ,
ἀλλὰ, βαπτισθήσεσθε, διδάσκων ἡμᾶς ταπεινοφρονεῖν. τοῦτο γὰρ ἀπὸ τῆς μαρτυρίας
Λυκ. γ. ιϛ. Ἰωάννου δῆλον λοιπὸν ἦν, ὅτι αὐτὸς ἦν ὁ βαπτίζων, εἰπόντος, ὅτι Αὐτὸς ὑμᾶς βαπτίσει ἐν
πνεύματι ἁγίῳ καὶ πυρί. διὸ καὶ μόνου αὐτοῦ ἐμνημόνευσε. τὰ μὲν οὖν εὐαγγέλια, ὧν ὁ Χριστὸς γ. Ἰωάν.
ἐποίησε καὶ εἶπεν, ἱστορία τίς ἐστιν· αἱ δὲ πράξεις, ὧν ὁ ἕτερος παράκλητος εἶπε καὶ ἐποί-
ησε. καὶ τότε μὲν γὰρ πολλὰ καὶ αὐτὸς ἐποίει, ὥσπερ οὖν καὶ νῦν ὁ Χριστὸς ἐνεργεῖ, καθάπερ
καὶ τότε· ἀλλὰ τότε [μὲν] διὰ τοῦ ναοῦ, νῦν δὲ διὰ τῶν ἀποστόλων. καὶ τότε μὲν εἰς παρθενι-
κὴν ἦλθε μήτραν, καὶ ναὸν διέπλασε· νῦν δὲ εἰς ψυχὰς ἀποστολικάς. καὶ τότε μὲν ἐν εἴδει πε-
ριστερᾶς· νῦν δὲ ἐν εἴδει πυρός. τί δήποτε; ἐκεῖ μὲν τὸ πρᾶον * δηλῶν· ἐνταῦθα δὲ καὶ τὸ τι-
μωρητικόν.

μνημονευτικόν. καὶ τῆς κρίσεως δὲ εὐχερῶς ἀναμιμνήσκει. ὅτι μὲν γὰρ ἁμαρτήματα συγχωρῆσαι ἔδει, πολλῆς ἔδει τῆς πραότητος· ἐπειδὴ δὲ ἐτύχομεν τῆς δωρεᾶς, λοιπὸν καὶ κρίσεως καὶ ἐξετάσεως καιρός. πῶς δὲ βαπτισθήσεσθε, λέγει, ὕδατος οὐκ ὄντος ἐν τῷ ὑπερῴῳ; ὅτι τὸ κυριώτερον τὸ πνεῦμά ἐστι, δι' οὗ καὶ τὸ ὕδωρ ἐνεργεῖ· ὥσπερ οὖν καὶ αὐτὸς κεχρῖσθαι λέγεται, οὐδαμοῦ χρισάμενος ἐλαίῳ, ἀλλὰ πνεῦμα δεξάμενος· ἄλλως δὲ, καὶ ὕδατι βαπτιζομένους αὐτοὺς ἔστιν εὑρεῖν καὶ ἐν διαφόροις καιροῖς. ἐφ' ἡμῶν μὲν γὰρ ἀμφότερα ὑφ' ἕν, τότε δὲ διεσπασμένως. κατὰ γὰρ τὴν ἀρχὴν ὑπὸ Ἰωάννου ἐβαπτίσθησαν. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ πόρναι καὶ τελῶναι ἐπὶ τὸ βάπτισμα ᾔεσαν ἐκεῖνο, πολλῷ μᾶλλον οἱ μετὰ ταῦτα βαπτίζεσθαι μέλλοντες ὑπὸ τοῦ πνεύματος. εἶτα ἵνα μὴ λέγωσιν ἐν ἐπαγγελίαις ἀεὶ τὸ πρᾶγμα (καὶ γὰρ ἤδη πολλὰ περὶ αὐτοῦ διελέχθη) μηδὲ νομίσωσιν αὐτὸ ἐνέργειαν εἶναι ἀνυπόστατον, ἀπάγει αὐτοὺς τῆς τοιαύτης ὑπονοίας, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας φησί. καὶ οὐκ ἐδήλωσε πότε, ἵνα ἀεὶ γρηγορῶσιν· ἀλλ' ὅτι μὲν ἐγγύς ἐστιν, εἶπεν, ἵνα μὴ ἐκλυθῶσι· πότε δὲ, οὐκ ἔτι προσέθηκεν, ἵνα ἀεὶ νήφωσιν. οὐ τούτῳ δὲ μόνον αὐτοὺς πιστοῦται, τῇ ταχύτητι λέγω τοῦ καιροῦ· ἀλλὰ καὶ τῷ λέγειν, τὴν ἐπαγγελίαν ἣν ἠκούσατέ μου. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ νῦν ὑμῖν εἶπον, φησὶ, μόνον, ἀλλὰ καὶ ἤδη ἐπηγγειλάμην, ἃ ποιήσω πάντως. τί τοίνυν θαυμάζεις, εἰ τὴν ἡμέραν τῆς συντελείας μὴ λέγει, ὅπουγε ταύτην τὴν οὕτως ἐγγὺς οὖσαν οὐκ ἠθέλησε ποιῆσαι κατάδηλον; καὶ μάλα εἰκότως, ἵν' ἀεὶ ἐγρηγορότες ὦσι καὶ ἐν προσδοκίᾳ καὶ μερίμνῃ. οὐ γάρ ἐστιν, οὐκ ἔστι χάριτος ἀπολαῦσαι μὴ νήφοντα. ἢ οὐχ ὁρᾷς τί φησι καὶ Ἠλίας πρὸς τὸν μαθητήν; Ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτω· τουτέστι, γενήσεταί σοι τοῦτο ὃ αἰτεῖς. καὶ ὁ Χριστὸς δὲ πανταχοῦ τοῖς προσιοῦσιν ἔλεγε· Πιστεύεις; ἐὰν γὰρ μὴ οἰκειωθῶμεν πρὸς τὸ διδόμενον, οὐδὲ τῆς εὐεργεσίας σφόδρα αἰσθανόμεθα. οὕτω καὶ ἐπὶ Παύλου· οὐκ εὐθέως ἡ χάρις ἦλθεν· ἀλλὰ τρεῖς ἡμέραι ἐγένοντο μεταξὺ, ἐν αἷς ἦν τυφλὸς, ὑπὸ τοῦ φόβου τηκόμενος καὶ προπαρασκευαζόμενος. καθάπερ γὰρ οἱ τὴν ἁλουργίδα βάπτοντες, πρότερον ἑτέροις τισὶ τὸ δεχόμενον τὴν βαφὴν προπαρασκευάζουσιν, ἵνα μὴ ἐξίτηλον γένηται τὸ ἄνθος· οὕτω δὴ καὶ ἐνταῦθα, πρότερον μεμεριμνημένην κατασκευάζει τὴν ψυχὴν ὁ Θεὸς, καὶ τότε τὴν χάριν ἐκχεῖ. διὰ τοῦτο καὶ οὐδὲ εὐθέως τὸ πνεῦμα ἔπεμψεν, ἀλλ' ἐν τῇ πεντηκοστῇ. εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν καὶ ἡμεῖς οὐκ ἐν τῷ καιρῷ τούτῳ βαπτιζόμεθα; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι ἡ μὲν χάρις ἡ αὐτὴ καὶ τότε, καὶ νῦν· ἡ δὲ διάνοια ὑψηλοτέρα γίνεται νῦν ὑπὸ νηστείας προπαρασκευαζομένη. καὶ ὁ τῆς πεντηκοστῆς δὲ καιρὸς ἔχει τινὰ λόγον οὐκ ἀπεικότα. ποῖον δὴ τοῦτον; ἀρχομένῳ ταῦτα ἐνόμισαν οἱ πατέρες εἶναι χαλινὸν ἐπιθυμίας πονηρᾶς τὸ μεγάλην διδασκαλίαν τὸ βάπτισμα εἰς τὸ καὶ ἐν καιρῷ τρυφῆς σωφρονεῖν. καθάπερ οὖν αὐτῷ συναλιζόμενοι τῷ Χριστῷ καὶ τραπέζης κοινωνοῦντες, μηδὲν ἁπλῶς πράττωμεν, ἀλλ' ἐν νηστείαις καὶ εὐχαῖς καὶ σωφροσύνῃ πολλῇ διάγωμεν. εἰ γὰρ ἐπὶ ἀρχὴν μέλλων ἰέναι τις βιωτικὴν, παρασκευάζει ἑαυτὸν ἅπαντα [illegible]ρίον, καὶ ἵνα τύχῃ τινὸς ἀξιώματος, τὰ χρήματα ἀναλίσκει, καὶ χρόνον δαπανᾷ, καὶ μυρίους ὑπομένει πόνους· τίνος ἂν εἴημεν ἡμεῖς ἄξιοι μετὰ τοσαύτης ῥᾳθυμίας τῇ βασιλείᾳ τῶν οὐρανῶν προσιόντες, καὶ οὔτε πρὶν ἢ λαβεῖν σπουδάζοντες, καὶ μετὰ τὸ λαβεῖν ῥᾳθυμοῦντες; διὰ γὰρ τοῦτο μετὰ τὸ λαβεῖν ῥᾳθυμοῦμεν, ἐπειδὴ πρὶν ἢ λαβεῖν οὐκ ἐγρηγόραμεν. διὰ τοῦτο πολλοὶ μετὰ τὸ λαβεῖν εὐθέως ἐπὶ τὸν πρότερον ἐπανῆλθον ἔμετον, καὶ χείρους ἐγένοντο, καὶ χαλεπωτέραν ἐπεσπάσαντο κόλασιν, τῶν μὲν προτέρων ἀπαλλαγέντες ἁμαρτημάτων, ταύτῃ δὲ μειζόνως τὸν κριτὴν παροξύναντες, ὅτι τοσαύτης ἀπαλλαγέντες ἀρρωστίας, οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλλ' ἔπαθον ὅπερ ἠπείλησε τῷ παραλυτικῷ ὁ Χριστὸς λέγων· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· καὶ ὃ περὶ τῶν Ἰουδαίων δὲ προὔλεγεν, ὅτι τὰ δυσχερέστερα πείσονται ἀγνωμονοῦντες. Εἰ γὰρ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, φησὶν, ἁμαρτίαν οὐκ εἶχον. ὥστε διπλᾶ καὶ τετραπλᾶ τὰ

δ. Βασ. β. ι.
Πραξ. α. θ.
Ἰωαν. ε. ιδ.
Ἰωαν. ιε. κβ.

μετὰ ταῦτα ἁμαρτήματα γένηται. πῶς; ὅτι μετὰ τὴν τιμὴν ἀγνώμονες ἐγινόμεθα καὶ πονηροί. καὶ διὰ τοῦτο οὐδὲν ἡμῖν βοηθεῖ λοιπὸν τὸ λουτρὸν εἰς τὸ σφοδροτέρας τυχεῖν τιμωρίας. σκόπει δέ· εἶχέ τις ἁμαρτήματα χαλεπὰ, ἢ φονεύσας, ἢ μοιχεύσας, ἢ ἕτερόν τι [χαλεπώτερον] ἐργασάμενος· ἀφέθη διὰ τοῦ λουτροῦ ταῦτα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα καὶ ἀσέβημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ δωρεᾷ. θεία γάρ ἐστιν ἡ χάρις. πάλιν ἐμοίχευσέ τις καὶ ἐφόνευσεν. ἡ μὲν προτέρα μοιχεία λέλυται, καὶ ὁ φόνος ἐκεῖνος συγκεχώρηται καὶ οὐκ ἀνακαλεῖται (Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ) ὑπὲρ δὲ τῶν μετὰ
Ρωμ. ια. κθ. τὸ βάπτισμα τοσαύτην δίδωσι δίκην, ὅσην ἂν εἰ καὶ ἐκεῖνα ἀνεκλήθη, καὶ πολλῷ χείρονα. οὐκέτι γὰρ ἁπλοῦν ἐστι τὸ ἁμάρτημα, ἀλλὰ διπλοῦν καὶ τριπλοῦν. ὅτι δὲ μείζων τούτων τῶν ἁμαρτημάτων ἡ δίκη, ἄκουσον τί φησιν ὁ Παῦλος. Ἀθετήσας τις νόμον Μωϋσέως, χω-
Εβρ. ι. κη. ρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

ΗΘΙΚΟΝ

Τάχα πολλοὺς ἀπετρέψαμεν νῦν λαβεῖν τὸ βάπτισμα. ἀλλ' οὐ διὰ τοῦτο ταῦτα εἰρήκαμεν, ἀλλ' ἵνα λαβόντες μένωσιν ἐν σωφροσύνῃ καὶ ἐπιεικείᾳ πολλῇ. ἀλλὰ δέδοικα, φησίν. εἰ ἐδεδοίκεις, ἔλαβες ἂν καὶ ἐφύλαξας. ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο οὐ λαμβάνω, φησί, διὰ τὸ φοβεῖσθαι. τὸ δὲ οὕτως ἀπελθεῖν οὐ δέδοικας; ἀλλὰ φιλάνθρωπός ἐστι, φησίν, ὁ Θεός. οὐκοῦν λάβε τὸ βάπτισμα. φιλάνθρωπος γάρ ἐστι καὶ βοηθεῖ. σὺ δὲ, ἔνθα μὲν ἂν δέῃ σπουδάσαι, οὐ προβάλλῃ τὴν φιλανθρωπίαν ταύτην· ἔνθα δ' ἂν θέλῃς ἀναβαλέσθαι, τότε αὐτῆς μέμνησαι. καίτοι τότε καιρὸν ἂν ἔχοι ἡ φιλανθρωπία αὕτη, καὶ μᾶλλον αὐτῆς ἐπιτευξόμεθα, ὅταν καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν. ὁ μὲν γὰρ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνων οἷα εἰκὸς ἄνθρωπον ὄντα, μετανοῶν τεύξεται φιλανθρωπίας· ὁ δὲ ὥσπερ σοφιζόμενος τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἀπελθὼν ἄμοιρος τῆς χάριτος, ἀπαραίτητον ἕξει τὴν τιμωρίαν. τί δὲ τοιαῦτα κατὰ τῆς σεαυτοῦ σωτηρίας προβάλλῃ; ἀμήχανον γάρ, ἀμήχανον, ὡς ἔγωγε οἶμαι, τὸν τοιαύταις ἐλπίσιν ἀναβαλλόμενον ἐργάσασθαί τι γενναῖον καὶ ἀγαθόν. σὺ δὲ ἀνθ' ὅτου τοσοῦτον φόβον ἀναδέχῃ, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος προβάλλῃ; διατί μὴ μεταβάλλεις τὸν φόβον τοῦτον εἰς πόνον καὶ σπουδὴν, καὶ ἔσῃ μέγας καὶ θαυμαστός; τί βέλτιον; φοβεῖσθαι, ἢ πονεῖν; εἴ τίς σε ἐκάθισεν ἐν οἴκῳ πεπονηκότι ἀργοῦντα, εἰπὼν, ὅτι προσδόκα ἐπὶ τὴν σὴν κεφαλὴν πεσεῖσθαι τὴν ὀροφὴν σαθρὰν οὖσαν (ἴσως μὲν γὰρ πεσεῖται, ἴσως δὲ οὐ πεσεῖται) εἰ δὲ μὴ τοῦτο θέλεις, ἐργάζου, καὶ τὸν ἀσφαλέστερον οἴκει θάλαμον, τί ἂν εἵλου μᾶλλον; τὴν ἀργίαν ἐκείνην μετὰ τοῦ φόβου, ἢ τὴν ἐργασίαν ταύτην μετὰ τοῦ θαῤῥεῖν; οὐκοῦν οὕτω καὶ νῦν ποίει. τὸ μὲν γὰρ ἄδηλον τοῦ μέλλοντος, καθάπερ οἶκός τίς ἐστι σαθρὸς, ἀεὶ πτῶσιν ἀπειλῶν· ἡ δὲ ἐργασία αὕτη πόνον ἔχουσα, τὸ ἀσφαλὲς ἐγγυᾶται. μὴ γένοιτο μὲν οὖν ἡμᾶς ἐμπεσεῖν εἰς ἀνάγκην τοσαύτην, ὥστε ἁμαρτάνειν μετὰ τὸ λουτρόν· πλὴν εἰ καὶ γένοιτό τι τοιοῦτον, μηδὲ οὕτως ἀπογνῶμεν. φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ πολλὰς ἡμῖν δέδωκεν ὁδοὺς ἀφέσεως καὶ μετὰ ταῦτα. πλὴν ὥσπερ οἱ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντες, τῶν κατηχουμένων κατὰ τοῦτο μᾶλλον κολάζονται· οὕτως * οἱ εἰδότες ὅτι μετανοίας ἐστὶ φάρμακα, καὶ μὴ θέλοντες αὐτοῖς κεχρῆσθαι, χαλεπώτερα πείσονται. ὅσῳ γὰρ ἂν ἐπιτείνηται ἡ φιλανθρωπία τοῦ Θεοῦ, τοσούτῳ καὶ ἡ κόλασις αὔξεται, ἐὰν μὴ εἰς δέον τῇ φιλανθρωπίᾳ χρησώμεθα. τί λέγεις, ἄνθρωπε; μεστὸς ὢν κακῶν τοσούτων καὶ ἀπεγνωσμένος, ἄθεος ἐγένου φίλος, καὶ πρὸς τὴν ἀνωτάτω τιμὴν ἀνηνέχθης, οὐκ ἐξ οἰκείων πόνων, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, καὶ πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες ἀσχημοσύνην, καὶ δέον κολασθῆναι χαλεπῶς· ὁ δὲ οὐδ' οὕτως ἀπεστράφη, ἀλλ' ἔδωκε μυρίας ἀφορμὰς σωτηρίας, δι' ὧν ἔσῃ φίλος. καὶ ὁ μὲν Θεὸς ταῦ-

τα,

τα, σὺ δὲ οὐδὲ οὕτως ἐθέλεις ποιεῖν; καὶ ποίας ἄξιος ἔσῃ συγγνώμης λοιπόν; πῶς δὲ οὐκ εἰκότως Ἕλληνές σε γελάσονται καθάπερ κηφῆνά τινα [ζῶντα εἰκῆ καὶ μάτην;] εἰ γὰρ δυνατή, φησιν, ἡ παρ' "ὑμῖν φιλοσοφία, δείξατε τί βούλεται τῶν ἀμυήτων τὸ πλῆθος; "καλὰ τὰ μυστήρια καὶ "ποθεινά· ἀλλ' οὐδεὶς ψυχορραγῶν λουέσθω· "λαμβανέτω. οὐ γὰρ ἐκεῖνος τῶν μυστηρίων ὁ καιρὸς, ἀλλὰ τῶν διαθηκῶν· μυστηρίων δὲ καιρὸς, ὑγεία φρενῶν, καὶ σωφροσύνη ψυχῆς. εἰπὲ γάρ μοι, εἰ διαθήκας οὐκ ἄν τις ἕλοιτο οὕτω διακείμενος γράψαι· κἂν γράψῃ δὲ, δίδωσι τοῖς μετὰ ταῦτα λαβεῖν (διὰ γάρ τοι τοῦτο καὶ προστάττουσι ταῦτι τὰ ῥήματα λέγοντες· ὅτι ζῶν καὶ φρονῶν καὶ ὑγιαίνων ἐπισκήπτω περὶ τῶν ἐμαυτοῦ) πῶς ἄν τις ἐξεστηκὼς δυνηθείη μετὰ ἀκριβείας μυσταγωγεῖσθαι; εἰ γὰρ περὶ βιωτικῶν πραγμάτων βουλόμενον οὐκ ἂν ἐπιτρέψαιεν οἱ τῶν ἔξωθεν νόμοι τῷ μὴ σφόδρα ὑγιαίνοντι διατίθεσθαι, καὶ ταῦτα ἐν τοῖς αὐτοῦ μέλλοντι νομοθετεῖν, πῶς περὶ βασιλείας οὐρανῶν μανθάνων, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, δυνήσῃ σαφῶς πάντα μαθεῖν, πολλάκις καὶ παραπλὴξ ὑπὸ τῆς ἀρρωστίας γινόμενος; πότε δὲ τὰ ῥήματα ἐκεῖνα πρὸς τὸν Χριστὸν ἐρεῖς, συνταττόμενος αὐτῷ, μέλλων ἀποπηδᾶν; καὶ γὰρ καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ἐπιδείκνυσθαι χρὴ τὴν εὔνοιαν. σὺ δὲ ταὐτὸν ποιεῖς, οἷον ἂν εἴ τις ἀπογράφεσθαι βούλοιτο στρατιώτης, τοῦ πολέμου λύεσθαι μέλλοντος· ἢ ἀθλητὴς ἀποδύεσθαι, τοῦ θεάτρου λοιπὸν ἀναστάντος. καὶ γὰρ ὅπλα διὰ τοῦτο λαμβάνεις, οὐχ ἵνα εὐθέως ἀποπηδήσῃς, ἀλλ' ἵνα λαβὼν κατὰ τοῦ ἐναντίου τρόπαιον στήσῃς. εἰ δὲ μή ἐστι παρακοὴ νῦν, μηδεὶς νομιζέτω ἄκαιρον εἶναι τὸν περὶ τούτων λόγον. διὰ γὰρ τοῦτο δάκνομαι, ὅτι καιρὸν παρατηρεῖτε ἐν τοῖς τοιούτοις. καίτοιγε ὁ εὐνοῦχος ἐκεῖνος, καὶ βάρβαρος ὢν καὶ ὁδοιπορῶν, καὶ ἐν μέσῃ λεωφόρῳ ὤν, καιρὸν οὐκ ἐζήτησεν· ἀλλ' οὐδὲ ὁ δεσμοφύλαξ, καὶ ταῦτα μεταξὺ δεσμωτῶν ὤν, καὶ τὸν διδάσκαλον μεμαστιγωμένον καὶ δεδεμένον ὁρῶν, καὶ τοῦτον μέλλων ἔνδον ἔχειν. ἐνταῦθα δὲ οὐ δεσμωτήριον οἰκοῦντες, οὐδὲ ἐν ὁδοῖς ὄντες, ἀναβάλλονται πολλοὶ πρὸς ἐσχάτας ἀναπνοάς. εἰ μὲν οὖν ἔτι ἀμφιβάλλεις, ὅτι Θεός ἐστιν ὁ Χριστὸς, ἔξω στῆθι, καὶ μηδὲ θείων ἄκουε "λόγων, μηδὲ ἐν τοῖς κατηχουμένοις ἀρίθμει σαυτόν· εἰ δὲ θαρρεῖς, καὶ οἶδας τοῦτο σαφῶς, τί μέλλεις; τί δὲ ἀναδύῃ καὶ ὀκνεῖς; δέδοικα μὴ ἁμάρτω, φησί. τὸ δὲ χαλεπώτερον οὐ δέδοικας, μὴ μετὰ φορτίων τοσούτων ἀπέλθῃς ἐκεῖ; οὐδὲ γάρ ἐστιν ἴσον χάριτος παρακειμένης μὴ τυχεῖν, καὶ κατορθοῦν ἐπιχειροῦντα ἀποτυχεῖν. ἂν γάρ τις ἐγκαλῇ, τίνος ἕνεκεν οὐ προσῆλθες, τί ἐρεῖς; ἐκεῖ μὲν γὰρ τάχα τὸ φορτικὸν ἔχεις εἰπεῖν καὶ τῶν "προσταγμάτων, καὶ τῆς ἀρετῆς· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. χάρις γάρ ἐστι δωρεὰν παρεχομένη τὴν ἐλευθερίαν. ἀλλὰ δέδοικας μὴ ἁμάρτῃς; ταῦτα μετὰ τὸ βάπτισμα λέγε· *τότε ἔχε τὸν φόβον, ὥστε φυλάξαι τὴν παρρησίαν, ἣν ἔλαβες, οὐχ ὥστε μὴ λαβεῖν δωρεὰν "τοιαύτην. νῦν δὲ πρὸ μὲν τοῦ βαπτίσματος εὐλαβὴς σύ· μετὰ δὲ τὸ βάπτισμα ῥάθυμος. ἀλλὰ τὸν καιρὸν ἀναμένεις τῆς παρακοῆς; τίνος ἕνεκεν; μὴ γὰρ ἔχει τι πλέον ἐκεῖνος ὁ καιρός; οἱ γοῦν ἀπόστολοι οὐκ ἐν τῷ πάσχα κατηξιώθησαν τῆς χάριτος, ἀλλ' ἐν ἑτέρῳ καιρῷ· καὶ οἱ τρισχίλιοι, καὶ οἱ πεντακισχίλιοι ὅτε ἐβαπτίσθησαν, πάσχα οὐκ ἦν καιρός· καὶ ὁ Κορνήλιος, καὶ ὁ εὐνοῦχος, καὶ ἕτεροι πλείους. μὴ τοίνυν καιρὸν ἀναμένωμεν, μήποτε μέλλοντες καὶ ἀναβαλλόμενοι ἀπέλθωμεν κενοὶ καὶ ἔρημοι τοσούτων ἀγαθῶν. πῶς, οἴεσθε, ὀδυνῶμαι, ὅταν ἀκούσω ὅτι ἀμύητός τις ἀπηνέχθη ἐντεῦθεν, τὰς ἀφορήτους ἐννοῶν κολάσεις ἐκείνας, τὴν ἀπαραίτητον τιμωρίαν; πῶς δάκνομαι πάλιν, ὅταν ἑτέρους ἴδω πρὸς τὰς ἐσχάτας φθάνοντας ἀναπνοὰς, καὶ μηδὲ ἐντεῦθεν σωφρονιζομένους; διά τοι τοῦτο πολλὰ τῆς δωρεᾶς ταύτης ἀνάξια γίνεται. δέον γὰρ εὐφραίνεσθαι καὶ χορεύειν καὶ χαίρειν καὶ στεφανοῦσθαι ἑτέρου μυσταγωγουμένου. ὅταν ἀκούσῃ τοῦ κάμνοντος ἡ γυνὴ, ὅτι τοῦτο ἐπέσκηψεν ὁ ἰατρὸς, ὡς ἐπὶ κακῷ τινι "κατακόπτεται, καὶ θρηνεῖ*, καὶ κωκυτοὶ καὶ οἰμωγαὶ πανταχοῦ τῆς οἰκίας, ὡς ἐπὶ καταδίκων τῶν τὴν ἐσχάτην ἀπαγομένων

γ. ὑμῶν
γ. εἰ καλ-
γ. -νὰ, μηδεὶς
ψυχ.
γ. λαμβανέτω.
γ. λογίων
γ. παιδευμάτων
* καὶ
γ. τοσαύτην
γ. καταθρύπτεται
τὰ μέγιστα.

Πραξ. η. κζ.
Πραξ. ις. λθ.
Πραξ. β. μα.
Πραξ. ι. μη.

γενομένων ὁδοί. καὶ ἐκεῖνος δὲ πάλιν τότε ὀδυνᾶται πλέον· κἂν ἀνενέγκῃ ἀπὸ τῆς ἀρρωστίας, χαλεπώτερον ἀλγεῖ ὡς ἐπηρεασθείς. ἐπειδὴ γὰρ οὐ παρεσκεύασε πρὸς ἀρετήν, ὀκνεῖ λοιπὸν καὶ ἀναδύεται πρὸς τοὺς ἀγῶνας τοὺς μετὰ ταῦτα. ὁρᾷς οἷα ὁ διάβολος κατασκευάζει μηχανήματα; ὅσην τὴν αἰσχύνην; ὅσον τὸν γέλωτα; ἀπαλλαγῶμεν τοίνυν τούτου τοῦ γέλωτος, ζήσωμεν ὡς ὁ Χριστὸς ἐκέλευσε. διὰ τοῦτο ἔδωκε τὸ βάπτισμα, οὐχ ἵνα λαβόντες ἀπέλθωμεν, ἀλλ' ἵνα ἐπιζήσαντες καρποὺς ἐπιδειξώμεθα. πῶς ἐρεῖς, καρποφόρει, τῷ ἀπιόντι, τῷ ἐκκοπέντι; οὐκ ἤκουσας, ὅτι ὁ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη; (Γαλ. ε. κβ.) πῶς οὖν τὰ ἐναντία γίνεται; καὶ γὰρ ἡ γυνὴ παρέστηκε πενθοῦσα, ὅτε χαίρειν ἔδει· τὰ τέκνα ὀδυρόμενα, ὅτε συνήδεσθαι ἐχρῆν· αὐτὸς ὁ κείμενος ἐσκοτωμένος, θορύβου γέμων καὶ ταραχῆς, ὅτε πανηγυρίζειν ἔδει· ἀθυμίας πεπληρωμένος πολλῆς, διὰ τὴν ὀρφανίαν τῶν τέκνων, διὰ τὴν χρείαν τῆς γυναικός, διὰ τὴν ἐρημίαν τῆς οἰκίας. οὕτω τις προσέρχεται μυστηρίοις, εἰπέ μοι; οὕτως ἅπτεται τραπέζης ἱερᾶς; ταῦτα δεκτά; κἂν μὲν βασιλεὺς πέμψῃ γράμματα, τοὺς ἐν δεσμωτηρίῳ λύων, εὐφροσύνη καὶ χαρά· ὁ δὲ Θεὸς καταπέμπει τὸ πνεῦμα ἐξ οὐρανῶν, οὐχὶ ἐλλείμματα χρημάτων, ἀλλ' ὁλόκληρα ἁμαρτήματα συγχωρῶν, καὶ πάντες θρηνεῖτε καὶ ὀδύρεσθε; τίς ἡ ἀνωμαλία αὕτη; οὔπω γὰρ λέγω, ὅτι καὶ νεκροῖς ἐπεχύθη ὕδωρ, καὶ τὰ ἅγια ἐρρίφη εἰς γῆν· ἀλλ' οὐχ ἡμεῖς τούτων αἴτιοι, ἀλλ' οἱ ἀγνώμονες. διὸ παρακαλῶ πάντα ἀφέντας συστρέψαι ἑαυτούς, καὶ προσιέναι τῷ βαπτίσματι μετὰ προθυμίας ἁπάσης, ἵνα καὶ ἐν τῷ παρόντι πολλὴν ἐπιδειξάμενοι σπουδήν, τῆς μελλούσης τύχωμεν παρρησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. β. 6 ΟΙ ΜΕΝ ΟΥΝ ΣΥΝΕΛΘΟΝΤΕΣ ΕΠΗΡΩΤΩΝ αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τοῦ Ἰσραήλ;

Ὅταν τι μέλλωσιν ἐρωτᾶν οἱ μαθηταί, ὁμοῦ προσέρχονται. τοῦτο δὲ ποιοῦσιν, ἵνα τῷ πλήθει δυσωπήσωσιν. ᾔδεισαν γάρ, ὅτι τὸ πρώην παρ' αὐτοῦ εἰρημένον, ὅτι Οὐδεὶς οἶδε τὴν ἡμέραν, (Ματθ. κδ. λς) διακρουομένου ἦν, οὐκ ἀγνοοῦντος, ἀλλ' ἀναβαλλομένου τὴν ἀπόκρισιν. ὅθεν πάλιν προσέρχονται καὶ ἐρωτῶσιν. οὐ γὰρ ἄν, εἴγε οὕτως ἦσαν πεπεισμένοι, ἠρώτησαν. ἐπειδὴ γὰρ ἤκουσαν ὅτι πνεῦμα μέλλουσι λαμβάνειν, ὡς ἄξιοι λοιπὸν ὄντες ἤθελον μαθεῖν, καὶ πρὸς ἀπαλλαγὴν ἦσαν ἕτοιμοι. οὐ γὰρ ἐβούλοντο καθεῖναι ἑαυτοὺς εἰς κινδύνους, ἀλλὰ ἀναπνεῦσαι. οὐ γὰρ μικρὰ ἦν τὰ συμβεβηκότα αὐτοῖς, ἀλλὰ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ἐπεκρεμάσθη. οὐδὲν οὖν αὐτῷ περὶ τοῦ πνεύματος εἰπόντες, ἐρωτῶσι λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τοῦ Ἰσραήλ; καὶ οὐκ εἶπον, πότε· ἀλλά, εἰ νῦν, φησίν· οὕτως ἐπεθύμουν τῆς ἡμέρας. ἐμοὶ δὲ δοκεῖ οὐδὲ τετρανῶσθαί πως αὐτοῖς, τίς ποτε ἦν ἡ βασιλεία. οὔπω γὰρ ἦν τὸ πνεῦμα διδάξαν αὐτούς. καὶ οὐκ εἶπον, πότε ταῦτα ἔσται· ἀλλὰ μετὰ πλείονος τιμῆς προσίασι λέγοντες· Εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν ὡς ἤδη ἐκπεπλωκυῖαν; ἐκεῖνοι γὰρ ἔτι περὶ τὰ αἰσθητὰ διέκειντο. οὐδὲ γὰρ οὐδέπω γεγόνασι βελτίους *. οὕτω λοιπὸν οὗτοι μείζονα περὶ αὐτοῦ ἐφαντάζοντο. ἐπεὶ οὖν αὐτοὶ ἀνηρώτησαν, καὶ αὐτὸς ἀνηγμένως αὐτοῖς διαλέγεται. (Μαρκ. ιγ. λβ.) οὐκέτι γὰρ λέγει πρὸς αὐτούς, ὅτι Οὐδὲ ὁ υἱὸς οἶδε τὴν ἡμέραν· ἀλλὰ τί;

7 Οὐχ

7 Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Μείζονα αἰτεῖτε, φησί· καὶ μὴν ἤδη ἔμαθον καὶ ἃ πολλῷ μείζονα ἦν. καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ὅρα πόσα ἀπαριθμοῦμαι. τί γὰρ μεῖζον, εἰπέ μοι, τοῦ μαθεῖν αὐτοὺς ἅπερ ἔμαθον; ἔμαθον γὰρ ὅτι υἱὸς τοῦ Θεοῦ ἐστι, καὶ υἱὸν ἔχει ὁ Θεὸς ὁμότιμον· ἔμαθον ὅτι ἀνάστασις ἔσται, ἔμαθον ὅτι ἀναληφθεὶς ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός· ὃ τούτου φρικωδέστερον ἔμαθον, ὅτι σὰρξ ἄνω κάθηται, καὶ προσκυνεῖται ὑπὸ ἀγγέλων· ἔμαθον ὅτι ἥξει πάλιν κρῖναι πάντα τὸν κόσμον· ἔμαθον ὅτι μέλλουσι καθεδεῖσθαι καὶ αὐτοὶ τότε κριταὶ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ· ἔμαθον ὅτι Ἰουδαῖοι μὲν ἐκβάλλονται, τὰ δὲ ἔθνη ἀντεισέρχονται. τὸ δὲ ταῦτα εἰδέναι ὅτι ἔσται, μέγα· τὸ δὲ μαθεῖν, ὅτι βασιλεύσει τίς, ἢ πότε, οὐδὲν μέγα. ἔμαθε Παῦλος ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· τὰ περὶ τοῦ κόσμου ἅπαντα ἔμαθε. τί μαθεῖν δυσκολώτερον, τὴν ἀρχήν, ἢ τὸ τέλος; οὐ δῆλον ὅτι τὸ πρότερον; οὐκοῦν τοῦτο Μωϋσῆς ἔμαθε, καὶ πότε, καὶ μετὰ πόσον χρόνον, καὶ ἀριθμεῖ τὰ ἔτη. τοῦτο καὶ * Σολομῶν· διὸ καὶ ἔλεγε, Μνημονεύσω τὰ ἀπ' αἰῶνος. ὅτι τοίνυν ἐγγύς ἐστιν, ἴσασι μετὰ ταῦτα καὶ οὗτοι, ὥσπερ καὶ ὁ Παῦλος λέγων· Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. ἀλλὰ τὸ πότε οὐκ ἔγνωσαν, καίτοι λαβόντες τεκμήρια. δηλοῖ, ὥσπερ εἶπεν, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας, ἀγρυπνεῖν αὐτοὺς βουλόμενος, καὶ οὐκ ἐδήλωσε φανερῶς· οὕτω καὶ νῦν ποιεῖ. ἄλλως δέ, καὶ ἐκεῖνοι οὐ περὶ τῆς καθόλου αὐτὸν ἠρώτων συντελείας, ἀλλ' εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ, ἔλεγον, καίτοι οὐδὲ τοῦτο αὐτοῖς ἐξεκάλυψε. καὶ περὶ τούτου τοῦτο ἠρώτων· ἀλλ' οὐχ ὥσπερ ἐκεῖ ἀπεκρίνατο σφοδρότερον, ἀπάγων αὐτοὺς τοῦ νομίζειν τὴν ἀπαλλαγὴν εἶναι πλησίον, καὶ ἐμβάλλειν εἰς τοὺς κινδύνους· οὕτω καὶ ἐνταῦθα, ἀλλ' ἡμερώτερον. ἵνα γὰρ μὴ δόξωσιν ὑβρίσθαι, μηδὲ προφάσεις εἶναι ταῦτα, ἄκουσον, τί φησιν. εὐθέως αὐτοῖς δίδωσιν, ἐφ' ᾧ ἐχάρησαν. ἐπήγαγε γοῦν·

8 Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

Εἶτα, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσιν, εὐθέως ἀνελήφθη. καθάπερ ὅτε ἐκεῖ τῷ φόβῳ αὐτοὺς ἐσχόπωσε, τῷ εἰπεῖν, οὐκ οἶδα· οὕτω καὶ ἐνταῦθα τῷ ἀναληφθῆναι. καὶ γὰρ πολλὴν τοῦ πράγματος εἶχον τὴν ἐπιθυμίαν, καὶ οὐκ ἂν ἀπέστησαν, καὶ σφόδρα ἀναγκαῖον ἦν αὐτοὺς μὴ μαθεῖν. εἰπὲ γάρ μοι· τί μᾶλλον ἀπιστοῦσιν Ἕλληνες; ὅτι συντέλεια ἔσται, ἢ ὅτι ὁ Θεὸς γέγονεν ἄνθρωπος, καὶ ἐκ παρθένου προῆλθε μήτρας, καὶ μετὰ σαρκὸς ὤφθη ἀνθρώποις; ἆρ' οὐχὶ τοῦτο; πάντως καὶ σὺ ἐρεῖς. ἀλλὰ γὰρ αἰσχύνομαι συνεχῶς ὑπὲρ τούτου λέγων, ὡς περὶ πράγματός τινος ἀδιαφόρου. εἶτα πάλιν ἵνα μὴ εἴπωσι, διὰ τί ἐπαίρεις τὸ πρᾶγμα; οὓς ὁ πατήρ, φησιν, ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. καὶ μὴν μία πατρὸς καὶ αὐτοῦ ἐξουσία, ὡς ὅταν λέγῃ· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκρούς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. εἰ ἔνθα ἐργάσασθαι δεῖ, μετὰ τῆς αὐτῆς αὐτῷ πράττει ἐξουσίας· ἔνθα εἰδέναι χρή, οὐχὶ μετὰ τῆς αὐτῆς οἶδας ἐξουσίας; καὶ μὴν τοῦ μαθεῖν τὴν ἡμέραν πολλῷ μεῖζον τὸ νεκροὺς ἐγείρειν· εἰ δὲ μεῖζον μετ' ἐξουσίας ποιεῖ, οὐ πολλῷ μᾶλλον τὸ ἕτερον; ἀλλ' ὥσπερ ὅταν ἴδωμεν παιδίον ἀποκλαιόμενον, καὶ συνεχῶς βουλόμενόν τι λαβεῖν παρ' ἡμῶν οὐκ ἀναγκαῖον αὐτῷ, μᾶλλον ἀποκρύψαντες γυμνὰς δείκνυμεν τὰς χεῖρας, λέγοντες, ἰδοὺ οὐκ ἔχομεν· οὕτω καὶ αὐτὸς τοῖς ἀποστόλοις πεποίηκεν. ἀλλ' ὥσπερ τὸ παιδίον ἐκεῖνο, καὶ μὴ δεικνύντων ἡμῶν ἐπίκειται κλαῖον, εἰδὸς ὅτι ἐξηπάτηται· εἶτα ἀφέντες ἄπιμεν λέγοντες· καλεῖ με ὁ δεῖνα, καὶ ἕτερόν τι ἀντ' αὐτοῦ δίδομεν, βουλόμενοι αὐτὸ ἀπαγαγεῖν τῆς προαιρέσεως, καὶ θαυμάζοντες ἐκεῖνο ἀντὶ τούτου, καὶ δόντες ἀποπηδῶμεν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐζήτουν ἐκεῖνοι λαβεῖν· ἔφη μὴ ἔχειν, καὶ τὸ πρῶτον ἐφόβησεν. ἐπεὶ δὲ πάλιν ἐζήτουν, ἔφη πάλιν μὴ ἔχειν· πλὴν οὐ φοβεῖ νῦν, ἀλλὰ μετὰ τὸ δεῖξαι τοῦτο ὃ πεποίηκε, λέγει καὶ εὐπρόσωπον ἀφορμήν· ὅτι

Ἰωάν. ε. ιθ. καὶ κβ.
Ματθ. ιζ. θ.
Λουκ. κϛ. ξθ.
Μαρκ. ιϛ. ιθ.
Ἀποκ. α. ιβ.
Ματθ. ιϛ. κζ.
Λουκ. κα. κζ.
Ματθ. ιθ. κη.
Λουκ. ιϛ. ιη.
β. Κορ. ιβ. δ.
Φιλιπ. δ. ϛ.
Ἰωάν. ε. κα.

ὅτι ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. τί οὖν; σὺ οὐκ οἶδας τὰ τοῦ πατρός; ἀλλ' αὐτὸν μὲν γινώσκεις, ταῦτα δὲ αὐτοῦ οὐκέτι; αὐτὸς εἶπας, [Λουκ. ι. κβ.] Οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός, καὶ, [α. Κορ. β. ι.] Τὸ μὲν πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· σὺ δὲ τοῦτο οὐκ οἶδας; ἄπαγε. οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν τοῦτο εἴρηκεν, ἀλλ' ἀγνοεῖν προσποιεῖται, τῆς ἀκαίρου ζητήσεως ἀπάγων αὐτούς. οὐκ ἐφοβήθησαν οὖν ἐρωτῆσαι πάλιν, ἵνα μὴ ἀκούσωσι· καὶ ὑμεῖς ἀσύνετοί ἐστε; πολλῷ γὰρ μᾶλλον αὐτοὶ ἐφοβοῦντο νῦν, ἢ τὸ πρότερον. ἀλλὰ λήψεσθε, φησὶ, δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ὥσπερ γὰρ ἐκεῖ, οὐ πρὸς ἃ ἠρώτησαν ἀπεκρίνατο (διδασκάλου γὰρ τοῦτό ἐστι, μὴ ἃ βούλεται ὁ μαθητὴς, ἀλλ' ἃ συμφέρει μαθεῖν, διδάσκειν) οὕτω καὶ νῦν, ἃ ἔδει μαθεῖν, διὰ τοῦτο προλέγει, ἵνα μὴ ταραχθῶσι. ἄρα ἔτι ἀσθενεῖς ἦσαν. ὥστε δὲ παῤῥησιάζεσθαι, ἐπῆρεν αὐτῶν τὰς ψυχὰς, καὶ τὰ φορτικὰ συνεκάλυψεν. ἐπειδὴ γὰρ ἔμελλεν αὐτοὺς μικρὸν ὕστερον λοιπὸν καταλιμπάνειν, ταῦτα διαλεγόμενος οὐδὲν λέγει λυπηρὸν ἁπλῶς· ἀλλὰ τί; μετ' ἐγκωμίου τὰ λυπηρά φησι, μονονουχὶ λέγων, μὴ φοβηθῆτε· λήψεσθε γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ. ἐπειδὴ γὰρ εἶπεν, [Ματθ. ι. ε.] Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· νῦν γ' ἐναντίον βούλεται· ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ κηρύσσειν αὐτούς· καὶ ἃ τότε οὐκ εἶπεν, ἐνταῦθα προσέθηκε, καὶ ἕως ἐσχάτου τῆς γῆς, λέγων. καὶ τὸ πάντων φοβερώτερον εἰπὼν*, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσι,

9 Βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Ὁρᾷς ὅτι αὐτοὶ ἐκήρυξαν καὶ ἐπλήρωσαν τὸ εὐαγγέλιον; οὕτως μέγα αὐτοῖς ἐνεχείρισαν. ὅσου δεδοίκατε, φησὶν, ἐν Ἱεροσολύμοις, ἐκεῖ κηρύξατε πρότερον, καὶ ὕστερον ἕως ἐσχάτου τῆς γῆς. εἶτα πάλιν τῶν λεχθέντων ἡ πίστις. βλεπόντων αὐτῶν ἐπήρθη, φησί. βλεπόντων μὲν γὰρ οὐκ ἀνέστη, βλεπόντων δὲ ἐπήρθη· ἐπειδὴ οὐδὲ ἐνταῦθα ἡ ὄψις τὸ πᾶν ἴσχυσε. καὶ γὰρ τῆς ἀναστάσεως τὸ μὲν τέλος εἶδον, τὴν δὲ ἀρχὴν οὐκ ἔτι· καὶ τῆς ἀναλήψεως τὴν μὲν ἀρχὴν εἶδον, τὸ δὲ τέλος οὐκέτι. περιττὸν γὰρ ἐκεῖνο τὸ τὴν ἀρχὴν ἰδεῖν, αὐτοῦ τοῦ ταῦτα φθεγγομένου παρόντος, καὶ τοῦ μνήματος δηλοῦντος, ὅτι οὐκ ἔστιν ἐκεῖ. ἀλλὰ τὸ μετὰ τοῦτο λόγῳ ἔδει μαθεῖν. ἐπειδὴ γὰρ οὐκ ἀρκοῦσιν οἱ ὀφθαλμοὶ δεῖξαι τὸ ὕψος, οὐδὲ παιδεῦσαι πότερον εἰς τὸν οὐρανὸν ἀνῆλθεν, ἢ ὡς εἰς τὸν οὐρανόν, ὅρα τί γίνεται. ὅτι μὲν αὐτὸς ἐστὶν ὁ Ἰησοῦς, ᾔδεισαν ἐξ ὧν διελέγετο πρὸς αὐτούς (πόῤῥωθεν γὰρ οὐκ ἐνῆν ἰδόντας γνῶναι) ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀναλαμβάνεται, αὐτοὶ λοιπὸν ἐδίδασκον οἱ ἄγγελοι. ὅρα, πῶς οὐ πάντα πνεύματι, [δ. Βασ. β. ια.] ἀλλὰ καὶ ὄψει γενέσθαι οἰκονομεῖται. διὰ τί δὲ νεφέλη ὑπέλαβεν αὐτόν; καὶ τοῦτο τεκμήριον, ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθεν. οὐ πῦρ, ὡς ἐπὶ Ἡλίου, οὐδὲ ἅρμα πύρινον, ἀλλὰ νεφέλη αὐτὸν ὑπέλαβεν, ὃ τοῦ οὐρανοῦ σύμβολον ἦν, καθὼς ὁ προφήτης φησίν· [Ψαλ. ργ. δ.] Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, εἰ καὶ περὶ τοῦ πατρὸς εἴρηται τοῦτο. διὰ τοῦτο λέγει, ὅτι ἐπὶ νεφέλης, ἐν τῷ συμβόλῳ, φησὶ, τῆς θείας δυνάμεως. οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. [Ησ. ιθ. α.] ἄκουε γὰρ πάλιν τί φησιν ὁ προφήτης· Ὁ Θεὸς κάθηται ἐπὶ νεφέλης κούφης. περὶ ἀναγκαίου γὰρ τῆς ἐρωτήσεως οὔσης, καὶ προσεχόντων αὐτῶν σφόδρα τοῖς λεγομένοις, [Εξοδ. λγ. θ.] καὶ διεγηγερμένων, καὶ οὐ νυσταζόντων τοῦτο γέγονε. καὶ ἐν τῷ ὄρει δὲ νεφέλη δι' αὐτόν, ὅτε Μωϋσῆς εἰσῆλθεν εἰς τὸν γνόφον· ἀλλ' οὐ δι' ἐκεῖνον ἦν ἡ νεφέλη. καὶ οὐκ εἶπεν, ὅτι πορευόμενον, ἵνα μὴ πάλιν ἀλγήσωσιν· ἀλλ' εἶπεν, ὅτι τὸ πνεῦμα πέμπω. ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀπῄει, διὰ τῶν ὀφθαλμῶν ἐμάνθανον. βαβαὶ, οἵου θεάματος κατηξιώθησαν·

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν, φησὶν, εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, 11 Οἳ καὶ εἶπον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; Δεικτικῶς ἐχρήσαντο τῇ λέξει, Οὗτος, εἰπόντες, ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς

ληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Πάλιν δὲ σχῆμα φαιδρόν. ἄγγελοι γάρ τινες εἰς τύπον ἀνθρώπων σχηματισθέντες ἐπέστησαν καί φασιν· ἄνδρες Γαλιλαῖοι. ἀξιόπιστοι λοιπὸν ἐδόκουν ἐκείνοις ἐκ τοῦ εἰπεῖν, ἄνδρες Γαλιλαῖοι. τί γὰρ ἔδει πως τὴν πατρίδα μαθεῖν, εἰ μὴ τοῦτο ἦν; καὶ διὰ τοῦ σχήματι δὲ ἐπέστρεψαν, καὶ ἐδήλωσαν ὅτι ἀπὸ τοῦ οὐρανοῦ εἰσι. Διατί μὴ ταῦτα αὐτὸς αὐτοῖς λέγει, ἀλλ' οἱ ἄγγελοι; διελέχθη αὐτοῖς προλαβὼν αὐτὸς πάντα, ὥστε ἀναμιμνήσκοντος ἦν αὐτοὺς διὰ τῶν ἀγγέλων ἅπερ ἤκουσαν. καὶ οὐκ εἶπεν, ὃν ἐθεάσασθε ἀναληφθέντα, ἀλλὰ πορευόμενον εἰς τὸν οὐρανόν· δηλῶν ὅτι ἀνάβασις ἦν ἡ ἀνάληψις· σαρκὸς δὲ τὸ ἀναληφθῆναί ἐστι. Διὰ τοῦτό φησιν, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται. οὐ πεμφθήσεται, ἀλλ' ἐλεύσεται. ποῦ οὖν δὲ ἔλεγον; νεφέλη ὑπέλαβεν αὐτόν· καλῶς. αὐτὸς γὰρ ἐπέβη τῆς νεφέλης. διότι ὁ ἀναβὰς αὐτός ἐστι καὶ ὁ καταβάς. ὅρα, τὰ μὲν κατὰ τὴν ἐκείνων διάνοιαν φθέγγεται, τὰ δὲ ἀξίως τοῦ Θεοῦ. ἐπήρθη λοιπὸν ἡ διάνοια τῶν ἐρώντων. ἐχαρίσατο αὐτοῖς τῆς δευτέρας παρουσίας οὐ μικρὸν γνώρισμα. τὸ γάρ, οὕτως ἐλεύσεται, τοῦτο δηλοῦντός ἐστι, μετὰ τοῦ σώματος, ὃ ἐπόθουν ἀκοῦσαι, καὶ ὅτι πάλιν εἰς κρίσιν ἥξει οὕτως ἐπὶ νεφέλης. καὶ ἰδού, φησιν, ἄνδρες δύο παρειστήκεισαν. Διατί εἶπεν, ἄνδρες; ἀκριβῶς γὰρ ἑαυτοὺς ἀπετύπωσαν εἰς ἄνδρας, ὡς μὴ πτοηθῆναι. οἳ καὶ εἶπον· τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; ἅμα * κολακευόντων ἦν τὰ ῥήματα, καὶ οὐκ ἐώντων προσδοκᾶν αὐτὸν αὐτοὺς πάλιν εὐθέως. οὗτοι δὲ τὸ μὲν μεῖζον λέγουσι, τὸ δὲ ἔλαττον οὐκέτι. ὅτι μὲν γὰρ οὕτως ἐλεύσεται, καὶ ὡς ἐξ οὐρανοῦ αὐτὸν χρὴ προσδέξασθαι, φασι· τὸ δὲ πότε, σιγῶσι λοιπόν. Εἶτα ἀπὸ τῆς θέας ἐκείνης ἐπιστρέψαι αὐτοὺς πρὸς τὸν αὐτῶν λόγον, ἵνα μὴ διὰ τὸ μὴ δύνασθαι θεωρεῖν αὐτόν, νομίσωσιν αὐτὸν μὴ ἀνεληλυθέναι, ἀλλ' ἐν ᾧ διαλέγονται φθάσειν. Εἰ γὰρ περὶ τούτου ἔλεγον, Ποῦ ὑπάγεις; πολλῷ μᾶλλον καὶ νῦν ἂν εἶπον, Εἰ ἐν τῷ χρόνῳ τούτῳ, φησίν, ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; οὕτως ἤδεισαν αὐτοῦ τὸ ἥμερον, ὅτι καὶ μετὰ τὸ πάθος ἐρωτῶσιν αὐτόν, εἰ ἀποκαθιστάνεις; καὶ μὴν ἀνωτέρω εἶπεν αὐτοῖς, ὅτι Μελλήσετε ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ἀλλ' οὔπω τὸ τέλος, οὐδὲ τὰ Ἱεροσόλυμα ἁλώσεται. νῦν δὲ περὶ βασιλείας ἐρωτῶσιν, οὐ περὶ συντελείας. ἄλλως δέ, οὐδὲ μακρὸν λοιπὸν πρὸς αὐτοὺς ἀποτείνει λόγον μετὰ τὴν ἀνάστασιν. ὡς δὴ οὖν καὶ αὐτοὶ εὐδοκιμήσαντες, εἰ τοῦτο γνοῖεν, ἐρωτῶσιν. ὅτι μὲν γὰρ οὐκ ἀποκαθιστάνει, οὐκ ἐδήλωσε. τί γὰρ ἦν τοῦτο ἀναγκαῖον αὐτοὺς μαθεῖν; Διὰ γὰρ τοῦτο δεδοικότες οὐκέτι εἶπον· Τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος; ἀλλ', Εἰ τὴν βασιλείαν τῷ Ἰσραὴλ ἀποκαθιστάνεις; ἐνόμιζον γὰρ αὐτὴν ἤδη παρεῖναι. αὐτὸς δὲ καὶ ἐν παραβολαῖς ἔδειξεν, ὅτι οὐκ ἐγγύς· καὶ ἔνθα ἠρώτησαν, καὶ πρὸς αὐτὸ ἀπεκρίνατο, λήψεσθε, λέγων, δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ὅρα, ἐπελθόντος, οὐ πεμφθέντος, εἶπεν, ἵνα τὸ ἰσότιμον δείξῃ. πῶς οὖν, ὦ πνευματομάχε, κτίσμα τολμᾷς εἰπεῖν; καὶ ἔσεσθέ μοι μάρτυρες. ᾐνίξατο τὴν ἀνάληψιν· μᾶλλον δὲ ἃ καὶ ἤδη προήκουσαν, καὶ νῦν πάλιν αὐτοὺς ἀνέμνησεν. ἤδη ἐδείχθη ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθε. νεφέλη καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ, φησι. τοῦτο γὰρ δηλοῖ τό, νεφέλη ὑπέλαβεν αὐτόν, τὸν τοῦ οὐρανοῦ φησι δεσπότην. καθάπερ γὰρ βασιλέα δείκνυσιν ὄχημα βασιλικόν· οὕτω καὶ ἐπ' αὐτὸν ἐπέμφθη τὸ ὄχημα τὸ βασιλικόν, ἵνα μηδὲν φθέγξωνται λυπηρόν, μηδὲ τὸ αὐτὸ πάθωσιν, ὅπερ ὁ Ἐλισσαῖος, τοῦ διδασκάλου ἀναληφθέντος, διέρρηξε τὸν χιτωνίσκον. καὶ τί φασιν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται· καί, ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς εἰπόντες. Ἐπὶ στόματος γὰρ δύο μαρτύρων σταθήσεται πᾶν ῥῆμα. καὶ ταῦτα αὐτὰ φθέγγονται. καὶ ἐν ἐσθῆτι, φησι, λευκῇ. ὥσπερ ἤδη ἄγγελοι εἶδον ἐπὶ τοῦ μνήματος ἐν ἐσθήσεσιν ἀστραπτούσαις, καὶ προεῖπον αὐτῶν καὶ τὴν διάνοιαν· οὕτω καὶ τῆς ἀναλήψεως αὐτοῦ

κήρυξ

χ. ἐν τύπῳ ἀνθρωπίνῳ ἄφνω ἐφάνησαν,

χ. εἶπον

χ. αἴνιγμα.

χ. τὸ περὶ τῆς κρίσεως πάλιν ὅτι ἥξ.

χ. διετύπωσ.

* καὶ

χ. οὐκέτι ἐᾶσαι

χ. τὴν τῆς τιμῆς ἰσότητα

χ. πῶς οὖν, ὦ πνευματομάχε, ὃς τῷ πνεύματι ἐναντιούμενος, κτίσιν αὐτὸ ποιεῖς;

Ἐφ. δ. ι.

Ιωαν. ιγ. λς.

Μαρκ. ιγ. ζ.

Ματθ. κδ. γ.

Ψαλ. ϟς. β.

δ. Βασ. β. ιβ.

Δευτ. ιζ. ς.

κῆρυξ ἄγγελος γέγονε. εἰ καὶ τὸν προφῆται πολλαχοῦ προεῖπον, ὥσπερ καὶ περὶ τῆς ἀναστάσεως. πανταχοῦ ἄγγελοι γίνονται κήρυκες, ὡς ἐπὶ τῆς γεννήσεως· ὡς πρὸς τὴν Μαριὰμ πάλιν· ὡς ἐπὶ τῆς ἀναστάσεως· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναλήψεως· μᾶλλον δὲ καὶ ἐπὶ τῆς δευτέρας παρουσίας ἄγγελοι φαίνονται προτρέχοντες. Εἰπόντες δὲ, οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν· ἵνα μὴ αὐτοὺς ἐξαπορήσωσιν, ἐπήγαγον· οὕτως ἐλεύσεται. ἀνέπνευσε μικρὸν ἀκούσαντες, ὅτι πάλιν ἐλεύσεται, καὶ ὅτι οὕτω, καὶ οὐκ ἔσται ἀπρόσιτος. καὶ τὸ, ἀφ᾽ ὑμῶν, δὲ οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ τῆς ἀγάπης ἐστὶ παραστατικὸν τῆς εἰς αὐτοὺς, καὶ τῆς ἐκλογῆς, καὶ ὅτι οὐκ ἀφήσει οὓς ἐξελέξατο. τῆς μὲν οὖν ἀναστάσεως καὶ αὐτὸς γέγονε μάρτυς (πάντων γὰρ τοῦτο θαυμασιώτερον ἦν μετὰ τὸν τόκον, μᾶλλον δὲ καὶ παρὰ τὸν τόκον, τὸ ἑαυτὸν ἀναστῆσαι. Λύσατε γὰρ, φησὶ, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγὼ ἐγερῶ αὐτόν) τῆς δὲ μελλούσης παρουσίας οἱ ἄγγελοι, οὕτως ἐλεύσεται, λέγοντες.

[Margin: γρ. ἀκούσαντες]

[Margin: Ἰωαν. β. ιθ.]

ΗΘΙΚΟΝ

Εἴ τις τοίνυν ἐπιθυμεῖ τὸν Χριστὸν ἰδεῖν, εἴ τις ἀλγεῖ διότι οὐκ εἶδεν αὐτὸν, τοῦτο ἀκούσας, βίον θαυμαστὸν ἐπιδεικνύσθω, καὶ πάντως ὄψεται, καὶ οὐκ ἀποτεύξεται. μετὰ γὰρ πλείονος ἥξει δόξης, πλὴν οὕτω μετὰ νεφέλης, οὕτω μετὰ σώματος. καὶ πολλῷ θαυμασιώτερον ἰδεῖν αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ καταβαίνοντα, ἢ ἀπὸ γῆς ἀναβαίνοντα. διότι μὲν οὖν ἥξει, εἶπον· ἐπὶ τίνι δὲ, οὐκ ἔτι προσέθηκαν. τοῦτο τὴν ἀνάστασιν βεβαιοῖ. εἰ γὰρ μετὰ σώματος ἀνελήφθη, πολλῷ μᾶλλον μετὰ σώματος ἀνέστη. ποῦ εἰσὶν οἱ διαπιστοῦντες τῇ ἀναστάσει; τίνες εἰσὶν, εἰπέ μοι; Ἕλληνες, ἢ Χριστιανοί; (ἀγνοῶ γὰρ) μᾶλλον δὲ οἶδα ἀκριβῶς. Ἕλληνες γάρ εἰσιν, οἱ καὶ τῇ δημιουργίᾳ τῆς κτίσεως διαπιστοῦντες. τὴν γὰρ αὐτὴν ἐστὶ μὴ συγχωρεῖν ἐξ οὐκ ὄντων ποιεῖν τι τῷ Θεῷ, καὶ τὰ κείμενα μὴ λέγειν αὐτὸν ἀνιστᾶν. Εἶτα αἰσχυνόμενοι διότι οὐκ ἴσασι τὴν δύναμιν τοῦ Θεοῦ, ἵνα μὴ τοῦτο ἐγκαλῶνται, φασίν· οὐ διὰ τοῦτο ταῦτα λέγομεν· ἀλλ᾽ ὅτι οὐ χρεία σώματος. εὐκαιρότερον ἀληθῶς εἴποιμι· Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει. οὐκ αἰσχύνεσθε ἐξ οὐκ ὄντων οὐδὲν διδόντες ποιεῖν τὸν Θεόν; εἰ δὲ ἐξ ὄντων ποιεῖ, τί διαφέρει τῶν ἀνθρώπων; ἀλλὰ πόθεν, φησὶ, τὰ κακά; μὴ γὰρ, ἐπειδὴ οὐκ οἶδας πόθεν, ἕτερον ὀφείλεις ἐπεισαγαγεῖν κακὸν ἐν τῇ γνώσει τῶν κακῶν; δύο γὰρ γίνεται ἄτοπα. εἰ γὰρ οὐ δίδως ἐξ οὐκ ὄντων τὰ ὄντα ποιεῖν τὸν Θεὸν, πολλῷ μᾶλλον οὐκ εἴσῃ πόθεν τὰ κακά. καὶ ἕτερον πάλιν ἐπεισάγεις κακὸν τῷ λέγειν ἀγέννητον εἶναι τὴν κακίαν. ἐννόησον δὲ ὅσον ἐστὶ χαλεπὸν βουλόμενον εὑρεῖν τὴν πηγὴν τῶν κακῶν, ταύτην τε ἀγνοῆσαι, καὶ ἕτερον προσθεῖναι αὐτῇ. ζήτει πόθεν τὰ κακὰ, καὶ μὴ βλασφήμει τὸν Θεόν. καὶ πῶς βλασφημῶ; φησί· τί λέγεις; οὐ βλασφημεῖς ὅταν ἀγέννητον εἰσάγῃς τὸ κακόν; ὅταν ἴσον δύνασθαι τῷ Θεῷ συγχωρῇς; ὅταν ἰσοσθενῆ δύναμιν εἰσάγῃς τῶν κακῶν; ὅταν ἀγέννητον; ὅρα γὰρ τί φησιν ὁ Παῦλος. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. ὁ μέντοι διάβολος ἀμφότερα ἔφησεν εἶναι τῆς ὕλης, ἵνα μηδαμόθεν λοιπὸν τὸν Θεὸν ἐπιγνῶμεν. τί γὰρ δυσκολώτερον, εἰπέ μοι; τὸ φύσει κακὸν ποιῆσαι, εἴγε τί ἐστι (καθ᾽ ὑμᾶς γὰρ λέγω· φύσει γὰρ οὐδέν ἐστι ποιῆσαι κακὸν καλοῦ συνεργόν) ἢ τὸ ἐξ οὐκ ὄντων; τί εὐκολώτερον (ὡς ἐπὶ ποιότητος λέγω) τὴν οὐκ οὖσαν ποιότητα εἰσαγαγεῖν, ἢ τὴν οὖσαν μεταβαλεῖν εἰς τὸ ἐναντίον; τί εὐκολώτερον, τὴν οὐκ οὖσαν οἰκίαν ποιῆσαι, ἢ τὴν ἔρημον οὖσαν ἄνωθεν ἐργάσασθαι; εὔδηλον ὅτι ἐκεῖνο. οὐκοῦν τοῦτο ἀδύνατον. ὥσπερ οὖν τοῦτο ἀμήχανον, οὕτω καὶ ἐκεῖνο ἀδύνατον, εἰς τὸ ἐναντίον λέγω ἐνεργεῖν. εἰπέ μοι, τί δυσκολώτερον; μύρον κατασκευάσαι, ἢ τὸν βόρβορον βιάσασθαι τὰ τοῦ μύρου ἐργάσασθαι; τί εὐκολώτερον, εἰπέ μοι, τούτων; (ἐπειδὴ τοῖς ἡμετέροις λογισμοῖς τὸν Θεὸν ὑποβάλλομεν, ἀλλ᾽ οὐχ ἡμεῖς, μὴ γένοιτο, ἀλλ᾽ ὑμεῖς) ὀφθαλμοὺς πλάσαι, ἢ τυφλὸν ποιῆσαι βλέπειν μένοντα τυφλὸν, καὶ ὀξυωπέστερον τοῦ βλέποντος, καὶ τῇ τυφλότητι ἀποχρήσασθαι εἰς βλέψιν, καὶ τῇ κωφότητι εἰς ἀκοήν; ἐμοὶ δοκεῖ ἐκεῖνο. τὸ δυσκολώτερον οὖν δίδως τῷ Θεῷ, εἰπέ μοι, καὶ τὸ εὐκολώτερον οὐχί;

[Margin: Ησ. λβ. ς.]

[Margin: γρ. ἕτερον [illegible] αὐτῇ]

[Margin: Ρωμ. α. κ.]

οὐχί; τί λέγω τοῦτο; ἀλλὰ καὶ τὰς ψυχὰς ἐκ τῆς οὐσίας αὐτοῦ εἶναί φασιν. ὅρα πόσα τὰ ἀσεβῆ καὶ ἀνόητα. πρῶτον, βουλόμενοι δεῖξαι ὅτι ἐκ τοῦ Θεοῦ τὰ κακὰ, ἕτερον τούτου ἀσεβέστερον ἐπεισάγουσιν. "ὁμόχρονα γὰρ αὐτῷ, καὶ οὐδὲν αὐτῶν πρεσβύτερον τὸν Θεὸν λέγουσι, τὸ γέρας τὸ μέγα καὶ αὐτοῖς διδόναι τολμῶντες. δεύτερον, καὶ ἀνώλεθρον τὴν κακίαν φασίν. οὐ γὰρ τὸ ἀγέννητον ἀναιρεῖται. ὁρᾷς τὴν βλασφημίαν; ὥστε ἀνάγκη, ἢ μηδὲν τοῦ Θεοῦ εἶναι· ἢ εἰ μὴ ταῦτα, καὶ Θεὸν μὴ εἶναι. τρίτον, ὅπερ ἔφην, "ταύτῃ πολεμοῦσιν αὐτοὶ ἑαυτοῖς, καὶ προσαγανακτεῖν τὸν Θεὸν μᾶλλον παρασκευάζουσι. τέταρτον, τὴν "ἄστατον ὕλην τοσαύτην ἐπιτηδειότητα ἔχειν διδόασι. πέμπτον, τῆς ἀγαθότητος τοῦ Θεοῦ τὴν πονηρίαν αἰτίαν φασὶ γεγενῆσθαι, καὶ ὅτι χωρὶς ταύτης ὁ ἀγαθὸς οὐκ ἦν ἀγαθός. ἕκτον, τὰς ὁδοὺς ἡμῖν ἀποκλείουσι τῆς θεογνωσίας. ἕβδομον, τὸν Θεὸν εἰς ἀνθρώπους κατάγουσι, καὶ φυτὰ, καὶ ξύλα. εἰ γὰρ ἡ μὲν ἡμετέρα ψυχὴ τῆς τοῦ Θεοῦ οὐσίας ἐστὶν, ἡ δὲ μετενσωμάτωσις καὶ εἰς σικυοὺς καὶ πέπονας ἐκβαίνει καὶ κρόμμυα· ἄρα τοῦ Θεοῦ ἡ οὐσία εἰς σικυούς ἐστι. κἂν μὲν εἴπωμεν, ὅτι πνεῦμα ἅγιον τὸν ναὸν ἔπλασεν ἐν τῇ παρθένῳ, καταγελῶσιν· ἂν ὅτι ἐνῴκησεν ἐν τῷ πνευματικῷ ναῷ, πάλιν γελῶσιν· αὐτοὶ δὲ καὶ εἰς σικυοὺς, καὶ πέπονας, καὶ μυίας, καὶ κάμπας, καὶ ὄνους τοῦ Θεοῦ τὴν οὐσίαν κατάγοντες οὐκ αἰσχύνονται, καινόν τινα εἰδωλολατρείας "ἐξευρίσκοντες τρόπον." μὴ γὰρ τὸ κρόμμυον ἔστω Θεὸς κατ' Αἰγυπτίους, ἀλλ' ὁ Θεὸς ἐν τῷ κρομμύῳ. τί φθέγγῃ τὴν μετενσωμάτωσιν τοῦ Θεοῦ; αἰσχρόν ἐστι, φησίν. οὐκοῦν πολλῷ μᾶλλον τοῦτο αἰσχρόν. ἐκεῖ οὐκ αἰσχρόν; "πῶς; ὅπερ γὰρ ἂν εἰς ἡμᾶς γένηται, οὕτως αἰσχρόν. εἴδετε συρφετὸν ἀσεβείας; ἀλλὰ διὰ τί οὐ βούλονται ἀνίστασθαι σῶμα; τί δὲ καὶ ἐροῦσιν; ὅτι τὸ σῶμα πονηρόν; πόθεν οὖν οἶδας, εἰπέ μοι, τὸν Θεόν; πόθεν ἔχεις τὴν ὄντων τὴν γνῶσιν; ὁ δὲ φιλόσοφος, πόθεν φιλόσοφος, εἰ μηδὲν συντελεῖ τὸ σῶμα; πήρωσον τὰς αἰσθήσεις, καὶ μάθε τι τῶν δεόντων. τί δὲ μωρότερον τῆς ψυχῆς γένοιτ' ἄν, εἰ ἐξ ἀρχῆς τὰς αἰσθήσεις εἴη πεπηρωμένη; εἰ γὰρ ἐν μέρει μόνον πήρωσις, τοῦ ἐγκεφάλου λέγω, τὸ πᾶν αὐτῆς βλάβη γίνεται· εἰ μέλλοι καὶ τὰ ἄλλα * πεπηρῶσθαι, ποῦ χρήσιμος ἔσται; δεῖξόν μοι χωρὶς σώματος ψυχήν. ἢ οὐκ ἀκούεις ἰατρῶν λεγόντων, νόσος γὰρ παροῦσα σφοδρῶς ψυχὴν ἀμαυροῖ; μέχρι τίνος οὐκ ἀπάγχεσθε; τὸ σῶμα τῆς ὕλης ἐστὶν, εἰπέ μοι, καλῶς. οὐκοῦν ἔδει μισεῖν αὐτό; τί τοίνυν αὐτὸ τρέφεις; τί θάλπεις; [οὐκοῦν ἔδει ἀναιρεῖν σαυτὸν,] οὐκοῦν ἔδει ἀπαλλάττεσθαι τοῦ δεσμωτηρίου. ἄλλως δὲ, ὁ Θεὸς οὐ δύναται περιγενέσθαι τῆς ὕλης, ἂν μὴ συμπλακῇ. ἐπιτάξαι γὰρ οὐ δύναται, ἕως ἂν συντέμηται αὐτῇ, καὶ δι' ὅλης σταθῇ, φησίν. ὢ τῆς ἀσθενείας. καὶ βασιλεὺς μὲν ἐπιτάττων πάντα ποιεῖ· ὁ δὲ Θεὸς τοῖς πονηροῖς οὐκ ἐπιτάττων; ὅλως δὲ εἰ ἀγαθοῦ τινος ἄμοιρος ἦν, οὐκ ἂν ἔστη. οὐ γὰρ ἔχει φύσιν ἡ πονηρία συνίστασθαι, ἂν μή τινος ἐπιλάβηται τῆς ἀρετῆς. ὥστε εἰ παρὰ τοῦτο ἀμιγὴς ἦν ἀρετῆς, πάλαι ἂν διεφθάρη. καὶ γὰρ οὗτον ἔχει τὸν τρόπον τὰ κακά. ἔστω τις ἀσελγὴς καὶ μηδὲ ὅλως ἑαυτὸν κατεχέτω· εἰ ζήσεται δέκα ἡμέρας; ἔστω τις λῃστὴς καὶ πρὸς πάντας ἀσυνείδητος, ἔστω καὶ πρὸς τοὺς συλλῃστεύοντας· εἰ ζήσεται ὅλως; ἔστω τις κλέπτης ἀναίσχυντος, καὶ μὴ ἐρυθριάτω, ἀλλὰ δημοσίᾳ κλεπτέτω· εἰ βιώσεται ὁ τοιοῦτος; οὐκ ἔχει φύσιν τὰ κακὰ συνίστασθαι, ἂν μὴ κἂν μικρόν τι παρὰ τῶν ἀγαθῶν λάβῃ. ὥστε καὶ αὐτῶν ὁ Θεὸς αὐτὰ συνέστησεν. ἔστω πόλις ἀνδρῶν πονηρῶν, εἰ στήσεταί ποτε; πονηροὶ δὲ ἔστωσαν, μὴ πρὸς τοὺς ἀγαθούς; ἀλλὰ καὶ πρὸς ἑαυτούς. ἀλλ' οὐ δυνατὸν στῆναι. οὕτως ἐμωράνθησαν φάσκοντες εἶναι σοφοί. εἰ δὲ σῶμα Ῥωμ. α. κβ.
κακὸν, πάντα ἁπλῶς καὶ εἰκῇ τὰ ὁρώμενα, καὶ ὕδωρ, καὶ γῆ, καὶ ἥλιος, καὶ ἀήρ. καὶ γὰρ ἀὴρ σῶμα,
εἰ καὶ μὴ [παχὺ καὶ] ναστόν. εὔκαιρον νῦν εἰπεῖν· Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας. Ψαλ. ριη. πε.
ἀλλὰ μὴ ἀνεχώμεθα, ἀλλ' ἀποτειχίσωμεν αὐτοῖς τὰς ἀκοάς. ἔστι γὰρ, ἔστι σωμάτων ἀνάστασις. τοῦτο ὁ τάφος δηλοῖ ὁ ἐν Ἱεροσολύμοις· τοῦτο τὸ ξύλον, ἔνθα προσεδέθη καὶ ἐμαστιγώθη. Συνεφάγομεν γὰρ αὐτῷ, φησί, καὶ συνεπίομεν. πιστεύωμεν τοίνυν τῇ ἀναστάσει, καὶ Πραξ. ι. μα.

πράττωμεν

ὁμότιμα καὶ ἐπ' ἴσης πρεσβύτερα τὸ γέρ. τὸ αὐ. ...τες.

...ἐκπολε... ἑαυτοὺς, ... ἀγα... ἄπρακτον

... ἀλλ' οὐ τὸ κρόμμυον ἐν Θεῷ. πῶς γὰρ ... εἰς ἡ... γένηται, ...

μέρη

περιέλθωμεν ἄξια ταύτης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. γ. 12 ΤΟΤΕ ΥΠΕΣΤΡΕΨΑΝ ΕΙΣ ΙΕΡΟΥΣΑΛΗΜ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν.

Τότε, φησὶν, ὑπέστρεψαν. τότε πότε; ὅτε ἤκουσαν. οὐ γὰρ ἂν ἄλλως ἠνέσχοντο, εἰ μὴ ἑτέραν αὐτοῖς προθεσμίαν ὑπέσχετο. δοκεῖ δέ μοι ἐν σαββάτῳ γεγενῆσθαι ταῦτα. οὐ γὰρ ἂν οὕτω τὸ διάστημα ἐδήλωσεν εἰπὼν, ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδὸν, εἰ μὴ ὡρισμένον τι μῆκος ὁδοιπορίας ἐβάδιζον ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου.

13 Καὶ ὅτε εἰσῆλθον, φησὶν, εἰς τὸ ὑπερῷον ἀνέβησαν, οὗ ἦσαν καταμένοντες.

Ἄρα λοιπὸν ἐν Ἱεροσολύμοις ἔμενον μετὰ τὴν ἀνάστασιν. Ὅ τε Πέτρος, φησὶ, καὶ Ἰάκωβος, καὶ Ἰωάννης. Οὐκέτι μετὰ τοῦ ἀδελφοῦ μόνοι συναριθμοῦνται, ἀλλὰ καὶ Ἀνδρέας μετὰ Πέτρου. Καὶ Ἀνδρέας, φησὶ, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος, καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου, καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου. Καλῶς ἐμνημόνευσε τῶν μαθητῶν. ἐπειδὴ γὰρ ὁ μὲν προὔδωκεν, ὁ δὲ ἠρνήσατο, ὁ δὲ ἠπίστησε, δείκνυσιν ὅτι πλὴν ἐκείνου πάντες ἦσαν σῶοι.

14 Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες, φησὶν, ὁμοθυμαδὸν τῇ προσευχῇ, καὶ τῇ δεήσει σὺν ταῖς γυναιξί. Καλῶς. μέγα γὰρ τοῦτο ὅπλον ἐν τοῖς πειρασμοῖς, καὶ τοῦτο ἦσαν προπαιδευθέντες ἱκανῶς ὑπ' αὐτοῦ τοῦ διδασκάλου. ἄλλως δὲ, καὶ ὁ πρὸ τῶν πειρασμὸς αὐτοὺς εἰς τοῦτο ἦγε. διὰ τοῦτο ἀναβαίνουσι καὶ εἰς τὸ ὑπερῷον. σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς Ἰουδαίους. σὺν γυναιξὶ, φησίν. εἶπε γὰρ, ὅτι ἠκολούθησαν αὐτῷ.

Ματθ. κζ. νϛ. Ιωαν. ιθ. κϛ. Ιωαν. ιθ. κη.

Καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. Πῶς οὖν λέγει, ὅτι εἰς τὰ ἴδια αὐτὴν ἔλαβεν ἀπὸ τότε ὁ μαθητής; ἀλλὰ συναγαγὼν πάλιν αὐτοὺς ὁ Χριστὸς, οὕτω λοιπὸν πάλιν αὐτοῖς καὶ ἐκείνη συνῆν. σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. τούτους λέγει, οἳ ἀπιστοῦντες πρότερον ἦσαν.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις, φησὶν, ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπε. Καὶ ὡς θερμὸς, καὶ ὡς ἐμπιστευθεὶς παρὰ τοῦ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ χοροῦ πρῶτος, ἀεὶ πρότερος ἄρχεται τοῦ λόγου (Ἦν τε ὄχλος ὀνομάτων, φησὶν, ἐπιτοαυτὸ, ὡς ἑκατὸν εἴκοσι)

16 Ἄνδρες ἀδελφοὶ, φησὶν, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον. Τί δήποτε οὐ τὸν Χριστὸν ἠξίωσε [μόνος], ὥστε αὐτῷ δοῦναι εἰς τὸν τόπον Ἰούδα τινά; διὰ τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ ποιοῦνται τὴν ἐκλογήν; βελτίων γέγονε λοιπὸν ὁ Πέτρος αὐτὸς ἑαυτοῦ. τοῦτο τοίνυν ἐστὶν εἰπεῖν περὶ τούτου. περὶ δὲ τοῦ μὴ ἁπλῶς, ἀλλ' ἐξ ἀποκαλύψεως αἰτεῖν τὸν τὴν χορείαν ἀναπληροῦντα, δύο αἰτίας ἐροῦμεν· μίαν μὲν, ὅτι περὶ ἄλλα ἠσχολοῦντο· δευτέραν δὲ, ὅτι τοῦ παρεῖναι αὐτοῖς τὸν Χριστὸν τεκμήριον μέγιστον τοῦτ'. καθάπερ γὰρ πρότερον ἐξελέγετο, οὕτω καὶ νῦν ἀπών. οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν. ὅρα δὲ αὐτὸν μετὰ κοινῆς πάντα ποιοῦντα γνώμης· οὐδὲν αὐθεντικῶς, οὐδὲν ἀρχικῶς. καὶ οὐκ εἶπεν οὕτως ἁπλῶς, ἀντὶ τοῦ Ἰούδα τοῦτον καταλέγομεν· ἀλλὰ παραμυθούμενος αὐτοὺς ὑπὲρ τοῦ γεγενημένου, βλέπε πῶς μεταχειρίζει τὸν λόγον. οὐ γὰρ μικρὰν ἀπορίαν ἐνεποίησε τὸ γεγονός. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ νῦν τοῦτο πολλοὶ περιστρέφουσι, τί ποτε εἰκὸς

ἦν

ἣν αὐτὸς λέγει· ἄνδρες, φησὶν, ἀδελφοί. Εἰ γὰρ αὐτὸς ὁ Κύριος ἀδελφοὺς αὐτοὺς ἐκάλεσε, πολλῷ μᾶλλον οὗτος. διὸ καὶ πάντων παρόντων τοῦτο ἀναφωνεῖ. ἰδοὺ ἐκκλησίας ἀξίωμα, καὶ ἀγγελικὴ κατάστασις. οὐδεὶς ἦν ἐκεῖ [διερρηγμένος·] οὐκ ἄρσεν, οὔτε θῆλυ. τοιαύτας βούλομαι τὰς ἐκκλησίας εἶναι καὶ νῦν. οὐδεὶς βιωτικόν τι ἐφρόντιζεν, οὐδεὶς περὶ οἰκίας ἐμερίμνα. πόσον ἀγαθὸν οἱ πειρασμοί· τοιοῦτοι αἱ θλίψεις καλοί. ἔδει πληρωθῆναι, φησὶ, τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον. ἀεὶ παραμυθεῖται αὐτοὺς ἀπὸ τῆς προρρήσεως. οὕτω καὶ ὁ Χριστὸς πανταχοῦ ποιεῖ. τὸν αὐτὸν δὴ τύπον καὶ οὗτος διήκνυσιν, ὅτι οὐδὲν ξένον γέγονεν, ἀλλὰ τὸ ἤδη προειρημένον. ἔδει, φησί, πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ. καὶ οὐ λέγει, Δαβὶδ εἶπεν, ἀλλὰ, τὸ πνεῦμα δι᾽ αὐτοῦ. ὅρα ἀληθῶς ἐν προοιμίοις τοῦ βιβλίου ὁποία κέχρηται διδασκαλίᾳ. ὁρᾷς ὅτι οὐχ ἁπλῶς εἶπον ἀρχόμενος τῆς συγγραφῆς ταύτης, ὅτι τοῦ πνεύματός ἐστι πολιτεία τὸ βιβλίον τοῦτο; ἣν προεῖπε, φησι, τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ. σκόπει πῶς τὴν προφητείαν οἰκειοῦται, καὶ αὐτὸν ἄγει εἰς μέσον, εἰδὼς ὅτι αὐτοὺς ὠφελεῖ τὸ διὰ Δαβὶδ εἰρῆσθαι, καὶ μὴ δι᾽ ἄλλου προφήτου. Περὶ Ἰούδα, φησὶ, τοῦ ὁδηγοῦ γενομένου. Ὅρα καὶ ἐνταῦθα τὸ φιλόσοφον τοῦ ἀνδρός· πῶς οὐχ ὑβρίζει, οὐδὲ ἐφάλλεται, λέγων, τοῦ μιαροῦ καὶ παμμιάρου· ἀλλ᾽ ἁπλῶς τὸ γενόμενον δηλοῖ. καὶ οὐδὲ λέγει, τοῦ προδόντος, ἀλλ᾽ ἐφ᾽ ἑτέρους βιάζεται μεταθεῖναι τὸ ἔγκλημα, ὅσοι εἰς αὐτὸν ἦκε. καὶ οὐδὲ ἐκείνων σφόδρα καθάπτεται. τοῦ γενομένου, φησὶν, ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν. καὶ πρὶν ἢ εἰπεῖν, ποῦ εἶπε Δαβὶδ, λέγει τὰ πεπραγμένα αὐτῷ, ἵνα ἀπὸ τῶν προειρημένων καὶ τὰ μέλλοντα πιστώσηται, καὶ δείξῃ ἤδη δεδωκότα δίκην.

17 Ὅτι κατηριθμημένος ἦν, φησι, σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

18 Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας.

Ἠθικὸν ποιεῖ τὸν λόγον, καὶ λανθανόντως τὴν αἰτίαν παιδευτικὴν οὖσαν ἀποκαλύπτει. οὐ λέγει γὰρ, ὅτι οἱ Ἰουδαῖοι· ἀλλ᾽ οὗτος αὐτὸ ἐκτήσατο. ἐπειδὴ γὰρ αἱ ψυχαὶ τῶν ἀσθενῶν οὐχ οὕτω πρὸς τὰ μέλλοντα ὁρῶσιν, ὡς πρὸς τὰ παρόντα, περὶ τῆς παρούσης δίκης διαλέγεται.

Καὶ πρηνὴς γενόμενος, φησιν, ἐλάκησε μέσος. Καλῶς οὐκ ἐν τῷ ἁμαρτήματι, ἀλλ᾽ ἐν τῇ τιμωρίᾳ τὸν λόγον ἐπῆρε. Καὶ ἐξεχύθη, φησὶ, πάντα τὰ σπλάγχνα αὐτοῦ.

Τοῦτο παραμυθίαν ἐκείνοις ἔφερε.

19 Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμὰ, τουτέστι, χωρίον αἵματος. Οἱ μὲν οὖν Ἰουδαῖοι ταύτῃ τῇ προσηγορίᾳ ἐκάλεσαν αὐτὸ, οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸν Ἰούδαν· οὗτος δὲ εἰς τοῦτο αὐτὸ μετήγαγε, καὶ μάρτυρας τοὺς ἐχθροὺς φέρων. Ὅτω τι γάρ εἰπεῖν, ὅτι ὠνόμασαν, καὶ τῷ ἐπαγαγεῖν, τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, τοῦτο δηλοῦν βούλεται. Εἶτα μετὰ τὴν ἔκβασιν οἰκείως ἐπεισάγει τὴν προφητείαν λέγων·

20 Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. Ψαλ. ξη. κϛ. Τοῦτο περὶ τοῦ χωρίου καὶ τῆς οἰκίας. Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος. Ψαλ. ρη. η. Τουτέστι, τὴν ἀρχὴν, τὴν ἱερωσύνην. ὥστε οὐκ ἐμὴ γνώμη τοῦτο τυγχάνει, ἀλλ᾽ ἐκείνου τοῦ ταῦτα προειρηκότος. ἵνα γὰρ μὴ δόξῃ μεγάλῳ πράγματι ἐπιχειρεῖν, καὶ τοιούτῳ οἵῳ ὁ Χριστὸς, ἐπήγαγε μάρτυρα τὸν προφήτην.

21 Δεῖ οὖν, φησι, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ. Διὰ τί κοινοῦται αὐτοῖς; ἵνα μὴ περιμάχητον τὸ πρᾶγμα γένηται, καὶ εἰς φιλονεικίαν ἐμπέσωσιν. Εἰ γὰρ αὐτοὶ τοῦτο ἔπαθον, πολλῷ μᾶλλον ἐκεῖνοι· καὶ ἀεὶ τοῦτο παραιτεῖται. διὰ τοῦτο ἀρχόμενος ἔλεγεν· ἄνδρες ἀδελφοὶ, δεῖ ἐκλέξασθαι ἐξ ἡμῶν. τῷ πλήθει τὴν κρίσιν ἐπιτρέπει,

τούς τε

τούς τε γινομένους αἰδεσίμους ποιῶν, καὶ αὐτὸς ἀπαλλαττόμενος ἀπεχθείας τῆς πρὸς τοὺς ἄλλους. μεγάλα γὰρ ἀεὶ τὰ τοιαῦτα ἐργάζεται κακά. ὅτι μὲν οὖν ἔδει γενέσθαι, τὸ προφητῶν παρήγαγε μαρτύριον· ἐκ τίνων δὲ δεῖ, αὐτὸς ἑρμηνεύει λέγων· ἐκ τῶν συνελθόντων ἡμῖν ἐν παντὶ χρόνῳ. εἰ μὲν γὰρ εἶπε, τοὺς ἐπιεικεῖς δεῖ προάγεσθαι, τοὺς ἄλλους ἂν ὕβρισε· νῦν δὲ τῷ χρόνῳ τὸ πρᾶγμα ἐπιτρέψας, οὐχ ἁπλῶς συνελθόντας εἰπὼν, ἀλλ' ἐν παντὶ χρόνῳ, Ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς,

22 Ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. Ἵνα τί γένηται; ἵνα μὴ ἠκρωτηριασμένος ὁ χορὸς εἴη. "τί οὖν; ἐλέσθαι [τὸν Πέτρον] αὐτὸν οὐκ ἐξῆν;" καὶ πάνυ γε· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, τοῦτο οὐ ποιεῖ· ἄλλως δὲ, καὶ πνεύματος ἄμοιρος ἦν ἔτι.

23 Καὶ ἔστησαν, φησι, δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν.

Οὐχὶ αὐτὸς αὐτοὺς ἔστησεν, ἀλλ' ἅπαντες. τὴν γνώμην δὲ αὐτὸς εἰσηγήσατο, δείξας οὐδὲ αὐτὴν αὐτοῦ οὖσαν, ἀλλ' ἄνωθεν κατὰ προφητείαν· ὥστε ἐξηγητὴς γέγονεν, οὐ διδάσκαλος. Ἰωσὴφ, φησι, τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος. ἴσως διὰ τὰς ὁμωνυμίας ἀμφότερα τέθεικεν. ἐπεὶ καὶ ἐν τοῖς ἀποστόλοις πολλαὶ ὁμωνυμίαι ἦσαν· Ἰάκωβος ὁ Ζεβεδαίου, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου· Σίμων Πέτρος, Σίμων ὁ Ζηλωτής· Ἰούδας Ἰακώβου, καὶ Ἰούδας ὁ Ἰσκαριώτης. ἄλλως δὲ καὶ μεταβολῆς βίου, ἴσως δὲ καὶ προαιρέσεως ἦν ἡ ὀνομασία. ἔστησαν, φησιν, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν,

24 Καὶ προσευξάμενοι εἶπον· σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα,

25 Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. Καλῶς λέγουσιν ἐκείνου τὸ ἁμάρτημα, δεικνύντες ὅτι μάρτυρα αἰτοῦσιν, οὐ πλεονάζοντες τὸν ἀριθμὸν, ἀλλ' ἐλαττωθῆναι οὐκ ἐῶντες.

26 Καὶ ἔδωκαν κλήρους αὐτῶν (οὐδέπω γὰρ πνεῦμα ἦν) καὶ ὁ κλῆρος ἐπὶ Ματθίαν ἔπεσε· καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων. Τότε, φησὶν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος· ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν. τοῦτό φησιν, ἵνα δείξῃ ὅτι μακρὰν οὐ βαδίζουσιν ὁδὸν, ὡς φόβου ὄντα μὴ γενέσθαι τρέμουσιν ἔτι καὶ δεδοίκασιν αὐτοῖς. καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον. οὐκ ἐτόλμησαν γὰρ φαίνεσθαι ἐπὶ τῆς πόλεως. καὶ καλῶς εἰς τὸ ὑπερῷον ἀνέβησαν, ὥστε μὴ εἶναι εὔκολον ἐκ τοῦ ἑτοίμου συλληφθῆναι αὐτούς. καὶ ἦσαν, φησι, προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ. ὁρᾷς πῶς ἐγρηγορότες ἦσαν, τῇ προσευχῇ προσκαρτεροῦντες, καὶ ὁμοθυμαδὸν ὥσπερ ἐκ μιᾶς ψυχῆς προσκαρτεροῦντες; δύο αὐτοῖς μαρτυρεῖ. ὁ μὲν οὖν Ἰωσὴφ ἴσως τετελευτηκὼς ἦν. οὐ γὰρ ἂν, τῶν ἀδελφῶν πιστευσάντων, ἐκεῖνος οὐκ ἐπίστευσεν, ὁ πρὸ πάντων πιστεύσας. ἀμέλει γοῦν ἁπλῶς οὐδὲ φαίνεται οὐδαμοῦ ὡς ἀνθρώπῳ προσέχων, καθάπερ ἡ μήτηρ ἔλεγεν· Ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε. ὥστε πρὸ πάντων αὐτὸς ἔγνω τοῦτον. πρὸς δὲ τοὺς ἀδελφοὺς ἔλεγεν ὁ Χριστός· Οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ. καὶ ὅρα τὴν ἐπιείκειαν Ἰακώβου. αὐτὸς ἔλαβε τὴν ἐπισκοπὴν τὴν ἐν Ἱεροσολύμοις, καὶ ὅμως τότε οὐδὲν διαλέγεται. ὅρα δὲ καὶ τῶν ἄλλων μαθητῶν τὴν [πολλὴν] ταπεινοφροσύνην, πῶς αὐτῷ συγχωροῦσι τοῦ θρόνου, καὶ οὐκέτι ἀμφισβητοῦσι πρὸς ἀλλήλους. ὥσπερ γὰρ ἐν οὐρανῷ ἡ ἐκκλησία ἐκείνη ἦν, οὐδὲν ἔχουσα βιωτικὸν, οὐ τοίχοις, οὐδὲ μαρμάροις, ἀλλὰ προθυμίᾳ τῶν συνιόντων ἀπολάμπουσα.

Λουκ. β. μη.
Ἰωάν. ζ. ζ.

πολλὴν ποιοῦσα. ὡς ἑκατὸν εἴκοσι ἦσαν, φησίν. οἱ ἑβδομήκοντα ἴσως, οὓς αὐτὸς ἐξελέξατο, καὶ ἄλλοι τῶν σπουδαιοτέρων, οἷον ὁ Ἰωσὴφ καὶ ὁ Ματθίας. καὶ γυναῖκες ἦσαν πολλαί, αἳ ἠκολούθουν αὐτῷ· ἐπὶ τὸ αὐτὸ πανταχοῦ ἦσαν. αὕτη πρόνοια διδασκάλου. πρῶτος τοῦ διδάσκαλον κατέστησεν. οὐκ εἶπεν, ὅτι ἀρκούμεθα ἡμεῖς. οὕτω πάσης κενοδοξίας ἐκτὸς ἦν, καὶ πρὸς ἓν ἑώρα μόνον. καίτοι οὐδὲ ἰσότυπον ἅπασιν εἶχε τὴν κατάστασιν. ἀλλ' εἰκότως ταῦτα ἐγίνετο διὰ τὴν ἀρετὴν τοῦ ἀνδρός· καὶ ὅτι τότε ἡ ἐπιστασία ἦν οὐ τιμή, ἀλλὰ πρόνοια τῶν ἀρχομένων. τοῦτο οὔτε τοὺς αἱρουμένους ἐποίει ἐπαίρεσθαι (ἐπὶ γὰρ κινδύνους ἐκαλοῦντο) οὔτε τοὺς μὴ αἱρεθέντας, ὡς ἀτιμασθέντας ἀλγεῖν. ἀλλ' οὐχὶ νῦν οὕτω γίνεται, ἀλλ' ἅπαν τοὐναντίον. ὅρα γάρ. ἑκατὸν εἴκοσι ἦσαν, καὶ ἕνα αἰτεῖ ἀπὸ παντὸς τοῦ πλήθους. εἰκότως πρῶτος τοῦ πράγματος αὐθεντεῖ· ἅτε γὰρ αὐτὸς πάντας ἐγχειρισθείς. πρὸς γὰρ τοῦτον εἶπεν ὁ Χριστός· Καὶ σύ ποτε ἐπιστρέψας στήριξον (Λυκ. κβ. λβ.) τοὺς ἀδελφούς σου. ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, φησί. διὰ τοῦτο προσήκει ἕτερον προβάλλεσθαι, ὥστε μάρτυρα γενέσθαι εἰς τὸν ἐκείνου τόπον. καὶ ὅρα πῶς τὸν διδάσκαλον μιμεῖται, πανταχοῦ ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ οὐδὲν περὶ τοῦ Χριστοῦ λέγων οὐδέπω, ὅτι προεῖπε πολλάκις αὐτός. καὶ οὐ λέγει, ἔνθα τῆς προδοσίας αὐτοῦ μέμνηται· οἷον, Στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη· (Ψαλ. ρη. β.) ἀλλ' ἔνθα τῆς τιμωρίας [αὐτοῦ] μόνον τὴν μνήμην ἐποιήσατο. τοῦτο γὰρ αὐτοὺς τέως ὠφέλει. δείκνυσι πάλιν τοῦ διδασκάλου τὴν φιλανθρωπίαν, ὅτι κατηριθμημένος ἦν, φησι, σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. κλῆρον δὲ αὐτὸν πανταχοῦ καλεῖ, δεικνὺς τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ὂν καὶ τῆς ἐκλογῆς, καὶ ἀναμιμνήσκων αὐτοὺς τῶν παλαιῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἐκληρώσατο, καθάπερ τοὺς Λευΐτας. καὶ ἐνδιατρίβει τοῖς περὶ αὐτοῦ, ὅτι ὁ τῆς προδοσίας μισθός, αὐτὸς καὶ τῆς τιμωρίας γέγονε κήρυξ. ἐκτήσατο γάρ, φησι, χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας. ὅρα πῶς Θεοῦ οἰκονομία τὸ γενόμενον ἦν. τῆς ἀδικίας, φησί. πολλαὶ αἱ ἀδικίαι· ἀλλὰ ταύτης οὐδὲν ἀδικώτερον γέγονέ ποτε, ὥστε ἀδικίας ἦν τὸ πρᾶγμα. οὐχὶ δὲ μόνον τοῖς προδοῦσι γέγονε δῆλον τὸ γενόμενον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα. ὥστε ἄκοντες ὠνόμασαν, οὐκ εἰδότες, καθάπερ καὶ Καϊάφας προεφήτευσεν οὐκ εἰδώς. ὁ Θεὸς αὐτοὺς ἠνάγκασεν οὕτω καλέσαι Ἑβραϊστὶ Ἀκελδαμά. ἀπὸ τούτου καὶ τὰ Ἰουδαίοις ἐπιέναι μέλλοντα κακὰ δῆλα ἦν. καὶ δείκνυσι πῶς τὴν πρόῤῥησιν ἐξελθοῦσαν ἐκ μέρους τὴν λέγουσαν· Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ (Ματθ. κϛ. κδ.) ἄνθρωπος ἐκεῖνος. καὶ περὶ τῶν Ἰουδαίων τὰ αὐτὰ ἁρμόζει λέγειν. εἰ γὰρ ὁ γενόμενος ὁδηγός, πολλῷ μᾶλλον καὶ οὗτοι. ἀλλ' οὐδὲν τέως λέγει πῶς. εἶτα δεικνὺς ὅτι περὶ αὐτοῦ εἰκότως ἂν λέγοιτο Ἀκελδαμά, ἐπάγει τὴν προφητείαν λέγουσαν, Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος. τί γὰρ ἐρημότερον τοῦ τάφον γενέσθαι; ὥστε καὶ εἰκότως ἂν αὐτοῦ κληθείη τὸ χωρίον. ὁ γὰρ τὸ τίμημα καταβαλών, εἰ καὶ ἕτεροι οἱ ἠγορακότες εἶεν, αὐτὸς ἂν εἴη δίκαιος λογίζεσθαι κύριος ἐρημώσεως μεγάλης. αὕτη ἡ ἐρήμωσις προοίμιον τῆς Ἰουδαϊκῆς, εἴγε τις ἀκριβῶς ἐξετάσειε. καὶ γὰρ ἐκεῖνοι ἑαυτοὺς ἀνεῖλον λιμῷ, καὶ πολλοὺς ἀπέκτειναν, καὶ τάφος γέγονεν ἡ πόλις τῶν ξένων, τῶν στρατιωτῶν. ἐκείνους γὰρ οὐδὲ ἂν εἴασαν ταφῆναι. οὐδὲ γὰρ ταφῆς κατηξιώθησαν. δεῖ οὖν τῶν συνελθόντων ἡμῖν, φησιν, ἀνδρῶν. ὅρα πῶς βούλεται αὐτόπτας αὐτοὺς εἶναι· καίτοιγε ἔμελλε προσέσεσθαι τὸ πνεῦμα, ἀλλ' ὅμως πολλὴ σπουδὴ περὶ τούτου ἦν. τῶν συνελθόντων ἡμῖν ἀνδρῶν, φησιν, ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς. δείκνυσιν αὐτοὺς συνῳκηκότας αὐτῷ, οὐχ ἁπλῶς ὡς μαθητὰς παρόντας. ἆρα καὶ ἐξ ἀρχῆς τότε πολλοὶ παρηκολούθουν αὐτῷ. ὅρα γοῦν ὅταν λέγῃ· Ἦν εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων τῷ Ἰησοῦ. (Ιωαν. α. λζ.) ἐν παντὶ χρόνῳ, φησίν, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου· καλῶς. τὰ γὰρ πρὸ τούτου οὐδεὶς ἤδει μαθών· ἀλλὰ πνεύματι ἐμάνθανον.

ἕως τῆς ἡμέρας, φησὶν, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. οὐκ εἶπε τῶν ἄλλων μάρτυρα, ἀλλὰ τῆς ἀναστάσεως μόνης μάρτυρα. καὶ γὰρ ἀξιοπιστότερος ἦν ὁ δυνάμενος εἰπεῖν, ὅτι ἐκεῖνος ὁ φαγὼν καὶ πιὼν καὶ σταυρωθεὶς, αὐτὸς ἀνέστη. ὥστε οὐ τῶν πρὸ τούτου χρόνων, οὔτε τῶν μετὰ ταῦτα ἔδει μάρτυρα εἶναι μόνον, καὶ τῶν σημείων. τὸ γὰρ ζητούμενον τοῦτο ἦν, ἡ ἀνάστασις· ἐπεὶ ἐκεῖνα δῆλα ἦν καὶ ὡμολογημένα· αὕτη δὲ λάθρα γέγονε, καὶ τούτοις μόνοις ἦν δήλη. καὶ οὐ λέγουσιν, ὅτι ἄγγελοι εἶπον ἡμῖν· ἀλλ', ὅτι ἑωράκαμεν ἡμεῖς. [πόθεν δῆλον; ἐξ ὧν θαυματουργοῦμεν.] διὰ τοῦτο μάλιστα τότε αὐτοὺς ἀξιοπίστους ἔδει εἶναι. καὶ ἔστησαν, φησὶ, δύο. διὰ τί μὴ πολλούς; ἵνα μὴ μείζων ἡ ἀθυμία γένηται, μηδὲ εἰς πολλοὺς τὸ πρᾶγμα προείσῃ. οὐχ ἁπλῶς δὲ προστίθησιν ἐκεῖνον· ἀλλὰ δεικνὺς ὅτι πολλάκις ὁ παρὰ ἀνθρώποις τίμιος, παρὰ τῷ Θεῷ ἐλάττων ἐστί. καὶ κοινῇ δὲ πάντες εὔχονται λέγοντες· σὺ Κύριε καρδιογνῶστα πάντων ἀνάδειξον. σὺ, μὴ ἡμεῖς. καὶ εὐκαίρως καρδιογνώστην καλοῦσιν. ἀπὸ γὰρ τούτου αἱρεθῆναι ἐχρῆν, [οὐχὶ τῶν ἔξωθεν.] οὕτως ἐθάῤῥουν, ὅτι πάντως ἕνα δεῖ γενέσθαι. καὶ οὐκ εἶπον, ἔκλεξαι· ἀλλὰ, ἀνάδειξον τὸν ἐκλεγέντα, φησὶν, ὃν ἐξελέξω· εἰδότες πάντα προωρίσθαι τῷ Θεῷ. ἐκ τούτων τῶν δύο ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς. ἦν γὰρ καὶ ἄλλη διακονία. καὶ ἔδωκαν αὐτοῖς κλήρους. οὔπω γὰρ ἑαυτοὺς ἀξίους ἡγοῦντο εἶναι τοῦ δι' ἑαυτῶν ἐκλέγεσθαι· ὥστε διά τινος σημείου μαθεῖν ἐφίενται. ἄλλως δὲ, εἰ ἔνθα οὔτε εὐχὴ, οὔτε ἀξιόλογοι ἄνδρες, κλῆρος τοσοῦτον ἴσχυσε διὰ τὸ ἐξ ὀρθῆς γενέσθαι γνώμης ἐπὶ τοῦ Ἰωνᾶ· πολλῷ μᾶλλον ἐνταῦθα ἐπλήρωσε τὴν χρείαν, ἀπήρτισε τὴν τάξιν. ἀλλ' ὁ ἕτερος οὐκ ἤλγησεν. οὐ γὰρ ἂν ἀπέκρυψαν τὰ οἰκεῖα ἐλαττώματα οἱ ἀπόστολοι, οἵγε περὶ αὐτῶν τῶν κορυφαίων εἰπόντες, ὅτι ἠγανάκτησαν ἀλλαχοῦ· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς, καὶ πολλάκις.

Ιων. α.

ΗΘΙΚΟΝ

Τούτους οὖν καὶ ἡμεῖς μιμησώμεθα. οὐκέτι μοι πρὸς πάντας ὁ λόγος, ἀλλὰ πρὸς τοὺς ἀρχῆς ἐφιεμένους. εἰ πιστεύεις, ὅτι Θεοῦ ἐστιν ἐκλογὴ, μὴ ἀγανάκτει. ἐκείνῳ γὰρ ἀγανακτεῖς, καὶ πρὸς ἐκεῖνον παροξύνῃ· ἐκεῖνός ἐστιν ὁ ἐκλεξάμενος. εἰ δὲ αὐτὸς μὲν ἐξελέξατο· σὺ δὲ πολεμᾷς τούτῳ ἀγανακτεῖς, ταυτὸν ποιεῖς, οἷον ὁ Κάϊν. δέον γὰρ ἀποδέξασθαι· ὁ δὲ ὅτι προετιμήθη ἡ θυσία τοῦ ἀδελφοῦ, ἐλυπήθη, ἠγανάκτησε, δέον κατανυγῆναι. ἐγὼ δὲ οὐ τοῦτο λέγω· ἀλλ' ὅτι συμφερόντως οἶδεν οἰκονομεῖν ὁ Θεός. πολλάκις γὰρ τὸ μὲν ἦθος ἐπιεικέστερος εἶ σὺ, οὐκ ἐπιτήδειος δέ· πάλιν ἐστί σοι μὲν βίος ἄληπτος, καὶ ἦθος ἐλευθέριον, ἐν δὲ ἐκκλησίᾳ οὐ τούτων δεῖ μόνον. ἄλλως δὲ, καὶ ἄλλος πρὸς ἄλλο ἁρμόδιός ἐστιν. οὐχ ὁρᾷς ὅσην ὑπὲρ τούτων ποιεῖται λόγον ἡ θεία γραφή; ἀλλ' εἴπω τίνος ἕνεκεν περιμάχητον τὸ πρᾶγμα γέγονεν. ὅτι οὐχ ὡς ἐπὶ ἀρχὴν καὶ προστασίαν ἀδελφῶν ἐρχόμεθα, ἀλλ' ὡς ἐπὶ τιμὴν καὶ ἀνάπαυσιν. εἰ γὰρ ᾔδεις, ὅτι πάντων ὀφείλεις εἶναι ἐπίσκοπος, τὰ πάντων βάρη βαστάζων, ὅτι τοῖς μὲν ἄλλοις ὀργιζομένοις συγγνώμη, αὐτῷ δὲ οὐδαμοῦ, ὅτι τοῖς ἄλλοις ἁμαρτάνουσι παραίτησις πολλὴ, αὐτῷ δὲ οὐκέτι, οὐκ ἂν ἔσπευσας ἐπὶ τὴν ἀρχὴν, οὐκ ἂν ἔδραμες. καὶ γὰρ οὗτος τοῖς ἁπάντων ὑπόκειται στόμασι, ταῖς ἁπάντων κρίσεσι, καὶ σοφῶν καὶ ἀσόφων, φροντίσι καθ' ἑκάστην κόπτεται τὴν ἡμέραν, καθ' ἑκάστην νύκτα· πολλοὺς ἔχει τοὺς μισοῦντας, πολλοὺς ἔχει τοὺς διαφθονουμένους. μὴ γάρ μοι περὶ ἐκείνων εἴπῃς τῶν πάντα χαριζομένων, τῶν καθεύδειν βουλομένων, τῶν ὡς ἐπὶ ἀνάπαυσιν εἰς τὸ πρᾶγμα ἐρχομένων. οὐ περὶ τούτων ὁ λόγος, ἀλλὰ περὶ ἐκείνων τῶν ἀγρυπνούντων ὑπὲρ τῶν ψυχῶν ὑμῶν, τῶν τῆς οἰκείας σωτηρίας τὴν τῶν ἀρχομένων προτιθέντων. εἰπέ μοι· εἰ δέκα τις παῖδας ἔχων ὑποχειρίους συνοικοῦντας αὐτῷ διαπαντὸς, ἀδιαλείπτως αὐτῶν ἀναγκάζεται φροντίζειν· τοσούτους ἔχων τοὺς οὐχ ὑποχειρίους, οὐ συνοικοῦντας, ἀλλ' ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τὴν ὑπακοὴν ἔχοντας, τίς οὐκ ὀφείλει γενέσθαι; ἀλλὰ τιμᾶται, φησί. ποία τιμή; πένητες

τριωβολιμαῖοι

τελωβολιμαῖοι βλασφημοῦσιν αὐτὸν ἐπὶ τῆς ἀγορᾶς. τί οὖν αὐτοὺς οὐκ ἐπιστομίζει; πόθεν γε. οὐ γὰρ ἐπισκόπου λέγεις ἔργον. πάλιν, ἂν μὴ πᾶσι παρέχῃ*, καὶ τοῖς ἐν ἀργίᾳ, καὶ τοῖς ἐργαζομένοις, μυρία πανταχόθεν ἐγκλήματα. οὐδεὶς δέδοικε κατηγορῆσαι καὶ διαβαλεῖν. ἐπὶ μὲν γὰρ τῶν ἀρχόντων ὁ φόβος ἐπίκειται· ἐπὶ δὲ τούτων οὐχί. ὁ γὰρ φόβος τοῦ Θεοῦ παρ' αὐτοῖς οὐδὲν ἰσχύει. τί ἄν τις εἴποι τὴν περὶ τὸν λόγον καὶ τὴν διδασκαλίαν φροντίδα; τὴν δυσκολίαν τὴν ἐν ταῖς χειροτονίαις; τάχα ἢ σφόδρα ἀσθενὴς ἐγὼ τυγχάνω καὶ ταλαίπωρος καὶ οὐδαμινός, ἢ τὸ πρᾶγμα οὕτως ἔχει. οὐδὲν πλοίου κλυδωνιζομένου διενήνοχεν ἡ τοῦ ἱερέως ψυχὴ πανταχόθεν μαστιζομένου, παρὰ φίλων, παρὰ ἐχθρῶν, παρὰ οἰκείων, παρὰ ἀλλοτρίων. οὐχὶ τῆς οἰκουμένης ὁ βασιλεύων κρατεῖ, οὗτος δὲ πόλεως μιᾶς; ἀλλ' ἀπὸ τούτου μείζους εἰσὶν αἱ φροντίδες τούτου, ὅσον ὕδατος ἁπλῶς ἀπὸ πνεύματος κινουμένου ποταμίου, καὶ πελάγους οἰδοῦντος καὶ μαινομένου τὸ διάφορον. τί δήποτε; ὅτι ἐκεῖ μὲν πολλοὶ οἱ συναντιλαμβανόμενοι (πάντα γὰρ νόμῳ καὶ διατάξει γίνεται) ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, οὐδὲ ἀπ' ἐξουσίας ἐστὶν ἐπιτάξαι· ἀλλ' ἂν μὲν σφοδρῶς κατασχῇ, ἀκούει ὠμός· ἂν δὲ μὴ σφοδρῶς, ψυχρός. δεῖ δὲ ταῦτα τὰ ἐναντία συνελθεῖν, ὥστε μήτε καταφρονεῖσθαι, μήτε μισεῖσθαι· ἄλλως δὲ καὶ τὰ πράγματα προκατείληπται. πόσους ἀναγκάζεται σκανδαλίζειν καὶ ἑκὼν καὶ ἄκων; πόσους πλήττειν [καὶ ἑκὼν καὶ ἄκων;] οὐκ ἄλλως λέγω, ἀλλ' ὡς ἔχω καὶ διάκειμαι. οὐκ οἶμαι εἶναι πολλοὺς ἐν τοῖς ἱερεῦσι τοὺς σωζομένους, ἀλλὰ πολλῷ πλείους τοὺς ἀπολλυμένους. τὸ δὲ αἴτιον, ὅτι μεγάλης τὸ πρᾶγμα δεῖται ψυχῆς, καὶ πολλὰς ἀνάγκας ἔχει τὰς ἐξαγούσας τοῦ οἰκείου ἤθους, καὶ μυρίων αὐτῷ πανταχόθεν ὀφθαλμῶν δεῖ. οὐχ ὁρᾷς ὅσα δεῖ τὸν ἐπίσκοπον ἔχειν; διδακτικὸν εἶναι, ἀνεξίκακον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. πόσης τοῦτο δυσκολίας; καὶ τῶν τοῖς ἄλλοις ἁμαρτανομένων αὐτὸς ἔχει τὰς αἰτίας. οὐ λέγω τῶν ἄλλων οὐδέν. ἂν εἷς μόνον ἀπέλθῃ ἀμύητος, οὐχὶ πᾶσαν αὐτοῦ κατέστρεψε τὴν σωτηρίαν; ψυχῆς γὰρ ἀπώλεια μιᾶς τοσαύτην ἔχει ζημίαν, ὅσην οὐδεὶς παραστῆσαι δύναται λόγος. εἰ γὰρ ἡ σωτηρία αὐτῆς τοσούτου ἀξία, ὥστε τὸν υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γενέσθαι καὶ τοσαῦτα παθεῖν· ἡ ἀπώλεια ἐννόησον ὅσην οἴσει τὴν τιμωρίαν. εἰ δέ, δι' ὃν ἀπόλλυταί τις ἐν τῷ παρόντι βίῳ, ἄξιος ἀποθανεῖν, πολλῷ μᾶλλον ἐκεῖ. μὴ γάρ μοι εἴπῃς, ὅτι ὁ πρεσβύτερος ἥμαρτε, μηδὲ ὅτι ὁ διάκονος. πάντων τούτων ἐπὶ τὴν κεφαλὴν τῶν χειροτονησάντων αἱ αἰτίαι φέρονται. πάλιν ἕτερον εἴπω· συμβαίνει τινὰ κλῆρον διαδέξασθαι ἀνδρῶν μοχθηρῶν. τί χρὴ βουλεύσασθαι ἐπὶ ἁμαρτήμασι προλαβοῦσι; δύο γὰρ οἱ κρημνοί, ὥστε μήτε ἀφεῖναι ἐκείνους, καὶ τοὺς ἄλλους μὴ σκανδαλίσαι. ἐκκόψαι [τίνων] δεῖ πρότερον; ἀλλ' οὐκ ἔστι παροῦσα πρόφασις. ἀλλ' ἀφεῖναι; ναί, φησί. τοῦ γὰρ χειροτονήσαντος ἡ αἰτία. τί οὖν; οὐ δεῖ χειροτονῆσαι, οὐδὲ ἐφ' ἕτερον βαθμὸν ἀγαγεῖν; ἀλλὰ τοῦτο πᾶσιν ἔσται δῆλον, ὅτι μαθητής τίς ἐστι. πάλιν οὖν ἑτέρως ἐσκανδάλισεν. ἀλλ' ἀγαγεῖν ἐπὶ μείζονα βαθμόν; τοῦτο πολλῷ χαλεπώτερον. ὥστε εἴ τις, ὡς ἐπὶ πραγματείαν, ἔρχεται τὴν ἀρχιερωσύνην, ὡς ἐπὶ πόνον καὶ ἀγρυπνίαν, οὐδεὶς ἂν αὐτὴν ἐδέξατο ταχέως. νῦν δὲ ὥσπερ τὰς ἔξωθεν ἀρχάς, οὕτω καὶ ταύτην διώκομεν. ἵνα γὰρ δοξασθῶμεν, ἵνα τιμηθῶμεν παρὰ ἀνθρώποις, ἀπολλύμεθα παρὰ τῷ Θεῷ. τί τὸ κέρδος τῆς τιμῆς; πῶς ἐλέγχεται οὐδὲν οὖσα; ὅταν ἐπιθυμήσῃς ἱερωσύνης, ἀντίθες τὴν γέενναν· ἀντίθες τὰς εὐθύνας τὰς ἐκεῖ· ἀντίθες τὸν ἀπράγμονα βίον· ἀντίθες τῆς κολάσεως τὸ μέγεθος. διὰ κἂν ἁμάρτῃς κατὰ σαυτόν, οὐδὲν πείσῃ τοιοῦτον· ἂν δὲ ἱερεὺς ὤν, ἀπόλωλας. ἐννόησον ὅσα ὑπέμεινεν, ὅσα ἐφιλοσόφησεν ὁ Μωϋσῆς, ὅσα ἐπεδείξατο ἀγαθά· καὶ ἐπειδὴ ἥμαρτεν ἁμάρτημα μόνον, ἐκολάζετο πικρῶς εἰκότως. μετὰ γὰρ τῆς τῶν ἄλλων ζημίας τοῦτο γέγονεν· ὥστε καὶ πικρότερον ἐκολάζετο, οὐ τῷ φανερὸν γενέσθαι, ἀλλὰ καὶ τῷ ἱερέως εἶναι τὸ ἁμάρτημα. οὐ τὴν αὐτὴν γὰρ τιμωρίαν διδόαμεν τῶν τε φανερῶς καὶ τῶν λάθρα ἁμαρτανομένων. ἡ μὲν γὰρ ἁμαρτία, ἡ αὐτή· ἡ δὲ ζη-

α. Τιμ. γ γ.
Τιτ. α θ.

μία, οὐχ ἡ αὐτή, μᾶλλον δὲ οὐδὲ ἡ ἁμαρτία. οὐ γάρ ἐστι τὸ αὐτὸ λανθάνοντα καὶ κρυπτομένους ἁμαρτάνειν, καὶ φανερῶς. τῷ δὲ ἐπισκόπῳ οὐκ ἔνι λάθρα ἁμαρτάνειν. ἀγαπητὸν γὰρ μὴ ἁμαρτάνοντα ἀπαλλαγῆναι ἐγκλημάτων· μήτιγε ἁμαρτάνοντα. κἂν ὀργισθῇ, κἂν γελάσῃ, κἂν ἀνέσεως ὄναρ ἐπιθυμήσῃ, πολλοὶ οἱ σκώπτοντες, πολλοὶ οἱ σκανδαλιζόμενοι, πολλοὶ οἱ νομοθετοῦντες, πολλοὶ οἱ τῶν προτέρων μεμνημένοι, καὶ τὸν παρόντα κακίζοντες, οὐκ ἐκείνους ἐγκωμιάσαι βουλόμενοι, ἀλλὰ τοῦτον δακεῖν, τῶν συνεπισκόπων, τῶν πρεσβυτέρων μεμνημένοι. Γλυκὺς ὁ πόλεμος ἀπείροις, φησί. τοῦτο καὶ νῦν ἁρμόζει λέγειν· μᾶλλον δὲ καὶ λεγόμενον περὶ τοῦ καταστῆναι εἰς τὸν ἀγῶνα· μετὰ δὲ τὸ ἐμβῆναι, οὐδὲ δῆλοι γινόμεθα τοῖς πολλοῖς. οὐ γάρ ἐστιν ἡμῖν νῦν πόλεμος πρὸς τοὺς καταδυναστεύοντας τῶν πενήτων, οὐδὲ τῶν ποιμνίων προπολεμεῖν ἀνεχόμεθα· ἀλλά, κατὰ τοὺς ποιμένας ἐκείνους τοὺς ἐν τῷ Ἰεζεκιήλ (Ιεζ. λδ. β.), σφάττομεν καὶ κατεσθίομεν. τίς ἡμῶν ἐπιδείκνυται τοσαύτην φροντίδα περὶ τὰ ποίμνια τοῦ Χριστοῦ, ὅσην περὶ τὰ ποίμνια τοῦ Λάβαν ὁ Ἰακώβ (Γεν. λ. κθ.); τίς δύναται ἀπαριθμήσασθαι παγετὸν νυκτός; μὴ γάρ μοι τὰς παννυχίδας εἴπῃς, καὶ τὴν τοσαύτην θεραπείαν. πᾶν μὲν οὖν τοὐναντίον. ὕπαρχοι καὶ στρατηγοὶ οὐκ ἀπολαύουσι τοσαύτης τιμῆς, ὅσης ὁ τῆς ἐκκλησίας ἄρχων. ἂν ἐν βασιλείοις εἰσίῃ, τίς πρῶτος; ἂν παρὰ γυναιξίν, ἂν παρὰ τὰς οἰκίας τῶν μεγάλων; οὐδεὶς ἕτερος αὐτοῦ προτετίμηται. ἀπόλωλε πάντα καὶ διέφθαρται. ταῦτα οὐχ ὑμᾶς καταισχῦναι βουλόμενος λέγω, ἀλλ' ὑμῶν ἐπισχεῖν τὴν ἐπιθυμίαν. ποίῳ γὰρ συνειδότι ἂν τύχῃς σπουδάσας ἢ διὰ σαυτοῦ, ἢ δι' ἑτέρου; ποίοις ὀφθαλμοῖς ἂν ἀναβλέψῃς ἐκεῖνον τὸν συνεργήσαντα; τί ἕξεις ἀπολογήσασθαι; ὁ μὲν γὰρ ἄκων καὶ βιασθεὶς καὶ οὐκ ἐθέλων ἔχοι ἂν τινὰ ἀπολογίαν, εἰ καὶ τὰ μάλιστα καὶ οὗτος ἀπεστέρηται συγγνώμης· πλὴν ἀλλὰ παρὰ τοῦτο ἔχει τινὰ ἀπολογίαν. ἐννόησον τί Σίμων ἔπαθε; τί γάρ, εἰ μὴ ἀργύριον δίδως, ἀλλ' ἀντὶ ἀργυρίου κολακεύεις καὶ κατασκευάζεις πολλὰ καὶ μηχανᾷ; Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, πρὸς ἐκεῖνον εἶπε· καὶ τούτοις ἐρεῖ, Ἡ σπουδὴ ὑμῶν μεθ' ὑμῶν ἔστω εἰς ἀπώλειαν, ὅτι ἐνομίσατε περιδρομῇ ἀνθρωπίνῃ τὴν δωρεὰν τοῦ Θεοῦ κτᾶσθαι. ἀλλ' οὐδείς ἐστι τοιοῦτος. μηδὲ γένοιτο. οὐδὲ γὰρ βούλομαι οὐδὲν πρὸς ὑμᾶς εἶναι τῶν λεγομένων· νυνὶ δὲ ἐκ τῆς ἀκολουθίας εἰς τούτους ἐνεπέσομεν τοὺς λόγους. οὐδὲ γὰρ ὅταν κατὰ πλεονεξίας λέγωμεν, πρὸς ὑμᾶς λέγομεν, ἀλλ' οὐδὲ πρὸς ἕνα. γένοιτο εἰκῇ τὰ φάρμακα παρ' ἡμῶν κατασκευάζεσθαι. αἱ τῶν ἰατρῶν εὐχαὶ τοιαῦταί εἰσιν, οὐκ ἄλλα αἰτοῦσιν, ἢ ὥστε μετὰ τὸν πολὺν πόνον ἁπλῶς ῥιφῆναι τὰ φάρμακα. ταῦτα καὶ ἡμεῖς εὐχόμεθα, ἁπλῶς εἰς ἀέρα λέγεσθαι τὰ ῥήματα τὰ ἡμέτερα, ὥστε ῥήματα μόνον εἶναι. πάντα ὑποστῆναι ἕτοιμος ἐγώ, ὥστε μὴ εἰς χρείαν καταστῆναι τοῦ ταῦτα λέγειν. εἰ δὲ βούλεσθε, καὶ σιγήσομεν· μόνον ἔστω ἀκίνδυνος ἡ σιγή. οὐ γὰρ οἶμαι οὐδένα, κἂν σφόδρα κενόδοξος ᾖ, μὴ καλούσης χρείας, θελῆσαι ἂν ἁπλῶς ἐπιδείκνυσθαι. παραχωρήσομεν τῆς διδασκαλίας ὑμῖν. αὕτη γὰρ μείζων ἡ διδασκαλία ἡ διὰ πραγμάτων. ἐπεὶ καὶ τῶν ἰατρῶν οἱ ἄριστοι, καίτοιγε τῆς νόσου τῶν καμνόντων φερούσης αὐτοῖς μισθούς, βούλοιντο ἂν ὑγιαίνειν τοὺς αὐτῶν φίλους· καὶ ἡμεῖς βουλόμεθα ἅπαντας ὑγιαίνειν. οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι ὦμεν, βουλόμεθα, ὑμεῖς δὲ ἀδόκιμοι ἦτε. ἐβουλόμην, εἰ οἷόν τε, ἐπ' αὐτῆς τὴν ἀγάπην, ἣν περὶ ὑμᾶς ἔχω, ἐπιδείξασθαι. οὐδεὶς γάρ μοι λοιπὸν οὐδὲν ἂν ἐνεκάλεσεν, εἰ καὶ σφόδρα τραχὺς ἦν ὁ λόγος. τὰ γὰρ παρὰ φίλων λεγόμενα, κἂν ὕβρεις ᾖ, φορητά. (Παροιμ. κζ. ς) Ἀξιοπιστότερα γὰρ τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. οὐδὲν ἐμοὶ ποθεινότερον ὑμῶν, οὐδὲ τοῦτο τὸ φῶς. μυριάκις γὰρ ἂν εὐξαίμην αὐτὸς πηρωθῆναι, εἴπερ ἐνῆν διὰ τούτου τὰς ὑμετέρας ἐπιστρέψαι ψυχάς. οὕτως αὐτοῦ τοῦ φωτὸς γλυκίων ἐμοὶ ἡ σωτηρία ἡ ὑμετέρα. τί γὰρ ὄφελός μοι τῶν ἀκτίνων τῶν ἡλιακῶν, ὅταν ἡ δι' ὑμᾶς ἀθυμία πολὺ κατασκεδάζῃ τῶν ὀφθαλμῶν τὸ σκότος; τὸ γὰρ φῶς τότε καλόν, ὅταν ἐν εὐφροσύνῃ φαίνηται· ἐπεὶ τῇ λυπουμένῃ ψυχῇ καὶ περιοχλεῖν δοκεῖ.

ὅτι

ὅτι δὲ οὐ ψεύδομαι, μὴ γένοιτο μὲν ποτὲ πεῖραν λαβεῖν· πλὴν εἴ ποτε συμβαίη τινὰ ὑμῶν ἁμαρτεῖν, καὶ θεωρήσατέ μοι παραδέσητε. ἀπολοίμην, εἰ μὴ τοῖς παραλύτοις ἔοικα, εἰ μὴ τοῖς ἐξεστηκόσι, καὶ κατὰ τὸν προφητικὸν λόγον, Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Ψαλμ. λζ. ι. τίς γὰρ ἡμῖν ἐλπίς, ὑμῶν μὴ προκοπτόντων; τίς δὲ ἀθυμία, ὑμῶν εὐδοκιμούντων; πτεροῦσθαι δοκῶ, ὅταν τι περὶ ὑμῶν ἀκούσω χρηστόν. Πληρώσατέ μου τὴν χαράν. Φιλιπ. β. β. τοῦτον μόνον εἰσήνεγκα εἰς τὴν εὐχήν, ὅτι ἐπιθυμῶ ὑμῶν τὴν προκοπήν. ὃ δὲ διαμιλλῶμαι πρὸς πάντας, τοῦτό ἐστιν· ὅτι φιλῶ, ὅτι συμπέπλεγμαι, ὅτι πάντα μοι ὑμεῖς ἐστε, καὶ πατήρ, καὶ μήτηρ, καὶ ἀδελφοί, καὶ παιδία. μὴ δὴ νομίσητέ τι τῶν παρ' ἡμῶν λεγομένων πρὸς ἀπέχθειαν λέγεσθαι, ἀλλὰ πρὸς διόρθωσιν. Ἀδελφὸς γάρ, φησιν, ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. Παροιμ. ιη. ιθ. μὴ δὴ ἀπαξιώσητε. οὐδὲ γὰρ ἐγὼ τὸν παρ' ὑμῶν ἀτιμάζω λόγον· ἀλλὰ βουλοίμην ἂν διορθοῦσθαι παρ' ὑμῶν, βουλοίμην ἂν μανθάνειν. πάντες γὰρ ἡμεῖς ἀδελφοί ἐσμεν, εἷς δὲ ἡμῶν ἐστιν ὁ καθηγητής. ἔστι δὲ καὶ ἐν ἀδελφοῖς ἵνα ἐπιτάττῃ, καὶ τοὺς ἄλλους πείθεσθαι. μὴ δὴ ἀπαξιώσητε, ἀλλὰ πάντα ποιῶμεν εἰς δόξαν Θεοῦ· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. η. 1 ΚΑΙ ΕΝ ΤΩ ΣΥΜΠΛΗΡΟΥΣΘΑΙ ΤΗΝ ΗΜΕΡΑΝ τῆς πεντηκοστῆς, ἦσαν ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό· κεφ. β.

2 Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος.

Τίς ἐστιν αὕτη ἡ πεντηκοστή; ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει τῷ ἀμήτῳ, ὅτε τοὺς καρποὺς συνάγειν ἐχρῆν. Εἶδες τὸν τύπον; βλέπε πάλιν τὴν ἀλήθειαν. ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει τοῦ λόγου, ὅτε τὸν ἀμητὸν συλλέγειν, τότε καθάπερ δρέπανον τὸ πνεῦμα ἠκονημένον ἐφίπταται. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. Ιωαν. δ. λε. καὶ πάλιν, Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. Λουκ. ι. β. ὥστε αὐτὸς ἐπέβαλε τὸ δρέπανον πρότερος. αὐτὸς γὰρ ἀνήγαγεν εἰς οὐρανοὺς ἀπαρχήν, τὸ ἡμῶν προσλαβών. διὰ τοῦτο καὶ θερισμὸν τὸ τοιοῦτον καλεῖ. ἐν τῷ συμπληροῦσθαι, φησί, τὴν ἡμέραν τῆς πεντηκοστῆς· τουτέστιν, οὐ πρὸ τῆς πεντηκοστῆς, ἀλλὰ περὶ αὐτήν, ὡς εἰπεῖν, τὴν πεντηκοστήν. ἔδει γὰρ ἑορτῆς οὔσης πάλιν ταῦτα γίνεσθαι· ἵνα οἱ παρόντες ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, οὗτοι καὶ ταῦτα ἴδωσι. καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος. διὰ τί μὴ χωρὶς αἰσθητῶν ὑποδειγμάτων τοῦτο γέγονεν; ὅτι εἰ καὶ τούτου γενομένου ἔλεγον, Ὅτι γλεύκους μεμεστωμένοι εἰσίν, εἰ μὴ τοῦτο ἐγένετο, τί οὐκ ἂν εἶποι; οὐχ ἁπλῶς δὲ ὁ ἦχος γέγονεν, ἀλλ' ἐκ τοῦ οὐρανοῦ. καὶ τὸ αἰφνίδιον δὲ διανέστησεν αὐτούς. Καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον. Πολλὴν τὴν ῥύμην λέγει τοῦ πνεύματος. ὅρα, πάντας ἐκεῖ συνήγαγεν, ὥστε καὶ τοὺς παρόντας πιστεῦσαι, καὶ τούτους ἀξίους δειχθῆναι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ πολλῷ τούτου φρικωδέστερον·

3 Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρός, φησί.

Καλῶς πανταχοῦ τὸ, ὡς, πρόσκειται, ἵνα μηδὲν αἰσθητὸν περὶ τοῦ πνεύματος νομίσῃς. ὡσεὶ πυρός, φησι, καὶ ὡσεὶ πνοῆς. οὐκ ἄρα ἄνεμος ἦν ἁπλῶς εἰς ἀέρα χεόμενος. ὅτε μὲν γὰρ Ἰωάννῃ ἔδει γνωρισθῆναι τὸ πνεῦμα, ὡς ἐν εἴδει περιστερᾶς ἐπὶ τὴν κεφαλὴν ἦλθε τοῦ Χριστοῦ· νῦν δέ, ὅτε πλῆθος ὅλον ἐπιστραφῆναι ἐχρῆν, ὡσεὶ πυρός. Μαρκ. α. ι. Λουκ. γ. κβ. Ιωαν. α. λβ.

Καὶ ἐκάθισέ, φησιν, ἐφ' ἕνα ἕκαστον αὐτῶν· Τουτέστι, παρέμεινεν, ἐπανεπαύσατο. τὸ γὰρ καθίσαι, τοῦ ἑδραίου ἐστὶ σημαντικόν, καὶ τοῦ μεῖναι. τί δαί; ἄρα ἐπὶ τοὺς δώδεκα μό-

νοις ἦλθεν, οὐχὶ δὲ καὶ ἐπὶ τοὺς λοιπούς; οὐδαμῶς· ἀλλὰ καὶ ἐπὶ τοὺς ἑκατὸν εἴκοσι. οὐ γὰρ ἂν ἁπλῶς παρήγαγε τὴν μαρτυρίαν τοῦ προφήτου ὁ Πέτρος λέγων· (Ἰωὴλ β. κη.) Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καὶ σκόπει· ἵνα γὰρ μὴ ἐκπλήξῃ μόνον, ἀλλὰ καὶ χάριτος πληρώσῃ. διὰ τοῦτο καὶ ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

4 Καὶ ἐπλήσθησαν, φησὶν, ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Οὐ λαμβάνουσιν ἕτερον σημεῖον, ἀλλὰ τοῦτο πρῶτον. ξένον γὰρ ἦν, καὶ οὐ χρεία ἦν ἑτέρου σημείου. ἐκάθισέ, φησιν, ἐφ' ἕνα ἕκαστον αὐτῶν· οἶμαι δὲ καὶ ἐπὶ τοὺς καταλειφθέντας. διὰ τοῦτο οὐδὲ ἀλλαχοῦ λοιπὸν μὲν αἱρεθεὶς, ὡς ὁ Ματθίας. καὶ ἐπλήσθησαν, φησὶν, ἅπαντες. οὐχ ἁπλῶς ἔλαβον τοῦ πνεύματος τὴν χάριν, ἀλλ' ἐπλήσθησαν. καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. οὐκ ἂν εἶπε, πάντες, καὶ τῶν ἀποστόλων ὄντων ἐκεῖ, εἰ μὴ καὶ οἱ ἄλλοι μετέσχον. ἄλλως δὲ, οὐδὲ δύο κατ' ἰδίαν αὐτοὺς προειπὼν καὶ ὀνομάσας, νῦν ἂν συνῆψεν ἐν ἑνὶ τῷ αὐτῷ πράγματι. εἰ γὰρ ὅπου εἰπεῖν ἦν, ὅτι προσῆσαν, κατ' ἰδίαν τῶν ἀποστόλων μνημονεύει, πολλῷ μᾶλλον ἐνταῦθα. σκόπει δέ μοι πῶς ὅταν προσκαρτερῶσι τῇ δεήσει, ὅταν ἀγάπην ἔχωσι, τότε τὸ πνεῦμα παραγίνεται. ἀνέμνησε δὲ αὐτοὺς καὶ ἑτέρας ὄψεως, εἰπὼν, ὡσεὶ πυρός. ὡς πῦρ γὰρ ἐφάνη καὶ ἐν τῇ βάτῳ. καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς, φησὶν, ἀποφθέγγεσθαι. ἀποφθέγματα γὰρ ἦν τὰ παρ' αὐτῶν λεγόμενα.

5 Ἦσαν δὲ, φησὶν, ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς.

Τὸ κατοικεῖν, εὐλαβείας ἦν σημεῖον. πῶς; ἀπὸ τοσούτων γὰρ ἐθνῶν ὄντες, καὶ πατρίδας ἀφέντες, καὶ οἰκίας, καὶ συγγενεῖς, ᾤκουν ἐκεῖ. Ἦσαν γὰρ, φησὶν, ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς, Ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη.

Ἐπειδὴ γὰρ ἐν οἰκίᾳ ἐγένετο τὸ γινόμενον, εἰκότως ἔξωθεν συνέδραμον. συνεχύθη τὸ πλῆθος. τί ἐστι, συνεχύθη τὸ πλῆθος; ἐταράχθη, ἐθαύμασαν, Ὅτι ἤκουον εἷς ἕκαστος αὐτῶν τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

7 Καὶ ἐξίσταντο, φησὶ, καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; Πρὸς τοὺς ἀποστόλους εὐθέως ἑώρων.

8 Καὶ πῶς, φησὶν, ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν,

9 Πάρθοι καὶ Μῆδοι, καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ;

12 Ἐξίσταντο δὲ πάντες, καὶ διηπόρουν ἄλλος πρὸς ἄλλον λέγοντες· τί θέλει τοῦτο εἶναι;

Ὁρᾷς ἐξ ἀνατολῶν εἰς δυσμὰς αὐτοὺς συντρέχοντας;

13 Ἕτεροι δὲ, φησὶ, διαχλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσί.

Ὢ τῆς ἀνοίας, ὢ τῆς κακίας τῆς πολλῆς. καίτοι οὐδὲ καιρὸς ἦν τότε τοῦ γλεύκους. πεντηκοστὴ γὰρ ἦν. καὶ τὸ δεινότερον, ὅτι πάντων ὁμολογούντων, Ἰουδαίων ὄντων, Ῥωμαίων ὄντων, προσηλύτων ὄντων, τῶν σταυρωσάντων ἴσως, ἐκεῖνοι μετὰ τοσαῦτα λέγουσιν, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐπλήρωσέ, φησι, τὸν οἶκον ἡ πνοή· καθάπερ

κολυμβήθρα

κολυμβήθρα γέγονεν ὕδατος. τῆς δαψιλείας δὲ τοῦτο τεκμήριον, καὶ τῆς σφοδρότητος τὸ πῦρ. οὐδαμοῦ τοιοῦτο γέγονεν ἐπὶ τῶν προφητῶν· ἀλλὰ τότε μὲν οὕτως ἐκείνοις, τοῖς προφήταις δὲ ἑτέρως. κεφαλὶς γὰρ βιβλίου δίδοται τῷ Ἰεζεκιήλ, καὶ ἐσθίει ἃ ἔμελλε λέγειν. [Ἰεζ. γ. γ.] Καὶ ἐγένετο, φησὶν, ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον. καὶ πάλιν ἡ χεὶρ ἅπτεται τοῦ Θεοῦ [Ἱερ. α. θ.] τῆς γλώσσης ἑτέρου προφήτου· ἐνταῦθα δὲ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον. οὕτως ὁμότιμον τυγχάνει πατρὶ καὶ υἱῷ. καὶ πάλιν ἑτέρωθί φησι· Κατάλεγμα καὶ μέλος καὶ οὐαί. [Ἰεζ. β. ι.] ἐκείνοις μὲν οὖν εἰκότως ἐν βιβλίῳ. ἔτι γὰρ αὐτοῖς παιδαγωγημάτων ἔδει. πρὸς ἓν ἔθνος εἶχον ἐκεῖνοι μόνον, καὶ τοὺς οἰκείους· οὗτοι δὲ καὶ πρὸς τὴν οἰκουμένην ἅπασαν, καὶ τοὺς οὐδέποτε γνωρισθέντας. καὶ Ἐλισσαῖος διὰ μηλωτῆς λαμβάνει τὴν χάριν, ἄλλος διὰ ἐλαίου, ὡς ὁ Δαβὶδ, καὶ [δ. Βασ. ιδ.] Μωϋσῆς διὰ πυρὸς ἐν τῇ βάτῳ· ἀλλ' ἐνταῦθα οὐχ οὕτως, ἀλλ' αὐτὸ τὸ πῦρ ἐκάθισε. διὰ [α. Βασ. ιϛ. ιγ.] τί δὲ μὴ ἐφάνη πῦρ τὸν οἶκον πληρῶσαν; ὅτι ἐξέστησαν ἄν. ἀλλὰ δείκνυσιν ὅτι τοῦτο ἐκεῖνό ἐστι. μὴ γὰρ τοῦτο λέγει, ὅτι ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, πρόσχες· ἀλλ' ὅτι πυρός. τοσοῦτον πῦρ μυρίαν ὕλην ἀνάψαι δυνατὸν ἦν. καὶ καλῶς εἶπε, διαμεριζόμεναι. ἐκ μιᾶς γὰρ ἦσαν ῥίζης· ἵνα μάθῃς, ὅτι ἐνέργειά ἐστιν ἀπὸ τοῦ παρακλήτου πεμφθεῖσα. ὅρα δὲ καὶ ἐκείνους πρότερον δειχθέντας ἀξίους, καὶ τότε πνεύματος καταξιωθέντας. οἷον ὥσπερ ὁ Δαβίδ. ἅπερ γὰρ ἐν ταῖς ποίμναις εἰργάζετο, ταῦτα καὶ μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον, ἵνα δειχθῇ αὐτοῦ γυμνὴ ἡ πίστις. ὅρα πάλιν τὸν Μωϋσέα καταφρονοῦντα τῶν βασιλείων, καὶ μετὰ [Ἐξ. ϛ. ια. κδ.] τεσσαράκοντα ἔτη τῆς δημαγωγίας ἀπτόμενον· τὸν Σαμουὴλ ἀνατρεφόμενον ἐκεῖ ἐν τῷ [Ἐξ. β. ια.] ναῷ· τὸν Ἐλισσαῖον πάντα ἀφιέντα· τὸν Ἰεζεκιὴλ πάλιν. ὅτι δὲ οὕτω συνέβαινε, καὶ ἐκ [α. Βασ. β. γ.] [γ. Βασ. ιθ. κα.] τῶν μετὰ ταῦτα δῆλον. καὶ γὰρ καὶ οὗτοι πάντα εἴασαν τὰ αὐτῶν. διὰ τοῦτο τότε τὸ πνεῦμα λαμβάνουσιν, ὅτε τὴν οἰκείαν ἀρετὴν ἐπεδείξαντο. ἔμαθον καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, δι' ὧν ἔπαθον· ἔμαθον, ὅτι οὐκ εἰκῇ ταῦτα κατώρθωσαν. οὕτω καὶ Σαοὺλ πρότερον μαρτυρηθεὶς ἀγαθὸς εἶναι, τότε τὸ πνεῦμα ἔλαβεν. ἀλλ' οὕτως οὐδεὶς, οὐδὲ ὁ μείζων τῶν προφητῶν Μωϋσῆς. ἐκεῖνος γὰρ ὅτε ἔδει ἑτέρους γενέσθαι πνευματικοὺς, ἠλαττοῦτο αὐτός. ἀλλ' ἐνταῦθα οὐχ οὕτως· ἀλλ' ὥσπερ ἐπὶ τοῦ πυρὸς ὅσους ἄν τις θέλοι λύχνους ἀνάπτει, τὸ πῦρ οὐδὲν ἠλαττωθέν· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε τότε. καὶ γὰρ διὰ τοῦ πυρὸς οὐ μόνον τὸ δαψιλὲς τῆς χάριτος ἐδείκνυτο, ἀλλὰ καὶ ὅτι πηγὴν ἕκαστος ἐλάμβανε πνεύματος, ὥσπερ οὖν καὶ αὐτὸς πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον ἔφησεν ἕξειν τοὺς πιστεύοντας εἰς αὐτόν. καὶ [μάλα] εἰκότως. οὐ γὰρ τῷ Φαραὼ διαλεξόμενοι ἀπῄεσαν, [Ἰωάν. δ. ιδ.] ἀλλὰ τῷ διαβόλῳ παλαίσοντες. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι πεμπόμενοι οὐδεὶς ἀντεῖπεν, οὐδὲ εἶπεν ἰσχνόφωνος εἶναι καὶ βραδύγλωσσος· Μωϋσῆς γὰρ αὐτοὺς εἰς τοῦτο ἐπαίδευσεν· [Ἐξ. δ. ι.] οὐκ εἶπεν εἶναι νεώτερος· Ἱερεμίας γὰρ αὐτοὺς ἐσωφρόνισε. καίτοι πολλὰ ἤκουσαν φοβερὰ καὶ πολλῷ μείζονα ἐκείνων· ἀλλ' ὅμως ἐφοβοῦντο ἀντειπεῖν. ἐκ τούτου δῆλον, ὅτι καὶ φωτὸς ἄγ- [Ἱερ. α. ϛ.] γελοι ἦσαν, καὶ τῶν ἄνωθεν πραγμάτων ὑπηρέται. καὶ ἐκείνοις μὲν οὐδεὶς ἀπ' οὐρανοῦ φαίνεται, ἐν τῇ γῇ διώκουσιν ἔτι· ἐπειδὴ δὲ ἀνῆλθεν ἄνθρωπος ἄνω, καὶ πνεῦμα ἄνωθεν φέρεται, ὥσπερ φερομένης, φησὶ, πνοῆς βιαίας. διὰ τούτου δῆλον ποιεῖ, ὅτι οὐδὲν αὐτοῖς ἀντιστῆναι δυνήσεται, ἀλλ' ὥσπερ χνοῦν τοὺς ὑπεναντίους λικμήσουσι. καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον. ἡ οἰκία τοῦ κόσμου σύμβολον ἦν. καὶ ἐκάθισέ, φησιν, ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη. ὁρᾷς τὴν τούτων εὐλάβειαν, καὶ πῶς οὐκ εὐθέως ἀποφαίνονται, ἀλλ' ἐν ἀπορίᾳ εἰσίν; ἐκεῖνοι δὲ οἱ ἀγνώμονες ἀποφαίνονται λέγοντες· ὅτι γλεύκους εἰσὶ μεμεστωμένοι. ἐπεὶ δὲ ἔδει αὐτοὺς κατὰ τὸν νόμον τρεῖς τοῦ ἐνιαυτοῦ φαίνεσθαι ἐν τῷ ναῷ, διὰ τοῦτο ᾤκουν ἐκεῖ οἱ ἀπὸ πάντων τῶν ἐθνῶν εὐλαβεῖς ἄνδρες. ὅρα ἐντεῦθεν τὸν γράφοντα πῶς αὐτοὺς οὐ κολακεύει. οὐ γὰρ εἶπεν, ὅτι ἀπεφαίνοντο· ἀλλὰ τί; γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη· εἰκότως. ἐνόμιζον γὰρ αὐτοῖς τέλος ἔχειν τὸ πρᾶγμα

μετὰ τὴν ἡμιμανοῦς τόλμαν κατὰ τοῦ Χριστοῦ· ἄλλως δὲ, καὶ τὸ συνειδὸς κατέσειεν αὐτῶν τὰς ψυχὰς, ἐν χερσὶν οὔσης ἔτι τῆς σφαγῆς, καὶ πρῶτα αὐτοὺς ἔπλει. οὐκ ἰδοὺ, φησι, πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καλῶς οὕτως εἶπε. καὶ γὰρ τοῦτο εἶναι ὡμολογημένον. οὕτως αὐτοὺς ἐπλήσσει ὁ ἦχος· τὸ γὰρ πλέον τῆς οἰκουμένης ἐν ταῦθα κατέλαβε. τοῦτο δὲ αὐτοὺς συνεύρου τοὺς ἀποστόλους. ὅ,τι γὰρ Παρθιστὶ ἦν φθέγγεσθαι οὐκ ᾔδεσαν, ἀλλὰ παρ' ἐκείνων τότε ἐμάνθανον. ἐθνῶν δὲ μέμνηται πολεμίων αὐτοῖς, Κρητῶν, Ἀράβων, Αἰγυπτίων, Περσῶν· δηλῶν ὅτι πάντων τούτων κρατήσουσιν. ἀπὸ δὲ ὄντων ἐν αἰχμαλωσίᾳ τῶν Ἰουδαίων, εἰκὸς αὐτοῖς συμπαρεῖναί τινας καὶ διὰ τὸ πολλοὺς τῶν ἐθνῶν· ἢ ὅτι καὶ περὶ τὰ ἔθνη τὰ τῶν δογμάτων ἤδη κατέσπαρτο. [καὶ διὰ τοῦτο πολλοὶ καὶ ἐξ αὐτῶν παρῆσαν ἐκεῖ κατὰ μνήμην ὧν ἤκουσαν.] πανταχόθεν τοίνυν ἀναντίρρητος ἡ μαρτυρία, παρὰ τῶν πολιτῶν, παρὰ τῶν ξένων, παρὰ τῶν προσηλύτων. ἀκούομεν, φησι, λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ. οὐ γὰρ ἁπλῶς ἐλάλουν· ἀλλὰ ἵνα θαυμαστὰ ἔλεγον. εἰκότως τοίνυν ἠπόρουν. οὐδέποτε γὰρ γέγονέ τι τοιοῦτον. ὅρα εὐγνωμοσύνην ἀνθρώπων. ἐξίσταντο καὶ διηπόρουν λέγοντες· τί θέλει τοῦτο εἶναι; ἕτεροι δὲ διαχλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσί. καὶ διὰ τοῦτο ἐχλεύαζον; ὢ τῆς ἀναισχυντίας. καὶ τί θαυμαστὸν, ὅπου γε καὶ αὐτὸν τὸν δεσπότην δαίμονας ἐλαύνοντα, δαιμόνα ἔχειν λέγουσιν; ἔνθα γὰρ ἂν ᾖ ἰταμότης, εἰ ζητεῖ μόνον εἰπεῖν ὅ,τι δήποτε, οὐχ ὅπως τί λόγου πρᾶγμα ἐχόμενον εἴποι, ἀλλ' ὅπως εἴποι. ὅτι γλεύκους μεμεστωμένοι εἰσί. πάνυ γε· ὅτι ἄνθρωποι ἐν τοσούτοις κινδύνοις, περὶ τῶν ἐσχάτων τρέμοντες, ἐν τοσαύτῃ ὄντες ἀθυμίᾳ, τοιαῦτα φθέγγεσθαι τολμῶσι. καὶ ὅρα. ἐπειδὴ τοῦτο ἀπίθανον ἦν, παραλογιζόμενοι τοὺς ἀκούοντας, καὶ δεικνύντες ὅτι ἐμεθύσθησαν, τῇ ποιότητι τοῦ πόματος ἐπιγράφουσι καὶ φασί· γλεύκους μεμεστωμένοι εἰσί.

14 Σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς. Ὁρᾷς ἐκεῖ τὴν κηδεμονίαν, ἐνταῦθα δὲ τὴν ἀνδρείαν; εἰ γὰρ ἐθαύμαζον, εἰ γὰρ ἐξεπλήττοντο, οὐχὶ καὶ οὕτω θαυμαστὸν ἦν, τὸ δυνηθῆναι μεταξὺ τοσούτων ῥῆξαι φωνὴν ἀνθρώπους ἀγραμμάτους καὶ ἰδιώτας; εἰ γὰρ ἐν οἰκείοις τις λέγων ταράττεται, πολλῷ μᾶλλον ἐπὶ ἐχθρῶν καὶ φονώντων. ὅτι δὲ οὐ μεθύουσιν, εὐθέως ἀπὸ τῆς φωνῆς ἐδήλωσαν, ὅτι οὐκ ἐξεστήκασι, καθάπερ οἱ μάντεις, ὅτι οὐκ ἀνάγκῃ κατείχοντο. τί δέ ἐστι, σὺν τοῖς ἕνδεκα; κοινὴν προεβάλλοντο φωνὴν, καὶ πάντων αὐτὸς ἦν τὸ στόμα· παρεστήκασι δὲ οἱ ἕνδεκα μαρτυροῦντες τοῖς λεγομένοις. ἐπῆρε τὴν φωνὴν αὐτοῦ, φησι· τουτέστι, μετὰ πολλῆς εἶπε τῆς παρρησίας. τοῦτο δὲ ποιεῖ, ἵνα μάθωσι τοῦ πνεύματος τὴν χάριν. ὁ γὰρ μὴ ἐνεγκὼν ἐρώτησιν κορασίου εὐτελοῦς, οὗτος ἐν μέσῳ δήμου, φονώντων ἁπάντων, μετὰ τοσαύτης διαλέγεται παρρησίας, ὡς ἀναμφισβήτητον τῆς ἀναστάσεως γενέσθαι τοῦτο τεκμήριον. μεταξὺ γὰρ γελώντων ἀνθρώπων, καὶ τὰ τοιαῦτα διαχλευαζόντων παρρησιάζεται. πόσης εἶναι νομίζεις ἰταμότητος τοῦτο, πόσης ἀσεβείας, πόσης ἀναισχυντίας, τὸ μέθης λογίζεσθαι ἔργον τὴν γλωσσῶν τὸ παράδοξον; ἀλλ' οὐδὲν τοῦτο τοὺς ἀποστόλους ἐλύπησεν, οὐδ' ἀτολμοτέρους εἰργάσατο τότε τὰ τῆς χλεύης ἀκούοντας. τῇ γὰρ παρουσίᾳ τοῦ πνεύματος ἤδη μετεσκευάσθησαν, καὶ ἀνώτεροι τῶν σωματικῶν πάντων ὑπῆρχον. ἔνθα γὰρ ἂν παραγένηται τὸ πνεῦμα τὸ ἅγιον, χρυσοῦς ἀντὶ πηλίνων ἐργάζεται. ὅρα μοι λοιπὸν τὸν Πέτρον, καὶ ἐξέταζε τὸν δειλὸν, τὸν ἀσύνετον (καθάπερ ὁ Χριστός φησιν· Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε) τὸν μετὰ τὴν ὁμολογίαν ἐκείνην τὴν θαυμαστὴν Σατανᾶν κληθέντα. σκόπει δὲ καὶ τῶν ἀποστόλων τὴν ὁμόνοιαν. αὐτοὶ παραχωροῦσιν αὐτῷ τῆς δημηγορίας. οὐ γὰρ ἔδει πάντας φθέγγεσθαι. καὶ ἐπῆρε, φησι, τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς μετὰ πολλῆς τῆς παρρησίας. τοιοῦτόν ἐστιν ἄνδρα εἶναι πνευματικόν. μόνον καὶ ἡμεῖς ἀξίους ἑαυτοὺς καταστήσωμεν τῆς ἄνωθεν χάριτος, καὶ πάντα εὔκολα ἔσται. καθάπερ γὰρ πύρινος ἄνθρωπος εἰς μέσην καλάμην ἐμπεσὼν,

Ιωαν. η μθ.

οὐδὲν ἂν πάθοι δεινόν, ἀλλὰ τοὺς ἄλλους ἐργάσεται (οὐ γὰρ αὐτός τι πάσχει, ἀλλ' αὐτοὶ ἑαυτοὺς οἱ πυκτεύοντες διαφθείρουσι) οὕτω καὶ τότε ἐγένετο. μᾶλλον δὲ ὥσπερ ἂν εἴ τις πυρὶ ἐπιφερομένῳ χόρτον ἔχων πυκτεύοι· οὕτω δὴ καὶ οὗτοι τούτοις προσέπεσον μετὰ πολλῆς τῆς ἀνδρείας. τί γὰρ αὐτοὺς ἔβλαψε τὸ πλῆθος τοσοῦτον; εἰπὲ γάρ μοι, οὐχὶ πενίᾳ ἐμάχοντο καὶ λιμῷ, οὐχὶ ἀτιμίᾳ καὶ δόξῃ πονηρᾷ; πλάνοι γὰρ εἶναι ἐνομίζοντο. οὐχὶ γέλωτι καὶ θυμῷ καὶ χλευασίᾳ ἐμάχοντο; ἐπ' αὐτῶν γὰρ τὰ ἐναντία συνέβη. οἱ μὲν γὰρ αὐτοὺς ἐγέλων, οἱ δὲ καὶ ἐκόλαζον. οὐχὶ θυμοῖς, οὐχὶ μανίαις ὁλοκλήρων πόλεων, οὐχὶ στάσεσι καὶ ἐπιβουλαῖς προσέκειντο; οὐχὶ πυρὶ καὶ σιδήρῳ καὶ θηρίοις; οὐχὶ πάντοθεν αὐτοὺς μυρίος περιειστήκει πόλεμος; οὐχί, ὡς ὄναρ ταῦτα ὁρῶντες τὰ δεινά, ἢ ἐν γραφῇ, οὕτω διέκειντο; τί δαί; οὐκ ἀνήλωσαν αὐτῶν τοὺς θυμούς; οὐκ εἰς ἑαυτοὺς τὴν ἀπορίαν περιέτρεψαν; οὐχὶ τὸν θυμὸν καὶ δέει πάντων μάλιστα ἐκεῖνοι συνείχοντο; οὐχὶ ἐναγώνιοι ἦσαν καὶ ἐφοβοῦντο τοὺς ἐρήμους; ἄκουε γὰρ αὐτῶν λεγόντων· Θέλετε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; καὶ τὸ θαυμαστόν, ὅτι γυμνῷ τῷ σώματι παρετάξαντο πρὸς ὡπλισμένους, πρὸς ἄρχοντας κατ' αὐτῶν ἔχοντας ἐξουσίαν, ἄπειροι, ἄγλωττοι, καὶ ἰδιῶται ὄντες διαλεγόμενοι πρὸς γόητας, πρὸς πλάνους, πρὸς σοφιστῶν, πρὸς ῥητόρων, πρὸς φιλοσόφων πλῆθος τῶν κατασαπέντων ἐν Ἀκαδημίᾳ καὶ περιπάτοις. ἐνίσταντό τε καὶ ἀντεμάχοντο· καὶ ὁ περὶ λίμνας ἠσχολημένος οὕτως αὐτῶν ἐκράτησεν, ὡς οὐδὲ εἰ πρὸς ἰχθῦς ἀγλώττους ὁ ἀγὼν ἦν αὐτῷ. καθάπερ γὰρ ὄντως ἁλιεὺς ἰχθύων ἀφωνοτέρων, οὕτω περιεγένετο. καὶ ὁ μὲν πολλὰ ληρήσας Πλάτων, σεσίγηκεν· οὗτος δὲ φθέγγεται, οὐχὶ παρ' οἰκείοις μόνοις, ἀλλὰ καὶ παρὰ Πάρθοις, παρὰ Μήδοις, παρὰ Ἐλαμίταις, καὶ ἐν Ἰνδίᾳ, καὶ πανταχοῦ γῆς, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης. Πράξ. 5. κη.

ΗΘΙΚΟΝ

Ποῦ νῦν τῆς Ἑλλάδος ὁ τῦφος; ποῦ τῶν Ἀθηνῶν τὸ ὄνομα; ποῦ τῶν φιλοσόφων ὁ λῆρος; ὁ ἀπὸ Γαλιλαίας, ὁ ἀπὸ Βηθσαϊδά, ὁ ἀγροῖκος πάντων ἐκείνων περιεγένετο. οὐκ αἰσχύνεσθε, εἰπέ μοι, ἐπὶ τῷ ὀνόματι τῆς πατρίδος τοῦ νενικηκότος ὑμᾶς; ἂν δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἀκούσητε, ὅτι Κηφᾶς ἐλέγετο, πολλῷ μᾶλλον ἐγκαλύψεσθε. τοῦτο γὰρ ὑμᾶς, τοῦτο ἀπολώλεκεν, ὅτι τοῦτο ὄνειδος εἶναι νομίζετε· τὴν εὐγλωττίαν, ἐγκώμιον· καὶ ἀπειρίαν εὐγλωττίας, ὄνειδος. οὐκ ἤλθετε, ἣν ἐλθεῖν ὁδὸν ἔδει· ἀλλὰ τὴν βασιλικὴν ἀφέντες ὁδὸν τὴν εὔκολον καὶ λείαν, τὴν τραχεῖαν καὶ ἀνάντη καὶ χαλεπὴν ἐβαδίσατε. διὰ τοῦτο οὐκ ἐφθάσατε πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν. τί δήποτε οὐκ εἰς Πλάτωνα ἐνήργησεν ὁ Χριστός, οὐδὲ εἰς Πυθαγόραν, φησίν; * ὅτι πολλῷ φιλοσοφωτέρα ἦν ἡ Πέτρου ψυχὴ τῶν ψυχῶν ἐκείνων. ἐκεῖνοι μὲν γὰρ παῖδες ὄντως ἦσαν, ὑπὸ τῆς κενῆς δόξης περιτρεπόμενοι πανταχοῦ· οὗτος δὲ ἀνὴρ φιλόσοφος, καὶ δεκτικὸς τῆς χάριτος. εἰ δὲ γελᾷς ταῦτα ἀκούων, οὐ θαυμαστόν· ἐπεὶ καὶ οἱ τότε ἐγέλων, καὶ γλεύκους αὐτοὺς ἔλεγον εἶναι μεστούς. ἀλλ' ὕστερον, ὅτε ἐπεπόνθεσαν τὰ πικρὰ ἐκεῖνα καὶ πάντων χαλεπώτερα, ὅτε τὴν πόλιν κατεμπιμπραμένην εἶδον, καὶ τὸ πῦρ ἀναπτόμενον, καὶ τὰ τείχη ῥιπτούμενα χαμαί, καὶ τὰς ποικίλας βακχείας ἐκείνας, ἃς οὐδεὶς παραστῆσαι δύναται λόγῳ, οὐκέτι ἐγέλων. οὕτω καὶ ὑμεῖς τότε οὐ γελάσεσθε, ὅταν ὁ τῆς κρίσεως ἐπιστῇ καιρός, ὅταν τὸ τῆς γεέννης ἀναφθῇ πῦρ. ἀλλὰ τί περὶ μελλόντων λέγω; βούλει δείξω τίς ἐστι Πέτρος, τίς δὲ * Πλάτων; τὰ γὰρ ἤθη τέως αὐτῶν, εἰ δοκεῖ, ἐξετάσωμεν, καὶ ἴδωμεν τίσιν ἐπεχείρησαν ἑκάτεροι. οὗτος μὲν οὖν πάντα τὸν χρόνον ἀνήλωσε περὶ δόγματα στρεφόμενος ἀνόητα καὶ περιττά. τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν, ὅτι μυῖα ἡ ψυχὴ τοῦ φιλοσόφου γίνεται; ὄντως μυῖα. οὐκ εἰς μυῖαν μετέπεσεν, ἀλλ' ἐπέβαινε τῇ ἐν Πλάτωνος οἰκούσῃ ψυχῇ. ποίας γὰρ ταῦτα οὐ ματαιολογίας; πόθεν τοιαῦτα λήρους ἐπεβάλετο; εἰρωνείας μεστὸς ἦν ὁ ἀνήρ, ζηλοτυπίας τῆς πρὸς ἅπαντας, ὥσπερ φιλονεικῶν μήτε οἴκοθεν, μήτε παρ' ἑτέρου χρήσιμόν τι εἰσαγαγεῖν. οὕτω παρὰ μὲν ἑτέρου τὴν μετεμψύχωσιν ἐδέξατο, παρὰ δὲ ἑαυτοῦ τὴν πολιτείαν εἰσήγαγεν, ἔνθα τὰ πολλῆς αἰσχρότητος γέμοντα

μοντα

μοιτα ἐνομοθέτησε. κοιναὶ, φησὶν, αἱ γυναῖκες ἔστωσαν, καὶ γεγυμνωμέναι παρθένοι, καὶ ἐπ' ὄψεσι τῶν ἐραστῶν παλαιέτωσαν, καὶ κοινοὶ πατέρες ἔστωσαν, καὶ οἱ τικτόμενοι παῖδες. ποίαν οὐχ ὑπερβάλλει ταῦτα ἄνοιαν; ἀλλὰ τὰ μὲν ἐκείνου τοιαῦτα. ἐνταῦθα δὲ οὐχ ἡ φύσις ποιεῖ κοινοὺς πατέρας, ἀλλ' ἡ Πέτρου φιλοσοφία· ἐπεὶ ἐκεῖνό γε καὶ ἀνῄρει. οὐδὲν γὰρ ἕτερον ἐποίει, ἀλλ' ἢ τὸν ὄντα ἀγνοεῖσθαι μόνον, οὐχὶ καὶ τὸν ὄντα εἰσάγεσθαι. εἰς μέθην τινὰ καὶ συρφετὸν ἐνέβαλε τὴν ψυχήν. πάντες, φησὶν, ἀδεῶς κεχρήσθωσαν ταῖς γυναιξί. διὰ τοῦτο οὐκ ἐξετάζω ποιητῶν δόγματα, ἵνα μή με τις εἴποι μύθους ἐξετάζειν· ἀλλ' ἑτέρους λέγω μύθους ἐκείνων πολλῷ καταγελαστοτέρους. ποῦ τοιοῦτόν τι ἐτερατεύσαντο ποιηταί; ἀλλ' ὁ κορυφαῖος τῶν φιλοσόφων, ὡς ἐδόκει, καὶ ὅπλα ταῖς γυναιξὶ περιτίθησι, καὶ κράνη καὶ κνημῖδας, καὶ κοινωνεῖν οὐδὲν διαφέρειν λέγει τῶν ἀνθρώπινον γένος. ἐπειδὴ γὰρ ἡ κύων ἡ θήλεια, φησὶ, καὶ ὁ ἄρρην κοινωνοῦσιν ἐν τοῖς ἔργοις, κοινωνείτωσαν καὶ αἱ γυναῖκες, καὶ πάντα ἀναστρεπέσθω. ἀεὶ γὰρ διὰ τούτων ἐσπούδασεν ὁ διάβολος μηδὲν ἐντιμότερον τῶν ἀλόγων τὸ ἡμέτερον δεῖξαι γένος· ὅπου γέ τινες εἰς τοῦτο κενοδοξίας ἦλθον, ὡς εἰπεῖν, ὅτι καὶ τὰ ἄλογα λογικὰ τυγχάνει. καὶ ὅρα πῶς ποικίλως ἐβάκχευσεν ἐν ταῖς ἐκείνων ψυχαῖς. οἱ μὲν γὰρ κορυφαῖοι αὐτῶν ἔφησαν τὴν ἡμετέραν ψυχὴν εἰς μυίας καὶ κύνας καὶ ἄλογα μεθίστασθαι *· οἱ δὲ μετ' ἐκείνους τοῦτο αἰσχυνθέντες, εἰς ἑτέραν αἰσχύνην κατέπεσον, πάσης λογικῆς ἐπιστήμης μεταδόντες τοῖς ἀλόγοις, καὶ πανταχοῦ δείξαντες ἡμῶν, τὰ δι' ἡμᾶς γενόμενα, ἐντιμότερα. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ προγνωστικὰ εἶναι παρ' αὐτοῖς καὶ εὐσεβῆ εἶναι λέγουσιν. ὁ κόραξ, φησὶν, οἶδε τὸν Θεὸν, καὶ ἡ κορώνη, καὶ προφητείας ἔχουσι χαρίσματα, καὶ τὰ μέλλοντα προλέγουσι, καὶ δικαιοσύνη παρ' αὐτοῖς, καὶ πολιτεία, καὶ νόμοι· καὶ ζηλοῖ παρ' αὐτοῖς ὁ κύων κατὰ Πλάτωνα. τάχα ἀπιστεῖτε τοῖς λεγομένοις. εἰκότως, ἅτε τοῖς ὑγιέσιν ἐντεθραμμένοι δόγμασιν· ἐπεὶ καὶ εἴ τις τραφείη ταύτῃ τῇ τροφῇ, ἀπιστήσειεν ἂν, ὅτι ἐστὶν ἄνθρωπος κόπρῳ χαίρων ἡδέως. ἀλλ' ὅταν λέγωμεν αὐτοῖς, ὅτι μῦθοι ταῦτα καὶ ἀνοίας μεστὰ, οὐκ ἐνοήσατε, φασί. μηδὲ νοήσωμέν ποτε τὸν τοιοῦτον ὑμῶν γέλωτα. σφόδρα γε. οὐ γὰρ φρενὸς βαθείας δεῖ, ἵνα μάθωμεν τί βούλεται ἡ τοσαύτη ἀσέβεια καὶ σύγχυσις. μὴ κορακισὶ φθέγγεσθε, ὦ ἀνόητοι, καθάπερ τὰ παιδία. παῖδες γὰρ ὄντως ἐστὲ, καθάπερ ἐκεῖνα. ἀλλ' ὁ Πέτρος οὐδὲν τοιοῦτον ἔφησεν· ἀλλ' ἀφῆκε φωνὴν καθάπερ ἐν σκότῳ τινὶ φῶς ἀπολάμψασαν μέγα, ἣ τὴν ἀχλὺν διεσκέδασε τῆς οἰκουμένης. ἀλλὰ τὸ ἦθος αὐτοῦ πῶς ἥμερον ἦν; πῶς ἐπιεικές; πῶς πάσης ἀνωτέρω δόξης ἵστατο κενῆς; πῶς εἰς τὸν οὐρανὸν ἑώρα ἄτυφος ὢν, καὶ ταῦτα νεκροὺς ἀνιστῶν; εἰ δὲ ἐξεγένετο ἐκείνων τινὶ τῶν ἀνοήτων φαντασίᾳ γοῦν τοιοῦτόν τι ἐργάζεσθαι, οὐκ ἂν εὐθέως βωμὸν ἐζήτησε, καὶ ναὸν, καὶ ἰσόθεός τις εἶναι ἠθέλησεν, ὅπου γε οὐδενὸς τούτων ὄντος τοιαῦτα φαντάζονται ἀεί; τί βούλεται αὐτοῖς Ἀθηνᾶ, καὶ Ἀπόλλων, καὶ Ἥρα; γένη παρ' αὐτοῖς ἐστι δαιμόνων. καὶ βασιλεὺς ἐστὶ παρ' αὐτοῖς διὰ τοῦτο ἀξιῶν ἀποθανεῖν, ἵνα ἰσόθεος νομίζοιτο. ἀλλ' οὗτοι οὐχ οὕτως· ἀλλὰ τοὐναντίον. ἄκουε γὰρ αὐτῶν λεγόντων ἐπὶ τῆς θεραπείας τοῦ χωλοῦ· Ἄνδρες Ἰσραηλῖται, τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καὶ, Ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι. ἐκεῖ δὲ πολὺς ὁ τῦφος, πολλὴ ἡ ἀλαζονεία· πάντα διὰ τὰς παρὰ τῶν ἀνθρώπων τιμὰς, οὐδὲν φιλοσοφίας ἕνεκεν. ὅταν γάρ τι διὰ δόξαν γίνηται, πάντα [μάταια ἐστιν] εὐτελῆ. καὶ γὰρ πάντα τις ἔχῃ, τούτου δὲ μὴ κρατῇ, πάσης φιλοσοφίας ἐξέπεσε, τῷ τυραννικωτέρῳ κατεχόμενος καὶ αἰσχροτέρῳ πάθει. ταύτης γὰρ ἡ ὑπεροψία πάντα διδάξαι τὰ ἀγαθὰ ἱκανὴ, καὶ τῆς ψυχῆς ἐξορίσαι πᾶν πάθος ὀλέθριον. διὸ παρακαλῶ καὶ ὑμῖν πολλὴν ποιεῖσθαι τὴν σπουδὴν, ὥστε τοῦτο τὸ πάθος πρόρριζον ἐξελεῖν. οὐ γάρ ἐστιν ἄλλως εὐδοκιμῆσαι παρὰ τῷ Θεῷ, καὶ τὴν παρὰ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ εὔνοιαν ἐπισπάσασθαι. οὐκοῦν πᾶσαν σπουδὴν ποιώμεθα, ὥστε τῆς ἐκεῖθεν ἡμᾶς ῥοπῆς ἀπολαύειν, ἵνα καὶ τῶν παρόντων λυπηρῶν διαφύγωμεν

Margin notes: Πραξ. γ. ιβ. — Πραξ. ιδ. ιδ.

[γ. ἀπολαύσομεν] φύγωμεν τὴν πεῖραν, καὶ τῶν μελλόντων ἀγαθῶν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ε 14 ΑΝΔΡΕΣ ΙΟΥΔΑΙΟΙ ΚΑΙ ΟΙ ΚΑΤΟΙΚΟΥ͂ΝΤΕΣ Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

ΟΥ̓Σ ξένους εἶπε δυσωπῶν, ἐν τούτῳ πρὸς ἐκείνους ἀποτείνει τὸν λόγον. καὶ δοκεῖ μὲν ἐκείνοις διαλέγεσθαι, ὀρθοῖ δὲ τοὺς διαχλευάζοντας. καὶ γὰρ ᾠκονομήθη τινὰς διαχλευάσαι, ἵνα ἀρχὴν τῆς ἀπολογίας λάβῃ, καὶ ἀπολογούμενος διδάξῃ. μέγα ἄρα ἐγκώμιον ἡγεῖτο καὶ τὸ ἐν Ἱεροσολύμοις οἰκεῖν. τοῦτο ὑμῖν, φησί, γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. προσεκτικωτέρους τέως αὐτοὺς ποιεῖ, εἶτα καὶ ἀπολογεῖται.

15 Οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν.

Ὁρᾷς τὴν ἀπολογίαν πῶς προσηνής; καίτοι τὸ πλέον ἔχων τοῦ δήμου μεθ᾽ ἑαυτοῦ, ἐπιεικέστερον ὅμως αὐτοῖς διαλέγεται. καὶ πειρᾶται λύειν τὴν ὑποψίαν τὴν πονηράν, καὶ τότε ἐκείνην ἵστησι. διὰ καὶ οὐκ εἶπεν, οὐ γὰρ ὡς ὑμεῖς χλευάζετε, οὔτε ὡς ὑμεῖς γελᾶτε, ἀλλ᾽ ὡς ὑπολαμβάνετε, οὐκ ἐπιτηδὲς τοῦτο λέγοντας βουλόμενος δεῖξαι, ἀλλὰ τέως αὐτοῖς περιθεῖναι ἀγνοίας μᾶλλον, ἢ κακουργίας ἔγκλημα. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε, φησίν, οὗτοι μεθύουσιν. Ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας. Καὶ τί τοῦτο; οὐκ ἔνι καὶ ἐν τῇ [γ. ἀκριβῶς.] τρίτῃ ὥρᾳ μεθύειν; ἔνι. ἀλλ᾽ οὐκ ἔστι πρὸς τοῦτο ἐπὶ πολύ. οὐδὲ γὰρ οὕτως εἶπον, ὡς διαχλευάζοντες αὐτοὶ ἔλεγον. ἐντεῦθεν μανθάνομεν, ὅτι πρὸς μὴ τὰ ἀναγκαῖα οὐ δεῖ πο- [γ. δεῖ] λὺν ἀναλίσκειν λόγον. ἄλλως δέ, καὶ τὰ ἐπαγόμενα τούτου ἦν συστατικά· καὶ λοιπὸν κοινὴ πρὸς πάντας ὁ λόγος γίνεται.

16 Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον, φησί, διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐ- Ἰωήλ. β. κη.
σχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεός. Οὐδαμοῦ τέως ὄνομα τοῦ Χριστοῦ, οὐδὲ ἐπαγγελία αὐτοῦ, ἀλλὰ τοῦ πατρὸς ἡ ἐπαγγελία. ὅρα σύνεσιν, ὅρα συγκατάβασιν. οὐ προῆλθε καὶ εἶπεν εὐθέως τὰ κατὰ τὸν Χριστόν, ὅτι ἐκεῖνος ἐπηγγείλατο ταῦτα μετὰ τὸ σταυρωθῆναι. ἦ γὰρ [γ. τι] ἂν πάντα ἀνέτρεψεν οὕτως εἰπών. καὶ μὴν ἱκανὰ ἦν δεῖξαι αὐτοῦ, φησί, τὴν θεότητα. ἀλλὰ πιστευόμενα (τὸ δὲ ζητούμενον τέως πιστευθῆναι ἦν) μὴ πιστευόμενα δέ, καὶ καταλυθῆναι αὐτοὺς ἂν ἐποίησεν.

17 Ἐκχεῶ, φησίν, ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.

Δίδωσι καὶ αὐτοῖς ἐλπίδας χρηστάς, εἴγε θέλοιεν. καὶ τέως οὐκ ἀφίησιν αὐτῶν εἶναι τὸ πλεονέκτημα, ὅπερ καὶ βασκανίαν ἐποίει, ταύτῃ τὸν φθόνον ὑποτεμνόμενος,

Καὶ προφητεύσουσι, φησίν, οἱ υἱοὶ ὑμῶν. Οὔτε ὑμῶν, φησί, κατόρθωμα τοῦτο, οὔτε μὴν ἐγκώμιον. Εἰς τὰ παιδία τὰ ὑμέτερα διέβη ἡ χάρις· αὐτῶν υἱοὺς ἑαυτοῦ κα- [γ. υἱοὺς αὐτοῦ αὐτῶν καλεῖ καὶ] λῶν, καὶ πατέρας ἐκείνους. Καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται·

18 Καί γε ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. Τέως δείκνυσιν αὐτοὺς εὐδοκιμηκότας, πνεύματος ἅτε καταξιωθέντας· ἐκείνους δὲ οὐχί, ἅτε σταυρώσαντας. οὕτω καὶ ὁ Χριστὸς βουλόμενος αὐτῶν μαλάξαι τὸν θυμόν, ἔλεγεν· Οἱ δὲ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι τὰ δαιμόνια; οὐκ εἶ- Ματθ. ιβ. κζ.
πεν, οἱ μαθηταί μου. καὶ γὰρ ἐδόκει κολακεία εἶναι. οὕτω καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι οὐ μεθύουσιν,

οισιν, ἀλλὰ πνεύματι φθέγγονται· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ τὸν προφήτην κατέφυγε, καὶ αὐτὸν ἀποδὺς ἰσχυρίζεται. οὕτω τῆς μὲν κατηγορίας αὐτοὺς ἀπήλλαξε δι' ἑαυτοῦ, τῆς δὲ χάριτος ἐκεῖνον παράγει μάρτυρα. ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, φησὶν, ἐπὶ πᾶσαν σάρκα. οὕτως εἶπεν, ὅτι τοῖς μὲν δι' ὀνείρων, τοῖς δὲ καὶ ἐμφανῶς ἡ χάρις ἐξεχεῖτο. καὶ γὰρ καὶ δι' ὀνείρων εἶδον οἱ προφῆται, καὶ ἀποκαλύψεις ἐδέξαντο. εἶτα ἐπεξέρχεται τῇ προφητείᾳ ἐχούσῃ τι καὶ φοβερόν.

19 Καὶ δώσω, φησὶ, τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω.

Ταῦτα καὶ περὶ τῆς μελλούσης κρίσεως, καὶ περὶ τῶν Ἱεροσολύμων τῆς ἁλώσεως λέγων αἰνίττεται. Αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Ὅρα πῶς τὴν ἅλωσιν ὑπέγραψεν.

20 Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα.

Ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων τοῦτο εἴρηκε. λέγεται δὲ ὅμως καὶ πολλὰ τοιαῦτα γεγενῆσθαι ἐν οὐρανῷ, καθὼς Ἰώσηππος μαρτυρεῖ. ἅμα δὲ αὐτοὺς καὶ ἔπληξε τοῦ σκότους ἀναμνήσας τοῦ γεγενημένου, καὶ ποιῶν προσδοκᾶν τὰ μέλλοντα.

Πρὶν ἢ ἐλθεῖν, φησὶ, τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

Μὴ γὰρ ἐπειδὴ ἀτιμωρητὶ νῦν ἁμαρτάνετε, φησὶ, θαρσήσητε. ταῦτα δὲ προοίμιά ἐστι μεγάλης τινὸς ἡμέρας καὶ χαλεπῆς. ὁρᾷς πῶς αὐτῶν κατέσεισε τὴν ψυχὴν καὶ διεσάλευσε, καὶ τὸν γέλωτα μετέστρεψεν εἰς ἀπολογίαν; εἰ γὰρ ταῦτα προοίμια τῆς ἡμέρας ἐκείνης, ἀνάγκη περὶ τῶν ἐσχάτων τὸν κίνδυνον ἐπηρτῆσθαι. τί δαί; ἆρα λέγων τὰ φοβερὰ ἐπιμένει; οὐδαμῶς· ἀλλὰ τί; πάλιν δίδωσιν αὐτοῖς ἀναπνεῦσαι, καί φησι·

Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

Ῥωμ. ι. ιγ.

Ματθ. κϛ. ο.

Τοῦτο εἴρηται μὲν περὶ τοῦ Χριστοῦ, καθὼς Παῦλος λέγει· ἐνταῦθα δὲ οὐ τολμᾷ σαφῶς αὐτὸ ἀποκαλύψαι. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. καλῶς ὡς πρὸς γελῶντας καὶ χλευάζοντας καθίσταται λέγων· γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. ἀρχόμενος δὲ ἔλεγεν, ἄνδρες Ἰουδαῖοι. Ἰουδαίους ἐμοὶ δοκεῖ λέγειν, τοὺς τὴν Ἰουδαίαν κατοικοῦντας. καὶ, εἰ βούλει, παραθώμεθα τὰ ῥήματα ἐκεῖνα τὰ ἐν τῷ εὐαγγελίῳ, ἵνα μάθῃς τίς ἐξαίφνης γέγονεν ὁ Πέτρος. Ἐξῆλθε, φησὶ, κόρη λέγουσα, καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. ὁ δὲ, οὐκ οἶδα τὸν ἄνθρωπον, ἀπεκρίνατο. καὶ πάλιν ἐπερωτηθεὶς, ἤρξατο καταναθεματίζειν καὶ ὀμνύναι. ἀλλ' ὅρα ἐνταῦθα αὐτοῦ τὴν παρρησίαν καὶ τὴν πολλὴν ἐλευθεροστομίαν. οὐκ ἐπῄνεσε τοὺς εἰπόντας, ὅτι ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ, ἀλλὰ τῇ πρὸς ἐκείνους βαρύτητι καὶ τούτους σπουδαιοτέρους ποιῆσαι βούλεται, καὶ κολακείας τῶν λόγων ἀπηλλαγμένον ἀποδεῖξαι. πανταχοῦ γὰρ τοῦτο παρατηρεῖν καλὸν, πῶς ἐν τάξει συγκαταβάσεως πάσης κολακείας ὁ λόγος ἀπήλλακται, καὶ πάσης ὕβρεως, ὅπερ δύσκολον. τὸ δὲ καὶ ἐν τρίτῃ ὥρᾳ ταῦτα γενέσθαι, οὐχ ἁπλῶς ᾠκονόμηται. τότε γὰρ τὸ λαμπρὸν τοῦ φωτὸς δείκνυται, ὅτε οὐ περὶ ἔργα ἔχουσιν οἱ ἄνθρωποι τὰ περὶ ἄριστον, ὅτε φαιδρὰ ἡ ἡμέρα, ὅτε πάντες εἰσὶν ἐπ' ἀγορᾶς. ὁρᾷς καὶ ἐλευθερίας τῶν λόγων γέμοντα; καὶ ἐνωτίσασθε, φησὶ, τὰ ῥήματά μου. τοῦτο εἰπὼν, οὐδὲν προσέθηκεν, ἀλλ' ἐπήγαγε· τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις· δείκνυσι λοιπὸν τὴν συντέλειαν οὖσαν ἐγγύς. καὶ τὸ, ἐν ταῖς ἐσχάταις ἡμέραις, ἔχει τινὰ ἔμφασιν. εἶτα, ἵνα μὴ δόξῃ εἰς τοὺς υἱοὺς περιΐστασθαι μόνον τὸ πρᾶγμα, ἐπάγει· καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. ὅρα τὴν ἀκολουθίαν. πρότεροι υἱοὶ, καθὼς καὶ ὁ Δαβὶδ φησιν· Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου. καὶ ὁ Μαλαχίας πάλιν· Ἐπιστρέψας καρδίας πατέρων ἐπὶ τέκνα. καὶ ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου. καὶ τοῦτο ἀρετῆς τεκμήριον. δοῦλοι γὰρ αὐτοῦ γεγόναμεν ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας. πολλὴ

Ψαλ. μδ. α.

Μαλ. δ. ϛ.

δὲ καὶ ἡ δωρεά, ὅταν καὶ ἐπὶ τὸ ἑτερογενὲς μεταβαίνῃ τὸ χάρισμα, οὐχ ὥσπερ εἰς μίαν καὶ δευ-
τέραν περιέστη τὸ παλαιόν, διὰ Δεββώρας καὶ Ολδάν. καὶ οὐκ εἶπεν, ὅτι πνεῦμά ἐστιν ἅγιον,
οὐδὲ ἡρμήνευσε τὰ τοῦ προφήτου· ἀλλὰ τὴν προφητείαν μόνην εἰσήγαγε καθ' ἑαυτὴν
ἀγωνιζομένην. καὶ οὐδὲν περὶ Ἰούδα τέως φθέγγεται, καίτοι πᾶσιν ἦν δῆλον οἵαν ἔδωκε δί-
κην καὶ κόλασιν. οὐδὲν γὰρ ἰσχυρότερον τοῦ ἀπὸ προφητείας αὐτοῖς διαλέγεσθαι. τοῦτο
καὶ τῶν πραγμάτων αὐτῶν ἰσχυρότερον. σημεῖα γὰρ ποιοῦντος τοῦ Χριστοῦ, πολλάκις ἀντέ- Ματθ. κβ. μδ.
λεγον· ὅτε δὲ τὴν προφητείαν παρήγαγεν αὐτοῖς ὁ Χριστὸς λέγουσαν· εἶπεν ὁ Κύριος τῷ Κυ-
ρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἐσίγησαν οὕτως, ὡς μηδένα λοιπὸν ἰσχῦσαι ἀποκριθῆναι αὐτῷ
λόγον. καὶ πολλαχοῦ τῶν γραφῶν καὶ αὐτὸς μέμνηται λέγων· Εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς
οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο· μᾶλλον δὲ πανταχοῦ τοῦτο εὕροι τις ἄν. διὰ τοῦτο καὶ ἐνταῦθά
φησιν· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· τουτέστι, καὶ τὰ ἔθνη. ἀλλ' οὐδέπω Ἰωαν. ι. λε.
ἀποκαλύπτει, οὐδὲ ἑρμηνεύει· οὐδὲ γὰρ συνέφερεν, ἐπεὶ καὶ τοῦτο ἀσαφές. δώσω, φησί, τέρα-
τα ἐν τῷ οὐρανῷ ἄνω. μᾶλλον αὐτοὺς ἐφόβει ἀσαφὲς ὄν. εἰ δὲ ἡρμήνευσε, μᾶλλον ἂν αὐτοῖς
[καὶ] προσέστη. εἶτα καὶ ὡς δῆλον παραινεῖ, τοιαύτην βουλόμενος δοῦναι δόξαν. ἀμέλει γοῦν
μετὰ ταῦτα αὐτοῖς ἑρμηνεύει, ὅτι περὶ τῆς ἀναστάσεως αὐτοῖς διαλέγεται, ὅτι προσωδοποίησε
τὸν λόγον. διὰ τοῦτο ἐχὼν παραίνεσιν, ἐπειδὴ οὐκ ἤρκει τὰ ἀγαθὰ ἐπισπάσασθαι· καίτοι τοῦτο
οὐδέποτε γέγονεν. οὐδεὶς γὰρ τότε διέφυγε· νῦν δὲ καὶ πιστοὶ διέφυγον ἐπὶ Οὐεσπασιανοῦ.
καὶ τοῦτό ἐστιν ὃ λέγει, Εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. τὸ Ματθ. κδ. κβ.
χαλεπώτερον προτέρου γέγονε. πρότερον γὰρ συνέβη τοὺς κατοικοῦντας ἁλῶναι, καὶ τότε
τὴν πόλιν κατασκαφῆναι καὶ ἐμπρησθῆναι. εἶτα ἐπιμένει τῇ μεταφορᾷ, ἐγγὺς τῆς ὄ-
ψεως τὸν ἀκροατὴν ἄγων τὴν κατασκαφὴν καὶ τὴν ἅλωσιν. ὁ ἥλιος, φησί, μεταστραφή-
σεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα. τί ἐστιν εἰς αἷμα σελήνην μεταστραφῆναι; δοκεῖ
μοι διὰ τούτου τὴν ὑπερβολὴν λέγειν τῆς σφαγῆς, καὶ πολλῆς ἀπορίας ἐπιτηδείως τὸν λόγον
ἐμπιπλᾶν. καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. πᾶς, φησί, κἂν
ἱερεὺς ᾖ (ἀλλ' οὐδέπω ἀποκαλύπτει) κἂν δοῦλος, κἂν ἐλεύθερος. Οὐκ ἄρσεν γὰρ, οὐ θῆλυ ἐν Γαλ. γ. κη.
Χριστῷ Ἰησοῦ, οὐ δοῦλος, οὐκ ἐλεύθερος· εἰκότως. ταῦτα γὰρ ἐνταῦθα, ἔνθα πάντα σκιά.
εἰ γὰρ ἐν βασιλείοις οὐδεὶς εὐγενής, οὐδὲ δυσγενής, ἀλλὰ ἀπὸ τῶν ἔργων ἕκαστος φαίνεται, καὶ
φιλοσοφία. ἐν τέχνῃ ἀπὸ τοῦ ἔργου ἕκαστος δείκνυται· πολλῷ μᾶλλον ἐν ἐκείνῃ τῇ καταστάσει. πᾶς ὃς
ἂν ἐπικαλέσηται· ἐπικαλέσηται δὲ οὐχ ἁπλῶς (Οὐ γὰρ πᾶς, φησίν, ὁ λέγων μοι, Κύριε, Κύ- Ματθ. ζ. κα.
τέως δὲ ...ρον ριε) ἀλλὰ μετὰ διαθέσεως, μετὰ βίου ἀρίστου, μετὰ παρρησίας τῆς προσηκούσης. Τέως ἀ-
νεπαχθῆ ποιεῖ τὸν λόγον τὸ τῆς πίστεως εἰσάγων, καὶ οὐ φοβερὸν κρύπτων τὸ τῆς κολάσεως.
πῶς; δείκνυσιν ὅτι ἐν ἐπικλήσει ἡ σωτηρία. τί λέγεις, εἰπέ μοι; σωτηρίας μέμνησαι μετὰ
σταυρόν; ἀνάσχου τέως. πολλὴ γὰρ ἡ φιλανθρωπία τοῦ Θεοῦ. καὶ τοῦτο οὐχ ἧττον τῆς ἀνα-
στάσεως αὐτὸν δείκνυσι Θεόν, καὶ τῶν σημείων οὐχ ἧττον τὸ τούτους προσκαλεῖσθαι. τὸ γὰρ
σφόδρα ἀγαθόν, τοῦτο Θεοῦ μάλιστα ἴδιον. διὰ τοῦτο καὶ λέγει· Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Λουκ. ιη. ιθ.
Θεός. ἀλλὰ μὴ τὴν ἀγαθότητα Θεοῦ εἰς ἀφορμὴν ῥαθυμίας λάβωμεν. καὶ γὰρ καὶ κο-
λάζει καθάπερ Θεός. αὐτὰ γοῦν ταῦτα αὐτοὺς εἰργάσατο ὁ εἰπών, ὃς ἂν ἐπικαλέσηται
τὸ ὄνομα Κυρίου, σωθήσεται· τὰ κατὰ τὴν Ἱερουσαλὴμ λέγω, τὴν ἀφόρητον ἐκείνην
κόλασιν· ἧς βούλομαι ὀλίγα πρὸς ὑμᾶς εἰπεῖν, χρησιμεύοντα ἡμῖν, καὶ πρὸς Μαρκιωνι-
στάς, καὶ πρὸς ἄλλους πολλοὺς τῶν αἱρετικῶν.

ΗΘΙΚΟΝ

Ἐπειδὴ γὰρ λέγουσιν ἀγαθὸν Θεὸν τὸν Χριστόν, ἐκεῖνον δὲ πονηρόν, ἴδωμεν τίς ταῦτα ἐ-
ἢ ὑγιής ποίησε. τίς τοίνυν ταῦτα εἰργάσατο; ὁ πονηρός, τουτέστιν ἀμείνων; οὐδαμῶς. πῶς οὖν αὐτὸν
ἀνώτερος; ἀλλ' ὁ ἀγαθός; ἀλλὰ δείκνυται καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς πεποιηκώς· ὁ μὲν πατὴρ
πολλαχοῦ, ὡς ὅταν λέγῃ, ἐν τῷ ἀμπελῶνι πέμπειν τὰ στρατεύματα αὐτοῦ· ὁ δὲ υἱός, ὅταν Ματθ. κ. ς.

Λουκ. ιθ. κζ. λέγῃ, Τοὺς δὲ ἐχθρούς μου ἀγάγετε καὶ κατασφάξατε ἐνώπιόν μου, τοὺς μὴ θελήσαντάς με ἐπ' αὐτῶν βασιλεῦσαι. ἄλλως δὲ καὶ αὐτὸς λέγει τὰς θλίψεις τὰς ἐσομένας, ὧν οὐδὲν ὠμότερον γέγονε τῶν πώποτε πεπραγμένων, καὶ αὐτὸς αὐτὰς ἀπεφήνατο. θέλεις οὖν ἀκοῦσαι τὰ γεγενημένα; ὀβελίσκοις αὐτοὺς διέπειραν. τί τούτων ἰδεῖν βαρύτερον; ἀλλὰ τὸ τῆς γυναικὸς βούλει πάθος διηγήσομαι, καὶ τὴν τραγῳδίαν ἐκείνην, ἥτις πάσας ἀπέκρυψε συμφοράς; ἀλλὰ τοὺς λιμοὺς καὶ τοὺς λοιμούς; καὶ παρίημι τὰ τούτων χαλεπώτερα. ἠγνοήθη παρ' ἐκείνοις ἡ φύσις, ἠγνοήθη ὁ νόμος, τὰ θηρία ὑπερηκόντισαν. πάντα δὲ ταῦτα ὑπὸ τῆς ἀνάγκης τῶν πολεμίων γέγονε, τοῦ Θεοῦ βουλομένου καὶ τοῦ Χριστοῦ. ταῦτα καὶ πρὸς Μαρκιωνιστὰς ἁρμόσει, καὶ πρὸς τοὺς ἀπιστοῦντας τῇ γεέννῃ. ἱκανὰ γὰρ αὐτῶν ἐπιστομίσαι τὴν ἀναισχυντίαν. τῶν ἐν Βαβυλῶνι κακῶν οὐχὶ ταῦτα χαλεπώτερα; τῶν λιμῶν ἐκείνων οὐχὶ ταῦτα πολλῷ

Ματθ. κδ. κα. βαρύτερα; "περὶ τούτων καὶ αὐτὸς ἀπεφήνατο ὁ Χριστὸς λέγων, ἔσται θλῖψις, οἵα οὐ γέγονεν, οὐδὲ μὴ γένηται. πῶς οὖν" λέγουσί τινες, ὅτι εἴασεν αὐτοῖς ὁ Χριστὸς τὴν ἁμαρτίαν; τάχα δοκεῖ κοινὸν εἶναι τὸ ζήτημα· ἀλλ' ὑμεῖς αὐτὸ" ἱκανοὶ λῦσαι. οὐδεὶς οὐδαμοῦ πλάσμα τοιοῦτον ἔχει δεῖξαι, οἷον ἐπὶ τῆς ἀληθείας γέγονε. καὶ εἰ μὲν χριστιανὸς ὁ ταῦτα γράφων ἦν, κἂν ὕποπτος ὁ λόγος ἦν· εἰ δὲ Ἰουδαῖος, καὶ Ἰουδαῖος ζηλωτὴς μετὰ τὸ εὐαγγέλιον, πῶς οὐ πᾶσι κατάδηλα τὰ γενόμενα; ὄψει γὰρ αὐτὸν πανταχοῦ, πῶς καὶ ἐπαίρει ἀεὶ τὰ Ἰουδαϊκά. ἐννοῶ ἔστι καὶ γέεννα, ἄνθρωπε, καὶ ἀγαθός ἐστιν ὁ Θεός. ἆρα ἐφρίξατε ταῦτα ἀκούσαντες; ἀλλὰ ταῦτα τὰ ἐνταῦθα γινόμενα οὐδέν ἐστι πρὸς τὰ ἐκεῖ. πάλιν ἀναγκάζομαι ἀηδὴς φαίνεσθαι καὶ φορτικὸς καὶ βαρύς· ἀλλὰ τί πάθω; εἰς τοῦτο κεῖμαι. καθάπερ παιδαγωγὸς χαλεπὸς εἰς τοῦτο κεῖται, εἰς τὸ μισεῖσθαι παρὰ τῶν παιδαγωγουμένων· οὕτω δὴ καὶ ἡμεῖς. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παρὰ βασιλέων τάξιν τινὰ ταχθέντας, κἂν ἀηδὲς ᾖ, τὸ προστατόμενον ποιεῖν· ἡμᾶς δὲ διὰ τὴν παρ' ὑμῶν μέμψιν ἐλλείπειν τὴν τάξιν, ἣν ἐτάχθημεν; ἄλλος ἔργον ἔχει ἕτερον, ὑμῶν δὲ πολλοὶ ἔργον ἔχουσι, τὸ ἐλεεῖν, τὸ φιλανθρωπεύεσθαι, ἡδεῖς εἶναι καὶ προσηνεῖς τοῖς εὐεργετουμένοις· ἡμεῖς δὲ τοῖς ὠφελουμένοις βαρεῖς φαινόμεθα καὶ χαλεποὶ καὶ φορτικοὶ καὶ ἀηδεῖς. οὐ γὰρ δι' ὧν τερπόμεθα ὠφελούμεθα, ἀλλὰ δι' ὧν δακνόμεθα. τοιοῦτός ἐστι καὶ ὁ ἰατρός. ἀλλ' ἐκεῖνος μὲν οὐ σφόδρα ἀηδής· εὐθέως γὰρ τῆς αὐτοῦ τέχνης τὴν ὠφέλειαν παρέχεται· ἡμεῖς δὲ ἐν τῷ μέλλοντι. τοιοῦτός ἐστι καὶ ὁ δικαστής, λυπηρὸς * τοῖς ἀδικοῦσι καὶ στασιάζουσι· τοιοῦτος ὁ νομοθέτης, λυπηρὸς τοῖς νομοθετουμένοις. ἀλλ' οὐχ ὁ καλῶν ἐπὶ τρυφήν, οὐδὲ ὁ δημοτελεῖς ποιῶν ἑορτὰς καὶ πανηγύρεις, οὐδὲ ὁ στεφανῶν τῶν δήμων· ἀλλὰ προσηνεῖς οὗτοι, εὐωχοῦντες τὰς πόλεις θεάμασι παντοδαποῖς, εἰσφέροντες, ἀναλίσκοντες. διὰ τοῦτο καὶ εὐφημίαις αὐτοὺς ἀμείβονται οἱ παθόντες εὖ, καὶ παραπετάσμασι, καὶ λαμπάδων πλήθει, καὶ στέμμασι, καὶ κλάδοις, καὶ ἐσθῆτι λαμπρᾷ. ἂν δὲ τῶν ἰατρῶν ἴδωσιν οἱ κάμνοντες, στυγνοὶ καὶ κατηφεῖς γίνονται. ἂν τῶν δικαστῶν ὁμοίως οἱ στασιάζοντες, συνεσταλμένοι γίνονται, οὐχὶ διαχέονται, οὐδὲ ὀρχοῦνται, πλὴν ὅταν κἀκεῖνος εἰς ἐκείνην μεταστῇ τὴν τάξιν. ἴδωμεν οὖν τίνες μάλιστα τὰς πόλεις ὠφελοῦσιν, οἱ τὰς ἑορτὰς ταύτας ἄγοντες, καὶ τὰς θαλίας, καὶ τὰς τραπέζας τὰς πολυτελεῖς, καὶ τὰς τέρψεις τὰς ποικίλας· ἢ οἱ πάντα ἐκεῖνα συστείλαντες, καὶ τὸ ξύλον ἐπιφερόμενοι, καὶ μάστιγας, καὶ δημίους, καὶ στρατιώτας φοβερούς, καὶ φωνὴν [περιϊέμενοι] πολλοῦ τρόμου γέμουσαν, καὶ ἐπισκήπτοντες, καὶ κατηφεῖς ποιοῦντες, καὶ ῥάβδῳ ἀποσοβοῦντες τοὺς ἐπὶ τῆς ἀγορᾶς. "ἴδωμεν τοίνυν, πόθεν τὸ κέρδος λάβῃ. οὗτοι μὲν γάρ εἰσιν ἀηδεῖς, ἐκεῖνοι δὲ ποθεινοί. τί οὖν ἀπ' ἐκείνων γίνεται τῶν τερπόντων; ἡδονή τις ψυχρά, μέχρι τῆς ἑσπέρας μένουσα, καὶ τῇ ἐπιούσῃ διαρρέουσα, γέλως ἄτακτος, ῥήματα ἀπρεπῆ καὶ διακεχυμένα. τί δαὶ ἀπὸ τούτων; φόβος, σωφροσύνη, λογισμὸς συνεσταλμένος, ψυχῆς ἐπιείκεια, ῥαθυμίας ἀναίρεσις, χαλινὸς τῶν ἔνδον ὄντων παθῶν, τεῖχος τῶν ἔξωθεν ἐπιόντων *. διὰ τούτους τὰς οὐσίας ἔχομεν ἕκαστος,

δι'

δι᾽ ἐκείνας δὲ τὰς ἑορτὰς [καὶ] ἐπιβλαβεῖς κενοῦμεν αὐτάς· οὐ λῃστῶν ἐπεισελθόντων, ἀλλὰ τῆς μὲν ἡδονῆς λῃστευούσης κενοδοξίας. ὁρᾷ τῶν λῃστῶν ἕκαστος ἐκφοροῦντα πάντα, καὶ ἥδεται. καινὸς τῆς λῃστείας ὁ τρόπος· ἔπεισι τοὺς ἀποδυομένους εὐφραίνεσθαι. ἀλλ᾽ οὐκ ἐκεῖ τοιοῦτον οὐδέν· ἀλλὰ πᾶσιν ἀπετείχισεν ὁ Θεός, καθάπερ κοινὸς πατήρ, καὶ τοῖς ὁρωμένοις, καὶ τοῖς μὴ ὁρωμένοις. Βλέπετε γάρ, φησι, τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων. (Ματθ. ς. α.) μανθάνει ψυχὴ ἐντεῦθεν ἀδικίαν φεύγειν. ἀδικία γάρ, οὐ τὸ χρήματα πλεονεκτεῖν μόνον, ἀλλὰ καὶ τὸ πλέον τῆς ὡρισμένης τροφῆς διδόναι τῇ γαστρί, καὶ τὴν εὐφροσύνην τῶν οἰκείων ἐξάγειν μέτρων, καὶ ποιεῖν ἐκβακχεύεσθαι. ἐκεῖθεν σωφροσύνην μανθάνει, ἐντεῦθεν ἀκολασίαν. οὐ γὰρ τὸ μιγῆναι γυναικὶ μόνον ἀκολασία, ἀλλὰ καὶ τὸ ἀκολάστοις ἰδεῖν ὀφθαλμοῖς. ἐκεῖθεν ἐπιείκειαν μανθάνει, ἐντεῦθεν τῦφον. Πάντα γάρ μοι, φησιν, ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. (Ματθ. ε. κη. α. Κορ. ς. ιβ.) ἐκεῖθεν κοσμιότητα, ἐντεῦθεν ἀσχημοσύνην. τὰ γὰρ ἐν τοῖς θεάτροις παρίημι. ὅτι δὲ οὐδὲ ἡδονή τίς ἐστιν, ἀλλὰ λύπη, δείξατέ μοι μίαν μόνην ἡμέραν τῆς ἑορτῆς τοὺς τὰ ἀναλώσαντας, τοὺς προστάντας τοῖς θεάμασι, καὶ ὄψει αὐτοὺς τοὺς μὲν ἐν κατηφείᾳ ἅπαντας, ἐν μείζονι δὲ ἐκεῖνον τὸν ἀνηλωκότα, καὶ εἰκότως. ἔπρεψε γὰρ τῇ προθυμίᾳ τῶν ἰδιωτῶν. καὶ ὁ μὲν ἰδιώτης ἐν εὐθυμίᾳ ἦν καὶ ἡδονῇ πολλῇ (τέως γὰρ τῇ ἐσθῆτι ἔχαιρε τῇ λαμπρᾷ) τὸν χρόνον δὲ αὐτῆς οὐκ ἔχων, ἀλλ᾽ ὁρῶν ἑαυτὸν ἀποδυόμενον, ἤλγει καὶ ἐδάκρυεν· ἐκεῖνος δὲ ὁ ἀναλίσκων, καὶ τὴν οἰκίαν εὐπραγίαν μικρὰν ὁρᾷ πρὸς τὴν ἐκείνου ἔδοξαι. διὰ τοῦτο τῇ ὑστεραίᾳ ἀποδιδόασιν ἀλλήλοις, καὶ τὸ πλέον τῆς ἀθυμίας ἐκεῖνος δέχεται. Εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσαύτην ἔχει ἀηδίαν τὰ τέρποντα, τὰ δὲ ἐπισύροντα ὠφέλειαν· πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. διὰ τοῦτο μηδεὶς ἀγανακτείτω τοῖς νόμοις, ἀλλὰ καὶ κοινὴν ὠφέλειαν ἅπαντες ἥδονται τὸ πρᾶγμα. οὐ γὰρ ἄλλοθέν ποθεν ξένοι καὶ πολέμιοι τῶν νομοθετουμένων ἐλθόντες ταῦτα διετάξαντο, ἀλλ᾽ αὐτοὶ οἱ πολῖται, οἱ προστάται, οἱ κηδεμόνες. καὶ τοῦτο σωτηρίας καὶ εὐνοίας τεκμήριον τυγχάνειν ἡγοῦνται, τὸ νόμους θέσθαι· καίτοιγε κολάσεως οἱ νόμοι γέμουσι, καὶ οὐκ ἔστιν εὑρεῖν νόμον κολάσεως χωρίς. πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἐκείνους ἐξηγουμένους τοὺς νόμους, καὶ σωτῆρας καὶ εὐεργέτας καὶ προστάτας ἀποκαλεῖν, ἡμᾶς δὲ βαρεῖς τινας καὶ χαλεποὺς ἡγεῖσθαι, ἂν τοὺς τοῦ Θεοῦ νόμους λέγωμεν; ὅταν γὰρ περὶ γεέννης διαλεγώμεθα, ἐκείνους τοὺς νόμους κινοῦμεν. καὶ καθάπερ οἱ ἔξωθεν τοὺς φονικούς, τοὺς περὶ λωποδυτῶν, τοὺς γαμικούς, καὶ πάντας τοὺς τοιούτους, οὕτω καὶ ἡμεῖς τοὺς κολαστικούς, οὓς οὐκ ἄνθρωπος ἔθηκεν, ἀλλ᾽ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. ὁ ἀνελεήμων κολαζέσθω, φησί (τοῦτο γὰρ ἡ παραβολὴ βούλεται) ὁ μνησικακῶν τιμωρείσθω τιμωρίαν ἐσχάτην· ὁ ὀργιζόμενος εἰκῇ εἰς τὸ πῦρ ἐμβαλλέσθω· ὁ λοιδορῶν τινέτω δίκην ἐν τῇ γεέννῃ. (Ματθ. ιη. λδ. Ματθ. ε. κβ. Ιακ. δ. ια.) εἰ δὲ νομίζετε ξένους ἀκούειν νόμους, μὴ θορυβηθῆτε. εἰ γὰρ μὴ ξένους ἔμελλε θήσειν, τί καὶ παρεγένετο ὁ Χριστός; ἐκεῖνα γὰρ δῆλα ἡμῖν ἐστιν, ὅτι τὸν φονέα καὶ τὸν μοιχὸν δεῖ κολάζεσθαι. εἰ τοίνυν τὰ αὐτὰ ἐμέλλομεν ἀκούσεσθαι, τίς χρεία τοῦ οὐρανίου διδασκάλου; διὰ τοῦτο οὐ λέγει, ὁ μοιχὸς κολαζέσθω, ἀλλ᾽ ὁ βλέπων ἀκολάστοις ὀφθαλμοῖς. καὶ ποῦ, καὶ πότε δώσει δίκην, προσέθηκε. καὶ οὐκ εἰς ἄξονας, οὐδὲ εἰς κύρβεις τοὺς νόμους κατέθετο, οὐδὲ στήλας ἀνέστησε χαλκᾶς, καὶ γράμματα ἐνεχάραξεν· ἀλλὰ ψυχὰς ἡμῖν ἀναστήσας δώδεκα τὰς τῶν ἀποστόλων, ἐν ταῖς ἐκείνων διανοίαις διὰ τοῦ πνεύματος ταῦτα τὰ γράμματα γέγραφε. ταῦτα ὑμῖν προαναγινώσκομεν εἰκότως ἡμεῖς. εἰ γὰρ Ἰουδαίοις τοῦτο ἐποίησεν, ἵνα μηδεὶς εἰς ἄγνοιαν ἔχῃ καταφεύγειν, πολλῷ μᾶλλον ἡμῖν. εἰ δὲ λέγοι τις, οὐδὲ ἀκούω, οὐδὲ κρίσιν ἔχω, τοῦτο μάλιστα κολάζεται. εἰ γὰρ μηδεὶς ἦν ὁ διδάσκων, εἶχεν εἰς ταῦτα καταφεύγειν· εἰ δὲ ἐστιν, οὐκ ἔτι. ὅρα γοῦν Ἰουδαίους πῶς ἀποστερεῖ συγγνώμης, λέγων· Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. καὶ πάλιν ὁ Παῦλος· Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. (Ιωαν. ιε. κβ. Ρωμ. ι. ιη. Ψαλ. ιη. ε.) πότε γὰρ συγγνώ-

[Margin notes: γ. τὰς ἐπιβλαβεῖς. — γ. ἀσελγ- — γ. καὶ ἐδάκρυεν ... — γ. ἐστι νόμους — γ. ἀναστήματα. — γ. χρυσᾶν ... κίονα]

μή ἐστιν, ὅταν μηδεὶς ᾖ ὁ λέγων· ὅταν δὲ ὁ σκοπὸς καθῆται, καὶ τοῦτο ἔχῃ ἔργον, οὐκέτι συγγνώμη. μᾶλλον δὲ οὐκ ἐβούλετο ὁ Χριστὸς εἰς ἐκείνας τὰς στήλας ὁρᾶν ἡμᾶς μόνον, ἀλλὰ καὶ αὐτοὺς εἶναι στήλας. ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς τῶν γραμμάτων τούτων κατεστήσαμεν, κἂν εἰς ἐκείνας ἴδωμεν. καθάπερ γὰρ αἱ στῆλαι ἑτέροις ἀπειλοῦσιν, αὗται δὲ οὐκ εἰσὶν ὑπεύθυνοι, ὥσπερ οὐδὲ οἱ νόμοι· οὕτω καὶ οἱ μακάριοι ἀπόστολοι. καὶ ὅρα· οὐκ ἐν ἑνὶ τόπῳ ἡ στήλη ἕστηκεν αὕτη, ἀλλὰ πανταχοῦ περιφέρεται τὰ γράμματα. κἂν εἰς Ἰνδοὺς ἀπέλθῃς, ἀκούσῃ τούτων· κἂν εἰς Σπανίαν, κἂν πρὸς αὐτὰ τῆς γῆς τὰ τέρματα, οὐδεὶς ἀνήκοος τυγχάνει, πλὴν εἰ μὴ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν. μὴ δὴ δυσχεραίνετε, ἀλλὰ προσέχετε τοῖς λεγομένοις, ἵνα δυνηθῆτε τῶν τῆς ἀρετῆς ἔργων ἐπιλαβέσθαι, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ς. 22 ΑΝΔΡΕΣ ΙΣΡΑΗΛΙΤΑΙ, ΑΚΟΥΣΑΤΕ ΜΟΥ τοὺς λόγους τούτους.

Οὐκ ἔστι κολακεία τὸ ῥῆμα· ἀλλ' ἐπειδὴ καθήψατο αὐτῶν σφοδρῶς, ἀνίησιν αὐτοὺς λοιπόν, καὶ ἀναμιμνήσκει τοῦ Δαβὶδ εὐχερῶς. καὶ πάλιν ἀπὸ προοιμίου ἄρχεται, ἵνα μὴ θορυβηθῶσιν, ἐπειδὴ ἔμελλεν αὐτοὺς τοῦ Ἰησοῦ ἀναμιμνήσκειν. ἀνωτέρω μὲν γὰρ οὐκ ἂν ἐθορυβήθησαν τοῦ προφήτου ἀκούοντες, τὸ δὲ ὄνομα τοῦ Ἰησοῦ εὐθέως ἂν αὐτοὺς προσέστη. καὶ οὐκ εἶπε, πείθητε, ἀλλά, ἀκούσατε, ὅπερ ἦν ἀνεπαχθές. καὶ ὅρα πῶς οὐδὲν λέγει τῶν ὑψηλῶν, ἀλλ' ἀπὸ τῶν σφόδρα ταπεινῶν ἄρχεται. Ἰησοῦν, φησι, τὸν Ναζωραῖον. καὶ εὐθέως τὴν πατρίδα λέγει, ἥπερ ἐδόκει εὐτελὴς εἶναι. καὶ οὐδὲν μέγα τέως λέγει περὶ αὐτοῦ, οὐδὲ οἷα ἄν τις εἴποι περὶ προφήτου. Ἰησοῦν, φησι, τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς. Ὅρα ποῖον ἦν τοῦτο μέγα, τὸ εἰπεῖν ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη. τοῦτο γὰρ ἄνω καὶ κάτω καὶ αὐτὸς ἐσπούδαζε καὶ Ἰωάννης καὶ οἱ ἀπόστολοι δεῖξαι.

Ιωαν. α. λγ. ἄκουε γὰρ Ἰωάννου λέγοντος· Ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν. αὐτὸς δὲ ὁ Χριστὸς καὶ μετὰ παραβολῆς τοῦτο ποιεῖ λέγων·

Ιωαν. ζ. κη. Ἀπ' ἐμαυτοῦ οὐκ ἦλθον, ἐκεῖνός με ἔπεμψε. καὶ πανταχοῦ τῶν γραφῶν τοῦτο μάλιστά ἐστι τὸ σπουδαζόμενον. διὰ τοῦτο καὶ ὁ ἅγιος οὗτος, ὁ κορυφαῖος τοῦ μακαρίου χοροῦ, ὁ ἐραστὴς τοῦ Χριστοῦ, ὁ σφοδρὸς μαθητής, ὁ τὰς κλεῖς πιστευθεὶς τῶν οὐρανῶν, ὁ τὴν ἀποκάλυψιν δεξάμενος τὴν πνευματικήν, καταστείλας αὐτοὺς τῷ φόβῳ, καὶ δείξας μεγάλων ἠξιωμένους, καὶ ποιήσας ἀξιοπίστους, τότε καὶ περὶ ἐκείνου διαλέγεται. βαβαί, οἷα ἐτόλμησε μεταξὺ τῶν φονευσάντων εἰπεῖν, ὅτι ἀνέστη. καὶ οὐ λέγει ὅτι ἀνέστη εὐθέως, ἀλλ' ὅτι ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς ἥκει. τοῦτο δὲ δηλοῖ, οἷς ἐποίησεν. οὐκέτι λέγει, ὅτι αὐτός, ἀλλ' ὅτι δι' αὐτοῦ ὁ Θεός, ἵνα μᾶλλον τῷ μετριάζειν ἐφελκύσηται, ἐφ' ᾧ αὐτοὺς καὶ καλεῖ μάρτυρας, καί φησιν·

Ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε. Εἶτα ἐμπεσὼν εἰς τὸ τόλμημα αὐτῶν τὸ ἐναγὲς ἐκεῖνο, ὅρα πῶς πειρᾶται αὐτοὺς ἀπαλλάξαι τοῦ ἐγκλήματος.*

23 Τοῦτον, φησι, τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ

Γεν με. ε. χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε· Μονονουχὶ τὰ αὐτὰ τῷ Ἰωσὴφ λέγων ῥήματα· καθάπερ κἀκεῖνος ἔλεγε πρὸς τοὺς ἀδελφούς· Μὴ φοβεῖσθε, ὅτι ἀπέδοσθέ με. οὐχ ὑμεῖς, ἀλλ' ὁ Θεός με ὧδε ἀπέστειλεν. Εἶτα εἰπών, ὅτι βουλὴ Θεοῦ, ἵνα μὴ εἴπωσιν, ἀρα καλῶς

τοῦτο ἐποιήσαμεν, συλλογίζεται αὐτοῖς δι' οὗ παρεστάθηκα, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. ἐν τῷ * τὸ Ἰουδαίων αἰτιᾶσθαι· ἅμα δὲ αὐτοῖς δείκνυσιν ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἦν, εἰ μὴ αὐτὸς συνεχώρησεν, καὶ ἐξέδωκεν ὁ Θεὸς αὐτόν. τοῦτο γάρ ἐστι, τὸ ἔκδοτον. οὕτως ὅλον ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰούδα περιέστησε τὸ ἔγκλημα τοῦ παραδεδωκότος. αὐτὸς γὰρ αὐτὸν παρέδωκε τῷ φιλήματι. ἢ διὰ χειρῶν ἀνόμων, τὴν στρατιωτῶν λέγει, δηλῶν ὅτι οὐδὲ ἁπλῶς ἀνείλετε, ἀλλὰ διὰ τῶν ἀνόμων ἀνδρῶν. καὶ θέα πῶς πανταχοῦ σπουδάζουσι τὸ πάθος ὁμολογηθῆναι περιττῶς· τὰ δὲ τῆς ἀναστάσεως, ἐπεὶ μέγα ἦν, τέως συσκιάζει, καὶ οὕτω πως μέσον αὐτὸ τίθησιν. ἐκεῖνα μὲν γὰρ ὡμολόγηντο, ὅτι ὁ σταυρὸς καὶ ὁ θάνατος· ἡ δὲ ἀνάστασις οὔπω. διὸ καὶ ὕστερον περὶ ταύτης φησίν, ἐπάγων·

24 Ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Ἐνταῦθά τι μέγα καὶ ὑψηλὸν ᾐνίξατο. τὸ γάρ, οὐκ ἦν δυνατόν, καὶ αὐτὸν διδόντα ἐμφαίνει κατασχεῖν· καὶ ὅτι καὶ αὐτὸς ὤδινε κατέχων αὐτὸν ὁ θάνατος, καὶ τὰ δεινὰ ἔπασχε. ὠδῖνα γὰρ θανάτου ἡ γραφὴ τὸν κίνδυνον πανταχοῦ οἶδε καλεῖν· καὶ ὅτι οὕτως ἀνέστη, ὡς μηκέτι πάλιν ἀποθανεῖν. ἢ τὸ εἰπεῖν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, τοῦτο δηλοῦντός ἐστιν, ὅτι οὐ κοινὴ τοῖς ἄλλοις γέγονεν ἡ ἀνάστασις. Εἶτα πρὶν ἤ τι τὴν διάνοιαν αὐτῶν ἐκπονῆσαι, ἐπέστησεν αὐτοῖς τὸν Δαβὶδ πάντα λογισμὸν ἀνθρώπινον ἀναιροῦντα.

25 Δαβὶδ γάρ, φησι, λέγει εἰς αὐτόν. Καὶ ὅρα πῶς πάλιν ἡ μαρτυρία ταπεινή. διὸ δὴ τοῦτο καὶ ἄνωθεν αὐτὴν ἀνέλαβεν ἀπὸ τῶν ταπεινοτέρων, ἵνα δείξῃ ὅτι οὐ τῶν λυπούντων ἦν ὁ θάνατος. Προωρώμην, φησί, τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ·

27 Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου. Εἶτα πληρώσας τὴν Ψαλ. ιε. ζ.
μαρτυρίαν τὴν προφητικήν, ἐπάγει·

29 Ἄνδρες ἀδελφοί. Ὅταν μέλλῃ τι λέγειν μέγα, τούτῳ κέχρηται τῷ προοιμίῳ, διεγείρων αὐτοὺς καὶ οἰκειούμενος ἐντεῦθεν. Ἐξὸν εἰπεῖν, φησι, μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβίδ. Πολλὴ ἡ ταπεινοφροσύνη. ἔνθα οὐδὲν ἔβλαπτε, συγκαταβαίνει. διά τοι τοῦτο καὶ οὐκ εἶπεν, ὅτι ταῦτα περὶ τοῦ Χριστοῦ εἴρηται, οὐ περὶ τοῦ Δαβίδ· σφόδρα συνετῶς τῇ πολλῇ περὶ τὸν μακάριον Δαβὶδ τιμῇ ἐντρέπων αὐτούς, καὶ περὶ τοῦ ὁμολογουμένου καὶ ὡς τολμηροῦ δοκοῦντος εἰρῆσθαι, παραιτούμενος αὐτοὺς οἷς ἐγκωμιάζει ἠρέμα. διὸ καὶ οὐ περὶ τοῦ Δαβὶδ φησὶν ἁπλῶς, ἀλλὰ περὶ τοῦ πατριάρχου Δαβίδ, Ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη.* Οὐκέτι λέγει, καὶ οὐκ ἀνέστη, ἀλλ' ἑτέρως ἐξ εὐθείας τὸ αὐτὸ παριστῶν καὶ λέγων· Καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. Εἶτα ὃ ἐβούλετο κατασκευάσαι, οὐδὲ οὕτως ἦλθεν ἐπὶ τὸν Χριστόν, ἀλλὰ πάλιν μετ' ἐγκωμίων τῶν τοῦ Δαβίδ.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδώς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός.

Ταῦτα δὲ λέγει, ἵνα κἂν διὰ τὴν εἰς ἐκεῖνον τιμὴν καὶ τὸ γένος δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον· ὡς καὶ τῆς προφητείας βλαπτομένης, εἰ μὴ τοῦτο εἴη, καὶ τῆς εἰς αὐτὸν τιμῆς. καὶ εἰδώς, φησιν, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός. οὐκ εἶπεν, ἐπηγγείλατο ἁπλῶς, [ἀλλ' ὃ πλέον ἦν, ὅρκῳ ὤμοσεν,] Ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. Ὅρα τὸ ὑψηλὸν πῶς πάλιν ᾐνίξατο. ἐπειδὴ γὰρ αὐτοὺς κατεπράϋνε τοῖς λόγοις, θαρρῶν τοῦτο παρενέθηκε τοῦ προφήτου, καὶ περὶ τῆς ἀναστάσεως αὐτοῦ διαλέγεται·

31 Ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς ᾅδου, οὔτε ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν. Τοῦτο πάλιν θαυμαστόν. δείκνυσι γὰρ ὅτι οὐχ ὁμοία τοῖς ἄλλοις ἡ ἀνάστασις. κατέσχε μὲν

μὴ ἔστιν, ὅταν μηδεὶς ᾖ ὁ λέγων· ὅταν δὲ ὁ σκοπὸς κάθηται, καὶ τοῦτο ἔχῃ ἔργον, οὐκέτι συγγνώμη. μᾶλλον δὲ οὐκ ἐβούλετο ὁ Χριστὸς εἰς ἐκείνας τὰς στήλας ἐνορᾶν ἡμᾶς μόνον, ἀλλὰ καὶ αὐτοὺς εἶναι στήλας. ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς τῶν γραμμάτων τούτων κατεστήσαμεν, κἂν εἰς ἐκείνας ἴδωμεν. καθάπερ γὰρ αἱ στῆλαι ἑτέροις ἀπειλοῦσιν, αὗται δὲ οὐκ εἰσὶν ὑπεύθυνοι, ὥσπερ οὐδὲ οἱ νόμοι· οὕτω καὶ οἱ μακάριοι ἀπόστολοι. καὶ ὅρα· οὐκ ἐν ἑνὶ τόπῳ ἡ στήλη ἕστηκεν αὕτη, ἀλλὰ πανταχοῦ περιφέρεται τὰ γράμματα. κἂν εἰς Ἰνδοὺς ἀπέλθῃς, ἀκούσῃ τούτων· κἂν εἰς Σπανίαν, κἂν πρὸς αὐτὰ τῆς γῆς τὰ τέρματα, οὐδεὶς ἀνήκοος τυγχάνει, πλὴν εἰ μὴ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν. μὴ δὴ δυσχεραίνετε, ἀλλὰ προσέχετε τοῖς λεγομένοις, ἵνα δυνηθῆτε τῶν τῆς ἀρετῆς ἔργων ἐπιλαβέσθαι, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. τοῦτο ἔχει βίον,
γρ. εἰσέλθῃς

Λογ. ϛ. 22 ΑΝΔΡΕΣ ΙΣΡΑΗΛΙΤΑΙ, ΑΚΟΥΣΑΤΕ ΜΟΥ τοὺς λόγους τούτους.

ΟΥκ ἔστι κολακεία τὸ ῥῆμα· ἀλλ' ἐπειδὴ καθήψατο αὐτῶν σφοδρῶς, ἀνίησιν αὐτοὺς λοιπόν, καὶ ἀναμιμνήσκει τοῦ Δαβὶδ εὐκαίρως. καὶ πάλιν ἀπὸ προοιμίου ἄρχεται, ἵνα μὴ θορυβηθῶσιν, ἐπειδὴ ἔμελλεν αὐτοὺς τοῦ Ἰησοῦ ἀναμιμνήσκειν. ἀνωτέρω μὲν γὰρ οὐκ ἂν ἐθορυβήθησαν τοῦ προφήτου ἀκούοντες, τὸ δὲ ὄνομα τοῦ Ἰησοῦ εὐθέως ἂν αὐτοῖς προσέστη. καὶ οὐκ εἶπε, πείσθητε, ἀλλά, ἀκούσατε, ὅπερ ἦν ἀνεπαχθές. καὶ ὅρα πῶς οὐδὲν λέγει τῶν ὑψηλῶν, ἀλλ' ἀπὸ τῶν σφόδρα ταπεινῶν ἄρχεται. Ἰησοῦν, φησι, τὸν Ναζωραῖον. καὶ εὐθέως τὴν πατρίδα λέγει, ἥπερ ἐδόκει εὐτελὴς εἶναι. καὶ οὐδὲν μέγα τέως λέγει περὶ αὐτοῦ, οὐδὲ ὅσα ἄν τις εἴποι περὶ προφήτου. Ἰησοῦν, φησι, τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς. Ὅρα ποῖον ἦν τοῦτο μέγα, τὸ εἰπεῖν ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη. τοῦτο γὰρ ἄνω καὶ κάτω καὶ αὐτὸς ἐσπούδαζε καὶ Ἰωάννης καὶ οἱ ἀπόστολοι δεῖξαι. ἄκουε γὰρ Ἰωάννου λέγοντος (Ιωαν. α. λγ.)· Ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν. αὐτὸς δὲ ὁ Χριστὸς καὶ μετὰ παρρησίας τοῦτο ποιεῖ λέγων (Ιωαν. ζ. κη.)· Ἀπ' ἐμαυτοῦ οὐκ ἦλθον, ἐκεῖνός με ἔπεμψε. καὶ πανταχοῦ τῶν γραφῶν τοῦτο μάλιστά ἐστι τὸ σπουδαζόμενον. διὰ τοῦτο καὶ ὁ ἅγιος οὗτος, ὁ κορυφαῖος τοῦ μακαρίου χοροῦ, ὁ ἐραστὴς τοῦ Χριστοῦ, ὁ σφοδρὸς μαθητής, ὁ τὰς κλεῖς πιστευθεὶς τῶν οὐρανῶν, ὁ τὴν ἀποκάλυψιν δεξάμενος τὴν πνευματικήν, καταστείλας αὐτοὺς τῷ φόβῳ, καὶ δείξας μεγάλων ἠξιωμένους, καὶ ποιήσας ἀξιοπίστους, τότε καὶ περὶ ἐκείνου διαλέγεται. βαβαί, οἷα ἐτόλμησε μεταξὺ τῶν φονευσάντων εἰπεῖν, ὅτι ἀνέστη. καὶ οὐ λέγει ὅτι ἀνέστη εὐθέως, ἀλλ' ὅτι ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς ἥκει. τοῦτο δὲ δηλοῖ, οἷς ἐποίησεν. οὐκέτι λέγει, ὅτι αὐτός, ἀλλ' ὅτι δι' αὐτοῦ ὁ Θεός, ἵνα μᾶλλον τῷ μετριάζειν ἐφελκύσηται, ἐφ' ᾧ αὐτοὺς καὶ καλεῖ μάρτυρας, καί φησιν·

γρ. τοῦ προφήτου. καὶ
γρ. εἶπε
γρ. ὁ ποιμὴν ὁ καλός,
γρ. τὴν σοφίαν δεξ.
γρ. ἀλλὰ τίς

Ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε. Εἶτα ἐμπεσὼν εἰς τὸ τόλμημα αὐτῶν τὸ ἐναγὲς ἐκεῖνο, ὅρα πῶς πειρᾶται αὐτοὺς ἀπαλλάξαι τοῦ ἐγκλήματος.*

* εἰ γὰρ καὶ ὡρισμένον ἦν, φησιν, ὅμως ἀνδροφόνοι ἦσαν.

23 Τοῦτον, φησι, τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε· Μονονουχὶ τὰ αὐτὰ τῷ Ἰωσὴφ λέγων ῥήματα (Γεν με. ε.)· καθάπερ κἀκεῖνος ἔλεγε πρὸς τοὺς ἀδελφούς· Μὴ φοβεῖσθε, ὅτι ἀπέδοσθέ με. οὐχ ὑμεῖς, ἀλλ' ὁ Θεός με ὧδε ἀπέστειλεν. Εἶτα εἰπών, ὅτι βουλὴ Θεοῦ, ἵνα μὴ εἴπωσιν, ἄρα καλῶς

γρ. μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ πρὸς ἀλλήλους. ὁ δὲ.

τοῦτο ἐποιήσαμεν, συλλογίζεται αὐτοῖς δι' οὗ προσετέθηκα, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. ἐνταῦθα * τὸ Ἰουδαίων ἀνέτεμε· ἅμα δὲ αὐτοῖς δείκνυσιν ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἦν, εἰ μὴ αὐτὸς συνεχώρησεν, ὃ καὶ ἐξέδωκεν ὁ Θεὸς αὐτόν. τοῦτο γάρ ἐστι, τὸ ἔκδοτον. οὕτως ὅλον ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰούδα περιέστησε τὸ ἔγκλημα τοῦ παραδεδωκότος. αὐτὸς γὰρ αὐτὸν παρέδωκε τῷ φιλήματι. ἢ διὰ χειρῶν ἀνόμων, τῶν στρατιωτῶν λέγει, δηλῶν ὅτι οὐδὲ ἁπλῶς ἀνείλετε, ἀλλὰ διὰ τῶν ἀνόμων ἀνδρῶν. καὶ θέα πῶς πανταχοῦ σπουδάζουσι τὸ πάθος ὁμολογηθῆναι πρότερον· τὰ δὲ τῆς ἀναστάσεως, ἐπεὶ μέγα ἦν, τέως συσκιάζει, καὶ οὕτω πως μέσον αὐτὸ τίθησιν. ἐκεῖνα μὲν γὰρ ὡμολόγητο, ὅτι ὁ σταυρὸς καὶ ὁ θάνατος· ἡ δὲ ἀνάστασις οὔπω. διὸ καὶ ὕστερον περὶ ταύτης φησίν, ἐπάγων·

χ. ἡ μὲν ἐξοχ. τὸ ἤδη χωρήσαντος.

24 Ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Ἐνταῦθά τι μέγα καὶ ὑψηλὸν ᾐνίξατο. τὸ γάρ, οὐκ ἦν δυνατόν, καὶ αὐτὸν διδόντα ἐμφαίνει κατασχεῖν· καὶ ὅτι καὶ αὐτὸς ὠδῖνε κατέχων αὐτὸν ὁ θάνατος, καὶ τὰ δεινὰ ἔπασχεν. ὠδῖνα γὰρ θανάτου ἡ γραφὴ τὸν κίνδυνον πανταχοῦ οἶδε καλεῖν· καὶ ὅτι οὕτως ἀνέστη, ὡς μηκέτι πάλιν ἀποθανεῖν. ἢ τὸ εἰπεῖν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, τοῦτο δηλοῦντός ἐστιν, ὅτι οὐ κοινὴ τοῖς ἄλλοις γέγονεν ἡ ἀνάστασις. εἶτα πρὶν ἤ τινα διάνοιαν αὐτῶν ἐννοῆσαι, ἐπέστησεν αὐτοῖς τὸν Δαβὶδ πάντα λογισμὸν ἀνθρώπινον ἀναιροῦντα.

χ. καὶ αἱ δυνάμεις, καὶ τὰ σημεῖα, καὶ ἡ ἀνάστασις.

χ. καὶ αὐτὸ δηλοῦντος ἐστὶ πολὺ κτλ. καὶ αὐτ-

χ. ἡ παλαιὰ κίνδυνον καὶ συμφορὰν

25 Δαβὶδ γάρ, φησι, λέγει εἰς αὐτόν. Καὶ ὅρα πῶς πάλιν ἡ μαρτυρία ταπεινή. διὸ δὴ τοῦτο καὶ ἄνωθεν αὐτὴν ἀνέλαβεν ἀπὸ τῶν ταπεινοτέρων, ἵνα δείξῃ ὅτι οὐ τῶν λυπούντων ἦν ὁ θάνατος. Προωρώμην, φησί, τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ·

χ. διὰ τοῦτο οὐ

27 Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου. Εἶτα πληρώσας τὴν μαρτυρίαν τὴν προφητικήν, ἐπάγει· Ψαλ. ιε. ζ.

29 Ἄνδρες ἀδελφοί. Ὅταν μέλλῃ τι λέγειν μέγα, τούτῳ κέχρηται τῷ προοιμίῳ, διεγείρων αὐτοὺς καὶ οἰκειούμενος ἐντεῦθεν. Ἐξὸν εἰπεῖν, φησι, μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβίδ. Πολλὴ ἡ ταπεινοφροσύνη. ἔνθα οὐδὲν ἔβλαπτε, συγκαταβαίνει. διά τοι τοῦτο καὶ οὐκ εἶπεν, ὅτι ταῦτα περὶ τοῦ Χριστοῦ εἴρηται, οὐ περὶ τοῦ Δαβίδ· σφόδρα συνετῶς τῇ πολλῇ περὶ τὸν μακάριον Δαβὶδ τιμῇ ἐντρέπων αὐτούς, καὶ περὶ τοῦ ὁμολογημένου καὶ ὡς τολμηροῦ δοκοῦντος εἰρῆσθαι, παραιτούμενος αὐτοὺς οἷς ἐγκωμιάζει ἠρέμα. διὸ καὶ οὐ περὶ τοῦ Δαβὶδ φησὶν ἁπλῶς, ἀλλὰ περὶ τοῦ πατριάρχου Δαβίδ, Ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη.* Οὐκέτι λέγει, καὶ οὐκ ἀνέστη, ἀλλ' ἑτέρως ἐξ εὐθείας τὸ αὐτὸ παριστῶν καὶ λέγων· Καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. Εἶτα ὃ ἐβούλετο κατασκευάσαι, οὐδὲ οὕτως ἦλθεν ἐπὶ τὸν Χριστόν, ἀλλὰ πάλιν μετ' ἐγκωμίων τῶν τοῦ Δαβίδ.

* καὶ

χ. -ρως καίτοι οὐδὲ τοῦτο τί μέγα ἦν· καὶ τ. μ.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδώς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός.

χ. τὸ αὐτὸ εἶπε καὶ οὐδὲ οὕτ-

Ταῦτα δὲ λέγει, ἵνα κἂν διὰ τὴν εἰς ἐκεῖνον τιμὴν καὶ τὸ γένος δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον· ὡς καὶ τῆς προφητείας βλαπτομένης, εἰ μὴ τοῦτο εἴη, καὶ τῆς εἰς αὐτοὺς τιμῆς. καὶ εἰδώς, φησιν, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός. οὐκ εἶπεν, ἐπηγγείλατο ἁπλῶς, [ἀλλ' ὃ πλέον ἦν, ὅρκῳ ὤμοσεν,] Ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. Ὅρα τὸ ὑψηλὸν πῶς πάλιν ᾐνίξατο. ἐπειδὴ γὰρ αὐτοὺς κατεπράϋνε τοῖς λόγοις, θαρρῶν τοῦτο παρενέθηκε τοῦ προφήτου, καὶ περὶ τῆς ἀναστάσεως αὐτοῦ διαλέγεται·

31 Ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς ᾅδου, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Τοῦτο πάλιν θαυμαστόν. δείκνυσι γὰρ ὅτι οὐχ ὁμοία τοῖς ἄλλοις ἡ ἀνάστασις. κατέσχε μὲν

γὰρ αὐτόν, οὐκ εἰργάσατο δὲ αὐτὸν τότε ὁ θάνατος. καὶ τὸ μὲν ἁμάρτημα εἶπε συσκιάσας, τὴν δὲ τιμωρίαν οὐκ ἐπήγαγεν· ἀλλ᾽ ὅτι μὲν ἀνεῖλον, ἐδήλωσε· λοιπὸν δὲ ἐπὶ τὸ σημεῖον ἔρχεται τὸ τοῦ Θεοῦ. ὅταν δὲ ἀποδειχθῇ, ὅτι δίκαιος ὁ ἀναιρεθείς, καὶ ὅτι Θεῷ φίλος, κἂν σιωπήσῃς τὴν κόλασιν, μᾶλλόν σου καταγνώσεται ἑαυτοῦ ὁ ἡμαρτηκώς. πάντα τοίνυν ἀνατίθησι τῷ πατρί, ἵνα δέξωνται τὰ λεγόμενα. εἶτα τὸ οὐ δυνατὸν ἀπὸ τῆς προφητείας ἐπάγει. ἴδωμεν τοίνυν ἄνωθεν πάλιν τὰ εἰρημένα. Ἰησοῦν, φησί, τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς· τουτέστιν, οὐκ ἀμφισβητούμενον, ἀλλ᾽ ἀποδεδειγμένον διὰ τῶν ἔργων. οὕτω καὶ ὁ Νικόδημος ἔλεγε· Τὰ σημεῖα ταῦτα οὐδεὶς δύναται ποιεῖν, ἃ σὺ ποιεῖς. δυνάμεσι, φησί, καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι᾽ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν. ὥστε οὐ λάθρα, εἰ ἐν μέσῳ. πρότερον ἀπὸ τῶν ἐκείνοις γνωρίμων ἄρχεται, καὶ τότε ἐπὶ τὰ ἄδηλα ἔρχεται. ἔπειτα λέγων, τῇ τοῦ Θεοῦ βουλῇ, δείκνυσιν ὅτι οὐκ αὐτοὶ ἴσχυσαν, καὶ ὅτι σοφόν τι τὸ γενόμενον ἦν καὶ οἰκονομία, εἴγε παρὰ τοῦ Θεοῦ ἦν. καὶ τὸ φορτικὸν ταχέως παρῆλθε. σπουδὴ γὰρ αὐτοῖς πανταχοῦ δεῖξαι ὅτι τέθνηκε. κἂν ὑμεῖς ἀρνήσησθε, φησίν, ἐκεῖνοι μαρτυρήσουσιν. ὁ δὲ τῷ θανάτῳ πράγματα παρέχων, πολλῷ μᾶλλον τοῖς σταυρώσασιν. ἀλλ᾽ οὐδὲν τοιοῦτον λέγει, ὅτι ἠδύνατο ὑμᾶς ἀνελεῖν, ἀλλ᾽ ἁπλῶς μόνον ἀνέστησε. πῶς δὲ μανθάνομεν καὶ ἡμεῖς διὰ τῶν εἰρημένων τί ἐστι τὸ κατέχεσθαι. ὁ γὰρ ὠδίνων οὐ κατέχει τὸ κατεχόμενον, οὐδὲ δρᾷ· ἀλλὰ πάσχει καὶ ῥίψαι σπουδάζει. καὶ καλῶς εἶπε, Δαβὶδ γὰρ λέγει εἰς αὐτόν, ἵνα μὴ εἰς τὸν προφήτην ἑλκύσῃς τὸ εἰρημένον. ὁρᾷς πῶς ἑρμηνεύει λοιπὸν τὴν προφητείαν καὶ γυμνὴν τίθησι, δηλῶν πῶς ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ; ἡ γὰρ κατὰ πνεῦμα βασιλεία, ἐν οὐρανοῖς. ὅρα πῶς μετὰ τῆς ἀναστάσεως καὶ τὴν βασιλείαν ἀνέστησεν ἐν τῷ ἀναστῆναι. δείκνυσιν, ὅτι ἀνάγκην εἶχεν ὁ προφήτης. περὶ γὰρ αὐτοῦ ἦν ἡ προφητεία. διατί μὴ εἶπε, περὶ τῆς βασιλείας αὐτοῦ, ἀλλὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ; μέγα τοῦτο ἦν. πῶς δὲ ἐπὶ τοῦ θρόνου ἐκάθισε; βασιλεύων Ἰουδαίων. εἰ δὲ Ἰουδαίων, πολλῷ μᾶλλον τῶν σταυρωσάντων αὐτόν. οὐ γὰρ ἡ σὰρξ αὐτοῦ εἶδε, φησί, διαφθοράν. τοῦτο τῆς ἀναστάσεως δοκεῖ μὲν ἧττον εἶναι, πλέον δὲ αὐτό ἐστι.

32 Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός. Ὅρα πῶς οὐ καλεῖ αὐτὸν ἑτέρως. Οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.

33 Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς. Πάλιν ἐπὶ τὸν πατέρα καταφεύγει, καίτοιγε ἤρκει εἰπεῖν τὸ πρότερον· ἀλλ᾽ οἶδεν ὅσον τοῦτό ἐστιν. ἐνταῦθα καὶ περὶ τῆς ἀναλήψεως ἠνίξατο, καὶ ὅτι ἐν τοῖς οὐρανοῖς ἐστιν, ἀλλ᾽ οὐδὲ αὐτὸ φανερῶς λέγει.

Τήν τε ἐπαγγελίαν, φησί, τοῦ πνεύματος τοῦ ἁγίου λαβών.

Ὅρα πῶς ἀρχόμενος μὲν οὐχ ἑαυτὸν ἔφη αὐτὸ καταπεπομφέναι, ἀλλὰ τὸν πατέρα. ἐπειδὴ δὲ ἐμνήσθη τῶν σημείων αὐτοῦ, καὶ τῶν εἰς αὐτὸν γεγενημένων παρὰ Ἰουδαίων, καὶ περὶ τῆς ἀναστάσεως διελέχθη, θαρρῶν λοιπὸν καὶ τὸν περὶ τούτου εἰσάγει λόγον, πάλιν αὐτοὺς μάρτυρας δι᾽ ἑκατέρων τῶν αἰσθήσεων παράγων. καὶ τῆς μὲν ἀναστάσεως συνεχῶς μέμνηται, τοῦ δὲ τολμήματος αὐτῶν ἅπαξ, ἵνα μὴ αὐτοὺς βαρήσῃ. τήν τε ἐπαγγελίαν, φησί, τοῦ πνεύματος τοῦ ἁγίου λαβών. τοῦτο πάλιν μέγα. οἶμαι δὲ νῦν ἐπαγγελίαν αὐτὸν λέγειν τὴν πρὸ τοῦ παθεῖν. ὅρα πῶς αὐτοῦ ποιεῖ αὐτὸ λοιπὸν ὅλον, μέγα λανθανόντως αὐτὸ ἐργαζόμενος. εἰ γὰρ αὐτὸς ἐξέχεε, περὶ αὐτοῦ ὁ προφήτης εἴρηκεν ἀνωτέρω· Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω. ὅρα οἷα κεκρυμμένως ἐντίθησιν. ἀλλ᾽ ἐπειδὴ μέγα ἦν, πάλιν αὐτὸ συσκιάζει τῷ παρὰ τοῦ πατρὸς λαβεῖν. εἶπε τὰ γεγενημένα ἀγαθά, τὰ σημεῖα· εἶπεν, ὅτι βασιλεύς ἐστιν, ὅτι εἰς αὐτοὺς ἧκεν· εἶπεν, ὅτι αὐτὸς τὸ πνεῦμα δίδωσιν. ὅσα γὰρ ἂν εἴπῃ τις, εἰ μὴ εἰς τὸ συμφέρον τελευτήσει, εἰκῆ λέγει. ὥ-

σπερ

Ιωαν. γ. β.

ὥσπερ καὶ Ἰωάννης, Οὗτος ὑμᾶς, φησί, βαπτίσει ἐν πνεύματι ἁγίῳ. καὶ δείκνυσιν, ὅτι ὁ σταυρωθεὶς οὐ μόνον αὐτὸν οὐκ ἠλάττωσεν, ἀλλὰ καὶ λαμπροτέρους εἰργάσατο, εἴγε πάλαι μὲν ἐπηγγέλλετο ὁ Θεὸς αὐτῷ, τότε δὲ ἔδωκεν. ἢ * ἐπαγγελίαν φησίν, ἣν ἡμῖν ἐπηγγείλατο. οὕτω παρῆλθε τὴν ἐσομένην, καὶ μείζονα ἡμῖν μετὰ τὸν σταυρὸν ἐχαρίσατο. καὶ ἐξέχεε, φησίν. ἐνταῦθα τὸ ἀξίωμα ἐμφαίνει· καὶ ὅτι οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ δαψιλείας. διὸ καὶ αὐτὸ τοῦτο δῆλον ποιῶν, ἐπάγει τὰ ἑξῆς. λοιπὸν γὰρ θαρρούντως μετὰ τὴν τοῦ πνεύματος δόσιν καὶ περὶ τῆς εἰς τοὺς οὐρανοὺς ἀναλήψεως διαλέγεται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάλιν τὸν μάρτυρα παράγων, καὶ ἐκείνου ἀναμιμνήσκων, περὶ οὗ ὁ Χριστὸς εἶπεν. *Matth. γ. ια.*

34 Οὐ γὰρ Δαβὶδ ἀνέβη, φησίν, εἰς τοὺς οὐρανούς. Ἐνταῦθα οὐκ ἔτι μετὰ παρρησίας" διημαρτυρεῖ ἔχων τὸ ἀπὸ τῶν εἰρημένων θάρσος, οὐδὲ λέγει, ἐξὸν εἰπεῖν, οὐδὲ ὅσα τοιαῦτα· Λέγει δὲ" αὐτός, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου,

35 Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Εἰ δὲ τοῦ Δαβὶδ Κύριος, πολλῷ μᾶλλον" αὐτῶν. κάθου ἐκ δεξιῶν μου. τὸ πᾶν ἐνταῦθα τέθεικεν. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ἐνταῦθα καὶ φόβον ἐπέσησε μέγαν, καθάπερ ἐν τῇ ἀρχῇ ἔδειξεν, οἷα τοὺς φίλους ἐργάζεται, οἷα τοὺς ἐχθρούς. καὶ πάλιν τὴν κράτησιν, ἵνα μὴ ἀπιστῆται, τῷ πατρὶ ἀνατίθησιν. ἐπειδὴ δὲ μεγάλα ἐφθέγξατο, πάλιν ἐπὶ τὰ ταπεινὰ τὸν λόγον κατάγει.

36 Ἀσφαλῶς οὖν γινωσκέτω, φησί, πᾶς οἶκος Ἰσραήλ·

Τουτέστι, μὴ ἀμφισβητεῖτε, μηδὲ ἀμφιβάλλετε. εἶτα καὶ ἐπιτακτικῶς λοιπόν·

Ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε. Τοῦτο ἀπὸ τοῦ Δαβὶδ καὶ ἀπὸ τοῦ ψαλμοῦ ἐμνημόνευσε. δέον γὰρ εἰπεῖν, ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι ἐκ δεξιῶν κάθηται, ὅπερ ἦν μέγα, τοῦτο ἀφείς, ἕτερον ἐπάγει τὸ πολὺ ταπεινότερον, εἰπὼν ἐποίησε· τουτέστι, κατέστησεν. ὥστε οὐδὲν περὶ οὐσιώσεως ἐνταῦθα, ἀλλὰ πᾶν φησι περὶ τούτου.

Τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε. Καλῶς ἐνταῦθα ἔληξε διεγείρων αὐτῶν τὴν διάνοιαν. ἐπειδὴ γὰρ ἔδειξεν ἡλίκον ἐστί, τότε λοιπὸν καὶ τὸ τόλμημα ἐγύμνωσεν, ὥστε μεῖζον δεῖξαι, καὶ τῷ φόβῳ αὐτοὺς ἑλεῖν. οὐ γὰρ οὕτως οἱ ἄνθρωποι ταῖς εὐεργεσίαις ἐπάγονται, ὡς τῷ φόβῳ σωφρονίζονται. οἱ δὲ θαυμαστοὶ καὶ μεγάλοι καὶ Θεῷ φίλοι οὐδενὸς τούτων δέονται· οἷος ὁ Παῦλος ἦν. οὐ βασιλείας, οὐ γεέννης λόγον ἐποιεῖτο. τοῦτο * ἐστὶ φιλεῖν τὸν Χριστόν· τοῦτο μὴ μισθωτὸν εἶναι, μηδὲ πραγματείαν καὶ καπηλείαν ἡγεῖσθαι, ἀλλ' ὄντως ἐνάρετον εἶναι, καὶ διὰ τὸ τῷ Θεῷ φίλον πάντα ποιεῖν.

Πόσων οὖν δακρύων ἄξιοι, ὅταν τοσοῦτον ὀφείλοντες μέτρον, μηδὲ ὡς κάπηλοι μετιῶμεν τὴν βασιλείαν τῶν οὐρανῶν· τοσαῦτα ἡμῖν ὑπισχνεῖται, καὶ οὐδὲ οὕτως" ἀνεχόμεθα. τί ταύτης τῆς ἐχθρας" ἴσον γένοιτο ἄν; καίτοι γε οἱ περὶ χρήματα μαινόμενοι, κἂν ἐχθρούς, κἂν δούλους, κἂν πολεμιωτάτους εὕρωσι, κἂν πάντα κακούς, μόνον δὲ προσδοκήσωσιν, ὅτι χρήματα δι' αὐτῶν δυνήσονται λαβεῖν, πάντα ποιοῦσι, καὶ κολακεύουσι, καὶ θεραπεύουσι, καὶ δοῦλοι γίνονται, καὶ πάντων ἡγοῦνται αὐτοὺς σεμνοτέρους εἶναι, ἵνα τι λάβωσι παρ' αὐτῶν. ἡ γὰρ τῶν χρημάτων ἐλπὶς οὐδὲν τούτων αὐτοὺς ἀφίησιν ἐννοῆσαι. βασιλεία δ' οὐκ ἰσχύει, ὅσα χρήματα, μᾶλλον δὲ οὐδὲ τὸ πολλοστόν." καίτοι οὐδὲ ὁ τυχών ἐστιν ὁ ἐπαγγελλόμενος αὐτήν, ἀλλ' ὁ ἀσυγκρίτως καὶ τῆς βασιλείας αὐτῆς μείζων. ὅταν δὲ καὶ τὸ ἐπαγγελλόμενον βασιλεία, καὶ Θεὸς ὁ ταύτην διδούς, μέγα καὶ αὐτὸ τὸ παρὰ τοιούτου λαμβάνειν. νυνὶ δὲ ταὐτὸν γέγονεν, ὥσπερ ἂν εἰ βασιλεὺς μὲν κληρονόμους αὐτοῦ καὶ συγκληρονόμους τῷ υἱῷ βουλόμενος ποιῆσαι, μετὰ μυρίας καὶ ἑτέρας εὐεργεσίας καταφρονοῖτο· λῃστάρχος δὲ ὁ μυρία καὶ ἡμᾶς καὶ τοὺς γονεῖς τοὺς ἡμετέρους διαθείς, καὶ μυρίαις γέμων κακῶν, καὶ καταισχύνας ἡμῶν καὶ τὴν δόξαν καὶ τὴν σωτηρίαν, ἕνα μόνον ὀβολὸν δείξας προσκυνοῖτο παρ' ἡμῶν. *ΗΘΙΚΟΝ*

* τὴν

γ. σιγῶν οὐκ ἀξίωμα ζητῶ. καὶ οὐχ ἁπλ.

γ. λέγει

γ. φανερῶς,

γ. αὐτοὶ οὐκ ἐπαξιώσουσι.

* γὰρ

γ. τίνα ἄξιος ἀνθρώπου;

γ. χεῖρον

γ. καὶ οὐδὲ πολυχρόνιος ἐπαγγελλόμενος ἀλλὰ τῆς μείζων τῆς βασιλείας αὐτῆς, ἡ δὲ παρὰ τοιούτου λαμβάνειν. νῦν δὲ ταὐτόν

ἡμῖν. βασιλείαν ἐπαγγέλλεται ὁ Θεός, καὶ καταφρονεῖται· γέενναν προξενεῖ ὁ διάβολος, καὶ τιμᾶται. ἔστι Θεός, ἐκεῖνος διάβολος. ἀλλ' ἴδωμεν τῶν ἐπιταγμάτων τὸ διάφορον. εἰ γὰρ μηδὲν τούτων ἦν, μηδὲ ἐστὶ μὲν Θεός, ἐκεῖνος δὲ διάβολος, μηδὲ ἐστὶ μὲν βασιλείαν, ἐκεῖνος δὲ γέενναν προξενεῖν, αὐτὴ τῶν ἐπιταγμάτων ἡ φύσις οὐχ ἱκανὴ πεῖσαι τούτῳ προσθέσθαι; τί δαὶ καὶ ἑκάτερος ἐπιτάττει; ἐκεῖνος τὰ καταισχύνοντα, οὗτος τὰ ἐνδόξους ποιοῦντα· ἐκεῖνος τὰ μυρίαις περιβάλλοντα συμφοραῖς καὶ ἀσχημοσύναις, οὗτος τὰ πολλὴν τὴν ἄνεσιν ἔχοντα. ὅρα γάρ. οὗτος λέγει, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· (Ματθ. 11. 29.) ἐκεῖνός φησιν, ἄγριος ἔσο, καὶ ἀνήμερος, καὶ ἀκρόχολος καὶ ὀργίλος, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος. ἴδωμεν οὖν τί χρησιμώτερον, τί δαὶ ὠφελιμώτερον. ἀλλὰ μὴ τοῦτο μόνον, ἀλλ' ἐννόησον ὅτι ὁ μὲν διάβολός ἐστι. μάλιστα γὰρ ἂν ἐκεῖνο δειχθῇ, * πάλιν τὰ νικητήρια ἔσται μείζονα. οὐ γὰρ ὁ εὔκολα ἐπιτάττων ἐστὶ κηδεμών, ἀλλ' ὁ συμφέροντα. ἐπεὶ καὶ πατέρες φορτικὰ ἐπιτάττουσι τοῖς υἱοῖς, καὶ δεσπόται πάλιν ὁμοίως δούλοις· ἀλλὰ διὰ τοῦτο οἱ μὲν εἰσὶ πατέρες, οἱ δὲ δεσπόται· "οἱ δὲ ἀνδραποδισταὶ καὶ λυμεῶνες" πάλιν τὰ ἐναντία. πλὴν ὅτι καὶ ἡδονὴν ἔχει, δῆλον ἐκεῖθεν. ἐν τίσι γὰρ νομίζεις εἶναι τὸν ἀκρόχολον; ἐν τίσι δὲ τὸν ἀνεξίκακον καὶ πρᾶον; οὐχὶ τούτου μὲν ἡ ψυχὴ ἐρημίᾳ τινὶ πολλὴν ἐχούσῃ τὴν ἡσυχίαν ἔοικεν· ἡ ἐκείνου δὲ ἀγορᾷ καὶ θορύβῳ, ἔνθα πολλὴ ἡ κραυγὴ τῶν ἀπιόντων, τῶν ἐπιδημιούντων, καμήλων καὶ ἡμιόνων καὶ ὄνων, μεγάλα τοῖς προσιοῦσιν ἐμβοώντων, ὥστε μὴ καταπατηθῆναι; οὐχ ἡ μὲν τοῦ τοιούτου ταῖς μέσαις πάλιν τῶν "πόλεων ἐοικυῖά ἐστιν, ἔνθα νῦν μὲν ἐντεῦθεν ἀργυροκόπων, νῦν δὲ ἐκεῖθεν τῶν χαλκοτύπων ὁ ἦχος πολὺς γίνεται, καὶ οἱ μὲν ἐπηρεάζουσιν, οἱ δὲ ἐπηρεάζονται; ἀλλ' ἡ τούτου κορυφῇ τινὶ ἔοικεν ὄρους, λεπτὴν μὲν ἔχοντος τὴν αὔραν, καθαρὰν δὲ τὴν ἀκτῖνα δεχομένου, διειδῆ τὰ νάματα προχέοντος τῶν πηγῶν, καὶ πολλὰς τῶν ἀνθέων προσβαλλομένου τὰς χάριτας, τῶν ἐαρινῶν ὁμοίως λειμώνων τε καὶ παραδείσων καὶ φυτοῖς καὶ ἄνθεσι κομώντων καὶ καταρρύτοις ὕδασιν. εἴ τις δὲ καὶ "ἠχὴ γένοιτο, λιγυρὰ καὶ πολλὴν καταχέουσα τῶν ἀκουόντων τὴν ἡδονήν. ἢ γὰρ ὄρνιθες ᾠδικοὶ ἄκροις τῶν δένδρων ἐφιζάνουσι τοῖς πετάλοις, καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ χελιδόνες συμφώνως μίαν τινὰ * ἀποτελοῦσι μουσικήν· ἢ ζέφυρος ἠρέμα τῶν πετάλων τοῖς δένδροις προσαπτομένων πίτυς καὶ πλάκας συρίζουσας καὶ κύκνους πολλάκις μιμεῖται· "ἢ λειμὼν ῥόδα περιβάλλων καὶ κρίνα ἀλλήλοις προσκεκλικότα καὶ κυμαίζοντα, καθάπερ πέλαγος κυανὸν ἠρέμα κυματούμενον δείκνυσι. μᾶλλον δὲ πολλὰς εἰκόνας εὕροι τις ἄν. ὅταν μὲν γὰρ εἰς τὰ ῥόδα τις ἀποβλέψῃ, τὴν ἶριν οἴεσθαι καθορᾶν· ὅταν δὲ εἰς τὰ ἴα, θάλατταν κυματουμένην· ὅταν δὲ εἰς τὰ κρίνα, τὸν οὐρανόν. οὐ τῇ θέᾳ δὲ μόνον, οὐδὲ τῇ ὄψει τέρποιτο ἂν τότε ὁ τοιοῦτος, ἀλλὰ καὶ * τῷ σώματι αὐτῷ· ἐκεῖνον γὰρ μᾶλλον ἄνεσίν τε καὶ διαπνοὴν ποιεῖ, ὥστε νομίζειν ἐν οὐρανῷ μᾶλλον εἶναι, ἢ ἐπὶ γῆς. ἔστι καὶ ἑτέρα τις ἠχή, ὅταν ὕδωρ ἀπὸ τῆς ἀκρωρείας διὰ χαραδρῶν αὐτομάτως φερόμενον, καὶ ταῖς ὑποκειμέναις ψηφῖσιν ἠρέμα ἐπιψοφοῦν "ἡσύχῳ κτύπῳ, οὕτως ἐκλύῃ τὰ μέλη ἡμῶν τῇ ἡδονῇ, ὥστε καὶ ταχέως τὸν λυσιμελῆ τοῖς ὀφθαλμοῖς ὕπνον ἐπάγειν. ἡδέως ἠκούσατε τοῦ διηγήματος; τάχα καὶ ἐρασταὶ γεγόνατε ἐρημίας. ἀλλὰ ταύτης τῆς ἐρημίας ἡδίων πολλῷ τοῦ μακροθύμου ἡ ψυχή. οὐ γὰρ ἵνα λειμῶνα ὑπογράψωμεν, οὐδ' ἵνα πρὸς ἐπίδειξιν τὸν λόγον ἀγάγωμεν, ταύτης ἡψάμεθα τῆς εἰκόνος· ἀλλ' ἵνα διὰ τῆς ὑπογραφῆς ἴδητε ὅση τῶν μακροθύμων ἡ ἡδονή· καὶ ὅτι πολλῷ ἀνδρὶ μακροθύμῳ συγγινόμενος ἄν τις καὶ ἥδοιτο καὶ ὠφελοῖτο, ἢ τούτοις ὁμιλήσας χωρίοις, τούτους μεταδιώκητε. ὅταν γὰρ μηδὲ πνεῦμα σφοδρὸν ἀπὸ ταύτης ἐξέρχηται τῆς ψυχῆς, ἀλλ' ἥμεροί τινες λόγοι καὶ προσηνεῖς, καὶ ὄντως ἐκείνου τοῦ ζεφύρου ἠρεμοῦν * εἰκονίζοντες, καὶ παραινέσεις οὐδὲν μὲν ἔχουσαι τῦφον, οὐδὲ ὄρνιθας ᾠδικοὺς μιμούμεναι, πῶς οὐ τοῦτο βέλτιον; οὐ γὰρ σώματι προσάπτει τοῦ λόγου ἡ αὔρα, ἀλλὰ ψυχὰς ἀνίησιν. οὐκ ἂν ἰατροὶ τοὺς πυρέττοντας ἀνθρώπους οὕτω ταχέως ἀπαλλάξαιεν

τοῦ

γρ. γὰρ ἐ-

* δεῖ καὶ πάνυ ἀποστῆναι, καὶ

γρ. ἐκεῖνοι

γρ. καὶ πάντα τὰ ἐναντία.

γρ. -ων, ἀργυροκόπων, χαλκοτύπων ἑκατέρωθεν ἐκκρουόντων, καὶ τῶν μὲν ἐπηρεαζομένων, τῶν δὲ ἐπηρεαζόντων; ἀλλ'

γρ. ἠχὼ

* φωνὴν

γρ. ἢ ῥόδα καὶ ἴα καὶ ἄνθη ἠρέμα προσκλίνοντα

* ἐν

γρ. ἡσυχῇ

* καὶ ἡσυχίαν

τοῦ πυρετοῦ δι᾽ οἱασδήποτε ἀπουσίας, ὡς μακρόθυμος ἀνὴρ ὀργίλον καὶ καιόμενον ὑπὸ τῆς ὀργῆς λαβών, καταψύξειε διὰ τοῦ πνεύματος τῶν οἰκείων λόγων. καὶ τί λέγω ἰατρόν; οὐδὲ σίδηρος πεπυρωμένος καὶ ὕδατι βαπτόμενος οὕτω ταχέως τῆς θέρμης ὑφίσταται, ὡς εἰς μακρόθυμον ψυχὴν ἄνθρωπος ὀργίλος ἐμπεσών. καθάπερ δὲ ἐπὶ τῆς ἀγορᾶς, εἰ εἰσέλθοιεν ᾠδικοὶ ὄρνιθες, καὶ λῆρος εἶναι δοκοῦσιν· οὕτω δὴ καὶ τὰ παραγγέλματα τὰ ἡμέτερα, εἰς ψυχὰς ἀκροχόλους ἐμπίπτοντα. ἄρα ἥδιον ἐπιείκεια χολῆς καὶ θρασύτητος. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ μὲν ὁ διάβολος, τὸ δὲ ὁ Θεὸς ἐπέταξεν. ὁρᾶτε, ὅτι οὐχ ἁπλῶς εἶπον, ὅτι εἰ καὶ μὴ διάβολος ἦν καὶ Θεός, αὐτὰ τὰ ἐπιτάγματα ἱκανὰ ἦν ἡμᾶς ἀποστῆσαι; ὁ μὲν γὰρ καὶ ἑαυτῷ ἡδύς, καὶ τοῖς ἄλλοις ὠφέλιμος· ὁ δὲ καὶ ἑαυτῷ ἀηδής, καὶ τοῖς ἄλλοις βλαβερός. οὐδὲν γὰρ ἀτερπέστερον ἀνθρώπου χολῶντος, οὐδὲν φορτικώτερον, οὐδὲν ἐπαχθέστερον, οὐδὲν αἰσχρότερον· ὥσπερ οὖν τοῦ οὐκ εἰδότος χολᾶν οὐδὲν ἥδιον. θηρίῳ συνοικεῖν κάλλιον, ἢ ἀνθρώπῳ τοιούτῳ. ἐκεῖνο μὲν γὰρ ἐπειδὰν ἅπαξ ἡμερωθῇ, φυλάττει τὸν αὐτοῦ νόμον· τοῦτον δὲ ὁσάκις ἂν ἡμερώσῃς, πάλιν ἐκθηριοῦται, ἅπαξ εἰς ἕξιν ἑαυτὸν ἴσα τοιαύτην καταστήσας. καθάπερ γὰρ ἡμέρα λευκὴ καὶ φαιδρά, καὶ χειμὼν γέμων πολλῆς τῆς κατηφείας [ἕτερα ἀλλήλων εἰσίν]· οὕτως ἡ τοῦ ὀργιζομένου ψυχή, καὶ τοῦ ἐπιεικοῦς. ἀλλὰ μήπω τὰ τοῖς ἄλλοις ἴδωμεν βλαβερὰ συμβαίνοντα, ἀλλὰ τὰ ἑαυτοῖς· καίτοι καὶ τοῦτο οὐ μικρὰ βλάβη, ἑτέρῳ τι δοῦναι κακόν. πλὴν ἀλλὰ τέως τοῦτο σκοπῶμεν. ποῖος δήμιος πλευρὰς οὕτω καταξᾶναι δυνήσεται, τίνες ὀβελίσκοι πεπυρωμένοι διέπειραν σῶμα, ποία μανία οὕτως ἐκστήσειεν ἂν τῶν κατὰ φύσιν φρενῶν, ὡς ὀργὴ καὶ παραπληξία; οἶδα πολλοὺς ἀπὸ ὀργῆς νόσους τεκόντας· καὶ οἱ χαλεποὶ τῶν πυρετῶν μάλιστα οὗτοί εἰσιν. εἰ δὲ σῶμα οὕτω λυμαίνονται, ἐννόησον τὴν ψυχήν. μὴ γὰρ λογίσῃ, ὅτι οὐχ ὁρᾷς· ἀλλ᾽ ἐννόησον, ὅτι εἰ τὸ δεχόμενον τὴν κακίαν οὕτω βλάπτεται, τὸ τίκτον πόσην ἂν ὑποδέξηται βλάβην; πολλοὶ τοὺς ὀφθαλμοὺς ἀπώλεσαν, πολλοὶ εἰς νόσον βαρυτάτην κατέπεσον. ὁ μέντοι φέρων γενναίως, πάντα ὑποστήσεται εὐκόλως. ἀλλ᾽ ὅμως καὶ τοιαῦτα ἐπιτάττει φορτικά, καὶ τούτων μισθὸν ἡμῖν τίθησι τὴν γέενναν, καὶ διάβολός ἐστι, καὶ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μᾶλλον τούτῳ πειθόμεθα, ἢ τῷ Χριστῷ σωτῆρι ὄντι καὶ εὐεργέτῃ καὶ προστάτῃ καὶ τοιαῦτα λέγοντι, ἃ καὶ ἡδίω καὶ σεμνότερα καὶ ὠφελιμώτερα καὶ χρησιμώτερά ἐστι, καὶ ἡμᾶς, καὶ τοὺς συνόντας ἡμῖν ὠφελοῦντα μέγιστα. οὐδὲν ὀργῆς χεῖρον, ἀγαπητέ, οὐδὲν ἀκαίρου θυμοῦ. οὐ δεῖται πολλῆς τῆς ἀναβολῆς, ὀξὺ τὸ πάθος ἐστί. πολλάκις καὶ ῥῆμα ἐξέβαλέ τις ὑπὸ θυμοῦ, οὗ εἰς τὴν θεραπείαν ὁλοκλήρου δεῖται βίου· καὶ εἰργάσατό τι, ὃ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἀνέτρεψε. τὸ γὰρ χαλεπὸν τοῦτό ἐστιν, ὅτι καὶ ἐν βραχεῖ καιρῷ, καὶ διὰ μιᾶς πράξεως, καὶ δι᾽ ἑνὸς ῥήματος μόνου τῶν αἰωνίων ἡμᾶς πολλάκις ἐξέβαλεν ἀγαθῶν, καὶ μυρίους ἐκένωσε πόνους. διὸ παρακαλῶ πάντα ποιεῖν, ὥστε τὸ θηρίον τοῦτο χαλινοῦν. ἀλλὰ ταῦτα μὲν περὶ ἐπιεικείας καὶ θυμοῦ. εἰ δὲ καὶ τὰ ἄλλα τις περικλείσαιτο τῷ λόγῳ, οἷον πλεονεξίαν, ὑπεροψίαν χρημάτων, ἀσέλγειαν, σωφροσύνην, φθόνον, χρηστότητα, καὶ ἀλλήλοις ἀντεξετάσοι, τότε εἴσεται τὸ διάφορον. εἴδετε πῶς ἀπὸ τῶν προσταγμάτων μόνον ὁ μὲν Θεός, ὁ δὲ διάβολος ἐνδείκνυται; πειθώμεθα τοίνυν τῷ Θεῷ, καὶ μὴ εἰς βάραθρα ἑαυτοὺς ἐμβάλωμεν, ἀλλ᾽ ἕως ἐστὶ καιρός, πάντα ἀποτριψώμεθα τὰ τὴν ψυχὴν λυμαινόμενα, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἀφίσταται

Λογ. ζ. 37 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥΤΟΥΣ, κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσομεν, ἄνδρες ἀδελφοί;

Ὁρᾷς ὅσον ἐστὶν ἐπιείκεια, ὡς αὕτη μᾶλλον τῆς σφοδρότητος τὰς καρδίας κατακεντεῖ τὰς ἡμετέρας, καὶ ὀξυτέραν δίδωσι τὴν πληγήν; καθάπερ γὰρ ἐπὶ τῶν ἐσκιρρωμένων σωμάτων, ὁ πλήττων οὐχ οὕτω ποιεῖ τὴν αἴσθησιν σφοδράν· ἂν δέ τις αὐτὰ μαλάξῃ πρότερον, καὶ ἁπαλὰ ἐργάσηται, τότε νύττει σφοδρότερον· οὕτω δὴ καὶ ἐνταῦθα, πρότερον δεῖ μαλάξαι, καὶ τότε νύξαι. μαλάττει δὲ οὐ θυμός, οὐδὲ κατηγορία σφοδρά, οὐδὲ ὀνείδη· ἀλλ' ἐπιείκεια. ἐκεῖνος μὲν γὰρ καὶ ἐπιτείνει τὴν πώρωσιν, αὕτη δὲ ἀναιρεῖ. ὥστε ἂν ἐθέλῃς καθάψασθαί τινος ἠδικηκότος, μετὰ πολλῆς τῆς πραότητος αὐτῷ προσφέρου. ὅρα γὰρ ἐνταῦθα. ἀνέμνησεν αὐτοὺς τῶν οἰκείων τολμημάτων πράως, καὶ οὐδὲν προσέθηκεν· εἶπε τοῦ Θεοῦ τὴν δωρεάν, ἐπήγαγε τὴν γραφὴν μαρτυροῦσαν τοῖς γεγενημένοις, καὶ ἔτι περαιτέρω τὸν λόγον ἐξήγαγεν. ἠδέσθησαν τοῦ Πέτρου τὴν ἐπιείκειαν, ὅτι τοῖς τὸν δεσπότην αὐτοῦ σταυρώσασι καὶ κατ' αὐτῶν φονῶσιν, ἐν τάξει πατρὸς καὶ διδασκάλου κηδεμονικοῦ διελέγετο. οὐχ ἁπλῶς ἐπείσθησαν, ἀλλὰ κατέγνωσαν ἑαυτῶν, ἦλθον εἰς αἴσθησιν τῶν γεγενημένων. οὐ γὰρ ἀφῆκεν αὐτοὺς ἀνοιδῆσαι τὸν θυμόν, καὶ ἐπισκοτῆσαι τῇ διανοίᾳ· ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης ὥσπερ τινὰ σκεδάσας ἀχλὺν τὴν ἀγανάκτησιν, οὕτως ἔδειξε τὸ τετολμημένον. τὸ γὰρ οὕτως ἔχει, ὅταν εἴπωμεν ἡμεῖς, ὅτι ἠδικήμεθα, ἐκεῖνοι πειρῶνται δεῖξαι, ὅτι οὐκ ἠδικήκασιν· ὅταν εἴπωμεν ἡμεῖς, ὅτι οὐκ ἠδικήμεθα, ἀλλ' ἠδικήκαμεν μᾶλλον, ἐκεῖνοι τὸ ἐναντίον ποιοῦσιν. ὥστε εἰ βούλει τὸν ἠδικηκότα εἰς ἀγῶνα ἐμβαλεῖν, μὴ κατηγορήσῃς αὐτοῦ, ἀλλ' ἀγώνισαι, κἀκεῖνος κατηγορήσει. φιλόνεικον γάρ ἐστι τὸ γένος τῶν ἀνθρώπων. τοῦτο ὁ Πέτρος ἐποίησεν. οὐ κατηγόρησεν αὐτῶν σφοδρῶς, ἀλλ' ἐπειράθη σχεδὸν ἀγωνίσασθαι ἡμέρως κατὰ τὸ δυνατόν. διὰ τοῦτο αὐτῶν καθίκετο τῆς ψυχῆς. καὶ πόθεν δῆλον, ὅτι κατενύγησαν; ἀπὸ τῶν ῥημάτων αὐτῶν. τί γάρ φασι; τί ποιήσομεν, ἄνδρες ἀδελφοί; οὓς πλάνους ἐκάλουν, ἀδελφοὺς νῦν καλοῦσιν, οὐχὶ τοσοῦτον ἑαυτοὺς ἐξισάζοντες, ὅσον εἰς φιλοστοργίαν ἐπισπώμενοι καὶ κηδεμονίαν· ἄλλως δέ, ἐπειδὴ αὐτοὶ κατηξίωσαν τοῦτο καλέσαι αὐτούς, καί φασι, τί ποιήσομεν; οὐκ εἶπον εὐθέως· οὐκοῦν μετανοοῦμεν· ἀλλ' ἐπέτρεψαν ἑαυτοὺς αὐτοῖς. καθάπερ ἐν ναυαγίῳ τις γενόμενος, ἢ ἐν νόσῳ, τὸν κυβερνήτην ἰδών, ἢ τὸν ἰατρόν, πάντα αὐτῷ παραχωρεῖ τε καὶ πείθεται· οὕτω καὶ οὗτοι ὡμολογήκασιν ἐν τοῖς ἐσχάτοις ὄντας ἑαυτούς, καὶ οὐδὲ ἐλπίδα σωτηρίας ἔχοντας. καὶ ὅρα· οὐκ εἶπον, πῶς σωθῶμεν; ἀλλά, τί ποιήσομεν; πάλιν ἐνταῦθα ὁ Πέτρος, πάντων ἐρωτηθέντων, ἐκεῖνος ἀποκρίνεται·

χ. πωρουμένων — χ. φον- — χ. καὶ ἀγωνίσασθαι — χ. ἐγκλειόμενοι καὶ πίθοντ-

38 Μετανοήσατε, φησί, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

Καὶ οὔπω λέγει, ὅτι πιστεύσατε· ἀλλά, βαπτισθήτω ἕκαστος ὑμῶν. τοῦτο γὰρ ἐν τῷ βαπτίσματι παρέλαβον. εἶτα δείκνυσι καὶ τὸ κέρδος· Εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. Εἰ δωρεὰν λήψεσθε, εἰ ἄφεσιν ἔχει τὸ βάπτισμα, τί μέλλετε; εἶτα πιθανὸν τὸν λόγον ποιῶν, ἐπήγαγεν·

39 Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία. Εἶπε γὰρ τὴν ἄνω ἐπαγγελίαν διαλεγόμενος. Καὶ τοῖς τέκνοις ὑμῶν, φησί. Μείζων ἡ δωρεά, ὅταν τῶν ἀγαθῶν καὶ κληρονόμους ἔχωσι. Καὶ πᾶσι, φησί, τοῖς εἰς μακράν. Εἰ τοῖς εἰς μακράν, πολλῷ μᾶλλον ὑμῖν τοῖς ἐγγύς. Ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

Ὅρα πότε λέγει τοῖς εἰς μακράν. ὅτε αὐτοὺς εὗρεν ᾠκειωμένους καὶ κατεγνωκότας ἑαυτῶν. ψυχὴ γὰρ ὅταν ἑαυτὴν καταδικάσῃ, οὐκέτι φθονεῖν δύναται.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο καὶ παρεκάλει λέγων.

Ὅρα αὐτὸν πανταχοῦ ἐπιτέμνοντα, καὶ οὐ φιλοτιμουμένους, οὐδὲ ἐπιδεικνύντας. διεμαρτύρετο, φησι, καὶ παρεκάλει λέγων. ἀπηρτισμένη αὕτη διδασκαλία, τὸ μὲν φόβου, τὸ δὲ ἀγάπης ἔχουσα. Σώθητε, φησιν, ἀπὸ γῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

* Οὐδὲν περὶ μελλόντων φησὶν, ἀλλὰ περὶ τῶν παρόντων, οἷς καὶ μάλιστα ἐνάγονται ἄνθρωποι, καὶ δείκνυσιν, ὅτι τὸ κήρυγμα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἀπαλλάττει κακῶν.

41 Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, φησιν, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Πῶς οἴει τότε τοὺς ἀποστόλους ἀνακτήσασθαι μᾶλλον τοῦ σημείου;

42 Ἦσαν δὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ.

Δύο ἀρεταὶ, καὶ τὸ προσκαρτερεῖν, καὶ τὸ ὁμοθυμαδόν. τῇ διδαχῇ τῶν ἀποστόλων, φησὶ (πάλιν γὰρ αὐτοὺς ἐδίδασκον) καὶ τῇ κοινωνίᾳ, Καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ τῇ προσευχῇ.

Πάντα κοινῇ, πάντα μετὰ καρτερίας.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος, Τῶν πιστευσάντων, Πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. [Εἰκότως.] οὐ γὰρ ὡς τῶν τυχόντων κατεφρόνουν, οὐδὲ τοῖς ὁρωμένοις προσεῖχον. ἄρα πεπύρωτο αὐτῶν ἡ διάνοια. ἐπειδὴ γὰρ ἄνωθεν ἦν πολὺς ῥέων ὁ Πέτρος, καὶ ἐδείκνυ τὰς ἐπαγγελίας καὶ τὰ μέλλοντα, εἰκότως ἐξέστησαν τῷ φόβῳ, καὶ ἐμαρτύρει τοῖς λεγομένοις τὰ θαύματα. καθάπερ γὰρ ἐπὶ τοῦ Χριστοῦ, πρότερον σημεῖα, εἶτα διδασκαλία, εἶτα θαύματα· οὕτω καὶ νῦν.

44 Πάντες δὲ οἱ πιστεύοντες * ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά.

Ὅρα εὐθέως ὅση ἡ ἐπίδοσις. οὐ γὰρ ἐν ταῖς εὐχαῖς μόνον ἡ κοινωνία, οὐδὲ ἐν τῇ διδασκαλίᾳ· ἀλλὰ καὶ ἐν τῇ πολιτείᾳ.

45 Καὶ τὰ κτήματα, φησι, καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχεν. Ὅρα πόσος φόβος αὐτοῖς ἐγένετο; καὶ διεμέριζον αὐτὰ, φησι, τὸ οἰκονομικὸν δηλῶν. καθότι ἄν τις χρείαν εἶχεν· οὐχ ἁπλῶς, καθάπερ οἱ παρ' Ἕλλησι φιλόσοφοι, οἱ μὲν ἀφῆκαν τὴν γῆν, οἱ δὲ εἰς θάλασσαν ἔρριψαν πολὺ χρυσίον, ὅπερ οὐκ ὑπεροψία χρημάτων ἦν, ἀλλὰ μωρία καὶ ἄνοια. πανταχοῦ γὰρ ἐσπούδασεν ὁ διάβολος ἀεὶ τοῦ Θεοῦ τὰ κτίσματα διαβάλλειν, ὡς οὐκ ἐνὸν καλῶς χρήσασθαι χρήμασι.

46 Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ.

Ἐνταῦθα τὸν τρόπον διδάσκει, καθ' ὃν τῆς διδασκαλίας ἀπέλαυον. καὶ σκόπει πῶς οὐδὲν ἐποίουν ἕτεροι Ἰουδαῖοι, οὐ μικρὸν, οὐ μέγα, ἀλλὰ τῷ ἱερῷ προσήδρευον. ἅτε γὰρ σπουδαιότεροι γεγενημένοι, καὶ περὶ τὸν τόπον εὐλάβειαν πλείονα εἶχον. οὐ γὰρ ἀπέστησαν αὐτοὺς οἱ ἀπόστολοι τέως, ὥστε μὴ βλάψαι. Κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας,

47 Αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Τὸν ἄρτον ἐμοὶ δοκεῖ λέγειν, καὶ τὴν νηστείαν ἐνταῦθα σημαίνειν καὶ τὸν σκληρὸν βίον. τροφῆς γὰρ, οὐ τρυφῆς μετελάμβανον. ἐν ἀγαλλιάσει, φησίν. ἐντεῦθεν, ἀγαπητὲ, μάνθανε, ὡς οὐχ ἡ τρυφὴ, ἀλλ' ἡ τροφὴ τὴν ἀπόλαυσιν ποιεῖ· καὶ ὡς οἱ τρυφῶντες ἐν λύπῃ, οἱ δὲ μὴ τρυφῶντες ἐν χαρᾷ. ὁρᾷς, ὅτι οἱ Πέτρου λόγοι καὶ τοῦτο εἶχον, τὸν τοῦ βίου σωφρονισμόν; οὕτως οὐκ ἔνι γενέσθαι ἀγαλλίασιν, μὴ ἀφελείας οὔσης. καὶ πῶς, φησιν, εἶχον χάριν πρὸς ὅλον τὸν λαόν; δι' ὧν ἐποίουν,

ποίουν, διὰ τῆς ἐλεημοσύνης. μὴ γάρ μοι, εἰ οἱ ἀρχιερεῖς ἐπέστησαν αὐτοῖς ἀπὸ φθόνου καὶ βασκανίας, τοῦτο ἴδῃς· ἀλλ' ὅτι πρὸς τὸν λαὸν χάριν εἶχον. Ὁ δὲ Κύριος, φησὶ, προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ. Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. πάλιν ἡ ὁμόνοια, ἡ ἀγάπη τὸ πάντων αἴτιον τῶν ἀγαθῶν. ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο. τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἤρκει τὰ λεχθέντα· ἐκεῖνα μὲν γὰρ, ὥστε πρὸς πίστιν ἐπαγαγέσθαι, ταῦτα δὲ ἵνα χρὴ τὸν πιστὸν ποιεῖν, εἴρηται. καὶ οὐκ εἶπεν, ἐπὶ τῷ σταυρῷ, ἀλλ' ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθήτω ἕκαστος ὑμῶν. οὐδὲ ἀναμιμνήσκει αὐτοὺς συνεχῶς τοῦ σταυροῦ, ἵνα μὴ ὀνειδίζειν δόξῃ, ἀλλ' ἁπλῶς, μετανοήσατε, φησί. καὶ τί, ἵνα κολασθῶμεν; οὐχί. καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μὴν ἑτέρως ἔχει τῶν ἐνταῦθα δικαστηρίων ὁ νόμος· ἐπὶ δὲ τοῦ κηρύγματος ὅταν ὁ ἡμαρτηκὼς ὁμολογήσῃ, τότε σώζεται. ὅρα πῶς οὐ τὸ μεῖζον παρέδραμεν ὁ Πέτρος· ἀλλὰ πρότερον τὴν χάριν εἰπὼν, τότε καὶ ἐκεῖνο ἐπήγαγε, λέγων· λήψεσθε, φησι, τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ἀξιόπιστος ὁ λόγος αὐτόθεν, ἐξ ὧν αὐτοὶ ἔλαβον. τέως τὸ εὔκολον λέγει καὶ πολλὴν ἔχον δωρεὰν, καὶ τότε ἐπὶ τὸν βίον ἄγει, εἰδὼς ὅτι ὑπόθεσις αὐτοῖς ἔσται σπουδῆς, τὸ ἤδη γεύσασθαι τῶν τοσούτων ἀγαθῶν. ἐπεὶ δὲ ἐπόθει ἀκοῦσαι ὁ ἀκροατὴς τί ἦν τῶν πλειόνων λόγων τὸ κεφάλαιον, τοῦτο ἐστι, φησὶν, ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος. οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον ἐπίστευσαν τὰ λεχθέντα καίτοι φόβου γέμοντα, καὶ μετὰ τῆς συγκαταθέσεως, τότε ἐπὶ τὸ βάπτισμα ἔρχονται. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἦσαν, φησι, προσκαρτεροῦντες τῇ διδαχῇ*. ἐκ τούτου δῆλον ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ἐπὶ πολλὰς ἐδιδάσκοντο, ἅτε ἐφ' ἕτερον μεταστάντες βίον. καὶ ἐγένετο πάσῃ ψυχῇ φόβος. εἰ πάσῃ, καὶ τῶν μὴ πιστευσάντων. εἰκὸς δὲ αὐτοὺς παθεῖν τοσαύτην ἀθρόον μεταβολὴν ἰδόντας· τάχα δὲ καὶ ἀπὸ τῶν σημείων. οὐχὶ ὁμοῦ δὲ, ἀλλ' ὁμοθυμαδὸν, τουτέστι, μιᾷ ψυχῇ, εἶπεν· ἐπειδὴ ἔνι ὁμοῦ μὲν εἶναι τινας, οὐ μὴν δὲ ὁμοθυμαδὸν, διῃρημένους τῆς γνώμης. λόγοις τε παρεκάλει. καὶ οὐδὲ ἐνταῦθα λέγει τὴν διδασκαλίαν, ἐπιτέμνων τὸν λόγον. ἅτε ὡς νέους παῖδας ἔτρεφον τῇ τροφῇ τῇ πνευματικῇ, καὶ ἄγγελοι γεγόνασι λοιπὸν διαφίνης*, καὶ διεμέριζον καθ' ὃ χρείαν τις εἶχεν. εἶδον ὅτι τὰ πνευματικὰ κοινὰ, καὶ οὐδεὶς ἕτερος ἑτέρου πλέον ἔχει, καὶ ταχέως ἦλθον ἐπὶ τὸ τὰ αὐτῶν πᾶσι διαδιδόναι. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. ὅτι δὲ οὐ τόπῳ ἦσαν ἐπὶ τὸ αὐτὸ, δῆλον ἐξ ὧν ἐπήγαγε λέγων, καὶ πάντα εἶχον κοινά. πάντες δέ φησιν, οὐχ ὁ μὲν, ὁ δὲ οὔ. τοῦτο πολιτεία ἀγγελική, μηδὲν αὐτῶν λέγειν ἴδιον εἶναι. ἐντεῦθεν ἡ ῥίζα τῶν κακῶν ἐξεκόπη, καὶ δι' ὧν ἔπραττον ἔδειξαν ἃ ἤκουσαν. τοῦτο ἦν ὃ ἔλεγε, σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἐπειδὴ τρισχίλιοι γεγόνασιν, ἐξήγαγον αὐτοὺς λοιπὸν ἔξω, οἱ καὶ μετὰ παρρησίας πολλῆς οὔσης ἤδη καθ' ἡμέραν διῄεσαν καὶ προσήδρευον ἐν τῷ ἱερῷ· ἐπεὶ καὶ Πέτρος καὶ Ἰωάννης μικρὸν ὕστερον τὸ αὐτὸ ποιοῦσιν. οὐδὲν γὰρ τέως παρεκίνουν τῶν Ἰουδαϊκῶν. καὶ αὐτὴ δὲ ἡ εἰς τὸν τόπον τιμὴ διέβαινε πρὸς τὸν τοῦ ἱεροῦ δεσπότην. εἶδες εὐλαβείας ἐπίδοσιν; χρήματα ἔρριπτον καὶ ἔχαιρον, καὶ πολλὴ ἦν ἡ εὐφροσύνη. μείζονα γὰρ ἦν ἃ ἐλάμβανον ἀγαθά. οὐδεὶς ὠνείδιζεν, οὐδεὶς ἐφθόνει, οὐδεὶς ἐβάσκαινεν, οὐκ ἦν τῦφος, οὐκ ἦν ἐξουδένωσις. καθάπερ παιδία ἐνόμιζον οὕτω παιδεύεσθαι, ὡς ἀρτίτοκοι οὕτω διέκειντο. καὶ τί ὡς ἐν ἀμυδρᾷ λέγω εἰκόνι; εἰ μέμνησθε, ὡς ὅτε τὴν πόλιν ἡμῶν ἔσεισεν ὁ Θεὸς, καὶ πάντες ἦσαν συνεσταλμένοι, οὕτω τότε ἐκεῖνοι διέκειντο. οὐδεὶς ὕπουλος ἦν, οὐδεὶς πονηρός. καὶ γὰρ τοιοῦτον ὁ φόβος, τοιοῦτον ἡ θλίψις. οὐκ ἦν τὸ ψυχρὸν ῥῆμα, τὸ ἐμὸν καὶ τὸ σόν· διὰ τοῦτο ἀγαλλίασις ἦν ἐπὶ τῆς τραπέζης· οὐδεὶς ὡς ἐξ ἰδίων ἐσθίων διέκειτο, οὐδεὶς ὡς ἐξ ἀλλοτρίων. καίτοι δοκεῖ αἴνιγμα εἶναι. οὔτε ἀλλότρια ἐνόμιζον εἶναι τὰ τῶν ἀδελφῶν (δεσποτικὰ γὰρ ἦν) οὔτε ἴδια, ἀλλὰ τῶν ἀδελφῶν. οὔτε ὁ πένης ᾐσχύνετο, οὔτε ὁ πλούσιος ἐτύφετο. τοῦτό ἐστιν ἀγαλλίασις.

γρ. οὕτω πανταχοῦ καλὸν ἡ ὁμόνοια.

γρ. ἃ καὶ ἐκεῖνα μὲν,

γρ. πῶς οὐκ εὐθέως παρέδραμεν ὁ Πέτρος, ἀλλὰ λέγει καὶ τοὺς νόμους, καὶ ἐπάγει·

* τῶν ἀποστόλων

* ἅπαντες εὐχῇ καὶ ἀκροάσει προσκαρτεροῦντες,

γρ. μεταδοῦναι.

γρ. ἐνδιῆσαν

γρ. καὶ αὕτη δὲ ἡ τιμὴ εἰς τὸν τόπον διέβαινε, τὸ ἐν τῷ οἴκῳ βασιλ[…] πρὸς οἴκῳ; ὡς τῷ ἱερῷ καὶ ὅσα ἐν[…]

γρ. ὄντως

λίασιν καὶ ξένος ὡς εὐεργετούμενος διέκειτο καὶ εὖ πάσχων μᾶλλον, καὶ οὗτοι ὡς δοξαζόμενοι ταύτῃ. καὶ πάνυ πρὸς ἀλλήλους ἦσαν συνδεδεμένοι. ἐπειδὴ γὰρ ἐν τῷ τῶν χρημάτων διαιρουμένων καὶ ὕβρεις, καὶ ἀπονοίας, καὶ λύπας γίνεσθαι συμβαίνει, διὰ τοῦτο ἔλεγεν ὁ ἀπόστολος· Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. (β. Κορ. θ. ζ.) ὅρα πόσα αὐτοῖς μαρτυρεῖ, πίστιν γνησίαν, βίον ὀρθόν, τὴν ἐν ἀκροάσει καρτερίαν, τὴν ἐν εὐχαῖς, τὴν ἐν ἀφελείᾳ, τὴν ἐν εὐφροσύνῃ. δύο ἦν ἱκανὰ ἐμβαλεῖν αὐτοὺς εἰς ἀθυμίαν, ἥ τε νηστεία, καὶ τὸ τὰ χρήματα ἀπολλύναι. οἱ δὲ καὶ δι᾽ ἀμφότερα ἔχαιρον. τίς γὰρ αὐτοὺς οὕτω διακειμένους οὐκ ἂν ἠγάπησεν, ὡς πατέρας κοινούς; οὐδὲν ἐπίκρον πονηρὸν κατ᾽ ἀλλήλων, τὸ πᾶν ἐπίστευον τῇ χάριτι τοῦ Θεοῦ. οὐκ ἦν φόβος, καίτοι ἐν μέσοις κινδύνοις ἐμβεβληκότων αὐτῶν. διὰ γοῦν τῆς ἀφελείας, τὴν πᾶσαν αὐτῶν ἐδήλωσεν ἀρετήν, πολὺ καὶ τῆς τῶν χρημάτων [ὑπεροψίας,] καὶ τῆς νηστείας, καὶ τῆς ἐν ταῖς εὐχαῖς καρτερίας μείζονα οὖσαν. οὕτω δὲ καὶ καθαρῶς ᾔνουν τὸν Θεόν· μᾶλλον δὲ τοῦτό ἐστιν αἰνεῖν τὸν Θεόν. ὅρα δὲ καὶ ἐν τούτῳ αὐτοὺς ἀπολαμβάνοντας εὐθέως τὰς ἀμοιβάς. τὸ γὰρ ἔχειν χάριν πρὸς τὸν λαόν, τοῦτό ἐστιν, ὅτι ποθεινοί τινες ἦσαν καὶ ἐπέραστοι.

Τίς γὰρ οὐκ ἂν ἠγάσατο; τίς δὲ οὐκ ἂν αὐτῶν θαυμάσειε τὸ [ἦθος] ἀπλοϊκόν; ἢ τίς οὐκ ἂν συνδιατρίψειε τῷ μηδὲν ὕπουλον ἔχοντι; τίνων δὲ ἄλλων ἐστὶν ἡ σωτηρία, ἢ τούτων; τίνων δὲ τὰ μεγάλα ἀγαθά; οὐχὶ ποιμένες εὐηγγελίσθησαν πρότεροι; οὐχὶ Ἰωσὴφ ἁπλοῦς τις ὢν ἄνθρωπος, ὥστε μὴ διὰ μοιχείας ὑποψίαν φοβηθέντα αὐτὸν ἐργάσασθαί τι πονηρόν; οὐχὶ ἀγροίκους ἐξελέξατο, τοὺς ἁπλοῦς; Ψυχὴ γάρ, φησιν, εὐλογουμένη πᾶσα ἁπλῆ· καὶ πάλιν· Ὁ δὲ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. (Παροιμ. ι.) ναί, φησιν· ἀλλὰ καὶ φρονήσεως δεῖ. τί γὰρ ἄλλο ἐστὶν ἁπλότης, ἀλλ᾽ ἢ φρόνησις; ὅταν γὰρ μηδὲν ὑποπτεύῃς πονηρόν, οὔτε τιμωρεῖσθαι δύνασαι πονηρῶς· ὅταν μηδὲν ἔχῃς τῶν δεινῶν, οὐδὲ μνησικακῆσαι δυνήσῃ. ὕβρισέ τις, οὐκ ἤλγησας. κατηγόρησεν, οὐδὲν ἔπαθες. ἐβάσκηνεν, οὐδὲ οὕτως ἔπαθές τι. ὁδός τις ἐστὶν ἐπὶ φιλοσοφίαν ἡ ἁπλότης. οὐδεὶς οὕτως ἔχει τὴν ψυχὴν καλήν, ὡς ὁ ἁπλοῦς. καθάπερ γὰρ ἐν τῷ σώματι, ὁ μὲν σκυθρωπὸς καὶ κατηφὴς καὶ στυγνός, κἂν καλὸς ᾖ, τὸ πολὺ τῆς ὡραιότητος ὑποτέμνεται· ὁ δὲ ἀνειμένος καὶ ἠρέμα μειδιῶν τὴν ὄψιν ἐπιτείνει τὴν ὡραιότητα· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς. ὁ μὲν στυγνός, κἂν μυρία ἔχῃ κατορθώματα, ἠφάνισεν αὐτά· ὁ δὲ ἀνειμένος καὶ ἁπλοῦς, τοὐναντίον. καὶ φίλον τὸν τοιοῦτον μετὰ ἀσφαλείας ἄν τις ἐργάσαιτο, καὶ ἐχθρὸν γινόμενον καταλλάξειεν. οὐ γὰρ δεῖ φυλακῆς καὶ προφυλακῆς, οὐδὲ δεσμῶν καὶ συνδέσμων ἐπὶ τοῦ τοιούτου, ἀλλὰ πολλὴ μὲν αὐτῷ ἐστὶν ἡ ἄνεσις, πολλὴ δὲ καὶ τοῖς συνοῦσιν αὐτῷ. τί οὖν ἂν εἰς πονηρούς, φησιν, ἄνδρας ὁ τοιοῦτος ἐμπέσῃ; ὁ Θεὸς ὁ προστάξας εἶναι ἁπλοῦς, ὀρέξει χεῖρα. τί τοῦ Δαβὶδ ἁπλούστερον ἦν; τί δὲ τοῦ Σαοὺλ πονηρότερον; τίς οὖν περιεγένετο; τί δαὶ ἐπὶ τοῦ Ἰωσήφ; οὐχ ὁ μὲν ἁπλῶς προσῆλθε τῇ δεσποίνῃ, ἡ δὲ κακούργως; τί οὖν, εἰπέ μοι, ἐκεῖνος ἠδίκηται; τί δαὶ τοῦ Ἄβελ ἁπλούστερον ἦν; τί δαὶ τοῦ Κάϊν κακουργότερον; ὁ Ἰωσὴφ δὲ πάλιν οὐχ ἁπλῶς ἐνέχεεν τοῖς ἀδελφοῖς; οὐ διὰ τοῦτο εὐδοκίμησεν, ὅτι ὁ μὲν ἀνυπόπτως πάντα ἐφθέγγετο, οὗτοι δὲ κακούργως ἐδέχοντο; καὶ ἅπαξ εἶπε τὰ ὀνείρατα, καὶ πάλιν εἶπε, καὶ οὐκ ἐφυλάξατο· καὶ πάλιν πρὸς αὐτοὺς ἀπῄει τροφὰς ἀποίσων, καὶ οὐδὲν ἐφυλάττετο, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἀλλ᾽ ὅσῳ ἐκεῖνοι πρὸς αὐτὸν οὕτω διέκειντο ὡς πρὸς πολέμιον, οὕτως ἐκεῖνος ὡς πρὸς ἀδελφούς. καὶ ἠδύνατο ὁ Θεὸς μὴ ἀφεῖναι αὐτὸν ἐμπεσεῖν εἰς αὐτῶν τὰς χεῖρας, ἀλλ᾽ ἀφῆκεν, ἵνα δειχθῇ τὸ θαῦμα [καὶ] ὅτι κἂν τὰ αὐτῶν ἐπιδείξωνται ἐκεῖνοι, οὗτος ἀνώτερος ἔσται· ὥστε κἂν λάβῃ πληγήν, οὐ παρ᾽ ἑαυτοῦ, ἀλλὰ παρ᾽ ἑτέρου λαμβάνει· ὁ δὲ πονηρὸς ἑαυτὸν μὲν πλήττει πρότερον, ἕτερον δὲ οὐδένα. οὕτως ἐστὶ καὶ ἑαυτῷ πολέμιος. τοῦ τοιούτου ἀεὶ ἀθυμίας ἡ ψυχὴ μεστή, τῶν λογισμῶν ἀεὶ συνδεδεμένων. κἂν ἀκούσῃ, κἂν εἴπῃ εἴ τι δέῃ, πάντα μετὰ ἐγκλημάτων ποιεῖ, πάντα μετὰ αἰτίας. φιλία τῶν τοιούτων καὶ ὁμόνοια πόρρω καὶ μακρὰν ἐσκήνωται· μάχαι δὲ πρὸς αὐτοὺς καὶ ἔχθραι καὶ

ΗΘΙΚΟΝ

ἀηδίαι, καὶ ἑαυτοὺς ἀποστολβοῦσι τοῖς τοιούτοις· τούτοις οὐδὲ ὕπνος ἡδὺς, οὔτε ἄλλο οὐδέν. ἂν δὲ καὶ γυναῖκα ἔχωσι, βαβαὶ, πρὸς πάντας ἐχθροὶ γίνονται καὶ πολέμιοι· ζηλοτυπίαι μυρίαι· φόβος διηνεκής. πονηρὸς δὲ παρὰ τὸ πονεῖν εἴρηται. οὕτω γοῦν καὶ ἡ γραφὴ πόνον ἀεὶ τὴν πονηρίαν καλεῖ, ὡς ὅταν λέγῃ· Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος· καὶ πάλιν· Καὶ τὸ πλεῖστον αὐτῶν κόπος καὶ πόνος. Εἰ δὲ θαυμάζοι τις, πόθεν καὶ παρὰ τὴν ἀρχὴν τοιοῦτοι γεγόνασι, νῦν δὲ οὐ τοιοῦτοι, μαθέτω τὴν θλῖψιν αἰτίαν, τὴν διδάσκαλον τῆς φιλοσοφίας, τὴν μητέρα τῆς εὐλαβείας. ὅτε χρημάτων ἀναίρεσις ἦν, τότε οὐδὲ πονηρία ἦν. ναὶ, φησίν. αὐτὸ γὰρ τοῦτο ἐρωτῶ· νῦν δὲ πόθεν ἡ τοσαύτη πονηρία; πόθεν ἐκείνοις μὲν ἐπῆλθε τοῖς τρισχιλίοις, καὶ πεντακισχιλίοις οὖσιν εὐθέως ἑλέσθαι τὴν ἀρετὴν, καὶ ὁμοῦ οὕτως ἐγένοντο φιλόσοφοι· νῦν δὲ μόλις εἷς εὑρίσκεται, τότε δὲ οὕτω συνεφώνουν; τί δὲ ποιῆσαν αὐτοὺς σφοδροὺς καὶ διεγηγερμένους; τί αὐτοὺς ἄφνω ἐπύρωσεν; ἐπειδὴ μετὰ πολλῆς προσῆλθον τῆς εὐλαβείας· ἐπειδὴ τὰ τῶν τιμῶν οὐκ ἦν, καθάπερ νῦν· ἐπειδὴ πρὸς τὰ μέλλοντα μετέστησαν αὐτῶν τὴν διάνοιαν, καὶ οὐδὲν τῶν παρόντων προσεδόκων. τοῦτό ἐστι πεπυρωμένης ψυχῆς, τὸ τοῖς δεινοῖς ἐνστρέφεσθαι· τοῦτο ἐνόμιζον ἐκεῖνοι χριστιανισμὸν εἶναι. ἀλλ' οὐχ ἡμεῖς. νῦν γὰρ τὰς ἀνέσεις ἐνταῦθα ζητοῦμεν. διὰ τοῦτο οὐδὲ, ὅταν δέῃ, τούτων ἐπιτευξόμεθα. τί ποιήσομεν, ἠρώτων ἐκεῖνοι, καταγινώσκοντες ἑαυτῶν; ἡμεῖς δὲ τὸ ἐναντίον· τί ποιήσομεν, λέγομεν, ἐπιδεικνύμενοι πρὸς τοὺς παρόντας, καὶ μέγα φρονοῦντες ἐφ' ἑαυτοῖς· ἅπερ ἔδει γενέσθαι, ἐποίουν ἐκεῖνοι· ἡμεῖς δὲ τοὐναντίον. κατέγνωσαν ἑαυτῶν ἐκεῖνοι· ἀπέγνωσαν αὐτῶν τῆς σωτηρίας. διὰ τοῦτο τοιοῦτοι γεγόνασιν· ἔγνωσαν ὅσον ἔλαβον δῶρον. πῶς δὲ ὑμεῖς ἔσεσθε τοιοῦτοι, ἀπελπίας ἐκείνοις ἅπαντα περιτέλλοντες; ἐκεῖνοι ἅμα ἤκουσαν, καὶ ἐβαπτίσαντο. οὐκ εἶπον ταῦτα τὰ ῥήματα τὰ ψυχρὰ, ἅπερ ἡμεῖς νῦν, οὐδὲ τὴν ἀναβολὴν ἐπραγματεύσαντο· καίτοιγε οὐ πάντα ἤκουσαν τὰ διηγήματα· ἀλλὰ μόνον τὸ, σώθητε ἀπὸ τῆς γενεᾶς ταύτης. οὐκ ὀκνηροὺς αὐτοὺς ἐποίησεν, ἀλλὰ ἀπεδέξαντο τοὺς λόγους· καὶ ὅτι ἀπεδέξαντο, διὰ τῶν ἔργων ἐδήλωσαν, καὶ διὰ τῶν πραγμάτων αὐτῶν ἔδειξαν ἑαυτοὺς τίνες ἦσαν. ἅμα ἐνέβησαν εἰς τὸν ἀγῶνα, ἀπεδύσαντο τὰ ἱμάτια· ἡμεῖς δὲ ἐμβαίνοντες, μετὰ ἱματίων παλαίειν βουλόμεθα. διὰ τοῦτο οὐ δεῖται πόνου ὁ ἀνταγωνιστὴς, ἀλλ' ἑαυτοῖς περιπλακέντες πολλάκις κατηνέχθημεν. ταυτὸν γὰρ ποιοῦμεν, ὥσπερ ἂν εἴ τις ἄνδρα ἀθλητὴν κεκονιαμένον, μέλανα, γυμνούμενον ἰδὼν, πολλοῦ καὶ ἀπὸ τῆς ἄμμου καὶ τοῦ ἡλίου πηλὸν ἔχοντα, καὶ ἀνακεχρωσμένον τῷ ἐλαίῳ καὶ τῷ ἱδρῶτι καὶ τῷ πηλῷ, αὐτὸς μύρον ὄζων, σηρικὰ λαβὼν ἱμάτια, καὶ χρυσᾶ ὑποδήματα, καὶ στολὴν μέχρι σφυρῶν καθειμένην, καὶ χρυσία περὶ τὴν κεφαλὴν, εἰσιὼν συμπλέκοιτο. ὁ γὰρ τοιοῦτος οὐκ ἐμποδισθήσεται μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν φροντίδα περὶ τὸ μὴ μολῦναι, μηδὲ διαρρῆξαι τοὺς χιτῶνας ἔχων, ἐκ πρώτης εὐθέως προσβολῆς πεσεῖται, καὶ ὅπερ δέδοικεν, εὐθέως τοῦτο πείσεται, περὶ ἐκεῖνα τὰ χρύσεια τὴν ζημίαν λαβών. καιρὸς ἀγῶνος ἐνέστηκε· σὺ δὲ περιβάλλῃ σηρικά; καιρὸς γυμνασίας, καιρὸς σταδίου· σὺ δὲ καθάπερ ἐν πομπῇ κοσμεῖς σεαυτόν; καὶ πῶς περιέσῃ; μή μοι πρὸς τὰ ἔξω ἴδῃς, ἀλλὰ πρὸς τὰ ἔσω. ταῖς γὰρ τούτων φροντίσι, καθάπερ σχοινίοις χαλεποῖς, πάντοθεν ἡ ψυχὴ συνδέδεται, χεῖρας οὐκ ἐῶσα ἀνατεῖναι, οὐδὲ ἐπιθέσθαι τῷ πολεμίῳ, μαλακοὺς ἐργαζομένη καὶ ἁπαλούς. ἀγαπητὸν* πάντων ἀπαλλαγέντα δυνηθῆναι περιγενέσθαι τῆς ἀκαθάρτου δυνάμεως ἐκείνης. διὰ τοῦτο καὶ ὁ Χριστὸς, ὡς οὐκ ἀρκούσης τῆς τῶν χρημάτων μόνον ἀποβολῆς, ὅρα τί φησι· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. Εἰ δὲ, οὐδὲ ὅταν ἀποδυσώμεθα τὰ χρήματα, οὐδέπω ἐν ἀσφαλείᾳ ἑστήκαμεν, ἀλλὰ καὶ ἑτέρας τινὸς τέχνης καὶ ἀκριβείας ἡμῖν δεῖ· πολλῷ μᾶλλον ἔχοντες, οὐδὲν ἐργασόμεθα μέγα, ἀλλὰ καταγέλαστοι καὶ τοῖς θεαταῖς, καὶ αὐτῷ γενησόμεθα τῷ πονηρῷ. κἂν γὰρ διάβολος μὴ ᾖ, κἂν ὁ παλαίων μηδεὶς ᾖ, μυρίαι πάντοθεν ὁδοὶ

πρὸς

Ψαλ. θ. ζ. — Ψαλ. ιγ. ια. — Ματθ. ι. κβ.

χ. ἐν μέσω αὐτῆς — χ. ἐνστρέφεσθαι — * ἵνα

πρὸς τὴν γέενναν τὸν φιλοχρήματον ἄγουσι. ποδαπὸν εἰσὶν οἱ λέγοντες, διὰ τί ὁ διάβολος γέγονεν; ἰδοὺ ἐνταῦθα ὁ διάβολος οὐδὲν εἰργάζετο, ἀλλὰ τὸ πᾶν ἡμεῖς. καὶ μὴν οἱ ἐν τοῖς ὄρεσι ταῦτα λέγειν ὤφειλον, οἱ μετὰ σωφροσύνης καὶ χρημάτων ὑπεροψίας καὶ τὴν τῶν ἄλλων καταφρονήσαντες, πατέρας, καὶ οἰκίας, καὶ ἀγρούς, [καὶ γυναῖκας,] καὶ παιδία ἀφέντες μυριάκις ἐλόμενοι. ἀλλ' ἐκεῖνοι μάλιστα ταῦτα οὐ λέγουσιν· οἷς δὲ οὐδέποτε λέγειν ἐχρῆν, οὗτοι λέγουσιν. ἐκεῖνα ὄντως τοῦ διαβόλου τὰ παλαίσματα· εἰς ταῦτα δὲ οὐδὲ καθεῖναι ἄξιον. ἀλλ' αὐτήν, φησί, τὴν φιλοχρηματίαν ὁ διάβολος ἐνίησι. καὶ ἀπόφυγε, καὶ μὴ καταδέξῃ, ἄνθρωπε. νῦν δέ, ἂν μέν τινα ἴδῃς τινὸς ἀπὸ δρυφάκτου κατασκευάζοντα βόρβορον, εἶτα τὸν ὁρῶντα καταχεόμενον αὐτοῦ ἑστῶτα, καὶ τὸ πᾶν δεχόμενον τῇ κεφαλῇ, οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἀγανακτεῖς, καὶ φῂς αὐτὸν δικαίως πεπονθέναι, καὶ μὴ μωρὸς ἴσθι, ἕκαστος πρὸς αὐτὸν φθέγγεται· καὶ οὐ τὸν βάλλοντα τοσοῦτον αἰτιᾷ, ἀλλὰ τὸν δεχόμενον. νυνὶ δὲ οἶδας, ὅτι τοῦ διαβόλου ἡ φιλοχρηματία· οἶδας, ὅτι μυρίων κακῶν τοῦτο αἴτιον· ὁρᾷς αὐτόν, καθάπερ βόρβορον, κατασκευάζοντα τοὺς ῥυπαροὺς καὶ λογισμοὺς αἰσχρούς· καὶ γυμνῇ τῇ κεφαλῇ δεχόμενος τὴν ἀκαθαρσίαν τὴν ἐκείνου οὐ νοεῖς, δέον μικρὸν ἐκκλίναντα τοῦ παντὸς ἀπηλλάχθαι; καθάπερ ἂν ἐκεῖνος τὸν τόπον ἐκκλίνας ἀπαλλάγῃ· οὕτω καὶ σὺ μὴ δέχου τοὺς τοιούτους λογισμούς, ἀπόκρουσαι τὴν ἐπιθυμίαν. καὶ πῶς ἀποκρούσομαι, φησίν; εἰ μὲν ἄλλων ἦς, καὶ τὰ παρόντα ἐθαύμαζες μόνα, τάχα πολλῆς ἦν δυσκολίας τὸ πρᾶγμα, καίτοιγε ἐκεῖνοι κατώρθωσαν τοῦτο· ἄνθρωπος δὲ τὸν οὐρανὸν προσδοκῶν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς, λέγεις, πῶς ἀποκρούσομαι; εἰ τοὐναντίον ἔλεγον, τότε ἐχρῆν ἀπορεῖν εἰ ἔλεγον, ἐπιθύμησον χρημάτων· καὶ πῶς ἐπιθυμήσω χρημάτων, ἔφης ἄν, τοιαῦτα ὁρῶν; εἰπέ μοι, εἰ χρυσοῦ προκειμένου καὶ λίθων τιμίων, ἔλεγον, ἐπιθύμησον μολύβδου· ἆρα οὐκ ἦν ἀπορίας; εἶπες γὰρ ἄν, πῶς δύναμαι; εἰ δὲ ἔλεγον, μὴ ἐπιθυμήσῃς, τοῦτο εὐκολώτερον ἦν. οὐ θαυμάζω τοὺς καταφρονοῦντας, ἀλλὰ τοὺς μὴ καταφρονοῦντας. σφόδρα ψυχῆς τοῦτο νωθείας πεπληρωμένης, μυῶν καὶ κωνώπων οὐδὲν διαφερούσης, χαμαὶ συρομένης, ἰλυσπωμένης ἐν τῷ βορβόρῳ, οὐδὲν μέγα φανταζομένης. τί λέγεις; ζωὴν μέλλεις κληρονομεῖν αἰώνιον, καὶ λέγεις, πῶς καταφρονήσω τῆς παρούσης ὑπὲρ ἐκείνης; μὴ γὰρ ἀμφότερά ἐστι τὰ πράγματα; ἱμάτιον μέλλεις λαμβάνειν βασιλικόν, καὶ λέγεις, πῶς καταφρονήσω τῶν ῥακίων; εἰς τὴν τοῦ βασιλέως μέλλεις ἄγεσθαι οἰκίαν, καὶ λέγεις, πῶς καταφρονήσω τῆς πενιχρᾶς τῆς παρούσης; οὕτως ἡμεῖς ἐσμεν αἴτιοι πανταχοῦ, οἱ μὴ θέλοντες διεγερθῆναι μικρόν. οἱ γὰρ θελήσαντες, πάντες κατώρθωσαν· καὶ κατώρθωσαν μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τῆς εὐκολίας. γένοιτο δὲ καὶ ὑμᾶς πεισθέντας τῇ ἡμετέρᾳ παραινέσει κατορθῶσαι, καὶ ζηλωτὰς γενέσθαι τῶν κατωρθωκότων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἄξιοι.

γ. καταχεόμενον τῇ κεφαλῇ αὐτοῦ, ἐπιτηδ. τ. δ.

γ. ἀεὶ συγκατασκευάζοντα

Λογ. η. 1 ΕΠΙ ΤΟ ΑΥΤΟ ΔΕ ΠΕΤΡΟΣ ΚΑΙ ΙΩΑΝΝΗΣ ἀνέβαινον εἰς τὸ ἱερόν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. κεφ. γ.

Πανταχοῦ φαίνονται οὗτοι πολλὴν ἔχοντες πρὸς ἀλλήλους ὁμόνοιαν· τοῦτον γοῦν ὁ Πέτρος· ὁμοῦ εἰς τὸν τάφον ἔρχονται οὗτοι· περὶ αὐτοῦ φησι τῷ Χριστῷ, Οὗτος δὲ τί; τὰ μὲν οὖν ἄλλα σημεῖα παρῆλθεν ὁ τὸ βιβλίον συγγράφων· ὃ δὲ πολλὴν εἶχε τὴν ἔκπληξιν καὶ πάντας ἐξένιζε, λέγει. καὶ ὅρα πάλιν αὐτοὺς οὐ προηγουμένως ἐπ' αὐτὸ ἐρχομένους· οὕτω φιλοτιμίας ἦσαν καθαροί, καὶ τὸν διδάσκαλον ἐμι-

Ἰωάν. ιγ. κδ. γ. κ. κα. κβ.

γ. ἦλθον

γ. λέγει δὲ τὸ σημεῖον, ὃ δὲ τοὺς πάντας ἐκπλῆττον ἀλλ' ἐνίοις

γ. ἀπὸ

μόνων τῶν αὐτῶν. τί δὲ ἀνῄεσαν εἰς τὸ ἱερόν; ἆρα ἔτι Ἰουδαϊκῶς ἔζων; οὐχί· ἀλλὰ χρησίμως καὶ τοῦτο. σημεῖον πάλιν ἐκείνους τε βεβαιοῦν καὶ τοὺς ἄλλους ἐφελκόμενοι. καὶ ποῖον σημεῖον ἦσαν ποιήσαντες; φυσικὸν τὸ πάθος ἦν, κρεῖττον τέχνης ἰατρικῆς. τεσσαράκοντα ἔτη ἦν πεποιηκὼς ἐν τῇ χωλείᾳ, καθώς προϊὼν φησι, καὶ οὐδεὶς αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐθεράπευσεν. ἴστε δὲ ὅτι ταῦτα μάλιστα δύσκολά ἐστιν, ἅπερ ἂν ἐκ γενετῆς εἴη. τοσοῦτον ἦν τὸ δεινόν, ὥστε οὐδὲ τὴν ἀναγκαίαν τροφὴν πορίζεσθαι δυνατὸς ἦν ἑαυτῷ. καὶ ἐπίσημος δὲ ὁ ἀνὴρ ἦν ἀπό τε τοῦ τόπου, ἀπό τε τοῦ πάθους. καὶ πῶς, ἄκουε.

2 Καί τις ἀνὴρ χωλός, φησίν, ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ᾽ ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. ἐλεημοσύνην λαβεῖν ἄρα ἐζήτει, καὶ οὐκ ᾔδει τίνες ἦσαν οἱ ἄνδρες.

3 Ὃς ἰδών, φησί, Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· βλέψον εἰς ἡμᾶς.

[Τοῦτο ἀκούει·] ὁ δὲ οὐδὲ οὕτως ἀνίσταται, ἀλλ᾽ ἔτι μένει διενοχλῶν. τοιοῦτον γὰρ ἡ πενία, καὶ δεῖσθαι ἀπαγορεύοντας ἐπιμένειν ἀναγκάζει. αἰσχυνθῶμεν οἱ ἐν ταῖς εὐχαῖς ἀποπηδῶντες. ὅρα δέ μοι τὴν ἐπιείκειαν πῶς ἔδειξε Πέτρος εὐθὺς εἰπών, βλέψον εἰς ἡμᾶς. οὕτως αὐτῶν τὸ σχῆμα αὐτόθεν ἐδείκνυ τὸν τρόπον.

5 Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, φησί, προσδοκῶν τι παρ᾽ αὐτῶν λαβεῖν.

6 Εἶπε δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. Οὐκ εἶπεν, ὅτι τοῦ ἀργυρίου πολλῷ βέλτιον σοι δίδωμι· ἀλλὰ τί; Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει.

7 Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρεν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. πολλάκις λόγῳ ἐθεράπευσε, πολλάκις ἔργῳ, πολλάκις καὶ τὴν χεῖρα προσήγαγεν, ὅπου ἦσαν ἀσθενέστεροι κατὰ τὴν πίστιν, ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γίνεσθαι. καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρε. τοῦτο ἐποίησε δηλῶν τὴν ἀνάστασιν. ἀναστάσεως γὰρ ἦν εἰκών.

Καὶ παραχρῆμα ἐστερεώθησαν, φησίν, αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά.

8 Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει. Πειράζων ἴσως ἑαυτὸν καὶ πλείονα τὴν βάσανον ἐποιεῖτο. μὴ ἄρα ἁπλῶς ἐστι τὸ γενόμενον· ἀσθενεῖς ἦσαν αὐτῷ οἱ πόδες, οὐ κεκομμένοι. τινὲς δέ φασιν, ὅτι καὶ ἠγνόει περιπατεῖν. Καὶ εἰσῆλθε σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν. Ὄντως θαύματος ἄξιον. οὐκ αὐτοὶ αὐτὸν ἐπάγονται, ἀλλ᾽ αὐτὸς ἀκολουθεῖ, διὰ τῆς ἀκολουθήσεως τοὺς εὐεργέτας δεικνύς. Καὶ ἀλλόμενος, φησί, καὶ αἰνῶν τὸν Θεόν. Οὐκ ἐκείνους θαυμάζων, ἀλλὰ τὸν Θεὸν τὸν δι᾽ ἐκείνων ἐνεργήσαντα. εὐχάριστος οὕτως ἦν ὁ ἀνήρ. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἀνέβαινον, φησίν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. *Τάχα κατὰ τὸν καιρὸν τοῦτον βαστάζοντες τὸν χωλὸν ἐτίθουν, ὅτε μάλιστα εἰσῄεσαν οἱ ἄνθρωποι εἰς τὸ ἱερόν. ἵνα δὲ μὴ νομίσῃ τις, ὅτι δι᾽ ἕτερόν τι αὐτὸν ἐβάσταζον, καὶ οὐχὶ διὰ τὸ λαβεῖν, ὅρα πῶς τοῦτο σαφῶς παρέστησε δι᾽ ὧν λέγει. ἐτίθουν αὐτὸν ὥστε ἐλεημοσύνην λαβεῖν παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. διὰ τοῦτο καὶ τόπου μέμνηται, ἐλέγχους διδοὺς ὧν γράφει. καὶ πῶς, φησίν, αὐτὸν οὐ προσήγαγον τῷ Χριστῷ; ἴσως τινὲς ἦσαν ἄπιστοι οἱ τῷ ἱερῷ προσεδρεύοντες, ὅπου γε οὐδὲ τοῖς ἀποστόλοις αὐτὸν προσήγαγον, ἰδόντες αὐτοὺς εἰσιόντας καὶ θαύματα πεποιηκότας τοιαῦτα. ἠρώτα, φησίν, ἐλεημοσύνην λαβεῖν. ὥσπερ τινὰς εὐλαβεῖς ἄνδρας ἀπὸ τοῦ σχήματος αὐτοὺς τάχα κατενόησε. διὰ τοῦτο καὶ ἐπεῖχεν αὐτοῖς. ὅρα δὲ πῶς ὁ Ἰωάννης πανταχοῦ σιγᾷ, ὁ δὲ Πέτρος καὶ ὑπὲρ αὐτοῦ ἀπολογεῖται. ἀργύριον, φησί, καὶ χρυσίον οὐχ ὑπάρχει μοι. οὐκ εἶπεν, *οὐκ ἔχω ἐνταῦθα, οἷα

ἡμεῖς

γρ. δεῖ
γρ. χρήσιμος τοῦτο ποιεῖ.
γίνεται γὰρ σημεῖον
γρ. καὶ ποῖον, οἷον ὑπὸ τίνων ποιήσαντες.
γρ. ὑπῆρχεν
γρ. εἰς
γρ. ἐπεζήτει.
γρ. καὶ οὐδ᾽ οὕτως αἴρεται αὐτοῦ ἡ διάνοια, ἀλλ᾽ ἐπιμένει ἐνοχλῶν.
γρ. καὶ πρὸς τὸ ἀπαγορεύοντας ἐπιμένειν ἀναγκάζει.
γρ. -τοῦ
* ὁρᾷς πῶς ταῖς εὐχαῖς προσεκαρτέρουν, καὶ τὴν ἐνάτην ὥραν ἐκεῖ συνήρχοντο ὁμοῦ.
γρ. ἀλλ᾽ ἵνα ἐλεημοσύνην λάβῃ.
γρ. ὥσπερ τινῶν εὐλαβῶν ἀνδρῶν τὸ σχῆμα ἦν καὶ γνώριμον. ὅρα
* ὅτι

ἡμεῖς λέγομεν· ἀλλ' ὅλως, οὐκ ἔχω. τί οὖν ὁ χωλός; καὶ προσφορᾶς με* τὴν ἱκετηρίαν; οὔ, φησίν· ἀλλ' ἐξ ὧν ἔχω λάβε. ὁρᾷς πῶς ἄτυφος" ὁ Πέτρος, καὶ οὐκ ἐπιδείκνυσιν οὐδὲ πρὸς αὐτὸν τὸν εὐεργετούμενον; τὸ στόμα τοίνυν καὶ ἡ χεὶρ τὸ πᾶν εἰργάσατο. τοιοῦτοί τινες ἦσαν" καὶ Ἰουδαῖοι χωλεύοντες· καὶ δέον αἰτῆσαι ὑγείαν," τὰ δὲ μᾶλλον χρήματα αἰτοῦσι χαμαὶ κείμενοι· καὶ διὰ τοῦτο τῷ ἱερῷ προσεδρεύοντες, ἵνα χρηματίζωνται. τί οὖν ὁ Πέτρος; οὐχ ὑπερεῖδεν" αὐτόν, οὐ πλουτοῦντά τινα ἐζήτησεν, οὐδὲ εἶπεν, ἂν μὴ εἰς ἐκεῖνον γένηται τὸ θαῦμα, οὐδὲν μέγα ἐστίν· οὐ τιμήν τινα προσεδόκησε λαβεῖν παρ' αὐτοῦ, οὐδὲ παρόντων τινῶν ἐθεράπευσεν αὐτόν. ἐν γὰρ τῇ εἰσόδῳ ἦν ὁ ἀνήρ, οὐκ ἔνθα τὸ πλῆθος ἦν ἔνδον. ἀλλ' οὐδὲν τοιοῦτον ἐζήτησεν ὁ Πέτρος, οὐδὲ εἰσελθὼν ἐκήρυξεν· ἀλλ' ἀπὸ [μόνου] τοῦ σχήματος τὸν χωλὸν ἐπιστάσαντο πρὸς τὴν αἴτησιν. καὶ τὸ θαυμαστόν, ὅτι ταχέως ἐπίστευσεν. τὰ γὰρ χρονίων ἀπαλλαγέντες" παθῶν μόλις πιστεύουσι καὶ αὐτῇ τῇ ὄψει. καὶ θεραπευθεὶς λοιπὸν σὺν τοῖς ἀποστόλοις ἦν, εὐχαριστῶν τῷ Θεῷ. καὶ εἰσῆλθε, φησί, σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν,* ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. ὅρα πῶς οὐκ ἠρεμεῖ· τοῦτο μὲν ὑπὸ τῆς ἡδονῆς, τοῦτο δὲ" ἐμφράττων αὐτῶν τὰ στόματα. ἐμοὶ δὲ δοκεῖ, καὶ ἵνα μὴ νομισθῇ [τις] ὑπόκρισις, διὰ τοῦτο ἅλλεσθαι αὐτόν. τοῦτο γὰρ λοιπὸν οὐκ ἦν ὑποκρίσεως. εἰ γὰρ μηδὲ ἁπλῶς ἐπιβῆναι δυνατὸν ἦν αὐτῷ τὸ πρότερον, καὶ ταῦτα τοῦ λιμοῦ καταναγκάζοντος (οὐ γὰρ ἂν εἵλετο πρὸς τοὺς βαστάζοντας διανέμεσθαι τὰ ἐκ τῆς ἐλεημοσύνης ἑαυτῷ δυνάμενος ἀρκεῖν) πολλῷ μᾶλλον τότε. πῶς δὲ καὶ ὑπεκρίνατο ἂν ὑπὲρ τῶν μὴ δεδωκότων ἐλεημοσύνην; ἀλλ' εὐχάριστος ἦν ὁ ἀνὴρ καὶ μετὰ τὴν ὑγείαν. ἑκατέρωθεν οὖν πιστὸς δείκνυται, ἀπό τε τῆς εὐχαριστίας, ἀπό τε τοῦ συμβεβηκότος. οὕτω πᾶσι γνώριμος ἦν, ὅτι καὶ ἐπεγίνωσκον αὐτόν.

9 Καὶ εἶδεν αὐτόν, φησί, πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν·

10 Ἐπεγίνωσκόν τε αὐτόν, ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ. Καὶ καλῶς εἶπεν, ἐπεγίνωσκον· ὡς καὶ ἀγνοουμένου λοιπὸν ἀπὸ τοῦ πράγματος. ταύτῃ γὰρ τῇ λέξει κεχρήμεθα ἐπὶ τῶν μόλις γνωριζομένων. ἔδει γοῦν πιστεῦσαι," ὅτι ἀφίησι τὰ ἁμαρτήματα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπου γε καὶ τοιαῦτα ἐργάζεται.

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος τὸν Πέτρον καὶ τὸν Ἰωάννην, συνέδραμε πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. Ἀπὸ τῆς εὐνοίας τῆς εἰς αὐτοὺς καὶ τῆς φιλίας οὐκ ἐχωρίζετο αὐτῶν· ἴσως δὲ καὶ εὐχαριστῶν αὐτοῖς καὶ ἐπαινῶν. καὶ συνέδραμε, φησί, πᾶς ὁ λαός.

12 Ἰδὼν δὲ αὐτοὺς ὁ Πέτρος ἀπεκρίνατο. Πάλιν αὐτὸς καὶ ἐργάζεται καὶ δημηγορεῖ. τότε μὲν [οὖν] αὐτοὺς εἰς τὴν ἀκρόασιν διήγειρε τὸ πρᾶγμα τὸ περὶ τὰς γλώσσας· νυνὶ δὲ τοῦτο· καὶ τότε μὲν ἀρχὴν ἔλαβεν ἀπὸ τῶν ἐγκλημάτων, νῦν δὲ ἀπὸ τῆς ὑπονοίας. ἴδωμεν δὲ τί διενήνοχεν αὕτη ἡ δημηγορία ἐκείνης, καὶ κατὰ τί κοινωνεῖ. ἐκείνη μὲν οὖν* ἐν τῇ οἰκίᾳ" γέγονεν, οὐδέπω προσελθόντος οὐδενός, οὐδὲ αὐτῶν τι ἐργασαμένων· αὕτη δὲ πάντων θαυμαζόντων, τοῦ θεραπευθέντος πλησίον ἑστῶτος, οὐδενὸς ἀμφιβάλλοντος, καθάπερ τότε, ὅτε ἔλεγον ὅτι γλεύκους μεμεστωμένοι εἰσί. καὶ τότε μετὰ τῶν ἀποστόλων πάντων ὢν διελέγετο· νῦν δὲ μετὰ τοῦ Ἰωάννου" μόνου. λοιπὸν γὰρ θαρρεῖ καὶ σφοδρότερος γέγονε. τοιοῦτον γὰρ ἡ ἀρετή, ἀρχὴν λαβοῦσα πρόεισι, καὶ οὐδαμοῦ ἵσταται. ὅρα δὲ καὶ" πῶς ἠνέσχοντο ἐν τῷ ἱερῷ γενέσθαι τὸ σημεῖον, ἵνα καὶ ἄλλοι θαρρήσωσιν. οὐκ" ἐν παραβύστῳ γὰρ αὐτὸ [τι] ἐργάζονται, ἢ καὶ λανθανόντως· ἀλλ' οὔτε ἔνδον ἐν τῷ ἱερῷ, ἔνθα τὸ πολὺ πλῆθος ἦν. πῶς οὖν ἐπιστεύθη, εἰπέ μοι; αὐτὸς ὁ θεραπευθεὶς ἐκήρυττε τὴν εὐεργεσίαν. οὐδὲ γὰρ ἂν ἐψεύσατο, οὐδ' ἂν ἕτερ' ἄλλως ἰατὰς ἦλθεν. ἤτοι οὖν ὡς εὐρυχωρίας οὔσης ἐκεῖ τὸ σημεῖον εἰργάσαντο;

*φησί χ. ὁ ἀνήρ χ. εἰ χ. αἰτεῖ χ. αὐτόν, χ. χωλῶν *καὶ χ. ἐπιστομίζων χ. ὑπόκρισις. χ. δεῖ *ἐν τῆς [illegible] οἰκίας χ. γίνεται, χ. μόνον. χ. τί χ. εἰς κατακλείσεις

Προσθ. βιβλ.

σαντο ἢ ὡς κεχωρισμένου τοῦ τόπου. καὶ ὅρα τὸ γινόμενον. ἐφ' ἑτέρᾳ ἀπῆλθον προφάσει, καὶ ἕτερα ἐργάζονται. οὕτω καὶ ὁ Κορνήλιος ἄλλα νηστεύων ηὔχετο, καὶ ἄλλα ὁρᾷ. μέχρι δὲ τότε πανταχοῦ τὸν Χριστὸν Ναζωραῖον ὀνομάζουσιν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, φησίν, ἔγειραι καὶ περιπάτει. τέως γὰρ τοῦτ' ἦν τὸ ζητούμενον, τὸ πιστευθῆναι αὐτόν.

ΗΘΙΚΟΝ

Μὴ δὴ πρὸς τὴν ἀρχὴν ἀποκάμωμεν τοῦ διηγήματος· ἀλλ' εἰ καὶ κατόρθωμά τις εἰπὼν διαλίπῃ, πάλιν ἀναλάβωμεν τὴν ἀρχήν· ἂν ἐν ἕξει γενώμεθα, ταχέως πρὸς τὸ τέλος ἥξομεν, ταχέως πρὸς τὴν κορυφὴν στησόμεθα. σπουδὴ γάρ, φησι, σπουδὴν γεννᾷ, καὶ ῥαθυμία ῥαθυμίαν. ὁ μικρόν τι κατορθωκώς, ἔλαβε παράκλησιν ἐπὶ τὸ μεῖζον ἐλθεῖν [ἢ καὶ μᾶλλον] ἐξ ἐκείνου [περαιτέρω χωρῆσαι.] καὶ καθάπερ τὸ πῦρ ὅσα ἂν περιλάβῃ ξύλα, τοσούτῳ σφοδρότερον γίνεται· οὕτω καὶ προθυμία, ὅσους ἂν διεγείρῃ λογισμοὺς εὐσεβεῖς, τοσούτῳ μᾶλλον κατὰ τῶν ἄλλων ὁπλίζεται. οἷόν τι λέγω. ἑστήκασιν [ἐν ἡμῖν] καθάπερ ἔχθιστοι, ἐπιορκία, ψεῦδος, ὑπόκρισις, δόλος, κακουργία, λοιδορία, σκώμματα, γελωτοποιΐαι, αἰσχρολογίαι, εὐτραπελίαι· πάλιν ἐν ἄλλῳ μέρει, πλεονεξία, ἁρπαγή, ἀδικία, συκοφαντία, ἐπιβουλαί· πάλιν ἐπιθυμία πονηρά, ἀκαθαρσία, ἀσέλγεια, πορνεία, μοιχεία· πάλιν φθόνος, ζηλοτυπία, ὀργή, θυμός, μνησικακία, ἀνταπόδοσις, βλασφημία, μυρία τοιαῦτα. ἂν τὰ πρότερα κατορθώσωμεν, οὐκ ἐκεῖνα μόνον κατώρθωται, ἀλλὰ δι' ἐκείνων καὶ τὰ μετὰ ταῦτα. ἰσχυρότερος γὰρ γίνεται λοιπὸν ὁ λογισμὸς πρὸς τὴν ἐκείνων ἀνατροπήν. οἷον, ὁ πολλὰ ὀμνὺς ἂν περιέλῃ τὸ σατανικὸν ἔθος τοῦτο, οὐ τοῦτο μόνον αὐτῷ κατώρθωται, ἀλλὰ καὶ ἑτέρα εὐλάβεια ἐπεισῆκται. οὐδεὶς γάρ, οἶμαι, τῶν οὐκ ὀμνυόντων εὐκόλως θελήσει ἄλλο τι πρᾶξαι πονηρόν, ἀλλὰ τὴν ἤδη κατορθωθεῖσαν ἀρετὴν αἰσχυνθήσεται. καθάπερ γὰρ ὁ φορῶν ἱμάτιον καλὸν αἰσχύνεται βορβόρῳ ἐγκυλίσαι ἑαυτόν· οὕτω δὴ καὶ οὗτος. ἀπὸ δὲ τούτου ἥξει εἰς τὸ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν, μηδὲ ὑβρίζειν. ἂν γὰρ ἅπαξ τὰ μικρὰ κατορθώσῃ, τὸ πᾶν ἤνυσται. συμβαίνει δὲ πολλάκις καὶ τὸ ἐναντίον· ἅπαξ κατορθώσαντάς τι πάλιν ἀπὸ ῥαθυμίας τοῖς αὐτοῖς περιπεσεῖν προχείρως, καὶ εἰς ἀδύνατον περιστῆναι λοιπὸν τὸ πρᾶγμα. οἷον, ἐθήκαμεν ἑαυτοῖς νόμον μὴ ὀμνύναι· κατορθώσαμεν ἡμέρας τρεῖς ἢ καὶ τέσσαρας· μετ' ἐκείνας εἰς ἀνάγκην περιπεσόντες, τὸ συλλεχθὲν ἅπαν κέρδος ἐσκορπίσαμεν. εἰς ῥαθυμίαν λοιπὸν ἐμπίπτομεν καὶ ἀπόγνωσιν, ὡς μηδὲ τῶν αὐτῶν ἅψασθαι βουληθῆναι πάλιν. καὶ εἰκότως. ὁ γάρ τι οἰκοδομήσας ἑαυτῷ, εἶτα ἰδὼν καθῃρημένον τὸ οἰκοδόμημα, ῥαθυμότερος ἔσται πρὸς τὸ πάλιν οἰκοδομεῖν. ἀλλ' οὐ δεῖ ῥαθυμεῖν οὐδὲ οὕτως, ἀλλὰ πάλιν ἔχεσθαι τῆς σπουδῆς. θῶμεν τοίνυν ἑαυτοῖς νόμους καθημερινούς· πῶς ἀπὸ τῶν εὐκόλων ἀρξώμεθα· περικόψωμεν ἡμῶν τὴν πολυορκίαν τοῦ στόματος, χαλινὸν ἐπιθῶμεν τῇ γλώττῃ, μηδεὶς ὀμνύτω τὸν Θεόν. οὐκ ἔστιν ἐνταῦθα δαπάνη, οὐκ ἔστιν ἐνταῦθα κάματος, οὐκ ἔστιν ἐνταῦθα χρόνου μελέτη· ἀρκεῖ θελῆσαι, καὶ τὸ πᾶν γέγονε. συνηθείας γὰρ τὸ πρᾶγμά ἐστι. παρακαλῶ καὶ δέομαι, σπουδὴν τοιαύτην εἰσενέγκωμεν. εἰπὲ δή μοι, εἰ χρήματα ἐκέλευσα εἰσενεγκεῖν, οὐκ ἂν προθύμως ἕκαστος τὰ κατὰ δύναμιν συνεβάλεσθε; εἴ με ἐν κινδύνοις ἑωρᾶτε τοῖς ἐσχάτοις, οὐκ ἂν καὶ ἀπὸ τῆς σαρκὸς, εἴγε οἷόν τε ἦν, ἀποτεμόντες ἐδῶτε ἄν; ἐν κινδύνῳ καὶ νῦν εἰμι, καὶ πολλῷ, καὶ ὡς ἄν, εἰ καὶ μετὰ τοῦτο καὶ δεσμωτήριον ᾤκουν, ἢ μυρίας ἔλαβον πληγάς, ἢ εἰς μέταλλα ἐτύγχανον, οὐκ ἂν τούτου πλέον ἤλγησα. χεῖρα τοίνυν ὀρέξατε· ἐννοήσατε γὰρ ὅσος κίνδυνος, μηδὲ τὸ μικρότατον τοῦτο. μικρότατον δὲ λέγω, ὅσον εἰς πόνον ἥκει, δυνηθῆναι κατορθῶσαι. τί ἐρῶ τότε ἐγκαλούμενος, διὰ τί μὴ διελέχθης; διὰ τί μὴ ἐπέταξας; διὰ τί μὴ νόμον ἔθηκας; διὰ τί τοὺς μὴ πειθομένους οὐκ ἐκώλυσας; οὐκ ἀρκεῖ μοι εἰπεῖν, ὅτι ἐνουθέτησα· ἀλλὰ καὶ σφοδροτέρας ἡμῖν, φησιν, ἐπιτιμήσεως ἔδει· ἐπεὶ καὶ ὁ Ἠλεὶ ἐνουθέτει (ἀλλὰ μὴ γένοιτο ὑμᾶς ἐκείνοις παραβάλλεσθαι τοῖς παισί) καὶ καλῶς ἐνουθέτει, καὶ ἔλεγε· Μὴ τέκνα, μὴ ποιεῖτε οὕτω· πονηρὰ

ἡ ἀκοή,

Marginal notes: γ. κἂν κατόρθωμά τι εἰπ. — γ. καὶ πάλιν ἐπὶ τὸ πλέον ἐκεῖνον. — γ. τοῦτον, οἷον ἀπ. — γ. ἐσκορπίσαμεν. — γ. ἡμῶν — γ. διαλεχθεῖς — a. Βασ. β. κδ

ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν· ἀλλὰ περιιοῦσα ἡ γραφή φησιν, Ὅτι οὐκ ἐνουθέτει τοὺς υἱοὺς αὐτοῦ. τοῦτο δὲ λέγω, ἐπεὶ οὐ σφοδρῶς, οὐδὲ μετ' ἐπιπλήξεως τοῦτο ἐποίει. πῶς γὰρ οὐκ ἄτοπον, ἐν μὲν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων οὕτως ἰσχυροὺς εἶναι τοὺς νόμους, καὶ ὁ διδάσκων ἐπιτάξῃ πάντα γίνεσθαι· ἐνταῦθα δὲ οὕτως ἡμᾶς καταπεφρονῆσθαι καὶ ἀπερρῖφθαι; οὐ τῆς ἐμαυτοῦ δόξης μοι μέλει (δόξα γὰρ ἐμή, ἡ ὑμετέρα εὐδοκίμησις) ἀλλὰ τῆς ὑμετέρας σωτηρίας. καθ' ἑκάστην ἡμέραν βοῶμεν, ἐνηχοῦμεν ὑμῶν ταῖς ἀκοαῖς· ὁ δὲ ἀκούων οὐδείς. καὶ οὐδὲν σφοδρὸν ἐπιδεικνύμεθα. φοβοῦμαι μὴ τῆς ἀγροικίας ταύτης καὶ πολλῆς φιλανθρωπίας λόγον κατὰ τὴν μέλλουσαν ἡμέραν ὑπόσχωμεν. διὸ μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ κηρύττω πᾶσι καὶ διαμαρτύρομαι, ὥστε τοὺς τὴν παράβασιν ταύτην ἐπιδεικνυμένους, τοὺς τὰ ἐκ τοῦ πονηροῦ φθεγγομένους (τοῦτο γάρ ἐστιν ὁ ὅρκος) τὸν οὐδὸν μὴ ἐπιβαίνειν τὸν ἐκκλησιαστικόν. προθεσμία δὲ ὑμῖν ἔστω ὁ μὴν ὁ πρῶτος, ὥστε κατορθῶσαι. μὴ γάρ μοι εἴπῃς, ὅτι μὲν ἡ τῶν πραγμάτων ἀνάγκη κατεπείγει, ὅτι ἀπιστοῦμαι. πῶς οὖν ἀπὸ τῆς συνηθείας περιέκοψε. οἶδα ὅτι πολλοὶ γελάσονται ἡμᾶς· ἀλλὰ βέλτιον ἡμᾶς γελασθῆναι νῦν, ἢ κλαίεσθαι τότε. γελάσονται δὲ ὅσοι μαίνονται. τίς γάρ, εἰπέ μοι, νοῦν ἔχων φυλαττομένης ἐντολῆς γελάσεται; εἰ δὲ ἄρα τι γελάσονται, ἀλλ' οὐχ ἡμᾶς, ἀλλὰ τὸν Χριστὸν οἱ τοιοῦτοι γελάσονται. ἐφεύξατε τὸ εἰρημένον; οἶδα κἀγώ. εἰ μὲν οὖν ἐγὼ τὸν νόμον τοῦτον εἰσήγαγον, ἐμὸς ἂν ἦν ὁ γέλως· εἰ δὲ ὁ νομοθέτης ἕτερός ἐστιν, ἐκεῖ διαβαίνει ἡ χλευασία. καὶ ἐνεπτύσθη ποτὲ ὁ Χριστός, καὶ ἐπὶ κόρρης ἐπλήγη καὶ ἐρραπίσθη. ἀνέχεται καὶ νῦν ταῦτα· καὶ οὐδὲν ἀπεικός. διὰ τοῦτο γέεννα ἡτοίμασται, διὰ τοῦτο σκώληξ ἀτελεύτητος. ἰδοὺ πάλιν λέγω καὶ διαμαρτύρομαι· ὁ βουλόμενος γελάτω, ὁ βουλόμενος χλευαζέτω. εἰς τοῦτο κείμεθα, εἰς τὸ γελᾶσθαι καὶ χλευάζεσθαι, εἰς τὸ πάντα παθεῖν. περικαθάρματα τοῦ κόσμου ἐσμὲν κατὰ τὸν μακάριον * Παῦλον. εἴ τις μὴ βούλεται κατορθῶσαι τοῦτο τὸ ἐπίταγμα, ὥσπερ σάλπιγγί τινι διὰ τοῦ λόγου ἀπαγορεύω τὸν οὐδὸν μὴ ἐπιβαίνειν τὸν ἐκκλησιαστικὸν τῷ τοιούτῳ, κἂν ἄρχων ᾖ, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος. ἢ καθέλετέ με ταύτης τῆς ἀρχῆς· ἢ μένοντά με μὴ περιβάλλετε κινδύνοις. οὐκ ἀνέχομαι ἐπὶ τοῦ θρόνου τούτου ἀναβαίνειν μὴ μεγάλα κατορθῶν. εἰ γὰρ μὴ τοῦτο δυνατόν, βέλτιον ἑστάναι κάτω. ἄρχοντος γὰρ μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον. συστρέψατε δι' ἑαυτῶν, καὶ προσέχετε, παρακαλῶ, καὶ συνταπεινοῦμεν ἑαυτῶν, καὶ πάντως ἔσται τι πλέον. νηστεύσατε, παρακαλέσατε τὸν Θεόν, καὶ ἡμεῖς μεθ' ὑμῶν, ὥστε τὴν ὀλέθριον ταύτην ἐξελεῖν συνήθειαν. οὐδὲν μέγα ἐστὶ γενέσθαι διδασκάλους τῆς οἰκουμένης· οὐ μικρὸν ἀκουσθῆναι πανταχοῦ, ὅτι δὴ ἐν τῇδε τῇ πόλει οὐδείς ἐστιν ὁ ὀμνύς. ἂν τοῦτο γένηται, οὐ τῶν οἰκείων κατορθωμάτων λήψεσθε μόνον τὸν μισθόν, ἀλλὰ καὶ τῆς ὑπὲρ τῶν ἀδελφῶν σπουδῆς. ὅπερ γὰρ ὑμῖν εἰμι ἐγώ, τοῦτο ὑμεῖς τῇ οἰκουμένῃ γένησθε. πάντως καὶ ἕτεροι ζηλώσουσιν ὑμᾶς, πάντως ἔσεσθε λύχνος ἐπὶ λυχνίας κείμενος. καὶ τοῦτό ἐστι, φησί, τὸ πᾶν; οὐ τοῦτό ἐστι τὸ πᾶν, ἀλλὰ τοῦτο ἀρχὴ τῶν ἄλλων. ὁ μὴ ὀμνὺς πάντως ἐπὶ ἀλήθειαν ἥξει καὶ ἑτέραν, καὶ ἑκὼν καὶ ἄκων, καὶ αἰσχυνόμενος καὶ φοβούμενος. ἀλλ' οὐκ ἀνέχονται πολλοί, φησίν, ἀλλ' ἀποπηδῶσιν. ἀλλὰ βέλτιον εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. διὰ γὰρ τοῦτο πάντα ἀνατέτραπται, πάντα ἄνω καὶ κάτω γέγονεν, ὅτι καθάπερ ἐν τοῖς θεάτροις, πλήθους ἐφιέμεθα, οὐ πλήθους δοκίμου. τί γὰρ ὄχλος, εἰπέ μοι, δυνήσεται ὠφελῆσαι; βούλει μαθεῖν, ὅτι ὄχλος οἱ ἅγιοί εἰσιν, οὐχ οἱ πολλοί; ἐξάγαγε εἰς πόλεμον ἑκατὸν μυριάδας, καὶ ἕνα ἅγιον· ἴδωμεν τίς πλείονα κατορθοῖ. ἐξῆλθεν ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ εἰς τὸν πόλεμον, καὶ μόνος ἅπαντα κατώρθωσεν, οἱ ἄλλοι οὐδὲν ὤνησαν. * ὁ πολὺς ὄχλος, ἀγαπητέ, ὅταν θέλημα τοῦ Θεοῦ μὴ ποιῇ, οὐδὲν διενήνοχε τῶν οὐκ ὄντων. εὔχομαι μὲν οὖν καὶ βούλομαι, καὶ ἡδέως ἂν καὶ κατευξαίμην, ὥστε κοσμῆσαι πλήθει τὴν ἐκκλησίαν, ἀλλὰ πλήθει δοκίμῳ· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, τοὺς ὀλί-

γους

α. Θεσ. β. κ.

Ματθ. κζ. κη.

α. Κορ. δ. ιγ.

Ματθ. ε. ιδ.

Σειρ. ις. γ.

γοντες αὐτοὺς δοκίμους εἶναι βουλόμεθα. οὐχ ὁρᾶτε ὅτι βέλτιον ἕνα λίθον τίμιον ἔχειν, ἢ μυρίους ὀβολούς; οὐχ ὁρᾶτε ὅτι βέλτιον τὸν ὀφθαλμὸν ὑγιαίνοντα ἔχειν, ἢ τοῦτον πεπηρωμένον πολυσαρκίᾳ βαρύνεσθαι; οὐχ ὁρᾶτε, ὅτι βέλτιον πρόβατον ἓν ὑγιαῖνον ἔχειν, ἢ μυρία ψώρας ἐμπεπλησμένα; οὐχ ὁρᾶτε, ὅτι εὐτεκνία μετὰ ὀλιγοτεκνίας βελτίων, ἢ πολυπαιδία μετὰ κακοπαιδίας; οὐχ ὁρᾶτε, ὅτι ἐν μὲν τῇ βασιλείᾳ ὀλίγοι, ἐν δὲ τῇ γεέννῃ πολλοί; τί ἐμοὶ καὶ τῷ πλήθει; τί τὸ ὄφελος; οὐδέν· ἀλλὰ μᾶλλον τοῖς ἄλλοις λύμη. τοιοῦτον γάρ ἐστιν, οἷον ἄν εἴ τις, ἐξὸν δέκα ὑγιαίνοντας ἔχειν, ἢ μυρίους νοσοῦντας, ἐπεισάγοι τοῖς δέκα τοὺς μυρίους*. οἱ πολλοὶ μηδὲν κατορθοῦντες, οὐδὲν ἕτερον ἡμῖν προξενήσουσιν, ἀλλ' ἢ κόλασιν, καὶ κατὰ τὸ παρὸν ἀδοξίαν. οὐδεὶς γὰρ ὅτι πολλοί ἐσμεν ἐρεῖ, ἀλλ' ὅτι ἄχρηστοι μέμφεται. τοῦτο γοῦν ἡμῖν ἀεὶ λέγουσιν, ὅταν εἴπωμεν ὅτι πολλοί ἐσμεν, ἀλλὰ κακοί, φησιν. ἰδοὺ πάλιν ἀπαγορεύω, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, μηδεὶς νομιζέτω γέλωτα εἶναι. ἀπείργω* καὶ κωλύσω τοὺς μὴ πειθομένους· καὶ ἕως ἂν ἐν τῷ θρόνῳ καθεζώμεθα τούτῳ, οὐδὲν προήσομαι τῶν αὐτοῦ δικαιωμάτων. ἂν δέ μέ τις καταβιβάσῃ, λοιπὸν ἀνεύθυνός εἰμι. ἕως δ' ἂν ὑπεύθυνος ὦ, οὐ δύναμαι παριδεῖν· οὐ διὰ τὴν ἐμὴν κόλασιν, ἀλλὰ διὰ τὴν ὑμετέραν σωτηρίαν. σφόδρα γὰρ ὑμῶν ἐρῶ τῆς σωτηρίας. ὑπὲρ τούτου δάκνομαι καὶ ἀλγῶ· ἀλλὰ πείσθητε, ἵνα καὶ ἐνταῦθα, καὶ ἐν τῷ μέλλοντι πολὺν λάβητε τὸν μισθὸν, καὶ κοινῇ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. θ. 12 ΙΔΩΝ ΔΕ, ΦΗΣΙ, ΠΕΤΡΟΣ, ΑΠΕΚΡΙ-

νατο πρὸς τὸν λαόν· ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

Πλείονος αὕτη γέμει παῤῥησίας ἡ δημηγορία· οὐχ ὅτι ἐν τῇ προτέρᾳ ἐφοβεῖτο, ἀλλ' ὅτι οὐκ ἂν ἠνέγκαν ἐκεῖνοι, ἀνθρώπους χλευασμῷ ὄντες καὶ γελωτοποιοί. ὅθεν ἐκείνης μὲν ἀρχόμενος, καὶ ἐπιστρέφει αὐτοὺς διὰ τοῦ προοιμίου εὐθὺς λέγων· τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου· ἐνταῦθα δὲ οὐ δέεται ταύτης τῆς κατασκευῆς. οὐ γὰρ ἐῤῥαθύμουν. τὸ γὰρ σημεῖον αὐτοὺς ἐπέστρεψεν ἅπαντας, καὶ δέους καὶ ἐκπλήξεως ἦσαν μεστοί. διὸ οὐδὲ ἐδέησεν αὐτῷ ἐντεῦθεν ἄρξασθαι, ἀλλ' ἑτέρωθεν, ὅθεν μάλιστα αὐτοὺς καὶ ᾠκειώσατο, διακρουσάμενος τὴν δόξαν τὴν περὶ αὐτῶν. οὐδὲν γὰρ οὕτως ὠφελεῖ καὶ δύνησι τοὺς ἀκούοντας, ὡς τὸ μηδὲν περὶ ἑαυτοῦ λέγειν μέγα τὸν λέγοντα, ἀλλὰ καὶ τὴν ὑπόληψιν ἀναιρεῖν. μᾶλλον οὖν ἑαυτοὺς ἐδόξασαν καταφρονήσαντες δόξης, καὶ δείξαντες οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον ὂν τὸ γινόμενον, καὶ ὅτι οὐ θαυμάζειν μετ' αὐτῶν, οὐ τοῦ θαυμάζεσθαί εἰσιν ἄξιοι. ὁρᾷς πῶς φιλοτιμίας ἦσαν καθαροὶ διωθοῦνται τὴν εἰς αὐτοὺς δόξαν; οὕτω καὶ οἱ παλαιοὶ ἐποίουν, καθάπερ ὁ Δανιὴλ ἔλεγε, Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί. καὶ πάλιν ὁ Ἰωσήφ, Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δαβίδ, Ὅτε ἤρχετο, φησιν, ὁ λέων καὶ ἡ ἄρκτος, ἐν ὀνόματι Κυρίου ταῖς χερσὶν αὐτοὺς διέσπων. καὶ οὗτοι νῦν· τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; οὐδὲ τοῦτο ἡμέτερόν, φησιν. οὐ γὰρ ὅτι ἄξιοί ἐσμεν, ἐπεσπασάμεθα τοῦ Θεοῦ τὴν ῥοπήν.

Δαν. β. λ. — Γεν. μ. η. — α. Βασ. ιζ. λδ.

γ. βέλτιον — γ. πολυπαιδία — * ἀκούομεν — * γ. — γ. αἰσθάνομαι — γ. ἠδέσθη — γ. καὶ φησιν — γ. ἦσαν καθαροὶ ἢ διω

13 Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁρᾷ πῶς ἑαυτοὺς εἰσωθεῖ συνεχῶς εἰς τοὺς προγόνους, ἵνα μὴ δόξῃ καινόν τι εἰσάγειν δόγμα.

δόγμα. καὶ ἐκεῖ τοῦ πατριάρχου Δαβὶδ ἐμνημόνευσε, καὶ ἐνταῦθα τῆς περὶ τὸν Ἀβραάμ.

Ἐδόξασε, φησὶ, τὸν παῖδα αὐτοῦ Ἰησοῦν. Πάλιν ταπεινῶς, καθὼς ἐν τῷ προοιμίῳ. Εἶτα λοιπὸν ἐνδείκνυται τὸ τόλμημα, καὶ ἐπαίρει τὸ γεγενημένον, [ἀλλ'] οὐχ ὥσπερ πρότερον, συσκιάζει. (γ. σκιάζων) ποιεῖ δὲ τοῦτο, μᾶλλον αὐτοὺς ἐπισπάσασθαι βουλόμενος. ὅσῳ γὰρ ἐδείκνυ ὑπευθύνους, τοσούτῳ μᾶλλον τοῦτο ἐγίνετο. ἐδόξασε, φησὶ, τὸν παῖδα αὐτοῦ Ἰησοῦν·

Ὃν ὑμεῖς μὲν παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. Δύο τὰ ἐγκλήματα· καὶ ὅτι Πιλάτος ἤθελεν ἀπολύειν, καὶ ὅτι ὑμεῖς, ἐκείνου θελήσαντος, οὐκ ἠθελήσατε.

14 Ὑμεῖς δὲ, φησὶ, τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν·

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. Ὅτι ἀντ' αὐτοῦ φησὶ λῃστὴν ᾐτήσασθε, σφόδρα ἐδείνωσε τὸ πρᾶγμα. ἐπεὶ γὰρ εἶχεν αὐτοὺς ὑπὸ τὴν χεῖρα, πλήττει λοιπὸν σφοδρῶς. τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς, φησίν. ἐνταῦθα τὴν πίστιν τῆς ἀναστάσεως κατασκευάζει. ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. ἵνα μή τις εἴπῃ, πόθεν τοῦτο δῆλον; οὐκέτι εἰς προφήτας καταφεύγει, ἀλλ' εἰς ἑαυτὸν, (γ. φητείας) ἐπειδὴ λοιπὸν ἀξιόπιστος ἦν. τότε μὲν γὰρ εἰπὼν ὅτι ἀνέστη, τὸν Δαβὶδ ἐπηγάγετο μάρτυρα· νυνὶ δὲ εἰπὼν τὸ αὐτὸ, τὸν χορὸν ἐπήγαγε τὸν ἀποστολικόν. οὗ ἡμεῖς ἐσμὲν, φησὶ, μάρτυρες.

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

Ζητῶν τὸ πρᾶγμα εἰπεῖν, * εὐθέως τὸ σημεῖον ἐπάγει. ἐνώπιόν, φησι, πάντων ὑμῶν. ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ ἔδειξεν ἀναστάντα τὸν σταυρωθέντα, πάλιν ἀνίησι, διδοὺς αὐτοῖς ἐξουσίαν μετανοίας, λέγων·

17 Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν.

Κατὰ ἄγνοιαν ἐπράξατε· μία αὕτη ἀπολογία· δευτέρα, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν. ὥσπερ ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς ἔλεγεν, Ὅτι ὁ Θεός με ἀπέστειλεν ἔμπροσθεν ὑμῶν. ὅπερ ἐκεῖ συνεσταλμένως ἔλεγε, Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, τοῦτο πλατύνει ἐνταῦθα. Γεν. με. ε. Πραξ. β. κγ.

18 Ὁ δὲ Θεὸς, φησὶν, ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν τὸν Χριστὸν, ἐπλήρωσεν οὕτως· Ἅμα δεικνὺς ὅτι οὐκ ἐκείνων ἐστὶν, ἐὰν τοῦτο (γ. λεχθῇ) δεχθῇ, καὶ ὅτι κατὰ Θεοῦ βουλὴν γέγονε. τῷ δὲ εἰπεῖν, ἃ προκατήγγειλε, τὰ ῥήματα, ἃ ἐπὶ τοῦ σταυροῦ ὠνείδιζον, αἰνίττεται, Εἰ θέλει αὐτὸν, σωσάτω αὐτὸν, λέγοντες. Εἶπε [γὰρ] υἱὸς Θεοῦ εἰμι. * πέποιθεν ἐπ' αὐτὸν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ. λῆρος ἦν, ὦ ἀνόητοι, ταῦτα; ἄπαγε· ἀλλ' οὕτως ἔδει γενέσθαι· καὶ μαρτυροῦσιν οἱ προφῆται. ὥστε οὐ παρὰ οἰκείαν ἀσθένειαν οὐ κατέβη, ἀλλὰ διὰ δύναμιν. καὶ τίθησιν αὐτὸ ἐν τάξει ἀπολογίας τῆς ὑπὲρ Ἰουδαίων, ἵνα καὶ δέξωνται. ἐπλήρωσέ, φησιν, οὕτως. ὁρᾷς πῶς τὸ πᾶν ἐκεῖ ἀνάγει; Ματθ. κζ μ.

19 Μετανοήσατε οὖν, φησὶ, καὶ ἐπιστρέψατε. (γ. ὑποστρέψατε.) Καὶ οὐ λέγει ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν, ἀλλ', Εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας,

Τὸ αὐτὸ δηλῶν. Εἶτα τὸ κέρδος ἐπάγει, Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου. Δείκνυσιν ἐνταῦθα ταλαιπωρηθέντας αὐτοὺς, καὶ πολλοῖς κατεργασθέντας κακοῖς. (γ. πολέμοις. γ. πρὸς τὸν ταλαιπωρ... καὶ παραμυθίαν ἐπιζητοῦντας) ἔδει καὶ οὕτως εἰπεῖν, εἰδὼς, ὅτι πρὸς τὸν πάσχοντα καὶ παραμυθίαν ζητοῦντα οὗτος ἂν ἁρμόσειεν ὁ λόγος. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. ἐν μὲν τῇ προτέρᾳ δημηγορίᾳ ἠρέμα τὴν ἀνάστασιν καὶ τὴν ἐν οὐρανῷ κάθισιν ᾐνίξατο· ἐνταῦθα δὲ, καὶ τὴν ἐμφανῆ παρουσίαν.

20 Καὶ

20 Καὶ ἀποστείλῃ* τὸν προκεχειρισμένον Ἰησοῦν Χριστόν,

21 Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων. Ἀντὶ τοῦ, ἀνάγκη ἐστί. Διὰ τί νῦν οὐκ ἔρχεται; ἡ αἰτία δήλη. * φησί.

Ὧν ἐλάλησε, φησὶν, ὁ Θεὸς διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν τῶν ἀπ' αἰῶνος.

Δευτ. ιη. ιε. 22 Μωϋσῆς μὲν εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. Ἐκεῖ μὲν τοῦ Δαβὶδ ἐμνημόνευσεν, ἐνταῦθα δὲ Μωϋσέως. πάντων, φησὶν, ὧν ἐλάλησεν ὁ Θεός. οὐ λέγει, ὧν εἶπεν ὁ Χριστὸς, ἀλλ', ὧν ἐλάλησεν ὁ Θεός, [ἔτι τῷ συσκιάζειν μᾶλλον αὐτοὺς ἐπαγόμενος εἰς πίστιν ἠρέμα]. Εἶτα ἐπὶ τὸ ἀξιόπιστον καταφεύγει, λέγων· προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσει πρὸς ὑμᾶς. Εἶτα καὶ ἡ τιμωρία πολλή.

23 Ἔσται δὲ, φησὶ, πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. Ἐνταῦθα καλῶς τὸν ὄλεθρον ἔθηκεν. ὅταν γάρ τι λέγῃ μέγα, ἐπὶ τοὺς προφήτας καταφεύγει. καὶ μαρτυρίαν εὑρεῖν ἀμφότερα ἔχουσαν, ὥσπερ ἐκεῖ εἶπεν· Ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ψαλ. ρθ. α. τὸ γὰρ θαυμαστὸν, ὅτι ὁμοῦ τὰ δύο, καὶ ὑποταγὴ, καὶ παρακοὴ, καὶ ἡ τιμωρία. ὡς ἐμὲ, φησί. τί τοίνυν παροξάθε;

25 Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν· Ὥστε ὑμῖν ἐλέγετο, καὶ δι' ὑμᾶς πάντα γέγονεν. ἐπειδὴ γὰρ διὰ τὸ τόλμημα ἐνόμιζον ἑαυτοὺς ἠλλοτριῶσθαι (οὐ γὰρ οὐκ εἶχε λόγον τὸν αὐτὸν νῦν μὲν σταυρῶσαι, νῦν δὲ ὡς οἰκείους θεραπεύειν) δείκνυσιν, ὅτι καὶ ἐκεῖνο κατὰ προφητείαν, καὶ τοῦτο. Ὑμεῖς ἐστε, φησὶν, υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ὑμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

26 Ὑμῖν πρῶτον, φησὶν, ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ, ἀπέστειλεν.

Ἄρα καὶ ἑτέροις· ἀλλ' ὑμῖν πρῶτον τοῖς σταυρώσασιν.

Εὐλογοῦντα ὑμᾶς, φησὶν, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν.

Ἴδωμεν δὲ ἀκριβέστερον ἄνωθεν τὰ ἀναγνωσθέντα. τέως κατασκευάζει, ὅτι αὐτοὶ ἐποίησαν τὸ θαῦμα ἐν τῷ εἰπεῖν, τί θαυμάζετε; καὶ οὐκ ἀφίησιν ἀπιστεῖσθαι τὸ λεγόμενον. καὶ ἵνα ἀξιοπιστότερον αὐτὸ ποιήσῃ, προκαταλαμβάνει αὐτῶν τὴν κρίσιν· ἡμῖν, φησὶ, τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει, ἢ εὐσεβείᾳ πεποιηκόσιν; εἰ τοῦτο ὑμᾶς ταράττει καὶ θορυβεῖ, μάθετε τίς ὁ ποιήσας, καὶ μὴ ἐκπλήττεσθε. καὶ ὅρα πανταχοῦ ὅτι, ἐπὶ τὸν Θεὸν ὅταν καταφεύγῃ, καὶ εἴπῃ παρ' αὐτοῦ γίνεσθαι πάντα, τότε ἀδεῶς αὐτοῖς ἐπιπλήττει· ὡς καὶ ἀνωτέρω ἔλεγεν, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς. καὶ πανταχοῦ ἀναμιμνήσκει αὐτοὺς τοῦ τολμήματος, ἵνα καὶ τὸ θαῦμα δεχθῇ, καὶ ἡ ἀνάστασις κυρωθῇ. ἐνταῦθα δὲ καὶ ἄλλο προσέθηκεν. οὐκ ἔτι γὰρ Ναζωραῖον λέγει· ἀλλὰ τί; ὁ Θεὸς, φησὶ, τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν. ὅρα καὶ τὸ ἄτυφον. οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπεν εὐθέως, καὶ νῦν πιστεύετε· ἰδοὺ ἄνθρωπος τεσσαράκοντα ἔτη χωλὸς ὢν, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνέστη· οὐχ οὕτως εἶπε (φιλονεικοτέρους γὰρ ἂν ἐποίησεν) ἀλλὰ τέως αὐτοὺς ἐπαινεῖ, ὅτι ἐθαύμαζον τὸ γεγενημένον. καὶ πάλιν ἀπὸ τοῦ προγόνου καλεῖ· καὶ οὐ λέγει, ὁ Ἰησοῦς αὐτὸν ἐθεράπευσε, καίτοιγε καὶ αὐτὸς αὐτὸν ἐθεράπευσεν· ἀλλ' ἵνα μὴ λέγωσι, καὶ πῶς ἔχει ταῦτα λόγον, εἰ τὸν παράνομον δοξάζει; διὰ τοῦτο αὐτοὺς ἀναμιμνήσκει τῆς κρίσεως τῆς ἐπὶ Πιλάτου, δεικνὺς, ὅτι εἰ ἠθέλησεν προσέχειν, οὐκ ἔστι παράνομος. οὐ γὰρ ἂν ὁ Πιλάτος ἠθέλησεν αὐτὸν ἀπολῦσαι. καὶ

οὐκ εἶπε, θελήσαντος, ἀλλά, κρίναντος ἐκείνου ἀπολύειν, δηλῶν ὅτι τὸν μὲν ἕτερον αἰτοῦντα ᾐτήσατε ἀφεθῆναι, τὸν δὲ τοὺς ἀνῃρημένους ζωογονοῦντα οὐκ ἠθελήσατε. καὶ ἵνα μὴ λέγωσι πάλιν, πῶς νῦν αὐτὸν δοξάζει ὁ τότε μὴ βοηθήσας; παράγει τοὺς προφήτας μαρτυροῦντας ὅτι οὕτως ἔδει γενέσθαι. εἶτα, ἵνα μὴ νομίσωσι τοῦ Θεοῦ τὴν οἰκονομίαν ἀπολογίαν αὐτῶν εἶναι, πρότερον αὐτῶν καθάπτεται. καὶ τὸ κατὰ πρόσωπον δὲ Πιλάτου ἀρνήσασθαι, οὐκ ἦν τὸ τυχόν, ἐκείνου βουλομένου ἀπολῦσαι· καὶ ὅτι οὐ δυνατὸν ὑμῶν ἀρνήσασθαι, κατηγορεῖ ὁ αἰτηθεὶς ἀντ' αὐτοῦ. καὶ γὰρ καὶ τοῦτο οἰκονομία μεγάλη ἦν. ἐνταῦθα τὴν ἀναισχυντίαν αὐτῶν δείκνυσι, καὶ τὴν ἰταμότητα· ὅτι ὁ μὲν Ἕλλην καὶ τότε πρῶτον αὐτὸν ἰδών, ἀπήλλαξεν αὐτόν, καίτοι γε οὐδὲν μέγα ἀκούσας· ὑμεῖς δὲ τοῖς σημείοις συντεθραμμένοι, τὸ ἐναντίον πεποιήκασιν. ὅτι δὲ δικαίως ἔκρινεν ἐκεῖνος ἀπολύειν, καὶ οὐ κατὰ χάριν τοῦτο ἐποίει, ἄκουε αὐτοῦ ἀλλαχοῦ λέγοντος· Ἔθος ὑμῖν ἐστὶν ἀπολύειν ἕνα τινά. θέλετε οὖν τοῦτον ἀπολύσω ὑμῖν; ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε. οὐκ εἶπεν, ἐξεδώκατε, ἀλλὰ πανταχοῦ ἠρνήσασθε· εἰκότως. οὕτω γὰρ καὶ ἔλεγον· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. καὶ οὐκ εἶπεν, οὐκ ἐζητήσασθε τὸν ἄληπτον, οὐδὲ ἠρνήσασθε μόνον, ἀλλὰ καὶ ἀπεκτείνατε. ὅτε πεπωρωμένοι ἦσαν, οὐδὲν τοιοῦτον εἶπεν· ὅτε μάλιστα ἐσείσθησαν αὐτῶν αἱ ψυχαί, τότε πλήττει σφοδρότερον, ὅτε καὶ αἰσθέσθαι δύνανται. καθάπερ γὰρ ἡμεῖς τοῖς μὲν μεθύουσιν οὐδὲν λέγομεν, ὅταν δὲ νήψωσι καὶ ἀνενέγκωσιν ἀπὸ τῆς μέθης, τότε ἐπιπλήττομεν· οὕτω δὴ καὶ Πέτρος, ὅτε ἠδύναντο συνιέναι τῶν λεγομένων, τότε τὴν γλῶτταν ἠκόνησε, πολλὰ τὰ ἐγκλήματα ἐπάγων· οἷον ὅτι ὃν ὁ Θεὸς ἐδόξασεν, οὗτοι παρέδωκαν· ὃν ὁ Πιλάτος ἀπέλυεν, οὗτοι κατέκριναν, καὶ ὅτι ἠρνήσαντο κατὰ πρόσωπον ἐκείνου, καὶ ὅτι προετίμησαν τὸν λῃστήν. ὅρα πάλιν λανθανόντως πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, δεικνὺς ὅτι ἑαυτὸν ἤγειρε, καθάπερ ἐν τῇ προτέρᾳ δημηγορίᾳ ἔλεγε· Καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. καὶ ἐνταῦθα, τὸν δὲ ἀρχηγόν, φησί, τῆς ζωῆς ἀπεκτείνατε. οὐκ ἄρα παρ' ἑτέρου εἶχε τὴν ζωήν. ὥσπερ ἀρχηγὸς τῆς κακίας αὐτὸς ἂν εἴη ὁ τὴν κακίαν τεκών· καὶ ἀρχηγὸς φόνου ὁ τὸν φόνον πρῶτος εἰσαγαγών· οὕτω καὶ ἀρχηγὸς ζωῆς, ὁ παρ' ἑαυτοῦ τὴν ζωὴν ἔχων. ὃν ὁ Θεὸς ἤγειρε, φησίν. ἐπὶ τοῦτο ἐφθέγξατο, ἐπήγαγε· καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. καὶ μὴν εἰ ἡ εἰς αὐτὸν ἐστὶ πίστις ἡ τὸ πᾶν ἐργασαμένη, καὶ εἰς αὐτὸν ἐπίστευσε, τίνος ἕνεκεν οὐκ εἶπε, διὰ τοῦ ὀνόματος, ἀλλ', ἐν τῷ ὀνόματι; οὐδέπω ἐθάρρουν εἰπεῖν, ἡ εἰς αὐτὸν πίστις. ἵνα δὲ μὴ τὸ δι' αὐτοῦ ταπεινὸν ᾖ, ἐπήγαγε· καὶ τὸ ὄνομα αὐτοῦ ἐστερέωσεν αὐτόν. καὶ τοῦτο πρότερον εἰπών, τότε φησί· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. ὅρα πῶς δείκνυσιν ὅτι καὶ ἐκεῖνο συγκαταβαίνων εἶπεν. οὐ γὰρ ἂν ἑτέρου ἐδεήθη πρὸς ἀνάστασιν, οὗ τὸ ὄνομα χωλὸν οὐδὲν νεκροῦ διαφέροντα ἤγειρε. σκόπει πῶς πανταχοῦ τὰς μαρτυρίας αὐτῶν ἐπισπᾶται. ἀνωτέρω μὲν γὰρ ἔλεγε· Καθὼς καὶ αὐτοὶ οἴδατε· καί, Ἐν μέσῳ ὑμῶν· καὶ πάλιν, Ὃν θεωρεῖτε καὶ οἴδατε ἀπέναντι πάντων ὑμῶν· καίτοι ὅτι ἐν τῷ ὀνόματι αὐτοῦ οὐκ ᾔδεισαν, ἀλλὰ τοῦτο ᾔδεισαν, ὅτι χωλὸς ἦν, ὅτι ὑγιὴς ἔστηκε. καὶ αὐτοὶ δὲ οἱ πεποιηκότες ὡμολόγουν, ὅτι οὐκ ἰδίᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Χριστοῦ ἐστερέωτο. εἰ δὲ μὴ τοῦτο ἦν, καὶ ὄντως πεπεισμένοι ἦσαν, ὅτι ἀνέστη, οὐκ ἂν ἠθέλησαν τοῦ νεκροῦ τὴν δόξαν στῆσαι μᾶλλον, ἢ τὴν ἑαυτῶν, καὶ ταῦτα ἐκείνων πρὸς αὐτοὺς ὁρώντων. εἶτα πεφοβημένας αὐτῶν τὰς ψυχὰς εὐθέως τῇ τῶν ἀδελφῶν προσηγορίᾳ παρεμυθήσατο, εἰπών· ἄνδρες ἀδελφοί. ἐκεῖ μὲν γὰρ οὐδὲν περὶ ἑαυτῶν εἶπεν, ἀλλὰ μόνον περὶ τοῦ Χριστοῦ· ἀσφαλῶς οὖν γινωσκέτω, λέγων, πᾶς οἶκος Ἰσραήλ· ἐνταῦθα δὲ καὶ παραίνεσιν προσάγει. ἐκεῖ ἀνέλαβεν αὐτοὺς εἰπεῖν· ἐνταῦθα ἤδη πόσον εἰργάσαντο, καὶ ὡς οὗτοι μᾶλλον ἦσαν ᾠκειωμένοι. καὶ μὴν τὰ ἄνω εἰρημένα οὐκ ἦν ἀγνοίας. τὸ γὰρ τὸν λῃστὴν αἰτῆσαι,

Ματθ. κζ. ιε.
Ιωαν. ιθ. ιε.
Πραξ. β. κβ.
Πραξ. β. κβ. καὶ γ. ιϛ.

ε. -λύειν. τὸ / γ ἐπειδὴ δὲ ὅτι, κρίναντος ἐκείνου ἵνα μὴ νομισθῇ χάριν ποιεῖν, ἔθος / γ. ἐσείσθ. / ἡ ἀρχηγὸς τῆς κακίας τῆς αὐτὸς ἂν ὁ τὴν κακίαν τεκών· καὶ ἀρχηγὸς ζωῆς / κ. πεφοβημένας

σαι, τὸ τὸν κριθέντα ἀπολυθῆναι μὴ λαβεῖν, τὸ καὶ θελῆσαι ἀνελεῖν, ποίας ἀγνοίας; ἀλλ' ὅμως δίδωσιν αὐτοῖς ἐξουσίαν ἀρνήσασθαι καὶ μεταγινώσκειν ἐπὶ τοῖς γεγενημένοις· μᾶλλον δὲ καὶ ἀπολογίαν ὑπὲρ αὐτῶν συντίθησιν εὐπρόσωπον καὶ λέγει· ὅτι μὲν οὖν ἀθῷοι ἀνῄρεσθε, ἤδειτε· ὅτι δὲ τὸν ἀρχηγὸν τῆς ζωῆς, ἴσως ἠγνοεῖτε. καὶ [ἐντεῦθεν] οὐκ αὐτοὺς μόνους ἀφίησιν ἐγκλημάτων, ἀλλὰ καὶ τοὺς τῶν κακῶν ἀρχιτέκτονας. ἢ γὰρ ἂν φιλονεικοτέρους αὐτοὺς ἐποίησεν, εἴγε εἰς κατηγορίαν τὸν λόγον ἐξήγαγεν. ὁ γὰρ ἔτι δεινὰ ἐργασάμενος, ὅταν τις κατηγορῇ, πειρώμενος ἀπολογεῖσθαι, σφοδρότερος γίνεται. καὶ οὐ λέγει λοιπὸν, ὅτι ἐσταυρώσατε, ἐφονεύσατε, ἀλλ', ἐπράξατε, ἐπὶ συγγνώμην αὐτοὺς ἄγων. εἰ ἐκεῖνοι κατ' ἄγνοιαν, πολλῷ μᾶλλον οὗτοι· εἰ ἐκεῖνοι ἀφίενται, πολλῷ μᾶλλον οὗτοι. τὸ δὲ θαυμαστὸν, ὅτι καὶ ἄνω καὶ ἐνταῦθα εἰπών· ἐκεῖ μὲν, Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει, ἐνταῦθα δὲ, ὅτι Προκατήγγειλε πᾶσι τὸν Χριστὸν, οὐδαμοῦ παράγει μαρτυρίαν. ἑκάστη γὰρ αὐτῶν μετὰ πολλῶν ἐγκλημάτων καὶ τῆς κολάσεως τῆς κατ' αὐτῶν εἴρηται. Ησ. νγ. θ. Καὶ δώσω, φησὶ, τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν· Ἃ προκατήγγειλε, φησὶ, διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν αὐτὸν, ἐπλήρωσεν οὕτω. μεγάλην δείκνυσι τὴν βουλὴν, εἴγε πάντες τοῦτο ἔλεγον, καὶ οὐχ εἷς μόνος. οὐ μὴν, ἐπειδὴ κατ' ἄγνοιαν γέγονε, παρὰ τὸ τῷ Θεῷ δοκοῦν γέγονεν. ὅρα πόση τοῦ Θεοῦ ἡ σοφία, ὅταν ταῖς ἑτέρων πονηρίαις εἰς τὸ δέον ᾖ καταχρησαμένη. ἐπλήρωσε, φησίν. ἵνα μὴ νομίσωσι λοιπὸν ὑπολείπεσθαί τι, τοῦτο ἐπήγαγε· δηλῶν ὅτι ὅσα παθεῖν ἔδει, πεπλήρωται. ἀλλὰ μὴ νομίσῃ τις, ἐπειδὴ οἱ προφῆται ταῦτα εἶπον, καὶ ἐπειδὴ κατ' ἄγνοιαν ἐπράξατε, ὅτι ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν τοῦτο. ἀλλ' οὐ λέγει οὕτως, ἀλλὰ πρᾳότερον. μετανοήσατε οὖν. διατί; * εἰς τὸ ἐξαλειφθῆναι, φησὶν, ὑμῶν τὰς ἁμαρτίας. οὐ λέγω τὰ ἐν τῷ σταυρῷ τετολμημένα (ἴσως ἐκεῖνα κατ' ἄγνοιαν) ἀλλ' ὥστε τὰς ἑτέρας ὑμῶν ἁμαρτίας ἐξαλειφθῆναι *. εἶτα ἐπάγει· ὅπως ἂν ἔλθωσιν ὑμῖν καιροὶ ἀναψύξεως. ἐνταῦθα περὶ τῆς ἀναστάσεως διαλέγεται ἀμυδρῶς. οὗτοι γὰρ ἐκεῖνοι ἀναψύξεως καιροὶ, οὓς ἐπεζήτει καὶ Παῦλος, λέγων· β. Κορ. ε. δ. Καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι. εἶτα δεικνὺς, ὅτι αὐτὸς τῶν καιρῶν τῆς ἀναψύξεως αἴτιος, καὶ ἀποστείλῃ, φησὶ, τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν. καὶ οὐκ εἶπεν, ἐξαλειφθῇ ὑμῶν ἡ ἁμαρτία, ἀλλ', αἱ ἁμαρτίαι, καὶ ἐκείνην αἰνιττόμενος. ἀποστείλῃ. τοῦτο εἰπὼν, οὐ λέγει, πόθεν λοιπόν· ἀλλὰ μόνον ἐπάγει, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι, ἀκμὴν δέξασθαι. καὶ πῶς οὐκ εἶπεν, ὃν ὁ οὐρανὸς ἐδέξατο; τοῦτο ὡς περὶ τῶν ἄνω χρόνων διαλεγόμενος εἶπεν. οὕτως ᾠκονόμηται, φησὶν, οὕτω συντίθεται. περὶ δὲ τῆς αἰωνίου ὑπάρξεως αὐτοῦ οὐδέπω φησὶν, ἀλλ' ἔτι τοῖς τῆς οἰκονομίας λόγοις ἐνδιατρίβει, καὶ λέγει· Μωϋσῆς μὲν γὰρ εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος. εἶτα ἀνωτέρω εἰπὼν, ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος, αὐτὸν εἰσάγει λοιπὸν τὸν Χριστόν. εἰ γὰρ πολλὰ προεῖπεν, αὐτοῦ δὲ ἀκούειν χρὴ, οὐκ ἄν τις ἁμάρτοι ταῦτα τοὺς προφήτας εἰρηκέναι λέγων. ἄλλως δὲ, θέλει δεῖξαι ὅτι τὰ αὐτὰ καὶ οἱ προφῆται προεῖπον. κἄν τις ἀκριβῶς ἐξετάζῃ, εὑρήσει καὶ ἐν τῇ παλαιᾷ ἀμυδρῶς μὲν εἰρημένα· διὸ ὥστε οὐδὲν νεώτερον. τὸν προκεχειρισμένον, φησίν. ἐνταῦθα αὐτοὺς καὶ φοβεῖ, ὡς πολλῶν ὑπολειπομένων. πῶς οὖν ἔλεγεν, ἐπλήρωσεν ἃ ἔδει παθεῖν; ἐπλήρωσεν εἶπεν, οὐκ, ἐπληρώθη· δεικνὺς, ὅτι ἃ μὲν ἐχρῆν παθεῖν αὐτὸν, ἐπλήρωσεν· ἃ δὲ γενέσθαι λείπεται ἔτι, οὐδέπω. προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. ὃ μάλιστα ἐφοβοῦντο αὐτοὶ λέγει. ὁρᾷς πῶς ταπεινὰ καὶ ὑψηλὰ παρασπείρει; ταπεινὸν γὰρ καὶ ὑψηλὸν, εἰ ὁ μέλλων εἰς οὐρανοὺς ἀνιέναι, κατὰ Μωϋσέα ἐστί. πλὴν ἀλλὰ πῶς μέγα ἦν. οὐ γὰρ δὴ κατὰ Μωϋσέα τὸ, καὶ ἔσται πᾶς ὁ μὴ ἀκούων ἐξολοθρευθήσεται. μυρία δὲ καὶ ἄλλα εἶπε τὰ δεικνύντα, ὅτι οὐκ ἔστι κατὰ Μωϋσέα· ὥστε μεγά-

λης

χ. τὸ δυνά

χ. ἄλλη ἰσ... αὐτῶν

* ἢ γὰρ τοῦ ἀγνοίας, ἢ τῆς οἰκονομίας.

* τοῦτο μόνον

χ. ῥῖψεν

χ. ἐδέξατο

χ. δὲ ὅ φ... χ. ὅ ... νεώτερον. ἐν ταῦθα

χ. ἀλλ' ὅ ... ἄρχεται

χ. ὅπως τα αἱ τὰ

γάλης ἥψατο μαρτυρίας. Ὁ Θεὸς αὐτὸν ἀναστήσει, φησὶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν· ὥστε Μωϋσῆς αὐτὸς ἠπείλησε τοῖς μὴ ἀκούουσι. Ταῦτα ὅλα ἐπαγωγά. Καὶ πάντες δὲ, φησὶν, οἱ προφῆται ἀπὸ Σαμουήλ. Οὐκ ἠθέλησε καθ' ἕκαστον ἐπεξιέναι, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον· ἀλλὰ χρείας μνησθεὶς μαρτυρίας τῆς Μωϋσαϊκῆς, παρέπεμψεν αὐτούς. Ὑμεῖς ἐστὲ, φησὶν, υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεός. Τῆς διαθήκης, φησὶν, υἱοί. Τί ἐστι, τῆς διαθήκης υἱοί; τουτέστι, κληρονόμοι. Ἵνα γὰρ μὴ δόξωσιν ὡς ἀπὸ χάριτος Πέτρου ταῦτα λαμβάνειν, δείκνυσιν ὅτι ἄνωθεν αὐτοῖς ὠφείλετο, ἵνα μᾶλλον πιστεύσωσιν, ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ. Ὑμῖν πρῶτον ἀναστήσας, φησὶν, ὁ Θεὸς τὸν παῖδα αὐτοῦ ἀπέστειλεν. Οὐκ εἶπεν, ὑμῖν ἁπλῶς ἀπέστειλε τὸν παῖδα αὐτοῦ, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, καὶ ὅτι ἐσταυρώθη. Ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι αὐτὸς μὲν ταῦτα ἐχαρίζετο, ὁ δὲ πατὴρ οὐχί, διὰ τοῦτο προσέθηκε τὸ, εὐλογοῦντα ὑμᾶς. Εἰ γὰρ ἀδελφὸς ὑμῶν αὐτὸς, καὶ εὐλογεῖ ὑμᾶς, ἡ ὑπόσχεσις τὸ πρᾶγμά ἐστι· τουτέστι, τοσοῦτον ἀπέχετε τοῦ μὴ κοινωνεῖν τούτοις, ὅτι καὶ τοῖς ἄλλοις ὑμᾶς αἰτίους καὶ ἀρχηγοὺς βούλεται γενέσθαι. Οὐκοῦν μὴ ὡς ἀπερριμμένοι διάκεισθε, ἢ ἀποβεβλημένοι.* Ἐν τῷ ἀποστρέφειν, φησὶν, ἕκαστον ἀπὸ τῶν πονηριῶν. Οὕτως ὑμᾶς εὐλογεῖ, οὐχ ἁπλῶς. Καὶ ποία αὕτη εὐλογία; μεγάλη. Οὐ γὰρ δὴ τὸ ἀποστρέψαι ἀπὸ πονηριῶν, τοῦτο ἱκανὸν καὶ λῦσαι αὐτάς. Εἰ δὲ καὶ λῦσαι οὐχ ἱκανὸν ἦν, πῶς εὐλογίαν παρέχειν; Οὐ γὰρ δὴ ὁ ἠδικηκὼς ἤδη καὶ εὐλογεῖται, ἀλλ' ἁμαρτημάτων ἀφίεται. Τὸ δὲ, ὡς ἐμὲ, εἰ μὴ κατὰ τὸν τῆς νομοθεσίας τις τρόπον ἐκδέξαιτο, οὐδαμοῦ λόγον ἂν ἀλλαχοῦ ἔχοι. Αὐτοῦ ἀκούσεσθε, φησί· καὶ οὐχ ἁπλῶς, ἀλλὰ τί; ἔσται πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. Ὅτι αὐτοὺς ἔδειξεν ἡμαρτηκότας, καὶ συγγνώμης μετέδωκε, καὶ ἐπηγγείλατο χρηστά· τότε δὴ δείκνυσιν ὅτι καὶ Μωϋσῆς τὸ αὐτὸ λέγει. Καὶ ποία αὕτη ἀκολουθία εἰπεῖν, ἄχρι χρόνων ἀποκαταστάσεως, καὶ ἐπαγαγεῖν Μωϋσέα λέγοντα, ὅτι πάντα ἀκούσονται, ἃ ἐρεῖ ὁ Χριστός· καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἀπειλῆς φοβερᾶς; μεγάλη. Δείκνυσι γὰρ, ὅτι καὶ διὰ τοῦτο πείθεσθαι ὀφείλουσιν αὐτῷ. Τί ἐστιν, υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης; κληρονόμοι, διάδοχοι. Εἰ οὖν υἱοὶ, τί ὡς περὶ ἀλλότρια διάκεισθε περὶ τὰ ὑμέτερα; ἄρα κατηγορίας μὲν ἐπράξατε ἄξια· δυνήσεσθε δὲ ὅμως συγγνώμης τυχεῖν. Εἶτα ἐπειδὴ εἶπε ταῦτα, εἰκότως λοιπὸν λέγει· Ὑμῖν ἀπέστειλεν ὁ Θεὸς τὸν παῖδα αὐτοῦ εὐλογοῦντα ὑμᾶς. Οὐκ εἶπε, σώζοντα, ἀλλ', ὃ μεῖζόν ἐστιν, ὅτι ὁ σταυρωθεὶς εὐλογεῖ τοὺς σταυρώσαντας.

Μιμησώμεθα τοίνυν τοῦτον καὶ ἡμεῖς· ἐκβάλωμεν ψυχὴν φονικὴν καὶ πολεμικήν. Οὐκ ἀρκεῖ τὸ μὴ ἀμύνασθαι (τοῦτο καὶ ἐν τῇ παλαιᾷ γέγονεν) ἀλλὰ πάντα πράττωμεν ὑπὲρ τῶν ἠδικηκότων, ὡς ὑπὲρ φίλων γνησίων, ὡς ὑπὲρ ἡμῶν αὐτῶν. Ἐκείνου μιμηταί ἐσμεν, ἐκείνου μαθηταὶ, τοῦ μετὰ τὸ σταυρωθῆναι πάντα κινοῦντος ὑπὲρ τῶν σταυρωσάντων, καὶ τοὺς ἀποστόλους ἐκπέμποντος. Καίτοιγε ἡμεῖς πολλαχοῦ καὶ δικαίως πάσχομεν· ἐκεῖνος δὲ οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἀσεβῶς. Τὸν εὐεργέτην γὰρ, τὸν οὐδὲν ἠδικηκότα, τοῦτον ἐσταύρωσαν. Διὰ τί, εἰπέ μοι; δόξης ἕνεκεν; καὶ μὴν αὐτὸς αὐτοὺς ἐσέμνυνε. Πῶς; Ἐπὶ τῆς Μωϋσέως καθέδρας, φησὶν, ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ἃ λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. Καὶ πάλιν ἀλλαχοῦ· Ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ. Καὶ δυνάμενος αὐτοὺς ἀπολέσαι, σώζει. Τοῦτον οὖν μιμησώμεθα, καὶ μηδεὶς ἐχθρός τινος ἔστω, μηδεὶς πολέμιος, ἀλλ' ἢ τοῦ διαβόλου μόνον. Οὐ μικρὸν τι πρὸς τοῦτο καὶ τὸ μὴ ὀμνύναι συντελεῖ, καὶ τὸ μὴ ὀργίζεσθαι. Ἀπὸ τοῦ μὴ ὀργίζεσθαι, οὐδὲ ἐχθρὸν ἕξομεν. Ἔκκοψον, ἄνθρωπε, τὸν ὅρκον, καὶ τὰ πτερὰ περιέκοψας τῆς ὀργῆς, τὸν θυμὸν ἔσβεσας ἅπαντα. Ὥσπερ γὰρ πνεῦμα ὀργῆς ὁ ὅρκος ἐστί. Χάλασον τὰ ἱστία. Οὐδὲν ὄφελος ἱστίου, πνεύματος οὐκ ὄντος. Ἂν τοίνυν μὴ κράζωμεν, μηδὲ ὀμνύωμεν, τὰ νεῦρα ἐξεκόψαμεν τοῦ θυμοῦ. Εἰ δὲ ἀπιστεῖτε, πεῖραν λάβετε τοῦ πράγματος, καὶ ὅτι οὕτως ἔχει, τότε γνώσεσθε. Θὲς τῷ θυμουμένῳ νόμον μηδέ-

ΗΘΙΚΟΝ

Ματθ. κγ. β.

Ματθ. η. δ.

ποτὲ ὀμνύωσι, καὶ οὐκ ἀναγκασθήσῃ περὶ ἐπιεικείας αὐτῷ διαλεχθῆναι. οὕτω δὲ πάντα ἤνυσαι, καὶ οὔτε ἐπιορκήσετε, οὔτε ὀμόσεσθε ὅλως. οὐκ ἴστε εἰς ὅσας ἀτοπίας ἑαυτοὺς ἐντεῦθεν ἐμβάλλετε, ἀνάγκῃ τινὶ καὶ δεσμῷ ἑαυτοὺς περιβάλλοντες, καὶ πάσῃ μηχανῇ σπουδάζοντες, ὥστε καθάπερ ἐξ ἀφύκτου τινὸς κακοῦ τὴν ψυχὴν ἐξελκῦσαι· εἶτα μὴ δυνηθέντες, λοιπὸν ἐν ὀδύνῃ διάγειν * καὶ μάχαις, καὶ ἀρᾶσθαι τῷ θυμῷ; ἀλλὰ πάντα εἰκῇ καὶ μάτην γέγονε; οὐκοῦν ἀπείλησον, δέησαι, πάντα ποίησον χωρὶς ὅρκου. ἔξεστιν ἀναγνῶσαι καὶ τὰ λεχθέντα, καὶ τὰ γινόμενα, ἂν θέλῃς. οὕτω τοίνυν ἀνάγκη πρᾳότερον ὑμῖν διαλεχθῆναι. ἐπειδὴ γὰρ ἠκούσατε, καὶ τὸ πλέον ὑμῖν κατώρθωται, φέρε δὴ λοιπὸν, τίνος ἕνεκεν ἐπεισῆλθεν ὅρκος, καὶ διὰ τί συνεχωρήθη εἶναι, εἴπωμεν. ἄνωθεν τὴν γένεσιν αὐτοῦ διηγούμενοι, καὶ πότε ἐτέχθη, καὶ πῶς, καὶ παρὰ τίνων, ἀμειψόμεθα ὑμᾶς τῇ διηγήσει ὑπὲρ τῆς ὑπακοῆς. τὸν μὲν γὰρ κατωρθωκότα ἀναγκαῖον καὶ φιλοσοφεῖν· τὸν δὲ μηδέπω, οὐδὲ λόγου ἀκοῦσαι ἄξιον. ἐποίησαν συνθήκας πολλὰς οἱ περὶ τὸν Ἀβραάμ, καὶ ἔσφαξαν θύματα, καὶ θυσίας ἀνήνεγκαν, καὶ οὐδέπω ἦν ὅρκος. πόθεν οὖν ἐπεισῆλθεν ὁ ὅρκος; ὅτε τὰ κακὰ ηὐξήθη, ὅτε πάντα ὁμοῦ ἄνω καὶ κάτω γέγονεν, ὅτε πρὸς εἰδωλολατρείαν ἀπέκλιναν. τότε δὴ, τότε, ὅτε ἄπιστοι λοιπὸν ἐφαίνοντο, τὸν Θεὸν ἐκάλουν μάρτυρα, ὥσπερ ἐγγυητὴν διδόντες τῶν λεγομένων ἀξιόχρεων. τοῦτο γὰρ ὅρκος ἐστὶ, τρόπον ἀπιστουμένων ἐγγύη. ὥστε πρώτη κατηγορία αὕτη τοῦ ὀμνύοντος, εἰ μὴ πιστεύοιτο χωρὶς ἐγγύου, καὶ ἐγγύου μεγάλου. διὰ γὰρ τὴν πολλὴν ἀπιστίαν οὐκ ἄνθρωπον ζητοῦσιν ἐγγυητὴν, ἀλλὰ τὸν Θεόν. δεύτερον, καὶ τοῦ λαμβάνοντος τὸν ὅρκον τὸ αὐτὸ ἔγκλημα, εἰ ὑπὲρ συναλλαγμάτων διαφερόμενος τὸν Θεὸν ἕλκοι πρὸς τὴν ἐγγύην, καὶ λέγοι μὴ ἀφίστασθαι, εἰ μὴ ἐκεῖνον λάβοι. ὢ τῆς ὑπερβαλλούσης ἀναισθησίας, ὢ τῆς ὕβρεως. σκώληξ καὶ γῆ καὶ σποδὸς τυγχάνων καὶ καπνὸς, τὸν δεσπότην συνέλκεις εἰς ἐγγύην, κἀκεῖνον ἀναγκάζεις λαβεῖν, εἰπέ μοι; εἰ τῶν παίδων ὑμῶν φιλονεικούντων πρὸς ἀλλήλους καὶ ἀπιστουμένων ἑαυτοῖς, ἔφησεν ὁ ὁμόδουλος μὴ ἀποστήσεσθαι, ἕως ἂν τὸν κοινὸν δεσπότην ἐγγυητὴν λάβοι· ἆρα οὐκ ἂν ἔλαβε πληγὰς μυρίας, καὶ ἔμαθεν ὅτι τῷ δεσπότῃ εἰς ἄλλα κεχρῆσθαι δεῖ, οὐκ εἰς ταῦτα; τί λέγω ὁμόδουλον; εἰ γὰρ αἰδεσιμώτερον εἵλετο ἄνδρα, οὐχ ὕβριν τὸ πρᾶγμα ἡγήσατο ἄν; ἀλλ' ἐγὼ οὐ βούλομαι, φησί. καλῶς. οὐκοῦν μηδὲ ἐκεῖνον ἀνάγκαζε· ἐπεὶ καὶ ἐπ' ἀνθρώπων τοῦτο γίνεται. ἂν εἴπῃ, τὸν δεῖνα δίδωμι ἐγγυητὴν, σὺ οὐκ αἰσχύνῃ. τί οὖν; καὶ ἀπολέσω, φησὶ, τὸ διδόμενον; οὐ λέγω τοῦτο, ἀλλ' ὅτι τὸν Θεὸν ὑβρίσαι αἰσχύνῃ. διὸ καὶ μᾶλλον ὁ καταναγκάζων, ἢ ὁ ὀμνὺς ἀπαραίτητον ἔχει τὴν κόλασιν· ὡσαύτως καὶ ὁ μηδενὸς αἰτοῦντος ὀμνύς. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ὀμνύει ἕκαστος ὑπὲρ ὀβολοῦ ἑνὸς, ὑπὲρ παραθήκης μικρᾶς, ὑπὲρ ἀδικίας. ταῦτα, ὅταν μὴ ὦσιν ἐπιορκίαι· ἂν δὲ ἐπιορκία παρακολουθήσῃ, πάντα ἄνω καὶ κάτω, καὶ ὁ λαβὼν, καὶ ὁ δοὺς πεποίηκεν. ἀλλ' ἔστιν ἀγνοούμενα τινά, φησιν. ἀλλὰ ταῦτα προορώμενος, μηδὲν ποίει ῥαθύμως· εἰ δὲ ῥαθύμως ποιεῖς, ἀπαίτει σαυτὸν δίκην, τὴν ζημίαν. βέλτιον οὕτω ζημιωθῆναι, ἢ ἑτέρως. εἰπὲ γάρ μοι, ἕλκεις εἰς ὅρκον τὸν ἄνδρα; τί προσδοκῶν; ὅτι ἐπιορκήσει; ἀλλὰ τοῦτο ἀνοίας ἐσχάτης. ἐπὶ τὴν σὴν γὰρ κεφαλὴν ἡ δίκη περιπτήσεται. βέλτιόν σε τὰ χρήματα ἀπολέσαι, ἢ ἐκεῖνον ἀπόλλυσθαι. τί μετὰ τῆς σῆς ζημίας τοῦτο ποιεῖς, καὶ μετὰ τῆς ὕβρεως τοῦ Θεοῦ; θηρίου αὕτη ἡ ψυχὴ καὶ ἀσεβοῦς ἀνδρός. ἀλλὰ προσδοκῶν ὅτι οὐκ ἐπιορκήσει. οὐκοῦν καὶ χωρὶς ὅρκου πίστευσον. ἀλλ' εἰσὶ πολλοί, φησιν, οἳ χωρὶς ὅρκου εἵλοντο ἀποστερῆσαι· μετὰ δὲ ὅρκον, οὐκέτι. ἀπατᾷς σεαυτὸν, ἄνθρωπε. ἄνθρωπος κλέπτειν μεμαθηκὼς, καὶ τὸν πλησίον ἀδικεῖν, ἕλοιτο ἂν καὶ ὅρκον καταπατῆσαι πολλάκις. εἰ δὲ περὶ τὸ ὀμόσαι εὐλαβηθείη, περὶ τὸ ἀδικῆσαι πολλῷ μᾶλλον. ἀλλ' ἄκων αὐτὸ πάσχει; οὐκοῦν συγγνώμης ἄξιος. ἀλλὰ τί λέγω περὶ τῶν ὅρκων τούτων, ἀφεὶς τοὺς ἐπ' ἀγορᾶς; ἐκεῖ γὰρ οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν. ὑπὲρ γὰρ

δέκα

δέκα ὀβολῶν ὅρκοι γίνονται καὶ ἐπιορκίαι. ὅτι γὰρ σκηπτὸς ἄνωθεν οὐ κατέρχεται, ὅτι γὰρ οὐ πάντα ἀνατρέπεται, ἔσχηκας κατέχων τὸν Θεόν. τί δήποτε; ἵνα λάχανα λάβῃς, ἵνα ὑποδήματα, ὑπὲρ ὀλίγου ἀργυρίου εἰς μαρτυρίαν αὐτὸν καλεῖς. μὴ δή, ἐπειδὴ μὴ κολαζόμεθα, νομίσωμεν μηδὲ ἁμαρτάνειν. τοῦτο τῆς φιλανθρωπίας ἐστὶ τοῦ Θεοῦ, οὐ τῆς ἡμετέρας ἀρετῆς. ὄμοσον κατὰ τοῦ παιδὸς τοῦ σοῦ, ὄμοσον κατὰ σαυτοῦ, εἰπέ, οὕτω μὴ δήμιος ἐπισταίη ταῖς πλευραῖς ταῖς ἐμαῖς. ἀλλὰ δέδοικας; τῶν πλευρῶν σου οὖν ἀτιμότερος ὁ Θεός; τῆς κεφαλῆς σου εὐτελέστερος; εἰπέ, οὕτω μὴ πηρωθῶ. ἀλλ' ὁ μὲν Χριστὸς οὕτως ἡμῶν φείδεται, ὡς κωλύειν καὶ κατὰ τῆς οἰκείας ὀμνύειν κεφαλῆς· ἡμεῖς δὲ οὕτως ἀφειδοῦμεν τῆς δόξης τῆς τοῦ Θεοῦ, ὡς πανταχοῦ αὐτὸν ἕλκειν. οὐκ ἴστε τί ἐστι Θεός, καὶ ποίοις στόμασι καλεῖσθαι ὀφείλει. ἀλλ' ἂν μὲν περί τινος λέγωμεν ἀνδρὸς ἐναρέτου, φαμέν, ἀπόπλυνον τὸ στόμα σου, καὶ οὕτω μνήσθητι· ἐκείνου δὲ τὸ τίμιον ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ θαυμαστὸν ἐν πάσῃ τῇ γῇ, ὃ δαίμονες ἀκούοντες φρίττουσιν, ἁπλῶς περιφέρομεν. ὢ τῆς συνηθείας. ἀπὸ γὰρ ταύτης γέγονεν εὐκαταφρόνητον. ἀμέλει γοῦν εἰς οἶκον ἅγιον ἂν ἐπιθῇς τινι ἀνάγκην ὀμόσαι, ὡς φρικτὸν τὸν ὅρκον ἐργασάμενος, οὕτω διάκεισαι. καίτοι πόθεν οὕτω φρικτὸν εἶναι δοκεῖ, ἀλλ' ἢ ὅτι ἐκείνῳ μὲν ἁπλῶς ἀποκεχρήμεθα, τούτῳ δὲ οὐχί; οὐ γὰρ φρίκην ἔδει γενέσθαι, ὀνομαζομένου τοῦ Θεοῦ; ἀλλ' ἐπὶ μὲν Ἰουδαίων οὕτως αὐτοῦ τὸ ὄνομα σεμνὸν ἦν, ὡς ἐν πετάλοις γράφεσθαι, καὶ μηδενὶ τὰ γράμματα ἐξεῖναι φορεῖν, ἀλλ' ἢ μόνῳ τῷ ἀρχιερεῖ· νυνὶ δέ, ὡς τὸ τυχόν, οὕτω περιφέρομεν αὐτοῦ τὸ ὄνομα. εἰ ἁπλῶς ὀνομάζειν τὸν Θεὸν οὐ πᾶσιν εὐαγές, τὸ καὶ ἐπὶ μαρτυρίαν αὐτὸν καλεῖν, πόσης τόλμης, εἰπέ μοι, πόσης μανίας; εἰ γὰρ πάντα ῥῖψαι ἔχρην, οὐκ ἔδει * προθύμως ἐᾶν; ἰδοὺ λέγω καὶ διαμαρτύρομαι· κατορθώσατε τούτους τοὺς ἐπὶ τῆς ἀγορᾶς ὅρκους, τοὺς περιττούς, τοὺς δὲ μὴ πειθομένους, πάντας ἐμοὶ ἀγάγετε. ἰδού, παρόντων ὑμῶν, ἐπισκήπτω τοῖς πρὸς ὑπηρεσίαν ἀφωρισμένοις τῶν οἴκων τῶν εὐκτηρίων, καὶ παραινῶ καὶ παρεγγυῶ μηδενὶ ὀμνύναι ἁπλῶς ἐξεῖναι, μᾶλλον δὲ μηδὲ ἑτέρως. πρὸς ἐμὲ οὖν ἀγέσθω, ὅστις ἂν ᾖ, ἐπεὶ καὶ τοσαῦτα μέχρις ἡμῶν ἔρχεσθαι δεῖ, καθάπερ ἐπὶ παίδων μικρῶν. μὴ γένοιτο. αἰσχύνη γάρ ἐστιν ὑπὲρ τινῶν ἔτι δέεσθαι μανθάνειν. μὴ τραπέζης ἱερᾶς ἅπτεσθαι τολμᾷς ἀμύητος ὤν· ἀλλὰ τὸ ἔτι χεῖρον, σὺ ὁ μεμυημένος τῆς ἱερᾶς ἅπτεσθαι τραπέζης τολμᾷς, ἧς οὐδὲ πᾶσιν ἱερεῦσιν ἅπτεσθαι θέμις, καὶ οὕτως ὀμνύναι. καὶ σὺ μὲν τῆς τοῦ παιδὸς κεφαλῆς οὐκ ἂν ἅψαιο· ἀπελθὼν τραπέζης δὲ ἅπτῃ, καὶ οὐ φρίττεις, οὐδὲ δέδοικας; πρὸς ἐμὲ τοὺς τοιούτους ἄγε· ἐγὼ δικάσω, καὶ χαίροντας ἑκατέρους ἀποπέμψω. ὃ βούλεσθε ποιεῖτε· νόμον τίθημι μηδὲ ὅλως ὀμνύναι. ποία σωτηρίας ἐλπίς, οὕτως ἡμῶν πάντα χειρούντων; διὰ τοῦτο γραμματεῖα, διὰ τοῦτο συμβόλαια, ἵνα καταθύσῃς τὴν σαυτοῦ ψυχήν; τί τοσοῦτον κερδαίνεις, ὅσον ἀπολλύεις; ἐπιώρκησεν; ἀπώλεσας κἀκεῖνον, καὶ σαυτόν. ἀλλ' οὐκ ἐπιώρκησε; καὶ οὕτως ἀπώλεσας, παραβῆναι τὴν ἐντολὴν ἀναγκάσας. ἐξελάσωμεν τοῦτο τὸ νόσημα ἀπὸ τῆς ψυχῆς· τέως ἀπὸ τῆς ἀγορᾶς αὐτὸ διώξωμεν, ἀπὸ τῶν παντοπωλείων, ἀπὸ τῶν λοιπῶν ἐργαστηρίων. μείζων ὁ πόρος ἡμῖν ἔσται. μὴ νομίσητε διὰ τῶν παραβάσεων τῶν θείων νόμων τὰ βιωτικὰ κατορθοῦσθαι. ἀλλ' οὐ πιστεύει, φησί. καὶ γὰρ καὶ τοῦτό ποτε παρά τινων ἤκουσα, ὅτι, ἂν μὴ ὀμόσω μυρίους ὅρκους, οὐ πιστεύει. σὺ τούτων αἴτιος ὁ προχείρως ὀμνύς. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἀλλὰ πᾶσιν ἦν δῆλον ὅτι οὐκ ὀμνύεις, πίστευέ μοι λέγοντι, ὅτι τῶν μυρίους καταπατούντων ὅρκους μᾶλλον ἂν ἐπιστεύθης ἐπινεύσας μόνον. ἰδοὺ γάρ, εἰπέ μοι, τίνι ἆρα μᾶλλον πιστεύετε, ἐμοὶ τῷ μὴ ὀμνύοντι, ἢ τοῖς ὀμνύουσιν; ἀλλὰ σύ, φησίν, ἄρχων εἶ καὶ ἐπίσκοπος. τί οὖν ἂν δείξω, ὅτι οὐ διὰ τοῦτο μόνον; μετὰ ἀληθείας ἀποκρίνασθέ μοι, παρακαλῶ. εἰ συνεχῶς ὤμνυον καὶ διαπαντός, ἆρα ἂν παρέσχεν μοι ἡ ἀρχή; οὐδαμῶς. ὁρᾷς ὅτι οὐ διὰ τοῦτο; τί δὲ κερδαίνεις ὅλως, εἰπέ μοι; Παῦλος ἐλιμώττε· καὶ σὺ ἑλοῦ πεινᾷν μᾶλλον, ἢ παραβῆναί τινα

Marginalia (left): γρ. ἀπίσπαται. — γρ. τότε. — * ῥῖπτ. — ἀπελθὼν δὲ τρα-

Marginalia (right): Φιλ. β. θ. — Ψαλ. η. α. — Ιακ. β. ιθ. — Εξ. λθ. λ.

τὴν ἐντολὴν τοῦ Θεοῦ. τί οὖν εἰ ἄπιστος εἶ; σὺ μὲν οὖν πολλὰ αἱρῇ καὶ ποιῆσαι καὶ παθεῖν ὑπὲρ τοῦ μὴ ὀμόσαι· αὐτὸς δὲ σε οὐκ ἀμείψεται; ἀλλὰ τοῦτον μὲν ἐπιόρκους καὶ πολυόρκους καθ' ἑκάστην τρέφει τὴν ἡμέραν· σὲ δὲ παραδώσει λιμῷ; ἐπεὶ ἤκουσας αὐτοῦ; πάντες ἴδετωσαν, ὅτι τῶν εἰς ταύτην τὴν ἐκκλησίαν συναγομένων οὐδεὶς [οὐκ] ἔστιν ὀμνύς· καὶ ἀπὸ τούτου γενώμεθα δῆλοι, μὴ ἀπὸ τῆς πίστεως μόνον. καὶ τοῦτο πρὸς ἕλληνας, καὶ πρὸς πάντας ἔχωμεν τὸ διαλλάττον· σφραγίδα λάβωμεν ἐκ τῶν οὐρανῶν, ἵνα ὥσπερ ἀγέλη βασιλικὴ πανταχοῦ φαινώμεθα. ἀπὸ τοῦ στόματος καὶ τῆς γλώττης τέως γνωριζώμεθα, καθάπερ οἱ βάρβαροι, καθάπερ οἱ ἑλληνιστὶ εἰδότες, ταύτῃ τῶν βαρβάρων διαλλάττωμεν. εἰπὲ γάρ μοι· οἱ ψιττακοὶ λεγόμενοι πόθεν εἰσὶ γνώριμοι; οὐκ ἀπὸ τοῦ λαλεῖν κατὰ ἀνθρώπους; καὶ ἡμεῖς τοίνυν ἀπὸ τοῦ λαλεῖν, ὡς οἱ ἀπόστολοι, γενώμεθα γνώριμοι· ἀπὸ τοῦ λαλεῖν, ὡς οἱ ἄγγελοι. ἂν εἴπῃ τις, ὄμοσον· ἀκουέτω ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ οὐκ ὀμνύω. τοῦτο ἱκανὸν πᾶσαν εἰσαγαγεῖν ἀρετήν. θύρα τίς ἐστιν εὐσεβείας, ὁδὸς ἐπὶ φιλοσοφίαν εὐλαβείας εἰσάγουσα, παλαίστρα τίς ἐστι. ταῦτα φυλάττωμεν, ἵνα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. δ. Λογ. ι. 1 ΛΑΛΟΥΝΤΩΝ ΔΕ ΑΥΤΩΝ ΠΡΟΣ ΤΟΝ λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ.

ΟΥπω τῶν προτέρων ἀναπνεύσαντες πειρασμῶν, εὐθέως εἰς ἑτέρους εἰσέβαινον. καὶ ὅρα πῶς οἰκονομεῖται τὰ πράγματα. πρότερον ἐχλευάσθησαν πάντες ὁμοῦ. οὐ μικρὸς δὲ οὗτος ὁ πειρασμός. δεύτερον, αὐτοὶ οἱ κορυφαῖοι εἰς κινδύνους ἐμβαίνουσιν. οὐκ ἐφεξῆς δὲ τὰ δύο γίνεται, [οὐδὲ ἁπλῶς·] ἀλλὰ πρότερον εὐδοκιμήσαντες ἐν ταῖς δημηγορίαις, καὶ θαῦμα ἐργασάμενοι μετὰ ταῦτα μέγα, οὕτω δὴ λοιπὸν μετὰ τὸ θαρρῆσαι, συγχωροῦντος τοῦ Θεοῦ, τῶν ἀγώνων ἅπτονται. σὺ δέ μοι θέα, πῶς ἐπὶ τοῦ Χριστοῦ τὸν προδιδόσοντα ζητοῦντες, ἐνταῦθα λοιπὸν αὐτοὶ τὰς χεῖρας ἐπιβάλλουσι, θρασύτεροι γεγονότες καὶ ἀναισχυντότεροι μετὰ τὸν σταυρόν. ἡ γὰρ ἁμαρτία, ἕως μὲν ἂν ὠδίνηται, ἔχει τινὰ αἰσχύνην· ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν. τί δήποτε δὲ καὶ στρατηγὸς ἐφίσταται; ἐπέστησαν γὰρ αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, φησίν· ἵνα πάλιν δημόσιον ἔγκλημα περιθῶσι τοῖς γινομένοις, καὶ μὴ ὡς ἰδιωτικὸν ἐκδικῶσιν, ὅπερ πανταχοῦ σπουδάζουσι ποιεῖν.

2 Διαπονούμενοι, φησὶ, διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαόν.

Διεπονοῦντο, οὐ μόνον ὅτι ἐδίδασκον, ἀλλ' ὅτι οὐκ αὐτοὺς μόνον ἔλεγον ἐγηγέρθαι, ἀλλὰ καὶ ἡμᾶς δι' ἐκείνου ἀνίστασθαι. Διὰ τὸ διδάσκειν αὐτοὺς, φησὶ, τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τῶν νεκρῶν. Οὕτως ἰσχυρὰ ἐγένετο ἡ ἀνάστασις, ὡς καὶ ἑτέροις αὐτὸν αἴτιον γενέσθαι ἀναστάσεως.

3 Καὶ ἐπέβαλον αὐτοῖς, φησὶ, τὰς χεῖρας, καὶ ἔθεντο αὐτοὺς εἰς τήρησιν εἰς τὴν αὔριον. ἦν γὰρ ἑσπέρα ἤδη. Ὢ τῆς ἀναισχυντίας. ἔτι τῶν προτέρων αἱμάτων γεμούσας τὰς χεῖρας εἶχον, καὶ οὐκ ἐνάρκων, ἀλλ' ἐπέβαλλον πάλιν, ἑτέροις αὐτὰς αἵμασι μολύνοντες. ἢ τάχα καὶ ἔδεισαν πλῆθος αὐτοὺς ἤδη γεγονότας, καὶ διὰ τοῦτο αὐτοῖς ὁ στρατηγὸς συνεπέστη. ἦν γὰρ, φησίν, ἑσπέρα ἤδη. ἐκεῖνοι μὲν οὖν βουλόμενοι αὐτοὺς μαλάξαι, τοῦτο ἐποίουν καὶ ἐφύλαττον· τοὺς δὲ ἀποστόλους τολμηροτέρους εἰργάζετο ἡ ἀναβολὴ τοῦ χρόνου. καὶ ὅρα τίνες ἀπολαμβάνονται.

ἀπολαμβάνονται. Οἱ κορυφαῖοι τῶν ἀποστόλων, τοῖς ἄλλοις λοιπὸν ὑπόδειγμα γινόμενοι, ἵνα μηκέτι ζητῶσιν ἀλλήλους, μηδὲ τὸ κοινὴ εἶναι.

γ. γινόμενοι,

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον, φησὶν, ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν, ὡσεὶ χιλιάδες πέντε. Τί τοῦτο; μὴ γὰρ εὐδοκιμήσαντας εἶδον; οὐχὶ δεθέντας ἐθεάσαντο; πῶς οὖν ἐπίστευσαν; ὁρᾷς ἐνέργειαν φανεράν; καὶ μὴν καὶ τοὺς ἤδη πιστεύσαντας εἰκὸς ἀσθενεστέρους γενέσθαι· ἀλλ' οὐκ ἐγένοντο. ἡ γὰρ Πέτρου δημηγορία εἰς τὸ βάθος τὰ σπέρματα κατέβαλε, καὶ τῆς διανοίας αὐτῶν ἥψατο. Οἱ δὲ διὰ τοῦτο ὠργίζοντο, ὅτι οὐδὲν αὐτοὺς ἐδεδίεσαν, ὅτι οὐδὲν τὰ συμβάντα δεινὰ ἡγοῦντο. Εἰ γὰρ ὁ σταυρωθείς, φησι, τοιαῦτα ἐργάζεται, καὶ τὸν χωλὸν ἀνέστησεν, οὐ φοβούμεθα οὐδὲ τούτους. καὶ τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας γέγονεν. ἐντεῦθεν πλείους οἱ νῦν πιστεύσαντες τῶν προτέρων ἐγένοντο. ἐφ' ᾧ καὶ δείσαντες διὰ τοῦτο, αὐτῶν ὁρώντων, ἔδησαν τοὺς ἀποστόλους, ἵνα καὶ αὐτοὺς δειλοτέρους ἐργάσωνται. τὸ ἐναντίον δὲ γέγονεν ἢ ἐκεῖνοι ἐβούλοντο. διὰ τοῦτο οὐκ ἔτι αὐτῶν αὐτοὺς ἐξετάζουσιν, ἀλλὰ κατ' ἰδίαν, ἵνα μὴ ἀπὸ τῆς παῤῥησίας οἱ ἀκούοντες κερδαίνωσιν.

γ. ἄλλοι

γ. πλείους γὰρ ἦσαν νῦν π. τ. τ. ἐφ'

5 Ἐγένετο δέ, φησιν, ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς ἐν Ἱερουσαλήμ,

6 Καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἐκ γένους ἦσαν ἀρχιερατικοῦ. Πάλιν συνέρχονται ἐπὶ τὸ αὐτό. οὐκέτι γὰρ μετὰ τῶν ἄλλων κατὰ τὰ τοῦ νόμου ἐφυλάττετο. καὶ πάλιν δικαστηρίου σχῆμα τῷ πράγματι περιτιθέασιν, ἵνα ὑπεύθυνοι τῇ ἀδίκῳ γένωνται κρίσει.

7 Καὶ στήσαντες αὐτούς, φησιν, ἐν μέσῳ, ἐπυνθάνοντο, ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; Καὶ μὴν ᾔδεσαν. διαπονούμενοι γάρ, φησι, διὰ τὸ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν, κατέσχον αὐτούς. τίνος οὖν ἕνεκεν ἐρωτῶσι; προσδοκῶντες αὐτοὺς διὰ τὸ πλῆθος ἐξαρνεῖς γενήσεσθαι, καὶ τὸ πᾶν διὰ τούτου νομίζοντες κατορθωκέναι. ὅρα γοῦν τί φασιν. ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;

8 Τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς.

Ἀναμνήσθητί μοι νῦν τῶν τοῦ Χριστοῦ λόγων, καὶ πῶς ἐξέβη ὃ ἔλεγεν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς εἰς συναγωγάς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσετε· τὸ γὰρ πνεῦμα τοῦ πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν· ὥστε ἐνεργείας πολλῆς ἀπήλαυον. τί οὖν φησιν ὁ Πέτρος; Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ. Ὅρα φιλοσοφίαν ἀνδρός, καὶ πόσης γέμουσι παῤῥησίας. οὐδὲν ὑβριστικὸν φθέγγεται· ἀλλὰ μετὰ τιμῆς, ἄρχοντες τοῦ λαοῦ, φησι, καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ.

Λουκ. ιβ. ια.

γ. ἐρωτῶν

γ. πῶς

9 Εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται,

10 Γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραήλ. Σφόδρα αὐτῶν γενναίως καθήψατο ἀπὸ τοῦ προοιμίου, καὶ διεκωμῴδησε· μᾶλλον δὲ αὐτοὺς ἀνέμνησε τῶν προτέρων, ὅτι ἐπ' εὐεργεσίᾳ αὐτοὺς κρίνουσιν, ὡσανεὶ ἔλεγε· μάλιστα μὲν ἐχρῆν στεφανοῦσθαι ἡμᾶς ἐπὶ τούτοις, καὶ ὡς εὐεργέτας ἀνακηρύττεσθαι· νῦν δὲ καὶ κρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, οὐχὶ πλουσίου, οὐχὶ δυνάστου, οὐχὶ ἐνδόξου· καίτοι ἐν τούτῳ τίς ἂν ἐβάσκηνε; πολλῆς βαρύτητος ἡ ἐπαγγελία γέμει, καὶ δείκνυσιν ὅτι αὐτοὶ ἐκ τούτων περιπίπτουσιν. Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου. Ὃ μάλιστα αὐτοὺς ἐλύπει προσέθηκε. τοῦτο γὰρ ἄρα ὃ ἔλεγεν αὐτοῖς ὁ Χριστός· Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων.

γ. διακωμῳδεῖ·

Ματθ. ι. κζ.

Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. Μὴ νομίσητε, φησιν, ὅτι κρύπτομεν τὴν παρρησίαν, ἢ τὸ πάθος. ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ

γ. κρύπτω ὑμῶν

οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. πάλιν τὸ πάθος, πάλιν ἡ ἀνάστασις.

11 Αὐτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας. Ἀνέμνησεν αὐτοὺς καὶ ῥήματος ἱκανοῦ φοβῆσαι. Ὁ πεσὼν γάρ, φησιν, ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.

Ψαλ. ριζ. κβ.

Ματθ. κα. μβ.

12 Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία. Ποίας οἴει πληγὰς αὐτοὺς λαμβάνειν ἐκ τούτων τῶν ῥημάτων; Οὔτε γὰρ ὄνομα ἕτερόν ἐστι, φησιν, ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. Ἐνταῦθα καὶ ὑψηλὰ φθέγγεται. ὅταν γὰρ μὴ ᾖ τι κατορθῶσαι, ἀλλὰ παρρησίαν ἐπιδείξασθαι μόνον, οὐ φείδεται. οὐ γὰρ ἐδεδοίκει μὴ πλήξῃ. καὶ οὐκ εἶπεν ἁπλῶς, δι' ἄλλου· ἀλλ', οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· τουτέστιν, οὗτος ἡμᾶς σῶσαι δύναται. Ταύτῃ τὸν φόβον αὐτῶν κατέστελλε.

13 Θεωροῦντες δέ, φησι, τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. Οἱ δύο ἀγράμματοι κατερρητόρευσαν καὶ αὐτῶν, καὶ τῶν ἀρχιερέων· οὐ γὰρ αὐτοὶ ἐφθέγγοντο, ἀλλ' ἡ τοῦ πνεύματος χάρις.

14 Τὸν δὲ ἄνθρωπον ὁρῶντες, φησι, σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν. Πολλὴ ἡ τοῦ ἀνθρώπου παρρησία καὶ ἐν αὐτῷ τῷ δικαστηρίῳ μὴ καταλελοιπότος αὐτούς. Εἰ γὰρ εἶπον, ὅτι οὐχ οὕτως ἔχει, ἐκεῖνος ἂν κατηγόρησε.

15 Κελεύσαντες δὲ αὐτούς, φησιν, ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλους,

16 Λέγοντες, τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; Ὅρα ἐν ἀπορίᾳ ὄντας, καὶ πάλιν τὸν φόβον τῶν ἀνθρώπων πάντα ἐργαζομένους. ὥσπερ ἐπὶ τοῦ Χριστοῦ ἀνατρέψαι τὸ γενόμενον οὐκ ἴσχυσαν, οὐδὲ συσκιάσαι, ἀλλὰ κωλυόντων αὐτῶν μᾶλλον ἐπεδίδου τὰ τῆς πίστεως· οὕτω καὶ νῦν γέγονε. τί ποιήσομεν; ὢ τῆς ἀνοίας· εἰ γὰρ συνειδότες τὴν ἀγνοίαν λοιπὸν καταπλήττεσθαι ἐνόμιζον, οἱ παρὰ τὴν ἀρχὴν μηδὲν ἰσχύσαντες, μετὰ τὴν τοσαύτην ῥητορείαν προσεδόκησαν τι ποιήσειν. ὅσῳ ἐβούλοντο κωλύειν, τοσούτῳ μᾶλλον ηὔξετο τὰ πράγματα. ἀλλὰ τί φασιν; Ὅτι μὲν γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι.

17 Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων.

18 Καὶ καλέσαντες αὐτούς, παρήγγειλαν τὸ καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. Ὅρα καὶ τούτων τὴν ἀναισχυντίαν, καὶ τῶν ἀποστόλων τὴν φιλοσοφίαν.

19 Ὁ δὲ Πέτρος, φησί, καὶ Ἰωάννης ἀποκριθέντες εἶπον πρὸς αὐτούς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε·

20 Ἡμεῖς οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν.

21 Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτοὺς διὰ τὸν λαόν. Ἐπεστόμισεν αὐτοὺς τὰ σημεῖα, καὶ λοιπὸν οὐδὲ ἠνέσχοντο τελέσαι αὐτοὺς τὸν λόγον, ἀλλὰ μεταξὺ λέγοντας διέκοψαν σφόδρα ὑβριστικῶς.

Ὅτι πάντες, φησίν, ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι.

22 Ἐτῶν γὰρ ἦν πλειόνων ὁ ἄνθρωπος τεσσαράκοντα, ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; τὸ μὲν ἄνω πρότερον, διὰ δόξαν ἀνθρωπίνην πάντα ἐποίουν· νυνὶ δὲ καὶ ἕτερόν τι προσέκειτο, τὸ μὴ δόξαι μιαιφόνους εἶναι, ὃ μετὰ ταῦτα ἔλεγον· Βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; ἀλλ' ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ

Πράξ. ε. κη.

μηδενὶ

μηδενὶ ἀνθρώπων. ὢ τῆς ἀνοίας. πειραθέντες αὐτῶν ἀνέσει, καὶ τοῦτο τεκμήριον λαβόντες ὅτι ἐστὶ Θεὸς, τὸν ὑπὸ τοῦ θανάτου μὴ κατασχεθέντα ὑπὸ τῶν οἰκείων προσεδόκησαν μηχανημάτων συσκιάζεσθαι. τί ταύτης τῆς ἀνοίας ἴσον; καὶ μὴ θαυμάσῃς, ὅτι πάλιν ἀνοήτοις ἐπιχειροῦσι. τοιοῦτον γὰρ ἡ πονηρία. οὐδὲν ὁρᾷ, ἀλλὰ πανταχοῦ θορυβεῖται. ἐπηρεαζόμενοι γὰρ, ὡς ἠπατημένοι, οὕτω διέκειντο· ὅπερ ἐστὶν ἐπὶ τῶν προληφθέντων, ἐπὶ τῶν ἐμπαιχθέντων ἐπί τινι. καὶ μὴν ἄνω καὶ κάτω διὰ τοῦτο ἔλεγον, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρε, καὶ ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ οὗτος παρέστηκεν ὑγιὴς, δεικνύντες ὅτι ἀνέστη ὁ Ἰησοῦς. ἄλλως δὲ, καὶ αὐτοὶ ἀνάστασιν ἐνόμιζον, ψυχρὰ μὲν καὶ μειρακιώδη, ἐνόμιζον δὲ ὅμως· νῦν δὲ ἀπιστοῦσι καὶ θορυβοῦνται, τί ποιῆσαι αὐτοὺς βουλόμενοι. τοῦτο γοῦν μόνον οὐκ ἦν ἱκανὸν πεῖσαι αὐτοὺς μηδὲν αὐτοῖς ποιῆσαι, τὸ οὕτω μετὰ παρρησίας διαλέγεσθαι; διατί ἀπιστεῖς, εἰπέ μοι, ὦ Ἰουδαῖε; τῷ γὰρ γενομένῳ σημείῳ προσέχειν ἔδει καὶ τοῖς λόγοις, οὐ τῇ τῶν πολλῶν πονηρίᾳ. οὐ παραδιδόασιν αὐτοὺς Ῥωμαίοις. ἤδη γὰρ ἦσαν διαβεβλημένοι πρὸς αὐτοὺς ἀπὸ τῶν περὶ τὸν Χριστὸν, ὥστε μᾶλλον ἑαυτοὺς ἐκάκιζον ὑποτιθέμενοι τὴν αὐτῶν ἔνδειξιν· ἐπὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως* ἀλλ' ἐν μέσαις νυξὶ λαβόντες αὐτὸν εὐθέως ἀπήγαγον. καὶ οὐκ ἀνεβάλλοντο, δεδοικότες σφόδρα τὸ πλῆθος. περὶ δὲ τούτων ἐθάρρουν, καὶ οὐκέτι ἄγουσιν αὐτοὺς πρὸς Πιλάτον, αἰσχυνόμενοι καὶ ἐρυθριῶντες τὰ πρότερα, μὴ καὶ παρ' ἐκείνου ἐγκληθῶσιν. ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἱερουσαλήμ. πάλιν συνέδρια ἐν Ἱεροσολύμοις, καὶ ἔνθα τὰ αἵματα ἐκχεῖται, οὐδὲ τὴν πόλιν ᾐδέσθησαν. Ἄννας, φησὶ, καὶ Καϊάφας. τούτου οὐδὲ τὴν δούλην ἐρωτῶσαν ἤνεγκεν ὁ Πέτρος, ἐπὶ τούτου ἠρνήσατο, ἑτέρου κατασχεθέντος· νυνὶ δὲ εἰς μέσους αὐτοὺς παρελθὼν, ὅρα πῶς φθέγγεται. εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν. καὶ διὰ ἐν ποίῳ ὀνόματι ἐποιήσατε λέγουσι τοῦτο; τὸ ποῖον, διατί μὴ λέγεις, ἀλλὰ συσκιάζεις; ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; καὶ μὴν ἔλεγον, ὅτι οὐχ ἡμεῖς ἐποιήσαμεν. ὅρα σύνεσιν. οὐκ εἶπεν εὐθέως, ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ ἐποιήσαμεν· ἀλλὰ τί; ἐν τῷ ὀνόματι αὐτοῦ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. καὶ οὐ λέγει, ἐγένετο ὑφ' ἡμῶν ὑγιής. καὶ πάλιν, εἰ ἡμεῖς ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς. πλήττει αὐτοὺς, ὡς ἀεὶ τοιαῦτα ἐγκαλοῦντας, καὶ εὐεργεσίαις ἀνθρώπων μεμφομένους· καὶ ἀναμιμνήσκει τῶν προτέρων, ὅτι αὐτοὶ ἐπὶ φόνους τρέχουσι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ εὐεργεσίαις ἐγκαλοῦσιν. ὁρᾷς πῶς ἔχει καὶ τὸ βαρὺ τὰ ῥήματα; ἐν τούτοις γὰρ ἐγυμνάζοντο, καὶ λοιπὸν ἀκατάπληκτοι ἦσαν. δείκνυσιν αὐτοῖς, ὅτι αὐτοὶ μᾶλλον κηρύττουσιν ἄκοντες τὸν Χριστὸν, καὶ αὐτοὶ τὸ δόγμα ἐπαίρουσιν ἀνακρίνοντες καὶ ἐξετάζοντες. ὃν ὑμεῖς ἐσταυρώσατε. βαβαὶ τῆς παρρησίας. ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. τοῦτο πάλιν μείζονος ἐλευθεροστομίας. ὃ τοίνυν λέγει τοῦτό ἐστι· μὴ νομίσητε ὅτι ταῦτα ἐπαισχυνόμενοι κρύπτομεν. τοσοῦτον ἀπέχομεν συσκιάσαι, ὅτι καὶ παρρησιαζόμεθα. ταῦτα μονονουχὶ ὀνειδίζων αὐτοῖς λέγει· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ ἐνδιατρίβει τῷ λόγῳ, οὗτός ἐστιν ὁ λίθος, λέγων, ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων· εἶτα δεικνὺς ὅτι καὶ εἰς σφόδρα δόκιμον τοῦτο εἰργάσαντο, ἐπάγει· ὁ γενόμενος εἰς κεφαλὴν γωνίας· τουτέστιν, ὁ φύσει τίμιος καὶ δόκιμος, οὗτος ἐξουθενήθη. οὕτως ἀπὸ τοῦ σημείου πολλὴν ἔσχον τὴν παρρησίαν. σὺ δέ μοι σκόπει, πῶς, ὅτε μὲν διδάξαι χρὴ, προφητείας παράγουσι πολλάς· ὅτε δὲ παρρησιάσασθαι, μόνον ἀποφαίνονται. οὔτε γὰρ, φησὶν, ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, δηλῶν ὅτι πᾶσιν ἀνθρώποις, καὶ οὐκ αὐτοῖς μόνοις, ἐδόθη τὸ ὄνομα· καὶ αὐτοὺς ἐπάγεται μάρτυρας. ἐπειδὴ γὰρ ἔλεγον, ἐν ποίῳ ὀνόματι ἐποιήσατε; εἰς τὸ τοῦ Χριστοῦ, φασίν. ἄλλο γὰρ οὐκ ἔστιν ὄνομα. πῶς οὖν ἐρωτᾶτε; οὕτω πανταχοῦ τοῦτο δῆλόν ἐστιν. οὔτε γὰρ ὄνομα ἕτερόν ἐστιν ὑπὸ τὸν οὐρανὸν, φησὶν, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. ταῦτα ψυχῆς κατεγνωκυίας τῆς ζωῆς τῆς παρού-

σης

Margin notes: γ. οὐ ἀντιληφ- [illegible] ἐπιχείρησιν · γ. γὰρ · γ. αὐτοῖς · ἐκωμώδησαν · Ματθ. κζ. · γ. εὐεργεσίαις · γ. ὅτι πολ- [illegible] γ. εἰργά- · γ. λοιπὸν καὶ [illegible] · γ. ἡμῖν

στης ἐστίν. ἡ πολλὴ παῤῥησία δείκνυσιν ἐνταῦθα, ὅτι καὶ ὅτε ταπεινὰ ἐφθέγγετο περὶ τοῦ Χριστοῦ, οὐ δεδοικώς, ἀλλὰ συγκαταβαίνων· ἐπειδὴ δὲ νῦν καιρὸς ἦν, οὕτω φθέγγεται ὑψηλά, ὡς αὐτῷ τούτῳ καὶ τοὺς ἀκούοντας ἅπαντας καταπλῆξαι. ἰδοὺ [καὶ] ἄλλο σημεῖον οὐκ ἔλαττον τοῦ προτέρου. ἐπεγίνωσκόν τε αὐτούς, φησίν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. οὐχ ἁπλῶς τοῦτο τέθεικε τοῦ χάριν ὁ εὐαγγελιστής, ἀλλ' ἵνα δηλώσῃ καὶ πότε ἦσαν. ἐν τῷ πάθει, φησίν. οὗτοι γὰρ μόνοι τότε συνῆσαν, ὅτε καὶ ἑώρων αὐτοὺς ταπεινούς, καὶ συνεσταλμένους· ὃ καὶ μάλιστα αὐτοὺς ἐξένιζεν, ἡ ἀθρόα μεταβολή. καὶ γὰρ ἐκεῖ ἦσαν οἱ περὶ Ἄνναν καὶ Καϊάφαν, καὶ παρειστήκεσαν αὐτοῖς καὶ οὗτοι· νῦν δὲ ἐξέπληττεν αὐτοὺς ἡ σφοδρὰ παῤῥησία. οὐ γὰρ τοῖς ῥήμασι μόνοις ἐδείκνυντο ἀφροντιστοῦντες περὶ τοιούτων κρινόμενοι καὶ ὑπὲρ τῶν ἐσχάτων ἐπηρτημένου τοῦ κινδύνου, ἀλλὰ καὶ τῷ σχήματι, καὶ τῇ φωνῇ, καὶ τῷ βλέμματι, καὶ πᾶσιν ἁπλῶς τὴν παῤῥησίαν ἐνέφαινον ἐπὶ τοῦ λαοῦ, ἐξ ὧν ἐφθέγγοντο. ἐθαύμαζον δὲ ἴσως ὅτι ἄνθρωποι, καὶ ἀγράμματοί εἰσι, καὶ ἰδιῶται· ἐπειδὴ ἔνι ἀγράμματόν τινα εἶναι, μὴ μέντοι καὶ ἰδιώτην· ἢ ἰδιώτην μὲν, οὐκ ἀγράμματον δέ. ἐνταῦθα δὲ τὰ δύο συνῆλθε. καταλαβόμενοι, φησί. πόθεν; ἀφ' ὧν ἔλεγον. οὐ μακροὺς κατατείνει λόγους, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς ἀπαγγελίας καὶ τῆς συνθήκης τὴν παῤῥησίαν δηλοῖ, ὥστε ἐπίσκηψιν ἂν αὐτοῖς, εἰ μὴ σὺν αὐτοῖς ἦν ὁ ἄνθρωπος. ἐπεγίνωσκόν τε αὐτούς, φησιν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. ὅπερ αὐτοὺς ἐποίει πιστεῦσαι, ὅτι παρ' ἐκείνου ταῦτα ᾔδεσαν, καὶ ὡς ἐκείνου μαθηταὶ πάντα ἔπραττον. οὐχ ἧττον δὲ τῆς τούτων φωνῆς ἠφίει φωνὴν τὸ θαῦμα καὶ τὸ σημεῖον· ὃ δὴ καὶ μάλιστα ἐνέφραξεν αὐτῶν τὰ στόματα. εἰ δίκαιόν ἐστι, φησίν, ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. ὅτε ὁ φόβος ὑπετμήθη μᾶλλον (τὸ γὰρ παραγγεῖλαι οὐδὲν ἦν ἕτερον, ἢ ἀπολυθῆναι) τότε καὶ ἐπιεικέστερον φθέγγονται. οὕτω μακρὰν θρασεῖς ἦσαν. ὅτι γνωστὸν σημεῖον γέγονεν, οὐ δυνάμεθα ἀρνήσασθαι. ὥστε ἠρνήσαντο ἄν, εἰ μὴ τοῦτο ἦν, εἰ μὴ ἡ τῶν πολλῶν μαρτυρία ἦν. καὶ μὴν πᾶσι κατάδηλον ἦν. ἀλλὰ τοιοῦτον ἡ κακία, θρασὺ καὶ ἰταμόν. ἀπειλῇ ἀπειλησόμεθα. τί λέγετε; ἀπειλῇ προσδοκᾶτε σβέσειν τὸ κήρυγμα; οὕτω πανταχοῦ αἱ ἀρχαὶ χαλεπαί τε καὶ δύσκολοι. τοὺς διδασκάλους ἀνείλετε, καὶ οὐκ ἐσβέσατε· καὶ νῦν ἂν ἀπειλήσητε, προσδοκᾶτε ἀποστήσειν ἡμᾶς; ὁ δεσμὸς οὐκ ἔπεισεν ὑφειμένως διαλεχθῆναι, καὶ ὑμεῖς πείσετε; πάντως οὐδὲν ὑμᾶς ἡγουμένους καὶ ἀπειλοῦντας. εἰ δίκαιόν ἐστι, φησιν, ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν μᾶλλον ἀκούειν ἢ τοῦ Θεοῦ; ἐνταῦθα τοῦ Θεοῦ φασιν ἀντὶ τοῦ Χριστοῦ. αὐτὸς γὰρ αὐτοῖς ἐκέλευσεν. εἶδες πῶς νῦν ἐξέβη, ὅπερ προὔλεγεν αὐτοῖς ὁ Χριστός· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· μὴ φοβηθῆτε αὐτούς; εἶτα πάλιν τὴν ἀνάστασιν βεβαιοῦσι, δι' ὧν ἐπάγουσι, λέγοντες ἡμεῖς οὐ δυνάμεθα μὴ λαλεῖν, ἃ εἴδομεν καὶ ἠκούσαμεν. ὥστε ἡμεῖς μὲν ἀξιόπιστοί ἐσμεν μάρτυρες· ὑμεῖς δὲ προσαπειλοῦντες εἰκῇ πάλιν ἀπειλεῖτε. δέον οὖν μεταβάλλεσθαι ἐφ' οἷς ὁ λαὸς ἐδόξαζε τὸν Θεόν, οἱ δὲ καὶ ἀνελεῖν ἀπειλοῦσιν· οὕτω θεομάχοι ἦσαν· οἱ δὲ προσαπειλησάμενοι, ἀπέλυσαν αὐτούς. ἐντεῦθεν περιφανέστεροι καὶ λαμπρότεροι ἐγένοντο. Ἡ γὰρ δύναμίς μου, φησιν, ἐν ἀσθενείᾳ τελειοῦται. ἤδη ἐμαρτύρησαν οὗτοι πρὸς πάντα παρατεταγμένοι. τί ἐστιν, ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; εἰ ψευδῆ, φησιν, ἃ λέγομεν, ἐπιλαβοῦ· εἰ δὲ ἀληθῆ, τί κωλύεις; τοιοῦτον ἡ φιλοσοφία. ἐκεῖνοι ἐν ἀπορίᾳ, οὗτοι ἐν εὐφροσύνῃ· ἐκεῖνοι πολλῆς γέμοντες αἰσχύνης, οὗτοι μετὰ παῤῥησίας πάντα πράττοντες· ἐκεῖνοι ἐν τῷ δεδοικέναι, οὗτοι ἐν τῷ θαῤῥεῖν. τίνες γὰρ ἦσαν, εἰπέ μοι, οἱ φοβούμενοι; οἱ λέγοντες, ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἢ οἱ λέγοντες, οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; καὶ ἐν ἡδονῇ, καὶ ἐν παῤῥησίᾳ, καὶ ἐν εὐφροσύνῃ μείζονι πάντων οὗτοι· ἐκεῖνοι ἐν ἀθυμίᾳ, ἐν αἰσχύνῃ, ἐν φόβῳ. τὸν γὰρ λαὸν ἐδεδοίκεσαν, οὗτοι δὲ τούτους οὐκ ἐφοβήθησαν· ἀλλ' οὗτοι μὲν ἃ ἐβούλοντο ἐφθέγξαντο, ἐκεῖνοι ἃ ἐβούλοντο οὐκ ἐποίησαν. τίνες ἦσαν ἐν δεσμοῖς καὶ ἐν κινδύνοις; οὐχὶ οὗτοι μάλιστα;

Ἐχόμεθα

Ματθ. ι. ιε.

γ. οὐ συγ. ταπεινὰ καί.
α. καταπλῆξαι αὐτοὺς βουλόμενος.
γ. μόνοι
γ. πολλὴ
γ. ἐπηρτημένου
γ. τινὰ καὶ μὴ
γ. δείκνυσι
γ. λέγετε;
γ. δυνάμεθα
γ. πολλῷ μᾶλλον αὐτοῖς βέλτιον ἦν αὐτοὺς ἀφεῖναι.

ΗΘΙΚΟΝ

Ἐχώμεθα τῆς ἀρετῆς. μὴ μέχρι τέρψεως τὰ λεγόμενα ἔστω, μηδὲ μέχρι παραμυθίας τινός. οὐκ ἔστι τὸ θέατρον τοῦτο, ἀγαπητέ, κιθαρῳδῶν, οὐδὲ τραγῳδῶν, ἔνθα μέχρι τῆς τέρψεως ὁ καρπὸς, καὶ τῆς ἡμέρας παραδραμούσης ἀπῆλθεν ἡ τέρψις. καίτοι γε οὐ τέρψις μόνον, καὶ μὴν καὶ βλάβη μετὰ τῆς τέρψεως. ἀλλ' ὅμως ἄπεισιν ἐκεῖθεν οἴκαδε ἕκαστος, καθάπερ ἀπό τινος λύμης ἀναμαξάμενος πολλὰ τὴν ἀκοήν. καὶ ὁ μὲν νέος ἀπολαβών τινα τῶν Σατανικῶν δραμάτων μέρη, ὅσα ἴσχυσε τῇ μνήμῃ κατασχεῖν, συνεχῶς ἐπὶ τῆς οἰκίας ᾄδει· ὁ δὲ πρεσβύτης, ἅτε δὴ σεμνότερος, τοῦτο μὲν οὐ ποιεῖ, τῶν δὲ ἐκεῖσε λεγομένων καὶ κηρυγμάτων καὶ ῥημάτων μέμνηται πάντων*. ἐντεῦθεν δὲ οὐδὲν ἔχοντες ἄπιτε. καὶ πῶς οὐκ αἰσχύνης ἄξιοι; νόμον ἐθήκαμεν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐθήκαμεν (μὴ γένοιτο) Μὴ γὰρ καλέσητε, φησί, διδάσκαλον ἐπὶ τῆς γῆς· νόμον ἔθηκεν ὁ Χριστὸς, ὥστε μηδένα ὀμνύναι. τί γέγονεν, εἰπέ μοι, περὶ τούτου τοῦ νόμου; οὐ γὰρ παύσομαι περὶ τούτου διαλεγόμενος, μή πως πάλιν ἐλθὼν κατὰ τὸν ἀπόστολον οὐ φείσομαι. ἆρα ἐμεριμνήσατε τὸ πρᾶγμα; ἆρα ἐφροντίσατε; ἆρα γέγονέ τις ὑμῖν σπουδή; ἢ πάλιν τῶν αὐτῶν ἁψόμεθα λόγων; μᾶλλον δὲ, εἴτε γέγονεν, εἴτε μὴ, τῶν αὐτῶν ἁψόμεθα λόγων, ἵνα φροντίσητε· εἰ δὲ ἐμεριμνήσατε, ἵνα πάλιν βεβαιότερον τοῦτο ἐργάσησθε, καὶ τοὺς ἄλλους παρακαλέσητε. πόθεν οὖν ἡμῖν, πόθεν ἀρκτέον τοῦ λόγου; βούλεσθε ἀπὸ τῆς παλαιᾶς; ἀλλὰ τοῦτο ἡμετέρα αἰσχύνη, ὅτι τὰ ἐν τῇ παλαιᾷ, ἃ ὑπὲρ βαρβάρων ἔδει, οὐδὲ οὕτω φυλάττομεν. ἡμᾶς γὰρ οὐ περὶ τούτων ἀκούειν ἔδει (τῆς γὰρ Ἰουδαϊκῆς εὐτελείας ταῦτα τὰ παραγγέλματα) ἀλλ' ἐκεῖνα ἀκούειν τὰ τέλεια· ῥῖψον τὰ χρήματα· στῆθι γενναίως, καὶ τὴν ψυχὴν ἐπίδος ὑπὲρ τοῦ κηρύγματος· καταγέλασον τῶν ἐπὶ τῆς γῆς ἁπάντων· μηδὲν ἔστω σοι κοινὸν πρὸς τὸν παρόντα βίον· ἂν ἀδικήσῃ τις, εὐεργέτησον· ἂν πλεονεκτήσῃ, εὐλόγησον· ἂν βλασφημήσῃ, ὕμνησον· πάντων ἀνώτερος ἔσο. ταῦτα, καὶ τὰ τοιαῦτα ἀκούειν ἔδει. νυνὶ δὲ ὑπὲρ ὅρκου διαλεγόμεθα· καὶ ταὐτὸν γίνεται, ὥσπερ ἂν εἴ τις τὸν ὀφείλοντα φιλοσοφεῖν, ἀφελκύσας τῆς διδασκαλίας ἐκείνης, συλλαβὰς ἔτι καὶ τὸ κατὰ στοιχεῖον ἀναγινώσκειν ποιοῖ. ἐννόησόν μοι, ὅση ἐστὶν αἰσχύνη ἂν θεράποντά τινα ὑπ' ἰούλου βαθεῖαν ἔχοντα, καὶ ῥόπαλον ἐπιφερόμενον, καὶ ἐξωμίδα ἔχοντα, εἰς διδασκάλους μετὰ τῶν παίδων ἀπιέναι, καὶ τὰ αὐτὰ ἐκείνοις μανθάνειν. ἆρα οὐ πολὺς ὁ γέλως; ἀλλὰ πλείων οὗτος ὁ ἡμέτερος. οὐ γὰρ ὅσον φιλοσοφίας τὸ μέσον καὶ γραμμάτων, τοσοῦτον τῆς Ἰουδαϊκῆς πολιτείας καὶ τῆς ἡμετέρας τὸ διάφορον· ἀλλ' ὅσον ἀγγέλων καὶ ἀνθρώπων. εἴ τις, εἰπέ μοι, ἄγγελον ἐκ τοῦ οὐρανοῦ καταγαγὼν, κελεύσειεν ἐνταῦθα ἑστάναι καὶ ἀκροᾶσθαι τῶν ἡμετέρων λόγων, ὡς ὀφείλοντα ἀπὸ τούτων ῥυθμίζεσθαι, ἆρα οὐκ αἰσχύνης καὶ γέλωτος ἦν; εἰ δὲ τὸ περὶ τούτων ἔτι παιδεύεσθαι γέλως, τὸ μηδὲ τούτοις προσέχειν, εἰπέ μοι, πόση καταγνῶσις; πόση αἰσχύνη; πῶς γὰρ οὐκ αἰσχύνη, ὅτι ἔτι Χριστιανοὶ περὶ τοῦ μὴ δεῖν ὀμνύναι παιδεύονται; πλὴν ἀλλ' ἀνασχώμεθα, ἵνα μὴ μᾶλλον γελώμεθα. φέρε οὖν, ἀπὸ τῆς παλαιᾶς ὑμῖν διαλεχθῶμεν σήμερον. τί δὲ αὕτη φησίν; Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, μηδὲ τῷ ὀνόματι τοῦ ἁγίου συνεθισθῇς. διὰ τί; ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος, φησίν, ἐνδελεχῶς, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται· οὕτως οὐδὲ ὁ ὀμνύων. ὅρα τὴν σύνεσιν τοῦ σοφοῦ τούτου. οὐκ εἶπεν, ὅρκῳ μὴ ἐθίσῃς τὴν διάνοιάν σου, ἀλλὰ, τὸ στόμα σου· ἐπὶ τοῦ στόματος γὰρ τὸ πᾶν οἶδεν, καὶ ὅτι εὐκόλως κατορθοῦται. συνήθεια γάρ ἐστι λοιπὸν ἀπὸ προαιρέσεως γινομένη· οἷον, εἰσὶ πολλοὶ, οἳ ἐν βαλανείοις εἰσιόντες, ἅμα τοῦ τὰς θύρας ὑπερβῆναι σφραγίζονται. τοῦτο οἶδεν ἡ χεὶρ, καὶ μηδενὸς κελεύοντος, ἀπὸ τῆς συνηθείας ποιεῖ. πάλιν λύχνου ἁφθέντος, πολλάκις τῆς διανοίας ἑτέρωθι σκεπτομένης, ἡ χεὶρ τὴν σφραγῖδα ποιεῖ. οὕτω δὴ καὶ τὸ στόμα οὐ μετὰ τῆς ψυχῆς φθέγγεται, ἀλλ' ἀπὸ τῆς συνηθείας, καὶ ἐν τῇ γλώττῃ τὸ πᾶν ἐστι. καὶ τῷ ὀνόματι, φησί, τοῦ ἁγίου μὴ συνεθισθῇς. ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως οὐδὲ ὁ ὀμνύων. οὐχὶ τὴν ἐπιορκίαν ἐνταῦθα, ἀλλὰ τὸν ὅρκον ἐκκόπτει,

Margin notes: γ. μόνη, — γ. ἀπολαύσας — γ. ῥημάτων μέλη, — * καὶ ἕτερος ᾄδει πρὸς αἰσχρὰς καὶ ἄπιτε. — γ. ποιῇ — ἢ .. λα

Ματθ. κγ. η.

β. Κορ. ιγ. β.

Σειρ κγ. θ.

κόπτει, καὶ αὐτῷ τίθησι τὴν τιμωρίαν. ἄρα τὸ ὀμνύειν ἁμαρτία. τοιαύτη ὄντως ἐστὶν ἡ ψυχή· τοσούτων γέμει τραυμάτων, τοσούτων μωλώπων. ἀλλ' οὐχ ὁρᾷς; τοῦτο γὰρ τὸ δεινόν· καίτοιγε δυνάσαι, ἐὰν θέλῃς ὁρᾷν. ἔδωκε γάρ σοι ὀφθαλμοὺς ὁ Θεός. τοιούτοις ὀφθαλμοῖς ἑώρα ὁ προφήτης, λέγων· (Ψαλ. λζ. ε.) Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. κατεφρονήσαμεν τοῦ Θεοῦ· ἐμισήσαμεν τὸ ὄνομα τὸ καλόν· κατεπατήσαμεν τὸν Χριστόν· ἐλύσαμεν τὴν αἰδῶ· οὐδεὶς μετὰ τιμῆς μέμνηται τοῦ ὀνόματος τοῦ Θεοῦ. (γρ. ἐμμεμηνότα μὲν) καὶ σὺ μὲν ἂν φιλῇς τινα, καὶ πρὸς τὸ ὄνομα διαπίσασαι· τὸν δὲ Θεὸν οὕτω συνεχῶς καλεῖς ὡς οὐδέν. κάλεσον αὐτὸν ἐν εὐχαῖς, κάλεσον αὐτὸν ἐπὶ εὐεργεσίᾳ ἐχθροῦ, κάλεσον αὐτὸν ἐπὶ σωτηρίᾳ τῆς σῆς ψυχῆς· τότε χαίρεται, τότε εὐφραίνεις αὐτόν· νῦν δὲ παροξύνεις. (Πραξ. ζ. ς.) κάλεσον αὐτόν, ὡς ἐκάλεσε Στέφανος. τί λέγων; Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. (α. Βασ. α. ι.) κάλεσον αὐτόν, ὡς ἐκάλεσεν ἡ τοῦ Ἐλκανᾶ γυνὴ μετὰ δακρύων, μετὰ θρήνων, μετ' εὐχῆς· οὐ κωλύω, ἀλλὰ καὶ σφόδρα παραινῶ. (Αριθ. ιζ. ιγ.) κάλεσον αὐτόν, ὡς ἐκάλεσε Μωϋσῆς, καὶ ἐβόα παρακαλῶν ὑπὲρ τῶν φυγαδευσάντων αὐτόν. καὶ σὺ μὲν ἂν τινος μνησθῇς ἁπλῶς ἀνδρὸς αἰδεσίμου, ὕβριν τὸ πρᾶγμα· τὸν δὲ Θεὸν περιφέρων, οὐ μόνον ἁπλῶς, ἀλλὰ καὶ ἀκαίρως ἐν τοῖς σοῖς λόγοις, οὐδὲν τὸ πρᾶγμα νομίζεις; καὶ πόσης οὐχὶ κολάσεως ἄξιος ἂν εἴης; οὐ κωλύω τὸν Θεὸν ἔχειν διαπαντὸς ἐν διανοίᾳ (τοῦτο γὰρ καὶ εὔχομαι καὶ βούλομαι) ἀλλὰ μὴ παρὰ τὸ δέον αὐτῷ, ἀλλ' ἀνυποῦντα, ἀλλὰ τιμῶντα. (γρ. φέρεις συνκαίρως, ἀκαίρως ἐν τοῖς λόγοις. οὐ κωλύω) μεγάλα αὐτὸ τοῦτο εἰργάσατο ἡμῖν ἀγαθά, εἰ ὅπου ἔδει, καὶ ἐφ' οἷς ἔδει μόνον, ἐκαλοῦμεν αὐτόν. διὰ τί, εἰπέ μοι, ἐπὶ μὲν τῶν ἀποστόλων τοσαῦται δυνάμεις ἐγίνοντο, ἐπὶ δὲ ἡμῶν οὐχί; καίτοι ὁ αὐτός ἐστι Θεός, τὸ αὐτὸ ὄνομα. ἀλλ' οὐκ ἔστιν ἴσον. πῶς; ὅτι ἐκεῖνοι μὲν ἐπὶ τούτοις, οἷς εἶπον, αὐτὸν ἐκάλουν μόνον· ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις, ἀλλ' ἐπ' ἄλλοις. εἰ δὲ ἀπιστεῖ, καὶ διὰ τοῦτο ὀμνύεις, λέγε μέν, πίστευσον· πλήν, εἰ βούλει, ὄμοσον κατὰ σαυτοῦ. οὐκ ἀντινομοθετῶν τῷ Χριστῷ λέγω ((Ματθ. ε. λζ.) μὴ γένοιτο. Ἔστω γάρ, φησιν, ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ) ἀλλὰ συγκαταβαίνων ὑμῖν, ἵνα μᾶλλον εἰς τοῦτο ὑμᾶς ἐναγάγω, καὶ τῆς συνηθείας ἀπαγάγω τῆς τυραννικῆς. πόσοι ἐν τοῖς ἄλλοις εὐδοκιμοῦντες ἀπώλοντο ἀπὸ τούτων τῶν πραγμάτων; βούλεσθε μαθεῖν, διὰ τί συνεχώρουν τοῖς ἀρχαίοις ὀμνύειν; (ἐπιορκεῖν γὰρ οὐδὲ ἐκείνοις συγκεχώρητο) ἐπειδὴ ἐν τοῖς εἰδώλοις ὤμνυον. οὐκ αἰσχύνεσθε τούτοις ἐμμένοντες τοῖς νόμοις, οἷς ἐκεῖνοι ἐνήχθησαν οἱ ἀσθενεῖς; ἐπεὶ καὶ νῦν Ἕλληνα ἐὰν λάβω, οὐκ εὐθέως αὐτῷ ἐπιτάσσω τοῦτο, ἀλλὰ πῶς εἰδέναι τὸν Χριστὸν παραινῶ· ὁ δὲ πιστὸς καὶ μαθὼν αὐτὸν καὶ ἀκούσας, εἰ μέλλοι τῆς αὐτῆς τῷ Ἕλληνι συγκαταβάσεως δεῖσθαι, τί τὸ ὄφελος; ποῖον τὸ κέρδος; ἀλλ' ἡ συνήθεια χαλεπόν, καὶ δυσαποσπάστως ἔχεις; οὐκοῦν ἐπεὶ τοσαύτη τῆς συνηθείας ἡ τυραννίς, εἰς ἑτέραν αὐτὴν μετάγαγε συνήθειαν. καὶ πῶς δυνατόν, φησιν; ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω. ἔστωσαν λογισταὶ τῶν λεγομένων πολλοί, ἔστωσαν ἐξετασταὶ καὶ διορθωταί. (γρ. δοκιμασταί) οὐκ ἔστιν, οὐκ ἔστιν αἰσχύνη τὸ ὑφ' ἑτέρων διορθοῦσθαι· μᾶλλον μὲν οὖν αἰσχύνη τὸ ἀπωθεῖσθαι τοὺς διορθοῦντας, καὶ ἐπὶ βλάβῃ τῆς οἰκείας σωτηρίας τοῦτο ποιεῖν. καὶ σὺ μέν, ἂν τὴν ἐσθῆτα ἂν ἐνδύμασιν περιβάλῃ, καὶ παῖδα ἐπιτρέπεις διορθῶσαι, καὶ οὐκ αἰσχύνῃ παρ' ἐκείνου μανθάνων, καίτοιγε ἐν τούτῳ πολλὴ ἡ αἰσχύνη· ἐνταῦθα δὲ τὴν ψυχὴν βλαπτόμενος, αἰσχύνῃ, εἰπέ μοι, παρ' ἑτέρου παιδεύεσθαι; (γρ. τὸν βίρρον ἀλλ. τὸ βίρρον) καὶ κοσμοῦντα μέν σε περὶ τὴν ἐσθῆτα φέρεις τὸν οἰκέτην καὶ ἀποδιδοῦντα· κοσμοῦντα δὲ τὴν ψυχὴν οὐ φέρεις; καὶ πόσης οὐ ταῦτα ἀνοίας; (γρ. -δύοντα) ἔστω καὶ οἰκέτης τούτων διδάσκαλος, ἔστω καὶ παιδίον, ἔστω καὶ γυνή, ἔστω καὶ φίλος, ἔστω καὶ συγγενὴς καὶ γείτων. ὥσπερ γὰρ τὸ πάντοθεν ἐλαυνόμενον θηρίον οὐχ οἷόν τε διαφυγεῖν, οὕτω τὸν τοσούτους ἔχοντα φύλακας, τὸν τοσούτους ἐπιτιμῶντας, τὸν πολλαχόθεν πληττόμενον, οὐκ ἔνι μὴ φυλάξασθαι. καὶ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ χαλεπῶς οἴσει τοῦτο, καὶ κατὰ τὴν δευτέραν, καὶ ἐν τῇ τρίτῃ· λοιπὸν δὲ ῥᾷον ἔσται, καὶ

μετὰ τὴν τετάρτην οὐδὲ τὸ πρᾶγμα ἔσται αὐτό. Ἅπερ οὖν ποιήσατε, εἴγε ἀπατᾶτε· φροντίσατε, παρακαλῶ. Οὐκ ἔστι γὰρ τυχεῖν ἁμαρτανομένους, οὐδὲ κατορθουμένους· ἀλλὰ ἑκατέρωθεν μέγα καὶ κακὸν, καὶ καλόν. Γένοιτο δὲ καλὸν ἡμᾶς, * χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. οὐδὲ τὸ πρᾶγμα ἔσται τοῦτο. * γένοιτο δ' ἂν πεισθέντων,

Λογ. ια. 23 ΑΠΟΛΥΘΕΝΤΕΣ ΔΕ ΗΛΘΟΝ ΠΡΟΣ ΤΟΥΣ ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον.

Οὐχὶ φιλοτιμίας ἕνεκεν διηγοῦνται· πῶς γάρ; ἀλλὰ τῆς τοῦ Χριστοῦ χάριτος " ταῦτα τεκμήρια " ἐπιδείκνυνται. Διὸ καὶ ὅσα μὲν ἐκεῖνοι εἶπον, ταῦτα διηγοῦνται· τὰ δὲ αὐτῶν, εἰ καὶ περιέχοισι, ὅμως καὶ ταύτῃ θαρσαλεώτεροι γίνονται. Καὶ σκόπει πῶς πάλιν ἐπὶ τὴν ἀληθῆ βοήθειαν καταφεύγουσιν, ἐπὶ τὴν συμμαχίαν τὴν ἄμαχον, καὶ πάλιν ὁμοθυμαδὸν καὶ μετὰ σπουδῆς. Οὐδὲ γὰρ ἔστιν εὐχὴ ἁπλῶς γινομένη.

χ. τὰ χ. ἐπιδείκνυνται.

24 Οἱ δὲ ἀκούσαντες, φησὶν, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν, καὶ εἶπον.

Ὁρᾷς πῶς εἰσὶν ἠκριβωμέναι αὐτῶν αἱ εὐχαί; ὅτε τὸν ἄξιον εἰς ἀποστολὴν ἠξίουν αὐτοῖς ἀναδειχθῆναι, οὕτως ἔλεγον· Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον (προγνώστου γὰρ ἦν ἐκεῖ χρεία) ἐν ταῦθα δὲ, ἐπειδὴ ἐπιστομισθῆναι τοὺς ἐναντίους ἔχρῃζον, περὶ δεσποτείας διαλέγονται. Διὸ καὶ οὕτως ἤρξαντο· Δέσποτα σὺ ὁ Θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Πραξ. α. κδ.

25 Ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπὼν, Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Ψαλ. β. α.

26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Καθάπερ συνθήκας ἀπαιτοῦντες τὸν Θεὸν, τὴν προφητείαν εἰς μέσον ἄγουσιν, ἅμα καὶ ἑαυτοὺς παραμυθούμενοι, ὅτι εἰκῆ ἅπαντα μελετῶσιν οἱ ἐχθροί. Ὃ οὖν λέγουσι, τοῦτό ἐστιν· ἐκεῖνα εἰς πέρας ἄγαγε, καὶ δεῖξον ὅτι κενὰ ἐμελέτησαν.

27 Συνήχθησαν γὰρ, φησὶν, ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ,

28 Ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι.

29 Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν. Ὁρᾷς τὴν φιλοσοφίαν, καὶ πῶς οὐχὶ καταρωμένων ἐστὶ ταῦτα; Οὐκ εἴπομεν δὲ τὰς ἀπειλὰς ἰδικῶς *, ἀλλ' ὅτι ἠπείλησαν μόνον λέγουσιν. Ἐπιτέμνεται γὰρ ὁ συγγραφεὺς τὸν λόγον. Καὶ ὅρα· οὐκ εἶπε, "πάταξον αὐτοὺς, κατάβαλε αὐτούς· ἀλλὰ τί; Καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου. Οὕτω μανθάνωμεν εὔχεσθαι καὶ ἡμεῖς. Καίτοιγε πόσου οὐκ ἂν οὗτος ἐμπλησθείη θυμοῦ, εἰς ἄνδρας ἐμπεσὼν ἀνελεῖν αὐτὸν ἐπιχειροῦντας καὶ ἀπειλοῦντας τοιαῦτα; πόσης οὐκ ἂν ἀπεχθείας πληρωθείη; ἀλλ' οὐχ οἱ ἅγιοι " τοιοῦτοι.

* ἴσως ὡς φοβερὰς. χ. ὄγκον. χ. οὗτοι.

30 Ἐν τῷ τὴν χεῖρά σου, φησὶν, ἐκτείνειν εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. Ἂν ἐν τῷ ὀνόματι ἐκείνῳ γίνωνται αἱ ἐνέργειαι, μεγάλη ἔσται ἡ παρρησία.

31 Δεηθέντων δὲ αὐτῶν ἐσαλεύθη, φησὶν, ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι.

Τοῦ αἰσχυνθῆναι αὐτοὺς καὶ τῆς ἐπισκέψεως τοῦ Θεοῦ τοῦτο τεκμήριον γέγονε.

Καὶ

Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου. Τί ἐστιν, ἐπλήσθησαν; ἀντὶ τοῦ, ἀνεπυρώθησαν τῷ πνεύματι, καὶ διέχεον εἰς αὐτοὺς τὸ χάρισμα. Καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας.

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Ὁρᾷς ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτῶν εἰσέφερον; πανταχοῦ γὰρ τοῦτο χρὴ παρατηρεῖν, ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτῶν ἐπιδεικνύουσι. καθάπερ Πέτρος ἔλεγεν, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. (Πράξ. γ. ϛ.) ὁ ἀνωτέρω δὲ ἦν εἰπεῖν, ὅτι πάντες ἦσαν ἐπὶ τὸ αὐτό, πάλιν ἐνταῦθα δηλῶν τὸ αὐτὸ λέγει, ὅτι τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. εἰπὼν δὲ, ὅτι ἠκούσθησαν, λέγει λοιπὸν αὐτῶν καὶ τὴν ἀρετήν. καὶ γὰρ μέλλει ἐμβαίνειν εἰς τὸ διήγημα τῆς Σαπφείρας καὶ τοῦ Ἀνανίου. διὸ θέλων δεῖξαι τὴν μιαρίαν ἐκείνων, πρότερον περὶ τῆς τῶν ἄλλων ἀρετῆς διαλέγεται. εἰπὲ δή μοι· ἡ ἀγάπη τὴν ἀκτημοσύνην ἔτεκεν, ἢ ἡ ἀκτημοσύνη τὴν ἀγάπην; ἐμοὶ δοκεῖ ἡ ἀγάπη τὴν ἀκτημοσύνην, ἢ καὶ ἐπέσφιγξεν αὐτὴν μᾶλλον. ὅρα γοῦν τί φησιν· ὅτι πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ἰδοὺ καρδία καὶ ψυχὴ τὸ αὐτό. Καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. (χ. λοιπὸν)

33 Καὶ δυνάμει μεγάλῃ ἀπεδίδουν τὸ μαρτύριον τῆς ἀναστάσεως οἱ ἀπόστολοι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Καθάπερ ἐγχειρισθέντας αὐτοὺς δείκνυσι, καὶ ὡς περὶ ὀφλήματος λέγει· τουτέστι, τὸ μαρτύριον τῆς βασιλείας μετὰ παρρησίας πᾶσιν ἀπεδίδουν.

Χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς.

34 Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. Καθάπερ ἐν οἰκίᾳ πατρικῇ, ἅτε ὡς ὁμότιμοι πάντες, οὕτω διέκειντο. οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι ἔτρεφον μὲν τοὺς ἄλλους, ὡς ἐξ ἰδίων δὲ τρέφοντες, οὕτω διέκειντο· ἀλλὰ τὸ θαυμαστὸν τοῦτο ἐστίν, ὅτι ἑαυτῶν ἀποστήσαντες τὰ πράγματα, οὕτως ἔτρεφον, ἵνα μηκέτι ὡς ἐξ ἰδίων, ἀλλ' ὡς ἐκ κοινῶν τρέφειν δοκῶσιν.

Ὅσοι δὲ κτήτορες χωρίων, φησίν, ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων,

35 Καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε. Πολλὴ ἡ τιμή, εἴγε μὴ εἰς χεῖρας, ἀλλὰ παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἐτίθουν.

36 Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον, υἱὸς παρακλήσεως. Οὐ δοκεῖ μοι οὗτος ἐκεῖνος εἶναι ὁ μετὰ Ματθίου. ἐκεῖνος γὰρ καὶ Ἰωσῆς ἐλέγετο καὶ Βαρσαβᾶς, ὕστερον δὲ ἐπεκλήθη καὶ Ἰοῦστος· οὗτος δὲ Βαρνάβας, ὅ ἐστιν υἱὸς παρακλήσεως, ὑπὸ τῶν ἀποστόλων ἐπωνομάσθη. καὶ δοκεῖ μοι ἀπὸ τῆς ἀρετῆς εἰληφέναι τὸ ὄνομα, ὡς πρὸς τοῦτο ἱκανὸς ὢν καὶ ἐπιτήδειος. Λευΐτης, Κύπριος τῷ γένει,

37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων. Πανταχοῦ παρατήρει πῶς δείκνυσι τὸν νόμον λυόμενον. καὶ πῶς, φησί, Λευΐτης ὢν, Κύπριος ἦν; ὅτι λοιπὸν καὶ μετοικοῦντες ἐχρημάτιζον Λευῖται. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἀπολυθέντες, φησίν, ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον. ὅρα τὸ ἄτυφον τῶν ἀποστόλων καὶ τὴν φιλοσοφίαν. οὐ προσελθόντες ἐκόμπασαν καὶ εἶπον, πῶς ἀπεχρήσαντο τοῖς ἱερεῦσιν, οὐδὲ ἐφιλοτιμήσαντο τῇ ἀπαγγελίᾳ, ἀλλ' ἁπλῶς ἐλθόντες, ἅπερ ἤκουσαν παρὰ τῶν πρεσβυτέρων, ἀπαγγέλλουσιν. ὅρα αὐτοὺς οὐκ ἐπιρρίπτοντας ἑαυτοὺς τοῖς πειρασμοῖς, ἀλλὰ καὶ τοὺς ἐπαγομένους γενναίως φέροντας. ἄλλος δὲ εἴ τις ἦν, * ἴσως ἂν τῇ τοῦ πλήθους παρρησίᾳ θαρρῶν, κἂν ὕβρισε, κἂν μυρία ἐφθέγξατο δυσχερῆ. ἀλλ' οὐχ οἱ φιλόσοφοι οὗτοι· ἀλλ' ἅπαντα ἡμέρως καὶ ἐπιεικῶς. οἱ δὲ ἀκούσαντες, φησίν, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεόν. ἡ

(* τῆ μαθητ.)

κραυγή

κραυγὴ γέγονεν ἀπὸ ἡδονῆς καὶ διαθέσεως πολλῆς. καὶ γὰρ αἱ τοιαῦται ἀνύουσιν εὐχαί, αἱ φιλοσοφίας γέμουσαι, αἱ περὶ τοιούτων γινόμεναι, αἱ ὑπὲρ τῶν τοιούτων, αἱ ἐν τοῖς τοιούτοις καιροῖς, αἱ κατὰ τὸν Ἀπόστολον· ὡς αἵ γε ἄλλαι βδελυκταὶ καὶ ἀκάθαρτοι. ὅρα πῶς οὐδὲν περιττὸν, * ἀλλὰ περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγονται μόνον, μᾶλλον δὲ καθάπερ αὐτὸς ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις, Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ λαλῶ· οὕτω καὶ οὗτοί φασι διὰ πνεύματος ἁγίου. ἰδοὺ καὶ ὁ σωτὴρ ἐν πνεύματι φθέγγεται. τί δέ ἐστιν, ὃ καὶ λέγουσιν, ἄκουε. δέσποτα ὁ Θεὸς, ὁ διὰ στόματος Δαβὶδ παιδός σου εἰπών, Ἱνατί ἐφρύαξαν ἔθνη; ἔθος τῇ γραφῇ καὶ περὶ ἑνὸς ὡς περὶ πολλῶν λέγειν. ἃ οὖν λέγουσι τοῦτό ἐστιν· οὐκ αὐτοὶ* ἴσχυσαν, ἀλλὰ σὺ τὸ πᾶν, ὁ ἐπιτρέψας* καὶ εἰς πέρας ἀγαγὼν, εἰργάσω, ὁ εὐμήχανος καὶ σοφὸς, ὁ τοῖς ἐχθροῖς εἰς τὸ βούλημά σου χρησάμενος. ἐνταῦθα γὰρ περὶ τῆς πολλῆς εὐμηχανίας αὐτοῦ καὶ σοφίας καὶ δυνάμεως αὐτοῦ διαλέγονται. συνῆλθον μὲν οὖν ὡς ἐχθροὶ, καὶ φονικῇ προαιρέσει, καὶ ὡς ἐναντιούμενοι· ἐποίουν δὲ, ἃ σὺ ἐβούλου ποιῆσαι· ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. τί ἐστιν ἡ χείρ σου; ἐνταῦθά μοι δοκεῖ χεῖρα λέγειν τὴν δύναμιν καὶ βουλήν. ἄρκει, φησι, βουληθῆναί σε μόνον. οὐδεὶς γὰρ δυνάμει προσέλκει. τὸ δὲ οὖν, ὅσα ἡ χείρ σου, τοῦτό ἐστιν, ὅσα διέταξας. ἢ τοίνυν τοῦτο λέγει, ὅτι τῇ χειρὶ διεπράξατο. ἅπερ οὖν τότε κατεμελέτησαν, ταῦτα καὶ νῦν, φησι, καταμελετῶσιν αὐτοὶ ποιῆσαι, τουτέστι, μὴ εἰς ἔργον ἔλθοιεν αἱ ἀπειλαὶ αὐτῶν. ταῦτα δὲ ἔλεγον, οὐκ αὐτοὶ παραιτούμενοι δυσχερές τι παθεῖν, ἀλλ' ὑπὲρ τοῦ κηρύγματος. οὐ γὰρ εἶπον, καὶ ἐξελοῦ τῶν κινδύνων ἡμᾶς· ἀλλὰ τί; καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου. ὁ ἐκεῖνα εἰς τέλος ἀγαγὼν, καὶ ταῦτα ἄγαγε, ἃ ἐνεχείρισας, φησιν. ὅρα πῶς καὶ ἐν τῇ εὐχῇ διαμνημονεύουσι τὸ πάθος, καὶ τὸ πᾶν εἰς αὐτὸν ἀνατιθέασι, καὶ τῆς παρρησίας αὐτὸν αἴτιον εἶναι λέγουσιν. εἶδες πῶς πάντα διὰ τὸν Θεὸν αἰτοῦσι, καὶ οὐδὲν εἰς οἰκείαν δόξαν, οὐδὲ φιλοτιμίαν; τὸ μὲν οὖν αὐτῶν ἐπαγγέλλονται, ὅτι οὐ καταπλαγήσονται· ἀξιοῦσι δὲ σημεῖα γενέσθαι. ἐν τῷ τὴν χεῖρά σου, φησιν, ἐκτείνειν εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι. καλῶς. χωρὶς γὰρ τούτων εἰ μυρίαν ἐπεδείξαντο προθυμίαν, εἰκῆ πάντα ἐποίουν. ἐπένευσεν αὐτῶν τῇ αἰτήσει, καὶ δῆλον τοῦτο ἐποίησε σείσας τὸν τόπον. δεηθέντων γὰρ αὐτῶν, φησιν, ἐσαλεύθη ὁ τόπος. ὅτι δὲ διὰ φόβον τοῦτο ἐγένετο, ἄκουε τοῦ προφήτου λέγοντος· Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ πάλιν· Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. *Ψαλ. ργ. λγ.* ἐποίει δὲ τοῦτο ὁ Θεὸς καὶ διὰ φόβον μείζονα, καὶ εἰς θάρσος αὐτοὺς ἐνάγων μετὰ τὰς ἀπειλὰς ἐκείνας, καὶ εἰς παρρησίαν πλείονα ἀλείφων. ἐπειδὴ ἀρχὴ ἦν, καὶ αἰσθητοῦ ἐδέοντο σημείου πρὸς τὸ πιστεῦσαι αὐτούς· μετὰ δὲ ταῦτα οὐδαμοῦ τοῦτο γέγονε. πολλῆς τῆς παρακλήσεως ἔτυχον ἀπὸ τῆς εὐχῆς. εἰκότως δὲ καὶ σημείων χρῄζουσιν. οὐδαμόθεν γὰρ ἄλλοθεν εἶχον ἐπιδεῖξαι ὅτι ἀνέστη, ἀλλ' ἢ ἀπὸ τῶν σημείων. ὥστε οὐ τὴν ἀσφάλειαν ἐζήτουν τὴν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὸ μὴ καταισχυνθῆναι, ἀλλὰ τὸ ἐν παρρησίᾳ φθέγγεσθαι. ἐσαλεύθη ὁ τόπος, καὶ αὐτοὺς μᾶλλον ἐστερέωσε. τοῦτο δὲ ποτὲ μὲν ὀργῆς ἐστι δεῖγμα, ποτὲ δὲ ἐπισκέψεως καὶ προνοίας, νυνὶ δὲ ὀργῆς. ἐπὶ δὲ τοῦ σωτηρίου πάθους ξένως καὶ παρὰ φύσιν γέγονε. καὶ γὰρ πᾶσα ἐσαλεύθη ἡ γῆ. καὶ αὐτὸς δὲ ὁ σωτὴρ ἔλεγε· Τότε ἔσονται λιμοὶ, καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους· ἄλλως δὲ καὶ ὀργῆς τῆς κατ' ἐκείνων ἦν. *Ματθ. ζ. κδ.* τούτους γὰρ πνεύματος ἁγίου ἐνέπλησεν. ὅρα, καὶ οἱ ἀπόστολοι μετὰ τὴν εὐχὴν πνεύματος πληροῦνται.

33 Καὶ χάρις μεγάλη ἦν, φησιν, ἐπὶ πάντας αὐτούς.

34 Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. — Ὁρᾷς ὅτι πολλὴ τοῦ πνεύματος ἡ δύναμις, ὅπου γε καὶ ἐκ ταύτης ἐδήλου; αὕτη γὰρ ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ἧς καὶ δεύτερον μέμνηται, παιδεύων πᾶσι τὴν τῶν χρημάτων ὑπεροψίαν· ἀνώτερον μὲν λέγων, ὅτι οὐδεὶς τι τῶν ὑπαρχόντων αὐτῶν ἔλεγεν ἴδιον εἶναι· ἐνταῦθα δὲ, ὅτι οὐκ ἐνδεής τις ὑπῆρχεν ἐν

αὐτοῖς. ὅτι γὰρ οὐ τῶν σημείων ἦν τὸ γινόμενον, ἀλλὰ καὶ τῆς αὐτῶν προαιρέσεως, δηλοῖ ἡ Σάπφειρα καὶ ὁ Ἀνανίας. οὐ λόγῳ δὲ μόνον, ἀλλὰ καὶ δυνάμει τὸ μαρτύριον τῆς ἀναστάσεως ἐδείκνυσαν, καθάπερ καὶ ὁ Παῦλός φησι· Καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. καὶ οὐχ ἁπλῶς δυνάμει, ἀλλὰ μεγάλῃ δυνάμει. καὶ καλῶς εἶπε, χάρις ἦν ἐπὶ πάντας. δεῖ τοῦτο γὰρ ἡ χάρις, ὅτι οὐδεὶς ἦν ἐνδεὴς τούτοις, ἀπὸ τῆς πολλῆς προθυμίας τῶν ἐπιδιδόντων οὐδεὶς ἦν ἐνδεής. οὐ γὰρ μέρη μὲν ἐδίδοσαν, μέρη δὲ ἐπεμελοῦντο· οὐδὲ πάντα μὲν ἐδίδοσαν, ὡς ἴδια δέ. τὴν ἀνωμαλίαν ἐκ μέσου ἐξήγαγον, καὶ ἐν ἀφθονίᾳ ἔζων πολλῇ *· καὶ μετὰ πολλῆς δὲ τῆς τιμῆς τοῦτο ἐποίουν. οὐδὲ γὰρ εἰς τὰς χεῖρας ἐτόλμων δοῦναι, οὐδὲ τετυφωμένως προσεῖχον, ἀλλὰ παρὰ τοὺς πόδας ἔφερον, καὶ αὐτοὺς οἰκονόμους ἠφίεσαν γίνεσθαι, καὶ κυρίους ἐποίουν, ἵνα ὡς ἐκ κοινῶν λοιπὸν ἀναλίσκηται, μηκέτι ὡς ἐξ ἰδίων. τοῦτο καὶ πρὸς τὸ μὴ κενοδοξεῖν αὐτοὺς συνέβαλλεν.

α. Κορ. β. δ.

γ. πειθοῖς

γ. μέρει

γ. μέρει

* καὶ ἐποίουν εὐταξίαν

ΗΘΙΚΟΝ Τοῦτο εἰ καὶ νῦν γένοιτο, μετὰ πλείονος ἂν τῆς ἡδονῆς ἐβιώσαμεν καὶ πλούσιοι καὶ πένητες. οὐ τοῖς πένησι δὲ μᾶλλον, ἢ τοῖς πλουσίοις τοῦτο ἔφερεν ἂν τὴν ἡδονήν. καί, εἰ βούλει, τέως ὑπογράψωμεν αὐτὸ τῷ λόγῳ, καὶ ταύτῃ καρπωσώμεθα τὴν ἡδονήν, ἐπειδὴ ἐν ἔργοις οὐ βούλεσθε. μάλιστα μὲν γὰρ καὶ ἐξ ἐκείνων δῆλον τῶν τότε γινομένων, ὅτι πωλοῦντες οὐκ ἦσαν ἐνδεεῖς, ἀλλὰ καὶ τοὺς πένητας πλουσίους ἐποίουν. πλὴν ἀλλὰ καὶ νῦν ὑπογράψωμεν τοῦτο τῷ λόγῳ, καὶ πάντες τὰ αὐτῶν πωλείτωσαν πάντα, καὶ φερέτωσαν εἰς μέσον, τῷ λόγῳ λέγω. μηδεὶς θορυβείσθω, μήτε πλούσιος, μήτε πένης. πόσον οἴει χρυσίον συνάγεσθαι; ἐγὼ στοχάζομαι (οὐ γὰρ δὴ μετὰ ἀκριβείας δυνατὸν εἰπεῖν) ὅτι εἰ πάντες καὶ πᾶσαι τὰ αὐτῶν ἐνταῦθα ἐκένωσαν χρήματα, καὶ χωρία καὶ κτήματα καὶ οἰκίας ἀπέδοντο (ἀνδράποδα γὰρ οὐκ ἂν εἴποιμι. οὐδὲ γὰρ τότε τοῦτο ἦν, ἀλλ' ἐλευθέρους ἴσως ἐπέτρεπον γίνεσθαι) τάχα ἂν ἑκατὸν μυριάδες λιτρῶν χρυσίου συνήχθησαν, μᾶλλον δὲ καὶ δὶς καὶ τρὶς τοσαῦται. ἐννόησον γάρ μοι, ἡ πόλις ἡμῶν εἰς πόσον μυριάδων ἀριθμὸν νῦν τελεῖ; πόσους βούλεσθε εἶναι χριστιανούς; βούλεσθε δέκα μυριάδας, τὸ δὲ ἄλλο ἑλλήνων καὶ Ἰουδαίων; πόσαι μυριάδες ἂν χρυσίου συνελέγησαν; πόσος δὲ ἀριθμός ἐστι πενήτων; οὐκ οἶμαι πλέον μυριάδων πέντε. τούτους δὴ καθ' ἑκάστην ἡμέραν τρέφεσθαι, πόση ἀφθονία ἦν; καίτοι κοινῆς τῆς τροφῆς γινομένης, καὶ συσσιτίων ὄντων, οὐδὲ πολλῆς ἂν ἐδέησε δαπάνης. τί οὖν, φησιν, ἐμέλλομεν ποιεῖν μετὰ τὸ ἀναλωθῆναι πάντα; σὺ οἴει δυνηθῆναι ἀναλωθῆναί ποτε; οὐ γὰρ ἂν μυριοπλασίων ἡ τοῦ Θεοῦ χάρις γένοιτο; οὐ γὰρ πλουσίως ἂν ἡ τοῦ Θεοῦ χάρις ἐξεχύθη; τί δέ, οὐκ ἂν οὐρανὸν ἐποιήσαμεν τὴν γῆν; εἰ, ἔνθα τρισχίλιοι καὶ πεντακισχίλιοι, τοῦτο γινόμενον οὕτως ἔλαμψε, καὶ οὐδεὶς αὐτῶν πενίαν ᾐτιάσατο· πόσῳ μᾶλλον ἐν τοσούτῳ πλήθει; τίς δὲ οὐκ ἂν καὶ τῶν ἔξωθεν ἐπέδωκεν; ἵνα δὲ δείξω ὅτι τὸ διεσπασμένον τοῦτο δαπανηρόν, καὶ πενίας ποιητικόν· ἔστω οἰκία, ἔνθα παιδία δέκα καὶ γυνὴ καὶ ἀνὴρ καὶ ἡ μὲν ἐριουργείτω, ὁ δὲ ἔξωθεν φερέτω προσόδους. εἰπὲ δή μοι, οὗτοι κοινῇ σιτούμενοι καὶ μίαν ἔχοντες οἰκίαν πλείονα ἂν ἀναλίσκοιεν, ἢ διασπασθέντες; εὔδηλον ὅτι διασπασθέντες. εἰ γὰρ μέλλοιεν διασπᾶσθαι τὰ δέκα παιδία, δέκα καὶ οἰκημάτων χρεία, δέκα τραπεζῶν, δέκα ὑπηρετῶν, καὶ τῆς ἄλλης προσόδου τοσαύτης. τί δὲ ἔνθα δούλων πλῆθός ἐστιν; οὐχὶ διὰ τοῦτο πάντες μίαν ἔχουσι τράπεζαν, ὥστε μὴ πολλὴν γενέσθαι τὴν δαπάνην; ἡ γὰρ διαίρεσις ἀεὶ ἐλάττωσιν ἐμποιεῖ· ἡ δὲ ὁμόνοια καὶ συμφωνία αὔξησιν. οὕτως οἱ ἐν τοῖς μοναστηρίοις ζῶσι νῦν, ὥσπερ τότε οἱ πιστοί. τίς ἀπέθανεν οὖν ἀπὸ λιμοῦ; τίς δὲ οὐ διετράφη μετὰ ἀφθονίας πολλῆς; νῦν μὲν οὖν τοῦτο δεδοίκασιν ἄνθρωποι μᾶλλον, ἢ εἰς πέλαγος ἐμπεσεῖν ἄπλετον καὶ ἄπειρον. εἰ δὲ πεῖραν ἐποιησάμεθα τούτου, τότε ἂν κατετολμήσαμεν τοῦ πράγματος. πόσην οἴει καὶ χάριν εἶναι; εἰ γὰρ τότε, ὅτε οὐδεὶς ἦν πιστός, ἀλλὰ τρισχίλιοι καὶ πεντακισχίλιοι μόνοι, ὅτε πάντες οἱ τῆς

γ. ἐστὶ

γ. πόσων χι-λιάδων ἀριθμὸν αὐτήν;

γ. μᾶλλον δὲ

γ. διασπασμὸς

γρ. τοσούτου
γρ. Χριστοῦ

οἰκουμένης ἦσαν ἐχθροί, ὅτε οὐδαμόθεν προσεδόκων παραμυθίαν, οὕτω δὴ κατετόλμησαν τοῦ πράγματος, πόσῳ μᾶλλον νῦν τοῦτο ἂν ἐγένετο, ἔνθα τῇ τοῦ Θεοῦ χάριτι πανταχοῦ τῆς οἰκουμένης πιστοί; τίς δὲ ἂν ἔμεινεν Ἕλλην λοιπόν; οὐδένα ἔγωγε ἡγοῦμαι. οὕτως ἂν πάντας ἐπεσπασάμεθα καὶ εἱλκύσαμεν πρὸς ἡμᾶς αὐτούς. πλὴν ἀλλ' ἐὰν ὁδῷ προβαίνωμεν, πιστεύω τῷ Θεῷ ὅτι καὶ τοῦτο ἔσται. πείθητέ μοι μόνον, καὶ κατὰ τάξιν κατορθώσωμεν τὰ πράγματα. καὶ ἂν ὁ Θεὸς ζωὴν δῷ, πιστεύω ὅτι ταχέως εἰς ταύτην ὑμᾶς ἄξομεν τὴν πολιτείαν. πῶς τὸν νόμον τὸν περὶ τοῦ ὅρκου κατορθώσατε καὶ βεβαιώσατε· καὶ ὁ φυλάξας, τὸν μὴ φυλάξαντα δῆλον ποιείτω, καὶ ἐγκαλείτω λοιπὸν καὶ ἐπιτιμάτω σφοδρῶς. ἡ γὰρ προθεσμία ἐστί, καὶ ἐξέτασιν ποιήσω τοῦ πράγματος, καὶ τοὺς ἀλόντας ἀφορίσω καὶ ἀπείρξω. ἀλλὰ μηδένα γένοιτο τοιοῦτον εὑρεθῆναι παρ' ὑμῖν· ἀλλὰ πάντας μετὰ ἀκριβείας τὸ σύνθημα τὸ πνευματικὸν τοῦτο φυλάξαι· καὶ καθάπερ ἐν πολέμῳ ἀπὸ τοῦ συνθήματος οἵ τε οἰκεῖοι, καὶ ἀλλότριοι γνωρίζονται· οὕτω δὴ καὶ νῦν γινέσθω (καὶ γὰρ καὶ νῦν ἐν πολέμῳ ἐσμὲν) ἵνα καὶ τοὺς ἀδελφοὺς ἐπιγινώσκωμεν τοὺς οἰκείους. ὅσον γὰρ ἐστὶν ἀγαθὸν τοῦτο ἡμῖν εἶναι τὸ γνώρισμα καὶ ἐν τῇ, καὶ ἐπὶ τῆς ἀλλοτρίας; οἶδας ἐστὶ τοῦτο ὅπλον κατὰ τῆς τοῦ διαβόλου μηχανῆς; στόμα γὰρ οὐκ εἰδὸς ὀμνύειν, ταχέως καὶ τὸν Θεὸν ἐν εὐχαῖς ἐπισπάσεται, καὶ τὸν διάβολον πλήξει καιρίαν πληγήν. στόμα οὐκ εἰδὸς ὀμνύειν, οὐδὲ ὑβρίζειν εἴσεται. καθάπερ ἐξ οἰκίας τινός, οὕτως ἀπὸ τῆς γλώττης τὸ πῦρ ἔκβαλε τοῦτο καὶ παρέλκυσον ἔξω· δὸς αὐτῇ μικρὸν ἀναπνεῦσαι· τὸ ἕλκος ἀσθενέστερον ποίησον. καὶ παρακαλῶ, ἵνα ὑμῖν καὶ ἕτερόν τι ἐκδῶ μάθημα. οὔπω γὰρ τούτου κατορθωμένου, οὐ τολμῶ ἐπὶ ἕτερόν τι ἐλθεῖν. τοῦτο μετὰ ἀκριβείας ὑμῖν κατορθωθήτω· τούτου λάβετε τοῦ κατορθώματος αἴσθησιν περιττήν, καὶ τότε ὑμῖν καὶ ἑτέρους εἰσάξω νόμους, μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' ὁ Χριστός. φυτεύσατε ἐν τῇ ψυχῇ τῇ ὑμετέρᾳ τοῦτο τὸ καλόν, καὶ μετὰ μικρὸν ἔσεσθε παράδεισος τοῦ Θεοῦ, πολλῷ βελτίων ἐκείνου τοῦ παραδείσου. οὔτε γὰρ ὄφις παρ' ὑμῖν, οὔτε δένδρον θανατηφόρον, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. πήξατε ἐν βάθει ταύτην τὴν συνήθειαν. ἂν τοῦτο γένηται, οὐχ ὑμεῖς οἱ παρόντες ὠφεληθήσεσθε μόνοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ οἰκουμένῃ· καὶ οὐκ ἐκεῖνοι μόνον, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα ἐπιγινόμενοι. ἔθος γὰρ καλὸν εἰσελθὸν καὶ παρὰ πάντων φυλαττόμενον, εἰς μακροὺς διαβιβασθήσεται χρόνους, καὶ οὐδεὶς αὐτὸ καιρὸς ἐκκόψαι δυνήσεται. εἰ ξύλα τις συλλέγων ἐν σαββάτῳ λιθόλευστος γέγονεν· ὁ τὰ πολλῷ τῆς συλλογῆς ἐκείνης χαλεπώτερα ἐργαζόμενος, καὶ φορτίον ἁμαρτιῶν συλλέγων (τοῦτο γὰρ τῶν ὅρκων τὸ πλῆθος) τί οὐχ ὑποστήσεται; τί δὲ οὐχ ὑπομενεῖ; πολλὴν λήψεσθε παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν, ἐὰν τοῦτο ὑμῖν κατορθωμένον ᾖ. ἂν εἴπω, μὴ ὑβρίσῃς, εὐθέως τὸν θυμόν μοι φέρεις εἰς μέσον· ἂν εἴπω, μὴ βασκήνῃς, ἄλλην αἰτίαν ἐρεῖς· ἐν ταῦθα οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν. διὰ τοῦτο ἀπὸ τῶν εὐκόλων ἠρξάμην, ἐπεὶ καὶ ἐν ταῖς τέχναις ἁπάσαις τὸ αὐτὸ ποιοῦσιν. οὕτω τις καὶ ἐπὶ τὰ μείζονα ἔρχεται, τὰ εὐκολώτερα πολλῷ πρότερον μανθάνων. εἴσεσθε πῶς ἐστὶν εὔκολον τοῦτο, ὅταν τῇ τοῦ Θεοῦ χάριτι κατορθώσαντες τοῦτο, καὶ ἕτερον δέξησθε νόμον. δότε μοι παρρησίαν καὶ ἐπὶ Ἑλλήνων, καὶ ἐπὶ Ἰουδαίων, καὶ πρὸ πάντων ἐπὶ τοῦ Θεοῦ. ναὶ παρακαλῶ πρὸς τῆς ἀγάπης, πρὸς τῆς ὠδῖνος δι' ἧς ὑμᾶς ὤδινα, τεκνία μου. τὸ δὲ ἑξῆς, οὐκ ἐπάξω τό, Οὓς πάλιν ὠδίνω· οὐδὲ ἐρῶ οὐδὲ τό, Ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν (πιστεύω γάρ, ὅτι μεμόρφωται Χριστὸς ἐν ὑμῖν) ἀλλ' ἕτερα πρὸς ὑμᾶς ἐρῶ· Ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου. πιστεύσατε γάρ μοι, ὅτι οὐκ ἄλλως ἐρῶ. εἰ μυρίους τις λιθοκολλήτους στεφάνους βασιλικοὺς ἐπέθηκέ μου τῇ κεφαλῇ νῦν, οὐκ ἂν ηὐφράνθην ὡς εὐφραίνομαι ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ· μᾶλλον δὲ οὐδὲ τὸν βασιλέα οὕτως οἶμαι χαίρειν, ὡς ἐγὼ ἐφ' ὑμῖν, εἰ πάντα τὰ ἔθνη τὰ πολεμοῦντα αὐτῷ νικήσας ἐπανῆλθε, καὶ τοῦ νενομισμένου στεφάνου πλείους ἑτέρους ἔλαβε στεφάνους καὶ ἕτερα διαδήματα

γρ. ἡμῶν·
γρ. φίλοι
γρ. καρδίας;

Ἀριθ. ιε. λϛ.
Γαλ. δ. ιθ.
α. Θεσσ. β. κ.

δὴ ἅπαντα σύμβολα τῆς νίκης, οὐκ ἂν αὐτὸν οὕτως οἶμαι χαίρειν ἐπὶ τοῖς τροπαίοις, ὡς ἐγὼ ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ. ὥσπερ γὰρ μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων, οὕτως ἀγάλλομαι, καὶ εἰκότως. εἰ γὰρ τῇ τοῦ Θεοῦ χάριτι τοῦτο ὑμῖν κατορθωθῇ τὸ ἔθος, μυρίους νενικήκατε πολέμους, καὶ πολλῷ χαλεπωτέρους ἐκείνου, πρὸς δαίμονας πονηρούς, πρὸς ἀλάστορας παλαίσαντες καὶ μαχεσάμενοι, οὐ διὰ μαχαίρας, ἀλλὰ διὰ γλώττης καὶ προαιρέσεως. ὅρα γὰρ ὅσα″ κατορθοῦται, ἐὰν ἄρα κατορθώσητε. πρῶτον, ὅτι συνήθειαν χαλεπὴν ἐκκόπτετε· δεύτερον, λογισμὸν πονηρόν, ὅθεν πάντα τὰ κακά, τὸ νομίζειν ἀδιάφορον εἶναι τὸ πρᾶγμα καὶ μηδὲν βλάπτειν· τρίτον, τὸν θυμόν· τέταρτον, τὴν φιλοχρηματίαν. πάντα γὰρ ταῦτα ὁ ὅρκος τίκτει. ἀλλὰ ἀπὸ τούτου καὶ εἰς τὰ ἄλλα κατορθώματα λήψεσθε πολλὴν ἀφορμήν. καθάπερ γὰρ οἱ τὰ στοιχεῖα μανθάνοντες τῶν παίδων, οὐκ ἐκεῖνα μόνα μανθάνουσιν, ἀλλ᾽ ἐν ἐκείνοις παιδεύονται κατὰ μικρὸν ἀναγινώσκειν· οὕτω δὴ καὶ ὑμεῖς. οὐκέτι λοιπὸν ὑμᾶς ὁ πονηρὸς λογισμὸς ἀπατήσει, οὐδὲ ἐρεῖτε ὅτι ἀδιάφορόν ἐστι τόδε, οὐκέτι τῇ συνηθείᾳ φθέγξεσθε, ἀλλὰ πρὸς ἅπαντα στήσεσθε γενναίως, ἵνα διὰ πάντων τὴν κατὰ Θεὸν ἀρετὴν διανύσαντες, τῶν αἰωνίων ἀπολαύσητε ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. κατορθοῦται

Λογ. ιβ. 36 ΙΩΣΗΦ ΔΕ Ο ΕΠΙΚΛΗΘΕΙΣ ΒΑΡΝΑΒΑΣ
ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευΐτης,
Κύπριος τῷ γένει, 37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ
χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

ΜΕλλει διηγεῖσθαι τὸ κατὰ Ἀνανίαν λοιπὸν καὶ Σάπφειραν, καὶ θέλων δεῖξαι τὸν ἄνδρα χείρονα ἡμαρτηκότα, πρῶτον μέμνηται τοῦ κατωρθωκότος· ὅτι τοσούτου πλήθους ὄντος τοῦ ταῦτα ποιοῦντος, τοσαύτης χάριτος, τοσούτων σημείων, ὑπ᾽ οὐδενὸς τούτων″ διωρθώθη, ἀλλὰ καθάπαξ ὑπὸ τῆς φιλοχρηματίας τυφλωθείς, τὸν ὄλεθρον ἐκεῖνον″ ἐπεσπάσατο τῇ ἑαυτοῦ κεφαλῇ. ὑπάρχοντος αὐτῷ ἀγροῦ. οὕτως εἶπε, δηλῶν ὅτι τοῦτον μόνον ἐκέκτητο. πωλήσας, φησίν, ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

γ. παιδευθείς
γ. ἐπήγαγε

κεφ. ε. 1 Ἀνὴρ δέ τις ὀνόματι Ἀνανίας, σὺν Σαπφείρᾳ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα,
2 Καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καὶ ἐνέγκας μέ-
ρος τι, παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκε. Τὸ δεινόν, ὅτι μετὰ συγκαταθέσεως ἡ
ἁμαρτία, καὶ οὐδεὶς ἕτερος ᾔδει τὸ γινόμενον. πόθεν ἐπῆλθε τῷ ταλαιπώρῳ τούτῳ καὶ ἀθλίῳ
τοῦτο ἐργάσασθαι;
3 Εἶπε δέ, φησιν, ὁ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου
ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Ὅρα καὶ ″νῦν γ. τοῦτο
μέγα σημεῖον γινόμενον, καὶ πολλῷ πλέον ἐκείνου τοῦ προτέρου.
4 Οὐχὶ μένον* σοι ἔμενε, καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; Τουτέστι, μὴ * φησί,
γὰρ ἀνάγκη τις ἦν καὶ βία; μὴ γὰρ ἄκοντας ὑμᾶς ἕλκομεν; Τί ὅτι ἔθου ἐν τῇ καρ-
δίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.
5 Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξεν. Ὁρᾷς πόθεν μεῖζον τὸ
σημεῖον τοῦτο τοῦ σημείου τοῦ χωλοῦ, ″ἀπὸ τοῦ ἀνελεῖν, ἀπὸ τοῦ τὰ ἐν διανοίᾳ εἰδέναι, καὶ τὰ λά-
θρα γενόμενα; Καὶ ἐγένετο, φησι, φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. γ. καὶ [illegible]

6 Ἀναστάντες

6 Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν.

8 Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;

Ταύτην ἐβούλετο σῶσαι· ἐκεῖνος γὰρ ἦν ὁ ἀρχηγὸς τῆς ἁμαρτίας· διὰ τοῦτο αὐτῇ δίδωσι πάλιν καιρὸν ἀπολογίας, καὶ ἐξουσίαν μετανοίας, λέγων· Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπε, ναὶ τοσούτου.

9 Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα τοῦ κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε.

10 Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν. εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

11 Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Μετὰ τὸ γενέσθαι τὸν φόβον αὐτῶν, πλείονα σημεῖα ἐποίουν· καὶ ὅτι ἐποίουν, ἄκουε.

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλὰ, καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος.

13 Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός.

Εἰκότως. καὶ γὰρ ὁ Πέτρος ἦν λοιπὸν φοβερὸς, κολάζων, καὶ τὰ εἰς νοῦν ἐξελέγχων· ᾧ καὶ μᾶλλον προσέκειντο, διά τε τὸ σημεῖον καὶ τὴν προτέραν δημηγορίαν, καὶ τὴν δευτέραν, καὶ τὴν τρίτην. αὐτὸς γὰρ καὶ τὸ σημεῖον εἰργάσατο τὸ πρῶτον, καὶ τὸ δεύτερον, καὶ τὸ νῦν, ὅπερ ἐμοὶ καὶ διπλοῦν, ἀλλ' οὐχ ἁπλῶς ἕν τι καὶ μόνον εἶναι δοκεῖ· ἓν μὲν, τὸ τὰ κατὰ διάνοιαν ἐλέγξαι, δεύτερον δὲ, τὸ αἰρεῖν προστάγματι.

14 Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες, φησὶ, τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν,

15 Ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν.

Τοῦτο ἐπὶ τοῦ Χριστοῦ οὐ γέγονεν, ὅθεν καὶ ὁρᾶν νῦν ἔστιν ἔργῳ τὸ ὑπ' αὐτοῦ εἰρημένον ἐξελθόν. ποῖον δὴ τοῦτο; Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. Ioan. 14. 12.

16 Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλὴμ φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

Σὺ δέ μοι σκόπει, πῶς αὐτοῖς ὁ βίος ὑφαίνεται πᾶς διὰ τῶν ἐναντίων· οἷον, ἀθυμία πρώτη γέγονε διὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, εἶτα εὐθυμία διὰ τὴν τοῦ πνεύματος κάθοδον· πάλιν ἀθυμία διὰ τοὺς χλευάζοντας, εἶτα εὐθυμία διὰ τοὺς πιστοὺς καὶ τὸ σημεῖον· πάλιν ἀθυμία διὰ τὸ καταχεθῆναι, εἶτα εὐθυμία διὰ τῆς ἀπολογίας. πάλιν ἐνταῦθα καὶ εὐθυμία καὶ ἀθυμία. ὅτι μὲν γὰρ ἦσαν λαμπροὶ, καὶ ὁ Θεὸς αὐτοῖς ἀπεκάλυψεν, εὐθυμία· ὅτι δὲ τοὺς αὐτῶν ἀνήρει, ἀθυμία. πάλιν εὐθυμία ἀπὸ τῆς λαμπρότητος· πάλιν ἀθυμία ἀπὸ τοῦ ἀρχιερέως. καὶ ἄλλα τοιαῦτα σκοπουμένους ἰδεῖν δυνατὸν, καὶ ἐπὶ τῶν παλαιῶν δὲ οὕτως εὕροι τις ἄν. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἐπώλουν, φησὶ, καὶ ἔφερον τὰς τιμὰς, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ὅρα μοι, ἀγαπητὲ, πῶς οὐ τοῖς ἀποστόλοις ἐπέτρεπον πωλεῖν, ἀλλ' αὐτοὶ ἐπώλουν, καὶ τὰς τιμὰς ἐκείνοις ἐδίδοσαν. ἀλλ' οὐχ οὕτως ὁ Ἀνανίας, ἀλλ' ὑφαιρεῖταί τι τῆς τιμῆς οὐ ἀπέδοτο ἀγρῷ. διὸ καὶ τιμωρεῖται, ὡς τὸ πρᾶγμα μὴ καλῶς διαθέμενος, καὶ κλέπτων τὰ ἑαυτοῦ φωραθείς. τότε καὶ τῶν νῦν ἱερέων ἥψατο ὁ λόγος, καὶ σφόδρα κατὰ καιρός. ἐπεὶ δὲ συνῄδει τῷ γινομένῳ καὶ ἡ τούτου γυνὴ, διὰ τοῦτο καὶ αὐτὴν ἐξετάζει. ἀλλ'

ἴσως εἴποι τις ἄν, ὅτι σφόδρα πικρῶς αὐτῇ ἐχρήσατο. τί λέγεις, εἰπέ μοι; ποία πικρία;
Λευϊτ. ιε. λε. εἰ ξύλα τις συλλέξας καταλεύεται, πολλῷ μᾶλλον ὁ ἱερόσυλος. ταῦτα γὰρ ἱερὰ λοιπὸν
ἦν τὰ χρήματα. ὁ ἐκὼν οὖν ἑλόμενος τὰ αὐτοῦ πωλῆσαι καὶ διαδοῦναι, εἶτα λαβών, ἱερό- γρ. ὁ γὰρ ἐκ.
συλος ἂν εἴη. εἰ δὲ ὁ ἐκ τῶν αὐτοῦ λαβὼν ἱερόσυλος, πολλῷ μᾶλλον ὁ ἐκ τῶν ἀλλοτρίων.
μὴ γὰρ, ἐπειδὴ νῦν μὴ γέγονε τοῦτο, καὶ ἐπειδὴ παρὰ πόδας ἡ κόλασις, νομίσητε ἀτιμωρητὶ ταῦ-
τα γίνεσθαι. ὁρᾷς ὅτι τοῦτο ἐγκαλεῖται, ὅτι ποιήσας αὐτὰ ἱερὰ χρήματα τότε ἔλαβε; μὴ
γὰρ οὐκ ἠδύνασο, φησί, καὶ μετὰ τὸ πωλῆσαι αὐτὰ ὡς ἰδίοις ἀποχρήσασθαι; μὴ γὰρ ἐκω-
λύθης; διὰ τί μετὰ τὸ ὑποσχέσθαι λαμβάνεις; ὅρα πῶς εὐθέως ἐξ ἀρχῆς ἐπέθετο ὁ διά-
βολος, μεταξὺ σημείων γινομένων καὶ θαυμάτων τοσούτων, πῶς καὶ τοῦ ὑπ' αὐτοῦ ἐπωρώθη.
τοιοῦτόν τι καὶ ἐν τῇ παλαιᾷ γέγονεν, ὅτι ὁ Χαρμὶ τὸ ἀνάθημα κλέψας ἑάλω. ἀλλ' ὅμως γρ. τοῦ ἀναθήματος ἐπιθυμήσιν.
Ἰησ. ζ. β. ἔγνως καὶ ἐκεῖ μεθ' ὅσης ἐκδικίας διωρθώθη τὸ πρᾶγμα. ἱεροσυλία γὰρ σφόδρα χαλε-
πὸν, ἀγαπητοί, καὶ ὑβριστικὸν καὶ πολλῆς γέμον καταφρονήσεως. οὐ τὸ πωλῆσαι ἠναγκάσαμεν,
φησίν, οὔτε πωλήσαντα δοῦναι τὰ χρήματα· σὺ εἵλου ἐξ οἰκείας προαιρέσεως. τί τοίνυν
ἔκλεψας ἀπὸ τῶν ἱερῶν χρημάτων; διὰ τί ἐπλήρωσε, φησίν, ὁ Σατανᾶς τὴν καρδίαν σου;
καὶ εἰ ὁ Σατανᾶς τοῦτο ἐποίησε, τί αὐτὸς ἐγκαλεῖται; αἴτιος γέγονε, δεξάμενος αὐτοῦ τὴν
ἐνέργειαν καὶ πληρωθείς. ἀλλ' ἔδει διορθῶσαι, φησίν. ἀλλ' οὐκ ἂν διωρθώθη. ὁ γὰρ τοι-
αῦτα ὁρῶν καὶ μὴ κερδαίνων, πολλῷ μᾶλλον οὐκ ἂν ἑτέρως ἐκέρδανεν. οὐκ ἔδει τοίνυν ἁ-
πλῶς παρελθεῖν τὸ γεγονός, ἀλλ' ὡς σηπεδόνα ἔδει ἐκτμηθῆναι, ἵνα μὴ τῷ λοιπῷ λυ-
μήνηται σώματι. νῦν μὲν γὰρ καὶ τοῦτο ὠφελεῖται μὴ προελθὼν περαιτέρω κακίας, καὶ οἱ
λοιποὶ σπουδαιότεροι γινόμενοι· τότε δὲ αὐτὸ τοὐναντίον συνέβη. διὰ τοῦτο πρῶτον ἐλέγχει καὶ
δείκνυσιν ὅτι οὐκ ἔλαθεν αὐτὸν τὸ γεγονός, καὶ τότε καταδικάζει. διὰ τί γάρ, φησί, καὶ ἐκ
ποίας προαιρέσεως τοῦτο πεποίηκας; ἤθελες ἔχειν; ἔδει σε ἔχειν ἐξ ἀρχῆς, καὶ μὴ ὑποσχέ-
σθαι· νῦν δὲ λαβὼν μετὰ τὸ ἀναθέσθαι, μείζονα τὴν ἱεροσυλίαν εἰργάσω. ὁ μὲν γὰρ τὰ τῶν γρ. χρημάτων τὴν ἱεροσυ-
ἄλλων λαμβάνων, ἴσως ἀλλοτρίων ἐπιθυμήσας λαμβάνει· σοὶ δὲ ἐξῆν ἔχειν τὰ σά. τί λίαν, ἀγαπη-
τοίνυν ἐποίησας αὐτὰ ἱερά, καὶ τότε ἔλαβες; ἀπὸ πολλῆς καταφρονήσεως τοῦτο πεποίηκας. τοί. ὁ μὲν γὰρ
οὐκ ἔχει τὸ γινόμενον συγγνώμην. ἐκτός ἐστιν ἀπολογίας. μηδεὶς δὲ σκανδαλιζέσθω, εἰ ἀλλότρια ἄλ-
ἴσως καὶ νῦν εἰσιν ἱερόσυλοι. εἰ γὰρ τότε ἦσαν, πολλῷ μᾶλλον νῦν, ὅτε πολλὰ τὰ κακά. ἀλλ' λων ἐπιθύμη-
ἐλέγχωμεν αὐτοὺς ἐπὶ πάντων, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. ὁ Ἰούδας ἱερόσυλος ἦν· ἀλλ' σιν ἴσως καὶ ἀλλοτρίων οὖ
οὐκ ἐσκανδάλισε τοῦτο τοὺς μαθητάς. ὁρᾷς ὅσα κακὰ ἡ τῶν χρημάτων ἐπιθυμία ποιεῖ; καὶ ἐ-
γένετο, φησί, φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. ἐκεῖνος ἐτιμωρήθη, καὶ ἄλ-
λοι ἐκέρδαινον. ὥστε οὐχ ἁπλῶς τοῦτο οἰκονομεῖται· καίτοι δὲ σημείων ἄλλων προτέρων
Ψαλ. θ. ιϛ. γινομένων, ὅμως οὐκ ἦν φόβος τοιοῦτος. οὕτως ἀληθές ἐστιν ἐκεῖνο, ὅτι γινώσκεται Κύριος
κρίματα ποιῶν. ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. οὕτω
β. Βασ. ϛ. ζ. καὶ ἐπὶ τῆς κιβωτοῦ γέγονεν. Ὀζὰ μὲν ἐτιμωρήθη, καὶ ἐγίνετο τοῖς ἄλλοις φόβος. ἀλλ'
ἐκεῖ μὲν φοβηθεὶς ὁ βασιλεὺς ἀπώσατο τὴν κιβωτόν· ἐνταῦθα δὲ οὗτοι μᾶλλον προσεκ- γρ. ἔσω
τικώτεροι γίνονται. εἶδες πῶς οὐκ ἐκάλεσεν αὐτὴν ὁ Πέτρος, ἀλλ' ἀνέμεινεν ὥστε εἰσ- γρ. ἐξειπεῖν
ελθεῖν, οὐδὲ τῶν ἄλλων τις ἐτόλμησεν ἐξειπεῖν τὸ γεγονός; τοῦτο φόβος διδασκάλου· τοῦτο
τιμὴ μαθητῶν· τοῦτο ὑπακοή. τριῶν ὡρῶν διάστημα, καὶ οὐκ ἔμαθεν ἡ γυνή, οὐδὲ ἐξ-
εῖπέ τις τῶν παρόντων, καίτοιγε ἱκανὸν ἦν ἐξηχηθῆναι· ἀλλ' ἐφοβοῦντο. τοῦτο γοῦν καὶ θαυ- γρ. εὐαγγε-
μάζων ὁ συγγραφεὺς λέγει, ὅτι μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθε. καίτοιγε ἀπὸ τούτου ἐνῆν λιστής
μαθεῖν αὐτήν, ὅτι οἶδε τὰ λανθάνοντα. διὰ τί γὰρ μηδένα ἐρωτήσας ὑμᾶς ἐρωτᾷ; ἢ δῆ-
λον, ὅτι ὡς εἰδώς; ἀλλ' ἡ πολλὴ πώρωσις οὐκ εἴασεν αὐτὴν τὸ ἔγκλημα ἀποδύσασθαι,
ἀλλὰ μετ' αὐθαδείας πολλῆς ἀποκρίνεται. ἐνόμιζε γὰρ πρὸς ἀνθρώπους διαλέγεσθαι. γρ. παρρησίας
τὸ δεινὸν τοῦτο, ὅτι ὡς ἐκ μιᾶς βουλῆς ἐπὶ τὴν ἁμαρτίαν ἦλθον, ὥσπερ ἀπὸ συνθήκης τινός. γρ. ψυχῆς

τί ὅτι συνεφωνήθη ὑμῖν, φησὶ, πειράσαι τὸ πνεῦμα Κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. παρέπεμψεν αὐτὴν διδάσκων τὸ ἁμάρτημα, καὶ τοῦτο δεικνὺς, ὅτι δικαίως τὰ αὐτὰ πείσεται τῷ ἀνδρὶ, ἐπειδὴ καὶ τὰ αὐτὰ ἥμαρτε. καὶ πῶς, φησὶ, παραχρῆμα ἔπεσε παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν; ὅτι πλησίον εἱστήκει· οὕτως αὐτοὶ καθ' ἑαυτῶν τὴν τιμωρίαν ἐπεσπάσαντο. τίς λοιπὸν οὐκ ἂν ἐξεπλάγη; τίς οὐκ ἂν ἔδεισε τὸν ἀπόστολον; τίς οὐκ ἂν ἐθαύμασε; * Καὶ ἦσαν ὁμοθυμαδὸν, φησὶν, ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος. ἐκ τούτου δῆλον, ὅτι οὐκ ἐν οἰκίᾳ, ἀλλὰ τὸ ἱερὸν καταλαβόντες ἐκεῖ διέτριβον· οὐκέτι μέχρι λοιπὸν ἀκαθάρτων ἅπτεσθαι ἐφυλάττοντο, ἀλλ' ἁπλῶς ἥπτοντο τῶν νεκρῶν. καὶ ὅρα πῶς ἐν μὲν τοῖς οἰκείοις εἰσὶ σφοδροί, ἐν δὲ τοῖς ἀλλοτρίοις οὐ κέχρηνται τῇ δυνάμει. μᾶλλον δὲ, φησὶ, προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας τιθέναι τοὺς ἀσθενεῖς ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. πολλὴ τῶν προσιόντων ἡ πίστις, καὶ μείζων ἢ ἐπὶ τοῦ Χριστοῦ. πόθεν δὲ τοῦτο γέγονεν; ἀπὸ τοῦ τὸν Χριστὸν ἀποφήνασθαι καὶ εἰπεῖν· Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. ἀθυμούντων γὰρ αὐτῶν ἐκεῖ καὶ οὐ προσιόντων, ἔφερον πάντες ἐπὶ τῶν κλινῶν καὶ κραββάτων, ὡς εἶχον ἀσθενεῖς, καὶ πανταχόθεν αὐτοῖς συνεκροτεῖτο τὸ θαῦμα, ἀπὸ τῶν πιστευσάντων, ἀπὸ τῶν θεραπευθέντων, ἀπὸ τοῦ κολασθέντος, ἀπὸ τῆς παρρησίας τῆς πρὸς ἐκείνους, ἀπὸ τῆς ἀρετῆς τῶν [οὐχ ἁπλῶς] πιστευσάντων. οὐ γὰρ διὰ τῶν σημείων ἦν μόνον τὸ γινόμενον. εἰ γὰρ καὶ αὐτοὶ μετριάζοντες τοῦτο τὸ πᾶν λογίζονται, λέγοντες, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ταῦτα ποιεῖν· ἀλλὰ καὶ ὁ βίος καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν τοῦτο πεποίηκε. σκόπει δὲ πῶς ἀριθμὸν ἐνταῦθα τῶν πιστευσάντων οὐ λέγει, [ἀφεὶς ἐξ ἑαυτοῦ τὸν ἀκροατὴν συλλογίζεσθαι]. οὕτως εἰς πλῆθος ἄπειρον ἐπέτεινε τὰ τῆς πίστεως, καὶ ἡ ἀνάστασις ἐκηρύττετο. οὐδεὶς δὲ αὐτοῖς ἐτόλμα κολλᾶσθαι, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. τοῦτο λέγει, δεικνὺς ὅτι οὐκέτι λοιπὸν ἦσαν εὐκαταφρόνητοι, καθάπερ καὶ πρότερον. ἐν βραχεῖ γὰρ καιρῷ καὶ μιᾷ ῥοπῇ τοσαῦτα γέγονεν ἀπὸ τοῦ ἁλιέως καὶ ἰδιώτου. οὐρανὸς λοιπὸν ἦν ἡ γῆ, καὶ πολιτείας, καὶ παρρησίας, καὶ θαυμάτων, καὶ πάντων ἕνεκεν. καὶ καθάπερ ἄγγελοι, οὕτως ἐθαυμάζοντο, πρὸς οὐδὲν ἐπιστρεφόμενοι, οὐ πρὸς γέλωτα, οὐ πρὸς ἀπειλὰς, οὐ πρὸς κινδύνους. οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλ' ὅτι σφόδρα φιλάνθρωποι καὶ κηδεμονικοὶ τυγχάνοντες, τοῖς μὲν χρήμασιν ἐβοήθουν, τοῖς δὲ θεραπείᾳ σωμάτων. διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου; μονονουχὶ ἀπολογεῖται ὁ Πέτρος μέλλων κολάζειν αὐτοὺς, καὶ τοὺς ἄλλους παιδεύει. ἐπειδὴ γὰρ σφόδρα φορτικὰ ἔμελλε φαίνεσθαι τὰ γινόμενα, διὰ δὴ τοῦτο καὶ ἐπ' αὐτοῦ τούτου, καὶ ἐπὶ τῆς γυναικὸς φοβερὸν ποιεῖ τὸ δικαστήριον. εἰ δὲ ἀσύγγνωστα ἁμαρτόντας μὴ τοιαύτην δίκην ἀπῄτησεν ἀμφοτέρους, πόση ἐντεῦθεν καταφρόνησις Θεοῦ οὐκ ἂν γέγονεν; ὅτι δὲ διὰ τοῦτο, δῆλον ἀπὸ τοῦ μὴ εὐθέως ἐπὶ τιμωρίαν ἐλθεῖν, ἀλλὰ δεῖξαι πρότερον τὴν ἁμαρτίαν· ὅθεν οὐδεὶς ἐξέτασεν, οὐδεὶς ἀνῴμωξεν, ἀλλὰ πάντες ἐφοβήθησαν. εἰκότως δὲ τῆς πίστεως αὐτῶν ἐπιτεινομένης, καὶ τὰ σημεῖα πλείω ἐγένετο, καὶ πολὺς καὶ παρὰ τοῖς οἰκείοις ὁ φόβος ἦν· ἐπειδὴ οὐχ οὕτω τὰ τῶν ἔξωθεν ἡμᾶς θορυβεῖ, ὡς τὰ τῶν οἰκείων. ἂν οὕτω ὦμεν πρὸς ἀλλήλους συγκεκροτημένοι, οὐδεὶς ἔσται ἡμῖν πολέμιος· ὥσπερ ἂν ἀπ' ἀλλήλων διιστώμεθα, τὸ ἐναντίον πάντες ἡμῖν ἐπιθήσονται). ἀπὸ τούτου κἀκεῖνοι λοιπὸν ἐθάρρουν, καὶ μετὰ παρρησίας καὶ εἰς ἀγορὰν ἐνέβαλλον, καὶ ἐν μέσῳ τῶν ἐχθρῶν ἐκράτουν· καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Ψαλ. ρθ. β. ὃ καὶ μείζονος ἀπόδειξις δυνάμεως ἦν, ὅτι κατεχόμενοι, δεσμούμενοι τοιαῦτα ἐποίουν.

ΗΘΙΚΟΝ

Εἰ τοίνυν οἱ μόνον ψευσάμενοι τοιαῦτα ἔπαθον, οἱ καὶ ἐπιορκοῦντες τί οὐ πείσονται; μᾶλλον δὲ εἰ ἁπλῶς εἰποῦσα ἡ γυνὴ, ναὶ τοσούτου, τοιαύτην ἔδωκε δίκην, καὶ οὐκ διέφυγεν, ἐννοήσατε οἱ ὀμνύοντες καὶ ἐπιορκοῦντες τίνος ἂν εἶεν ἄξιοι. εὔχειρον καὶ ἀπὸ τῆς παλαιᾶς δεῖ-

ξαι

Marginalia: γρ. παραλύει — * γρ. ἐκ τοῦ ἱερέως; — Ιωαν. ιδ. ιβ. — γρ. πλάνου — γλίσχρως, τοῖς δ' ἴσοις τῶν σωμάτων καὶ τῶν ψυχῶν τῶν ἰατρείας ἐπιτέλουν. — γρ. πονηρῶν — γρ. ὦσιν

Ζαχ. ε. β. ξαι δὲ χαλεπὸν τῆς ἐπιορκίας τὸ πέρας. Δρέπανον, φησί, πετόμενον εἶδον, μῆκος πηχῶν εἴκοσι, καὶ
πλάτος πηχῶν δέκα. τὸ πετόμενον τὸ ταχὺ τὴν ἔφοδον τῆς τιμωρίας δηλοῖ τῆς τοῖς ὅρκοις πα-
ρεπομένης· τὸ δὲ πηχῶν πολλῶν εἶναι τὸ πλάτος καὶ τὸ μῆκος, τὸ σφοδρὸν σημαίνει καὶ τὸ μέγε-
θος τῶν κακῶν· τὸ δὲ ἀπ' οὐρανοῦ πέτεσθαι, τὸ ἐκ τοῦ ἄνωθεν δικαστηρίου τὴν ψῆφον φέρεσθαι·
τὸ δὲ δρεπανοειδές, τὸ ἄφυκτον τῆς τιμωρίας. καθάπερ γὰρ δρέπανον, ὅπου ἂν ἐμπέσῃ, γ. δρέπανον ὃς τραχήλῳ ἐμπεσὸν οὐκ ἂν καθ' ἑαυτὸ ἀνελκυσθείη, μόνον δέ πως ἔτι καὶ ἀποτεμνομένης τῆς κεφαλῆς
οὐκ ἂν καθ' ἑαυτὸ ἀνελκυσθείη μόνον, ἀλλὰ καὶ ἀποτεμνομένης τῆς κεφαλῆς· οὕτω καὶ ἡ δίκη
τοῖς ὀμνύουσιν ἐπιοῦσα. Φοβερά τίς ἐστι, καὶ οὐκ ἂν ἀποσταίη μὴ πρότερον ἐργασαμένη τὸ
αὐτῆς. Εἰ δὲ διαφευγόμεν ὀμνύοντες, μὴ θαρρῶμεν. ἐπὶ γὰρ κακῷ τῷ ἡμετέρῳ τοῦτο γί-
νεται. ἐπεὶ τί νομίζετε; πόσοι μετὰ Ἀνανίαν καὶ Σάπφειραν τὰ αὐτὰ ἐκείνοις ἐτόλμησαν, καὶ
οὐ τὰ αὐτὰ ἔπαθον; καὶ πῶς, φησίν, οὐκ ἔπαθον; οὐκ ἐπειδὴ συνεχωρήθη αὐτοῖς, ἀλλ' ἐπειδὴ μεί-
ζονι τηροῦνται κακῷ. ὥστε οἱ πολλὰ πταίοντες, μὴ κολαζόμενοι μᾶλλον ἢ κολαζόμενοι, γ. χαλεπόν
φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν. αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρησί- γ. οἱ δὲ
ας καὶ τῆς μακροθυμίας τοῦ Θεοῦ. μὴ τοῦτο τοίνυν ἴδωμεν, ὅτι οὐ κολαζόμεθα, ἀλλ' εἰ μὴ
ἡμαρτάνομεν. εἰ δὲ ἁμαρτάνοντες οὐ κολαζόμεθα, μᾶλλον τρέμειν ὀφείλομεν. εἰπέ μοι, ἄν τινα
δοῦλον ἔχῃς, καὶ ἀπειλῇς αὐτῷ μόνον, καὶ οὐ τύπτῃς, πότε μᾶλλον φοβεῖται, πότε φεύγει, πότε δρα-
πετεύει; οὐχ ὅταν ἀπειλῇς μόνον; ὅθεν καὶ ἀλλήλοις παραινοῦμεν μὴ ἀπειλεῖν συνεχῶς, ὥστε
μὴ τῷ φόβῳ μᾶλλον καταδεῖσαι τὴν ψυχήν, ὥστε μὴ ἀπαρτίλειν αὐτὸν πλείονι τῶν πλη-
γῶν· ἄλλως δέ, καὶ ἐκεῖ μὲν πρόσκαιρος ἡ τιμωρία, ἐνταῦθα δὲ διηνεκής. μὴ τοίνυν, εἰ
μηδεὶς τὰ τοῦ δρεπάνου πάσχει νῦν, τοῦτο ἴδῃς· ἀλλ' ἐκεῖνο ἐννόησον, εἰ τοιαῦτα ποιεῖς. ἐπεὶ
πολλὰ γίνεται νῦν, οἷα ἐπὶ τοῦ κατακλυσμοῦ· ἀλλὰ κατακλυσμὸς οὐ γέγονε. γέεννα γὰρ ἠ-
πείληται καὶ τιμωρία. πολλοὶ ἁμαρτάνουσιν οἷα τὰ ἐπὶ τῶν Σοδόμων, ἀλλὰ πῦρ οὐκ ἦλθεν
ὑετοῦ. πύρινος γὰρ ἡτοίμασται ποταμός. πολλοὶ τὰ τοῦ Φαραὼ ἐτόλμησαν, ἀλλ' οὐκ ἔ-
παθον τὰ τοῦ Φαραώ, οὐδὲ κατεποντίσθησαν εἰς ἐρυθρὰν θάλασσαν. τὸ γὰρ πέλαγος
αὐτοὺς μένει τὸ τῆς ἀβύσσου· ἔνθα οὐ μετὰ ἀναισθησίας ἡ τιμωρία, οὐδὲ ἀποπνιγῆναι ἔνι,
ἀλλ' ἐπὶ πλέον κολαζομένους, τηγανιζομένους, ἀπαγχονιζομένους μὴ ἀναλίσκεσθαι. πολλοὶ
τὰ τῶν Ἰσραηλιτῶν ἐτόλμησαν· ἀλλ' οὐκ ἔφαγον αὐτοὺς ὄφεις. μένει γὰρ αὐτοὺς ὁ σκώληξ
ὁ ἀτελεύτητος. πολλοὶ τὰ τοῦ Γιεζῆ ἐτόλμησαν· ἀλλ' οὐκ ἐλεπρώθησαν. μένει γὰρ αὐ-
τοὺς ἀντὶ τῆς λέπρας τὸ διχοτομηθῆναι καὶ τεθῆναι μετὰ τῶν ὑποκριτῶν. πολλοὶ καὶ ὤ-
μοσαν καὶ ἐπιώρκησαν. εἰ δὲ καὶ διέφυγον, μὴ θαρρῶμεν. μένει γὰρ αὐτοὺς ὁ βρυγμὸς τῶν ὀ-
δόντων. καὶ ἐνταῦθα δὲ τάχα πείσονται, καὶ οὐ φεύξονται, εἰ καὶ μὴ παραπόδας, ἀλλ' ἐφ' ἑτέ- γ. πολλάκις διά
ροις ἁμαρτήμασιν, ἵνα καὶ χαλεπωτέρα ἡ τιμωρία ᾖ· ἐπεὶ καὶ ἡμεῖς πολλάκις ἀφορμὰς λα-
βόντες ἀπὸ μικρῶν, καὶ ὑπὲρ μεγάλων τὸ πᾶν κενοῦμεν. ὥστε ὅταν ἴδῃς τί σοι συμβάν, ἀνα-
μνήσθητί σου τῆς ἁμαρτίας ἐκείνης. τοῦτο ἐπὶ τῶν υἱῶν τοῦ Ἰακὼβ γέγονε. μνημονεύετε γ. Ἰακώβ
τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. ἐπώλησαν τὸν ἀδελφόν· σφάξαι ἐπεχείρησαν, μᾶλλον δὲ καὶ ἔ-
σφαξαν ὅσον τὸ ἐπ' αὐτοῖς· ἠπάτησαν, ἐλύπησαν τὸν γέροντα· οὐδὲν ἔπαθον. μετὰ πλείονα γ. τῇ αἰτίᾳ
[γοῦν] ἔτη περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, καὶ τῆς ἁμαρτίας ταύτης ὑπομιμνήσκονται.
Γεν. μβ. κα. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουε αὐτῶν τί φασι. Ναί· ἐν ἁμαρτίᾳ γάρ ἐσμεν περὶ γ. σφόδρα ἐν
τοῦ ἀδελφοῦ ἡμῶν. οὕτω δὴ καὶ σύ, ὅταν τί σοι συμβῇ, εἰπέ, ναί· ἐν ἁμαρτίᾳ ἐσμέν, ὅτι οὐκ τούτῳ σωφρονί-
ἠκούσαμεν τοῦ Χριστοῦ, ὅτι ὠμόσαμεν· αἱ πολυορκίαι καὶ αἱ ἐπιορκίαι ἐπὶ τὴν κεφαλὴν ζονται. ἄν
ἡμῶν ἦλθον. οὐκοῦν ἐξομολόγησαι. καὶ γὰρ κἀκεῖνοι ἐξωμολογήσαντο καὶ ἐσώθησαν. τί γάρ,
εἰ μὴ παραχρῆμα ἐπῆλθεν ἡ τιμωρία; ἐπεὶ καὶ ὁ Ἀχαὰβ διὰ τὸν Ναβουθαὶ οὐκ εὐθέως
Γ. Βασ. κα. ιθ. παρὰ τὴν ἁμαρτίαν ἔπαθεν, ἅπερ ἔπαθε. διὰ τί δὲ τοῦτο γίνεται; δίδωσί σοι προθεσμίαν ὁ
Θεὸς ὥστε ἀπονίψασθαι. ὅταν δὲ ἐπιμένῃς, ἐπάγει λοιπὸν τὴν τιμωρίαν. εἴδετε τί ἔπαθον
οἱ ψευδόμενοι; οὐκοῦν ἐννοήσατε τί πείσονται καὶ οἱ ἐπιορκοῦντες· ἐννοήσατε καὶ ἀπόστητε.

οὐκ

οὐκ ἔστιν ὀμνύντα μὴ ἐπιορκεῖν καὶ ἑκόντα, καὶ ἄκοντα· οὐκ ἔστιν ἐπιορκοῦντα σωθῆναι. ἀρκεῖ μία ἐπιορκία τὸ πᾶν ἐργάσασθαι, καὶ ὁλόκληρον ἡμῖν τὴν τιμωρίαν ἐπαγαγεῖν. διὰ δὴ τοῦτο προσέχωμεν, παρακαλῶ, ἑαυτοῖς, ἵνα τὴν ἐντεῦθεν κόλασιν διαφυγόντες, τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς * αἰῶνας τῶν αἰώνων. Αμήν.

* ἀπεράντους

Λογ. ιγ. 17 ΑΝΑΣΤΑΣ ΔΕ Ο ΑΡΧΙΕΡΕΥΣ ΚΑΙ
πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζή-
λου, 18 Καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ
ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.

ΟΥδὲν ἰταμώτερον κακίας, οὐδὲν τολμηρότερον. πεῖραν μαθόντες τὴν αὐτῶν * ἀνδρείαν, ἐξ ὧν ἐπεχείρησαν πρότερον, ὅμως ἐπιχειροῦσι καὶ πάλιν ἐπισχεῖν (*). τί ἐστιν, ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ; τουτέστι, διηγέρθη, κινηθεὶς ἐπὶ τοῖς γινομένοις. καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. νῦν σφοδρότερον αὐτοῖς ἐπιτίθενται· οὐκ εὐθέως δὲ αὐτοὺς ἔκριναν, προσδοκῶντες πάλιν [αὐτοὺς] πρᾳοτέρους ἔσεσθαι. καὶ πόθεν δῆλον, ὅτι σφοδρότερον αὐτοῖς ἐπετέθησαν; ἀπὸ τοῦ θεῖναι αὐτοὺς εἰς τήρησιν δημοσίαν. πάλιν περιπίπτουσι κινδύνοις, καὶ πάλιν τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύουσι ῥοπῆς. καὶ ὅπως, ἄκουε τῶν ἑξῆς.

* γρ. πονηρότερα θάνατον, ὑπ. ...

* ἰσχὺν καὶ

19 Αγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἀνέῳξε τὰς πύλας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς, εἶπε·

20 Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. Τοῦτο καὶ εἰς ἐκείνων παραμυθίαν γέγονε, καὶ εἰς τούτων ὠφέλειαν καὶ διδασκαλίαν. καὶ ὅρα, ὅπερ ἐπὶ τοῦ Χριστοῦ, τοῦτο καὶ νῦν γινόμενον. γινόμενα μὲν γὰρ δή πως τὰ θαύματα οὐκ ἀφίησιν αὐτοὺς ἰδεῖν· ἀφ' ὧν δ' ἂν μάθοιεν ταῦτα, κατασκευάζει. οἷον ἐπὶ τῆς ἀναστάσεως τῆς αὐτοῦ οὐκ ἀφῆκεν αὐτοὺς ἰδεῖν πῶς ἀνέστη (ἀνάξιοι γὰρ τοῦ ταύτην ἰδεῖν ἦσαν) ἀλλὰ δείκνυσιν ἀφ' ὧν τοῦτο εἰργάσατο. ὁμοίως καὶ ἐπὶ τοῦ οἴνου τοῦ ἀπὸ τοῦ ὕδατος γινομένου οὐ βλέπουσιν οἱ ἀνακείμενοι (ἐμέθυον γὰρ) καὶ τὴν κρίσιν ἐπιτρέπει ἑτέροις· οὕτω δὴ καὶ ἐνταῦθα. ἐξαγομένους μὲν γὰρ αὐτοὺς οὐχ ὁρῶσι· τεκμήρια δὲ, ἀφ' ὧν ἠδύναντο καταμαθεῖν τὰ γινόμενα, εἶδον. τί δήποτε δὲ καὶ κατὰ τὴν νύκτα αὐτοὺς ἐξέβαλεν; ὥστε οὕτω μᾶλλον ἢ ἐκείνως ἐπιστευθῆναι· ἄλλως τε, καὶ [ὅτι] οὐκ ἂν ἐπὶ τὸ ἐρωτῆσαι ἦλθον οὔτε μὴν ἑτέρως ἂν καὶ αὐτοὶ ἐπίστευσαν. οὕτω καὶ ἐπὶ τῶν παλαιῶν γέγονεν· οἷον ἐπὶ τοῦ Ναβουχοδονόσορ, εἶδεν ἀνιόντας τοῦ Θεοῦ ἐπὶ τῆς καμίνου τοὺς παῖδας, καὶ τότε εἰς ἔκπληξιν ἦλθε. δέον τοίνυν καὶ τούτους ἐρωτῆσαι προσῶπον, πῶς ἐξήλθετε; οἱ δὲ, ὡς οὐδενὸς γινομένου, ἐρωτῶσι, λέγοντες· Οὐχὶ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν; καὶ ὅρα πῶς δι' ἑτέρων μανθάνουσιν ἅπαντα. ὁρῶσι [γὰρ] κεκλεισμένην τὴν φυλακὴν μετὰ ἀσφαλείας, καὶ τοὺς φύλακας ἔσω τὰς πρὸ τῶν θυρῶν.

Ιωαν. β. θ.

γρ. ὅτι

γρ. δυνατὸν ἐπαναχθεῖεν

Δαν. γ. κθ.

21 Ακούσαντες δέ, φησιν, εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ισραὴλ· καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς·

22 Παραγενόμενοι δὲ οἱ ὑπηρέται, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ. ἀναστρέψαντες δὲ, ἀπήγγειλαν,

23 Λέγοντες,

23 Λέγοντες, ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν. Διπλῆ ἡ ἀσφάλεια, ὥσπερ ἐπὶ τοῦ τάφου καὶ ἡ σφραγὶς, καὶ οἱ ἄνθρωποι. ὅρα πῶς ἦσαν θεομάχοι. ταῦτα ἀνθρώπινα, εἰπέ μοι, τὰ ὑπ' αὐτῶν γινόμενα; τίς αὐτοὺς ἐξήγαγε, τῶν θυρῶν κεκλεισμένων; πῶς ἐξῆλθον, τῶν φυλάκων πρὸ τῶν θυρῶν ἑστώτων; ὄντως μαινομένων καὶ μεθυόντων τὰ ῥήματα. οὓς οὐ κατέσχεν ἡ φυλακὴ καὶ τὰ δεσμὰ καὶ θύραι κεκλεισμέναι, τούτων προσεδόκησαν περιέσεσθαι, παίδων ἀνοήτων πρᾶγμα παθόντες. οἱ ὑπηρέται αὐτῶν διὰ τοῦτο παραγίνονται καὶ ὁμολογοῦσι τὸ γεγονὸς, ἵνα πᾶσαν αὐτοῖς ἀποκλείσωσι πρόφασιν. ὁρᾷς σημεῖα ἐπὶ σημείοις διάφορα, τὰ μὲν ὑπ' αὐτῶν, τὰ δὲ εἰς αὐτοὺς γινόμενα, ἃ καὶ λαμπρότερα ἦν; καλῶς ὅτι οὐδὲ εὐθέως αὐτοῖς ἐμηνύθη, ἀλλὰ περίπεσον ἐν ἀπορίᾳ γεγονόσιν, ἵνα διασκεψάμενοι θείαν εἶναι δύναμιν, οὕτω μάθωσι ἅπαντα.

24 Ὡς δὲ ἤκουσαν, φησὶ, τοὺς λόγους τούτους ὅ τε ἀρχιερεὺς, καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, καὶ οἱ ἀρχιερεῖς διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο.

25 Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς λέγων, ὅτι ἰδοὺ οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν.

26 Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ τὸν λαὸν, ἵνα μὴ λιθασθῶσιν. Ὢ τῆς ἀνοίας· ἐφοβοῦντο, φησὶ, τὸν ὄχλον. τί γὰρ αὐτοὺς ὁ ὄχλος ὠφελεῖ; δέον τὸν Θεὸν φοβηθῆναι, τὸν καθάπερ πτηνοὺς ἀεὶ τῶν χειρῶν αὐτοὺς ἐξαρπάζοντα τῶν ἐκείνων, οἱ δὲ μᾶλλον τὸν ὄχλον φοβοῦνται. ὁ δὲ ἀρχιερεὺς ὁ ἀναίσχυντος καὶ ἰταμὸς καὶ μιαρὸς ἐπηρώτησεν αὐτοὺς λέγων·

28 Οὐχὶ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Τί οὖν οἱ ἀπόστολοι; πάλιν μετ' ἐπιεικείας αὐτοῖς διαλέγονται. καίτοιγε ἐνῆν εἰπεῖν· τίνες γάρ ἐστε ὑμεῖς ἀντιδιατασσόμενοι τῷ Θεῷ; ἀλλὰ τί; πάλιν ἐν τάξει παραινέσεως καὶ συμβουλῆς καὶ μετὰ ἐπιεικείας πολλῆς ἀποκρίνονται.

29 Ἀποκριθεὶς δέ, φησὶ, Πέτρος καὶ οἱ ἀπόστολοι εἶπον· πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις. Πολλὴ ἡ φιλοσοφία καὶ τοιαύτη, ὅτι ἐντεῦθεν δεικνύουσι καὶ αὐτοὺς μαχομένους τῷ Θεῷ.

30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρε, φησὶν, Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου.

31 Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. Ὃν ὑμεῖς ἀνείλετε, φησὶν, ὁ Θεὸς ἤγειρε. καὶ ὅρα τῷ πατρὶ τὸ πᾶν πάλιν ἀνατιθέασιν, ἵνα μὴ δόξῃ ἀλλότριος εἶναι τοῦ πατρός. καὶ ὕψωσε, φησὶ, τῇ δεξιᾷ αὐτοῦ. οὐχ ἁπλῶς τὴν ἀνάστασιν λέγει, ἀλλὰ καὶ τὴν ὕψωσιν, τουτέστι, τὴν ἀνάληψιν, δηλοῖ. τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ. ὅρα πάλιν τὸ κέρδος, ὅρα ἐν τάξει ἀπολογίας διδασκαλίαν ἀπηρτισμένην.

32 Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων. Πολλὴ ἡ παρρησία. εἶτα ἀξιόπιστον λοιπὸν τὸν λόγον ποιῶν ἐπήγαγε· Καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Ὁρᾷς πῶς οὐχὶ μόνον τῇ ἑαυτῶν, ἀλλὰ καὶ τῇ τοῦ πνεύματος μαρτυρίᾳ κέχρηνται; καὶ οὐκ εἶπον, ὃ ἔδωκεν ἡμῖν, ἀλλὰ, τοῖς πειθομένοις, ἅμα μὲν μετριάζοντες, ἅμα δὲ μέγα αὐτὸ δεικνύοντες καὶ δηλοῦντες, ὅτι καὶ αὐτοῖς δυνατὸν λαβεῖν. ὅρα δὲ πῶς καὶ δι' ἔργων, καὶ διὰ ῥημάτων ἐπαιδεύοντο, καὶ οὐ προσεῖχον, ἵνα δικαία αὐτοῖς ἡ κατάκρισις γένηται. διὰ γάρ τοι τοῦτο καὶ ὁ Θεὸς συνεχώρει ἄγεσθαι αὐτοὺς εἰς δικαστήριον, ἵνα καὶ ἐκεῖνοι παιδεύωνται, εἴγε μαθεῖν ἐβούλοντο, καὶ οἱ ἀπόστολοι εἰς παρρησίαν ἀλείφωνται.

33 Οἱ δὲ ἀκούσαντες, φησί, διεπρίοντο, καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς.

Ὅρα κακίας ὑπερβολήν. Δέον ἐφ' οἷς ἤκουσαν καταπλαγῆναι, οἱ δὲ διαπρίονται καὶ βουλεύονται εἰκῆ ἀνελεῖν αὐτούς. ἀλλ' ἀναγκαῖον λοιπὸν ἄνωθεν ἰδεῖν τὰ ἀνεγνωσμένα. ἄγγελος δὲ Κυρίου, φησί, διὰ τῆς νυκτὸς ἤνοιξε τὰς πύλας τῆς φυλακῆς, καὶ ἐξαγαγὼν αὐτοὺς εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. ἐξαγαγών, οὐκ αὐτὸς ἀπάγει αὐτούς, ἀλλ' ἀφίησιν· ὥστε καὶ ταύτῃ αὐτῶν γνωσθῆναι τὸ ἀκατάπληκτον, ὃ καὶ ἔδειξαν νυκτὸς εἰσελθόντες εἰς τὸ ἱερὸν καὶ διδάσκοντες. Εἰ δὲ ἐξέβαλον αὐτοὺς οἱ φύλακες, ὡς ἐκεῖνοι ἐνόμιζον, ἔφυγον ἄν· εἶτα πεισθέντες ἐξῆλθον, μᾶλλον δέ, εἰ ἐξέβαλον αὐτοὺς ἐκεῖνοι, οὐκ ἂν εἰς τὸ ἱερὸν εἰσῄεσαν, ἀλλ' ἀπέδρασαν ἄν. τοῦτο δὲ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ συνιδεῖν. οὐχὶ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, φησίν; εἰ μὲν οὖν καὶ αὐτοὶ ἐπείσθησαν ὑμῖν, καλῶς εὐθύνετε· εἰ δὲ ἐκεῖνοι εἶπον μὴ πείθεσθαι, περιτταὶ αἱ εὐθῦναι, περιτταὶ καὶ αἱ παραγγελίαι. ὅρα ἔγκλημα πλῆρες ἀνακολουθίας καὶ ὑπερβάλλουσαν ἄνοιαν. φονικὰς λοιπὸν βούλονται δεῖξαι τὰς προαιρέσεις τῶν Ἰουδαίων, ὡς οὐ δι' ἀλήθειαν ταῦτα ποιούντων, ἀλλ' ὥστε ἀμύνασθαι βουλομένων. διὰ τοῦτο καὶ οὐδὲ θρασέως αὐτοῖς ἀποκρίνονται οἱ ἀπόστολοι· διδάσκαλοι γὰρ ἦσαν. καίτοι τίς οὐκ ἂν τὴν πόλιν ἅπασαν ἀναρτησάμενος, καὶ τοσαύτης ἀπολαύων χάριτος, εἶπεν ἄν τι καὶ ἐφθέγξατο μέγα; ἀλλ' οὐχ οὗτοι. οὐ γὰρ ὠργίζοντο, ἀλλ' ἠλέουν αὐτοὺς καὶ ἐδάκρυον, καὶ ἐσκόπουν ὅπως αὐτοὺς ἀπαλλάξωσι τῆς πλάνης καὶ τοῦ θυμοῦ. καὶ οὐκέτι λέγουσι πρὸς αὐτούς, ὑμεῖς κρίνατε· ἀλλ' ἀποφαίνονται λέγοντες, ὃν ὁ Θεὸς ἤγειρε· διὰ τούτου δηλοῦντες, ὅτι κατὰ γνώμην τοῦ Θεοῦ ταῦτά ἐστιν. οὐκ εἰρήκασιν, οὐκ εἴπομεν ὑμῖν καὶ τότε, Ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; οὐ γάρ εἰσι φιλότιμοι· ἀλλὰ πάλιν τὰ αὐτά φασι, τὸν σταυρόν, τὴν ἀνάστασιν. [Πραξ. δ. κ.] καὶ οὐ λέγουσι, διὰ τί ἐσταυρώθη; ὅτι ὑπὲρ ἡμῶν· ἀλλ' αἰνίττονται μέν, οὔπω δὲ φανερῶς, πῶς αὐτοὺς φοβῆσαι βουλόμενοι. εἰπέ μοι, ποία ῥητορεία ἐνταῦθα; οὐδεμία· ἀλλὰ πανταχοῦ τὸ πάθος, ἡ ἀνάστασις, καὶ ἡ ἀνάληψις. οὗτοι χωρὶς κατασκευῆς τὸ τῆς ζωῆς ἐκήρυττον εὐαγγέλιον. ἐπειδὴ δέ, ὅτι ὕψωσε, λέγει καὶ ἐπὶ τίνι. ἐπὶ τῷ δοῦναι μετάνοιαν, ἐπάγων, τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. ἀλλ' ἀπίθανα ταῦτα πῶς ἐδόκει, φασί. τί λέγεις; καὶ πῶς οὐ πιθανὰ μᾶλλον, οἷς γε οὐκ ἄρχοντες ἀντειπεῖν εἶχον, οὐ πλῆθος; ἀλλ' οἱ μὲν ἐπεστομίζοντο, οἱ δὲ ἐδιδάσκοντο. καὶ ἡμεῖς, φησί, μάρτυρες τῶν ῥημάτων τούτων ἐσμέν. ποίων; ὅτι ἄφεσιν, ὅτι μετάνοιαν ἐπηγγείλατο. ἡ μὲν γὰρ ἀνάστασις ἤδη λοιπὸν ὡμολογημένη· ὅτι δὲ ἄφεσιν δίδωσιν, ἡμεῖς μαρτυροῦμεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ οὐκ ἂν ἐπῆλθε, μὴ πρότερον τῶν ἁμαρτιῶν λυθεισῶν. ὥστε ἀναμφισβήτητον τεκμήριον τοῦτό ἐστιν. ἄφεσιν ἁμαρτημάτων ἀκούεις, ἄθλιε, καὶ ὅτι οὐ δίκην ἀπαιτεῖ, καὶ βούλει ἀνελεῖν; καὶ πόσης ταῦτα κακίας; καίτοι ἢ διελέγξαι ψευδομένους ἐχρῆν, ἢ μὴ δυναμένους πεισθῆναι· εἰ δὲ μὴ ἐβούλοντο πεισθῆναι, μὴ ἀνελεῖν. τί γὰρ ἦν ἀναιρέσεως ἄξιον; οἱ δὲ ὑπὸ τοῦ θυμοῦ οὐδὲ συνεῖδον τὸ γεγενημένον. ὅρα πῶς πανταχοῦ μνημονεύοντες τοῦ τολμήματος, ἐπάγουσι τὴν ἄφεσιν, δεικνύντες ὅτι τὰ μὲν γεγενημένα ἄξια θανάτου· τὰ δὲ διδόμενα, ὡς εὐεργέταις ἐδίδοντο. πῶς ἂν ἄλλως τις ἔπεισεν αὐτούς, ἢ ὡς εὐδοκιμοῦντας εἰπών; καὶ ὅρα τὴν κακουργίαν. τοὺς Σαδδουκαίους αὐτοῖς ἐφιστῶσιν, οἳ μάλιστα ἤλγουν ἐπὶ τῇ ἀναστάσει. ἀλλ' οὐδὲ τῆς πονηρίας ἀπώναντο. ἀλλ' ἴσως ἐρεῖ τις· καὶ τίς ἂν ἄνθρωπος τοιούτων ἀπολαύων, οἵων οἱ ἀπόστολοι, οὐκ ἂν μέγας ἐγένετο; ἀλλ' ὅρα μοι, πρὶν ἢ ἀπολαῦσαι τῆς χάριτος, πῶς ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ, καὶ ἐλπίζοντες ἐπὶ τὴν ἄνωθεν ῥοπήν. καὶ σὺ ἐλπίζεις, ἀγαπητέ, βασιλείαν οὐρανῶν, ἀλλ' οὐδὲν ὑπομένεις· καὶ σὺ πνεῦμα ἔλαβες, ἀλλ' οὐ τοιαῦτα πάσχεις, οὐδὲ κινδυνεύεις. ἐκεῖνοι δὲ πρὶν ἢ τῶν προτέρων διαπνεῦσαι, πάλιν ἐφ' ἕτερα ἤγοντο. καὶ τοῦτο δὲ αὐτὸ τὸ μὴ τυφωθῆναι, τὸ

μὴ

γ. οἱ ἄλλοι ταῦτα ἀκούσαντες ἀπεπνίγοντο· ὅτε δὲ διεπρίοντο, καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς.

γ. ποῖαι

γ. ποία ἀπολογία

γ. κοινὸς

γ. ὑλακτεῖν

γ. μάθης

γ. ὡς γνώμοσιν

γ. ὡς εὐδοκιμοῦντες ἐγγὺς τὸ φρονεῖν τῶν ...

μὴ κενοδοξῆσαι, πόσον ἐστὶν ἀγαθόν; τὸ μετ' ἐπιεικείας διαλέγεσθαι, πόσον ἐστὶ κέρδος; οὐ γὰρ δὴ πάντα τῆς χάριτος ἦν, ἀλλὰ καὶ τῆς αὐτῶν σπουδῆς πολλὰ τὰ τεκμήρια. τὸ γὰρ ἐν αὐτοῖς τὰ τῆς χάριτος διαλάμπειν, τῆς αὐτῶν ἐπιμελείας ἦν. ὅρα γοῦν [εὐθὺς] ἐξ ἀρχῆς πῶς μεμεριμνημένος ὁ Πέτρος ἐστί· πῶς νήφων καὶ ἐγρηγορώς· πῶς οἱ πιστεύσαντες τὰ χρήματα ἔρριπτον. οὐδὲν ἴδιον εἶχον, ἐν εὐχῇ ἦσαν, ὁμόνοιαν ἐπεδείκνυντο, ἐν νηστείαις διῆγον. ταῦτα ποίας χάριτος, εἰπέ μοι; διὰ τοῦτο [καὶ] δι' αὐτῶν ποιεῖ γίνεσθαι τὸν ἔλεγχον τῶν ὑπηρετῶν αὐτῶν, ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Χριστοῦ ἔλεγον οἱ πεμφθέντες· Οὐδέποτε οὕτως ἄνθρωπος ἐλάλησεν, ὡς οὗτος ὁ ἄνθρωπος. ἀπήγγειλαν ὑποστρέψαντες ἅπερ εἶδον. ταῦτα τῆς ἀναστάσεως πιστότερα. σὺ δέ μοι σκόπει ἐνταῦθα καὶ αὐτῶν τὴν ἐπιείκειαν, πῶς εἴκουσι, καὶ τοῦ ἀρχιερέως τὴν πεπλασμένην γνώμην. ἐπιεικῶς γὰρ δῆθεν αὐτοῖς διαλέγεται, ἅτε φοβούμενος· καὶ κωλῦσαι μᾶλλον ἐβούλετο, ἢ ἀνελεῖν (ἐπειδὴ τοῦτο οὐκ ἠδύνατο) καὶ ὥστε πάντας κινῆσαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς ἐπικρεμάσαι τὸν κίνδυνον. βούλεσθε, φησιν, ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; ἔτι ἄνθρωπος εἶναι σοι δοκεῖ; οὕτως εἶπε, δεικνὺς ὅτι ἀναγκαία ἡ παρακέλευσις γέγονεν αὐτοῖς. ἀλλ' ὅρα καὶ τὸν Πέτρον τί φησι. Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν. ἐνταῦθα οὐ μέμνηται τῶν ἐθνῶν, ἵνα μὴ σχῶσι λαβήν. καὶ ἐβούλοντο, φησιν, ἀνελεῖν αὐτούς. ὁρᾷς πάλιν τούτους ἐν ἀπορίᾳ, τούτους ἐν ὀδύνῃ· ἐκείνους δὲ ἐν ἀνέσει καὶ εὐθυμίᾳ καὶ ἐν τρυφῇ. οὐχ ἁπλῶς ὠδυνῶντο, ἀλλὰ διεπρίοντο. τοῦτό ἐστιν ἄρα τὸ κακῶς παθεῖν, τὸ κακῶς ποιεῖν· καθάπερ καὶ ἐνταῦθά ἐστιν ἰδεῖν. ἐν δεσμοῖς ἦσαν οὗτοι, παρειστήκεισαν δικαστηρίῳ, καὶ οἱ δικάζοντες ἐν κινδύνῳ ἦσαν, ἐν ἀπορίᾳ, ἐν ἀμηχανίᾳ πολλῇ. καθάπερ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτὸς λαμβάνει τὴν πληγήν· οὕτω δὴ καὶ οὗτοι. ἀλλ' ἑώρων οὐ μόνον οὐκ ἐμποδιζομένην αὐτῶν τὴν παῤῥησίαν, ἀλλὰ καὶ μᾶλλον αὐξόμενον τὸ κήρυγμα, καὶ ἀκαταπλήκτως διαλεγομένους αὐτοῖς, καὶ μὴ παρέχοντας λαβάς.

Ιωαν. ζ. μγ. — γ. ὑπηρέται — γ. ἱερεῦσιν γρ. — γ. δὶ' ἑλλὰ — γ. ἀφροντίστως

ΗΘΙΚΟΝ

Μιμησώμεθα τούτους δὴ καὶ ἡμεῖς, ἀγαπητοὶ, καὶ ἀκατάπληκτοι ἐν πᾶσι γενώμεθα τοῖς δεινοῖς. οὐκ ἔστι δεινόν τι τῷ φοβουμένῳ τὸν Θεὸν, ἀλλ' ἐν τοῖς μὴ φοβουμένοις ἐστὶ τὰ δεινά. ὁ γὰρ τῶν παθῶν διὰ ἀρετῆς ἀνώτερος γινόμενος, καὶ ὥσπερ σκιᾷ τοῖς παροῦσι προσέχων πράγμασι, πῶς ὑπό τινος πείσεται δεινόν; τίνα δὲ φοβηθήσεται; τί τὰ δεινὰ λογιεῖται; οὐκοῦν καταφύγωμεν ἐπὶ ταύτην τὴν πέτραν τὴν ἄσειστον. εἰ πόλιν ἡμῖν τις κατεσκεύαζε, καὶ τεῖχος περιετίθει· μᾶλλον δὲ εἰ ἀπῴκιζεν ἡμᾶς εἰς * γῆν, ἔνθα μηδεὶς ἦν ὁ ἐνοχλῶν, καὶ πᾶσαν ἐκεῖ παρεῖχε τὴν ἀφθονίαν, οὐκ ἀφεὶς πρὸς οὐδένα πρᾶγμα ἔχειν, οὐκ ἂν ἡμᾶς ἐν τοσαύτῃ κατέστησεν ἀσφαλείᾳ, ἐν ὅσῃ νῦν ὁ Χριστός. ἔστω γοῦν, εἰ βούλει, ἡ πόλις χρυσῆ, τεῖχος πάντοθεν ἔχουσα καρτερὸν καὶ ἀνάλωτον, μηδεὶς αὐτῇ προσκείσθω πολέμιος, ἄφθονον ἐχέτω γῆν καὶ λιπαρὰν, παρέστω δὲ καὶ ἡ τῶν ἄλλων ἀφθονία πραγμάτων, ἔστωσαν καὶ πολῖται ἥμεροι καὶ προσηνεῖς, καὶ μηδεὶς ἐκεῖ φαινέσθω κακοῦργος ἀνὴρ, μὴ κλέπτης, μὴ λωποδύτης, μὴ συκοφάντης, μὴ δικαστήρια, ἀλλὰ συναλλάγματα ἁπλῶς, καὶ ταύτην οἰκῶμεν τὴν πόλιν· οὐκ ἦν οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ ζῆν. διατί; ὅτι καὶ πρὸς οἰκέτας, καὶ πρὸς γυναῖκα, καὶ πρὸς παιδία ἀνάγκη διαφέρεσθαι, καὶ πολλῆς ἀθυμίας εἶναι ὑπόθεσιν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. οὐ γὰρ ἦν, οὐκ ἦν τὸ λυποῦν, οὐδὲ τὸ παρέχον ἀθυμίαν· ἀλλὰ τὸ θαυμαστὸν, αὐτὰ δὴ τὰ δοκοῦντα ἡμῖν παρέχειν ἀθυμίαν, ταῦτα πάσης ἐγένετο χαρᾶς καὶ εὐφροσύνης αἴτια. εἰπὲ γάρ μοι, τίνος ἕνεκεν ἔμελλον ἀλύειν ἐκεῖνοι; τίνος δὲ ἕνεκεν δυσχεραίνειν; βούλει παραγάγωμεν ἵνα ἐν τῷ μέσῳ; ἔστω τις ἀπὸ ὑπάτων· πλοῦτον κεκτήσθω πολύν· πόλιν οἰκείτω τὴν βασιλικήν· πράγματα πρὸς μηδένα ἐχέτω· τρυφάτω μόνον, καὶ πρὸς τοῦτο ἀσχολείσθω, ἐν αὐτῇ τῇ κορυφῇ καὶ τοῦ πλούτου, καὶ τῆς τιμῆς, καὶ τῆς

γ. αὐτοί — γ. πάντων ἐξῃρημένος, γ. σκιᾷ τὰ παρόντα προσέχων πράγματι, γ. τίνα ἐστὶ λογίσηται; * οἰκίαν γ. ὑψηλήν

δυναστείας

δυναστείας καθήμενος. λοιπὸν ἐξαγάγωμεν αὐτὸν Πέτρον τῶν ἐν δεσμοῖς, εἰ δοκεῖ, τῶν ἐν μυρίοις κακοῖς· καὶ τάχα εὑρήσομεν τρυφῶντα μᾶλλον. ὅταν γὰρ τοσαύτη περιουσία χαρᾶς ᾖ, ὡς ἐν δεσμοῖς ἥδεσθαι, ἐννόησον ὅσον ἐστὶ τὸ μέγεθος τῆς χαρᾶς. καθάπερ γὰρ οἱ ἐπὶ μεγάλης ὄντες ἀρχῆς, ὅσα ἂν περιστῇ δεινά, οὐκ αἰσθάνονται, ἀλλ' ἐπιμένουσι τῇ χαρᾷ· οὕτω δὴ καὶ οὗτοι δι' αὐτὰ δὴ ταῦτα μᾶλλον ἔχαιρον. οὐ γάρ ἐστιν, οὐκ ἔστι λόγῳ παραστῆσαι τὴν ἡδονήν, ὅσην ἔχειν συμβαίνει τὸν διὰ Χριστόν τι πάσχοντα δεινόν. μᾶλλον γὰρ ἐπὶ τοῖς δεινοῖς χαίρουσιν, ἢ ἐπὶ τοῖς ἀγαθοῖς. εἴ τις ἐφίλησε τὸν Χριστόν, οἶδεν ὃ λέγω. ἀλλὰ τί; ἀσφαλείας ἕνεκεν ἐνόμιζον τὰ δυσχερῆ φεύγειν; καὶ τίς, εἰπέ μοι, μυρίον κεκτημένος πλοῦτον, τοσούτους κινδύνους ἠδυνήθη διαφυγεῖν, ἔθνεσι τοσούτοις ὁμιλῶν ὑπὲρ μεταστάσεως πολιτείας μόνης; ὥσπερ γὰρ ἐξ ἐπιτάγματος βασιλικοῦ πάντα ἤνυον· μᾶλλον δὲ καὶ πολλῷ ῥᾷδιον. οὐ γὰρ οὕτως ἐπίταγμα βασιλικόν, ὡς τὰ ἐκείνων ῥήματα ἅπαντα ἤνυεν. τὸ γὰρ ἐπίταγμα τὸ βασιλικὸν ἀνάγκην ἐπάγει)· οὗτοι δὲ ἑκόντας καὶ προαιρουμένους, καὶ μυρίαν χάριν εἰδότας, ποῖον ἐπίταγμα βασιλικόν, εἰπέ μοι, πάντων ἀποστῆναι τῶν χρημάτων καὶ τῆς ψυχῆς ἔπεισεν ἄν, καὶ καταφρονῆσαι οἰκίας, πατρίδος, συγγενῶν, καὶ τῆς σωτηρίας αὐτῆς; ἀλλ' αἱ τῶν ἁλιέων καὶ σκηνοποιοῦ ἴσχυσαν φωναί· ὥστε καὶ ἐν ἡδονῇ ἦσαν, καὶ δυνατώτεροι καὶ ἰσχυρότεροι πάντων. καί, φησιν, ἐκεῖνοι ἐπειδὴ τὰ σημεῖα ἐποίουν· οἱ δὲ πιστεύσαντες, εἰπέ μοι, ποῖα σημεῖα ἐποίουν, οἱ τρισχίλιοι καὶ πεντακισχίλιοι, οἱ καὶ ἐν ἀγαλλιάσει πολλῇ διῆγον; εἰκότως. ἡ γὰρ πασῶν τῶν ἀθυμιῶν ὑπόθεσις, ἡ τῶν χρημάτων κτῆσις ἀνῄρητο. ἐκείνη γάρ, ἐκείνη καὶ πολέμων καὶ μάχης καὶ λύπης καὶ ἀθυμίας καὶ πάντων αἰτία τῶν κακῶν ἐστιν· ἡ τὸν βίον ἐπίπονον ποιοῦσα καὶ λυπηρότερον, ἐκείνη ἐστί. καὶ πλείους εὕροι τις ἂν ἔχοντας ἀθυμίας ὑποθέσεις τοὺς ἐν πλούτῳ, ἢ τοὺς ἐν πενίᾳ. εἰ δὲ μὴ δοκεῖ τισιν οὕτως ἔχειν, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν δόξαν αὐτῶν. εἰ δέ τινα ἔχουσι καὶ ἡδονὴν οἱ ἐν πλούτῳ, οὐδὲν θαυμαστόν. καὶ γὰρ οἱ ψώρας ἀναπεπλησμένοι, ἐν πολλῇ εἰσιν ἡδονῇ. ὅτι γὰρ ἐκείνων οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, ἀλλ' ἡ ψυχὴ τοιαύτη τίς ἐστιν αὐτοῖς, δῆλον ἐκεῖθεν. ἀνιῶσιν αὐτοὺς φροντίδες, καὶ [ὅμως] βούλονται αὐταῖς ἐνέχεσθαι διὰ τὴν πρόσκαιρον ἡδονήν· οἱ δὲ τούτων ἀπηλλαγμένοι, ἐν ὑγείᾳ εἰσὶ καὶ ἀθυμίας ἐκτός. τί ἥδιον, εἰπέ μοι, τί δαὶ ἀσφαλέστερον, ὑπὲρ ἄρτου φροντίζειν ἑνὸς καὶ ἐνδύματος, ἢ ὑπὲρ μυρίων καὶ οἰκετῶν καὶ ἐλευθέρων, τὰ καθ' ἑαυτὸν μὴ μεριμνῶντα; καθάπερ γὰρ οὐδὲν ὑπὲρ ἑαυτοῦ δέδοικεν· οὕτω καὶ σὺ ὑπὲρ τῶν τῆς σῆς ἐκκρεμαμένων κεφαλῆς. καὶ τί δήποτε φευκτὸν ἡ πενία δοκεῖ, φησίν; ἐπειδὴ καὶ τὰ ἄλλα ἀγαθὰ ἀπευκτὰ πολλοῖς τυγχάνει, ἅπερ εἰσὶν οὐ διὰ τὸ ἀπευκτὰ εἶναι φευκτά, ἀλλὰ διὰ τὸ δυσκατόρθωτα. οὐκοῦν καὶ αὕτη οὐκ ἀπευκτή, ἀλλὰ δυσκατόρθωτος. ὥστε εἴ γέ τις αὐτὴν ἐνεγκεῖν ἠδύνατο, οὐκ ἂν ἦν ἀπευκτή. διὰ τί γὰρ οὐκ ἀπηύχοντο αὐτὴν οἱ ἀπόστολοι; διὰ τί πολλοὶ καὶ αἱροῦνται αὐτήν; καὶ οὐ μόνον οὐκ ἀπεύχονται, ἀλλὰ καὶ ἐπιτρέχουσι. τὸ γὰρ ὄντως ἀπευκτόν, οὐδὲ αἱρετὸν ἦν τοῖς μαινομένοις. εἰ δὲ οἱ φιλόσοφοι τῶν ἀνθρώπων καὶ ὑψηλοὶ ἐπὶ ταύτην ἔρχονται), ὡς ἐπί τι χωρίον ἀσφαλὲς καὶ ἄσυλον, οὐδὲν θαυμαστὸν ἐὰν τοῖς ἄλλοις μὴ δοκῇ. ὁ μὲν γὰρ πλούσιος οὐδὲν ἕτερον εἶναί μοι δοκεῖ, ἀλλ' ἢ πόλις ἀτείχιστος ἐν πεδίῳ κειμένη πολλαχόθεν ἐπισπωμένη τοὺς ἐπιβουλεύοντας· ἡ δὲ πενία φρούριον ἀσφαλές, χαλκῷ περιβεβλημένον πολλῷ, καὶ δύσκολον ἔχον τὴν ἔφοδον. καὶ μὴν τοὐναντίον, φησίν, ἐστιν. οὗτοι γάρ εἰσιν οἱ εἰς δικαστήρια πολλάκις ἑλκόμενοι, οὗτοί εἰσιν οἱ ἐπηρεαζόμενοι, οἱ κακῶς πάσχοντες. οὐχ οἱ πένητες ἁπλῶς, ἀλλ' οἱ πένητες μέν, βουλόμενοι δὲ πλουτεῖν. ἐγὼ δὲ οὐ περὶ ἐκείνων φημί, ἀλλὰ περὶ τῶν σπουδαζόντων ἐν πενίᾳ διάγειν. εἰπὲ γάρ μοι, διὰ τί μηδεὶς τὸν ἐν τοῖς ὄρεσιν ἕλκει εἰς δικαστήριον; καίτοιγε εἰ ἡ πενία εὐχείρωτον, ἐκείνους μάλιστα πάντων ἕλκεσθαι ἔδει, ὅσῳ πάντων εἰσὶ πενέστεροι. διὰ τί τοὺς προσαιτοῦντας οὐδεὶς ἕλκει εἰς δικαστήριον; ὅτι πρὸς ἔσχα-

καὶ διὰ τί ἔχουσι τοῖς κινδύνοις;

ἡ. λύουσιν αὐ. οἱ τὶ ἐκείνων ῥήματα. τὸ

τὸ ἧλθον πενίας. διὰ τί μηδεὶς βιάζεται, μηδὲ συκοφαντεῖ; ἆρ' οὐχ ὅτι ἐν ἀσφαλεστέρῳ χωρίῳ μένουσι; πόσοις δὲ πρᾶγμα δυσοιώνιστον εἶναι δοκεῖ, ἡ πενία λέγω, καὶ τὸ προσαιτεῖν; τί οὖν, εἰπέ μοι, καλὸν τὸ ἐπαιτεῖν; καλὸν, ἐὰν ᾖ ὁ διαμυθούμενος καὶ ἐλεῶν, ἐὰν ᾖ ὁ παρέχων. οὕτω βίον ἀπράγμονα καὶ ἀσφαλῆ τοῦτον πᾶς οἶδεν. ἐγὼ δὲ οὐ τοῦτο παραινῶ (μὴ γένοιτο) ἀλλ' ὥστε μὴ πλούτου ἐφίεσθαι. εἰπὲ γάρ μοι, τίνας ἂν εἴποις μᾶλλον μακαρίους, τοὺς ἐπιτηδείους πρὸς ἀρετὴν, ἢ τοὺς ταύτης πόρρω καθεστηκότας; εὔδηλον ὅτι τοὺς ἐπιτηδείους. τίς οὖν ἐπιτήδειος πρὸς τὸ μαθεῖν τι τῶν χρησίμων καὶ λαμπρῶν ἐν φιλοσοφίᾳ, οὗτος, ἢ ἐκεῖνος; παντί που δῆλον ὅτι οὗτος. εἰ δὲ ἀπιστεῖς, μάνθανε. ἀγέσθω τις ἀπὸ τῆς ἀγορᾶς τῶν προσαιτούντων, καὶ αὐτὸς μὲν ἔστω πηρὸς, χωλὸς, κυλλός· ἕτερος δέ τις καλὸς μὲν ἰδεῖν, ἰσχυρὸς τῷ σώματι, πλούτῳ σφριγῶν, τοῖς χρήμασι περιρρεόμενος, γένος ἐχέτω λαμπρὸν καὶ δυναστείαν μεγάλην. οὐκοῦν ἀγάγωμεν τούτους εἰς τὸ τῆς φιλοσοφίας παιδευτήριον, καὶ ἴδωμεν τίς αὐτῶν μᾶλλον δέξεται τὰ τῆς διδασκαλίας. ἔστω γοῦν τὸ πρῶτον παράγγελμα, ταπεινὸς ἔστω καὶ μέτριος. τοῦτο γὰρ ὁ Χριστὸς προσέταξε. τίς μᾶλλον αὐτὸ κατορθῶσαι δυνήσεται, οὗτος, ἢ ἐκεῖνος; μακάριοι οἱ πενθοῦντες. τίς μᾶλλον προσέξει τῷ εἰρημένῳ; μακάριοι οἱ ταπεινοί. τίς μᾶλλον ἀκούσεται; μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. τίς εὐκόλως ταῦτα καταδέξεται; καὶ, εἰ βούλει, πᾶσιν αὐτοῖς ἐφαρμόσωμεν ἑκατέρους. οὐχ ὁ μὲν φλεγμαίνει καὶ οἰδεῖ πλούτῳ, ὁ δὲ ταπεινοφρονεῖ ἀεὶ καὶ συνέσταλται διὰ παντός; ἔστι μὲν οὖν καὶ ἔπος τι ὅ φασι τοὺς ἔξωθεν εἰρηκέναι· δοῦλος ὁ μὲν Ἐπίκτητος, σῶμα ἀνάπηρος, πενίην Ἶρος, καὶ φίλος ἀθανάτων. ἀλλὰ τοῦτο μὲν ὁ πένης· ἡ δὲ τοῦ πλουσίου ψυχὴ πάντων γέμει τῶν κακῶν, ἀπονοίας, κενοδοξίας, ἐπιθυμιῶν μυρίων, ὀργῆς καὶ θυμοῦ, πλεονεξίας, ἀδικίας, καὶ ἑτέρου τινος. ἆρα φανερὸν ὅτι πρὸς φιλοσοφίαν αὕτη ἐπιτηδεία μᾶλλον ἢ ἐκείνη. πάλιν πάλιν ζητοῦμεν μαθεῖν τί μᾶλλον ἥδιον. τοῦτο γὰρ παρὰ πολλοῖς στρεφόμενον ὁρῶ, ἐν τούτοις ἡδίων ἡ διαγωγή. καὶ μὴν οὐδὲ περὶ τούτου ἀμφιβάλλειν χρή. ὁ γὰρ ἐχεὶς τῆς ὑγιείας, ἐκεῖ καὶ ἐν ἡδονῇ πολλῇ. τίς δὲ, εἰπέ μοι, πρὸς τὸ προκείμενον, ὅπερ βουλόμεθα κατορθῶσαι, τὸν νόμον τοῦτον λέγω, ἐπιτήδειος; ὁ πένης, ἢ ὁ πλουτῶν; τίς εὐκόλως ὀμεῖται; ὁ πρὸς παῖδας ἀποξενούμενος, ὁ πρὸς μυρίους ἔχων συναλλάγματα, ἢ ὁ προσαιτῶν ὑπὲρ ἄρτου ἢ ἱματίου ἑνός; οὗτος οὐδὲ ἀνάγκην ὅρκων ἔχει ἐὰν θέλῃ, ἀλλ' ἀεὶ ἐν ἀπραγμοσύνῃ διάγει· μᾶλλον δὲ ὁ παιδευόμενος μὴ ὀμνύναι, καὶ χρημάτων καταφρονήσει πολλάκις, καὶ πανταχοῦ τῆς ἀρετῆς τὰς ὁδοὺς τεμνομένας ἀπὸ τούτου τοῦ καλοῦ ἴδοι τις ἄν, καὶ πάσας φερούσας πρὸς ἐπιείκειαν, πρὸς χρημάτων ὑπεροψίαν, πρὸς εὐλάβειαν, πρὸς κατάστολὴν ψυχῆς, πρὸς κατάνυξιν. μὴ δὴ ῥᾳθυμῶμεν, ἀγαπητοί· ἀλλὰ πάλιν πολλὴν ποιησώμεθα τὴν σπουδὴν, οἱ μὲν κατωρθωκότες, ὥστε φυλάξαι τὸ κατορθωθὲν, ὥστε μὴ εὐκόλως ἀπόρροιάν τινα γενέσθαι καὶ παλίρροιαν εἰς τοὐπίσω· οἱ δὲ ἔτι λειπόμενοι, ὥστε διαναστῆναι, ὥστε σπουδάσαι τὸ λεῖπον πληρῶσαι. καὶ τέως οἱ κατορθώσαντες τοὺς μήπω δυνηθέντας, καθάπερ ἐν πελάγει νηχομένοις τὰς χεῖρας ἐκτείνοντες, ἐν τῷ λιμένι τῆς ἀνωμοσίας δεχέσθωσαν. λιμὴν γὰρ ὄντως ἀσφαλὴς, τὸ μὴ ὀμνύναι· λιμὴν, πρὸς τὸ μὴ καταποντίζεσθαι ὑπὸ τῶν προσπιπτόντων πνευμάτων. κἂν γὰρ ὀργὴ, κἂν ἐπήρεια, κἂν θυμὸς ὑπερζέσῃ, κἂν ὁτιοῦν*, ἡ ψυχὴ ἐν ἀσφαλείᾳ καθέστηκεν, ὥστε οὐδὲ ἂν ἐκβάλῃ τι τῶν οὐκ ὀφειλόντων εἰρῆσθαι. οὐ γὰρ εἰς ἀνάγκην καθίστησιν ἑαυτὸν, οὐδὲ νόμον. ὅρα τί διὰ τὸν ὅρκον ἐποίησεν Ἡρώδης. τὴν κεφαλὴν ἀπέτεμε τοῦ προδρόμου. Διὰ τοὺς ὅρκους γὰρ, φησὶ, καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. τί δι' ὅρκον πεπόνθασιν αἱ φυλαὶ ἐπὶ τῆς Βενιαμὶν φυλῆς; τί δι' ὅρκον πέπονθεν ὁ Σαούλ; ὁ μὲν γὰρ ἐπιώρκησεν· ὁ δὲ Ἡρώδης καὶ τῆς ἐπιορκίας χεῖρον εἰργάσατο, τὸν φόνον. πάλιν ὁ Ἰησοῦς διὰ τὸν ὅρκον ἐπὶ τῶν Γαβαωνιτῶν

Ματθ. ε. δ.

Μαρκ. ϛ. κϛ.

Κριτ. κα. α.

β Βασ. λα. β.

σαντες οἷα πέπονθε· Σατανικὴ γὰρ ὄντως ἐστὶ παγὶς τὸ ὀμνύειν. Διαῤῥήξωμεν τοίνυν τὰ σχοινία, καὶ ἐν βιβλίῳ κατασφίσωμεν ἑαυτοὺς πάσης φυλακῆς. ἀπαλλαγῶμεν τῆς Σατανικῆς παγίδος· φοβηθῶμεν τὴν ἐντολὴν τὴν δεσποτικήν· εἰς συνήθειαν ἀρίστην ἑαυτοὺς ἐμβάλωμεν· ἵνα ὁδῷ προβαίνοντες, καὶ ταύτην, καὶ τὰς λοιπὰς ἐντολὰς κατορθώσαντες, τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. κατοπτευσομ.

γ. πίστιν ἑαυτοὺς ἀπαλλαγῶμεν καὶ

Λογ. ιη. 34 ΑΝΑΣΤΑΣ ΔΕ ΤΙΣ ΕΝ ΤΩ ΣΥΝΕΔΡΙΩ Φαρισαῖος, ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀνθρώπους ποιῆσαι.

γ. τοὺς ἀποστόλους ποιῆσαι

Οὗτος ὁ Γαμαλιὴλ Παύλου διδάσκαλος ἦν. καὶ θαυμάσαι ἄξιον πῶς καὶ τὰ κατὰ νόμον κρείττονα ἔχων, καὶ νομομαθὴς ὤν, οὐδέπω ἐπίστευσεν. οὐκ ἔστι δὲ αὐτὸν μεῖναι μὴ πιστεύσαντα δι' ὅλου. καὶ δῆλον ἐκ τῶν ῥημάτων αὐτοῦ [δι' ὧν συμβουλεύει]. ἐκέλευσε γάρ, φησιν, ἔξω βραχύ τι τοὺς ἀνθρώπους ποιῆσαι. ὅρα τὴν σύνεσιν τῆς δημηγορίας, καὶ πῶς αὐτοὺς εὐθέως εἰς φόβον ἐνέβαλεν. ὥστε δὲ μὴ ὑποπτευθῆναι αὐτὸν ὡς τὰ ἐκείνων φρονοῦντα, ὡς πρὸς ὁμογνώμονας διαλέγεται, καὶ οὐ πολλῇ τῇ σφοδρότητι κέχρηται, ἀλλ' ὡς ὑπὸ τοῦ θυμοῦ μεθύουσιν οὕτω φησί·

35 Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. Μὴ ἁπλῶς, φησί, μηδὲ ὡς ἔτυχε, φέρεσθε.

36 Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων, ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν. Ἀπὸ παραδειγμάτων αὐτοὺς σωφρονίζει, καὶ τὸ πλείονας ἀποστήσαντα ὕστερον τίθησι, παραμυθούμενος αὐτούς. πρὶν μὲν οὖν τὰ παραδείγματα εἰπεῖν, λέγει, προσέχετε ἑαυτοῖς. ἐπεὶ δὲ ἔδειξεν, ἀποφαίνεται λέγων· καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων.

37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν ἱκανὸν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν.

38 Καὶ τανῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι, ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται·

39 Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό. Ὥσπερ ἔλεγεν· ἀνάσχεσθε, καὶ ἐὰν ἐξ ἑαυτῶν καὶ οὗτοι συνέστησαν, οὐδὲν κωλύσει καὶ αὐτοὺς καταλυθῆναι.

Μήποτε, φησί, καὶ θεομάχοι εὑρεθῆτε. Καὶ διὰ τοῦ ἀδυνάτου, καὶ διὰ τοῦ ἀσυμφόρου ἀποτρέπει αὐτούς. οὐκ εἶπε δὲ ὑπό τινος ἀνῃρέθησαν, ἀλλ' ἁπλῶς ὅτι διελύθησαν, καὶ διεῤῥύη αὐτῶν τὸ σύστημα. Εἰ μὲν γὰρ ἀνθρώπινον τὸ ἔργον, οὐδὲν δεήσει πραγμάτων ὑμῖν· εἰ δὲ θεῖόν ἐστιν, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε περιγενέσθαι. οὕτω γοῦν καὶ ὁ λόγος συνετὸς ἔδοξεν, ὅτι καὶ ἐπείσθησαν, ὥστε μὴ ἀνελεῖν αὐτούς, ἀλλὰ μαστίξαι μόνον.

40 Ἐπείσθησαν γὰρ αὐτῷ, φησί, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. Ὅρα μετὰ πόσα μαστίζονται θαύματα· καὶ ὅμως πάλιν ἡ διδασκαλία ἐπέτεινεν. καὶ γὰρ καὶ ἐν οἰκίᾳ, καὶ ἐν τῷ ἱερῷ ἐδίδασκον.

41 Οἱ μὲν οὖν, φησιν, ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι.

42 Πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν.

κεφ. ϛ.

1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Οὐκ ἐν ἐκείναις πάντως λέγει ταῖς ἡμέραις· ἀλλ' ἐπειδὴ συνήθεια τοιαύτη ἐστὶ τῇ γραφῇ, καὶ τὰ μέλλοντα συμβαίνειν ὡς ἐφεξῆς γινόμενα λέγει, διὰ τοῦτο οὕτως εἶπεν. Ἑλληνιστὰς δὲ οἶμαι καλεῖν, τοὺς Ἑλληνιστὶ φθεγγομένους. οὗτοι γὰρ Ἑλληνιστὶ διελέγοντο [Ἑβραῖοι ὄντες.] ἰδοὺ ἄλλος πειρασμός· μᾶλλον εἶδος ἕτερον πειρασμοῦ. ὅρα καὶ ἔξωθεν, καὶ ἔσωθεν τοὺς πολέμους εὐθέως ἐξ ἀρχῆς.

2 Προσκαλεσάμενοι δέ, φησιν, οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστόν ἐστι καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. Καλῶς. τῶν γὰρ ἀναγκαίων τὰ ἀναγκαιότερα προτιμότερα. ὅρα δὲ πῶς εὐθέως καὶ τούτων προνοοῦμεν ποιοῦνται, καὶ τοῦ κηρύγματος οὐκ ἀμελοῦσιν. ὡς αἰδεσιμώτεροι δὲ ἐκεῖνοι ἦσαν· διὸ καὶ προκρίνονται.

3 Ἐπισκέψασθε οὖν, φησιν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης·

4 Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.

5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους. καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου. Ἄρα καὶ ἐκεῖνοι πλήρεις πίστεως ἦσαν, οὓς καὶ ἐξελέξαντο, ἵνα μὴ τὰ αὐτὰ γένηται, οἷα ἐπὶ Ἰούδα, οἷα ἐπὶ Ἀνανίου καὶ Σαπφείρας.

Καὶ Φίλιππον, φησί, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα.

6 Οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι, ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

7 Καὶ ὁ λόγος τοῦ Κυρίου ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει.

Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἄνδρες Ἰσραηλῖται προσέχετε ἑαυτοῖς. ὅρα δή μοι τὸν Γαμαλιὴλ ἐνταῦθα πῶς μετ' ἐπιεικείας διαλέγεται· καὶ τὸ βραχέα διέξεισι πρὸς αὐτούς, καὶ οὐ λέγει παλαιὰ διηγήματα καίτοιγε ἔχων, ἀλλὰ νεώτερα, ἃ μάλιστα πρὸς πίστιν ἐστὶν ἰσχυρά. εἶτα καὶ μετ' ἐπικρύψεως αἰνίττεται λέγων· πρὸ γὰρ τούτων τῶν ἡμερῶν, μονονουχὶ δηλῶν, ὡς οὐ πρὸ πολλῶν. εἰ μὲν οὖν εὐθέως εἶπεν, ἄφετε τοὺς ἄνδρας, καὶ αὐτὸς ἔδοξεν ὕποπτος ἂν, καὶ ὁ λόγος οὕτως οὐκ ἂν ἦν ἰσχυρός· μετὰ δὲ τῶν παραδειγμάτων τὴν οἰκείαν ἰσχὺν ἐλάμβανε. διὰ τοῦτο οὐδὲ ἑνὸς μέμνηται, ἀλλὰ καὶ δευτέρου, καίτοι εἶχεν εἰπεῖν καὶ τρίτον, ἐκ περιουσίας καὶ ἑαυτὸν καλῶς λέγοντα δεικνύς, κἀκείνους ἀπάγων τῆς φονικῆς προαιρέσεως. ἀπόστητε, φησιν, ἀπὸ τῶν ἀνθρώπων. ὅρα πῶς τὸ ἦθος ἐπιεικής. καὶ οὔτε μακρὸν τὸν λόγον, ἀλλὰ σύντομον ποιεῖ, ὅτι ἐκείνων μετὰ θυμοῦ μέμνηται. καὶ πάντες, φησίν, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν. τοῦτο λέγων, οὐδὲν εἰς Χριστὸν βλασφημεῖ· ἀλλ' ὃ βούλεται μάλιστα κατορθοῖ. ἐὰν ᾖ, φησιν, ἐξ ἀνθρώπων, καταλυθήσεται. ἐνταῦθα δὲ συλλογίζεσθαί μοι αὐτοὺς δοκεῖ καὶ λέγειν· οὐκοῦν ἐπειδὴ οὐ κατελύθη, οὐκ ἔστιν ἀνθρώπινον. μήποτε καὶ θεομάχοι εὑρεθῆτε. τοῦτο εἶπε, τῷ ἀδυνάτῳ καὶ ἀσυμφόρῳ καταστέλλων αὐτούς. εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε. οὐκ εἶπεν, ἐὰν ᾖ Θεὸς ὁ Χριστός (τὸ γὰρ ἔργον τοῦτο ἐδήλου) οὐδ' ἀπεφήνατο οὔτε ὅτι ἀνθρώπινόν ἐστιν, οὔτε ὅτι θεῖον· ἀλλὰ τῷ μέλλοντι

χ. ἴσω

χ. διὸ τοῦτο καὶ αἰτίας ἀπήλλαξεν λέγων

χ. παραδείγματα

χ. -χίς

γαρ τὴν κρίσιν ἐπέτρεψε. διὸ καὶ μᾶλλον ἐπείσθησαν. καὶ εἰ ἔπεισε, τίνος ἕνεκεν, φησὶν, ἐμαστίξατε; τῇ μὲν ἀναμφισβητήτῳ δικαιολογίᾳ ἀντιβλέψαι οὐκ εἶχον· ὅμως δὲ τὸν θυμὸν ἐπλήρουν τὸν οἰκεῖον. ἄλλως δὲ, καὶ πάλιν ταύτῃ φοβήσειν προσεδόκησαν. καίτοι μὴ παρόντων δὲ αὐτῶν ταῦτα λέγειν, ἐπεσπάσατο μᾶλλον αὐτούς· καὶ ἡ γλυκύτης δὲ τῶν λόγων, καὶ τὸ δίκαιον τῶν λεγομένων ἔπειθε. μόνον γὰρ οὐχὶ ἐκήρυττε καὶ οὗτος τὸ εὐαγγέλιον. πείθητε, φησὶν, ὅτι οὐκ ἰσχύσατε καταλῦσαι. διατί οὐκ ἐπιστεύσατε; οὕτω μέγα τὸ κήρυγμα, ὅτι καὶ παρὰ τῶν ἐχθρῶν ἡ μαρτυρία. ἐκεῖ τετρακισχίλιοι, καὶ ἐκεῖ τετρακόσιοι ἀνέστησαν, καὶ μετὰ τοῦτο ἱκανὸς ὄχλος· ὧδε δώδεκα ἦσαν οἱ πρῶτοι. μὴ οὖν ὑμᾶς πτοείτω τὸ πλῆθος τὸ προσγενόμενον. ἐὰν γὰρ ᾖ ἐξ ἀνθρώπων τὸ ἔργον τοῦτο, καταλυθήσεται. εἶχε καὶ Αἰγύπτιον εἰπεῖν ἕτερον· ἀλλὰ περιττὸς λοιπὸν ἦν ὁ λόγος αὐτῷ. εἶδες πῶς τῷ φοβερῷ τὸν λόγον κατέκλεισε; διὸ καὶ οὐκ ἀποφαίνεται, ἵνα μὴ δόξῃ ὑπὲρ αὐτῶν λέγειν· ἀλλ᾽ ἀπὸ τῆς τοῦ πράγματος ἐκβάσεως συλλογίζεται. οὐκ ἐτόλμησε δὲ ἀποφήνασθαι, ὅτι οὐκ ἀνθρώπινόν ἐστιν, οὐδὲ ὅτι ἐκ Θεοῦ. ἐπειδὴ, εἰ εἶπεν, ὅτι ἐκ Θεοῦ, ἀντέλεγον ἄν· εἰ δὲ ἐξ ἀνθρώπων, πρόχειροι πάλιν εἰς τὸ ἐπιτόμας ἦσαν ἐγίνοντο. διὰ τοῦτο αὐτοὺς περιμεῖναι τὸ τέλος κελεύει, εἰπὼν, ἀπόστητε. οἱ δὲ ἀπειλοῦσι πάλιν, εἰδότες μὲν ὅτι οὐδὲν ἀνύουσι, ποιοῦντες δὲ τὸ αὐτῶν. τοιοῦτον γὰρ ἡ κακία· ἀδυνάτοις πολλάκις ἐπιχειρεῖ. μετὰ δὲ τοῦτον ἀνέστη Ἰούδας. ταῦτα τοῖς τοῦ Ἰωσήπου βιβλίοις ἐγκύψαντες, μαθήσεσθε ἀκριβέστερον. ἐκεῖνος γὰρ τὴν τούτων ἱστορίαν συντάττων ἀκριβῶς ἱστορεῖ. εἶδες ἡλίκον ἐτόλμησεν εἰπεῖν, ὅτι ἐκ Θεοῦ, ὅτι λοιπὸν ἀπὸ τῶν πραγμάτων τὴν πίστιν ἔλαβεν; οὕτως πολλὴ ἡ παρρησία, πολὺ τὸ ἀπροσωπόληπτον. ἐπείσθησαν δὲ αὐτῷ, φησὶ, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες ἀπέλυσαν αὐτούς. ᾐδέσθησαν τὴν δόξαν τοῦ ἀνδρός. διὸ καὶ τοῦ ἀνελεῖν μὲν τοὺς ἀποστόλους ἀφίστανται, μαστίξαντες δὲ μόνον αὐτοὺς ἀπολύουσιν. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι. πόσων σημείων τοῦτο οὐ θαυμασιώτερον; οὐδαμοῦ γέγονεν ἐπὶ τῶν παλαιῶν τοῦτο. ἐπεὶ καὶ Ἱερεμίας ἐμαστίχθη διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ τῷ Ἠλίᾳ ἠπείλησαν, καὶ τοῖς ἄλλοις. ἀλλ᾽ ἐνταῦθα καὶ ἀπὸ τούτου, οὐκ ἀπὸ τῶν σημείων μόνον τὴν δύναμιν ἐπεδείκνυντο τοῦ Θεοῦ. οὐκ εἶπεν, ὅτι οὐκ ἤλγουν, ἀλλ᾽ ὅτι καὶ ἀλγοῦντες ἔχαιρον. πόθεν δῆλον; ἐκ τῆς μετὰ ταῦτα παρρησίας. οὕτως ἐνεστήκεσαν ἀεὶ καὶ μετὰ τὰς πληγὰς κηρύττοντες. διὸ καὶ τοῦτο δηλῶν, ἐν τῷ ἱερῷ, φησὶ, καὶ κατ᾽ οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν. ἐν δὲ ταῖς ἡμέραις ταύταις. ποίαις ἡμέραις; ὅτε ταῦτα ἐγίνετο, ὅτε μάστιγες, ὅτε ἀπειλαί, ὅτε ἐπληθύνοντο οἱ μαθηταί, τότε γογγυσμὸς γέγονε. ἀπὸ τοῦ πλήθους δὲ τάχα συνέβη. οὐ γάρ ἐστιν ἀκρίβειαν ἐν πλήθει εἶναι. καὶ πολὺς ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει. τοῦτο αἰνιττομένου ἐστὶ καὶ δεικνύντος, ὅτι ἀφ᾽ ὧν ὁ κατὰ Χριστοῦ θάνατος ἐσκευάσθη, πολλοὶ ἀπὸ τούτων πιστεύουσιν. ἐγένετο, φησὶ, γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. ἄρα καθημερινὴ διακονία ἦν ταῖς χήραις. καὶ ὅρα πῶς καὶ τοῦτο διακονίαν καλεῖ, καὶ οὐ ταχέως ἐλεημοσύνην, ἅμα καὶ τοὺς διδόντας, καὶ τοὺς λαμβάνοντας διὰ τούτου ἐπαίρων. τοῦτο οὐ κακίας ἦν, ἀλλὰ τοῦ πλήθους ἴσως ῥᾳθυμία. διὰ τοῦτο [καὶ] προὔθηκεν αὐτὸ εἰς μέσον (οὐ μικρὸν γὰρ κακὸν ἦν) ἵνα ταχέως καὶ διορθωθῇ. ὁρᾷς πῶς καὶ ἐν ἀρχῇ τὰ κακὰ οὐχὶ ἔξωθεν μόνον ἦν, ἀλλὰ καὶ ἔσωθεν; σὺ δὲ μὴ τοῦτο μόνον ἴδῃς, ὅτι διωρθώθη, ἀλλ᾽ ὅτι μέγα κακὸν ἦν. ὁρᾷς τὰ ἔξω διαδεχόμενα τὰ ἔσω; ἐπισκέψασθε οὖν, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν ἑπτά. οὐκ οἰκείᾳ γνώμῃ προστάττουσιν, ἀλλὰ [προσέπειον] ἀπολογούμενοι τῷ πλήθει. οὕτω καὶ νῦν γίνεσθαι ἔδει. οὐκ ἔστι, φησὶν, ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. πρῶτον τὸ ἄτοπον τίθησιν, ὡς οὐκ ἐνὸν μετὰ * σπουδῆς ἀμφότερα γενέσθαι· ἐπεὶ καὶ ὅτε τὸν Ματθίαν χειροτονεῖν ἔμελλον, πρότερον τὴν χρείαν

χ. ἃ ὁ Ἰώσηπος ἀκριβῶς ἱστορεῖ,

Ιερεμ. λζ. ιε. γ. Βασ. ιθ. β.

* τῆς αὐτῆς

δεικνύουσι τοῦ πράγματος, ὅτι ἔλιπεν εἷς, καὶ ἔδει γενέσθαι δώδεκα, καὶ οὐ ταύτην τὴν χρείαν ἐδήλωσαν· καὶ οὔτε περιττὸν ἐποίησαν, ἀλλὰ ἀφιέμενοι γενέσθαι τὸν σχολισμὸν, οὔτε μὴν ἐνδεῶς. οὗτος ἐπὶ πολὺ τοῦτον συμβαίνει. καὶ ὅρα, τὴν κρίσιν αὐτοῖς ἐπιτρέπουσι, καὶ τοὺς πᾶσι ἀρέσκοντας καὶ ὑπὸ πάντων μαρτυρουμένους ἐκείνους προβάλλονται. καὶ σφόδρα αὕτη ἡ κρίσις καλή. καὶ ἑπτὰ προβάλλονται, οὐκέτι δώδεκα, πλήρεις πνεύματος καὶ σοφίας, μαρτυρουμένους ἀπὸ τοῦ βίου. ὅτι μὲν οὖν τὸν Ματθίαν ἔδει προβάλλεσθαι, δεῖ, ἔλεγεν, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ τῷ χρόνῳ· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ τοιοῦτον ἦν τὸ πρᾶγμα. διὸ καὶ οὐ κλήρῳ αὐτὸ ἐπέτρεψαν· οὔτε πάλιν, δυνάμενοι αὐτοὶ ἐκλέξαι πνεύματι κινούμενοι, τοῦτο ποιοῦσιν, ἀλλ' ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας τὸ δοκιμάζειν μᾶλλον ἰσχύουσι. τὸ μὲν οὖν ὁρίσαι τὸν ἀριθμὸν, καὶ τὸ χειροτονῆσαι, καὶ τὸ ἐν χρείᾳ τοιαύτῃ, αὐτῶν ἦν· τὸ δὲ ἐλέσθαι τοὺς ἄνδρας, ἐκείνοις ἐπιτρέπουσιν, ἵνα μὴ δόξωσιν αὐτοὶ χαρίζεσθαι. ἐπεὶ καὶ ὁ Θεὸς Μωϋσῇ ἐπιτρέπει ἑλέσθαι πρεσβυτέρους, οὓς οἶδε. καὶ γὰρ σοφίας πολλῆς δεῖ ἐν ταῖς τοιαύταις οἰκονομίαις. μὴ γὰρ δὴ νομίσῃς, ἐπειδὴ λόγοι οὐκ ἐγκεχείρισται, ὅτι οὐ χρείαν ἔχει σοφίας ὁ τοιοῦτος. χρήζει γὰρ καὶ πολλῆς. ἡμεῖς δὲ, φησι, τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. πάλιν καὶ ἀρχόμενοι καὶ τελευτῶντες ἀπολογοῦνται. προσκαρτερήσομεν, φησιν. οὕτω γὰρ ἔδει, οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ προσκαρτερεῖν. καὶ ἤρεσε, φησιν, ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους. καὶ τοῦτο τῆς αὐτῶν σοφίας ἄξιον. πάντες ἐπῄνεσαν τὸ λεχθέν· οὕτως ἦν συνετόν. καὶ ἐξελέξαντο, φησι. πάλιν αὐτοὶ ἐκλέγονται Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. [ἐκ τούτου δῆλον ὅτι] ἀφώρισαν αὐτοὺς τοῦ πλήθους, καὶ αὐτοὶ ἕλκουσιν, οὐχ οἱ ἀπόστολοι ἄγουσιν. ὅρα πῶς οὐκ ἔστι περιττὸς ὁ συγγραφεύς. οὐ γὰρ λέγει πῶς, ἀλλ' ἁπλῶς ὅτι ἐχειροτονήθησαν διὰ προσευχῆς. τοῦτο γὰρ ἡ χειροτονία ἐστίν. ἡ χεὶρ ἐπίκειται τοῦ ἀνδρός· τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, καὶ ἡ αὐτοῦ χείρ ἐστιν ἡ ἁπτομένη τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐὰν ὡς δεῖ χειροτονῆται. καὶ ὁ λόγος, φησὶ, τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν. οὐχ ἁπλῶς εἶπε τοῦτο· ἀλλ' ἵνα δείξῃ ὅση τῆς ἐλεημοσύνης ἡ ἰσχὺς καὶ τῆς διατάξεως. καὶ μέλλει λοιπὸν διηγεῖσθαι τὰ κατὰ Στέφανον· διὸ καὶ τὰς αἰτίας αὐτῶν προστίθησι. καὶ πολλοὶ, φησι, τῶν ἱερέων ὑπήκουον τῇ πίστει. ἐπειδὴ γὰρ εἶδον τοὺς ἄρχοντας καὶ διδασκάλους ταῦτα ἀποφηνάμενοι, ἀπὸ τῶν ἔργων λοιπὸν τὴν πεῖραν ἐλάμβανον. καὶ θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐν τῇ αἱρέσει τῶν ἀνδρῶν· πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ ἀπόστολοι. ὁποῖον δὲ ἄρα ἀξίωμα εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν· ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία· καίτοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ ἀπόστολοι μόνοι. ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν· ἀλλὰ πῶς εἰς τοῦτο ἐχειροτονήθησαν. καὶ οὐχ ἁπλῶς ἐνεχειρίσθησαν, ἀλλ' ἐπηύξαντο αὐτοῖς δυνηθῆναι γενέσθαι δύναμιν. ὅρα δέ μοι, εἰ ἑπτὰ ἀνδρῶν ἐδέησεν εἰς τοῦτο, τοσαῦτα ἴσως ἐπέρρει χρήματα, τοσούτων χηρῶν πλῆθος ἦν. ἆρα οὐχ ἁπλῶς αἱ εὐχαὶ ἐγίνοντο, ἀλλὰ μετὰ πολλῆς τῆς σχολῆς· καὶ τοῦτο, ὥσπερ τὸ κήρυγμα, οὕτως ἠνύετο. τὰ γὰρ πλείω ταύταις ἤνυον. οὕτω τὰ πνευματικὰ ἐπελέγοντο· οὕτω καὶ [πρὸς] ἀποδημίας ἐστέλλοντο· οὕτως ἐνεχειρίσθησαν οὗτοι τὸν λόγον. καὶ οὐ λέγει, οὐδὲ ἐπαίρει αὐτούς· ἀλλ' ὅτι τὸ δοθὲν ἀφθόνως ἔργον, οὐκ ἀρεστόν. οὕτως ἦσαν ἀπὸ Μωϋσέως παιδευθέντες μὴ πάντα αὐτοὶ μεταχειρίζειν. διὰ τοῦτο καὶ ὁ Παῦλος, Μόνον τῶν πτωχῶν, φησιν, ἵνα μνημονεύωμεν. πῶς δὲ καὶ προσῆγον τούτους; ἐνήστευον, προσεκαρτέρουν εὐχῇ. τοῦτο καὶ νῦν γίνεσθαι ἔδει. οὐχ ἁπλῶς δὲ πνευματικούς, ἀλλὰ

Margin notes (left): Πραξ. α. ις. (beside "μαρτυρουμένους ἀπὸ τοῦ βίου"); Act. 15. 9. (beside "ὁ Θεὸς Μωϋσῇ"); Τιμ. β. 1. (beside "ἐνήστευον, προσεκαρτέρουν").

Margin notes (right): γ. ἐξ ὧν (beside "πρᾶγμα. διὸ καὶ οὐ κλήρῳ"); γ. ὅπως δὲ τὸ μὴ / γ. αὐτὸ τοῦτο (beside "μᾶλλον ἰσχύουσι … ὁ Θεὸς Μωϋσῇ").

ἀλλὰ πνεύματος πλήρεις καὶ σοφίας εἶπε· δηλῶν ὅτι μεγάλης φιλοσοφίας ἦν φέρειν κατηγορίας χηρῶν. τί γὰρ ὄφελος, ὅταν μὴ κλέπτῃ μὲν, ἀπολλύῃ δὲ πάντα ὑπὸ θρασύτητος, ἢ προεχειρίσθη δὲ ἐν ταύτῃ τῇ χειροτονίᾳ καὶ Φίλιππος. περὶ γὰρ αὐτοῦ φησι· Καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. ὁρᾷς οὐχ ἁπλῶς ... ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα. ἐν Ἱεροσολύμοις ἐπεδίδου τὸ πλῆθος. τὸ θαυμαστὸν, ἔνθα ἐσφάγη ὁ Χριστὸς, ἐκεῖ ηὔξετο τὸ κήρυγμα. καὶ οὐ μόνον οὐκ ἐσκανδαλίσθησάν τινες τῶν μαθητῶν, ὁρῶντες τοὺς μὲν ἀποστόλους μαστιζομένους, τοὺς δὲ ἀπειλοῦντας, ἄλλους δὲ πνεῦμα πειράζοντας, ἑτέρους [δὲ] γογγύζοντας· ἀλλὰ μάλιστα καὶ προσετίθετο τῶν πιστευόντων ὁ ἀριθμός. οὕτως ἀπὸ τοῦ κατὰ Ἀνανίαν συμβάντος ἐσωφρονίσθησαν, καὶ πλείων ὁ φόβος αὐτοῖς γέγονεν. ὅρα δέ μοι πῶς ἐπεδίδου τὸ πλῆθος μετὰ τοὺς ἀφορισμοὺς τότε ἐπέδωκεν, οὐχ ἁπλῶς τοῦτο. σκόπει δὲ καὶ πόση φιλανθρωπία τοῦ Θεοῦ. ἐξ ἐκείνων [γὰρ] τῶν ἀρχιερέων, τῶν πρὸς φόνον τοὺς ὄχλους παροξυνάντων, τῶν τοιαῦτα βοώντων* καὶ λεγόντων, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι, ἐκ τούτων πολλοί, φησιν, ὑπήκουον τῇ πίστει. Ματθ. κζ. μβ.

Αὐτοῦ τοίνυν καὶ ἡμεῖς γενώμεθα μιμηταί. προσεδέξατο αὐτοὺς, καὶ οὐκ ἐξέβαλεν. οὕτω τοὺς ἐχθροὺς ἀμειβώμεθα, τοὺς τὰ μυρία ἡμᾶς ἐργασαμένους δεινά. ὅπερ ἂν ἔχωμεν ἀγαθὸν, αὐτοῖς παρέχωμεν· μὴ ... αὐτοῖς ἀντιποιοῦντες. εἰ γὰρ δὴ πάθοιεν κακῶς, ἐμπλήσωσι δὲ τὸν θυμὸν αὐτῶν, πολλῷ μᾶλλον ... τοῦτο γὰρ ἔλαττον ἐκείνου. οὐκ ἔστι γὰρ ἴσον εὖ ποιῆσαι ἐχθρὸν, καὶ μείζονα θελῆσαι παθεῖν, ἢ βούλεσθαι. ἀπὸ τούτου καὶ ἐπὶ ἐκεῖνα ἥξομεν. τοῦτο ἀξίωμα τῶν τοῦ Χριστοῦ μαθητῶν. ἐσταύρωσαν αὐτὸν ἐλθόντα ἐπὶ εὐεργεσίᾳ τῇ αὐτῶν, τοὺς μαθητὰς αὐτοῦ ἐμαστίξαν. καὶ μετὰ ταῦτα εἰς τὴν αὐτὴν αὐτοὺς ... τοῖς μαθηταῖς τιμὴν, ὁμοίως αὐτοῖς μεταδίδωσι τῶν αὐτοῦ. μιμηταὶ γενώμεθα τοῦ διδασκάλου τοῦ Χριστοῦ. κατὰ τοῦτό ἐστι μιμήσασθαι αὐτόν· τοῦτο ἴσον ποιεῖ τῷ Θεῷ· τοῦτο μεῖζον, ἢ κατὰ ἄνθρωπόν ἐστιν. ἐχόμεθα τῆς ἐλεημοσύνης. αὕτη παιδαγωγὸς καὶ διδάσκαλος ἐκείνης τῆς φιλοσοφίας ἐστίν. ὁ μαθὼν ἐλεεῖν τοὺς ἐν συμφορᾷ, μαθήσεται καὶ μὴ μνησικακεῖν· ὁ μαθὼν τοῦτο, καὶ ἐχθροὺς εὐεργετεῖν δυνήσεται. μάθωμεν καταλάσθαι τοῖς τῶν πλησίον κακοῖς, καὶ μαθησόμεθα καὶ τὰ κακὰ αὐτῶν φέρειν. αὐτοὺς ἐρωτήσωμεν τοὺς κακῶς ἡμᾶς διαθέντας, εἰ μὴ καταγινώσκει ἑαυτοῦ, εἰ μὴ ἐθέλει φιλοσοφεῖν, εἰ μὴ θυμοῦ δὲ ποῦ εἶναί φησιν, εἰ μὴ μικροψυχίας, εἰ μὴ ταλαιπωρίας· εἰ μὴ βούλοιτο τῶν ὑβριζομένων εἶναι καὶ σιγώντων, ἀλλὰ μὴ τῶν ὑβριζόντων καὶ μαινομένων. εἰ μὴ θαυμάσεις ἅπαντας τοὺς παθόντας. μὴ δὴ νομίσῃς, ὅτι τοῦτο δυσκαταφρονήτους ποιεῖ. οὐδὲν οὕτως δυσκαταφρονήτους ποιεῖ, ὡς τὸ ὑβρίζειν· οὐδὲν οὕτως αἰδεσίμους, ὡς τὸ ὑβριζομένους φέρειν. ὁ μὲν γάρ ἐστιν ὑβριστὴς, ὁ δὲ φιλόσοφος· καὶ ὁ μὲν ἀνθρώπου χείρων, ὁ δὲ ἀγγέλοις ἴσος. καὶ τί γὰρ ἐλάττων ἢ τοῦ ὑβρίζοντος, καὶ οὕτως, εἰ βούλοιτο, δυνατὸς ὑπάρχει ἀμύνασθαι. καὶ ἄλλως δὲ, καὶ ἐλεεῖται μὲν παρὰ πάντων οὗτος, ἐκεῖνος δὲ μισεῖται. τί οὖν τοίνυν ἐντεῦθεν [ἆρα] πολλῷ βελτίων ἐστὶν οὗτος; τῷ μὲν γὰρ ὡς μαινομένῳ, τούτῳ δὲ ὡς νοῦν ἔχοντι προσέξουσιν ἅπαντες. ὅταν δέῃ κατηγορῆσαί τινα, ὑπό τινος ἀναγκάζῃ, εἰπὲ πρὸς αὐτόν· οὐ δύναμαι αὐτὸν εἰπεῖν κακῶς· οὐδὲ γὰρ μή ποτε οὐκ εἴη τοιοῦτος. μάλιστα μὲν ἐν διανοίᾳ μὴ εἴπῃς, ἀλλὰ μηδὲ πρὸς ἄλλον· μὴ ἐντύχῃς κατὰ τούτου τῷ Θεῷ. ἂν ἴδῃς κακῶς ἀκούοντα, ἀμύνου· εἰπὲ, τοῦ πάθους ἐστὶ τὰ ῥήματα, οὐ τοῦ ἀνδρός· εἰπὲ, τῆς ὀργῆς, οὐ τοῦ φίλου· τῆς μανίας, οὐ τῆς ψυχῆς. ταῦτα λογιζώμεθα ἐφ' ἑκάστῳ τῶν ἁμαρτημάτων. μὴ προσκείσθης ἀνάψαι τὸ πῦρ, ἀλλὰ περὶ τούτου καὶ ταράχῃ μὴ παροξύνῃς τὸ θηρίον, ἀλλὰ μηδὲ παροξυνθῆναι συγχωρήσῃς. οὐκ ἔστι γὰρ κύριος εἰ καταρχεῖ, ἂν ἡ φλὸξ ἀναφθῇ. τί γὰρ εἶπε; ἀσύνετος, μωρέ; τίς οὖν, εἰπέ μοι, ὑπεύ-

θυνος

Πραξ. κα. η.

ΗΘΙΚΟΝ

θυμοῦ τῷ ῥήματι· ὁ ἀκούων, ἢ ὁ λέγων; ὁ μὲν γὰρ, κἂν σφόδρα σοφὸς ᾖ, μικροῦ δόξαν ἔλαβεν· ὁ δὲ, κἂν ἀνόητος ᾖ, σοφοῦ καὶ φιλοσόφου. τίς ἀνόητος, εἰπέ μοι· ὁ ἑτέρῳ προσφέρων τὰ οὐκ ὄντα, ἢ ὁ μηδὲ οὕτω κινηθείς; εἰ γὰρ τὸ μηδὲ κινηθέντα κινεῖσθαι, φιλοσοφίας· τὸ μηδὲ κινοῦντος πλήττεσθαι, πόσης ἀνοίας; οὔπω λέγω ποῖος ἀπόκειται τιμωρίας τόπος τοῖς τὰ τοιαῦτα ὀνειδίζουσι καὶ βλασφημοῦσι τὸν πλησίον. ἀλλὰ τί; ἄτιμον καὶ ἐξ ἀτίμων, καὶ εὐτελῆ καὶ ἐξ εὐτελῶν εἶπε; πάλιν εἰς ἑαυτὸν τὸ ὄνειδος περιέτρεψεν. ὁ μὲν γὰρ τίμιος φαίνεται καὶ αἰδέσιμος· ὁ δὲ εὐτελὴς ὄντως. τὸ γὰρ τὰ τοιαῦτα εἰς τάξιν ὀνειδῶν προσφέρειν, ἐγὼ εὐτέλειαν λέγω, μικρᾶς ὄντως ψυχῆς. ὁ δὲ μέγας καὶ θαυμαστὸς ἔσται, ἅτε οὐδὲν ἡγούμενος τὸ τοιοῦτον, ἀλλ' οὕτω διακείμενος, ὡς ἂν εἰ ἤκουεν, ὅτι ἔχοι τι τῶν ἄλλων διαφέρειν. ἀλλὰ μοιχὸν καὶ τὰ ἄλλα ἐρεῖ; ἐνταῦθα καὶ γελᾶν χρή. ὅταν γὰρ τὸ συνειδὸς μὴ βάλληται, οὐδὲ χώραν ἂν ἔχοι ὁ θυμός. ἐννοήσαντα δέ τινα ἐξάγει εἰς μέσον πονηρὰ καὶ μιαρὰ ῥήματα, οὐδὲ οὕτως ἀλγεῖν χρή. ὅπερ γὰρ ἔμελλε μετὰ ταῦτα ἕκαστος μαθήσεσθαι, τοῦτο ἤδη ἐξεκάλυψεν· ἑαυτὸν λοιπὸν ἄπιστον πᾶσι κατέστησεν, ἅτε οὐκ εἰδότα συγκαλύπτειν τὰ τοῦ πλησίον κακά, καὶ ἑαυτὸν μᾶλλον ᾔσχυνεν, ἢ ἕτερον, καὶ πάντα λιμένα προσέχωσε, τὰς εὐθύνας ἐποίησεν ἑαυτῷ φοβερὰς τοῦ μέλλοντος κριτηρίου. οὐ γὰρ οὕτω τοῦτον, ὡς ἐκεῖνον ἀπογραφήσονται πάντες, ἅπερ ἐκκαλύψαι οὐκ ἐχρῆν ἀπαμφιάσαντα. σὺ δὲ μηδὲν εἴπῃς ὧν συνοῖδας, ἀλλὰ σίγησον, εἰ βούλει τὴν λαμπρὰν δόξαν λαβεῖν. οὐ γὰρ μόνον ἀνατρέψεις τὰ λεχθέντα, οὐδὲ καλύψεις, ἀλλὰ καὶ ἕτερον ἐργάσῃ καλόν. οὐκέτι ποιήσεις γὰρ κατὰ σαυτοῦ τὴν ψῆφον ἐνεχθῆναι. ὁ δεῖνα σε κακῶς λέγει*; εἰπὲ σύ· εἰ πάντα ᾔδει, οὐκ ἂν τοσαῦτα εἶπε μόνα. ἐθαυμάσατε καὶ ἐξεπλάγητε τὸ λεχθέν; ἀλλὰ μιμεῖσθαι χρή. διὰ γὰρ τοῦτο πάντα ὑμῖν τὰ ἔξωθεν λεγόμενα συνάγομεν, οὐχ ὡς οὐκ ἐχουσῶν μυρία τοιαῦτα τῶν γραφῶν, ἀλλ' ὡς μᾶλλον ἐντρέψαι δυναμένων τούτων. ἐπεὶ καὶ ἡ γραφὴ οἶδε πρὸς ἐντροπὴν λέγειν, ὡς ὅταν λέγῃ· Οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; ὁ δὲ προφήτης Ἱερεμίας

Ματθ. ε. μζ.
Ιερ. λε. β.

τοὺς τοῦ Ῥηχὰβ υἱοὺς παρήγαγεν εἰς μέσον, τὴν πατρικὴν ἐντολὴν παραβῆναι μὴ καταδεξαμένους. εἶπον κακῶς οἱ περὶ Μαριὰμ τὸν Μωϋσέα, καὶ τῆς κολάσεως αὐτοῖς εὐθέως ἐξῃτήσατο,

Ἀριθ. ιβ.

καὶ οὐδὲ ἴσον μαθεῖν τινας, ὅτι ἐκδικίας ἔτυχε, συνεχώρησεν. ἀλλ' οὐχ ἡμεῖς οὕτως· ἀλλὰ τοῦτο μάλιστα βουλόμεθα πάντας μαθεῖν, ὅτι οὐκ ἀτιμώρητοι παρῆλθον. μέχρι τίνος ἀπὸ γῆς πνέομεν, οὐκ ἔνι μάχην ἐξ ἑνὸς συστῆναι μέρους. ἰδοὺ μαινομένους ἂν ἐξ ἑκατέρων τῶν μερῶν ἑλκύσῃς, μᾶλλον προξενήσεις· ἂν δὲ ἐκ δεξιᾶς ἢ ἐξ ἀριστερᾶς, ἔσβεσας τὸν θυμόν. ὁ πλήττων, ἂν μὲν ἔχῃ τὸν μὴ δεχόμενον, μᾶλλον ἐπαίρεται· ἂν δὲ εἴκοντα, μᾶλλον ἐκλύεται, καὶ εἰς αὐτὸν ἡ πληγὴ περιτρέπεται. οὐ γὰρ οὕτως ἐκλύει τὴν δύναμιν τοῦ ἀνταγωνιστοῦ ἄνθρωπος παγκρατιάζειν εἰδώς, ὡς ἄνθρωπος ὑβριζόμενος, καὶ μὴ ἀνθυβρίζων. αἰσχυνθεὶς γὰρ ἐκεῖνος λοιπὸν ἄπεισι, καὶ καταγνωσθεὶς, πρῶτον μὲν ἐκ τοῦ συνειδότος, δεύτερον δὲ παρὰ τῶν ὁρώντων ἁπάντων. καὶ παροιμία δέ τις ἐστὶν, ὅτι δὴ ὁ τιμῶν, ἑαυτὸν τιμᾷ· ἄρα καὶ ὁ ὑβρίζων, ἑαυτὸν ὑβρίζει. οὐδεὶς ἡμᾶς ἀδικῆσαι δυνήσεται, πάλιν ἐρῶ, ἐὰν μὴ ἡμεῖς ἑαυτούς· οὔτε πώποτέ με τις ἐργάσεται, ἐὰν μὴ ἐγὼ ἐμαυτόν. φέρε γὰρ, οὕτω σκεψώμεθα. ἔστω μοι ψυχὴ πενιχρὰ, καὶ πάντες κενούτωσαν εἰς ἐμὲ τὰ χρήματα. τί τοῦτο; ἕως ἂν ἐκείνη μὴ μεταβάληται, πάντα μάτην. ἔστω μοι ψυχὴ μεγάλη, καὶ πάντες λαμβανέτωσαν τὰ χρήματα. τί τοῦτο; ἕως ἂν ἐκείνην μὴ ποιήσῃς πενιχρὰν, οὐδὲν βλάβος. ἔστω μοι βίος ἀκάθαρτος, καὶ πάντες τἀναντία λεγέτωσαν περὶ ἐμοῦ. τί τοῦτο; κἂν γὰρ λέγωσιν, ἀλλ' οὐχὶ καὶ ἐν διανοίᾳ ταῦτα ψηφίζονται. πάλιν ἔστω μοι βίος καθαρὸς, καὶ πάντες τἀναντία λεγέτωσαν. καὶ τί τοῦτο; ἐν γὰρ τῷ συνειδότι ἑαυτῶν καταγνώσονται. οὐ γὰρ δὴ πεπεισμένοι λέγουσιν. ὥσπερ γὰρ τὰς εὐφημίας οὐ δεῖ προσίεσθαι, οὕτως οὐδὲ τὰς κατηγορίας. καὶ τί λέγω ταῦτα; οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαί ποτε δυνήσεται, οὐδὲ κατηγορίᾳ τινὶ περιβαλεῖν,

ἐὰν

ἐὰν βουλώμεθα. Ἴδωμεν δὲ καὶ οὕτως. ἑλκέτω τις εἰς δικαστήριον· συκοφαντείτω· εἰ βούλει, καὶ τὴν ψυχὴν ἐκφερέτω· καὶ τί τοῦτο, πρὸς μικρὸν παρ' ἀξίαν ταῦτα παθεῖν; τοῦτο μὲν οὖν αὐτὸ κακόν φησιν. αὐτὸ μὲν οὖν τοῦτο καλὸν, τὸ μὴ κατ' ἀξίαν παθεῖν. ἀλλὰ τί; κατ' ἀξίαν ἔδει; εἰπὼ τι πάλιν. Φιλόσοφός τις τῶν ἔξωθεν, ὡς ἤκουσεν ὅτι ὁ δεῖνα ἀπέθανε, καί τις εἶπεν αὐτῷ τῶν μαθητῶν, οἴμοι, ὅτι ἀδίκως ἐκεῖνος ἐπισφαγείς· ἀλλὰ τί, ἔφη, δικαίως ἤθελες; καὶ Ἰωάννης δὲ οὐχὶ ἀδίκως ἀπέθανε; τίνα οὖν μᾶλλον ἐλεεῖς, τὸν δικαίως ἀποθανόντα, ἢ τὸν οὐχ οὕτως; οὐχὶ τοῦτον μὲν ταλανίζεις, ἐκεῖνον δὲ καὶ θαυμάζεις; τί οὖν; ἠδίκηται ἄνθρωπος, καὶ ἀπ' αὐτοῦ τοῦ θανάτου κερδανεῖ μεγάλα, οὐ μόνον οὐδὲν βλαβείς. εἰ μὲν γὰρ ἀθάνατον ὄντα θνητὸν ἐποίει, ἴσως ἂν βλάβη ἦν· εἰ δὲ θνητὸν ὄντα, καὶ ἀπὸ τῆς φύσεως μικρὸν ὕστερον τὸν θάνατον ἐκδέχεσθαι μέλλοντα, ἐσπούδασεν ὁ μετὰ δόξης τοῦτον ἐπαγαγεῖν, τί βλάβος; ἔστω ἡμῖν ἡ ψυχὴ ῥυθμιζομένη καλῶς, καὶ βλάβος οὐδὲν ἐκ τῶν ἔξωθεν. ἀλλ' οὐκ εἶ ἐν δόξῃ; καὶ τί τοῦτο; ὅπερ γὰρ ἐπὶ τῶν χρημάτων ἐστὶ, τοῦτο καὶ ἐπὶ τῆς δόξης. ἂν γὰρ ὦ μεγαλοπρεπὴς, οὐ δεήσομαι οὐδενός· ἂν δὲ κενόδοξος, ὅσα ἂν ἐπιτύχω, τοσούτῳ μείζονος δεήσομαι. Ταύτῃ δὲ μάλιστα λαμπρότερος ἔσομαι, καὶ μείζονος ἀπολαύσομαι δόξης, εἰ καταφρονήσω δόξης. Ταῦτα οὖν εἰδότες, καὶ χάριν ἔχωμεν τῷ τοιαύτην ἡμῖν χαρισαμένῳ ζωὴν Χριστῷ τῷ * Θεῷ ἡμῶν, καὶ μετίωμεν αὐτὴν εἰς δόξαν αὐτοῦ· ὅτι αὐτῷ πρέπει ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιε. 8 ΣΤΕΦΑΝΟΣ ΔΕ ΠΛΗΡΗΣ ΠΙΣΤΕΩΣ ΚΑΙ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

ΟΡα πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις προὔκειτο, καὶ τὰ πρωτεῖα εἶχεν. εἰ γὰρ καὶ ἡ χειροτονία κοινὴ, ἀλλ' ὅμως οὗτος ἐπεσπάσατο χάριν πλείονα. πρὸ τούτου δὲ οὐκ ἐποίει σημεῖα, ἀλλ' ὅτε δῆλος γέγονεν· ἵνα δειχθῇ, ὅτι οὐκ ἀρκεῖ μόνη ἡ χάρις, ἀλλὰ δεῖ καὶ τῆς χειροτονίας· ὥστε προσθήκη πνεύματος ἐγένετο. εἰ δὲ καὶ πρὸ τούτου πλήρεις πνεύματος ἦσαν, δῆλον ὅτι τοῦ ἀπὸ τοῦ λουτροῦ.

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς. Πάλιν ἀνάστασιν τὸν παροξυσμὸν αὐτῶν λέγει, καὶ τὴν ὀργήν. ὅρα καὶ ἐνταῦθα πολὺ τὸ πλῆθος· μᾶλλον δὲ πῶς ἔπεισι τῆς κατηγορίας τὸ σχῆμα. ἐπειδὴ γὰρ ἐκώλυσεν αὐτοὺς Γαμαλιὴλ μηδὲν ὑπὲρ ἐκείνου ἐγκαλεῖν, ἑτέραν κατηγορίαν εἰσάγουσι.

Ἀνέστησαν δέ τινες, φησι, τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ.

10 Καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει.

11 Τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν. Ἵνα τὴν κατηγορίαν αὐξήσωσι, κατὰ τοῦ Θεοῦ, φησι, καὶ κατὰ Μωϋσέως λαλεῖ. διὰ τοῦτο καὶ συνεζήτουν, ἵνα ἀναγκάσωσιν αὐτόν τι εἰπεῖν. ὁ δὲ γυμνότερον λοιπὸν διελέγετο, καὶ τὴν παῦλαν ἴσως ἔλεγε τοῦ θείου νόμου· ἢ οὐκ ἔλεγε μὲν, ᾐνίττετο δέ. ἐπεὶ εἰ ἔλεγε φανερῶς, οὐκ ἔδει τῶν ὑποβλητῶν ἀνδρῶν, οὐδὲ τῶν ψευδομαρτύρων. διάφοροι δὲ αἱ συναγωγαὶ ἦσαν, Λιβερτίνων καὶ Κυρηναίων. ἀλλὰ Κυρηναῖοι μὲν, οἱ ἐπέκεινα Ἀλεξανδρείας εἰσὶν, οἳ καὶ ἐκεῖ κατὰ τὰ ἔθνη εἶχον συναγωγάς· ἴσως δὲ καὶ ἐκεῖ ἔμενον, ἵνα μὴ ἀναγκάζωνται συνεχῶς ἀποδημεῖν· Λιβερτῖνοι δὲ, οἱ Ῥωμαίων ἀπελεύθεροι οὕτω καλοῦνται. ὥσπερ δὲ ᾤκουν ἐκεῖ πολλοὶ ξένοι, οὕτω καὶ συναγωγὰς εἶχον, ἔνθα ἔδει τὸν νόμον ἀναγινώσκεσθαι καὶ εὐχὰς γίνεσθαι. σὺ δέ μοι σκόπει, πῶς καὶ οὗτοι

ἀναγκαζόμενος

χ. πάθῃ, εἰπὼ μοι;
χ. ἢ ἐκεῖνον, ἢ ἀδίκως
χ. ἄθλιον καὶ ταλαίπωρον καλεῖς,
χ. τί ποτε δὲ
* ἀληθινῷ
χ. ἀλλὰ
χ. συνήσωσι,
χ. τοῦ νόμου μόνον.
χ. Λιβ. ἴσως ὅσοι Ῥω. ἀπ. ὦσι.
χ. γὰρ
χ. δεῖ αὐτὸν εἰς τὸ χειροτονεῖσθαι διδάσκειν, ἀλλ' ἀναγκαζόμενον.

ἀναγκαζόμενος διδάσκειν ἐπιχειρεῖ· κἀκεῖνοι πάλιν διὰ τὰ σημεῖα εἰς φθόνον οὐ μόνον κινοῦνται, ἀλλ' ἐπειδὴ καὶ λόγῳ ἐκράτει καὶ ἀφόρητος ἦν αὐτοῖς, ψευδομάρτυρας συνιστῶσιν. οὐκ ἐβούλοντο γὰρ ἁπλῶς ἀναιρεῖν, ἀλλὰ μετὰ ψήφου, ἵνα καὶ τὴν δόξαν αὐτοῦ βλάψωσι, καὶ ἐκείνους ἀφέντες ἐπὶ τούτους ἔρχονται, ὡς ταύτῃ καταπληξόμενοι κἀκείνους· οἳ καὶ οὐκ εἶπον, ὅτι λαλεῖ, ἀλλ', Οὐ παύεται λαλῶν, αὔξοντες τὴν κατηγορίαν.

12 Συνεκίνησάν τε τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον,

13 Ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ νόμου. Οὐ παύεται, φησὶν, ὡς ἔργον αὐτοῦ ποιούμενος.

14 Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. Ἰησοῦς, φησὶν, ὁ Ναζωραῖος, καὶ ὀνειδιστικῶς, καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη. τοῦτο καὶ τοῦ Χριστοῦ κατηγοροῦντες ἔλεγον· Ὁ καταλύων τὸν ναὸν τοῦ Θεοῦ. πολλὴ γὰρ ἦν αὐτοῖς εὐλάβεια περί τε τὸν ναὸν, ἅτε καὶ μετοικεῖν βουλομένοις, περί τε τὸ ὄνομα Μωϋσέως. καὶ ὅρα πῶς διπλῆ ἡ κατηγορία. καταλύσει, φησὶ, τὸν τόπον, καὶ ἀλλάξει τὰ ἔθη, καὶ ἕτερα αὐτοῦ σαλεύει· οὐ μόνον δὲ διπλῆ, ἀλλὰ καὶ πικρὰ καὶ κινδύνων γέμουσα.

Ματθ. κζ. μ.

15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. Οὕτως ἔστι καὶ ἐν ἐλάττονι ὄντας βαθμῷ λάμπειν. τί γὰρ, εἰπέ μοι, τῶν ἀποστόλων οὗτος ἔλαττον εἶχε; οὐχὶ σημεῖα εἰργάσατο; οὐ πολλὴν ἐπεδείξατο τὴν παῤῥησίαν; εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου, φησί. τοῦτο ἄρα ἡ χάρις ἦν· τοῦτο καὶ ἡ δόξα Μωϋσέως ἦν. ἐπίχαρι [δὲ] αὐτὸν δοκεῖ μοι ποιῆσαι ὁ Θεὸς, τάχα ἐπειδὴ ἔμελλέ τινα ἐρεῖν, ἵνα εὐθέως τῇ προσόψει καταπλήξῃ αὐτούς. ἔστι γὰρ, ἔστι καὶ πρόσωπα χάριτος γέμοντα πνευματικῆς, ἐπέραστα τοῖς ποθοῦσι, καὶ αἰδέσιμα τοῖς μισοῦσι καὶ φοβερά. ἢ καὶ ὡς αἰτίαν τοῦτο εἶπε, δι' ἣν ἠνέσχοντο τῆς δημηγορίας αὐτοῦ. Τί δαὶ ὁ ἀρχιερεύς; Εἰ ἄρα, φησὶ, ταῦτα οὕτως ἔχει. ὁρᾷς πῶς μετ' ἐπιεικείας ἡ ἐρώτησις καὶ οὐδὲν τέως φορτικὸν ἔχουσα; διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ προσηνείας ἄρχεται τῶν ῥημάτων, καί φησιν·

κεφ. ζ.

2 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν. Εὐθέως ἐκ τοῦ προοιμίου τὴν δόξαν αὐτῶν ἀναιρεῖ, καὶ κατασκευάζει δι' ὧν φησιν αἰνιττόμενος, ὅτι τε οὐδέν ἐστιν ὁ ναὸς διὰ τοῦτο αὐτὸς, οὐδὲ τὰ ἔθη, καὶ ὅτι οὐ περιέσονται τοῦ κηρύγματος, καὶ ὅτι ἐξ ἀμηχάνων ἀεὶ ὁ Θεὸς πάντα ποιεῖ καὶ κατασκευάζει. ὅρα οὖν διὰ τούτων ὑφαινομένην τὴν δημηγορίαν καὶ ἀποδεικνῦσαν, ὅτι πολλῆς ἀπολαύσαντες ἀεὶ φιλανθρωπίας, τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψαντο, καὶ ὅτι ἀδυνάτοις ἐπιχειροῦσιν. ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, καὶ εἶπε πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. Καὶ ναὸς οὐκ ἦν, καὶ θυσία οὐκ ἦν, καὶ θείας ὄψεως ἠξίωτο Ἀβραὰμ, καὶ προγόνους Πέρσας εἶχε, καὶ ἐν ἀλλοτρίᾳ γῇ ἦν. καὶ τί δήποτε ἀρχόμενος, τὸν Θεὸν τῆς δόξης Θεὸν ἐκάλεσεν; ἐπειδὴ τοὺς ἀτίμους ἐνδόξους πεποίηκε· καὶ ἵνα διδάξῃ, ὅτι εἰ ἐκείνους ἐδόξασε, πολλῷ μᾶλλον αὐτούς. ὁρᾷς πῶς αὐτοὺς ἀπάγει τῶν σωματικῶν, καὶ ἀπὸ τοῦ τόπου πρῶτον, ἐπειδὴ περὶ τόπου ὁ λόγος ἦν; ὁ Θεὸς τῆς δόξης. εἰ δόξης Θεὸς, εὔδηλον ὅτι οὐ δεῖται τῆς παρ' ἡμῶν δόξης, οὐδὲ τῆς διὰ τοῦ ναοῦ. αὐτὸς γάρ ἐστιν ἡ τῆς δόξης πηγή. μὴ [τοίνυν] νομίσητε ταύτῃ δοξάζειν αὐτόν. καὶ πῶς, φησὶν, ἡ γραφὴ τοῦτο λέγει περὶ τοῦ πατρὸς Ἀβραάμ; ὅτι οὐκ ἔστι πρὸς τὰ μὴ σφόδρα ἀναγκαῖα περιττή. ὁ μὲν γὰρ ἦν χρήσιμον μαθεῖν,

θεῖν, τοῦτο μέντοι ἡμᾶς ἐδίδαξεν, ὅτι ἀπὸ τῆς ὄψεως τοῦ υἱοῦ συνεξῆλθεν αὐτῷ· τὸ δὲ πλέον τοῦτο παρέλιπεν ἡ διήγησις, διὰ τὸ θᾶττον ἀποθανεῖν μετὰ τὸ κατοικῆσαι αὐτοὺς ἐν Χαῤῥάν. ἐξελθὼν ἐκ τῆς συγγενείας σου. ἐνταῦθα δείκνυσιν ὅτι οὐκ εἰσὶν οὗτοι τέκνα τοῦ Ἀβραάμ. πῶς; εἰ ἐκεῖνος πειθόμενος ἦν, οὗτοι δὲ ἀπειθεῖς· μᾶλλον δὲ ἐξ ὧν ποιεῖ κελευόμενος, μανθάνομεν ὅτι ἐκεῖνος μὲν τοὺς πόνους ὑπέμεινεν, οὗτοι δὲ τοὺς καρποὺς δρέπονται, καὶ διὰ πάντα τὸν πρόγονον ἐν κακουχίᾳ.

4 Καὶ ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαῤῥάν· κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε,

5 Καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός.

Ὅρα πῶς αὐτοὺς ἀπὸ τῆς γῆς ἀνάγει. οὐ γὰρ εἶπε, δώσει· ἀλλ', οὐκ ἔδωκε, δηλῶν ὅτι πάντα πρὸ ἐκείνου, καὶ οὐδὲν πρὸ αὐτῶν. ἦλθε γὰρ καὶ συγγένειαν ἀφεὶς καὶ πατρίδα. διὰ τί οὖν οὐκ ἔδωκεν; ὅτι τύπος ἦν ἑτέρας γῆς, καὶ ἐπηγγείλατο δοῦναι αὐτὴν αὐτῷ. ὁρᾷς, ὅτι οὐχ ἁπλῶς πάλιν τὴν λέγει διαλεγόμενος; οὐκ ἔδωκεν αὐτῷ, φησί,

Καὶ ἐπηγγείλατο καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος αὐτῷ τέκνου.

Πάλιν τὸ δυνατὸν ἐντεῦθεν δείκνυται τοῦ Θεοῦ, τὸ ἐξ ἀμηχάνων πάντα ποιεῖν. τὸν γὰρ ἐν Περσίδι καὶ τοσοῦτον ἀπέχοντα, τοῦτον ἔφησε κύριον τῆς Παλαιστίνης ποιήσειν. ἀλλ' ἴδωμεν ἀνωτέρω τὰ εἰρημένα. ἀτενίσαντες εἰς αὐτὸν, φησὶν, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. πόθεν ἡ χάρις τῷ Στεφάνῳ ἐπήνθει; ἆρ' οὐκ ἀπὸ τῆς πίστεως; εὔδηλον ὅτι. ἐμαρτύρησε γὰρ αὐτῷ ἄνω ὅτι πλήρης πίστεως ἦν. ἔστι δὲ χάριν ἔχειν, καὶ οὐκ ἐν ἰάσεσι. διὸ καὶ ὁ ἀπόστολος· Ὧ μὲν χάρις δίδοται, φησὶν, ἰαμάτων· ἄλλῳ δὲ λόγος σοφίας. ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐπίχαριν αὐτὸν εἶναι ἀρίστευσθαι, τῷ λέγειν, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου· ὁ καὶ Βαρνάβας μεμαρτύρηται. ὅταν γὰρ αὐτοὺς ἁπλάστους τε καὶ ἀπονήρους μάλιστα ἴσμεν θαυμαζομένους, καὶ τούτους μᾶλλον ἐπιχαρίτους ὄντας. τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα. ἐπὶ μὲν τῶν ἀποστόλων ἔλεγον, ὅτι τὴν ἀνάστασιν κατήγγελον, καὶ ὅτι πολὺς ὄχλος ἐπέῤῥει· ἐνταῦθα δὲ, ὅτι ἐθεραπεύοντο. ὢ τῆς ἀνοίας, ὑπὲρ ὧν εὐεργετοῦντο, ὑπὲρ τούτων ἐμέμφοντο· καὶ οὐδὲ διὰ τῶν ἔργων κρατοῦντας προσεδόκων κρατήσειν διὰ τῶν λόγων. ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν, καὶ ἀεὶ εἰς λόγους αὐτοὺς ἐνέβαλλον. ἁρπάσαι γὰρ αὐτοὺς ἁπλῶς ᾐσχύνοντο, οὐδὲν ἔχοντες ἐγκαλεῖν. καὶ ὅρα, οὐδὲ αὐτοὶ τοὺς δικάζοντας μαρτυρεῖσθαι (ἠλέγχθησαν γὰρ ἄν) ἀλλ' ἁπλῶς ἑτέρους μισθοῦνται, ἵνα μὴ δόξῃ ἐπηρείας εἶναι τὸ πρᾶγμα. τὸ αὐτὸ γενόμενον ἴδοι τις ἂν καὶ ἐπὶ τοῦ Χριστοῦ. εἶδες τοῦ κηρύγματος τὴν δύναμιν, καὶ πῶς οὐχὶ μαστιζομένων μόνον, ἀλλὰ καὶ λιθαζομένων κρατεῖ, οὐδὲ εἰς δικαστήριον ἀγομένων, ἀλλὰ καὶ ἐλαυνομένων πάντοθεν; ἐντεῦθεν καὶ ψευδομαρτυρούντων αὐτῶν οὐ μόνον οὐκ ἐκράτουν, ἀλλ' οὐδὲ ἀντιστῆναι ἴσχυον, καίτοι σφόδρα ἀναισχυντοῦντες ὄντες. οὕτως αὐτοὺς κατὰ κράτος εἷλε, καὶ ταῦτα πολλὰ πράττοντας* ἀπίθανα (ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ) οἳ καὶ πάντα πρὸς θάνατον ἔπραττον τὸν αὐτοῦ, ὡς λοιπὸν δῆλον γενέσθαι πᾶσιν, ὅτι οὐκ ἔστιν ἀνθρωπίνη ἡ μάχη, ἀλλὰ Θεοῦ πρὸς ἀνθρώπους. σκόπει δὲ καὶ τί φασι τὸν συστάντες ψευδομάρτυρες ὑπὸ τῶν φονικῶν συναρπασάντων αὐτὸν εἰς τὸ συνέδριον· ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν. ὢ ἀναισχυντίας· πράγματα ποιεῖτε βλάσφημα [εἰς Θεὸν,] καὶ οὐ φροντίζετε· καὶ Μωϋσέως φροντίζειν προσποιεῖσθε; διὰ τοῦτο προσέκειται Μωϋσῆς, ἐπεὶ τὰ τοῦ Θεοῦ οὐ σφόδρα αὐτοῖς ἔμελε, καὶ διὰ τοῦτο καὶ Μωϋσέως μέμνηνται· ὁ Μωϋσῆς, λέγοντες, οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς, τὸ ἀνείπατον τοῦ ὄχλου διερεθίζοντες. καίτοι πῶς ἂν ἄνθρωπος βλάσφημος ἂν προειλέγμενον; πῶς καὶ ὁ οὕτω βλάσφημος σημεῖα ἐποίει τοιαῦτα ἐν τῷ λαῷ; ἀλλὰ ποιοῦντί ἡ

α. Κορ. ιβ. θ.

βασκανία

βασκανία, ἐκφρασίας τοὺς ἀλόντας ποιοῦσα, ὡς μηδὲ ἃ φθέγγονται συνορᾶν. ἀκηκόαμεν αὐτοῦ, φησὶ, λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν· καὶ πάλιν, οὗτος ὁ ἄνθρωπος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου, καὶ μετὰ προσθήκης, ἃ παρέδωκεν ἡμῖν, φησὶ, Μωϋσῆς· οὐκ εἶπεν ὁ Θεός. ὁρᾷς πῶς ἐπὶ δύο ταῦτα πολιτείας καὶ ἀσεβείας αὐτὸν κατηγοροῦσιν; δῆλον δὲ οὐκ ἦν τοῦ τοιούτου τοιαῦτα λέγειν καὶ θρασέως, πολύ τι τοῦτο δῆλον. οὕτως ἥμερος καὶ ἀπὸ τοῦ προσώπου ἦν. ἔνθα μὲν οὖν οὐκ ἐσυκοφάντουν, οὐδὲν τοιοῦτόν φησιν ἡ γραφή. ἐπειδὴ δὲ τὸ πᾶν ἐνταῦθα συκοφαντία ἐστὶν, εἰκότως αὐτὴν διορθοῦται ὁ Θεὸς καὶ διὰ αὐτῆς τῆς ὄψεως. οἱ μὲν γὰρ ἀπόστολοι οὐκ ἐσυκοφαντοῦντο, ἀλλ᾽ ἐκωλύοντο· οὗτος δὲ συκοφαντεῖται. διά τοι τοῦτο [καὶ] πρὸ πάντων ἡ ὄψις ἀπολογεῖται. τάχα τοῦτο καὶ τὸν ἱερέα ἐνέτρεψεν. εἰπὼν δὲ ὅτι ἐπηγγείλατο, δείκνυσι τὴν ἐπαγγελίαν περὶ τοῦ τόπου γεγενημένην, περὶ τῆς περιτομῆς, περὶ θυσίας, περὶ τοῦ ναοῦ, καὶ ὅτι οὐ κατ᾽ ἀξίαν οὗτοι ἔλαβον· οὐδὲ περιτομὴν, οὐδὲ νόμον, ἀλλὰ τῆς ὑπακοῆς μόνης μισθὸς ἦν ἡ γῆ. ἀλλ᾽ οὐδὲ τῆς περιτομῆς δοθείσης, ἡ ἐπαγγελία πληροῦται. καὶ ὅτι τύποι ἦσαν καὶ τὸ τὴν πατρίδα ἀφεῖναι, τοῦ Θεοῦ κελεύσαντος, καὶ συγγένειαν· οὐ παρὰ τὸν νόμον (ἐκείνη γὰρ πατρὶς, ἔνθα ἂν ἡγῆται Θεός) καὶ τὸ κληρονομίαν ἐνταῦθα μὴ λαβεῖν· καὶ ὅτι εἴ τις ἀκριβῶς ἐξετάζοι, Πέρσαι εἰσὶν οἱ Ἰουδαῖοι· καὶ ὅτι χωρὶς σημείων πείθεσθαι δεῖ τῷ Θεῷ λέγοντι, κἂν δεινά τινα συμβαίνῃ· ἐπεὶ καὶ ὁ πατριάρχης καὶ τοὺς τάφους καταλιπὼν τοὺς πατρῴους καὶ πάντα, ἐπείθετο τῷ Θεῷ. εἰ δὲ ὁ τούτου πατὴρ οὐκ ἐκοινώνησεν αὐτῷ τῆς ἐπὶ Παλαιστίνην ἀποδημίας (ἄπιστος γὰρ ἦν), πολλῷ μᾶλλον τὰ παιδία οὐ κοινωνήσουσι, κἂν ἐπὶ πολὺ ἔλθωσι τῆς ὁδοῦ, τὴν τοῦ πατρὸς μὴ ζηλώσαντα ἀρετήν. καὶ ἐπηγγείλατο αὐτὴν δοῦναι αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ, φησὶ, μετ᾽ αὐτόν. πολλὴ ἐνταῦθα καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία δείκνυται, καὶ τοῦ Ἀβραὰμ ἡ πίστις. τὸ γὰρ, οὐκ ὄντος αὐτῷ τέκνου πείθεσθαι, τοῦτο δείκνυσι καὶ τὴν ὑπακοὴν καὶ τὴν πίστιν· καίτοιγε τὰ γινόμενα τοὐναντίον ἐδείκνυ· οἷον, μετὰ τὸ ἐλθεῖν οὐκ εἶχε βῆμα ποδὸς, παῖδα οὐκ εἶχεν· ἅπερ ἐναντία ἦν τῇ πίστει.

ΗΘΙΚΟΝ

Ταῦτα [δὴ] κατὰ μιμούμενοι καὶ ἡμεῖς, ἅπερ ἂν ἐπαγγέλληται ὁ Θεὸς, δεχώμεθα, κἂν [που] ἐναντία ᾖ τὰ γινόμενα· καίτοι ἐφ᾽ ἡμῶν οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα ἀκόλουθα. ἔνθα μὲν γὰρ αἱ ὦσιν ὑποσχέσεις, ὅταν τὰ ἐναντία γίνηται, ἐναντία ἐστὶν ὄντως· ἐφ᾽ ἡμῶν δὲ τοὐναντίον. ἐνταῦθα μὲν θλίψιν εἶπεν, ἐκεῖ δὲ ἄνεσιν. τί συγχέομεν τοὺς καιρούς; τί τὰ ἄνω κάτω ποιοῦμεν; θλίβῃ, εἰπέ μοι, ὅτι ἐν πενίᾳ διάγεις, καὶ θορυβῇ διὰ τοῦτο; μὴ θορυβοῦ. θορύβου γὰρ ἄξιον, εἰ ἐκεῖ μέλλοις θλίβεσθαι. αὕτη γὰρ ἡ θλίψις, ἀνέσεως αἰτία. Ἡ ἀσθένεια αὕτη, φησὶν, οὐκ ἔστι πρὸς θάνατον. ἐκείνη ἡ θλίψις, κόλασις· αὕτη παιδεία καὶ διόρθωσις. ἀγών ἐστιν ὁ παρὼν καιρός. οὐκοῦν τοῦ πυκτεύειν χρεία. πόλεμός ἐστι καὶ μάχη. οὐδεὶς ἐν πολέμῳ ζητεῖ ἄνεσιν, οὐδεὶς ἐν πολέμῳ ζητεῖ τρυφὴν, οὐδεὶς ὑπὲρ χρημάτων μεριμνᾷ, ὑπὲρ γυναικὸς οὐδεὶς φροντίζει· ἀλλ᾽ εἰς ἓν ὁρᾷ μόνον, ὅπως περιγένοιτο τῶν ἐχθρῶν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν· κἂν περιγενώμεθα καὶ ἐπιμελώμεθα μετὰ ταῦτα ἐπαίνων, πάντα ἡμῖν ὁ Θεὸς δώσει. τοῦτο μόνον ἡμῖν σπουδαζέσθω, πῶς περιγενώμεθα τοῦ διαβόλου· μᾶλλον δὲ οὐ τῆς ἡμετέρας τὸ πρᾶγμα σπουδῆς, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὸ πᾶν. ἓν ἡμῖν σπουδαζέσθω, ὅπως ἐπισπασώμεθα αὐτοῦ τὴν χάριν, ὅπως ἑλκύσωμεν πρὸς ἑαυτοὺς τὴν ῥοπὴν ἐκείνην. Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν, φησίν; ἓν μόνον σπουδάζωμεν, ὅπως οὗτος ἡμῖν μὴ ἐχθρὸς γένηται, ὅπως ἡμᾶς μὴ ἀποστραφῇ. οὐ τὸ θλίβεσθαι, κακὸν, ἀλλὰ τὸ ἁμαρτάνειν, κακόν. ἡ χαλεπὴ θλίψις τοῦτό ἐστι, κἂν ἐν τρυφῇ διάγωμεν· οὐ λέγω ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ ἐν τῷ παρόντι. πῶς γὰρ οἴει τὸ συνειδὸς ἡμῶν δάκνεσθαι; ποίας βασάνου οὐκ ἔστι χεῖρον; εἰ βουλόμενον μετὰ ἀκριβείας ἐρωτῆσαι τοὺς ἐν τοῖς κακοῖς ζῶντας, εἰ μηδέποτε εἰς ἔννοιαν ἔρχονται τῶν οἰκείων ἁμαρτημάτων, εἰ μὴ τρέμουσι, εἰ μὴ δεδοίκασιν,

Ιωαν. ια. δ.

Ρωμ. η. λα.

εἰ

εἰ μὴ ὀδυνῶνται, εἰ μὴ μακαρίζουσι τοὺς ἐν πενίᾳ, τοὺς ἐν ὄρεσι, τοὺς ἐν φιλοσοφίᾳ πολλῇ ζῶντας. βούλει ἰδεῖν ἐσθίοντος ἄνεσιν εὑρεῖν ἐκεῖ; θλίβηθι ἐν ταῦτα διὰ τὸν Χριστόν. οὐδὲν ταύτης τῆς ἀνέσεως ἴσον. ἔχαιρον οἱ ἀπόστολοι μαστιζόμενοι. Παῦλος τοῦτο παραινεῖ λέγων, Χαίρετε ἐν Κυρίῳ. Φιλ. δ. δ. καὶ πῶς ἔνι χαίρειν, φησίν, ἔνθα δεσμά, ἔνθα βάσανοι, ἔνθα δικαστήρια; μάλιστα ἐν ταῦθα χαίρειν ἔνι. πῶς δὲ ἔνι χαίρειν ἔνθα ταῦτα, μάνθανε. ὁ μηδὲν ἑαυτῷ συνειδώς, μέγα πῶς ἥδεται. ὥστε ὅσῳ ἂν εἴπῃς τὴν θλῖψιν, τοσούτῳ λέγεις τὴν ἡδονήν. εἰπὲ γάρ μοι, ὁ μυρία τραύματα λαβὼν στρατιώτης καὶ ἐπανιών, ἆρ' οὐχὶ μετὰ πολλῆς ἐπανήξει τῆς ἡδονῆς, παρρησίας ὑπόθεσιν ἔχων τὰ τραύματα, λαμπρότητός τε καὶ εὐδοκιμήσεως; καὶ σὺ ἂν δυνηθῇς ῥῆξαι τὴν φωνὴν ἐκείνην, ἣν Παῦλος, ὅτι τὰ στίγματα τοῦ Ἰησοῦ βαστάζω, δυνήσῃ μέγας γενέσθαι καὶ λαμπρὸς καὶ εὐδόκιμος. ἀλλ' οὐκ ἔστι διωγμός; στῆθι πρὸς δόξαν. κἂν εἴπῃ τις ἐναντίον τι, μὴ φοβηθῇς ἀκοῦσαι κακῶς διὰ Χριστόν. Γαλ. ς. ζ. στῆθι πρὸς τὸ φοῦ τυραννίδα, στῆθι πρὸς θυμοῦ μάχην, στῆθι πρὸς ἐπιθυμίας βάσανον. καὶ ταῦτα στίγματά ἐστι, καὶ αὗται βάσανοι. εἰπὲ γάρ μοι, τί τὸ δριμύτατον τῶν βασάνων. [ἆρ'] οὐχ ὅτι ἡ ψυχὴ ἀλγεῖ καὶ καίεται; ἐκεῖ μὲν γὰρ κἂν τὸ σῶμα μερίζεται· ἐνταῦθα δέ, τὸ πλεῖον αὐτῆς ἐστι. ποιεῖ αὐτὴν ἡ ὀδύνη, ὅταν ὀργίζηται, ὅταν βασκαίνῃ, ὅταν τι τοιοῦτον ποιῇ, μᾶλλον δὲ ὅταν πάσχῃ. οὐ γὰρ ποιεῖν τοῦτό ἐστιν, ἀλλὰ πάσχειν, τὸ ὀργίζεσθαι, τὸ φθόνον ἔχειν. διὰ τοῦτο καὶ πάθη καλεῖται ψυχῆς, καὶ τραύματα, καὶ ὠτειλαί. ὄντως γὰρ πάθος ἐστί, καὶ πάθους χαλεπώτερον. ἐνοήσατε οἱ ὀργιζόμενοι, ὅτι πάθη ταῦτα ποιεῖτε. οὐκοῦν ὁ μὴ ὀργιζόμενος οὐ πάσχει. ὁρᾷς ὅτι ὁ ὑβριζόμενος οὐ πάσχει, ἀλλ' ὁ ὑβρίζων, ὅπερ ἔφην [καὶ] ἤδη; ὅτι γὰρ πάσχει, δηλοῖ μὲν καὶ ἀπὸ τοῦ πάθος καλεῖσθαι τὸ τοιοῦτον· δηλοῖ δὲ καὶ ἐκ τοῦ σώματος. ταῦτα γὰρ ἀπὸ ὀργῆς τίκτονται τὰ πάθη, ἀμβλυωπία, παραπληξία, καὶ μυρία ἕτερα. ἀλλὰ τὸν παῖδα ὑβρίζει, φησίν, ἀλλὰ τὸν οἰκέτην. μὴ νομίσῃς εἶναι ἀσθένειαν τὸ μὴ καὶ αὐτὸς τοῦτο ποιῆσαι. εἰπὲ γάρ μοι, καλῶς γέγονεν; οὐκ οἶμαι εἰπεῖν. οὐκοῦν μὴ ποιήσῃς τὸ μὴ καλῶς γινόμενον. οἶδα οἷαι ἐν τοῖς τοιούτοις ὀργαὶ τίκτονται. τί οὖν, ἂν καταφρονῇ, φησί, ἂν πάλιν εἴπῃ; ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον· πρᾳότητι ὀργὴ λύεται· προσελθὼν ἐγκάλεσον. ὑπὲρ μὲν γὰρ τῶν εἰς ἡμᾶς οὐδὲ τοῦτο ποιεῖν χρή· ὑπὲρ δὲ τῶν ἄλλων, καὶ ἀνάγκη τοῦτο δὲ ποιεῖν. μὴ ἰδίαν ὕβριν νομίσῃς τὸ τὸν παῖδα ὑβρισθῆναι· κἂν ἀλγῇς ὑπὲρ ἐκείνου, μὴ ὡς αὐτὸς ὑβρισθείς. οὐ γὰρ ἐπειδὴ ὁ παῖς κακῶς ἔπαθεν, ὑβρίσθης σύ, ἀλλ' ὁ ποιήσας κακῶς. σβέσον τὴν μάχαιραν τὴν ὀξεῖαν, ἐν τῇ θήκῃ κείσθω. ἂν ἔχωμεν αὐτὴν γυμνήν, πολλάκις καὶ οὐκ ὄντος καιροῦ χρησόμεθα ἐφελκόμενοι ὑπ' αὐτῆς· ἂν δὲ ᾖ κεκρυμμένη, κἂν χρεία γένηται, οὐ ζητοῦμεν αὐτὴν σπάσαι, σβεσθήσεται ἡ ὀργή. ὑπὲρ αὐτοῦ οὐ βούλεται ἡμᾶς ὀργίζεσθαι ὁ Χριστός (ἄκουσον γὰρ τί φησι πρὸς τὸν Πέτρον· Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὴν θήκην) καὶ σὺ ὑπὲρ παιδὸς ὀργίζῃ; Ματθ. κς. νβ. δίδαξον καὶ τὸν παῖδα φιλοσοφεῖν· εἰπὲ αὐτῷ καὶ τὰ τοῦ δεσπότου παθήματα· ὑπόμνησαι σου τὸν διδάσκαλον. ὅτι ἔμελλον καὶ αὐτοὶ ἀτιμάζεσθαι, οὐκ εἶπεν ὅτι ἐκδικήσω· ἀλλὰ τί; Ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Ιωαν. ιε. κ. οὐκοῦν φέρετε γενναίως, φησίν. οὐ γὰρ ἐμοῦ βελτίους ὑμεῖς. ταῦτα καὶ σὺ πρὸς τὸν υἱὸν καὶ τὸν παῖδα εἰπέ· οὐκ εἶ τοῦ δεσπότου σου βελτίων. ἀλλὰ χλεύας εἶναι δοκεῖ τὰ ῥήματα τῆς φιλοσοφίας. οἴμοι, ὅτι λόγῳ παραστῆσαι οὐκ ἔνι, ὡς ὑπὸ τῆς πείρας αὐτῆς διδαχθῆναι ἔνεστι. καὶ ἵνα μάθῃς, ἐν μέσῳ δύο ἐστὼς διαμαχομένων, ὄψει τῆς μερίδος τῶν ἀδικουμένων, καὶ μὴ τῶν ἀδικούντων, ἂν μὴ παρὰ σαυτῷ τὰ νικητήρια ἴδῃς, ἂν μὴ λαμπροὺς λάβῃς στεφάνους. ὅρα πῶς ὑβρίζεται ὁ Θεός, καὶ πῶς ἀποκρίνεται πρᾴως καὶ ἡμέρως. Ποῦ ἐστι, φησίν, Ἄβελ ὁ ἀδελφός σου; καὶ τί ἐκεῖνος; Μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου; Γεν. δ. θ. τί αὐθαδέστερον τούτου, κἂν παρά γε υἱοῦ ἤκουσεν ἂν τις; εἰ γὰρ παρὰ ἀδελφοῦ, οὐχ ὕβριν ἂν ἡγήσατο τὸ πρᾶγμα; ἀλλ' ὁ Θεὸς πάλιν ἡμέρως ἀποκρίνεται. Φωνὴ αἵματος

γ. εἰπέ μοι, ἔνθα μὴ πάθη τί ὁ μαθ.
γ. καὶ
γ. πλέον ἰκανὸν τῶν
γ. τοιαῦτα
γ. ἀγροικον
γ. γὰρ
γ. ἐπὶ τ. ἄλλ.
γ. ὡς ζητοῦμεν ἀποσπάσαι, ἐφ. ὑ. ὀρ.
γ. μη
γ. καὶ ἐμοὶ τί αὐτὴ ἐδίωξαν, εἶπε

τοῦ ἀδελφοῦ σου, φησί, βοᾷ πρός με. ἀλλ' ὁ Θεὸς ἀνώτερός ἐστιν ὀργῆς, φησίν. ἀλλὰ διὰ τοῦτο κατῆλθεν ὁ τοῦ Θεοῦ υἱός, ἵνα σε Θεὸν ποιήσῃ κατὰ δύναμιν τὴν ἀνθρωπίνην. ἀλλ' οὐ δύναμαι, φησίν, ἄνθρωπος ὤν. οὐκοῦν φέρε ἀνθρώπους σοι παραγάγωμεν. καὶ μή με νομίσῃς Παῦλον ἐρεῖν, μηδὲ Πέτρον· ἀλλά τινας τῶν ἐλαττόνων καὶ σφόδρα κατωτέρω.

α. Βασ. α. ιδ. Τὸ παιδάριον Ἠλεὶ τὴν Ἄνναν ὑβρίζει λέγων· Περιελοῦ τὸν οἶνόν σου. τί τούτου ὑβριστικώτερον; τί οὖν ἐκείνη; Γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι. οὐδὲν οὕτως θλίψεως ἴσον. φιλοσοφίας μήτηρ ἐστίν. ἡ αὐτὴ δὲ αὕτη καὶ τὴν ἀντίζηλον αὐτῆς ἔχουσα, οὐχ ὑβρίζει αὐτήν· ἀλλὰ τί; πρὸς τὸν Θεὸν καταφεύγει, καὶ εὐχομένη οὐδὲ μέμνηται αὐτῆς, οὐδὲ λέγει, ἐπεὶ ὀνειδίζει με ἡ δεῖνα, ἐπάμυνόν μοι. οὕτω φιλόσοφος ἦν ἡ γυνή (αἰσχυνθῶμεν οἱ ἄνδρες) καίτοι ἴστε ὅτι ζήλου ἴσον οὐδέν. ὁ τελώνης ὑβρισθεὶς παρὰ τοῦ Φαρισαίου, οὐκ ἀνθύβρισε

Λυκ. ιη. ι. (καίτοιγε εἰ ἐβούλετο ἐδύνατο) ἀλλὰ φιλοσόφως ἤνεγκε λέγων, Ἱλάσθητί μοι τῷ ἁμαρτω-

β. Βασ. ις. β. λῷ. ὁ Μεμφιβόσθε ὑπὸ τοῦ δούλου κατηγορηθεὶς καὶ συκοφαντηθείς, οὐδὲν οὔτε εἶπεν, οὔτε ἔπραξεν εἰς αὐτόν τι πονηρόν, οὐδὲ ἐπὶ τοῦ βασιλέως αὐτοῦ. βούλει καὶ πόρνης ἀκοῦσαι φιλοσοφίας;

Ματθ. κα. λα. ἄκουσον τοῦ Χριστοῦ λέγοντος, ἡνίκα ταῖς θριξὶν αὐτῆς τοὺς πόδας ἀπέμασσε· Τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν. εἶδες αὐτὴν ἐρῶσαν καὶ δακρύουσαν καὶ τὰ οἰκεῖα ἁμαρτήματα ἀπολουομένην; ὅρα πῶς καὶ πρὸς τὸν Φαρισαῖον οὐκ ὠργίσθη ὀνειδιζο-

Λυκ. ζ. λθ. μένη. Εἰ ᾔδει γάρ, φησίν, ὅτι ἁμαρτωλός ἐστιν αὕτη ἡ γυνή, οὐκ ἂν εἴασεν αὐτήν. καὶ οὐκ εἶπε πρὸς αὐτόν· τί γάρ, εἰπέ μοι; σὺ καθαρὸς ἀπὸ ἁμαρτημάτων εἶ; ἀλλὰ πλέον ἔκλαιε, πλέον ὠδύρετο [καὶ] θερμότερα τὰ δάκρυα ἦγε. Εἰ δὲ γυναῖκες καὶ τελῶναι καὶ πόρναι φιλοσοφοῦσι, καὶ ταῦτα πρὸ τῆς χάριτος, τίνος ἐσόμεθα ἡμεῖς ἄξιοι συγγνώμης, μετὰ χ. ἴσω τὴν τοσαύτην χάριν, θηρίων μᾶλλον ἐκπολεμούμενοι, δάκνοντες καὶ λακτίζοντες; οὐδὲν αἰσχρότερον θυμοῦ, οὐδὲν ἀτιμότερον, οὐδὲν δεινότερον, οὐδὲν ἀηδέστερον, οὐδὲν βλαβερώτερον. ταῦτα λέγω, οὐχ ἵνα πρὸς ἄνδρας ὦμεν ἥμεροι μόνον, ἀλλὰ κἂν γυνὴ λοιδορῇ, ἵνα φέρῃς. ἔστω σοι παλαίστρα καὶ γυμνάσιον ἡ γυνή. πῶς γὰρ οὐκ ἄτοπον, γυμνάσια μὲν διαδέχεσθαι οὐδὲν κέρδος ἔχοντα, ἔνθα θλίβομεν σῶμα, γυμνάσια δὲ μὴ παιδεύεσθαι οἴκαδε καὶ πρὸ τῶν ἀγώνων στέφανον ἡμῖν παρέχοντα; ὑβρίζει ἡ γυνή; μὴ γένῃ σὺ γυνή. γυναικῶδες γὰρ τὸ ὑβρίζειν· νόσος ἐστὶ ψυχῆς, ἐλάττωμά ἐστι. μὴ νομίσῃς ἀνάξιόν σου εἶναι, ὅταν ἡ γυνὴ ὑβρίσῃ. ἀνάξιον, ὅταν σὺ μὲν ὑβρίζῃς, ἐκείνη δὲ φιλοσοφῇ· τότε ἀσχημονεῖς, τότε ὑβρίσθης. ἂν δὲ ὑβρισθεὶς ἐνέγκῃς, τῆς ἰσχύος τῆς σῆς πολλὴ ἡ ἐπίδειξις. οὐ διὰ γυναῖκας ἐνάγων εἰς ὕβρεις, ταῦτα λέγω (μὴ γένοιτο) ἀλλ' εἴ που καὶ συμβαίη κατὰ Σατανικὴν περίστασιν, ἵνα φέρητε. ἀνδρῶν ἐστι τὸ φέρειν τῶν ἰσχυρῶν τοὺς ἀσθενεῖς. κἂν οἰκέτης ἀντείπῃ, φιλοσόφησον σύ· μὴ τί ἐκεῖνος ἄξιός ἐστιν ἀκοῦσαι, εἴπῃς ἢ πράξῃς, ἀλλὰ τί δεῖ σε καὶ ποιῆσαι καὶ εἰπεῖν. μηδέποτε κόρην ὑβρίζων, αἰσχρὸν ῥῆμα ἐκβάλλῃς· μηδέποτε οἰκέτην μιαρὸν εἴπῃς. ἐκεῖνος οὐχ ὑβρίσθη, ἀλλὰ σύ. οὐκ ἔστιν ἐν ἑαυτῷ εἶναι τὸν ὀργιζόμενον, ὥσπερ οὐδὲ πέλαγος κυμαινόμενον, ἢ πηγὴν ἀθρέειν καθαράν, βορβόρου ποθὲν ἐμπεσόντος αὐτῇ. οὕτω πάντα ἀναμίξ· μᾶλλον δὲ οὕτω πάντα ἄνω καὶ κάτω γίνεται. κἂν τυπτήσῃς, κἂν διαρρήξῃς τὸν χιτωνίσκον, σὺ μείζονα τὴν βλάβην ὑπέμεινας. ἐκείνῳ μὲν γὰρ περὶ τὸ σῶμα καὶ περὶ τὴν ἐσθῆτα ἡ πληγή· σοὶ δὲ περὶ τὴν ψυχήν. ἐκείνην διέτεμες, ἐκείνην ἐτρώσας· τὸν ἡνίοχον ἔῤῥιψας ἀπὸ τῶν ἵππων κάτω, ὕπτιον σύρεσθαι παρεσκεύασας. καὶ ταὐτὸν γίνεται, οἷον ἐὰν ἡνίοχος ἑτέρῳ ὀργιζόμενος ἕλοιτ' ἂν σύρεσθαι. κἂν ἐπιπλήττῃς, κἂν νουθετῇς, κἂν ὁτιοῦν ποιῇς, ὀργῆς χωρὶς καὶ θυμοῦ. εἰ γὰρ ὁ ἐπιπλήττων ἰατρός ἐστι τοῦ ἁμαρτάνοντος, πῶς ἂν δύναιτο θεραπεῦσαι ἕτερον, ἑαυτὸν πρότερον κακώσας, ἑαυτὸν μὴ θεραπεύων; Εἴ τις, εἰπέ μοι, ἰατρὸς πορεύοιτο ἕτερον θεραπεύειν, πρότερον τὴν χεῖρα τραυματίσας τὴν ἑαυτοῦ, πρότερον τοὺς ὀφθαλμοὺς πηρώσας, οὕτω ποιεῖται ἐκείνου τὴν ἰατρείαν;

χ. μὴ γένοιτο

πρᾳείαν; οὐχί, φησιν. οὕτω δὲ σύ, καὶ ἐπιπλήξης, πραΰνθητι, καθάπερ βλέπετε ὡσαύτως τοὺς ὀφθαλμούς. μὴ θολώσῃς τὸν νοῦν. ἐπεὶ πῶς ἡ θεραπεία γενήσεται; οὐκ ἔστιν ἐν τῇ αὐτῇ γαλήνῃ τῶν ἀοργητοῦντα καὶ ὀργιζόμενον. τί τοὺς διδασκάλους ἀπὸ τοῦ θρόνου καταστρέψας, οὕτω διαλέγῃ τοῖς χαμαὶ κειμένοις; οὐχ ὁρᾷς τοὺς δικάζοντας, οἳ, ὅταν μέλλωσι κρίνειν, καθέζονται ἐπὶ τοῦ θρόνου καὶ ἐν σχήματι τῷ πρέποντι; οὕτω καὶ σὺ ποίησον, κόσμησον τὴν ψυχὴν ἐσθῆτι δικαστικῇ (αὕτη δέ ἐστιν ἡ ἐπιείκεια) καὶ τότε ἐπὶ τοῦ θρόνου δικαστὴς κάθισον. ἀλλ' οὐ φοβηθήσεταί, φησι, μᾶλλον φοβηθήσεται, τότε καὶ δίκαια λέγῃς, τῷ θυμῷ λογίσεται ὁ οἰκέτης· διὰ δὲ μετ' ἐπιεικείας, ἑαυτοῦ καταγνώσεται. ὁ δὲ πραϋνόμενος, ἀποδέξεταί σε ὁ Θεός, καὶ οὕτω δυνήσῃ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι [καὶ οἰκτιρμοῖς] καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιϛ. 6 ΕΛΑΛΗΣΕ ΔΕ ΟΥΤΩΣ Ο ΘΕΟΣ [ΛΕΓΩΝ·]

ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια, 7 Καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός. καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.

Ὅρα μετὰ πόσων ἐτῶν ἡ ἐπαγγελία, καὶ ὁ τῆς ἐπαγγελίας τρόπος, καὶ οὐδαμοῦ θυσία, οὐδαμοῦ περιτομή. ἐνταῦθα δείκνυσιν ὅτι αὐτοὶ αὐτοὺς ἠδίκουν, καὶ κακῶς ἔπασχον,* καὶ ὅτι οὐκ ἀτιμώρητα ταῦτα ἔσται. τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός. ὁρᾷς; ὁ ἐπαγγελλόμενος, ὁ δοὺς τὴν γῆν, περιορᾷ τὰ κακὰ συγχωρῶν· οὕτω καὶ νῦν, εἰ καὶ βασιλείαν ἐπηγγείλατο, ἀλλ' ἀφίησιν ἐγγυμνάζεσθαι τοῖς πειρασμοῖς. εἰ ἐνταῦθα μετὰ τετρακόσια ἔτη ἡ ἐλευθερία, τί θαυμαστὸν ἐπὶ τῆς βασιλείας; εἰ τὸ αὐτοῖς γῆν ὅμως γενομένων ἐποίησε, καὶ οὐκ ἴσχυσεν ὁ χρόνος ὡς ψευδῆ ἐλέγξαι τὸν λόγον· καίτοι οὐ τὴν τυχοῦσαν δουλείαν ὑπέμειναν. οὐ μὴν οὐδὲ μέχρι τῆς τιμωρίας τῆς ἐκείνων ἔστη, ἀλλὰ καὶ αὐτοῖς χρηστὰ ἐπαγγέλλεται. ἐμοὶ δὲ δοκεῖ διὰ τούτων αὐτοὺς καὶ ἀναμιμνήσκειν τῆς εὐεργεσίας ἧς ἔτυχον.

χ. πῶς
χ. καί τοι οὐδὲν ἔχων αὐτοῖς ἐγκαλεῖν
χ. ἐποίουν

χ. καὶ ὅμως τοῖς ψευδέσιν ἐκλήθη

8 Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως ἐγέννησε τὸν Ἰσαάκ.

Ἐνταῦθα [λοιπὸν] καθυφίησι· Καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.*

9 Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσήφ, ἀπέδοντο εἰς Αἴγυπτον.

Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε. καὶ γὰρ αὐτοῦ τύπος Ἰωσήφ. διὸ καὶ αἰνιττόμενος, τὴν ἱστορίαν δι' ὅλου ἐπέξεισιν. οὐδὲν γὰρ ἔχοντες ἐγκαλεῖν, ἀλλ' ἐλθόντα ἐπὶ σωτηρίᾳ τὴν αὐτῶν, κακῶς διέθηκαν. καὶ ὅρα ὅτι καὶ ἐνταῦθα πάλιν ἐπαγγελία μακρά, καὶ ὅμως τέλος λαμβάνει.

*ἐπειδὴ δεῖ τὸν τύπον ἀντιπαραζεῦξαι.

Καὶ ἦν ὁ Θεός, φησι, μετ' αὐτοῦ· Τοῦτο καὶ ὑπὲρ αὐτῶν·

10 Καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. Ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ εἰδότες συνέπραττον τῇ προφητείᾳ, καὶ ὅτι αὐτοὶ αἴτιοι ἐγένοντο, καὶ τὰ κακὰ εἰς αὐτοὺς περιετρέπετο. Καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου.

Χάριν ἔδωκε, καὶ ταῦτα ἐπὶ βαρβάρου ἀνδρός, τῷ δούλῳ, τῷ αἰχμαλώτῳ· [ὃν οἱ μὲν] ἀδελφοὶ ἀπέδοντο, ἐκεῖνος δὲ ἐτίμησεν.

11 Ἦλθε δέ, φησι, λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλίψις μεγάλη, καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.

12 Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον·

13 Καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ. Κατῆλθον οἱ ἀποδόμενοι, καὶ ἐκείνου εἰς χρείαν κατέστησαν. τί οὖν αὐτός; οὐ μέχρι τούτου τὴν φιλανθρωπίαν ἐπεδείξατο, ἀλλὰ τῷ Φαραὼ ἐγνώρισε, καὶ αὐτοὺς κατήγαγε. Καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ.

14 Ἀποστείλας δὲ Ἰωσὴφ, μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ, ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς.

15 Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς, καὶ οἱ πατέρες ἡμῶν,

16 Καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ.

17 Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,

[18 Ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Πάλιν ἄλλη ἀνελπιστία· πρώτη μὲν, ὁ λιμὸς, δευτέρα, τὸ ἐμπεσεῖν εἰς χεῖρας τῶν ἀδελφῶν, καὶ τρίτη, τὸ ἀναιρεῖσθαι ψῆφον δοθεῖσαν ὑπὸ τοῦ βασιλέως· καὶ ὅμως διεσώθησαν ἀπὸ τούτων ἁπάντων. εἶτα τὸ εὐμήχανον δεικνὺς τοῦ Θεοῦ, φησίν·

20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ. Εἰ ἐκεῖνο θαυμαστὸν, ὅτι ὑπὸ ἀδελφῶν ἐπράθη· ἀλλὰ τοῦτο θαυμαστότερον, ὅτι βασιλεὺς ἔτρεφεν αὐτὸν τὸν μέλλοντα καθαιρεῖν αὐτοῦ τὴν ἀρχὴν, αὐτὸς ὁ μέλλων ἀπόλλυσθαι. ὁρᾷς πανταχοῦ τὴν νεκρῶν σχεδὸν διατυπουμένην τὴν ἀνάστασιν; καίτοι οὐκ ἔστιν ἴσον αὐτὸν ἢ τὸν Θεὸν ποιεῖν, καὶ ἀπὸ προαιρέσεως ἀνθρωπίνης [τι] γίνεσθαι. Ταῦτα γοῦν οὐκ ἀπὸ προαιρέσεως ἀνθρωπίνης ἦν. Καὶ ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ*.

Τοῦτο εἶπε, κἀκεῖνον σωτῆρα, καὶ τούτους περὶ τὸν εὐεργέτην ἀγνώμονας δεικνύς. καθάπερ οὖν τότε ὑπὸ τοῦ κακῶς παθόντος τοῦ Ἰωσὴφ ἐσώθησαν· οὕτω καὶ νῦν ὑπὸ τοῦ κακῶς παθόντος ἐσώθησαν, τοῦ Μωϋσέως λέγω. τί γάρ, εἰ μὴ ἀνεῖλεν αὐτὸν τῷ πράγματι; τῷ λόγῳ ἀνεῖλον, ὥσπερ κἀκεῖνοι. καὶ ἐκεῖνοι μὲν ἐκ τῆς αὐτῶν εἰς ἀλλοδαπὴν καὶ ξένην ἀπέδοντο· οὗτοι δὲ ἐκ τῆς ἀλλοτρίας εἰς ἀλλοτρίαν φυγαδεύουσι· καὶ ἐκεῖ μὲν τροφὴν ἀποφέροντα, ἐνταῦθα δὲ συμβουλεύοντα δι᾽ ὧν ἔσονται μετὰ Θεοῦ. οὕτως ἀληθὲς καὶ ἐκ τῶν νῦν οἰκονομουμένων ἐκεῖνο τὸ ὑπὸ τοῦ Γαμαλιὴλ εἰρημένον, ὅτι ἐὰν ᾖ ἐκ τοῦ Θεοῦ, οὐ δυνάσθε καταλῦσαι αὐτό. σὺ δὲ τοὺς ἐπιβουλευομένους τῶν ἐπιβουλευόντων αἰτίους σωτηρίας γινομένους μανθάνων, ἐκπλάγηθι τοῦ Θεοῦ τὸ εὐμήχανον καὶ τὴν σύνεσιν. εἰ μὴ γὰρ ἐκεῖνοι ἐπεβουλεύθησαν, οὐκ ἂν οὗτοι ἐσώζοντο. λιμὸς ἦν, καὶ οὐκ ἀνάλωσεν αὐτούς. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δι᾽ ἐκείνου ἐσώθησαν, τοῦ προσδοκηθέντος ἀπολωλέναι. πρόσταγμα βασιλικὸν, καὶ οὐκ ἠφάνισεν αὐτούς· ἀλλὰ τότε μᾶλλον ηὔξετο τὸ πλῆθος, ὅτε ἐκεῖνος ἀπέθανεν ὁ εἰδὼς αὐτούς. τὸν σωτῆρα αὐτῶν ἐπεβουλεύθησαν ἀνελεῖν, καὶ οὐδὲ οὕτως ἴσχυσαν. ὁρᾷς ὅτι δι᾽ ὧν ὁ διάβολος ἐπιχειρεῖ καταλύειν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, διὰ τούτων αὔξεται; τοῦτο καὶ αὐτὸς ἥρμοττε τότε εἰπεῖν, ὅτι εὐμήχανός ἐστιν ὁ Θεὸς καὶ ἀναγαγεῖν ἡμᾶς δυνατὸς ἐντεῦθεν. τὸ γὰρ εὐμήχανον τοῦ Θεοῦ μάλιστα τοῦτό ἐστιν, ὅτι καὶ ἐν τῇ ἀποστροφῇ ηὔξετο τὸ ἔθνος, δουλούμενοι καὶ κακούμενοι καὶ ἀναιρούμενοι.* τὸ μέγα τῆς ἐπαγγελίας τοῦτό ἐστιν. εἰ γὰρ ἐπὶ τῆς αὐτῶν ηὔξετο, οὐχ οὕτω θαυμαστὸν ἦν. καὶ οὐδὲ μικρὸν χρόνον ἐπὶ τῆς ἀλλοτρίας ἦσαν, ἀλλὰ τετρακόσια ἔτη. ἐντεῦθεν μανθάνομεν ὡς φιλοσοφίαν ἐπεδείξαντο μεγάλην. καὶ γὰρ οὐχ ὡς δεσπόται δούλοις αὐτοῖς ἐχρῶντο, ἀλλ᾽ ὡς ἐχθροὶ καὶ τύραννοι. διὸ καὶ προέφησεν, ὅτι ἐν ἐλευθερίᾳ ἔσονται μεγάλῃ. τοῦτο γάρ ἐστι τὸ, λατρεύσουσί μοι· καὶ [ὅτι] ἐνταῦθα ἐπανελεύσονται, φησί, καὶ [οὐκ] ἀτιμωρητί. καὶ ὅρα πῶς δοκεῖ μέν τι χαρίζεσθαι τῇ περιτομῇ, οὐδὲν δὲ δίδωσιν· εἴ γε ἡ μὲν ἐπαγγελία πρὸ ταύτης, αὕτη δὲ μετὰ ταῦτα. καὶ τοὺς πατριάρχας, φησί,

φησί, ζηλώσαντες. ἔνθα οὐ βλέψαι, χαρίζεται αὐτοῖς. πατριάρχας δέ φησι τοὺς προγόνους· ἐπεὶ καὶ ἐν τύποις μέγα ἐφρόνουν. ἄλλως δέ, καὶ δείκνυσιν ὅτι οἱ ἅγιοι οὐκ ἐκτὸς ἦσαν θλίψεως· ἀλλὰ ὅτι καὶ ἐν αὐταῖς ὄντες μέσαις ταῖς θλίψεσι βοηθείας ἐτύγχανον. οἱ δὲ οὐ μόνον οὐκ ἔλυον, ἀλλὰ καὶ συνέπραττον τοῖς θλίβουσιν, ὀφείλοντες μᾶλλον αὐτὰς διακόπτειν. ὥσπερ δὴ οὖν οὗτοι τὸν Ἰωσὴφ ἐνδοξότερον ἐποίησαν ἀποδόμενοι· οὕτως ὁ βασιλεὺς τὸν Μωϋσῆν, κελεύσας ἀναιρεῖσθαι τὰ παιδία. εἰ μὴ γὰρ ἐκέλευσεν, οὐκ ἂν τοῦτο ἐγένετο. καὶ σκόπει Θεοῦ κηδεμονίαν. ὥσπερ γὰρ ἐκεῖνος φυλάσσει τὸν Μωϋσῆν, ὁ δὲ οὐ κωλύει, τὸ μέλλον οἰκονομούμενον, ἵνα ἐκ τῆς ὄψεως τύχῃ ἄξιος γενόμενος, οὕτω καὶ τὸν δοῦλον τὸν πραθέντα ἐκ ποιεῖ βασιλέα, ἔνθα ἐνομίζετο δοῦλος εἶναι.
γρ. πωλεῖν ὥσπερ δὲ ἐστὶν ἐκεῖ βασιλεύει, ἔνθα αὐτὸν ἐπώλησαν· οὕτω καὶ ὁ Χριστὸς ἐν τῷ θανάτῳ τὴν δύναμιν ἐπιδείκνυται. τοῦτο οὐχὶ τιμῆς μόνον ἦν, ἀλλὰ καὶ τοῦ θαῤῥεῖν τῇ οἰκείᾳ δυνάμει. [ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.]

10 Καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.

Ὅρα διὰ λιμὸν οἷα κατασκευάζει. ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς κατέβη, φησὶν, Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν, καὶ μετετέθησαν εἰς Συχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ τοῦ Συχέμ. δείκνυσιν ὅτι οὐδὲ μέχρι ταφῆς κύριοι ἦσαν. καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. ὅρα ὅτι οὐδὲ ἐν τοῖς τοσούτοις ἔτεσιν
γρ. τετρακοσίοις αὐτοὺς αὔξει, ἀλλ' ὅτι ἔμελλεν ἐγγίζειν τὸ τέλος· καίτοι ἤδη τετρακόσια ἔτη ἦν παρελθόντα καὶ
* τὰ * πλείονα ἐν Αἰγύπτῳ. τὸ γοῦν θαυμαστὸν τοῦτό ἐστι.

19 Οὗτος, φησὶ, κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι.

Κατασοφισάμενος εἶπεν, αἰνιττόμενος τὴν λάθρα ἀναίρεσιν. οὐ γὰρ ἐβούλετο φανερῶς αὐτοὺς ἀναιρεῖν. διὸ καὶ ἐπήγαγε τοῦτο δηλῶν, τὸ ποιεῖν ἔκθετα τὰ βρέφη. 20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ. Τοῦτο τὸ θαυμαστὸν, ὅτι ὁ προστάτης μέλλων ἔσεσθαι, οὐδὲ μετὰ ταῦτα, οὐδὲ περὶ τούτου, ἀλλ' ἐν αὐτῷ μέσῳ τῷ θυμῷ ἐκπίπτει, καὶ * ἀνετράφη
γρ. ἀνετρέφετο μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός. ὅτε τοίνυν τὰ ἀνθρώπινα ἀπηλπίσθη, καὶ ἐῤῥίφθαι αὐτὸν,
ἡ εὐεργεσία τότε τοῦ Θεοῦ ἡ * οἰκονομία ἐδείχθη διαλάμπουσα.

21 Ἐκτεθέντα δὲ αὐτὸν ἀνείλετο ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

Οὐδαμοῦ ναὸς, οὐδαμοῦ θυσία, τοσούτων οἰκονομιῶν γινομένων. καὶ ἀνετράφη ἐν οἴκῳ βαρβαρικῷ.

22 Καὶ ἐπαιδεύθη, φησὶ, Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων. ἦν δὲ δυνατὸς ἐν λόγοις
* καὶ παιδείᾳ καὶ κάλλιστον καὶ ἔργοις *. Ἐμοὶ θαυμάζειν ἐπέρχεται, πῶς τεσσαράκοντα ἔτη ἦν ἐκεῖ, καὶ οὐχ ἑάλω ἐκ τῆς περιτομῆς· μᾶλλον δὲ πῶς ἐν ἀσφαλείᾳ ὄντες τὰ αὐτῶν προορῶσι, καὶ οὗτος καὶ ὁ Ἰωσὴφ, ἵνα [καὶ] ἑτέρους σώσωσιν.

23 Ὡς δὲ ἐπληροῦτο αὐτῷ, φησὶ, τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

24 Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον.

25 Ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ συνῆκαν. Ὅρα πῶς τέως οὐ δοκεῖ φορτικὸς, ἀλλὰ τοσαῦτα δημηγορεῖ, καὶ ἀκούειν ἀνέχονται οὕτως αὐτοὺς τῇ τοῦ προσώπου χάριτι εἷλεν. ἐνόμιζε, φησὶ,
γρ. πῶς αὐτ. ἰστ. χεῖρα; συνιέναι τοὺς ἀδελφούς· καίτοι διὰ τῶν ἔργων ἡ προστασία ἐγένετο, * καὶ οὐκ ἦν συνέσεως ἐν τούτῳ χρεία. ἀλλ' ὅμως οὐδὲ οὕτω συνιέναι. ὁρᾷς πῶς μετὰ ἐπιεικείας διαλέγεται, καὶ

πῶς δείξας τὸν θυμὸν ἐπ' ἐκείνου, δείκνυσι τὸ ἥμερον ἐπὶ τούτου;

26 Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπών· ἄνδρες ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους;

27 Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτόν, εἰπών· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;

28 Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;

Ἰωαν. ιθ. ιε. Ἀπὸ τῆς αὐτῆς γνώμης τὰ αὐτὰ καὶ πρὸς τὸν Χριστὸν φαίνονται λέγοντες· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. οὕτως ἔθος Ἰουδαίοις ἀδικεῖν εὐεργετουμένοις. Εἶδες ἄνοιαν; τὸν μέλλοντα σώζειν αὐτοὺς διαβάλλουσι, δι' ὧν φασιν, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον. χ. καὶ πάλιν ὅρα τὴν παλαιὰν μοχθηρίαν. ἀλ. μαρτυρίαν. δι' ἧς.

29 Καὶ ἔφυγε Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο. Φεύγει, καὶ οὐδὲ ἡ φυγὴ ἔσβεσε τὴν οἰκονομίαν, ὥσπερ οὐδὲ ὁ θάνατος.

30 Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου. Ὁρᾷς πῶς οὐδὲ χρόνῳ διακόπτεται ἡ οἰκονομία; ὅτε γὰρ φυγὰς ἦν, ὅτε ξένος, ὅτι πολὺν χρόνον ἐπὶ τῆς ἀλλοτρίας πεποίηκεν, ὡς καὶ παῖδας ποιῆσαι δύο, ὅτε οὐκέτι προσεδόκησεν ἀναστρέφειν, τότε ἄγγελος αὐτῷ ἐπιφαίνεται. τὸν υἱὸν τοῦ Θεοῦ ἄγγελον καλεῖ, καθάπερ καὶ ἄνθρωπον. καὶ ποῦ φαίνεται; ἐν τῇ ἐρήμῳ, οὐκ ἐν ναῷ. ὁρᾷς πόσα γίνεται θαύματα, καὶ οὐδαμοῦ ναός, οὐδαμοῦ θυσία; καὶ οὐδὲ ἐνταῦθα ἐν τῇ ἐρήμῳ ἁπλῶς, ἀλλ' ἐν τῇ βάτῳ.

31 Ὁ δὲ Μωϋσῆς ἰδών, ἐθαύμασε τὸ ὅραμα. προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν. Ἰδοὺ καὶ φωνῆς ἠξιώθη.

32 Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ.

Οὐ μόνον ἐνταῦθα δείκνυσιν, ὅτι ὁ ὀφθεὶς αὐτῷ ἄγγελος, ἦν ὁ μεγάλης βουλῆς ἄγγελος, ἀλλὰ δείκνυσι καὶ τὴν φιλανθρωπίαν ὅσην ποιεῖται ὁ Θεὸς διὰ τῆς ἐπιφανείας.

Ἔντρομος δὲ γενόμενος Μωϋσῆς, οὐκ ἐτόλμα κατανοῆσαι.

33 Εἶπε δὲ αὐτῷ ὁ Κύριος· λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος, ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν. Οὐδαμοῦ ναός, καὶ ὁ τόπος ἅγιος τῇ ἐπιφανείᾳ καὶ ἐνεργείᾳ τοῦ Χριστοῦ. πολλῷ θαυμασιώτερον τοῦτο τοῦ τόπου τοῦ ἐν τοῖς ἁγίοις τῶν ἁγίων. ἐκεῖ γὰρ οὐδαμοῦ ἐφάνη οὕτως ὁ Θεός, οὐδαμοῦ οὕτως ἔντρομος γίνεται Μωϋσῆς. Εἶδες τὴν φιλανθρωπίαν; ὅρα λοιπὸν καὶ τὴν κηδεμονίαν.

34 Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, φησί, τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς. καὶ νῦν δεῦρο ἀποστείλω σε εἰς Αἴγυπτον. χ. πλῦ

Ὅρα πῶς δείκνυσιν, ὅτι καὶ δι' εὐεργεσιῶν, καὶ διὰ κολάσεων, καὶ διὰ θαυμάτων ἐπήγετο αὐτούς, οἱ δὲ οἱ αὐτοὶ ἦσαν. οὕτως ἐντεῦθεν μανθάνομεν, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός.

ΗΘΙΚΟΝ

Ταῦτα ἀκούοντες καὶ ἡμεῖς, ἐν ταῖς θλίψεσι πρὸς αὐτὸν καταφεύγωμεν. καὶ τοῦ στεναγμοῦ αὐτῶν, φησίν, ἤκουσα. οὐχ ἁπλῶς εἶπεν, ἤκουσα, ἀλλὰ διὰ τὰς συμφοράς. εἰ δέ τις λέγοι, καὶ τίνος ἕνεκεν αὐτοὺς εἴασε κακωθῆναι οὕτως; ἀκουέτω, ὅτι μάλιστα μὲν ὄντι παντὶ δικαίῳ αἱ κακώσεις αἴτιαι μισθῶν γίνονται· ἢ καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκε κακοῦσθαι, ἵνα τὴν αὐτοῦ δύναμιν καὶ ἐντεῦθεν δείξῃ διαλάμψασαν, κἀκείνους δι' ὧν ἐκακοῦντο, εἰς πάντα παιδεύσῃ φιλοσοφεῖν. ὅρα γοῦν· ὅτε ἦσαν ἐν τῇ ἐρήμῳ, οὐ μόνον ἐλιπάνθησαν, ἐπαχύνθησαν, ἐπλατύνθησαν· ἀλλὰ καὶ ἐγκατέλιπον τὸν Θεόν. πανταχοῦ γὰρ ἡ ἄνεσις, ἀγαπητέ, κακόν. Γεν. γ. ιθ. διὰ τοῦτο καὶ ἐξ ἀρχῆς τῷ Ἀδὰμ ἔλεγεν· Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. ἵνα τοίνυν ἐκ τῆς πολλῆς κακώσεως εἰς ἄνεσιν ἐλθόντες μὴ ὑβρίσωσι, θλίβει χ. ἀνάπαυσιν

αὐτούς

αὐτοῖς συγχωρεῖ. μέγα γὰρ ἡ θλίψις ἀγαθόν. καὶ ὅτι ἀγαθόν, ἄκουε τοῦ Δαβὶδ λέγοντος· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με. εἰ δὲ τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι μέγα ἡ θλίψις, πολλῷ μᾶλλον ἡμῖν. Εἰ βούλεσθε δὲ, καὶ αὐτὴν ἐφ' ἑαυτῆς τὴν θλίψιν ἐξετάσωμεν. ἔστω τις χαίρων σφόδρα καὶ γεγηθὼς καὶ διαχεόμενος· τί ἀδημονέστερον; τί ἀνοητότερον τούτου; ἔστω τις ἀλγῶν καὶ ἀθυμῶν· τί τούτου φιλοσοφώτερον; διὰ τοῦτο καὶ ὁ σοφὸς παραινεῖ λέγων· Κρεῖσσον εἰς οἰκίαν πένθους εἰσελθεῖν, ἢ εἰς οἰκίαν γέλωτος. τάχα καὶ διαμωκᾶσθε τὰ λεγόμενα· πλὴν ἴδωμεν οἷος ἦν ὁ Ἀδὰμ ἐν παραδείσῳ, καὶ οἷος μετὰ ταῦτα ἦν· οἷος ἦν ὁ Κάϊν πρὸ τούτου, καὶ οἷος ἦν μετὰ ταῦτα. οὐχ ἕστηκεν ἐπὶ τῆς οἰκείας ἕδρας ἡ ψυχὴ ἀλλ' ὥσπερ ὑπό τινος πνεύματος αἴρεται τῆς ἡδονῆς καὶ κουφίζεται, οὐδὲν ἔχουσα βέβαιον. καὶ γὰρ καὶ πρὸς ἐπαγγελίας ἐστὶν εὔκολος, καὶ πρὸς ὑποσχέσεις πρόχειρος, καὶ πολὺς ὁ σάλος τῶν λογισμῶν. ἐντεῦθεν ἄκαιρος γέλως, φαιδρότης οὐκ ἔχουσα λόγον, ῥημάτων ὕθλος πολὺς καὶ περιττός. καὶ τί λέγω τὰ ἄλλα; τῶν ἁγίων ἕνα παραχειρισώμεθα, καὶ ἴδωμεν τίς μὲν ἦν ἐν ἡδονῇ ζῶν, τίς δὲ πάλιν ἐν ἀθυμίᾳ. βούλεσθε οὖν τὸν Δαβὶδ αὐτὸν ἴδωμεν; ὅτε τοίνυν οὗτος ἐν ἡδονῇ ἦν καὶ ἐν χαρᾷ, ἀπὸ τῶν πολλῶν τροπαίων, ἀπὸ τῆς νίκης, ἀπὸ τῶν στεφάνων, ἀπὸ τῆς τρυφῆς, ἀπὸ τοῦ θάρρους, ὅρα οἷα καὶ εἶπε, καὶ ἔπραξεν. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, φησίν, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. ἐπειδὴ δὲ ἐν θλίψει γέγονεν, ἄκουσον τί λέγει· Καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ· ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ. τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων; ὃ, τι ἂν ἢ τῷ Θεῷ, φησί, φίλον, ταύτῃ ἔστω. καὶ πάλιν τῷ Σαοὺλ ἔλεγεν· Εἰ δὲ Κύριος ἐπισείει σε ἐπ' ἐμέ, ὀσφρανθείη ἡ θυσία σου. καὶ τότε μὲν ἐν θλίψει ὤν, καὶ ἐχθρῶν ἐφείδετο· μετὰ δὲ ταῦτα, οὐδὲ φίλων, οὐδὲ τῶν ἠδικηκότων οὐδέν. πάλιν ὁ Ἰακὼβ, ὅτε ἐν θλίψει γέγονεν, ἔλεγεν· Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι· καὶ ὁ τοῦ Νωὲ υἱός, πρὸ μὲν τούτου οὐδὲν τοιοῦτον ἐποίησεν· ἐπειδὴ δὲ ἐθάρρησεν ὑπὲρ τῆς σωτηρίας, ἀκούσας οἷος γέγονεν ὑβριστής· καὶ ὁ Ἐζεκίας, ὅτε μὲν ἦν ἐν θλίψει, ὅρα οἷα ἐποίει ὑπὲρ τῆς σωτηρίας (σάκκον γὰρ περιεβάλετο, καὶ εἰς γῆν ἐκάθισε, καὶ ὅσα τοιαῦτα)· ἐπειδὴ δὲ γέγονεν ἐν ἡδονῇ, ἔπεσεν ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ. διὰ τοῦτο καὶ Μωϋσῆς παραινεῖ λέγων· Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθείς, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. ἀπόκρημνος γὰρ ἐστιν ὁ τόπος ὁ τῆς τρυφῆς, καὶ λήθην τοῦ Θεοῦ ἐμποιεῖ. ὅτι ἐθλίβοντο οἱ Ἰσραηλῖται, πολλῷ πλείους ἐγίνοντο· ἐπειδὴ δὲ αὐτοὺς εἴασε, τότε πάντες ἀπώλοντο. καὶ τί λέγω ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα; ἴδωμεν ἀφ' ἡμῶν, εἰ δοκεῖ. ἡνίκα ὅταν ἐν εὐπραγίᾳ ὦσιν οἱ πλείους, τετυφωμένοι γίνονται, πᾶσιν ἐχθροί, ὀργίλοι, τῆς ἐξουσίας πρὸς τούτοις ἀφαιρεθείσης δὲ, ἥμεροι, ταπεινοί, πρᾶοι, τῆς οἰκείας φύσεως εἰς ἔννοιαν ἔρχονται. καὶ ὅτι οὕτως ἔχει, δείκνυσι καὶ ὁ Δαβὶδ λέγων· Ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος, ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. ταῦτα δή μοι εἴρηται, ἵνα μὴ ἐκ πάντος τρόπου τὴν χαρὰν ζητῶμεν. καὶ πῶς, φησίν, ὁ Παῦλος λέγει, Χαίρετε πάντοτε; οὐχ ἁπλῶς εἶπε, χαίρετε· ἀλλὰ προσέθηκεν, Ἐν Κυρίῳ. αὕτη μεγίστη χαρά. τοιαύτην [καὶ] οἱ ἀπόστολοι ἔχαιρον. χαρὰ κέρδος φέρουσα, ἡ ἀπὸ δεσμωτηρίων, ἡ ἀπὸ μαστίγων, ἡ ἀπὸ διωγμῶν, ἡ ἀπὸ τοῦ κακῶς ἀκούειν, ἡ ἀπὸ τῶν λυπηρῶν πάντως ἔχουσα τὴν ἀρχὴν καὶ τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν· ὅθεν καὶ εἰς χρηστὸν ἀπαντᾷ τέλος· ἡ δὲ τοῦ κόσμου, τοὐναντίον ἄρχεται μὲν ἀπὸ τῶν ἡδέων, τελευτᾷ δὲ εἰς τὰ λυπηρά. οὐδὲ ἐγὼ κωλύω χαίρειν κατὰ Κύριον, ἀλλὰ καὶ σφόδρα παραινῶ. ἐμαστίζοντο οἱ ἀπόστολοι, καὶ ἔχαιρον· ἐδιώκοντο, καὶ ηὐφραίνοντο· ἐλιθάζοντο, καὶ ἐκήρυττον. ταύτην καὶ ἐγὼ βούλομαι τὴν χαράν. αὕτη οὐδενὸς σωματικοῦ τὴν ἀρχὴν ἔχει, ἀλλ' ἀπὸ πραγμάτων πνευματικῶν. οὐκ ἔστι τὸν κατὰ κόσμον χαίροντα, ὁμοῦ καὶ κατὰ Θεὸν χαίρειν. πᾶς γὰρ ὁ κατὰ κόσμον χαίρων, ἐπὶ πλούτῳ χαίρει, ἐπὶ τρυφῇ, ἐπὶ δόξῃ καὶ δυναστείᾳ, ἐπὶ ἀλαζονείᾳ· ὁ δὲ κατὰ Θεόν, ἐπὶ ἀτιμίᾳ τῇ δι' αὐτόν, ἐπὶ πενίᾳ,

Ψαλ. ριη. οα. Ἐκκλησ. ζ. γ. Ψαλ. λθ. ζ. β. Βασ. ιε. κϛ. α. Βασ. κϛ. ιθ. Γεν. κη. κ. Δευτ. ϛ. ια. Ψαλ. οβ. ϛ. Φιλ. δ. δ.

πενίᾳ, ἐπὶ ἀκτημοσύνῃ, ἐπὶ νηστείᾳ, ἐπὶ ταπεινοφροσύνῃ. ὁρᾷς ὅτι ἐναντίαι αἱ ὑποθέσεις; ὅσοι ἔξω χαρᾶς εἰσὶν ἐνταῦθα, καὶ λύπης· [καὶ] ὅσοι ἔξω λύπης ἐντεῦθεν, καὶ ἡδονῆς· καὶ ὄντως ταῦτά ἐστι τὰ ποιοῦντα ἀληθῆ χαράν, ἐπεὶ ἐκεῖνα ὄνομα μόνον ἔχει χαρᾶς, τὸ δὲ πρᾶγμα ἐν λύπῃ κεῖται. πόσην ὀδύνην ὁ ἀλαζὼν ἔχει; πῶς διακόπτεται ἐν αὐτῷ τῷ ἀλαζονεύεσθαι, μυρίας ἑαυτῷ "μηχανώμενος ὕβρεις, πολὺ τὸ μῖσος, μεγάλην τὴν ἀπέχθειαν, πολὺν τὸν φθόνον, πολλὴν τὴν βασκανίαν; κἂν γὰρ παρά τινος τῶν μειζόνων ὑβρισθῇ, ἀλγεῖ· κἂν μὴ πάντων κατεξουσιάσῃ, δάκνεται. ὁ δὲ ταπεινὸς ἐν πολλῇ ἐστὶ τῇ ἡδονῇ, παρ' οὐδενὸς προσδοκῶν τιμήν. ἂν μὲν [οὖν] τιμηθῇ, ἥσθη· ἂν δὲ μὴ τιμηθῇ, οὐκ ἤλγησεν, ἀλλ' ἀγαπᾷ ὅτι οὐκ ἐτιμήθη. μάλιστα δὲ αὐτὸν οὐδεὶς ἀτιμάζει. ἄρ' οὖν ἐκ τοῦ μὴ ζητεῖν τιμὴν καὶ τιμᾶσθαι, πολλὴ ἡ ἡδονή. ἐκεῖ δὲ τοὐναντίον· καὶ ζητεῖ τιμήν, καὶ οὐ τιμᾶται. οὐχ ὁμοίως δὲ ἥδεται τιμῇ ὁ ζητῶν αὐτήν, καὶ ὁ μὴ ζητῶν· ἐκεῖνος ὅσον ἂν λάβῃ, οὐδὲν ἡγεῖται εἰληφέναι· ἐκεῖνος, κἂν τὸ μικρὸν δῷς, ὡς τὸ πᾶν εἰληφὼς δέχεται. πάλιν ὁ τρυφῶν μυρία πράγματα ἔχει. κἂν ἐξ εὐκολίας καὶ ὥσπερ ἀπὸ πηγῶν αὐτῷ τὰ τῶν προσόδων ἐπιρρέῃ, τὰ ἀπὸ τῆς τρυφῆς δεινὰ δέδοικε, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος· ἐκεῖνος δὲ ἀεὶ ἐν ἀσφαλείᾳ ἐστὶ καὶ ἐν ἡδονῇ, ὁ ἐθίσας ἑαυτὸν ἐν λιτότητι διαίτης. οὐ γὰρ οὕτως ἑαυτὸν ταλανίζει, ὅτι μὴ μετέχει τραπέζης πολυτελοῦς, ὡς τρυφᾷ τὸ τοῦ μέλλοντος ἄδηλον μὴ δεδοικώς. τὰ δὲ ἐκ τῆς τρυφῆς ὅσα δεινά, οὐδεὶς ἀγνοεῖ, ἀναγκαῖον δὲ καὶ νῦν εἰπεῖν. διπλοῦς ὁ πόλεμος, τοῦ σώματος λέγω, καὶ τῆς ψυχῆς· διπλοῦς ὁ χειμών, διπλᾶ τὰ νοσήματα. καὶ οὐ τοῦτο μόνον· ἀλλ' ὅτι καὶ ἀνίατα καὶ μεγάλας "φέροντα τὰς συμφοράς. ἀλλ' οὐχ ἡ εὐτέλεια τοιοῦτον· ἀλλὰ διπλῆ ἡ ὑγεία, διπλᾶ τὰ ἀγαθά. Ὕπνος ὑγείας, φησίν, ἐν ἐντέρῳ μετρίῳ. πανταχοῦ γὰρ τὸ μὲν σύμμετρον ποθεινόν, τὸ δὲ ἄμετρον οὐκέτι. ὅρα γάρ. σπινθῆρι μικρῷ πολὺν ξύλων ἐπίθες φορτόν, καὶ οὐκέτι πῦρ τὸ λάμπον, ἀλλὰ καπνὸν ὄψει σφόδρα ἀηδῆ. ἀνδρὶ λίαν ἰσχυρῷ καὶ μεγάλῳ φορτίον ἐπίθες ὑπὲρ τὴν ἰσχὺν ὑπερβαῖνον, καὶ ὄψει μετὰ τοῦ φορτίου χαμαὶ κείμενον καὶ ἐρριμμένον. πολὺν τὸν φόρτον ἔμβαλε τῷ πλοίῳ, καὶ χαλεπὸν εἰργάσω τὸ ναυάγιον. τοιοῦτο δή τι καὶ ἡ τρυφή ἐστι. καθάπερ γὰρ ἐπὶ τῶν ὑπεραντλουμένων πλοίων πολὺς ὁ θόρυβος τῶν ναυτῶν, τοῦ κυβερνήτου, τοῦ πρωρέως, τῶν ἐπιβατῶν, τὰ μὲν ἄνωθεν ῥιπτούντων εἰς τὸ πέλαγος, τὰ δὲ κάτωθεν· οὕτω δὴ καὶ ἐνταῦθα, τὰ μὲν ἄνωθεν ἐμοῦντες, τὰ δὲ κάτωθεν, καὶ ἑαυτοὺς διαφθείροντες "ἀπόλλυνται). καὶ τὸ δὴ πάντων αἴσχιστον, ὅτι αὐτὸ τὸ σῶμα τὴν χρῆσιν ἀναλαμβάνει τῶν ὄπισθεν μερῶν, καὶ γίνεται ἐκείνων ἀτιμότερον. εἰ δὲ ἐν τῷ σώματι τοσαύτη ἀσχημοσύνη, ἐννόησον ἐν τῇ ψυχῇ. καὶ γὰρ ἐκεῖ πάντα γνόφος, πάντα θύελλα, πάντα σκότος· πολλὴ τῶν λογισμῶν "σύγχυσις πιεζομένων, θλιβομένων, τῆς ψυχῆς αὐτῆς τὴν ἐπήρειαν βοώσης. "ἐντεῦθεν καὶ αὐτοὶ οἱ γαστριζόμενοι ἀλλήλους αἰτιῶνται), δυσχεραίνουσι, σπεύδουσι τὴν ἔνδον ἀπορρίψασθαι κόπρον. ὅμως καὶ μετὰ τὸ ῥιφῆναι, οὐδὲ οὕτως ὁ σάλος παύεται· ἀλλὰ καὶ πυρετοὶ ἐντεῦθεν καὶ νόσοι. ναί, φησι· νοσοῦσι καὶ ἀσχημονοῦσι· λόγος εἰκῇ ταῦτα διεξιών, καὶ νόσους ἡμῖν καταλέγων. νοσῶ γὰρ ἐγώ, καὶ σπῶμαι ἐγώ, καὶ ἀσχημονῶ ἐγὼ ὁ μὴ ἔχων φαγεῖν. τούτους δὲ τοὺς τρυφῶντας ἐστιν εὐπαθοῦντας ἰδεῖν, σφριγῶντας, χαίροντας, φερομένους ἐφ' ἵππων. οἴμοι. θρήνων γὰρ ἄξια ταῦτα τὰ ῥήματα. τοὺς δὲ ποδαλγοῦντας, τοὺς ἐπὶ δίφρων φερομένους, τοὺς καταδεσμουμένους πόθεν ὁρῶμεν, εἰπέ μοι; καὶ εἰ μὴ τὸ πρᾶγμα ὕβριν ἐνόμιζον, καὶ ὀνειδιστικῶς μετὰ ταῦτα λέγειν ἡγοῦντο, ἤδη ἂν καὶ ὀνόμασι περιήγαγον αὐτούς. ἀλλ' εἰσί τινες, οἳ καὶ ὑγιαίνουσί, φησιν· ἐπειδὴ μὴ μόνον τρυφῇ προσανέχουσιν, ἀλλὰ καὶ πόνοις. ἐπεὶ δός μοι ἂν θεράποντα διαπαντὸς πιαινόμενον, "ἀεὶ ἀνενέργητον κείμενον, "μηδὲν ποιοῦντα, ἰδεῖν ὑγιαίνοντα. ἀλλ' οὐκ ἂν εὕροις. κἂν γὰρ μυρίων ἰατρῶν πλῆθος συνέλθῃ, ἐξελεῖν αὐτὸν οὐ μὴ δυνηθῇ τῶν νοσημάτων διηνεκῶς γαστριζόμενον. οὐδὲ γὰρ ἔχει τὸ πρᾶγμα φύσιν. ἐγὼ δὲ καὶ ἰατρικὸν ὑμῖν ἐρῶ λόγον. τῶν εἰς τὴν γαστέρα καταβαλλομένων,

Σοφ. λα. κ.

ταβαλλομένων οὐ τὸ πᾶν τῆς γῆς τροφή· ἐπεὶ μηδὲ ἐν αὐτῇ [τῇ] τῆς τροφῆς φύσει τὸ πᾶν ἐστι τρόφιμον· ἀλλ' ἔστι τὸ μὲν αὐτῆς εἰς διαχώρησιν μεριζόμενον, τὸ δὲ εἰς τροφήν. ἂν μὲν οὖν συμμέτρως δοὺς πλέον κατεργασθῇ, τοῦτο γὰρ, καὶ τὴν οἰκείαν ἔλαβε χώραν· καὶ τὸ μὲν ὑγιὲς καὶ χρηστὸν εἰς τὸν οἰκεῖον ἀνέδραμε τόπον, τὸ δὲ περιττὸν καὶ ἄχρηστον ἀπὸ ἐξῆλθε καὶ διεχώρησεν· ἂν δὲ πλῆθος ἐγχυθῇ), καὶ ὅσον αὐτοῦ τρόφιμον, καὶ τοῦτο γίνεται βλαβερόν. ὡς ἐπὶ ὑποδείγματος δὲ τοιοῦτον [τι] ἐρῶ, ἵνα σαφέστερον ὃ λέγω ὑμῖν γένηται. τῶν σίτων τὸ μέν ἐστι σεμίδαλις, τὸ δὲ ἄλευρον, τὸ δὲ πίτυρον. ἂν μὲν οὖν ἡ μύλη λάβῃ ἃ δύναται ἀλέσαι, ἀπέκρινε ταῦτα πάντα· ἂν δὲ πλέον ἐπιβάλῃς, πάντα συγκέχυται. πάλιν ὁ οἶνος ἂν τῆς προσηκούσης κατεργασίας τύχῃ καὶ τῆς τῶν ὡρῶν κράσεως, πρότερον μὲν πάντα ὁμοῦ γίνεται· μετὰ δὲ ταῦτα, τὸ μὲν αὐτοῦ εἰς τρύγα ὑφιζάνει, τὸ δὲ εἰς ἀφρὸν ἀναπέμπεται· τὸ δὲ μέσον εἰς ἀπόλαυσιν τῶν μετεχόντων, καὶ τοῦτό ἐστι τὸ χρηστόν, καὶ οὐκ ἄν ποτε ταχέως τοῦτο τραπείη· πρότερον δὲ οὔτε οἶνός ἐστιν, οὔτε τρύξ, πάντων μιχθέντων. τοῦτο καὶ ἐπὶ τῆς θαλάττης ἴδοι τις ἄν, ὅταν ἀναβολὴ χειμῶνος γένηται· καθάπερ δὴ τότε τοὺς ἰχθύας ὁρῶμεν νεκροὺς ἐπιπλέοντας, καὶ τῷ πάχει τῆς ἰλύος πηρωθέντας τὰ ὄμματα· οὕτω δὴ καὶ ἐφ' ἡμῶν γίνεται. ὅταν γὰρ πολὺς ἄνωθεν ἐπιρρεύσῃ τῆς λαιμαργίας ὁ ὑετός, πάντα ἀνακινήσας, νεκροὺς ἐπιπλέειν ποιεῖ τοὺς λογισμοὺς τοὺς τέως ὑγιαίνοντας καὶ ἐν καθαρῷ ζῶντας. ἐπεὶ οὖν ἐκ τοσούτων ὑποδειγμάτων ἡμῖν ἀποδέδεικται) πολλὴ ἡ βλάβη, παυσώμεθα μακαρίζοντες τούτους ἐφ' οἷς ταλανίζειν ἐχρῆν· δακρύοντες δὲ ἑαυτοὺς ἐφ' οἷς μακαρίζειν ἔδει, καὶ τὴν αὐτάρκειαν ἀγαπῶμεν. ἢ οὐκ ἀκούετε καὶ ἰατρῶν λεγόντων, ὅτι ἔνδεια μήτηρ ὑγιείας; ἐγὼ δὲ οὐχὶ τῆς σωματικῆς ὑγιείας μητέρα τὴν ἔνδειαν εἶναί φημι), ἀλλὰ καὶ τῆς ψυχῆς λέγω. ταῦτα καὶ Παῦλος βοᾷ ὁ ὄντως ἰατρός, Ἔχοντες λέγων διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. πειθώμεθα τοίνυν αὐτῷ, ἵνα ὑγιαίνοντες πρὸς ἅπαντα ὦμεν ἀεὶ ποιεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιζ. 35 ΤΟΥΤΟΝ ΤΟΝ ΜΩΥΣΗΝ, ΟΝ ΗΡΝΗσαντο εἰπόντες, Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν [ἐφ' ἡμᾶς,] τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

Σφόδρα τοῦτο κατάλληλον πρὸς τὴν προκειμένην ὑπόθεσιν. τοῦτον τὸν Μωϋσῆν, φησί. τοῦτον, ποῖον; τὸν κινδυνεύσαντα ἀπολέσθαι, τὸν ὑπ' αὐτῶν ἐξουθενηθέντα, ὃν ἠρνήσαντο εἰπόντες, Τίς σε κατέστησεν ἄρχοντα; καθάπερ καὶ τῷ Χριστῷ ἔλεγον, Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ εἰπόντος αὐτῷ, Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ. ἐνταῦθα καὶ τὰ γινόμενα θαύματα διὰ Χριστοῦ δείκνυσι γεγενῆσθαι. τοῦτ' ἔστιν, ὁ Μωϋσῆς (καὶ ὅρα πῶς δείκνυσιν αὐτὸν λαμπρότερον)

36 Οὗτος, φησίν, ἐξήγαγεν αὐτούς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα.

37 Οὗτός ἐστιν ὁ Μωϋσῆς, ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Τουτέστιν, ἐξουθενημένον ὡς ἐμέ, ἐπιβουλευθέντα. καὶ γὰρ ἐβουλήθη καὶ τοῦτον ἀνελεῖν Ἡρώδης, καὶ ἐν Αἰγύπτῳ διεσώθη, καθάπερ καὶ ἐκεῖνος παιδίον ὢν ἐπεβουλεύετο.

38 Οὗτός

Marginalia: γρ. διαχωρούμενον. γρ. παρεχ. γρ. ἀπὸ. γρ. ἀλήθειαν. γρ. ἀπόλαυσιν. γρ. ἀναστροφὴ τῆς ἰλύος. γρ. τοῦ ὕδατος τὰς ψυχὰς εἰς τὸν βυθὸν δῦναι μὴ δυνηθέντας. γρ. ἐφθάρη. γρ. ποτὲ. γρ. ὑγιαίνοντας. γρ. ἄρχοντα. γρ. παρασταθέντα. γρ. Αἰγύπτου. γρ. ἐπιβουλευθέντα.
α. Τιμ. ϛ. η. — Ιωαν. ιθ. ιε. — Ἐξοδ. γ. ϛ. — Δευτ. ιη. ιε.

38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν.

Πάλιν οὐδαμοῦ ναός, οὐδαμοῦ θυσία. μετὰ τοῦ ἀγγέλου, φησίν, ἐδέξατο δοῦναι λόγια ζῶντα ἡμῖν. ἐν ταῦθα δείκνυσιν ὅτι οὐχὶ σημεῖα ἐποίησε μόνον, ἀλλὰ καὶ νόμον ἔδωκεν, ὥσπερ ὁ Χριστός. καθάπερ οὖν οὗτος πρότερον σημεῖα ποιεῖ, καὶ τότε νομοθετεῖ· οὕτω δὴ καὶ ὁ Χριστός. ἀλλ' οὐκ ἤκουσαν αὐτοῦ μαθόντες ἀεὶ ἀπειθεῖν μετὰ τὰ σημεῖα, μετὰ τὰ θαύματα τὰ ἐν τεσσαράκοντα ἔτεσι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὐναντίον ἐπεδείξαντο. ὃ καὶ δηλῶν ἐπήγαγεν·

γρ. τοῖς σημείοις

γρ. τὸ ἀπειθεῖς ἔχοντες

39 Ὧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον,

Ἐξοδ. λβ. α.

40 Εἰπόντες τῷ Ἀαρών· Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.

41 Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

Ἀμ. ε. κε

42 Ἔστρεψε δὲ ὁ Θεός, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥεμφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. Τό, παρέδωκεν, ἐνταῦθα, εἴασεν ἐστίν.

γρ. Ῥεφάν, ἀλλ. Ῥομφάν

Ἐξ. κε. μ.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν, φησίν, ἐν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ· καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει. Καὶ σκηνῆς οὔσης, θυσίαι οὐκ ἦσαν. ὅτι δὲ οὐκ ἦσαν, ὁ προφήτης δηλοῖ ποιεῖ τοῦτο λέγων· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι; ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν, καὶ οὐδὲν ὠφέλησεν αὐτούς, ἀλλ' ἀπώλλυντο. οὔτε δὲ πρὸ τούτου αὐτοὺς τὰ σημεῖα, οὔτε μετὰ ταῦτα ὠφέλησεν.

Ἰησ. β. ιδ.

45 Ἣν καὶ εἰσήγαγον, φησί, διαδεξάμενοι οἱ πατέρες ἡμῶν. Ὁρᾷς, ὅτι ἐκεῖ τόπος ἅγιός ἐστιν, ἔνθα ἂν ᾖ [ὁ] Θεός; διὰ γὰρ τοῦτο καὶ ἐν τῇ ἐρήμῳ εἶπεν, ἵνα τόπον τόπῳ συγκρίνῃ. εἶτα ἡ εὐεργεσία. Καὶ εἰσήγαγον, φησί, διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν τοῦ Δαβίδ,

46 Ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Ἠτήσατο οἰκοδομεῖν ὁ Δαβίδ, καὶ οὐ λαμβάνει ὁ μέγας, ὁ θαυμαστός· ἀλλ' οἰκοδομεῖ ὁ ἀπερριμμένος ὁ Σολομών. διὰ τοῦτό φησι·

γρ. εὗρεν χ. ἐν

γρ. ἐκ γένους μετὸν

β. Βασ. β. ιε.

47 Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον·

48 Ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ. Ἐδείχθη μὲν τοῦτο καὶ διὰ τῶν ἤδη λεχθέντων· δείκνυται δὲ καὶ διὰ φωνῆς προφητικῆς. καὶ ὅπως, ἄκουε τῶν ἑξῆς.

Καθὼς καὶ ὁ προφήτης λέγει,

Ἡσ. ξς. α.

49 Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. [καὶ] ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου [ἐστίν];

50 Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; Μὴ θαυμάζετε, φησίν, εἰ τοὺς προφήτας αὐτοῦ τὴν βασιλείαν ὁ Χριστὸς εὐεργετεῖ, εἴγε καὶ ἐπὶ Μωϋσέως τοῦτο γέγονε. καὶ οὐχ ἁπλῶς αὐτοὺς ἐξείλετο, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ διαγενομένους. ὁρᾷς ὅτι δι' αὐτοὺς καὶ ἐκεῖνα τὰ σημεῖα; ὁ τῷ Θεῷ οὕτω διαλεχθείς, ὁ ἐκ παραδόξου σωθείς, ὁ τοσαῦτα ἐργασάμενος καὶ διωχθείς, δείκνυσιν ὅτι πάντως πληρωθῆναι δεῖ τὴν προφητείαν, καὶ οὐκ εἰς ἀπόδημον αὐτῷ.

γρ. ξεν

ἑαυτοῦ ὁ Μωϋσῆς. ἀλλ' ἴδωμεν λοιπὸν τὰ εἰρημένα. Οὗτός ἐστι, φησὶν, ὁ Μωϋσῆς, ὁ εἰπὼν, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὡς ἐμέ. Πρὸς τοῦτο οἶμαι τὸν Χριστὸν εἰπεῖν αἰνιττόμενον τὰ, Ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία ἐστὶν, ἑαυτὸν αἰνιττόμενον. Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ. Ἰωαν. δ. κβ. Ἰδοὺ πάλιν αὐτὸν δείκνυσι τὸν νόμον δεδωκέναι, εἴγε μετ' αὐτοῦ ἦν ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ. Ἐνταῦθα δὲ καὶ θαύματος ὑπομιμνήσκει μεγάλου τοῦ ἐν τῷ ὄρει γεγενημένου. Ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν. Πανταχοῦ θαυμαστὸς ὁ Μωϋσῆς, καὶ πλέον ὅτι νομοθέτης γέγονε. Τί ἐστι λόγια ζῶντα; ἤτοι ὧν τὸ τέλος διὰ λόγων ἐδείκνυτο, ἤτοι τὰς προφητείας λέγει. Εἶτα τὸ ἔγκλημα πῶς ἐστι μετὰ τοὺς πατριάρχας, μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα, μετὰ τὸ λαβεῖν λόγια ζῶντα· ᾧ οὐκ ἠθέλησαν, φησὶν, ὑπήκοοι γενέσθαι. Καλῶς δὲ λόγια ζῶντα εἶπεν, ἵνα δείξῃ ὅτι εἰσὶ καὶ οὐ ζῶντα· περὶ ὧν καὶ Ἰεζεκιὴλ φησὶν, ὡς ὅταν λέγῃ· Καὶ ἔδωκα ὑμῖν προστάγματα οὐ καλά. Πρὸς τὰ τοιαῦτα Ἰεζ. κ. κε. οὖν εἶπε τὸ, ζῶντα. Ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον· ἔνθα ἔξενον, ἔνθα ἐβόων, ὅθεν τὸν Θεὸν ἐκάλουν. Καὶ εἶπον τῷ Ἀαρών· ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. Ὢ τῆς ἀνοίας. Ποίησον, φησὶν, ἵνα προπορεύσωνται ἡμῶν. Ποῦ; εἰς Αἴγυπτον. Ὁρᾷς πῶς δυσαποσπάστως εἶχον τῶν ἐθῶν τῶν Αἰγυπτιακῶν; τί λέγεις; οὐκ ἀναλογίζῃ τὸν ἐξαγαγόντα, ἀλλὰ ζητεῖς τὴν δουλείαν, καὶ τὸν εὐεργέτην φεύγεις; καὶ ὅρα πῶς ὑβρίζουσι. Ὁ γὰρ Μωϋσῆς οὗτος, φασὶν, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου. Οὐδαμοῦ Θεοῦ ὄνομα, ἀλλὰ πάντα τῷ Μωϋσεῖ ἐπιγράφουσι. Καὶ ἔνθα μὲν αὐτοὺς εὐεργετεῖν ἦν, Μωϋσῆν φέρουσιν εἰς μέσον· ἔνθα δὲ πειθαρχῆσαι νόμῳ, οὐκέτι Μωϋσῆν ἄγουσι. Καὶ μὴν εἶπεν, ὅτι ἄνεισιν ὥστε λαβεῖν τὸν νόμον· τὸν δὲ οὐδὲ τεσσαράκοντα ἡμέρας ὑπέμειναν. Ποίησον ἡμῖν θεούς. Οὐκ εἶπον Θεὸν, ἀλλὰ θεούς. Οὕτως ἀπεβακχεύθησαν, ὅτι οὐδὲ ἴσασιν ἃ λέγουσι. Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ. Εἶδες ἀνοίας ὑπερβολήν; ἔνθα ἐφάνη Θεὸς τῷ Μωϋσεῖ, μοσχοποιοῦσιν οὗτοι καὶ θύουσι. Καὶ εὐφραίνοντο, φησὶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. Ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἔχαιρον. Καὶ τί θαυμαστὸν, εἴγε ἀγνοοῦσι Χριστὸν, ὅπου καὶ τὸν Μωϋσέα καὶ τὸν Θεὸν τὸν δειχθέντα διὰ τοσούτων σημείων; τὸν δὲ οὐκ ἠγνόησαν μόνον, ἀλλὰ καὶ ὕβρισαν ἑτέρως, τῷ εἴδωλα ποιῆσαι. Ἔστρεψε δὲ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Ἐντεῦθεν λοιπὸν τὰ ἔθη ταῦτα, ἐντεῦθεν αἱ θυσίαι· αὐτοὶ πρότερον ἐποίησαν θυσίας τοῖς εἰδώλοις. Τοῦτο καὶ Δαυῒδ ἐπισημαινόμενος, λέγει· Καὶ ἐποίησαν μόσχον ἐν Χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ. Ψαλ. ρε. ιθ. Ἐπεὶ περὶ τούτου οὐδαμοῦ θυσίας ὄνομα, ἀλλὰ προστάγματα ζῶντα, καὶ λόγια ζῶντα· οὐδαμοῦ τελεταὶ, ἀλλὰ θαύματα καὶ σημείων ἐπίδειξις. Καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν. Ἐνταῦθα τὴν μαρτυρίαν οὐχ ἁπλῶς παρήγαγεν, ἀλλ' ἵνα δείξῃ τὸ μὴ εἶναι χρείαν θυσιῶν. Καὶ ὅρα τί φησι. Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ; καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. Ἐμφαντικῶς ἐχρήσατο τῇ λέξει. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκ ἔχετε εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἐμοὶ θύειν κἀκείνοις ἐθύετε· καὶ ταῦτα ἐν τῇ ἐρήμῳ, ἔνθα μάλιστα αὐτῶν προειστήκει. Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ. Ἡ αἰτία τῶν θυσιῶν αὕτη. Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. Οὕτω καὶ ἡ αἰχμαλωσία κατηγορία τῆς κακίας. Καὶ πῶς ἡ σκηνὴ, φησὶν, ἦν τοῦ μαρτυρίου; [ἀλλὰ] διὰ τοῦτο ἦν, ἵνα μάρτυρα τὸν Θεὸν ἔχωσιν. Οὐκοῦν εἰς τοῦτο μόνον ἦν. Κατὰ τὸν τύπον γὰρ, φησὶ, τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Ὥστε ἐν τῷ ὄρει ἡ ὑπογραφὴ γέγονε. Καὶ αὕτη δὲ ἐν τῇ ἐρήμῳ περιφορητὴ ἦν, καὶ οὐκ ἐν τόπῳ κειμένη. Μαρτυρίου δὲ σκηνὴν, οὐκ ἄλλου τινὸς χάριν, ἢ τῶν θαυμάτων καὶ τῶν προσταγμάτων καλεῖ. Ὅμως γοῦν καὶ αὕτη καὶ ἐκεῖνοι οὐκ εἶχον ναόν. Ὁρᾷς καὶ τὸν τύπον αὐτοῖς αὐτὸς ὁ ἄγγελος ἔδωκεν. Ἕως τῶν ἡμερῶν, φησὶ, Δαυΐδ. Ὥστε οὐκ ἦν ναὸς ἄχρι τότε· χωρὶς καὶ τὰ ἔθνη ἐξέωσε. Περὶ

ὧν

ὧν φησιν· ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ὑμῶν. τοῦτο δὲ εἶπε, δεικνὺς πάλιν ὅτι οὐκ ἦν τότε ναός. τί λέγω; τοσαῦτα θαύματα, καὶ οὐδαμοῦ ναός· οὕτω καὶ προφῆται σκηνή, καὶ οὐδαμοῦ ναὸς ἕως τῶν ἡμερῶν Δαβίδ· καὶ Δαβίδ, καὶ οὐδαμοῦ ναός. καὶ ᾐτήσατο εὑρεῖν χάριν ἐνώπιον τοῦ Θεοῦ. ᾔτησε, καὶ οὐκ ᾠκοδόμησεν. οὕτως οὐκ ἦν μέγα τι ὁ ναός, εἰ καὶ ἐνόμισάν τινες μέγαν εἶναι τὸν Σολομῶντα τῷ τὸν ναὸν οἰκοδομῆσαι, οἳ διὰ τοῦτο καὶ τοῦ πατρὸς αὐτὸν προετίθεσαν. ὅτι δὲ οὐχὶ βελτίων ἦν τοῦ πατρός, ἀλλ' οὐδὲ ἴσος, μόνον δὲ ἀπὸ τῆς τῶν πολλῶν ὑπολήψεως, δῆλον αὐτὸ ἐποίησεν ἐπαγαγών· ἀλλ' οὐχ ὁ ὕψιστος * ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης φησίν· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. οὐδὲ γὰρ ταῦτα ἄξια Θεοῦ, εἴγε ποιήματά ἐστιν, εἴγε τῆς χειρὸς αὐτοῦ ἔργα. ὅρα πῶς αὐτοὺς κατὰ μικρὸν ἀνάγει. δείκνυσι γὰρ διὰ τοῦ προφήτου, ὅτι οὐδὲ ταῦτα ἔξεστι Θεοῦ ἄξια λέγειν. * καὶ τίνος ἕνεκεν, φησίν, ἐνταῦθα καταφορικῶς τῷ λόγῳ κέχρηται; πολλὴ ἦν ἡ παρρησία μέλλοντος αὐτοῦ ἀποθνήσκειν. καὶ γὰρ καὶ τοῦτο οἶμαι αὐτὸν ἐξ ἀποκαλύψεως εἰδέναι.

Ἱερ. θ. κθ. Ἰεζεκ. μδ. θ.

51 Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσί. Καὶ τοῦτο προφητικόν· οὐδὲν αὐτοῦ ἴδιον. Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. Ὅτε οὐκ ἐβούλετο θυσίας εἶναι, ὑμεῖς ἐθύετε· ὅτε ἐβούλετο, πάλιν οὐ θύετε· ὅτε οὐκ ἤθελε δοῦναι ὑμῖν παραγγέλματα, ἐπεσπάσασθε· ὅτε ἐλάβετε, ἠμελήσατε· πάλιν ὅτε εἱστήκει ὁ ναός, εἴδωλα ἐθεραπεύετε· ὅτε βούλεται χωρὶς ναοῦ θεραπεύεσθαι, τὸ ἐναντίον ποιεῖτε. ὅρα, οὐκ εἶπε, τῷ Θεῷ ἀντιπίπτετε, ἀλλὰ τῷ πνεύματι. οὕτως οὐδεμίαν οἶδε διαφοράν. καὶ τὸ μεῖζον, ὡς οἱ πατέρες ὑμῶν, φησί, καὶ ὑμεῖς. οὕτω καὶ ὁ Χριστὸς ὠνείδιζεν, ἐπειδὴ μεγάλα ἀεὶ ἐπὶ τοῖς πατράσιν ηὔχουν.

52 Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν, καὶ ἀπέκτειναν, τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου; Ἐπὶ τοῦ δικαίου λέγει, βουλόμενος αὐτοὺς καταστεῖλαι. Οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε. Δύο αὐτοῖς ἐγκαλεῖ, ὅτι τε ἠγνόησαν, καὶ ὅτι ἐφόνευσαν.

53 Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Τί ἐστι τοῦτο; τινές φασι τὸν ὑπ' ἀγγέλων λέγει διαταχθέντα· οὐκ ἔστι δέ. ποῦ γὰρ ἄγγελοι νόμον ἐφώνησαν διατάττοντες; ἀλλὰ διαταχθέντα νόμον λέγει, τὸν ἐγχειρισθέντα αὐτῷ δι' ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. μὴ γὰρ ἄνθρωπος ἦν; οὐδὲν οὖν θαυμαστὸν τούτους ἐκεῖνα ποιῆσαι, φησί, καὶ ταῦτα ποιῆσαι. εἰ τοὺς καταγγείλαντας ἀνείλετε, πολλῷ μᾶλλον αὐτόν. ἐνταῦθα καὶ Θεῷ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ τοῖς προφήταις, καὶ τῷ πνεύματι, καὶ πᾶσι δείκνυσιν ἀπειθοῦντας, καθὼς καὶ ἑτέρωθί φησιν ἡ γραφή· (α. Βασ. ιθ. ι.) Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν. οἱ τοίνυν ἀντιποιούμενοι λόγῳ τοῦ νόμου, ἔλεγον· Εἰς Μωϋσῆν βλασφημεῖ. ὁ δὲ δείκνυσιν, ὅτι αὐτοὶ βλασφημοῦσι [μᾶλλον,] οὐ μόνον εἰς Μωϋσῆν, ἀλλὰ καὶ εἰς Θεόν· (Ἰεζ. κ. ια.) καὶ ὅτι αὐτοὶ ἄνωθεν τοιαῦτα ποιοῦσι, καὶ ὅτι αὐτοὶ τὰ ἔθη κατέλυσαν, καὶ ὅτι οὐ χρεία τούτων λοιπόν· καὶ ὅτι ἐγκαλοῦντες καὶ λέγοντες Μωϋσῆν ἐνυβρίζεσθαι αὐτοί, αὐτοὶ τῷ πνεύματι ἠναντιοῦντο· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ φόνου, καὶ ἄνωθεν εἶχον τὴν ἔχθραν. ὁρᾷς ὅτι καὶ Μωϋσῇ καὶ πᾶσι δείκνυσιν ἐναντιουμένους αὐτούς, καὶ τὸν νόμον μὴ φυλάττοντας; καίτοιγε Μωϋσῆς εἶπε, (Δευτ. ιη. ιε.) Προφήτην ὑμῖν ἀναστήσει Κύριος· καὶ οἱ ἄλλοι δὲ τοῦτον ἐλεύσεσθαι προὔλεγον· καὶ ὁ προφήτης λέγων, Ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ πάλιν· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα; τοῦτο παρρησία ἀνδρὸς τὸν σταυρὸν ἔχοντος.

ΗΘΙΚΟΝ

Μιμώμεθα τοίνυν καὶ ἡμεῖς ταύτην· εἰ καὶ πολέμου οὐκ ἔστι καιρός, ἀλλὰ παρρησίας ἀεὶ καιρός ἐστιν. (Ψαλ. ριη. μϛ.) Ἐλάλουν γάρ, φησιν, ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

γ. μεταξὺ Ἑλλήνων ἐμπίπτωμεν.

ὁμιλῶν. ἂν τοίνυν Ἕλλησι συμπλεκώμεθα, οὕτως αὐτοῖς ἐπισυμμίξωμεν, χωρὶς θυμοῦ, χωρὶς τραχύτητος. ἂν μὲν γὰρ μετὰ θυμοῦ τοῦτο ποιῶμεν, οὐκέτι παῤῥησία, ἀλλὰ πάθος εἶναι δοκεῖ· ἂν δὲ ἐπιεικῶς, ἔτι πως ἐστὶν αὕτη παῤῥησία. οὐ γὰρ δυνατὸν ὁμοῦ κατὰ ταὐτὸν καὶ κατόρθωμα εἶναι καὶ ἐλάττωμα. ἡ παῤῥησία, κατόρθωμα· ὁ θυμός, ἐλάττωμα. δεῖ τοίνυν ἡμᾶς, εἰ μέλλοιμεν παῤῥησίαν ἔχειν, καθαροὺς εἶναι τοῦ θυμοῦ, ἵνα μὴ ἐκείνῳ τις λογίσηται τὰ ῥήματα. κἂν δίκαια λέγῃς μετὰ θυμοῦ, τὸ πᾶν ἀπώλεσας, κἂν παῤῥησιάζῃ, κἂν νουθετῇς, κἂν ὁτιοῦν πράττῃς. ὅρα τὸν ἄνδρα τοῦτον οὐ μετὰ θυμοῦ διαλεγόμενον. οὐ γὰρ δὴ ὕβρεως ἦν, ἀλλὰ προφητικοῦ αὐτοὺς ἀνέμνησε λόγου. ὅτι γὰρ οὐκ ἦν θυμοῦ, ἔδειξεν ὅτι κακῶς ἔπασχε, τότε ὑπὲρ αὐτῶν εὐχόμενος καὶ λέγων, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. οὕτως οὐκ ὀργιζόμενος αὐτοῖς, ἀλλὰ ἀλγῶν ὑπὲρ αὐτῶν καὶ δακνόμενος ταῦτα ἐφθέγγετο. ἐπεὶ καὶ περὶ τῆς ὄψεως διὰ τοῦτο εἶπεν, Ὅτι εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου, ἵν᾽ αὐτοὺς ἐφελκύσηται. καθαροὶ τοίνυν θυμοῦ ὦμεν. οὐ κατοικεῖ τὸ πνεῦμα τὸ ἅγιον, ἔνθα θυμός. ἐπικατάρατος ὁ θυμώδης· οὐκ ἔστιν οὐδὲν ὑγιὲς προελθεῖν, ὅθεν θυμὸς ἔξεισι. καθάπερ γὰρ ἐν χειμῶνι θαλαττίῳ πολὺς ὁ θόρυβος, μεγάλη ἡ κραυγή, καὶ οὐκ ἂν ἔχοι τις τηνικαῦτα φιλοσοφεῖν· οὕτως οὐδὲ ἐν θυμῷ. ἀλλ᾽ εἰ μέλλει τι φιλόσοφον ἢ λέγειν, ἢ παιδεύεσθαι ψυχή, ὀφείλει πρότερον ἐν λιμένι εἶναι. οὐχ ὁρᾷς πῶς, ὅταν βουλώμεθα περί τινων ἀναγκαίων διαλεχθῆναι, τόπους θορύβου καθαροὺς περιπατοῦμεν, ἔνθα ἡσυχία, ἔνθα γαλήνη, ἵνα μὴ ἐκκρουώμεθα; εἰ δὲ ὁ ἔξωθεν ἐκκρούει θόρυβος, πολλῷ μᾶλλον ἡ ἔνδον ταραχή. κἂν εὔχηταί τις, εἰκῆ εὔχεται, μετὰ ὀργῆς καὶ θυμοῦ τοῦτο ποιῶν· κἂν φθέγγηται, καταγέλαστος ἔσται· κἂν σιγᾷ, πάλιν ὁμοίως· κἂν ἐσθίῃ, καὶ οὕτως ἔβλαψεν· κἂν πίνῃ, κἂν μὴ πίνῃ, κἂν καθέζηται, κἂν στήκῃ, κἂν βαδίζῃ, κἂν καθεύδῃ. καὶ γὰρ καὶ ἐν τοῖς ὀνείροις τοιαῦτα φαντάζονται. τί γὰρ τῶν τοιούτων οὐκ ἄτοπον; ὀφθαλμοὶ ἀηδεῖς, στόμα διεστραμμένον, μέλη κεκινημένα καὶ οἰδαίνοντα, γλῶσσα ἀκράτητος καὶ οὐδενὸς φειδομένη, διάνοια ἐξεστηκυῖα, σχῆμα ἀπρεπές, πολλὴ ἡ ἀηδία. ἴδε μοι τῶν δαιμονώντων τοὺς ὀφθαλμοὺς καὶ τῶν μεθυόντων καὶ μαινομένων, τί διεστήκασιν ἀλλήλων; οὐχὶ μανία τὸ πᾶν ἐστι; τί γάρ, εἰ πρὸς καιρὸν τοῦτο γίνεται; καὶ γὰρ ὁ μαινόμενος, πρὸς καιρὸν κατέχεται. τούτου δὲ τί χεῖρον; καὶ οὐκ αἰσχύνονται ἐπὶ τῇ ἀπολογίᾳ· οὐκ ᾔδειν, φησί, τί εἶπον. καὶ διὰ τί μὴ ᾔδεις; τοῦτο ὁ λογικὸς ἄνθρωπος, ὁ λογισμὸν ἔχων διά τι τὰ τῶν ἀλόγων ποιεῖς, καθάπερ ἵππος ἄγριος ἀπὸ θυμοῦ καὶ ὀργῆς συναρπαγείς; καὶ μὴν ἡ ἀπολογία ἐγκλήματος ἀξία. εἴθε γὰρ ᾔδεις ἃ ἔλεγες. τοῦ θυμοῦ, φησίν, ἐστὶ τὰ ῥήματα, οὐκ ἐμά. πῶς ἐκείνου; καὶ μὴν ὁ θυμὸς οὐκ ἔχει ἰσχύν, ἂν μὴ παρὰ σοῦ λάβῃ. ὡς ἂν εἴποι τις, τῆς χειρός ἐστιν, οὐκ ἐμὰ τὰ τραύματα. τί οἴει μάλιστα δεῖσθαι θυμοῦ; οὐχὶ πόλεμον καὶ μάχην; ἀλλὰ καὶ ἐκεῖ ἂν μετὰ θυμοῦ τι γένηται, τὸ πᾶν διέφθαρται καὶ ἀπόλωλε. μάλιστα γὰρ τοὺς μαχομένους θυμοῦσθαι οὐ χρή, μάλιστα τοὺς ὑβρίζοντας θυμοῦσθαι οὐ χρή. καὶ πῶς ἔνι μάχεσθαι, φησί; λόγῳ, ἐπιεικείᾳ. μάχη γάρ ἐστι, τὸ ἐξ ἐναντίας στῆναι. ἢ οὐχ ὁρᾷς καὶ τούτους τοὺς πολέμους νόμῳ καὶ διατάξει καὶ καιροῖς ὡρισμένους; θυμὸς γὰρ οὐδέν ἐστιν, ἢ ὁρμὴ ἄλογος· ἀλόγῳ δὲ οὐδὲν λογικὸν γενέσθαι δυνατόν. ἐπεὶ καὶ οὗτος τοιαῦτα ἐφθέγγετο, καὶ οὐκ ἐθυμοῦτο. καὶ ὁ Ἠλίας ἔλεγεν, Ἕως πότε χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; καὶ οὐκ ἐθυμοῦτο. καὶ ὁ Φινεὲς ἔσφαξε, καὶ οὐκ ἐθυμοῦτο. ὁ γὰρ θυμὸς οὐκ ἀφίησιν ἰδεῖν, ἀλλὰ καθάπερ ἐν νυκτομαχίᾳ πάντα συνδήσας, καὶ ὀφθαλμοὺς καὶ ὦτα, οὕτως ἄγει, ὅπουπερ ἂν ἐθέλῃ. ἀπαλλαγῶμεν οὖν τούτου τοῦ δαίμονος, ἀρχόμενοι αὐτοῦ καταστείλωμεν, τὴν σφραγῖδα ἐπιθῶμεν τῷ στήθει καθάπερ τινὰ χαλινόν. κύων ἐστὶν ἀναιδὴς ὁ θυμός· ἀλλὰ μαθέτω ἀκούειν τοῦ νόμου. ἂν ἡ κύων ἐν ποίμνῃ οὕτως ἄγριος, ὡς μὴ πείθεσθαι προστάττοντι τῷ βουκόλῳ, μηδὲ ἐπιγινώ-

Margin notes: Πράξ. ς. ιε. — γ. πτύουσι — γ. διαλογισμῶν κἂν φθ. — γ. καὶ οὕτως — γ. ἐξεστηκότα — γ. ἵππος — γ. ὕπνοις — γ. Βασ. ιη. κα. — Ἀριθ. κε. η.

σκειν αὐτοῦ τὴν φωνὴν, πάντα ἀπώλεσε καὶ διέφθαρται. μετὰ τῶν προβάτων νέμεται· ἀλλ' ἐὰν ἀπογνῷ τῶν προβάτων, ἄχρηστός ἐστι καὶ κατασφάττεται. εἰ ἔμαθεν ἀκούειν σου, θρέψον τὸν κύνα· χρήσιμός ἐστι κατὰ τῶν λύκων, κατὰ τῶν πειρατῶν, κατὰ τοῦ λῃστάρχου ὑλακτῶν, οὐ κατὰ προβάτων, οὐδὲ κατὰ οἰκείων. ἂν μὴ ἀκούῃ, πάντα διαφθείρει· ἂν μάθῃ καταφρονεῖν, πάντα ἀπολλύει. τὸ πάνυ ἥμερον τὸ ἐν σοὶ μὴ ἀναλισκέτω, ἀλλὰ φυλαττέτω αὐτὸ ὁ θυμὸς, καὶ ἥπιον ποιείτω. φυλάξει δὲ, καὶ ἐν ἀσφαλείᾳ πολλῇ νέμεσθαι καταστήσει, ἂν τοὺς μιαροὺς λογισμοὺς καὶ τοὺς πονηροὺς καταναλίσκῃ, ἂν τὸν διάβολον διώκῃ πανταχόθεν. οὕτως ἐπιείκεια διασώζεται, ὅταν μηδαμοῦ τῷ πλησίον κακόν τι λογιζώμεθα. οὕτως αἰδέσιμοι γινόμεθα, ὅταν μὴ μανθάνωμεν ἀναισχυντεῖν. οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς πονηρὸν συνειδός. διατί αἱ πόρναι ἀναίσχυντοί εἰσι; διατί αἱ παρθένοι αἰσχυντηλαί; οὐκ ἀπὸ τῆς ἁμαρτίας ἐκεῖναι; οὐκ ἀπὸ τῆς σωφροσύνης αὗται; οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς ἁμαρτία. καὶ μὴν τοὐναντίον, φησὶ, καταισχύνει. ναὶ τὸν καταγνόντα ἑαυτοῦ· τὸν δὲ ἀπηρυθριασμένον, καὶ ἰταμώτερον ἐργάζεται. Παροιμ. ιη. γ. ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, θρασὺς γίνεται. Ἀσεβὴς γὰρ, φησὶν, ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. ὁ δὲ ἀναίσχυντος, καὶ ἰταμὸς ἂν εἴη· ὁ δὲ ἰταμὸς, καὶ θρασύς. βούλει μαθεῖν πότε ἀναλίσκεται ἐπιείκεια; ὅταν πονηροὶ λογισμοὶ αὐτὴν διαμασῶνται. ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅτι μὴ ὁ κύων ἔστηκε μέγα ὑλακτῶν, οὐδὲ οὕτως ἀπογινώσκειν χρή. ἔστι γὰρ ἡμῖν καὶ σφενδόνη καὶ λίθος (ἴστε τὸ λεγόμενον) ἔστιν ἡμῖν καὶ δόρυ, καὶ μάνδρα, καὶ σηκὸς, ἐν ᾧ φυλάξομεν τοὺς λογισμοὺς ἀσινεῖς. ἂν ὁ κύων σαίνῃ μὲν τὰ πρόβατα, ἀγριαίνῃ δὲ κατὰ τῶν ἔξω, καὶ ἀγρυπνῇ, τοῦτο ἀρετὴ κυνός· κἂν λιμώττῃ, μὴ γεύεσθαι τῶν προβάτων· κἂν ἐν πλησμονῇ ᾖ, μὴ φείδεσθαι τῶν λύκων. τοιοῦτον καὶ ὁ θυμός· κἂν δάκνηται, τῆς ἐπιεικείας μὴ ἀφίστασθαι· κἂν ἐν ἡσυχίᾳ ᾖ, διεγείρεσθαι πρὸς τοὺς πονηροὺς λογισμούς· καὶ τὸ μὲν οἰκεῖον καὶ πλήσιον μὴ καταλιμπάνειν, ἀλλ' ἐπιγινώσκειν· τὸ δὲ ἀλλότριον καὶ σαῖνον λυμαίνεσθαι. σαίνει ὁ διάβολος πολλάκις, ὡς ὁ κύων· ἀλλὰ γνώτω πᾶς ὅτι ἀλλότριός ἐστιν. οὕτω δὴ καὶ ἡμεῖς τὴν ἀρετὴν, κἂν λυπῇ, σαίνωμεν· καὶ τὴν κακίαν, κἂν εὐφραίνῃ, ἀποστρεφώμεθα. μὴ γινώμεθα χείρους τῶν κυνῶν, οἳ μαστιζόμενοι καὶ ἀγχόμενοι οὐκ ἀφίστανται· ἂν δὲ αὐτοὺς καὶ τρέφῃ ὁ ἀλλότριος, πῶς οὐ μᾶλλον βλάψουσι; ἔστιν ὅτε χρήσιμος ὁ θυμός· Ματθ. ε. κβ. ἀλλ' ὅταν ὑλακτῇ κατὰ τῶν ἀλλοτρίων. τί ἐστιν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ; ἀντὶ τοῦ, μὴ ἄμυνε σαυτῷ, μηδὲ ἐκδίκει. ἂν ἕτερον ἴδῃς ἀπολλύμενον, ὄρεξον χεῖρα. οὐκ ἔτι θυμὸς λοιπὸν τοῦτό ἐστιν, ὅταν τῆς οἰκείας συμπαθείας ἀπηλλαγμένος ᾖς. ἔλαβεν ὁ α Βασ. κδ. η. Δαβὶδ τὸν Σαοὺλ, καὶ οὐκ ἐθυμώθη, οὐδὲ ἐνέπηξε τὸ δόρυ, τὸν ἐχθρὸν λαβὼν, ἀλλ' ἠ- Ἐξοδ. β. ιβ. μύνατο τὸν διάβολον. ὁ Μωϋσῆς, ὅτε μὲν ἀλλότριον ἀδικοῦντα εἶδε, καὶ ἀνεῖλεν· ὅτε δὲ Λευιτ. ιθ. γ. οἰκεῖον, οὐκέτι· ἀλλὰ τοὺς μὲν ἀδελφοὺς κατήλλαττεν, ἐκείνους δὲ οὐχί. καίτοι πραότατον αὐτὸν ἡ γραφὴ μαρτυρεῖ· ἀλλ' ὅμως ἦν καὶ διεγηγερμένος. ἀλλ' οὐχ ἡμεῖς· ἀλλ' ἔνθα μὲν πραότητα ἐπιδείκνυσθαι χρὴ, πάντων θηρίων ἐσμὲν ἀγριώτεροι· ἔνθα δὲ διεγερθῆναι, πάντων νωθέστεροι καὶ ἀπαλώτεροι. ἐπεὶ οὖν οὐκ εἰς δέον κεχρήμεθα τοῖς ἐν ἡμῖν, διά τοι τοῦτο καὶ εἰς οὐδὲν δέον ὁ βίος ἡμῖν ἀνήλωται. οὕτω καὶ ἐν σκεύεσιν, ἐὰν ἄλλῳ ἄλλως χρήσηταί τις, τὰ πάντα ἀπόλλυσιν· οἷον ἂν μάχαιραν λαβών τις, ἔνθα αὐτῇ κεχρῆσθαι δεῖ, μὴ χρῷτο, ἀλλὰ τῇ χειρὶ τοῦτο ποιοῖ, οὐδὲν πλέον ἐργάσεται· ὥσπερ καὶ ὁ ἔνθα τῇ χειρὶ χρήσασθαι χρὴ, τὴν μάχαιραν μεταχειρίζων, πάντα ἂν ἀπολέσειεν. οὕτω δὴ καὶ ἰατρὸς, ἔνθα ἂν τέμνειν δέῃ, μὴ τέμνων, καὶ ἔνθα ἂν μὴ χρὴ, τέμνων, πάντα διαφθείρει. διὸ, παρακαλῶ, ἡμεῖς εἰς καιρὸν χρώμεθα τῷ πράγματι. θυμοῦ γὰρ καιρὸς οὐδαμοῦ, ὅταν ἑαυτοῖς βοηθῶμεν· ἂν δὲ ἑτέρους διορθῶσαι χρὴ, τότε μάλιστα αὐτῷ χρῆσθαι δεῖ, ἵνα ἑτέρους ἐξαρπάσωμεν. οὕτω καὶ ἰσόθεοι ἐσόμεθα, τὸ ἀόργητοι πανταχοῦ διατηροῦντες, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν,

ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιη. 54 ΑΚΟΥΟΝΤΕΣ ΔΕ ΤΑΥΤΑ, ΔΙΕΠΡΙΟΝΤΟ ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν.

Ὡς οὐκ ἔλαβον ἐκ τῶν εἰρημένων ἀφορμὴν εἰς τὸ ἀνελεῖν αὐτὸν, ἀλλ' ἐπὶ μανίαν ἦλθον καὶ ζητοῦσιν αἰτίαν, θαυμάσαι ἄξιον. οὕτως ἀεὶ οἱ κακοὶ εἰσὶν οἱ ἀδικοῦντες. καθάπερ οὖν ὁ ἀρχιερεὺς ἀπορῶν ἔλεγε, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; οὕτω δὴ καὶ οὗτοι διεπρίοντο. καὶ μὴν ὁ θυμωθῆναι ὀφείλων ἐκεῖνος ἦν, ὁ μηδὲν μὲν ἀδικήσας, τὰ δὲ τῶν ἠδικηκότων παθὼν καὶ συκοφαντούμενος. ἀλλ' οἱ συκοφάνται μᾶλλον ἐλέγχονται καὶ ταύτῃ. οὕτως ἀληθὲς, ὅπερ ἀεὶ λέγω, ὅτι τὸ ποιεῖν κακῶς, τοῦτό ἐστι τὸ πάσχειν κακῶς. καίτοι αὐτὸς οὐδὲν ἐσυκοφάντησεν, ἀλλ' ἀπέδειξεν. οὕτως ὅταν ὑβριζώμεθα ἐν οἷς οὐ συνειδόταμεν, οὐδὲν πάσχομεν. ἐβούλοντο μὲν οὖν ἀνελεῖν· ἀλλ' οὐ ποιοῦσι τοῦτο, αἰτίαν θέλοντες εὔλογον περιθεῖναι τῷ πλημμελήματι. τί οὖν; ἡ ὕβρεις οὐκ ἦν εὔλογος; οὐκ ἦν αὐτοῦ [ἡ] ὕβρις, ἀλλὰ τοῦ προφήτου κατηγορία· ἢ ἑκόντες καὶ ἀνεβάλλοντο, ὥστε μὴ δόξαι διὰ τὰ εἰς αὐτοὺς αὐτὸν ἀνελεῖν, ὥσπερ οὖν καὶ τὸν Χριστὸν, ἀλλὰ δι' ἀσέβειαν. τοῦτο δὲ εὐσεβείας ἦν τὸ ῥῆμα. διὸ μετὰ τὸ ἀνελεῖν ἐπιχειροῦντες καὶ τὴν δόξαν αὐτοῦ βλάψαι, διεπρίοντο. ἐφοβοῦντο γὰρ μὴ πάλιν αἰδεσιμώτερος γένηται. εἶτα ὅπερ ἐπὶ τοῦ Χριστοῦ ποιοῦσι, τοῦτο καὶ ἐπὶ τοῦ Στεφάνου. καὶ καθάπερ ἐκεῖ, ἐπειδὴ εἶπεν, Ὄψεσθε ἐκ δεξιῶν τῆς δυνάμεως τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον, βλασφημίαν τὸ πρᾶγμα ἔλεγον, καὶ μάρτυρας τοὺς ὄχλους ἐποίουν· οὕτω δὴ καὶ ἐνταῦθα. ἐκεῖ διέρρηξαν τὰ ἱμάτια· ὧδε τὰ ὦτα συνέσχον.

55 Ὑπάρχων δὲ, φησὶ, πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ,

56 Καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν.

58 Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν.

Καὶ μὴν εἰ ἐψεύδετο, ὡς μαινόμενον ἔδει ἀφεῖναι· ὁ δὲ οὕτως εἶπε, βουλόμενος αὐτοὺς ἐπαγαγέσθαι. καὶ ἐπειδὴ εἰπὼν περὶ τοῦ θανάτου μόνον, περὶ ἀναστάσεως οὐδὲν διελέχθη, καὶ τοῦτο λοιπὸν εὐκαίρως παρίστησι τὸ δόγμα· οὕτω δὲ αὐτοὺς λέγει φαντάσαι, ὥς που διέξεισιν, ἵνα καὶ οὕτω δέξωνται) τὸν λόγον. ὅς, ἐπειδὴ τὸ εἰπεῖν, καθῆσθαι, φορτικὸν αὐτοῖς ἦν, πῶς τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, καί φησιν αὐτὸν ἑστάναι. ἀπὸ τούτου στοχάζομαι καὶ τὸ πρόσωπον αὐτοῦ δεδοξάσθαι. ὁ γὰρ Θεὸς φιλάνθρωπος ὢν δι' ὧν ἐπεβούλευον ἐκεῖνοι, διὰ τούτων ἐβούλετο αὐτοὺς ἐκκαλέσασθαι, εἰ καὶ μηδὲν πλέον ἐγένετο. καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, φησὶν, ἐλιθοβόλουν. πάλιν ἔξω τῆς πόλεως ὁ θάνατος, ὥσπερ ἐπὶ τοῦ Χριστοῦ, καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἡ ὁμολογία καὶ τὸ κήρυγμα [διαγγελλόμενον.]

Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου τοῦ καλουμένου Σαύλου,

59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον [τὸν Θεὸν] καὶ λέγοντα· Κύριε Ἰη-

χ. αἰρεθῶσιν. ἦν. — χ. περίρραστον — χ. ἤρχοντο περὶ αὐτὸν ἄνω γε- χ. τοῦ Θεοῦ — χ. καλέσαν- τες, ὥρμησαν ἐπ' αὐτόν· ὄν- τα δ. — ἢ καὶ οὕτως αὐτὸ ἐφαίνη, ἵνα — χ. οἱ Ἰουδαῖοι — χ. διὰ τοῦτο καὶ τὸ πρόσωπ. — ἀτ. διεδίξασο — χ. ἀνακαλ. ἐ- πιδεῖν. καὶ ὅθεν ἴσα σημεῖα γένηται. καὶ ἐκ- βάν.

Περὶ ε. 15.

σοῦ Χριστὲ, δέξαι τὸ πνεῦμά μου. Δεικνύντος ὁμοῦ τοῦτο καὶ διδάσκοντος αὐτοὺς ἐστὶν, ὅτι οὐκ ἀπόλλυται.

60 Καὶ θεὶς τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Ὥσπερ ἀπολογούμενος, ὅτι οὐδὲ τὰ περὶ τὰ θυμοῦ ἦν, φησι, Κύριε· ἢ καὶ βουλόμενος αὐτοὺς ταύτῃ ἐπισπάσασθαι. τὸ γὰρ ἀφεῖναι μὲν τὸν θυμὸν καὶ τὴν ὀργὴν τῷ φόνῳ, καθαρὰν δεῖξαι δὲ τὴν ψυχὴν τοῦ πάθους, εὐπαράδεκτον ἐποίει τὸν λόγον.

κεφ. η. 1 Σαῦλος δὲ ἦν, φησι, συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις.

Οὐχ ἁπλῶς ἐστὶν ὁ διωγμὸς, ἀλλ᾽ οἰκονομικῶς δοκεῖ μοι συμβῆναι.

Καὶ πάντες διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων. Ὁρᾷς πῶς πάλιν πειρασμοὺς συγχωρεῖ ὁ Θεὸς γίνεσθαι; ἀλλ᾽ ἴδε μοι ἐντεῦθεν καὶ ὅπως οἰκονομεῖται τὰ πράγματα. ἐθαυμάσθησαν διὰ τὰ σημεῖα, μαστιχθέντες οὐδὲν ἔπαθον, κατέστησαν ἐπὶ τῶν χηρῶν, ηὔξετο ὁ λόγος· λοιπὸν συγχωρεῖ κώλυμα γενέσθαι μέγα, καὶ γὰρ διωγμὸς οὐχ ὁ τυχὼν, ὥστε ὁμοῦ καὶ τούτους φυγεῖν (ἐφοβοῦντο γὰρ θρασυτέρους αὐτοὺς γενομένους) καὶ πᾶσι δῆλον ὑπάρξαι, ὅτι ἄνθρωποι ἦσαν οἱ φοβούμενοι καὶ φεύγοντες. ἵνα γὰρ μὴ σὺ μετὰ ταῦτα λέγῃς ὅτι χάριτι μόνοι κατώρθουν, καὶ ἐδιώκοντο, καὶ αὐτοὶ ἀλλότριοι γεγόνασι, καὶ ἐκεῖνοι θρασύτεροι. καὶ πάντες διεσπάρησαν, πλὴν τῶν ἀποστόλων, φησίν. οὐκ ἄρα μάτην ἔλεγον, ὅτι οἰκονομίας ὁ διωγμὸς ἦν. εἰ μὴ γὰρ γέγονεν, οὐκ ἂν οἱ μαθηταὶ διεσπάρησαν.

2 Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ. Εἰ εὐλαβεῖς ἦσαν, διὰ τί κοπετὸν ἐποίησαν; οὔπω ἦσαν τέλειοι· ἢ ὅτι ἐπιζήτειος ἦν ὁ ἄνθρωπος καὶ αἰδέσιμος. διὸ καὶ κόπτονται αὐτόν. ἅμα δὲ τοῦτο δείκνυσι καὶ ἀνθρώποις αὐτοὺς ὄντας, οὐχὶ ὁ φόβος μόνον, ἀλλὰ καὶ ἡ λύπη καὶ ὁ κοπετός. τίς γὰρ οὐκ ἂν ἔκλαυσεν ὁρῶν τὸν ἥμερον ἐκεῖνον, τὸ ἀρνίον, λιθόλευστον γενόμενον καὶ κείμενον νεκρόν; ἱκανὸν αὐτοῦ ἐντάφιον εἶπεν ὁ εὐαγγελιστής. τί; τὴν φωνὴν ταύτην· μὴ στήσῃς αὐτοῖς, φησι, τὴν ἁμαρτίαν ταύτην. ἐποιήσαντο, φησι, κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. *ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς διεῳγμένους, καὶ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν. καίτοι ποῦ ταῦτα κατηγορίας ἄξια; ἀλλ᾽ ὅμως τὸν σημεῖα τοιαῦτα ἐργασάμενον, τὸν πάντων κρατοῦντα τῷ λόγῳ, τὸν ταῦτα διαλεγόμενον λαβόντες, ὥσπερ εἰληφότες ὅπερ ἐβούλοντο, οὕτω τὸν θυμὸν τὸν ἑαυτῶν ἐπλήρουν. οἱ δὲ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. ὅρα πῶς ἀκριβῶς τὰ περὶ τοῦ Παύλου διηγεῖται, ἵνα σοι δείξῃ τὸ ἐπ᾽ αὐτῷ ἔργον Θεοῦ γενόμενον μετὰ ταῦτα. πῶς δὲ οὐ μόνον ἐκεῖνος οὐ πιστεύει, ἀλλὰ καὶ μυρίαις αὐτὸν χερσὶ βάλλει τῶν φονέων. διὸ καὶ τοῦτο δηλῶν λέγει· Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. οὐχ ἁπλῶς δὲ εὐχαὶ ὁ μακάριος ἐστὶν· ἀλλὰ μετὰ προσοχῆς. θεὶς γάρ, φησι, τὰ γόνατα. ὅθεν θέρος αὐτοῦ καὶ ὁ θάνατος γέγονε. μέχρι [γὰρ] τούτου συνεχώρησε τὴν ψυχὴν εἶναι ἐν αὐτῷ ὁ δεσπότης. πάντες δέ, φησι, διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας. ἀδεῶς

Matth. 1. 5. ἐπιμίγνυνται τῇ Σαμαρείᾳ λοιπὸν οἱ ἀκούσαντες, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. Πλὴν δὲ τῶν ἀποστόλων, λέγει, δεικνὺς, ὅτι καὶ ταύτῃ προσαγαγέσθαι βουλόμενοι τοὺς Ἰουδαίους, τὴν πόλιν οὐκ ἀπέλιπον, ἢ καὶ ἑτέροις γενέσθαι θάρσους αἴτιοι.

3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. Πολλὴ ἡ μανία, τὸ καὶ μόνον αὐτὸν εἶναι

χ. χηρῶν.

χ. πᾶσι

χ. ποιοῦντα

καὶ εἰς τοὺς οἴκους εἰσιέναι. οὕτω τὴν ψυχὴν αὐτὴν ἔδωκεν ὑπὲρ τοῦ νόμου. σύρων, φησὶν, ἄνδρας καὶ γυναῖκας. ὅρα καὶ τὴν παρρησίαν, καὶ τὴν ὕβριν, καὶ τὴν μανίαν. τοὺς ἐμπίπτοντας ἅπαντας μυρίοις διετίθει κακοῖς, ἅτε ἀπὸ τῆς σφαγῆς ταύτης θρασύτερος γενόμενος.

4 Οἱ μὲν οὖν διασπαρέντες, διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον.

5 Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν.

6 Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

7 Πολλοὶ γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο· πολλοὶ δὲ καὶ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.

8 Καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν,

10 Ὧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. Ἰδὲ μοι καὶ ἐπίτρεψον περισσότερον(?) τοῦ Σίμωνος.

11 Προσεῖχον δὲ αὐτῷ, φησὶν, οἱ ὄχλοι, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς.

12 Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες.

13 Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε δυνάμεις μεγάλας καὶ σημεῖα γινόμενα, ἐξίστατο.

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην·

15 Οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον

(16 Οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ)

17 Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον.

18 Ἰδὼν δὲ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα,

19 Λέγων· δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. * Πῶς οὖν, φησὶ, πνεῦμα οὐκ ἔλαβον οὗτοι; πνεῦμα ἔλαβον τὸ τῆς ἀφέσεως· τὸ δὲ τῶν σημείων οὔπω ἦσαν λαβόντες. καὶ ὅτι τοῦτο ἐστὶ, καὶ τὸ τῶν σημείων πνεῦμα οὐκ ἔλαβον, ὅρα πῶς ἰδὼν ὁ Σίμων προσῆλθε τοῦτο αἰτῶν. Εἰ καὶ ὀλίγοι(?) δὲ τότε μάλιστα ὁ διωγμὸς, ὅμως ὁ Θεὸς πάλιν αὐτοὺς ἐξείλετο ἐπιτειχίσας αὐτοῖς τὰ σημεῖα. οὐ μὴν ὁ θάνατος δὲ Στεφάνου ἔσβεσεν ἐκείνων τὸν θυμὸν, ἀλλ' ἐπέτεινε μᾶλλον· διὸ καὶ σκορπίζονται οἱ διδάσκαλοι, ὥστε πλείονα γενέσθαι τὴν μαθητείαν. ἀλλ' ὅρα καὶ πάλιν διαδεχόμενα αὐτοὺς τὰ χρηστὰ, καὶ ἐν χαρᾷ ὄντας. χαρὰ γὰρ, φησὶν, ἐγένετο ἐν τῇ πόλει μεγάλῃ· καίτοι καὶ κοπετὸς ἐγένετο μέγας. οὕτως εἴωθε ποιεῖν ἀεὶ ὁ Θεὸς, καὶ τοῖς λυπηροῖς τὰ εὐφραίνοντα μιγνύναι, ἵνα καὶ μᾶλλον θαυμάζηται. [ἀφ'] ἱκανοῦ δὲ χρόνου τὸ νόσημα ἦν Σίμωνι. διὸ οὐδὲ οὕτως αὐτοῦ ἀπηλλάγη. πῶς δαὶ αὐτὸν καὶ ἐβάπτισαν; ὥσπερ καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο. οὗτος θεωρῶν σημεῖα γινόμενα, ἐξίστατο μέν, οὐ τολμᾷ δὲ τὴν χάριν τῶν σημείων αἰτῆσαι, ἐπειδὴ ἤδει οὔπω λαβόντας οὐδὲ τοὺς ἄλλους. πῶς οὖν αὐτὸν οὐκ ἀνεῖλεν, ὥσπερ Ἀνανίαν καὶ Σαπφείρην; ὅτι καὶ τὸ παλαιὸν ὁ τὰ ξύλα συλλέξας ἀνῃρέθη εἰς ἑτέρων σωφρονισμὸν, καὶ οὐκέτι ἕτερος τὸ αὐτὸ πέπονθεν· οὕτω καὶ νῦν Πέτρος ποιεῖ, καὶ κολά-

* Λέγων ὅτι, φησὶ, πνεῦμα ἔλαβον· καὶ σημεῖα μεγάλα ἐγένετο.

γ. ἀλλ' ὅρα πάλιν τὰ χρηστὰ ἀφ'

γ. ἀλλ' ὅσα αὐτοὺς ἐξείλετο

γ. ἀναιρεθεὶς

σας ἐκείνους, τοῦτον οὐ κολάζει, ἀλλά φησι πρὸς αὐτόν·

20 Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. Καὶ διὰ τί οὐκ ἦσαν ὧδε λαβόντες πνεῦμα ἅγιον βαπτισθέντες; ἤτοι τῷ μὴ δύνασθαι, Φιλίππου [τούτῳ] τιμῶντος τάχα τοὺς ἀποστόλους· ἤτοι τῷ μὴ ἔχειν χάρισμα τοιοῦτον (τῶν ἑπτὰ γὰρ ἦν) ὅπερ καὶ μᾶλλόν ἐστιν εἰπεῖν. ὅθεν μοι δοκεῖ τοῦτον ὁ Φίλιππος τῶν ἑπτὰ εἶναι, ὁ Στεφάνου δεύτερος, ὁ δὲ τοῦ εὐνούχου, τῶν ἀποστόλων εἶναι· διὸ καὶ βαπτίζων πνεῦμα τοῖς βαπτιζομένοις οὐκ ἐδίδου. οὐδὲ γὰρ εἶχεν ἐξουσίαν. τοῦτο γὰρ τὸ δῶρον μόνων τῶν δώδεκα ἦν. σκόπει δέ· ἐκεῖνοι οὐκ ἐξῆλθον, οἰκονομηθὲν τούτους ἐξελθεῖν, δι᾽ ὃ καὶ ὑστέρησιν τῆς χάριτος, διὰ τὸ μήπω λαβεῖν πνεῦμα ἅγιον. δύναμιν [μὲν] γὰρ ἔλαβον ποιεῖν σημεῖα· οὐχὶ δὲ καὶ πνεῦμα διδόναι ἑτέροις· [ἄρα] τοῦτο ἦν τὸ τῶν ἀποστόλων ἐξαίρετον. ὅθεν καὶ τοὺς κορυφαίους, οὐκ ἄλλους τινάς, ἔστιν ἰδεῖν τοῦτο ποιοῦντας. ἰδὼν δέ, φησι, Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον. οὐκ ἂν [οὕτως] εἶπεν, εἰ μὴ καὶ αἰσθητόν τι ἐγίνετο. τοῦτο καὶ Παῦλος ἐποίησεν, ὅτε ταῖς γλώσσαις ἐλάλουν. εἶδες τὴν μιαρίαν τοῦ Σίμωνος; χρήματα προσήνεγκε, καίτοι οὐκ εἶδεν αὐτοὺς χρημάτων αὐτὸ ποιοῦντας. ὥστε οὐκ ἦν ἀγνοίας τὸ πρᾶγμα· ἀλλὰ πειράζοντος καὶ βουλομένου κατηγορίαν ἀποδεῖξαι. διὰ τοῦτο καὶ αἰκίζει·

21 Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα *ἐνώπιον τοῦ Θεοῦ. Πάλιν τὰ ἐν τῇ διανοίᾳ εἰς μέσον ἄγει, ἐπειδὴ ἐκεῖνος λανθάνειν ἐνόμιζε.

22 Μετανόησον οὖν, φησιν, ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου.

23 Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

24 Ἀποκριθεὶς δὲ Σίμων εἶπε· δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν εἰρήκατε. Δέον ἀπὸ καρδίας μετανοῆσαι, δέον κλαῦσαι καὶ πενθῆσαι· ὁ δὲ ἀφοσιοῦται μόνον τοῦτο ποιεῖ. Εἰ ἄρα, φησίν, ἀφεθήσεταί σοι. τοῦτο εἶπεν, οὐχ ὡς οὐ συγχωρηθέντος ἂν αὐτῷ, εἰ ἔκλαυσεν, ἀλλ᾽ ἔθος καὶ τοῖς προφήταις μόνον ἀπαγορεύειν, καὶ μὴ λέγειν, ἐὰν δὲ τόδε ποιήσῃς, συγχωρηθήσεταί σοι, ἀλλ᾽ ὅτι πάντως ἔσται ἡ τιμωρία. σὺ δέ μοι θαύμασον, καὶ πῶς ἐν καιρῷ συμφορᾶς οὐκ ἀμελοῦσιν, ἀλλὰ τοῦ κηρύγματος ἔχονται· καὶ πῶς καθάπερ ἐπὶ Μωϋσέως ἀπὸ συγκρίσεως ἐγίνετο τὰ θαύματα· οὕτω δὴ καὶ ἐνταῦθα. μαγεία ἦν, καὶ ὅμως φανερὰ ταῦτα τὰ σημεῖα ἦν· καίτοι οὐδὲ ἀπέδει ἐκεῖ δαιμονῶντας, εἰ ἱκανῷ χρόνῳ ἦν ταῖς μαγείαις ἐξιστῶν αὐτούς· ἐπειδὴ δὲ πολλοὶ τῶν δαιμονώντων, πολλοὶ τῶν παραλύτων, ἐκεῖνα οὐκ ἀληθῆ ἦν. οὗτος δὲ οὐχὶ σημείοις μόνον, ἀλλὰ καὶ λόγῳ αὐτοὺς προσήγετο, περὶ βασιλείας καὶ Χριστοῦ διαλεγόμενος. ὁ δὲ Σίμων, φησί, βαπτισθεὶς, ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· οὐ πίστεως ἕνεκεν, ἀλλ᾽ ὥστε γενέσθαι τοιοῦτος [προσκαρτερεῖ.] οἳ δὲ καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον. οὐδέπω γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν ἐπιπεπτωκός. τότε ἐπετίθουν τὰς χεῖρας ἐπ᾽ αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. ὁρᾷς ὅτι οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς ἔδει δυνάμεως ὥστε δοῦναι πνεῦμα ἅγιον; οὐ γάρ ἐστιν ἴσον ἀφέσεως τυχεῖν, καὶ λαβεῖν δύναμιν τοιαύτην. θεασάμενος δὲ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα. μὴ γὰρ τοὺς ἄλλους εἶδε τοῦτο ποιοῦντας; μὴ γὰρ Φίλιππον; μὴ γὰρ ἐνόμιζον αὐτὸν οὐκ εἰδέναι μηδ᾽ οἵας διανοίας προσῆλθε; διὸ καλῶς Πέτρος καὶ δωρεὰν καλεῖ τὸ πρᾶγμα, λέγων· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. ὁρᾷς πανταχοῦ καθαρεύοντας αὐτοὺς χρημάτων ὄντας; οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ.

ὥστε ἀπὸ τῆς κακίας ταύτης ἐπιστρέψῃ, καὶ μὴ ἀφελπισθῇ. μετανόησον οὖν. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. πολλοῦ θυμοῦ τὰ ῥήματα. οὐ κολάζει δὲ αὐτὸν, ἵνα μὴ λοιπὸν ἀνάγκης ἡ πίστις ᾖ, ἵνα μὴ τὸ πρᾶγμα ὠμὸν εἶναι δόξῃ, καὶ ἵνα τὰ τῆς μετανοίας εἰσαγάγῃ. ἢ καὶ ὅτι ἤρκει εἰς διόρθωσιν τὸ ἐλέγξαι, τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν, τὸ ἐκεῖνον ὁμολογῆσαι ὅτι ἑάλω. τὸ γὰρ εἰπεῖν, ὅτι δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ, τοῦτό ἐστιν ὁμολογοῦντος τὸ πλημμέλημα. ὁρᾷς πῶς, καίτοι μιαρὸς ὢν, ὅμως ὅτι ἠλέγχθη, τοῦτο ἐπίστευσεν, ὥσπερ καὶ ταπεινὸς γέγονεν, ὅτε πάλιν ἠλέγχθη. θεωρῶν σημεῖα γινόμενα ἐξίστατο. οὐ προσῆλθεν, εἰπεῖν, ἀλλ' ἐξίστατο. καὶ τί δήποτε ἐκεῖνο εὐθέως οὐ ποιεῖ; ἐνόμιζε δύνασθαι λανθάνειν, ἐνόμιζε τέχνην εἶναι τὸ πρᾶγμα. ἐπεὶ δὲ οὐκ ἴσχυσε, λαθεῖν τοὺς ἀποστόλους, * προσῆλθε. πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο. τοῦτο τὸ ἀξιόλογον σημεῖον φανερόν, ἐκεῖνο δὲ τῆς μαγγανείας ἐπιθυμίας. πολλοὶ γὰρ ἐκεῖνοι καὶ ἐν δεσμοῖς. πολλοί τε παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. οὐκ ἦν ἐνταῦθα ἀπάτη. προσεπατήσαι γὰρ οὐδὲ καὶ ἐνεργῆσαι. προσεῖχον δὲ αὐτῷ πάντες λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· Πολλοὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐπὶ τῷ ὀνόματί μου. διὰ τί δὲ οὐκ εὐθέως αὐτοὺς ἤλεγξαν; ἠρκέσθησαν τῷ καταγνῶναι αὐτοὺς ἑαυτῶν. καὶ γὰρ καὶ τοῦτο διδασκαλίας ἦν. ἐπεὶ δὲ οὐ δυνάμενοι οὐκ ἴσχυσαν, ὑπόκειται ὥσπερ καὶ οἱ μάγοι ὅτι ἔλεγον· Δάκτυλος ἐστὶ Θεοῦ. ἵνα δὲ μὴ καὶ ἀπελαθῇ πάλιν, διὰ τοῦτο καὶ προσεκαρτέρει τῷ Φιλίππῳ, καὶ οὐκ ἐχωρίζετο. σὺ δέ μοι σκόπει ὅσα οἰκονομεῖται διὰ τὸν θάνατον τοῦ Στεφάνου. διασπαρέντες δὲ κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, εὐαγγελίζονται τὸν λόγον, κηρύσσουσι τὸν Χριστὸν, σημεῖα ἐπιτελοῦσι, κατὰ μακρὸν λαμβάνουσι τὴν δωρεὰν οὗτοι. τοῦτο διπλοῦν σημεῖον ἦν, τό τε ἐκείνοις δοῦναι, τό τε τούτῳ μὴ δοῦναι.

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ πολλὰς κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. Καλῶς οὐ πᾶς εἶπε, διαμαρτυράμενοι. διαμαρτύρονται γὰρ ἴσως δι' αὐτὸν, ἵνα μὴ ἀπατῶνται, ἵνα λοιπὸν ἐν ἀσφαλείᾳ ὦσιν, ἵνα μὴ ἐξ ἀπειρίας πολλάκις συναρπαγῶσιν. ὑπέστρεψαν εἰς Ἱερουσαλήμ. διὰ τί πάλιν ἀπίασιν ἐκεῖ, ἔνθα ἡ τυραννὶς ἦν, ἔνθα ἡ ἀρχὴ τῶν κακῶν, ἔνθα οἱ μάλιστα φονῶντες; καθάπερ ἐν τοῖς πολέμοις οἱ στρατηγοὶ ποιοῦσι, καὶ τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσι, τὸ αὐτὸ καὶ οὗτοι ἐργάζονται. ὅρα πάλιν οὐχὶ προηγουμένως ἐρχομένους εἰς Σαμάρειαν, ἀλλὰ διωκομένους, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ*, καὶ τῶν ἀποστόλους πρὸς τούς· πιστεῦσαι ἤδη τῶν Σαμαρειτῶν λοιπὸν ἐξαποστελλομένους. ἀκούσαντες δὲ, φησὶν, οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην. τί δήποτε ἀποστέλλουσιν; ὥστε ἀπαλλάξαι μαγείας αὐτοὺς· ὥστε τῆς διδαχῆς ἀναμνῆσαι, ἣν παρὰ Χριστοῦ ἔμαθον, ὅτι πρότερον ἐπίστευσαν. δέον οὖν τοῦτον τοιοῦτον ποιῆσαι, ἵνα λάβωσι πνεῦμα ἅγιον· οὐ δὲ ἐπεὶ οὐκ ἐμάνθανεν αὐτὸν τοῦτο, ἵνα δείξῃ ἑτέροις, αἰτεῖ. καίτοι ἐκεῖνοι οὐκ ἔλαβον τοῦτο, ὥστε διδόναι· ἀλλ' ἤθελεν ἐκ Φιλίππου χρηματίσαι λαβὼν πλέον, ὁ ἐν τοῖς μαθηταῖς ὤν. τὸ ἀργύριόν σου, φησὶ, σὺν σοὶ εἴη εἰς ἀπώλειαν. οὐκ ἐπαρωμένου ταῦτά ἐστιν, ἀλλὰ παιδεύοντος. ἐπεὶ [γὰρ] εἰς δέον αὐτῷ οὐκ ἐχρήσατο, σοὶ, φησὶν, ἔστω τὸ τοιοῦτο. ὡς ἂν εἴποι τις· συναπόλοιτο μετὰ τῆς προαιρέσεώς σου, ὅτι ὑπὸ μικρᾶς φρενὸς τὰ τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅτι προσεδόκησας ὅλως ἂν ὤνιον εἶναι τὸ πρᾶγμα. οὐκ ἔστι τοῦτο. εἰ γὰρ μὴ προσήλθεν, ὡς ἔδει προσελθεῖν, καὶ ἀπεδέχθη, καὶ ὡς λοιμὸς οὐκ ἠλάθη. ὁρᾷς ὅτι [ὁ] μικρὰ περὶ μεγάλων φανταζόμενος διπλᾶ ἁμαρτάνει; δύο τοίνυν αὐτῷ κελεύει· μετανόησον καὶ δεήθητι, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. ὁρᾷς ὅτι ἐπενόησε τι πονηρόν; διὰ τοῦτο καὶ εἶπεν, εἰ ἄρα ἀφεθήσεταί σοι, ὅτι ἦν οὐκ ἀδιόρθωτον αὐτό. ὁ

Μαρκ. ιγ. κϛ.

Ἐξοδ. η. ιθ.

δὲ πάλιν δέδοικε τὸ πλῆθος, καὶ φοβεῖται ἀρνήσασθαι. καί τοι εἰ μὴ ἐθορυβήθη, εἶπεν ἄν, ὅτι οὐκ ἤδειν, ὅτι ἀφελῶς ἐποίησα· ἀλλ᾽ ἐξεπλάγη, πρὸ τούτου μὲν ἐκείνῳ, ὅτι ἑάλω τοῖς σημείοις· δεύτερον δὲ τούτῳ, τὸ τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ φανερὰ γενέσθαι. διὰ τοῦτο μακρὰν ἀπῄει λοιπὸν εἰς τὴν Ῥώμην, ὡς οὐ φθάνοντος ἐκεῖ τοῦ ἀποστόλου. πολλάς τε, φησί, κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. ὅρα πῶς καὶ αἱ ὁδοὶ αὐτοῖς ἔμπρακτοι ἦσαν, ἀλλ᾽ οὐχὶ ἁπλῶς ἐποιοῦντο αὐτάς.

ΗΘΙΚΟΝ

Τοιαύτας καὶ ἡμᾶς ἀποδημίας ἔδει ποιεῖσθαι. καὶ τί λέγω ἀποδημίας; πολλοὶ κώμας ἔχουσι καὶ χωρία, καὶ οὐ μόνον αὐτοῖς, οὐδὲ ποιοῦνταί τινα λόγον· ἀλλ᾽ ὅπως μὲν βαλανεῖα γένοιτο, καὶ ὅπως τὰ λήμματα ἐπιταθείη, καὶ ὅπως αὐλαί, καὶ ὅπως οἰκοδομήματα κατασκευασθείη, πολλὴν σπουδὴν ποιοῦνται· ὅπως δὲ ψυχαὶ γεωργηθεῖεν, οὐκέτι. καὶ σὺ μὲν ἂν ἀκάνθας παρὰ τὴν ἄρουραν ἴδῃς, τέμνεις, καίεις, ἀφανίζεις, ὥστε τὴν γῆν ἀπαλλάξαι τῆς ἐντεῦθεν λύμης· ὁρῶν δὲ αὐτοὺς τοὺς γεωργοὺς ἀκανθῶν γέμοντας, καὶ οὐκ ἐκτέμνων, οὐ δέδοικας καὶ φρίττεις, εἰπέ μοι, τὸν οἰκοδεσπότην τὸν μέλλοντά σε ὑπὲρ τούτων ἀπαιτεῖν λόγον; οὐ γὰρ ἐχρῆν ἕκαστον τῶν πιστῶν ἐκκλησίαν οἰκοδομεῖν; διδάσκαλον λαμβάνειν; συναίρεσθαι; περὶ πάντων τοῦτο σκοπεῖν ὅπως ἅπαντες εἶεν Χριστιανοί; πῶς, εἰπέ μοι, Χριστιανὸς ἔσται ὁ γεωργός, ὁρῶν σε οὕτως ἀμελοῦντα τῆς αὐτοῦ σωτηρίας; οὐ δύνασαι ποιῆσαι σημεῖα καὶ πεῖσαι; οἷς ἔχεις πεῖσον, φιλανθρωπίᾳ, προστασίᾳ, ἡμερότητι, κολακείᾳ, τοῖς ἄλλοις ἅπασι. καὶ ἀγορὰς μὲν καὶ βαλανεῖα ποιοῦσιν οἱ πολλοί, ἐκκλησίας δὲ οὐχί· καὶ πάντα μᾶλλον ἢ τοῦτο. διὸ παρακαλῶ, καὶ ἀντιβολῶ, καὶ χάριν αἰτῶ, μᾶλλον δὲ καὶ νόμον τίθημι, ὥστε μηδένα ὀφθῆναι ἔρημον ἐκκλησίας χωρίον ἔχοντα. μή μοι εἴπῃς, πλησίον ἐστίν, ἐν γειτόνων ἐστί, πολλή ἐστιν ἡ δαπάνη, οὐ πολλὴ ἡ πρόσοδος. εἴ τι ἔχεις εἰς πένητας ἀναλῶσαι, ἐκεῖ ἀνάλωσον· βέλτιον ἐκεῖ, ἢ ἐνταῦθα· θρέψον διδάσκαλον, θρέψον διάκονον καὶ ἱερατικὸν σύστημα. ὡς ἂν εἰ γυναῖκα ἀγαγεῖν, ἢ νυμφίον, ἢ δοὺς θυγατέρα, οὕτω τῇ ἐκκλησίᾳ διάκεισο· προῖκα ἐπίδος αὐτῇ. οὕτω σοι εὐλογίας τὸ χωρίον πληρωθήσεται. τί γὰρ οὐκ ἔσται ἐκεῖ τῶν ἀγαθῶν; μικρόν, εἰπέ μοι, τὴν ληνὸν εὐλογεῖσθαι; μικρὸν ἐξ ἅλων τῶν καρπῶν τῶν σῶν τὸν Θεὸν πρότερον ἀπομοίραν καὶ ἀπαρχὰς λαμβάνειν; πρὸς εἰρήνην τῶν γεωργούντων τοῦτο χρήσιμον. αἰδέσιμος ἔσται καὶ ὁ πρεσβύτερος λοιπόν, καὶ πρὸς ἀσφάλειαν τοῦ χωρίου συμβαλεῖται τοῦτο. εὐχαὶ ἐκεῖ διηνεκεῖς διὰ σέ, ὕμνοι καὶ συνάξεις διὰ σέ, προσφορὰ καθ᾽ ἑκάστην κυριακήν. ποῖον ἐστὶν εἰς θαῦμα μεῖζον, τοῦ τάφους μὲν ἑτέρους οἰκοδομῆσαι λαμπρούς, ἵνα οἱ μετὰ ταῦτα ἀκούσωσιν, ὅτι ὁ δεῖνα ᾠκοδόμησε, σὲ δὲ ἐκκλησίας ἀναστῆσαι; ἐννόησον ὅτι μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας σὺ τὸν μισθὸν ἕξεις ὁ ἀναστήσας θυσιαστήριον τῷ Θεῷ. εἰπὲ γάρ μοι, εἰ βασιλεύς σοι ἐκέλευσεν οἰκοδομῆσαι οἰκίαν, ἵνα ἐκεῖ καταλύοι, οὐκ ἂν πάντα ἐποίησας; νῦν οὖν βασίλεια ἐστὶ τοῦ Χριστοῦ τῆς ἐκκλησίας ἡ οἰκοδομή. μὴ τὸ ἀνάλωμα ἴδῃς, ἀλλὰ τὸν καρπὸν λόγισαι. γεωργοῦσιν ἐκεῖνοι τὴν γῆν, σὺ γεώργησον αὐτῶν τὰς ψυχάς. φέρουσί σοι καρποὺς ἐκεῖνοι, σὺ εἰς τὸν οὐρανὸν αὐτοὺς ἀνάγαγε. ὁ τὴν ἀρχὴν δούς, οὗτος καὶ τῶν ἄλλων αἴτιος πάντων. [ἄρα καὶ] σὺ αἴτιος ἔσῃ τῶν κατηχουμένων ἐκεῖ, τῶν ἐν τοῖς χωρίοις τοῖς πλησίον. καίτοι τὰ μὲν βαλανεῖα μαλακωτέρους ποιεῖ τοὺς γεωργούς· τὰ καπηλεῖα τρυφηλοτέρους· ἀλλ᾽ ὅμως ποιεῖτε ταῦτα διὰ δόξαν· αἱ ἀγοραὶ καὶ αἱ πανηγύρεις πάλιν ἰταμούς· τὰ δὲ ἐνταῦθα, πᾶν τοὐναντίον. ἡλίκον γάρ ἐστιν ἰδεῖν πρεσβύτερον εἰς εἰκόνα βαδίζοντα τοῦ Ἀβραάμ, πολιόν, ἀνεζωσμένον καὶ σκάπτοντα καὶ αὐτουργοῦντα; τί τοῦ ἀγροῦ ποθεινότερον ἐκείνου; ἐνταῦθα μείζων ἡ ἀρετή. οὐκ ἔστιν ἀσέλγεια ἐκεῖ, ἀλλ᾽ ἀπελήλαται· οὐκ ἔστι μέθη καὶ τρυφὴ ἐκεῖ, ἀλλ᾽ ἐξώρισται· οὐκ ἔστι κενοδοξία, ἀλλ᾽ ἔσβεσται. τὸ τῆς εὐνοίας πλέον ἐκεῖ διαλάμπει διὰ τὴν ἀφέλειαν. οἷον ἐστὶν ἀπελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ εἰδέναι ὅτι αὐτὸς αὐτὸν ᾠκοδόμησε, καὶ ῥίψαι ἑαυ-

τὸν

γρ. καὶ ὅτι, ἁπλῶς ἐποιοῦντο αὐτάς.

γρ. περὶ τὸ συναίρεσθαι.

γρ. Θεῷ ἀπονέμειν πρότερον, καὶ ἀπ.

γρ. γὰρ ἐστιν, εἰπέ μοι, τάφους

γρ. τὸ βασίλειον

γρ. αὐτίκα ἀποστερεῖσθαι, εἰπέ μοι, οὐκ ἔστιν ἰδεῖν

γρ. εἰς εἰκόνα ἀρχέτυπον τοῦ Ἀβρ.

γρ. ὁ ζωμένον

τὸν ὕπνιον, καὶ μετὰ τὴν ἀνάπαυσιν τὴν σωματικὴν, καὶ λυχνικοῖς καὶ ἑωθινοῖς ὕμνοις παραγίνεσθαι, ὁμοτράπεζον ἔχειν τὸν ἱερέα, συνομιλοῦντα, εὐλογίας ἀπολαύειν, ἑτέρους ὁρᾶν ἐρχομένους ἐκεῖ; τοῦτο τεῖχος, τοῦτο ἀσφάλεια ἀγροῦ. οὗτός ἐστιν ὁ ἀγρὸς περὶ οὗ φησιν· Ὀσμὴ ἀγροῦ πλήρους ὃν εὐλόγησε Κύριος. Γεν. κζ. κζ. εἰ καὶ χωρὶς τούτου καλὸς ὁ ἀγρὸς διὰ τὴν ἡσυχίαν, διὰ τὸ ἀπραγμοσύνης γέμειν· ὅταν μὴ καὶ τοῦτο ἔχῃ, τίνι οὐκ ἔσται ἴσος; ἀγρὸς γὰρ ἐκκλησίαν ἔχων, τῷ παραδείσῳ ἔοικε τοῦ Θεοῦ. οὐκ ἔστιν ἐκεῖ κραυγὴ, οὐκ ἔστι θόρυβος, οὐκ ἐχθροὶ διαφέρονται, οὐχ αἱρέσεις· πάντας φίλους ἐστὶν ἰδεῖν, τῶν αὐτῶν δογμάτων κοινωνούς. ἄγει σε εἰς φιλοσοφίαν ἡ ἡσυχία· λαβών σε ἀπὸ τῆς φιλοσοφίας ταύτης ὁ πρεσβύτερος, θεραπεύσει εὐκόλως. ἐνταῦθα μὲν γὰρ ὅσα ἐὰν λέγωμεν, ἡ ἀγορὰ ἐκκρούει· ἐκεῖ δὲ ἅπερ ἂν ἀκούσῃς, πεπηγότα ἕξεις ἐν τῇ διανοίᾳ. ἕτερος ἐν τῷ ἀγρῷ ἔσται δι' ἐκείνου (καὶ ἐκείνων δὲ προέστη), καὶ ἔσται φύλαξ, ὧν τε πεφείσαι, ὧν τε ῥυθμίζειν αὐτούς. πόσον δέ ἐστι καὶ τὸ ἀνάλωμα, εἰπέ μοι; ποίησον τέως μικρὸν οἶκον ἐν τάξει ναοῦ· ὁ μετὰ σὲ ποιήσει στοάν· ὁ μετ' ἐκεῖνον ἕτερα προσθήσει· καὶ οὕτω σοι λογισθήσεται τὸ πᾶν. σὺ δίδως μικρὸν, καὶ τοῦ παντὸς λαμβάνεις τὸν μισθόν. οὐκοῦν ἀρχὴν ἐπίθες, θεμέλιον κατάβαλε· [μᾶλλον δὲ] ἀλλήλους παρακαλέσατε ἅμιλλαν ποιήσασθε τοῦ πράγματος. νῦν δὲ ἔνθα μὲν ἄχυρα καὶ σῖτον καὶ πάντα τὰ τοιαῦτα ἀποτίθεσθαι δεῖ, εὐκόλως οἰκοδομοῦσιν· ἔνθα δὲ συλλέγεσθαι χρὴ ψυχῶν γεννήματα, οὐδαμῶς φροντίζουσιν, ἀλλ' ἀναγκάζονται μυρίους σταδίους βαδίζειν, καὶ μακρὰς ἀποδημίας στέλλεσθαι, ἵνα εἰς ἐκκλησίαν ἀπίωσιν. ὅσον δέ ἐστιν ἀγαθὸν μετὰ πολλῆς ἡσυχίας ἐν τῇ ἐκκλησίᾳ τὸν ἱερέα παραγίνεσθαι, ἵνα προσίῃ τῷ Θεῷ, καὶ λέγῃ ὑπὲρ τῆς κώμης καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τοῦ κεκτημένου; μικρόν ἐστιν, εἰπέ μοι, τὸ καὶ ἐν ταῖς ἁγίαις ἀναφοραῖς ἀεὶ τὸ ὄνομά σου ἐγκεῖσθαι, καὶ καθ' ἑκάστην ἡμέραν ὑπὲρ τῆς κώμης εὐχὰς γίνεσθαι πρὸς τὸν Θεόν; πόσον τοῦτο καὶ εἰς τὰ ἄλλα ἐστὶ λυσιτελές; συμβαίνει τινὰς ἐκ γειτόνων οἰκεῖν καὶ ἔχειν ἐπιτρόπους· πρὸς σὲ μὲν οὖν τὸν πένητα οὐκ ἀξιώσει τις ἐκείνων οὐδὲ ἐλθεῖν· τὸν δὲ πρεσβύτερον ἴσως καὶ καλέσει, καὶ τραπέζης κοινωνὸν ποιήσει. ὁρᾷς πόσα ἐντεῦθεν γίνεται καλά; πάσης ἔσται τέως ἡ κώμη πονηρᾶς ὑποψίας ἐλευθέρα· οὐδεὶς ἀνδροφονίας, οὐδεὶς κλοπῆς ἕνεκεν ἐγκαλέσει, οὐδεὶς τοιοῦτον οὐδὲν ὑποπτεύσει. ἔχουσι καὶ ἑτέραν παραμυθίαν, ἂν νόσος παρακληθῶσιν, ἂν θάνατος. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε καὶ αἱ φιλίαι γίνονται τῶν ἐκεῖ πρὸς ἀλλήλους ἰόντων, (καὶ αἱ σύνοδοι δὲ γίνονται) πολλῷ τῶν ἐν ταῖς πανηγύρεσιν ἡδίους. [οὐ μόνον δὲ αἱ σύνοδοι, ἀλλὰ] καὶ αὐτοὶ [τοῦ προεστῶτος] διὰ τὸν πρεσβύτερον αἰδεσιμώτεροι ἔσονται. πάντως ἀκούεις ὅτι τὰ Ἱεροσόλυμα παρὰ τὰς ἄλλας πόλεις τιμιώτερα ἦν παρὰ τοῖς παλαιοῖς· ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ διὰ τὴν τότε κρατοῦσαν εὐσέβειαν. διὰ τοῦτο ἔνθα τιμᾶται Θεὸς, οὐδέν ἐστι πονηρόν· ὥσπερ πάλιν ἔνθα οὐ τιμᾶται, οὐδὲν ἀγαθόν. πολλὴ ἀσφάλεια ἔσται καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις. ἀλλ' ὅπως μὴ ῥᾳθυμήσητε, παρακαλῶ, μὴ παρέργως, ἀλλὰ προθύμως τοῦ πράγματος ἀντιλάβεσθε. εἰ γὰρ ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα τοῦ Θεοῦ ἔσται, Ιερ. ιε. ιθ. ὁ τοσαύτας ψυχὰς τάς τε οὔσας, τάς τε ἐσομένας ἕως τῆς τοῦ Χριστοῦ παρουσίας ὠφελῶν καὶ ἀνακτώμενος, πόσης οὐκ ἂν ἀπολαύσειεν εὐνοίας παρὰ τοῦ Θεοῦ; φρούριον κατασκεύασον κατὰ τοῦ διαβόλου. τοῦτο γάρ ἐστιν ἡ ἐκκλησία. ἐκεῖθεν ὁρμάτωσαν αἱ χεῖρες εἰς κάματον· πρότερον ἀναπνευσάτωσαν αὗται εἰς εὐχὰς, καὶ τότε ἀπίτωσαν εἰς τὴν ἐργασίαν. οὕτως ἔσται αὐτοῖς ἰσχὺς σώματος, οὕτως ἔσται ἡ γεωργία πολλὴ, οὕτω πάντα ἐκτὸς ἔσται τὰ κακά. οὐκ ἔστι τὴν ἡδονὴν τὴν ἐντεῦθεν λόγῳ παραστῆσαι, ἕως ἂν [ἔργῳ μὴ] γένηται. μὴ τοῦτο ἴδῃς, ὅτι οὐδεμίαν ἔχει πρόσοδον. ὅλως εἰ οὕτω ποιεῖς, μὴ ποιήσῃς· εἰ μὴ νομίζεις πρόσοδον λαμβάνειν πάντως τοῦ χωρίου μείζονα· εἰ μὴ οὕτω διάκεισαι, μηδὲ ἐργάσῃ· εἰ μὴ ὑπὲρ πάντα [illegible] σὺ ὑπολαμβάνεις τὸ ἔργον τοῦτο. τί τῆς προσόδου ταύτης μεῖζον, τοῦ εἰς τὴν ἅλω τὴν ἐν οὐρανῷ εἰσαγαγεῖν ψυχάς; οἴμοι, ὅτι οὐκ ἴστε πόσον ἐστὶ τὸ κερδαίνειν ψυχάς. ἄκουε τί φησι

πρὸς

χ. ὕπνον. ἀλύπων
χ. ὅλως
χ. λέγειν
χ. πεύτεται
χ. πῶς ἀκ.
χ. παιδία.
χ. ἀνάσθω
χ. λαισσται
χ. ἐργασίαν
χ. προσώπων

Ιωαν. κα. ιη. πρὸς [τὸν] Πέτρον ὁ Χριστός· Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. εἰ πρόβατα βασιλικὰ θεασάμενος, ἢ ἵππων ἀγέλην, παρὰ τὸ σηκὸν μὴ ἔχειν εἰς ἐπιβουλὴν προκείμενα, λαβὼν αὐτὸς σηκόν τε ᾠκοδόμησας καὶ ἱππῶνα, ἢ καὶ ποιμένα ἐπέστησας, τίνι οὐκ ἄν σε ἠμείψατο ὁ βασιλεύς; νυνὶ τὴν ποίμνην τοῦ Χριστοῦ συνάγεις, καὶ ποιμένα ἐφιστᾷς, καὶ οὐχ ἡγῇ μέγα τι ἐργάζεσθαι; τί λέγω; εἰ ὁ σκανδαλίζων καὶ ἕνα, ἀπειλὴν ἔχει τοσαύτην ἀποστῆναι τιμωρίαν· ὁ σώζων τοσούτους, εἰπέ μοι, οὐχὶ σωθήσεται; εὔδηλον ὅτι. ποίαν ἕξει γὰρ λοιπὸν ἁμαρτίαν; ἢ κἂν ἔχοι, οὐκ ἐξαλείφει ταύτην; ἀπὸ τῆς τιμωρίας τοῦ σκανδαλίζοντος μάθε τὸ ἔπαθλον τοῦ σώζοντος. εἰ μὴ περισπούδαστον ἦν τῷ Θεῷ καὶ μιᾶς ψυχῆς σωτηρία, οὐκ ἂν τοσαύτην ὀργὴν ἐποίησεν αὐτῷ ἡ ἀπώλεια. ταῦτα οὖν εἰδότες, ἐχώμεθα ἤδη τοῦ ἔργου τούτου τοῦ πνευματικοῦ, καὶ ἐμὲ καλεσάτω ἕκαστος, καὶ ἡμεῖς συναντιληψόμεθα [τὰ δυνατά]. καὶ εἰ μὲν τρεῖς εἶεν οἱ κεκτημένοι, ἐκ συνεισφορᾶς ποιείτωσαν· εἰ δὲ εἷς, καὶ τοὺς ἄλλους ἀναπειθέτω τοὺς πλησίον. μόνον τοῦτο κατορθῶσαι σπουδάσατε, παρακαλῶ, ἵνα πανταχόθεν εὐαρεστοῦντες τῷ Θεῷ, τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιθ. 26 ΑΓΓΕΛΟΣ ΔΕ ΚΥΡΙΟΥ ΕΛΑΛΗΣΕ ΠΡΟΣ Φίλιππον, λέγων· ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν, αὕτη ἐστὶν ἔρημος.

27 Καὶ ἀναστὰς ἐπορεύθη.

Ἐμοὶ δοκεῖ ταῦτα ὢν ἐν Σαμαρείᾳ προστάττεσθαι· ὅτι ἀπὸ Ἱερουσαλὴμ οὐ πρὸς μεσημβρίαν τις ἄπεισιν, ἀλλὰ πρὸς ἄρκτον· ἀπὸ δὲ Σαμαρείας πρὸς μεσημβρίαν. αὕτη ἐστὶν ἔρημος. τοῦτο λέγει, ὥστε μὴ φοβηθῆναι τῶν Ἰουδαίων τὴν ἐπίστασιν. καὶ οὐκ ἠρώτησε, διατί; ἀλλ' ἀναστὰς ἐπορεύθη. Καὶ ἰδού, φησιν, ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλήμ.

28 Ἦν δὲ ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἠσαΐαν. Μεγάλα ἐγκώμια τὰ περὶ τούτου εἰρημένα· εἶγε καὶ ἐν Αἰθιοπίᾳ μένων, καὶ τοσούτοις κυκλούμενος πράγμασι, καὶ ἑορτῆς οὐκ οὔσης, καὶ ἐν τῇ δεισιδαίμονι πόλει ὤν, ἤρχετο προσκυνήσων εἰς Ἱερουσαλήμ· πολλή τε ἡ σπουδή, ὅτι καὶ καθήμενος ἐπὶ τοῦ ὀχήματος, ἀνεγίνωσκεν.

29 Εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ, πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ.

30 Προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος Ἠσαΐαν τὸν προφήτην, καὶ εἶπεν· ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις;

31 Ὁ δὲ εἶπε· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; Ὅρα πάλιν ἄλλην εὐλάβειαν. τίνα ταύτην; [ὅτι] οὐκ εἰδὼς ἀνεγίνωσκεν, εἶτα μετὰ τὸ ἀναγνῶναι ἐξετάζει. παρεκάλεσε δὲ τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ.

32 Ἡ δὲ περιοχὴ τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν, ἦν αὕτη· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

33 Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

34 Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε, δέομαί σου περὶ τίνος ὁ προφήτης τοῦτο λέγει· περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός;

35 Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. Ὁρᾷς πῶς οἰκονομεῖται τὰ κατ' αὐτόν; πρότερον ἀναγινώσκει καὶ ἀγνοεῖ· εἶτα ἀναγινώσκει αὐτὴν τὴν προφητείαν, ἔνθα ἦν τὸ πάθος καὶ ἡ ἀνάστασις καὶ ἡ δωρεά.

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος, ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; Εἶδες προθυμίαν; εἶδες ἀκρίβειαν;

38 Ἐκέλευσέ τε στῆναι τὸ ἅρμα, καὶ κατέβησαν εἰς τὸ ὕδωρ ἀμφότεροι, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν.

39 Ὅτε δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος. ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. Διὰ τί, φησιν, ἥρπασεν αὐτὸν πνεῦμα Κυρίου; ἔδει γὰρ εἰς ἄλλας πόλεις διελθεῖν καὶ εὐαγγελίσασθαι. ὥστε καὶ ὕστερον αὐτὸν θαυμασθῆναι τοῦτο ἐγένετο· ὥστε μὴ ἀνθρώπινον τὸ περὶ αὐτὸν, ἀλλὰ θεῖον νομίσαι.

40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίσατο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν. Καὶ ἐκ τούτου δῆλον, ὡς ἐκεῖ τὴν ἐπιδημίαν ἐποιεῖτο. καὶ γὰρ καὶ ὕστερον ἐκεῖ εὑρίσκεται ἐν Καισαρείᾳ. συμφερόντως οὖν ἥρπασεν αὐτὸν τὸ πνεῦμα, ἐπειδὴ ἠξίωσεν ἂν καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος [ὅτι] καὶ ἐλύπησεν ἂν ἐκεῖνος, ἀρνησάμενος καὶ ἀφηνιάσας οὐδέπω καιροῦ ὄντος. Εἶδες ἀγγέλους συναντιλαμβανομένους τῷ κηρύγματι, καὶ αὐτοὺς μὲν οὐ κηρύττοντας, τούτους δὲ καλοῦντας; τὸ δὲ θαυμαστὸν καὶ ἐντεῦθεν δείκνυται). ὅπερ γὰρ πάλαι ἄδηλον ἦν καὶ μόλις ἐγίνετο, τοῦτο ἐνταῦθα μετὰ πολλῆς γίνεται ἀφθονίας. ἄλλως δὲ, καὶ παράδοξον ἐφάνη καὶ τὸ γενναῖον ἦν τοῦ τῶν ἀλλοφύλων κρατῆσαι αὐτούς. καὶ γὰρ τὸ τῶν πιστευόντων ἀξιόπιστον, ἱκανὸν αὐτοὺς μανθάνοντας πεῖσαι πρὸς τὸν ἴσον καὶ αὐτοὺς ζῆλον διαναστῆναι. Διὰ τοῦτο γοῦν καὶ ἐπορεύετο χαίρων, ὥστε εἰ ἠπίστατο, οὐκ ἂν ἤχθη. τί δαὶ ἐκώλυε, φησὶ, πάντα αὐτὸν ἀκριβῶς μαθεῖν, καὶ ἐν τῷ ὀχήματι ὄντα, καὶ μάλιστα ἐν ἐρήμῳ; ὅτι οὐκ ἦν τὸ πρᾶγμα ἐπίδειξις. * ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος, φησὶ, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων. [ἐκ τούτου δῆλον ὡς ὑπὸ ταύτης ἤρχοντο.] καὶ γὰρ γυναῖκες ἐκράτουν τὸ παλαιὸν, καὶ οὗτος ἦν νόμος παρ' αὐτοῖς. οὕτως οὐκ ᾔδει Φίλιππος τίνος ἕνεκεν παρεγένετο εἰς τὴν ἔρημον, [ὅτι καὶ] οὐκέτι ἄγγελος, ἀλλὰ τὸ πνεῦμα αὐτὸν ἁρπάζει. οὐδὲν δὲ τούτων οὔτε ὁρᾷ ὁ εὐνοῦχος ἁπλῶς ἐπιὼν ἢ ὅτι καὶ ταῦτα οὐ τοῖς σωματικωτέροις, ἀλλὰ τοῖς πνευματικωτέροις ἐστὶν, οὔτε μὴν ὁ Φίλιππος ἐκδιδάσκεται μανθάνει. καὶ διὰ τί μὴ ἐκείνῳ φαίνεται ὁ ἄγγελος, καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον; ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλὰ καὶ ἐξεπλάγη μόνον. ὅρα τὴν τοῦ Φιλίππου φιλοσοφίαν. οὐ κατηγόρησεν, οὐκ εἶπεν, ἀγνοεῖς, ἐγώ σε διδάξω· οὐκ εἶπεν, ἐγὼ ταῦτα ἀκριβῶς οἶδα. οὐκ ἐκολάκευσε, καὶ εἶπεν αὐτῷ, μακάριος εἶ ἀναγινώσκων. οὕτως ἦν καὶ θεραπευτὴς ἐκτὸς καὶ κολακείας τὸ ῥῆμα, καὶ μᾶλλον κηδεμονικοῦ καὶ φιλανθρώπου. ἔδει γὰρ αὐτὸν αἰτῆσαι, ἔδει αὐτὸν ποθῆσαι. ἐμφαίνοντος δέ ἐστιν, ὡς οἶδεν, ὅτι οὐδὲν ἤδει ἐκεῖνος. τὸ εἰπεῖν ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; καὶ ἅμα δεικνύντος πολὺν τὸν θησαυρὸν ἐγκείμενον. ἀλλ' ὅρα πῶς συνετῶς καὶ ὁ εὐνοῦχος ἀπολογεῖται. πῶς γὰρ ἂν, φησὶ, δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; οὐκ εἶδεν εἰς τὸ σχῆμα, οὐκ εἶπε, σὺ τίς εἶ; οὐκ ἐμέμψατο, οὐκ ἀλαζονεύσατο, οὐ λέγει εἰδέναι, ἀλλ' ὁμολογεῖ ἀγνοεῖν. διὸ καὶ μανθάνει. ἐπιδεικνύει τὸ τραῦμα τῷ ἰατρῷ· συνεῖδεν ὅτι καὶ οἶδε ταῦτα, καὶ βούλεται διδάξαι. ἴδετε τὸ ἄτυφον. οὐδὲ γὰρ λαμπρὸν ἐπεφέρετο σχῆμα. οὕτως ἦν φιλήκοος, καὶ τοῖς λόγοις προσεῖχε· καὶ τὸ, Ὁ ζητῶν εὑρίσκει, ἐπ' αὐτοῦ ἐπληροῦτο. Ματθ. ζ. παρεκάλεσε δὲ, φησὶ, τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. Εἶδες τὴν σπουδήν; εἶδες τὸν πόθον; παρακαλεῖ ἀναβάντα συγκαθίσαι αὐτῷ.

[Εἰ

[Εἰ δὲ λέγει τις, ὅτι ἤδει αὐτὸν μέλλειν, ἀγνοεῖ τίς ἐστιν ἡ χρεία.] οὕτως οὐκ ᾔδει τί ἑρμηνεύει αὐτῷ ἐρεῖν, ἀλλ' ἐνόμιζεν ἁπλῶς προφητείας τινὰ ἀκούσεσθαι. καὶ αὕτη δὲ μείζων τιμή, τὸ μὴ ἁπλῶς ἀναγαγεῖν, ἀλλὰ παρακαλέσαντα. προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος. καὶ ὁ δρόμος σημεῖον βουλομένου εἰπεῖν, καὶ ἡ ἀνάγνωσις σπουδῆς. ἐν τοιούτῳ γὰρ ἀνεγίνωσκε καιρῷ, ἐν ᾧ σφοδρότερον ποιεῖ τὸ καῦμα ὁ ἥλιος. ἡ δὲ περιοχή [φησι, τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν,] ἦν αὕτη· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. καὶ τοῦτο αὐτοῦ δεῖγμα τῆς φιλομαθείας, τὸ τὸν προφήτην τοῦτον μετὰ χεῖρας ἔχειν τῶν ἄλλων ὄντα ὑψηλότερον. διὸ καὶ οὐ μετὰ σφοδρότητος αὐτῷ διηγεῖται, ἀλλ' ἡμέρως. μᾶλλον δὲ οὐδὲ οὕτω φθέγγεται πρότερον, ἕως ὅτε ἠρωτήθη, ἕως ἐκεῖνος αὐτὸν ἐκάλεσεν, ὥσπερ τὸ αὐτὸ πάλιν ποιῶν φησι· δέομαί σου περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; ἐμοὶ δοκεῖ ὅτι οὐκ ᾔδει, ὡς περὶ ἄλλων λέγουσιν οἱ προφῆται· ἢ εἰ μὴ τοῦτο, ὅτι περὶ ἑαυτῶν διαλέγονται ἐν ἑτέρῳ προσώπῳ, ἠγνόει. αἰσχυνθῶμεν καὶ πένητες καὶ πλουτοῦντες ἐκεῖνον τὸν ταμίαν. εἶτα ἦλθον ἐπί τι ὕδωρ, καί φησιν, ἰδοὺ ὕδωρ. σφόδρα ψυχῆς τοῦτο ἐκκαιομένης. τί κωλύει με βαπτισθῆναι; ὁρᾷς αὐτοῦ τὴν ἐπιθυμίαν; οὐ λέγει, βάπτισόν με· οὔτε σιωπᾷ· ἀλλὰ μέσον τι καὶ τῆς ἐπιθυμίας, καὶ τῆς εὐλαβείας φθέγγεται, λέγων· τί κωλύει με βαπτισθῆναι; ὅρα πῶς τὰ δόγματα ἀπηρτισμένα εἶχε; καὶ γὰρ ὁ προφήτης πάντα περιεῖχε, τὴν σάρκωσιν, τὸ πάθος, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν κρίσιν τὴν μέλλουσαν· ἃ δὴ καὶ πολλὴν τὴν ἐπιθυμίαν αὐτῷ μάλιστα ἐνεποίησαν. αἰσχύνθητε ὅσοι ἀφώτιστοι τυγχάνετε. καὶ ἐκέλευσέ, φησι, στῆναι τὸ ἅρμα. ἅμα εἶπε καὶ ἐπέταξε, πρὶν ἢ ἀκοῦσαι. ὡς δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον. καλῶς, ἵνα θεῖον δειχθῇ τὸ γινόμενον, ἵνα μὴ νομίσῃ ὅτι ἄνθρωπός ἐστιν ἁπλῶς. καὶ ἐπορεύετο, φησι, τὴν ὁδὸν αὐτοῦ χαίρων. τοῦτο εἶπε, δεικνὺς ὅτι ἐλυπήθη ἄν, εἰ ἔγνω· οὕτως ὑπὸ τῆς πολλῆς χαρᾶς, καίτοι πνεύματος καταξιωθείς, οὐδὲ ἑώρα τὰ παρόντα. καὶ εὑρέθη, φησὶν, εἰς Ἄζωτον. μέγα ἐντεῦθεν καὶ ὁ Φίλιππος ἐκέρδαινεν. ὅπερ γὰρ ἤκουσε περὶ τῶν προφητῶν, περὶ Ἀμβακοὺμ, περὶ Ἰεζεκιὴλ καὶ τῶν ἄλλων, εἶδεν ἐπ' αὐτοῦ γινόμενον. ὃς ἐν ἀκαρεῖ δείκνυται πολλὴν ὁδὸν ἀπελθών, εἴγε ἐν Ἀζώτῳ εὑρέθη, καὶ ἐκεῖ λοιπὸν ἵσταται, ἔνθα αὐτὸν ἔδει εὐαγγελίσασθαι ἔδει.

κεφ. θ. 1 Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ,

2 Ἠτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ.

Εὐκαίρως παρενέβαλε τὰ περὶ τοῦ ζήλου τοῦ Παύλου, ἵνα δείξῃ ὅτι ἐν μέσῳ τῷ ζήλῳ ἕλκεται. οὐδέπω γὰρ κορεσθεὶς τῷ φόνῳ Στεφάνου, οὐδὲ ἐμπλησθεὶς τῷ διωγμῷ τῆς ἐκκλησίας καὶ τῇ διασπορᾷ, πρόσεισι τῷ ἀρχιερεῖ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς εἰρημένον, ὅτι ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. (Ιωαν. ις. β.) ἐκεῖνος μὲν οὖν οὕτως ἐποίει, οὐχ ὡς Ἰουδαῖοι· μὴ γένοιτο. ὅτι γὰρ ζήλῳ ἐποίει, δῆλον ἐκ τοῦ καὶ εἰς τὰς ἔξω πόλεις ἀπιέναι. ἐκεῖνοι δὲ, οὔτε καὶ τῶν ἐν Ἱεροσολύμοις ἐφρόντισαν, ἀλλ' ἑνὸς ἐγίνοντο μόνου τοῦ τιμῆς ἀπολαύειν. διατί δὲ εἰς Δαμασκὸν ἐπορεύετο; μεγάλη ἡ πόλις ἦν, βασιλικὴ ἦν· ἐφοβεῖτο μὴ καὶ ἐκείνη προκαταληφθῇ. καὶ ὅρα τὸν πόθον, καὶ τὴν σφοδρότητα, πῶς νομικῶς ἔπραττεν. οὐ προσέρχεται ἄρχοντι, ἀλλὰ τῷ ἀρχιερεῖ· αἰτεῖ ἐπιστολὰς παρ' αὐτοῦ, ὅπως ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας. ὁδὸν τοὺς πιστεύοντας καλεῖ· οἱ γὰρ πᾶσιν οὕτως ὠνομάζοντο τότε, ἴσως διὰ τὸ τὴν ὁδὸν τέμνειν τὴν εἰς οὐρανὸν φέρουσαν. διατί δὴ μὴ ἔλαβεν ἐξουσίαν ἐκεῖ τιμωρήσασθαι αὐτούς, ἀλλ' εἰς Ἱεροσόλυμα ἄγει; ὥστε μετὰ πλείονος τῆς ἐξουσίας ἐνταῦθα τὰ τῆς τιμωρίας ποιῆσαι. καὶ ὅρα οἵῳ κινδύνῳ ἐπιρρίπτων ἑαυτὸν, ὅμως καὶ οὕτω φοβεῖται, μή τι πάθῃ

θη κακόν. διὰ τοῦτο γοῦν καὶ ἄλλους λαμβάνει μεθ' ἑαυτοῦ, τὸν φόβον τάχα ὑποτεμνόμενος· ἢ καὶ ἐπειδὴ κατὰ πολλῶν ἀπήει, πολλοὺς λαμβάνει, ὅπως θαρσαλεώτερον, οὓς ἂν εὕρῃ ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ ἐν Ἱερουσαλήμ· ἄλλως τε καὶ διὰ τῆς ὁδοῦ πᾶσιν αὐτοὺς δεῖξαι ἐβούλετο αὐτοῦ τὸ πάθος. οὕτως ἐκεῖνοι οὐκ ἐσπούδαζον τοῦτο. καὶ ὅρα αὐτοὺς εἰς φυλακὴν ἐμβαλλομένους καὶ περὶ τούτου. ἐκεῖνοι μὲν δῆλον οὐκ ἴσχυσαν· οὗτος δὲ ἴσχυσεν ἀπὸ τῆς προθυμίας.

3 Εν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ,

4 Καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνῆς λεγούσης αὐτῷ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; Διὰ τί μὴ ἐν Ἱεροσολύμοις; διὰ τί μὴ [γέγονεν] ἐν Δαμασκῷ; ὥστε μὴ ἐξεῖναι ἄλλους ἄλλως αὐτὸ διηγήσασθαι, ἀλλ' αὐτὸς ἀξιόπιστος ᾖ διηγούμενος ὁ διὰ τοῦτο ἀπιών. τοῦτο γοῦν λέγει καὶ πρὸς Ἀγρίππαν ἀπολογούμενος. πάγει δὲ τὰς ὄψεις, διότι ἡ ὑπερβολὴ τοῦ φωτὸς πηροῦν εἴωθε. μέτρα γὰρ ἔχουσιν οἱ ὀφθαλμοί. λέγεται δὲ καὶ φωνῆς ὑπερβολὴ κωφοὺς ποιεῖν καὶ ἀποπλῆξαι. ἀλλὰ τοῦτον μόνον ἐπήρωσε, καὶ ἔσβεσεν αὐτοῦ τὸν θυμὸν τῷ φόβῳ, ὥστε αὐτὸν ἀκοῦσαι τὰ λεγόμενα. Σαοὺλ, Σαοὺλ, φησὶ, τί με διώκεις; οὐ λέγει αὐτῷ, πίστευσον, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδέν, ἀλλ' ἐγκαλεῖ· μονονουχὶ λέγων, τί παρ' ἐμοῦ μέγα ἢ μικρὸν ἠδικημένος ταῦτα ποιεῖς;

5 Εἶπε δέ· τίς εἶ, Κύριε; Τέως ὡμολόγησεν ἑαυτὸν δοῦλον. Ο δὲ Κύριος εἶπεν· Εγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ωσεὶ ἔλεγε· μὴ νομίσῃς πρὸς ἀνθρώπους εἶναί σοι τὸν πόλεμον. Οἱ δὲ συνόντες αὐτῷ τὴν φωνὴν μὲν τοῦ Παύλου ἤκουσαν, οὐδένα δὲ ἐθεώρουν πρὸς ὃν ἀπεκρίνατο. Εἰκότως. τὸν γὰρ ἐλαττόνων αὐτοὺς ἐποίησεν ἀκροατάς. εἰ γὰρ τῆς φωνῆς ἤκουσαν ἐκείνης, καὶ ἠπίστησαν· τὸν δὲ Παῦλον ὁρῶντες ἀποκρινόμενον, ἐθαύμαζον.

6 Αλλὰ ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν. Ορα πῶς οὐκ εὐθέως πάντα αὐτῷ ἀποκαλύπτει, ἀλλὰ μόνον προμαλάττει αὐτοῦ τὴν διάνοιαν· καὶ δι' ὧν παρακαλεῖται, δίδωσιν αὐτῷ χρηστὰς ἐλπίδας, καὶ ὅτι ἀναβλέψει.

7 Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐνεοὶ, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες.

8 Ηγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε. χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. Τὸ λάφυρον τοῦ διαβόλου, τὰ σκεύη αὐτοῦ, καθάπερ πόλεώς τινος, ἢ μητροπόλεως ληφθείσης, εἰσάγουσι. καὶ τὸ δὴ θαυμαστὸν, αὐτοὶ οἱ πολέμιοι καὶ ἐχθροὶ εἰσήγαγον αὐτὸν πάντων ὁρώντων.

9 Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιε. Τί τούτου ἴσον γένοιτ' ἄν; ἀντίρροπος τῆς ἐπὶ Στεφάνου ἀθυμίας παράκλησις ἡ Παύλου προσαγωγὴ γέγονεν, ἔχουσα μὲν καὶ αὐτόθεν παραμυθίαν, τὸ οὕτως αὐτὸν ἀπελθεῖν, λαβοῦσα δὲ καὶ ταύτην. καὶ αἱ Σαμαρειτῶν δὲ κῶμαι προσαχθεῖσαι, μεγίστην ἦν παρέχουσαι παράκλησιν. καὶ διὰ τί, φησὶ, μὴ ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἀλλὰ μετὰ ταῦτα; ἵνα δειχθῇ ὅτι ὄντως ἀνέστη ὁ Χριστός. ὁ γὰρ ἐλαύνων αὐτὸν, καὶ ἀπιστῶν αὐτοῦ τῇ τελευτῇ καὶ τῇ ἀναστάσει, καὶ τοὺς μαθητὰς αὐτοῦ διώκων, οὗτος πόθεν, εἰπέ μοι, ἂν ἐπίστευσεν, εἰ μὴ πολλὴ ἦν τοῦ σταυρωθέντος ἡ ἰσχύς; ἔστω, ἐκεῖνοι αὐτῷ ἐχαρίζοντο· τί ἔρεις πρὸς τοῦτον; ἄλλως δὲ, διὰ τοῦτο μετὰ τὴν ἀνάστασιν προσῆλθε, καὶ οὐκ εὐθέως, ἵνα σαφέστερος αὐτοῦ δειχθῇ ὁ πόλεμος. ὁ γὰρ οὕτω μαινόμενος, ὡς καὶ αἵματα ἐκχεῖν, καὶ εἰς δεσμωτήρια ἐμβάλλειν, ἄφνω πιστεύει. οὐκ ἤρκει τὸ μὴ συγγενέσθαι τῷ Χριστῷ, ἀλλ' ἔδει καὶ πολεμηθῆναι σφοδρῶς ὑπ' αὐτοῦ τοὺς πιστούς. οὐδεμίαν κατέλιπεν ὑπερβολὴν μανίας, πάντων σφοδρότερος οὗτος ἦν. ἐπεὶ δὲ ἐπηρώθη, τότε τῆς διανοίας

Marginal notes (left margin):
γ. καὶ πεσὼν ἐπὶ τὴν γῆν. ἵνα γὰρ ὑπερ.
γ. γὰρ τοῦτό φησι δι' ὧν ἐσημεῖ τί
γ. ἐπάγει γ. ὅπου καὶ πολλοὺς ἐκάλεσεν. ἐκ ἀντίρω διδ-
γ. τῆς ἀναστάσεως γ. διὰ τί οὖν μετὰ τὴν ἀνάστασιν εὐθέως; γ. ἐκπνοά τῆς ὅλης αὐ. τ. πικ καὶ τ. θαλπτ. ἀποκαλύπτει

αὐτοῦ τὰ τεκμήρια καὶ τῆς φιλανθρωπίας γνωρίζει. ἢ καὶ ἵνα μή τις εἴπῃ, ὅτι ἐπεκεί-
νασε· πῶς γὰρ ὁ αἱμάτων ἐπιθυμῶν; ὁ τοῖς ἱερεῦσι προσελθών; ὁ εἰς κινδύνους ἑαυτὸν ἐ-
πιρρίπτων καὶ τοὺς ἔξω ἐλαύνων καὶ τιμωρούμενος; οὗτος οὖν μετὰ ταῦτα πάντα τὴν δεσποτεί-
αν ὁμολογεῖ. διὰ τί δὲ οὐκ ἔνδον ἐν τῇ πόλει "περιεστράφη τῷ φωτί, ἀλλὰ πρὸ αὐτῆς; χ. κατηυγάσθη
ὅτι οὐκ ἂν ἐπίστευσαν οἱ πολλοί, ἀλλὰ καὶ ἐχλεύασαν ἄν· ὅπου γε καὶ ἐκεῖ ἀκούσαντες ἐνεχθεί-
Ιωαν. ιϛ. κθ. σης φωνῆς ἀκούοντες ἔλεγον, Ὅτι βροντή ἐστιν· οὗτος δὲ ἀξιόπιστος ἦν ἀπαγγέλλων μᾶλλον τὰ
αὐτοῦ. καὶ δεδεμένος εἰσῄει, οὐ περικειμένων αὐτῷ δεσμῶν, καὶ εἷλκον αὐτὸν τὸν προσδο-
κήσαντα τοὺς ἄλλους ἕλξειν. τίνος δὲ ἕνεκεν οὐκ ἔφαγεν, οὐδὲ ἔπιε; κατεγίνωσκεν ἑαυτοῦ ἐπὶ
τοῖς γενομένοις, ἐξωμολογεῖτο, ηὔχετο, παρεκάλει τὸν Θεόν. εἰ δὲ λέγει τις ἀνάγκης εἶναι τὸ
Πραξ. ιγ. πρᾶγμα (καὶ γὰρ ὁ Ἐλύμας τὸ αὐτὸ ἔπαθεν) ἐρρύσθην, καὶ ἔπαθεν, ἀλλ' ἔμεινεν ὡς εἶχε.
πῶς οὖν "οὐκ ἠναγκάσθη; καὶ τί ἀναγκαστικώτερον τοῦ σεισμοῦ τοῦ ἐπὶ τῆς ἀναστάσεως; χ. ὁ ματίσας
τῶν στρατιωτῶν τῶν ἀπαγγειλάντων; τῶν σημείων τῶν ἄλλων; τοῦ ἰδεῖν αὐτὸν ἀναστάντα;
ἀλλ' οὐκ ἔστι ταῦτα ἀναγκαστικά, ἀλλὰ διδακτικά. οἱ Ἰουδαῖοι διὰ τί οὐκ ἐπίστευσαν ταῦ-
τα ἀκούοντες; ὅτι ἠλήθευε, δῆλον ἦν. οὐ γὰρ ἂν μετέθετο, μὴ γενομένου τούτου, ὥστε πάντας
πιστεῦσαι ἔδει· τῶν τὴν ἀνάστασιν αὐτοῦ κηρυττόντων οὐχ ἥττων ἦν, μᾶλλον δὲ καὶ ἀξιοπιστότε-
ρος, ἅτε ἀθρόον μεταβεβλημένος. οὐ συνεχώρει τινὶ τῶν πιστῶν, ἀλλ' ἐν Δαμασκῷ μετεβά-
Ρωμ. θ. γ. λετο· μᾶλλον δὲ περὶ τῆς Δαμασκοῦ τοῦτο ἔπαθεν. ἐρωτῶ τὸν Ἰουδαῖον, πόθεν, εἰπέ μοι, με-
τεβλήθη Παῦλος; τοσαῦτα σημεῖα εἶδε, καὶ οὐ μετεβλήθη; ὁ διδάσκαλος αὐτοῦ μετεβλή-
θη, καὶ οὗτος οὐ μετεβλήθη; τίς ἔπεισεν αὐτόν; "μᾶλλον δὲ τίς ἀθρόον τοσαύτην ἐνέβαλεν
αὐτῷ προθυμίαν, "ὡς καὶ ἀνάθεμα εὔξασθαι γενέσθαι ὑπὲρ τοῦ Χριστοῦ; φανερὰ ἐστὶν ἡ χ. καὶ οὐκ ἐπιτι μίοις, ἀλλὰ καὶ ἀθ.
τῶν πραγμάτων ἀλήθεια· ἀλλ', ὅπερ ἔφην, πῶς τὸν εὐνοῦχον ἀναγινώσκοντα καὶ φωτιζό- χ. διὰ τί καὶ εἰς γέενναν ηὔξατο ἀπελθεῖν ὑπὲρ
μενον καὶ ἀναγινώσκοντα. ὁρᾶτε πῶς ἦν ἐν δυναστείᾳ; πῶς ἦν ἐν πλούτῳ, καὶ οὐδὲ ἐν
ὁδῷ ἡσύχαζε; τίς ἦν ἄρα οὗτος μένων ἐπ' οἰκίας, μηδὲ ἐν ὁδοῖς διερχόμενος σχολάζειν;
τίς ἦν οὗτος ἐν νυκτί; ὅσοι ἐν ἀξιώμασιν ἐστέ, ἀκούσατε, καὶ τὸ ἄτυφον καὶ τὸ εὐλαβὲς μιμή-
σασθε. καίτοι μέλλων ἀπιέναι οἴκαδε, οὐκ εἶπε πρὸς ἑαυτόν· ἀπέρχομαι εἰς τὴν πα-
τρίδα, ἐκεῖ λαμβάνω τὸ λουτρόν, τὰ ψυχρὰ ῥήματα τῶν πολλῶν. οὐκ ἐδεήθη σημείων· οὐκ
ἐδεήθη θαυμάτων· ἀπὸ τοῦ προφήτου "μόνον ἐπίστευσε. διὰ ταῦτα πενθεῖ ἑαυτὸν ὁ Παῦ- χ. μόνον
λος λέγων· Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, καὶ ἵνα ἐν ἐμοὶ πρώ-
α. Τιμ. α. ιγ. τῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν. ἄξιοι ὄντως θαυμάσαι τὸν εὐνοῦχον
τοῦτον. οὐκ εἶδε τὸν Χριστόν, οὐκ εἶδε σημεῖα· εἰς τὰ Ἱεροσόλυμα συνεστῶτα ἑώρα, καὶ
ἐπίστευσε τῷ Φιλίππῳ. πόθεν οὖν τοιοῦτος γεγένηται; μεμεριμνημένη ἦν ἡ ψυχὴ αὐτοῦ·
"προσεῖχε γραφαῖς· ἐσχόλαζεν ἀναγνώσεσι. καίτοι καὶ ὁ λῃστὴς εἶδε σημεῖα· καὶ οἱ μά- χ. ἐπὶ τῇ τῶν γραφῶν ἀναγνώσει προσεῖχεν τοῖς
γοι εἶδον ἀστέρα· οὗτος δὲ οὐδὲν εἶδε τοιοῦτον, καὶ ἐπίστευσε. τοσοῦτόν ἐστιν ἡ τῶν γραφῶν
ἀνάγνωσις "ἡ ἀκριβής. τί οὖν Παῦλος; οὐχὶ τὸν νόμον ἐμελέτα; ἀλλ' ἐμοὶ δοκεῖ οὗτος ἐπίτη-
δες ἀναβληθῆναι δι' ἅπερ εἶπον προλαβών, πάντοθεν βουλομένου ἐπισπάσασθαι τοὺς χ. ὠφέλιμος
Ἰουδαίους τοῦ Χριστοῦ. εἰ γὰρ νοῦν εἶχον, οὐδὲν ἂν αὐτοὺς οὕτως ὠφέλει, ὡς τοῦτο. τοῦτο γὰρ καὶ
σημείων μᾶλλον καὶ πάντων ἱκανὸν ἦν αὐτοὺς ἐφελκύσασθαι· ὥσπερ οὖν οὐδὲν οὕτω σκαν-
δαλίζειν εἴωθε τοὺς παχυτέρους. ὅρα γοῦν μετὰ [τὴν διαμονὴν] τῶν ἀποστόλων καὶ τὸν
Θεὸν ποιοῦντα τὰ σημεῖα, ἐνεκάλεσαν Ἰουδαῖοι τοῖς ἀποστόλοις, ἐνέβαλον εἰς δεσμωτήρι-
ον· λοιπὸν ὁ Θεὸς θαυματουργεῖ. καὶ πῶς, ὅρα· τὸ ἐξενεγκεῖν ἀπὸ τῆς φυλακῆς, αὐτοῦ ση-
μεῖον ἦν· τὸ ἁρπάσαι Φίλιππον, αὐτοῦ σημεῖον ἦν· τὸ Παῦλον προσαγαγέσθαι, αὐτοῦ σημεῖον
ἦν· τὸ δεῖξαι Στεφάνῳ ἑαυτόν, αὐτοῦ σημεῖον ἦν. καὶ σκόπει πῶς μὲν τιμᾶται Παῦλος, πῶς δὲ
ὁ εὐνοῦχος. ἐνταῦθα καὶ ὁ Χριστὸς φαίνεται, ἴσως διὰ τὸ σκληρόν, καὶ ὅτι οὐκ ἂν ἄλλως ἐπείσθη*.
ΗΘΙΚΟΝ Τούτοις "ἐντρεφόμενοι καὶ ἡμεῖς τοῖς θαύμασιν, ἀξίους ἑαυτοὺς παρασκευάσω- * Ἀγαπᾶν. χ. ὠφελούμενοι
μεν.

μεν. πολλοὶ δὲ νῦν οὐδὲ εἰς ἐκκλησίαν εἰσιόντες, ἴσασι τὰ λεγόμενα· ὁ δὲ εὐνοῦχος καὶ ἐπ' ἀγορᾶς, καὶ ἐπὶ ὀχήματος φερόμενος, τῇ ἀναγνώσει τῶν γραφῶν προσεῖχεν. ἀλλ' οὐχ ὑμεῖς. οὐδεὶς γὰρ ὑμῶν βιβλίον ἔχει μετὰ χεῖρας· ἀλλὰ πάντα μᾶλλον ἢ τὰ βιβλία. διὰ τί δὲ μὴ παρὰ τῶν Ἱεροσολύμων ὁρᾷ αὐτὸν, ἀλλὰ μετὰ ταῦτα; οὐκ ἔδει αὐτὸν ἰδεῖν ἐλαυνομένους τοὺς ἀποστόλους διὰ τὸ ἀσθενὲς ἔτι· οὐδὲ προέτρεψεν οὕτως ἦν εὔκολον, ὡς ὅτι ὁ προφήτης αὐτὸν κατήχησεν. οὕτω καὶ νῦν, εἴ τις [ὑμῶν] ἐθέλοι προσέχειν τοῖς προφήταις, οὐ δεήσεται σημείων. καὶ, εἰ βούλεσθε, αὐτὴν τὴν προφητείαν ἴδωμεν τί φησιν. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. ἐντεῦθεν ἔμαθεν ὅτι ἐσταυρώθη· ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὅτι ἴσχυσε καὶ ἑτέρους σῶσαι· ὅτι ἡ γενεὰ αὐτοῦ ἀνεκδιήγητος· ὅτι πέτραι ἐρράγησαν· ὅτι τὸ καταπέτασμα ἐσχίσθη, καὶ τὸ σκότος γέγονε, καὶ ὅσα τοιαῦτα· ὅτι νεκροὶ ἐκ τῶν μνημείων ἠγέρθησαν· μᾶλλον δὲ* ταῦτα πάντα εἶπεν αὐτῷ ὁ Φίλιππος, μόνον ὑπόθεσιν λαβὼν ἀπὸ τοῦ προφήτου. μέγα* ὄντως ἡ τῶν γραφῶν ἀνάγνωσις. οὕτως ἐκεῖνο ἐπληροῦτο τὸ παρὰ τοῦ Μωϋσέως εἰρημένον· Καθεζόμενος καὶ κοιταζόμενος καὶ διανιστάμενος καὶ περιπατῶν, μέμνησο Κυρίου τοῦ Θεοῦ σου. Δευτ. ϛ. ζ. μάλιστα γὰρ αἱ ὁδοὶ ὅταν ἔρημοι ὦσι, καὶ πρὸς τὰς ἐννοίας ἡμῖν καιρὸν διδόασιν, οὐδενὸς ὄντος τοῦ παρενοχλοῦντος. καὶ οὗτος ἐν ὁδῷ πιστεύει, καὶ Παῦλος ἐν ὁδῷ. ἀλλὰ τοῦτον οὐδεὶς εἷλκει, ἀλλ' ὁ Χριστός. μεῖζον γὰρ ἦν τῶν ἀποστόλων τοῦτο λοιπόν. τὸ δὲ μεῖζον, ὅτι τῶν ἀποστόλων ὄντων ἐν Ἱεροσολύμοις, καὶ οὐδενὸς ὄντος ἐκ τούτων ἐν Δαμασκῷ, ἐπειδὴ ἐκεῖθεν πεισθεὶς· καὶ οἱ ἐν Δαμασκῷ ᾔδεισαν, ὅτι οὐκ ἀπὸ Ἱεροσολύμων ἦλθε πεπεισμένος. ἐπιστολὰς γὰρ ἔφερεν, ὥστε δῆσαι τοὺς πιστεύοντας. καθάπερ ἰατρὸς ἄριστος, ἀκμάζοντος ἔτι τοῦ πυρετοῦ, τὸ βοήθημα αὐτῷ ἐπήγαγεν ὁ Χριστός. ἔδει γὰρ αὐτὸν μεταξὺ μαινόμενον καταπεισθῆναι· τότε* μάλιστα κατέπεισε καὶ κατήγαγεν ἑαυτὸν ὡς δεινὰ τολμῶντος. ἀλλὰ πάλιν καλὸν πρὸς ὑμᾶς τὸν λόγον ἐπαναλαβεῖν. τίνος ἕνεκεν, εἰπέ μοι, αἱ γραφαί; τὸ γὰρ ὑμέτερον μέρος, πάντα ἀνῄρηται. τίνος ἕνεκεν ἐκκλησία; κατάχωσον τὰ βιβλία. τάχα οὐ τοσοῦτον κρῖμα,* οὐ τοιαύτη κόλασις. εἴ τις κατέχωσεν αὐτὰ ἐν κόπρῳ, καὶ μὴ ἀκούοι αὐτῶν, οὐχ οὕτως αὐτὰ ὑβρίζει, ὡς νῦν. τί γὰρ, εἰπέ μοι, τὸ ὑβριστικὸν ἐκεῖ; ὅτι αὐτὰ κατέχωσε. τί δαὶ ἐνταῦθα; ὅτι οὐκ ἀκούομεν αὐτῶν. εἰπέ μοι, τίς ποτε μάλιστα ὑβρίζεται· ὅταν σιωπῶντος μὴ ἀποκρίνηται, ἢ ὅταν λέγοντος; πάντως ὅταν λέγοντος. ὥστε μείζων ἡ ὕβρις νῦν, ὅταν τοῦ φθεγγομένου μὴ ἀκούσῃς, μείζων ἡ καταφρόνησις. μὴ λαλεῖτε ἡμῖν, φησὶ, πάλαι [Ἰουδαῖοι] τοῖς προφήταις ἔλεγον· ὑμεῖς δὲ χεῖρον ποιεῖτε λέγοντες, μὴ λαλεῖτε, οὐ ποιοῦμεν. ἐκεῖνοι μὲν ἀπέστρεφον αὐτοὺς μὴ [δὲ] φθέγγεσθαι, ὡς ἀπὸ τῆς φωνῆς δεχόμενοί τινα εὐλαβείας ἀφορμήν· ὑμεῖς δὲ ἐκ πολλῆς καταφρονήσεως οὐδὲ τοῦτο ποιεῖτε. πιστεύσατε, εἰ τὰ στόματα ἡμῶν ἐνεφράξατε τὰς χεῖρας ἐπιθέντες, οὐκ ἦν τοσαύτη ἡ ὕβρις, ὅση νῦν. εἰπὲ γάρ μοι· ὁ ἀκούων, καὶ μὴ πειθόμενος μειζόνως καταφρονεῖ, ἢ ὁ μηδὲ ἀκούων; ἀλλὰ φέρε ἐπὶ ὕβρεως τὸ πρᾶγμα ἐξετάσωμεν. εἴ τις τὸν ὑβρίζοντα κατέχοι καὶ ἐπιστομίζοι ὡς ἀλγῶν ταῖς ὕβρεσιν, ἕτερος δὲ μηδὲ φροντίζοι, μηδὲ προσποιοῖτο, τίς μᾶλλον αὐτοῦ καταφρονεῖ; οὐχ οὗτος; ἐκεῖνος μὲν γὰρ ἐμφαίνει ὅτι πληγὴν δέχεται· οὗτος δὲ μανοῦχι τὸ στόμα ἐμφράττει τοῦ Θεοῦ. ἐφρίξατε τὸ ῥηθέν; ἀλλ' ἄκουε καὶ πῶς οὕτω λέγω. τὸ στόμα δι' οὗ ὁ Θεὸς φθέγγεται, στόμα ἐστὶ τοῦ Θεοῦ. καθάπερ γὰρ τοῦτο τὸ στόμα τῆς ψυχῆς ἡμῶν ἐστὶ, καίτοι ψυχῆς οὐκ ἐχούσης στόμα· οὕτω καὶ τὸ στόμα τῶν προφητῶν, στόμα ἐστὶ τοῦ Θεοῦ. ἀκούσατε καὶ φρίξατε. κοινὸς ἕστηκεν ὁ διάκονος μέγα βοῶν καὶ λέγων, πρόσχωμεν· καὶ τοῦτο πολλάκις. ἐκείνη ἡ φωνὴ κοινὴ τῆς ἐκκλησίας ἐστὶ, καὶ οὐδεὶς ἀφίησι, καὶ οὐδεὶς ὁ προσέχων. μετ' ἐκεῖνον ἄρχεται ὁ ἀναγνώστης τῆς προφητείας Ἡσαΐου, καὶ οὐδὲ οὕτω προσέχει τις· καίτοι προφητεία οὐδὲν ἀνθρώπινον ἔχει. εἶτα εἰς ἐπήκοον

γ. τὸ βιβλίον

γ. εὐαγγελιζόμενον.

γ. ἴσως οὐκ ... ἦν

γ. ἴσως οὐδὲ ἐπ' οὕτως ἐγχωρεῖ ἐκεῖ

* πρᾶγμα

γ. ἡμῶν

γ. ἀξιοπιστοῦ

* γὰρ αὐ

γ. ἐκεῖνον

* μέγα

γ. δὲ

γ. ἐκ

γ. ἐφιλαδέλφει

γ. ὑμῖν

γ. προσποιοῖτο

γ. προσέχωμεν. τῇ ἀναγνώσει.

ἐκφωνεῖ λέγων, τάδε λέγει Κύριος, καὶ οὐδὲ οὕτω προσέχει τις. τί λέγω; φοβερά τινα διεξέρχεται καὶ φρικώδη, καὶ οὐδὲ οὕτως ἐστί τις ὁ προσέχων. ἀλλὰ τίς ὁ λόγος τῶν πολλῶν; ἀεί, φησι, τὰ αὐτὰ ἀναγινώσκεται. τοῦτο μάλιστα ὑμᾶς ἀπόλλυσιν. εἰ μὲν οὖν ᾔδειτε αὐτά, μάλιστα μὲν οὐδὲ οὕτως ἀπέχεσθαι ἔδει· ἐπεὶ καὶ ἐν τοῖς θεάτροις ἀεὶ τὰ αὐτὰ γίνεται, καὶ ὅμως οὐ λαμβάνετε κόρον. ποίᾳ δὲ αὐτὰ τολμᾷς εἰπεῖν, ὁ μηδὲ τῶν προφητῶν τὰ ὀνόματα εἰδώς; οὐκ αἰσχύνῃ, λέγων μὲν διὰ τοῦτο μὴ ἀκούειν, ἐπειδὴ τὰ αὐτὰ ἀεὶ ἀναγινώσκεται, οὐκ εἰδὼς δὲ οὐδὲ τὰ ὀνόματα τῶν ἀναγινωσκομένων, καὶ ταῦτα ἀεὶ τὰ αὐτὰ ἀκούων; καὶ γὰρ σὺ ὡμολόγησας ὅτι τὰ αὐτὰ λέγεται. ἐγὼ εἰ ἔλεγον εἰς κατηγορίαν προφέρων τοῦτο, σὲ ἐχρῆν ἐφ' ἑτέραν ἀπολογίαν ἐλθεῖν, μὴ ἐπὶ τὴν κατηγορίαν τὴν σήν. εἰπέ μοι, σὺ οὐ παραινεῖς τῷ υἱῷ τῷ σῷ; ἂν οὖν οὗτος εἴπῃ, ὅτι ἀεὶ τὰ αὐτά, ἆρα οὐχ ἡγῇ ὕβριν εἶναι; τότε οὖν μὴ λέγε τὰ αὐτά, ὅτε αὐτὰ καὶ ᾔδειμεν, καὶ διὰ τῶν ἔργων ἐπιδεικνύμεθα. μᾶλλον δὲ οὐδὲ τότε περιττὴ ἡ ἀνάγνωσις. τί Τιμοθέου ἴσον; ἀλλ' ὅμως καὶ ἐκείνῳ γράφων ὁ Παῦλος

α. Τιμ. δ. ιγ. ἔλεγε· Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξαντλῆσαί ποτε τὸν νοῦν τῶν γραφῶν. πηγή τίς ἐστιν οὐκ ἔχουσα πέρας. εἶπον, ἐσοφίσθην, φησί, καὶ τότε ἀπέστη ἀπ' ἐμοῦ. βούλεσθε δείξω ὅτι οὐκ ἔστι τὰ αὐτά; πόσους νομίζετε εἰρηκέναι εἰς τὰ εὐαγγέλια; ἀλλ' οὐχ οἱ πάντες ξένως καὶ καινῶς εἶπον. ὅσῳ γὰρ ἄν τις αὐτοῖς ἐνδιατρίβῃ, τοσούτῳ ὀξύτερον βλέπει, τοσούτῳ πλέον ὁρᾷ τὸ φῶς καθαρόν. ἰδοὺ πόσα λέγω; τί ἐστι προφητεία, εἴπατε; τί ἐστι διηγήματα; τί ἐστι παραβολή; τί ἐστιν ἀλληγορία; τί ἐστι τύπος; τί ἐστι σύμβολον; τί ἐστιν εὐαγγέλια; τοῦτο δὴ μόνον εἴπατέ μοι τὸ φανερόν, διατί εὐαγγέλια εἴρηται; καίτοι πολλάκις ἠκούσατε, ὅτι τὰ εὐαγγέλια οὐδὲν ἔχειν ὀφείλει σκυθρωπόν· ταῦτα δὲ πολλῆς γέμει σκυθρωπότητος.

Μαρκ. θ. μδ. Τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, φησι, καὶ ὁ σκώληξ αὐτῶν

Ματθ. κδ. λ. οὐ τελευτήσει· τότε διχοτομήσει αὐτόν, καὶ θήσει τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν· τό-

Ματθ. ζ. κγ. τε ἐρεῖ, οὐκ οἶδα ὑμᾶς, ἀπέλθετε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ἆρα μὴ ἀπατῶμεν ἑαυτούς, νομίζοντες ταῦτα Ἑλληνιστὶ ὑμῖν λέγειν; ἢ οὐδὲν πρὸς ἡμᾶς τούτων; ὑμεῖς [δὲ] κεκώφωσθε, καὶ οἱ ἀπόπληκτοι τυγχάνοντες κάτω κύπτετε. τὰ εὐαγγέλια οὐδὲν ἔχειν δεῖ τῶν πρακτέων, ἀλλὰ μόνον ἀγαθὰ συμβουλεύειν· ταῦτα δὲ μυρία ἔχει πρακτέα. οἷάπερ ἐστὶ καὶ τὰ τοιαῦτα·

Λουκ. ιδ. κς. Ἐὰν μή τις μισήσῃ αὐτοῦ τὸν πατέρα καὶ τὴν μητέρα, οὐκ ἔστι μου ἄξιος·

Ματθ. ι. λδ. καί, Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· καί, Θλίψιν ἕξετε ἐν τῷ

Λουκ. ιβ. να. κόσμῳ. καλά γε. οὐ γὰρ ταῦτα εὐαγγέλια. τὸ γὰρ εὐαγγέλιον τοῦτό ἐστι, τάδε σοι ἔσται ἀγαθά· καθάπερ καὶ ἐν τῇ συνηθείᾳ φασὶ πρὸς ἀλλήλους οἱ ἄνθρωποι· τί μοι τῶν εὐαγγελίων; ὁ πατήρ σου ἥξει· ἡ μήτηρ σου· οὐ λέγει, τόδε ποίησον. πάλιν εἰπέ μοι, τί διέστηκε ταῦτα τῶν προφητικῶν; διατί μὴ καὶ ἐκεῖνα εὐαγγέλια λέγεται; καὶ γὰρ καὶ ἐκεῖνα τὰ αὐτὰ λέγουσιν· οἷον,

Ησ. λε. ς. Ἀλεῖται ὡς ἔλαφος ὁ χωλός· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις*·

Ψαλ. ξζ. ι. Δώσω ὑμῖν οὐρανὸν καινόν, καὶ γῆν καινήν. διατί μὴ καὶ ἐκεῖνα εὐαγγέλια λέγεται; διατί μὴ καὶ τοῦτο προφητεία; εἰ δὲ μηδὲ τί ἐστιν εὐαγγέλια εἰδότες, οὕτω καταφρονεῖτε τῆς τῶν γραφῶν ἀναγνώσεως, τί ὑμῖν ἐρῶ; εἴπω τι καὶ ἕτερον· διατί τέσσαρα εὐαγγέλια; διατί μὴ δέκα; διατί μὴ εἴκοσι; διατί μὴ πολλοὶ ἐπεχείρησαν συντάξασθαι εὐαγγέλια; διατί μὴ εἷς; διατί οἱ μαθηταί; διατί οἱ μὴ μαθηταί; διατί δὲ ὅλως καὶ αἱ γραφαί; καίτοιγε τοὐναντίον φησὶν ἡ παλαιά·

Ιερ. λα. λα. Δώσω ὑμῖν διαθήκην καινήν. ποῦ εἰσιν οἱ λέγοντες ἀεὶ τὰ αὐτά; εἰ ταῦτα ᾔδειτε, ὅτι κἂν μυρία ἔτη ζήσῃ ἄνθρωπος, οὐκ ἔστι τὰ αὐτά, οὐκ ἂν εἴπατε ταῦτα. πιστεύσατε, οὐκ ἐρῶ ὑμῖν οὐδὲν τούτων, οὐκ ἰδίᾳ, οὐ κοινῇ· ἀλλ' εἰ μέν τις εὕρῃ, ἐπινευσάτω· ἂν δὲ μή, ἐάσω. οὕτω γὰρ ὑμᾶς ἐποιήσαμεν ἀχρήστους, ἀεὶ πάντα δι' ἑτοίμου λέγοντες, καὶ ὅτι χρὴ οὐκ ἀναμένοντες. ἰδοὺ ἔχετε ζητήματα ἱκανά· σκέψασθε, εἴπατε τὴν αἰτίαν διατί εὐαγγέλια*; διατί μὴ προφητεῖαι; διατί τὰ πρακτέα ἐν

τοῖς

χ. ἴ πρὸς τ. π κλαπεὶς τμεῖα ἢ ἐστὶ
χ. ἐς ἀεὶ τ. ἀ. γ.
χ. ὑμεῖς ποιῆται
χ. δὲ πρακτέον, ἀλλὰ μᾶλλον ἔχει
χ. καὶ πάλιν ἐπιχ. ἐστὶ ἰῶ
χ. σωτηρίαν
* δυνάμει πολλῇ
χ. οἱ πολλοὶ ἐπιχ. συντάξασθαι διηγήσεις
* κέκληται

τοῖς εὐαγγελίοις; κἂν τὰ τῆς ἀπορήσῃ, ἕτερος ζητείτω, καὶ τὰ παρ' ἑαυτῶν ἀλλήλοις συνεισφερέτω· λοιπὸν δὲ ἡμεῖς σιγήσομεν. Εἰ γὰρ τὰ εἰρημένα τοὺς ὑμᾶς ὤνησε, πολλῷ μᾶλλον οὐδ' ἂν ἕτερα προσεθείημεν. οὕτως εἰς πίθον τετρημένον ἀντλοῦμεν, ἔσται μείζων ὑμῖν καὶ ἡ κόλασις. Σκόπει διὰ τοῦτο σιγήσομεν. ὅπερ ἵνα μὴ γίνηται, ὑμεῖς κύριοι. Εἰ γὰρ θεασόμεθα ὑμῶν τὴν σπουδὴν, ἴσως πάλιν ἐροῦμεν, ἵνα καὶ ὑμεῖς ἐπὶ πλέον εὐδοκιμῆτε, καὶ ἡμεῖς ἐφ' ὑμῖν εὐφραινώμεθα, ἐπὶ πᾶσι δοξάζοντες τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ μεγαλωσύνη καὶ ἡ τιμὴ, σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κ. 10 ΗΝ ΔΕ ΤΙΣ ΜΑΘΗΤΗΣ ΕΝ ΔΑΜΑΣΚΩ ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, Ἀνανία. ὁ δὲ εἶπεν, ἰδοὺ, *Κύριε. 11 Ὁ δὲ Κύριος πρὸς αὐτὸν εἶπεν· ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα. ἰδοὺ γὰρ προσεύχεται,

12 Καὶ εἶδεν ἐν ὁράματι ἄνδρα Ἀνανίαν εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ.

*ἐγώ

Τί δήποτε οὐδένα τῶν κορυφαίων ἀποστόλων ἐπὶ ἐκάλεσεν, οὔτε ἀπέστειλε πρὸς τὴν τοῦ Παύλου κατήχησιν; ὅτι οὐκ ἐχρῆν δι' ἀνθρώπων ἐναγαγεῖν, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ· ἐπεὶ καὶ οὐδὲν ἐδίδαξεν αὐτὸν οὐδὲν, ἐβάπτισε δὲ μόνον· ἅμα γὰρ τῷ βαπτισθῆναι ἐπεσπάσατο πολλὴν τοῦ πνεύματος τὴν χάριν ἀπὸ τοῦ ζήλου καὶ τῆς προθυμίας τῆς πολλῆς. ὅτι δὲ καὶ ὁ Ἀνανίας τῶν σφόδρα ἐπισήμων ἦν, δῆλον ἐξ ὧν ἐμφανίζεται καὶ λέγει πρὸς αὐτόν, καὶ ἐξ ὧν πάλιν αὐτὸς ἀποκρίνεται λέγων,

13 Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ. Εἰ τοίνυν πρὸς Κύριον ἀντεῖπε, πολλῷ μᾶλλον, εἰ ἄγγελον ἐπέμφθη. διὰ τοῦτο οὐδὲ περὶ τούτου Φίλιππος ἀκούει τὸ ἐσόμενον, ἀλλὰ μόνον ὁρᾷ τὸν ἄγγελον, καὶ οὕτω τὸ πνεῦμα προσέταξε προσελθεῖν καὶ κολληθῆναι τῷ ἅρματι. πῶς δὲ ἐν ταῦτα τὸν φόβον αὐτοῦ ἀποτέμνει, καὶ μονονουχὶ τοῦτό φησι τῷ εἰπεῖν, ἰδοὺ προσεύχεται. τυφλός ἐστι, καὶ σὺ δέδοικας; οὕτω καὶ Μωϋσῆς φοβεῖται, ὥστε τὰ ῥήματα φοβουμένου ἦν καὶ ἀναβαλλομένου, οὐκ ἀπιστοῦντος. καὶ ἄκουε τῶν ῥημάτων αὐτοῦ· Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου. τί λέγεις; ὁ Θεὸς λέγει, καὶ σὺ ἀμφιβάλλεις; οὕτως οὔπω ᾔδεσαν τὴν δύναμιν τοῦ Χριστοῦ. Ἐξ. γ. ια.

14 Καὶ ὧδε, φησὶν, ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. Πόθεν τοῦτο δῆλον; εἰκὸς ἦν αὐτοὺς ἐν φόβῳ ὄντας περιεργάζεσθαι. οὐχ ὡς οὐκ εἰδότος δὲ τοῦ Χριστοῦ ταῦτα λέγει, ἀλλ' ἀπορούμενος ὅτι τούτων ὄντων πῶς δυνατὸν ταῦτα γενέσθαι. οὕτω καὶ ἀλλαχοῦ οἱ μαθηταὶ λέγουσι, Τίς δύναται σωθῆναι; Μαρκ. ι. κε. ἀλλ' ὅρα πόσα οἰκονομεῖται, ἵνα πισθῶσι τοῖς ἐρχομένοις. ἐν ὀνείρῳ εἶδε· προσεμήνυσεν αὐτῷ, προσεύχεται, φησίν. σκόπει μὴ φοβοῦ. καὶ διὰ τί οὐ λέγει αὐτῷ τὸ κατόρθωμα τὸ γινόμενον; παιδεύων ἡμᾶς μὴ λέγειν ἡμῶν τὰ κατορθώματα. μᾶλλον δὲ καὶ φοβούμενον ἰδὼν, οὐδὲ οὕτως εἶπεν, οὐκ ἀπιστήσει, ἀλλὰ τί; ἀναστὰς πορεύθητι. Εἶδε γὰρ ἐν ὁράματι ἄνδρα ἐπιθέντα αὐτῷ χεῖρας. διὰ τοῦτο ἐν ὁράματι, ἐπειδὴ πρὸς ἦν. καὶ οὐδὲ τοῦ θαύματος ἡ περιβολὴ εἷλε τὸν μαθητὴν, οὕτως ἐφοβεῖτο· ὅμως δι' αὐτοῦ Παῦλον τυφλὸν ὄντα ἀναβλέψαι ὁ Θεὸς ἐποίησεν.

γ. ἀξιοπίστων καὶ μεγάλων ἐπὶ εἵλκυσεν, ἐπὶ κατήχησιν πρὸς τὴν τ.

γ. τὸ φωτισθῆναι ἔμελλεν ἐπεσπάσατο

γ. καὶ ὅτι [illegible]

γ. γινόμενον

γ. μᾶλλον ἦν, οὐκ ἀπ- γ. ὑπὸ κακίας

γ. καὶ ὅρα

γ. καὶ ὅρα

γ. οὐδὲ, φησιν, οὐ

15 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· πορεύου ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ.

16 Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.

Οὐ μόνον πιστὸς ἔσται, φησίν, ἀλλὰ καὶ διδάσκαλος, καὶ πολλῇ χρήσεται τῇ παῤῥησίᾳ ἐνώπιον ἐθνῶν καὶ βασιλέων. οὕτως ἐπιδώσει ἡ διδασκαλία, φησίν, ὡς καὶ ἐθνῶν καὶ βασιλέων ἀπάντων κρατῆσαι.

17 Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας εἶπε· Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος ἁγίου. Εὐθέως αὐτὸν οἰκειοῦται τῷ ὀνόματι. Ἰησοῦς, φησίν, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ. καὶ μὴν τοῦτο οὐκ εἶπεν αὐτῷ ὁ Χριστός, ἀλλ' ἀπὸ τοῦ πνεύματος ἔμαθε.*

18 Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα, καὶ ἀναστὰς ἐβαπτίσθη,

19 Καὶ λαβὼν τροφὴν ἐνίσχυσε. Μόνον αὐτῷ τὰς χεῖρας ἐπέθηκε, καὶ εὐθέως τῶν ὀφθαλμῶν αὐτοῦ ἀπέπεσον ὡσεὶ λεπίδες. ταύτας τινές φασι τῆς πηρώσεως αὐτοῦ εἶναι αἰτίας. καὶ διατί μὴ ἐπήρωσεν αὐτοῦ τοὺς ὀφθαλμούς; τοῦτο παραδοξότερον ἦν. καὶ γὰρ ἀνεῳγμένων οὐκ ἔβλεπεν, ὅπερ ἔπαθεν ἐπὶ τοῦ νόμου, ἕως τὸ ὄνομα ἐπετέθη τοῦ Ἰησοῦ. καὶ εὐθέως, φησίν, ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. ἄρα καὶ ἐξησθενηκὼς ἦν ἀπό τε τῆς ὁδοιπορίας, ἀπό τε τοῦ φόβου, ἀπό τε τοῦ λιμοῦ καὶ τῆς ἀθυμίας. βουλόμενος οὖν αὐτοῦ ἐπιτεῖναι τὴν ἀθυμίαν, τυφλὸν μένειν εἴασεν ἕως ἦλθεν Ἀνανίας. καὶ ἵνα μὴ νομίσῃ φαντασίαν [τις] εἶναι τὴν πήρωσιν, διὰ τοῦτο αἱ λεπίδες. ἄρα οὐκ ἐδεήθη διδασκαλίας ἑτέρας, ἀλλὰ τὸ συμβὰν γέγονε διδασκαλία. Ἐγένετο δέ, φησι, μετὰ τῶν ὄντων ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς,

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

Ὅρα, εὐθέως διδάσκαλος ἦν ἐν ταῖς συναγωγαῖς. οὐκ ᾐσχύνετο τὴν μεταβολήν· οὐκ ἐδεδοίκει ἐν οἷς ἦν λαμπρὸς πρότερον, ταῦτα καταλύων· οὐχ ἁπλῶς ἦν διδάσκαλος, ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς*. οὕτως ἐκ προοιμίων θανατῶν ὁ ἄνθρωπος ἦν, καὶ πρὸς φόνους παρεσκευασμένος. ὁρᾷς οἷον γέγονε σημεῖον εἰς αὐτὸν ἐναργές; τούτῳ αὐτῷ καὶ πάντας ἐξέπληττε. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει, λέγων·

21 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς αὐτὸ τοῦτο ἐλήλυθεν, ἵνα δεδεμένους ἀναγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς;

22 Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. Ἅτε νομομαθὴς ὤν, ἐπεστόμιζεν αὐτούς, καὶ οὐκ εἴα φθέγγεσθαι. ἐνόμισαν ἀπηλλάχθαι τῆς ἐν τοῖς τοιούτοις διαλέξεως, ἀπαλλαγέντες Στεφάνου, Στεφάνου σφοδρότερον εὗρον ἕτερον. ἀλλ' ἴδωμεν αὖθις τὰ κατὰ τὸν Ἀνανίαν. οὐκ εἶπε πρὸς αὐτόν, διαλέχθητι καὶ κατήχησον αὐτόν. εἰ γὰρ εἰπών, ὅτι εὔχεται καὶ εἶδεν ἄνδρα ἐπιθέντα αὐτῷ τὰς χεῖρας, οὐκ ἐπείσθη· πολλῷ μᾶλλον εἰ τοῦτο εἶπεν. εἶδε, φησίν, ἐν ὁράματι, ὥστε οὐδὲ διαπιστήσει σοι. μὴ τοίνυν φοβηθῇς, ἀλλὰ πορεύου. οὕτως οὐδὲ Φίλιππος τότε τὸ πᾶν εὐθέως ἀκούει.* ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος. ἐκ περιουσίας τὸν φόβον λύοντός ἐστι τοῦτο, καὶ θαῤῥεῖν πείθοντος· εἶτα οὕτω μέλλει τὰ ὑπὲρ αὐτοῦ φρονεῖν, ὡς καὶ παθεῖν πολλά. Εἰπὼν δέ, σκεῦος, ὥστε δεῖξαι ὅτι οὐκ ἔστι φυσικὴ [αὐτοῦ] ἡ κακία, ἐκλογῆς προσέθηκεν, ἵνα δηλώσῃ ὅτι καὶ δόκιμός ἐστι. τὰ δόκιμα γὰρ ἐκλεγόμεθα. μὴ δὴ νομίσῃ τις ταῦτα ἀκούων, ὅτι ἀπιστῶν τοῖς λεγομένοις ταῦτά φησιν Ἀνανίας, ἢ ἠπατῆσθαι νομίζων τὸν Χριστὸν (μὴ γένοιτο) ἀλλὰ φοβούμενος καὶ τρέμων, οὐδὲ προσεῖχε τοῖς εἰ-

ρημένοις

ρημένοις ἀκούσας τὸ ὄνομα Παύλου. οὕτω προκατείληφεν ὁ φόβος ἀπὸ τοῦ ὀνόματος αὐτοῦ τὴν ψυχήν· καίτοι ἀκούσας ὅτι ἐτύφλωσεν αὐτόν, ἔδει θαρρεῖν. καὶ ὧδε εἰς αὐτό, φησι, τοῦτο ἐλήλυθεν, ὥστε δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. ὥσπερ ἔλεγε· φοβοῦμαι μήποτέ με εἰς Ἱεροσόλυμα ἀπαγάγῃ. τί με εἰς τὸ στόμα ἐμβάλλεις τοῦ λέοντος; τί με τούτῳ παραδίδως; φοβεῖται δὲ ταῦτα λέγων· ἵνα μάθωμεν πάντοθεν τὴν ἀρετὴν τοῦ ἀνδρός. τὸ μὲν γὰρ παρὰ Ἰουδαίων ταῦτα λέγεσθαι, οὐδὲν θαυμαστόν· τὸ δὲ παρὰ τούτου καὶ οὕτω φοβηθέντος μέγιστον τεκμήριον τῆς τοῦ Θεοῦ δυνάμεως δείκνυται [τοῦτο]. Σαοὺλ ἀδελφέ. ἐνταῦθα καὶ ὁ φόβος ἦν μέγας, καὶ ἡ ὑπακοὴ μείζων μετὰ τὸν φόβον. * εἶτα ἐπειδὴ σκεῦος ἐκλογῆς εἶπεν, ἵνα μὴ εἴπῃς τὸ πᾶν εἶναι Θεοῦ, ἀπάγων σε τούτου, προστίθησι τὸ ἑξῆς λέγων· τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ. ἤκουσεν ὃ σφόδρα ἐπεθύμει ὁ Ἀνανίας, ὅτι καὶ κατὰ Ἰουδαίων στήσεται. ἐνταῦθα καὶ οὐ μόνον χαρᾶς, ἀλλὰ καὶ θάρσους πληροῦται. ἐγὼ γάρ, φησιν, ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. προδηλωτικῶς ταῦτα εἴρηται ἅμα καὶ ἐντρεπτικῶς. εἰ ἐκεῖνος μὲν πάντα πείσεται ὁ οὕτω μεμηνώς· αὐτὸς δὲ οὐδὲ βαπτίσαι αὐτὸν θέλει, ὅπως ἀναβλέψῃ· καλῶς ἔχει, φησίν· ἄφες αὐτὸν πεπηρῶσθαι. διὰ τοῦτο νῦν ἥμερος, ὅτι τυφλός ἐστι. τί με κελεύεις ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς; ἵνα πάλιν δήσῃ; ἀλλὰ μὴ φοβηθῇς τὸ μέλλον. τῇ γὰρ ἀνοίξει οὐ καθ' ἡμῶν, ἀλλ' ὑπὲρ ἡμῶν χρήσεται. πρὸς τό, ὅπως ἀναβλέψῃ, ταῦτα εἴρηται. οὐ γὰρ μόνον, φησίν, οὐδὲν ἐργάσεται ὑμᾶς δεινόν, ἀλλὰ καὶ πείσεται πολλά. καὶ τὸ δὴ θαυμαστόν, ὅτι προθυμότερον πείσεται, καὶ τότε ἐμβήσεται εἰς τοὺς κινδύνους. Σαοὺλ ἀδελφέ, ὁ Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ἀπέσταλκέ με. οὐκ εἶπεν, ὁ πηρώσας, ἀλλ', ὁ ὀφθείς σοι. οὕτως ᾔδει μετριάζειν, καὶ οὐδὲν φθέγγεταί που ἀλαζονικόν. ὥσπερ οὖν ὁ Πέτρος ἔλεγεν ἐπὶ τοῦ χωλοῦ· Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; οὕτω καὶ οὗτος, ὁ Ἰησοῦς ὁ ὀφθείς σοι. τῶν χειρῶν ἐπικειμένων ταῦτα ἐφθέγγετο, καὶ διπλῆ πήρωσις ἐλύετο. εἰπὼν δέ, ὅτι λαβὼν τροφὴν ἐνίσχυσεν, ἐδήλωσεν ὅτι παρειμένος ἦν καὶ ἀπὸ τῆς ἀθυμίας τῆς ὑπὲρ τῆς πηρώσεως, καὶ ἀπὸ τοῦ φόβου, καὶ ἀπὸ τοῦ λιμοῦ. οὐδὲ γὰρ ἠνείχετο πρότερον μεταλαβεῖν τροφῆς, ἕως ὅτε βαπτισθεὶς τῶν μεγάλων [εὐθὺς] ἔτυχε δωρεῶν *. καὶ οὐ λέγει, Ἰησοῦς ὁ σταυρωθείς, ὁ υἱὸς τοῦ Θεοῦ, ὁ σημεῖα ποιῶν· ἀλλὰ τί; ὁ ὀφθείς σοι, ἀπὸ τῶν ἐκείνῳ γνωρίμων. ἐπεὶ καὶ ὁ Χριστὸς οὐδὲν πλέον προσέθηκεν· οὐδὲ εἶπεν, ἐγώ εἰμι ὁ σταυρωθεὶς Ἰησοῦς, ὁ ἐγερθείς· ἀλλ', ὃν σὺ διώκεις. οὐκ εἶπεν, ὁ διωκόμενος, ἵνα μὴ δόξῃ ὡς [illegible] καὶ ἐπεγγελᾶν. ὁ ὀφθείς σοι, φησιν, ἐν τῇ ὁδῷ. καὶ μὴν οὐκ ὤφθη· ἀλλ' ἀπὸ τῶν πραγμάτων ὤφθη. καὶ θέλων συσκιάσαι τὸ φορτικὸν τοῦ λόγου, εὐθέως ἐπήγαγεν, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος ἁγίου. οὐχὶ ἐλέγξαι ἦλθε τὸ γεγενημένον, ἀλλὰ δοῦναι τὴν δωρεάν. ἐμοὶ δοκεῖ καὶ τοῦτον καὶ τὸν Κορνήλιον τούτων λεγομένων τῶν ῥημάτων τοῦ πνεύματος μετέχειν· καίτοιγε ὁ διδοὺς οὐκ ἦν τῶν δώδεκα. οὕτως οὐδὲν ἀνθρώπινον τῶν γινομένων, οὐδὲ δι' ἀνθρώπου ἐγίνετο, ἀλλ' ὁ Θεὸς ἦν ὁ ταῦτα ποιῶν. ἅμα δὲ αὐτὸν καὶ μετριάζειν παιδεύει, οὐκ ἄγων αὐτὸν πρὸς τοὺς προκρίτους ἀποστόλους, καὶ δείκνυσιν ὅτι οὐδὲν ἀνθρώπινον ἐνταῦθα. οὐ μὴν πνεύματος δὲ ἠξιώθη τοῦ ποιοῦντος τὰ σημεῖα, ἵνα καὶ οὕτως ἡ πίστις αὐτοῦ δειχθῇ. οὐ γὰρ θαύματα ἐποίησε. καὶ εὐθέως, φησίν, ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οὐχ ὅτι ἀνέστη ἐκήρυσσεν, οὐδὲ ὅτι ζῇ· ἀλλὰ τί; σφόδρα ἀκριβῶς τὸ δόγμα ἐξετίθετο, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οἱ δὲ εἰς ἀπιστίαν λοιπὸν ἔρχονται ταῦτα ἀκούοντες, δέον οὐ πιστεύειν μόνον, ἀλλὰ καὶ ἐκπλήττεσθαι. καὶ τί δήποτε οὐχ ἁπλῶς ὅτι διώκτης ἦν λέγουσιν, ἀλλ' ὅτι ἐπόρθει τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; τὸ σφόδρα μανικὸν διὰ τούτου ἐμφαίνοντες. καὶ οὐκ εἶπον τὸν Ἰησοῦν. ἀπὸ τῆς βασκανίας οὐδὲ τὸ ὄνομα ἀκούειν ἠνείχοντο· οὕτως ἦσαν ἐκτεθηριωμένοι. καὶ ὧδε εἰς τοῦτο ἐλήλυθεν. οὐκ ἔχομεν εἰπεῖν, φησιν, ὅτι Πραξ. γ. ιϛ.

τοῖς

γ. ὅρα, φησί, τίνι με παραδίδως ἐχθρῷ.
γ. καὶ τούτου οὕτω φοβηθέντος μέγιστον. ἀλ. μέγα τι καὶ τοῦτ. γ. δείκνυται. ὄντως γὰρ ἰσχύος χρεία. γ. ἐπεπόθει. γ. τοῦτο μάλιστα αὐτὸν παρεθάρρυνε.
ὅτι καὶ πρότερον ἀσθενῶν.
γ. τῶν κατηγόρων, οὐ.
γ. αὐτοῦ. γ. οὐδὲν ἀνθρώπινον τῶν γινομένων αὐτοῦ πνεύματος μετασχεῖν. γ. μέγας. γ. παρὰ τοῦ αὐτοῦ ὁ. γ. θαυμάσαι. γ. ἐκήρυσσεν. γ. καὶ τοῦ θαυμάζειν μόνον, ἀλλὰ καὶ ἐκπλήττεσθαι. γ. ἔχθρας.

τοῖς ἀποστόλοις περιέπεσεν συνεχύνετο. ὅρα διὰ πόσων ὁμολογεῖται τὴν ἔχθραν τυγχάνων ὁ Παῦλος. ὁ δὲ οὐ μόνον οὐκ ᾐσχύνετο τούτοις, οὐδὲ ἐνεκαλύπτετο, ἀλλὰ καὶ ἐνεβριμοῦτο. Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους· τουτέστιν, ἐπεστόμιζεν, οὐκ εἴα τι εἰπεῖν. συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. διδάσκων, φησί. διδάσκαλος καὶ γὰρ εὐθέως ἦν.

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν.

Ἐπὶ τὸν ἰσχυρὸν συλλογισμὸν ἔρχονται πάλιν οἱ Ἰουδαῖοι. οὐκέτι γὰρ συκοφάντας καὶ κατηγόρους καὶ ψευδομάρτυρας ἐπιζητοῦσιν· οὐδὲ γὰρ ἔτι ἀνέχονται τούτων· ἀλλὰ τί; λοιπὸν αὐτοὶ δι᾽ ἑαυτῶν τοῦτο ἐργάζονται. ἐπειδὴ γὰρ εἶδον ἐπιτεινόμενον τὸ πρᾶγμα, οὐδὲ δικαστήριον καθίζουσιν.

24 Ἐγνώσθη δέ, φησι, τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν ἀνέλωσι. Διὰ τί; ὅτι πάντων ἀφορητότερον ἦν αὐτοῖς τῶν ἤδη γεγενημένων σημείων, τῶν πεντακισχιλίων, τῶν τρισχιλίων, πάντων ἁπλῶς. καὶ ὅρα αὐτὸν πῶς οὐ χάριτι σωζόμενον, ἀλλ᾽ ἀνθρωπίνῃ σοφίᾳ*· ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν καὶ χωρὶς σημείων λάμποντος. [χ. τί ποτ᾽ οὖν] [* ὁ χαλεπῆς ἐκείνου]

25 Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς καθῆκαν διὰ τοῦ τείχους χαλάσαντες ἐν σπυρίδι. Εἰκότως· ἵνα ἀνύποπτον ᾖ τὸ πρᾶγμα. τί οὖν; τοιούτους κινδύνους διαφυγών, ἆρα ἵσταται; οὐδαμῶς· ἀλλ᾽ ἀπέρχεται ἔνθα μειζόνως ἂν αὐτοὺς ἐξάψοι. ὅτι γὰρ ἀκριβῶς ἐπίστευσεν, ἄπιστον ἦν ἐπὶ τοῖς πολλοῖς. [χ. φεύγει;] διὰ τοῦτο μετὰ ἡμέρας ἱκανὰς τοῦτο γίνεται. τί ποτε τοῦτό ἐστιν; εἰκὸς αὐτὸν μὴ βούλεσθαι τέως ἐξελθεῖν ἐκεῖθεν, πολλῶν ἴσως παρακαλούντων. ἐπειδὴ δὲ ἔμαθε, τότε ἐπέτρεψε τοῖς μαθηταῖς αὐτοῦ. καὶ γὰρ μαθητὰς εἶχεν εὐθέως. β. Κορ. ια. λϐ. τοῦτο αἰνιττόμενος ἔλεγεν· Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. καὶ ὅρα τὸν εὐαγγελιστὴν οὐδὲν φιλοτίμως λέγοντα, οὐδὲ λαμπρὰ διηγούμενα τὸν Παῦλον· ἀλλὰ μόνον ὅτι ἐπῆραν τὸν βασιλέα. μόνον οὖν αὐτὸν ἐξέπεμψαν, καὶ οὐδένα μετ᾽ αὐτοῦ· καὶ τοῦτο δὲ συμφερόντως, ὥστε αὐτὸν φανῆναι τοῖς ἀποστόλοις ἐν Ἱεροσολύμοις. μᾶλλον δὲ αὐτοὶ μὲν ἐξέπεμψαν, ὡς ἐκ τούτου λοιπὸν ἑαυτῷ τὴν σωτηρίαν ποιήσασθαι· αὐτὸς δὲ τοὐναντίον πραττόμενος, εἰς τοὺς μαινομένους εὐθὺς ἐπεπήδησε. [χ. ἀφιέναι τῇ ψυχῇ τὴν] τοῦτό ἐστι πεπυρῶσθαι, τοῦτο μάλιστα ζῆν. καὶ σκόπει πῶς ἀκολουθεῖ, ἐκ πρώτης ἡμέρας τηρῶν τὸ παράγγελμα, ὅπερ ἤκουσαν οἱ ἀπόστολοι, τὸ, Ἐάν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ Ματθ. ι. λη. ἀκολουθήσῃ μοι. [χ. ἀεὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐγὼ λοιπὸν πάντα τὰ παραγγέλματα αὐτῆς ἤκουε.] τὸ τοίνυν ὕστερον αὐτὸν τῶν ἄλλων μαθητῶν ἐλθεῖν, [μᾶλλον αὐτὸν] προθυμότερον ἐποίει. Λουκ. ζ. μζ. καὶ ἔργῳ ἐπληροῦτο ἐκεῖνο, τὸ, Ὧ ἀφίεται πολύ, μᾶλλον ἀγαπήσει. ὥστε ὅσῳ ὕστερον ἦλθε, τοσούτῳ μᾶλλον ἠγάπησε. [χ. ἠγάπησε] διὰ τοῦτο καὶ τὸν πρότερον βίον ἑαυτοῦ στηλιτεύων, καὶ πολλάκις ἑαυτὸν στίζων, οὐδὲν ἡγεῖτο ἱκανὸν εἶναι πρὸς τὸ τὰ πρότερα ἀποκρύψαι. συμβιβάζων, φησί· τουτέστι, μετ᾽ ἐπιεικείας διδάσκων. καὶ ὅρα, οὐ λέγουσιν αὐτῷ, ὅτι σὺ εἶ ὁ πορθῶν· τί μεταβέβλησαι; ᾐσχύνοντο γάρ· ἀλλὰ πρὸς ἑαυτοὺς ἔλεγον. εἶπε γὰρ ἂν πρὸς αὐτοὺς πολλῷ δικαιότερον, ὅτι τοῦτο μάλιστα ὑμᾶς διδάξαι ὀφείλει, ἐπεὶ καὶ πρὸς Ἀγρίππαν οὕτως ἀπολογεῖται.

ΗΘΙΚΟΝ

Τοῦτον μιμώμεθα, παρακαλῶ, καὶ ἡμεῖς, ἐν ταῖς χερσὶ τὰς ψυχὰς βαστάζωμεν, καὶ πρὸς πάντας ὦμεν κινδύνους παρατεταγμένοι. καὶ πῶς, φησιν, ἐκεῖνος φεύγει; οὐκ ἦν δειλίας τὸ πρᾶγμα, ἀλλ᾽ ἐφύλαττεν ἑαυτὸν τῷ κηρύγματι. εἰ δειλὸς ἦν, οὐκ ἂν εἰς τὰ Ἱεροσόλυμα ἦλθεν· οὐκ ἂν εὐθέως ἀνεδέξατο τὴν διδασκαλίαν· καθυφῆκεν ἂν τῆς σφοδρότητος. ἀλλ᾽ οὐκ ἦν δειλός, ἀλλὰ καὶ οἰκονομικός. ἐπαιδεύθη τῷ πάθει τοῦ Στεφάνου. διὸ οὐδὲν μέγα ἡγεῖτο τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κηρύγματος, εἰ μὴ μετὰ πολλοῦ τοῦ κέρδους τοῦτο ἐργάσαιτο, ἄνθρωπος οὐδὲ τὸν Χριστὸν ἰδεῖν θέλων, ὃν μάλιστα πάντων ἐσπούδαζεν ἰδεῖν, ἐπειδὴ

οὐδέπω

ἐνδείκνυται ἀπήρτισε αὐτοῦ τὰ τῆς εἰς τοὺς ἀνθρώπους οἰκονομίας. Τοιαύτην εἶναι χρὴ τὴν ψυχὴν τοῦ χριστιανοῦ· ἀπὸ προοιμίων καὶ ἀπὸ βαλβίδος αὐτῆς ἐδείκνυτο ὁ χαρακτὴρ Παύλου μᾶλλον δὲ καὶ πρὸ τούτου. οὐ γὰρ οἷς ἐκεῖ γνῶσιν ἐποίει, ἀνθρωπίνῳ κινούμενος λογισμῷ διεπράττετο. Εἰ γὰρ μετὰ τοσοῦτον χρόνον οὐκ ἤθελεν ἀναχωρῆσαι, πολλῷ μᾶλλον ἐν ἀρχῇ τῆς ἐργασίας ἄρτι τῶν λιμένων ἐξελθών. Οὐκ ἐξαρπάζει δὲ αὐτὸν ὁ Χριστὸς τῶν κινδύνων, ἀλλ' ἀφίησιν, ἐπειδὴ βούλεται καὶ ἀνθρωπίνῃ συνέσει πολλὰ γίνεσθαι. ἄλλως δὲ, ἀφίησιν, ἵνα μάθωσιν, ὅτι καὶ αὐτοὶ ἄνθρωποι ἦσαν, καὶ ὅτι οὐ πανταχοῦ τὸ πᾶν ἡ χάρις ἐνήργει· ἐπεὶ, εἰ μὴ τοῦτο ἦν, ξύλα ἂν ἁπλῶς ἐνομίσθησαν εἶναι*. διά τοι τοῦτο πολλὰ καὶ αὐτοὶ ᾠκονόμουν διὰ τῶν πραγμάτων. τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ οὕτω τῆς τῶν ἀδελφῶν ὀρεγώμεθα σωτηρίας. τοῦτο μαρτυρίου οὐκ ἔλαττον, μηδὲν παραιτήσασθαι παθεῖν διὰ τὴν τῶν πολλῶν σωτηρίαν. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν. πάλιν ἐρῶ, ὃ πολλάκις εἶπον, ἐρῶ δὲ, ἐπειδὴ σφόδρα αὐτὸ βούλομαι. ἐπεὶ καὶ ὁ Χριστὸς τὸ αὐτὸ ἐποίει, περὶ ἀφέσεως παραινῶν καὶ λέγων· Ὅταν προσεύχησθε ὑμεῖς, ἀφίετε, εἴ τι κατά τινος ἔχετε. πάλιν τῷ Πέτρῳ διαλεγόμενος· Οὐ λέγω σοί, φησιν, ὅτι ἄφες ἕως ἑπτάκις· ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά, καὶ διὰ τῶν ἔργων ἀφίησι τὰ εἰς αὐτὸν πλημμελήματα. οὕτω δὴ καὶ ἡμεῖς, ἐπειδὴ ἴσμεν τοῦτο ὅρον χριστιανισμοῦ ὄντα, διὰ παντὸς περὶ αὐτοῦ διαλεγώμεθα. οὐδὲν ψυχρότερον χριστιανοῦ ἑτέρους μὴ σώζοντος. οὐκ ἔχεις ἐνταῦθα πενίαν εἰπεῖν. ἡ γὰρ τὰ δύο καταβαλοῦσα λεπτὰ κατηγορήσει· καὶ Πέτρος ἔλεγεν, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· καὶ Παῦλος οὕτως ἦν πένης, ὡς καὶ πεινᾶσαι πολλάκις καὶ τῆς ἀναγκαίας ἀπορῆσαι τροφῆς. οὐκ ἔχεις δυσγένειαν εἰπεῖν. καὶ γὰρ ἐκεῖνοι ἄσημοι ἦσαν καὶ ἐξ ἀσήμων. οὐκ ἔχεις ἰδιωτείαν προβαλέσθαι. καὶ γὰρ ἐκεῖνοι ἀγράμματοι ἦσαν. κἂν δοῦλος ᾖς, κἂν δραπέτης, δύνασαι τὰ παρὰ σαυτοῦ πληρῶσαι· ἐπεὶ καὶ ὁ Ὀνήσιμος τοιοῦτος ἦν. ἀλλ' ὅρα ποῦ καλεῖ αὐτὸν, καὶ εἰς πόσον ἀνήγαγεν ἀξίωμα. Ἵνα διακονῇ μοί, φησιν, ἐν τοῖς δεσμοῖς μου. οὐκ ἔχεις ἀσθένειαν εἰπεῖν· ἐπεὶ καὶ Τιμόθεος τοιοῦτος ἦν, πυκνὰς ἔχων τὰς ἀσθενείας. ὅτι δὲ ἀσθενὴς ἦν, ἄκουε· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. δύναται ἕκαστος τὸν πλησίον ὠφελεῖν, ἐὰν θέλῃ τὰ παρ' αὐτοῦ πληροῦν. οὐχ ὁρᾶτε τὰ δένδρα τὰ ἄκαρπα πῶς ἐστιν ἰσχυρά; πῶς καλὰ, εὐμήκη, λεῖα καὶ ὑψηλά; ἀλλ' εἰ παράδεισον ἔχοιμεν, βουλοίμεθα ἂν ῥοιὰς, ἐλαίας ἔχειν καρπίμους πολλῷ μᾶλλον, ἢ ταῦτα. ἐκεῖνα γὰρ πρὸς τέρψιν εἰσὶν, οὐ πρὸς ὠφέλειαν, καὶ ἡ ὠφέλεια δὲ αὐτῶν μικρά τίς ἐστι· τοιοῦτοί εἰσιν οἱ τὰ αὐτῶν μόνον σκοποῦντες· μᾶλλον δὲ οὐδὲ τοιοῦτοι. πρὸς γὰρ καῦσιν ἐπιτήδειοι οὗτοι· ἐπεὶ ἐκεῖνα καὶ πρὸς οἰκοδομὴν, καὶ πρὸς ἀσφάλειαν τῶν ἔνδον. τοιαῦται ἦσαν καὶ αἱ παρθένοι, ἁγναὶ μὲν καὶ κόσμιαι καὶ σώφρονες, οὐδενὶ δὲ χρήσιμοι· διὸ καὶ κατακαίονται· τοιοῦτοι ἦσαν οἱ μὴ θρέψαντες τὸν Χριστόν. ὅρα γὰρ τούτων οὐδένα ἐγκαλούμενον ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, οὐχ ὅτι ἐπόρνευσεν, οὐχ ὅτι ἐπιώρκησεν, οὐδὲν ὅλως· ἀλλ' ὅτι ἑτέρῳ μὴ γέγονε χρήσιμος. τοιοῦτος ἦν ὁ τὸ τάλαντον κατορύξας, ἀνέγκλητον παρεχόμενος μὲν βίον· ἑτέρῳ δὲ οὐκ ὢν χρήσιμος. πῶς ἐστι χριστιανὸς ὁ τοιοῦτος, εἰπέ μοι, ἐὰν ζύμη ἀναφυρασθεῖσα ἀλεύρῳ μὴ μεταστήσειεν εἰς τὴν αὐτῆς ἕξιν τὸ πᾶν, ἆρα ζύμη τὸ τοιοῦτόν ἐστι; τί δαὶ, εἰ μὴ μύρον ἀναπλήσειε τῆς εὐωδίας τοὺς πλησιάζοντας, μύρον ἂν τοῦτο καλέσαιμεν; μὴ εἴπῃς, ἀδύνατόν μοί ἐστιν ἑτέρους ἐπαγαγεῖν. ἂν γὰρ ᾖς χριστιανὸς, ἀδύνατον τὸ μὴ οὕτω γενέσθαι. ὥσπερ γὰρ τὰ ἐν τῇ φύσει ἀναντίρρητά ἐστιν, οὕτω καὶ ταῦτα. ἐν γὰρ τῇ φύσει τοῦ χριστιανοῦ κεῖται τὸ πρᾶγμα. μὴ ὕβριζε τὸν Θεόν. ἂν εἴπῃς, ὅτι ὁ ἥλιος οὐ δύναται φαίνειν, ὕβρισας αὐτόν· ἂν εἴπῃς, ὅτι ὁ χριστιανὸς οὐ δύναται ὠφελεῖν, ὕβρισας τὸν Θεὸν, καὶ ψεύστην εἶπας. εὔκολον γὰρ τὸν ἥλιον μὴ θερμαίνειν, μηδὲ φαίνειν, ἢ τὸν χριστιανὸν μὴ φωτίζειν· εὔκολον τὸ φῶς εἶναι σκότος, ἢ τοῦτο γενέσθαι. μὴ δὴ λέγε, ὅτι ἀδύνατον. ἀδύνατον γὰρ τοὐναντίον ἐστί. μὴ δὴ ὕβριζε τὸν Θεόν.

Ματθ. ε. κγ.
Ματθ. ιη. κα.
Λυκ. κα. β.
Πραξ. γ. ς.
Φιλημ. α. ι.
α. Τιμ. ε. κγ.

Θεοῦ. αὐτὰ τὰ καθ' ἡμᾶς κατασκευάσωμεν καλῶς, πάντως ἔσται ἐκεῖνα. [C] ὥσπερ φυσικόν τι πρᾶγμα ἕψεται. οὐκ ἔνι λαθεῖν φῶς χριστιανοῦ, οὐκ ἔνι κρυβῆναι λαμπάδα οὕτω περιφανῆ. μὴ δὴ ἀμελῶμεν. ὥσπερ γὰρ ἀπὸ τῆς ἀρετῆς τὸ κέρδος εἴς τε ἡμᾶς, εἴς τε τοὺς ὠφελουμένους διαβαίνει· οὕτως ἀπὸ τῆς κακίας διπλῆ πάλιν ἡ ζημία, εἴς τε ἡμᾶς, εἴς τε τοὺς βλαπτομένους διαβαίνουσα. ἔστω τις, εἰ βούλει, ἰδιώτης μυρία παρά τινος παθὼν κακά, καὶ μηδὲ ἐκεῖνον ἀμυνέσθω, ἀλλὰ καὶ εὐεργετείτω. πόσης τοῦτο διδασκαλίας οὐκ ἰσχυρότερον; πόσων λόγων; πόσων παραινέσεων; τίνα οὐχ ἱκανὸν σβέσαι θυμὸν καὶ μαλάξαι; ταῦτ' [οὖν] εἰδότες, ἐχώμεθα τῆς ἀρετῆς, ὡς οὐκ ἔστιν ἑτέρως σωθῆναι, ἢ μετὰ τούτων τῶν κατορθωμάτων τὴν ἐνταῦθα ζωὴν διανύσαντας, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κα 26 ΠΑΡΑΓΕΝΟΜΕΝΟΣ ΔΕ Ο ΣΑΥΛΟΣ ΕΙΣ Ἱερουσαλήμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς, καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. 27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. χ. αὐτῷ

Γαλ. α. ιζ. Ἄξιον ἐνταῦθα διαπορῆσαι, πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας φησίν, Ὅτι οὐκ ἀπῆλθον εἰς Ἱεροσόλυμα, ἀλλ' εἰς Ἀραβίαν καὶ Δαμασκόν, καὶ ὅτι μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ ὅτι οὐδένα τῶν ἀποστόλων εἶδον· ἐνταῦθα δὲ τοὐναντίον, ὅτι Βαρνάβας ἤγαγεν αὐτὸν πρὸς τοὺς ἀποστόλους. ἢ τοίνυν τοῦτό φησιν, ὅτι οὐκ ἀπῆλθον ὥστε μαθεῖν. λέγει γὰρ ἐκεῖ, ὅτι Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· Γαλ. α. ις. ἢ εἰ μὴ τοῦτο, ὅτι ἡ ἐπιβουλὴ ἡ ἐν Δαμασκῷ, μετὰ τὸ ἐλθεῖν αὐτὸν ἀπὸ Ἀραβίας γέγονε, φησίν. εἶτα πάλιν ἡ ἄνοδος μετὰ τὸ ἐκεῖθεν ἐλθεῖν. αὐτὸς γοῦν οὐκ ἀπῆλθε πρὸς τοὺς ἀποστόλους, ἀλλὰ τοῖς μαθηταῖς ἐπειρᾶτο κολλᾶσθαι, ἅτε οὐ διδάσκαλος ὤν, ἀλλὰ μαθητής. ἄρα οὐ διὰ τοῦτο ἀπῆλθεν, ἵνα πρὸς τοὺς πρὸ αὐτοῦ ἀποστόλους ἀπέλθῃ. οὐδὲ γὰρ παρ' αὐτῶν τι ἔμαθεν. ἢ ταύτην τὴν ἄνοδον οὐ λέγει, ἀλλ' ἀφίησιν, ὥστε εἶναι οὕτως· ἀπῆλθεν εἰς Ἀραβίαν· εἶτα ἦλθεν εἰς Δαμασκόν· εἶτα εἰς Ἱεροσόλυμα· εἶτα εἰς Συρίαν. ἢ εἰ μὴ τοῦτο, πάλιν οὕτως· ὅτι ἀνῆλθεν εἰς τὰ Ἱεροσόλυμα· εἶτα εἰς Δαμασκὸν ἐξεπέμφθη· εἶτα εἰς Συρίαν· εἶτα εἰς Δαμασκὸν πάλιν· εἶτα εἰς Καισάρειαν, καὶ τότε διὰ δεκατεσσάρων ἐτῶν, ἴσως ὅτε τοὺς ἀδελφοὺς ἀνήγαγε μετὰ Βαρνάβα. ἢ εἰ μὴ τοῦτο, ἕτερον λέγει καιρόν. ὁ γὰρ ἱστοριογράφος πολλὰ ἐπιτέμνει, καὶ πολλοὺς συνάγει καιρούς. ὅρα πῶς οὐκ ἔστι φιλότιμος, οὐδὲ διηγεῖται τὴν ὄψιν ἐκείνην, ἀλλὰ παρατρέχει. πάλιν δὲ οὕτως ἄρχεται, καί φησι· παραγενόμενος δὲ εἰς Ἱερουσαλήμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· οἱ δὲ ἐφοβοῦντο αὐτόν. καὶ ἀπὸ τούτου πάλιν τὸ θερμὸν τοῦ Παύλου δείκνυται· οὐκ ἀπὸ Ἀνανίου, οὐδὲ ἀπὸ τῶν θαυμαζόντων αὐτὸν ἐκεῖ· ἀλλὰ καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις. οὐ γὰρ ἦν οὕτως προσδοκίας ἀνθρωπίνης ἐκεῖνο. καὶ ὅρα αὐτὸν οὐ πρὸς τοὺς ἀποστόλους ἀπιόντα διὰ τὸ μετριάζειν, ἀλλὰ πρὸς τοὺς μαθητάς, ἅτε μαθητὴν ὄντα. οὔπω γὰρ ἐνομίζετο ἀξιόπιστος εἶναι. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. Ὁ Βαρνάβας οὗτος, ἐπιεικής τις καὶ ἥμερος ἄνθρωπος ἦν· υἱὸς δὲ παρακλήσεως τὸ ὄνο-

μα

μα ἑρμηνευέσθαι. ὅθεν καὶ φίλος τῷ Παύλῳ γέγονεν. ὅτι δὲ χρηστὸς ἦν σφόδρα καὶ εὐπρόσιτος, τοῦτο καὶ ἐκ τῶν μετὰ ταῦτα χρόνων, καὶ ἐκ τῶν κατὰ Ἰωάννην δῆλόν ἐστιν. ὅθεν οὐδὲ οὐ φοβεῖται, ἀλλὰ διηγεῖται πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. Καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ [Κυρίου] Ἰησοῦ. Εἰκὸς αὐτὸν [γὰρ] καὶ ἐν Δαμασκῷ ἀκηκοέναι τὰ κατ' αὐτόν. διὸ καὶ ταῦτα ἐκείνων κατασκευαστικὰ ποιεῖ. διὰ τῶν ἔργων ἐβεβαίωσε τὰ λεχθέντα.

28 Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλὴμ,

29 Καὶ παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ, ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. Ἐπειδὴ οἱ μαθηταὶ ἐφοβοῦντο αὐτὸν, οἱ δὲ ἀπόστολοι οὐκ ἐπίστευον αὐτῷ, διὰ τοῦτο αὐτῶν ἐκεῖθεν λύει τὸ δέος. ἐλάλει τε καὶ συνεζήτει, φησὶ, πρὸς τοὺς Ἑλληνιστάς. Ἑλληνιστὰς τοὺς Ἑλληνιστὶ φθεγγομένους λέγει, καὶ τοῦτο σφόδρα σοφῶς. ἐκεῖνοι γὰρ οἱ ἄλλοι οὐδὲ ἰδεῖν αὐτὸν ἤθελησαν, οἱ βαθεῖς Ἑβραῖοι. Οἱ δὲ ἐπεχείρουν ἀνελεῖν αὐτόν. Τῆς σφοδρότητος καὶ τῆς κατὰ κράτος νίκης τοῦτο τεκμήριον, καὶ τοῦ σφόδρα λυπεῖσθαι τῷ γεγονότι.

30 Ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ, κατήγαγον αὐτὸν εἰς Καισάρειαν. Διὰ φόβον τοῦτο ποιοῦσι. φοβηθέντες γὰρ λοιπὸν μὴ ταὐτὸν γένηται, ὅπερ ἐπὶ Στεφάνου, κατάγουσιν αὐτὸν εἰς Καισάρειαν, Καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν, Ἅμα καὶ κηρύξοντα, καὶ ἐν ἀσφαλείᾳ μᾶλλον ἐσόμενον, ἅτε ἐν οἰκείᾳ πατρίδι. ὅρα δέ μοι πῶς οὐ πάντα χάριτι γίνεται, ἀλλὰ συγχωρεῖ αὐτοὺς ὁ Θεὸς καὶ οἰκείᾳ σοφίᾳ οἰκονομεῖν πολλὰ καὶ ἀνθρωπίνως. εἰ γὰρ ἐπ' αὐτοῦ τοῦτο γέγονε, πολλῷ μᾶλλον ἐπ' αὐτῶν. συγχωρεῖ τοίνυν, ἵνα τὴν ῥαθυμοῦντων τὴν πρόφασιν ἐκκόψῃ.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. Μέλλει λέγειν ὅτι κάτεισιν ὁ Πέτρος. ἵν' οὖν μὴ φόβου τοῦτο νομίσῃ τις, πρότερον ὡς εἶχον αἱ ἐκκλησίαι διηγεῖται, δεικνὺς ὅτι διωγμὸς ὅτε ἦν, ἐν Ἱεροσολύμοις ἦν· ὅτε δὲ πανταχοῦ ἐν ἀσφαλείᾳ τὰ τῆς ἐκκλησίας, τότε λοιπὸν καὶ τὰ Ἱεροσόλυμα ἀφίησιν. οὕτως ἦν θερμὸς ὁμοῦ καὶ σφοδρός. οὐ γὰρ ἐπειδὴ εἰρήνη ἦν, ἐνόμιζε μηδὲν δεῖσθαι τῆς αὐτοῦ παρουσίας. καὶ διὰ τί, φησὶ, τοῦτο ποιεῖ, καὶ ἔρχεται εἰρήνης οὔσης καὶ μετὰ τὸ Παῦλον ἀπελθεῖν; ὅτι αὐτοὺς ἤδει τότε μάλιστα, ἅτε πολλάκις παραδεχθέντας καὶ ὑπὸ τοῦ πλήθους θαυμασθέντας, ἐκείνου δὲ καταφρονοῦντας, καὶ μᾶλλον πρὸς αὐτὸν ἠγριωμένους. Εἶδες πῶς εἰρήνην τὸν πόλεμον ἐκδέχεται; μᾶλλον δὲ, εἶδες τί ἐποίησεν ὁ πόλεμος ἐκεῖνος; διέσπειρε τοὺς τὴν εἰρήνην ποιοῦντας. ἐπὶ τῆς Σαμαρείας κατῃσχύνθη ὁ Σίμων· ἐπὶ τῆς Ἰουδαίας τὰ κατὰ Σαπφείραν γέγονεν. οὐ τοίνυν, ἐπεὶ εἰρήνη ἦν, ἐκλελυμένα τὰ πράγματα ἦν· ἀλλὰ τοιαύτη ἦν ἡ εἰρήνη, ὡς καὶ παρακλήσεως δεῖσθαι.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Καθάπερ τις στρατηγὸς περιῄει τὰς τάξεις ἐπισκοπῶν, ποῖον εἴη συγκεκροτημένον μέρος, ποῖον ἐν κόσμῳ, ποῖον τῆς αὐτοῦ δέοιτο παρουσίας. ὅρα πανταχοῦ αὐτὸν περιτρέχοντα καὶ πρῶτον εὑρισκόμενον. ὅτε ἑλέσθαι ἔδει τὸν ἀπόστολον, οὗτος πρῶτος· ὅτε διαλεχθῆναι τοῖς Ἰουδαίοις περὶ τοῦ μὴ μεθύειν· ὅτε θεραπεῦσαι τὸν χωλόν· ὅτε δημηγορῆσαι, οὗτος πρὸ τῶν ἄλλων ἐστίν· ὅτε πρὸς τοὺς ἄρχοντας, οὗτος· ὅτε πρὸς Ἀνανίαν· ὅτε ἀπὸ τῆς σκιᾶς ἰάσεις ἐγίνοντο, οὗτος ἦν. καὶ ἔνθα μὲν ἦν κίνδυνος, οὗτος, καὶ ἔνθα οἰκονομία· ἔνθα δὲ γαλήνης τὰ πράγματα γέμει, κοινῇ πάντες. οὕτως οὐκ ἀπῄτει τιμὴν μείζονα. [πάλιν] ὅτε θαυματουργῆσαι ἔδει, αὐτὸς προπηδᾷ· καὶ ἐνταῦθα πάλιν οὗτος πονεῖ δι' ἑαυτοῦ καὶ ὁδοιπορεῖ.

κ. Μέλλει δὲ Πέτρον λέγειν, καὶ ὅτι πρὸς τοὺς ἁγίους κατέρχεται.

33 Εὗρε

33 Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς ἦν παραλελυμένος.

34 Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε * ὁ Χριστός, ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. καὶ εὐθέως ἀνέστη. [Καὶ] διατί μὴ ἀνέμεινε τὴν πίστιν τοῦ ἀνδρός, μηδὲ ἠρώτησεν εἰ βούλοιτο θεραπευθῆναι; μάλιστα μὲν οὖν καὶ πρὸς πολλῶν παράκλησιν ἐγένετο τὸ θαῦμα. ἄκουε γοῦν καὶ τὸ κέρδος ὅσον. [ἐπάγει γὰρ λέγων·]

35 Καὶ εἶδον * πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Ἀσσάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Καλῶς οὕτως εἶπεν· ἐπίσημος γὰρ ἦν ὁ ἀνήρ. ὅθεν καὶ ἔλεγχον δίδωσι τοῦ σημείου, [τὸ ἆραι τὸν κράββατον.] οὐ γὰρ δὴ τῶν νοσημάτων ἀπήλλαττον μόνον, ἀλλὰ μετὰ τῆς ὑγείας παρεῖχον ἔτι καὶ ἰσχύν. ἄλλως δέ, καὶ τότε οὔπω ἦσαν τεκμήρια τῆς οἰκείας παρέχοντες δυνάμεως, ὥστε εἰκότως οὐκ ἀπῄτει τὴν πίστιν ὁ ἀνήρ, ἐπεὶ οὐδὲ τὸν χωλὸν ἀπῄτησαν. καθάπερ οὖν ὁ Χριστὸς ἀρχόμενος τῶν σημείων οὐκ ἀπῄτει πίστιν, οὕτως οὐδὲ οὗτοι. ἐν Ἱεροσολύμοις μὲν γὰρ εἰκότως ἡ πίστις αὐτῶν προτέρα ἀπῃτεῖτο· ὅθεν καὶ διὰ πίστιν ὅσοι συνείχοντο ἀσθενείαις, ταῖς ὁδοῖς ἐξετίθεντο, ἵνα ἐρχομένου τοῦ Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. πολλὰ γὰρ ἐγένετο ἐκεῖ σημεῖα· ἐνταῦθα δὲ τοὐναντίον συμβαίνει. τὰ μὲν γὰρ τῶν σημείων ὑπὲρ τοῦ τοὺς ἄλλους ἐπισπάσασθαι ἐγένετο· τὰ δὲ ὑπὲρ τῆς τῶν πιστευόντων παρακλήσεως.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά (ἣ διερμηνευομένη λέγεται) Δορκάς) αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

37 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτήν, ἔθηκαν ἐν ὑπερῴῳ.

38 Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτόν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.

Διὰ τί περιέμενον ἀποθανεῖν; διατί μὴ ἔσκυλλον Πέτρον καὶ πρὸ τούτου; ἀνάξιον ἡγοῦντο λοιπὸν φιλοσοφοῦντες ὑπὲρ τῶν τοιούτων τοὺς μαθητὰς σκύλλειν καὶ τοῦ κηρύγματος περισπᾶν· ἐπεὶ καὶ διὰ τοῦτο λέγει, ὅτι ἐγγὺς ἦν, ὥστε δεῖξαι ὅτι ἐν τάξει παρέργου τοῦτο ἤτουν· προηγουμένως δὲ οὐκέτι. μαθήτρια γὰρ ἦν.

39 Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον. Οὐ παρακαλοῦσαν, ἀλλ' αὐτῷ ἐπιτρέπουσιν, ἵν' [ἐξ ἑαυτοῦ] τὴν ζωὴν αὐτῇ χαρίσηται. οὕτως ἐνταῦθα πληροῦται τό, Ἐλεημοσύνη ῥύεται ἐκ θανάτου.

Καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς. Ἔνθα προὔκειτο τεθνηκυῖα τὸν Πέτρον ἀνάγουσι· τάχα οἰόμενοι πρὸς φιλοσοφίαν αὐτῷ τι χαρίζεσθαι. εἶδες πόση ἐπίδοσις γέγονεν; οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ ὄνομα τῆς γυναικός, ἀλλ' ἵνα μάθωμεν, ὅτι φερώνυμος ἦν, οὕτως ἐγρηγορυῖα καὶ νήφουσα ὥσπερ Δορκάς. πολλὰ γὰρ καὶ οἰκονομικῶς ὀνόματα τίθεται, ὡς πολλάκις πρὸς ὑμᾶς εἴπομεν. πλήρης, φησίν, ἦν ἀγαθῶν ἔργων ὧν ἐποίει. μέγα τῆς γυναικὸς τὸ ἐγκώμιον, εἴγε ἀμφότερα οὕτως ἐποίει, ὡς ἀμφοτέρων εἶναι πεπληρωμένην. δηλοῖ δέ, ὅτι πρότερον ἐκείνων, καὶ τότε τούτου ἐποιήσατο ἐπιμέλειαν. ὅσα ἐποίει, φησί, μετ' αὐτῶν ἡ Δορκὰς οὖσα. πολλὴ ἡ ταπεινοφροσύνη. οὐ γὰρ ὥσπερ ἡμεῖς, ἀλλὰ κοινῇ πάντες ἦσαν, πολλὴν τῆς ἐλεημοσύνης ποιούμενοι λόγον.

40 Καὶ ἐκβαλὼν ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο. καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. Τί δήποτε πάντας ἐκβάλλει; ὥστε μὴ συγχυθῆναι τοῖς δάκρυσι, μηδὲ διαταραχθῆναι. καὶ θεὶς τὰ γόνατα προσηύξατο. τοῦτο δεῖγμα ἐπιτεταμένης εὐχῆς.

καὶ

* Ἰησοῦς

* αὐτόν, ...

χ. εἰς τὴν οἰκίαν ὅτι ἦν ὁ Πέτρος ἀπ... φιλοσοφεῖν. χ. ἡμᾶς ὑπ... δεῖξε. χ. δειπνεῖ

καὶ κρατήσας, φησὶ, τῆς χειρός. ἐνταῦθα δείκνυσι κατὰ μέρος τὴν ζωὴν, εἶτα τὴν δύναμιν εἰσαγομένην, τὴν μὲν διὰ τοῦ ῥήματος, τὴν δὲ διὰ τῆς χειρός.

41 Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν. καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. Τοῖς μὲν εἰς παράκλησιν, ὅτι τὴν ἀπέλαβον τὴν ἀδελφὴν, καὶ ὅτι θαῦμα εἶδον· τοῖς δὲ εἰς προστασίαν.

42 Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

Ὅρα τὸ ἄτυφον τοῦ Πέτρου καὶ τὸ ἐπιεικές· πῶς οὐ παρὰ ταύτῃ μένει, οὐδὲ παρὰ ἄλλῳ τινὶ τῶν ἐπισήμων, ἀλλὰ παρὰ βυρσεῖ, διὰ πάντων εἰς ταπεινοφροσύνην ἐνάγων, οὔτε τοὺς εὐτελεῖς αἰσχύνεσθαι ἀφιεὶς, οὔτε τοὺς μεγάλους ἐπαίρεσθαι. ὃς καὶ διὰ τοῦτο ἔκρινε διελθεῖν, ἐπειδὴ τῆς αὐτοῦ διδασκαλίας ἐδέοντο οἱ πιστεύσαντες. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐπειρᾶτο, φησὶ, κολλᾶσθαι τοῖς μαθηταῖς. οὐκ ἀναισχύντως προσῆλθεν, ἀλλ' ὑποσταλμένως. μαθητὰς δὲ καλεῖ καὶ τοὺς μὴ τελοῦντας εἰς τὸν χορὸν τῶν δώδεκα· διότι μαθηταὶ πάντες ἐκαλοῦντο τότε διὰ τὴν πολλὴν ἀρετήν. ἦν γὰρ ἡ εἰκὼν τῶν μαθητῶν δήλη. καὶ πάντες ἐφοβοῦντο αὐτὸν, φησίν. ὅρα πῶς ἐφοβοῦντο τοὺς κινδύνους· πῶς ἔτι τὸ δέος ἐνήκμαζε. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς. ἐμοὶ δοκεῖ ὁ Βαρνάβας ἄνωθεν αὐτῷ εἶναι φίλος· διὸ καὶ πάντα διηγεῖται τὰ κατ' αὐτόν. οὐδὲν δὲ τούτων αὐτὸς λέγει· οἶμαι δὲ ὅτι καὶ εἰς τοὺς ἄλλους οὐκ ἂν ἐξηνέγκεν ὕστερον, εἰ μή τις ἀνάγκη γέγονεν αὐτῷ. καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος εἰς Ἱερουσαλὴμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. τοῦτο καὶ τοῖς ἄλλοις ἐδίδου θαῤῥεῖν. ὁρᾷς καὶ ἐκεῖ, καὶ ἐνταῦθα τοὺς ἄλλους προθυμουμένους καὶ κατασκευάζοντας ὥστε αὐτὸν ἀπελθεῖν, καὶ οὐδαμοῦ τέως ἀπολαύοντα αὐτὸν θείας ῥοπῆς; οὕτω γοῦν αὐτῷ δείκνυται καὶ τὸ σφοδρόν. ὥστε οὐ διὰ γῆς ἐμοὶ δοκεῖ τὴν πορείαν αὐτὸν ποιεῖσθαι, ἀλλὰ καὶ ἔπλει λοιπόν. καὶ τοῦτο δὲ οἰκονομικῶς γίνεται, εἰς τὸ αὐτὸν καὶ ἐκεῖ κηρύξαι. ἄρα καὶ αἱ ἐπιβουλαὶ ὑπὲρ αὐτῶν, καὶ τὸ εἰς Ἱεροσόλυμα ἐλθεῖν, οἰκονομικῶς· ἵνα μηκέτι ἀπιστῆται τὰ κατ' αὐτόν. ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. καὶ εἶχον, φησὶν, εἰρήνην αἱ ἐκκλησίαι οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου· τουτέστιν, ηὔξησαν, καὶ τὴν εἰρήνην αὐτὴν εἶχον πρὸς ἑαυτὴν, τὴν ὄντως εἰρήνην. εἰκότως. σφόδρα γὰρ αὐτοὺς ὁ πόλεμος ἐκάκωσεν ὁ ἔξωθεν. καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. παρεκάλει αὐτοὺς τὸ πνεῦμα, καὶ διὰ τῶν θαυμάτων, καὶ διὰ τῶν ἔργων· καὶ χωρὶς δὲ τούτων, καὶ καθ' ἑαυτὸν ἕκαστον. ἐγένετο δὲ Πέτρον διερχόμενον κατελθεῖν πρὸς Λύδδαν. εὗρε δὲ ἐκεῖ ἄνθρωπον κατακείμενον, καὶ εἶπεν αὐτῷ· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός. οὐκ ἐπισημαινόμενος τὸ ῥῆμα, ἀλλὰ θαῤῥοῦντος ὅτι ἔσται. ἐμοὶ δὲ σφόδρα δοκεῖ, ὅτι τούτῳ ἐπίστευσε τῷ ῥήματι ὁ ἀσθενῶν, καὶ γέγονεν ὑγιής. ὅτι δὲ ἄτυφος, καὶ ἐκ τῶν ἑξῆς δῆλον. οὐ γὰρ εἶπεν, ἐν τῷ ὀνόματι Ἰησοῦ· ἀλλ' ὡς σημεῖον μᾶλλον αὐτὸ διηγεῖται. εἶδον δὲ οἱ κατοικοῦντες Λύδδαν, καὶ ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. ἄρα οὐ μάτην ἔλεγον, εἰς τὸ πεῖσαι καὶ παρακαλέσαι τὰ θαύματα ἐτελεῖτο. ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, φησὶν, ὀνόματι Ταβηθά. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. εἶδες πανταχοῦ τὰ σημεῖα γινόμενα; *οὐχ ἁπλῶς ἀπέθανεν ἡ Ταβηθὰ, ἀλλ' ἐν ἀῤῥωστίᾳ γενομένη. διὸ καὶ οὐ καλοῦσι Πέτρον, ἕως ὅτε ἐτελεύτησεν. ἀκούσαντες δὲ οἱ μαθηταὶ, ἀπέστειλαν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. ὅρα· δι' ἑτέρων πέμπουσι καὶ καλοῦσιν· ὁ δὲ πείθεται καὶ ἥκει, οὐχ ὕβριν τὸ πρᾶγμα νομίζων τὸ κληθῆναι. οὕτω μέγα ἡ θλῖψις ἀγαθόν. τοῦτο συγκροτεῖ τὰς ἡμετέρας ψυχάς. οὐδαμοῦ κοπετὸς ἐκεῖ, οὐδαμοῦ θρῆνος. λούσαντες αὐτὴν, φησὶν, ἔθηκαν ἐν ὑπερῴῳ· τουτέστι, τὰ ἐπὶ νεκρῷ πάντα ἐποίησαν. ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς, καὶ ἀνελθὼν εἰς τὸ ὑπερῷον, θεὶς τὰ γόνατα προσηύξατο.

γρ. αὐτὸν

γρ. ἀπολαύοντα

γρ. ἵνα γὰρ αὐτοί.

* ἡμεῖς δὲ οὕτως αὐτοὺς πενθοῦμεν ὡς τῶν ὁρωμένων.

καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβηθά, ἀνάστηθι. οὐ πάντα συγχωρεῖ ὁ Θεὸς μετὰ τῆς αὐτῆς εὐκολίας τὰ σημεῖα ἐργάζεσθαι. τοῦτο δὲ αὐτοὺς ὠφέλει. οὐ γὰρ δὴ μόνον τῆς τῶν ἄλλων ἐφρόντιζεν ὁ Θεὸς σωτηρίας, ἀλλὰ καὶ τῆς αὐτῶν. ὁ γοῦν τῇ σκιᾷ τοσούτους θεραπεύων, νῦν τοσαῦτα πρὸς τὸ ἐξαναστῆσαι ποιεῖ. ἔστι δὲ ὅπου καὶ ἡ πίστις τῶν προσιόντων συνήργει. ταύτην οὖν πρώτην νεκρὰν ἀνίστησι, καλῶν ἐξ ὀνόματος· ἡ δὲ ὥσπερ ἐξ ὕπνου ἐγερθεῖσα πρότερον ἤνοιξε τοὺς ὀφθαλμούς· εἶτα εὐθὺς ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε, καὶ τελευταῖον ἀπὸ τῆς χειρὸς τῆς ἁφῆς στερεοῦται. σὺ δέ μοι σκόπει τὸ κέρδος, πῶς πάλιν, καὶ τὸν καρπὸν οὐ πρὸς ἐπίδειξιν ἦν τα. διὰ τοῦτο [γοῦν] καὶ ἐκβάλλει πάντας ἔξω, τὸν διδάσκαλον κἀν τούτῳ μιμούμενος. ἔνθα γὰρ δάκρυα, τοιοῦτον μυστήριον οὐ δεῖ τελεῖσθαι· μᾶλλον δὲ ἔνθα θαύματα, οὐ δεῖ δάκρυα παρεῖναι.

ΗΘΙΚΟΝ Ἀκούσατε, παρακαλῶ. εἰ καὶ μὴ τοιοῦτόν τι γέγονε; ἀλλὰ καὶ ἐν τοῖς νῦν νεκροῖς μέγα τελεῖται μυστήριον. εἰπὲ δή μοι· εἰ καθημένων ἡμῶν ἔπεμψεν ὁ βασιλεύς τινα καλῶν εἰς τὰ βασίλεια, κλαίειν ἔδει καὶ θρηνεῖν; ἄγγελοι παρεῖσιν ἐξ οὐρανῶν ἀπεσταλμένοι, κἀκεῖθεν ἥκοντες, παρ' αὐτοῦ πεμφθέντες τοῦ βασιλέως τὸν σύνδουλον καλέσαι τὸν αὐτῶν, καὶ σὺ κλαίεις; οὐκ οἶδας οἷον μυστήριόν ἐστι τὸ γινόμενον; πῶς φρικτὸν καὶ φοβερόν, καὶ ὕμνων ἄξιον ὄντως καὶ χαρᾶς; βούλει μαθεῖν, ἵνα εἰδῇς ὅτι οὐχὶ δακρύων ὁ καιρός; τῆς τοῦ Θεοῦ σοφίας μέγιστόν ἐστι τοῦτο μυστήριον. ὥσπερ γάρ τινα οἰκίαν ἀφιεῖσα πρόεισιν ἡ ψυχὴ πρὸς τὸν ἑαυτῆς ἐπιτηδευμένην δεσπότην· σὺ δὲ πενθεῖς; οὐκοῦν καὶ τικτομένου τοῦ παιδίου τοῦτο ποιεῖν ἐχρῆν. καὶ γὰρ τοῦτο τόκος ἐστὶν ἐκείνου βελτίων. πρόεισι γὰρ ἐφ' ἕτερον φῶς, ἀπολύεται ὥσπερ ἀπὸ δεσμωτηρίου τινός, ὡς ἀπὸ ἀγῶνος ἐξέρχεται. ναί, φησιν, ἐπὶ μὲν τῶν εὐδοκίμων καλῶς ταῦτα λέγεις. καὶ τί πρὸς σέ, ἄνθρωπε; σὺ γὰρ οὐδὲ ἐπὶ εὐδοκίμων τοῦτο ποιεῖς. εἰπὲ δή μοι, τί τοῦ παιδίου κατηγορῆσαι ἔχοις ἂν τοῦ μικροῦ; τίνος ἕνεκεν πενθεῖς αὐτό; τί τοῦ νεοφωτίστου; καὶ γὰρ καὶ ἐκεῖνος εἰς τὸ αὐτὸ περιέστη. τίνος [οὖν] ἕνεκεν πενθεῖς αὐτόν; οὐκ οἶδας, ὅτι καθάπερ ἥλιος καθαρὸς ἀνέεισιν, οὕτω καὶ ψυχὴ σῶμα ἀπολείπουσα, μετὰ καθαροῦ συνειδότος λάμπει φαιδρά; οὐχ οὕτω βασιλέα ἐπιβαίνοντα πόλεως μετὰ τοσαύτης ἐστὶ σιγῆς ἰδεῖν, ὡς ψυχὴν ἀφεῖσαν σῶμα καὶ μετὰ ἀγγέλων ἀπιοῦσαν. ἐννόησον τίς ἐστιν ἡ ψυχή; ἐν οἵᾳ τότε ἐκπλήξει γέγονεν, ἐν οἵῳ θαύματι, ἐν οἵᾳ ἡδονῇ; τί πενθεῖς, εἰπέ μοι; μὴ γὰρ ἐπὶ ἁμαρτωλῶν τοῦτο μόνον ποιεῖς; εἴθε τοῦτο ἦν, καὶ οὐκ ἂν ἐκώλυσα τὰ πένθη· εἴθε τοιοῦτος ὁ σκοπὸς ἦν. ἔστιν ὁ θρῆνος ἀποστολικός, ἔστιν ὁ θρῆνος καὶ δεσποτικός. ἔκλαυσε γὰρ καὶ Ἰησοῦς τὴν Ἱερουσαλήμ. ἐβουλόμην τούτῳ διῃρῆσθαι τῷ νόμῳ τὰ πένθη. ὅταν δὲ ἀνακαλούμενος ῥήματα λέγῃς, καὶ συνήθειαν, καὶ προστασίαν, οὐχὶ διὰ τοῦτο πενθεῖς; ἀλλὰ σκήπτῃ. πένθησον, στέναξον τὸν ἁμαρτωλόν· καὶ ἐγὼ καταστάξω δάκρυα· καὶ ἐγὼ σοῦ μᾶλλον, ὅσῳ καὶ μείζονι τιμωρίᾳ ὑπεύθυνος ὁ τοιοῦτος, καὶ ἐγὼ θρηνήσω μετὰ τοιούτου σκοποῦ. οὐ σὲ δὲ μόνον τὸν τοιοῦτον δεῖ θρηνεῖν, ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν, καὶ τοὺς ἀποδημοῦντας, καθάπερ τοὺς ἐπὶ θάνατον ἀπαγομένους. ὄντως γὰρ θάνατος τούτοις ἐστὶ πονηρός, ὁ τῶν ἁμαρτωλῶν· ἀλλὰ τὰ ἄνω κάτω γέγονε. οὗτος ὁ θρῆνος καὶ φιλοσοφίας ἐστί, καὶ διδασκαλίαν ἔχει πολλήν· ἐκεῖνος δὲ μικροψυχίας. εἰ ἐθρηνοῦμεν τοῦτον τὸν θρῆνον ἀπόντες, ζῶντας ἂν αὐτοὺς διωρθωσάμεθα. ὥσπερ γὰρ εἰ κύριος ἦς φάρμακα ἐπενεγκεῖν κωλύοντα τὸν θάνατον ἐκεῖνον τὸν σωματικόν, ἐποίησας ἄν· οὕτω καὶ νῦν, εἰ [γε] τοῦτον ἐθρήνεις τὸν θάνατον, ἐκώλυσας ἂν καὶ ἐπὶ σοῦ, καὶ ἐπ' ἐκείνου τοῦτο γενέσθαι. νῦν δὲ αἴνιγμά ἐστι τὸ γινόμενον· κυρίους μὲν ὄντας μὴ συγχωρῆσαι τοῦτον ἐπελθεῖν, ἀφεῖναι γενέσθαι, γενόμενον δὲ πενθεῖν. ὄντως θρήνων ἄξιοι· ὅταν παραστῶσι τῷ βήματι τοῦ Χριστοῦ, οἷα ἀκούσονται ῥήματα, οἷα πείσονται πράγματα; εἰκῆ ἔζησαν οὗτοι· μᾶλλον δὲ οὐκ εἰκῆ, ἀλλὰ καὶ ἐπὶ κακῷ. καὶ ἐπὶ τούτων εὔκαιρον εἰπεῖν· Συμφέρον ἦν αὐτοῖς, εἰ οὐκ ἐγεννήθησαν. (Μαρκ. ιδ. κα.) τί γὰρ ὄφελος, εἰπέ μοι, τοσοῦτον ἀναλῶσαι χρόνον ἐπὶ κακῷ τῆς ἑαυτῶν

κεφαλῆς

γ. αὐτῶν · γ. λάμπει · γ. ἦν · γ. κωλύειν

κεφαλῆς; εἰ γὰρ εἰκῆ μόνον ἀνήλωτο, οὐκ ἂν ἤρκεσεν ἡ ζημία; εἰπέ μοι, εἴ τις μισθωτὸς πονούμενος εἴκοσιν ἔτη κατακόπτοιτο εἰκῆ, οὐ κλαύσεται καὶ θρηνήσει, καὶ δόξει πάντων ἐλεεινότερος εἶναι; καὶ ὅστις πᾶσαν τὴν ζωὴν εἰκῆ κατακόπτῃ, οὐδὲ μίαν ἡμέραν ἔζησεν ἑαυτῷ, ἀλλὰ τῇ τρυφῇ, τῇ ἀσελγείᾳ, τῇ πλεονεξίᾳ, τῇ ἁμαρτίᾳ, τῷ διαβόλῳ. τοῦτον οὖν οὐ θρηνήσομεν, εἰπέ μοι; οὐ πειρασόμεθα τῶν κινδύνων ἐξαρπάσαι; ἔστι γάρ, ἔστιν, ἐὰν θέλωμεν, κούφην αὐτῷ γενέσθαι τὴν κόλασιν. ἂν οὖν εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν συνεχεῖς, ἂν ἐλεημοσύνην διδῶμεν· κἂν ἐκεῖνος ἀνάξιος ᾖ, ἡμᾶς ὁ Θεὸς "δυσωπήσεται." εἰ διὰ Παῦλον ἑτέρους διέσωσε, καὶ δι' ἄλλων φείδεται, πῶς οὐχὶ καὶ δι' ἡμᾶς τὸ αὐτὸ τοῦτο ἐργάσεται; ἐκ τῶν ἐκείνου χρημάτων, ἐκ τῶν σῶν, ὅθεν ἂν θέλῃς, βοήθησον· ἐπίσταξον ἔλαιον, μᾶλλον δὲ ὕδωρ. οὐκ ἔχει ἐλεημοσύνας οἰκείας ἐπιδείξασθαι; κἂν συγγενικάς. οὐκ ἔχει τὰς ὑπὲρ αὐτοῦ γεγενημένας; κἂν τὰς ὑπὲρ αὐτοῦ. "οὕτω μετὰ παρρησίας αὐτὸν" παραιτήσεται τότε ἡ γυνή, λύτρα ὑπὲρ αὐτοῦ καταθεμένη. ὅσῳ πλειόνων γέγονεν ἁμαρτημάτων ὑπεύθυνος, τοσούτῳ "μείζονος αὐτῷ δεῖ τῆς ἐλεημοσύνης. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι οὐδὲ ἴσην ἔχει τὴν ἰσχὺν, ἀλλ' ἐλάττω πολλῷ. οὐ γάρ ἐστιν ἴσον αὐτόν τινα ποιῆσαι, καὶ ἕτερον ὑπὲρ αὐτοῦ. ὡς οὖν ἐλάττονος οὔσης, οὕτω τῷ πλήθει μεγίστην ποιῶμεν αὐτήν. μὴ περὶ σήματα, μὴ περὶ ἐνταφία ἀσχολώμεθα. περιίστησον χήρας· τοῦτο ἐνταφίον μέγιστον. εἰπὲ τοὔνομα· πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ τὰς ἱκετηρίας, δυσωπήσει τοῦτο τὸν Θεόν, εἰ καὶ μὴ ὑπ' αὐτοῦ γέγονεν, ἀλλὰ δι' αὐτὸν ἕτερος αἴτιος γέγονε τῆς ἐλεημοσύνης, καὶ τοῦτο [δόγμα] τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστί. χῆραι περιεστῶσαι καὶ δακρύουσαι, οὐχὶ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος "δύνανται" ἐξαρπάσαι θανάτου. πολλοὶ καὶ [ἐκ] τῶν ὑφ' ἑτέρων δι' αὐτοὺς γεγενημένων ἐλεημοσυνῶν ἀπώναντο. εἰ γὰρ καὶ μὴ τέλεον, ἀλλ' ὅμως παραμυθίαν εὗρόν τινα. ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, πῶς τὰ παιδία σώζεται; καίτοιγε ἐκεῖ οὐδὲν αὐτὰ εἰσφέρει, ἀλλ' οἱ γονεῖς τὸ πᾶν· καὶ γυναιξὶν ἐχαρίσθη παιδία πολλάκις, οὐδὲν αὐτὰ εἰσενεγκόντα. * πολλὰς ἡμῖν ὁ Θεὸς τοῦ σώζεσθαι δέδωκεν ὁδούς, μόνον μὴ ἀμελῶμεν. τί οὖν, ἄν τις πένης ᾖ, φησί; πάλιν ἐρῶ, τὸ πολὺ τῆς ἐλεημοσύνης οὐκ "ἐκ τῶν διδομένων κρίνεται" μόνον, ἀλλὰ καὶ "ἐκ τῆς προαιρέσεως· μόνον μὴ δῷς ἐλάττω τῆς δυνάμεως, καὶ τὸ πᾶν ἐξετίσας. τί οὖν, φησίν, ἂν ἔρημος ᾖ καὶ ξένος καὶ μηδένα ἔχῃ; διὰ τί γὰρ μηδένα ἔχει, εἰπέ μοι; τούτῳ αὐτῷ δίδωσι δίκην, ὅτι μηδένα οὕτω φίλον, οὕτως ἐνάρετον ἔχει. τοῦτο οὖν γένηται, ἵνα κἂν αὐτοὶ μὴ ὦμεν ἐνάρετοι, σπουδάζωμεν ἑταίρους καὶ φίλους ἐναρέτους ἔχειν, καὶ γυναῖκα, καὶ υἱόν, ὡς καρπούμενοί τι καὶ δι' αὐτῶν· μικρὸν μὲν καρπούμενοι, καρπούμενοι δὲ ὅμως. ἂν σπουδάσῃς μὴ πλουτοῦσαν, ἀλλ' εὐλαβῆ γυναῖκα ἀγαγέσθαι, ταύτης ἀπολαύσῃ τῆς παραμυθίας· ὁμοίως ἂν σπουδάσῃς μὴ πλουτοῦντα υἱὸν καταλιπεῖν, ἀλλ' εὐλαβῆ, καὶ θυγατέρα σεμνήν, καὶ οὕτω ταύτης ἀπολαύσῃ τῆς παραμυθίας. ἂν ταῦτα σπουδάσῃς, καὶ αὐτὸς ἔσῃ τοιοῦτος. καὶ τοῦτο μέρος ἀρετῆς, τὸ τοιούτους αἱρεῖσθαι καὶ φίλους, καὶ γυναῖκα, καὶ παιδία. οὐκ εἰκῆ προσφοραὶ ὑπὲρ τῶν ἀπελθόντων γίνονται, οὐκ εἰκῆ ἱκετηρίαι, οὐκ εἰκῆ ἐλεημοσύναι. ταῦτα πάντα τὸ πνεῦμα διέταξε, δι' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βουλόμενον. ὅρα γάρ· ὠφελεῖται ἐκεῖνος διὰ σοῦ, ὠφελῇ σὺ δι' ἐκεῖνον. κατεφρόνησας χρημάτων, προαχθεὶς ἐργάσασθαί τι γενναῖον· καὶ σὺ αὐτῷ τῆς σωτηρίας, καὶ αὐτός σοι τῆς ἐλεημοσύνης γέγονεν αἴτιος. μὴ ἀμφίβαλλε ὅτι καρπώσεταί τι χρηστόν. οὐχ ἁπλῶς ὁ διάκονος βοᾷ, ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν "ἐπιτελουμένων"· οὐχ ὁ διάκονός ἐστιν ὁ ταύτην ἀφιεὶς τὴν φωνήν, ἀλλὰ τὸ πνεῦμα· [οὐ] τὸ ἅγιον, τὸ [δὲ] χάρισμα λέγω. τί λέγεις; ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται εὐτρεπισμένα· πάρεισιν ἄγγελοι, ἀρχάγγελοι· πάρεστιν ὁ υἱὸς τοῦ Θεοῦ· μετὰ τοσαύτης φρίκης ἑστήκασιν ἅπαντες· παρεστήκασιν ἐκεῖνοι βοῶντες, πάντων σιγώντων, καὶ ἡγῇ ἁπλῶς γίνεσθαι * τὰ γινόμενα; οὐκοῦν καὶ τὰ ἄλ-

τα ἁπλῶς, καὶ τὰ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ τοῦ πληρώματος; μὴ γένοιτο· ἀλλὰ πάντα μετὰ πίστεως γίνεται. τί οἴει δὲ τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι; τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ; κἂν μάρτυρες ὦσι, κἂν ὑπὲρ μαρτύρων, μεγάλη τιμὴ τὸ ὀνομασθῆναι, τοῦ δεσπότου παρόντος, τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου, τῆς φρικτῆς θυσίας, τῶν ἀφάτων μυστηρίων. καθάπερ γὰρ καθημένου τοῦ βασιλέως, ὅσα ἂν τις βούληται, ἀνύει· ἐπαναστάντος δὲ, ὅσα ἂν λέγῃ, εἰκῇ ἐρεῖ· οὕτω καὶ τότε, ἕως ἂν προκέηται τὰ μυστήρια, πᾶσι τιμὴ μεγίστη τὸ μνήμης ἀξιοῦσθαι. ὅρα γάρ· καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτὸν, ὅτι ὑπὲρ τῆς οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτὸν τῶν ἡμαρτηκότων. καθάπερ γὰρ ὅταν ἐπινίκια τῶν βασιλέων ἄγηται, τότε εὐφημοῦνται μὲν καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν· ἀφίενται δὲ καὶ ὅσοι ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν· παρελθόντος δὲ τοῦ καιροῦ ὁ μὴ τυχὼν, οὐκ ἔτι τινὸς ἀπολαύει· οὕτω δὴ καὶ ἐνταῦθα, τῶν ἐπινικίων ἐστὶν ὁ καιρός. Ὁσάκις γὰρ ἂν, φησιν, ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. μὴ δὴ ἁπλῶς προσιώμεθα, μηδὲ, ὡς ἔτυχε, ταῦτα γίνεσθαι νομίζωμεν. ἄλλως δὲ, μαρτύρων μεμνήμεθα, καὶ τοῦτο εἰς πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος· καὶ τοῦτο τοῦ τεθανατῶσθαι τὸν θάνατον, σημεῖον, τοῦ νεκρὸν αὐτὸν γεγενῆσθαι. ταῦτα εἰδότες, ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν, ἀντὶ δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων, τὰς ἐλεημοσύνας, τὰς εὐχὰς, τὰς προσφορὰς, ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. τοῦ μέλλ. ἐπιτελουμένου θανάτου

α. Κορ. ια. κϛ.

κεφ. ι. Λογ. κβ. 1 ΑΝΗΡ ΔΕ ΤΙΣ ΕΝ ΚΑΙΣΑΡΕΙΑ ΟΝΟΜΑΤΙ Κορνήλιος ἑκατοντάρχης, ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν ἐλεημοσύνας πολλὰς τῷ λαῷ, 3 Καὶ δεόμενος τοῦ Θεοῦ διαπαντὸς, εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρα ἐννάτη τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. 4 Ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος, εἶπε· τί ἐστι, Κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

γρ. ἐννάτην

Οὗτος οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ ζῶν κατὰ τὸν νόμον, ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν. [καὶ] ὅρα δύο τινὰς εὐνούχους τέως, τόν τε εὐνοῦχον τὸν ἀπὸ τῆς Γάζης, καὶ τοῦτον, ἐν ἀξιώμασιν ὄντας ἀμφοτέρους, καὶ * πολλὴν ὑπὲρ τούτων γινομένην σπουδήν. ἀλλὰ μὴ νομίσῃς, ὅτι διὰ τὰ ἀξιώματα. οὐ διὰ ταῦτα (μὴ γένοιτο) ἀλλὰ διὰ τὴν εὐλάβειαν. διὰ γοῦν τοῦτο καὶ τὰ ἀξιώματα τέθειται, ἵνα μείζων ἡ εὐλάβεια δειχθῇ. θαυμαστότερον γὰρ, ὅταν ἐν πλούτῳ καὶ δυναστείᾳ τις ὢν τοιοῦτος ᾖ. ἀλλὰ μέγα ἐκείνου ἐγκώμιον, τὸ τοσαύτην ἀποδημίαν στέλλεσθαι, καὶ τὸ μηδὲ καιροῦ τοιούτου ὄντος ἐν ὁδῷ ἀναγινώσκειν, καὶ τὸ ἐπὶ ὀχήματος φερόμενον, καὶ τὸ τὸν Φίλιππον παρακαλεῖν, καὶ μυρία ἕτερα· μέγα καὶ τούτου, τὸ ἐλεημοσύνας ποιεῖν καὶ εὐχὰς, καὶ εὐσεβῆ εἶναι ἐν ἀρχῇ τοιαύτῃ. διὸ καὶ ἀπὸ ταύτης τὸν ἄνδρα ποιεῖ γνώριμον καὶ δῆλον· εἰκότως· ἵνα μή τις εἴπῃ ὅτι ψεύδεται τὴν γραφὴν ἡ ἱστορία. ἐκ σπείρης, φησὶ, τῆς καλουμένης Ἰταλικῆς. σπεῖρά ἐστιν, ὃ καλοῦμεν νῦν νούμερον. εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ταῦτα λέγει, ἵνα μὴ νομίσῃς, ὅτι διὰ τὸ ἀξίωμα τὰ κατ' αὐτὸν οὕτως οἰκονομεῖται. ὅτι δίω

γρ. ἤδη καὶ

* ἴσ.

γρ. δὲ

γρ. καλῶς, καὶ τὸ ἐν

γρ. δῆμοι

Παῦλον

Παῦλον προσαχθῆναι ἔδει, οὐδαμοῦ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος φαίνεται· οὐδὲ πέμπει αὐτὸν πρὸς ἕνα τινὰ τῶν δώδεκα, ἀλλὰ πρὸς Ἀνανίαν. ἐνταῦθα δὲ τοὐναντίον· τὸν κορυφαῖον ἄγει, ὡς Φίλιππον πρὸς τὸν εὐνοῦχον, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, καὶ διδάσκων πῶς κεχρῆσθαι δεῖ τοῖς τοιούτοις. ἐπεὶ καὶ ὁ Χριστὸς αὐτὸς ἀπιὼν φαίνεται πολλάκις πρὸς τοὺς κακῶς πάσχοντας, καὶ δι' ἑαυτῶν προσιέναι μὴ δυναμένους. ἴδε δέ μοι καὶ ταῦτα πάλιν ἐλεημοσύνης ἄλλο ἐγκώμιον, ὥσπερ ἐκεῖ διὰ τῆς Ταβιθᾶς. ἀνήρ, φησιν, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ἀκούσωμεν ὅσοι τῶν οἰκείων ἀμελοῦμεν. οὗτος δὲ καὶ στρατιωτῶν ἐπεμελεῖτο, ποιῶν τε ἐλεημοσύνας παντὶ τῷ λαῷ. οὕτω καὶ τὰ δόγματα, καὶ ὁ βίος αὐτῷ διώρθωτο. Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρα ἐννάτη τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτόν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. Διὰ τί βλέπει τὸν ἄγγελον; καὶ τοῦτο εἰς πληροφορίαν Πέτρου· μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τῶν ἄλλων τῶν ἀσθενεστέρων. ἐννάτη δὲ ὥρα, ὅτε φροντίδων ἠφίετο καὶ ἐν ἡσυχίᾳ ἦν, ὅτε ἐν εὐχαῖς καὶ ἐν κατανύξει. ἀτενίσας δὲ αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπεν. ὅρα τὸν ἄγγελον οὐκ εὐθέως λέγοντα ἃ λέγει, ἀλλὰ πρότερον λύοντα τὸν φόβον, καὶ τὴν διάνοιαν αὐτοῦ μετεωρίζοντα. καὶ γὰρ ἀπὸ τῆς ὄψεως φόβος ἐγένετο· ἀλλὰ φόβος σύμμετρος, ὅσον ἐπιστρέψαι μόνον. εἶτα τὰ ῥήματα τὸν φόβον ἔλυσε· μᾶλλον δὲ ὁ δι' αὐτῶν ἔπαινος τὸ τοῦ φόβου τραχὺ κατελέαινεν. ἄκουε δὲ καὶ οἷα τὰ ῥήματα. αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 Νῦν οὖν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος. Ἵνα μὴ ἐπ' ἄλλον ἔλθωσιν, οὐκ ἀπὸ τοῦ ἐπωνύμου μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τόπου δηλοῖ τὸν ἄνδρα.

6 Καὶ αὐτός ἐστι ξενιζόμενος πρός Σίμωνά τινα βυρσέα, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν. Εἶδες πῶς τὰ ἀνακεχωρηκότα τῶν πόλεων ἐδίωκον οἱ ἀπόστολοι, ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας; τί οὖν εἰ συνέβη καὶ ἄλλον εἶναι Σίμωνα, καὶ τοῦτον βυρσέα; ἀλλ' εἶχε καὶ ἄλλο σημεῖον, τὸ παρὰ θάλασσαν οἰκεῖν. τὰ τρία οὐκ ἦν δυνατὸν συμπεσεῖν. καὶ οὐκ εἶπε, διὰ τί· ἵνα μὴ ἐκλύσῃ αὐτόν· ἀλλὰ ἀφῆκεν, ὥστε ἐν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι.

7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην. Ὁρᾷς ὅτι οὐχ ἁπλῶς ταῦτα λέγει, ἀλλ' ὅτι καὶ οἱ προσκαρτεροῦντες αὐτῷ τοιοῦτοι ἦσαν; καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, φησίν. ὅρα τὸ ἄτυφον. οὐκ εἶπε, καλέσατέ μοι Πέτρον· ἀλλ' ὥστε καὶ πεῖσαι, ἐξηγήσατο ἅπαντα. οὕτως οἰκονομίας ἦν. οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι. διὰ τοῦτο ἐξηγεῖται λοιπόν. οὕτως ἦν μέτριος ὁ ἀνήρ· καίτοι οὐδὲν μέγα ἦν φαντασθῆναι περὶ ἀνδρὸς καταγομένου παρὰ βυρσεῖ.

9 Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην. Ὅρα πῶς τοὺς καιροὺς συνάγει τὸ πνεῦμα, καὶ οὔτε θᾶττον, οὔτε βραδύτερον ποιεῖ τοῦτο γενέσθαι. ἀνέβη, φησίν, ὁ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην· τουτέστι, κατ' ἰδίαν καὶ ἐν ἡσυχίᾳ, ὡς ἂν ἐν ὑπερῴῳ.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις. Τί ἐστιν ἔκστασις; πνευματική, φησι, θεωρία γέγονεν αὐτῷ· τοῦ σώματος, ὡς ἂν εἴποι τις, ἐξέστη ἡ ψυχή.

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι, ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς,

12 Ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

[Margin notes: γ. μέγαν τινά, ἀλλὰ πρὸς ὑπηρέτ. ἐντ. καὶ γ. οὐκ αὐτὸν πέμπει συγ... — γ. ὥραν ἐννάτην — γ. αἴροντα αὐτοῦ τὴν διάν. καὶ μετεωρίζοντα ἀπὸ τῆς ὄψεως φόβ. — γ. ὁ φόβ. τὸ δήγμα... τοῦ φόβου τὸ τραχὺ κατεμάλαξεν. — γ. μεταπέμψαι — γ. ποσοῦτον]

γίνεσθαι ἁπλῶς, καὶ τὰ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ τοῦ πληρώματος; μὴ γένοιτο· ἀλλὰ πάντα μετὰ πίστεως γίνεται. τί οἴει τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι; τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ; κἂν μάρτυρες ὦσι, κἂν ὑπὲρ μαρτύρων, μεγάλη τιμὴ τὸ ὀνομασθῆναι, τοῦ δεσπότου παρόντος, τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου, τῆς φρικτῆς θυσίας, τῶν ἀφάτων μυστηρίων. καθάπερ γὰρ καθημένου τοῦ βασιλέως, ὅσα ἂν τις βούληται, ἀνύει· ἐγερθέντος δὲ, ὅσα ἂν λέγῃ, εἰκῆ ἐρεῖ· οὕτω καὶ τότε, ἕως ἂν προκέηται τὰ τῶν μυστηρίων, πᾶσι τιμὴ μεγίστη τὸ μνήμης ἀξιοῦσθαι. ὅρα γάρ· καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτὸν, ὅτι ὑπὲρ τῆς οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτὸν τῶν ἡμαρτηκότων. καθάπερ γὰρ ὅταν ἐπινίκια τῶν βασιλέων ἄγηται, τότε εὐφημοῦνται μὲν καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν· ἀφίενται δὲ καὶ ὅσοι ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν· παρελθόντος δὲ τοῦ καιροῦ ὁ μὴ τυχὼν, οὐκ ἔτι τινὸς ἀπολαύει· οὕτω δὴ καὶ ἐνταῦθα, τῶν ἐπινικίων ἐστὶν ὁ καιρός. Ὁσάκις γὰρ ἂν, φησὶν, ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. μὴ δὴ ἁπλῶς προσιώμεθα, μηδὲ, ὡς ἔτυχε, ταῦτα γίνεσθαι νομίζωμεν. ἄλλως δὲ, μαρτύρων μεμνήμεθα, καὶ τοῦτο εἰς πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος· καὶ τοῦτο τοῦ τεθανατῶσθαι τὸν θάνατον, σημεῖον, τοῦ νεκρὸν αὐτὸν γεγενῆσθαι. Ταῦτα εἰδότες, ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν, ἀντὶ δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων, τὰς ἐλεημοσύνας, τὰς εὐχὰς, τὰς προσφοράς, ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α. Κορ ια. κϛ.)

(χ. ὁ μετὰ ἐπιτελουμένου ἐκείνου)

κεφ. ι. Λογ. κβ.

1 ΑΝΗΡ ΔΕ ΤΙΣ ΕΝ ΚΑΙΣΑΡΕΙΑ ΟΝΟΜΑΤΙ
Κορνήλιος ἑκατοντάρχης, ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,
2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν ἐλε-
ημοσύνας πολλὰς τῷ λαῷ, 3 Καὶ δεόμενος τοῦ Θεοῦ διαπαντὸς, εἶ-
δεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρα ἐννάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελ- (χ. ὁρατῶς)
θόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. 4 Ὁ δὲ ἀτενίσας αὐ-
τῷ καὶ ἔμφοβος γενόμενος, εἶπε· τί ἐστι, Κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσ-
ευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ
Θεοῦ.

ΟΥτος οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ ζῶν κατὰ τὸν νόμον, ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν. [καὶ] ὅρα δύο τινὰς ὄντας τέως, τόν τε εὐνοῦχον τὸν ἀπὸ τῆς Γάζης, καὶ τοῦτον, ἐν ἀξιώμασιν ὄντας ἀμφοτέρους, καὶ * πολλὴν ὑπὲρ τούτων γινομένην σπουδήν. ἀλλὰ μὴ νομίσῃς, ὅτι διὰ τὰ ἀξιώματα. οὐ διὰ ταῦτα (μὴ γένοιτο) ἀλλὰ διὰ τὴν εὐλάβειαν. διὰ γοῦν τοῦτο καὶ τὰ ἀξιώματα τέθειται, ἵνα μείζων ἡ εὐλάβεια δειχθῇ. θαυμαστότερον γὰρ, ὅταν ἐν πλούτῳ καὶ δυναστείᾳ τις ὢν τοιοῦτος ᾖ. ἀλλὰ μέγα ἐκείνου ἐγκώμιον, τὸ τοσαύτην ἀποδημίαν στέλλεσθαι, καὶ τὸ μηδὲ καιροῦ τοιούτου ὄντος ἐν ὁδῷ ἀναγινώσκειν, καὶ τὸ ἐπὶ ὀχήματος φερόμενον, καὶ τὸ τὸν Φίλιππον παρακαλεῖν, καὶ μυρία ἕτερα· μέγα καὶ τούτου, τὸ ἐλεημοσύνας ποιεῖν καὶ εὐχὰς, καὶ εὐσεβῆ εἶναι ἐν ἀρχῇ τοιαύτῃ. διὸ καὶ ἀπὸ ταύτης τὸν ἄνδρα ποιεῖ γνώριμον καὶ δῆλον· εἰκότως· ἵνα μή τις εἴπῃ ὅτι ψεύδεται τῶν γραφῶν ἡ ἱστορία. ἐκ σπείρης, φησὶ, τῆς καλουμένης Ἰταλικῆς. σπεῖρά ἐστιν, ὃ καλοῦμεν νυνὶ, νούμερον. εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ταῦτα λέγει, ἵνα μὴ νομίσῃς, ὅτι διὰ τὸ ἀξίωμα τὰ κατ' αὐτὸν οὕτως οἰκονομεῖται. ὅτι οὕτω

(χ. ζῇ καὶ) (* ἴσα) (χ. γὰρ) (χ. καλῶς καὶ τὸ ἐν) (χ. δήμου)

Παῦλον

Παῦλον προσαχθῆναι ἔδει, οὐδαμοῦ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος φαίνεται· οὐδὲ πέμπει αὐτὸν πρὸς ἕνα τινὰ τῶν δώδεκα, ἀλλὰ πρὸς Ἀνανίαν. ἐνταῦθα δὲ τοὐναντίον· τὸν κορυφαῖον ἄγει, ὡς Φίλιππον πρὸς τὸν εὐνοῦχον, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, καὶ διδάσκων πῶς κεχρῆσθαι δεῖ τοῖς τοιούτοις. ἐπεὶ καὶ ὁ Χριστὸς αὐτὸς ἀπιὼν φαίνεται πολλάκις πρὸς τοὺς κακῶς πάσχοντας, καὶ δι' ἑαυτῶν προσιέναι μὴ δυναμένους. ὅρα δέ μοι καὶ ἐνταῦθα πάλιν ἐλεημοσύνης ἄλλο ἐγκώμιον, ὥσπερ ἐκεῖ διὰ τῆς Ταβιθᾶς. ἀνήρ, φησιν, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ἀκούσωμεν ὅσοι τῶν οἰκείων ἀμελοῦμεν. οὗτος δὲ καὶ στρατιωτῶν ἐπεμελεῖτο, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ. οὕτω καὶ τὰ δόγματα, καὶ ὁ βίος αὐτῷ διώρθωτο. Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρα ἐννάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. διὰ τί βλέπει τὸν ἄγγελον; καὶ τοῦτο εἰς πληροφορίαν Πέτρου· μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τῶν ἄλλων τῶν ἀσθενεστέρων. ἐννάτη δὲ ὥρα, ὅτι φροντίδων ἠφίετο καὶ ἐν ἡσυχίᾳ ἦν, ὅτε ἐν εὐχαῖς καὶ ἐν κατανύξει. ἀτενίσας δὲ αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπεν. ὅρα τὸν ἄγγελον οὐκ εὐθέως λέγοντα ἃ λέγει, ἀλλὰ πρότερον λύοντα τὸν φόβον, καὶ τὴν διάνοιαν αὐτοῦ μετεωρίζοντα. καὶ γὰρ ἀπὸ τῆς ὄψεως φόβος ἐγένετο· ἀλλὰ φόβος σύμμετρος, ὅσον ἐπιστρέψαι μόνον. εἶτα τὰ ῥήματα τὸν φόβον ἔλυσε· μᾶλλον δὲ ὁ δι' αὐτῶν ἔπαινος τὸ τοῦ φόβου τραχὺ κατελέαινεν. ἄκουε δὲ καὶ οἷα τὰ ῥήματα. αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ·

[Margin: χ. μέγαν τινά, ἀλλὰ πρὸς ὑπηρέτην. ἐν τ. καὶ οὐκ αὐτὸν πέμπει συγ[illegible]. — χ. ὥρᾳ ἐννάτῃ — χ. αἴροντα αὐτοῦ τὴν διάν. καὶ μετεωρίζοντα — ἀπὸ τῆς ὄψεως φόβ. — χ. ὁ φόβος τὸ δύσχερον· ὁ ἔπαινος τοῦ φόβου τὸ τραχὺ κατεμάλαξεν.]

5 Νῦν οὖν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος. Ἵνα μὴ ἐπ' ἄλλον ἔλθωσιν, οὐκ ἀπὸ τοῦ ἐπωνύμου μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τόπου δηλοῖ τὸν ἄνδρα.

6 Καὶ αὐτὸς ἐστι ξενιζόμενος πρὸς Σίμωνά τινα βυρσέα, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν. Εἶδες πῶς τὰ ἀνακεχωρηκότα τῶν πόλεων ἐδίωκον οἱ ἀπόστολοι, ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας; τί οὖν εἰ συνέβη καὶ ἄλλον εἶναι Σίμωνα, καὶ τοῦτον βυρσέα; ἀλλ' εἶχε καὶ ἄλλο σημεῖον, τὸ παρὰ θάλασσαν οἰκεῖν. τὰ τρία οὐκ ἦν δυνατὸν συμπεσεῖν. καὶ οὐκ εἶπε, διὰ τί· ἵνα μὴ ἐκλύσῃ αὐτόν· ἀλλ' ἀφῆκεν, ὥστε ἐν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι.

[Margin: χ. μετάπεμψαι]

7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην. Ὁρᾷς ὅτι οὐχ ἁπλῶς ταῦτα λέγει, ἀλλ' ὅτι καὶ οἱ προσκαρτεροῦντες αὐτῷ τοιοῦτοι ἦσαν; καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, φησίν. ὅρα τὸ ἄτυφον. οὐκ εἶπε, καλέσατέ μοι Πέτρον· ἀλλ' ὥστε καὶ πεῖσαι, ἐξηγήσατο ἅπαντα. οὕτως οἰκονομίας ἦν. οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι. διὰ τοῦτο ἐξηγεῖται λοιπόν. οὕτως ἦν μέτριος ὁ ἀνήρ· καίτοι οὐδὲν μέγα ἦν φαντασθῆναι περὶ ἀνδρὸς καταγομένου παρὰ βυρσεῖ.

[Margin: χ. ποσὸν τὸ]

9 Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην. Ὅρα πῶς τοὺς καιροὺς συνάγει τὸ πνεῦμα, καὶ οὔτε θᾶττον, οὔτε βραδύτερον ποιεῖ τοῦτο γενέσθαι. ἀνέβη, φησίν, ὁ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην· τουτέστι, κατ' ἰδίαν καὶ ἐν ἡσυχίᾳ, ὡς ἂν ἐν ὑπερῴῳ.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις. Τί ἐστιν ἔκστασις; πνευματική, φησι, θεωρία γέγονεν αὐτῷ· τοῦ σώματος, ὡς ἂν εἴποι τις, ἐξέστη ἡ ψυχή.

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι, ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς,

12 Ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε.

14 Ὁ δὲ Πέτρος εἶπε· μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. Τί ποτε τοῦτό ἐστι; σύμβολον τῆς οἰκουμένης ἁπάσης τὸ πρᾶγμα ἦν. ὁ ἄνθρωπος ἀκρόβυστος ἦν, οὐδὲν κοινὸν εἶχε πρὸς Ἰουδαίους. ἐπεὶ οὖν ἔμελλον αὐτοῦ κατηγορεῖν ἅπαντες, ὡς παραβάτου, [καὶ] τοῦτο πάλιν αὐτοῖς προσίστατο, ἀναγκαίως οἰκονομεῖται εἰπεῖν, οὐδέποτε ἔφαγον· οὐχ αὐτὸς δεδοικώς, (μὴ γένοιτο) ἀλλ᾽ ὑπὸ τοῦ πνεύματος, ὡς ἔφην, οἰκονομούμενος, ἵν᾽ ἔχῃ ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι καὶ ἀντεῖπε. πάνυ γὰρ αὐτοῖς ἔμελε τοῦ τὸν νόμον φυλάττεσθαι. εἰς ἔθνη ἐπέμπετο. ἵνα οὖν μὴ καὶ οὗτοι αὐτοῦ κατηγορῶσιν, ὡς ἔφθην εἰπών, ταῦτα οἰκονομεῖται· ἢ καὶ ἵνα μὴ δόξῃ φαντασία τις εἶναι, εἶπε, μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον. ἐγένετο δὲ φωνὴ πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δοκεῖ μὲν πρὸς αὐτὸν λέγεσθαι· τὸ δὲ πᾶν πρὸς Ἰουδαίους λέγεται. εἰ γὰρ ὁ διδάσκαλος ἐπιτιμᾶται, πολλῷ μᾶλλον οὗτοι. ἡ οὖν σινδών, τοῦτό ἐστιν ἡ γῆ· τὰ δὲ ἐν αὐτῇ θηρία, οἱ ἐξ ἐθνῶν· τὸ δέ, θῦσον, καὶ φάγε, ὅτι κἀκείνοις δεῖ προσιέναι· τὸ δὲ τρίτον τοῦτον γενέσθαι, τὸ βάπτισμα δηλοῖ. μηδαμῶς, Κύριε· οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον. * καὶ διὰ τί, φησιν, ἀντεῖπεν; ἵνα μή τις εἴπῃ, ὅτι ἐπείραζεν ὁ Θεὸς αὐτόν, ὥσπερ ἐπὶ τοῦ Ἀβραάμ, ὅτε ἐκέλευε τὸν υἱὸν θυσίαν ἀνενεγκεῖν· ὡς ἐπὶ τοῦ Φιλίππου, ὅτε πόσους ἄρτους ἔχετε ὑπὸ τοῦ Χριστοῦ ἠρωτήθη· οὐχ ἵνα μάθῃ, ἀλλὰ πειράζων αὐτόν. καὶ μὴν ἐν τῷ νόμῳ περὶ καθαρῶν καὶ ἀκαθάρτων διεστείλατο Μωϋσῆς, τῶν τε ἐν γῇ, τῶν τε ἐν θαλάσσῃ· καὶ ὅμως οὐδὲ οὕτως ᾔδει.

γρ. προΐστατο, ἐσεσθαι οἰκονομεῖται· καὶ αἰτιολογεῖ, οὐδέποτε γὰρ αὐτοὶ τὸν νόμον φυλάττειν. εἰς

* πολλὰ ἡ τόλμα.

17 Ὡς δὲ ἐν αὐτῷ διηπόρει ὁ Πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες * τὴν οἰκίαν τοῦ Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα,

* ὑπ᾽ αὐτοῦ

18 Καὶ φωνήσαντες, ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος, ἐνθάδε ξενίζεται. Θαμβουμένῳ καθ᾽ ἑαυτὸν καὶ διαπορουμένῳ τῷ Πέτρῳ ἔρχονται οἱ ἄνδρες εὐκαίρως τὴν ἀπορίαν λύοντες. ἐπεὶ καὶ τὸν Ἰωσὴφ πρότερον εἴασε θορυβηθῆναι*, καὶ τότε τὸν ἀρχάγγελον πέμπει. εὐκόλως γὰρ ἡ ψυχὴ δέχεται τὴν λύσιν, πρότερον ἐν ἀπορίᾳ γενομένη. οὔτε [οὖν] ἐπὶ πολὺ ἦν αὐτῷ τὰ τῆς ἀπορίας, οὔτε πρὸ τούτου, ἀλλὰ περὶ τὸν καιρὸν τοῦ ἀρίστου.

Ματθ. β. ιγ.

* ὁ Χριστὸς. γρ. ἄγγελον.

19 Τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα· ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε.

20 Ἀλλὰ ἀναστάς, κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. Καὶ πάλιν τοῦτο ἀπολογία Πέτρου πρὸς τοὺς μαθητάς, ἵνα μάθωσιν ὅτι καὶ διεκρίθη, καὶ ἐπαιδεύθη μηδὲν διακρίνεσθαι. ὅτι ἐγώ, φησιν, αὐτοὺς ἀπέσταλκα. ὅρα ὅση τοῦ πνεύματος ἡ ἐξουσία. ὃ γὰρ ποιεῖ ὁ Θεός, τοῦτο λέγεται τὸ πνεῦμα ποιεῖν. ὁ μὲν οὖν ἄγγελος οὐχ οὕτως· ἀλλὰ πρότερον εἰπών, αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου, [τότε φησίν, ἀπόστειλον,] ἵνα δείξῃ ὅτι ἐκεῖθεν ἀπέσταλται· τὸ δὲ πνεῦμα, ἐπεὶ κύριον, ἐγὼ αὐτοὺς ἀπέσταλκα.

γρ. ὁ

21 Καταβὰς δὲ ὁ Πέτρος πρὸς τοὺς ἄνδρας * εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι᾽ ἣν πάρεστε;

* τοὺς ἀπεσταλμένους ὑπὸ Κορνηλ.

22 Οἱ δὲ εἶπον· Κορνήλιος ὁ ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαι

ψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. Λέγουσι τὰ ἐγκώμια, ὥστε πεῖσαι ὅτι καὶ ἄγγελος ὤφθη αὐτῷ.

23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε. Ὁρᾷς πόθεν ἡ ἀρχὴ γέγονε τῶν ἐθνῶν; ἀπὸ ἀνδρὸς εὐσεβοῦς, ἀξίου φανέντος ἀπὸ τῶν ἔργων. Εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως σκανδαλίζονται· εἰ μὴ τοῦτο ἦν, τί οὐκ ἂν εἶπον Ἰουδαῖοι; Εἰσκαλεσάμενος οὖν, φησὶν, αὐτοὺς ἐξένισε. Θέα πόση ἀσφάλεια, ὥστε μηδὲν αὐτοὺς παθεῖν δεινόν. εἰσκαλεῖται, καὶ μετὰ παῤῥησίας λοιπὸν συνδιαιτᾶται*.

24 Τῇ δὲ ἐπαύριον ἀναστὰς ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ, καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν.

Ἐπίσημος ἦν ὁ ἀνήρ, καὶ ἐν ἐπισήμῳ πόλει τυγχάνων. διὸ καὶ ἐπ' αὐτῷ πάντα οἰκονομεῖται, καὶ ἀπὸ τῆς Ἰουδαίας ἀρχὴν λαμβάνει τὸ πρᾶγμα· διὰ τὸ μὴ ὕπνον εἶναι τὸ ὀφθῆναι, ἀλλ' ἐγρηγορέναι· τὸ ἐν ἡμέρᾳ, περὶ ἐνάτην γὰρ ὥραν· οὕτως ἑαυτῷ προσεῖχεν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ εἶπεν ὁ ἄγγελος, αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. ἐντεῦθεν δῆλον, ὅτι διὰ φωνῆς ἐκάλεσεν ὁ ἄγγελος, καὶ οὕτως εἶδεν αὐτόν. ὡς εἰ μὴ ἐκάλεσεν, οὐδ' ἂν εἶδεν· οὕτω συντεταμένος ἦν ἀπὸ τοῦ πράγματος, ἔμφοβος ἦν. καὶ μετάπεμψαι Σίμωνα τὸν καλούμενον Πέτρον. τέως ὅτι ἐπὶ χρηστοῖς αὐτὸν μετακαλέσεται, ἐδήλωσε· ποίοις δὲ χρηστοῖς, οὐκ ἔτι. οὕτως οὐδὲ Πέτρος λέγει τὸ πᾶν· ἀλλὰ πανταχοῦ ἐκ μέρους τὰ διηγήματα, ὥστε διεγείρειν τοὺς ἀκούοντας. οὕτω καὶ Φίλιππον καλεῖ μόνον εἰς τὴν ἔρημον. ἀνέβη δὲ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην, καὶ ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ σκεῦός τι ὡς ὀθόνην. σκόπει ὅτι οὐδὲ ἡ πεῖνα ἠνάγκασεν αὐτὸν προσδραμεῖν τῇ σινδόνι. ἵνα δὲ μὴ ἐν πλείονι ἀπορίᾳ ὁ Πέτρος ᾖ, ἀκούει λεγούσης φωνῆς· ἀναστὰς Πέτρε, θῦσον, καὶ φάγε. ἴσως ἐπὶ γόνατα κείμενος εἶδε τὴν ὀπτασίαν. ἐμοὶ δοκεῖ διὰ τὸ κήρυγμα ταύτην ἑωρακέναι. ὅτι δὲ καὶ θεῖον ἦν τὸ γινόμενον, δῆλον ἔκ τε τοῦ ἄνωθεν ἰδεῖν καταβαῖνον, ἔκ τε τοῦ ἐν ἐκστάσει γενέσθαι. καὶ τὸ δὲ καὶ φωνὴν ἐκεῖθεν ἐνεχθῆναι, καὶ τὸ τρὶς τοῦτο γενέσθαι, καὶ τὸ οὐρανοὺς ἀνεῳχθῆναι, καὶ τὸ ἐκεῖθεν ἥκειν, καὶ τὸ ἐκεῖ ἀναρπασθῆναι πάλιν, μέγα δεῖγμα τοῦ θεῖον εἶναι τὸ πρᾶγμα. διὰ τί δὲ τοῦτο γέγονε; διὰ τοὺς μετὰ ταῦτα, οἷς μέλλει ἐξηγεῖσθαι. ἐπεὶ αὐτὸς ἤδη ἀκούσας ἦν, ὅτι εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ περιτομῆς ἐδεήθη καὶ θυσίας Παῦλος, πολλῷ μᾶλλον τότε ἐν ἀρχῇ τοῦ κηρύγματος, ἀσθενεστέρων ὄντων αὐτῶν, τούτων ἔδει.* καὶ ἰδοὺ οἱ ἄνδρες, φησὶν, οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος, ἐνθάδε ξενίζεται. ἅτε ὡς εὐτελῆ οἰκίαν, καί ποθεν ἐπυνθάνοντο, οὐ τοὺς γείτονας ἠρώτων. τοῦ δὲ Πέτρου διενθυμουμένου, εἶπεν αὐτῷ τὸ πνεῦμα· ἀναστὰς κατάβηθι καὶ πορεύου μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. ὅρα· οὐκ εἶπε, διὰ γὰρ τοῦτο τὸ ὅραμά σοι ὤφθη· ἀλλ', ἐγὼ αὐτοὺς ἀπέσταλκα, δεικνὺς ὅτι οὕτω δεῖ τῷ πνεύματι πείθεσθαι, εὐθύνας οὐκ ἀπαιτοῦντα. ἀρκεῖ γὰρ πρὸς πᾶσαν πληροφορίαν τὸ ἀκοῦσαι παρ' αὐτοῦ, τόδε ποίησον, τόδε ἀπέλθε, καὶ μηδὲν πλέον ζητεῖν. καταβὰς δὲ Πέτρος εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε*. τί δήποτε οὐκ εὐθέως αὐτοὺς ἐδέξατο, ἀλλὰ πυνθάνεται; εἶδε στρατιώτας ὄντας τοὺς ἐπιστάντας. διὸ οὐχ ἁπλῶς ἐρωτᾷ, ἀλλὰ πρότερον ὁμολογήσας αὐτὸς εἶναι, τότε τὴν αἰτίαν πυνθάνεται τῆς ἀφίξεως, ἵνα μὴ νομισθῇ διὰ τοῦτο πυνθάνεσθαι, ὡς δὴ θέλων ἑαυτὸν κατακρύψαι. καὶ πυνθάνεται, ἵνα ἂν μὲν εὐθέως κατεπείγῃ, καὶ συνεξέλθῃ· ἂν δὲ μή, ἵνα ξενίσῃ. τίνος δὲ ἕνεκεν ἐκεῖνοι λέγουσι, μεταπέμπεταί σε εἰς τὸν οἶκον αὐτοῦ; ὅτι τοῦτο αὐτοῖς ἐκέλευσε. τάχα δὲ καὶ ὡς ἀπολογούμενοι ὑπὲρ αὐτοῦ μονονουχὶ λέγουσι, μηδὲν καταγνῷς· οὐχ ὡς καταφρονῶν ἔπεμψεν, ἀλλ' ἐκελεύσθη οὕτως.

* καὶ ἔλεγον αὐτῷ.
γρ. ὡς
γρ. καὶ αἱ εὐχαί σου, φησὶ. τέως
γρ. καὶ τὸ κήρυγμα τοῦτο
γρ. πόθεν [illegible]
γρ. τίνος δὲ ἕνεκεν ἐκεῖνοι λέγουσι; [illegible]
γρ. αὐτοῖς. ἀλλ.
γρ. ὡς ἂν [illegible]
γρ. ὡς καταφρ.

24 Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, φησί, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. Εἰκότως. οὐ γὰρ δίκαιον ἦν καὶ τοὺς συγγενεῖς καὶ τοὺς φίλους μὴ συνεπάγεσθαι. ἄλλως δέ, καὶ ἐκεῖ παρόντες μᾶλλον αὐτοῦ ἤκουσαν ἄν. Εἴδετε πόση τῆς ἐλεημοσύνης ἡ δύναμις, καὶ ἐν τῇ προτέρᾳ διαλέξει, καὶ ἐνταῦθα; ἐκείνη θανάτου ἀπήλλαξε τοῦ προσκαίρου*· αὕτη τοῦ αἰωνίου, καὶ θύρας ἀνέῳξεν οὐρανοῦ. ἄρα δὲ πῶς παρὰ πολλοῦ γέγονεν ὁ πιστεῦσαι Κορνήλιον, ὡς καὶ ἄγγελον πεμφθῆναι, καὶ πνεῦμα ἐνεργῆσαι, καὶ τὸν κορυφαῖον μεταπεμφθῆναι τῶν ἀποστόλων, καὶ ὄψιν φανῆναι τοιαύτην, καὶ μηδὲν ὅλως ἐλλειφθῆναι. πόσοι ἦσαν ἑκατόνταρχοι καὶ χιλίαρχοι καὶ βασιλεῖς, καὶ οὐδεὶς τούτων ἐπέτυχεν ὧν οὗτος; ἀκούσατε πάντες ὅσοι ἐν στρατείαις ἐστέ, ὅσοι βασιλεῦσι παρεστήκατε. Εὐσεβὴς ἦν, φησί, καὶ φοβούμενος τὸν Θεόν, καὶ τὸ μεῖζον, ὅτι τοιοῦτος ἦν μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ. οὕτως ἦν συγκεκροτημένος πρὸς τοῦτο καὶ διακείμενος, ὡς μὴ μόνον αὐτὸς τιθέναι τὰ οἰκεῖα, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκετείας τὸ αὐτὸ τοῦτο ποιεῖν. οὐ γὰρ ὡς ἡμεῖς, οἵ, ὅπως μὲν ἡμῖν φοβεροὶ οἱ ὑπηρετοῦντες ἔσονται, πάντα ποιοῦμεν· ὅπως δὲ εὐλαβεῖς, οὐκέτι. ἀλλ' οὗτος, οὐχ οὕτως· ἀλλὰ μετὰ τῆς οἰκίας ἁπάσης τὸν Θεὸν ἐφοβεῖτο· οὐ μόνον ὥσπερ κοινὸς πατὴρ πάντων τῶν μετ' αὐτοῦ ὤν, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν στρατιωτῶν. ἄκουε δὲ καὶ τί φασιν ἕτεροι. ἀναγκαίως γὰρ προστέθειται τό, μαρτυρούμενος ὑπὸ ὅλου τοῦ ἔθνους, ἵνα μηδεὶς εἴπῃ, τί γὰρ εἰ ἀκρόβυστος ἦν; ἀλλ' ἐκεῖνοι, φησί, μαρτυροῦσιν αὐτῷ.

γρ. συγγ. — γρ. ἀλλ' ἐπεὶ παρόντες αὐτοῦ — * καὶ τῆς αἰωνίου· — γρ. ποιοῦντες σπουδὴν ἐπιτυχεῖν — γρ. φασὶ καὶ αὐτοί. — γρ. καὶ

ΗΘΙΚΟΝ

Ἄρα οὐδὲν ἐλεημοσύνης ἴσον [μᾶλλον δὲ οὕτω] μεγάλη τοῦ πράγματος ἡ ἰσχύς, ὅταν ἐκ καθαρῶν προχέηται. ταμεῖον, ὡς τά γε προχεόμενα ἐξ ἀδίκων βορβόρῳ ἔοικεν ἀφιείσῃ πηγῇ· τὰ δὲ ἐκ δικαίων κερδῶν, καθάπερ νᾶμα διειδές τι καὶ καθαρὸν ἐν παραδείσῳ, ἡδὺ μὲν ἰδεῖν, ἡδὺ δὲ ἅψασθαι, κοῦφόν τι καὶ ψυχρὸν ἐν μεσημβρίᾳ διδόμενον· οὕτως ἐστὶν ἡ ἐλεημοσύνη. παρὰ ταύτην τὴν πηγὴν οὐκ αἴγειροι καὶ πεῦκαι, οὐδὲ κυπάριττοι, ἀλλ' ἕτερα τούτων πολλῷ βελτίω φυτὰ εὐμήκη εἰσί· φιλία Θεοῦ· ἔπαινος ἀνθρώπων· δόξα ἡ εἰς Θεόν· εὔνοια παρὰ πάντων· ἁμαρτημάτων ἀφανισμός· παρρησία πολλή· χρημάτων ὑπεροψία, [ἐλεημοσύνη,] δι' ἧς τῆς ἀγάπης τὸ φυτὸν τρέφεται. οὐδὲν γὰρ οὕτως ἀγάπην τρέφειν εἴωθεν, ὡς τὸ ἐλεήμονα εἶναί τινα. αὕτη τοὺς κλάδους εἰς ὕψος αἴρεσθαι ποιεῖ· αὕτη βελτίων ἡ πηγὴ τῆς ἐν τῷ παραδείσῳ, οὐκ εἰς τέσσαρας ἀρχὰς διαιρουμένη, ἀλλ' εἰς τὸν οὐρανὸν αὐτὸν ἀφικνουμένη. αὕτη τίκτει τὸν ποταμὸν ἐκεῖνον τὸν ἁλλόμενον εἰς ζωὴν αἰώνιον· εἰς ταύτην θάνατος ἐμπεσών, καθάπερ σπινθὴρ ἀναλίσκεται ἀπὸ τῆς πηγῆς· οὕτως ὅπου περ ἂν ἐπιστάζῃ, μεγάλα ἐργάζεται ἀγαθά. αὕτη τοῦ πυρὸς τὸν ποταμὸν σβέννυσιν ὡς σπινθῆρα· αὕτη τὸν σκώληκα οὕτως ἀποπνίγει ὡς οὐδέν. ὁ ταύτην ἔχων, οὐ βρύχει τοὺς ὀδόντας. ἀπὸ τοῦ ὕδατος ταύτης ἂν ἐπιστάζῃ εἰς τὰ δεσμά, διαιρεῖ αὐτά· κἂν εἰς τὰς καμίνους ἐμπέσῃ, πάσας σβέννυσιν. ὥσπερ δὲ ἡ ἐν παραδείσῳ πηγή, οὐ νῦν μὲν προχέει νάματα, νῦν δὲ ξηραίνεται (ἐπεὶ οὐκ ἂν εἴη λοιπὸν πηγή) ἀλλ' ἀεὶ ἀναβλύζει· οὕτω καὶ ἡ ἡμετέρα ἀεὶ δαψιλέστερον προχείτω τὸ νᾶμα πρὸς τοὺς μάλιστα ἐπιδεομένους ἐλέους, ἵνα μὴ ᾖ πηγή. τοῦτο ἱλαρὸν ποιεῖ τὸν λαμβάνοντα· τοῦτο ἐλεημοσύνη, μὴ σφοδρὸν μόνον προχεῖσθαι τὸ νᾶμα, ἀλλὰ καὶ διηνεκές. Εἰ βούλει, ὥσπερ ἐκ πηγῶν, σοὶ ἐπομβρεῖν τοῦ Θεοῦ τὸν ἔλεον, καὶ σὺ πηγὴν ἔχε. οὐδὲν ταύτης ἴσον. ἂν σὺ ταύτης τῆς πηγῆς ἀνοίξῃς τὰ στόματα, τῆς πηγῆς τοῦ Θεοῦ τοιαῦτα ἔσται τὰ στόματα, ὥστε πᾶσαν ἄβυσσον νικῆσαι. ἀφορμὴν ζητεῖ μόνον παρ' ἡμῶν λαβεῖν ὁ Θεός, καὶ προχεῖται ἐκ τῶν ταμιείων αὐτοῦ τὰ ἀγαθά. ὅταν ἀναλίσκῃ, ὅταν δαπανᾷ, τότε πλουτεῖ, τότε εὐπορεῖ. μέγα ἐκείνης τὸ στόμα τῆς πηγῆς, καθαρὸν τὸ αὐτῆς νᾶμα καὶ διειδές. ἂν μὴ ταύτην ἀποφράξῃς, οὐδὲ ἐκείνην. μηδὲν ἄκαρπον στηκέτω παρ' αὐτὴν δένδρον, ἵνα μὴ τὴν νοτίδα αὐτῆς καταναλώσῃ. ἔχεις χρήματα; μὴ φύτευε αἰγείρους ἐκεῖ. τοιοῦτον γὰρ ἡ τρυφή· πολλὰ ἀναλίσκει, καὶ οὐδὲν δείκνυσιν ἐν ἑαυτῇ, ἀλλὰ ἀπόλλυσι τὸν καρπόν.

γρ. ταμιεῖον — Γεν. β. ι. Ἰωάν. δ. ιδ. — γρ. αὕτη ἡ πηγὴ ἡ νῦν μὲν προχέουσα νῦν δὲ

ποῖ. μὴ φυτεύσῃς συκῆν, μὴ πίτυν, μηδὲ ἄλλο τι τῶν τοιούτων, τῶν ἀναλισκόντων μέν, οὐδαμοῦ δὲ χρησίμων. τοιοῦτον γὰρ ἡ τῶν ἱματίων τρυφή, ἰδεῖν μόνον καλόν, οὐδαμοῦ δὲ χρήσιμον. ἀναδενδράδων πλήρωσον· πάντα τὰ κάρπιμα φύτευσον ἐν ταῖς τῶν πενήτων χερσίν, ἅπερ ἂν θέλῃς. οὐδὲν ταύτης λιπαρώτερον τῆς γῆς. καίτοι μικρόν ἐστι τὸ διάστημα τῆς χειρός, ἀλλ' ὅμως πρὸς αὐτὸν φθάνει τὸν οὐρανὸν τὸ φυτευόμενον δένδρον, καὶ βέβαιον ἕστηκε. τοῦτό ἐστι φυτεῦσαι. τὸ μὲν γὰρ φυτευόμενον ἐν τῇ γῇ, κἂν μὴ νῦν, μετὰ ἑκατὸν ἔτη ἀπόλλυται. τί φυτεύεις δένδρα, ὧν οὐκ ἀπολαύσῃ, ἀλλὰ πρὶν ἢ ἀπολαύσεις, ὁ θάνατος ἐπελθὼν διαρπάζει σε; τοῦτο τὸ δένδρον, ὅταν ἀποθάνῃς, τότε σοι δίδωσι τὸν καρπόν. εἰ φυτεύεις, μὴ ἐν τῇ τῆς γαστριμαργίας φυτεύσῃς κοιλίᾳ, ἵνα μὴ εἰς ἀφεδρῶνα ὁ καρπὸς ἐμβῇ· ἀλλὰ φύτευσον ἐν τεθλιμμένῃ ὀσφύϊ, ἵνα παραδώσῃ πρὸς τὸν οὐρανὸν ὁ καρπός. ἀνάπαυσον τὴν στενοχωρουμένην ψυχὴν τὴν τοῦ πένητος, ἵνα μὴ τὴν εὐρυχωρίαν θλίψῃς τὴν σήν. οὐχ ὁρᾷς ὅτι τὰ ποτιζόμενα τῶν δένδρων ἀμέτρως ἀπὸ τῆς ῥίζης σήπεται· τὰ δὲ μετὰ συμμετρίας αὔξεται; οὕτω δὴ καὶ σύ· μὴ τὴν σαυτοῦ ποτίσῃς ἀμέτρως γαστέρα, ἵνα μὴ σαπῇ ἡ ῥίζα τοῦ δένδρου. πότισον τὴν διψῶσαν, ἵνα καρπὸν ἐνέγκῃ· τὰ συμμέτρως ποτιζόμενα οὐ σήπει ὁ ἥλιος· τὰ δὲ ἀμέτρως, σήπει. τοιαύτη γὰρ ἡ τοῦ ἡλίου φύσις. πανταχοῦ ἡ ἀμετρία κακόν. ἔστω παρεικάσωμεν αὐτήν, ἵνα καὶ ἡμεῖς τύχωμεν ὧν αἰτοῦμεν. ἐν τοῖς ὑψηλοτάτοις χωρίοις αἱ πηγαὶ λέγονται τίκτεσθαι. οὐκοῦν γενώμεθα ὑψηλοὶ καὶ ἡμεῖς τὴν ψυχήν, καὶ ταχέως ἡ ἐλεημοσύνη ῥεύσει. οὐ γάρ ἐστι τὴν ὑψηλὴν ψυχὴν μὴ καὶ ἐλεήμονα εἶναι, καὶ τὴν ἐλεήμονα μὴ καὶ ὑψηλήν. ὁ γοῦν χρημάτων ὑπερορῶν, τῆς ῥίζης ἀνώτερός ἐστι τῶν κακῶν. αἱ πηγαὶ ἐν ἐρημίαις εἰσὶν ὡς τὰ πολλά, καὶ ἡμεῖς τὴν ψυχὴν τῆς πολυοχλίας ἐξαγάγωμεν, καὶ πηγάσει παρ' ἡμῖν ἡ ἐλεημοσύνη. αἱ πηγαὶ ὅσῳ ἂν καθαίρωνται, ἀφθονώτεραι γίνονται· οὕτω δὴ καὶ ἡμεῖς, ὅσῳ ἀναλώσωμεν, τοσούτῳ βλαστάνει τὰ καλά. ὁ πηγὴν ἔχων, οὐ δέδοικεν· ἂν τοίνυν καὶ ἡμεῖς ἔχωμεν τὴν ἐλεημοσύνης πηγήν, οὐ φοβηθησόμεθα. καὶ γὰρ πρὸς ποτόν, πρὸς ἀρδείαν, πρὸς οἰκοδομήν, πρὸς πάντα ἡμῖν χρήσιμος αὕτη ἡ πηγή. οὐδὲν τοῦ πόματος τούτου βέλτιον. οὐκ οἶδεν αὕτη μέθην ἐργάσασθαι· βέλτιον τοιαύτην ἔχειν πηγήν, ἢ χρυσοῦ πηγὰς ἐπιρρεῖν. πάσης χρυσίτιδος γῆς βελτίων ἡ τοῦτον φέρουσα τὸν χρυσὸν ψυχή. οὐ γὰρ εἰς ταῦτα τὰ βασίλεια, ἀλλὰ τὰ ἄνω ἡμῖν συνεκχωρεῖ. ὁ χρυσός, κόσμος ἐστὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· ἀπὸ τούτου τοῦ χρυσοῦ ἡ μάχαιρα κατασκευάζεται τοῦ πνεύματος, ἡ μάχαιρα, δι' ἧς ὁ δράκων ἀποτέμνεται. ἀπὸ ταύτης τῆς πηγῆς οἱ λίθοι προέρχονται οἱ τίμιοι, οἱ περὶ τὴν κεφαλὴν τοῦ βασιλέως. μὴ δὴ ἀμελῶμεν τοσούτου πλούτου, ἀλλ' εἰσφέρωμεν τὴν ἐλεημοσύνην μετὰ δαψιλείας, ἵνα τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χρύσεα
ἢ προσχωρεῖ

Λογ. κγ. 23 ΤΗ ΔΕ ΕΠΑΥΡΙΟΝ ΑΝΑΣΤΑΣ [ΦΗΣΙΝ] Ο Πέτρος ἦλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ. 24 Καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.

Μετὰ δὲ ξενίσαι τοὺς ἄνδρας ἐξέρχεται σὺν αὐτοῖς. καλῶς. προέτρεψε φιλοφρονήσασθαι, ἅτε ἀπὸ καμάτου ὄντας αὐτούς, καὶ οἰκείους ἑαυτῷ, εἶτα λοιπὸν καὶ συνέξεισι. τῇ δὲ ἐπαύριον, φησιν, ἀναστὰς ὁ Πέτρος ἦλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν. οὐ μόνος, ἀλλὰ καὶ ἄλλοι ἔρχονται μετ᾽ αὐτοῦ· καὶ τοῦτο οἰκονομικῶς, ὥστε εἶναι μάρτυρας μετὰ ταῦτα, ὅτ᾽ ἀπολογεῖσθαι δέοι Πέτρον. ὁ δὲ Κορνήλιος ἦν, φησι, προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ, καὶ τοὺς ἀναγκαίους φίλους. τοῦτο φίλου, τοῦτο θεοσεβοῦς ἐν τοῖς τοιούτοις ἀγαθοῖς [πρὸ] πάντων ποιεῖσθαι κοινωνοὺς τοὺς ἀναγκαίους φίλους. εἰκότως τούτους συγκαλεῖ, οἷς ἐθάρρει ἀεί, περὶ τοιούτων διασκεπτόμενος μάλιστα, ἃ περιττόν πως ἦν πρὸς ἄλλους ἐξενεγκεῖν. ἐμοὶ δὲ καὶ φίλοι καὶ συγγενεῖς τῶν αὐτοῦ δοκοῦσιν ἐρρυθμίσθαι.

25 Ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ, φησιν, ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν.

26 Ὁ δὲ Πέτρος ἤγειρεν αὐτὸν λέγων, ἀνάστηθι. καὶ γὰρ ἐγὼ αὐτὸς ἄνθρωπός εἰμι.

Τοῦτο ποιεῖ, δὲ ταπεινὸν αὐτὸν δεικνύς, καὶ παιδεύων τοὺς ἄλλους, καὶ τῷ Θεῷ εὐχαριστῶν, καὶ δηλῶν, εἰ καὶ ἐκελεύσθη, * ὅμως οἴκοθεν πολλὴν εἶχε τὴν εὐλάβειαν. τί οὖν ὁ Πέτρος; ἀνάστηθι. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι. ὁρᾷς πῶς πρὸ τῶν ἄλλων τοῦτο αὐτοὺς παιδεύει, μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι;

27 Καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς,

28 Ἔφη τε πρὸς αὐτούς· ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. Ὅρα, εὐθέως περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλέγεται, καὶ δείκνυσιν ὅτι μεγάλα αὐτοῖς ἐχαρίσατο ἀγαθά. οὐ μόνον δὲ τοῦτο θαυμάζειν ἐνταῦθα ἔνι, ὅτι τοιαῦτα διαλέγεται· ἀλλ᾽ ὅτι πῶς ὁμοῦ καὶ μεγάλα φθέγγεται, καὶ μετριάζει. οὐ γὰρ εἶπεν, ἄνθρωποι μηδενὶ καταξιοῦντες κολλᾶσθαι ἤλθομεν πρὸς ὑμᾶς· ἀλλὰ τί; ὑμεῖς ἐπίστασθε. ὁ Θεὸς τοῦτο ἐκέλευσε, φησι, παράνομον εἶναι κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. εἶτα ἵνα μηδεὶς αὐτῷ τὴν χάριν ἔχῃ, τί φησι; Καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. Ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν, μηδένα φησὶν ἄνθρωπον.

29 Διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς. Ἵνα μὴ νομίσωσιν ὅτι εἰ καὶ παρανομία ἦν δὲ τὸ πρᾶγμα, ἐπειδὴ ἄρχων ἦν, διὰ τοῦτο ὑπήκουσεν, ἀλλὰ δὲ τὴν τοῦ Θεοῦ λογίσωνται, οὐ μόνον οὐ κολλᾶσθαι, ἀλλ᾽ οὐδὲ προσέρχεσθαι ἐξόν, φησι.

Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με.

Οὐκ ἀγνοῶν πυνθάνεται. ἤδει γὰρ τὸ πᾶν ὁ Πέτρος ἀπὸ τοῦ ὁράματος· ἤκουσε δὲ καὶ παρὰ τῶν στρατιωτῶν· ἀλλὰ βούλεται πρῶτον αὐτοὺς ὁμολογῆσαι καὶ ὑπευθύνους ποιῆσαι τῇ πίστει. τί οὖν ὁ Κορνήλιος; οὐκ εἶπεν, οὐ γὰρ εἶπόν σοι οἱ στρατιῶται; ἀλλ᾽ ὅρα πῶς πράως καὶ ταπεινῶς.

30 Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ,

31 Καὶ φησι, Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή· καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. Καὶ τὴν ἐννάτην ὥραν, φησί, προσευχόμενος. τί ἐστι τοῦτο; ἐμοὶ δοκεῖ καὶ καιροὺς τῆς ὠφελείας ἑαυτῷ βίου ἀκριβεστέρου, καὶ ἐν τισὶν ἡμέραις. διὰ γὰρ τοῦτο εἶπεν, ἀπὸ τετάρτης ἡμέρας. ὅρα πόση ἐστὶν εὐχή. ὅτε ἐπέδωκεν εἰς εὐλάβειαν, τότε φαίνεται αὐτῷ ὁ ἄγγελος. αὕτη μία ἡμέρα· καὶ ἣν ἀπῆλθον οἱ πεμφθέντες, μία· καὶ

ἦν

* ἀλλ᾽

ἦν ἤλθεν, πάλιν μία· τῇ τετάρτῃ ἐφάνη, ὡς εἶναι δευτέραν μετὰ ἣν προσηύξατο. καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ. οὐ λέγει ἄγγελον· οὕτως ἐστὶν ἄτυφος. καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή· καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

32 Πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.

33 Ἐξαυτῆς οὖν ἔπεμψα πρὸς σέ· σύ τε καλῶς ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ. Διὰ τοῦτο εἶπε, τίνι λόγῳ μετεπέμψασθέ με, ἵνα ταῦτα οὕτως εἴπῃ τὰ ῥήματα. νῦν οὖν πάρεσμεν πάντες ἡμεῖς, φησιν, ἐνώπιον τοῦ Θεοῦ. ὅρα ὅση ἡ πίστις, ὅση ἡ εὐλάβεια. ᾔδει ὅτι οὐδὲν ἀνθρώπινον εἶπεν ὁ Πέτρος, ὁ Θεὸς ἔδειξέ μοι, εἰπών. διὸ καὶ τό, πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ, λέγει. τοῦτο καὶ Παῦλος δηλῶν, Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ, λέγει. Ῥωμ. β. ια.

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα, εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός,

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστί. Τουτέστιν, ἄν τε ἀκρόβυστος ἐστίν, ἄν τε ἐμπερίτομος. τί οὖν; ἄρα δεκτός αὐτῷ ἐστιν ὁ ἐν Περσίδι; ἀλλ' εἰ ἄξιος, ταύτῃ δεκτός ἐστι τοῦ καταξιωθῆναι τῆς πίστεως. ἐντεῦθεν καὶ τὸν ἐξ Αἰθιοπίας εὐνοῦχον οὐ παρεῖδε. καί τι, φησιν, ἂν εἴποις περὶ τῶν θεοσεβῶν καὶ περιοφθέντων; ἄπαγε· οὐδεὶς περιορᾶται θεοσεβής. οὐ γάρ ἐστιν, οὐκ ἔστι περιοφθῆναί τινα τῶν τοιούτων ποτέ. ὃ δὲ λέγει τοῦτό ἐστιν ὅτι οὐδένα ἀπωθεῖται. ἀλλ' ἐν παντὶ ἔθνει, φησιν, ὁ φοβούμενος τὸν Θεόν, καὶ ἐργαζόμενος δικαιοσύνην. δικαιοσύνην, τὴν πᾶσαν ἀρετὴν οὕτω καλεῖ. ὁρᾷς πῶς καταστέλλει αὐτοῦ τὸ φρόνημα, τῷ εἰπεῖν ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεὸν δεκτὸς αὐτῷ ἐστιν; ὡσεὶ ἔλεγεν· οὐδένα ἀπωθεῖται, πάντας προσίεται τοὺς πιστεύοντας. εἶτα ἵνα μὴ δόξωσιν ἐν τάξει ἀπερριμμένων εἶναι, ἐπάγει·

γρ. τῶν

γρ. ἀποδεκτοί [illegible]

36 Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος. Ταῦτα λέγει διὰ τοὺς παρόντας, ἵνα καὶ ἐκείνους πείσῃ. διὰ τοῦτο καὶ παρασκευάζει καὶ τὸν Κορνήλιον εἰπεῖν. * τὸν λόγον, φησίν, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ. ὅρα, τούτοις δίδωσι πῶς τὸ ἐξαίρετον. εἶτα καὶ αὐτοὺς μάρτυρας ἐπάγεται λέγων·

γρ. εὐαγγελίζει· οὗτός ἐστι, φησι, ὁ πάντων κύριος. ὅρα δὲ πῶς

37 Ὑμεῖς οἴδατε, φησι, τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης. Ὅτι οὕτως ἔχει, τοῦτο καὶ ἀπὸ τοῦ ἑξῆς βεβαιοῖ.

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ· ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς [ἐν] πνεύματι ἁγίῳ, καὶ δυνάμει. Οὐκ εἶπεν, ἴστε Ἰησοῦν· οὐδὲ γὰρ ᾔδεσαν· ἀλλὰ τὰ ὑπ' αὐτοῦ εἰργασμένα διέξεισιν. Ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. Ἐντεῦθεν δείκνυσι πολλὰς πηρώσεις διαβολικὰς καὶ διαστροφὴν σώματος ὑπ' ἐκείνου γενομένας*. Ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. Πάλιν ταπεινὰ φθέγγεται, οὐχ ἁπλῶς οἶμαι, ἀλλὰ διὰ τὸ ἀνθρώπινον.

γρ. εἰρημένα ἐστίν·

* ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν.

39 Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων, καὶ ἐν Ἱερουσαλήμ. Καὶ ὑμεῖς, φησι, καὶ ἡμεῖς. Ὃν καὶ ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου. Ἐνταῦθα τὸ πάθος κηρύττει.*

* ἀνεῖλον, φησι, καὶ πῶς πιστεύουσι;

40 Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι,

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν,

οἵτινες

οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν.

Τοῦτο τεκμήριον τῆς ἀναστάσεως μέγιστον.

42 Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

Μέγα καὶ τοῦτο πρὸς τὸ δεῖξαι ἀξιοπίστους. ὁ δὲ καὶ τὴν ἀπὸ τῶν προφητῶν μαρτυρίαν ἐπάγει, λέγων·

43 Τούτῳ πάντες, φησὶν, οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Τοῦτο τοῦ μέλλοντος ἔσεσθαι μετὰ ταῦτα προαναφώνησις· ἣν δὴ καὶ βεβαιῶν, τοὺς προφήτας εὐκαίρως μάρτυρας παράγει. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Κορνήλιον. ἀπέστειλέ, φησιν, εἰς Ἰόππην μετακαλέσασθαι τὸν Πέτρον. ἐπίστευσε [γὰρ] ὅτι πάντως ἥξει· διὸ καὶ ἀποστέλλει. καὶ συνομιλῶν αὐτῷ, φησιν, εἰσῆλθε. τί ἄρα ὁμιλῶν; ταῦτα οἶμαι φθεγγόμενος, ἅπερ ἔμπροσθεν εἴρηται. καὶ πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον πίστεως καὶ ταπεινότητος γέμοντα. ἐντεῦθεν ἄξιος δείκνυται καὶ ἐκεῖνος ὁ εὐνοῦχος. ἐκέλευσε γὰρ τὸν Φίλιππον ἀναβῆναι καὶ καθίσαι ἐπὶ τὸ ὄχημα· καίτοι οὐκ εἰδὼς ὅστις ἐστίν, ἢ ἀπὸ τῆς ἀπαγγελίας μόνον τῆς τοῦ προφήτου. οὗτος δὲ καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας. εἶδες ἦθος ἄτυφον; σὺ δέ μοι σκόπει πῶς δείκνυσι Πέτρος θείαν αὐτοῦ τὴν προαίρεσιν, τῷ λέγειν, ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστι. καὶ διατί μὴ εἶπε τὴν σινδόνα εὐθέως; ὅτι ἀκενόδοξος ἦν σφόδρα. ὅτι μὲν γὰρ ἀπέσταλται ὑπὸ τοῦ Θεοῦ, λέγει· τὸ δὲ πῶς, οὐκ ἔτι, ἀλλ' ὅτι ἀνάγκη γέγονεν, ὅτι καὶ εἶπεν· ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. οὕτως ἦν πόῤῥω κενοδοξίας. ὑμεῖς ἐπίστασθε, φησι. τοῦτο λέγων καὶ τὴν ἐκείνων καταπραΰνεται γνώμην. τί δαὶ Κορνήλιος; πάρεσμεν, φησιν, ἐνώπιον τοῦ Θεοῦ ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ. οὐκ εἶπεν, ἐνώπιον ἀνθρώπου, ἀλλὰ Θεοῦ, δεικνὺς ὅτι οὕτω δεῖ προσέχειν τοῖς τοῦ Θεοῦ δούλοις. εἴδετε διάνοιαν διεγηγερμένην; εἴδετε πῶς ἄξιος ἦν πάντων τούτων; ἀνοίξας δέ, φησι, Πέτρος τὸ στόμα, εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός. τοῦτο καὶ πρὸς τοὺς παρόντας Ἰουδαίους ἀπολογούμενος ἔλεγε. μέλλων γὰρ πρὸς αὐτοὺς μεταχειρίζειν τὸν λόγον, ὥσπερ ἀπολογίαν πρότερον τίθησι. τί οὖν; πρὸ τούτου προσωπολήπτης ἦν; μὴ γένοιτο· ἐπεὶ καὶ πρὸ τούτου οὕτως ἦν. Πᾶς ὁ φοβούμενος καὶ ἐργαζόμενος, [φησι,] δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. τοῦτο καὶ Παῦλος γράφων λέγει. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ. (Ρωμ. β. ιδ.) καὶ δόγμα τίθησι καὶ πολιτείαν. εἰ γὰρ μάγους οὐ παρεῖδεν, οὐδὲ Αἰθίοπα, οὐδὲ λῃστὴν, οὐδὲ πόρνην· πολλῷ μᾶλλον τοὺς ἐργαζομένους δικαιοσύνην καὶ βουλομένους πάντως οὐ περιόψεται. τί οὖν, ὅτι εἰσὶν ἐπιεικεῖς καὶ ἥμεροι ἄνθρωποι, καὶ πιστεῦσαι οὐ βούλονται; ἰδοὺ σὺ τὴν αἰτίαν εἶπες, ὅτι οὐ βούλονται. ἄλλως δὲ, τὸν ἐπιεικῆ ἐνταῦθα, οὐ τὸν πρᾶον λέγει, ἀλλὰ τὸν δικαιοσύνην ἐργαζόμενον· τουτέστι, τὸν ἐν πᾶσιν εὐάρεστον, ὃς τότε τοιοῦτός ἐστιν, ὅταν ἔχῃ τοῦ Θεοῦ τὸν φόβον ὡς χρή. τὸν δὲ τοιοῦτον ὁ Θεὸς οἶδε μόνος. ὅρα πῶς ἦν οὗτος δίκαιος. ἃ μὲν ἤκουσε, καὶ ἐπείσθη. καὶ νῦν εἰ ἄγγελος ἦλθε, φησιν, ἐπείσθη ἂν ἕκαστος, ὅστις ἂν ἦν. ἀλλὰ πολλῷ τὰ νῦν σημεῖα ἐκείνων ἐστὶ μείζονα, καὶ ὅμως ἀπιστοῦσι πολλοί. εἶτα ἄρχεται τῆς διδασκαλίας, καὶ τηρεῖ τὴν εὐγένειαν τοῖς Ἰουδαίοις. τὸν λόγον, φησὶν, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενον εἰρήνην· οὗτός ἐστι Κύριος πάντων. πρῶτον περὶ τῆς κυριότητος αὐτοῦ διαλέγεται, καὶ σφόδρα ὑψηλῶς [ὡς ἐνῆν,] ἐπειδὴ καὶ πρὸς ψυχὴν εἶχεν ὑψηλὴν ἤδη γενομένην [καὶ] πάντα θερμῶς δεχομένην τὰ ὑπ' αὐτοῦ παρεγγυώμενα. εἶτα κατασκευάζων πῶς Κύριος ἁπάντων, ἐπάγει καὶ λέγει· ὃν ἀπέστειλεν εὐαγγελιζόμενον· τουτέστιν, ἐπ' ἀγαθοῖς καλοῦντα, οὐ κρίσιν ἐπάγοντα. ἐντεῦθεν δείκνυσιν, ὅτι οὗτος ἀπὸ Θεοῦ

Ἰουδαίοις

Ἰουδαίοις προσῆν ἀπέσταλται). Εἶτα ἀφ' ὧν κατώρθωσε καθ' ὅλης τῆς Ἰουδαίας τοῦτο συναποδείκνυσι καὶ λέγει· ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας· καὶ τὸ θαυμαστὸν, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης. πρότερον εἶπεν αὐτοῦ τὸ κατόρθωμα, καὶ τότε θαρρεῖ περὶ τῆς αὐτοῦ πατρίδος εἰπεῖν. Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ. οὕτως ᾔδει ὅτι σκάνδαλον ἡ πατρίς. ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει. πάλιν κατασκευή. ἵνα γὰρ μή τις εἴπῃ, καὶ πόθεν τοῦτο δῆλον; ἐπάγει λέγων· ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. Εἶτα μετὰ τῶν ἀγαθῶν ὧν ἐποίησε δείκνυσι καὶ τὴν δύναμιν ὅτι πολλή. ὅταν γὰρ τοῦ διαβόλου περιγίνηται, πολλή τις ἐστὶ καὶ μεγάλη. καὶ ἡ αἰτία, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ, φησί. διὰ τοῦτο" καὶ Ἰουδαῖοι οὕτως ἔλεγον· Οἴδαμεν ὅτι ἀπὸ τοῦ Θεοῦ ἐλήλυθας διδάσκαλος. οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. Ιωαν. γ. β. Εἶτα, ὅτε ἔδειξεν ὅτι ἀπὸ Θεοῦ ἀπέσταλται, τότε λέγει ὅτι ἀνῃρέθη, ἵνα μή τι ἄτοπον φαντασθῇς. ὁρᾷς αὐτοὺς οὐδαμοῦ κρύπτοντας τὸν σταυρὸν, ἀλλὰ μετὰ τῶν ἄλλων τιθέντας καὶ τὸν τρόπον; ὃν καὶ ἀνεῖλον, φησί, κρεμάσαντες ἐπὶ ξύλου. καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν. καίτοι γε αὐτὸς αὐτοὺς ἐξελέξατο, ἀλλὰ καὶ τοῦτο ἀνατίθησι τῷ Θεῷ. τοῖς προκεχειροτονημένοις, φησίν. ὅρα πόθεν τὴν ἀνάστασιν βεβαιοῦται· ἀπὸ τοῦ φαγεῖν. διὰ τί δὲ μηδὲν ἀναστὰς ἐποίησε σημεῖον, ἀλλ' ἔφαγε καὶ ἔπιεν; ὅτι καὶ αὐτὴ ἡ ἀνάστασις καθ' ἑαυτὴν μέγα σημεῖον ἦν. ταύτης δὲ οὐδὲν οὕτως εἰς ἀπόδειξιν μεῖζον, ὡς τὸ φαγεῖν καὶ πιεῖν.* διαμαρτύρασθαι, φησίν. ἐνταῦθα καὶ φοβερῶς εἶπεν, ἵνα μὴ ἔχωσιν εἰς ἄγνοιαν" καταφυγεῖν. καὶ οὐκ εἶπεν, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐφόβει, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. Εἶτα" ἡ κυρία κατασκευὴ ἡ ἀπὸ τῶν προφητῶν (μεγάλην γὰρ εἶχον δόξαν ἐκεῖνοι) τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν. ὅτε τῷ φόβῳ κατέσεισε, τότε ἐπάγει τὴν συγχώρησιν, οὐ παρ' αὐτοῦ λεγομένην, ἀλλὰ παρὰ τῶν προφητῶν. καὶ τὸ μὲν φοβερὸν, παρ' αὐτοῦ· τὸ ἥμερον δὲ ἀπὸ τῶν προφητῶν.

χ. καὶ Νικόδημος ἄρχων τῶν Ἰουδαίων ἔλεγεν

* καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ

χ. -ποιεῖν

χ. κυρία ἡ κατασκευὴ ἡ ἀπὸ τῶν

ΗΘΙΚΟΝ

Οἱ μὲν οὖν τῆς ἀφέσεως ἐτύχετε ταύτης, ὅσοι τῆς πίστεως κατηξιώθητε, μαθόντες τῆς δωρεᾶς τὸ μέγεθος, παρακαλῶ, σπουδάσατε μὴ ὑβρίσαι εἰς τὴν εὐεργεσίαν. ἐτύχομεν γὰρ ἀφέσεως, οὐχ ἵνα χείρους γενώμεθα, ἀλλ' ἵνα ἀμείνους πολλῷ καὶ βελτίους. μηδεὶς τοίνυν εἴπῃ, ὅτι ὁ Θεὸς αἴτιος ἡμῖν τῶν κακῶν, μὴ κολάσας, μηδὲ τιμωρησάμενος. εἰπὲ γάρ μοι· ἂν ἄρχων λαβὼν φονέα ἀφῇ, τῶν μετὰ ταῦτα φόνων αὐτὸς αἴτιος εἶναι κρίνεται; οὐδαμῶς. καὶ πῶς αὐτοὶ ταῖς ἀθέοις γλώσσαις διδόντες ὑβρίζεσθαι τὸν Θεὸν, δι' ὧν τολμῶμεν, οὐ δεδοίκαμεν, οὐδὲ φρίττομεν; τί γὰρ οὐκ ἐροῦσι; τί δαὶ οὐ" φθέγξονται; αὐτὸς αὐτοὺς ἐπέτρεψε, φησίν. ἐχρῆν γὰρ ἀξίους ὄντας κολάσαι, οὐ τιμᾶν, οὐδὲ στεφανοῦν, οὐδὲ τῶν πρωτείων μεταδιδόναι, ἀλλὰ κολάζειν καὶ τιμωρεῖσθαι. ὁ δὲ μηδὲν τοιοῦτον αὐτοῖς ποιῶν, ἀλλ' ἔτι τούτων καὶ τιμῶν, τοιούτους αὐτοὺς" ἀπεργάζεται. μή, δέομαι καὶ ἀντιβολῶ, μηδεὶς ταύτην περὶ ἡμῶν ἀφῇ τὴν φωνήν. βέλτιον κατορυγῆναι μυριάκις, ἢ ταῦτα τὸν Θεὸν ἀκοῦσαι δι' ἡμᾶς. εἶπον αὐτῷ καὶ Ἰουδαῖοι· Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτὸν, σῶσον σεαυτόν. καὶ πάλιν· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβα ἀπὸ τοῦ σταυροῦ. Ματθ. κζ. μ. ἀλλὰ ταῦτα ἐκείνων χαλεπώτερα. ἵν' οὖν μὴ δοξῇ δι' ἡμᾶς πονηρίας αὐτὸν διδάσκαλον λέγεσθαι, μηδὲ αὐτῷ τούτῳ τῷ βλασφημεῖσθαι ὑπόδικοι τῇ κολάσει γενώμεθα. Δι' ὑμᾶς [γάρ,] φησι, τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι· τἀναντία ποιήσωμεν λέγεσθαι, Ρωμ. β. κδ. ἀξίως τοῦ καλοῦντος πολιτευόμενοι, καὶ τῷ τῆς υἱοθεσίας πρεπόντως βαπτίσματι. οὕτω γὰρ μεγάλη τοῦ" βαπτίσματος ἡ δύναμις*, ἄλλους ἀντ' ἄλλων" ποιεῖ

χ. φθέγξονται;

χ. εἰργάζετο

χ. φωτίσματος

* ὅτι μετέπλασεν, ὅτι μετερρύθμισεν

χ. ἐποίησε

οὐδὲ μεταλαβόντας τῆς δωρεᾶς· οὐκ ἀφίησιν εἶναι ἀνθρώπους οὐδὲ ἀνθρώπους. ποίησον τὸν
Ἕλληνα πιστεῦσαι ὅτι μεγάλη τοῦ πνεύματος ἡ δύναμις, ὅτι μετέπλασεν, ὅτι μετερρύθ-
μισε. τί τὰς ἐσχάτας ἀνάπνους ἀναμένεις, ὡς δραπέτης, ὡς κακοῦργος, ὡς οὐκ ὀφείλων
τῷ Θεῷ ζῆσαι; τί ὡς πρὸς ἀπειλήν τινα καὶ ὠμὸν ἔχων δεσπότην, οὕτω διάκεισαι; τί ψυ-
χρότερον; τί ταλαιπωρότερον τῶν τότε " λαβόντων τὸ φώτισμα; φίλον σε ἐποίησεν ὁ Θεός, γ. λαμβανόντων
καὶ πάντων ἠξίωσε τῶν ἀγαθῶν, ἵνα καὶ αὐτὸς ἐπιδείξῃ τὰ φίλου. εἰπὲ δή μοι, εἴ τινα
μεγάλα ἠδίκησας εἴς τινα καὶ ὕβρισας, καὶ μυρίοις αὐτὸν ὀνείδεσι περιβαλὼν ἐνέπεσας
εἰς τὰς χεῖρας τοῦ ὑβρισθέντος, ὁ δὲ ἀντὶ τύπων ἐτίμησε, καὶ τῶν αὐτοῦ μετέδωκεν ἀπάν-
των, καὶ ἐν τοῖς φίλοις ἐφ' ὧν ὑβρίσθη ἐπὶ τύπων σε ἐστεφάνωσε, καὶ ἔφησεν ὡς υἱὸν ἔχειν
γνήσιον, εἶτα * ἀπέθανεν, * οὐκ ἂν ζημίαν τὸ πρᾶγμα ἐνόμισας; οὐκ ἂν εἶ- * εὐθέως * οὐκ ἂν ἐχρή-σασ' αὐτῷ;
πες, ἐβουλόμην αὐτὸν ζῶντα εἶναι, ἵνα δυνηθῶ ἀποδοῦναι τὰς ἀμοιβάς; ἵνα ἀμείψω-
μαι; ἵνα μὴ κακὸς φανῶ περὶ τὸν εὐεργέτην; εἶτα ἐπ' ἀνθρώπου μὲν οὕτως· ἐπὶ δὲ τοῦ
Θεοῦ σπουδάζεις ἀπελθεῖν, ἵνα μὴ ἀμείψῃ τὸν εὐεργέτην τῶν τοσούτων δωρεῶν; καὶ
μὴν τότε προσῆλθε, ὅτε αὐτὸν δυνάσαι τοῖς ἴσοις ἀμείψασθαι. τί φεύγεις; * ναί, φη- * τί τρέμεις;
σιν· ἀλλ' οὐ δύναμαι φυλάξαι. οὐκοῦν τὰ ἀδύνατα ἐπέταξεν ὁ Θεός; ἀπὸ τούτου τί δέδοικας;
πάντα ἀνατέτραπται, ἀπὸ τούτου τὰ τῆς οἰκουμένης διέφθαρται, ὅτι οὐδεὶς οὐδενὶ σκοπὸς
κατὰ Θεὸν ζῆν. οἱ μὲν οὖν κατηχούμενοι τοῦτο σπουδάζοντες, οὐδεμίαν ποιοῦνται " ἐπι- γ. σπάνιον
μέλειαν ὀρθοῦ βίου· οἱ δὲ ἤδη φωτισθέντες, οἱ μὲν ἐπεὶ παῖδες ὄντες τοῦτο ἔλαβον, οἱ δὲ
ἐν ἀρρωστίᾳ, καὶ ἀνενεγκόντες, ἐπειδὴ μὴ εἶχον προθυμίαν τινὰ ζῆσαι διὰ Θεόν, οὐδὲ
οὗτοι σπουδὴν τίθενται· οἱ δὲ ἐν ὑγείᾳ " λαβόντες, ὀλίγην ταύτην καὶ αὐτοὶ ἐπιδεί- γ. λαμβάνοντες ὀλίγην τινὰ ὑπομονὴν ὅπως
κνυνται, καὶ πρὸς τὸ πρὶν " διατεθέντες θερμοί, μετὰ ταῦτα καὶ οὗτοι τὸ πῦρ ἔσβεσαν.
μὴ γὰρ οὐκ ἔνι πράγμασι χρῆσθαι; μὴ γὰρ τῆς γυναικός σε εἴργω; πορνείας σε ἀ- γ. οὕτις
πείργω. μὴ γὰρ τῆς τῶν χρημάτων ἀπολαύσεως; πλεονεξίας καὶ ἁρπαγῆς. μὴ γὰρ
β. Κορ. η. ιδ. ἀναγκάζω πάντα κενῶσαι; ὀλίγα ἀπὸ τῶν ὄντων δοῦναι τοῖς δεομένοις (Τὸ ὑμῶν πε-
ρίσσευμα, φησιν, εἰς τὸ ἐκείνων ὑστέρημα) καὶ οὐδὲ " οὕτω πειθόμεθα. μὴ γὰρ τῆς θέας γ. ἔτι ὁ-μῶν
" βιαζόμεθα; μεθύειν κωλύομεν καὶ γαστρίζεσθαι. ταῦτα παραιτούμεθα, ἃ ἀσχημοσύνην γ. ἀναπίπτω-μεν;
σοι φέρει· ἃ καὶ πρὸ τῆς γεέννης ἐντεῦθεν ἤδη φευκτὰ καὶ μισητὰ καὶ αὐτὸς εἶναι συνωμολο-
γεῖς. μὴ γὰρ ἥδεσθαι καὶ χαίρειν; ἀλλὰ μὴ αἰσχρῶς, μηδὲ ἀναξίως. τί δέδοικας; τί φο-
βῇ; τί τρέμεις; ἔνθα γάμος, ἔνθα χρημάτων ἀπόλαυσις, ἔνθα τροφὴ σύμμετρος, ποία
ἁμαρτίας ὑπόθεσις; καὶ μὴν οἱ ἔξωθεν τὰ ἐναντία ἐπιτάττουσι, καὶ ἀκούονται. οὐ γὰρ
ἀπὸ τῶν ὄντων ἀπαιτοῦσιν, ἀλλὰ λέγουσιν, ὅτι τοσόνδε δοῦναι δεῖ. κἂν προβάλλῃ πενί-
αν, " οὐδὲ οὕτως ἀφίσταται. ὁ δὲ Χριστὸς οὐχ οὕτως· ἀλλ', ἀφ' ὧν ἔχεις δός, καὶ εἰς τὴν γ. ἐλλιπεστέ-ραν ποιήσονται.
προτέραν σε καταλέξω τάξιν, φησί. πάλιν ἐκεῖνοι· εἰ βούλει, φησίν, εὐδοκιμεῖν, κατά-
λιπε πατέρα, μητέρα, συγγενεῖς, οἰκείους, καὶ προσέδρευε τοῖς βασιλείοις, κοπτόμενος, τα-
λαιπωρούμενος, δουλεύων, σπώμενος, μυρία πάσχων κακά· ὁ δὲ Χριστὸς οὐχ οὕτως, ἀλλ',
ἔσο ἐν τῇ οἰκίᾳ μετὰ τῆς γυναικός, μετὰ τῶν παίδων, καὶ αὐτὰ ταῦτα διάπλαττε καὶ
ῥύθμιζε, τὸν ἀπράγμονα βίον ζῆθι καὶ ἀκίνδυνον. ναί, φησιν· ἀλλ' ἐκεῖνος χρήματα
Ματθ. ϛ. λγ. ἐπαγγέλλεται. ἀλλ' οὗτος βασιλείαν· μᾶλλον δὲ καὶ χρήματα μετὰ ταύτης. Ζητεῖτε γάρ,
φησι, * τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ ἐκεῖνος * πρῶτον
Ψαλ. λϛ. κε. μὲν οὐδὲ ἐν προσθήκης μέρει· οὗτος δὲ καὶ περιττευομένως. Νεώτερος ἐγενόμην,
φησί, καὶ γὰρ ἐγήρασα· καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ
σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. ἀρξώμεθα τοίνυν τῆς ἀρετῆς· θῶμεν προοίμιον·
ἐπιλαβώμεθα αὐτῆς μόνον, καὶ ὄψει οἷα τὰ ἀγαθά. μὴ γὰρ ἀπόνητι ἐκεῖνα κατορθοῖς,
ὅτι πρὸς ταῦτα μαλακίζῃ; ναί, φησιν· ἐκεῖνα ἀπόνητι, ταῦτα δὲ μετὰ πόνου. ἅπαγε·

οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλ' εἴ τι δεῖ τἀληθὲς εἰπεῖν, ἐκεῖνα μᾶλλον πόνοις συνέζευκται, ἃ μετὰ πόνου πλείονος κατορθοῦται· ταῦτα δὲ, ἂν ἐθέλωμεν, ῥᾳδίως. μὴ δὴ ἀποπηδῶμεν τῶν θείων μυστηρίων, παρακαλῶ· μηδὲ τοῦτο ἴδῃς ὅτι ὁ παρὰ σοῦ φωτισθεὶς φαῦλος γέγονε, καὶ τῆς ἐλπίδος ἐξέπεσε τῆς αὐτοῦ, [καὶ ὀκνηρότερος σαυτοῦ γένῃ·] ἐπεὶ καὶ ἐν τοῖς στρατιώταις ὁρῶμεν τοὺς μὲν οὐκ εἰς δέον χρωμένους τῇ στρατείᾳ, τοὺς δὲ εὐδοκιμοῦντας· καὶ οὐ τοῖς ῥαθύμοις προσέχομεν, ἀλλὰ τούτους ζηλοῦμεν τοὺς κατορθοῦντας. πρὸς τούτοις, ἐννόησον ὅσοι μετὰ τὸ φώτισμα ἄγγελοι ἀντὶ ἀνθρώπων γεγόνασι· φοβήθητι τὸ τοῦ μέλλοντος ἄδηλον. ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται ὁ θάνατος. οὐδὲ ἁπλῶς ὡς κλέπτης· ἀλλὰ καθευδόντων ἡμῶν ἐπιτίθεται, καὶ ῥαθυμοῦντας λαβὼν ἄπεισι. διὰ β. Πετ. γ. ι.
τοῦτο ἄδηλον ἐποίησε τὸ μέλλον ὁ Θεὸς, ἵνα ἀεὶ τῷ τῆς προσδοκίας ἀδήλῳ ἐν ἀρετῇ διάγωμεν. ἀλλὰ φιλάνθρωπός ἐστι, φησί. μέχρι πότε τὸ ψυχρὸν τοῦτο ῥῆμα καὶ καταγέλαστον λεγόμενον; ἐγὼ οὐχ ὅτι φιλάνθρωπός ἐστιν ὁ Θεὸς λέγω μόνον, καὶ παύομαι, ἀλλ' ὅτι οὐδὲν φιλανθρωπότερον αὐτοῦ, καὶ ὅτι χρησίμως ἅπαντα τὰ καθ' ἡμᾶς οἰκονομεῖ. πόσους ὁρᾷς ἐν ἡλικίᾳ πάσῃ ἐν ἐλέφαντι διάγοντας; πόσους ἀπὸ πρώτης ἡλικίας τυφλώττοντας μέχρι γήρως; ἄλλους ἐν πηρώσει μετὰ ταῦτα γινομένους; ἄλλους ἐν πενίᾳ; ἄλλους ἐν δεσμοῖς; ἑτέρους ἐν μετάλλοις; ἄλλους ὁμοῦ καταχωσθέντας; * ταῦτα οὐκ ἔστι φιλανθρωπίας, εἰπέ μοι; ταῦτα οὐκ ἐδύνατο κωλῦσαι, εἰ ἠθέλησεν; ἀλλ' ἀφίησι. ναί, φησι. σὺ δὲ, εἰπέ μοι, διατί οἱ ἐκ πρώτης ἡλικίας τυφλοί; οὐκ ἐρῶ, ἕως ἂν ὑπόσχῃ μοι ὅτι φωτίζῃ· ὅτι φωτισθεὶς, βιοῖς ὀρθῶς, οὐ θέμις σοι τὰ τοιαῦτα ἐπιλύεσθαι. οὐ γὰρ δὴ μέχρι τούτων ἐστὶν ὁ λόγος. κἂν γὰρ τοῦτο λύσω, ἕτερον ἐπεισέρχεται ζήτημα. ἄβυσσος γάρ ἐστι ζητημάτων [ἡ γραφή.] ὥστε μὴ πρὸς τοῦτο ἐθίζετε ἑαυτοὺς, πρὸς τὸ λύσιν ζητεῖν* ἐπεὶ οὐδέποτε στησόμεθα ζητοῦντες. ἰδοὺ γὰρ ἂν τοῦτο λύσω, μυρίας κεφαλὰς ἐπιδεικνύω ζητημάτων. ὥστε * μανθάνομεν μᾶλλον ζητεῖν, ἢ τὰ ζητηθέντα λύειν. ὅτε γὰρ ἐὰν λύσωμεν, πάντως ἐλύσαμεν· ἀλλὰ κατὰ ἀνθρώπινον λογισμὸν οἰκεία τῶν τοιούτων λύσις. ἡ πίστις ἐστὶ, τὸ εἰδέναι ὅτι πάντα δικαίως καὶ φιλανθρώπως ὁ Θεὸς καὶ συμφερόντως ποιεῖ· ὅτι καταλαβεῖν αὐτῶν τὸν λόγον οὐκ ἔνι. μία λύσις αὕτη, καὶ ταύτης ἀμείνων ἑτέρα οὐκ ἔστι. τί γὰρ, εἰπέ μοι, τῆς λύσεως ἔργον; [πάντως] μηκέτι ζητεῖν τὸ λυθέν. κἂν τοῦτο πείσῃς σαυτὸν, ὅτι προνοίᾳ τοῦ Θεοῦ τὰ πάντα διοικεῖται, τὰ μὲν συγχωροῦντος δι' ἃς οἶδε λόγους, τὰ δὲ ἐνεργοῦντος, ἀπηλλάγης τοῦ ζητεῖν, καὶ τῆς λύσεως τὸ κέρδος ἔλαβες. ἀλλ' ἐπανίωμεν εἰς τὸ προκείμενον. οὐχ ὁρᾷς τοσούτους ἐν κολάσεσι; ταῦτα ὁ Θεὸς συγχωρεῖ πάντα. χρῆσαι τῇ ὑγείᾳ τοῦ σώματος εἰς τὴν ὑγείαν τῆς ψυχῆς. ἀλλ' ἐρεῖς, τί μοι χρεία πόνων καὶ ταλαιπωρίας, ἐξὸν ἀπονητὶ πάντα ἀπολύσασθαι; μάλιστα μὲν οὐδὲ δῆλον τοῦτο ἐστι. συμβαίνει γὰρ οὐ μόνον ἀπονητὶ μὴ ἀπολύσασθαι, ἀλλὰ καὶ ἀπελθεῖν πάντα ἔχοντα. πλὴν εἰ καὶ τοῦτο δῆλον, οὐδὲ οὕτως ἀνεκτὸς ὁ λόγος. εἰς ἀγῶνας εἵλκυσεν, ὅπλα κεῖται χρυσᾶ· δέον λαβεῖν αὐτὰ καὶ μεταχειρίσασθαι, σὺ δὲ βούλει ἀδόξως σωθῆναι, καὶ μηδὲν ἀγαθὸν ἐργάσασθαι; εἰπέ μοι, εἰ πόλεμος συνειστήκει, καὶ ὁ βασιλεὺς παρῆν, καὶ τοὺς μὲν εἶδες εἰς μέσας τὰς φάλαγγας τῶν πολεμίων ἐμπεσόντας, καὶ κατακόπτοντας, καὶ τραυματίας ἐργαζομένους μυρίους, ἑτέρους μονομαχοῦντας, ἄλλους ἐφ' ἵππων ὀρχουμένους καὶ ἐπαινουμένους ὑπὸ τοῦ βασιλέως, θαυμαζομένους, κροτουμένους, στεφανουμένους· ἑτέρους δὲ πάλιν ἀγαπητὸν ἡγουμένους, εἰ μηδὲν πάθοιεν κακὸν, καὶ τὴν ἐσχάτην τάξιν φυλάττοντας καὶ καθημένους· εἶτα μετὰ τὴν τοῦ πολέμου λύσιν, τοὺς μὲν καλουμένους, δεξιουμένους ταῖς μεγάλαις δωρεαῖς, ἀνακηρυττομένους· ἐκείνων δὲ οὐδὲ τοὔνομα δῆλον γινόμενον, ἀλλὰ μέχρι τῆς σωτηρίας αὐτοῖς τὴν τῶν ἀγαθῶν ἀντίδοσιν οὖσαν· τίνων ἂν ἠθέλησας γενέσθαι; εἰ γὰρ λίθινος ἦς, εἰ γὰρ ἀναισθήτων καὶ ἀψύχων* νωθέστερος, οὐκ ἂν ἐπεθύμησας ἐκείνων γενέσθαι μυριάκις; ναὶ, δέομαι καὶ ἀντιβολῶ.

* ἄλλους ἐν πολέμοις;

γρ. μόνον
* ἀλλὰ πρὸς τὸ μὴ ζητεῖν·
* οὕτω
γρ. οὐχὶ

γρ. τὴν γρ.

γρ. καταπονοῦντας, ἄλλους πεσόντας, ἄλλ. ἐφ' ἵππ. φερομένους, ἐπαινουμ.
γρ. τιμωμένους ταῖς μεγίσταις δωρ. κηρυττομένους.
* ἦς

εἰ γὰρ πρὸς τὸν πολεμοῦντα ἔθνη, οὐκ ἐχρῆν προθύμως τοῦτο ἑλέσθαι; οὐχ ὁρᾷς τοὺς ἐν τοῖς πολέμοις τούτοις πίπτοντας, πῶς εἰσι λαμπροί; πῶς ἔνδοξοι; καίτοι θάνατον ἀποθνήσκουσι, μεθ' ὃν οὐκ ἔστι τιμηθῆναι παρὰ τοῦ βασιλέως. ἐπὶ δὲ ἐκείνου τοῦ πολέμου οὐδὲν τοιοῦτον· ἀλλὰ πάντως παραστήσῃ τοὺς μώλωπας ἔχων· οὓς γένοιτο πάντας ἡμᾶς ἐπιδεῖξαι καὶ χωρὶς διωγμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κδ. 44 ΕΤΙ ΛΑΛΟΥΝΤΟΣ ΤΟΥ ΠΕΤΡΟΥ ΤΑ ΡΗ-
ματα ταῦτα, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν
λόγον, 45 Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ
Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται.
46 Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν
Θεόν.

Θέα τοῦ Θεοῦ τὴν οἰκονομίαν. οὐκ ἀφῆκεν αὐτὸν πληρωθῆναι τὸν λόγον, οὐδὲ ἐκ προστάγματος Πέτρου γενέσθαι τὸ βάπτισμα· ἀλλ' ἐπειδὴ τὴν διάνοιαν αὐτῶν ἔδειξεν θαυμαστὴν οὖσαν, καὶ τῆς διδασκαλίας ἀρχὴν γέγονε, καὶ ἐπίστευσαν ὅτι πάντως τὸ βάπτισμα ἄφεσίς ἐστιν ἁμαρτημάτων, τότε ἐπῆλθε τὸ πνεῦμα. τοῦτο δὲ γέγονε προοικονομοῦντος ἀπολογίαν μεγάλην τῷ Πέτρῳ τοῦ Θεοῦ. οὐχ ἁπλῶς δὲ τὸ πνεῦμα λαμβάνουσιν, ἀλλὰ γλώσσαις ἐλάλουν, ὅπερ [καὶ] ἐξέπληττε τοὺς συνελθόντας. τί δήποτε δὲ οὕτως οἰκονομεῖται τὸ πρᾶγμα; διὰ τοὺς Ἰουδαίους. καὶ γὰρ πάνυ ἀπηχθῶς εἶχον πρὸς αὐτούς. διὸ πανταχοῦ τοῦ Θεοῦ τὸ πᾶν γίνεται. καὶ ὁ Πέτρος σχεδὸν ἁπλῶς πάρεστι, παιδευόμενος, ὅτι δεῖ λοιπὸν ἅπτεσθαι τῶν ἐθνῶν, καὶ ὅτι δι' αὐτῶν δεῖ γενέσθαι τοῦτο. καὶ μὴ θαυμάσῃς. ὅπου γὰρ μετὰ τοσαῦτα καὶ ἐν Καισαρείᾳ, καὶ ἐν Ἱεροσολύμοις ἀμφισβητήσεις γίνονται, τί οὐκ ἂν ἐγεγόνει, εἰ μὴ ταῦτα προηκολουθήκει; διὰ τοῦτο καὶ μετὰ ὑπερβολῆς ταῦτα γίνεται. ὅρα δὲ πῶς καὶ ὁ Πέτρος λαβὼν ἀφορμὴν ἀπολογεῖται. ὅτι δὲ μετὰ τὴν ἀφορμὴν ἀποκρίνεται, ἄκουε τοῦ εὐαγγελιστοῦ διηγουμένου καὶ λέγοντος· Τότε ἀπεκρίθη ὁ Πέτρος *·

47 Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον, ὡς καὶ ἡμεῖς; Εἶδες πῶς τὸ πρᾶγμα διήνεγκε, [καὶ] πῶς ὠδίνει ἐξενεγκεῖν τοῦτο. οὕτω [πάλαι] τῆς γνώμης ταύτης ἦν. μήτι τὸ ὕδωρ, φησί, κωλῦσαι δύναταί τις; σχεδὸν γὰρ ὥσπερ ἐπεμβαίνοντός ἐστι τοῖς κωλύουσι καὶ λέγουσιν, ὅτι οὐ χρὴ τοῦτο γενέσθαι. τὸ πᾶν γέγονε, φησί, τὸ ἀναγκαιότερον γέγονε, τὸ βάπτισμα, ὃ [καὶ] ἡμεῖς ἐβαπτίσθημεν.

48 Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

Μετὰ τὸ ἀπολογήσασθαι, τότε αὐτοὺς προσέταξε βαπτισθῆναι, παιδεύων αὐτοὺς διὰ τῶν πραγμάτων. τοσοῦτον ἀπηχθῶς εἶχον οἱ Ἰουδαῖοι· διὰ τοῦτο πρότερον ἀπολογεῖται, καίτοι τῶν πραγμάτων βοώντων, καὶ τότε προσέταξε.

Τότε ἠρώτησαν αὐτόν, φησίν, ἐπιμεῖναι ἡμέρας τινάς. Ἐντεῦθεν εἰκότως καὶ θαρρεῖ λοιπὸν καὶ ἐπιμένει.

κεφ. ια. 1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη
ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.
2 Καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς,

* λέγει

3 Λέγοντες· ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς.

Μετὰ τοσαῦτα διεκρίνοντο οἱ ἐκ περιτομῆς, οὐχ οἱ ἀπόστολοι. * τί ἐστι, διεκρίνοντο; ἐσκανδαλίζοντο, φησιν, οὐ μικρῶς. καὶ θέα τί προβάλλονται. οὐ λέγουσι, διὰ τί κατήχησας; ἀλλὰ, διὰ τί συνέφαγες; ὁ δὲ Πέτρος οὐ πρὸς τοῦτο ἵσταται τὸ ψυχρὸν (ψυχρὸν γὰρ οὕτως ἦν) ἀλλὰ πρὸς ἐκεῖνο τὸ μέγα, λέγων· ὅτι εἰ πνεύματος μετέλαβον καὶ αὐτοὶ, πῶς τούτου μεταδοῦναι οὐκ ἦν; πῶς οὖν ἐπὶ τῶν Σαμαρειτῶν τοῦτο οὐ γέγονεν, ἀλλὰ καὶ τοὐναντίον; καὶ γὰρ οὐ μόνον πρὸ τοῦ βαπτίσματος οὐκ ἐγένετο, ἀλλ' οὐδὲ μετὰ τὸ βάπτισμα· καὶ οὐκ ἠγανάκτησαν*, ἀλλὰ μᾶλλον ἀκούσαντες ἔπεμψαν ἐπὶ τοῦτο αὐτό. ἀλλ' οὐδὲ ἐνταῦθα τοῦτο ἐγκαλοῦσιν· ᾔδεσαν γὰρ ὅτι θείας χάριτος ἦν· ἀλλὰ διὰ τί, φησι, συνέφαγες; ἄλλως δὲ πολὺ καὶ ἀπεῖχε τὸ διάφορον Σαμαρειτῶν καὶ ἐθνῶν. ἢ καὶ οἰκονομικῶς γίνεται τὸ ἐγκληθῆναι αὐτὸν, ἵν' οὕτοι μάθωσιν. οὐ γὰρ ἂν ἁπλῶς Πέτρος εἶπεν. ὅρα δὲ αὐτοῦ τὸ ἄτυφον καὶ ἀκενόδοξον.

* μὴ γένοιτο.

* ἐκεῖ

χ. οὐ ποιεῖ τὸ

4 Αρξάμενος γάρ, φησι, Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων·

5 Εγὼ ἤμην ἐν πόλει Ιόππῃ προσευχόμενος. Καὶ οὐ λέγει διὰ τί, οὐδὲ ἐπὶ ποίᾳ προφάσει. Καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνόν τι σκεῦος ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ.

6 Εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

7 Ηκουσα δὲ φωνῆς λεγούσης μοι· ἀναστὰς, Πέτρε, θῦσον, καὶ φάγε.

"Τί διὰ τούτων εἰπεῖν βούλεται; ἰχθύων ἦν, φησι, καὶ τοῦτο πρῶτον, τὸ θεάσασθαι τὴν "ὀθόνην· πλὴν ἀλλὰ καὶ φωνὴ προσετέθη.

χ. ὡσανεὶ ἔλεγε·

χ. σινδόνα·

8 Εἶπον δέ· μηδαμῶς, Κύριε, ὅτι κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. Ορᾷς; τὸ ἐμὸν ἐποίησα, φησιν· εἶπον, ὅτι οὐδέποτε ἔφαγον. τοῦτο, πρὸς ὃ ἔλεγον ἐκεῖνοι, ὅτι εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς· τοῦτο δὲ πρὸς Κορνήλιον οὐ λέγει. οὐ γὰρ ἦν ἀνάγκη.

9 Απεκρίθη δέ μοι ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.

11 Καὶ ἰδοὺ ἐξ αὐτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. Απεραίαγκαια ἦν, διηγεῖται· τὰ ἄλλα δὲ σιωπᾷ· μᾶλλον δὲ διὰ τούτων καὶ αὐτὰ κατασκευάζει. καὶ ὅρα πῶς ἀπολογεῖται, καὶ οὐκ ἀξιοῖ τῷ τοῦ διδασκάλου ἀξιώματι κεχρῆσθαι. ᾔδει γὰρ ὅτι ὅσῳ ἐπιεικέστερον φθέγγεται, τοσούτῳ μᾶλλον αὐτοὺς χειροῦται. οὐδέποτε εἰσῆλθε, φησιν, εἰς τὸ στόμα μου κοινὸν ἢ ἀκάθαρτον. "οὕτως οἰκονομίας πᾶσα ἦν ἡ ἀπολογία. καὶ ἰδοὺ ἐξ αὐτῆς τρεῖς ἄνδρες ἐπέστησαν τῇ οἰκίᾳ ἐν ᾗ ἤμην.

χ. καὶ ταῦτα ἀπολογίας ἦν

12 Εἶπε δέ μοι τὸ πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον.

Ορᾷς ὅτι πνεύματος ἡ νομοθεσία; Ηλθον [δὲ] σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι.

Τί γένοιτ' ἂν ταπεινότερον Πέτρου," ὃς ἀπὸ ταύτης καὶ τῶν ἀδελφῶν τὴν μαρτυρίαν προβάλλεται; συνῆλθον δέ μοι οἱ ἓξ ἀδελφοὶ, Καὶ εἰσήλθομεν εἰς τὴν οἰκίαν τοῦ ἀνδρός.

χ. ὅταν τῶν ἀδελφῶν τὴν μαρτυρίαν ἐπάγηται·

13 Απήγγειλε δὲ ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· ἀπόστειλον εἰς Ιόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, Πραξ. ι. δ.

14 Ος λαλήσει ῥήματα πρὸς σὲ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου.

Καὶ οὐκ εἶπε τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα τῷ Κορνηλίῳ· Αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύ-

ναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ, ἵνα μὴ παρέλθῃ αὐτούς· [ἀλλ', ἅπερ οὐδὲν εἶχον μέγα,] λαλήσει ῥήματα πρὸς σέ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. ὁρᾷς πῶς δι' ὅπερ ἔφθην ἐπείγεται; καὶ οὐδὲν λέγει περὶ τῆς ἐπιεικείας τοῦ ἀνδρός. τοῦ πνεύματος τοίνυν πέμψαντος, τοῦ Θεοῦ κελεύσαντος, διὰ τοῦ ἀγγέλου ἐκεῖθεν καλέσαντος, ἐντεῦθεν ὠθοῦντος, λύοντος τὴν διαφορὰν τῶν πραγμάτων, τί ποιῆσαι ἔδει; ἀλλ' οὐ λέγει τούτων οὐδέν, ἀλλ' ἀπὸ τοῦ ὑστέρου ἰσχυρίζεται· ὃ καὶ κατ' αὐτὸ ἀναμφισβήτητον ἦν μαρτύριον. καὶ διὰ τί, φησι, μὴ τοῦτο γέγονε μόνον; ἐκ περιουσίας παρὰ τοῦ Θεοῦ, ἵνα δειχθῇ καὶ ἡ ἀρχὴ οὐ παρὰ τοῦ ἀποστόλου. εἰ δὲ αὐτόματος ἀπῆλθεν, οὐδενὸς τούτων γινομένου, πολὺ ἂν ἐπλήγησαν, ὥστε ἄνωθεν αὐτῶν τὴν διάνοιαν οἰκειοῖ λέγων πρὸς αὐτούς, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον, ὡς καὶ ἡμεῖς. καὶ πάλιν·

γ. πεπεικότος ἀφέντα. καὶ — γ. ἀδιάκριτον — γ. τεκμήριον — γ. τοῦτο γίνεται, ἵνα — γ. ὡς

15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ. Καὶ οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ῥήματος ἀναμιμνήσκει τοῦ Κυρίου.

16 Ἐμνήσθην δέ, φησι, τοῦ ῥήματος Κυρίου ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. Ὥστε οὐδὲν καινότερον γέγονεν, ἀλλ' ὅπερ προεῖπεν. ἀλλ' οὐκ ἔδει βαπτίσαι, φησίν. ἀλλ' ἀπήρτιστο τὸ βάπτισμα, τοῦ πνεύματος αὐτοῖς ἐπιπεπτωκότος. διὰ τοῦτο οὐ λέγει, ἐκέλευσα πρότερον αὐτοὺς βαπτισθῆναι· ἀλλὰ τί; μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους; ἐκ τούτου δεικνὺς ἑαυτὸν οὐδὲν ποιήσαντα. ὅπερ τοίνυν ἐλήφαμεν ἡμεῖς, φησιν, ἔλαβον ἐκεῖνοι.

17 Εἰ οὖν τὴν ἴσην δωρεάν, φησιν, ἔδωκεν αὐτοῖς ὁ Θεός, ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;

Ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξῃ τὰ στόματα, διὰ τοῦτο προσέθηκε τὴν ἴσην δωρεάν. ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς ἔλαττον ἔχειν πιστεύσαντας ἅπαξ; τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεός, ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον. ὥστε αὐτὸς καθαίρει αὐτούς. καὶ οὐ λέγει, ὑμῖν· ἀλλ', ἡμῖν, λεαίνων καὶ ταύτῃ τὸν λόγον. τί τοίνυν ἀναξιοπαθεῖτε, ὅταν ἡμεῖς αὐτοὺς κοινωνοὺς λέγωμεν; γ. μειζόνως

18 Ἀκούσαντες δὲ ταῦτα, ἡσύχασαν καὶ ἐδόξασαν τὸν Θεὸν λέγοντες· ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν. Ὁρᾷς πῶς ἀπὸ τῆς δημηγορίας τοῦ Πέτρου τὸ πᾶν γέγονε καλῶς ἀπαγγείλαντος τὰ γενόμενα; διὸ καὶ ἐδόξαζον τὸν Θεόν, ὅτι τὴν μετάνοιαν καὶ αὐτοῖς ἔδωκεν· οὕτως ἐταπεινώθησαν ἀπὸ τούτων τῶν λόγων. ἐντεῦθεν ἀνεῴχθη ἡ θύρα πρὸς τὰ ἔθνη λοιπόν. ἴδωμεν δέ, εἰ δοκεῖ, ἄνωθεν τὰ εἰρημένα. οὐκ εἶπεν, ὅτι διεκρίθη Πέτρος, ἀλλ' οἱ ἐκ περιτομῆς· ἐπεὶ αὐτὸς ᾔδει τὸ κατασκευαζόμενον. καὶ μὴν ἐκεῖνο ἐχρῆν θαυμάσαι, πῶς καὶ αὐτοὶ ἐπίστευσαν. ὅτε μὲν οὖν ἤκουσαν ὅτι ἐπίστευσαν, οὐδὲν ἔπαθον· ἀλλ' ὅτε ὁ Θεὸς ἐχαρίσατο τὸ πνεῦμα· ὅτε ὁ Πέτρος ἐξετίθει τὴν ἑαυτοῦ ἔκστασιν, λέγων· ὁ Θεὸς ἔδειξέ μοι μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. οὕτως ἄνωθεν ᾔδει τοῦτο. διὸ καὶ προκατασκευάζει τὸν λόγον τὸν ὑπὲρ τῶν ἐθνῶν, δεικνὺς ὅτι οὐδὲ ἔθνη λοιπὸν ἦν τῆς πίστεως παραγινομένης. οὐδὲν θαυμαστὸν τοίνυν, εἰ πρὸ τοῦ βαπτίσματος τὸ πνεῦμα ἔλαβον· καὶ ἐφ' ἡμῶν τοῦτο γέγονεν. ἐνταῦθα δείκνυσιν ὁ Πέτρος, ὅτι οὐδὲ ὡς οἱ λοιποὶ ἐβαπτίσθησαν, ἀλλὰ πολλῷ βέλτιον. διὰ τοῦτο δὲ οὕτως ἐκ περιουσίας οἰκονομεῖται, ἵνα μηδὲν ἔχωσι λέγειν· ἀλλὰ καὶ οὕτως ἴσους αὐτοῖς νομίσωσι. καὶ ἠρώτησαν αὐτόν, φησιν, ἐπιμεῖναι. ὁρᾷς πῶς οὐκ οἰκείως πρὸς αὐτὸν διέκειντο; εἶδες τὸν ζῆλον ὃν εἶχον ὑπὲρ τοῦ νόμου; οὐ τὸ ἀξίωμα Πέτρου ᾐδέσθησαν, οὐ τὰ γινόμενα σημεῖα, οὐ τὸ κατόρθωμα ὅσον ἦν τὸ δέξασθαι τὸν λόγον· ἀλλ' ὑπὲρ τῶν μικρῶν ἐκείνων διεκρίνοντο. εἰ γὰρ μηδὲν τούτων ἦν, οὐκ ἤρκει τὸ κατόρθωμα; ἀλλ' οὐκ ἀπολογεῖται οὕτω

γ. ᾔδει — γ. γίνεται τοῦτο, ἵνα ἐκ περιουσίας μηδὲν ἔχ.

Πέτρος

γ. ἐπ' αὐτὸν ἐφῆκε τὸ πνεῦμα · ἢ γ. ἐν Ἰόππῃ · γ. ὅμως · γ. αὐτοῖς

Πέτρος (συνετὸς γὰρ ἦν) μᾶλλον δὲ οὐ τῆς συνέσεως αὐτοῦ ἦν, ἀλλὰ τοῦ πνεύματος τὰ ῥήματα· καὶ δείκνυσι διὰ τῆς ἀπολογίας ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον, πανταχοῦ δὲ τὸν Θεόν. καὶ μονονουχὶ πρὸς αὐτοὺς τοῦτο λέγει· ἐν ἐκστάσει μεγίστῃ αὐτὸς ἐποίησεν. ἐγὼ γὰρ ἁπλῶς προσευχόμενος ἤμην. τὸ σκεῦος αὐτὸς ἔδειξεν, ἐγὼ ἀντεῖπον. καὶ πάλιν αὐτὸς εἶπε, καὶ οὐδὲ οὕτως ἤκουσα. τὸ πνεῦμα ἐκέλευσεν ἀπελθεῖν, καὶ οὕτως ἀπελθὼν οὐκ ἐπέδραμον. εἶπον ὅτι ὁ Θεὸς ἔπεμψε· καὶ μετὰ ταῦτα οὐδὲ οὕτως ἐβάπτισα, ἀλλ' ἀπ' ἄλλου ὁ Θεὸς τὸ πᾶν εἰργάσατο. ἄρα Θεὸς αὐτοὺς ἐβάπτισεν, οὐκ ἐγώ. καὶ οὐκ εἶπε, τούτων γεγονότων ἁπάντων, οὐκ ἔδει τὸ ὕδωρ προσαχθῆναι λοιπόν; ἀλλ' ὡς οὐδενὸς λείποντος, ἐγὼ τίς ἤμην, φησί, κωλῦσαι τὸν Θεόν; βαβαί, οἵα ἡ ἀπολογία· οὐ γὰρ εἶπε, ταῦτα οὖν εἰδότες ἡσυχάζετε· ἀλλὰ τί; δέχεται αὐτῶν τὴν ὁρμήν, καὶ ἐγκαλοῦσιν ἀπολογεῖται, τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν, λέγων; σφόδρα ἐντρεπτικῶς καὶ βαρέως χρησάμενος τῇ ἀπολογίᾳ· οὐκ ἠδυνάμην κωλῦσαι. ὅθεν λοιπὸν φοβηθέντες, ἡσύχασαν καὶ ἐδόξαζον τὸν Θεόν.

ΗΘΙΚΟΝ

γ. κἂν πάντες συνθῶσι καὶ σύ

· Οὕτω καὶ ἡμᾶς χρὴ ἐν τοῖς τῶν πλησίον ἀγαθοῖς δοξάζειν τὸν Θεόν, ἀλλ' οὐκ ἐπηρεάζειν, καθάπερ οἱ πολλοὶ τῶν νεοφωτίστων ἐπηρεάζουσιν, ὅταν ἄλλους ἴδωσι φωτισθέντας, καὶ εὐθὺ ἀπιόντας. δοξάζειν δεῖ τὸν Θεόν, καὶ ὅτι μένειν οὐ συγχωρεῖ. ὥστε καὶ σύ, ἐὰν θέλῃς, μείζονα ἔλαβες δωρεάν· οὐ κατὰ τὸ φώτισμα λέγω (ἡ γὰρ αὐτή ἐστι κἀκείνου καὶ σοῦ) ἀλλὰ κατὰ τὸ λαβεῖν προθεσμίαν εὐδοκιμήσεως. ἐκεῖνος ἐνεδύσατο τὴν στολήν, καὶ οὐκ ἀφέθη ἐμπομπεῦσαι ἐν αὐτῇ· σοὶ πολλὴν ἔδωκεν ἐξουσίαν ὁ Θεὸς χρήσασθαι τοῖς ὅπλοις εἰς δέον, καὶ λαβεῖν αὐτῶν ἐντεῦθεν τὴν πεῖραν. ἐκεῖνος ἄπεισι τῆς πίστεως μόνον ἔχων τὸν μισθόν· σὺ ἕστηκας ἐν τῷ σταδίῳ, τῶν ἔργων δυνάμενος λαβεῖν πολλὰς τὰς ἀμοιβάς, καὶ τοσοῦτον ἐκείνου φανῆναι λαμπρότερος, ὅσον ὁ ἥλιος τοῦ μικροτάτου ἀστέρος, ὅσον ὁ στρατηγὸς τοῦ ἐσχάτου στρατιώτου· μᾶλλον δὲ ὅσον ὁ βασιλεύς. σαυτὸν τοίνυν αἰτιῶ· μᾶλλον δὲ μὴ αἰτιῶ, ἀλλὰ διόρθου σαυτὸν ἀεί. οὐ γὰρ ἀρκεῖ τὸ αἰτιάσασθαι· ἔξεστιν ἀναμαχέσασθαι. κατεβλήθης; δεινὰ ἔπαθες; ἀνάστηθι· ἀνάκτησαι σαυτόν. ἔτι ἐν τῷ σταδίῳ ἕστηκας, ἔτι τὸ θέατρον συνέστηκεν. οὐχ ὁρᾷς πόσοι καταπαλαισθέντες ὕστερον ἀνεμαχέσαντο; μόνον μὴ ἑκὼν καταπέσῃς. μακαρίζεις τὸν ἀπελθόντα; πολλῷ μᾶλλον μακάριζε σαυτόν. ἀφέθη ἁμαρτήματα ἐκεῖνος; ἀλλ', ἐὰν θέλῃς σύ, οὐ μόνον τὰ ἁμαρτήματα ἀπονίψῃ, ἀλλὰ καὶ κατορθώματα ἕξεις, ὅπερ ἐπ' ἐκείνου οὐ δυνατόν. ἔνεστιν ἡμᾶς ἀνακαλέσασθαι ἑαυτούς. μεγάλα τῆς μετανοίας τὰ φάρμακα. μηδεὶς ἀπογινωσκέτω ἑαυτοῦ. ἐκεῖνος ὄντως ἀπογνώσεως ἄξιος, ὁ ἀπογινώσκων ἑαυτοῦ· ἐκεῖνος οὐκ ἔτι σωτηρίας ἔχει ἐλπίδας. οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν, δεινόν, ἀλλὰ τὸ κεῖσθαι μετὰ τὸ ἐλθεῖν· οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν, ἀσεβές, ἀλλὰ τὸ καταφρονῆσαι μετὰ τὸ ἐλθεῖν. διὸ ὀφείλεις μεριμνᾶν, εἰπέ μοι, μᾶλλον καταφρονεῖς; τραύματα τοσαῦτα ἔχων ἀνέπεσες; οὐδέν ἐστι ψυχῆς ἀνίατον τραῦμα. ἀλλ' ἐπὶ μὲν σώματος πολλὰ τοιαῦτα· ἐπὶ δὲ τῆς ψυχῆς οὐδέν. καὶ ὑπὲρ ἐκείνων μὲν οὐ διαλιμπάνομεν κάμνοντες, ὑπὲρ δὲ τούτων ῥαθυμοῦμεν. οὐχ ὁρᾷς τὸν λῃστήν, πῶς ἐν βραχεῖ χρόνῳ κατώρθωσεν; οὐχ ὁρᾷς τοὺς μάρτυρας, πῶς ἐν βραχεῖ τὸ πᾶν ἤνυσαν; ἀλλ' οὐκ ἔστιν ἄρτι μαρτυρίου καιρός, ἀλλ' ἀγώνων ἐστὶν ὁ καιρός, ὃ πολλάκις εἶπον, εἰ βουλοίμεθα. Οἱ γὰρ θέλοντες, φησίν, εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. οἱ εὐσεβῶς ζῶντες ἀεὶ διώκονται· κἂν μὴ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ δαιμόνων, ὃς δὴ καὶ χαλεπώτερός ἐστι διωγμός. καὶ πρότερον ὑπ' αὐτῆς μάλιστα τῆς ἀνέσεως τοῦτον ὑπομένουσιν οἱ μὴ νήφοντες. ἢ μικρὸν οἴει διωγμόν, τὸ ἐν ἀνέσει εἶναι; τοῦτο πάντων ἐστὶ βαρύτερον, τοῦτο καὶ διωγμοῦ χεῖρον. καθάπερ γὰρ ῥεῦμα ἐπιρρέον ἡ ἄνεσις χαυνοῖ τὴν ψυχήν· καὶ ὥσπερ ἐστὶ θέρος καὶ χειμών, οὕτω διωγμὸς καὶ ἄνεσις. ἵνα δὲ μάθῃς ἐκ περιουσίας ὅτι χείρων οὗτος ὁ διωγμός, σκόπει ἐντεῦθεν. ὕπνον * καταχεῖ τῇ ψυχῇ, χάσμην πολλὴν καὶ ῥαθυμίαν ἐμποιεῖ, τὰ πάθη διεγείρει πάντοθεν, ὁπλίζει τῦφον, ὁ-

πλίζει

γ. εἰ ἂν ἔχει, ἐλλείπει κακίας · γ. διὰ τοῦτο · * γ. ὅ

β. Τιμ. γ. ιβ'.

πλίζει ἡδονήν, ὁπλίζει θυμόν, βασκανίαν, κενοδοξίαν, ζῆλον. ἀλλ' ἐν διωγμῷ τούτων οὐδὲν ἐνοχλεῖν δύναται· ἀλλ' ὁ φόβος ἐπεισελθών, καθάπερ τινὶ μάστιγι σφόδρα κύνα ὑλακτοῦντα πλήξας, ταῦτα πάντα τὰ πάθη οὐδὲ γρύξαι ἐᾷ. τίς ἐν διωγμῷ κενοδοξῆσαι δύναται; τίς ἐν ἡδονῇ γενέσθαι; οὐδείς· ἀλλὰ ἔρημος πολὺς καὶ φόβος πολλὴν τὴν γαλήνην ἐργαζόμενος, οὐδὲν τὸν λιμένα παρασκευάζων, τὴν ψυχὴν εὐλαβῆ ποιῶν. ἤκουσά ποτε πατέρων τῶν ἡμετέρων λεγόντων (ἐφ' ἡμῶν γὰρ μὴ γένοιτο· κελευόμεθα γὰρ μὴ αἰτεῖν πειρασμόν) ὅτι κατὰ τὸν διωγμὸν τὸν παλαιὸν ἦν ἰδεῖν ὄντως χριστιανοὺς ἄνδρας. οὐδεὶς [γὰρ] χρημάτων ἐφρόντιζεν, οὐδεὶς γυναικός, οὐδεὶς παίδων, οὐδεὶς οἰκίας, οὐδεὶς πατρίδος. μία πᾶσιν ἦν σπουδή, τὴν ψυχὴν περισῶσαι τὴν ἑαυτοῦ. καὶ οἱ μὲν ἐν μνήμασι καὶ τάφοις, καὶ οἱ δὲ ἐν ἐρημίαις ἐκρύπτοντο. οὐ μόνον δὲ ἄνδρες ἀλλὰ καὶ γυναῖκες ἁπαλαὶ καὶ τρυφεραὶ τότε ἐκρύπτοντο, διηνεκεῖ μαχόμεναι λιμῷ. ἐννόησον οὖν, εἴ τις πολυτελείας, εἴ τις τρυφῆς ἐπεισελθεῖν ἂν ποτε πόθος γυναικὶ παρὰ λάρνακι κρυπτομένῃ, καὶ περιμενούσῃ τὴν θεραπαινίδα, ὅπως ἔλθῃ κομίζουσα δεῖπνον, καὶ φοβουμένῃ μήπως ἁλῷ, [καὶ] καθάπερ ἐν καμίνῳ τῷ τάφῳ κειμένῃ. ἆρα γὰρ ἐνθυμεῖσθε ὅτι γέγονέ ποτε τρυφή; ὅτι κόσμος ὅλως ἐστίν; ὁρᾷς ὅτι νῦν ἐστι [μᾶλλον] ὁ διωγμός, καθάπερ θηρίων τῶν παθῶν ἐπιτιθεμένων ἡμῖν πάντοθεν; νῦν ἐστιν ὁ χαλεπὸς διωγμός· ταύτῃ τε, καὶ ὅτι οὐδὲ νομίζεται εἶναι διωγμός. καὶ γὰρ καὶ τοῦτο ἔχει τὸ χαλεπὸν οὗτος ὁ πόλεμος, ὅτι εἰρήνη νομίζεται, ἵνα μὴ ὁπλιζώμεθα κατ' αὐτοῦ, μηδὲ διαναστῶμεν. οὐδεὶς δέδοικεν, οὐδεὶς τρέμει. εἰ δὲ ἀπιστεῖτε, τοὺς ἕλληνας ἐρωτήσατε, τοὺς διώκοντας, πότε τὰ τῶν χριστιανῶν ἀκριβέστερα; πότε δοκιμώτεροι πάντες; εἰς ὀλίγον μὲν περιειστήκει τότε τὸ πλῆθος· εἰς πολὺ δὲ ἀρετῆς πλοῦτον [ἦν.] τί γὰρ ὄφελος, εἰπέ μοι, πολὺ εἶναι χόρτον, παρὸν λίθους τιμίους, ἢ χρυσὸν ἀγαγέσθαι; οὐκ ἐν τῷ πλήθει τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ δοκιμότητι τῆς ἀρετῆς τὸ πλῆθός ἐστιν. ὁ Ἡλίας εἷς ἦν· ἀλλ' ὁ κόσμος οὐκ αὐτοῦ ἀντάξιος. καὶ μὴν ὁ κόσμος μυριάδες εἰσίν· (Σειρ. ις. γ.) ἀλλ' οὐκ εἰσὶ μυριάδες, ὅταν μὴ πρὸς τὸν ἕνα ἐξισῶνται. Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι. οὐ γὰρ μύριοι πρὸς τὸν ἕνα οὐδέπω ἔφθασαν. τοῦτο καί τις σοφὸς αἰνιττόμενος οὕτω πως φησί· (Σειρ. ις α.) Μὴ ἐπιθύμει πλῆθος τέκνων ἀχρήστων. οὗτοι καὶ βλασφημίας περιτρίβονται τῷ Θεῷ μᾶλλον, ἢ εἰ μὴ ἦσαν χριστιανοί. τί μοι δεῖ πλήθους; τροφὴ πλείων τῷ πυρί. τοῦτο καὶ ἐκ τοῦ σώματος γνοίης ἄν· ὅτι βελτίων ἡ σύμμετρος τροφὴ μετὰ ὑγιείας, ἢ τρυφὴ μετὰ κακώσεως. αὕτη πλείων ἐκείνης ἡ τροφή. τοῦτο τροφή, ἐκεῖνο δὲ νόσος. τοῦτο καὶ ἐν πολέμῳ ἴδοι τις ἄν. βέλτιον εἶναι δέκα ἐμπείρους καὶ γενναίους ἄνδρας, ἢ μυρίους ἀπείρους. οὗτοι πρὸς τῷ μηδὲν ἐργάσασθαι καὶ τοὺς ἐργαζομένους ἐγκόπτουσι. τοῦτο καὶ ἐπὶ πλοίου ἴδοι τις ἄν. βέλτιον εἶναι δύο ναύτας ἐμπείρους, ἢ μυρίον πλῆθος ἀπείρων. οὗτοι γὰρ τὸ πλοῖον καὶ καταδύσουσι. ταῦτα λέγω, οὐχὶ πρὸς τὸ πλῆθος ὑμῶν ἀπεχθῶς ἔχων· ἀλλὰ βουλόμενος πάντας εἶναι δοκίμους, καὶ μὴ τῷ πλήθει θαρρεῖν. πολλῷ πλείους εἰσὶν οἱ εἰς τὴν γέενναν εἰσιόντες· ἀλλὰ μείζων αὐτῆς ἐστιν ἡ βασιλεία, κἂν ὀλίγους ἔχῃ. ὡς ἡ ἄμμος (Αριθ. κς. ξε.) τῆς θαλάσσης, ἦν τὸ πλῆθος τοῦ λαοῦ, ἀλλ' εἷς ἔσωσεν αὐτούς. εἷς ἦν ὁ Μωϋσῆς, καὶ πάντων μείζονα ἴσχυσεν· εἷς ἦν ὁ Ἰησοῦς, καὶ τῶν ἑξακοσίων χιλιάδων πλέον ἠδυνήθη. μὴ τοῦτο σπουδάζωμεν, ὅπως πολλοὶ γένοιντο μόνον, ἀλλὰ [καὶ] περὶ τούτου, ὅπως δόκιμοι. ὅταν οὗτο κατασκευασθῇ, τότε κἀκεῖνο. οὐδεὶς οἰκίαν εὐρύχωρον πρῶτον βούλεται ποιῆσαι, ἀλλὰ πρῶτον ἰσχυρὰν καὶ δόκιμον, καὶ τότε εὐρύχωρον. οὐδεὶς βάλλει θεμέλια, ἵνα καταπλασθῇ. πρῶτον τοῦτο ζητῶμεν, καὶ τότε ἐκεῖνο. τούτου ὄντος, εὔκολον κἀκεῖνο ἔσται· ἐκείνου δὲ οὐκ ὄντος, τοῦτο κἂν ᾖ, οὐδὲν ὄφελος. ὄντων μὲν γὰρ τῶν δυναμένων ἐν ἐκκλησίᾳ λάμψαι, ταχέως ἔσται καὶ πλῆθος· τούτων δὲ οὐκ ὄντων, τὸ πλῆθος οὐδέποτε ἔσται δόκιμον. πόσους οἴεσθε ἐν τῇ πόλει τῇ ἡμετέρᾳ εἶναι τοὺς σωζομένους; ἐπαχθὲς μέν ἐστιν ὃ μέλλω λέγειν· ἐρῶ δὲ ὅμως.

οὐκ

οὐκ ἔστιν ἐν τοσαύταις μυριάσιν ἑκατὸν εὑρεῖν τῶν σωζομένων· ἀλλὰ καὶ περὶ τούτων ἀμφισβητῶ. πόση γάρ, εἰπέ μοι, κακία ἐν τοῖς νέοις; πόση ῥαθυμία ἐν τοῖς γεγηρακόσιν; οὐδεὶς ὡς χρὴ τὴν ἐπιμέλειαν ἔχει τοῦ παιδὸς τοῦ ἑαυτοῦ· οὐδεὶς ἔχει ζῆλον πρὸς πρεσβύτην ἰδὼν μιμήσασθαι· τὰ ἀρχέτυπα ἠφάνισαι. διὰ τοῦτο οὐδὲ οἱ νέοι γίνονται θαυμαστοί. μή μοι ἐκεῖνο λέγε, ὅτι πολυοχλούμεθα. τοῦτο ψυχρῶν ἀνθρώπων ἐστί. καὶ ἐπὶ μὲν ἀνθρώπων εἰκότως ἂν τοῦτο λέγοιτο· ἐπὶ δὲ τοῦ Θεοῦ, τοῦ οὐ δεομένου ἡμῶν, οὐκ ἔτι. ὅτι δὲ καὶ ἐκεῖ ψυχρόν ἐστι τὸ ῥῆμα, ἄκουσον. ὁ πολλοὺς ἔχων οἰκέτας, ἂν διεφθαρμένους αὐτοὺς ἔχῃ, ὅσα πείσεται δεινά; καὶ ἐπὶ μὲν τοῦ μηδένα ἔχοντος τοῦτο δοκεῖ εἶναι τὸ δεινόν, ὅτι οὐχ ὑπηρετεῖται· ἐπὶ δὲ τοῦ τοὺς πονηροὺς ἔχοντος, καὶ ἑαυτὸν προσαπόλλυσι μετ' ἐκείνων, καὶ μείζων ἡ ζημία. τοῦ γὰρ ἑαυτῷ διακονεῖν πολλῷ χαλεπώτερον τὸ καὶ ἑτέροις πυκτεύειν καὶ πόλεμον ἀναδέχεσθαι. ταῦτα λέγω, ἵνα μή τις τὴν ἐκκλησίαν θαυμάζῃ διὰ τὸ πλῆθος· ἀλλ' ἵνα σπουδάζωμεν αὐτὴν δόκιμον ἐργάσασθαι, ἵνα ἕκαστος τοῦ οἰκείου προνοῇ μέλους· οὐχὶ τῶν φίλων, οὐδὲ τῶν συγγενῶν, ὅπερ ἀεὶ λέγω, οὐδὲ τῶν γειτόνων· ἀλλὰ καὶ ὥστε τοὺς ξένους ἐφέλκεσθαι. νῦν δέ, εὐχῆς γινομένης, κεῖνται πάντες νέοι ψυχροὶ καὶ γέροντες· καθάρματα μᾶλλον ἢ νέοι, γελῶντες, διακαγχάζοντες, διαλεγόμενοι (καὶ γὰρ καὶ τοῦτο ἤκουσα γινόμενον) καὶ ἀλλήλους σκώπτοντες ἐπὶ γόνατα κείμενοι. σὺ παρέστηκας ὁ νέος, ἢ ὁ πρεσβύτης· ἐπίπληξον, ἂν ἴδῃς· ἐγκάλεσον σφοδρότερον· οὐκ ἀνεχομένου, τοὺς διακόνους κάλεσον· ἀπείλησον· τὰ παρὰ σαυτοῦ ποίησον. καὶ ἐὰν τολμήσῃ τι εἰς σὲ ἐργάσασθαι, πάντως πολλοὺς ἕξεις τοὺς συναιρομένους. τίς γὰρ οὕτως ἀλόγιστος, ὡς ἰδὼν σε ἐγκαλοῦντα ὑπὲρ τοιούτων, κἀκείνους ἐγκαλουμένους, μὴ τῆς σῆς γενέσθαι μερίδος; ἄπελθε λαβὼν τὸν μισθὸν ἀπὸ τῆς εὐχῆς. ἐν οἰκίᾳ δεσποτικῇ τούτους εὐνουστέρους τῶν δούλων κρίνομεν, ὅσοιπερ ἂν μηδὲν περιορῶσιν ἀτάκτως κείμενον σκεῦος. εἰπὲ δή μοι· ἂν ἴδῃς ἐν οἰκίᾳ τὸ ἀργύρεον σκεῦος ἔξω ἐρριμμένον, κἂν μὴ ᾖς ἐπιτεταγμένος, ἆρ' οὐ λήψῃ τοῦτο, καὶ εἰσοίσεις ἐν τῇ οἰκίᾳ; ἂν ἱμάτιον ἁπλῶς ἐρριμμένον, κἂν μὴ ἔχῃς τὴν φροντίδα, κἂν ἐχθρὸς ᾖς τοῦ ἐπιτεταγμένου, διὰ τὴν εἰς τὸν δεσπότην εὔνοιαν οὐ θήσεις τοῦτο καλῶς; οὕτω καὶ νῦν· σκεύη ταῦτά ἐστιν· ἂν ἴδῃς ἀτάκτως κείμενα, μεταρρύθμισον. ἐμοὶ προσέλθε, οὐ παραιτοῦμαι· ἐμοὶ εἰπέ, δῆλον κατάστησον. οὐ δύναμαι πάντα ὁρᾶν, συγγνῶτε. ὁρᾶτε ὅση κακία τὴν οἰκουμένην κατέχει; μή τι ἁπλῶς ἔλεγον, ὅτι πλῆθός ἐσμεν χόρτου; πέλαγος ἄτακτον; οὐ λέγω ὅτι ἐκεῖνοι τοιαῦτα ποιοῦσιν· ἀλλ' ὅτι τοσοῦτος ὕπνος καταχεῖται τῶν εἰσιόντων, ὥστε μηδὲ ταῦτα διορθοῦν. πάλιν ἑτέρους ὁρῶ διαλεγομένους ἑστῶτας, τῆς εὐχῆς γινομένης· τὸ δὲ ἐπιεικέστεροι αὐτῶν, οὐδὲ τῆς εὐχῆς γινομένης μόνον, ἀλλὰ καὶ εὐλογοῦντος τοῦ ἱερέως. ὢ τῆς τόλμης. πότε ἔσται σωτηρία; πῶς δυνησόμεθα τὸν Θεὸν ἐξιλεώσασθαι; εἰς παιδιὰν ἂν ἀπέλθῃς, ὄψει πάντας εὐρύθμως χορεύοντας, καὶ οὐδὲν πλημμελοῦντας. ὡς γὰρ ἐν λύρᾳ πολυαρμονίῳ καὶ ποικίλως ἐσκευασμένῃ μία τις εὔηχος συμφωνία ἀποτελεῖται ἐκ τῆς καθ' ἕκαστον εὐταξίας τῶν συγκειμένων· οὕτω δὴ καὶ ἐνταῦθα μίαν ἐξ ἁπάντων σύμφωνον ἁρμονίαν προσῆκεν ἀποτελεῖσθαι. μία γὰρ γεγένημεν ἐκκλησία, μιᾶς κεφαλῆς συναρμολογούμενα μέλη τελοῦμεν· ἓν τὸ πάντες κατέστημεν σῶμα. ἂν ἀμεληθῇ τὸ τυχόν, τὸ πᾶν ἠμέληται καὶ διέφθαρται. οὕτω τῇ τῶν πολλῶν εὐταξίᾳ ἡ τοῦ ἑνὸς ἀταξία * λυμαίνεται. καὶ τὸ δὴ φοβερόν, ὅτι ἐνταῦθα οὐχὶ παιδιάν, οὐδὲ χορείαν ἔρχῃ χορεύσων, καὶ ἕστηκας ἀτάκτως. οὐκ οἶδας ὅτι μετὰ ἀγγέλων ἕστηκας; μετ' ἐκείνων ᾄδεις, μετ' ἐκείνων ὑμνεῖς, καὶ ἕστηκας γελῶν; ὅτι γὰρ σκηπτὸς οὐκ ἀφίεται, οὐκ ἐπ' ἐκείνους μόνον, ἀλλὰ καὶ ἐφ' ἡμᾶς, οὐ θαυμαστόν; ἄξια γὰρ σκηπτοῦ ταῦτα. πάρεστιν ὁ βασιλεύς· θεωρεῖ τὸ στρατόπεδον· σὺ δὲ ὑπὸ ταῖς ἐκείνων ὄψεσιν ἕστηκας γελῶν, ἢ τὸν γελῶντα περιορᾷς; ἀλλὰ μέχρι τίνος ἐγκαλοῦμεν; μέχρι τίνος μεμφόμεθα; οὐ γὰρ ὡς λυμεῶνας; οὐ γὰρ ὡς φθορέας; οὐ γὰρ ὡς ἐξώλεις καὶ διεφθαρμένους τοὺς τοιούτους καὶ μυρί-

ων

αἰ γέμοντας κακῶν τῆς ἐκκλησίας ἀπελαύνεσθαι ἔδει; πότε οὗτοι φείσονται γέλωτος, οἱ ἐν ὥρᾳ φρίκης γελῶντες; πότε ἀφέξονται φλυαρίας, οἱ ἐν τῷ καιρῷ τῆς εὐλογίας διαλεγόμενοι; οὐ τοὺς παρόντας αἰδοῦνται; οὐ τὸν Θεὸν δεδοίκασιν; οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ κατὰ διάνοιαν ῥᾳθυμία, οὐδὲ ὅτι εὐχόμενοι ἀλλαχοῦ ῥεμβόμεθα· ἀλλὰ καὶ γέλωτα ἐπεισάγομεν καὶ πολὺν τὸν καγχασμόν. μὴ γὰρ θέατρόν ἐστι τὰ ἐνταῦθα; ἀλλ' οἶμαι τὰ θέατρα τοῦτο ποιεῖ, δυστήνους τοὺς πολλοὺς ἡμῖν καθίστησιν, ἀρρύθμους. ἅπερ οἰκοδομοῦμεν ἐνταῦθα, ἐκεῖ καταστρέφεται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέρας ἀκαθαρσίας ἀνάγκη αὐτοὺς ἀναπιμπλᾶσθαι. καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις χωρίον ἐθέλοι καθᾶραι, πηγῆς ἄνωθεν ὑπερκειμένης βόρβορον ἀφιείσης. ὅσον γὰρ ἂν καθάρῃς, πάλιν ἕτερον ἐπιρρεῖ. τοῦτο καὶ ἐνταῦθα γίνεται. ὅταν γὰρ καθάρωμεν ἀπὸ τῶν θεάτρων εἰσιόντας, ἀκαθαρσίαν ἐπιφέροντας, ἀπελθόντες πάλιν ἐκεῖ μείζονα δέχονται τὴν ἀκαθαρσίαν, ὡς ἐπίτηδες διὰ τοῦτο ζῶντες, ἵνα κόπους ἡμῖν παρέχωσι, καὶ ἔρχονται πάλιν πολλὴν κόπρον βαστάζοντες, ἐν τοῖς ἤθεσιν, ἐν τοῖς κινήμασιν, ἐν τοῖς ῥήμασιν, ἐν τῷ γέλωτι, ἐν τῇ ῥᾳθυμίᾳ. εἶτα πάλιν ἡμεῖς σκάπτομεν ἄνωθεν, ὡς ἐπίτηδες διὰ τοῦτο σκάπτοντες, ἵνα καθαροὺς αὐτοὺς πέμψαντες πάλιν ἴδωμεν συναγαγόντας τὸν βόρβορον. διὰ τοῦτο παραδίδωμι ὑμᾶς τῷ Θεῷ. ἐντεῦθεν ἤδη καὶ διαμαρτύρομαι ὑμῖν τοῖς ὑγιαίνουσιν, ὅτι κρῖμα ὑμῖν ἔσται καὶ κατάκριμα, εἴ τις ἰδὼν ἀτακτοῦντα, εἴ τις διαλεγόμενον μάλιστα ἐν ἐκείνῳ τῷ καιρῷ, μὴ καταμηνύσῃ, μὴ ἀποστρέψῃ· βέλτιον εὐχῆς τοῦτο. ἄφες σὺ τὴν εὐχήν, κἀκεῖνον ἐπιτίμησον· οὕτω κἀκεῖνον ὠφελήσεις, καὶ σὺ κερδανεῖς· οὕτω καὶ δυνησόμεθα ἅπαντες σωθῆναι, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κε. 19 ΟΙ ΜΕΝ ΟΥΝ ΔΙΑΣΠΑΡΕΝΤΕΣ ΑΠΟ ΤΗΣ θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις.

Οὐ μικρὸν [ὁ] διωγμὸς κατώρθωσεν εἰς τὸν λόγον. Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ, φησίν, εἰς ἀγαθόν. οὐκ ἄν, εἴγε ἐπίτηδες ἐσπούδασαν σπᾶσαι τὴν ἐκκλησίαν, ἄλλο τι ἐποίησαν, ἢ τοῦτο· λέγω δὲ τὸ διασπεῖραι τοὺς διδασκάλους. καὶ ὅρα πῶς τὸ κήρυγμα ἐξετάθη. διῆλθον, φησίν, ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις. ὁρᾷς ὅτι οἰκονομικῶς πάντα γέγονε τὰ περὶ Κορνήλιον; τοῦτο δὲ καὶ εἰς ἀπολογίαν τοῦ Χριστοῦ, καὶ εἰς κατηγορίαν τῶν Ἰουδαίων ἐστίν. ὅτε γοῦν Στέφανος ἀνῃρέθη, ὅτε Παῦλος δὶς ἐκινδύνευσεν, ὅτε οἱ ἀπόστολοι ἐμαστίχθησαν, ὅτε πολλάκις ἠλάθησαν, τότε τὰ ἔθνη ἐδέχθη, τότε Σαμαρεῖται. ὃ καὶ Παῦλος βοᾷ λέγων· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖτε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. παρῄεισαν οὖν καὶ ἔθνεσι διαλεγόμενοι.

Πραξ. ιγ. μϛ.

20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες ἐλθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

21 Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον Ἰησοῦν. Ὅρα, Ἕλλησιν εὐαγγελίζονται. εἰκὸς γὰρ αὐτοὺς τὸ λοιπὸν εἰδέναι Ἑλληνιστὰς ἐν Ἀντιοχείᾳ τοιούτους εἶναι πολλούς. καὶ ἦν χεὶρ Κυρίου, φησί, μετ' αὐτῶν· του-

τέστι,

τέσι, σημεῖα εἰργάζοντο. ὁρᾷς διὰ τί καὶ νῦν οὐ τῶν σημείων ἀνάγκη γέγονεν; ἵνα πιστεύσωσιν.

22 Ἠκούσθη δὲ ὁ λόγος, φησίν, εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς οὔσης ἐν Ἱεροσολύμοις [τὰ] περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας. Τί δήποτε, τοιαύτης πόλεως δεχομένης τὸν λόγον, οὐκ ἦλθον αὐτοί, ἀλλὰ Βαρνάβαν πέμπουσι; διὰ τοὺς Ἰουδαίους. πλὴν οὐ μικρὸν δή τι οἰκονομεῖται καὶ οὕτω [τὸ] τὸν Παῦλον ἐνταῦθα παραγενέσθαι, οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα οἰκονομικῶς αὐτὸν ἀποστρέφονται, ἵνα μὴ κατακλεισθῇ ἐν Ἱεροσολύμοις ἡ φωνὴ τοῦ κηρύγματος, ἡ σάλπιγξ τῶν οὐρανῶν. Εἶδες πῶς πανταχοῦ ταῖς κακίαις αὐτῶν εἰς δέον, καὶ ὥσπερ ἐβούλετο, ἀμώθεν ἀπεχρήσατο ὁ Χριστός· καὶ τῷ μίσει τῷ πρὸς τὸν Παῦλον εἰς οἰκοδομὴν τῆς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας; ἀλλ' ἴδε καὶ τοῦτον τὸν ἅγιον, τὸν Βαρνάβαν λέγω, πῶς οὐ τὸ αὐτοῦ εἶδεν, ἀλλ' ἔδραμεν εἰς Ταρσόν.

23 Ὃς παραγενόμενος, φησί, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ,

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Παῦλον, καὶ εὑρὼν αὐτόν, ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Πολύχρηστος ἦν ὁ ἀνὴρ καὶ ἀφελὴς καὶ τοῦ Παύλου συνήθης. ἐγὼ καὶ ἦλθεν ἐπὶ τὸν στρατηγόν, ἐπὶ τὸν μονομάχον, ἐπὶ τὸν λέοντα. οὐκ ἔχω τί εἴπω. ὅσα γὰρ ἂν εἴπω, ἐλάττονα τῆς ἀξίας τοῦ Παύλου ἐρῶ. ἦλθεν ἐπὶ τὸν κύνα τὸν θηρατικόν, τοὺς λέοντας ἀναιροῦντα, ἐπὶ τὸν ταῦρον τὸν ἰσχυρόν, ἐπὶ τὴν λαμπάδα τὴν φαιδράν, ἐπὶ τὸ στόμα τὸ τῇ οἰκουμένῃ ἀρκοῦν. οὕτως διὰ τοῦτο ἐν Ἀντιοχείᾳ ἐχρηματίσθησαν καλεῖσθαι χριστιανοί, ὅτι Παῦλος ἐν ταύτῃ τοσοῦτον διέτριψε χρόνον.

26 Ἐγένετο δὲ αὐτούς, φησιν, ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς.

Οὐ μικρὸν τῆς πόλεως τὸ ἐγκώμιον. τοῦτο πρὸς ἁπάσας στῆναι δύναται, ὅτι τοῦ στόματος ἐκείνου τοσοῦτον ἀπέλαυσε χρόνον πρὸ τῶν ἄλλων ἁπασῶν. ὅθεν καὶ πρώτως ἐνταῦθα τοῦ ὀνόματος ἠξιώθησαν. ὁρᾷς εἰς ὅσον ὕψος ἐπῆρε τὴν πόλιν καὶ λαμπροτέραν ἐποίησε; τοῦτο Παύλου κατόρθωμα. ἔνθα τρισχίλιοι, ἔνθα πεντακισχίλιοι ἐπίστευσαν, ἔνθα τοσοῦτον πλῆθος, οὐδὲν τοιοῦτον γέγονεν, ἀλλ' ἐπὶ τῆς ὁδοῦ μόνον ἤκουον· ἐνταῦθα δὲ χριστιανοὶ ὠνομάσθησαν.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. Ἐπεὶ καὶ τὸν τῆς ἐλεημοσύνης ἐνταῦθα καρπὸν φυτευθῆναι ἔδει, συμφερόντως οἰκονομεῖται τοὺς προφήτας κατελθεῖν. σὺ δέ μοι παρατήρει πῶς * οὐδεὶς τῶν προφητῶν αὐτοῖς γέγονε διδάσκαλος. Κυπρίους γὰρ εἶχον διδασκάλους, καὶ Κυρηναίους, καὶ Παῦλον (εἰ καὶ τοῦτο προέβαινεν αὐτῶν) ὥσπερ Παῦλος Βαρνάβαν καὶ Ἀνανίαν. [ἀλλ' οὐδὲν παρὰ τοῦτο ἔλαττον). ἔσχε δὲ ὅμως καὶ τὸν Χριστόν.]

28 Ἀναστὰς δέ τις ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

Ἀναγκαίως ἐνταῦθα λιμὸν μέγαν ἔσεσθαι σημαίνει, ὃς δὴ καὶ ἐγένετο, καθὰ περὶ αὐτοῦ προεῤῥέθη. ἵνα γὰρ μὴ νομίσωσί τινες διὰ τοῦτο τὸν λιμὸν γεγενῆσθαι, ὅτι χριστιανισμὸς εἰσῆλθεν, ὅτι δαίμονες ἀπέστησαν, προλέγει τὸ πνεῦμα τὸ ἅγιον, ὃ μέλλει συμβαίνειν· ὥσπερ καὶ ὁ Χριστὸς προεῖπε πολλά, καὶ ἐξέβη. οὐ τοίνυν διὰ τοῦτο, ἐπειδὴ ἔδει ἐξ ἀρχῆς τοῦτο γενέσθαι, ἀλλὰ διὰ τὰ κακὰ τὰ εἰς τοὺς ἀποστόλους γινόμενα· ὧν καὶ γινομένων τέως ἐμακροθύμει ὁ Θεός. ὡς δὲ ἐνέκειντο, λιμὸς μέγας γέγονε, μηνύων τοῖς Ἰουδαίοις τὰ ἐσόμενα κακά.

γ. μέγας

γ. ὑπὲρ τῆς ἐκκλησίας κάλλιστα ὁ γ. ἐπιχειρήσαντι τῆς ἐκκλησίας.

γ. Σαῦλον,

γ. συγγνωμονικός· ἦλθεν ἐπὶ τὸν ἀθλητήν, ἐπὶ τὸν

γ. ὁρᾷς Παῦλον τὸ κατόρθωμα εἰς ὅσον ἐπῆρεν ὕψος, ὥσπερ τι σημεῖον, τὸ ὄνομα; ἔνθα

ἐπαισχύνεως

γ. τῆς

γ. τότε

κε*. ἀλλ' εἰ καὶ δι' αὐτοὺς ἦν, διὰ τοὺς ἄλλους ἔδει καὶ οὕτω παύσασθαι. τί γὰρ ἠδίκησαν ἕλληνες, ἵνα καὶ [μηδὲν ἀδικήσαντες] αὐτοὶ τῶν κακῶν μετάσχωσιν; εἰ δὲ μὴ διὰ τοὺς Ἰουδαίους, καὶ εὐδοκιμῆσαι διὰ αὐτοὺς μᾶλλον ἐχρῆν, ὅτι τὸ αὐτῶν ἐποίουν, ὅτι ἀνήρουν, ἐκόλαζον, ἐπιφέρουν, πανταχόθεν ἐδίωκον. καὶ θέα πότε γίνεται ὁ λιμός· ὅτε καὶ τῶν ἐθνικοὶ λοιπὸν προσεδέχθησαν. ἀλλ' εἰ διὰ τὰ κακά, φησιν, ἔδει τούτους ἀπεξαιρεθῆναι. διὰ τί, εἰπέ μοι; οὐχὶ προλαβὼν εἶπεν αὐτοῖς ὁ Χριστός, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε; σὺ δὲ ταῦτα λέγων, τάχα καὶ τοῦτο ἐρεῖς, ὅτι ἔδει μηδὲ μαστίζεσθαι. ἀλλ' ὅρα αὐτοῖς [γινόμενον] καὶ τὸν λιμὸν σωτηρίας αἴτιον, ἐλεημοσύνης ἀφορμήν, πολλῶν πρόξενον ἀγαθῶν· ὡς καὶ ὑμῖν γένοιτο ἄν, εἴ τι ἐβούλεσθε· ἀλλ' οὐκ ἠθελήσατε. προλέγεται δέ, ὥστε αὐτοὺς λοιπὸν παρασκευασθῆναι πρὸς τὴν ἐλεημοσύνην, ὅτι δεινὰ ἔπασχον οἱ ἐν Ἱερουσαλήμ. πρὸ δὲ τούτου οὐκ ἐν λιμῷ ἦσαν. καὶ πέμπεται Βαρνάβας καὶ Παῦλος διακονήσοντες.

29 Τῶν δὲ μαθητῶν, φησι, καθὼς ηὐπορεῖτό τις. Εἶδες ἅμα πιστεύοντας, καὶ ἅμα καρποφοροῦντας, οὐ τοῖς αὐτῶν μόνον, ἀλλὰ καὶ τοῖς πόρρω; τοῦτο δοκεῖ μοι ἐνταῦθα λέγειν, ὅπερ ἀλλαχοῦ ὁ Παῦλός φησιν, Ὅτι δεξιὰς ἔδωκάν μοι καὶ Βαρνάβᾳ κοινωνίας, μόνον ἵνα τῶν πτωχῶν μνημονεύσωμεν. τοσοῦτον ὠφέλησεν ὁ λιμός. καὶ ὅρα αὐτοὺς οὐδὲ ἐνταῦθα τῇ θλίψει εἰς θρήνους καὶ δάκρυα καταπίπτοντας, καθάπερ ἡμεῖς· ἀλλ' εἰς ἔργον μέγα καὶ ἀγαθὸν ἑαυτοὺς ἐκδιδόντας. μετὰ πλείονος γὰρ ἀδείας ἐκήρυττον τὸν λόγον. καὶ οὐκ εἶπον· ἡμεῖς Κυρηναῖοι καὶ Κύπριοι ὄντες τοιαύτῃ ἐπιθώμεθα πόλει οὕτω λαμπρᾷ καὶ μεγάλῃ· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πιστεύοντες, [καὶ ἐκεῖνοι] ἐπεχείρησαν τῇ διδασκαλίᾳ, καὶ οὗτοι οὐκ ἀπηξίωσαν παρ' ἐκείνων τι μαθεῖν. ὅρα διὰ τῶν μικρῶν πάντα κατασκευαζόμενα· * τὸ κήρυγμα αὐξανόμενον· * τοὺς ἐν Ἱεροσολύμοις πάντων ὁμοῦ ὁμοίως φροντίζοντας, ὡς μίαν οἰκίαν τὴν οἰκουμένην ἔχοντας. ἤκουσαν ὅτι Σαμάρεια δέδεκται τὸν λόγον, καὶ ἔπεμψαν Πέτρον καὶ Ἰωάννην· ἤκουσαν τὰ εἰς Ἀντιόχειαν, καὶ πέμπουσι Βαρνάβαν*. πολὺ γὰρ τὸ διάστημα ἦν, καὶ οὐκ ἔδει τοὺς ἀποστόλους τέως χωρισθῆναι ἐκεῖθεν, ἵνα μὴ νομισθῶσιν εἶναι φυγάδες, καὶ τοὺς αὐτῶν προφθῆναι. τότε δὲ ἀναγκαίως χωρίζονται, ὅτε λοιπὸν αἴτια ἔχειν ἐδόκει τὰ κατ' αὐτούς, ὅτε λοιπὸν ὁ πόλεμος ἐπέστη, καὶ ἀπολέσθαι ἔδει, ὅτε ἡ ἀπόφασις ἐξηνέχθη. ἐπεὶ ἕως Παῦλος εἰς Ῥώμην [μὴ] ἀνέβαινεν, ἐκεῖ ἦσαν. ἐξέρχονται δέ, οὐχὶ τὸν πόλεμον δεδοικότες· πῶς γάρ, οἵγε πρὸς τοὺς πολεμεῖν μέλλοντας ἀπῄεσαν; καὶ ὁ πόλεμος δὲ γέγονε λοιπόν, τελευτησάντων τῶν ἀποστόλων, καὶ πέρας τὸ περὶ αὐτῶν ῥηθὲν λαμβάνει· Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. ὅσῳ ἀσημότεροι οὗτοι ἦσαν, τοσούτῳ μᾶλλον ἔλαμπεν ἡ χάρις, διὰ μικρῶν ἐργαζομένη μεγάλα. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. παρεκάλει πάντας, φησί, προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθός. ἐμοὶ δοκεῖ ἀγαθὸν νῦν τὸν ἀφελῆ λέγειν, τὸν ἄπλαστον, τὸν σφόδρα τῆς τῶν πλησίον ἐπιθυμοῦντα σωτηρίας. οὐ μόνον δὲ ἦν ἀνὴρ ἀγαθός, ἀλλὰ καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως. διὸ καὶ τῇ προθέσει τῆς καρδίας παρεκάλει πάντας· τουτέστι, μετὰ ἐγκωμίου καὶ ἐπαίνου. καὶ σκόπει πῶς καθάπερ γῆ λιπαρὰ τὸν λόγον ἐδέξατο ἡ πόλις αὕτη, καὶ πολὺν τὸν καρπὸν ἐπεδείξατο. διὰ τί δὲ τῆς Ταρσοῦ αὐτὸν ἀπέστησεν ὁ Βαρνάβας, καὶ ἐνταῦθα ἤγαγεν; οὐχ ἁπλῶς· ἀλλ' ὅτι ἐνταῦθα καὶ ἐλπίδες χρησταί, καὶ μείζων ἡ πόλις, καὶ πολὺ τὸ πλῆθος. εἶδες πάντα τὴν χάριν ἐργαζομένην, οὐ Παῦλον; καὶ πῶς διὰ τῶν μικρῶν τὸ πρᾶγμα ἀρχὴν ἔλαβεν, ὅτε δὲ ἀριθμὸς ἐγένετο, τότε Βαρνάβαν πέμπουσι; καὶ διὰ τί μὴ πρὸ τούτου ἔπεμψαν αὐτόν; πολλὴν τῶν καθ' ἑαυτοὺς πρόνοιαν ἐποιοῦντο, καὶ οὐκ ἐβούλοντο ἐγκαλεῖν αὐτοῖς Ἰουδαίους ὅτι προσελάμβανον τὰ ἔθνη. καίτοι διὰ τὸ ἀπαραιτήτως αὐτοῖς ἐπιμίγνυσθαι, ἐπεὶ ἔμελλε τις ἀμφισβήτησις γίνεσθαι παρ' αὐτῶν, τὰ κατὰ Κορνήλιον προὔλαβε. τότε γοῦν καὶ λέγουσιν· Ἵνα ὑμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. καὶ σκόπει πῶς εὐκαίρως ἡ ἀνάγκη τοῦ λιμοῦ εἰσήγαγε τὴν κοινωνίαν τὴν ἀπὸ

τῶν

Margin notes: Ιωαν. ιϛ. λγ. — Γαλ. β. θ. — α. Θεσ. β. ιϛ. — Γαλ. β. θ. — * φής — χ. πάντως

τὴν ἐθνῶν τὴν πρὸς τοὺς ἐν Ἱεροσολύμοις πεμφθεῖσαν. δέχονται γὰρ τὰ περὶ αὐτῶν, καὶ οὐ καθάπερ ἡμεῖς, ἐν θρήνοις τὰς συμφορὰς διηγούμεθα, οὕτω δή που καὶ οὗτοι· ἀλλὰ μετὰ πλείονος ἀδείας διηγοῦνται, ἅτε πόῤῥω γενόμενοι τῶν κωλυόντων αὐτούς, καὶ ἐν ἀνθρώποις ὄντες οὐ πεφοβημένοις τοὺς Ἰουδαίους. ὃ καὶ αὐτὸ συνεβάλλετο οὐ μικρόν. [ἀλλὰ] καὶ εἰς Κύπρον ἀφίκοντο· ἐκεῖ πολὺ μὲν τὸ ἀδεές, πλείων δὲ ἡ ἀμεριμνία. μηδενὶ δὲ τὸν λόγον, φησίν, εἰ μὴ Ἰουδαίοις ἐλάλουν. οὐ διὰ τὸν τῶν ἀνθρώπων φόβον, ὃν οὐδὲν ἡγοῦντο, τοῦτο ἐποίουν· ἀλλὰ τὸν νόμον τηροῦντες, καὶ αὐτοὺς ἐπιδιαβαστάζοντες. ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ Κύπριοι καὶ Κυρηναῖοι· οὗτοι μάλιστα οὐκ ἐφρόντιζον Ἰουδαίων· οἵτινες ἐλάλουν πρὸς τοὺς Ἑλληνιστὰς εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. ἴσως διὰ τὸ μὴ εἰδέναι Ἑβραϊστί, Ἕλληνας αὐτοὺς ἐκάλουν. παραγενόμενος δέ, φησι, Βαρνάβας, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, οὐχὶ τὴν σπουδὴν τῶν ἀνθρώπων, παρεκάλει αὐτοὺς προσμένειν τῷ Κυρίῳ. τάχα που ἐπαινεῖ τὸν ὄχλον καὶ ἀποδέχεσθαι, τοῦτο πλείους ἐπέστρεψε. καὶ διατί μὴ Παύλῳ γράφουσιν, ἀλλὰ Βαρνάβαν πέμπουσιν; οὔπω τοῦ ἀνδρὸς ᾔδεσαν τὴν ἀρετήν. διὸ καὶ μόνον οἰκονομεῖται Βαρνάβαν παραγενέσθαι. ἐπεὶ δὲ καὶ πλῆθος ἦν, καὶ οὐδεὶς ὁ κωλύων, εἰκότως ἐβλάστησεν ἡ πίστις, καὶ μάλιστα ὅτι οὐδένα ἐνταῦθα ὑπέμεινεν πειρασμόν· καὶ ὅτι Παῦλος ἐκήρυττε, καὶ οὐκ ἔτι ἠναγκάζετο φεύγειν. καλῶς δὲ οὐκ αὐτοὶ περὶ τοῦ λιμοῦ λέγουσιν, ἀλλ' οἱ προφῆται· [ἵνα μὴ φορτικοί τινες δόξωσι.] καὶ θαυμάζειν ἄξιον, πῶς οὐκ ἠγανάκτησαν ὡς ὑπεροφθέντες Ἀντιοχεῖς, ἀλλ' ἀρκοῦνται τοῖς διδασκάλοις. οὕτω πάντες ἔζεον πρὸς τὸν λόγον. οἱ δὲ οὐδὲ προειρημένον γενέσθαι τὸν λιμόν, ἀλλὰ περὶ τούτου ἐπιπέμψαι, καθὼς ηὐπορεῖτό τις. καὶ ὅρα ὅτι ἐν μὲν τοῖς ἀποστόλοις ἑτέροις τοῦτο ἐπιτρέπονται· ἐνταῦθα δὲ Παῦλος καὶ Βαρνάβας. οὐ μικρὰ δὲ καὶ τοῦτο οἰκονομία ἦν. ἄλλως δέ, καὶ ἀρχὴ ἦν, καὶ τέως οὐκ ἔδει σκανδαλισθῆναι.

γ. μέσον διάλλαων καὶ πλ. ἢ

γ. ἕλληνας

γ. καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ· καὶ τούτῳ

Ἀλλὰ νῦν οὐδεὶς τοῦτο ποιεῖ· καίτοι λιμὸς ἐστὶ χαλεπώτερος ἐκείνου. οὐ γὰρ ἐστὶν ἴσον κοινῇ φέρειν τὴν συμφοράν, καὶ πάντων ἐν ἀφθονίᾳ ὄντων τοὺς πενεστέρους εἶναι ἐν λιμῷ. τότε μόνον λιμὸς ἦν, καὶ οἱ διδωκότες πένητες. καθὼς ηὐπορεῖτο γάρ τις αὐτῶν, φησι. νῦν δὲ λιμὸς διπλοῦς, καθάπερ ἡ ἀφθονία διπλῆ· λιμὸς χαλεπός· λιμὸς οὐ τοῦ ἀκοῦσαι λόγον Κυρίου, ἀλλὰ τοῦ τραφῆναι δι' ἐλεημοσύνης. τότε καὶ οἱ ἐν Ἰουδαίᾳ πένητες ἀπήλαυσαν, καὶ οἱ ἐν Ἀντιοχείᾳ δόντες τὰ χρήματα· καὶ οὗτοι μᾶλλον ἐκείνων. νυνὶ δὲ καὶ ἡμεῖς καὶ οἱ πένητες ἐν λιμῷ· οἱ μὲν τῆς ἀναγκαίας ἀποροῦντες τροφῆς, ἡμεῖς δὲ ἐν σπάνει τοῦ ἐλέους ὄντες τοῦ Θεοῦ. ταύτης δὲ τῆς τροφῆς οὐδὲν ἀναγκαιότερον γένοιτ' ἄν. οὐκ ἔστιν ὑποστῆναι τὰ ἀπὸ τῆς πλησμονῆς κακά· οὐκ ἔστιν εἰς ἀφεδρῶνα προχωρῆσαι τὸ πλέον ταύτης τῆς τροφῆς. οὐδὲν ὡραιότερον, οὐδὲν ὑγιεινότερον ψυχῆς οὕτω τρεφομένης· πάσης ἀνωτέρα ἕστηκε νόσου, παντὸς λιμοῦ, πάσης ἀνωμαλίας καὶ δυσκρασίας. οὐδεὶς αὐτὴν δυνήσεται ἑλεῖν· ἀλλὰ καθάπερ ἀδαμάντινον σῶμα οὐ σίδηρος πλῆξαι δύναται, οὐκ ἄλλο οὐδέν· οὕτω καὶ ψυχὴν ἀπὸ ἐλεημοσύνης συμπεπηγυῖαν οὐδὲν ὅλως δυνήσεται ἑλεῖν. τί γάρ, εἰπέ μοι, ταύτην χειρώσεταί ποτε; πενία; οὐκ ἔστιν. ἐν γὰρ τοῖς βασιλικοῖς ἀπόκειται ταμιείοις. ἀλλὰ λῃστὴς καὶ τοιχωρύχος; ἀλλ' ἐκείνους οὐδεὶς διορύξαι τοὺς τοίχους οἷός τε. ἀλλὰ σκώληξ; ἀλλὰ καὶ ταύτης ἀνώτερος τῆς λύμης ἐστὶν ὁ θησαυρός. ἀλλὰ βασκανία καὶ φθόνος; ἀλλ' οὐδὲ τούτοις ἁλίσκεται. ἀλλὰ συκοφαντίαι καὶ ἐπιβουλαί; οὐδὲ τοῦτο. ἄσυλος γὰρ ὁ θησαυρός. ἀλλ' αἰσχρὸν εἰ ταῦτα ἐπιδείξω μόνα τῇ ἐλεημοσύνῃ προσόντα, οὐχὶ δὲ καὶ τἀναντία. οὐ γὰρ δὴ βασκανίας ἀπήλλακται μόνον, ἀλλὰ καὶ εὐλογίας ἀπολαύει πολλῆς καὶ παρὰ τῶν οὐκ εὖ πεπονθότων. ὥσπερ γὰρ οἱ ὠμοὶ καὶ ἀπηνεῖς, οὐ τοὺς ἠδικημένους ἔχουσιν ἐχθροὺς μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν παθόντας συναλγοῦντας αὐτοῖς καὶ κατηγοροῦντας· οὕτως οἱ μεγάλα ἐργασάμενοι καλά, οὐχὶ τοὺς εὖ πεπονθότας μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν πα-

ΗΘΙΚΟΝ

γ. καὶ λείπουσι καὶ τοῦ ἀπολύτως πένητες.

γ. αἰσχυνοίμην

θοῦνται, ἔχουσιν ἐπαινέτας. τί λέγω βασκανίας; καὶ ἐπιβουλευόντων ἀπήλλακται, καὶ λῃστῶν, καὶ τοιχωρύχων. οὐ τοῦτο ἔχει μόνον τὸ καλόν, ἀλλ' ἔτι πρὸς τῷ μὴ ἐλαττοῦσθαι καὶ αὔξεται καὶ εἰς πλῆθος ἐπιδίδωσι. τί τοῦ Ναβουχοδονόσορ γέγονεν αἰσχρότερον; [τί δυσειδέστερον;] τί παρανομώτερον; ἀσεβὴς ὁ ἄνθρωπος ἦν· μυρία τεκμήρια καὶ σημεῖα εἶδε, καὶ οὐκ ἠθέλησεν ἀνενεγκεῖν· ἀλλὰ τοὺς τοῦ Θεοῦ δούλους εἰς κάμινον ἐνέβαλλεν, εἰ καὶ μετὰ ταῦτα προσεκύνησε.

Δαν. δ. κδ.

τί οὖν ὁ προφήτης; Διό, φησι, Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. ἴσως ἔσται συγγνώμη τοῖς παραπτώμασί σου. τοῦτο οὕτως εἶπεν, οὐκ ἀμφιβάλλων (σφόδρα γὰρ ἦν πεπεισμένος) ἀλλὰ βουλόμενος αὐτὸν εἰς μείζονα ἐμβαλεῖν φόβον, καὶ πλείονα ἀνάγκην τοῦ ταῦτα ποιῆσαι. εἰ γὰρ εἶπεν ὡμολογημένως, ὑπτιώτερος ἂν ἐγένετο ἐκεῖνος· καθάπερ καὶ ἡμεῖς τότε μάλιστα ὠθοῦμέν τινας, ὅταν λέγωμεν, παρακάλεσον τὸν δεῖνα, καὶ μὴ ἐπάγωμεν, ὅτι πάντως ἀκούσεται, ἀλλ' ὅτι ἴσως ἀκούσεται. ὑπὸ γὰρ τῆς ἀμφισβητήσεως μείζων ὁ φόβος γενόμενος μᾶλλον αὐτὸν ὠθεῖ. διὰ τοῦτο δῆλον αὐτὸ οὐκ ἐποίησε. τί λέγεις; τοσούτοις ἀσεβήμασιν ἔσται συγγνώμη; ναί. οὐκ ἔστι γάρ, οὐκ ἔστιν ἁμάρτημα, ὃ μὴ δύναται καθαίρειν ἐλεημοσύνη, ὃ μὴ δύναται σβέσαι. πᾶσα ἁμαρτία κατωτέρω ταύτης ἕστηκε, φάρμακόν ἐστι πρὸς πᾶν τραῦμα ἐπιτήδειον. τί τελώνου χεῖρον; πάσης ἀδικίας ἐστὶν ὑπόθεσις. ἀλλὰ ταύτην πᾶσαν ἀπενίψατο ὁ Ζακχαῖος. ὅρα πῶς καὶ ὁ Χριστὸς τοῦτο δείκνυσι, δι' ὧν ἐσπούδασε γλωσσόκομον ἔχειν καὶ τὰ βαλλόμενα βαστάζειν.

Ιωαν. ιβ. ιε.
Γαλ. β. ι.

καὶ Παῦλος δέ φησι· Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν. καὶ πολὺς πανταχοῦ τῶν γραφῶν ὑπὲρ τοῦ πράγματος τούτου ὁ λόγος·

Παροιμ. ιγ. η.
Ματθ. ιθ. κα.

Λύτρον ψυχῆς ἀνδρός, φησιν, ὁ ἴδιος πλοῦτος. καὶ ὁ Χριστός· Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. τοῦτο τελειότης εἰκότως. ἐλεημοσύνη δὲ οὐκ ἐν χρήμασι γίνεται μόνον, ἀλλὰ καὶ ἐν πράγμασιν. οἷόν τι λέγω· ἔστι καὶ προστῆναι, ἔστι καὶ χεῖρα ὀρέξαι· πολλάκις καὶ χρημάτων μειζόνως ἔσωσεν ἡ διὰ πραγμάτων προστασία. οὐκοῦν φέρε, πάντα κινήσωμεν ἐπὶ τοῦ παρόντος τὰ τῆς ἐλεημοσύνης εἴδη. δύνασαι διὰ χρημάτων; μὴ ὄκνει. δύνασαι διὰ προστασίας; μὴ εἴπῃς, ἐπειδὴ χρήματα οὐκ ἔστι, τοῦτο οὐδέν ἐστι. σφόδρα καὶ τοῦτο μέγα. ὥσπερ χρυσίον δεδωκώς, οὕτω διάκεισο. δύνασαι διὰ θεραπείας; καὶ τοῦτο ποίησον. οἷον, ἰατρὸς εἶ τὴν ἐπιστήμην; ἐπιμελήθητι ἀρρωστούντων. καὶ τοῦτο γὰρ μέγα. δύνασαι διὰ συμβουλῆς; πολλῷ τοῦτο πάντων μεῖζον. αὕτη βελτίων πάντων, ἣ καὶ πλείων, ὅσῳ καὶ μεῖζον ἔχει τὸ κέρδος. οὐ γὰρ λιμὸν λύεις, ἀλλὰ θάνατον χαλεπόν. τοιαύτης καὶ οἱ ἀπόστολοι ἐκ περιουσίας ἦσαν ἐμπεπλησμένοι. διὰ τοῦτο τὴν τῶν χρημάτων διανομὴν τοῖς μετ' αὐτοὺς ἐνεχείρισαν, αὐτοὶ τὴν διὰ τῶν λόγων ἐπιδεικνύμενοι. ἢ μικρὰν ἐλεημοσύνην οἴει εἶναι, ψυχὴν ἀπορουμένην, κινδυνεύουσαν περὶ τῶν ἐσχάτων, ὑπὸ πυρώσεως συνεχομένην, δυνηθῆναι ἀπαλλάξαι τῆς νόσου; οἷον, ὁρᾷς φίλον ὑπὸ φιλαργυρίας κατεχόμενον; ἐλέησον τὸν ἄνθρωπον. ἀποπνίγεται; σβέσον αὐτοῦ τὸ πῦρ. τί οὖν ἂν μὴ πείθηται; σὺ δὲ τὸ σαυτοῦ ποίησον, καὶ μὴ κατοκνήσῃς. εἶδες αὐτὸν ἐν δεσμοῖς κατεχόμενον; δεσμὰ γὰρ ὄντως τὰ χρήματα. ἄπελθε πρὸς αὐτόν, ἐπίσκεψαι αὐτόν, παραμύθησαι, πειράθητι τῶν δεσμῶν ἀπολῦσαι. ἂν μὴ βούληται, τὴν αἰτίαν αὐτὸς ὑπομενεῖ. εἶδες γυμνὸν καὶ ξένον; γυμνὸς γὰρ ὄντως καὶ ξένος ἐστὶ τῶν οὐρανῶν ὁ βίου ὀρθοῦ μὴ ἐπιμελούμενος. λαβὲ εἰς τὸ καταγώγιον τὸ σόν· περίβαλε ἱμάτια τὰ τῆς ἀρετῆς· δὸς πόλιν τὴν ἐν οὐρανῷ. τί οὖν ἂν ἐγὼ γυμνὸς ὦ, φησι; καὶ σαυτὸν ἔνδυσον πρότερον. εἰ οἶδας ὅτι γυμνὸς εἶ, πάντως καὶ ὅτι ἐνδυθῆναι ὀφείλεις, οἶδας. εἰ ταύτης μόνον τῆς γυμνότητος ἐπίστασαι τὸν τρόπον, δυνήσῃ γνῶναι ῥᾳδίως καὶ τὴν αὐτῆς καταστολήν. πόσαι γυναῖκες σηρικὰ ἱμάτια φοροῦσι; γυμναὶ δὲ ὄντως εἰσὶ τῶν τῆς ἀρετῆς ἱματίων. ταύτας οἱ ἄνδρες περιβαλλέτωσαν. ἀλλ' οὐ προσίενται

γρ. ὥσπερ

γρ. ἀπηγχομένην

γρ. τί

γρ. καὶ τὰ τῆς ψυχῆς ἱμάτια ἐπίστασθαι δυνήσῃ. πόσαι

τί

τὰ ἱμάτια ἐκεῖνα, ἀλλὰ ταῦτα βούλονται; τοῦτο πρῶτον ποίησον· εἰς τὴν ἐπιθυμίαν αὐτὰς τῶν ἱματίων ἐκείνων κατάστησον· δεῖξον ὅτι γυμναί εἰσι· διαλέχθητι περὶ τῆς κρίσεως τῆς μελλούσης· εἰπὲ, ἀλλ' ὡς ἡμῖν δεῖ ἐκεῖ, οὐ τούτων. εἰ δὲ ἀνέχοισθέ μου, κἀγὼ τὴν γυμνότητα δείξω. ὁ γυμνὸς, ψύχους μὲν ὄντος, πέπηγε καὶ τρέμει καὶ σεσοφισμένος ἕστηκε συναγαγὼν τοὺς βραχίονας· θέρους δὲ ὄντος, οὐκ ἔτι. αὐ τοίνυν δείξω καὶ τοὺς πλουτοῦντας καὶ τὰς πλουτούσας τοσούτῳ μάλιστα γυμνὰς, ὅσῳ μάλιστα ἂν περιβάλλωνται, μὴ ἀπεχθάνεσθε. τί οὖν, εἰπέ μοι; ὅταν τοὺς περὶ γεέννης ἀνακινῶμεν λόγους καὶ τῶν βασανιστηρίων ἐκείνων, οὐχὶ μᾶλλον τῶν γυμνῶν ἐκείνων πεπήγασιν οὗτοι καὶ τρέμουσιν; οὐχὶ πικρὰ στενάζουσι καὶ καταδικάζουσιν ἑαυτούς; τί δαὶ, ὅταν τῷ δεινῷ προσέρχωνται καὶ λέγωσιν, εὖξαι ὑπὲρ ἐμοῦ· οὐχὶ τὰ αὐτὰ ῥήματα φθέγγονται ἐκείνοις; ἀλλὰ νῦν μὲν ὅσα ἂν εἴπωμεν, οὔπω δήλη ἡ γυμνότης· ἔσται δὲ ἐκεῖ δήλη. πῶς καὶ τίνι τρόπῳ; ὅταν τῶν σηρικῶν ἱματίων τούτων καὶ τῶν λίθων ἀπολωλότων ἀπὸ μόνων τῶν τῆς ἀρετῆς καὶ τῆς κακίας ἱματίων ἅπαντες φαίνων[ται]· ὅταν οἱ μὲν πένητες ὦσιν ἠμφιεσμένοι δόξαν πολλὴν, οἱ δὲ πλουτοῦντες γυμνοὶ καὶ ἀσχημονοῦντες πρὸς τὰ κολαστήρια σύρωνται. τί ἀβροτέρα ἦν ἡ τοῦ πλουσίου τοῦ τὴν πορφύραν ἐνδιδυσκομένου; τί δὲ πενεστέρα τοῦ Λαζάρου; τίς οὖν τὰ τῶν ἐπαιτῶν ἐφθέγγετο ῥήματα; τίς δὲ ἐν ἀφθονίᾳ ἦν; εἰπέ μοι, εἴ τις τὴν οἰκίαν περιβάλλοι πολλοῖς τοῖς παραπετάσμασιν, αὐτὸς δὲ ἔνδον κάθηται γυμνὸς, τί τὸ κέρδος; οὕτω καὶ ἐπὶ τῶν γυναικῶν ἐστι. τὴν μὲν γὰρ οἰκίαν τῆς ψυχῆς, τὸ σῶμα λέγω, πολλοῖς περιβάλλουσιν· ἡ δὲ οἰκοδέσποινα ἔνδον κάθηται γυμνή. χρίσατέ μοι τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, καὶ ὑποδείξω ὑμῖν τῆς ψυχῆς τὴν γυμνότητα. τί [γάρ] ἐστιν ἱμάτιον ψυχῆς; ἀρετὴ δῆλον ὅτι. τί δὲ γυμνότης; κακία. καθάπερ γὰρ εἴ τις ἀποδύσειέ τινα τῶν ἐλευθέρων, αἰσχύνεται καὶ συστέλλεται καὶ φεύγει· οὕτω δὴ καὶ ψυχὴ, ἂν θέλωμεν εἰς αὐτὴν ἰδεῖν, ἡ μὴ ταῦτα ἔχουσα τὰ ἱμάτια ἐρυθριᾷ. πόσας οἴει νῦν αἰσχύνεσθαι καὶ πρὸς αὐτὸ καταδύεσθαι τὸ βάθος, ὥσπερ τι παραπέτασμα καὶ προκάλυμμα ἐπιζητούσας, ἵνα τούτων μὴ ἀκούοιεν τῶν λόγων; αἱ δὲ μηδὲν συνειδυῖαι ἑαυταῖς γάνυνται, χαίρουσιν, ἐναβρύνονται καὶ ἐγκαλλωπίζονται τοῖς λεγομένοις. ἄκουσον περὶ τῆς μακαρίας * Θέκλης. ἐκείνη ἵνα Παῦλον ἴδῃ, καὶ τὰ χρυσία ἔδωκεν ἑαυτῆς· σὺ δὲ ἵνα τὸν Χριστὸν ἴδῃς, οὐδὲ ὀβολὸν δίδως, ἀλλὰ θαυμάζεις μὲν τὰ γεγενημένα ὑπ' ἐκείνης, οὐ ζηλοῖς δέ. οὐκ ἀκούεις πῶς τοὺς ἐλεήμονας μακαρίζει ὁ λόγος; Μακάριοι οἱ ἐλεήμονες, φησὶν, ὅτι αὐτοὶ ἐλεηθήσονται. τί τὸ κέρδος ἀπὸ τῶν πολυτελῶν ἱματίων; μέχρι πότε πρὸς ταύτην κεχήναμεν τὴν στολήν; ἀμφιασώμεθα τὴν δόξαν τοῦ Χριστοῦ· περιβαλώμεθα τὸ κάλλος ἐκεῖνο, ἵνα καὶ ἐνταῦθα εὐπρεπεῖς ὦμεν, καὶ ἐκεῖ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κς. 1 ΚΑΤ' ΕΚΕΙΝΟΝ ΔΕ ΤΟΝ ΚΑΙΡΟΝ ΕΠΕβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. 2 Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. κεφ. ιβ.

3 Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ἦσαν δὲ [αἱ] ἡμέραι τῶν ἀζύμων.

γ. εἰπέ μοι πόσον ἡμῖν ἐστι δεῖ;

γ. γυμνότεροι

* ἐκείνης

Ματθ. ε. ζ.

Ματθ. γ. α.

Ποῖον ἐκεῖνον λέγει καιρόν; πάντως τὸν ἐφεξῆς. ἀλλ᾽ ἐν τούτῳ μὲν οὕτως· ἀλλαχοῦ δὲ ἑτέρως. ὅταν γὰρ ὁ Ματθαῖος λέγῃ· Ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης κηρύσσων· οὐ τὰς ἐφεξῆς ἡμέρας δηλῶν λέγει· ἀλλ᾽ ἐκείνας, ἐν αἷς ἔμελλε γίνεσθαι ἃ περὶ διηγεῖται. ἔθος γὰρ τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ, καί ποτε μὲν τὰ ἑξῆς συμβαίνοντα ἀκολούθως ἐκθεῖναι, ποτὲ δὲ τὰ ὕστερον συμβαίνειν μέλλοντα, ὡς ἐφεξῆς ἀπαγγέλλειν. καλῶς δὲ λέγει, ὅτι Ἡρώδης ὁ βασιλεύς. οὗτος [γὰρ] οὐκ ἦν ὁ ἐπὶ τοῦ Χριστοῦ. ἰδοὺ πειρασμὸς ἕτερος. καὶ ὅρα ὅπερ ἐξ ἀρχῆς εἶπον, πῶς τὰ πράγματα πλέκεται, πῶς δι᾽ ἀνέσεως καὶ θλίψεως πάντα ὑφαίνεται. οὐκ ἔτι Ἰουδαῖοι, οὐδὲ τὸ συνέδριον, ἀλλ᾽ ὁ βασιλεὺς ἐπιβάλλει τὰς χεῖρας εἰς τὸ κακῶσαι. μείζων ἡ ἐξουσία, χαλεπώτερος ὁ πόλεμος, ὅσῳ καὶ πρὸς χάριν ἐγίνετο τοῖς Ἰουδαίοις. ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. ἁπλῶς καὶ ὡς ἔτυχεν. εἰ δέ τις ζητοίη, διὰ τί συνεχώρησεν ὁ Θεός; ἐροῦμεν, ὅτι ὑπὲρ αὐτῶν τούτων· πρῶτον μὲν, πείθων αὐτοὺς ὅτι καὶ ἀναιρούμενοι κρατοῦσιν, ὅπερ καὶ ἐπὶ Στεφάνου γέγονε· δεύτερον δὲ, διδοὺς αὐτοῖς μετὰ τὸ ἐμπλῆσαι τὸν θυμὸν ἀνενεγκεῖν ἀπὸ τῆς μανίας· καὶ τρίτον, δεικνὺς ὅτι κατὰ συγχώρησιν αὐτοῦ γέγονε τοῦτο. ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ὢ τῆς μανίας τῆς πολλῆς. ὑπὲρ τίνων αὐτοῖς ἐχαρίζετο, φόνους ποιῶν ἁπλῶς καὶ εἰκῆ; ἦν δὲ ἡμέρα τῶν ἀζύμων. πάλιν ἡ περιττὴ τῶν Ἰουδαίων ἀκριβολογία· ἀνελεῖν μὲν οὐκ ἐκώλυον, ἐν δὲ καιρῷ τούτῳ τοιαῦτα ἔπραττον.

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν, φασὶ περὶ τῆς ἐφεξῆς ... χαλεπῷ λέγει

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν.

Καὶ τοῦ θυμοῦ τοῦτο ἦν καὶ τοῦ δέους. ἀνεῖλε, φησὶν, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. εἶδες αὐτῶν τὴν ἀνδρείαν; ἵνα γὰρ μηδεὶς λέγῃ, ὅτι διὰ τοῦτο ἀκινδύνως καὶ ἀδεῶς κατατολμῶσι τοῦ θανάτου, ἅτε ἐξαρπάζοντος αὐτοὺς τοῦ Θεοῦ, διὰ τοῦτο καὶ ἀναιρεθῆναι συγχωρεῖ τοὺς κορυφαίους μάλιστα, * πείθων αὐτοὺς τοὺς ἀναιροῦντας, ὅτι οὐδὲ ταῦτα ἀφίησιν αὐτοὺς καὶ κωλύει.

γ. μανία

* Στέφανον καὶ Ἰάκωβον

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο, φησὶν, ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Περὶ γὰρ τὰ καίρια λοιπὸν ἦν ὁ ἀγών. καὶ τὸ ἐκεῖνον [γὰρ] ἀναιρεθῆναι, περιδεεῖς ἐποίει, καὶ τὸ τοῦτον ἐμβεβλῆσθαι.

6 Ὅτε καὶ ἔμελλε προάγειν αὐτὸν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσὶ, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν.

7 Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι. πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν, λέγων· ἀνάστα ἐν τάχει· καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Ὅρα, κατ᾽ ἐκείνην τὴν νύκτα αὐτὸν ἐξήρπασε, καὶ φῶς ἔλαμψε, φησὶν, ἐν τῷ οἰκήματι, ἵνα μὴ νομίσῃ φαντασίαν εἶναι· καὶ τὸ φῶς οὐδεὶς εἶδε πλὴν ἐκείνου. εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως ἐνόμιζε φαντασίαν εἶναι διὰ τὸ ἀπροσδόκητον· εἰ μὴ τοῦτο γέγονε, πολλῷ πλέον· οὕτω παρετέτατο πρὸς τὸν θάνατον. τὸ δὲ γοῦν πολλὰς ἡμέρας ἐκμείναντα μὴ σωθῆναι, τοῦτο ἐποίει. καὶ διὰ τί, φησὶν, οὐκ ἀφῆκεν αὐτὸν εἰς τὰς χεῖρας ἐμπεσεῖν Ἡρώδου, καὶ τότε ἐξήρπασεν; ὅτι ἐκεῖνο μὲν εἰς ἔκπληξιν ἤγαγεν ἄν· τοῦτο δὲ ὑπὲρ αὐτῶν ἐγίνετο. οὐκ ἂν γὰρ ἐνομίσθησαν ἄνθρωποι εἶναι, εἰ θεοπρεπῶς πάντα ἐποίει. ἐπὶ δὲ τοῦ Στεφάνου τί οὐκ ἐποίησεν; οὐχ ὡς ἀγγέλου τὸ πρόσωπον αὐτοῖς ἔδειξε; τί δὲ ὅλως ἐνέλιπε καὶ ἐν ταῦτα;

γ. δὲ

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου.

Πάλιν

Πάλιν ἐν ταῦτα δείκνυσιν, ὅτι οὐ κακουργία γέγονεν. οὐδεὶς γὰρ ἐπειγόμενος καὶ διορύξαι βουλόμενος τοσαύτην ποιεῖται σπουδὴν, ὥστε τὰ σανδάλια αὐτοῦ λαβεῖν, ὥστε καὶ ζώσασθαι. Ἐποίησε δὲ οὕτω, καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.

9 Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον ὑπὸ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν.

10 Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς.

Ἰδοὺ δεύτερον σημεῖον. ὅτε ἀπέστη ὁ ἄγγελος, τότε ἐνόησεν ὁ Πέτρος.

γρ. προσῆλθον

Καὶ ἐξελθόντες" προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ὁ ἄγγελος ἀπ' αὐτοῦ ἀπέστη.

11 Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. Νῦν ἔγνων, φησὶν, οὐ τότε. διὰ τί δὲ γέγονε τοῦτο, καὶ οὐκ ἔστιν ὁ Πέτρος ἐν αἰσθήσει τῶν γινομένων, καίτοι "ἤδει καὶ πρότερον τοιαύτης ἀπολαύσας ἀπαλλαγῆς, ὅτε οἱ πάντες ἀπελύθησαν; ἀθρόον βούλεται αὐτῷ τὴν "ἀπαλλαγὴν γενέσθαι, καὶ μετὰ τὸ ἀπαλλαγῆναι τότε τὴν αἴσθησιν λαβεῖν. τὸ τὰς ἁλύσεις δὲ ἀπὸ τῶν χειρῶν πεσεῖν, μέγα τεκμήριον τοῦ μὴ φυγεῖν.

γρ. ἤδη τοι-

γρ. ἡδονήν

12 Συνιδών τε, φησιν, ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι* καὶ προσευχόμενοι. κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη·

*ἀδελφοί

13 Καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα.

Ὁρᾷ τὸν Πέτρον οὐκ εὐθέως ἀναχωροῦντα, ἀλλὰ πρότερον διαγγελιζόμενοι τὸν αὐτοῦ. "Εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος.

γρ. εἰσελθοῦσα

14 Οἱ δὲ πρὸς αὐτὴν εἶπον, μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν.

Ὁρᾷ καὶ τὰς παιδίσκας εὐλαβείας γεμούσας. ἀπὸ γὰρ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα· ἐκεῖνοι δὲ καὶ τούτου γενομένου ἀπίστευσαν. ἡ μὲν, φησι, διϊσχυρίζετο οὕτως ἔχειν·

Οἱ δὲ ἔλεγον, φησιν, ὁ ἄγγελος αὐτοῦ ἐστιν.

16 Ὁ δὲ Πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτὸν, καὶ ἐξέστησαν.*

*ἰδόντες αὐτὸν, φησιν, ἐξεπλάγησ.

17 Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς "ὅπως ὁ Κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς. εἶπε δὲ, ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. Ἴδωμεν οὖν ἄνωθεν τὴν ἀκολουθίαν τῶν εἰρημένων. κατ' ἐκεῖνον τὸν καιρὸν, φησιν, ἐπέβαλε τὰς χεῖρας ὁ βασιλεὺς Ἡρώδης κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. καθάπερ θηρίον ἁπλῶς καὶ ἀλογίστως "πᾶσιν ἐπῄει. τοῦτο ἐστιν ὃ ἔλεγεν ὁ Χριστός· Τὸ μὲν ποτήριον, ὃ μέλλω πίνειν, πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. ἀνεῖλε δέ, φησιν, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. καὶ πῶς, φησι, τὸν Πέτρον οὐκ εὐθέως αἱρεῖ; εἶπε τὴν αἰτίαν ὁ συγγραφεύς. ἡμέραι γάρ, φησιν, ἦσαν τῶν ἀζύμων· καὶ μᾶλλον αὐτὸν "ἐμπομπεῦσαι ἐβούλετο τῇ σφαγῇ. αὐτοὶ μὲν οὖν ἀπὸ τῆς παραινέσεως τῆς Γαμαλιὴλ ἐπέσχον λοιπὸν ἑαυτοὺς τῶν φόνων· ἄλλως δὲ οὐδ' αἰτίας εὑρίσκον· δι' ἑτέρων δὲ αὐτὰ κατασκευάζον. ἐπεὶ δὲ καὶ ἕτερος Ἰάκωβος ἦν ὁ ἀδελφὸς τοῦ Κυρίου, διὰ τοῦτο ἐπεσημειώσατο εἰπὼν, τὸν ἀδελφὸν Ἰωάννου. ὁρᾷς ὅτι τὸ κεφάλαιον ἐν τούτοις ἦν τοῖς τέλεσι, μάλιστα δὲ Πέτρου καὶ Ἰακώβου; "τοῦτο μάλιστα κατάκρισις αὐτῶν ἦν. οὐκ ἔτι γὰρ ἀνθρώπινον τὸ κήρυγμα ἐδείκνυτο, τὸ ὄντως ἐκεῖνο ἐπληροῦτο, Ὅτι ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι, φησι, τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ἀρεστὸν φόνος, καὶ φόνος ἄδικος. "πολλὴ ἡ ἄνοια τοῦ Ἡρώδου, ταῖς ἐπι-

γρ. ἐπιεῖε

Μαρ. ι. λθ.

γρ. ἐκπομπεῦσαι

γρ. αὐτῇ

γρ. κακία, ἀπόνοια

θυμίαις αὐτῶν ταῖς ἀτόποις ὑπηρετεῖτο. δέον γὰρ τοὐναντίον ποιεῖν καὶ ἐγκόπτειν αὐτῶν τὴν ὁρμήν, ὁ δὲ ἐπέτρεψε, καθάπερ τις δήμιος ὢν τῶν νοσούντων, ἀλλ' οὐκ ἰατρός· καίτοι μυρία παραδείγματα ἔχων καὶ τοῦ πάππου καὶ τοῦ πατρὸς Ἡρώδου· καὶ πῶς ἐκεῖνος μὲν διὰ τὴν ἀναίρεσιν τῶν παίδων μέγιστα ἔπαθε κακά, οὗτος δὲ Ἰωάννην ἀνελὼν πόλεμον ἤγειρε χαλεπόν. ὃν καὶ πιάσας, φησίν, ἔθετο εἰς φυλακήν. καθὼς δὲ ᾤοντο, ἐφοβεῖτο μὴ διὰ τὸν φόνον τοῦ Ἰακώβου ἀναχωρήσῃ ὁ Πέτρος, καὶ βουλόμενος ἔχειν αὐτὸν ἐν ἀσφαλεῖ, ἐνέβαλε τῷ δεσμωτηρίῳ. ὅσῳ ἀκριβεστέρα ἡ φρουρά, τοσούτῳ θαυμαστοτέρα ἡ ἐπίδειξις. τοῦτο δὲ ἦν ὑπὲρ Πέτρου, δοκιμωτέρου μᾶλλον ἐντεῦθεν γινομένου, καὶ τὴν ἀνδρείαν τὴν οἰκείαν ἐπιδεικνυμένου. προσευχὴ δὲ ἦν, φησίν, ἐκτενὴς γινομένη. φιλοστοργίας δεῖγμα ἡ προσευχή. πατέρα πάντες ἐζήτουν, πατέρα ἥμερον. ἐκτενής, φησίν, ἦν προσευχὴ γινομένη ὑπὲρ αὐτοῦ. ἀκούσατε πῶς διέκειντο περὶ τοὺς διδασκάλους. οὐκ ἐστασίασαν, οὐκ ἐθορυβήθησαν, ἀλλ' ἐπὶ εὐχὴν ἐτράπησαν, τὴν ὄντως συμμαχίαν τὴν ἄμαχον, ἐπ' αὐτὴν κατέφυγον. οὐκ ἔλεγον, ὁ ταπεινὸς ἐγὼ καὶ οὐδαμινὸς ὑπὲρ ἐκείνου εὔχομαι; ἐπειδὴ γὰρ ἀγάπῃ ἐποίουν, οὐδὲν τούτων ἐλογίζοντο. βούλει μαθεῖν πόσα εἰργάσαντο καὶ ἄκοντες; ἐκείνους δοκιμωτέρους ἔδειξαν, τούτους σπουδαιοτέρους ἐποίησαν. καὶ ὅρα ἐν τῇ ἑορτῇ τοὺς πειρασμοὺς ἐπαγομένους, ἵνα δοκιμώτεροι φανῶσιν οὗτοι. ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, φησί, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος. Ὅρα τὸν Πέτρον καθεύδοντα, καὶ οὐκ ὄντα ἐν ἀγωνίᾳ, οὐδὲ ἐν φόβῳ. αὐτῇ τῇ νυκτὶ ᾗ προάγεσθαι ἔμελλεν ἐκάθευδε, τὸ πᾶν ῥίψας ἐπὶ τὸν Θεόν. οὐχ ἁπλῶς δὲ ἐκάθευδεν, ἀλλὰ μέσον στρατιωτῶν, καὶ δεδεμένος. μεταξὺ γὰρ δύο στρατιωτῶν κοιμώμενος ἦν, δεδεμένος ἁλύσεσι δυσίν. ὁρᾷς πῶς ἀκριβὴς ἡ φυλακή; καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη, φησί, λέγων· ἀνάστα ἐν τάχει. συγκαθεύδοντες ἦσαν οἱ φύλακες. διὸ καὶ τῶν γινομένων οὐδὲν ἐπαισθάνονται. φῶς δὲ ἔλαμψε. διὰ τί φῶς; ὥστε καὶ ἰδεῖν καὶ ἀκοῦσαι τὸν Πέτρον, καὶ μὴ νομίσαι φαντασίαν εἶναι. ὡς ἂν δὲ μὴ ῥαθυμήσῃ, καὶ τὴν πλευρὰν πατάσσεται. καὶ οὐχ ἁπλῶς ἀκούει, ἀνάστα· ἀλλ', ἐν τάχει, μετὰ προσθήκης. οὕτω βαθέως ἐκάθευδεν. ἐδόκει δὲ ὅραμα βλέπειν, φησί. διῆλθε δὲ πρώτην καὶ δευτέραν φυλακήν. ποῦ νῦν εἰσιν οἱ αἱρετικοί; πῶς διῆλθεν, εἰπάτωσαν ἡμῖν. ἀλλ' οὐκ ἂν ἔχοιεν. καίτοι διὰ τοῦτο αὐτὸν καὶ ζώσασθαι κελεύει καὶ ὑποδήσασθαι, καὶ τούτῳ πείθων αὐτόν, ὅτι οὐκ ἔστι φάντασμα· καὶ ἵνα ἀποτινάξηται τὸν ὕπνον, καὶ γνῷ ὅτι ἀληθές ἐστι. διὰ τοῦτο καὶ εὐθέως ἀπέπεσον αὐτοῦ αἱ ἁλύσεις ἀπὸ τῶν χειρῶν, καὶ, ἀνάστα ἐν τάχει, ἀκούει. οὐ θορυβοῦντός ἐστι τοῦτο, ἀλλὰ πείθοντος μὴ ἀναβάλλεσθαι. καὶ οὐκ ᾔδει, φησίν, ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Εἰκότως, διὰ τὴν ὑπερβολὴν τῶν γινομένων. ὁρᾷς πόσον ἐστὶν ὑπερβολὴ σημείου; πῶς ἐκπλήττει τὸν ὁρῶντα; πῶς οὐκ ἀφίησι πιστεῦσαι; εἰ γὰρ Πέτρος ἐδόκει ὅραμα βλέπειν ἐν τοσούτῳ χρόνῳ, καίτοι αὐτὸς ζωσάμενος καὶ ὑποδησάμενος, τί ἕτερος μὴ ἔπαθεν ἄν; διελθόντες δέ, φησι, πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ. τὰ μέντοι ἔνδον γινόμενα θαυμαστότερα ἦν, τὰ δὲ λοιπὸν ἀνθρωπινώτερα. ὅτε οὐδὲν κώλυμα ἦν, τότε ἀπέστη ὁ ἄγγελος. οὐ γὰρ ἂν προῆλθεν ὁ Πέτρος, τοσούτων ὄντων κωλυμάτων. ὄντως γάρ, ὄντως ἔκπληξις ἦν. νῦν ἔγνων, φησίν, ὅτι ἀληθῶς ἀπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. νῦν, οὐχὶ τότε, ὅτε ἐν δεσμωτηρίῳ ἤμην. συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, φησί. τί ἐστι, συνιδών; λογισάμενος ὅπου ἐστίν. ἢ τοίνυν τοῦτο συνεῖδεν, ἢ ὅτι οὐχ ἁπλῶς ἀπελθεῖν δεῖ, ἀλλ' ἀμείψασθαι τὸν εὐεργέτην. ὃ καὶ συνιδὼν ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας. τίς ἐστιν οὗτος ὁ Ἰωάννης; ἴσως ἐκεῖνος ὁ ἀεὶ αὐτοῖς συνών. διὰ γὰρ τοῦτο καὶ τὸ παράσημον αὐτοῦ ἔθηκεν. ὅρα ὅσον ἐστὶν ἀγαθὸν ἡ θλῖψις, πόσον εὐχόμενοι ἐν νυκτὶ

ἦσαν,

ὤνοι, πῶς διεγηγερμένους αὐτοὺς εἰργάσατο. εἶδες τοῦ φόνου Στεφάνου ὅσον τὸ κέρδος; εἶδες τοῦ δεσμωτηρίου τούτου ὅση ἡ ὠφέλεια; οὐ γὰρ δὴ ἐπεξιὼν ὁ Θεὸς τοῖς ἀδικοῦσιν αὐτοὺς μέγα δείκνυσι τὸ εὐαγγέλιον· ἀλλ' ἐν αὐτοῖς τοῖς ἀδικοῦσιν, οὐδὲ ἐκείνων παρόντων δήμιοι, αὐτὰς καθ' ἑαυτὰς τὰς θλίψεις δείκνυσιν μέγα οὔσας, ἵνα μὴ τὴν ἀπαλλαγὴν αὐτῶν πάντας ζητῶμεν, μηδὲ τὴν ἐκδίκην. σκόπει δὲ πῶς καὶ αἱ παιδίσκαι αὐτῶν λοιπὸν ὁμότιμοι αὐτοῖς ἦσαν. ἀπὸ τῆς χαρᾶς, φησὶν, οὐκ ἤνοιξε. καλῶς καὶ τοῦτο γέγονεν, ἵνα μὴ καὶ ἐκεῖνοι ἐκπλαγῶσιν εὐθέως ἰδόντες καὶ ἀπιστήσωσιν, ἀλλ' ἐγγυμνασθῇ αὐτῶν ἡ διάνοια, καὶ ὅπερ ἔθος ἡμῖν ποιεῖν, εὑρεθῇ περιτρέχουσα καὶ αὐτή. ἵνα γὰρ αὐτὴ τὰ εὐαγγέλια κομίσῃ, ἐσπούδαζεν. ὄντως γὰρ εὐαγγέλια ἦν. οἱ δὲ εἶπον πρὸς αὐτήν· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ εἶπον, ὅτι ἄγγελος αὐτοῦ ἐστιν. ἐκ τούτου ἀληθὲς, ὅτι ἕκαστος ἡμῶν ἄγγελον ἔχει. καὶ πόθεν ἐπῆλθεν αὐτοῖς ἄγγελον εἶναι τότε ὑποπτεῦσαι; ἀπὸ τοῦ καιροῦ τοῦτο ὑπώπτευσαν. ὡς δὲ ἐπέμενε κρούων, φησὶν, ἀνοίξαντες, εἶδον αὐτὸν, καὶ ἐξέστησαν. ὁ δὲ κατασείσας τῇ χειρὶ σιγᾶν, ἡσυχίαν πολλὴν ἐποίησεν ὥστε ἀκοῦσαι τὰ περὶ αὐτοῦ. ποθεινότερος πολλῷ λοιπὸν ἦν τοῖς μαθηταῖς· οὐ τῷ σωθῆναι μόνον, ἀλλὰ καὶ τῷ ἐπιστῆναι καὶ εὐθέως ἐπελθεῖν. μανθάνουσι λοιπὸν καὶ οἱ οἰκεῖοι πάντα σαφῶς· μανθάνουσι καὶ οἱ ἀλλότριοι, εἴγε ἤθελον [πιστεῦσαι.] ἀλλ' οὐκ ἠθέλησαν. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. Ἀπαγγείλατε, φησὶν, Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. ὅρα πῶς οὐκ ἔστι κενόδοξος. οὐ γὰρ εἶπε, τοῖς ἁπανταχοῦ δῆλα ποιήσατε ταῦτα, ἀλλὰ τοῖς ἀδελφοῖς. καὶ ἀνεχώρησεν εἰς ἕτερον τόπον. οὐ γὰρ ἐπείραζε τὸν Θεὸν, οὐδὲ εἰς πειρασμοὺς ἐνέβαλλεν ἑαυτόν· ἐπεὶ, ὅτε καὶ τοῦτο ἐκελεύσθησαν, ἐποίησαν. Εἰσελθόντες γὰρ, φησὶ, λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ. ἤκουσαν, καὶ εὐθέως ἐπείσθησαν. τοῦτο δὲ οὐκ εἶπεν ὁ ἄγγελος, ἀλλὰ τῷ σιγῇ ἀποστῆναι καὶ νυκτὸς ἐξαγαγεῖν ἔδωκεν ἐξουσίαν ἀναχωρῆσαι. καὶ τοῦτο δὲ γίνεται, ἵνα μάθωμεν ὅτι καὶ ἀνθρωπίνως πολλὰ οἰκονόμηται, ὥστε μὴ περιπεσεῖν πάλιν αὐτόν. ἵνα γὰρ μὴ εἴπωσιν ὅτι ὁ ἄγγελος αὐτοῦ ἐστι μετὰ τὸ ἀπελθεῖν, πρότερον τοῦτο λέγουσι· καὶ τότε αὐτὸν ὁρῶσιν ἀνατρέποντα τὴν δόξαν ἐκείνην. ὁ ἄγγελος εἰ ἦν, οὐκ ἂν ἔκρουσε τὴν θύραν, οὐκ ἂν ἀνεχώρησεν εἰς ἕτερον τόπον. πιστοῦται δὲ αὐτοὺς καὶ τὸ μὴ ἐν ἡμέρᾳ γενέσθαι. οἱ μὲν λελυμένοι ἐν εὐχαῖς ἦσαν· ὁ δὲ δεδεμένος ἐν ὕπνῳ. εἰ ἐνόμιζεν ἀληθὲς εἶναι τὸ γινόμενον, κἂν ἐξεπλάγη, κἂν οὐκ ἐμνημόνευσε· νῦν δὲ ὡς ἐν ὀνείρῳ ὁρῶν ἀτάραχος ἦν. ἦλθον, φησὶν, ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν. ὅρα καὶ πῶς ἰσχυρὰ ἦν. διελθόντες δὲ, φησὶ, πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν. καὶ διὰ τί μὴ δι' ἑαυτῶν, φησὶ, τοῦτο γίνεται; ὅτι καὶ τούτῳ τιμᾷ αὐτοὺς ὁ Θεὸς, τῷ δι' ἀγγέλων αὐτοὺς ἐξαρπάζειν. τί οὖν; ἐπὶ Παύλου οὐχ οὕτω γέγονεν; ἐκεῖ δικαίως, ὅτι πιστεῦσαι ἔδει τὸν δεσμοφύλακα· ἐνταῦθα δὲ ἀπαλλαγῆναι τὸν ἀπόστολον μόνον. ἄλλως δὲ, καὶ διαφόρως ἅπαντα ὁ Θεὸς οἰκονομεῖ. ἐκεῖ μὲν Παῦλος ὕμνει, ἐνταῦθα δὲ Πέτρος ἐκάθευδε. μὴ τοίνυν κρύπτωμεν τὰ θαύματα τοῦ Θεοῦ, ἀλλὰ καὶ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας ταῦτα σπουδάζωμεν ἐκπομπεύειν καὶ εἰς τὴν τῶν ἄλλων οἰκοδομήν. ὥσπερ γὰρ ἐπὶ θαυμαστὸς ἐλόμενος δεσμευθῆναι, οὕτω θαυμαστότερος μὴ πρότερον ἀναχωρήσας, ἕως ὅτε τοῖς οἰκείοις πάντα ἀπήγγειλε. καὶ εἶπε, φησίν· ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς. τί δή ποτε κελεύει εἰπεῖν; ἵνα χαρῶσιν, ἵνα μὴ μεριμνῶσιν, ἵνα διὰ τούτων ἐκεῖνοι μανθάνωσιν, οὐκ αὐτοὶ δι' ἐκείνων. οὕτω τοῦ ταπεινοτέρου μέρους ἐφρόντιζον. οὐδὲν ἄρα θλίψεως συμμέτρου βέλτιον. ποίαν οἴει τὴν ἐκείνων εἶναι τότε ψυχήν; πόσης ἡδονῆς γέμειν; ποῦ νῦν αἱ γυναῖκες, αἱ διὰ πάσης καθεύδουσαι νυκτός; ποῦ δὲ οἱ ἄνδρες, οἱ μηδὲ μεταστρεφόμενοι ἐπὶ τῆς κλίνης; ὁρᾷς νήφουσαν ψυχήν; μετὰ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν πάντες τὸν Θεὸν ὕμνουν, καθαρώτεροι τοῦ οὐρανοῦ τῇ θλίψει γενόμενοι· νῦν δὲ ἂν μικρὸν ἴδωμεν κίνδυνον, ἀναπίπτομεν. οὐδὲν τῆς ἐκκλησίας ἐκείνης λαμπρότερον ἦν.

Μιμησώμεθα

ΗΘΙΚΟΝ

Μιμησώμεθα τούτους, ζηλώσωμεν. οὐ διὰ τοῦτο γέγονεν ἡ νὺξ, ἵνα διαπαντὸς καθεύδωμεν καὶ ἀργῶμεν. καὶ τοῦτο μαρτυροῦσιν οἱ χειροτέχναι, οἱ ὁπλῖται, οἱ ἔμποροι, ἡ ἐκκλησία τοῦ Θεοῦ ἐκ μέσων ἀνισταμένη νυκτῶν. ἀνάστηθι καὶ σύ, καὶ ἴδε τῶν ἄστρων τὴν χορείαν, τὴν βαθεῖαν σιγήν, τὴν ἡσυχίαν τὴν πολλήν· ἐκπλάγηθι τοῦ δεσπότου σου τὴν οἰκονομίαν. καθαρωτέρα τότε ἐστὶν ἡ ψυχή, κουφοτέρα καὶ λεπτοτέρα μᾶλλόν ἐστι, μετέωρος καὶ κούφη. τὸ σκότος αὐτό, ἡ σιγὴ ἡ πολλὴ εἰς κατάνυξιν ἀγαγεῖν ἱκανά. ἂν δὲ καὶ εἰς τὸν οὐρανὸν ἴδῃς τοῖς ἄστροις ὥσπερ μυρίοις τισὶ κατεστιγμένον ὀφθαλμοῖς, πᾶσαν ἡδονὴν καρπώσῃ, ἔννοιαν λαβὼν εὐθὺς τοῦ δημιουργοῦ. ἂν ἐννοήσῃς ὅτι οἱ μεθ' ἡμέραν κράζοντες, γελῶντες, σκιρτῶντες, πηδῶντες, ἀδικοῦντες, πλεονεκτοῦντες, ἀπειλοῦντες, μυρία ἐπιδραματευόμενοι δεινά, οὐ ποιοῦν τῶν νεκρῶν οὐδὲν διαφέρουσι, καταγνώσῃ τῆς ἀνθρωπίνης αὐθαδείας ἁπάσης. ὕπνος ἐπῆλθε, καὶ τὴν φύσιν ἤλεγξεν. εἰκών ἐστι θανάτου, εἰκών ἐστι συντελείας. ἂν διακύψῃς εἰς τὸν στενωπόν, οὐκ ἀκούσῃ οὐδὲ φωνῆς· ἂν ἴδῃς εἰς τὴν οἰκίαν, πάντας ὄψει καθάπερ ἐν τάφῳ κειμένους. ταῦτα πάντα ἱκανά ἐστι διαναστῆσαι ψυχήν, καὶ εἰς ἔννοιαν συντελείας ἀγαγεῖν. ἐνταῦθά μοι καὶ πρὸς ἄνδρας, καὶ πρὸς γυναῖκας ὁ λόγος. κάμψον τὰ γόνατα, στέναξον, παρακάλεσόν σου τὸν δεσπότην ἵλεων γενέσθαι. μᾶλλον ἐπικάμπτεται ἐν νυκτεριναῖς εὐχαῖς, ὅταν τὸν καιρὸν τῆς ἀναπαύσεως σὺ θρήνων ποιῇ καιρόν. ἀναμνήσθητι τοῦ βασιλέως, οἷα ῥήματα ἔλεγεν· Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ὅσον ἂν ᾖς τρυφηλός, οὐκ εἶ τρυφηλότερος ἐκείνου· ὅσον ἂν ᾖς πλούσιος, οὐκ εἶ πλουσιώτερος τοῦ Δαβίδ. καὶ πάλιν ὁ αὐτός φησι· Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. τότε οὐ κενοδοξία παρενοχλεῖ. πῶς γάρ, πάντων καθευδόντων καὶ οὐχ ὁρώντων; τότε οὐ ῥᾳθυμία καὶ χάσμη ἐπιτίθεται. πῶς γάρ, ὑπὸ τοσούτων τῆς ψυχῆς διεγειρομένης; μετὰ τὰς τοιαύτας παννυχίδας καὶ ὕπνοι ἡδεῖς, καὶ ἀποκαλύψεις θαυμασταί. τοῦτο ποίησον καὶ σὺ ὁ ἀνήρ, μὴ μόνη ἡ γυνή. ἔστω ἐκκλησία ἡ οἰκία ἐξ ἀνδρῶν καὶ γυναικῶν συνεστηκυῖα. μὴ γὰρ ὅτι σὺ μόνος εἶ ὁ ἀνήρ, μηδ' ὅτι αὕτη μόνη ἐστὶν ἡ γυνή, νομίσῃς κώλυμα εἶναι. Ὅπου γάρ εἰσι δύο εἰς τὸ ἐμὸν ὄνομα, φησί, συνηγμένοι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ὅπου ὁ Χριστὸς μέσος, πολὺ πλῆθός ἐστιν· ὅπου ὁ Χριστός, ἀνάγκη καὶ ἀγγέλους εἶναι, ἀνάγκη καὶ ἀρχαγγέλους καὶ τὰς ἄλλας δυνάμεις. οὐκ ἄρα μόνοι ἐστὲ τὸν πάντων ἔχοντες δεσπότην. καὶ πάλιν ἄκουε τοῦ προφήτου λέγοντος· Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. οὐδὲν ἀσθενέστερον πολλῶν παρανόμων, οὐδὲν ἰσχυρότερον ἑνὸς κατὰ νόμον Θεοῦ ζῶντος. εἰ σοὶ καὶ παιδία ἐστί, διανάστησον καὶ τὰ παιδία, καὶ γινέσθω διὰ πάντων ἡ οἰκία ἐκκλησία διὰ τῆς νυκτός. εἰ δὲ ἁπαλὰ ᾖ, καὶ μὴ φέρῃ τὴν ἀγρυπνίαν, μέχρι μιᾶς εὐχῆς καὶ δευτέρας, καὶ κατάπαυσον· μόνον διανάστηθι, μόνον ἐν συνηθείᾳ κατάστησον σαυτόν. οὐδὲν τοῦ ταμιείου βέλτιον ἐκείνου τοῦ τοιαύτας εὐχὰς δεχομένου. ἄκουε τοῦ προφήτου λέγοντος· Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ἀλλὰ κέκμηκα, φησί, μεθ' ἡμέραν πολλά, καὶ οὐ δύναμαι. σκῆψις ταῦτα καὶ πρόφασις. ὅσα γὰρ ἂν κάμῃς, οὐ ποιήσεις ὡς ὁ χαλκοτύπος σφῦραν οὕτω βαρεῖαν καταφέρων ἀπὸ πολλοῦ τοῦ ὕψους ἐπὶ τοὺς ἀνθῆρας, καὶ τὸν καπνὸν ὅλῳ δεχόμενος τῷ σώματι· καὶ ὅμως τὸ πλέον ἐκεῖνος τῆς νυκτὸς εἰς τοῦτο ἀναλίσκει. ἴστε καὶ γυναῖκες, εἴ ποτε εἰς ἀγρὸν ὑμῖν γέγονεν ἀνάγκη βαδίσαι, ἢ εἰς παννυχίδα παρελθεῖν, πῶς δι' ὅλης τῆς νυκτὸς ἀγρυπνοῦσι. καὶ σοὶ τοίνυν χαλκεῖον ἔστω πνευματικόν, οὐχ ὥστε χύτρας, οὐδὲ λέβητας, ἀλλὰ τὴν ψυχὴν κατασκευάσαι τὴν σήν, ἢ καὶ χαλκοτύπου καὶ χρυσοχόου πολλῷ βελτίων τὴν παλαιὰν γενομένην τοῖς ἁμαρτήμασιν εἰσάγαγε εἰς τὸ χωνευτήριον τῆς ἐξομολογήσεως, τὴν σφῦραν κατένεγκε ἀπὸ τοῦ πολλοῦ ὕψους, τουτέστι, τῶν ῥημάτων τὴν κατάγνωσιν· ἄναψον τὸ πῦρ τοῦ πνεύματος.

Ψαλ. ϛ. ζ.

Ψαλ. ριη. ξβ.

Ματθ. ιη. κ.

Σειρ. ιϛ. γ.

Ψαλ. ξβ. ζ.

γρ. ὑμῖν

γρ. ὃ

γρ. βέλτιον

πνεύματος. πολλῷ μείζονα τέχνην ἔχεις. οὐ χρυσᾶ σκεύη ῥυθμίζεις, ἀλλὰ τὴν παντὸς χρυσίου τιμιωτέραν ψυχήν, καθάπερ ὁ χαλκεὺς τὸ σκεῦος. οὐ γὰρ σωματικὸν σκεῦος ῥυθμίζεις, ἀλλὰ τὴν ψυχὴν ἀπαλλάττεις τῆς φαντασίας πάσης τῆς βιωτικῆς. παρακείσθω σοι λύχνος, οὐχ οὗτος ὁ καιόμενος, ἀλλ' ὃν ὁ προφήτης λέγων εἶχε, Λύχνος τοῖς ποσί μου ὁ νόμος σου. (Ψαλ. ριη.) πύρωσον διὰ τῆς εὐχῆς τὴν ψυχήν· ἂν ἴδῃς ἰκμάδας ἔχουσαν, ἐξάγαγε, τύπωσον πρὸς ὅπερ ἂν θέλῃς. πίστευσόν μοι, οὐχ οὕτω τὸ πῦρ τὸν ἰὸν ἀποκαθαίρειν εἴωθεν, ὡς εὐχὴ νυκτερινὴ τὸν ἰὸν τῶν ἁμαρτημάτων τῶν ἡμετέρων. αἰδεσθῶμεν, εἰ μηδένα ἄλλον, τοὺς νυκτερινοὺς φύλακας. ἐκεῖνοι δι' ἀνθρωπίνους νόμους περιΐασιν ἐν κρυμῷ βοῶντες μεγάλα, καὶ διὰ τῶν στενωπῶν βαδίζοντες, βρεχόμενοι πολλάκις, πεπηγότες διὰ σὲ καὶ τὴν σωτηρίαν τὴν σὴν καὶ τὴν τῶν χρημάτων τῶν σῶν φυλακήν. ἐκεῖνος ὑπὲρ τῶν χρημάτων σου τοσαύτην ποιεῖται πρόνοιαν· σὺ δὲ οὐδὲ ὑπὲρ τῆς σῆς ψυχῆς; καὶ μὴν ἐγὼ οὐκ ἀναγκάζω αἴθριον περιϊέναι καθάπερ ἐκεῖνος, (ἴσ. ἐκεῖνους) οὐδὲ μεγάλα βοᾶν καὶ διαρρήγνυσθαι· ἀλλ' ἐν αὐτῷ τῷ ταμιείῳ ὤν, ἐν αὐτῷ τῷ κοιτῶνι, κάμψον τὰ γόνατα, παρακάλεσον τὸν δεσπότην. διὰ τί αὐτὸς ὁ Χριστὸς διενυκτέρευεν ἐν τῷ ὄρει; οὐχ ἵνα τύπος ἡμῖν γένηται; τότε ἀναπνεῖ τὰ φυτά, ἐν τῇ νυκτὶ λέγω· τότε καὶ ψυχὴ μάλιστα μᾶλλον ἐκείνων δρόσον δέχεται. ἅπερ μεθ' ἡμέραν ὁ ἥλιος κατέκαυσε, ταῦτα ἐν τῇ νυκτὶ καταψύχεται. πάσης δρόσου μᾶλλον τὰ τῆς νυκτὸς δάκρυα καὶ κατὰ τῶν ἐπιθυμιῶν, καὶ κατὰ πάσης φλεγμονῆς καὶ καύσωνος καθίεται, καὶ οὐκ ἀφίησι χαλεπόν τι παθεῖν, ἂν δὲ μὴ τῆς δρόσου ἀπολαύσῃ ἐκείνης, μεθ' ἡμέραν καταικαυθήσεται. (χ. τι ποιῦτον) ἀλλὰ μὴ γένοιτο μηδένα ὑμῶν ὑπὸ ἐκκαύματος τοῦ πυρὸς ἐκείνου γενέσθαι· ἀλλ' ἀναψύξαντας, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαύσαντας, γένοιτο πάντας ἡμᾶς ἐλευθερωθῆναι τοῦ φορτίου τῶν ἁμαρτημάτων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κζ.

18 ΓΕΝΟΜΕΝΗΣ ΔΕ ΗΜΕΡΑΣ ΗΝ ΤΑΡΑΧΟΣ οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο.
19 Ἡρώδης δὲ ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβε.

Πολλοὶ διαποροῦσι πῶς περιεῖδεν ὁ Θεὸς τότε δι' αὐτὸν τοὺς παῖδας ἀναιρουμένους, καὶ νῦν πάλιν τοὺς στρατιώτας διὰ τὸν Πέτρον· καίτοι δυνατὸν ἦν αὐτῷ μετὰ τοῦ Πέτρου κἀκείνους ἐξελέσθαι. ἀλλ' εἰ καὶ τοὺς στρατιώτας ἐξήγαγεν ὁ ἄγγελος μετὰ τοῦ Πέτρου, ἐνομίσθη ἂν φυγῆς εἶναι τὸ πρᾶγμα. (γ. ἴσως πρὸς ἐκεῖνο πῶς εἶδεν ὁ θ. ἀθλητὰς ἀπολλυμένους, καὶ νῦν διὰ τὸν Πετ.) τί οὖν οὐχ ἑτέρως ᾠκονόμησε, φησί; ποία γὰρ βλάβη γέγονε νῦν; ἂν ἴδωμεν ὅτι τοὺς ἀδίκως παθόντας κακῶς, οὐδὲν ἔβλαψεν, οὐ ζητήσομεν ταῦτα. διὰ τί γὰρ μὴ λέγεις καὶ περὶ Ἰακώβου, διὰ τί αὐτὸν μὴ ἐξείλετο; ἄλλως δέ, οὐκ ἦν οὐδέπω τῆς κρίσεως ὁ καιρός, ὥστε τὸ κατ' ἀξίαν ἀπονέμεσθαι ἑκάστῳ. ἀλλ' οὐδὲ ἐνέβαλεν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ Πέτρος. μᾶλλον οὖν αὐτὸν ἐλύπει τὸ ἐμπαιχθῆναι, ὥσπερ τὸν πάππον αὐτοῦ ὑπὸ τῶν μάγων ἀπατηθέντα, μᾶλλον ἐποίει διαπορεῖσθαι καὶ καταγέλαστον εἶναι. καλὸν δὲ καὶ αὐτῶν τῶν ῥημάτων ἀκοῦσαι τοῦ συγγραφέως. Γενομένης, φησίν, ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρώδης δὲ ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. καίτοι ἤκουσε περὶ αὐτῶν (ἀνέκρινε γάρ) καὶ ὅτι αἱ ἁλύσεις ἀφέθησαν, καὶ ὅτι τὰ σανδάλια ἔλαβε, καὶ

βε, καὶ ὅτι μέχρι τῆς νυκτὸς ἐκείνης μετ' αὐτῶν ἦν. ἀλλὰ τί συνέκρυψαν; διὰ τί οὖν μὴ καὶ αὐτοὶ ἔφυγον; καὶ μὴν αὐτὸν ἔδει θαυμάσαι, ἔδει καταπλαγῆναι τοῦτο. λοιπὸν φανερὸν γέγονε πᾶσι διὰ τοῦ θανάτου τούτων καὶ τοῦ Θεοῦ τὸ θαῦμα, καὶ ἡ ἐκείνου κακία κατάδηλος. ἀλλ' ὅρα πῶς οὐδὲ ταῦτα οὐ κρύπτει, ἀλλὰ καὶ μέμνηται ἱστορίας, ὥστε διδάξαι ἡμᾶς. εἶτά φησι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβεν.

20 Ἦν δὲ ὁ Ἡρώδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις, ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

21 Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς.

22 Ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου.

23 Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε δόξαν τῷ Θεῷ· καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο. Οὐ μικρὸν δὲ τοῦτό ἐστιν. εὐθέως ἡ δίκη κατέλαβεν αὐτόν· εἰ καὶ μὴ διὰ Πέτρον, ἀλλὰ διὰ τὴν αὐτοῦ μεγαληγορίαν. καὶ μὴν εἰ ἐκεῖνοί, φησιν, ἐβόησαν, τί πρὸς τοῦτον; ὅτι κατεδέξατο τὴν φωνήν· ὅτι ἄξιον ἑαυτὸν ἐνόμισεν εἶναι τῆς κολακείας. διὰ τοῦτο ἐκεῖνοι μάλιστα παιδεύονται οἱ κολακεύοντες εἰκῆ. ὅρα πάλιν ἀμφοτέρους μὲν ὄντας ἀξίους τιμωρίας, τοῦτον δὲ κολαζόμενον. οὐ γάρ ἐστι νῦν τῆς κρίσεως ὁ καιρός· ἀλλὰ τὸν μάλιστα ὑπεύθυνον τοῦτον κολάζει, ἐκείνους ἀφιεὶς ἀπὸ τούτου κερδᾶναι. καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανέ, φησι, καὶ ἐπληθύνετο· τουτέστι, τούτου γενομένου. εἶδες Θεοῦ οἰκονομίαν;

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἱερουσαλὴμ πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον.

1 Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε

κεφ. ιγ. Βαρνάβας καὶ Συμεὼν, ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος. Ἔτι Βαρνάβα πρότου μνημονεύει. οὔπω γὰρ Παῦλος ἦν λαμπρὸς, οὔπω σημεῖον οὐδὲν εἰργάσατο.

2 Λειτουργούντων δὲ αὐτῶν, φησι, τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.

3 Τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέλυσαν.

Τί ἐστι, λειτουργούντων; τουτέστι, κηρυττόντων. ἀφορίσατέ μοί, φησι, τὸν Βαρνάβαν καὶ Σαῦλον. τί ἐστιν, ἀφορίσατέ μοι εἰς τὸ ἔργον; εἰς τὴν ἀποστολήν. ὅρα πάλιν ὑπὸ τίνων χειροτονεῖται. ὑπὸ Λουκίου τοῦ Κυρηναίου καὶ Μαναήν· μᾶλλον δὲ ὑπὸ τοῦ πνεύματος. ὅσῳ γὰρ τὰ πρόσωπα ἐλάττονά ἐστι, τοσούτῳ γυμνοτέρα ἡ τοῦ Θεοῦ φαίνεται χάρις. χειροτονεῖται λοιπὸν εἰς ἀποστολὴν, ὥστε μετ' ἐξουσίας κηρύττειν. πῶς οὖν αὐτός φησιν, Οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων; τὸ μὲν, οὐκ ἀπ' ἀνθρώπων, εἶπεν ἵνα δηλώσῃ ὅτι οὐκ ἄνθρωπος αὐτὸν ἐκάλεσεν, οὐδὲ προσηγάγετο· τὸ δὲ, δι' ἀνθρώπων, ὅτι οὐχ ὑπὸ τούτων ἐπέμφθη, ἀλλ' ὑπὸ τοῦ πνεύματος. διὸ καὶ οὕτως ἐπήγαγεν·

Γάλ. α. α.

4 Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον. Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἡμέρας δὲ γενομένης, φησὶν, ἦν τάραχος οὐκ ὀλίγος διὰ τὸν Πέτρον, καὶ ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. οὕτως οὐκ ᾔσθετο, ὅτι καὶ κολάζει ἀδίκως ἐπιχειρεῖ. ἰδοὺ τὸν ὑπὲρ αὐτῶν ἀναλαμβάνω λόγον. τὰ δεσμὰ ἦν, οἱ φύλακες ἔνδον, τὸ δεσμωτήριον κεκλεισμένον, οὐδαμοῦ τοῖχος διορωρυγμένος, πάντες τὰ αὐτὰ ἔλεγον, ἀνάρπαστος ὁ ἄνθρωπος γέγονε;

χ. ὅτι ἀδίκως αὐτὸ κολάζει. χ. ἀνάρπαστος

γίνε. διὰ τί αὐτοὺς καταδικάζεις; εἰ ἤθελον ἀπολέσθαι, πρὸ τούτου ἀπέλυσαν ἄν, ἢ συνεξῆλθον. ἀλλὰ χρήματα ἔλαβον; πόθεν, οἱ μηδὲ πέντε δοῦναι ἔχοντες, τούτοις ἐδίδου; οὐδὲ γὰρ διεθρύβησαν αἱ ἁλύσεις, οὐδὲ λελυμέναι ἦσαν. ἔδει ἰδεῖν ὅτι θεῖον τὸ πρᾶγμα ἦν, καὶ οὐκ ἀνθρώπινον. εἶτα ἐπειδὴ ἱστορίας ἔμελλε μεμνῆσθαι λοιπόν, διὰ τοῦτο καὶ τὰ ὀνόματα τίθησιν, ἵνα δειχθῇ πάντα ἐπαληθεύων. καὶ πείσαντες Βλάστον, φησί, τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην. τοῦτο ποιοῦσιν, ἐπειδὴ λιμὸς ἦν. τακτῇ δὲ ἡμέρᾳ καθίσας ὁ Ἡρώδης ἐπὶ τοῦ βήματος ἐδημηγόρει, φησί· παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξε. Τοῦτο καὶ Ἰώσηπος λέγει, ὅτι μακρᾷ περιέπεσε νόσῳ. τὸ μὲν οὖν πολλοὶ τοῦτο οὐκ ᾔδεισαν· ὁ δὲ ἀπόστολος αὐτὸ τίθησι. πλὴν ἀλλὰ καὶ ἡ ἄγνοια ὠφέλει, λογιζομένων αὐτῶν τῷ Ἰακώβου θανάτῳ καὶ τῷ τῶν στρατιωτῶν φόνῳ τὰ συμβεβηκότα. ὅρα· ὅτε μὲν τὸν ἀπόστολον ἔσφαξεν, οὐδὲν τοιοῦτον εἰργάσατο· ὅτε δὲ τούτους, λοιπὸν ἐν ἀφασίᾳ ἦν. ἅτε οὖν ἠπορηκὼς καὶ αἰσχυνόμενος κατῆλθεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν. ἐμοὶ δοκεῖ καὶ ἐκείνους ἀπαγαγεῖν βουλόμενος, πρὸς ἀπολογίαν ἦλθε τούτων. ὠργίζετο γὰρ ἐκείνοις, τούτους οὕτω θεραπεύων. ὅρα πῶς κενόδοξος ὁ ἄνθρωπός ἐστι. μέλλων αὐτοῖς διδόναι τὴν δωρεὰν, ἐδημηγόρησεν. ὁ δὲ Ἰώσηπός φησιν, ὅτι καὶ ἐσθῆτα λαμπρὰν ἐξ ἀργύρου πεποιημένην περιέκειτο. ὅρα καὶ ἐκείνους πῶς κόλακες ἦσαν, καὶ τῶν ἀποστόλων τὸ φρόνημα. οἱ γὰρ ἔθνος ὁλόκληρον * ἐθεράπευσε, τούτοις οὗτοι διέπτυον. πάλιν δὲ γέγονεν ἀνάπνευσις αὐτῶν μεγάλη, καὶ μυρία ἀγαθὰ ἐκ τῆς ἐκείνου τιμωρίας. εἰ δὲ οὗτος ἀκούσας, ὅτι φωνὴ Θεοῦ, καὶ οὐκ ἀνθρώπου, καίτοιγε μηδὲν εἰπὼν, τοιαῦτα ἔπαθε· πολλῷ μᾶλλον ἂν ὁ Χριστὸς, εἰ μὴ Θεὸς ἦν αὐτὸς, ἀεὶ λέγων ὅτι Τὰ ῥήματα τὰ ἐμὰ οὐκ ἔστιν ἐμὰ, καὶ Οἱ ὑπηρέται ἂν ἠγωνίζοντο, καὶ ὅσα τοιαῦτα. ἐκεῖνος δὲ αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσε, καὶ οὐδὲ φαίνεται λοιπόν. ὅρα δὲ αὐτοὺς καὶ ὑπὸ τοῦ Βλάστου ἀναπειθομένους, καὶ ἅτε δὴ ταλαιπώρους ὄντας εὐκόλως ὀργιζομένους, καὶ πάλιν καταλλαττομένους καὶ πανταχοῦ δουλεύοντας τὸν δῆμον, καὶ οὐδὲν ἐλεύθερον ἔχοντας. σκόπει δὲ λοιπὸν καὶ τὴν αὐθεντίαν τοῦ ἁγίου πνεύματος. λειτουργούντων δὲ αὐτῶν, φησι, τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον. τίς ἂν ἐτόλμησε, μὴ τῆς αὐτῆς ἐξουσίας ὢν, ταῦτα εἰπεῖν; τοῦτο δὲ γέγονεν, ὥστε μὴ εἶναι αὐτοὺς κοινῇ μεθ' ἑαυτῶν. Εἶδεν αὐτοὺς μείζονα δύναμιν ἔχοντας, καὶ πολλοῖς δυναμένους ἀρκέσαι. πῶς δὲ αὐτοῖς εἶπε; διὰ προφητῶν ἴσως. διὰ τοῦτο προλαβὼν εἶπεν, ὅτι καὶ προφῆται ἦσαν, καὶ ἐνήστευον, καὶ ἐλειτούργουν, ἵνα μάθῃς ὅτι πολλῆς νήψεως χρεία ἦν. ἐν Ἀντιοχείᾳ χειροτονεῖται, ἔνθα ἐκήρυττεν. διὰ τί μὴ εἶπε, τῷ Κυρίῳ ἀφορίσατε, ἀλλ', ἐμοί; δεικνὺς ὅτι ἕν ἐστι τὸ τῆς ἐξουσίας καὶ τῆς δυνάμεως.

Ὁρᾷς ὅσον ἡ νηστεία μέγα; δείκνυσιν, ὅτι πάντα τὸ πνεῦμα ἐποίει. μέγα τι ἡ νηστεία ἀγαθόν. οὐχ ὅρῳ περιορίζεται. ὅτε χειροτονεῖσθαι ἔδει, τότε νηστεύουσι. καὶ νηστεύουσιν αὐτοῖς εἶπε τὸ πνεῦμα. ἡ νηστεία δὲ οὐ τοῦτο μόνον ἐστὶν, ἀλλὰ καὶ τὸ τρυφῆς ἀπέχεσθαι νηστείας εἶδός ἐστι. τοσοῦτον ἐπιτάττω μόνον ἐγὼ, μὴ νηστεύσητε, ἀλλὰ τρυφῆς ἀπέχεσθε. τροφὰς ζητοῦμεν, μὴ διαφθοράν· τροφὰς ζητοῦμεν, μὴ νόσων ὑποθέσεις, νόσων καὶ ψυχικῶν καὶ σωματικῶν· τροφὴν ζητοῦμεν ἡδονὴν ἔχουσαν, μὴ τρυφὴν ἀηδίας γέμουσαν. τοῦτο τρυφὴ, ἐκεῖνο λύμη· τοῦτο ἡδονὴ, ἐκεῖνο πόνος· τοῦτο κατὰ φύσιν, ἐκεῖνο παρὰ φύσιν. εἰπὲ γάρ μοι, εἴ τις ἔδωκέ σοι κώνειον πιεῖν, οὐχὶ παρὰ φύσιν ἦν; εἴ τις ξύλα καὶ λίθους, οὐκ ἂν ἀπεστράφης; εἰκότως. παρὰ φύσιν γάρ ἐστι. τοιοῦτον καὶ ἡ τρυφή. καθάπερ γὰρ ἐν πόλει πολιορκίας γινομένης πολὺς θόρυβος γίνεται καὶ τάραχος τῶν πολεμίων εἰσελθόντων· οὕτως ἐν τῇ ψυχῇ γίνεται, οἴνου καὶ τρυφῆς ἐπεισελθούσης. Τίνι οὐαί; τίνι θόρυβοι; τίνι ἀηδίαι * καὶ λέσχαι; [τίνι κρίσεις;] οὐχὶ τοῖς ἐγχρονίζουσιν ἐν οἴνοις; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; ἀλλὰ γὰρ ὅσα ἂν εἴπωμεν, οὐκ ἀποστήσομεν τοὺς περὶ τὴν τρυφὴν ἀπησχολημένους; ἂν μὴ πρὸς ἑτέροις ἀποτισόμεν

μεν

Margin notes (left): χ. λιμὸς γὰρ ἰσχυρὸς ἦν. — χ. τὰ κατὰ τὸν Ἡρώδην συμβεβηκότα. — χ. πρὸς τὴν ἀπολογίαν ὥρμησεν ἀπαγαγεῖν ὀργίζ. — * ἴσως — χ. ἄγγελοί μοι ὑπηρέται, καὶ — χ. ὄντας — * καὶ μάχαι — χ. μὴ ἕτ. αὐτ. πυθ.

Margin notes (right): Ιωαν. ιδ. ι. — Ιωαν. ιη. λϛ. — ΗΘΙΚΟΝ — Παροι. κγ. κθ.

μεν τὸ πάθος. καὶ πρότερον μὲν πρὸς τὰς γυναῖκας ἡμῖν ἔστω ὁ λόγος. οὐδὲν αἴσχιον γυναικὸς τρυφώσης· οὐδὲν αἴσχιον μεθυούσης. ἀμαυροῦται αὐτῆς τὸ τῆς ὄψεως ἄνθος· θολοῦται δὲ γαλήνη καὶ ἥμερον τῶν ὀφθαλμῶν, οἱονεὶ νεφέλης τινὸς ἀκτῖνας ὑποδραμούσης ἡλιακάς. ἀνελεύθερον δὲ πρᾶγμα καὶ δουλικόν, καὶ πάσης δυσφημίας ἀνάμεστον. πῶς ἐστιν ἀηδὴς οἴνου ἀποπνέουσα [γυνὴ] ὀδωδότος, σεσηπότος, ἐρυγγανομένη κρεῶν διεφθορότων χυμόν, βεβαρημένη καὶ διαβαστάσαι μὴ δυναμένη, ἐρυθρὰ οὖσα τοῦ δέοντος πλέον, χάσμης γέμουσα καὶ ἀχλύος πολλῆς; ἀλλ' οὐκ ἐκείνη ἡ τρυφῆς ἀπεχομένη τοιαύτη· ἀλλὰ σεμνὴ καὶ σώφρων καὶ εὔμορφος. καὶ γὰρ τῷ σώματι πολὺ προστίθησι κάλλος τῆς ψυχῆς ἡ κατάστασις. μὴ γὰρ δὴ νομίσῃς ἀπὸ τῶν σωματικῶν τύπων τοῦτο γίνεσθαι μόνον. δὸς εὔμορφον κόρην τεταραγμένην, λάλον, λοίδορον, μέθυσον, πολυτελῆ· εἰ μὴ πάσης αἰσχρᾶς δυσειδεστέρα καθέστηκεν; εἰ δὲ αἰσχύνοιτο, εἰ δὲ σιγῴη, εἰ δὲ ἐρυθριᾶν μανθάνῃ, εἰ δὲ φθέγγεσθαι συμμέτρως, εἰ δὲ νηστείαις ἐσχολακέναι· διπλοῦν τὸ κάλλος, πλείων ἡ ὥρα, ποθεινοτέρα ἡ ὄψις, σωφροσύνης γέμουσα καὶ κοσμιότητος. βούλει λοιπὸν καὶ περὶ ἀνδρῶν εἴπωμεν; τί τοῦ μεθύοντος αἴσχιον; καταγέλαστος οἰκέταις, καταγέλαστος ἐχθροῖς, ἐλεεινὸς παρὰ φίλοις, μυρίας καταγνώσεως ἄξιος, θηρίον ἐστὶ μᾶλλον ἢ ἄνθρωπος. τὸ γὰρ πολλὰ σιτεῖσθαι, παρδαλέως, καὶ λέοντος, καὶ ἄρκτου ἐστίν. εἰκότως. οὐ γὰρ ἔχουσιν ἐκεῖνα ψυχὴν λογικήν. καὶ μὴν κἀκεῖνα πλέον τοῦ δέοντος καὶ τοῦ μέτρου τοῦ παρὰ τῆς φύσεως αὐτοῖς ὡρισμένου σιτηθέντα, διέφθειρε τὸ πολὺ σῶμα· πόσῳ δὴ μᾶλλον ἡμᾶς; διὰ τοῦτο ἡμῖν εἰς μικρὸν συνέσταλκε τὴν γαστέρα ὁ Θεός; διὰ τοῦτο ὀλίγον μέτρον ὥρισε τροφῆς, ἵνα παιδεύσῃ ψυχῆς ἐπιμελεῖσθαι. καταμάθωμεν αὐτὴν τὴν κατασκευὴν τὴν ἡμετέραν, καὶ ὀψόμεθα ἓν μόριον ἐν ἡμῖν ταύτην ἔχον τὴν ἐνέργειαν. τὸ στόμα γὰρ ἡμῶν ἐστὶν ἡ γλῶττα πρὸς ὕμνους ἀφωρισμένη· ὁ φάρυγξ πρὸς φωνήν. διὰ τοῦτο καὶ ἀνάγκη τῆς φύσεως ἡμᾶς ἐγκατέδησεν, ἵνα μηδὲ ἄκοντες ἐμπίπλωμεν εἰς πολλὴν πραγματείαν. ὡς εἴγε ἡ τρυφὴ πόνους μὴ εἶχε, μηδὲ νόσους καὶ ἀρρωστίας, φορητὸν ἦν· νῦν δέ σοι τέθεικεν ὁροθέσια τῆς φύσεως, ἵνα μηδὲ βουλόμενος ὑπερβαίνῃς. γρ. φευκτὸν οὐχ ἡδονὴν ζητεῖς, ἀγαπητέ; τοῦτο παρὰ τῆς αὐταρκείας εὑρήσεις. οὐχ ὑγείαν; καὶ τοῦτο. οὐχὶ ἀμεριμνίαν; καὶ τοῦτο. οὐχὶ ἐλευθερίαν; οὐχὶ ῥῶσιν σώματος; οὐχὶ εὐεξίαν; οὐχὶ ὕψος ψυχῆς; οὐχὶ διέγερσιν; οὕτω πάντα τὰ καλὰ ἐν ταύτῃ· ἐν ἐκείνῃ δὲ τὰ ἐναντία, ἀηδία, καχεξία, νόσος, ἀνελευθερία, δαπάνη. πόθεν οὖν, φησιν, ἐπὶ ταύτην τρέχομεν ἅπαντες; ἀπὸ νόσου. εἰπὲ γάρ μοι, διὰ τί τὸ βλάπτον ὁ νοσῶν ἐπιζητεῖ; οὐχὶ ἐστὶν αὐτὸ τοῦτο τοῦ νοσεῖν σημεῖον ἐστί; διὰ τί ὁ χωλὸς μὴ ὀρθὰ βαδίζει; αὐτὸ δὲ τοῦτο οὐκ ἀπὸ ῥᾳθυμίας καὶ τοῦ μὴ βούλεσθαι παρὰ ἰατρῶν ἰέναι; τῶν γὰρ πραγμάτων τὰ μὲν πρόσκαιρον ἡδονὴν ἔχει, διηνεκῆ δὲ τὴν κόλασιν· τὰ δὲ τοὐναντίον, τὴν μὲν καρτερίαν πρόσκαιρον, διηνεκῆ δὲ τὴν ἀπόλαυσιν. ὁ γίνεται οὕτω χαῦνος καὶ ῥᾴθυμος, ὡς μὴ ὑπεριδεῖν τῶν παρόντων ἡδέων ὑπὲρ τῶν μελλόντων, ταχέως ἁλίσκεται. εἰπέ μοι, ὁ Ἠσαῦ πόθεν ἑάλω; πόθεν τὴν παροῦσαν ἡδονὴν τῆς μελλούσης προτετίμηκε τιμῆς; ἀπὸ χαυνότητος καὶ μαλακίας. τοῦτο δὲ αὐτὸ πόθεν, φησίν; ἐξ ἡμῶν αὐτῶν. καὶ δῆλον ἐκεῖθεν. ὅταν γὰρ θέλωμεν, διαγωνιζόμεθα ἑαυτοῖς, καὶ καρτερικοὶ γινόμεθα· ἐὰν γοῦν ἀνάγκη ποτὲ ἐπέλθοι, πολλάκις δὲ καὶ φιλονεικήσαντες μόνον τὸ χρήσιμον συνείδομεν. ὅταν τοίνυν μέλλῃς τρυφᾶν, ἐννόησον τὸ πρόσκαιρον τῆς ἡδονῆς, τὴν ζημίαν (ζημία γὰρ ὄντως ἐστὶ μετὰ τῆς οἰκείας λύμης τοσαῦτα χρήματα δαπανᾶν) τὰς νόσους, τὰς ἀρρωστίας, καὶ καταφρόνησον τρυφῆς. πόσους σοι βούλει ἀριθμήσω κακὰ παθόντας ἀπὸ τῆς τρυφῆς; ὁ Νῶε ἐμεθύσθη καὶ ἐγυμνώθη, καὶ ὅρα πόσα γέγονε κακὰ ἀπὸ τούτου.

Εξ. λϛ. ϛ. ὁ Ἠσαῦ ἀπὸ λαιμαργίας προέδωκε τὰ πρωτοτόκια, καὶ εἰς ἀδελφοκτονίαν ὥρμησεν. γρ. [illegible] ὁ λαὸς ὁ τοῦ Ἰσραὴλ ἐκάθισε φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν.

Δετ. ϛ. ιβ. διὰ τοῦτό φησι, Φαγὼν καὶ πιὼν μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. εἰς γὰρ κρημνὸν ἐνέπεσον [④] εἰς τὴν τρυφὴν ἐμπεσόντες.

σόντες. Ἡ χήρα, φησὶν, ἡ σπαταλῶσα ζῶσα τέθνηκε. Καὶ πάλιν· Ἐλιπάνθη, ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. Καὶ [πάλιν] ὁ Ἀπόστολος· Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Οὐ νομοθετῶ πενίαν (οὐδὲ γὰρ ὁ ἀκούων ἐστί) ἀλλ' αἱρῶ σπατάλην, ἐγκόπτω τρυφὴν διὰ τὸ χρήσιμον τὸ ὑμέτερον. Καθάπερ γὰρ χείμαῤῥος, οὕτω πάντα ἀνατρέπει ἡ τρυφή. Οὐδὲν αὐτὴν τὸ κωλῦον ἐστί· βασιλείας ἐκβάλλει. Τί δὲ πλέον; βούλει τρυφᾶν; δὸς πένησι· κάλεσον τὸν Χριστὸν, ἵνα καὶ μετὰ τὴν τράπεζαν παρρησίαν ἔχῃς τρυφᾶν. Νῦν μὲν γὰρ [τί] οὐκ ἔχεις. Εἰκότως (οὐδὲ γὰρ ἕστηκε τὰ ἐν ταύτῃ) ποτὲ δὲ ἕξεις. Βούλει τρυφῆσαι; θρέψον τὴν ψυχήν· μετάδος αὐτῇ σιτίων, ὧν ἔθος ἔχει· μὴ λιμοκτονήσῃς αὐτήν. Καιρὸς πολέμου, καιρὸς ἀγῶνος· σὺ δὲ κάθησαι τρυφῶν; οὐχ ὁρᾷς καὶ τοὺς τὰ σκῆπτρα ἐγκεκλεισμένους ἐν ταῖς ἔξω στρατιαῖς εὐτελῶς ζῶντας; Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· σὺ δὲ λιπαίνεις σαυτὸν μέλλων παλαίειν; ἕστηκε τρίζων τοὺς ὀδόντας αὐτοῦ ὁ ἀντίπαλος· σὺ δὲ διακεχυμένος τυγχάνεις, καὶ τραπέζῃ προσέχεις; οἶδα εἰκῆ ταῦτα λέγων· ἀλλ' οὐχ ἅπασιν. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ὁ Χριστὸς ὑπὸ λιμοῦ τήκεται, σὺ δὲ ὑπὸ γαστριμαργίας διασπᾷς σαυτόν. Δύο ἀμετρίαι. Τί γὰρ οὐ ποιεῖ κακὸν ἡ τρυφή; *ὅθεν οὐκ οἶδα πῶς καὶ τὸ ὄνομα τοῦτο ἔχει. Ἀλλ' ὥσπερ ἡ δόξα ἀτιμία οὖσα, καὶ ὁ πλοῦτος πενία ὤν, τοῦτο κέκληται· οὕτω καὶ ἡ τρυφὴ ἀηδία οὖσα. Μὴ γὰρ τυθῆναι ἐχρῆν, ὅτι λιπαινόμενοι αὐξεῖς; τί περιέχεις τῷ σκώληκι λαμπροτέραν τὴν τράπεζαν; τί πλείονας ποιεῖς τοὺς ἰχῶρας; τί πηγὰς ἱδρώτων καὶ δυσωδίας ἐναποτίθεσαι; τί πρὸς πάντα σεαυτὸν ἄχρηστον κατασκευάζεις; βούλει γενέσθαι ἰσχυρὸν τὸν ὀφθαλμόν; τὸ σῶμα ποίησον εὔτονον. Καὶ γὰρ ἐν ταῖς χορδαῖς, ἡ μὲν παχεῖα καὶ ἀδιακάθαρτος, ἄχρηστος πρὸς τὰς μελῳδίας· ἡ δὲ πάντοθεν ἐπεξεσμένη, εὔτονός ἐστι καὶ πολυαρμόνιος. Τί καταχωννύεις τὴν ψυχήν; τί τὸν τοῖχον παχύτερον ποιεῖς; τί πολὺν τὸν καπνὸν καὶ τὴν νεφέλην, ὅταν ἀτμοὶ καθάπερ τις ἀχλὺς πάντοθεν ὦσιν ἀναδιδόμενοι; Εἰ δὲ μηδεὶς ἕτερος, οἱ ἀθληταί σε παιδευέτωσαν, ὅτι τὸ ἰσχυρότερον σῶμα ἰσχυρότερον. Οὐκοῦν δὲ ἡ [φιλοσοφοῦσα] ψυχὴ, εὐτονωτέρα. Ἡνιόχῳ γὰρ δὲ ἵππῳ ἔοικε. Καὶ ἔξεστιν ὁρᾷν, καθάπερ ἐπὶ τῶν τρυφῇ προσεχόντων ἀνθρώπων καὶ εὐσαρκούντων, οὕτω δὲ τοὺς εὐσαρκοῦντας τῶν ἵππων δυσκινήτους ὄντας, καὶ πολλὰ τῷ ἡνιόχῳ πράγματα παρέχοντας. Ἀγαπητὸν εὐήνιον ἵππον ἔχοντα δὲ εὐσκελῆ δυνηθῆναι τὸ βραβεῖον λαβεῖν. Ὅταν δὲ ἀναγκάζηται ὁ ἡνίοχος ἕλκειν αὐτὸν, καὶ καταπεσόντα μυριάκις ὕπτιον μὴ δύνηται ἆραι, κἂν σφόδρα αὐτὸς ἔμπειρος ᾖ, τῆς νίκης ἀποστερηθήσεται. Μὴ δὴ περιίδωμεν ἡμῶν τὴν ψυχὴν ἐπηρεαζομένην διὰ τὸ σῶμα, ἀλλὰ καὶ ἐκείνην θεραπευτικωτέραν ἐργασώμεθα· τὸ πτερὸν αὐτῇ κοῦφον ποιήσωμεν, χαυνότερα τὰ δεσμά. Λύσις αὐτὴν τρέφωμεν, αὐταρκείᾳ, ὅσον ὑγιαίνειν μόνον τὸ σῶμα, ὅσον εὔρωστον εἶναι, ὅσον χαίρειν καὶ μὴ ἀλγεῖν· ἵνα οὕτω τὰ καθ' ἑαυτοὺς εὖ διαθέντες, δυνηθῶμεν τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Τιμ. ε. ϛ. — Δευτ. λβ. ιε. — Ρωμ. ιγ. ιδ. — Εφεσ. ϛ. ιβ. — Λουκ. η. η.

γ. βασίλεια — * πρὸς ἑαυτὸν ἐναντία ἐστίν. — γ. πηγὰς ἱδρ. δυσ. ἐναποτίθ. — γ. ἡ

Λογ. κη. 4 ΟΥΤΟΙ ΜΕΝ ΟΥΝ ΕΚΠΕΜΦΘΕΝΤΕΣ ΥΠΟ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον. 5 Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγελον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. Εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

Ἅμα χειροτονηθέντες ἐξῆλθον, καὶ εἰς Κύπρον ἀπέπλευσαν, ἅτε οὐκ οὔσης ἐπιβουλῆς ἐκεῖ, καὶ τοῦ λόγου καταπαρέντος ἤδη. ἐν Ἀντιοχείᾳ μὲν γὰρ ἦσαν ἱκανοί· καὶ ἡ Φοινίκη δὲ πλησίον τῆς Παλαιστίνης ἦν· Κύπρος δὲ οὐχί. λοιπὸν μὴ ζήτει, διατί; ὅταν πνεύματι κινῶνται. οὐ γὰρ δὴ ἐχειροτονήθησαν πνεύματι μόνον, ἀλλὰ καὶ ἐξεπέμφθησαν. καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. ὁρᾷς πᾶσαν σπουδὴν ποιουμένους αὐτοὺς ἐκείνοις καταγγέλλειν τὸν λόγον πρώτοις, ἵνα μὴ φιλονεικοτέρους ἐργάσωνται; καὶ ἐκεῖνοι οὐκ ἐλάλουν, εἰ μὴ Ἰουδαίοις μόνοις· καὶ οὗτοι εἰς τὰς συναγωγὰς ἀπῄεσαν.

6 Διελθόντες δὲ τὴν νῆσον [ὅλην] ἄχρι Πάφου, εὗρον ἄνδρα τινὰ μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς,

7 Ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ ἀνδρὶ συνετῷ· οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

8 Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος (οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ) ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως. Πάλιν μάγος Ἰουδαῖος, καθάπερ Σίμων. καὶ ὅρα τοῦτον, ὅτε μὲν τοῖς ἄλλοις ἐκήρυττον, οὐ σφόδρα ἀγανακτοῦντα· ἐπεὶ δὲ τῷ ἀνθυπάτῳ προσῄεσαν, τότε. τὸ δὲ θαυμαστὸν τοῦ ἀνθυπάτου, ὅτι καὶ προκατειλημμένος τῇ μαγείᾳ ἐκείνου, ἤθελεν ἀκοῦσαι τῶν ἀποστόλων. οὕτω καὶ οἱ Σαμαρεῖται ἐποίησαν, καὶ ἀπὸ συγκρίσεως ἡ νίκη φαίνεται, τῆς μαγείας ἁλισκομένης. πανταχοῦ ἡ κενοδοξία καὶ φιλαρχία αἴτιαι τῶν κακῶν.

9 Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς πνεύματος ἁγίου, ἀτενίσας εἰς αὐτόν,

10 Εἶπεν, ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης· οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

11 Καὶ νῦν ἰδοὺ χεὶρ τοῦ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ.

Ἐνταῦθα τὸ ὄνομα αὐτοῦ ἀμείβεται μετὰ τῆς χειροτονίας, ὅπερ καὶ ἐπὶ τοῦ Πέτρου γέγονε. καὶ ὅρα· οὐχ ὕβρεις τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ἡ κατάπληξις. τοὺς γὰρ ἰταμοὺς καὶ ἀναισχύντους οὕτω δεῖ καταπλήττεσθαι. ὦ πλήρης παντὸς δόλου, φησί, καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης. ἐνταῦθα αὐτοῦ ἀποκαλύπτει τὰ ἐν τῇ διανοίᾳ, προσχήματι σωτηρίας ἀπολλύοντι τὸν ἀνθύπατον. οὐ παύσῃ, φησί, διαστρέφων τὰς ὁδοὺς Κυρίου; καὶ ἀξιοπίστως. οὐχ ἡμῖν πολεμεῖς, φησίν, οὐδὲ μάχῃ, ἀλλὰ τὰς ὁδοὺς Κυρίου διαστρέφεις τὰς εὐθείας· καὶ μετ᾽ ἐγκωμίου. καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλός. ᾧ αὐτὸς προσήχθη σημείῳ, τούτῳ καὶ τοῦτον ἠβουλήθη προσαγαγεῖν. καὶ τὸ, ἄχρι καιροῦ δέ, οὐ κολάζοντος ἦν τὸ ῥῆμα, ἀλλ᾽ ἐπιστρέφοντος. εἰ γὰρ κολάζοντος ἦν, διαπαντὸς ἂν αὐτὸν ἐποίησε τυφλόν· νῦν δὲ οὐ τοῦτο, ἀλλὰ πρὸς καιρόν, ἵνα τὸν ἀνθύπατον κερδάνῃ.

Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς.

12 Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν, ἐκπληττόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου. Εἰκότως. τὸν γὰρ προκατειλημμένον τῇ μαγείᾳ ταύτῃ τῇ τιμωρίᾳ παιδεῦσαι ἐχρῆν. οὕτω καὶ οἱ ἐν Αἰγύπτῳ μάγοι ὑπὸ τῶν φλυκτίδων τότε ἐπαιδεύοντο. ὅρα δὲ αὐτοὺς οὐκ ἐγχρονίζοντας αὐτόθι, ἅτε τοῦ ἀνθυπάτου λοιπὸν πιστεύσαντος, οὐδὲ μαλακισθέντας τῇ κολακείᾳ καὶ τῇ τιμῇ, ἀλλ᾽ εὐθέως τοῦ ἔργου ἐχομένους καὶ εἰς τὴν ἀντιπέραν χώραν ὁρμῶντας.

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας·

φυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

14 Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας· καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν. Πάλιν εἰς τὰς συναγωγὰς ἐν σχήματι Ἰουδαίων εἰσήεσαν, ὥστε μὴ πολεμεῖσθαι, μηδὲ ἐλαύνεσθαι· καὶ οὕτω τὸ πᾶν κατώρθουν.

15 Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες· ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. Λοιπὸν ἐντεῦθεν τὰ κατὰ Παῦλον μανθάνομεν, οὐ μικρὰ περὶ τοῦ Πέτρου μαθόντες ἐν τοῖς προτέροις εἰρημένοις. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ γενόμενοι, φησίν, ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ τῇ μητροπόλει τῆς Κύπρου. ἐποίησαν ἐνιαυτὸν ἐν Ἀντιοχείᾳ. ἔδει καὶ ἐκεῖ ἀπελθεῖν, καὶ μὴ διαπαντὸς ἐνταῦθα καθῆσθαι· ἔδει μειζόνων αὐτοῖς διδασκάλων. ὅρα πῶς καὶ ἐν Σελευκείᾳ οὐ διατρίβουσιν, εἰδότες ὅτι ἀπὸ τῆς γείτονος πόλεως ἐκαρπώσαντο ἂν πολλὴν τὴν ὠφέλειαν· ἀλλὰ πρὸς τὰ κατεπείγοντα σπεύδουσι καὶ ἐκεῖ. πρὸς γὰρ τὴν μητρόπολιν ἐλθόντες τῆς νήσου, τὸν ἀνθύπατον ἐσπούδαζον διορθῶσαι. ὅτι δὲ οὐ κολακείας ἦν τὸ λέγειν, σιωπῶ· ἀνθυπάτῳ ἀνδρὶ συνετῷ, ἀπὸ τοῦ πράγματος μάνθανε, πῶς οὐκ ἐδεήθη λόγων πολλῶν, πῶς ἠθέλησεν αὐτὸς ἀκοῦσαι. καὶ τὰ ὀνόματα δὲ καταλέγει τῶν πόλεων· δεικνύς, ὅτι ἐπειδὴ προσφάτως τὸν λόγον ἐδέξαντο, χρεία ἦν ἐπιστηρίξασθαι τῇ πίστει ἐμμένειν. διὸ καὶ συνεχῶς αὐταῖς ἐφίσταντο. ὅρα ὅτι οὐδὲν πρὸς τὸν μάγον εἶπεν, ἕως ἐκεῖνος ἀφορμὴν ἔδωκεν· ἀλλὰ τὸν λόγον τοῦ Κυρίου μόνον κατήγγελλον. ἐπειδὴ [γὰρ] οὐ τοὺς ἄλλους ἑώρα προσέχοντας, αὐτὸς πρὸς ἓν τοῦτο ἐσκόπει, ὥστε ἐκεῖνον μὴ πεισθῆναι. καὶ διὰ τί μὴ ἕτερον σημεῖον ἐποίησεν; ὅτι οὐκ ἦν τούτου ἴσον, τοῦ τὸν ἐχθρὸν ἑλεῖν. καὶ ὅρα· πρότερον ἐγκαλεῖ, καὶ τότε τιμωρεῖται. δείκνυσι δὲ δικαίως αὐτὸν παθόντα τῷ λέγειν· ὦ πλήρης παντὸς δόλου· τουτέστιν, οὐδὲν ἔχων ἐλλιπές, φησί. καὶ καλῶς εἶπε, παντὸς δόλου. ὑπεκρίνετο γάρ. υἱὲ διαβόλου. τὸ γὰρ ἔργον ἐκείνου ἔπραττεν. ἐχθρὲ πάσης δικαιοσύνης. ἡ γὰρ πᾶσα δικαιοσύνη ὅπως αὕτη ἦν. ἐμοὶ δοκεῖ καὶ τὸν βίον ἐλέγχειν τὸν αὐτοῦ ταῦτα λέγων. καὶ ἵνα δείξῃ ὅτι οὐκ ἦν θυμοῦ τὰ ῥήματα, διὰ τοῦτο προλαβὼν εἶπε, πλησθεὶς πνεύματος ἁγίου, τουτέστιν, ἐνεργείας. καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ. οὐκ ἄρα τιμωρία ἦν, ἀλλ' ἴασις. μονονουχὶ γὰρ ἔλεγεν, οὐκ ἐγὼ ποιῶ, ἀλλ' ἡ τοῦ Θεοῦ χείρ. ὅρα τὸ ἄτυφον. [οὐκέτι φῶς, ὡς ἐπὶ Παύλου, περιέστραψεν αὐτόν.] ἔσῃ, φησί, τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. τοῦτο λέγει, ἵνα δῷ αὐτῷ μετανοῆσαι. οὐδαμοῦ γὰρ ἐβούλοντο ἀπὸ τῶν σκυθρωποτέρων φαίνεσθαι, εἰ καὶ εἰς ἐχθροὺς ταῦτα ἐγένετο. ἀλλ' ἐπὶ μὲν τῶν οἰκείων εἰκότως· ἐπὶ δὲ τῶν ἀλλοτρίων οὐχί, ἵνα μὴ νομισθῇ τὸ πρᾶγμα ἀνάγκης εἶναι λοιπὸν καὶ δέους. τεκμήριον δὲ τῆς τυφλότητος, τὸ χειραγωγοὺς ζητεῖν. εἶτα ὁρᾷ τὴν πήρωσιν ὁ ἀνθύπατος, καὶ εὐθὺς πιστεύει· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐκπληττόμενος. εἶδε γὰρ ὅτι οὐ λόγοι, οὐδὲ ἀπάτη ταῦτα. ὅρα πόσον ἔρωτα εἶχε διδασκαλίας ἐν ἀρχῇ ὢν τοσαύτῃ. καὶ οὐκ εἶπε πρὸς αὐτόν, οὐ παύσῃ διαστρέφων τὸν ἀνθύπατον· ἀλλὰ τὰς ὁδοὺς Κυρίου, ὃ πλέον ἦν, ἵνα μὴ δόξῃ κολακεύειν. τί δήποτε δὲ ὁ Ἰωάννης ἀναχωρεῖ ἀπ' αὐτῶν; Ἰωάννης γάρ, φησιν, ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα· ἅτε ἐπὶ μακροτέραν λοιπὸν στελλομένων ὁδόν. καίτοιγε ὑπηρέτης ἐκεῖνος ἦν, αὐτοὶ δὲ τὸν κίνδυνον εἶχον. πάλιν ἐλθόντες εἰς Πέργην, παρατρέχουσι τὰς ἄλλας πόλεις. ἐπὶ τὴν μητρόπολιν γὰρ ἠπείγοντο τὴν Ἀντιόχειαν. καὶ ὅρα πῶς ὑποτέμνεται ὁ συγγραφεύς· ἐκάθισαν ἐν τῇ συναγωγῇ, φησί, καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων, ὥστε προοδοποιῆσαι τῷ λόγῳ. καὶ οὐ πρότεροι λέγουσιν, ἀλλ' ἐπιτραπέντες· ἅτε ὡς ξένοις παρεκαλοῦντο. εἰ μὴ περιέμειναν δέ, οὐκ ἂν ἐγένετο λόγος· ἐν ταύτῃ πρῶτον κηρύττει Παῦλος. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν. ἔνθα μὲν ἦν κατεσπαρμένος ὁ λόγος, παρατρέχει· ἔνθα δὲ οὐδεὶς ἦν, ἐνδιατρίβει. καθὼς καὶ αὐτός φησι γράφων·

γρ. ῥίζαν ἐλθόντες τῆς νήσου

γρ. δὲ λέγει, ἐπειδὴ προσφάτως ἐγεγένηντο. ὅρα ὅτι

γρ. καὶ ὅρα τὴν πήρωσιν. ὁ αὐτὸς καὶ εὐθὺς πιστεύει· καὶ

γρ. ὑποτέμνεται

γρ. προσεκαλοῦντο.

Ρωμ. ιε. κ. Οὕτω δὲ φιλοτιμούμενος εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός. ἀνδρείας δὲ ἦν καὶ τοῦτο πολλῆς. ὄντως ἐκ προοιμίων θαυμαστὸς ὁ ἀνὴρ, ἐσταυρωμένος, παρατεταγμένος· ᾔδει πόσης ἀπέλαυσε χάριτος· ἀντίρροπον εἰσήγαγε τὴν σπουδήν· οὐκ ὠργίσθη πρὸς Ἰωάννην (οὐ γὰρ τούτου ἦν) ἀλλὰ τοῦ ἔργου εἴχετο· οὐκ ἐδειλίασεν, οὐκ ἐφοβήθη ἐν μέσῳ πλήθους ἀπειλημμένος. ὅρα πῶς οἰκονομεῖται Παῦλον μὴ κηρύττειν ἐν Ἱεροσολύμοις. ἀρκεῖ καὶ τοῦτο μόνον τὸ ἀκοῦσαι ὅτι ἐπίστευσε. κηρύττοντος δὲ οὐκ ἂν ἠνέσχοντο διὰ τὸ μῖσος· καὶ πόρρω ἄπεισιν, ἔνθα γνώριμος οὐκ ἦν. πρότερον ἤλεγξε τὸν μάγον, ὅστις ἦν· καὶ ὅτι σκότους ἦν, τὸ σημεῖον ἐδείκνυ. τῆς ἐν [τῇ] ψυχῇ τυφλότητος τοῦτο σημεῖον ἦν. ἄχρι δὲ καιροῦ πάθη, ὥστε μετανοῆσαι. καλῶς δὲ τῷ σαββάτῳ εἰσῆλθον εἰς τὴν συναγωγὴν, ὅτε πάντες ἦσαν συνειλεγμένοι. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, φησὶν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι λέγοντες· ἄνδρες ἀδελφοὶ, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε. ὅρα αὐτοὺς ἀφθόνως τότε τοῦτο ποιοῦντας, μετὰ δὲ τοῦτο οὐκ ἔτι. εἰ τοῦτο ἐβούλεσθε, μᾶλλον ἔδει παρακαλέσαι.

ΗΘΙΚΟΝ

Ἀλλ' ὢ τῆς φιλαρχίας, ὢ τῆς κενοδοξίας· πῶς πάντα ἀνατρέπει καὶ ἀπόλλυσι; κατὰ τῆς οἰκείας, κατὰ τῆς ἀλλήλων σωτηρίας ἑστάναι παρασκευάζει. πηροὺς οὕτω καὶ τυφλοὺς ἐργάζεται, ὥστε καὶ χειραγωγοὺς ζητεῖν (εἴθε καὶ οὗτοι· εἴθε καὶ χειραγωγοὺς ἐζήτουν· ἀλλ' οὐκ ἔτι τούτου ἀνέχονται, ἀλλ' ἑαυτοῖς ἐπιτρέπουσι τὸ πᾶν) οὐδένα ἀφίησιν ἰδεῖν· καθάπερ ἀχλὺς ἐπίκειται καὶ ζόφος, οὐκ ἀφιεὶς διαβλέψαι. ποίαν ἕξομεν ἀπολογίαν διὰ πάθος πάθους κρατοῦντες, διὰ δὲ τὸν τοῦ Θεοῦ φόβον οὐκέτι; οἷον, πολλοὶ ἀσελγεῖς ὄντες καὶ φιλοχρήματοι διὰ τὴν τῶν χρημάτων φειδωλίαν ἐχαλίνωσαν τὴν ἡδονήν· ἄλλοι τοὐναντίον, διὰ τὴν ἡδονὴν ὑπερεῖδον χρημάτων· πάλιν οἱ ἡττώμενοι δόξης κενῆς ἀμφοτέρων περιγεγόνασι, χρήματα ἀναλίσκοντες ἀφειδῶς, καὶ σωφρονοῦντες εἰκῆ· ἄλλοι πάλιν κενόδοξοι σφόδρα ὄντες, κατεφρόνησαν τοῦ πάθους, πολλὰ ὑπομείναντες αἰσχρὰ καὶ δι' ἔρωτας, καὶ διὰ χρήματα· ἕτεροι πάλιν, ἵνα τὸν θυμὸν ἐμπλήσωσι τὸν αὐτῶν, εἵλοντο ζημιωθῆναι μυρία, καὶ οὐδενὸς αὐτοῖς τούτων ἐμέλησεν, ἵνα μόνον τὸ θέλημα ποιήσωσι τὸ αὐτῶν. καὶ ὅπερ ἰσχύει πάθος, οὐκ ἴσχυσε παρ' ἡμῖν ὁ τοῦ Θεοῦ φόβος. καὶ τί λέγω πάθος; ὅπερ αἰδὼς ἀνθρώπων ἰσχύει, οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόβος. πολλὰ καὶ κατορθοῦμεν καὶ ἁμαρτάνομεν, ἀνθρώπους αἰδούμενοι· τὸν δὲ Θεὸν οὐ δεδοίκαμεν. πόσοι δι' αἰσχύνην προήκαντο χρήματα; πόσοι ἐφιλοτιμήσαντο, εἰκῇ ὑπηρετούμενοι τοῖς αὐτῶν φίλοις ἐπὶ κακῷ; πόσοι φιλίας αἰδεσθέντες μυρία ἥμαρτον; εἰ τοίνυν καὶ πάθος καὶ αἰδὼς ἀνθρωπίνη δύναται ἐμβαλεῖν ἡμᾶς καὶ εἰς ἁμαρτήματα, καὶ εἰς κατορθώματα, εἰκῇ λέγομεν ὅτι οὐ δυνάμεθα. δυνάμεθα γὰρ, ἂν θέλωμεν· θελῆσαι δὲ πάντως χρή. εἰπὲ δή μοι, διὰ τί οὐ δύνασαι δόξης κρατεῖν, ὅταν ἕτεροι ὦσι κρατοῦντες, τὴν αὐτὴν ἔχοντες ψυχὴν, τὸ αὐτὸ σῶμα, τὴν αὐτὴν μορφὴν, τὴν αὐτὴν ζῶντες ζωήν; ἐννόησον τὸν Θεὸν, ἐννόησον τὴν ἄνωθεν δόξαν· ἀντίστησον αὐτῇ τὰ παρόντα, καὶ ταχέως ταύτης ἀποπηδήσεις. ὅλως εἰ δόξης ἐπιθυμεῖς, τῆς ὄντως δόξης ἐπιθύμει. ποία δόξα, ὅταν ἀτιμίας ποιῇ; ποία δόξα, ὅταν τῶν ἐλαττόνων ἀναγκάζῃ τιμῆς ἐφίεσθαι, κἀκείνης χρείαν ἔχῃ; τιμή ἐστι, τὸ τῆς παρὰ τῶν μειζόνων ἀπολαύειν δόξης. ὅλως εἰ δόξης ἐρᾷς, μᾶλλον ἐράσθητι τῆς παρὰ τοῦ Θεοῦ. ἂν ἐρασθῇς ἐκείνης, ταύτης καταφρονήσεις, ὄψει ταύτην ἄτιμον· ἕως ἂν ἐκείνην μὴ ἴδῃς, οὐδὲ ταύτην ἰδεῖν δυνήσῃ πῶς ἐστιν αἰσχρὰ, πῶς καταγέλαστος. καθάπερ γὰρ τῇ πονηρᾷ τινι γυναικὶ προσκατειλημμένοι εἰδεχθεῖ καὶ αἰσχρᾷ, ἕως ἂν φιλῶσιν αὐτὴν, οὐ δύνανται τὴν δυσείδειαν ἰδεῖν, τοῦ πάθους ἐπισκοτοῦντος τῇ κρίσει· οὕτω δὴ καὶ ἐνταῦθα, ἕως ἂν κατεχώμεθα τῷ πάθει, οὐ δυνάμεθα συνιδεῖν οἷόν ἐστι κακόν. πῶς οὖν ἀπαλλαγείημεν ἄν, φησὶν, αὐτοῦ; ἐννόησον τοὺς χρήματα ἀναλώσαντας μυρία, καὶ οὐδὲν ἀπ' αὐτῶν καρπωσαμένους· ἐννόησον τοὺς ἀποθανόντας ὅσης ἀπήλαυσαν δόξης, καὶ οὐδαμοῦ αὕτη βεβαία, ἀλλ' ἀπόλωλε καὶ διέφθαρται· ἐν-

Right margin notes: χ. ἀφιεῖσα — χ. πάλιν ἀμφότερα περιῆν οἱ ὑπὸ δόξης ὄντες κενῆς ἀμφ. — χ. ἀλλ' οἱ ὑπ. — χ. προῆκαντο χ. — χ. ἐλάττονος

νόησον ὅτι ὄνομα μόνον ἐστί, πρᾶγμα δὲ οὐκ ἔχει. ἐπεὶ τί ἐστι δόξα, εἰπέ μοι; δὸς ὅρον τινά. τὸ θαυμάζεσθαι παρὰ πάντων, φησί. δικαίως, ἢ ἀδίκως; εἰ μὲν γὰρ ἀδίκως, οὐκ ἂν εἴη τοῦτο θαῦμα, ἀλλὰ κατηγορία, καὶ κολακεία, καὶ διαβολή· εἰ δὲ δικαίως, τοῦτο οὐ δυνατόν. οὐ γὰρ ἔχει κρίσεις ὀρθὰς ὁ δῆμος, ἀλλὰ τοὺς ταῖς ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντας τούτους θαυμάζουσι. καί, εἰ βούλεσθε, καταμάθετε τοὺς τὰς πόρνας τὰς αὐτῶν δωρουμένους, τοὺς τοῖς ἡνιόχοις, τοὺς τοῖς ὀρχησταῖς. ἀλλ' οὐ τούτους, φησί, φαμέν, ἀλλὰ τοὺς δικαίους καὶ τοὺς ὀρθούς, καὶ μεγάλα δυναμένους ποιεῖν καλά. εἴθε ἠβούλοντο, καὶ ταχέως ἐποίουν ἂν τὰ ἀγαθά· νῦν δὲ οὐδὲν τούτων ποιοῦσι. τίς, εἰπέ μοι, τὸν δίκαιον ἐπαινεῖ νῦν καὶ τὸν ὀρθόν; τοὐναντίον μὲν οὖν. τί δὲ ψυχρότερον δικαίου, εἰ πρᾶγμα τοιοῦτον κατορθῶν, τῆς παρὰ τῶν πολλῶν δόξης ἐφίεται; τοιοῦτον γὰρ ποιεῖ, οἷον ἂν εἴ τις ζωγράφος ἄριστος ὢν καὶ εἰκόνα γράφων βασιλικήν, τῶν οὐκ ἐμπείρων ''ἀποδέχοιτο τοὺς ἐπαίνους. ἄλλως δέ, ταχέως ἀποστήσεται ἄνθρωπος ὁ πρὸς δόξαν ὁρῶν ἀνθρωπίνην τῶν κατ' ἀρετὴν πραγμάτων. εἰ γὰρ μέλλοι πρὸς ἐπαίνους κεχηνέναι, ἅπερ ἂν ἐκεῖνοι θέλωσι, ταῦτα ἐργάσεται, οὐχ ἅπερ ἂν αὐτός. τί οὖν ἂν ὑμῖν συμβουλεύσαιμι λοιπὸν ποιεῖν; τῷ Θεῷ προσέχειν, τοῖς ἐπαίνοις ἀρκεῖσθαι τοῖς παρ' αὐτοῦ, πάντα τὰ ἐκείνῳ δοκοῦντα ἐργάζεσθαι, καὶ τὰ ἀγαθὰ ''πράττειν, πρὸς μηδὲν τῶν ἀνθρωπίνων κεχηνέναι. τοῦτο γὰρ καὶ νηστείαν καὶ εὐχὴν καὶ ἐλεημοσύνην λυμαίνεται, καὶ πάντα τὰ ἡμέτερα ἀγαθὰ κενοῖ. ὅπερ ἵνα μὴ πάθωμεν, φύγωμεν τοῦτο τὸ πάθος, πρὸς ἓν μόνον ὁρῶμεν, τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον, τὴν ἐκεῖθεν ἀποδοχήν, τὴν παρὰ τοῦ κοινοῦ δεσπότου εὐφημίαν· ἵνα μετ' ἀρετῆς τὸν παρόντα βίον διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

γ. ἐθέλοι

γ. μεμηνέναι

Λογ. κθ. 16 ΑΝΑΣΤΑΣ ΔΕ ΠΑΥΛΟΣ, ΚΑΙ ΚΑΤΑΣΕΙΣΑΣ τῇ χειρί, εἶπεν· ἄνδρες Ἰσραηλῖται, καὶ οἱ [ἐν ὑμῖν] φοβούμενοι τὸν Θεόν, ἀκούσατε. 17 Ὁ Θεὸς τοῦ λαοῦ τούτου *ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ [αὐτοῦ] ἐν '' τῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς.

* Ἰσραὴλ
'' γῇ

Ὁρᾷ τὸν Βαρνάβαν παραχωροῦντα τῷ Παύλῳ, *ὥσπερ καὶ Πέτρῳ Ἰωάννης πανταχοῦ. αὐτὸς ἤγαγεν αὐτὸν ἀπὸ Δαμασκοῦ· καίτοι* αὐτοῦ αἰδεσιμώτερος ἦν· ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἑώρων. καὶ ἀναστάς, φησι, καὶ κατασείσας τῇ χειρί. ἔθος τοῦτο Ἰουδαίοις ἦν· διὸ καὶ αὐτὸς κατὰ τοῦτο αὐτοῖς διαλέγεται. ὅρα πῶς προοδοποιεῖ τῷ λόγῳ. πρότερον ἐγκωμιάσας αὐτούς, καὶ δείξας πολλὴν περὶ αὐτοὺς τὴν κηδεμονίαν, διὰ τοῦ εἰπεῖν, οἱ φοβούμενοι τὸν Θεόν, οὕτως ἄρχεται τοῦ λόγου. καὶ οὐκ εἶπεν, οἱ προσήλυτοι, ὅπερ ἦν συμφορᾶς ὄνομα. ὁ Θεός, φησι, τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαόν. ὅρα πῶς καὶ αὐτὸς τὸν κοινὸν τῶν ἀνθρώπων Θεὸν αὐτῶν ἰδίως καλεῖ, καὶ δείκνυσιν ἄνωθεν τὰς εὐεργεσίας αὐτοῦ μεγάλας οὔσας, καθάπερ καὶ Στέφανος. ταῦτα δὲ ποιοῦσιν, ἵνα παιδεύσωσιν αὐτούς, ὅτι καὶ νῦν κατὰ τὸ αὐτὸ ἔθος τὸν υἱὸν αὐτοῦ ἀπέστειλε. καθάπερ καὶ ὁ Χριστὸς εἶπεν ἐν τῷ ἀμπελῶνι, οὕτω καὶ αὐτός φησιν· ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν τῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς. καὶ μὴν τοὐναντίον γέγονεν· ἀλλ' εἰς πλῆθος ἐπέδωσαν, ἀλλὰ τὰ θαύματα δι' αὐτοὺς γέγονε. τούτων καὶ οἱ προφῆται μνημονεύουσιν ἀεὶ τῶν κατ' Αἴγυπτον. καὶ

* (πῶς τοῦτο; ὁ ἤγαγεν ἀπὸ Ταρσοῦ)
* ἦν

ὅρα πῶς τὰς χαλεπὰς συμφορὰς παρατρέχει, καὶ οὐδαμοῦ τὰ ἐγκλήματα παράγει εἰς μέσον, ἀλλὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἐκεῖνα ἀφεὶς αὐτοῖς λογίζεσθαι.

18 Καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. Εἶτα τὴν κατοικίαν λέγει.

19 Καὶ καθελὼν, φησὶν, ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν. Καὶ ὁ χρόνος πολύς· τετρακόσια γὰρ πεντήκοντα ἔτη. — χ. κατεκληρο-δότησεν

20 Καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν αὐτοῖς κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου. Εἰπὼν ὅτι διαφόρως κληρονόμησε τὰ κατ' αὐτοὺς ἐδήλωσε. — χ. εἰπὼν

21 Κἀκεῖθεν ᾐτήσαντο βασιλέα. Καὶ οὐ λέγει τὴν ἀγνωμοσύνην αὐτῶν· ἀλλὰ πανταχοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ υἱὸν Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν ἔτη τεσσαράκοντα.

22 Καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς τὸν Δαβὶδ εἰς βασιλέα· ᾧ καὶ εἶπε μαρτυρήσας· εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. Οὐ μικρὸν τοῦτο δὲ ἀπὸ Δαβὶδ εἶναι τὸν Χριστόν. Εἶτα καὶ Ἰωάννην εἰσάγει μαρτυροῦντα, λέγων·

23 Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγειρε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν, — χ. σωτηρίαν

24 Προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ τοῦ Ἰσραήλ.

Ιωαν. α. κ. — 25 Ὡς δὲ ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγὼ, ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἱκανὸς δὲ ὑπόδημα τῶν ποδῶν λῦσαι. — χ. ἄξιος

Καὶ Ἰωάννης δὲ μαρτυρεῖ, οὐχ ἁπλῶς, ἀλλὰ τὴν δόξαν ἐξ ἑαυτοῦ ἀποκρουόμενος, καίτοι πάντων ἐπ' αὐτὸν ταύτην ἀγόντων. οὐκ ἔστι δὲ ἴσον μηδενὸς διδόντος, καὶ πολλῶν παρεχόντων ταύτην τὴν τιμὴν διωθεῖσθαι· καὶ μηδὲ ἁπλῶς, ἀλλὰ μετὰ τοσαύτης ὑποστολῆς.

26 Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη.

27 Οἱ γὰρ κατοικοῦντες ἐν Ἰερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν, — χ. ἐπληρώσαν,

28 Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν.

Πανταχοῦ τοῦτο σπουδάζουσι δεῖξαι οἰκεῖον αὐτῶν ὂν δὲ ἀγαθὸν, ἵνα μὴ ὡς ἀλλοτρίῳ προσέχοντες φύγωσιν, ἐπειδὴ ἐσταύρωσαν αὐτόν. τοῦτον, φησὶν, ἀγνοήσαντες. ὥστε ἀγνοίας ἦν δὲ ἁμάρτημα. ὅρα πῶς καὶ ὑπὲρ ἐκείνων ἀπολογεῖται ἠρέμα· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ οὕτως ἔδει γενέσθαι, προστίθησι. καὶ ἵνα μή τις εἴπῃ, πόθεν δῆλον ὅτι ἀνέστη; φησὶ [δὲ,] καὶ μάρτυρες αὐτοῦ εἰσιν. Εἶτα πάλιν ἀπὸ τῶν γραφῶν ἰσχυρίζεται.

29 Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον.

30 Ὁ δὲ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν,

31 Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἰερουσαλὴμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. — χ. Ὡς

32 Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν,

Ψαλ. β. ζ. — 33 Καθὼς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

34 Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα αὐτὸν εἰς διαφθορὰν ὑποστρέφειν,

φιν, οὕτως εἴρηκεν· Ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἡσ. νε γ.

35 Διὸ καὶ ἐν ἑτέρῳ λέγει· Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ψαλ. ιϛ ι.

36 Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν·

37 Ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. Ὅρα τοῦτο σφοδρότερον διαλεγόμενον. τοῦτο οὐδαμοῦ Πέτρος εἶπε.

38 Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου "ὑμῖν ἄφεσις ἁμαρτιῶν" καταγγέλλεται,

γ ἡμῖν καταγγέλλεται,

39 Καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται. Εἶτα καὶ τὸ φοβερόν·

40 Βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφήταις·

41 Ἴδετε οἱ καταφρονηταί, [καὶ ἐμβλέψατε,] καὶ θαυμάσατε, καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. Ἀμβακ. α ε.

Ὅρα πῶς πλέκει τὸν λόγον, ἀπὸ τῶν πραττόντων (?), ἀπὸ τῶν προφητῶν, ἀπὸ τοῦ σπέρματος τοῦ κατ' ἐπαγγελίαν. ἀλλ' ἄνωθεν ἴδωμεν τὰ εἰρημένα. ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ. καὶ ἀπὸ τοῦ πατρὸς αὐτοὺς καλεῖ. ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη. Ἐνταῦθα τό, ὑμῖν, οὐκ Ἰουδαίοις ἀφωρισμένως λέγει· ἀλλὰ δίδωσιν αὐτοῖς ἐξουσίαν ἀποσχισθῆναι τῶν τὸν φόνον τετολμηκότων. καὶ τοῦτο ἀπὸ τοῦ ἐπαγομένου δῆλον. οἱ γὰρ κατοικοῦντες, φησίν, Ἱερουσαλήμ, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν. μεγάλη ἡ κατηγορία, εἰ συνεχῶς ἀκούοντες οὐ προσεῖχον. ἀλλ' οὐδὲν θαυμαστόν. τὰ γὰρ εἰρημένα ἐκεῖνα τὰ κατ' Αἴγυπτον καὶ τὴν ἔρημον, ἵνα μὴ δείξῃ αὐτῶν τὴν ἀγνωμοσύνην. καὶ πῶς ἠγνόησαν, φησίν, Ἰωάννου λέγοντος; τί θαυμαστόν, ὅπουγε καὶ τῶν προφητῶν συνεχῶς βοώντων; εἶτα καὶ ἄλλη κατηγορία, καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες· ὅπερ οὐκ ἦν ἀγνοίας. θῶμεν γὰρ ὅτι οὐχ ὡς Χριστὸν αὐτὸν εἶχον· τίνος ἕνεκεν καὶ ἀνῄρουν; καὶ ᾐτήσαντο, φησί, Πιλάτον ἀναιρεθῆναι αὐτόν. ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες αὐτὸν ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. ὅρα πῶς αὐτοῖς περιεσπούδαστον ἦν τοῦτο. τὸν τρόπον εἶπε τὸν τοῦ θανάτου, καὶ Πιλάτον εἰς μέσον φέρει, ἅμα μὲν ἵνα δηλώσῃ τὸ πάθος γενόμενον ἀπὸ τοῦ κριτηρίου· ἅμα δὲ ἵνα ἐκεῖνοι μειζόνως κατηγορῶνται, ἀνδρὶ παραδόντες ἀλλοφύλῳ. καὶ οὐκ εἶπεν, ἐνέτυχον· ἀλλ', ᾐτήσαντο, μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ἀναιρεθῆναι αὐτόν· ὥστε δηλῶσαι, ὅτι χάριν ἔλαβον, ἐκείνου μὴ θέλοντος. ὅπερ σαφέστερον ὁ Πέτρος λέγει, Κρίναντος ἐκείνου ἀπολύειν. Πραξ. γ. ιγ. πάνυ ἐφίλει αὐτοὺς ὁ Παῦλος. καὶ ὅρα· οὐκ ἐνδιατρίβει τῇ ἀγνωμοσύνῃ τῶν πατέρων, ἀλλ' αὐτοῖς ἐφίστησι τὸν φόβον. ὁ μὲν γὰρ Στέφανος εἰκότως τοῦτο ποιεῖ, ἅτε ἀναιρεῖσθαι μέλλων, καὶ οὐχὶ διδάσκων, καὶ δεικνὺς ὅτι ὁ νόμος ἤδη καταλύεται. οὗτος δὲ οὐκέτι, ἀλλ' ἀπειλεῖ καὶ φοβεῖ μόνον. ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. ὃς ὤφθη, φησίν, ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. ὅρα καὶ τοῦτο, ἅτε ἀπ' αὐτοῦ κεκινημένοι τοῦ πνεύματος, ἄνω καὶ κάτω τὸ πάθος καὶ τὸν τάφον κηρύττοντα. καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα, φησί, τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην· τουτέστι, τὴν μὲν ἐπαγγελίαν οἱ πατέρες ἐδέξαντο· τὸ δὲ ἔργον ὑμεῖς. εἶτα μάρτυρα τὸν Ἰωάννην ἐπαγαγὼν ὅτι ἔλεγεν, ὅτι ἀπὸ τοῦ σπέρματος τούτου κατ' ἐπαγγελίαν ἤγαγε τῷ Ἰσραὴλ σωτηρίαν, προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας Ἰσραήλ, ἑξῆς ἐπάγει πάλιν αὐτὸν λέγοντα· Τίνα με ὑπονοεῖτε; οὐκ εἰμὶ ἐγώ. εἶτα παράγει καὶ τοὺς ἀποστόλους μάρτυρας τῆς ἀναστάσεως, λέγων· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν· εἶτα τὸν Δαβὶδ τοῦτο αὐτὸ μαρτυροῦντα, τῷ λέγειν,

Οὐ

Ψαλ. ιε. ι. Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. οὔτε γὰρ τὰ παλαιὰ ἰσχυρὰ καθ' ἑαυτά ἐδόκει εἶναι οὕτως, οὔτε ταῦτα δίχα ἐκείνων· ὥστε δι' ἑκατέρων πιστοῦνται οἱ λόγοι. ἐπειδὴ γὰρ σφόδρα κατείχοντο ὡς ἀνῃρηκότες αὐτόν, καὶ τὸ συγγενὲς αὐτὸν ἠλλοτρίου, οὐχ ὡς πρὸς χειροτονίας διαλέγονται, οὐδὲ ὡς ἀλλότριον ἀγαθὸν αὐτοῖς ἐγχειρίζοντες, ἀλλ' ὡς τὸ οἰκεῖον. πολὺ ποθεινὸν ἦν αὐτοῖς τὸ ὄνομα τοῦ Δαβίδ· διὸ καὶ τίθησιν αὐτό, ἵνα κἂν οὕτως αὐτὸν δέξωνται, ὥσπερ ἔλεγον ἐκ τοῦ παιδὸς αὐτοῦ βασιλεύεσθαι. οὐκοῦν ἀπ' αὐτοῦ μὴ ἀφηνιάζετε. τί ἐστι, δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά; τὰ βέβαια, φησί, τὰ οὐδέποτε ἀπολλύμενα. καὶ οὐκ ἐγχρονίζει τούτοις, ἅτε τοῦ λόγου λοιπὸν πιστευθέντος· ἀλλ' ἐπιτείνει τὴν κόλασιν, καὶ μετέρχεται τὸ αὐτοῖς ποθεινόν, δεικνὺς τὸν νόμον ἐκβαλλόμενον, καὶ τῷ συμφέροντι ἐνδιατρίβει, ὅτι τὰ μεγάλα κακὰ παρακούουσιν ἔσται. εἶτα περὶ τοῦ Δαβὶδ πάλιν λέγει, καὶ τοῦτο μετ' ἐγκωμίου. Δαβὶδ μὲν γάρ, φησιν, ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. καθὼς καὶ Πέτρος μνημονεύων αὐτοῦ ἔλεγεν· Ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ τοῦ πατριάρχου Δαβίδ. καὶ οὐ λέγει, ὅτι ἐτελεύτησεν, ἀλλά, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, ὅπερ ἦν εὐφημότερον. καὶ ὅρα πῶς οὐδαμοῦ κατορθώματα αὐτῶν τίθησιν, ἀλλ' ἅπερ εἶχε κατηγορίαν. τὸ γάρ, ᾐτήσαντο καὶ ἔλαβον, μεγίστη κατηγορία αὐτῶν. εἶτα τὰς εὐεργεσίας τοῦ Θεοῦ καταλέγει, ἐξελέξατο, εἰπών, ὕψωσεν, ἐτροποφόρησε. ταῦτα δὲ οὐκ ἐκείνων ἐγκώμια, ἀλλὰ τοῦ Θεοῦ. τὸν δὲ Δαβὶδ ἐγκωμιάζει μόνον, ἐπειδὴ ἐξ αὐτοῦ ὁ Χριστός. εἴσοδον δὲ ὁ Ἰωάννης καλεῖ λέγων, πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ, τὴν σάρκωσιν τοῦ Χριστοῦ, τὴν μετὰ σαρκὸς αὐτοῦ φανέρωσιν. οὕτω καὶ ὁ Ἰωάννης τὸ εὐαγγέλιον γράφων, ἐπὶ τούτοις καταφεύγει συνεχῶς. ὄνομα γὰρ ἦν αὐτῷ πολὺ κατὰ τὴν οἰκουμένην ἅπασαν. καὶ ὅρα· οὐ λέγει αὐτὸν ἐξ ἑαυτοῦ, ἀλλὰ τὴν ἐκείνου φέρει μαρτυρίαν. εἶδες πῶς σπουδαίως ἔδειξεν ὅτι οἰκονομίας τὸ πρᾶγμα ἦν; ἀλλ' ἀκούσωμεν τί καὶ λέγοντες οἱ ἀπόστολοι ἔπεισαν, ὅτι ἐσταυρώθη. τί τούτου ἀπιθανώτερον, ὅτι ἐτάφη παρ' αὐτῶν, οἷς ἐπηγγέλλετο σωτηρίαν ἔσεσθαι, ὅτι ὁ ταφεὶς ἀφίησιν ἁμαρτήματα, καὶ τοῦ νόμου μᾶλλον; διὸ καὶ οὐκ εἶπεν, ὧν οὐκ ἠβουλήθητε· ἀλλ' ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται, τὸ ἀσθενὲς τοῦ νόμου δεικνύς. καλῶς δὲ προσέθηκε καὶ τό, πᾶς, ἵνα δείξῃ ὅτι ὅστις ἂν ᾖ ὁ πιστεύων. οὐδὲν γὰρ ὄφελος ἐκείνων, ἐὰν μή τις εὐεργεσία ᾖ. διὰ τοῦτο ὕστερον τίθησι τὴν ἄφεσιν, ἐντεῦθεν τὸ μεῖζον συνάγων, καὶ δεικνὺς ὅτι ὃ ἀδυνάτως εἶχεν ὁ νόμος ποιεῖν, τοῦτο ἐργασάμενος διὰ τοῦ θανάτου ὁ παθὼν φαίνεται. ὥστε καλῶς ἔλεγον· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν, τὸν ἀπελθόντα φησίν· οὐκ ἂν ὄντες, εἰ μὴ θείᾳ δυνάμει ἐβεβαιοῦντο. οὐκ ἂν γὰρ πρὸς ἄνθρώπους φονῶντας τοιαῦτα ἐμαρτύ- χ. ἐβεβαίουν
ρησαν· οὐκ ἂν πρὸς αὐτοὺς τοὺς ἀνελόντας. τὸ δὲ, ἐγὼ σήμερον γεγέννηκά σε, εἶπεν, ὡς τούτῳ λοιπὸν εἰδώς, ὅτι καὶ τὰ ἄλλα ἕπεται. καὶ διὰ τί μὴ ἐπήγαγε μαρτυρίαν, δι' ἧς ἔμελλον πεισθῆναι, ὅτι ἄφεσις ἁμαρτιῶν δι' αὐτοῦ γίνεται; ὅτι τὸ σπουδαζόμενον τοῦτο ἦν, δεῖξαι τέως ὅτι ἀνέστη. τούτου δὲ ὁμολογημένου, ἐκεῖνο ἀναμφισβήτητον ἦν διὰ τοῦτο, τὸ καὶ ὅτι ἄφεσις ἁμαρτιῶν γίνεται. ἄλλως δέ, ἐβούλετο εἰς πόθον αὐτὸν ἀγαγεῖν τοῦ μεγάλου τούτου. οὐκ ἄρα ἐγκατάλειψις ἦν ὁ θάνατος αὐτοῦ, ἀλλὰ προφητείας πλήρωσις. ἀναμιμνήσκει ἱστοριῶν, ἃς χ. ἐν αἷς
ἀγνοήσαντες μυρία ἔπαθον δεινά. καὶ τοῦτο αἰνίττεται διὰ τοῦ τέλους, λέγων· ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε. καὶ ὅρα πῶς [αὐτὸ] τραχὺ ὂν ὑποτέμνεται. μὴ ἐπέλθοι, φησίν, ἐφ' ὑμᾶς τὸ πρὸς τοὺς ἄλλους εἰρημένον, ὅτι ἔργον ἐγὼ ἐργάζομαι, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. μὴ θαυμάζητε ὅτι ἄπιστον δοκεῖ εἶναι· καὶ αὐτὸ προείρηται ἄνωθεν.

ΗΘΙΚΟΝ Τοῦτο καὶ πρὸς ἡμᾶς εἰκότως ἂν λεχθείη, βλέπετε οἱ καταφρονηταί, περὶ τῶν τῇ ἀναστάσει διαπιστούντων. καὶ γὰρ σφόδρα κακῶς τὰ τῆς ἐκκλησίας διάκειται, καίτοιγε νομίζετε ἐν

εἰρήνη ἐστὶ τὰ πράγματα. τὸ γὰρ δὴ φθόνον τοῦτο ἐστιν, ὅτι ἐν πολλοῖς ὄντες κακοῖς, οὐδὲ ὅτι ἐσμὲν ἐν κακοῖς, ἴσμεν. τί λέγεις; τὰς ἐκκλησίας κατέχομεν, τὰ κτήματα, τὰ ἄλλα πάντα· αἱ συνάξεις γίνονται, καθ' ἑκάστην ἡμέραν πρόσεισιν ὁ λαός· [καὶ καταφρονούμεθα;] ἀλλ' οὐκ ἀπὸ τούτου ἐκκλησίαν ἄν τις δοκιμάσειεν. ἀλλὰ πόθεν, φησίν; εἰ εὐλάβειά ἐστιν, εἰ κερδαίνοντες ἀναχωροῦμεν οἴκαδε καθ' ἑκάστην ἡμέραν, εἰ καρπούμενοι μέγα τι, ἢ μικρόν, εἰ μὴ νόμον ἁπλῶς πληροῦντες καὶ ἀφοσιούμενοι. τίς βελτίων γέγονεν, *ὁλόκληρον μῆνα* συλλεγόμενος*; τοῦτο ἐστι τὸ ζητούμενον. ἐπεὶ καὶ αὐτὸ τοῦτο, ὃ δοκεῖ εὐπραγίας εἶναι, τοῦτο δυσπραγία ἐστὶν, ὅταν τούτων γινομένων μηδὲν πλέον γίνηται. εἴθε μὲν οὖν μηδὲν πλέον· νῦν δὲ καὶ ἐπὶ τὸ χεῖρον. τί καρποῦσθε ἀπὸ τῆς συνάξεως; καίτοι εἴγε τι ὄφελος ὑμῖν ἐγίνετο, πάλαι πάντας ἔδει τὸν τῆς φιλοσοφίας βίον ζῆν· τοσούτων μὲν προφητῶν δὶς τῆς ἑβδομάδος ὑμῖν διαλεγομένων· τοσούτων δὲ ἀποστόλων, εὐαγγελιστῶν· πάντων τὰ σωτήρια δόγματα προτιθέντων, καὶ τὰ δυνάμενα ἦθος ῥυθμίσαι μετὰ πολλῆς ἀκριβείας παριστώντων ὑμῖν. ὁ στρατιώτης ἐπὶ τὸ γυμνάσιον ἰὼν, ἀκριβέστερος γίνεται περὶ τὰ τακτικά· ὁ ἀθλητὴς εἰς παλαίστραν βαδίζων, ἐμπειρότερος γίνεται περὶ τὴν πάλην· ὁ ἰατρὸς πρὸς τὸν διδάσκαλον ἐρχόμενος ἀκριβέστερος γίνεται, καὶ πλείονα οἶδε, καὶ πλείονα μανθάνει· σὺ τί κεκέρδηκας; οὐ λέγω πρὸς τὸν ἐνιαυτὸν ἔχοντας· ἀλλὰ πρὸς τοὺς ἐκ πρώτης ἡλικίας συναγομένους. ἢ τοῦτο νομίζετε εὐλάβειαν εἶναι, τὸ συνεχῶς παραβάλλειν τῇ συνάξει; τοῦτο οὐδέν ἐστιν, ἂν μή τι καρπωσώμεθα· ἂν μή τι συναγάγωμεν, βέλτιον οἴκοι μένειν. καὶ γὰρ οἱ πρόγονοι τὰς ἐκκλησίας ἡμῖν ᾠκοδόμησαν, οὐχ ἵνα ἐκ τῶν ἰδίων οἴκων συναγαγόντες ἡμᾶς ἀλλήλοις δεικνύωσι (τοῦτο γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν βαλανείοις, καὶ ἐν πομπῇ γένοιτο ἄν) ἀλλ' ἵνα μαθητὰς ὁμοῦ καὶ διδασκάλους συναγαγόντες, βελτίους τούτους δι' ἐκείνων ἐργάσωνται. νόμος ἁπλῶς καὶ ἀφοσίωσις γέγονε τὰ ἡμέτερα· συνήθεια τὸ πρᾶγμα λοιπόν ἐστιν. ἦλθε τὸ πάσχα, πολὺς ὁ θόρυβος, πολλὴ ἡ ταραχή. οὐ γὰρ ἂν εἴποιμι, πολλοὶ οἱ ἄνθρωποι. τοῦτο γὰρ οὐκ ἀνθρώπων. ἀπῆλθεν ἡ ἑορτὴ, ὁ μὲν θόρυβος ὑποτέμνεται, ἡσυχία δὲ πάλιν ἄκαρπος. παννυχίδες πόσαι καὶ ὑμνῳδίαι ἱεραί; καὶ τί τὸ πλέον; χεῖρον μὲν οὖν. πολλοὶ καὶ διὰ κενοδοξίαν τοῦτο ἐργάζονται. πῶς οἴεσθε κόπτομαι τὰ σπλάγχνα, καθάπερ εἰς πίθον τετρημένον πάντα προχωροῦντα ὁρῶν; ἀλλὰ πάντως ἐρεῖτέ μοι, ὅτι τὰς γραφὰς ἴσμεν. καὶ τί τοῦτο; ἂν διὰ τῶν ἔργων αὐτὰς ἐπιδεικνύητε, τοῦτό ἐστι τὸ κέρδος, αὕτη ἡ ὠφέλεια. βαφεῖον ἡ ἐκκλησία ἐστίν. ἂν διαπαντὸς ἀπίητε μηδεμίαν δεχόμενοι βαφὴν, τί τὸ ὄφελος τοῦ συνεχῶς ἐνταῦθα ἰέναι; μείζων μὲν γὰρ ἡ βλάβη. τίς τοῖς νόμοις προσέθηκεν, οἷς ἀπὸ τῶν πατέρων ἐδέξατο; οἷόν τι λέγω· ἔθος ὁ δεῖνα ἔχει ποιεῖν τὴν ἀνάμνησιν τῆς μητρὸς, ἢ τῆς γυναικὸς, ἢ τοῦ παιδίου. τοῦτο ποιεῖ κἄν τι ἀκούῃ, κἄν τι μὴ ἀκούῃ παρ' ἡμῶν, ὑπὸ τῆς συνηθείας καὶ τοῦ συνεθέντος ἑλκόμενος. διὰ τοῦτο οὖν ἀγανακτεῖς, φησί; μὴ γένοιτο· ἀλλὰ καὶ πάνυ χαίρω. ἐβουλόμην δὲ αὐτόν τι καὶ ἀπὸ τῆς ἡμετέρας καρπώσασθαι διαλέξεως· καὶ ὅπερ ἡ συνήθεια ἐποίησε, τοῦτο καὶ ἐφ' ἡμῶν γενέσθαι καὶ ἑτέραν ἐπεισαχθῆναι συνήθειαν. ἐπεὶ τί κόπτομαι εἰκῇ, καὶ ληρῶ, εἰ μέλλοιτε ἐπὶ τῶν αὐτῶν μένειν, εἰ μηδὲν αἱ συνάξεις εἰς ὑμᾶς ἐργάζονται ἀγαθόν; ναὶ, φησὶν, εὐχόμεθα. καὶ τί τοῦτο, ἂν ἦτε χωρὶς ἔργων; ἄκουε τοῦ Χριστοῦ λέγοντος· Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. (Ματθ. ζ. κα.) πολλάκις ἔγνων ἐγὼ σιγῆσαι, μηδεμίαν ἀπὸ τῶν ἡμετέρων λόγων προσθήκην ὑμῖν ἐπιγινομένην ὁρῶν· ἢ τάχα γίνεται μὲν, ἐγὼ δὲ ὑπὸ ἀπληστίας καὶ πολλῆς ἐπιθυμίας ταὐτὸν πάσχω τοῖς περὶ τὰ χρήματα μαινομένοις. καθάπερ γὰρ ἐκεῖνοι, ὅσα ἂν περιβάλωνται, οὐδὲν ἡγοῦνται ἔχειν· οὕτω καὶ αὐτὸς, ἐπειδὴ σφόδρα τῆς ὑμετέρας ἐφίεμαι σωτηρίας, ἕως ἂν ἴδω προκεκοφότας ὑμᾶς, οὐδὲν ἡγοῦμαι εἰργάσθαι, διὰ τὸ σφόδρα ἐπιθυμεῖν πρὸς αὐτὴν τὴν κορυφὴν ὑμᾶς ἐλθεῖν.

βουλοίμην

γρ. ἴσμεν· τὰς ἐκκλησίας, ... κατέ-

γρ. ἢ ὁ καθ' ἑκάστην ἡμέραν;

γρ. πιθέντων

γρ. συναγαγόντες

χεῖρ

γρ. προκεκοπότας. ἀλλ. προσκεκοπότ.

οὐ λοίμην ἂν τοῦτο εἶναι, καὶ τοῦ ἐμοῦ πάθους εἶναι τοῦτο, ἀλλὰ μὴ τῆς ὑμετέρας ῥαθυμίας· δέ-
δοικα δὲ μή ποτε καλῶς στοχάζωμαι. πεπεῖσθαι γὰρ ὀφείλετε, ὅτι εἴ τις ἐγίνετο ὠφέ-
λεια ἐν τοσούτῳ χρόνῳ, παύσασθαι λοιπὸν ἡμᾶς λέγοντας ἔδει. οὕτως οὐκ ἔδει ῥημάτων
ὑμῖν, τῶν ἤδη λεχθέντων οὕτως ἱκανῶς εἰρημένων, ὡς καὶ ἄλλους δύνασθαι ῥυθμίζειν, εἴπερ
ἀπ᾽ αὐτῶν ὠφέλειά τις ὑμῖν προσεγίνετο. τὸ δὲ ἀνάγκην ἡμᾶς ἔχειν συνεχοῦς διαλέξεως,
οὐδενὸς ἄλλου τεκμήριόν ἐστιν, ἢ τοῦ τὰ ὑμέτερα μὴ σφόδρα διακεῖσθαι ἀκριβῶς. τί οὖν
ἂν γένοιτο; οὐ γὰρ ἐγκαλεῖν δεῖ μόνον. παρακαλῶ καὶ δέομαι, μὴ τοῦτο μόνον ὁρᾷν, ὅπως εἰς
ἐκκλησίαν ἐμβάλλητε, ἀλλ᾽ ὅπως τι καὶ λαβόντες οἴκαδε ἀναχωρῆτε τῶν οἰκείων φάρμακον
παθῶν. κἂν μὴ παρ᾽ ἡμῶν, ἀλλὰ παρὰ τῶν γραφῶν ἔχητε τὰ κατάλληλα φάρμακα. οἷον,
ἐστί τις θυμικός; προσεχέτω ταῖς τῶν γραφῶν ἀναγνώσεσι, καὶ πάντως εὑρήσει ἢ ἐν ἱστορίᾳ,
Σειρ α ιθ. ἢ παραινέσει· ἐν παραινέσει μὲν, ὅταν λέγῃ, Ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ· καὶ, Α-
Παροιμ. ια. κε. νὴρ θυμώδης οὐκ εὐσχήμων· καὶ ὅσα τοιαῦτα· καὶ πάλιν, Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται·
Ψαλμ. ρλθ. ιϛ. καὶ ὁ Χριστὸς πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ· καὶ πάλιν ὁ προφήτης· Ὀρ-
Ματθ. ε. κβ. γίζεσθε, καὶ μὴ ἁμαρτάνετε· καὶ, Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης. ἐν δὲ ἱστορί-
Ψαλ. δ. δ. Γεν. μθ. ζ. αις, οἷον ὅταν ἀκούῃς τὸν Φαραὼ πολλῆς ἐμπεπλησμένον ὀργῆς καὶ τὸν Ἀσσύριον, καὶ διὰ τοῦτο
ἀπολλυμένους. πάλιν ἐστί τις ἡττώμενος χρημάτων, ἀκουέτω ὅτι φιλαργύρου οὐδὲν ἀνο-
Ματθ. ϛ. κδ. μώτερον (οὗτος γὰρ καὶ τὴν ψυχὴν αὐτοῦ ἔμπρακτον ποιεῖ) καὶ τοῦ Χριστοῦ λέγοντος, Οὐ
δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ τοῦ ἀποστόλου, ὅτι Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ
α. Τιμ ϛ. ι. Ψαλ. ξα. ι. φιλαργυρία· καὶ τοῦ προφήτου λέγοντος, Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν· καὶ πολ-
λὰ ἕτερα τοιαῦτα. καὶ ἀπὸ ἱστοριῶν, τὸν Γιεζῆ, τὸν Ἰούδαν, τοὺς ἄρχοντας τῶν γραμματέων,
καὶ ὅτι Δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν. ἄλλος ἐστὶν ὑπερήφανος; ἀκουέτω ὅτι Ὑπερη-
Ἐξοδ. κγ. η. φάνοις ἀντιτάσσεται ὁ Θεός, καὶ, Ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ, Πᾶς ὑψηλοκάρδιος ἀκά-
Παροιμ. γ. λδ. Σειρ. ι. ιδ. θαρτος παρὰ Κυρίῳ. καὶ ἐν ἱστορίαις τὸν διάβολον, τοὺς ἄλλους ἅπαντας· καὶ ὅλως (οὐ γὰρ ἔνι
Παροιμ. ιϛ ε. πάντα καταλέγειν) ἕκαστος τῶν οἰκείων τραυμάτων τὰ φάρμακα ἀπὸ τῶν θείων γραφῶν ἐκλεγέ-
τω. κἂν μὴ τὸ ὅλον, μέρος γοῦν τήμερον, καὶ μέρος αὔριον, εἶτα τὸ ὅλον ἀπονίψασθε. καὶ περὶ
μετανοίας δὲ, καὶ περὶ ἐξομολογήσεως, καὶ περὶ ἐλεημοσύνης, καὶ περὶ ἐπιεικείας, καὶ περὶ
σωφροσύνης, καὶ περὶ πάντων εὑρήσει πολλὰ παραδείγματα. Ταῦτα γὰρ πάντα ἐγρά-
Ῥωμ. ιε. δ. φη πρὸς νουθεσίαν ἡμῶν, φησιν. εἰ τοίνυν πρὸς νουθεσίαν ἡμῶν περὶ πάντων διαλέγεται,
προσέχωμεν ὡς δεῖ προσέχειν. τί μάτην ἑαυτοὺς ἀπατῶμεν; φοβοῦμαι μὴ καὶ περὶ ἡ-
Ψαλ. οζ. λζ. μῶν εἴπῃ τις· Ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, καὶ τὰ ἔτη ἡμῶν μετὰ σπουδῆς.
τίς ἀκούων ἡμῶν ἀπέστη θεάτρων; τίς ἀπέστη πλεονεξίας; τίς προθυμότερος γέγονε περὶ ἐ-
λεημοσύνην; ἐβουλόμην μαθεῖν, οὐχὶ κενοδοξίας ἕνεκεν, ἀλλ᾽ ὥστε γενέσθαι προθυμότε-
ρος, λαμπρὸν ὄντα τὸν καρπὸν τῶν πόνων ὁρῶν. νῦν δὲ πῶς ἅψωμαι τῆς ἐργασίας, τοσούτους
μὲν ὑετοὺς ὁρῶν καταφερομένους τῆς διδασκαλίας, τὰ δὲ λήϊα ἡμῖν ἐπὶ τοῦ αὐτοῦ μένον-
τα, καὶ οὐδὲν ὑψηλότερα τὰ γεννήματα γινόμενα; λοιπὸν ὁ τῆς ἅλω καιρὸς ἐφέστηκεν, ὁ δὲ
πτύον ἔχων. δέδοικα μὴ τὸ πᾶν χόρτος ᾖ· δέδοικα μὴ πρὸς τὴν κάμινον ἀπενεχθῶμεν ἅ-
παντες. παρῆλθε θέρος· ἦλθε χειμών· καθήμεθα καὶ νέοι καὶ γέροντες τοῖς οἰκείοις ἁλισκόμενοι
πάθεσι. μή μοι εἴπῃς, ὅτι οὐ πορνεύω. τί γὰρ ὄφελος, ἂν μὴ πορνεύῃς μὲν, φιλοχρήματος
δὲ ᾖς; ὁ στρουθὸς κἂν μὴ ἐκ παντὸς μέρους, ἀλλ᾽ ἀπὸ τοῦ ποδὸς κατέχεται μόνον, καὶ οὕτως ἀ-
πόλωλε, καὶ ἐν τῇ παγίδι ἕστηκε, καὶ τῶν πτερῶν ὄφελος οὐδὲν, τοῦ ποδὸς κατεχομένου· οὕτω καὶ
σὺ, οὐχ ἑάλως διὰ πορνείας, ἀλλ᾽ ἑάλως διὰ φιλαργυρίας· ἑάλως μέντοι. τὸ δὲ ζητούμε-
νον, οὐ πῶς ἑάλως, ἀλλ᾽ ὅτι ἑάλως. μὴ λεγέτω ὁ νέος, ὅτι οὐκ εἰμὶ φιλοχρήματος· ἀλλ᾽
ἴσως πορνεύεις. καὶ τί τὸ ὄφελος πάλιν; οὐδὲ γὰρ δυνατὸν πάντα τὰ πάθη κατὰ μίαν ἡμῖν ἡ-
λικίαν ἐπιστῆναι, ἀλλὰ διώρισται, καὶ τοῦτο διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὥστε μὴ ἀθρόως

ἐπιθέντα

ἐπιτηδεύματα ἀχείρωτα γίνεσθαι, καὶ χαλεπωτέραν ἡμῖν τὴν πρὸς αὐτὰ πάλην καταστῆναι. πόσης οὐκ ἂν εἴη ῥᾳθυμίας, μηδὲ διηρπακότων δύνασθαι κρατεῖν τῶν παθῶν, ἀλλὰ καθ' ἕκαστον ἡττᾶσθαι χαμαί, καὶ μέγα φρονεῖν ἐπὶ τούτοις τοῖς οὐκ ἐκ τῆς ἡμετέρας σπουδῆς, ἀλλ' ἐξ αὐτῆς τῆς ἡλικίας κομιζομένοις; οὐχ ὁρᾶτε τοὺς ἡνιόχους, πόσῃ ἀκριβείᾳ καὶ γυμνασίᾳ καὶ πόνοις κέχρηνται, καὶ σιτίοις, καὶ τοῖς ἄλλοις ἅπασιν, ὥστε μὴ καταβληθέντας ἀπὸ τῶν ἁρμάτων σύρεσθαι; ὅρα ὅσον ἐστὶ τέχνη. ἀνὴρ μὲν γὰρ ἀνδρεῖος, οὐκ ἂν ἑνὸς ἵππου πολλάκις περιγένοιτο· μειρακίσκος δὲ τῇ τέχνῃ πολλάκις τοὺς δύο ἀναδεξάμενος, ἄγει εὐκόλως καὶ φέρει. καὶ ἐν Ἰνδοῖς δὲ τὸ μέγα θηρίον καὶ φοβερὸν τὸν ἐλέφαντα λέγεται καὶ δεκαπενταέτει παιδὶ γενόμενον μετὰ πολλῆς εἴκειν τῆς προθυμίας. τί δὴ ταῦτά μοι εἴρηται; ὅτι εἰ ἐλέφαντας καὶ ἵππους ἀγρίους ἄγχομεν σπουδάζοντες, πολλῷ μᾶλλον τὰ πάθη τὰ ἐν ἡμῖν. πόθεν ἐκλυόμεθα διὰ παντὸς τοῦ βίου; οὐδέποτε τὴν τέχνην ἐμελετήσαμεν ταύτην· οὐδέποτε ἐν καιρῷ σχολῆς, οὐκ ὄντος τοῦ ἀγῶνος, διελέχθημεν πρὸς ἑαυτούς τι τῶν χρησίμων. τότε ἡμᾶς ἐπὶ τῶν ἁρμάτων ἑστῶτας ἴδοι τις ἄν, ὅτε ὁ ἀγὼν παραγγέλλεται. διά τοι τοῦτο καταγέλαστοί ἐσμεν. οὐκ εἶπον, πολλάκις γυμναζώμεθα πρὸς τοὺς οἰκείους πρὸ τοῦ πειρασμοῦ; πρὸς τοὺς παῖδας ἐπὶ τῆς οἰκίας πολλάκις παροξυνώμεθα· κατέχωμεν ἐκεῖ τὸν θυμόν, ἵνα εὐκόλως αὐτοῦ ἐπὶ τῶν φίλων κεχρημένοι φανώμεθα. καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων εἰ ἐγυμναζόμεθα, οὐκ ἂν ἐν τοῖς ἀγῶσιν ἦμεν καταγέλαστοι. νῦν δὲ ὅπλα μὲν τῶν ἄλλων καὶ γυμνάσια καὶ μελέται εἰσὶ καὶ τεχνῶν καὶ παλαισμάτων· ἀρετῆς δὲ οὐδαμοῦ. οὐκ ἂν τολμήσειεν ὁ γεωργὸς ἀμπέλου ἅψασθαι, μὴ πρότερον καλῶς γυμνασθεὶς τὰ γεωργικά· οὐδὲ ὁ κυβερνήτης ἐπὶ τῶν οἰάκων καθίσαι, μὴ πρότερον ἐγγυμνασάμενος καλῶς. ἡμεῖς δὲ ἀμελέτητοι πάντη τυγχάνοντες, τὰ πρωτεῖα ἔχειν βουλόμεθα. ἐχρῆν σιγᾶν, ἐχρῆν μηδενὶ κοινωνεῖν πραγμάτων, μηδὲ ῥημάτων, ἕως ἂν ἠδυνήθημεν τὸ θηρίον ἡμερῶσαι τὸ ἐν ἡμῖν. ἢ οὐχὶ θηρίου παντὸς χαλεπώτερον ἐπιστρατεύεται ἡμῖν καὶ θυμὸς καὶ ἐπιθυμία; μὴ ἐμβάλῃς εἰς ἀγορὰν μετὰ τούτων τῶν θηρίων, ἕως ἂν αὐτοῖς περιθῇς καλῶς τὸν χαλινόν, ἕως ἂν αὐτὰ τιθασσεύσῃς καὶ χειροήθη κατασκευάσῃς. οὐχ ὁρᾷς τούτους τοὺς περιάγοντας τοὺς ἡμέρους λέοντας ἐπὶ τῆς ἀγορᾶς, πῶς κερδαίνουσι καὶ θαυμάζονται, ὅτι ἐν τῷ ἀλόγῳ θηρίῳ τοιαύτην ἡμερότητα κατώρθωσαν; ἂν δὲ ἐξαίφνης ἀγριωθῇ ἐκεῖνος, πάντας σοβεῖ τοὺς ἐπὶ τῆς ἀγορᾶς, καὶ ἐκινδύνευσε λοιπὸν ὁ περιάγων αὐτὸν ἄνθρωπος, καὶ τῆς τῶν ἄλλων ἀπωλείας γέγονεν αἴτιος. καὶ σὺ τοίνυν τὸν λέοντα πρότερον ἡμέρωσον, καὶ τότε περίαγε· οὐχ ὥστε ἀργύριον λαβεῖν, ἀλλ' ὥστε κερδᾶναι κέρδος, οὗ μηδέν ἐστιν ἴσον. οὐδὲν γὰρ ἴσον ἐπιεικείας, ἣ καὶ τοῖς κεκτημένοις καὶ τοῖς χρωμένοις σφόδρα ἐστὶ χρησίμη. ταύτην οὖν διώκωμεν, ἵνα δυνηθῶμεν τὴν ἀρετῆς τὴν ὁδὸν μετὰ ἀκριβείας διανύσαντες τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ. τὸν θυμόν

κ. πραγμάτων

Λογ. λ 42 ΕΞΙΟΝΤΩΝ ΔΕ ΑΥΤΩΝ, ΠΑΡΕΚΑΛΟΥΝ * εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.

κ. ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων * τὰ ἔθνη

Εἶδες τοῦ Παύλου τὴν σύνεσιν; οὐχὶ τότε ἐθαυμάσθη μόνον, ἀλλὰ καὶ ἐπιθυμίαν αὐτοῖς δευτέρας ἐνέβαλεν ἀκροάσεως, εἰπὼν τινὰ σπέρματα, καὶ μὴ ἐπιλύσας, μηδὲ ἐπεξελθὼν τῷ λόγῳ, ὥστε αὐτοὺς ἀποστῆσαι καὶ οἰκειώσασθαι ἑαυτῷ, καὶ μὴ χαυνοτέρους ἐργάσασθαι τὰ πάντα ἀθρόον εἰς τὰς ἐκείνων ῥίψας ψυχάς. εἶπεν, ὅτι ἄφεσις ἁμαρτιῶν διὰ τούτου ὑμῖν καταγγέλλεται· τὸ δὲ πῶς, οὐκ ἐδήλω-

σι. μετὰ ταῦτα λοιπὸν αὐτὸς ἑαυτοῦ μνημονεύει προτέρου. ὁρᾷς τὴν προθυμίαν ὅση; ἠκολούθουν αὐτοῖς, φησί. διὰ τί αὐτοὺς οὐκ ἐβάπτισεν εὐθέως; οὐκ ἦν καιρός· πεῖσαι ἔδει ὥστε βεβαίως ἐμμένειν.

43 Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς, ἔπειθον προσμένειν αὐτοὺς τῇ χάριτι τοῦ Θεοῦ.

44 Τῷ τε ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. [κ. αὐτοὺς ἐπιμένειν τῇ.]

45 Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ἀντιλέγοντες καὶ βλασφημοῦντες.

Ὅρα τὴν κακίαν πληθομένην ἐν τῷ πλήθει ἑτέρους. τοῦτο μᾶλλον αὐτοὺς ἐποίει λαμπροτέρους, τὸ ἀντιλέγειν ἐκείνους. τὸ μὲν οὖν πρότερον, αὐτόματοι παρεκάλεσαν. ἀντιλέγοντες, φησί, καὶ βλασφημοῦντες. ὢ τῆς ἰταμότητος· ἐφ' οἷς αὐτοὺς ἀποδέχεσθαι ἔδει, οἱ δὲ ἀντιλέγουσι. [κ. καὶ δι' ἃ θαυμάσαι ἐχρῆν, διὰ ταῦτα ἀντιλ.]

46 Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. Ὁρᾷς πῶς φιλονεικήσαντες μᾶλλον ἐξέτειναν τὸ κήρυγμα, καὶ μᾶλλον ἔδωκαν ἑαυτοὺς εἰς τὰ ἔθνη ἀπολογησάμενοι, καὶ ἀνευθύνους ἑαυτοὺς ἐγκλημάτων ποιήσαντες παρὰ τοῖς οἰκείοις; καὶ οὐκ εἶπεν, ἀνάξιοί ἐστε, ἀλλ', ἐκρίνατε ἑαυτοὺς ἀναξίους, ἀνεπαχθῆ τὸν λόγον ποιῶν. ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.

Ησ. μθ. ς. 47 Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. Ἵνα γὰρ μὴ ἀκούοντα τὰ ἔθνη λυπῆται, ὡς ἐκ τῆς ἐκείνων σπουδῆς μὴ τυγχάνοντα τῶν ἀγαθῶν, ἐπάγει τὴν προφητείαν λέγων· τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

48 Ἀκούοντα δὲ τὰ ἔθνη, φησί. Τοῦτο καὶ αὐτοὺς προθυμοτέρους ἐποίει, ὅτι ὧν ἐκεῖνοι ὤφειλον ἀκούσαντες ἀπολαῦσαι, αὐτοὶ τούτων ἀπολαύουσι, κἀκείνους μᾶλλον ἔδακνεν.

Ἀκούοντα δὲ τὰ ἔθνη, φησίν, ἔχαιρον καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου, καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον· Τουτέστιν, ἀφωρισμένοι τῷ Θεῷ. ὅρα πῶς δίκνυσι τὸ τάχος τῆς ὠφελείας.

49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας·

Τουτέστι, διεκομίζετο. ὥσπερ ἔλεγον· οὐκ ἔστησαν μέχρι τοῦ ζήλου, ἀλλὰ καὶ ἔργα προσέθηκαν. ὅρα πάλιν πῶς διωκόμενοι ἕτερα κατασκευάζουσι μεγάλα διὰ τοῦ ζήλου. κατεσκεύασαν γὰρ τὸ παρρησιάσασθαι αὐτοὺς καὶ εἰς τὰ ἔθνη ἐλθεῖν. καὶ ἄκουε πῶς. Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· ὑμῖν, φησιν, ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. * ἀλλ' ὅρα καὶ τὴν παρρησίαν μέτρῳ γινομένην καὶ εἰκότως. εἰ γὰρ Πέτρος ἀπελογεῖτο, πολλῷ μᾶλλον οὗτοι ἀπολογίας ἐδέοντο, οὐδενὸς αὐτοὺς καλέσαντος ἐκεῖ. εἰπὼν δὲ, πρῶτον, [ἔδειξεν ὅτι κἀκείνοις ἔδει· καὶ εἰπὼν, ἀναγκαῖον,] ἔδειξεν ὅτι κἀκείνοις ἀναγκαῖον. ἐπειδὴ δὲ ἀποστρέφεσθε. οὐκ εἶπεν, οὐαὶ ὑμῖν, καὶ ὅτι κολάζεσθε· ἀλλ' ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη. Εἶδες πῶς πολλῆς ἐπιεικείας ἡ παρρησία γέμει? [κ. διὰ γὰρ τούτων.] [* ἔμελλον ἐξιέναι εἰς τὰ ἔθνη.]

50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ Βαρνάβαν, καὶ ἐξέβαλλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. Ὁρᾷς ὅσον ἤνυσαν οἱ ἐναντιούμενοι τῷ κηρύγματι; εἰς ὅσην ἀσχημοσύνην αὐτὰς ἤγαγον;

51 Οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν [ἀπὸ] τῶν ποδῶν αὐτῶν ἐπ᾽ αὐτοὺς, ἦλθον εἰς Ἰκόνιον. Ἐνταῦθα τὸ φοβερὸν ἐποίουν λοιπὸν, ὃ προσέταξεν ὁ Χριστὸς, λέγων· Καὶ ἐὰν μή τις ὑμᾶς δέξηται, ἐξερχόμενοι ἐκτινάξατε τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν. Ματθ. ι. ιδ. Μαρ. ς. ια. αὐτοὶ δὲ οὐδὲ ἁπλῶς τοῦτο ἐποίησαν, ἀλλ᾽ ἐπειδὴ ἀπηλάθησαν παρ᾽ αὐτῶν. πλὴν οὐδὲ τοῦτο τοὺς μαθητὰς ἔβλαψεν, ἀλλὰ μᾶλλον ἐπέμενον τῷ λόγῳ. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει·

52 Οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου. Πάθος γὰρ διδασκάλου παρρησίαν οὐκ ἐγκόπτει, ἀλλὰ προθυμοτέρους ποιεῖ τοὺς μαθητάς.

γρ. ἐνεκόπτε

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πλῆθος πολύ. κεφ. ιδ.

Πάλιν εἰς τὰς συναγωγὰς εἰσέρχονται. ὅρα πῶς οὐκ ἐγένοντο δειλότεροι, εἰπόντες ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη. ἐκ πολλῆς τῆς περιουσίας ὅμως ἀναιροῦσιν αὐτῶν τὴν ἀπολογίαν. ὥστε πιστεῦσαι, φησὶν, Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος. εἰκὸς γὰρ αὐτοὺς ὡς καὶ πρὸς Ἕλληνας διαλέγεσθαι.

2 Οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι, ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν. Κατὰ τὸ αὐτὸ λοιπὸν καὶ τὰ ἔθνη ἐπήγειραν, ὡς οὐκ ἀρκοῦντες αὐτοί. τί δήποτε ἐκεῖθεν οὐκ ἐξῆλθον; οὐ γὰρ ἐδιώκοντο, ἀλλ᾽ ἐπολεμοῦντο μόνον.

3 Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, καὶ διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. γρ. διδόντι δὲ

Τοῦτο ἐποίει τὴν παρρησίαν· μᾶλλον δὲ τὴν μὲν παρρησίαν ἐποίει ἡ αὐτῶν προθυμία. διὰ γὰρ τοῦτο μέχρι πολλοῦ οὐδαμῶς σημεῖα ποιοῦσι· τὸ δὲ πιστεῦσαι τοὺς ἀκούοντας, τῶν σημείων ἦν. συνετέλει γοῦν τι καὶ ἡ παρρησία.

4 Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις· οἱ δὲ σὺν τοῖς ἀποστόλοις. Οὐ μικρὸν [εἰς κατηγορίαν] καὶ αὐτὸ τὸ σχισθῆναι. τοῦτο ἦν ὃ ἔλεγεν ὁ Χριστός· Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ματθ. ι. λδ.

5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς,

6 Συνιδόντες κατέφυγον εἰς τὰς [κύκλῳ] πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον,

7 Κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι. Πάλιν ὥσπερ ἐπίτηδες ἐκπεσεῖν βουλόμενοι τὸ κήρυγμα, μετὰ τὸ αὐξηθῆναι πάλιν αὐτοὺς ἐξάγουσιν. ὅρα πανταχοῦ τοὺς διωγμοὺς μεγάλα ἐργαζομένους ἀγαθά· καὶ τοὺς μὲν διώκοντας, ἡττωμένους, τοὺς δὲ διωκομένους, λαμπροὺς ἀποφαίνοντας. ἐλθὼν γὰρ ἐν Λύστροις, ποιεῖται θαῦμα μέγα, τὸν χωλὸν ἀναστήσας, καὶ μεγάλῃ τῇ φωνῇ. καὶ πῶς, ἄκουε.

8 Καί τις, φησὶν, ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν, ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιεπεπατήκει,

9 Οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι,

10 Εἶπε μεγάλῃ τῇ φωνῇ· ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός· καὶ ἥλλετο καὶ περιεπάτει. Διὰ τί μεγάλῃ τῇ φωνῇ; ὥστε τοὺς ὄχλους πιστεῦσαι. ὅρα δὲ προσεῖχεν ἀκριβῶς τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου. οὐκοῦν γὰρ ἔστι τὸ, ἤκουσεν. εἶδες φιλοσοφίαν; οὐδὲν ὑπὸ τῆς χωλείας πρὸς τὴν σπουδὴν τῆς ἀκροάσεως παρεβλάβη. ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι. ἤδη ἐνεχείρισε τὴν προαίρεσιν καὶ τοι ἐπὶ τῶν ἄλλων τοιοῦτον οὐδὲν ἐγένετο. καίτοιγε

γὰρ ἰώμενοι τὰ σώματα, τότε τὰς ψυχὰς ἐθεράπευον· τοῦτο δὲ οὐχ οὕτως. ἐμοὶ δοκεῖ εἰς τὴν ψυχὴν ἰδεῖν τὴν αὐτοῦ τὸν Παῦλον. ὁ ἥλλετο, φησὶ, καὶ περιεπάτει. τεκμήριον τῆς ἀκριβοῦς ὑγιείας τὸ ἅλλεσθαι.

11 Οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησε Παῦλος, ἐπῆραν αὐτῶν τὴν φωνὴν Λυκαονιστὶ λέγοντες· οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς,

12 Ἐκάλουν δὲ τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου.

13 Ὁ δὲ ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε θύειν. Ἀλλ' οὐκ ἦν τοῦτο οὐδέπω δῆλον. τῇ γὰρ οἰκείᾳ φωνῇ ἐφθέγγοντο λέγοντες, ὅτι οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς. διὰ τοῦτο οὐδὲν αὐτοῖς ἔλεγον. ἐπειδὴ δὲ εἶδον τὰ στέμματα, τότε ἐξελθόντες, διέρρηξαν τὰ ἱμάτια αὐτῶν.

14 Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζοντες,

15 Καὶ λέγοντες· ἄνδρες τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι. Ὅρα αὐτοὺς πανταχοῦ δόξης καθαρεύοντας· οὐ μόνον οὐκ ἐφιεμένους, ἀλλὰ καὶ διδομένην διακρουομένους; ὥσπερ καὶ Πέτρος ἔλεγε· Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καὶ οὗτοι δὲ αὐτό φασι. καὶ Ἰωσὴφ δὲ ἔλεγεν ἐπὶ τῶν ἐνυπνίων· Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δανιὴλ ὁμοίως· Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη. καὶ Παῦλος πανταχοῦ τοῦτό φησιν, ὡς ὅταν λέγῃ· Καὶ πρὸς ταῦτα τίς ἱκανός; καὶ πάλιν, Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ. ἀλλ' ἴδωμεν αὐτόθεν τὰ εἰρημένα. οὐχ ἁπλῶς αὐτοῖς προσετέθησαν οἱ ὄχλοι· ἀλλὰ πῶς; ἠξίουν λαληθῆναι αὐτοῖς τὰ αὐτὰ πάλιν, καὶ διὰ τῶν ἔργων ἐπεδείξαντο τὴν σπουδήν. ὅρα πανταχοῦ παρακαλοῦντας, οὐκ ἀποδεχομένους ἁπλῶς, οὐδὲ κολακεύοντας. διὰ τοῦτο ἔλεγον· οἵτινες προσλαλοῦντες αὐτοῖς ἔπειθον προσμένειν τῇ χάριτι τοῦ Θεοῦ. διὰ τί πρὸ τούτου μὴ ἀντέλεγον; ὅτι τέως οἱ ἀναπείθοντες ἡσύχαζον. ὁρᾷς ὅτι πανταχοῦ πάθει ἐκινοῦντο; καὶ οὐκ ἀντέλεγον μόνον, ἀλλὰ καὶ ἐβλασφήμουν. καὶ γὰρ ἡ κακία οὐδαμοῦ ἵσταται. ἀλλ' ὅρα παρρησίαν. ὑμῖν ἦν, φησιν, ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον· ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν. οὐδὲν ὑβριστικόν. ὃ δὴ καὶ ἐπὶ τῶν προφητῶν ἐποίουν· Μὴ λαλεῖτε ἡμῖν, φησι, λαλιάν. ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν, φησιν, οὐχ ἡμᾶς. οὐ γὰρ εἰς ἡμᾶς ἡ ὕβρις ἡ παρ' ὑμῶν. ἵνα γὰρ μή τις εὐλαβείας εἶναι νομίσῃ, * τὸ, οὐκ ἀξίους κρίνετε ἑαυτοὺς, διὰ τοῦτο προεῖπεν εἰπεῖν, ἀπωθεῖσθε αὐτόν· καὶ τότε, στρεφόμεθα εἰς τὰ ἔθνη. πολλῆς ἐπιεικείας γέμει τὸ ῥῆμα. οὐκ εἶπεν, ἐγκαταλιμπάνομεν ὑμᾶς, * δεικνὺς ὅτι δυνατὸν καὶ ἐνταῦθα πάλιν στραφῆναι· ὁ τοῦτο οὐκ ἀπὸ τῆς ὑμετέρας ὕβρεως γίνεται. οὕτω γὰρ ἐντέταλται ἡμῖν. * ἔδει μὲν οὖν ἀκοῦσαι τὰ ἔθνη· πλὴν τοῦτο οὐ παρ' ἡμῶν, παρ' ὑμῶν δὲ γέγονε τὸ περὶ ὑμῶν [ὀφείλον.] οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος. Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν· τουτέστιν, εἰς γνῶσιν τὴν ἐπὶ σωτηρίᾳ· καὶ οὐχ ἁπλῶς ἐθνῶν, ἀλλὰ πάντων. τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. καὶ τοῦτο τεκμήριον τοῦ κατὰ Θεοῦ γνώμην αὐτοὺς προσλαβέσθαι· τεταγμένοι δὲ [εἶπεν, ἵνα δείξῃ, ὡς] οὐ κατ' ἀνάγκην. Οὓς γὰρ προέγνω, φησὶ, καὶ προώρισεν. οὐκ ἔτι ἐν τῇ πόλει διεσπάρη ὁ λόγος, ἀλλὰ καὶ ἐν τῇ χώρᾳ. ἀκούσαντες γὰρ οἱ ἐξ ἐθνῶν, καὶ αὐτοὶ δὲ μετ' ὀλίγον προσῆεσαν. οἱ δὲ Ἰουδαῖοι, φησὶ, παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ ἐπήγειραν διωγμόν. ὅρα, καὶ τὸ παρὰ τῶν γυναικῶν γινομένων αὐτοὶ λοιπὸν αἴτιοι καθίστανται. καὶ ἐξέβαλον αὐτούς, φησιν, ἀπὸ τῶν ὁρίων αὐτῶν· οὐχὶ τῆς πόλεως μόνης, [ἀλλὰ τῆς χώρας ἁπάσης.] Εἶτα τὸ φοβερώτερον· οἱ δὲ μαθηταί, φησιν, ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου. ἐδιώκοντο

Πράξ. γ. ιβ.
Γεν. μ. η.
Δαν. β. λ.
β. Κορ. γ. ε.
Ῥωμ. η. κθ.

γρ. πάν
[illegible]

τὸ μὲν διδάσκαλοι, καὶ αὐτοὶ ἔχαιρον. εἶδες φύσιν εὐαγγελίου δύναμιν ἔχοντος πολλήν; ἐκάκωσάν, φησι, τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν· τουτέστι, διέβαλον τοὺς ἀποστόλους· μυρία αὐτῶν κατηγόρησαν, ἀπλάστους ὄντας κακούργους διέθηκαν. καὶ ὅρα πῶς πανταχοῦ τῷ Θεῷ ἀνατίθησι τὸ πᾶν. ἱκανὸν χρόνον, φησὶ, διέτριψαν παρρησιαζόμενοι [ἐπὶ] τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ. μὴ τοῦτο ἐλαττώσεως εἶναι νομίσῃς. ὅτε γὰρ ἔλεγον, τοῦ μαρτυρήσαντος, φησιν, ἐπὶ Ποντίου Πιλάτου, τότε ἡ παρρησία ἐδείκνυτο. ἐνταῦθα δὲ περὶ τοῦ λαοῦ φησιν. οὐ περιέμειναν τοίνυν, ἀλλ' εἶδον τὴν ὁρμὴν, καὶ κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην καὶ τὴν " περίχωρον, ἔνθα οὐδαμοῦ τὸν θυμὸν αὐτῶν ἐκκλίνειν ἦν· ὥστε καὶ ἐν ταῖς χώραις ἀπήεσαν, οὐκ ἐν πόλεσι μόνον. ὅρα καὶ τῶν ἐθνῶν τὴν ἀφέλειαν, καὶ τῶν Ἰουδαίων τὴν κακουργίαν. δι' ἔργων ἐπεδείκνυντο ὅτι ἄξιοι ἦσαν ἀκούειν. οὕτως ἐτίμων αὐτοὺς ἀπὸ σημείων μόνον. οἱ μὲν ὡς θεοὺς ἐτίμων· οἱ δὲ ὡς λυμεῶνας ἐδίωκον. καὶ οἱ μὲν οὐ μόνον οὐ προσέκοπτον τῷ κηρύγματι, ἀλλὰ καὶ ἔλεγον· οἱ θεοὶ ἀνθρώποις ὁμοιωθέντες κατέβησαν πρὸς ἡμᾶς· Ἰουδαῖοι δὲ ἐσκανδαλίζοντο. ἐκάλουν τε, φησι, τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν. ἐμοὶ δοκεῖ καὶ ἀπὸ τῆς ὄψεως ἀξιοπρεπὴς εἶναι ὁ Βαρνάβας. οὐ μικρὸς καὶ οὗτος * πειρασμὸς ἐξ ἀμετρίας ἔφυ πολλῆς. ἀλλὰ καὶ ἐντεῦθεν τῶν ἀποστόλων ἡ ἀρετὴ δείκνυται. καὶ ὅρα πῶς πανταχοῦ πάντα ἀνατιθέασι τῷ Θεῷ.

γρ. περιεχώρουν. ἰδοὺ μὲν τὸν θυμὸν αὐτῶν ἐκκλίνοντες ἐν τῇ χώρᾳ ἀπήεσαν, οὐκ ἐν πόλ.

* ὕπερος

ΗΘΙΚΟΝ

Τούτους καὶ ἡμεῖς ζηλώσωμεν· μηδὲν ἡμέτερον εἶναι νομίζωμεν, ὅπου γε καὶ αὐτὴ ἡ πίστις οὐχ ἡμέτερον. ὅτι δὲ οὐχ ἡμέτερον, ἀλλὰ τὸ πλέον τοῦ Θεοῦ, ἄκουε Παύλου λέγοντος· Καὶ τοῦτο οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον· (Ἐφ. β. η.) μὴ τοίνυν μέγα φρονῶμεν, μηδὲ " φυσιώμεθα, ἄνθρωποι γῆ καὶ σποδὸς ὄντες, καπνὸς καὶ σκιά. εἰπὲ γάρ μοι, διὰ τί μέγα φρονεῖς; ἐλεημοσύνην ἔδωκας, καὶ τὰ χρήματα ἐκένωσας; καὶ τί τοῦτο; ἐννόησον, εἰ μὴ ἠθέλησέ σε ποιῆσαι ὁ Θεὸς πλούσιον. ἐννόησον τοὺς πενομένους· μᾶλλον δὲ ἐννόησον ὅσοι καὶ τὰ σώματα ἐπιδεδώκασι, καὶ μετὰ τὸ ἐπιδοῦναι μυρία ἑαυτοὺς ἐταλάνισαν. οὐ διὰ σαυτὸν ἔδωκας, ὁ Χριστὸς διὰ σέ· σὺ ἀπέδωκας τὸ ὀφειλόμενον, ὁ Χριστὸς οὐκ ὠφείλετο. ὅρα τοῦ μέλλοντος τὸ ἄδηλον, καὶ μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. μὴ ἐλαττώσῃς τὴν ἀρετὴν τῇ ἀλαζονείᾳ. βούλει ὄντως μέγα τι ἐργάσασθαι; μηδέποτε ὑποπτεύσῃς ὡς περὶ μεγάλων τῶν κατορθωμάτων. ἀλλὰ παρθένος εἶ; ἀλλὰ κἀκεῖναι παρθένοι ἦσαν· ἀλλ' οὐδὲν ἀπώναντο τῆς παρθενίας διὰ τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν. οὐδὲν ταπεινοφροσύνης ἴσον· αὕτη μήτηρ καὶ ῥίζα, καὶ τροφὸς, καὶ ὑπόθεσις, καὶ σύνδεσμος τῶν ἀγαθῶν· ταύτης ἄνευ βδελυκτοὶ καὶ μιαροὶ καὶ ἀκάθαρτοί ἐσμεν. ἔστω γάρ τις, εἰ βούλει, νεκροὺς ἀνιστῶν, καὶ χωλοὺς ἰώμενος, καὶ λεπροὺς καθαίρων μετὰ ἀπονοίας· οὐδὲν τούτου μιαρώτερον, οὐδὲν ἀσεβέστερον, οὐδὲν ἐναγέστερον. μηδὲν εἶναι νομίσῃς σαυτοῦ. λόγον ἔχεις καὶ διδασκαλικὴν χάριν; μὴ διὰ τοῦτο νομίσῃς πλέον τι τῶν ἄλλων ἔχειν. διὰ τοῦτο μάλιστα ταπεινοῦσθαι ὀφείλεις, ὅτι πλειόνων ἠξιώθης δωρεῶν. ᾯ γὰρ πλέον ἀφέθη, πλέον ἀγαπήσει. (Λουκ. ζ. μζ.) οὐκοῦν καὶ ταπεινοῦσθαι χρὴ, ὅτι τοὺς ἄλλους παρελθὼν, εἰς σὲ ἐπένευσεν ὁ Θεός. φοβοῦ διὰ τοῦτο. πολλάκις γάρ σοι καὶ ἀπωλείας τοῦτο γίνεται αἴτιον, ἂν μὴ νήφῃς. τί μέγα φρονεῖς; ὅτι διδάσκεις διὰ λόγων; ἀλλ' εὔκολον τοῦτο τὸ φιλοσοφεῖν ἐν ῥήμασι· δίδαξόν με διὰ τοῦ βίου τοῦ σοῦ. αὕτη ἡ διδασκαλία ἀρίστη. λέγεις ὅτι δεῖ μετριάζειν, καὶ μακροὺς ὑπὲρ τούτου λόγους ἀποτείνεις, καὶ ῥητορεύεις ῥέων ἀκωλύτως; ἀλλὰ σοῦ βελτίων ἐκεῖνος, φησιν, ὁ δι' ἔργων τοῦτο παιδεύων ἐμέ. οὐ γὰρ οὕτως εἴωθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ μαθήματα ἀπὸ ῥημάτων, ὡς ἀπὸ πραγμάτων. ἐπεὶ καὶ ἐὰν μὴ τὸ ἔργον ἔχῃς, οὐ μόνον οὐκ ὠφέλησας εἰπὼν, ἀλλὰ καὶ μειζόνως ἔβλαψας. βέλτιον σιγᾶν. διὰ τί; ὅτι ἀδύνατόν μοι τὸ πρᾶγμα " καθιστᾷς. ἐννοῶ γὰρ, ὅτι εἰ σὺ ὁ ταῦτα λέγων οὐ κατορθοῖς, πολλῷ μᾶλλον ἐγὼ συγγνώμης ἄξιος. διὰ τοῦτό φησιν ὁ προφήτης· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· (Ψαλμ. μθ. ιϛ.) ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; μείζων γὰρ αὕτη ἡ βλάβη, ὅταν καλῶς διδάσκων τις

γρ. φυσιώμεθα

γρ. καθίσας

διὰ ῥημάτων, διὰ τῶν ἔργων πολεμῇ τῇ διδασκαλίᾳ. τοῦτο πολλῶν αἴτιον γέγονε κακῶν ἐν ταῖς ἐκκλησίαις. διὰ τοῦτο καὶ σύγγνωτε, παρακαλῶ, τοῦ λόγου χρονίζοντος ὑμῖν ἐν τούτῳ τῷ πάθει. πολλὰ πολλοὶ περιέθεσαν ὑπὲρ τοῦ εἰς μέσον στάντες μακρὸν ἀποτεῖναι λόγον. κἂν μὲν κρότου τύχωσι τοῦ ἀπὸ τοῦ πλήθους, γέγονεν αὐτοῖς τοῦτο βασιλείας ἴσον· ἂν δὲ μετὰ σιγῆς τὸν λόγον καταπαύσωσι, γεέννης δήπου μᾶλλον αὐτοῖς χαλεπωτέρα κατέστη τῆς σιγῆς ἡ ἀθυμία. τοῦτο τὰς ἐκκλησίας ἀνέτρεψεν, ὅτι καὶ ὑμεῖς οὐ ζητεῖτε λόγον ἀκοῦσαι κατανυκτικόν, ἀλλὰ τέρψαι δυνάμενον, καὶ τῷ ψόφῳ, καὶ τῇ συνθέσει τῶν ῥημάτων, καθάπερ μελῳδῶν καὶ κιθαριστῶν ἀκούοντες, καὶ ἡμεῖς ψυχρῶς καὶ ταλαιπώρως ποιοῦντες, ταῖς ὑμετέραις ἐπιθυμίαις ἑπόμεθα, δέον ἐκκόπτειν ταύτας. καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις πατὴρ [ψυχροῦ καὶ] πέρα τοῦ δέοντος μαλθακοῦ παιδίου καίτοι ἀρρωστοῦντος, πλακοῦντα ἐπιδῷ, καὶ ψυχρόν, καὶ ὅσα τέρπει μόνον· τῶν δὲ χρησίμων μηδεμίαν ἐπιμέλειαν ποιοῖτο. εἶτα ἐγκαλούμενος παρὰ τῶν ἰατρῶν, ἀπολογοῖτο λέγων· τί πάθω; οὐκ ἀνέχομαι κλαῖον τὸ παιδίον ἰδεῖν. ἄθλιε καὶ ταλαίπωρε καὶ προδότα· οὐ γὰρ ἂν πατέρα τὸν τοιοῦτον εἴποιμι. καὶ πόσῳ βέλτιον ἐν βραχεῖ λυπήσαντα διαπαντὸς ὑγείᾳ περιβαλεῖν, ἢ τὴν πρόσκαιρον ταύτην χαρὰν διηνεκοῦς ἀθυμίας ὑπόθεσιν ποιήσασθαι; τοῦτο πάσχομεν καὶ ἡμεῖς, κάλλη λέξεων περιεργαζόμενοι, καὶ συνθήκας, καὶ ἁρμονίας, ὅπως ἥσωμεν, οὐχ ὅπως ὠφελήσωμεν*· ὅπως θαυμασθῶμεν, οὐχ ὅπως διδάξωμεν· ὅπως τέρψωμεν, οὐχ ὅπως κατανύξωμεν· ὅπως κροτηθῶμεν, καὶ ἐπαίνου τυχόντες ἀπέλθωμεν, οὐχ ὅπως τὰ ἤθη ῥυθμίσωμεν. πιστεύσατέ μοι, οὐκ ἄλλως λέγω. ἐπειδὰν λέγων κροτῶμαι, παρ' αὐτὸν μὲν τὸν καιρὸν ἀνθρώπινόν τι πάσχω (τί γὰρ οὐκ ἄν τις εἴποι τὸ ἀληθές;) καὶ γάνυμαι, καὶ διαχέομαι· ἐπειδὰν δὲ ἀπέλθω οἴκαδε, ἐννοήσω τοὺς κροτήσαντας οὐδὲν ὠφεληθέντας, ἀλλ' εἴ τι καὶ ὠφεληθῆναι ἔδει, ὑπὸ τοῦ κρότου καὶ τῶν ἐπαίνων ἀπολωλεκότας, ὀδυνῶμαι καὶ στένω καὶ δακρύω, καὶ ὡς εἰκῇ πάντα εἰρηκὼς, οὕτω διάκειμαι, καὶ πρὸς ἐμαυτὸν λέγω· τί μοι τὸ ὄφελος τῶν ἱδρώτων, τῶν ἀκουόντων οὐκ ἐθελόντων καρπώσασθαί τι παρὰ τῶν λόγων τῶν παρ' ἡμῶν; καὶ πολλάκις ἐνενόησα θεῖναι νόμον τὸν κωλύοντα τοὺς κρότους, καὶ πείθοντα μετὰ σιγῆς ὑμᾶς ἀκροᾶσθαι, καὶ τῆς προσηκούσης εὐταξίας. ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, καὶ πείσθητέ μοι· καὶ, εἰ δοκεῖ, τοῦτον κυρώσωμεν τὸν νόμον ἤδη, μηδενὶ τῶν ἀκουόντων ἐξεῖναι κροτεῖν μεταξὺ λέγοντός τινος· ἀλλ' εἰ βούλοιτο θαυμάζειν, θαυμαζέτω σιγῇ· οὐδεὶς ὁ κωλύων· πᾶσα δὲ ἡ σπουδὴ καὶ ἡ προθυμία περὶ τὸ δέχεσθαι τὰ λεγόμενα γινέσθω. διὰ τί ἐθορυβήσατε; περὶ τούτου τὸν νόμον τίθημι. ὑμεῖς δὲ οὐδὲ ἀκοῦσαι ἀνέχεσθε. πολλῶν τοῦτο ἀγαθῶν αἴτιον ἔσται, καὶ διδασκάλιον φιλοσοφίας. καὶ οἱ τῶν ἔξω φιλόσοφοι διελέγοντο, καὶ οὐδεὶς οὐδαμοῦ κρότος αὐτοῖς εἵπετο· καὶ οἱ ἀπόστολοι ἐδημηγόρουν, καὶ οὐδαμοῦ τοῦτο προσέσκειται, ὅτι μεταξὺ λεγόντων ἐκείνων τοῖς κρότοις διέκοπτον οἱ ἀκούοντες τὰ λεγόμενα. μέγα τοῦτο κέρδος ἡμῖν. ἀλλὰ κυρώσωμεν τοῦτο, καὶ μεθ' ἡσυχίας πάντες ἀκούωμεν καὶ λέγωμεν ἅπαντα. εἰ μὲν γὰρ μετὰ τοὺς κρότους ἀπῄειμεν ἔχοντες ἅπερ ἠκούσαμεν, μάλιστα μὲν οὐδὲ οὕτω χρήσιμος ὁ ἔπαινος (ἀλλ' οὐκ ἂν ἠκριβολογησάμην· μή με τις ἀγροικίας γραφέτω) ἐπειδὴ δὲ μηδὲν τὸ πλέον, ἀλλὰ καὶ βλάβη, λύσωμεν τὸ κώλυμα· ἀνέλωμεν τὰ σκιρτήματα· ἐκκόψωμεν τὰ πηδήματα τῆς ψυχῆς. ὁ Χριστὸς ἐδημηγόρησεν ἐπὶ τοῦ ὄρους· ἀλλ' οὐδεὶς οὐδὲν εἶπεν ἕως ὅτε τὸν λόγον ἐτέλεσεν. οὐκ ἀποστερῶ τοὺς βουλομένους κροτεῖσθαι, ἀλλὰ μᾶλλον θαυμάζεσθαι ποιῶ. πολλῷ βέλτιον μετὰ σιγῆς ἀκούσαντα, διὰ τῆς μνήμης ἐν παντὶ τῷ χρόνῳ κροτεῖν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, ἢ πάντα ἀπολέσαντα ἀπέρχεσθαι οἴκαδε κενὸν, οὐκ ἔχοντα τῶν κρότων τὴν ὑπόθεσιν. πῶς γὰρ οὐ καταγέλαστος ὁ ἀκροατής; πῶς οὐ κόλαξ καὶ εἴρων νομισθήσεται μᾶλλον, ὅτι μὲν καλῶς εἶπεν ὁ διδάσκαλος ἀποφαινόμενος, τί δὲ εἶπεν οὐκ ἔχων δεῖξαι; τοῦτο κολακείας ἐστίν. ὁ μὲν γὰρ κιθαρῳδῶν ἀκούσας καὶ τραγῳδῶν, εἰκότως ἂν τοῦτο πάθοι, ἅτε οὐκ εἰδὼς ὁμοίως τὴν ῥῆσιν εἰσφέ-

εἶναι

χ. πίστιν ἐπεὶ
χ. κιθαρῳδῶν καὶ κιθαριστῶν
χ. ἡμετέραις
χ. οὐδὲ τὸ δέοντος
χ. ἥσων
* στοχαζόμενοι
χ. διδασκάλων
χ. τῶν ἔξω καὶ φιλοσόφων διαλεγομένων, καὶ

ἔνθα δὲ οὐ μέλλεις ἐπίδειξίς ἐστιν, οὐδὲ φωνῆς, ἀλλὰ νοημάτων καὶ φιλοσοφίας δύναμις, καὶ πάντη ῥᾳδίως εἰπεῖν καὶ ἀπαγγεῖλαι, πῶς οὐκ ἄξιος κατηγορίας ὁ μὴ δυνηθεὶς εἰπεῖν τὴν αἰτίαν, δι' ἣν ἐπῄνεσε τὸν λέγοντα; οὐδὲν οὕτω πρέπει ἐκκλησίᾳ, ὡς σιγὴ, ὡς εὐταξία. θεάτροις ἐπιτήδειος ὁ θόρυβος, καὶ βαλανείοις, καὶ πομπαῖς, καὶ ἀγοραῖς· ἔνθα δὲ περὶ τοιούτων δογμάτων ἡ διδασκαλία, γαλήνη καὶ ἡσυχία καὶ φιλοσοφία, καὶ πολὺς ὁ λιμὴν εἶναι ὀφείλει. ταῦτα δέομαι καὶ ἀντιβολῶ πάντας εἰδέναι. περίειμι γὰρ καὶ αὐτὸς τρόπους πάντοθεν ἐπιζητῶν, δι' ὧν ὠφελῆσαι δυνήσομαι τὰς ὑμετέρας ψυχάς. οὐ μικρὸς δὲ οὗτος ὁ τρόπος εἶναί μοι δοκεῖ· οὐχ ὑμᾶς ὠφελήσει μόνους, ἀλλὰ καὶ ἡμᾶς. οὐκ ἀφήσει ἐκτραχηλίζεσθαι, οὐδὲ ἐπαίνων καὶ δόξης ἐρᾶν, οὐδὲ τὰ τέρποντα λέγειν, ἀλλὰ τὰ ὠφελοῦντα· οὐδὲ περὶ συνθήκας καὶ κάλλη λέξεων, ἀλλὰ περὶ νοημάτων δύναμιν πᾶσαν ἀπασχολεῖν τὴν χειρὸς τὴν ῥοπήν. εἴσελθε εἰς ζωγράφου, καὶ ὄψει πολλὴν ἐκεῖ τὴν σιγήν. οὐκοῦν καὶ ἐνταῦθα. καὶ γὰρ καὶ ἐνταῦθα εἰκόνας γράφομεν βασιλικὰς, καὶ οὐδὲ μίαν ἰδιωτικὴν διὰ τῶν χρωμάτων τῆς ἀρετῆς. τί μοι τοῦτο; πάλιν κροτεῖτε; οὐκ εὔκολον τὸ πρᾶγμα δοκεῖ· καὶ τοῦτο οὐ φύσει ἀλλὰ τῇ συνηθείᾳ πολλῇ μήπω κατορθοῦν αὐτὸ μεμαθηκέναι. γραφὶς τοίνυν ἐστὶν ἡμῖν, γλῶττα· τεχνίτης δὲ τὸ πνεῦμα τὸ ἅγιον. εἰπέ μοι, ἐν τοῖς μυστηρίοις μή τις θόρυβος; μή τις ταραχή; ὅταν βαπτιζώμεθα, ὅταν τὰ ἄλλα πάντα ποιῶμεν, οὐχ ἡσυχία καὶ σιγὴ τὰ πάντα κατέχει; τοῦτο ἐν τῷ οὐρανῷ κατέσπαρται τὸ κάλλος. διὰ τοῦτο διαβεβλήμεθα καὶ παρ' Ἕλλησιν, ὡς πρὸς ἐπίδειξιν πάντα ποιοῦντες καὶ πρὸς φιλοτιμίαν. ἀλλ' ἐὰν τοῦτο κωλυθῇ, καὶ τῶν προεδριῶν ὁ ἔρως σβεσθήσεται. ἀρκεῖ, εἴ τις ἐπαίνων ἐρᾷ, τὸ μετὰ τὴν ἀκρόασιν τούτων τυγχάνειν, ὅταν τοὺς καρποὺς συλλέγῃ. ναὶ, παρακαλῶ, κυρώσωμεν τοῦτον τὸν νόμον, ἵνα πάντα κατὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. πάντες γινωσκέτωσαν.

γρ. ἡ δὲ γλ. ἡμ. ἡ γλ.

γρ. -χία καὶ σιγὴ τὰ πάντ. κατέχουσι.

γρ. ὅταν πάντα συλλ.

Λογ. λα. 14 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΟΙ ΑΠΟΣΤΟΛΟΙ Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζοντες, 15 Καὶ λέγοντες· ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

γρ. ἐξεπ.

ΟΡα πάντα μετὰ σφοδρότητος τοὺς ἀποστόλους ποιοῦντας. διέρρηξαν τὰ ἱμάτια, ἐπήδησαν, ἔκραξαν, πάντα ἀπὸ διαθέσεως ψυχῆς, ἀποστρεφόμενοι τὰ γινόμενα, καὶ πένθους σημεῖα ποιοῦντες. πένθος γὰρ ἦν ὄντως, πένθος ἀπαραμύθητον, εἴ γε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρείαν εἰσάγειν, ἣν ἦλθον καταλύσοντες. καὶ τοῦτο τοῦ διαβόλου ἦν κατασκεύασμα. τί δὲ οὐχ ἡσυχάζουσιν, ἀλλὰ τί; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμὲν, φασὶν, ἄνθρωποι. εὐθέως ἐκ προοιμίων ἀνέτρεψαν τὸ κακόν. οὐκ εἶπον ἁπλῶς, ἄνθρωποι, ἀλλὰ, καθ' ὑμᾶς. εἶτα ἵνα μὴ δόξωσι τιμᾶν τοὺς θεοὺς, ἄκουσον τί ἐπάγουσιν· εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. ὅρα οὐδαμοῦ τῶν προφητῶν μνημονεύοντας αὐτοὺς, οὐδὲ λέγοντας τίνος ἕνεκεν πάντων δημιουργὸς ὢν, τὰ ἔθνη ἀφῆκεν αὐτόνομα;

γρ. θαυμάζης τὰ γινόμενα· πένθος

γρ. τί οὖν; εἰ πάντων ἦν δημιουργὸς, διὰ τί μὴ καὶ εἰς ταῦτα προσ... ; ὃς

16 Ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. Ὅτι μὲν εἴασε, λέγει· διὰ τί δὲ εἴασεν, οὐκ ἔτι. πῶς γὰρ πρὸς τὸ κατεπεῖγον ἵσταται, οὐδαμοῦ τοῦ Χριστοῦ τὸ ὄνομα τιθείς.

17 Καίτοιγε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν, οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς [καὶ καιροὺς] καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.

Ὅρα, οὐ βούλεται τὴν κατηγορίαν αὐτῶν αὐξῆσαι, ἀλλὰ μᾶλλον ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἄγειν αὐτοὺς παιδεύει. ἔμαθον γὰρ ὅτι οὐχ οὕτω σπουδάζειν δεῖ ἄξιόν τι εἰπεῖν περὶ Θεοῦ, ὡς τὸ τοῖς ἀκούουσιν ὠφέλιμον. ὅρα πῶς λανθανόντως τὴν κατηγορίαν τίθησι. καὶ μὴν εἰ τοῦτο ἐποίει, *ἔδει κολασθῆναι αὐτοὺς τοσούτων ἀπολαύοντας ἀγαθῶν, καὶ μηδὲ ὡς τροφέα γνωρίσαντας. ἀλλ' οὐ λέγει τοῦτο φανερῶς, ἀλλ' αἰνίττεται, οὐρανόθεν ἡμῖν λέγων, ὑετοὺς διδούς. οὕτω καὶ ὁ Δαβὶδ ἔλεγεν· Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. (Ψαλ. δ. ζ.) καὶ πολλαχοῦ περὶ δημιουργίας διαλεγόμενος, ταῦτα τίθησιν εἰς μέσον. ἀλλὰ καὶ ὁ Ἱερεμίας δὲ τὴν δημιουργίαν παρ' αὐτήν, εἶτα τὴν πρόνοιαν τὴν διὰ τῶν ὑετῶν φησιν, ὥστε ἐκεῖθεν πεπαιδευμένος διαλέγεται. (Ιερ. ε. κδ.) ἐμπιπλῶν, φησι, τροφῆς καὶ εὐφροσύνης. μετὰ φιλοτιμίας ἡ τροφή· οὐ μόνον πρὸς αὐτάρκειαν, οὐδὲ πρὸς τὴν χρείαν.

18 Καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.

Καὶ τοῦτο μάλιστα ἐθαυμάσθησαν. ὁρᾷς ὅτι πρὸς τοῦτο ἵσταντο, ὥστε διακρῖναι τὴν μανίαν ἐκείνην;

19 Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι. Οὕτως διαβόλου τέκνα, οὐκ ἐν ταῖς πόλεσιν [αὐτῶν] μόνον, ἀλλὰ καὶ ἔξω τούτων ταῦτα ποιοῦντες, καὶ τοσαύτην ποιούμενοι σπουδὴν καθελεῖν τὸ κήρυγμα, ὅσην οἱ ἀπόστολοι στῆσαι ἐπειγόμενοι. καὶ πείσαντές, φησι, τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως. ἐνταῦθα πληροῦται τὸ, Ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. (β. Κορ. ιβ. θ.) μεῖζον τοῦτο τοῦ τὸν χωλὸν ἐγεῖραι. οἱ μὲν ἐκεῖ ἐθνικοί, ὡς θεοὺς ἐνόμιζον· οὗτοι δὲ ἔσυρον πείσαντες τοὺς ὄχλους. οὐδὲ γὰρ πάντας εἰκὸς ἦν θαυμάζειν αὐτούς. καὶ ὅρα, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ οὕτως ἐθαυμάσθησαν, ἐν αὐτῇ τὰ δεινὰ πάσχουσι. καὶ τοῦτο δὲ τοὺς ὁρῶντας ὠφελεῖ. ὅτι δὲ καὶ διὰ τοῦτο συνεχωρεῖτο πάσχειν, ἄκουε τοῦτο αὐτὸ δηλοῦντος καὶ λέγοντος· Ἵνα μή εἰς ἐμὲ λογίσηταί τις ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. (β. Κορ. ιβ. ς.)

20 Κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτόν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν.

Ὁρᾷς προθυμίαν; ὁρᾷς πόθον ζέοντα καὶ πεπυρωμένον; εἰς αὐτὴν πάλιν τὴν πόλιν εἰσῆλθεν, ὥστε δειχθῆναι, ὅτι εἰ πού καὶ ὑπεχώρει, διὰ τὸ τὸν λόγον βούλεσθαι σπεῖραι, καὶ διὰ τὸ μὴ δεῖν ἐκκαίειν αὐτῶν τὸν θυμόν. ταῦτα τῶν σημείων οὐχ ἧττον καὶ λαμπροτέρους ἐποίει, καὶ μᾶλλον χαίρειν παρεσκεύαζεν. οὐδαμοῦ δὲ λέγει, ὅτι ὑπέστρεψαν χαίροντες, ὅτι σημεῖα ἐποίησαν· ἀλλ', ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καὶ τοῦτο γὰρ παρὰ τοῦ Χριστοῦ ἐδιδάχθησαν λέγοντος· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται. (Λουκ. ι. κ.) ἡ γὰρ ὄντως χαρὰ καὶ εἰλικρινὴς αὕτη ἐστί, τὸ πάσχειν τι διὰ Χριστόν. εἶτα τὰς πόλεις πάσας ἐπῄεσαν ἐν αἷς ἐκινδύνευσαν. Καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην·

21 Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν εἰς τὴν Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν,

22 Ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Τοῦτο ἔλεγον, τοῦτο ἐδείκνυον. ἐπιστηρίζοντές, φησι, τὰς ψυχὰς τῶν μαθητῶν· ὥστε ἐστηριγμένοι

εἰργμένοι ἦσαν· μᾶλλον δὲ προσετίθεντο. προὔλεγον τοίνυν, ἵνα μὴ σκανδαλισθῶσιν. ὥσπερ ἐπίτηδες δὲ τὸ αὐτὸ γέγονεν, οὐ διὰ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν μαθητῶν· ἵνα μάθωσιν ἐκ προοιμίων εὐθέως καὶ τοῦ κηρύγματος τὴν δύναμιν, καὶ ὅτι καὶ αὐτοὺς δεῖ τοιαῦτα πάσχειν, καὶ ἵνα γενναίως ζῶσι, μὴ μόνον πρὸς τὰ σημεῖα κεχηνότες, ἀλλὰ πολλῷ μᾶλλον πρὸς τοὺς πειρασμούς. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε· Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ καὶ ἠκούσατε. (Φιλιπ. α. λ.) διωγμοὶ διωγμοὺς διεδέχοντο· πανταχοῦ πόλεμοι, μάχαι, λιθοβολίαι. ποία προτροπή; πῶς ἔπειθον ἐν προοιμίοις θλίψεις λέγοντες; εἶτα καὶ ἄλλη παραμυθία.

23 Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν.

Εἶδες θερμότητα Παύλου; προσευξάμενοι, φησι, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. ὅρα· μετὰ νηστειῶν αἱ χειροτονίαι. πάλιν νηστεία, τὸ καθάρσιον τῶν ἡμετέρων ψυχῶν.

24 Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν.

25 Καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατήντησαν εἰς Ἀττάλειαν.

Ἵνα γὰρ μὴ καταπέσῃ τὰ φρονήματα τῶν μαθητῶν, ὅτι οἱ νομιζόμενοι θεοὶ τοιαῦτα πάσχουσιν, εἰσῆλθον πρὸς αὐτοὺς καὶ διελέχθησαν. καὶ ὅρα· πρότερον εἰς Δέρβην ἐξέρχεται, διδοὺς αὐτοῖς ἀναπνεῦσαι τοῦ θυμοῦ, καὶ τότε πάλιν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν· θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ ἐπιτιθέμενος. ὁρᾷς ὅτι οὐ πάντα χάριτι, ἀλλὰ καὶ οἰκείᾳ σπουδῇ ἐδιώκουν;

26 Κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον, ὃ ἐπλήρωσαν. Διὰ τί πάλιν ἔρχονται εἰς Ἀντιόχειαν; ἵνα ἀπαγγείλωσι τὰ ἐκεῖ γενόμενα. ἄλλως δέ, καὶ οἰκονομεῖται μέγα πρᾶγμα ἐντεῦθεν. ἔδει γὰρ λοιπὸν μετὰ παρρησίας τοῖς ἔθνεσι κηρύττειν. ἔρχονται οὖν ταῦτα ἀπαγγέλλοντες, ἵνα εἰδέναι ἔχωσι. καὶ οἰκονομεῖται τότε κατελθεῖν τοὺς κωλύοντας τοῖς ἔθνεσιν ὁμιλεῖν, ἵνα λοιπὸν ἀπὸ Ἱεροσολύμων πολλὴν λαβόντες ἄδειαν μετὰ παρρησίας ἀπίωσιν· ἢ καὶ ἄλλως, δείκνυσιν αὐτῶν τὸ ἦθος οὐκ αὔθαδες. ἔργον γὰρ τήν τε παρρησίαν ἐνδεικνύμενοι, ὅτι καὶ χωρὶς ἐκείνων τοῖς ἔθνεσιν ἐκήρυξαν, καὶ τὴν ὑπακοήν, ὅτι αὐτοῖς ἀναφέρουσιν. οὐ γὰρ ὡς τοσαῦτα κατορθωκότες ἀπενοήθησαν. ὅθεν ἦσαν παραδεδομένοι, φησί, τῇ χάριτι τοῦ Θεοῦ. καὶ μὴν τὸ πνεῦμα εἶπεν· [ἀλλὰ τὰ τοῦ πνεύματος οἶδεν ὄντα τοῦ υἱοῦ. μία γὰρ ἐξουσία, ὥσπερ ἡ φύσις καὶ υἱοῦ καὶ πνεύματος μία.]

27 Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀπήγγειλαν ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξεν ὁ Θεὸς τοῖς ἔθνεσι θύραν πίστεως.

28 Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. Εἰκότως. μεγάλη γὰρ οὖσα ἡ πόλις ἐδεῖτο διδασκάλων. ἴδωμεν δὲ λοιπὸν ἄνωθεν τὰ εἰρημένα. αὐτῇ τῇ ὄψει κατέπληξαν αὐτοὺς διαρρήξαντες τὰ ἱμάτια. τοῦτο καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίει ἐπὶ τῇ ἥττῃ τοῦ λαοῦ. (Ἰησ. ζ. ε.) μὴ τοίνυν νομίσῃς ἀνάξιον αὐτῶν εἶναι τοῦτο καὶ τῆς εὐσταθείας αὐτῶν. οὐκ ἂν γὰρ ἄλλως ἐπέσχον τὴν τοσαύτην ὁρμήν, οὐκ ἂν ἄλλως τὴν πυρὰν ἔσβεσαν. ὅταν οὖν τι δέῃ τῶν δεόντων γενέσθαι, μηδὲ ἡμεῖς παραιτώμεθα. εἰ τοίνυν καὶ μετὰ ταῦτα μόλις ἔπεισαν, εἰ μὴ οὕτως εἰργάσαντο, τί οὐκ ἂν ἐγένετο; εἰ γὰρ μὴ οὕτως ἐποίησαν, ἐνομίσθησαν ἄν πως ὑψηλοφρονεῖν καὶ μᾶλλον ἐφίεσθαι τῆς τιμῆς. καὶ ὅρα τὸν λόγον μεμεστωμένον ἐν τῇ ἐπιπλήξει, καὶ θαύματος ὁμοῦ γέμοντα καὶ ἐπιπλήξεως. τοῦτο μάλιστα αὐτοὺς ἐκώλυσε, τὸ εἰπεῖν, καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τῶν ματαίων τούτων ἐπιστρέφειν ἐπὶ τὸν Θεόν. ὡσεὶ ἔλεγον· ἄνθρωποι μέν ἐσμεν, φησι, τούτων δὲ μείζους. ταῦτα γὰρ νεκρά. ὅρα αὐτοὺς οὐκ ἀνατρέποντας μόνον, ἀλλὰ καὶ διδάσκοντας, καὶ οὐδὲν περὶ ἀοράτων φθεγγομένους. ὃς ἐποίησε, φησι, τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασ-

σαν καὶ πάντα τὰ ἐν αὐτοῖς. μάρτυρας αὐτοὺς λέγει, τοὺς ἐνιαυτούς. ὢ τῆς μανίας τῆς Ἰουδαϊκῆς. εἰς δῆμον οὕτω τιμήσαντα τοὺς ἀποστόλους ἐτόλμησαν ἐμβῆναι καὶ λιθάσαι Παῦλον. ἔξω δὲ τῆς πόλεως ἔσυραν, τάχα δεδοικότες ἐκεῖνον. καὶ προσευξάμενοι, φησι, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. καὶ νηστεύειν ἐδίδασκον ἐν τοῖς πειρασμοῖς. οὐκ εἶπον ὅσα αὐτοὶ ἐποίησαν, ἀλλ' ὅσα ὁ Θεὸς μετ' αὐτῶν. ἐμοὶ δοκοῦσι τοὺς πειρασμοὺς λέγειν. οὐχ ἁπλῶς ἦλθον ἐνταῦθα, οὐδὲ διαναπαυσόμενοι· ἀλλ' οἰκονομικῶς ὑπὸ τοῦ πνεύματος ὁδηγούμενοι, ὥστε τὸ κήρυγμα τῶν ἐθνῶν βεβαιωθῆναι. καὶ διὰ τί, φησιν, ἐν Κύπρῳ οὐκ ἐποίησαν πρεσβυτέρους, οὐδὲ ἐν Ἀντιοχείᾳ; ὅτι ἐκείνη μὲν ἐγγὺς ἦν τῶν ἀποστόλων· αὕτη δὲ τῆς Ἀντιοχείας. καὶ ὁ λόγος ἐκράτει. ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ μάλιστα οἱ ἐξ ἐθνῶν, ὀφείλοντες πολλὰ διδάσκεσθαι. ἦλθον διδάσκοντες, ὅτι εἰκότως ἐχειροτονήθησαν ὑπὸ τοῦ πνεύματος. καὶ ὅρα τὸ θερμὸν Παύλου. οὐ πυνθάνεται, εἰ δεῖ λαλῆσαι ἔθνεσιν· ἀλλ' εὐθέως λαλεῖ. διὰ τοῦτο ἔλεγεν· Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι.

χ. καὶ ἐν ἴσῳ χ. Σαμβρίᾳ;

Γαλ. α 16.

ΗΘΙΚΟΝ

Μέγα ὄντως ἀγαθὸν ἡ θλῖψις, καὶ μεγάλης ψυχῆς ἐστι καὶ γενναίας κατόρθωμα. πόσοι μετὰ τοῦτο ἐπίστευσαν, καὶ οὐδεὶς οὕτως ἔλαμψεν; οὕτω προθυμίας ἡμῖν δεῖ πανταχοῦ, πυρώσεως πολλῆς, ψυχῆς πρὸς θάνατον παρατεταγμένης. ἄλλως γὰρ οὐκ ἔνι τῆς βασιλείας τυχεῖν, μὴ σταυρωθέντα. μὴ ἀπατῶμεν ἑαυτούς. εἰ γὰρ ἐν πολέμῳ σωθῆναι οὐ δυνατὸν τρυφῶντα καὶ χρηματιζόμενον καὶ καπηλεύοντα καὶ ῥαθυμοῦντα· πολλῷ μᾶλλον ἐν τῷ πολέμῳ τούτῳ. ἢ οὐκ οἴεσθε πόλεμον εἶναι νῦν πάντων πολέμων χαλεπώτατον; Οὐκ ἔστιν ἡμῖν, φησιν, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. καὶ ἀριστῶσι, καὶ βαδίζουσι, καὶ λουομένοις παρέστιν ὁ ἐχθρός. οὐ γὰρ οἶδε καιρὸν ἀνακωχῆς, εἰ μὴ τὸν τοῦ ὕπνου μόνον· πολλάκις δὲ καὶ τότε πολεμεῖ, καὶ λογισμοὺς ἐμβάλλων ἀκαθάρτους, καὶ ἀσελγεστέρους ἀπὸ τῶν ὀνειράτων ἐργαζόμενος. ἡμεῖς δὲ ὡς περὶ μικροῦ τοῦ πράγματος ὄντος, ὑπὲρ οὗ ἐκεῖνος πολεμεῖ, οὐ νήφομεν, οὐδὲ διανιστάμεθα, οὐδὲ βλέπομεν εἰς τὸ πλῆθος τῶν ἀντικειμένων ἡμῖν δυνάμεων· οὐκ ἐννοοῦμεν, ὅτι τοῦτο αὐτὸ τῆς μεγίστης * δυσπραγίας ἐστίν· ἀλλ' ὑπὸ τοσούτων κυκλούμενοι πολέμων, ὡς ἐν εἰρήνῃ τρυφῶμεν. πιστεύσατέ μοι, ὧν Παῦλος ἔπαθε, χαλεπώτερά ἐστι παθεῖν νῦν. ἔβαλλον αὐτὸν τότε λίθοις ἐκεῖνοι· ἔστι ῥήμασι βάλλεσθαι καὶ νῦν λίθων χαλεπωτέροις. τί οὖν δεῖ ποιεῖν; ὅπερ ἐκεῖνος ἐποίησε. τοὺς βάλλοντας γὰρ οὐκ ἐμίσησεν, ἀλλὰ συράντων αὐτὸν, εἰσῆλθε πάλιν εἰς τὴν πόλιν, εὐεργετήσων τοὺς τὰ τοιαῦτα ἠδικηκότας. ἂν ἐνέγκῃς καὶ σὺ τὸν ὑβρίσαντα, τὸν τραχὺν, τὸν ἀδίκως σε ἐργασάμενον ταῦτα, ἐλιθάσθης καὶ σύ. μὴ γὰρ εἴπῃς, ὅτι οὐδὲν ἠδίκησα. τί γὰρ Παῦλος ἠδίκησεν, ἵνα λιθασθῇ; βασιλείαν κατήγγελλε, πλάνης ἀπῆγε, τῷ Θεῷ προσῆγε. ταῦτα στεφάνων ἄξια, ταῦτα ἀνακηρύξεως, ταῦτα μυρίων ἀγαθῶν, οὐ λίθων. ἀλλ' ὅμως τἀναντία ἔπασχεν. αὕτη γὰρ ἡ λαμπρὰ νίκη. καὶ ἔσυραν αὐτόν, φησι. καὶ σὲ πολλάκις σύρουσιν· ἀλλὰ μὴ ὀργισθῇς, ἀλλὰ κήρυξον τὸν λόγον διὰ τῆς ἐπιεικείας. ὕβρισέ σε; σίγησον, καὶ εὐλόγησον, εἰ δύνασαι, καὶ οὕτως ἐκήρυξας καὶ σὺ τὸν λόγον. ἐπαίδευσας ἐπιείκειαν, ἐπαίδευσας πρᾳότητα. οἶδα πολλοὺς οὐχ οὕτω τραύμασιν ἀλγοῦντας, ὡς πληγῇ τῇ διὰ ῥημάτων. τοῦτο μὲν γὰρ τὸ τραῦμα τὸ σῶμα δέχεται, ἐκεῖνο δὲ ἡ ψυχή. ἀλλὰ μὴ ἀλγήσωμεν· μᾶλλον δὲ ἀλγήσαντες ἐνέγκωμεν. οὐχ ὁρᾶτε τοὺς πυκτεύοντας, οἱ διατετρωμένοι τὰς κεφαλὰς, τοὺς ὀδόντας ἐνδακόντες, οὕτως ἡμέρως φέρουσι τὰς ἀλγηδόνας; ἐνταῦθα δὲ οὐ χρεία βρύξαι τοὺς ὀδόντας, οὐ χρεία δακεῖν. ἀναμνήσθητι τοῦ δεσπότου τοῦ σοῦ, καὶ τὸ φάρμακον εὐθέως ἐπέθηκας τῇ μνήμῃ. ἀναμνήσθητι Παύλου· ἐννόησον, ὅτι σὺ ἐνίκησας ὁ πληττόμενος, ἐκεῖνος δὲ ἥττηται ὁ πλήξας, καὶ τὸ πᾶν ἴασω διὰ τούτου. ῥοπή ἐστι, μὴ συναρπαγῇς, καὶ τὸ πᾶν κατώρθωσας εὐθέως· μὴ κινηθῇς, καὶ τὸ πᾶν ἔσβεσας. μεγάλη παραμυθία, τὸ διὰ Χριστόν τι παθεῖν. οὐ κηρύττεις τὸν λόγον τῆς πίστεως; ἀλλὰ κηρύττεις τὸν λόγον τῆς φιλοσοφίας. ἀλλ' ὅσῳ ἂν ἴδῃ τὴν ἐπιεί-

κειαν,

Εφ. 5.16.

χ. δ' (εἰς τὴν γὰρ ἡμῶν τὴν ἐκδικίας καὶ ῥαθυμίας) ὡς μικροῦ τοῦ πράγματος μαχομένε ἐκείνε καὶ πολεμοῦντος. ἐν γρ. ὁ ἡμῶν

χ. μὴ συναρπαγῇς, μὴ κινηθῇς

κλητόν, φησί, τοσούτῳ μᾶλλον ἐπιπηδῶσι. διὰ τοῦτο οὖν ἀλγεῖς, ὅτι μᾶλλόν σοι τοὺς μισθοὺς αὔξει; ἀλλ' ἄχρηστος γέγονε, φησί. τοῦτο σημεῖον τῆς ἰδίας μικροψυχίας. ἑτέρως ἄχρηστος γέγονεν, ἂν ἀμύνῃ. εἰ ᾔδει ὁ Θεός, ὅτι διὰ τὸ μὴ ἀμύνεσθαι ἄχρηστοι ἐγίνοντο οἱ ἄδικοι, οὐκ ἂν τοῦτο ἐπέταξεν, ἀλλ' εἶπεν ἄν, ἄμυνον σεαυτῷ. ἀλλ' οἶδεν ὅτι οὕτω μᾶλλον ὠφελεῖται. μὴ ἀντινομοθέτει τῷ Θεῷ· ἐκείνῳ πείθου. οὐκ εἶ σὺ ἀγαθώτερος τοῦ ποιήσαντος ἡμᾶς. εἶπεν, ὑβριζόμενος φέρε· σὺ λέγεις, ἀνθυβρίζω, ἵνα μὴ ἄχρηστος γένωμαι. σὺ οὖν μᾶλλον αὐτοῦ φροντίζεις; πάθους ταῦτα καὶ τραχύτητος τὰ ῥήματα καὶ ἀλαζονείας, καὶ τοῦ ἀντινομοθετεῖν τῷ Θεῷ. εἰ γὰρ καὶ ἐβλάπτετο, οὐχὶ πείθεσθαι ἐχρῆν; ὅταν ὁ Θεὸς ᾖ ὁ προστάττων, μὴ ἀντινομοθετῶμεν ἡμεῖς. Ἀπόκρισις, φησίν, ὑποπίπτουσα, ἀποστρέφει ὀργάς. ἆρα τοῦτο ποιεῖ ὑποπίπτουσα, οὐκ ἐξαγριουμένη. εἰ σὲ ὠφελεῖ, κἀκεῖνον ὠφελεῖ· εἰ δέ σε βλάπτει τὸν μέλλοντα διορθοῦσθαι ἐκεῖνον, πολλῷ μᾶλλον ἐκεῖνον. Ἰατρέ, θεράπευσον σεαυτόν. εἶπε κακῶς; ἐπαίνεσον σύ. ἐλοιδόρησεν; ἐγκωμίασον. ἐπεβούλευσεν; εὐεργέτησον. τοῖς ἐναντίοις αὐτὸν ἀμείβου, εἴ γε ὅλως τῆς ἐκείνου σωτηρίας προνοεῖς, καὶ μὴ σαυτοῦ τὸ πάθος ἐκδικεῖν θέλεις. καὶ μὴν πολλάκις, φησίν, ἀπολαύσας μακροθυμίας, χείρων γέγονε. τοῦτο οὐ πρὸς σέ, ἀλλὰ πρὸς αὐτόν. βούλει μαθεῖν οἷα ἔπαθεν ὁ Θεός; τὰ θυσιαστήρια αὐτοῦ κατέσκαψαν, τοὺς προφήτας ἀπέκτειναν, καὶ πάντα ἔφερεν. οὐκ ἠδύνατο σκηπτὸν ἀφεῖναι καταχέαι; ἀλλ' ὅτε τοὺς προφήτας ἀπέστειλε καὶ ἀνεῖλον αὐτούς, τότε τὸν υἱὸν ἔπεμψεν· ὅτε μείζονα ἠσέλγησαν, τότε μειζόνως εὐηργέτησε. καὶ σὺ ἂν ἴδῃς τραχυνόμενον, τότε μειζόνως εἶξον. μείζονος γὰρ ἡ μανία αὕτη δεῖται παραμυθίας. ὅσῳ ἂν χαλεπώτερα ὑβρίζῃ, τοσούτῳ πλείονος ἐπιεικείας δεῖται· καὶ καθάπερ πυρετὸς ὅταν σφοδρὸν πνεύσῃ, τότε δεῖται τοῦ εἴκοντος· οὕτω καὶ ὁ θυμούμενος. τὰ θηρία ὅταν μάλιστα ἀγριαίνῃ, τότε φεύγομεν ἀπαντᾶν· οὕτω καὶ τὸν ὀργιζόμενον. μὴ νομίσῃς τοῦτο τιμὴν εἶναι· ἐπεὶ καὶ τὸ θηρίον ὑπομένομεν, καὶ τοὺς μαινομένους τιμῶντες, ὅταν ἐκκλίνωμεν; οὐδαμῶς. ἀτιμία τοῦτό ἐστι καὶ ὕβρις; μᾶλλον δὲ οὐκ ἀτιμία, οὐδὲ ὕβρις, ἀλλ' ἔλεος καὶ φιλανθρωπία. οὐχ ὁρᾷς τοὺς ναύτας, ὅταν σφοδρὸν ἐμπνεύσῃ τὸ πνεῦμα, καθαιροῦντας τὰ ἱστία, ὥστε μὴ καταδῦναι τὸ σκάφος καὶ τὰ ἱστία ὅταν συναρπάσωσι τὴν ἐπιφάνειαν, συνενδιδόντα καὶ οὐ καθέλκοντα, ἵνα μὴ αὐτόματος κενώσῃ τὴν δύναμιν; τοῦτο καὶ σὺ ποίησον. πῦρ ἐστιν ὁ θυμός· φλὸξ ἐστὶν ὀξεῖα δεομένη ὕλης. μὴ παράσχῃς τὴν τροφὴν τῷ πυρί, καὶ ταχέως ἐσβέσθη τὸ κακόν. οὐκ ἔχει καθ' ἑαυτὴν ἰσχὺν ἡ ὀργή, ἂν μὴ ἕτερος ὁ τρέφων αὐτὴν ᾖ. οὐδεμία σοί ἐστιν ἀπολογία. ἐκεῖνος κατέχεται τῇ μανίᾳ, καὶ οὐκ οἶδε τί ποιεῖ· σὺ θεωρῶν αὐτόν, ὅταν τοῖς αὐτοῖς περιπέσῃς, καὶ μηδὲν ἐκείνου σωφρονέστερος, ποία συγγνώμη; εἰ ἐν συμποσίῳ τις γενόμενος, ἔπειτα ἐν προθύροις ἴδοι μεθύοντα καὶ ἀσχημονοῦντα, εἶτα καὶ αὐτὸς τοῖς ὁμοίοις περιπέσῃ, οὐ πολλῷ μᾶλλον μειζόνων ἐκείνου μεθύων ἀσχημονέστερος ἂν εἴη; οὕτω καὶ ἐνταῦθα. μὴ νομίζωμεν εἶναι ἀπολογίαν τὸ λέγειν, ὅτι οὐκ ἐγὼ κατῆρξα μέν. τοῦτο καθ' ἡμῶν ἐστιν, ὅτι μηδὲ ἐκεῖνον ἰδόντες ἐσωφρονίσθημεν. ὥσπερ ἂν εἴποι τις, οὐκ ἐγὼ ἐφόνευσα πρότερος. διὰ γὰρ τοῦτο κολάσεως εἶ ἄξιος, ὅτι μηδὲ εἰς τὸ παράδειγμα ἰδὼν ἐπέσχες σαυτόν. εἰ ἴδοις ἐμοῦντα τὸν μεθύοντα, διὰ στόματος, διαρρηγνύμενον, τοὺς ὀφθαλμοὺς ἔχοντα διατεταμένους, ἀκαθαρσίας πλείστας ἀπερευγόμενον, πάντα αὐτὸν ἀποστρέφεται. εἶτα τοῖς αὐτοῖς περιπέσῃς, οὐχὶ μᾶλλον ἔσῃ καταγέλαστος; τοιοῦτός ἐστι καὶ ὁ ὀργιζόμενος· μᾶλλον τοῦ ἐμοῦντος διαρρήγνυται, φλέγεται, πυροῦται τοὺς ὀφθαλμούς, διασπᾶται τὰ σπλάγχνα, ἐμεῖ πολλὰ ῥήματα τῆς τροφῆς ἐκείνης ἀκαθαρτότερα, ἀδιακρίτως πάντα φθέγγεται καὶ ἄταρ πονηρὰ καὶ αἰσχρά (ὀξὺς γὰρ ἄφρων ὁ θυμός) ἀλλ' ὥσπερ ἐκεῖ πολλάκις ἀμετρία χολῆς ἐνοχλήσασα τὸν στόμαχον, πάντα ἐκεῖνα ἐξέωσεν· οὕτω καὶ ἐνταῦθα ἡ ἀμετρία θερμότητος ἐνοχλήσασα τὴν ψυχήν, οὐκ ἀφίησι στέγειν ἃ ἀπαγγέλλει, ἀλλὰ ῥητὰ καὶ ἄρρητα λέγει, οὐχὶ τοὺς ἀκούοντας, ἀλλ' ἑαυτὸν αἰσχύνων. ὥσπερ καὶ ἀπὸ τοῦ ἐμοῦντος φεύ-

γομεν·

γ. ἑτέρως

γ. ἤνυται.

Παροιμ. ιε α.

Λουκ. δ κγ.

γ. δίκε.

γ. σφόδρα

γ. εἰς πεδίον ἐμπεδοῖς καὶ ἐς διακονητὴν ἐπιδαιτῶ, ἵνα

γ. φαινομένοις

γ. κατῆρξα.

γ. ἐξέωσεν

γίνεται· οὕτω καὶ ἀπὸ τῶν ὀργιζομένων. τί ποιοῦντες; κόνιν ἐπιβάλωμεν αὐτῷ τῷ ἐμέτῳ, στήσαντες τοὺς κύνας καλῶμεν, ὥστε αὐτὰ καταφαγεῖν τὰ ἐμεθέντα. οἶδα ὅτι ναυτιᾶτε ἀκούοντες· ἀλλ' ὅταν ὁρᾶτε ταῦτα γινόμενα, βούλομαι τοῦτο παθεῖν ὑμᾶς, ἀλλὰ μὴ ἥδεσθαι τῷ πράγματι. ἀκαθαρτότερος ὁ ὑβριστὴς τοῦ κυνὸς τοῦ ἐπιστρέφοντος ἐπὶ τὸν ἴδιον ἔμετον. εἰ μὲν γὰρ ἅπαξ ἐμέσας ἐπαύετο, οὐκ ἦν κατ' ἐκεῖνον· εἰ δὲ πάλιν τὰ αὐτὰ ἐμεῖ, δῆλον ὅτι καὶ αὐτὰ φαγών. τί οὖν βδελυκτότερον τοῦ τοιούτου; τί δὲ ἀκαθαρτότερον ἐκείνου τοῦ στόματος, τοῦ τοιαύτας διαμασωμένου τροφάς; καίτοιγε τοῦτο φύσεως ἔργον ἐστίν, ἐκεῖνο δὲ οὐχί· μᾶλλον δὲ καὶ τοῦτο παρὰ φύσιν, κἀκεῖνο. πῶς; οὐ γὰρ κατὰ φύσιν ὁ ὑβρίζει εἰκῆ, ἀλλὰ παρὰ φύσιν. οὐδὲν γινώσκει ὡς ἄνθρωπος φθέγγεσθαι, ἀλλὰ τὰ μὲν ὡς θηρίον, τὰ δὲ ὡς μαινόμενος. ὥσπερ οὖν ἡ τῶν σωμάτων νόσος παρὰ φύσιν, οὕτω καὶ τοῦτο. καὶ ὅτι παρὰ φύσιν ἐστίν, εἰ ἐγχρονίσει ἐν αὐτῷ, ἀπόλλυται κατὰ μικρόν· ὁ δὲ τῷ κατὰ φύσιν ἐγχρονίζων, οὐκ ἀπόλλυται. ἐβουλόμην ἂν ἀνθρώπῳ βόρβορον σιτουμένῳ κοινωνῆσαι τραπέζης, ἢ φθεγγομένῳ τοιαῦτα. οὐχ ὁρᾶτε τοὺς χοίρους κόπρον διαμασωμένους; οὕτω καὶ οὗτοι. τί γὰρ δυσωδέστερον τῶν ῥημάτων, ὧν οἱ ὑβρισταὶ φθέγγονται; σπουδὴ τούτοις ἐστὶ μηδὲν εἰπεῖν ὑγιές, μηδὲν καθαρόν· ἀλλ' εἴ τι αἰσχρόν, εἴ τι ἄσχημον, τοῦτο καὶ ποιῆσαι καὶ φθέγξασθαι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἑαυτοὺς μᾶλλον αἰσχύνοντες, ἑτέρους αἰσχύνειν οἴονται. ὅτι γὰρ ἑαυτοὺς αἰσχύνουσι, δῆλον ἐντεῦθεν. μὴ γάρ μοι τοὺς ψευδῆ λέγοντας εἴπῃς· ἀλλ' ἔστω τις πόρνη περιφανής, ἢ καὶ ἀπὸ τῆς σκηνῆς ἑταίρα, καὶ ποιείτω μετά τινος μάχην· εἶτα ἐκεῖνος αὐτῇ ταῦτα προφερέτω, κἀκεῖνος πάλιν ὁμοίως· τίς μᾶλλόν ἐστιν ὁ ὑβρισθεὶς τοῖς ῥήμασιν; ἐκεῖνος μὲν γὰρ ἅπερ εἶχεν ἤκουσεν· οὗτος δέ, ἅπερ οὐκ εἶχεν. ὥστε ἐκείνῳ μὲν οὐδὲν πλέον γέγονεν εἰς αἰσχύνης λόγον· τούτῳ δὲ πολλὴ τῆς ἀσχημοσύνης ἡ προσθήκη. ἀλλ' ἔστω τινὰ πάλιν εἰργασμένα πράγματα, καὶ μόνος ὁ ὑβρίζων αὐτὰ γινωσκέτω· εἶτα περὶ τούτου σιγῶν, ἐκπομπευέτω τὴν ὕβριν· καὶ οὕτως αὐτὸν ὑβρίσαι μᾶλλον. πῶς; κῆρυξ γινόμενος κακίας, ἀσυνειδησίας, ἀπίστου δόξαν λαβών· καὶ πάντας εὐθέως ἐγκαλοῦντας ὄψει, καὶ τοιαῦτα πανταχοῦ λέγοντας. εἰ γὰρ δὴ φόνον συνῄδει, φησί, πάντ' ἂν κατεσίγησεν· καὶ τοὺς μὲν ὡς οὐδὲ ἀνθρώπους ὄντας ἀποστρέφονται, μισοῦσι, θηρίον εἶναί φασιν ὠμὸν καὶ ἀπηνές· τούτῳ δὲ συγγινώσκουσι μᾶλλον ἢ ἐκείνῳ. οὐχ οὕτω γὰρ τοὺς τραύματα ἔχοντας μισοῦμεν, ὡς τοὺς ἐκκαλύπτειν αὐτὰ βιαζομένους καὶ δεικνύναι. οὕτω καὶ οὗτος ὑβρίζει οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ ἑαυτόν, καὶ τοὺς ἀκούοντας, καὶ τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων, ἔπληξε τὸν ἀκροατήν, οὐδὲν ἀγαθὸν εἰργάσατο. διὰ

Ep. δ. κθ. τοῦτό φησιν ὁ Παῦλος· Εἴ τις ἀγαθὸς λόγος πρὸς οἰκοδομήν, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. εὔφημον κτησώμεθα γλῶτταν, ἵνα ὦμεν ποθεινοὶ καὶ ἐπέραστοι. ἀλλὰ γὰρ εἰς τοῦτο προῆλθε κακίας ἅπαντα, ὥστε ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐπὶ τούτοις πολλοὺς γαυριᾶν. ἃ γὰρ ἀπειλοῦσιν οἱ πολλοί, τοιαῦτά ἐστιν· οὐ δύνασαι ἐνεγκεῖν τὴν γλῶτταν μου, φησί, γυναικὸς τὰ ῥήματα, γραὸς μεθυούσης, ἀσχημονούσης, τῶν ἔσω ἀγορᾶς συρομένων, περιαγωγοῦ. οὐδὲν αἰσχρότερον τούτων τῶν ῥημάτων, οὐδὲν ἀνανδρότερον, οὐδὲν γυναικωδέστερον τοῦ ἐν τῇ γλώττῃ τὴν ἰσχὺν ἔχειν, ἐπὶ τῷ λοιδορεῖν μέγα φρονεῖν. καθάπερ οἱ ἐν πομπαῖς, καθάπερ οἱ μῖμοι καὶ παράσιτοι καὶ κόλακες. χοῖροι μᾶλλόν εἰσιν ἢ ἄνθρωποι, ὅσοι ἐπὶ τούτῳ σεμνύνονται. δέον κατορύξαι σαυτόν, δέον, εἰ καί τις ἕτερός σοι ταῦτα ἐμαρτύρει, φεύγειν τὴν μαρτυρίαν ὡς ἐχθρὰν καὶ ἄνανδρον· σὺ δὲ κῆρυξ ὕβρεων γέγονας. ἀλλ' οὐδὲν τὸν κακῶς ἀκούοντα βλάψαι δυνήσῃ. διό, παρακαλῶ, ἐννοήσαντες ὅση ἡ κακία ὅτι καὶ ἐγκαυχῶνται πολλοί, ἀνανήψωμεν, διορθωσώμεθα τοὺς οὕτω μαινομένους, ἀνέλωμεν ταῦτα ἐκ τῆς πόλεως τὰ συνέδρια, καλλωπίσωμεν ἡμῶν τὴν γλῶτταν, πάσης κακηγορίας ἀπαλλάξωμεν, ἵνα δυνηθῶμεν καθαρεύοντες τῶν ἁμαρτημάτων, τὴν ἄνωθεν εὔνοιαν ἐπισπάσασθαι, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς

αὐτοῦ

αὐτοῦ υἱοῦ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λϐ. 28 ΔΙΕΤΡΙΒΟΝ ΔΕ ΕΚΕΙ, ΦΗΣΙ, ΧΡΟΝΟΝ ΟΥΚ ὀλίγον σὺν τοῖς μαθηταῖς.

1 Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφούς, ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι. κεφ. ιε.

Ὅρα πολλαχοῦ τῆς εἰς τὰ ἔθνη μεταβάσεως ἀναγκαίαν τὴν ἀρχὴν [ἀφ' αὐτῶν] εἰσαγομένην. περὶ τούτου ἐγκαλούμενος ἀπελογήσατο, ἐν τάξει ἀπολογίας τὸ πρὶν εἰπεῖν· ὅπερ εὐπαράδεκτον τὸν λόγον ἐποίει, ἔπειτα τῶν Ἰουδαίων ἀποστραφέντων, οὕτω ἦλθεν εἰς τὰ ἔθνη. ἐνταῦθα πάλιν ἄλλην ἀμετείδον ὁρῶν φερομένην, οὕτως ἵστησι τὸν νόμον. ἐπειδὴ γάρ τινες παρὰ τοῦ Θεοῦ διδαχθέντες ἀδιαφόρως διελέγοντο πᾶσι, τοῦτο εἰς ζῆλον ἤγαγε τοὺς ἀπὸ Ἰουδαίων. καὶ οὐκ ἐδίδασκον ἁπλῶς περιτομήν, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δύνασθε· οὐ τὴν δηλοῦσαν εὐχέρειαν λέγει, ὅτι περιτεμνόμενοι σωθῆναι οὐ δύνασθε. ὁρᾷς συνεχεῖς τοὺς πειρασμούς; ἔνδοθεν, ἔξωθεν. καλῶς δὲ οἰκονομεῖται τοῦτο, Παύλου παρόντος, ἵνα αὐτὸν πείσῃ. καὶ οὐκ εἶπεν ὁ Παῦλος· τί γάρ; οὐκ εἰμὶ ἀξιόπιστος ἀπὸ τοσούτων σημείων; ἀλλ' ἐπείσθη διὰ ἐκείνους. καὶ ὅρα· μανθάνουσι λοιπὸν πάντες τὰ εἰς τὰ ἔθνη γενόμενα, καὶ σαλεύονται, καὶ ἔχαιρον.

2 Γενομένης οὖν στάσεως καὶ συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν τὸν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου.

3 Οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς.

4 Παραγενόμενοι δὲ εἰς Ἱερουσαλήμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν.

Ὅρα πόση οἰκονομία γέγονε.

5 Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως.

6 Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.

7 Πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ πιστεῦσαι.

Ὅρα τὸν Πέτρον αὐτόθι κεχωρισμένον τοῦ πράγματος, ἐν μέσῳ τοῦ νῦν ἰουδαΐζοντα. ὑμεῖς ἐπίστασθε, φησί. παρῆσαν ἴσως καὶ οἱ ἐγκαλέσαντες αὐτῷ ἐπὶ Κορνηλίῳ πάλαι καὶ συνελθόντες μετ' αὐτοῦ. διὰ τοῦτο αὐτοὺς παράγει μάρτυρας. ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ὁ Θεὸς ἐξελέξατο. τί ἐστιν, ἐν ὑμῖν; ἤτοι ἐν Παλαιστίνῃ, φησίν, ἢ παρόντων ὑμῶν, διὰ τοῦ στόματός μου. ὅρα πῶς δείκνυσι τὸν Θεὸν δι' αὐτοῦ φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον.

8 Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς. Ἐπὶ τὴν πνευματικὴν ἀνάγει μαρτυρίαν αὐτούς. Δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν.

Ὅρα πῶς πολλαχοῦ ἐξισοῖ τὰ ἔθνη.

9 Καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.

γ. διορθωτέον

γ. ἔτι

γ. εἰσαγομένην

γ. δὲ οἶκος ἦν αὐτοῖς ἀπὸ τ. τ. θ. διδαχθέντας ἀδ. διαλέγεσθαι πᾶσι

γ. συζητήσεως

γ. κότων

γ. ἡμε.

Ἀπὸ τῆς πίστεως μόνης, φησὶ, τὴν αὐτὴν ἔτυχον. κἀκείνων ταῦτα ἐντρεπτικὰ μᾶλλον ἢ καὶ ἐκείνους διδάξαι δυνάμενα· ὅτι πίστεως δεῖ μόνης, καὶ οὐκ ἔργων, οὐδὲ περιτομῆς. οὐ γὰρ δὴ ὑπὲρ τῶν ἐθνῶν ἀπολογούμενοι ταῦτα λέγουσι μόνον, ἀλλὰ κἀκείνους παιδεύοντες ἀποστῆναι τοῦ νόμου. ἀλλὰ πῶς οὔπω λέγουσι τοῦτο.

10 Νῦν οὖν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;

11 Ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ* πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι.

* Χριστοῦ

Τί ἐστι τὸ, πειράζετε τὸν Θεόν; τουτέστι, τί ἀπιστεῖτε τῷ Θεῷ, ὡς οὐκ ἰσχύσαντι σῶσαι τῇ πίστει [τοὺς προσερχομένους αὐτῷ;] ἄρα ἀπιστίας ἐστὶ τὸ τὸν νόμον εἰσφέρειν. εἶτα δείκνυσι καὶ αὐτοὺς οὐδὲν ὠφελουμένους, καὶ τὸ πᾶν ἐπὶ τὸν νόμον στρέφει, οὐκ ἐπ' αὐτούς, καὶ τὴν κατηγορίαν ὑποτέμνεται. ὃν οὐκ ἰσχύσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, φησὶ, βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, ὃν τρόπον κἀκεῖνοι. πόσης δυνάμεως γέμει ταῦτα τὰ ῥήματα; ἅπερ ὁ Παῦλος διὰ πολλῶν ἐν τῇ πρὸς Ῥωμαίους εἶπε, ταῦτα καὶ νῦν. Εἰ γὰρ Ἀβραάμ, φησιν, ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. (Ῥωμ. δ. β.) ὁρᾷς ὅτι τούτων μᾶλλόν ἐστι τοῦτο παιδευτικὸν, ἢ ἀπολογία ὑπὲρ τῶν ἐθνῶν; ἀλλ' εἰ μὲν χωρὶς προφάσεως ταῦτα ἔλεγον, [ἴσως οὐδαμῶς] ὕποπτος ἦν· ἀρχὴν δὲ λαβόμενος, ἐντεῦθεν λοιπὸν ἀδεῶς φθέγγεται. καὶ ὅρα πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν μετ' αὐτῶν γινόμενα. εἰ μὴ γὰρ ἐκίνησαν ἐκεῖνοι, οὐκ ἂν ταῦτα ἐλέχθη, οὐδ' ἂν τὰ μετὰ ταῦτα. ἐντεῦθεν μανθάνουσιν ὅτι εἰ καὶ [μὴ] προσάγεσθαι ἤθελον τὰ ἔθνη, οὐ δεῖ αὐτοὺς περιορᾶν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐν ὑμῖν, φησιν, ἐξελέξατο, καὶ ἀφ' ἡμερῶν ἀρχαίων. τοῦτο εἶπε, δεικνὺς ὅτι πάλαι, οὐ νῦν. οὐ μακρὸν δὲ τὸ καὶ Ἰουδαίων πιστευόντων τοῦτο ἀποστραφῆναι. διὰ τούτοις ὁ λόγος πιστοῦται, τῷ καιρῷ καὶ τῷ τόπῳ. καὶ τὸ, ἐξελέξατο, καλῶς· ὥσπερ ἐπ' αὐτῶν οὐκ εἶπεν, ἠθέλησεν, ἀλλ', ἐξελέξατο. πόθεν τοῦτο δῆλον; ἀπὸ τοῦ πνεύματος, φησιν. εἶτα δείκνυσιν οὐχὶ χάριτος ἁπλῶς, ἀλλ' ἀρετῆς μαρτύριον αὐτοῖς τοῦτο γινόμενον, [καὶ] οὐδὲν ἔλαττον αὐτοῖς παρέσχον. οὐδὲν γὰρ, φησι, διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. ἄρα καρδίας δεῖ· πανταχοῦ ζητεῖ. καὶ εὐκαίρως εἶπεν, ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς· ὡς καὶ ἐκεῖ, Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον. (Πραξ. α κδ.) ὅτι γὰρ τοῦτο βούλεται, ὅρα τί ἐπάγει· ὅτι οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. ὅτε εἶπεν αὐτῶν τὴν μαρτυρίαν, τότε τὸ μέγα τοῦτο ἐφθέγξατο, ὅπερ Παῦλός φησιν· Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία· (α. Κορ. ζ ιθ.) καὶ, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ. πάντων τούτων τὰ σπέρματα ἐν τῇ Πέτρου δημηγορίᾳ κεῖται. καὶ οὐκ εἶπε τῶν ἐκ περιτομῆς, ἀλλὰ μεταξὺ ἡμῶν, τουτέστι, τῶν ἀποστόλων. εἶτα ἵνα μὴ δόξῃ ὕβρεις εἶναι τὸ, οὐδὲν, ἐπάγει· πίστει καθαρίσας τὰς καρδίας αὐτῶν, καὶ ἀναιρεῖ τὴν ὑπόνοιαν διὰ τούτου. ἐξεκάθηρε πρότερον τῷ λόγῳ, καὶ τότε δείκνυσιν οὐχὶ πονηρὸν τὸν νόμον, ἀλλ' αὐτοὺς ἀσθενεῖς. ὅρα πῶς εἰς φοβερὸν κατέληξεν. οὐδὲν ἀπὸ προφητῶν αὐτοῖς διαλέγεται, ἀλλ' ἀπὸ τῶν παρόντων πραγμάτων, ὧν αὐτοὶ μάρτυρες ἦσαν. εἰκότως καὶ αὐτοὶ λοιπὸν ἐπιμαρτυροῦσι, καὶ τὸν λόγον ἰσχυρότερον ποιοῦσι τοῖς ἤδη γενομένοις. καὶ ὅρα, ἐν τῇ ἐκκλησίᾳ συγχωρεῖ πρότερον ζήτησιν γενέσθαι, καὶ τότε λέγει. ἐπειδὴ οὖν οὐκ εἶπε, τῶν ἐκ περιτομῆς, ἀλλὰ, τῶν ἐθνῶν (τοῦτο γὰρ κατὰ μακρὸν ἐπαγόμενον ἐγίνετο ἰσχυρότερον· ἐκεῖνο δὲ ἦν πεφρακότος, εἰ δυνατὸν καὶ μετὰ νόμου σῶσαι) ὅρα τί ποιεῖ· δείκνυσιν αὐτοὺς ἐν κινδύνῳ, εἴγε ὅπερ οὐκ ἴσχυσεν ὁ νόμος, ἴσχυσεν ἡ πίστις. ταύτης δὲ ἐκπιπτούσης ἀνάγκη αὐτοὺς ἐν ἀπωλείᾳ εἶναι. καὶ οὐκ εἶπεν, ἀπιστεῖτε, ὅπερ ἦν φορτικώτερον, καὶ ταῦτα ἐληλεγμένου τοῦ πράγματος. καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφούς. ἐν μὲν οὖν τοῖς Ἱεροσολύμοις οὐκ ἦσαν ἐξ ἐθνῶν τινες· ἐν δὲ Ἀντιοχείᾳ εἰκὸς εἶναι. διὰ τοῦτο καὶ ἀπέρχονται καὶ διατρίβουσι χρόνον οὐκ ὀλίγον ἐκεῖ. ἐξανέστησαν δέ τινες τῶν Φαρισαίων, ἐπινοσοῦντες

τὴν

τὴν φιλαρχίαν, καὶ βουλόμενοι πρὸς αὐτοὺς ἔχειν τὰ ἔθνη. καίτοι καὶ Παῦλος ὁμομαθητὴς ἦν, ἀλλ' οὐκ ἐπῆγε τοῦτο. ἐπειδὴ δὲ ἐκεῖθεν ἦλθε, καὶ τὸ δόγμα ἀκριβέστερον ἐζήτητο. εἰ γὰρ τῶν ἐν Ἱεροσολύμοις ὄντες οὐδὲν τοιοῦτον ἐπιζητοῦσι, πολλῷ μᾶλλον οὗτοι. ὁρᾷς, ὅσοι μὴ φιλαρχοῦσι, χαίρουσιν ἐν τῇ πίστει; οὐ φιλοτιμίας τοίνυν τὰ διηγήματα, οὐδὲ ἐπιδείξεως ἦν, ἀλλὰ ἀπολογίας τοῦ εἰς τὰ ἔθνη κηρύγματος. διὸ καὶ οὐδὲν λέγουσι τῶν εἰς τοὺς Ἰουδαίους συμβεβηκότων. πολλὴ ἡ ἐπιείκεια τῶν φαρισαίων, καὶ μετὰ τὴν πίστιν ἔτι νομοθετούντων, καὶ οὐ πειθομένων τοῖς ἀποστόλοις· ἀλλ' ὅρα ἐκείνους, πῶς ἐπιεικῶς καὶ οὐ μετ' αὐθεντίας διαλέγονται. τὰ γὰρ τοιαῦτα ἐπιθυμητὰ καὶ πίπτει μᾶλλον. ὁρᾷς οὐδαμοῦ λόγων ἐπίδειξιν, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων, τὴν διὰ τοῦ πνεύματος; ἀλλ' ὅμως καὶ τοιαῦτα ἔχοντες τεκμήρια, ἔτι ἐπιεικῶς διαλέγονται. καὶ ὅρα· οὐκ ἀντέχονται διαβάλλοντες τῶν ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐκεῖθεν πάλιν λαμβάνουσιν ἀφορμήν. οὕτως ἐμέγιστον τὸ φιλαρχεῖν, [ἢ] καὶ οὐκ εἰδότων τῶν ἀποστόλων ἐμέμφθησαν. ἀλλ' ὅμως οὐδὲν τούτων οὗτοι προσεγκαλοῦσιν· ἀλλ' ὅτε ἀπεδείχθη, τότε σφοδρότερον γράφουσι. μέγα γὰρ ἡ ἐπιείκεια πανταχοῦ καλόν. ἐπιείκειαν λέγω, οὐ ψυχρότητα· ἐπιείκειαν, οὐ κολακείαν. πολὺ γὰρ ταῦτα διέστηκεν ἀπ' ἀλλήλων. οὐδὲν ἐπράχθη ὡς Παῦλον, οὐδὲ Πέτρον. ὅταν ἔχῃς ἀπόδειξιν, τί ὀργίζῃ; ἢ ἵνα καὶ ταῦτα ἀκούσεις ποιήσῃς; οὐκ ἔστι τῶν ὀργιζομένων πεῖσαί ποτε.

ΗΘΙΚΟΝ

Καὶ χθὲς περὶ ὀργῆς διελέχθημεν· οὐδὲν δὲ κωλύει καὶ τήμερον. ἡ γὰρ συνέχεια ἴσως ἐργάζεταί τι. καὶ γὰρ φάρμακον τὸ δύναμιν ἔχον ἀφανίσαι τραῦμα, ἂν μὴ συνεχῶς ἐπιτεθῇ, τὸ πᾶν ἀπώλεσε. μή τις νομιζέτω κατάγνωσιν ὑμῶν εἶναι, τὸ συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεσθαι. εἰ γὰρ κατεγνώκειμεν, οὐκ ἂν διελέχθημεν· νῦν δὲ ἐλπίζοντες μεγάλα ἡμᾶς κερδαίνειν, ταῦτα φθεγγόμεθα. εἴθε γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ἐλέγομεν. εἴθε μὴ [ὁ] ἦν ἄλλη τις λόγων ὑπόθεσις ἢ φροντίς, ἀλλ' ὅπως τῶν παθῶν κρατήσωμεν τῶν ἡμετέρων. πῶς γὰρ οὐκ ἄτοπον, βασιλεῦσι μὲν ἐν τρυφῇ ζῶσι καὶ τοσαύτῃ τιμῇ μηδένα εἶναι λόγον, μήτε ἐπὶ τραπέζης, μηδὲ ἐν ἄλλῳ μηδενὶ καιρῷ, ἀλλὰ πῶς μόνον τῶν πολεμίων κρατήσαι δεῖ, καὶ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συλλόγους ποιεῖν, καὶ στρατηγεῖν καὶ στρατιώτας καταλέγειν καὶ φόρους ἀπαιτεῖν, καὶ τῶν πολιτικῶν πραγμάτων ταύτας δύο αἰτίας ἀναγκαίας εἶναι ἡγεῖσθαι, ὅπως καὶ τῶν πολεμούντων κρατήσωσι, καὶ τοὺς οἰκείους ἐν εἰρήνῃ καταστήσωσιν· ἡμᾶς δὲ μηδὲ ὄναρ θέλειν τὰ τοιαῦτα διαλέγεσθαι· ἀλλ' ὅπως μὲν ἀγροὺς ὠνησώμεθα, καὶ ὅπως ἀνδράποδα, καὶ ὅπως πλείω τὴν οὐσίαν ποιήσωμεν, καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι οὐ λαμβάνομεν κόρον· περὶ δὲ τῶν ἐν ἡμῖν πραγμάτων, καὶ τὸ ὅπως ὑμῖν, οὔτε αὐτοὶ λέγειν βουλόμεθα, οὐδὲ ἑτέρων λεγόντων ἀνεχόμεθα ἀκούειν; περὶ τίνος οὖν, εἰπέ μοι, διαλέγεσθαι βούλει; περὶ ἀρτύσεως; ἀλλὰ ταῦτα μαγείρων * τὰ ῥήματα. ἀλλὰ περὶ χρημάτων; ἀλλὰ ταῦτα καπήλων καὶ ἐμπόρων. ἀλλὰ περὶ κτισμάτων; ἀλλὰ ταῦτα τεκτόνων καὶ οἰκοδόμων. ἀλλὰ περὶ γῆς; ἀλλὰ ταῦτα γεωργῶν. ἡμῖν δὲ οὐδὲν ἕτερόν ἐστιν ἔργον, ἀλλ' ἢ πῶς πλουτοίημεν περὶ τὴν ψυχήν. μὴ τοίνυν προσκορὴς ὁ λόγος γενέσθω. διὰ τί γὰρ μηδεὶς ἐγκαλεῖ τῷ ἰατρῷ περὶ ἰατρικῆς ἀεὶ διαλεγομένῳ, μηδὲ τοῖς ἄλλοις τοῖς δημιουργοῖς περὶ τῶν οἰκείων τεχνῶν λέγουσι; εἰ μὲν γὰρ οὕτως ἡμῖν ἦν κατωρθωμένα τὰ τῶν παθῶν, ὡς μὴ δεῖσθαι ὑπομνήσεως, εἰκότως ἄν τις ἡμῖν ἐνεκάλεσε φιλοτιμίαν καὶ ἐπίδειξιν· μᾶλλον δὲ οὐδὲ οὕτως. εἰ γὰρ καὶ κατώρθωτο, καὶ οὕτως ἐχρῆν διαλέγεσθαι, ὥστε μὴ ἀναπεσεῖν *. ἐπεὶ καὶ τῶν ἰατρῶν οὐχὶ νοσοῦσι, ἀλλὰ καὶ ὑγιαίνουσι διαλέγονται, καὶ ἔστιν αὐτοῖς βιβλία τοιαύτης πραγματείας, τοῖς μέν, ἵνα τῆς νόσου ἀπαλλάττωσι, τοῖς δέ, ἵνα τὴν ὑγείαν διαφυλάττωσιν. ὥστε εἰ καὶ ὑγιαίνομεν, οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν, ἀλλὰ πάντα ποιεῖν ὥστε διατηρηθῆναι τὴν ὑγείαν ἡμῖν. ὅταν δὲ καὶ νοσῶμεν, διπλῆ τῶν λόγων ἡ χρεία, κἂν μία μέν, ἀπαλλαγῶμεν τῆς νόσου, ἑτέρα δέ, ἀσφαλιζώμεθα μὴ περιπεσεῖν πάλιν. οὐκοῦν θεραπευτικῇ

χ. ἀπεγνώκειμεν
χ. ὑμῶν
* καὶ καπήλων
χ. οὕτως
* καὶ μόνον ἀδιόρθωτον.
χ. ἀπαλλαγῶσι

μεθόδῳ διαλεγώμεθα νῦν, οὐχ ὑγιεινῇ πραγματείᾳ. πῶς οὖν ἄν τις τὸ κακὸν τοῦτο ἐκκόψειε πάθος; πῶς τὸν σφοδρὸν ὑποστείλειε πυρετόν; ἴδωμεν πόθεν ἐτέχθη, καὶ τὴν αἰτίαν ἀνέλωμεν. πόθεν τίκτεσθαι εἴωθεν; ἐξ ἀλαζονείας καὶ ἀπονοίας πολλῆς. ταύτην οὖν ἀνέλωμεν τὴν αἰτίαν, καὶ συνανῄρηται καὶ τὸ νόσημα. τί δὲ ἡ ἀλαζονεία; πόθεν τίκτεται; τάχα γὰρ πάλιν ἐφ' ἑτέραν ἀρχὴν κινδυνεύομεν ἀνελθεῖν. οὐκοῦν ἵνα ἂν ὁ λόγος ὑφηγήσηται, ταύτην βαδίζωμεν, ὅπως κάτωθεν καὶ πρόρριζον ἀνασπασθῇ τὸ κακόν. πόθεν οὖν ἡ ἀλαζονεία; ἐκ τοῦ μὴ ἐπισκέπτεσθαι τὰ ἡμέτερα· ἀλλ' ὑπὲρ μὲν φύσεως γῆς, καίτοι οὐκ ὄντας γεωργούς, πολυπραγμονεῖν, καὶ ὑπὲρ φύσεως φυτῶν, καὶ ὑπὲρ φύσεως χρυσοῦ, καίτοι οὐκ ὄντας ἐμπόρους, καὶ ὑπὲρ ἱματίων, καὶ ὑπὲρ πάντων· ὑπὲρ δὲ ἡμῶν καὶ τῆς ἡμετέρας φύσεως μηδέποτε ἀνέχεσθαι τοῦτο ποιεῖν. καὶ τίς ἀγνοεῖ, φησί, τὴν οἰκείαν φύσιν; πολλοί, τάχα δὲ πάντες, πλὴν ὀλίγων. καί, εἰ βούλεσθε, ἐντεῦθεν ποιήσω τὸν ἔλεγχον. εἰπὲ γάρ μοι· τί ποτέ ἐστιν ἄνθρωπος; εἴ τις ἐρωτηθείη, τίνι τῶν ἀλόγων διέστηκε; πῶς συγγενής ἐστι τῶν ἐν οὐρανῷ; τί δύναται ἐξ ἀνθρώπου γενέσθαι; μὴ δυνήσεται ἐξ ἀθλίας ἀποκριθῆναι; οὐκ ἔγωγε οἶμαι. καθάπερ γὰρ ἐπὶ ὕλης τινός, οὕτω καὶ ἐπὶ ἀνθρώπου, τὸ μὲν ὑποκείμενον, ἄνθρωπος· δύναται δὲ γενέσθαι καὶ ἄγγελος καὶ θηρίον. ἆρα οὐ δοκεῖ ξένος εἶναι ὁ λόγος οὗτος; καίτοι πολλάκις αὐτὸν ἐν ταῖς γραφαῖς ἠκούσατε. περὶ μὲν γάρ τινων ἀνθρώπων ἐλέγετο, [Μαλ. β. ζ.] Ὅτι ἄγγελος Κυρίου ἐστί· καί, Ἐκ χειλέων αὐτοῦ, φησί, ζητήσουσι κρίσιν· καὶ πάλιν, [Μαλ. γ. α.] Ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου· περὶ δέ τινων, [Ματθ. ις. λδ.] Ὄφεις, γεννήματα ἐχιδνῶν. λοιπὸν δὴ παρὰ τοὺς χρωμένους τὸ πᾶν δύναται γενέσθαι καὶ ἄγγελος, καὶ ἄνθρωπος. τί λέγω ἄγγελος; καὶ Θεοῦ τέκνον. [Ψαλ. πα. ς.] Ἐγὼ γὰρ εἶπα, φησί, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. καὶ τὸ δὴ μεῖζον, ὅτι τοῦ γενέσθαι καὶ Θεὸς καὶ ἄγγελος καὶ Θεοῦ τέκνον τὴν ἐξουσίαν αὐτὸς ἐγκεχείρισται, καὶ ἔστιν ἄνθρωπος ἀγγέλου δημιουργός. τάχα ὑμᾶς ἐθορύβησε τὸ ῥῆμα; ἀλλ' ἀκούετε τοῦ Χριστοῦ λέγοντος· [Λουκ. κ. λε.] Ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι· καὶ πάλιν, [Ματθ. ιθ. ιγ.] Ὁ δυνάμενος χωρεῖν, χωρείτω. ὅλως δὲ ἡ ἀρετὴ ἀγγέλους ποιεῖ. ταύτης δὲ ἡμεῖς κύριοι. ἆρα ἀγγέλους δυνάμεθα δημιουργεῖν, κἂν μὴ τῇ φύσει, ἀλλὰ τῇ προαιρέσει. ταύτης μὲν γὰρ ἀπούσης, οὐδὲν ὄφελος ἀγγέλοις εἶναι τὴν φύσιν. καὶ δηλοῖ ὁ διάβολος τοῦτο ὢν πρὸ τούτου· ταύτης δὲ παρούσης, οὐδὲν βλάβος ἀνθρώποις εἶναι τὴν φύσιν. καὶ δηλοῖ Ἰωάννης ἄνθρωπος ὤν, καὶ Ἠλίας εἰς τὸν οὐρανὸν ἀνελθών, καὶ πάντες οἱ μέλλοντες ἀπιέναι ἐκεῖ. οὗτοι μὲν γὰρ μετὰ σώματος οὐκ ἐκωλύθησαν τὸν οὐρανὸν οἰκεῖν· ἐκεῖνοι δὲ ἀσώματοι ὄντες, οὐκ ἠδυνήθησαν μεῖναι ἐν οὐρανῷ. μηδεὶς τοίνυν ἀλγείτω, μηδὲ ἀγανακτείτω πρὸς τὴν φύσιν ὡς ἐμποδίζουσαν, ἀλλὰ πρὸς τὴν προαίρεσιν. λέων ἐκεῖνος ἐγένετο ἐξ ἀσωμάτου· [α. Πετ. ε. η.] Ἰδοὺ γάρ, φησιν, ὁ ἐχθρὸς ἡμῶν ὡς λέων ὠρυόμενος περιέρχεται ζητῶν τίνα καταπίῃ· ἡμεῖς ἄγγελοι ἀπὸ σωμάτων. καθάπερ γὰρ εἴ τις ὕλην εὕροι πολύτιμον, οὐκ ὢν τεχνίτης, ἂν καταφρονήσῃ ταύτης, μεγάλως ζημιωθήσεται, οἷον ἢ μαργαρίτας, ἢ κόχλον, ἢ ἕτερόν τι τοιοῦτον· οὕτω δὴ καὶ ἡμεῖς, ἐὰν ἀγνοήσωμεν τὴν ἡμετέραν φύσιν, σφόδρα αὐτῆς καταφρονήσομεν· ἂν δὲ γνῶμεν, πολλὴν ἐπιδειξόμεθα σπουδήν, καὶ τὰ μέγιστα καρπωσόμεθα. ἀπὸ γὰρ ταύτης ἱμάτιον γίνεται βασιλικόν, ἀπὸ ταύτης οἰκία γίνεται βασιλική, [Ψαλ. η. ς.] ἀπὸ ταύτης μέλη γίνεται βασιλικά. * μὴ δὴ καταχρησώμεθα εἰς βλάβην τῇ οἰκείᾳ φύσει. Βραχύ τι παρ' ἀγγέλους ἡμᾶς ἠλάττωσε, τῷ θανάτῳ λέγω· ἀλλὰ καὶ τοῦτο ἀπειλήφαμεν τὸ βραχύ. οὐδὲν οὖν τὸ κωλῦον ἡμᾶς ἀγγέλους γενέσθαι ἐγγύς, ἂν θέλωμεν. θελήσωμεν τοίνυν, θελήσωμεν, καὶ ἐξασκήσαντες ἑαυτοὺς δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λγ. 13 ΜΕΤΑ ΔΕ ΤΟ ΣΙΓΗΣΑΙ ΑΥΤΟΥΣ, ΑΠΕ-
κρίθη Ἰάκωβος, λέγων· ἄνδρες ἀδελφοί, ἀκούσατέ μου· 14 Συμεὼν
ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ
ὀνόματι αὐτοῦ· 15 Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν.

Ἐπίσκοπος ἦν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας * οὗτος· διὸ καὶ ὕστερος λέγει, καὶ τὸ, Ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, ἐνταῦθα πληροῦται. ὅρα δὲ καὶ τούτου τὴν σύνεσιν, ἀπό τε νέων, ἀπό τε παλαιῶν προφητῶν βεβαιουμένου τὸν λόγον. οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι, καθάπερ Πέτρος, καθάπερ Παῦλος. καὶ καλῶς οἰκονομεῖται δι' ἐκείνων ταῦτα λέγεσθαι, τὴν οὐ μέλλοντα ἐγχειρίζειν τοῖς Ἱεροσολύμοις, τοῦτόν τε τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπόθυμοι, μηδὲ μὴν ἀπεσχίσθαι τῆς γνώμης. καὶ τί φησι; ἄνδρες ἀδελφοί, ἀκούσατέ μου· Συμεὼν ἐξηγήσατο. τινὲς τοῦτον εἶναί φασι τὸν ὑπὸ τοῦ Λουκᾶ εἰρημένον· ἄλλοι δὲ ἕτεροι ὁμώνυμον τούτῳ. εἴτε δὲ οὗτος, εἴτε ἐκεῖνός ἐστιν, οὐκ ἀκριβολογεῖσθαι χρή· ἀλλὰ μόνον ὡς ἀναγκαῖα δέχεσθαι ἃ ἐξηγήσατο. ἄνδρες, φησὶν, ἀδελφοί. πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, καὶ τελειοτέρα αὕτη ἡ δημηγορία, ὅπουγε καὶ τέλος ἐπιτίθησι τοῖς πράγμασι. καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ, καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν. ἐπειδὴ ἐκεῖνος ἀπὸ μὲν τοῦ χρόνου δῆλος ἦν, τὸ δὲ ἀξιόπιστον οὐκ εἶχε διὰ τὸ μὴ παλαιὸς εἶναι, ἐπάγει καὶ παλαιὰν προφητείαν, λέγων· Καθὼς γέγραπται,

16 Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν, Αμ. θ. ια.

17 Ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. Τί οὖν; ἠγέρθη τὰ Ἱεροσόλυμα, ἀλλ' οὐχὶ κατεσκάφη μᾶλλον; ἀλλ' οὐ περὶ τούτων αὐτῷ εἴρηται ταῦτα. καὶ ποίαν, φησὶ, λέγει ἔγερσιν; τὴν μετὰ Βαβυλῶνα.

18 Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ. Εἶτα τὸ ἀξιόπιστον τοῦ λόγου, ὅτι οὐδὲν καινὸν, ἀλλ' ἐξ ἀρχῆς ταῦτα προετετύπωτο. καὶ τὸ ἀξίωμα πάλιν.

19 Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν * τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν,

20 Ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος.

21 Μωϋσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. Ἐπειδὴ οὐκ ἦσαν ἀκηκοότες τοῦ νόμου, εἰκότως ταῦτα ἐπιτάττει ἀπὸ τοῦ νόμου, ἵνα μὴ δόξῃ ἀκυροῦν αὐτόν. καὶ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς ἀπὸ τοῦ νόμου ταῦτα ἀκούειν, ἀλλὰ παρ' ἑαυτοῦ, εἰπών· κρίνω ἐγώ· τουτέστιν, ἐξ ἐμαυτοῦ, οὐχὶ παρὰ τοῦ νόμου ἀκούσας. Εἶτα λοιπὸν κοινὸν τὸ δόγμα γίνεται.

22 Τότε δὲ ἔδοξε τοῖς ἀποστόλοις καὶ πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους
ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλού-
μενον Βαρσαβᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, 23 Γράψαντες διὰ
χειρὸς αὐτῶν τάδε. Ὅρα αὐτοὺς οὐχ ἁπλῶς ταῦτα νομοθετοῦντας. ὥστε δὲ ἀξιόπιστον γενέσθαι τὸ δόγμα, πέμπουσι τοὺς παρ' αὐτῶν, καὶ ἵνα ἀνύποπτοι ὦσιν οἱ περὶ Παῦλον λοιπόν. καὶ ὅρα πῶς φορτικῶς ἐκείνους διαβάλλοντες ἐπιστέλλουσιν. Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν.

24 Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευά-

Margin notes: * καθώς φησιν · γρ. ἐπιχειράζειν · γρ. μηδὲν · γρ. ἐν τῷ Λουκᾶ προειρημένας. ἄνδρες, φησὶν ἀδ. · Δευτ. ιζ. ς. · * πάλιν

ζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, οἷς ἡμεῖς οὐ διεστειλάμεθα. Ἀρκοῦσα αὕτη κατηγορία τῆς ἐκείνων περιπετείας, καὶ ἀξία τῆς τῶν ἀποστόλων ἐπιεικείας οὐδὲν μακρότερον εἰρηκότων.

25 Ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν ἐκλεξαμένοις ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ,

26 Ἀνδράσι παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥστε δεῖξαι, ὅτι οὐ τυραννικῶς, ὅτι πᾶσι ταῦτα δοκεῖ, ὅτι μετὰ ἐπισκέψεως ταῦτα γράφουσιν, ἐκλεξάμενοι, εἶπον, ἄνδρας ἐξ ἡμῶν. Εἶτα ἵνα μὴ δόξῃ διαβολὴ εἶναι Παύλου καὶ Βαρνάβα τὸ ἐκείνους ἀποστεῖλαι, ὅρα τὰ ἐγκώμια αὐτῶν· ἀνθρώποις, φησί, παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά.

28 Ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν. Ἄρα οὐδὲν ἀνθρώπινον, εἰ πνεύματι ταῦτα δοκεῖ. Μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος. Πάλιν βάρος τὸν νόμον καλεῖ. εἶτα καὶ ὑπὲρ αὐτῶν τούτων ἀπολογεῖται· Πλὴν τῶν ἐπάναγκες τούτων,

29 Ἀπέχεσθαι εἰδωλοθύτων καὶ πνικτοῦ καὶ πορνείας καὶ αἵματος, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. Ταῦτα ἡ καινὴ οὐ διετάττετο (οὐδαμοῦ γὰρ περὶ τούτων διελέχθη ὁ Χριστός) ἀλλ' ἀπὸ τοῦ νόμου ταῦτα λαμβάνουσι. καὶ πνικτοῦ, φησιν. ἐνταῦθα τὸν φόνον ἀνείργει.

30 Οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν.

31 Ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. Εἶτα δηλῶν ὅτι κἀκεῖνοι αὐτοὺς παρεκάλεσαν, ἐπήγαγεν·

32 Ἰούδας τε καὶ Σίλας καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν·

33 Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους. Οὐκέτι στάσεις καὶ μάχαι· διὸ καὶ βεβαιώσαντες αὐτοὺς, ἀπῆλθον μετ' εἰρήνης. πρὸς γὰρ Παῦλον φιλονεικότερον διέκειντο. καὶ λοιπὸν Παῦλος διδάσκει. οὕτως οὐδεὶς τῦφος ἦν ἐν τῇ ἐκκλησίᾳ, ἀλλὰ πολλὴ ἡ εὐταξία. καὶ ὅρα, μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει· Ἰάκωβος ἀνέχεται, καὶ οὐκ ἀποπηδᾷ. ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος. οὐδὲν Ἰωάννης ἐνταῦθα, οὐδὲν οἱ ἄλλοι ἀπόστολοι φθέγγονται· ἀλλὰ σιγῶσι, καὶ οὐκ ἀγανακτοῦσιν. οὕτω καθαρὰ δόξης ἦν αὐτῶν ἡ ψυχή. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, φησι, ἀπεκρίθη Ἰάκωβος, λέγων· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ἐπεσκέψατο ὁ Θεός. ἐξ ἀρχῆς σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο· οὗτος δὲ ἡμερώτερον. οὕτως ἀεὶ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ [ποιεῖν] τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν, αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων διαλέγεσθαι. καλῶς εἶπε, Συμεὼν ἐξηγήσατο, ὡς κἀκείνου ἑτέρων λέγοντος γνώμην. ὅρα πῶς δείκνυσι παλαιὸν ὂν τοῦτο. λαβεῖν ἐξ ἐθνῶν λαόν, φησι, τῷ ὀνόματι αὐτοῦ. οὐχ ἁπλῶς ἐξελέξατο, ἀλλὰ τῷ ὀνόματι αὐτοῦ, τουτέστι, τῇ δόξῃ αὐτοῦ. οὐκ αἰσχύνεται τὸ ὄνομα αὐτοῦ τῇ προσλήψει τῶν ἐθνῶν, δόξαν καλῶν. τοῦτο γὰρ μείζων δόξα. ἐνταῦθά τι καὶ μέγα αἰνίττεται. ποῖον τοῦτο; ὅτι, φησί, πρὸ πάντων οὗτοι. μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω, φησὶ, τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν. εἴ τις ἀκριβῶς σκοποίη, νῦν τὴν βασιλείαν ἱσταμένην τοῦ Δαβὶδ εὑρήσει. τοῦ ἐκγόνου γὰρ αὐτοῦ βασιλεύοντος, πανταχοῦ ἕστηκεν αὕτη. τί γὰρ ὄφελος τῶν οἰκημάτων καὶ τῆς πόλεως, τῶν ὑπακουόντων οὐκ ὄντων; ποῖον δὲ βλάβος ἐκ τῆς καθαιρέσεως τῆς πόλεως, πάντων καὶ τὰς ψυχὰς βουλομένων ἐπιδοῦναι; ὥστε οὐ μόνον ἕστηκεν, ἀλλὰ καὶ λαμπροτέρα πάντων γέγονε. πανταχοῦ γὰρ νῦν τῆς οἰκουμένης ᾄδεται. ἐκεῖνο ἐξέβη· οὐκοῦν καὶ τοῦτο ἐκβῆναι δεῖ. Εἰπὼν δὲ, καὶ ἀνοικοδομήσω, ἐπάγει καὶ τὴν αἰτίαν τοῦ διὰ τί, λέγων· ὅπως ἐκζητήσωσιν οἱ κατάλοι-

ποι

ποι τῶν ἀνθρώπων τὸν Κύριον. Εἰ τοίνυν διὰ τοῦτο ἐξῃρημένη ἡ πόλις, διὰ τὸ ἐξ αὐτῶν, δῆλον ὅτι τῆς οἰκοδομῆς τῆς πόλεως αἴτιον γέγονε, τὸ τὰ ἔθνη κληθῆναι. τίνες εἰσὶν οἱ κατάλοιποι; οἱ ὑπολειπόμενοι τότε. ἀλλ' ὅρα αὐτὸν καὶ τὴν τάξιν φυλάττοντα, καὶ δευτέρους αὐτοὺς εἰσάγοντα. λέγει Κύριος ὁ ποιῶν, φησι, ταῦτα πάντα. οὐ λέγει μόνον, ἀλλὰ καὶ ποιεῖ. ἄρα Θεοῦ ἔργον ἡ κλῆσις τῶν ἐθνῶν. ἄλλο ἦν τὸ ζητούμενον (ὅπερ σαφέστερον καὶ Πέτρος ἔλεγεν) εἰ δεῖ αὐτοὺς περιτέμνεσθαι. τί τοίνυν ταῦτα δημηγορεῖς; οὐ γὰρ δὴ τοῦτο ἔλεγον, ὅτι οὐ δεῖ αὐτοὺς δέχεσθαι πιστεύοντας, ἀλλ' ὅτι μετὰ νόμου. καὶ τοῦτο ὁ Πέτρος καλῶς ἐδημηγόρησεν. ἀλλ' ἐπειδὴ τοῦτο ἐθορύβει μάλιστα πάντων τοὺς ἀκροατάς, καὶ τοῦτο θεραπεύει πάλιν. καὶ ὅρα. ὅπερ ἐχρῆν νομοθετηθῆναι ὅτι οὐ δεῖ φυλάττειν τὸν νόμον, ὁ Πέτρος εἰσήγαγε· τὸ δὲ ἡμέτερον καὶ πάλαι παραδεχθέν, τοῦτο οὗτός φησι, καὶ ἐνδιατρίβει ἐκείνῳ, ὑπὲρ οὗ οὐδὲν γέγραπται, ἵνα αὐτῶν θεραπεύσας τὴν διάνοιαν τῷ συγκεχωρημένῳ, εὐκαίρως εἰσαγάγῃ καὶ τοῦτο. διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι· τουτέστι, μὴ ἀνατρέπειν. εἰ γὰρ ὁ Θεὸς ἐκάλεσεν, αὗται δὲ αἱ παρατηρήσεις ἀνατρέπουσι, τῷ Θεῷ πολεμοῦμεν. καὶ καλῶς εἶπε, τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι, δηλῶν καὶ τοῦ Θεοῦ τὴν ἄνωθεν περὶ αὐτοὺς οἰκονομίαν, καὶ τὸ τούτων καταπειθὲς καὶ ἕτοιμον εἰς τὴν κλῆσιν. τί ἐστι, κρίνω ἐγώ; ἀντὶ τοῦ, μετ' ἐξουσίας λέγω τοῦτο εἶναι. ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι, φησιν, ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. αὗται γὰρ εἰ καὶ σωματικαί, ἀλλ' ἀναγκαῖαι φυλάττεσθαι, ἐπειδὴ μεγάλα εἰργάζοντο κακά. καὶ ἵνα μή τις ἀντυπενέγκῃ, διὰ τί μὴ καὶ Ἰουδαίοις ταὐτὰ ἐπιστέλλομεν; ἐπήγαγε λέγων· Μωϋσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας ἑαυτὸν ἔχει· τουτέστι, Μωϋσῆς αὐτοῖς διαλέγεται συνεχῶς. τοῦτο γάρ ἐστι τὸ, κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. ὅρα πόση ἡ συγκατάβασις. ἔνθα οὐδὲν ἔβλαπτεν, ἐπέστησεν αὐτοῖς διδασκάλους, καὶ ἐχαρίσατο χάριν οὐδὲν ἐμποδίζουσαν, ἐπιτρέψας Ἰουδαίοις ἀκούειν αὐτοῦ κατὰ πάντα, καὶ ἀπάγων τοὺς ἐξ ἐθνῶν. εἶτα δι' ὧν ἔδοξεν αὐτὸν τιμᾶν καὶ ἐφιστάναι τοῖς ἑαυτοῦ, διὰ τούτων ἀπήγαγε τὰ ἔθνη ἐξ αὐτοῦ. διὰ τί οὖν μὴ παρ' αὐτοῦ μανθάνουσι; διὰ τὴν οἰκείαν ἀπείθειαν. ἐντεῦθεν δείκνυσιν, ὅτι καὶ τούτους οὐδὲν πλέον δεῖ φυλάττειν. εἰ δὲ οὐκ ἐπιστέλλομεν, οὐχ ὡς ὀφειλόντων αὐτῶν πλέον τι φυλάττειν, ἀλλ' ὡς ἐχόντων τὸν λέγοντα. καὶ οὐκ εἶπε, μὴ σκανδαλίζειν αὐτούς, μηδὲ καταστρέφειν (ὅπερ Παῦλος λέγει Γαλάταις) ἀλλὰ μὴ παρενοχλεῖν. ὅπερ οὐδὲν δείκνυσιν ὂν τὸ κατόρθωμα, ἀλλ' ἢ μόνον ἐνόχλησιν. Γαλ. α. ζ. οὕτως ἐξέλυσε τὸ πᾶν. καὶ δοκεῖ μὲν καὶ τὸν νόμον τηρεῖν, τῷ ἐξ αὐτοῦ ταῦτα λαβεῖν· ἔλυσε δὲ αὐτὸν τῷ μόνα λαβεῖν. καίτοιγε πολλάκις αὐτοῖς ὑπὲρ τούτων διελέχθη· ἀλλ' ἵνα δόξῃ καὶ τὸν νόμον τιμᾶν, καὶ ταῦτα οὐχ ὡς ἀπὸ Μωϋσέως λέγων, ἀλλ' ὡς ἀπὸ τῶν ἀποστόλων, καὶ ἵνα πολλὰς ποιήσηται ἐντολάς, τὴν μίαν διεῖλε. τοῦτο μάλιστα αὐτοὺς ἀνέπαυσεν. οἰκονομικῶς δὲ γέγονε καὶ ἡ ἀντιλογία, ἵνα μετὰ τὴν ἀντιλογίαν βεβαιότερον ᾖ τὸ δόγμα. τότε ἔδοξε τοῖς ἀποστόλοις, φησίν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς πέμψαι. οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς ἡγουμένους πέμπουσιν ἐκλεξάμενοι. τοῖς κατὰ Ἀντιόχειαν, φησι, καὶ Συρίαν καὶ Κιλικίαν, ἔνθα τὸ νόσημα ἐτέχθη. ὅρα μηδὲν φορτικὸν κατ' ἐκείνων λέγοντας, ἀλλ' εἰς ἓν ὁρῶντας μόνον, ὥστε ἀνατρέψαι τὸ γεγενημένον. τοῦτο γὰρ καὶ τοὺς ἐκστασιάζοντας ὁμολογῆσαι ἐποίει. οὐκ εἶπον, ὅτι οἱ ἀπατεῶνες, οἱ λυμεῶνες, καὶ ὅσα τοιαῦτα· καίτοι ἔνθα ἐχρῆν, ποιεῖ αὐτὸ Παῦλος, ὡς ὅταν λέγῃ· Ὦ πλήρης παντὸς δόλου· Πραξ. ιγ. ἐνταῦθα δὲ κατορθωθέντος, οὐκ ἔτι χρεία ἦν. καὶ ὅρα, οὐ τιθέασιν, ὅτι τινὲς ἐξ ἡμῶν ἐκέλευσαν ὑμᾶς τὸν νόμον τηρεῖν· ἀλλ' ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες. οὐδὲν κυριώτερον τῆς λέξεως. οὐδεὶς οὕτως εἶπε. τὰς ἤδη βεβαιωθείσας ψυχάς, φησιν, ἀνασκευάζοντες, καθάπερ ἐπὶ οἰκοδομῆς τὰ ὑπ' ἐκείνων γεγενημένα μετατιθέντες. οἷς, φησιν, οὐ διεστειλάμεθα. ἔδοξεν οὖν ἡμῖν γενομένοις ὁμοθυμαδὸν σὺν τοῖς ἀγαπητοῖς. εἰ ἀγαπη-

τοὶ, οὐ καταφρονήσουσιν αὐτῶν· εἰ παρέδωκαν τὰς ψυχὰς, καὶ αὐτοὶ ἀξιόπιστοί εἰσιν. ἀπεστάλκαμεν οὖν, φησὶ, Ἰούδαν καὶ Σίλαν καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδει γὰρ μὴ τὴν ἐπιστολὴν παρεῖναι μόνον, ἵνα μὴ λέγωσιν ὅτι συνήρπασαν, ὅτι ἄλλα ἀντ' ἄλλων εἶπον. τὸ ἐγκώμιον τὸ περὶ Παύλου, ἐμφράξει αὐτῶν τὰ στόματα. διὰ γὰρ τοῦτο οὔτε Παῦλος ἔρχεται μόνον, οὔτε Βαρνάβας, ἀλλὰ καὶ ἄλλοι ἀπὸ τῆς ἐκκλησίας, ἵνα μὴ ὕποπτος ᾖ, ἐπειδὴ αὐτοὺς ἀντελαμβάνετο τοῦ δόγματος, οὔτε οἱ ἀπὸ Ἱεροσολύμων μόνοι. δείκνυσι πῶς ἀξιόπιστοί εἰσιν· οὐκ ἀξιοῦντες ἑαυτοὺς, φησὶν· οὐχ οὕτω μαίνονται. διά τοι τοῦτο καὶ τὸ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, προσέθηκε. καὶ τίνος ἕνεκεν εἶπεν, ἔδοξε τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, καίτοι ἤρκει εἰπεῖν τῷ ἁγίῳ πνεύματι; τὸ μὲν [τοι] τῷ ἁγίῳ πνεύματι, ἵνα μὴ νομίσωσιν ἀνθρώπινον εἶναι· τὸ δὲ, ἡμῖν, ἵνα διδαχθῶσιν ὅτι καὶ αὐτοὶ [καὶ] ἀποδέχονται, καίτοι ἐν περιτομῇ ὄντες. μηδὲν πλέον, φησὶν, ἐπιτίθεσθαι βάρος ὑμῖν. ταῦτα λέγουσιν, ἐπειδὴ πρὸς ἀνθρώπους ἀσθενεῖς ἔτι ὁ λόγος ἦν καὶ πεφοβημένους αὐτούς. διὰ τοῦτο καὶ τοῦτο προσέκειται. δείκνυσι δὲ οὐχὶ συγκαταβάσεως ὄντα τὸν λόγον· οὐδὲ ἐπειδὴ ἐφείδοντο αὐτῶν, οὐδὲ ὡς ἀσθενῶν· ἀλλὰ τοὐναντίον. πολλὴ γὰρ καὶ τῶν διδασκάλων αἰδὼς ἦν. ἐκεῖνο γὰρ περιττὸν βάρος ἦν. ὅρα βραχεῖαν ἐπιστολὴν οὐδὲν πλέον ἔχουσαν, οὐδὲ κατασκευὰς, οὐδὲ συλλογισμοὺς, ἀλλ' ἐπίταγμα. πνεύματος γὰρ ἦν νομοθεσία. ἀνάγκην καὶ τοῦτο βάρος καλοῦσι. καὶ πάλιν, συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν· μετὰ τὴν ἐπιστολὴν καὶ αὐτοὶ παρακαλοῦσι τῷ λόγῳ. ἔδει γὰρ καὶ τοῦτο, ὥστε πάσης ὑποψίας ἀπαλλαγῆναι. καὶ αὐτοί, φησι, προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς. τὸ ἀξιόπιστον ἐνταῦθα δείκνυσιν. ἐδύνατο μὲν γὰρ καὶ Παῦλος· ἀλλὰ τούτους ἔδει. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης. οὐκ ἔτι στάσις, οὐκ ἔτι ἀποστροφή. ἐνταῦθά μοι δοκεῖ τὴν δεξιὰν αὐτοὺς εἰληφέναι, καθὼς αὐτός φησι, Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. εἶτα λέγει, ὅτι οὐδέν μοι προσανέθεντο. τὴν γὰρ αὐτοῦ γνώμην ἐκύρωσαν, ἐπῄνεσαν αὐτὴν καὶ ἐθαύμασαν. δείκνυσιν ὅτι καὶ ἀπὸ ἀνθρωπίνων λογισμῶν τοῦτο δυνατοὶ συνιδεῖν, μήτιγε ἀπὸ πνεύματος μόνον· ὅτι ἡμαρτον ἁμαρτίαν οὐκ εὔκολον διορθωθῆναι. τὰ γὰρ τοιαῦτα οὐ πνεύματος δεῖται. δείκνυσιν ὅτι τὰ ἄλλα οὐκ ἀναγκαῖα, ἀλλὰ περιττά, εἰπὼν ταῦτα ἀναγκαῖα. ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, φησὶν, εὖ πράξετε. δείκνυσιν, ὅτι οὐδὲν αὐτοῖς λείπει, ἀλλ' ἀρκεῖ τοῦτο. ἠδύνατο μὲν γὰρ καὶ χωρὶς γραμμάτων· ἀλλ' ὥστε νόμον εἶναι ἔγραφον, ἐπιστέλλουσι. καὶ πάλιν, ὥστε πιστωθῆναι τῷ νόμῳ, καὶ ἐκείνοις ἔλεγον. καὶ ἐκεῖνοι τοῦτο ἐποίουν, καὶ μετ' εἰρήνης. μὴ δὴ σκανδαλιζώμεθα ἐπὶ τοῖς αἱρετικοῖς. ὅρα γὰρ ἐν προοιμίοις τοῦ κηρύγματος πόσα σκάνδαλα. οὐ λέγω τὰ παρὰ τῶν ἔξωθεν (ταῦτα γὰρ οὐδὲν ἦν) ἀλλὰ τὰ ἔνδον. οἷον, πρῶτον ὁ Ἀνανίας· ἔπειτα ὁ γογγυσμός· ἔπειτα Σίμων ὁ μάγος· εἶτα οἱ ἐγκαλοῦντες Πέτρῳ διὰ Κορνήλιον· ἔπειτα ὁ λιμός· ἔπειτα αὐτὸ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν. οὐδὲ γὰρ ἔνι καλοῦ τινος γινομένου μὴ συνυφαίνεσθαι καὶ πονηρόν. μὴ δὴ θορυβώμεθα, εἴ τινες σκανδαλίζονται· ἀλλὰ καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι δοκιμωτέρους ἡμᾶς ποιεῖ. οὐ γὰρ δὴ αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ πειρασμοὶ λαμπροτέρους ἡμᾶς ἐργάζονται. ὁ μὲν γὰρ, μηδενὸς ὄντος τοῦ πλανῶντος, τῆς ἀληθείας ἐχόμενος, οὐκ ἂν εἴη σφοδρὸς ἐραστὴς τῆς ἀληθείας· ὁ δὲ πολλῶν ἀφελκόντων, οὗτος εὐδόκιμος. τί οὖν; διὰ τοῦτο γίνεται τὰ σκάνδαλα; οὐ λέγω, ὡς τοῦ Θεοῦ ταῦτα ποιοῦντος (μὴ γένοιτο) ἀλλὰ καὶ ὡς ἀπὸ τῆς ἐκείνων πονηρίας εὐεργετοῦντος ἡμᾶς· ἐπεὶ αὐτοὺς οὐδέποτε ἐβούλετο γενέσθαι. Δὸς αὐτοῖς, φησιν, ἵνα ἓν ὦσιν. ἐπειδὴ δὲ γίνεται τὰ σκάνδαλα, οὐδὲν τούτους βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. ὥσπερ οὖν καὶ τοὺς μάρτυρας ἄκοντες ὠφελοῦσιν οἱ ἐπὶ τὸ μαρτύριον ἕλκοντες, οὐ μὴν ὑπὸ τοῦ Θεοῦ ὠθοῦνται πρὸς τοῦτο· οὕτω δὴ καὶ ἐνταῦθα, μὴ ἴδωμεν ὅτι σκανδαλίζονται. τοῦτο αὐτὸ τεκμήριον τῆς

σπουδαίων

Γαλ. β. θ.

χ. ὑπεῖδε

χ. ποιεῖν

Ιωαν. ιζ. κα.

σπουδαῖον εἶναι τὸ δόγμα, τὸ πολλοὺς ὑποκρίνεσθαι καὶ μιμεῖσθαι. οὐ γὰρ ἂν, εἰ μὴ καλὸν ἦν, ὑπεκρίνοντο. καὶ τοῦτο ἤδη ποιήσω ὑμῖν φανερόν. τὰ μύρα τὰ εὐώδη ταῦτα ἔχει τοὺς νοθεύοντας αὐτά· οἷόν ἐστι, φύλλον ἄμωμον. ἐπειδὴ γὰρ σπουδαία ἐστὶ καὶ ἀναγκαῖα, πολλὰ καὶ νόθα ἐστίν. οὐδεὶς δὲ ἂν εἵλετο ἄλλο τι τῶν εὐτελῶν νοθεῦσαι. ὁ βίος ὁ καθαρὸς πολλοὺς ἔχει τοὺς νοθεύοντας· οὐδεὶς δὲ ἂν εἵλετο ὑποκρίνεσθαι τὸν ἐν φαυλότητι, ἀλλὰ τὸν ἐν μοναδικῷ βίῳ. (χ. μοναχῷ) τί οὖν ἂν εἴποιμεν πρὸς τοὺς Ἕλληνας; ἔρχεται Ἕλλην καὶ λέγει, ὅτι βούλομαι γενέσθαι χριστιανός· ἀλλ' οὐκ οἶδα τίνι προσθῶμαι· μάχη παρ' ὑμῖν πολλὴ καὶ στάσις, πολὺς θόρυβος. ποῖον ἕλωμαι δόγμα; τί αἱρήσομαι; ἕκαστος λέγει, ὅτι ἐγὼ ἀληθεύω. τίνι πειθῶ, μηδὲν ὅλως εἰδὼς ἐν ταῖς γραφαῖς, κἀκεῖνοι τὸ αὐτὸ προβάλλονται; *πάνυ γε τοῦτο ὑπὲρ ἡμῶν. (* πάνυ) εἰ μὲν γὰρ λογισμοῖς ἐλέγομεν πείθεσθαι, εἰκότως ἐθορυβοῦ· εἰ δὲ ταῖς γραφαῖς λέγομεν πιστεύειν, αὗται δὲ ἁπλαῖ καὶ ἀληθεῖς, εὔκολόν σοι τὸ κρινόμενον. εἴ τις ἐκείναις συμφωνεῖ, οὗτος χριστιανός· εἴ τις μάχεται, οὗτος πόρρω τοῦ κανόνος τούτου. τί οὖν ἂν ἐκεῖνος ἐλθὼν εἴπῃ τοῦτο ἔχειν τὴν γραφὴν, σὺ δὲ ἑτέρως λέγῃς, καὶ ἄλλως παρεξηγῆσθε τὰς γραφὰς, τὰς διανοίας αὐτῶν ἕλκοντες; σὺ οὖν, εἰπέ μοι, νοῦν οὐκ ἔχεις, οὐδὲ κρίσιν; καὶ πῶς ἂν δυναίμην, φησί, μηδὲ εἰδὼς κρίνειν τὰ ὑμέτερα; (χ. μηδὲ κρίνειν μαθεῖν) μαθητὴς βούλομαι γενέσθαι· σὺ δέ με ἤδη διδάσκαλον ποιεῖς; ἂν ταῦτα λέγῃ, τί, φησίν, ἀποκρινώμεθα; πῶς αὐτὸν πείσομεν; (χ. πείσωμεν;) ἐρωτήσωμεν εἰ μὴ σκῆψις ταῦτα καὶ πρόφασις· ἐρωτήσωμεν εἰ κατέγνω τῶν Ἑλλήνων. πάντως ἴσως ἐρεῖ. (χ. ὅτι) οὐ γὰρ δὴ μὴ καταγνοὺς ἐπὶ τὰ ἡμέτερα ἥξει. ἐρωτήσωμεν τὰς αἰτίας, δι' ἃς κατέγνω. οὐ γὰρ δὴ ἁπλῶς κατέγνω. εὔδηλον ὅτι ἐρεῖ διὰ τὸ κτίσματα εἶναι, καὶ μὴ εἶναι ἀκτίστους θεούς. καλῶς. ἂν οὖν τοῦτο μὲν εὕρῃ παρὰ ταῖς ἄλλαις αἱρέσεσι, τὸ δὲ ἐναντίον παρ' ἡμῖν, ποίου λόγου χρεία; πάντες ὁμολογοῦμεν ὅτι ὁ Χριστὸς Θεός. ἀλλ' ἴδωμεν τίνες μάχονται, καὶ τίνες οὐ μάχονται. ἡμεῖς λέγοντες Θεὸν, ἄξια Θεοῦ καὶ φθεγγόμεθα, ὅτι ἐξουσίαν ἔχει, ὅτι οὐκ ἔστι δοῦλος, ὅτι ἐλεύθερος, ὅτι ἀφ' ἑαυτοῦ πάντα ποιεῖ· ἐκεῖνος δὲ τοὐναντίον. πάλιν ἐρωτῶ· εἰ ἰατρὸς μέλλοις μανθάνειν, ἆρα ἁπλῶς καὶ ὡς ἔτυχεν, εἰπέ μοι, τὰ λεγόμενα καταδέχῃ; καίτοι πολλὰ παρ' ἐκείνοις δόγματα. εἰ μὲν οὖν ἁπλῶς ἅπερ ἂν ἀκούσῃς καταδέχῃ, οὐκ ἔστι τοῦτο ἀνδρός· εἰ δὲ κρίσιν ἔχεις καὶ νοῦν, πάντως εἴσῃ τὸ καλόν. ὃν λέγομεν ἡμεῖς, καὶ ἐπαληθεύομεν ὃ λέγομεν· ἐκεῖνοι δὲ λέγουσι μὲν, οὐχ ὁμολογοῦσι δέ. ἵνα δὲ καὶ σαφέστερον εἴπω, ἐκεῖνοι ἔχουσί τινας ἀφ' ὧν καλοῦνται, αὐτοῦ τοῦ αἱρεσιάρχου δηλοῦντος τὸ ὄνομα, (χ. δηλοῦντος) καὶ ἑκάστη αἵρεσις ὁμοίως· παρ' ἡμῖν δὲ ἀνὴρ μὲν οὐδεὶς ἔδωκεν ἡμῖν ὄνομα, ἡ δὲ πίστις αὐτή. ἀλλὰ σκῆψις τοῦτο καὶ πρόφασις. διὰ τί γάρ, εἰπέ μοι, ἂν μὲν ἱμάτιον μέλλῃς πρίασθαι, καίτοι γε ὑφαντικῆς ἄπειρος ὢν τέχνης, οὐ λέγεις ταῦτα τὰ ῥήματα, ὅτι οὐκ οἶδα ἀγοράσαι, ἐμπαίζουσί μοι· ἀλλὰ πάντα ποιεῖς, ὥστε μαθεῖν; κἂν ἄλλο ὁτιοῦν βουληθῇς ὠνήσασθαι, πάντα ποιεῖς πολυπραγμονῶν, ἐνταῦθα δὲ ταῦτα λέγεις· ὥστε ἐπὶ τῷ λόγῳ τούτῳ οὐδὲν ὅλως καταδέξῃ. ἔστω γάρ τις μηδὲν ὅλως δόγμα ἔχων· ἂν κἀκεῖνος λέγῃ, ὅπερ εἰ τῶν χριστιανῶν σύ, τοσοῦτον πλῆθος ἀνθρώπων ἐστί, καὶ δόγματα ἔχουσι διάφορα, ὁ μὲν Ἕλλην ἐστίν, ὁ δὲ Ἰουδαῖος, ὁ δὲ χριστιανός· οὐδὲ ἓν δεῖ δόγμα καταδέξασθαι (ἀλλήλοις γὰρ πολεμοῦσιν) ἐγὼ μαθητής εἰμι, καὶ κριτὴς οὐ βούλομαι εἶναι, οὐδὲ ἔξω καταγινώσκειν ἑνὸς δόγματος. οὐκ ἔτι σοι αὕτη λοιπὸν ἡ πρόφασις χώραν ἔχει. καθάπερ γὰρ ἴσμεν τὸ νόθον ἐκβαλεῖν, οὕτως ἴσμεν καὶ ἐνταῦθα ἥττων δοκιμάσαι τὸ λυσιτελές. ὁ μὲν γὰρ μηδενὸς ὅλως δόγματος καταγνοὺς, εὐκόλως ταῦτα ἐρεῖ· ὁ δὲ καταγνοὺς, κἂν μηδὲν ἠρημένος ᾖ, οὐδ' ὣς προφάσεων δυνήσεται συνιδεῖν τὸ δέον. μὴ δὴ σκηπτώμεθα, μηδὲ προφασιζώμεθα. πάντα γὰρ ῥᾴδια. βούλει σοι δείξω, ὅτι πρόφασίς ἐστι ταῦτα; τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα οἶδας; διὰ τί οὖν τὰ πρακτέα μὴ πράττεις, ἀλλὰ τὰ μὴ πρακτέα; πρᾶξον ἐκεῖνα, καὶ ὀρθῷ λογισμῷ ζήτησον παρὰ τοῦ Θεοῦ, καὶ αὐτός σοι πάντως ἀποκαλύψει. Οὐκ ἔστι προσωπολήπτης, φησίν, ὁ Θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ Πράξ. ι. λε.

φοβούμενος

φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν. Οὐκ ἔστι τὸν χωρὶς περιλήψεως ἀκούοντα μὴ πείθεσθαι. ὥσπερ γὰρ εἰ χειμών τις ἦν, πρὸς ὃν πάντα ἀποδύεσθαι ἔχρῆν, οὐ πολλῆς ἔδει σκέψεως, ἀλλὰ τὸν διαμένοντα εὔκολον ἦν λαβεῖν· οὕτω καὶ νῦν. πῶς δὴ οὐ συνορῶσι; πολλὰ ποιεῖ καὶ πρόληψις, καὶ ἀνθρώπιναι αἰτίαι. Τοῦτο δὲ περὶ ἡμῶν, φησὶ, καὶ ἐκεῖνοι λέγουσι. πῶς; μὴ γὰρ ἀπεσχίσμεθα τῆς ἐκκλησίας; μὴ γὰρ αἱρεσιάρχας ἔχομεν; μὴ γὰρ ἀπ' ἀνθρώπων καλούμεθα; μὴ γὰρ προηγούμενος ἡμῶν τίς ἐστιν, ὥσπερ τῷ μὲν Μαρκίων,* τῷ δὲ Μανιχαῖος, τῷ δὲ Ἄρειος, τῷ δὲ ἄλλος τις αἱρέσεως ἀρχηγός; εἰ δὲ καὶ ἡμεῖς προσηγορίαν τινὸς ἔχομεν, ἀλλ' οὐ τοὺς τῆς αἱρέσεως ἄρξαντας, ἀλλὰ τοὺς προστάντας ἡμῶν καὶ κυβερνήσαντας τὴν ἐκκλησίαν. οὐκ ἔχομεν διδασκάλους ἐπὶ τῆς γῆς (μὴ γένοιτο) ἕνα ἔχομεν τὸν ἐν τοῖς οὐρανοῖς. κἀκεῖνοι, φησὶ, τὰ αὐτὰ προβάλλονται. ἀλλ' ἐφέστηκε τὸ ὄνομα κατηγοροῦν αὐτῶν, καὶ ἐμφράττον τὰ στόματα. πολλοὶ γεγόνασιν Ἕλληνες, καὶ οὐδεὶς ταῦτα ἠρώτησε, καὶ παρὰ φιλοσόφοις ἦν ταῦτα, καὶ οὐδεὶς ἐκωλύθη τὴν τὴν ὀρθὴν αἵρεσιν ἐχόντων. διὰ τί μὴ εἶπον, ὅτι ταῦτα ἐκεῖνοι, ὅτι καὶ οὗτοι κἀκεῖνοι Ἰουδαῖοι· τίνι δεῖ ἡμᾶς πείθεσθαι; ἀλλ' ἐπείσθησαν ὡς ἔδει. οὐκοῦν καὶ ἡμεῖς πειθώμεθα τοῖς τοῦ Θεοῦ νόμοις, καὶ πάντα πράττωμεν κατὰ τὸ αὐτῷ δοκοῦν, καὶ κατὰ τὴν αὐτοῦ βούλησιν πολιτευσώμεθα, ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ, ἵνα μετ' ἀρετῆς τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνησώμεθα, καὶ σὺν τοῖς εὐαρεστήσασιν αὐτῷ τιμῆς ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, τῆς μιᾶς καὶ ἀληθοῦς θεότητος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* τῷ δὲ Παῦλος Σαμοσατεύς, καὶ προγνάτης

Λογ. λδ. 35 ΠΑΥΛΟΣ ΔΕ ΚΑΙ ΒΑΡΝΑΒΑΣ ΔΙΕΤΡΙΒΟΝ ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ Κυρίου.
36 Μετὰ δέ τινας ἡμέρας, εἶπε Παῦλος πρὸς Βαρνάβαν, ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι.

Ὅρα πάλιν αὐτῶν τὸ ταπεινὸν, πῶς καὶ ἑτέροις μεταδίδωσι τοῦ λόγου. καὶ ἤδη μὲν τῶν ἀποστόλων τῶν λοιπῶν τὸ ἦθος αἰνιξάμενός μοι ὁ Λουκᾶς, δείκνυσιν ὅτι ὁ μὲν ἁπαλώτερος ἦν καὶ μᾶλλον συγγνωμονικός, οὗτος δὲ ἀκριβέστερος καὶ αὐστηρότερος. διάφορα γάρ ἐστι τὰ χαρίσματα. ὅτι δὲ καὶ τοῦτο χάρισμα, δῆλον. ἀλλ' ἐκεῖνο μὲν ἑτέροις ἤθεσιν ἀνθρώπων ἁρμόζει, τοῦτο δὲ ἑτέροις. κἂν μετασκευάσωνται, γίνεται ἄχρηστον λοιπόν. καὶ δοκεῖ μὲν εἶναι ὁ παροξυσμὸς τὸ δὲ πᾶν οἰκονομία ἐστίν. ὥστε γὰρ τοὺς προσήκοντας ἕκαστον τόπους ἀπολαβεῖν, τοῦτο γέγονε. ἄλλως δὲ, καὶ ἔδει πάντας οὐχ ὁμοτίμους εἶναι, ἀλλὰ τὸν μὲν ἄρχειν, τὸν δὲ ἄρχεσθαι· καὶ τοῦτο οἰκονομικόν. Κύπριοι μὲν γὰρ οὐδὲν τοιοῦτον ἐπεδείξαντο, οἱ δὲ ἐν Ἀντιοχείᾳ καὶ οἱ λοιποὶ καὶ ἐκεῖνοι μᾶλλον ἐδέοντο τοῦ ἤθους τοῦ ἁπαλωτέρου· οὗτοι δὲ τούτου.*

37 Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν καὶ Ἰωάννην τὸν καλούμενον Μάρκον·

38 Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον.

39 Ἐγένετο οὖν παροξυσμὸς, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον ἐκπλεῦσαι εἰς Κύπρον·

* τίς ἦν ὁ τῶν λόγος [illegible]

40 Παῦλος

40 Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. Οὕτω καὶ ἐν τοῖς προφήταις εὑρίσκεται διαφόρους γνώμας, καὶ διάφορα ἤθη· οἷον ὁ Ἠλίας αὐστηρός· ὁ Μωϋσῆς πρᾶος. καὶ ἐνταῦθα τοίνυν σφοδρότερός ἐστιν ὁ Παῦλος. ἀλλ' ὅρα καὶ οὕτω τὸ ἐπιεικὲς αὐτοῦ. ἠξίου, φησὶ, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας μὴ συμπαραλαβεῖν. καθάπερ γὰρ τις στρατηγὸς οὐκ ἂν ἕλοιτο τὸν σκευοφόρον ἔχειν ἀεὶ βλακεύοντα· οὕτως οὐδὲ ὁ ἀπόστολος. τοῦτο καὶ τοὺς ἄλλους ἐπαίδευε, καὶ αὐτὸν ἐρρύθμιζεν ἐκεῖνον. οὐκοῦν, φησι, κακὸς ὁ Βαρνάβας; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα ἄτοπον τὸ νομίζειν τοῦτο. πῶς δὲ οὐκ ἄτοπον ὑπὲρ οὕτω πράγματος μικροῦ τοῦτον λέγειν γενέσθαι κακόν; ἀλλ' ὅρα ὅτι πρῶτον μὲν κακὸν οὐδὲν γέγονεν, εἰ ὁλοκλήροις ἔθνεσιν ἀρκοῦντες ἀπεσχίσθησαν ἀπ' ἀλλήλων, ἀλλὰ καὶ μέγα ἀγαθόν. ἔπειτα εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν εἵλοντο εὐκόλως ἀφεῖναι ἀλλήλους. σὺ δέ μοι θαύμασον τοῦτο μηδὲ τοῦτο κρύψαντα. ἀλλ' εἰ τὸ χωρισθῆναι ἔδει, φησὶ, χωρὶς παροξυσμοῦ. μάλιστα μὲν οὕτω τὸ ἐντεῦθεν δείκνυται τὰ ἀνθρώπινα. εἰ γὰρ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἔδει γενέσθαι, πολλῷ μᾶλλον ἐνταῦθα. ἄλλως δὲ, ὁ παροξυσμὸς οὐκ ἂν εἴη φαῦλος, ὅταν ὑπὲρ τοιούτων ἕκαστος ἀμφισβητῇ, τὸ μετὰ δικαίου λόγου. εἰ μὲν οὕτω τις αὐτῶν τὸ ἑαυτοῦ ζητῶν παρωξύνετο, καὶ τὴν εἰς αὐτὸν τιμὴν, καλῶς· εἰ δὲ παιδεῦσαι καὶ διδάξαι ἑκάτερος βουλόμενος, ὁ μὲν ταύτην, ὁ δὲ ἐκείνην ὁδὸν, τοῦτο ποῖον ἔγκλημα; πολλὰ καὶ ἀνθρωπίνῃ διανοίᾳ ἐποίουν. οὐ γὰρ ἦσαν λίθοι, ἢ ξύλα. καὶ ὅρα Παῦλον καὶ κατηγοροῦντα, καὶ τὴν αἰτίαν λέγοντα. ᾐδεῖτο γὰρ τὸν Βαρνάβαν ἀπὸ ταπεινοφροσύνης πολλῆς, ἅτε κεκοινωνηκότα ἐν τοσούτοις αὐτῷ καὶ μετ' αὐτοῦ ὄντα. ἀλλ' οὐχ οὕτως ᾐδεῖτο, ὥστε τὸ προδοῦναι τὸ δέον. τίς μὲν οὖν ἄμεινον ἐβουλεύσατο, οὐχ ἡμῶν ἀποφήνασθαι· πλὴν δὲ ὅτι μεγάλη γέγονεν οἰκονομία, εἴγε οὗτοι μὲν ἔμελλον δεῦτερον ἐπισκέψεως ἀξιοῦσθαι, ἐκεῖνοι δὲ οὐδὲ ἅπαξ. οὐχ ἁπλῶς διέτριβον ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐδίδασκον. τί ἐδίδασκον; τί δὲ εὐηγγελίζοντο; τοὺς τε ἤδη πιστοὺς, τοὺς τε οὐδέπω. ἐπεὶ γὰρ μυρία σκάνδαλα ἦν, ἔδει τῆς αὐτῶν παρουσίας. τὸ ζητούμενον, οὐχ ὅτι διηνέχθησαν ἐν ταῖς γνώμαις, ἀλλ' ὅτι συγκατέβησαν ἀλλήλοις [ἰδεῖν.] οὕτω μεῖζον ἀγαθὸν γέγονε τὸ χωρισθῆναι, καὶ πρόφασιν ἐκ τούτου τὸ πρᾶγμα ἔλαβε. τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; μὴ γένοιτο. ὁρᾷς γοῦν μετὰ τοῦτο Βαρνάβαν πολλῶν ἐγκωμίων ἀπολαύοντα παρὰ Παύλου ἐν ταῖς ἀποστολαῖς. παροξυσμὸς, φησιν, ἐγένετο, οὐκ ἔχθρα, οὐδὲ φιλονεικία. τοσοῦτον ἴσχυσεν ὁ παροξυσμὸς, ὥστε χωρίσαι· καὶ εἰκότως. ὅπερ γὰρ ἕκαστος ὑπέλαβεν εἶναι λυσιτελὲς, τοῦτο μετὰ ταῦτα οὐ προσέθηκαν διὰ τὴν πρὸς ἐκεῖνον κοινωνίαν. ἐμοὶ δοκεῖ τὸ κατὰ συνέσιν γεγενῆσθαι τὸν χωρισμὸν, καὶ πρὸς ἀλλήλους εἰπεῖν· ὅτι ἐπειδὴ ἐγὼ οὐ βούλομαι, σὺ δὲ βούλει, ἵνα μὴ μαχώμεθα, διανειμώμεθα τοὺς τόπους. ὥστε πάνυ εἴκοντες ἀλλήλοις τοῦτο ἐποίουν. ἐβούλετο γὰρ στῆναι τὸ Παύλου Βαρνάβας, διὰ τοῦτο καὶ ἀνεχώρησεν· ἐβούλετο καὶ Παῦλος ὁμοίως τὸ ἐκείνου, διὰ τοῦτο τὸ αὐτὸς τὸ ἴσον ποιεῖ τὸ ἀναχωρεῖ. εἴθε καὶ ἡμεῖς τοιούτους ἐχωριζόμεθα χωρισμοὺς, ὥστε ἐπὶ κήρυγμα ἀπιέναι. Παῦλος δὲ, φησιν, ἐπιλεξάμενος τὸν Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. θαυμαστός ἐστιν οὗτος ὁ ἀνὴρ καὶ σφόδρα μέγας. πάνυ δὲ ὠφέλει τὸν Μάρκον ἡ μάχη αὕτη. τὸ μὲν γὰρ Παύλου φοβερὸν, ἐπέστρεψεν αὐτόν· τὸ δὲ Βαρνάβα χρηστὸν, ἐποίει μηκέτι ἀπολειφθῆναι. ὥστε μάχονται μὲν, πρὸς ἓν δὲ τέλος ἀπαντᾷ τὸ κέρδος. καὶ γὰρ Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἂν ἐφοβήθη καὶ κατέγνω ἑαυτοῦ· καὶ πάλιν Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ ἂν αὐτὸν ἐφίλησε, τὸ διωρθοῦτο ὁ μαθητὴς διὰ τῆς μάχης τῶν διδασκάλων· τοσοῦτον ἀπεῖχε τοῦ σκανδαλισθῆναι. εἰ μὲν γὰρ διὰ τὴν εἰς ἑαυτοὺς τιμὴν τοῦτο ἐπράττετο, εἰκότως· εἰ δὲ διὰ τὴν αὐτοῦ σωτηρίαν, καὶ δι' ἃ φιλονεικοῦσιν, ὥστε δεῖξαι τὸν ἠτιμάσαντα αὐτὸν καλῶς βεβουλευμένον, τί ἄτοπον; ὅρα τὴν σύνεσιν Παύλου. οὐ πρότερον ἐπ' ἄλλας ἔρχεται πόλεις,

πεὶ

γρ. τοσοῦτον γίνεσθαι κακόν;

περὶ ἣν τὰς δεξαμένας τὸν λόγον ἐπισκέψασθαι.

41 Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας.

κεφ. ιϛ. 1 Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν. Καὶ γὰρ ἀνοίας ἐστὶν εἰκῆ τρέχειν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν· τοὺς προφήτας προφῆτον παιδεύωμεν, ἵνα μὴ οὗτοι ἐμπόδιον γίνωνται τοῖς μετὰ ταῦτα. ἐπισκεψώμεθά, φησι, τοὺς ἀδελφοὺς πῶς ἔχουσι. καὶ τοῦτο ἠγνόει εἰκότως, ἵνα ἐλθὼν τοὺς ἀδελφοὺς ἐπισκέψηται. ὅρα αὐτὸν ἀεὶ διεγηγερμένον, μεριμνῶντα, οὐκ ἀνεχόμενον καθῆσθαι, καίτοι μυρίους ὑπέμεινε κινδύνους. ὁρᾷς ὅτι οὐ δειλίας ἦν τὸ εἰς Αντιόχειαν ἐλθεῖν; καθάπερ γὰρ ἰατρὸς ἐπὶ τοὺς κάμνοντας ἀπῄει. καὶ τὴν ἀνάγκην τῆς ἐπισκέψεως ἐδήλωσεν εἰπὼν ἐν αἷς κατηγγείλαμεν τὸν λόγον. ἀπέστη ὁ Βαρνάβας, καὶ οὐκέτι συνῆλθεν. ἐπιλεξάμενός, φησι, τὸν Σίλαν καὶ παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ. τί τοῦτό ἐστιν; ηὔξαντο, φησιν, ἐδεήθησαν τοῦ Θεοῦ. ὅρα πανταχοῦ μεγάλα δυναμένην τὴν εὐχὴν τῶν ἀδελφῶν. καὶ λοιπὸν πεζῇ ὥδευε, καὶ διὰ τῆς ὁδοιπορίας ὠφελῆσαι τοὺς ὁρῶντας βουλόμενος. εἰκότως. ὅτε μὲν γὰρ ἔσπευδεν, ἔπλεεν· νῦν δὲ οὐκέτι. Καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος·

2 Ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν.

3 Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχεν. Οντως ἄξιον ἐκπλαγῆναι τοῦ Παύλου τὴν σύνεσιν. ὁ τοσαῦτα μαχεσάμενος περὶ τῆς περιτομῆς, ὁ πάντα κινήσας, καὶ μὴ πρότερον ἀποστάς, ἕως ὅτε κατώρθωσε, τοῦ δόγματος κυρωθέντος, περιτέμνει τὸν μαθητήν. οὐ μόνον ἑτέρους οὐ κωλύει, ἀλλὰ καὶ αὐτὸς τοῦτο ἐργάζεται. οὐδὲν Παύλου συνετώτερον· ὥστε πάντα πρὸς τὸ συμφέρον ἑώρα, οὐδὲν ἁπλῶς ἐποίει πρόληψιν. τοῦτον ἠθέλησε, φησιν, ἐξελθεῖν σὺν αὐτῷ. τὸ θαυμαστὸν τοῦτο, ὅτι καὶ ἐπήγετο αὐτόν. διὰ τοὺς Ἰουδαίους, φησί, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. αὕτη ἡ αἰτία τοῦ περιτεμεῖν. οὐ γὰρ ἂν ἠνέσχοντο παρὰ ἀκροβύστου τὸν λόγον ἀκοῦσαι. καὶ τί; ὅρα τὸ κατόρθωμα. περιέτεμεν, ἵνα περιτομὴν καθέλῃ. τὰ δόγματα γὰρ ἐκήρυττε τὰ τῶν ἀποστόλων. ὁρᾷς μάχην, καὶ διὰ μάχης οἰκοδομήν; οὐ παρὰ ἑτέρων πολεμούμενοι, ἀλλὰ καὶ αὐτοὶ ἐναντία ποιοῦντες, οὕτω τὴν ἐκκλησίαν ᾠκοδόμουν. δόγμα εἰσήνεγκεν μὴ περιτέμνειν, καὶ περιτέμνει. Καὶ ἐπερίσσευον, φησι, τῷ ἀριθμῷ καθ' ἡμέραν *. εἶδες τὸ κέρδος τῆς περιτομῆς; εἶτα λοιπὸν οὐκ ἐνδιατρίβει τούτοις, ἅτε ἐπισκέψασθαι ἐλθών· ἀλλὰ τί; πόρρω πρόεισιν.

4 Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἱερουσαλήμ.

5 Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν.

9 "Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ. Τὴν Φρυγίαν καὶ τὴν Γαλατίαν" ἀφέντες, εἰς τὴν μεσόγαιον ἔσπευδον.

7 Ἐλθόντες κατὰ τὴν Μυσίαν ἐπείραζον "εἰς τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. Διὰ τί μὲν οὖν ἐκωλύθησαν, οὐ λέγει· ὅτι δὲ ἐκωλύθησαν, εἶπε, παιδεύων ἡμᾶς πείθεσθαι μόνον, καὶ μὴ ζητεῖν τὰς αἰτίας· καὶ δεικνύς, ὅτι πολλὰ καὶ ἀνθρωπίνως ἐποίουν.

8 Παρελθόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρῳάδα,

9 Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ. ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς παρακαλῶν αὐτόν, καὶ λέγων· διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν.

Διὰ τί ὅραμα, καὶ μὴ τὸ πνεῦμα τὸ" ἅγιον ἐκέλευσε; ἐβούλετο αὐτοὺς καὶ οὕτως ἐφέλκεσθαι.

σθαι. ἐπεὶ καὶ τοῖς ἁγίοις ὄναρ ἐφαίνη, καὶ ἐξ ἀρχῆς αὐτὸς ὅραμα εἶδεν, ἄνδρα εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρας. εἶτα καὶ διὰ τοῦτο αὐτὸν ἐκεῖ ἕλκει, ἵνα ἐκτείνηται τὸ κήρυγμα. ἄλλως δὲ, καὶ διὰ τοῦτο κωλύεται ἐνδιατρῖψαι ταῖς ἄλλαις πόλεσιν, ἐπείγοντος αὐτὸν τοῦ Χριστοῦ. οὗτοι μὲν γὰρ ἔμελλον ἀπολαύσεσθαι Ἰωάννου καὶ χρόνον πολὺν, καὶ ἴσως οὐδὲ πολλοῦ ἐδέοντο· ἐκεῖ δὲ ἀπελθεῖν ἔδει. καὶ ἀντιπεράσας λοιπὸν ἔξεισιν.

10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς.

11 Ἀναχθέντες οὖν ἀπὸ Τρῳάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν,

12 Ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη * τῆς Μακεδονίας, πόλις κολώνια. ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. Οὕτως αὐτῷ καὶ ὁ Χριστὸς φαίνεται λέγων· Οἱ Καισαρεῖς δεῖ περιάγειν. εἶτα λέγει καὶ τοὺς τόπους, ἅτε ἱστορίαν διηγούμενος, καὶ δεικνὺς ποῦ ἐνεχρόνισε· καὶ δείκνυσιν ὅτι ἐν ταῖς μείζοσι τὰς δὲ ἄλλας παρῄει. ἀξίωμα ἐστὶ πόλεως ἡ κολώνια. ἀλλ' ἄνωθεν ἴδωμεν τὰ εἰρημένα. ἀναγκαίαν προστίθησι τῷ Βαρνάβᾳ τῆς ἀποδημίας, λέγων· ἐπισκεψώμεθα τὰς πόλεις, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον. καίτοι οὐκ ἔδει ἀξιοῦν αὐτὸν μέλλοντα κατηγορεῖν μετὰ ταῦτα. τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ γίνεται καὶ τοῦ Μωϋσέως ὁ μὲν ἀξιοῖ, ὁ δὲ ὀργίζεται. οἷον ὡς ὅταν λέγῃ· Εἰ ὁ πατὴρ αὐτῆς ἐμπτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς· καὶ πάλιν, Ἄφες με, καὶ θυμωθεὶς ἐξαλείψω τὸν λαὸν τοῦτον· καὶ ὁ Σαμουὴλ ὅταν πενθῇ τὸν Σαούλ. δι' ἑκατέρων [γὰρ] μεγάλα γίνεται ἀγαθά. οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὲν ὀργίζεται, ὁ δὲ οὐκ ἔτι. τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται. καὶ ὁ παροξυσμὸς εἰκότως, ἵνα ἐκεῖνος παιδευθῇ, καὶ μὴ δόξῃ σκηνὴ τὸ πρᾶγμα εἶναι. οὐ γὰρ ἂν * ὁ πανταχοῦ εἴκων, ἐνταῦθα οὐκ εἶξεν, οὐδ' ὁ οὕτω Παῦλον φιλῶν, ὥστε καὶ περὶ τούτου ζητῆσαι αὐτὸν ἐν Ταρσῷ, καὶ πρὸς τοὺς ἀποστόλους αὐτὸν ἀπενεγκεῖν, καὶ τὴν ἐλεημοσύνην κοινὴν ἐργάσασθαι, καὶ τὰ κατὰ τὸ δόγμα κοινῇ καταδέξασθαι. οὐκ ἂν οὖν διὰ τοιοῦτον πρᾶγμα ὠργίσθη· ἀλλὰ χωρίζονται ἀπ' ἀλλήλων, ὥστε παιδεῦσαι, καὶ ἀπαρτίσαι διὰ τοῦ χωρισμοῦ τοὺς ἀνομοθέους τῆς περὶ αὐτὸν διδασκαλίας. ὥσπερ οὖν καὶ ἀλλαχοῦ ποιεῖ, λέγων· Ὑμεῖς δὲ μὴ ἐκκακεῖτε τὸ καλὸν ποιοῦντες. καὶ ἐπιτιμᾷ μὲν ἑτέροις, καὶ κελεύει δὲ τὸ καλὸν ποιεῖν πρὸς πάντας. τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ποιοῦμεν. ἐνταῦθά μοι δοκοῦσι καὶ ἄλλοι συναγανακτῆσαι τῷ Παύλῳ. καὶ λοιπὸν κατιδὼν κἀκείνους λαβὼν πάντα ποιεῖ, καὶ παρακαλεῖ, καὶ νουθετεῖ. πολλὰ ἡ ὁμόνοια δύναται, πολλὰ ἡ ἀγάπη. κἂν ὑπὲρ μεγάλου ἀξιοῖς, κἂν ἀνάξιος ᾖς, ἀπὸ τῆς προαιρέσεως ἀκουσθήσῃ, μὴ φοβοῦ. διήρχετο, φησὶ, τὰς πόλεις· καὶ ἰδοὺ ἦν μαθητὴς ὀνόματι Τιμόθεος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. μεγάλη ἡ πίστις Τιμοθέου, ὅτι ὑπὸ πάντων μαρτυρεῖται. ὅτε ἀπέστη Βαρνάβας, ἕτερον ἀντίρροπον εὑρίσκει. περὶ τούτου φησὶ, Μεμνημένος σου τῶν δακρύων, καὶ τῆς ἀνυποκρίτου σου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ. καὶ λαβὼν, φησὶ, περιέτεμεν αὐτόν. τίνος δὲ ἕνεκεν αὐτὸς ἐπάγει, λέγων· διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις; διὰ τοῦτο τοίνυν περιτέμνεται [ὁ] καὶ διὰ τὸν πατέρα. Ἕλλην γὰρ ἐγεγόνει ὤν. ἄρα οὐκ ἦν ἐμπερίτομος. ὅρα ἤδη τὸν νόμον λυόμενον. πιστὸς δὲ ἐδόκει μετὰ τὸ κήρυγμα αὐτὸν περιθεῖναι· ἀλλ' οὐκ ἔστι τάχα τοῦτο. ἀπὸ βρέφους γὰρ, φησὶ, τὰ ἱερὰ γράμματα οἶδας. ἐκεῖνο τοίνυν ἐστὶν εἰπεῖν, ἢ εἰ μὴ τοῦτο, ὅτι ἔμελλεν αὐτὸν ἐπίσκοπον ποιεῖν, καὶ οὐκ ἔδει ἀκρόβυστον εἶναι. τέως δὲ ἔδει τὰ ἔθνη μηδὲν τοιοῦτον φυλάττειν. οὐ μικρὸν καὶ τοῦτο ἦν, ὅτε γε μετὰ τοσοῦτον χρόνον καὶ τοῦτο αὐτοὺς ἐσκανδάλιζεν. ἀρχὴ καταλύσεως ἦν, τὸ τὰ ἔθνη μὴ τηρεῖν ταῦτα καὶ μηδὲν βλάπτεσθαι, μηδὲ ἔλαττον ἔχειν κατὰ τὴν πίστιν. ἑκόντες λοιπὸν ἀφίσταντο. ἐπεὶ οὖν ἔμελλε κηρύττειν, ἵνα μὴ διπλῇ πλήξῃ τοὺς Ἰουδαίους, περιέτεμε τοῦτον. καίτοι ἐξ ἡμισείας ἦν. ἀπὸ πατρὸς Ἕλληνος γὰρ ἦν, καὶ πιστῆς

μητρός;

Παροιμ. κζ. κδ.

Αριθ. ιβ. ιδ.

Εξ. λβ. λβ.

α. Βασ. ιϛ. α.

β. Θεσ. γ. ιγ.

β. Τιμ. α. ε.

μηδείς; ἀλλ' ὅμως ἐπειδὴ μέγα ἦν ἐκεῖνο τὸ κατόρθωμα τὸ ἐν τοῖς ἔθνεσιν, οὐκ ἐφρόντιζε τούτου. τὸν γὰρ λόγον ἔδει κατασπαρῆναι. διὰ τοῦτο καὶ αὐτὸς αὐτὸν περιέτεμεν. ὅρα καὶ ἐνταῦθα ἀπὸ κωλύσεως μέγα τι γινόμενον ἀγαθόν. καὶ ἐπερίσσευον τῷ ἀριθμῷ, φησίν. ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν ἔβλαψεν ἡ περιτομή, ἀλλὰ καὶ τὰ μέγιστα ὠφέλησεν; ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως, φησίν, ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος. ὅρα, οὐκέτι δι' ἀγγέλου, καθάπερ Φιλίππῳ, καθάπερ Κορνηλίῳ· ἀλλὰ τί; δι' ὁράματος φαίνεται αὐτῷ· λοιπὸν ἀνθρωπινώτερον, οὐκέτι θειότερον. ἔνθα μὲν γὰρ εὐκολώτερον τὸ πεισθῆναι, ἀνθρωπινώτερον· ἔνθα δὲ πολλὴ ἡ βία, θειότερον. ὅπου μὲν γὰρ κηρύξαι ἦν πείθειν μόνον, εἰς τοῦτο ὄναρ φαίνεται αὐτῷ· ὅπου δὲ μὴ κηρύξαι οὐκ ἠνείχετο, εἰς τοῦτο πνεῦμα ἅγιον ἀποκαλύπτει. οὕτω καὶ ἐκεῖ τῷ Πέτρῳ· ἀναστὰς κατάβηθι. οὐ γὰρ δὴ καὶ τὰ εὔκολα εἰργάζετο τὸ πνεῦμα, ἀλλ' ἤρκει καὶ ὄναρ αὐτῷ. καὶ τῷ Ἰωσὴφ δὲ ῥᾳδίως πειθομένῳ ὄναρ φαίνεται, τοῖς δὲ ἄλλοις ὕπαρ. οὕτω καὶ Κορνηλίῳ. καὶ αὐτῷ τούτῳ. καὶ ἰδού, φησιν, ἀνὴρ Μακεδὼν ἑστώς, παρακαλῶν καὶ λέγων. οὐκ εἶπεν, ἐπιτάττων, ἀλλά, παρακαλῶν· τουτέστιν, ὑπὲρ αὐτῶν τῶν δεομένων τῆς θεραπείας. τί ἐστι συμβιβάζοντες; στοχαζόμενοι, φησί. τῷ τε γὰρ Παῦλον ἰδεῖν καὶ μηδένα ἕτερον, καὶ τῷ κωλυθῆναι ὑπὸ τοῦ πνεύματος, καὶ τῷ πρὸς τοῖς ὁρίοις εἶναι, ἀπὸ τούτων ἁπάντων ταῦτα συνῆγον. ἄλλως δὲ, ὁ πλοῦς τοῦτο ἐνέφαινεν. οὐ γὰρ ἐγένετο χρόνος πολύς, ὅθεν εἰς αὐτὴν τὴν ῥίζαν τῆς Μακεδονίας παραγίνονται. ὥστε ὁ παροξυσμὸς συμφερόντως οἰκονομεῖται γενέσθαι. οὐκ ἂν γὰρ ἐνήργησε τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἂν τὸν λόγον Μακεδονία ἐδέξατο. ἡ δὲ τοσαύτη προκοπή, σημεῖον τοῦ μὴ εἶναί τι ἀνθρώπινον τὸ γεγονός. καίτοι οὐκ ἔφη ὅτι Βαρνάβας παρωξύνθη· ἀλλά, μεταξὺ αὐτῶν παροξυσμὸς ἐγένετο. εἰ οὗτος οὐ παρωξύνθη, οὐδὲ ἐκεῖνος.

ΗΘΙΚΟΝ

Ταῦτα εἰδότες, μὴ ἁπλῶς δὴ αὐτὰ ἐκλέγωμεν, ἀλλὰ μανθάνωμεν καὶ παιδευώμεθα (οὐ γὰρ εἰκῇ γέγραπται) μέγα κακὸν ἀγνοεῖν γραφάς. ἀφ' ὧν ὠφελεῖσθαι δεῖ, ἀπὸ τούτων βλαπτόμεθα. οὕτω καὶ φάρμακα πολλάκις φύσιν ἔχοντα θεραπευτικήν, οὐκ εἰδότων τῶν χρωμένων καλῶς χρῆσθαι αὐτοῖς, διαφθείρει καὶ ἀπόλλυσι· καὶ ὅπλα δυνάμενα φυλάξαι, ἂν μηδεὶς αὐτὰ εἰδῇ περιθεῖναι, ὑπὸ αὐτῶν διαφθείρεται. τὸ δὲ αἴτιον, ὅτι πάντα μᾶλλον ζητοῦμεν, ἢ τὸ τῆς ψυχῆς ὄφελος· καὶ τὰ ἀλλότρια μᾶλλον σκοποῦμεν, ἢ τὸ ἡμέτερον συμφέρον. καὶ οἰκίας μὲν σύστασιν πολλάκις ζητοῦμεν, καὶ οὐκ ἂν ἀνασχοίμεθα παλαιουμένην αὐτὴν ἰδεῖν, οὐδὲ καταπίπτουσαν, οὐδὲ ὑπὸ χειμώνων ἐπηρεαζομένην· περὶ δὲ τῆς ψυχῆς οὐδεμία φροντίς· ἀλλὰ κἂν τοὺς θεμελίους αὐτῆς ἴδωμεν σηπομένους, κἂν τὴν οἰκοδομὴν καὶ τὸν ὄροφον, οὐδεὶς ἡμῖν ὁ λόγος ἐστί. πάλιν ἄλογα ἂν ἔχωμεν, τὸ συμφέρον αὐτῶν ζητοῦμεν, καὶ ἱπποφορβοὺς καὶ ἱππιατροὺς, καὶ πάντα κάλων κινοῦμεν· καὶ οἰκίας ἐπιμελούμεθα, καὶ τοῖς ἐμπεπιστευμένοις παραινοῦμεν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν ἐλαύνειν, μηδὲ βάρος ἐπιτιθέναι, μηδὲ ἀωρὶ τὴν νύκτα ἐξάγειν, μηδὲ τὰς τροφὰς ἀπεμπολεῖν, καὶ πολλοὶ νόμοι περὶ τοῦ συμφέροντος τῶν ἀλόγων κεῖνται παρ' ἡμῖν· τῆς δὲ ψυχῆς λόγος οὐδείς. πάλιν τί λέγω περὶ ἀλόγων τῶν χρησίμων ἡμῖν; εἰσὶ πολλοὶ, οἳ στρουθοὺς ἔχουσιν οὐδὲν ἔχοντας χρήσιμον, ἀλλ' ἢ ἁπλῶς τέρποντας, καὶ πολλοὶ καὶ περὶ ἐκείνων νόμοι, καὶ οὐδὲν ἠμελημένον, οὐδὲ ἄτακτόν ἐστι· καὶ πάντων μᾶλλον ἐπιμελούμεθα, ἢ ἡμῶν αὐτῶν. οὕτω πάντων ἐσμὲν ἀτιμότεροι. κἂν μέν τις ὑμᾶς ὑβρίζων εἴπῃ, κύων, ἀλγοῦμεν· ἡμεῖς δὲ ἡμᾶς αὐτοὺς ὑβρίζοντες, οὐ λόγῳ, ἀλλ' ἔργῳ, καὶ μηδὲ τοσαύτης μεταδιδόντες ἐπιμελείας τῇ ψυχῇ, ὅσης τοῖς κυσίν, οὐδὲν ἡγούμεθα πάσχειν δεινόν. ὁρᾶτε ὅσα σκότους τὰ πάντα ἐμπέπλησται; πόσοι φροντίζουσι τῶν κυνῶν, ὥστε μὴ πλέον τοῦ δέοντος ἐμπλησθῆναι, ὥστε ὀξεῖς εἶναι καὶ θηρατικοὺς ὑπὸ τοῦ λιμοῦ καὶ τῆς πείνης ὠθουμένους· ἑαυτῶν δὲ οὐκ ἐπιμελοῦνται, οὐδὲ ἐπιτάττουσιν ὥστε μὴ τρυφᾶν; καὶ τὰ μὲν ἄλογα φιλοσοφεῖν διδάσκουσιν· αὐτοὶ δὲ εἰς τὴν τῶν ἀλόγων θηρι-

ωδίαν

ἐσθίειν ἀνέχονται καταπαιζόμενοι. αἴνιγμα τὸ πρᾶγμά ἐστι. καὶ πῶς τὰ ἄλογα φιλοσοφεῖ, φησίν; ἢ οὐ δοκεῖ σοι φιλοσοφίας εἶναι μεγάλης, ὅταν κύων δαρδαπτόμενος ὑπὸ τοῦ λιμοῦ, μετὰ τὸ λαβεῖν καὶ θηρεῦσαι, παρούσης ἀπέχηται τῆς τροφῆς, καὶ τράπεζαν ὁρῶν παρακειμένην, καὶ τοῦ λιμοῦ κατεπείγοντος, ἀναμένοι τὸν δεσπότην; αἰσχύνθητε ἑαυτούς· παιδεύσατε τὰς ὑμετέρας γαστέρας οὕτως εἶναι φιλοσόφους. οὐκ ἔστιν ὑμῖν ἀπολογία. ἀλόγῳ φύσει δυνηθεὶς ἐνθεῖναι, οὔτε φθεγγομένῃ, οὔτε λογισμὸν ἐχούσῃ τοσαύτην φιλοσοφίαν, πολλῷ μᾶλλον δυνήσῃ σαυτῷ. ὅτι γὰρ ἐπιμελείας ἀνθρωπίνης ἐστὶ, καὶ οὐ φύσεως, ἐχρῆν ἅπαντας τοῦτο τοὺς κύνας ἔχειν. γίνεσθε οὖν κατὰ τοὺς κύνας. ὑμεῖς γάρ με ἀναγκάζετε ἐκεῖθεν τὰ παραδείγματα φέρειν. οὐδὲ μὲν γὰρ ἀπὸ τῶν οὐρανίων. ἐπειδὴ δ' ἂν εἴπω τι τοιοῦτον, λέγετε ὅτι ἐκεῖνα μεγάλα εἰσί· διὰ τοῦτο οὐδὲ λέγω τὰ οὐράνια. κἂν εἴπω τὸν Παῦλον, λέγετε ὅτι ἐκεῖνος ἀπόστολος ἦν· διὰ τοῦτο οὐδὲ Παῦλον λέγω. ἂν εἴπω ἀνθρώπους, λέγετε ὅτι ἐκεῖνος ἠδύνατο· διὰ τοῦτο οὐδὲ ἄνθρωπον λέγω, ἀλλὰ θηρίον, καὶ θηρίον οὐ φύσει τοῦτο ἔχον, ἵνα μὴ εἴπητε ὅτι φύσει, καὶ οὐ προαιρέσει τὸ κατόρθωμα· καὶ τὸ δὴ θαυμαστὸν, προαιρέσει οὐκ οἰκείᾳ, ἀλλὰ τῇ σῇ ἐπιμελείᾳ. οὐχ ὅτι κατακόπτῃ, οὐχ ὅτι διεσπάσθη τῷ δρόμῳ, οὐχ ὅτι τοῖς οἰκείοις αὐτοῦ πόνοις ἔλαβεν, ἐννοεῖ· ἀλλὰ πάντα ταῦτα ῥίψας ἔξω, τὸ τοῦ δεσπότου πρόσταγμα φυλάττει, καὶ γαστρὸς ἀνώτερος γίνεται. ναὶ, φησί· προσδοκᾷ γὰρ ἐπαινεθήσεσθαι· προσδοκᾷ πλείονος ἀπολαύσεσθαι τραπέζης. εἰπὲ οὖν καὶ σαυτῷ, ὅτι ὁ κύων ἐλπίδι μελλούσης ἡδονῆς, τῆς παρούσης καταφρονεῖ· σὺ δὲ οὐ βούλει ἐλπίδι τῶν μελλόντων ἀγαθῶν, τῶν παρόντων καταφρονεῖν. ἀλλ' ἐκεῖνος μὲν οἶδεν ὅτι ἂν ἀκαίρως καὶ παρὰ τὸ τῷ δεσπότῃ δοκοῦν τῆς τροφῆς ἀπογεύσηται, κἀκείνης ἀποστερηθήσεται, καὶ οὐδὲ τὴν ὡρισμένην ἕξει, πληγὰς λαβὼν αἰτία τῆς τροφῆς· σὺ δὲ οὐδὲ τοῦτο δύνασαι ἰδεῖν, καὶ ὅπερ ἀπὸ τῆς συνηθείας ἔμαθεν ἐκεῖνος, τοῦτο σὺ ἀπὸ λόγου οὐ κατορθοῖς. μιμησώμεθα τοὺς κύνας. τοῦτο λέγονται καὶ ἱέρακες ποιεῖν καὶ ἀετοί. ὅπερ ἐπὶ τῶν λαγωῶν καὶ τῶν δορκάδων ἐκεῖνοι, τοῦτο ἐπὶ τῶν ὀρνίθων οὗτοι· καὶ οὗτοι δὲ πάλιν ἀπὸ φιλοσοφίας ἀνθρωπίνης. ταῦτα ἡμᾶς καταδικάσαι ἔχει, ταῦτα ἡμᾶς ἐλέγξει. εἴπω καὶ ἕτερον· ἵππους ἀγρίους καὶ ἀνημέρους λαβόντες, λακτίζοντας καὶ δάκνοντας, ἐν βραχεῖ χρόνῳ οὕτω παιδεύουσιν οἱ ἔμπειροι, ὡς τὸν ἐπιβάτην τρυφᾶν τῶν ἐπικαθημένων διὰ τὸ τῆς βαδίσεως εὔτακτον· τῆς δὲ ψυχῆς ἄτακτα βαδιζούσης, οὐδεὶς ἐπιμελεῖται, ἀλλὰ καὶ πηδᾷ καὶ λακτίζει καὶ σύρεται χαμαὶ, καθάπερ παιδίον, καὶ ἀσχημονεῖ μυρία, καὶ οὐδεὶς αὐτῇ ψαλίδας περιτίθησιν, οὐδὲ ποδόστροφα, οὐδὲ χαλινοὺς, οὐδὲ ἐπικαθίζει τὸν ἔμπειρον ἐπιβάτην, τὸν Χριστὸν λέγω. διά τοι τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν γὰρ καὶ γαστρὸς κρατεῖν κύνας παιδεύῃς, καὶ θυμὸν ἐν λέοντι δαμάζῃς, καὶ ἀταξίαν ἐν ἵπποις, καὶ εὐγλωττίαν ἐν ὄρνισι, πῶς οὐκ ἄτοπον ἐν μὲν ἀλόγοις φύσεσι λογικὰ ἐντιθέναι κατορθώματα· ἐν δὲ λογικαῖς τὰ τῶν ἀλόγων ἐπεισάγειν πάθη; οὐκ ἔστιν ἡμῖν, οὐκ ἔστι συγγνώμη· πάντες ἡμῶν κατηγορήσουσιν οἱ κατωρθωκότες, καὶ πιστοὶ καὶ ἄπιστοι. καὶ γὰρ καὶ ἄπιστοι κατώρθωσαν, καὶ θηρία καὶ κύνες, οὐκ ἄνθρωποι μόνον· καὶ ἡμεῖς ἡμῶν αὐτῶν κατηγορήσομεν, ὅταν μὲν βουλώμεθα κατορθοῦντες, ὅταν δὲ ῥᾳθυμῶμεν, ὑποσυρόμενοι. καὶ γὰρ καὶ τῶν ἐν σφοδρᾷ κακίᾳ ὄντων πολλοὶ πολλάκις θελήσαντες μετεβάλοντο. τὸ δὲ αἴτιον, ὅπερ ἔφην, ὅτι περιερχόμεθα τὰ ἑτέρων συμφέροντα ζητοῦντες, οὐ τὰ ἡμέτερα. ἂν οἰκίαν οἰκοδομήσῃς λαμπρὰν, τὸ τῆς οἰκίας συμφέρον εἶδες, οὐ τὸ σόν· ἂν ἵππον καλὸν, ὡσαύτως. οὐδεὶς ὅπως ἔσται ψυχὴ καλὴ σκοπεῖ· καίτοι ταύτης οὔσης καλῆς, οὐδενὸς ἐκείνων δεῖ· οὐκ οὔσης δὲ, οὐδὲν ἐξ ἐκείνων ὄφελος. καθάπερ γὰρ ἐπὶ νύμφης, κἂν παστάδες ὦσιν ἐκ παραπετασμάτων χρυσῶν, κἂν χοροὶ ὦσι γυναικῶν εὐειδεστάτων καὶ καλῶν, κἂν ῥόδα, καὶ στέμματα, κἂν ὁ νυμφίος καλὸς ᾖ, κἂν αἱ θεράπαιναι, κἂν αἱ φίλαι, κἂν πάντες εὐπρεπεῖς ὦσιν, ἐκείνη δὲ ἀμορφίας ᾖ μεστὴ, ὄφελος οὐδέν· ὥσπερ οὖν οὐδὲ, καλῆς οὔσης, βλάβος τι γένοιτ' ἂν ἀπὸ τούτων, ἀλλὰ καὶ τοὐναντίον (ἀπὸ μὲν γὰρ ἐκείνων, ἀμόρφου οὔσης, ἀμορφοτέρα ἂν

χ. ἀνεύστη

χ. ὁ δυν. ταύτης

χ. ἐκεῖνοι μεγάλοι ἦσαν·

χ. ἀλόγων

χ. ὑπεσθεὺς ὄντος τοῦ διδάσκοντος, πῶ

χ. μένωμεν

φαίνοιτο· ἀπὸ δὲ τούτων ὡραιότερα ἂν γένοιτο) οὕτω δὴ καὶ ψυχή, ὅταν ᾖ καλή, οὐ μόνον οὐδενὸς δεῖται τούτων, ἀλλὰ καὶ συσκιάζει τὸ κάλλος αὐτῆς. τὸν γὰρ φιλόσοφον οὐχ οὕτως ἐν πλούτῳ, ὡς ἐν πενίᾳ ὀψόμεθα λάμποντα. ἐκεῖ μὲν γὰρ τοῖς χρήμασιν οὗτοι πολλοὶ λογιοῦνται, καὶ τὸ μὴ ἐνδεᾶ χρημάτων εἶναι· ὅταν δὲ πενίᾳ συζῇ, καὶ διὰ παντὸς λάμπῃ, καὶ μηδὲν αἰσχρὸν ἀναγκάζηται ποιεῖν, οὐκέτι ἄλλος τις διαφιλονεικεῖται πρὸς αὐτὸν τῶν ἐπὶ τῇ φιλοσοφίᾳ στεφάνων. ταύτην οὖν καλλωπίζωμεν, εἴγε βουλοίμεθα πλουτεῖν. τί τὸ ὄφελος, ὅταν αἱ μὲν ἡμίονοι λευκαὶ ὦσι καὶ σφριγῶσαι καὶ εὐσωματῶσι· σὺ δὲ ὁ καθήμενος λεπτὸς καὶ ψωραλέος καὶ δυσειδής; τί δαὶ τὸ κέρδος, ὅταν τὰ μὲν στρώματα ἁπαλὰ καὶ καλὰ ᾖ, καὶ πολλῆς ποικιλίας γέμοντα καὶ τέχνης, ἡ δὲ ψυχὴ ῥάκια περιβεβλημένη ᾖ καὶ γυμνὴ καὶ αἰσχρά; τί τὸ κέρδος, ὅταν ὁ μὲν ἵππος [illegible] βαδίζῃ καὶ χορεύοντι μᾶλλον ἐοικὼς ἢ βαδίζοντι, ὥσπερ ὁ μετὰ τῆς χορείας κόσμῳ κεκοσμημένος ἢ νυμφίος· ὁ δὲ ἐπικαθήμενος τὴν χωλὴν μᾶλλον ἀσκωλιάζῃ, καὶ τῶν μεθυόντων καὶ τῶν μαινομένων μᾶλλον διεστραμμένος ἢ καὶ χεῖρας καὶ πόδας; εἰπὲ δή μοι, εἴ τίς σοι ἵππον ἐδίδου καλόν, καὶ τὸ σῶμα διέστρεφε, τί τὸ ὄφελος; νῦν δὲ ψυχὴν διεστραμμένην ἔχεις, καὶ οὐδέν σοι μέλει; φροντίσωμεν ἡμῶν αὐτῶν ποτε, παρακαλῶ. μὴ δὴ πάντοτε ἀτιμοτέρους ἡμᾶς ἀλόγων καταστήσωμεν. κἂν μὲν ῥήμασί τις ὑβρίζῃ, δακνόμεθα καὶ ἀλγοῦμεν· πράγμασι δὲ ἑαυτοὺς ὑβρίζοντες, οὐκ ἐπιστρεφόμεθα. ἀνανήψωμεν ὀψὲ γοῦν ποτε, ἵνα δυνηθῶμεν καὶ τῆς ψυχῆς πολλὴν τὴν ἐπιμέλειαν ποιούμενοι, καὶ τῆς ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λε. 13 ΤΗ ΔΕ ΗΜΕΡΑ ΤΩΝ ΣΑΒΒΑΤΩΝ ΕΞ-ήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. 14 Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου.

ΟΡα πάλιν Ἰουδαΐζοντα τὸν Παῦλον, καὶ ἀπὸ τοῦ καιροῦ, καὶ ἀπὸ τοῦ τόπου. οὗ ἐνομίζετο, φησί, προσευχὴ εἶναι. οὐ γὰρ δὴ ἔνθα συναγωγὴ ἦν μόνον, ἀλλὰ καὶ ἔξω ηὔχοντο, ὥσπερ τόπον τινὰ ἀφορίζοντες, ἅτε σωματικώτεροι ὄντες Ἰουδαῖοι. τῇ ἡμέρᾳ δὲ τῶν σαββάτων, ὅτε καὶ ὄχλον εἰκὸς ἦν συνελθεῖν. καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουσεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. ὅρα δὲ ἄτυφον πάλιν. γυνὴ καὶ ταπεινὴ αὕτη, καὶ δηλοῖ ἀπὸ τῆς τέχνης. ἀλλ' ὅρα δὲ φιλόσοφον αὐτήν. πρῶτον μὲν γὰρ αὐτῇ ἐμαρτύρησεν οὗτος, τὸ σέβεσθαι τὸν Θεόν· ἔπειτα δὲ καλέσαι τοὺς ἀποστόλους αὐτήν.

15 Ὡς δὲ ἐβαπτίσθη [αὐτὴ] καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε* λέγουσα· [κύριοί μου,] εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε. καὶ παρεβιάσατο ἡμᾶς. Ὡς δὲ ἐβαπτίσθη, φησίν, αὐτὴ καὶ ἡ οἰκία αὐτῆς. σκόπει πῶς ἀθρόον ἐπείσθη. εἶτα βλέπε συνέσεως, πῶς δυσωπεῖ τοὺς ἀποστόλους, πόσης ταπεινότητος γέμει τὰ ῥήματα, πόσης σοφίας. εἰ κεκρίκατέ με, φησί, πιστὴν τῷ Κυρίῳ. οὐδὲν ἐντρεπτικώτερον. τίνα οὐκ ἂν ἐμάλαξε ταῦτα τὰ ῥήματα; οὐκ ἠξίωσεν, οὐ παρεκάλεσεν ἁπλῶς, οὐκ ἀφῆκε κυρίους εἶναι, ἀλλὰ καὶ ἠνάγκασε σφόδρα. ὅτι γὰρ αὐτὸ τὸ, παρεβιάσατο ἡμᾶς· τουτέστι, τούτοις τοῖς ῥήμασιν. ὅρα πῶς εὐθέως καρποφορεῖ καὶ κέρδος ἡγεῖται μέγα τὴν κλῆσιν. ὅτι δὲ πιστὴν ἐκρίνατε, δηλοῖ ἐκ τοῦ ἐγχειρίσαι μοι τοιαῦτα μυστήρια, οὐκ ἂν ἐγχειρίσαντες, εἰ μὴ τοιαύτην ἐκρίνατε. καὶ οὐκ ἐτόλμησε,

γ. χρήμ…

γ. μὲν … μετὰ … καὶ …

γ. π

γ. ἀλλοίας

* αὐτό

γ. ἐντρεπτικώτερον

ἐτόλμησε περὶ τούτου καλέσαι, ἀλλ' ὅτε ἐβαπτίσθη· δηλοῖ ἐντεῦθεν ποιοῦσα, ὅτι οὐκ ἂν ἄλλως ἔπεισε. διὰ τί δὲ οὐκ ἐβούλοντο οἱ περὶ Παῦλον, ἀλλ' ἀνέβιον, ὥστε καὶ βιασθῆναι αὐτούς; ἤτοι ἐκείνην ἐκκαλούμενοι εἰς μείζονα προθυμίαν· ἢ ἐπειδὴ εἶπεν ὁ Χριστός, Εἰς ἣν ἂν πόλιν εἰσέλθητε, τίς ἐστιν ἄξιος, ἐρωτήσατε, καὶ ἐκεῖ μείνατε. ὥστε πάντα διὰ οἰκονομίας ἐποίουν. Ματθ. ι. ζ.

16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη.

17 Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας.

Τί δήποτε καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ ὁ Παῦλος ἐκώλυσε; κἀκεῖνος κακούργως ἐποίει, καὶ οὗτος συνετῶς. ἐβούλετο γὰρ μὴ ἀξιόπιστον αὑτὸν ποιεῖν. εἰ γὰρ προσήκατο αὐτοῦ τὴν μαρτυρίαν ὁ Παῦλος, πολλοὺς ἂν καὶ τῶν πιστῶν ἠπάτησεν, ἅτε ὑπ' ἐκείνου δεχθείς. διὰ τοῦτο ἀνέχεται τὰ καθ' ἑαυτὸν εἰπεῖν, ἵνα στήσῃ τὰ ὑπὲρ αὐτοῦ· καὶ αὐτὸς συγκαταβάσει χρῆται πρὸς τὴν ἀπώλειαν. (γ. τοῦ / γ. ἑαυτῷ) τὸ μὲν οὖν πρῶτον οὐ προσήκατο Παῦλος, ἀλλὰ διέπτυσεν, οὐ βουλόμενος ἑαυτὸν ἐπιῤῥίπτειν ἁπλῶς τοῖς σημείοις. ὡς δὲ ἐπέμενε τοῦτο ποιῶν [ἐπὶ πολλὰς ἡμέρας] καὶ τὸ ἔργον ἐδείκνυ, [οὗτοι οἱ ἄνθρωποι, λέγων, δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν,] οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας, τότε ἐκέλευσεν αὐτῷ ἐξελθεῖν.

18 Διαπονηθεὶς δὲ ὁ Παῦλος καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπε· παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ' αὐτῆς. καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας,

20 Καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες,

21 Καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσι. Πανταχοῦ τὰ χρήματα αἴτια τῶν κακῶν. ὢ τῆς ὠμότητος τῆς ἑλληνικῆς. ἐβούλοντο δαιμονᾶν τὸ κοράσιον, ὥστε χρηματίζεσθαι. ἐπιλαβόμενοί, φησι, τὸν Παῦλον καὶ τὸν Σίλαν ἔλεγον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. τί ποιήσαντες; διὰ τί οὖν [μὴ] περὶ τούτου εἱλκύσατε; Ἰουδαῖοι, φησιν, ὑπάρχοντες. οὕτω τὸ ὄνομα διεβέβλητο. καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσιν. εἰς καθοσίωσιν τὸ πρᾶγμα ἤγαγον.

22 Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν. Ὢ τῆς ἀνοίας. οὐκ ἐξήτασαν, οὐ μετέδωκαν λόγου· καίτοι, τοιούτου θαύματος γενομένου, δέον προσκυνῆσαι, δέον ὡς σωτῆρας καὶ εὐεργέτας ἔχειν. εἰ γὰρ χρήματα ἐβούλεσθε, διὰ τί τοιοῦτον πλοῦτον εὑρόντες, μὴ ἐπεδράμετε; τοῦτο λαμπροτέρους ποιεῖ, τὸ δύνασθαι δαίμονας ἀπελαύνειν, ἢ τὸ αὐτοῖς πείθεσθαι. ἰδοὺ καὶ σημεῖα, καὶ ἡ φιλοχρηματία πλέον ἴσχυσε. (γ. ὑμᾶς ἐποίει / γ. διαῤῥήξ.) Καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες τὰ ἱμάτια αὐτῶν, ἐκέλευον ῥαβδίζειν,

23 Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς. Ὁ μὲν οὖν Παῦλος τὸ πᾶν εἰργάσατο, καὶ τὰ θαύματα, καὶ τὴν διδασκαλίαν· τῶν δὲ κινδύνων καὶ ὁ Σίλας κοινωνεῖ. τί ἐστι, διαπονηθεὶς δὲ ὁ Παῦλος; τὴν κακουργίαν, φησίν, ἰδὼν τοῦ δαίμονος, καθὼς αὐτὸς ἀλλαχοῦ λέγει· Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. (β. Κορ. β. ια.) διὰ τί μὴ εἶπον, ὅτι τὰ δαιμόνια ἐξέβαλον; ὅτι εἰς Θεὸν ἠσέβησαν; ἀλλ' ἐπὶ καθοσίωσιν τρέπονται; ἵνα αὐτοῖς τοῦτο ᾖ. οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ἔλεγον· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. Πᾶς ὁ ἑαυτὸν ποιῶν βασιλέα, ἀντιλέγει τῷ Καίσαρι. (Ἰωαν. ιθ. ιε.) καὶ ἔβαλον αὐτούς, φησιν, εἰς φυλακήν. πολὺς ὁ θυμός.

24 Ὃς παραγγελίαν τοιαύτην εἰληφώς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν,

καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. Ὅρα, κἀκεῖνος πάλιν εἰς τὴν ἐσωτέραν φυλακὴν αὐτοὺς ἐνέβαλε· καὶ τοῦτο οἰκονομικῶς. ἐπειδὴ γὰρ θαῦμα ἔμελλε γίνεσθαι μέγα, ἐπιτήδειος ὁ τόπος πρὸς τὴν ἀκρόασιν ὁ ἔξω τῆς πόλεως κρίνεται, πειρασμῶν ἀπηλλαγμένος καὶ κινδύνων. ὅρα πῶς οὐκ αἰσχύνεται τὰ ἐπιτηδεύματα καταλέγειν ὁ τὴν ἱστορίαν γράφων. ἄτε δὴ καὶ ἐργασίας οὔσης, μᾶλλον προσεῖχον τοῖς λεγομένοις· καὶ οὐδὲ ἡ πόλις αὕτη μεγάλη ἡ τῶν Φιλιππησίων. Ταῦτα δὴ μαθόντες καὶ ἡμεῖς, μηδένα ἐπαισχυνώμεθα. παρὰ βυρσεῖ μένει Πέτρος, παρὰ πορφυροπώλιδι Παῦλος καὶ ξένη. ποῦ ὁ τῦφος; ἄρα τοῦ Θεοῦ δεόμεθα, ὥστε διανοῖξαι καρδίαν. ὁ Θεὸς δὲ ἀνοίγει καρδίας τὰς βουλομένας. εἰσὶ γὰρ καὶ πεπηρωμένας ἔχουσιν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. γυνή, φησι, πορφυρόπωλις, ἧς ὁ Κύριος ἤνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. τὸ μὲν οὖν ἀνοῖξαι, τοῦ Θεοῦ· τὸ δὲ προσέχειν, αὐτῆς. ὥστε καὶ θεῖον καὶ ἀνθρώπινον ἦν. ὡς δὲ ἐβαπτίσθη, φησί, παρεκάλεσε λέγουσα· εἰ κεκρίκατέ με. ὅρα· καὶ βαπτίζεται, καὶ δέχεται τοὺς ἀποστόλους μετὰ τοσαύτης ἱκετηρίας, μετὰ πλείονος, ἢ ὁ Ἀβραάμ. καὶ οὐκ εἶπεν οὐδὲν ἄλλο τεκμήριον, ἀλλ' ἐκεῖνο, ἐφ' οὗ ἐσώθη. οὐκ εἶπεν, εἰ μεγάλην γυναῖκα, εἰ εὐλαβῆ κεκρίκατέ με· ἀλλὰ τί; πιστὴν τῷ Κυρίῳ. εἰ τῷ Κυρίῳ, πολλῷ μᾶλλον ὑμῖν, εἰ μὴ ἀμφισβητεῖτε. καὶ οὐκ εἶπε, παρ' ἐμοί, ἀλλ', εἰς τὸν οἶκόν μου μείνατε, ὥστε δεῖξαι ὅτι μετὰ πολλῆς τοῦτο ἐποίει προθυμίας. οὕτως πιστὴ ἡ γυνή. Εἰπὲ δή μοι, τίς οὗτός ἐστιν ὁ δαίμων; Θεός, φησι, Πύθων. ἀπὸ τοῦ τόπου οὕτω λέγεται. ὁρᾷς ὅτι καὶ ὁ Ἀπόλλων δαίμων ἐστί; καὶ [ἐπεὶ] ἐβούλετο εἰς πειρασμοὺς αὐτοὺς ἐμβαλεῖν, ὥστε [μᾶλλον] παροξῦναι, [παρώρμησε λέγειν·] ὦ μιαρὲ καὶ παμμίαρε. εἰ γίνωσκεις ὅτι ὁδὸν σωτηρίας καταγγέλλουσι, τί μὴ ἀφίστασαι ἑκών; ἀλλ' ὅπερ Σίμων ἐβούλετο λέγων· Δότε μοι, ἵν', ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον, τοῦτο καὶ οὗτος ἐποίει. ἐπειδὴ εἶδεν εὐδοκιμοῦντας, καὶ ὧδε ὑποκρίνεται. ταύτῃ προσεδόκησεν ἑαυτὸν ἀφίεσθαι ἐν τῷ σώματι, εἰ τὰ αὐτὰ κηρύξειεν. εἰ δὲ περὶ ἀνθρώπου λέγεται, ὅτι Οὐχ ὡραῖος ὁ αἶνος ἐν στόματι ἁμαρτωλοῦ· πολλῷ μᾶλλον περὶ δαιμόνων. εἰ παρὰ ἀνθρώπων τὴν μαρτυρίαν οὐ λαμβάνει ὁ Χριστός, οὐδὲ παρὰ Ἰωάννου, πολλῷ μᾶλλον παρὰ δαίμονος. τὸ γὰρ κηρύττειν, οὐκ ἀνθρώπων, ἀλλὰ πνεύματος ἁγίου. ἐπεὶ οὖν ἀλαζονικῶς ἐποίουν βοῶντες, τῇ κραυγῇ καταπλήξειν ἐνόμισαν, λέγοντες· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. τί λέγεις; πείθῃ τῷ δαίμονι; διὰ τί οὖν οὐχὶ καὶ ἐνταῦθα; ἐκεῖνος λέγει, ὅτι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου· σὺ λέγεις, ὅτι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. ἐκεῖνος λέγει, ὅτι καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας· σὺ λέγεις, παραδιδόασιν ἡμῖν ἔθη, ἃ οὐκ ἔξεστι παραδέχεσθαι. ὅρα οὐδὲ τῷ δαίμονι αὐτοὺς προσέχοντας, ἀλλὰ πρὸς ἓν ὁρῶντας, τὴν φιλαργυρίαν. Εἵλκυσάν τε αὐτούς, φησιν, εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν. ὅρα αὐτοὺς οὐκ ἀποκρινομένους, οὐδὲ ἀπολογουμένους, ἵνα μείζονος ἄξιοι θαύματος γένωνται. ὅταν γάρ, φησιν, ἀσθενῶ, τότε δυνατός εἰμι. Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὥστε καὶ ἀπὸ τῆς ἐπιεικείας θαυμασθῆναι αὐτοὺς ἐχρῆν. ὅσῳ ἀκριβεστέρα ἡ φυλακὴ γίνεται, τοσούτῳ τὸ θαῦμα λαμπρότερον. ἴσως τὴν στάσιν ἐκκόψαι βουλόμενοι τοῦτο ἐποίουν ἐκεῖνοι, ἐπειδὴ εἶδον τὸν ὄχλον ἐφεστῶτα, ταῖς μὲν πληγαῖς τὸν θυμὸν τέως σβέσαι ἐβούλοντο· τῷ δὲ εἰς δεσμωτήριον ἐμβαλεῖν καὶ παραγγεῖλαι ἀσφαλῶς τηρεῖν, ἀκοῦσαι ἤθελον τοῦ πράγματος. καὶ ἠσφαλίσατο, φησιν, εἰς τὸ ξύλον, ὡς ἂν εἴποι τις, εἰς τὸ νέρβον.

Πραξ. η.

Σειρ. ιθ. θ.

Παροιμ. κϛ. ζ.

β. Κορ. ιβ. θ.

ΗΘΙΚΟΝ

Πόσων δακρύων ταῦτα νῦν ἄξια; ἐκεῖνοι μὲν ἔπαθον ὅσα καὶ ἔπαθον· ἡμεῖς δὲ ἐν τρυφῇ, ἡμεῖς δὲ ἐν θεάτροις. ὅθεν καὶ ἀπολλύμεθα καὶ καταποντιζόμεθα ἀνέσιν ζητοῦντες πανταχοῦ, καὶ οὐδὲ μέχρις ὀνειδισμοῦ διὰ τὸν Χριστὸν ἀνεχόμενοι λυπηθῆναι, οὐδὲ μέχρι λόγου. εἰ τούτους συνεχῶς ἀναμιμνήσκωμεν ἑαυτούς, παρακαλῶ, ὅσα ἔπαθον, ὅσα ὑπέμειναν· πῶς οὐκ ἐθορυβοῦντο,

ἐθορυβοῦντο, πῶς οὐκ ἐσκανδαλίζοντο. Τὸ τοῦ Θεοῦ ἔργον ἐποίουν, καὶ ταῦτα ἔπασχον. Οὐκ ἔλεγον, τί τοῦτο; κηρύττομεν, καὶ οὐ παρίσταται ἡμῖν ὁ Θεός; ἀλλὰ καὶ τοῦτο αὐτοὺς ὠφέλει, καὶ χωρὶς τῆς βοηθείας ἐν αὐτῷ τῷ πράγματι δυνατωτέρους ἐποίει, ἰσχυροτέρους, ἀκαταπλήκτους. Ἡ θλῖψις, φησὶν, ὑπομονὴν κατεργάζεται. Μὴ δὴ τὸν ὑγρὸν καὶ διακεχυμένον ζητῶμεν βίον. Ὥσπερ γὰρ ἐν ταῖς θλίψεσι διπλοῦν τὸ καλὸν, ὅτι τε ἰσχυροὶ γίνονται, καὶ ὅτι μεγάλοι οἱ μισθοί, οὕτως ἐκεῖ διπλοῦν τὸ κακὸν, ὅτι τε μαλακώτεροι καθίστανται, καὶ ὅτι εἰς οὐδὲν χρηστόν, ἀλλὰ καὶ ἐπὶ κακῷ. Οὐδὲν γὰρ ἀχρηστότερον ἀνθρώπου γένοιτ' ἂν ἐν ἀνέσει καὶ τρυφῇ τὸν ἅπαντα διαπλέοντος χρόνον. Ἀνὴρ γὰρ, φησὶν, ἀπείραστος, καὶ ἀδόκιμος. Ἀδόκιμος, οὐκ ἐν τοῖς ἀγῶσι τούτοις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. Ἄχρηστον πρᾶγμα ἡ ἄνεσις, καὶ ἐν αὐτῇ δὲ τῇ τρυφῇ οὐδὲν οὕτως ἀνεπιτήδειον, ὡς τὸ τρυφᾷν. Προσκορὲς γάρ ἐστιν. Οὔτε σιτίων ἡδονὴ τοσαύτη, οὔτε ἀνέσεως· ἀλλὰ πάντα ἐξίτηλα ταῦτα καὶ διαρρεῖ. Μὴ δὴ ταύτην ἐπιζητῶμεν τὴν ἄνεσιν. Εἰ γὰρ σκοπεῖν θελήσομεν τίς ἥδιον διάγει, ὁ πονούμενος καὶ ταλαιπωρούμενος, ἢ ὁ τρυφῶν, ἐκεῖνον μᾶλλον εὑρήσομεν. Πρῶτον μὲν γὰρ τοῦ τοιούτου τὸ σῶμα αὐτὸ ἔκλυτον καὶ πεπλαδηκός· ἔπειτα καὶ αἱ τοῦ σώματος αἰσθήσεις οὐκ εἰσὶν εἰλικρινεῖς, οὐδὲ ὑγιεῖς, ἀλλὰ χαῦναι καὶ μαλακαί. Τούτων δὲ οὐκ οὐσῶν, οὐδὲ τῆς ὑγιείας ἡδονὴ φαίνεται. Ποῖος ἵππος χρήσιμος, ὁ τρυφῶν, ἢ ὁ γυμναζόμενος; ποία ναῦς, ἡ πλέουσα, ἢ ἡ ἀργοῦσα; ποῖον ὕδωρ, τὸ τρέχον, ἢ τὸ ἑστώς; ποῖος σίδηρος, ὁ κινούμενος, ἢ ὁ μὴ ἐργαζόμενος; οὐχ ὁ μὲν ἀπολάμπει καὶ ἀργύρῳ προσέοικεν· ὁ δὲ κατιοῦται πανταχοῦ ἄχρηστος ὢν, καὶ τῆς ὕλης ἀπολλύει τι τῆς οἰκείας; τοιοῦτόν τι γίνεται καὶ ἐπὶ τῆς ἀργούσης ψυχῆς. Ἰὸς τις αὐτῆς καταχεῖται καὶ τρώγει τήν τε λαμπρότητα, καὶ τὰ ἄλλα πάντα. Τίνι οὖν ἄν τις τοῦτον ἀποσμήξειε τὸν ἰόν; τῇ τῶν θλίψεων ἀκόνῃ. Αὗται χρησίμην ἐργάσονται τὴν ψυχὴν καὶ ἐν πᾶσιν ἐπιτηδείαν. Πῶς γὰρ, εἰπέ μοι, δυνήσεται τὰ πάθη τέμνειν, τῆς ἀκμῆς ἀμβλυνθείσης καὶ μολίβδου δίκην ἐπανακαμπτομένης; πῶς τὸν διάβολον τρώσει; Ζῶον δὲ οὐκ ἔστιν ἀηδὲς ἄνθρωπος πολυσαρκίαν ἀσκῶν, φώκης δίκην συρόμενος; οὐ περὶ τῶν φύσει ὄντων τοῦτο λέγω· ἀλλὰ περὶ τῶν ἐκ τῆς τρυφῆς τοιαῦτα κατασκευασάντων τὰ σώματα, οὐ περὶ τῶν λεπτῶν κατὰ φύσιν. Ἀνέτειλεν ὁ ἥλιος, λαμπρὰς ἀφῆκε πανταχοῦ τὰς ἀκτῖνας, ἤγειρεν ἕκαστον ἐπὶ τὰ ἔργα· ὁ γεωργὸς, τὴν δίκελλαν λαβὼν, ἔξεισιν· ὁ χαλκοτύπος τὴν σφῦραν, καὶ τὸ κατάλληλον ἕκαστος τῶν δημιουργῶν, καὶ εὑρήσεις ἕκαστον τὰ οἰκεῖα ὄργανα μεταχειριζόμενον· ἡ γυνὴ ἠλακάτην, ἢ τὰ ὑφάσματα. Αὐτὸς δὲ καθάπερ οἱ χοῖροι εὐθέως ἀπὸ πρωῒ ἐπὶ βοσκὴν ἔξεισι τῆς γαστρὸς, ζητῶν πῶς τράπεζαν πολυτελῆ κατασκευάσει, καίτοι τῶν ἀλόγων ἐστὶ μόνον ἀπὸ πρωῒ τρέφεσθαι, ἐπειδὴ πρὸς οὐδὲν εἰσὶ χρήσιμα, ἀλλὰ πρὸς τὸ σφάζεσθαι. Τὰ δὲ νωτοφόρα αὐτῶν καὶ ἐργασίαν ἀναδεχόμενα, καὶ αὐτὰ ἀπὸ νυκτῶν ἐπὶ τὸ ἔργον ἔξεισιν· οὗτος δὲ ἀπὸ τῆς εὐνῆς ἀναστὰς, τοῦ ἡλίου τὴν ἀγορὰν ἐμπλήσαντος, καὶ πάντων κορεσθέντων τῆς οἰκείας ἐργασίας, ἀνίσταται διατεινόμενος, καθάπερ ὄντως ὗς πιαινόμενος, τὸ κάλλιστον τῆς ἡμέρας ἐν σκότει καταναλώσας. Εἶτα κάθηται πολὺν ἐπὶ τῆς εὐνῆς χρόνον, πολλάκις οὐδὲ διενεγκεῖν δυνάμενος ἀπὸ τῆς ἑσπερινῆς μέθης, καταναλώσας τὸν πλείονα χρόνον ἐν τούτοις. Εἶτα καλλωπίζει ἑαυτὸν, καὶ πρόεισιν ἀσχημοσύνης θέατρον, οὐδὲν ἔχων ἀνθρώπου, ἀλλὰ πάντα θηρίου ἀνθρωπομόρφου· οἱ ὀφθαλμοὶ ὑγροί· οἴνου τὸ στόμα ἀπόζον· ἡ ταλαίπωρος ψυχὴ καθάπερ ἐπὶ κλίνης βεβλημένη ὑπὸ τῆς ἀμέτρως ἐγχεομένης ἑωλοκρασίας, τὸ μέγεθος τῶν σαρκῶν περιφέρουσα καθάπερ ἐλέφας. Εἶτα ἐλθὼν κάθηται ἐν τόποις, καὶ λέγει τοιαῦτα καὶ ποιεῖ, ὡς βέλτιον εἶναι ἔτι καθεύδειν αὐτὸν, ἢ ἐγρηγορέναι. Ἂν δὲ δεινὰ ἐπαγγελθῇ, παντὸς κορασίου μαλακώτερος τῶν ἀνθρώπων χρηστῶν, παντὸς παιδίου χαυνότερος. Χάσμης αὐτοῦ ἡ ὄψις γέμει· πᾶσι πρόκειται τοῖς βουλομένοις κακῶς ποιεῖν, εἰ καὶ μὴ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πάθεσι. Καὶ θυμὸς τὸν τοιοῦτον ἐγείρει ῥᾳδίως, καὶ ἐπιθυμία καὶ βασκανία καὶ πάντα· πάν-

[Margin, right: Ῥωμ. ε. δ.]

[Margin, left: γρ. τοῦ τοιούτου πρῶτον δ' ἀεὶ κ. μὲν ὅτι τὸ σῶμα ἀνεπιτήδειον πρὸς πάντα καὶ ἐκνενευρισμένον ἐστί. δεύτερον δὲ ὅτι καὶ αἱ — γρ. καθεύδων, ἢ ὁ ἐργ.]

[Margin, left: γρ. καὶ περὶ τῶν λεπτῶν, ἢ ἀτρυφώντων]

[Margin, left: γρ. ἀποπνέον οἴνου. ἡ ταλαίπ. ψυχ. καὶ οἱ χυμοὶ ἐξ ἀΐας ἰδεῖν δυνάμεναι, τὸ μέγεθ.]

τοὺς κολακεύουσι, πάντες θεραπεύουσι, μαλακώτεροι δέ εἰσιν ἐργαζόμενοι τὴν ψυχὴν, καὶ καθ' ἑκάστην ἡμέραν παρέχουσι, πολύ τι τῆς νόσου προσλαμβάνειν. ἂν εἰς πραγμάτων ἐμπέσῃ περιστάσιν, τέφρα καὶ κόνις ἐστὶ, καὶ οὐδὲν αὐτῷ τὰ σηρικὰ ἱμάτια συμβάλλεται. ταῦτα ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα παιδεύσωμεν μηδένα ἀργῶς ζῆν, μηδὲ εἰκῆ. ἡ γὰρ ἀργία καὶ ἡ τρυφὴ πρὸς ἐργασίαν ἀνεπιτήδειον, πρὸς δόξαν [μόνον,] πρὸς ἡδονήν. πῶς πάντες τὸν τοιοῦτον οὐ καταγνώσονται, καὶ οἰκεῖοι καὶ φίλοι καὶ συγγενεῖς; τί δὲ οὐ δικαίως ἐρεῖ ἄχθος εἶναι ἀρούρας; εἰκῆ παρῆλθεν εἰς τὸν κόσμον ὁ τοιοῦτος· μᾶλλον δὲ οὐκ εἰκῆ, ἀλλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς, ἐπὶ λύμῃ ἰδίᾳ, ἐπὶ βλάβῃ ἑτέρων. τί οὖν ἥδιον αὐτῇ, ἴδωμεν. τοῦτο γάρ ἐστι τὸ ζητούμενον [σχολὴ καὶ ἀπραξία. καὶ] τί ἀηδέστερον γένοιτ' ἂν ἀνθρώπου οὐδὲν ἔχοντος ποιεῖν; τί μοχθηρότερον; τί ταλαιπωρότερον; μυρίων οὐχ ἧττον τοῦτο δεσμῶν, χασμᾶσθαι καὶ κεχηνέναι διαπαντὸς ἐπὶ τῆς ἀγορᾶς καθήμενον, ὁρῶντα τοὺς παριόντας; ἡ γὰρ ψυχὴ φύσιν ἔχουσα τοῦ κινεῖσθαι διαπαντὸς οὐκ ἀνέχεται ἠρεμεῖν. ἔμπρακτον τὸ ζῶον τοῦτο ἐποίησεν ὁ Θεὸς, καὶ κατὰ φύσιν αὐτῷ ἐστὶ τὸ ἐργάζεσθαι, παρὰ φύσιν δὲ τὸ ἀργεῖν. μὴ ἀπὸ τῶν νοσούντων τὰ πράγματα δοκιμάζωμεν, ἀλλὰ τοῦ πράγματος πεῖραν λάβωμεν. οὐδὲν σχολῆς μοχθηρότερον, οὐδὲν ἀργίας. διὰ τοῦτο εἰς ἀνάγκην ἡμᾶς κατέστησεν ἐργασίας ὁ Θεός. πάντα γὰρ ἡ ἀργία βλάπτει, καὶ τὰ μέλη τοῦ σώματος αὐτὰ βλάπτει πως ἡ ἀργία. καὶ γὰρ καὶ ὀφθαλμὸς εἰ μὴ ἐργάζοιτο τὸ αὐτοῦ, καὶ στόμα, καὶ γαστὴρ, καὶ πᾶν ὅ,τι ἂν εἴποι τις τῶν μελῶν, εἰς νόσον ἐμπίπτει τὴν ἐσχάτην. οὐδὲν δὲ οὕτως, ὡς ψυχή. ὥσπερ δὲ ἀργία κακὸν, οὕτω καὶ ἐργασία ἡ μὴ προσήκουσα. καθάπερ γὰρ εἴ τις μὴ ἐσθίει, εἰς τοὺς ὀδόντας βλάπτεται, κἂν ἐσθίῃ τὰ μὴ προσήκοντα, ποιεῖ αὐτοὺς * αἱμωδιᾶν· οὕτω δὴ καὶ ἐνταῦθα, διότι μὴ ἐργάζηται, διότι ἐργάζηται τὰ μὴ προσήκοντα, τὴν οἰκείαν ἀπόλλυσιν ἰσχύν. οὐκοῦν ἀμφότερα φεύγειν σπουδάζωμεν, καὶ ἀργίαν, καὶ ἐργασίαν ἀργίας χαλεπωτέραν. ποία δὲ αὕτη ἐστί; πλεονεξία, θυμὸς, βασκανία, ἔριδες, φθόνοι, ζῆλοι, καὶ τὰ λοιπὰ τῶν ἀκαθάρτων παθῶν. ἐν τούτοις ὀφείλομεν τὴν ἀργίαν μεταδιώκειν, καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν μετὰ πάσης σπουδῆς ἐργάζεσθαι, ἵνα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

κ. ἄχθος ὄντως ἀρούρης. εἰκῆ

κ. ἀλλ' ἐπὶ ἰδίᾳ αὐτοῦ ἐπ ἰδέμῳ

κ. παρόντας

* βρύχειν ἢ

Λογ. λϛ. 25 ΚΑΤΑ ΔΕ ΤΟ ΜΕΣΟΝΥΚΤΙΟΝ ΠΑΥΛΟΣ καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεὸν, ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι.

26 Αφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.

ΤΙ τούτων ἴσον γένοιτ' ἂν τῶν ψυχῶν; ἐμαστίχθησαν πολλὰς πληγὰς λαβόντες, ὑβρίσθησαν, περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν· εἰς τὸ ξύλον ἦσαν ἐμβεβλημένοι, εἰς τὴν ἐσωτέραν φυλακήν. καὶ οὐδὲ οὕτω καθεύδειν ἠνείχοντο, ἀλλ' ἐπαννύχιζον. ὁρᾶτε ὅσον ἡ θλίψις ἀγαθόν; ἡμεῖς δὲ ἐν ἁπαλοῖς ὄντες στρώμασιν, οὐδὲν δεδοικότες, ὅλην τὴν νύκτα καθεύδομεν. τάχα δὲ διὰ τοῦτο ἐπαννύχιζον, ἐπειδὴ ἐν τούτοις ἦσαν· οὐχ ἡ τοῦ ὕπνου τυραννὶς αὐτοὺς εἷλεν, οὐχ ἡ ἀλγηδὼν ἔκαμψεν, οὐχ ὁ φόβος εἰς ἀπειλὴν ἐνέβαλεν, ἀλλ' αὐτὰ δὴ ταῦτα πολλῷ μᾶλλον ἦν τὰ διεγείροντα αὐτοὺς, καὶ ἡδονῆς πληροῦντα πολλῆς. κατὰ δὲ τὸ μεσονύκτιον ὕμνουν τὸν Θεὸν, φησίν· ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. ξέ-

τοι γὰρ ἐδόκει εἶναι καὶ παράδοξον. ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε παραχρῆμα πᾶσαι αἱ θύραι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. σεισμὸς ἐγένετο, ὥστε ἀφυπνισθῆναι ἐκεῖνον· αἱ θύραι ἀνεῴχθησαν, ὥστε θαυμάσαι τὸ γεγονός. ταῦτα οἱ δεσμῶται οὐχ ἑώρων· ἢ γὰρ ἂν ἔφυγον ἅπαντες.

27 Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους.

28 Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε. Ἐθαύμασε μᾶλλον τὴν φιλανθρωπίαν Παύλου, ἐξεπλάγη τὴν ἀνδρείαν, ὅτι καὶ φυγεῖν δυνάμενος οὐκ ἔφυγε· καὶ ὅτι αὐτὸν ἐκώλυσε τῆς σφαγῆς.

29 Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ,

30 Καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;

Εἶδες πῶς αὐτὸν εἷλε τὸ θαῦμα;

31 Οἱ δὲ εἶπον, πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ, καὶ ὁ οἶκός σου.

32 Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.

Ἐκ τοῦ εὐθέως λαλῆσαι αὐτῷ, ἐπεδείξατο τὴν περὶ αὐτὸν φιλανθρωπίαν.

33 Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν. καὶ ἐβαπτίσθη αὐτὸς, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα.

34 Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ. Ἔλουσεν αὐτοὺς ὥσπερ ἀμειβόμενος τὴν χάριν, καὶ τιμὴν αὐτοῖς δι' ὧν ἐποίει.

35 Ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες· ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους. Ἔγνωσαν ἴσως τὸ γεγονὸς οἱ στρατηγοὶ, καὶ οὐκ ἐτόλμων αὐτοὶ ἐλθεῖν ἀφ' ἑαυτῶν ἀφεῖναι.

36 Ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον [φήσας,] ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ, ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ.

37 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· δείραντες ἡμᾶς δημοσίᾳ, ἀκατακρίτους ἀνθρώπους, Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν· καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν.

38 Ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα. καὶ ἐφοβήθησαν ἀκούσαντες, ὅτι Ῥωμαῖοί εἰσι.

39 Καὶ ἐλθόντες παρεκάλεσαν αὐτοὺς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως.

40 Ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς, εἰσῆλθον πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς, παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον. Καὶ τῶν στρατηγῶν δηλωσάντων, ὁ Παῦλος οὐκ ἐξέρχεται· τάχα διὰ τὴν Λυδίαν καὶ τοὺς ἄλλους [ἀδελφοὺς· ἢ καὶ] φοβοῦνται αὐτοὺς, ἵνα μὴ νομισθῶσιν ἠξιωκότες ἀπολελύσθαι· ἵνα καὶ τοὺς ἄλλους ἐν παρρησίᾳ καταστήσωσι. τί λέγει πλὴν, ἀγαπητοὶ, τὸ ἔγκλημα ἦν· ὅτι καὶ Ῥωμαίους, καὶ ἀκατακρίτους, καὶ δημοσίᾳ ἔβαλον εἰς φυλακήν. ὁρᾷς ὅτι καὶ αἱ ἀνθρώπινα κατασκευάζουσι πολλά; ἐξετάσωμεν πρὸς ἐκείνην τὴν νύκτα ταύτας τὰς νύκτας, ἔνθα κῶμοι, καὶ μέθαι, καὶ ἀσέλγειαι· ἔνθα ὕπνος θανάτου οὐδὲν διεστηκώς· ἔνθα ἀγρυπνίαι ὕπνου χαλεπώτεραι. οἱ μὲν γὰρ καθεύδουσιν ἀνεπαισθήτως· οἱ δὲ ἐγρηγόρασιν ἐλεεινῶς καὶ ἀθλίως, δούλους ῥαπίζοντες, ὑπὲρ χρημάτων φροντίζοντες, ὅπως ἀμύνωνται τοὺς ἀδικοῦντας σπουδάζοντες, ἐχθρὰν μελετῶντες, ῥήματα ὑβριστικὰ μεθ' ἡμέραν ἀναλεγόμενοι. οὕτω τὸ πῦρ σαλεύουσι τῆς ὀργῆς, τὰ ἀφόρητα ἐργαζόμενοι. σκόπει πῶς Πέτρος ἐκάθευδεν. οἰκονομικῶς καὶ τοῦτο γέγονεν. ὁ ἄγγελος γὰρ παρεγένετο, καὶ οὐδὲν ἐ-

χρῆν

χρείαν ἰδεῖν τὸ γινόμενον· καὶ τοῦτο πάλιν καλῶς, ἵνα κωλυθῇ ὁ δεσμοφύλαξ ἀνελεῖν ἑαυτόν. καὶ διατί μὴ ἄλλο σημεῖον γέγονε; ὅτι τοῦτο μάλιστα αὐτὸν ἐφελκύσασθαι καὶ πεῖσαι ἱκανὸν ἦν, ἐπεί γε καὶ αὐτὸς ἐκινδύνευσεν [ἄν, εἰ μὴ γέγονεν.] οὐ γὰρ οὕτω τὰ θαύματα ἡμᾶς αἱρεῖ, ὡς τὰ εἰς σωτηρίαν ἡμετέραν ἥκοντα. ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γεγενῆσθαι ὁ σεισμός, ἐπηκολούθησε καὶ τοῦτο ἐκείνῳ μαρτυροῦν, καὶ ἐν νυκτὶ φαίνεται. οὐδὲ γὰρ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν ἐποίουν. οὐκ ἦν πονηρὸς ὁ δεσμοφύλαξ· ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, παραγγελίαν τοιαύτην λαβών, οὐκ ἀφ' ἑαυτοῦ. καὶ διατί μὴ πρὸ τούτου ἐβόησεν ὁ Παῦλος; θορύβου μεστὸς ὁ ἄνθρωπος ἦν καὶ ταραχῆς, καὶ οὐκ ἂν προσεδέξατο. διὰ τοῦτο ὅτε εἶδεν ἑαυτὸν μέλλοντα ἀναιρεῖν, προκαταλαμβάνει καὶ βοᾷ λέγων· πάντες ἐσμὲν ἐνθάδε. διὰ τοῦτο καὶ αἰτήσας φῶτα εἰσεπήδησε, καὶ προσέπεσε τῷ Παύλῳ, φησὶ, καὶ τῷ Σίλᾳ. εἰς τοὺς πόδας προσέπιπτεν τοῦ δεσμώτου ὁ φύλαξ. καὶ προαγαγὼν αὐτοὺς ἔξω, καὶ λέγει· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; τί γὰρ εἶπον; ὅρα αὐτὸν οὐκ ἐπειδὴ διεσώθη ἐπὶ τούτῳ στέργοντα, ἀλλὰ τὴν δύναμιν ἐκπλαγέντα. εἶδες τί ἐκεῖ γέγονε, καὶ τί ἐνταῦθα; ἐκεῖ παιδίσκη ἀπηλλάγη πνεύματος πονηροῦ, καὶ εἰς δεσμωτήριον ἐνέβαλον αὐτοὺς, ὅτι ἠλευθέρωσαν αὐτὴν τοῦ δαίμονος· ἐνταῦθα μόνον ἔδειξαν θύρας ἀνεῳγμένας, καὶ ἤνοιξεν αὐτοῦ τῆς καρδίας τὰς θύρας, ἔλυσε δεσμὰ διπλᾶ, ἧψεν ἐκεῖνος τὸ φῶς. τὸ γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ φῶς ἔλαμπε. καὶ εἰσεπήδησε καὶ προσέπεσε, καὶ οὐκ ἐρωτᾷ, πῶς τοῦτο γέγονε; τί γέγονεν; ἀλλ' εὐθέως φησί· τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; τί οὖν ὁ Παῦλος; πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ, φησὶ, σὺ καὶ ὁ οἶκός σου. μάλιστα γὰρ καὶ τοῦτο τοὺς ἀνθρώπους ἐφέλκεται, τὸ καὶ τὸν οἶκον αὐτῶν σωθῆναι. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. ἔλουσεν αὐτοὺς, καὶ ἐλούσθη· ἐκείνους μὲν ἀπὸ τῶν πληγῶν ἔλουσεν, αὐτὸς δὲ ἀπὸ τῶν ἁμαρτιῶν ἐλούσθη. ἔθρεψε, καὶ ἐτράφη. καὶ ἠγαλλιάσατο, φησί· καίτοι οὐδὲν ἦν, ἀλλὰ ῥήματα μόνον καὶ ἐλπίδες χρησταί. τοῦτο σημεῖον ἦν τοῦ πεπιστευκέναι αὐτὸν, ὅτι πάντων ἀφείθη. τί δεσμοφύλακος χεῖρον; τί δὲ ὠμότερον; τί δὲ ἀγριώτερον; ἀλλ' ὅμως μετὰ πολλῆς αὐτοὺς ὑπεδέξατο τῆς τιμῆς. οὐκ ἐπειδὴ ἐσώθη, εὐφράνθη· ἀλλὰ πεπιστευκὼς τῷ Θεῷ. πίστευσον, φησὶν, ἐπὶ τὸν Κύριον. διατί τοῦτο εἶπε, πεπιστευκὼς τῷ Θεῷ, ἵνα μὴ δόξῃ ὡς καταδίκους ἀπολύεσθαι καὶ ὡς ἡμαρτηκότας. διὰ τοῦτο λέγουσι· δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους ἔβαλον εἰς φυλακὴν, ἵνα μὴ μόνον τῆς χάριτος, ἀλλὰ καὶ αὐτῶν ᾖ τὸ πρᾶγμα. ὅρα διαφόρως τὴν χάριν οἰκονομοῦσαν· πῶς ἐκεῖνος ἐξῆλθε, πῶς οὗτοι; καίτοι ἀμφότεροι ἀπόστολοι. ἐφοβήθησαν, φησί. φοβοῦνται ὅτι Ῥωμαῖοί εἰσιν, οὐχ ὅτι ἀδίκως ἐνέβαλον. καὶ ἠρώτησαν αὐτοὺς ἐξελθεῖν ἀπὸ τῆς πόλεως. χάριν ᾔτησαν ταύτην. καὶ δὴ ἐλθόντες πρὸς τὴν Λυδίαν, καὶ βεβαιώσαντες αὐτὴν, οὕτως ἐξῆλθον. οὐ γὰρ ἔδει τὴν ξενοδόχον ἀφεῖναι ἐν ἀγῶνι καὶ μερίμνῃ. ἐξῆλθον δὲ οὐκ ἐκείνοις πειθόμενοι, ἀλλ' ἐπὶ τὸ κήρυγμα σπεύδοντες, τῆς πόλεως διὰ τοῦ θαύματος ἱκανῶς ὠφεληθείσης. ἔδει γὰρ μὴ παραμένειν λοιπόν. τὸ γὰρ θαῦμα μεῖζον φαίνεται, τῶν ἐργασαμένων ἀποδημησάντων αὐτοῦ μᾶλλον βοῶν. ἡ γὰρ τοῦ δεσμοφύλακος πίστις ἀντὶ φωνῆς ἦν. τί τούτου ἴσον; δεσμεῖται, καὶ λύει δεδεμένους, λύει διπλοῦν δεσμὸν τὸν δήσαντα· ἔλυσε διὰ τοῦ δεθῆναι. ὄντως ταῦτα χάριτος ἔργα. νῦν οὖν, φησὶν, ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ· τουτέστι, μετὰ ἀσφαλείας, μηδὲν δεδοικότες. ἄλλως δὲ, καὶ τοῦτον ἔξω κινδύνου βούλονται γενέσθαι, ἵνα μὴ μετὰ ταῦτα ἐγκαλῆται. καὶ οὐ λέγουσι, δείραντες ἡμᾶς ἔβαλον εἰς φυλακὴν, θαύματα ἐργασαμένους (οὐδὲ γὰρ τούτοις προσεῖχον) ἀλλ' ὃ μάλιστα αὐτοὺς σεῖσαι τὴν διάνοιαν ἐδύνατο, ἀκατακρίτους, φησὶ, καὶ Ῥωμαίους ὑπάρχοντας.

ΗΘΙΚΟΝ

Τούτου μνημονεύωμεν τοῦ δεσμώτου διαπαντὸς, μὴ τοῦ θαύματος. τί ἐροῦσιν Ἕλληνες; πῶς δεσμώτης ὢν τὸν δεσμοφύλακα ἔπεισε; καὶ τίνα, φησὶ, πεισθῆναι ἐχρῆν, ἢ μιαρὸν ἄνθρωπον

ἀλλ' ἄνθρωπον καὶ ταλαίπωρον καὶ οὐκ ἔχοντα νοῦν, * μυρίων γέμοντα κακῶν καὶ εὐπαράγωγον; ἔτι καὶ ταῦτα προσφέρουσι· τίς γὰρ ἦν ὁ βυρσεύς, πορφυρόπωλις, εὐνοῦχος, δεσμοφύλαξ; δοῦλοι καὶ γυναῖκες ἐπίστευσαν. τί οὖν εἰπεῖν δυνήσονται, ὅταν καὶ τοὺς ἐν ἀξιώμασι παραγάγωμεν, τὸν ἑκατόνταρχον, τὸν ἀνθύπατον, τοὺς ἐξ ἐκείνου μέχρι τῆς νῦν, αὖθις τοὺς κρατοῦντας, τοὺς βασιλεῖς; ἐγὼ δὲ ἐπέκεινα λέγω τούτου μεῖζον· αὐτοὺς τοὺς εὐτελεῖς ἴδωμεν. καὶ ποῦ τὸ θαυμαστόν, φησί; τοῦτο μὲν οὖν θαυμαστόν. ἂν μὲν γὰρ πεισθῇ τις περὶ τῶν τυχόντων, οὐδὲν θαυμαστόν· ὅταν δὲ περὶ ἀναστάσεως, περὶ βασιλείας οὐρανῶν, περὶ βίου φιλοσόφου ἀνδράσιν εὐτελέσι διαλέγηται καὶ πείθῃ, θαυμαστότερος ἐστί, ἢ εἰ σοφοὺς ἔπειθεν. ὅταν γὰρ μὴ ᾖ κίνδυνος, κἂν πείθῃ τις, καλῶς τὴν ἄνοιαν εἰς μέσον φέρουσιν· ὅταν δὲ λέγῃ τῷ δούλῳ κατὰ σέ, ὅτι ἂν πεισθῇς ἐμοί, κινδυνεύσεις, πάντας ἕξεις πολεμίους, δεῖ σε ἀποθανεῖν, μυρία παθεῖν κακά· εἶτα οὕτως ἕλῃ τὴν ψυχὴν ἐκείνου, οὐκ ἔτι τοῦτο ἀνοίας. εἰ μὲν γὰρ τὰ δόγματα ἡδονὴν εἶχεν, εἰκότως ἄν τις τοῦτο εἶπεν. εἰ δὲ, ὅπερ οὐκ ἂν εἵλοντο φιλόσοφοι μαθεῖν, τοῦτο ὁ δοῦλος μανθάνει, μεῖζον τὸ θαῦμα. καὶ, εἰ βούλεσθε, τὸν βυρσοδέψην αὐτὸν εἰς μέσον ἐνέγκωμεν, καὶ ἴδωμεν τί αὐτῷ διελέγετο ὁ Πέτρος· ἢ, εἰ θέλεις, αὐτὸν τοῦτον τὸν δεσμοφύλακα. τί οὖν αὐτῷ εἶπεν ὁ Παῦλος; ὅτι ὁ Χριστὸς ἀνέστη, φησίν· ὅτι ἀνάστασίς ἐστι νεκρῶν, ὅτι βασιλεία· καὶ ἐπείσθη εὐκόλως εὐπαράγωγος ὤν. τί οὖν; περὶ βίου οὐδὲν εἶπεν, ὅτι σωφρονεῖν δεῖ; ὅτι χρημάτων κρατεῖν; ὅτι μὴ εἶναι ὠμόν; ὅτι τὰ αὐτοῦ διδόναι ἑτέροις; οὐ γὰρ δὴ καὶ τὸ ταῦτα πεισθῆναι ἀνοίας ἦν, ἀλλὰ [καὶ] μεγάλης ψυχῆς. ἔστω γὰρ τὰ δόγματα ἀπὸ ἀνοίας μᾶλλον αὐτοὺς παραδέχεσθαι· τὸ βίον οὕτω φιλόσοφον καταδέχεσθαι, ποίας ἀνοίας ἦν; ὥστε ὅσῳ ἂν ἀνόητος ᾖ ὁ πειθόμενος, πείθηται δὲ ταῦτα ἃ μηδὲ φιλόσοφοι πεῖσαι ἴσχυσαν τοὺς φιλοσόφους, μεῖζον τὸ θαῦμα γίνεται· μάλιστα δὲ, ὅταν καὶ γυναῖκες καὶ δοῦλοι πείθωνται, καὶ διὰ τῶν ἔργων ταῦτα ἐπιδείκνυνται, ἅπερ Πλάτωνες καὶ πάντες ἐκεῖνοι οὐδένα πεῖσαι ἴσχυσαν. καὶ τί λέγω ἕνα οὐδένα; οὐδὲ ἑαυτούς. ὅτι γὰρ χρημάτων οὐ δεῖ καταφρονεῖν, Πλάτων ἔπεισε, τοσαύτην περιουσίαν, καὶ πλῆθος χρημάτων, καὶ δακτυλίους χρυσοῦς καὶ φιάλας περιποιησάμενος. ὅτι δὲ δόξης οὐ χρὴ καταφρονεῖν τῆς παρὰ τῶν πολλῶν, Σωκράτης αὐτός, καίτοι μυρία φιλοσοφῶν περὶ τούτου, δείκνυσι. πάντα γὰρ πρὸς δόξαν ὁρῶν ἐποίει. καὶ εἴγε τῶν ἐκείνου λόγων ἔμπειροι ἦτε, πολλὴν ἂν τὸν ὑπὲρ τούτων ἐκίνησα λόγον, καὶ ἔδειξα πολλὴν παρ' αὐτοῖς τὴν εἰρωνείαν (εἴγε οἷς ὁ μαθητὴς αὐτοῦ λέγει πείθεσθαι χρή) καὶ πῶς ἀπὸ κενοδοξίας πάντα αὐτῷ τὰ γράμματα τὴν ὑπόθεσιν ἔχει. ἀλλ' ἐκείνους ἀφέντες, πρὸς ἡμᾶς αὐτοὺς διαλεχθῶμεν. μετὰ γὰρ τῶν εἰρημένων, καὶ τοῦτό ἐστιν εἰπεῖν· ὅτι καὶ μετὰ κινδύνων ταῦτα ἐπείθοντο. μὴ οὖν ἀναισχυντεῖ, ἀλλ' ἐννόησον ἐκείνην τὴν νύκτα, τὸ ξύλον, τοὺς ὕμνους· καὶ τοῦτο ποιεῖν σπουδάζωμεν καὶ ἡμεῖς, καὶ ἀνοίξομεν ἡμῖν οὐχὶ δεσμωτήριον, ἀλλ' οὐρανόν. ἂν εὐχώμεθα, καὶ τὸν οὐρανὸν ἀνοῖξαι δυνησόμεθα. Ἠλίας καὶ ἔκλεισε, καὶ ἤνοιξε τὸν οὐρανὸν τῇ εὐχῇ. ἔστι καὶ ἐν οὐρανῷ δεσμωτήριον. Ὅσα ἄν, φησι, δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. εὐχώμεθα κατὰ νύκτα, καὶ λύσομεν ταῦτα τὰ δεσμά. ὅτι γὰρ εὐχαὶ ἁμαρτήματα λύουσι, πειθέτω ἡμᾶς ἡ χήρα, πειθέτω ἡμᾶς ἐκεῖνος ὁ φίλος, ὁ ἀωρὶ τὴν νυκτὴν ἐπιμένων καὶ κρούων, πειθέτω ἡμᾶς Κορνήλιος· Αἱ προσευχαί σου γάρ, φησι, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ· πειθέτω ἡμᾶς Παῦλος, λέγων· Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν, καὶ προσμένει ταῖς δεήσεσι νυκτὸς καὶ ἡμέρας. εἰ περὶ χήρας, [ἐκεῖνος δὲ] ταῦτα λέγει ἀσθενοῦς γυναικός, πολλῷ μᾶλλον περὶ ἀνδρῶν. καὶ ἤδη διελέχθην ὑμῖν, καὶ νῦν ἐρῶ· διεγειρώμεθα τὴν νύκτα. κἂν μὴ πολλὰς εὐχὰς ποιῇς, μίαν ποίησον μετὰ νήψεως, καὶ ἀρκεῖ. οὐδὲν πλέον ἀπαιτῶ. κἂν μὴ μεσονύκτιον, πρὸς αὐτὴν γοῦν τὸν ὄρθρον. δεῖξον ὅτι οὐ τοῦ σώματος μόνον ἐστὶν ἡ νύξ, ἀλλὰ καὶ τῆς ψυχῆς. μὴ ἀνάσχῃ περιελθεῖν αὐτὴν

*ἀλλὰ
γ. πειθῇ
γ. ἔφερες
γ. εἵλοιτο
γ. εἶπεν; εἶπε μὲν ὅτι σω. δεῖ, ὅτι
γ. αὐτοῖς
γ. αὐτῷ
γ. ἀωρί

Ματθ. ιη. ιη.
Λουκ. ιη. β.
Πραξ. ι. δ.
α. Τιμ. ε. ε.

τὴν ὀργὴν· ἀλλ' ἀμείψαι τῶν διὰ ποτὴν ἀμοιβὴν ταύτην· μᾶλλον δὲ καὶ αὐτὴ εἰς σὲ περιέρχεται. Εἰπὲ δή μοι, εἰ πράγματι περιπέσοιμεν χαλεπῷ, τίνα οὐκ ἀξιοῦμεν; καὶ ταχέως τῆς αἰτήσεως τυχόντες, ἀναπνέομεν. τίς σοι δῷ ἕτοιμον εἶναι τῶν ἀξιουμένων χάριν σοι ἔχειν, ὅτι ἀξιοῖς; τίς σοι δῷ μὴ περιϊέναι καὶ ζητεῖν τινα ἀξιώσαντα, ἀλλ' εὑρεῖν ἕτοιμον; μὴ ἑτέρων δεηθῇς, ἵνα δι' ἐκείνων ἀξιώσῃς; τί τούτου μεῖζον; οὐδὲ γὰρ τότε μάλιστα ποιεῖ, ὅταν μὴ ἑτέρων δεηθῶμεν. καθάπερ φίλος γνήσιος, τότε μάλιστα ἡμῖν ἐγκαλεῖ, ὡς οὐ θαῤῥοῦσιν αὐτοῦ τῇ φιλίᾳ, ὅταν ἑτέρων πρὸς αὐτὸν δεηθῶμεν τῶν ἀξιούντων· οὕτω καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν ἡμᾶς ἀξιούντων. τότε μάλιστα αὐτοῖς χαριζόμεθα, ὅταν δι' ἑαυτῶν ἡμῖν, καὶ οὐ δι' ἑτέρων προσίωσι. τί οὖν, φησὶν, ἂν προσκεκρουκὼς ὦ; παῦσαι προσκρούων, καὶ δάκρυσον, καὶ οὕτω πρόσελθε, καὶ ταχέως ἐπὶ τοῖς προτέροις αὐτὸν ἵλεων ποιήσεις. Εἰπὲ μόνον, ὅτι προσέκρουσα· εἰπὲ ἐκ ψυχῆς καὶ γνησίας διανοίας, καὶ πάντα λέλυται. οὐκ ἐπιθυμεῖς οὕτως ἀφεθῆναί σου τὰς ἁμαρτίας [σου] ὡς αὐτὸς ἐπιθυμεῖ ἀφεῖναί σου τὰ ἁμαρτήματα. ὅτι γὰρ οὐκ ἐπιθυμεῖς σὺ, ἐννόησον ὅτι οὐδὲ ἀγρυπνεῖν καταδέχῃ, οὐδὲ χρήματα προΐεσαι· αὐτὸς δὲ ἵνα ἀφῇ ἡμῶν τὰς ἁμαρτίας, τοῦ μονογενοῦς οὐκ ἐφείσατο, τοῦ γνησίου παιδὸς, τοῦ συνθρόνου. ὁρᾷς ὅτι αὐτὸς μᾶλλον ἐπιθυμεῖ ἀφεῖναί σοι τὰ ἁμαρτήματα; μὴ δὴ ὀκνῶμεν, μηδὲ ἀναβαλλώμεθα. Φιλάνθρωπός ἐστι καὶ ἀγαθός· μόνον ἀφορμὴν αὐτῷ δῶμεν, καὶ τοῦτο, ἵνα ἡμεῖς μὴ ἄχρηστοι γενώμεθα· ἐπεὶ καὶ χωρὶς τούτου ἀπέλυσεν ἄν. ἀλλ' ὥσπερ ἡμεῖς ἐπὶ τῶν οἰκετῶν τῶν ἡμετέρων μυρία πλάττομεν καὶ συντίθεμεν· οὕτω καὶ αὐτὸς ἐπὶ τῆς ἡμετέρας σωτηρίας ποιεῖ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ὅτι [ὁ] χρηστός ἐστι καὶ ἐπιεικής. ἐὰν δὲ μὴ ἐπικαλῇ ἐν ἀληθείᾳ, μηδὲ θέλῃς εἰπεῖν ἐκ καρδίας, ὅτι ἄφες, ἀλλ' ἀπὸ στόματος, τί ποιήσει αὐτός; τί ἐστιν ἐν ἀληθείᾳ καλεῖν; μετὰ προαιρέσεως, μετὰ προθυμίας, μετὰ διανοίας εἰλικρινοῦς. οἷον ἐπὶ τῶν μύρων λέγεται, ἀληθινόν ἐστιν, οὐδὲν ἔχει νόθον· οὕτω καὶ ἐκεῖ ὁ ὄντως αὐτὸν καλῶν, καὶ ὁ ὄντως αὐτοῦ δεόμενος, προσεδρεύει διαπαντὸς, [καὶ] οὐκ ἀφίσταται, ἕως ἂν λάβῃ· ὁ δὲ ἁπλῶς ἀφοσιούμενος, καὶ αὐτῷ τούτῳ νόμον πληρῶν, οὐκ ἐν ἀληθείᾳ καλεῖ. πᾶς ὅστις ἂν ᾖς, μὴ λέγε ὅτι ἁμαρτωλός εἰμι μόνον, ἀλλὰ καὶ σπούδαζε ἀπαλλάξαι σαυτὸν ταύτης τῆς δόξης· μὴ λέγε, ἀλλὰ καὶ ἄλγει. εἰ ἀλγεῖς, σπουδάζεις· εἰ μὴ σπουδάζεις, οὐκ ἀλγεῖς· εἰ μὴ ἀλγεῖς, χλευάζεις. τίς λέγων ὅτι νοσῶ, οὐ πάντα ποιεῖ ὥστε ἀπαλλαγῆναι; μέγα ὅπλον εὐχή. Λουκ. ια. ιγ. Εἰ ὑμεῖς οἴδατε, φησὶ, δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν; διατί οὐ θέλεις προσελθεῖν; φιλεῖ σε, δύναται πάντων πλέον· καὶ βούλεται καὶ δύναται, τί τὸ κωλῦον; οὐδέν. οὐκοῦν προσίωμεν μετὰ πίστεως, προσίωμεν τὰ δῶρα προσφέροντες ἃ βούλεται, ἀμνησικακίαν, χρηστότητα, πρᾳότητα. κἂν ἁμαρτωλὸς ᾖς, μετὰ παῤῥησίας αὐτὸν ἀπαιτήσεις τὴν συγχώρησιν τῶν ἁμαρτημάτων, ἔχων δεῖξαι παρὰ σαυτῷ τοῦτο γεγενημένον· ἂν δὲ δίκαιος ᾖς, καὶ τοῦτο μὴ ἔχῃς τὸ ἀμνησικακεῖν, οὐδὲν ὤνησας. οὐκ ἔστιν ἄνθρωπον ἀφέντα τῷ πλησίον, μὴ ἀκριβοῦς τυχεῖν τῆς ἀφέσεως. φιλανθρωπότερος γὰρ ἡμῶν ἀσυγκρίτως ἐστὶν ὁ Θεός. τοῦτο παντὶ δῆλον. τί λέγεις; ἐὰν εἴπῃς, ἠδικήθην, ὀργῆς ἐκράτησα, θυμὸν ἐπῆρξα, ἔπαθον διὰ τὸ σὸν πρόσταγμα, οὐκ ἀφήσει καὶ αὐτός; πάντως γοῦν ἀφήσει. ὥστε καθαρεύσωμεν τὴν ψυχὴν τῆς μνησικακίας (ἀρκεῖ τοῦτο ἡμῖν πρὸς τὸ ἀκουσθῆναι) καὶ μετὰ νήψεως προσευχώμεθα καὶ πολλῆς τῆς προσεδρίας, ἵνα δαψιλοῦς τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀπολαύσαντες, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λζ.

Λογ. λζ. 1 ΔΙΟΔΕΥΣΑΝΤΕΣ ΔΕ ΤΗΝ ΑΜΦΙΠΟΛΙΝ κεφ. ιζ.
καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν
Ἰουδαίων. 2 Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτοὺς,
καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν,
3 Διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι
ἐκ νεκρῶν· καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

Η Ἀλλὰ τὰς μὲν μικρὰς παρατρέχουσι πόλεις· ἐπὶ δὲ τὰς μείζους ἐπείγονται, ἐκεῖθεν καθάπερ ἔκ τινος πηγῆς μέλλοντος τοῦ λόγου διαρρέειν εἰς τὰς πλησίον. Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθεν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων. καίτοι εἰπὼν, Ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη, οὐκ ἠφίει τούτους. πολὺν γὰρ πρὸς αὐτοὺς εἶχε πόθον. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραὴλ ἐστὶν εἰς σωτηρίαν· καὶ, Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου. ἐποίει δὲ τοῦτο διὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ τὴν δόξαν, καὶ ἵνα μὴ σκανδαλίσῃ τοὺς ἕλληνας. καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν. ὁρᾷς ὅτι πρὸ πάντων τὸ πάθος κηρύττει; οὕτως οὐκ ᾐσχύνοντο, ἀλλ᾽ ᾔδεσαν τοῦτο σωτήριον ὄν. [Πραξ. ιγ. μς.] [Ρωμ. ι. α.] [Ρωμ. θ. γ.]

4 Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων ἑλλήνων πλῆθος πολὺ, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι. Τὸ κεφάλαιον εἶπε τῆς διαλέξεως. οὕτως ἀκριβής ἐστιν, οὐ πανταχοῦ τὰς δημηγορίας αὐτοῦ λέγων.

5 Ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον.

6 Μὴ εὑρόντες δὲ αὐτοὺς, ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας βοῶντες· ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν,

7 Οὓς ὑποδέδεκται Ἰάσων. καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσι, βασιλέα ἕτερον λέγοντες εἶναι Ἰησοῦν. Ὢ τῆς κατηγορίας. πάλιν εἰς καθοσίωσιν διέβαλλον αὐτοὺς, λέγοντες εἶναι, φησὶν, ἕτερον βασιλέα Ἰησοῦν.

8 Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα,

9 Καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς. Θαυμαστὸς ὁ ἀνὴρ εἰς κίνδυνον ἑαυτὸν ἐκδοὺς καὶ ἐκπέμψας αὐτούς.

10 Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν. οἵτινες παραγενόμενοι, εἰς τὴν συναγωγὴν ἀπῄεσαν τῶν Ἰουδαίων.

11 Οὗτοι δὲ ἦσαν εὐγενέστεροι * τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, [τὸ] καθ᾽ ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς, εἰ ἔχοι ταῦτα οὕτως. Εὐγενέστεροι, φησὶ, τουτέστιν, ἐπιεικέστεροι. καὶ ὅρα, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀκριβείας ἀνηρεύνων τὰς γραφάς. τοῦτο γάρ ἐστι τὸ, ἀνακρίνοντες, βουλόμενοι ἀπ᾽ αὐτῶν πληροφορίαν μᾶλλον περὶ τοῦ πάθους λαβεῖν. ἤδη γὰρ ἦσαν πιστεύσαντες. [* τῶν ἄλλων]

12 Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι.

13 Ὡς

13 Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους.

14 Εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν. ὑπέμενον δὲ ὅ τε Σίλας, καὶ ὁ Τιμόθεος ἐκεῖ. Ὅρα αὐτὸν καὶ ὑποχωροῦντα καὶ ἐπιστάμενον, καὶ πολλὰ ἀνθρωπίνως ποιοῦντα.

15 Οἱ δὲ καθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῄεσαν.

Ἐδεῖτο γὰρ αὐτῶν. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἐπὶ σάββατα τρία, φησὶ, διελέχθη αὐτοῖς, διανοίγων ἀπὸ τῶν γραφῶν. καλῶς, ὅτι ἤρχετο. τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἐποίει, ἄνω καὶ κάτω ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ οὐ πανταχοῦ ἀπὸ τῶν σημείων. ἐπειδὴ [γὰρ] πρὸς τούτους ἐναντίως εἶχον, καὶ ὡς πλάνον καὶ γόητα διέβαλλον, διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ τῶν γραφῶν διελέγετο). ὁ μὲν γὰρ ἀπὸ τῶν σημείων ἐπιχειρῶν μόνων πείθειν, εἰκότως ὑποπτεύεται· ὁ δὲ ἀπὸ τῶν γραφῶν πείθων, οὐκ ἔχει ταύτην τὴν ὑπόνοιαν. καὶ πολλαχοῦ εὑρίσκομεν ἀπὸ διδασκαλίας αὐτὸν πείσαντα. καὶ ἐν Ἀντιοχείᾳ δὲ πᾶσα [διδάσκοντι αὐτῷ] συνήχθη ἡ πόλις. οὕτω μέγα τι καὶ τοῦτό ἐστι, καὶ οὐ μικρὸν σημεῖον, ἀλλὰ καὶ σφόδρα ἐστὶ μέγα τοῦτο. καὶ ἵνα μὴ νομίσωσιν ὅτι αὐτοὶ ἰσχύουσι τὸ πᾶν, συγχωρεῖ αὐτοὺς ὁ Θεὸς ἐλαύνεσθαι. δύο γὰρ ἐκ τούτου συνέβαινεν· οὔτε μέγα ἐφρόνουν, ὡς αὐτοὶ καθελόντες· οὔτε πάλιν ἐφοβοῦντο, ὡς ὑπεύθυνοι. οὕτως οἰκονομίας ἦν καὶ τὸ καλεῖσθαι. τῶν τε σεβομένων ἑλλήνων, φησὶ, πολὺ πλῆθος, καὶ τῶν ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων ἐπίστευσαν, καὶ ἀνδρῶν οὐκ ὀλίγοι· ἐκεῖνοι δὲ τοὐναντίον. πῶς δὲ λέγων, Ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομὴν, διελέγετο τοῖς Ἰουδαίοις; ἐκ περιουσίας τοῦτο ποιῶν. ἐπεὶ εἰ Ἰουδαίοις διαλέγεσθαι ἐχρῆν, πῶς ἔλεγε πάλιν· Ὁ γὰρ ἐνεργήσας ἐκείνῳ εἰς τὴν περιτομὴν, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη; ὥσπερ ἐκεῖνοι καὶ ἔθνεσιν ὡμίλησαν, καίτοιγε εἰς τὴν περιτομὴν ἀφωρισμένοι· οὕτω καὶ οὗτος. τὸ μὲν οὖν πλέον ἐν αὐτοῖς· πλὴν οὐδὲ ἐκείνων ἠμέλησεν, ἵνα μὴ δόξωσι διεσχίσθαι. καὶ πῶς, φησι, προηγουμένως εἰς τὰς συναγωγὰς εἰσῄει; ἀλλ' ἕλληνας ἔπειθε διὰ τῶν Ἰουδαίων, ἐξ ὧν Ἰουδαίοις διελέγετο. ἤδει δὲ ὅτι τοῦτο μάλιστα ἔθνεσιν ἁρμόζον ἦν πρὸς πίστιν καὶ προσαγωγήν. διὰ τοῦτο ἔλεγεν, Ἐφ' ὅσον εἰμὶ ἐγὼ ἐθνῶν ἀπόστολος. καὶ αἱ ἐπιστολαὶ δὲ αὐτοῦ πρὸς Ἰουδαίους πᾶσαι εἰσὶν ἀπομαχόμεναι. ὅτι τὸν Χριστὸν, φησιν, ἔδει παθεῖν*. εἰ παθεῖν ἔδει, πάντως καὶ ἀναστῆναι. πολλῷ γὰρ ἐκείνου θαυμασιώτερον τοῦτο. εἰ γὰρ τὸν οὐδὲν ἠδικηκότα εἰς θάνατον ἐξέδωκε, πολλῷ μᾶλλον ἀνέστησεν αὐτόν. προσλαβόμενοι δέ τινας τῶν ἀγοραίων οἱ ἀπειθοῦντες Ἰουδαῖοι, ἐθορύβουν τὴν πόλιν, φησίν. ὥστε πλείους ἦσαν οἱ ἕλληνες. καὶ προσλαμβάνουσί τινας, ἐπειδὴ οὐκ ἐνόμισαν ἑαυτοὺς ἀρκεῖν πρὸς τὴν στάσιν οἱ Ἰουδαῖοι· καὶ ἐπειδὴ οὐκ εἶχον αἰτίαν εὔλογον, θορύβῳ ἀεὶ τὰ τοιαῦτα ἀνύουσι, καὶ προσλήψει ἀνδρῶν πονηρῶν. μὴ εὑρόντες δὲ αὐτοὺς, φησιν, ἔσυρον τὸν Ἰάσονα. ὢ τῆς τυραννίδος. ἀπὸ τῶν οἰκιῶν εἷλκον αὐτοὺς ἁπλῶς. οὗτοι πάντες ἀπέναντι τῶν τοῦ Καίσαρος δογμάτων πράττουσι, βασιλέα, φησὶ, λέγοντες ἕτερον εἶναι Ἰησοῦν. ἐπειδὴ οὐδὲν ἐναντίον ἔλεγον τοῖς δεδογμένοις, οὐδὲ παρεκίνουν τὴν πόλιν, ἐφ' ἕτερον ἔγκλημα αὐτοὺς ἄγουσι, καὶ εἰς καθοσίωσιν διαβάλλουσι. καὶ τί φοβεῖσθε, εἴγε τέθνηκεν; ὅρα τοὺς διωγμοὺς πανταχοῦ τὸ κήρυγμα ἐκτείνοντας. οὗτοι μὲν οὖν, φησιν, εὐγενέστεροι ἦσαν τῶν ἐν Θεσσαλονίκῃ· τουτέστιν, οὐδὲν πονηρὸν πράττοντες· ἀλλ' οἱ μὲν ἐπείσθησαν, οὗτοι δὲ καὶ τὸ ἐναντίον ποιοῦσι θορυβοῦντες αὐτούς. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν καὶ τῶν ἑλληνίδων, φησὶ, γυναικῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. πάλιν ἐνταῦθα πιστεύουσιν ἕλληνες. σὺ δέ μοι θέα, ὅτι οἰκονομικῶς ἔφυγον, οὐ δειλιῶντες. εἰ γὰρ ἂν ἐπαύσαντο κηρύττοντες, καὶ οὐχὶ μᾶλλον παρώξυνον. ἀλλ' ἐκ τούτου δύο ἐγένετο· καὶ ἐκείνων ὁ θυμὸς ἐσβέννυτο, καὶ τὸ κήρυγμα ἐπεδίδου.

Γαλ. β. θ.

Ρωμ. ια. ιγ.

δεδωκότα. ἀξίως δὲ τῆς ἀταξίας αὐτῶν εἶπεν· ὅτι ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους, τὴν ἀκατάσχετον μανίαν αὐτῶν αἰνιττόμενος. εὐθέως δὲ ἐξαπέστειλαν τὸν Παῦλον οἱ ἀδελφοὶ πορεύεσθαι, φησὶν, ὡς ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα λοιπὸν οἱ Παῦλον πέμπουσι μόνον. περὶ γὰρ αὐτοῦ ἐδεδοίκεισαν, μή τι πάθῃ, τὸ κεφάλαιον αὐτῶν αὐτὸς ὤν. οὕτως οὐ πανταχοῦ ἡ χάρις ἐνήργει· ἀλλ' εἴα αὐτοὺς καὶ δι' ἀνθρώπινα ποιεῖν, διαγωνιζοῦσα αὐτοὺς καὶ διυπνίζουσα, καὶ εἰς μέριμναν ἐμβάλλουσα. ὅρα γοῦν, ἕως Φιλίππων ἔσωσε μόνον, ἐντεῦθεν δὲ οὐκ ἔτι. καὶ λαβόντες ἐντολήν, φησὶ, πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῄεσαν. καὶ τοῦτο εἰκότως. εἰ γὰρ καὶ Παῦλος ἦν, ὅμως ἐδεῖτο ἐκείνων. ὅρα καλῶς ἠπείγετο εἰς Μακεδονίαν ὑπὸ τοῦ Θεοῦ. λαμπρὰ γὰρ ἦν καὶ ἡ Ἑλλὰς λοιπόν, ἐπεὶ καὶ ἄλλα περιττὰ ἐποίει. ὁ Χριστὸς* διέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν· τοῦτο δὲ αὐτὸ οὐκ ἐποίει. ὁ Χριστὸς οὐκ ἀπέστειλεν αὐτὸν βαπτίζειν· τοῦτο δὲ ἐβάπτιζεν. ὅρα πῶς ἀντίρροπος πάντων ἦν. Πέτρος εἰς τὴν περιτομήν· οὗτος εἰς τὰ ἔθνη, εἰς τὸ πλέον μέρος. καὶ λαβόντες τὸ ἱκανόν, φησὶ, παρὰ τοῦ Ἰάσονος, ἀπέλυσαν αὐτούς. ὅρα πῶς ἱκανὰ δοὺς Ἰάσων ἐξέπεμψε Παῦλον, ὥστε τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ αὐτοῦ. [οὗτοι, φησὶν, ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ· τουτέστι, κατὰ τὴν ἀρετὴν ὄντες τοῦτο, καὶ τὴν πρὸς τὸν Θεὸν πίστιν. οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, φησὶ, τὸ] καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφάς, εἰ ἔχοι ταῦτα οὕτως· οὐχ ἁπλῶς ῥύμῃ, οὐδὲ ζήλῳ. καίτοι μείζων ἡ πόλις ἦν, ἀγοραῖοι ἄνθρωποι ἦσαν ἐν αὐτῇ. θαυμαστὸν δὲ οὐδέν, καὶ εἰ ἐν μείζονι χείρους εἰσί. μάλιστα μὲν οὖν εἰς τὴν μείζονα χείρους εἶναι εἰκός, ἔνθα πολλαὶ τῶν ταραχῶν αἱ ἀφορμαί. καθάπερ γὰρ ἐν σώματι ὅταν ἡ νόσος χαλεπωτέρα ᾖ, πλείονα ἔχει τὴν ὕλην καὶ τὴν τροφήν· οὕτω δὴ καὶ ἐνταῦθα, ὅπερ ἐν Ἰκονίῳ γέγονε, καὶ νῦν γίνεται. [καὶ ἐξέρχεται ὁ Παῦλος] ἵνα καὶ τῆς ἑτέρων ἀπωλείας δίκην δῶσι. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε· Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι. καὶ διὰ τί μὴ ἐνέμειναν, φησὶν, ἐνταῦθα; διὰ τί μὴ σημεῖα ἐποίησαν; εἰ γὰρ ἐκεῖ, ἔνθα ἐλιθάζετο, ἔμενεν ἱκανὸν χρόνον· πολλῷ μᾶλλον ἐνταῦθα. διὰ τί; οὐκ ἀεὶ ἐβούλετο τούτους σημεῖα ποιεῖν ὁ Θεός. τοῦ γὰρ σημεῖα ποιεῖν οὐχ ἧττον σημεῖον τὸ διωκομένους περιγίνεσθαι χωρὶς σημείων. ὥστε καθάπερ νῦν χωρὶς σημείων κρατεῖ· οὕτω καὶ τότε πολλαχοῦ ἐβούλετο κρατεῖν. οὐ τοίνυν οὐδὲ οἱ ἀπόστολοι ἐπέτρεχον τοῖς σημείοις, ὅπερ οὖν καὶ αὐτός φησιν· Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον τοῖς σημεῖα ζητοῦσι, τοῖς σοφίαν. ταῦτα διδάσκομεν, ἃ μηδὲ μετὰ σημείων δυνατὸν πεῖσαι, καὶ πείθομεν. ὥστε μέγα τοῦτο σημεῖον ἦν. ὅρα γοῦν. ἐπιτεθέντος τοῦ κηρύγματος, πῶς οὐ ταχέως ἐπιτρέχουσι τοῖς σημείοις. ἔδει γὰρ λοιπὸν τοὺς πιστεύσαντας μείζονα εἶναι σημεῖα τῶν λοιπῶν. διὸ καὶ γίνονται· ἀλλὰ τῷ ὑποχωρεῖν καὶ ἐπιέναι ταῦτα ἐποίουν. ἐξαπέστειλαν αὐτόν, φησὶν, ὡς ἐπὶ τὴν θάλασσαν. τί δήποτε; ὥστε μὴ γενέσθαι αὐτοῖς εὔκολον τὴν κατάληψιν. οὔπω γὰρ καθ' ἑαυτοὺς μέγα πεπράχασιν, καὶ μετ' ἐκείνου πολλὰ* ἴσασι καὶ κατώρθωσαν. τέως ἐκεῖνον, φησὶν, ἐξαρπάσαι ἐβούλοντο. ὅρα πόσῃ καὶ οἱ λοιποὶ μαθηταὶ περὶ τοὺς κορυφαίους ἐχρῶντο τῇ σπουδῇ.

Ἀλλ' οὐχ ὥσπερ νῦν κεχωρίσμεθα. διῃρήμεθα μεγάλοι καὶ μικροί· οἱ μὲν ἐπαιρόμεθα, οἱ δὲ φθονούμεθα. διὰ τοῦτο γὰρ κἀκεῖνοι φθονοῦσιν, ὅτι ἡμεῖς τετυφώμεθα, οὐκ ἀνεχόμεθα ἰσηγορεῖσθαι μετ' αὐτῶν. διὰ τοῦτο ἐν τῷ σώματι ἡ συμφωνία ἐστίν, ἐπειδὴ οὐκ ἔστι φυσίωσις. οὐκ ἔστι δὲ φυσίωσις, ἐπειδὴ εἰς ἀνάγκην τῆς χρείας ἀλλήλων ἔχειν τὰ μέλη καθέστηκε. καὶ ἡ κεφαλὴ τῶν ποδῶν δεῖται, καὶ οἱ πόδες τῆς κεφαλῆς. καὶ ἡμῖν τοῦτο ἐποίησεν ὁ Θεός, καὶ οὐδὲ οὕτως ἀνεχόμεθα. ἔδει μὲν γὰρ καὶ χωρὶς τούτου ἀγαπᾶν εἶναι. ἢ οὐκ ἀκούετε αὐτῶν τῶν ἔξω διαβαλλόντων ἡμᾶς, ὅταν λέγωσιν· αἱ χρεῖαι φιλίαι, οἱ λαϊκοὶ δέονται ἡμῶν*· ἡμεῖς δὲ πάλιν δι' αὐτούς ἐσμεν; οὕτω καὶ διδάσκαλος καὶ ἄρχων οὐκ ἂν εἴη, μὴ τῶν διδασκο-

Marginal notes (left): γ. ἑαυτοῦ. — γ. αὐτὸς ὤν. — γ. ἀλλ' αὐτοὺς καὶ ἀνθρ. πάσχειν ἐποίει ἵνα πεῖραν λάβωσι, διανιστῶσα αὐτ. καὶ διυπνίζουσα καὶ εἰς — γ. Ἀθήνῃ — * γάρ φησι. — γ. καίτοι μείζων ἡ πόλις ἦν· ἀλλ' οὐδὲν θαυμαστὸν ἐν μείζ. χείρ. εἶναι. — γ. τὰ — γ. μέγα εἶναι σημεῖον τοῦτο — γ. οὔπω — * ἂν — γ. λοιποὶ περὶ τ. κορ. εἶχ. μαθηταὶ τῇ σπου. — * ἡμεῖς ἐκείνων.

Marginal references (right): α. Κορ. θ. ιδ. — α. Κορ. α. ιζ. — α. Θεσ. β. ιϛ. — α. Κορ. α. κγ. — ΗΘΙΚΟΝ

μένων ὄντων καὶ τῶν ἀρχομένων, οὐδ' ἂν ἐπιδείξαιτο τὰ αὐτοῦ. οὐ γὰρ ἂν δύναιτο. καθάπερ ἡ γῆ τοῦ γεωργοῦ, καὶ ὁ γεωργὸς δέεται τῆς γῆς· οὕτω καὶ ἐνταῦθα. ποίαν γὰρ ἔχει μισθὸν διδάσκαλος, οὐκ ἔχων ἐπιδεῖξαι τοὺς διδαχθέντας; ποῖον δὲ οἱ διδασκόμενοι, μὴ ἀπολαύσαντες διδασκαλίας ἀρίστης; ὥστε ὁμοίως ἀλλήλων χρήζομεν πάλιν, καὶ ἄρχοντες ἀρχομένων, καὶ ὑπήκοοι ἀρχόντων. ἄρχοντες μὲν γὰρ πολλῶν ἕνεκεν. οὐδεὶς γὰρ ἀρκεῖ καθ' ἑαυτόν τι πρᾶξαι, ἄν τι χρηστοποιῆσαι δέῃ, ἄν τε βουλὰς σκέψασθαι καὶ γνώμας, ἀλλὰ τιμιώτεροι γίνονται ἀπὸ τῆς σπουδῆς καὶ τοῦ πλήθους. (5 γ. ἡγεῖσθαι ἑαυτόν.) ὅλως, οἱ πένητες τῶν διδόντων χρήζουσιν· οἱ διδόντες τῶν λαμβανόντων πάλιν. ἀλλήλους, φησί, κατανοοῦντες εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. διὰ τοῦτο μείζονα δύναται τὰ κοινὰ τῆς ἐκκλησίας καὶ ἅπερ καθ' ἑαυτὸν οὐ δύναταί τις, μετὰ τῶν ἄλλων γενόμενος ἰσχύει. διὰ τοῦτο μάλιστα ἀναγκαῖαι αἱ εὐχαὶ ἐνταῦθα γίνονται ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, ὑπὲρ τῆς εἰρήνης, ὑπὲρ τῶν ἐν συμφοραῖς. (γ. ἀπὸ περάτων,) καὶ τοῦτο ὁ Παῦλος δηλοῖ λέγων· (β. Κορ. α. ια.) Ἵνα τὸ εἰς ἡμᾶς χάρισμα ἐκ πολλῶν προσώπων διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν· τουτέστιν, ἵνα πολλοῖς χαρίσηται. καὶ πολλάκις αὐτὴν τὰς εὐχὰς ἐπιζητεῖ. (γ. ἐν πολλῷ ἀριθμῷ) ὅρα καὶ ἐπὶ τῶν Νινευϊτῶν τί φησιν ὁ Θεός· (Ιων. δ.) Ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες; (Ματθ. ιη. ιθ.) Ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι, φησίν, εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἰ δὲ δύο μέγα ἰσχύουσι, πόσῳ μᾶλλον πλείους; εἰ δὲ καὶ εἷς ὢν ἰσχύσεις, ἀλλ' οὐχ ὁμοίως. διὰ τί δὲ καὶ εἷς εἶ; διὰ τί οὐκ ἐργάζῃ πολλούς; διὰ τί μὴ γίνῃ δημιουργὸς ἀγάπης; διὰ τί μὴ κατασκευάζεις φιλίαν; τὸ μέγιστον τῆς ἀρετῆς ἐγκώμιον οὐκ ἔχεις. ὥσπερ γὰρ τὸ ἐκ συνθήκης εἶναι κακοὺς μᾶλλον παροξύνει τὸν Θεόν· οὕτω καὶ τὸ ἐν ὁμονοίᾳ εἶναι ἀγαθούς, μᾶλλον εὐφραίνει. (Ψαλ. ιδ. γ.) οὐκ ἔσῃ, φησί, μετὰ πολλῶν ἐπὶ κακίᾳ. Πάντες ἐξέκλιναν ἅμα, ἠχρειώθησαν, καὶ ἐβδελύχθησαν ὡς ἄδοντες ἐν ταῖς κακίαις αὐτῶν. κατασκεύασον σοι φίλους περὶ τῶν οἰκείων, (γ. μου) περὶ τῶν ἄλλων ἁπάντων. εἰ ὁ εἰρηνοποιὸς υἱὸς Θεοῦ· ὁ καὶ φίλους κατασκευάζων, πόσῳ μᾶλλον; εἰ ὁ καταλλάττων μόνον, υἱὸς Θεοῦ καλεῖται· ὁ τοὺς [καταλλαττομένους] φίλους ποιῶν, τίνος οὐκ ἔσται ἄξιος; ταύτην ποιώμεθα τὴν ἐμπορίαν, φίλους ποιῶμεν ἀλλήλοις τοὺς ἐχθρούς, καὶ τοὺς οὐκ ἐχθροὺς μέν, οὐ φίλους δέ, καὶ τούτους συναγάγωμεν, καὶ περὶ πάντων ἡμᾶς αὐτούς. καθάπερ γὰρ ὁ ἐν τῇ οἰκίᾳ ἔχθραν ἔχων, καὶ πρὸς τὴν γυναῖκα τὴν ἑαυτοῦ διεστηκώς, οὐκ ἔστιν ἀξιόπιστος ἑτέρους καταλλάττων, ἀλλ' ἀκούσεται, Ἰατρέ, θεράπευσον σεαυτόν· (γ. ἰατρέ ποίει) οὕτω δὴ καὶ ἐνταῦθα ἀκούσεται. τίς οὖν ἐστιν ἡμῖν ἡ ἔχθρα; ἡ τῆς ψυχῆς πρὸς τὸ σῶμα, ἡ τῆς κακίας πρὸς τὴν ἀρετήν. ταύτην καταλύσωμεν, τοῦτον ἀνέλωμεν τὸν πόλεμον· καὶ τότε μετ' εἰρήνης καὶ τοῖς ἄλλοις διαλεξόμεθα, μετὰ πολλῆς τῆς παρρησίας, οὐ καταγελῶντος ἡμῶν τοῦ συνειδότος. μάχεται θυμὸς ἐπιεικείᾳ, μάχεται χρημάτων ἔρως ὑπεροψίᾳ χρημάτων, μάχεται βασκανία χρηστότητι. τοῦτον λύσωμεν τὸν πόλεμον, τούτους κατενέγκωμεν τοὺς ἐχθρούς, (γ. ἐξωθεν) ταῦτα στήσωμεν τὰ τρόπαια ἐν τῇ πόλει τῇ ἡμετέρᾳ· κατασκευάσωμεν εἰρήνην. πόλις γάρ ἡμῖν ἐστι καὶ πολιτεία, καὶ πολῖται καὶ ξένοι πολλοί. ἀλλὰ ξενηλασίαν ποιήσωμεν, ὥστε μὴ τοὺς οἰκείους φθείρεσθαι. μηδὲν ἀλλότριον, μηδὲ νόθον ἐπιφοιτάτω δόγμα, μηδὲν φρόνημα σαρκικόν. οὐχ ὁρῶμεν ὅτι τῶν πολεμίων τις ἐν ταῖς πόλεσιν ἂν ἁλῷ, ὡς κατάσκοπος κρίνεται; οὐκοῦν ξενηλασίαν ποιώμεθα, μᾶλλον δὲ μὴ ξενηλασίαν μόνον, ἀλλὰ καὶ τοὺς πολεμίους ἀπελαύνωμεν. ἂν ἴδωμεν ὅτι ἕνα, παραδῶμεν τῷ ἄρχοντι τῷ νῷ, οἱ λογισμοὶ ἐκεῖνοι, οἱ βεβαρβαρωμένοι μέν, κατεσκευασμένοι δὲ ἐσθῆτι πολιτικῇ. πολλοὶ γάρ παρ' ἡμῖν λογισμοὶ τοιοῦτοι, φύσει μὲν ἐχθροί, περιβεβλημένοι δὲ δορὰν προβάτων. καθάπερ οἱ Πέρσαι τὴν παρὰ παρελθόντες, καὶ τὰς ἀναξυρίδας, καὶ τὰ ὑποδήματα τὰ βαρβαρικά, καὶ τὴν ἄλλην στολὴν τὴν ἡμῖν ἐπιχώριον ὑπελθόντες, καὶ κειράμενοι ἐγχωρίως, καὶ τῇ συνήθει γλώττῃ διαλεγόμενοι, κρύπτουσι τῷ σχήματι τὸν πόλεμον· ἂν δὲ (γ. ὑπεισελθόντες)

βασάνοις

βασάνοις εὐθέως προσαγάγης, ὃ κρυπτόμενον ἔδειξας· οὕτω καὶ ἐνταῦθα, βασάνισον μυριάκις τὸν τοιοῦτον λογισμὸν, καὶ ταχέως ὄψει τὸ βαρβαρικὸν φρόνημα. Ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος ὑμῖν δείξω τοὺς τοιούτους κατασκόπους, οὓς παρακαθίησιν ὁ διάβολος ἰδεῖν τὰ ἐν ἡμῖν, φέρε, ἵνα ἀποδύσωμεν, καὶ ἐπὶ τοῦ δικαστηρίου ἐξετάσωμεν μετὰ ἀκριβείας. Καὶ, εἰ βούλεσθε, τὴν ὑπὸ Παύλου φωραθεῖσαν τινὰς παραγάγωμεν. Ἅτινά ἐστι, φησὶ, λόγον μὲν ἔχοντα σοφίας, ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. Οἷον, ἐβούλετο Ἰουδαϊσμὸν εἰσαγαγεῖν ὁ διάβολος. Εἰ μὲν οὖν αὐτόθεν αὐτὸν εἰσήγαγεν, οὐκ ἂν ἔπεισεν. Ὅρα τοίνυν πῶς αὐτὸν κατασκευάσει. Δεῖ τοῦ σώματος ἀφειδεῖν, φησί. Φιλοσοφία τοῦτό ἐστι, τὸ μὴ προσίεσθαι βρῶμα, ἀλλὰ παρατηρεῖν. Ταπεινοφροσύνη τοῦτό ἐστι. Καὶ νῦν δὲ πάλιν ἐπὶ τῶν αἱρετικῶν ἐβούλετο ἡμᾶς εἰς τὴν κτίσιν καταγαγεῖν. Ὅρα γοῦν πῶς κατασκευάσει τὸν δόλον. Εἰ εἶπεν, ὅτι κτίσιν προσκύνει, ἑάλω ἄν· ἀλλὰ τί; ὁ Θεός, φησι, κτιστός ἐστιν. Ἀλλ' ἀποδύσωμεν παρὰ τῇ ψήφῳ τῶν δικαζόντων τὸν νοῦν τῶν γραφῶν τῶν ἀποστολικῶν· ἐκεῖ αὐτὸν ἀγάγωμεν. Αὐτοὶ ἐπιγνώσονται καὶ τὸ κήρυγμα, καὶ τὴν λαλιάν. Πολλοὶ κέρδη κερδαίνουσιν, ἵνα ἔχωσι διδόναι πένησι, κέρδη ἄδικα· καὶ οὗτος χαλεπὸς ὁ λογισμός. Ἀλλ' ἀποσκευασώμεθα αὐτόν· ἐλέγξωμεν, ἵνα μὴ ἁλῶμεν, ἀλλὰ πάσας διαφυγόντες τὰς μηχανὰς τοῦ διαβόλου, δυνηθῶμεν μετὰ ἀκριβείας τὰ ὑγιῆ δόγματα κατέχοντες, μετ' ἀσφαλείας καὶ τὸν πρέποντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἀφιλεῖν

γ. ἀποδυσώμεθα

Κολοσσ. β. κγ.

Λογ. λη. 16 ΕΝ ΔΕ ΤΑΙΣ ΑΘΗΝΑΙΣ ΕΚΔΕΧΟΜΕΝΟΥ
αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κα-
τείδωλον οὖσαν τὴν πόλιν.
17 Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ
τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς
παρατυγχάνοντας.

Ὅρα αὐτὸν μείζονας ἔχοντα πειρασμοὺς παρὰ Ἰουδαίοις, ἢ παρ' Ἕλλησιν. Ἐν γοῦν Ἀθήναις οὐδὲν πάσχει τοιοῦτον, ἀλλὰ μέχρι γέλωτος τὸ πᾶν προὐχώρησε, καίτοιγε ἔπεισεν· ἐν δὲ Ἰουδαίοις πολλὰ τὰ δεινά. Οὕτως ἦσαν ἐκπεπολεμωμένοι μᾶλλον. Διὸ καί φησιν· Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. Εἰκότως παροξύνεται. Οὐ γὰρ ἦν ἀλλαχοῦ τοσαῦτα ἰδεῖν εἴδωλα. Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. Ὅρα, πάλιν Ἰουδαίοις διαλέγεται, πανταχόθεν ἐπιστομίζων τοὺς καταλιπεῖν αὐτοὺς λέγοντας διὰ τὸ πρὸς τὰ ἔθνη ἐπιστραφῆναι. Θαυμαστὸν, πῶς οὐ κατεγέλασαν οἱ φιλόσοφοι οὕτως αὐτοῦ φθεγγομένου ὑβριστικῶς εὐθέως, οὐδὲ ἀπεπήδησαν ἀπὸ τοῦ κηρύγματος εἰπόντες· μακρὰν τοῦτο φιλοσοφίας, ὅτι οὐδένα τῦφον εἶχεν. Ἄλλως δὲ, ὅτι οὐκ ἐνόουν, οὐδὲ συνίεσάν τι τῶν λεγομένων. Πῶς γὰρ οἱ μὲν σῶμα τὸν Θεὸν λέγοντες, οἱ δὲ ἡδονὴν τὴν μακαριότητα;

γ. τοσούτους πειρασμοὺς ἰδεῖν· πάλιν καὶ Ἰουδαίοις διελέγετο ἐν τῇ

γ. μακρῷ

γ. εἰσενόουν

18 Τινὲς δὲ καὶ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλον αὐτῷ· καί τινες ἔλεγον· τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· ξένων δαιμονίων [δοκεῖ] καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. Καὶ γὰρ τὴν ἀνάστασιν, θεόν τινα εἶναι ἐνόμιζον, ἅτε εἰωθότες καὶ θηλείας σέβειν.

19 Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες· δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;

20 Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι. Ἦγον αὐτὸν ἐπὶ τὸν Ἄρειον πάγον, οὐχ ὥστε μαθεῖν, ἀλλ' ὥστε κολάσαι, ἔνθα αἱ φονικαὶ δίκαι. ὅρα γοῦν πῶς καὶ ἐν ἐλπίδι τοῦ μαθεῖν [καὶ] πανταχοῦ τὴν καινοτομίαν ἐγκαλοῦσι. λάλων πόλις ἡ πόλις ἐκείνων ἦν.

(21 Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς ἕτερον οὐδὲν εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον)

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

23 Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ.

24 Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. Ὥσπερ ἐγκωμιάζων αὐτοὺς, δοκεῖ οὐδὲν λέγειν βαρύ. ὡς δεισιδαιμονεστέρους ὑμᾶς, φησὶ, θεωρῶ· τουτέστιν, εὐλαβεστέρους. ἐν ᾧ ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ. τί ἐστι τοῦτο; οἱ Ἀθηναῖοι ἐπειδὴ κατὰ καιροὺς πολλοὺς ἐδέξαντο θεοὺς καὶ ἀπὸ τῆς ὑπεροψίας, οἷον τὸν τῆς Ἀθηνᾶς ἱερὸν, τὸν Πᾶνα, καὶ ἄλλους ἀλλαχόθεν, δεδοικότες μή ποτε καὶ ἄλλος τις ᾖ αὐτοῖς μὲν οὐδέπω γνώριμος, θεραπευόμενος δὲ ἀλλαχοῦ, ὑπὲρ πλείονος δῆθεν ἀσφαλείας καὶ τούτῳ βωμὸν ἔστησαν· καὶ ἐπειδὴ οὐκ ἦν δῆλος ὁ Θεὸς, ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ. τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναι Παῦλος λέγει, μᾶλλον δὲ τὸν πάντων Θεόν. ὃν οὖν ἀγνοοῦντες, φησιν, εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὅρα πῶς δείκνυσι προειληφότας αὐτούς. οὐδὲν ξένον, φησὶν, οὐδὲν καινὸν εἰσφέρω. ἄνω καὶ κάτω τοῦτο ἔλεγον ἐκεῖνοι· τίς ἡ καινὴ αὕτη ἡ λαλουμένη ὑπὸ σοῦ διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. εὐθέως οὖν ἀναιρεῖ αὐτῶν τὴν ὑπόληψιν, καί φησιν·

γρ. χωρίον

γρ. χριστὸν τὸν Ἰησοῦν. οἱ. φασὶ, μᾶλλον δὲ τὸν π.

24 Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων. Εἶτα ἵνα μὴ νομίσωσιν ἕνα τῶν πολλῶν εἶναι, διορθοῦται λοιπὸν ἐπάγων· οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ,

25 Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος.

Ὁρᾷς ὅπως κατὰ μικρὸν εἰσάγει τὴν φιλοσοφίαν; πῶς καταγελᾷ τῆς ἑλληνικῆς πλάνης; Δοὺς ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα,

γρ. αὐτὸς διδοὺς πᾶσι ζωὴν

26 Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. Τοῦτο Θεοῦ ἴδιον. ὅρα τοίνυν εἰ μὴ καὶ ἐπὶ τοῦ υἱοῦ ταῦτα λέγεσθαι δύναται. οὐρανοῦ, φησὶ, καὶ γῆς Κύριος ὑπάρχων, ὧν ἐνόμιζον εἶναι θεούς. καὶ τὴν δημιουργίαν ἐδήλωσε, καὶ τῶν ἀνθρώπων. Ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν,

γρ. τοῦ

27 Ζητεῖν τὸν Θεὸν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν· καί τοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.

γρ. [illegible]

28 Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι·

- - - Τοῦ γὰρ καὶ γένος ἐσμέν.

Τοῦτο Ἄρατος εἶπεν ὁ ποιητής. ὅρα καὶ ἀπὸ τῶν ὑπ' αὐτῶν γινομένων, καὶ ἀπὸ τῶν εἰρημένων τὰς ἀποδείξεις φέροντα.

γρ. αὐτοῦ

29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπων τὸ θεῖον εἶναι ὅμοιον.

Καὶ μὴν διὰ τοῦτο, φησιν, ὀφείλομεν. οὐδαμῶς. οὐ γὰρ δὴ ἡμεῖς ὅμοιοι, οὐδὲ αἱ ψυχαὶ

αἱ

αἱ ὑμέτεραι. τί δήποτε οὐκ ἔστη πρὸς φιλοσοφίαν εὐθὺς, καὶ εἶπεν· ὁ Θεὸς ἀσώματος φύσει, ἀόρατος καὶ ἀσχημάτιστος; ὅτι περιττὸν πῶς ἐδόκει ταῦτα λέγειν πρὸς ἀνθρώπους μήπω μαθόντας ὅτι ἐστὶ μόνος Θεός. διὰ τοῦτο ἐκεῖνα εἰπὼν ἀφεὶς, πρὸς τὸ ζητούμενον ἵσταται, καί φησι·

30 Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν,

31 Διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ὅρα, κατασείσας αὐτῶν τὴν διάνοιαν, τῷ εἰπεῖν, ἔστησεν ἡμέραν, καὶ φοβήσας, τότε εὐκαίρως ἐπάγει τοῦτο, τὸ, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο, φησὶ, τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ. οὐκ ὀργὴν ἐνταῦθα, οὐδὲ ἀγανάκτησιν ὁ παροξυσμός, ἀλλὰ διέγερσιν καὶ ζῆλον δηλοῖ, καθάπερ καὶ ἀλλαχοῦ· Ἐγένετο, φησὶ, παροξυσμὸς μεταξὺ αὐτῶν. Παροξ. ιε. λθ. ὅρα δὲ πῶς οἰκονομεῖται καὶ ἄκοντα μένειν ἐκεῖ ἐκδεχόμενον ἐκείνους. τί οὖν ἐστι, παρωξύνετο; ἀντὶ τοῦ, διηγείρετο. ὀργῆς γὰρ καὶ ἀγανακτήσεως πόρρω τὸ χάρισμα· οὐκ ἔφερεν, ἀλλ' ἐτήκετο. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις, φησὶ, καὶ τοῖς σεβομένοις. ὅρα πάλιν αὐτὸν πρὸς Ἰουδαίους διαλεγόμενον. σεβομένους δὲ, τοὺς προσηλύτους λέγει. διεσπάρησαν γὰρ οἱ Ἰουδαῖοι πανταχοῦ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας· ἅμα μὲν [ὡς ἐκείνου] τοῦ νόμου λυομένου, ἅμα δὲ διδάσκοντες εὐσέβειαν τοὺς ἀνθρώπους. ἀλλ' οὐδὲν ἐκέρδαναν ἐκεῖνοι, ἀλλ' ἢ μόνον μάρτυρας ἔσχον τῶν οἰκείων συμφορῶν. τινὲς δέ, φησι, τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ. οὐκέτι Ἀθηναῖοι τοῖς οἰκείοις νόμοις ἐχρῶντο, ἅτε ὑποπεσόντες ἤδη τοῖς Ῥωμαίοις. καὶ πόθεν ἠθέλησαν οὗτοι συμβαλεῖν; ἐπειδὴ καὶ ἄλλοις ἑώρων διαλεγόμενον, καὶ δόξαν ἔχοντα οἱ ἄνθρωποι. καὶ ὅρα, εὐθέως ὑβριστικῶς. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. ξένων δαιμονίων, φησὶ, δοκεῖ καταγγελεὺς εἶναι. α. Κορ. β. ιδ. δαιμόνια τοὺς θεοὺς αὐτῶν ἐκάλουν. ἦσαν γὰρ αἱ πόλεις εἰδώλων πλήρεις. ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες. διὰ τί εἰς Ἄρειον πάγον αὐτὸν εἷλκον; ὡς καταπλήξοντες, ἔνθα τὰς φονικὰς δίκας ἐδίκαζον. δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. ἐνταῦθα ἐκεῖνο ἐπισημαίνεται, ὅτι καί τοι ἀεὶ ἐν τούτῳ ἀσχολούμενοι, τῷ λαλεῖν καὶ ἀκούειν, ὅμως ξενίζοντα ἐνόμιζον εἶναι ἐκεῖνα, ἅπερ οὐδέποτε ἤκουσαν. σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν. οὐκ εἶπε τοὺς δαίμονας ἁπλῶς, ἀλλὰ προοδοποιεῖ τῷ λόγῳ. διὰ τοῦτο εἶπε, δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ, διὰ τὸν βωμόν. ὁ Θεός, φησιν, ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. ἐφθέγξατο φωνὴν μίαν, δι' ἧς πάντα κατέστρεψε τὰ τῶν φιλοσόφων. οἱ μὲν γὰρ Ἐπικούρειοι αὐτόματά φασιν εἶναι τὰ πάντα καὶ ἀπὸ ἀτόμων συνεστάναι· οἱ δὲ Στωϊκοὶ, σῶμα καὶ ἐκπύρωσιν· ὁ δὲ ἔργον Θεοῦ λέγει τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. ὁρᾷς συντομίαν, καὶ ἐν συντομίᾳ σαφήνειαν; καὶ σκόπει τίνα ἦν τὰ ξενίζοντα αὐτούς· ὅτι ὁ Θεὸς τὸν κόσμον ἐποίησεν. ἃ καὶ τῶν τυχόντων ἴσασί τινες νῦν, ταῦτα οὐκ ᾔδεισαν Ἀθηναῖοι, καὶ Ἀθηναίων οἱ σοφοί. εἰ γὰρ ἐποίησε, δῆλον ὅτι καὶ Κύριος. ὅρα τί φησι θεότητος εἶναι γνώρισμα· τὸ δημιουργικόν· ὅπερ ἔχει καὶ ὁ υἱός. καὶ γὰρ οἱ προφῆται πανταχοῦ τοῦτο λέγουσι, Θεοῦ εἶναι τὸ δημιουργεῖν· οὐχ ὥσπερ ἐκεῖνοι, ἄλλον μὲν εἶναι τὸν ποιητὴν, οὐ Κύριον δὲ, τὴν δὲ ἀγέννητον ὕλην ὑποτιθέντες. ἐνταῦθα λοιπὸν ἀριγματωδῶς εἶπε τὸ αὐτοῦ, καὶ ἔστησε, καὶ καθαιρεῖ τὸ ἐκείνων. οὐκ ἐν χειροποιήτοις, φησὶ, κατοικεῖ. οἰκεῖ μὲν γὰρ ἐν ναοῖς· ἀλλ' οὐκ ἐν τοιούτοις,

ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. ὅρα, τὴν σωματικὴν ἀναιρεῖ λατρείαν. τί οὖν; οὐ κατῴκει ἐν τῷ ναῷ τῷ ἐν Ἱεροσολύμοις; οὐ δῆτα, ἀλλ' ἐνήργει. πῶς οὖν ἐθεραπεύετο ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις; οὐχ ὑπὸ χειρῶν, ἀλλ' ὑπὸ διανοίας. ἐπεὶ ἐκεῖνός γε οὐκ ἐζήτει οὕτως, ὡς προσδεόμενος. Ψαλ. μθ. ιγ. Μὴ φάγομαι γάρ, φησι, κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; [Εἶτα εἰπών, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος] ἐπειδὴ οὐδὲ τοῦτο ἤρκει τὸ μηδενὸς δεῖσθαι, ὅπερ ἀπεφήνατο (θεῖον μὲν γὰρ καὶ τοῦτο) ἀλλὰ δεῖ καὶ ἕτερον προσεῖναι, ἐπάγει τό, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. δύο τεκμήρια θεότητος δείκνυσι, τὸ αὐτόν τε μηδενὸς δεῖσθαι, καὶ πᾶσι πάντα παρέχειν. πάρεστιν ἐνταῦθα ὅσα περὶ Θεοῦ Πλάτων ἐφιλοσόφησεν, ὅσα Ἐπίκουρος, καὶ τὰ πάντα λῆρος πρὸς ταῦτα. διδοὺς, φησι, ζωὴν καὶ πνοήν. ἰδοὺ καὶ τῆς ψυχῆς δημιουργὸν αὐτὸν ποιεῖ, οὐ γενήτορα. ὅρα πάλιν πῶς καθαιρεῖ τὸν περὶ τῆς ὕλης λόγον. ἐποίησέ τε εἰπὼν ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. ταῦτα βελτίω ἐκείνων, καὶ κατηγορία τῆς τε ἀτόμων καὶ τῆς ὕλης. ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἔστι μερικὴ οὐδὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου. ὅπερ γὰρ ἐκεῖνοί φασιν, οὐκ ἔστι τοῦτο δημιουργοῦ εἶναι. λέγων δέ, μὴ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεσθαι τὸν Θεόν, αἰνίττεται ὅτι διανοίᾳ καὶ νῷ θεραπεύεται. [Οὗτος, φησιν, οὐρανοῦ καὶ γῆς Κύριος.] Οὐκοῦν οὐχ οἱ μερικοὶ δαίμονες. ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ (κ. ἐχόμενοι) πάντα τὰ ἐν αὐτῷ. ὡς οὐρανὸς γέγονε πρότερον δείξας, τότε ἀπεφήνατο, ὅτι οὐκ ἐν χειροποιήτοις κατοικεῖ. ὡσεὶ ἔλεγεν, εἰ Θεός, πάντα ἐποίησε· δηλονότι εἰ δὲ μὴ ἐποίησεν, οὐ Θεός. Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν, φησιν, οὐκ ἐποίησαν, ἀπολέσθωσαν. πολλῷ μείζονα ἐκείνων δόγματα εἰσάγει (καίτοι οὐδέπω τὰ μεγάλα εἰπών· οὔπω γὰρ καιρός, ἀλλ' ὡς παισὶ διελέγετο) τὴν δημιουργίαν, τὴν κυριότητα, τὸ ἀνενδεές. εἰπὼν δέ, ὅτι πᾶν ἔθνος ἀνθρώπων ἐξ ἑνὸς αἵματος ἐποίησε, τὸ πάντων αἴτιον τῶν ἀγαθῶν ἐδήλωσε. τί τούτου ὑψηλότερον ἴσον; θαυμαστὸν μὲν γὰρ καὶ τὸ ἐξ ἑνὸς ποιῆσαι τοσούτους· τὸ δὲ πάντας αὐτὸν συγκροτεῖν, ἔτι πολλῷ θαυμαστότερον. διδοὺς γάρ, φησι, πᾶσι πνοὴν καὶ ζωήν. τί ἐστιν ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν ζητεῖν τὸν Θεόν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν; ὅτι οὐκ ἠνάγκαζεν ὅτι τις, φησι, περιιέναι καὶ ζητεῖν τὸν Θεόν· ἢ εἰ μὴ τοῦτο, ὅτι ὤφειλε ζητῆσαι τὸν Θεόν. ἀλλ' οὐ διαπαντὸς τοῦτο ὤφειλεν, ἀλλὰ προστεταγμένους καιρούς. τοῦτο δὲ λέγει, δεικνὺς ὅτι οὐδὲ νῦν ζητήσαντες εὗρον· καίτοι οὕτως ἦν φανερὸς πρὸς τὸ εὑρίσκεσθαι, ὥσπερ ἂν εἰς μέσον τι ψηλαφώμενον. οὐδὲ γὰρ ἐνταῦθα μέν ἐστιν [οὐρανός,] ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ τῷ χρόνῳ ἦν, ἐν ἄλλῳ δὲ οὔ. ὥστε καὶ κατὰ πάντα καιρόν, καὶ κατὰ πᾶσαν ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν. οὕτως ᾠκονόμησε [τὸ ζητεῖσθαι,] ὥστε μήτε τόπῳ κωλύεσθαι, μήτε χρόνῳ· καὶ αὐτὸ δὴ τοῦτο μάλιστα αὐτοῖς συνέβαλλετο, εἴγε ἠβούλοντο, τὸ πανταχοῦ εἶναι τὸν οὐρανόν, τὸ ἐν παντὶ χρόνῳ ἑστάναι. διὸ καὶ οὕτως εἶπε· καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, ἀλλ' ἐγγὺς ὄντα πᾶσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ μόνον τὴν ζωὴν ἔδωκε καὶ τὴν πνοὴν καὶ τὰ πάντα· ἀλλὰ καὶ τὸ κεφάλαιον ἁπάντων, εἰς γνῶσιν ἤγαγεν αὐτοῦ, δοὺς ταῦτα δι' ὧν δυνάμεθα εὑρεῖν αὐτὸν καὶ καταλαβεῖν. ἀλλ' οὐκ ἠθελήσαμεν ζητῆσαι, καίτοι παρὰ πόδων ὄντα. οὐ μακράν, φησιν, ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. βαβαί· πᾶσιν ἐγγὺς εἶναι λέγει τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι. τί τούτου μεῖζον; ὅρα πῶς καὶ καθαιρεῖ τοὺς μερικούς. τί λέγω μακράν; οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. ὡς ἐν σωματικῷ ὑποδείγματι τοιοῦτόν τι λέγει. ὥσπερ ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα πανταχοῦ κεχυμένον, καὶ οὐ μακρὰν ἀφ' ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα· οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργόν. ὅρα πῶς [πάντα αὐτοῦ λέγει εἶναι·] τὴν πρόνοιαν αὐτοῦ φησι, καὶ τὴν συγκράτησιν· τὸ εἶναι παρ' αὐτοῦ· τὸ ἐνεργεῖν· τὸ μὴ ἀπολέσθαι. καὶ οὐκ εἶπε, δι' αὐτοῦ,

αὐτῷ, ἀλλ' ὃ ἐπιδύτερον ἦν, ἐν αὐτῷ. οὐδὲν ἴσον εἶπεν ὁ ποιητὴς ἐκεῖνος· τοῦ γὰρ καὶ γένος εἰπὼν ἐσμέν· ἀλλ' ἐκεῖνος μὲν περὶ τοῦ Διὸς εἶπεν, οὗτος δὲ περὶ τοῦ δημιουργοῦ αὐτὸ λαμβάνει, οὐ τὸν αὐτὸν ἐκείνῳ λέγων (μὴ γένοιτο) ἀλλὰ τὰ κυρίως ἐπ' αὐτοῦ εἰρημένα ἁρμόζων. ἐπεὶ καὶ βωμὸν τοῦτο εἶπεν, οὐκ ἐκείνου, οὗ ἐσέβοντο. εἴρηται καθὸ γάρ τινα καὶ περιΐπτεται εἰς τοῦτον· ἀλλ' οὐκ ἴσασιν Ἕλληνες ὅτι εἰς αὐτὸν, ἀλλ' εἰς ἕτερον αὐτὰ πεποιήκασι. εἰπὲ γάρ μοι, περὶ τίνος ἂν λεχθείη κυρίως, Ἀγνώστῳ Θεῷ· περὶ τοῦ δημιουργοῦ, ἢ περὶ τοῦ δαίμονος; δῆλον ὅτι περὶ τοῦ δημιουργοῦ· εἰ καὶ τὸν μὲν ἠγνόουν, τὸν δὲ ᾔδεισαν. ὁμοίως καὶ ὅτι πάντα πεποίηκε, περὶ τοῦ Θεοῦ ἂν εἰρῆσθαι κυρίως ἁρμόσειεν, ἢ τοῦ Διὸς, μιαροῦ τινος ἀνθρώπου καὶ καταπτύστου καὶ γόητος; οὕτως οὐχ ὁμοίως ἐκείνῳ Παῦλος εἶπε (μὴ γένοιτο) καὶ τὸ, Τοῦ γὰρ καὶ γένος ἐσμέν.

Ἀλλ' ἑτέρως νοῶ. γένος γὰρ Θεοῦ εἶπεν ἡμᾶς εἶναι, τουτέστιν, οἰκείους, ἐγγυτάτους, ἢ ὡς ἄν τις εἴποι, περιοίκους καὶ γείτονας. ἵνα γὰρ μὴ πάλιν λέγωσι· ξενίζοντα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν (οὐδὲν γὰρ οὕτως ἀνθρώποις ἐνδόσιμον) ἄγει τὸν ποιητὴν εἰς μέσον. καὶ οὐκ εἶπεν, οὐκ ὀφείλετε νομίζειν, χρυσῷ, ἢ ἀργύρῳ τὸ θεῖον εἶναι ὅμοιον, ὦ μιαροὶ καὶ παμμίαροι· ἀλλὰ ταπεινότερον, τοῦτο οὐκ ὀφείλομεν νομίζειν, φησὶν, ἀλλ' ὑπὲρ τοῦτο. τί δαὶ τὸ ὑπὲρ τοῦτο; Θεός; ἀλλ' οὐδὲ τοῦτο (ἐνεργείας γάρ ἐστιν ὄνομα) ἀλλὰ τέως τοῦτο. πλέον οὐ λέγομεν τούτῳ τὸ θεῖον εἶναι ὅμοιον. τίς γὰρ ἂν εἴποι; ὅρα πῶς τὸ ἀσώματον εἰσήγαγεν. ἡ γὰρ διάνοια ὅταν ἀποπλάσσῃ σῶμα, καὶ διάστημα ὑπάρχει. γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, φησὶ, χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. ἀλλ' εἴποι ἄν τις· οὐ τοῦτο νομίζομεν. τί οὖν ταῦτα λέγει; ἀλλὰ πρὸς τοὺς πολλοὺς ὁ λόγος ἦν αὐτῷ. καλῶς οὕτως εἶπεν. εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ὅμοιοι ἐκείνοις κατὰ τὴν ψυχὴν, πολλῷ μᾶλλον ὁ Θεός. πῶς ἀπάγει αὐτοὺς τῆς ὑπονοίας. οὐ μόνον δὲ χαράγματι τέχνης τὸ θεῖον οὐκ ἔστιν ὅμοιον, ἀλλ' οὐδὲ ἄλλῃ τινὶ ἀνθρωπίνῃ ὑπονοίᾳ ὑποβάλλεται. ἢ γὰρ τέχνη, ἢ διάνοια εὗρε. διὰ τοῦτο οὕτως εἶπεν· ὅπερ οὖν τέχνη ἀνθρωπίνη ἢ διάνοια εὗρε, τοῦτο ὁ Θεὸς, καὶ ἐν λίθῳ οὐσία Θεοῦ. πῶς οὖν, εἰ ἐν αὐτῷ ζῶμεν, οὐχ εὑρίσκομεν αὐτόν; διπλοῦν τὸ ἔγκλημα· ὅτι τε ἐκεῖνοι οὐχ εὗρον, καὶ ὅτι τοιούτους εὗρον. οὐδαμοῦ ἡ διάνοια ἀξιόπιστος καθ' ἑαυτήν. ἀλλὰ διὰ τοῦτο κατίστησιν αὐτὴν τὴν ψυχὴν, δείξας ἀναπολογήτους, ὅρα τί ἐπάγει. τοὺς μὲν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. τί οὖν; οὐδεὶς κολάζεται τούτων; οὐδεὶς τῶν θελόντων μετανοεῖν. περὶ τούτων λέγει, οὐ περὶ τῶν ἀπελθόντων, ἀλλ' οἷς παραγγέλλει. οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς, φησίν· οὐκ εἶπεν, ἐκεῖνος παρεῖδεν· οὐκ εἶπεν, εἴασεν· ἀλλ', ὑμεῖς ἠγνοήσατε. ὑπεριδὼν· τουτέστιν, οὐκ ἀπαιτεῖ κόλασιν ὡς ἀξίους ὄντας κολάσεως. ἠγνοήσατε. καὶ οὐ λέγει, ἑκόντες ἐκακουργήσατε· ἀλλὰ τοῦτο διὰ τῶν ἄνω ἔδειξε, πανταχοῦ μετανοεῖν εἰπών. ἐνταῦθα πᾶσαν τὴν οἰκουμένην αἰνίττεται. ὅρα πῶς αὐτοὺς ἀπάγει τῆς ῥᾳθυμίας. διότι ἔστησεν ἡμέραν, φησὶν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. ὅρα πάλιν τὴν οἰκουμένην εἶπεν, οὕτω τοὺς ἀνθρώπους καλῶν. ἐν ἀνδρὶ ᾧ ὥρισεν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ὅρα πῶς πάλιν τὸ πάθος ἐδήλωσεν, ἀναστάσεως μνημονεύσας. ὅτι δὲ ἀληθὴς ἡ κρίσις, δῆλον ἐκ τῆς ἀναστάσεως. συγκατασκευάζεται γάρ. καὶ ὅτι πάντα ἀληθῆ εἶπε, δῆλον διὰ τῶν αἱρέσεων. ὅτι δὲ καὶ πᾶσι ταύτην παρέχει πίστιν, τὸ ἀναστῆσαι αὐτὸν ἐκ νεκρῶν, καὶ τοῦτο λοιπὸν δῆλον.

χ πᾶσι γὰρ πάντων παρέχει πίστιν, τὸ ἀναστῆναι

ΗΘΙΚΟΝ

Ταῦτα εἴρηται μὲν πρὸς Ἀθηναίους· καιρὸς δ' ἂν ἔχοι καὶ πρὸς ὑμᾶς λέγεσθαι, ὅτι πάντας πανταχοῦ μετανοεῖν δεῖ, ὅτι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. ὅρα καὶ πῶς καὶ δικαστὴν αὐτὸν εἰσάγει, καὶ προνοοῦντα τοῦ κόσμου, καὶ φιλάνθρωπον, καὶ συγγνωμονικὸν, καὶ δυνατὸν, καὶ σοφὸν, καὶ πάντα ἁπλῶς δημιουργὸν ἔχοντα. * ἀπόδειξιν ἔδωκε τῆς ἀ-

ἐστιν,

ναστάσεως

ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. ὅρα, τὴν σωματικὴν αἴρει λατρείαν. τί οὖν; οὐ κατῴκει ἐν τῷ ναῷ τῷ ἐν Ἱεροσολύμοις; οὐδαμῶς, ἀλλ' ἐνήργει. πῶς οὖν ἐθεραπεύετο ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις; οὐχ ὑπὸ χειρῶν, ἀλλ' ὑπὸ διανοίας. ἐπεὶ ἐκεῖνός γε οὐκ ἐζήτει οὕτως, ὡς προσδεόμενος.

ψαλ. μθ. ιγ. Μὴ φάγομαι γάρ, φησι, κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; [Εἶτα εἰπών, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος:] ἐπεὶ οὐδὲ τοῦτο ἤρκει τὸ μηδενὸς δεῖσθαι, ὅπερ ἀπεφήνατο (θεῖον μὲν γὰρ καὶ τοῦτο) ἀλλὰ δεῖ καὶ ἕτερον προσεῖναι, ἐπάγει τό, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. δύο τεκμήρια θεότητος δείκνυσι, τὸ αὐτόν τε μηδενὸς δεῖσθαι, καὶ πᾶσι πάντα παρέχειν. παράγει ἐνταῦθα ὅσα περὶ Θεοῦ Πλάτων ἐφιλοσόφησεν, ὅσα Ἐπίκουρος, καὶ τὰ πάντα λῆρος πρὸς ταῦτα. διδοὺς, φησι, ζωὴν καὶ πνοήν. ἰδοὺ καὶ τῆς ψυχῆς δημιουργὸν αὐτὸν ποιεῖ, οὐ γεννήτορα. ὅρα πάλιν πῶς καθαιρεῖ τὰ περὶ τῆς ὕλης λεγόμενα. ἐποίησέ τε εἰπὼν ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. ταῦτα βελτίω ἐκείνων, καὶ κατηγορία τῶν τε ἀτόμων καὶ τῆς ὕλης. ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἔστι μερικὴ οὐδὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου. ὅπερ δὲ ἐκεῖνοί φασιν, οὐκ ἔστι τοῦτο δημιουργὸν εἶναι. λέγων δὲ, μὴ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεσθαι τὸν Θεόν, αἰνίττεται ὅτι διανοίᾳ καὶ νῷ θεραπεύεται. [Οὗτος, φησιν, οὐρανοῦ καὶ γῆς Κύριος.] Οὐκοῦν οὐχ οἱ μερικοὶ δαίμονες. ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. ὅρα πῶς οὐ πρότερον γνῶσιν προτέραν δείξας, τότε ἀπεφήνατο, ὅτι οὐκ ἐν χειροποιήτοις κατοικεῖ. ὥσπερ εἰ ἔλεγεν εἰ Θεός, πάντα ἐποίησε δηλονότι· εἰ δὲ μὴ ἐποίησεν, οὐ Θεός. Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν, φησιν, οὐκ ἐποίησαν, ἀπολέσθωσαν. πολλῷ μείζονα ἐκείνων δόγματα εἰσάγει (καίτοι οὐδέπω τὰ μεγάλα εἶπεν· οὔπω γὰρ καιρός· ἀλλ' ὡς παισὶ διελέγετο) τὴν δημιουργίαν, τὴν κυριότητα, τὸ ἀνενδεές. εἰπὼν δέ, ὅτι πᾶν ἔθνος ἀνθρώπων ἐξ ἑνὸς αἵματος ἐποίησε, τὸ πάντων αἴτιον τῶν ἀγαθῶν ἐδήλωσε. τί τούτου ὑψηλότερον; θαυμαστὸν μὲν γὰρ καὶ τὸ ἐξ ἑνὸς ποιῆσαι τοσούτους· τὸ δὲ πάντας αὐτὸν συγκροτεῖν, ἔτι πολλῷ θαυμαστότερον. διδοὺς γάρ, φησι, πᾶσι πνοὴν καὶ ζωήν. τί ἐστιν ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν ζητεῖν τὸν Θεόν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν; ὅτι οὐκ ἠνάγκαζεν τόπος, φησι, περιιέναι καὶ ζητεῖν τὸν Θεόν· ἢ εἰ μὴ τοῦτο, ὅτι ὤφειλον ζητῆσαι τὸν Θεόν. ἀλλ' οὐ διαπαντὸς τοῦτο ὤφειλον, ἀλλὰ προστεταγμένοις καιροῖς. τοῦτο δὲ λέγει, δεικνὺς ὅτι οὐδὲ νῦν ζητήσαντες εὗρον· καίτοι οὕτως ἦν φανερὸς πρὸς τὸ εὑρίσκεσθαι, ὥσπερ ἂν εἰς μέσον τι ψηλαφώμενοι. οὐδὲ γὰρ ἐνταῦθα μέν ἐστιν [οὐρανός,] ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ τῷ χρόνῳ ἦν, ἐν ἄλλῳ δὲ οὔ. ὥστε καὶ κατὰ πάντα καιρόν, καὶ κατὰ πᾶσαν ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν. οὕτως ᾠκονόμησε [τὸ ζητεῖσθαι,] ὥστε μήτε τόπῳ κωλύεσθαι, μήτε χρόνῳ· καὶ αὐτὸ δὴ τοῦτο μάλιστα αὐτοῖς συνεβάλλετο, εἴγε ἠβούλοντο, τὸ πανταχοῦ εἶναι τὸν οὐρανόν, τὸ ἐν παντὶ χρόνῳ ἑστάναι. διὸ καὶ οὕτως εἶπε· καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, ἀλλ' ἐγγὺς ὄντα πᾶσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ μόνον τὴν ζωὴν ἔδωκε καὶ τὴν πνοὴν καὶ τὰ πάντα· ἀλλὰ καὶ τὸ κεφάλαιον ἁπάντων, εἰς γνῶσιν ἤγαγεν αὐτοῦ, δοὺς ταῦτα δι' ὧν δυνάμεθα εὑρεῖν αὐτὸν καὶ καταλαβεῖν. ἀλλ' οὐκ ἠθελήσαμεν ζητῆσαι, καίτοι παρὰ ποδῶν ὄντα. οὐ μακράν, φησιν, ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. βαβαί· πᾶσιν ἐγγὺς εἶναι λέγει τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι. τί τούτου μεῖζον; ὅρα πῶς καὶ καθαιρεῖ τοὺς μερικούς. τί λέγω μακράν; οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν. ὡς ἐν σωματικῷ ὑποδείγματι τοιοῦτόν τι λέγει. ὥσπερ ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα πανταχοῦ κεχυμένον, καὶ οὐ μακρὰν ἀφ' ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα· οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργόν. ὅρα πῶς [πάντα αὐτοῦ λέγει εἶναι·] τὴν πρόνοιαν αὐτοῦ φησι, καὶ τὴν συγκράτησιν· τὸ εἶναι παρ' αὐτοῦ· τὸ ἐνεργεῖν· τὸ μὴ ἀπόλλυσθαι. καὶ οὐκ εἶπε, δι' αὐτοῦ,

αὐτοῦ, ἀλλ' ὃ ἐνδότερον ἦν, τὸ αὐτοῦ. οὐδὲν ἴσως εἶπεν ὁ ποιητὴς ἐκεῖνος· τοῦ γὰρ καὶ γένος εἰπὼν ἐσμέν· ἀλλ' ἐκεῖνος μὲν περὶ τοῦ Διὸς εἶπεν, οὗτος δὲ περὶ τοῦ δημιουργοῦ αὐτὸ λαμβάνει, οὐ τὸν αὐτὸν ἐκείνῳ λέγων (μὴ γένοιτο) ἀλλὰ τὰ κυρίως ἐπ' αὐτοῦ εἰρημένα ἁρμόζων. ἐπεὶ καὶ βωμὸν τοῦτον εἶπεν, οὐκ ἐκείνου, οὗ ἐσέβοντο. εἴρηται μὲν γάρ τινα καὶ περὶ ἄλλα εἰς τοῦτον· ἀλλ' οὐκ ἴσασιν Ἕλληνες ὅτι εἰς αὐτὸν, ἀλλ' εἰς ἕτερον αὐτὰ πεποιήκασιν. εἰπὲ γάρ μοι, περὶ τίνος ἂν λεχθείη κυρίως, Ἀγνώστῳ Θεῷ· περὶ τοῦ δημιουργοῦ, ἢ περὶ τοῦ δαίμονος; δῆλον ὅτι περὶ τοῦ δημιουργοῦ· εἰ καὶ τὸν μὲν ἠγνόουν, τὸν δὲ ᾔδεισαν. ὁμοίως καὶ ὅτι πάντα πεποίηκε, περὶ τοῦ Θεοῦ ἂν εἰρῆσθαι κυρίως ἁρμόσειεν, ἢ τοῦ Διὸς, μιαροῦ τινος ἀνθρώπου καὶ καταπτύστου καὶ γόητος; οὕτως οὐχ ὁμοίως ἐκείνῳ Παῦλος εἶπε (μὴ γένοιτο) καὶ τὸ, – – Τοῦ γὰρ καὶ γένος ἐσμέν·

Ἀλλ' ἑτέρῳ νῷ. γένος γὰρ Θεοῦ εἶπεν ἡμᾶς εἶναι, τουτέστιν, οἰκείους, ἐγγυτάτους, ἢ ὡς ἄν τις εἴποι, περιοίκους καὶ γείτονας. ἵνα γὰρ μὴ πάλιν λέγωσι· ξενίζοντα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν (οὐδὲν γὰρ οὕτως ἂν ἀνθρώποις ἐκλαπτίον) ἄγει τὸν ποιητὴν εἰς μέσον. καὶ οὐκ εἶπεν, οὐκ ὀφείλετε νομίζειν, χρυσῷ ἢ ἀργύρῳ τὸ θεῖον εἶναι ὅμοιον, ὦ μιαροὶ καὶ παμμίαροι· ἀλλὰ ταπεινότερον, τοῦτο οὐκ ὀφείλομεν νομίζειν, φησίν, ἀλλ' ὑπὲρ τοῦτο. τί δαὶ τὸ ὑπὲρ τοῦτο; Θεός· ἀλλ' οὐδὲ τοῦτο (ἐνεργείας γάρ ἐστιν ὄνομα) ἀλλ' ἀπείρως τοῦτο. πλέον οὐ λεγόμενον τούτῳ τὸ θεῖον εἶναι ὅμοιον. τίς γὰρ ἂν εἴποι; ὅρα πῶς τὸ ἀσώματον εἰσήγαγεν. ἡ γὰρ διάνοια ὅταν ἀποπλάσῃ σῶμα, καὶ διάστημα ὑπονοεῖ. γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, φησί, χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. ἀλλ' εἴποι ἄν τις· οὐ τοῦτο νομίζομεν. τί οὖν ταῦτα λέγει; ἀλλὰ πρὸς τοὺς πολλοὺς ὁ λόγος ἦν αὐτῷ. καλῶς οὕτως εἶπεν. εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ὅμοιοι ἐκείνοις τὸ κατὰ ψυχὴν, πολλῷ μᾶλλον ὁ Θεός. τέως ἀπάγει αὐτοὺς τῆς ὑπονοίας. οὐ μόνον δὲ χαράγματι τέχνης τὸ θεῖον οὐκ ἔστιν ὅμοιον, ἀλλ' οὐδὲ ἄλλῃ τινὶ ἀνθρωπίνῃ ὑπονοίᾳ ὑποβάλλεται. ἡ γὰρ τέχνη, ἡ διάνοια εὗρε. διὰ τοῦτο οὕτως εἶπεν· ὅπερ οὖν τέχνη ἀνθρωπίνη ἢ διάνοια εὗρε, τοῦτο ὁ Θεός, καὶ ἐν λίθῳ οὐσία Θεοῦ. πῶς οὖν, εἰ ἐν αὐτῷ ζῶμεν, οὐχ εὑρίσκομεν αὐτόν; διπλοῦν τὸ ἔγκλημα· ὅτι τε ἐκεῖνοι οὐχ εὗρον, καὶ ὅτι τοιούτους εὗρον. οὐδαμοῦ ἡ διάνοια ἀξιόπιστος καθ' ἑαυτήν. ἀλλ' ὅθεν κατέσεισεν αὐτῶν τὴν ψυχὴν, δείξας ἀναπολογήτους, ὅρα τί ἐπάγει. τοὺς μὲν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. τί οὖν; οὐδεὶς κολάζεται τούτων; οὐδεὶς τῶν θελόντων μετανοεῖν. περὶ τούτων λέγει, οὐ περὶ τῶν ἀπελθόντων, ἀλλ' οἷς παραγγέλλει. οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς, φησιν· οὐκ εἶπεν, ἐκείνους παρεῖδεν· οὐκ εἶπεν, εἴασεν· ἀλλ', ὑμεῖς ἠγνοήσατε. ὑπερεῖδε· τουτέστιν, οὐκ ἀπαιτεῖ κόλασιν ὡς ἀξίους ὄντας κολάσεως. ἠγνοήσατε. καὶ οὐ λέγει, ἑκόντες ἐκακουργήσατε· ἀλλὰ τοῦτο διὰ τὴν ἄνω ἔδειξε, πανταχοῦ μετανοεῖν εἰπών. ἐνταῦθα πᾶσαν τὴν οἰκουμένην αἰνίττεται. ὅρα πῶς αὐτοὺς ἀπάγει τῶν μεριμνῶν. διότι ἔστησεν ἡμέραν, φησίν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. ὅρα πάλιν τὴν οἰκουμένην εἶπεν, οὕτω τοὺς ἀνθρώπους καλῶν. ἐν ἀνδρὶ ᾧ ὥρισεν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ὅρα πῶς πάλιν τὸ πάθος ἐδήλωσεν, ἀναστάσεως μνημονεύσας. ὅτι δὲ ἀληθὴς ἡ κρίσις, δῆλον ἐκ τῆς ἀναστάσεως. συγκατασκευάζεται γάρ. καὶ ὅτι πάντα ἀληθείᾳ εἶπε, δῆλον ἐξ ὧν ἀνέστη. ὅτι δὲ καὶ πᾶσι ταύτην παρέχοι πίστιν, τὸ ἀναστῆσαι αὐτὸν ἐκ νεκρῶν, καὶ τοῦτο λοιπὸν δῆλον.

κ πᾶσι γὰρ πίστιν παρέχει πίστιν, τὸ ἀναστῆναι

Ταῦτα εἴρηται μὲν πρὸς Ἀθηναίους· καιρὸς δ' ἂν ἔχοι καὶ πρὸς ἡμᾶς λέγεσθαι, ὅτι πάντας πανταχοῦ μετανοεῖν δεῖ, ὅτι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. ὅρα καὶ πῶς καὶ δίκας ἐπ' αὐτὸν εἰσάγει, καὶ προνοοῦντα τοῦ κόσμου, καὶ φιλάνθρωπον, καὶ συγγνωμονικὸν, καὶ δυνατὸν, καὶ σοφὸν, καὶ πάντα ἁπλῶς δημιουργοῦ ἔχοντα. * ἀπόδειξιν ἔδωκε τοῦ ἀ- ΗΘΙΚΟΝ

τουτέστιν,

ναστῆναι

ναστῆναι αὐτὸν ἐκ νεκρῶν τὰ εἰρημένα. μνημονεύσωμεν οὖν. πάντως γὰρ κριθῆναι δεῖ. εἰ
Ῥωμ. ιδ. θ. μὴ ἀνέστη ὁ Χριστὸς, οὐ κρινόμεθα· εἰ δὲ ἀνέστη, πάντως κρινόμεθα. Εἰς τοῦτο γὰρ καὶ ἀπέθανε, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, φησί. καὶ πάλιν· Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται πρὸς ἃ ἔπραξε. μὴ δὴ νομίσητε ῥήματα μόνον εἶναι ταῦτα. ἰδοὺ καὶ μετὰ περὶ τῆς ἀναστάσεως τὴν πάντων εἰσήγαγε λόγον. οὐ γὰρ ἄλλως κρίνεται ἡ οἰκουμένη. καὶ τὸ, ἀναστήσας δὲ αὐτὸν ἐκ νεκρῶν, περὶ σώματός ἐστιν εἰρημένον. τοῦτο γὰρ καὶ νεκρὸν, τοῦτο καὶ πέπτωκε. παρὰ Ἕλλησιν ὥσπερ τὰ τῆς δημιουργίας, οὕτω καὶ τὰ τῆς κρίσεως ἀθετεῖται. ταῦτα δὲ παίδων εὑρήματα καὶ μεθυόντων ἀνθρώπων ἐστίν. ἀλλ' ἡμεῖς τὰ περὶ τούτων ἀκριβῶς εἰδότες, πράττωμέν τι τῶν χρησίμων, καὶ σπουδάζωμεν οἰκειωθῆναι τῷ Χριστῷ. μέχρι πότε ἐχθραίνομεν πρὸς αὐτόν; μέχρι πότε πρὸς αὐτὸν ἀηδῶς ἔχομεν; μὴ γένοιτο, φησί. τί ταῦτα λέγεις; οὐκ ἐβουλόμην ταῦτα λέγειν, εἰ μὴ ταῦτα ἐπράττετε ὑμεῖς. νυνὶ δὲ τί τὸ κέρδος τῆς τῶν λόγων σιγῆς, τῶν πραγμάτων οὕτω βοώντων μετὰ πάσης περιφανείας; πῶς οὖν αὐτὸν φιλήσομεν; εἶπον μὲν μυριάκις μυρία, ἐρῶ δὲ καὶ νῦν· τρόπον ἕνα εὑρηκέναι μοι δοκῶ πολὺ μέγαν καὶ θαυμαστόν· μετὰ τοῦ τὰ κοινῇ γινόμενα λογίζεσθαι ὑπὸ τοῦ Θεοῦ τοσαῦτα ὄντα, ὅσα οὐδὲ ἀριθμεῖν τις δύναται, καὶ ὑπὲρ τούτων ἁπάντων χάριτας εἰδέναι αὐτῷ, καὶ τὰ ἑκάστῳ ἡμῶν γεγενημένα ἐννοῶμεν πάντες, καὶ καθ' ἑκάστην ἀναλογιζώμεθα τὴν ἡμέραν. ἐπεὶ τοίνυν μεγάλην ἔχει τὴν ἰσχὺν ταῦτα, ἕκαστος ἡμῶν ἀναλογιζέσθω παρ' ἑαυτῷ, καὶ μετὰ ἀκριβείας ἀνερευνάτω, εἴ ποτε εἰς κινδύνους περιπεσὼν διέφυγε τὰς τῶν ἐναντίων χεῖρας, καὶ καθάπερ ἐν βίβλῳ τὰς εὐεργεσίας ἀναγεγραμμένας ἐχέτω τοῦ Θεοῦ· οἷον, εἴ ποτε ἐξελθὼν εἰς ὁδὸν ἀωρίᾳ, διέφυγε κίνδυνον· εἴ ποτε πονηροῖς ἀνθρώποις συμβαλὼν, ἀνώτερος αὐτῶν γέγονεν· εἴ ποτε νόσῳ περιπεσὼν, πάντων ἀπεγνωκότων, ἀνήνεγκε. μέγα γὰρ τοῦτο δύναται πρὸς τὸ οἰκειοῦν ἡμᾶς τῷ Θεῷ. εἰ γὰρ δὴ Μαρδοχαῖος ἐκεῖνος τὰ ὑπ' αὐτοῦ γεγενημένα ἀγαθὰ ἔργα εἰς μνήμην ἐλθόντα τοῦ βασιλέως οὕτως ἦγε προϊστάμενα, ὡς πάλιν ἐπὶ τὴν λαμπρότητα ἐκείνην ἐλθεῖν· πολλῷ μᾶλλον ἡμεῖς ἂν ἀναμνησθῶμεν, καὶ δι' ὅλου τούτων ἀκριβῆ ποιησώμεθα ἐξέτασιν τῶν πραγμάτων, τί μὲν ἡμάρτομεν ἡμεῖς εἰς Θεὸν, τί δαὶ αὐτὸς εἰς ἡμᾶς ἀγαθὸν εἴργασται. οὕτω καὶ εὐχάριστοι ἐσόμεθα, καὶ πάντα προησόμεθα. ἀλλ' οὐδεὶς τούτων οὐδενὸς ποιεῖται μνήμην· ἀλλ' ὥσπερ περὶ ἁμαρτημάτων λέγομεν, ὅτι ἁμαρτωλοί ἐσμεν, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζοντες, οὕτω καὶ περὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ὅτι εὐηργέτησεν ἡμᾶς, λέγοντες, ὁ Θεὸς, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζομεν. οὐ λέγομεν, ποῦ, καὶ πόσα, καὶ ἐν ποίῳ καιρῷ. ἀλλ' ἀπὸ τοῦ νῦν πολλὴν ποιησώμεθα τὴν ἀκρίβειαν. εἰ μὲν γάρ τις καὶ τὰ πάλαι ἀναλαβεῖν δύναται, πάντα ἀναλογιζέσθω ἀκριβῶς, ὡς μέγαν εὑρήσων θησαυρόν. τοῦτο καὶ πρὸς τὸ μὴ ἀπογινώσκειν χρήσιμον ἡμῖν. ὅταν γὰρ ἴδωμεν ὅτι παρέστη πολλάκις ἡμῖν, οὐκ ἀπογνωσόμεθα, οὐδὲ ἡγησόμεθα ἀπερρῖφθαι· ἀλλ' ἐνέχυρον αὐτοῦ μέγα ληψόμεθα τῆς περὶ ἡμῶν κηδεμονίας, ὅταν ἐννοήσωμεν, ὅτι ἁμαρτάνοντες οὐ (γρ. ἡμᾶς) κολαζόμεθα, ἀλλὰ καὶ προστασίας ἀπολαύομεν. εἴπω δή τι κἀγὼ, ὅπερ ἀκήκοα παρά τινος. γέγονέ πού τις παῖς, καί ποτε συνέβη αὐτὸν εἶναι ἐν ἀγρῷ μετὰ τῆς μητρὸς, οὔπω πεντεκαιδεκαέτη γεγονότα. τότε δὴ χαλεποῦ τινος ἀέρος συμβάντος, πυρετὸς ἐπέπεσεν ἀμφοτέροις. καὶ γὰρ τὸ μετόπωρον ἦν. τότε δὴ ἡ μὲν μήτηρ ἔφθασεν εἰσελθεῖν ἐπὶ τῆς πόλεως· (γρ. μετοπωρινῆ) ὁ δὲ παῖς, τῶν ἰατρῶν * ἐκεῖ κελευόντων μένειν, καὶ τοῦ πυρετοῦ καίοντος, ἀνακογχυλίζειν ἤρξατο δῆθεν φιλοσοφῶν, μᾶλλον δὲ πῦρ σβεννύναι οἰόμενος, εἰ μηδὲ ὁποιονοῦν λάβοι. ἅτε δὴ οἷον παῖς, ὑπὸ φιλονεικίας ἀκαίρου οὐ προσήκατο. ὡς δὲ ἐπέβη τῆς πόλεως, ἐστερήθη τὰ τῆς γλώττης, καὶ ἄλαλος ἦν ἐπὶ πολὺ, οὐδὲν ἔναρθρον φθεγγόμενος· ἀλλὰ ἀνεγίνωσκε μὲν, καὶ εἰς διδασκάλους ἐφοίτα ἐπὶ πολὺν χρόνον, ἁπλῶς δὲ καὶ ἄσημα. πάντα οὖν αὐτῷ τὰ τῆς ἐλπίδος ἐκκέκοπτο, καὶ ὀδυνώσης ἦν ἡ μή-

τηρ

τὴν μέσην· καὶ πολλὰ μὲν ἐπενόησαν ἰατροί, πολλὰ δὲ ἄλλα πολλοί· ἴσχυε δὲ οὐδείς, ἕως ὅτε ὁ φιλάνθρωπος Θεὸς ἰάσατο τὸν τῆς γλώττης δεσμόν, καὶ τότε διήνεγκε, καὶ εἰς τὴν προτέραν ἐπανήγαγεν εὐγλωττίαν αὐτὴν καὶ τρανότητα. διηγήσατο δὲ αὐτοῦ ἡ μήτηρ, καὶ ὅτι δὴ παιδίον ὂν σφόδρα μικρόν, περὶ τὴν ῥῖνα πάθος ἔσχεν, ὃ καλοῦσι πολύπουν. καὶ πάλιν ἰατροὶ ἀπεγνώκεισαν, καὶ τελευτῆσαι ηὔχετο ἡ μήτηρ, καὶ ὁ πατὴρ αὐτοῦ κατηύξατο (ἔτι γὰρ ἔτυχε ζῶν) καὶ πάλιν πάντα ἐν ἀπορίᾳ ἦν. ὁ δὲ εὐθέως βήξας, ἀπὸ μύγματος τὸ θηρίον ἐκεῖνο τῇ ῥύμῃ τοῦ πνεύματος ἐξέωσεν ἀπὸ τῶν ῥινῶν, καὶ πάντα λέλυτο τὰ δεινά. τούτου δὲ σβεσθέντος, ῥεῦμα κατὰ τῶν ὀφθαλμῶν δριμὺ καὶ γλίσχρον ἐπιρρέον ἀεὶ τοσαύτας ἐποίει τὰς λήμας καὶ οὕτω παχείας, ὡς λοιπὸν διαφράγματος γενέσθαι τῇ κόρῃ, καὶ τὸ δεινόν, πήρωσιν ἐμελέτα, καὶ πάντες ἔλεγον τοῦτο συμβήσεσθαι. ἀλλὰ καὶ τούτου χάριτι τοῦ Θεοῦ ταχέως ἀπηλλάγη τοῦ πάθους. καὶ ταῦτα μὲν ἅπερ ἤκουσα· ἃ δὲ αὐτὸς ἐπίσταμαι, ἐρῶ πρὸς ὑμᾶς. ἐκινήθη ποτὲ τυράννων ὑποψία ἐν τῇ πόλει τῇ ἡμετέρᾳ (τότε δὲ ἔτι μειράκιον ἤμην) καὶ πάντων ἔξωθεν τὴν πόλιν περιεκαθημένων τῶν στρατιωτῶν, τυχὼν ἀπλάστως βιβλία ἐζήτουν γοητικὰ καὶ μαγικά. καὶ ὁ γράψας τὸ βιβλίον ῥίψας ἀκατασκεύαστον εἰς ποταμὸν ἑάλω, καὶ ἀπαιτούμενος οὐκ εἶχε δοῦναι, ἀλλὰ περιήγετο τὴν πόλιν ἅπασαν δέσμιος. ὡς δὲ τῶν ἐλέγχων ἐπιτεινομένων δέδωκε δίκην, τότε ἐγὼ εἰς μαρτύριον ἀπιέναι βουλόμενος, ἐπορευόμην παρὰ τὸν κῆπον παρὰ ποταμὸν μετὰ καὶ ἑτέρου τινός. ἰδὼν δὲ ἐκεῖνος τὸ βιβλίον ἄνω ἐπιπλέον, τὸ μὲν πρῶτον ἐνόμιζεν ὀθόνην εἶναι· γενόμενος δὲ ἐγγύς, ἔγνω ὅτι βιβλίον ἦν, καὶ καταβὰς ἀνείλετο. ἐγὼ δὲ φιλονείκουν, ὥστε κοινὴν εἶναι τὴν εὕρεσιν, καὶ ἐγέλων. ἀλλ' ἴδωμεν, φησίν, ὅ, τι ποτὲ καὶ ἐστιν. ἀνακλᾷ μέρος τῆς σελίδος, καὶ εὑρίσκει ἐγγεγραμμένα μαγικά. συνέβη δὲ κατ' αὐτὸν στρατιώτην παριέναι. εἶτα ἔνδοθεν λαβὼν ἀπῄει, καὶ ἐπεπήγει τῷ δέει. τίς γὰρ ἂν καὶ ἐπίστευσεν ὅτι ἀπὸ τοῦ ποταμοῦ λαβόντες ἀνειλόμεθα, πάντων τότε καὶ τῶν αὐτοπτῶν κατεχομένων; καὶ ῥῖψαι οὐκ ἐτολμῶμεν, μὴ ὀφθῶμεν, καὶ καταμερίσαι αὐτὸ πάλιν ὅμοιον δέος ἦν. ἔδωκε γοῦν ὁ Θεός, καὶ ἐρρίψαμεν, καὶ ἐσχάτων ἀπηλλάγημεν τότε τῶν κινδύνων. καὶ μυρία ἂν ἔχοιμι λέγειν, εἰ πάντα καταλέγειν ἐθέλοιμι. καὶ ταῦτα δὲ ὑμῶν ἕνεκεν εἶπον, ὥστε εἴ τις κἂν μὴ τοιαῦτα, ἀλλ' ἕτερά τινα ἔχοι, ταῦτα μεμνήσθω διηνεκῶς· οἷον, εἴ ποτε λίθος τις ἐνεχθεὶς μέλλων ἐπὶ σὲ ἔρχεσθαι, οὐκ ἐπὶ σὲ ἦλθε, τοῦτο ἀείμνηστον ἔχε. μεγάλην ταῦτα ποιεῖ πρὸς Θεὸν φιλίαν ἡμῖν. εἰ γὰρ ἀνθρώπων ἀναμνησθέντες τῶν διασωσάντων ἡμᾶς, πάνυ δακνόμεθα ὅταν αὐτοὺς ἀμείψασθαι μὴ δυνηθῶμεν· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. τοῦτο καὶ ἀλλαχοῦ χρήσιμον. ὅταν [ὅπου] βουλώμεθα μὴ ἀλύειν, λέγωμεν δή· Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καὶ Παῦλος διὰ τοῦτο ἔλεγεν ὅθεν ἐρρύσθη, Ιωβ. β. ι.
ἵνα κἀκείνους ἀναμνήσῃ. ὅρα καὶ ὁ Ἰακὼβ πῶς πάντα ταῦτα ἐν νῷ εἶχε. διὸ καὶ ἔλεγεν· Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου. καὶ μὴ μόνον ὅτι ἐρρύσατο, ἀλλὰ καὶ πῶς, καὶ ἐπὶ Γεν. μη. ις.
τίνι ἐσώθημεν. ὅρα γοῦν κἀκεῖνον ἰδικῶς μνημονεύοντα τῶν εὐεργεσιῶν. Ἐν τῇ ῥάβδῳ μου, Γεν. λβ. ι.
φησί, διῆλθον τὸν Ἰορδάνην. καὶ οἱ δὲ Ἰουδαῖοι καὶ τῶν ἐπὶ τῶν προγόνων μέμνηνται ἀεί, τὰ κατὰ τὴν Αἴγυπτον στρέφοντες· οὐκοῦν πολλῷ μᾶλλον ἡμεῖς τῶν οἰκείων καὶ εἰς ἡμᾶς συμβεβηκότων, ποσάκις εἰς ἐπηρείας καὶ συμφορὰς ἐμπεπτώκαμεν· καὶ εἰ μὴ ὁ Θεὸς χεῖρα ὑπώρεξε, πάλαι ἂν ἀπολώλειμεν. ταῦτα ἐννοοῦντες ἅπαντες, καὶ ἀναλεγόμενοι καθ' ἕκαστον, χάριν εἰδῶμεν διηνεκῶς τῷ Θεῷ, καὶ πάντες κοινῇ δόξαν αὐτῷ ἀναπέμψωμεν, καὶ δοξάζοντες αὐτὸν μὴ διαλιμπάνωμεν, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν τὴν ἀμοιβὴν κομισώμεθα, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ὡς δὲ εὐθ. — ἄλ. ἀπ. — γ. λέλυται — γ. περὶ — γ. εὗρον — γ. τὰ τοιαῦτα

Λογ. λθ. 32 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΑΝΑΣΤΑΣΙΝ ΝΕΚΡΩΝ, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν περὶ τούτου.
33 Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

Τί δήποτε πείσαντος οὕτως αὐτοῦ, ὡς καὶ εἰπεῖν Ἀθηναίους, ἀκουσόμεθά σου πάλιν περὶ τούτου, καὶ κινδύνων οὐκ ὄντων, ἐπείγεται τὰς Ἀθήνας ἀφεῖναι ὁ Παῦλος; ἴσως ᾔδει οὐ μέγα ὀνήσων· ἄλλως τε, καὶ ὑπὸ τοῦ πνεύματος εἰς Κόρινθον ἤγετο.
34 Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

κεφ. ιη. 1 Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον,

2 Καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ (διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης) προσῆλθεν αὐτοῖς·

3 Καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμεινε παρ᾽ αὐτοῖς καὶ εἰργάζετο. ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. Εἰκότως εἰς Κόρινθον, ὡς ἔφην, ὑπὸ τοῦ πνεύματος ἤγετο, ἐν ᾗ μένειν ἔδει. οἱ γὰρ Ἀθηναῖοι καίτοι ξένης ὄντες ἀκροάσεως ἐρασταὶ, ὅμως οὐ προσεῖχον. οὐ γὰρ τοῦτο ἐσπούδαζον, ἀλλ᾽ ὥστε ἀεί τι ἔχειν εἰπεῖν, ὅπερ αὐτοὺς καὶ ἀπεχθέσθαι ἐποίησεν. εἰ δὲ τοῦτο ἦν αὐτοῖς ἔθος, πῶς ἐγκαλοῦσιν, ὅτι ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι; ἀλλὰ ταῦτα σφόδρα ἦν ἄπορα. ἀλλ᾽ ὅμως ἔπεισε τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην, καὶ ἑτέρους τινάς. οἱ μὲν γὰρ ἐπιμελούμενοι βίου ταχέως ἐδέξαντο τὸν λόγον· οἱ δὲ λοιποὶ οὐκ ἔτι. ἱκανῶς οὖν ἔχειν ἔδοξε τῷ Παύλῳ τὸ καταβαλεῖν τέως τὰ σπέρματα. τὸ γὰρ πλέον αὐτοῦ τῆς ζωῆς ἐνταῦθα προκεχωρήκει. ἐπὶ μὲν γὰρ Νέρωνος ἐτελειώθη· ἀπὸ δὲ Κλαυδίου ἀνερριπίζετο λοιπὸν ὁ πρὸς Ἰουδαίους πόλεμος, μακρόθεν μέν, [οὐκ ἀπεικὸς δέ,] ὥστε καὶ οὕτω σωφρονισθῆναι, καὶ ἀπὸ Ῥώμης ὡς λυμεῶνες ἠλαύνοντο. διὰ τοῦτο οἰκονομεῖται τούτους ὡς δέσμιος ἀπαντῆσαι ἐκεῖ, ἵνα μὴ ὡς Ἰουδαῖος ἀπελαύνηται, ἀλλ᾽ ὡς ὑπὸ τῇ τάξει τῶν στρατιωτῶν καὶ φυλάττηται ἐκεῖ. καὶ ἔμεινε, φησὶ, παρ᾽ αὐτοῖς. βαβαὶ, ποῖον δικαίωμα τοῦ συνοικῆσαι εὗρε; ἐπειδὴ γὰρ ἐν ταῦθα μάλιστα ἔδει αὐτὸν μὴ λαβεῖν, καθώς φησιν· Ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσι καθὼς καὶ ἡμεῖς, οἰκονομεῖται αὐτὸν μένειν ἐκεῖ.

β. Κορ. ια. ιϛ.

4 Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας·

5 Ὡς δὲ κατῆλθεν ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. Τουτέστιν, ἐπηρέαζον αὐτῷ, ἐφίσταντο αὐτῷ. ἀλλ᾽ οἱ μὲν οὔπω· τί δὲ ὁ Παῦλος; ἀφίσταται αὐτῶν, καὶ μετὰ πολλοῦ τοῦ φόβου. οὐκ ἔτι γὰρ ὑμῖν, φησὶν, ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον, ἀλλὰ καὶ ἀντίτεται αὐτοῖς.

6 Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· [καθαρὸς ἐγώ,] ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.

7 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες, ἐπίστευον καὶ ἐβαπτίζοντο. Ὅρα πῶς πάλιν εἰπών, ἀπὸ τοῦ νῦν ... οὕτως αὐτῶν ἀπέχεται. ὥστε τοῦ διεγεῖραι ἕνεκεν εἶπε τοῦτο. καὶ λοιπὸν ἦλθε πρὸς

Ἰούστον,

γ. ἀπὸ τότε

Ἰούστου, οὗ ἦν ἡ οἰκία ὁμοροῦσα τῇ συναγωγῇ. ἐγγὺς ἐπίαζεν, ὥστε καὶ * ζῆλον ἔχειν ἀπὸ τῆς γειτνιάσεως, εἴπερ ἤθελον. Κρίσπος δέ, φησιν, ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ τοῦτο μάλιστα ἱκανὸν πρὸς τὸ ἐπισπάσασθαι.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς,

10 Διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε. διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. Ὁρᾷς διὰ ποσῶν αὐτὸν πείθει, καὶ πῶς ὃ μάλιστα αὐτὸν ἦρε, τοῦτο ὕστερον αὐτῷ λέγει· ὅτι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. πῶς οὖν συνεπέθεντο αὐτῷ, εἴποι τις ἄν; καὶ μὴν οὐδὲν ἴσχυσαν, ἀλλ' ἤγαγον αὐτὸν μόνον πρὸς τὸν ἀνθύπατον.

11 Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,

13 Λέγοντες· ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν. Ὁρᾷς διά τι ἐκεῖνοι ἀεὶ δημοσίᾳ ἔπλεκον κατηγορήματα; ὅρα γοῦν ἐνταῦθα· εἰπόντων τούτων, ὅτι παρὰ τὸν νόμον ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν, οὐδὲν τούτων ἐμέλησε τῷ ἀνθυπάτῳ· ἀλλ' ὑπὲρ Παύλου μᾶλλον ἀπολογεῖται. καὶ ἄκουε πῶς ἀποκρίνεται.

Εἰ μὲν οὖν ἦν [τῶν τῆς πόλεως ἀπτόμενον] ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν. Ἐπιεικής τις ἄνθρωπος οὗτος εἶναί μοι δοκεῖ· καὶ δῆλον ἐξ ὧν ἀποκρίνεται συνετῶς.

14 Μέλλοντος δὲ τοῦ Παύλου, φησίν, ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν.

15 Εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί. κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι.

γ. τῶν τοιούτων

16 Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.

17 Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελε. [Καὶ ἐντεῦθεν πάλιν τὸ ἐπιεικὲς τοῦ ἀνδρὸς δείκνυται.] τυπτομένου γὰρ αὐτοῦ, οὐχ ἡγήσατο ἰδίαν ὕβριν εἶναι. οὕτως ἦσαν ἰταμοὶ οἱ Ἰουδαῖοι. ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα. ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν. πόσα μεγάλα καὶ ὑψηλὰ ἀκούσαντες, οὐδὲ προσεῖχον, ἀλλ' ἐχλεύαζον; τὴν ἀνάστασιν δὲ ἐχλεύαζον. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. καὶ οὕτω, φησίν, ἐξῆλθεν ὁ Παῦλος ἐκ μέσου αὐτῶν. οὕτω πῶς; οὐδένα μὲν πείσας, ὑπὸ δέ τινων ἡγούμενος. χωρισθεὶς δὲ ἀπὸ Ἀθηνῶν, φησιν, ἦλθεν εἰς Κόρινθον· καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, ἔμενε παρ' αὐτοῖς καὶ εἰργάζετο. [ὅρα πῶς ὁ νόμος ἄρχεται καταλύεσθαι λοιπόν. κειράμενος γὰρ Ἰουδαῖος ὢν οὗτος ἐν Κεγχρεαῖς μετὰ ταῦτα, εἰς συνείδησιν συναπῆλθε τῷ Παύλῳ.] Ποντικὸς ὤν, οὐκ ἐν Ἱεροσολύμοις, οὐδὲ πλησίον ἐτόλμησεν ἐλθεῖν, ἀλλὰ μακρότερον. παρ' αὐτῷ γοῦν μένει, καὶ οὐκ αἰσχύνεται μένων· ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μένει, ὡς ἐπιτήδειον εὑρὼν καταγώγιον. πολλῷ γὰρ αὐτῷ τὴν βασιλείαν ἐπιτηδειότερον ἦν. καὶ μὴ γελάσῃς ἀκούων, ἀγαπητέ. καθάπερ γὰρ ἀθλητῇ ἡ παλαίστρα τῆς ἁπαλῆς στρωμνῆς μᾶλλον χρήσιμον· οὕτω καὶ τῷ πολεμιστῇ τὸ ξίφος τὸ σιδηροῦν, ἀλλ' οὐ τὸ χρυσοῦν. καὶ εἰργάζετο κηρύττων. αἰσχυνθῶμεν ἡμεῖς, οἱ καὶ χωρὶς τοῦ κηρύττειν ἀργοὶ ζῶντες. διελέγετο δὲ ἐν τῇ συναγωγῇ,

α Κορ β ιδ.

γ. ἦν ὡς τότ. πῶς εἰς ἐν Ἱεροσολύμοις. γ. αὐτὸν μὲν

συναγωγῇ, φησι, κατὰ πᾶν σάββατον ἔπειθε Ἰουδαίους τε, καὶ Ἕλληνας. ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἀπέστη. ταύτῃ προσδοκῶν αὐτοὺς ἕλξειν μᾶλλον, ἀφίσταται. διὰ τί γὰρ ἀφεὶς ἐκείνην τὴν οἰκίαν, ἦλθε πλησίον τῆς συναγωγῆς; ἄρα οὐχὶ διὰ τοῦτο; οὐδὲ γὰρ κίνδυνον ἑώρα ἐνταῦθα. διαμαρτυρόμενος αὐτοῖς, φησιν. οὐκ ἔτι διδάσκει, ἀλλὰ διαμαρτύρεται. ἀντιτασσομένων δὲ αὐτῶν, φησι, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. τοῦτο ποιεῖ, ὥστε μὴ ῥήμασι μόνον, ἀλλὰ καὶ πράγματι φοβῆσαι· καὶ σφοδρότερον διαλέγεται, ἅτε καὶ πολλοὺς πεπεικώς. καθαρὸς εἰμί, φησιν, ἐγώ. ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύομαι. ἄρα καὶ ἡμεῖς ὑπεύθυνοί ἐσμεν τοῦ αἵματος τῶν ἡμῖν ἐγκεχειρισμένων, ἀμελοῦντες αὐτῶν. ὥστε καὶ ὅταν λέγῃ, Τὸ λοιπὸν κόπους μοι μηδεὶς παρεχέτω, φοβῶν φησιν. οὐ γὰρ οὕτως αὐτὸν ἐφόβει ἡ τιμωρία, ὡς ἔδακνε τοῦτο. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν Ἰούστου. μεταβαίνει βουλόμενος αὐτοὺς πεῖσαι, οὗ πρὸς τὰ ἔθνη ἠπείγετο. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος, φησιν, ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. ὅρα αὐτοὺς πιστοὺς τότε μετὰ τῆς οἰκίας τούτου ποιουμένους ὁλοκλήρου. τούτου δὲ γενομένου, εὐθέως καὶ ἕτεροι πολλοὶ πιστεύσαντες ἐβαπτίσθησαν. τοῦτον Κρίσπον λέγει τὸν ἀρχισυνάγωγον, περὶ οὗ φησι γράφων· Οὐδένα ἄλλον ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον. οἶμαι δὲ τοῦτον καὶ Σωσθένην λέγεσθαι, ὃς τοσοῦτον ἀνὴρ πιστὸς ἦν, ὥστε καὶ τὸ πλεῖστον καὶ παραμεῖναι ἀεὶ τῷ Παύλῳ. μὴ φοβοῦ, ἀλλὰ λάλει. διὰ τοῦτο πολὺν χρόνον μένει ἐκεῖ. ἐπειδὴ μὲν γὰρ αὐτὸν καὶ τὸ πλῆθος· ἡ δὲ οἰκείωσις τοῦ Χριστοῦ, πλέον. μείζων γὰρ ὁ κίνδυνος ἐγένετο λοιπὸν καὶ τῶν πλειόνων πιστευόντων, καὶ τοῦ ἀρχισυναγώγου. μὴ φοβοῦ, φησί. τοῦτο ἱκανὸν αὐτὸν διαναστῆσαι, ὅτι ἠλέγχθη φοβούμενος [μὲν,] ἀλλ' ὥστε μηδὲ τοῦτο παθεῖν, παραθαρρύνεται. οὐ γὰρ ἀεὶ αὐτὸν πάσχειν εἴα κακῶς, ὥστε μὴ ἀσθενεστέρους γενέσθαι. οὐδὲν δὲ οὕτως ἐλύπει τὸν Παῦλον, ὡς οἱ ἀπειθοῦντες, ὡς οἱ ἀντιτασσόμενοι. τοῦτο καὶ τῶν κινδύνων αὐτῷ χαλεπώτερον ἦν. καὶ μὴ σιωπήσῃς, φησι, διότι λαός πολύς ἐστί μοι ἐν τῇ πόλει ταύτῃ. τάχα διὰ τοῦτο αὐτῷ καὶ φαίνεται * ὁ Χριστός. Γαλλίωνος δέ, φησιν, ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ. ὅρα, μετὰ τὸν ἐνιαυτὸν καὶ αὐτῷ ἐξ μῆνας ἐπιτίθενται, ὅτι οὐκ ἔτι ἴσχυον νόμοις χρῆσθαι ἰδίοις. τοῦτο μάλιστα ἐπῆρε Κορινθίους, τὸ μάλιστα πεισθῆναι, διὰ οὐδὲν καθίησιν ἑαυτὸν ὁ ἄρχων. οὐ γὰρ ἦν ἴσον ἐξ ἀντιλογίας νικῆσαι, καὶ μαθεῖν ἐκείνους, ὅτι οὐδὲν μέλει αὐτῷ τοῦ πράγματος. καὶ σκόπει ἐκεῖνος πῶς ἦν συνετός. οὐ γὰρ εἶπεν εὐθέως ἀποκρινόμενος, οὐ μέλει μοι· ἀλλὰ τί; εἰ μὲν ἦν τι ἀδίκημα, ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν· εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. ἀπετείχισεν αὐτοῖς τὸ δικαστήριον. λαμπρὰ γέγονεν ἡ νίκη. ἐπιλαβόμενοι δὲ Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν. ὢ τῆς αἰσχύνης, ἣν ἀνῃσχύντησαν. καὶ οὐδὲν τούτων, φησὶ, τῷ Γαλλίωνι ἔμελε. καίτοι εἰς τὴν ἑαυτοῦ ὕβριν τὸ πᾶν ἦν. ἀλλ' ὡς δῆθεν ἐξουσίαν λαβόντες αὐτοὶ τύπτουσι, καὶ τῆς ἀναισχυντίας ταύτης μανίας ἔργον πληροῦσι. διὰ τί μὴ ἐκεῖνος ἀντέτυπτε, καίτοι καὶ αὐτὸς ἐξουσίαν εἶχεν; ἀλλ' ἐπαιδεύοντο φιλοσοφεῖν. οὐκ ἀντιτύπτει δέ, ὥστε καὶ τὸν δικαστὴν μαθεῖν, τίς ἦν ὁ ἐπιεικέστερος. οὐ μικρὰ τοῦτο ὤνησεν αὐτοὺς παρόντας. ἐδίδαξε γὰρ ὅτι τε τούτων ἐπιείκεια, καὶ ἡ ἐκείνων θρασύτης, διὰ τὰ τοιαῦτα δικαστικῆς ψήφου * δεῖται. ἀλλ' οὗτοι πάντα ἀτάκτως ποιοῦσι. καὶ οὐκ εἶπεν, οὐ δεῖ, ἵνα μὴ πάλιν κόψωσιν αὐτόν· ἀλλ', οὐ θέλω. κριτὴς γάρ, φησιν, ἐγὼ τούτων εἶναι οὐ βούλομαι· οὕτως ἐπιεικὴς ἦν ὁ ἀνήρ. τοῦτο καὶ Πιλάτος ἔλεγεν ἐπὶ τοῦ Χριστοῦ· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. ὁ μὲν κατὰ τὸν νόμον ἠξίου κρίνειν αὐτούς· οἱ δέ, ὥσπερ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι, οὕτω διέκειντο. διὰ τοῦτο ἐχωρίζετο τῶν Ἀθηνῶν, ἐπειδὴ λαὸς ἦν ἐκεῖ πολύς. ἐτύπτετο, καὶ οὐδὲν ἔλεγε.

Τούτῳ

Margin (left): Γαλ. ς. ζ. — α. Κορ. α. ιδ. — Ἰωαν. ιη. λα.

Margin (right): χ. ἑλκύσειν μᾶλλον αὐτούς — χ. καὶ ὅμως ἐπεὶ, τότε βουλ. — χ. ἴσως γὰρ οὐδέποτε τὸν ἀρχισυνάγωγον πιστεῦσαι καὶ ἑτέρους πολλούς, τότε γενομένου, καὶ ἐβάπτιζεν, τότε — * πῶς — χ. — χ. — χ. ἠμέλησε — χ. ὑπὲρ … δικαστοῦ διὰ τὴν … — * ὁ

ΗΘΙΚΟΝ

Τούτοις καὶ ἡμεῖς μιμώμεθα. ἀντιτυπτήσωμεν τοὺς τύπτοντας τῇ ἐπιεικείᾳ, τῇ σιγῇ, τῇ μακροθυμίᾳ. χαλεπώτερα ταῦτα τὰ τραύματα· μείζων ἡ πληγὴ καὶ φορτικωτέρα. οὐ γὰρ τὸ πλήττεσθαι τὸ σῶμα, ἀλλὰ τὸ τὴν διάνοιαν, χαλεπόν. πολλοὺς πλήττομεν· ἀλλ' ἐπειδὴ ἐν τάξει φιλίας, καὶ ἥδονται. ἂν δὲ τὸν τυχόντα πλήξῃς ὑβριστικῶς, ἐπειδὴ τῆς καρδίας ἥψω, σφόδρα ἐλύπησας. οὕτω μᾶλλον τὴν καρδίαν αὐτῶν πλήττομεν. ὅτι δὲ μειζόνως ἐπιείκεια πλήττει θρασύτητος, φέρε ἀποδείξωμεν, ὡς δυνατόν, τῷ λόγῳ. ἡ μὲν γὰρ σαφὴς ἀπόδειξις διὰ τῶν ἔργων καὶ τῆς πείρας ἐστίν. εἰ δὲ δοκεῖ, καὶ τῷ λόγῳ τὴν ἐξέτασιν ποιησώμεθα, [καίτοι πολλάκις καὶ ἤδη ἐποιησάμεθα.] ἐν γὰρ ταῖς ὕβρεσιν οὐδὲν οὕτως ἡμᾶς λυπεῖ, ὡς ἡ παρὰ τῶν ὁρώντων ψῆφος. οὐ γάρ ἐστιν ἴσον δημοσίᾳ τι ὑβρίζεσθαι, καὶ ἰδίᾳ· ἀλλ' ἐκείνας μὲν καὶ φέρομεν εὐκόλως τὰς ὕβρεις, ὅταν ἐπ' ἐρημίας, ὅταν μηδενὸς ὄντος τοῦ μαρτυροῦντος τοῖς παθήμασι, μηδὲ τοῦ συνειδότος. οὕτως οὐχ ἡ τῆς ὕβρεως φύσις ἐστὶν ἡ δάκνουσα, ἀλλὰ τὸ ἐπὶ πολλῶν τοῦτο παθεῖν· ὡς εἴγε τις τιμῶν ἐπὶ πολλῶν, ὑβρίζοι κατιδίαν, καὶ χάριν εἰσόμεθα. οὐκοῦν οὐκ ἐν τῇ τῆς ὕβρεως φύσει τὸ λυπηρόν ἐστιν, ἀλλ' ἐν τῇ ψήφῳ τῶν ὁρώντων, ὥστε μὴ δόξαι εὐκαταφρόνητοι εἶναι. τί οὖν, ἂν αὕτη ὑπὲρ ἡμῶν ᾖ, οὐχὶ μᾶλλον ὁ ὑβρίζων ὑβρίσαι, ὅταν ὑπὲρ ἡμῶν τὰς ψήφους φέρωσιν; εἰπέ μοι, τίνος καταφρονοῦσιν οἱ παρόντες; τοῦ ὑβρίζοντος, ἢ τοῦ ὑβρισθέντος καὶ σιγῶντος; ὁ μὲν γὰρ θυμὸς ὑποβάλλει, ὅτι τοῦ ὑβριζομένου· πῶς δὲ, ὅτι καθαροὶ τοῦ πάθους ἐσμὲν, ἴδωμεν, ἵνα μή ποτε συναρπασθῶμεν. τίνος οὖν καταγινώσκομεν ἅπαντες; εὔδηλον ὅτι τοῦ ὑβρίζοντος. κἂν μὲν ἐλάττων ᾖ, καὶ μάχεσθαι αὐτὸν φήσομεν· ἂν δὲ ὁμότιμος, ἀνόητα ποιεῖν· ἂν δὲ μείζων, οὐδ' οὕτως ἀποδεξόμεθα. τίς γάρ, εἰπέ μοι, ἀποδοχῆς ἄξιος; ὁ ταραττόμενος, ὁ χειμαζόμενος, ὁ ἐκθηλυνόμενος, ὁ πρὸς τὴν κοινὴν φύσιν οὕτω διακείμενος· ἢ ὁ ἐν γαλήνῃ καὶ λιμένι καὶ φιλοσοφίᾳ πολλῇ ὤν; οὐχ ὁ μὲν ἀγγέλῳ προσέοικεν, ὁ δὲ οὐδὲ ἀνθρώπῳ; ὁ μὲν γὰρ οὐδὲ τὰ οἰκεῖα δύναται βαστάσαι κακά, ἐκεῖνος δὲ καὶ τὰ ἀλλότρια· οὗτος οὐδὲ ἑαυτὸν ἐνεγκεῖν ἐδυνήθη, ἐκεῖνος δὲ καὶ ἕτερον· ὁ μὲν ἐν ναυαγίῳ ἐστίν, οὗτος δὲ ἐν ἀσφαλείᾳ πλεῖ, ἐξουσίαν αὐτῷ τῆς πνοῆς φερομένης. οὐ γὰρ εἴασε τὸ τοῦ θυμοῦ πνεῦμα τοῖς ἱστίοις ἐμπεσὸν, ἀναστρέψαι τῆς διανοίας τὸ σκάφος· ἀλλ' ἁλεπτή τις αὔρα, καὶ ἡδεῖα προσαναπαυσάσα τῆς ἀνεξικακίας ἡ πνοὴ, μετὰ πολλῆς αὐτῷ τῆς ἡσυχίας ἐπὶ τὸν τῆς φιλοσοφίας ἄγει λιμένα. καὶ καθάπερ ἐν πλοίῳ ναυαγοῦντι οἱ ναῦται οὐκ ἴσασιν ἃ ῥίπτουσιν, οὔτε τῶν οἰκείων, οὔτε τῶν ἀλλοτρίων λαβόντες τὰς θήκας, ἀλλὰ πάντα ὁμοίως ἐκβολὴν ποιοῦνται τῶν ἐγκειμένων, τῶν τε τιμίων, τῶν τε οὐ τοιούτων· ἐπειδὰν δὲ ὁ χειμὼν παύσηται, τότε ἀναλογιζόμενοι ὅσα ἐξέβαλον, δακρύουσι, καὶ τῆς γαλήνης οὐκ αἰσθάνονται διὰ τὴν ζημίαν τῆς ἐκβολῆς· οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ὁ θυμὸς πνεύσῃ, καὶ ὁ χειμὼν αἴρηται, οὐκ ἴσασιν ἐν τάξει ἐκβάλλειν τὰ δέοντα· ὅταν δὲ παύσηται ὁ θυμὸς, τότε ἀναλογιζόμενοι ποῖα ἐξέβαλον, ἐννοοῦσι τὴν ζημίαν, καὶ οὐκ αἰσθάνονται τῆς ἀναπαύσεως, τῶν ῥημάτων μεμνημένοι, δι' ὧν κατῄσχυναν ἑαυτοὺς, καὶ τὰ μέγιστα ἐζημιώθησαν, οὐ περὶ χρήματα, ἀλλὰ περὶ δόξαν ἐπιεικείας καὶ πρᾳότητος. ὄντως σκότος ἐστὶν ὁ θυμός. Εἶπεν ἄφρων, φησὶν, ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. (Ψαλ. ιγ. α.) τάχα καὶ περὶ τοῦ θυμουμένου τοῦτο εἴποι τις οὐχ ἧττον, ὅτι εἶπεν ὁ θυμούμενος, οὐκ ἔστι Θεός. Κατὰ γὰρ τὸ πλῆθος, φησὶ, τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. (Ψαλ. θ. κδ.) ὃς γὰρ ἂν ἐπιστέλληται λογισμὸς ἀσεβὴς, πάντας διωθεῖται καὶ διακρούεται, πάντας ῥίπτει πλαγίως. εἰ μὴ σὺ μᾶλλον ἀλγεῖς τοῦ ὑβρισθέντος, ὕβρισε. κἂν μηδεὶς ὁ ἐγκαλῶν ᾖ, τὸ τοῦ συνειδότος δικαστήριον ἰδίᾳ σε λαβὸν, μαστίζει μυρία. ὅταν οὖν ἀκούσῃς ὅτι ὁ ὑβριζόμενος οὐδὲν ἐξέβαλε ῥῆμα πικρὸν, οὐχὶ ταύτῃ μᾶλλον ἀλγεῖς; εἰπέ μοι, πῶς ἀνθρώπους πρᾴους καὶ ταπεινοὺς καὶ ἐπιεικεῖς μυρίαις ἔπλυνας λοιδορίαις; ταῦτα λέγομεν συνεχῶς, οὐχ ὁρῶμεν δὲ ἐπιδεικνύμενοι διὰ τῶν ἔργων. ἄνθρωπος ὤν, ἀνθρώπους ὑβρίζεις; δοῦλος ὤν, τὸν ὁμόδουλον; ἀλλὰ τί τοῦτο θαυμάζω, ὅπου γε καὶ Θεὸν ὑβρίζουσι πολλοί;

Marginal readings: χ. ἡ τῶν — χ. ἵμ. — χ. ἐξεκαίων — χ. ῥήματα

λοί; τοῦτο πρὸς ὑμᾶς ἔστω παραμυθία τοὺς ὑβριζομένους. ὑβρίζεσθε; ὑβρίζεται καὶ Θεός. ὀνειδίζεσθε; ὀνειδίζεται καὶ Θεός. διαπτύεσθε; καὶ γὰρ καὶ ὁ δεσπότης ὁ ἡμέτερος. ἐν μὲν οὖν τούτοις ἡμῖν κοινωνεῖ· ἐν δὲ τοῖς ἐναντίοις οὐκέτι. οὐ γὰρ ὕβρισεν ἀδίκως ποτὲ (μὴ γένοιτο) οὐδὲ ὠνείδισεν ἁπλῶς, οὐδὲ ἠδίκησεν, ὥστε ἡμεῖς ἐσμεν τῷ κοινωνοῦντες, οὐχ ὑμεῖς. οἱ μὲν γὰρ ὑβριζόμενοι φέρειν, Θεοῦ· οἱ δὲ ὑβρίζειν ἁπλῶς, δαίμονος. ἴδετε τὰς δύο μερίδας. Δαιμόνιον ἔχεις, ἤκουσεν ὁ Χριστός· ἐρραπίσθη ἀπὸ τοῦ δούλου τοῦ ἀρχιερέως. τῷ ὑβρίζοντες τοίνυν ἀδίκως, μετ' ἐκείνων ἑστήκασιν. εἰκότως.

Λουκ. ζ. κγ.
Ματθ. κς. ξζ.
Λουκ. κ. λγ.

εἰ γὰρ ὁ Πέτρος καὶ Σατανᾶς ἤκουσε δι' ἓν ῥῆμα, πολλῷ μᾶλλον οὗτοι Ἰουδαῖοι ἀκούσονται, ὅταν τὰ Ἰουδαίων ποιῶσιν· ὥσπερ καὶ ἕτεροι διαβόλου τέκνα, ἐπειδὴ τὰ τοῦ διαβόλου εἰργάζοντο.

Ἰωαν. η. μδ.

ὑβρίζεις· τίς ὤν, εἰπέ μοι; μᾶλλον δὲ διὰ τοῦτο ὑβρίζεις, ἐπειδὴ οὐδὲν εἶ. οὐδεὶς γὰρ ἄνθρωπος ὢν ὑβρίζει. ὥστε ὃ λέγεται ἐν ταῖς μάχαις, σὺ τίς εἶ; ἐξ ἐναντίας ἔδει λέγεσθαι· ὕβριζε· οὐδὲν γὰρ εἶ, ὅστις ὑβρίζεις. νῦν δὲ λεγόντων ἡμῶν, ὡς τίς ὑβρίζεις; ὡς βελτίων σου διὰ πάντων, ἀκούειν ἐστί. καίτοι τὸ ἐναντίον ἔδει λέγειν. ἀλλ' ἐπειδὴ ἡμεῖς κακῶς ἐρωτῶμεν, διὰ τοῦτο καὶ ἕτεροι κακῶς ἀποκρίνονται. ὥστε ἡμεῖς αἴτιοι. ὡς μεγάλων γὰρ ἀνθρώπων ὄντων τῶν ὑβριζόντων, οὕτω λέγομεν, ὡς τίς ὑβρίζεις; διὰ τοῦτο καὶ ἕτεροι οὕτως ἀποκρίνονται. τοὐναντίον δὲ ἐχρῆν λέγειν· ὑβρίζεις; ὕβριζε· οὐδεὶς γὰρ εἶ. πρὸς δὲ τοὺς οὐχ ὑβρίζοντας τοῦτο μᾶλλον ἔδει λέγεσθαι· ὡς τίς οὐχ ὑβρίζεις; ὑπερέβης τὴν ἀνθρωπίνην φύσιν. τοῦτο εὐγένεια, τοῦτο ἐλευθερία, μηδὲν ἀνελεύθερον φθέγγεσθαι, κἂν ἄξιος ᾖ τις ἀκούειν. εἰπὲ δή μοι, πόσοι οὐχὶ ἄξιοί εἰσιν ἀναιρεῖσθαι; ἀλλ' ὅμως οὐ ποιεῖ τοῦτο δι' ἑαυτοῦ ὁ δικαστής, ἀλλ' ἐρωτᾷ· καὶ οὐδὲ τοῦτο δι' ἑαυτοῦ. εἰ δὲ διαλέγεσθαι ἀνθρώπῳ πονηρῷ οὐκ ἀνέχονται δικάζοντες, ἀλλὰ μέσῳ τινὶ χρῶνται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς ὁμοτίμους ὑβρίζειν οὐ χρή. οὐ γὰρ οὕτω τῷ ὑβρίσαι πλεονεκτήσομεν αὐτόν, ὡς τῷ διαλεχθῆναι ὑβρίσομεν ἑαυτούς. τοὺς μὲν οὖν πονηροὺς διὰ τοῦτο οὐκ ὑβρίζειν χρή· τοὺς δὲ ἀγαθούς, καὶ δι' ἕτερον, ὅτι οὐκ ἄξιοι· καὶ τρίτον, ὅτι ὑβριστὴν εἶναι οὐ χρή. νῦν δὲ ὅρα ὅσα γίνεται. ὑβρίζεται καὶ ἐπηρεάζεται ἄνθρωπος, καὶ ὁ ἐπηρεάζων ἄνθρωπος, καὶ τῷ θεωροῦντες ἄνθρωποι. τί οὖν; τὰ θηρία δεῖ εἰς μέσον ἐλθεῖν καὶ διαλῦσαι; τοῦτο γὰρ λείπεται. ὅταν γὰρ οἵ τε ἀδικοῦντες, οἵ τε τιμώμενοι τῇ ἀδικίᾳ ἄνθρωποι ὦσι, τοῖς θηρίοις ἡ καταλλαγὴ λείπεται. ὥσπερ οὖν δεσποτῶν μαχομένων ἐν οἰκίᾳ, λείπεται τοὺς οἰκέτας καταλλάττειν (τοῦτο γὰρ ἡ τοῦ πράγματος φύσις ἀπαιτεῖ, εἰ καὶ ταύτῃ τάχα μὴ γίνεται) οὕτω καὶ ἐνταῦθα. ὑβρίζεις; εἰκότως· οὐδὲ γὰρ ἄνθρωπος εἶ. διὰ τοῦτο ἔδοξε μέγα τι εἶναι ἡ ὕβρις, καὶ ἔδοξε τοῖς μεγάλοις πρέπειν. τοῖς δὲ ἀνδραπόδοις μᾶλλον πρέπει, ὥσπερ τὸ εὐφημεῖν, ἐλευθέροις ἐμπρέπει. ὥσπερ γὰρ τὸ κακῶς ποιεῖν, ἐκείνων, οὕτω τὸ κακῶς πάσχειν, τούτων. οἷον ἐστὶ κλεπτρία δούλη τὰ τοῦ δεσπότου λαθραίως ὑφαιροῦσα, τοιοῦτόν τί ἐστι καὶ ὁ ὑβριστής. καὶ ὡς ἂν εἴποι τις, καθάπερ ὁ κλέπτης σπουδῇ εἰσιὼν, πανταχοῦ περιβλέπεται ὑφελέσθαι τι σπουδάζων· οὕτω καὶ οὗτος πάντα περισκοπεῖ, ἐκβάλλειν τι θέλων. τάχα ἑτέρῳ τινὶ παραδείγματι αὐτὸν διαγράψωμεν. ὥσπερ ἂν εἴ τις σκεύη ἀκάθαρτα κλέπτων ἐξ οἰκίας, καὶ ἐξάγων πάντων ἔμπροσθεν, οὐχὶ τὰ ὑφαιρεθέντα ᾔσχυνε τοσοῦτον, ὅσον αὐτὸς ἑαυτόν, ταῦτα ὑφελόμενος καὶ ἐξάγων· οὕτω δὴ καὶ οὗτος, ἐκβαλὼν ἔμπροσθεν πάντων ἀκάθαρτα ῥήματα, οὐχὶ ἑτέρους ᾔσχυνεν, ἀλλ' ἑαυτὸν διὰ τῶν ῥημάτων, προαγαγὼν ταῦτα, καὶ καταρρυπάνας αὐτοῦ καὶ τὴν γλῶτταν, καὶ τὴν διάνοιαν. τοιοῦτον γάρ ἐστιν ὅταν πρὸς τοὺς πονηροὺς μαχώμεθα, ὥσπερ ἂν εἴ τις ἄνθρωπον τὸν ἐν πηλῷ ὄντα ὑπὲρ τοῦ πλῆξαι, μολύνῃ ἑαυτόν, καθεὶς ἑαυτοῦ τὰς χεῖρας εἰς τὸν βόρβορον τῆς δυσωδίας. ταῦτα δή, παρακαλῶ, πάντα ἐνθυμιζόμενοι, φεύγωμεν τὸ ἐντεῦθεν βλάβην, καὶ εὔφημον ἔχωμεν γλῶτταν, ἵνα καθαρεύοντες πάσης ὕβρεως, δυνηθῶμεν μετ' ἀκριβείας τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυχεῖν,

χεῖ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μ. 18 Ο ΔΕ ΠΑΥΛΟΣ ΕΤΙ ΠΡΟΣΜΕΙΝΑΣ ΗΜΕρας ἱκανὰς τοῖς ἀδελφοῖς, ἀποταξάμενος ἐξέπλει εἰς τὴν Συρίαν (καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας) κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν.

Ὅρα πῶς ὁ νόμος κατελύετο, ὅρα πῶς τῇ συνηθείᾳ κατείχοντο. τοῦτο Ἰουδαϊκὸν ἦν, τὸ κείρασθαι τὰς κεφαλὰς κατ' εὐχήν. πλὴν ἔδει καὶ θυσίαν γενέσθαι, ἥτις οὐκ ἐγένετο μετὰ τὸ τυπωθῆναι τοῦ Σωτῆρος. (ἔδει γὰρ ἀπελθεῖν αὐτόν, διὸ καὶ ἐπείγεται). καὶ παρακαλούμενος μεῖναι παρ' αὐτοῖς ἐν Ἐφέσῳ, οὐκ ἀνέχεται. τίνος δὲ ἕνεκεν πάλιν τὴν Ἀντιόχειαν καταλαμβάνει; Ἀναβὰς γάρ, φησι, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. ἐπιθυμίαν εἶχε τῆς πόλεως, πάθος τι διὸ θερμότεροι πρὸς αὐτήν. ἐνταῦθα γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ καλεῖσθαι Χριστιανοί· ἐνταῦθα παρεδόθη τῇ χάριτι τοῦ Θεοῦ· ἐνταῦθα * λύουσι πράγματα [τὰ] κατὰ τὸ δόγμα. καὶ ὁ μὲν εἰς Συρίαν ἐξέπλει· τούτους δὲ ἀφῆκεν εἰς Ἔφεσον, εἰκότως, ὡς διδάξοντας. τοσοῦτον γὰρ αὐτῷ συγγενόμενοι χρόνον, πολλὰ ἔμαθον· καὶ ὅμως τῆς συνηθείας αὐτῶν οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς. ἰδοὺ καὶ γυνὴ τὸ ἴσον ἀνδράσι ποιοῦσα καὶ διδάσκουσα. διὰ τοῦτο ἐκωλύετο εἰς τὴν Ἀσίαν ἐλθεῖν, πρὸς τὰ κατεπείγοντα οἶμαι ἐλαυνόμενος. ὅρα γοῦν ἐνταῦθα καὶ παρακαλούμενον αὐτὸν μεῖναι, καὶ οὐκ ἀνεχόμενον, ἐπειδὴ ἠπείγετο ἀπελθεῖν. οὐ μὴν ἁπλῶς αὐτοὺς εἴασεν, ἀλλὰ μετὰ ὑποσχέσεως. καὶ ὅπως, ἄκουε.

γ. ἔδει γὰρ αὐτὸν ἐπιμεῖναι καὶ παρακαλέσαι (ἀλλ. παρακαλεῖσθαι) περὶ τούτου. τί πάλιν ἀπιθυμεῖ τῆς Συρίας καταλαβεῖν; ἐνταῦθα ἐχρημάτισαν οἱ μ.

* ταῦτα

19 Κατήντησε δέ, φησιν, εἰς Ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγήν, διελέχθη τοῖς Ἰουδαίοις.

20 Ἐρωτώντων δὲ αὐτὸν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν,

21 Ἀλλ' ἀπετάξατο αὐτοῖς εἰπών· δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου·

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν,

23 Καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς. Καὶ ὅρα ἐκείνους τοὺς τόπους καταλαμβάνει, οἷς ἐπέβη πρὸ τούτου.

24 Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. Ἰδοὺ καὶ λόγιοι "ἠπείγοντο κηρύττειν, καὶ ἀποδημοῦσι λοιπὸν οἱ μαθηταί. ὁρᾷς ἐπίδοσιν τοῦ κηρύγματος;

γ. ἐπήγοντο

25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.

26 Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτόν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν.

Εἰ τὸ βάπτισμα Ἰωάννου μόνον ἠπίσταντο οὗτοι, πῶς τῷ πνεύματι ἔζει; τὸ γὰρ πνεῦμα οὐχ οὕτως ἐδίδοτο. εἰ δὲ καὶ οἱ μετὰ τοῦτον ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ· πολλῷ

λοι; τοῦτο πρὸς ὑμᾶς ἔστω παραμυθία τοὺς ὑβριζομένους. ὑβρίζεσθε; ὑβρίζεται καὶ Θεός. ὀνειδίζεσθε; ὀνειδίζεται καὶ Θεός. διαπτύεσθε; καὶ γὰρ καὶ ὁ δεσπότης ὁ ἡμέτερος. ἐν μὲν οὖν τούτοις ἡμῖν κοινωνεῖ· ἐν δὲ τοῖς ἐναντίοις οὐκέτι. οὐ γὰρ ὕβρισεν ἀδίκως ποτὲ (μὴ γένοιτο) οὐδὲ ὠνείδισεν ἁπλῶς, οὐδὲ ἠδίκησεν, ὥστε ἡμεῖς ἐσμεν οἱ κοινωνοῦντες, οὐχ ὑμεῖς. τὸ μὲν γὰρ ὑβριζομένους φέρειν, Θεοῦ· τὸ δὲ ὑβρίζειν ἁπλῶς, δαίμονος. ἴδετε τὰς δύο μερίδας.

Λουκ. ζ. κγ. Ματθ. κϛ. ξζ. Λουκ. η. λγ. Ιωαν. η. μδ.

Δαιμόνιον ἔχεις, ἤκουσεν ὁ Χριστός· ἐρραπίσθη ἀπὸ τοῦ δούλου τοῦ ἀρχιερέως. οἱ ὑβρίζοντες τοίνυν ἀδίκως, μετ᾽ ἐκείνων ἑστήκασιν. εἰκότως. εἰ γὰρ ὁ Πέτρος καὶ Σατανᾶς ἤκουσε δι᾽ ἓν ῥῆμα, πολλῷ μᾶλλον οὗτοι Ἰουδαῖοι ἀκούσονται, ὅταν τὰ Ἰουδαίων ποιῶσιν· ὥσπερ κἀκεῖνοι διαβόλου τέκνα, ἐπειδὴ τὰ τοῦ διαβόλου εἰργάζοντο. ὑβρίζεις· τίς ὤν, εἰπέ μοι; μᾶλλον δὲ διὰ τοῦτο ὑβρίζεις, ἐπειδὴ οὐδέν εἶ. οὐδεὶς γὰρ ἄνθρωπος ὢν ὑβρίζει. ὥστε ὃ λέγεται ἐν ταῖς μάχαις, σὺ τίς εἶ; τοὐναντίον ἔδει λέγεσθαι· ὕβριζε· οὐδὲν γὰρ εἶ, ὅστις ὑβρίζεις. νῦν δὲ λεγόντων ἡμῶν, ὡς τίς ὑβρίζεις; ὡς βελτίων σου διὰ πάντων, ἀκούει ἐστί. καὶ μὴν τὸ ἐναντίον ἔδει λέγειν. ἀλλ᾽ ἐπειδὴ ἡμεῖς κακῶς ἐρωτῶμεν, διὰ τοῦτο κἀκεῖνοι κακῶς ἀποκρίνονται. ὥστε ἡμεῖς αἴτιοι. ὡς μεγάλων γὰρ ἀνθρώπων ὄντων τῶν ὑβριζόντων, οὕτω λέγομεν, ὡς τίς ὑβρίζεις; διὰ τοῦτο κἀκεῖνοι οὕτως ἀποκρίνονται. τοὐναντίον δὲ ἐχρῆν λέγειν· ὑβρίζεις; ὕβριζε· οὐδεὶς γὰρ εἶ. πρὸς δὲ τοὺς οὐχ ὑβρίζοντας τοῦτο μᾶλλον ἔδει λέγεσθαι· ὡς τίς οὐχ ὑβρίζεις; ὑπερβαίνεις τὴν ἀνθρωπίνην φύσιν. τοῦτο εὐγένεια, τοῦτο ἐλευθερία, μηδὲν ἀνελεύθερον φθέγγεσθαι, κἂν ἄξιος ᾖ τις ἀκούειν. εἰπὲ δή μοι, πόσοι οὐχὶ ἄξιοί εἰσιν ἀναιρεῖσθαι; ἀλλ᾽ ὅμως οὐ ποιεῖ τοῦτο δι᾽ ἑαυτοῦ ὁ δικαστής, ἀλλ᾽ ἐρωτᾷ· καὶ οὐδὲ τοῦτο δι᾽ ἑαυτοῦ. εἰ δὲ διαλέγεσθαι ἀνθρώπῳ πονηρῷ οὐκ ἀνεκτὸν δικάζοντα, ἀλλὰ μέσῳ τινὶ κέχρηται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς ὁμοτίμους ὑβρίζειν οὐ χρή. οὐ γὰρ οὕτω τῷ ὑβρίσαι πλεονεκτήσομεν αὐτῶν, ὡς τῷ διαλεχθῆναι ὑβρίσομεν ἑαυτούς. τοὺς μὲν οὖν πονηροὺς διὰ τοῦτο οὐχ ὑβρίζειν χρή· τοὺς δὲ ἀγαθούς, ἕν, δι᾽ ἕτερον, ὅτι οὐκ ἄξιοι· καὶ τρίτον, ὅτι ὑβριστὴν εἶναι οὐ χρή. νῦν δὲ ὅρα ὅσα γίνεται. ὑβρίζεται καὶ ἐπηρεάζεται ἄνθρωπος, καὶ ὁ ἐπηρεάζων ἄνθρωπος, καὶ οἱ θεωροῦντες ἄνθρωποι. τί οὖν; τὰ θηρία δεῖ εἰς μέσον ἐλθεῖν καὶ διαλῦσαι; τοῦτο γὰρ λείπεται. ὅταν γὰρ οἵ τε ἀδικοῦντες, οἵ τε τερπόμενοι τῇ ἀδικίᾳ ἄνθρωποι ὦσι, τοῖς θηρίοις ἡ καταλλαγὴ λείπεται. ὥσπερ οὖν δεσποτῶν μαχομένων ἐν οἰκίᾳ, λείπεται τοὺς οἰκέτας καταλλάττειν (τοῦτο γὰρ ἡ τοῦ πράγματος φύσις ἀπαιτεῖ, εἰ καὶ ταύτῃ τάχα μὴ γίνεται) οὕτω καὶ ἐνταῦθα. ὑβρίζεις; εἰκότως· οὐδὲ γὰρ ἄνθρωπος εἶ. διὰ τοῦτο ἔδοξε μέγα τι εἶναι ἡ ὕβρις, καὶ ἔδοξε τοῖς μεγάλοις πρέπειν. τοῖς δὲ ἀνδραπόδοις μᾶλλον πρέπει, ὥσπερ τὸ εὐφημεῖν, ἐλευθέροις ἐμπρέπει. ὥσπερ γὰρ τὸ κακῶς ποιεῖν, ἐκείνων, οὕτω τὸ κακῶς πάσχειν, τούτων. οἷόν ἐστι κλέπτρια δούλη τὰ τοῦ δεσπότου λαθραίως ὑφαιροῦσα, τοιοῦτόν τί ἐστι καὶ ὁ ὑβριστής. καὶ ὡς ἂν εἴποι τις, καθάπερ ὁ κλέπτης σπουδῇ εἰσιών, πανταχοῦ περιβλέπεται ὑφελέσθαι τι σπουδάζων· οὕτω καὶ οὗτος πάντα περισκοπεῖ, ἐκβάλλειν τι θέλων. τάχα ἑτέρῳ τινὶ παραδείγματι αὐτὸν διαγράψωμεν. ὥσπερ ἂν εἴ τις σκεύη ἀκάθαρτα κλέπτων ἐξ οἰκίας, καὶ ἐξάγων πάντων ἔμπροσθεν, οὐχὶ τὰ ὑφαιρεθέντα ᾔσχυνε τοσοῦτον, ὅσον αὐτὸς ἑαυτόν, ταῦτα ὑφελόμενος καὶ ἐξάγων· οὕτω δὴ καὶ οὗτος, ἐκβαλὼν ἔμπροσθεν πάντων ἀκάθαρτα ῥήματα, οὐχὶ ἑτέρους ᾔσχυνεν, ἀλλ᾽ ἑαυτὸν διὰ τῶν ῥημάτων, προαγαγὼν ταῦτα, καὶ καταρρυπάνας αὐτοῦ καὶ τὴν γλῶτταν, καὶ τὴν διάνοιαν. ταὐτὸν γὰρ γίνεται ὅταν πρὸς τοὺς πονηροὺς μαχώμεθα, ὥσπερ ἂν εἴ τις ἀνθρώπους τοὺς ἐν σηπεδόνι ὄντας ὑπὲρ τοῦ πλῆξαι, μολύνῃ ἑαυτόν, καθεὶς ἑαυτοῦ τὰς χεῖρας εἰς τὸν βόρβορον τῆς δυσωδίας. ταῦτα δή, παρακαλῶ, πάντα ἀναλογιζόμενοι, φεύγωμεν τὴν ἐντεῦθεν βλάβην, καὶ εὔφημον ἔχωμεν γλῶτταν, ἵνα καθαρεύοντες πάσης ὕβρεως, δυνηθῶμεν μετ᾽ ἀκριβείας τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυ-

χεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μ. 18 Ο ΔΕ ΠΑΥΛΟΣ ΕΤΙ ΠΡΟΣΜΕΙΝΑΣ ΗΜΕΡΑΣ ἱκανὰς τοῖς ἀδελφοῖς, ἀποταξάμενος ἐξέπλει εἰς τὴν Συρίαν (καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας) κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν.

ΟΡα πῶς ὁ νόμος κατελύετο, ὅρα πῶς τῇ συνηθείᾳ κατείχοντο. τοῦτο Ἰουδαϊκὸν ἦν, τὸ κείρασθαι τὰς κεφαλὰς κατ' εὐχήν. πλὴν ἔδει καὶ θυσίαν γενέσθαι, ἥτις οὐκ ἐγένετο μετὰ τὸ τυπηθῆναι τὸν Σωσθένην. ἔδει γὰρ ἀπελθεῖν αὐτόν, διὸ καὶ ἔπειγε. καὶ παρακαλούμενος μεῖναι παρ' αὐτοῖς ἐν Ἐφέσῳ, οὐκ ἠνέσχετο. τίνος δὲ ἕνεκεν πάλιν τὴν Ἀντιόχειαν καταλαμβάνει; Ἀναβὰς γάρ, φησι, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. ἐπιθυμίαν εἶχε τῆς πόλεως, πάθος τι δὲ θερμὸν πρὸς αὐτήν. ἐνταῦθα γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ καλεῖσθαι χριστιανοί· ἐνταῦθα παρεδόθη τῇ χάριτι τοῦ Θεοῦ· ἐνταῦθα * ἤκουσε πράγματα [τὰ] κατὰ τὸ δόγμα. καὶ ὁ μὲν εἰς Συρίαν ἐξέπλει· τούτους δὲ ἀφῆκεν εἰς Ἔφεσον, εἰκότως, ὡς διδάξοντας. τοσοῦτον γὰρ αὐτῷ συγγενόμενοι χρόνον, πολλὰ ἔμαθον· καὶ ὅμως τῆς συνηθείας αὐτὸν οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς. ἰδοὺ καὶ γυνὴ τὸ ἴσον ἀνδράσι ποιοῦσα καὶ διδάσκουσα. διὰ τοῦτο ἐκωλύετο εἰς τὴν Ἀσίαν ἐλθεῖν, πρὸς τὰ κατεπείγοντα οἶμαι ἐλαυνόμενος. ὅρα γοῦν ἐνταῦθα καὶ παρακαλούμενον αὐτὸν μεῖναι, καὶ οὐκ ἀνεχόμενον, ἐπειδὴ ἠπείγετο ἀπελθεῖν. οὐ μὴν ἁπλῶς αὐτοὺς εἴασεν, ἀλλὰ μετὰ ἐπαγγελίας. καὶ ὅπως, ἄκουε.

γ. ἔδει γὰρ αὐτὸν ἔτι μένειν καὶ παρακαλέσαι (ἄλλ. παρεκάλεσε) περὶ τούτων. τί πάλιν ἐπιθυμεῖ τὴν Συρίαν καταλαβεῖν; ἐνταῦθα ἐχρημάτισαν οἱ μα-

* τοιαῦτα

19 Κατήντησε δέ, φησιν, εἰς Ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγήν, διελέχθη τοῖς Ἰουδαίοις.

20 Ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν,

21 Ἀλλ' ἀπετάξατο αὐτοῖς εἰπών· δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου·

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν,

23 Καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς. Καὶ ὅρα ἐκείνους τοὺς τόπους καταλαμβάνει, οἷς ἐπέβη πρὸ τούτου.

24 Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. Ἰδοὺ καὶ λόγιοι ἠπείγοντο κηρύττειν, καὶ ἀποδημοῦσι λοιπὸν οἱ μαθηταί. ὁρᾷς ἐπίδοσιν τοῦ κηρύγματος;

γ. ἐκήρυττο

25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.

26 Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτόν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν.

Εἰ τὸ βάπτισμα Ἰωάννου μόνον ἠπίσταντο οὗτοι, πῶς τῷ πνεύματι ἔζει; τὸ γὰρ πνεῦμα οὐχ οὕτως ἐδίδοτο. εἰ δὲ καὶ οἱ μετὰ τούτων ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ, πολλῷ

μᾶλλον οὗτος ἐδηλώθη ἄν. τί οὖν ἐστιν εἰπεῖν; οὐδὲ γὰρ ἁπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα ὁ συγγραφεύς. ἐμοὶ δοκεῖ εἷς οὗτος εἶναι τῶν ἑκατὸν εἴκοσι τῶν μετὰ τῶν ἀποστόλων βαπτισθέντων· ἢ εἰ μὴ τοῦτο, ὅπερ ἐπὶ τοῦ Κορνηλίου γέγονε, γεγένηται καὶ ἐπὶ τούτου. ἀλλ' οὐ βαπτίζεται, ἀλλ' ὅτι ἀκριβέστερον αὐτῷ ἐξέθεντο. τοῦτο δὲ εἶναί μοι ἀληθὲς φαίνεται, ὅτι τὸ βαπτισθῆναι αὐτοὺς ἔδει· ἐπεὶ οἱ δώδεκα οἱ ἄλλοι οὐδὲν ἤδεισαν ἀκριβές, οὐδὲ τὰ περὶ τοῦ Ἰησοῦ. εἰκὸς δὲ αὐτὸν καὶ βαπτισθῆναι. πλὴν, εἰ καὶ αὐτοὶ οἱ Ἰωάννου μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τούτους μαθητὰς τοῦτο ποιῆσαι.

27 Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος.

28 Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

κεφ. ιθ.

1 Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητὰς,

2 Εἶπε πρὸς αὐτούς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν ἠκούσαμεν.

3 Εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον, εἰς τὸ Ἰωάννου βάπτισμα.

4 Εἶπε δὲ Παῦλος, Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι· τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν.

5 Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

6 Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον.

7 Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Πολλῷ οὗτοι ἐκείνου διεστήκασιν, οἱ μηδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν εἰδότες. οὗτοι οὖν, οἳ καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν τοῦ Κυρίου, καὶ προπέμπουσι καὶ γράμματα ἐπιδιδόασιν. ἐβούλετο μὲν οὖν καὶ [αὐτὸς] ἀπελθεῖν εἰς Ἀχαΐαν· οἱ δὲ τοῦ προτρέψαι τὰ γράμματα δοῦναι αὐτῷ τοὺς ἀδελφούς, οὐκ ἀναχωρεῖ. ὃς παραγενόμενος συνεβάλετο, φησί, τοῖς πεπιστευκόσιν. εὐτόνως γὰρ διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνύων διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν. ἐντεῦθεν πῶς ἦν δυνατὸς ἐν ταῖς γραφαῖς Ἀπολλὼς δείκνυσι. τοὺς μὲν γὰρ Ἰουδαίους σφόδρα ἐπεστόμιζε· τοῦτο γάρ ἐστι τὸ, διακατηλέγχετο· τοὺς δὲ πιστεύοντας θαρρεῖν μᾶλλον ἐποίει καὶ ἵστασθαι πρὸς τὴν πίστιν. ἐγένετο δέ, φησι, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη (ταῦτα δὴ τὰ κατὰ Καισάρειαν καὶ τὰ λοιπὰ) ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; ὅτι γὰρ οὐδὲ εἰς Χριστὸν ἐπίστευον οὗτοι, δῆλον ἐκ τοῦ εἰπεῖν, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι. καὶ οὐκ εἶπεν, οὐδέν ἐστι τὸ βάπτισμα Ἰωάννου· ἀλλ' ὅτι ἀτελές. καὶ οὐδὲ τοῦτο προσέθηκεν ἁπλῶς· ἀλλ' ἵνα διδάξῃ καὶ πείσῃ αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ βαπτισθῆναι, ὃ καὶ ποιοῦσι, καὶ τὸ πνεῦμα λαμβάνουσι τῇ ἐπιθέσει τῶν χειρῶν Παύλου. ἐπιθέντος γάρ, φησιν, αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς. ὥστε οἷς ἐπετίθει τὰς χεῖρας, τὸ πνεῦμα ἐλάμβανον. εἰκὸς τοίνυν ἦν πνεῦμα μὲν αὐτοὺς ἔχειν, μὴ φαίνεσθαι δέ· ἀλλ' ἐκ τῆς ἐνεργείας, καὶ τὰ ἀφ' ὧν γλώσσαις ἐλάλουν, τοῦτο ἐνέφαινον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. ὁ δὲ Παῦλος ἐξέπλει εἰς τὴν Συρίαν, φησί, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, οὓς καὶ καταντήσας εἰς Ἔφεσον κατέλιπεν αὐτοῦ. ἢ ὅτι οὐκ ἐβούλετο περιάγειν αὐτούς, καὶ διὰ τοῦτο κατέλιπεν· ἢ μᾶλλον ἵνα διδάσκαλοι μένωσι τοῖς ἐν Ἐφέσῳ. αὐτοὶ δὲ μετὰ ταῦτα τὴν Κόρινθον ᾤκησαν, οἷς καὶ μεγάλα μαρτυρεῖ,

τυρος, καὶ Ῥωμαίοις ἐπιτέλλων προσαγορεύειν αὐτούς. ὅθεν μοι δοκεῖ μετὰ ταῦτα αὐτοὺς εἰς Ῥώμην ἀπελθεῖν, ἅτε ἐμφιλοχωρήσαντας τοῖς τόποις ἐκείνοις, ὅθεν ἐξέπεσον ἐπὶ Νέρωνος. καὶ καταβάς, φησιν, εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν, καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε, διερχόμενος τὴν Γαλατικὴν καθεξῆς χώραν καὶ Φρυγίαν. ἐμοὶ δοκοῦσι καὶ τὸ πιστοὶ εἶναι ἐκεῖ συνάγεσθαι. οὐ γὰρ εὐθέως αὐτοῦ ἀπίασιν. ὅρα δὲ πῶς αὐτοὺς ἐπείγεται, καὶ ταύτας τὰς χώρας πάλιν διέρχεται, ὥστε τῇ παρουσίᾳ βεβαιῶσαι τοὺς μαθητάς. Ἰουδαῖος δέ τις, φησιν, Ἀπολλὼς ὀνόματι, κατήντησεν εἰς Ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. διεγηγερμένος ἦν ὁ ἄνθρωπος, διὸ καὶ ἀποδημίας στέλλεται παρ' τούτου αὐτοῦ. ὃς παραγενόμενος, φησιν, εἰς Ἀχαΐαν, εὐτόνως διακατηλέγχετο τοῖς Ἰουδαίοις δημοσίᾳ. περὶ τούτου γράφων ἔλεγε· Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ. τῷ μὲν οὖν δημοσίᾳ ἐλέγχειν, ἡ παρρησία ἐδείκνυτο· τῷ δὲ εὐτόνως, ἡ δύναμις ἐδηλοῦτο· τῷ δὲ ἐκ τῶν θείων γραφῶν ἐπιδεικνύειν, ἡ ἐμπειρία. οὔτε γὰρ ἡ παρρησία τι συντελεῖ καθ' ἑαυτήν, οὐκ οὔσης δυνάμεως· οὔθ' ἡ δύναμις, οὐκ οὔσης παρρησίας. ἄρα οὐκ εἰκῇ Ἀκύλαν κατέλιπεν εἰς Ἔφεσον· ἀλλὰ διὰ τὸν Ἀπολλὼ τάχα τὸ πνεῦμα τοῦτο ᾠκονόμησεν, ὥστε ἰσχυρότερον ἐπιβῆναι τῇ Κορίνθῳ. καὶ τί δήποτε τοῦτο μὲν οὐδὲν ἐποίησαν, Παύλῳ δὲ ἐπιτίθεται; ᾐδέσαντο ὅτι ἐκεῖνος ὁ κορυφαῖος ἦν· [ἢ] καὶ [ὅτι] πολὺ τὸ ὄνομα τοῦ ἀνδρὸς ἦν. προσλαβόμενοι δέ, φησιν, αὐτὸν Ἀκύλας καὶ Πρίσκιλλα, ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν. ὅρα πῶς πάντα πιστὸς ἐγίνετο, καὶ οὐδαμοῦ φθόνος, οὐδαμοῦ βασκανία· Ἀκύλας διδάσκει· μᾶλλον δὲ καὶ ἐπὶ τοῦτο διδάσκεται. καὶ γὰρ χρόνον αὐτῷ συγγενόμενοι οὕτως ἐδιδάχθησαν, ὡς καὶ ἄλλους ἱκανοὺς εἶναι διδάσκειν. βουλομένου δὲ αὐτοῦ διελθεῖν, φησιν, εἰς τὴν Ἀχαΐαν, ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν. τίνος ἕνεκεν γράμματα πέμπουσιν ἑρμηνεύει· ἵνα, φησίν, αὐτὸν ἀποδέξωνται. καὶ πόθεν δῆλον ἐκείνους ἐν Ἐφέσῳ ὄντας τὸ βάπτισμα ἔχειν Ἰωάννου; ὅτι ἐρωτώμενοι, εἰς τί ἐβαπτίσθητε; εἰς τὸ Ἰωάννου λέγουσι βάπτισμα. ἴσως ἐπεδήμησαν τοῖς Ἱεροσολύμοις τότε, καὶ ἀπῆλθον καὶ ἐβαπτίσαντο· ἀλλὰ καὶ βαπτισθέντες, τὸν Ἰησοῦν οὐκ ἠπίσταντο. καὶ οὐ λέγει αὐτοῖς, πιστεύετε εἰς τὸν Ἰησοῦν· ἀλλὰ τί; εἰ πνεῦμα ἅγιον ἐλάβετε; ᾔδει γὰρ ὅτι οὐκ εἶχον, καὶ βούλεται αὐτοὺς εἰπεῖν, ἵνα μαθόντες ὧν ἀπεστέρηνται, αἰτήσωσι. καὶ ἐπιθέντος αὐτοῖς, φησι, τὰς χεῖρας τοῦ Παύλου, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, καὶ ἐλάλουν γλώσσαις καὶ προεφήτευον. ἀπ' αὐτοῦ τοῦ βαπτίσματος προφητεύουσι. τοῦτο δὲ τὸ Ἰωάννου βάπτισμα οὐκ εἶχε· διὸ καὶ ἀτελὲς ἦν. ἵνα δὲ τῶν τοιούτων ἀξιωθῶσι, παρασκευάζει μᾶλλον αὐτούς. ὥστε τοῦτο ἐβούλετο Ἰωάννης βαπτίζων, πιστεῦσαι εἰς τὸν ἐρχόμενον μετ' αὐτόν. ἐντεῦθεν δείκνυται δόγμα μέγα, ὅτι τελείως καθαίρεται τῶν ἁμαρτημάτων τὸ βαπτιζόμενοι. εἰ μὴ γὰρ ἐκαθαίροντο, οὐκ ἂν τὸ πνεῦμα ἐδέχοντο οὗτοι, οὐκ ἂν χαρισμάτων εὐθὺς ἠξιοῦντο. καὶ ὅρα ὅτι διπλοῦν τὸ χάρισμα ἦν, καὶ γλώσσαι, καὶ προφητεῖαι. καλῶς δὲ εἶπε βάπτισμα μετανοίας τὸ Ἰωάννου, καὶ οὐκ ἀφέσεως, διδάσκων αὐτοὺς καὶ πείθων, ὅτι τοῦτο ἔρημον ἦν ἐκείνου. τοῦ γὰρ ὕστερον δοθέντος ἔργον ἡ ἄφεσις γέγονε. καὶ πῶς τὸ λαβόντες τὸ πνεῦμα οὐκ ἐδίδασκον, ἀλλ' Ἀπολλὼς μήπω τὸ πνεῦμα λαβών; ὅτι οὐκ ἦσαν οὕτω ζέοντες, οὐδὲ κατηχημένοι· ἐκεῖνος δὲ καὶ κατηχημένος ἦν, καὶ σφόδρα ζέων. ἐμοὶ δὲ δοκεῖ ὅτι καὶ πολλὴ ἦν ἡ παρρησία τοῦ ἀνδρός. ἀλλ' εἰ καὶ ἀκριβῶς ἐλάλει τὰ περὶ τοῦ Ἰησοῦ, ὅμως ἐδεῖτο ἔτι ἀκριβεστέρας διδασκαλίας. οὕτω καίτοι οὐκ εἰδὼς πάντα, ἀπὸ τῆς προθυμίας ἐπεσπάσατο τὸ πνεῦμα τὸ ἅγιον, καθάπερ τὸ περὶ Κορνήλιον.

Τάχα πολλοὶ ποθοῦσιν, εἰ καὶ νῦν ἦν τὸ τοῦ Ἰωάννου βάπτισμα. ἀλλὰ πολλοὶ ἂν ἠμέλησαν βίου ἐναρέτου, ἢ καὶ ἐνομίσθη ἂν ἕκαστος διὰ τοῦτο, καὶ οὐ διὰ βασιλείαν οὐρανῶν ἐφίεσθαι τῆς ἀρετῆς. ἄλλως δέ, πολλοὶ ἂν ἐγένοντο ψευδοπροφῆται, καὶ οὐκ ἂν λοιπὸν τὸ ΗΘΙΚΟΝ

γρ. ἐπὶ

α. Κορ. ις. ιϛ.

γρ. οὐ γὰρ ἂν λοιπ. εὐδόκιμοι σφ.

δίκαιμοι σφόδρα ἐφθόνησαν; οὐδ' ἂν ἐμακαρίσθησαν τὴν πίστιν ἁπλῶς παραδεξάμενοι.
Ιωαν. κ. κθ. ὥσπερ οὖν οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες, μακάριοι, οὕτως οἱ χωρὶς σημείων πιστεύοντες.
Ιωαν. δ. μη. Εἰπὲ δή μοι· οὐκ ὀνειδίζων Ἰουδαίοις ἔλεγεν ὁ Χριστός· Ἐὰν μὴ σημεῖα ἴδητε, οὐ μὴ πιστεύ-
σετε; οὐκοῦν οὐδὲν παρεβλαβόμεθα, εἰ θέλοιμεν προσέχειν ἑαυτοῖς. τὸ κεφάλαιον ἔχομεν
τῶν ἀγαθῶν διὰ τοῦ βαπτίσματος ἄφεσιν ἁμαρτημάτων ἐλάβομεν, ἁγιασμόν, πνεύματος με-
τάληψιν, υἱοθεσίαν, ζωὴν αἰώνιον· τί βούλεσθε πλέον; σημεῖα; ἀλλὰ καταργεῖται.* πίστιν
ἔχεις; ἐλπίδα; ἀγάπην; τὰ μένοντα ταῦτα ζήτει, ταῦτα σημείων μείζω. οὐδὲν ἀγά- (* οὐδὲν γὰρ δεῖ τὰ σημεῖα πρὸς τὸ κεφάλαιον τῶν ἀγαθῶν τούτων.)
α Κορ. ιγ. ιγ. πης ἴσον· Μείζων πάντων ἡ ἀγάπη, φησί. νῦν δὲ ἡ ἀγάπη κινδυνεύει. ὄνομα γὰρ αὐτῆς
ὑπολέλειπται μόνον, τὸ δὲ ἔργον οὐδαμοῦ, ἀλλὰ διῃρήμεθα ἀπ' ἀλλήλων. τί οὖν ἄν τις
ἐργάσαιτο, ὥστε συνάψαι; τὸ μὲν γὰρ ἐγκαλέσαι, εὔκολον· [ἀλλὰ τοῦτο ἥμισύ ἐστι.] οὐκ-
οῦν δεικνύναι δεῖ πῶς ἂν ἐργασθείη φιλία. τοῦτο γάρ ἐστι τὸ σπουδαζόμενον, πῶς τὰ μέλη
τὰ διεσπασμένα συναγάγωμεν. οὐ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον ἁπλῶς, εἰ μίαν ἐκκλησί-
αν ἔχομεν, ἢ ἓν δόγμα· ἀλλὰ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι ἐν τοῖς ἄλλοις κοινωνοῦντες ἀλλήλοις, ἐν
τοῖς ἀναγκαίοις οὐ κοινωνοῦμεν, καὶ μετὰ πάντων εἰρηνεύοντες, ἐν ἀλλήλοις στασιάζομεν. μὴ
γὰρ εἰ μὴ μάχας καθ' ἑκάστην ποιούμεθα σκόπει· ἀλλ' ὅτι οὐδὲ ἀγάπην γνησίαν ἔχομεν καὶ
ἀκλινῆ. ἐπιδέσμων χρεία καὶ ἐλαίου. ἐννοήσωμεν, ὅτι γνώρισμά ἐστιν ἡ ἀγάπη τῶν μαθη-
τῶν τοῦ Χριστοῦ· ὅτι ταύτης χωρὶς οὐδὲν ἰσχύει τὰ ἄλλα· ὅτι ἄπονόν ἐστι πρᾶγμα, ἐὰν θέλω-
μεν. ναί, φησιν, οἴδαμεν ταῦτα· ἀλλὰ πῶς ἵνα κατορθωθῇ; τί ἵνα γένηται; πῶς ἵνα
φιλῶμεν ἀλλήλους; πρότερον τὰ ἀναιρετικὰ τῆς ἀγάπης ἐξέλωμεν, καὶ τότε στήσωμεν ταύ-
την. μηδεὶς ἔστω μνησίκακος, μηδεὶς ἔστω βάσκανος, μηδεὶς χαιρέκακος. ταῦτά ἐστι τὰ
κωλυτικά· τὰ δὲ ποιητικὰ ἕτερα. οὐκ ἀρκεῖ τὰ κωλύοντα ἀνελεῖν, ἀλλὰ καὶ τὰ ἰσχύοντα χρὴ
Σειρ. κβ. κβ. ἐπιδεικνύναι. ὁ μὲν οὖν Σειρὰχ λέγει τὰ ἀναιρετικά, καὶ οὐκ ἔτι τὰ συνάπτοντα, ὀνειδισ- (γρ. δεῖ συνεῖναι)
μὸν φάσκων, καὶ μυστηρίου ἀποκάλυψιν, καὶ πληγὴν δολίαν. ἀλλ' ἐπ' ἐκείνων μὲν εἰκότως
ταῦτα, ἅτε σαρκικῶν ὄντων· ἐφ' ἡμῶν δὲ μὴ γένοιτο. οὐκ ἀπὸ τούτων ὑμᾶς ἐνάγομεν, ἀλλ'
ἀπὸ τῶν ἄλλων. οὐδὲν ἡμῖν ἐστι χρηστὸν φιλίας χωρίς. ἔστω μυρία ἀγαθά· ἀλλὰ τί τὸ ὄ-
φελος; ἔστω πλοῦτος, ἔστω τρυφὴ φίλων χωρίς. ἀλλὰ τί τὸ κέρδος; οὐδὲν κτῆμα τούτου κάλ-
α. Πετ. δ. η. λιον καὶ ἐν τοῖς βιωτικοῖς πράγμασιν, ὥσπερ οὖν τῶν ἐχθραινόντων οὐδὲν χαλεπώτερον. Ἀ-
γάπη καλύπτει πλῆθος ἁμαρτημάτων· ἡ δὲ ἔχθρα καὶ τὰ οὐκ ὄντα ὑποπτεύει. οὐκ ἀρκεῖ
μὴ εἶναι ἐχθρόν, ἀλλὰ δεῖ καὶ φιλεῖν. ἐννόησον ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ ἀρκεῖ τοῦτο. καὶ θλῖ-
ψις ποιεῖ φιλίας καὶ συνάγει. τί οὖν φησι νῦν; ὅτι θλῖψις οὐκ ἔστιν. εἰπὲ πῶς ἵνα γενώ-
μεθα φίλοι; οὐκ ἔχετε φίλους ἄλλους, εἰπέ μοι; πῶς αὐτῶν ἐστε φίλοι; πῶς διαμένετε;
τέως μηδεὶς μηδένα ἐχθρὸν ἐχέτω· οὐκ ἔστι τοῦτο μικρόν. μηδεὶς φθονείτω. οὐκ ἔνι τὸν μὴ
φθονοῦντα κατηγορεῖν. μίαν οἰκοῦμεν οἰκουμένην ἅπαντες, τοῖς αὐτοῖς τρεφόμεθα καρποῖς. ἀλ-
λὰ ταῦτα μικρά· τοῖς αὐτοῖς μυστηρίοις, τῆς αὐτῆς πνευματικῆς τροφῆς ἀπολαύομεν. ταῦτα
πρῶτα ἐστὶ δικαιώματα τοῦ φιλεῖν. πῶς οὖν θερμῶς διακεισόμεθα, φησί; τί ποιεῖ σωμάτων
ἔρωτα; λαμπρότης σώματος. οὐκοῦν καὶ τὰς ψυχὰς καλὰς ἐργασώμεθα, καὶ ἐσόμεθα ἀλ-
λήλοις ἐπέραστοι. οὐ γὰρ δὴ φιλεῖν δεῖ μόνον, ἀλλὰ καὶ φιλεῖσθαι. πρότερον τοῦτο κατορθώσω-
μεν, ὥστε φιλεῖσθαι, καὶ ἐκεῖνο εὔκολον ἔσται. πῶς οὖν ἔσται ἵνα φιλώμεθα; γενώμεθα κα-
λοί. καὶ τοῦτο ἐργαζώμεθα, ὥστε ἐραστὰς ἔχειν ἀεί. μηδεὶς σπουδαζέτω χρήματα κτᾶσθαι,
Παροιμ. κβ. α. μὴ ἀνδράποδα, μὴ οἰκίας, ὡς τὸ φιλεῖσθαι, ὡς ὄνομα χρηστὸν ἔχειν. Κρεῖττον ὄνομα, ἢ πλοῦ-
τος πολύς. τὸ μὲν γὰρ μένει, ὁ δὲ ἀπόλλυται· καὶ τὸ μὲν δυνατὸν κτήσασθαι, ἐκεῖνο δὲ ἀδύνατον. ὁ μὲν
γὰρ πονηρὰν δόξαν λαβών, δυσκόλως αὐτὴν ἀποθήσεται· ὁ δὲ πένης, ταχέως ἀπὸ τοῦ ὀνόματος ἔσται
πλούσιος. ἔστω τις μυρία τάλαντα ἔχων, ὁ δὲ φίλους ἑκατὸν ἔστω· ἐκεῖνος εὐπορώτερος. μὴ τοίνυν
ἁπλῶς τοῦτο ποιῶμεν· ἀλλ' ἐργαζώμεθα ὡς ἐμπορείαν τινά. καὶ πῶς δυνάμεθα, φησί; λά- (γρ. εὐπορώτερος)

ρυγξ γλυκὺς πληθύνει φίλους αὐτοῦ, καὶ γλῶσσα εὐχάριστος. στόμα εὔφημον κτησώμεθα, καὶ ὦτα καθαρά. οὐκ ἔνι λαθεῖν τῶν οὕτω διακειμένων. ὅρα πόσα τῶν ἔξωθεν ἐπινενόηται φίλτρα, συντυχίαι, γειτονίαι, συγγένειαι. ἀλλὰ τούτων πάντων τὰ παρ' ἡμῖν μείζονα· ἡ τράπεζα αὕτη αἰδεσιμωτέρα. πολλοὶ δὲ τὴν προεστῶσαν οὐδὲ ἴσμεν ἀλλήλους. τὸ πλῆθος τοῦτο ποιεῖ, φησιν. οὐδαμῶς· ἀλλ' ἡ ἡμετέρα ῥᾳθυμία. τρισχίλιοι ἦσαν καὶ πεντακισχίλιοι, καὶ πάντες εἶχον ψυχὴν μίαν· νῦν δὲ ἕκαστος τὸν ἀδελφὸν ἀγνοεῖ, καὶ οὐκ αἰσχύνεται τὸ πλῆθος αἰτιώμενος. ὁ μέντοι πολλοὺς φίλους ἔχων, ἀνάλωτος ἅπασίν ἐστι, τυράννου παντὸς ἰσχυρότερος. οὐχ οὕτως ἐκεῖνον οἱ δορυφόροι φυλάττουσιν, ὡς τοῦτον οἱ φίλοι· καὶ λαμπρότερος οὗτος ἐκείνου. ὁ μὲν γὰρ παρὰ τῶν αὐτοῦ δούλων φυλάττεται, ὁ δὲ παρὰ τῶν ὁμοτίμων· καὶ ὁ μὲν παρὰ ἀκόντων καὶ δεδοικότων, οὗτος δὲ παρὰ ἑκόντων καὶ οὐ δεδοικότων. καὶ ἔστιν ἰδεῖν πρᾶγμα θαυμαστόν, ἐν πολλοῖς ἕνα, καὶ ἐν ἑνὶ πολλούς. καθάπερ ἐπὶ κιθάρας, διάφοροι μὲν οἱ φθόγγοι, μία δὲ ἡ συμφωνία, εἷς δὲ ὁ μουσικὸς ὁ τὴν κιθάραν μεταχειρίζων· οὕτως ἐνταῦθα, κιθάρα μέν ἐστιν αὐτὴ ἡ ἀγάπη, φθόγγοι δὲ ἠχοῦντες, τὰ δι' ἀγάπης προφερόμενα ῥήματα φιλικά, μίαν καὶ τὴν αὐτὴν ἀφιέντες ἁρμονίαν καὶ συμφωνίαν· ὁ δὲ μουσικός, ἡ τῆς ἀγάπης δύναμις. αὕτη κρούει τὸ μέλος τὸ ἡδύ. ἐβουλόμην ὑμᾶς ἀγαγεῖν εἰς πόλιν τοιαύτην, εἴγε δυνατόν, ἔνθα μία ψυχὴ ἦν, καὶ εἶδες ἂν ὅπως πάσης κιθάρας καὶ παντὸς αὐλοῦ ἁρμοδιωτέρα ἡ ἐκεῖ συμφωνία, οὐδὲν ἀπηχὲς ᾄδουσα μέλος. τοῦτο καὶ ἀγγέλους καὶ τὸν τῶν ἀγγέλων δεσπότην θεὸν εὐφραίνει τὸ μέλος· τοῦτο ὅλον τὸ ἐν τῷ οὐρανῷ θέατρον διανίστησι· τοῦτο καὶ δαιμόνων κηλεῖ θυμόν, παθῶν καταθέλγει ὁρμάς. τοῦτο τὸ μέλος οὐ μόνον πάθη κηλεῖ, ἀλλ' οὐδὲ διαφορὰς στῆναι ἀφίησι, καὶ πολλὴν τὴν σιγὴν ἐργάζεται. καθάπερ γὰρ ἐν θεάτρῳ χοροῦ μουσικοῦ πάντες μετὰ σιγῆς ἐπακούουσι, καὶ οὐδεὶς ἐκεῖ θόρυβος· οὕτω καὶ ἐν τοῖς φίλοις, τῆς ἀγάπης κρουούσης, πάντα ἠρεμεῖ τὰ πάθη καὶ κατακοιμίζεται, καθάπερ θηρία κηλούμενα καὶ θελγόμενα· ὥσπερ οὖν ἔνθα ἔχθρα, πάντα τὰ ἐναντία. ἀλλὰ μηδὲν περὶ ἔχθρας τέως εἴπωμεν· περὶ φιλίας λέγωμεν μόνον. ἂν εἴπῃ τι παρεπιπτές, οὐδεὶς ὁ ἐπιλαμβανόμενος, ἀλλὰ πάντες συγγνώσκουσιν· ἂν πράξῃ, οὐδεὶς ὑποπτεύει, ἀλλὰ πολλὴ ἡ συγγνώμη. πάντες τῶν χειρῶν ὀρέγοντες πίπτοντι [πρόχειροι] πάντες τῶν βουλόμενοι στῆσαι [πρόθυμοι]. τεῖχος ὄντως ἄρραγὲς ἡ φιλία, καὶ οὐδὲ τῷ διαβόλῳ ἁλώσιμον, μήτι γε ἀνθρώποις· οὐκ ἔνι κινδύνῳ περιπεσεῖν τὸν φίλους κεκτημένον πολλούς· οὐκ ἔνι ὀργῆς ὑπόθεσιν ἔχειν, ἀλλὰ θυμηδίας· ἐν γέλωτι ἀεί ἐστι καὶ τρυφῇ· οὐκ ἔνι βασκανίας ὑπόθεσιν ἔχειν, οὐκ ἔνι μνησικακίας ἀφορμήν. ὅρα τῶν τοιούτων καὶ τὰ πνευματικὰ καὶ τὰ βιωτικὰ κατορθούμενα μετ' εὐκολίας. τί δὴ οὖν τούτου ἴσον γένοιτ' ἄν; ὥσπερ πόλις τετειχισμένη πάντοθεν οὗτός ἐστιν· ἐκεῖνος δὲ ὥσπερ πόλις ἀτείχιστος. μεγάλης σοφίας, τὸ δύνασθαι φιλίας εἶναι δημιουργόν. ἄνελε τὴν φιλίαν, καὶ πάντα ἀνεῖλες, πάντα συνέχεες. εἰ δὲ εἰκὼν φιλίας τοσαύτην ἔχει τὴν ἰσχύν, αὐτὴ ἡ ἀλήθεια πόση τις ἂν εἴη; κατασκευάσωμεν τοίνυν ἡμῖν φίλους, παρακαλῶ, καὶ ταύτην ἕκαστος ἐχέτω τὴν τέχνην. ἀλλ' ἰδού, φησιν, ἐγὼ σπουδάζω· ἐκεῖνος δὲ οὐ σπουδάζει. πλείων ὁ μισθὸς οὕτως ἔσται σοι. ναί, φησιν· ἀλλὰ τὸ πρᾶγμα δυσκολώτερον. πῶς, εἰπέ μοι; ἰδοὺ διαμαρτύρομαι καὶ λέγω ὅτι δέκα μόνον ἐὰν συμφράξητε ἑαυτούς, καὶ ἔργον τοῦτο θῆτε, καθάπερ οἱ ἀπόστολοι τὸ κηρύττειν, καθάπερ οἱ προφῆται τὸ διδάσκειν, οὕτω καὶ ἡμεῖς τὸ φίλους ποιεῖν, μισθὸς ἔσται μέγας. βασιλικὰς εἰκόνας ἡμῖν αὐτοῖς κατασκευάζωμεν. τοῦτο γνώρισμα μαθητῶν. καὶ πῶς οὐ μεῖζον ἐργαζόμεθα, ἢ εἰ δυνάμει αὐτοῖς ἐνεπνέομεν νεκροὺς ἀνιστᾶν; τὸ διάδημα καὶ ἡ ἁλουργὶς δείκνυσι τὸν βασιλέα· καὶ τούτων οὐκ ὄντων, κἂν χρυσᾶ ἔχῃ ἱμάτια, οὔπω ὁ βασιλεὺς δῆλος. οὕτω δὴ καὶ νῦν, τὸ γνώρισμα σὺ ἐργάζου, καὶ ποιοῦ σεαυτῷ φίλους, καὶ ἄλλοις. οὐδείς ἐστιν, ὅστις φιλούμενος θελήσει μισεῖν. μανθάνωμεν τὰ χρώματα δι' ὧν κεράννυται, δι' ὧν αὕτη συνίστα-

ται

Marginal notes: Πραξ. δ. λβ. — γρ. ἴδοιτ' — γρ. οὐδ' ἀνα-στῆναι — γρ. ἢ γὰρ τοῦτο γνώρ. μαθ. πῶς; ἐργ.

ται ἡ εἰκών. εὐπροσήγοροι ὦμεν, μὴ περιιδώμεν τοὺς πλησίον. μὴ εἴπῃς, ἐὰν ἴδω τινὰ περιμένοντα, χείρων αὐτοῦ γίνομαι, ἀλλὰ μᾶλλον ὅταν ἴδῃς, πρόλαβε καὶ σβέσον αὐτοῦ τὸ πάθος. ὁ- ρᾷς κάμνοντα, καὶ ἐπιτείνεις τὴν νόσον; τοῦτο μάλιστα περὶ πάντων κατορθώσωμεν, τὸ προη- γεῖσθαι τῇ τιμῇ ἀλλήλοις, τὸ ἡγεῖσθαι ἀλλήλους ὑπερέχοντας ἑαυτῶν. μὴ νομίσῃς ἐλατ- τοῦσθαι. ἐὰν ἄρα προηγήσῃ τῇ τιμῇ, σαυτὸν ἐτίμησας πλέον, εἰς τὸ πλέον τιμηθῆναι ἐπισπώμενος. πανταχοῦ τῶν προφητῶν ἐπέργεις διαχωρώμεν. μηδὲν τῶν εἰς ὑμᾶς εἰργασμένων δεινῶν μνημονεύωμεν, ἀλλ' εἴ τι ἀγαθόν. οὐδὲν οὕτω ποιεῖ φίλοι, ὡς γλῶσ- σα εὐχάριστος, στόμα εὔφημον, ψυχὴ ἄτυφος, κενοδοξίας ὑπεροψία, τιμῆς καταφρόνησις. ἐὰν ταῦτα κατορθώσωμεν, δυνησόμεθα γενέσθαι ἀχείρωτοι ταῖς παγίσι τοῦ διαβόλου, καὶ μετὰ ἀκριβείας τὴν ἀρετὴν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπι- τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μα. 8 ΕΙΣΕΛΘΩΝ ΔΕ ΕΙΣ ΤΗΝ ΣΥΝΑΓΩΓΗΝ, ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασι- λείας τοῦ Θεοῦ.

Ὅρα πανταχοῦ ἑαυτὸν εἰσωθοῦντα εἰς τὰς συναγωγὰς, καὶ οὕτως ἐξι- όντα. πανταχοῦ γὰρ παρ' αὐτῶν ἐβούλετο λαβεῖν ἀφορμὴν, ὅπερ ἔ- φην. τά τε γὰρ ἔθνη παρεζήλου λοιπὸν, καὶ προθύμως ἀπεδέχοντο αὐτὸν, οἵ τε Ἰουδαῖοι, τῶν ἐθνῶν δεχομένων, μετενόουν. ἐβούλετο ἀπο- στῆναι τοὺς μαθητὰς ἐκεῖθεν, καὶ παρ' αὐτῶν λαβεῖν τὴν ἀρχὴν, ὥστε μὴ συναγαγεῖν. καὶ οὐχ ἁπλῶς τοῦτο ἐποίει. διὰ τοῦτο ἠνώχλει αὐτοῖς συνεχῶς μεταπείθων. μὴ οὖν ἐπειδὴ παῤῥησίαν ἤκουσας, τραχύτητα νομίσῃς. περὶ χρηστῶν πραγμάτων διελέγετο, περὶ βασιλείας· τίς οὐκ ἂν ἤκουσεν;

9 Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράν- νου τινός.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λό- γον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας. Ὁδὸν τὸ κήρυγμα εἰκότως ἐκάλεσεν. ὄντως γὰρ αὕτη ἡ ὁδὸς ἦν ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐν τῇ σχολῇ, φησὶ, Τυ- ράννου τινὸς διελέγετο, καὶ τοῦτο ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας ἀκοῦσαι τὸν λόγον, Ἰουδαίους τε καὶ Ἕλληνας. ὁρᾷς πόσον ἤνυσεν ἡ ἐπιστασία; καὶ Ἰουδαῖοι καὶ Ἕλληνες ἤκουον.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου,

12 Ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίν- θια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν. Οὐχὶ φοροῦντες ἤλαυνον μόνον, ἀλλὰ καὶ λαμβάνοντες ἐπετίθεσαν. διὰ τοῦτο οὐκ εἴα ὁ Χριστὸς ἀπελθεῖν αὐτὸν εἰς τὴν Ἀσίαν, τηρῶν τοῦτον τὸν καιρὸν, ὡς ἔγωγε οἶμαι.

13 Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες· ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν Παῦλος κηρύσσει. Οὕτω πάντα ἐποίουν πραγματείας ἕνεκεν. ὅρα, πι- στεῦσαι μὲν οὐκ ἤθελον· διὰ δὲ τοῦ ὀνόματος ἤθελον ἐκβάλλειν τοὺς δαίμονας. βαβαὶ, τὸ ὀνό- ματος Παύλου πόσον ἦν;

14 Ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ οἱ τοῦτο ποιοῦντες.

15 Ἀποκριθὲν

Ῥωμ. ιβ. ι.

γ. ἀπεδέχοντο

γ. διελέγετο αὐτοῖς ...

15 Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπεν αὐτοῖς· τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ;

16 Καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.

17 Τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον.

Οὐκέτι ὡς λανθανόντως ἐποίουν· εἶτα ἐκπομπεύεται αὐτῶν ἡ ἀσθένεια.

Καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

18 Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. Ἐπειδὴ γὰρ τοσαύτην ἰσχὺν εἶχον, ὥστε διὰ τῶν δαιμονικῶν τοιαῦτα ποιεῖν, εἰκότως ταῦτα γίνεται.

19 Ἱκανοί τε τῶν τὰ περίεργα πραξάντων "συνενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε.

γ. συνενηνοχότες

20 Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν. Ἰδόντες ὅτι οὐδὲν αὐτῶν ὄφελος λοιπόν ἐστι, κατακαίουσι τὰς βίβλους· ὅτι καὶ αὐτοὶ οἱ δαίμονες ταῦτα ποιοῦσιν. οὐκ ἄρα τὸ ὄνομά τι ποιεῖ, ἂν μὴ μετὰ πίστεως λέγηται. καλῶς ἄρα ἔλεγεν, Ὁ πιστεύων εἰς ἐμὲ μείζονα "ποιήσει, τοῦτο τῶν σκιῶν ἁπτόμενος. ὅρα πῶς τοῖς ὅπλοις καθ' ἑαυτῶν ἐχρήσαντο. καὶ διελέγετο, φησιν, ἐν τῇ σχολῇ Τυράννου τινὸς ἐπὶ ἔτη δύο. ἔνθα πιστοὶ ἦσαν, καὶ σφόδρα πιστοί. * οὕτως οὐδὲν μέγα ἐνόμιζον τὸν Ἰησοῦν, ὅτι καὶ τὸν Παῦλον προσέθηκαν, ὡς αὐτοὶ ταύτῃ μέγα τι νομίζοντες εἶναι. ἄξιον ἐνταῦθα θαυμάσαι, πῶς ὁ δαίμων οὐ συνέπραξεν ἐκείνοις τῇ τῶν ἐξορκιστῶν πλάνῃ, ἀλλὰ διήλεγξεν αὐτοὺς, καὶ τὴν σκηνὴν αὐτῶν φανερὰν ἐποίησεν. ἐμοὶ δοκεῖ σφόδρα θυμωθεὶς, ὥσπερ ἂν εἴ τις παρὰ τῶν ἐσχάτων κινδυνεύων, ὑπό τινος οἰκέτου καὶ ταλαιπώρου διελέγχοιτο, καὶ πάντα εἰς ἐκείνους ἀφεῖναι "βούλοιτο τὸν θυμόν. ἵνα γὰρ μὴ δόξῃ καταφρονεῖσθαι τὸ ὄνομα τοῦ Ἰησοῦ, πρότερον ὁμολογήσας, τότε ἔλαβεν ἐξουσίαν. ὅτι γὰρ οὐ τοῦ ὀνόματος ἦν ἀσθένεια, ἀλλὰ τῆς ἐκείνων ἀπάτης τὸ πᾶν, ἐπὶ Παύλου διὰ τί μὴ ταῦτα γέγονεν; καὶ ἐφαλλόμενος, φησιν, ὁ ἄνθρωπος ἐπ' αὐτούς. ἴσως διέρρηξεν αὐτῶν τὰ ἱμάτια, καὶ προσέρρηξεν αὐτῶν τὰς κεφαλάς. τοῦτο γὰρ ἐδήλωσε τῷ εἰπεῖν, ἐφαλλόμενος· τουτέστι, μετὰ ῥύμης ἐπιπηδήσας· ὥστε ἱκανὸν ἦν τοῦτο ἐργάσασθαι. τί ἐστιν, ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισε τοὺς μαθητάς; ἐνέκοψεν αὐτῶν, φησι, τὴν κακολογίαν. τοῦτο δὲ ποιεῖ καὶ ἀφίσταται, ἐπεὶ οὐκ ἠβούλετο ἐκκαῦσαι αὐτῶν τὸν φθόνον, οὐδὲ εἰς ἔριν ἐμβαλεῖν πλείονα. τὸ δὲ, ἐπαρρησιάζετο, λέγει, δηλῶν ὅτι καὶ πρὸς κινδύνους ἦν παρατεταγμένος, καὶ φανερώτερον διελέγετο οὐ συσκιάζων τὰ δόγματα. ἐντεῦθεν μανθάνομεν, μὴ ὁμόσε χωρεῖν τοῖς κακολογοῦσιν, ἀλλ' ἀφίστασθαι αὐτῶν. οὐκ ἐκακολόγησε κακῶς ἀκούων καὶ αὐτοὺς, ἀλλὰ μᾶλλον διελέγετο καθ' ἡμέραν, καὶ ταύτῃ μάλιστα οἰκειούμενος τοὺς πολλοὺς τῷ "κακῶς πάσχειν καὶ ἀκούσας μὴ ἀποπηδῆσαι, μηδὲ χωρισθῆναι. καὶ σκόπει ἐπειδὴ ὁ τῶν ἔξω πειρασμὸς ἐπαύσατο, ἀπὸ τῶν δαιμόνων ἤρξατο. ὁρᾷς πώρωσιν Ἰουδαϊκήν; τὰ ἱμάτια αὐτοῦ ἰδόντες ἐνεργοῦντα, οὐ προσεῖχον. τί τούτου μεῖζον ἂν γένοιτο; τοῖς δὲ μᾶλλον εἰς τοὐναντίον περιέστη. εἴ τις Ἑλλήνων ἀπιστεῖ, τὴν "σκιὰν ὁρῶν ταῦτα ἐργαζομένην, πιστευέτω. οὕτω τῷ ἐξ αὐτῶν ἀποστῆναι, τῶν μὲν κακολογούντων καὶ διαβαλλόντων τὸ δόγμα ἤπλωται (τοῦτο γὰρ ἐκάλεσεν ὁδὸν) αὐτὸς δὲ ἀφίσταται, ὡς μήτε τοὺς μαθητὰς διαχωρῆσαι, μήτε ἐκείνους εἰς θυμὸν ἐγεῖραι, δεικνὺς πανταχοῦ διωθουμένους τὴν σωτηρίαν. καὶ λοιπὸν ἐνταῦθα οὐδὲ ἀπολογεῖται αὐτοῖς, ἅτε πανταχοῦ τῶν ἐθνῶν πιστευσάντων· καὶ διαλέγεται, "οὐχ ἁπλῶς τὸν τόπον ζητήσας, ἀλλ' ἔνθα σχολὴ ἦν [ὡς ἐπιτηδειοτέρως διὰ τὸ ἐκεῖ συνάπτεσθαι.] βαβαί,

Ιωαν. ιδ. ιβ.

γ. ποιήσει τῶν τὸ τῶν σκιῶν ἅπτεσθαι, ὅπερ ἔλεγε·

* καὶ ὡς μεγάλοις ἀνδράσι χρῶν

γ. βούλεται

γ. κακῶς πάσχοντι ἀκ.

γ. χεῖρον

γ. οὐ τὸν τόπον ἐζήτησεν, ἀλλ' ἁπλῶς εἰσῆλθε

βαβαὶ, πόση τῶν πιστευσάντων ἡ δύναμις, ὅτι καὶ ἕτεροι τῷ τὰ αὐτὰ ποιεῖν ἐπεχείρουν· πόση δὲ πώρωσις τῶν δὲ μετὰ τὴν ἀπόδειξιν τῆς δυνάμεως ἔτι μενόντων τῇ ἀπιστίᾳ; ὥσπερ οὖν Σίμων ἐμπορείας ἕνεκεν ἐζήτει τοῦ πνεύματος τὴν χάριν· οὕτω καὶ οὗτοι τοῦ αὐτοῦ τούτου ἕνεκεν τοῦτο ἐποίουν. πόση πώρωσις; καὶ τί δήποτε ὁ Παῦλος οὐκ ἐπιτιμᾷ; ὅτι ἔδοξεν ἂν βασκανίας εἶναι τὸ πρᾶγμα, διὰ τοῦτο οἰκονομεῖται οὕτω. τοῦτο δὲ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. ἀλλὰ τότε μὲν οὐ κωλύεται (ἀρχὴ γὰρ τῶν πραγμάτων ἦν) ἐπεὶ καὶ Ἰούδας κλέπτων οὐκ ἐκωλύετο· Ἀνανίας δὲ καὶ Σάπφειρα καὶ ἀνῃρέθησαν. καὶ πολλοὶ Ἰουδαῖοι μὲν καὶ ἀντιστάμενοι οὐδὲν ἔπαθον,

Ιωαν γ. ιζ. Ἐλύμας δὲ ἐτυφλώθη. Οὐ γὰρ ἦλθον, φησὶν, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος. ὅρα μιαρίαν. Ἰουδαῖοι μένοντες ἔτι, ἀπὸ τοῦ ὀνόματος χρηματίζειν ἤθελον, ὥστε πάντα πρὸς δόξαν ἐποίουν καὶ πορισμόν. ἵνα πάντα τε γεγονὸς οὐχ οὕτω τοὺς ἀνθρώπους ἐπιστρεφομένους ἀπὸ τῶν χρηστῶν, ὡς ἀπὸ τῶν φοβερῶν. ἐπὶ Σαπφείρας φόβος ἐπέπεσεν ἐπὶ τὴν ἐκκλησίαν, καὶ οὐκ ἐτόλμων κολλᾶσθαι αὐτοῖς. ἐνταῦθα σουδάρια καὶ σιμικίνθια ἐλάμβανον, καὶ ἰῶντο, καὶ μετὰ τοῦτο τότε ἦλθον ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. ἀπὸ τοῦ ἐφαλλεσθαι δείκνυται τῶν δαιμόνων ἡ δύναμις μεγάλη τις οὖσα, ὅταν πρὸς ἀπίστους ἔχῃ. καὶ διὰ τί μὴ εἶπε, υἱός ἐστιν ὁ Ἰησοῦς, τὸ πνεῦμα τὸ πονηρόν· [ἀλλ' εἶπε μᾶλλον τὰ ἀνόητα ῥήματα;] ἐφοβεῖτο μὴ καὶ αὐτὸς δίκην δῷ. ᾔδει γὰρ ὅτι τὸ συγχωρηθῆναι αὐτῷ ἐκείνους ἀμύνασθαι τοὺς καταπαίζοντας αὐτοῦ, τοῦτο [τὸ ὄνομα] πεποίηκε. διὰ τί δὲ καὶ οἱ ἄθλιοι

χ. ἀλλ' ὡς συγχωρ.

μὴ εἶπον αὐτῷ, πιστεύομεν; ἐξεδίκησαν Παῦλον. καίτοι πόσῳ μᾶλλον λαμπρότεροι ἂν ἦσαν τοῦτο εἰπόντες, εἴτε ᾠκειώσαντο αὐτοῦ τὴν δεσποτείαν; ἄλλως τε, καὶ τὸ ἐν Φιλίπποις γενόμενον καὶ τούτους ἐσωφρόνισε. σὺ δέ μοι σκόπει τοῦ συγγραφέως ἐνταῦθα τὸ ἀνεπαχθὲς, καὶ πῶς ἱστορίαν μόνον γράφει, καὶ οὐ διαβάλλει. τοῦτο τοὺς ἀποστόλους ἐποίει θαυμαστούς. [ἀλλὰ τίνος ἦσαν υἱοί,]* τὸ ὄνομα λέγει καὶ τὸν ἀριθμὸν, διδοὺς τοῖς τότε τεκμήριον ἀξιόπιστον ὧν ἔγραφε. τίνος δὲ ἕνεκεν καὶ περιήρχοντο; ἐμπορείας χάριν· οὐ γὰρ διὰ τὸ λόγον καταγγέλλοντες. πῶς γάρ; καλῶς δὲ ἐπεῖχον λοιπὸν, κηρύττοντες δι' ὧν ἔπαθον. ὅθεν τοῦτο δηλῶν, καὶ ἐγένετο, φησὶ, γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον. τοῦτο οὐχὶ καὶ τοὺς σκληροτέρους ἐπιστρέψαι ὤφειλεν, εἰπέ μοι; ἀλλ' οὐκ ἐπέστρεψε. καὶ μὴ θαυμάσῃς. τὴν γὰρ κακίαν οὐδὲν πείθει. φέρε δὲ καὶ αὐτὸ τὸ τῶν ἐξορκιστῶν ἴδωμεν ὅσης ἐστὶ κακίας. τίνος δὲ ἕνεκεν ἐπὶ τοῦ Χριστοῦ οὕτω μὴ γέγονεν, ἑτέρου καιροῦ, καὶ οὐ τοῦ παρόντος ζητῆσαι· πλὴν ὅτι καλῶς τοῦτο ἐνταῦθα γέγονε καὶ χρησίμως. ἐμοὶ γὰρ δοκεῖ χλευάζοντας αὐτοὺς τοῦτο ποιεῖν· ὅθεν τιμωροῦνται, ὥστε καὶ ἀπὸ τούτου μηδένα τολμᾶν μηδὲ ὡς ἔτυχε τὸ ὄνομα ὀνομάζειν λοιπόν. τοῦτο πολλοὺς τῶν πιστευσάντων εἰς ἐξομολόγησιν ἤγαγε· οὕτω καὶ φόβον αὐτοῖς ἐνέβαλε, καὶ τοῦ πάντα εἰδέναι τὸν Θεὸν μέγιστον τοῦτο τεκμήριον γέγονε· πρὶν ἢ ὑπὸ τῶν δαιμόνων ἐλεγχθῆναι, ἑαυτῶν κατηγόρουν, φοβούμενοι μὴ τὰ αὐτὰ πάθωσιν. εἰκότως. ὅταν γὰρ οἱ βοηθοῦντες δαίμονες κατήγοροι αὐτῶν ὦσι, καὶ οὐ σύμμαχοι, ποία λοιπὸν ἐλπὶς, ἡ διὰ τῶν ἔργων ἐξομολόγησις;

ΗΘΙΚΟΝ

Ὅρα δὲ οἷα μετὰ μικρὸν γέγονε κακὰ, τοιούτων σημείων γενομένων. τοιαύτη γὰρ ἡ ἀνθρωπίνη φύσις· ταχέως ἐπιλανθάνεται ὧν εὐεργετεῖται. ἢ οὐ μέμνησθε, ὅτι καὶ ἐπὶ τῶν καθ' ἡμᾶς γενομένων τὸ αὐτὸ τοῦτο γέγονεν; εἰπὲ γάρ μοι, οὐ πέρυσιν ἐτίναξεν ὁ Θεὸς τὴν πόλιν πᾶσαν; τί δαί· οὐχὶ πάντες ἐπὶ τὸ φώτισμα ἔδραμον; οὐχὶ πόρνοι καὶ μαλακοὶ καὶ διεφθαρμένοι οἰκήματα ἀφέντες καὶ τοὺς τόπους ἐν οἷς διετέλουν, μετετέθησαν καὶ γεγόνασιν εὐλαβεῖς; ἐπεὶ δὲ τρεῖς ἡμέρας παρῆλθον, πάλιν ἐπὶ τὴν οἰκείαν ἐπανῆλθον κακίαν. πόθεν δὲ τοῦτο γέγονεν; ἀπὸ τῆς πολλῆς ῥαθυμίας. καὶ τί θαυμαστὸν, εἰ τῶν πραγμάτων παρελθόντων, ὅπουγε τῶν εἰκόνων διηνεκῶς μενουσῶν, τὸ αὐτὸ γέγονε; τὰ ἐν Σοδόμοις, εἰπέ μοι, οὐχὶ διηνεκῆ τυγχάνει; τί οὖν; οἱ προσοικοῦντες ἀπὸ τούτων γεγόνασι βελτίους; οὐδαμῶς. τί δαὶ ὁ τοῦ Νῶε υἱός; οὐχὶ τοιοῦτος

ισ. ἡμέραι

οὗτος ἦν; οὐχὶ ἐν ὄψεσι βλέπων ἐρημίας τοσαύτην κακὸς ἦν; μὴ δὴ θαυμάζωμεν πῶς οὐκ ἐπίστευσαν, τούτων γινομένων, ὅπουγε αὐτὴ ἡ πίστις πολλάκις εἰς τοὐναντίον αὐτοῖς περιετράπη εἰς κακίαν, οἷον ὡς ὅταν δαιμονῶντα λέγωσι τὸν υἱὸν τοῦ Θεοῦ. ἢ οὐχ ὁρᾶτε καὶ νῦν ταῦτα γινόμενα, καὶ ὀφιώδεις ἀνθρώπους ὄντας πολλούς, ἀπίστους τε καὶ ἀγνώμονας, οἳ καὶ κατὰ τὰς εὐχὰς ὅταν ἀπολαύσωσιν εὐεργεσίας, καὶ θαλφθῶσιν ὑπὸ πενίας, τότε λυποῦσι τὸν εὐεργέτην; ταῦτα ἡμῖν εἴρηται, ἵνα μή τις θαυμάζῃ, πῶς τοιούτων σημείων γινομένων οὐ πάντες ἐπέστρεψαν. ἰδοὺ γὰρ ἐπὶ τῶν καιρῶν τῶν ἡμετέρων τὰ κατὰ τὸν μακάριον Βαβύλαν γέγονε, τὰ κατὰ τὰ Ἱεροσόλυμα, τὰ κατὰ τὴν καθαίρεσιν τῶν ἱερῶν· καὶ οὐ πάντες ἐπέστρεψαν. τότε τὰ σημεῖα ἐγίνοντο ἐπὶ τῶν ἱματίων, καὶ οὐ πάντες ἐπέστρεψαν. τί δεῖ τὰ παλαιὰ λέγειν; πρῴην εἶπον ὑμῖν οἷον γέγονε, καὶ οὐδεὶς προσέσχεν· ἀλλὰ πάλιν κατὰ μικρὸν ἀπερρύησαν καὶ κατέπεσον. ἔσεισε διηνεκῶς ὁ σεισμὸς βοῶν ὅτι δεσπότην ἔχει, καὶ τί χεῖρον τινός ἐστι τόδε τὸ πᾶν (τὸν κόσμον λέγω) καὶ λέγουσί τινες, ὅτι οὐχί. τὰ κατὰ Θεόδωρον ἐκεῖνον γεγενημένα πέρυσι τίνα οὐκ ἂν ἐξέπληξε; καὶ ὅμως οὐδὲν πλέον γέγονεν· ἀλλὰ πρὸς καιρὸν γινόμενοι εὐλαβεῖς, πάλιν ἐπιλαθόμενοι οὐκέτι γεγόνασιν εὐλαβεῖς. τοῦτο καὶ ἐπὶ τῶν Ἑβραίων τότε συνέβη· διὸ καὶ ἔλεγεν ὁ προφήτης· Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν. καὶ τί δεῖ λέγειν τὰ καθολικά; πόσοι νόσοις περιέπεσον; πόσοι ἐπηγγείλαντο ἀναστάντες πολλὴν τὴν μεταβολὴν ἐργάσασθαι, καὶ πάλιν οἱ αὐτοὶ γεγόνασι; τοῦτο μάλιστα δείκνυσιν ἡμῖν τὴν προαίρεσιν καὶ τὴν ἐλευθερίαν τῆς ἡμετέρας φύσεως, ἡ ἀθρόα μεταβολή. εἰ γὰρ φυσικὰ ἦν τὰ κακά, οὐκ ἂν αὕτη γέγονε. τὴν γὰρ κατὰ φύσιν καὶ ἀνάγκην οὐ δυνάμεθα μεταστῆσαι. καὶ μὴν μεθιστάμεθα, φησίν. οὐ βλέπομεν γάρ τινας φύσει μὲν ἔχοντας βλέπειν, ὑπὸ τοῦ φόβου δὲ τυφλωμένους; ἐπειδὴ καὶ τοῦτο φύσεώς ἐστι συστέλλεσθαι, ὅταν φύσις ἑτέρα προσέλθῃ. ὥστε κατὰ φύσιν ἡμῖν ἐστι τὸ πεφοβημένους μὴ βλέπειν· κατὰ φύσιν δὲ καὶ τὸ, μείζονος παραγινομένου φόβου, τὸν ἕτερον ὑπεξίστασθαι. τί οὖν, ἂν καὶ ἡ σωφροσύνη, φησί, κατὰ μὲν φύσιν ᾖ, ὁ δὲ φόβος κρατήσας ταύτην ἐκβάλῃ; τί οὖν, ἂν δείξω τινὰς μηδὲ τότε σωφρονιζομένους, ἀλλὰ καὶ ἐν τούτοις τοῖς φόβοις ὄντας ἰταμούς; οὐ φυσικὸν τοῦτό ἐστιν; εἴπω τὰ παλαιά; ἀλλὰ τὰ νέα; πόσοι δὴ ἐν αὐτοῖς ἐκείνοις τοῖς φόβοις ἐναπέπαιζον γελῶντες, χλευάζοντες, καὶ οὐδὲν ἔπαθον τοιοῦτον; εἰπέ μοι, ὁ Φαραὼ οὐκ εὐθέως μετέστη, καὶ ἐπὶ τὴν προτέραν κακίαν ἀνέτρεχε; ἐνταῦθα δέ, ἐπὶ τῶν τὰ δαιμόνια ἐχόντων, καίτοι οὐκ ἀγνοούντων αὐτῶν, προσεποιήσαντο ἁπλῶς οἱ λέγοντες, Τὸν Ἰησοῦν ὁρκίζομεν ὑμᾶς, ὃν Παῦλος κηρύσσει. δι' ὧν γὰρ ἀπολογοῦνται, δείκνυται ὅτι ἴσασι. τὸν Ἰησοῦν δὲ λέγουσιν ἐκεῖνοι ἁπλῶς, δέον εἰπεῖν τὸν τῆς οἰκουμένης σωτῆρα, τὸν ἀναστάντα. ἀλλ' οὐκ ἤθελον ὁμολογῆσαι τὴν δόξαν αὐτοῦ. διὸ καὶ ἐλέγχει αὐτοὺς ὁ δαίμων ἐπιπηδήσας αὐτοῖς, καὶ εἰπών, Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι. ὡσεὶ ἔλεγεν· ὑμεῖς οὐ πιστεύετε· ἀλλ' ἀποκεχρημένοι τῷ ὀνόματι ταῦτά φατε. οὐκοῦν ἔρημος ὁ ναός, εὐκαταγώνιστον τὸ σκεῦος. ὥστε οὐκ ἐστὲ κήρυκες· ἀλλ' ἐμοί, φησίν, ἐστέ. πολὺς ὁ θυμὸς τοῦ δαίμονος. ἠδύναντο ταῦτα αὐτοὺς ἐργάσασθαι οἱ ἀπόστολοι, ἀλλ' οὐκ ἐποίουν τέως. οἱ γὰρ τῶν ἐργαζομένων αὐτοὺς ταῦτα κρατοῦντες, πολλῷ μᾶλλον αὐτῶν. ὅρα πῶς δείκνυται αὐτῶν ἡ ἐπιείκεια, ὅτι οἱ μὲν ἐλαυνόμενοι τοιαῦτα ποιοῦσιν· οἱ δὲ θεραπευόμενοι δαίμονες τἀναντία. Τὸν Ἰησοῦν, φησί, γινώσκω. οὐκοῦν αἰσχύνθητε οἱ ἀγνοοῦντες ὑμεῖς. καὶ τὸν Παῦλον ἐπίσταμαι. καλῶς καὶ τοῦτο. ᾔδει γὰρ Θεοῦ ὄντα κήρυκα. εἶτα ἐφάλλεται ἐπ' αὐτούς, καὶ διαρρήγνυσι τὰ ἱμάτια. δι' ὧν ἐποίει αὐτοῖς, τοῦτο μονονουχὶ λέγει· μὴ νομίσητε ὅτι κατὰ φρενῶν ἐκείνων ταῦτα ποιῶ. πολὺς ὁ φόβος τοῦ δαίμονος. καὶ διὰ τί χωρὶς τῶν ῥημάτων τούτων οὐ διέρρηξεν αὐτῶν τὰ ἱμάτια; οὕτω γὰρ ἂν καὶ τὸν θυμὸν ἐπλήρωσε, καὶ τὴν πλάνην ἔστησεν. ἐφοβεῖτο, ὅπερ ἔφην, τὴν ἀποστόλων δύναμιν, καὶ οὐκ ἂν τοσοῦτον ἴσχυσεν, εἰ μὴ τοῦτο εἶπεν. ὅρα δὲ πανταχοῦ τοὺς δαίμονας εὐγνωμονεστέρους [τῶν Ἰουδαίων,

γρ. Ἰουδαίων

Ψαλ. οζ. λδ.

γρ. ἐστιν, αὐ ἡ φύσις

δαίμων,] καὶ οὐ τολμήσαντας αὐτῷ εἰπεῖν, οὐδὲ κατηγορῆσαι τῶν ἀποστόλων, οὐδὲ τοῦ Χριστοῦ. ἐκεῖ λέγουσιν οἱ δαίμονες, Οἴδαμέν σε τίς εἶ· καί, Τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; καὶ πάλιν, Μαρκ. α. κδ. Ματθ. η. κθ. Οἶδά σε τίς εἶ, ὁ υἱὸς τοῦ Θεοῦ· ἐνταῦθα δέ, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί· Πραξ. ις. ιζ. καὶ πάλιν, Τὸν μὲν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι. πολὺν γὰρ ἐδεδοίκει καὶ ἔτρεμεν τοὺς ἁγίους ἐκείνους. Τάχα τις ὑμῶν ἀκούων, ποθεῖ ἐπὶ ταύτης γενέσθαι τῆς ἐξουσίας, ὥστε μὴ δύνασθαι δαίμονας ἀντιβλέψαι αὐτῷ, καὶ μακαρίζει τοὺς ἁγίους ἐκείνους διὰ τοῦτο, ὅτι τοσαύτην εἶχον ἰσχύν. Λουκ. ι. κ. ἀλλ' ἀκουέτω τοῦ Χριστοῦ λέγοντος· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἐπειδὴ πάντας ἀνθρώπους μάλιστα τούτῳ χαίροντας διὰ κενοδοξίαν. Εἰ γὰρ τὸ τῷ Θεῷ δοκοῦν ζητεῖς, καὶ τὸ κοινῇ συμφέρον, ἑτέρα μείζων ἐστὶν ὁδός. οὐκ ἔστιν οὕτω μέγα δαίμονος ἀπαλλάξαι, ὡς ἁμαρτίας ἐξελέσθαι. δαίμων οὐ κωλύει βασιλείας οὐρανῶν ἐπιτυχεῖν, ἀλλὰ καὶ συμπράττει· ἄκων μέν, συμπράττει δέ, σωφρονεστέρους τοὺς ἔχοντας ποιῶν· ἁμαρτία δὲ ἐκβάλλει. ἀλλ' ἴσως ἐρεῖ τις, μὴ γένοιτό μοι τοιούτου τυχεῖν σωφρονισμοῦ. * οὐδὲ ἐγὼ βούλομαι, ἀλλ' ἑτέρου, ἀπὸ τοῦ πόθου τοῦ Χριστοῦ πάντα ποιεῖν· εἰ δέ, ὃ μὴ γένοιτο, συμβαίη, καὶ ὑπὲρ τούτου παρακαλεῖν. [* μηδὲ γὰρ γένοιτο.] εἰ τοίνυν τοῦτο μὲν οὐκ ἐκβάλλει, ἐκείνη δὲ ἐκβάλλει, τὸ ἐκείνης ἀπαλλάξαι, μείζονος εὐεργεσίας. οὐκοῦν ταύτης σπουδάζωμεν ἀπαλλάττειν τοὺς πλησίον, καὶ πρὸ τῶν πλησίον, ἡμᾶς αὐτούς. ἴδωμεν μὴ δαίμονα ἔχομεν· ἐξετάσωμεν ἑαυτοὺς ἀκριβῶς. δαίμονος χαλεπωτέρα ἁμαρτία. ἐκεῖνος μὲν γὰρ ταπεινοὺς ποιεῖ. ἢ οὐχ ὁρᾶτε τοὺς δαιμονῶντας, ὅταν ἀνενέγκωσιν ἀπὸ τῆς νόσου, πῶς εἰσι κατηφεῖς; πῶς σκυθρωποί; πῶς αἰσχύνης τὰ πρόσωπα αὐτῶν γέμει; πῶς οὐδὲ ἀντιβλέψαι τολμῶσιν; ὅρα τὴν ἀτοπίαν. ἐκεῖνοι μὲν ὑπὲρ ὧν πάσχουσιν αἰσχύνονται· ἡμεῖς δὲ ὑπὲρ ὧν πράττομεν οὐκ αἰσχυνόμεθα· ἐκεῖνοι ἀδικούμενοι αἰδοῦνται, ἡμεῖς ἀδικοῦντες οὐκ αἰδούμεθα. καίτοι τὰ ἐκείνων οὐκ αἰσχύνης ἄξια, ἀλλ' ἐλέου καὶ φιλανθρωπίας καὶ συγγνώμης, καὶ πολλοῦ τοῦ θαύματος, καὶ μυρίων τῶν ἐπαίνων, ὅταν καὶ τοιούτῳ προσπαλαίοντες δαίμονι, πάντα εὐχαρίστως φέρωσι· τὰ δὲ ἡμέτερα γέλωτος ὄντα, αἰσχύνης, κατηγορίας, κολάσεως, τιμωρίας, τῆς ἐσχάτων κακῶν καὶ γεέννης, ἀλλ' οὐδεμιᾶς ἄξια συγγνώμης. ὁρᾷς ὅτι χαλεπωτέρα δαίμονος ἁμαρτία; καὶ ἐκεῖνοι μὲν ἐξ ὧν πάσχουσι κακῶς, κερδαίνουσι κέρδος διπλοῦν· ἓν μέν, τὸ σωφρονίζεσθαι καὶ φιλοσοφωτέρους εἶναι· δεύτερον δέ, τὸ τὴν κόλασιν ἐνταῦθα τῶν οἰκείων ἁμαρτημάτων δόντας, καθαροὺς πρὸς τὸν δεσπότην ἀπελθεῖν. καὶ γὰρ ὑπὲρ τούτου διελέχθημεν πολλάκις καὶ ἐδείξαμεν, ὅτι τοὺς ἐνταῦθα κολαζομένους, ἂν εὐγνωμόνως φέρωσι, πολλὰ τῶν ἁμαρτημάτων ἀποτίθεσθαι εἰκός· ἀπὸ δὲ τῶν ἁμαρτημάτων διπλᾶ τὰ δεινά· ἓν μέν, ὅτι προσκρούομεν· ἕτερον δέ, ὅτι χείρους γινόμεθα. προσέχετε ὃ λέγω. οὐ τοῦτο μόνον ἀδικούμεθα" παρὰ τῆς ἁμαρτίας, ὅτι ἁμαρτάνομεν· ἀλλὰ καὶ ἕτερον, ὅτι ἕξιν δέχεται ἡ ψυχή, οἷον ὡς ἐπὶ σώματος. [γρ. ὑπὸ] σαφέστερον γὰρ ἔσται ἐπὶ ὑποδείγματος λεγόμενον· καθάπερ γὰρ ὁ πυρέξας, οὐ τοῦτο μόνον ἠδίκηται ὅτι νοσεῖ, ἀλλ' ὅτι καὶ μετὰ τὴν νόσον ἀσθενέστερος γίνεται λοιπόν, κἂν εἰς ὑγείαν ἐπανέλθῃ ἀπὸ νόσου μακρᾶς· οὕτω δὴ καὶ ἐπὶ τῆς ἁμαρτίας, κἂν ὑγιαίνωμεν, ἔτι πολλῆς δεόμεθα τῆς ἰσχύος. ἴδε γάρ μοι ὑβρίσαντά τινα, καὶ μὴ τιμωρηθέντα· οὐ διὰ τοῦτο μόνον δακρύειν, ὅτι οὐ τῆς ὕβρεως δίκην δίδωσιν, ἀλλὰ καὶ δι' ἕτερον πενθεῖν ἄξιον. ποῖον δὴ τοῦτο; ὅτι ἀναισχυντοτέρα γέγονε λοιπὸν ἡ ψυχή. ἑκάστου γὰρ τῶν ἁμαρτημάτων, καὶ τῆς ἁμαρτίας ἐργασθείσης καὶ παυσαμένης, ἐναποτίθεταί τις" ἡμῶν ἰὸς τῇ ψυχῇ. [γρ. ἡμῖν] οὐκ ἀκούεις λεγόντων τινῶν, ὅταν ἐκ νόσου ὑγιάνωσιν, ὅτι οὐκ ἔτι τολμῶ ὕδωρ πιεῖν; καίτοιγε ὑγίανας· ἀλλ' ἡ νόσος καὶ τοῦτο ἠδίκησε. κἀκεῖνοι μὲν κακῶς πάσχοντες, εὐχαριστοῦσιν· ἡμεῖς δὲ εὖ πράττοντες βλασφημοῦμεν τὸν Θεόν, καὶ ἀποδυσπετοῦμεν. πλείονας γὰρ εὕροις ἂν ἐν ὑγείᾳ καὶ πλούτῳ τοῦτο ποιοῦντας, ἢ ἐν πενίᾳ καὶ ἀρρωστίᾳ. ἐφέστηκε γὰρ ὁ δαίμων, ὡς δήμιος ὤν τις σφοδρός, ἀπειλῶν πολλά, καθάπερ τις παιδαγωγὸς τὸν ἱμάντα ἀνατείνων, καὶ οὐδαμόθεν" ἀναχυθῆναι ἀφιείς. [γρ. διαχυθῆναι ἀφείς.] Εἰ δέ τινες μηδ' οὕτω νήφοιεν,

γ. ἀλλ' ἐν ἑαυτοῖς διδόασι

φοιεν, οὐδὲ ἐκεῖνοι δώσουσι δίκην. οὐ μικρὸν δὲ καὶ τοῦτο. καθάπερ γὰρ οἱ μωροί, καθάπερ γὰρ οἱ μαινόμενοι, καθάπερ οἱ παῖδες οὐκ ἀπαιτοῦνται εὐθύνας· οὕτως οὐδὲ οὗτοι. τῶν γὰρ οὐκ ἐν γνώσει πραττομένων, οὐδεὶς οὕτως ὠμός, ὥστε ἀπαιτῆσαι δίκην ποτέ. ἆρα πολλῷ τῶν δαιμονώντων χεῖρον διακείμεθα οἱ ἁμαρτάνοντες. ἀλλ' ὅτι οὐκ ἀφριζόμεθα, οὐδὲ διαστρέφομεν τὰς κόρας, οὐδὲ τὰς χεῖρας; εἶτα ἐν τῷ σώματι τοῦτο ἐπιζητοῦμεν, καὶ μὴ ἐν τῇ ψυχῇ. βούλει σοι δείξω ψυχὴν ἀφρίζουσαν, ἀκάθαρτον, καὶ διαστροφὴν ὀμμάτων διανοίας; ἐννόησον τοὺς ὀργιζομένους καὶ μεθύοντας ὑπὸ τοῦ θυμοῦ, πόσου ἀφροῦ οὐκ ἀκαθαρτότερα ἐκβάλλουσι ῥήματα; οὕτως ὥσπερ δυσώδη σίελον ἀποβλύζουσι. καὶ καθάπερ ἐκεῖνοι οὐδένα ἴσασι τῶν παρόντων, οὕτως οὐδὲ οὗτοι. σκοτωθείσης γὰρ αὐτοῖς τῆς διανοίας καὶ διαστραφέντων τῶν ὀφθαλμῶν, οὐ φίλον, οὐκ ἐχθρόν, οὐκ αἰδέσιμον, οὐκ εὐκαταφρόνητον, ἀλλὰ πάντας ἁπλῶς ὁρῶσιν. οὐχ ὁρᾷς αὐτοὺς καὶ τρέμοντας καθάπερ ἐκείνους; ἀλλ' οὐ πίπτουσι χαμαί; ἀλλ' ἡ ψυχὴ αὐτῶν χαμαὶ πίπτει καὶ κεῖται σπαίρουσα. εἰ γὰρ ὀρθὴ εἱστήκει, οὐκ ἂν ἔπαθεν ἅπερ ἔπαθεν. ἢ οὐ δοκεῖ σοι καταβεβλημένης εἶναι ψυχῆς καὶ τὴν οἰκείαν νῆψιν ἀπολωλεκυίας, καὶ ἃ ποιοῦσι καὶ λέγουσι μεθύοντες τῷ θυμῷ; ἔστι τι καὶ ἕτερον μανίας εἶδος τούτου χαλεπώτερον. ποῖον δὴ τοῦτο; ὅταν μηδὲ ἀφεῖναι τὴν ὀργὴν ἀνέχωνται, ἀλλὰ τρέφωσι παρ' ἑαυτοῖς οἰκεῖον κακόν, καθάπερ τινὰ δήμιον, τὴν μνησικακίαν. αὐτοὺς γὰρ πρότερον ἀπόλλυσι τὸ μνησικακεῖν, ἐντεῦθεν ἤδη, ἵνα τὰ μέλλοντα παρῶ. πόσην γὰρ οἴει βάσανον εἶναι ἀνθρώπῳ πεπληγμένῳ τὴν ψυχήν, καθ' ἑκάστην ἡμέραν σκοποῦντι ὅπως ἀμύνηται τὸν ἐχθρόν; πρότερον ἑαυτὸν κολάζει ὁ τοιοῦτος καὶ τιμωρεῖται οἰδαίνων, πρὸς ἑαυτὸν μαχόμενος, ἐμπυριζόμενος. ἀνάγκη γὰρ διαπαντὸς καίεσθαι παρὰ σοὶ τὸ πῦρ· καὶ τὸν πυρετὸν ἐπὶ τοσοῦτον ἐκτείνων, οὐκ ἀφίης παρακμάσαι. καὶ νομίζεις ἐκείνῳ διδόναι τι κακόν, αὐτὸς δὲ σεαυτὸν τήκεις, διαπαντὸς τὴν φλόγα ἀκμάζουσαν φέρων, καὶ διαναπαύσασθαι τὴν ψυχὴν οὐκ ἐῶν, ἀλλ' ἐκθηριούμενος ἀεί, καὶ ἐν ταραχῇ καὶ ἐν χειμῶνι τὸν λογισμὸν ἔχων. τί ταύτης χαλεπώτερον τῆς μανίας, διαπαντὸς λυπεῖσθαι καὶ οἰδεῖν καὶ φλεγμαίνειν; τοιαῦται γὰρ αἱ τῶν μνησικάκων ψυχαί· εἴθ' ἂν ἴδωσιν ὃν βούλονται ἀμύνασθαι, εὐθέως ἐπλήγησαν· ἂν φωνῆς ἀκούσωσι, κατέπεσον, τρέμουσιν· ἂν ἐπὶ κλίνης ὦσι, μυρίας ἑαυτοῖς ὑπογράφουσι τιμωρίας, ἀναρτῶντες, βασανίζοντες ἐκεῖνον τὸν ἐχθρόν· πρὸς δὲ τούτοις, ἂν καὶ εὐδοκιμοῦντα ἴδωσι, βαβαὶ τῆς τιμωρίας. ἄφες αὐτῷ τὸ ἁμάρτημα, καὶ ἀπάλλαξον σαυτὸν τῆς βασάνου. τί μένεις διαπαντὸς κολαζόμενος, ἵνα ἐκεῖνον ἅπαξ κολάσῃς καὶ τιμωρήσῃ; τί κατασκευάζεις ἑκτικὸν σαυτῷ νόσημα; οὐ βουλόμενοι ἀπαλλαγῆναί σου τὸν θυμὸν κατέχεις; μηδὲ μέχρις ἑσπέρας μενέτω, φησὶν ὁ Παῦλος. καθάπερ γὰρ τηκεδών τις καὶ σής, οὕτω τὴν ῥίζαν τῆς ἡμετέρας διατρώγει διανοίας. τί θηρίον ἐναποκλείεις εἰς τὰ σπλάγχνα τὰ σά; βέλτιον ὄφιν ἢ ἔχιν ἐγκεῖσθαι τῇ καρδίᾳ, ἢ θυμὸν καὶ μνησικακίαν. ἐκεῖνα μὲν γὰρ εὐθέως ἂν ἡμᾶς ἀπήλλαξεν· οὗτος δὲ ὥσπερ διαπαντὸς τοὺς ὀδόντας ἐμπηγνύς, τὸν ἰὸν ἐντιθείς, τοὺς χαλεποὺς ἐπιστρατεύων λογισμούς. ἀλλὰ ταῦτα ποιῶ, φησίν, ἵνα μὴ καταγελάσῃ, ἵνα μὴ καταφρονήσῃ. ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐ βούλει καταγελασθῆναι παρὰ τοῦ συνδούλου, ἀλλὰ μισηθῆναι παρὰ τοῦ δεσπότου; οὐ βούλει καταφρονηθῆναι παρὰ τοῦ ὁμοδούλου, ἀλλὰ καταφρονεῖς τοῦ δεσπότου; καταφρονηθῆναι παρ' αὐτοῦ οὐκ ἀνέχῃ· τὸν δὲ Θεὸν ἀγανακτεῖν οὐκ οἴει, ὅτι αὐτοῦ καταγελᾷς, ὅτι αὐτοῦ καταφρονεῖς, οὐ βουλόμενος αὐτῷ πείθεσθαι; ὅτι δὲ οὐδὲ καταγελάσεταί σου, δῆλον ἐκεῖθεν. ἂν μὲν οὕτω ἐπεξέλθῃς, πολὺς ὁ γέλως, πολλὴ ἡ καταφρόνησις (μικροψυχίας γὰρ τὸ πρᾶγμα) ἂν δὲ ἀφῇς, πολὺ τὸ θαῦμα. μεγαλοψυχίας γὰρ τοῦτο. ἀλλ' ἐκεῖνος οὐκ οἶδε, φησίν. ἴστω ὁ Θεός, ἵνα μείζονα ἔχῃς τὸν μισθόν. Δανείζετε γάρ, φησι, παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν. οὕτω καὶ εὐεργετῶμεν τοὺς μηδὲ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μὴ ἀντιδιδόντες ἡμῖν τὸν ἔπαινον, ἢ ὁτιδή-

γ. -λωλυίας

γ. ἀπηνικὸν

Ἐφεσ. δ. κς.

γ. μή μου καλ.

γ. ποιεῖτε γάρ, φησι, τοῖς μὴ δυναμένοις ὑμῖν ἀνταποδοῦναι. οὕτω

Λουκ. ιδ. ιδ.

ποτε, ἐλαττώσωσιν ἡμῖν τὸν μισθόν. ὅταν γὰρ μηδὲν παρὰ ἀνθρώπων λάβωμεν, τότε μείζονα παρὰ τοῦ Θεοῦ ληψόμεθα. τί δὲ καταγελαστότερον, τί δὲ ψυχρότερον ψυχῆς ὀργιζομένης διαπαντός, καὶ βουλομένης ἐπεξελθεῖν; γυναικώδης αὕτη ἡ προαίρεσις καὶ παιδική. καθάπερ γὰρ ἐκεῖνα καὶ πρὸς τὰ ἄψυχα ὀργίζεται, κἂν μὴ πλήξῃ τὸ ἔδαφος ἡ μήτηρ, οὐκ ἀφίησι τὴν ὀργήν· οὕτω δὴ καὶ οὗτοι τοὺς λυπήσαντας ἀμύνασθαι βούλονται. ἆρα αὐτοὶ γέλωτος ἄξιοι. τὸ γὰρ ὑπὸ θυμοῦ κρατεῖσθαι, παιδικῆς διανοίας· τὸ δὲ κρατεῖν, ἀνδρειότητος. ἆρα οὐχ ἡμεῖς καταγελώμεθα ὅταν φιλοσοφῶμεν, ἀλλ᾽ ἐκεῖνοι. οὐκ ἔστι τοῦτο εὐκαταφρόνητον ἀνθρώπων, τὸ μὴ ἡττᾶσθαι πάθει· εὐκαταφρόνητον δέ ἐστι, τὸ οὕτω τρέμειν τὴν ἔξωθεν γλῶτταν, ὡς διὰ τοῦτον αἱρεῖσθαι καὶ πάθει ὑποπίπτειν οἰκείῳ, καὶ Θεὸν παροξύνειν, καὶ ἑαυτὸν ἀμύνασθαι. ταῦτα ὄντως γέλωτος ἄξια. οὐκοῦν ταῦτα φεύγωμεν. λεγέτω ὅτι μυρία ἡμᾶς ἐργασάμενος κακά, οὐδὲν αὐτὸς ἔπαθε· λεγέτω, ὅτι καὶ πάλιν ἡμῖν εἰ ἐπικωμάσειεν, οὐδὲν πείσεται. οὐκ ἂν ἑτέρως ἡμῶν ἐκήρυξε τὴν ἀρετήν, οὐκ ἂν ἄλλα ἐζήτησε ῥήματα, εἰ ἐπαινέσαι ἡμᾶς ἐβούλετο, ἀλλ᾽ ἢ ταῦτα, ἃ δοκεῖ κακίζων λέγειν. εἴθε πάντες περὶ ἐμοῦ ταῦτα ἔλεγον, ὅτι ψυχρὸς ἄνθρωπος καὶ ταλαίπωρός ἐστι. πάντες εἰς αὐτὸν ὑβρίζουσιν, αὐτὸς δὲ φέρει· πάντες ἐνάλλονται, αὐτὸς δὲ οὐκ ἀμύνεται. εἴθε προσετίθεσαν, ὅτι οὐδὲ, ἐὰν θέλῃ, δύναται, ἵνα μοι ὁ ἔπαινος ᾖ ἐκ τοῦ Θεοῦ, καὶ μὴ δόξα ἀνθρώπων. λεγέτω, ὅτι παρὰ ψυχρότητα οὐκ ἀμυνόμεθα. οὐδὲν ἡμᾶς βλάπτει τοῦτο, ὅταν ὁ Θεὸς εἰδῇ, ἀλλ᾽ ἐν μείζονι καθίστησιν ἡμῶν τὸν θησαυρὸν φυλακῇ. εἰ μέλλοιμεν πρὸς ἐκείνους ὁρᾷν, πάντων ἀποπεσούμεθα. μὴ τί λέγουσιν, ἀλλὰ τί ἡμῖν πρέπει, ἴδωμεν. τὸ δέ· μὴ γὰρ μου καταγελάσῃ, φασὶ, καὶ καυχῶνταί τινες. ὢ τῆς ἀνοίας. οὐδείς μου ἀδικήσας κατεγέλασέ μου, φησί· τουτέστιν, ἐπεξῆλθον· καὶ μὴν τούτῳ καταγελᾶσθαι ὀφείλεις, ὅτι ἐπεξῆλθες. πόθεν ταῦτα τὰ ῥήματα ἐπεισῆλθεν, αἰσχύνη καὶ ὄλεθρος ὄντα καὶ ἀνατροπὴ τῆς ζωῆς τῆς ἡμετέρας καὶ τῆς πολιτείας; ἆρα οὐκ ἀπὸ τῆς ἀπειναιτίας τῷ Θεῷ φθέγγεσθαι; ὁ γὰρ ποιεῖ Θεοῦ ἴσον, τὸ μὴ ἀμύνασθαι, τοῦτο γέλωτα νομίζεις. οὐ διὰ ταῦτα γελᾶσθαί ἐσμεν ἄξιοι, καὶ παρὰ ἡμῶν αὐτῶν, καὶ παρὰ Ἑλλήνων, οὕτως ἀντιφθεγγόμενοι τῷ Θεῷ; βούλομαί τι διηγήσασθαι γενόμενον ἐπὶ τῶν παλαιῶν, οὐ περὶ ὀργῆς, ἀλλὰ περὶ χρημάτων. ἐώνητό τινι χωρίον θησαυρὸν ἔχον ἐγκεκρυμμένον οὐκ εἰδότος τοῦ δεσπότου. τοῦτο ἐκεῖνος τὸ χωρίον ἀπέδοτο. ὁ πριάμενος διασκάπτων ὥστε φυτεῦσαι καὶ ἐπιμελήσασθαι, εὗρε τὸν θησαυρὸν ἐναποκείμενον. μαθὼν ὁ ἀποδόμενος τοῦτο, ἐλθὼν ἐβιάζετο τὸν ἠγορακότα ἀπολαβεῖν τὸν θησαυρόν. χωρίον γὰρ ἔλεγε πεπρακέναι, οὐ θησαυρόν. πάλιν ἐκεῖνος διωθεῖτο αὐτόν, λέγων τὸ χωρίον ἠγορακέναι μετὰ τοῦ θησαυροῦ, καὶ οὐδένα λόγον ποιεῖν ὑπὲρ τούτου. εἰς ἀμφισβήτησιν κατέστησαν ἀμφότεροι, ὁ μὲν λαβεῖν βουλόμενος, ὁ δὲ φιλονεικῶν μὴ δοῦναι, καὶ ἐπιτυχόντος ἀνθρώπου τινὸς διελέγοντο. εἶτα ἠρώτων αὐτόν, τίνι δεῖ προσγενέσθαι τὸν θησαυρόν. ὁ δὲ οὐκ ἀπεφήνατο· ἔφησε δὲ καταλῦσαι αὐτῶν τὴν ἀμφισβήτησιν· αὐτὸς γὰρ ἔσεσθαι κύριος. καὶ λαβὼν τὸν θησαυρόν, ἑκόντων παραχωρησάντων ἐκείνων, μυρία ὕστερον ὑπέστη κακά, καὶ ἔργῳ ἐμάνθανεν, ὅτι εἰκότως ἐκεῖνοι τούτου ἀπέστησαν. τοῦτο καὶ περὶ τῆς ὀργῆς δεῖ γενέσθαι, καὶ ἡμᾶς φιλονεικεῖν μὴ ἀμύνασθαι, καὶ τοὺς λελυπηκότας φιλονεικεῖν δοῦναι δίκην. ἀλλὰ τάχα ταῦτα καὶ γέλως τις εἶναι δοκεῖ. ὅταν γὰρ ἐπὶ πλέον ἡ μανία κατάσχῃ, τὸ σωφρονοῦντας γελᾶσθαι, καὶ ἐν πολλοῖς μαινομένοις ὁ μὴ μαινόμενος δοκεῖ μαίνεσθαι. διὸ παρακαλῶ ἀνανήφειν, καὶ ἡμῶν αὐτῶν γενέσθαι, ἵνα δυνηθῶμεν τοῦ ὀλεθρίου τούτου πάθους καθαρεύοντες, τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ παιδός, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. νη

χ. ἡμῖν κώμας ἐπίσησιν, ὑκ. ἄλλ. ἡμ. ἐπικωμ. ὑκ ἂν ἑτέρως

χ. μὴ ἔπαινος ᾖ ἐκ τοῦ

χ. ἀπειναιτίας τοῦ Θεοῦ φθέγγ. τὸ

χ. προσγενηθῆναι

Λογ. μβ. 21 ΩΣ ΔΕ ΕΠΛΗΡΩΘΗ ΤΑΥΤΑ, ΕΘΕΤΟ Ο Παῦλος ἐν τῷ πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλὴμ εἰπών, ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν. 22 Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.

Ἱκανῶς ἐνδιατρίψας τῇ πόλει, βούλεται μεταστῆναι πάλιν. διὸ καὶ πέμπει τὸν Τιμόθεον καὶ τὸν Ἔραστον εἰς Μακεδονίαν, αὐτὸς δὲ μένει εἰς Ἔφεσον. πῶς δὲ ἐξ ἀρχῆς ἑλόμενος εἰς Συρίαν ἀπελθεῖν, πάλιν εἰς Μακεδονίαν ὑποστρέφει; δεικνὺς ὅτι πάντα οὐκ οἰκείᾳ δυνάμει ἔπραττεν. ἤδη προφητεύει λέγων, δεῖ με καὶ Ῥώμην ἰδεῖν. τοῦτο δὲ εἶπεν, ἴσως παραμυθούμενος αὐτούς, ὡς οὐκ ἀποθάνοι, ἀλλ᾽ ὡς πάλιν ἐν ὑστέρῳ γενόμενος αὐτῶν, καὶ διανιστῶν τὰς ψυχὰς τῶν μαθητῶν τῇ προφητείᾳ. ἐντεῦθέν μοι δοκεῖ γράφειν Κορινθίοις ἀπὸ Ἐφέσου καὶ λέγειν· Ὅτι οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ. ἐπειδὴ γὰρ ἐπηγγέλλετο εἰς Κόρινθον ἀπελθεῖν, ἀπολογεῖται ἅτε βραδύνας, καὶ λέγει τὸν πειρασμὸν λοιπόν, τὸν κατὰ Δημήτριον διηγούμενος. [τοῦτον γὰρ αἰνίττεται, τάραχον οὐκ ὀλίγον εἰπὼν περὶ τῆς ὁδοῦ γεγενῆσθαι. πάλιν κίνδυνος, πάλιν τάραχος.] ὁρᾷς τὴν εὐδοκίμησιν; ἐγένετο σημεῖα διπλᾶ· οἱ δὲ ἀντέλεγον. * οὕτω διὰ πάντων ὑφαίνεται τὰ πράγματα. β. Κορ. α. η.

24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην.

25 Οὓς [καὶ] συναθροίσας καὶ [ἐπισυναγαγὼν] τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι.

26 Καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ὄχλον ἱκανόν, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν [ἀνθρώπων] γινόμενοι.

27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος εἰς οὐδὲν λογισθῆναι· μέλλειν δὲ καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. Ποιῶν, φησί, ναοὺς ἀργυροῦς Ἀρτέμιδος. καὶ πῶς ἔνι ναοὺς ἀργυροῦς γενέσθαι; ἴσως ὡς κιβώρια μικρά. πολλὴ γὰρ ταύτης ἦν ἡ τιμὴ ἐν Ἐφέσῳ· ὅπου καὶ τὸ ἱερὸν αὐτῆς ἐμπρησθὲν ὕστερον ἐλύπησεν αὐτούς, ὡς τὸν ἐμπρήσαντα κελεύειν μηδὲ ὀνόματι λέγεσθαι. ὅρα πανταχοῦ τὴν εἰδωλολατρείαν ἀπὸ χρημάτων γινομένην. κἀκεῖνοι διὰ χρήματα, καὶ οὗτος διὰ χρήματα· οὐχ ὡς τῆς εὐσεβείας κινδυνευούσης αὐτοῖς, ἀλλ᾽ ὡς τοῦ πορισμοῦ τὴν ὑπόθεσιν οὐκ ἔχοντος. * καὶ σκόπει κακίαν ἀνδρός. εὔπορος ἦν αὐτός, καὶ αὐτῷ ἔδει οὐ τοσαύτη ἐμπορία γενέσθαι ἐκ τούτου· ἐκείνοις δὲ ἦν πολλή, ἅτε πένησιν οὖσι, καὶ ἀπὸ τῆς καθημερινῆς ἐργασίας τρεφομένοις· καὶ ὅμως οὗτοι μὲν οὐδὲν λέγουσιν, αὐτὸς δέ. κοινωνοὺς δὲ ὄντας αὐτοὺς τῆς τέχνης, κοινωνοὺς λαμβάνει καὶ τοῦ θορύβου. Εἶτα καὶ τὸν κίνδυνον ηὔξησεν, ἐπαγαγὼν ὅτι κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν. τοῦτο γὰρ σχεδὸν διὰ τούτου δηλοῖ, ὅτι ἀπὸ τῆς τέχνης ταύτης κινδυνεύομεν εἰς λιμὸν ἐμπεσεῖν. καίτοι τὰ εἰρημένα ἱκανὰ εἰς εὐσέβειαν αὐτοὺς ἀγαγεῖν· ἀλλὰ ταλαίπωροί τινες ὄντες καὶ ψυχροί, ἐπιστομίζονται μᾶλλον καὶ οὐκ ἐννοοῦσιν, ὅτι εἰ ὁ ἄνθρωπος οὗτος τοσαῦτα ἰσχύει, ὡς μεταστῆσαι πάντας, καὶ κινδυνεύει τὰ τῶν θεῶν, ἡλίκος ὁ τούτου Θεός

καὶ ὅτι πολλῷ μᾶλλον ἐκεῖνα ἡμῖν δώσει, ἅπερ ὧν φοβούμεθα. ἤδη περικατέλαβεν αὐτῶν τὰς ψυχάς, λέγων· ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν ἀνθρώπων γινόμενοι. ὅρα ὑπὲρ τίνος ἀγανακτοῦσιν ἐκεῖνοι, ἐπειδὴ εἶπεν, ὅτι οἱ ὑπὸ ἀνθρώπων γινόμενοι οὐκ εἰσὶ θεοί. πανταχοῦ εἰς τὴν τέχνην ὁρᾷ ὁ λόγος. εἶτα ὃ μάλιστα αὐτοὺς λυπῆσαι ὑστερον τίθησι λέγων· οὐ μόνον δὲ τοῦτο τὸ μέρος κινδυνεύει· τουτέστι, τὴν μὲν ἄλλην οὐδεὶς λόγος, ἀλλ' ὅτι καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος κινδυνεύει καθαιρεῖσθαι. εἶτα ἵνα μὴ δόξῃ χρηματισμοῦ ἕνεκεν λέγειν ταῦτα, ὅρα τί προστίθησιν· ἣν ἡ οἰκουμένη σέβεται. φράσον πῶς ἔδειξε μείζω τὴν τοῦ Παύλου δύναμιν, πάντας ἀθλίους καὶ ταλαιπώρους αὐτοὺς ἀποφαίνων, εἴγε ἄνθρωπος ἐλαυνόμενος καὶ σκηνοποιὸς τοσαῦτα δύναται· ὁρᾷς πῶς ἐχθροὶ τὰς μαρτυρίας τοῖς

Πράξ. ζ. ς. ἀποστόλοις γινομένας. ἐκεῖ μὲν ἔλεγον, Ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν· ἐνταῦθα, ὅτι μέλλει καθαιρεῖσθαι τῆς Ἀρτέμιδος ἡ μεγαλειότης. τότε οἱ τὴν οἰκουμένην διάσπασαντες ἧκουσιν, ὅτι οὗτοι καὶ ἐνθάδε πάρεισι, νῦν ὅτι κινδυνεύει ἡμῖν τὸ μέρος

Ιωαν. ιϛ ιθ. εἰς ἀπελεγμὸν ἐλθεῖν. οὕτω καὶ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ ἔλεγον· Ὁρᾶτε ὅτι ὁ κόσμος

Ιωαν. ια μη. ὀπίσω αὐτοῦ ἀπάγει· καί, Ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν τὴν πόλιν.

28 Ἀκούσαντες δὲ ταῦτα, ἐπλήσθησαν θυμοῦ. Πόθεν ὁ θυμὸς γίνεται; ὅτι περὶ τῆς Ἀρτέμιδος ἤκουσαν, ὅτι περὶ τοῦ πορισμοῦ. τοιαῦτα γὰρ τὰ τῶν ἀγοραίων ἤθη, ἀπὸ τοῦ τυχόντος συναρπάζεσθαι καὶ ἐκκαίεσθαι. διὰ ταῦτα μετ' ἐξετάσεως δεῖ ποιεῖν πάντα. ὅρα δὲ πῶς καὶ ἦσαν εὐκαταφρόνητοι, ὡς πᾶσι προχείρως.

Ἀκούσαντες δὲ καὶ γινόμενοι πλήρεις θυμοῦ, φησίν, ἔκραζον λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

29 Καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον. συναρπάσαντες [δὲ] Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου.

Εἵλκυσαν αὐτούς. ἁπλῶς πάλιν ἐπίασαν, ὡς ἐπὶ Ἰάσονος Ἰουδαῖοι, ὃ πανταχοῦ αὐτοῖς περιέσκεπται. οὕτως οὐδὲν εἶχον κόμπου γέμον, οὐδὲ δόξης.

30 Τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί.

31 Τινὲς δὲ τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτόν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. Παρεκάλουν, ὅτι ἀτάκτως ἦσαν δῆμος ἀλόγιστος ῥύμῃ πάντα τολμῶντες. καὶ ὁ Παῦλος πείθεται. οὐ γὰρ ἦν κενόδοξος, οὐδὲ φιλότιμος.

32 Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον. ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη. Τοιοῦτον γὰρ τὸ πλῆθος· ἁπλῶς ἐπεται καθάπερ πῦρ εἰς ὕλην ἐμπεσόν. Καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν.

33 Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων. Προεβάλοντο Ἰουδαῖοι οἰκονομικῶς, ἵνα μηδὲν ἔχωσιν ὕστερον ἀντιλέγειν. οὐκ ἦν γὰρ προβάλλεται καὶ φθέγγεται· ἀλλ' ἄκουε. Ὁ δὲ Ἀλέξανδρος κατασείσας τῇ χειρί, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ.

34 Ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. Παιδικὴ ὄντως ἡ διάνοια. καθάπερ φοβούμενοι μὴ σβεσθῇ τὸ σέβας αὐτῆς, συνεχῶς ἐβόων. δύο ἔτη ἐνδιέτριψεν ἐκεῖ, καὶ ὅρα πόσοι ἔτι Ἕλληνες ἦσαν.

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν, νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; Τοῦτο πρὸς τὸ τὸν θυμὸν αὐτῶν ἔσβεσε. καὶ τοῦ Διοπετοῦς. τοῦτο λέγει, ὡς οὐκ ὄντος αὐτοῦ τοῦ προσχήματος. ἱερὸν δὲ ἕτερον οὕτως ἐκάλουν Διοπετές. ἤτοι τὸ ἄγαλμα τὸ ἐκεῖ τῆς Ἀρτέμιδος Διοπετὲς ἔλεγον, ὡς ἀπὸ τοῦ Διὸς τὸ ἄστρον ἐκεῖνο πεσόντος, καὶ

οὐχ

οὐχ ὑπὸ ἀνθρώπου γινόμενον· [ἢ ὅτι περὶ ἄγαλμα παρ' αὐτοῖς οὕτως ἐλέγετο.]

36 Ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσσειν.

37 Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὸν ὑμῶν. Ἆρα τὸ πᾶν ψευδὴς· ταῦτα δὲ πρὸς τὸν δῆμον, ὥστε κατέχειν ἐπιεικεστέρους γενέσθαι, φησίν.

38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρός τινα λόγον, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις.

39 Εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται.

40 Καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ [οὐ] δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν. Ἐννόμῳ ἐκκλησίᾳ φησὶ, διότι πρὸς ἐκκλησίαν ἦσαν κατὰ νόμον καθ' ἑκάστην μῆνα· αὕτη δὲ ἦν παράνομος. εἶτα καὶ ἐφόβησεν αὐτοὺς, εἰπὼν, κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως. ὅπερ ἔδωκεν αὐτόθεν τὰ εἰρημένα. ὡς δὲ ἐπληρώθη ταῦτα, φησὶν, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱεροσόλυμα. οὐκ ἔτι ἀνθρωπίνως ἐν ταῦθα ποιεῖ, ἀλλὰ πνεύματι, ᾧ καὶ προείλετο διελθεῖν. τοῦτο γάρ ἐστι τὸ, ἔθετο, καὶ τοιαύτην ὁ λόγος ἔοικεν ἔχειν. τίνος δὲ ἕνεκεν ἀποστέλλει Τιμόθεον καὶ Ἔραστον, οὐ λέγει. ἐμοὶ [δὲ] δοκεῖ καὶ περὶ τούτου εἰπεῖν [τὸ, ἐν πνεύματι·] διὰ μηκέτι μέλλοντες, ἀπεδήμησαν μὲν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι. καὶ ὅρα δύο τῶν διακονούντων αὐτῷ ἀπέστειλε, τήν τε παρουσίαν ἀπαγγεῖλαι, καὶ προθυμοτέρους ποιῆσαι. μάλιστα πάντων τῇ Ἀσίᾳ ἐνδιέτριβεν εἰκότως. ἐκεῖ γὰρ ἦν ἡ πολλὴ φατρία τῶν φιλοσόφων. καὶ ἐλθὼν πάλιν αὐτοῖς διελέγετο. καὶ γὰρ πολλὴ ἦν ἐκεῖ δεισιδαιμονία. Δημήτριος γάρ τις, φησὶν, ἀργυροκόπος, συναθροίσας τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες, ἐπίστασθε καὶ θεωρεῖτε καὶ ἀκούετε. οὕτω καταπεπληγμένοι ἦσαν τὸ γενόμενον. [ὅτι] οὗτος, φησὶν, ὁ Παῦλος πείσας, μετέστησεν ἱκανὸν ὄχλον. ὥστε οὐ βιαίως, [εἰ ἔπεισεν.] οὕτω δεῖ πείθειν [πόλιν.] εἶτα ἐπάγει ὅπερ αὐτὸν καθήψατο, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. τί ἐστι τοῦτο; ἀνατρέπεται, φησὶ, τὴν τέχνην τὴν ἡμετέραν. καὶ ἵνα μὴ ἐννοήσωσι καὶ εἴπωσιν, ὅτι μόνος ἄνθρωπος τοιαῦτα ἰσχύει· καὶ [εἰ τοσοῦτον ἰσχύει,] αὐτῷ δεῖ πείθεσθαι, ἐπήγαγεν· ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. τὴν φωνὴν αὐτῶν φορτικὴν ἐπιτειχίζειν τῷ πνεύματι τῷ θείῳ. ὄντως παῖδες Ἕλληνες. [ἐκ ταύτης τῆς ἐργασίας, φησὶν, ἡ εὐπορία ἡμῶν ἐστι.] καὶ εἰ ἀπὸ ταύτης τῆς ἐργασίας εὐπορία ὑμῖν περιγίνεται, πῶς ἔπεισεν ἄνθρωπος εὐτελής; πῶς τοσαύτης ἐκράτησε συνηθείας; τί ποιῶν, ἢ τί λέγων; οὐκ ἔστι Παύλου, οὐκ ἔστιν ἀνδρός. καὶ τοῦτο ἀρκεῖ τὸ εἰπεῖν, ὅτι οὐκ εἰσὶ θεοί. εἰ μὲν οὖν οὕτως εὐφώρατον τὸ τῆς ἀσεβείας, πάλαι καταγνωσθῆναι ἔδει· εἰ δὲ ἰσχυρὸν, οὐχ οὕτως ἀναιρεθῆναι ταχέως. οὐ μόνον δὲ, φησὶ, τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος. ὡς δή τι ποτὲ μεῖζον λέγων, τοῦτο ἐπήγαγεν. ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων (κατὰ πόλιν γὰρ αὐτοῖς ἦσαν θεοί) καὶ οὕτω διέκειντο, ὡς διὰ τῆς φωνῆς ἀνακτώμενοι τὸ σέβας αὐτῆς, καὶ τὰ γεγενημένα ἀναλύοντες. ὅρα ἄτακτον πλῆθος. τοῦ δὲ Παύλου, φησὶ, βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. ὁ μὲν οὖν Παῦλος ἐβούλετο εἰσελθεῖν δημηγορῆσαι (οὐδὲ γὰρ διωγμοῖς ἐλαμβάνοντο εἰς διδασκαλίαν) ἀλλ' οἱ μαθηταὶ οὐκ εἴων αὐτόν. σκόπει πόση περὶ αὐτὸν προνοία κέχρηνται πανταχοῦ, καὶ ἐξ ἀρχῆς αὐτὸν ἐξήγαγον, ὥστε μὴ περὶ τὰ καίρια λαβεῖν τὴν πληγήν. καίτοιγε ἤκουσε, ὅτι δεῖ καὶ Ῥώμην ἰδεῖν, ὅμως κωλύουσιν. οἰκονομικῶς δὲ παραχωρεῖ, ἵνα μὴ τῷ γενομένῳ θορυβηθῶσιν. οὕτως οὐδὲ πάσχειν αὐτὸν ἐβούλοντο. καὶ τῶν Ἀσιαρχῶν δέ τινες παρεκάλουν αὐτὸν, φησὶ, μὴ εἰσελθεῖν εἰς τὸ θέατρον. εἰδότες αὐτοῦ τὴν προθυμίαν, παρεκάλουν·

χ. ταῦτα φθέγγεται, εἰ προείλετο διελθεῖν ἐκεῖ ἐγχρονίσας. τίνος ἕνεκεν

χ. τυραννίς

καλοῦσι· ἀπὸ πόλεως αὐτοὶ ἐφιλονείκουν οἱ πολλοί. καὶ τίνος ἕνεκεν;] φησὶν, ὁ Ἀλέξανδρος ἐβούλετο ἀπολογεῖσθαι, μὴ τὸ αὐτὸς ἐγκληθῆναι. * ὅρα καὶ ἐκ τοῦ θορύβου τὸ πᾶν καταστρέψαι, καὶ ἐκκενῶσαι τοῦ δήμου τὸν θυμόν. Εἶδες θυμὸν ἄτακτον; καλῶς καὶ ἐπιτιμητικῶς ὁ γραμματεὺς, τίς ἐστι, φησὶν, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν, οὕτως εἰπὼν πρὸς οὓς ἐφοβοῦντο. ὡσπερεὶ ἔλεγε, μὴ θεραπεύετε αὐτήν; καὶ οὐκ εἶπε, τίς γάρ ἐστιν ὃς οὐ γινώσκει τὴν Ἄρτεμιν, ἀλλὰ, τὴν πόλιν τὴν ἡμετέραν, θεραπεύων αὐτούς. ἀναντιρρήτων οὖν τούτων ὄντων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν. ταῦτα δῆλον ἐγκαλῶν φρονοῦσι λέγων· τί τοίνυν ζητεῖτε, ὡς ἀδήλων ὄντων; φανερὸν ὡς ἡ ὕβρις εἰς τὸν θεὸν διαβαίνει. πρόσχημα τὴν εὐσέβειαν ἐβούλοντο ποιεῖν τῆς χρηματοποριάς. εἶτα ὡς μὴ καθάπτεσθαι αὐτῶν, ἀφεὶς ὅτι ἀλογίστως συνῆλθον. ἠγάγετε γὰρ, φησὶ, προπετῶς τοὺς ἄνδρας· ἀφεὶς ὅτι προπετῶς ἐπράξατε, τοῦτο εἶπεν, εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ ἔχουσί τινα λόγον, ἀνθύπατοί εἰσι. καὶ τοῦτο λέγει ἐγκαλῶν καὶ ἀφεὶς ὅτι οὐκ ἐχρῆν ἰδιωτικοῦ ἐγκλήματος ἕνεκεν κοινὴν ἐκκλησίαν ποιεῖσθαι. καὶ γὰρ κινδυνεύομεν, φησὶν, ἐγκαλεῖσθαι. τοῦτο σφόδρα αὐτοὺς διηπόρησε, μηδενὸς αἰτίου, φησὶν, ὑπάρχοντος περὶ οὗ δυνησόμεθα λόγον δοῦναι τῆς συστροφῆς ταύτης. ὁρᾷς τοὺς ἀπίστους φρονίμως ἀπολογουμένους πρὸς στασιαστάς. οὕτως ἔσβεσε τὸν θυμόν. ὥσπερ γὰρ ῥᾳδίως ἐξάπτεται, οὕτω καὶ ῥᾳδίως σβέννυται. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν, φησίν. ὁρᾷς τὸν θεὸν συγχωροῦντα τοὺς πειρασμοὺς καὶ διεγείροντα, καὶ ἀφυπνίζοντα τοὺς μαθητὰς τούτοις καὶ σφοδροτέρους ἐργαζόμενον;

ΗΘΙΚΟΝ

Μὴ δὴ καταπίπτωμεν ἐν τοῖς πειρασμοῖς. αὐτὸς γὰρ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. οὐδὲν οὕτω φίλους ποιεῖ καὶ συγκροτεῖ, ὡς θλίψις· οὐδὲν οὕτω συνδεῖ καὶ ἐπισφίγγει τῶν πιστῶν τὰς ψυχάς· οὐδὲν ἡμῖν τοῖς διδασκάλοις οὕτως ἐπιτήδειον πρὸς τὸ τὰ παρ' ἡμῶν λεγόμενα ἀκούεσθαι. ἐν μὲν γὰρ ἀνέσει τυγχάνων ἀκροατὴς, χαῦνός τέ ἐστι καὶ ῥάθυμος, καὶ ἐνοχλεῖσθαι δοκεῖ παρὰ τοῦ λέγοντος· ἐν δὲ θλίψει καὶ στενοχωρίᾳ εἰς πολλὴν ἐπιθυμίαν ἀκροάσεως ἐμπίπτει. στενοχωρούμενος γὰρ τὴν ψυχὴν, πανταχόθεν ζητεῖ παραμυθίαν τῆς θλίψεως εὑρεῖν· οὐ μικρὰν δὲ φέρει λόγος παραμυθίαν. τί οὖν, φησὶν, οἱ Ἰουδαῖοι; πῶς θλιβόμενοι ἀπὸ τῆς ὀλιγοψυχίας οὐκ ἤκουον; ὅτι Ἰουδαῖοι ἦσαν, οἱ ἀεὶ ἀσθενεῖς καὶ ταλαίπωροι. ἄλλως τε, καὶ ὅτι καὶ ἐκεῖ πολλὴ ἡ θλίψις ἦν· ἡμῖν δὲ πρὸς συμμέτρου ὁ λόγος. ἐκεῖ γὰρ προσεδόκησαν ἀπαλλάττεσθαι τῶν κατεχόντων αὐτοὺς κακῶν ἐκεῖνοι, καὶ μεγάλοις περιέπεσον [μᾶλλον] δεινοῖς. τοῦτο δὲ οὐχ ὡς ἔτυχεν ἀπορεῖ ψυχήν. αἱ θλίψεις ἀποσχίζουσιν ἡμᾶς τῆς συμπαθείας τῆς πρὸς τὰ παρόντα κόσμου. εὐθέως γοῦν τὸν θάνατον αἰτοῦμεν, καὶ οὐκ ἐσμὲν φιλοσώματοι· ὅπερ μέγιστον φιλοσοφίας μέρος ἐστὶ, μὴ κεχηνέναι, μηδὲ προσδεδέσθαι τῇ παρούσῃ ζωῇ. ἡ θλιβομένη ψυχὴ οὐ βούλεται περὶ πολλὰ εἶναι· ἀλλ' ἀναπαύσεώς τινος μόνον καὶ ἡσυχίας ἐρᾷ. ἀγαπητὸν αὐτῇ τῶν παρόντων ἀπαλλαγῆναι, κἂν μηδὲν ἕτερον ᾖ. καθάπερ σῶμα πεπονηκὸς καὶ ταλαιπωρηθὲν, οὐκ ἐρᾷν βούλεται, οὐ γαστρίζεσθαι, ἀλλ' ἀναπαύεσθαι καὶ ἡσυχίαν ἄγειν· οὕτω καὶ ψυχὴ μυρίοις περιελκυσθεῖσα κακοῖς, πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν ἐπείγεται [εἶναι]. ἡ δὲ ἐν ἀνέσει οὖσα, ἐκλύεται, τεθορύβηται, μετέωρός ἐστιν· αὕτη δὲ οὐδὲν κεχηνὸς ἔχουσα, οὐδὲ διαρρέον, ὅλη συνέσφιγκται καὶ μένει ἀμετάθετος. καὶ ἡ μὲν ἀνδρειοτέρα, ἡ δὲ παιδικωτέρα ἐστί· καὶ ἡ μὲν βαρυτέρα, ἡ δὲ κουφοτέρα. καὶ καθάπερ ἐν πολλῷ ὕδατι ἐμπεσόν τι κοῦφον σαλεύεται· οὕτω καὶ εἰς πολλὴν χαρὰν ἐμπεσοῦσα ψυχή. καὶ τὰ μέγιστα δὲ ἡμῖν ἁμαρτήματα ἀπὸ πολλῆς ἡδονῆς τικτόμενα ἴδοι τις ἄν. καὶ, εἰ βούλεσθε, οἰκίας ὑπογράψωμεν δύο, τὴν μὲν γαμούντων, τὴν δὲ πενθούντων. εἰσέλθωμεν τῷ λόγῳ πρὸς ἑκατέρους, ἴδωμεν τίς τίνος βελτίων. εὑρεθήσεται γὰρ ἡ τοῦ πενθοῦντος φιλοσοφίας γέμουσα· ἡ δὲ τοῦ γαμοῦντος ἀσχημοσύνης. ὅρα γάρ· αἰσχρὰ ἐκεῖ ῥήματα, γέλως ἄτακτος, βήματα ἀτακτότερα, στολὴ καὶ βάδισις ἀσχημοσύνης γέμουσα,

* ἀλλ'

γ. ἐκλύσαι

γ. δὲ

σαι σχήματα ἀπὸ πολλῆς ἀνοίας καὶ μανίας, καὶ ὅλως οὐδὲν ἕτερον, ἢ πάντα γέλως καὶ κατάγελως τὰ τῶν [illegible] λέγω (μὴ γένοιτο) ἀλλὰ τὰ περὶ τοὺς γάμους. ἐκβακχεύεται τότε ἡ φύσις, ἄλογα [illegible] οἱ [illegible] τότε γίνονται, οἱ μὲν ὡς ἵπποι χρεμετίζοντες, οἱ δὲ ὡς ὄνοι λακτίζοντες. πολλὴ ἡ διάχυσις, πολλὴ ἡ ἔκλυσις. οὐδὲν σπουδαῖον, οὐδὲν γενναῖον. πολλὴ ἐκεῖ ἡ τοῦ διαβόλου πομπή, κύμβαλα, αὐλοί, καὶ ᾄσματα πορνείας γέμοντα καὶ μοιχείας. ἀλλ' οὐκ ἐνταῦθα τὸ πλῆθος· ἀλλὰ πάντα εὔτακτα. πολλὴ γὰρ ἡ σιγή, πολλὴ ἡ ἡσυχία, πολλὴ [illegible] οὐδὲν ἄτακτον, οὐδὲν ἄρρυθμον. εἰ δέ τις τι καὶ ἐφθέγξατο, πολὺ τῆς φιλοσοφίας γέμοντα ῥήματα ἐφθέγξατο. καὶ τὸ δὴ θαυμαστόν, ὅτι οὐκ ἐκεῖνοι [illegible] οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ οἰκέται καὶ γυναῖκες φιλοσοφοῦσι. ταύτῃ γὰρ ἡ τοῦ πένθους φύσις. [illegible] πάντων τῶν πενθούντων, μυρία δὲ [illegible] δόγματα φιλοσοφίας μεστά. εἰ γὰρ καὶ εὐθέως [illegible] ἰχθύοι [illegible] πεπονηκότα [illegible] μυθολογούμενοι, [illegible] τοιαῦτα πενθούντων μυρία. τί γάρ ἐστιν ἄνθρωπος; τῆς φύσεως [illegible] τί ποτέ ἐστιν ἄνθρωπος; τοῦ βίου καὶ τῆς εὐτελείας αὐτοῦ κατηγορία, ἀνάμνησις τῶν ἐν τῷ μέλλοντι [illegible] τῆς κρίσεως*. ἕκαστος οἴκοθεν ἀναχωρεῖ, [illegible] ὅτι δίκαιος [illegible] ἐν εὐ[illegible] ἐστιν. ἀπὸ δὲ πένθους [illegible] μὴ τοιαῦτα ἔπαθε, καὶ τὴν [illegible] λεγομένην [illegible] ἅπασι ἀπῆλθεν. [illegible] καὶ τὰ [illegible] ἀντεξετάσωμεν. ὁ μὲν γὰρ θλίψεως, ὁ δὲ ἡδονῆς [illegible] τόπος. φέρε οὖν ἴδωμεν τὰ ἐξ ἑκατέρων συμβαίνοντα. ἐκεῖ φιλοσοφία πολλή. [illegible] καὶ φιλοσοφία πάντως. ὁ περὶ τούτου [illegible], ὁ μακάριος [illegible] καὶ τὸν τυχόντος [illegible] πρὸς αὐτόν, [illegible] φόβον καὶ τῆς ἀθυμίας [illegible] παρ' [illegible] πυρὸς σφοδρότερον [illegible] αὐτοῦ τὴν ψυχὴν καὶ μαλάττοντος τὸ σκληρόν. τότε [illegible] τότε σὺ [illegible] τῆς μεταβολῆς [illegible] πρὸς πάντα. ἐν δὲ [illegible] γέλως, αἰσχρότης, [illegible] διάχυσις, ἀνάλωμα χρημάτων, καὶ [illegible] ἀπὸ τῆς κατασκευῆς μοιχείας μελέτη, πορνείας γυμνάσιον, ἀκολασίας διδασκαλεῖον, [illegible] τόπος γέλωτος ὑπόθεσις, ἀσχημοσύνης [illegible] ἀλλ' οὐ τὸ δεσμωτήριον τοιοῦτον, ἀλλ' ἐκεῖ τὰ πνευματικὰ [illegible] φιλοσοφίας [illegible] τρυφὴ [illegible] πάντα πεπάτηται καὶ καταπεφρόνηται, καὶ καθάπερ παιδίον [illegible] πρὸς πάντα τὰ δέοντα ῥυθμίζων αὐτόν. ἀλλ', εἰ βούλει, πάλιν ἑτέρως ἐξετάσωμεν τοὺς αὐτοὺς τόπους. ἐβουλόμεθα [illegible] καὶ ἄλλον ἀπὸ δεσμωτηρίου ἐξιόντα, καὶ εἶδες ἂν τὸν μὲν [illegible] οὕτως· τὸν δὲ λελυμένον, λελυμένον, [illegible]. ὁ μὲν γὰρ ἀπὸ τοῦ θαλάμου [illegible] ταῖς ὄψεσι τῶν ἐκεῖ γυναικῶν προσδεθείς, παντὸς σιδήρου χαλεπώτερα φέρων δεσμά, τοὺς τύπους τοὺς ἐκεῖ, τὰ ῥήματα, τὰ σχήματα· ὁ δὲ ἀπὸ δεσμωτηρίου πάντων λυθείς. οὐκ ἔτι ἡγήσεται παθεῖν τι δεινόν, τοῖς τὸν ἕτερον τὰ αὐτὰ καταβάλλειν. ὅτι οὐ δέδεται, χάριν εἴσεται λοιπόν· καταφρονήσει τῶν ἀνθρωπίνων πραγμάτων, πολλοὺς πλουτοῦντας ὁρῶν ἐν συμφοραῖς, πολλὰ καὶ μεγάλα δυναμένους καὶ δεδεμένους ἐκεῖ. καὶ τὰ ἄλλα τὰ πάθη, καὶ πρὸς τοῦτο καρτερήσει. καὶ γὰρ καὶ τούτου πολλὰ ἐκεῖ τὰ ὑποδείγματα. εἰς ἔννοιαν ἐλεύσεται τῆς μελλούσης κρίσεως, καὶ φρίξει τοὺς τύπους ἐνταῦθα ὁρῶν. καθάπερ γὰρ ἐνταῦθα ἐν δεσμωτηρίῳ συγκεκλεισμένος, [illegible] οὕτω κἀκεῖνοι πρὸ τῆς κρίσεως, πρὸ τῆς μελλούσης ἡμέρας, πρὸς γυναῖκα, πρὸς παιδία, πρὸς τοὺς οἰκέτας ἔσονται ἐπιεικέστεροι. ὁ δὲ ἀπὸ τοῦ θαλάμου οὐχ οὕτως· ἀλλ' ἀηδέστερον ὄψεται τὴν γυναῖκα, καὶ δυσχερὴς πρὸς τοὺς οἰκέτας ἔσται, [illegible] πρὸς τὰ παιδία, [illegible] πρὸς πάντας. μεγάλα κακὰ τὰ θέατρα κατασκευάζει ταῖς πόλεσι, μεγάλα, καὶ οὐδὲ τοῦτο ἴσμεν ὅτι μεγάλα.

ἀκαταπαύστως.

ἢ ἀδιασπάστων,

ἢ στίχους ὑπόδειγμα, φι-

ἢ τόπους

ἢ τύπους

μεγάλα. Εἰ δὲ οὐκ ἀπιστεῖτε, ἐξετάσωμεν καὶ τοὺς τοῦ γέλωτος τόπους, τὰ συμπόσια λέγω, ἔνθα παράσιτοι καὶ κόλακες, καὶ πολλὴ ἡ τρυφή, καὶ τοὺς ἑτέρους, ἔνθα χωλοὶ καὶ ἀνάπηροι. πάλιν ἐκεῖ μὲν μέθη, καὶ τρυφή, καὶ ἀσέλγεια· ἐνταῦθα δὲ τοὐναντίον. ὅρα καὶ ἐπὶ τοῦ σώματος, ὅταν φλεγμαίνῃ, ὅταν εὐπαθῇ, ταχίστην ἔχει πρὸς νόσον μετάπτωσιν· ὅταν δὲ καταστέλληται, οὐχ οὕτως. ἵνα δὲ σαφέστερον ὑμῖν ὃ λέγω ποιήσω, ἔστω σῶμα ἔχον πολὺ αἷμα καὶ σάρκας πολλὰς καὶ σφριγῶν· τοῦτο καὶ ἀπὸ τῆς τυχούσης ῥοπῆς πυρετὸν δυνήσεται τεκεῖν, ἂν ἁπλῶς ἀργήσῃ· ἔστω δὲ ἕτερον λιμῷ μᾶλλον παλαῖον καὶ θλίψει· τοῦτο δυσάλωτον καὶ δυσκαταγώνιστον πρὸς ἀρρωστίαν. αἷμα κἂν ὑγιὲς ᾖ ἐν ἡμῖν, τῷ πλήθει πολλάκις νόσον ἔτεκεν· ἂν δὲ ὀλίγον ᾖ, κἂν μὴ ὑγιές, εὐκόλως κατεργασθῆναι δυνήσεται. οὕτω δὴ καὶ ἐπὶ ψυχῆς· ἡ μὲν ἐν ἀδείᾳ καὶ τρυφῇ ὀξυρρόπους ἔχει πρὸς ἁμαρτίαν τὰς ὁρμάς. καὶ γὰρ ἀπονοίας ἐργαστήριον ἡ τοιαύτη ἕστηκε, καὶ ἡδονῆς, καὶ κενοδοξίας, καὶ φθόνου, καὶ ἐπιβουλῆς, καὶ συκοφαντίας. ἀλλ' οὐχ ἡ ἐν θλίψει καὶ αὐταρκείᾳ· ἀλλὰ πάντων τούτων ἀπήλλακται. ἰδοὺ ἡλίκη πόλις ἡμῖν ἐστιν ἡ μεγάλη αὕτη. πόθεν οὖν τίκτεται τὰ κακά; οὐκ ἀπὸ τῶν πλουτούντων; οὐκ ἀπὸ τῶν χαιρόντων; τίνες εἰς δικαστήρια ἕλκουσι; τίνες οὐσίας διαρπάζουσι; οἱ καταλειπόμενοι καὶ ἀπερριμμένοι, ἢ οἱ μεγάλα φυσῶντες καὶ χαίροντες; οὐκ ἔστιν ἀπὸ ψυχῆς τεθλιμμένης γενέσθαι τι κακόν. οἶδεν αὐτῆς τὸ κέρδος ὁ Παῦλος. διὰ τοῦτό φησιν· Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. μὴ δὴ καταπίπτωμεν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν. ἵνα τί κερδάνωμεν μέγα; ἵνα εὐδοκιμήσωμεν παρὰ τῷ Θεῷ τῷ τὰς θλίψεις συγχωροῦντι. μέγα θλῖψις ἀγαθόν· καὶ τοῦτο ἀπὸ τῶν παίδων τῶν ἡμετέρων μανθάνομεν. χωρὶς γὰρ θλίψεως οὐδὲν ἂν μάθοι χρήσιμον. ἡμεῖς δὲ μᾶλλον αὐτῶν δεόμεθα θλίψεως. εἰ γὰρ ἐκεῖνα τῶν παθῶν ἠρεμούντων αὐτοῖς θάλλει, πολλῷ μᾶλλον ἡμεῖς, καὶ μάλιστα τοσούτοις συνεχόμενοι. ἀλλ' ἡμᾶς μᾶλλον παιδαγωγοῦ ἔχει χρεία. παρὰ μὲν γὰρ τῶν παίδων τὰ ἁμαρτήματα οὐκ ἂν μεγάλα γένοιτο· παρὰ δὲ ἡμῶν σφόδρα μεγάλα. παιδαγωγὸς δὲ ἡμῶν ἡ θλῖψις. μή τι οὖν ἐπισπώμεθα αὐτήν, καὶ προσιοῦσαν γενναίως φέρωμεν, ἀεὶ μυρίων οὖσαν ἀγαθῶν αἰτίαν, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύσωμεν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(Ρωμ. ε. γ.)

κεφ. κ. Λογ. μγ.

1 ΜΕΤΑ ΔΕ ΤΟ ΠΑΥΣΑΣΘΑΙ ΤΟΝ ΘΟΡΥΒΟΝ, προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος, ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν.

Ἔδει πολλῆς παρακλήσεως ἀπὸ τῆς ταραχῆς ἐκείνης. τοῦτο δὴ καὶ ποιεῖ, καὶ ἵνα παρακαλέσῃ τοὺς μαθητάς, ἔρχεται εἰς Μακεδονίαν, εἶτα εἰς τὴν Ἑλλάδα. καὶ ὅτι σφόδρα αὐτοὺς παρεκάλεσεν, ἄκουε.

2 Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα.

3 Ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας.

4 Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δέ, Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ Τιμόθεος· Ἀσιανοὶ δέ, Τυχικὸς καὶ Τρόφιμος.

5 Οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρωάδι. Πάλιν διώκεται ὑπὸ Ἰουδαίων,

καὶ

καὶ ἔρχεται εἰς Μακεδονίαν. πῶς δὲ τὸν Τιμόθεον Θεσσαλονικέα φησίν; οὐ τοῦτο λέγει, ἀλλ' ὅτι ἀπελθόντες, φησὶν, οὗτοι εἰς τὴν Τρωάδα, προοδοποιοῦντες αὐτῷ.

6 Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρωάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.

Καὶ γὰρ τὰς ἑορτὰς ἐμοὶ δοκεῖ σπουδάζειν αὐτὸν ποιεῖν ἐν ταῖς μεγάλαις πόλεσιν. ἀπὸ Φιλίππων ἐξέπλευσεν, ἔνθα τὰ κατὰ τὸ δεσμωτήριον ἐγένετο. πρότερον δὲ τοῦτο εἰς Μακεδονίαν ἐπανῆλθον, καὶ πολλὰ μαρτυρεῖ τοῖς Φιλιππησίοις ἔξω καὶ ἐν ἐπιστολῇ.

* τῇ ἐπιούριον

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων ἡμῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς μέλλων ἐξιέναι, * παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. Ὅρα πῶς πάντα πάρεργα ἦν τοῦ κηρύγματος. πεντηκοστὴ τότε ἦν, καὶ κυριακὴ ἦν, ὁ δὲ καὶ μέχρι μεσονυκτίου τὴν διδασκαλίαν ἐκτείνει. οὔτε τῆς τῶν μαθητῶν σιτηρείας ἐφίστατο, ὅτι οὐδὲ τὴν πάσαν ἐσίγα· ἀλλὰ τότε μᾶλλον διελέγετο, ἅτε ἡσυχίας οὔσης. ὅρα πῶς καὶ πολλὰ διελέγετο, καὶ παρ' αὐτὸν τοῦ δείπνου τὸν καιρόν. ἀλλὰ συνετάραξε τὴν ἑορτὴν ὁ διάβολος, οὐ μὴν ἴσχυσε, βαπτίσας τὴν ἀκρόασιν ὕπνῳ, καὶ κατενεγκών. καὶ ὅπως συμβαίνει, ἠρέμουν ἐπαγαγών.

χ. ἐ

8 Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦμεν συνηγμένοι.

9 Καθήμενος δέ τις νεανίας, ὀνόματι Εὔτυχος, ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός.

10 Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν [ἐπ'] αὐτῷ, καὶ συμπεριλαβὼν αὐτὸν εἶπε· μὴ θορυβεῖσθε. ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.

11 Ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν.

12 Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. Θέα δέ μοι τὸ θέατρον ὅπως ἦν συγκεκροτημένον (συνηγμένων γὰρ τῶν μαθητῶν, φησὶ) καὶ τὸ σημεῖον δέ. ἐπὶ θυρίδος γὰρ, φησὶν, ἐκάθητο, καὶ ἀωρεὶ τῶν νυκτῶν. τοσοῦτος ἦν ὁ πόθος τῆς ἀκροάσεως. αἰσχυνθῶμεν ἡμεῖς, μηδὲ ἐν ἡμέρᾳ τοῦτο ποιοῦντες. ἀλλὰ Παῦλος διελέγετο, φησὶ, τότε. τί λέγεις; καὶ νῦν Παῦλος διαλέγεται· μᾶλλον δὲ οὐδὲ τότε Παῦλος, οὐδὲ νῦν, ἀλλ' ὁ Χριστὸς, καὶ οὐδεὶς ἀκούει. οὐχὶ θυρίς ἐστι νῦν, οὐ νύκτα, οὐχ ὕπνος ἐνοχλεῖ· καὶ ὅμως οὐκ αἰσχυνόμεθα· οὐ στενοχωρία τόπου, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καίτοι νεανίας ἐκπεσὼν, οὐκ ἦν ῥᾴθυμος, καὶ ὕπνῳ καταφερόμενος οὐκ ἀπῄει, οὐδὲ ἐδεδοίκει τὸν κίνδυνον, ἵνα μὴ κατενεχθῇ. εἰ δὲ καὶ νυστάξας κατέπεσε, μὴ θαυμάσῃς. οὐ γὰρ ἀπὸ ῥᾳθυμίας ἐνύσταξεν, ἀλλ' ἀπὸ ἀνάγκης φύσεως. σὺ δέ μοι θέα, ὅτι οὕτως ἔζεον τῇ προθυμίᾳ, ὅτι καὶ ἐν ὑπερῴῳ ἦσαν. οὔπω γὰρ ἦν ἡ ἐκκλησία. μὴ θορυβεῖσθε, φησίν. ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. οὐκ εἶπεν, ἀναστήσεται· ἐγερεῖ γὰρ αὐτόν· ἀλλὰ τί; μὴ θορυβεῖσθε. ὅρα τὸ ἄτυφον καὶ τὸ παρακλητικόν. ἀναβὰς καὶ κλάσας, φησὶν, ἄρτον καὶ γευσάμενος. τοῦτο διὰ τοῦτο τὸν λόγον, οὐ μέλει ἔβλαψεν. ὁρᾷς τοῦ δείπνου τὸ ἀπέριττον; καὶ γευσάμενος, φησὶν, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. ὁρᾷς πῶς διενυκτέρευον; τοιαῦται αἱ τράπεζαι ἦσαν, ὥστε ἡ φροντὶς πάλιν ἐπιέναι τὴν ἀκρόασιν, καὶ πρὸς ἀκρόασιν εἶναι ἐπιτηδείους. τί κωλύει διαφθείρεσθαι ἡμᾶς; ὁρᾶτε πόσον τὸ διάφορον; ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. σφόδρα παρεκαλοῦντο, ὅτι τε ζῶντα ἀπέλαβον, ὅτι τε σημεῖον γέγονε.

χ. προελ. ἀλ. ἐμβάντες

13 Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν.

14 Ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἆσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην.

Πολλαχοῦ τῶν μαθητῶν ὁ Παῦλος χωρίζεται. ἰδοὺ γὰρ πάλιν αὐτὸς μὲν πεζεύει, ἐκεῖνοι δὲ τῷ πλοίῳ ἀνάγονται· τὸ μὲν κουφότερον ἐκείνοις ἐπιτρέπων, τὸ δὲ ἐπιπονώτερον αὐτὸς αἱρούμενος. ἐπέζευεν, ἅμα καὶ πολλὰ οἰκονομῶν, ἅμα καὶ παιδεύων [μηδὲ] αὐτοὺς χωρίζεσθαι αὐτοῦ.

15 Κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ, κατηντήσαμεν ἄντικρυ Χίου· τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. χ. ὀπίσω

Ὅρα πῶς ἐπειγομένου τοῦ Παύλου ἀνάγονται, καὶ οὐ χρονοτριβοῦσιν, ἀλλὰ παρέρχονται τὰς νήσους.

16 Ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν, αὐτῷ τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα. Τίς ἡ ἔπειξις αὕτη; οὐ διὰ τὴν ἑορτήν, ἀλλὰ διὰ τὸ πλῆθος· ἅμα καὶ τούτῳ Ἰουδαίους ἐπήγετο, ὡς δὴ τιμῶν τὰς ἑορτάς· καὶ τοὺς ἐχθροὺς ἐλθεῖν βουλόμενος ἅμα, ἔσπευδε τὸν λόγον καθεῖναι. ὅρα γοῦν τί γέγονε κέρδος, πάντων παρόντων. ἄλλως δέ, ἵνα μὴ διὰ τοῦτο ἀμεληθῇ τὰ κατὰ τὴν Ἔφεσον, ᾠκονόμησεν ἑτέρως. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ ἀσπασάμενος, φησί, τοὺς μαθητάς, ἐξῆλθε πορευθῆναι εἰς Μακεδονίαν, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. καὶ τούτῳ πάλιν ἀνεκτήσατο, ἱκανὴν διδοὺς παραμυθίαν. ὅρα πανταχοῦ διὰ λόγων τὸ πλέον κατορθοῦντα, οὐ διὰ σημείων. μέλλοντα δέ, φησίν, ἀνάγεσθαι εἰς τὴν Συρίαν. χ. τοῦ συνεχῶς ἡμῖν αὐτὸν δείκνυσιν ἐπειγόμενον εἰς τὴν Συρίαν. τὸ δὲ αἴτιον, ἡ ἐκκλησία ἦν ἡ ἐν τοῖς Ἱεροσολύμοις. οὕτως εἶχε πόθον καὶ τὰ ἐκεῖ κατορθοῦν. καίτοι οὐ μεγάλη ἡ Τρωάς ἐστι. τί οὖν ἡμερῶν ἀριθμὸν ἑπτὰ ἐν αὐτῇ ποιοῦσι; μεγάλη ἴσως ἦν κατὰ τὴν πίστιν. καὶ ἡμέρας δὲ διατρίψας ἑπτά, τῇ ἐπιούσῃ τὴν νύκτα ἀνάλωσεν εἰς τὴν διδασκαλίαν. οὕτω δυσαποσπάστως καὶ αὐτὸς αὐτῶν εἶχε, καὶ αὐτοὶ αὐτοῦ. συνηγμένων δέ, φησίν, ἡμῶν κλάσαι ἄρτον. παρ' αὐτὸν τὸν καιρόν, ἀφ' οὗ ἐνεδείκνυτο πάσιν, καὶ οὐκ ἦν ἄκαιρον· ἀρχὴν ὁ λόγος λαβὼν παρετάθη· ὥστε οὐ συνηγμένους εἰς διδασκαλίαν καθῆκεν, ἀλλὰ συνῆλθον μὲν κλάσαι ἄρτον, ἐμπεσόντος δὲ λόγου, παρέτεινε τὴν διδασκαλίαν. ὅρα πῶς καὶ τῇ τραπέζῃ τοῦ Παύλου πάντες ἐκοινώνουν. ἐμοὶ δοκεῖ καὶ παρὰ τὴν τράπεζαν αὐτὸν καθήμενοι διαλέγεσθαι, παιδεύοντα ἡμᾶς πάντα τὰ λοιπὰ πάρεργα ἡγεῖσθαι. ἐνετυπώσατέ μοι τὸν οἶκον ἐκεῖνον, ἔνθα λαμπάδες ἦσαν, ἔνθα ὄχλος, ἔνθα Παῦλος μέσος ὢν διελέγετο, ἔνθα καὶ τὰς θυρίδας πολλοὶ κατελάμβανον. τί ἦν ἰδεῖν, καὶ τῆς σάλπιγγος ἀκοῦσαι ἐκείνης, καὶ τὸ πρόσωπον τὸ χαρίεν θεάσασθαι; τί εἰκὸς ἦν τοὺς διδασκομένους, καὶ πόσην καρποῦσθαι τὴν ἡδονήν; τίνος δὲ ἕνεκεν ἐν νυκτὶ διελέγετο; ἐπειδὴ ἔμελλεν ἀφιέναι, καὶ οὐκ ἔτι ὁρᾶν αὐτοὺς λοιπόν. ἀλλὰ τοῦτο μὲν αὐτοῖς οὐ λέγει, ἅτε ἀσθενεστέροις οὖσι· τοῖς δὲ ἄλλοις ἔλεγεν. ἅμα δὲ αὐτοὺς καὶ τὸ γινόμενον σημεῖον διὰ παντὸς ἐποίει μεμνῆσθαι τῆς ἑσπέρας ἐκείνης. πολλὴ ἡ ἡδονὴ τῶν ἀκροατῶν, [ὅτι] καὶ ἐγκοπτοῦσα ἐπετείνετο μᾶλλον· ὥστε παρὰ τοῦ διδασκάλου ἡ ἀπόλαυσις γένηται. ἄλλως τε, καὶ πᾶσιν ἔμελλεν ἐκεῖνος ἐπιτιμᾶν τοῖς ῥαθύμοις, ὁ διὰ τοῦτο ἀποθανὼν, ἵνα Παύλου ἀκούσῃ. καὶ τίνος ἕνεκεν, φησί, κατὰ λέγει ἕκαστα, καὶ ποῦ ἦλθον, καὶ ποῦ ἀπῆλθον, καὶ ποῦ μὲν ἐνδιέτριψε, τίνα δὲ καὶ παρέπλευσε μέρη; ἵνα δείξῃ τί ποτε χαλεπώτερον αὐτὸν πλέοντα, καὶ τοῦτο ἀνθρωπίνως, καὶ παραπλέοντα. ἔκρινε γὰρ παραπλεῦσαι τὴν Ἔφεσον, ἵνα μὴ γένηται αὐτῷ, φησί, χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. καλῶς. οὐ γὰρ ἠδύνατο γενόμενος ἐκεῖ παραπλεῦσαι, ἐπειδὴ οὐκ ἐβούλετο λυπῆσαι τοὺς ἀνθρώπους ἀξιοῦντας αὐτόν. ἢ τοίνυν τοῦτό ἐστιν εἰπεῖν, ἢ καὶ ὅτι ἔσπευδεν. ἔσπευδε γάρ, φησίν, εἰ δυνατὸν ἦν αὐτῷ τὴν χ. ἐσπούδαζεν ἡμέραν τῆς πεντηκοστῆς ποιῆσαι ἐν Ἱεροσολύμοις. ὥστε καὶ διὰ τοῦτο μένειν οὐκ ἦν δυνατόν. χ. καὶ ἐκ τοῦ δυνατ. ὅρα καὶ ἀνθρωπίνως αὐτὸν κινούμενον, καὶ ἐπιθυμοῦντα καὶ σπεύδοντα, καὶ οὐκ ἐπιτυγχάνοντα

νοντα πολλάκις. διὰ τοῦτο δὲ ταῦτα λέγω, ἵνα μὴ νομίσωμεν ὅτι ὑπὲρ φύσιν ἦν τὴν ἀνθρωπίνην. οἱ γὰρ ἅγιοι καὶ μεγάλοι ἄνδρες ἐκεῖνοι τῆς μὲν φύσεως τῆς αὐτῆς ἡμῖν ἐκοινώνουν, τῆς δὲ προαιρέσεως οὐκέτι. διὸ καὶ πολλὴν ἐπισπῶντο τὴν χάριν. ὅρα γοῦν πόσα καὶ ἀφ' ἑαυτῶν οἰκονομοῦσι. διὰ τοῦτο καὶ ἔλεγεν· Ἵνα μὴ δῶμεν ἀφορμὴν προσκοπῆς τοῖς βουλομένοις· (β. Κορ. ς. γ.) καὶ πάλιν, Ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν. ἰδοὺ καὶ βίος ἄληπτος, καὶ πολλὴ ἡ συγκατάβασις. τοῦτο οἰκονομία λέγεται, ὃ εἰς ἀκρότητα ἥκει καὶ ὕψος ἀρετῆς, καὶ ταπεινοφροσύνης (γ. ὕψος) συγκαταβάσεως. καὶ ἄκουε πῶς ὁ ὑπερβαίνων τὰ ἐπαγγέλματα τοῦ Χριστοῦ, ἐστὶ πάλιν πάντων ταπεινότερος ὤν· Πᾶσι πάντα γέγονα, φησὶν, ἵνα πάντας κερδήσω. (α. Κορ. θ. κϐ.) ὁ αὐτὸς καὶ εἰς κινδύνους ἑαυτὸν ἐνέβαλε, καθὼς ἑτέρωθί φησιν· Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, (β. Κορ. ς. δ.) ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς· καὶ πολὺς ἦν αὐτῷ ὁ πόθος ὁ περὶ τὸν Χριστόν. οὐ γὰρ τοῦτο μόνη, πάντα περιττά, καὶ τὰ τῆς οἰκονομίας, καὶ τοῦ ἀλήπτου βίου, καὶ τοῦ παρακεκινδυνευμένου. Τίς ἀσθενεῖ, φησὶ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; (β. Κορ. ια. κθ.)

ΗΘΙΚΟΝ

Ταῦτα τοίνυν παρακαλῶ, καὶ ἡμεῖς μιμώμεθα τὰ ῥήματα, καὶ εἰς κινδύνους ῥίπτωμεν ἑαυτοὺς διὰ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. κἂν πῦρ ᾖ, κἂν σίδηρος, ῥίψον σεαυτόν, ἀγαπητέ, ἵνα σὺ τὸ μέρος ἐξέλῃς· ῥίψον, μὴ φοβηθῇς. μαθητὴς εἶ τοῦ Χριστοῦ τοῦ διὰ τοὺς ἀδελφοὺς τὴν ψυχὴν θέντος· συμμαθητὴς Παύλου, τοῦ μυρία ἑλομένου παθεῖν ἵνα διὰ τοὺς ἐχθρούς, διὰ τοὺς πολεμοῦντας αὐτὸν ἐμπλησθῇ τι ζήλου· μίμησαι τὸν Μωϋσέα. εἶδεν ἀδικούμενον, καὶ ἤμυνε· κατεφρόνησε τρυφῆς βασιλικῆς, καὶ γέγονε διὰ τοὺς καταπονουμένους φυγάς, πλανήτης, ἐρήμους συνελαύνων καὶ οἰκίας. ἐν ἀλλοτρίᾳ διετέλεσε τοσοῦτον χρόνον, καὶ οὐκ ἐμέμψατο ἑαυτόν, οὐδὲ εἶπε· τί τοῦτο; βασιλείας κατεφρόνησα, τιμῆς τοσαύτης καὶ δόξης· εἱλόμην ἀμύνασθαι τοῖς ἀδικουμένοις, καὶ περιεῖδεν ὁ Θεός· καὶ οὐ μόνον οὐκ ἐπανήγαγέ με ἐπὶ τὴν προτέραν τιμήν, ἀλλὰ καὶ τεσσαράκοντα ἔτη ἐν ἀλλοτρίᾳ διάγω. καλῶς γε. οὐ γὰρ τοὺς μισθοὺς ἀπέλαβον. ἀλλ' οὐδὲν τούτων εἶπεν, οὐδὲ ἐνενόησεν· οὕτω καὶ σύ· κἂν κακόν τι πάθῃς ἀγαθοποιῶν, κἂν ἐπὶ πολὺν χρόνον, μὴ σκανδαλίζου, μηδὲ θορυβοῦ· πάντως ἀποδώσει σοι τὴν ἀμοιβὴν ὁ Θεός. ὅσῳ ἂν χρονίζῃ ἡ ἀντίδοσις*, τοσούτῳ καὶ τόκοι ἐπιτείνονται). (γ. καὶ ἡ ἀπόδοσις) οὐκοῦν ἔχωμεν ψυχὴν συμπαθητικήν, ἔχωμεν διαφόρως εἰδέναι συναλγεῖν. μηδὲν ἔστω παρ' ἡμῖν ὠμόν, μηδὲν ἀπάνθρωπον. κἂν μηδὲν δυνηθῇς εἰσενεγκεῖν, δάκρυσον, στέναξον, ἄλγησον ἐπὶ τοῖς γινομένοις. οὐδὲ ταῦτά σοι ἔσται εἰκῇ. εἰ τοῖς ὑπὸ τοῦ Θεοῦ κολαζομένοις δικαίως συναλγεῖν χρή, πολλῷ μᾶλλον τοῖς ὑπὸ ἀνθρώπων ἀδίκως πάσχουσιν. Οὐκ ἐξῆλθε, φησί, Σενναὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. (γ. ἐξῆλθεν ...) (Μιχ. α. ια.) λήψονται ὀδύνην αὐτοὶ ὧν ᾠκοδόμησαν εἰς καταγέλωτα. τοῦτο ἐγκαλεῖ ὁ Ἰεζεκιήλ, ὅτι οὐ συνήλγησαν. (Ἰεζεκ. ις. β.) τί λέγεις, ὦ προφῆτα; ὁ Θεὸς κολάζει, κἀγὼ συναλγήσω τοῖς κολαζομένοις; ναί· τοῦτο γὰρ αὐτὸς ὁ κολάζων βούλεται. οὐδὲ γὰρ αὐτὸς ἥδεται κολάζων, ἀλλὰ μάλιστα καὶ ἀλγεῖ. ἐπεὶ οὖν οὐδὲ αὐτὸς εὐφραίνεται ὁ κολάζων, μὴ τοίνυν μηδὲ σὺ εὐφραίνου. ἀλλ' εἰ δικαίως, φησί, κολάζονται, οὐ δεῖ ἀλγεῖν. καὶ μὴν διὰ τοῦτο δεῖ ἀλγεῖν, ὅτι ἄξιοι κολάσεως ἐφάνησαν. εἰπὲ δή μοι, ὅταν ἴδῃς τὸν υἱὸν τὸν σὸν καιόμενον ἢ τεμνόμενον, οὐκ ἀλγεῖς; εὔδηλον ὅτι· καὶ οὐ λέγεις πρὸς σεαυτόν· τί τοῦτο; πρὸς ὑγίειαν ἡ τομὴ βλέπει, ὑπὲρ ἀπαλλαγῆς ἐστιν ἡ καῦσις· ἀλλ' ὅμως ὅταν ἀκούσῃς ὀλολύζοντος, οὐ φέροντος τὰς ὀδύνας, ἀλγεῖς· καὶ οὐχ ἱκανὴ ἡ τῆς ὑγείας ἐλπὶς ἀφελεῖν τὴν σύγχυσιν τῆς φύσεως. οὕτω καὶ ἐπὶ τούτων (κἂν εἰς ὑγείαν κολάζῃ), ὅμως ἀδελφικὴν ἐπιδεικνύωμεν ἡμεῖς προαίρεσιν ἐπ' αὐτούς, πατρικὴν διάθεσιν. τομαὶ καὶ καύσεις εἰσὶν αἱ τιμωρίαι τοῦ Θεοῦ. ἀλλὰ διὰ τοῦτο ὀφείλομεν κλαίειν, ὅτι ἐνόσησαν, ὅτι τοιαύτης ἐδεήθησαν ἰατρείας. ἐὰν μέν τις ἐπὶ στεφάνοις ταῦτα πάσχῃ, τότε μὴ ἄλγει, ἀλλ' ὡς Παῦλος, ὡς Πέτρος· (γ. ἀλγείτω) ὅταν δὲ ἐπὶ τιμωρίᾳ ὑπὲρ δίκην, τότε δάκρυσον, τότε στέναξον. τοιοῦτοι ἦσαν οἱ προφῆται. διὸ καί τις αὐ-

Ιεζ. θ. η. τοῦ ἐλεεῖν· Οἴμοι Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; ἀνδροφόνους ὁρῶμεν, μιαροὺς ἄνδρας, κολαζομένους πολλάκις, καὶ δακνόμεθα καὶ ἀλγοῦμεν. μὴ γὰρ τὸ μέχρι φιλόσοφοι ὦμεν· ἐλεήμονες γινώμεθα, ἵνα ἐλεηθῶμεν. Οὐδὲν ἴσον τούτου τοῦ καλοῦ· οὐδὲν οὕτω τῶν ἀνθρώπων ἡμῖν ἀποδείκνυσι χαρακτῆρα ὡς τὸ ἐλεεῖν, ὡς τὸ φιλάνθρωπον εἶναι. διὰ τοῦτο καὶ οἱ νόμοι τοῖς δημίοις τὸ πᾶν ἐπιτρέπουσι, τῶν δικαστῶν μέχρι τῆς ἀποφάσεως ἀναγκάσαντες γίνεσθαι, εἰς δὲ τὸ ἔργον ἐκείνους ἐξήγαγον. οὕτω κἂν δικαίως γίνηται, οὐκ ἔστι ψυχῆς φιλοσόφου τὸ κολάζειν, ἀλλὰ τινὸς ἑτέρου δεῖται τοῦτο· ἐπεὶ καὶ ὁ Θεὸς οὐ δι' ἑαυτοῦ κολάζει, ἀλλὰ διὰ τῶν ἀγγέλων. δήμιοι οὖν εἰσὶν οἱ ἄγγελοι; μὴ γένοιτο· οὐ τοῦτό φημι, ἀλλὰ τιμωρητικαὶ δυνάμεις εἰσίν. ὅτε τὰ Σόδομα κατεστρέφετο, δι' ἐκείνων ἅπαντα ἐγίνετο· ὅτε τὰ κατ' Αἴγυπτον, δι' ἐκείνων. Ἀποστολὴν γάρ, φησι, δι' ἀγγέλων πονηρῶν. ὅτε μέλλοι σῶσαι χρή, δι' ἑαυτοῦ τοῦτο ποιεῖ. οὕτω τὸν υἱὸν ἔπεμψεν ἐπὶ σωτηρίᾳ τοῦ γένους. καὶ πάλιν· Τότε, φησίν, ἐρῶ τοῖς ἀγγέλοις, συλλέξατε τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βάλετε εἰς τὴν κάμινον· περὶ δὲ τῶν δικαίων οὐχ οὕτως, ἀλλ', Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ πάλιν, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ὅρα ἐκεῖ τοὺς δούλους διακονουμένους· ὅταν δὲ εὐεργετεῖν δέῃ, αὐτὸν εὐεργετοῦντα, αὐτὸν καλοῦντα. Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. ὅταν διαλέγεσθαι δέῃ τῷ Ἀβραάμ, αὐτὸς παραγίνεται· ὅταν εἰς Σόδομα ἀπελθεῖν, τοὺς δούλους πέμπει, καθάπερ τις δικαστὴς λύσας τοὺς μέλλοντας κολάζειν. καὶ πάλιν· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. καὶ τοῦτον μὲν αὐτὸς εὐλογεῖ, ἐκεῖνον δὲ τὸν πονηρὸν οὐκ αὐτός, ἀλλὰ δοῦλοι δεσμεύουσι. Ταῦτα εἰδότες, μὴ χαίρωμεν ἐπὶ τοῖς κολαζομένοις, ἀλλὰ καὶ ἀλγῶμεν· τούτους πενθῶμεν, τούτους δακρύωμεν, ἵνα καὶ τούτου μισθὸν λάβωμεν. νῦν δὲ πολλοὶ καὶ ἐπὶ τοῖς κακοῖς πάσχουσιν ἀδίκως χαίρουσι· ἀλλὰ μὴ ἡμεῖς οὕτω ποιῶμεν· ἀλλὰ πᾶσαν συμπάθειαν ἐπιδεικνυώμεθα· συμπάσχωμεν καὶ συναλγῶμεν αὐτοῖς, ἵνα καὶ αὐτοὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. οζ. μθ.
Ματθ. ιγ. μβ.
Ματθ. ι. μ.
Ματθ. κβ. ιγ.
Ματθ. κε. λδ.
Γεν. ιθ.
Γεν. ιη. α.
Ματθ. κε. κγ.
Ματθ. κε. ιγ.

Λογ. μη. 17 ΑΠΟ ΔΕ ΤΗΣ ΜΙΛΗΤΟΥ ΠΕΜΨΑΣ ΕΙΣ
Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.
18 Ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· ὑμεῖς ἐπίστασθε ἀπὸ
πρώτης ἡμέρας, ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν πάντα
τὸν χρόνον ἐγενόμην, 19 Δουλεύων τῷ Κυρίῳ [μεθ' ὑμῶν,] μετὰ
πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάν-
των μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων· 20 Ὡς οὐδὲν ὑπεστει-
λάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δη-
μοσίᾳ καὶ κατ' οἴκους, 21 Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλ-
λησι τὴν εἰς Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰη-
σοῦν Χριστόν.

Ὅρα αὐτὸν καὶ ἐπειγόμενον παραπλεῦσαι, καὶ μὴ παρορῶντα, ἀλλὰ τὸ πᾶν οἰκονομοῦντα. τοὺς ἄρχοντας μεταπεμψάμενος, δι' ἐκείνων αὐτοῖς διελέχθη. καὶ ἄξιον θαυμάσαι πῶς εἰς ἀνάγκην ἐμπεσὼν τοῦ μεγάλα τινὰ περὶ ἑαυτοῦ εἰπεῖν, πειρᾶται μετριάζειν. καθάπερ γὰρ ὁ Σαμουὴλ μέλλων παραδιδόναι τῷ Σαοὺλ τὴν ἀρχὴν, ἐπ' αὐτῶν λέγει· Μή τι παρ' ὑμῶν εἴληφα; ὑμεῖς μάρτυρες καὶ ὁ Θεός. α. Βασ. ιβ. γ. καὶ ὁ Δαβὶδ ἀπιστηθεὶς λέγει· Ἐν τῷ ποιμνίῳ ἤμην ποιμαίνων τὰ πρόβατα τοῦ πατρός μου· καὶ ὅτε ἦλθεν ἡ ἄρκτος, ταῖς χερσὶν αὐτὴν ἀπεσόβουν. α. Βασ. ιζ. λδ. καὶ αὐτὸς δὲ ὁ Παῦλος πρὸς Κορινθίους φησίν· Ἄφρων γέγονα· ὑμεῖς με ἠναγκάσατε. β. Κορ. ιβ. ι. καὶ ὁ Θεὸς δὲ αὐτὸ τοῦτο ποιεῖ, οὐχ ἁπλῶς περὶ ἑαυτοῦ λέγων, ἀλλ' ὅταν ἀπιστῆται, καὶ τὰς εὐεργεσίας προσφέρει. ὅρα γοῦν καὶ ἐνταῦθα τί ποιεῖ. πρῶτον αὐτῶν τὴν μαρτυρίαν παράγει, ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ ῥήματα, καὶ τοὺς ἀκροατὰς αὐτοὺς μάρτυρας καλεῖ τῶν λεγομένων, ὡς οὐκ ἂν ψευσάμενος ἐπ' αὐτῶν. αὕτη διδασκάλου ἀρετὴ, ὅταν τῶν οἰκείων κατορθωμάτων μάρτυρας ἔχῃ τοὺς μαθητευομένους. καὶ τὸ θαυμαστὸν, ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δευτέραν τοῦτο ποιῶν διετέλεσεν, ἀλλὰ πλῆθος ἐτῶν. ὑμεῖς γὰρ, φησὶν, ἐπίστασθε πῶς μεθ' ὑμῶν πάντα τὸν χρόνον ἐγενόμην. βούλεται τοίνυν αὐτοὺς παρακαλέσαι, ὥστε γενναίως φέρειν ἅπαντα, καὶ τὸν αὐτοῦ χωρισμὸν, καὶ τοὺς πειρασμοὺς τοὺς μέλλοντας συμβαίνειν· καθάπερ οὖν καὶ ἐπὶ Μωϋσέως καὶ Ἰησοῦ γέγονε. καὶ ὅρα τί ἐπήγαγεν, εἰπὼν πῶς μεθ' ὑμῶν ἐγενόμην πάντα τὸν χρόνον, δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης. ὅρα τί μάλιστα ἄρχουσι προσήκει· μισοῦντας, φησὶν, ὑπερηφανίαν· ὃ μάλιστα ἄρχουσιν ἁρμόζειν ἔπρεπε διὰ τὸ ἀνάγκην εἶναι πρὸς ἀπόνοιαν αὐτοὺς αἴρεσθαι. τοῦτο ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγε· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. Ματθ. ε. γ. οὐχ ἁπλῶς δὲ ταπεινοφροσύνης εἶπεν, ἀλλὰ, μετὰ πάσης. πολλὰ γὰρ εἴδη τῆς ταπεινοφροσύνης, καὶ ἔστι ταπεινοφροσύνην ἰδεῖν ἐν λόγῳ, ἐν ἔργῳ, πρὸς ἄρχοντας, πρὸς ἀρχομένους. βούλεσθε ὑμῖν εἴπω τρόπους ταπεινοφροσύνης; εἰσί τινες οἱ πρὸς μὲν τοὺς ταπεινοὺς, ταπεινοὶ τυγχάνοντες ὦσι· πρὸς δὲ τοὺς ὑψηλοὺς ὑψηλοί. τοῦτο δὲ οὐ ταπεινοφροσύνης. εἰσὶ δὲ πάλιν ἕτεροι οὐ τοιοῦτοι· ἀλλ' ἐφ' ἑκατέρων τῶν προσώπων εἰς καιρὸν καὶ τὸ ταπεινὸν τηροῦντες καὶ τὸ ὑψηλὸν, ὃ καὶ μάλιστά ἐστι ταπεινοφροσύνης. μέλλων τοίνυν διδάσκειν αὐτοὺς τὰ τοιαῦτα, ἵνα μὴ δόξῃ ἀπονοεῖσθαι, παρεμβάλλει θερμὴν(?), τὴν ὑποψίαν ἀναιρῶν. εἰ γὰρ μετὰ πάσης ταπεινοφροσύνης γέγονα, φησὶν, οὐκ ἐξ ἀπονοίας λόγοι ἃ λέγω. εἶτα τὸ ἥμερον· μεθ' ὑμῶν, φησὶν, ἐγενόμην δουλεύων τῷ Κυρίῳ, κοινωνοὺς τοῦ κατορθώματος δεικνὺς αὐτούς. οὕτω πανταχοῦ ἡ κοινωνία καλεῖ(?). κοινὰ ποιεῖται τοίνυν τὰ κατορθώματα, καὶ οὐδὲν αὑτῷ τίθησιν ἐξαίρετον. τί γὰρ φησί; κατὰ τοῦ Θεοῦ ἀπονοηθῆναι εἶχε; ἐμὲν(?) πολλοί εἰσιν οἱ ἀπονοοῦντες κατ' αὐτοῦ· οὐδεὶς δὲ οὐδὲ κατὰ τῶν μαθητῶν ἑαυτοῦ ἀπενοήθη. τοῦτο κατόρθωμα διδασκάλου, ἀπὸ τῶν οἰκείων κατορθωμάτων τοὺς μαθητὰς ῥυθμίζειν. εἶτα τῆς ἀνδρείας φησὶ, ἣν καὶ αὐτὸς ὑποτέμνεται· μετὰ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων. ὁρᾷς ὅτι ἀλγεῖ τοῖς γινομένοις; ἐνταῦθα δὲ αὐτοῦ καὶ τὸ συμπαθὲς δοκεῖ δηλοῦν. ἐδάκρυε γὰρ ὑπὲρ τῶν ἀπολλυμένων, ὑπὲρ αὐτῶν τῶν ποιούντων τὰ ἁμαρτήματα, ἐπεὶ ὑπὲρ τῶν εἰς αὐτὸν γινομένων καὶ ἔχαιρεν. ἐκεῖνος γάρ ἐστι τοῦ χοροῦ τῶν χαιρόντων, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. Πραξ. ε. μα. καὶ πάλιν ἀλλαχοῦ λέγει· Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν. Κολ. α. κδ. καὶ πάλιν, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν. β. Κορ. δ. ιζ. ἀλλὰ ταῦτα λέγει μετριάζων. ἐνταῦθα δὲ δείκνυσιν αὐτοῦ τὴν ἀνδρείαν· καὶ οὐ τοσοῦτον τὴν ἀνδρείαν, ὅσον τὴν ὑπομονήν. ὡσανεὶ ἔλεγεν· ἔπαθον ἐγὼ κακῶς, ἀλλὰ μεθ' ὑμῶν καὶ τὸ δεινὸν, ὅτι ὑπὸ Ἰουδαίων. θέα μοι ἐνταῦθα χαρακτῆρα διδασκαλίας· καὶ τὴν ἀγάπην τίθησι καὶ τὴν ἀνδρείαν. ὡς οὐδὲν ὑπεστειλάμην, φησί. τὸ ἄφθονον δείκνυσι διὰ τούτων ὁμοῦ καὶ

γρ. ἐπ' αὐτῶν τὰ ὑπομνήματα διέξεισι.

χρεί[...]ματος ἐπιτροπείας μισεῖν, ὃ μάλιστα ἄρχουσιν ἁρμόζει, διὰ τὸ ἀνάγκην εἶναι ἀπόνοιαν αὐτοὺς. τοῦτο ἡ

τὸ ἄοκνον. καὶ τῶν συμφερόντων. καλῶς οὕτως εἶπεν. ἦν γὰρ ἃ οὐκ ἔδει μαθεῖν. ὥσπερ γὰρ τό τινα ἀποκρύπτεσθαι, φθόνου· οὕτω τὸ πάντα λέγειν, ἀνοίας. διὰ τοῦτο προσέθηκε τῶν συμφερόντων, δηλῶν ὅτι οὐκ εἶπον μόνον, ἀλλὰ καὶ ἐδίδαξα· οὐχ ὡς αὐτὸ τοῦτο ἀφοσιούμενος, φησίν. (χ. ς) ὅτι δὲ τοῦτο δηλοῖ, ἄκουε τὸ ἑξῆς. ἐπήγαγε γάρ· δημοσίᾳ καὶ κατ' οἴκους, τὴν μακρὰν ταλαιπωρίαν, καὶ τὴν πολλὴν σπουδὴν καὶ τὴν καρτερίαν ἐπιδεικνύμενος. διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν. οὐχὶ πρὸς ὑμᾶς, φησί, μόνον, ἀλλὰ καὶ πρὸς Ἕλληνας. ἐνταῦθα ἡ παῤῥησία· καὶ ὅτι κἂν μηδὲν ὠφελῶμεν, λέγειν δεῖ. τὸ γάρ, διαμαρτύρεσθαι, τοῦτό ἐστιν, ὅταν πρὸς τοὺς μὴ προσέχοντας λέγωμεν. τὸ γὰρ διαμαρτύρεσθαι, ὡς ἐπὶ τὸ πολὺ τοῦτό ἐστι. Διαμαρτύρομαι, φησὶ Μωϋσῆς, τόν τε οὐρανὸν καὶ τὴν γῆν· καὶ νῦν αὐτός, διαμαρτυρόμενος (Δευτ. δ. κϛ.) Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν. τί διαμαρτύρῃ; ὥστε βίου ἐπιμεληθῆναι, ὥστε μετανοῆσαι καὶ προσελθεῖν τῷ Θεῷ. οὐδὲ γὰρ Ἰουδαῖοι ᾔδεσαν αὐτόν, διά τε τὸ ἀγνοεῖν, διά τε τὰ ἔργα καὶ πίστιν μὴ ἔχειν τὴν εἰς τὸν Κύριον Ἰησοῦν. τίνος οὖν ἕνεκεν ταῦτα λέγεις; τίνος ἕνεκεν ταῦτα ὑπομιμνήσκεις; τί γέγονε; μή τι ἔχεις ἐγκαλεῖν; πρότερον κατασείσας αὐτῶν τὴν διάνοιαν, τότε ἐπάγει·

22 Καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς· (χ. φοβοῦμαι)

23 Πλὴν ὅτι τὸ πνεῦμά μοι τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσιν.

24 Ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ. Διὰ τί ταῦτα λέγει; παρασκευάζων αὐτοὺς ἀεὶ ἑτοίμους εἶναι πρὸς κινδύνους καὶ δήλους καὶ ἀδήλους, καὶ πάντα τῷ πνεύματι πείθεσθαι. δείκνυσι δέ, ὅτι ἐπὶ μεγάλοις ἀπάγεται. πλὴν ὅτι τὸ πνεῦμά μοι, φησί, τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί λέγον. ἵνα δείξῃ ὅτι ἑκὼν ἀπέρχεται, καὶ ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσῃς, τὸ κατὰ πόλιν, εἶπεν. εἶτα ἐπάγει, ὅτι οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχήν, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου. ὁρᾷς ὅτι οὐκ ἀποδυρομένου ἦν τὰ ῥήματα, ἀλλὰ μετεωρίζοντος, καὶ παιδεύοντος ἐκείνους, καὶ συμπάσχοντος τοῖς γινομένοις; οὐκ εἶπεν, ὅτι ἀλγῶ μέν, ἀνάγκη δὲ φέρειν· ἀλλ', οὐδὲ ἡγοῦμαι. (χ. ἀλγῶ μὲν) τοῦτο πάλιν λέγει, οὐκ ἐπαίρων ἑαυτόν, ἀλλ' ἐκείνους διδάσκων, διὰ μὲν τῶν προτέρων τὴν ταπεινοφροσύνην, διὰ δὲ τούτων τὴν ἀνδρείαν, τὴν παῤῥησίαν. ὥσπερ ἔλεγον οὐ φιλῶ αὐτὴν πρὸ ταύτης· προτιμότερον ἡγοῦμαι τὸ τελέσαι τὸν δρόμον, τὸ διαμαρτύρασθαι. καὶ οὐκ εἶπε, κηρύξαι, διδάξαι· ἀλλὰ τί; διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ. μέλλει τι φορτικώτερον λέγειν, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· διὰ τοῦτο προκατασκευάζει καὶ δείκνυσιν, ὅτι οὐδὲν ἐλλείπεται. ἐπεὶ οὖν ἔμελλεν αὐτοῖς ἐπιτιθέναι τὸ βάρος ἅπαν καὶ τὸ φορτίον, πρότερον κατεμάλαξεν αὐτῶν τὴν διάνοιαν, λέγων·

25 Καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου. [Εἶτα τότε ἐπήγαγε τό, καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων]. διπλῆ ἡ λύπη τότε, τὸ πρόσωπον αὐτοῦ οὐκ ἔτι ὄψεσθαι, καὶ τό, αὐτοὺς πάντας. οὐκ ἔτι γάρ, φησιν, ὄψεσθε τὸ πρόσωπόν μου

(χ. ὁ ἀδελφοὶ διὰ ὅτι τὸ πρόσωπόν μου οὐκ ὄψεσθε· τουτέστι, τῇ διανοίᾳ μεθ' ὑμῶν εἰμὶ καὶ τὸ μὴ αὐτοὺς μόνους ὑπὲρ)

Ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν. Ὥστε εἰκότως.

26 Διαμαρτύρομαι ὑμῖν, Ἅτε μηκέτι παραγενόμενος, Ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων.

27 Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.

Ὁρᾷς πῶς φοβεῖ, καὶ πεποιηκότας αὐτῶν τὰς ψυχὰς καὶ τεθλιμμένας ἐπιτείνει; καλῶς, ὅτι ἀναγκαῖον ἦν. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, φησι, πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. ἄρα ὁ μὴ λέγων,

λέγων, ὑπεύθυνός ἐστι τοῦ αἵματος· τουτέστι, τῆς σφαγῆς. οὐδὲν τούτου φοβερώτερον. δείκνυσιν ὅτι κἂν ἕτεροι, ἂν μὴ ποιῶσιν, ὑπεύθυνοί εἰσι τοῦ αἵματος. καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι, ἐκείνοις δὲ φοβεῖ.

28 Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

Ὁρᾷς; δύο παρεστάξει. οὔτε οὖν τὸ ἑτέρους κατορθοῦν μόνον ἔχει τι κέρδος (φοβοῦμαι γάρ, φησι, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι) οὔτε τὸ ἑαυτοῦ μόνον ἐπιμελεῖσθαι. ὁ γὰρ τοιοῦτος φίλαυτος, καὶ τὸ ἑαυτοῦ ζητεῖ μόνον, καὶ τῷ τὸ τάλαντον κατακρύψαντι ἴσος ἐστί. ταῦτα λέγει, οὐκ ἐπειδὴ προτιμοτέρα ἡ ἡμετέρα σωτηρία τοῦ ποιμνίου· ἀλλ᾽ ἐπειδὴ ὅταν ἑαυτοῖς προσέχωμεν, τότε καὶ τὸ ποίμνιον κερδαίνει. ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ὅρα πόση ἀνάγκη. παρὰ τοῦ πνεύματος τὴν χειροτονίαν ἔχετε, φησι· τοῦτο γάρ ἐστι τό, ἔθετο. μία αὕτη ἀνάγκη. εἶτα, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ἰδοὺ καὶ δευτέρα· καὶ τρίτη, ἥν, φησι, περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. [πολὺ] δείκνυσι δι᾽ ὧν εἶπε τίμιον τὸ πρᾶγμα, καὶ ὅτι οὐχ ὑπὲρ μικρῶν ὁ κίνδυνος, εἴγε ὁ δεσπότης ὑπὲρ τῆς ἐκκλησίας οὐδὲ τοῦ αἵματος ἐφείσατο τοῦ ἑαυτοῦ· ἡμεῖς δὲ τῆς τῶν ἀδελφῶν σωτηρίας καταφρονοῦμεν. καὶ ἐκεῖνος μὲν ἵνα ἐχθροὺς καταλλάξῃ, καὶ τὸ αἷμα ἐξέχεε· σὺ δὲ οὐδὲ φίλους γενομένους ἰσχύεις κατασχεῖν.

29 Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Πάλιν ἄλλοθεν αὐτοὺς ἐπιστρέφει, ἀπὸ τῶν ἐσομένων· ὥσπερ ὅταν ἀλλαχοῦ λέγῃ· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. ὅτι εἰσελεύσονται, φησι, μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς. διπλοῦν τὸ κακόν· ὅτι τε αὐτὸς οὐ πάρεστι, καὶ ὅτι ἕτεροι ἐπιθήσονται. τί οὖν ἀπέρχῃ, εἰ τοῦτο προοίδας; τὸ πνεῦμά με ἕλκει, φησί. καὶ ὅρα· οὐχ ἁπλῶς εἶπε, λύκοι, ἀλλὰ προσέθηκε, βαρεῖς, τὸ σφοδρὸν αὐτῶν καὶ ἰταμὸν αἰνιττόμενος. καὶ τὸ χαλεπώτερον, ὅτι αὐτοὺς τούτους ἐξ αὐτῶν ἀναστήσεσθαι λέγει· ὃ δὲ σφόδρα ἐστὶ βαρύ, ὅταν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ. καὶ καλῶς εἶπε, προσέχετε, δεικνὺς περισπούδαστον σφόδρα τὸ πρᾶγμα (ἐκκλησία γάρ ἐστι) καὶ ὅτι μέγας ὁ κίνδυνος (αἵματι γὰρ αὐτὴν ἐλυτρώσατο) καὶ ὅτι πολὺς ὁ πόλεμος καὶ διπλοῦς. ταῦτα τοίνυν ἐδήλωσεν εἰπών,

30 Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. Εἶτα ἐπειδὴ σφόδρα αὐτοὺς ἐφόβησε τῷ εἰπεῖν λύκους βαρεῖς, καὶ ἐξ αὐτῶν ἀναστῆναι τοὺς τὰ διεστραμμένα λαλοῦντας, ὥσπερ ὑπό τινος διαπορηθείς, πῶς οὖν, εἰπόντος, καὶ τίς ἔσται φυλακή; ἐπάγει λέγων·

31 Γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. Ὅρα πόσαι ὑπερβολαί· μετὰ δακρύων, καὶ νύκτα καὶ ἡμέραν, καὶ ἕνα ἕκαστον. οὐ γάρ, εἰ πολλοὺς εἶδε, τότε ἐφείδετο· ἀλλ᾽ ᾔδει καὶ ὑπὲρ μιᾶς ψυχῆς πάντα ποιεῖν. οὕτω γοῦν αὐτοὺς καὶ συνεκρότησεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀρκεῖ τὰ παρ᾽ ἐμοῦ· τριετίαν ἔμεινα, ἱκανῶς ἐστερεώθησαν, ἱκανῶς ἐρριζώθησαν. μετὰ δακρύων, φησίν. ὁρᾷς ὅτι τὰ δάκρυα διὰ τοῦτο; ταῦτα ποιῶμεν καὶ ἡμεῖς. οὐκ ἀλγεῖ ὁ κακός, ἄλγησον σύ· ἴσως ἀλγήσει κἀκεῖνος. καθάπερ ὅταν ἴδῃ ὁ κάμνων τὸν ἰατρὸν λαμβάνοντα σιτίου, καὶ αὐτὸς προτρέπεται· οὕτω δὴ καὶ ἐν τούτοις ἔσται· ἂν ἴδῃ σε ὀδυρόμενον, μαλαχθήσεται, χρηστὸς ἀνὴρ καὶ πρᾶος γενήσεται. οὐκ εἰδώς, φησι, τὰ συναντήσοντά μοι. τί οὖν; διὰ τοῦτο ἀπέρχῃ; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα γινώσκω, ὅτι δεσμά καὶ θλίψεις με μένουσιν. ὅτι μὲν οὖν πειρασμοὶ ἐκδέχονταί με, οἶδα· ὁποῖοι δέ, οὐκ οἶδα· ὅπερ ἦν χαλεπώτερον. μὴ τοίνυν νομίσητέ με ἀποδυρόμενον ταῦτα λέγειν. οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχήν. ἵνα ἀναστήσῃ αὐτῶν τὴν διάνοιαν ταῦτά φησι, καὶ πείσῃ

χ. ἰδίου καὶ ἄλλ-ου, τοῦ Κυρίου ἦν ἡ ἐκκλη-σία καὶ ποί-

χ. τὴν διεκδό-πτα ἐκεῖνον καὶ ἀναισχυντί-α αὐτ.

χ. ὑμ.

α. Κορ. θ. κζ.

Ἐφεσ. ϛ. β.

μὴ μόνον μὴ φεύγειν, ἀλλὰ καὶ γενναίως φέρειν. Διὰ τοῦτο δρόμον καὶ διακονίαν τὸ πρᾶγμα καλεῖ· τὸ μὲν, δεικνὺς τὸ λαμπρὸν ἀπὸ τοῦ δρόμου, τὸ δὲ, τὸ ὀφειλόμενον ἀπὸ τῆς διακονίας. Διάκονός εἰμι, φησιν, οὐδὲν πλέον ἔχω. Παραμυθησάμενος δὲ αὐτοὺς, ἵνα μὴ ἀλγῶσιν ἐφ' οἷς πάσχει κακῶς, καὶ εἰπὼν ὅτι μετὰ χαρᾶς ταῦτα ὑπομένει, καὶ τὸν καρπὸν δείξας, τότε τὸ λυπηρὸν ἐπάγει. Τοῦτο δὲ ποιεῖ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὴν διάνοιαν. Ποῖον δὲ τοῦτό ἐστι; τὸ, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα. Τί οὖν εἴποι τις ἄν; τοσοῦτον σαυτὸν ἡγῇ, ὅτι, ἂν ἀπέλθῃς, ἀποθνήσκομεν; Οὐ τοῦτο λέγω, φησὶν, ὅτι ἡ ἐμὴ ἀπουσία τοῦτο ποιεῖ· ἀλλὰ τί; ὅτι ἐπιθυμαστήσονταί τινες ὑμῖν. Οὐκ εἶπε, διὰ τὴν ἄφιξίν μου· κ. ἐ ἀλλὰ, μετὰ τὴν ἄφιξιν· τουτέστι, τὴν ἀποδημίαν, καίτοι καὶ ἤδη γέγονε τοῦτο. Εἰ δὲ γέγονε, πολλῷ μᾶλλον μετὰ ταῦτα γενήσεται. Εἶτα καὶ ἡ αἰτία· τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. Ὥστε δὴ οὐδὲν ἕτερον αἱ αἱρέσεις, ἢ διὰ τοῦτο. Εἶτα καὶ παραμυθία, ἣν περιεποιήσατο, φησὶ, διὰ τοῦ ἰδίου αἵματος. Εἰ δὲ τῷ ἰδίῳ αἵματι περιεποιήσατο, προστήσεται πάντως. Νύκτα, φησὶ, καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν.

ΗΘΙΚΟΝ

Ταῦτα πρὸς ἡμᾶς εἰκότως ἂν λέγοιτο. Καὶ δοκεῖ μὲν εἶναι ἰδικῶς πρὸς τοὺς διδασκάλους ὁ λόγος, ἔστι δὲ κοινὸς καὶ πρὸς τοὺς μαθητάς. Τί γὰρ ἂν ἐγὼ μὲν λέγω καὶ παρακαλῶ, καὶ δακρύω νύκτα καὶ ἡμέραν· ὁ δὲ μαθητὴς μὴ πείθηται; ἵνα γὰρ μὴ νομίσῃ τις τοῦτο ἀρκεῖν εἰς ἀπολογίαν, τὸ εἶναι μαθητὴν, καὶ μὴ ὑπείκειν, διὰ τοῦτο διαμαρτύρομαι εἰπὼν, ἐπήγαγεν· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν. Ἄρα τοῦτο διδασκάλου μόνον, ἀναγγεῖλαι, κηρύξαι, διδάξαι, μὴ ὑποστείλασθαι, νύκτα καὶ ἡμέραν παρακαλεῖν· ὅταν δὲ τούτων γινομένων μηδὲν πλέον γίνηται, ἴστε τὸ λειπόμενον. Εἶτα καὶ ἑτέρα ἀπολογία· ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. Μὴ δὴ νομίσητε πρὸς ἡμᾶς ταῦτα λέγεσθαι μόνον. Καὶ γὰρ καὶ πρὸς ὑμᾶς ὁ λόγος τοὺς ἀκροωμένους ἐστὶν, ὥστε προσέχειν τοῖς λεγομένοις, ὥστε μὴ ἀποπηδᾷν τῆς ἀκροάσεως. Τί ποιήσω; ἰδοὺ καθ' ἑκάστην ἡμέραν διαρρήγνυμαι βοῶν, ἀπόστητε τῶν θεάτρων, καὶ πολλοὶ γελῶσιν ἡμᾶς· ἀπόστητε τοῦ ὀμνύειν, τοῦ πλεονεκτεῖν. Μυρία παραινοῦμεν, καὶ οὐδεὶς ὁ ἀκούων. Ἀλλ' ἐν νυκτὶ οὐ διαλέγομαι; ἐβουλόμην καὶ ἐν νυκτὶ τοῦτο ποιεῖν, καὶ ἐν ταῖς τραπέζαις ταῖς ὑμετέραις, εἴπερ οἷόν τε, καὶ εἰς μυρία σχισθέντα παραγίνεσθαι ὑμῖν καὶ διαλέγεσθαι. Ἀλλ' εἰ τῆς ἑβδομάδος ἅπαξ καλοῦμεν ὑμᾶς, καὶ ὀκνεῖτε· καὶ οἱ μὲν οὐδὲ παραγίνεσθε, οἱ δὲ παραγινόμενοι οὐδὲν πλέον κερδάναντες ἄπιτε, τί οὐκ ἂν ἐποιήσατε, εἰ συνεχῶς τοῦτο ἐπράττομεν; Τί ποιήσομεν; πολλοὶ, οἶδα, ὅτι καὶ διασύρουσιν ἡμᾶς, διὰ τὸ περὶ τῶν αὐτῶν ἀεὶ διαλέγεσθαι· οὕτω γεγόναμεν προσκορεῖς. Αἴτιοι δὲ τούτου οὐχ ἡμεῖς, ἀλλ' αὐτοὶ οἱ ἀκούοντες. Ὁ μὲν γὰρ κατορθῶν, ἀεὶ χαίρει τὰ αὐτὰ ἀκούων, ὥσπερ ἐγκωμίων αὐτοῦ λεγομένων· ὁ δὲ μὴ βουλόμενος κατορθοῦν, καὶ ἐνοχλεῖσθαι δοκεῖ· κἂν δεύτερον ἀκούσῃ μόνον, πολλάκις δοκεῖ ἀκούειν. Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων, φησί. Τοῦτο Παύλῳ μὲν ἥρμοττεν εἰπεῖν, ἡμεῖς δὲ οὐ τολμῶμεν τοῦτο εἰπεῖν, μυρία συνειδότες ἑαυτοῖς. Ὥσπερ ἐκείνῳ τῷ διαπαντὸς ἀγρυπνοῦντι καὶ ἐφεστῶτι, τῷ πάντα ὑπὲρ τῆς σωτηρίας τῶν μαθητευομένων ὑπομένοντι ἥρμοττε λέγειν· ἡμῖν δὲ τὸ τοῦ Μωϋσέως ἐροῦμεν, Ὅτι ὠργίσθη μοι Κύριος δι' ὑμᾶς, ὅτι εἰς πολλὰ ἁμαρτήματα περιάγετε καὶ ἡμᾶς. Ὅταν γὰρ ἀθυμῶμεν ὁρῶντες ὑμᾶς οὐ προκόπτοντας, οὐ τὸ πλέον ἡμῖν τῆς ἰσχύος καταπίπτει; τί γὰρ, εἰπέ μοι, γέγονε πλέον; ἰδοὺ τῇ χάριτι τοῦ Θεοῦ καὶ ἡμεῖς λοιπὸν τριετίαν ἔχομεν· νύκτα μὲν καὶ ἡμέραν οὐ παρακαλοῦντες, διὰ τριῶν δὲ πολλάκις ἡμερῶν, ἢ δι' ἑπτὰ τοῦτο ποιοῦντες. Τί γέγονε πλέον; ἐγκαλοῦμεν, ἐπιτιμῶμεν, δακρύομεν, ὀδυνώμεθα, εἰ καὶ μὴ φανερῶς, ἀλλὰ κατὰ καρδίαν. Ἐκεῖνα δὲ πολὺ τούτων τὰ δάκρυα πικρότερα. Ταῦτα γὰρ φέρει τινὰ τοῖς ἀθυμοῦσι παραμυθίαν· ἐκεῖνα δὲ αὐτὸ ἐπιτείνει καὶ συσφίγγει. Οὕτω καὶ ὅταν ἐν ἀθυμίᾳ τις ᾖ, καὶ μὴ δύνηται ἐξενεγκεῖν τὴν ἀλγηδόνα, ὥστε μὴ δόξαι κατάδοξος εἶναι, μείζονα

ἄρα

Δευτ. γ. κϛ.

κ. κυριώτερα

κ. ἐπὶ δε.

γ. ταῦτα

ἆρα παρ' ἣ εἰ ταύτην ἐξήνεγκεν. εἰ μή με τις ἔκρινε φιλοτιμίας περιττῆς, εἶδες ἂν καθ' ἑκάστην ἡμέραν πηγὰς δακρύων ἀφιέντα. ταύτας δέ μοι συνοίδεν ὁ οἰκίσκος, καὶ ἡ ἐρημία. πιστεύσατε γάρ μοι, τῆς μὲν ἐμαυτοῦ σωτηρίας ἀπέγνων· τὰ δὲ ὑμέτερα θρηνῶ, οὐδὲ σχολὴν ἔχω τὰ ἐμαυτοῦ κακὰ πενθεῖν. οὕτω μοι πάντα ὑμεῖς ἐστε. κἂν αἴσθωμαι ἐπιδιδόντας ὑμᾶς, οὐκ αἰσθάνομαι τῶν ἐμαυτοῦ κακῶν ὑπὸ τῆς ἡδονῆς· κἂν ἴδω μὴ ἐπιδιδόντας, ὑπὸ τῆς ἀθυμίας πάλιν παραπέμπομαι τὰ ἐμά. φαιδρὸς μὲν ὢν ἐπὶ τοῖς ὑμετέροις ἀγαθοῖς, κἂν μυρία ἔχω δεινά· σκυθρωπὸς δὲ ἐπὶ τοῖς ὑμετέροις λυπηροῖς, κἂν μυρία μοι κατορθώματα ᾖ. τίς γὰρ ἐλπὶς διδασκάλῳ, τοῦ ποιμνίου διεφθαρμένου; ποία ζωή; ποία προσδοκία; μετὰ ποίας ἔσται παρρησίας πρὸς τὸν Θεόν; τί ἐρεῖ; θαρροῦμεν γὰρ ὅτι οὐδὲ ἐγκαλεῖται, οὐδὲ δίδωσι δίκην, ἀλλ' ἔστι καθαρὸς ἀπὸ τοῦ αἵματος πάντων· καὶ οὕτως ἀδιάφορα πείσεται. ἐπεὶ καὶ πατέρες ὑπὲρ παίδων οὐ μέλλοντες ἐγκληθῆναι, ὅμως ἀλγοῦσι καὶ δάκνονται. καὶ οὐδὲν αὐτῶν τοῦτο, φησίν, ὠφελεῖ, οὐδὲ παρίσταται, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν· ἀλλ' ἀγρυπνοῦσιν ὡς λόγον ἀποδώσοντες. καὶ δοκεῖ μέν τισι τοῦτο εἶναι φοβερόν· ἐμοὶ δὲ οὐδεὶς τούτου λόγος μετὰ τὴν ὑμετέραν ἀπώλειαν. ἄν τε γὰρ δῶ λόγον, ἄν τε μὴ δῶ, οὐδέν μοι τὸ ὄφελος. γένοιτο σωθῆναι ὑμᾶς, καὶ δοῦναι λόγον ἐμὲ δι' ὑμᾶς, ὑμᾶς σωθῆναι καὶ ἐμὲ ἐγκαλεῖσθαι ὡς μὴ πληρώσαντα τὰ παρ' ἐμαυτοῦ. οὐ γὰρ τὸ δι' ἐμοῦ σωθῆναι ὑμᾶς φροντίζω· ἀλλὰ τὸ σωθῆναι μόνον δι' οὗ τινος δήποτε. οὐκ ἴστε τὴν τυραννίδα τῶν ὠδίνων τῶν πνευματικῶν, πῶς μυριάκις εἵλετο ἂν κατακοπῆναι ὁ τούτων τὸν τόκον ὠδίνων, ἢ τῶν τεχθέντων ἕνα ἀπολλύμενον ἰδεῖν καὶ διεφθαρμένον; πόθεν ὑμᾶς πείσομεν; ἑτέρωθεν μὲν οὐδαμόθεν, ἀπὸ δὲ τῶν γινομένων τὰ καθ' ὑμᾶς πάντα ἀπολυσόμεθα. δυνάμεθα καὶ ἡμεῖς λέγειν, ὅτι οὐδὲν ὑπεστειλάμεθα· ἀλλ' ὅμως ἀλγοῦμεν. καὶ ὅτι ἀλγοῦμεν, δηλοῖ ἐξ ὧν μυρία κατασκευάζομεν καὶ μηχανώμεθα. καίτοι γε ἐξῆν πρὸς ἡμᾶς αὐτοὺς εἰπεῖν· τί μοι μέλει; ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα· ἐγὼ καθαρός εἰμι ἀπὸ τοῦ αἵματος. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς παραμυθίαν. εἴ γε ἐξῆν τὴν καρδίαν ἡμῶν διαρρῆξαι καὶ ἐπιδεῖξαι, εἴδετε ἂν μετὰ πολλῆς ἔνδον ὄντας τῆς εὐρυχωρίας πάντας ὑμᾶς, καὶ γυναῖκας καὶ παῖδας καὶ ἄνδρας. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις, τοῦ οὐρανοῦ εὐρυχωροτέραν ποιεῖ τὴν ψυχήν. Χωρήσατε ἡμᾶς, ἔλεγεν ὁ Παῦλος, οὐδένα ἠδικήσαμεν, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν. τοῦτο λέγομεν νῦν καὶ ἡμεῖς· χωρήσατε ἡμᾶς. πᾶσαν τὴν Κόρινθον εἶχεν ἐκεῖνος ἐν τῇ καρδίᾳ ἑαυτοῦ, καὶ ἔλεγε· Πλατύνθητε καὶ ὑμεῖς, οὐ στενοχωρεῖσθε. ἀλλ' αὐτὸς οὐκ ἂν ἔχοιμι τοῦτο λέγειν. εὖ γὰρ οἶδα, ὅτι καὶ ὑμεῖς ἡμᾶς ἀγαπᾶτε καὶ χωρεῖτε. ἀλλὰ τί τὸ κέρδος ἢ τῆς ἐμῆς ἀγάπης, ἢ τῆς ὑμῶν, ὅταν τὰ κατὰ Θεὸν ἡμῖν μὴ προχωρῇ; μείζονος ἀθυμίας ὑπόθεσις, πλείονος λύπης ἀφορμή. οὐδὲν ἔχω ἐγκαλεῖν ὑμῖν· Μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὁμειρόμεθα οὐ μόνον τὸ εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς δοῦναι ὑμῖν. φιλούμεθα καὶ φιλοῦμεν· ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον. φιλήσωμεν οὖν τὸν Χριστὸν προσηκόντως. Πρώτη γὰρ ἐντολή, ἀγαπήσεις Κύριον τὸν Θεόν σου· δευτέρα δὲ ὁμοία αὐτῇ, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. τὴν δευτέραν μὲν ἔχομεν, τῆς πρώτης ἡμῖν δεῖ· τῆς πρώτης δὲ μετὰ πολλῆς τῆς ὑπερβολῆς καὶ ἐμοὶ καὶ ὑμῖν. ἔχομεν αὐτήν, ἀλλ' οὐχ ὡς χρή. φιλήσωμεν αὐτόν. ἴστε πόσος ἀπόκειται μισθὸς τοῖς φιλήσασι τὸν Χριστόν; φιλήσωμεν αὐτὸν θερμότητι ψυχῆς, ἵνα τῆς παρ' αὐτοῦ εὐνοίας ἀπολαύοντες, διαφύγωμεν τὸν κλύδωνα τοῦ παρόντος βίου, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ παιδός, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑβρ. ιγ. ιζ.

β. Κορ. ζ. β.

β. Κορ. ϛ. ιϛ.

Γαλ. δ. ιε.

γ. μεταδοῦναι

Ματθ. κβ. λζ.

Λογ. με. 32 ΚΑΙ ΤΑΝΥΝ ΠΑΡΑΤΙΘΕΜΑΙ ΥΜΑΣ, ἀδελφοὶ, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι κληρονομίαν ὑμῖν, ἐν πᾶσι τοῖς ἡγιασμένοις.

Ὅπερ ἐπιστέλλων ποιεῖ, τοῦτο καὶ συμβουλεύων ἀπὸ παραινέσεως εἰς εὐχὴν τελευτᾷ. ἐπειδὴ γὰρ αὐτοὺς σφόδρα ἐφόβησε, λέγων ὅτι λύκοι βαρεῖς εἰς ὑμᾶς εἰσελεύσονται, ἵνα μὴ καταπλήξῃ τῇ διανοίᾳ καὶ ἀπολέσῃ, ὅρα τὴν παραμυθίαν. καὶ τανῦν, φησιν. οὕτως εἶπε, δηλῶν διὰ τούτου, ὅτι ὥσπερ ἀεὶ, παρατίθεμαι ὑμᾶς, ἀδελφοὶ, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ· τουτέστι, τῇ χάριτι αὐτοῦ. καὶ καλῶς οὕτως εἶπεν. οἶδε γὰρ ὅτι ἡ χάρις σώζει. συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς χάριτος, σπουδαιοτέρους ποιῶν ὡς ὀφειλέτας, καὶ πείθων θαῤῥεῖν. τῷ δυναμένῳ ὑμᾶς ἐποικοδομῆσαι. οὐκ εἶπεν, οἰκοδομῆσαι, ἀλλ', ἐποικοδομῆσαι, δεικνὺς ὅτι ἤδη ᾠκοδόμηνται. εἶτα τῆς ἐλπίδος ἀναμιμνήσκει τῆς μελλούσης, εἰπών· καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν πᾶσι τοῖς ἡγιασμένοις. εἶτα πάλιν παραίνεσις·

33 Ἀργυρίου, φησὶν, ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα.

Τὴν ῥίζαν ἀναιρεῖ τῶν κακῶν, τὴν φιλαργυρίαν. ἀργυρίου, φησὶν, ἢ χρυσίου. οὐκ εἶπεν, οὐκ ἔλαβον· ἀλλ', οὐδὲ ἐπεθύμησα. οὔπω μέγα τοῦτο· τὸ δὲ μετὰ τοῦτο, μέγα.

34 Ὑμεῖς ἐπίστασθε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται·

35 Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. Ὅρα αὐτοὺς τῷ ἔργῳ κεχρημένον· καὶ οὐχ ἁπλῶς, ἀλλὰ κοπιῶντα. ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. τοῦτο ἐντρεπτικῶς. καὶ ὅρα πῶς ἀξίως *. οὐ γὰρ εἶπε χρημάτων γενέσθαι κρείττους· ἀλλὰ τί; ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν ἀσθενῶν. Μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου, ὅτι εἶπεν· ὅτι μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν.

* αὐτῷ
γ. ἀκούειν τὸ τὸ λέγειν τὸ
γ. ὅπ αὐτὸς εἶπε

Ἵνα μή τις νομίσῃ πρὸς ἐκείνους εἰρῆσθαι, καὶ τύπον διδόναι αὐτὸν, ὅπερ ἀλλαχοῦ φησι, Τύπον διδόντες ὑμῖν, ἐπήγαγε τὴν ἀπόφασιν τοῦ Χριστοῦ λέγοντος· μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν. ἐπηύξατο αὐτοῖς παραινῶν, δείκνυσιν αὐτὸ καὶ ἔργῳ.

Φιλιππ. γ. ιζ.

36 Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς, προσηύξατο·

Οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς κατανύξεως. πολλὴ ἡ παράκλησις. καὶ τὸ εἰπεῖν δὲ, παρατίθεμαι ὑμᾶς τῷ Κυρίῳ, παρακαλεῖ.

37 Ἐγένετο δὲ κλαυθμὸς ἱκανὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτὸν,

38 Ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει· ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον. Εἶπεν, ὅτι εἰσελεύσονται λύκοι βαρεῖς· εἶπεν, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· ταῦτα ἑκάτερα φοβερὰ καὶ ἱκανὰ λυπῆσαι· μάλιστα δὲ [πλέον] πάντων τοῦτο αὐτοὺς ὠδύνησε, τὸ μηκέτι ὁρᾷν ἀκοῦσαι αὐτόν· καὶ τοῦτο ἐποίει τὸν πόλεμον χαλεπόν. προέπεμπον δὲ, φησιν, αὐτὸν εἰς τὸ πλοῖον. οὕτως ἐφίλουν αὐτόν· οὕτω διέκειντο περὶ αὐτόν.

γ. ὡς οὐκέτι ὑμῖν

κεφ. κα.

1 Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν· τῇ δὲ ἑξῆς εἰς Ῥόδον· κἀκεῖθεν εἰς Πάταρα·

γ. Κῶ

2 Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν.

3 Ἀναφάναντες

3 Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον. Ὅρα, ἦλθεν εἰς Λυκίαν καὶ [διαπερῶν εἰς Φοινίκην,] τὴν Κύπρον ἀφεὶς, εἰς Τύρον κατέπλευσεν.

Ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. Τοῦτο αἰτία τοῦ ἀπελθεῖν εἰς Τύρον.

4 Καὶ ἀνευρόντες μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ.

Ὅρα, προφητεύουσι κἀκεῖνοι τὰς θλίψεις· οἰκονομεῖται καὶ δι' ἐκείνων λεχθῆναι, ἵνα μή τις νομίσῃ ἁπλῶς ταῦτα λέγειν τὸν Παῦλον καὶ κομπάζειν. πάλιν δὲ ἐκεῖ προσευξάμενοι διαλύονται ἀπ' ἀλλήλων.

5 Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν, προσευξάμεθα,

6 Καὶ ἀπασπασάμενοι ἀλλήλους ἐνέβημεν εἰς τὸ πλοῖον. ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.

7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς, ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.

8 Τῇ δὲ ἐπαύριον ἐξελθόντες, ἤλθομεν εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ τοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ.

Εἰς Καισάρειαν, φησὶν, ἐλθόντες, παρὰ Φιλίππῳ τῷ ἐκ τῶν ἑπτὰ ἐμείναμεν.

9 Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι. Ἀλλ' οὐχ αὗται προλέγουσι τῷ Παύλῳ, καίτοι προφητεύουσαι, ἀλλ' Ἄγαβος· καὶ ὅπως, ἄκουε.

10 Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, κατῆλθεν ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος,

11 Καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ χεῖρας καὶ πόδας, εἶπε· τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν εἰς Ἱερουσαλὴμ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. Ὁ πάλαι τὸν λιμὸν μηνύσας, οὗτος τὸν ἄνδρα, φησὶ, τοῦτον, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν. ὅπερ οἱ προφῆται ἐποίουν, ὄψει τὰ γινόμενα ὑπογράφοντες, ὅτε περὶ αἰχμαλωσίας ἔλεγον, ὡς ὁ Ἰεζεκιὴλ, τοῦτο καὶ οὗτος ἐποίησε. καὶ τὸ δὴ χαλεπὸν, ὅτι καὶ εἰς χεῖρας ἐθνῶν παραδώσουσιν. Ἰεζεκ. ιβ.

12 Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ. Καὶ πολλοὶ παρεκάλουν μὴ ἀπελθεῖν. καὶ οὐδὲ οὕτως ὑπήκουσεν.

13 Ἀπεκρίθη δὲ ὁ Παῦλος· τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.

14 Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες· τὸ θέλημα τοῦ Κυρίου γινέσθω.

Ὁρᾷς; ἵνα μὴ ἀκούσας νομίσῃς ἀνάγκης εἶναι τὸ, δεδεμένος τῷ πνεύματι πορεύομαι, μηδὲ ἀγνοοῦντα αὐτὸν ἐμπεσεῖν, διὰ τοῦτο ταῦτα προλέγεται. ἀλλ' οἱ μὲν ἔκλαιον· αὐτὸς δὲ παρεκάλει, ἀλγῶν ἐπὶ τοῖς δάκρυσι τοῖς ἐκείνων. τί ποιεῖτε γὰρ, φησὶ, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; οὐδὲν Παύλου φιλοστοργότερον· ὅτι ἑώρα δακρύοντας, ἤλγει ὁ μὴ πάσχων ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς. ἐμὲ ἀδικεῖτε τοῦτο, φησὶ, ποιοῦντες. μὴ γὰρ ἐγὼ ἀλγῶ; τότε ἐπαύσαντο, ὅτε εἶπε, τί ποιεῖτε συνθρύπτοντές μου τὴν καρδίαν; ἐφ' ὑμῖν κλαίω, φησὶν, οὐκ ἐπὶ τοῖς παθήμασιν. ὑπὲρ γὰρ ἐκείνων καὶ ἀποθανεῖν βούλομαι.

ἴδωμεν

ἴδωμεν δὲ λοιπὸν τὰ εἰρημένα. Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ, φησὶν, οὐδενὸς ἐπεθύμησα· αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. οὐκ ἄρα ἐν Κορίνθῳ τοῦτο εἰργάσαντο μόνον οἱ διαφθείροντες τοὺς μαθητὰς, ἀλλὰ καὶ ἐν Ἀσίᾳ. ἀλλ' οὐδαμοῦ τοῦτο ὀνειδίζει τοῖς Ἐφεσίοις γράφων. τί δήποτε; ὅτι οὐκ ἐνέπεσεν εἰς ἀνάγκην. ἀλλὰ καὶ Κορινθίοις λέγει· Οὐκ ἐφράγη τὸ καύχημά μου ἐν τοῖς κλίμασι τῆς

β. Κορ. ια. ι.

Ἀχαΐας. καὶ οὐκ εἶπεν, οὐκ ἐδώκατέ μοι· ἀλλ', ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐκ ἐπεθύμησα, ἵνα μὴ δόξῃ ἐκείνων εἶναι τὸ μὴ δεδωκέναι. καὶ οὐκ εἶπεν, οὐδενὸς ἐπεθύμησα τῶν ἀναγκαίων, ἵνα μὴ δόξῃ πάλιν κατηγορία εἶναι ἐκείνων· ἀλλὰ τοῦτο αἰνίττεται, ὅτι εἰκότως οὐκ ἔλαβεν ὁπότε καὶ ἑτέρους ἔτρεφεν. ὅρα πῶς εἰργάζετο μετὰ σπουδῆς ἄνθρωπος νύκτα καὶ ἡμέραν διαλεγόμενος μετὰ δακρύων, ἕνα ἕκαστον νουθετῶν. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τοῦτο εἰπὼν, πάλιν ἐφόβησεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐκ ἔχετε εἰς ἄγνοιαν καταφυγεῖν· ὑπέδειξα διὰ τῶν ἔργων ὅτι οὕτω κοπιῶντας δεῖ ἐργάζεσθαι. καὶ οὐκ εἶπεν, ὅτι κακὸν τὸ λαβεῖν· ἀλλὰ, βέλτιον τὸ μὴ λαβεῖν. μνημονεύειν τε τῶν λόγων, φησὶ, τοῦ Κυρίου, ὃν εἶπε· μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν. καὶ ποῦ εἶπεν; ἴσως ἀγράφως παρέδωκαν οἱ ἀπόστολοι· ἢ, ἐξ ὧν ἄν τις συλλογίσαιτο, δῆλον. καὶ γὰρ ἔδειξε τὴν παῤῥησίαν τὴν πρὸς τοὺς κινδύνους, τὴν συμπάθειαν τὴν πρὸς τοὺς ἀρχομένους, τὴν διδασκαλίαν τὴν μετὰ παῤῥησίας, τὴν ταπεινοφροσύνην, τὴν ἀκτημοσύνην· τοῦτο δὲ καὶ ἀκτημοσύνης μεῖζον. εἰ γὰρ ἐκεῖ, Πώλησόν σου, φησὶ, τὰ ὑπάρχοντα, εἰ θέλεις τέλειος εἶναι· ὅταν

Ματθ. ιθ. κα.

πρὸς τῷ μηδὲν λαμβάνειν καὶ ἑτέρους τρέφῃ, τί τούτου ἴσον; εἷς βαθμὸς τοίνυν, ῥῖψαι τὰ αὐτοῦ· δεύτερος, ἑαυτῷ ἐπαρκεῖν· τρίτος, καὶ ἑτέροις· τέταρτος, τὸ κηρύττοντα καὶ ἐξουσίαν ἔχοντα λαμβάνειν, μὴ λαμβάνειν. ὥστε πολὺ τῶν ἀκτημόνων τούτων βελτίων ἦν. καὶ καλῶς εἶπεν, οὕτω δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τοῦτο μὲν γὰρ συμπαθείας τῆς πρὸς τοὺς ἀσθενεῖς, τὸ ἐκ τῶν ἰδίων κόπων διδόναι· τὸ δὲ ἐκ τῶν ἀλλοτρίων, οὐ μόνον οὐ καλὸν, ἀλλὰ καὶ ἐπισφαλές. καὶ ἐπιπεσόντες τῷ τραχήλῳ, φησὶν, αὐτοῦ ἔκλαιον. τοῦτο τὴν διάθεσιν τὴν πρὸς αὐτὸν δείκνυσιν. ἐπέπεσον δὲ ἐπὶ τὸν τράχηλον, ἅτε ὑστέρας περιπλοκὰς περιπλεκόμενοι, καὶ πολλὴν ἀπὸ τῆς διημερείας λαβόντες τὴν ἀγάπην καὶ τὸ φίλτρον. εἰ γὰρ ἁπλῶς ἡμεῖς ἀπ' ἀλλήλων διαλυόμενοι στένομεν, καίτοι εἰδότες ὅτι ἀποληψόμεθα ἀλλήλους· πῶς ἂν ἐκεῖνοι τότε Παύλου ἀπαθῶς ἀπεσπάσθησαν; ἐγὼ καὶ τὸν Παῦλον οἶμαι κλαίειν. ἀποσπασθέντες, φησί. δείκνυσι καὶ τὴν βίαν, τῷ εἰπεῖν, ἀποσπασθέντες ἀπ' αὐτῶν. καὶ εἰκότως. εἰς γὰρ τὴν θάλασσαν λοιπὸν ἐμβῆναι αὐτοὺς οὐκ ἐχρῆν. ὅ ἐστι, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ; ἀντὶ τοῦ, οὐ περιήλθομεν, οὐδὲ διετρίψαμεν ἐν ἑτέροις τόποις. τῇ δὲ ἑξῆς, φησὶν, εἰς Ῥόδον. ὅρα αὐτὸν ἐπειγόμενον. καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην. ἴσως ἐκεῖνο αὐτόθι διέτριβε· διὸ ἐν αὐτῷ ἐπιβαίνουσιν, οὐχ εὑρόντες ἄλλο εἰς Καισάρειαν ἀπερχόμενον. ἀναφάναντες δὲ τὴν Κύπρον καὶ καταλιπόντες αὐτὴν εὐώνυμον. τοῦτο οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα δείξῃ, ὅτι οὐδὲ ἐγγὺς αὐτῆς γενέσθαι ἠξίωσε. κατευθὺ πλέοντες τῆς Συρίας. οὕτως ἔσπευδεν. εἶτα καὶ κατήχθημεν εἰς Τύρον, φησὶ, καὶ εὑρόντες μαθητὰς ἐμείναμεν πρὸς αὐτούς. ὅτε πλησίον ἦσαν Ἱεροσολύμων, οὐκ ἔτι τρέχουσιν, ἀλλὰ καὶ μένουσι παρὰ τοῖς ἀδελφοῖς ἑπτὰ ἡμέρας. ἴδε μοι λοιπὸν καὶ τὰς ἡμέρας. μετὰ τὰ ἄζυμα εἰς Τρωάδα ἦλθον δι' ἡμερῶν πέντε· εἶτα ἐκεῖ ἑπτά· τὰς πάσας δώδεκα· εἶτα εἰς τὴν Ἄσσον, εἰς Μιτυλήνην, ἀντικρὺ Χίου εἰς Τρωγύλλιον, εἰς Σάμον, καὶ εἰς Μίλητον· δεκαοκτὼ ἡμέραι αἱ πᾶσαι· εἶτα εἰς Κῶν, εἰς Ῥόδον, εἰς Πάταρα, εἴκοσι καὶ μία· εἶτα ἐκεῖθεν δι' ἡμερῶν πέντε εἰς Τύρον, ἓξ καὶ εἴκοσι· λοιπὸν ἐκεῖ ἑπτὰ, τριάκοντα καὶ τρεῖς· εἶτα εἰς Πτολεμαΐδα μίαν, τριάκοντα τέσσαρες· εἶτα εἰς Καισάρειαν πλείους μὲν τῶν ἄλλων· καὶ τότε λοιπὸν ἐκεῖθεν αὐτοὺς ἀνάγει ὁ προφήτης. οὕτως ἡ πεντηκοστὴ πληροῦται, καὶ ἐκεῖ αὐτὴν

ποιεῖ.

ποιεῖ. ὅρα αὐτοὶ ὅτι τὸ πνεῦμα οὐκ ἐκώλυε, πειθόμενοι. Εἶπον, μὴ δῷς σαυτὸν εἰς τὸ θέατρον, καὶ οὐκ ἔδωκε· πολλάκις αὐτὸν ἐξήγαγον, καὶ ἐπείσθη· διὰ θυρίδος πάλιν ἔφυγε· καὶ νῦν, ὡς εἶπεν, μυρίων παρακαλούντων, καὶ τῶν ἐν Τύρῳ, καὶ τῶν ἐν Καισαρείᾳ, καὶ κλαιόντων καὶ μυρία προλεγόντων δεινά, οὐκ ἀνέχεται· καὶ μὴν οὐχ ἁπλῶς τὰ δεινὰ προέλεγον, ἀλλὰ διὰ τοῦ πνεύματος προέλεγον. Εἰ τοίνυν τὸ πνεῦμα ἐκέλευε, διὰ τί αἰτιῶνται; ὅτι οὐκ ᾔδεισαν ἅπερ ἐδόκει τῷ πνεύματι. καὶ ἄλλως δέ, οὐδὲ τὴν παραίνεσιν διὰ τοῦ πνεύματος ἐποιοῦντο. οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προύλεγον, ἀλλ' ὅτι ἀναβῆναι οὐ χρή, φειδόμενοι αὐτοῦ. μετὰ δὲ τὸ ἐξαρτίσαι τὰς ἡμέρας, φησί· τουτέστι, πληρῶσαι. ἡμέρας δὲ λέγει τὰς τεταγμένας. προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις. ὅρα πόση ἡ παράκλησις ἦν· καὶ πάλιν εὐξάμενοι διαλύονται. καὶ ἐν Πτολεμαΐδι μίαν μένουσιν ἡμέραν· ἐν δὲ Καισαρείᾳ πλείους. καὶ ὅτε ἤκουσεν ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπείγεται· οὐκ ἐπὶ τοὺς κινδύνους ῥίπτων ἑαυτόν, ἀλλ' ἡγούμενος τοῦ πνεύματος εἶναι τὸ πρόσταγμα.

γ. τουτέστι, διὰ τοῦ πνεύματος εἰδότες ἰδεῖν τὴν παρ.

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι, φησίν, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· Τουτέστι, τὰ πρὸς τὴν ὁδοιπορίαν λαβόντες.

γ. ἀποσκευασάμενοι. γ. ἀνεβαίνομεν

16 Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ ἀρχαίῳ μαθητῇ.

17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί.

Καὶ ὅρα. οὐκ εἶπεν Ἄγαβος, ὅτι Παῦλον δήσουσιν· ἵνα μὴ δόξῃ ἐκ συνθήκης λέγειν· ἀλλά, τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη. ἄρα καὶ ζώνην εἶχεν. ἐπεὶ δὲ οὐκ ἴσχυον πεῖσαι, διὰ τοῦτο ἔκλαιον, εἶτα ἡσύχασαν. ὁρᾷς φιλοσοφίαν; ὁρᾷς φιλοστοργίαν; ἡσυχάσαμεν, φησιν, εἰπόντες· τὸ θέλημα τοῦ Κυρίου γινέσθω. ἄγοντες, φησι, παρ' ᾧ ξενισθῶμεν. ἄρα οὐκ εἰς τὴν ἐκκλησίαν. τότε μὲν γάρ, ὅτε ὑπὲρ δογμάτων ἀνῄεσαν, ἐν τῇ ἐκκλησίᾳ ξενίζονται· νῦν δὲ παρὰ μαθητῇ τινι ἀρχαίῳ. δείκνυσι πολὺν τοῦ κηρύγματος τὸν χρόνον λοιπόν. ὅθεν μοι δοκεῖ πολλὰ ἔτη ἐπιτέμνειν ἐν ταῖς πράξεσιν οὗτος, τὰ κατεπείγοντα μόνον λέγων. τί ἐστι, τὸ θέλημα τοῦ Κυρίου γινέσθω; Κύριός, φησιν, αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. ἡσυχάζουσι δὲ ἐκεῖνοι, καὶ οὐκ ἀναγκάζουσιν, ἴσως συνειδότες ὅτι θέλημα ἦν Θεοῦ, ἀπὸ τῆς Παύλου προθυμίας τοῦτο στοχασάμενοι. οὐ γὰρ ἂν οὕτω Παῦλος προεθυμήθη, οὔτε Θεὸς ἂν εἴασεν ὁ ἀεὶ κινδυνεύοντα ἐξαρπάζων αὐτόν. οὕτως οὐκ ἐβούλοντο βαρεῖν τὴν ἐκκλησίαν, ὄντος ἑτέρου τοῦ ξενίζοντος αὐτούς, οὐδὲ ἀξίωμα ἀπῄτουν. ἀσμένως ἡμᾶς, φησιν, ἀπεδέξαντο οἱ ἀδελφοί. λοιπὸν εἰρήνης ἦν μεστὰ τὰ πράγματα τὰ ἐν Ἰουδαίοις, καὶ οὐχ ὡς πρότερον πόλεμος ἦν. ἄγοντες, φησι, παρ' ᾧ ξενισθῶμεν. Παῦλον ἐξένιζεν ἐκεῖνος.

γ. προθυμηθείη, ἐᾶσαι κινδ. ἐξαρ ἑαυτόν.

ΗΘΙΚΟΝ

Τάχα τις ὑμῶν ἐρεῖ· εἴ τις κἀμοὶ Παῦλον ἔδωκε ξενίσαι, ἑτοίμως ἂν καὶ μετὰ πολλῆς τῆς προθυμίας τοῦτο ἐποίησα. ἰδοὺ τὸν Παύλου δεσπότην ἔξεστί σοι ξενίσαι, καὶ οὐ βούλει. Ὁ γὰρ δεχόμενός, φησιν, ἕνα τῶν ἐλαχίστων, ἐμὲ δέχεται. ὅσῳ ἂν ἐλάχιστος ᾖ ὁ ἀδελφός, τοσούτῳ μᾶλλον ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται. ὁ μὲν γὰρ τὸν μέγαν δεχόμενος, πολλάκις καὶ διὰ κενοδοξίαν ποιεῖ· ὁ δὲ τὸν μικρόν, καθαρῶς διὰ τὸν Χριστόν. ἔξεστί σοι καὶ τὸν πατέρα ξενίσαι τοῦ Χριστοῦ, καὶ οὐ βούλει. Ξένος γὰρ ἤμην, φησί, καὶ συνηγάγετέ με· καὶ πάλιν, Ἐφ' ὅσον ἑνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. κἂν μὴ Παῦλος ᾖ, πιστὸς δὲ ᾖ καὶ ἀδελφός, κἂν ἐλάχιστος ᾖ, ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται. ἄνοιξον τὴν οἰκίαν, ὑπόδεξαι. Ὁ δεχόμενος προφήτην, φησί, μισθὸν προφήτου λήψεται. οὐκοῦν καὶ ὁ Χριστὸν δεχόμενος, λήψεται μισθὸν τοῦ Χριστὸν ξενίζοντος. μὴ ἀπίστει τοῖς ῥήμασιν αὐτοῦ, ἀλλὰ γίνου πιστός. αὐτὸς εἶπεν, ὅτι δι' αὐτῶν ἐγὼ παραγίνομαι. καὶ ἵνα μὴ ἀπιστῇς, καὶ τιμωρίας ὁρίζει τοῖς μὴ δεχομένοις, καὶ τιμὰς τοῖς δεχομένοις· οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ καὶ ὁ τιμηθεὶς, καὶ ὁ ὑβρισθεὶς αὐτὸς ἦν.

Ματθ. ιη. ε. Μαρκ. θ. λζ. Λουκ. θ. μη. Ματθ. κε. λε. Ματθ. ι. μα. γ. ἐποίησεν

ἐδέξω

ἐδέξω με, φησὶν, εἰς τὸ σὸν καταγώγιον, δέξομαί σε εἰς τὴν βασιλείαν τοῦ πατρός μου· ἔλυσάς μοι τὸν λιμὸν, λύσω σοι τὰ ἁμαρτήματα· εἶδές με δεδεμένον, ὁρᾶσθαί σε ποιῶ λελυμένον· εἶδές με ξένον, ποιῶ σε πολίτην τῶν οὐρανῶν· ἔδωκάς μοι ἄρτον, δίδωμί σοι βασιλείαν ὁλόκληρον, ὥστε κληρονομῆσαι καὶ κατασχεῖν. Δεῦτε γὰρ, φησὶ, κληρονομήσατε τὴν

Ματθ. κε. λδ. ἡτοιμασμένην ὑμῖν βασιλείαν. οὐκ εἶπε, λάβετε, ἀλλὰ, κληρονομήσατε· ὅπερ ἐπὶ τῶν κυρίως κτωμένων λέγεται, ὡς ὅταν λέγωμεν, τόδε ἐκληρονόμησα. ἐποίησας εἰς ἐμὲ ἐν κρυπτῷ, ἐγὼ κηρύξω ἐν φανερῷ. καὶ τὰ μὲν σὰ λέγω, ὅτι χάριτος ἦν· τὰ δὲ ἐμὰ, ὀφειλῆς. ἐπειδὴ γὰρ σὺ, φησὶν, ἦρξω, ἐγὼ ἕπομαι καὶ ἀκολουθῶ. οὐκ αἰσχύνομαι ὁμολογῆσαι τὰς εἰς ἐμὲ γενομένας εὐεργεσίας, οὐδὲ τίνων με ἀπήλλαξας, λιμοῦ καὶ γυμνότητος καὶ πλάνης. οὐδὲ εἶδές με δεδεμένον· οὐκ ὄψει δὲ τὸ τῆς γεέννης πῦρ· εἶδές με ἀρρωστοῦντα· οὐκ ὄψει τὰ βασανιστήρια, οὐδὲ τὰς τιμωρίας. ὦ χεῖρες οὕτως εὐλογημέναι, αἱ τοιαύταις οἰκονομίαις διακονούμεναι, αἱ καταξιούμεναι ὑπηρετεῖν τῷ Χριστῷ. πόδες εἰς δεσμωτήρια βαδίζοντες διὰ τὸν Χριστὸν, εὐκόλως καταπολμῶσι τοῦ πυρός· οὐ λαμβάνουσι πέρας τῶν δεσμῶν χεῖρες αἱ δεδεμένον αὐτὸν ἰδοῦσαι. ἐνέδυσας ἱμάτιον, καὶ ἐνδύῃ ἱμάτιον σωτηρίου· ἐγένου ἐν δεσμωτηρίῳ μετ' αὐτοῦ, καὶ γίνῃ ἐν βασιλείᾳ μετ' αὐτοῦ. ταῦτα ὁμολογεῖ οὐκ αἰσχυνόμενος, ἀλλ' εἰδὼς ὅτι αὐτὸν ἐπισκέπτω. οὐκ ᾔδει ἀγγέλους ξενίζων ὁ πατριάρχης, καὶ ἐξένιζεν. αἰσχυνθῶμεν, παρακαλῶ. ἐν μεσημβρίᾳ ἐκάθητο ἐπ' ἀλλοτρίας ὢν, ὅπου οὐδὲ βῆμα ποδὸς εἶχε· ξένος ἦν, καὶ ξένους ἐξένιζεν ὁ ξένος. πολίτης γὰρ ἦν τῶν οὐρανῶν. διὰ τοῦτο οὐδὲ ἐπὶ γῆς ὢν, ξένος ἦν. ἡμεῖς ἐκείνου τοῦ ξένου μᾶλλον ξένοι, μὴ δεχόμενοι ξένους. οὐκ εἶχεν οἰκίαν, καὶ καταγώγιον ἦν αὐτῷ ἡ σκηνή. καὶ ὅρα τὸ φιλόξενον. μόσχον ἔθυε, καὶ ἄλευρα ἔφυρεν. ἄκουε καὶ τὸ πρόθυμον. δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς τοῦτο ποιεῖ. σκόπει καὶ τὸ ἄτυφον· προσκυνεῖ καὶ παρακαλεῖ. πάντα γὰρ ταῦτα δεῖ τὸν ξενίζοντα ἔχειν, τὸ πρόθυμον, τὸ φαιδρὸν, τὸ ἄφθονον. ἡ γὰρ τοῦ ξένου ψυχὴ ἐρυθριᾷ καὶ αἰσχύνεται· κἂν μὴ μετ' ὑπερβολῆς ἐπιδείξῃ χαρὰν, ὡς ἀλογηθεὶς ἀπαλλάττεται, καὶ λοιπὸν χεῖρον γίνεται τοῦ μὴ ὑποδέξασθαι τὸ οὕτως ὑποδεχθῆναι. διὰ τοῦτο προσκυνεῖ, διὰ τοῦτο τῷ λόγῳ δέχεται, διὰ τοῦτο τῇ καθέδρᾳ. τίς γὰρ ἂν ἠπορήθη, εἰδὼς ὅτι τοῦτο ἔργον αὐτῷ ἦν; ἀλλ' οὐκ ἐπὶ ξένης ἐσμὲν ἡμεῖς; ἀλλ', ἐὰν θέλωμεν, δυνησόμεθα αὐτὸν μιμήσασθαι. πόσοι ξένοι εἰσὶ τῶν ἀδελφῶν; ἔστιν οἴκημα κοινὸν ἡ ἐκκλησία, ὃ ξενῶνα καλοῦμεν. περιεργάζεσθε καὶ ὑμεῖς· καθέζεσθε παρὰ τὰς θύρας· τοὺς ἐρχομένους ὑποδέχεσθε· κἂν μὴ εἰς τὰς οἰκίας ὑμῶν βούλησθε, ἀλλ' ἑτέρως τὰ πρὸς τὰς χρείας αὐτοῖς χορηγοῦντες. τί γάρ; ἡ ἐκκλησία οὐκ ἔχει, φησίν; ἔχει· ἀλλὰ τί τοῦτο πρὸς ὑμᾶς; μὴ τὸ ἀπὸ τῶν κοινῶν τῆς ἐκκλησίας τρέφεσθαι χρημάτων αὐτοὺς, τοῦτο ὑμᾶς ὠφελῆσαι δύναται; μὴ γὰρ ἐὰν ἕτερος εὔχηται, σὺ οὐκ ὀφείλεις εὔχεσθαι; διὰ τί μὴ λέγεις, τί γάρ; οὐκ εὔχονται οἱ ἱερεῖς; ἐγὼ τί εὔχομαι; ἀλλ' ἐγὼ, φησὶ, δίδωμι τῷ μὴ δυναμένῳ καταχθῆναι ἐκεῖ. δὸς κἂν ἐκείνῳ. τὸ γὰρ σπουδαζόμενον ἡμῖν τοῦτό ἐστι, τὸ ὅλως δοῦναι. ἄκουσον τί φησιν ὁ Παῦλος· Ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ, καὶ μὴ

α. Τιμ. ε. ιϛ. βαρῆται ἡ ἐκκλησία. ὅπως βούλει, ποίησον· μόνον ποίησον. ἐγὼ δὲ οὐ λέγω, ἵνα μὴ βαρῆται ἡ ἐκκλησία, ἀλλ', ἵνα σὺ μὴ βαρῇ. τῷ γὰρ λογισμῷ τούτῳ οὐδὲν ἐργάσῃ, πάντα ἐπιτρέπων αὐτῇ. διὰ τοῦτο κοινὸν οἴκημα ἐστὶν ὑπὸ τῆς ἐκκλησίας ἀφωρισμένον, ἵνα μὴ ταῦτα λέγῃς. ἀλλ' ἔχει δαπανήματα ἡ ἐκκλησία, φησί. χρήματα ἔχει καὶ προσόδους, εἰπέ μοι· ἀναλώματα δὲ οὐκ ἔχει; δαπάνην δὲ οὐκ ἔχει καθημερινήν; ναί, φησι. τί οὖν οὐ βοηθεῖς τῇ μητρίᾳ; αἰσχύνομαι μὲν ταῦτα λέγων· πλὴν ἀλλ' οὐδὲν ἀναγκάζω. εἴ τις νομίζει χρηματισμὸν εἶναι τὰ λεγόμενα, ποιείτω ἑαυτῷ ξενοδοχεῖον ἐπὶ τῆς οἰκίας· στῆσον ἐκεῖ κλίνην· στῆσον ἐκεῖ τράπεζαν καὶ λυχνίαν. πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν στρατιῶται ἔλθοιεν, ἔχειν ὑμᾶς ἀποτεταγμένα οἰκήματα, καὶ πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ πάντα παρέχειν

Marginal variants (right margin): γ. ἐνδύσῃ — γ. ἱλαρόν

ἔχειν αὐτοὺς, ἐπεὶ ὁ πόλεμος ὑμῖν ἀμείνων ἐστὶ τούτου τοῦ αἰσθητοῦ· τοὺς δὲ ξένους μὴ ἔχειν ἀπου καταμείναιεν; νίκησον τὴν ἐκκλησίαν. βούλει ἐντρέψαι ἡμᾶς; τοῦτο ποίησον· ὑπερβαλοῦ τῇ φιλοτιμίᾳ, ἔχε οἴκημα ἔνθα Χριστὸς παραγίνεται· εἰπὲ, τοῦτο τὸ κελλίον τοῦ Χριστοῦ· ἡ οἰκία αὕτη αὐτῷ ἀφώρισται. κἂν καταγαιον ᾖ καὶ εὐτελές, οὐκ ἀπαξιοῖ. γυμνὸς καὶ ξένος ὁ Χριστὸς περίεισι, μόνον σκέπης δεόμενος· κἂν τοῦτο παράσχε· μὴ ὠμὸς ἔσο, μηδὲ ἀπάνθρωπος, μηδὲ ἐν μὲν τοῖς βιωτικοῖς οὕτω σφοδρὸς ἔσο, ἐν δὲ τοῖς πνευματικοῖς ψυχρός. ἔστω καὶ τῶν οἰκετῶν ὁ πιστότερος τοῦτο ἐγκεχειρισμένος, καὶ τοὺς ἀναπήρους, τοὺς πτωχοὺς, τοὺς ἀστέγους εἰσαγέτω. ταῦτα λέγω πρὸς ἐντροπήν. ἔδει μὲν γὰρ λοιπὸν ἐπὶ τῆς οἰκίας αὐτοὺς δέχεσθαι· εἰ δὲ μὴ βούλει, κἂν κάτω, [κἂν ἔνθα αἱ ἡμίονοι,] κἂν ἔνθα οἱ οἰκέται, δέξαι τὸν Χριστόν. τάχα φρίττετε ἀκούοντες. τί οὖν, ὅταν μηδὲ ταῦτα ποιῆτε; ἰδοὺ παραινῶ, ἰδοὺ λέγω· ἔστω ὑμῖν τοῦτο περισπούδαστον. ἀλλ' οὐ βούλεσθε οὕτως; οὐκοῦν ἑτέρως ποιήσατε. εἰσὶ πολλοὶ πένητες καὶ πενιχραί· ἀφορίσατέ τινα ἔξωθεν μένειν ἐκεῖ· ἵνα ἔστω καὶ φύλαξ τῆς οἰκίας ὁ πένης· ἔστω σοι τεῖχος καὶ περίφραγμα, ἀσπὶς καὶ δόρυ. ἔνθα ἐλεημοσύνη, οὐ τολμᾷ προσελθεῖν ὁ διάβολος, οὐδὲ ἄλλο τι τῶν δεινῶν. μὴ δὴ περιίδωμεν τοσοῦτον κέρδος. ἰδοὺ δὲ ὀχήματος μὲν τόπος ἐστὶν ἀφωρισμένος, καὶ βαστερίοις ἕτερος*, τῷ δὲ Χριστῷ πλανωμένῳ οὐδὲ εἷς. ὁ Ἀβραὰμ οὕτως αὐτοὺς ἔλαβε· τοὺς ξένους ὑπεδέχετο· καὶ ἡ μὲν γυνὴ ἐν τάξει θεραπαινίδος εἱστήκει, ἐκεῖνοι δὲ ἐν τάξει δεσποτῶν. οὐκ ᾔδει ὅτι τὸν Χριστὸν ἐδέχετο, οὐκ ᾔδει ὅτι ἀγγέλους· ὡς εἴγε ᾔδει, πάντα ἂν ἐκένωσεν· ἡμεῖς δὲ καίπερ εἰδότες ὅτι τὸν Χριστὸν δεχόμεθα, οὐδὲ τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδὴν, ὅσην ἐκεῖνος ὁ νομίζων ἀνθρώπους δέχεσθαι. ἀλλ' ἐπιθέται εἰσὶ, φησι, πολλοὶ καὶ ἀγνώμονες. καὶ τούτου σοι μείζων ὁ μισθὸς, ὅταν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ δέχῃ. εἰ μὲν γὰρ οἶδας ὄντας ἐπιθέτας, μὴ δέχου εἰς τὴν οἰκίαν· εἰ δὲ οὐκ οἶδας, τί ἁπλῶς κατηγορεῖς; διὰ τοῦτο λέγω εἰς τὰ ξενοδοχεῖα ἀπιέναι. ποία δὲ ἀπολογία, ὅταν μηδὲ οὓς ἴσμεν, μηδὲ τούτους δεχώμεθα, ἀλλ' ἀποκλείωμεν πᾶσι τὰς θύρας; ἔστω τοῦ Χριστοῦ πανδοχεῖον ἡμῶν ἡ οἰκία· ἀπαιτῶμεν αὐτοὺς τὸν μισθὸν, μὴ ἀργύριον, ἀλλὰ τὸ ποιῆσαι ἡμῖν δοχεῖον τοῦ Χριστοῦ τὴν οἰκίαν· περιτρέχωμεν πανταχοῦ, ἕλκωμεν, ἁρπάζωμεν τὴν θήραν· μείζονα εὐεργετούμεθα ἢ εὐεργετοῦμεν. οὐ κελεύω καταθῦσαι μόσχον· ἄρτον δὸς πεινῶντι, ἱμάτιον γυμνῷ, σκέπην τῷ ξένῳ. ἵνα δὲ μὴ ταῦτα προφασίζῃ, ἐστὶν οἴκημα κοινὸν τὸ τῆς ἐκκλησίας, ἐκεῖ κατάβαλε. καὶ σὺ ὑποδέξαι· ἐπεὶ καὶ τῶν διὰ τῶν οἰκετῶν γινομένων ἐκεῖνος εἶχε τὸν μισθόν. οὕτως ἦσαν πεπαιδευμένοι καὶ οἱ παῖδες αὐτοῦ· ἔτρεχον, καὶ οὐκ ἐγόγγυζον, καθάπερ ἡμέτεροι. εὐλαβεῖς γὰρ αὐτοὺς ἦν πεποιηκώς. εἰς πόλεμον εἷλκε, καὶ οὐκ ἐγόγγυζον· οὕτως ἦσαν φιλόσοφοι. πάντων γὰρ ὁμοίως ἐπεμελεῖτο, ὥσπερ ἑαυτοῦ. μονονουχὶ γὰρ κατὰ τὸν Ἰὼβ ἔλεγεν· ὅτι ὁμοίως ἐπλάσθημεν ἐν τῇ αὐτῇ γαστρί. τοίνυν καὶ ἡμεῖς φροντίζωμεν ἑαυτῶν τῆς σωτηρίας, καὶ πολλὴν ποιώμεθα τῶν οἰκετῶν τὴν ἐπιμέλειαν, ὅπως ἔσονται χρηστοί [καὶ ἐπιμελεῖς·] καὶ ἔστω καὶ ὁ οἰκέτης ἡμῶν πεπαιδευμένος τὰ τοῦ Θεοῦ. οὐκ ἔσται δύσκολος ἡμῖν ἡ ἀρετὴ λοιπὸν, ἐὰν ἐκείνους ῥυθμίσωμεν· καθάπερ ἐν πολέμῳ στρατιωτῶν ὄντων εὐτάκτων, ὁ στρατηγὸς ῥᾳδίως πολεμεῖ, τοὐναντίον δὲ γίγνεται, ὅταν μὴ τοῦτο ᾖ· καὶ ναυτῶν δὲ ὁμονοούντων, ὁ κυβερνήτης εὐκόλως τοὺς οἴακας μεταχειρίζεται· οὕτω καὶ ἐνταῦθα, ἐὰν οὕτως ὦσι πεπαιδευμένοι οἱ οἰκέται, οὐ παροξυνθήσῃ ῥᾳδίως, οὐκ ἐγκαλέσεις, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις. ἔστιν ὅπου καὶ ἐναγαπήσῃ τοὺς οἰκέτας, ἐὰν ἀποθαυμάσῃ, καὶ συναντιλαμβάνονταί σοι, καὶ πράττουσι τὰ χρηστά. ἀπὸ δὲ τούτων πάντων πάντα ἔσται τὰ τοῦ Θεοῦ δοκοῦντα, καὶ οὕτω πᾶσα ἡ οἰκία εὐλογίας πληρωθήσεται, καὶ τὰ τοῦ Θεοῦ ἀρέσκοντα διαπραττόμενοι, πολλῆς ἀπολαυσόμεθα τῆς ἄνωθεν συμμαχίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν

χ. μένοιεν

χ. γαιον. ἄλλ. ἐπίγαιον

χ. δαψιλὲς

χ. πένης·

* καὶ ἀλόγοις ἵπποις

Ἰωβ. λα.

μετὰ Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μϛ. 18 ΤΗ ΔΕ ΕΠΙΟΥΣΗ ΗΜΕΡΑ ΕΙΣΗΕΙ Ο ΠΑΥ-
λος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε οἱ πρεσβύτεροι παρεγένοντο.
19 Καὶ ἀσπασάμενος αὐτοὺς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

Οὗτος ἀδελφὸς ἦν τοῦ Κυρίου, καὶ ἐπίσκοπος τῶν Ἱεροσολύμων, ἀνὴρ μέγας καὶ θαυμαστός. πρὸς τοῦτον εἰσέρχεται Παῦλος, ὥσπερ καὶ πρὸ τούτου καὶ πρὸς αὐτὸν πέμπεται. καὶ ὅπως, ἄκουε. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, φησὶν, εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον. ὅρα τὸ ἄτυφον. πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι· καὶ ἀσπασάμενος αὐτοὺς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. πάλιν αὐτοῖς τὰ τῶν ἐθνῶν διηγεῖται, οὐ κενοδοξῶν (μὴ γένοιτο) ἀλλὰ τοῦ Θεοῦ θέλων τὴν φιλανθρωπίαν ἐνδείξασθαι, καὶ πολλῆς αὐτοὺς ἐμπλῆσαι χαρᾶς. ὅρα γοῦν πῶς

20 Ἀκούσαντες καὶ ἐδόξαζον τὸν Θεόν. Οὐκ ἐκεῖνοι ἐπῄνουν, οὐδὲ ἐθαύμαζον, ἀλλὰ τὸν Θεὸν ἐδόξαζον. οὕτω γὰρ διηγήσατο, ὡς ἀνατιθέμενος αὐτῷ.

Οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Θεὸν, εἰπόντες αὐτῷ· θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι.

21 Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν.

Ὅρα καὶ αὐτοὶ μεθ' ὅσης ὑποστολῆς φασιν· οὐχ ὡς ἐπίσκοπος αὐθεντικῶς διαλέγεται, ἀλλ' αὐτὸν παραλαμβάνουσι κοινωνὸν τῆς γνώμης, ὥσπερ δὴ εὐθέως καὶ ἀπὸ προοιμίων ἀπολογούμενοι, ὅτι οὐκ ἐβουλόμεθα. ὁρᾷς τοῦ πράγματος τὴν ἀνάγκην; θεωρεῖς πόσαι, φησὶ, μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὐκ εἶπον, πόσας μυριάδας κατηχήσαμεν, ἀλλ' εἰσί. καὶ οὗτοι, φησι, πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. δύο αἰτίαι· καὶ τὸ πλῆθος, καὶ ἡ γνώμη. οὔτε γὰρ, εἰ ὀλίγοι ἦσαν, καταφρονῆσαι ἐχρῆν· οὔτε, εἰ πολλοὶ καὶ μὴ πάντες τοῦ νόμου ἀντείχοντο, περὶ πολλοῦ ποιεῖσθαι. εἶτα καὶ τρίτη αἰτία· καὶ αὐτοὶ πάντες κατηχήθησαν, φησι, περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. οὐκ εἶπον, ἤκουσαν· ἀλλὰ, κατηχήθησαν, τουτέστιν, ἐδιδάχθησαν καὶ ἐπίστευσαν. ὅτι ἀποστασίαν ἀπὸ Μωϋσέως διδάσκεις, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. τοῦτο εἰπὼν, ἐπήγαγε·

22 Τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν. ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.

23 Τοῦτο οὖν ποίησον, ὅ σοι λέγομεν. Ὡς συμβουλεύοντες ταῦτα λέγουσιν, οὐχ ὡς ἐπιτάττοντες. Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες, εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν.

24 Τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλὴν, καὶ γνῶσι πάντες ὅτι, ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς φυλάσσων τὸν νόμον. Ἔργῳ τὴν ἀπολογίαν ποιῆσαι αὐτῷ συμβουλεύουσιν, οὐ λόγῳ, ἵνα ξυρήσωνται, φησι, καὶ γνῶσι πάντες, ὅτι, ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν. οὐκ εἶπον, ὅτι διδάσκεις· ἀλλὰ, κατήχηνται. πάλιν τὸ, ἐδιδάχθησαν, διὰ τούτου δηλοῦν, καὶ

χ. μιῶ

χ. ὅτι οὐ δι... ἀλλ' ἐκ π... ειυς.

ὅτι

ὅτι στοιχεῖς· τουτέστιν, ἐκ περιουσίας καὶ αὐτὸς φυλάττεις. οὐ γὰρ δὴ τοῦτο μόνον ἦν τὸ σπουδαζόμενον, εἰ μὴ ἑτέρους διδάσκει, ἀλλ' ὅτι καὶ αὐτὸς τηρεῖ. τί οὖν, ἂν τὰ ἔθνη μάθωσιν, οὐ σκανδαλισθήσονται; φησί. πῶς, φησίν, ὅταν καὶ ἡμεῖς οἱ τῶν Ἰουδαίων διδάσκαλοι ἐπιμέψαιμεν πρὸς αὐτούς;

25 Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τὸ εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ τὸ πνικτόν, καὶ πορνείαν. Ἐνταῦθα ἐντρεπτικῶς. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὥσπερ ἡμεῖς ἐκείνοις ἐπετάξαμεν, καίτοιγε Ἰουδαίοις κηρύττοντες· οὕτω καὶ σὺ καίτοι ἔθνεσι κηρύττων, σύμπραξον ἡμῖν. ὅρα τὸν Παῦλον· οὐ λέγει, καὶ μὴν δύναμαι Τιμόθεον παραγαγεῖν, ὃν περιέτεμον· καὶ μὴν δύναμαι πεῖσαι τῷ λόγῳ· ἀλλ' ἐπείσθη αὐτοῖς, καὶ πάντα ἐποίησε. καὶ γὰρ οὕτω συνέφερεν. οὐ γὰρ ἦν ἴσον εἰς ἀπολογίαν καταστῆναι, καὶ τούτους εἰδότας ποιῆσαι ταῦτα. ἀνύποπτον ἦν τὸ καὶ δαπανᾶσθαι.

26 Τότε παραλαβὼν ὁ Παῦλος τοὺς ἄνδρας, καὶ τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. Διαγγέλλων· τουτέστι, καταγγέλλων· ὥστε αὐτὸς ἦν ὁ δῆλον ἑαυτὸν ποιῶν.

γ. πληροῦσθαι (* μάλιστα δὲ ἐκείνοις ἐγχονίζει)

27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι " συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, * θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας,

28 Κράζοντες, Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερόν, καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον. Ὅρα τὸ ἦθος αὐτῶν πανταχοῦ ταραχῶδες, καὶ ἁπλῶς βοῶνται ἐν τῷ μέσῳ.

γ. προεω-

29 Ἦσαν γὰρ " ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.

30 Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε, φησίν· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου. ἃ μάλιστα αὐτοὺς ἐθορύβει, ὁ ναὸς καὶ ὁ νόμος, ταῦτα προφέρουσιν ἐκεῖνοι. καὶ οὐδὲν ἐνεκάλεσε τοῖς ἀποστόλοις ὁ Παῦλος, παθὼν καίτοι τοσαῦτα, ὅτι αὐτοὶ αἴτιοι τούτων γεγόνασιν αὐτῷ· [οὕτως ἦν μεγαλόψυχος.] Εἷλκον αὐτόν, φησίν, ἔξω τοῦ ἱεροῦ. καὶ ἐκλείσθησαν αἱ θύραι. ἐβούλοντο γὰρ αὐτὸν ἀνελεῖν, καὶ διὰ τοῦτο ἔξω εἷλκον, ὥστε μετὰ πλείονος ἀδείας τοῦτο ποιῆσαι.

γ. ·ρης

31 Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς " σπείρας, ὅτι ὅλη συγκέχυται Ἰερουσαλήμ·

32 Ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.

33 Τότε ἐγγίσας ὁ χιλίαρχος, ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί· καὶ ἐπυνθάνετο τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς.

γ. ἄλλο τι ἐ- πεβ-

34 Ἄλλοι δὲ " ἄλλο ἐβόων ἐν τῷ ὄχλῳ. Καὶ τίνος ἕνεκεν μέλλων αὐτὸν ἐξετάζειν, ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί; παραμυθούμενος τὸν θυμὸν τοῦ δήμου. Μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.

35 Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου.

36 Ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κράζον, αἶρε αὐτόν.

Τί ἐστιν, αἶρε αὐτόν; ἔθος ἦν Ἰουδαίοις, καθ᾽ ὧν ἂν ἀπεφαίνοντο, τοῦτο λέγειν· ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ φαίνονται ποιοῦντες καὶ λέγοντες, ἆρον αὐτόν· τουτέστιν, ἐκ τῶν ζώντων ποίησον ἀφανῆ. τινὲς δὲ, ὅ παρ᾽ ἡμῖν λέγουσι κατὰ τὴν Ῥωμαϊκὴν συνήθειαν, ἐν τοῖς σίγνοις αὐτὸν ἔμβαλε, τοῦτο εἶναι τὸ, αἶρε αὐτόν.

37 Μέλλων δὲ εἰς τὴν παρεμβολὴν εἰσάγεσθαι ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ, εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ; Ἐπὶ τοὺς ἀναβαθμοὺς φερόμενος, ἀξιοῖ πρὸς τὸν χιλίαρχον εἰπεῖν τι. καὶ ὅρα πῶς ἐπιεικῶς· Εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ, φησιν. ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις;

38 Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων; Οὗτος ὁ Αἰγύπτιος ἄνθρωπός τις νεωτεροποιὸς γέγονε καὶ στασιαστής. πρὸς δὴ τοῦτο ἀπολογεῖται ὁ Παῦλος, καὶ δι᾽ ὧν εἶπεν ἀπάγει τῆς ὑποψίας αὐτόν. ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα. Εἰσὶν ἡμῖν ἄνδρες, φησὶ, τέσσαρες εὐχὴν ἔχοντες ἐφ᾽ ἑαυτῶν, τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς. πρὸς δὴ τοῦτο οὐκ ἀντιπίπτει ὁ Παῦλος, ἀλλὰ πείθεται. ὅθεν δῆλον, ὅτι οὐ προηγουμένως ἔδει τοῦτο ποιεῖν (διὸ καὶ πείθουσιν αὐτὸν) ἀλλ᾽ ὅτι οἰκονομία τὸ πρᾶγμα καὶ συγκατάβασις ἦν. οὐκ ἄρα ἐγκοπὴ τοῦ κηρύγματος τοῦτο ἦν, ὅπουγε καὶ αὐτοὶ ἐνομοθέτουν ἐκείνοις τὰ τοιαῦτα. τοῦτο τοίνυν οἰκονομῶν καὶ αὐτὸς Πέτρῳ ἐγκαλεῖ ὕστερον· καὶ οὐχ ἁπλῶς αὐτὸ ποιεῖ. ὅπερ γὰρ ἐνταῦθα ἐποίησεν αὐτὸς, τοῦτο Πέτρος ἐκεῖ, σιγῶν καὶ ἰσχυρὸν αὐτοῦ τὸ δόγμα. καὶ οὐκ εἶπον, ὅτι οὐ χρὴ τοὺς κατὰ τὰ ἔθνη διδάσκειν, οὐδὲ ἀρκεῖ τὸ μὴ κηρύξαι ἐκεῖ· ἀλλὰ δεῖ καὶ πλέον τι ποιῆσαι, ἵνα πεισθῶσιν ἐκεῖνοι ὅτι φυλάττεις τὸν νόμον. συγκατάβασις τὸ πρᾶγμά ἐστι, μηδὲν φοβηθῇς. καὶ ὅρα, οὐ πρότερον πείθουσιν αὐτὸν, ἕως τοῦ εἰπεῖν τὴν οἰκονομίαν πρῶτον καὶ τὸ κέρδος. καὶ τὸ ἐν Ἱεροσολύμοις δὲ τοῦτο ποιεῖν, φορτικόν. ποίησον τοίνυν τοῦτο ἐνταῦθα, ἵνα δόξῃς τι ἔξω ποιεῖν ἐκείνου. τότε παραλαβὼν, φησιν, ὁ Παῦλος τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ. οὐκ ἀνεβάλετο, ἀλλ᾽ ἔργῳ ἔδειξε τὴν πειθὼ, παραλαμβάνει μεθ᾽ ὧν ἔμελλεν ἁγνίζεσθαι. τοιοῦτόν τί ἐστι θερμὸν ἡ οἰκονομία. καὶ πῶς, φησιν, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι εἶδον αὐτὸν ἐν τῷ ἱερῷ; εἰκὸς ἦν αὐτοὺς ἡμέρας τινὰς ἐκεῖ διατρίβειν. ὅρα δὲ πῶς καὶ οἰκονομία τὸ γενόμενον ἦν. μετὰ γὰρ τὸ πεισθῆναι τοὺς Ἰουδαίους, τότε ἐπιτίθενται ἐκεῖνοι· εἰκότως· ἵνα μὴ κἀκεῖνοι ὑποπτεύσωσι). βοηθεῖτε, φησιν, ἄνδρες Ἰσραηλῖται. ὡς τινος δυσαθηρατοῦ καὶ δυσχειρωτοῦ ταῖς ἐκείνων ἐμπεσόντος χερσὶ, βοηθεῖτε, λέγουσι. πάντας πανταχοῦ τοῦτόν ἐστιν ὁ διδάσκων. οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ πανταχοῦ. εἶτα καὶ ἡ κατηγορία μείζων ἀπὸ τῶν προσόντων. ἔτι δὲ, φησι, καὶ κεκοίνωκε τὸ ἱερὸν, ἄνδρας Ἕλληνας εἰσαγαγών. καὶ μὴν καὶ ἐπὶ τοῦ Χριστοῦ ἀνέβησαν προσκυνήσοντες· ἀλλὰ τοὺς οὐκ ἂν ἐλθόντας προσκυνῆσαι οὗτοι λέγουσι. καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, φησὶν, εἷλκον αὐτὸν ἔξω. σκόπει· ἀπὸ τοῦ ἱεροῦ ἐκβάλλουσιν αὐτόν. οὐκέτι γὰρ νόμων ἐδέοντο, οὐδὲ δικαστηρίων [διὸ] καὶ ἔτυπτον αὐτόν*. οὕτω διὰ πάντων φαίνονται θρασεῖς ὄντες καὶ ἰταμοί. ὁ δὲ τότε μὲν οὐκ ἀπελογήσατο, ὕστερον δὲ εἰκότως. τότε γὰρ οὐδ᾽ ἂν ἤκουσεν. καὶ τί δήποτε ἔκραζον, αἶρε αὐτόν; ἐφοβοῦντο μὴ διαφύγῃ. ἀλλ᾽ ὅρα μεθ᾽ ὅσης ἐπιεικείας διαλέγεται ὁ Παῦλος τῷ χιλιάρχῳ. τί γάρ φησιν; εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ; τοσοῦτον ἦν τὸ ταπεινὸν, ὅτι καὶ μυθεύεται ἤδη πανταχοῦ*. οὐκ ἄρα σὺ εἶ, φησιν, ὁ Αἰγύπτιος; ὅρα κακουργίαν. διαβόλου ἀπάτη ἦν· ἐκεῖνος γόης ὁ Αἰγύπτιος, καὶ προσεδόκησεν ὁ διάβολος συσκιάζειν διὰ τούτου καὶ κοινωνοὺς ποιεῖν τῶν ἐκείνῳ προσηκόντων ἐγκλημάτων καὶ τὸν Χριστὸν καὶ τοὺς ἀποστόλους. ἀλλ᾽ οὐδὲν ἴσχυσεν, ἀλλ᾽ ὅμως ἔτι λαμπροτέρα γέγονεν ἡ ἀλήθεια, οὐδὲν παραβλαβεῖσα τοῖς τοῦ διαβόλου μηχανήμασιν, ἀλλὰ καὶ μᾶλλον λάμψασα. εἰ μὲν γὰρ μὴ ἦσαν γόητες, εἶτα οὗτοι ἐκράτουν,

χ. προσιοῦσιν αὐτῷ

χ. ἐνδιατρίβειν ἐν τῷ ἱερῷ.

ἐκράτουν, τάχα ἄν τις ἐπελάβετο· ὅτι δὲ καὶ ἐκεῖνοι ἐφάνησαν, οὗτοι κρατοῦσι, τοῦτό ἐστι τὸ θαυμαστόν. δεῖ καὶ φανῆναι οὐ κωλύουσι δὲ, ἵνα καὶ οὕτω μᾶλλον λάμψωσιν. ὥσπερ οὖν καὶ ἀλλαχοῦ λέγει· Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. τοιοῦτόν τι ἦν ὃ καὶ Γαμαλιῆλος ἔλεγεν· Ὅτι πρὸ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς. τοὺς δὲ Σικαρίους, οἱ μὲν λῃστάς τινας φασιν αὐτοὺς εἶναι, οὕτω καλουμένους ἀφ' ὧν ἐπεφέροντο ξιφῶν, σικῶν λεγομένων παρὰ Ῥωμαίοις· οἱ δὲ τῆς μιᾶς αἱρέσεως τῆς παρ' Ἑβραίοις. τρεῖς γάρ εἰσι παρ' αὐτοῖς αἱρέσεις αἱ γνήσιαι· Φαρισαῖοι, Σαδδουκαῖοι, καὶ Ἐσσηνοί, οἳ καὶ Ὅσιοι λέγονται (τοῦτο γάρ ἐστι τὸ Ἐσσηνοὶ ὄνομα, διὰ τὸ τοῦ βίου σεμνόν)· οἱ αὐτοὶ δὲ καὶ Σικάριοι, διὰ τὸ εἶναι ζηλωταί. — α Κορ. ια. ιθ. Πραξ. ε. λς.

Μὴ τοίνυν ἀλγῶμεν, ὅτι αἱρέσεις εἰσίν, ὅπου καὶ ψευδόχριστοι καὶ τῷ Χριστῷ ἐπιθέσθαι ἠθέλησαν καὶ πρὸ τούτου καὶ μετὰ τοῦτον, ὥστε συσκιάσαι· ἀλλ' ἡ ἀλήθεια λάμπει καὶ διαφανής ἐστι πανταχοῦ. — ΗΘΙΚΟΝ

τοῦτο καὶ ἐπὶ τῶν προφητῶν γέγονε. γεγόνασι ψευδοπροφῆται, καὶ ἀπὸ συγκρίσεως μᾶλλον ἔλαμψαν. καὶ γὰρ ἡ νόσος τὴν ὑγείαν φανερὰν δείκνυσι· καὶ τὸ σκότος, τὸ φῶς· καὶ τὴν γαλήνην, ὁ χειμών. οὐκ ἔνι εἰπεῖν τοὺς Ἕλληνας, ὅτι πλάνοι καὶ γόητες ἦσαν. ἐκεῖνοι γὰρ ἠλέγχθησαν. τοῦτο καὶ ἐπὶ Μωϋσέως γέγονε. συνεχώρησεν ὁ Θεὸς τοῖς μάγοις, ἵνα μὴ μάγος ὑποληφθῇ Μωϋσῆς· εἴασεν αὐτοὺς διδάξαι πάντας, μέχρι πόσου μαγεία φαντάσαι δύναται· περαιτέρω δὲ οὐκ ἠπάτησαν, ἀλλ' αὐτοὶ τὴν ἧτταν ὡμολόγησαν. οὐδὲν ἡμᾶς βλάπτουσιν οἱ ἐπιθέμενοι· μᾶλλον δὲ καὶ ποιοῦσι βελτίους, ἄν τις θέλῃ προσέχειν τὸν νοῦν. τί δὲ οὖν, φησίν, ὅταν κοινωνῶμεν αὐτοῖς τῆς δόξης; οὐ παρ' ἡμᾶς, ἀλλὰ παρὰ τοὺς οὐκ ἔχοντας κρίσιν. μὴ σφόδρα μελέτω τῆς δόξης ἡμῖν τῆς τῶν πολλῶν, μηδὲ πέρα τοῦ δέοντος αὐτῆς φροντίζωμεν. Θεῷ ζῶμεν, οὐκ ἀνθρώποις· ἐν οὐρανῷ πολιτευόμεθα, οὐκ ἐπὶ τῆς γῆς· ἐκεῖ τὰ βραβεῖα καὶ τὰ ἔπαθλα κεῖται τῶν ἡμετέρων πόνων· ἐκεῖθεν προσδοκῶμεν τοὺς ἐπαίνους· ἐκεῖθεν τοὺς στεφάνους. μέχρι τοσούτου φροντίζωμεν τῶν ἀνθρώπων, μέχρι τοῦ μὴ διδόναι καὶ παρέχειν αὐτοῖς λαβήν. ἂν δὲ ἡμῶν μὴ παρεχόντων ἐκεῖνοι θέλωσιν ἁπλῶς καὶ εἰκῆ κατηγορεῖν, γελῶμεν, δακρύωμεν. σὺ προνόει καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. ἂν σοῦ προνοοῦντος καλά, ἐκεῖνος σκώπτῃ, μηκέτι φρόντιζε. ἔχεις τὰ ὑποδείγματα ἐν ταῖς γραφαῖς. Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν, φησί; καὶ πάλιν, Ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα. καὶ ὁ Χριστὸς οὕτως ἐπὶ τῶν σκανδαλιζομένων ἔλεγεν· Ἄφες αὐτούς, ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· καὶ πάλιν, * Λαμψάτω τὰ ἔργα ὑμῶν, ὅπως ἴδωσιν οἱ ἄνθρωποι, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. εἰ δὲ ἀλλαχοῦ λέγει· Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, μὴ θαυμάσῃς. οὐ γάρ ἐστι ταῦτα ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. ὅταν μὲν γὰρ παρ' ἡμᾶς γίνηται, οὐαὶ ἡμῖν· ὅταν δὲ μὴ παρ' ἡμᾶς, οὐκέτι. καὶ πάλιν, Οὐαὶ ὑμῖν δι' οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται. τί οὖν; ἂν ἐγὼ μὲν ποιῶ τι τῶν δεόντων, ἕτερος δὲ βλασφημῇ, οὐδὲν πρὸς ἐμέ, ἀλλὰ πρὸς ἐκεῖνον. δι' ἐκείνου γὰρ ἐβλασφημήθη. καὶ πῶς ἔνι πρᾶξαί τι τῶν δεόντων, καὶ μὴ δοῦναι τοῖς ἄλλοις λαβήν; πόθεν βούλεσθε, ἀπὸ τῶν νῦν ὄντων, ἢ ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα ὑμῖν ἀγάγω; ἵνα μὴ ἀποφοδίσωμεν, βούλεσθε αὐτὸ διὰ τοῦτο τὸ νῦν μετὰ χεῖρας εἴπωμεν; Ἰουδαΐζει ὁ Παῦλος ἐν Ἱεροσολύμοις· ἀλλ' ἐν Ἀντιοχείᾳ οὐκ ἔτι Ἰουδαΐζει, καὶ ἐσκανδαλίζοντο, ἀλλ' οὐ δικαίως ἐσκανδαλίζοντο ἐκεῖνοι. λέγεται δὲ Νέρωνος καὶ οἰνοχόον καὶ παλλακίδα ἀποσπάσαι. πόσα οἴεσθε κατ' αὐτοῦ εἰρηκέναι αὐτοὺς διὰ τοῦτο; ἀλλ' οὐ δικαίως. εἰ μὲν γὰρ ἐπὶ ἀσελγείᾳ ἐπεσπάσατο, ἢ ἐπὶ πονηροῖς πράγμασιν, εἰκότως· εἰ δὲ ἐπὶ βίῳ ὀρθῷ, τίνος ἕνεκεν; εἴπω τι καὶ τινι τῶν ἐμοὶ συνήθων συμβάν. ἐπέπεσεν ὀργή ποτε τοῦ Θεοῦ, καὶ σφόδρα νέος ὢν ἐκεῖνος καὶ ἐν τῇ τοῦ διακόνου τάξει τυγχάνων, ἐπεὶ τότε ὁ ἐπίσκοπος ἔτυχεν ἀπὼν κατ' ἐκεῖνον τὸν καιρόν, καὶ τῶν πρεσβυτέρων οὐδεὶς ἐ-

Right margin: Γαλ. α. ι. β Κορ. ε. ια. Ματθ. ιε. ιδ. Λουκ. ς. κς. Ματθ. ε. ις. Ματθ. ιη. ς. Ρωμ. β. κδ.

Left margin: χ. -σιν ἡμᾶς λάμπειν, αὖ — * καὶ ὑμῖν ἵνα ἀληθῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι· καὶ πάλιν — χ. οὗ

φροντίζει, δὴ ἁπλῶς ἐποίησε· φωτισθῆναι, ἀδελφοὶ, ἐν μιᾷ νυκτὶ μυριάδας πολλὰς, καὶ ἁπλῶς ἐβαπτίζοντο πάντες οὐδὲν εἰδότες. τούτους ἐκεῖνος λαβὼν κατ' ἰδίαν ὁμοῦ ἐκατὸν καὶ διακοσίους, διηγεῖτο, ἄλλο μὲν οὐδὲν, τὰ δὲ τῶν μυστηρίων μόνον, ὡς μηδὲ τοῖς ἀμυήτοις συγχωρεῖν παρεῖναι. τοῦτο αὐτοὶ ποιοῦντα ἐνόμισαν πολλοὶ τῆς ἀρχῆς ἐρῶντα τοῦτο ποιεῖν· ἀλλ' οὐκ ἐφρόντισεν ἐκεῖνος τῶν νομιζόντων. οὐκ ἐξέτεινε μέντοι ἐπὶ χρόνον τὸ πρᾶγμα, ἀλλ' εὐθέως ἐπαύσατο. τί οὖν; ἐκεῖνος τοῦ σκανδάλου αἴτιος; οὐκ ἔγωγε οἶμαι. εἰ μὲν γὰρ, οὐκ οὔσης αἰτίας, τοῦτο ἐποίει, εἰκότως ἐκείνῳ τὴν αἰτίαν ἐπεγράφομεν, καὶ εἰ πάλιν ἐπεξέτεινεν. ὅταν γάρ τι τῶν τῷ Θεῷ δοκούντων κωλύηται διὰ τὸ ἑτέρους σκανδαλίζειν, καταφρονεῖν δεῖ· τότε δὲ φροντίζειν, ὅταν μηδὲν ἀναγκαζώμεθα δι' ἐκεῖνον παροξύνειν Θεόν. ἐπεὶ, εἰπέ μοι, ἂν μεταξὺ διαλεγομένων ἡμῶν καὶ τῶν μεθυόντων σκωπτόντων, σκανδαλίζηταί τις, ἐγὼ παύσομαι λέγων; ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Μὴ καὶ ὑμεῖς βούλεσθε ὑπάγειν; οὕτως οὔτε καταφρονεῖν, οὔτε σφόδρα δυσπεπεῖσθαι τῆς τῶν πολλῶν ἀσθενείας χρή. ἢ οὐχ ὁρῶμεν καὶ τοὺς ἰατροὺς τοῦτο ποιοῦντας· καὶ ὅταν μὲν ἐγχωρῇ, χαριζομένους τοῖς κάμνουσιν· ὅταν δὲ ἡ χάρις ἡ ἐκείνων βλάβην ἐργάζηται, οὐκέτι φειδομένους; πανταχοῦ τὸ μέτρον τιμᾶν, καλόν. ἐβλασφήμησαν πολλοὶ, κόρης τινὸς εὐμόρφου παρθένου μεινάσης, καὶ τοὺς κατηχοῦντας ἐλοιδόρησαν. τί οὖν; ἀποστῆναι ἐκείνους ἔδει διὰ τοῦτο; οὐδαμῶς. οὐδὲν γὰρ εἰργάζοντο ἐναντίον, ἀλλὰ καὶ σφόδρα ἐδόκουν πρᾶγμα Θεῷ. μὴ τοίνυν, εἰ σκανδαλίζονταί τινες, ἴδωμεν· ἀλλ' εἰ δικαίως, καὶ εἰ μὴ μετὰ τῆς ἡμετέρας βλάβης. Εἰ βρῶμα σκανδαλίζει, φησὶ, τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. εἰκότως. οὐδὲν γὰρ ἔβλαπτε τὸ μὴ φαγεῖν. εἰ μέντοι σκανδαλίζει αὐτὸν, ὅτι βούλομαι ἀποτάξασθαι, οὐκέτι φροντίζειν δεῖ. καὶ τίνα, φησὶ, τοῦτο σκανδαλίζει; πολλοὺς, ἔγωγε οἶδα. ὅταν τοίνυν ἀδιάφορον ᾖ τὸ κώλυμα, γινέσθω· ἐπεὶ εἰ μέλλοιμεν πρὸς τοῦτο μόνον ὁρᾶν, πολλῶν ἔχομεν ἀποστῆναι· ὥσπερ οὖν καὶ τοὐναντίον, εἰ μέλλοιμεν καταφρονεῖν, πολλοὺς ἀπολλύναι· ἐπεὶ καὶ Παῦλος προενόησε σκανδάλου. καὶ πῶς, ἄκουε. Ἵνα μὴ τῇ ἁδρότητι, φησὶ, ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. οὐδὲν γὰρ ἔβλαπτε τὸ τὴν ὑπόνοιαν ἐξελεῖν· ὅταν δὲ εἰς τοιαύτην ἐμπίπτωμεν ἀνάγκην, ὥστε μεγάλα γίνεσθαι κακὰ διὰ τὸ ἑτέρους σκανδαλίζειν, καταφρονῶμεν ἐκείνου. ἐκεῖνος μὲν γὰρ ἑαυτῷ αἴτιος· ἡμεῖς δὲ οὐκέτι ὑπεύθυνοι. οὐ γὰρ ὄνησιν ἀβλαβῶς αὐτοῦ φείσασθαι. ἐσκανδαλίσθησαν πολλοὶ, ὅτι εἰς ἱερὰ κατέφυγόν τινες πιστοὶ, ἐπειδὴ οὐκ ἔδει καταπεῖσθαι· ἀλλὰ κακῶς. οὐδεμία γὰρ ἀπὸ τούτου βλάβη. ἐσκανδαλίζοντο ὅτι ἤσθιε μετὰ τῶν ἐθνικῶν ὁ Πέτρος· ἀλλ' ἐκεῖνος μὲν ἐφείσατο, αὐτὸς δὲ οὐκέτι. πανταχοῦ προσήκει ἡμᾶς τοῖς τοῦ Θεοῦ νόμοις κατακολουθοῦντας, πολλὴν σπουδὴν ποιεῖσθαι, ὥστε μηδεμίαν ἀφορμὴν παρέχειν σκανδάλου, ἵνα καὶ αὐτοὶ ἀνεύθυνοι ὦμεν, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μζ. 39 ΕΙΠΕ ΔΕ Ο ΠΑΥΛΟΣ· ΕΓΩ ΕΙΜΙ ΑΝΘΡΩΠΟΣ Ἰουδαῖος Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου πόλεως πολίτης. δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. 40 Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ λέγων,

Margin notes: Ἰωάν. ϛ. ξζ. — α. Κορ. η. ιγ. — β. Κορ. η. κ. — γ. δὲ τῷ — γ. εἶναι — γ. τὸν λαὸν

Ὅρα αὐτόν, ὅταν πρὸς τοὺς ἔξω διαλέγηται, οὐ παραιτούμενον καὶ τοῖς ἀπὸ τῶν νόμων κεχρῆσθαι βοηθήμασιν. Ἐν τούτῳ αὐτὸν ἀπὸ τῆς πόλεως συνίστησιν. Οὕτω καὶ ἔμπροσθεν ἔλεγε· Τύψαντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους, Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν. Πραξ. ις. λζ. Ἐπειδὴ γὰρ ἐπυνθάνετο, σὺ εἶ ὁ Αἰγύπτιος; ἐγώ εἰμι, φησίν, ἄνθρωπος Ἰουδαῖος. Οὕτως εἰπών, εὐθέως αὐτὸν ταύτης ἀπήγαγε τῆς ὑποψίας. Εἶτα ἵνα μὴ νομισθῇ τὸ ἔθνος Ἰουδαῖος, λέγει τὴν θρησκείαν. Καὶ γὰρ καὶ ἀλλαχοῦ ἔννομον ἑαυτὸν Χριστοῦ καλεῖ. Τί τοῦτό ἐστι; Παῦλος ψεύδεται; ἄπαγε. Τί οὖν; οὐκ ἠρνήσατο; μὴ γένοιτο. Ἰουδαῖος γὰρ ἦν, καὶ Χριστιανός, ὅσα ἔδει, φυλάττων· ἐπεὶ καὶ τῷ νόμῳ α. Κορ. θ. κα. μάλιστα πάντων αὐτὸς ἐπείθετο τῷ Χριστῷ πιστεύων, καὶ πρὸς Πέτρον διαλεγόμενός φησιν· Ἡμεῖς φύσει Ἰουδαῖοι. Γαλ. β. ιε. Δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. Καὶ τοῦτο τεκμήριον, ὅτι οὐ ψεύδεται, εἴγε πάντας ἐπήγετο μάρτυρας. Σκόπει αὐτὸν πάλιν μετὰ ἐπιεικείας διαλεγόμενον. Καὶ τοῦτο δὲ τεκμήριον πάλιν μέγιστον τοῦ μηδενὸς εἶναι ὑπεύθυνον, τὸ οὕτως ἕτοιμον εἶναι πρὸς ἀπολογίαν, καὶ βούλεσθαι εἰς λόγον καταστῆναι τῷ δήμῳ τῶν Ἰουδαίων. Ὅρα τεταγμένον ἄνδρα, ὅρα οἰκονομίαν. Εἰ μὴ χιλίαρχος ἦλθεν, εἰ μὴ ἔδησεν, οὐκ ἂν ἐδεήθη λόγου πρὸς ἀπολογίαν, οὐκ ἂν τοσαύτης ἀπέλαυσε σιγῆς. Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν. Καὶ ἀπὸ τοῦ τόπου πολλὴ ἡ εὐκολία, τὸ καὶ ὑψηλὸν εἶναι δημηγορεῖν καὶ δεδεμένον. Τί τούτου ἴσον τοῦ θεάματος, δυσὶν ἁλύσεσι δεδεμένον ἰδεῖν Παῦλον δημηγοροῦντα; πῶς οὐκ ἐταράχθη; πῶς οὐ συνεχύθη, τοσοῦτον δῆμον ἐκπεπολεμωμένον ὁρῶν τοῦ ἄρχοντος ἐφεστῶτος; πρότερον ἀπέσβεσεν αὐτῶν τὸν θυμόν, εἶτα διαλέγεται. Καὶ ὅρα πῶς φρονίμως. Ὅπερ γὰρ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. Πρῶτον τῇ συγγενείᾳ τῆς φωνῆς αὐτοὺς ἐπισπᾶται· εἶτα αὐτοὺς τῷ ἡμέρῳ. Διὸ καὶ τοῦτο δηλῶν ἐπάγει· πολλῆς δὲ σιγῆς γενομένης προσεφώνησε, φησί, τῇ Ἑβραΐδι διαλέκτῳ λέγων·

γ. διηγεῖται

1 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας. κεφ. κβ.

Ὅρα καὶ κολακείας ἀπηλλαγμένον τὸν λόγον, καὶ τὸ ἐπιεικὲς ἔχοντα. Οὐ γὰρ εἶπε, δεσπόται, οὐδέ, κύριοι, ἀλλ', ἀδελφοί, ὃ μάλιστα ἐπόθουν· ὥστε ἔλεγεν, οὐκ ἀλλότριος ὑμῶν ἐγώ, οὐδὲ καθ' ὑμῶν. Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, φησί. Τοῦτο τιμῆς, ἐκεῖνο γνησιότητος. Ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας. Οὐκ εἶπε, διδασκαλίας, οὐδὲ δημηγορίας· ἀλλ', ἀπολογίας. Ἐν τάξει ἱκέτου ἑαυτὸν καθίστησιν.

(2 Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν)

Ὁρᾷς πῶς αὐτοὺς εἷλε τὸ ὁμόφωνον; Εἶχον γάρ τινα αἰδῶ πρὸς τὴν γλῶτταν ἐκείνην. Ὅρα δὲ καὶ πῶς προοδοποιεῖ τῷ λόγῳ, οὕτως ἀρχόμενος καὶ λέγων·

3 Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλ, πεπαιδευμένος δὲ κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον.

Ἐγὼ μέν εἰμι, φησίν, ἀνὴρ Ἰουδαῖος· ὃ μάλιστα πάντων ἐπόθουν ἀκοῦσαι. Γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας. Ἵνα μὴ πάλιν νομίσωσι τὸ ἔθνος ἄλλο, τὴν θρησκείαν ἐπήγαγεν, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ. Τὴν πολλὴν αὐτοῦ δείκνυσι σπουδὴν τὴν περὶ τὴν λατρείαν, ὅπου γε καὶ πατρίδα τηλικαύτην ἀφεὶς τοσοῦτον ἀφεστῶσαν, ἐνταῦθα εἵλετο τραφῆναι διὰ τὸν νόμον. Ὅρα πῶς ἄνωθεν προσεῖχε τῷ νόμῳ. Ταῦτα δὲ οὐ πρὸς ἐκείνους ἀπολογούμενος μόνον φησίν· ἀλλὰ δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῳ σκοπῷ πρὸς τὸ κήρυγμα ἦλθεν, ἀλλὰ θείᾳ δυνάμει. Οὐ γὰρ ἂν οὕτω πεπαιδευμένος ἀθρόον μετέστη. Εἰ μὲν γὰρ ἦν τις τῶν πολλῶν, εἰκὸς ἦν τοῦτο ὑποπτεῦσαι· εἰ δὲ τῶν μάλιστα πάντων κατεχομένων ὑπὸ

τοῦ νόμου, οὐκ ἦν εἰκὸς ἁπλῶς καὶ οὐδεμιᾶς ἀνάγκης ἰσχυρᾶς οὔσης μεταθέσθαι αὐτόν. ἀλλ' ἴσως εἴποι τις ἄν· οὐδὲν τοῦτο ποιεῖ, ὅτι ἐνταῦθα ἀνετράφη. τί γὰρ, εἰ κατ' ἐμπορείαν, ἢ κατ' ἄλλην τινὰ αἰτίαν ἐν ταύτῃ γέγονας; ἵνα τοίνυν μὴ τοῦτό τις νομισθῇ, ὅρα τί ἐπάγει· παρὰ τοὺς πόδας Γαμαλιήλ. καὶ οὐχ ἁπλῶς εἶπε, παρὰ Γαμαλιήλ, ἀλλά, παρὰ τοὺς πόδας, τὴν καρτερίαν, τὴν προσεδρείαν, τὴν σπουδὴν τὴν περὶ τὴν ἀκρόασιν, τὴν πολλὴν πρὸς τὸν ἄνδρα αἰδῶ δεικνύς. πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου. οὐχ ἁπλῶς νόμου, ἀλλὰ τοῦ πατρῴου προστίθησι, δεικνὺς ὅτι ἄνωθεν τοιοῦτος ἦν, καὶ οὐχ ἁπλῶς εἰδὼς τὸν νόμον. ταῦτα δὲ δοκεῖ μὲν ὑπὲρ ἐκείνων λέγεσθαι, κατ' ἐκείνων δὲ ἦν, εἴγε καὶ εἰδὼς αὐτὸν εἴασε. εἶτα ἵνα μὴ πάλιν τις εἴπῃ, ἔχει, τί οὖν, εἰ οἶδας μὲν ἀκριβῶς τὸν νόμον, οὐκ ἐκδικεῖς δὲ, οὐδὲ φιλεῖς; ζηλωτὴς, φησιν, ὑπάρχων· τουτέστιν, οὐχ ἁπλῶς εἰδώς, ἀλλὰ καὶ σφόδρα ζηλῶν ὑπὲρ αὐτοῦ. εἶτα ἐπειδὴ μεγάλα περὶ αὐτοῦ ἐγκώμια εἶπε, κοινοῖ τὸν λόγον λοιπὸν, ἐπάγων, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον. δείκνυσι γὰρ αὐτοὺς οὐκ ἀπὸ ἀνθρωπίνου σκοποῦ ποιοῦντας, ἀλλὰ ζήλῳ θείῳ. τοῦτο δὲ λέγει, χαριζόμενος αὐτοῖς, καὶ προκαταλαμβάνων αὐτῶν τὴν διάνοιαν, καὶ κατέχων, ἐν οἷς βλάβος οὐδὲν ἦν. εἶτα καὶ τεκμήρια παράγει, λέγων·

4 Ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἕως θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας,

5 Ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον. Ἵνα μηδεὶς εἴπῃ, καὶ πόθεν τοῦτο δῆλον, μάρτυρας παράγει αὐτὸν τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους. καὶ λέγει μὲν λεαίνων, ζηλωτὴς ὑπάρχων καθὼς ὑμεῖς, τουτέστιν, ἴσος ὑμῖν· δείκνυσι δὲ διὰ τῶν ἔργων ὅτι ὑπὲρ αὐτοὺς ἦν. οὐ γὰρ δὴ περιέμενον ὥστε συλλαβεῖν, ἀλλὰ καὶ τοὺς ἱερέας διήγειρε, καὶ ἀποδημίας ἐστελλόμην· καὶ οὐδὲ μέχρις ἀνδρῶν ἐχώρουν καθάπερ ὑμεῖς, ἀλλὰ καὶ γυναῖκας· καὶ δεσμεύων πάντας, καὶ εἰς δεσμωτήρια ἐμβάλλων. ἀναμφισβήτητος ἡ μαρτυρία, ἀναπολόγητα τὰ τῶν Ἰουδαίων. ὅρα πόσους παράγει μάρτυρας, τὸ πρεσβυτέριον, τὸν ἀρχιερέα, τοὺς ἐν τῇ πόλει. βλέπε δὲ αὐτοῦ καὶ τὴν ἀπολογίαν οὐ δειλίας οὖσαν, ἀλλὰ διδασκαλίας μᾶλλον καὶ κατηχήσεως. εἰ γὰρ μὴ λίθοι ἦσαν οἱ ἀκούοντες, προσέσχον ἂν τοῖς λεγομένοις. μέχρι γὰρ τούτου μάρτυρας εἶχεν αὐτούς, τὰ δὲ λοιπὰ ἀμάρτυρα. Παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφούς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα τιμωρηθῶσι.

6 Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ,

7 Ἔπεσόν τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαοὺλ, Σαούλ, τί με διώκεις;

8 Ἐγὼ δὲ ἀπεκρίθην, τίς εἶ, κύριε; εἶπέ τε πρός με, ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. Μάλιστα μὲν οὖν καὶ ταῦτα ἀξιόπιστα ἐκ τῶν ἀπὸ τῶν προλαβόντων. οὐ γὰρ ἂν μετεγράφη. τί οὖν, εἰ κομπάζει, φησί; οὐδαμῶς. διὰ τί γὰρ τοσοῦτον ἐξαίφνης ἔρριψε ζῆλον, εἰπέ μοι; τιμὴν προσδοκῶν; καὶ μὴν τἀναντία ὑπέμεινεν. ἀλλ' ἄνεσιν; οὐδὲ τοῦτο. ἀλλὰ τί ἕτερον; ἀλλ' οὐδὲν ἀπὸ λογισμοῦ εὑρεῖν δυνατόν. ταῦτα τοίνυν ἀφεὶς αὐτοῖς συλλέγειν, τὰ πράγματα διηγεῖται. ἐγγίζοντί μοι, φησί, τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, ἔπεσόν τε εἰς τὸ ἔδαφος. ὅρα πόση ἡ ὑπερβολὴ τοῦ φωτός. καὶ ὅτι οὐ κομπάζω, οἱ συνόντες μαρτυρήσουσιν, οἱ χειραγωγήσαντες, οἱ τὸ φῶς θεασάμενοι.

9 Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο· τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. Μηδεὶς ξενισθῇ, εἰ ἐνταῦθα μὲν οὕτως, ἑτέρωθι δὲ λέγει ὅτι εἱστήκεισαν τὴν μὲν φωνὴν ἀκούοντες, μηδένα δὲ θεωροῦντες. οὐκ ἔστι γὰρ ἐναντίον.

φωναὶ γὰρ δύο ἦσαν, ἡ Παύλου, καὶ ἡ τοῦ Κυρίου. τὴν φωνὴν τοίνυν ἐκεῖ τοῦ Παύλου λέγει· ἐνταῦθα δὲ καὶ προσέθηκεν, εἰπών, τὴν φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. ἐνεοὶ οὖν, τὸ, μηδένα θεωροῦντες, οὐ τοῦ ἰδεῖν, ἀλλὰ τοῦ μὴ ἀκοῦσαι δηλωτικόν ἐστιν. οὐ γὰρ εἶπεν, ὅτι τὸ φῶς οὐκ ἔβλεπον· ἀλλὰ μηδένα θεωροῦντες εἱστήκεισαν, τουτέστι, λαλοῦντα. εἰκότως δὲ τοῦτο ἐγένετο. αὐτὸς γὰρ ἔδει τῆς φωνῆς καταξιωθῆναι ἐκείνης. εἰ γὰρ ἤκουσαν κἀκεῖνοι, οὐκ ἂν τοσοῦτον ἐγένετο τὸ θαῦμα. ἐπεὶ τοίνυν οἱ παχύτεροι ὄψει πείθονται μᾶλλον, διὰ τοῦτο καὶ ἐκεῖνοι τὸ φῶς εἶδον μόνον, ὅπερ ἱκανὸν ἦν αὐτοὺς πεῖσαι. ὅθεν καὶ ἔμφοβοι γίνονται· ἄλλως δὲ, οὐ περὶ αὐτοὺς τὸ φῶς τοσοῦτον εἰργάσατο, ὅσον περὶ τοῦτον. καὶ γὰρ ἐπήρωσεν αὐτοῦ τὰς ὄψεις, διὰ τὴν εἰς τοῦτον συμβαίνουσαν κἀκείνοις δίδωσιν ἀναβλέψαι, εἴγε ἤθελον. ἐμοὶ γοῦν δοκεῖ καὶ οἰκονομικῶς ἐκείνους μὴ πιστεῦσαι, ὥστε εἶναι μάρτυρας ἀξιοπίστους.

Εἶπέ τε, φησί, πρὸς ἐμέ· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. Καλῶς καὶ ἡ πόλις προσέσκειται, ὥστε ἐπιγνῶναι αὐτούς. καὶ οἱ ἀπόστολοι οὕτως ἔλεγον· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ. ὅρα, καὶ αὐτὸς μαρτυρεῖ, ὅτι ἐδίωκεν. οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι.

10 Εἶπον δέ· τί ποιήσω, Κύριε; ὁ δὲ Κύριος εἶπε πρός με· ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι.

11 Ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν.

12 Ἀνανίας δέ τις ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν * ἐν Δαμασκῷ Ἰουδαίων,

13 Ἐλθὼν πρός με καὶ ἐπιστάς, εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον· κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. Εἴσελθε, φησίν, εἰς τὴν πόλιν, κἀκεῖ σοι λαληθήσεται, τί σε δεῖ ποιῆσαι. ἰδοὺ πάλιν ἄλλος μάρτυς, καὶ ὅρα πῶς αὐτὸν καὶ ἀξιόπιστον ποιεῖ. Ἀνανίας δέ τις, φησίν, ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν Ἰουδαίων, εἰσελθὼν πρός με καὶ ἐπιστάς, εἶπέ μοι ἀνάβλεψον. οὕτως οὐδὲν ἀλλότριόν ἐστι. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα. εἶτα ἡ διὰ τῶν πραγμάτων μαρτυρία. καὶ ὅρα διὰ προσώπων καὶ πραγμάτων αὐτὴν πλεκομένην, προσώπων οἰκείων τε καὶ ἀλλοτρίων. πρόσωπα, οἱ ἱερεῖς, οἱ πρεσβύτεροι, οἱ συνοδεύοντες τὰ πράγματα, ἃ ἐποίει, ἃ ἔπαθε. καὶ πράγματα πράγμασι μαρτυρεῖ, οὐχὶ πρόσωπα μόνον. ἢ καὶ ἑτέρως· ἀλλότριος ὁ Ἀνανίας· εἶτα τὸ πρᾶγμα αὐτό, ἡ ἀνάβλεψις· εἶτα προφητεία μεγάλη.

14 Ὁ δὲ εἶπε, φησίν· ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον. Καλῶς εἶπε, τῶν πατέρων, ἵνα δείξῃ αὐτοὺς οὐκ ὄντας Ἰουδαίους, ἀλλὰ ἀλλοτρίους τοῦ νόμου, καὶ φθόνῳ, οὐχὶ ζήλῳ ποιοῦντας. γνῶναι, φησί, τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον. οὐκοῦν αὐτοῦ θέλημα τοῦτο. ὅρα πῶς ἐν τάξει διηγήσεως διδασκαλία ἐστί. Καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ,

15 Ὅτι ἔσῃ μάρτυς * αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας.

Καὶ ἰδεῖν, φησί, τὸν δίκαιον. πῶς τοῦτο λέγει. εἰ δὲ δίκαιος ἐκεῖνος, οὗτοι ὑπεύθυνοι. καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ. ὅρα πῶς τὸ πρᾶγμα ἐπαίρει. ὅτι ἔσῃ, φησί, μάρτυς αὐτοῦ. οὐκοῦν διὰ τοῦτο οὐ προσδώσεις τὴν ὄψιν καὶ τὴν ἀκρόασιν. ὧν τε ἑώρακας, ὧν τε ἤκουσας. δι' ἑκατέρων τῶν αἰσθήσεων αὐτοῦ πιστοῦται.

16 Καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσάμενος τὸ ὄνομα * αὐτοῦ. Ἐνταῦθα μέγα ἐφθέγξατο. οὐ γὰρ εἶπεν, εἰς τὸ ὄνομα αὐτοῦ βάπτισαι· ἀλλ', ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Χριστοῦ. τοῦτο δὲ δεικνύντος ἐστὶν αὐτὸν Θεὸν ὄντα. οὐ γὰρ ἔξεστιν ἕτερόν τινα ἐπικαλέσασθαι, εἰ μὴ τὸν Θεόν. εἶτα δείκνυσι καὶ ἑαυτὸν

χ. τοῖς περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι
χ. εὐσεβὴς
* κατοικούντων

χ. πῶς

χ. τοῦ Κυρίου
χ. γὰρ ἄλλον τινά, ἢ Θεὸν ἐπικαλέσασθαι σωτῆρ. εἶπε

ἑαυτὸν οὐκ ἀναγκασθέντα δι' ὧν λέγει· ὁ δὲ Κύριος εἶπε πρὸς με, πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι. οὐδὲν ἀμάρτυρον· ἀλλὰ πόλεως ὁλοκλήρου μαρτυρίαν παράγει, οἵ γε καὶ εἶδον αὐτὸν χειραγωγούμενον. ὅρα δὲ καὶ τὴν προφητείαν ἐξελθοῦσαν ἣν ἤκουσε μάρτυρα αὐτὸν ἔσεσθαι τοῦ Κυρίου *. μάρτυς γὰρ ὄντως αὐτοῦ γέγονε, καὶ μάρτυς ὡς χρὴ, καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν εἶπε. τοιούτους καὶ ἡμᾶς εἶναι χρὴ μάρτυρας, καὶ μὴ προδιδόναι ἃ ἐπιστεύθημεν. οὐ περὶ δογμάτων λέγω μόνον, ἀλλὰ καὶ περὶ βίου. ὅρα γάρ· ὅτι εἶδεν, ὅτι ἤκουσε, μαρτυρεῖ πᾶσιν ἀνθρώποις, καὶ οὐδὲν αὐτὸν ἐκώλυσε. καὶ ἡμεῖς ἠκούσαμεν ὅτι ἐστὶν ἀνάστασις καὶ μυρία ἀγαθά· οὐκοῦν ὀφείλομεν τοῦτο μαρτυρῆσαι πᾶσιν ἀνθρώποις. καὶ μὴν μαρτυροῦμεν, φησὶ, καὶ πιστεύομεν. πῶς, τἀναντία πράττοντες; εἰπὲ δή μοι, εἴ τις ἑαυτὸν ἔλεγε χριστιανὸν, εἶτα ἀποστὰς τὰ Ἰουδαϊκὰ ἐφρόνει, ἆρα ἤρκεσεν ἂν ἡ μαρτυρία αὕτη; οὐδαμῶς. ἀπὸ γὰρ τῶν ἔργων τὴν μαρτυρίαν ἐζήτουν ἄν. οὕτω δὴ καὶ ἡμεῖς· εἰ λέγομεν ὅτι ἀνάστασίς ἐστι καὶ μυρία ἀγαθὰ, εἶτα καταφρονοῦμεν αὐτῶν, καὶ τὰ ἐνταῦθα προτιμῶμεν, τίς ἡμῖν πιστεύσει; οὐ γὰρ οἷς λέγομεν, ἀλλ' οἷς πράττομεν προσέχουσιν ἅπαντες. μάρτυς ἔσῃ, φησὶ, πρὸς πάντας ἀνθρώπους, οὐχὶ πρὸς τοὺς οἰκείους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους. οἱ γὰρ μάρτυρες τοῦτό εἰσιν· οὐχὶ τοὺς εἰδότας πείθουσιν, ἀλλὰ τοὺς οὐκ εἰδότας.

ΗΘΙΚΟΝ

Γενώμεθα ἀξιόπιστοι μάρτυρες. πῶς δὲ ἐσόμεθα ἀξιόπιστοι; ἀπὸ τοῦ βίου. ἐπέθεντο ἐκείνῳ Ἰουδαῖοι· ἐπιτίθενται ἡμῖν τὰ πάθη κελεύοντα ἐξομόσασθαι τὴν μαρτυρίαν. ἀλλὰ μὴ πειθώμεθα· μάρτυρές ἐσμεν παρὰ τοῦ Θεοῦ πεμφθέντες. κρίνεται παρὰ ἀνθρώποις νῦν [ὁ Θεὸς] ὅτι οὐκ ἔστι Θεός· ἔπεμψεν ἡμᾶς μαρτυρήσοντας αὐτῷ. μαρτυρήσωμεν καὶ πείσωμεν τοὺς δικάζοντας. ἂν μὴ μαρτυρήσωμεν, καὶ τῆς ἐκείνων πλάνης ἡμεῖς ἐσμεν αἴτιοι. εἰ δὲ ἐν δικαστηρίῳ ἔνθα βιωτικὰ πράγματα, οὐκ ἄν τις δέξαιτο μάρτυρα μυρίων γέμοντα κακῶν, πολλῷ μᾶλλον ἐνταῦθα ἔνθα περὶ τοιούτων πραγμάτων ἡ σκέψις ἐστίν. ἡμεῖς λέγομεν, ὅτι ἠκούσαμεν τοῦ Χριστοῦ, καὶ πιστεύομεν οἷς ἐπηγγείλατο· λέγουσιν ἐκεῖνοι, δείξατε τοῦτο διὰ τῶν ἔργων. ὁ γὰρ βίος ὑμῶν τὰ ἐναντία μαρτυρεῖ, ὅτι οὐ πιστεύετε. τοὺς χρηματιζομένους, τοὺς ἁρπάζοντας, τοὺς πλεονεκτοῦντας βούλεσθε ἴδωμεν; τοὺς πενθοῦντας, τοὺς κοπτομένους, τοὺς οἰκοδομοῦντας, τοὺς πάντα πραγματευομένους, ὡς οὐκ ἀποθανουμένους; εἰ τοίνυν ὅτι ἀποθανεῖσθε, οὐ πιστεύετε, πράγματι οὕτω δήλῳ καὶ φανερῷ, πῶς ὑμῖν πιστεύσομεν μαρτυροῦσιν; εἰσὶ γάρ, εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ οὕτω διάκεινται, ὡς οὐκ ἀποθανούμενοι. ὅταν γὰρ ἐν γήρᾳ μακρῷ ἄρχωνται οἰκοδομεῖν καὶ γεωργεῖν, πότε λογισμὸν λήψονται θανάτου; οὐ μικρὰ ἡ κόλασις ἡμῖν κληθεῖσι μὲν εἰς μαρτυρίαν, μὴ δυνηθεῖσι δὲ μαρτυρῆσαι, ἃ εἴδομεν. εἴδομεν καὶ ἡμεῖς ὀφθαλμοῖς τοὺς ἀγγέλους, καὶ σαφέστερον τῶν ἑωρακότων. οὐκοῦν μαρτυρήσωμεν τῷ Χριστῷ. οὐ γὰρ δὴ ἐκεῖνοι μάρτυρες μόνον, ἀλλὰ καὶ ἡμεῖς. διὰ τοῦτο ἐκεῖνοι λέγονται μάρτυρες, ὅτι κελευόμενοι ἐξομόσασθαι πάντα ὑπομένουσιν, ἵνα τὴν ἀλήθειαν εἴπωσι· καὶ ἡμεῖς, ὅταν ὑπὸ τῶν παθῶν κελευώμεθα ἐξομόσασθαι, μὴ ἡττώμεθα. ὁ χρυσὸς λέγει, εἰπὲ ὅτι ὁ Χριστὸς οὐκ ἔστι Χριστός. μὴ τοίνυν ἄκουε σὺ ὡς Θεοῦ, ἀλλὰ καταφρόνησον τοῦ ἐκείνου προστάγματος. αἱ ἐπιθυμίαι αἱ πονηραὶ τὸ αὐτὸ λέγουσιν· ἀλλὰ σὺ μὴ παραπεισθῇς, ἀλλὰ στῆθι γενναίως, ἵνα μὴ καὶ περὶ ἡμῶν λαληθῇ· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. (Τιτ. α. ιϛ.) τοῦτο γὰρ οὐ μαρτυρεῖν ἀλλὰ τὸ ἐναντίον. καὶ τὸ μὲν τοὺς ἄλλους ἀρνήσασθαι, οὐδὲν θαυμαστόν· τὸ δὲ ἡμᾶς τοὺς εἰς μαρτύριον κληθέντας ἐξαρνεῖσθαι, βαρὺ καὶ φορτικόν. τοῦτο μάλιστα βλάπτει τὰ ἡμέτερα. εἰς μαρτύριον αὐτοῖς ἀποβήσεται, φησίν. ἀλλ' ὅταν οὐκ ἀποπηδήσωμεν, ὅταν ἑστῶμεν, εἰ πάντες ἐβουλόμεθα μαρτυρεῖν τῷ Χριστῷ, ταχέως ἂν ἐπείσαμεν τῶν Ἑλλήνων τοὺς πολλούς. μέγα βίος, ἀγαπητοί. κἂν σφόδρα θηριώδης ᾖ τις, κἂν φανερῶς οὐ καταγελάσῃ διὰ τὸ δόγ-

μα,

* πρὸς πάντας, φησίν, ἀνθρώπους. γρ. δι' ἃ ἔπαθε, δι' ὧν ἔπραξε.

γρ. τιμῶμεν.

γρ. δείξατε, φανερώσατε, διὰ.

γρ. αὐτόπτων ἡμῶν. καὶ σαφεστέρως, ἵνα

μα, ἀλλ' ἀποδέχεται λάθρα, ἀλλ' ἐπαινέσεται, ἀλλὰ θαυμάσεται. καὶ πόθεν, φησὶν, ἂν γένοιτο βίος ἄριστος; οὐδαμόθεν, ἀλλ' ἢ ἀπὸ θείας ἐνεργείας. τί οὖν, ὅταν καὶ Ἕλληνες ὦσι τοιοῦτοι; ἐκεῖνοι (εἴ πού γε καὶ εἰσὶ τοιοῦτοι) οἱ μὲν φύσει, οἱ δὲ διὰ κενοδοξίαν. βούλει μαθεῖν ὅση ἡ τοῦ βίου λαμπρότης; ὅσην ἔχει τὴν πειθώ; πολλοὶ τῶν αἱρετικῶν οὕτως ἴσχυσαν, καὶ τὰ δόγματα καίτοι αὐτοῖς ὄντα διεφθαρμένα, οἱ πολλοὶ τῶν ἀνθρώπων αἰδοῖ τῇ περὶ τὸν βίον οὐκ ἔτι τὸ δόγμα ἐξήτασαν· ἄλλοι δὲ καὶ καταγινώσκοντες αὐτῶν διὰ τὸ δόγμα, ᾐδέσθησαν διὰ τὸν βίον· οὐ καλῶς μὲν, πλὴν ὅμως οὕτω ἔπαθον. οὕτω τὰ σεμνὰ τῆς πίστεως τῆς ἡμετέρας διέβαλε. οὕτω τὰ πάντα ἀνέτρεψε, τὸ μηδένα λόγον εἶναι βίου μηδενὶ, τοῦτο τῇ πίστει λυμαίνεται. λέγομεν ὅτι Θεός ἐστιν ὁ Χριστός· μυρία καὶ ἕτερα παράγομεν· μετὰ δὲ τῶν ἄλλων καὶ οὕτω, ὅτι ἔπεισεν ἅπαντας ὀρθῶς ζῆν. ἀλλὰ τοῦτο ἐν ὀλίγοις ἐστί. τὸ τῆς ἀναστάσεως δόγμα λυμαίνεται ἡ τοῦ βίου φαυλότης, τὸ τῆς ἀθανασίας τῆς ψυχῆς, τὸ τῆς κρίσεως. πολλὰ καὶ ἕτερα ἐπισπᾶται, εἱμαρμένην, ἀνάγκην, τὸ ἀπρονόητον. ψυχὴ γὰρ βαπτισθεῖσα μυρίοις κακοῖς, ὥσπερ τινὰς παραμυθίας ταύτας ἐπινοεῖν ἑαυτῇ πειρᾶται, ἵνα μὴ λυπῆται λογιζομένη ὅτι κρίσις ἐστὶ, καὶ ὅτι ἐφ' ἡμῖν κεῖται τὰ τῆς ἀρετῆς, καὶ τὰ τῆς κακίας. μυρία ὁ βίος ἐργάζεται κακά· θηρία τοὺς ἀνθρώπους ποιεῖ, καὶ θηρίων ἀλογωτέρους. ἅπερ γὰρ ἐν ἑκάστῃ φύσει τῶν θηρίων ἐστὶ, ταῦτα πολλάκις εἰς ἕνα ἄνθρωπον συνήγαγε, καὶ τὸ πᾶν ἀνέτρεψε. διὰ τοῦτο τὴν εἱμαρμένην εἰσήγαγεν ὁ διάβολος, διὰ τοῦτο ἀπρονόητον ἔφησεν εἶναι τὸν κόσμον, διὰ τοῦτο φύσεις ἀγαθὰς καὶ κακὰς, διὰ τοῦτο κακὸν ἄναρχον καὶ ὑλικὸν ὑποτίθεται, διὰ τοῦτο πάντα, ἵνα διαφθείρῃ τὸν βίον ἡμῶν. οὔτε γὰρ ἀπὸ διεφθαρμένων δογμάτων δυνατὸν ἀνενεγκεῖν βίου ὄντα τοιούτου, οὔτε μένειν ἐν ὑγιαινούσῃ πίστει· ἀλλ' ἀνάγκη πολλὴ ταῦτα παραδέξασθαι. οὐ γὰρ οἶμαι ἔγωγε ταχέως τινὰ τῶν οὐκ ὀρθῶς ζώντων εὑρίσκεσθαι, μὴ μυρία Σατανικὰ βουλευόμενον, ὅτι γένεσίς ἐστιν, ὅτι ἁπλῶς τὰ πράγματα φέρεται, ὅτι φύρδην καὶ κεχυμένως πάντα διοικεῖται. διὸ, παρακαλῶ, φροντίζωμεν βίου καλοῦ, ἵνα μὴ παραδεχώμεθα δόγματα πονηρά. ὁ Κάϊν ἔλαβε τιμωρίαν στένειν καὶ τρέμειν. τοιοῦτοί εἰσιν οἱ πονηροὶ καὶ συνειδότες ἑαυτοῖς μυρία κακά. πολλάκις ἐξ ὕπνων ἐξάλλονται, θορυβώδεις αὐτῶν οἱ λογισμοὶ, τεταραγμένοι οἱ ὀφθαλμοὶ, ὑποψίας γέμει πάντα, πληροῦται πάντα χαλεπῆς προσδοκίας, δειλίας ἀνάμεστος αὐτῶν ἡ ψυχὴ, φόβῳ συστρεφομένη καὶ τρόμῳ ἀδρανὴς ἐστί. οὐδὲν τῆς τοιαύτης ψυχῆς μαλακώτερον γένοιτο ἂν, οὐδὲν ἀνοητότερον. καθάπερ οἱ μαινόμενοι οὐχ ἑστήκασιν ἐν ἑαυτοῖς· οὕτως οὐδὲ ἡ τοιαύτη ἐν ἑαυτῇ ἕστηκε. πότε οὖν αὕτη εἰς συναίσθησιν ἔλθῃ τοσαύτην ἔχουσα σκοτοδινίαν, ἣν ἀγαπητὸν γαλήνης ἀπολαύουσαν καὶ εὐδίας δυνηθῆναι ἐπιγνῶναι τὴν οἰκείαν εὐγένειαν; ὅταν δὲ πάντα αὐτὴν ἐκφοβῇ καὶ ταράττῃ, καὶ ὄνειροι καὶ ῥήματα, καὶ σχήματα καὶ ὑποψίαι ἁπλῶς, πότε δυνήσεται εἰς ἑαυτὴν ἰδεῖν, οὕτως ἐκτεταραγμένη καὶ τεθορυβημένη; λύσωμεν τοίνυν αὐτῆς τὸ δέος, διαρρήξωμεν τὰ δεσμά. εἰ γὰρ μὴ κόλασις ἦν, ποίας ταῦτα κολάσεως οὐ χείρω, ὑπὸ φόβῳ ζῆν ἀεὶ, μηδέποτε θαῤῥεῖν, μηδέποτε ἀνίστασθαι; ταῦτα δὴ πάντα μετ' ἀκριβείας εἰδότες, ἐν γαλήνῃ ἑαυτοὺς διατηρῶμεν, καὶ ἀρετῆς ἐπιμελώμεθα, ἵνα καὶ ὑγιῆ δόγματα ἔχοντες καὶ βίον ὀρθὸν, ἀπροσκόπως τὴν παροῦσαν ζωὴν διανύσωμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ αὐτοῦ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. αἰδοῦνται

γ. καταπέπληκται

γ. ἐξεχόμενον

γ. ποθοῦσιν

Λογ. μη. 17 ΕΓΕΝΕΤΟ ΔΕ ΜΟΙ ΥΠΟΣΤΡΕΦΟΝΤΙ ΕΙΣ
Ἱερουσαλήμ, προσευχομένου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει,
18 Καὶ ἰδεῖν λέγοντά μοι αὐτόν· σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱερουσα-
λήμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ.
19 Κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ
δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· 20 Καὶ ὅτε ἐ-
ξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ
συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούν-
των αὐτόν.

γ. καὶ προσευχομένου μου ἐν

γ. παρεστώς.

Ὅρα πῶς ἑαυτὸν εἰσωθεῖ εἰς τοὺς κινδύνους. ἐπάγει γάρ· ἐγένετο δέ μοι ὑποστρέφοντι εἰς Ἱερουσαλήμ· τουτέστιν, ἦλθον μετὰ τὴν ὄψιν ἐκείνην εἰς Ἱερουσαλὴμ πάλιν. καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, καὶ ἰδεῖν λέγοντά μοι· σπεῦσον καὶ ἔξελθε ἐν τάχει, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. ὅρα· οὐδὲ τοῦτο ἀμάρτυρον, ἀλλ᾽ ἀπὸ τῆς ἐκστάσεως ἡ μαρτυρία. εἶπεν, ὅτι οὐ δέξονταί σου τὴν μαρτυρίαν, καὶ οὐκ ἐδέξαντο. καὶ μὴν ἀπὸ λογισμῶν ἔδει ὑποπτεῦσαι, ὅτι πάντως δέξονται. ἐγὼ γὰρ ἤμην ὁ φυλακίζων καὶ δέρων, φησίν. ὥστε διὰ τοῦτο ἔδει αὐτοὺς δέξασθαι· [καὶ ὅμως οὐκ ἐδέξαντο. διὸ καὶ τοῦτο ἐν τῇ ἐκστάσει μανθάνει τὸ μὴ παραδεχθῆναι.] ἐνταῦθα δύο κατασκευάζει, ὅτι τε ἀναπολόγητα αὐτοῖς ἐστι (οὐ γὰρ κατὰ τὸ εἰκὸς αὐτὸν ἐδίωκον, οὐδὲ κατὰ λόγον) καὶ ὅτι Θεὸς ἦν ὁ Χριστὸς τὰ παρὰ προσδοκίαν προφητεύων, καὶ οὐχ ὁρῶν εἰς τὰ γινόμενα, ἀλλὰ τὰ μέλλοντα προειδώς. πῶς οὖν λέγει, ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραὴλ βαστάσει τὸ ὄνομά μου; βαστάσει, εἶπεν, οὐ πάντως πείσει. ἄλλως δὲ Ἰουδαῖοι ἀλλαχοῦ μὲν ἐπείθοντο· ἐνταῦθα δὲ οὐχί. ὅπου μάλιστα ἔδει πεισθῆναι, εἰδότες αὐτοῦ τὴν προτέραν προθυμίαν, ἐνταῦθα οὐκ ἐπείθοντο. καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ὅρα ποῦ πάλιν ὁ λόγος τελευτᾷ εἰς τὸ ἰσχυρὸν κεφάλαιον. δείκνυσι γὰρ ὅτι αὐτὸς ἦν ὁ ἐλαύνων, καὶ οὐκ ἐλαύνων μόνον, ἀλλὰ καὶ μυρίαις χερσὶν ἀναιρῶν τὸν Στέφανον. ὑπεμίμνησεν αὐτοὺς μιαιφονίας χαλεπῆς. τότε δὴ μάλιστα οὐκ ἠνέσχοντο, ἐπειδὴ τοῦτον ἤλεγχεν αὐτοῖς, καὶ ἤδη ἡ προφητεία ἐπληροῦτο. ὁ ζῆλος τοίνυν πολύς, καὶ ἡ κατηγορία σφοδρά, καὶ οἱ μάρτυρες τῆς ἀληθείας τοῦ Χριστοῦ μετὰ παρρησίας διαλεγόμενοι· ἀλλ᾽ οἱ Ἰουδαῖοι οὐκ ἠνέσχοντο λοιπὸν πάσης ἀκοῦσαι τῆς δημηγορίας, ἀλλ᾽ ὑπὸ τοῦ θυμοῦ σφόδρα ἐμπρησθέντες ἐβόων.

γ. πάλιν τοῦτο ἀμάρτυρον, ἀλλ᾽ ὅρα ἀπὸ

γ. ὁ πολεμῶν χριστιανοὺς καὶ εἰς φυλακὰς ἐμβάλλων αὐτούς. ὅτι

γ. λογισμῶν.

21 Καὶ εἶπε πρός με, πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε.
22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· αἶρε
ἀπὸ τῆς γῆς τὸν τοιοῦτον. οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν.
23 Κραζόντων δὲ αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,
24 Ἐκέλευσεν ὁ χιλίαρχος εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν
ἀνετάζεσθαι αὐτόν, ἵνα γνῷ δι᾽ ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ.

γ. ἐξαποστ.

γ. κραυγαζόντων

Καὶ ὁ χιλίαρχος δέον ἐξετάσαι, εἰ ταῦτα οὕτως ἔχει, ἢ καὶ αὐτοὺς ἐκείνους, ὁ δὲ μηδὲν πλέον ποιήσας μάστιξιν ἀνετάζειν αὐτὸν ἐπαγγέλλεται. ἐκέλευσε γὰρ αὐτόν, φησιν, εἰσάγεσθαι εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα γνῷ δι᾽ ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ. καὶ μὴν παρ᾽ ἐκείνων ἔδει μαθεῖν τῶν καταβοώντων, καὶ ἐρωτῆσαι εἴ τινος τῶν εἰρημένων ἐπελαμβάνοντο·

γ. ὅπως γνῷ

γ. οὕτως ἐπεφώνουν αὐτ

γ. καὶ αὐτὸν δι᾽ ἑαυτοῦ, εἰ δὲ μὴ ἔχ

ἀλλ᾽

ἀλλ᾽ ἁπλῶς τῇ ἐξουσίᾳ χρῆται, καὶ ἐκείνοις πρὸς χάριν ποιεῖ. οὐ γὰρ τοῦτο ἐζήτει, ὅπως δικαίως τι πράξειεν· ἀλλ᾽ ὅπως παύσῃ τὸν ἐκείνων θυμὸν ἄδικον ὄντα. *χ. χαρίζεται*

25 Ὡς δὲ προέτεινεν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον· εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; Οὐκ ἐψεύσατο Παῦλος (μὴ γένοιτο) Ῥωμαῖον ἑαυτὸν εἰπών. Ῥωμαῖος γὰρ ἦν. διὸ καὶ ὁ χιλίαρχος ἀκούσας φοβεῖται. καὶ τίνος, φησὶν, ἕνεκεν ἐφοβήθη; εἰ καὶ μηδὲν ἕτερον, ἔδεισεν ἂν, μὴ ἀλῷ καὶ μείζονα δίκην δῷ. καὶ ὅρα οὐχ ἁπλῶς φησίν· ἀλλ᾽, εἰ ἔξεστιν ὑμῖν. δύο τὰ ἐγκλήματα, καὶ τὸ ἄνευ λόγου, καὶ τὸ Ῥωμαῖον ὄντα. μεγάλην εἶχον ταύτην τότε προνομίαν τὸ ἀξιούμενοι οὕτω καλεῖσθαι, καὶ οὐ πάντες τούτου ἐτύγχανον. ἀπὸ γὰρ Ἀδριανοῦ, φασὶ, πάντας Ῥωμαίους ὀνομασθῆναι· τὸ δὲ παλαιὸν, οὐχ οὕτως ἦν. ἢ καὶ Ῥωμαῖον ἑαυτὸν εἶπεν, ἵνα διαφύγῃ τὴν τιμωρίαν. εὐκαταφρόνητος γὰρ ἂν ἐνόμισε μαστιχθείς· νῦν δὲ τοῦτο εἰπὼν, εἰς πλείονα αὐτοὺς ἐμβάλλει φόβον. εἰ δὲ ἐμάστιξαν, καὶ παρέπεμψαν ἂν τὸ πρᾶγμα, ἢ καὶ ἀπέκτειναν αὐτόν· νῦν δὲ οὐχ οὕτω γέγονεν. ὅρα πῶς ὁ Θεὸς συγχωρεῖ καὶ ἀνθρωπίνως πολλὰ γίνεσθαι, καὶ ἐπ᾽ αὐτῶν, καὶ τῶν λοιπῶν. ὁ δὲ χιλίαρχος ἀπιστήσας, ὅτι πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην, δείκνυσιν ὑποπτεύσας πρόφασιν εἶναι τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον τὸν Παῦλον· καὶ ἴσως τοῦτο ὑπέλαβεν ἀπὸ τῆς λιτότητος Παύλου τῆς φαινομένης. *χ. συγκεχώρηται* *χ. ἑκατόνταρχος* *χ. παρέπεμψαν*

25 Ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλε λέγων· ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι.

27 Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ. ὁ δὲ ἔφη, ναί.

28 Ἀπεκρίθη ὁ χιλίαρχος· ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος φησὶν ἐγὼ δὲ καὶ γεγέννημαι.

29 Εὐθέως δὲ ἀπέστησαν ἀπ᾽ αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν αὐτόν. καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς. Ἐγὼ δὲ, φησὶ, καὶ γεγέννημαι. ἄρα καὶ πατέρας εἶχε Ῥωμαίους. τί οὖν ἀπὸ τούτου γέγονε; λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς Ἰουδαίους. [ὥστε οὐκ ἦν ψεῦδος τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον, ὅτι καὶ ἀπέστησαν ἀπ᾽ αὐτοῦ λυθεὶς τοῦ δεσμοῦ, καὶ πῶς, ἄκουε.]

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ τί κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ἐκέλευσε συνελθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς.

1 Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν. Οὐκέτι πρὸς τὸν χιλίαρχον, ἀλλὰ πρὸς τὸ πλῆθος καὶ τὸν δῆμον πάντα διαλέγεται. καὶ τί φησιν; Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας.

Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ σύνοιδα ἐμαυτῷ τι ἠδικηκὼς ὑμᾶς, οὐδὲ ἄξιον τῶν δεσμῶν τούτων πεποίηκα. τί οὖν ὁ ἀρχιερεύς; δέον κατανυγῆναι ἐφ᾽ οἷς εἰς χεῖρας αὐτῶν ἀδίκως ἐδέδετο· ὁ δὲ καὶ προσεπιτίθησι, καὶ κελεύει τύπτεσθαι αὐτόν. ὃ καὶ δηλοῖ ἐξ ὧν ἐπήγαγεν. *χ. πῶς δικαίως καὶ ἀρχοντικῶς καὶ ἐπιεικῶς ὁ δὲ*

2 Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τοῖς παρεστῶσιν αὐτῷ ἐπέταξε τύπτειν αὐτοῦ τὸ στόμα. [Καίτοι γε ἐπιεικὴς ὁ ἀρχιερεύς.] *χ. αὐτόν*

3 Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι;

4 Οἱ δὲ παρεστῶτες εἶπον· τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;

5 Ἔφη τε ὁ Παῦλος· οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐστὶν ἀρχιερεύς. γέγραπται γὰρ· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. Τινὲς μὲν οὖν φασιν, ὅτι εἰδὼς εἰρωνεύεται· ἐμοὶ Ἐξοδ. κβ. κη. *χ. ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς τί οὖν ἀπολογεῖται*

δὲ δοκεῖ, ὅτι οὐδὲ ὅλως ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς· ἢ γὰρ ἄν, καὶ ἐτίμησεν. διὸ καὶ ἀπολογεῖται ὡς κακηγορίας οὔσης, καὶ ἐπάγει, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. τί οὖν, φησίν; εἰ γὰρ μὴ ἄρχων ἦν, ἄλλον ἁπλῶς ὑβρίζειν ἔδει; οὐδαμῶς· ἀλλὰ καὶ ὑβριζόμενον μᾶλλον ἐπεικαῖν. ἄξιον δὲ ζητῆσαι, πῶς ἀλλαχοῦ ὁ αὐτὸς λέγων· Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, ἐνταῦθα τοὐναντίον ποιεῖ; καὶ οὐ λοιδορεῖται μόνον, ἀλλὰ καὶ ἐπαρᾶται. ἅπαντι. οὐχ ὑπὲρ τούτων φαίνεται πεποιηκώς· ἀλλὰ τῷ ἀκριβῶς σκοποῦντι, παῤῥησίας μᾶλλόν ἐστι τὰ ῥήματα, ἢ θυμοῦ. ἄλλως δὲ, οὐκ ἐβούλετο εὐκαταφρόνητος φανῆναι τῷ χιλιάρχῳ. εἰ γὰρ αὐτὸς μὴ ἐφείσατο μαστίξαι, ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι μέλλοντα, τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι, μᾶλλον ἂν ἐκείνους θρασυτέρους εἰργάσατο. διὰ τοῦτο οὐδὲ πρὸς τὸν παῖδα ἀποτείνεται, ἀλλὰ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα, [τοῦτο κατασκευάζων.] τὸ δὲ, τοῖχε κεκονιαμένε, καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, εἶπε, μονονουχὶ τοῦτο αὐτῷ λέγων· ὑπεύθυνος ὢν καὶ μυρίων πληγῶν ἄξιος. ὅρα γοῦν πῶς αὐτοῦ κατεπλάγησαν τὴν παῤῥησίαν [ὁ δῆμος]. δέον γὰρ ἀνατρέψαι τὸ πᾶν, παραιτοῦσι μᾶλλον. αὐτὸς δὲ καὶ τὸν νόμον ὑπαναμιμνήσκει, ἐπειδὴ βούλεται δεῖξαι ὅτι οὐ διὰ τὸ φοβηθῆναι, οὐδὲ διὰ τὸ μὴ ἄξιον εἶναι ἀκοῦσαι ταῦτα, οὕτως εἶπεν, ἀλλὰ τῷ νόμῳ καὶ ἐνταῦθα πειθόμενος. καὶ σφόδρα πείθομαι μὴ εἰδέναι αὐτὸν, ὅτι ἀρχιερεύς ἐστι, διὰ μακροῦ μετὰ ἐπανεληλυθότα χρόνου, μὴ συγγινόμενον δὲ συνεχῶς Ἰουδαίοις, ὁρῶντα δὲ καὶ ἐκεῖνον ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων. οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεὺς, πολλῶν ὄντων καὶ διαφόρων. οὕτω μοι καὶ τοῦτο πρὸς αὐτοὺς ἀποτείνασθαι δοκεῖ, δεικνὺς ὅτι νόμῳ πείθεται, καὶ διὰ τοῦτο ἀπολογεῖται. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. προσευχομένου μου, φησὶν, ἐν τῷ ἱερῷ, ἐγένετο γενέσθαι με ἐν ἐκστάσει. ἵνα δηλώσῃ ὅτι οὐχ ἁπλῶς φαντασία ἦν, διὰ τοῦτο προσέθηκε τὸ, προσευχομένου μου. σπεῦσον καὶ ἔξελθε ἐν τάχει, φησὶ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν. ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ φοβούμενος αὐτὸν τοὺς κινδύνους ἔφυγεν, ἀλλ' ὅτι οὐκ ἐδέχοντο τὴν μαρτυρίαν αὐτοῦ. διατί δὲ εἶπεν, ὅτι αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην δεσμεύων; οὐκ ἀντιλέγων τῷ Χριστῷ (μὴ γένοιτο) ἀλλὰ βουλόμενος μαθεῖν τὸ οὕτω παράδοξον. πορεύου, φησὶν, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. ὅρα, οὐκ ἐδίδαξεν αὐτὸν ὁ Χριστὸς τί δεῖ ποιεῖν· ἀλλ' εἶπε μόνον ἀπελθεῖν, καὶ πείθεται· τοσοῦτον ἦν καταπειθής. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, φησὶ, λέγοντες· αἶρε αὐτόν· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. ὢ τῆς θρασύτητος. καὶ μὴν ὑμᾶς οὐ καθῆκε ζῆν, οὐχὶ τοῦτον τὸν πάντα πειθόμενον τῷ Θεῷ. ὢ μιαροὶ καὶ ἀνδροφόνοι. καὶ τὰ ἱμάτια ἐκτινάσσοντες, φησὶ, κονιορτὸν ἔβαλλον. ὥστε χαλεπωτέραν γενέσθαι τὴν στάσιν τοῦτο ποιοῦσιν, ἢ καὶ φοβῆσαι βουλόμενοι τὸν ἄρχοντα. καὶ ὅρα· οὐ λέγουσι τὴν αἰτίαν, ἐπειδὴ μηδὲν εἶχον εἰπεῖν, ἀλλὰ τῇ βοῇ καταπλήξειν οἴονται, καὶ μὴν παρὰ τῶν κατηγόρων ἐχρῆν μαθεῖν. καὶ ὁ χιλίαρχος ἐφοβήθη, φησὶν, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν. οὐκ ἄρα ψεῦδος ἦν τὸ Ῥωμαῖον ἑαυτὸν εἶναι τὸν Παῦλον εἰπεῖν. καὶ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, φησὶ, καὶ καταγαγὼν ἔστησεν εἰς τὸ συνέδριον. τοῦτο ἔδει ποιῆσαι*, μήτε βουληθῆναι μαστίξαι, ἀλλὰ καταλιπεῖν, μηδὲν τοιοῦτόν τι ποιήσαντα ὥστε καὶ δεσμεῖσθαι. καὶ ἔλυσεν αὐτὸν, φησὶ, καὶ καταγαγὼν εἰς αὐτοὺς ἔστησε. τοῦτο μάλιστα ἠπόρησαν οἱ Ἰουδαῖοι. ἀτενίσας δὲ Παῦλος τῷ συνεδρίῳ, φησὶν, εἶπεν· ἄνδρες ἀδελφοί. ἐνταῦθα τὴν παῤῥησίαν αὐτοῦ δείκνυσι, καὶ τὸ ἐντρεπτικόν. ἀλλ' ὅρα καὶ ἐκείνων τὸ ἰταμόν. ἐπήγαγε γὰρ, ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τύπτειν αὐτοῦ τὸ στόμα ἐπέταξε. διατί τύπτεις; τί γὰρ εἶπεν ὑβριστικόν; ὢ τῆς ἰταμότητος, ὢ τῆς ἀναισχυντίας, ὢ τῆς θρασύτητος. τότε ὁ Παῦλος πρὸς αὐτὸν, φησὶν, εἶπε· τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε. βαβαὶ τῆς παῤῥησίας. εἰς ὑπόκρισιν αὐτὸν καὶ παρανομίαν διασύρει. διὰ τοῦτο γοῦν καὶ καταστέλλεται. καὶ αὐτὸς μὲν ἀπορῶν οὐδὲν τολμᾷ εἰπεῖν, ἀλλ' οἱ περὶ αὐτὸν, οὐκ ἐνεγκόντες αὐτοῦ τὴν παῤῥησίαν. οὕτως εἶδον αὐθέντην θανατῶντα,

α. Κορ. ιδ. ιϛ.

* διὰ τὴν ἀρχὴν καὶ

χ. τὸ ἀκριβ. πληκτ. ἀλλ'

θανατῶντα, καὶ οὐχ ὑπεμφαίνων. Οὐκ ᾔδειν, φησὶν, ὅτι ἀρχιερεύς ἐστιν. ἆρα ἀγνοίας ἡ ἐπιτίμησις ἦν. εἰ γὰρ μὴ τοῦτο ἦν, κἂν λαβὼν αὐτὸν ἀπῆλθε καὶ οὐκ ἐσίγησε, κἂν ἐξέδωκεν αὐτοῖς αὐτὸν ὁ χιλίαρχος. ἐνταῦθα δείκνυσιν, ὅτι ἑκὼν πάσχει ἃ πάσχει, καὶ οὕτως ἀπολογεῖται πρὸς αὐτοὺς τῷ νόμῳ πειθόμενος, οὐχὶ αὐτοῖς ἐνδείξασθαι βουλόμενος· ἐπεὶ ἐκεῖνοι καὶ κατεγνώκεσαν σφόδρα. διὰ τὸν νόμον τοίνυν ἀπολογεῖται, ἀλλ' οὐ διὰ τὸν δῆμον· εἰκότως. τὸν γὰρ τὸν οὐδὲν ἠδικηκότα λοιδορεῖν; καὶ ταῦτα ἀθῷον ὄντα, παράνομον ἦν. οὐκοῦν οὐδὲ ὕβρις τὸ παρ' αὐτοῦ εἰρημένον, εἰ μὴ καὶ τὰ τοῦ Χριστοῦ ὕβριν εἴποι τις ἂν, ὅταν λέγῃ· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι παρομοιάζετε τοίχοις κεκονιαμένοις. ναί, φησιν. ἀλλ' εἰ παρὰ τοῦ τυπτηθῆναι εἶπεν, οὐκ ἦν θυμοῦ, ἀλλὰ παρρησίας. ἀλλ' εἶπον τὴν αἰτίαν, ὅτι οὐκ ἐβούλετο καταφρονηθῆναι. καὶ μὴν ὁ Χριστὸς πολλαχοῦ ὕβρισεν Ἰουδαίους αὐτὸς ὑβρισθείς, ὡς ὅταν λέγῃ· Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν. ἀλλ' οὐκ ἔστι τοῦτο ὕβρις, μὴ γένοιτο. ὅρα γοῦν πρὸς ἐκείνους μεθ' ὅσης ἐπιεικείας διαλέγεται. οὐκ ᾔδειν ὅτι ἀρχιερεύς ἐστι, φησι, τοῦ Θεοῦ. [τοῦτο εἶπε, καὶ οὐκ ἔστιν·] ἀλλὰ δεικνὺς ὅτι οὐκ εἰρωνεύεται; ἐπάγει· ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. βλέπεις πῶς καὶ ἄρχοντα αὐτὸν ἔτι ὁμολογεῖ;

γ. πύθοις

Ματθ. κγ. κζ.

Ἰωάν. ε. μέ.

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν καὶ ἡμεῖς τὴν ἐπιείκειαν καὶ τὴν παρρησίαν, ἵνα ἐν ἑκατέροις ὦμεν ἀπηρτισμένοι. πολλῆς γὰρ ἀκριβείας δεῖ, ὥστε μαθεῖν τί μὲν τοῦτο, τί δὲ ἐκεῖνο. ἀκριβείας δὲ δεῖ, ὅτι παρυφεστᾶσιν αὐταῖς αἱ κακίαι· τῇ μὲν παρρησίᾳ θρασύτης, τῇ δὲ ἐπιεικείᾳ ἀνανδρία. καὶ δέον περισκοπεῖν, μὴ τὴν κακίαν τις κατέχων, δόξῃ τὴν ἀρετὴν ἔχειν· ὥσπερ ἂν εἴ τις δοκοίη τῇ δεσποίνῃ συγγίνεσθαι, ἀγνοοίη τῇ θεραπαινίδι συνών. τί οὖν ἐστιν ἐπιείκεια, καὶ τί ἀνανδρία; ὅταν ἑτέρους μὲν ἀδικουμένους μὴ ἀμύνωμεν, ἀλλὰ σιγῶμεν αὐτοί, τοῦτο ἀνανδρίας ἐστίν· ὅταν δὲ κακῶς πάσχοντες φέρωμεν, τοῦτο ἐπιείκεια. τί παρρησία; πάλιν τὸ αὐτό, ὅταν ὑπὲρ ἑτέρων ἀγωνιζώμεθα. τί δαὶ θρασύτης; ὅταν ὑπὲρ ἡμῶν αὐτῶν ἀμύνασθαι βουλώμεθα. ὥστε μεγαλοψυχία ὁμοῦ καὶ παρρησία, καὶ θρασύτης πάλιν καὶ ἀνανδρία. ὁ γὰρ ὑπὲρ ἑαυτοῦ μὴ ἀλγῶν, δυσκόλως ὑπὲρ ἑτέρων ἀλγήσει· ὁ δὲ ἑαυτῷ μὴ ἀμύνων, δυσκόλως ἑτέροις οὐκ ἀμυνεῖται. ὅταν γὰρ καθαρὸν ᾖ τὸ ἦθος ἡμῖν πάθους, δέχεται καὶ ἀρετήν. καθάπερ καθαρὸν σῶμα πυρετοῦ δέχεται ἰσχύν, οὕτω δὴ καὶ ἡ ψυχή, ἂν μὴ τοῖς πάθεσι παραδιαφθαρῇ, δέχεται ἰσχύν. μεγάλης ἰσχύος γνώρισμά ἐστιν ἐπιείκεια, γενναίας καὶ ἀνδρικῆς ψυχῆς καὶ ὑψηλῆς σφόδρα τῇ ἐπιεικείᾳ δεῖ. ἢ μικρὸν οἴει τὸ παθεῖν κακῶς, καὶ μὴ ἀγανακτεῖν; καὶ οὐκ ἂν τις ἁμάρτοι τὴν κηδεμονίαν τὴν ὑπὲρ τῶν πλησίον ἀνδρείαν εἰπών. ὁ γὰρ τοσοῦτον ἰσχύσας, ὡς δυνηθῆναι τοσούτου περιγενέσθαι πάθους, ἰσχύσει καὶ ἑτέρου κατατολμῆσαι. ὅρα, δύο πάθη ἐστὶ ταῦτα, δειλία καὶ θυμός. ἂν τοῦ θυμοῦ κατάσχῃς, εὔδηλον ὅτι καὶ δειλίας· τοῦ θυμοῦ δὲ κρατεῖς, ἐπιεικὴς ὤν· οὐκοῦν καὶ τῆς δειλίας [ἂν κρατήσῃς], καὶ ἔσῃ ἀνδρεῖος. πάλιν ἂν μὴ περιγένῃ τοῦ θυμοῦ, γέγονας θρασύς. τούτου δὲ μὴ περιγενόμενος, οὐδὲ φόβου περιγενέσθαι δυνήσῃ. οὐκοῦν καὶ δειλὸς ἔσῃ, καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἰ σῶμα ἀσθενὲς οὕτως εἴη καὶ δύσκρατον, ὡς πρὸς οὐδένα πόνον ἀντέχειν. τοῦτο ταχέως καὶ ὑπὸ ψυχροῦ ἁλίσκεται καὶ ὑπὸ θερμοῦ (τὸ γὰρ δύσκρατον τοιοῦτον)· τὸ δὲ εὔκρατον πάντα ὑφίσταται. πάλιν, ἔστι μεγαλοψυχία ἀρετή· καὶ παρυφέστηκεν αὐτῇ ἀσωτία. ἔστιν οἰκονομία ἀρετή· καὶ τὸ οἰκονομικὸν εἶναι, παρυφέστηκεν ἡ φειδωλία καὶ ἡ μικρολογία. φέρε οὖν πάλιν ταῖς ἀρεταῖς συναγάγωμεν. οὐκοῦν οὐ μεγαλόψυχος ὁ ἄσωτος. πῶς; ὁ γὰρ ὑπὸ μυρίων ἁλισκόμενος παθῶν, πῶς ἂν εἴη μέγας τὴν ψυχήν; οὐ γὰρ χρημάτων ἐστὶ τοῦτο καταφρονεῖν, ἀλλ' ὑφ' ἑτέρων ἐπιπίπτεσθαι παθῶν. ὥσπερ ἂν εἴ τις ὑπὸ λῃστῶν ἐπιτάττοιτο ἐκείνοις ὑπακούειν, οὐκ ἂν εἴη ἐλεύθερος. οὐ γὰρ ἐκ τοῦ χρημάτων καταφρονεῖν γίνεται τὸ ἀναλίσκειν· ἀλλ' ἐκ τοῦ μὴ δεόντως εἰδέναι διοικεῖν. ἐπεὶ εἴγε οὖν καὶ ἔχειν καὶ ἀπολαύειν ἐκείνων, οὕτως ἂν ἠθέλησεν· ὁ δὲ

γ. ἀρετὴν

γ. ἑαυτοῖς ἀμύνωμεν. ὑπὸ αὐτοῦ ὑβρ.

γ. οὐκ ἀλγ-

γ. παραδιαφ

γ. ἡ ἐπιείκεια

γ. τοῦτο

εἰς δέον ἀναλίσκων τὰ χρήματα, οὗτός ἐστι μεγαλόψυχος. μεγάλη γὰρ ὄντως ψυχὴ ἡ μὴ πάθει δουλεύουσα, ἡ μηδὲν ἡγουμένη τὰ χρήματα εἶναι. πάλιν, ἡ οἰκονομία καλόν· οὕτω καὶ ὁ οἰκονομικὸς ἂν εἴη ἄριστος, ὁ εἰς δέον ἀναλίσκων, καὶ μὴ ἁπλῶς ἀνοικονομήτως. ἡ δὲ φειδωλία οὐκ ἔστι ταὐτόν. ἐκεῖνος μὲν γὰρ πάντα εἰς τὸ δέον ἀναλίσκει· οὗτος δὲ οὐδὲ ἀναγκαίας ἀπαιτούσης χρείας, τῆς οὐσίας ἅπτεται τῶν χρημάτων. ὁ οἰκονομικὸς τοίνυν τοῦ μεγαλοψύχου γένοιτ' ἂν ἀδελφός. οὐκοῦν ὁμοῦ τὸν μεγαλόψυχον θήσομεν καὶ τὸν οἰκονομικόν, καὶ τὸν ἄσωτον, καὶ τὸν μικρολόγον. ἀμφότεροι γὰρ ἀπὸ μικροψυχίας τοῦτο πάσχουσιν, ὥσπερ οὖν κἀκεῖνοι ἀπὸ μεγαλοψυχίας. μὴ δὴ μεγαλοψύχους καλῶμεν τοὺς ἀναλίσκοντας ἁπλῶς, ἀλλὰ τοὺς εἰς δέον ἀναλίσκοντας· μηδὲ τοὺς οἰκονομικοὺς μικρολόγους καὶ φειδωλούς, ἀλλὰ τοὺς ἀκαίρως φειδομένους τῶν χρημάτων. πόσα ὁ πλούσιος ἐκεῖνος ἀνάλωσεν, ἐνδιδυσκόμενος πορφύραν καὶ βύσσον; ἀλλ' οὐκ ἦν μεγαλόψυχος. ὑπὸ γὰρ ὠμότητος κατείχετο ἡ ψυχὴ αὐτοῦ καὶ ὑπὸ μυρίων ἡδονῶν. ἡ δὲ τοιαύτη πῶς ἂν εἴη μεγάλη; μεγαλόψυχος ἦν ὁ Ἀβραάμ, εἰς ὑποδοχὴν ἀναλίσκων τῶν ξένων, τὸν μόσχον καταστρέφων, καὶ ἔνθα ἐχρῆν οὐ μόνον χρημάτων, ἀλλ' οὐδὲ τῆς ψυχῆς τῆς αὐτοῦ φειδόμενος. ἂν τοίνυν ἴδωμέν τινα τράπεζαν παρατιθέντα πολυτελῆ, πόρνας τρέφοντα καὶ παρασίτους, μὴ μεγαλόψυχον καλέσωμεν τοῦτον, ἀλλὰ σφόδρα μικρόψυχον. ὅρα γὰρ ὅσοις δουλεύει καὶ ὑπόκειται πάθεσι, γαστριμαργίᾳ, ἡδονῇ ἀτόπῳ, κολακείᾳ· τὸν δὲ τοσούτοις κατεχόμενον, καὶ μηδὲ ἓν τούτων δυνάμενον διαφυγεῖν, πῶς ἄν τις μεγαλόψυχον καλοίη; ὥστε αὐτὸν τότε μάλιστα καλέσομεν μικρόψυχον, ὅταν μάλιστα ἀναλίσκῃ. ὅσῳ γὰρ ἂν μειζόνως ἀναλίσκῃ, τοσούτῳ δηλοῖ τὴν τυραννίδα τῶν παθῶν ἐκείνων. εἰ γὰρ μὴ σφόδρα αὐτοῦ ἐκράτουν, οὐκ ἂν σφόδρα ἀνάλωσε. πάλιν, ἂν ἴδωμέν τινα τούτων μὲν μηδενὶ μηδὲν παρέχοντα, πένητας δὲ τρέφοντα, καὶ τοῖς δεομένοις ἐπικουροῦντα, αὐτὸν δὲ τράπεζαν ἔχοντα εὐτελῆ, τοῦτον σφόδρα καλῶμεν μεγαλόψυχον. μεγάλης γὰρ ὄντως ψυχῆς, τῆς μὲν οἰκείας καταφρονεῖν ἀναπαύσεως, τῆς δὲ ἑτέρων φροντίζειν. εἰπὲ γάρ μοι· εἴ τινα ἴδοις τῶν μὲν τυράννων καταφρονοῦντα πάντων, καὶ οὐδὲν ἡγούμενον τὰ ἐκείνων ἐπιτάγματα, τοὺς δὲ ὑπ' ἐκείνων τυραννουμένους ἐξέλκοντα, καὶ τοὺς κακῶς πάσχοντας, ἆρα οὐκ ἂν μέγαν ἡγήσαιο τοῦτον; οὕτω δὴ κἀνταῦθα λογιζώμεθα. τύραννός ἐστι τὰ πάθη. ἐὰν οὖν καταφρονήσωμεν αὐτῶν, μεγάλοι ἐσόμεθα· ἂν δὲ καὶ ἑτέρους ἐξελκύσωμεν, πολλῷ μείζους. εἰκότως. οἱ γὰρ οὐχ ἑαυτοῖς ἀρκοῦντες μόνον, ἀλλὰ καὶ ἑτέροις, μείζους τῶν μηδέτερον ποιούντων. ἂν δὲ ἐπιταττόμενός τις ὑπὸ τυράννου, τὸν μὲν τῶν ὑπηκόων τύπτῃ, τὸν δὲ ἕλκῃ, ἄλλον δὲ ὑβρίζῃ, ἆρα τοῦτο μεγαλοψυχίας ἐροῦμεν; οὐ δήπου· ἀλλὰ καὶ τοσούτῳ πλέον, ὅσῳ ἂν μέγας ᾖ. οὕτω καὶ ἐφ' ἡμῶν. νῦν μὲν γὰρ παράκειται ἡ ψυχὴ εὐγενής τις οὖσα καὶ ἐλευθέρα· ταύτην δὲ ὁ ἄσωτος τύπτεσθαι ἐκέλευσεν ὑπὸ τῶν παθῶν. τὸν οὖν ἑαυτὸν τύπτοντα, τοῦτον μεγαλόψυχον φήσομεν; οὐδαμῶς. οὐκοῦν μάθωμεν τίς μὲν ἡ μεγαλοψυχία, τίς δὲ ἡ ἀσωτία· τίς ἡ οἰκονομία, καὶ τίς ἡ μικρολογία· τίς ἡ ἐπιείκεια, * καὶ ἀνδρία· τίς παρρησία, καὶ τίς θρασύτης· ἵνα ταῦτα ἀπ' ἀλλήλων διελόντες, δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὸν παρόντα βίον διαγαγεῖν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. μέγαν ἡγήσαιο τοῦτο;

χ. ἀλλὰ καὶ σφοδροτέρας δουλείας ἐστί

χ. ταύτῃ

Λογ. μδ.

Λογ. μθ. 6 ΓΝΟΥΣ ΔΕ Ο ΠΑΥΛΟΣ ΟΤΙ ΤΟ ΕΝ ΜΕ-
ρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ·
ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀ-
ναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.
7 Ταῦτα δὲ αὐτοῦ λαλήσαντος, ἐγέ-
νετο στάσις τῶν Σαδδουκαίων καὶ Φαρισαίων, καὶ ἐσχίσθη τὸ πλῆθος.
8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε
πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

Πάλιν αὐτὸν θεραπεύει διαλεγόμενος, καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει, ἀλλὰ καὶ παρ' ἑαυτοῦ τι συγχωρεῖται εἰσφέρειν. ὃ δὴ καὶ ποιεῖ καὶ ἐν τούτῳ, καὶ ἐν τῷ μετὰ ταῦτα ἀπολογεῖται, βουλόμενος διασπάσαι τὸ πλῆθος τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. καὶ οὐ ψεύδεται οὐδὲ ἐνταῦθα, Φαρισαῖον ἑαυτὸν λέγων. Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων. διὰ τοῦτο καὶ οὕτως ἀπολογεῖται· Φαρισαῖος ἐγώ εἰμι, υἱὸς Φαρισαίου, περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. ἐπειδὴ γὰρ ἐκεῖνοι οὐκ ἐβούλοντο εἰπεῖν, διὰ τί κρίνουσιν αὐτὸν, ἀναγκάζεται λοιπὸν αὐτὸς ἐξειπεῖν. Φαρισαῖοι δὲ, φησιν, ὁμολογοῦσι τὰ ἀμφότερα. καὶ μὴν τρία ἐστί· πῶς οὖν λέγει ἀμφότερα; ἢ ὅτι πνεῦμα καὶ ἄγγελος ἕν ἐστιν, ἢ ὅτι οὐ μόνον ἡ λέξις περὶ δύο, ἀλλὰ καὶ περὶ τριῶν λαμβάνεται. καταχρηστικῶς οὖν οὕτως εἶπε, καὶ οὐ κυριολογῶν. καὶ ὅρα, ὅτι μετ' αὐτῶν ἐστι, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ.

χ. πνεῦμα καὶ ἄγγελος ἕν φησι. καὶ ὅρα ὅτι

9 Ἐγένετο γάρ, φησι, κραυγὴ μεγάλη. καὶ ἀναστάντες τινὲς τῶν γραμματέων τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν. Καὶ διὰ τί μὴ πρὸ τούτου ὑπὲρ αὐτοῦ ἀπελογήσαντο; ὅτι αὐτοῖς οὔπω συνεμίγνυτο, οὐδὲ δῆλον ἦν, ὅτι ἀπολογήσεται, Φαρισαῖος αὐτῶν ὤν. ὁρᾷς ὅταν μὴ τὰ πάθη ὑποχωρήσῃ, πῶς ἡ ἀλήθεια εὑρίσκεται; ὃ δὲ λέγουσι, τοῦτό ἐστι· ποῖον ἔγκλημα, εἰ ἄγγελος αὐτῷ ἐλάλησεν, εἰ πνεῦμα, καὶ ὑπ' αὐτοῦ κατηχηθεὶς, οὕτω τὰ περὶ ἀναστάσεως ἐκδιδάσκει; οὐκοῦν αὐτοῦ ἀποσχώμεθα, μὴ αὐτῷ πολεμοῦντες καὶ θεομάχοι εὑρεθῶμεν. ὅρα συνετῶς αὐτοὺς ὑπεραπολογουμένους, καὶ τὸν Παῦλον οὐδεμίαν αὐτοῖς διδόντα λαβήν.

ἰσ. δῆλος. χ. πρὶν ἀπολογεῖται λόγον συνειστῶς ὤν.

10 Πολλῆς δὲ γενομένης στάσεως, φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν. Φοβεῖται λοιπὸν ὁ χιλίαρχος μὴ διασπασθῇ, ἐπειδὴ εἶπεν ὅτι Ῥωμαῖός ἐστιν· ὅθεν καὶ οὐκ ἀκίνδυνον ἦν τὸ πρᾶγμα. ὁρᾷς ὅτι δικαίως ὡμολόγησεν ἑαυτὸν Ῥωμαῖον εἶναι; εἰ γὰρ μὴ, οὐδὲ νῦν ἐφοβήθη. καὶ τὸ μὲν στράτευμα λοιπὸν ἁρπάζει αὐτόν. ὡς δὲ εἶδον οἱ μιαροὶ πάντα λύοντα, δι' ἑαυτῶν τὸ πᾶν ποιοῦσι, βουληθέντες μὲν καὶ πρὸ τούτου, κωλυθέντες δέ. οὕτως οὐδαμοῦ ἵσταται ἡ κακία τοσούτοις ἐγκοπτομένη. καίτοι πόσα ἐνεκοπομήθη, ὥστε καὶ τοῦ θυμοῦ καθυφεῖναι, καὶ μαθεῖν δι' ὧν ἐδύναντο ἀνενεγκεῖν; ἀλλ' οὐδὲν ἧττον ἐφίστανται. ἰσχυρὰ γοῦν ἐκείνη ἡ ἀπολογία, τὸ μέλλοντα διασπᾶσθαι τὸν ἄνθρωπον ἁρπάζεσθαι, καὶ τοσούτους κινδύνους διαφυγεῖν.

χ. εὐλαβηθεὶς

χ. εἰ γὰρ μὴ, οὐδὲ νῦν ἐφοβ.

χ. ὡς ἴδιον οἶμαι· ὅρα πάντα

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος, εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντες οἱ Ἰουδαῖοι συστροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς λέγοντες μὴ φαγεῖν, μηδὲ πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον.

χ. τὶς τινὲς τῶν Ἰουδαίων

13 Ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες.

Ἀνεθεμάτισαν ἑαυτοὺς, φησιν. ὁρᾷς πῶς εἰσι σφοδροὶ καὶ ἀμυντικοὶ περὶ τὴν κακίαν; τί ἐστιν, ἀνεθεμάτισαν; ἀντὶ τοῦ, ἔξω εἶναι τῆς εἰς Θεὸν πίστεως εἶπον, εἰ μὴ τὸ δόξαν κατὰ Παύλου ποιήσαιεν. ἄρα διὰ παντός εἰσιν ἀναθεματισμένοι ἐκεῖνοι. οὐ γὰρ ἀπέκτειναν τὸν Παῦλον. καὶ τεσσαράκοντα ὁμοῦ συνέρχονται. τοιοῦτον γὰρ τὸ ἔθνος, ὅταν μὲν ἐπὶ ἀγαθῷ δέῃ συμφωνῆσαι, οὐδὲ δύο συντρέχουσιν· ὅταν δὲ ἐπὶ κακῷ, δῆμος ὁλόκληρος. καὶ λαμβάνουσι κοινωνοὺς καὶ τοὺς ἄρχοντας. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν·

14 Οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.

15 Νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ" ἐν τῷ συνεδρίῳ ὅπως αὔριον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν. χ. σὺν

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ Παύλῳ.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον. ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ.

18 Ὁ μὲν οὖν παραλαβὼν αὐτὸν, ἤγαγε πρὸς τὸν χιλίαρχον. Πάλιν δὲ ἀνθρωπίνης σώζεται προμηθείας. καὶ ὅρα ὁ Παῦλος οὐδένα ἀφίησι μαθεῖν, οὐδὲ τὸν ἑκατόνταρχον, ὥστε μὴ τὸ πρᾶγμα γενέσθαι διάδηλον." καὶ ἐλθὼν ὁ ἑκατόνταρχος, ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων· Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς σὲ, ἔχοντά τι λαλῆσαί σοι. χ. καὶ φησιν ὁ δέσμ.

19 Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;

20 Εἶπε δὲ, ὅτι Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον ὡς "μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι" περὶ αὐτοῦ. χ. μελλόντων

21 Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς. ἐνεδρεύουσι γὰρ αὐτὸν ἄνδρες ἐξ αὐτῶν πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον. καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν παρὰ σοῦ ἐπαγγελίαν. χ. πω

22 Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι, ὅτι ἐνεφάνισας ταῦτα πρός με. Καλῶς ὁ χιλίαρχος κελεύει κρύψαι, ὥστε μὴ γενέσθαι δῆλον· καὶ τότε λέγει τοῖς ἑκατοντάρχοις, ὅτι καὶ γενέσθαι ἐχρῆν, καὶ πέμπεται λοιπὸν ἐν Καισαρείᾳ, ἵνα κἀκεῖ διαλεχθῇ ἐπὶ μείζονος θεάτρου καὶ λαμπροτέρου τοῦ ἀκροατηρίου· ἵνα μὴ ἔχωσι λέγειν οἱ Ἰουδαῖοι, ὅτι εἰ εἴδομεν Παῦλον, ἐπιστεύσαμεν ἄν, εἰ ἠκούσαμεν αὐτοῦ διδάσκοντος. καὶ αὕτη οὖν αὐτοῖς ἐντεῦθεν ἡ ἀπολογία ἐκκόπτεται. καὶ ἐπιστὰς, φησιν, ὁ Κύριος εἶπεν αὐτῷ· θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλὴμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα, καὶ μετὰ τὸ φανῆναι πάλιν ἀφίησιν αὐτὸν ἀνθρωπίνως σωθῆναι. καὶ ἄξιον ἐκπλαγῆναι τὸν Παῦλον, πῶς οὐκ ἐθορυβήθη, οὐδὲ εἶπε, τί δὴ τοῦτο ἐστιν; ἆρα μὴ ἠπατήμεθα παρὰ τοῦ Χριστοῦ; ἀλλ' οὐδὲν τοιοῦτον ἐνενόησεν, οὐδὲ ἔπαθεν, ἀλλὰ μόνον ἐπίστευσεν. οὐ μὴν ἐπειδὴ ἐπίστευσεν, ὕπνωσεν· ἀλλὰ τὰ ὄντα ἐξ ἀνθρωπίνης σοφίας συνιδεῖν οὐ" παρῆκε. καὶ σκόπει πῶς ἀνάγκην τινὰ ἑαυτοῖς ἐκεῖνοι περιέθηκαν διὰ τοῦ ἀναθεματισμοῦ. ἰδοὺ νηστεία ἀνδροφονίας μήτηρ. καθάπερ ὁ Ἡρώδης ἀνάγκην τὴν ἀπὸ τοῦ ὅρκου ἑαυτῷ ἐπέθηκεν, οὕτω δὴ καὶ οὗτοι. τοιαῦτα γὰρ τὰ διαβολικὰ θέατρα· προσχήματι δῆθεν εὐλαβείας τὰς παγίδας ἱστῶσι. καὶ μὴν ἐχρῆν προσελθεῖν, ἐχρῆν αἰτιάσασθαι, δικαστήριον συγκροτῆσαι. ταῦτα γὰρ οὐχ ἱερέων, ἀλλὰ λῃστάρχων· ταῦτα οὐκ ἀρχόντων, ἀλλὰ λυμεώνων. χ. σφίσιν

νων. καὶ ὅρα κακίας ὑπερβολήν. οὐ μόνον ἀλλήλους διαφθείραντες ἀρκοῦνται, ἀλλὰ καὶ τὸν ἀρχοντα συνδιαφθεῖραι ἐπιχειροῦσι. διὰ τοῦτο ἐκρύβη μαθεῖν, ὥστε κἀκεῖνον μαθεῖν αὐτῶν τὴν ἐπιβουλήν· αὐτοὶ δὲ οὐ μόνον ἐκ τοῦ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ καὶ ἐκ τοῦ λάθρα ἐπιχειρεῖν, ἤλεγξαν ἑαυτοὺς οὐδὲν ὄντας. εἰκὸς δὲ καὶ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν, προσελθεῖν τοὺς ἀρχιερεῖς αἰτοῦντας, καὶ καταισχυνθῆναι ἀπράκτους ἀπολυθέντας. εἰκότως δὲ τοῦτο ποιεῖ ὁ χιλίαρχος. οὐ γὰρ δὴ ἐβούλετο οὔτε ἁρπάσαι, οὔτε ἐπιβουλεῦσαι. καὶ πῶς, φησὶν, ἐπίστευσεν ἀληθῆ εἶναι τὰ ἀπαγγελθέντα παρὰ τοῦ νεανίου; ἐκ τῶν ἤδη γινομένων ἐστοχάσατο, ὅτι καὶ τοῦτο εἰκὸς ἦν αὐτοὺς ποιῆσαι. καὶ ὅρα τὴν κακουργίαν, ὥσπερ ἀνάγκην καὶ τοῖς ἀρχιερεῦσιν ἐπέστησαν, καὶ μὴ θαυμάσῃς. εἰ γὰρ τοσοῦτοι εἵλοντο αὐτοὶ, καὶ τὸν κίνδυνον ἀνεδέξαντο πάντα· πολλῷ μᾶλλον καὶ ἐκείνους τοῦτο ποιῆσαι εἰκὸς ἦν. ὁρᾷς πῶς διὰ τῆς ψήφου τῶν ἔξω ἀνθρώπων γέγονεν ὁ Παῦλος, ὡς καὶ ὁ Χριστὸς παρὰ Πιλάτου; ἀλλ᾽ ὅρα καὶ πῶς καὶ ἦν ὑφ᾽ ἑαυτῆς ἀναιρουμένην. παρέδωκαν μὲν γὰρ αὐτὸν, ὥστε καὶ ἀνελεῖν καὶ καταδικάσαι· γέγονε δὲ τοὐναντίον, καὶ σώζεται, καὶ ἀνθρώπους εὑρίσκεται. εἰ γὰρ μὴ οὕτω, κἂν διεσπάσθη· εἰ μὴ οὕτω, κἂν ἀπώλετο, κἂν κατεδικάσθη. οὐ μόνον δὲ ἐκείνης αὐτὸν τῆς ὁρμῆς ἐξαιρεῖται ὁ χιλίαρχος, ἀλλὰ καὶ ὑπηρέτης αὐτοῦ γέγονεν, ὥστε ἀκινδύνως διασωθῆναι μετὰ τοσαύτης παρατάξεως. καὶ ὅπως, ἄκουε. ἐπάγει γάρ·

γ. χαρίσαιτο

23 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· ἑτοιμάσατέ μοι στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν εἰς Καισάρειαν, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους ἀπὸ τρίτης ὥρας τῆς νυκτός,

24 Κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον, ἀγάγωσι πρὸς Φήλικα τὸν ἡγεμόνα,

γ. διασώσωσι πρὸς Φήλικα

25 Γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον·

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 Τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ιουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην, μαθὼν ὅτι Ρωμαῖός ἐστι.

28 Βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν.

γ. ἐπιγνῶναι

29 Ον εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου, ἢ δεσμῶν ἔγκλημα ἔχοντα.

30 Μηνυθείσης δέ μοι ἐπιβουλῆς μέλλειν ἔσεσθαι εἰς τὸν ἄνδρα ὑπὸ τῶν Ιουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σὲ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο.

γ. -θείων, ἐξ αὐτῶν ἐπεμ-

Ορα καὶ τὴν ἐπιστολὴν ἀπολογίαν ἔχουσαν μὲν ὑπὲρ αὐτοῦ (οὐδὲν γὰρ, φησὶν, εὗρον ἄξιον θανάτου ἔγκλημα ἔχοντα) κατηγορίαν δὲ κατ᾽ ἐκείνων ὑπὲρ τούτου· οὕτως ἐθανάτων. καὶ πρῶτον μὲν φησὶν ὅτι μέλλοντα ἀναιρεῖσθαι ὑπὸ τῶν Ιουδαίων ἐξειλόμην· εἶτα προστίθησιν ὅτι καὶ κατήγαγον αὐτὸν πρὸς αὐτοὺς, καὶ οὐδ᾽ οὕτως εὗρόν τι ἐγκαλέσαι ἐκεῖνοι. καὶ δέον ὑπὸ τοῦ προτέρου καταπλαγῆναι καὶ καταισχυνθῆναι, πάλιν ἐπιχειροῦσιν ἀνελεῖν· ὥστε πάλιν λαμπρότερον γενέσθαι τὸν ὑπὲρ αὐτοῦ λόγον. καὶ τί δή ποτε τοὺς κατηγόρους πέμπει; ἵνα ἐν τῷ δικαστηρίῳ, ἔνθα ταῦτα ἀκριβέστερον γυμνάζεται, ἀνθρώπος γένηται. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐγώ, φησι, Φαρισαῖός εἰμι. τοῦτο εἶπεν, ὥστε αὐτοὺς ἐπισπάσασθαι. εἶτα ἵνα μὴ δόξῃ κολακεύειν, ἐπάγει· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. ἀπὸ τῆς κατηγορίας αὐτοῦ καὶ τῆς διαβολῆς συνίστησιν ἑαυτόν. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἄγγελον, μήτε πνεῦμα. οὐδὲν ἀσώματον ἴσασι Σαδδουκαῖοι, τάχα οὐδὲ τὸν Θεὸν, παχεῖς τινες ὄντες. ὅθεν οὐδὲ ἀνάστασιν βούλονται εἶναι πιστεύειν. καὶ ἀναστάντες, φησὶ, γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. ὅρα, ἀκούει καὶ ὁ χιλίαρ-

χος, ὅτι αὐτὸν ἀπήλλαξεν ἐγκλημάτων. οἱ Φαρισαῖοι, καὶ ἐψηφίσαντο ὑπὲρ αὐτοῦ, καὶ μετὰ πλείονος παρρησίας ἁρπάζει αὐτόν. καὶ αὕτη δὲ εἰρημένη Παύλῳ φιλοσοφίας ἔγκλημα. τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα πόση ἡ παράκλησις. πρῶτον αὐτὸν ἐπαινεῖ, εἶτα οὐκ ἀφίησιν οὐδὲ τὸ ἄδηλον τῆς ἀποδημίας φοβηθῆναι τῆς ἐπὶ Ῥώμην. ὥσπερ εἰ ἔλεγεν· οὐκ ἀπελεύσῃ μόνον κακῶς, ἀλλὰ καὶ τοσαύτῃ χρήσῃ παρρησίᾳ. ἐντεῦθεν οὐχ ὅτι σωθήσεται μόνον ἐδήλου, ἀλλ' ὅτι καὶ ἐπὶ μεγάλοις [μαρτυρήσει] στεφάνοις ἐν τῇ μεγάλῃ πόλει. διὰ τί δὲ οὐ πρὶν ἢ ἐμπεσεῖν εἰς τὸν κίνδυνον ἐφάνη αὐτῷ; ὅτι ἀεὶ ἐν ταῖς θλίψεσι παρακαλεῖ ὁ Θεός. τότε γὰρ ποθεινότερος φαίνεται, καὶ ἐν τοῖς κινδύνοις ἐγγυμνάζει ἡμᾶς. ἄλλως δὲ, τότε μὲν ἐν ἀνέσει ἦν ἀφεθεὶς τῶν δεσμῶν· νῦν δὲ ἔμελλεν αὐτὸν διαδέχεσθαι δεινά. ὅτι ἀνεθεματίσαμεν ἑαυτοὺς, φησὶ, μὴ φαγεῖν, μηδὲ πιεῖν. βαβαὶ, πόση μανία; ἑαυτοὺς τῷ ἀναθέματι περιβάλλουσιν ἀλογίστως. ὅπως καταγάγῃ αὐτὸν, φησὶ, πρὸς ὑμᾶς, ὡς μέλλοντας ἀκριβέστερον διαγινώσκειν τὰ περὶ αὐτοῦ. τί λέγεις; οὐχὶ δὶς ἤδη πρότερον πρὸς ὑμᾶς ἐδημηγόρησεν; οὐχὶ Φαρισαῖον ἑαυτὸν εἶπε; τί οὖν τὸ παράλογον; οὕτως οὐδεὶς ἐφοβεῖτο, οὐ δικαστήρια, οὐ νόμους. οὕτως οὐδὲν αὐτοῖς ἀτόλμητον ἦν. καὶ τὴν γνώμην εἰσηνέγκαντο, καὶ τὴν πρᾶξιν ἐπαγγέλλονται. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον. τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν λοιπὸν, τὸ μὴ συνιδεῖν αὐτοὺς ὅτι ἀκούσεται. τί οὖν ὁ Παῦλος; οὐκ ἐθορυβήθη, ἀλλὰ συνιδὼν ὅτι Θεοῦ ἐστιν ἔργον τοῦτο, καὶ τὸ πᾶν ἐπ' αὐτὸν ῥίψας, οὕτως ἑαυτὸν ἀφίησι. σκόπει πῶς εἰς ἀγαθὸν πάντα ὁ Θεὸς ᾠκονόμησεν. εἶπεν ὁ νεανίας τὴν ἐπιβουλήν· ἐπιστεύθη, καὶ οὕτω λοιπὸν διασώζεται Παῦλος. καὶ εἰ ἀφέθη, φησὶ, τῆς αἰτίας, διὰ τί οὐ κατηγόρους ἐπιμψεν; ὥστε ἀκριβεστέραν γενέσθαι τὴν ἐξέτασιν, ὥστε μᾶλλον καθαρθῆναι τὸν ἄνδρα.

χ. οὐ χεῖρον ἐξ ἔργου τὴν σωτηρίαν. καὶ ἑξῆς.

χ. -θαρθῆναι

ΗΘΙΚΟΝ Γεν. λθ. ια. Τοιαῦται αἱ τοῦ Θεοῦ οἰκονομίαι· δι' ὧν βλαπτόμεθα, διὰ τούτων ὠφελούμεθα. οὕτω καὶ Ἰωσὴφ ἐπεβουλεύετο ὑπὸ τῆς δεσποίνης. καὶ ἐδόκει μὲν ἐπιβουλεύειν, ἐπιβουλεύουσα δὲ ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν. τῆς γὰρ οἰκίας, ἔνθα τὸ θηρίον ἐκεῖνο ἐπέφετο, πολλῷ τὸ δεσμωτήριον ἡμερώτερον ἦν. ἐκεῖ μὲν γὰρ ὤν, εἰ καὶ ἐν θεραπείᾳ ἦν, ἀλλ' ἐν φόβῳ διηνεκεῖ, μήποτε ἐπιθῆται ἡ δέσποινα, καὶ δεσμωτηρίου χαλεπώτερον αὐτῷ ὁ φόβος ἐπέκειτο. μετὰ δὲ τὴν κατηγορίαν ἐν ἀδείᾳ λοιπὸν καὶ ἡσυχίᾳ ἦν, ἀπαλλαγεὶς ἐκείνου τοῦ θηρίου καὶ τῆς ἀσχημοσύνης καὶ τῆς ἐπιβουλῆς. βέλτιον γὰρ αὐτῷ ἦν τοῖς ταλαιπωρημένοις θεράπουσι συνεῖναι, ἢ μαινομένῃ δεσποίνῃ. ἐνταῦθα μὲν οὖν παρεμυθεῖτο ἑαυτὸν, ὅτι διὰ σωφροσύνην ἐνέπεσεν· ἐκεῖ δὲ ἐδεδοίκει, μήποτε περὶ τὴν ψυχὴν λάβῃ τὴν πληγήν. οὐδὲν γὰρ ἐπαχθέστερον ἐρωμένης ἐφ' ἣν μὴ βουλόμενος, οὐδὲν ἀνιαρότερον, οὐδὲν βαρύτερον· πάντων δεσμῶν τοῦτο χαλεπώτερον. ὥστε οὐκ εἰς δεσμωτήριον ἐνέπεσεν, ἀλλὰ δεσμωτηρίου ἀπαλλαγήν. ἐξεπολέμωσεν αὐτῷ τὸν δεσπότην, ἀλλὰ κατήλλαξε τὸν Θεὸν, οἰκειότερον αὐτὸν κατέστησε τῷ ὄντως δεσπότῃ, τῷ ἀληθινῷ. ἐξέβαλε τῆς ἐπιστασίας τῆς ἐν τῇ οἰκίᾳ, ἀλλ' ᾠκείωσε τῷ δεσπότῃ. πάλιν οἱ ἀδελφοὶ ἐπώλησαν, ἀλλ' ἀπήλλαξαν αὐτὸν συνοικούντων ἐχθρῶν, φθόνου καὶ βασκανίας πολλῆς, ἐπιβουλῆς καθημερινῆς, μακρὰν κατέστησαν αὐτὸν τῶν μισούντων. τί γὰρ τούτου χεῖρον, ὅταν τις ἀδελφοῖς φθονοῦσι συνοικεῖν ἀναγκάζηται; ὅταν δι' ὑποψίας ᾖ; ὅταν ἐπιβουλεύηται; ὥστε ἕτερα μὲν ἐποίουν καὶ οὗτοι, κἀκείνη, ἕτερα δὲ ᾠκονομεῖτο ὑπὸ τοῦ δικαίου μεγάλα. ὅτε ἦν ἐν τιμῇ, τότε ἦν ἐν κινδύνῳ· ὅτε ἦν ἐν ἀτιμίᾳ, τότε ἦν ἐν ἀσφαλείᾳ. οὐκ ἐμνημόνευον αὐτοῦ οἱ εὐνοῦχοι καὶ καλῶς, ἵνα λαμπροτέρα γένηται τῆς ἐξόδου ἡ ὑπόθεσις· ἵνα μὴ χάριτι δόξῃ θεράποντος, ἀλλ' οἰκονομίᾳ θείᾳ τὸ πᾶν λογίζηται· ἵνα ἀνυπόπτως εἰς χεῖρας καταστὰς ἐξαγάγῃ· ἵνα μὴ εὐεργετῇ, ἀλλ' εὐεργετούμενος αὐτὸν ἐκβάλῃ τοῦ δεσμωτηρίου ὁ Φαραώ. οὐκ ἔδει δοῦλον γενέσθαι τὸ δῶρον, ἀλλ' εἰς ἀνάγκην κα-

χ. ἀτιμίᾳ

καςῆναι

χ. λανθάνειν ἱσυ.

παραστῆναι τὸν βασιλέα· ἔδει φανερὰν αὐτοῦ γενέσθαι τὴν σοφίαν. διὰ τοῦτο ἐπιλανθάνεται αὐτοῦ ὁ εὐνοῦχος, ἵνα μὴ λάθῃ Αἰγύπτιος, ἵνα μὴ ἀγνοήσῃ αὐτὸν ὁ βασιλεύς. εἰ τότε ἐξηνέχθη, ἴσως ἂν καὶ ἐπεθύμησεν ἀπελθεῖν εἰς τὴν αὐτοῦ. διὰ τοῦτο μυρίαις ἀνάγκαις κατέχεται· πρῶτον ἡ δεσποτεία· δεύτερον τὸ δεσμωτήριον· τρίτον ἐν τῇ βασιλείᾳ, ἵνα ταῦτα οἰκονομηθῇ. καθάπερ δή τινα γενναῖον πῶλον ἐκπηδῆσαι βουλόμενον πρὸς τὸν αὐτοῦ, κατεῖχεν ὁ Θεὸς ἐκεῖ δι' αἰτίαν ἐνδόξων. ὅτι γὰρ ἐπεθύμει τὸν πατέρα ἰδεῖν καὶ ἀπαλλάξαι τῆς ὀδύνης, δῆλον ἐκ τοῦ καλέσαι αὐτὸν ἐκεῖ. βούλεσθε καὶ ἑτέρας ἴδωμεν ἐπιβουλάς, ὅτι ὑπὲρ ἡμῶν γίνονται, οὐ μόνον τῷ μισθὸν ἔχειν, ἀλλὰ καὶ τῷ ἐν αὐτῷ τῷ καιρῷ τὰ ὑπὲρ ἡμῶν ποιεῖν; ἐπεβούλευσε τῷ τούτου πατρὶ ὁ θεῖος ὁ τούτου, καὶ τῆς πατρίδος ἐξήλασε. τί οὖν; καὶ αὐτὸς μακρὰν τοῦ κινδύνου αὐτὸν κατέστησεν. ἐν ἀσφαλείᾳ γὰρ καὶ αὐτὸς γέγονεν, ἐποίησε φιλοσοφώτερον, ἐποίησεν ἰδεῖν τὸ ὄναρ. ἀλλ' ἐδούλευσεν ἐν ἀλλοτρίᾳ; ἀλλὰ παρὰ τοῖς αὐτοῦ ἀπελθὼν λαμβάνει νύμφην, καὶ ἄξιος φαίνεται τῷ κηδεστῇ. ἀλλ' ἠπάτησε κἀκεῖνος; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθὸν γέγονεν, ἵνα πολλῶν παίδων γένηται πατήρ. ἀλλ' ἐβουλήθη ἐπιβουλεῦσαι; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθόν, ἵνα εἰς τὴν αὐτοῦ λοιπὸν ἐπανέλθῃ. εἰ γὰρ

χ. ...λεν αὐτῷ τῷ

ἦν ἐν εὐπραγίᾳ, οὐκ ἂν οὕτως ἐπεθύμει τῆς ἑαυτοῦ. ἀλλ' ἀφεῖλε τὸν μισθόν; διὰ πλείονα γέγονεν. οὕτω πανταχοῦ ὅσα ἐπεβούλευον, τοσούτῳ τὰ τούτων ηὔξει. εἰ μὴ τὴν

χ. ἀποδημίᾳ

πρεσβυτέραν ἔλαβεν, οὐκ ἂν ταχέως ἐγένετο τοσούτων παίδων πατήρ, ἀλλ' ἐν ἀπαιδίᾳ πολλὴν ἂν εἵλκυσε χρόνον, καὶ ἐπεθύμησεν ἄν, καθάπερ καὶ ἡ γυνή. ἐκείνη μὲν γὰρ εἰκότως ἐπόθει, ἅτε μὴ γενομένη μήτηρ· οὗτος δὲ εἶχε παραμυθίαν, ὅθεν αὐτὴν καὶ διακρούεται. πάλιν εἰ μὴ αὐτὸν ἀπεστέρησε τὸν μισθόν, οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν τὴν αὐτοῦ, οὐκ ἂν ἐφάνη ἡ φιλοσοφία τοῦ ἀνδρός, οὐκ ἂν μᾶλλον ᾠκειώθησαν αὐτῷ. ὅρα γὰρ τί φασι· Καταβρώσει κατέφαγεν ἡμᾶς καὶ τὸ ἀργύριον ἡμῶν. Γεν. λα. ιε. ὥστε τοῦ φίλτρου τοῦτο γέγονεν αἴτιον. δούλας εἶχε λοιπὸν ἀντὶ γυναικῶν, καὶ ἐφιλεῖτο παρ' αὐτῶν, οὗ οὐδὲν ἴσον κτῆμα γένοιτο ἄν. οὐδὲν γάρ, οὐδὲν ὄντως τοῦ οὕτω φιλεῖσθαι παρὰ γυναικὸς καὶ φιλεῖν τιμιώτερον. Καὶ γυνή, φησίν, ἀνδρὶ Σειρ. κε β.

χ. τοῦτο γὰρ ὄντως

συμπεριφερομένη, ἓν τοῦτο τῶν μακαρισμῶν τίθησιν ὁ σοφός. τοῦτο γὰρ ὄντως πᾶς πλοῦτος, πᾶσα εὐπραγία ἐστίν· ὥσπερ δὴ μὴ ὄντος, τῶν ἄλλων οὐδὲν ὄφελος, ἀλλὰ πάντα ἀνατέτραπται καὶ ἀηδίας ἐστὶ μεστὰ καὶ συγχύσεως. οὐκοῦν καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ζητῶμεν. ὁ χρήματα ζητῶν, οὐ ζητεῖ τοῦτο. ταῦτα ζητῶμεν, ἃ δύναται πάντα εἶναι. μὴ γάμον ζητῶμεν ἀπὸ εὐπόρων, ἵνα μὴ τῆς οὐσίας ἡ ἀμετρία φρόνημα τίκτῃ τῇ γυναικί, ἵνα μὴ τὸ φρόνημα διαφθορᾶς αἴτιον ᾖ. οὐχ ὁρᾷς τί ἐποίησεν ὁ Θεός, πῶς αὐτὴν ὑπέταξε; διὰ τί ἀγνώμων εἶ; διὰ τί δυσμάθητος; ὅπερ ἐχαρίσατό σοι ἀπὸ τῆς φύσεως, τούτου σὺ μὴ διαφθείρῃς τὴν βοήθειαν. ὥστε οὐκ εὐπορίαν δεῖ ζητεῖν, ἀλλ' ὥστε κοινωνὸν βίου λάβωμεν εἰς κατάστασιν παιδοποιίας. οὐχ ἵνα χρήματα εἰσφέρῃ γυνή, διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἀλλ' ἵνα ᾖ βοηθός. ἡ δὲ χρήματα εἰσφέρουσα, καὶ ἐπίβουλος καὶ δέσποινα ἀντὶ γυναικὸς γέγονεν, ἢ τάχα θήλειαν αὐτὴν γυναικός, ἀξιοῦσα μεγάλα διὰ τὸν πλοῦτον φρονεῖν. οὐδὲν αἰσχρότερον ἀνδρὸς οὕτω βουλομένου πλουτεῖν. εἰ γὰρ αὐτὸ τὸ πλουτεῖν πειρασμῶν γέμει, τὸ οὕτω πλουτεῖν ποῦ θήσομεν; μὴ γὰρ εἴ τις ἅπαξ καὶ παρὰ τὸ

χ. τί

συμβαῖνον καὶ παρὰ λόγον ἐπέτυχε, τοῦτο ἴδῃς (οὐδὲ γὰρ ἐν τοῖς ἄλλοις πράγμασιν οἷς ἀπολαύουσί τινες καὶ ἐκ παραδόξου ἐπιτυγχάνουσι, προσέχειν δεῖ) ἀλλ' αὐτὸ τὸ κατὰ λόγον ἴδωμεν, εἰ μὴ μυρίας ἀηδίας γέμει τὸ πρᾶγμα. οὐκ αὐτὸς μόνος ἐν ἀδοξίᾳ γίνῃ, ἀλλὰ καὶ παῖδας καταισχύνεις, πένητας ἀφείς, εἰ συμβαίη προαπελθεῖν, καὶ αὐτῇ πολλὰς δίδως ἀφορμὰς τοῦ δευτέρῳ πάλιν προσομιλῆσαι νυμφίῳ. ἢ οὐχ ὁρᾷς ὅτι πολλάκις αὕτη γέγονεν ἡ πρόφασις δευτέρου γάμου, τὸ μὴ καταφρονεῖσθαι, καὶ ζητεῖν τὸν ἐφισταμένοις τοῖς ὑπάρχουσι; μὴ δὴ τοσαῦτα ἐργαζώμεθα κακὰ διὰ χρήματα· ἀλλὰ πάντα ἀφῶμεν, καὶ ψυ-

χὴν

χὴν ζητῶμεν καλήν, ἵνα καὶ ἀγάπης ἐπιτύχωμεν. τοῦτο ὁ πλοῦτος ὁ πολύς, τοῦτο ὁ μέγας θησαυρός, ταῦτα τὰ μυρία ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι δεόντως, καὶ κατὰ τοὺς νόμους τοῦ Θεοῦ ζῆσαι, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν δυνηθῶμεν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ν. 31 ΟΙ ΜΕΝ ΟΥΝ ΣΤΡΑΤΙΩΤΑΙ ΚΑΤΑ ΤΟ
διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ νυκτὸς εἰς
τὴν Ἀντιπατρίδα. 32 Τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πο-
ρεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν.
33 Οἵτινες ἐλθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ
ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον.

Καθάπερ βασιλέα τινὰ δορυφοροῦντες παρέπεμπον μετὰ τοσούτου πλήθους καὶ ἐν νυκτί, φοβούμενοι τοῦ δήμου τὴν ὀργὴν τῆς ὁρμῆς. ἐπεὶ ἔξω τῆς πόλεως αὐτὸν ἐξέβαλον, πότε ἀφίστανται. οὐκ ἂν δὲ ὁ χιλίαρχος μετὰ τοσαύτης αὐτὸν ἀσφαλείας ἐξέπεμψεν, εἰ μὴ καὶ αὐτὸς οὐδὲν ἦν αὐτοῦ κατεγνωκώς, καὶ ἐκείνων ἤδει τὸ φονικόν.

34 Ἀναγνοὺς δὲ ὁ ἡγεμὼν καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστί, καὶ
πυθόμενος ὅτι ἀπὸ Κιλικίας,
35 Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. ἐκέλευσέ τε αὐτὸν ἐν τῷ
πραιτωρίῳ Ἡρώδου φυλάσσεσθαι.

Ἤδη ἀπελογήσατο ὑπὲρ αὐτοῦ ὁ Λυσίας· ἀλλ' ὅμως καὶ ἔτι οἱ Ἰουδαῖοι ἐπιτίθενται, καὶ προκαταλαμβάνουσι τὸν ἀκροατήν, καὶ πάλιν εἰς δεσμὰ βάλλεται. καὶ ἄκουε πῶς. ἐπάγει γάρ·

χεξ. κδ.
1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων καὶ ῥήτορος
Τερτύλλου τινός· οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου.

Ὅρα πῶς οὐδὲ οὕτως ἀπέστησαν, ἀλλ' ἔρχονται μυρίοις κωλύμασι καίτοι κωλυόμενοι, ὥστε κἀκεῖ καταισχυνθῆναι. γρ. τοιαύτης

2 Κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων· 3 Πολλῆς
εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς
προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. γρ. διορθωμάτων

Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε συντόμως ἡμῶν τῇ σῇ ἐπιεικείᾳ. Καὶ μὴν ὑμεῖς τοῦτο πεποιήκατε. ῥήτορος δεῖν τί ἔδει; ὅρα πῶς καὶ αὐτὸς εὐθέως ἐκ προοιμίων ὡς νεωτεροποιὸν καὶ στασιαστὴν βούλεται παραδοῦναι. καὶ τοῖς ἐπαίνοις προκαταλαμβάνει τὸν δικαστήν. Εἶτα ὡς πολλὰ ἔχων εἰπεῖν, παραιτεῖται, καὶ μόνον τοῦτο λέγει· ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω. ὅρα πῶς εἰς ἐπιθυμίαν ἐμβάλλει κολάσεως τὸν δικαστήν· εἴγε ἔμελλε τὸν τὴν οἰκουμένην ἀνατρέποντα καθέξειν, καὶ ὡς ἐπὶ κατορθώματι φρονοῦσι μεγάλῳ.

5 Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμόν, καὶ κινοῦντα στάσεις πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν γρ. στάσιν
οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως,
6 Ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθε-
λήσαμεν κρῖναι·
7 Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀ-
πήγαγε,
8 Κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σέ· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας γρ. τοῦ
περὶ

περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

Τοῖς κατὰ τὴν οἰκουμένην, φησὶ, Ἰουδαίοις στάσεις κινοῦντα. ὡς λυμεῶνα λοιπὸν καὶ κοινὸν ἐχθρὸν τοῦ ἔθνους διαβάλλουσι. πρωτοστάτην τε τῆς τῶν Ναζωραίων. ἐδόκει τοῦτο ἐπονείδιστον εἶναι τὸ τῶν Ναζωραίων· διὸ καὶ τοῦτο προστιθέασιν· καὶ ἀπὸ τούτου πάλιν διέβαλλον αὐτόν. ἡ γὰρ Ναζαρὲθ εὐτελὴς ἦν. καὶ εὑρόντες, φησίν. ὅρα πῶς κακούργως ὡς διαφυγόντα συκοφαντοῦσι, καὶ μόλις ἐπιτυχόντες, καίτοι ἑπτὰ ἡμέρας εἶχεν ἐν τῷ ἱερῷ. ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι. ὅρα πῶς καὶ τὸν νόμον ὑβρίζουσιν. εἴγε μὴ τοῦτο νόμος ἦν, τὸ τύπτειν, τὸ ἀναιρεῖν, τὸ ἔνεδρα ποιεῖν. εἶτα καὶ τοῦ Λυσίου κατηγορία· παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. οὐ προσῆκεν αὐτῷ, φησὶ, πρᾶγμα ποιεῖν, ὅμως ἐποίησε*. παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

*μετὰ πολλῆς παρρησίας ἀπάντασι

9 Συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν.

Τί οὖν ὁ Παῦλος; ἆρα ἐπὶ τούτοις σιγᾷ; οὐδαμῶς· ἀλλὰ παρρησιάζεται πάλιν καὶ ἀποκρίνεται, καὶ τοῦτο τοῦ ἡγεμόνος βουληθέντος. ἐπήγαγε γάρ·

10 Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον [ἐν] τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι.

11 Δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι, ἢ δεκαδύο ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ.

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλων, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν,

13 Οὔτε παραστῆσαι με δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου. Οὐκ ἔστι ταῦτα κολακείας τὰ ῥήματα, τὸ μαρτυρῆσαι τῷ δικαστῇ δικαιοσύνην· ἀλλ' ἐκεῖνα μᾶλλον, τὸ εἰπεῖν, πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ. τί οὖν ἀδίκως στασιάζετε; σκόπει δὲ ἐκεῖνοι πρὸς ἀδικίαν παρώρμων· οὗτος τὸ δίκαιον ἐζήτει. διὸ καὶ ἔλεγεν· εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι. εἶτα καὶ ἀπὸ τοῦ χρόνου ἰσχυρίζεται· ἐκ πολλῶν ἐτῶν γάρ, φησιν, ὄντα σε κριτὴν ἐπιστάμενος. καὶ τί τοῦτο πρὸς ἀπόδειξιν συντελεῖ; μέγα. δείκνυσι γὰρ ὅτι καὶ αὐτὸς οἶδε μηδὲν ὧν κατηγορεῖται πεποιηκότα. εἰ δὲ ἐπισύστασίν ποτε ἐκίνησεν, ἐγίνωσκεν ἂν κριτὴς ὢν, καὶ τὸ τοιοῦτον αὐτὸν οὐκ ἐλάνθανεν. εἶτα ἐπειδὴ ὁ κατήγορος οὐδὲν εἶχε δεῖξαι ἐν Ἱεροσολύμοις, ὅρα τί φησι· τοῖς κατὰ τὴν οἰκουμένην πᾶσιν Ἰουδαίοις, ψεῦδος ἐπὶ ψεύδει συντιθείς. διὰ τοῦτο ὁ Παῦλος ἐντεῦθεν αὐτὸν ἀφέλκων, προσκυνήσων ἀνέβην, λέγει· μονονουχὶ ἀπολογούμενος διὰ τούτου, ὅτι τοσοῦτον ἀπέχω τοῦ στάσιν κινεῖν, καὶ τούτῳ ἐνδιατρίβειν τῷ δικαίῳ, ὅπερ ἦν ἰσχυρόν. ἐπάγει γάρ· καὶ οὔτε ἐν τῷ ἱερῷ, οὔτε ἐν τῇ πόλει, οὔτε ἐν τῇ συναγωγῇ εὗρόν με πρός τινα διαλεγόμενον, ὅπερ ἦν καὶ ἀληθές. κἀκεῖνος μὲν πρωτοστάτην φησὶ, καθάπερ ἐπὶ μάχης καὶ συστάσεως· οὗτος δὲ ὅρα πῶς ἐπιεικῶς ἀποκρίνεται.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν, ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις γεγραμμένοις,

15 Ἐλπίδα ἔχων εἰς τὸν Θεὸν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε, καὶ ἀδίκων. Ὅρα· ἐχώριζον αὐτὸν ἐκεῖνοι· οὗτος συνεισάγει, καὶ οἰκειοῖ ἑαυτὸν τῷ νόμῳ, δι' ὧν ἀπολογεῖται. καὶ βεβαιῶν ὃ εἶπε, πάλιν ἐπάγει·

16 Ἐν τούτῳ δὲ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρός τε τὸν Θεὸν, καὶ πρὸς τοὺς ἀνθρώπους διαπαντός.

γ. ἔχων

17 Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς.

18 Ἐν

18 Ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου τινός.

Τί οὖν ἀσεβεῖς; τί ἦλθες; προσκυνῆσαι, ἐλεημοσύνας, φησί, ποιῆσαι· ὥστε τοῦτο οὐκ ἦν στασιῶδες. Εἶτα καὶ ἐκβάλλει αὐτὸν τὸ πρόσωπον λέγων ἀδεέστερον;

19 Τινὲς δὲ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρὸς μέ.

20 Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, εἴ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου.

21 Ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον κρίνομαι ὑφ᾽ ὑμῶν. Τοσαύτη περιουσία δικαιωμάτων, μὴ φεύγειν τοὺς κατηγόρους, ἀλλ᾽ ἕτοιμον εἶναι πᾶσι διδόναι λόγον. περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον, φησί, κρίνομαι. καὶ οὐδὲν εἶπεν ὧν εἶχεν εἰκότως εἰπεῖν, ὅτι ἐπεβούλευσαν, ὅτι κατεῖχον αὐτόν, ὅτι ἔνεδρον ἐποίησαν (ταῦτα γὰρ παρ᾽ ἐκείνων λέγεται γενέσθαι· περὶ δὲ τούτου, καὶ κινδύνου ὄντος, οὐκ ἔτι) ἀλλὰ σιγᾷ καὶ μόνον ἀπολογεῖται, καίτοι μυρία ἔχων εἰπεῖν. τοῦτο αὐτὸν καὶ ἐν Καισαρείᾳ ἐποίει λαμπρόν, τὸ μετὰ τοσαύτης ἐλθεῖν παρατάξεως. ἐν οἷς εὗρόν με, φησίν, ἡγνισμένον ἐν τῷ ἱερῷ. πῶς οὖν ἐβεβήλωσεν; οὐ γὰρ ἦν τοῦ αὐτοῦ καὶ ἁγνίζεσθαι καὶ προσκυνεῖν, καὶ διὰ τοῦτο ἔρχεσθαι, καὶ βεβηλοῦν. τοῦτο καὶ δικαιολογίας ὑπερψίαν ἔχει, τὸ μὴ εἰς μακρὸν ἐμπίπτειν τὸν λόγον [ἐᾶν,] καὶ χαρίζεσθαι τῷ δικαστῇ. ἐμοὶ δὲ δοκεῖ κἀκεῖνος συστέλλειν τὴν ἀπολογίαν. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐπειδὴ περὶ τούτου μακρὰ ἐδημηγόρησεν ὁ Τέρτυλλος, δεικνὺς ὅτι ἐγκόπτεται, οὐκ εἶπεν, ἀκοῦσαι τοῦ πράγματος· ἀλλ᾽, ἵνα σε μὴ ἐπὶ πλεῖον ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν τῇ σῇ ἐπιεικείᾳ. τάχα θεραπεύων οὕτω τὸν λόγον κατασκευάζει· ἢ καὶ ἀληθῶς τοῦτο ἐπιεικείας τεκμήριον, εἰ παρὸν πολλὰ εἰπεῖν, ὑπὲρ τοῦ μὴ ἐνοχλεῖν ὀλίγα τις λέγοι. εὕρομεν γὰρ τὸν ἄνδρα τοῦτον λοιμόν, ὅς, φησί, καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι. οὐκοῦν οὐκ ἐβεβήλωσε. τί οὖν εἰ ἀλλαχοῦ τοῦτο ἐποίησεν; οὐδαμῶς. ἢ γὰρ ἂν καὶ εἶπε· νῦν δὲ ἐπείρασε μὲν λέγει, τὸ δὲ πῶς οὐ προστίθησι. καὶ τὰ μὲν κατὰ Παύλου οὕτως ἐτήρει· ὅρα δὲ τὰ αὐτῶν πῶς ἐλαττοῖ. ὃν καὶ ἐκρατήσαμεν, φησί, καὶ ἠθελήσαμεν κρῖναι κατὰ τὸν ἡμέτερον νόμον. παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. ἐνταῦθα δείκνυσιν ὅτι καὶ ἐπηρεάζονται εἰς δικαστήρια ἐρχόμενοι ξένα, καὶ ὅτι οὐκ ἂν ἠνώχλησαν αὐτόν, εἰ μὴ ἐκεῖνος ἠνάγκασε, καὶ ὡς οὐ προσῆκον αὐτῷ ἥρπασε τὸν ἄνδρα. καὶ γὰρ τὰ ἀδικήματα πρὸς ἡμᾶς ἦν, καὶ τὸ δικαστήριον παρ᾽ ἡμῖν ἔδει γενέσθαι. ὅτι γὰρ τοῦτό ἐστιν, ὅρα τὸ ἑξῆς· μετὰ πολλῆς, φησί, βίας. βία γὰρ τοῦτό ἐστι. παρ᾽ οὗ δυνήσῃ, φησί, γνῶναι. οὐδὲ κατηγορῆσαι τολμᾷ (συνειδημονικὸς γὰρ ἀνὴρ ἦν) οὐδὲ ἁπλῶς παρέρχεται. εἶτα πάλιν, ἵνα μὴ δόξῃ ψεύδεσθαι, αὐτὸν ἐφίστησιν ἑαυτοῦ κατήγορον τὸν Παῦλον. παρ᾽ οὗ, φησί, δυνήσῃ ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι. εἶτα καὶ μάρτυρες τῶν εἰρημένων οἱ κατήγοροι· συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν. οἱ κατήγοροι, αὐτοὶ καὶ μάρτυρες καὶ κατήγοροι. ἀλλ᾽ ὁ Παῦλος, ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν ἐπιστάμενος δίκαιον, ἀπολογεῖται. οὐκ ἄρα ξένος τίς ἐστιν, οὐδὲ ἀλλότριος, οὐδὲ νεωτεροποιός, εἴγε ἐκ πολλῶν ἐτῶν οἶδε τὸν δικαστήν. καὶ καλῶς ἐπήγαγε τό, δίκαιον· ἵνα μὴ πρὸς τὸν ἀρχιερέα ἴδῃ, μηδὲ πρὸς τὸν δῆμον, μηδὲ πρὸς τὸν κατήγορον. ὅρα πῶς οὐ προσῆλθεν εἰς ὕβριν, καίτοιγε καὶ ἀνάγκης οὔσης. πιστεύων, φησίν, ἀνάστασιν ἔσεσθαι. τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἂν ἄνθρωπος πιστεύων ἀνάστασιν ἔσεσθαι, τοιαῦτα πράξειέ ποτε, ἣν καὶ αὐτοὶ οὗτοί, φησιν, ἐκδέχονται. οὐκ εἶπε περὶ τούτων, ὅτι πιστεύουσι πᾶσι τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις (οὐδὲ γὰρ ἐπίστευον) ἀλλ᾽ ὅτι πᾶσιν ἐπίστευεν, οὐκ ἐκεῖνοι. πῶς δὲ πᾶσι, μακροῦ ἂν εἴη λόγου ταῦτα νῦν λέγειν. τοσαῦτα εἶπε, καὶ οὐδαμοῦ τοῦ Χριστοῦ μέμνηται· ἐνταῦθα δὲ τό, πιστεύων, εἰπών, καὶ τὰ μετὰ

τον

χ. ἐν οἷς εὗρόν με τινὲς ἀπὸ

χ. εἴ τι

χ. κόπτω

χ. ἐκείνου

χ. πᾶσι τοῖς κατὰ νόμον

τὸν Χριστὸν εἰσήγαγεν, ἀλλὰ πῶς τὸν τῆς ἀναστάσεως ἐνδιατρίβει λόγῳ· ὃ κοινὸν ἦν αὐτοῖς δόγμα, καὶ πάσης στάσεως ὑποψίαν ἀφῄρει. Εἶτα καὶ ἡ αἰτία τῆς ἀνόδου· ἐλεημοσύνας, φησὶ, καὶ προσφορὰς ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην, καὶ τοῦτο δι' ἐτῶν πλειόνων. πῶς ἂν οὖν ἐτάραξεν, ὃς ὥστε ἐλεημοσύνην ποιῆσαι τοσαύτην ἦλθεν ὁδόν; οὐ μετὰ ὄχλου, φησὶν, οὐδὲ μετὰ θορύβου. πανταχοῦ τὴν στάσιν ἀναιρεῖ. καλῶς δὲ καὶ προσκαλεῖται τοὺς κατηγόρους, τοὺς ἀπὸ τῆς Ἀσίας λέγων· οὓς ἔδει ἐπὶ σοῦ κατηγορεῖν, εἴ τι ἔχοιεν πρὸς με. οὕτως ἐθάρρει καθαρὸς εἶναι πρὸς ἃ κατηγόρουν, ὅτι καὶ προσκαλεῖται αὐτούς. οὐ τοὺς ἀπὸ τῆς Ἀσίας δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐξ Ἱερουσαλὴμ οὐκ ἐκβάλλει κατηγόρους. ἀλλὰ καὶ τούτους προσκαλεῖται πάλιν, ἐπάγων· ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν. καὶ γὰρ διὰ τοῦτο ἐξ ἀρχῆς διεπονοῦντο, ὅτι τὴν ἀνάστασιν ἐκήρυττε. καὶ καλῶς οὕτως ἐποίει. τούτου γὰρ λεχθέντος, εὐκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεισήγετο, ὅτι ἀνέστη. τί εὗρον, φησὶν, ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου; ἐν τῷ συνεδρίῳ, εἰπὼν, δείκνυσιν ὅτι οὐδὲν εὗρον, οὐχὶ κατ' ἰδίαν τῆς ἐξετάσεως γενομένης, ἀλλὰ παρόντος τοῦ πλήθους καὶ ἀκριβῶς ἀνακρίνοντος. ὅτι δὲ ταῦτα ἀληθῆ λέγω, μαρτυροῦσιν οἱ περὶ τούτου ἐγκαλοῦντες. διὰ τοῦτο καὶ ἔλεγεν· ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους. ἡ τελεία γὰρ αὕτη ἀρετὴ, ὅταν μηδὲ ἀνθρώποις διδῶμεν λαβὰς, καὶ παρὰ Θεῷ σπουδάζωμεν εἶναι ἀπρόσκοποι. ἧς ἔκραξα, φησὶν, ἐν τῷ συνεδρίῳ. καὶ τὴν βίαν αὐτῶν δηλοῖ ἐκ τοῦ εἰπεῖν, ἔκραξα, ὡσανεὶ ἔλεγεν· οὐκ ἔχουσιν εἰπεῖν, ὅτι προσχήματι ἐλεημοσύνης ταῦτα ἐποίεις. οὐ γὰρ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου τοῦτο ἐποίουν. ἄλλως τε, καὶ ἐξετάσεως γενομένης περὶ τούτου, οὐδὲν πλέον εὑρίσκετο. εἶδες ἐπιείκειαν, κινδύνων ὄντων; εἶδες εὔφημον γλῶτταν, καὶ πῶς ἓν ζητεῖ μόνον, ἀπολύσασθαι τὰ ἑαυτοῦ, οὐχὶ κἀκείνους ἐγκλήμασι περιβαλεῖν; πλὴν εἴ που ἀναγκάζοιτο ἀπολογούμενος, ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου· ὑμεῖς δὲ ἀτιμάζετέ με. Ιωαν. η. μθ.

ΗΘΙΚΟΝ

Τοῦτον μιμώμεθα καὶ ἡμεῖς, ἐπειδὴ καὶ αὐτὸς Χριστοῦ μιμητὴς ἦν. εἰ τοῖς μέχρι φόνου καὶ σφαγῆς χωρήσασιν οὐδὲν εἶπεν ἐχθρὸς ἐπαχθὲς, τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἐν λοιδορίᾳ καὶ ὕβρεσιν ἐκθηριούμενοι, μιαροὺς καὶ παμμιάρους ἀποκαλοῦντες τοὺς ἐχθροὺς τοὺς ἡμετέρους; ἵνα δὲ ἀπολογίαν ἔχωμεν, ἐχθροὺς ὅλως ἔχοντες; οὐκ ἀκούεις ὅτι ὁ τιμῶν, ἑαυτὸν τιμᾷ; οὕτως ἔχει. ἡμεῖς δὲ ἑαυτοὺς ὑβρίζομεν. ἐγκαλεῖς ὅτι ὑβρίσθης· τί οὖν περιπίπτεις τῷ ἐγκλήματι; τί σαυτὸν πληγῇ περιβάλλεις; μεῖνον ἀπαθὴς, μεῖνον ἄτρωτος, μὴ βουλόμενος ἕτερον πλῆξαι, σαυτὸν περιβάλῃς τῷ κακῷ. οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ ἕτερος θόρυβος τῆς ψυχῆς ὁ μηδενὸς κινοῦντος κινούμενος, οἷον αἱ ἐπιθυμίαι αἱ ἄτοποι, αἱ λῦπαι καὶ αἱ ἀθυμίαι, καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ ἑτέρας ἐπισωρεύομεν; καὶ πῶς δυνατὸν ὑβριζόμενον φέρειν, φησί; πῶς δὲ οὐ δυνατὸν, εἰπέ μοι; τραῦμα ἡμῖν τίκτεται ἀπὸ τῶν ῥημάτων; μώλωπες περὶ τὰ σώματα; ποία τοίνυν γέγονεν ἡμῖν βλάβη; ὥστε, ἂν βουλώμεθα, δυνάμεθα μὴ ἐγκαλεῖν. θῶμεν ἑαυτοῖς νόμον μὴ ἀλγεῖν, καὶ οἴσομεν· εἴπωμεν πρὸς ἡμᾶς αὐτοὺς, οὐκ ἔστιν ἔχθρας, ἀσθενείας ἐστίν. ἐπειδὴ ἔχθρας οὐκ ἔστιν, οὐδὲ κακοηθείας, ἐβούλετο κἀκεῖνος καταχεῖν, εἰ καὶ μυρία ἠδικημένος ἦν. ἂν τοῦτο ἐννοήσωμεν μόνον, ὅτι ἀσθενείας ἐστὶν, οἴσομεν· καὶ συγγνωσόμεθα μὲν ἐκείνῳ, πειρασόμεθα δὲ μὴ περιπεσεῖν καὶ αὐτοί. ἐπεὶ ἐρωτῶ πάντας τοὺς παρόντας· ἆρα, ἂν ἐθελήσητε, οὕτω φιλοσοφεῖν δύνασθε, ὥστε φέρειν τοὺς ὑβρίζοντας; ἔγωγε οἶμαι. οὐκοῦν ἄκοντες ὑβρίζουσι, καὶ οὐ βουλόμενοι, ἀλλ' ἀναγκαζόμενοι ὑπὸ τοῦ πάθους. ἐπίσχες. οὐχ ὁρᾷς τοὺς δαιμονῶντας; ὥσπερ ἐκεῖνος οὐκ ἀπὸ ἔχθρας τοσοῦτον, ὅσον ἀπὸ ἀσθενείας τοῦτο ὑπομένει· οὕτω καὶ ἡμεῖς οὐκ ἀπὸ τῆς φύσεως τῶν ὕβρεων κινούμεθα, ὅσον ἀφ' ἡμῶν αὐτῶν. ἐπεὶ πῶς τῶν μαινομένων τὰ αὐτὰ ὑβριζόντων φέρομεν; πάλιν, εἰ φίλοι εἶεν οἱ ὑβρίζοντες, ἢ καὶ μείζους, καὶ οὕτω φέρομεν. πῶς οὖν οὐκ ἄτοποι, τέκνων μὲν τούτων ὄντων, καὶ φίλων, καὶ μαινομέ-

γρ. προσηκ.

γρ. αἰτίας

γρ. ἐγκαλεῖν.

γρ. αὐτοὶ οὕτω φιλοσοφεῖν δύνασθε,

νων, καὶ μειζόνων φέρειν, ὁμοτίμου δὲ ἢ καὶ ἡττόνων μὴ φέρειν; πολλάκις εἶπον, ῥοπή τίς ἐστι καὶ συναρπαγὴ τὸ πρᾶγμα· καρτερήσωμεν μικρὸν, καὶ τὸ πᾶν ἐλύσαμεν. ὅσῳ ἂν ὑβρίζῃ μείζονα, τοσούτῳ μᾶλλόν ἐστιν ἀσθενής. οἶδας πότε ἀλγεῖν χρή; ὅταν ὑβρισάντων ἡμῶν ἐκεῖνος σιγήσῃ. τότε γὰρ αὐτὸς μὲν ἰσχυρὸς, ἡμεῖς δὲ ἀσθενεῖς· ἂν δὲ τοὐναντίον γένηται, καὶ χαίρειν δεῖ· ἐστεφανώθης, ἀνεκηρύχθης. οὐκ εἰς ἀγῶνα κατέβης, οὐδὲ ἡλίῳ καὶ ἀκτῖνος καὶ κόνεως ἐπαχθῆναι ἐνεγκὼν, οὐδὲ συμπλακεὶς καὶ λαβὰς δοὺς, ἀλλὰ θελήσας μόνον, καὶ καθήμενος, ἢ ἑστὼς, ἔλαβες μέγαν τὸν στέφανον· καὶ οὐχ ἁπλῶς μέγαν, ἀλλὰ πολλῷ μείζονα ἐκείνων. οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν βαλεῖν ἀντίπαλον, καὶ τῶν τῆς ὀργῆς περιγενέσθαι βελῶν. ἐνίκησας οὐδὲ λαβὴν δούς· κατέβαλες τὸ πάθος τὸ ἐν σοί· ἀπέσφαξας τὸ θηρίον κεκινημένον, καὶ λυττῶντα τὸν θυμὸν ἐπεστόμισας, καθάπερ τις ἄριστος νομεύς. ἐμφύλιος ἐστὶν ἡ μάχη αὕτη, οἰκεῖος ὁ πόλεμος. καθάπερ γὰρ τῶν τειχῶν προσκαθήμενοι καὶ πολιορκοῦντες ἔξωθεν, ἐμφυλίοις περιβάλλουσι πολέμοις, καὶ τότε περιγίνονται· οὕτω δὴ καὶ ὁ ἐνυβρίζων, ἂν μὴ τὸ ἐν ἡμῖν ἐγείρῃ πάθος, οὐ δυνήσεται περιγενέσθαι. ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς ἐμπρήσωμεν, ἐκεῖνος οὐδεμίαν ἰσχὺν ἔχει· ἔστω παρ' ἡμῖν ὁ τῆς ὀργῆς σπινθὴρ, ὥστε εὐχείρως ἀνάπτεσθαι, μὴ καθ' ἡμῶν αὐτῶν, μηδὲ ἵν' ἡμᾶς μυρίοις περιβάλῃ κακοῖς. οὐχ ὁρᾶτε ἐν ταῖς οἰκίαις τὸ πῦρ ἀποτεταμιευμένον, καὶ οὐ πανταχοῦ ἐρριμμένον, οὔτε ἐν χόρτῳ, οὔτε ἐν ἱματίοις, οὔτε ἁπλῶς, ὥστε μὴ ἀνέμου ἐμπνέοντος ἐξάπτεσθαι· ἀλλὰ κἂν περίπατα λύχνον ἔχῃ, κἂν ὁ μάγειρος ἀνακαίῃ, παραγγελία πολλὴ, μὴ πρὸς ἄνεμον, μηδὲ σανίδος ἐγγὺς, μηδὲ ἐν νυκτὶ τοῦτο ποιεῖν· ἀλλ' ὅταν καταλάβῃ ἡ νὺξ, ἐκοιμίσαμεν αὐτὸ, δεδιότες μή ποτε, καθευδόντων ἡμῶν καὶ οὐδενὸς ὄντος τοῦ ἐπικουροῦντος, ἀναφθῇ καὶ πάντας ἐμπρήσῃ; τοῦτο καὶ ἐπὶ τοῦ θυμοῦ γινέσθω. μὴ πανταχοῦ διεσπάρθω * τῶν ἡμετέρων λογισμῶν, ἀλλ' ἔν τινι βάθει τῆς διανοίας, ὥστε μὴ τὸν ἄνεμον τὸν ἀπὸ τῶν ῥημάτων τῶν δι' ἐναντίας εὐκόλως ἐφικνεῖσθαι· ἀλλὰ παρ' ἡμῶν δεχέσθω τὸν ἄνεμον, τῶν εἰδότων συμμέτρως αὐτὸ κινεῖν καὶ ἀσφαλῶς. ἂν δὲ ἔξωθεν ἄνεμον δέχηται, οὐκ οἶδε τὸ μέτρον, ἀλλὰ πάντα ἐμπρήσει. πολλάκις καὶ καθευδόντων ἡμῶν ὁ ἄνεμος ἔξωθεν ἐμπεσεῖται, καὶ τὰ πάντα κατακαύσει. ἔστω οὖν ἡμῖν, ὥστε φῶς ἀνάπτειν μόνον (ἀνάπτει γὰρ φῶς ὁ θυμὸς, ὅταν προσηκόντως γένηται) καὶ λαμπάδας ἔχωμεν κατὰ τῶν ἀδικούντων ἑτέρους, κατὰ τοῦ διαβόλου. μὴ πανταχοῦ κείσθω, μηδὲ ἐρρίφθω σπινθήρ· ἀλλ' ἐν τέφρᾳ φυλάττωμεν· ἐν τοῖς λογισμοῖς τοῖς ταπεινοῖς κοιμίζωμεν αὐτόν. οὐ πάντοτε αὐτοῦ δεόμεθα, ἀλλ' ὅταν κατεργάσασθαί τι δέῃ καὶ ποιῆσαι ἁπαλὸν, ὅταν πώρωσιν μαλάξαι δέῃ, ὅταν τῆς ψυχῆς καταγνῶναι. πόσα θυμοὶ καὶ ὀργαὶ δεινὰ κατειργάσαντο; καὶ τὸ δὴ χαλεπὸν, ὅταν διαφθαρῶμεν, οὐκ ἔτι οὐ συνήθεις ἐσμὲν κύριοι, ἀλλ' ἑτέρους ἀναμένομεν. ἕκαστος αἰσχύνεται καὶ ἐρυθριᾷ ἐπιμεληθῆναι καταλλάξαι τὸν ἕτερον. ὅρα, διαστῆναι μὲν καὶ διαχωρισθῆναι οὐκ αἰσχύνεται, ἀλλὰ τοῦ κακοῦ γενέσθαι ἀρχηγός· προσελθεῖν δὲ, καὶ τὸ ἐσχισμένον ῥάψαι, αἰσχύνεται. καὶ ταὐτὸν συμβαίνει, οἷον ἂν εἴ τις ἀποκόψαι μὲν τὸ μέλος μὴ ὀκνοίη, συναγαγεῖν δὲ αἰσχύνοιτο. τί λέγεις, ἄνθρωπε; ἠδίκησας μεγάλα, καὶ αὐτὸς αἴτιος ἐγένου τῆς μάχης; οὐκοῦν δίκαιος ἂν εἴης πρότερος ἀπελθεῖν καὶ καταλλαγῆναι, ἅτε τὴν αἰτίαν αὐτὸς παρασχών. ἀλλ' ἠδίκησαι καὶ οὐκ αἴτιος ἐστιν; οὐκοῦν καὶ διὰ τοῦτο, ἵνα μᾶλλόν σε θαυμάσωσιν, ἵνα πρὸς τῷ προτέρῳ καὶ ἐν τῷ δευτέρῳ τὰ πρωτεῖα ἔχῃς. ὥσπερ οὐκ ἐγένου τῆς ἔχθρας αἴτιος, οὕτως οὐδὲ τοῦ ἐκταθῆναι ἐπὶ πλέον τὴν ἔχθραν. ἴσως καὶ ἐκεῖνος μυρία συνειδὼς ἑαυτῷ αἰσχύνεται, καὶ ἐρυθριᾷ. ἀλλ' ἀπονενόηται; ταύτῃ μάλιστα μὴ ὀκνήσῃς προσδραμεῖν. καὶ γὰρ διπλοῦν παρ' αὐτῷ τὸ πάθος, καὶ ἀπόνοια, καὶ ὀργή. σὺ τὴν αἰτίαν εἶπας, δι' ἣν ὀφείλεις πρότερος ἀπελθεῖν, ὁ ὑγιαίνων, ὁ δυνάμενος βλέπειν. ἐκεῖνος γὰρ ἐν σκότῳ ἐστί. τοιοῦτον γὰρ ἡ ὀργὴ καὶ ἡ ἀλαζονεία. σὺ δὲ ὁ τούτων ἀπηλλαγμένος καὶ ὑγιαίνων πρόσελθε, πρὸς τὸν κάμνοντα οἷα ἰατρός. μή τις ἐρεῖ τῶν ἰατρῶν, ἐπειδὴ ἀσθενεῖ, οὐκ ἀπέρχομαι; ἀλλὰ διὰ

τοῦτο

χ. οἴσομεν

* τὸ

χ. –πία

χ. κοιμ.

χ. διαφθαρῶμεν

χ. οὐ τοῦ γενέσθαι τὸ

χ. λέγει

τοῦτο μάλιστα βαδίζουσιν, ὅταν ἴδωσι μὴ δυνηθέντα ἐλθεῖν. τῶν μὲν γὰρ δεινὰ παθόντων καὶ ἐλάττονα φροντίζουσιν, ὡς οὐ νοσούντων σφόδρα· τῶν δὲ κατακειμένων οὐκέτι. ἢ οὐ δοκεῖ σοι ἀρρωστίας εἶναι χαλεπώτερον ἀπόνοια καὶ θυμός; οὐχ ὁ μὲν πυρετῷ τινι ἔοικε σφοδρῷ· ὁ δὲ φλεγμαίνοντι στόματι καὶ οἰδαίνοντι; ἐννόησον ὅσον ἐστὶ πυρετὸν ἔχειν καὶ οἴδημα· ἄπελθε, σβέσον τὸ πῦρ. δύνασαι γὰρ τῇ χάριτι τοῦ Θεοῦ. ὥσπερ ὕδατι καταστέλλει τὴν φλεγμονήν. τί οὖν ἂν αὐτῷ τούτῳ πλέον ἐπαίρηται, φησίν; οὐδὲν παρὰ σέ. σὺ μὲν γὰρ τὸ σαυτοῦ ἐποίησας. ἐκεῖνος δὲ ἑαυτῷ λογιζέσθω· μὴ καταγινωσκέτω ἡμῶν τὸ συνειδός, ὅτι ἡμῶν ἐλλειπόντων τι τῶν δεόντων τοῦτο γέγονε. Ψώμιζε, φησί, τὸν ἐχθρόν σου· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Ρωμ. ιβ. κα. καὶ ὅμως καὶ τούτου ὄντος, κελεύει ἀπελθεῖν καὶ καταλλαγῆναι καὶ εὐεργετεῖν· οὐχ ἵνα ἄνθρακας πυρὸς σωρεύσωμεν, ἀλλ' ἵνα εἰδὼς ἐκεῖνος τοῦτο καταστέλληται, ἵνα τρέμῃ, ἵνα φοβῆται τὰς εὐεργεσίας μᾶλλον τῶν ἐχθρῶν καὶ τὰς φιλίας ἢ τὰς ἐπιβουλάς. οὐ γὰρ οὕτως ἐχθρὸς μνησικακῶν βλάπτει τὸν μισοῦντα, ὡς ὁ ὠφελῶν καὶ εὐεργετῶν. μνησικακῶν γὰρ καὶ ἑαυτὸν κἀκεῖνον ἔβλαψεν ἴσως μικρόν τι· εὐεργετῶν δὲ ἄνθρακας πυρὸς ἐσώρευσεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. οὐκοῦν οὐ δεῖ ποιεῖν, φησίν, ἵνα μὴ σωρεύσωμεν ἄνθρακας; ἀλλ' ἑτέρως ἐπὶ τὴν κεφαλὴν τὴν σὴν ἄνθρακας σωρεύειν θέλεις; καὶ γὰρ τὸ τοιοῦτο ποιεῖ μνησικακία. ἀλλ' ἐπὶ πλεῖον ἐκτείνειν; οὐδαμῶς. οὐ γὰρ σὺ τοῦτο ποιεῖς, ἀλλ' ἐκεῖνος ὁ θηριώδης. εἰ γὰρ εὐεργετοῦντός σου καὶ τιμῶντος καὶ καταλλάττοντος, μένει φυλάττων ἐκεῖνος τὴν ἀπέχθειαν, ἑαυτῷ τὸ πῦρ ἀνῆψεν· αὐτὸς ἔφλεξεν αὐτοῦ τὴν κεφαλήν, σὺ δὲ ἀναίτιος εἶ. μὴ γίνου τοῦ Θεοῦ φιλανθρωπότερος, ἐπεὶ μυρία πείσῃ δεινά· μᾶλλον δὲ οὐδέ, ἂν θέλῃς, δυνήσῃ οὐδὲ κατὰ μικρόν. πόθεν γάρ; Ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, φησί, τοσοῦτον ἀπέχουσιν αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν. Ησ. νε. θ. καὶ πάλιν, Εἰ ὑμεῖς, φησί, πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ὑμῖν; Ματθ. ζ. ια. ἀλλὰ σκῆψις ταῦτα καὶ πρόφασις. μὴ δὴ σοφιζώμεθα τὰ προστάγματα τοῦ Θεοῦ. καὶ πῶς σοφιζόμεθα, φησίν; εἶπε, τοῦτο ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, σὺ δὲ λέγεις, φοβοῦμαι τὸν ἐχθρόν, ὅτι μεγάλα με ἠδίκησεν. οὐ ταῦτα λέγεις; πῶς δὲ ὅλως ἔχεις ἐχθρόν; ἀδικήσαντα φοβῇ, σαυτὸν δὲ οὐ φοβῇ; εἰ ἔτι σαυτοῦ ἐφρόντιζες, μὴ ποίει σκοπῷ τοιούτῳ· μᾶλλον δὲ καὶ τοιούτῳ ποίησον σκοπῷ. ἀλλ' οὐ ποιεῖς. οὐ λέγω σοι, ὅτι ἄνθρακας πυρὸς σωρεύσεις, ἀλλὰ καὶ ἕτερόν τι πλέον λέγω· μόνον ποίησον. ταῦτα γὰρ πάντα, ἵνα σε ἐκκαλέσηται, φησὶν ὁ Παῦλος, ἐλπίδι τῆς τιμωρίας λῦσαι τὴν ἔχθραν. ἐπειδὴ θηριώδεις ἐσμέν, καὶ οὐκ ἂν ἄλλως ἀνασχοίμεθα τὸν ἐχθρὸν φιλῆσαι, εἰ μή τινα προσδοκῶμεν τιμωρίαν, καθάπερ τινὶ θηρίῳ δίδωσι ταύτην τὴν μάζαν· ἐπεὶ τοῖς ἀποστόλοις οὐ τοῦτό φησιν ὁ Χριστός· ἀλλὰ τί; Ὅπως ἔσησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. Ματθ. ε. μη. ἄλλως δέ, οὐκ ἔστιν εὐεργετοῦντα καὶ εὐεργετούμενον μεῖναι ἐχθρόν. διὰ τοῦτο ταῦτα ἔθηκε. τί ἐν τοῖς λόγοις φιλοσοφεῖς, ἐν τοῖς ἔργοις οὐδὲ τὸ μέτρον φυλάττεις; καλῶς, οὐ ψωμίζεις αὐτόν, ἵνα μὴ ἄνθρακας πυρὸς σωρεύσῃς. οὐκοῦν φείδῃ; οὐκοῦν φιλεῖς, καὶ σκοπῷ τοιούτῳ ποιεῖς; οἶδεν ὁ Θεός, εἰ σκοπῷ τοιούτῳ λέγεις. καὶ μὴν παρ' ἡμᾶς σοφίζῃ καὶ σκήπτῃ τὸν λόγον. προνοεῖς τοῦ ἐχθροῦ, καὶ φοβῇ μὴ κολασθῇ; οὐκοῦν ἔσβεσας τὴν ὀργήν. ὁ γὰρ οὕτω φιλῶν, ὡς τὴν οἰκείαν ὠφέλειαν περιιδεῖν ὑπὲρ τῶν ἐκείνῳ συμφερόντων, οὐκ ἔχει ἐχθρόν. ἔχοις ἂν τοῦτο εἰπεῖν, μέχρι τίνος παίζομεν ἐν οὐ παικτοῖς, οὐδὲ ἔχουσι συγγνώμην; διὸ παρακαλῶ [τὴν ἡμετέραν ἀδελφότητα, ἠγαπημένοι ὑπὸ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δέομαι ὑμῶν, καὶ ἀντιβολῶ] τὰς προφάσεις ταύτας περικόψαντες, μὴ καταφρονῶμεν τοῦ Θεοῦ νόμων, μηδὲ τῶν αὐτοῦ ἐντολῶν περιφρονώμεθα, ἵνα δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὴν παροῦσαν ζωὴν διαγαγεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δό-

ξα, κράτος, τιμὴ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. να. 22 ΑΝΕΒΑΛΕ ΤΟ ΔΕ Ο ΦΗΛΙΞ ΑΥΤΟΥΣ, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπὼν, ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. 23 διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ.

Ὅρα πόση γέγονε βάσανος, περὶ τὸν μετὰ πολλῶν, εἶτα καὶ ἐν χρόνῳ μακρῷ, ὥστε μὴ εἰπεῖν ὅτι συνηρπάγη τὸ δικαστήριον. ἐπεὶ γὰρ ἐμνημόνευσε Λυσίου ὁ ῥήτωρ, εἰπὼν ὅτι μετὰ βίας ἀφείλετο αὐτὸν, ἐπήγαγεν εὐχερῶς τὰ περὶ Φήλικος, καί φησιν· ἀνεβάλετο δὲ ὁ Φῆλιξ αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ· τουτέστιν, ἐπιτηδὲς ὑπερέθετο· οὐ δεόμενος μαθεῖν, ἀλλὰ διακρούσασθαι βουλόμενος τοὺς Ἰουδαίους. ἀφεῖναι οὐκ ἤθελε διὰ ἐκείνους, κολάσαι πάλιν οὐκ ἦν δυνατόν. ἀναίτιος γὰρ ἦν. διὸ καὶ ὑπερτίθεται εἰπὼν, ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ. ἔχειν τε, φησιν, ἄνεσιν. οὕτως αὐτὸν καὶ αὐτὸς ἀφῆκεν ἐγκλημάτων. τί οὖν κατέχει ἀφείς; ἐκείνοις χαριζόμενος, ἢ καὶ ἐπὶ προσδοκῶν χρήματα λήψεσθαι. διὸ καὶ μετακαλεῖται τὸν Παῦλον. καὶ ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο, δῆλον ἡμῖν τοῦτο ποιεῖ ὁ συγγραφεὺς ἐπάγων καὶ λέγων·

24 Μετὰ δὲ τινας ἡμέρας παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως.

25 Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε. γ. λαβὼν

26 Ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν. διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος, ὡμίλει αὐτῷ. Ὅρα πῶς τῆς ἀληθείας ἔχεται τὰ γραφόμενα. μετεπέμπετο δὲ αὐτὸν συνεχῶς, οὐχὶ θαυμάζων αὐτὸν, οὐδὲ ἐπαινῶν τὰ λεγόμενα, οὐδὲ πιστεῦσαι βουλόμενος· ἀλλὰ τί; προσδοκῶν, φησι, χρήματα δοθήσεσθαι αὐτῷ. σκόπει πῶς οὐ κρύπτει ἐνταῦθα τοῦ δικαστοῦ τὴν γνώμην· καίτοι εἰ κατεγνώκει, οὐκ ἂν τοῦτο ἐποίησεν, οὐδ' ἂν ἠθέλησεν ἀκοῦσαι παρὰ καταδίκου καὶ πονηροῦ. καὶ ὅρα τὸν Παῦλον, καίτοι πρὸς ἄρχοντα διαλεγόμενον, μηδὲν τούτων λέγοντα ὧν εἰκὸς ἀξίαν αὐτοῦ τὴν ψυχὴν, ἀλλὰ τοιαῦτα, ἐξ ὧν καὶ φοβεῖται καὶ καταισχύνεται τὴν διάνοιαν. διαλεγόμενος γὰρ, φησι, περὶ δικαιοσύνης καὶ ἐγκρατείας, καὶ τοῦ μέλλοντος κρίματος ἔσεσθαι, ἔμφοβος ὁ Φῆλιξ ἐγένετο. τοσαύτη ἦν ἡ ἰσχὺς τῶν Παύλου ῥημάτων, ὅτι καὶ φοβοῦσι τὸν ἄρχοντα. καὶ οὐ μετὰ λαμβάνει διάδοχον, καὶ ἀφίησι τοῦτον δέσμιον, καίτοιγε οὐκ ἔδει, ἀλλὰ τέλος ἐπιθεῖναι· ἀλλὰ χαριζόμενος ἐκείνοις κατέλιπεν αὐτόν. οὗτοι δὲ οὕτως ἐνέκειντο, ὡς πάλιν ἐντυχεῖν. καίτοι οὐδενὶ τῶν ἀποστόλων οὕτως ἐπετέθησαν, ἀλλ' ἐπιθέμενοι, πάλιν ἀφίεσαν. οὗτος * οἰκονομικῶς ἀφίσταται τῶν Ἱεροσολύμων πρὸς ποιαῦτα θεῖα ἔχων, καὶ ὅμως ἀξιοῦσιν αὐτὸν πάλιν ἀγαγεῖν ἐκεῖ, δικασόμενοι. ἀλλὰ καὶ ἐνταῦθα λοιπὸν φαινόμενος ὁ θεὸς, οὐκ ἐπιτρέπει τῷ ἄρχοντι. εἰκὸς γὰρ αὐτὸν νεωστὶ τῆς ἀρχῆς ἐπιβάντα, καὶ

γ. ἐπιθέμενοι
* ἐπ
γ. -σάμενοι

θελῆσαι

κεφ. κε.

κελῆσαι διαφθεῖραι θαι· ἀλλ' οὐκ ἀφίησιν ὁ Θεός. ἐπεὶ δὲ κατῆλθον, λοιπὸν ἀναισχύντως, καὶ μειζόνως ἐποιοῦντο τὰς κατηγορίας. καὶ οὐκ ἴσχυσαντες ἀπὸ τῶν νομικῶν εἰλεῖν, πάλιν ἐπὶ τὸ εἰωθὸς αὐτοῖς ἔθος, τὰ κατὰ Καίσαρα ἐκίνουν, ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν. παρὰ γὰρ τὸν Παῦλον ἀπολογεῖσθαι περὶ τῶν εἰς Καίσαρα ἁμαρτημάτων, δῆλον τοῦτο ἦν. ὅθεν καὶ αὐτὸ ἑρμηνεύοντι ἐπάγει·

27 Διετίας δὲ πληρωθείσης, ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον. θέλων τε χάριν καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον.

γ. χάριτας

1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. κεφ. κε.

2 Ἐνεφάνισαν τε αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν,

γ. ὁ ἀρχιερεὺς καὶ οἱ πρ.

3 Αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.

γ. κατ'
γ. ἐνέδραν

4 Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι.

5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησι, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ.

6 Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι.

7 Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι,

γ. -αἰτιάματα

8 Ἀπολογουμένου αὐτοῦ, ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερόν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον.

9 Ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε· θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ;

Ὁρᾷ πῶς καὶ αὐτὸς τοῖς Ἰουδαίοις χαρίζεται, δήμῳ ὁλοκλήρῳ καὶ πόλει. Διὰ τοῦτο πάλιν καὶ αὐτὸν ἐκφοβεῖ. αἰτιάσει ἐπὶ χρησάμενος ὅπλῳ. καὶ ἄκουε πῶς.

10 Εἶπε δὲ ὁ Παῦλος· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.

11 Εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι. Ἀλλ' εἴποι ἄν τις ἐν τούτῳ, καὶ τίνος ἕνεκεν ἀκούσας ὅτι καὶ ἐν Ῥώμῃ σε δεῖ μαρτυρῆσαι τὰ περὶ ἐμοῦ, ὡς ἀπιστῶν ταῦτα ἐποίει; μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα πιστεύων. μᾶλλον οὖν πειράζοντος ἦν τὸ θάρρος ἐκείνη τῇ ἀποφάσει, καὶ εἰς κινδύνους ἑαυτὸν ἐμβάλλειν κινδύνους καὶ λέγει, ἴδωμεν εἰ δύναται ὁ Θεὸς καὶ οὕτως ἐξελέσθαι με. Ἀλλ' οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλὰ τὰ καθ' ἑαυτὸν πάντα εἰσφέρει, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἠρέμα δὲ καὶ καθάπτεται τοῦ ἄρχοντος οὕτως ἀπολογούμενος. μονονουχὶ γὰρ τοῦτο λέγει· εἰ μὲν ἀδικῶ, καλῶς· εἰ δὲ οὐκ ἀδικῶ, τί με ἐκδίδως; οὐδείς δύναταί με, φησι, χαρίσασθαι. εἰς φόβον αὐτὸν ἐνέβαλλεν, ὥστε μηδὲ ἑκόντα χαρίσασθαι, ἀλλὰ καὶ πρὸς ἐκείνους ἔχειν ἀπολογίαν τὴν ἔφεσιν.

12 Τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. Ὁρᾷ ἀνακοινοῦται τῷ Ἀγρίππᾳ, ὥστε καὶ ἑτέρας γενέσθαι πάλιν ἀκροάσεις, καὶ τὸν βασιλέα, καὶ τὸν στρατόν, καὶ τὴν Βερνίκην. εἶτα δὲ πάλιν ἀπολογία.

γ. ἀνακοινοῦται

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον.

14 Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος,

15 Περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην.

15 Πρὸς οὓς ἀπεκρίθην· ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.

17 Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα.

18 Περὶ οὗ σταθέντες οἱ κατήγοροι, οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ·

19 Ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν.

20 Ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτου ζήτησιν, ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων.

21 Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ ἂν πέμψω αὐτὸν πρὸς Καίσαρα.

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη· ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. ὁ δὲ, αὔριον, φησιν, ἀκούσῃ αὐτοῦ. Ὅρα κατηγορίαν Ἰουδαίων πάλιν, οὐ παρὰ τοῦ Παύλου, ἀλλὰ παρὰ τοῦ ἄρχοντος. ἐνεφάνισαν, φησιν, οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην, πρὸς οὓς ἐγὼ ἀπεκρίθην (ὅρα καὶ τί ἀποκρίνεται εἰς αἰσχύνην αὐτῶν) ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν· τουτέστι, πρὶν ἢ λόγου αὐτῷ μεταδοῦναι, ἀδύνατον τὸ χαρίζεσθαι ἁπλῶς. κατὰ τὸ εἰωθὸς δὲ ποιήσας, οὐχ εὗρεν αἰτίαν· ὅθεν καὶ ἀπορεῖται ἐπὶ τούτῳ. καὶ δῆλον τοῦτο δι᾽ ὧν ἐπήγαγε λέγων· ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτων ζήτησιν. οὕτως εἶπε, συσκιάζων τὸ οἰκεῖον ἁμάρτημα. καὶ ἐκεῖνος μὲν συσκιάζει, Ἀγρίππας δὲ ἐπιθυμεῖ ἰδεῖν αὐτόν. ὅρα ἀεὶ τοὺς ἄρχοντας διαχειρουμένους τὴν ἐπιβουλὴν τὴν Ἰουδαϊκήν, καὶ παρὰ τὸ δίκαιον ἀναγκαζομένους πολλάκις ποιεῖν καὶ προφάσεις ἐπιζητοῦντας τῆς ἀναβολῆς. οὐ γὰρ δὴ ἀγνοῶν ἀνεβάλετο, ἀλλ᾽ εἰδώς. ὁ δὲ Ἀγρίππας οὐ μόνον οὐ διαχειρίζεται, ἀλλὰ καὶ ἀκοῦσαι βούλεται· ὃ καὶ θαυμάσαι ἄξιον, πόθεν εἰς ἐπιθυμίαν κατέστη τοῦ βούλεσθαι ἰδεῖν ἄνθρωπον, εἰ καὶ ἀδίκως, ὅμως κατηγορούμενον. οὕτως ἦν καὶ τοῦτο οἰκονομίας. διὸ καὶ ἡ γυνὴ αὐτοῦ συνακούει, καὶ τῆς ἀκροάσεως οὐκ ἀπολιμπάνεται. καὶ οὐδὲ ἁπλῶς ἀκροᾶται, ἀλλὰ μετὰ πολλῆς τῆς τιμῆς. τοσαύτην εἶχε τὴν ἐπιθυμίαν. οὐ γὰρ ἂν, εἰ μὴ ἐπεθύμησεν, ἐζήτησεν ἂν ἀκοῦσαι, οὐδ᾽ ἂν καὶ τὴν γυναῖκα κοινωνὸν ἐποιήσατο τῆς ἀκροάσεως, εἰ μὴ μεγάλα περὶ αὐτοῦ ἐφαντάζετο. ἐμοὶ δὲ δοκεῖ κἀκείνην τοῦτο ποθῆσαι. καὶ ὅρα τὸν Παῦλον εὐθέως οὐ περὶ πίστεως μόνον, οὐδὲ περὶ ἀφέσεως ἁμαρτημάτων, ἀλλὰ καὶ περὶ τῶν πρακτέων διαλεγόμενον. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. τὸ νῦν ἔχον, φησί, πορεύου· καιρὸν δὲ λαβὼν μετακαλέσομαί σε. ὅρα τὴν πώρωσιν. τοιαῦτα ἀκούων, χρήματα προσεδόκα λήψεσθαι παρ᾽ αὐτοῦ. καὶ οὐ τοῦτο μόνον δεινόν· ἀλλὰ καὶ διαλεχθεὶς, οὐκ ἀφῆκεν αὐτόν. ἀλλ᾽ ἐπειδὴ πρὸς τῷ τέλει τῆς ἀρχῆς ἦν, κατέλιπεν αὐτὸν δέσμιον, ἵνα χαρίσηται τοῖς Ἰουδαίοις, ὥστε οὐ χρημάτων ἦρα μόνον, ἀλλὰ καὶ δόξης. πῶς χρήματα, μιαρέ, παρὰ ἀνθρώπου τὸ ἐναντίον κηρύττοντος ἐπιζητεῖς; ὅτι δὲ οὐκ ἔλαβε, δῆλον ἐξ ὧν εἴασε δεδεμένον, λύσας ἂν, εἴπερ ἔλαβε. περὶ ἐγκρατείας αὐτῷ διελέγετο, ἐκεῖνος δὲ χρήματα προσεδό-

γρ. οἷς περὶ τὴν τούτων ζήτ.

γρ. δ

γρ. κατεῖδον δ᾽, καὶ ὅλον δ᾽ ἔργον ἀπορ. ἀπορούμενος

γρ. θεραπειῶν

χρ

καὶ λαβεῖν παρ' αὐτοῦ ταῦτα διαλεγομένου. καὶ αἰτῆσαι μὲν οὐκ ἐτόλμα (τοιοῦτον γὰρ ἡ κακία, δηλοῖ καὶ πάντα ὑποπτεύουσα) ἤλπιζε δὲ ὥστε εἰκότως αὐτοῖς ἐχαρίζετο, ἅτε τοσοῦτον ἄρξας χρόνον. Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν δὲ αὐτῷ ὅ τε ἀρχιερεὺς, καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ Παύλου, φησίν. εὐθέως καὶ ἐν ἀρχῇ προσέπληθον οἱ ἱερεῖς, οὐκ ἂν αἰτήσαντες καὶ εἰς Καισάρειαν ἐλθεῖν, εἰ μὴ ἔφθη ἀνελθών· ὅπου γε εὐθέως ἐπιβάντι προσέρχονται. καὶ καταβὰς ἐν Καισαρείᾳ, διατρίβει δέκα ἡμέρας· [τάχα δοκῶ] ὥστε ἐξεῖναι τοῖς βουλομένοις αὐτὸν διαφθεῖραι· Παῦλος δὲ ἦν ἐν τῷ δεσμωτηρίῳ. καὶ παρεκάλουν αὐτὸν, φησὶν, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ. καὶ διὰ τί χάριν ᾔτησαν, εἰ δίκαιός ἐστιν ἀποθανεῖν; ἀλλ' οὕτω κἀκείνῳ δήλη ἐγένετο ἡ ἐπιβουλὴ, ὡς διαλεγόμενον εἰπεῖν· ἄνδρες οἱ συμπαρόντες, θεωρεῖτε τοῦτον, περὶ οὗ τὸ πλῆθος ἐνέτυχόν μοι τῶν Ἰουδαίων. διὰ γὰρ τοῦ, ἐνέτυχον, τὸ, αἰτούμενοι κατ' αὐτοῦ χάριν, δηλοῖ. ὥστε ἤδη ἐβούλοντο αὐτὸν εἰς ἀπόφασιν ἐξενεγκεῖν, φοβούμενοι τὴν Παύλου γλῶτταν. τί φοβεῖσθε; τί ἐπείγεσθε; τοῦτο γὰρ ἐμφαίνει, τὸ φυλάττεσθαι αὐτόν. μὴ γὰρ φεύγει; οἱ οὖν ἐν ὑμῖν, φησὶ, δυνατοὶ, κατηγορείτωσαν αὐτοῦ. πάλιν κατήγοροι ἐν Καισαρείᾳ, καὶ πάλιν ἐξαιρεῖται Παῦλος. τῇ δὲ ἐπαύριον καθίσας, φησὶν, ἐπὶ τοῦ βήματος. ὅρα, εὐθέως ἐλθὼν ἐκάθισεν ἐπὶ τοῦ βήματος, οὕτως αὐτοὶ ἤθουν μετὰ τοσαύτης σπουδῆς· οὕτως ἐπείγονται. ἕως μὲν οὖν οὐδέπω πεῖραν ἦν λαβὼν τῶν Ἰουδαίων καὶ τῆς τιμῆς τῆς παρ' αὐτῶν, ὀρθῶς ἀπεκρίνατο· ἐπειδὴ δὲ ἔμεινεν ἐν τοῖς Ἱεροσολύμοις δέκα ἡμέρας, καὶ οὐκ ἐχαρίζετο αὐτοῖς, ἀλλὰ μετὰ ἀπάτης τοῦτο ποιεῖ. καὶ ὅπως, ἄκουε. ἐπάγει γάρ· θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ; ὡσεὶ ἔλεγεν· οὐχὶ αὐτοῖς δίδωμί σε· ἀλλ' αὐτὸς κριτὴς ἔσομαι. τοῦτο δὲ λέγει, καὶ αὐτὸν ποιεῖ κύριον, ἵνα τῇ τιμῇ αὐτὸν χαλάσῃ· ἐπειδὴ ἦν ἡ ἀπόφασις, καὶ πολὺ ἀναίσχυντον ἐδόκει, μηδὲν ἐνταῦθα ἐλεγχθέντα ἐκεῖ θέλειν ἀπάγειν. ὁ δὲ Παῦλος οὐκ εἶπεν, οὐ βούλομαι, μήποτε καὶ σφοδρότερον ποιήσῃ τὴν δίκην ἦν· ἀλλὰ πάλιν παρρησιάζεται καί φησιν· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. μεγάλη ἡ παρρησία. καὶ ὅρα πῶς αὐτοὺς συλλογίζεται. μονονουχὶ γὰρ τοῦτο λέγει δι' ὧν ἀπολογεῖται· ἐξέβαλόν με ἅπαξ αὐτοί· καὶ τοῦτο νομίζουσί με καταλείπειν, τῷ ἀφεῖσθαι εἰς Καισαρείαν ἥμαρτον· ἐπ' αὐτοῦ βούλομαι κρίνεσθαι τοῦ ἠδικημένου. οὕτως εἰπὼν, ἐπάγει· Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. καθήψατο αὐτοῦ λοιπὸν, ὡς καὶ χαριζομένου. εἶτα ἐπεὶ καθήψατο, πάλιν ἐκλύει τὸν λόγον ἐπάγων· εἰ μὲν οὖν ἀδικῶ, ἢ ἄξιόν τι θανάτου πέπραχα, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. κατ' ἐμαυτοῦ τὴν ψῆφον ἐκφέρω, φησί. τοῦτο οὐ θανατῶντος, ἀλλὰ σφόδρα θαρροῦντός ἐστιν οἷς ἐλάλει. μετὰ γὰρ τῆς παρρησίας καὶ τὴν δικαιολογίαν εἶναι δεῖ, ὥστε ἐντρέψαι. εἰ δὲ οὐδέν ἐστιν ὧν κατηγοροῦσί μου, οὐδείς με δύναται χαρίσασθαι· κἂν θέλῃ, φησὶν, οὐ δυνήσεται. οὐκ εἶπεν, οὐκ ἄξιός εἰμι ἀποθανεῖν, οὐδὲ ἀπολυθῆναι, ἀλλ', ἕτοιμος κρίνεσθαι ἐπὶ Καίσαρος· ἅμα τοῦ ὀνόματος μνησθεὶς, μᾶλλον ἐθάρρησεν ἐπικαλέσασθαι. καὶ οὐκ εἶπε, σύ, ἀλλ', οὐδείς· καὶ προσέθηκε, Καίσαρα ἐπικαλοῦμαι, ὥστε μὴ εἶναι εἰς ἐκείνους τὴν ὕβριν. τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. εἶδες πῶς χαρίζεται; τοῦτο γὰρ χάρις ἐστὶ, τὸ συλλαλεῖν μετὰ τῶν κατηγόρων, ὁ διεφθαρμένης γνώμης ἐστὶ καὶ συγχεούσης τὴν τάξιν. ὅρα πάλιν ἐκτεπομένην αὐτοῦ τὴν δίκην, καὶ τὴν ἐπιβουλὴν ἀφορμὴν τοῦ κηρύγματος γινομένην. ταῦτα γὰρ οἰκονομεῖται, ὥστε μετὰ ἀσφαλείας καὶ φυλακῆς ἀπενεχθῆναι [αὐτὸν] εἰς τὰ Ἱεροσόλυμα ὑπὸ μηδενὸς ἐπιβουλευόμενον. οὐ γὰρ ἦν ἴσον ἁπλῶς παραπέμπεσθαι, καὶ ἐπὶ αἰτίᾳ τοιαύτῃ. τοῦτο καὶ συνελθεῖν ἐποίησεν Ἰουδαίους ἐκεῖ. εἶτα πάλιν χρόνος πολὺς ἐνδιατρίβοντος αὐτοῦ τοῖς Ἱεροσολύμοις, ἵνα μάθῃς ὅτι καὶ χρόνου γινομένου, οὐδὲν τὰ τῆς ἐπιβουλῆς αὐτοῖς ἴσχυε, τοῦ Θεοῦ μὴ συγχωροῦντος. Α-

κ. μὴ εὐθέως ἔφθη ἀνελ.

κ. τοῦτο νομίζουσι κατα-

γρίππας δὲ ἦλθεν ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν. οὗτος ὁ Ἀγρίππας ὁ τοῦ Ἡρώδου, ἕτερος ἦν μετ' ἐκεῖνον τὸν ἐπὶ Ἰακώβου· ὡς εἶναι τέταρτον τοῦτον. ὅρα τοὺς ἐχθροὺς συμπεριάπτοντας ἄκοντας, ὥστε καὶ μέγα γενέσθαι τὸ ἀκροατήριον. εἰς ἐπιθυμίαν ἐνέπεσεν ὁ Ἀγρίππας τῆς ἀκροάσεως· καὶ οὐχ ἁπλῶς ἀκούει, ἀλλὰ μετὰ παρασκευῆς. καὶ ἰδὲ τὴν ἀπολογίαν, ἣν ὁ ἄρχων φησί. καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν, περὶ οὗ ἀσφαλές τι τῷ Κυρίῳ γράψαι οὐκ ἔχω. οὕτω γράφει ὁ Φῆστος· καὶ ἐκπομπεύεται ἡ ὠμότης ἡ Ἰουδαϊκή. ὅταν γὰρ ταῦτα ὁ ἄρχων λέγῃ, ἀνύποπτός ἐστι. διὰ τοῦτο δὲ λέγει, ὥστε καὶ πρὸ αὐτοῦ καταγνωσθῆναι τοὺς Ἰουδαίους, μετὰ δὲ τὸ πάντας αὐτοῦ καταψηφίσασθαι, τότε ἐπάγει τὴν κόλασιν ὁ Θεός. σκόπει δέ· κατέγνω Λυσίας, κατέγνω Φῆλιξ, κατέγνω Φῆστος καὶ οἱ συνεδρευόμενοι αὐτοῖς, κατέγνω Ἀγρίππας τὸ λοιπόν, κατέγνωσαν αὐτοῦ καὶ οἱ Φαρισαῖοι. καὶ ὅτι κατέγνω, ἄκουε αὐτοῦ λέγοντος· οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ. καὶ μὴν ἦν ἔγκλημα, ἀλλ' οὐκ ἤλεγξαν. ἡ μὲν γὰρ ἐπιβουλὴ καὶ τὸ τόλμημα τοῦτο ὑποψίαν ἐδίδου· ἡ δὲ ἐξέτασις οὐδὲν τοιοῦτον. καὶ περί τινος, φησίν, Ἰησοῦ τεθνηκότος. εἰκότως περί τινος λέγει, ἅτε ἄνθρωπος ἐν ἀρχῇ ὤν, καὶ τούτων οὐ φροντίζων. ἀπὸ ταύτης τῆς αἰτίας καὶ τό, ἀπορούμενος ἐγώ, εἶπεν, εἰς τὴν περὶ τούτων ἐξέτασιν. καὶ γὰρ ὄντως τοιούτου δικαστοῦ ὑπερέβαινεν ἀκοὰς ἡ τῶν τοιούτων ζήτησις. καὶ εἰ ἐν ἀπορίᾳ εἶ, τί εἰς Ἱεροσόλυμα ἕλκεις; διὰ τοῦτο καὶ Παῦλος οὐκ ἀξιοῖ ὑπ' αὐτοῦ κρίνεσθαι, Καίσαρα ἐπικαλεῖται λέγων· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. ὁ γὰρ περὶ τούτου ἐγκαλῶν. ἀκούεις ἔφεσιν; ἀκούεις ἐπιβουλὴν Ἰουδαίων; ἀκούεις στάσιν; ταῦτα πάντα τὸν Ἀγρίππαν εἰς ἐπιθυμίαν ἐξήγειρεν ἀκούειν. καὶ δίδωσιν ὁ Φῆστος τὴν χάριν, ὁ μετὰ τῶν λοιπῶν λαμπρότερος ὁ Παῦλος. τοιαῦται, ὅπερ ἔφην, αἱ ἐπιβουλαὶ περιεξένησαν. εἰ μὴ ταῦτα ἦν, οὐδεὶς ἂν τοῦτον κατηξίωσεν ἀκοῦσαι αὐτοῦ τῶν ἀρχόντων, οὐδεὶς ἂν μετὰ τοσαύτης ἡσυχίας καὶ σιγῆς. καὶ δοκεῖ μὲν διδάσκειν καὶ ἀπολογεῖσθαι, δημηγορεῖ δὲ μᾶλλον μετὰ πολλῆς τῆς εὐταξίας.

γρ. ἐπεὶ ὁ μετ' ἐκεῖνον, ὡς εἶναι τέταρτον τοῦτον ἐπὶ Ἰακώβου. ὅρα

γρ. καταψηφίσασθαι

ΗΘΙΚΟΝ

Μὴ δὴ χαλεπόν τι πρᾶγμα νομίζωμεν τὰς ἐπιβουλάς. ἕως ἂν ἑαυτοῖς μὴ ἐπιβουλεύωμεν, οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαι δυνήσεται· μᾶλλον δὲ ἐπιβουλεύουσι μέν, οὐδὲν δὲ βλάπτουσιν· ἀλλὰ καὶ ὠφελοῦσιν ἡμᾶς τὰ μέγιστα. ὥστε ἡμεῖς ἐσμὲν κύριοι καὶ τοῦ παθεῖν κακῶς, καὶ τοῦ μὴ παθεῖν. ἰδοὺ διαμαρτύρομαι καὶ μεγάλῃ λέγω τῇ φωνῇ, καὶ σάλπιγγος τρανότερον, καὶ εἰ ἦν ἐφ' ὑψηλοῦ ἀναβάντα βοῆσαι, οὐκ ἂν παρῃτησάμην· ὅτι τὸν χριστιανὸν οὐδεὶς ἀνθρώπων τῶν οἰκούντων τὴν γῆν βλάψαι δυνήσεται. καὶ τί λέγω ἀνθρώπων, οὐδὲ αὐτὸς ὁ δαίμων, ὁ τύραννος, ὁ διάβολος, ἂν μὴ αὐτὸς ἑαυτὸν ἀδικήσῃ. κἂν ὁποιονοῦν τις ἡμᾶς κακὸν ἐργάσασθαι βουληθῇ, μάτην πειράσεται. ὥσπερ γὰρ ἀγγέλους οὐδεὶς ἂν βλάψειεν ἐπὶ γῆς ὄντα ἄνθρωπος, οὕτως οὐδὲ ἄνθρωπος ἄνθρωπον. ἀλλ' οὐδὲ αὐτὸς ἑτέρους βλάψαι δυνήσεται, ἕως ἂν ᾖ ἀγαθός. τί δέον ἂν τούτου γένοιτο ἴσον, ὅταν μήτε βλαβῆναι δύνηται, μήτε βλάψαι ἑτέρους; τοῦτο γὰρ ἐκείνου οὐκ ἔλαττον, τὸ μὴ βούλεσθαι βλάπτειν ἑτέρους. ἄρα ἄγγελός τίς ἐστι καὶ Θεῷ ὅμοιος. τοιοῦτος γὰρ ὁ Θεός· ἀλλ' ἐκεῖνος μὲν φύσει, οὗτος δὲ προαιρέσει· οὔτε [δεῖν] βλαβῆναι δύναται, οὔτε βλάψαι ἑτέρους. τὸ δέ, οὐ δύναται, μὴ ἀδυναμίας νομίσῃς ([illegible] γὰρ ἀδυναμία) ἀλλὰ τὸ ἀνένδεκτον λέγω. ἡ γὰρ φύσις ἐκείνη οὔτε βλάβης ἐστὶ δεκτική, οὔτε τοῦ ἀδικεῖν ἑτέρους· ἐπεὶ καὶ τοῦτο ἑτέρα βλάβη. ἄλλως γὰρ ἑαυτοὺς οὐ βλάπτομεν, ἢ τῷ βλάπτειν ἑτέρους, καὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἡμῶν, ἐκ τῆς εἰς ἡμᾶς ἀδικίας οὕτω γίνεται. ὥστε καὶ διὰ τοῦτο ὁ χριστιανὸς οὐ δύναται βλάπτεσθαι, ὅτι οὐδὲ βλάπτειν δύναται. πῶς δὲ ἑτέρους βλάπτοντες, ἑαυτοὺς βλάπτομεν; φέρε καθ' ἕκαστον τῶν πραγμάτων παραχωρησάμενοι τῷ λόγῳ γυμνάσωμεν τὸ λεγόμενον. ἀδικείτω τις, ὑβριζέτω, πλεονεκτείτω· τίνα ἄρα ἔβλαψεν εἰπέ; οὐχ ἑαυτὸν πρότερον;

γρ. καὶ

γρ. τοῦτο

πόλιν τί που δῆλον. τὸ μὲν γὰρ εἰς χρήματα ἡ ζημία· αὐτοῦ δὲ εἰς ψυχήν. καὶ γὰρ εἰς ἀ-
πώλειαν καὶ εἰς κόλασιν παραδίδοται τοῦ τοιούτου ἡ ψυχή. πάλιν φθονείτω ἕτερος. τίνα
οὖν ὁ τοιοῦτος ἠδίκησεν; οὐχ ἑαυτόν, εἰπέ μοι; τοιαύτη γὰρ ἡ τῆς ἀδικίας φύσις, τὸν τίκτοντα
πρῶτον βλάπτει μυρία, μικρὰ δὲ ἕτερον· μᾶλλον δὲ οὐδὲ μικρὸν βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ.
ἀλλ' οὐδὲν ἀξιόπιστον εἴρηκα. ἔστω τοίνυν (μάλιστα γὰρ ἐν τούτοις ἐστὶ τὸ πλέον) πένης
χρήματα ἔχων ὀλίγα καὶ τῆς ἀναγκαίας μόλις εὐπορῶν τροφῆς· ἕτερος δὲ πλούσιος καὶ εὔπο-
ρος καὶ πολλὴν ἔχων δύναμιν, καὶ λαμβανέτω τὰ τοῦ πένητος λοιπὸν καὶ γυμνὸν ποιείτω, καὶ πα-
ραδιδότω λιμῷ· αὐτὸς δὲ ἐντρυφάτω τοῖς ἐξ ἐκείνου ληφθεῖσιν ἀδίκως. ὁ τοιοῦτος οὐ μό-
νον οὐδὲν αὐτὸν ἔβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν· ἑαυτὸν δὲ οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ καὶ ἔ-
βλαψε. πῶς; πρῶτον μὲν ὑπὸ τοῦ συνειδότος μαστιζόμενος τοῦ πονηροῦ, καὶ καθ' ἑκάστην
ἡμέραν κεντούμενος, καὶ παρὰ πάντων καταγινωσκόμενος, ἔπειτα ἐν τῷ μέλλοντι κρίματι. γ. καταδικά- ζων ἑαυτὸν
ἀλλ' ὅτι μὲν οὗτος βλάπτεται, δῆλον ἐντεῦθεν κατέστη. πῶς δὲ ὠφελεῖται ἐκεῖνος, εἰπέ. ὅτι
τὸ κακῶς παθεῖν καὶ φέρειν γενναίως, μέγα κέρδος ἔχει. ἔστι γὰρ ἁμαρτημάτων λύσις, τὸ πα-
θεῖν κακῶς· ἔστι φιλοσοφίας γυμνάσιον· ἔστιν ἀρετῆς διδασκαλία. ἴδωμεν οὖν τίς ἐν κα-
κοῖς; οὗτος, ἢ ἐκεῖνος; ἐκεῖνος μὲν γὰρ ἂν ᾖ φιλόσοφος, γενναίως οἴσει· οὗτος δὲ καθ' ἑκάστην ἡ-
μέραν ἐν θρήνοις ἔσται καὶ ἀθυμίᾳ. τίς οὖν ἀδικεῖται, οὗτος, ἢ ἐκεῖνος; μύθους λέγεις, φησίν.
ὅταν γάρ τις μὴ ἔχῃ φαγεῖν, καὶ ἀναγκάζηται ἀποδύρεσθαι καὶ ἀποδυσπετεῖν, ἢ προσελθὼν
ἐπαιτεῖν, καὶ μὴ λάβῃ, οὐχὶ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα προΐεται πολλάκις; μύθους σὺ λέγεις· ἐγὼ
γὰρ ἐπιδείκνυμι πράγματα. εἰπὲ γάρ μοι, οὐδεὶς τῶν πλουσιωτέρων ἀποδυσπετεῖ; τί
οὖν; μὴ ἡ πενία αἰτία τούτου; ἀλλ' οὐ λιποψυχεῖ; καὶ τί τοῦτο; μείζων ἡ δίκη, ὅταν μετὰ πλούτου
τοῦτο ποιῇ. οὔτε γὰρ πλοῦτος γενναῖον ποιεῖ, οὔτε ἀσθενῆ πενία· ἐπεὶ οὐδεὶς ἂν τῶν ἐν πλούτῳ
ζώντων μοχθηρὸν ἔζη βίον, οὐδ' ἂν ἑαυτῷ κατηγόρησεν οὐδεὶς τῶν ἐν πενίᾳ. ὅτι δὲ ὄντως γ. ὅσ
μῦθοί εἰσι τὰ παρ' ὑμῶν, ἐκεῖθεν ὑμῖν ποιήσω φανερόν. εἰπέ μοι, ὁ Παῦλος ἐν πενίᾳ ἦν, ἢ ἐν
πλούτῳ; ἐλιμώττεν, ἢ οὐχί; αὐτοῦ ἐστιν ἀκοῦσαι λέγοντος· Ἐν λιμῷ καὶ δίψει. τί δὲ οἱ προφῆ- β. Κορ. ια. κζ.
ται; ἐλιμώττον, ἢ οὐχί; καὶ ἐκεῖνοι ἀπεδυσπέτουν; πάλιν Παῦλόν μοι φέρεις, πάλιν τοὺς προ-
φήτας, δέκα καὶ εἴκοσι ἀνθρώπους. ἀλλὰ πόθεν βούλει; ἀπὸ τῶν πολλῶν, φησί, δεῖξόν μοι
τινὰς φέροντας γενναίως. ἀλλὰ τὸ σπουδαῖον ἀεὶ τοιοῦτον, καὶ ὀλίγοι οἱ καλοί. εἰ βούλει δέ, τὸ
καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν· ἴδωμεν τίνος ἡ φροντὶς μείζων καὶ δριμυτέρα, καὶ τίνος
εὐφορωτέρα. οὐχ ὁ μὲν ὑπὲρ τῆς ἀναγκαίας μεριμνᾷ τροφῆς· ὁ δὲ ὑπὲρ μυρίων πραγ-
μάτων, (ταύτης ἀφειμένος) οὐ δέδοικεν ὑπὲρ λιμοῦ ἁπλῶς οὗτος, ἀλλ' ὑπὲρ ἑτέρων δέδοικε
πολλάκις ὑπὲρ σωτηρίας αὐτῆς. οὐκ ἔχει τὴν ἀμεριμνίαν τῆς τροφῆς ὁ πένης, ἀλλ' ἔχει τὴν
ἑτέραν ἀμεριμνίαν, τὴν ἀσφάλειαν, τὴν ἡσυχίαν, τὴν ἄδειαν. ἄλλως δέ, εἰ μὴ κακὸν τὸ
ἀδικεῖν, ἀλλὰ καλόν, διατί αἰσχυνόμεθα; διατί συγκαλυπτόμεθα; διατί ὀνειδιζόμενοι ἀ-
γανακτοῦμεν καὶ δυσχεραίνομεν; εἰ μὴ καλὸν τὸ ἀδικεῖσθαι, διατί ἐναβρυνόμεθα καὶ ἐγκαλλω-
πιζόμεθα τῷ πράγματι, καὶ δικαιολογούμεθα ἐν τούτῳ; θέλεις μαθεῖν πῶς οὗτοι ἐκείνων βελ-
τίους; ὅρα τοὺς ἐν τούτῳ, ὅρα τοὺς ἐν ἐκείνῳ. διατί νόμοι; διατί δικαστήρια; διατί τιμωρίαι;
οὐχὶ δι' ἐκείνους ὡς νοσοῦντας καὶ κάμνοντας; ἀλλ' ἡ πενία πολλή, φησί. μὴ εἴπωμεν τὰ
μέλλοντα, τὰ παρόντα ἐξετάσωμεν. τί χεῖρον ἀνδρὸς τοιαύτην ἔχοντος ἐπιθυμίαν; τί
σφαλερώτερον ἢ τί σαθρότερον; οὐκ ἐν πανταχοῦ ἐπιβουλευτός ἐστι; κἂν δίκαιόν τι πράττῃ,
οὐ πιστεύεται), ὑπὸ τῶν δύο ἀμφοῖν καὶ παρὰ πάντων καταγινωσκόμενος (πάντας γὰρ τοὺς συνοικοῦν-
τας κατηγόρους ἔχει) οὐ φιλίᾳ χρήσασθαι δύναται. οὐδεὶς γὰρ ἂν ἕλοιτο ταχέως τοιαύτην
δόξαν ἔχοντι ἀνθρώπῳ γενέσθαι φίλος, ὥστε μὴ κοινωνῆσαι αὐτῷ τῆς ὑποψίας· ἀλλὰ κα-
θάπερ θηρίον, οὕτω πάντες ἀποστρέφονται, καθάπερ λυμεῶνα καὶ ἐχθρὸν τὸν ἀνθρωποφάγον τῆς
φύσεως πολέμιον, τὸν ἄδικον ἄνθρωπον. ἂν εἰς δικαστήριον ἐμπέσῃ, οὐδεὶς κατηγορεῖ ἤδη

ται ὁ ἠδικηκώς, τῆς δόξης ἀντὶ παντὸς κατηγόρου καταδικαζούσης αὐτόν. ἀλλ' οὐχ ὁ ἀδικούμενος οὕτως· ἀλλὰ πάντας ἔχει προστάτας, συναλγοῦντας, χεῖρας ὀρέγοντας· ἐπ' ἀσφαλείας ἕστηκεν. εἰ καλὸν τὸ ἀδικεῖν καὶ ἀσφαλές, ὁμολογείτω τις εἶναι ἄδικος· εἰ δὲ οὐ τολμᾷ, τί δήποτε ὡς ἀγαθὸν μετέρχεται; ἴδωμεν δὲ πῶς καὶ ἐν ἡμῖν αὐτοῖς ἂν γένηται τοῦτο, πόσα τῶν κακῶν. εἰπὲ γάρ μοι, ἄν τι τῶν ἐν ἡμῖν τὸ οἰκεῖον ὑπερβὰν μέτρον τοῦ ἑτέρου ἐφίηται, καὶ βουληθῇ ἀφεὶς ὁ πλέον τὸν οἰκεῖον τόπον λαβεῖν τὸ ἀλλότριον μετὰ τοῦ οἰκείου, οὐχὶ νόσος τοῦτο ἐστί; τὸ ὑγρὸν πάλιν τὸ ἐν ἡμῖν [ὁ χυμὸς] εἰ πάντα πληρώσει, οὐχὶ ὕδερος τοῦτο ἐστιν; [οὐχὶ ποδαλγίαι; οὐχὶ ἑαυτὸν διέφθειρε μετ' ἐκείνου;] ἡ χολὴ πάλιν εὐρυχωρίαν ζητείτω, καὶ πανταχοῦ διαχείσθω τὸ αἷμα. οὐ καὶ ἐν τῇ ψυχῇ ὁ θυμός, ἡ ἐπιθυμία, καὶ τὰ ἄλλα πάντα, ἐὰν ὑπερβῇ τὸ μέτρον; οὕτω καὶ ἡ τροφὴ ἐὰν ὑπὲρ ὃ δύναται πέττεσθαι προσληφθῇ, νόσοις τὸ σῶμα περιέβαλε. πόθεν γὰρ αἱ ποδαλγίαι; πόθεν αἱ παρέσεις καὶ ὁ κλόνος τοῦ σώματος; ἆρα οὐκ ἀπὸ τῆς τῶν τροφῶν ἀμετρίας; πάλιν ἐν τῷ σώματι ἐὰν πλέον βουληθῇ λαβεῖν ὁ ὀφθαλμός, ἢ πλέον ἰδεῖν τοῦ ὡρισμένου θελήσειεν, ἢ μεῖζον ἀναλάβοι φῶς, ἔβλαψε μᾶλλον ἢ ὠφέλησε τὸ ὑπὲρ μέτρον. εἰ δὲ εἴθε ἀγαθόν τι τὸ φῶς ἐστιν, ὁ ὀφθαλμὸς εἰ πλέον ἰδεῖν θελήσειεν, ἀπόλλυται, ὅταν λαμπρότερον ἴδῃ, ἐνόσησεν ἐπὶ τοῦ κακοῦ. ἡ ἀκοὴ ἐὰν μεγάλην δέξηται φωνήν, ἀπόπληκτος ἡ διάνοια γίνεται. ὁ νοῦς ἐπειδὰν τὰ ὑπὲρ ἑαυτὸν λογίσηται, ἐκπλήττεται, καὶ ὅπερ ἂν πλέον τοῦ δέοντος γένηται, ἀπόλλυσι. τοῦτο γὰρ πλεονεξία, πλέον ἔχειν τοῦ ὡρισμένου. οὕτω δὲ καὶ ἐπὶ χρημάτων· ὅταν βουλώμεθα ἐπιθεῖναι φορτία πλείονα, εἰ καὶ μὴ αἰσθανόμεθα, χαλεπὸν ἐν ἑαυτοῖς τρέφομεν τὸ θηρίον, πολλὰ ἔχοντες, πολλῶν δεόμενοι, φροντίσι μυρίαις περιβάλλοντες ἑαυτούς, πολλὰς τῷ διαβόλῳ παρέχοντες λαβάς. διὰ τοῦτο οὐδὲ χρεία χρημάτων ἐπὶ τῶν πλουσιωτέρων τῷ διαβόλῳ. ἕτοιμοι γὰρ αὐτῷ πρὸς καταφορὰν ἀπὸ τοῦ πλούτου μάλιστα γίνονται. ἀλλ' οὐκ ἐπὶ τῶν πενίᾳ συζώντων, ἀλλὰ πᾶν τὸ ἐναντίον. οὕτως αὐτὰ καθ' ἑαυτὰ ἀπόλλυσι τὰ πράγματα. Γρ. ἐν αὐτῷ τῷ διὸ παρακαλῶ ἀπέχεσθαι τῆς τούτων ἐπιθυμίας, ἵνα δυνηθῶμεν διαδρᾶναι τὰς τοῦ πονηροῦ παγίδας, καὶ ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νβ. 23 ΤΗ ΟΥΝ ΕΠΑΥΡΙΟΝ ΕΛΘΟΝΤΟΣ ΤΟΥ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος.

Ὅρα δὲ συλλέγεται ἀκροατήριον τῷ Παύλῳ. τοῖς κατ' ἐξοχήν, φησί, τῆς πόλεως. τοὺς δορυφόρους γὰρ πάντας συναγαγὼν ὁ ἄρχων καὶ ὁ βασιλεύς, οὕτως ἀπαντῶσι· σὺν αὐτοῖς δὲ καὶ ὁ χιλίαρχος καὶ οἱ πρῶτοι τῆς πόλεως παραγεγόνασι. τούτους γὰρ κατ' ἐξοχὴν καλεῖ. καὶ ὅρα πῶς, αὐτοῦ ἀχθέντος, ἀνακηρύττεται ὑπὸ τοῦ Φήστου. οὐ μόνον γὰρ αὐτὸν ἀφίησι τῶν ἐγκλημάτων, ἀλλὰ καὶ ὑπεραπολογεῖται. τί λέγων;

24 Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχέ μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι.

25 Ἐγὼ

25 Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστὸν, ἔκρινα πέμπειν αὐτόν·

26 Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. διὸ προήγαγον αὐτὸν ἐφ᾽ ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα· ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι.

27 Ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι.

Σπόπει πῶς ἐκείνων μὲν κατηγορεῖ, τοῦτον δὲ ἀφίησιν. ὢ τῆς τῶν δικαιωμάτων παρεισοσίας. ὅπως καταδικάσῃ οὐχ εὑρίσκει ὁ ἄρχων, μυρίας γενομένης ἐξετάσεως· ἐκεῖνοι δὲ τοῦτον ἄξιον θανάτου ἔφασκον εἶναι. διὰ τοῦτο καὶ ἔλεγεν· ἐγὼ δὲ καταλαβόμενος, φησὶ, μηδὲν ἄξιον θανάτου πεπραχέναι αὐτόν· εἶτα ἐπήγαγε λέγων, περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. τοῦτο τῆς τοῦ Παύλου καθαρότητος, τὸ μηδὲν ἔχειν τὸν δικαστὴν ὅ,τι εἴπῃ περὶ αὐτοῦ. διὸ προήγαγον αὐτὸν, φησὶν, ἐφ᾽ ὑμῶν. ἄλογον γάρ μοι δοκεῖ εἶναι, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι. ὅρα εἰς οἵας ἐνέβαλον οἱ Ἰουδαῖοι τοὺς ἄρχοντας αὐτῶν ἀπορίας μεγάλας. τί οὖν ὁ Ἀγρίππας; ἐπὶ τούτοις βουλόμενος τι μαθεῖν πρὸς τὸν Παῦλον ἔφη·

1 Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τῇ πολλῇ περὶ τοῦ ἀκοῦσαι ἐπιθυμίᾳ ἐπιτρέπει αὐτῷ λέγειν ὁ βασιλεύς. ὁ δὲ Παῦλος μετὰ παῤῥησίας φθέγγεται λοιπὸν, οὐ κολακεύων, ἀλλὰ διὰ τοῦτο μακάριον ἑαυτὸν φάσκων εἶναι, ἐπειδὴ πρὸς πάντα εἰδότα τὸν λόγον ποιεῖται. καὶ ὅτι διὰ τοῦτο, ἄκουε, ἃ δὴ καὶ προστείνεται λέγων. Τότε ὁ Παῦλος ἀπελογεῖτο ἐκτείνας τὴν χεῖρα,

2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον, ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον,

3 Μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. διὸ δέομαί σου μακροθύμως ἀκοῦσαί μου. Καίτοιγε εἰ συνῄδει ἑαυτῷ, φοβηθῆναι ἔδει τὸ παρεῖναι τῷ πάντα εἰδότι δικαζόμενον· ἀλλὰ καθαροῦ συνειδότος τοῦτό ἐστι, τὸ μὴ παραιτεῖσθαι δικαστὴν τὸν ἀκριβῶς εἰδότα τὰ γεγενημένα, ἀλλὰ καὶ χαίρειν. ὅθεν καὶ μακάριον ἑαυτὸν ἡγεῖται καὶ λέγει· δέομαί σου μακροθύμως ἀκοῦσαί μου. ἐπειδὴ μέλλει λόγον ἐκτείνειν καὶ λέγειν τι περὶ ἑαυτοῦ, διὰ τοῦτο προλαβὼν παρεκάλεσε καί φησι·

4 Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι,

5 Προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος. Ὃ λέγει τοῦτό ἐστι· πῶς ἂν στασιαστὴς ἐγενόμην, ὁ νέος τοιοῦτος ὢν καὶ μαρτυρούμενος ὑπὸ πάντων; εἶτα καὶ ἀπὸ τῆς αἱρέσεως ἡ πίστις οὗ εἶπεν. ἐπάγει γὰρ, κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς θρησκείας ἔζησα. καὶ ἐπειδὴ πάλιν εἰκὸς ἦν τινας εἰπεῖν· τί οὖν εἰ ἡ μὲν αἵρεσις θαυμαστὴ, σὺ δὲ πονηρός; ὅρα πῶς τὸ ὑφορμοῦν θεραπεύει. μάρτυρας γὰρ καλεῖ πάντας τοὺς Ἰουδαίους τοὺς γινώσκοντας τὸν αὐτοῦ βίον καὶ τὴν ἀναστροφήν. ἴσασι γὰρ, φησὶ, πάντες Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν.

6 Καὶ νῦν ἐπ᾽ ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἡμῶν γενομένης ἐπαγγελίας ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος,

7 Εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆσαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ Ἰουδαίων.

8 Τί ἄπιστον κρίνεται παρ᾽ ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; Δύο τίθησι περὶ ἀναστάσεως λογισμούς· ἕνα μὲν, τὸν ἀπὸ προφητῶν, καὶ οὐ παράγει προφήτην, ἀλλ᾽ αὐτὴν τῶν Ἰουδαίων

Ἰουδαίων τὴν δόξαν· ἄλλοι δὲ τὸν καὶ ἰσχυρότερον τὸν ἀπὸ πραγμάτων. ποῖον δὴ τοῦτον; ὅτι διελέχθη αὐτῷ ὁ Χριστὸς ἀναστὰς ἐκ νεκρῶν. καὶ κατασκευάζει καὶ τοῦτον ἀπὸ λογισμῶν, τὴν προτέραν αὐτοῦ μανίαν διηγούμενος ἀκριβῶς. εἶτα καὶ μετὰ ἐγκωμίου τῶν Ἰουδαίων· νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει, φησί, καταντῆσαι. ὥστε εἰ καὶ μὴ ἀληθοῦς βίου ἦμεν, ὑπὲρ τούτων οὐκ ἔδει κρίνεσθαι, βασιλεῦ Ἀγρίππα. εἶτα καὶ ἄλλος λογισμός· τί ἄπιστον κρίνεται παρ᾽ ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; εἰ γὰρ μὴ τοιαύτη δόξα ἦν, εἰ γὰρ μὴ ἀνατεθραμμένοι ἦσαν ἐν τούτοις τοῖς δόγμασι, νῦν δὲ εἰσεφέρετο, ἴσως οὐκ ἂν ἐδέξατό τις τὸν λόγον. εἶτα λέγει πῶς ἐδίωκε (καὶ τοῦτο κατασκευαστικὸν) καὶ τοὺς ἀρχιερεῖς παράγει μάρτυρας, καὶ τὰς ἔξω πόλεις, καὶ ὅτι ἤκουσε λέγοντος αὐτῷ, Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἔπειτα δείκνυσι καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι καὶ διώκοντι ὤφθη, καὶ ὅτι οὐκ ἐμὲ μόνον εὐηργέτησεν, ἀλλὰ καὶ ἑτέροις ἔπεμψε διδάσκαλον. δείκνυσι δὲ καὶ τὴν προφητείαν, ἣν ἤκουσεν. Εἰς τοῦτο ὤφθην σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω. ταῦτα πάντα δεικνὺς ἔλεγεν·

9 Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι,

10 Ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον.

11 Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις.

12 Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων,

13 Ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.

14 Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

15 Ἐγὼ δὲ εἶπον, τίς εἶ, Κύριε; ὁ δὲ εἶπεν· ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις.

16 Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι,

17 Ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω,

18 Ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. Σκόπει πῶς ἡμέρως διαλέγεται. ὁ Θεός, φησιν, εἶπε πρός με, ὅτι ὤφθην σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν. ὡσεὶ ἔλεγε· τούτοις ἐπείσθην, ταύτῃ τῇ ὀπτασίᾳ με ἐπηγάγετο, καὶ οὕτως ἔπεισεν, ὥστε μὴ ἀναβάλλεσθαι.

19 Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·

20 Ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλω μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. Ὁ τοίνυν καὶ τοὺς ἄλλους παιδεύων περὶ βίου ἀρίστου, πῶς ἂν αὐτὸς στάσεως καὶ φιλονεικίας, φησὶν, ἀρχηγὸς γέγονα;

21 Ἕνεκα τούτων οἱ Ἰουδαῖοί με συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι.

22 Ἐπικουρίας

γρ. τέ ἄλλης

22 Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρούμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ Μωϋσῆς·

23 Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν. Ὅρα πῶς ἐκτὸς κολακείας ἐστὶν ὁ λόγος αὐτοῦ, καὶ τὸ πᾶν ἐπιγράφει τῷ Θεῷ. Εἶτα ἡ παῤῥησία· ἀλλ᾽ οὐδένα ὑφίσταμαι. καὶ τὸ ἀσφαλές. ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι. Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν. ὥστε ἔλεγεν· ὅτι πρῶτος ὁ Χριστὸς ἀναστὰς οὐκέτι ἀποθνήσκει, δῆλον ἐκ τοῦ πᾶσι καταγγεῖλαι τοῦτο, καὶ εἰς ἑαυτὸν προσδοκᾶν. Εἶτα τὴν παῤῥησίαν ὁ Φῆστος ἰδὼν (ἐπεὶ καὶ πρὸς τὸν βασιλέα διελέγετο) μὴ μαθὼν τὰ πρὸς αὐτὸν ἀποβλέπειν, ὥσπερ ἔπαθέ τι καὶ φησί· μαίνῃ, Παῦλε. ὅτι δὲ παθὼν τοῦτο λέγει, ἄκουε τῶν ἑξῆς.

γρ. ἀπολογουμένου

24 Ταῦτα δὲ αὐτοῦ διαλεγομένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. Τί οὖν ὁ Παῦλος; μετ᾽ ἐπιεικείας ἀποκρινόμενος·

25 Οὐ μαίνομαι, φησὶ, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. Εἶτα καὶ τὴν αἰτίαν διδάσκει, δι᾽ ἣν πρὸς τὸν βασιλέα τὸν λόγον ἀπέστρεψεν.

26 Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ παῤῥησιαζόμενος λαλῶ. λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν. οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.

27 Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις. Τοῦτο οὕτως εἶπε μονονουχὶ διασύρων καὶ λέγων πρὸς αὐτούς· οἶδα ὅτι πάντα οἶδεν ἀκριβῶς. καὶ ἔδει μὲν πρώτους ὑμᾶς ταῦτα εἰδέναι (ὃ γὰρ ἐπαγόμενον τοῦτο δηλοῖ. ὃ, οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο) ἀλλ᾽ οὐκ ἠθελήσατε. πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.

γρ. ἡμᾶς

28 Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.

29 Ὁ δὲ Παῦλος εἶπεν· εὐξαίμην ἂν τῷ Θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. Ὅρα πῶς εὔχεται, λέγων· εὐξαίμην ἂν ἔγωγε τῷ Θεῷ οὐκ ἐν ὀλίγῳ· τουτέστι, παραμικρόν. καὶ οὐχ ἁπλῶς εὔχεται, ἀλλὰ καὶ ἐπιτεταμένως. τοιούτους, φησὶ, γενέσθαι πάντας οὐ μόνον σε, ἀλλὰ καὶ πάντας· ὁποῖος κἀγώ εἰμι. εἶτα καὶ προσέθηκε, παρεκτὸς τῶν δεσμῶν τούτων, οὐκ ἀποδυσάμενος τῶν διὰ τὰ δεσμά, οὐδὲ αἰσχυνόμενος ἐξ ὅτι ἐδέδετο (τοῦτο γὰρ ἦν αὐτῷ, εἴπερ τι ἄλλο, ἄξιον δόξης) ἀλλὰ πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀφορῶν, οὕτως εἶπε. διὰ τοῦτο προσέθηκε τὸ, παρεκτὸς τῶν δεσμῶν τούτων. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ ἀναγνωσθέντα.

γρ. εἰρημένα

τῇ οὖν ἐπαύριον εἰσελθόντων εἰς τὸ ἀκροατήριον, κελεύσαντος τοῦ Φήστου, φησὶν, ἤχθη ὁ Παῦλος. ἀπέστησαν λοιπὸν οἱ Ἰουδαῖοι, τῇ ἐφέσει χρησαμένου ἐκείνου, καὶ τότε αὐτῷ τὸ λαμπρὸν τὸ θέατρον γέγονε. μετὰ πολλῆς γὰρ τῆς φαντασίας ὁ βασιλεὺς καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων παρῆσαν· οὐχ οἱ μὲν, οἱ δὲ οὔ. τὸ πλῆθος τῶν Ἰουδαίων, φησὶ, συνέτυχόν μοι, ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι. ὅρα τὴν μανίαν, ἐβόων δεῖν αὐτὸν ἀποθανεῖν λέγοντες. ἐντεῦθεν δείκνυσιν ὅτι δικαίως ἐπεκαλέσατο Καίσαρα. εἰ γὰρ οὐδὲν μὲν εἶχον δεινὸν εἰπεῖν, ἐχθροὶ δὲ ἐμεμήνεσαν, εἰκότως ἐπὶ ἐχθροὺς ἔρχεται. ὅπως τῆς ἀνακρίσεως ὑφ᾽ ὑμῶν γενομένης, σχῶ τι γράψαι, φησίν. ὁρᾷς πῶς βασανίζεται πολλάκις τὸ πρᾶγμα; καὶ τῆς ἀπολογίας τοίνυν ταύτης Ἰουδαῖοι αἴτιοι, ἵνα ἔμελλον μανθάνειν καὶ οἱ ἐν τῇ Ῥώμῃ. περὶ πάντων ὧν ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ἥγημαι, φησιν, ἐμαυτὸν μακάριον, μέλλων ἐπὶ σοῦ ἀπολογεῖσθαι. ὅρα πῶς κήρυκες ἄκοντες καὶ τῆς οἰκείας γίνονται κακίας καὶ τῆς Παύλου ἀρετῆς καὶ αὐτῷ τῷ χειροτονοῦντι; ὥστε λαμπρότερον ἀπήγετο ὁ Παῦλος,

ἢ εἰ

ἢ εἰ χωρὶς δεσμῶν ἀπῆλθεν. οὐκέτι γὰρ ὡς πλάνος καὶ γόης, τοσούτων αὐτὸν ἀφέντων δικαστῶν, ἀπήγετο. πάντα τοίνυν ἀποδυσάμενος παρ' οἷς ἐτέχθη καὶ ἐτράφη, οὐχ ἁπλῶς, ἀλλ' οὕτω καθαρὸς ὑποψίας ἐπιβαίνει τῆς Ῥώμης. καὶ οὐκ εἶπε, τί δὴ τοῦτο; ἅπαξ ἐπικαλεσάμενον Καίσαρα· μυριάκις ἐκεῖθεν· μέχρι πότε; ἀλλὰ τί; πάλιν ἕτοιμος ἐγένετο δοῦναι εὐθύνας, καὶ ἐπὶ τοῦ μάλιστα εἰδότος τὰ κατὰ Ἰουδαίους. διὸ καὶ μετὰ πολλῆς τῆς παρρησίας ἀπολογεῖται· ἅτε οὐκ ὄντων κυρίων τῶν καταδικαζόντων αὐτόν· ὅς, καίπερ οὐκ ὄντων κυρίων, ἀλλὰ τῆς ἀποφάσεως ἐκείνης κρατούσης, ὅτι πρὸς Καίσαρα πορεύσῃ, δίδωσι λόγον ὅμως, καὶ πολλὰς τὰς εὐθύνας περὶ πάντων· οὐ περὶ τῶν μὲν, περὶ τῶν δὲ οὔ. μονονουχὶ δὲ τοῦτο λέγει, δι' ὧν ἀποκρίνεται· ἐγκαλοῦσιν ὑπὲρ στάσεως, ἐγκαλοῦσιν ὑπὲρ αἱρέσεως, καὶ ὅτι τὸν ναὸν ἐβεβήλωσα. περὶ πάντων ἀπολογοῦμαι. τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος ἴσασι πάντες οἱ Ἰουδαῖοι. ὅτι μὲν οὖν οὐ τοῦ ἐμοῦ τρόπου τὸ στάσεις ποιεῖν, αὐτοὶ μάρτυρες οἱ κατήγοροι. ὃ καὶ περὶ τούτου λέγει, ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων, τοῦτο καὶ ἐνταῦθα αἰνίττεται διὰ τοῦ εἰπεῖν, τὴν ἐκ νεότητός μου βίωσιν. [τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις ἴσασι πάντες οἱ Ἰουδαῖοι·] καὶ ὅτι ὅλος ὁ δῆμος παρῆν, τότε καλεῖ αὐτὸν τὴν μαρτυρίαν· οὐκ ἐπὶ τοῦ δικαστηρίου δὲ τοῦ Λυσίου τοῦτο ποιεῖ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Φήστου. καὶ πάλιν ἐνταῦθα ὅτι πλείονες παρῆσαν· ἐκεῖ δὲ οὐ πολλῆς ἀπολογίας ἔδει, τῶν γραμμάτων τοῦ Λυσίου ἀφιέντων αὐτόν. ἴσασι, φησι, πάντες Ἰουδαῖοι προγινώσκοντές με ἄνωθεν. καὶ οὐ λέγει ποταπὸς αὐτοῦ ὁ βίος· ἀλλ' ἀφίησιν αὐτὸν τῷ συνειδότι, καὶ τὸ πᾶν ἐν τῇ αἱρέσει τίθησι, δεικνὺς ἐντεῦθεν οὐκ ἂν ἑλόμενος αὐτήν, εἰ πονηρὸς ἦν καὶ μοχθηρός. ὑπὲρ τῆς αἱρέσεως τοίνυν ταύτης, ἧς, φησιν, ἕστηκα κρινόμενος. αὕτη καὶ παρ' αὐτοῖς πρεσβεύεται. διὰ ταύτην ηὔχοντο, διὰ ταύτην λατρεύουσιν, ἵνα ταύτης τύχωσι· ταύτην ἐγὼ καταγγέλλω, καὶ περὶ τῆς ἐλπίδος ταύτης ἐγκαλοῦμαι. ἆρα μαινομένων οὐκ ἔστι πάντα μὲν ὑπὲρ τοῦ τυχεῖν ταύτης ποιεῖν· τὸν δὲ εἰς ταύτην πιστεύοντα ἐλαύνειν; ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ Ναζωραίου, φησὶ, δεῖν πολλὰ ἐναντία πρᾶξαι· τουτέστιν, ἐκεῖνα ταῦτα ποιεῖν· ὅτι οὐκ ἤμην τῶν μαθητῶν τοῦ Χριστοῦ, ἀλλὰ τῶν πολεμούντων αὐτῷ ὑπῆρχον. ὅθεν καὶ ἀξιόπιστος γίνεται μάρτυς, ὅτι ὁ μυρία ποιῶν καὶ πολεμῶν τοὺς πιστεύοντας, καὶ πείθων βλασφημεῖν, καὶ πάντα κινῶν, πόλεις, ἄρχοντας, καὶ δι' ἑαυτοῦ ταῦτα πράττων, οὕτως ἐξαίφνης μεταβέβληται. εἶτα πάλιν μάρτυρες οἱ συνόντες· εἶτα δείκνυσιν ἑαυτὸν δικαίως πεισθέντα, ἀπό τε τοῦ φωτὸς, ἀπό τε τῶν προφητῶν, ἀπό τε τῶν ἐκβάσεων, ἀπό τε τῶν νῦν γεγενημένων. ἐπήγαγε γάρ, ἡμέρας μέσης κατὰ τὴν ὁδὸν, καὶ εἶδον περιλάμψαι με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. ὅρα γοῦν πῶς καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τούτων αὐτοὺς πιστοῦται. ἵνα γὰρ μὴ δόξῃ καινοτομεῖν, καίτοι ἔχων μεγάλα εἰπεῖν, πάλιν ἐπὶ τοὺς προφήτας καταφεύγει, καὶ τὰ αὐτῶν μέσον τίθησι. τοῦτο μὲν οὖν ἀξιοπιστότερον ἅτε νῦν γενόμενον· ἀλλ' ἐπειδὴ μόνος εἶδε, πάλιν αὐτὸ ἀπὸ προφητῶν πιστοῦται. καὶ ὅρα αὐτὸν οὐχ ὁμοίως διαλεγόμενον ἐν δικαστηρίῳ καὶ ἐν ἐκκλησίᾳ. ἐκεῖ μὲν οὖν λέγει, ὅτι καὶ ἀνείλετε· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ὥστε μὴ πλέον ἐκκαῦσαι τὸν θυμόν· ἀλλὰ τὸ αὐτὸ δείκνυσιν εἰπὼν, εἰ παθητὸς ὁ Χριστός. οὕτως ἀφίησιν αὐτοὺς ἐγκλημάτων. ὅπερ οὖν ἐγὼ καταγγέλλω, εἰ ἀνέστη πρῶτος ἐκ τῶν νεκρῶν, ἐκ τῶν προφητῶν δείκνυμι. καὶ γὰρ καὶ οἱ προφῆται τοῦτο καταγγέλλουσιν. οὐκοῦν δέξασθαι τὸν λόγον, ὡς τὸν αὐτὸν ὄντα τῶν προφητῶν. ἐπεὶ δὲ εἶπε τὴν ὄψιν, λοιπὸν καὶ μετὰ ἀδείας καὶ τὰ κατορθώματα λέγει. ποῖα ταῦτα; τοῦ ἀνοῖξαι αὐτῶν, φησιν, ὀφθαλμοὺς, καὶ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν. εἰς τοῦτο γὰρ ὤφθην σοι· τουτέστιν, οὐχ ὥστε κολάσαι, ἀλλ' ὥστε ἀπόστολον ποιῆσαι. ὅρα· τὰ συνέχοντα κακὰ τοὺς ἀπίστους δείκνυσι, τὸν Σατανᾶν, τὸ σκότος· ὥσπερ καὶ τὰ ἀγαθὰ τῶν πιστῶν, τὸ φῶς, τὸν Θεὸν, τὸν κλῆρον τῶν ἁγίων. καὶ οὐχ ἁπλῶς με-

κεφ. κϛ. νῦν δὲ ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ ἕστηκα.

τελμοσι

τολμηρὸν παρρησίας, ἀλλὰ καὶ βίον ἐπιδείκνυσθαι θαυμαστόν. Καὶ ὅρα πανταχοῦ τὰ ἔθνη συμπλεκόμενα τῷ λόγῳ. Οἱ γὰρ παρόντες ἐξ ἐθνῶν ἦσαν. Μαρτυρόμενος, φησὶ, μικρῷ τε καὶ μεγάλῳ*. Καὶ διὰ τοὺς στρατιώτας οὕτως εἶπεν. Εἶτα ἀφεὶς τὴν τάξιν τοῦ ἀπολογουμένου, τὴν τοῦ διδασκάλου ἔλαβε. Διὸ καὶ ὁ Φῆστός φησι πρὸς αὐτὸν, μαίνῃ. Εἶτα ἵνα μὴ δόξῃ αὐτὸς διδάσκαλος εἶναι, ἐπήγαγε τοὺς προφήτας, καὶ Μωϋσέα. Εἰ παθητὸς, φησὶν, ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν ἐν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν. Ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· οὕτω θυμοῦ ἦν καὶ ὀργῆς ἡ φωνή. Τί οὖν ὁ Παῦλος; Οὐ γάρ ἐστι, φησὶν, ἐν γωνίᾳ πεπραγμένον τοῦτο. Ἐνταῦθα περὶ τοῦ σταυροῦ λέγει τοῦτο, περὶ τῆς ἀναστάσεως, καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης γέγονε τὸ δόγμα. Πιστεύεις, βασιλεῦ, φησὶν, Ἀγρίππα; οὐκ εἶπε, τῇ ἀναστάσει, ἀλλὰ, τοῖς προφήταις. Εἶτα προκαταλαμβάνει αὐτὸν καί φησιν· οἶδα ὅτι πιστεύεις. Πρὸς ὃν καὶ ὁ Ἀγρίππας, ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. Οὐκ ἐνόησεν ὁ Παῦλος, τί ἐστιν ἐν ὀλίγῳ, ἀλλ' ἐνόμισεν ὅτι ἐξ ὀλίγου. Διὸ καὶ πρὸς τοῦτο ἀποκρίνεται. Οὕτως ἰδιώτης ἦν. Καὶ οὐκ εἶπεν, οὐ βούλομαι, ἀλλ', εὔχομαι, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντας. Ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον. Εὔχομαι, φησὶ, σήμερον ἡμᾶς γενέσθαι πάντας τοιούτους, ὁποῖος καὶ ἐγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. Ὅρα ὁ καυχώμενος ἐπὶ τοῖς δεσμοῖς, ὁ περιφέρων αὐτοὺς καθάπερ ἅλυσιν χρυσῆν, τούτοις ἀπεύχεται νῦν. Καὶ μὴ θαυμάσῃς. Ἔτι γὰρ ἀσθενέστεροι διέκειντο, καὶ συγκαταβατικώτερος ἦν ὁ λόγος αὐτοῦ. Ἐπεὶ ὅτι τὰ δεσμὰ βέλτιον ἡγεῖτο, ἄκουε πῶς ἀεὶ ἐν ταῖς ἐπιστολαῖς πάντων προτίθησι τῶν ἄλλων λέγων· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ. Καὶ πάλιν, Τούτου χάριν τὴν ἅλυσιν περίκειμαι, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Καὶ, Ἄχρι δεσμῶν ὡς κακοῦργος. Ὅρα· οὐχὶ δεσμούμενον, ἀλλὰ καὶ ὡς κακοῦργος προσέθηκεν, αὔξων τὴν ἀπὸ τῶν δεσμῶν δόξαν. Διπλῆ δὲ ἡ τιμωρία, καὶ ὅτι ἐδέδετο, καὶ ὅτι ὡς κακοῦργος. Εἰ μὲν γὰρ οὕτως ἐδέδετο ὡς ἐπ' ἀγαθῷ, ἔφερέ τινα ἂν παραμυθίαν τὸ πρᾶγμα· νῦν δὲ καὶ ὡς κακοῦργος, καὶ ὡς ἐπὶ τοῖς δημοσίοις ἁλούς· καὶ ὅμως οὐδενὸς τούτων ἐφρόντιζε.

Τοιοῦτον ψυχὴ πτερωθεῖσα τῷ οὐρανίῳ ἔρωτι. Εἰ γὰρ οἱ τῶν αἰσχρῶν τούτων ἐρῶντες ἐρώτων, οὐδὲν ἡγοῦνται οὔτε ἔνδοξον, οὔτε τίμιον, ἀλλ' ἐκεῖνα ὅσα ἂν αὐτοῖς πρὸς τὴν ἐπιθυμίαν συντείνῃ, ταῦτα κρίνεται καὶ ἔνδοξα καὶ ἔντιμα, καὶ τοῦτο πάντα αὐτοῖς ἐστιν ἡ ἐρωμένη· πολλῷ μᾶλλον οἱ τούτῳ ἁλόντες τῷ ἔρωτι οὐδὲν ἡγοῦνται τὰ ἐπιτίμια. Εἰ δὲ οὐ νοοῦμεν τὰ λεγόμενα, οὐ θαυμαστόν. Ἄπειροι γάρ ἐσμεν τῆς φιλοσοφίας ταύτης. Εἰ γάρ τις ἁλῷ τῷ πυρὶ τοῦ Χριστοῦ, τοιοῦτος γίνεται, οἷος ἂν γένοιτο ἂν, θερμὸς μόνος ἐπὶ τῆς γῆς οἰκῶν. Οὕτως οὐδενὸς αὐτῷ μέλει δόξης καὶ ἀτιμίας· ἀλλ' ὥσπερ ἂν εἰ μόνος οἰκῶν οὐδενὸς ἂν ἐφρόντισεν, οὕτως οὐδὲ τότε ὁ τοιοῦτος φροντίζει. Πειρασμῶν δὲ οὕτω καταφρονεῖ καὶ μαστίγων καὶ δεσμωτηρίων, ὥσπερ ἂν εἰ ἐν ἀλλοτρίῳ σώματι ταῦτα ἔπασχεν, ἢ ὥσπερ ἂν εἰ ἀδαμάντινον ἐκέκτητο σῶμα· τῶν δὲ ἡδέων τῶν ἐν τῷ βίῳ οὕτω καταγελᾷ καὶ ἀναισθήτως αὐτῶν ἔχει, ὥσπερ τῶν νεκρῶν σωμάτων ἡμεῖς αὐτοὶ ὄντες νεκροί. Τοσοῦτον δὲ ἀπέχει ἁλῶναι πάθει τινὶ, ὅσον χρυσὸς πυρωθεὶς ἀκαθαρσίας ἂν ἀπέχοιτο κηλῖδος. Ὥσπερ γὰρ μυῖαι εἰς μέσην τὴν φλόγα οὐκ ἂν ἐμπέσοιεν, ἀλλὰ φεύγουσιν, οὕτω τὰ πάθη οὐδὲ ἐγγὺς γενέσθαι τούτου τολμᾷ. Καὶ νῦν εἰ βουλόμεθα καὶ ἀφ' ἡμῶν τὰ παραδείγματα παραγαγεῖν δυνάμεθα· ἐπεὶ δὲ ἀπορούμεθα, ἀνάγκη πρὸς αὐτὸν τοῦτον καταφυγεῖν. Ὅρα γοῦν αὐτὸν πρὸς ἅπαντα τὸν κόσμον πῶς διέκειτο. Ἐμοὶ κόσμος ἐσταύρωται, φησὶ, κἀγὼ τῷ κόσμῳ· τουτέστι, νεκρός εἰμι τῷ κόσμῳ, κἀκεῖνος ἐμοὶ τοιοῦτος. Καὶ πάλιν, Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Τοῦτο μόνον Παύλου γνώρισμά ἐστιν· ἡμεῖς δὲ τῶν ἐκείνου τοσοῦτον ἀπολειπόμεθα, ὅσον τῆς γῆς ὁ οὐρανὸς, ἐγκαλύπτεσθαι ὡς μηδὲ τὸ στόμα διαίρειν τολμᾶν. Ὅτι δὲ ὡς ἐν ἐρημίᾳ ἦν, καὶ οὕτως ἑώρα τὰ παρόντα, ἄκουσον αὐτοῦ λέγοντος· Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα.

* τουτέστι, καὶ ἐπισήμῳ καὶ ἀσήμῳ.

Ἐφεσ. γ. α.
β. Τιμ. α. η.
β. Τιμ. β. θ.
ΗΘΙΚΟΝ.
Γαλ. ς. ιδ.
Γαλ. β. κ.
β. Κορ. δ. ιη.

μενα. τί λέγεις; καὶ μὴν τὸ ἐναντίον οὗ λέγεις ἐστί. τὰ μὲν γὰρ ἀόρατα οὐ βλέπομεν, τὰ δὲ ὁρατὰ βλέπομεν. ὁποίους ἔχεις ὀφθαλμούς, πλήν τοι ἔσω τῶν διὰ τῆς χάριτος τοῦ Χριστοῦ δεδομένοι. καθάπερ γὰρ οὗτοι τὰ μὲν ὁρώμενα ὁρῶσι, τὰ δὲ οὐχ ὁρώμενα οὐχ ὁρῶσιν· οὕτως ἐκεῖνοι τοὐναντίον. οὐδεὶς τὰ ἀόρατα βλέπων, τὰ ὁρατὰ βλέπει· οὐδεὶς τὰ ὁρώμενα βλέπων, τὰ ἀόρατα βλέπει. ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο γίνεται; ὅταν γὰρ τὸν νοῦν συστρέψαντες λογιζώμεθά τι τῶν ἀοράτων, μετέωροι τῆς ἐνεργείας ἡμῖν γίνονται αἱ ὄψεις. καταφρονήσωμεν δόξης· γελᾶσθαι βουλώμεθα μᾶλλον, ἢ ἐπαινεῖσθαι. ὁ μὲν γὰρ γελώμενος, οὐδὲν βλάπτεται· ὁ δὲ ἐπαινούμενος, μεγάλα. μὴ μέγα φρονῶμεν ἐπὶ τοῖς ἐκφοβοῦσι τῶν ἀνθρώπους, ἀλλ' ὡς ἐπὶ τῶν παίδων τοῦτο πράττωμεν. οὐδὲ γὰρ εἴ τινα ἴδοιμεν ἐκφοβοῦντα παιδία, θαυμάζομεν τοῦτον. εἰ γάρ τις φοβεῖ, παιδία φοβεῖ· ἄνδρα γὰρ οὐκ ἂν δύναιτο φοβῆσαι. καὶ καθάπερ οἱ ἐκφοβοῦντες, ἢ τὰς βλεφαρίδας ἕλκοντες ἄνω, ἢ ἄλλως τὸ πρόσωπον διαστρέφοντες, τοῦτο ποιοῦσιν, ὑγιαίνοντες δὲ καὶ ἥμερον τὸ ὄμμα οὐκ ἂν δύναιντο τοῦτο ποιῆσαι· οὕτω δὴ καὶ οὗτοι, τὸ θεωρητικὸν τῆς διανοίας διαστρέφοντες τοῦτο ποιοῦσιν· ὡς τὸν ἥμερόν γε ἄνθρωπον καὶ καλὸν τὴν ψυχὴν οὐδεὶς ἂν φοβηθείη, ἀλλ' αἰδούμεθα πάντες, τιμῶμεν, ἐντρεπόμεθα. οὐχ ὁρᾶτε πῶς ὁ φοβερὸς καὶ μισητός ἐστι καὶ πᾶσιν ἡμῖν ἀπευκτός; τί γὰρ τῶν δυναμένων φοβεῖν μόνον οὐκ ἀποστρεφόμεθα; οὐχὶ θηρία; οὐχὶ φονέας; οὐχὶ ὄφεις; οὐχὶ τόπους; οὐχὶ ἀέρα, ὅταν ᾖ σκότος; μὴ δὴ μέγα νομίζωμεν, εἰ ἄνθρωποι φοβοῦνται ἡμᾶς. φοβερὸν μὲν γὰρ οὐδεὶς * ἄνθρωπος ὑφορᾶται· δεδίττεσθαι, τὸ δὲ πλουτοῦντας ἡμᾶς μὴ μέγα τοῦτο εἶναι. μέγα ἀγαθὸν ἡ ἀρετή. καὶ ὅρα πῶς μέγα. ἄθλια τὰ πράγματα νομίζοντες, δι' ὧν συνέστηκεν, αὐτοὺς θαυμάζομεν καὶ μακαρίζομεν. τίς γὰρ οὐκ ἂν μακαρίσειε τὸν φιλόσοφον, καίτοι πενία, καὶ ὅσα τοιαῦτα ἄθλια εἶναι δοκεῖ; ὅταν οὖν διὰ τῶν ἀθλίων εἶναι δοκούντων λάμπῃ, ὅρα τὴν ὑπερβολήν. μέγα φρονεῖς ἐπὶ δυναστείᾳ, ἄνθρωπε; καὶ ποία δυναστεία, εἰπέ μοι, ἡ χειροτονητή; παρὰ ἀνθρώπων ἐγένου δυνατός, ἔνδοθεν χειροτόνησον σεαυτόν. ἄρχων γὰρ οὐχ ὁ καλούμενός ἐστιν, ἀλλ' ὁ ὤν. ὥσπερ γὰρ ἰατρὸν οὐκ ἂν ποιήσειε βασιλεύς, οὐδὲ ῥήτορα, οὕτως οὐδὲ ἄρχοντα. οὐ γὰρ τὰ γράμματα ποιεῖ ἄρχοντα, οὐδὲ τὸ ὄνομα. ἐπεί, εἰ βούλει, οἰκοδομείτω τις ἰατρεῖον, ἐχέτω καὶ μαθητάς, ἐχέτω καὶ ὄργανα καὶ φάρμακα, καὶ εἰσίτω πρὸς τοὺς κάμνοντας· ἆρα ἀρκεῖ ταῦτα ποιῆσαι ἰατρόν; οὐδαμῶς· ἀλλὰ δεῖ τῆς τέχνης, καὶ ταύτης ἄνευ οὐ μόνον ταῦτα οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει. τὸν γὰρ οὐκ ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακα. ὁ μὲν γὰρ μὴ ἔχων οὔτε σώζει, οὔτε ἀπόλλυσιν· ὁ δὲ ἔχων ἀπόλλυσιν, οὐκ εἰδὼς ὅπως χρήσηται· ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος. ταύτης γὰρ μὴ οὔσης, πάντα διέφθαρται. τοιοῦτος καὶ ὁ ἄρχων ἐστίν· ἔχει ὄργανα, τὴν φωνήν, τὸν θυμόν, τοὺς δημίους, τὰς προεδρίας, τὰς τιμάς, τὰς δωρεάς, τοὺς ὑπάρχους· ἔχει καὶ φάρμακα, τοὺς νόμους· ἔχει καὶ κάμνοντας, τοὺς ἀνθρώπους· ἔχει ἐργαστήριον, τὸ δικαστήριον· ἔχει μαθητάς, τοὺς στρατιώτας. ἂν οὖν μὴ εἰδῇ τὴν ἐπιστήμην τὴν ἰατρικήν, οὐδὲν τούτων ὄφελος. ὁ ἄρχων ἰατρὸς ψυχῶν ἐστιν, οὐχὶ σωμάτων. εἰ δὲ αὕτη ἡ σωμάτων τοσαύτης δεῖται ἐπιμελείας, πολλῷ μᾶλλον ἡ τῆς ψυχῆς, ἐπειδὴ καὶ μείζων ψυχὴ σωμάτων. οὐκ ἄρα τὸ ὄνομα ἔχοντα ἄρχοντος ἄρχοντά ἐστιν εἶναι. ἐπεὶ καὶ ἄλλοι καλοῦνται μεγάλοις ὀνόμασιν· οἷον Παῦλος, Πέτρος, Ἰάκωβος, Ἰωάννης· ἀλλ' οὐκ ἀπὸ τῶν ὀνομάτων εἰσὶν ἅπερ καλοῦνται, καθάπερ οὐδὲ ἐγώ. ἀλλ' εἰμὶ τοῦ μακαρίου μὲν ἐκείνου ὁμώνυμος, οὐ μὴν συνώνυμος· οὐκ εἰμὶ Ἰωάννης, ἀλλὰ καλοῦμαι. οὕτω κἀκεῖνοι, οὐκ εἰσὶν ἄρχοντες, ἀλλὰ καλοῦνται· εἰσὶ δὲ ἐκεῖνοι ἄρχοντες καὶ χωρὶς τούτων. ὥσπερ καὶ ἰατρός, κἂν μὴ χρῆται τῇ ἐπιστήμῃ, ἔχει δὲ αὐτὴν ἐν τῇ ψυχῇ, ἰατρός ἐστιν. εἰσὶν ἄρχοντες ἑαυτῶν ἄρχοντες. τρία γὰρ ταῦτά ἐστι· ψυχή, οἰκία, πόλις, οἰκουμένη· καὶ ὁδῷ τὰ πράγματα προβαίνει. δεῖ

χ. πλείω
* ἡμᾶς
χ. ποιεῖται
χ. νομίζει
[ἐλ] ἀπὸ
μέγα. μέγα
χ. ψυχῆς

γρ. οἰκίας

τοίνυν τὸν μέλλοντα ἐπίστασθαι οἰκίας καὶ καλῶς αὐτὴν οἰκοδομήσειν, πρότερον τὴν ψυχὴν τὴν ἑαυτοῦ ῥυθμίζειν. οἰκία γὰρ αὕτη ἐστίν. Εἰ δὲ τὴν ἑαυτοῦ μὴ δύναιτο, ἔνθα μία ψυχή, ἔνθα κύριος αὐτός, ἔνθα ἀεὶ σύνεστιν ἑαυτῷ, πῶς τὰς ἄλλας οἰκοδομήσει; ὁ τὴν ψυχὴν τὴν ἑαυτοῦ ῥυθμίσαι δυνάμενος, καὶ τὸ μὴ ποιεῖν ἀρχήν, τὸ δὲ ἄρχεσθαι, οὗτος καὶ οἰκίαν δυνήσεται· ὁ δὲ οἰκίαν, καὶ πόλιν· ὁ δὲ πόλιν, καὶ οἰκουμένην. Εἰ δὲ ψυχὴν οὐκ ἂν δύναιτο, πῶς οἰκουμένην δυνήσεται; Ταῦτά μοι εἴρηται, ἵνα μὴ ὦμεν ἐπτοημένοι πρὸς ἀρχάς· ἵνα εἰδῶμεν τί ποτέ ἐστιν ἀρχή. τοῦτο γὰρ οὐκ ἀρχή, ἀλλὰ καπηλεία καὶ δουλεία, καὶ μυρία ἕτερα ἄν τις καλέσειεν. Εἰπέ μοι, τί ἐστιν ἄρχοντος ἴδιον; ἆρα οὐχὶ τὸ ὠφελεῖν τοὺς ἀρχομένους καὶ εὐεργετεῖν; τί οὖν ἂν τοῦτο μὴ δύνηται; πῶς ἑτέρους ὠφελήσει, ὁ ἑαυτὸν μὴ ὠφελήσας; ὁ μυρίας ἔχων τυραννίδας ἐν τῇ ψυχῇ τῶν παθῶν, πῶς τὰς ἑτέρων ἐκκόψει; οὕτω καὶ τρυφή· οὐκ αὐτὴ ἐστὶ τρυφή, ἀλλ' ἑτέρα. ὥσπερ γὰρ ὁ ἄρχων ἐδείχθη, οὐχ οὗτος, ἀλλ' ἕτερος· οὕτω καὶ ὁ τρυφῶν ἕτερός ἐστι. δοκεῖ μὲν γὰρ εἶναι τρυφή, τὸ τῆς ἡδονῆς ἀπολαύειν καὶ γαστρίζεσθαι· οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ τοὐναντίον, τὸ ψυχὴν ἔχειν θαυμαστὴν καὶ ἐν ἡδονῇ εἶναι. ἔστω γάρ τις ἐσθίων, πίνων, ἀσωτευόμενος· ἔπειτα φροντιζέτω καὶ ἀθυμείτω· μὴ δύναται οὗτος εἶναι ἐν τρυφῇ; οὐκ ἄρα τὸ ἐσθίειν καὶ πίνειν τρυφή, ἀλλὰ τὸ ἐν ἡδονῇ εἶναι. ἔστω τις ξηρὸν λαμβάνων ἄρτον, καὶ ἐμπιπλάσθω μετ' εὐφροσύνης· ἆρα τοῦτο ἡδονή, οὐκοῦν καὶ τρυφή. ἴδωμεν οὖν τίνι παραγίνεται αὕτη, τοῖς πλουτοῦσιν, ἢ τοῖς μὴ πλουτοῦσιν· οὔτε τούτοις ἁπλῶς, οὔτε ἐκείνοις, ἀλλὰ τοῖς οὕτω κατασκευάζουσι τὴν ψυχὴν τὴν ἑαυτῶν, ὥστε μὴ πολλὰς ἔχειν ἀθυμίας ὑποθέσεις. καὶ ποῖός ἐστιν οὗτος ὁ βίος; ἴσως ἐρεῖ τις· ὁρῶ γὰρ κεχηνότας ἅπαντας καὶ βουλομένους ἀκοῦσαι, τίς ἐστιν ὁ βίος οὗτος ὁ μὴ ἔχων ἀθυμίας. Οὐκοῦν ὁμολογείσθω παρ' ὑμῶν πρότερον, ὅτι τοῦτο ἡδονή, τοῦτο τρυφή, ὅταν ἀθυμία μὴ ἐνοχλῇ, καὶ μὴ ἀπαιτῇ παρ' ἐμοῦ κρέα καὶ οἶνον καὶ καρυκεύματα, καὶ ἱμάτια σηρικά, καὶ πλῆθος τραπέζης· ἀλλ' ἂν δείξω τούτων χωρὶς παρέχοντα τὸν βίον τὸν τοιοῦτον ταύτην τὴν ἡδονήν, ἀγάπησον τοῦτον τὸν βίον. τὰ γὰρ πολλὰ ἐκ τοῦ μὴ λογίζεσθαι δεόντως παραγίνεται ἡμῖν τῶν λυπηρῶν. τίς οὖν πλέον λυπηθήσεται· ὁ μηδενὸς αὐτῶν φροντίζων, ἢ ὁ φροντίζων; ὁ φοβούμενος τὰς μεταβολάς, ἢ ὁ μὴ φοβούμενος; ὁ βασκανίαν, ὁ φθόνον, ὁ συκοφαντίας, ὁ ἐπιβουλάς, ὁ ἀπώλειαν δεδοικώς· ἢ ὁ τούτων ἐκτός; ὁ πλειόνων δεόμενος, ἢ ὁ μηδενός; ὁ μυρίοις δουλεύων, ἢ ὁ μηδενί; ὁ μυρίων χρείαν ἔχων, ἢ ὁ ἐλεύθερος; ὁ ἕνα δεσπότην δεδοικώς, ἢ ὁ μυρίους; οὐκοῦν μείζων ἡ ἡδονὴ ἐνταῦθα. Ταύτην τοίνυν διώκωμεν, καὶ μὴ περὶ τὰ παρόντα ὦμεν ἐπτοημένοι· ἀλλὰ καταγελῶμεν πάσης τῆς τοῦ βίου φαντασίας, καὶ πανταχοῦ τῆς συμμετρίας ὦμεν, ἵνα δυνηθῶμεν ἄλυπον τὸν βίον τοῦτον διαγαγεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἡμῖν

γρ. ἐρῶμεν

Λογ. νγ. 30 ΑΝΕΣΤΗ ΔΕ Ο ΒΑΣΙΛΕΥΣ ΚΑΙ Ο ΗΓΕ-
ΜΩΝ, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς, 31 Καὶ ἀναχωρήσαντες
ἐλάλουν πρὸς ἀλλήλους λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν
πράσσει ὁ ἄνθρωπος οὗτος. 32 Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· ἀπο-
λελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

Ὅρα πῶς καὶ πάλιν ὑπὲρ αὐτοῦ ψηφίζονται, καὶ μετὰ τὸ εἰπεῖν, μηδὲν, ἀφιᾶσιν αὐτὸν, οὐ τοῦ θανάτου, ἀλλὰ καὶ τῶν δεσμῶν· καὶ τέλεον ἂν ἀφῆκαν αὐτὸν, εἰ μὴ Καίσαρα ἐπικέκλητο. ἀλλὰ τοῦτο οἰκονομικῶς γέγονεν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ μετὰ δεσμῶν ἀπελθεῖν. διὰ τοῦτο ἔλεγε, μέχρι δεσμῶν, ὡς κακοῦργος. εἰ γὰρ ὁ Κύριος αὐτοῦ μετὰ ἀνόμων ἐλογίσθη, πολλῷ μᾶλλον οὗτος. ἀλλ' ὥσπερ ἐκεῖνος οὐκ ἐκοινώνησε τῆς δόξης, οὕτως οὐδὲ οὗτος. τὸ γὰρ θαυμαστὸν τότε φαίνεται, τὸ ἀναμεμιγμένον τούτοις μηδὲν παρ' αὐτῶν βλάπτεσθαι.

β Τιμ. β. θ.
Μαρ. ιε. κη.

κεφ. κζ.

1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ σπείρας Σεβαστῆς.

2 Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως·

3 Τῇ δὲ ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα. Ὅρα μέχρι ποῦ συνέρχεται τῷ Παύλῳ καὶ Ἀρίσταρχος. καλῶς καὶ χρησίμως πάρεστιν ὁ Ἀρίσταρχος, μέλλων ἅπαντα ἀπαγγέλλειν εἰς Μακεδονίαν. Φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν.

4 Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. Ἐπέτρεψε, φησιν, Ἰούλιος, φιλανθρώπως τῷ Παύλῳ χρησάμενος. καλῶς ποιῶν τοῦτο ἐπιτρέπει, ὥστε ἐπιμελείας τυχεῖν ἀπελθόντα παρὰ τοὺς γνωρίμους. εἰκὸς γὰρ ἦν αὐτὸν ἀπὸ πολλῆς κακώσεως εἶναι τῶν δεσμῶν, τοῦ φόβου, τοῦ ἄγεσθαι καὶ φέρεσθαι. ὅρα πῶς οὐδὲ τοῦτο κρύπτει, ὅτι ἐβούλετο ἐπιμελείας τυχεῖν. πάλιν πειρασμοὶ, πάλιν ἄνεμοι ἐναντίοι. ὅρα διὰ παντὸς οὕτω τὸν βίον τῶν ἁγίων ὑφαινόμενον. ἐξέφυγε δὲ δικαστήριον, καὶ περιπίπτουσι ναυαγίῳ καὶ χειμῶνι, ὃ καὶ δηλῶν ἐπάγει·

χ. φίλους

5 Τό τε πέλαγος δὲ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας.

6 Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. Εὑρὼν πλοῖον, φησιν, Ἀλεξανδρῖνον. εἰκότως εὑρίσκεται, ὥστε κἀκείνους ἀπαγγεῖλαι εἰς τὴν Ἀσίαν τὰ κατὰ τὸν Παῦλον, καὶ τούτους εἰς τὴν Λυκίαν. ὅρα τὸν Θεὸν οὐδὲν χαρίζοντα, οὐδὲ μεταβάλλοντα, ἀλλὰ ἀφιέντα αὐτοὺς εἰς τοὺς ἀνέμους τοὺς ἀνεπιτηδείους πλεῖν. [ἀλλὰ καὶ οὕτω θαῦμα ἐργάζεται. ὥστε γὰρ ἀσφαλῶς πλεῖν,] οὐκ ἀφῆκαν αὐτοὺς εἰς πέλαγος, ἀλλ' ἀεὶ παρὰ γῆν ἔπλεον.

7 Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην,

8 Μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία.

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη τοῦ πλοὸς ἐπισφαλοῦς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος,

10 Λέγων αὐτοῖς· ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. 11 Ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις.

χ. φόρτου

Τὴν νηστείαν ἐνταῦθα, τὴν τῶν Ἰουδαίων λέγειν ἡγοῦμαι. μετὰ γὰρ τὴν πεντηκοστὴν ἐξῆλθεν ἐκεῖθεν μετὰ πολὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι παραγενέσθαι εἰς τὰ μέρη τῆς Κρήτης. καὶ τοῦτο δὲ οὐ μικρὸν θαῦμα, τὸ διασωθῆναι δι' αὐτὸν καὶ ἐκείνους. ἄνδρες,

χ. ἐξῆλθον

θεωρῶ

θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, φησὶν, οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ μὲν οὖν Παῦλος ἐκέλευσε μένειν, καὶ τὰ μέγιστα προλέγει· ἐκεῖνοι δὲ ἐπειγόμενοι, καὶ ὑπὸ τοῦ τόπου κωλυόμενοι, ἤθελον εἰς Φοίνικα παραχειμάσαι. καὶ σκόπει τὴν οἰκονομίαν. πρότερον μὲν ἦρεν τὸ σκάφος καὶ ἐξήρχετο· ἔπειτα, ὡς ἐνέπεσεν ἄνεμος, ἐδίδουν τῷ φέρεσθαι, καὶ μόλις ἐσώζοντο.

12 Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης, βλέποντα κατὰ Λίβα καὶ κατὰ Χῶρον.

13 Ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην.

14 Μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος Εὐροκλύδων.

χ. αὐτὴν

15 Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα.

16 Νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης.

17 Ἣν ἄραντες, βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὰ ἱστία, οὕτως ἐφέροντο.

χ. τὸ σκεῦος

18 Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο,

19 Καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν.

20 Μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινομένων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.

χ. -ρόντων

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν.

Ὅρα μετὰ τὸν τοσοῦτον χειμῶνα οὐκ ἐπεμβαίνων αὐτοῖς διαλέγεται, ἀλλὰ βουλόμενος κἂν εἰς τὸ μέλλον πιστευθῆναι. ὅθεν καὶ τὰ γεγενημένα παραλαμβάνει εἰς μαρτυρίαν τῆς τῶν ῥηθησομένων ἀληθείας. καὶ δύο προλέγει, ὅτι τε εἰς νῆσον ἐκπεσεῖν δεῖ, καὶ ὅτι τὸ μὲν πλοῖον ἀπολεῖται, τοὺς δὲ ἐνόντας σωθήσονται (ὅπερ οὐκ ἦν στοχασμοῦ, ἀλλὰ προφητείας) καὶ ὅτι αὐτὸν Καίσαρι δεῖ παραστῆναι. τὸ δὲ, κεχάρισταί σοι ὁ Θεὸς ἅπαντας, ὅπερ εἶπεν, οὐκ ἀλαζονείας ἐστὶν, ἀλλὰ βουλομένου προσαγαγέσθαι τοὺς ἐμπλέοντας. οὐχ ἵνα γὰρ αὐτῷ χάριν ἔχωσιν, ἀλλ' ἵνα πείθωνται τοῖς ὑπ' αὐτοῦ λεγομένοις, οὕτως εἶπε. τὸ δὲ, κεχάρισταί σοι ὁ Θεὸς, τῷ Παύλῳ εἴρηται. τοῦτο μονονουχὶ λέγοντι αὐτοῦ· ἄξιοι μὲν εἶσιν ἀποθανεῖν, ἐπειδὴ παρήκουσαν· πλὴν εἰς τὴν χάριν τὴν σὴν τοῦτο γέγονε. πολλῆς δὲ, φησὶν, ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· Ἔδει μὲν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν.

χ. ἐπιβαί-

22 Καὶ τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν. ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου.

23 Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ ἄγγελος τοῦ Θεοῦ, οὗ εἰμι, ᾧ καὶ λατρεύω,

24 Λέγων, μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι. καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.

25 Διὸ εὐθυμεῖτε, ἄνδρες. πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται, καθ' ὃν τρόπον λελάληταί μοι.

26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς, ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν.

κεφ. κζ.

28 Καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε·

29 Φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι.

30 Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρῴρας μελλόντων ἀγκύρας ἐκτείνειν,

31 Εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε.

32 Τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

Ἐνταῦθα δείκνυσιν ὅτι ἔμελλον οἱ ναῦται φεύγειν ἀπιστοῦντες τῷ λεγομένῳ. ὁ δὲ ἑκατόνταρχος πιστεύει σὺν τοῖς στρατιώταις. διὸ καί φησιν· ἐὰν οὗτοι φύγωσιν, ὑμεῖς σωθῆναι οὐ δύνασθε· οὐ διὰ τοῦτο εἰπών, ἀλλ' ἵνα κατάσχῃ αὐτούς, καὶ ἡ προφητεία μὴ διαπίπτῃ. ὥσπερ καθάπερ ἐν ἐκκλησίᾳ παιδευομένους αὐτοὺς τὴν Παύλου τὴν φιλοσοφίαν, ὅς καὶ ἐν μέσοις αὐτῶν σώζει τῶν κινδύνων. καὶ οἰκονομικῶς ἀπιστεῖται ὁ Παῦλος, ἵνα μετὰ τὴν πεῖραν τῶν πραγμάτων πιστευθῇ, ὅπερ οὖν καὶ γέγονε. καὶ παραινοῦντι πάλιν μεταλαβεῖν τροφῆς, καὶ πείθονται. καὶ αὐτὸς πρῶτος μεταλαμβάνει, οὐ λόγῳ, ἀλλὰ καὶ ἔργῳ πείθων, ὡς οὐδὲν ἔβλαψεν ὁ χειμών, ἀλλὰ μᾶλλον αὐτῶν τὰς ψυχὰς καὶ ὠφέλησεν. γρ. πῶς ἐκ μέσου αὐτῶν ἔσωσε τῶν

33 Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων, τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε μηδὲν προσλαβόμενοι·

34 Διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς. τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει. οὐδενὸς γὰρ ὑμῶν θρὶξ* τῆς κεφαλῆς πεσεῖται. γρ. παρακαλ. * ἐκ

35 Εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν.

35 Εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.

37 Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαί, διακόσιαι ἑβδομηκονταέξ.

38 Κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δυνατόν, ἐξῶσαι τὸ πλοῖον. γρ. δύναιντο

40 Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν.

41 Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν. καὶ ἡ μὲν πρῷρα ἐρείσασα, ἔμεινεν ἀσάλευτος· ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

Πάλιν πειρᾶται ὁ διάβολος ἐμποδίσαι τῇ προφητείᾳ, καὶ ἐβουλεύοντό τινας ἀνελεῖν. ἀλλ' οὐκ εἴασεν ὁ ἑκατόνταρχος, ἵνα τὸν Παῦλον σώσῃ. οὕτως ἤδη ᾠκειωμένος ἦν αὐτῷ. γρ. ἐβούλετο

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγῃ.

43 Ὁ δὲ ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾶν, ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι·

44 Καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

κεφ. κη. 1 Καὶ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται.

Ὁρᾷς

Ὁρᾷς ὅσον γέγονεν ἀγαθὸν ἀπὸ τοῦ χειμῶνος; οὐκ ἄρα ἐγκαταλείψεως ἦν ὁ χειμών. καὶ πῶς, φησὶν, ἔφερον ἄσιτοι ὄντες καὶ μηδενὸς μεταλαμβανόμενοι; ὁ φόβος κατεῖχεν αὐτοὺς, καὶ οὐκ εἴα εἰς ἐπιθυμίαν τροφῆς ἐμπεσεῖν, μέλλοντας ὑπὲρ τῶν ἐσχάτων κινδυνεύειν. τὸ μὲν οὖν γενόμενον, ἀπὸ τοῦ καιροῦ ἐγένετο· τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκ μέσων ἐσώθησαν τῶν κινδύνων, αὐτός τε καὶ δι' αὐτὸν οἱ λοιποί. καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν. τοῦτο εἶπε, τὴν βίαν δεῖξαι βουλόμενος, ἣν ὑπέμενον χειμαζόμενοι. πολλάκις γὰρ οὐχ οὕτω ποιοῦσι. διὸ καὶ κατήγαγον τὴν ὀθόνην· τουτέστι, τὰ ἱστία. ὅταν γὰρ σφοδρὸς ἄνεμος ᾖ, τοῦτο γίνεται, ἐγκόπτοντος τοῦ πνεύματος τὴν ῥύμην. ταῦτα δὲ πάσχουσιν ἐν τῷ Ἀδρίᾳ, ἔνθα τὸ σώζεσθαι χαλεπόν. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομηκονταέξ. καὶ πόθεν δῆλον ὅτι τοσοῦτοι ἦσαν οἱ συμπλέοντες; εἰκὸς ἦν αὐτοὺς ἐρωτᾷν τὴν αἰτίαν δι' ἣν πλέουσι, καὶ μαθεῖν πάντα. οἱ καὶ οὐδενὸς μετέλαβον ὅτι οὐκ ἦν αὐτοῖς φροντὶς τροφῆς, ἅτε οὐ περὶ τῶν τυχόντων ὄντος τοῦ κινδύνου. καὶ ὅρα πῶς οὐχ ἁπλῶς, οὐδὲ ἡ παρολκὴ τοῦ πλοὸς γέγονε τῷ Παύλῳ, οὐδὲ ἄχρηστος ὁ πλοῦς, ἀλλ' ἐποιεῖτο αὐτοῖς διδασκαλίας καιρόν. οὐ μικρὸν δὲ τοῦτο, εἴγε πάντες οὗτοι ἐπίστευσαν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, παρῄνει ὁ Παῦλος λέγων αὐτοῖς· ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ ζημίας μέλλει ἔσεσθαι τὸν πλοῦν. ὅρα δὲ ἄτυφον. ἵνα μὴ δόξῃ προφητεύειν, ἀλλ' ὡς ἀπὸ [τοῦ] στοχασμοῦ λέγει, θεωρῶ φησιν. οὐ γὰρ ἂν ἐδέξαντο εὐθέως, εἰ τοῦτο εἶπε. προειπὼν γοῦν προφητεύει καὶ λέγει, ὁ Θεὸς ᾧ λατρεύω· ἀνάγων αὐτούς. πῶς οὖν οὐκ ἐγένετο μετὰ ζημίας ψυχῶν; ἐγένετο ἄν, εἰ μὴ ὁ Θεὸς διέσωσεν. ὅσοι γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἀπώλοντο ἄν· ἀλλ' ὁ Θεὸς ἐκώλυσεν. ὁ δὲ ἑκατοντάρχης, φησὶ, τῷ κυβερνήτῃ μᾶλλον ἐπείθετο ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις. ἵνα δειχθῇ ὅτι οὐκ ἀπὸ στοχασμοῦ ταῦτα ἔλεγεν, ὁ κυβερνήτης τὰ ἐναντία λέγει, καὶ ταῦτα ἔμπειρος ὤν. οὕτως οὐκ ἀπὸ στοχασμοῦ ἦν τὰ λεγόμενα. ἀνευθέτου δὲ τοῦ λιμένος, φησὶν, ὑπάρχοντος. ὅρα, καὶ ὁ τόπος διδάσκει μὴ ἀπὸ στοχασμοῦ εἰπεῖν, ἀνεύθετος ὤν· μᾶλλον δὲ ἀπὸ στοχασμοῦ φαίνονται λέγοντες ἐκεῖνοι οἱ πλείους, οἳ καὶ βουλεύονται ἀναχθῆναι ἐκεῖθεν. ἀλλ' οὐδὲν αὐτοῖς πλέον ἐκ τούτου γέγονε. περιπίπτουσι γὰρ κλύδωνι, καὶ ἐκβολὴν ὧν ἐπεφέροντο, ποιοῦνται. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε· σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. ἵνα μὴ ἔχωσι μετὰ ταῦτα ἀντειπεῖν, ταῦτα συγχωρεῖται, καὶ χαλεπὸς χειμὼν ἐγείρεται, καὶ πολὺ τὸ σκότος γέγονε. εἶτα ἵνα μὴ ἀπόλωνται, καὶ ὁ σῖτος ῥίπτεται, καὶ πάντα. τοῦτο γάρ ἐστι, τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, εἶπεν ὁ Παῦλος· ἔδει πειθαρχήσαντάς μοι κερδῆσαι τὴν ζημίαν. εἶδες πῶς οὐ μικρὰ πρὸς τὴν ἀκρόασιν συνεβάλετο καὶ ὁ χειμὼν καὶ τὸ σκότος; καὶ ὅρα πῶς πείθεται ὁ ἑκατόνταρχος, ὥστε καὶ τὴν σκάφην ἀφεῖναι καὶ ἀπολέσαι. εἰ δὲ οἱ ναῦται οὐδέπω ἐπείσθησαν, ἀλλ' ὕστερον πείθονται, μὴ θαυμάσῃς. καὶ γὰρ τὸ γένος τὸ τούτων ἰταμόν πως ἐστὶ καὶ σκληρὸν πρὸς τὸ πείθεσθαι. σὺ δέ μοι σκόπει τὴν σύνεσιν καὶ ἐντεῦθεν τοῦ Παύλου. οὐ γὰρ ἐπιτιμᾷ καὶ τραχύνεται· ἀλλ' ἡμέρως, οὕτως ἔδει, φησίν. ᾔδει γὰρ ὅτι οὐκ ἔστιν εὐπαράδεκτος ἐγκαλῶν τις ἐν συμφορᾷ· ἀλλ' ὅταν καὶ τὰ πλείονα παρατρέχῃ τῆς συμφορᾶς, τότε εὐπαράδεκτος γίνεται. τότε τοίνυν ἐπιτίθεται, ὅτε πᾶσα ἡ ἐλπὶς τοῦ σωθῆναι περιῃρέθη· τότε καὶ τὰ χρηστὰ προλέγει. ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, φησὶ, φοβούμενοι ηὔχοντο ἡμέραν γενέσθαι. ἵνα μή τις εἴπῃ ὅτι οὐδὲν γέγονε, τοῦτο ἐπήγαγε, δεικνὺς πάντα γεγονότα. ὅτι δὲ γέγονε, καὶ ὁ φόβος μαρτυρεῖ. ηὔχοντο γάρ, φησιν, ἡμέραν γενέσθαι φοβούμενοι. καὶ ὁ τόπος χαλεπός· κατὰ γὰρ τὸν Ἀδρίαν ταῦτα συμβαίνει· καὶ ἡ ἀσιτία ἡ πολλή· τεσσαρεσκαιδεκάτην γὰρ σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε. ὥστε ἐξ ἁπάντων ἐν μέσῳ ἦσαν θανάτου. διὸ καὶ ἐπάγει· παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς.

τοῦτο

γ. κατεῖχον τοὺς οἴακας ἢ πνεύσῃ ἄνεμος· τοῦτο γ. κατέφερον ὁ ἄνεμος. γ. ἐγκόπτοντος τὸ ῥεῦμα. γ. ἔστιν σωθῆναι χαλεπώτατον. γ. τῶν ψυχῶν αὐτῶν ὄντες ὀλίγοι γ. παρέχει τῷ Παύλῳ λέγειν.

γ. ὅτε καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον

τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· τουτέστι, μήποτε τῷ λιμῷ διαφθαρῆτε, τροφῆς μεταλάβετε. λαβὼν δὲ ἄρτον, φησὶν, εὐχαρίστησε τῷ Θεῷ. ὅρα, τὸ εὐχαριστῆσαι αὐτὸν ἐπὶ τοῖς γεγενημένοις, οὐ μόνον αὐτοὺς ἐπέρρωσεν, ἀλλὰ καὶ εὐθύμους ποιεῖ. ἦμεν δὲ, φησὶ, πᾶσαι αἱ ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι ἑβδομηκονταέξ. περὶ τούτων ἔλεγεν· ἀποβολὴ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν. τοῦτο πεπληροφορημένης ψυχῆς, τὸ εἰπεῖν ὅτι σωθήσονται. κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον. ὅρα, μετὰ τὸ κορεσθῆναι τροφῆς ἐπίστευσαν· καὶ οὐ τοῦτο μόνον, ἀλλ' οὕτω λοιπὸν τὸ πᾶν ἔρριψαν ἐπὶ τὸν Παῦλον, ὡς καὶ τὸν σῖτον ἐκβαλεῖν*. ὅρα αὐτοὺς καὶ τὰ ἀνθρώπινα ποιοῦντας, καὶ οὐ κωλύοντα τὸν Παῦλον. ὅτε δὲ, φησὶν, ἡμέρα ἐγένετο, ἀρχὴ τῆς σωτηρίας. διαλύεται τὸ πλοῖον ἐν ἡμέρᾳ, ἵνα μὴ τῷ φόβῳ διαλυθῶσιν, ἵνα ἴδῃς ἔργῳ τὴν προφητείαν. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν. ὁρᾷς ὅσα κατὰ τοῦτο τῷ Παύλῳ ἐχαρίσατο; διὰ γὰρ αὐτὸν οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναι ὁ ἑκατόνταρχος. οὕτω μοι δοκοῦσιν ὁμολογημένοι εἶναι κακοῦργοι ἐκεῖνοι, ὥστε ἐλέσθαι αὐτοὺς καὶ ἀνελεῖν· ἀλλ' οὐδὲν πλέον γέγονε τοῦ βουλήματος κωλυθέντος. ἀλλ' οἱ μὲν ἐξεκολύμβησαν, οἱ δὲ ἐπὶ σανίδων ἐφέροντο, καὶ πάντες οὕτως ἐσώθησαν, καὶ ἡ προφητεία τέλος ἐλάμβανεν, εἰ καὶ μὴ τῷ χρόνῳ σεμνή τις οὖσα. οὐ γὰρ περὶ πολλῶν ἐτῶν αὐτὴν προεῖπεν, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος. ἀνέλπιστα γὰρ ἦν πάντα, καὶ διὰ τῆς οἰκείας σωτηρίας ἐμάνθανον τίς ὁ Παῦλος ἦν. ἀλλ' εἴποι ἄν τις· διατί μὴ καὶ τὸ πλοῖον διέσωσεν; ἵνα μάθωσιν οἷον κίνδυνον διέφυγον· ὅτι οὐκ ἀνθρωπίνης βοηθείας ἦν τὸ πᾶν, ἀλλὰ τῆς τοῦ Θεοῦ χειρὸς χωρὶς πλοίου σωζούσης.

ΗΘΙΚΟΝ

Ὥστε οἱ δίκαιοι, κἂν ἐν χειμῶνι ὦσι, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πελάγει, οὐδὲν πάσχουσι δεινόν, ἀλλὰ καὶ ἑτέρους συνδιασώζουσιν. εἰ πλοῖον κινδυνεῦον καὶ ναυάγιον ὑπομεῖναν, καὶ δεσμῶται διὰ Παῦλον ἐσώθησαν, ἐννόησον τί ἐστιν ἅγιον ἄνδρα εἶναι ἐν οἰκίᾳ. πολλοὶ γὰρ οἱ χειμῶνες καὶ ἡμῖν ἐφίστανται, καὶ πολλῷ τούτων χαλεπώτεροι· ἀλλὰ δύναται καὶ ἡμᾶς ὁ Θεὸς χαρίσασθαι, μόνον ἐὰν πειθώμεθα τοῖς ἁγίοις, καθάπερ ἐκεῖνοι, ἂν ποιῶμεν ἃ προστάττουσιν. οὐ γὰρ ἁπλῶς σώζονται, ἀλλὰ καὶ αὐτοὶ πίστιν εἰσηνέγκαν. κἂν δέσμιος ᾖ ὁ ἅγιος, τῶν λελυμένων μείζονα ἐργάζεται. καὶ σκόπει τοῦτο ἐν τοῖς γεγενημένοις. ὁ λελυμένος ἑκατόνταρχος αὐτοῦ ἐδεῖτο τοῦ δεδεμένου· ὁ ἐπιστήμων κυβερνήτης τοῦ μὴ κυβερνήτου ἔχρῃζε, μᾶλλον δὲ τοῦ ὄντως κυβερνήτου. οὐ γὰρ τοιοῦτον ἐκυβέρνα σκάφος, ἀλλὰ τῆς οἰκουμένης τὴν ἐκκλησίαν, παρ' ἐκείνου μαθὼν τοῦ καὶ θαλάσσης δεσπότου, οὐκ ἀνθρωπίνῃ τέχνῃ, ἀλλὰ πνευματικῇ σοφίᾳ. ἐν τῷ σκάφει τούτῳ πολλὰ ναυάγια, πολλὰ κύματα, πνεύματα πονηρίας, ἔσωθεν μάχαι, ἔξωθεν φόβοι· ὥστε ὁ ὄντως κυβερνήτης ἐκεῖνος ἦν. ὅρα δὲ τὸν βίον ἡμῶν ἅπαντα πῶς τοιοῦτός ἐστι. ποτὲ μὲν γὰρ φιλανθρωπίας ἀπολαυόμεν, ποτὲ δὲ χειμῶνος, ποτὲ καὶ παρὰ οἰκείαν ἀβουλίαν, καὶ παρὰ τὸ ῥᾳθυμεῖν μυρίοις ἐμπίπτομεν κακοῖς· μᾶλλον δὲ τοῦτο γίνεται παρὰ τὸ μὴ ἀκούειν Παύλου, ὅταν ἐπειγώμεθα ἀπελθεῖν, ἔνθα μὴ κελεύει. συμπλεῖ γὰρ καὶ νῦν ἡμῖν· ἀλλ' οὐ δεδεμένος καθάπερ τότε· παραινεῖ καὶ νῦν, καὶ λέγει τοῖς ἐν τῇ θαλάττῃ ταύτῃ, Προσέχετε ἑαυτοῖς· εἰσελεύσονται γὰρ μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς· καὶ πάλιν· Ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες. τοῦτο πάντων χαλεπώτεροι τῶν πνευμάτων. μένωμεν οὖν ἔνθα κελεύει ἐπὶ τῆς πίστεως, ἐπὶ τοῦ λιμένος τοῦ ἀσφαλοῦς· αὐτοῦ μᾶλλον ἀκούωμεν, ἢ τοῦ κυβερνήτου τοῦ ἐν ἡμῖν· τουτέστι, τοῦ λογισμοῦ. μὴ, ἅπερ ἂν ὑποβάλλῃ οὗτος, ποιῶμεν· μὴ ἅπερ ὁ ναύκληρος· ἀλλ' ἅπερ ἂν ὁ Παῦλος· μυρίους τοιούτους διῆλθε χειμῶνας. μὴ τῇ πείρᾳ μανθάνωμεν, ἀλλὰ πρὸ τῆς πείρας κερδαίνωμεν καὶ ὕβριν καὶ ζημίαν. ἄκουσον τί φησιν· Οἱ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν. πειθώμεθα τοίνυν αὐτῷ, ἐπεὶ καὶ ἐκεῖνοι μὴ πεισθέντες, ὁρᾶτε τί ἔπαθον. καὶ πάλιν ἑτέρωθι λέγει περὶ ναυαγίων· Οἵ-

τινές,

β. Κορ. ζ. ε.

Πράξ. κ. κθ.

β. Τιμ. γ. β.

α Τιμ. ς. θ.

α. Τιμ. α. ιθ.

γρ. στ(?)

γρ. ὀργᾶς καὶ τὸ λοιπὸν τὸ ... μὴ ... ἀλλ' ἕως * τοιούτους ὄντας

τινές, φησιν, ἐναυάγησαν περὶ τὴν πίστιν· σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. πειθώμεθα Παύλῳ· κἂν ἐν μέσῳ ὦμεν χειμῶνι, πάντως ἀπαλλαγησόμεθα τῶν κινδύνων· κἂν τεσσαρεσκαίδεκα ἡμέρας ἄσιτοι διαμένωμεν· κἂν ἡ ἐλπὶς τῆς σωτηρίας ἐκπέσῃ· κἂν ἐν σκότῳ ὦμεν καὶ ζόφῳ, πειθόμενοι αὐτῷ, ἀπαλλαγησόμεθα τῶν κινδύνων. πλοῖον εἶναι νομίζωμεν τὴν οἰκουμένην πᾶσαν, καὶ ἐν τούτῳ τοὺς μὲν κακούργους, καὶ μυρία ἐργαζομένους δεινά· τοὺς μὲν ἄρχοντας· τοὺς δὲ φύλακας· τοὺς δὲ δικαίους, οἷος Παῦλος· ἑτέρους δὲ δεσμίους, ταῖς ἁμαρτίαις δεδεμένους. ἂν μὲν οὖν Παύλῳ πειθώμεθα, οὐ δεδεμένοι ἀπολλύμεθα, ἀλλὰ καὶ λυόμεθα. χαρίζεται καὶ ἡμᾶς αὐτῷ ὁ Θεός. ἢ οὐκ οἴει δεσμὸν εἶναι χαλεπὸν τὰ ἁμαρτήματα καὶ τὰ πάθη; οὐ γὰρ αἱ χεῖρες μόνον εἰσὶ δεδεμέναι, ἀλλ' ὁ πᾶς ἄνθρωπος. εἰπὲ γάρ μοι, ὅταν τις χρήματα πολλὰ κεκτημένος μὴ ἀναλίσκῃ, μηδὲ δαπανᾷ, ἀλλὰ κατέχῃ, οὐχὶ παντὸς δεσμίου χαλεπώτερον τῇ φειδωλίᾳ δεσμεῖται δεσμῷ ἀρραγεῖ; τί δαί, ὅταν τις εἱμαρμένῃ ἑαυτὸν ὑποβάλλῃ; οὐχὶ πάλιν ἄλλοις τοῖς δεσμοῖς δέδεται; τί δαί ὅταν παρατηρήσεσι; τί δαί ὅταν συμβόλοις; οὐχὶ πάντως δεσμῶν ταῦτα χαλεπώτερα; τί δαί ὅταν ἐπιθυμίᾳ ἀλόγῳ καὶ ἔρωτι; τίς διαρρήξει τούτους ἡμῶν τοὺς δεσμούς; τοῦ Θεοῦ χρεία, ὥστε λυθῆναι. καὶ εἰ μὲν τούτων ἕνεκα κίνδυνοι ἐμποιῆσαι· ὅταν δὲ καὶ δεσμὰ καὶ χειμών, ἐννόησον ὅσον ἐστὶ τῶν κινδύνων. τί γὰρ οὐχ ἱκανὸν διαφθεῖραι; οὐχ ὁ λιμός; ὁ χειμών; ἡ κακία τῶν ἐμπλεόντων; καὶ τοῦ καιροῦ ἀνεπιτήδειον; ἀλλὰ πρὸς ταῦτα πάντα ἐστὶν ἡ λαμπρότης Παύλου. οὕτω δὴ καὶ νῦν κατεχόμεθα παρ' ἑαυτοῖς τοὺς ἁγίους, καὶ οὐκ ἔσται χειμών· μᾶλλον δὲ κἂν ᾖ χειμών, ἔσται εὐδία καὶ γαλήνη πολλή, καὶ ἀπαλλαγὴ τῶν κινδύνων. ἐπεὶ τὸν ἅγιον εἶχε φίλον ἡ χήρα ἐκείνη, καὶ ὁ θάνατος ἐλύθη τοῦ παιδίου, καὶ τὸν παῖδα πάλιν ζῶντα ἀπελάμβανεν. ἔνθα πόδες ἁγίων ἐπιβαίνουσιν, οὐδὲν ἔσται λυπηρόν· κἂν γένηται, πρὸς δοκιμὴν καὶ πρὸς μείζονα δόξαν τοῦ Θεοῦ. ἐπίσημον δὲ ἔδαφος τῆς οἰκίας ὑπὸ τοιούτων πατεῖσθαι ποδῶν· καὶ οὐ πατήσει δαίμων ἐκεῖ· καὶ μάλα εἰκότως. ὥσπερ γὰρ ἔνθα ἂν εὐωδία ᾖ, οὐχ ἕξει χώραν δυσωδία, οὕτω καὶ ἔνθα μύρον ἐστὶ τὸ ἅγιον, ἀποπνίγεται δαίμων, εὐφραίνει τοὺς συνόντας, διεγείρει ψυχὴν καὶ ἀνίησιν. ἔνθα ἄκανθαι, ἐκεῖ θηρία· ἔνθα φιλοξενία, οὐκ εἰσὶν ἄκανθαι. ἡ γὰρ ἐλεημοσύνη εἰσελθοῦσα παντὸς δρεπάνου τομώτερον αἴρει τὰς ἀκάνθας, παντὸς πυρὸς σφοδρότερον. μὴ φοβηθῇς. αἰδεῖται τὰ ἴχνη τῶν ἁγίων, καθάπερ λέοντας ἀλώπεκες. Δίκαιος γάρ, φησιν, ὡς λέων πέποιθεν. Παροιμ. κη α εἰσαγάγωμεν τούτους τοὺς λέοντας εἰς τὴν οἰκίαν, καὶ πάντα φυγαδεύεται τὰ θηρία, οὐ βοώντων αὐτῶν μεγάλα, ἀλλ' ἁπλῶς φθεγγομένων. οὐ γὰρ βρυχηθμὸς λέοντος οὕτω φυγαδεύει τὰ θηρία, ὡς εὐχὴ δικαίου φυγαδεύει δαίμονας· ἂν φθέγξηται μόνον, καταπεπλήχασι. καὶ ποῦ τοιοῦτοι, φησίν, εἰσί; πανταχοῦ, ἂν πιστεύωμεν ἡμεῖς, ἂν ζητῶμεν, ἂν περιεργαζώμεθα. ποῦ ἐζήτησας, εἰπέ μοι; πότε τοῦτο ἔργον ἔσχες; πότε πρᾶγμα τοῦτο ἔθου; εἰ δὲ οὐ ζητεῖς, μὴ θαυμάσῃς ὅτι οὐχ εὑρίσκεις. ὁ γὰρ ζητῶν εὑρίσκει, οὐχ ὁ μὴ ζητῶν. ἄκουσον τοὺς ἐν ταῖς ἐρημίαις ὄντας· ἀπάγαγε χρυσίον καὶ ἀργύριον. πανταχοῦ τῆς οἰκουμένης εἰσί. κἂν μὴ ἐν τῇ οἰκίᾳ δέξῃ, ἄπελθε σὺ πρὸς αὐτούς· συγγενοῦ τῷ ἀνδρί· πρὸς δὲ οἴκημα ἐλθοῦ δὲ ἐκείνου, ἵνα δυνηθῇς ἐπιτυχεῖν καὶ τῆς παρ' αὐτοῦ εὐλογίας ἀπολαῦσαι. μεγάλη γὰρ ἡ παρὰ τῶν ἁγίων εὐλογία, ἧς ἐπιτυχεῖν σπουδάζωμεν, ἵνα διὰ τῶν εὐχῶν τούτων βοηθούμενοι, τῆς παρὰ τοῦ αὐτοὺς ἐνδυναμοῦντος Θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. τεσσαρεσκαίδεκα ἡμέρας

Λογ. ιη. 2 ΟΙ ΔΕ ΒΑΡΒΑΡΟΙ ΠΑΡΕΙΧΟΝ ΟΥ ΤΗΝ τυχοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος.

3 Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης διεξελθοῦσα, καθήψατο τῆς χειρὸς αὐτοῦ. γ. -ψε

Ὡς παρέσχον τὴν φιλανθρωπίαν οἱ βάρβαροι, ἑρμηνεύων. ἀνάψαντες γάρ, φησι, πυρὰν, προσελάβοντο πάντας ἡμᾶς· ἐπεὶ οὐδὲν ὄφελος ἀλλ' ἀχθεῖν τῆς σωτηρίας ἦν, τοῦ χειμῶνος μέλλοντος αὐτοὺς διαφθείρειν. ἀνάπτουσι τὴν πυράν. Εἶτα ὁ Παῦλος λαβὼν φρύγανα, ἐπιτίθησιν ἐπὶ τὴν πυράν· ὃ καὶ ἐπάγει λέγων, συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος. ὅρα αὐτὸν ἐνεργοῦντα, καὶ οὐδαμοῦ θαυματουργοῦντα ἁπλῶς, ἀλλ' ἀπὸ χρείας. καὶ ἐν τῷ χειμῶνι γὰρ αἰτίας οὔσης προεφήτευσεν. ἀλλ' οὐχ ἁπλῶς, καὶ ἐνταῦθα πάλιν φρύγανα συλλέγει καὶ ἐπιτίθησιν. ὅρα οὐδὲν τετυφωμένον ποιοῦντα, οὐδὲ περιττόν· ἀλλ' ὥστε διαθερμᾶναι αὐτούς, καὶ θέρμης πιὸς ἀπολαῦσαι. Εἶτα ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα, τῆς χειρὸς αὐτοῦ ἅπτεται. καὶ ὅτι ἥψατο, δηλοῖ ποιῶν τοῦτο ἐκ τῆς ἐπαγωγῆς λέγων·

4 Ὡς δὲ εἶδον οἱ βάρβαροι τὸ θηρίον κρεμάμενον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασε. Καλῶς καὶ τοῦτο συνεχωρήθη, ὥστε καὶ ἰδεῖν αὐτοὺς καὶ φθέγξασθαι ταῦτα, ἵνα ὅταν γένηται, μὴ ἀπιστῆται τὸ θαῦμα. ὅρα τὴν φυσικὴν κρίσιν διηρθρωμένην καὶ παρὰ βαρβάροις, καὶ αἰδεσίμως αὐτοὺς πρὸς ἀλλήλους λέγοντας, καὶ μηδὲ καταγινώσκοντας ἁπλῶς. οὕτω καὶ οὗτοι περίεργοι βλέπουσιν, ἵνα μᾶλλον θαυμάσωσιν. γ. ἀπὸ τοῦ θαύματ.

5 Ὁ μὲν οὖν ἀποτιναξάμενος τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. γ. -νάξας

6 Οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον Θεὸν αὐτὸν εἶναι. Προσεδόκων αὐτόν, φησι, πίπτειν νεκρόν· καὶ πάλιν θεασάμενοι ὅτι οὐδὲν κακὸν ἔπαθε, λέγουσιν ὅτι Θεός ἐστι. πάλιν ἄλλη τούτων ὑπερβολὴ τιμῆς, ὥσπερ καὶ τῶν ὄχλων τῶν ἐν Λυκαονίᾳ. γ. οἱ ἐνόμιζον αὐτ. πίμπρασθαι· τουτέστι, διαῤῥήγνυσθαι·

7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον χωρία ὑπῆρχε τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς ἡμέρας τρεῖς, φιλοφρόνως ἐξένισεν. Ἰδοὺ πάλιν ἄλλος φιλόξενος ὁ Πόπλιος, καὶ πλούσιος καὶ εὐπορώτατος. οὗτος οὐδὲν ἰδών, ἀλλ' ἀπὸ τῆς συμφορᾶς μόνης ἐλεήσας αὐτοὺς, ὑπεδέξατο καὶ ἐθεράπευσεν.

8 Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι, πρὸς ὃν ὁ Παῦλος εἰσελθών, καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν.

Ὥστε ἄξιος ἦν τοῦ παθεῖν καλῶς. διὸ καὶ ἀμοιβὴν αὐτῷ ἀποδιδοὺς τῆς ὑποδοχῆς, ἰάσατο αὐτόν. γ. ὑπο.

9 Τούτου δὲ γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθεραπεύοντο· γ. ἀσθενεῖς

10 Οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν·

Τουτέστι, καὶ ἡμῖν ἔδωκαν ἀναγομένοις τὰ πρὸς τὴν χρείαν, καὶ τοῖς ἄλλοις. ὅρα αὐτοὺς οὐδὲ τοῦ χειμῶνος ἀπαλλαγέντας, μένοντας ἀτιμωρήτους, ἀλλὰ καὶ τὴν ὑποδοχὴν φιλότιμον γ. ἀμελεστέρους γενομένους

λοιπὸν διημερεύειν δι' αὐτόν. τρεῖς γὰρ μῆνας ἦσαν ἐκεῖ τρεφόμενοι πάντες. καὶ ὅτι τοσοῦτον χρόνον ἐποίησαν, ἄκουε πῶς τοῦτο ἑρμηνεύων, ἐπάγει.

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις.

12 Καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς.

13 Ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους.

14 Οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν.

15 Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ Θεῷ, ἔλαβε θάρσος. Ὅρα διὰ Παῦλον πάντα γινόμενα ταῦτα, ὥστε πιστεῦσαι τοὺς δεσμώτας, τοὺς στρατιώτας, τὸν ἑκατόνταρχον. εἰ γὰρ καὶ αὐτοὶ λίθινοι ἦσαν, καὶ δι' ὧν συμβουλεύσαντος ἤκουσαν, καὶ δι' ὧν προειπόντος, καὶ δι' ὧν θαυματουργήσαντος, καὶ δι' ὧν θρέψαντος ἀπήλαυσαν, μεγάλα ἂν ἐφιλοσόφησαν περὶ αὐτοῦ. ὅρα ὅτι ἡ μὲν ὀρθὴ κρίσις ἦν, καὶ μὴ προκατειλημμένη παρά τινι, πῶς εὐθέως λαμβάνει τὰς κρίσεις τὰς ὀρθὰς, καὶ τὰς ψήφους διεφθαρμένας. ἤδη καὶ τῆς Σικελίας τὸ κήρυγμα ἥψατο. οὕτω διέδραμε καὶ ἐν Ποτιόλοις, ἔνθα καὶ ἀδελφούς τινας εὑρόντες ἐπιμένουσι παρ' αὐτοῖς. εἶτα καὶ ἄλλοι κατὰ φήμην αὐτοῖς ἀπαντῶσι. τοσαύτη ἦν ἡ προθυμία τῶν ἀδελφῶν, ὅτι οὐκ ἐθορύβησεν αὐτοὺς τὸ ἐν δεσμοῖς εἶναι τὸν Παῦλον, ἀλλ' ἐξῆλθον εἰς ἀπάντησιν. ὅρα δέ μοι αὐτὸν καὶ ἀνθρώπινόν τι παθόντα. θάρσος γὰρ, φησιν, ἔλαβεν ἰδὼν τοὺς ἀδελφούς. καίτοι τοσαῦτα σημεῖα ἐργασάμενος, ἀλλ' ὅμως ἔλαβε καὶ ἀπὸ τῆς ὄψεως παραμυθίαν. ἀπὸ τούτου μανθάνομεν ὅτι καὶ ἀνθρωπίνως παρεκαλεῖτο, καὶ τοὐναντίον.

16 Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ἐπετράπη τῷ Παύλῳ μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. Ὁρᾷς ὅτι συνεχωρήθη αὐτῷ καθ' ἑαυτὸν μένειν. οὐ μικρὸν καὶ τοῦτο τεκμήριον τοῦ πάνυ θαυμασθῆναι αὐτόν. οὐ γὰρ δὴ μετὰ τῶν ἄλλων εἴργμενον αὐτόν.

17 Ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους.

Μετὰ τρεῖς ἡμέρας ἐκάλεσε τοὺς πρώτους τῶν Ἰουδαίων, ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς. καὶ τί κοινὸν πρὸς ἐκείνους εἶχεν; οὐ γὰρ ἂν αὐτοὶ ἔμελλον κατηγορήσειν αὐτοῦ. ἀλλ' ὅμως οὐ τούτου ἐφρόντιζεν· ἀλλὰ ἵνα τοῦτο διδάξῃ, καὶ μὴ προσέχωσιν αὐτοῖς τὰ λεγόμενα. οἱ μὲν οὖν Ἰουδαῖοι τοσαῦτα ὁρῶντες θαύματα ἐδίωκον, ἤλαυνον· οἱ δὲ βάρβαροι οὐδὲν θεασάμενοι, ἀπὸ μόνης τῆς συμφορᾶς φιλάνθρωποι ἦσαν. πάντως, φησὶ, φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος. οὐχ ἁπλῶς ἀποφαίνονται, ἀλλὰ πάντως, φασί· τουτέστιν, ὡς ἔνεστιν ἰδεῖν. καὶ ἡ δίκη, φησὶ, ζῆν οὐκ εἴασεν αὐτόν. ἄρα καὶ τὸν περὶ προνοίας λόγον εἶχον, καὶ πολλῷ τῶν φιλοσόφων οὗτοι οἱ βάρβαροι φιλοσοφώτεροι ἐτύγχανον. αὐτοὶ μὲν γὰρ οὐκ ἀφιᾶσι προνοίας ἀπολαύειν τὰ ὑπὸ σελήνην· οἱ δὲ καὶ πανταχοῦ νομίζουσι παρεῖναι τὸν Θεόν· καὶ ὅτι κἂν πολλά τις διαφύγῃ, οὐ διαφεύξεται εἰς τέλος. καὶ ὅρα πῶς οὐκ ἐπιπηδῶσι δὲ ἀλλ' αἰδοῦνταί πως διὰ τὴν συμφορὰν· οὐδὲ ἐκπομπεύουσιν, ἀλλὰ πρὸς ἀλλήλους λέγουσι. τὰ γὰρ δεσμὰ τοῦτο ἐδίδασκεν ὑποπτεύειν. [καίτοι δεσμῶται ἦσαν.] αἰσχυνέσθωσαν οἱ λέγοντες, μὴ εἶναι τοὺς ἐν ταῖς φυλακαῖς· αἰσχυνθῶμεν τοὺς βαρβάρους. οὐ γὰρ ᾔδεισαν τίνες ἦσαν ἐκεῖνοι, ἀλλ' ἀπὸ τῆς συμφορᾶς μόνον, ὅτι ἄνθρωποι ἦσαν, ἐμάνθανον. διὸ καὶ φιλανθρωπίας ἠξίωσαν αὐτούς. ἐπὶ πολὺ δὲ, φησι, προσδοκώντων αὐτῶν, τουτέστιν, ὡς πολὺν χρόνον ἀνέμενον ἀποθανεῖσθαι. ὁ δὲ τὸ θηρίον ἐξετίναξεν εἰς τὸ πῦρ καὶ

τὴν

τὴν χεῖρα ἔδειξε παθοῦσαν μηδέν. τοῦτο ἰδόντες καὶ ἐξεπλάγησαν καὶ ἐθαύμασαν. οὐκ ἐγένετο δὲ τὸ σημεῖον εὐθέως, ἀλλὰ τῷ χρόνῳ ἐνδιέτριψαν οἱ ἄνθρωποι, ὥστε μὴ δόξαι φαντασίας εἶναι. οὕτως οὐκ ἦν ἀπάτη, οὐκ ἦν συναρπαγή. Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς φιλοφρόνως ἐξένισε. καλῶς οὕτως εἶπε. φιλοφροσύνης γὰρ μεγάλης, διακοσίας ἑβδομήκοντα ἓξ ξενίσαι ψυχάς. ἐννόησον τῆς φιλοξενίας ὅσον τὸ κέρδος. οὐχ ὡς ἀνάγκης οὔσης, οὐδὲ ὡς ἄκων, ἀλλ' ὡς κέρδος τιθέμενος, τρεῖς ἡμέρας ἐξένισεν αὐτούς. εἶτα καὶ ἀμοιβὴν τῆς τοιαύτης φιλοξενίας εἰκότως λαμβάνει, καὶ πολλῷ μείζονα ἢ ἔδωκε. τὸν γὰρ πατέρα αὐτοῦ θεραπεύει ὑπὸ δυσεντερίας κακῶς πάσχοντα· οὐ μόνον δὲ αὐτόν, ἀλλὰ καὶ πολλοὺς ἔχοντας ἀσθενείας τῶν αὐτῶν ἄξιοι· οἳ καὶ ἀμειβόμενοι, τιμαῖς αὐτὸν καὶ χορηγίαις δωροῦνται. τοῦτο δὲ δῆλον ποιῶν ἐπάγει· οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

Matth. 10. οὐχὶ μισθὸν ἔλαβε; μὴ γένοιτο· ἀλλὰ τὸ γεγραμμένον πληροῦται, Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οἱ δὲ οὕτως αὐτὸν ὑποδεξάμενοι, εὔδηλον ὅτι καὶ τὸν λόγον ἐδέξαντο τοῦ κηρύγματος. οὐ γὰρ ἂν ἐν τριμήνῳ τοσαῦτα διελέχθη, μὴ σφόδρα αὐτῶν πιστευσάντων, καὶ καρποὺς ἐπιδειξαμένων· ὥστε ἀπὸ τούτου τεκμήριον μέγα τοῦ πλήθους τῶν πιστευσάντων ἐστὶν ἰδεῖν. Καὶ ἀνήχθημεν, φησίν, ἐν πλοίῳ Ἀλεξανδρίνῳ, παρακεχειμακότι ἐν τῇ νήσῳ, παρασήμῳ Διοσκούροις. ἴσως τοῦτο ἦν γεγραμμένον ἐν αὐτῷ· οὕτως ἦσαν κατείδωλοι. ὅρα ἐνδιατρίβοντας*. τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτόν. λοιπὸν αἰδέσιμος οὕτως ἦν ὁ Παῦλος, ὡς καὶ συγχωρεῖσθαι καθ' ἑαυτὸν εἶναι, καὶ ξένον οὐδέν. εἰ γὰρ καὶ περὶ τούτου φιλανθρώπως ἐχρήσαντο αὐτῷ, πολλῷ μᾶλλον ἐκεῖ. Καὶ ἐπιγενομένου, φησί, νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά. καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν, ἄχρις Ἀππίου φόρου καὶ τριῶν ταβερνῶν. ὅτι φοβηθέντες τὸν κίνδυνον ἐξῆλθον, καὶ ταῦτα ἱκανὰ ἐκείνους πιστώσασθαι. ὅρα πῶς οὐδαμοῦ πόλει προσέσχον ἐν τοσούτῳ πλῷ· ἀλλὰ νήσῳ, καὶ τὸν χειμῶνα ὁλόκληρον διήγαγον πλέοντες, ἐκείνων ῥυθμιζομένων εἰς τὴν πίστιν, τῶν συμπλευσάντων λέγω. ἐπετράπη, φησί, μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. καὶ μάλα εἰκότως, ὥστε μὴ ἐξεῖναι, μηδὲ ἐκεῖ ἐπιβουλὴν ἵνα αὐτὸν ὑποστῆναι. οὐ γὰρ ἐκείνων ἐφείσατο λοιπόν· ὥστε οὐκ ἐκεῖνοι ἐφύλασσον, ἀλλ' ὥστε μὴ γενέσθαι τι τῶν ἀνδρῶν. οὐ γὰρ ἐξῆν λοιπόν, καὶ πόλεως οὔσης τοσαύτης, καὶ βασιλέως ὄντος, καὶ ἐφέσεως οὔσης, γενέσθαι τι παρὰ τὴν ἀκολουθίαν. οὕτως ἀεὶ διὰ τῶν δοκούντων εἶναι καθ' ἡμῶν ὑπὲρ ἡμῶν πάντα γίνεται. φύλαξ γὰρ ἦν τοῦ Παύλου. καὶ συγκαλέσαι τοὺς πρώτους τῶν Ἰουδαίων, διαλέγεται αὐτοῖς· οἳ καὶ ἀντιλέγοντες ἀναχωροῦσι, καὶ ὑβρίζονται παρ' αὐτοῦ, καὶ οὐδὲν τολμῶσιν εἰπεῖν. οὐ γὰρ τῇ ἐξουσίᾳ αὐτῶν ἐπετρέπετο λοιπὸν τὰ κατ' αὐτόν.

ΗΘΙΚΟΝ. Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ διὰ τῶν δοκούντων εἶναι πρὸς ἀσφάλειαν, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων, πάντα ὑπὲρ ἡμῶν γίνεται. καὶ ἵνα μάθῃς, σκόπει ἐντεῦθεν. ἐκέλευσεν ὁ Φαραὼ ῥιπτεῖσθαι εἰς τὸν ποταμὸν τὰ βρέφη. εἰ μὴ ἐρρίφη τὰ βρέφη, εἰ μὴ ἡ πρόσταξις τοῦ Φαραὼ ἐγένετο, οὐκ ἂν ἐσώθη Μωϋσῆς, οὐκ ἂν ἐν βασιλείοις ἐτράφη. ὅτε ἐσώζετο, οὐκ ἦν ἐν τιμῇ· ὅτε ἐξετέθη, τότε ἐγένετο ἐν τιμῇ. τοῦτο δὲ ἐποίει ὁ Θεός, ὁ εὐπορῶν αὐτοῦ δυνάμεις καὶ εὐμήχανος. ἠπείλησεν ὁ Ἰουδαῖος αὐτῷ λέγων, Μὴ ἀνελεῖν με σὺ θέλεις; καὶ τοῦτο

Exod. 2. αὐτὸν ἀπέσπασεν. ἄρα οἰκονομικῶς γέγονεν, ὥστε τὴν ὄψιν αὐτοῦ ἐκείνην ἰδεῖν τὴν ἐν τῇ ἐρήμῳ· ὥστε τὸν τεσσαράκοντα χρόνον πληρωθῆναι ὥστε αὐτὸν ἐμφιλοσοφῆσαι τῇ ἐρήμῳ, καὶ ἐν ἀσφαλείᾳ ζῆν. καὶ ἐν πάσαις ταῖς κατ' αὐτοῦ τῶν Ἰουδαίων ἐπιβουλαῖς ταῦτα γίνεται. τότε λαμπρότερος καθίσταται, ὅτι καὶ ἐπὶ τοῦ Ἀαρὼν ἐπανέστησαν αὐτῷ, καὶ λαμπρότερον αὐτὸν ἐποίησαν.

χ. διακόνια ἰδὼν ἐξ ὀνόματι ἀγρίων.

* καὶ πάλιν ἀπιόντας

χ. ἃ

χ. ἀεὶ

χ. λέγοντες

χ. ὄψιν

ποίησαν. ἐντεῦθεν γὰρ αὐτῷ καὶ τὸ ἱερατικὸν ποικίλλεται ἔνδυμα, καὶ ἡ κίδαρις περιτίθεται, καὶ ὁ λοιπὸς τῆς στολῆς κόσμος, ὥστε ἀναμφισβήτητον εἶναι τὴν χειροτονίαν· ὥστε καὶ εἰς τὸ ἑξῆς θαυμάζεσθαι ἀπὸ τῶν πετάλων τοῦ χαλκοῦ. ἴστε πάντως τὴν ἱστορίαν· διὸ καὶ παρατρέχω τὸ διήγημα. καὶ, εἰ βούλεσθε, πάλιν ἄνωθεν τὰ αὐτὰ ἐπέλθωμεν. ὁ Κάϊν τὸν ἀδελφὸν ἀνεῖλεν, ἀλλὰ ταύτῃ μᾶλλον ὠφέλησεν. ἄκουσον γὰρ τί φησι· Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. καὶ πάλιν ἀλλαχοῦ· Αἵματι, φησί, κρείττονι λαλοῦντι παρὰ τὸν Ἄβελ. ἀπήλλαξεν αὐτὸν τῆς ἀδηλίας τοῦ μέλλοντος, τὸν μισθὸν ηὔξησε. τὴν ἀγάπην ἐμάθομεν πάντες, ἣν ὁ Θεὸς εἶχε πρὸς αὐτόν. τί γὰρ ἠδίκηται, δεξάμενος τάχιον τὴν τελευτήν; οὐδέν. τί γάρ, εἰπέ μοι, οἱ βραδέως τελευτῶντες κερδαίνουσιν; οὐδέν. οὐδὲ γὰρ παρὰ τὸ πολλὰ ζῆν ἔτη, ἢ ὀλίγα, ἡ εὐημερία· ἀλλὰ παρὰ τὸ εἰς δέον κεχρῆσθαι τῇ ζωῇ. οἱ τρεῖς παῖδες ἐνεβλήθησαν εἰς κάμινον, καὶ διὰ τοῦτο γεγόνασι λαμπρότεροι. ὁ Δανιὴλ εἰς λάκκον, καὶ ἐντεῦθεν περιφανέστερος κατέστη. ὁρᾷς πανταχοῦ τοὺς πειρασμοὺς μεγάλα τίκτοντας ἀγαθά, καὶ ἐνταῦθα, μήτοιγε ἐκεῖ; ἐπὶ δὲ τῆς κακίας τοὐναντίον γίνεται, ὥσπερ ἂν εἴ τις καλάμους ἔχων παραπέμποι πρὸς πῦρ. ὁ γὰρ τοιοῦτος δοκεῖ μὲν πλήττειν τὸ πῦρ, αὐτὸ δὲ λαμπρότερον ποιεῖ, καὶ ἑαυτὸν ἀναλίσκει. τοιαύτη γὰρ γίνεται ἡ κακία καὶ ἡ ἐπίθεσις λαμπροτέρα τῇ ἀρετῇ. τῇ γὰρ ἀδικίᾳ εἰς δέον τοῦ Θεοῦ χρωμένου, τὰ ἡμέτερα λάμπει μᾶλλον. πάλιν, ὁ διάβολος ὅταν ἐργάζηταί τι τοιοῦτον, λαμπροτέρους ποιεῖ τοὺς ὑπομένοντας. τί οὖν, φησίν, ἐπὶ τοῦ Ἀδὰμ οὐ γέγονέ τι τοιοῦτον, ἀλλ' ἀτιμότερος γέγονε; μάλιστα μὲν κἀκείνῳ ὁ Θεὸς εἰς δέον ἐχρήσατο. εἰ δέ πού τι ἔπαθεν, αὐτὸς ἑαυτὸν ἠδίκησε. τὰ μὲν γὰρ παρ' ἑτέρων εἰς ἡμᾶς γινόμενα, μεγάλων ἡμῖν ἀγαθῶν αἴτια γίνεται· τὰ δὲ παρ' ἡμῶν αὐτῶν, οὐκέτι. ἐπεὶ γὰρ ἀδικούμενοι μὲν ὑφ' ἑτέρων ἀλγοῦμεν, ὑπὸ δὲ ἡμῶν αὐτῶν οὐκέτι, δείκνυσιν ὁ Θεός, ὅτι ὁ μὲν παρ' ἑτέρου ἀδίκως πάσχων, εὐδοκιμεῖ· ὁ δὲ ἑαυτὸν ἀδικῶν, βλάπτεται· καὶ μάλα εἰκότως, ἵνα ἐκεῖνο μὲν γενναίως φέρωμεν, τοῦτο δὲ μηκέτι· ἄλλως τε τὸ πᾶν ἐκεῖ τοῦ Ἀδὰμ γέγονε. διὰ τί γὰρ ἐπείθου τῇ γυναικί; διὰ τί γὰρ ἐναντία συμβουλεύουσαν οὐκ ἀπεκρούσω; σὺ πάντως αἴτιος γέγονας· ἐπεὶ εἰ ὁ διάβολος ἦν, ἔδει κατὰ τοῦτο τοὺς πειραζομένους πάντας ἀπόλλυσθαι· εἰ δὲ μὴ ἀπόλλυνται, παρ' ἡμᾶς ἡ αἰτία. ἀλλ' ἔδει, φησί, πάντας τοὺς πειραζομένους κατορθοῦν. εἰ παρ' ἡμᾶς ἡ αἰτία, ἔδει καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυσθαι. τοῦτο καὶ γίνεται. καὶ γὰρ πολλοὶ καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυνται. οὐ γὰρ δὴ πάντα αὐτὸς κατασκευάζει, ἀλλὰ πολλὰ καὶ ἀπὸ μόνης γίνεται τῆς ῥᾳθυμίας τῆς ἡμετέρας. εἰ δέ που κἀκεῖνος αἴτιος, ἡμῶν τὴν ἀρχὴν παρεχόντων. εἰπὲ γάρ μοι, πότε ὁ διάβολος ἴσχυσεν ἐπὶ τοῦ Ἰούδα; ὅτε εἰσῆλθε, φησίν, εἰς αὐτὸν ὁ Σατανᾶς. ἀλλ' ἄκουσον τὴν αἰτίαν, ὅτι κλέπτης ἦν καὶ τὰ βαλλόμενα ἐβάσταζεν. αὐτὸς ἔδωκεν αὐτῷ εὐρυχωρίαν τῆς εἰσόδου. ὥστε οὐχ ὁ διάβολος τὴν ἀρχὴν ἐπιτίθησιν, ἀλλ' ἡμεῖς αὐτὸν δεχόμεθα καὶ καλοῦμεν. ἀλλ' εἰ μὴ ἐκεῖνος, φησίν, ἦν, οὐκ ἂν μεγάλα εἰργάζετο τὰ δεινά. ἀλλ' ἀπαραίτητος ἡμῖν ἔμελλεν εἶναι ἡ κόλασις. νῦν μὲν γάρ, ἀγαπητέ, τὰ τῆς κολάσεως ἡμῖν ἡμερώτερα· εἰ δὲ δι' ἑαυτῶν εἰργαζόμεθα τὰ δεινά, ἀφόρητος ἂν ἦν ἡ τιμωρία. εἰπὲ γάρ μοι, εἰ ταῦτα, ἃ ἥμαρτεν ὁ Ἀδάμ, χωρὶς συμβουλῆς ἥμαρτε, τίς αὐτὸν ἂν ἐξήρπασε τῶν κινδύνων; ἀλλ' οὐκ ἂν ἥμαρτε, φησί. πόθεν μοι τοῦτο λέγεις; ὁ γὰρ οὕτω χαῦνος καὶ ῥᾴθυμος καὶ πρὸς ἄνοιαν ἕτοιμος, ὥστε δέξασθαι τοιαύτην συμβουλήν, πολλῷ μᾶλλον καὶ χωρὶς τούτου τοῦτο γέγονεν ἄν. ποῖος διάβολος τοὺς τοῦ Ἰωσὴφ ἀδελφοὺς εἰς φθόνον ἐνέβαλεν; ἀνανήψωμεν τοίνυν, ἀγαπητοί, καὶ εὐδοκιμήσεως ἡμῖν αἴτιος ὁ διάβολος γίνεται. τί γὰρ ἔβλαψε τὸν Ἰὼβ ἡ τοσαύτη αὐτοῦ μηχανή; μὴ εἴπῃς, φησί, τοῦτο, δή ὁ ἀσθενὴς βλάπτεται. ἀλλ' ὁ ἀσθενής, κἂν μὴ διάβολος ᾖ, βλάπτεται. ἀλλὰ μειζόνως, φησί, μετὰ τῆς ἐκείνου ἐνεργείας. ἀλλ' ἔλαττον, ὅταν μετὰ τῆς ἐκείνου ἐνεργείας ἁμάρτῃ, κολάζεται. οὐ γὰρ πάντων τῶν ἁμαρτημάτων αἱ αὐταὶ τιμωρίαι. μὴ ἀπατῶμεν ἑαυτούς· οὐκ

Γεν. δ. ι.
Εβρ. ιβ. κδ.
Ιωαν. ιβ. ς.

γ. ἀρετῇ
ſ. -των
γ. -θουσ. ὁ παρὰ γὰρ ἡμᾶς ἡ αἰτία· ἔδει, φησί, καὶ
γ. τί
γ. ὅτι

ἔστιν ἡμῖν ὁ διάβολος αἴτιος, ἐὰν νήφωμεν· ἐκεῖνος ἡμᾶς μᾶλλον ἀφυπνίζει, ἐκεῖνος ἡμᾶς διεγείρει. Εἰπὲ γάρ μοι (τέως ταῦτα ἐξετάσωμεν) μὴ ἔστω θηρία, μὴ ἔστω ἀνωμαλία ἀέρων, μὴ νόσος, μὴ λῦπαι, μὴ ἀθυμίαι, μὴ ἕτερόν τι τῶν τοιούτων. τί οὐκ ἂν ἐγένετο ὁ ἄνθρωπος; χοῖρος μᾶλλον ἢ ἄνθρωπος, δοκῶ μοι, γένοιτ' ἄν, γαστριζόμενος καὶ μεθύων, καὶ ὑπὸ μηδενὸς τούτων ἐνοχλούμενος. νῦν δὲ αἱ φροντίδες καὶ αἱ μέριμναι, γυμνάσιόν εἰσι φιλοσοφίας καὶ διδασκαλεῖον, καὶ ἀγωγὴ παιδείας ἀρίστης. σκόπει δὲ ἄλλως· τρεφέσθω τις ἐν βασιλείοις, μήτε λυπούμενος, μήτε φροντίζων, μήτε μεριμνῶν, καὶ μήτε ὀργῆς ἔχων πρόφασιν, μήτε ἀποτυχίας· ἀλλὰ πάντα, ἅπερ ἂν ἐπιθυμήσῃ, ποιείτω, καὶ ἐπιτυγχανέτω, καὶ πάντας ἐχέτω ὑπακούοντας· ἆρα μὴ παντὸς θηρίου ἀλογώτερος γίνεται ὁ τοιοῦτος; νῦν δὲ ὥσπερ ἀκόνη ἐστὶν ἐκτρίβουσα ἡμᾶς τὰ τῶν περιστάσεων, τὰ τῶν θλίψεων. διὰ τοῦτο τῶν πλουτούντων οἱ πένητες ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶ συνετώτεροι, καθάπερ πολλοῖς προσκρουόμενοι καὶ περιαντλούμενοι κύμασι. καὶ γὰρ σῶμα τὸ μὲν ἀργὸν καὶ ἀκίνητον, νοσῶδες καὶ ἀηδές· τὸ δὲ κινούμενον καὶ κάμνον καὶ ταλαιπωρούμενον, ὡραιότερον καὶ ὑγιεινότερον. τοῦτο δὲ ἐπὶ ψυχῆς εὕροι τις ἄν. καὶ σίδηρος κείμενος μὲν διαφθείρεται, ἐργαζόμενος δὲ λάμπει· καὶ ψυχὴ ὡσαύτως κινουμένη. κίνησις δὲ ψυχῆς, αἱ περιστάσεις αὗται. καὶ τέχναι ἀπόλλυνται, μὴ κινουμένης ψυχῆς· κινεῖται δέ, ὅταν μὴ πάντα εὔθετα ᾖ. κινεῖται γὰρ ὑπὸ τῶν ἐναντίων. εἰ μὴ εἴη ἐναντία, οὐδὲν ἂν εἴη τὸ κινοῦν· οἷον, εἰ πάντα ἦν εἰργασμένα καλῶς, οὐκ ἂν εὗρεν ἡ τέχνη κινηθῆναι· οὕτω καὶ εἰ πάντα ἦν κατὰ νοῦν ἡμῖν, οὐκ ἂν εὗρεν ἡ ψυχὴ κινεῖσθαι. εἰ πανταχοῦ διεβάσταζεν, ἀηδὴς ἦν. οὐχ ὁρᾷς ὅτι καὶ τοῖς σοφοῖς παρακελευόμεθα μὴ διὰ παντὸς βαστάζειν τὰ παιδία, ὥστε μὴ εἰς ἔθος αὐτὰ καθιστᾶν, μήτε ἐξίτηλα αὐτὰ ποιεῖν; διὰ τοῦτο τὰ ἐπ' ὄψεσιν ἀνατρεφόμενα τῶν γονέων, ἀσθενέστερα γίνεται, τῆς φειδοῦς τῆς ἀκαίρου τε καὶ ἀμέτρου λυμαινομένης αὐτῶν τὴν ὑγείαν. καλὸν καὶ λύπη σύμμετρος· καλὸν καὶ φροντίς· καλὸν καὶ ἔνδεια. ἰσχυροὺς γὰρ ἡμᾶς ποιεῖ καλὰ καὶ ἐναντία. ἕκαστον γὰρ αὐτῶν ἄμετρον γινόμενον ἀπόλλυσι· καὶ τὸ μὲν χαυνοῖ, τὸ δὲ διαρρήγνυσιν. οὐχ ὁρᾷς ὅτι καὶ τοὺς αὐτοῦ μαθητὰς ὁ Χριστὸς οὕτως ἐνῆγε; εἰ ἐκεῖνοι δὲ τούτων ἐδέοντο, πολλῷ μᾶλλον ἡμεῖς. εἰ δὲ δεόμεθα, μὴ ἀγανακτῶμεν, ἀλλὰ καὶ χαίρωμεν ἐπὶ ταῖς θλίψεσι. φάρμακα γὰρ ταῦτά ἐστι κατάλληλα τοῖς ἡμετέροις τραύμασι· τὰ μὲν πικρά, τὰ δὲ ἡδέα. ἑκάτερον δὲ αὐτῶν καθ' ἑαυτὸ ἂν εἴη ἄχρηστον. χάριν τοίνυν ἔχωμεν τῷ Θεῷ ὑπὲρ τούτων ἁπάντων. οὐ γὰρ ἁπλῶς ταῦτα συγχωρεῖ γίνεσθαι, ἀλλ' ὑπὲρ τοῦ συμφέροντος τῶν ἡμετέρων ψυχῶν. τὴν ἡμετέραν τοίνυν εὐγνωμοσύνην ἐπιδεικνύμενοι, εὐχαριστῶμεν, δοξάζωμεν, γενναίως ἀντέχωμεν, τὸ πρόσκαιρον αὐτῶν λογιζόμενοι, καὶ πρὸς τὰ μέλλοντα τείνοντες ἑαυτῶν τὴν διάνοιαν, ἵνα καὶ τὰ παρόντα γενναίως ἐνέγκωμεν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν καταξιωθῶμεν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. εὐθυμίαν

χ. παιδείας

χ. ἔνδεια

χ. τῇ ὑγιείᾳ

Λογ. ιε.

Λογ. νε. 17 ΕΓΕΝΕΤΟ ΔΕ ΜΕΤΑ ΤΡΕΙΣ ΗΜΕΡΑΣ
συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. συνελ-
θόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον
ποιήσας τῷ λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρε-
δόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων. 18 Οἵτινες ἀνακρίναντές με ἐβού-
λοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί.
19 Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καί-
σαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι.
20 Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσ-
λαλῆσαι. ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην πε-
ρίκειμαι.

Καλῶς τοῦτο καὶ συμφερόντως ποιεῖ, τοὺς πρώτους τῶν Ἰουδαίων εἰς διάλεξιν συγκαλῶν. ἐβούλετο γὰρ καὶ ἑαυτὸν ἀπαλλάξαι αἰτίας, καὶ ἑτέρους· ἑαυτὸν μέν, ἵνα μὴ κατηγορῶσιν αὐτοῦ, καὶ τοῦτο αὐτοὺς βλάπτῃ· ἐκείνους δέ, ἵνα μὴ δόξῃ αὐτῶν εἶναι τὸ πᾶν. Εἰκὸς γὰρ κρατῆσαι φήμην, ὅτι ὑπὸ Ἰουδαίων παρεδόθη· τοῦτο δὲ ἱκανὸν ἦν αὐτοὺς πλῆξαι. εὐθέως οὖν πρὸς τοῦτο ἵσταται, καὶ τὰ καθ' ἑαυτὸν οὕτω πως πράως ἀπολογεῖται. ὅρα δὲ πῶς καὶ τὴν ἀπολογίαν ὑφαίνει, λέγων· ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων. Εἶτα οὕτως εἰπών, ἐπεὶ εἰκὸς ἦν τινας ἀκούοντας εἰπεῖν, πῶς ἔχει λόγον ἁπλῶς σε παραδοθῆναι; ἐπήγαγεν· οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι. ὡσεὶ ἔλεγε· μαρτυροῦσιν οἱ Ῥωμαίων ἄρχοντες, οἱ καὶ ἀνέκρινον, καὶ ἤθελον ἀπολῦσαι. πῶς οὖν οὐκ ἀπέλυσαν; ἀντιλεγόντων Ἰουδαίων, φησίν. ὁρᾷς πῶς καθαιρεῖ αὐτῶν τὰ ἐγκλήματα; εἰ γὰρ ἐβούλετο αὐξῆσαι, ἐνῆν καὶ τραγικώτερον χρήσασθαι. διὸ καὶ οὕτως εἰπών, ἐπήγαγεν· ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα· ὥστε συγγνώμης τὸ πᾶν ἐστιν. Εἶτα ἵνα μηδεὶς εἴπῃ, τί οὖν; καὶ ἵνα αὐτῶν κατηγορήσῃς τοῦτο πεποίηκας; διὰ τῆς ἐπαγωγῆς διορθοῦται τὸ ὕφορμον, καὶ λέγει· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι, ἀλλ' ὥστε διαφυγεῖν τὸν κίνδυνον. ἕνεκεν γὰρ ὑμῶν τὴν ἅλυσιν ταύτην περίκειμαι. τοσοῦτον ἀπέχω, φησίν, ἐχθρωδῶς πρὸς ὑμᾶς διακεῖσθαι, ὅτι καὶ τὴν ἅλυσιν περίκειμαι. τί οὖν ἐκεῖνοι; οὕτως ἐχειρώθησαν τῷ λόγῳ, ὡς μὴ μόνον ὑπὲρ ἑαυτῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν συγγενῶν ἀπολογήσασθαι. ὅθεν τοῦτο δηλοῖ ἐπάγων,

21 Οἱ δὲ εἶπον πρὸς αὐτόν· Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰου-
δαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν.
22 Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς. περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν
ἐστιν ἡμῖν, ὅτι πανταχοῦ ἀντιλέγεται.

Ὡσεὶ ἔλεγον· οὔτε διὰ γραμμάτων, οὔτε δι' ἀνθρώπων ἐγνωρίσαμέν τι πονηρὸν περὶ σοῦ· πλὴν ἀλλ' ἀκοῦσαι βουλόμεθα παρὰ σοῦ. Εἶτα προκατέβαλον τὴν οἰκείαν γνώμην δεικνύντες, καί φασι· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν ὅτι ἀντιλέγεται πανταχοῦ. Οὐκ εἶπον, ὅτι ἀντιλέγομεν, ἀλλ', ἀντιλέγεται, κατηγορίας ἑαυτοὺς ἀπολύοντες.

23 Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθε-
το διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ
νόμου Μωϋσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.

24 Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν.

Εἶδες πῶς οὐκ εὐθέως ἀποκρίνεται, ἀλλὰ δίδωσιν αὐτοῖς ἡμέραν τοῦ ἐλθεῖν καὶ ἀκοῦσαι; οἷς καὶ παραγενομένοις διελέγετο ἀπό τε τοῦ νόμου Μωϋσέως, καὶ τῶν προφητῶν· καὶ οἱ μὲν ἐπείθοντο, οἱ δὲ ἠπίστουν.

25 Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν· καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν,

Ἡσ. ς. θ.

26 Λέγον· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπόν· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. 27 Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.

Ὅτι ἀνεχώρουν ἀντιτασσομένων αὐτῶν, τότε τὸν Ἡσαΐαν ἐφίστησιν, οὐκ ἐκείνους ὑβρίσαι βουλόμενος, ἀλλὰ τούτους στηρίξαι. Τί λέγοντα; ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. ὁρᾷς πῶς αὐτοὺς ἐξέβαλε πάσης συγγνώμης, εἰπὲ καὶ τὸν προφήτην ἔχοντες προαναφωνήσαντα πόρρωθεν ταῦτα, οὐκ ἀπεστράφησαν; τὸ δὲ εἰπεῖν, καλῶς, δείκνυσι καὶ δικαίως ἐκβεβλημένους, ὥστε τοῖς ἔθνεσι δίδοται γνῶναι τὸ μυστήριον τοῦτο. οὐδὲν οὖν θαυμαστὸν εἰ ἀπέλεγον. ἄνωθεν τοῦτο προελέγετο. εἶτα πάλιν τὸν ζῆλον κατ' αὐτῶν κινεῖ τὸν ἐξ ἐθνῶν, ἐπάγων καὶ λέγων·

28 Γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται.

29 Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν.

Η. πολλὴν

30 Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν,

31 Κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Χριστοῦ Ἰησοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως*. Ἐνταῦθα δείκνυσι τὴν αὐτοῦ ἐλευθερίαν λοιπόν. κηρύττει γὰρ ἀκωλύτως ἐν Ῥώμῃ ὁ ἐν Ἰουδαίᾳ κωλυθείς, καὶ ἔμενεν ἐπὶ δύο ἔτη διδάσκων ἐκεῖ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν· τουτέστι, διὰ τοῦτο ἠβουλήθην, ὥστε μὴ ἐξεῖναί τινι κατηγορεῖν, καὶ τὰ πεπραγμένα λέγειν, ὅτι διὰ τὰς χεῖρας αὐτῶν διαφυγὼν, ἐπὶ τοῦτο ἦλθον. οὐ γὰρ ἑτέροις δώσων κακά, ἀλλ' αὐτὸς φεύγων κακὰ, ἦλθον. οἱ δὲ πρὸς αὐτόν· ἀξιοῦμεν ἀκοῦσαι παρὰ σοῦ ἃ φρονεῖς. ὅρα καὶ αὐτοὺς ἡμερώτερον διαλεγομένους· ἀξιοῦμεν φησί. καὶ βούλονται ἀπολογήσασθαι καὶ ὑπὲρ ἐκείνων. διὸ καὶ ἧκον ταξάμενοι αὐτῷ ἡμέραν. τοῦτο δὲ αὐτοῦ τοῦ σφόδρα ἑαυτῶν καταγνῶναι τεκμήριον, καὶ τοῦ μὴ θαρρεῖν. εἰ γὰρ ἐθάρρουν, κἂν τοῦτο ἐποίησαν καὶ συνῆλθον, ὥστε αὐτὸν συναρπάσαι· νῦν δὲ μὴ θαρροῦντες, καὶ ἐλθεῖν ὤκνησαν. ἄλλως τε καὶ τῷ πολλάκις ἐπιχειρῆσαι ἔδειξαν ὅτι οὐκ ἐθάρρουν. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, φησίν· οἱ δὲ ἠπίστουν. καὶ ἀσύμφωνοι ὄντες ἀπελύοντο· τουτέστι, μὴ πιστεύοντες ἀνεχώρουν. ὅρα πῶς οὐ ῥάπτουσιν ἐπιβουλὰς νῦν κατ' αὐτοῦ, ἀλλ' ἐν τῇ Ἰουδαίᾳ, ἔνθα ὡς ἐν τυραννίδι ἦσαν.

Πραξ. κβ. ιη.

τίνος οὖν ἕνεκεν ᾠκονόμησεν ὁ Θεὸς ἐκεῖ αὐτὸν ἀπελθεῖν, καίτοι εἰπὼν, Σπεῦσον, ἔξελθε ἐξ Ἱερουσαλήμ; ἵνα δειχθῇ καὶ αὐτῶν ἡ κακία, καὶ ἡ προφητεία τοῦ Χριστοῦ ἀληθής, ὅτι οὐκ ἀνέχονται· καὶ ὥστε μαθεῖν πάντας, ὅτι πάντα ἕτοιμός ἐστι παθεῖν, καὶ ὥστε εἰς παράκλησιν τῶν ἐν Ἰουδαίᾳ γενέσθαι τὸ οἰκονομούμενον. καὶ γὰρ κἀκεῖ πολλὰ ἔπαθε δεινά. εἰ δὲ κηρύττων τὰ Ἰουδαϊκὰ ταῦτα ἔπασχεν, εἰ ἐκήρυττε τὰ τῆς δόξης τοῦ Χριστοῦ, πῶς ἂν ἠνέσχοντο; ἀγωνιζόμενος οὐκ ἐγένετο φορτικός, καὶ πῶς κηρύσσων φορτικὸς ἦν; τί ἐγκαλεῖτε ὑμεῖς; τί ἠκούσα-

*Ἀμήν.

τε;

τε; οὐδὲν τοιοῦτον εἶπεν ἁπλῶς. ὤφθη, καὶ πολλὰς προὔξενει. εἰκότως ἄρα τοῖς ἔθνεσιν ἀπενεμήθη [ἡ σωτηρία·] εἰκότως μακρὰν ἐπέμφθη. καὶ καὶ μέλλων τοῖς ἔθνεσι διαλέγεσθαι, [σκόπει δέ,] πρῶτον Ἰουδαίους καλεῖ, ἔπειτα δείξας αὐτοῖς τὰ πράγματα, τότε ἐπὶ τὰ ἔθνη ἔρχεται. τὸ δὲ οὕτως εἰπεῖν, ὅτι εἶπε τὸ πνεῦμα, οὐδὲν θαυμαστόν. καὶ γὰρ ἄγγελος λέγεται λέγειν, ἅπερ ὁ Κύριος εἶπε. καλῶς εἶπε, φησι, τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ' ἐνταῦθα μὲν οὕτως, ἐκεῖ δὲ ἐκείνῳ. ἄλλως δέ, καὶ ὅταν διηγῆται τὰ παρὰ τῶν ἀπὸ τοῦ ἀγγέλου λεχθέντων, οὐ λέγει, καλῶς εἶπεν ὁ ἄγγελος, ἀλλά, καλῶς εἶπεν ὁ Κύριος, καλῶς εἶπε τὸ πνεῦμα· ὥσπερ ἔλεγεν· οὐκ ἐμοὶ ἀπιστεῖτε, ἀλλὰ τῷ πνεύματι. ὥστε ἄνωθεν τοῦτο προεῖπεν ὁ Θεός. οἵτινες ἀνακρίναντές με, φησιν, ἐβούλοντο ἀπολῦσαι· τουτέστιν, οὐδὲν εὑρόντες ἄξιον καταδίκης ἐν ἐμοί, ἀπολύειν ἤθελον. καὶ δέον ἐκείνους ἐξελέσθαι, παρέδωκαν εἰς χεῖρας Ῥωμαίων, καὶ τοσαύτη ἡ περιουσία τῆς ἀληθείας, ὅτι οὐδὲ ἐκεῖνοι ἴσχυσαν κατακρῖναι, ἀλλὰ δέσμιον παρέδωκαν. ἠναγκάσθην, φησίν, ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι· τουτέστιν, οὐχ ἵνα κακοῖς ἑτέροις περιβάλω, ἀλλ' ἵνα κακῶν ἐμαυτὸν ἀπαλλάξω, τοῦτο ἐποίησα, καὶ οὐχ ἑκών, ἀλλ' ἀναγκασθείς. ὅρα οἰκειότητα ῥημάτων· ἰσ. πρ οὐκ ἀλλοτριοῦται αὐτῶν, ἀλλ' οἰκειοῦται, τὸ εἰπεῖν τοῦ ἔθνους μου. πάλιν δὲ κατασπείρει τὸ δόγμα. καὶ οὐκ εἶπεν, οὐ κατηγορῶ· ἀλλ', οὐκ ἔχω τι κατηγορῆσαι, καίτοι τοιαῦτα παθών, οὕτω δεινά. οὐδὲν οὖν τούτων φησίν, ἵνα μὴ φορτικὸν ποιήσῃ τὸν λόγον, οὐδὲ χαρίζεσθαι αὐτοῖς δοκεῖ. [καὶ διὰ τοῦτο οὐ λέγει, ἀλλ' αἰνίττεται] μόνον καὶ παρατρέχει.] τοῦτο γὰρ ἦν τέως τὸ σπουδαζόμενον, τὸ δεῖξαι ὅτι Ῥωμαίοις παρέδωκαν δέσμιον, οὗτοι δέ, καταδικάσαι δέον ἐκείνους, δέον κατηγορῆσαι, μᾶλλον ἀπολογοῦνται. δι' ὧν δὲ συνυφαίνουσι τὴν ἀπολογίαν, κατηγοροῦσιν αὐτῶν. γνωστὸν ἐστιν ὑμῖν ὅτι πανταχοῦ, φησιν, ἀντιλέγεται. ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅμως καὶ πιστεύετε πανταχοῦ. οἷς ἐξετίθετο, φησιν, ἀπό τε νόμου καὶ προφητῶν. ἄρα πάλιν οὐκ ἀπὸ σημείων, ἀλλ' ἀπὸ νόμου καὶ προφητῶν ἐπιστομίζοντα αὐτούς, καὶ πανταχοῦ τοῦτο ποιοῦντα. καίτοιγε ἐνῆν καὶ σημεῖα ποιῆσαι, ἀλλὰ λοιπὸν οὐκ ἐπὶ πίστει τὸ πρᾶγμα ἦν. μέγα γὰρ τοῦτο σημεῖον, τὸ ἀπὸ νόμου καὶ τῶν προφητῶν διαλέγεσθαι. εἶτα ἵνα μὴ νομίσῃς παράδοξον εἶναι, τὸ μεῖναι αὐτοὺς ἀπειθοῦντας, ἐπάγει καὶ προφητείαν τὴν λέγουσαν· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· μᾶλλον, φησι, νῦν, ἢ τότε. καὶ ὄψεσθε, καὶ οὐ μὴ ἴδητε· μᾶλλον νῦν, ἢ τότε. πρὸς ἐκείνους εἴρηται ταῦτα αὐτοὺς ἀπιστήσαντας, ἃ καὶ οὐχ ὑβρίζοντος ἦν, ἀλλὰ τὸ σκάνδαλον ἀναιροῦντος. γνωστὸν οὖν ἔστω ὑμῖν, φησιν, ὅτι ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. τί οὖν ἡμῖν διαλέγῃ; ταῦτα οὐκ ᾔδεις; ναί· ἀλλ' ὥστε πεισθῆναι χ. ἢ ἀπολογήσασθαί με ἀπολογοῦμαι καὶ μηδενὶ δοῦναι λαβήν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην, φησί, διδάσκων μετὰ πάσης παρρησίας ἀκωλύτως. καλῶς τοῦτο προσέθηκεν. ἐνῆν γὰρ μετὰ παρρησίας λέγειν, ἀλλὰ κεκωλυμένως. τὴν οὖν παρρησίαν Παύλου οὐδὲν ἐνέκοψεν, ἀλλὰ καὶ ἀκωλύτως ἔλεγεν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην, φησίν, ἐν ἰδίῳ μισθώματι. οὕτως ἦν ἀπέριττος· μᾶλλον δὲ οὕτω τὸν διδάσκαλον αὐτοῦ ἐμιμεῖτο ἐν πᾶσιν, ὅτι καὶ τὴν οἴκησιν εἶχεν, οὐκ ἐξ ἀλλοτρίων πόνων, ἀλλ' ἀφ' ὧν αὐτὸς εἰργάζετο. τοῦτο γὰρ σημαίνει τό, ἐν ἰδίῳ μισθώματι. ὅτι δὲ καὶ ὁ δεσπότης οἰκίαν οὐκ ἐκέκτητο, ἄκουε αὐτοῦ λέγοντος πρὸς τὸν οὐκ ὀρθῶς εἰπόντα, Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Αἱ ἀλώπεκες φωλεοὺς ἔ- Ματθ. η. κ. χουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. οὕτως ἐξ ἑαυτοῦ τὸ μηδὲν κεκτῆσθαι ἐπαίδευσε, μηδὲ σφόδρα τοῖς βιωτικοῖς προσηλῶσθαι. καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους, φησί, πρὸς αὐτόν, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ. ὅρα· οὐδὲν αἰσθητόν, οὐδὲν περὶ τῶν παρόντων, ἀλλὰ περὶ τῆς τοῦ Θεοῦ βασιλείας πάντα φθεγγόμενον. ὁρᾷς οἰκονομίαν Θεοῦ; μέχρι τούτων τὸν λόγον ἵστησιν ὁ συγγραφεύς, καὶ ἀφίησι διψῶντα τὸν ἀκροατήν, ὥστε λοιπὸν ἀφ' ἑαυτοῦ συλλογίζεσθαι. τοῦτο καὶ οἱ ἔξω ποιοῦσι.

ποιοῦσι.

ποιοῦσι. τὸ γὰρ πάντα εἰδέναι, γνῶθι ποιεῖ τὸ ἐκλελυμένον. τοῦτο δὲ ποιεῖ, καὶ οἷα τὰ μετὰ
ταῦτα οὐ λέγει, περιττὸν ὅσοι πρὸς τοὺς ἐντυγχάνοντας ταῖς συγγραφαῖς ἡγούμενος καὶ ἀπὸ
τούτων μανθάνοντας, τὸ προστιθέναι τῷ λόγῳ. πάντως γὰρ οἷα τὰ πρότερα, τοιαῦτα εἶχε
καὶ τὰ μετὰ τοῦτο. ἄκουε δὲ καὶ οἷα μετὰ ταῦτα γράφων πρὸς Ῥωμαίους φησίν, Ὡς ἂν πορεύω-
Ρωμ. ιε. κδ. μαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς. ὁρᾷς πῶς πάντα προεώρα ἡ ἁγία καὶ
θεία κεφαλή; ὁ τῶν οὐρανῶν ὑψηλότερος πάντων; ὁ ψυχὴν ἔχων πάντα ὁμοῦ περιλαβεῖν
δυναμένην; ὁ τὰ πρῶτα κατέχων Παῦλος; οὗ τοῖς εἴδοσι καὶ τὸ ὄνομα μόνον ἀρκεῖ πρὸς
διέγερσιν ψυχῆς, πρὸς νῆψιν, πρὸς τὸ πάντα ὕπνον ἀποτινάξασθαι; ἐδέξατο αὐτὸν Ῥώμη
δεδεμένον, ἀπὸ θαλάσσης ἀναβάντα, ἐκ ναυαγίου διασωθέντα, καὶ ἀπηλλάγη τοῦ ναυαγίου
τῆς πλάνης. καθάπερ γάρ τις βασιλεὺς ναυμαχήσας καὶ νικήσας, ἐπέβαινε τῆς βασιλικω-
Ρωμ. ιε. κθ. τάτης ἐκείνης πόλεως. περὶ τούτων ἔγραφεν, Ἐλεύσομαι, καὶ συναναπαύσομαι ὑμῖν ἐν
κε. πληρώματι εὐλογίας τοῦ εὐαγγελίου. καὶ πάλιν, Πορεύομαι διακονήσων εἰς Ἱερουσαλήμ.
Πραξ. κδ. ιζ. τοῦτο ἐστιν ὅπερ ἔλεγεν, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην. ἐλεύθερος ἦν
λοιπὸν τοῦ στεφάνου· ἐδέξατο αὐτὸν ἡ Ῥώμη δεδεμένον, καὶ εἶδε στεφανωθέντα καὶ ἀνακη- γρ. ἐξεῦ
ρυχθέντα. ἐκεῖ συναναπαύσομαι ὑμῖν, ἔφη· ἐνταῦθα πορεύομαι διακονήσων εἰς Ἱερουσα-
λήμ. τοῦτο δὲ ἀρχὴ τοῦ δρόμου πάλιν ἦν, καὶ τρόπαια τροπαίοις συνῆπτεν, ἀκατά- γρ. πῆ,
πληκτος ὤν. Κόρινθος αὐτὸν κατέσχε δύο ἔτη, καὶ Ἀσία τρία, καὶ αὕτη δύο που, ὥστε
β. Τιμ. δ. ιϛ. δεύτερον ἐπέβη ὅτε καὶ ἐτελειώθη. Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησίν, οὐδείς μοι συμπαρε-
γένετο. οὕτω διέφυγε τότε, καὶ πᾶσαν ἐμπλήσας τὴν οἰκουμένην τοῦ κηρύγματος, κατέλυσεν
οὕτω τὸν βίον. τί βούλει μαθεῖν τὰ μετὰ ταῦτα; τοιαῦτά ἐστι κἀκεῖνα, δεσμά, βάσανοι, μά-
χαι, φυλακαί, ἐπιβουλαί, συκοφαντίαι, θάνατοι καθημερινοί. εἶδες αὐτοῦ μικρὸν μέρος;
τοιοῦτον νόει καὶ τὸ λοιπόν. ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ ὅσον ἂν ἴδῃς αὐτοῦ, τοσοῦτόν ἐστι καὶ τὸ ἄλλο. οὐ-
ρανοῦ γὰρ ἂν μέρος θεάσῃ ἕν, ὅπου ἂν ἀπέλθῃς, τοιοῦτον ὄψει καὶ τὸ λοιπόν· ἢ καθάπερ ἡλίου
τὰς ἀκτῖνας, κἂν ἐκ μέρους ἴδῃς, στοχάζῃ ἐκ τούτων οἷος ὁ ἥλιος· οὕτω καὶ ἐπὶ Παύλου. τὰς
πράξεις εἶδες ἐκ μέρους αὐτοῦ, πᾶσαι τοιαῦται τυγχάνουσι, κινδύνων γέμουσαι. οὐρανὸς
ἦν ἐκεῖνος ἥλιον δικαιοσύνης ἔχων, οὐ τοιοῦτον, ὥστε καὶ οὐρανοῦ βελτίων ὁ ἀνήρ. ἢ μικρὸν οἴει
τοῦτο εἶναι; οὐκ ἔγωγε οἶμαι. ὅταν ἀπόστολον εἴπῃς, εὐθέως πάντες αὐτὸν ἐννοοῦσιν, ὥσπερ
ὅταν Βαπτιστήν, εὐθέως τὸν Ἰωάννην. τίνι ἄν τις παραβάλῃ τὰ ἐκείνου ῥήματα; θαλάσ-
σῃ, ἢ καὶ ὠκεανῷ; ἀλλ' οὐδὲν ἴσον. πολλῷ ταύτης δαψιλέστερα τὰ ῥεύματα τὰ τούτου, καθα-
ρώτερα καὶ βαθύτερα, ὥστε καὶ θάλασσαν καὶ οὐρανὸν οὐκ ἄν τις ἁμάρτοι τὴν Παύλου καρδίαν
εἰπών· τὸ μὲν, διὰ τὸ καθαρόν· τὸ δὲ, διὰ τὸ βαθύ. θάλασσά ἐστιν, οὐκ ἀπὸ πόλεως εἰς
πόλιν ἄγουσα τοὺς ἐμπλέοντας, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανόν. εἴ τις ταύτην πλέοι τὴν θά-
λασσαν, οὐρίας πλευσεῖται. ἐν ταύτῃ τῇ θαλάσσῃ οὐκ ἄνεμοι, ἀλλ' ἀντὶ ἀνέμων, πνεῦμα
θεῖον ἅγιον τὰς ἐμπλεούσας παραπέμπει ψυχάς. οὐκ ἔστιν ἐνταῦθα κύματα, οὐκ ἔστι σκό-
πελος, οὐκ ἔστι θηρία· πάντα γαληνά. θάλασσά ἐστι λιμένος γαληνοτέρα καὶ ἀσφαλε-
στέρα, οὐδὲν ἁλμυρὸν ἔχουσα, ἀλλὰ πηγῆς καθαρὰν καὶ ἥδιστα ῥέοντα νάματα, ἡλίου λαμ-
πρότερα καὶ διειδέστερα. θάλασσά ἐστιν, οὐ λίθους ἔχουσα τιμίους, οὐδὲ ἁλουργίδα τοιαύ-
την, ἀλλὰ ῥήματα πολλῷ τούτων βελτίω. ὁ βουλόμενος εἰς τοῦτο καθεῖναι τὸ πέλαγος γρ. τὸ
ἑαυτόν, οὐ κολυμβητῶν δεῖται, οὐκ ἐλαίου, ἀλλὰ φιλοσοφίας πολλῆς. εὑρήσει δὲ ἐν αὐτῷ γρ. φιλοσο-
πάντα τὰ ἀγαθὰ τὰ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ὁ τοιοῦτος καὶ δυνήσεται ἡγεῖσθαι βασι- φίας
λεύς, καὶ πάντα τὸν κόσμον λαβεῖν, καὶ ἐν τιμῇ εἶναι μεγίστῃ. ὁ ταύτην πλέων τὴν θάλασ-
σαν, οὐδέποτε ναυάγιον ὑποστήσεται, ἀλλὰ πάντα εἴσεται καλῶς. ἀλλ' ὥσπερ οἱ ταύ-
της ἄπειροι τῆς θαλάσσης ἀποπνίγονται, οὕτω δὴ καὶ ἐνταῦθα· ὅπερ δὴ πάσχουσι καὶ οἱ αἱρε-
τικοὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντες. δεῖ δὴ τὸ βάθος τούτου εἰδέναι, ἢ μὴ κατατολμᾶν.

δεῖ

ἂν μέλλωμεν πλεῖν τὸ πέλαγος τοῦτο, εὔζωνοι γενώμεθα. Οὐκ ἠδυνήθην ὑμῖν, φη- α. Κορ. γ. α.
σι, λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. μηδεὶς ἀκαρτέρητος τοῦτο πλείτω τὸ πέ-
λαγος. κατασκευάσωμεν ἑαυτοῖς πλοῖα, τουτέστι, σπουδὴν, προθυμίαν, εὐχὰς, ὥστε διαπ-
λεῦσαι τὸ πέλαγος ἐν ἡσυχίᾳ. καὶ γὰρ τὸ ὕδωρ τοῦτο ζωή ἐστι. καθάπερ εἴ τις πυρὸς λά-
γρ. αὐλὸς βοι στόμα, οὕτως ὁ Παῦλος εἶδος στομοῦται. καθάπερ εἴ τις μάχαιραν ὀξεῖαν ἔχῃ, οὕτως
ὁ τοιοῦτος πάλιν ἀκάθεκτός ἐστι. καὶ πρὸς τὸ νοῆσαι δὲ τὰ Παύλου, βίου καθαροῦ δεῖται. διὰ
τοῦτο καὶ ἔλεγε· Γάλακτος ἐν χρείᾳ καθέστηκε, ἐπειδὴ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ἔστι γὰρ, Εβρ. ε. ια.
ἔστιν ἀσθένεια καὶ ἀκοῆς. καθάπερ γὰρ στόμαχος οὐκ ἂν δέξαιτο ὑγιεινὰ σιτία καὶ δυσκατέργαστα
γρ. ἄγονος ἀσθενὴς ὤν, οὕτω καὶ ψυχὴ ὀγκωθεῖσα, φλεγμαίνουσα, ἄτονος γενομένη καὶ ἔκλυτος, οὐκ ἂν
δυνηθείη δέξασθαι τὸν πνευματικὸν λόγον. ἄκουε τῶν μαθητῶν λεγόντων· Σκληρός ἐστιν ὁ Ιωάν. ς.
γρ. ὑπακούειν λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; ἂν δὲ ἰσχυρὰ ᾖ καὶ ὑγιεινὴ, πάντα ῥᾷστα, πάντα εὔκο-
λα· ὑψηλοτέρα ἐστὶ καὶ κουφοτέρα, μᾶλλον μετεωρίζεται, καὶ εἰς ὕψος αἴρεται. ταῦτα οὖν
εἰδότες, ὑγιεινὴν ἡμῶν κατασκευάσωμεν τὴν ψυχὴν, καὶ ζηλώσωμεν τὸν Παῦλον, καὶ μιμη-
γρ. ἐκείνου ἔ- σώμεθα τὴν γενναίαν ἐκείνην καὶ ἀδαμαντίνην ψυχὴν, ἵνα κατ' ἴχνος τῶν ἐκεί-
τω βεβι. νῳ βεβιωμένων πορευόμενοι, δυνηθῶμεν τὸ πέλαγος τοῦ παρόντος βίου δια-
πλεῦσαι, καὶ εἰς τὸν ἀκύμαντον λιμένα καταντῆσαι, καὶ τῶν
ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐ-
πιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ
δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ,
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰ-
ώνων. Ἀμήν.

ETONÆ

Excusum in Collegio Regali

MDCXII

ΕΠΕΙΔΗ ΕΘΟΣ ΗΝ ΤΩ ΜΑΚΑΡΙΩΤΑΤΩ ΙΩΑΝΝΗ ΤΩ ΧΡΥΣΟΣΤΟ-

μῳ μετὰ τὸ ἑρμηνεῦσαι τὸ πρὸ αὐτοῦ προτεθὲν ῥητὸν, εἰς ἠθικὰ καταπαύειν τὸν λόγον, ἅπερ καὶ ἐν τοῖς ἡμετέροις ἀντιγράφοις, οὐ τοῖς αὐτοῖς δὲ ἐν πᾶσι ῥήμασιν ἐκτεθέντα εὑρίσκομεν· ἀναγκαῖον ἐνόμισα καὶ τὰ πρὸ αὐτοῦ ἐν τοῖς ἠθικοῖς κατὰ πλάτος εἰρημένα, ἐν συντόμῳ περιτάξαι, ἵνα ἔχῃ ὁ βουλόμενος τὴν δύναμιν τοῦ πλάτους ἠθικοῦ ἀπόνως καὶ ἐν συντόμῳ εὑρίσκειν. Εἰσὶ δὲ τῶν ἠθικῶν ἀριθμοὶ κατὰ τὸν τῶν λόγων.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α′. Ὁ Πρῶτος λόγος ὅλος ἠθικὸς περὶ νηστείας.

β′. Ὅτι δεῖ μεμνῆσθαι τῶν εἰρημένων, καὶ τῇ τῶν δογμάτων ὀρθότητι ἀκόλουθα τὰ ἔργα κεκτῆσθαι. ἑκάτερον γὰρ τούτων χωρὶς τοῦ ἑτέρου νεκρόν.

γ′. Περὶ τοῦ διηνεκῶς νήφειν διὰ τὸ πρὸς ἀσωμάτους ἔχειν ἡμᾶς τὸν πόλεμον, καὶ περὶ ἐλεημοσύνης.

δ′. Ὅτι οὐδὲν ἡμᾶς ὀνίνησιν ἡ νηστεία χωρὶς τῶν ἄλλων κατορθωμάτων, καὶ περὶ τοῦ εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν.

ε′. Περὶ τοῦ μὴ δεῖν ἀφορᾷν εἰς τὴν τῶν ἀνθρώπων δόξαν ποιοῦντας τι ἀγαθόν.

ϛ′. Καθ᾽ Ἑλλήνων, καὶ περὶ τοῦ μὴ καταναλίσκειν τὸν χρόνον ἐν τοῖς ἀχρείοις συλλόγοις.

ζ′. Ὅτι οὐ χρὴ ἀπογινώσκειν τῆς τῶν ἀπίστων σωτηρίας, καὶ διδόναι λαβὴν αὐτοῖς βλασφημίας ἐκ τοῦ μὴ καλῶς οἰκονομεῖν τὸν ἑαυτῶν βίον.

η′. Ὅτι οὐ τὸ ἀπέχεσθαι μόνον βρωμάτων ἀληθὴς νηστεία, ἀλλὰ τῶν κακῶν ἀποχή, καὶ ὅτι οὐ χρὴ πρὸς ἐπίδειξιν ἐλεεῖν, καὶ ὅτι οὐδὲν ἴσον τῆς κατὰ Θεὸν ἀρετῆς.

θ′. Ὅτι μεγίστη θυσία τὸ ἀνθομολογεῖσθαι τὰς παρὰ τοῦ Θεοῦ εὐεργεσίας.

ι′. Ὅτι χρὴ ἀδιαλείπτως καὶ ἐν πᾶσι μνημονεύειν τοῦ Θεοῦ.

ια′. Ὅλος ὁ λόγος ἠθικός, καὶ προτρεπτικὸς πρὸς τὴν ἀρετήν, καὶ τὴν μίμησιν τῶν ἁγίων.

ιβ′. Ὅτι τῆς ψυχῆς ἐχούσης τὸ κράτος κατὰ τοῦ σώματος, ἐγγίνεται ἡμῖν τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι.

ιγ′. Ὅτι δεῖ κοσμεῖσθαι καὶ δογμάτων ὀρθότητι καὶ βίου ἀκριβείᾳ. ἑκάτερον γὰρ χωρὶς ἑτέρου οὐδὲν ὀνίνησι τὸν κεκτημένον.

ιδ′. Ὅτι δεῖ ἀδιαλείπτως μνημονεύειν τῶν θείων διδαγμάτων. μέγα γὰρ τοῦτο κέρδος.

ιε′. Ὅτι δεῖ συνεχῶς μνημονεύειν τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, καὶ μὴ σκοπεῖν εἰ τὸ ἥμισυ τῆς ἁγίας τεσσαρακοστῆς διῆλθεν, ἀλλ᾽ εἴ τι διωρθωσάμεθα τῶν ἐν ἡμῖν παθῶν, καὶ ὅτι χρὴ τοῖς μέλεσι χρῆσθαι πρὸς ἀγαθὰς πράξεις, οὐ πρὸς τὰς ἐναντίας.

ιϛ′. Περὶ τοῦ σταυροῦ, καὶ οἷα ἀγαθὰ ἐδωρήσατο τῷ ἀνθρώπῳ.

ιζ′. Ὅτι δεῖ ἐκ τῆς ἐκκλησίας ἐξερχομένους ἡμᾶς μνημονεύειν τῶν εἰρημένων.

ιη′. Ὅτι εἰ μετὰ τοσαῦτα παραδείγματα τῆς ἀρετῆς ἀμελήσομεν, μείζονι κολάσει, ἢ οἱ

περὶ ἡμῶν ὑποβληθησόμεθα.

ιθ΄. Ὅτι οὐ δεῖ φεύγειν τὸ κακῶς παθεῖν, ἀλλὰ τὸ κακῶς ποιεῖν· καὶ ὅτι ὁ τὸν πλησίον κακοποιῶν αὐτὸς μᾶλλον πάσχει δεινά, ἢ ἐκεῖνος.

κ΄. Ὅτι εἰ βουλόμεθα τῇ διδασκαλίᾳ προσέχειν, εἰς τὸ ἄκρον τῆς ἀρετῆς ἐλευσόμεθα· καὶ ὅτι ῥίζα τῶν κακῶν ἡ φιλαργυρία, καὶ περὶ ἐλεημοσύνης.

κα΄. Ὅτι οὐδὲν ὄφελος τῆς συνεχοῦς διδασκαλίας, μὴ πρὸς τὴν ἀρετὴν ἐπιδόντων, καὶ ὅτι δεῖ τὴν τῆς ψυχῆς θεραπείαν προτιμᾶν τῆς τοῦ σώματος.

κβ΄. Ὅτι δεῖ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἀφορᾶν, καὶ κατὰ κενοδοξίας.

κγ΄. Ὅτι οὐ χρὴ τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥᾴθυμον γνώμην.

κδ΄. Ὅτι πλείονα τὴν ἀρετὴν ἀπαιτούμεθα ἡμεῖς, ἢ οἱ παλαιοί, καὶ ὅτι δυνάμεθα καὶ ἐν βραχεῖ χρόνου καιρῷ τὸν Θεὸν εἰς οἶκτον ἐπισπάσασθαι ἀξίως μετανοοῦντες.

κε΄. Ὅτι οὐ χρὴ πρὸς τοὺς τῆς ἀρετῆς πόνους σκοποῦντας ῥᾳθυμεῖν, ἀλλὰ τὸ ἐξ αὐτῆς κέρδος λογιζομένους σπουδάζειν.

κϛ΄. Ὅτι δεῖ ἡμᾶς ἀδιαλείπτως καὶ καθ᾽ ἑκάστην εὐχαριστεῖν τῷ Θεῷ.

κζ΄. Ὅτι δυνάμεθα, ἐὰν βουλώμεθα, καὶ ἐν βραχεῖ χρόνῳ τὰ ἁμαρτήματα ἡμῶν ἀπονίψασθαι, καὶ περὶ τοῦ μὴ μνησικακεῖν.

κη΄. Ὅτι οὐδέν ἐστι τὸ ἀντιπαλαιόμενον τῷ τοῦ Θεοῦ πράγματι, καὶ τούτου ἀπόδειξις τὸ τῶν ἀποστόλων κήρυγμα, ὅπως δι᾽ εὐτελῶν καὶ ὀλίγων ἐπλατύνθη εἰς πᾶσαν τὴν γῆν.

κθ΄. Ὅτι οὐ κακία περιγινομένων ἡμᾶς λυμαίνεται, οὔτε ἀρετὴ ὠφελεῖ, ἐὰν ῥᾳθυμῶμεν.

λ΄. Ὅτι χρὴ μετὰ τῆς νηστείας καὶ ἀδιαλείπτως εὔχεσθαι.

λα΄. Ὅτι δεῖ ἡμᾶς τὴν τοῦ Ἀβραὰμ προθυμίαν μιμήσασθαι, καὶ ὅτι οὐ δεῖ τὰ γήϊνα τῆς σωτηρίας τῆς ψυχῆς προτιμᾶν.

λβ΄. Περὶ τοῦ γενναίως φέρειν τοὺς πειρασμούς.

λγ΄. Περὶ ταπεινοφροσύνης.

λδ΄. Ὅτι βέβαιαι αἱ περὶ τῶν μελλόντων ὑποσχέσεις τοῦ Θεοῦ, καὶ περὶ τῆς τοῦ Θεοῦ εἰς ἡμᾶς ἀγάπης, καὶ ὅτι δεῖ οὐχ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ Θεῷ.

λε΄. Ὅτι πασῶν ἀρετῶν θεμέλιος ἡ ταπεινοφροσύνη, καὶ περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ ὅτι δεῖ τὸν πλοῦτον εἰς τοὺς πένητας ἀναλίσκειν μᾶλλον ἢ σωρεύειν.

λϛ΄ Ὁποῖα εἶσιν ἃ Θεὸς ἡμῖν ὑπέσχετο, καὶ ὅτι οὐ δεῖ πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀλύειν.

λζ΄. Περὶ τῆς τῶν πραγμάτων καταφρονήσεως, καὶ κατὰ ἀμετρίας, καὶ ὅτι δεῖ τὰ ἀναγκαῖα μόνον ζητεῖν.

λη΄. Περὶ τῆς ὁμονοίας καὶ ἀγάπης μετὰ γυναικὸς καὶ ἀνδρός.

λθ΄. Περὶ τῆς περιτομῆς κατὰ τῶν Ἰουδαίων.

μ΄. Περὶ ὑπομονῆς, καὶ ὅτι χρησίμως παρὰ Θεοῦ τὰ λυπηρὰ καὶ τὰ χρηστὰ ἐπιμὶξ τίθεται· καὶ ὅτι δεῖ τὸν Ἀβραὰμ μιμήσασθαι, καὶ τὰ θεῖα προστάγματα οὐ περιεργάζεσθαι· καὶ περὶ βαπτίσματος καὶ περιτομῆς· καὶ χρησίμως ἀναμεμίχθαι τοὺς πονηροὺς καὶ τοὺς ἀγαθούς.

μα΄. Περὶ φιλοξενίας.

μβ΄. Περὶ φιλοξενίας, καὶ περὶ Ἠλία καὶ τῆς χήρας.

μγ΄. Περὶ φιλοξενίας.

μδ΄. Ὅτι οἱ ἐνάρετοι καὶ ἐνταῦθα ὄντες, καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ὠφελείας ἡμῖν ὑπόθεσις γίνονται, καὶ περὶ τοῦ Ἰωσήφ.

με΄. Ὅτι τοῖς τὰ οὐράνια μελετῶσιν εὔκολα τὰ τοῦ βίου δύσκολα.

μϛ΄. Κατὰ φθόνου.

μζʹ. Περὶ ὑπεροχῆς.
μηʹ. Κατὰ τῆς αἰσχρᾶς ἐν τοῖς γάμοις πομπῆς.
μθʹ. Περὶ εὐχῆς.
νʹ. Κατὰ φιλαργυρίας.
ναʹ. Ὅτι δεῖ τῆς ἀρετῆς ἐπιμελεῖν, καὶ φεύγειν τὴν κακίαν.
νβʹ. Ὅτι δεῖ καὶ τοὺς ἐχθροὺς ἡμῶν ἀγαπᾷν.
νγʹ. Κατὰ ὀργῆς καὶ θυμοῦ.
νδʹ. Περὶ τῆς τῶν παρόντων καταφρονήσεως, καὶ τῶν οὐρανίων ἐπιμελείας.
νεʹ. Κατὰ ῥαθυμίας, καὶ εἰς τὸν ἅγιον Παῦλον· καὶ περὶ τῆς εἰς Θεὸν ἀγάπης, καὶ περὶ τῆς πρὸς τὸν πλησίον φιλοτιμίας· καὶ περὶ ἐλεημοσύνης.
νϛʹ. Ὅτι πάντων ἀσφαλεστάτη ἡ τοῦ Θεοῦ προστασία.
νζʹ. Ὅτι τοῖς τὴν ἄνωθεν εὔνοιαν ἐπισπωμένοις πάντα εὔκολα καὶ εὐμαθῆ.
νηʹ. Περὶ ἐπιεικείας καὶ ταπεινοφροσύνης.
νθʹ. Ὅτι πολλὴν δεῖ ποιεῖσθαι ἐπιμέλειαν περὶ τῆς τῶν νέων σωφροσύνης.
ξʹ. Περὶ ἀρίστης πολιτείας, καὶ ὅτι δεῖ ἡμᾶς ἑαυτοὺς ἐν ταῖς θλίψεσι καταδικάσαι.
ξαʹ. Περὶ τῆς ἀρετῆς, καὶ ὅτι οὐ δεῖ φεύγειν τὸ κακῶς πάσχειν, ἀλλὰ τὸ κακῶς ποιεῖν.
ξβʹ. Περὶ τῆς ἄνωθεν ῥοπῆς, καὶ πῶς δυνατὸν μεθ' ἑαυτῶν ἔχειν τὸν Κύριον.
ξγʹ. Περὶ ὑπομονῆς.
ξδʹ. Περὶ τῆς τοῦ Ἰωσὴφ ἀγάπης εἰς τοὺς ἀδελφούς.
ξεʹ. Περὶ ὑπομονῆς, καὶ ὅτι οὐ δεῖ πρὸς πειρασμοὺς ἀναπάλλειν.
ξϛʹ. Περὶ τοῦ ποίας δεῖ τοῖς παισὶ κληρονομίας καταλιμπάνειν, καὶ περὶ ἀρετῆς καὶ πλούτου.
ξζʹ. Ὅτι δεῖ τὴν τῶν παλαιῶν ἀρετὴν ζηλοῦν, καὶ πολλὴν αὐτῆς ποιεῖσθαι λόγον.

ΤΩΝ ΕΙΣ ΤΟΝ ΜΑΤΘΑΙΟΝ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

αʹ. Ὅτι δεῖ ταῖς θείαις γραφαῖς ἀναγινωσκομέναις ἀκριβῶς προσέχειν.
βʹ. Ὅτι δεῖ τὰ θεῖα μεριμνᾷν, καὶ τοῖς βιωτικοῖς μὴ προσηλῶσθαι, καὶ ταῖς θείαις γραφαῖς προσέχειν.
γʹ. Παραίνεσις πρὸς ταπεινοφροσύνην, καὶ πρὸς τὸ μὴ τὰ ἑαυτῶν κατορθώματα συνεχῶς περιστρέφειν.
δʹ. Παραίνεσις πρὸς τὴν ὀρθὴν πολιτείαν, καὶ κατὰ θυμοῦ καὶ κενοδοξίας· καὶ περὶ τελωνῶν παίδων, καὶ ὅτι δεῖ ἡμᾶς κατ' ἐκείνους τῇ χρυσῇ τοῦ μαμωνᾶ εἰκόνι μὴ προσκυνεῖν.
εʹ. Ὅτι τὸν ἐν τῇ οἰκείᾳ ἀρετῇ μὴ θαρροῦντα, ἀπὸ τῆς ἄλλων δικαίων ἐναρέτων οὐδὲν ἀπόλαυσαι· καὶ περὶ τῆς ἐλεημοσύνης.
ϛʹ. Ὅτι δεῖ ἡμᾶς ὅλους ἑαυτοὺς ἀνατιθέναι τῷ Θεῷ, καὶ περὶ τῆς κατανύξεως καὶ μετανοίας.
ζʹ. Κατὰ τῶν αἱρετικῶν καὶ Ἰουδαίων, καὶ περὶ τοῦ μὴ τῆς πρὸς τὸν Χριστὸν ἀφίξεως τὰ ἄναντα προοιμιάζειν.
ηʹ. Περὶ τῆς Αἰγυπτίων μοναχῶν εὐσεβείας, καὶ ὅτι δεῖ ἡμᾶς μιμεῖσθαι αὐτούς.
θʹ. Ὅτι ἡμᾶς ἀσεβεῖς ὄντας οὐδὲν ἡ τῶν προγόνων ἀρετὴ ὠφελεῖ, καὶ ὅτι οὐ δεῖ ἐπὶ πλούτῳ μέγα φρονεῖν.
ιʹ. Παραίνεσις πρὸς τὴν μετάνοιαν, καὶ πρὸς τὸ γενναίως φέρειν τοὺς πειρασμούς.
ιαʹ. Περὶ τοῦ ἀσβέστου τῆς γεέννης πυρός, καὶ ὅτι ἡμᾶς δεῖ πᾶσαν τὴν ἀρετὴν μετελθεῖν.
ιβʹ. Περὶ τοῦ μὴ δεῖν τὰ γήϊνα, ἀλλ' οὐράνια λογίζεσθαι.
ιγʹ. Ὅτι δεῖ γενναίως ταῖς τοῦ διαβόλου μηχαναῖς ἀντιπαλαίειν, καὶ ὅτι οὐ μάχεται τοῦ πρό-

τος βίου τὰ ἡμέτερα ἕστηκεν, ἀλλ' ὅτι μετὰ τὴν ἐντεῦθεν ἄφιξιν ἔστι καὶ δικαστήριον καὶ κρίσις, καὶ γέεννα, καὶ οὐρανός.

ιδ'. Περὶ τοῦ μὴ τὰ τῆς ψυχῆς νοσήματα ἀμελεῖν, καὶ ὅτι μὴ ἐν τῷ νῦν διορθουμένους τὰ ἁμαρτήματα, οὐ δυνατὸν ἐκεῖ εὐθύνας διαφυγεῖν.

ιε'. Ὅτι οὐ δεῖ ἡμᾶς κακῶς ἀκούοντας ἀνθυβρίζειν, καὶ περὶ τῆς τῶν προσόντων καταφρονήσεως, καὶ ὅτι οὐ δεῖ τοὺς ἁμαρτάνοντας ἀμελεῖν, ἀλλὰ τὸ ἐν ἡμῖν, διορθοῦσθαι.

ις'. Ὅτι τῷ τὰ θεῖα μεθέποντι οὐ φορτικὸν ἡ ἀρετή.

ιζ'. Ὅτι δεῖ ἡμᾶς πλέον τι τῶν παλαιῶν ἐπιδείξασθαι ἐπιταγμάτων, καὶ ὅτι τοῦτο τοῖς βουλομένοις εὔκολον.

ιη'. Περὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης, καὶ περὶ τοῦ μὴ ἀναμένειν τοὺς λυποῦντας πρώτους προσειπεῖν.

ιθ'. Περὶ τοῦ μὴ δεῖν κατὰ τῶν ἐχθρῶν Θεῷ ἐντυγχάνειν.

κ'. Κατὰ τῆς ἀτάκτου τῶν χρημάτων ἐπιθυμίας.

κα'. Ὅτι τὰ ἐπιτάγματα οὐκ ἔστιν ἀδύνατα τοῖς βουλομένοις, καὶ ὅτι πολλοί εἰσι τῶν κατορθούντων αὐτά.

κβ'. Περὶ τῆς ῥᾳθυμίας, καὶ τῆς ἐν εὐχαῖς προσεδρείας.

κγ'. Ὅτι τῆς γεέννης πικροτέρα ἡ τῆς μελλούσης δόξης ἔκπτωσις.

κδ'. Οὗτος ὁ λόγος οὐκ ἔχει κατ' ἔθος ἠθικόν τι.

κε'. Περὶ τῆς εὐεργεσίας, καὶ πρὸς τὸ τέλος περὶ τοῦ μὴ δεῖν ἡμᾶς ἑαυτοὺς ἀγνοεῖν.

κς'. Ὅτι οὐ δεῖ μέχρι τέλους θαρρεῖν τὸν ἑστῶτα, οὔτε ἀπογινώσκειν ἑαυτοῦ τὸν πεπτωκότα.

κζ'. Ὅτι χρὴ πάντων τῶν ἀναγκαιοτάτων τὰ πνευματικὰ προτιθέναι, καὶ ὅτι πολὺ τοῦ νεκροῦ ὁ πονηρῶς ζῶν μᾶλλον τέθνηκε.

κη'. Ὅτι οἱ ἀκόλαστοι καὶ φιλάργυροι οὐδὲν τῶν δαιμονώντων διενηνόχασι.

κθ'. Παραίνεσις πρὸς τὴν ἐπιείκειαν ἐν ταῖς ἐπιτιμήσεσι.

λ'. Περὶ τοῦ, ὅτι δεῖ τοὺς ἄνδρας μετὰ πάσης μακροθυμίας γυναῖκας τὰς ἀνοήτους διορθοῦν.

λα'. Περὶ τοῦ μὴ σφοδρῶς θρηνεῖν τοὺς τελευτῶντας.

λβ'. Ὅτι δεῖ τοὺς ἁγίους καὶ τοὺς ἱερεῖς εὐσεβῶς ὑποδέχεσθαι, καὶ ὅτι τὸν ἐναρέτως ζῶντα οἱ Ἕλληνες μᾶλλον τοῦ θαυματουργοῦντος θαυμάζουσι.

λγ'. Ὅτι δεῖ ἡμᾶς πρὸς θλίψεις γενναίως ἑστάναι, καὶ περὶ τοῦ Ἰὼβ, καὶ Ἰωσήφ, καὶ τῶν τριῶν παίδων.

λδ'. Ὅτι οὐκ ἔστι δεινὸν θάνατος, καὶ ὅτι χρησίμως τὰ νεκρῶν σώματα σήπονται.

λε'. Παραίνεσις πρὸς τὴν ἐλεημοσύνην, καὶ ὅτι οὐ δεῖ τὸν τῶν πενήτων βίον περιεργάζεσθαι.

λς'. Κατὰ τῶν τῇ προνοίᾳ διαπιστούντων· καὶ ὅτι ὁ ἐν τῷ νῦν ἁμαρτών, καὶ ἐν τῷ νῦν καὶ ἐκεῖ διπλῶς κολάζεται.

λζ'. Περὶ τοῦ μὴ δεῖν εἰς θέατρα ἀναβαίνειν, καὶ ὅτι πολλὰ ἐντεῦθεν τὰ κακὰ ἀναφύονται.

λη'. Ὅτι κοῦφος ὁ τῆς ἀρετῆς ζυγός, ὁ δὲ τῆς ἁμαρτίας φορτικώτατος.

λθ'. Κατὰ πλεονεξίας, καὶ ὅτι οὐ δύσκολα τὰ τοῦ Χριστοῦ προστάγματα.

μ'. Κατὰ βασκανίας, καὶ ὅπως δεῖ ἀπαλλάττεσθαι τῆς πονηρίας ταύτης, καὶ ὅτι αἱ τιμαὶ τοῖς μὴ προσέχουσι μεγάλα φέρουσι κακά, καὶ κατὰ κενοδοξίας.

μα'. Ὅτι δεῖ ἡμᾶς ἑαυτοὺς ἐν τῷ νῦν δίκην ἀπαιτεῖν τῶν ἡμαρτημένων.

μβ'. Ὅτι δεῖ τοὺς κακηγοροῦντας καὶ ἀδικοῦντας γενναίως φέρειν· καὶ περὶ Δαβὶδ καὶ Σαοὺλ, καὶ ὅτι δεῖ ἡμᾶς, οὐ τῶν ἄλλων ἁμαρτήματα ἐξετάζειν.

μγ'. Περὶ τῆς τῆς γεέννης κολάσεως, καὶ ὅτι ὠφέλιμον τὸ περὶ γεέννης ἀκούειν· καὶ προτροπὴ πρὸς τὴν ὀρθὴν πολιτείαν.

μδ'. Κατὰ πλούτου καὶ τρυφῆς.
με'. Ὅτι δεῖ μετὰ τῶν δεόντων τὰ ὑπάρχοντα μερίζειν.
μϛ'. Ὅτι βίος ἐνάρετος τῶν θαυμάτων λαμπρότερος.
μζ'. Περὶ ταπεινοφροσύνης, καὶ ὅτι αὕτη πασῶν ἀρετῶν κεφαλή· καὶ περὶ ἐλεημοσύνης.
μη'. Κατὰ συμποσίων καὶ δείπνων πολυτελῶν, καὶ ὅτι δεῖ Χριστὸν καὶ πένητας συσσίτους ποιεῖν.
μθ'. Ὅτι τῷ πλούτῳ εἰς δέον κεχρῆσθαι, τέχνη πασῶν καλλίστη, καὶ κατὰ τῆς ἐν ἱματίοις καὶ ὑποδήμασιν ἀσωτίας.
ν'. Ὅτι μετ' εὐλαβείας καὶ μετὰ φόβου καὶ πίστεως τοῖς θείοις μυστηρίοις προσέρχεσθαι, καὶ ὅτι μᾶλλον δεῖ τοὺς πένητας θεραπεύειν, ἢ ταῖς ἐκκλησίαις χρυσᾶ καὶ ἀργυρᾶ κειμήλια δοῦναι.
να'. Ὅτι οὐχ οἱ ἔξω ῥύποι, ἀλλ' οἱ ἔσω τὸν ἄνθρωπον κοινοῦσι, καὶ ὅτι ὁ ἀδικῶν μάλιστα ἑαυτὸν ἀδικεῖ.
νβ'. Ὅτι τέχνη, καὶ ἀμείνων πασῶν τεχνῶν ἡ ἐλεημοσύνη.
νγ'. Ὅτι οὐδὲ τὰ λυπηρά, οὐδὲ τὰ χρηστὰ μόνιμα εἶναι ἀφίησιν ὁ Θεός, καὶ ταῦτα χρησίμως.
νδ'. Ὅτι οὐ δεῖ τὸν τίμιον σταυρὸν αἰσχύνεσθαι, καὶ περὶ τῆς εἰς πένητας φιλανθρωπίας, καὶ εἰς τὸ ῥητὸν τοῦ προφήτου, Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου.
νε'. Ἔπαινος τῶν μοναχῶν, ἐν ᾧ καὶ τοῦ αὐτῶν μετὰ δεῖπνον λόγου εὐχαριστικοῦ μέμνηται, ὃν καὶ διὰ πλάτους ἐξηγεῖται.
νϛ'. Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ ὅτι εὔκολον μὲν ἡ ἀρετή, βαρὺ δὲ ἡ κακία· καὶ κατὰ τοῦ τόκου.
νζ'. Περὶ εὐχῆς καὶ νηστείας, καὶ κατὰ τρυφῆς καὶ μέθης.
νη'. Περὶ ἀπονοίας, καὶ ὅτι ὁ τοῖς βιωτικοῖς ἐμπεπλεγμένος, πάντων ἐστὶ δουλικώτατος.
νθ'. Ὅτι οὐ τῆς ἑαυτῶν μόνον, ἀλλὰ καὶ τῆς τῶν πλησίον σωτηρίας ἐπιμελεῖσθαι χρή, καὶ κατὰ πονηρῶν ἐπιθυμιῶν, καὶ προτροπὴ πρὸς τοὺς πατέρας περὶ τοῦ ῥυθμίζειν τοὺς ἑαυτῶν παῖδας, καὶ κατὰ φιλαργυρίας.
ξ'. Περὶ τῆς διὰ τὸν Χριστὸν ἀγάπης, καὶ ὅτι αὕτη πάσης ἄλλης βεβαιοτέρα.
ξα'. Περὶ μνησικακίας.
ξβ'. Ὅτι δεῖ ἡμᾶς τὴν τῶν παιδίων ἁπλότητα μιμεῖσθαι, καὶ περὶ τοῦ Δαβίδ, καὶ κατὰ κενοδοξίας καὶ φιλοκερδείας.
ξγ'. Περὶ τοῦ τῶν χρημάτων ἔρωτος.
ξδ'. Ὅτι οὐ τὴν πίστιν μόνον, ἀλλὰ καὶ βίον ὀρθὸν ἐπιδείκνυσθαι χρή· καὶ ὅτι πᾶσαν ἀρετὴν ἔχειν δεῖ, καὶ ὅτι τὰ ἑαυτῶν βλέπειν, καὶ οὐ τὰ τῶν ἄλλων μεριμνᾶν χρή.
ξε'. Περὶ ταπεινοφροσύνης, καὶ ἀλαζονείας.
ξϛ'. Περὶ ἐλεημοσύνης.
ξζ'. Ὅτι οὐ χρὴ ἀπογινώσκειν τὸν πεπτωκότα, οὐδὲ θαρρεῖν τὸν ἑστῶτα.
ξη'. Ὅτι ὁ τῶν μοναχῶν βίος, τοῦ δοκοῦντος εἶναι προσηνοῦς καὶ ἁπαλωτέρου ποθεινότερός ἐστι.
ξθ'. Ὅτι ψυχὴν μᾶλλον ἢ σῶμα καλλωπίζειν χρή, καὶ τί ἐστι τὸ ἔνδυμα γάμου, καὶ περὶ τῶν μοναχῶν.
ο'. Πάλιν περὶ τῆς τῶν μοναχῶν θαυμαστῆς ἀσκήσεως.
οα'. Περὶ κενοδοξίας.
οβ'. Περὶ τῆς τῶν μοναχῶν ταπεινοφροσύνης.
ογ'. Ὅτι ὁ τὴν ψυχὴν ῥυπωθεὶς μᾶλλον τοῦ νεκροῦ δυσώδης ἐστί, καὶ ἐπιτίμησις κατὰ τῶν ἐν τῷ ναῷ τὰ γυναικῶν κάλλη περιεργαζομένων, καὶ τῶν ἐν τοῖς γάμοις χρήματα μᾶλλον, ἢ τρόπων ἐπιείκειαν ἐπιζητούντων.

οδ'. Περὶ τοῦ μὴ ἀμελεῖν τῆς τῆς ψυχῆς νόσου· καὶ ὅτι ἰατροὶ τῶν τὰς ψυχὰς νοσούντων κάλλιστοί εἰσιν οἱ ἀπόστολοι καὶ προφῆται.

οε'. Περὶ τῆς προνοίας, κατὰ τῶν τὴν γένεσιν ἐπεισποιούντων, καὶ ὅτι τῶν ἁμαρτημάτων πολλαί εἰσι καὶ διάφοροι κολάσεις.

ος'. Περὶ τῆς μελλούσης κρίσεως, καὶ ὅτι κοῦφα τὰ τοῦ Χριστοῦ προστάγματα, καὶ περὶ τῆς τῶν πραγμάτων ματαιότητος.

οζ'. Ὅτι δεῖ οὐ τὴν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὴν τῶν πλησίον σωτηρίαν μεριμνᾶν.

οη'. Περὶ τῆς αὐτῆς πραγματείας, καὶ ὅπως δυνατὸν τὴν γλῶτταν καὶ στόμα τῇ τοῦ Χριστοῦ γλώττῃ καὶ στόματι ἐοικότα ἔχειν.

οθ'. Πῶς δεῖ τὸν Χριστὸν μιμεῖσθαι, καὶ κατὰ τῆς μνησικακίας.

π'. Ὅτι δεῖ τοὺς ἁμαρτάνοντας συνεχῶς νουθετεῖν, καὶ κατὰ φιλαργυρίας.

πα'. Ὅτι οἱ φιλάργυροι τῶν δαιμονώντων χαλεπώτεροι.

πβ'. Ὅτι δεῖ μετὰ πάσης εὐσεβείας καὶ καθαρότητος τοῖς φρικτοῖς μυστηρίοις προσέρχεσθαι.

πγ'. Κατὰ πλεονεξίας καὶ φιλαργυρίας.

πδ'. Ὅτι οὐ πανταχοῦ καλὸν τὸ νικᾶν, ἀλλ' ἔστιν ὅπου τὸ νικᾶσθαι βέλτιον, καὶ περὶ τοῦ Ἰωσήφ.

πε'. Περὶ τοῦ μὴ ἐκ πλεονεξίας ἐλεημοσύνην ποιεῖν, καὶ διότι οἱ ἱερεῖς τὰ βιωτικὰ μεταχειρίζονται.

πς'. Ὅτι δεῖ ταῖς ἀτόποις ἐπιθυμίαις καὶ πλημμελήμασι τὴν εἴσοδον ἀποτειχίζειν.

πζ'. Ὅτι δεῖ ἡμᾶς τοὺς ὑβρίζοντας γενναίως φέρειν.

πη'. Περὶ ἐλεημοσύνης καὶ φιλανθρωπίας, καὶ ἐπιτίμησις κατὰ τῶν περὶ βιωτικῶν ἐν τῇ ἐκκλησίᾳ φθεγγομένων.

πθ'. Κατὰ τῶν γυναικῶν χρυσοφορουσῶν.

ϙ'. Ὅτι οὐδὲν τῶν Χριστοῦ ἐπιταγμάτων δύσκολον, καὶ κατὰ φιλαργυρίας, καὶ ἔπαινος τῆς πενίας.

ΤΩΝ ΕΙΣ ΤΟΝ ΙΩΑΝΝΗΝ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Περὶ τοῦ Ἰωάννου, καὶ τῆς αὐτοῦ γραφῆς, καὶ ὅτι τὰ θεῖα λόγια πάντων ἐστὶ τιμιώτερα· καὶ ὅτι εὔκολος, ἐὰν βουλώμεθα, ἡ ἀπὸ τῶν ἁμαρτημάτων μεταβολή, καὶ ὅτι δεῖ εὐσεβῶς τοῖς ἁγίοις προσέρχεσθαι μυστηρίοις.

β'. Ὅτι δεῖ τοὺς ἐν ἐκκλησίᾳ εἰσιόντας ἀκριβῶς προσέχειν τοῖς λεγομένοις, καὶ ἀπέχεσθαι μερίμνης πάσης βιωτικῆς.

γ'. Κατὰ κενοδόξων.

δ'. Περὶ τοῦ δεῖν ἡμᾶς εὐχαριστεῖν ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Κυρίου, καὶ περὶ ὀργῆς.

ε'. Ὅτι καὶ ἡ ἁμαρτία σκότος ἐστί, καὶ περὶ τῆς αἰωνίου κολάσεως.

ς'. Ὅτι οὐδὲν ἡμῖν ὄφελος δόγματα ἔχειν ὀρθά, ἐὰν ἔργα ἔχωμεν διεστραμμένα.

ζ'. Περὶ τοῦ μὴ περιεργάζεσθαι, ἀλλὰ πιστεύειν τοῖς ὑπὸ τῆς γραφῆς εἰρημένοις, καὶ μνημονεύειν τῶν οἰκείων ἁμαρτιῶν.

η'. Περὶ φιλοχρηματίας, καὶ ὅτι οἱ τοιοῦτοι οὐ τῷ Θεῷ, ἀλλὰ τῷ μαμμωνᾷ δουλεύουσι.

θ'. Κατὰ ὑπερηφάνων.

ι'. Περὶ τοῦ μηδὲν ἐκ τοῦ ἁγίου βαπτίσματος ὠφελεῖσθαι τοὺς μὴ ὀρθῶς βιοῦντας.

ια'. Ὅτι ὀρθῶς βιοῦντες οὐχὶ τῷ Θεῷ, ἀλλ' ἑαυτοῖς χαριζόμεθα.

ιβ'. Περὶ τοῦ καλοῦ βίου, καὶ τῆς αἰωνίου κολάσεως· καὶ ἄλλως, ὅτι ὀρθοῦ ἡμῖν βίου χρεία, ὡς μηδενὸς ἑτέρου δυναμένου ἡμᾶς ἐξελέσθαι τῆς κολάσεως.

ιγ'. Περὶ ἐλεημοσύνης, καὶ τοῦ μὴ δεῖν γίνεσθαι ταύτην ἐκ πλεονεξίας.

ιδ'. Προτροπὴ πρὸς τὸν ἐνάρετον βίον, καὶ διαφορὰ τῶν διδομένων ἡμῖν καὶ Ἰουδαίοις χαρισμάτων.

ιε'. Περὶ τῆς εἰς ἀλλήλους ἀγάπης· καὶ ἄλλως, ὅτι οὐ δεῖ τὰ ἑαυτοῦ μόνον ζητεῖν, ἀλλὰ καὶ τὰ τῶν πλησίον.

ις'. Περὶ ἀκτημοσύνης καὶ πλούτου καὶ ἐλεημοσύνης.

ιζ'. Ὅτι δεῖ εἰδέναι ἀκριβῶς τὰ περὶ πίστεως, ὥστε δύνασθαι καὶ πρὸς τοὺς ἐρωτῶντας ἀποκρίνασθαι.

ιη'. Ὅτι πᾶς καιρὸς ἐπιτήδειος πρὸς θείαν ἀκρόασιν, καὶ ὅτι δεῖ φεύγειν τὰς βλαβερὰς συντυχίας.

ιθ'. Ὅτι δεῖ κεχρῆσθαι εἰς δέον τῷ πλούτῳ, καὶ μὴ καταχωννύειν αὐτόν.

κ'. Ὅτι οὐ δεῖ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ ἀγαπᾷν τὸν Θεόν.

κα'. Ὅτι δεῖ πρὸς σωτηρίαν καὶ πίστεως καὶ ὀρθοῦ βίου, καὶ ὅτι οὐκ ἀρκεῖ τοιούτους ἐσχηκέναι γονέας.

κβ'. Κατὰ γαστριμάργων.

κγ'. Περὶ ἐλεημοσύνης.

κδ'. Περὶ τοῦ μὴ λογισμοῖς ζητεῖν τὰ τοῦ Θεοῦ, ἀλλὰ τῇ πίστει.

κε'. Πρὸς τοὺς κατηχουμένους, καὶ περὶ ἐλεημοσύνης.

κς'. Κατὰ ὀργιζομένων, καὶ ὅτι οὐ δεῖ μετὰ κραυγῆς, ἀλλὰ μεθ' ἡσυχίας διαλέγεσθαι.

κζ'. Περὶ φιλοπτωχίας.

κη'. Κατὰ κενοδόξων.

κθ'. Κατὰ κενοδόξων.

λ'. Ὅτι δεῖ τὰς θείας γραφὰς μετ' ἀκριβείας ἐρευνᾶσθαι, καὶ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς.

λα'. Περὶ ὀρθοῦ βίου.

λβ'. Προτροπὴ πρὸς τὴν τῶν θείων γραφῶν ἀνάγνωσιν.

λγ'. Ὅτι μεγάλα ἡμῖν ὠφελεῖ ἡ πραότης, καὶ ὅτι αὐτὴν ἔχων ὁ εὐαγγελιστὴς Ἰωάννης ἠγαπᾶτο παρὰ Χριστοῦ.

λδ'. Ὅτι δεῖ τοὺς μετανοοῦντας μὴ μόνον ἐν τῇ πράξει μετανοεῖσθαι, καὶ ἀφίστασθαι, ἀλλὰ καὶ ἐν τῇ γνώμῃ τὰ ἐναντία ποιεῖν ὧν ἥμαρτεν.

λε'. Ὅτι ἐπὶ πᾶσι τοῖς συμβαίνουσιν ἡμῖν δεῖ εὐχαριστεῖν.

λς'. Περὶ τοῦ μὴ δεῖν ἐκκακεῖν ἐν ταῖς εὐχαῖς, καὶ διὰ τί ὁ Θεὸς ἐπίπονον ἡμῖν ἔδωκε βίον.

λζ'. Περὶ βασκανίας, καὶ ὅτι χεῖρόν ἐστι πάντων τῶν ἁμαρτημάτων.

λη'. Περὶ τοῦ μὴ προεδρίας ἐρᾷν, καὶ κατὰ κενοδοξίας.

λθ'. Περὶ ἀμνησικακίας καὶ ἐλεημοσύνης, καὶ ὅτι οὐ δεῖ μόνον ἡμᾶς ἁπλοῦς, ἀλλὰ καὶ φρονίμους εἶναι ἐν τοῖς δόγμασι καὶ ἐν τῷ βίῳ.

μ'. Ὅτι τέλειός ἐστιν ὁ πάσας τὰς ἐντολὰς ποιῶν, καὶ κατὰ φιλαργυρίας, καὶ περὶ ἐλεημοσύνης.

μα'. Ὅτι οὐδὲν οὕτω φρονίμους ποιεῖ ὡς ἀρετή, καὶ ὅτι πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τὴν ἀρχήν.

μβ'. Περὶ τοῦ μηδὲν εἶναι τὴν βιωτικὴν δόξαν, καὶ περὶ τῶν κακῶς συναγόντων, καὶ κακῶς δαπανώντων.

μγ'. Ὅτι χρὴ τὰ πνευματικὰ μᾶλλον, ἀλλ' οὐ τὰ βιωτικὰ παρὰ τοῦ Θεοῦ αἰτεῖν· καὶ ὅτι ἡ δεσποτικὴ εὐχή, τό, ΠΑΤΕΡ ΗΜΩΝ, πνευματική ἐστι, καὶ ὅτι οἱ ἄδικοι οὐκ ἐκ τοῦ Θεοῦ πλουτοῦσι.

μδ'. Περὶ τοῦ μηδὲν εἶναι τὰ δοκοῦντα λαμπρὰ τοῦ παρόντος βίου.

με'. Ὅτι ἡ τῆς ἀναστάσεως καὶ κρίσεως μνήμη τὰς ἀτόπους ὁρμὰς ἐκκόπτει, καὶ περὶ εἱμαρμένης, καὶ ὅτι ἐγγὺς τὸ τέλος. (κόλασις.

μς'. Περὶ τῆς τῶν ἁγίων μυστηρίων μεταλήψεως, καὶ ὅτι τοῖς ἀξίοις σωτηρία ἐστίν, ὥσπερ τοῖς ἀναξίοις

μζ'. Περὶ

ΠΙΝΑΞ ΤΩΝ ΗΘΙΚΩΝ

μζ'. Περὶ φιλαργυρίας, καὶ τῆς τοῦ πλούτου ματαιότητος.

μη'. Περὶ ταπεινοφροσύνης, καὶ κατὰ ὀργῆς.

μθ'. Ὅτι δεῖ τὸ δίκαιον πάντα καιρὸν ἀκέραιον φυλάττειν, καὶ ὅτι ἡμᾶς τῶν ἄλλων ἡ ἀρετὴ οὐδὲν ὠφελήσει ἀπὸ τῶν οἰκείων ἔργων προδεδομένους.

ν'. Ὅτι οὐκ ἔστιν ἀπελθεῖν ὅπου Χριστός ἐστι τὸν ἁμαρτημάτων γέμοντα, καὶ πῶς τὸ πνεῦμα σβέννυται.

να'. Ὅτι οὐ δεῖ τὸν ἐχθρὸν ἀμύνασθαι.

νβ'. Ὅτι δεῖ τὸν υἱὸν δοξάζειν, καὶ ὅτι χρὴ καὶ φῶς καὶ ἅλας εἶναι τὸν χριστιανόν.

νγ'. Ὅτι τὸ ταῖς θείαις γραφαῖς ἀκριβῶς προσέχειν, μέγα ὄφελος, καὶ ὅτι ὁ τοῦτο ποιῶν ἀδεῶς τὰ βιωτικὰ διαπλεύσει.

νδ'. Ὅτι καλὸν ἁρπάζειν, ἀλλ' οὐκ ἀπολλύμενα, ἀλλὰ τὰ αἰώνια, καὶ πῶς δεῖ τοῦτο ποιεῖν.

νε'. Κατὰ βασκανίας.

νς'. Ὅτι μέγα φῶς ὁ βίος ὀρθός, καὶ ὅτι οὐ δεῖ ἐπὶ γῆς, ἀλλ' ἐν οὐρανοῖς οἰκοδομεῖν.

νζ'. Ὅτι δεῖ τὴν τῶν πονηρῶν ἀνδρῶν συνουσίαν φεύγειν.

νη'. Περὶ τῆς τῶν θείων γραφῶν ἀναγνώσεως, καὶ κατὰ θεάτρων καὶ ἱπποδρομιῶν, καὶ ὅτι πάντως μᾶλλον ἀφειδεῖν χρή, ἢ χρόνου.

νθ'. Κατὰ φιλοχρηματίας, καὶ περὶ τῆς εἰς πένητας φιλανθρωπίας.

ξ'. Ὅτι δεῖ συνεχῶς τὰ ἁμαρτήματα πενθεῖν, καὶ ὅτι τοῦτο ἡμᾶς ἐλεήμονας καὶ φιλανθρώπους ποιεῖ, καὶ ὅτι οὐ δεῖ τὰ τῶν ἄλλων ἐξετάζειν.

ξα'. Ὅτι γυνὴ σωφρονοῦσα μάλιστα τὸν ἄνδρα ῥυθμίζει, καὶ περὶ τοῦ μὴ χρυσοφορεῖν, μηδὲ πολυτελῆ ἱμάτια ἐπιζητεῖν.

ξβ'. Κατὰ γυναικῶν ἀμέτρως πενθουσῶν τοὺς τεθνηκότας.

ξγ'. Περὶ πίστεως, καὶ κατὰ μοιχείας.

ξδ'. Κατὰ βασκανίας, καὶ ὅτι θηριῶσι ὁ φθονῶν καιρός.

ξε. Κατὰ φιλαργυρίας.

ξς'. Περὶ ἀναστάσεως κατὰ αἱρετικῶν καὶ φιλοσόφων.

ξζ'. Ὅτι πάντα δεῖ ποιεῖν, ὥστε ὄνομα Θεοῦ μὴ βλασφημεῖσθαι.

ξη'. Ὅτι δεῖ τοὺς ἀδελφούς, ὅσῳ ἂν κακῶς διακειμένους ἴδωμεν, θεραπεύειν μᾶλλον.

ξθ'. Κατὰ κενοδοξίας, καὶ περὶ τῆς ἐλεημοσύνης.

ο'. Περὶ τῆς τῶν χηρῶν προστασίας.

οα'. Περὶ μνησικακίας καὶ μακροθυμίας, καὶ περὶ τοῦ Ἰωσήφ.

οβ'. Περὶ τῆς ἀγάπης καὶ βίου ὀρθοῦ, καὶ ὅτι ταῦτα μάλιστα τοὺς Ἕλληνας ἐντρέπει.

ογ'. Περὶ καθαρότητος· καὶ ὅτι ἀπὸ τῆς ἁρπαγῆς καὶ πλεονεξίας οὐ χρὴ τὴν ἐλεημοσύνην ποιεῖν.

οδ'. Κατὰ φιλαργυρίας.

οε'. Περὶ τῆς τοῦ πνεύματος ἐνεργείας, καὶ ὅτι αὕτη τοὺς ἐν γῇ ὄντας τοῖς ἀγγέλοις ἴσους ἀπεργάζεται.

ος'. Περὶ τῆς τοῦ Χριστοῦ εἰς ἡμᾶς ἀγάπης, καὶ τῆς τῶν παρόντων καταφρονήσεως.

οζ'. Ὅτι ἡ εἰς τὸν Χριστὸν ἀγάπη πάντα φορητὰ ποιεῖ· καὶ περὶ ἐλεημοσύνης.

οη'. Περὶ ὁμονοίας καὶ ἀγάπης.

οθ'. Περὶ τοῦ ὅπως δεῖ τὸν κόσμον νικᾶν, καὶ ὅτι χρὴ πράως τὴν ὕβριν φέρειν.

π'. Ὅτι χρὴ διὰ τὴν τῶν οὐρανῶν βασιλείαν τῶν παρόντων καταφρονῆσαι, καὶ ὅτι τὸ μηδενὸς δεῖσθαι, τοῖς ἀγγέλοις ἴσους ἡμᾶς ποιεῖ.

πα'. Ὅτι δεῖ τῶν παρόντων καταφρονεῖν, καὶ προτροπὴ πρὸς τὴν ἐλεημοσύνην.

πβ'. Περὶ τῆς εὐποιΐας καὶ ἐλεημοσύνης.

πγ'. Περὶ

πγʹ. Περὶ τοῦ γενναίως φέρειν τὰς ὕβρεις.

πδʹ. Περὶ τῆς αὐτῆς πραγματείας, καὶ ὅτι τοὺς Ἕλληνας τοὺς χριστιανοὺς ἐν πολλοῖς κατακοντίζουσι, καὶ περὶ τοῦ μὴ προσέχειν τοῖς βιωτικοῖς.

πεʹ. Κατὰ τῆς ἐν ταῖς ταφαῖς πολυτελείας.

πϛʹ. Περὶ τῆς τῶν ἱερέων ἀξίας, καὶ ὅτι δεῖ τοὺς ἱερεῖς, κἂν ἀνάξιοι ὦσι καὶ τὸν βίον διαβεβλημένοι, θεραπεύειν καὶ ἀποδέχεσθαι.

πζʹ. Ὅτι ἡ τῶν οὐρανίων μέριμνα καὶ ἡ εἰς τὸν Χριστὸν ἀγάπη τὰ λυπηρὰ ἡμῖν κοῦφα κατασκευάζει, καὶ κατὰ φιλοχρηματίας.

πηʹ. Ὅτι κοῦφα τὰ πνευματικὰ καὶ χρηστῶν ἐλπίδων γέμοντα, ἡ δὲ ἁμαρτία βαρὺ καὶ φορτικόν.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

Περὶ τοῦ διδάσκειν τήν τε γυναῖκα, καὶ τὰ παιδία, καὶ τοὺς ἐν τῇ οἰκίᾳ πάντας, καὶ φίλους, καὶ συγγενεῖς, καὶ γείτονας, καὶ μὴ προφασίζεσθαι ἰδιωτείαν.

αʹ. Περὶ ἀγάπης Θεοῦ, καὶ υἱοθεσίας, καὶ ὅτι τὰ παρὰ τοῦ Θεοῦ δωρούμενα ἀξιώματα, βέβαια καὶ μετὰ θάνατον μένει, τὰ δὲ τῶν ἀνθρώπων οὐχ οὕτω, καὶ ὅτι δεῖ φεύγειν πονηρίαν.

βʹ. Πρὸς αἱρετικοὺς περὶ ἀκαταλήπτου, καὶ ὅτι δεῖ πάντα πίστει δέχεσθαι, καὶ μὴ λογισμοῖς, μηδὲ λόγον ζητεῖν τῶν ἐπιταγμάτων τοῦ Θεοῦ, ἀλλὰ πείθεσθαι μόνον.

γʹ. Περὶ ἀνεξικακίας καὶ μακροθυμίας, καὶ ὅτι δεῖ πάντων κρατεῖν τῶν παθῶν.

δʹ. Περὶ παιδεραστῶν, μαλακῶν, καὶ πόσων ἄξιοι κακῶν, καὶ περὶ τῶν κακῶς βιούντων ἀνδρῶν τε καὶ γυναικῶν, καὶ περὶ γεέννης, καὶ κρίσεως, καὶ ἀπόδειξις ἐκ τῶν ἐν Σοδόμοις, καὶ ὅτι δεῖ μὴ τρυφᾶν, ἀλλὰ κατὰ νοῦν ἔχειν ἀεὶ τὸν τοῦ Θεοῦ φόβον.

εʹ. Περὶ κρίσεως καὶ κολάσεως, καὶ περὶ τῆς τούτων ἀπαλλαγῆς, καὶ περὶ τῆς εἰς τὸν Θεὸν ἀγάπης.

ϛʹ. Περὶ διδασκάλων, ὅτι δεῖ μετὰ τοῦ λόγου καὶ ἀρετῆς ἐπιμελεῖσθαι.

ζʹ. Περὶ ἀγάπης, καὶ ὅτι οὐ δεῖ βασκαίνειν καὶ φθονεῖν εὐδοκιμοῦντι τῷ ἀδελφῷ, καὶ περὶ ἐλεημοσύνης.

ηʹ. Περὶ τοῦ δεῖν δοξάζειν τὸν Θεὸν δι᾽ ἔργων, καὶ πίστεως, καὶ ὅτι δεῖ πᾶσαν φεύγειν ἁμαρτίαν δι᾽ ἧς ὁ Θεὸς βλασφημεῖται, καὶ ὅτι ὁ Θεὸς οὐ δεόμενος, οὐδὲ δοξάζεσθαι βουλόμενος, ἐπιζητεῖ τὰ παρ᾽ ἡμῶν, ἀλλὰ διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ ὅτι ἐὰν μὴ ἑαυτοὺς ἐκδῶμεν τῇ ἁμαρτίᾳ, οὐ τολμᾷ προσελθεῖν ἡμῖν ὁ διάβολος, καὶ ὅτι δεῖ τὴν ἁγίαν αἰδεῖσθαι τράπεζαν, ἧς κοινῇ πάντες μετέχομεν.

θʹ. Περὶ τοῦ μὴ πενθεῖν ἐπὶ τῇ ἀποβολῇ τῶν προσόντων, ἀλλ᾽ ἐπὶ τῷ Κυρίῳ ἐλπίζειν.

ιʹ. Περὶ ἀρίστου βίου, καὶ ὅτι οἱ ἐν ἁμαρτίᾳ ζῶντες, εὐρίπιστοί τε εἰσι, καὶ εὐεπηρέαστοι, καὶ ὅτι ὁ ἐπηρεαζόμενος, καὶ ἀποστερούμενος τῶν ἰδίων, ἂν εὐχαρίστως φέρῃ, τοῖς εἰς πένητας αὐτὰ ἀναλώσασι τὸν αὐτὸν τεύξεται μισθόν.

ιαʹ. Περὶ διαφορᾶς νεκρότητος τρόπων, καὶ κατὰ φιλαργύρων καὶ πλεονεκτῶν.

ιβʹ. Περὶ ἀρετῆς, καὶ κακίας, καὶ πόσα μὲν ἀγαθὰ τῇ ἀρετῇ παρέπεται, πόσα δὲ κακὰ τῇ κακίᾳ, καὶ ὅτι καὶ ἐν τῷ παρόντι πλείονα ἡδονὴν ἔχει ἡ ἀρετὴ κατορθουμένη, καὶ ἡ κακία θορύβους, ἐπικινδύνους οὖσα καὶ ἐπωδύνους· ἀπόστηται δὲ δυνάμει τῆς κακίας, ἔτι καὶ τὰ μικρὰ τῶν πλασμάτων ἡμῶν ῥεῖ παραδραμών.

ιγʹ. Περὶ τῶν ἐν ἀρετῇ καὶ ἀσκήσει βιούντων, καὶ ὅτι οὗτοι μόνοι ζῶσιν· οἱ δὲ ἐν ἡδοναῖς, ἤδη νενέκρωνται), καὶ περὶ τρυφῆς, καὶ φιλαργυρίας, καὶ πλεονεξίας.

ιδʹ. Περὶ ἐλεημοσύνης, καὶ περὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀποκειμένων ἀγαθῶν τοῖς κατὰ Θεὸν πολιτευομένοις.

ιε'. Περὶ τῆς εἰς Χριστὸν ἀγάπης, καὶ περὶ ἐλεημοσύνης, καὶ ὅτι πάντα ὁ Χριστὸς ὑπὲρ τῆς εἰς ἡμᾶς ἀγάπης ποιεῖ.

ιϛ'. Ἰστέον ὅτι διὰ τὸ μὴ λυμήνασθαι τὴν συμφωνίαν τῶν λεγομένων πολλάκις ἔστιν διὰ τὸ οὐδὲν περὶ τῶν ἠθικωτέρων διαλέχθη ὁ ἅγιος.

ιζ'. Περὶ κενοδοξίας, καὶ πῶς δυνατὸν ταύτην φυγεῖν, εἰ τὴν τοῦ Θεοῦ μᾶλλον ζητοῦμεν δόξαν, καὶ μὴ τὴν τῶν ἀνθρώπων.

ιη'. Περὶ εὐχαριστίας.

ιθ'. Περὶ τοῦ δεῖν δοξάζειν τὸν Θεόν, διὰ τοῦ ἐπιμελουμένους καὶ ὀρθῶς ζῶντας, καὶ ὅτι οὐ δεῖ τοῖς τῶν προγόνων κατορθώμασι θαῤῥεῖν, ἀλλὰ τοῖς ἰδίοις· καὶ τίνες οἱ ἀληθεῖς συγγενεῖς κατὰ πνεῦμα· καὶ ὅτι δεῖ κατὰ πάντα μιμεῖσθαι τὸν Θεόν· καὶ περὶ ἐπιεικείας· καὶ ὅτι οὐδὲν βλάπτει πρὸς ἐλεημοσύνην πενία.

κ'. Περὶ ἀπονοίας, καὶ τῶν ἐπὶ σοφίᾳ μέγα φρονούντων· καὶ περὶ μωρίας, καὶ ὑπερηφανίας, ἐκ τοῦ μὴ εἰδέναι τὸν Κύριον, καὶ περὶ ταπεινοφροσύνης.

κα'. Περὶ φιλοξενίας, καὶ ἐλεημοσύνης· καὶ ὅτι οὐ δεῖ περιεργάζεσθαι τοὺς προσιόντας, οὐδὲ ὑβρίζειν, καὶ μιαίνειν τὴν γλῶτταν, τὴν τῶν ἁγίων ἀπολαύουσαν μυστηρίων.

κβ'. Ὅτι οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι.

κγ'. Περὶ ἀρίστης καὶ τελείας φιλίας.

κδ'. Κατὰ πορνευόντων, καὶ γαστριμάργων, καὶ ὅτι πάντα ἐντεῦθεν τίκτεται τὰ κακά.

κε'. Περὶ τῶν διαπιστούντων τῇ γεέννῃ, καὶ λεγόντων μὴ εἶναι γέενναν, σαφὴς ἀπόδειξις.

κϛ'. Περὶ τοῦ δεῖν ὀρθῶς βιοῦν, καὶ προσέχειν ἀκριβῶς ἐν τῷ παρόντι βίῳ, καὶ μὴ νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν, τὴν ἄγνοιαν, καὶ ποία βλάπτει ἄγνοια, καὶ ποία οὔ· καὶ ὅτι οὐδὲν ἡμᾶς ἁπλότης βλάπτει καὶ ὠφέλεια πρὸς τὸ γνῶναι τὴν ἀλήθειαν, καὶ τοῦτο δείκνυται ἀπὸ τοῦ Ἀβραὰμ καὶ Μελχισεδέκ.

κζ'. Περὶ ἀγάπης, καὶ τοῦ δεῖν φιλεῖν καὶ ἀγαπᾶν τοὺς ἐχθρούς.

κη'. Περὶ τοῦ δεῖν ἔργα ἔχειν ἀγαθά. τούτων γὰρ ὄντων, καὶ πνεῦμα ἅγιον ἕξομεν, καὶ ἐλπίδα ἀγαθήν. δεῖ οὖν καὶ ψάλλειν συνεχῶς, καὶ τὰς ἄλλας κατὰ νοῦν ἔχειν γραφάς· οὕτω γὰρ πάντα εἰσόμεθα, καὶ περὶ δογμάτων, καὶ περὶ ἠθικῶν, καὶ τῶν ἄλλων.

κθ'. Ὁποῖον χρὴ εἶναι τὸν διδάσκαλον.

λ'. Ὅτι οἱ ἀπὸ τῶν χειρῶν ζῶντες, καὶ ἐργαστηρίου προεστῶτες, πολλὴν ἐπιδείξονται δαψίλειαν, γινόμενοι χρήσιμοι ταῖς ἐκκλησίαις· οἱ δὲ πλουτοῦντες, καὶ τοὺς πεινωμένους περιορῶντες, ἵνα ἔχωσι σιτιώμενον; καὶ περὶ φιλοξενίας.

λα'. Περὶ γεέννης, καὶ δικαιοκρισίας Θεοῦ.

λβ'. Περὶ τῆς ἀγάπης καὶ προσευχῆς Παύλου, καὶ τῶν ἀρετῶν αὐτοῦ καὶ κατορθωμάτων, καὶ περὶ τοῦ δεῖν μιμεῖσθαι Παῦλον, ἐπὶ τὸ καταξιωθῆναι καὶ ἡμᾶς ἰδεῖν αὐτὸν ἀπιόντας ἐκεῖ· καὶ ὅτι τούτῳ μάλιστα ὑπὲρ τὰ ἄλλα κοσμεῖται ἡ Ῥώμη καὶ πιχάζεται, τὸν Παύλου τάφον ἔχουσα, καὶ Πέτρου, καὶ περὶ τῶν κατὰ μέρος διδασκαλιῶν Παύλου, καὶ πράξεων.

ΤΩΝ ΕΙΣ ΤΗΝ α. ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ἠθικῶν πίναξ.

α'. Περὶ ταπεινοφροσύνης.

β'. Ὅτι οὐκ ἀνάγκη οὔτε τὰ καλά, οὔτε τὰ κακά, ἀλλὰ προαίρεσις.

γ'. Ὅτι βίου ἐπιμελούμενοι ἀκριβοῦς, δυνάμεθα καὶ Ἕλληνας ἐφελκύσασθαι.

δ'. Περὶ

δ'. Περὶ τῆς τῶν ἀποστόλων διδαχῆς, καὶ τῆς τῶν ἑλλήνων ἐν σοφίᾳ μωρίας.

ε'. Κατὰ ἑλλήνων, καὶ ὅτι οὐκ ἐν σοφίᾳ, οὐ πλούτῳ, ἀλλ' ἐν τῷ Θεῷ δεῖ καυχᾶσθαι, καὶ ὅτι τῶν ἐνταῦθα ἐν ἀνέσει ζώντων, ἐκεῖ κακουχηθῆναι δεῖ, καὶ ὅτι οὐδὲ τέχνη, οὐδὲ στρατεία ἐμποδίζειν ἡμῖν ὀφείλει εἰς τὴν τῶν θείων μελέτην.

ς'. Ὅτι θείᾳ δυνάμει ἐδυνήθησαν οἱ ἀπόστολοι τῶν ἑλλήνων περιγενέσθαι, καὶ ὅτι πάντας δεῖ πρὸς ἀρετὴν συνωθεῖν βίον καθαρὸν ἐπιδεικνυμένους μᾶλλον ἢ σημεῖα.

ζ'. Κατὰ ἑλλήνων, καὶ ὅτι θείας δυνάμεως ἦν τὸ κήρυγμα· δείκνυται δὲ τοῦτο ἐκ τοῦ ὀλίγους, καὶ ἰδιώτας ὄντας τοὺς ἀποστόλους, πάντων περιγενέσθαι, καὶ ὅτι ὀρθῶς βιοῦντες καὶ ἕλληνας ἕλκομεν εἰς θεοσέβειαν.

η'. Περὶ μετανοίας.

θ'. Ὅπως ἀσχήμων ἡ ἁμαρτία, καὶ τίνι ἔοικε, καὶ περὶ πλεονεκτῶν.

ι'. Ὅτι τὰ παρὰ τοῦ Θεοῦ διδόμενα ἡμῖν οὐ δεῖ παρ' ἑαυτοῖς παρακατέχειν ἡμᾶς, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι, καὶ ὅτι ὁ ἐλεήμων, τοῖς τοῦ Θεοῦ ὀνόμασι καλεῖται σωτὴρ καὶ εὐεργέτης.

ια'. Περὶ τοῦ φοβεῖσθαι Θεὸν, καὶ ποιεῖν πάντα ὅσα πρὸς σωτηρίαν ἡμῶν ἀφορᾷ, καὶ κατὰ πλεονεκτῶν.

ιβ'. Περὶ τοῦ μὴ ζητεῖν παρὰ ἀνθρώπων ἔπαινον.

ιγ'. Ἐγκώμιον τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, καὶ ὅτι οὐχ ὁ πλοῦτος κακὸς, ἀλλὰ τὸ μὴ εἰς δέον τούτῳ κεχρῆσθαι, καὶ ὅτι καὶ τῶν πενήτων κατὰ τὸ χεῖρον οἱ πλούσιοι, ὅτι οἱ μὲν παρὰ ἑκόντων, οἱ δὲ παρὰ ἀκόντων λαμβάνουσιν.

ιδ'. Ὅτι οὐ δεῖ θέλειν ἡμᾶς μόνον σωθῆναι, ἀλλὰ καὶ τῶν ἔργων ἀπέχεσθαι τῶν εἰς τὸ πῦρ φερόντων, καὶ ὅτι ἂν προθυμίαν ἐρρωμένην ἔχωμεν, καὶ τὰ δοκοῦντα εἶναι δυσχερῆ, μετ' εὐκολίας κατορθώσομεν.

ιε'. Κατὰ πλεονεξίας, καὶ τοκιστῶν, καὶ πῶς εὖ πράττουσιν οἱ πονηροί· οἱ δὲ δίκαιοι πένονται· καὶ ὅτι ἐν τῷ μέλλοντι οἱ ἀληθεῖς καὶ βέβαιοι μισθοί· καὶ ἐγκώμιον ἀκτημοσύνης.

ις'. Περὶ τοῦ μὴ δικάζεσθαι, ἀλλὰ φέρειν ἡμᾶς γενναίως τοὺς ἀδικοῦντας. τοῦτο γὰρ ἡμᾶς τοῦ Θεοῦ ὁμοίους ποιεῖ.

ιζ'. Περὶ ἀναστάσεως, καὶ ὅτι οὐκ ἔστιν ἡμῖν αἴτιον τοῦ ἁμαρτάνειν τὸ σῶμα, ἀλλ' ἡ κακὴ προαίρεσις.

ιη'. Ὅτι καθαρὸς βίος πολλὴν παρασκευάζει προσφέρεσθαι δόξαν τῷ Θεῷ.

ιθ'. Περὶ τοῦ Ἰωσὴφ τοῦ σώφρονος.

κ'. Ὅτι δεῖ προνοεῖσθαι τοῦ μὴ σκανδαλίζειν τινὰ, καὶ ὅτι οἱ πτωχοὶ μᾶλλον τὴν εἰκόνα τοῦ Κυρίου καὶ τῶν ἀποστόλων διασώζουσιν.

κα'. Ὅτι οὐ δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων, ἀλλὰ πολυτρόπως αὐτοὺς ἀνακτᾶσθαι, καὶ περὶ ἐλεημοσύνης.

κβ'. Ὅτι εὔκολος ἡ ἀρετὴ, καὶ κατὰ φύσιν ἡμῖν ἐστι, διὸ καὶ ψευδὴς ὁ τῆς εἱμαρμένης λόγος· καὶ ὅτι ἀληθινὴν ἐκεῖνοι μόνοι ἡδονὴν καρποῦνται, οἱ ἀρετὴν μεταδιώκοντες.

κγ'. Περὶ τοῦ μηδὲ τοὺς ἑστῶτας θαρρεῖν, μηδὲ ἀπογινώσκειν τοὺς πεπτωκότας, ὡς εὐχερεῖς καὶ πολυτρόπου οὔσης τῆς πρὸς τὴν ἀρετὴν ἐπανόδου, καὶ κατὰ φιλαργυρίας.

κδ'. Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον, καὶ ἐγκώμιον εἰς τὸ τοῦ Κυρίου σῶμα, καὶ ὅτι δεῖ ἐπιμελεῖσθαι καθαρότητος, καὶ οὕτω προσιέναι τῇ ἁγίᾳ Κυρίου μεταλήψει.

κε'. Ὅτι δεῖ πάντα ποιεῖν ἡμᾶς, οὐ πρὸς τὸ ἑαυτῶν, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον, καὶ τούτου τύπος ἐστὶ Μωϋσῆς καὶ Δαβὶδ καὶ Παῦλος ὁ ἀπόστολος.

κϛʹ. Περὶ τοῦ φέρειν τὰ ἐλαττώματα τῶν γυναικῶν, καὶ μὴ τύπτειν αὐτάς.

κζʹ. Περὶ τοῦ μὴ τρυφᾷν ἐν ἑορταῖς, ἀλλὰ περὶ πτωχοὺς δαπανᾷν.

κηʹ. Περὶ τῆς ὑπομονῆς Ἰὼβ, καὶ περὶ τοῦ μὴ πενθεῖν πικρῶς τοὺς τελευτῶντας, ἢ δυσχεραίνειν ἐπὶ ἀρρωστίαις ἢ ζημίαις, καὶ ἐγκώμιον εἰς τὸν δίκαιον Ἰώβ.

κθʹ. Ὅτι οὐ δεῖ ἐπιζητεῖν τίνος ἕνεκεν οἱ μὲν πλουτοῦσιν, οἱ δὲ πένονται, ἀλλ' ἀποδιδόναι τὰ τοιαῦτα τῇ ἀκαταλήπτῳ καὶ τῇ κρίσει τοῦ Θεοῦ, καὶ ἐπιλέγειν ἐπὶ πᾶσι, Τὰ κρίματα τοῦ Θεοῦ, ἄβυσσος πολλή.

λʹ. Ἐγκώμιον εἰς τὰς πενιχρὰς χήρας τὰς προσεδρευούσας ἐν ταῖς ἐκκλησίαις, καὶ ὅτι οὐ δεῖ ἡμᾶς πενίαν δεδοικότας, ἀρετῆς καταφρονεῖν.

λαʹ. Κατὰ φθονούντων.

λβʹ. Ἐγκώμιον διὰ πλειόνων εἰς τὴν ἀγάπην, καὶ εἰς τὸν Ἰωσήφ, καὶ ὅτι διὰ τὸ ἀγαπᾷν ἡμᾶς ἀλλήλους, ἐκέλευσεν ὁ Θεὸς γενέσθαι τὴν ἐλεημοσύνην.

λγʹ. Ἐγκώμιον εἰς τὴν ἀγάπην διὰ πλειόνων, καὶ ὅτι οὐ δεῖ ἡμᾶς, οὐδὲ ἀσεβεῖς, οὐδὲ ἁμαρτωλοὺς μισεῖν, ἀλλ' εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ μετὰ πραότητος νουθετεῖν.

λδʹ. Ἐγκώμιον εἰς τὴν ἀγάπην, καὶ ὅτι οὐ πάντα πλοῦτον, οὐδὲ πᾶσαν πενίαν ὁ Θεὸς δίδωσιν.

λεʹ. Ὅτι δεῖ κατασκευάζειν ἡμᾶς αὐτοὺς πενίαν φέρειν γενναίως, ἵνα συμβάσης ἡμῖν πενίας, μὴ θορυβώμεθα, καὶ κατὰ πλουτούντων.

λϛʹ. Ὅτι τύποις νῦν μόνον σώζομεν τῆς ἐπὶ τῶν ἀποστόλων ἐκκλησίας, καὶ ὅτι μετὰ ἡσυχίας καὶ θορύβου παντὸς ἄνευ δεῖ ἡμᾶς συνέρχεσθαι ἐν τῇ ἐκκλησίᾳ.

λζʹ. Ὅτι ὁ μὲν σώφρων ἐν ἡδονῇ καὶ εὐφροσύνῃ ἐστὶ διηνεκεῖ, ὁ δὲ ἀσελγαίνων καὶ πρὸ τῆς μίξεως, καὶ μετὰ τὴν μίξιν, ὑπὸ ἀθυμίας κατέχεται.

ληʹ. Ὅτι οὔτε ὁ πλοῦτος ἡδονῆς, οὔτε πενία ἀθυμίας ὑπόθεσις, καὶ ὅτι δεῖ πρὸς τὴν μέλλουσαν ζωὴν ἀφορῶντας, εὐχερῶς πενίαν φέρομεν. καὶ ὅτι διηνεκῶς δεῖ εὐθυμεῖν, καὶ μὴ λυπεῖσθαι, εἰ μὴ μόνον ἐφ' ἁμαρτίαις.

λθʹ. Ὅτι πρὸς τὴν μέλλουσαν ζωὴν ἀφορῶντας οὐ δεῖ πλοῦτον ἀγαπᾷν, ἢ πενίαν δεδοικέναι, καὶ κατὰ τρυφωσῶν γυναικῶν.

μʹ. Περὶ τοῦ μὴ κτᾶσθαι πολλοὺς οἰκέτας, ἀλλ' ἕνα ἢ δύο, καὶ κατὰ ὑπερηφάνων.

μαʹ. Περὶ τοῦ μὴ πενθεῖν πικρῶς τοὺς τελευτῶντας, ἀλλὰ μνήμας, καὶ προσευχάς, καὶ ἐλεημοσύνας ὑπὲρ αὐτῶν ποιεῖσθαι, εἴγε βουλόμεθα τούτους ὠφελῆσαι.

μβʹ. Ὅτι δεῖ ἡμᾶς τοῦ βίου ἐπιμελεῖσθαι ἑαυτῶν ἐνταῦθα, ὡς ἐκεῖ μηδὲν ἡμῶν ὠφεληθῆναι δυναμένων, μηδὲ ἀπὸ φίλων, μηδὲ ἀπὸ συγγενῶν, κἂν ὦσι μεγάλοι παρὰ Θεῷ.

μγʹ. Ὅτι οὐ δεῖ θαυμάζειν ἡμᾶς ὁρῶντας τοὺς ἐν ἀρεταῖς ζῶντας, δυσπραγοῦντας, ἀφορῶντας πρὸς τὴν μέλλουσαν ἀντίδοσιν, καὶ ὅτι δεῖ τοὺς ἔχοντας προσόδους, καὶ τοὺς ἄλλους μάλιστα πάντας τι περέσχοντας, καὶ ἐργάζοντας, ἀπονέμειν εἰς ἐλεημοσύνην δεκάτην μοῖραν. τὰ γὰρ ἀπὸ τόκων, ἢ ἀπὸ δασμοῦ στρατιωτῶν προσαγόμενα οὐ προσδέχεται ὁ τῆς εὐσεβείας λόγος.

μδʹ. Ὅτι δεῖ ἡμᾶς θεραπεύειν τοῖς ἀδελφοῖς μετὰ πραότητος καὶ ἀγάπης, ἐπειδὰν βλέπωμεν αὐτοὺς ἄτοπόν τι πράττοντας, ὡς τό γε μὴ τοῦτο ποιεῖν, ἁμαρτία καὶ ἀπανθρωπία ἐστίν.

ΤΩΝ ΕΙΣ ΤΗΝ β. ΠΡΟΣ ΚΟΡΙΝΘ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

αʹ. Περὶ τοῦ μὴ καταπίπτειν ἐν ταῖς συμφοραῖς, περισσοτέρως δὲ ἐπὶ τοῖς νεκροῖς.

βʹ. Περὶ τοῦ εὔχεσθαι ὑπὲρ ἀλλήλων, ἐξαιρέτως δὲ τῶν πόρρω, καὶ ὅτι ἑαυτὸν ὠ-

φελεῖ

φελεῖ ὁ εὐχόμενος, καὶ πείθεται τοῦτο ἀπὸ τῆς εὐχῆς τῆς γινομένης ὑπὲρ τῶν κατηχουμένων ἐν τῇ θείᾳ λειτουργίᾳ.

γʹ. Ὅτι βασιλεὺς ὁ νοῦς τῶν ἀτόπων λογισμῶν, καὶ περὶ τῆς Ἀβραὰμ μαρτυρίας.

δʹ. Περὶ μετανοίας, καὶ τοῦ μὴ καταφρονεῖν τινος.

εʹ. Περὶ φόβου Θεοῦ, καὶ τοῦ μηδένα ἄλλον δεδοικέναι, καὶ πρὸς ἐπίδειξίν τι ποιεῖν.

ϛʹ. Περὶ τῆς ἐν Χριστῷ ζωῆς, καὶ ὅτι νεκρὰν ἔχει ψυχὴν ὁ τρυφῶν καὶ αἰσχρὰ φθεγγόμενος καὶ ἀσελγαίνων, καὶ περὶ τοῦ Ἰωσὴφ καὶ τῆς Αἰγυπτίας.

ζʹ. Κατὰ Ἀρειανῶν περὶ τοῦ πνεύματος, καὶ τῆς λαμπρότητος τοῦ σώματος τῶν ἁγίων, καὶ τοῦ μὴ ἐρᾶν ἀσέμνως, ἀλλὰ θαυμάζειν τὸν δημιουργόν.

ηʹ. Περὶ τῶν ἀποστόλων, καὶ τῆς ἐν αὐτοῖς θείας δυνάμεως.

θʹ. Περὶ τῆς τῶν μελλόντων ἀνταποδόσεως, καὶ τοῦ κριτηρίου τοῦ φοβεροῦ.

ιʹ. Περὶ τῆς φοβερᾶς κρίσεως.

ιαʹ. Ὅτι χεῖρόν ἐστι κολάσεως, τὸ προσκροῦσαι Θεῷ, καὶ ὅτι κόλασις ἡ ἁμαρτία.

ιβʹ. Περὶ πλούτου καὶ πενίας, καὶ ὅτι οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ᾽ ἡ τῆς ψυχῆς ἀσθένεια τὰς ἀπωλείας ἐργάζεται.

ιγʹ. Ὅτι ἡ καθαρότης διὰ πασῶν συνίσταται τῶν ἀρετῶν, καὶ περὶ πλουτούντων, καὶ πενομένων, ὅτι διαφέρουσιν ἐν πᾶσι τῶν πένητες.

ιδʹ. Περὶ ἐπιτιμιῶν.

ιεʹ. Περὶ ὀργῆς πνευματικῆς, καὶ κοσμικῆς, καὶ τῆς τῶν ἀρχομένων ὑποταγῆς, καὶ τῆς τούτων ἐπιμελείας.

ιϛʹ. Περὶ ἐλεημοσύνης.

ιζʹ. Ὅτι φυσικὰ τὰ καλά, καὶ περὶ τοῦ μὴ δεδοικέναι πενίαν, καὶ συνέχειν πλοῦτον.

ιηʹ. Περὶ τοῦ ἀναγκαίου τῆς εὐχῆς, καὶ τοῦ μὴ διαχωρίζεσθαι ἀπ᾽ ἀλλήλων.

ιθʹ. Περὶ τοῦ μὴ ἀκριβολογεῖσθαι περὶ τὴν δόσιν.

κʹ. Περὶ ἐλεημοσύνης.

καʹ. Ἐγκώμιον τοῦ ἁγίου Παύλου, καὶ ὅτι κακῶς τοῖς τούτου λόγοις αἱρετικοὶ ἐχρήσαντο.

κβʹ. Περὶ τοῦ μεμνῆσθαι τῶν προτέρων ἁμαρτιῶν, καὶ καθ᾽ ἑκάστην ἀποφάσεως μετανοεῖν, καὶ συγγνώμην αἰτεῖν.

κγʹ. Περὶ τοῦ μὴ ἐπαίρεσθαι καὶ τυφοῦσθαι, καὶ μὴ ταῖς ἀλλοτρίαις ἐφήδεσθαι συμφοραῖς, καὶ περὶ τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος.

κδʹ. Περὶ φθόνου.

κεʹ. Ἐγκώμιον εἰς τὸν ἅγιον Παῦλον, καὶ περὶ ταπεινοφροσύνης.

κϛʹ. Ὅτι ἡ θλίψις καθαίρει τὴν ψυχὴν ἐκ τῶν παθῶν, καὶ τὸν Θεὸν ἐπισπᾶται, καὶ περὶ Ἀλεξάνδρου, καὶ τῆς δόξης τῶν ἁγίων.

κζʹ. Περὶ φθόνου.

κηʹ. Ὅτι πᾶσα ἁμαρτία, ἀκαθαρσία λέγεται, καὶ περὶ Ἰουλιανοῦ τοῦ βασιλέως, καὶ Ἡρώδου.

κθʹ. Περὶ τοῦ προτιμᾶν τὴν τῶν μαθητῶν σωτηρίαν τῆς οἰκείας εὐδοκιμήσεως, καὶ τοῦ μὴ ἐπτοῆσθαι πρὸς ἀνθρωπίνας δόξας.

λʹ. Περὶ τοῦ ἀγαπᾶν τὸν Θεὸν μὴ ῥήμασι μόνοις, ἀλλ᾽ ἐκ τοῦ ποιεῖν κατὰ δύναμιν ἀπροφασίστως ἃ προσέταξεν.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣ. ΕΠΙΣΤ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

αʹ. Τί λέγεται ἀνακεφαλαίωσις, καὶ ὅτι δι᾽ ἡμᾶς τὰ πάντα ἀνάγει, ὡς εἰς κεφαλὴν, τὸν Χριστόν, καὶ ἄξιον βίον ἐπιδείκνυσθαι τῆς μεγάλης δωρεᾶς.

ΠΙΝΑΞ ΤΩΝ ΗΘΙΚΩΝ

β'. Ὅτι τὰ καλὰ κατὰ φύσιν ἐστί, τὰ δὲ ἁμαρτήματα παρὰ φύσιν· καὶ ὅτι οὐκ ἐξ ἀνάγκης τινός, ἀλλ' ἐκ φαύλης προαιρέσεως ἁμαρτανόμεθα.

γ'. Περὶ τῆς δωρεᾶς τοῦ δεσποτικοῦ σώματος, καὶ ὅτι τὸν μὴ μετέχοντα τούτου οὐ δεῖ οὐδὲ ἐπὶ τῶν εὐχῶν τῶν ἐν τῇ προσφορᾷ παρεῖναι.

δ'. Ὅτι δεῖ πάσας κατορθῶσαι τὰς ἀρετὰς τὸν μέλλοντα βασιλείας ἀξιοῦσθαι, τὸ δὲ ἵνα μὴ κατορθοῦν, ἵνα δὲ παραβαίνειν, ἐκβάλλει τῆς βασιλείας.

ε'. Ὅτι τὰ ἁμαρτήματα, εἰ καὶ σαρκικὰ λέγεται, ἀλλ' οὐ σώματος μόνου, ἀλλὰ καὶ τῆς ψυχῆς, καὶ ποῖά ἐστιν ἁμαρτήματα ψυχῆς χωρὶς τοῦ σώματος.

ϛ'. Ὅτι δεῖ τὸν διδάσκαλον ζέειν ἐν τῷ πνεύματι, βίον ἄληπτον ἔχειν, οἰκονομικὸν εἶναι· νυνὶ δὲ ἐν ταῖς ἐκκλησίαις πάντα ἐναντία.

ζ'. Ὅτι ὥσπερ διαπύρως τις ἀγαπᾷ τὴν ἑαυτοῦ ἐρωμένην, οὕτω δεῖ διαπύρως ἀγαπᾶν τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ.

η'. Περὶ τῶν Παύλου δεσμῶν καὶ Πέτρου, καὶ τῶν τριῶν παίδων, καὶ Ἰωάννου, καὶ Ἰερεμίου, καὶ Ἰωσήφ, καὶ αὐτοῦ τοῦ Κυρίου.

θ'. Ὅτι διὰ τῆς πρὸς ἀλλήλους ἀγάπης καὶ ὁ τῆς εἰρήνης σύνδεσμος σώζεται.

ι'. Περὶ τοῦ μὴ κατεξανίστασθαι ἀλλήλων, καὶ ὅσα κακὰ ἡ φιλαρχία τῇ ἐκκλησίᾳ εἰργάσατο.

ια'. Κατὰ σχισματικῶν ἀποσχιζόντων ἑαυτοὺς τῆς ἐκκλησίας ἐπὶ τῇ αὐτῇ πίστει, διὰ τὸ ὄνομα καὶ ἀξιώματα ποιεῖν.

ιβ'. Περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ τίνα εἰσὶ μάταια, καὶ κατὰ Ἑλλήνων λατρευόντων τῇ κτίσει.

ιγ'. Προτροπὴ εἰς ἀρετήν, καὶ διήγησις περὶ γυναικῶν τῶν τὴν ἄσκησιν ἑλομένων.

ιδ'. Ὅτι οὐ δεῖ ὑβρίζειν καὶ αἰσχρολογεῖν.

ιε'. Περὶ τοῦ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν ἀσχημόνως δεσποίνας τὰς ἑαυτῶν θεραπαινίδας.

ιϛ'. Ὅτι δεῖ τὰ ἐναντία, τῆς κακίας ἐκκοπτομένης, ἐργάζεσθαι, ἐπεὶ οὐδὲν ὄφελος ὀργῆς ἐκριζωθείσης τυχόν, ἂν μὴ ἀγάπη ἐπιδαψιλευθῇ.

ιζ'. Περὶ τοῦ μὴ ἀργολογεῖν, καὶ κατὰ γελοιαστῶν καὶ μίμων καὶ εὐτραπέλων, καὶ ὅτι ἡ εὐλάβεια πάντων τούτων προσοῦσα περιγίνεται.

ιη'. Ὅτι δεῖ ἀφεμένους τῶν πονηρῶν ἔργων, τῷ φωτὶ τῶν ἀρετῶν προσελθεῖν, καὶ μὴ περιορᾶν ἁμαρτάνοντας τοὺς ἀδελφούς.

ιθ'. Περὶ τοῦ μὴ περιεργάζεσθαι τὰ ἑτέρων ἐλαττώματα, ἀλλ' ὑποτάσσεσθαι ἀλλήλοις ἐν φόβῳ Θεοῦ, καὶ τούτῳ ὑπὲρ ἁπάντων εὐχαριστεῖν.

κ'. Περὶ τοῦ ποιεῖσθαι πολλὴν πρόνοιαν καὶ γυναικῶν, καὶ παίδων, καὶ δούλων, καὶ τῆς πρὸς τὸν ἄνδρα ὑποταγῆς καὶ τιμῆς τῆς γυναικός, καὶ τοῦ σεμνοῦ βίου καὶ ἀπεριέργου.

κα'. Περὶ τοῦ ἐκτρέφειν τὰ ἴδια τέκνα ἐν φόβῳ Θεοῦ, καὶ περὶ ἐπιεικείας, καὶ πόσην καρποῦνται καὶ ἐνταῦθα τὴν αἰδῶ· καὶ περὶ τοῦ καταφρονεῖν δόξης καὶ πλούτου, καὶ περὶ τοῦ Ἀβραάμ, καὶ ὅτι τὸ, Καθ' ὁμοίωσιν, ἡ τῆς ψυχῆς ἐστιν ἀρετή.

κβ'. Περὶ βίου ἐπιμελοῦς καὶ μεμεριμνημένου, ἵνα μὴ ἡττώμεθα πρὸς τοῦ πονηροῦ καθ' ἑκάστην ἐν πᾶσιν ἐπιβουλεύοντος, καὶ περὶ τῆς τῶν παρόντων ὑπεροψίας, καὶ τῆς τῶν μελλόντων σπουδῆς.

κγ'. Περὶ τοῦ ἑτοίμους εἶναι καὶ εὐσταλεῖς πρὸς ἀρετήν, καὶ τί τὸ πάσχα ὃ ἐσθίομεν, καὶ τίς ἡ Αἴγυπτος, καὶ ὅτι ἐξουθενεῖ τὸν οὐρανὸν ὁ τὰ τῆς γῆς θαυμάζων.

κδ'. Περὶ τοῦ δεδιέναι τὰς ἀπειλάς, ὥστε φυγεῖν τὰ πράγματα, ὅτι ἡ ἀπόλαυσις παρέρχεται, ἡ δὲ ἁμαρτία μένει· καὶ ὅτι ἡ τῆς ἐλεημοσύνης ἀκαρπία καὶ ἡ ἄλλη ἁμαρτία ἀγνωρίστους ἡμᾶς καθίστησιν ἐπὶ τῷ Θεῷ, τῷ πάντα γινώσκοντι, καὶ τὰ εἰς σωτηρίαν συντείνοντα ἐντελλομένῳ ἡμῖν.

Ἡ πρὸς Γαλάτας ἐπιστολὴ ἀδιακόπως ἐξηγηθεῖσα, οὐκ ἰδίως ἔχει τὰ ἠθικά, καθὼς καὶ αἱ ἕτεραι.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Ὅτι διὰ παντὸς τοῦ βίου χρὴ ἡμᾶς ἐλεεῖν, καὶ περὶ τοῦ καταφρονεῖν χρημάτων, καὶ ὅτι πάντα τὰ κακὰ δι' αὐτῶν γίνονται, καὶ ὅτι ὁ ἑαυτὸν μὴ διαθεὶς οὕτως ὡς λαμβάνων, κἂν μυρία εὐεργετούμενος, μηδέπω ἐλεημοσύνην.

β'. Ὅτι εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ συμμέτρως ἡμῖν ἀγωνίας δωρησαμένῳ, καὶ φορτικὸν καὶ ἐπαχθὲς οὐδὲν ἡμῖν ἐπιτάξαντι.

γ'. Ὅτι τοὺς ἁμαρτωλοὺς καὶ ζῶντας καὶ ἀποθνήσκοντας θρηνεῖν δεῖ, μάλιστα τοὺς χωρὶς φωτίσματος, καὶ τοὺς ἐν πλούτῳ, καὶ ὅτι μεγάλα ὠφελοῦσι τοὺς κοιμηθέντας αἱ ὑπὲρ αὐτῶν γινόμεναι ἐλεημοσύναι καὶ αἱ λειτουργίαι.

δ'. Ὅτι πολλὰς ἡμῖν ὁδοὺς ὁ Θεὸς κατεσκεύασε πρὸς τὸ μὴ ἁμαρτάνειν, καὶ ὅτι τοῦ ἐλέους τοῦ Θεοῦ πάντες δεόμεθα. οὐδὲν γὰρ οὕτω προξενεῖ τὸν Θεόν, ὡς τὸ ἐλεήμονα εἶναι.

ε'. Περὶ ταπεινοφροσύνης, καὶ μαρτυρία ὑπὲρ ταύτης, ἔκ τε τοῦ Δαβίδ, καὶ τοῦ Δανιήλ, καὶ περὶ τοῦ μὴ κόλακας εἶναι.

ϛ'. Περὶ τοῦ εὐχαριστεῖν τῷ Θεῷ, καὶ εἰς δόξαν αὐτοῦ ζῆν, καὶ τὸν βίον ἄξιον διανύειν, καὶ κατὰ φιλαργυρίας, καὶ τοῦ προδότου.

ζ'. Περὶ τοῦ πιστεύειν εἰς δόξαν Θεοῦ, καὶ βιοῦν εἰς δόξαν αὐτοῦ, καὶ περὶ ταπεινοφροσύνης, καὶ ὅτι χείρους ἐσμὲν καὶ τῶν ἀλόγων ἀρετῆς ὄντες χωρίς.

η'. Κατὰ γογγυσμοῦ.

θ'. Ὅτι χρὴ τοῖς διδασκάλοις τὰ πρὸς τὴν χρείαν χορηγεῖν, καὶ παράδειγμα τὰ Ἰουδαϊκά, αἱ ἀποδεκατώσεις, καὶ τὰ ἕτερα, καὶ περὶ τοῦ, Μὴ κτήσησθε χρυσόν, καὶ ὅτι οἱ ἀπόστολοι δυσὶ χιτῶσιν ἐχρῶντο.

ι'. Ὅτι πανταχοῦ ἡ παράχρησις τὴν ἀρίστην πολιτείαν λυμαίνεται, καὶ τῆς βασιλείας ἀποστερεῖ, αὕτη δὲ προαιρέσεως σφαλερᾶς.

ια'. Ὅτι ὅταν ἁμαρτάνωμεν, φεύγομεν ἀπὸ τοῦ Θεοῦ, καὶ χρὴ πενθεῖν καὶ ὀδύρεσθαι, καὶ ἐπανέρχεσθαι πρὸς τὴν προτέραν εὐγένειαν.

ιβ'. Ὅτι τύπον ἔχοντες τοὺς ἀποστόλους, καὶ ἀρχέτυπον, ὡσαύτως καὶ τοὺς ἐν ἀρετῇ διαλάμψαντας, ἕξομεν καὶ πάντα εὑρεῖν.

ιγ'. Περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ ὅτι ἀφόρητος ἡ τῆς βασιλείας ἔκπτωσις, ὃ μὴ παθεῖν ἡμᾶς κύριοι, καὶ ὅτι θλιβῆναι δεῖ ἢ ἐνταῦθα, ἢ ἐκεῖ.

ιδ'. Ὅτι ἐχθρὸν ἡμῖν ἡ κακία, καὶ φίλον ἡ ἀρετή, καὶ ὅτι οὐδεὶς ἡμᾶς ἀδικεῖ, μόνον ἂν μὴ τὸν ἄνω πλοῦτον ἁρπάσῃ.

ιε'. Ὅτι δεσμός ἐστιν ἡ θλίψις ἀρραγής, καὶ περὶ ἀγάπης καὶ συμπαθείας, καὶ ὅτι ἡ λύσις τῶν ἐκεῖσε κόλασιν προξενεῖ.

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΑΣΣ. ΕΠΙΣΤ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Περὶ φιλίας σαρκικῆς, καὶ πνευματικῆς, καὶ ὅτι ἡ πνευματικὴ πολλῷ βεβαιοτέρα, καὶ περὶ εὐγνωμοσύνης καὶ ἀγνωμοσύνης, καὶ περὶ κακίας, καὶ ἀρετῆς, καὶ ἐλεημοσύνης.

β′. Περὶ τοῦ ἀεὶ μεμνῆσθαι τῆς τοῦ Θεοῦ εὐεργεσίας, καὶ μὴ ἀποπηδᾶν, καὶ περὶ κρίσεως καὶ κολάσεως, καὶ ὅτι δακρύων δεῖ καὶ πένθους πρὸς τὸ ταύτης ἀπαλλαγῆναι.

γ′. Ὅτι ἕκαστος τῶν πιστῶν ἄγγελον ἔχει παρὰ Θεοῦ εἰς φυλακὴν, καὶ περὶ τῆς τοῦ Θεοῦ εἰρήνης, καὶ ὅτι τοῖς ἱερεῦσιν ὡς Θεῷ, πείθεσθαι δεῖ.

δ′. Περὶ τοῦ εὐγνωμόνως δέχεσθαι τὰ παρὰ Θεοῦ, καὶ μὴ πολυπραγμονεῖν φιλονείκως τὰς θείας οἰκονομίας, ἀλλ᾽ εὐχαριστεῖν ὑπὲρ πάντων, καὶ μὴ ἀποδυσπετεῖν, καὶ περὶ τῆς κατὰ τοὺς Ιουδαίους ἀπιστότητος.

ε′. Ὅτι πανταχοῦ ὁ Θεὸς, καὶ ὅτι ἀπερίγραπτος, καὶ περὶ θείας ἐνεργείας καὶ κινήσεως, καὶ ὅτι ἀπὸ τῶν ἐν τύπῳ γινομένων δυνάμεθα ταῖς γραφαῖς ἀκολουθοῦντες μὴ ἀπιστεῖν.

ϛ′. Περὶ τοῦ πάθους, καὶ τῆς ταφῆς τοῦ δεσπότου Χριστοῦ, καὶ περὶ ὧν ἐν τῷ ἁγίῳ βαπτίσματι συνταττόμεθα, καὶ περὶ τῆς ἑνώσεως τοῦ θείου σώματος.

ζ′. Περὶ τῆς μενούσης ἐν Θεῷ ἡμῖν, καὶ ἀπολαύσεως, καὶ ὅτι τὰ παρόντα, ἀδοξία σαφὴς, καὶ κατὰ τυφώντων, καὶ παραχρωμένων τῷ πλούτῳ, καὶ περὶ κολακευόντων, καὶ περὶ ἐλεημοσύνης.

η′. Περὶ τῆς ἐν πᾶσιν εὐχαριστίας, καὶ ἐν τοῖς δυσκόλοις, καὶ ὅτι πρὸς τὸν Θεὸν δεῖ καταφεύγειν, καὶ τὴν ἐκεῖθεν ἐκκαλεῖσθαι βοήθειαν, καὶ μὴ πρὸς μάντεις καὶ γραΐδια.

θ′. Περὶ εὐχῶν, καὶ ψαλμῳδιῶν, καὶ ἐν ὀνόματι Κυρίου ποιεῖν πάντα τὰ ἐπιβάλλοντα, καὶ ἔχειν σύμμαχον αὐτὸν, καὶ εὐχαριστεῖν αὐτῷ καὶ εὐαρεστεῖν.

ι′. Ἐγκώμιον τῶν τοῦ Παύλου δεσμῶν, καὶ ὅτι μᾶλλον ἡ φιλοκοσμία, δεσμὰ, καὶ περὶ ἐλεημοσύνης καὶ σωφροσύνης, καὶ κατὰ καλλωπιζομένων γυναικῶν.

ια′. Περὶ ἀγάπης καὶ συμπαθείας, καὶ τοῦ συγχαίρειν καὶ συλλυπεῖσθαι τοῖς ἀδελφοῖς, καὶ περὶ τοῦ μὴ φθονεῖν εὐδοκιμοῦσι, καὶ ἑαυτοὺς ὠφελεῖν.

ιβ′. Περὶ τοῦ μὴ ἀγάλλειν ἐν ταῖς διὰ Χριστὸν θλίψεσιν, ἀλλὰ μνημονεύειν τῶν δεσμῶν Παύλου, καὶ ἀπέχεσθαι τῶν βλαβερῶν, καὶ περὶ δακρύων ψυχικῶν, καὶ περὶ γάμων εὐπρεπῶν καὶ ἀσέμνων, καὶ ὅτι κόσμος τῇ νύμφῃ σωφροσύνη καὶ αἰδὼς, οὐχὶ θόρυβος, καὶ μέθη, καὶ κρότοι, καὶ αὐλοί.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΟΥΣ ΘΕΣΣ. α′. ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α′. Ὅτι οὐ δεῖ ἀπογινώσκειν καὶ καταφρονεῖν τῶν εὐχῶν τῶν ἁγίων, ἀλλὰ καὶ σφόδρα ταύτας ἐπιζητεῖν, πλὴν τότε ἡμᾶς ὠφελοῦσιν, ὅταν καὶ ἡμεῖς τῆς ἀρετῆς ἀντεχώμεθα.

β′. Ὅτι οὐδὲν μεῖζον φιλίας πνευματικῆς, ἀλλὰ κἂν αὐτὴν εἴποις τὴν ζωὴν, τὰ δεύτερα ταύτης κέκτηται.

γ′. Περὶ τοῦ μακροθυμεῖν ἐν ταῖς θλίψεσι, καὶ εὐχαριστεῖν κἂν ζημία ᾖ χρημάτων, ἢ ἀποβολὴ παιδίων συμβῇ, λέγειν δεῖ, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ὁ γὰρ τὰ τοιαῦτα γενναίως φέρων, ὅμοιός ἐστιν Ἀβραὰμ, καὶ Ἰὼβ· καὶ ὅτι αἱ τῶν δαίμονες λέγουσι περὶ τῶν ἀπολλυμένων, ὡς συνεργοὶ τῶν κλεπτῶν, ἴσασι πολλάκις τοὺς τόπους ποῦ τὰ κλαπέντα ἀπετέθη.

δ′. Ὅτι μέγα ἀγαθὸν ἡ εἰς τὸν πλησίον ἀγάπη, καὶ περὶ τῆς Ἀβελ, καὶ Παύλου, καὶ Ἰωσὴφ ἀγάπης, καὶ περὶ ἀμνησικακίας.

ε′. Κατὰ πορνῶν, καὶ μοιχῶν, καὶ ὅτι δεῖ τοὺς πατέρας καὶ βουλομένους κοσμικὸν ἔχειν βίον,

τοὺς

τὰς ἑαυτῶν παῖδας ταχέως ὑπὸ γάμον ἄγειν, καὶ περὶ τοῦ φεύγειν τὰ θέατρα ὡς αἴτια πολλῶν κακῶν.

ς'. Ὅτι οὐ δεῖ θρηνεῖν τοὺς ἀπελθόντας, καὶ ὅτι ἐκ τοῦ μὴ ἀγαπᾶν τὸν Θεὸν, μηδὲ τὴν ἐλπίδα ἔχειν ἐπ' αὐτῷ, ἡ θλῖψις τοῖς πενθοῦσι βαρυτέρα γίνεται, καὶ πῶς ὀφείλουσιν αἱ χῆραι διάγειν, καὶ ἀνατρέφειν τὰ τέκνα.

ζ. Περὶ ἀναστάσεως, καὶ ὅτι οὐ δεῖ τὰ ἀκατάληπτα τοῦ Θεοῦ πολυπραγμονεῖν, μάλιστα δὲ τὴν ἄφραστον αὐτοῦ γέννησιν.

η'. Περὶ ἀναστάσεως, καὶ κρίσεως, καὶ ἀνταποδόσεως, καὶ ταύτης σαφὴς ἀπόδειξις, καὶ ὅτι καὶ Ἰουδαῖοι καὶ ἕλληνες ὁμολογοῦσιν ἔσεσθαι ἀνταπόδοσιν ἀγαθῶν καὶ κακῶν.

θ'. Περὶ ῥοπῆς πρὸς ἀρετὴν, καὶ ὅτι ἀδύνατον τὸν ἐνταῦθα ἐν τρυφῇ καὶ ἀνέσει διάγοντα, τῶν μελλόντων ἀπολαῦσαι ἀγαθῶν, καὶ περὶ ἀναστάσεως, καὶ κρίσεως.

ι'. Ὅτι οὐχ ἡ τῶν παίδων ἀνάγκη πρὸς τὴν τῶν χρημάτων βιάζεται συλλογὴν, ἀλλ' ἡ φιλαργυρεία, καὶ ὅτι τοῦ εὖ ποιεῖν τὸ φέρειν μακροθύμως ἁρπαζόμενον διὰ τὸν Θεὸν πολλῷ μεῖζόν ἐστι, καὶ ὅτι ἡ πλεονεξία οὐκ ἀπὸ τοῦ μεγέθους, ἀλλ' ἀπὸ τῆς προαιρέσεως κρίνεται.

ΤΩΝ ΕΙΣ ΤΗΝ β. ΠΡΟΣ ΘΕΣΣ. ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α'. ΠΕρὶ τύφου, καὶ ὑπερηφανίας.

β'. Ὅτι δεῖ μνημονεύειν ἀεὶ τῆς κρίσεως, καὶ τῆς γεέννης. Εἰ μὴ γὰρ μέγα ἔφερεν ἡμῖν ὄφελος ἡ γέεννα, οὐκ ἂν αὐτὴν ἠπείλησεν ὁ Θεός. διὸ ὁ ταύτην ἔχων διαπαντὸς τὴν μνήμην, οὐκ ἂν αὐτῆς πεῖραν λάβοι, ἀλλ' οὐδὲ ἁμαρτήσεται εὐχερῶς.

γ'. Κατὰ πλουτούντων, καὶ ὅτι ἐν ταῖς ἐκκλησίαις μετὰ σεμνότητος δεῖ εἰσιέναι, καὶ ἀκριβῶς προσέχειν τοῖς ἀναγινωσκομένοις.

δ'. Αἴτησις εὐχῆς ὑπὲρ αὐτοῦ παρὰ τοῦ λαοῦ, ὡς μεγάλα ταύτης ὠφελῆσαι δυναμένης, καὶ περὶ τοῦ μὴ λυπεῖσθαι κατὰ ψυχὴν, καὶ ἀποκρύπτειν, μηδὲ κατὰ ἑαυτοῦ, μηδὲ κατὰ ἑτέρου, ἀλλὰ μᾶλλον ἐλέγχειν. δείκνυται δὲ ὅτι ἐπίσκοπος ὢν εἶπε τὸν λόγον τοῦτον.

ε. Περὶ τοῦ ἕκαστον διδάσκειν τοὺς ἐν τῇ οἰκίᾳ καὶ ἔργῳ καὶ λόγῳ τὴν ἀρετήν.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘ. α. ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α'. ΠΕρὶ τοῦ πίστιν ἔχειν, καὶ μὴ πολυπραγμονεῖν, καὶ κατὰ τῶν λεγόντων γένεσιν καὶ εἱμαρμένην.

β'. Ὅτι δόξα καὶ ἡδονὴ ἀληθὴς ἐν τοῖς πνευματικοῖς ἐστιν, οὐκ ἐν τοῖς σαρκικοῖς.

γ'. Ὅτι δεῖ τὸν Χριστὸν ὡς φίλον γνήσιον ἀγαπᾶν, νῦν δὲ ὡς ἐχθρὸν μισούμεθα καὶ ἀποστρεφόμεθα, καὶ ὅτι δεῖ ἡμᾶς τοὺς ἐχθροὺς ἀγαπᾶν καὶ εὐεργετεῖν.

δ'. Τὸ ὀρθῶς βιοῦν ἡμᾶς δόξαν παρέχει Θεῷ, καὶ κατὰ καλλωπιζομένων γυναικῶν.

ε'. Κατὰ τῶν ἀναξίως προσιόντων τοῖς ἁγίοις μυστηρίοις.

ς'. Περὶ τοῦ μὴ ἀρᾶσθαι καὶ κατεύχεσθαι τῶν ἐχθρῶν, ἀλλὰ μᾶλλον ὑπερεύχεσθαι· τοῦτο γὰρ ἑαυτούς τε εὐεργετοῦμεν, καὶ Θεὸν μιμούμεθα.

ζ'. Κατὰ πλουτούντων, καὶ καλλωπιζομένων γυναικῶν.

η'. Κατὰ καλλωπιζομένων γυναικῶν, καὶ ἐκκλησιαστικῶν προθύρων.

θ'. Παραίνεσις πρὸς γονεῖς περὶ ἀναγωγῆς τέκνων.

ι'. Περὶ ἀρίστης πολιτείας, καὶ τῆς μελλούσης κρίσεως.

ιαʹ. Περὶ τῆς τῶν παρόντων εὐτελείας, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως.

ιβʹ. Ὅτι πόνων δεῖται ἡ ἀρετή, καὶ ὅτι κατὰ ἀλήθειαν ἀγαθὸν ἀρετή, οὐχ ὁ πλοῦτος.

ιγʹ. Κατὰ τρυφῆς καὶ σπατάλης διὰ πλειόνων.

ιδʹ. Περὶ τοῦ τὰς εὐποιίας δι' ἑαυτῶν καὶ λανθανόντως ποιεῖσθαι, καὶ περὶ βίου μοναχῶν.

ιεʹ. Περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως, καὶ πῶς δυνάμεθα μιμεῖσθαι τὸν Θεόν, καὶ περὶ τῆς ἀγάπης τοῦ Χριστοῦ τῆς εἰς ἡμᾶς, ἥτις δείκνυται μάλιστα ἐκ τῆς θείας μεταλήψεως.

ιϛʹ. Ἔλεγχος πρὸς τοὺς μὴ δουλεύοντας τῷ Θεῷ, οἳ ἀπαιτοῦσι δουλεύεσθαι ὑπὸ τῶν ἰδίων οἰκετῶν.

ιζʹ. Κατὰ φιλαργυρίας, καὶ ὅτι ἀληθὴς ἐλευθερία ἐστὶ τὸ κρατεῖν παθῶν.

ιηʹ. Ὅτι πέτρα ἀρραγὴς ἡ πίστις, καὶ ἀληθὴς ἐλευθερία ἐστὶ τὸ κρατεῖν παθῶν, καὶ κατὰ φιλαργυρίας.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜ. β. ΕΠΙΣΤ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

αʹ. Ὅτι ὥσπερ οὐκ ἔστιν εὑρεῖν ἄνθρωπον ἀθάνατον, οὕτως οὐδὲ χωρὶς λύπης ζῶντα ἐν τῷ βίῳ, καὶ ὅτι μία λύπη ἐπωφελής, ἡ διὰ ἁμαρτίας, καὶ περὶ ἐλεημοσύνης.

βʹ. Ὅτι δεῖ ὑπακούειν τοῖς διδασκάλοις καὶ ἱερεῦσι, καὶ μὴ κρίνειν αὐτούς, κἂν βίον ἔχωσι φαῦλον· ἐὰν μέντοι περὶ τὴν πίστιν σφάλλωσι, τότε οὐ δεῖ πείθεσθαι, ἀλλὰ καὶ ἀποφεύγειν καὶ κρίνειν αὐτούς. καὶ ὅτι πάντας μὲν οὐ χειροτονεῖ ὁ Θεός, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ διὰ τὸ σωθῆναι τὸν λαόν, καὶ ὅτι ἡ αὐτή ἐστι προσφορά, κἂν ἀκάθαρτον βίον ἔχῃ ὁ προσφέρων.

γʹ. Περὶ κρίσεως, καὶ ὅτι ἡ πλεονεξία οὐκ ἀπὸ τοῦ μεγέθους, ἀλλ' ἀπὸ προαιρέσεως κρίνεται, καὶ περὶ τοῦ μὴ σκοπεῖν τὰ ἑτέρων ἁμαρτήματα, ἀλλὰ τὰ καθ' ἑαυτούς.

δʹ. Ὅτι ἀληθινὴν δόξαν καὶ ἐν τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι αἰῶνι οἱ ἅγιοι ἔχουσι, καὶ περὶ τῆς δόξης τοῦ ἀποστόλου καὶ Νέρωνος.

εʹ. Κατὰ πλεονεξίας, καὶ ὅτι μεγάλη ἐστὶ τῷ πλεονέκτῃ καὶ διηνεκὴς βάσανος ἡ ἀπὸ τοῦ συνειδότος.

ϛʹ. Περὶ ἐλεημοσύνης, καὶ κατὰ πλεονεξίας.

ζʹ. Ὅτι ὁ μαθὼν καταφρονεῖν τῶν ἀνθρώπων, καὶ τοῦ Θεοῦ εὐχερῶς καταφρονήσει, καὶ κατὰ φιλαργύρων, καὶ ὅτι δεῖ παραινεῖν ἀλλήλοις, καὶ περὶ χηρῶν γυναικῶν πῶς ὀφείλουσι καὶ ἑαυτὰς καὶ τὰ ἑαυτῶν τέκνα κατὰ Θεὸν διοικεῖν.

ηʹ. Ὅτι πάντα ὁ Θεὸς οἰκονομεῖ, καὶ πάντων προνοεῖται, καὶ τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ. καὶ ὅτι οἱ μὲν δίκαιοι ὡς ἐπιτοπολὺ ἐνταῦθα ἐν θλίψει, οἱ δὲ ἁμαρτωλοὶ ἐν εὐφροσύνῃ εἰσίν. εἰ δέποτε καὶ εὑρεθεῖεν δίκαιοι μὲν ἐν ἀνέσει, ἁμαρτωλοὶ δὲ ἐν θλίψει, ὥστε μηδὲ τὴν ἀρετὴν εἶναι φευκτήν, μηδὲ τὴν μέλλουσαν ἀπόλαυσιν περιττήν, τοῦτο συμβαίνει· καὶ περὶ τοῦ μὴ πολυπραγμονεῖν πάντα τὰ περὶ Θεοῦ γινόμενα διὰ τὸ ἀκατάληπτον, καὶ ὅτι οὐ δεῖ προσέχειν μαντείαις.

θʹ. Ὅτι δεῖ καταφρονεῖν τῶν προσκαίρων, καὶ ὅτι κἂν μὴ διὰ Χριστὸν ἐπηρεαζώμεθα, ἀλλ' ὅμως μακροθύμως ἐνέγκωμεν, διὰ Θεὸν ἡμῖν ὑπομονὴ λογίζεται.

ιʹ. Ὅτι ὁ τῶν ἑαυτοῦ καταφρονῶν διὰ τὸν Θεόν, τὰ τοῦ Θεοῦ λαμβάνει, καὶ ὅτι βίας ὄντως χρεία πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς. πολλὰ γὰρ τὰ κωλύματα, οἷον γυνή, παῖδες, φροντίδες βιωτικαί, ὧν δεῖ πάντων καταφρονεῖν καὶ προτιμᾶν τὸν Θεόν, εἴγε καὶ ἑαυτοὺς καὶ τοὺς ἡμῖν προσήκοντας ὠφελῆσαι σπουδάζομεν.

ΤΩΝ

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α'. Περὶ διδασκάλων ὁποίους χρὴ εἶναι, καὶ ὅπως δεῖ τούτοις τοὺς ἀρχομένους ὑποτάσσεσθαι, καὶ μὴ κατακρίνειν, εἰ σωματικὴν ἴδοιεν ἄνεσιν ἐπ' αὐτῶν.

β'. Περὶ τοῦ μὴ ἐπιθυμεῖν δόξης ἀνθρωπίνης, καὶ ὅτι ὁ περὶ ἔρωτι ταύτης ἁλοὺς, τῆς δόξης ἐκπίπτει τοῦ Θεοῦ, καὶ ἀνδραπόδων ἐστὶ δουλικώτερος.

γ'. Ὅτι οὐδὲν ἄλλο ἀκάθαρτον, εἰ μὴ ἡ ἁμαρτία, ἡ πλεονεξία, καὶ τὰ ὅμοια· τὰ δὲ δοκοῦντα ἀκάθαρτα, ὀνόματι μόνῳ, ἀλλ' οὐκ ἀληθείᾳ εἰσί.

δ'. Περὶ δούλων, ὅτι οὐδὲν αὐτοὺς βλάπτει πρὸς ἀρετὴν, ἐὰν πρὸς αὐτὴν βλέπωσι, καὶ μαρτυρία σαφὴς ὁ ἐνάρετος Ἰωσὴφ βληθεὶς εἰς φυλακήν.

ε'. Περὶ εὐχαριστίας καὶ τῆς πρὸς τοὺς ἀδελφοὺς συμβουλῆς καὶ φροντίδος, καὶ ὅτι οὐ χρὴ ἑαυτῶν, καὶ τῶν ὁμοδούλων ἀμελεῖν ἐννοοῦντας τὴν τοῦ Θεοῦ χάριν πρὸς ἡμᾶς.

ϛ'. Περὶ ἐλεημοσύνης, καὶ τίνος χάριν τὸ γλωσσόκομον ἐπεφέρετο ὁ δεσπότης ἡμῶν καὶ οἱ ἀπόστολοι, καὶ ὅτι οἱ πλουτοῦντες εὐχείρωτοι, καὶ διήγησις ἀστεία, ὅτι δεῖ ἐλπίζειν ἐπὶ Θεόν.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α'. Περὶ τοῦ συγγινώσκειν τοῖς ἁμαρτάνουσι, καὶ προσδοκᾶν παρὰ Θεοῦ τὴν ἰδίων κακῶν συγχώρησιν, καὶ μὴ προτιμᾶν ἀνθρώπους τοῦ Θεοῦ, καὶ ὁμολογεῖν τὰ ἁμαρτήματα.

β'. Περὶ τοῦ συγχωρεῖν τοῖς οἰκέταις τὰ ἁμαρτήματα, καὶ μὴ ἀπογινώσκειν αὐτῶν, καὶ περὶ ταπεινοφροσύνης, καὶ τῶν τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου.

γ'. Περὶ εὐχῆς, ὅτι μέγα ἀγαθὸν αὕτη, καὶ ὅτι χρὴ τὰς παρὰ τῶν ἱερέων εὐχὰς αἰτεῖν, καὶ ποιεῖν τὰ τῆς εὐλογίας ἄξια, καὶ πόσον ἀγαπᾷ ὁ Θεὸς, πῶς δὲ φιλεῖ ἄνθρωπος.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΗΘΙΚΩΝ

πίναξ.

α'. Περὶ τοῦ δεῖν καθαρεύειν ἀπὸ ἁμαρτίας· καὶ ὅτι καὶ τὰ δοκοῦντα μικρὰ τῶν ἁμαρτημάτων σφόδρα μεγάλα τυγχάνει· καὶ ὅτι οὐδὲν ἄλλο ἡμῖν παραστήσεται ἐν τῇ κρίσει, πλὴν τῆς εὐποιΐας καὶ ἐλεημοσύνης.

β'. Κατὰ ἀπονοίας, καὶ ὅτι πρὸς μὲν κακίαν μᾶλλον ἐπιτήδειος ὁ πλοῦτος, πρὸς δὲ ἀρετὴν ἡ πενία· καὶ ὅτι ἡδίων μᾶλλον ὁ τῶν πενήτων βίος, ἢ τῶν πλουσίων.

γ'. Ὅτι μόνον λύπης ἄξιον τὸ ἁμαρτάνειν· καὶ τί δήποτε πολλάκις καὶ καθαρὸν ἔχοντες βίον οὐ λαμβάνουσι χαρίσματα· καὶ ὅτι μᾶλλον τοῖς ἀφελεστέροις καὶ ἁπλουστέροις δίδοται πρὸς τὸ συμφέρον· καὶ περὶ τοῦ μὴ δεῖν χαρισμάτων ἐπιθυμεῖν, καὶ ὅτι μεῖζον πάντων ἡ ἀγάπη.

δ'. Περὶ τοῦ μὴ πενθεῖν ἐπὶ τοῖς κοιμωμένοις, καὶ ὅτι οὐ δεῖ καλεῖν ἐπ' αὐτοῖς θρηνωτείας, καὶ ὅτι ἔστιν ἀνάστασις, καὶ αἰωνίων ἀπόλαυσις ἀγαθῶν.

ε'. Περὶ τοῦ μὴ χρῆναι θορυβεῖσθαι βλέποντας πονηροὺς μὲν εὐπραγοῦντας, ἀγαθοὺς δὲ κακοπραγοῦντας, ἀφορῶντας πρὸς τὴν μέλλουσαν ἔσεσθαι κρίσιν· καὶ ὅτι δεῖ τὸν χριστιανὸν ἐναγωνίως ἀεὶ ζῆν· καὶ περὶ τοῦ μὴ ἐπιπηδᾶν τοῖς πειρασμοῖς, ἀλλ' ἐμπεσόντας ὑπομένειν γενναίως.

ϛ'. Περὶ

ΠΙΝΑΞ ΤΩΝ ΗΘΙΚΩΝ

ϛʹ. Περὶ τῆς μελλούσης καταπαύσεως, καὶ περὶ τῶν ἐν αὐτῇ ἀνεκδιηγήτων ἀγαθῶν.

ζʹ. Ὅτι οὐ δεῖ ἐν γήρᾳ ἐλθόντας χαυνοῦν τὴν ἄσκησιν, ἀλλ' ἐπιτείνειν τότε μᾶλλον αὐτήν· καὶ ὅτι πάντα ἐξίσης τῷ μονάζοντι τὸν κοσμικὸν δεῖ πράττειν, πλὴν τοῦ γυναῖκα ἔχειν, καὶ ὅτι τῷ συμμέτρως χρῆσθαι γάμῳ σεμνῷ, καὶ οἴνῳ καὶ τοῖς ὁμοίοις οὐδὲν παραβλάπτει πρὸς τὴν εὐσέβειαν.

ηʹ. Περὶ μελέτης τῶν θείων γραφῶν, καὶ ὅτι τὸν συνεχέστερον αὐτὰς μετιόντες πολλὴν καρποῦνται ὠφέλειαν, καὶ ὅτι Ἔσδρας, μετὰ τὸ καυθῆναι τὰς βίβλους, τὰς θείας ἀπεγράψατο γραφάς.

θʹ. Ὅτι οὐ δεῖ ἀπογινώσκειν ἑαυτοῦ τὸν μετὰ τὸ βάπτισμα ἁμαρτήσαντα, καὶ δι' ὅσων κατορθοῦται τοῦτο ἡ ἀληθὴς μετάνοια, καὶ ὅτι ματαία καὶ πλοῦτος, καὶ δυναστεία, καὶ τιμή.

ιʹ. Περὶ τοῦ διακονεῖν τοῖς ἁγίοις, καὶ ὅτι δεῖ πρὸς πάντας ἀδιακρίτως τὴν ἐλεημοσύνην ἐργάζεσθαι, εἴτε μοναχοὶ, εἴτε κοσμικοὶ εἶεν, ἢ ἕλληνες, ἢ χριστιανοὶ, ἢ αἱρετικοὶ, καὶ μὴ πολυπραγμονεῖν τίς ἄξιος, καὶ περὶ μὴ ἀπογινώσκειν ἄχρι τέλους.

ιαʹ. Περὶ λογικῆς θυσίας, ἥτις ἐστὶν ἡ κατὰ ψυχὴν ἀρετὴ, καὶ περὶ τοῦ ἀδιακρίτως πάντας τοὺς προσιόντας ἐλεεῖν.

ιβʹ. Περὶ μετανοίας καὶ τοῦ μὴ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἔλθωμεν κακίαν, καὶ ὅτι ἐφ' ἡμῖν ἐστιν ἡ τῆς μετανοίας ἀρχὴ, ἐπὶ δὲ Θεῷ ἐστὶν ἡ τελείωσις.

ιγʹ. Προτροπὴ μετανοίας, καὶ ὅτι οὐ δεῖ προφάσει τοῦ πλείονα ἁμαρτάνειν ὑπερτίθεσθαι τὸ βάπτισμα· δεῖ γὰρ ἡμῖν καὶ μετὰ τοῦ βαπτίσματος πολλῆς ἐργασίας εἰς τὸ διαφυγεῖν τὴν αἰσχύνην· καὶ ὅτι οὐδὲν βαρὺ ἐπιτέτακται ὁ χριστιανός.

ιδʹ. Περὶ μετανοίας καὶ προσευχῆς τῆς ἐν νυκτὶ καθ' ἡσυχίαν· καὶ ὅτι καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἄγγελοι ἡμῖν παρεδρεύουσι.

ιεʹ. Κατὰ τῶν νεκρῶν ἔργων, καὶ ὅτι λοιμός ἐστιν ἡ ἁμαρτία· καὶ κατὰ φιλαργυρίας, καὶ μὴ γελᾷν, μάλιστα ἐν ἐκκλησίᾳ.

ιϛʹ. Προτροπὴ πολιτείας ἐπουρανίου· καὶ ὅτι οὐ δεῖ ἀρκεῖσθαι μόνον τῷ θέλειν ἀρετὴν, ἀλλὰ καὶ τῶν πόνων ἅπτεσθαι· καὶ ὅτι τὰ σχεδὸν ἀμήχανα διὰ ἐπιμελείας πολλῆς κατώρθωσαν πολλοὶ, ὡς ἐν τοῖς θεάτροις σχοινοβάται· καὶ ὅτι ὁ Θεὸς ἐν οὐρανῷ λέγεται εἶναι, οὐχ ὡς μὴ παρὼν ἐν τῇ γῇ, ἀλλ' ὡς διὰ τὴν σχέσιν καὶ τὴν οἰκείωσιν τὴν πρὸς τοὺς ἀγγέλους.

ιζʹ. Ὅτι δεῖ μετὰ καθαρότητος ἑαυτοὺς δοκιμάζοντας προσιέναι τοῖς φρικτοῖς μυστηρίοις· καὶ πρὸς τοὺς διὰ χρόνου πολλοῦ μεταλαμβάνοντας τῶν θείων μυστηρίων.

ιηʹ. Προτροπὴ εἰς τὸ αἱρεῖσθαι τὴν πενίαν· τοῦτο γάρ ἐστι Χριστοῦ μιμητὴν εἶναι καὶ τῶν ἀποστόλων, καὶ ὅτι τέλειός ἐστιν ὁ κατὰ Θεὸν πτωχεύων.

ιθʹ. Ὅτι ἀγαπῶντες τοὺς πλησίον οὐκ ἐκείνοις τοσοῦτον, ὅσον ἑαυτοῖς χαριζόμεθα.

κʹ. Κατὰ φιλοκόσμων γυναικῶν, καὶ κατὰ πλεονεξίας, καὶ παραμυθία πρὸς τοὺς πλεονεκτουμένους, καὶ ὅτι οὐ στεφάνων ὁ παρὼν καιρὸς, ἀλλὰ τῶν ἀγώνων καὶ ἱδρώτων.

καʹ. Ὅτι ἐπὶ θύραις ἐστὶ τὸ τέλος, καὶ ὅτι μετὰ τῶν ἄλλων κακῶν, καὶ γλώσσης γινόμεθα ἀκρατεῖς διαπορθμεύοντες ἐν σχήματι εὐλαβείας τὰ τοῦ πλησίον ἐλαττώματα τοῖς κωμῳδεῖν εἰδόσιν· ὅπερ ἱκανὸν χωρὶς ἄλλου τινὸς τῇ αἰωνίᾳ κολάσει παραπέμψαι ἡμᾶς.

κβʹ. Ὅτι οὕτω δεῖ συνεχῶς ζητεῖν τὸν Θεὸν, ὃν τρόπον ζητεῖ τις υἱὸν ἀπολωλότα· καὶ περὶ ἐκτενοῦς προσευχῆς· καὶ ὅτι οὕτω δεῖ μακροθυμεῖν καὶ γελᾷν ἐν ἑαυτοῖς τοὺς ὑβρίζοντας, ὃν τρόπον γελῶμεν ὑπὸ παίδων ὑβριζόμενοι.

κγʹ. Ὅτι οὐ παρ' ἑτέρων ἀποστερούμεθα τῶν μελλόντων ἀγαθῶν, ἀλλ' ἑαυτοῖς αἴτιοι τῆς τούτων ἐκπτώσεως γινόμεθα, καὶ περὶ τῆς εἰς ἡμᾶς ἀγάπης Θεοῦ, καὶ ὅτι θρηνῶν καὶ ὀδυρ-

μεθα ἐσμὲν ἄξιοι· καὶ οὐκ ἔστιν ἑτέρα προτροπὴ πρὸς ἀρετὴν, ὡς ἡ τῶν ἡμαρτημένων ὑπόμνησις.

κδʹ. Ὅτι ἀρκεῖ βίος ἐνάρετος πρὸς σωτηρίαν, τούτου δὲ μὴ παρόντος, κἂν σημεῖα γένηται, οὐδέν ἐστιν ὄφελος· καὶ ὅτι καὶ δι' ἀναξίων ἱερέων ἐνεργεῖ ἡ χάρις, καὶ ὅτι κατὰ βαθμὸν δεῖ ἡμᾶς μιᾶς ἐπιλαβομένους ἀρετῆς καὶ κατορθοῦντας, οὕτως ἐφ' ἑτέραν ἔρχεσθαι.

κεʹ. Ὅτι ἐὰν ἴδῃ ἡμᾶς ὁ Θεὸς καταφρονοῦντας χρημάτων καὶ δόξης καὶ ἀναπαύσεως, τότε ἡμῖν ταῦτα παρέχει· καὶ ὅτι οὐ τὸ πάσχειν κακῶς, ἀλλὰ ποιεῖν, ἐστὶ χαλεπόν· καὶ ὅτι δεῖ φεύγειν τοὺς φαύλους, καὶ τὰ παρ' αὐτῶν προσφερόμενα, καὶ συνεσθίειν μᾶλλον ἕλλησιν ἢ πλεονέκταις· καὶ ὅτι ἀπρόσδεκτος ἡ τῶν πλεονεκτῶν ἐλεημοσύνη.

κϛʹ. Περὶ τοῦ μνημονεύειν Θεοῦ διηνεκῶς, καὶ καταμέμφεσθαι ἑαυτῶν, καὶ περὶ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων.

κζʹ. Περὶ τοῦ μὴ φροντίζειν τῶν κοσμικῶν, καὶ περὶ τοῦ Ἰησοῦ τοῦ Ναυῆ· καὶ ὅτι σφαιροειδὴς ὁ οὐρανός· καὶ ὅτι ὁ Χριστὸς οὐχ ὡς δεόμενος ηὔχετο, ἀλλ' ἡμᾶς διδάξαι βουλόμενος ἐκτενῶς προσεύχεσθαι, καὶ κατὰ κενοδοξίας καὶ τῶν φευγόντων τοὺς ἐπαίνους οὐ διὰ ταπείνωσιν, ἀλλὰ διὰ μείζονας ἐπαίνους· καὶ ὅτι ἀληθὴς ταπείνωσίς ἐστιν, οὐ τὸ ἑαυτὸν ὑβρίζειν, ἀλλ' ὑβριζόμενον παρ' ἑτέρου ἀνέχεσθαι.

κηʹ. Ὅτι εἰς Χριστὸν ἀφορῶντας, καὶ εἰς τὰ τῶν μαθητῶν αὐτοῦ, γενναίως ἡμᾶς χρὴ πᾶσαν φέρειν θλίψιν· καὶ κατὰ φιλοκόσμων γυναικῶν· καὶ τίς ἐστι κόσμος ἀληθινὸς γυναικῶν.

κθʹ. Ὅτι οἱ ἅγιοι πάντες διὰ θλίψεων ὥδευσαν· καὶ ὅτι ἑτέρως οὐκ ἔνι σωτηρίας τυχεῖν, ἢ διὰ θλίψεως· καὶ ὅτι πρὸς τῇ ψυχῇ καὶ τὸ σῶμα ἡ τρυφὴ λυμαίνεται.

λʹ. Ὅτι οὐ δεῖ πάντα ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτειν, ἀλλὰ πάντας σπεύδειν ἀλλήλους οἰκοδομεῖν· καὶ ὅτι ὁ τὸ ἓν τάλαντον ἔχων ἐστὶν ὁ λαϊκός, καὶ ἐν ποίοις δεῖ τῷ ἀδελφῷ παραινεῖν.

λαʹ. Περὶ μετανοίας, καὶ ὅτι μέγα ὄφελος πρὸς μετάνοιαν ταπείνωσις ψυχῆς, καὶ ἀσφάλεια εἰς τὸ μὴ πεσεῖν ἡ διηνεκὴς τῶν ἡμαρτημένων μνήμη.

λβʹ. Ὅτι πρόσκαιρος ὁ παρὼν βίος καὶ ἀβέβαιος, καὶ ἐγκώμιον ἐλεημοσύνης.

λγʹ. Ὅτι τῆς ἀνέσεως ὠφελιμωτέρα ἡ θλίψις, καὶ ἡ πενία τοῦ πλούτου, ὅθεν καὶ ταύτην τῷ βουλομένῳ τέλειος γενέσθαι ὁ Κύριος ἐπέταξε.

λδʹ. Ὅτι οὐδὲν ἄλλ' ἐν ἡμῖν ποιεῖ τὴν χάριν τοῦ ἁγίου πνεύματος, πλὴν τῶν ἀγαθῶν πράξεων, καὶ τοῦ τείνειν πρὸς τὸν οὐρανὸν τὴν διάνοιαν.

ΤΩΝ ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

αʹ. Ὅτι οὐ δεῖ ἀναβάλλεσθαι τὸ βάπτισμα.

βʹ. Κατὰ Ἑλλήνων περὶ ἀναστάσεως.

γʹ. Περὶ ἐπισκόπων ἐκλογῆς, καὶ ὅτι πολλῆς δυσκολίας γέμει ἡ ἐπισκοπή.

δʹ. Κατὰ Ἑλλήνων, καὶ σύγκρισις τοῦ Πλάτωνος πρὸς τὸν Πέτρον.

εʹ. Κατὰ αἱρέσεων, καὶ περὶ τοῦ ὀρθοῦ βίου, καὶ περὶ τοῦ ἐπιεικῶς φέρειν τὰς τῶν ἱερέων ἐπιτιμήσεις.

ϛʹ. Κατὰ ὀργιζομένων.

ζʹ. Περὶ ἀφελείας.

ηʹ. Ὅτι δεῖ ἐκ μακροῦ ἄρχεσθαι ἡμᾶς τῆς ἀρετῆς, καὶ περὶ τοῦ μὴ ὀμνύναι.

θʹ. Κατὰ μνησικακίας, καὶ περὶ τοῦ μήτε ὅρκους ἀπαιτεῖν, μήτε ὀμνύναι.

ιʹ. Περὶ

ΠΙΝΑΞ ΤΩΝ ΗΘΙΚΩΝ

ι'. Περὶ τοῦ μὴ ὀμνύναι.

ια'. Ὅτι καλὸν ἡ ἀκτημοσύνη, καὶ περὶ τοῦ μὴ ὀμνύναι.

ιβ'. Περὶ τοῦ μὴ ὀμνύναι.

ιγ'. Ὅτι ἐν ἡδονῇ μᾶλλον διάγουσι τῶν πλουτούντων οἱ πένητες, καὶ περὶ τοῦ μὴ ὀμνύναι.

ιδ'. Ὅτι δεῖ μακροθυμεῖν, καὶ μὴ μνησικακεῖν τοῖς ἐπηρεάζουσι, καὶ περὶ ἐλεημοσύνης.

ιε'. Ὅτι θλίψιν δεῖ προσδοκᾶν ἐν τῷ αἰῶνι τούτῳ τοὺς δουλεύοντας Θεῷ, καὶ κατὰ θυμοῦ καὶ ὀργῆς.

ιϛ'. Ὅτι οὐκ ἔστι τὸν κατὰ κόσμον χαίροντα ὁμοῦ καὶ κατὰ Θεὸν χαίρειν, καὶ κατὰ τρυφώντων.

ιζ'. Κατὰ ὀργιζομένων.

ιη'. Ὅτι δεῖ τοὺς κεκτημένους ἐν τοῖς ἑαυτῶν ἀγροῖς οἰκοδομεῖν ἐκκλησίας.

ιθ'. Ὅτι δεῖ συνεχῶς καὶ ἐπιμελῶς ἀναγινώσκειν τὰς θείας γραφάς.

κ'. Ὅτι ὁ χριστιανὸς οὐχ ἑαυτῷ μόνῳ, ἀλλὰ καὶ ἑτέροις ἔσται χρήσιμος.

κα'. Περὶ τοῦ μὴ δεῖν τοὺς ἀποθανόντας πενθεῖν· καὶ ὅτι μεγάλα εὐεργετοῦσι τοὺς πλουτήσαντας αἱ ὑπὲρ αὐτῶν γινόμεναι ἐλεημοσύναι, καὶ προσευχαί, καὶ προσφοραί.

κβ'. Περὶ ἐλεημοσύνης.

κγ'. Περὶ τοῦ μὴ ἀναβάλλεσθαι τὸ φώτισμα, καὶ προτροπὴ πρὸς τὸν ὀρθὸν βίον, καὶ ὅτι προνοίᾳ Θεοῦ τὰ πάντα διοικεῖται, τὰ μὲν συγχωροῦντος δι' ὃν οἶδε λόγον, τὰ δὲ ἐνεργοῦντος.

κδ'. Περὶ μετανοίας, καὶ ὅτι διωγμὸς ἡ αἵρεσις, καὶ ὅτι μάλιστα ἐν ἐκκλησίᾳ δεῖ ἡμᾶς γέλωτος καὶ φλυαρίας ἀπέχεσθαι.

κε'. Περὶ ἐλεημοσύνης, καὶ περὶ γυμνότητος ψυχῆς.

κϛ'. Προτροπὴ πρὸς προσευχὴν νυκτερινήν.

κζ'. Κατὰ μεθυόντων καὶ τρυφώντων.

κη'. Κατὰ κενοδόξων.

κθ'. Πόθεν δεῖ ἐκκλησίαν δοκιμάζειν, καὶ ὅτι ἄχρηστον τὸ συνεχῶς ταῖς συνάξεσι προσιέναι, τῶν τρόπων μὴ κατορθουμένων.

λ'. Περὶ ταπεινοφροσύνης, καὶ περὶ τοῦ μὴ κροτεῖν ἐν ἐκκλησίᾳ.

λα'. Περὶ τοῦ κατὰ Θεὸν ζήλου, καὶ προθυμίας, μακροθυμίας τε, καὶ πραότητος, καὶ ὀργῆς.

λβ'. Ὅτι δεῖ τῶν παθῶν κρατεῖν τῶν ἡμετέρων, καὶ περὶ ἐπιεικείας καὶ ἀλαζονείας, καὶ τί ἐστι, Γνῶθι σεαυτόν, καὶ ὅτι ἀπὸ τῆς προαιρέσεως ἢ ἄγγελοι γινόμεθα, ἢ θηρία.

λγ'. Ὅτι τὸν σωφρονοῦντα λογισμὸν οὐδὲν βλάπτουσιν αἱ ἀντιλογίαι αἱρετικῶν.

λδ'. Περὶ τοῦ πῶς δεῖ ἐπιμέλειαν τῆς ψυχῆς ποιεῖσθαι.

λε'. Ὅτι πανταχοῦ ἡ ἄνεσις βλάπτει καὶ ἀργία.

λϛ'. Πρὸς Ἕλληνας ὅτι θαυμαστὴ ἡ τῆς περὶ Χριστοῦ διδαχῆς εἰσαγωγή, καὶ περὶ σπουδαίας προσευχῆς καὶ νυκτερινῆς, καὶ περὶ ἀμνησικακίας.

λζ'. Περὶ ἀγάπης καὶ εἰρήνης πνευματικῆς τῆς ψυχῆς πρὸς τὸ σῶμα.

λη'. Περὶ μετανοίας, καὶ πῶς δεῖ ἀγαπᾶν τὸν Θεόν, καὶ αὐτοῦ εὐεργεσιῶν συνεχῶς μνημονεύειν, καὶ περὶ τοῦ βιβλίου τοῦ μαγικοῦ.

λθ'. Περὶ ἐπιεικείας καὶ ἀνεξικακίας, καὶ κατὰ ὑβριστῶν.

μ'. Περὶ ἀγάπης.

μα'. Ὅτι ὁ ὀργίλος ἀεὶ τηρῶν πλέον ἑαυτὸν τιμωρεῖται, καὶ προτροπὴ τοῦ παύσασθαι τοῦ τοιούτου πάθους.

μβ'. Ὅτι χρήσιμοι οἱ πειρασμοὶ οἱ σύμμετροι πρὸς πάντα.

μγ'. Περὶ συμπαθείας, καὶ ὅτι δεῖ μιμεῖσθαι τοὺς ἁγίους, καὶ ἑαυτοὺς ῥίπτειν εἰς κινδύνους διὰ τοὺς ἀδελφούς.

μδ'. Πρὸς

μδ'. Πρὸς τοὺς ἀκροατάς, ὥστε προσέχειν τοῖς λεγομένοις, καὶ προκόπτειν ἐν τῇ κατὰ Θεὸν ἀγάπῃ.

με'. Προτρεπτικὴ περὶ φιλοξενίας, καὶ ὅτι ὁ τοὺς ἐλαχίστους τῶν ἀδελφῶν δεχόμενος διὰ τὸν Χριστόν, πλείονα μισθὸν ἔχει.

μϛ'. Ὅτι οὐ δεῖ ἀλγεῖν διὰ τὸ εἶναι αἱρέσεις, καὶ περὶ τῶν σκανδάλων.

μζ'. Ὅτι δεῖ ἡμᾶς μάρτυρας εἶναι Χριστοῦ δι' ὀρθότητος βίου.

μη'. Περὶ ἐπιεικείας καὶ ἀνδρείας, καὶ ὅτι ἀντίκειται τούτοις θρασύτης καὶ ἀνανδρία.

μθ'. Ὅτι δι' ὧν δοκοῦμεν βλάπτεσθαι, διὰ τούτων ὠφελούμεθα· τὸ ὑπόδειγμα ἐκ τοῦ Ἰωσήφ, καὶ Ἰακώβ, καὶ ὅτι οὐ δεῖ γυναῖκας πλουσίας ἄγεσθαι.

ν'. Περὶ τοῦ μὴ δεῖν ἀνθυβρίζειν, ἀλλὰ φέρειν τοὺς ὑβρίζοντας, καὶ προδιαλαμβάνειν τὰς καταλλαγάς.

να'. Ὅτι οὐδεὶς ἡμᾶς βλάψαι δύναται, ἐὰν μὴ ἑαυτοὺς βλάψωμεν.

νβ'. Ὅτι ὁ κρατηθεὶς τῷ θείῳ ἔρωτι, οὐδενὸς τῶν ἐπὶ γῆς λόγον ποιεῖται.

νγ'. Ὅτι χρήσιμον τὸ ἔχειν ἐν οἰκίᾳ ἅγιον ἄνδρα, καὶ πείθεσθαι τούτῳ, καὶ ὅτι δεῖ καὶ νῦν ὥσπερ πρότερον πείθεσθαι τῷ Παύλῳ συμβουλεύοντι, πρὶν ἐν πείρᾳ γενώμεθα τῶν κακῶν.

νδ'. Ὅτι χρήσιμοι εἰσὶν πειρασμοί, καὶ ὅτι οὐκ ἀεὶ ὁ δαίμων ἡμῖν τῆς κακίας αἴτιος γίνεται.

νε'. Εἰς Παῦλον τὸν ἀπόστολον.